ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ

πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ΤΩΝ

εὑρισκομένων

ΤΟΜΟΣ ΠΕΜΠΤΟΣ,

Δι' ἐπιμελείας καὶ ἀναλωμάτων ΕΡΡΙΚΟΥ τοῦ ΣΑΒΙΛΙΟΥ
ἐκ παλαιῶν ἀντιγράφων ἐκδοθείς.

HONI SOIT QVI MAL Y PENSE

ETONÆ, in Collegio Regali,
Excudebat IOANNES NORTON, in Græcis &c.
Regius Typographus.
1611

MVSEVM
BRITAN
NICVM

ΧΡΥΣΟΣΤΟΜΟΥ
ΕΙΣ ΔΙΑΦΟΡΟΥΣ ΤΩΝ ΑΓΙΩΝ ΓΡΑΦΩΝ ΠΕΡΙΚΟΠΑΣ

λόγοι γνήσιοι.

Λογ. α. ΛΕΧΘΕΙΣ ΕΝ ΑΡΧΗ ΤΗΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ

Εἰς τό, Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· καὶ περὶ νηστείας καὶ ἐλεημοσύνης.

Γεν. α. α.

Ἡδὺ μὲν ναύταις τὸ ἔαρ, ἡδὺ καὶ γηπόνοις· ἀλλ' οὔτε ναύταις, οὔτε γηπόνοις οὕτως ἡδὺ τὸ ἔαρ, ὡς τοῖς βουλομένοις φιλοσοφεῖν ἡδὺς ὁ τῆς νηστείας καιρός, τὸ πνευματικὸν "τῶν ψυχῶν ἔαρ, ἡ ἀληθὴς τῶν λογισμῶν γαλήνη. γηπόνοις μὲν γὰρ ἡδὺ τὸ ἔαρ, ὅτι τοῖς ἄνθεσι τότε στεφανουμένην ὁρῶσι τὴν γῆν, καὶ καθάπερ ἱμάτιον ποικίλον ἐφαπλούμενον αὐτῇ πανταχόθεν, τὴν "βλάστησιν τὴν ἀπὸ τῶν βοτανῶν· ναύταις δὲ ἡδὺ τὸ ἔαρ, ὅτι τὰ θαλάττια νῶτα μετὰ ἀσφαλείας ἔχουσι πλεῖν, κυμάτων ἐστορεσμένων, δελφίνων ἐν πολλῇ παιζόντων γαλήνῃ καὶ "περὶ αὐτοὺς τῆς νηὸς τοὺς τοίχους κυβιστώντων πολλάκις. ἡμῖν δὲ ἡδὺ τὸ τῆς νηστείας ἔαρ, ὅτι κύματα ἡμῖν, οὐχ ὑδάτων, ἀλλ' ἐπιθυμιῶν ἀλόγων καταστέλλειν εἴωθε, καὶ στέφανον ἡμῖν οὐ τὸν ἀπὸ τῶν ἀνθέων, ἀλλὰ τὸν ἀπὸ τῶν χαρίτων περιτίθησι τῶν πνευματικῶν. Στέφανον γὰρ χαρίτων, φησί, δέξῃ σῇ κορυφῇ. οὐχ οὕτω χελιδὼν φανεῖσα τὸν χειμῶνα ἀπελαύνειν εἴωθεν, ὡς νηστεία φανεῖσα τὸν χειμῶνα τῶν παθῶν τῆς διανοίας ἐκβάλλει τῆς ἡμετέρας. οὐκέτι μάχη τῇ ψυχῇ πρὸς τὴν σάρκα, οὐδὲ κατεξανίσταται τῆς κυρίας ἡ δούλη, ἀλλὰ πᾶς λοιπὸν τοῦ σώματος ὁ πόλεμος "λέλυται. ἐπεὶ οὖν πολλὴ "παρ' ὑμῖν εἰρήνη, πολλὴ δὲ καὶ ἡ γαλήνη, φέρε, καὶ ἡμεῖς τὸ σκάφος τῆς διδασκαλίας ἑλκύσωμεν, ἀπὸ λιμένος εἰς λιμένα παραπέμποντες "τῶν ὑμετέρων ἀκοῶν τὴν ἡμερότητα· φέρε, "λεπτοτέρων καταστολμήσωμεν νοημάτων, περὶ οὐρανοῦ καὶ γῆς καὶ θαλάττης καὶ τοῦ λοιποῦ τῆς κτίσεως φιλοσοφοῦντες σώματος· ταῦτα γὰρ ἡμῖν ἀνεγνώσθη σήμερον. καὶ τί πρὸς ἡμᾶς, φησιν, ὁ περὶ κτίσεως λόγος; πρὸς "ἡμᾶς μὲν οὖν, ἀγαπητοί. Εἰ γὰρ ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων "ἀναλόγως ὁ δημιουργὸς θεωρεῖται, ὅσῳπερ ἂν "τῷ μεγέθει τῆς καλλονῆς τῶν κτισμάτων ἐνδιατρίψωμεν, τοσοῦτον πρὸς τὸν δημιουργὸν χειραγωγούμεθα. μέγα ἀγαθὸν εἰδέναι, τί μέν ἐστι κτίσμα, τί δὲ "κτίστης· τί μὲν ἔργον, τί δὲ "ποιητής. καὶ γὰρ εἰ ταῦτα ᾔδεισαν ἀκριβῶς διαιρεῖν οἱ τῆς ἀληθείας ἐχθροί, οὐκ ἂν πάντα συνέχεον, τὰ ἄνω κάτω ποιοῦντες· οὐχ ὅτι τὰ ἄστρα καὶ τὸν

Παροιμ. α. θ.

ψυχῆς
βλάστην
παρὰ τοῦ
καταλέλυται.
ἡμῖν
τὰς ὑμετέρας ἀκοὰς
λεπτομερῶν
ὑμᾶς
ἀναλόγως,
ἀνάλογον
τῷ κάλλει ἢ
τῷ μεγέθει
κτιστός·
ποίημα.

οὐρανὸν κατήνεγκαν κάτω, τὴν δὲ γῆν ἀνήνεγκαν ἄνω· ἀλλ' ὅτι τὸν τῶν οὐρανῶν βασιλέα
ἀπὸ τῶν θρόνων καταβιβάσαντες τῶν βασιλικῶν, μετὰ τῆς κτίσεως ἔστησαν, τὴν δὲ κτίσιν τοῖς
τῆς θεότητος προεδρίοις ἐτίμησαν. Εἰ περὶ κτίσεως ᾔδεισαν φιλοσοφεῖν Μανιχαῖοι καλῶς,
οὐκ ἂν τὴν ὕλην, τὴν ἐξ οὐκ ὄντων, τὴν φθειρομένην, τὴν ῥέουσαν, τὴν ἀλλοιουμένην
τοῖς τῆς ἀγεννησίας πρεσβείοις ἐτίμησαν. Εἰ περὶ κτίσεως ᾔδεισαν Ἕλληνες φιλοσοφεῖν
καλῶς, οὐκ ἂν ″ἀπεπλανήθησαν τῆς ἀληθείας, οὐκ ἂν ἐσεβάσθησαν καὶ ἐλάτρευσαν χ. ἐπλανή
τῇ κτίσει παρὰ τὸν κτίσαντα. καλὸς ὁ οὐρανός, ἀλλ' ἵνα ″προσκυνήσῃς τὸν ποιήσαντα· χ. προσκυν
φαιδρὸς ὁ ἥλιος, ἀλλ' ἵνα θεραπεύσῃς τὸν ἐργασάμενον. Εἰ δὲ μέλλεις ἐναπομένειν
τῷ τῆς κτίσεως θαύματι, καὶ τῷ κάλλει τῶν ἔργων παρακαθῆσθαι, τὸ φῶς
σοι γέγονε σκότος, μᾶλλον δὲ τῷ φωτὶ πρὸς σκότος ἐχρήσω. Εἶδες ″ὅσον ἀγαθόν ἐστι, χ. πόσον
τὸ εἰδέναι τοὺς περὶ κτίσεως λόγους. μὴ τοίνυν παραδράμῃς τὸ κέρδος, ἀλλὰ μετ' ἀκριβείας
πρόσεχε τοῖς λεγομένοις. οὐ γὰρ δὴ περὶ οὐρανοῦ μόνον ἐροῦμεν καὶ γῆς καὶ θαλάττης,
ἀλλὰ καὶ περὶ τῆς γεννήσεως τῆς ἡμετέρας, καὶ πόθεν ὁ θάνατος, καὶ πόθεν ἡ ἐπίμοχθος ζωή, καὶ
πόθεν αἱ ″ἀθυμίαι καὶ φροντίδες. Καὶ γὰρ ὑπὲρ τούτων καὶ ὑπὲρ πλειόνων ἑτέρων ἀπολογίαν χ. ἐπιθυμί
συντιθεὶς ὁ Θεός, τὸ βιβλίον τοῦτο πρὸς ἡμᾶς ἔπεμψεν. οὐδὲ γὰρ ἀπολογεῖσθαι
Ησ. α. ιη. παραιτεῖται τοῖς ἀνθρώποις ὁ Θεός, ἀλλὰ βοᾷ διὰ τοῦ προφήτου λέγων· Δεῦτε, καὶ διαλεχθῶμεν,
λέγει Κύριος. οὐκ ἀπολογεῖται δὲ μόνον καὶ δικάζεται, ἀλλὰ καὶ, ὅπως διαφύγωμεν
τὴν καταδίκην, διδάσκει. οὐ γὰρ ἁπλῶς εἶπε, δεῦτε, καὶ διαλεχθῶμεν· ἀλλὰ πρότερον
διδάξας, τί μὲν εἰπεῖν, τί δὲ ποιῆσαι χρή, οὕτω πρὸς τὸ δικαστήριον εἵλκυσεν. ἄκουσον
Ησ. α. ιϛ. ιζ. ″οὖν ἄνωθεν τοῦ προφητικοῦ ῥήματος. Λούσασθε, καθαροὶ γίνεσθε, ″ἀφέλετε τὰς χ. γοῦν χ. ἀφέλεσ
πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν· μάθετε καλὸν ποιεῖν· κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν·
καὶ τότε φησὶ, δεῦτε, καὶ διαλεχθῶμεν, λέγει Κύριος. οὐ βούλομαι ὑμᾶς γυμνούς, φησί,
καὶ ἐρήμους τῶν δικαιωμάτων λαβεῖν, ἀλλὰ καθοπλίσας ὑμᾶς ταῖς ἀπολογίαις, οὕτως ἐπὶ τὰς
εὐθύνας καλῶ. καὶ γὰρ δικάζεσθαι βούλομαι πρὸς ὑμᾶς, οὐχ ἵνα ″κατακρίνω, ἀλλ' ἵνα χ. κρινῶ,
Ησ. μγ. κϛ. φείσωμαι. οὕτω καὶ ἀλλαχοῦ φησι, Λέγε σὺ πρῶτον τὰς ″ἁμαρτίας σου, ἵνα δικαιωθῇς. ἔχεις χ. ἀνομίας
κατήγορον πικρὸν καὶ ἀνήμερον. προλαβὼν ἅρπασον ἐκείνου τὴν τάξιν, ἔμφραξον τὸ ἀναίσχυντον
στόμα.

Παρὰ μὲν οὖν τὴν ἀρχὴν δι' ἑαυτοῦ τοῖς ἀνθρώποις ὁ Θεὸς ὡμίλει, ὡς ″ἀνθρώποις χ. ἀνθρώπ
ἀκοῦσαι δυνατόν. οὕτω πρὸς τὸν Ἀδὰμ ἦλθεν· οὕτως ἐπετίμησε τῷ Κάϊν· οὕτω διελέχθη
τῷ Νῶε· οὕτως ἐπεξενώθη τῷ Ἀβραάμ. ἐπειδὴ δὲ πρὸς κακίαν ἡ φύσις ἡμῶν
ἀπέκλινε, καὶ καθάπερ εἰς ὑπερορίαν τινὰ μακρὰν ἑαυτὴν διέστησε, τηνικαῦτα
λοιπὸν, καθάπερ ἐν μακρᾷ καθεστῶσιν ἀποδημίᾳ, γράμματα πέμπει, ὥσπερ διά
τινος ἐπιστολῆς τὴν παλαιὰν πρὸς ἡμᾶς ἀνανεούμενος φιλίαν. καὶ τὰ μὲν γράμματα
ταῦτα ἔπεμψεν ὁ Θεός, ″ἐκόμισε δὲ ὁ Μωϋσῆς. τί οὖν λέγει τὰ γράμματα; Ἐν ἀρχῇ ἐποίησεν χ. ἐκομίσα
ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Τίνος ἕνεκεν οὐ περὶ τῶν ἀγγέλων ἡμῖν διαλέγεται,
οὐ περὶ τῶν ἀρχαγγέλων; Εἰ γὰρ ἀπὸ τῶν κτισμάτων ὁ δημιουργὸς θεωρεῖται, πολλῷ
μᾶλλον ἀπ' ἐκείνων φαίνεται. καλὸς ὁ οὐρανός, ἀλλ' οὐχ οὕτω καλός, ὡς ἄγγελος· φαιδρὸς
ὁ ἥλιος, ἀλλ' οὐχ οὕτω φαιδρός, ὡς ὁ ἀρχάγγελος. τίνος οὖν ἕνεκεν τὴν ὑψηλοτέραν ἀφεὶς
ὁδόν, διὰ τῆς ταπεινοτέρας ἡμᾶς ὁδηγεῖ; ὅτι Ἰουδαίοις ″διαλέγεται, τοῖς ἀλογωτέροις διακειμένοις, χ. διελέγετ
τοῖς πρὸς τὰ αἰσθητὰ ἐπτοημένοις, τοῖς ἐξ Αἰγύπτου νῦν ἐπανιοῦσιν, ἔνθα κροκοδείλους
καὶ κύνας καὶ πιθήκους ἐθεράπευον οἱ ἄνθρωποι· καὶ οὐκ ἦν διὰ τῆς ὑψηλοτέρας αὐτοὺς
ὁδοῦ χειραγωγῆσαι πρὸς τὸν δημιουργόν. ὑψηλοτέρα μὲν γὰρ ὁδός ἐστιν ἐκείνη, ἀλλὰ
τραχυτέρα καὶ προσάντης καὶ μᾶλλον ὄρθιος τοῖς ἀσθενεστέροις. διὰ τοῦτο αὐτοὺς διὰ τῆς
εὐκολωτέρας ἄγει, δι' οὐρανοῦ καὶ γῆς καὶ θαλάττης, καὶ τῆς ὁρωμένης κτίσεως ἁπάσης. ὅτι γὰρ

τοῦτο

τούτου δὲ αἴτιον, ὅτι μικρὸν ἐπέδωκεν, ἄκουσον πῶς αὐτὸς ὁ προφήτης καὶ περὶ ἐκείνων διαλέγεται τῶν ἄνω δυνάμεων· Αἰνεῖτε τὸν Κύριον, φησὶν, ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις· αἰνεῖτε αὐτὸν πάντες ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ· ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. καὶ τί θαυμαστὸν, εἰ ἐν τῇ παλαιᾷ οὗτος ὁ τρόπος τῆς διδασκαλίας ἐστὶν, ὅπου γε καὶ ἐν τῇ καινῇ, ὅτε τῶν ὑψηλοτέρων διδαγμάτων καιρὸς ἦν, Ἀθηναίοις διαλεγόμενος ὁ Παῦλος ταύτην ἦλθε τὴν ὁδὸν, ἥνπερ ἦλθε * Μωϋσῆς Ἰουδαίους παιδεύων. οὐδὲ γὰρ οὗτος περὶ ἀγγέλων καὶ ἀρχαγγέλων εἶπεν αὐτοῖς, ἀλλὰ περὶ οὐρανοῦ καὶ γῆς καὶ θαλάττης, οὕτω πως δημηγορῶν· ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς ὑπάρχων Κύριος, οὐκ ἐν χειροποιήτοις κατοικεῖ ναοῖς. ἀλλ' οὐχ, ὅτε Φιλιππησίοις διελέγετο, διὰ ταύτης ἤγαγεν αὐτοὺς τῆς ὁδοῦ· ἀλλ' ἐπὶ τὴν ὑψηλοτέραν αὐτοὺς ἀνάγει δημηγορίαν, οὑτωσὶ λέγων· Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς καὶ ἐπὶ τῆς γῆς, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι· πάντα δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ἔκτισται. οὕτω καὶ Ἰωάννης, ἐπειδὴ τελειοτέρους εἶχε τοὺς μαθητευομένους, πάσης ὁμοῦ τῆς κτίσεως ἐμνημόνευσεν. οὐ γὰρ εἶπεν, οὐρανὸν καὶ γῆν καὶ θάλατταν, ἀλλ' ὅτι Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, εἴτε ὁρώμενον, φησιν, εἴτε μὴ ὁρώμενον. καθάπερ γὰρ ἐπὶ τῶν διδασκάλων, ὁ μὲν παρὰ τοῦ μηδενὸς διδασκάλου τὸ παιδίον λαβὼν, τὰ πρῶτα αὐτὸν παιδεύει στοιχεῖα, ὁ δὲ παρ' ἑτέρου λαβὼν διδασκάλου μαθητὴν, πρὸς τὰ ὑψηλότερα τῶν διδαγμάτων ἄγει· οὕτω καὶ ἐπὶ Μωϋσέως καὶ Παύλου καὶ Ἰωάννου γέγονε. Μωϋσῆς μὲν γὰρ μηδὲν εἰδυῖαν τὴν φύσιν ἡμῶν παραλαβὼν ἄρτι τοῦ γάλακτος ἀπογαλακτισθεῖσαν, τὰ πρῶτα τῆς θεογνωσίας ἐπαίδευσε στοιχεῖα. Ἰωάννης δὲ καὶ Παῦλος, καθάπερ παρὰ διδασκάλου τοῦ Μωϋσέως αὐτοὺς λαβόντες, ἐπὶ τὰ ὑψηλότερα τῶν διδαγμάτων ἀνάγουσι, * τῶν προτέρων ἀναμιμνήσκοντες ἐν βραχεῖ. Εἶδες ἑκατέρων τῶν διαθηκῶν τὴν συγγένειαν· εἶδες τὴν συμφωνίαν τῶν διδαγμάτων· ἤκουσας περὶ τῆς τῶν αἰσθητῶν δημιουργίας ἐν τῇ παλαιᾷ, καὶ περὶ τῆς τῶν νοητῶν τοῦ Δαβὶδ λέγοντος· ὅτι Αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· οὕτω πάλιν ἐν τῇ καινῇ εἰπὼν περὶ τῶν ἀοράτων δυνάμεων, εἶπε καὶ περὶ τῆς αἰσθητῆς κτίσεως, Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. τὸ ῥῆμα τοῦτο βραχὺ μέν ἐστι καὶ ψιλὸν, καὶ ῥῆμα ἕν· ἁπάντων δὲ τῶν ἐναντίων τοὺς πύργους καταστρέψαι δυνήσεται. σκόπει δέ· προσέρχεται Μανιχαῖος λέγων, ἀγέννητός ἐστιν ἡ ὕλη. εἰπὲ * πρὸς αὐτὸν, Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πάντα τὸν τῦφον αὐτοῦ κατέστρεψας εὐθέως. ἀλλ' οὐ πιστεύει τῷ ῥήματι τῆς γραφῆς, φησιν. οὐκοῦν * διὰ τοῦτο αὐτὸν ὡς μαινόμενον διάκρουσον καὶ ἀποστράφηθι. ὁ γὰρ τῷ Θεῷ μὴ πιστεύων ἀποφαινομένῳ, ἀλλὰ ψεύδους τῆς ἀληθείας καταγινώσκων, πῶς οὐ λαμπρὸν μανίας ἐκφέρει δεῖγμα, τὴν ἀπιστίαν; καὶ πῶς ἐξ οὐκ ὄντων γένοιτ' ἄν τι, φησι; σὺ δέ μοι εἰπὲ, πῶς ἐξ ὄντων γένοιτό τι; ὅτι μὲν ἐξ οὐκ ὄντων ἡ γῆ γέγονεν, ἐγὼ μὲν πιστεύω, σὺ δὲ ἀμφιβάλλεις· ὅτι δὲ ἐκ γῆς γέγονεν ἄνθρωπος, ἀμφότεροι ὁμολογοῦμεν. εἰπὲ τοίνυν τὸ συνομολογούμενον καὶ εὐκολώτερον, πῶς ἀπὸ γῆς γέγονε σαρκὸς φύσις. ἀπὸ γῆς γὰρ πηλὸς καὶ πλίνθος καὶ κέραμος καὶ ὄστρακον γίνεται· σάρκα δὲ ἀπὸ γῆς γινομένην οὐδεὶς ἂν ἴδοι ποτέ. πῶς οὖν γέγονε σαρκὸς φύσις; πῶς ὀστοῦν διεπλάσθη; πῶς νεῦρα; πῶς φλέβες; πῶς ἀρτηρίαι; πῶς ὑμὴν καὶ λίπος καὶ σάρκες καὶ δέρμα καὶ ὄνυχες καὶ τρίχες, καὶ τοσαύτη ποικιλία διαφόρων οὐσιῶν ἐκ μιᾶς τῆς ὑποκειμένης γῆς; ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν. πῶς οὖν οὐκ ἄτοπον τὸ σαφέστερον καὶ εὐκολώτερον ἀγνοοῦντα, τὸ δυσχερέστερον καὶ ἀπορρητότερον περιεργάζεσθαι καὶ πολυπραγμονεῖν; βούλει σε καὶ ἐφ' ἕτερον καὶ εὐκολώτερον ἀγάγω, καὶ καθ' ἑκάστην ἡμέραν γινόμενον; ἀλλ' ὅμως οὐδὲ τοῦτό μοι τὸν λόγον ἐρεῖς. ἄρτον σιτούμεθα καθ' ἑκάστην ἡμέραν. πῶς οὖν, εἰπέ μοι, ἡ τοῦ ἄρτου φύσις αὕτη εἰς αἷμα μεθίσταται καὶ φλέγμα καὶ χολὴν καὶ τοὺς λοιποὺς ἐν ἡμῖν χυμούς;

Ψαλ. ρμη. α. β. γ. δ.
Πραξ. ιζ. κδ
Κολασ. α. 15.
Ιωαν. α. γ.
Ψαλ. λβ 9.

γρ. ἐπιδῶκαν,
γρ. ἔτυς
γρ. φιλοσοφω-
γρ. ἀπαλλα-
γρ. αἰσθητῆς
γρ. λαμπρᾶς
γρ. πιμελὴ
γρ. -ρώτερον
γρ. -των

μοιος; ὁ μὲν γάρ ἐστι πυκνὸς καὶ σκληρὸς, τὸ δὲ αἷμα χαυνὸν καὶ διαῤῥέον· καὶ ὁ μὲν λευκὸς ἢ σιτόχρους, τὸ δὲ ἐρυθρὸν καὶ μέλαν. καὶ τῶν ἄλλων δὲ ποιοτήτων τὰς διαφορὰς εἴ τις ἐπέλθοι, πολὺ τὸ μέσον εὑρήσει ἄρτου καὶ αἵματος. πῶς οὖν ταῦτα γίνεται, εἰπέ μοι, καὶ τὸν λόγον ἀπόδος. ἀλλ᾽ οὐκ ἂν ἔχοις. εἶτα τροφῆς τῆς καθ᾽ ἡμέραν ἀλλοιουμένης παραδραμεῖν τὸν λόγον οὐκ ἔχων, τῆς τοῦ Θεοῦ δημιουργίας ἀπαιτεῖς με εὐθύνας; καὶ πῶς οὐκ ἐσχάτης ἀνοίας τοῦτο; εἰ μὲν γὰρ καθ᾽ ἡμᾶς ἐστιν ὁ Θεὸς, ἀπαίτει τῶν γινομένων τὸν λόγον· μᾶλλον δὲ μηδὲ οὕτω. πολλῶν γὰρ τῶν ὑπὸ ἀνθρωπίνης γινομένων τέχνης, ὅπως γίνεται, εἰπεῖν οὐκ ἔχομεν· οἷον, πῶς ἀπὸ γῆς τῆς ἐν τοῖς μετάλλοις χρυσίου γίνεται φύσις; πῶς εἰς ὑέλου καθαρότητα ἡ ψάμμος καθίσταται; καὶ ἕτερα τούτων ἐστὶ πλείονα εἰπεῖν, ἃ γίνεται μὲν ἀνθρωπίνῃ τέχνῃ, τὸν δὲ λόγον οὐκ ἴσμεν ἡμεῖς. πλὴν ἀλλ᾽ εἰ μὲν καθ᾽ ἡμᾶς ὁ Θεός ἐστιν, ἀπαίτει λόγον· εἰ δὲ ἀπείρως ἡμῶν διέστηκε καὶ ἀσυγκρίτως ὑπερέχει, πῶς οὐκ ἐσχάτης ἂν εἴη μανίας ἄπειρον αὐτοῦ καὶ τὴν σοφίαν καὶ τὴν δύναμιν ὁμολογοῦντα, καὶ θείαν καὶ ἀκατάληπτον, ὡς περὶ ἀνθρωπίνης τινὸς τέχνης, οὕτω καθ᾽ ἕκαστον τῶν γινομένων ἀπαιτεῖν εὐθύνας αὐτόν; ἀλλὰ γὰρ ἀφέντες τοὺς λογισμοὺς, ἐπὶ τὴν πέτραν ἐπανέλθωμεν τὴν ἀῤῥαγῆ, Εν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· ἐπὶ τούτῳ στῆθι τῷ θεμελίῳ· μή τίς σε εἰς λογισμῶν ἀνθρωπίνων ταραχὴν καταγάγῃ. Σοφ. θ. ιδ. Λογισμοὶ γὰρ θνητῶν δειλοὶ, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν. μὴ τοίνυν τὸ στεῤῥὸν ἀφεὶς, τῷ σαθρῷ καὶ ἐπισφαλεῖ τὴν σωτηρίαν ἐγχειρίσῃς τῆς σῆς ψυχῆς· ἀλλὰ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης, καὶ λέγε, ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. κἂν Μανιχαῖος προσέλθῃ, γρ. ἐπεισέλθῃ κἂν Μαρκίων, κἂν οἱ τὰ Οὐαλεντίνου νοσοῦντες, κἂν ὁστισοῦν ἕτερος, τοῦτο προβάλλου τὸ ῥῆμα. κἂν ἴδῃς γελῶντα, σὺ δάκρυσον αὐτὸν, ὡς μαινόμενον. πύξινον ἔχουσιν ἐκεῖνοι τὸ χρῶμα, καὶ κατεσταλμένην τὴν ὀφρὺν, καὶ ῥημάτων ἐπιείκειαν· ἀλλὰ φύγε τὸ δέλεαρ, καὶ τὸν ἐν τῇ δορᾷ τοῦ προβάτου κρυπτόμενον καταμάνθανε λύκον. διὰ τοῦτο αὐτὸν μάλιστα μίσησον, ὅτι πρὸς μὲν τὸν ὁμόδουλόν σε προσηνὴς καὶ ἥμερος εἶναι δοκεῖ, πρὸς δὲ τὸν κοινὸν ἡμῶν ἁπάντων δεσπότην, κυνῶν λυττώντων ἐστὶν ἀγριώτερος, ἀκήρυκτον εἰς τὸν οὐρανὸν μάχην εἰσάγων καὶ πόλεμον ἄσπονδον, καὶ δύναμίν τινα ἐξ ἐναντίας ἀντικαθιστῶν τῷ Θεῷ. φύγε τὸν ἰὸν τῆς πονηρίας, μίσησον τὰ δηλητήρια φάρμακα· καὶ ἣν παρὰ τῶν πατέρων ἐδέξω κληρονομίαν, τὴν ἀπὸ τῶν θείων γραφῶν πίστιν καὶ διδασκαλίαν, ταύτην κάτεχε μετὰ πολλῆς ἀσφαλείας. Εν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. τί τοῦτο; πρῶτον τὸν οὐρανὸν, εἶτα τὴν γῆν; πρῶτον τὸν ὄροφον, εἶτα τὸ ἔδαφος; οὐ γὰρ ἀνάγκῃ φύσεως ὑπόκειται, οὐδὲ ἀκολουθίᾳ τέχνης δουλεύει. καὶ γὰρ καὶ φύσεως καὶ τέχνης καὶ τῶν ὄντων ἁπάντων ἡ βούλησις τοῦ Θεοῦ δημιουργὸς καὶ τεχνίτης. Η δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος. Τίνος ἕνεκεν τὸν μὲν οὐρανὸν ἀπηρτισθέντα παρήγαγε, τὴν δὲ γῆν κατὰ μικρὸν τεχνεύειν αὐτήν φησιν ὁ Μωϋσῆς; ἵνα ἐν τῷ βελτίονι στοιχείῳ μαθὼν αὐτοῦ τὴν δύναμιν, πληροφορηθῇς ὅτι καὶ ταύτην ἠδύνατο, καθάπερ ἐκεῖνον, ἀπηρτισμένην παραγαγεῖν· ἀλλὰ διὰ σὲ, καὶ τὴν σωτηρίαν τὴν σὴν οὐκ ἐποίησεν οὕτω. πῶς δι᾽ ἐμὲ καὶ τὴν σωτηρίαν τὴν ἐμὴν, φησί; κοινὴ τράπεζα καὶ πατρὶς καὶ τροφὸς καὶ μήτηρ ἁπάντων ἐστὶν ἡ γῆ, καὶ πόλις καὶ τάφος κοινός. καὶ γὰρ τὰ σώματα ἡμῶν ἐξ αὐτῆς, καὶ τροφὴ τοῖς σώμασιν ἡμῶν ἐκεῖθεν, καὶ οἴκησις ἐν αὐτῇ καὶ διαγωγὴ, καὶ μετὰ θάνατον πρὸς αὐτὴν πάλιν ἐπάνοδος. ἵν᾽ οὖν μὴ τὸ τῆς χρείας ἀναγκαῖον ὑπὲρ τὴν ἀξίαν σε θαυμάζειν αὐτὴν παρασκευάσῃ, καὶ τὸ τῶν εὐεργεσιῶν πλῆθος πρὸς ἀσέβειαν ὑποσκελίσῃ, δείκνυσί σοι, πρὶν ἢ γενέσθαι, αὐτὴν ἀμόρφωτον καὶ ἀδιατύπωτον· ἵνα τὴν ἀσθένειαν ἰδὼν, θαυμάσῃς τὸν παραγαγόντα αὐτὴν, καὶ πᾶσαν ἐνθέντα αὐτῇ τὴν δύναμιν ταύτην· ἵνα δοξάσῃς τὸν τὰ τοσαῦτα πρὸς ἡμετέραν ἄνεσιν κατεσκευακότα. Ματθ. ε. ιϛ. δοξάζεται δὲ ὁ Θεὸς οὐ διὰ δογμάτων ὀρθῶν μόνον, ἀλλὰ καὶ διὰ πολιτείας ἀρίστης. Λαμψάτω γὰρ ὑμῶν, φησί, τὸ φῶς ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

Ἐβουλόμην τοὺς περὶ ἐλεημοσύνης* προσθεῖναι λόγους· ἀλλὰ περιττόν μοι δοκεῖ εἶναι λόγῳ διδάσκειν ὑμᾶς, τοῦ διὰ τῶν ἔργων ὑμᾶς παιδεύειν δυναμένου νῦν ἐν μέσῳ καθημένου, τοῦ κοινοῦ πατρὸς ἡμῶν καὶ διδασκάλου, ὃς τὴν οἰκίαν τὴν πατρῴαν, ὥσπερ εἰς αὐτὸ τοῦτο παρὰ τῶν προγόνων δεξάμενος, ἵνα ταῖς τῶν ξένων αὐτὴν θεραπείαις παράσχῃ, οὕτω διαπαντὸς τοῖς πανταχόθεν ἐλαυνομένοις ὑπὲρ τῆς ἀληθείας ἀνῆκε καὶ ὑποδέχεται καὶ θεραπεύει θεραπείας τρόπῳ παντοδαπῷ. ὥστε οὐκ οἶδα εἰ χρὴ τούτου μᾶλλον, ἢ τῶν ξένων καλεῖν τὴν οἰκίαν τὴν τούτου· μᾶλλον δὲ διὰ τοῦτο τούτου νομίζειν εἶναι αὐτήν, ἐπειδὴ τῶν ξένων ἐστί. καὶ γὰρ τὰ ἡμέτερα κλήματα τότε μάλιστα ἡμέτερα γίνεται, ὅταν μὴ ἡμῖν αὐτοῖς, ἀλλὰ τοῖς πένησιν αὐτὰ κεκτημένοι διαπαντὸς ὦμεν. καὶ πῶς, ἐγὼ λέγω. ἂν εἰς δεξιὰν τοῦ πένητος ἀποθῇς τὸ ἀργύριον, οὐ συκοφάντης ἐπιτίθεται, οὐ βάσκανος ὀφθαλμὸς ὁρᾷ, οὐ λῃστὴς ὑφαιρεῖται, οὐ τοιχωρύχος διορύξας, οὐκ οἰκέτης ἀφελόμενος ἀποδιδράσκει. καὶ γάρ ἐστιν ἄσυλον ἐκεῖνο τὸ ταμιεῖον. ἂν δὲ οἴκοι κατορύξῃς, καὶ λῃστῇ καὶ τοιχωρύχῳ καὶ βασκάνῳ καὶ συκοφάντῃ καὶ οἰκέτῃ καὶ πάσῃ βλάβῃ ποιεῖς ὑπεύθυνον τὸ χρυσίον. πολλάκις γοῦν μετὰ θύρας μυρίας καὶ μοχλοὺς τὰς μὲν ἔξωθεν ἐπηρείας διέφυγε, τοὺς δὲ φύλακας οὐ διέφυγεν· ἀλλ' οἱ τηροῦντες αὐτὸ λαβόντες ἀπέδρασαν. ὁρᾷς ὅτι τότε μᾶλλον κύριοι τῶν κλημάτων ἐσμέν, ὅταν τοῖς πένησιν αὐτὰ παρακαταθώμεθα. οὐ φυλακῆς δὲ ἕνεκα μόνον ἐκεῖνο ἀσφαλέστερον τὸ χωρίον, ἀλλὰ καὶ κέρδους καὶ προσόδου πλείονός ἐστιν ἡ ὑπόθεσις. ἂν μὲν γὰρ ἀνθρώπῳ δανείσῃς, ἑκατοστὴν ὧν ἔλαβες· ἂν δὲ Θεῷ δανείσῃς διὰ τοῦ πένητος, οὐκ ἑκατοστήν, ἀλλ' ἑκατονταπλασίονα λήψῃ. κἂν μὲν σπείρῃς εὔφορον ἄρουραν, ὅταν πολλὴν ἐνέγκῃ τὴν φοράν, δεκαπλασίονα οἴσει τὰ σπέρματα*· ἂν δὲ εἰς τὸν οὐρανὸν σπείρῃς, μετὰ τὸ γενέσθαι ἑκατονταπλασίονα, καὶ ζωὴν αἰώνιον καὶ ἀγήρω καὶ ἀθάνατον ἀπολήψῃ. καὶ ἐνταῦθα μὲν πολὺς ὁ πόνος τοῖς τὰ σπέρματα καταβάλλουσιν· ἐκεῖ δὲ χωρὶς ἀροτήρων καὶ βοῶν καὶ γεωπόνων καὶ τῆς ἄλλης ταλαιπωρίας ἁπάσης ἡ τῶν καταβληθέντων φορὰ φύεται. καὶ οὐκ αὐχμόν, οὐκ ἐπομβρίας, οὐκ ἐρυσίβην, οὐ χάλαζαν, οὐκ ἀκρίδος στρατόπεδον, οὐ ποταμῶν ἐπικλύσεις, οὐκ ἄλλο τι οὐδὲν ἐκεῖ σπείροντάς ἐστι φοβηθῆναί ποτε· ἀλλὰ πάσης ἀνωτέρω βλάβης ἕστηκε τὰ ἐκεῖ καταβαλλόμενα σπέρματα. ὅταν οὖν μήτε πόνος, μήτε κίνδυνος, μήτε ὑποψία, μήτε ἀποτυχία τις ᾖ, καὶ πολλῷ πλείονα τῶν καταβαλλομένων γίνηται τὰ φυόμενα, καὶ τοσαῦτα βλαστάνῃ ἀγαθά, Ὅσα οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, πῶς οὐκ ἂν εἴη ῥᾳθυμίας ἐσχάτης, τὸ πλέον ἀφέντας, τὸ ἔλαττον διώκειν, καὶ τὸ ἀσφαλὲς καταλιπόντας, τὸ ἄπιστον καὶ κινδύνων γέμον καὶ πολλὰς ἔχον ἀποτυχίας μετιέναι; τίς γὰρ ἡμῖν ἔσται συγγνώμη τοῦτο ποιοῦσι, ποία δὲ ἀπολογία; πενίαν προβαλλόμεθα πάντως· ἀλλ' οὐκ ἐσμὲν τῆς χήρας ἐκείνης πενέστεροι, ἣ δύο λεπτὰ ἔχουσα μόνα, καὶ ταῦτα κατεβάλετο. ζηλώσωμεν τοίνυν ἐκείνης τὸν πλοῦτον, μιμησώμεθα τῆς προαιρέσεως τὴν μεγαλοψυχίαν, ἵνα καὶ τῶν ἐκείνῃ ἀποκειμένων ἀγαθῶν ἐπιτύχωμεν· ὧν γένοιτο πάντας ἡμᾶς καταξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, τιμή, καὶ κράτος ἅμα τῷ ἁγίῳ καὶ προσκυνητῷ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* ὧδε

γρ. μᾶλλον

γρ. βασκανίας ἐπιβουλεύει

γρ. ἀσφαλὲς

γρ. ἂν μὲν οὖν σπείρῃς εἰς εὔφορον

* ἢ δὶς ποσαύτα

γρ. ἀγήρων

γρ. βλαστῇ

Ρωμ. ια. η.

Λογ. β. ΤΙ ΔΗΠΟΤΕ ΕΠΙ ΜΕΝ ΗΛΙΟΥ ΚΑΙ ΣΕΛΗΝΗΣ καὶ οὐρανοῦ καὶ τῶν ἄλλων εἶπε, γενηθήτω· ἐπὶ δὲ τοῦ ἀνθρώπου, ποιήσωμεν; καὶ τί ποτέ ἐστι τό, κατ' εἰκόνα;

Λογ. 6.

Ἆρα μέμνησθε τῶν ζητημάτων τῶν πρῴην προτεθέντων ὑμῖν; Εἰς τοσοῦτον γὰρ ἡμᾶς ἀπονοίας καὶ τόλμης ἐπήρατε, ὡς καὶ ζητημάτων ἤδη κατατολμᾶν· μᾶλλον δὲ οὐκ ἂν εἴη τόλμης, οὐδὲ ἀπονοίας τοῦτο. οὐ γὰρ οἰκείᾳ δυνάμει θαρρήσαντες, ἀλλὰ ταῖς εὐχαῖς τῶν πατέρων καὶ ταῖς ὑμετέραις τὸ πᾶν ἐπιρρίψαντες, ἀπεδυσάμεθα πρὸς τὸ στάδιον. εὐχὴ δὲ ἐκκλησίας τοσοῦτον δύναται, ὡς, εἰ καὶ λίθων ἦμεν ἀφωνότεροι, πτεροῦ παντὸς κουφοτέραν ἡμῖν τὴν γλῶτταν ἐργάσασθαι. ὥσπερ γὰρ ζέφυρος εἰς μέσα τῆς νηὸς ἐμπεσὼν τὰ ἱστία, βέλους ὀξύτερον παραπέμπει τὸ σκάφος· οὕτω καὶ ἐκκλησίας εὐχὴ εἰς τὴν τοῦ λέγοντος ἐμπεσοῦσα γλῶτταν, ζεφύρου σφοδρότερον παραπέμπει τὸν λόγον. διὸ καὶ ἡμεῖς καθ' ἑκάστην ἡμέραν θαρροῦντες ἀποδυόμεθα. εἰ γὰρ ἐπὶ τῶν ἔξωθεν ἀγώνων δέκα τις μόνον, ἢ εἴκοσι ἔχων ἐραστὰς ἐν δήμῳ τοσούτῳ, μετὰ προθυμίας εἰς τὸν ἀγῶνα κάτεισι· πολλῷ μᾶλλον ἡμεῖς, ὅπου οὐ δέκα οὐδὲ εἴκοσι μόνον, ἀλλ' ἅπαν ἡμῖν τὸ θέατρον ἐξ ἀδελφῶν καὶ πατέρων σύγκειται, θαρροῦντες τοῦτο ποιήσομεν. καίτοιγε ἐπὶ τῶν ἔξωθεν ἀγώνων οὐδὲν ἂν μέγα καρπώσαιτο ὁ ἀγωνιστὴς παρὰ θεατοῦ, ἀλλ' ἢ ὅσον βοῆσαι ἐκεῖνον, καὶ θαυμάσαι τὰ γενόμενα, καὶ φιλονεικῆσαι τοῖς ἀντιλέγουσιν ἄνω καθήμενον· καταβῆναι δὲ εἰς τὸ στάδιον, καὶ χεῖρα ὀρέξαι, καὶ ἑλκύσαι πόδα τοῦ ἀνταγωνιζομένου, ἢ ἄλλο τι τοιοῦτον ἐπιδείξασθαι, τούτοις οὐ θέμις. οἱ γὰρ τοὺς ἀγῶνας ἐκείνοις ἐξ ἀρχῆς διαταξάμενοι, σκόλοπας πήξαντες ἐξῆς, καὶ σχοινία κύκλῳ περιβαλόντες, οὕτω τῶν θεατῶν τὴν μανίαν εἴργουσι. καὶ τί θαυμαστὸν, εἰ θεατῇ καταβῆναι οὐ θέμις, ὅπουγε καὶ τὸν παιδοτρίβην ἔξω παρὰ τὴν κόνιν καθίσαντες, πόρρωθεν τὴν ἀπὸ τῆς διδασκαλίας συμμαχίαν εἰσάγειν τοῖς ἀγωνιζομένοις κελεύουσι, πλησίον δὲ οὐκ ἐῶσιν ἐλθεῖν. ἀλλ' οὐκ ἐνταῦθα οὕτως· ἀλλὰ καὶ διδασκάλῳ καὶ θεατῇ καταβῆναι πρὸς ἡμᾶς ἔνι, καὶ ἐγγὺς στῆναι τῇ διαθέσει, καὶ διὰ τῶν εὐχῶν ἡμῖν συγκροτῆσαι τὴν δύναμιν. δεῦρο γοῦν καὶ αὖθις ἐκείνους τοὺς ἀθλητὰς τῶν παλαισμάτων ἁψώμεθα. καὶ γὰρ ἐπειδὰν ἐκεῖνοι μέσους ἑαυτοὺς κατασχόντες, ὑπὸ τῆς βίας τῶν ἁμμάτων πρὸς τὸν ἔξωθεν αὐτοὺς περιεστῶτα ἐξακοντισθῶσιν ὄχλον διὰ τὴν τοῦ τόπου στενοχωρίαν, λύσαντες τὰ ἅμματα, πρὸς τὸν τῆς ἀγωνίας πάλιν ἐπανέρχονται τόπον· εἶτα ἐπανελθόντες οὐκ ὀρθοὶ συμπλέκονται πάλιν, ἀλλ' ἐν ἐκείνῳ τῷ τρόπῳ τῶν δεσμῶν ἑαυτοὺς καταστήσαντες, ἐν ᾧ καὶ ὄντες διελύθησαν. ἐπεὶ οὖν καὶ ἡμᾶς ἡ τοῦ τόπου στενοχωρία καταλῦσαι τὸν λόγον ἠνάγκασε, φέρε πρὸς τὸν τόπον τῆς ἀγωνίας ἐπανελθόντες, τὰ ἅμματα λύσωμεν ἀπὸ τῶν τήμερον ἀναγνωσθέντων ἡμῖν. Καὶ εἶπεν ὁ Θεός, φησι, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν. Ἓν πρῶτον τοῦτο ἄξιον ζητῆσαι, τί δήποτε, ὅτε μὲν ὁ οὐρανὸς ἐγίνετο, οὐδαμοῦ τὸ, ποιήσωμεν, εἴρηται, ἀλλὰ, γενηθήτω οὐρανός, γενηθήτω φῶς, καὶ καθ' ἕκαστον τῆς κτίσεως μέρος οὕτως· ἐνταῦθα δὲ τὸ, ποιήσωμεν, πρόσκειται μόνον, καὶ βουλὴ καὶ σκέψις καὶ πρὸς ἕτερόν τινα ὁμότιμον ἀνακοίνωσις; τίς ποτε ἄρα ἐστὶν ὁ δημιουργεῖσθαι μέλλων, ὅτι τοσαύτης ἀπολαύει τιμῆς; ἄνθρωπός ἐστι, τὸ μέγα ζῶον καὶ θαυμαστὸν, καὶ τῆς κτίσεως ἁπάσης τῷ Θεῷ τιμιώτερον, δι' ὃν οὐρανὸς καὶ γῆ καὶ θάλαττα καὶ τὸ λοιπὸν ἅπαν τῆς κτίσεως σῶμα· ἄνθρωπος, οὗ τῆς σωτηρίας οὕτως ὁ Θεὸς ἠράσθη, ὡς μηδὲ τοῦ μονογενοῦς φείσασθαι δι' αὐτόν. οὐ γὰρ ἀπέστη πάντα ποιῶν καὶ πραγματευόμενος, ἕως αὐτὸν ἀναγαγὼν, ἐκάθισεν ἐν δεξιᾷ ἑαυτοῦ. καὶ βοᾷ Παῦλος λέγων· Καὶ συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν δεξιᾷ ἑαυτοῦ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ. διὰ τοῦτο βουλὴ καὶ σκέψις καὶ ἀνακοίνωσις, οὐκ ἐπειδὴ ὁ Θεὸς βουλῆς δεῖται (μὴ γένοιτο) ἀλλὰ τῷ σχήματι τῶν ῥημάτων τὴν εἰς τὸν γινόμενον ἡμῖν ἐνδείκνυται τιμήν. καὶ πῶς, φησιν, εἰ τοῦ κόσμου τιμιώτερός ἐστι πάντων, ὕστερον τοῦ κόσμου παράγεται; δι' αὐτὸ τοῦτο, ἐπειδὴ τοῦ

κόσμου

γρ. δυνατ

γρ. γοῦν

Γεν. α. κϛ.

ἴσ. μα

Ἐφ. β. ϛ.

κόσμου τιμιώτερός ἐστιν. ὥσπερ γὰρ βασιλέως εἰσελαύνειν μέλλοντος, στρατηγοὶ καὶ ὕπαρχοι καὶ δορυφόροι καὶ πάντες οἱ δοῦλοι προφθάνουσιν, ἵνα τὰ βασίλεια παρασκευάσαντες, καὶ πᾶσαν τὴν ἄλλην εὐτρεπίσαντες θεραπείαν, μετὰ πολλῆς τῆς τιμῆς ὑποδέξωνται τὸν βασιλέα· οὕτω δὴ καὶ ἐνταῦθα, καθάπερ βασιλέως εἰσάγεσθαι μέλλοντος, προέφθασεν ἥλιος, προέδραμεν ὁ οὐρανός, προεισῆλθε τὸ φῶς, ἅπαντα γέγονε καὶ εὐτρεπίσθη, καὶ τότε ὁ ἄνθρωπος μετὰ πολλῆς ὕστερον εἰσάγεται τῆς τιμῆς. Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα. ἀκουέτω ὁ Ἰουδαῖος. πρὸς τίνα φησὶν ὁ Θεός, ποιήσωμεν; Μωϋσέως ἐστὶ τὰ γράμματα, Μωϋσέως, ᾧ πιστεύειν ψευδόμενοί φασι. καὶ ὅτι ψεύδονται καὶ οὐ πιστεύουσιν, ἄκουε τοῦ Χριστοῦ διελέγχοντος αὐτοὺς καὶ λέγοντος· Εἰ ἐπιστεύετε Μωϋσῇ, ἐπιστεύετε ἂν ἐμοί. νῦν δὲ παρ' ἐκείνοις μὲν τὰ βιβλία, παρ' ἡμῖν δὲ τῶν βιβλίων ὁ θησαυρός· παρ' ἐκείνοις τὰ γράμματα, παρ' ἡμῖν καὶ τὰ γράμματα καὶ τὰ νοήματα. πρὸς τίνα οὖν, εἰπέ, λέγει, ποιήσωμεν ἄνθρωπον; πρὸς ἄγγελον, φησίν, ἢ πρὸς ἀρχάγγελον ἁπλῶς φθέγγεται. καθάπερ γὰρ οἱ μαστιγίαι τῶν οἰκετῶν παρὰ τῶν δεσποτῶν ἐγκαλούμενοι, καὶ ἐξ εὐθείας οὐκ ἔχοντες ἀποκρίνασθαι, τὸ ἐπελθὸν ἅπαν προσφέρουσιν· οὕτω δὴ καὶ ὑμεῖς, πρὸς ἄγγελον, φατέ, καὶ ἀρχάγγελον εἶπε. ποῖον ἄγγελον; ποῖον ἀρχάγγελον; οὐ γὰρ ἀγγέλων ἐστὶ τὸ δημιουργεῖν, οὐδὲ ἀρχαγγέλων τὸ ἐργάζεσθαι ταῦτα. τίνος δὲ ἕνεκεν, ὅτε μὲν τὸν οὐρανὸν ἐποίησεν, οὐκ εἶπεν ἀγγέλῳ καὶ ἀρχαγγέλῳ, ἀλλὰ δι' ἑαυτοῦ παρήγαγεν· ὅτε δὲ τὸ τιμιώτερον οὐρανοῦ καὶ παντὸς κόσμου παρήγαγε ζῶον, τὸν ἄνθρωπον, τότε τοὺς δούλους κοινωνοὺς λαμβάνει τῆς δημιουργίας; οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. ἀγγέλων γὰρ τὸ παρεστάναι, οὐ τὸ δημιουργεῖν· ἀρχαγγέλων τὸ λειτουργεῖν, οὐχὶ τὸ γνώμης κοινωνεῖν καὶ βουλῆς. ἄκουσον τί φησιν Ἡσαΐας περὶ τῶν σεραφὶμ δυνάμεων, τῶν ἀνωτέρω τῶν ἀρχαγγέλων. Εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ τὰ σεραφὶμ παρειστήκεισαν κύκλῳ αὐτοῦ· ἓξ πτέρυγες τῷ ἑνί, καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ πτέρυξι κατεκάλυπτον τὰ πρόσωπα ἑαυτῶν, ἀποτειχίζουσαι δηλονότι τὰς ὄψεις, διὰ τὸ μὴ δύνασθαι τὴν ἐκ τοῦ θρόνου φερομένην ἀστραπὴν ὑποδέξασθαι. τί λέγεις; τὰ μὲν σεραφὶμ παρεστήκασι, καὶ ἐν θαύματι τοσούτῳ εἰσὶ καὶ ἐκπλήξει, καὶ ταῦτα συγκατάβασιν Θεοῦ βλέποντα· ἄγγελοι δὲ καὶ γνώμης κοινωνοῦσιν αὐτῷ, καὶ σκέψεως μετέχουσιν; ἀλλ' οὐκ ἂν ἔχοι λόγον. ἀλλὰ τίς ἐστι πρὸς ὅν φησι, ποιήσωμεν ἄνθρωπον; Ὁ θαυμαστὸς σύμβουλος, ὁ ἐξουσιαστής, ὁ Θεὸς ὁ ἰσχυρός, ὁ ἄρχων τῆς εἰρήνης, ὁ πατὴρ τοῦ μέλλοντος αἰῶνος, αὐτὸς ὁ μονογενὴς τοῦ Θεοῦ υἱός. πρὸς ἐκεῖνον τοίνυν λέγει, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν. οὐδὲ γὰρ εἶπε τὴν ἐμὴν καὶ τὴν σήν, ἢ τὴν ἐμὴν καὶ τὴν ὑμῶν, ἀλλά, κατ' εἰκόνα ἡμετέραν καὶ μίαν τὴν ὁμοίωσιν. Θεοῦ δὲ καὶ ἀγγέλων οὐκ ἔστιν εἰκὼν μία, οὐδὲ ὁμοίωσις μία. πῶς γὰρ ἂν εἴη τοῦ δεσπότου καὶ τῶν λειτουργῶν εἰκὼν μία καὶ ὁμοίωσις; ὥστε πάντοθεν ὑμῖν ὁ λόγος ἐλήλεγκται. καὶ γὰρ ἀρχῆς εἰκόνα ἐδήλωσεν ἐνταῦθα, καθὼς καὶ τὸ ἑξῆς δηλοῖ. εἰπὼν γάρ, κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν, ἐπήγαγε, Καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης. ἀρχὴ δὲ Θεοῦ καὶ ἀγγέλων οὐκ ἂν εἴη μία. ~~πῶς γάρ~~, ~~τῶν δούλων~~ καὶ τοῦ δεσπότου, τῶν λειτουργῶν καὶ τοῦ κελεύοντος; ἀλλὰ καὶ ἕτεροι πάλιν ἡμῖν ἐπιφύονταί τινες λέγοντες· ὅτι εἰκόνα ὁ Θεὸς ἔχει τοιαύτην, οἵαν καὶ ἡμεῖς, κακῶς νοοῦντες τὸ εἰρημένον. οὐ γὰρ οὐσίας εἶπεν εἰκόνα, ἀλλὰ ἀρχῆς εἰκόνα, καθὼς δηλώσομεν ἐκ τῶν ἑξῆς ἐπαγομένων. ὅτι γὰρ οὐκ ἔστι τὸ θεῖον ἀνθρωπόμορφον, ἄκουσον τοῦ Παύλου λέγοντος· Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων· γυνὴ δὲ δόξα ἀνδρός ἐστι· διὸ ὀφείλει, φησί, κάλυμμα ἔχειν ἐπὶ τῆς κεφαλῆς. καὶ μὴν εἰ εἰκόνα ἐνταῦθα τοῦτο εἶπε, τὸ ἀπαράλλακτον τῆς μορφῆς τῆς πρὸς τὸν Θεὸν δηλῶν, καὶ διὰ τοῦτο εἰκὼν ἄνθρωπος Θεοῦ καλεῖται, ὅτι ὁ Θεὸς οὕτω διατετύπωται· οὐκοῦν κατ' ἐκείνους οὐκ ἐχρῆν μόνον τὸν ἄνδρα εἰ-

κόνα

Ἰωαν. ε. μϛ.

Ἡσ. ϛ. α.

Ἡσ. θ. ϛ.

α. Κορ. ια. ζ.

κόνα λέγεσθαι, ἀλλὰ καὶ τὴν γυναῖκα. γυναικὸς γὰρ καὶ ἀνδρὸς εἷς ὁ τύπος καὶ ὁ χαρακτὴρ καὶ ἡ ὁμοίωσις μία. τίνος οὖν ἕνεκεν ὁ ἀνὴρ εἰκὼν τοῦ Θεοῦ λέγεται, ἡ γυνὴ δὲ οὐκέτι; ὅτι οὐ τὴν εἰκόνα τὴν ἐν τῇ μορφῇ λέγει, ἀλλὰ τὴν εἰκόνα τὴν κατὰ τὴν ἀρχήν, ἣν ὁ ἄνθρωπος ἔχει μόνος, οὐκέτι δὲ καὶ ἡ γυνή. οὗτος μὲν γὰρ οὐδενὶ ὑποτέτακται· ἐκείνη δὲ ὑπὸ τοῦτον γέγονε, καθὼς ὁ Θεός φησι, Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. διὰ τοῦτο ὁ μὲν ἄνθρωπος εἰκὼν τοῦ Θεοῦ, ἐπειδὴ οὐδένα ἔχει ἀνώτερον, καθάπερ οὐδὲ τοῦ Θεοῦ ἀνώτερός τίς ἐστιν, ἀλλὰ πάντων ἄρχει· ἡ γυνὴ δὲ δόξα τοῦ ἀνδρός, ἐπειδὴ τῷ ἀνδρὶ ὑποτέτακται. καὶ πάλιν ἀλλαχοῦ φησιν· Οὐκ ὀφείλομεν χρυσῷ, ἢ ἀργύρῳ, ἢ λίθῳ, χαράγματι τέχνης, ἢ ἐνθυμήσεως ἀνθρώπου νομίζειν τὸ θεῖον εἶναι ὅμοιον. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐ μόνον τοὺς ὁρωμένους τύπους ἀναβέβηκε, φησι, τὸ θεῖον, ἀλλ' οὐδὲ διάνοια διατυπῶσαι τὸ τοιοῦτον δύναιτ' ἄν, ὁποῖός ἐστιν ὁ Θεός. πῶς οὖν ἀνθρώπου Θεὸς μορφὴν ἔχειν δύναιτ' ἄν, ὁπότε ὁ Παῦλος μηδὲ διάνοιαν εἶναι μηδεμίαν τὴν δυναμένην τυπῶσαι παρ' ἑαυτῇ λέγει τοῦ Θεοῦ τὴν οὐσίαν; τὴν γὰρ ἡμετέραν μορφὴν καὶ τὸν τύπον ἅπαντες ῥαδίως παρ' ἑαυτοῖς ἀνατυπώσαιμεν ἂν κατὰ τοὺς λογισμούς.

Γεν. γ. ιϛ.

Πραξ. ιζ. κθ.

γρ. ἐκβέβ

Πάλιν τοὺς περὶ ἐλεημοσύνης ἐπαγαγεῖν λόγους καὶ νῦν ἐβουλόμην· ἀλλ' ὁ καιρὸς ἡμᾶς οὐκ ἀφίησι. διὸ πρὸς σιγὴν τρεψώμεθα λοιπὸν ἑαυτούς, ἐκεῖνο παρεγγυήσαντες ὑμῖν μετὰ ἀκριβείας ἅπαντα κατέχειν τὰ εἰρημένα, καὶ πολλὴν τῆς ὀρθῆς πολιτείας ποιεῖσθαι τὴν πρόνοιαν, ἵνα μὴ μάτην καὶ εἰκῇ ἐνταῦθα συλλεγώμεθα. κἂν γὰρ δογμάτων ὀρθότητα διατηρῶμεν, τῆς τῶν ἔργων ἀρετῆς μὴ παρούσης, πάντως ἐκπεσούμεθα τῆς αἰωνίου ζωῆς. Οὐ πᾶς γάρ, φησιν, ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. ποιῶμεν οὖν τὸ θέλημα τοῦ Θεοῦ μετὰ σπουδῆς ἁπάσης καὶ προθυμίας, ἵνα δυνηθῶμεν εἰς τοὺς οὐρανοὺς εἰσελθεῖν, καὶ τῶν ἀποκειμένων ἀγαθῶν τοῖς ἀγαπῶσι τὸν Θεὸν ἐπιτυχεῖν· ὧν γένοιτο πάντας ἡμᾶς μετασχεῖν, χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, τιμή, κράτος σὺν ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. ζ. κα.

γρ. θυμ

Γεν. α. κϛ.

Λογ. γ. ΤΙ ΕΣΤΙ ΤΟ, ΚΑΘ' ΟΜΟΙΩΣΙΝ, ΚΑΙ ΤΙΝΟΣ ἕνεκεν, τοῦ Θεοῦ εἰπόντος τῶν θηρίων ἡμᾶς ἄρχειν, οὐκ ἄρχομεν, καὶ ὅτι κηδεμονίας τοῦτο πολλῆς.

Ὥσπερ τῶν σπειρόντων ὄφελος οὐδέν, ὅταν παρὰ τὴν ὁδὸν τὰ σπέρματα ῥίπτηται· οὕτως οὐδὲ τοῦ λέγοντος ἔσται τι πλέον, ὅταν μὴ πρὸς τὴν τῶν ἀκουόντων διάνοιαν ὁ λόγος φέρηται, ἀλλ' ἁπλῶς εἰς τὸν ἀέρα διαχυθεῖσα τῆς φωνῆς ἡ ἀπήχησις ἀνόνητον καταλιμπάνῃ τὸν ἀκροατήν. Ταῦτα δὲ ὑμῖν οὐχ ἁπλῶς εἴρηκα, ἀλλ' ἵνα μὴ πρὸς τὰ ἁπλούστερα τῶν νοημάτων ἦτε κεχηνότες μόνον, ἀλλὰ καὶ τῶν βαθυτέρων κατατολμήσητε. Εἰ γὰρ μὴ νῦν καταβαίνοιμεν πρὸς τὸ βάθος τῶν γραφῶν, ὅταν κοῦφα μὲν ἡμῖν τὰ κῶλα πρὸς τὸ νήχεσθαι, ὀξύτερον δὲ τὸ ὄμμα οὐκέτι τῷ πονηρῷ τῆς τρυφῆς ἐνοχλούμενον ῥεύματι, διαρκέστερον δὲ τὸ πνεῦμα, ὥστε μὴ ἀποπνίγεσθαι, πότε καταβησόμεθα; ὅταν τρυφὴ καὶ ἑστίασις ᾖ καὶ μέθη καὶ τράπεζα ἀδηφαγίας γέμουσα; ἀλλὰ τότε οὐδὲ κινηθῆναι ῥᾴδιον· οὕτω τὸ βαρὺ τῆς τρυφῆς φορτίον πιέζει τὴν ψυχήν. οὐχ ὁρᾶτε ὅτι καὶ οἱ λίθους πολυτελεῖς εὑρίσκειν βουλόμενοι, οὐκ ἄνω παρὰ τὸν αἰγιαλὸν καθήμενοι καὶ τὰ κύματα ἀριθμοῦντες οὕτως εὑρίσκουσι τὸ ζητούμενον, ἀλλ' εἰς αὐτὸ καταδύονται τὸ βάθος· καίτοι πολὺς μὲν ὁ πόνος ἐν τῇ ζητήσει, πολὺς δὲ ὁ κίνδυνος ἐν τῇ εὑρέσει,

γρ. εἰρητ

γρ. ‥μάτ.

γρ. τὸ πόθ

νον,

σει, καὶ μετὰ τὴν εὕρεσιν κέρδος οὐδέν; τί γὰρ ἂν μέγα εἰσενέγκοι εἰς τὸν βίον τὸν ἡμέτερον λίθων εὕρεσις πολυτελῶν; εἴθε μὲν οὖν μὴ μεγάλα εἰσήγαγε κακά. τὸ γὰρ ἀνατρέπον ἡμῶν τὴν ζωὴν καὶ πάντα ἄνω καὶ κάτω ποιοῦν, οὐδὲν ἕτερόν ἐστιν, ἢ ἡ τῶν χρημάτων μανία. ἀλλ᾽ ὅμως καὶ ψυχὴν καὶ σῶμα ἐκεῖνοι προΐενται τῆς ἐφημέρου τροφῆς ἕνεκεν, καὶ κυμάτων κατατολμῶσιν· ἐνταῦθα δὲ οὐ κίνδυνος, οὐ πόνος οὕτως ἐπιτεταμένος, ἀλλ᾽ ὀλίγος καὶ κοῦφος, καὶ οὗτος διὰ τὴν τῶν εὑρισκομένων φυλακήν. τὰ γὰρ μετ᾽ εὐκολίας εὑρισκόμενα, καὶ εὐκαταφρόνητα πολλοῖς εἶναι δοκεῖ. οὐκ ἔστι κυμάτων ταραχὴ ἐν τῷ πελάγει τῶν γραφῶν, ἀλλὰ παντὸς λιμένος εὐδιώτερον τοῦτο τὸ πέλαγος. οὐκ ἔστιν ἀνάγκη πρὸς τοὺς ζοφεροὺς τῆς ἀβύσσου κόλπους κατενεχθῆναι, οὐδὲ ὑδάτων ἀλόγων ῥύμῃ τὴν τοῦ σώματος ἐπιτρέψαι σωτηρίαν· ἀλλὰ πολὺ μὲν ἐνταῦθα τὸ φῶς, καὶ αὐτῆς τῆς ἀκτίνων φαιδρότερον, πολλὴ δὲ ἡ γαλήνη, πᾶσα δὲ ἐκποδὼν ταραχή, καὶ τῶν εὑρισκομένων τοσοῦτον τὸ κέρδος, ὅσον οὐδὲ λόγῳ παραστῆσαι δυνατόν. μὴ τοίνυν ἀποκάμωμεν, ἀλλ᾽ ἐπιχειρήσωμεν τῇ ζητήσει. ἠκούσατε ὅτι κατ᾽ εἰκόνα ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον· καὶ τί ποτέ ἐστι τὸ, κατ᾽ εἰκόνα τοῦτο καὶ καθ᾽ ὁμοίωσιν, εἰρήκαμεν· ὅτι οὐκ οὐσίας ἀπαραλλαξία, ἀλλ᾽ ἀρχῆς ὁμοιότης· τὸ δὲ, καθ᾽ ὁμοίωσιν, τὸ ἥμερον εἶναι καὶ πρᾶον, καὶ εἰς δύναμιν ἐξομοιοῦσθαι τῷ Θεῷ κατὰ τὸν τῆς ἀρετῆς λόγον, ὥς φησιν ὁ Χριστός· Γίνεσθε ὅμοιοι τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. καθάπερ γὰρ ἐν τῇ γῇ τῇ πλατείᾳ καὶ εὐρυχώρῳ ταύτῃ, τῶν ζώων τὰ μέν εἰσιν ἀλογώτερα, τὰ δὲ θηριωδέστερα· οὕτω καὶ ἐν τῷ πλάτει τῆς ἡμετέρας ψυχῆς, τῶν λογισμῶν οἱ μέν εἰσιν ἀλογώτεροι καὶ κτηνώδεις, οἱ δὲ θηριωδέστεροι καὶ ἀγριώτεροι. δεῖ τοίνυν αὐτῶν κρατεῖν καὶ περιγίνεσθαι, καὶ τῷ λογισμῷ τὴν τούτων ἀρχὴν παραδιδόναι. καὶ πῶς ἄν τις περιγένοιτο λογισμοῦ θηριώδους, φησί; τί λέγεις, ἄνθρωπε; τῶν λεόντων περιγινόμεθα, καὶ τὰς ψυχὰς αὐτῶν ἡμεροῦμεν, καὶ ἀμφιβάλλεις, εἰ λογισμοῦ θηριωδίαν πρὸς ἡμερότητα * δυνήσῃ μεταβαλεῖν; καίτοι τῷ λέοντι μὲν κατὰ φύσιν τὸ ἄγριον, παρὰ φύσιν δὲ τὸ ἥμερον· σοὶ δὲ τὸ ἐναντίον, κατὰ φύσιν μὲν τὸ προσηνές, παρὰ φύσιν δὲ ἡ θηριωδία. ὁ τοίνυν τὸ κατὰ φύσιν ἐκβάλλων, καὶ τὸ παρὰ φύσιν ἐντιθεὶς τῇ τοῦ θηρίου ψυχῇ, ἐν τῇ ἑαυτοῦ ψυχῇ τὸ κατὰ φύσιν οὐ δυνήσῃ διατηρῆσαι; καὶ πόσης οὐκ ἂν εἴη τοῦτο ῥᾳθυμίας; καὶ ἐπὶ μὲν τῆς τῶν λεόντων ψυχῆς καὶ ἑτέρα δυσκολία μετὰ ταύτης ἐστί. λογισμῶν γάρ ἐστιν ἔρημος ἡ τοῦ θηρίου ψυχή· ἀλλ᾽ ὅμως ἑωράκατε πολλάκις λέοντας προβάτων ἡμερωτέρους διὰ τῆς ἀγορᾶς ἀγομένους, καὶ πολλοὶ τῶν ἐν τοῖς ἐργαστηρίοις ἀργύριον πολλάκις κατέβαλον τῷ κατέχοντι, μισθόν τινα τῆς τέχνης καὶ τῆς σοφίας, δι᾽ ἧς τὸ θηρίον ἡμέρωσεν. ἐπὶ δὲ τῆς σῆς ψυχῆς καὶ λογισμός ἐστι, καὶ Θεοῦ φόβος, καὶ πολλὴ πολλαχόθεν ἡ βοήθεια. μὴ τοίνυν σκήψεις λέγε καὶ προφάσεις. δυνατὸν γάρ, ἐὰν θέλῃς, ἥμερόν σε εἶναι καὶ πρᾶον. Ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοίωσιν ἡμετέραν, καὶ ἀρχέτωσαν τῶν θηρίων. ἐνταῦθα Ἕλληνες ἡμῖν ἐπιφύονται, καὶ φασὶ τὸ λόγιον ψεύδεσθαι. οὐ γὰρ ἡμεῖς ἄρχομεν τῶν θηρίων· αὐτὰ ἡμῶν ἄρχει, καὶ πολλὴν ἡμῖν ἐμβάλλει τὴν ἀγωνίαν. μάλιστα μὲν οὖν τοῦτο οὐκ ἀληθές. ἀρκεῖ γὰρ καὶ ὄψις ἀνθρωπίνη φανεῖσα ἐκποδὼν ποιῆσαι θηρίον· τοσοῦτος αὐτοῖς ἐστι παρ᾽ ἡμῖν ὁ φόβος. εἰ δέ που πρὸς ἄμυναν ὁρμήσειεν, ἢ λιμοῦ καταναγκάζοντος, ἢ ἡμῶν αὐτῶν στενοχωρούντων πολλάκις, καὶ πρὸς ἀνάγκην ἐκβαλλομένων αὐτά, τοῦτο οὖν οὐκ ἂν εἴη ἀρχῆς ἀπηρτισμένης. οὐδὲ γάρ, εἴ τις ἡμῶν λῃστὰς ἐπιόντας ὁρῶν, ὁπλίζοιτο, καὶ πρὸς τὴν ἄμυναν χωροίη, ἀρχῆς τὸ πρᾶγμά ἐστιν, ἀλλὰ τῆς οἰκείας σωτηρίας πολλὴ πρόνοια. πλὴν ἀλλ᾽ οὐκ ἐντεῦθεν ποιοῦμαι τὴν ἀπολογίαν, ἀλλ᾽ ἑτέρωθεν, ὅθεν καὶ ὑμῖν χρήσιμον ἀκοῦσαι. φοβούμεθα τὰ θηρία καὶ δεδοίκαμεν, καὶ τῆς ἀρχῆς ἐκπεπτώκαμεν. οὐκ ἀντιλέγω· φημὶ καὶ αὐτός. ἀλλ᾽ οὐ τοῦτο ψευδῆ τὸν τοῦ Θεοῦ νόμον δείκνυσι. παρὰ γὰρ τὴν ἀρχὴν οὐχ οὕτω τὰ πράγματα διέκειτο, ἀλλ᾽ ἐδεδοίκει καὶ ἔτρεμε καὶ ὑπέκυπτεν.

Ματθ. ε. μη.

γρ. εὐρυχωροτέρῳ

ὑπέκυπτεν, ὡς δεσπότῃ, τῷ ἀνθρώπῳ. ἐπειδὴ δὲ τῆς παῤῥησίας ἐξεπέσομεν καὶ τῆς τιμῆς, διὰ τοῦτο δεδοίκαμεν αὐτά. πόθεν τοῦτο δῆλον; ἤγαγεν ὁ Θεὸς τὰ θηρία πρὸς τὸν Ἀδὰμ ἰδεῖν τί καλέσει αὐτά· καὶ οὐκ ἀπεπήδησεν ὁ Ἀδὰμ, καθάπερ δεδοικὼς, ἀλλ' ὥσπερ δούλοις ὑποτεταγμένοις τὰ ὀνόματα ἐπέθηκεν ἅπασι. τοῦτο δὲ δεσποτείας σύμβολον. διὸ καὶ ὁ Θεὸς βουλόμενος αὐτῷ καὶ διὰ τούτου δεῖξαι τὸ τῆς ἐξουσίας ἀξίωμα, τὴν τῶν ὀνομάτων αὐτῷ θέσιν ἐπέτρεψε, καὶ τὰ τεθέντα ὀνόματα ἔμεινεν ἐξ ἐκείνου εἰς αὐτά. Πᾶν γὰρ ὃ ἐκάλεσεν Ἀδὰμ, τοῦτο ὄνομα αὐτοῖς, φησιν. ἓν δὴ τοῦτο σημεῖον τοῦ μὴ φοβερὰ εἶναι τῷ ἀνθρώπῳ τὰ θηρία παρὰ τὴν ἀρχήν· δεύτερον δὲ καὶ τοῦ προτέρου σαφέστερον, ἡ πρὸς τὴν γυναῖκα τοῦ ὄφεως διάλεξις. εἰ γὰρ ἦν φοβερὰ τὰ θηρία τοῖς ἀνθρώποις, οὐκ ἂν ἰδοῦσα τὸν ὄφιν ἔμεινεν ἡ γυνὴ, ἀλλ' ἔφυγεν ἄν· οὐκ ἂν ἐδέξατο συμβουλὴν, οὐκ ἂν μετὰ τοσαύτης αὐτῷ διελέχθη τῆς ἀδείας· ἀλλ' εὐθέως ἂν πρὸς τὴν ὄψιν καὶ ἐξεπλάγη καὶ ἀπεπήδησε· νυνὶ δὲ καὶ διαλέγεται, καὶ οὐ φοβεῖται· οὐδέπω γὰρ ἦν ὁ φόβος οὗτος. ἀλλ' ἐπειδὴ ἡ ἁμαρτία εἰσῆλθεν, ἀφῃρέθη καὶ τὰ τῆς τιμῆς. καὶ καθάπερ ἐπὶ τῶν οἰκετῶν, οἱ μὲν εὐδοκιμοῦντες φοβεροὶ τοῖς συνδούλοις εἰσίν, οἱ δὲ προσκεκρουκότες καὶ τοὺς ὁμοδούλους δεδοίκασιν· οὕτω καὶ ἐπὶ τοῦ ἀνθρώπου γέγονεν. ἕως μὲν γὰρ εἶχε πρὸς τὸν Θεὸν παῤῥησίαν, φοβερὸς τοῖς θηρίοις ἦν· ἐπειδὴ δὲ προσέκρουσε, καὶ τοὺς ἐσχάτους τῶν ὁμοδούλων δέδοικε λοιπόν. εἰ δὲ μὴ τοῦτό ἐστι, σύ μοι δεῖξαι πρὸ τῆς ἁμαρτίας, ὅτι φοβερὰ τοῖς ἀνθρώποις τὰ θηρία ἦν. ἀλλ' οὐκ ἂν ἔχοις. εἰ δὲ μετὰ ταῦτα εἰσῆλθεν ὁ φόβος, καὶ τοῦτο τῆς τοῦ δεσπότου κηδεμονίας. εἰ γὰρ τῆς ἐντολῆς τῆς δοθείσης ὑπὸ τοῦ Θεοῦ τῷ ἀνθρώπῳ κινηθείσης * ἡ τιμὴ ἡ δοθεῖσα αὐτῷ παρὰ τοῦ Θεοῦ ἀκίνητος ἔμεινεν, οὐκ ἂν ἀνέστη ῥᾳδίως. ὅταν γὰρ καὶ παρακούοντες οἱ ἄνθρωποι καὶ (μὴ παρακούοντες τῆς αὐτῆς ἀπολαύωσι τιμῆς, παιδοτριβοῦνται πρὸς πονηρίαν μᾶλλον, καὶ οὐκ εὐκόλως ἀφίστανται) τῆς κακίας. εἰ γὰρ νῦν φόβων καὶ τιμωριῶν καὶ κολάσεων ἐπικειμένων οὐκ ἀνέχονται σωφρονεῖν, τίνες ἂν ἦσαν, εἰ μηδὲν ἔπασχον ὑπὲρ ὧν ἐπλημμέλουν δεινόν; ὥστε κηδόμενος ἡμῶν καὶ φροντίζων ὁ Θεὸς, ἐξέβαλεν ἡμᾶς τῆς ἀρχῆς. σὺ δὲ καὶ ἐνταῦθά μοι σκόπει τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν. ὁ μὲν γὰρ Ἀδὰμ πᾶσαν ἀνέτρεψε τὴν ἐντολὴν, καὶ παρέβη τὸν νόμον· ὁ δὲ Θεὸς οὐ πᾶσαν ἔλυσε τὴν τιμὴν, οὐδὲ πάσης ἐξέβαλεν αὐτὸν τῆς ἐξουσίας· ἀλλ' ἐκεῖνα μόνα ἔξω τῆς ἀρχῆς ἀφῆκεν εἶναι τὰ ζῶα, ἃ μὴ σφόδρα αὐτῷ συντελεῖ πρὸς τὴν τῆς ζωῆς χρείαν· τὰ δὲ ἀναγκαῖα καὶ χρήσιμα καὶ πολλὴν εἰσφέροντα λειτουργίαν εἰς τὴν ζωὴν τὴν ἡμετέραν, ταῦτα εἴασε μένειν ἐν τῇ δουλείᾳ. ἀφῆκε βοῶν ἀγέλας, ἵνα ἄροτρον ἕλκωμεν, ἵνα τὴν γῆν τέμνωμεν, ἵνα τὰ σπέρματα καταβάλλωμεν· ἀφῆκε τῶν ὑποζυγίων τὰ γένη, ἵνα πρὸς τὴν τῶν ἀγωγίμων μετακομιδὴν συναντιλαμβάνηται ἡμῖν τῶν πόνων· ἀφῆκε προβάτων ποίμνια, ἵνα ἔχωμεν εἰς περιβολὰς ἱματίων χορηγίαν ἀρκοῦσαν· καὶ ἕτερα δὲ γένη ζώων εἴασε πολλὴν ἡμῖν ἑτέραν εἰσάγοντα χρείαν. ἐπειδὴ γὰρ κολάζων τὸν ἄνθρωπον ἔλεγεν, Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου, ἵνα μὴ ὁ ἱδρὼς οὗτος καὶ ὁ μόχθος καὶ ὁ πόνος ἀφόρητος ᾖ, ἐπεκούφισε τὸ βαρὺ καὶ φορτικὸν τοῦ ἱδρῶτος τῷ πλήθει τῶν ἀλόγων τῶν συνεφαπτομένων ἡμῖν τοῦ πόνου καὶ τῆς ταλαιπωρίας ταύτης. καὶ καθάπερ δεσπότης φιλάνθρωπος καὶ κηδεμονικὸς τὸν οἰκέτην τὸν ἑαυτοῦ μαστίξας, θεραπείαν τινὰ προσάγει ταῖς μάστιξιν· οὕτω καὶ ὁ Θεὸς καταδίκην ἐπιθεὶς, παντὶ τρόπῳ τὴν καταδίκην ταύτην κουφοτέραν βούλεται ποιῆσαι· ἱδρῶτι μὲν ἡμᾶς καταδικάσας καὶ πόνῳ διηνεκεῖ, τοῦ δὲ πόνου συνεφάπτεσθαι πολλὰ τῶν ἀλόγων γένη παρασκευάσας ἡμῖν. ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστήσωμεν αὐτῷ. καὶ γὰρ τὸ δοῦναι τὴν τιμὴν ἡμῖν, καὶ τὸ πάλιν ἀφελεῖν τὴν τιμὴν, καὶ τὸ μὴ πᾶσαν ἀφελεῖν αὐτὴν, καὶ τὸ τὸν φόβον ἡμῖν ἐπιστῆσαι τῶν θηρίων, καὶ πάντα, ἄν τις ἐξετάζῃ, πολλῆς γέμει σοφίας, πολλῆς κηδεμονίας, πολλῆς φιλανθρωπίας· ἧς γένοιτο

πάντας

Γεν. β. ιθ.

Γεν. γ. ιθ.

γρ. αὐτῷ

* καὶ λυθ

ποιοῦντας ἡμᾶς ἀπολαύειν διηνεκῶς εἰς δόξαν τοῦ ταῦτα ἐργασαμένου Θεοῦ· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. δ. ΟΤΙ ΔΟΥΛΕΙΑΣ ΤΡΟΠΟΥΣ ΤΡΕΙΣ ΕΙΣΗΓΑΓΕΝ ἡ ἁμαρτία· καὶ πρὸς τοὺς ῥαθύμως ἀκούοντας, καὶ μὴ ποιοῦντας λόγους.

Ἠκούσατε χθὲς, πῶς μὲν ἐποίησε βασιλέα καὶ ἄρχοντα τῶν θηρίων τὸν ἄνθρωπον ὁ Θεός, πῶς δὲ αὐτὸν εὐθὺς τῆς βασιλείας ἐξέβαλε· μᾶλλον δὲ οὐχ ὁ Θεός, ἀλλ' αὐτὸς ἑαυτὸν διὰ τῆς παρακοῆς ἐξέβαλε τῆς τιμῆς. τὸ μὲν γὰρ τυχεῖν τῆς βασιλείας, τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐγένετο μόνης. οὐ γὰρ κατορθωμάτων αὐτῷ ταύτην ἔδωκε τὴν ἀμοιβήν, ἀλλὰ καὶ πρὶν ἢ γενέσθαι, ἐκόσμησε τῇ τιμῇ. ἵνα γὰρ μὴ λέγῃς, ὅτι μετὰ ταῦτα γενόμενος ὁ ἄνθρωπος, εἶτα πολλὰ κατορθώσας, οὕτως ἔπεισε τὸν Θεὸν εἰς τὸ δοῦναι αὐτῷ τὴν τῶν θηρίων ἀρχήν, μέλλων αὐτὸν διαπλάττειν περὶ τῆς ἀρχῆς αὐτοῦ διαλέγεται, οὕτω λέγων· Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν, καὶ ἀρχέτωσαν τῶν θηρίων τῆς γῆς. πρὸ τῆς ζωῆς ἡ τιμή, πρὸ τῆς δημιουργίας ὁ στέφανος, καὶ πρὶν ἢ γενέσθαι, ἐπὶ τὸν βασιλικὸν ἀνάγεται θρόνον. ἄνθρωποι μὲν γὰρ τοὺς ὑποκειμένους αὐτοῖς ἐν ἐσχάτῳ γήρᾳ μετὰ πολλοὺς πόνους καὶ μυρίους κινδύνους, τοὺς ἐν εἰρήνῃ, τοὺς ἐν πολέμοις, τότε τιμῶσιν· ὁ δὲ Θεὸς οὐχ οὕτως, ἀλλ' εὐθέως γενόμενον αὐτὸν ἐπὶ τὴν τιμὴν ταύτην ἤγαγε, δεικνὺς ὅτι οὐ κατορθωμάτων ἐστὶν ἀμοιβὴ τὸ γινόμενον, ἀλλὰ θείας χάριτος, καὶ οὐκ ὀφειλή. τὸ μὲν οὖν λαβεῖν αὐτὸν τὴν ἀρχὴν ἀπὸ τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐγένετο μόνης· τὸ δὲ ἐκπεσεῖν τῆς ἀρχῆς, ἀπὸ τῆς αὐτοῦ ῥαθυμίας. ὥσπερ οὖν οἱ βασιλεῖς τοὺς οὐχ ὑπακούοντας τοῖς αὐτῶν προστάγμασι παραλύουσι τῆς ἀρχῆς· οὕτω καὶ ὁ Θεὸς ἐποίησεν ἐπὶ τοῦ ἀνθρώπου, τότε παραλύσας αὐτὸν τῆς ἀρχῆς. ἀναγκαῖον δὲ σήμερον εἰπεῖν, πόσην καὶ ἄλλην τιμὴν ἡ τῆς ἁμαρτίας περιεῖλε φύσις, καὶ ὅσους δουλείας εἰσήγαγε τρόπους, ὥσπερ τις τύραννος ἐν πολυτρόποις δεσμοῖς, ταῖς παντοδαπαῖς ἀρχαῖς τὴν ἡμετέραν δεσμεύουσα φύσιν. ἔστι τοίνυν ἀρχὴ καὶ δουλεία πρώτη, καθ' ἣν καὶ γυναικῶν οἱ ἄνδρες κρατοῦσι· μετὰ γὰρ τὴν ἁμαρτίαν ἡ ταύτης ἐγένετο χρεία. πρὸ γὰρ τῆς παρακοῆς ὁμότιμος ἦν τῷ ἀνδρί. καὶ γὰρ ὅτε ταύτην διέπλαττεν ὁ Θεός, οἷς ἐχρήσατο ῥήμασιν ἐπὶ τῆς διαπλάσεως τοῦ ἀνδρός, τούτοις καὶ ἐπὶ τῆς δημιουργίας τῆς γυναικός. ὥσπερ οὖν εἶπεν ἐπ' ἐκείνου, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν, καὶ οὐκ εἶπε, γενηθήτω ἄνθρωπος· οὕτω καὶ ἐπὶ ταύτης οὐκ εἶπε, γενηθήτω γυνή, ἀλλὰ καὶ ἐνταῦθα, Ποιήσωμεν αὐτῷ βοηθόν· καὶ οὐχ ἁπλῶς βοηθόν, ἀλλὰ κατ' αὐτόν, πάλιν τὸ ὁμότιμον δηλῶν. ἐπεὶ γὰρ πολλὴν εἰς τὴν τῆς ζωῆς ἡμῶν χρείαν τὰ ἄλογα τὴν τῆς βοηθείας εἰσήγαγε κοινωνίαν, ἵνα μὴ τῶν δούλων νομίσῃς εἶναι καὶ τὴν γυναῖκα, ὅρα πῶς ποιεῖ τὴν διάκρισιν φανεράν. Ἤγαγε τὰ θηρία, φησίν, ἐνώπιον τοῦ Ἀδάμ, καὶ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ κατ' αὐτόν. τί οὖν; ὁ ἵππος οὐ βοηθός, συμπαραταττόμενος ἐν τοῖς πολέμοις; ὁ βοῦς οὐ βοηθός, ἄροτρον ἕλκων καὶ συγκάμνων ἡμῖν ἐν ταῖς τῶν σπερμάτων καταβολαῖς; ὄνος καὶ ἡμίονος οὐ βοηθοί, πρὸς τὴν τῶν ἀγωγίμων ἡμῖν συμπράττοντες μετακομιδήν; ἀλλ' ἵνα μὴ τοῦτο λέγῃς, διὰ τοῦτο ἀκριβῆ ποιεῖται τὴν διαίρεσιν. οὐδὲ γὰρ εἶπεν ἁπλῶς, ὅτι οὐχ εὑρέθη αὐτῷ βοηθός, ἀλλ' ὅτι οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ. οὕτω καὶ ἐνταῦθα, ποιήσωμεν, οὐχ ἁπλῶς, ἀλλά, κατ' αὐτόν, εἶπε. ταῦτα δὲ πρὸ τῆς ἁμαρτίας· μετὰ δὲ τὴν ἁμαρτίαν, Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. ἐποίησά σε, φησίν, ὁμότιμον· οὐκ ἐχρήσω καλῶς τῇ ἀρχῇ· μετάβηθι πρὸς

γρ. ἤτησε

γρ. δωρεᾶς χάρις,

Παρήγαγε

Γεν. γ. ις.

πρὸς τὴν ὑποταγήν. οὐκ ἤνεγκας τὴν ἐλευθερίαν· κατάδεξαι τὴν δουλείαν. οὐκ οἶδας ἄρχειν, καὶ δι' αὐτῆς τῶν πραγμάτων ἔδειξας τῆς πείρας· γενοῦ τῶν ἀρχομένων, καὶ
Γεν. γ ιϛ. τὸν ἄνδρα ἐπίγνωθι κύριον· Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. καὶ ὅρα Θεοῦ ἐνταῦθα φιλανθρωπίαν. ἵνα γὰρ μὴ ἀκούσασα τό, αὐτός σου κυριεύσει, φορτικὴν εἶναι νομίσῃ τὴν δεσποτείαν, πρότερον τὸ τῆς κηδεμονίας ἔθηκεν ὄνομα, εἰπών, πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, τουτέστιν, ἡ καταφυγή σου καὶ ὁ λιμήν, ἡ ἀσφάλεια ἐκεῖνος ἔσται σοι· ἐν πᾶσι τοῖς ἐπιοῦσι δεινοῖς πρὸς ἐκεῖνον ἀποστρέφεσθαι καὶ καταφεύγειν σοι δίδωμι. οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ φυσικαῖς αὐτοὺς συνέδησεν ἀνάγκαις, καθάπερ ἄρρηκτόν τινα δεσμόν, τὴν ἐκ τῆς ἐπιθυμίας περιβαλὼν αὐτοῖς ἄλυσιν. εἶδες πῶς εἰσήγαγε μὲν τὴν ὑποταγὴν ἡ ἁμαρτία· ὁ δὲ εὐμήχανος καὶ σοφὸς Θεὸς καὶ τούτοις πρὸς τὸ συμφέρον ἡμῖν ἀπεχρήσατο; ἄκουσον πῶς καὶ Παῦλος περὶ ταύτης λέγει τῆς ὑποταγῆς, ἵνα μάθῃς
α. Τιμ. β. ια. ιβ. ιγ. πάλιν παλαιᾶς καὶ καινῆς τὴν συμφωνίαν. Γυνή, φησιν, ἐν ἡσυχίᾳ μανθανέτω ἐν πάσῃ ὑποταγῇ. εἶδες καὶ αὐτὸν ὑποτάξαντα τῷ ἀνδρὶ τὴν γυναῖκα; ἀλλ' ἀνάμεινον, καὶ τὴν αἰτίαν ἀκούσῃ. διὰ τί ἐν πάσῃ ὑποταγῇ; γυναικὶ γάρ, φησι, διδάσκειν οὐκ ἐπιτρέπω. διὰ τί; ἐδίδαξε γὰρ ἅπαξ κακῶς τὸν Ἀδάμ· οὐδὲ αὐθεντεῖν τοῦ ἀνδρός. τί δήποτε; καὶ γὰρ ηὐθέντησεν ἅπαξ κακῶς· ἀλλ' εἶναι ἐν ἡσυχίᾳ. ἀλλ' εἰπὲ καὶ τὴν αἰτίαν. Ἀδὰμ γάρ, φησιν, οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε. διὰ τοῦτο αὐτὴν ἀπὸ τοῦ τῆς διδασκαλίας κατεβίβασε θρόνου. ὁ γὰρ διδάσκειν οὐκ εἰδώς, μανθανέτω, φησίν. εἰ δὲ μὴ βούλοιτο μανθάνειν, ἀλλὰ διδάσκειν ἐθέλοι, καὶ ἑαυτὸν καὶ τοὺς μανθάνοντας προσαπολεῖ· ὅπερ οὖν καὶ ἐπὶ τῆς γυναικὸς τότε γέγονεν. ἀλλ' ὅτι μὲν ὑποτέτακται τῷ ἀνδρί, καὶ διὰ τὴν ἁμαρτίαν ὑπετάγη, δῆλον ἐντεῦθεν. βούλομαι δὲ ἐκεῖνο ἀκοῦσαι, τό, πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. βούλομαι μαθεῖν πῶς καὶ περὶ τῆς κηδεμονίας ταύτης ὁ Παῦλος διαλέγεται, καὶ τὴν δεσποτείαν ἀναμίγνυσι τῇ φιλοστοργίᾳ.
Εφ. ε. κε. λγ. ποῦ οὖν τοῦτο ποιεῖ; Κορινθίοις ἐπιστέλλων, φησίν· Οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας. ἰδοὺ τό, πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου. αἱ γυναῖκες ἵνα φοβῶνται τοὺς ἄνδρας. ἰδοὺ τό, αὐτός σου κυριεύσει. εἶδες πῶς ἀνεπαχθὴς ἡ δεσποτεία, ὅταν ἐραστὴς μανικὸς τῆς δουλευούσης ὁ δεσπότης ᾖ, ὅταν φόβος ᾖ μετὰ ἀγάπης; οὕτω γὰρ τὸ φορτικὸν ἀνῄρηται τῆς δουλείας. μίαν μὲν οὖν εἰσήγαγε τὴν ἀρχὴν ἡ παρακοή. μὴ γὰρ δὴ τοῦτο ἴδῃς, ὅτι πρὸς τὸ δέον ἐρρύθμισεν αὐτὴν ὁ Θεός, ἀλλ' ὅτι αὐτὴν τῆς δουλείας τὴν φύσιν ἡ ἁμαρτία κατεσκεύασεν. ἔστι καὶ δεύτερον δουλείας εἶδος τοῦ προτέρου φορτικώτερον, καὶ αὐτὸ δὲ τὴν ἀρχὴν καὶ τὴν ὑπόθεσιν ἐκ τῆς ἁμαρτίας ἔχει. μετὰ γὰρ τὸν κατακλυσμὸν τὸν ἐπὶ τοῦ Νῶε, καὶ τὸ κοινὸν τῆς οἰκουμένης ἁπάσης ναυάγιον καὶ τὴν πανωλεθρίαν ἐκείνην ἥμαρτεν εἰς τὸν γεγεννηκότα ὁ Χαναάν, καὶ γυμνωθέντα ἰδὼν τὸν πατέρα, μᾶλλον ἐγύμνωσε τῇ πρὸς τοὺς ἀδελφοὺς κατηγορίᾳ, καὶ ἐντεῦθεν οἰκέτης ἐγίνετο τῶν ἀδελφῶν. ἐλυμήνατο γὰρ τῆς φύσεως τὴν εὐγένειαν ἡ τῆς προαιρέσεως πονηρία· καὶ μάλα εἰκότως. ἡ μὲν οὖν γραφὴ μυρίας ὑπὲρ τοῦ δικαίου συντίθησιν ἀπολογίας, μᾶλλον δὲ ἑνὶ ῥήματι πᾶσαν αὐτῷ δίδωσι
Γεν. θ. κ. συγγνώμην. Ἤρξατο γάρ, φησι, Νῶε ἄνθρωπος γεωργός. τὸ δέ, ἤρξατο, τοῦτο, πολλὴν ἔχει τὴν ἀπολογίαν τὴν ἐπὶ τῇ μέθῃ. οὔτε γὰρ πόσον πιεῖν ἐχρῆν τὸν οἶνον ᾔδει, οὔτε πῶς πιεῖν, ἄκρατον, ἢ μεμιγμένον ὕδατι, οὔτε πότε πιεῖν, εὐθέως τῶν ὑποληνίων ἐξαντληθέντα, ἢ μακρὸν ἀναμείναντα χρόνον. ἡ μὲν οὖν γραφὴ διὰ τούτων ἀπολογεῖται ὑπὲρ τοῦ Νῶε· ὁ δὲ ἐξ αὐτοῦ γεννηθείς, ὁ δι' ἐκεῖνον σωθείς (διὰ γὰρ τὴν εἰς τὸν πατέρα τιμὴν οὐ συναπώλετο τῷ τῶν λοιπῶν κλυδωνίῳ) οὐ πρὸς τὴν φύσιν ἰδὼν αὐτήν, οὐ τῆς σωτηρίας ἀναμνησθείς, οὐ τῷ φόβῳ σωφρονισθείς, ὁρῶν ἔτι τὰ λείψανα τῆς τοῦ Θεοῦ μηνύοντα ὀργῆς, καὶ τῆς συμφορᾶς τὰ ἴχνη φαινόμενα, καὶ τὸν τῶν γεγενημένων ἀκμάζοντα φόβον, ἐξύβρισεν εἰς τὸν γεγεννηκότα. διὰ

τοῦτο καὶ ὡς σοφὸς παραινεῖ λέγων, Μὴ δοξάζου ἐν ἀτιμίᾳ πατρός σου· οὐ γάρ ἐστί σοι δόξα, πατρὸς ἀτιμία. ἀλλ' οὐδὲ τοῦτο ἔγνω ἐκεῖνος· ἀλλ' ἥμαρτεν ἁμαρτίαν πάσης συγγνώμης καὶ ἀπολογίας μείζονα. διὰ τοῦτο τιμωρίαν ἔδωκε τῆς ἁμαρτίας τὴν δουλείαν, καὶ τῶν ἀδελφῶν οἰκέτης ἐγένετο, καὶ τὴν ἀπὸ τῆς φύσεως προεδρίαν τῇ τῆς γνώμης κακίᾳ προέδωκεν. ἰδοὺ καὶ δεύτερος δουλείας τρόπος. βούλει καὶ τρίτον μαθεῖν; φορτικώτερος δὲ οὗτος τῶν δύο τῶν προτέρων ἐστί, καὶ πολὺ φοβερώτερος. ἐπειδὴ γὰρ ἐκεῖνος οὐκ ἐσωφρονίσθη, ἐπέτεινεν ἡμῖν ὁ Θεὸς τὰ δεσμά. τίς οὖν οὗτός ἐστιν; ὁ τῶν ἀρχόντων, ὁ τῶν ἐξουσιῶν· οὐ τοιοῦτος, οἷος ὁ τῆς γυναικός, οὐδὲ τοιοῦτος, οἷος ὁ τῶν δούλων, ἀλλὰ πολλῷ φοβερώτερος. ξίφη γάρ ἐστιν ἰδεῖν ἠκονημένα πανταχοῦ, δημίους, κολάσεις, βασανιστήρια, τιμωρίας, τὴν μέχρι θανάτου καὶ ζωῆς ἐξουσίαν. καὶ ὅτι καὶ οὗτος τῆς ἀρχῆς ὁ τρόπος ἀναγκαῖος διὰ τὴν ἁμαρτίαν ἐγένετο, ἄκουσον πάλιν αὐτοῦ τοῦ Παύλου περὶ τούτου φιλοσοφοῦντος. Εἰ δὲ θέλεις μὴ φοβεῖσθαι τὴν ἐξουσίαν, τὸ ἀγαθὸν ποίει, φησί, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς. ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ· οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ. ὁρᾷς ὅτι διὰ τοὺς τὸ κακὸν πράττοντας καὶ ἄρχων καὶ μάχαιρα; ἄκουσον γοῦν σαφέστερον τοῦτο πάλιν. Εκδικος γάρ, φησίν, ἐστὶ τῷ τὸ κακὸν πράσσοντι. καὶ οὐκ εἶπεν, οὐ γὰρ εἰκῇ ἄρχων ἐστὶν ἀλλὰ τί; οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ. ὡπλισμένον σοι τὸν δικαστὴν ἐπέστησε. καθάπερ γὰρ φιλόστοργος πατὴρ παῖδας εἰς αὐτὸν ῥαθυμοῦντας, καὶ διὰ τὴν πατρικὴν φιλοστοργίαν καταφρονοῦντας αὐτοῦ, διὰ τὴν ἀγαθότητα παιδαγωγοῖς καὶ διδασκάλοις ἐκδίδωσι φοβεροῖς· οὕτω καὶ ὁ Θεὸς τὴν φύσιν τὴν ἡμετέραν καταφρονοῦσαν αὐτοῦ, διὰ τὴν ἀγαθότητα, καθάπερ διδασκάλοις καὶ παιδαγωγοῖς, τοῖς ἄρχουσιν ἐξέδωκεν, ὥστε αὐτοὺς ἐπιστρέψαι αὐτῶν τὴν ῥαθυμίαν. ἀλλ', εἰ βούλεσθε, καὶ ἀπὸ τῆς παλαιᾶς αὐτὸ τοῦτο ἴδωμεν, ὅτι διὰ τὴν πονηρίαν τὴν ἡμετέραν καὶ τῆς ἀρχῆς ἐγένετο χρεία ταύτης. τῶν προφητῶν τις παροξυνόμενος ἐπὶ τοῖς ἀδίκοις, οὕτω πως φησί· Παρασιωπήσεις ἐν τῷ καταπίνειν τὸν ἀσεβῆ τὸν δίκαιον, καὶ ποιήσεις τοὺς ἀνθρώπους, ὡς τοὺς ἰχθύας τῆς θαλάσσης, καὶ ὡς ἑρπετὰ οὐκ ἔχοντα ἡγούμενον; οὐκοῦν διὰ τοῦτο ἡγούμενος, ἵνα μὴ ὡς ἑρπετὰ ὦμεν· διὰ τοῦτο ἄρχων, ἵνα μὴ ὡς οἱ ἰχθύες καταπίνωμεν ἀλλήλους. ὥσπερ γὰρ διὰ τὰ νοσήματα τὰ φάρμακα, οὕτω διὰ τὰ ἁμαρτήματα αἱ κολάσεις. ἐπεί, ὅτι γε ὁ συζῶν ἀρετῇ τῆς ἐκεῖθεν ἐπιστασίας οὐ δεῖται, ἄκουσον τί φησιν ὁ Παῦλος. Εἰ δὲ θέλεις μὴ φοβεῖσθαι τὴν ἐξουσίαν, τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς. θεατής σου, φησίν, ὁ δικαστής ἐστιν. ἐὰν ὀρθῶς ζῇς, οὐ θεατὴς μόνον, ἀλλὰ καὶ ἐπαινέτης. καὶ τί λέγω τὴν ἀπὸ τῶν ἀρχόντων χρείαν, ὅπουγε καὶ ἑτέρων μειζόνων ἀνώτεροι οἱ φιλοσοφίαν διώκοντές εἰσιν; ἄρχοντες γὰρ ἀρχόντων εἰσὶν οἱ νόμοι. ἀλλ' ὅμως οὐδὲ νόμων δεῖται ὁ μετ' ἐπιεικείας ζῶν. καὶ τοῦτο ἄκουσον τοῦ Παύλου λέγοντος, Δικαίῳ νόμος οὐ κεῖται. εἰ δὲ νόμος οὐ κεῖται, πολλῷ μᾶλλον ἄρχων οὐκ ἐφέστηκεν. ἰδοὺ τρίτος ἀρχῆς τρόπος, καὶ οὗτος ἀπὸ τῆς ἁμαρτίας καὶ πονηρίας ἔχων τὴν ὑπόθεσιν. πῶς οὖν ὁ Παῦλός φησιν, ὅτι οὐκ ἔστιν ἐξουσία, εἰ μὴ ἀπὸ Θεοῦ; ὅτι αὐτὸς αὐτὴν πρὸς τὸ λυσιτελὲς ἡμῖν κατέστησεν. εἰσήγαγε μὲν γὰρ αὐτῆς τὴν χρείαν ἡ ἁμαρτία, ὁ δὲ Θεὸς πρὸς τὸ συμφέρον ἡμῖν ἀπεχρήσατο. καὶ καθάπερ ἡ χρεία τῶν φαρμάκων ἀπὸ τῶν τραυμάτων γέγονεν, ἡ δὲ ἐπαγωγὴ τῶν φαρμάκων ἀπὸ τῆς τῶν ἰατρῶν σοφίας· οὕτω καὶ ἡ χρεία τῆς δουλείας ἀπὸ τῆς ἁμαρτίας γέγονε, τὸ δὲ εἰς δέον αὐτὴν ῥυθμίσαι ἀπὸ τῆς τοῦ Θεοῦ σοφίας.

Σειρ. γ. θ.
Ἱερ. [illegible]
Ρωμ. ιγ. γ.
Αβ. α. ιγ.
Ρωμ. ιγ. γ.
α. Τιμ. α. θ.
Ρωμ. ιγ. ϛ.
[illegible]

Ἀλλὰ γὰρ διανάστητε, καὶ τὴν ῥαθυμίαν ἀπόθεσθε. τίνος ἕνεκα τοῦτο λέγω; περὶ γραφῶν ὑμῖν διηγούμεθα, ὑμεῖς δὲ τοὺς ὀφθαλμοὺς ἀποστήσαντες ἡμῶν, πρὸς τὰς λαμπάδας καὶ τὸν τὰς λαμπάδας ἅπτοντα μετεστήσατε. καὶ πόσης τοῦτο ῥαθυμίας, ἡμᾶς ἀφέντας τούτῳ προσέχειν; πῦρ ἀνάπτω κἀγὼ τὸ ἀπὸ τῶν γραφῶν, καὶ ἐπὶ τῆς γλώττης τῆς ἡμετέρας λαμπάδιον καίεται τὸ τῆς διδασκαλίας. τοῦτο μεῖζον καὶ βέλτιον τὸ φῶς ἐκείνου τοῦ φωτός. οὐ γὰρ

νὴ θρυαλλίδα διάβροχον ἐλαίῳ, καθάπερ ἐκεῖνος, ἐξαπτόμεθα, ἀλλὰ ψυχὰς ἐν εὐσεβείᾳ ἐκδομένας τῇ τῆς ἀκροάσεως ἀνάπτομεν ἐπιθυμίᾳ. διελέγετό ποτε καὶ ὁ Παῦλος ἐν ὑπερῴῳ τινί· ἀλλὰ μηδεὶς νομιζέτω με Παύλῳ παραβάλλειν ἐμαυτόν (οὐ γὰρ οὕτω μέμηνα) ἀλλ' ἵνα μάθητε πόσην περὶ τὴν ἀκρόασιν σπουδὴν ἐπιδείκνυσθαι χρή. διελέγετο τοίνυν ὁ Παῦλος ἐν ὑπερῴῳ, καὶ ἑσπέρα κατέλαβε, καθάπερ καὶ νῦν, καὶ λαμπάδες ἦσαν ἐν τῷ ὑπερῴῳ. Πραξ. κ. θ. Εἶτα ὁ Εὔτυχος ἀπὸ τῆς θυρίδος κατέπεσε, καὶ οὐ διέλυσε τὸ πλήρωμα τοῦ συλλόγου, οὐδὲ διέστησε τὸ θέατρον ὁ θάνατος· ἀλλ' οὕτως ἦσαν προσηλωμένοι τῇ τῶν θείων ἀκροάσει λογίων, ὡς μηδὲ αἰσθηθῆναι τοῦ πτώματος. ὑμεῖς δὲ οὐδὲν ξένον ἰδόντες, οὐδὲ παράδοξον, ἀλλ' ἄνθρωπον τὰ συνήθη ποιοῦντα, τὰς ὄψεις ἐκεῖ μετεθήκατε. καὶ ποίας ἂν εἴη τοῦτο συγγνώμης ἄξιον; μηδεὶς τοίνυν, ἀγαπητοί, φορτικὴν εἶναι τὴν ἐπιτίμησιν νομιζέτω. οὐ γὰρ μισοῦντες, ἀλλὰ κηδόμενοι ἐγκαλοῦμεν. Παροιμ. κζ. ε. Ἀξιοπιστότερα γὰρ τραύματα φίλων, ἢ ἑκούσια φιλήματα ἐχθρῶν. διαναστῆτε τοίνυν, παρακαλῶ, καὶ τοῦτο ἀφέντες τὸ πῦρ, τῷ φωτὶ προσέχετε τῶν θείων γραφῶν. ἕτερον γὰρ ὑμῖν ἀρχῆς βουλόμεθα τρόπον εἰπεῖν, οὐκ ἀπὸ ἁμαρτίας λαμβάνοντα τὴν ὑπόθεσιν, ἀλλὰ παρὰ τῆς φύσεως αὐτῆς. τί οὖν τοῦτό ἐστιν; ὁ τῶν τεκόντων εἰς ἔκγονα. ὠδίνων γάρ ἐστιν ἀμοιβὴ ἡ τοιαύτη τιμή. διὰ τοῦτο καί τις σοφὸς λέγει, Σειρ. ζ. ε. Ὡς δεσπόταις δούλευσον τοῖς γεννήσασί σε. Εἶτα καὶ τὴν αἰτίαν ἐπάγει λέγων· τί γὰρ αὐτοῖς ἀνταποδώσεις, καθὼς αὐτοί σοι; καίτοι τί ποτέ ἐστιν, ὃ μὴ δύναται παῖς ἀποδοῦναι πατρί; οὐδὲν οὖν ἄλλο, ἢ τοῦτο λέγει· καθὼς αὐτοί σε ἐγέννησαν, σὺ αὐτοὺς γεννῆσαι οὐ δυνήσῃ. ἐπεὶ οὖν κατὰ τοῦτο ἠλαττώμεθα, ἑτέρωθεν πλεονεκτήσωμεν ταῖς εἰς αὐτοὺς τιμαῖς, μὴ διὰ τὸν τῆς φύσεως νόμον μόνον, ἀλλὰ πρὸ τῆς φύσεως διὰ τὸν τοῦ Θεοῦ φόβον. καὶ γὰρ σφόδρα ὁ Θεὸς βούλεται τοὺς τεκόντας τιμᾶσθαι παρὰ τῶν τεχθέντων· καὶ τοὺς μὲν τοῦτο ποιοῦντας μεγάλοις ἀγαθοῖς καὶ δωρεαῖς ἀμείβεται, τοὺς δὲ παραβαίνοντας τὸν νόμον μεγάλοις καὶ δεινοῖς κολάζει κακοῖς. Ματθ. ιε. δ. Ὁ κακολογῶν, φησί, πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω. Γεν. κ. ιβ. τοῖς δὲ τιμῶσιν αὐτοὺς οὕτω πως φησί· Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται· καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς. ὅπερ μέγιστον ἀγαθὸν εἶναι νομίζεται, γῆρας λιπαρὸν καὶ μῆκος ζωῆς, τοῦτο ἔθηκεν ἔπαθλον τοῖς τιμῶσιν αὐτούς· καὶ ὅπερ ἔσχατον εἶναι δοκεῖ κακόν, θάνατος ἄωρος, τοῦτο ἔθηκεν ἐπιτίμιον τοῖς ὑβρίζουσιν εἰς αὐτούς· τοὺς μὲν ἐπισπώμενος εἰς εὔνοιαν τῇ τῆς τιμῆς ἐπαγγελίᾳ, τοὺς δὲ καὶ ἄκοντας ἀπάγων τῆς ὕβρεως τῷ τῆς τιμωρίας φόβῳ. οὐδὲ γὰρ ἁπλῶς ἀποθνήσκειν κελεύει τὸν πατραλοίαν, οὐδὲ δημίους αὐτὸν ἀπὸ τοῦ δικαστηρίου λαβόντας ἐξάγειν διὰ τῆς ἀγορᾶς, οὐδὲ τῆς πόλεως ἔξω τὴν κεφαλὴν ἀποτέμνειν· ἀλλ' ἄγει μὲν αὐτὸν εἰς μέσην τὴν πόλιν αὐτὸς ὁ πατήρ, καὶ χωρὶς ἀποδείξεως πάσης πιστεύεται· καὶ μάλα δικαίως. ὁ γὰρ καὶ χρήματα καὶ σώματα καὶ πᾶν ὁτιοῦν ἑλόμενος ὑπὲρ τοῦ παιδὸς καταδαπανῆσαι, οὐκ ἄν ποτε κατήγορος αὐτοῦ γέγονεν, εἰ μὴ πολλὴ τῆς ὕβρεως ἦν ἡ ὑπερβολή. ἄγει τοίνυν αὐτὸν εἰς τὸ μέσον τῆς πόλεως, εἶτα καλεῖ τὸν δῆμον ἅπαντα, καὶ λέγει τὴν κατηγορίαν· οἱ δὲ ἀκούοντες πάντες ἕκαστος λίθον λαβὼν οὕτω βάλλουσι τὸν πατραλοίαν. οὐ γὰρ δὴ θεατὰς μόνον τῆς τιμωρίας, ἀλλὰ καὶ αὐτουργοὺς εἶναι βούλεται ὁ νομοθέτης· ἵνα εἰς τὴν δεξιὰν ἕκαστος ἰδὼν τὴν ἑαυτοῦ, δι' ἧς τὸν λίθον καὶ αὐτὸς ἔβαλε κατὰ τῆς τοῦ πατραλοίου κεφαλῆς, ἱκανὸν ὑπόμνημα πρὸς διόρθωσιν ἔχῃ. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἕτερον ἡμῖν ὁ νομοθέτης αἰνίττεται· ὅτι ὁ τοὺς γονέας ὑβρίζων, οὐκ ἐκείνους ἠδίκηκε μόνον, ἀλλὰ καὶ πάντας ἀνθρώπους. διὰ τοῦτο πάντας ἐπὶ τὴν κοινωνίαν τῆς τιμωρίας καλεῖ, καθάπερ ὑβρισμένους ἅπαντας, καὶ δῆμον ὁμοῦ καὶ πόλιν παρίστησιν ἅπασαν, παιδεύων καὶ τοὺς οὐδὲν ἔχοντας κοινὸν πρὸς τοὺς ἠδικημένους ἐπὶ γονεῦσιν ὑβριζομένοις ἀγανακτεῖν, ὡς τῆς κοινῆς φύσεως ὑβριζομένης, καὶ τὸν τοιοῦτον ἄνθρωπον, ὥσπερ λοιμόν τινα καὶ κοινὴν νόσον, μὴ τῆς πόλεως μόνον, ἀλλὰ καὶ τοῦ φωτὸς ἀπελαύνειν αὐτοῦ. πολέμιος

γὰρ ὁ τοιοῦτος καὶ κοινὸς ἁπάντων ἐστὶν ἐχθρὸς, καὶ τοῦ Θεοῦ, καὶ τῆς φύσεως, καὶ τῶν νόμων, καὶ τῆς κοινῆς ἁπάντων ἡμῶν ζωῆς. διὰ τοῦτο πάντας συνεφάπτεσθαι κελεύει τῆς σφαγῆς, ὥσπερ τινὰ καθαρμὸν τῆς πόλεως ἐργαζόμενος. πολλὰ ὑμῖν ἀγαθὰ γένοιτο, ὅτι μετὰ τοσαύτης ἡδονῆς τοὺς περὶ τοῦ πατραλοίου λόγους ἐδέξασθε, καὶ ἀντὶ τῶν λίθων ταῖς βοαῖς αὐτὸν ἐβάλλετε. τεκμήριον γὰρ τοῦτο ἐστὶ τοῦ πολλὴν περὶ τὸν ἑαυτοῦ πατέρα ἕκαστον ὑμῶν τὴν εὔνοιαν ἐπιδεδεῖχθαι. καὶ γὰρ τότε τοὺς νόμους μάλιστα θαυμάζειν εἰώθαμεν τοὺς τὰ ἁμαρτήματα κολάζοντας, ὅταν μὴ συνειδότες ἑαυτοῖς τὰ ἁμαρτήματα ὦμεν. ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ φιλανθρώπῳ Θεῷ τῷ κηδομένῳ τῆς ζωῆς τῆς ἡμετέρας, καὶ προνοοῦντι γονέων, καὶ παίδων φροντίζοντι, καὶ πάντα ὑπὲρ τῆς ἡμετέρας οἰκονομοῦντι σωτηρίας. αὐτῷ γὰρ πρέπει δόξα, τιμὴ, καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ ἁγίῳ αὐτοῦ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ε. ΟΤΙ ΟΥ ΔΙΑ ΤΟΝ ΑΔΑΜ ΚΟΛΑΖΟΜΕΘΑ, καὶ ὅτι μείζονα τῶν δι᾽ ἐκείνου εἰσενεχθέντων λυπηρῶν τὰ χρηστὰ, ἐὰν ἑαυτοῖς προσέχωμεν· καὶ κατὰ τῶν παρατρεχόντων τοὺς πένητας.

Ὑμεῖς μὲν ἴσως νομίζετε τὸν περὶ τῆς δεσποτείας ἡμῖν ἅπαντα ἀπηρτίσθαι λόγον· ἐγὼ δὲ ἔτι πολὺν ὁρῶ τὸν καρπὸν ἐν αὐτῷ φαινόμενον. ἀλλὰ μὴ ἀποκάμητε, παρακαλῶ, ἕως αὐτὸν ἅπαντα ἐκτρυγήσωμεν. καὶ γὰρ οἱ φιλόπονοι τῶν γεωργῶν ὅταν ἴδωσιν ἄμπελον πολλοῖς μὲν τοῖς φύλλοις κομῶσαν, πολλῷ δὲ τῷ καρπῷ βριθομένην, οὐχὶ τοὺς ἔξωθεν βότρυας ἐκτέμνουσι μόνον, ἀλλὰ καὶ ἐνδοτέρω χωροῦσι, τὰ κλήματα ἀνακλῶντες, καὶ τὰ φύλλα ἀναστέλλοντες, ὥστε μηδὲ μικρὰς σταφυλῆς ῥᾶγας ὑπὸ τοῖς πετάλοις κρυπτομένας λαθεῖν. μὴ τοίνυν ἐκείνων φανῆτε ῥαθυμότεροι, μηδὲ ἀποστῆτε, ἕως ἂν τὸ πᾶν λάβητε· καὶ μάλιστα, ὅτι ὁ μὲν πόνος ἐμὸς, ὁ δὲ καρπὸς ὑμέτερος. κατηγορήσαμεν χθὲς τῶν γυναικῶν· μᾶλλον δὲ οὐχὶ τῶν γυναικῶν, ἀλλὰ τῆς Εὔας, ὅτι διὰ τῆς ἁμαρτίας τὴν δουλείαν εἰσήγαγεν. εἴποιεν ἂν αἱ γυναῖκες ἡμῖν, τίνος οὖν ἕνεκεν, ἐκείνης ἁμαρτησάσης, ἡμεῖς κατεδικάσθημεν, καὶ τὸ μὲν παράπτωμα γέγονεν ἑνὸς προσώπου, τὸ δὲ ἔγκλημα κοινὸν τῆς φύσεως ἁπάσης; τοῦτο καὶ δοῦλοι εἴποιεν ἄν· τί δήποτε, τοῦ Χαναὰν εἰς τὸν πατέρα ὑβρίσαντος, τὰ τῆς τιμωρίας εἰς ἅπαν διέβη τὸ γένος; καὶ οἱ τοὺς ἄρχοντας δὲ φοβούμενοι τοῦτ᾽ ἂν αἰτιάσαιντο, τί δήποτε, ἑτέρων ἐν πονηρίᾳ ζησάντων, αὐτοὶ τῷ ζυγῷ τῆς ἀρχῆς παρεδόθησαν; τί οὖν ἂν εἴποιμεν ἡμεῖς πρὸς τούτους ἅπαντας; μία γάρ ἐστι πάντων τῶν ζητημάτων ἡ λύσις· ὅτι ἥμαρτον μὲν οἱ πρότεροι, καὶ διὰ τῆς οἰκείας παρακοῆς τὴν δουλείαν εἰσήγαγον· εἰσαχθεῖσαν δὲ οἱ μετὰ ταῦτα ταῖς παρ᾽ ἑαυτῶν ἐκύρωσαν ἁμαρτίαις. εἰ μὲν γὰρ ἔχοιεν ἑαυτοὺς δεῖξαι διαπαντὸς ἁμαρτημάτων ὄντας καθαροὺς, ἴσως ἂν εἴη αὐτοῖς καλῶς δοκεῖν ἀντιλέγειν. εἰ δὲ καὶ αὐτοὶ πολλοῖς εἰσιν ἐπιτιμίοις ὑπεύθυνοι, περιττὰ τὰ τῆς ἀπολογίας ταύτης ἐστίν. ἐγὼ γὰρ οὐκ εἶπον, ὅτι ἤδη μὲν ἡ ἁμαρτία δουλείαν οὐκ εἰσάγει, ἀλλ᾽ ὅτι πᾶσα ἁμαρτία δουλείᾳ συγκεκλήρωται, καὶ φύσιν ἁμαρτίας, οὐ διαφορὰν ἁμαρτίας ἠτιασάμην μόνον. ὥσπερ οὖν ἅπαντα μὲν τὰ ἀνίατα νοσήματα εἰς θάνατον ἄγει, οὐχ ἅπαντα δὲ τῆς αὐτῆς ἐστι φύσεως· οὕτω καὶ τὰ ἁμαρτήματα ἅπαντα μὲν δουλείαν τίκτει, οὐχ ἅπαντα δὲ τῆς αὐτῆς ἐστι φύσεως. ἥμαρτεν ἡ Εὔα ἁψαμένη τοῦ ξύλου, καὶ κατεκρίθη δι᾽ αὐτό. διὰ τοῦτο μὴ ἁμαρτήσῃς σὺ πάλιν ἑτέραν ἴσως ἐκείνης ἁμαρτίαν χαλεπωτέραν. τοῦτο καὶ ἐπὶ τῶν δούλων ἄξιον εἰπεῖν, τοῦτο καὶ ἐπὶ τῶν ἀρχομένων, ὅτι εἰσήγαγον μὲν οἱ πρῶτοι τὴν ἁμαρτίαν, οἱ δὲ μετ᾽ ἐκείνους

διαδεξάμενοι κατέσχον τῆς δεσποτείας τὴν δύναμιν δι' ὧν ἐπλημμέλησαν. ἔχω δὲ ἑτέρως
ἀπολογήσασθαι· ὅτι πολλοὶ πρὸς ἀρετὴν ἐπιμεληθέντες, ἀπηλλάγησαν τῆς δεσποτείας.
καὶ πρότερον, εἰ δοκεῖ, ἐπὶ τῶν γυναικῶν τὸν λόγον γυμνάσωμεν, ἵν' εἰδῇς πῶς
α. Κορ. ζ. ιγ. ὁ μακάριος Παῦλος, ὁ περιθεὶς αὐταῖς τὰ δεσμά, αὐτὸς αὐτὰ πάλιν ἀνῆκεν. Εἴ τις γυνή,
φησιν, ἄνδρα ἔχει ἄπιστον, καὶ αὐτὸς συνευδοκεῖ οἰκεῖν μετ' αὐτῆς, μὴ ἀφιέτω αὐτόν. διὰ
τί; τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; καὶ πῶς, φησι, δύναται ἄνδρα σῶσαι γυνή; διδάσκουσα,
κατηχοῦσα, ἐνάγουσα πρὸς τὸν τῆς εὐσεβείας λόγον. καίτοι χθές, ὦ μακάριε
Παῦλε, ἔλεγες, ὅτι Γυναικὶ διδάσκειν οὐκ ἐπιτρέπω. πῶς οὖν πάλιν διδάσκαλον
αὐτὴν ποιεῖς τοῦ ἀνδρός; οὐχὶ μαχόμενος ἐμαυτῷ τοῦτο ποιῶ, ἀλλὰ καὶ σφόδρα συμφωνῶν.
ἄκουε γοῦν καὶ τίνος ἕνεκεν αὐτὴν ἐξέβαλε, καὶ τίνος ἕνεκεν αὐτὴν πάλιν ἐπανάγει
πρὸς τὸν τῆς διδασκαλίας θρόνον, ἵνα μάθῃς τὴν Παύλου σοφίαν. διδασκέτω, φησίν, ὁ ἀνήρ. διὰ
τί; οὐκ ἠπατήθη γάρ. Ἀδὰμ γάρ, φησιν, οὐκ ἠπατήθη. μανθανέτω, φησίν, ἡ γυνή. διὰ τί; ἠπατήθη
γάρ. ἡ γυνὴ γάρ, φησιν, ἀπατηθεῖσα ἐν παραβάσει γέγονεν. ἐνταῦθα δὲ τὸ ἐναντίον.
ὅταν μὲν γὰρ ἄπιστος ᾖ ὁ ἀνήρ, πιστὴ δὲ ἡ γυνή, διδασκέτω, φησίν, ἡ γυνή. διὰ τί; ὅτι
οὐκ ἠπάτηται· πιστὴ γάρ ἐστι. μανθανέτω τοίνυν ὁ ἀνήρ. ἠπατήθη γάρ· ἄπιστος γάρ ἐστιν. ἀντεστράφη,
φησί, τὰ τῆς διδασκαλίας· ἀντεστράφθω λοιπὸν καὶ τὰ τῆς δεσποτείας. εἶδες πῶς πανταχοῦ
οὐ τῇ φύσει, ἀλλὰ τῇ ἀπάτῃ καὶ τῇ ἁμαρτίᾳ δείκνυσι τὴν δουλείαν ἀκολουθοῦσαν; ἦλθε
τοίνυν πρὸς τὴν γυναῖκα ἡ ἀπάτη παρὰ τὴν ἀρχήν, ἠκολούθησε τῇ ἀπάτῃ ἡ ὑποταγή·
μετέστη μετὰ ταῦτα πρὸς τὸν ἄνδρα ἡ ἀπάτη, μετέστη καὶ ἡ ὑποταγή. καὶ καθάπερ
ἐν ἀρχῇ τῷ ἀνδρὶ τὴν σωτηρίαν τῆς γυναικὸς ἐνεπίστευσεν, ἐπειδὴ οὐκ ἠπάτητο, οὑτωσὶ λέγων,
Γεν. γ. 15. Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει· οὕτω καὶ ἐνταῦθα ἐπὶ τῆς πιστῆς
τῆς τὸν ἄπιστον ἄνδρα ἐχούσης, τὴν σωτηρίαν τοῦ ἀνδρὸς ἐμπιστεύει τῇ γυναικί, λέγων· τί
γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; τί ταύτης τῆς ἀποδείξεως σαφέστερον γένοιτ' ἂν τοῦ μὴ
τῇ φύσει τὴν δουλείαν, ἀλλὰ τῇ ἁμαρτίᾳ ἕπεσθαι; τοῦτο καὶ ἐπὶ τῶν δούλων ἐστὶν εἰπεῖν.
α Κορ. ζ. κα. Δοῦλος ἐκλήθης; μή σοι μελέτω. ὁρᾷς πῶς πάλιν δείκνυσι ψιλὸν ὄνομα τὴν δουλείαν οὖσαν,
ὅταν ἀρετὴ παρῇ; ἀλλ' εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι· τουτέστι,
μᾶλλον μένε ἐν τῇ δουλείᾳ. διὰ τί; Ὁ γὰρ ἐν Κυρίῳ κληθεὶς δοῦλος, ἀπελεύθερος
Κυρίου ἐστίν. εἶδες μέχρι προσηγορίας τὴν δουλείαν, ἐν τῷ πράγματι δὲ τὴν ἐλευθερίαν;
τίνος δὲ ἕνεκεν ἀφῆκε μένειν δοῦλον; ἵνα τῆς ἐλευθερίας μάθῃς τὴν περιουσίαν. ὥσπερ
γὰρ τοῦ σβέσαι τὴν κάμινον τὴν ἐπὶ τῶν τριῶν παίδων πολὺ θαυμαστότερον ἦν τὸ
μενούσης αὐτῆς ἀσινῆ διατηρῆσαι τὰ σώματα· οὕτω τοῦ λῦσαι τὴν δουλείαν τὸ μενούσης
αὐτῆς δεῖξαι τὴν ἐλευθερίαν πολλῷ μεῖζόν ἐστι καὶ θαυμαστότερον. διὰ τοῦτό φησιν, Εἰ καὶ
δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι, τουτέστι, μένε δοῦλος· τὴν γὰρ ἀληθεστάτην
ἔχεις ἐλευθερίαν. βούλει καὶ ἐπὶ τῶν ἀρχόντων τοῦτο ἰδεῖν; βασιλεὺς ἦν ὁ Ναβουχοδονόσορ,
καὶ τὴν κάμινον ἀνῆψε μετὰ πολλῆς τῆς σφοδρότητος, καὶ τοὺς τρεῖς παῖδας εἰς
μέσον παρήγαγε, νέους, ἐρήμους, οὐδεμίαν ἔχοντας προστασίαν, δούλους, αἰχμαλώτους,
Δαν. γ ιδ. ἀπόλιδας. καὶ τί φησιν; Εἰ ἀληθῶς Σεδράχ, Μισάχ, Ἀβδεναγὼ τοῖς θεοῖς μου οὐ λατρεύετε,
καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησα, οὐ προσκυνεῖτε; τί οὖν ἐκεῖνοι; θέασαι πῶς
αὐτοὺς ἡ ἀρετὴ αἰχμαλώτους ὄντας βασιλικωτέρους ἐποίησε τοῦ βασιλέως, καὶ ὑψηλότερον
αὐτῶν ἔδειξε τὸ φρόνημα. οὐ γὰρ ὡς βασιλεῖ διαλεγόμενοι, ἀλλ' ὥσπερ πρὸς ὑπήκοον
τὸν λόγον ἔχοντες, οὕτω μετὰ παρρησίας ἀπεκρίνοντο. οὐ χρεία, φασίν, ἐστὶν ἡμῖν περὶ τοῦ ῥήματος
τούτου ἀποκριθῆναι τῷ βασιλεῖ. οὐ διὰ ῥημάτων, ἀλλὰ διὰ πραγμάτων ποιησόμεθα
τὴν ἀπόδειξιν. ἔστι Θεὸς ἐν οὐρανῷ δυνατὸς ἐξελέσθαι ἡμᾶς. ἀνέμνησαν αὐτὸν
τῆς ἐπὶ τοῦ Δανιὴλ εὐεργεσίας, αὐτὰ τὰ ῥήματα εἰπόντες, ἅπερ ὁ προφήτης εἶπε

τότε. Τί γὰρ ἐκεῖνος ἔλεγεν; Οὐκ ἔστι μάγων, Γαζαρηνῶν, Χαλδαίων τὸ ῥῆμα, ὃ ὁ βασιλεὺς ἀπαιτεῖ· ἀλλ' ἔστι Θεὸς ἐν οὐρανοῖς ὁ ἀποκαλύπτων μυστήρια. Ταύτης οὖν αὐτὸν ἀναμιμνήσκουσι τῆς φωνῆς, ὥστε ποιῆσαι ἐπιεικέστερον. Εἶτά φησι· καὶ, ἐὰν μὴ, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν. Ὅρα σοφίαν τῶν νέων ἐκείνων. Ἵνα μὲν γὰρ μὴ καταγνῶσιν ἀσθένειαν τοῦ Θεοῦ οἱ τότε παρόντες, εἰ συμβαίη ἐμπεσόντας αὐτοὺς εἰς τὴν κάμινον ἀποθανεῖν, προλαβόντες ὡμολόγησαν αὐτοῦ τὴν δύναμιν εἰπόντες, ὅτι ἔστι Θεὸς ἐν οὐρανῷ, ὃς δύναται ἐξελέσθαι ἡμᾶς· ἵνα δὲ μὴ πάλιν διαφυγόντες τὴν φλόγα, νομισθῶσιν ἐπὶ μισθῷ καὶ ἀμοιβῇ τῷ Θεῷ δουλεύειν, ἐπήγαγον· ὅτι καὶ ἐὰν μὴ, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν, ὁμοῦ καὶ τοῦ Θεοῦ τὴν δύναμιν ἀνακηρύττοντες, καὶ τὸ παράστημα τῆς ἑαυτῶν δεικνύντες ψυχῆς, ἵνα μὴ, ὅπερ ἐπὶ τοῦ Ἰὼβ εἶπεν ὁ διάβολος συκοφαντῶν, τοῦτό τις καὶ περὶ τούτων εἴπῃ. Τί δὲ περὶ τοῦ Ἰὼβ εἶπεν ὁ διάβολος; ὅτι Οὐ δωρεὰν σέβεταί σε Ἰώβ· περιέφραξας γὰρ αὐτοῦ τὰ ἔσω καὶ τὰ ἔξω. Ἵν' οὖν μὴ καὶ περὶ τούτων ἔχῃ τις τοῦτο λέγειν, ἐκεῖνοι προλαβόντες ἐνέφραξαν τὸ ἀναίσχυντον στόμα. Ἀλλ' ὅπερ ἔλεγον, κἂν αἰχμάλωτος ᾖ τις, κἂν δοῦλος, κἂν ξένος, κἂν ἐπὶ τῆς ἀλλοτρίας διατρίβῃ γῆς, καὶ τὴν ἀρετὴν ἔχῃ μεθ' ἑαυτοῦ, πάντων βασιλέων βασιλικώτερος ἔσται. Εἶδες καὶ τὴν τῶν γυναικῶν δουλείαν λυθεῖσαν, καὶ τὴν τῶν οἰκετῶν, καὶ τὴν τῶν ἀρχομένων; Δεῦρο, σοι δείξω λοιπὸν καὶ τὸν τῶν θηρίων φόβον ἐκβεβλημένον. Ἐνέβαλον τὸν Δανιὴλ εἰς τὸν λάκκον ἐπὶ τῆς αὐτῆς Βαβυλῶνός ποτε· ἀλλ' οὐκ ἐτόλμων ἅψασθαι οἱ λέοντες αὐτοῦ. Τὴν ἀρχαίαν γὰρ καὶ βασιλικὴν εἰκόνα διαλάμπουσαν εἶδον ἐν αὐτῷ, ἐκείνους τοὺς χαρακτῆρας ἔβλεπον, οὓς ἑώρων ἐπὶ τοῦ Ἀδὰμ πρὸ τῆς ἁμαρτίας. Καὶ γὰρ μετὰ τῆς αὐτῆς ὑποταγῆς ἐλθόντες πρὸς τὸν Ἀδὰμ, τὰ ὀνόματα ἐδέξαντο τότε. Καὶ οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐπὶ τοῦ μακαρίου Παύλου τοῦτο γέγονε. Καὶ γὰρ ἐκεῖνος εἰς τὴν τῶν βαρβάρων νῆσον ἐκπεσὼν, παρεκάθητο πυρᾷ θερμαινόμενος· εἶτα ἀπὸ τῶν φρυγάνων ἐκπηδήσασα ἔχις καθῆκεν αὐτοῦ τῆς χειρός. Τί οὖν μετὰ ταῦτα ἐγίνετο; ἐξέπεσε τὸ θηρίον εὐθέως. Ἐπειδὴ γὰρ ἁμαρτίαν οὐχ εὗρεν, οὐδὲ δακεῖν ἴσχυσεν. Ἀλλ' ὥσπερ ἡμεῖς, ἐπειδὰν τινα σκόπελον λεῖον βουλώμεθα ἀναβῆναι, μηδαμόθεν εὑρίσκοντες ἀντιλαβὰς, καταπίπτομεν εὐθέως, κἂν πέλαγος ὑποκείμενον ᾖ, κἂν βάραθρον· οὕτω καὶ τὸ θηρίον ἐκεῖνο, καὶ ταῦτα πυρᾶς ὑποκειμένης, οὐχ εὑρὸν τῆς ἁμαρτίας τὴν ἀντιλαβὴν, οὐδὲ ὅπου τοὺς ὀδόντας ἀπερείσῃ, κατέπεσεν εἰς τὴν πυρὰν, καὶ διεφθάρη. Βούλει καὶ τρίτον εἴπω σοι τρόπον ἀπολογίας; Εἷς μέν ἐστι, τὸ μὴ τοὺς προτέρους ἡμαρτηκέναι μόνον, ἀλλὰ καὶ τοὺς μετ' ἐκείνους· δεύτερος, τὸ τοὺς κατορθωκότας, καὶ ταῦτα ἐν τῷ παρόντι διατρίβοντας βίῳ, κουφοτέρας πειραθῆναι τῆς δουλείας· μᾶλλον δὲ ὁλοκλήρου ταύτης ἀπαλλαγῆναι, καθάπερ οὖν καὶ ἐπὶ τῶν γυναικῶν, καὶ ἐπὶ τῶν ἀρχομένων, καὶ ἐπὶ τῶν θηρίων ἐδείξαμεν. Τρίτος μετ' ἐκείνους, τὸ μείζονα τῶν ἀγαθῶν, ὧν οἱ παρὰ τὴν ἀρχὴν ἁμαρτόντες ἡμᾶς ἐξέβαλον, παραγενόμενον ἡμῖν ὑποχέαι τὸν Χριστὸν ἀγαθὰ νῦν. Τί γὰρ θρηνεῖς, εἰπέ μοι; ὅτι σε ἁμαρτὼν ὁ Ἀδὰμ ἐξέβαλε τοῦ παραδείσου; κατόρθωσον, καὶ ζήλωσον σὺ ἀρετὴν, καὶ οὐχὶ παράδεισον, ἀλλ' αὐτὸν ἀνοίγω σοι τὸν οὐρανὸν, καὶ οὐδὲν ἐκ τῆς τοῦ πρωτοπλάστου παρακοῆς ἀφίημί σε παθεῖν δεινόν. Θρηνεῖς, ὅτι σε τῆς ἀρχῆς τῶν θηρίων παρέλυσεν; ἰδοὺ σοι καὶ δαίμονας ὑποτάττω, ἐὰν προσέχῃς. Πατεῖτε γὰρ, φησιν, ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Οὐκ εἶπεν, ἄρχετε, καθάπερ ἐπὶ τῶν θηρίων, ἀλλὰ, πατεῖτε, ἐπιτεταμένην εἰσάγων τὴν ἀρχήν. Διὰ τοῦτο καὶ ὁ Παῦλος οὐκ εἶπεν, ὁ Θεὸς ὑποτάξει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν, ἀλλ', Ὁ Θεὸς συντρίψει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν. Οὐκέτι, καθάπερ πρότερον, Αὐτός σου τηρήσει κεφαλὴν, καὶ σὺ αὐτοῦ τηρήσεις πτέρναν· ἀλλ' ὁλόκληρος ἡ νίκη, καθαρὸν

Δαν. β. κη.

Ἰωβ. α. θ.

Δαν. ς. ις.

Πραξ. κη. δ.

κ. διαβόλου

Λυκ. ι. ιθ.

Ρωμ. ις. κ.

Γεν. γ. ιε.

τὸ τρόπαιον, παντελὴς ἀφανισμὸς τοῦ πολεμίου, καὶ συντριβή, καὶ ἀπώλεια. ὑπέταξέ σε τῷ ἀνδρὶ ἡ Εὔα. ἀλλ' ἐγώ σε οὐκ ἀνδρὸς ὁμότιμον μόνον, ἀλλὰ καὶ αὐτῶν ποιῶ τῶν ἀγγέλων, ἐὰν ἐθέλῃς. ἀπεστέρησέ σε τῆς παρούσης ζωῆς· ἐγὼ δέ σοι καὶ τὴν μέλλουσαν χαρίζομαι, τὴν ἀγήρω καὶ ἀθάνατον καὶ μυρίων γέμουσαν ἀγαθῶν. μηδεὶς τοίνυν διὰ τοὺς προτέρους ἐπηρεάσθαι νομιζέτω. καὶ γὰρ ἂν θελήσωμεν ἅπασιν, οἷς παρέχειν μέλλει, ἐπεξελθεῖν, πολλῷ μείζονα τὰ δοθέντα, ὧν ἀπολέσαμεν, εὑρήσομεν. ἀπὸ δὲ τῶν εἰρημένων καὶ τὰ λοιπὰ δῆλα. βίον ἐπίμοχθον εἰσήγαγεν ὁ Ἀδάμ· ὁ Χριστὸς ὑπέσχετο ζωήν, ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν χαρίσασθαι ἐπαγγέλλεται. Δεῦτε γάρ, φησιν, οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· *ἐν φυλακῇ, καὶ ἤλθετε πρός με.

Ματθ. κεφ. λε.

*γυμνὸς ἤ
καὶ περιεβ
λετέ με

Ἆρα οὖν ἀκουσόμεθα καὶ ἡμεῖς τῆς μακαρίας ἐκείνης φωνῆς; οὐ σφόδρα ἂν ἰσχυρισαίμην ἐγώ. πολλὴ γὰρ παρ' ἡμῖν τῶν πενήτων ἡ ὑπεροψία. νηστείας καιρός, παραίνεσις τοσαύτη καὶ διδασκαλία σωτηρίων διδαγμάτων, εὐχαὶ συνεχεῖς, σύλλογοι καθημερινοί, καὶ τί μετὰ τὴν τοσαύτην ἐπιμέλειαν ὄφελος; οὐδέν. ἀναχωροῦμεν γὰρ ἐντεῦθεν ὁρμαθοὺς πενήτων ὁρῶντες στοιχηδὸν ἑκατέρωθεν ἑστηκότων· καὶ ὥσπερ κίονας βλέποντες, ἀλλ' οὐκ ἀνθρώπινα σώματα, οὕτως ἀνηλεῶς παρατρέχομεν. ὥσπερ οὖν ἀνδριάντας ἀψύχους, ἀλλ' οὐκ ἐμπνέοντας ἀνθρώπους βλέποντες, οὕτως οἴκαδε ἐπειγόμεθα. τὸ γὰρ πεινῆν καταναγκάζει, φησί. καὶ μὴν τὸ πεινῆν ″πείθεται μένειν. αἱ μὲν γὰρ ἐμπεπλησμέναι γαστέρες, κατὰ τὴν παροιμίαν, τὰς πεινώσας ἀγνοοῦσιν, αἱ δὲ πεινῶσαι ἐκ τῆς οἰκείας ἀνάγκης καὶ τὴν ἀλλοτρίαν ἐπιγινώσκουσι. μᾶλλον δὲ οὐδὲ οὕτω δυνατὸν πᾶσαν αὐτὴν κατιδεῖν. σὺ μὲν γὰρ ἐπὶ παρεσκευασμένην τρέχεις τράπεζαν, καὶ οὐδὲ μικρὸν ἀναμεῖναι ἀνέχῃ· ὁ δὲ πένης ἕστηκε μέχρι τῆς ἑσπέρας αὐτῆς, σπεύδων καὶ ἐπειγόμενος τὴν ἐφήμερον τροφὴν ἀπαρτίσαι· καὶ ὁρῶν τὴν μὲν ἡμέραν πληρωθεῖσαν, τὸ δὲ ἀργύριον οὐδέπω πληρωθὲν ἅπαν τὸ πρὸς τροφὴν ἀρκοῦν ἐφήμερον, ὀδυνᾶται καὶ ἐμπίπραται, καὶ μείζονα τῆς οἰκείας δυνάμεως τολμᾶν ἀναγκάζεται. διὰ τοῦτο ἐν ἑσπέρᾳ σφοδρότερον ἡμῖν ἐπιτίθενται, ὀμνύοντες, ὀρκοῦντες, θρηνοῦντες, ὀλοφυρόμενοι, τὰς χεῖρας ἐκτείνοντες, μυρία ἕτερα ἀναισχυντεῖν ἀναγκαζόμενοι. δεδοίκασι γὰρ μή, πάντων οἴκαδε ἀναχωρησάντων, ὡς ἐν ἐρήμῳ τῇ πόλει πλανᾶσθαι μέλλωσι. καὶ καθάπερ οἱ ναυαγίῳ περιπεσόντες ἐν ἡμέρᾳ, ἐπειδὰν ἐπιλάβωνται σανίδος, πρὸ τῆς ἑσπέρας τὸν λιμένα καταλαβεῖν ἐπείγονται, μήποτε τῆς νυκτὸς ἐπελθούσης ἔξω μείναντες χαλεπωτέρου πειραθῶσι τοῦ ναυαγίου· οὕτω καὶ οἱ πένητες, καθάπερ ναυάγιον δεδοικότες τὸν ″λιμένα, σπεύδουσι πρὸ τῆς ἑσπέρας τὸ πρὸς τροφὴν αὐτοῖς ἀργύριον ἀρκοῦν συναγαγεῖν, ἵνα μή, πάντων ἀποδημησάντων οἴκαδε, ἔξω τοῦ λιμένος μείνωσι. λιμὴν γὰρ αὐτοῖς, αἱ τῶν ἀντιλαμβανομένων χεῖρές εἰσιν. ἡμεῖς δὲ οὔτε ἐν ἀγορᾷ πρὸς τὰς ἐκείνων ἐπικαμπτόμεθα συμφοράς, οὔτε οἴκαδε ἀπελθόντες. ἀλλὰ καὶ τῆς τραπέζης ἡμῖν παρακειμένης πολλάκις καὶ μυρίων γεμούσης ἀγαθῶν (εἴγε ἀγαθὰ χρὴ καλεῖν, ἃ ἐπὶ κατακρίσει τῆς ἡμετέρας ἀπανθρωπίας ἐσθίομεν) πλὴν ἀλλὰ καὶ τῆς τραπέζης παρακειμένης, ἀκούοντες κάτωθεν διὰ τῶν στενωπῶν βαδιζόντων ἐκείνων, καὶ μεγάλα βοώντων ἐν τοῖς ἀμφόδοις, ὀδυνωμένων ἐν βαθυτάτῳ σκότῳ, ἐν ἐρημίᾳ πολλῇ, οὐδὲ οὕτως ἐπικαμπτόμεθα· ἀλλὰ καὶ ἐμπλησθέντες, καὶ πρὸς ὕπνον βαδίζοντες, καὶ ἐν ἐκείνῳ πάλιν τῷ καιρῷ μεγάλα κάτωθεν ὀδυρομένων ἀκούοντες, ὥσπερ κυνὸς λυττῶντος, ἀλλ' οὐκ ἀνθρωπίνης ἀκούοντες φωνῆς, οὕτω παρατρέχομεν· καὶ οὔτε πρὸς τὸν καιρὸν ἐπιστρεφόμεθα, ὅτι ἀωρεὶ λοιπὸν τῶν νυκτῶν καθευδόντων ἁπάντων ἐκεῖνος ὀδύρεται μόνος, οὔτε πρὸς τὸ κοῦφον τῆς αἰτήσεως, ὅτι ἄρτου πλέον οὐδὲν ἡμᾶς ἀπαιτεῖ, ἢ ἀργύριον ὀλίγον,

γρ. πείθ
[illegible]

γρ. λιμ

οὔτε πρὸς τὸ μέγεθος τῆς συμφορᾶς, ὅτι λιμῷ παλαίει διηνεκεῖ, οὔτε πρὸς τὴν ἐπιείκειαν τοῦ ἱκέτου, ὅτι τοσαύτῃ κατεχόμενος ἀνάγκῃ, οὐ πρὸς τὰς θύρας ἐλθεῖν, οὐκ ἐγγὺς γενέσθαι τολμᾷ, ἀλλὰ κάτωθεν ἐκ πολλοῦ τοῦ διαστήματος ποιεῖται τὴν ἱκετηρίαν. κἂν μὲν λάβῃ, μυρίας δίδωσι τὰς εὐχάς· ἂν δὲ μὴ λάβῃ, οὐδὲ οὕτω πικρὸν ἐκβάλλει ῥῆμα, οὐδὲ λοιδορεῖται καὶ βλασφημεῖ τοὺς δυναμένους δοῦναι, καὶ μὴ παρέχοντας. ἀλλ' ὥσπερ τις ὑπὸ δημίου τινὸς ἐπὶ κόλασιν ἀγόμενος ἀφόρητον, εἶτα τοὺς παριόντας ἅπαντας παρακαλῶν, ἱκετεύων, καὶ μηδεμιᾶς τυγχάνων ἀντιλήψεως μετὰ πολλῆς τῆς ἀπανθρωπίας πρὸς τὴν κόλασιν ἄγεται· οὕτω καὶ οὗτος, καθάπερ ὑπὸ δημίου τοῦ λιμοῦ πρὸς τὴν νύκτα ἑλκόμενος καὶ τὴν ἀφόρητον ἀγρυπνίαν, ἐκτείνει μὲν τὰς χεῖρας, μετὰ σφοδρᾶς τῆς βοῆς τοὺς ἐν ταῖς οἰκίαις ἄνω καθημένους παρακαλῶν, οὐδεμιᾶς δὲ φιλανθρωπίας τυγχάνων, ἀνηλεῶς ἀποπέμπεται καὶ μετὰ πολλῆς τῆς ὠμότητος. ἀλλ' οὐδὲν τούτων ἡμᾶς ἐπικάμπτει· ἀλλὰ μετὰ τοσαύτην ἀπανθρωπίαν εἰς τὸν οὐρανὸν ἐκτεῖναι τὰς χεῖρας τολμῶμεν, καὶ περὶ ἐλέους διαλεχθῆναι τῷ Θεῷ, καὶ συγγνώμην αἰτῆσαι τῶν οἰκείων ἁμαρτημάτων· καὶ οὐ δεδοίκαμεν μὴ κεραυνὸς μετὰ τὴν τοιαύτην εὐχὴν κατενεχθῇ, μετὰ τὴν τοσαύτην ὠμότητα καὶ ἀπανθρωπίαν. πῶς πρὸς ὕπνον, εἰπέ μοι, βαδίζομεν καὶ ἀνάπαυσιν, καὶ οὐ δεδοίκαμεν μὴ καὶ ὄναρ αὐτὸς οὗτος ἡμῖν ὁ πένης ἐπιστὰς, αὐχμῶν, ῥυπῶν, ῥάκια περιβεβλημένος ὀδύρηται καὶ θρηνήσῃ, τὴν ὠμότητα ἐγκαλῶν; καὶ γὰρ πολλῶν πολλάκις ἤκουσα λεγόντων, ὅτι μεθ' ἡμέραν ὑπεριδόντες τῆς τῶν πτωχῶν ἀντιλήψεως, ἐν νυκτὶ χοινία περιβεβλημένους ἑαυτοὺς εἶδον καὶ ἑλκομένους ὑπὸ τῆς τῶν πενήτων χειρὸς, σπαραττομένους, μυρία πάσχοντας πράγματα. ἀλλὰ ταῦτα μὲν ὕπνος καὶ ὄναρ καὶ πρόσκαιρος τιμωρία· ἡμεῖς δὲ οὐ δεδοίκαμεν, εἰπέ μοι, μήποτε τὸν πένητα τοῦτον τὸν ὀδυρόμενον καὶ βοῶντα καὶ ὀλοφυρόμενον ἐν τοῖς κόλποις ἴδωμεν τοῦ Ἀβραάμ, καθάπερ ποτὲ τὸν Λάζαρον ὁ πλούσιος ἐκεῖνος; τὰ δὲ ἐντεῦθεν ἀφίημι ὑμῶν τῷ συνειδότι, τὰ πικρὰ καὶ ἀπαραμύθητα ἐκεῖνα κολαστήρια, πῶς ᾔτησεν ὕδωρ, πῶς οὐδὲ σταγόνος ἔτυχε, πῶς ἡ γλῶττα ἀπετηγανίζετο, πῶς πολλὴν τὴν ἱκετηρίαν θεὶς, οὐδεμιᾶς συγγνώμης ἀπήλαυσε, καὶ πῶς ἀθάνατα ἐκολάζετο. ἀλλὰ γὰρ μὴ γένοιτο ἡμᾶς ταῦτα διὰ τῆς πείρας μαθεῖν· ἀλλὰ διὰ τῶν λόγων ἀκούσαντας φυγεῖν τὴν διὰ τῶν ἔργων ἀπειλὴν, καὶ τῆς τοῦ προπάτορος Ἀβραὰμ φιλοφροσύνης ἀξίους ἀποδειχθέντας, εἰς τὸν αὐτὸν ἐκείνῳ χωρῆσαι τόπον, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, τιμὴ, κράτος σὺν τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ϛ. ΠΕΡΙ ΤΟΥ ΞΥΛΟΥ, ΕΙ ΕΞ ΕΚΕΙΝΟΥ ΓΕΓΟΝΕΝ ἡ γνῶσις τοῦ καλοῦ καὶ τοῦ πονηροῦ τῷ Ἀδὰμ, ἢ καὶ πρὸ τῆς βρώσεως εἶχε τὴν διάγνωσιν ταύτην· ἐν ᾧ καὶ περὶ νηστείας, καὶ περὶ τοῦ δεῖν ἐν οἰκίᾳ μελετᾶν τὰ λεγόμενα ἐν ἐκκλησίᾳ.

Γεν. β. ιζ.

Φιλῶ μὲν τὴν νηστείαν, ὅτι μήτηρ σωφροσύνης ἐστὶ, καὶ πηγὴ φιλοσοφίας ἁπάσης· φιλῶ δὲ αὐτὴν καὶ δι' ὑμᾶς, καὶ διὰ τὴν ὑμετέραν ἀγάπην, ὅτι μοι ταύτην τὴν ἱερὰν καὶ τιμίαν ὑμῶν συνήγαγε σύνοδον, καὶ τὰ ποθούμενα πρόσωπα δίδωσι πάλιν ἰδεῖν, καὶ παρέχει μετὰ ἀδείας ἐντρυφῆσαι τῇ καλῇ ταύτῃ πανηγύρει καὶ ἑορτῇ. καὶ γὰρ καὶ πανήγυριν καὶ ἑορτὴν καὶ μυρία ἀγαθὰ οὐκ ἄν τις ἁμάρτοι τὴν ὑμετέραν σύνοδον προσειπών. εἰ γὰρ εἰς ἀγορὰν τις ″ ἐμβαλών, καὶ ἑνὶ συντυχὼν φίλῳ, πολλάκις πᾶσαν ἀθυμίαν ἀποτίθεται· ἡμεῖς οὐκ εἰς ἀγορὰν, ἀλλ' εἰς ἐκκλησίαν

ἐμβάλλων,

ἐκκλησίαν ἀπαντῶντες, καὶ οὐχ ἑνὶ συντυγχάνοντες φίλῳ, ἀλλὰ τοσούτοις καὶ τοιούτοις ἀδελφοῖς καὶ πατράσι συγγινόμενοι, πῶς οὐ πᾶσαν ἀποθησόμεθα ἀθυμίαν, πῶς οὐ πᾶσαν ἡδονὴν καρπωσόμεθα; οὐ γὰρ τῷ πλήθει μόνον ἐστὶ βελτίων ὁ σύλλογος τῶν συνεδρίων τῶν ἐν ταῖς ἀγοραῖς, ἀλλὰ καὶ αὐτῇ τῇ φύσει τῆς διαλέξεως. οἱ μὲν γὰρ ἐν ἀγοραῖς συνεδρεύοντες, καὶ μετ' ἀλλήλων συγκαθήμενοι κύκλῳ, πολλάκις καὶ περὶ ἀνονήτων διαλέγονται πραγμάτων, καὶ ψυχρὰν εἰσάγουσιν ὁμιλίαν, καὶ φθέγγονται περὶ τῶν οὐδὲν αὐτοῖς προσηκόντων. καὶ γὰρ εἰώθαμεν, ὡς τὰ πολλά, μετὰ πλείονος σπουδῆς τὰ ἀλλότρια περιεργάζεσθαι καὶ πολυπραγμονεῖν. ὅτι μὲν οὖν ἐστιν ἐπισφαλὲς καὶ κίνδυνον ἔχον, τὰ ῥήματα περιϊέναι καὶ ἀκούειν τοιαῦτα, καὶ παρασύρεσθαι, καὶ πολλοὶ πολλάκις ἀπὸ τῶν τοιούτων συνεδρίων χειμῶνες ἐπηωρήθησαν ἐν οἰκίαις, παρίημι νῦν· ὅτι δὲ ἀνόνητος καὶ ψυχρὰ καὶ βιωτικὴ πᾶσα ἐκείνη ἡ διάλεξις, καὶ πνευματικὸς λόγος οὐκ ἄν ποτε ταχέως εἰς τοιοῦτον εἰσέλθοι σύλλογον, οὐδεὶς ἀντείποι. ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' ἅπαν τοὐναντίον. πᾶσα μὲν γὰρ ἀκερδὴς διάλεξις ἀπελήλαται, πᾶσα δὲ πνευματικὴ διδασκαλία εἰσενήνεκται. καὶ γὰρ περὶ ψυχῆς τῆς ἡμετέρας διαλεγόμεθα, καὶ τῶν ψυχῇ προσηκόντων ἀγαθῶν, καὶ περὶ τῶν ἀποκειμένων ἐν τοῖς οὐρανοῖς στεφάνων, καὶ περὶ τῶν λαμπρῶν βραβίων, καὶ περὶ τῆς φιλανθρωπίας τοῦ Θεοῦ, καὶ περὶ τῆς προνοίας τοῦ παντός, καὶ περὶ τῶν ἄλλων ἁπάντων τῶν μάλιστα προσηκόντων ἡμῖν, καὶ τίνος ἕνεκεν γεγόναμεν, καὶ ποία μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἀπαντήσεται λῆξις*, καὶ ἐν τίσι τὰ ἡμέτερα ἔσται ποτέ. καὶ τοῦ συλλόγου τούτου οὐχ ἡμεῖς μόνον, ἀλλὰ καὶ προφῆται καὶ ἀπόστολοι κοινωνοῦσι· καὶ τὸ δὴ μεῖζον πάντων, αὐτὸς ὁ τῶν ἁπάντων δεσπότης μέσος ἡμῶν ἕστηκεν Ἰησοῦς. αὐτὸς γάρ φησιν, Ὅπου δύο, ἢ τρεῖς συνηγμένοι εἰσὶν εἰς τὸ ὄνομά μου, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. εἰ δὲ ὅπου δύο, ἢ τρεῖς εἰσι συνηγμένοι, ἐν μέσῳ αὐτῶν ἐστι, πολλῷ μᾶλλον ὅπου τοσοῦτοι μὲν ἄνδρες, τοσαῦται δὲ γυναῖκες, τοσοῦτοι δὲ πατέρες καὶ ἀπόστολοι καὶ προφῆται ἐν μέσῳ πάρεισι. διὸ καὶ ἡμεῖς μετὰ πλείονος προθυμίας φθεγγόμεθα τῆς ἐκεῖθεν ἀπολαύοντες ῥοπῆς, καὶ τὴν ὑπόσχεσιν ὑμῖν ἀποδώσομεν. ὑπεσχόμεθα γὰρ ἐρεῖν περὶ τοῦ ξύλου πρότερον, εἰ δι' ἐκείνου γέγονεν ἡ γνῶσις τοῦ καλοῦ καὶ τοῦ πονηροῦ τῷ Ἀδάμ, ἢ καὶ πρὸ τῆς βρώσεως εἶχε τὴν διάγνωσιν ταύτην. θαρροῦντες οὖν ἂν εἴποιμεν νῦν, ὅτι καὶ πρὸ τῆς βρώσεως ταύτην εἶχε τὴν διάγνωσιν. εἰ γὰρ μὴ ᾔδει τί μὲν καλόν, τί δὲ πονηρόν, καὶ αὐτῶν τῶν ἀλόγων ἀλογώτερος ἦν, καὶ τῶν δούλων ὁ δεσπότης ἀνοητότερος. πῶς γὰρ οὐκ ἄτοπον αἶγας μὲν καὶ πρόβατα εἰδέναι ποία μὲν αὐτοῖς βοτάνη χρήσιμος, ποία δὲ ὀλεθρία, καὶ μὴ πᾶσιν αὐτὰ ἐπιέναι τοῖς φαινομένοις, ἀλλ' ἔχειν τὴν διάγνωσιν, καὶ εἰδέναι σαφῶς, τί μὲν αὐτοῖς ἐπιβλαβές, τί δὲ ὠφέλιμον· τὸν δὲ ἄνθρωπον τοσαύτης ἀποστερεῖσθαι τῆς ἀσφαλείας; εἰ γὰρ μὴ τοῦτο εἶχεν, οὐδενὸς ἄξιος ἦν, ἀλλὰ καὶ εὐτελέστερος πάντων ὑπῆρχε. πολλῷ γὰρ αἱρετώτερον ἦν αὐτῷ ἐν σκότῳ διάγειν, καὶ τοὺς ὀφθαλμοὺς ἐκκεκόφθαι, καὶ τοῦ φωτὸς ἀπεστερῆσθαι, ἢ μὴ εἰδέναι τί μὲν καλόν, τί δὲ πονηρόν. ἐὰν γὰρ τοῦτο ἀνέλῃς ζωῆς τῆς ἡμετέρας, πᾶσαν τὴν ζωὴν ἡμῶν ἀνεῖλες, καὶ πολλῆς συγχύσεως τὰ πάντα ἐνέπλησας. τοῦτο γάρ ἐστιν, ᾧ τῶν ἀλόγων διαφέρομεν, καὶ ᾧ τῶν θηρίων ἀμείνους ἐσμέν, τῷ κακίαν καὶ ἀρετὴν εἰδέναι, καὶ τῷ ἐπιγινώσκειν τὸ πονηρόν, καὶ τὸ καλὸν μὴ ἀγνοεῖν. εἰ δὲ ἡμεῖς τοῦτο ἴσμεν νῦν, οὐχ ἡμεῖς δὲ μόνον, ἀλλὰ καὶ Σκύθαι, καὶ βάρβαροι, πολλῷ μᾶλλον ὁ ἄνθρωπος τότε ἐκεῖνος πρὸ τῆς ἁμαρτίας τοῦτο ἐγνώκει· καὶ οὐκ ἂν ὁ τοσαύταις τιμηθεὶς τιμαῖς, οἷς τῷ κατ' εἰκόνα, τῷ καθ' ὁμοίωσιν, καὶ ταῖς λοιπαῖς εὐλογίαις, τοῦ κεφαλαίου τῶν ἀγαθῶν ἔρημος ἔμεινε. τὸ γὰρ καλὸν καὶ πονηρὸν ἐκεῖνοι μόνοι ἀγνοοῦσιν, ὅσοι τῶν κατὰ φύσιν εἰσὶν ἀπεστερημένοι φρενῶν· ὁ δὲ Ἀδὰμ σοφίας πολλῆς ἐπεπλήρωτο, καὶ διαγνωστικὸς ἑκατέρων τούτων ἦν. καὶ ὅτι σοφίας ἐπεπλήρωτο πνευματικῆς, ἄκουσον αὐτῆς τὴν ἀπόδειξιν. Ἤγαγε,

Ματθ. ιη. κ.

Γεν. β. ιθ.

γρ. σύν

γρ. ἐκ τοιού
γένοιτο συλ
λόγων,

* ἡμῶν,

γρ. ἀποστόλ

γρ. ἀπο
αὐτῶν.

γρ. ἀπεστερῆ
σθαι,

γρ. [illegible]

γό, φησι, πρὸς αὐτὸν ὁ Θεὸς τὰ θηρία, ἰδεῖν τί καλέσει αὐτά· καὶ εἴ τι ἐκάλεσεν αὐτὰ Ἀδάμ, τοῦτο τὸ ὄνομα αὐτοῖς. ἐννόησον τοίνυν πόσης ἐπέπληστο σοφίας, τοσούτοις γένεσιν, οὕτω ποικίλοις, καὶ παντοδαποῖς, τοῖς τῶν κτηνῶν, τοῖς τῶν ἑρπετῶν, τοῖς τῶν πτηνῶν προσηγορίας ἐπιθεῖναι, καὶ πάσας κυρίας, δυνηθείς. οὕτω γὰρ ἀπεδέξατο τὴν θέσιν τῶν ὀνομάτων ὁ Θεός, ὡς μηκέτι κινῆσαι τὰς προσηγορίας ἐκείνας, μηδὲ ἁμαρτόντος αὐτοῦ θελῆσαι ἀνελεῖν τὰς ἐπωνυμίας αὐτῶν· Πᾶν γάρ, φησιν, ὃ ἐκάλεσεν αὐτὰ Ἀδάμ, τοῦτο ὄνομα αὐτοῖς. οὗτος γοῦν ἠγνόει τί μὲν καλόν, τί δὲ πονηρόν; καὶ πῶς ἂν ἔχοι λόγον; πάλιν ἤγαγε τὴν γυναῖκα πρὸς αὐτόν, καὶ ἰδὼν αὐτὴν εὐθέως ἐπέγνω τὴν τῆς φύσεως κοινωνόν· καὶ τί φησι; Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. ἐπειδὴ γὰρ πρὸ βραχέως ἦν ὁ Θεὸς παραγαγὼν αὐτῷ τὰ ζῶα ἅπαντα, δεῖξαι βουλόμενος ὁ Ἀδάμ, ὅτι τοῦτο τὸ ζῶον οὐχὶ ἓν ἐκείνων τῶν ζώων ἐστίν, εἶπε· τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. τινὲς δέ, ὅτι οὐχὶ τοῦτο μόνον αἰνίττεται, φασιν, ἀλλὰ καὶ τὸν τρόπον τῆς δημιουργίας, καὶ ὅτι οὐκ ἔσται πάλιν τῇ γυναικὶ τοιοῦτος τῆς γενέσεως τρόπος. διὰ τοῦτο εἶπε, τοῦτο νῦν· ὅπερ οὖν καὶ ἕτερος ἑρμηνευτὴς ἀκριβέστερον ἑρμηνεύων ἔλεγε, τοῦτο ἅπαξ, ὡσανεὶ ἔλεγε, νῦν μόνον γυνὴ γέγονεν ἐξ ἀνδρὸς μόνου· μετὰ δὲ ταῦτα οὐκέτι οὕτως ἔσται, ἀλλ' ἐξ ἀμφοτέρων. ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. ἐξ ὁλοκλήρου γὰρ τοῦ φυράματος ὁ Θεὸς λαβὼν κόμμα, οὕτω τὴν γυναῖκα ἔπλασεν, ἵνα κατὰ πάντα κοινωνῇ τῷ ἀνδρί. αὕτη, φησί, κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς ἐλήφθη. ὁρᾷς πῶς καὶ τὴν προσηγορίαν διὰ τοῦτο ἐπιτίθησιν, ἵνα ἡ προσηγορία διδάσκῃ τὴν κοινωνίαν τῆς φύσεως, καὶ ἡ διδασκαλία τῆς κατὰ τὴν φύσιν κοινωνίας, καὶ ὁ τῆς δημιουργίας τρόπος ὑπόθεσις ἀγάπης ᾖ διηνεκοῦς, καὶ σύνδεσμος ὁμονοίας; Εἶτα τί φησιν; Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ. οὐκ εἶπεν ἁπλῶς, ἑνωθήσεται, ἀλλά, κολληθήσεται, τὴν ἀκριβῆ συνάφειαν δηλῶν. καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. ὁ τοσαῦτα οὖν εἰδώς, εἰπέ μοι, οὐκ ᾔδει τί μὲν καλόν, τί δὲ πονηρόν; καὶ πῶς ἂν ἔχοι λόγον; Εἰ γὰρ μὴ ᾔδει τί μὲν καλόν, τί δὲ πονηρὸν πρὸ τοῦ φαγεῖν ἀπὸ τοῦ ξύλου, ἀλλὰ μετὰ τὴν βρῶσιν ἔμαθεν, ἡ ἁμαρτία γέγονεν αὐτῷ σοφίας διδάσκαλος, καὶ ὁ ὄφις οὐκέτι ἀπατεών, ἀλλὰ σύμβουλος τῶν συμφερόντων κατέστη, ἐκ θηρίου ποιήσας αὐτὸν ἄνθρωπον. ἀλλὰ μὴ γένοιτο. οὐκ ἔστι ταῦτα οὕτως, οὐκ ἔστιν. Εἰ γὰρ μὴ ᾔδει τί μὲν καλόν, τί δὲ πονηρόν, πῶς καὶ τὴν ἐντολὴν ἐλάμβανεν; οὐδεὶς γὰρ δίδωσι νόμον τῷ μὴ εἰδότι, ὅτι κακὸν ἡ παράβασις· ὁ δὲ Θεὸς καὶ ἔδωκε, καὶ παραβάντα ἐκόλασεν· οὐκ ἂν ἀμφότερα ταῦτα ποιήσας, εἰ μὴ γνωστικὸν αὐτὸν ἐξ ἀρχῆς ἐποίησεν ἀρετῆς καὶ κακίας. ὁρᾷς πῶς πάντοθεν ἡμῖν ἀποδέδεικται, ὅτι οὐ μετὰ τὴν βρῶσιν τοῦ ξύλου τὸ καλὸν ᾔδει καὶ τὸ πονηρόν, ἀλλὰ καὶ πρὸ τούτου ἠπίστατο; Ταῦτα οὖν ἅπαντα, ἀγαπητοί, διακρατοῦμεν, καὶ οἴκαδε ἀναχωρήσαντες διπλῆν παραθῶμεν τράπεζαν, τὴν τῶν σιτίων, καὶ τὴν τῆς ἀκροάσεως· καὶ λεγέτω μὲν ἀνὴρ τὰ εἰρημένα, μανθανέτω δὲ γυνή, ἀκουέτω δὲ καὶ παιδία, μὴ ἀποστερείσθωσαν δὲ μηδὲ οἰκέται τῆς ἀκροάσεως ταύτης. ἐκκλησίαν ποίησόν σου τὴν οἰκίαν. καὶ γὰρ καὶ ὑπεύθυνος εἶ καὶ τῆς τῶν παιδίων, καὶ τῆς τῶν οἰκετῶν σωτηρίας. καὶ καθάπερ ἡμεῖς ὑπὲρ ὑμῶν ἀπαιτούμεθα λόγον, οὕτω καὶ ἕκαστος ὑμῶν καὶ ὑπὲρ οἰκέτου, καὶ ὑπὲρ γυναικός, καὶ ὑπὲρ παιδὸς ἀπαιτεῖται εὐθύνας. ἀπὸ γοῦν τῶν τοιούτων διηγημάτων ἥδιστα διαδέξεται ἡμᾶς τὰ ὀνείρατα, καὶ φαντασίας ἀπηλλαγμένα ἁπάσης. οἷα γὰρ μεθ' ἡμέραν ἡ ψυχὴ μελετᾷν εἴωθε, τοιαῦτα καὶ καθ' ὕπνους φαντάζεται· καὶ ἐὰν τὰ καθ' ἑκάστην ἡμέραν φυλάττωμεν λεγόμενα, οὐ πολλοῦ δεηθησόμεθα πόνου. καὶ γὰρ σαφέστερος ὁ μετὰ ταῦτα λόγος ὑμῖν ἔσται, καὶ ἡμῖν προθυμοτέρα ἡ διδασκαλία. ἵν' οὖν γένηταί τι πλέον καὶ ἡμῖν καὶ ὑμῖν, ἡμῖν μὲν ἀπὸ τῆς διδασκαλίας, ὑμῖν

Γεν. c. κγ.

Γεν. c. κδ.

ὑμῖν δὲ ἀπὸ τῆς ἀκροάσεως, μετὰ τῆς σωματικῆς τραπέζης καὶ ἡ τράπεζα ὑμῖν παρατιθέσθω ἡ πνευματική. καὶ γὰρ καὶ ἀσφάλεια καὶ κόσμος ἐκεῖνα ὑμῖν γενήσεται, καὶ τὰ τῆς παρούσης ζωῆς πρὸς τὸ συμφέρον ὁ Θεὸς κατευθυνεῖ, καὶ ῥᾷστα ὑμῖν ἔσται πάντα καὶ εὔκολα. Ζητεῖτε γάρ, φησι, πρῶτον τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ πάντα ταῦτα προστεθήσεται ὑμῖν. ζητῶμεν οὖν ταύτην, ἀγαπητοί, ἵνα καὶ τῶν ἐνταῦθα, καὶ τῶν ἐκεῖ ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ δόξα, τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. ϛ. λγ.

Λογ. ζ. ΔΙΑ ΤΙ ΞΥΛΟΝ ΓΝΩΣΤΟΝ ΚΑΛΟΥ ΚΑΙ ΠΟνηροῦ καλεῖται τὸ ξύλον, καὶ τί ποτέ ἐστι, Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.

Γεν. β. θ.
Λουκ. κγ. μγ.

ΠΟλλὰ παρεκάλεσα χθὲς τὴν ὑμετέραν ἀγάπην μεμνῆσθαι τῶν εἰρημένων, καὶ διπλῆν ἐν ἑσπέρᾳ παραθεῖναι τὴν τράπεζαν, τὴν τῶν βρωμάτων, καὶ τὴν ἀπὸ τῶν λόγων προστιθέντας ἑστίασιν. τί οὖν; ἐποιήσατε τοῦτο, καὶ παρεθήκατε διπλῆν τὴν τράπεζαν; οἶδα ὅτι ἐποιήσατε· καὶ οὐκ ἐκείνης μόνον, ἀλλὰ καὶ ταύτης μετέσχετε. οὐ γὰρ δὴ περὶ τὴν ἐλάττω σπουδάσαντες, τῆς βελτίονος ἐμέλλετε ἀμελεῖν. καὶ γὰρ βελτίων ἐκείνης αὕτη. τὴν μὲν γὰρ μαγείρων συνέθηκαν χεῖρες, ταύτην δὲ προφητῶν παρεσκεύασαν γλῶσσαι· καὶ ἡ μὲν τὰ ἀπὸ τῆς γῆς ἔχει βλαστήματα, ἡ δὲ τὸν καρπὸν τὸν ἀπὸ τοῦ πνεύματος· καὶ ταύτης μὲν τῆς τραπέζης πρὸς φθορὰν ἐπείγεται τὰ σιτία, τὰ δὲ ἐκείνης πρὸς ἀφθαρσίαν· καὶ αὕτη μὲν τὴν παροῦσαν ἡμῶν συγκροτεῖ ζωήν, ἐκείνη δὲ πρὸς τὴν μέλλουσαν ἡμᾶς ὁδηγεῖ. ὅτι μὲν οὖν παρεθήκατε μετ' ἐκείνης καὶ ταύτην, οἶδα, οὐκ ἀκόλουθον ὑμῶν ἐρωτήσας, οὐκ οἰκέτην, ἀλλὰ τὸν τούτων σαφέστερον ἄγγελον. τίνα δὴ τοῦτον; τὸν κρότον τῶν εἰρημένων, τὸν ἔπαινον τὸν ἐπὶ τῇ διδασκαλίᾳ. ἐπειδὴ γὰρ εἶπον χθές, ὅτι ἕκαστος ὑμῶν ποιησάτω τὴν οἰκίαν αὐτοῦ ἐκκλησίαν, μέγα ἀνακεκράγατε, δηλοῦντες τὴν ἡδονὴν τὴν ἐπὶ τοῖς εἰρημένοις. ὁ δὲ μεθ' ἡδονῆς ἀκούων τῶν λεγομένων, οὗτος καὶ πρὸς τὴν τῶν ἔργων ἐπίδειξιν παρεσκεύασται. διὰ ταῦτα καὶ σήμερον προθυμότερον ἀπεδυσάμην πρὸς τὴν διδασκαλίαν. ἀλλὰ διεγέρθητε καὶ νῦν. οὐδὲ γὰρ τὸν λέγοντα διεγηγερμένον εἶναι χρὴ μόνον, ἀλλὰ καὶ τοὺς ἀκούοντας ἐναγωνίους εἶναι χρή, καὶ τοὺς ἀκούοντας μᾶλλον, ἢ τὸν λέγοντα. ἡμεῖς μὲν γὰρ μίαν ἔχομεν σπουδήν, καταβαλεῖν τὰ δεσποτικὰ χρήματα· ὑμῖν δὲ πλείων ὁ πόνος, ὥστε καὶ ὑποδέξασθαι αὐτά, καὶ μετὰ πολλῆς τηρῆσαι τῆς ἀσφαλείας. ἐπίθετε τοίνυν μετὰ τὴν ἀκρόασιν τὰ κλεῖθρα ταῖς θύραις, τοὺς μοχλοὺς καὶ λογισμοὺς τοὺς φοβερούς, καθάπερ τινὰς φύλακας, πανταχόθεν περιστήσατε τῇ ψυχῇ. καὶ γὰρ ἀναίσχυντος ὁ κλέπτης ἐστί, καὶ διαπαντὸς ἀγρυπνεῖ, καὶ συνεχῶς ἐπιτίθεται, κἂν πολλάκις ἀποτύχῃ, πολλάκις ἐπιχειρεῖ. ἔστωσαν τοίνυν φοβεροὶ οἱ φύλακες. κἂν ἴδωσι τὸν διάβολον ἐλθόντα καὶ βουλόμενον ἁρπάσαι τι τῶν καταβληθέντων, μετὰ πολλῆς αὐτὸν ἀπελαυνέτωσαν τῆς κραυγῆς. κἂν φροντίδες βιωτικαὶ ἐπίωσι, κωλυέτωσαν· κἂν λήθη παρὰ τῆς φύσεως διενοχλῇ, τῇ μελέτῃ τὴν μνήμην διεγειρέτωσαν. οὐ γάρ ἐστι μικρὸς ὁ κίνδυνος, ἀπολέσαι χρήματα δεσποτικά. εἰ γὰρ οἱ ταῦτα τὰ χρήματα ὑποδεχόμενοι, ἐπειδὰν διασκορπίσωσι τὰ πιστευθέντα, θανάτῳ κολάζονται πολλάκις· οἱ τὰ πολλῷ τιμιώτερα τούτων ὑποδεξάμενοι λόγια, εἶτα ἀπολέσαντες, ποίαν οὐχ ὑποστήσονται τιμωρίαν; ἐπὶ μὲν τούτων τῶν χρημάτων φυλακῆς εἰσιν ὑπεύθυνοι μόνον οἱ δεχόμενοι, ἕτερος δὲ οὐδενός. ὅσα γὰρ ὑπεδέξαντο, ἐπεδείξαντο, τοσαῦτα αὐτοὺς καταθεῖναι πᾶσα ἀνάγκη, καὶ πλέον οὐδεὶς οὐδὲν ἀπαιτεῖται παρ' αὐτῶν· ἐπὶ δὲ τῶν τοῦ Θεοῦ λογίων οὐχὶ φυλακῆς ἐσμεν ὑπεύθυνοι μόνον, ἀλλὰ καὶ ἐργασίας πολλῆς. οὐδὲ γὰρ ἅπερ ἐδεξάμεθα μόνον ἀποδοῦναι κελευόμεθα, ἀλλὰ καὶ διπλᾶ ταῦτα τῷ δεσπότῃ προσενεγκεῖν. καίτοι εἰ καὶ φυλάξαι προσήκει μόνον, πολλῆς ἀγωνίας καὶ σπουδῆς ἐδεῖτο τὸ πρᾶγμα· ὅταν δὲ καὶ πλεονάσαι αὐτὰ προστάττῃ ἡμῖν ὁ δεσπότης, ἐννόησον ὅσου πόνου καὶ φροντίδος ἡμῖν δεῖ τοῖς πιστευθεῖσι. διά τοι τοῦτο πιστευθείς τις πέντε τάλαντα, οὐχ ὅσα ἐνεπιστεύθη, προσήνεγκεν, ἀλλὰ καὶ ἕτερα τοσαῦτα. ἐκεῖνα μὲν γὰρ τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἦν· ἔδει δὲ καὶ τὸν οἰκέτην τὴν ἑαυτοῦ σπουδὴν ἐπιδείξασθαι. ὁμοίως καὶ ὁ τὰ δύο τάλαντα πιστευθεὶς εἰργάσατο ἄλλα δύο, καὶ τούτου ἕνεκα ἠξιώθη τῆς αὐτῆς τιμῆς παρὰ τοῦ ἰδίου δεσπότου. ἄλλος δέ τις πάλιν ἓν τάλαντον πιστευθεὶς, καὶ προσενεγκὼν αὐτὸ ὅπερ ἐπιστεύθη, οὐ μειώσας, οὐκ ἐλαττώσας τὴν παρακαταθήκην, οὐκ ἐξ ἡμισείας ἀποδοὺς, ἐπειδὴ μὴ τὴν πραγματείαν ἐπεδείξατο, μηδὲ διπλῆν προσήνεγκε τὸ πιστευθὲν, τὴν ἐσχάτην ἔδωκε δίκην· καὶ μάλα εἰκότως. εἰ γὰρ ἐβουλόμην, φησὶν, αὐτὰ φυλάττεσθαι μόνον, καὶ ἄλλην μὴ γενέσθαι ἐμπορείαν ἐν αὐτοῖς, οὐκ ἂν αὐτὰ ταῖς τῶν δούλων ἔδωκα χερσί. σὺ δέ μοι θέα τὴν φιλανθρωπίαν τοῦ δεσπότου. προσήνεγκεν ὁ τὰ πέντε τάλαντα πιστευθεὶς ἄλλα πέντε, καὶ ὁ τὰ δύο ἄλλα τοσαῦτα· καὶ τῶν αὐτῶν ἑκάτερος ἀπήλαυσεν ἀμοιβῶν. ὥσπερ γὰρ ἐκείνῳ εἶπεν, Εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· οὕτω καὶ τῷ τὰ δύο προσενεγκόντι φησὶν, Εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω. ἡ πρόσοδος οὐχ ἡ αὐτὴ, καὶ ὁ μισθὸς ὁ αὐτός, οὕτω καὶ τοῦτον τῆς αὐτῆς ἠξίωσε τιμῆς. τί δήποτε; ὅτι οὐ τῇ ποσότητι τῶν προσενεχθέντων, ἀλλὰ τῇ δυνάμει τῶν ἐργαζομένων προσεῖχεν ὁ Θεός. ἐκείνων μὲν γὰρ ἕκαστος τὰ κατὰ δύναμιν ἐπεδείξατο. τὸν πλεονασμὸν δὲ τῶν προσενεχθέντων καὶ τὴν ἐλάττωσιν οὐχ ἡ ῥαθυμία ἐκείνου, οὐδὲ ἡ σπουδὴ τούτου, ἀλλ' ἡ διαφορὰ τῆς παρακαταθήκης ἐποίησεν. ἐκεῖνος πέντε ἔλαβε, καὶ πέντε ἄλλα προσήνεγκεν· οὗτος δύο ἔλαβε, καὶ δύο προσήνεγκε, καὶ κατ' οὐδὲν ἠλαττώθη ἐν τῷ τῆς σπουδῆς λόγῳ. καὶ γὰρ καὶ οὗτος διπλᾶ, κἀκεῖνος διπλᾶ τὰ πιστευθέντα εἰργάσατο. ὁ δὲ τὸ ἓν λαβὼν ἁπλῆν προσήνεγκε· διὸ καὶ ἐκολάζετο. ἠκούσατε τοίνυν πόση τιμωρία κεῖται τοῖς μὴ πραγματευομένοις [περὶ] τὰ χρήματα τὰ δεσποτικά; οὐκοῦν καὶ φυλάξωμεν, καὶ πραγματευσώμεθα, καὶ πολλὴν ἐπιδειξώμεθα περὶ αὐτὰ τὴν ἐμπορείαν. μὴ λεγέτω τις, ἰδιώτης εἰμὶ, μαθητής εἰμι, λόγον οὐκ ἔχω διδασκαλίας ἀμαθὴς ὢν καὶ οὐδενὸς ἄξιος. κἂν γὰρ ἰδιώτης ἦς, κἂν μαθητὴς, κἂν ἓν τάλαντον πιστευθῇς, ἐργάζου τὸ ἐγχειρισθὲν, καὶ τὸν αὐτὸν τῷ διδάσκοντι λήψῃ μισθόν.

Ἀλλ' ὅτι μὲν φυλάττετε τὰ εἰρημένα καὶ μετὰ πολλῆς τῆς ἀκριβείας κατέχετε, πάνυ πέπεισμαι. ἵνα δὲ μὴ εἰς τοῦτο τὸν λόγον ἅπαντα ἀναλώσωμεν, φέρε, καὶ τὰ ἑξῆς τῶν χθὲς ἡμῖν λεχθέντων προσθῶμεν ἐπὶ τῆς ὑμετέρας ἀγάπης, τοῦτον τῆς φυλακῆς ὑμῖν ἀποδιδόντες τὸν μισθόν. ὁ γὰρ τὰ πρότερα πιστευθεὶς καὶ τηρήσας, ἄξιος ἂν εἴη καὶ ἕτερα πάλιν λαβεῖν. τί οὖν ἦν τὸ διήγημα τὸ χθὲς ἡμῖν προτεθέν; περὶ τοῦ ξύλου ὁ λόγος ἦν· καὶ ἐδείξαμεν, ὅτι ᾔδει ὁ ἄνθρωπος τὸ καλὸν καὶ τὸ πονηρὸν, πρὶν ἢ φαγεῖν ἀπὸ τοῦ ξύλου, καὶ πολλῆς σοφίας ἐπεπλήρωτο, ἀφ' ὧν ἐπέθηκε τὰ ὀνόματα τοῖς θηρίοις, ἀφ' ὧν ἐπέγνω τὴν γυναῖκα τὴν ἑαυτοῦ, ἀφ' ὧν εἶπε, τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου, ἀφ' ὧν περὶ τοῦ γάμου διελέχθη καὶ περὶ παιδοποιίας καὶ συζυγίας καὶ πατρὸς καὶ μητρὸς, ἀφ' ὧν ἐντολὴν ἔλαβεν. οὐδὲ γὰρ ἐντολὴν δίδωσί τις καὶ νόμον τοῦ πρακτέου καὶ τοῦ μὴ πρακτέου τῷ τὸ καλὸν καὶ πονηρὸν ἀγνοοῦντι. σήμερον ἀναγκαῖον εἰπεῖν τίνος ἕνεκεν, εἰ μὴ παρὰ τοῦ ξύλου τὴν γνῶσιν ὁ ἄνθρωπος ἔλαβε, γνωστὸν καλοῦ καὶ πονηροῦ τὸ ξύλον εἴρηται. οὐ γὰρ μι-

κρὸν

Ματθ. κε.

γρ. προσήκει το

γρ. δεσπότου

ἴσ. ἴσως

γρ. τῇ πραγματείᾳ

ἴσ. τοῦτον

γρ. ἀμαθὴς

γρ. σώματα

γρ. τοῦτον

γρ. ἀναλίσκωμεν.

κεῖν τὸ μαθεῖν, διὰ τί ταύτην τὴν προσηγορίαν ἔχει τὸ ξύλον. καὶ γὰρ ὁ διάβολος εἶ-
Γεν. γ. γ. πεν· Ἡ ἂν ἡμέρᾳ φάγητε ἀπὸ τοῦ ξύλου, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί, καὶ ἔσεσθε
ὡς θεοί, γινώσκοντες καλὸν καὶ πονηρόν. πῶς οὖν σὺ λέγεις, φησίν, ὅτι οὐκ ἐνέθηκε γνῶσιν κα-
λοῦ καὶ πονηροῦ; τίς γάρ, εἰπέ μοι, ἐνέθηκεν; ἆρα ὁ διάβολος; ναί, φησιν, εἰπών, ἔσεσθε
ὡς θεοὶ γινώσκοντες καλὸν καὶ πονηρόν. εἶτα τοῦ ἐχθροῦ μοι φέρεις τὴν μαρτυρίαν καὶ τοῦ ἐπι-
βούλου; καίτοι οὗτος εἶπεν, ὅτι καὶ θεοὶ ἔσεσθε. ἆρα οὖν καὶ θεοὶ ἐγένοντο; ὥσπερ οὖν οὐκ ἐγέ-
νοντο θεοί, οὕτως οὔτε γνῶσιν καλοῦ καὶ πονηροῦ τότε ἔλαβον. ψεύστης γάρ ἐστιν ἐκεῖνος, καὶ
Ἰωάν. η. μδ. οὐδὲν ἀληθὲς φθέγγεται. Ἐν γὰρ τῇ ἀληθείᾳ, φησίν, οὐκ ἔστηκε. μὴ δὴ τοῦ ἐχθροῦ παρα-
γάγωμεν τὴν μαρτυρίαν, * ἀλλ' ἴδωμεν ἀπ' αὐτῶν τῶν πραγμάτων, τίνος ἕνεκεν
γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται τὸ ξύλον. καὶ πρότερον, εἰ δοκεῖ, τί ποτέ ἐστι καλὸν καὶ πο-
νηρὸν ἐπισκεψώμεθα. τί οὖν ἐστι καλόν; ἡ ὑπακοή. τί δὲ πονηρόν; ἡ παρακοή. καὶ τέως
″ἡμῖν, ἵνα μὴ πλανώμεθα περὶ τὴν φύσιν τοῦ καλοῦ καὶ τοῦ πονηροῦ, ἀπὸ τῶν γραφῶν ταῦ-
τα διακριβούσθω. ὅτι γὰρ τοῦτό ἐστι τὸ καλὸν καὶ πονηρόν, ἄκουσον τί φησιν ὁ προφήτης. Τί
καλόν, καὶ τί Κύριος ὁ Θεὸς ἐκζητεῖ παρὰ σοῦ; εἰπὲ τί καλόν. ἀγαπᾷν Κύριον τὸν Θεόν
Ἱερ. β. ιγ. σου. ὁρᾷς ὅτι ἡ ὑπακοὴ καλόν; ἐκ γὰρ τῆς ἀγάπης ἡ ὑπακοή. καὶ πάλιν, Δύο πονη-
ρά, φησιν, ἐποίησεν ὁ λαός μου οὗτος· ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν ἑ-
αυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ ″συνέχειν. ὁρᾷς ὅτι πονηρὸν ἡ
παρακοὴ καὶ ἡ ἐγκατάλειψις; τέως οὖν τοῦτο τηρῶμεν, ὅτι καλὸν ἡ ὑπακοή, καὶ ″πονηρὸν
ἡ παρακοή, καὶ οὕτως εἰσόμεθα κἀκεῖνο. καὶ γὰρ διὰ τοῦτο γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται
τὸ ξύλον, ἐπειδὴ ἡ ἐντολή, ἡ γυμνάζουσα * τὴν ὑπακοὴν καὶ τὴν παρακοήν, περὶ τὸ ξύλον
ἐγένετο. ᾔδει μὲν γὰρ καὶ πρὸ τούτου ὁ Ἀδάμ, ὅτι καλὸν μὲν ἡ ὑπακοή, πονηρὸν δὲ ἡ παρακοή·
ἔμαθε δὲ ὕστερον σαφέστερον δι' αὐτῆς τῶν πραγμάτων τῆς πείρας· * ὥσπερ γὰρ καὶ ὁ Κάϊν
ᾔδει μέν, ὅτι κακὸν ἡ ἀδελφοκτονία, καὶ πρὶν ἢ σφάξαι τὸν ἀδελφὸν αὐτοῦ (ὅτι γὰρ ᾔδει πονη-
Γεν. δ. η. ρὸν ὂν τὸ πρᾶγμα, ἄκουσον τί φησι. Δεῦρο, ἐξέλθωμεν εἰς τὸ πεδίον. καίτοι τίνος ἕνεκεν
ἕλκεις εἰς τὸ πεδίον ἀπὸ τῶν πατρικῶν * ἀγκαλῶν τὸν ἀδελφόν; τί δὲ καθίσας ἐν ἐρη-
μίᾳ; τί δὲ γυμνὸν ποιεῖς τῆς κηδεμονίας; τί πόρρω τῆς πατρικῆς ἀπάγεις ὄψεως; τί δια-
κρύπτεις τὴν τόλμαν, εἰ μὴ δέδοικας τὴν ἁμαρτίαν; τί δὲ καὶ μετὰ τὸ ποιῆσαι τὸν φόνον,
πάλιν ἐρωτώμενος δυσχεραίνεις καὶ ψεύδῃ; τοῦ γὰρ Θεοῦ εἰπόντος, Ποῦ Ἄβελ ὁ ἀδελφός
σου, εἶπας· Μὴ φύλαξ εἰμὶ τοῦ ἀδελφοῦ μου ἐγώ; ὅθεν δῆλον ὅτι σαφῶς εἰδὼς ἦλθεν
ἐπὶ τὴν ἐργασίαν ″ταύτην) ὥσπερ οὖν οὗτος ᾔδει μὲν καὶ πρὸ τῆς πείρας ὅτι κακὸν ὁ φόνος,
ἔμαθε δὲ σαφέστερον καὶ μετὰ ταῦτα, ὅτε τὴν τιμωρίαν ἐδέξατο, καὶ ἤκουσε, Στένων καὶ τρέμων ἔσῃ
ἐπὶ τῆς γῆς· οὕτω καὶ ὁ πατὴρ τούτου εἶχε τοῦ καλοῦ καὶ τοῦ κακοῦ καὶ πρὸ τοῦ φαγεῖν τὴν γνῶσιν,
εἰ καὶ μὴ οὕτω σαφῆ, ὡς μετὰ τὴν τοῦ ξύλου βρῶσιν. τί λέγω; τὰ γὰρ κακὰ πάντες οἴδαμεν
καὶ πρὶν ἢ πρᾶξαι, σαφέστερον δὲ μανθάνομεν μετὰ τὸ πρᾶξαι· πολλῷ δὲ σαφέστερον, ὅταν
κολαζώμεθα. οὕτω καὶ ὁ Κάϊν ᾔδει μέν, ὅτι κακὸν ἡ ἀδελφοκτονία καὶ πρὸ τούτου· ἔμαθε δὲ
ὕστερον διὰ τῆς κολάσεως σαφέστερον· ἐπεὶ καὶ ἡμεῖς οἴδαμεν ὅτι καλὸν ἡ ὑγίεια καὶ φορτικὸν
ἡ νόσος καὶ πρὸ τῆς πείρας· πολλῷ δὲ μᾶλλον, ὅταν εἰς τὴν νόσον ἐμπέσωμεν, ἀμφοτέρων
τὴν διαφορὰν γινώσκομεν. τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ Ἀδὰμ ᾔδει μὲν ὅτι καλὸν ἡ ὑπακοή,
καὶ κακὸν ἡ παρακοή· ὕστερον δὲ σαφέστερον ἔμαθεν, ὅτι τοῦ ξύλου γευσάμενος ἐξεβλήθη τοῦ
παραδείσου, καὶ τῆς μακαριότητος ἐκείνης ἐξέπεσεν. ἐπεὶ οὖν εἰς τιμωρίαν ἐνέπεσεν, ὅτι
τοῦ Θεοῦ κωλύσαντος ἐγεύσατο τοῦ ξύλου, ἡ τιμωρία αὐτὸν σαφέστερον ἐπαίδευσε διὰ τῆς πείρας,
ὅσον κακὸν Θεοῦ παρακούειν, καὶ ὅσον ὑπακούειν καλόν· διὰ τοῦτο γνωστὸν καλοῦ καὶ πονηροῦ τὸ ξύ-
λον καλεῖται. καὶ τίνος ἕνεκεν, εἰ μὴ αὐτὴ ἡ φύσις τοῦ ξύλου τὴν γνῶσιν εἶχε τοῦ καλοῦ καὶ τοῦ
πονηροῦ, ἀλλ' ἐκ τῆς τιμωρίας τῆς διὰ τὴν παρακοὴν τὴν ἐπὶ τῷ ξύλῳ σαφέστερον τοῦτο

ἔμαθεν ὁ ἄνθρωπος, γνωστὸν καλοῦ καὶ πονηροῦ τὸ ξύλον καλεῖται; ὅτι ἔθος τῇ γραφῇ τοῦτο, ἐπειδὰν τὸ πρᾶγμα γένηται, ἢ ἐν τόποις, ἢ ἐν καιροῖς, ἀπὸ τῶν πραγμάτων καλεῖν καὶ τοὺς τόπους καὶ τοὺς καιρούς. καὶ ἵνα σαφέστερον γένηται τὸ λεγόμενον, ἐπὶ παραδείγματος ὑμῖν τοῦτο ποιήσω φανερόν. ὁ Ἰσαάκ ποτε φρέατα ὤρυξε· ταῦτα τὰ φρέατα ἐπεχείρησαν οἱ γείτονες διαφθεῖραι. ἐντεῦθεν ἐγένετό τις ἀπέχθεια, καὶ ἐκάλεσε τὸ φρέαρ ἔχθραν· οὐκ ἐπειδὴ αὐτὸ τὸ φρέαρ ἤχθραινεν, ἀλλ' ἐπειδὴ περὶ αὐτὸ ἡ ἔχθρα γέγονεν. οὕτω καὶ τὸ ξύλον, γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται, οὐκ ἐπειδὴ αὐτὸ εἶχε γνῶσιν, ἀλλ' ἐπειδὴ περὶ αὐτὸ ἐγένετο ὁ ἔλεγχος τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ πονηροῦ. πάλιν ὤρυξε φρέαρ ὁ Ἀβραάμ, ἐπεβούλευσεν ὁ Ἀβιμέλεχ· συνῆλθον, κατέλυσαν τὴν ἔχθραν, καὶ ὅρκους δόντες ἀλλήλοις, ἐκάλεσαν τὸ φρέαρ ἐκεῖνο φρέαρ ὅρκου, οὐκ ἐπειδὴ τὸ φρέαρ ὤμοσεν, ἀλλ' ἐπειδὴ περὶ τὸ φρέαρ ὁ ὅρκος ἐγένετο. ὁρᾷς πῶς οὐχὶ τῶν πραγμάτων οἱ τόποι αἴτιοι γίνονται, εἰ καὶ τῶν πραγμάτων λαμβάνουσι τὰ ὀνόματα; καὶ γὰρ πολλὴ ἀνάγκη παραγαγεῖν παραδείγματα, ὥστε σαφέστερον γενέσθαι τὸ λεγόμενον. πάλιν εἶδεν ὁ Ἰακὼβ ἀγγέλους ἀπαντήσοντας αὐτῷ καὶ παρεμβολὴν Θεοῦ, καὶ ἐκάλεσε τὸν τόπον παρεμβολήν. καίτοι οὐχ ὁ τόπος ἦν ἡ παρεμβολή, ἀλλ' ὅμως ἐκλήθη ὁ τόπος παρεμβολή, ἐπειδὴ ἐκεῖ εἶδε τὴν παρεμβολήν. ὁρᾷς πῶς ἀπὸ τοῦ πράγματος τοῦ συμβάντος ἐν τῷ τόπῳ τὸν τόπον ὠνόμασεν; οὕτω καὶ τὸ ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται, οὐκ ἐπειδὴ αὐτὸ εἶχε γνῶσιν καλοῦ καὶ πονηροῦ, ἀλλ' ἐπειδὴ περὶ αὐτὸ ἐγένετο ἡ ἀπόδειξις* τοῦ καλοῦ καὶ τοῦ πονηροῦ, καὶ ἡ γυμνασία τῆς παρακοῆς καὶ τῆς ὑπακοῆς. πάλιν εἶδε τὸν Θεὸν ὁ Ἰακώβ, ὡς ἰδεῖν ἀνθρώπῳ δυνατὸν ἦν, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Εἶδος Θεοῦ. διὰ τί; ὅτι εἶδον τὸν Θεόν, φησί. καὶ μὴν οὐχ ὁ τόπος εἶδος Θεοῦ ἦν, ἀλλ' ἀπὸ τοῦ πράγματος τοῦ συμβάντος ἐν τῷ τόπῳ ἡ προσηγορία γέγονεν. ὁρᾷς διὰ πόσων ἀποδέδεικται, ὅτι ἔθος τῇ γραφῇ ἀπὸ τῶν πραγμάτων τῶν συμβαινόντων ἐν τοῖς τόποις αὐτοὺς τοὺς τόπους καλεῖν; τὸ αὐτὸ δὲ τοῦτο καὶ ἐπὶ καιρῶν ποιεῖν εἴωθεν.

γρ. ἐγχῶσαι

γρ. αὐτὸ

* γρ. τῆς γνώσεως

Γεν.15.18.

Ἀλλ' ἵνα μὴ κατατείνωμεν ὑμᾶς, φέρε, μεταγάγωμεν τὸν λόγον ἀπὸ τῶν σκυθρωποτέρων ἐπὶ τὰ φαιδρότερα. καὶ γὰρ ἔκαμεν ὑμῶν ἡ διάνοια τοῖς λεπτοτέροις νοήμασιν ἐνδιατρίβουσα· διόπερ αὐτὴν ἀναπαῦσαι καλόν, τοῖς σαφεστέροις διαιτῶντας νοήμασιν. ἐπανίωμεν τοίνυν ἐπὶ τὸ σωτήριον τοῦ σταυροῦ ξύλον. τοῦτο γάρ, τοῦτο πάντα ἀνέλυσε τὰ δεινά, ὅσα ἐκεῖνο εἰσήγαγε· μᾶλλον δὲ οὐκ ἐκεῖνο εἰσήγαγε τὰ δεινά, ἀλλ' ὁ ἄνθρωπος ἅπαντα, ἅπερ μετὰ πολλῆς ὕστερον ἀνέλυσε τῆς περιουσίας ὁ Χριστός, πολλῷ μείζονα αὐτῶν εἰσαγαγὼν ἀγαθά. διὰ τοῦτο ὁ Παῦλός φησιν· Οὗ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις, τουτέστι, μεῖζον τὸ δῶρον τοῦ ἁμαρτήματος. διὰ τοῦτο πάλιν φησίν· Οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα· οὐχ ὅσον ἥμαρτεν ὁ ἄνθρωπος, τοσοῦτον ἐχαρίσατο ὁ Θεός· οὐχ ὅση ἡ ζημία, τοσαύτη καὶ ἡ πραγματεία· οὐχ ὅσον τὸ ναυάγιον, τοσαύτη καὶ ἡ ἐμπορεία· ἀλλὰ πλείω τὰ ἀγαθὰ τῶν κακῶν· καὶ εἰκότως. τὰ μὲν γὰρ κακὰ δοῦλος εἰσήγαγε, καὶ ἐλάττονα ἦν· τὰ δὲ ἀγαθὰ δεσπότης ἐχαρίσατο, διὸ καὶ πλείονα ἦν. διὰ τοῦτό φησιν, Οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα. εἶτα ἐπάγει καὶ τὴν διαφοράν. Τὸ μὲν γὰρ κρίμα ἐξ ἑνὸς εἰς κατάκριμα, τὸ δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα. ἀσαφέστερον τὸ εἰρημένον· οὐκοῦν ἀνάγκη τὴν λύσιν ἐπαγαγεῖν. τὸ μὲν γὰρ κρίμα, τουτέστιν, ἡ κόλασις, ἡ τιμωρία, ὁ θάνατος ἐξ ἑνός, τουτέστιν, ἁμαρτήματος (μία γάρ, φησιν, ἁμαρτία τοσοῦτον εἰσήγαγε κακόν) τὸ δὲ χάρισμα οὐκ ἐκείνην μόνην τὴν ἁμαρτίαν ἔλυσεν, ἀλλὰ καὶ ἑτέρας πολλάς. διὰ τοῦτο λέγει, τὸ δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα. διὰ τοῦτο καὶ ὁ Ἰωάννης ὁ βαπτιστὴς ἐβόα, Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, οὐχὶ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ Ἀδάμ, ἀλλ', ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. εἶδες πῶς οὐχ ὡς τὸ παράπτωμα,

γρ. ἀσαφεστέροις καὶ φαιδροτέροις

γρ. δεινά,

γρ. αὐτῆς

Ρωμ. ε. κ.

Ρωμ. ε. ιε.

γρ. μόνον

Ιωαν. α. κθ.

οὕτω καὶ τὸ χάρισμα, ἀλλὰ πλείονα εἰσήγαγε τούτου τὸ ξύλον ἀγαθὰ τῶν παρὰ τὴν ἀρχὴν εἰσενεχθέντων κακῶν; ταῦτα δὲ εἶπον, ἵνα μὴ νομίσῃς ″ἐπηρεάζεσθαί σε παρὰ τῶν προφητῶν. ἐξέβαλεν ὁ διάβολος τὸν Ἀδάμ, εἰσήγαγε τὸν λῃστὴν ὁ Χριστός. καὶ σκόπει τὸ διάφορον. ἐκεῖνος οὐκ ἔχοντα ἁμαρτίαν τὸν ἄνθρωπον, ἀλλὰ μίαν κηλῖδα παρακοῆς, ἐξέβαλεν· ὁ Χριστὸς λῃστὴν μυρία φορτία ἁμαρτημάτων βαστάζοντα οὕτως εἰσήγαγεν εἰς τὸν παράδεισον. ἆρ' οὖν τοῦτο μόνον τὸ θαῦμά ἐστιν, ὅτι λῃστὴν εἰσήγαγεν εἰς παράδεισον, ἄλλο δὲ οὐδέν; ἔστι καὶ ἄλλο μεῖζον εἰπεῖν. οὐ γὰρ λῃστὴν εἰσήγαγε μόνον, ἀλλὰ καὶ πρὸ τῆς οἰκουμένης ἁπάσης, καὶ πρὸ τῶν ἀποστόλων· ἵνα μηδεὶς τῶν μετὰ ταῦτα ἀπογνῷ τὴν εἴσοδον, μηδὲ ἀπελπίσῃ τὴν σωτηρίαν τὴν ἑαυτοῦ, τὸν μυρίων γέμοντα κακῶν ἐν ταῖς βασιλικαῖς αὐλαῖς στρεφόμενον ὁρῶν. ἀλλ' ἴδωμεν, μὴ πόνους ἐπεδείξατο καὶ κατορθώματα καὶ καρποὺς ὁ λῃστής· οὐδὲ τοῦτο ἔστιν εἰπεῖν, ἀλλ' ἀπὸ ψιλοῦ ῥήματος, ἀπὸ πίστεως μόνης, πρὸ τῶν ἀποστόλων εἰσεπήδησεν εἰς τὸν παράδεισον· ἵνα μάθῃς ὅτι οὐχ ἡ ἐκείνου εὐγνωμοσύνη τοσοῦτον ἴσχυσεν, ὅσον τοῦ δεσπότου ἡ φιλανθρωπία τὸ πᾶν ἐποίησε. τί γὰρ εἶπεν ὁ λῃστής; τί δὲ ἔπραξεν; ἐνήστευσεν; ἐδάκρυσεν; περιεσχίσατο; μετάνοιαν ἐπεδείξατο ἐν πολλῷ τῷ χρόνῳ; οὐδαμῶς. ἀλλ' ἐν αὐτῷ τῷ σταυρῷ μετὰ τὴν ἀπόφασιν σωτηρίας ἔτυχεν. ὅρα τάχος ἀπὸ σταυροῦ εἰς οὐρανόν, ἀπὸ καταδίκης εἰς ″σωτηρίαν. τίνα ἐστὶν ἄρα ἐκεῖνα τὰ ῥήματα; πόσην ἔχει τὴν δύναμιν, ὅτι τοσαῦτα τούτῳ ἐκόμισεν ἀγαθά; Μνήσθητί μου, φησίν, ἐν τῇ βασιλείᾳ σου. καὶ τί τοῦτο; ᾔτησε λαβεῖν ἀγαθά, οὐ σπουδὴν τὴν δι' ἔργων ἐπεδείξατο. ἀλλ' ὁ τὴν καρδίαν αὐτοῦ εἰδώς, οὐ τοῖς ῥήμασι προσέχει, ἀλλὰ τῇ διαθέσει τῆς διανοίας. οἱ μὲν γὰρ προφητικῶν ἀπολαύσαντες διδαγμάτων, οἱ τὰ σημεῖα ἰδόντες, οἱ τὰ θαύματα θεασάμενοι ἔλεγον περὶ τοῦ Χριστοῦ, ὅτι δαιμόνιον ἔχει, καὶ πλανᾷ τὸν ὄχλον· ὁ δὲ λῃστής, μὴ προφητῶν ἀκούσας, μὴ θαύματα ἰδών, ἰδὼν ἐπὶ τοῦ σταυροῦ προσηλωμένον, οὐ προσέσχε τῇ ἀτιμίᾳ, οὐκ εἶδε τὴν ἀδοξίαν· ἀλλ' εἰς τὴν θεότητα αὐτὴν ἰδών, Μνήσθητί μου φησίν, ἐν τῇ βασιλείᾳ σου. καινὸν τοῦτο καὶ παράδοξον. σταυρὸν ὁρᾷς, καὶ βασιλείας μέμνησαι; τί βασιλείας ἄξιον εἶδες; ἐσταυρωμένον ἄνθρωπον, ῥαπιζόμενον, χλευαζόμενον, κατηγορούμενον *. ταῦτα οὖν βασιλείας ἄξια, εἰπέ μοι; ὁρᾷς ὅτι τοῖς τῆς πίστεως ἔβλεπεν ὀφθαλμοῖς, καὶ οὐ τὰ φαινόμενα ἐξήταζε; διὰ τοῦτο οὔτε ὁ Θεὸς τὰ ῥήματα ἐξήταζε τὰ ψιλά, ἀλλ', ὥσπερ οὗτος εἶδεν εἰς τὴν θεότητα, οὕτως ὁ Θεὸς εἶδεν εἰς τὴν καρδίαν τοῦ λῃστοῦ, καί φησι, Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. ἐνταῦθα προσέχετε. ζήτημα γὰρ οὐ τὸ τυχὸν ἐπιφύεται. καὶ γὰρ οἱ Μανιχαῖοι, οἱ κύνες οἱ ἔνεοι καὶ λυττῶντες τὸ σχῆμα μὲν ἐπιδείκνυνται ἐπιεικείας, τὴν χαλεπὴν δὲ ἔνδον ἔχουσι τῶν κυνῶν μανίαν, καὶ κατακρύπτουσι τῇ δορᾷ τοῦ προβάτου τὸν λύκον. ἀλλὰ μὴ τὸ φαινόμενον ἴδῃς, ἀλλὰ τὸ ἔνδον, κεκρυμμένον θηρίον ἐξέτασον. οὗτοι τοίνυν ἐπιλαβόμενοι τοῦ χωρίου τούτου, φασίν· εἶπεν ὁ Χριστός, Ἀμὴν, ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. οὐκοῦν ἀντίδοσις ἤδη γέγονε τῶν ἀγαθῶν, καὶ περιττὴ ἡ ἀνάστασις. εἰ γὰρ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπέλαβεν ὁ λῃστὴς τὰ ἀγαθά, τὸ δὲ σῶμα αὐτοῦ οὐκ ἀνέστη οὐδέπω καὶ τήμερον, οὐκ ἔσται ″σωμάτων λοιπὸν ἀνάστασις. ἆρα ἐνοήσατε τὸ λεχθέν, ἢ δεύτερον αὐτὸ πάλιν εἰπεῖν ″ἀνάγκη; ἀμὴν, ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. εἰσῆλθεν οὖν, φησίν, εἰς τὸν παράδεισον ὁ λῃστὴς οὐ μετὰ τοῦ σώματος. πῶς γάρ, ὁπότε οὐκ ἐτάφη τὸ σῶμα αὐτοῦ, οὐδὲ διελύθη καὶ κόνις ἐγένετο; καὶ οὐδαμοῦ εἴρηται, ὅτι ἀνέστησεν ὁ Χριστὸς αὐτόν. εἰ δὲ εἰσήγαγε τὸν λῃστὴν, καὶ χωρὶς τοῦ σώματος ἀπήλαυσε τῶν ἀγαθῶν, εὔδηλον ὅτι σώματος οὐκ ἔστιν ἀνάστασις. εἰ γὰρ ἦν σώματος ἀνάστασις, οὐκ ἂν εἶπε, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ, ἀλλ', ἐν τῷ καιρῷ τῆς συντελείας, ὅταν σωμάτων ἀνάστασις ᾖ. εἰ δὲ ἤδη εἰσήγαγε τὸν λῃστὴν, τὸ δὲ σῶμα αὐτοῦ φθαρὲν ἔμεινεν ἔξω, εὔδηλον ὅτι σωμάτων ἀνάστασις

Λουκ. κγ. μβ.

γρ. περι
μεῖσθαι

γρ. τὸν πα
σον.

* ἐμπτ
τον, μα
μενον.

γρ. σώμ
γρ. αἰδ

μετὰ το

οὐκ ἔστι. ταῦτα ἐκεῖνοι. δέχεσθε δὲ λοιπὸν καὶ τὰ παρ' ἡμῶν, μᾶλλον δὲ οὐ τὰ παρ' ἡμῶν, ἀλλὰ τὰ παρὰ τῆς θείας γραφῆς. οὐ γὰρ τὰ ἡμέτερα λέγομεν, ἀλλὰ τὰ τοῦ ἁγίου πνεύματος. τί λέγεις; οὐ κοινωνεῖ τῶν στεφάνων ἡ σάρξ; ἀλλ' ἐν μὲν τοῖς πόνοις ἐκοινώνησεν, ἐν δὲ τοῖς μισθοῖς ἀποστερεῖται; καὶ ὅτε μὲν ἀγωνίζεσθαι ἔδει, τὸ πλέον ἐδέξατο τῶν ἱδρώτων· ὅτε δὲ στεφάνων καιρὸς, μόνη ἡ ψυχὴ στεφανοῦται; οὐκ ἀκούεις τοῦ Παύλου λέγοντος, ὅτι Παραστῆναι ἡμᾶς δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα ἕκαστος κομίσηται τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν; οὐκ ἀκούεις αὐτοῦ λέγοντος πάλιν, Δεῖ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν, καὶ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν; τὸ θνητὸν ποῖον; τὴν ψυχὴν, ἢ τὸ σῶμα; εὔδηλον ὅτι τὸ σῶμα. ἡ γὰρ ψυχὴ φύσει ἀθάνατος, θνητὸν δὲ φύσει τὸ σῶμα. ἀλλὰ πολλὰ παρεικότωλουσι τούτων πλὴν καὶ ἀπ' αὐτῶν τῶν ὑπολελειμμένων τὴν συγγένειαν τῶν παρεικοπέντων ἐλέγξομεν. εἰσῆλθεν εἰς τὸν παράδεισον ὁ λῃστής, φησί. καὶ τί τοῦτο; μὴ γὰρ ταῦτά ἐστι τὰ ἀγαθὰ, ἅπερ ὁ Θεὸς ἡμῖν ἐπαγγέλλεται; οὐκ ἀκούεις τοῦ Παύλου περὶ τὰ ἀγαθὰ ἐκεῖνα τί φησιν; Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. τὸν δὲ παράδεισον καὶ ὀφθαλμὸς εἶδε τοῦ Ἀδὰμ, καὶ οὖς ἤκουσε, καὶ καρδία ἀνθρώπου ἐδέξατο. περὶ γὰρ αὐτοῦ τοσαύτας ἡμέρας διαλεγόμεθα. πῶς οὖν ἀπέλαβε τὰ ἀγαθὰ ὁ λῃστής; οὐ γὰρ εἰς παράδεισον ἐπηγγέλλετο εἰσαγαγεῖν ἡμᾶς ὁ Θεὸς, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανόν· οὐδὲ βασιλείαν παραδείσου, ἀλλὰ βασιλείαν οὐρανῶν ἐκήρυξεν. Ἤρξατο γὰρ, φησὶ, κηρύττειν καὶ λέγειν, μετανοεῖτε· ἤγγικε γὰρ, οὐχ ἡ βασιλεία τοῦ παραδείσου, ἀλλ', ἡ βασιλεία τῶν οὐρανῶν. ἀπώλεσας μὲν γὰρ παράδεισον, ἔδωκε δέ σοι ὁ Θεὸς τὸν οὐρανὸν, ἵνα καὶ τὴν οἰκείαν φιλανθρωπίαν ἐπιδείξηται, καὶ τὸν διάβολον δάκῃ, δεικνὺς ὅτι κἂν μυρία τῷ τῶν ἀνθρώπων ἐπιβουλεύσῃ γένει, οὐδὲν ἔσται πλέον αὐτῷ, τοῦ Θεοῦ πρὸς μείζονα ἀεὶ τιμὴν ἡμᾶς ἀνάγοντος. ἀπώλεσας τοίνυν παράδεισον, καὶ ἀνέῳξέ σοι ὁ Θεὸς τὸν οὐρανόν· κατεδικάσθης πόνῳ προσκαίρῳ, καὶ ἐτιμήθης ζωῇ αἰωνίῳ· ἐκέλευσε τῇ γῇ ἀκάνθας καὶ τριβόλους ἀνενεγκεῖν, καὶ ἐβλάστησέ σοι καρπὸν πνεύματος ἡ ψυχή. ὁρᾷς πῶς μείζων ἡ εὐπορία τῆς ζημίας; πῶς πλείων ὁ πλοῦτος; οἶδα τί λέγω. ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον ἀπὸ γῆς καὶ ὕδατος, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ. οὐκ ἐγένετο χρήσιμος ὁ πλασθεὶς, ἀλλὰ διεστράφη. οὐκέτι λοιπὸν ἀπὸ γῆς καὶ ὕδατος αὐτὸν ἀναπλάττει, ἀλλ' ἐξ ὕδατος καὶ πνεύματος· καὶ οὐκέτι παράδεισον ἐπαγγέλλεται πρὸς αὐτὸν, ἀλλὰ βασιλείαν οὐρανῶν. καὶ ὅπως, ἄκουε. Νικοδήμου γὰρ τοῦ ἄρχοντος τῶν Ἰουδαίων καταπεσόντος, καὶ τὴν ἐνταῦθα γέννησιν ἐπιζητοῦντος καὶ λέγοντος, Ἀδύνατόν ἐστι γέροντα γεννηθῆναι ἄνωθεν, ὅρα πῶς ὁ Χριστὸς σαφέστερον αὐτῷ ἀποκαλύπτει τῆς γεννήσεως τὸν τρόπον. Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. εἰ τοίνυν βασιλείαν οὐρανῶν ἐπηγγείλατο, εἰς παράδεισον δὲ εἰσήγαγε τὸν λῃστὴν, οὐδέπω ἀπέδωκεν αὐτῷ τὰ ἀγαθά. ἀλλ' ἕτερόν τι πρὸς τοῦτο λέγουσι. τὸν παράδεισόν, φασιν, ἐνταῦθα, οὐ τὸν παράδεισον εἶπεν, ἀλλὰ τῷ τοῦ παραδείσου ὀνόματι τὴν βασιλείαν τῶν οὐρανῶν ὠνόμασεν. ἐπειδὴ γὰρ πρὸς λῃστὴν διελέγετο, ἄνθρωπον οὐδὲν ἀκηκοότα τῶν ὑψηλῶν δογμάτων, οὐδὲ εἰδότα περὶ προφητείας, ἀλλὰ πάντα τὸν χρόνον ἐν ἐρημίαις διατρίψαντα, καὶ φόνους ἐργασάμενον, καὶ μηδὲ παρακύψαντά ποτε εἰς ἐκκλησίαν, μήτε μετασχόντα θείας ἀκροάσεως, μὴ εἰδότα τί ποτέ ἐστι βασιλεία τῶν οὐρανῶν, τοῦτο ἔλεγε, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. τῷ γνωριμωτέρῳ καὶ συνηθεστέρῳ ὀνόματι τοῦ παραδείσου τὴν βασιλείαν τῶν οὐρανῶν δηλοῖ, καὶ περὶ ἐκείνης αὐτῷ διαλέγεται ὁ Χριστός. δέχομαι. οὐκοῦν φησιν, εἴσελθε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. πόθεν δῆλον; ἐξ ὧν εἶπε, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. εἰ δὲ βιαιοτέρα ἡ λύσις αὕτη, τὴν σαφεστέραν ἐπάξομεν. τίς οὖν ἐστιν αὕτη; εἶπεν ὁ Χριστὸς, Ὁ μὴ πιστεύων εἰς τὸν υἱὸν, ἤδη κέκριται. τί

Ρωμ. ιδ. ι.
α. Κορ. ιε. νγ.
Ρω. ια. η.
Ματθ. δ. ιζ.
Ιωαν. γ. δ.
Ιωαν. γ. ιη.

οὖν; ἤδη κέκριται; καίτοι οὔπω ἀνάστασις, οὔπω κόλασις καὶ τιμωρία· πῶς οὖν ἤδη κέκριται; ἀπὸ τῆς ἁμαρτίας. Ἰωάν. ε. κδ. καὶ πάλιν, Ὁ πιστεύων εἰς τὸν υἱόν, φησι, μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. καὶ οὐκ εἶπε, μεταβήσεται, ἀλλ', ἤδη μεταβέβηκε. καὶ οὗτος πάλιν ἀπὸ τοῦ κατορθώματος, κἀκεῖνος πάλιν ἀπὸ τοῦ ἁμαρτήματος. ὥσπερ οὖν ἐκεῖνος κέκριται μηδέπω κρινόμενος, κἀκεῖνος μεταβέβηκεν εἰς τὴν ζωὴν μηδέπω μεταβάς, καὶ πρὸς ἐκεῖνον ἀπὸ τοῦ κατορθώματος, καὶ πρὸς τοῦτον ἀπὸ τοῦ ἁμαρτήματος, ὡς γεγενημένων δὴ πραγμάτων οὔπω γεγενημένων διαλέγεται· οὕτω καὶ πρὸς τὸν λῃστὴν ἔλεγε. καὶ γὰρ οἱ ἰατροί, ἐπειδὰν ἴδωσί τινα ἀπεγνωσμένον, λέγουσιν, ὅτι ἤδη τέθνηκε καὶ νεκρός ἐστι, καίτοιγε ἔτι ἐμπνέοντα βλέποντες. ἀλλ' ὥσπερ ἐκεῖνος, ἐπειδὴ ἐλπίδα σωτηρίας οὐκ ἔχει, τέθνηκε γὰρ παρὰ τοῖς ἰατροῖς· οὕτω καὶ ὁ λῃστής, ἐπειδὴ προσδοκίαν οὐκέτι εἶχεν ἀποστροφῆς εἰς ἀπώλειαν, εἰσελήλυθεν εἰς τὸν οὐρανόν. Γεν. β. ιζ. οὕτω καὶ ὁ Ἀδὰμ ἤκουσεν, Ἡ δ' ἂν ἡμέρᾳ φάγητε ἀπὸ τοῦ ξύλου, θανάτῳ ἀποθανεῖσθε. τί οὖν, αὐτῇ τῇ ἡμέρᾳ ἀπέθανεν; οὐδαμῶς· ἀλλ' ἔζησεν ἔτη ἐννεακόσια [καὶ ἐπέκεινα] μετὰ τὴν ἡμέραν ἐκείνην. πῶς οὖν ἔλεγεν ὁ Θεός, ὅτι τῇ αὐτῇ ἡμέρᾳ ἀποθανῇ; τῇ ἀποφάσει, οὐ τῇ πείρᾳ. οὕτω καὶ ὁ λῃστὴς εἰσῆλθεν εἰς τὸν οὐρανόν. ἄκουσον γοῦν τί φησιν ὁ Παῦλος, δηλῶν ὅτι οὐδεὶς οὐδέπω τῶν ἀγαθῶν ἀπέλαβε τὴν ἀντίδοσιν. περὶ γὰρ τῶν προφητῶν καὶ τῶν δικαίων δια-Ἑβρ. ια λθ. μ. λεγόμενος ἐπήγαγε· Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν εἰδότες αὐτὰς καὶ ἀσπασάμενοι, τοῦ Θεοῦ κρεῖττόν τι περὶ ἡμῶν προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι.

Ταῦτα κατέχετε, καὶ μέμνησθε, καὶ τοὺς *** ἀκηκοότας διδάσκετε. ταῦτα καὶ ἐν ἐκκλησίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ ἐν οἰκίᾳ μελετάτω ἕκαστος. οὐδὲν γὰρ ἡδύτερον ἀκροάσεως θείας. ἄκουσον γοῦν τί φησι περὶ ταύτης ὁ προφήτης· Ψαλ. ριη. ρϛ. Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι καὶ κηρίον τῷ στόματί μου. τοῦτο τοίνυν παρατίθει τὸ κηρίον ἐπὶ τῆς τραπέζης τῆς ἑσπερινῆς, ὥστε πᾶσαν αὐτὴν ἡδονῆς πληρῶσαι πνευματικῆς. οὐχ ὁρᾶτε τοὺς εὐπόρους τῶν ἀνθρώπων, πῶς μετὰ τὰ σιτία κιθαρῳδοὺς καὶ αὐλητὰς ἐπεισάγουσι; θέατρον ἐκεῖνοι ποιοῦσι τὴν ἑαυτῶν οἰκίαν· σὺ ποίησον τὴν οἰκίαν τὴν σὴν οὐρανόν· ποιήσεις δέ, οὐχὶ τοὺς τοίχους ἀμείβων, οὐδὲ μετασχηματίζων τὰ θεμέλια, ἀλλ' αὐτὸν τὸν τῶν οὐρανῶν δεσπότην ἐπὶ τὴν τράπεζαν καλῶν τὴν σήν. οὐκ ἐπαισχύνεται τὰ τοιαῦτα δεῖπνα ὁ Θεός. ἔνθα γὰρ διδασκαλία πνευματική, ἐκεῖ καὶ σωφροσύνη καὶ σεμνότης καὶ ἐπιείκεια. ἔνθα ἀνὴρ καὶ γυνή, καὶ παιδία, καὶ ὁμόνοια καὶ φιλία, καὶ τοῖς τῆς ἀρετῆς συνδεδεμένοι δεσμοῖς, ἐκεῖ μέσος ὁ Χριστός. οὐ γὰρ χρυσοῦν ὄροφον ζητεῖ, οὐδὲ ἀστραπὰς κιόνων, οὐδὲ κάλλη μαρμάρων· ἀλλὰ ψυχῆς ὥραν, καὶ διανοίας εὐμορφίαν, καὶ τράπεζαν δικαιοσύνης γέμουσαν καὶ ἐλεημοσύνης καρποὺς ἔχουσαν. κἂν ἴδῃ τοιαύτην τράπεζαν, ταχέως κοινωνεῖ τοῦ συλλόγου καὶ πα-Ματθ. κε. λε. ραγίνεται. καὶ γὰρ αὐτός ἐστιν ὁ εἰρηκώς· Πεινῶντά με εἴδετε, καὶ ἐθρέψατε. ὅταν οὖν ἀκούσῃς πένητος κάτωθεν μεγάλα βοῶντος, εἶτα ἀπὸ τῆς τραπέζης τῶν παρακειμένων δῷς τι τῷ δεομένῳ, τὸν δεσπότην ἐκάλεσας διὰ τοῦ δούλου πρὸς τὴν τράπεζαν τὴν σήν, πᾶσαν αὐτὴν εὐλογιῶν ἐνέπλησας, καὶ διὰ τῆς ἀπαρχῆς ἀφορμὴν μεγίστην τοῦ πληθύνεσθαί σοι τὰ ταμεῖα ἀγαθῶν πολλῶν παρεσκεύασας. ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ διδοὺς ἄρτον εἰς βρῶσιν καὶ σπέρμα τῷ σπείροντι, πληθύνοι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσειε τὰ γεννήματα τῆς δικαιοσύνης ἐν πᾶσιν ὑμῖν, τὴν παρ' αὐτοῦ χάριν διδούς, καὶ καταξιώσειε τῆς βασιλείας τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι, ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ.

Λογ. η. ΕΙΣ ΤΗΝ ΗΜΕΡΑΝ ΧΕΙΜΕΡΙΟΝ ΟΥΣΑΝ, ΚΑΙ εἰς τὴν σύνοδον τῶν ἐπισκόπων, καὶ εἰς τὴν δόσιν τῆς ἐντολῆς πρὸς τὸν Ἀδὰμ, καὶ ὅτι πολλῆς κηδεμονίας τὸν νόμον λαβεῖν.

Η Μὲν τῶν νεφῶν συνδρομὴ τὴν ἡμέραν ἡμῖν κατηφεστέραν ἐποίησεν· ἡ δὲ παρουσία τοῦ διδασκάλου φαιδροτέραν αὐτὴν εἰργάσατο. οὐ γὰρ οὕτως ἥλιος ἐκ μέσης τῶν οὐρανῶν τῆς κορυφῆς τὰς ἀκτῖνας ἀφιεὶς, καταλάμπει τὰ σώματα, ὡς ὄψις πατρικῆς φιλοστοργίας ἀκτῖνας ἀφιεῖσα ἐκ μέσου τοῦ θρόνου, καταυγάζει τὰς ἡμετέρας ψυχάς. ὅπερ οὖν καὶ αὐτὸς συνιδὼν, οὐχὶ μόνος ἡμῖν παραγέγονεν, ἀλλὰ καὶ φωστήρων χορὸν ἔχων ἦλθε μεθ' ἑαυτοῦ, ὥστε πλέον γενέσθαι τὸ φῶς. διὸ καὶ ἡ ἐκκλησία * ἡμῖν ἀγάλλεται, καὶ σκιρτᾷ τὰ ποίμνια, καὶ ἡμεῖς μετὰ πλείονος προθυμίας τῶν λόγων ἁπτόμεθα. ὅπου γὰρ συνδρομὴ ποιμένων, ἐκεῖ καὶ προβάτων ἀσφάλεια. οὕτω καὶ ναῦται χαίρουσι κυβερνητῶν αὐτοῖς παρόντων πολλῶν. καὶ γὰρ γαλήνης οὔσης καὶ νηνεμίας, τὸν τῆς κωπηλασίας πόνον αὐτοῖς ἐπικουφίζουσι διὰ τῶν οἰάκων· καὶ τῆς θαλάσσης στασιαζούσης, τῇ τέχνῃ καὶ τῇ πολυχειρίᾳ τὴν τῶν ὑδάτων καταστέλλουσι μάχην. διὰ τοῦτο καὶ ἡμεῖς θαρροῦντες, τὸν λόγον εἰς διδασκαλίαν προτεινόμεθα, ταῖς εὐχαῖς αὐτῶν τὸ πᾶν ἐπιρρίψαντες. ὥστε δ' εὐμαθεστέραν καὶ σαφεστέραν ἡμῖν γενέσθαι τὴν ἀκρόασιν, καὶ τῶν χθὲς ὑμῖν εἰρημένων ἀναμνήσωμεν ἐν βραχεῖ. Εἴπομεν ὅτι πρὸ τῆς τοῦ ξύλου βρώσεως ᾔδει τὸ καλὸν καὶ τὸ πονηρὸν ὁ ἄνθρωπος, καὶ ὅτι οὐ μετὰ τὴν γεῦσιν ταύτην ἔλαβε τὴν γνῶσιν. Εἴπομεν τίνος ἕνεκεν ξύλον γνωστοῦ καλοῦ καὶ πονηροῦ ἐλέγετο, καὶ πῶς ἔθος τῇ γραφῇ, ἐπειδὰν τὸ πρᾶγμα συμβῇ περὶ τόπον ἢ καιρὸν, ἀπὸ τοῦ πράγματος ὀνομάζειν καὶ τὸν τόπον καὶ τὸν καιρόν. σήμερον ἀναγκαῖον αὐτὴν ἀναγνῶναι τὴν ἐντολὴν, δι' ἧς ἐκώλυσε τοῦ ξύλου τὴν βρῶσιν. τίς οὖν ἐστιν αὕτη; Καὶ ἐνετείλατο Κύριος ὁ Θεὸς τῷ Ἀδάμ, λέγων· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ. θεῖος ὁ νόμος· ἀλλὰ προσέχωμεν. εἰ γὰρ βασιλικὰ ἀναγινώσκοντες γράμματα ἄνθρωποι, ὁλόκληρον ἀνιστῶσι θέατρον· πολλῷ μᾶλλον ἡμᾶς οὐκ ἀνθρώπων, ἀλλὰ Θεοῦ νόμους ἀναγινώσκειν μέλλοντας διανίστασθαι χρὴ τῇ διανοίᾳ, καὶ προσέχειν τοῖς λεγομένοις. οἶδα ὅτι κατηγοροῦσί τινες τοῦ νομοθέτου, καὶ τὸν νόμον αἴτιον εἶναί φασι τοῦ παραπτώματος. πρὸς τοῦτο οὖν ἀνάγκη στῆναι πρότερον, καὶ δεῖξαι διὰ τῶν πραγμάτων αὐτῶν, ὅτι οὐχὶ μισῶν τὸν ἄνθρωπον, οὐδὲ ὑβρίσαι βουλόμενος τὴν φύσιν τὴν ἡμετέραν, ἀλλὰ φιλῶν καὶ κηδόμενος, τὸν νόμον ἔδωκεν. ὅτι γὰρ εἰς συμμαχίαν ἡμῖν αὐτὸν δέδωκεν, ἄκουσον τί φησιν Ἡσαΐας· Νόμον γὰρ εἰς βοήθειαν ἔδωκεν. ὁ δὲ μισῶν, οὐ βοηθεῖ. πάλιν ὁ προφήτης βοᾷ· Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου. ὁ δὲ μισῶν, οὐ λύει τὸ σκότος διὰ τοῦ λύχνου, οὐδὲ ὁδηγεῖ μετὰ φωτὸς τὸν πεπλανημένον. πάλιν ὁ Σολομών· Λύχνος ἐντολὴ νόμου, καὶ φῶς, καὶ ζωὴ, καὶ ἔλεγχος, καὶ παιδεία. ἰδοὺ οὐχὶ βοήθεια μόνον, οὐδὲ λύχνος μόνον, ἀλλὰ καὶ φῶς καὶ ζωή. ταῦτα δὲ οὐκ ἔστι μισοῦντος, οὐδὲ ἀπολέσαι βουλομένου, ἀλλὰ χεῖρα ὀρέγοντος καὶ διανιστῶντος. διὰ τοῦτο καὶ Παῦλος πρὸς τὸν Ἰουδαῖον ἀποτεινόμενος, καὶ δεικνὺς ὅσον εἰσήνεγκε κέρδος ὁ νόμος, καὶ ὅτι ἀνάπαυσις, οὐ βάρησις τῆς φύσεως ἡμῶν ἐστιν, ἔλεγεν· Ἴδε σὺ Ἰουδαῖος ἐπονομάζῃ, καὶ ἐπαναπαύῃ τῷ νόμῳ. ὁρᾷς ὅτι οὐχὶ βαρῶν ἡμῶν τὴν φύσιν, ἀλλ' ἀναπαύων, τὸν νόμον ἔδωκεν ὁ Θεός; βούλει μαθεῖν ὅτι καὶ τιμῶν; [καὶ] μάλιστα μὲν οὖν καὶ ταῦτα ἱκανὰ δεῖξαι τὴν τιμὴν καὶ τὴν κηδεμονίαν· πλὴν καὶ ἀφ' ἑτέρων μαρτυριῶν αὐτὸ τοῦτο ποιήσομαι φανερόν. Ἐπαίνει, φησὶν, Ἱερουσαλὴμ, τὸν Κύριον· αἴνει τὸν Θεόν σου Σιών· ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου,

* οὖν

χ. ἐγένετο,

Γεν. β. ιϛ.

Ησ. η. κ.

Ψαλμ. ριη. ρε.

Παροιμ. ϛ. κγ.

Ρω. β. ιζ.

Ψαλμ. ρμζ. α.
β. γ. δ.

ἀλόγησε τοὺς υἱούς σου ἐν σοί. ὁ θεὶς τὰ ὅριά σου εἰρήνην, καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε. εἶτα εἰπὼν καὶ τὴν διὰ τῆς ἄλλης κτίσεως εὐεργεσίαν παρὰ τοῦ Θεοῦ χορηγουμένην, ἐπήγαγε τὴν ἐξαίρετον καὶ μείζονα, οὑτωσὶ λέγων· Ὁ ἀποστέλλων τὸν λόγον αὐτοῦ τῷ Ἰακὼβ, δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ. οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς. ὅρα πόσα κατέλεξεν ἀγαθά. ἀσφάλειαν πόλεως· ἐνίσχυσε γάρ, φησι, τοὺς μοχλοὺς τῶν πυλῶν σου. ἀπαλλαγὴν πολέμων· ὁ θεὶς γάρ, φησι, τὰ ὅριά σου εἰρήνην. ἀφθονίαν τῶν ἀναγκαίων· καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε. ἀλλ᾽ ὅμως πάντων τούτων τὴν τοῦ νόμου δόσιν τιμιωτέραν ἀπέφηνεν. ὅτι γὰρ καὶ ἀσφαλείας, καὶ εἰρήνης, καὶ ἀπαλλαγῆς πολέμων, καὶ εὐπαιδίας, καὶ πολυπαιδίας, καὶ τῆς τῶν ἀναγκαίων ἀφθονίας πολλῷ μεῖζον δωρεὰν ἐστὶ τὸ νόμον λαβεῖν, καὶ τὰ δικαιώματα τοῦ Θεοῦ μαθεῖν, πάντων ὕστερον αὐτὸ θεὶς ὡς κεφάλαιον καὶ σύνδεσμον τῶν ἀγαθῶν, ἐπήγαγε λέγων· οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει. οὔτε, πῶς; καὶ μὴν καὶ ἀφθονίας, καὶ τῶν ἄλλων τῶν ἀπηριθμημένων πολλοὶ πολλάκις ἀπήλαυσαν. ἀλλ᾽ οὐ περὶ τῶν προειρημένων λέγω, φησὶν, ἀλλὰ περὶ τοῦ νόμου, ὅτι οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει. καὶ διὰ τοῦτο ἐπήγαγε· καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς. ὁρᾷς πῶς τῶν ἀπηριθμημένων ἁπάντων ἀγαθῶν μεῖζον ὁ νόμος. τοῦτο καὶ Ἱερεμίας ἐνέφηνε. τοὺς γὰρ ἐν αἰχμαλωσίᾳ ὄντας θρηνῶν, ἔλεγε· Τί ὅτι ἐν τῇ γῇ τῶν ἐχθρῶν εἶ; τὴν πηγὴν τῆς σοφίας ἐγκατέλιπες, τὸν νόμον λέγων. καθάπερ ἡ πηγὴ πολλοὺς πανταχόθεν ἀφίησι ῥύακας, οὕτω καὶ ὁ νόμος πολλὰς πανταχόθεν ἀφίησι τὰς ἐντολὰς, ἄρδων ἡμῶν τὴν ψυχήν. Εἶτα δηλῶν τὸ ἐξαίρετον τῆς τιμῆς τῆς διὰ τοῦ νόμου γινομένης, ἔλεγεν· Οὐκ ἠκούσθη ἐν Χαναὰν αὕτη ἡ σοφία, οὐδὲ ὤφθη ἐν Θαιμὰν, οὐδὲ υἱοὶ Ἄγαρ, οἱ ἔμποροι καὶ οἱ ἐκζητηταὶ ἔγνωσαν τὰς ὁδοὺς αὐτῆς, οὐδὲ ἐμνήσθησαν τῶν τρίβων αὐτῆς. καὶ δεικνὺς ὅτι πνευματική τίς ἐστι καὶ θεία, Τίς ἀνέβη, φησὶν, εἰς τὸν οὐρανὸν, καὶ κατεβίβασεν αὐτήν; Εἶτα ἐπήγαγεν· Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ᾽ αὐτοῦ. διὰ τοῦτο καὶ ὁ Δαβὶδ ἔλεγεν· Οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς. τοῦτο γοῦν καὶ Παῦλος αἰνιττόμενος ἔγραφε· Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου; ἢ τίς ἡ ὠφέλεια τῆς περιτομῆς; πολὺ κατὰ πάντα τρόπον. πρῶτον μὲν γὰρ ὅτι ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ. ὁρᾷς πῶς καὶ οὗτος ἡρμήνευσε τὸ, οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς; Εἰ γὰρ τὸ περισσὸν τοῦ Ἰουδαίου τοῦτό ἐστιν, ὅτι αὐτοὶ μόνοι τῶν ἄλλων ἀνθρώπων ἐτιμήθησαν τῇ δόσει τοῦ γραπτοῦ νόμου, οὐκ ἄρα βαρῶν ἡμῶν τὴν φύσιν, ἀλλὰ τιμῶν, τὸν νόμον ἔδωκεν ὁ Θεός. καὶ οὐ τούτῳ μόνον ἐτίμησε, τῷ δοῦναι τὸν νόμον, ἀλλὰ καὶ τῷ δι᾽ ἑαυτοῦ δοῦναι. καὶ γὰρ καὶ τοῦτο μέγιστον εἶδος τιμῆς, τὸ μὴ μόνον παρασχεῖν τὰ ἀγαθὰ, ἀλλὰ καὶ δι᾽ ἑαυτοῦ παρασχεῖν. ὅτι γὰρ μέγα τοῦτό ἐστι τὸ δῶρον, ἄκουσον καὶ τοῦ Παύλου τοῦτο ἐνδεικνυμένου. ὁρῶν γὰρ τοὺς Ἰουδαίους πεφυσιωμένους ἐν τῷ τοὺς προφήτας πρὸς αὐτοὺς ἐλθεῖν, καὶ καταστέλλων αὐτῶν τὸ φρόνημα, καὶ δεικνὺς ὅτι μείζονος ἡμεῖς ἀπηλαύσαμεν τιμῆς, οὐ διὰ δούλου, ἀλλὰ διὰ δεσπότου τῆς διδασκαλίας τυχόντες, οὑτωσί πως φησὶ πρὸς Ἑβραίους γράφων· Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἡμῶν, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ. καὶ πάλιν ἀλλαχοῦ· Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ Θεῷ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ τὴν καταλλαγὴν ἐλάβομεν. ὁρᾷς αὐτὸν οὐκ ἐπὶ τῇ καταλλαγῇ καυχώμενον [μόνον,] ἀλλὰ καὶ ἐπὶ τῷ διὰ τοῦ Χριστοῦ λαβεῖν τὴν καταλλαγήν; καὶ πάλιν τὴν ἀνάστασιν σεμνύνων, φησίν· Αὐτὸς ὁ Κύριος καταβήσεται ἐξ οὐρανοῦ. ὅρα πάλιν διὰ τοῦ δεσπότου τὸ πᾶν γινόμενον· καὶ ἐνταῦθα οὐ δι᾽ οἰκέτου τινὸς, οὐ δι᾽ ἀγγέλου καὶ ἀρχαγγέλου, ἀλλ᾽ αὐτὸς δι᾽ ἑαυτοῦ ἐνετείλατο τῷ Ἀδὰμ, διπλῇ* τὸν ἄνθρωπον τιμῶν, καὶ τῷ δοῦναι τὸν νόμον, καὶ τῷ δι᾽ ἑαυτοῦ δοῦναι.

Βαρουχ. γ. ζ.

Βαρ. γ. ιγ. ιη. κβ.

Ψαλμ. ρμζ. θ.

Ρω. γ. α.

Εβρ. α. α.

Ρω. ε. ια.

α. Θεσ. δ. ιϛ.

γρ. ὅτι θεὶς

γρ. ὅτι θεὶς

ἴσ. - πηγ πηγὴ

γρ. ἀφίει

γρ. Ἑβραί

* τιμῇ

δοκοῦσι. πῶς οὖν ὠλίσθησεν ἐκεῖνος; παρὰ τὴν ἑαυτοῦ ῥᾳθυμίαν· καὶ δηλοῦσιν ὅσοι νόμον ἔλαβον, καὶ οὐκ ὠλίσθον, ἀλλὰ καὶ πλείω τῶν ἐπιτεταγμένων ἐποίησαν.

Ἀλλ' ἐπειδὴ τὸν καιρὸν ἡμᾶς ὁρῶ συνελαύνοντα νῦν, εἰς ἑτέραν διάλεξιν ἀναβαλοῦμαι τὸν λόγον· ὑμεῖς δὲ τὰ εἰρημένα τέως φυλάττετε καὶ μέμνησθε, καὶ τοὺς οὐκ ἀκηκοότας διδάσκετε, καὶ ταῦτα καὶ ἐν ἐκκλησίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ ἐν οἰκίᾳ μελετάτω ἕκαστος. οὐδὲν γὰρ ἥδιον ἀκροάσεως θείας. ἄκουσον γοῦν τί φησι περὶ ταύτης ὁ προφήτης· Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι [καὶ κηρίον] τῷ στόματί μου. τοῦτο τοίνυν παρατίθει τὸ κηρίον ἐπὶ τῆς τραπέζης τῆς ἑσπερινῆς, ὥστε πᾶσαν αὐτὴν ἡδονῆς πληρῶσαι πνευματικῆς. οὐχ ὁρᾶτε τοὺς εὐπόρους τῶν * ἀνθρώπων, πῶς μετὰ τὰ σιτία κιθαρῳδοὺς καὶ αὐλητὰς ἐπεισάγουσι; θέατρον ἐκεῖνοι ποιοῦσι τὴν ἑαυτῶν οἰκίαν, σὺ ποίησον τὴν σὴν οἰκίαν οὐρανόν· ποιήσεις δὲ, οὐχὶ τοὺς τοίχους ἀμείβων, οὐδὲ μεταλλάττων τὰ θεμέλια, ἀλλ' αὐτὸν τὸν τῶν οὐρανῶν δεσπότην ἐπὶ τὴν τράπεζαν καλῶν τὴν σήν. οὐκ ἐπαισχύνεται τὰ τοιαῦτα δεῖπνα ὁ Θεός. ἔνθα γὰρ διδασκαλία πνευματική, ἐκεῖ καὶ σωφροσύνη, καὶ σεμνότης, καὶ ἐπιείκεια· ἔνθα ἀνὴρ καὶ γυνὴ καὶ παιδία ὁμονοίᾳ καὶ φιλίᾳ καὶ τοῖς τῆς ἀρετῆς συνδεδεμένοι ὦσι δεσμοῖς, ἐκεῖ μέσος ἐστὶν ὁ Χριστός. οὐ γὰρ χρυσοῦν ὄροφον ζητεῖ, οὐδὲ ἀστραπὰς κιόνων, οὐδὲ κάλλη μαρμάρων, ἀλλὰ ψυχῆς ὥραν, καὶ διανοίας εὐμορφίαν, καὶ τράπεζαν δικαιοσύνης γέμουσαν καὶ ἐλεημοσύνης καρποὺς ἔχουσαν. κἂν ἴδῃ τοιαύτην τράπεζαν, ταχέως κοινωνεῖ τοῦ συλλόγου, καὶ παραγίνεται. καὶ γὰρ αὐτός ἐστιν ὁ εἰρηκώς· Πεινῶντά με εἴδετε, καὶ ἐθρέψατε. ὅταν οὖν ἀκούσῃς κάτωθεν πένητος μεγάλα βοῶντος, εἶτα ἀπὸ τῆς τραπέζης τῶν προκειμένων δῷς τι τῷ δεομένῳ, τὸν δεσπότην ἐκάλεσας διὰ τοῦ δούλου εἰς τὴν τράπεζαν, καὶ πᾶσαν αὐτὴν εὐλογιῶν Θεοῦ ἐνέπλησας, καὶ διὰ τῆς ἀπαρχῆς ἀφορμὴν μεγίστην τοῦ πληθύνεσθαί σοι τὰ ταμιεῖα ἀγαθῶν πολλῶν παρεσκεύασας. ὁ δὲ Θεὸς τῆς εἰρήνης καὶ τῆς ἀγάπης, ὁ διδοὺς ἄρτον εἰς βρῶσιν, καὶ σπέρμα τῷ σπείροντι, πληθύναι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύνης ὑμῶν, ἐν πᾶσιν ὑμῖν τὴν παρ' αὐτοῦ χάριν διδοὺς, καὶ καταξιώσειε τῆς βασιλείας τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς μεταχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γηΐνων

τῷ δεσπό-
Χριστῷ δι-
κας, καὶ πά-
σου τὴν
άπεζαν δι-

Ψαλμ. ριη. ργ.
καὶ ιη. ια.

Ματθ. κε. λε.

Λογ. θ. ΕΙΣ ΤΟ, ΠΩΣ ΔΕΙ ΕΠΙΤΙΜΑΝ ΤΟΙΣ ΤΩΝ ΑΔΕΛΦΩΝ ἁμαρτήμασι, καὶ ὅτι χρὴ τῆς τούτων σωτηρίας προνοεῖν, καὶ διὰ τί Ἀβρὰμ Ἀβραὰμ ἐκλήθη, καὶ εἰς τὸ ὄνομα τοῦ Νῶε· ὅτι οὐχ ἁπλῶς ταῦτα οἱ δίκαιοι ἐκαλοῦντο τὰ ὀνόματα, ἀλλὰ τῇ τοῦ Θεοῦ οἰκονομίᾳ.

Γεν. ιζ. ε.

Εἰ μὲν ἦν δυνατὸν ὑμῖν εἰδέναι, τί μὲν ἡμῖν εἴρηται, τί δὲ ὑπολέλειπται, καὶ ποῦ μὲν τὸν λόγον κατελύσαμεν πρῴην, πόθεν δὲ αὐτὸν σήμερον ἀνελέσθαι χρὴ, εὐθέως τὰ προοίμια ἀπὸ τῆς ἀκολουθίας τῶν πρῴην εἰρημένων ἐποιησάμην ἄν. ἐπειδὴ δὲ καὶ τῶν τότε ἀκηκοότων ἡμῶν πολλοὶ σήμερον οὐ παρήκασι, καὶ τῶν νῦν παρόντων τότε οὐκ ἤκουσαν, τὸ διάφορον τῶν ἀκροατῶν ἀναγκαίαν ποιεῖ γενέσθαι τῶν εἰρημένων ἡμῖν τὴν ἐξήγησιν. οὕτω γὰρ καὶ τοῖς ἐξ ἀρχῆς παρηκολουθηκόσι τῷ λόγῳ μᾶλλον ἐμπαγήσεται τούτων ἡ μνήμη, πάλιν ἀναμιμνησκομένοις ὧν ἤκουσαν, καὶ τοῖς ἀπολειφθεῖσιν οὐ τοσαύτη ἔσται βλάβη, τοῦ λόγου γνωριμωτέραν αὐτοῖς ἄνωθεν ποιοῦντος τὴν διδασκαλίαν. καὶ μὴν ἴσως ἂν εἴποιεν οἱ ἀεὶ παραγινόμενοι, ὅτι δι' αὐτοὺς μὲν οὖν τοῦτο οὐκ ἐχρῆν ἀναλαβεῖν τὰ εἰρημένα, ἵνα ἀπολειφθέντες καὶ τῆς συνάξεως καταφρονήσαντες, ἔργῳ τὴν βλάβην

ὑμῶν

βλάβην ὑπομείναντες, βελτίους γίνωνται τῇ ζημίᾳ σωφρονιζόμενοι. ἐγὼ δὲ ἐπαινῶ μὲν ὑμᾶς, ὅτι οὕτω δάκνεσθε ὑπὲρ τῆς ῥαθυμίας τῶν ἀδελφῶν, καὶ τὸν ζῆλον θαυμάζω· βούλομαι δὲ καὶ φιλανθρωπίᾳ τὸν ζῆλον ὑμᾶς κεράσαι τοῦτον. ζῆλος γὰρ συγγνώμης ἀπεστερημένος, οὐ ζῆλος, ἀλλὰ θυμὸς μᾶλλόν ἐστι, καὶ νουθεσία φιλανθρωπίαν οὐκ ἔχουσα, βασκανία τις εἶναι δοκεῖ. διὰ τοῦτο ὑμᾶς μᾶλλον παρακαλῶ μὴ πικρῶς τὰ τῶν πλησίον κρίνειν ἁμαρτήματα. ὥσπερ γὰρ ὁ χωρὶς συγγνώμης ὁρῶν τὰ τῶν ἀδελφῶν τραύματα, εἴ ποτε καὶ αὐτὸς ἁμάρτοι, οὐδένα εὑρήσει τὸν συγγνώμην αὐτῷ νέμοντα· οὕτως ὁ μετ' ἐλέου δικάζων τοῖς τῶν πλησίον παραπτώμασιν, εἴ ποτε ὑποσκελισθείη, πολλοὺς ὄψεται τοὺς χεῖρα ὀρέγοντας. καὶ ταῦτα λέγω νῦν, οὐ τὴν ῥαθυμίαν τῶν ἀπολειφθέντων αὐξῆσαι βουλόμενος, ἀλλὰ τὴν ἡμετέραν κηδεμονίαν ἐπιτεῖναι σπουδάζων, ἵνα μετὰ λόγου γίνηται καὶ φιλοστοργίας. ἐπεὶ καὶ ἡμεῖς πολλοὺς καὶ μακροὺς τῇ προτεραίᾳ κατ' αὐτῶν ἀπετείναμεν λόγους, καὶ οὐδὲ ἀνθρώπους αὐτοὺς εἶναι ἔφαμεν, καθάπερ μέμνησθε, κατηγόρους αὐτοῖς ἐπιστήσαντες δύο προφήτας τοὺς κορυφαίους· τὸν μὲν λέγοντα, Ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος· ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακουσόμενος· τὸν δὲ καταβοῶντα πάλιν καὶ πυνθανόμενον, Πρὸς τίνα λαλήσω καὶ διαμαρτύρομαι; ἀπερίτμητα τὰ ὦτα αὐτῶν, καὶ οὐ δύνανται ἀκούειν· καὶ σφόδρα αὐτῶν διὰ τούτων καὶ τῶν τοιούτων ἐδάκομεν τὴν διάνοιαν· ἀλλὰ νῦν αὐτοὺς πάλιν παρακαλοῦμεν. οὕτω γὰρ καὶ ὁ Παῦλος ἐκέλευσεν. Ἔλεγξον γάρ, φησιν, ἐπιτίμησον, παρακάλεσον. οὔτε γὰρ τοῦτο ἀεὶ χρὴ ποιεῖν μόνον, οὔτε ἐκεῖνο μόνον, ἀλλ' ἑκάτερα μίξαντα ἀπηρτισμένην ἐργάζεσθαι τὴν ὠφέλειαν. ἄν τε γὰρ διαπαντὸς ἐλέγχωμεν, ἀναισχυντοτέρους αὐτοὺς ἀπεργαζόμεθα· ἄν τε διαπαντὸς παρακαλῶμεν, ῥαθυμοτέρους ποιοῦμεν. διὰ τοῦτο καὶ ἰατροὶ οὐχὶ τέμνουσι μόνον, ἀλλὰ καὶ τραύματα ἐπιδεσμοῦσιν, οὐδὲ ἀεὶ φάρμακα πικρὰ ἐπιβάλλουσιν, ἀλλὰ καὶ προσηνῆ πολλάκις· δι' ἐκείνων μὲν τῶν προτέρων τὸ σεσηπὸς ἀποκαθαίροντες, διὰ τούτων δὲ τῶν δευτέρων τὴν ἐξ ἐκείνων ὀδύνην παραμυθούμενοι. διὰ τοῦτο καὶ ἀλλαχοῦ φησιν ὁ Παῦλος· Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον, σκοπῶν σεαυτὸν μὴ καὶ σὺ πειρασθῇς. ἀρίστη παραίνεσις, ἀπηρτισμένη συμβουλή, πολλὴν ἔχουσα τὴν κηδεμονίαν, σπλάγχνα ἐνδεικνυμένη πατρικά· ὄντως τῆς Παύλου γλώττης τὰ ῥήματα, ἀδελφοί. εὐθέως ἀπὸ τοῦ τῆς συγγενείας ὀνόματος πρὸς τὴν εὔνοιαν ἐπεσπάσατο τὸν ἀκροατήν. τὰς αὐτὰς ὠδῖνας ἔλυσας αὐτῷ, τὰς αὐτὰς ἐτράφης τροφάς, τὸν αὐτὸν ἔχεις πατέρα, ἐκοινώνησας αὐτῷ κατὰ τὸν τόκον τὸν πνευματικόν· τὴν συγγένειαν τοίνυν ταύτην καὶ ἐν τῇ τῶν πτωμάτων ἐπιδείκνυσο διορθώσει. ἐὰν προληφθῇ. οὐκ εἶπεν, ἐὰν ἁμάρτῃ, ἀλλ' ἐπὶ εἶδος ἁμαρτίας κατέφυγε συγγνώμην ἔχον. τὸ γάρ, ἐὰν προληφθῇ, τοῦτ' ἔστιν, ἐὰν ἐπηρεασθῇ, ἐὰν ἀπατηθῇ, οὐ τὸν ἐκ μελέτης ἁμαρτήσαντα λέγων, ἀλλὰ τὸν σπουδάζοντα μὲν κατορθῶσαι, ὑπὸ περιστάσεως δὲ διαβολικῆς ὑποσκελιζόμενον. ὁ γὰρ τοιοῦτος οὐ τοσοῦτον κατηγορίας, ὅσον συγγνώμης ἐστὶν ἄξιος. ἐὰν καὶ προληφθῇ ἄνθρωπος. πάλιν ἐφ' ἕτερον εἶδος συγγνώμης κατέφυγε, τῆς φύσεως τὴν ἀσθένειαν, ἣν διὰ τῆς προσηγορίας ᾐνίξατο. καθάπερ οὖν καὶ ὁ μέγας Ἰὼβ ἐπισπάσασθαι παρὰ τοῦ Θεοῦ συγγνώμην βουλόμενος, ἔλεγε, Τί ἐστιν ἄνθρωπος, ὅτι λογίζῃ αὐτόν, καὶ ἐπισκοπὴν ἐποιήσω τῶν ἁμαρτημάτων αὐτοῦ; οὕτω καὶ ἡμεῖς ποιοῦμεν, ὅταν τινὰ τῶν ἡμαρτηκότων ἐξαιτώμεθα, ἄνθρωπός ἐστι συνεχῶς λέγοντες, καὶ τῆς φύσεως ἀναμιμνήσκοντες, καὶ ταύτῃ πρὸς ἔλεον ἐφελκόμενοι τὸν ἀγανακτοῦντα. διὰ τοῦτο καὶ ὁ Παῦλος ἐπὶ τὴν φύσιν καὶ τὴν εὐτέλειαν αὐτῆς κατέφυγεν εἰπών, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι. οὐχ ἁπλῶς τὰ μεγάλα λέγει ἁμαρτήματα, τὰ συγγνώμης μείζονα καὶ τὰ φιλανθρωπίας οὐκ ἄξια, ἀλλὰ τὰ μικρὰ καὶ κατεσταλμένα. ὑμεῖς οἱ πνευματικοί. ὁ μὲν ἁμαρτών, ἄνθρωπος, οἱ δὲ κατορθοῦντες, πνευματικοί. ἐκεῖ τῆς φύσεως εἶπε τὸ ὄνο-

Ησ. ν. β.

Ιερ. ϛ. ι.

β. Τιμ. δ. β.

Γαλ. ϛ. α.

γρ. ὑμετέραν

γρ. ἑαυτὸν

γρ. Τίς

μα, ἐνταῦθα τὴν ἀρετὴν ἔθηκε τὴν προσηγορίαν. πολὺ δὲ τὸ μέσον τοῦ ἀνθρώπου καὶ τοῦ πνευματικοῦ. ὑμεῖς οἱ πνευματικοί. εἰ πνευματικὸς εἶ, δεῖξόν μοι τὴν ἰσχύν σου, μὴ ἀπὸ τῆς σῆς σωτηρίας, ἀλλὰ καὶ ἀπὸ τῆς ἐμῆς σωτηρίας, ἀλλὰ καὶ ἀπὸ τῆς βοηθείας τῆς εἰς τὸν πεπτωκότα. τοῦτο γὰρ πνευματικοῦ, μὴ περιορᾶν τὰ οἰκεῖα μέλη ἠμελημένα. καταρτίζετε τὸν τοιοῦτον· ἀχείρωτον ποιεῖτέ, φησιν, ἀκαταγώνιστον, ἄμαχον τῷ διαβόλῳ. σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς. αὕτη μεγίστη συμβουλή, ἀναγκαστικὴ παραίνεσις. κἂν λίθος ᾖ ὁ ἀκούων, ἱκανὸν αὐτὸν φοβῆσαι τὸ ῥῆμα, καὶ πρὸς ἀνάληψιν διεγεῖραι τοῦ πεπτωκότος. οὐ βούλει, φησίν, ὡς ἀδελφὸς ἐλεῆσαι; οὐ βούλει ὡς ἀνθρώπῳ ὄντι δοῦναι συγγνώμην; οὐ βούλει ὡς πνευματικὸς χεῖρα ὀρέξαι; τὰ κατὰ σαυτὸν σκόπησον, καὶ οὐ δεήσῃ τοῦ συμβουλεύοντος ὥστε βοηθῆσαι τῷ κειμένῳ, ἀλλ᾽ οἴκοθεν καὶ παρὰ σαυτοῦ δέξαι τὴν παραίνεσιν. πῶς καὶ τίνι τρόπῳ; σκοπῶν σεαυτόν, φησι, μὴ καὶ σὺ πειρασθῇς. οὐκ εἶπε, πάντως γὰρ καὶ σὺ ἁμαρτήσῃ, ἵνα μὴ φορτικώτερον ποιήσῃ τὸν λόγον· ἀλλὰ πῶς; μή ποτε καὶ σὺ πειρασθῇς. ἴσως δὲ ἁμαρτήσῃ, ἴσως δὲ οὐχ ἁμαρτήσῃ. ἐπεὶ οὖν ἄδηλον τὸ μέλλον, προαπόθου σοι φιλανθρωπίας ἔρανον, δι᾽ ὧν εἰς τὸν πλησίον ποιεῖς. ἢν ποτε περιτραπείης, πολλὴν εὑρήσεις συγγνώμης ἀποθήκην ἀποκειμένην. οὐκ εἶπε, μή ποτε καὶ σὺ ἁμάρτῃς, μή ποτε καὶ σὺ πέσῃς (προσέχετε ἀκριβῶς τῇ δυνάμει τῶν ῥημάτων αὐτῶν) ἀλλά, μή ποτε καὶ σὺ πειρασθῇς. ἔδειξεν ὅτι πειρατὴν ἔχομεν ἐχθρόν· ὁ δὲ πειρατὴς οὐχ ὡμολογημένον τῆς ἐπιθέσεως τὸν καιρὸν ἔχει, ἀλλὰ πολλάκις ἡμῖν καὶ καθεύδουσι καὶ ῥαθυμοῦσιν ἐπιτίθεται. διὰ τοῦτο κἀκεῖνος ὁ προληφθεὶς συγγνώμης ἄξιος, ἐπειδὴ ὑπὸ πειρατοῦ ἑάλω. οὐ γὰρ ἦν αὐτῷ φανερὰ ἡ μάχη, οὐδὲ ὡμολογημένος ὁ καιρὸς τοῦ πολέμου, ἀλλὰ ἀγνοοῦντι ἐπέθετο, καὶ διὰ τοῦτο περιεγένετο. οὕτω καὶ οἱ πλέοντες τὴν θάλατταν τὴν μεγάλην ταύτην καὶ εὐρύχωρον ποιοῦσι. κἂν ἐξ οὐρίων αὐτοῖς φέρηται τὸ σκάφος, κἂν πάσης ἀπολαύωσιν ἀσφαλείας, ἴδωσι δὲ πόρρωθεν ναυαγήσαντας ἑτέρους, οὐ πρὸς τὴν οἰκείαν εὐπραγίαν βλέποντες, τῆς ἐκείνων καταφρονοῦσι συμφορᾶς· ἀλλὰ τὸ πλοῖον στήσαντες, καὶ τὰς ἀγκύρας χαλάσαντες, καὶ τὰ ἱστία καθελόντες, ἐξακοντίζουσι σχοίνους, καὶ ῥίπτουσι σανίδας, ὥστε ἐκεῖνον τὸν ὑπὸ τῶν κυμάτων βαπτίζεσθαι μέλλοντα ἑνὸς τούτων ἐπιλαμβανόμενον, διαφεύγειν τὸ ναυάγιον. μίμησαι τοίνυν καὶ σὺ τοὺς ναύτας, ἄνθρωπε. καὶ γὰρ καὶ σὺ θάλατταν πλεῖς μεγάλην καὶ εὐρύχωρον, τὸ μῆκος τοῦ παρόντος βίου, θάλατταν θηρία ἔχουσαν καὶ πειρατάς, θάλατταν σκοπέλους ἔχουσαν καὶ σπιλάδας, θάλατταν ὑπὸ κυμάτων ταραττομένην πολλῶν καὶ χειμώνων· καὶ πολλοὶ πολλάκις καὶ ἐν τῇ θαλάττῃ ταύτῃ ναυαγίῳ περιπίπτουσιν. ὅταν οὖν ἴδῃς τινὰ τῶν πλεόντων ὑπό τινος περιστάσεως διαβολικῆς ″ἀπολύσαντα τὸν πλοῦτον τῆς σωτηρίας, καὶ κλυδωνιζόμενον καὶ μέλλοντα ὑποβρύχιον γίνεσθαι, στῆσόν σου τὸ πλοῖον, κἂν ἑτέρωθι σπεύδῃς, προνόησον τῆς ἐκείνου σωτηρίας, τὰ κατὰ σαυτὸν ἀφείς. οὐ γὰρ ἀνέχεται ἀναβολῆς, οὐδὲ βραδυτῆτος ὁ βαπτίζεσθαι μέλλων. ἐπίστηθι τοίνυν ταχύ, ἐξάρπασον αὐτὸν ὀξέως τοῦ κλυδωνίου, πάντα κίνησον κάλων, ὥστε αὐτὸν ἀνιμήσασθαι ἐκ τοῦ βάθους τῆς ἀπωλείας. κἂν μυρία σε ἕλκῃ πράγματα, μηδὲν ἔστω τῆς σωτηρίας τοῦ κάμνοντος ἀναγκαιότερον. κἂν γὰρ μικρὸν ἀναβαλέσθαι βουληθῇς, προδώσεις αὐτὸν τῇ τοῦ χειμῶνος ὀξύτητι. διὸ τάχους ἡμῖν ἐν ταῖς τοιαύταις συμφοραῖς δεῖ, τάχους καὶ σπουδῆς ἐπιτεταμένης. ἄκουσον πῶς Παῦλος ἐπείγεται, καὶ ἑτέρους διανίστησι πολλούς. ἰδὼν τινὰ ἄνθρωπον βυθίζεσθαι μέλλοντα, Κυρώσατε εἰς αὐτὸν ἀγάπην, φησί, μή πως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. διὰ τοῦτο κελεύει ταχέως ὀρέξαι χεῖρα, ἵνα μή, μελλόντων ἡμῶν καὶ ἀναβαλλομένων, φθάσῃ καταποθῆναι ἐκεῖνος. γενώμεθα τοίνυν κηδεμονικοὶ περὶ τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους. τοῦτο κεφάλαιον τῆς καθ᾽ ἡμᾶς πολιτείας ἐστί, τοῦτο γνώρισμα, τὸ μὴ τὰ ἑαυτῶν σκοπεῖν μόνον, ἀλλὰ καὶ τὰ μέλη ἡμῶν διεστραμμένα διορθοῦν καὶ καταρτίζειν· τοῦτο δεῖγμα τῆς πίστεως μέγιστον.

″ἀπολέσαντα

β. Κορ. β. η.

μέγιστον. Ἐν τούτῳ γὰρ γνώσονται, φησὶ, πάντες ὅτι μαθηταί μού ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλή-
Ἰωάν. ιγ. λε. λους. ἀγάπην δὲ δείκνυσι γνησίαν οὐ κοινωνία τραπέζης, οὐδὲ πρόσρησις ψιλὴ, οὐδὲ κο-
λακεία ῥημάτων, ἀλλὰ τὸ διορθῶσαι καὶ σκοπῆσαι τὸ συμφέρον τοῦ πλησίον, τὸ τὸν πεπτωκότα
διαναστῆσαι, τὸ τῷ κάμνοντι χεῖρα ὀρέξαι τῆς οἰκείας ἀμελήσαντι σωτηρίας, καὶ περὶ τῶν οἰκεί-
α. Κορ. ιγ. ε. ων ἀγαθῶν τὰ τοῦ πλησίον ζητῆσαι. τοῦτο ἀγάπης γνησίας*. ἡ γὰρ ἀγάπη τὰ αὑτῆς οὐ * τεκμήριον
βλέπει, ἀλλὰ πρὸ τῶν αὑτῆς τὰ τοῦ πλησίον ὁρᾷ, ἵνα δι' ἐκείνων τὰ αὑτῆς εἴδῃ. ἐπεὶ
καὶ ἐγὼ νῦν, οὐχὶ δι' ἐμαυτὸν ἀποτείνω τοσούτους λόγους, ἀλλὰ δι' ὑμᾶς· καὶ ὑμεῖς τοίνυν μὴ
δι' ἑαυτοὺς ἀκούετε μόνον, ἀλλὰ καὶ δι' ἑτέρους τοὺς παρ' ὑμῶν παιδεύεσθαι μέλλοντας. κατὰ γὰρ
τὴν ἀκολουθίαν τῶν μελῶν, καὶ τὸ τῆς ἐκκλησίας τρέφεται σῶμα. ὥσπερ οὖν τὸ μέλος, ἐὰν κα-
τάσχῃ παρ' ἑαυτῷ τὴν τροφὴν πᾶσαν, καὶ μὴ μεταδῷ τῷ πλησίον, καὶ ἑαυτὸ λυμαίνεται καὶ τὸ λοιπὸν
διαφθείρει σῶμα· οἷον, ὁ στόμαχος, ἐὰν τὴν τροφὴν αὐτὸς κατάσχῃ μόνος, καὶ τὸ λοιπὸν σῶμα τῷ λιμῷ
κατατήκει, καὶ ἑαυτὸν ὑπὸ τῆς ἀμετρίας διαφθείρει· ἂν δὲ τὸ ἀρκοῦν λαβὼν κατὰ τὴν
φυσικὴν ἀκολουθίαν, τὸ λοιπὸν τοῖς ἑτέροις παραπέμψῃ μέλεσι, καὶ ἑαυτὸν καὶ τὸ λοιπὸν σῶμα
ἐν ὑγείᾳ διατηρεῖ· οὕτω καὶ σὺ νῦν, ἂν ἀκούσας τὰ παρ' ἡμῶν κατάσχῃς, ἑτέρῳ δὲ μὴ μετα-
δῷς, κἀκεῖνον ἐζημίωσας καὶ σεαυτὸν διέφθειρας, χαλεπώτατα νοσήματα ἐπισπασάμενος, γρ. ἑαυτὸν
νωθείαν καὶ φθόνον. ἢ γὰρ διὰ πονηρίαν, ἢ διὰ ἀργίαν καὶ ῥαθυμίαν οὐ μεταδίδομεν ἑτέροις.
ὁπότερον δὲ ἂν ᾖ τούτων, ἱκανὸν ἀπολέσαι τὸν ἔχοντα. ἂν δὲ ἀφθόνως καὶ εἰς ἑτέρους παρα-
πέμψῃς τὴν τροφὴν, καὶ ἑαυτὸν καὶ ἐκεῖνον ὠφέλησας.

Ἀλλ' ὑπὲρ μὲν τούτων ἱκανὰ τὰ εἰρημένα· δεῖ δὲ λοιπὸν ἐπὶ τὴν ἀκολουθίαν ἐλθεῖν
τῶν πρώην λεχθέντων. τίνα οὖν ἦν ἐκεῖνα; περὶ Σαύλου καὶ Παύλου τότε ἐζητοῦμεν,
διὰ τί ποτὲ μὲν Σαῦλος, ποτὲ δὲ Παῦλος ἐλέγετο. εἶτα ἐξέβημεν ἐκ τῆς ἀκολουθίας
ταύτης εἰς ὀνομάτων ἱστορίαν πολλήν. καὶ ἐπειδὴ ἐξέβημεν ἀπ' αὐτῶν, οὐκ ἔδοξεν ἡμῖν ἄξιον
εἶναι παραδραμεῖν τὴν ἐμπορίαν ἐκείνην. εἰ γὰρ καὶ διὰ Παῦλον ἤλθομεν ἐπὶ τὴν
ὑπόθεσιν ταύτην, ἀλλ' ὅμως καὶ τὴν τῶν ἄλλων ὀνομάτων εὕρεσιν ἐμπορεύσασθαι ἔγνω-
μεν. οὕτω καὶ οἱ τὴν θάλατταν πλέοντες κατ' ἐμπορίαν ποιοῦσι πολλάκις, ὑπὲρ
πραγματείας ὀλίγων τινῶν ἐπιδημήσαντες· ἐπειδὰν εἰς τὴν πόλιν ἐλθόντες, εἰς ἣν ἐστέλ-
λοντο, ἴδωσι καὶ ἑτέρων ἀγωγίμων ἔχουσαν ἀφθονίαν, πολλῷ πλείονα τῆς παρεσκευασμένης
ποιοῦνται τὴν ἐμπορίαν. κἂν ἐγκαλέσῃ τις, ταῦτα λέγουσι τὰ ῥήματα· μακρὰν, φασὶν,
ἤλθομεν ὁδὸν, πολλοὺς χειμῶνας ὑπεμείναμεν, πολλοὺς κινδύνους, διαπόντιον ἀποδημίαν
ἐστειλάμεθα· τί δὴ κωλύει ἀφθονωτέραν γενέσθαι τὴν πραγματείαν ἡμῖν; ταῦτα δὴ καὶ ἡμεῖς
ἀπολογώμεθα. καὶ γὰρ ἡμεῖς ζητοῦντες περὶ τοῦ ὀνόματος τοῦ Παύλου, εὕρομεν ἐκ τῆς ἀκολουθίας καὶ
ἑτέραν ἐμπορίαν ὀνομάτων, οἷον τί ὁ Πέτρος Σίμων ἐκαλεῖτο πρὸ τούτου, καὶ οἱ υἱοὶ Ζεβεδαίου, Ἰά-
κωβος καὶ Ἰωάννης, υἱοὶ βροντῆς ὠνομάσθησαν· εὕρομεν καὶ ἐν τῇ παλαιᾷ τὸν Ἀβραὰμ πρὸ τούτου
μὲν Ἀβρὰμ καλούμενον, μετὰ δὲ ταῦτα Ἀβραάμ, καὶ τὸν Ἰακὼβ Ἰσραὴλ μετακληθέντα, καὶ τὴν
Σάρραν Σάραν· εὕρομεν πρὸς τούτοις, ὅτι ἕτεροί τινες οὐ μετωνομάσθησαν, ὥσπερ οὗτος, ἀλλ' ἴσ. οὗτοι
ἐξ ἀρχῆς ἔλαβον τὰ ὀνόματα, ὥσπερ Ἰωάννης ὁ Βαπτιστής, ὡς ὁ Ἰσαάκ, ὡς ὁ Ἀδάμ. ἄτοπον
τοίνυν ἡμῖν ἔδοξεν εἶναι καὶ βλακείας ἐσχάτης, τοσοῦτον ἀπὸ τῶν χειρῶν ῥῖψαι θησαυρόν. διὰ
τοῦτο μακρότερον ἐποιησάμεθα τὸν λόγον, καὶ περὶ τῶν ἐξ ἀρχῆς ὀνομασθέντων πρώην εἰπόντες,
σήμερον διανοούμεθα περὶ τῶν διωνύμων εἰπεῖν, ὧν εἷς ἐστὶν ὁ Ἀβραάμ. ὁ μὲν γὰρ Ἀδὰμ
Γεν. ιζ. ε. τοῦτο ἐκλήθη διαπαντὸς τὸ ὄνομα, καὶ οὐκ ἔσχεν ἕτερον· καὶ ὁ Ἰσαὰκ οὕτω πάλιν οὐκ ἐδέξατο
δευτέραν προσηγορίαν, ἀλλ' ἐξ ἀρχῆς μέχρι τέλους Ἰσαὰκ ἐλέγετο· ὁ δὲ τοῦ Ἰσαὰκ πατὴρ,
Ἀβρὰμ πρὸ τούτου μὲν ἐλέγετο, μετὰ δὲ ταῦτα Ἀβραάμ. Εἶπε γὰρ πρὸς αὐτὸν ὁ Θεὸς, φησὶν,
οὐκέτι ἔσται τὸ ὄνομά σου Ἀβρὰμ, ἀλλὰ Ἀβραὰμ κληθήσεται τὸ ὄνομά σου. καὶ γὰρ Ἀ-
βρὰμ ἐκαλεῖτο τὸ πρότερον, ἀλλὰ τοῦτο τὸ ὄνομα οὐκ ἔστιν ἑλληνικὸν, οὐδὲ τῇ ἡμετέρᾳ

γλώττῃ, ἀλλὰ τῇ τῶν Ἑβραίων οὕτω λέγεται. Τί δαί ἐστιν ἑρμηνευόμενον τὸ ὄνομα τοῦτο; περάτης. καὶ γὰρ τὸ Ἀβραὰμ τῇ Σύρων φωνῇ τὸ πέραν λέγεται, καὶ ἴσασιν ὅσοι τῆς φωνῆς ταύτης εἰσὶν ἔμπειροι. πολλὴ δὲ τῇ Σύρων φωνῇ πρὸς τὴν τῶν Ἑβραίων γλῶτταν ἡ συγγένεια. καὶ διατί περάτης ἐλέγετο, φησίν; ἡ Ἰουδαία χώρα, τουτέστιν, ἡ Παλαιστίνη πᾶσα, ἡ ἀπὸ τῆς Αἰγύπτου μέχρι τοῦ Εὐφράτου, καὶ ἀντικρὺ κεῖται τῆς Βαβυλωνίας, ὅθεν ἦν ὁ Ἀβραάμ· καὶ μέσος ῥεῖ δι' ἀμφοτέρων ὁ ποταμός, κοινὸν μεθόριον ὢν ἑκατέρας τῆς γῆς. ἐπεὶ οὖν οὐκ ἀπὸ τῆς Παλαιστίνης ἦν, ἀλλ' ἀπὸ τοῦ πέραν ἦλθεν ἀπὸ τῆς Βαβυλωνίας, διὰ τοῦτο ἀπὸ τοῦ τόπου καὶ τοῦ πράγματος τὸ ὄνομα ἔλαβε, καὶ περάτης ἐλέγετο, ἐπειδὴ ἀπὸ τοῦ πέραν ἦλθε. διὰ τί δὲ ἀπὸ τοῦ πέραν ἦλθεν; ἐπειδὴ ὁ Θεὸς ἐκέλευσε. καὶ διὰ τί ὁ Θεὸς ἐκέλευσεν; ἵνα δείξῃ τὴν ὑπακοὴν τοῦ δικαίου. καὶ πῶς ἐδείκνυ τὴν ὑπακοὴν τοῦ δικαίου; ὅτι διὰ τὸ αὐτοῦ πρόσταγμα τὴν οἰκείαν ἀφεὶς, τὴν ἀλλοτρίαν ἀντὶ ἐκείνης ἠλλάξατο. εἶδες πόση πλέκεται σειρὰ ἀπὸ τῆς τοῦ δικαίου προσηγορίας; ὁλόκληρον ἡμῖν πέλαγος ἱστορίας τὸ ὄνομα ἤνοιξε τοῦτο. μάθε τοίνυν αὐτοῦ τὸ ὄνομα τὸ παλαιόν, ἵνα ὅταν ἴδῃς αὐτὸν τὴν Παλαιστίνην οἰκοῦντα, διὰ τῆς προσηγορίας αὐτοῦ πρὸς τὴν ἀρχαίαν πατρίδα χειραγωγούμενος, καὶ μανθάνων τὴν αἰτίαν, δι' ἣν αὐτὴν ἐγκατέλιπεν, ἱκανὴν πρὸς τὸν αὐτὸν ζῆλον λάβῃς παράκλησιν. ἄνθρωπος γὰρ πρὸ νόμου καὶ τῆς ἐννόμου πολιτείας ὤν, τὴν ἐν τῇ χάριτι φιλοσοφίαν ἐπεδείξατο, καὶ ὅπερ ἔλεγεν ὕστερον ὁ Χριστὸς τοῖς ἀποστόλοις· Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐκ ἔστιν, ὅστις ἀφῆκεν οἰκίαν, ἢ ἀδελφούς, ἢ ἀδελφάς, ἢ πατέρα, ἢ μητέρα, ὃς οὐχ ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει· τοῦτο ἐκεῖνος διὰ τῶν ἔργων πρὸ τῆς χάριτος ἐποίησεν. οὐκ ἀπὸ τούτου δὲ μόνον τὴν φιλοσοφίαν ἐστὶν ἰδεῖν τοῦ δικαίου, ἀλλὰ καὶ ἀπὸ τῆς ὑποσχέσεως αὐτῆς τοῦ Θεοῦ. δεῦρο γάρ, φησιν, εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω. εἰ γὰρ καὶ ἀμφότεραι αἰσθηταὶ αἱ πατρίδες, ἀλλ' ἡ μὲν οἰκεία ἦν, ἡ δὲ ἀλλοτρία· καὶ ἡ μὲν φανερά, ἡ δὲ ἄδηλος· καὶ ἡ μὲν ἐν χερσίν, ἡ δὲ ἐν ἐλπίσι. καὶ ὅμως τὰ φανερὰ καὶ δῆλα καὶ τὰ ἐν χερσὶν ἀφεὶς, πρὸς τὰ ἀφανῆ καὶ ἄδηλα, καὶ ὧν οὐκ ἦν κύριος ἔτρεχεν, ἵνα σε πείσῃ καὶ παιδεύσῃ, ὅταν ὁ Θεὸς τὰ μὲν δῆλα ἀφεῖναι κελεύῃ, πρὸς δὲ τὰ ἄδηλα βλέπειν, μὴ ἀντιλέγειν μηδὲ ἀμφισβητεῖν. οὐ γὰρ οὕτω δῆλα ἐστὶ τὰ ἐν χερσίν, ὡς ἐκεῖνα τὰ ἐν ἐλπίσιν· οὐχ οὕτω δήλη ἐστὶν ἡ παροῦσα ζωή, ὡς ἐκείνη ἡ μέλλουσα. ταύτην μὲν γὰρ ὁρῶμεν τοῖς ἡμετέροις ὀφθαλμοῖς, ἐκείνην ὁρῶμεν τοῖς τῆς πίστεως ὀφθαλμοῖς· ταύτην ὁρῶμεν ἐν ταῖς ἡμετέραις χερσὶ κειμένην, ἐκείνην ὁρῶμεν καὶ ταῖς ἐπαγγελίαις τοῦ Θεοῦ φυλαττομένην. αἱ δὲ ἐπαγγελίαι τοῦ Θεοῦ πολλῷ δυνατώτεραι τῶν ἡμετέρων χειρῶν. βούλει μαθεῖν πῶς αὕτη μὲν ἡ ζωὴ ἡ παροῦσα ἐν ἀδήλῳ κεῖται διαπαντός, ἐκείνη δὲ ἡ μέλλουσα, ἡ δοκοῦσα ἄδηλος εἶναι, φανερωτέρα τῆς παρούσης ἐστὶ καὶ βεβαιοτέρα καὶ μόνιμος; ἐξετάσωμεν, εἰ δοκεῖ, τὰ λαμπρὰ τῆς παρούσης ζωῆς, τὸν πλοῦτον, τὴν δόξαν, τὴν δυναστείαν, τὰς τιμὰς τὰς παρὰ ἀνθρώπων, καὶ ὄψει τούτων οὐδὲν ἀδηλότερον. τί γὰρ ἀπιστότερον πλούτου τοῦ μηδὲ μέχρι τῆς ἑσπέρας πολλάκις ἡμῖν παραμένοντος; καθάπερ γὰρ δραπέτης ἀγνώμων ἀπὸ τούτου εἰς ἐκεῖνον συνεχῶς μεθίσταται, καὶ πάλιν ἀπὸ τούτου πρὸς ἄλλον· τοιοῦτόν τι καὶ ἡ δόξα ἐστίν. ὁ γὰρ πρὸ τούτου λαμπρὸς καὶ ἐπίσημος, ἄτιμος καὶ ἀνώνυμος ἐξαίφνης γίνεται· καὶ τὸ ἐναντίον πάλιν. καὶ καθάπερ τὸν τροχὸν συνεχῶς στρεφόμενον οὐκ ἔστιν ὁρᾷν ἐπὶ τοῦ αὐτοῦ τῆς ἄντυγος μέρους (τῇ γὰρ πυκνότητι τῆς δίνης διαπαντὸς τὰ ἄνω κάτω γίνεται, καὶ τοὐναντίον πάλιν) οὕτω καὶ ἡ τῶν πραγμάτων τῶν ἡμετέρων φορὰ συνεχῶς στρεφομένη, τὰ ἄνω κάτω ποιεῖ· οὕτω καὶ ἐπὶ τοῦ πλούτου, καὶ ἐπὶ τῆς δυναστείας, καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. οὐδέποτε ἐπὶ τῆς αὐτῆς ἕστηκεν ἕδρας, ἀλλὰ τὰ τῶν ποταμῶν μιμεῖται ῥεύματα, μηδαμοῦ ποτε ἱστάμενα. τί οὖν τούτων γένοιτ' ἂν ἀδηλότερον, τῶν οὕτω συνεχῶς μεταβαλλομένων, καὶ πρὶν ἢ φανῆναι ἀφιπταμένων, πρὶν ἢ παραγενέσθαι ἀποπηδώντων; διὰ τοῦτο καὶ ὁ προφήτης περὶ τρυφῆς

Ματθ. ιθ. κθ.

καὶ πλούτου καὶ τῶν τοιούτων διαλεγόμενος, καὶ σκώπτων εἰς τοὺς πρὸς αὐτὰ κεχηνότας, ὡς διαμένοντα, φησιν, Ὡς ἑστῶτα ἐλογίσαντο ταῦτα, καὶ οὐχ ὡς φεύγοντα. οὐκ εἶπεν, οὐ παρερχόμενα, ἀλλ᾽, ὃ πολλῷ μεῖζόν ἐστιν, ὡς φεύγοντα. οὐδὲ γὰρ ἠρέμα ἀναχωρεῖ, ἀλλὰ μετὰ πολλοῦ τοῦ τάχους. ἀλλ᾽ οὐχ ὁ πατριάρχης οὕτως, ἀλλὰ πάντα ταῦτα ἀφεὶς, πρὸς τὰς ἐπαγγελίας τὰς παρὰ τοῦ Θεοῦ μόνον ἔβλεπε, προοδοποιῶν ἡμῖν πρὸς τὴν τῶν μελλόντων πίστιν, ἵν᾽, ὅταν ἐπαγγέλληταί σοι ὁ Θεὸς τὰ μέλλοντα καὶ οὐχ ὁρώμενα, μὴ λέγῃς ὅτι ἄδηλά ἐστιν ἐκεῖνα καὶ ἀφανῆ. τὰ γὰρ ἄδηλα ἐκεῖνα τούτων ἐστὶ σαφέστερα τῶν ὁρωμένων, ἐὰν τοὺς τῆς πίστεως ἔχωμεν ὀφθαλμούς. εἰ γὰρ καὶ μὴ ἑωράκαμεν αὐτὰ, ἀλλ᾽ ὁ Θεὸς αὐτὰ ἐπηγγείλατο καὶ ὑπέσχετο. ὅταν δὲ ὁ Θεὸς ἐπαγγέλληται, οὐδεμία μεταβολὴ τῆς ὑποσχέσεως ἀπαρέται· ὥστε ἐκεῖνα μάλιστα μένει καὶ πέπηγεν ἐν τῇ χειρὶ τοῦ Θεοῦ. ἐκ γὰρ τῆς χειρὸς τοῦ Θεοῦ ἁρπάζειν οὐδεὶς δύναται, φησίν. Ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ πατρός μου οὐδεὶς δύναται. ἐπεὶ οὖν οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ Θεοῦ, ἐν δήλῳ μένει θησαυρῷ διαπαντός. ταῦτα δὲ παντοίαις μεταβολαῖς ὑπόκειται καὶ τροπαῖς. διὰ τοῦτο πολλάκις τὸν μὲν πόνον αὐτῶν ὑπομένομεν, τοῦ δὲ τέλους αὐτῶν ἀποστερούμεθα. ἐπὶ δὲ τῶν ἐλπίδων ἐκείνων οὐκ ἔνι τοῦτο, ἀλλὰ τὸν πονέσαντα πάντως δεῖ καὶ τῶν στεφάνων ἐπιτυχεῖν. Ἡ γὰρ ἐλπὶς οὐ καταισχύνει. Θεοῦ γάρ ἐστιν ὑπόσχεσις, καὶ τὸν ὑποσχόμενον μιμεῖται τὰ δῶρα. ἀφεὶς τοίνυν τὰ ἄδηλα, κάτεχε τὰ φαινόμενα. τὰ γὰρ φαινόμενα οὐ τὰ παρόντα ἐστὶν, ἀλλὰ τὰ μέλλοντα. Εἰ δέ τινες πρὸς τὰ παρόντα ἐπτοημένοι, τῶν μελλόντων ὑπερορῶσιν, ἐπειδὴ ἀσθενέστεροί εἰσι τοῦ ὕψους τῆς ἐλπίδος ἐκείνης, διὰ τοῦτο ὑπερορῶσιν, οὐκ ἐπειδὴ ἀφανῆ ταῦτά ἐστι καὶ ἄδηλα. σκόπει γοῦν τὴν φιλοσοφίαν τοῦ δικαίου. ὁ Θεὸς ἐπηγγείλατο αὐτῷ αἰσθητὰ πράγματα, καὶ αὐτὸς νοητὰ ἐζήτει. καὶ ποῦ ὁ Θεὸς αἰσθητὰ αὐτῷ ἐπηγγείλατο, αὐτὸς δὲ νοητὰ ἤθελεν; Ἔξελθε, φησιν, ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου, καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω. αἰσθητὴ καὶ ἡ προτέρα γῆ, καὶ ἡ μέλλουσα δίδοσθαι ὕστερον. τί οὖν αὐτός; μᾶλλον δὲ μὴ αὐτοῦ ἀκούσωμεν, ἀλλὰ Παύλου περὶ αὐτοῦ λέγοντος· ἵνα μάθωμεν ὅτι οὐ πρὸς ταύτην ἔβλεπε τὴν γῆν, εἰ καὶ ταύτην ἐπηγγείλατο ὁ Θεὸς, ἀλλὰ τὰ παρόντα ἀφεὶς, πρὸς τὰ μέλλοντα ἐκεχήνει. τί οὖν ὁ Παῦλός φησι; Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, περὶ Ἀβραὰμ λέγων, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ τῶν δικαίων ἁπάντων. οὐδὲ γὰρ Ἀβραὰμ μόνος, ἀλλὰ πάντες τῆς αὐτῆς ἦσαν φιλοσοφίας κοινωνοί. κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες. τί λέγεις; οὐκ ἐκομίσατο τὰς ἐπαγγελίας ὁ Ἀβραὰμ, οὐδὲ ἦλθεν εἰς τὴν Παλαιστίνην; ψεῦδος οὖν τὰ εἰρημένα; οὐχί, φησιν. ἦλθε μὲν γὰρ εἰς τὴν Παλαιστίνην, οὐ πρὸς ταύτην δὲ ἔβλεπε τὴν ἐπαγγελίαν, ἀλλ᾽ ἑτέρας ἐπεθύμει τῆς ἐν οὐρανοῖς, καὶ τῶν παρόντων ξένον ἑαυτὸν ἐνόμιζεν εἶναι ἁπάντων. ὅπερ οὖν καὶ αὐτῷ μαρτυρῶν ὁ Παῦλος ἐπήγαγε· Καὶ ὁμολογήσαντες ὅτι ξένοι καὶ παρεπίδημοί εἰσι. ξένος ὁ πατρίδα λαβὼν, εἰπέ μοι, καὶ χώραν τοσαύτην; ναὶ, φησιν. οὐ γὰρ πρὸς ταύτην, ἀλλὰ πρὸς τὸν οὐρανὸν ἔβλεπεν. Οἱ γὰρ ταῦτα λέγοντες ἐμφανίζουσι, φησιν, ὅτι ἑτέραν πατρίδα ζητοῦσιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεὸς, ἐκείνην τὴν ἐπουράνιον Ἱερουσαλὴμ, τὴν ἄνω. εἶδες πῶς ἐπηγγείλατο αὐτῷ ὁ Θεὸς αἰσθητὰ, πῶς ἐκεῖνος τὴν ἄνω Ἱερουσαλὴμ ἐζήτει; οἱ γὰρ ταῦτα λέγοντες, φησιν, ἐμφανίζουσιν ὅτι πατρίδα ζητοῦσι. καὶ εἰ μὲν ἐκείνης ἐμέμνηντο, ἀφ᾽ ἧς ἐξῆλθον, εἶχον ἂν καιρὸν ἀνακάμψαι· νυνὶ δὲ ἑτέρας κρείττονος ὀρέγονται, τουτέστιν, ἐπουρανίου. οὐκοῦν αἰσθητὴ μὲν ἡ ὑπόσχεσις, νοητὴ δὲ ἡ ἐπιθυμία τοῦ δικαίου, ἀπεναντίας ἡμῖν. ἐκείνῳ μὲν γὰρ ἐπηγγείλατο τὴν Παλαιστίνην, ὁ δὲ περιεβλέπετο τὸν οὐρανόν· ἡμῖν δὲ ἐπαγγέλλεται τὸν οὐρανὸν, καὶ πρὸς τὴν γῆν κεχήναμεν. ταῦτα ἐκερδάναμεν ἀπὸ τοῦ Ἀβραὰμ ὀνόματος, μαθόντες διὰ τί περάτης ἐλέχθη, καὶ ὅτι τὴν

Ἀμως ϛ.

Ἰωαν. ι. κθ.

Ῥωμ. ε. ε.

Γεν. ιβ. α.

Ἑβρ. ια. λθ.

Ἑβρ. ια. θ. καὶ ι. καὶ ια.

οἰκείαν ἀφεὶς γῆν, πρὸς τὴν ἀλλοτρίαν μετέστη, καὶ τὰ δῆλα παραδραμὼν, πρὸς τὰ ἄδηλα ἔβλεπε, τὰ ἐν χερσὶ ῥίψας, ἐκεχήνει πρὸς τὰ ἐν ἐλπίσι, καὶ αἰσθητὰ λαβὼν, πρὸς τὰ νοητὰ ἀνετείνατο, καὶ ταῦτα πρὸ τῆς χάριτος, πρὸ τοῦ νόμου, πρὸ τῆς ἀπὸ τῶν προφητῶν διδασκαλίας. ὅθεν δῆλον, ὡς οὐδένα εἶχε καθηγητὴν, ἀλλ' ἤρκεσεν αὐτῷ ἡ φύσις ἀντὶ τοῦ συνειδότος κινήσασα λογισμοὺς, καὶ οὕτως εὗρε τὸν Θεὸν τὸν τοῦ παντὸς δημιουργόν. διὰ τοῦτο Ἀβραὰμ ἐλέγετο, διὰ τοῦτο καὶ οἱ γονεῖς αὐτῷ τὸ ὄνομα ἐπέθηκαν τοῦτο. ἀλλὰ τάχα ἴσως εἴποι τις ἂν, ὅτι τοῦτο ψεῦδος. μὴ γὰρ δίκαιοι ἦσαν οἱ γονεῖς τοῦ Ἀβραάμ; μὴ γὰρ εὐάρεστοι τῷ Θεῷ; μὴ γὰρ ᾔδεισαν τὰ μέλλοντα ἔσεσθαι; μὴ γὰρ προεώρων τὴν ὑπόσχεσιν τὴν παρὰ τοῦ δεσπότου μέλλουσαν ῥηθήσεσθαι; οὐχὶ ἀσεβεῖς ἦσαν καὶ εἰδωλολάτραι, βαρβάρων βαρβαρικώτατοι; οἶδα κἀγὼ, καὶ διὰ τοῦτο ἐπαινῶ τὸν δίκαιον, ὅτι τοιούτους ἔχων πατέρας τοιοῦτος αὐτὸς ἐγένετο. καὶ τὸ θαυμαστὸν καὶ παράδοξον τοῦτό ἐστιν, ὅτι ἐξ ἀλλοτρίας ῥίζης καὶ ἀγρίας ἥμερος ἐξῆλθε καρπός. οὐ γάρ ἐστι κατηγορία παίδων ἐν εὐσεβείᾳ ζώντων ἡ τῶν πατέρων κακία, ἀλλ' εἰ χρή τι θαυμαστὸν εἰπεῖν, καὶ ἐγκώμιον μᾶλλον, ὅτι μὴ παρὰ προγόνων δεξάμενοι τὴν εὐσέβειαν, μηδὲ τοὺς χειραγωγοῦντας ἔχοντες, ἀλλ' ὥσπερ ἐν ἐρήμῳ καὶ ἀβάτῳ ὁδεύοντες, ἠδυνήθησαν τὴν ὁδὸν τὴν εἰς τὸν οὐρανὸν φέρουσαν εὑρεῖν. οὐ τοίνυν κατηγορία ἀσεβῆ πατέρα ἔχειν, ἀλλὰ μιμεῖσθαι τὴν ἀσέβειαν τοῦ πατρός· καὶ ἔγκλημα μέγιστον, οὐχ ὅταν φαύλους ἔχωμεν γονεῖς, ἀλλ' ὅταν αὐτῶν μὴ ἐπιμελώμεθα, καὶ τὰ παρ' ἑαυτῶν πάντα εἰσφέρωμεν πρὸς τὸ τῆς κακίας αὐτοὺς ἀπαλλάξαι ταύτης· ὡς ὅταν ἡμεῖς μὲν πάντα ἐπιδειξώμεθα περὶ τὴν ἐκείνων ψυχὴν, ἐκεῖνοι δὲ ἐπὶ τῆς αὐτῆς μένωσι πονηρίας, πάσης μέμψεως ἀπηλλάγμεθα καὶ αἰτίας. ταῦτα δὲ εἶπον, ἵνα μὴ αἰσχυνθῇς, ἀγαπητὲ, ὅταν ἀκούσῃς, ὅτι πατέρα ἀσεβῆ εἶχεν ὁ Ἀβραάμ. καὶ γὰρ καὶ ὁ Τιμόθεος ἀσεβῆ πατέρα εἶχεν. υἱὸς γὰρ Ἰουδαίας γυναικὸς ἦν, φησὶ, πιστῆς μητρὸς, πατρὸς δὲ Ἕλληνος. καὶ ὅτι ἔμεινεν ἐν ἀσεβείᾳ, καὶ οὐ μετεβάλετο ὁ πατὴρ, δῆλον ἐκεῖθεν. ἐπαινῶν γὰρ τοῦ Τιμοθέου τὴν πίστιν, οὕτω φησὶν ὁ Παῦλος· Ἥτις ἐνῴκησεν ἐν τῇ μάμμῃ σου Λωΐδι, καὶ τῇ μητρὶ Εὐνίκῃ. πέπεισμαι δὲ ὅτι καὶ ἐν σοί. καὶ οὐδαμοῦ τοῦ πατρὸς τὸ ὄνομα. διὰ τί; ὅτι ἐν τῇ ἀσεβείᾳ ἔμεινεν, οὐκ ἦν ἄξιος ἀριθμεῖσθαι μετὰ τοῦ παιδός. καὶ οἱ ἀπόστολοι δὲ πονηροὺς εἶχον πατέρας· καὶ τοῦτο ἐδήλωσεν ὁ Χριστὸς εἰπών· Εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; διὰ τοῦτο αὐτοὶ ἔσονται κριταὶ ὑμῶν. ἀλλὰ μή σε θορυβείτω τοῦτο, μηδὲ σκανδαλιζέτω. καὶ γὰρ ἐκ τούτου μανθάνομεν, ὅτι οὐ φύσεως, ἀλλὰ προαιρέσεως ἡ κακία καὶ ἡ ἀρετή. εἰ γὰρ φύσεως ἦν, πάντως ἂν οἱ πονηροὶ πονηροὺς ἔτεκον, καὶ οἱ χρηστοὶ τοιούτους. ἐπειδὴ δὲ προαιρέσεώς ἐστι τὸ φαῦλον εἶναι καὶ σπουδαῖον, διὰ τοῦτο καὶ πατέρων πονηρῶν παῖδες ἐγένοντο χρηστοὶ, καὶ παίδων ῥαθύμων πατέρες σπουδαῖοι πολλάκις, ἵνα μὴ τῇ φύσει, ἀλλὰ τῇ γνώμῃ πανταχοῦ ταῦτα ἑκάτερα λογιζώμεθα. ἀλλ' ὅπερ ἔλεγον, ὅτι ἀσεβεῖς ὄντες οἱ γονεῖς τοῦ Ἀβραὰμ, πῶς τὸ ὄνομα αὐτῷ ἐπέθηκαν τοῦτο; τῆς τοῦ Θεοῦ σοφίας μάλιστα ἔργον καὶ τοῦτο ἦν, διὰ ἀπίστου γλώττης οἰκονομήσαντος ἐπιτεθῆναι ὄνομα τῶν μελλόντων ἔχον τὴν ἱστορίαν. καὶ γὰρ τὸν Βαλαὰμ ἠνάγκασέ ποτε τὰ μέλλοντα εἰπεῖν, τὴν οἰκείαν δύναμιν ἐπιδεικνύμενος, καὶ δηλῶν ὅτι οὐχὶ ἐν τοῖς οἰκείοις μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἀλλοτρίοις κρατεῖν δύναται. καὶ ἵνα μάθῃς, ὅτι ἐπὶ τῶν δικαίων, κἂν μὴ εὐσεβεῖς ὦσιν οἱ πατέρες, πολλάκις οὐκ εἰδότες ἐπιτιθέασιν ὀνόματα πολλὴν τῶν μελλόντων δηλοῦντα τὴν οἰκονομίαν, καὶ ἐξ ἑτέρου σοι παραδείγματος τοῦτο ποιήσω φανερόν. ὁ Λάμεχ ὁ τοῦ Νῶε πατὴρ, τοῦ Νῶε ἐκείνου, ἐφ' οὗ ὁ κατακλυσμὸς ἐγένετο, οὐκ ἦν δίκαιος, οὐκ ἦν εὐάρεστος τῷ Θεῷ, οὐκ ἦν δόκιμος τῷ Θεῷ. εἰ γὰρ ἦν δίκαιος, εἰ ἦν εὐάρεστος, εἰ ἦν εὐδόκιμος τῷ Θεῷ, οὐκ ἂν εἶπεν, ὅτι Νῶε μόνος εὑρέθη τέλειος ἐν τῇ γενεᾷ αὐτοῦ· οὐκ ἂν παρέδραμε τοῦ δικαίου τὸν

κινῆσαι

Πραξ. ις. α.

β. Τιμ. α. ε.

Λουκ. ια. ιθ.

Γεν. ς. θ.

πατέρα, εἰ δίκαιος ἦν. τί οὖν ἐκεῖνος; ἐπέθηκεν ὄνομα τῷ παιδίῳ, πολλὴν ἔχον τῶν μελλόντων πραγμάτων τὴν ἱστορίαν, καὶ αὐτὸ προφητεία ἦν ἡ προσηγορία τοῦ δικαίου. τὸ γὰρ ὄνομα τοῦτο τὸν μέλλοντα κατακλυσμὸν ἔσεσθαι ἐδήλου. καὶ πῶς τὸν μέλλοντα ἔσεσθαι κατακλυσμὸν ἐδήλου τὸ ὄνομα τοῦ Νῶε; τὸ, Νῶε, τοῦτο τὸ ὄνομα Ἑβραϊκῇ λέγεται γλώττῃ καὶ ἑρμηνεύεται ὁ ἀναπαύων. τὸ γὰρ, Νία, τῇ Σύρων φωνῇ, ἀνάπαυσίς ἐστιν. ὥσπερ οὖν ἐκεῖ ἀπὸ τοῦ Ἀβὰρ, ὅπερ ἐστὶ πέρα, Ἀβραὰμ ἐλέγετο, καὶ ἀπὸ τοῦ Αἰδὲμ, ὅπερ ἐστὶ γῆ, Ἀδὰμ ἐλέγετο, ὅπερ ἐστὶ γήϊνος· οὕτω καὶ ἐνταῦθα ἀπὸ τοῦ Νία, ὅπερ ἐστὶν ἀνάπαυσις, Νῶε ἐκλήθη, Γεν. ε. κθ. ὅπερ ἐστὶν ἀναπαύων. δηλοῖ δὲ τοῦτο καὶ ἡ ἐπαγωγή. ἐκάλεσε γὰρ αὐτὸν Νῶε, λέγων· Οὗτος ἡμᾶς" διαναπαύσει, ἀνάπαυσιν τὸν κατακλυσμὸν καλῶν. ἐπειδὴ γὰρ ἔμελλεν ἐπ' αὐτοῦ ὁ κατακλυσμὸς γίνεσθαι, ὁ δὲ κατακλυσμὸς θάνατος ἦν, θάνατος δὲ ἀνδρὶ ἀνάπαυσις, διὰ τοῦτο τὸν ἄνθρωπον, ἐφ' οὗ γέγονεν ὁ κατακλυσμὸς, τὸν ἀναπαύοντα ἐκάλεσε. καὶ ὅτι οὐ βια- Γεν. ε. κη. λ. ζόμεθα τὴν ἑρμηνείαν, ἀπ' αὐτῆς τῆς γραφῆς ἀκούσωμεν τοῦτο. ἔζησε Λάμεχ ἔτη ὀκτὼ καὶ ὀγδοήκοντα καὶ ἑκατὸν, καὶ ἐγέννησεν υἱὸν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Νῶε, λέγων· οὗτος" διαναπαύσει ἡμᾶς ἀπὸ τῶν πόνων ἡμῶν, καὶ τῶν λυπῶν, καὶ τῶν ἔργων τῶν χειρῶν ἡμῶν, καὶ ἀπὸ τῆς γῆς, ἧς κατηράσατο ὁ Θεός. τί λέγεις; ἀναπαύσει ἡμᾶς; καὶ διὰ τί μὴ εἶπε, φησὶν, οὗτος ἀποκτενεῖ ἡμᾶς, οὗτος ποιήσει τὸν κατακλυσμὸν γενέσθαι· ἀλλ' εἶπεν, ἀναπαύσει ἡμᾶς; ἀνεστοιχειώθη ἡ κτίσις ἅπασα, ἄβυσσοι ἀνερράγησαν κάτωθεν, καταρράκται ἀνεῴχθησαν ἄνωθεν, ἄπλυτα πέλαγος ἦν ξένον καὶ παράδοξον καὶ φρικῶδες, καὶ ἐν τάφῳ κοινῷ τῇ ἰλύϊ καὶ σώματα ἀνθρώπων καὶ σώματα ἵππων καὶ θηρίων ἐκρύπτετο· καὶ τοσαῦτα κακὰ, εἰπέ μοι, καὶ τοσαύτην συμφορὰν ἀνάπαυσιν καλεῖς; ναὶ, φησίν. ἐπειδὴ γὰρ ἐν κακίᾳ ἔζων οἱ ἄνθρωποι, ὁ δὲ κατακλυσμὸς τὴν κακίαν ἀνέκοψεν, οἱ τῆς κακίας ἀπαλλαγέντες ἀνέπαυσαν. καθάπερ γὰρ σῶμα ποικίλοις νοσήμασι κατεχόμενον, καὶ ἰατρείαν οὐδεμίαν εὑρίσκον, ἐὰν ἐπελθὼν ὁ θάνατος λάβῃ, ἀνέπαυσεν· οὕτω δὲ καὶ τὴν τῶν ἀνθρώπων ἐκείνων γενεὰν, καθάπερ σῶμα ἀνίατα νοσοῦν καὶ πολλοῖς περικατειλημμένον δεινοῖς παραμυθίαν οὐδεμίαν ἔχουσαν, ἐπελθὼν ὁ κατακλυσμὸς ἐξήρπασε καὶ ἀνέπαυσεν. εἰ γὰρ θάνατος ἀνδρὶ ἀνάπαυσις, πολλῷ μᾶλλον τοῖς ἐν κακίᾳ ἀδιορθώτως ζῶσιν ἀνάπαυσις ὁ θάνατος, τῶν πόνων αὐτοὺς ἀπαλλάττων, καὶ οὐκ ἐῶν περαιτέρω τῆς πονηρίας τὴν νομὴν προελθεῖν, οὐδὲ βαρύτερον τοῦ ὄντος γενέσθαι τῶν ἁμαρτημάτων τὸ φορτίον. οὐδὲν γὰρ οὕτω βαρὺ καὶ δυσβάστακτον, ὡς ἁμαρτίας φύσις· οὐδὲν οὕτω κάματον καὶ πόνον ἡμῖν παρέχει, ὡς τὸ τῆς πονηρίας εἶδος καὶ τὰ πλημμελήματα. διὰ τοῦτο ὁ Χριστὸς τοῖς ἐν ἁμαρ- Ματθ. ια. κη. τίαις ζῶσιν ἔλεγε, Δεῦτε πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. διὰ τοῦτο καὶ ὁ Λάμεχ, ἀνάπαυσιν τὸν κατακλυσμὸν ἐκάλεσεν ἐπελθόντα καὶ στήσαντα τὴν πονηρίαν. ἐβουλόμην περαιτέρω τὸν λόγον ἐκτεῖναι τοῦτον. καὶ γὰρ πολλὰ ὑπολέλειπται ἀπὸ τῆς προσηγορίας τοῦ Νῶε· ἀλλὰ τέως ταῦτα τῇ μνήμῃ τῆς ὑμετέρας διανοίας ἐναποθέμενοι, καὶ πρὸς τοὺς ἡμετέρους ἀδελφοὺς τοὺς ἀπολειφθέντας εἰπόντες, ἵνα μὴ πάλιν ἀναγκαζώμεθα μακρότερα ποιεῖν τὰ προοίμια, τῶν εἰρημένων τὴν ἀκολουθίαν ἀναλαμβάνοντες, εἰς εὐχὰς τὸν λόγον καταλύσωμεν, εὐχαριστοῦντες τῷ ταῦτα δεδωκότι εἰπεῖν Θεῷ, ὅτι αὐτῷ ἡ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ι. ΕΙΣ ΤΟ ΜΗ ΠΛΗΣΙΑΖΕΙΝ ΘΕΑΤΡΟΙΣ, ΚΑΙ ὅτι μοιχοὺς ἀπηρτισμένους ποιεῖ, καὶ ὅτι ἀθυμίας αἴτιον καὶ πολέμου τοῦτο· καὶ εἰς τὸν Ἀβραάμ.

Πολλούς οἶμαι τῶν πρώην καταλιπόντων ἡμᾶς, καὶ πρὸς τὰ θέατρα τῆς παρανομίας αὐτομολησάντων παρεῖναι σήμερον. ἐβουλόμην δὲ εἰδέναι τούτους σαφῶς, ὥστε αὐτοὺς τῶν ἱερῶν ἐκβαλεῖν προθύρων, οὐχ ἵνα μένωσιν ἔξω διηνεκῶς, ἀλλ' ἵνα διορθωθέντες, ἐπανέλθωσι πάλιν. ἐπεὶ καὶ πατέρες παῖδας σφαλλομένους τῆς οἰκίας ἐκβάλλουσι πολλάκις, καὶ τῆς τραπέζης ἀπείργουσιν, οὐχ ἵνα διὰ παντὸς τούτων ἐκπέσωσιν, ἀλλ' ἵνα βελτίους τῇ νουθεσίᾳ ταύτῃ γενόμενοι, μετὰ τῆς προσηκούσης δόξης [καὶ τιμῆς] ἐπὶ τὸν πατρῷον ἐπανέλθωσι κλῆρον. τοῦτο * δὲ ποιμένες ποιοῦσι, τὰ ψώρας ἐμπεπλησμένα πρόβατα τῶν ὑγιαινόντων ἀπείργουσιν, ἵνα * ἀποθέμενα τὴν ἀρρωστίαν, μετ' ἀσφαλείας πρὸς τὰ ὑγιαίνοντα ἐπανέλθῃ πάλιν, καὶ μὴ νοσοῦντα τὴν ἀγέλην ἅπασαν ἐμπλήσῃ τῆς ἀρρωστίας ἐκείνης. διά τοι τοῦτο δὲ ἡμεῖς ἐβουλόμεθα τούτους εἰδέναι. ἀλλ' εἰ καὶ μὴ τοῖς [αἰσθητοῖς] ὀφθαλμοῖς αὐτοὺς διακρῖναι δυνάμεθα, ὁ λόγος αὐτοὺς ἐπιγνώσεται πάντως, καὶ τοῦ συνειδότος αὐτῶν ἐπιλαβόμενος, πείσει ῥᾳδίως ἑκόντας αὐτοὺς ὑπεξελθεῖν, διδάσκων ὅτι ἐκεῖνος ἔνδον ἐστὶ μόνος, ὁ τῆς ἐνταῦθα διατριβῆς ἀξίαν παρέχων τὴν γνώμην· ὡς ὁ μετὰ πολιτείας διεφθαρμένης τοῦ ἱεροῦ τούτου μετέχων συλλόγου, κἂν τὸ σῶμα ἐνταῦθα εἰσάγῃ, ἐκβέβληται, καὶ τῶν ἀποκεκλεισμένων ἔξω καὶ μηδέπω δυναμένων τῆς ἱερᾶς μετασχεῖν τραπέζης μᾶλλον ἀπελήλαται. ἐκεῖνοι μὲν γὰρ οἱ κατὰ τοὺς τοῦ Θεοῦ νόμους ἐκβληθέντες, καὶ μένοντες ἔξω, χρηστὰς ἔχουσι τὰς ἐλπίδας. κἂν γὰρ ἐθέλωσι διορθώσασθαι τὰ παραπτώματα, δι' ἃ τῆς ἐκκλησίας ἐξέπεσον, δυνήσονται μετὰ καθαροῦ τοῦ συνειδότος πάλιν ἐπανελθεῖν· οἱ δὲ μολύνοντες ἑαυτοὺς, καὶ κελευσθέντες μὴ πρότερον ἐπιβῆναι, ἕως ἂν ἀποκαθάρωσι τὴν κηλῖδα τὴν ἐκ τῶν ἁμαρτημάτων, εἶτα ἀναισχυντοῦντες, χαλεπώτερον τὸ τραῦμα ἐργάζονται καὶ μεῖζον τὸ ἕλκος. οὐ γὰρ οὕτω τὸ ἁμαρτάνειν [ἐστὶ] χαλεπὸν, ὡς ἡ μετὰ τὴν ἁμαρτίαν ἀναισχυντία, καὶ τὸ μὴ πείθεσθαι τοῖς ἱερεῦσι τὰ τοιαῦτα κελεύουσι. καὶ τί τοσοῦτον ἡμάρτηται τούτοις, φησὶν, ὥστε αὐτοὺς ἐκβαλεῖν τῶν ἱερῶν τούτων περιβόλων; καὶ ποίαν ἑτέραν ταύτης ζητεῖς μείζονα ἁμαρτίαν, ὅταν μοιχοὺς ἑαυτοὺς ἀπηρτισμένους ποιήσαντες, ἀναιδῶς, καθάπερ κύνες λυττῶντες, ἐπιπηδῶσι τῇ ἱερᾷ * τραπέζῃ; καὶ εἰ βούλει μαθεῖν καὶ τὸν τρόπον τῆς μοιχείας, οὐκ ἐμὸν ἐρῶ σοι λόγον, ἀλλ' αὐτοῦ τοῦ μέλλοντος ἡμῶν δικάζειν τὴν ζωὴν ἅπασαν. Ὁ γὰρ ἐμβλέψας, φησὶ, γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. εἰ δὲ ἡ ἀπὸ ταὐτομάτου κατὰ τὴν ἀγορὰν ἐντυχοῦσα γυνὴ, καὶ ὡς ἔτυχεν ἐσταλμένη, τὸν περιέργως ἰδόντα εἷλε πολλάκις τῇ τῆς ὄψεως θεωρίᾳ, οἱ μὴ ἁπλῶς, μηδὲ ἀπὸ ταὐτομάτου, ἀλλ' ἀπὸ σπουδῆς τοσαύτης, ὡς καὶ τῆς ἐκκλησίας ὑπεριδεῖν, καὶ διὰ τοῦτο ἀναβάντες ἐκεῖ, καὶ διημερεύσαντες, καὶ ταῖς ὄψεσι τῶν ἠτιμωμένων γυναικῶν ἐκείνων προσηλωμένοι, πῶς δυνήσονται λέγειν, ὅτι οὐ πρὸς ἐπιθυμίαν εἶδον, ὅπου καὶ ῥήματα διακεκλασμένα, καὶ ᾄσματα πορνικὰ, καὶ φωνὴ πολλὴν ἡδονὴν ἔχουσα, καὶ ὀφθαλμῶν ὑπογραφαὶ, καὶ ἐπιτρίμματα παρειᾶς, καὶ στολὴ περιέργως συγκειμένη, καὶ σχῆμα γοητείας γέμον, καὶ ἕτεραι πολλαὶ μαγγανεῖαι πρὸς ἀπάτην καὶ δέλεαρ τῶν ὁρώντων κατεσκευασμέναι, καὶ ῥᾳθυμία ψυχῆς τῶν θεωμένων, καὶ πολλὴ ἡ διάχυσις, καὶ ἡ παρὰ τοῦ τόπου πρὸς ἀσέλγειαν παράκλησις, καὶ ἡ τῶν φθασάντων, καὶ ἡ τῶν μετὰ ταῦτα ἀκουσμάτων, ἡ διὰ τῶν συρίγγων, ἡ διὰ τῶν αὐλῶν καὶ τῶν ἄλλων τῶν τοιούτων μελῳδία καταγοητεύουσα, καὶ τὸ στερρὸν τῆς διανοίας καταμαλάττουσα, καὶ ταῖς τῶν πορνῶν ἐπιβουλαῖς προευτρεπίζουσα τὰς τῶν καθημένων ψυχὰς καὶ εὐαλώτους ποιοῦσα, [δι' αὐτῶν διαστήσασα τοῦ Χριστοῦ;] εἰ γὰρ ἐνταῦθα, ὅπου ψαλμοὶ, καὶ εὐχαὶ, καὶ θείων λογίων ἀκρό-

Ματθ. ε. κη.

ἐξεῶσαι

ἔρξουσιν

εἰς

εἴργουσιν

μοχθη-

διαγν.

ἐξελθεῖν

ἔχων

εἰσίκει

μετέχειν

θελήσωσι

ἁμαρτή-

ἐκβάλλειν

αὕτη ἡ

κή

γυναικὶ

ἐπισαρμ.

τε

ἀσῆσαι

ασις, καὶ Θεοῦ φόβος, καὶ εὐλάβεια πολλή, πολλάκις, ὥσπερ τις λῃστὴς κακοῦργος, λαθοῦσα ἐπεισῆλθεν ἐπιθυμία· πῶς οἱ ἐν θεάτρῳ καθήμενοι, καὶ μηδὲν μήτε ὁρῶντες, μήτε ἀκούοντες ὑγιές, [ἀλλὰ πολλῆς γέμοντες αἰσχρότητος, πολλῆς τῆς βλακείας,] καὶ διὰ πάντων πολιορκούμενοι, καὶ δι᾽ ὤτων, καὶ δι᾽ ὀφθαλμῶν, δύναιντ᾽ ἂν ἀνώτεροι γενέσθαι τῆς πονηρᾶς ἐκείνης ἐπιθυμίας; μὴ δυνάμενοι δέ, πῶς δυνήσονται) τοῦ τῆς μοιχείας ἐγκλήματος ἀπηλλάχθαι; οἱ δὲ τῶν τῆς μοιχείας ἐγκλημάτων οὐκ ἀπηλλαγμένοι, πῶς δυνήσονται χωρὶς μετανοίας τῶν "ἁγίων τούτων ἐπιβῆναι προθύρων, καὶ τοῦ καλοῦ τούτου μετασχεῖν συλλόγου; διὸ δὴ παρακαλῶ καὶ δέομαι πρότερον ἐξομολογήσει καὶ μετανοίᾳ καὶ τοῖς ἄλλοις ἅπασιν ἀποσμηξαμένους τὴν ἐκ τῆς ἐκεῖ θεωρίας ἁμαρτίαν, οὕτω τῶν θείων ἀκροᾶσθαι λογίων. οὐ γὰρ τὸ τυχὸν" ἡμῖν πεπλημμέληται)· καὶ τοῦτο καὶ ἐκ παραδειγμάτων ἴδοι τις ἂν σαφῶς. Εἰ γάρ τις οἰκέτης εἰς κιβώτιον, ἔνθα τὰ δεσποτικὰ "ἱμάτια ἐναπέκειτο πολυτελῆ καὶ διάχρυσα, ἱμάτιον δουλικὸν ῥύπου γέμον καὶ πολλῶν τῶν φθειρῶν ἐναπέθετο, ἆρα ἂν πράως ἤνεγκας τὴν ὕβριν, εἰπέ μοι; τί δέ, εἴ τις εἰς ἀγγεῖον χρυσοῦν μύρα διηνεκῶς ἔχειν εἰωθός, κόπρον καὶ βόρβορον ἐνέχεεν, οὐκ ἂν καὶ πληγὰς ἐπέθηκας τῷ πλημμελήσαντι τοῦτο; εἶτα κιβωτίων μέν, καὶ σκευῶν, καὶ ἱματίων, καὶ μύρων τοσαύτην" ποιησόμεθα πρόνοιαν, τὴν δὲ ψυχὴν τὴν ἡμετέραν πάντων τούτων εὐτελεστέραν εἶναι νομιοῦμεν; καὶ ἔνθα τὸ μύρον τὸ πνευματικὸν "εἰσεχύθη, διαβολικὰς πομπὰς" ἐπεμβαλοῦμεν, καὶ ἀκούσματα Σατανικά, καὶ ᾄσματα πορνείας γέμοντα; καὶ πῶς ταῦτα ὁ Θεὸς οἴσει, εἰπέ μοι; καίτοι οὐ τοσοῦτον τὸ μέσον μύρου καὶ βορβόρου, καὶ ἱματίων δεσποτικῶν καὶ δουλικῶν, ὅσον τὸ μέσον τῆς πνευματικῆς χάριτος, καὶ ταύτης τῆς πονηρᾶς ἐνεργείας. οὐ δέδοικας, ἄνθρωπε, τοῖς αὐτοῖς ὀφθαλμοῖς καὶ τὴν κλίνην τὴν ἐπὶ τῆς ὀρχήστρας "βλέπων, ἔνθα τὰ μυσαρὰ τελεῖται τῆς μοιχείας δράματα, καὶ τὴν τράπεζαν ταύτην τὴν ἱεράν, ἔνθα τὰ φρικτὰ τελεῖται μυστήρια· ταῖς αὐταῖς ἀκοαῖς πόρνης ἀκούων αἰσχρολογούσης, καὶ προφήτου καὶ ἀποστόλου σε μυσταγωγοῦντος· τῇ αὐτῇ καρδίᾳ τὰ δηλητήρια δεχόμενος φάρμακα, καὶ τὴν θυσίαν τὴν φρικτήν*; οὐκ ἐντεῦθεν ἀνατροπαὶ βίων, καὶ διαφθοραὶ γάμων, καὶ πόλεμοι, καὶ μάχαι ἐν ταῖς οἰκίαις· ὅταν γὰρ ὑπὸ τῆς ἐκεῖ θεωρίας "διαχυθῇς, καὶ χαυνότερος γενόμενος καὶ ἀσελγέστερος καὶ σωφροσύνης ἁπάσης ἐχθρός, ἐπανελθὼν ἴδῃς "τὴν γυναῖκα τὴν ἰδίαν, ἀηδέστερον ὄψει πάντως," οἵα ἂν ᾖ. ὑπὸ γὰρ τῆς ἐν τοῖς θεάτροις ἐμπορνευθεὶς ἐπιθυμίας, καὶ ὑπὸ τῆς ξένης ἐκείνης θεωρίας ἁλοὺς τῆς γεγοητευμένης, τὴν σώφρονα καὶ κοσμίαν καὶ τοῦ βίου παντὸς κοινωνὸν ἀτιμάζεις, ὑβρίζεις, μυρίοις περιβάλλεις ὀνείδεσιν, οὐδὲν ἔχων ὅλως ἐγκαλέσαι· ἀλλ᾽ αἰσχυνόμενος τὸ πάθος εἰπεῖν καὶ τὸ τραῦμα δεῖξαι, ὅπερ ἐκεῖθεν λαβὼν ἐπανῆλθες, ἑτέρας πλέκεις προφάσεις, ἀφορμὰς ζητῶν ἀπεχθείας ἀλόγους, καὶ τῶν μὲν οἴκοι πάντων ὑπερορῶν, πρὸς δὲ τὴν μιαρὰν καὶ ἀκάθαρτον κεχηνὼς ἐκείνην ἐπιθυμίαν, παρ᾽ ἧς τὸ τραῦμα ἐδέξω· καὶ τὴν ἠχὼ τῆς φωνῆς ἔχων ἐγκαθημένην τῇ ψυχῇ ἔναυλον, καὶ τὸ σχῆμα, καὶ τὸ βλέμμα, καὶ τὰ κινήματα, καὶ πάντα τῆς πορνείας τὰ εἴδωλα, οὐδὲν μεθ᾽ ἡδονῆς ὁρᾷς τῶν ἐπὶ τῆς οἰκίας. καὶ τί λέγω τὴν γυναῖκα καὶ τὴν οἰκίαν; καὶ τὴν ἐκκλησίαν γὰρ αὐτὴν ἀηδέστερον ὄψει, καὶ ῥήματος" ἀπεχθῶς ἀκούσῃ τῶν περὶ σωφροσύνης, τῶν περὶ σεμνότητος (οὐκέτι γὰρ ἔσται σοι διδασκαλία, ἀλλὰ κατηγορία τὰ λεγόμενα) καὶ εἰς ἀπόγνωσιν κατὰ μικρὸν ὑποσυρείς, τέλεον ἑαυτὸν ἀπορρήξεις τῆς κοινωφελοῦς ταύτης διδασκαλίας. διὰ τοῦτο παρακαλῶ πάντας ὑμᾶς, αὐτούς τε φεύγειν τὰς πονηρὰς ἐν τοῖς θεάτροις διατριβάς, καὶ τοὺς ἐσφαλκότας τούτοις ἐκεῖθεν ἀφέλκειν. οὐ γάρ ἐστι ψυχαγωγία, ἀλλ᾽ ὄλεθρος, καὶ τιμωρία, καὶ κόλασις, τὰ ἐκεῖ γινόμενα ἅπαντα. τί γὰρ ὄφελος τῆς προσκαίρου ταύτης ἡδονῆς, ὅταν διηνεκὴς ἐντεῦθεν ὀδύνη τίκτηται, καὶ ἐν ἡμέρᾳ, καὶ ἐν νυκτὶ κεντού-

μενος ὑπὸ τῆς ἐπιθυμίας πάντη ἦς δυσχερὴς καὶ δυσάρεστος; ἐξέτασον γοῦν σαυτὸν, ὅτε μὲν γίνῃ ἀπὸ ἐκκλησίας ἀναχωρῶν, ὅτε δὲ ἀπὸ θεάτρων, καὶ ἑκατέρας δὲ παράβαλε τὰς ἡμέρας, καὶ οὐδὲν δεήσῃ τῶν ἡμετέρων λόγων. ἀρκέσει γὰρ ἑκατέρας ἡ σύγκρισις τῆς ἡμέρας δεῖξαι τὸ μέγεθος καὶ τῆς ἐντεῦθεν ὠφελείας, καὶ τῆς ἐκεῖθεν βλάβης. ταῦτα καὶ ἤδη πρὸς τὴν ὑμετέραν ἀγάπην εἶπον, καὶ οὐδέποτε παύσομαι λέγων. τούς τε γὰρ νοσοῦντας τὰ τοιαῦτα νοσήματα παραμυθησόμεθα, τούς τε ὑγιαίνοντας ἀσφαλεστέρους ποιήσομεν. ἑκατέροις γὰρ ὁ περὶ τούτων χρήσιμος * λόγος· τοῖς μὲν, ἵνα ἀποστῶσι, τοῖς δὲ, ἵνα μὴ ἐμπέσωσιν. ἀλλ' ἐπειδὴ χρὴ καὶ τὸ ἐπιτιμῶντας τοῦτο συμμέτρως ποιεῖν, μέχρι τούτου ταύτην στήσαντες τὴν παραίνεσιν, τὰ ὑπολειφθέντα ἐκ τῆς προτέρας ὑποθέσεως ὑμῖν ἀποδώσομεν, ἐπὶ τὸν πατέρα ἡμῶν Ἀβραὰμ ἐπανελθόντες πάλιν. καὶ γὰρ τοῖς ζωγράφοις ἔθος, ἐπειδὰν μέλλωσιν ἐμφερῆ τινα ἐργάζεσθαι εἰκόνα, καὶ μίαν καὶ δύο καὶ τρεῖς ἡμέρας τοὺς γράφεσθαι μέλλοντας παρακαθίζουσιν αὐτοῖς, ἵνα τῇ συνεχείᾳ τῆς θεωρίας ἀδιάπτωτον τῆς μορφῆς διασώσωνται τὴν ἀκρίβειαν. ἐπεὶ οὖν καὶ ἡμῖν ζωγραφῆσαι πρόκειται νῦν, οὐχὶ τύπον μορφῆς σωματικῆς, ἀλλὰ ψυχῆς κάλλος, καὶ νοητὴν εὐμορφίαν, καὶ πολιτείαν ἀκμάζουσαν τοῦ δικαίου, καὶ τὸ πρᾶον, καὶ ἥμερον, καὶ μεγαλόψυχον, καὶ τὴν ἄλλην ἅπασαν αὐτοῦ ἀρετὴν, δέον πλείονα τὴν διατριβὴν πρὸς τοῦτον ποιήσασθαι, ἵνα τῇ συνεχείᾳ τῆς τοῦ λόγου διαπλείσεως τῆς τοῦ ἀρχετύπου ὁμοιότητος μὴ διαμάρτωμεν. εἰ γὰρ σώματος εἰκόνες φέρουσί τινα παραμυθίαν τοῖς ὁρῶσι, πολλῷ μᾶλλον αἱ τῆς ψυχῆς εἰκόνες. κἀκείνας μὲν οὐ δυνατὸν πανταχοῦ ὁρᾶν, ἀλλ' ἀνάγκη διηνεκῶς ἐφ' ἑνὸς ἱδρῦσθαι τόπου· ταύτην δὲ ὅπουπερ ἂν θέλῃς περιαγαγεῖν, οὐδὲν τὸ κωλῦον. ἐναποθέμενος γὰρ αὐτὴν τοῖς τῆς διανοίας ταμιείοις, ὅπουπερ ἂν ἦς, συνεχῶς εἰς αὐτὴν ὁρᾶν δυνήσῃ, καὶ πολλὴν παρ' αὐτῆς καρποῦσθαι τὴν ὠφέλειαν. καὶ καθάπερ οἱ τοὺς ὀφθαλμοὺς νοσοῦντες σπογγιὰς, καὶ ἱματίων ῥάκη κυανιζόντων κατέχοντες, καὶ συνεχῶς εἰς αὐτὰ βλέποντες, καρποῦνταί τινα τοῦ νοσήματος παραμυθίαν ἀπὸ τοῦ χρώματος ἐκείνου· οὕτω καὶ σὺ, ἂν τὴν εἰκόνα τοῦ πατριάρχου Ἀβραὰμ πρὸ ὀφθαλμῶν ἔχῃς τῶν σαυτοῦ, καὶ συνεχῶς εἰς αὐτὴν ἀτενίζῃς, κἂν μυριάκις θυμὸς, ἢ ἕτερόν τι τῶν ἀτόπων ἐνοχλῇ καὶ συγχέῃ τὸν ὀφθαλμὸν τῆς διανοίας, ὁρῶν εἰς ἐκεῖνον τὸν χαρακτῆρα τῆς ἀρετῆς, ὁλόκληρον δέξῃ τὴν ὑγείαν, καὶ καθαρὰν τὴν φιλοσοφίαν. λοιπὸν, εἰ δοκεῖ, ἐπὶ τὸ προκείμενον τὸν λόγον χειραγωγήσωμεν.

Ὁ μακάριος Μωϋσῆς, ἀγαπητὲ, ὁ τοῖς κατ' εὐσέβειαν ἔργοις οἰκειωθεὶς τῷ Θεῷ, ὁ παρὰ πάντας τοὺς μετ' αὐτὸν προφήτας ἰδικωτέρας ἀξιωθεὶς τῆς τοῦ κτίσαντος ὁμιλίας, ὡς καὶ στόμα κατὰ στόμα λαλήσαντος αὐτῷ τοῦ Θεοῦ ἐν εἴδει, καὶ οὐ δι' αἰνιγμάτων, ὁ θείῳ πυρὶ φωτίζειν μόνον, οὐ καίειν εἰδότι πρὸς τὴν τοῦ Θεοῦ μυσταγωγηθεὶς θεωρίαν, ὁ θείᾳ βουλῇ Θεὸς τοῦ Φαραὼ χρηματίσας, καὶ μετοχῇ σεβασμίου προσηγορίας παρὰ πάντας ἐξαιρέτως τοὺς τότε κοσμούμενος, ὁ τῶν ἐν Αἰγύπτῳ γεγενημένων θεηλάτων πληγῶν διάκονος προχειρισθεὶς φοβερώτατος, καὶ τῆς τοῦ Θεοῦ δραστηρίου δυνάμεως φανεὶς ὑπηρέτης ὀξύτατος, ὁ δᾳδουχίᾳ πνεύματος ἁγίου τὸν νοητὸν τῆς ψυχῆς φωτισθεὶς ὀφθαλμὸν, καὶ τῶν ἀρχαίων τοῦ παντοκράτορος ἔργων ἐξηγητὴς γενόμενος ὄψιμος, οὗτος ὁ μακάριος μετὰ τὴν εὔτακτον καὶ καλὴν τῆς κοσμοποιΐας διήγησιν, ἐπὶ τὴν τῶν παλαιῶν ἀνδρῶν ἱστορίαν ἐχώρησεν, ἰδίᾳ μὲν τῶν ἀγαθῶν, ἰδίᾳ δὲ τῶν πονηρῶν. καὶ τῶν μὲν ἀγαθῶν τὸ μακάριον ὄντως τὸ τέλος, τῶν δὲ ἐναντίων τούτοις ἐπάρατον ἀνέγραψεν, ἵνα ἔχοντες ἐκ μὲν τῆς κοσμοποιΐας τὰ περὶ τῆς θεοσεβείας παιδεύεσθαι δόγματα, ἐκ δὲ τῶν προλαβόντων [τὸν] βίον καὶ μισεῖν πονηρίαν, καὶ τιμᾶν ἀρετὴν, ῥᾳδίως τὸν θεοφιλῆ καὶ μακάριον διανύωμεν βίον. πολλὰ μὲν οὖν ἀρετῆς καὶ καλοκἀγαθίας παλαιῶν ἀνδρῶν ἀνέγραψε κατορθώματα, προθεὶς ὥσπερ ὑπογραμμὸν τηλαυγῆ ταῦτα τοῖς ὀψιγόνοις πρὸς μίμησιν. παιδεύει τοιγαροῦν ἡμᾶς Ἄβελ

Ἀριθ. ιβ. η.
Ἐξοδ. ζ. α.

τῶν ἀφθόνων παρὰ Θεοῦ δωρεῶν περὶ τῆς χρήσεως ἀπέχεσθαι τῷ Θεῷ, καὶ μὴ προκρίνειν Θεοῦ τιμῆς ἄλογον πάθος γαστρός. τῷ γὰρ πρεσβυτάτῳ τῶν ὄντων ὁ μακάριος ἐκεῖνος Ἄβελ τῶν προβάτων ἔθυε τὰ πρωτότοκα, οὐδὲν μὲν τῶν ὑστάτων εἰς τὴν τοῦ πρώτου προσφέρων λατρείαν, ταῖς δὲ τῶν γινομένων ἀπαρχαῖς τὸν πρώτων δοξάζων γεννήτορα. μετ' ἐκεῖνον παιδεύει πρὸς δικαιοσύνην ὁ θαυμάσιος Νῶε, ἐν παντὶ παρανομοῦντι κόσμῳ μόνος αὐτὸς ἀκλινῆ φυλάξας ἐν πράξεσιν ἀγαθαῖς τῆς δικαιοσύνης τὴν πλάστιγγα. μέγα σωφροσύνης τοῖς νέοις πρόκειται παίδευμα Ἰωσὴφ ὁ μακάριος, ἐν νέῳ σώματι λευκὴν ἁγνείας ἀνθήσας πολιάν, καὶ σχήματι δουλικῷ σαρκὸς ἡδονῶν δεσπότης γυναικὸς φανείς. ἀλλ' οὗτοι μὲν οἱ μακάριοι μερικαί τινες ἴσως ἀγαθῶν ἔργων εἰκόνες εἰσίν· ἑνὸς δὲ πεποίηται μνήμην ἀνδρός, Ἀβραὰμ τοῦ προπάτορος, ἐν ἑνὶ μόνῳ προσώπῳ παντὶ τῷ κόσμῳ στήλην ὑψώσας πανάρετον πρὸς μίμησιν. τοιγαροῦν πάντες δίκαιοι, πάντες ὅσιοι τὸν πιστὸν Ἀβραὰμ αὐχοῦσι πατέρα, καὶ κλέος περίσεμνον τίθενται τὴν πρὸς αὐτὸν οἰκειότητα. πιστοῖς μὲν γὰρ διὰ τοῦτον ὁ ζῆλος ὑπάρχει τῆς πίστεως· φιλοξένοις οὗτος φιλοξενίας καθηγητής, ἔργοις, οὐ λόγοις τὸ περικλέον δεικνύς· οἱ θεοσεβείας ἀθληταὶ στεφανηφοροῦσι, τὴν ἀνδρείαν τὴν τούτου ζηλώσαντες· τοῦ ἀρχετύπου τούτου ἐμφερεῖς εἰκόνες πάντες οἱ μεγαλόψυχοι· ἡ πρὸς τοῦτον ἅμιλλα τὸ τοσούτων δικαίων πλῆθος ἐνήνεγκεν· ἐκ ταύτης τῆς φιλοθέου ῥίζης πάντες ἐβλάστησαν οἱ φιλόχριστοι. καὶ τί τὸ κατ' εἶδος ἀπαριθμοῦμαι; πάντες γάρ, ὡς ἔπος εἰπεῖν, ὧν λάμπει τὸ φῶς ἔμπροσθεν τῶν ἀνθρώπων, ἐκ τῆς πιστῆς τοῦ προπάτορος λαμπάδος ἀνήφθησαν. τοσούτους αὐτῷ παῖδας ἀγαθοὺς ὁ κατ' εὐσέβειαν τρόπος ἐφόρησεν. ἀψευδὴς γὰρ ὁ εἰπών, ὅτι Πατέρα πολλῶν ἐθνῶν τέθεικά σε. ὦ μακαρία ψυχή, τοσοῦτον πλῆθος ὑφ' ἓν κατορθωμάτων χωρήσασα. σὺ πάμφορος ἀληθῶς χώρα, σὺ πεδίον πάγκαρπον τῶν κατ' εὐσέβειαν ἔργων, σὺ λειμὼν εὐανθής, παντοίοις δικαιοσύνης ἄνθεσι βρύων· σὺ καὶ στέφανος εὐπρεπής, μέσον ἔχων τῆς πίστεως μαργαρίτην περιλάμποντα. προσέταξεν ὁ Θεός, Ἔξελθε ἐκ τῆς γῆς σου· σὺ δὲ οὐκ ἠμέλησας, ἀλλ' εἴχου τῆς ὁδοῦ, πρὶν τελεσθῆναι τὸ πρόσταγμα. προσετίθει τῷ ἔξελθε ἐκ τῆς γῆς σου, τό, καὶ ἐκ συγγενείας σου· σὺ δὲ οὐκ ἐθηλύνου τῇ πρὸς τὸ γένος στοργῇ, τοῦ γένους γενεσιουργὸν προτιμῶν. εἶπεν ὁ Θεός, ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ τὸ τούτων βαρύτερον, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου· ἀλλ' οὐδὲν ἡγήσω βαρύ, ὧν προστάττει Θεός. οὐκ ἐπέσχε σου τῆς ψυχῆς τὴν προθυμίαν, οὐ τιμὴ πατρός, οὐ πόθος μητρός, οὐ στοργὴ συγγενῶν, οὐκ ἐνενόησας οἷα ἐπὶ σοὶ θρηνήσει μήτηρ γηραλέα, οἷα ἐπὶ σοὶ κλαύσεται πρεσβύτης πατήρ. οὐ γὰρ ᾠήθης δεῖν εἶναι φιλανθρωπότερος τοῦ τὴν κλῆσιν " ἐπάγοντος. ἦν σοι πατὴρ αἰδέσιμος, ἀλλ' οὐχ ὡς πάντων πατήρ· ἐπόθεις μητέρα, ἀλλὰ θεοσέβειαν μᾶλλον. οἴκου κατεφρόνησας πατρικοῦ, καὶ πλούτου προγονικοῦ. μόνον γὰρ ᾔδεις τῇ ψυχῇ πρέποντα τὸν διὰ πίστεως πλοῦτον, τὸ ἀθάνατον κτῆμα, τὸν ἄσυλον θησαυρόν. ὢ οἷος ἀστήρ, ἑωσφόρου φαιδρότερος, ἐξ ἀνατολῶν εἰς Παλαιστίνην " ἐξέλαμψας, ἐν ἀφεγγεῖ πολυθείας βίῳ φαιδρὰς " ἐκλάμψας θεοσεβείας ἀκτῖνας; σὲ Θεὸς ἀγαθὸν θεοσεβείας γλύκασμα τῇ πικρᾷ τῶν Χαναναίων ἀνέδειξε πολιτείᾳ· σύ, καθάπερ ἅλας φιλανθρωπίας, γέγονας πονηροῦ βίου παράρτυμα· σὺ γαληνὸς πέφηνας φιλοξενίας λιμὴν ἐν μέσῳ κλυδωνίου τῇ τῶν ἀλλοφύλων μισανθρωπίᾳ. πῶς σου, μακάριε, τὴν φιλάνθρωπον διαγράψω σκηνήν; πῶς [οὐ] θαυμάσω τὴν δρῦν τὴν καλουμένην Μαμβρῆ, ἣν σὺ τοῖς ἀγαθοῖς τρόποις ἡμέρωσας; κοινὸν ἦν ἡ σκηνὴ τοῖς ὁδεύουσιν οἰκητήριον, μία πάντων τῶν ξένων ἄφθονος ἑστία, πάσης τῆς οἰκουμένης πανδοχεῖον ἄμισθον, οὐκ ἐν παραβύστῳ κειμένη, ἵνα λάθῃ τὸ κέρδος τῆς ἀναπαύσεως, ἀλλ' ἐν ἐρήμῳ μέν, ἐν ὁδῷ δὲ μέσῃ, καὶ κοινῷ σχεδὸν πάσης τῆς Παλαιστίνης ἀφετηρίῳ. ηὐλίζου δὲ σὺ πανημέριος ὑπὸ τῇ δρυΐ, ἀγαθὸς τοῖς ὁδεύουσι προφαινόμενος ἀναπαύσεως ἄγγελος.

Γεν. ιζ. δ.

Γεν. ιβ. α.

Γεν. ιη. α.

γρ. μητέρ
πις.

γρ. ἐκλάμ
γρ. ἐξέλαμ
ψας,

λος. ὤφθη σοι Χριστὸς, ὦ θαυμάσιε, ὑπ' ἀγγέλων δορυφορούμενος δύο, καὶ γέγονας διὰ φιλοξενίας καὶ Θεῷ καὶ ἀγγέλοις ὁμόσκηνος. ὦ μακαρία σκηνὴ, ἡ Θεὸν μετ' ἀγγέλων δι' οἰκονομίαν χωρήσασα. ὤφθη σοι Χριστὸς ἐν ἀνθρώπου σχήματι, τῆς θείας αὐτοῦ καὶ σωτηρίου ἐπιδημίας προδιαφαίνων σοι τὰ μυστήρια. ὅμως οὐκ ἔλαθέ σε τοῦ παρόντος ἡ δόξα διὰ τὸ ʹδουλικὸν σχῆμα. εἶχες γὰρ ὀφθαλμοὺς ἄλλους, οἷς δεσπότης γνωρίζεται. ἐπέγνως τοιγαροῦν μεσίτην Θεοῦ, τὸν ἐν μέσῳ δύο ζώων γνωρίζεσθαι μέλλοντα υἱόν*. θαυμάζω μέν σου, μακάριε, τὴν περὶ τῶν φανέντων σπουδήν. ἐξὸν γὰρ ἐπιτάξαι θεράποντι καὶ πληρῶσαι τὴν χρείαν προστάγματι, ἔδραμες σὺ εἰς τὰς βόας πρεσβύτης, ἀκμάζοντι πόθῳ παλαιὸν σῶμα στηρίζων· ἐκοινώνει δέ σοι προθύμως τῶν ἔργων ἡ σύζυγος, καὶ πλήθει ἀζύμων ἄρτων ἐστεφάνου τὴν τράπεζαν. οὐ γὰρ ἀνέμενε τὴν ζύμωσιν ἡ τῆς φιλοξενίας σπουδή. πάντα δὲ ἦν φόβου καὶ σεβάσματος τὰ πραττόμενα, οὐχ ὡς ἄνδρας ξενίζοντος, ἀλλ' ὡς Θεῷ θυσίαν προσφέροντος. καλός σου, μακάριε, διὰ ταῦτα τῆς φιλοξενίας ὁ καρπὸς, καλὴ καὶ τῆς φιλοθείας ἡ ἀμοιβή. λύεται γὰρ παρὰ πάσας ἐλπίδας μήτρας ἐστειρωμένης δεσμὰ, καὶ νεκρὰ πρεσβύτου μέλη πρὸς τέκνου γνησίου σπορὰν ἀνθεῖ, καὶ δέχῃ παρὰ μονογενοῦς Θεοῦ περὶ μονογενοῦς υἱοῦ εὐαγγέλια. Κατὰ τὸν καιρὸν γὰρ, φησι, τοῦτον ἐλεύσομαι, καὶ ἔσται τῇ Σάῤῥᾳ υἱός. πῶς σου κατ' ἀξίαν ἐπαινέσω τὴν πίστιν, πανόλβιε; οὐ γὰρ διεκρίθης πρὸς τὴν ὑπόσχεσιν, οὐδὲ περὶ ἐπαγγελίαν ἐχώλανας, οὐδὲ κατενόησας τὸ ἑαυτοῦ σῶμα νενεκρωμένον ἑκατονταετής που ὑπάρχων, οὐδὲ ἀπέβλεψας εἰς τὴν στείρωσιν τῆς μήτρας Σάῤῥας, ἀλλ' ἐνεδυναμώθης τῇ πίστει, εἰδὼς, ὅτι ὃ ἐπήγγελται ὁ Θεὸς, δυνατός ἐστι καὶ ʺπληρῶσαι. οὐ γὰρ δουλεύει φύσεως πάθεσιν ὁ φύσεως δημιουργὸς, ὅτι οὐχ ὑπόκειται φύσεως ἀνάγκῃ Θεὸς ἐν οἷς ἐργάζεται, πάσης φύσεως ὑπάρχων δημιουργός· ἀκολουθεῖ δὲ πρὸς πᾶν εἶδος μεταβολῆς ἡ φύσις τῷ ἐλευθέρῳ τοῦ πεποιηκότος θελήματι. τοιγαροῦν οὐκ ἐψεύσθης τῶν ἐλπίδων, μακάριε, ἀλλ' ὀνομάζῃ πατὴρ ἐν προθεσμίᾳ ῥητῇ, ἐν ἡλικίᾳ νεκρᾷ. καὶ ʺπρῶτος βλέπεις ἐκ Σάῤῥας καρπὸν, καὶ θαυμάζεις πῶς ἐπιῤῥέουσι παρ' ἐλπίδας τῇ γεγηρακυίᾳ τοῦ γάλακτος αἱ πηγαὶ, καὶ μετ' ὀλίγον προσψελλίζει τῷ τόκῳ, καλεῖν πατέρα διδάσκων τὸ γέννημα, ταύτην αὐτῷ παρὰ τοῦ τέκνου τὴν κλῆσιν, ἣν προλαβοῦσα δι' ἐπαγγελίας ἡ χάρις ἐκύρωσε. πῶς τὰ μετὰ ταῦτά σου διηγήσομαι κατορθώματα, θαυμάσιε; πῶς ὑψηλήν σου καὶ πρεσβεύοντος ʺἀπαγγελῶ πίστιν; ὑπὲρ πίστιν ἡ πίστις σου, ὑπὲρ ἀκοὴν πᾶσαν ἡ πρὸς Θεόν σου καθοσίωσις. τίς γὰρ πιστεύσει ποτὲ, ὅτι πατὴρ οἰκεῖον τέκνον θυσίαν προσήνεγκε γνησίως τῷ Θεῷ; τάχα μόνοι πιστεύομεν οἱ μὴ γεγονότες πατέρες, οἱ τέκνων στοργὴν μὴ δεδιδαγμένοι παρὰ τῆς φύσεως. ἡκέτω δὲ τῶν εἰρημένων μάρτυς, ἡ θεία γραφὴ, καθάπερ κῆρυξ ὑψηλὸς, ἐκβοῶσα τοῦ μακαρίου τὴν φιλόθεον γνώμην. Μετὰ ταῦτα, φησιν, ἐπείραζεν ὁ Θεὸς τὸν Ἀβραάμ. ἐπείραζε δὲ, οὐχ ἵνα μάθῃ διὰ πείρας τὸ ἀγνοούμενον, μάρτυσι τῆς γνώμης τοῦ ἀνδρὸς τοῖς ἀποτελέσμασι χρώμενος (ἠγνόησε γὰρ οὐδὲν οὐδέπω ὁ Θεὸς, αὐτὸς τῇ ἑαυτοῦ θεωρίᾳ πάντοτε πρὸς τὴν πάντων γνῶσιν ἀρκούμενος) ἀλλ' ὅπως ὃν σαφῶς προεγίνωσκε, τοῦτον διὰ πείρας μαθόντες οἱ ἄνθρωποι, καλὸν ἔχωσι πρὸς μίμησιν θεοσεβείας ὑπογραμμόν. τίνα δὲ καὶ τὰ τοῦ πειρασμοῦ ῥήματα, φέρε σκοπήσωμεν. Ἀβραάμ, φησιν, Ἀβραάμ. ὁ δὲ εἶπεν, Ἰδοὺ ἐγώ. ἔφη αὐτῷ, λαβὲ τὸν υἱόν σου τὸν ἀγαπητὸν, ὃν ἠγάπησας, τὸν Ἰσαὰκ, καὶ πορεύθητι εἰς τὴν γῆν τὴν ὑψηλὴν, καὶ ἀνένεγκέ μοι αὐτὸν εἰς ὁλοκάρπωσιν. ὢ πόσην ὁ Θεὸς διὰ τῶν οὕτως εἰρημένων ῥημάτων τῆς πίστεως τοῦ προπάτορος εἰργάσατο βάσανον; ἤρκει μὲν γὰρ μόνον εἰπεῖν, λαβὲ τὸν Ἰσαὰκ, καὶ ἀνένεγκε αὐτὸν εἰς ὁλοκάρπωσιν, μήτε υἱὸν εἰπόντα, μήτε τῇ τοῦ ἀγαπητοῦ μνήμῃ τὰ πατρῷα σπλάγχνα κινήσαντα. ἀλλ' ἐπειδὴ τοῖς ʺἔνδον τῶν ἀγαθῶν διακεχυμένοις ἡ τῶν κακῶν

αἰφνίδιος

δούλειον

στίσι, πα-

ὰς καὶ νέας.

Γεν. ιι. ι.

ποιῆσαι.

Ῥωμ. ια.

πρῶτον

παγγεί-

Γεν. κβ. α.

τινι

αἰφνίδιος φορὰ βαρυτέραν ἐπάγει τὴν ἀλγηδόνα, διὰ τοῦτό φησι· λαβὲ τὸν υἱόν σου, καὶ προστίθησι, τὸν ἀγαπητὸν, καὶ πάλιν, ὃν ἠγάπησας, ἵνα ταῖς ἀγαθαῖς ταύταις ἐπωνυμίαις εἰς χρηστῶν ὑποσχέσεων ἐλπίδας μετεωρείσας τὸν φιλόπαιδα γέροντα, ἀθρόαι αὖθις ἐπαγαγὼν τοῦ ἠγαπημένου τὴν ἀναίρεσιν, τοῖς παρ' ἐλπίδα προστάγμασι πλήξῃ τὰ σπλάγχνα τοῦ γεγεννηκότος βαρύτερον, οὐ μισῶν τὸν δίκαιον, φανῆναι δὲ λαμπρότερον τῷ κόσμῳ τὴν τούτου πίστιν βουλόμενος. τοιγαροῦν, πρὶν εἴπῃ, ἀνένεγκε αὐτὸν εἰς ὁλοκάρπωσιν, ἐκ τῶν προφθάντων ῥημάτων τῶν εὐφήμων πολλὰ ποιεῖ χρηστὰ τῷ δικαίῳ φαντάζεσθαι. ἀκούσας γὰρ καλοῦντος τοῦ Θεοῦ καὶ λέγοντος, Ἀβραάμ, Ἀβραάμ, εὐθὺς ἐγήθησεν ὁ φιλόθεος πρὸς τὴν κλῆσιν, διεχύθη πρὸς τὴν φωνὴν, ἐνθυμούμενος, ὡς εἰκὸς, ἆρά με ὁ Θεὸς ἄξιον πάλιν ἡγεῖται τῆς θαυμαστῆς πρὸς αὐτὸν ὁμιλίας; ἆρά με τοῖς θείοις αὐτοῦ καθαγιάσαι θέλει ῥήμασιν; ἢ μεταστῆσαι πάλιν εἰς χώραν βούλεται κρείσσονα; ἢ τοὺς πονηροὺς ἀπολέσαι θέλει Χαναναίους, ὡς Σοδομίτας, καὶ τὸν οἰκεῖον δοῦλον, ὡς ἐπὶ Σοδόμων, ἀγνοεῖν οὐ θέλει τὸ τῆς κρίσεως βούλημα; ἆρά μοι δευτέρου τέκνου μετὰ τὸν Ἰσαὰκ χρηστὰ φιλοτιμεῖται παρασχεῖν εὐαγγέλια, ὀφθαλμοῖς δύο τέκνων τὸ ἐμὸν θέλων ὀμματῶσαι γῆρας; ὡς δὲ ἤκουσε, λαβὲ, πρὶν ἀκούσῃ, τὸν υἱὸν, ᾠήθη περὶ θυσιῶν αὐτῷ τὸν Θεὸν διαλέξεσθαι, αἰτοῦντα παρ' αὐτοῦ τιμὴν εὐλογιῶν ἀντὶ τῆς δόσεως τοῦ παιδός. ἀκούσας δὲ, τὸν υἱόν σου, τέως τὸν Ἰσμαὴλ ἐνενόει, οἰόμενος λελύσθαι τὴν ζηλοτυπίαν τῆς Σάρρας, καὶ διὰ τοῦτο πρὸς τοῦ φιλανθρώπου ἀποκαθίστασθαι πάλιν εἰς τὴν πατρῴαν ἑστίαν. ἐπεὶ δὲ σαφῶς ἤκουσε, τὸν ἀγαπητὸν, ὃν ἠγάπησας, τὸν Ἰσαὰκ, ἔζεσεν εὐθὺς τῇ καρδίᾳ, ἠγαλλιάσατο τῇ ψυχῇ, νομίσας ὅτι περὶ μνηστείας αὐτῷ διαλέξεται, ἁρμόζων ὡς Θεὸς εἰς ἐπίδοσιν τοῦ γένους γυναῖκα τὸν νέον εὔφορον εἰς τέκνου φυήν. εἰς δὲ τὴν γῆν αὐτὸν ὁ Θεὸς καλεῖ τὴν ὑψηλήν. διὰ τί; ἢ πάντως ἵνα ἐξ ἀπόπτου καὶ μετεώρου τόπου πᾶσαν ὡς κληρονόμῳ τῆς ἐπαγγελίας ἀποδείξῃ τὴν γῆν, ἢ πάντως αὐτὸν εἰς πατριάρχην θέλει χρῖσαι ζῶντος ἐμοῦ, ἢ ἐνώπιος ἐνωπίῳ διαλεχθῆναι, καὶ φωνῇ ζώσῃ παραδοῦναι νόμους θεοφιλοῦς βίου, οἷς ὁδεύων εὐαρεστήσει τῷ κτίσαντι. ταῦτα μὲν οὖν, καὶ τὰ τοιαῦτα ἀκούσεσθαι παρὰ Θεοῦ προσεδόκησεν ὁ μακάριος, ὁ δὲ Θεὸς, τί; ἀνένεγκέ, φησιν, αὐτὸν εἰς ὁλοκάρπωσιν. φορτικὸν δὲ ἐπίταγμα καὶ τῷ τυχόντι ἀνδρὶ, μήτι γε πατρὶ, καὶ ταῦτα φιλόπαιδι. ἀλλ' ὢ τῆς ἀνυπερβλήτου πίστεως· ὢ τῆς φιλοθέου ψυχῆς. οὐδέπω Θεὸς ἐπαύσατο καλῶν, καὶ πρὸς τὴν ὑπακοὴν Ἀβραὰμ ὑπῆρχεν εὐτρεπὴς, τὸ τέλος τοῦ προστάγματος ἀρχὴν ἤδη τῆς ὁδοιπορίας ποιούμενος. τίς [οὖν] τῶν ἄλλων πατέρων ἤνεγκεν ἂν τὴν τοιαύτην φωνὴν, καὶ οὐ παραχρῆμα κατέπεσεν εἰς γῆν, ἀθυμίᾳ τὰ μέλη λυθεὶς, ἢ τάχα παρ' αὐτῷ διεφθάρη τῷ προστάγματι, ὑπὸ πατρικῆς διαθέσεως πυρπολούμενος; τὸ γὰρ τοῦ προστάγματος ἀπαραμύθητον ἄκουε. οὐκ εἰς σφαγὴν ἁπλῶς ᾔτησε τὸν νέον ὁ Θεὸς, ἵνα ἔχοι τὸ λείψανον ὁ γέρων παραμυθίαν τοῦ πάθους τῷ τάφῳ παρακαθήμενος, ἀλλ' εἰς ὁλοκάρπωσιν, εἰς ἐμπρησμὸν, εἰς ἀφανισμὸν παντελῆ, ὅπως μηδὲ προσχέειν ἔχῃ τῆς καρδίας τὴν ἀλγηδόνα ἐπιδακρύων τῷ σώματι. ἀλλ' ὅμως εἰ καὶ ἀφόρητον ἦν τὸ πρόσταγμα, καὶ μόνῳ τῷ ῥηθῆναι πλῆξαι δυνάμενον, ἀλλ' οὐκ ἐξέστησε τὸν ἄνδρα τοῦ θείου φρονήματος. πολὺ γὰρ ἠπίστατο συμφέρον εἶναι καὶ ἀγαθὸν, ὃ προστάττει Θεός. τοιγαροῦν προθύμως ὑπομένει τὸ πρόσταγμα, καὶ μεθ' ἡδονῆς ἀφράστου τὴν θυσίαν ἐργάζεται, ταῦτα λογισάμενος, ὡς εἰκὸς, ἄτεκνος ἀπὸ τοῦ νῦν, ἀλλ' ἐγὼ τέκνον Θεοῦ δι' ὑπακοῆς γίνομαι· ἀπολλύω τὸν κληρονόμον, ἀλλὰ κληρονομῶ τὰ μέλλοντα· οὐκ ὄψομαι τὸν υἱὸν, ἀλλ' ὄψομαι τὸν Θεόν· οὐ γηροβοσκήσει με παῖς, ἀλλὰ γηροτροφήσει Θεός· μεμφθήσομαι παρὰ τῶν ἀνοήτων, ἀλλ' ἀποδεχθήσομαι παρὰ τοῦ πανσόφου· λυπήσω τὴν Σάρραν, ἀλλ' εὐαρεστήσω τῷ κτίσαντι. ἔχω πολλὴν παραμυθίαν· λυπεῖ με θανὼν, ἀλλ' ἱερέα τοῦ ὑψίστου ποιεῖ· ἄπαιδα καθίστησιν, ἀλλὰ πατέρα πρωτομάρτυρες. μὴ γὰρ ἀπόλλυται Ἰσαάκ; καθαίρεται τῷ πυρὶ τὸ σῶμα, λύεται τῶν τῆς σαρκὸς ἡδονῶν, ἐκδημήσει τοῦ βίου, ἀλλ' ἐνδημήσει πρὸς Κύριον. τοιούτοις λογισμοῖς τὰ τῆς φύσεως νευρώσας συμπτώματα ἐπὶ τὴν θυσίαν ἐπείγεται, ἐπισάξας τὴν ὄνον, θήξας τὴν μάχαιραν, τὰ ξύλα, τὸ πῦρ εὐτρεπίσας, τὸν υἱὸν ὡς ἀμνὸν ἐπαγόμενος. καὶ οὐδενὶ τὴν θείαν ἐξεῖπε φωνήν, οὐκ ἀνεκοινώσατο φίλοις, οὐδὲ αὐτῇ τῇ κοινωνῷ τῆς γονῆς, οὐ μισῶν τὴν σύζυγον, ἀλλὰ τὸν ὄκνον φοβούμενος, μὴ προφάσει φιλοτεκνίας ἀμβλυνῇ θεοσεβείας σπουδήν. ὢ πίστεως ἄκρας, ὢ σοφίας ἀνυπερβλήτου. ἐνενόησεν ὁ πατριάρχης πόσα συμβήσεται κακὰ ἐκπύστου γινομένου τοῦ θείου προστάγματος, πόσος ἔσται θρῆνος, πόσος κλαυθμός, πόσα δάκρυα. διὰ τοῦτ' ἐχεμύθει, σιωπῇ σβεννύων μεγάλην ὀδυρμῶν φλόγα. τί γὰρ οἴει δρᾶσαι τὴν Σάῤῥαν ἀκούσασαν περὶ τῆς ἀναιρέσεως τοῦ τέκνου; οὐ περιεπλάκη ἂν εὐθὺς τῷ Ἰσαάκ, ἔνδον αὐτὸν πάλιν, εἰ οἷόν τε ἦν, τῇ γαστρὶ κατακρύψαι μηχανωμένη, τέκνον φίλτατον ἀπόλλυσαι, λέγουσα, ἐν θυσίαις πολιορκούμεθα; θᾶττον ἂν ἀφῆκεν, οἶμαι, τὴν ἰδίαν ψυχήν, ἢ τὸν παῖδα προέδωκε. καὶ ἦν ἀνάγκη δυοῖν θάτερον, ἢ μὴ γενέσθαι τὴν θυσίαν, ἢ τὴν μητέρα συγκαρπωθῆναι τῷ τέκνῳ. εἶπε δ' ἂν καὶ πρὸς τὸν Ἀβραὰμ τοιούτους τινὰς λόγους· σωφρόνησον, ὦ ἀνέρ, σωφρόνησον ὑποφῆτα φιλανθρώπου Θεοῦ. οὐδὲν " κατ' ἀνθρώπου προστάσσει θεία φωνή, βασκαίνει σοι τῆς εὐπαιδίας πονηρὸς δαίμων, καὶ τὴν τοῦ Θεοῦ χάριν ἀνατρέψαι βούλεται, ἐν εὐσεβείας προσχήματι παιδοκτονίας προσάγων ἔργον. οὐκ οἶσθα τὸν θαυμάσιον Μελχισεδὲκ τὸν ἱερέα τοῦ Θεοῦ τοῦ ὑψίστου; μάθε παρ' αὐτοῦ θυσιῶν νόμους, μάθε ποίαις Θεὸς ἐπαγάλλεται θυσίαις, καίτοι πάλαι σε πρὸς ἱερωσύνην ἐμυσταγώγησεν ἀπὸ τῆς κοπῆς τῶν πέντε βασιλέων ἐπανιόντα. οὐκ ἄρτος οὖν ἦσαν αὐτῷ καὶ οἶνος, εὐαγεῖς προσφοραί, ἀναίμακτοι, καὶ καθαραὶ θυσίαι; μὴ μόσχος; μὴ πρόβατον; μὴ τέκνον; αἵματι γὰρ Θεὸν ὅλως οὐκ ᾤετο τέρπεσθαι. Μὴ φάγεται Θεὸς κρέα ταύρων, ἢ αἷμα τράγων πίεται; θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου. εἰ δὲ καὶ ὁ Θεὸς ἐστὶν ἀληθῶς ὁ φανείς, συνίες, ἀνέρ, τοῦ φανέντος τὸ βούλημα. ἀποπειρᾶταί σου ὁ Θεὸς τῆς περὶ τὸν παῖδα διαθέσεως. γνωσθῆναί σε θέλει, πῶς ἔχεις περὶ τὸ γέννημα, εἰ φιλεῖς τὸν υἱόν, εἰ διάκεισαι πατρικῶς, εἰ τοῖς σπλάγχνοις τῆς φύσεως ἥττησαι, εἰ θανεῖν ἀντὶ τοῦ τέκνου προῄρησαι. θέλει σε καὶ φιλοτεκνίας καλὸν γενέσθαι τοῖς Χαναναίοις παράδειγμα, τοιγαροῦν οὐκ ὑπακοῦσαι, ἀντειπεῖν σε μᾶλλον περὶ τῆς σφαγῆς τοῦ τέκνου, ἰδεῖν πολιὰς τιλλομένας, πικρὰ ῥέοντα δάκρυα, φανῆναι διὰ τούτων φιλόπαιδα. δέδοικα μὴ τεκνοκτονίας μέμψεις ὑποσχῇς παρὰ τῷ φιλανθρώπῳ διὰ μόνην τὴν συγκατάθεσιν. Ἄνερ, πείσθητί μοι, μὴ γίνου δίκαιος πολύ. ταύτην σου τὴν παρακοὴν Θεὸς ἐπαινέσεται. εἰ δὲ καὶ Θεὸς ἀληθῶς θέλει καρπωθῆναι τὸν Ἰσαάκ, στέναξον πικρῶς, ἱκέτευσον, πρόσπεσον, ἐπιδάκρυσον τῆς " ἱκετείας τοῖς ῥήμασιν. ἀγαθός ἐστιν ὁ τὴν θυσίαν αἰτῶν, πολὺ πατρὸς φιλανθρωπότερος, ἀλλάξει τὴν ψῆφον, ἀλλάξει τὴν κρίσιν. οὐκ ἂν ἀπώλετο κατακλυσμῷ τὸ γένος τῶν ἀνθρώπων ποτέ, εἰ δάκρυσιν ἱκετηρίοις οἱ παρανομοῦντες ἐλύσαντο. ἦν ἂν ἔτι τὰ Σόδομα, εἰ στεναγμῷ καρδίας τὸν κριτὴν ἐξιλάσαντο. εἰ οὕτως ἐλεεῖ παρανόμους, πολλῷ πλέον τὸν δίκαιον [σε]. Ἔσωσάς ποτε τὸν Λὼτ τοῦ θεηλάτου πυρός, εὐξάμενος τῷ κριτῇ· σῶσον καὶ νῦν τὸν παῖδα τοῦ ἱλαστηρίου πυρός, δεηθεὶς τοῦ Θεοῦ. ὑπὲρ Σοδομιτῶν ἱκέτευσας ἀνδρῶν ἀδίκων, καὶ πολλάκις ἀπολωλέναι μελλόντων δικαίως, καὶ ὑπὲρ παιδὸς οὐχ ἱκετεύσεις ἀμώμου; χρῆσαι πάλιν τῇ παρρησίᾳ· εἰπέ, μηδαμῶς· ὁ κρίνων πᾶσαν τὴν γῆν, οὐ ποιήσεις κρίσιν; οὐκ ἀπολέσεις δίκαιον μετὰ ἀσεβοῦς. ὑπομνήσθητι τῆς παλαιᾶς φιλοτεκνίας, ἧς εἶχες, ὅτε οὐκ εἶχες τέκνον. πρὶν γὰρ " λάβῃς τὸν Ἰσαάκ, ὑποσχέσεις αὐταί σου τοῦ δεσπότου λαμπραί· γῆς κατασχέσεις γλυκείας, χρημάτων καὶ κτημάτων περιουσία πολλή, αὔξησις τοῦ γένους τοσαύτη, ὡς

καὶ

κατ' αὐ-
ώπου

κετείας

λαβεῖν

Ψαλ. μθ ιγ.

Εκκλησ. ζ. ιζ.

Γεν. ιη. κε.

Γεν. 15 C.

καὶ ταῖς ἀναριθμήτοις αὐτὸν συναριθμεῖσθαι φύσεσιν, ἄμμῳ παραλίᾳ, καὶ ἄστροις οὐρανοῦ· ἀλλ᾿ ὅμως τοσούτων ὄντων τῶν ἐν ἐπαγγελίαις χρηστῶν, χλεύην ἡγοῦ τὰ λεγόμενα, καὶ μετὰ παρρησίας ἐβόας, τὴν ἀπαιδίαν ὀλοφυρόμενος, καὶ λέγων· Τί μοι δώσεις, κύριε; *ἐγὼ δὲ ἀπόλλυμαι ἄτεκνος. Ταύτην ἀφεὶς τὴν φωνήν, ἔλαβες τέκνον. γενοῦ πατήρ, ταύτην ἄφες νῦν, ἵνα σώσῃς τὸ τέκνον. Εἰπὲ πάλιν, τί μοι δώσεις, δέσποτα, ἀναιρῶν μου τὸν κληρονόμον; οἴμοι, τάχα τότε φιλότεκνος ἦς, ὅτε οὐκ ἦς πατήρ.

Ταῦτα λεγούσης τῆς Σάῤῥας τί ποιεῖν ἔδει τὸν Ἀβραάμ; δηλονότι ἀφέμενον τοῦ θείου προστάγματος, τοὺς περὶ θεοσεβείας ποιεῖσθαι λόγους, καὶ πείθειν τὴν Σάῤῥαν, ὅτι, τοῦτον ἂν λάβῃ Θεός, δίδωσί σοι κρείσσονα. καὶ πῶς ἂν ἔπεισε γυναῖκα τῷ πάθει μεθύουσαν; ἀλλὰ δὴ πέπεικε· θεοσεβὴς γὰρ ἡ γυνή, καὶ ἀνδρὸς πιστοτάτου σύνοικος. πάντως γοῦν ἀκόλουθον πεισθεῖσαν αὐτήν, προπέμψαι τὸν υἱὸν ἐπὶ τὴν θυσίαν ὁδεύοντα, στέγειν μὲν ἴσως τὸν πόνον βιαζομένην διὰ τὸ δοκοῦν τῷ Θεῷ, ὑπὸ δὲ τῆς φύσεως αὐτῆς πρὸς θρήνους ἀβουλήτως ἐξαγομένην. πόσοι θεράποντες ἐκεῖ τῷ πόθῳ τοῦ νέου δακνόμενοι; πόσαι θεράπαιναι τῇ δεσποίνῃ συμπάσχουσαι; Χαναναῖοι πόσοι συνήθεις, καὶ γείτονες, οἱ ἐπὶ τοῖς τούτῳ συμβεβηκόσι θαυμάζοντες; θόρυβος ἐκ τούτων πολύς, καὶ οἰμωγή, καὶ θρῆνος καὶ δάκρυα ὡς ἐπὶ προπεμπομένῳ νεκρῷ. Εἶπε δ᾿ αὖ ἡ μήτηρ ἀνακωκύσασα μέγα· δός μοι, τέκνον, τελευταίας περιπλοκάς. ἐγὼ μὲν ἤλπιζον ὑπὸ σοῦ προπεμφθῆναι τέκνον, καὶ τὸν ἐμὸν θάνατον τοῖς σοῖς κοσμηθῆναι δακρύοις· ἐπεὶ δὲ ψῆφος τοῦ κλίσαντος τὰς ἐμὰς ἐλπίδας νενίκηκε, καὶ θρηνῶ τοῦτον, ὑφ᾿ οὗ θρηνηθῆναι προσεδόκησα, τοῦτό σε μόνον αἰτῶ, ἐπιβαίνων τῷ τῆς θυσίας πυρί, πρέσβευσον πρὸς τὸν Θεὸν ὑπὲρ ἐμοῦ, ἀπελθεῖν με τοῦ βίου πρὶν ἐπιμεληθεῖν τῆς θυσίας τὸν ἱερέα. δεξιὰν γὰρ πατρὸς αἵματι παιδὸς ἰδεῖν ᾑμαγμένην οὐ δύναμαι. ἡ μὲν οὖν μήτηρ τοσαῦτα. τίς δ᾿ ἂν ἤνεγκε τὰ παρὰ τῶν Χαναναίων ὀνείδη, τῶν ἐπὶ τῇ θέᾳ τότε συνδεδραμηκότων; ὁ μὲν γὰρ εἶπεν ἄν· ὦ, ἐφ᾿ οἷον θάλαμον τὸν υἱὸν ὁ καλὸς ἄγει πατήρ; ὁ δέ, ἐκ ποίας ἄρα ποίμνης αὐτῷ τὸ ἱερεῖον; ὁ δέ, καλῶς αὐτοῦ ὁ Θεὸς πληθῦναι θέλει τὸ γένος, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ. ἄλλος, ὢ πόσοι γέροντες ὡς υἱὸν θρηνοῦσι τὸν ἄθλιον· *οὗτος δὲ ἠλίθιος γέρων οὐδὲ δακρύει τὸ ἴδιον τέκνον; ταῦτα μὲν οἱ Χαναναῖοι· τῶν δὲ θεραπόντων, ὁ μὲν ἀνοιμώξας, εἶπεν· ὦ παιδίον ἄθλιον, καὶ γενόμενον ὄψιμον, καὶ ἀπολλύμενον ἄωρον. σοῦ καὶ παράδοξος ἡ γέννησις, καὶ παράδοξος ἡ τελευτή. μόνος ἐκ πάντων ἐξ ἀγόνου μήτρας, μόνος ἐκ πάντων ἀκούων τὸν ἐπὶ τῇ ταφῇ σου θρῆνον. ὦ, οἵαν ὁ δεσπότης αὐτοῦ εἰκόνα ἐξαλείφει τοῦ βίου; ταῦτα μὲν οὖν οἱ καθ᾿ ἕκαστον· ὁμοῦ δὲ πάντες *ὑποστρέψαντες οἴκαδε, ὡς ἀφ᾿ ἑνὸς στόματος εἶπον ἄν· ὅδευε λοιπόν, ὦ πρεσβῦτα, τοῦτο μόνον ἐνθυμούμενος, ὅτι τοῦτον ἂν θύσῃς, ἄλλον υἱὸν ἀπὸ Σάῤῥας οὐχ ἕξεις. ταῦτα λογισμῷ σώφρονι προειδόμενος Ἀβραάμ, ταῦτα σκοπήσας ὁ μακάριος, ἐμμύθιον ἔκρυψε τὸ πρόσταγμα, οὕτω διατεθείς, ὡς ἀκοῦσαι ἄῤῥητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι. ὢ θησαυρὲ κρύφιε δεσποτικῶν ἐντολῶν· ὦ [ταμιεῖον ἀποῤῥήτων,] ταμιεῖον ἱερῶν Θεοῦ λόγων. ταῦτά σε τὰ μυστήρια καθ᾿ ὅλης τῆς οἰκουμένης ἀνεκήρυξεν. ὁδεύει διὰ ταῦτα σιγῇ μετὰ τοῦ Ἰσαὰκ ὁ πατήρ, δύο μόνους θεράποντας ἐπαγόμενος, καὶ τούτους οὐκ εἰδότας τῆς θυσίας τὸν τρόπον. ὁδεύει δὲ τριῶν ἡμερῶν ὁδόν. σὺ δὲ μάνθανε τὴν δοκιμασίαν τῆς γνώμης τοῦ προπάτορος, καὶ τοῦτ᾿ ἐκ τοῦ διαστήματος τῆς ὁδοῦ. οὐ γὰρ ἐγγὺς αὐτῷ Θεὸς δείκνυσι τὸ θυσιαστήριον, ἵνα μὴ τῇ θερμότητι τῆς πίστεως κλαπῇ φύσεως τὴν στοργήν· ἀλλ᾿ ὅπως μακρὰν βαδίζων ὁδόν, καὶ τὸν υἱὸν ἐπὶ πλεῖστον θεώμενος χρόνον συνήθως προσπαίζοντα, ταῖς ἀγκάλαις προστρέχοντα, τῇ ἐννοίᾳ τοῦ πρακτέου, καθάπερ χρυσὸς ἐν πυρί, τῷ πόθῳ πολλῷ χρόνῳ δοκιμασθείς, λαμπροτέραν τῆς ὑπακοῆς ἐπιδείξηται τὴν προαίρεσιν. ὤ, ποσάκις ἐν τῷ τετραημέρῳ τούτῳ διαστήματι καθ᾿ ἑαυτὸν ὁ πατὴρ ἀνετυπώσατο τοῦ υἱοῦ τὴν σφαγήν; ποσάκις

γρ. ἐπει

γρ. ὑποστρέφοντες

σάκις ἐπέθηκε τῇ πυρᾷ τοῦ τέκνου τὸ λείψανον, τοσαυτάκις τὴν καρδίαν πληγεὶς, ὁσάκις ἂν τὴν θυσίαν ″ἀνελογίζετο· τὸ μὲν γὰρ πεπροαγγελμένον κακὸν ὡς ἀληθὲς πρὸς ἀλήθειαν ὁρᾷ, τὸ δὲ ἐν ἐλπίσι λυπεῖ τοσαυτάκις, ὁσάκις ἂν ἐλπισθῇ. ὁρᾷ λοιπὸν ὁ μακάριος πόῤῥωθεν τῆς λειτουργίας τὸν τόπον, ἀῤῥήτου φωνῆς προσδειξάσης αὐτῷ, καὶ μόνον παραλαμβάνει τὸν υἱὸν ὁ πατὴρ, ἀπολιπὼν μετὰ τῆς ὄνου τοὺς δούλους· μόνος ὁδεύει λοιπὸν μετὰ μόνου τοῦ Ἰσαὰκ, οὐχ ὡς πατὴρ μετὰ τέκνου, ἀλλ' ὡς ἱερεὺς μετὰ θύματος. ἐπιτίθησι δὲ καὶ τῷ Ἰσαὰκ τῆς θυσίας τὰ ξύλα, αὐτὸς φέρων τὴν μάχαιραν καὶ τὸ πῦρ· βαρύνει τῷ φόβῳ τὸν νέον, ἵνα ἐφιδρώσας ὁ παῖς τῷ καμάτῳ, καὶ τοῖς τῆς φύσεως λουτροῖς καθηράμενος, εὐαγεστέρα γένηται τῷ Θεῷ προσφορά. ἐνταῦθα δὲ γενομένου τοῦ λόγου, τὸν τύπον ἰδὼν, ἀνεμνήσθην τῆς ἀληθείας. ἰδὼν γὰρ πῶς Ἰσαὰκ ἑαυτῷ βαστάζει τῆς θυσίας τὰ ξύλα, δοξάζω τὸν Χριστὸν τὸν διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν ἑαυτοῦ τὸν σταυρὸν βαστάσαι θελήσαντα. ὅλης γὰρ τῆς κατὰ Χριστὸν οἰκονομίας τὴν σκιὰν ἐνταῦθα προλαβοῦσαν ὁρῶ. Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη ὁ Χριστός· τούτου τύπος Ἰσαὰκ εἰς θυσίαν ἀγόμενος. ἐν ὀφθαλμοῖς ἡ σφαγὴ, καὶ οὐκ ἀπειθεῖ τῷ γεννήσαντι Ἰσαάκ. τύπος γὰρ ἦν Χριστοῦ, Ὃς ὑπήκουσε πατρὶ μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Ἰσαὰκ καὶ τέκνον ἦν ἐν ταὐτῷ καὶ θῦμα· ὁμοίως καὶ ὁ Χριστὸς υἱὸς Θεοῦ, καὶ ἀμνὸς ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. οὐ φείδεται τοῦ Ἰσαὰκ ὁ πατὴρ, ἀλλ' οὐδὲ Θεὸς τοῦ Χριστοῦ· Ὃς γὰρ τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν. τριήμερον μετὰ τὴν θυσίαν ἡ μήτηρ ὁρᾷ ζῶντα τὸν Ἰσαὰκ, τριήμερον καὶ ἡ ἐκκλησία ἄφθαρτον ὁρᾷ τὸν σωτῆρα. καὶ ταῦτα μὲν περὶ τύπων, ὡς ἐν παρόδῳ. Ἀβραὰμ δὲ ἐφέστηκεν ἤδη τῷ τόπῳ τῆς λειτουργίας, εἴσω λοιπὸν τοῦ ἀγῶνος γενόμενος, ἐν ᾧ φύσις μὲν καὶ προαίρεσις μάχεται, στεφανοῦται δὲ γνώμη κατὰ τῆς φύσεως, καὶ φέρει φιλοθεΐα ″δικαίως κατὰ φιλοτεκνίας τὰ νικητήρια. ἦλθεν ὁ πατὴρ μετὰ τοῦ τέκνου, μόνος ὁ ἱερεὺς μετὰ μόνου τοῦ θύματος. πάντα δὲ ἦν ὁ παῖς τῷ πατρὶ, καὶ λειτουργὸς πρὸς ὑπηρεσίαν, καὶ θῦμα πρὸς ἱερουργίαν. ἐγὼ δὲ καὶ τοῦ νέου θαυμάζω τὴν σύνεσιν, ὅπως αἰδεσίμως προσέρχεται τῷ πατρὶ, καί φησι, Πάτερ, ἰδοὺ τὸ πῦρ, καὶ τὰ ξύλα, τὸ πρόβατον ποῦ; οὐ καταγελᾷ τῆς λήθης τοῦ πατρὸς (″Εἶδε γὰρ Χαναναίους δουλεύοντας διὰ γέλωτα Χάμ) ἀλλ' ἐρωτᾷ, ποῦ, σχήματι πεύσεως λήθης διορθούμενος σφάλμα. Πάτερ, φησὶν, ἰδοὺ τὰ ξύλα καὶ τὸ πῦρ, τὸ πρόβατον ποῦ; ποῖος ἀρκέσει λόγος πρὸς παράστασιν τῆς τοῦ ἀνδρὸς μεγαλοψυχίας; οὐκ ἐκάλεσεν αὐτὸν πρὸς δάκρυα τοῦ παιδὸς ἡ φωνὴ, οὐκ ὠλοφύρατο τὴν ἡλικίαν τοῦ νέου ἀναισθητοῦσαν τῆς οἰκείας σφαγῆς, ἀλλ' ἔμεινε διαπαντὸς ἄτρωτος καὶ ἀδαμάντινος, τῆς πατρικῆς διαθέσεως ἐκλαθόμενος. Φησὶν οὖν πρὸς αὐτὸν εὐσταθῶς· ὁ Θεὸς ὄψεται ἑαυτῷ πρόβατον, τέκνον. οὐ προαπαγγέλλει τῷ νέῳ τὸ ἐπ' αὐτῷ τοῦ Θεοῦ ″βούλημα, ἵνα μὴ ″ἁπαλῇ διανοίᾳ ἑαυτῷ ἐπιθρηνήσας ὁ νέος, ″δάκρυσι ἀπλώσῃ τὸ θῦμα. πῶς ὑμῖν, ἀδελφοὶ, ἀδακρυτὶ τὰ μετὰ ταῦτα διηγήσομαι; πέπονθά τι πρὸς τὴν τῶν ἔργων διήγησιν, ὡς πατήρ. μόνης γὰρ ἦν τῆς τοῦ Ἀβραὰμ γλώττης [ὡς οἶμαι,] ἀδακρυτὶ τὰ γινόμενα διηγήσασθαι, καὶ τοιαύτην δεῖξαι ἐπὶ τῶν λόγων μεγαλοψυχίαν, οἵαν ἐκεῖνος ἐπὶ τῶν ἔργων ἔδειξε τὴν στεῤῥότητα. τὸ γὰρ δὴ θαυμαστὸν καὶ τίμιον τοῦ ἀνδρὸς, ὅτι ὃ ἐκεῖνος εὐσταθῶς εἰργάσατο, τοῦτο ἡμεῖς οὐδὲ τοῖς λόγοις εἰπεῖν ἀπαθῶς ὑπομένομεν. ἀλλ' ὅμως πειρατέον, κἂν μὴ λίαν ἔτι πρὸς τῆς τοῦ προπάτορος ἀρετῆς ἐφικνώμεθα, φιλοθεΐας νόμῳ τὰ πάθη νικήσαντας κοινωνῆσαι αὐτῷ τῆς θυσίας, τῷ μέρει τῆς διηγήσεως. ἀνακαύσας τοίνυν λαμπρὸν ἐπὶ τῷ βωμῷ τὸ πῦρ, σχηματίζει πρὸς τὴν θυσίαν, ἱερεὺς νόμῳ, τὸν υἱὸν ὁ πατὴρ, τὸν ἀγαπητὸν, τὸν μονογενῆ, καὶ θεὶς ὡς εἰς προσκύνησιν ἐπὶ τὰ γόνατα, ὄπισθε κατὰ τὸν νῶτον περιείλε, τὸ ἐναντίον σχῆμα περιτεθεὶς τῷ παιδί. Εἶτα τοῖς οἰκείοις ἀντιστηρίξας γόνασιν ὄπισθεν, καὶ ″τὴν κόμην πρὸς ἑαυτὸν ″ἀντανακλάσας, ἀνατείνας τὴν δεξιὰν, τολμᾷ φέρειν ἀφ' ὑψηλοῦ κατὰ τοῦ λαιμοῦ τὴν σφαγήν. ὢ τόνος φιλοθεΐας· ὢ ψυχῆς ″ἀνίκητος ἀνδρεία. ἔδησε πρὸς σφαγὴν τὸν υἱόν,

ἐβάλλετο.

…ινγίου

…οἶδε

θέλημα,
ἁπλῆ
δακρύσῃ καὶ
…λώσῃ

τῆς κόμης

…ανακλ.

…ἀνικήτου

Φιλιπ. β. η.

Ρωμ. η. λβ.

Γεν. κβ. η.

υἱόν, καὶ οὐκ ἐλύθησαν τῆς φύσεως οἱ ἁρμοί· τὸ ξίφος ἐν χερσί, καὶ οὐκ ἐνάρκησεν ἡ δεξιά. τίς ἂν ἤνεγκε πρᾳέως τοῖς γινομένοις; τίς οὐκ ἀπεστράφη; τίς οὐκ ἔφυγε τοῦ πατρὸς γενόμενος συμπαθέστερος; διὰ τοῦτο τοὺς δούλους ὁ σοφὸς γέρων οὐ παραλαμβάνει [μεθ' ἑαυτοῦ], ἀλλὰ μακρὰν περιμένειν κελεύει, ἵνα μὴ συμπαθήσαντες τῇ σφαγῇ τοῦ δεσπότου, φιλοθέου γνώμης πρᾶξιν κωλύσωσι. τίνα γὰρ οἴει παρόντας τοὺς παῖδας λαβεῖν ἔννοιαν περὶ τοῦ δεσπότου, βλέποντας αὐτὸν ἁπλῶς οὕτως ὁρμῶντα πρὸς τὴν τοῦ ἠγαπημένου παιδὸς σφαγήν; τίνας ἂν πρὸς ἑαυτοὺς λόγους εἰπεῖν; ὢ τῆς [δεινῆς ταύτης καὶ] ἀπευκταίας συμφορᾶς· ὁ δεσπότης ἡμῶν τάχα μαίνεται, καὶ οὐ γνωρίζει τὸν περιπόθητον υἱόν, ″ἀλλ' εἴ τι τῶν εἰς θυσίαν κατέχειν φαντάζεται, μόσχον ἢ πρόβατον. προσέλθωμεν τοίνυν τὸ τάχος αὐτῷ (οὐ γὰρ ἀναμένει τὸ πρᾶγμα βραδυτῆτα) κρατήσωμεν τέως τὸ ξίφος, ἐπισχῶμεν τὴν δεξιάν, μὴ φθάσῃ τὴν παραίνεσιν ἡ πληγή. μὴ γὰρ ἀκίνδυνον τὸ προσελθεῖν; πῶς φείσεται δούλων, ὁ υἱοῦ μὴ φειδόμενος φιλτάτου; παρακινδυνεύσωμεν δὲ ὅμως· εὐκλεὴς ἡμῖν ὁ θάνατος, ἂν τύχῃ· ὑπὲρ γὰρ νέου ἔσται δεσπότου. φθεγξώμεθά τι παρὰ τὸ προσῆκον, ἐπιτιμήσωμεν ὡς μαινομένῳ, εἰ ἄρα καὶ αἴσθοιτο. τιμῆς ἄξιος ὁ δεσπότης, ἀλλ' ἐν σωφροσύνῃ· αἰδοῦς, ἀλλ' οὐκ εἰς θάνατον. ὑβρισθεὶς ἐν μανίᾳ, χάριν εἴσεται σωφρονήσας, καὶ ὡς εὐεργέτας ἀμείψεται, ὡς σωτῆρας τοῦ τέκνου. ταῦτα λέγοντες προσέδραμον ἂν εὐθύς, καὶ πρῶτον μὲν τῆς δεξιᾶς χειρὸς ἐξείλοντο τὸ ξίφος, καὶ τοῦ θανάτου τὸν Ἰσαάκ· ἔπειτα καὶ λόγοις ἂν ἐχρήσαντο, τοῖς μὲν πρὸς νῆψιν ἄγουσι, τοῖς δὲ πρὸς ἑαυτοὺς μᾶλλον τὴν ὁρμὴν τοῦ δεσπότου μετάγουσι, λέγοντες· ἐπίστησον, δέσποτα, τῇ διανοίᾳ, τὸν υἱὸν ἐν χερσὶν ἔχεις τὸν ἀγαπητόν, τὸν τῆς στείρας τόκον, τὸ παρὰ Θεοῦ ὄψιμον δῶρον, τὸν τῆς φιλοξενίας καρπόν, τὸν ἀντὶ μόσχου μόσχον, δι' ὃν μόνον γενεθλίους ἐτέλεσας ἑορτάς, καὶ σωτηρίους τῷ ὑψίστῳ θυσίας προσενήνεγκας, ὃν ἐν ἐλπίσιν ἀνέθρεψας ὡς βακτηρίαν τοῦ γήρως, δι' ὃν ἔζης ἡδέως, οὗ ὑπερηύχου μὴ ἰδεῖν θάνατον, ἀλλὰ κληρονόμον ἀπολιπεῖν καὶ δεσπότην ἡμέτερον· τοῦτον ἐν χερσὶν ἔχεις. ἰδὲ τοῦ παιδὸς τὴν μορφήν, δέσποτα, τὴν σὴν γνώρισον εἰκόνα. τοιοῦτος γὰρ ἦς καὶ σύ ποτε, ὅτε ἦς νέος. Ἰσαάκ, φθέγξαι τι καὶ σὺ πρὸς τὸν πατέρα, ὅπως διὰ τῆς φωνῆς γνωρίσῃ τὸ γέννημα. οὗτός ἐστι, δέσποτα, οὐχ ἡ θυσία, ἀλλ' ὑπὲρ οὗ πολλαὶ θυσίαι, ὑπὲρ οὗ πολλαὶ δεήσεις πρὸς τὸν Θεόν, εἰς ἀνδρῶν ἡλικίαν ἐλθεῖν, καὶ τοιαύτην ἀγαγέσθαι κοινωνὸν τοῦ βίου, οἵα κατὰ ἀρετὴν ἡ τούτου τυγχάνει μήτηρ, δίχα μέντοι τῆς στειρώσεως. ἐπόθεις γὰρ αὐτοῦ καὶ προφίμους ἰδεῖν τοὺς ″καρπούς, καὶ ″τούτοις τέρπεσθαι πάλιν, ὡς ἐπιθηλάζοντι τῷ Ἰσαάκ. ἀλλ' ὢ τῶν ἀπευκταίων συμφορῶν, εἰς οἵας αὐτὸν ἤγαγες ἡμέρας. ἀντὶ στεφάνων δεσμά, ἀντὶ γυναικὸς μάχαιρα· φαίνεις δὲ καὶ πῦρ, οὐχ ὡς γήμῃ τις, ἀλλ' ὡς θάπτεται). ″παρίσταται δὲ καὶ ὁ νέος, οὐ παστοῖς ἐστεφανωμένος, ἀλλὰ βωμῷ δεδεμένος, καὶ φορῶν οὐκ ἐσθῆτα γαμήλιον, ἀλλὰ σχῆμα θανάσιμον· οὐ ″πάρεστι δὲ κηδεστὴς ″γάμου συνάπτων τὰ διῃρημένα τῷ γένει, ἀλλὰ ″πάρεστι πατὴρ σφαγῇ χωρίζων τὰ ἡνωμένα τῇ φύσει. οὔπω περὶ τέκνων μηδὲ Χαναναίων πατέρες βουλεύσαιντο. τοιαῦτα μέχρι νῦν τῷ ὑψίστῳ προσέφερες θύματα; τοιαῦτα προσῆγες ὑπὲρ τῆς σωτηρίας τοῦ τέκνου χαριστήρια; οὐχὶ κριοὺς καὶ τράγους ἐδιχοτόμεις, ἄλογα ζῷα, τὸν τῶν λογικῶν καὶ ἀλόγων δεσπότην ἱλασκόμενος; τὸ δὲ νῦν σφάγιον ποῖον; ὢ τῶν ἀνυποίστων κακῶν· ὅμοιον τῷ ἱερεῖ τὸ ἱερεῖον, συγγενὲς τῷ ἱλασκομένῳ τὸ ἵλασμα, οὐκ ἐκ ποίμνης, ἀλλ' ἐκ φύσεως αὐτῆς τοῦ ἱερέως τὸ θῦμα. τοιαύτας ὁ Θεὸς οὐ λαμβάνει θυσίας. φιλάνθρωπος γὰρ ὤν, ἄνθρωπον εἰς θυσίαν οὐ δέχεται. τί σε καλέσομεν ἀπὸ τοῦ νῦν, ὦ δέσποτα; ἱερέα διὰ τὴν θυσίαν, ἢ τεκνοκτόνον διὰ τὸ τέκνον; ξένος τις ἐστὶν ἀληθῶς ὁ τῆς θυσίας τρόπος, καὶ οὐδὲ λόγῳ ῥητός. πᾶσαι γὰρ αἱ θυσίαι ὑπὲρ σωτηρίας τελοῦνται, ὁ δὲ σὸς υἱὸς διὰ θυσίας ἀπόλλυται. τί δὲ καὶ καλέσομεν τὸ πραττόμενον; φόνον, ἢ θυσίαν, ἀρετήν, ἢ προσφοράν, ἐμπρησμόν, ἢ ὁλοκάρπωσιν;

χ. ὡς
χ. γυναι
χ. ταύτης
χ. πυρ
χ. πάρεσ
ἴσ. γάμ
χ. πάρεσ

πωσιν; οὕτω γὰρ ἔκθεσμον, οὕτως ἔκνομόν ἐστιν, ὅτι οὐδὲ προσηγορίαν ἔχει προσφορᾶς τὸ γινόμενον. ὢ οἷα ἰδεῖν ἠλπίσαμεν, καὶ οἷα νῦν θεώμεθα; ἠλπίσαμεν αὐτὸν ὑπουργοῦντά σοι πρὸς τὰς θυσίας, λειτουργοῦντά σοι πρὸς τὰς ἱερουργίας. νῦν δὲ, ὢ τῶν δυσοίστων κακῶν, οὐ παρέστηκε τῷ ἱερῷ θῦμα κρατῶν, ἀλλ' αὐτὸς κεῖται δεδεμένος ἀντὶ θύματος, οὐδὲ φωνὴν ἀφίησιν, ὡς ἀμνὸς, ἀλλ' ἄφωνος κεῖται καὶ ἄλαλος, καὶ ἀφελέστερος καὶ προβάτου πρὸς μόνην βλέπει τὴν * δεξιὰν, ἣν πολλάκις ὡς φιλοστόργου πατρὸς κατεφίλησε, τάχα δὲ καὶ νῦν μετὰ τοῦ ξίφους ἐχομένην αὐτὴν ὁρῶν, καταφιλῆσαι θέλει. πολλαί σοι ποῖμναι προβάτων, δέσποτα, βοῶν ἀγέλαι πολλαί· ἐκ τούτων πλήρωσον τὴν θυσίαν τῶν θυσίμων, τῶν νενομισμένων, οὐ τῶν ἀθύτων [καὶ ἀβρώτων]. πάσας εἰς ἓν ὁλοκάρπωσον, εἰ βούλει [τὰς ἀγέλας], οὐκ ἀντιλέγομεν (ἔννομος γὰρ τῆς θυσίας ταύτης ἡ φιλοτιμία) τὸ δὲ νῦν πραττόμενον πόλεμος μᾶλλον ἢ θυσία, πολιορκία τις, οὐ προσφορά. ταῦτα γὰρ εὐχόμενοι ὑπομένομεν, ἅπερ εὐχόμεθα μὴ ἰδεῖν πολεμούμενοι· καὶ τοιαῦτα πάσχομεν ἐν θυσίαις, οἷα ἵνα μὴ πάθωμεν εὐχόμεθα. τὸ νῦν ἔργον ὀλεθριώτερον καὶ πολέμου. τάχα γὰρ ἂν ἐφείσατο καὶ πολέμιος, τοῦ νέου τὴν μορφὴν, τὴν ἡλικίαν αὐτοῦ κατελεήσας. πῶς οἰκήσεις ἔτι τῶν Χαλδαίων τὴν χώραν, νικήσας οὕτω καὶ θηρίων ὠμότητα; τάχα πάντες ἐπιστήσονταί σοι τῶν Χαναναίων οἱ παῖδες, ἀνέλωμεν, λέγοντες, τὸν τεκνοκτόνον, μὴ ποτε γένηται παιδοκτονίας παράδειγμα τοῖς ἡμετέροις πατράσιν. ἔκκοψον δὲ καὶ σὺ τὴν φιλόξενον δρῦν, τὴν φιλάνθρωπον σκηνὴν ἔμπρησον αὐτὴν, ὡς τὸν παῖδα (οὐδεὶς γὰρ ἔτι πλησιάσαι σοι τῶν ὁδευόντων τολμήσει) ὕποπτος αὖθις ὑπάρχων, ὁ υἱοῦ μὴ φεισάμενος. πῶς οὖν ἡ ἀθλία σε Σάρρα, ἡ ἡμετέρα δέσποινα, ἡ σὴ μὲν σύνοικος, ἡ τούτου δὲ μήτηρ ὄψεται, ἁγιώτερον ἐκ τῆς θυσίας τὸν παῖδα προσδεχομένη; τί γὰρ νομίζεις παθεῖν αὐτὴν ἔρημον τοῦ τέκνου τὸν πατέρα θεασαμένην; οὐχὶ πεσεῖται εἰς γῆν ἀθυμίᾳ λυθεῖσα; οὐ παραχρῆμα κινδυνεύσει πεσοῦσα; οὐκ ἀπολέσεις μετὰ τοῦ υἱοῦ καὶ τὴν σύνοικον; πῶς οὖν ἄλλον Ἰσαὰκ γεωργήσεις, δέσποτα, πετρωθείσης τῷ θανάτῳ τῆς χώρας; ὡς εἴθε μηδὲ τὴν ἀρχὴν ἐλύθη τῆς Σάρρας ἡ στείρωσις, ἵνα σὺ μήτε πατὴρ, μήτε παιδοκτόνος ἐκλήθης. ποῖος αἰὼν οὕτω μακρὸς λήθῃ καλύψαι δυνήσεται τὸ πραττόμενον; οὐκ ἴσχυσεν ὁ παρελθὼν χρόνος τὸ τῆς ἀδελφοκτονίας ἀπαλεῖψαι μῖσος, ἀλλ' ἔτι καὶ νῦν ψέγεται Κάϊν, ὡς μὴ γνωρίσας τὴν φύσιν, καὶ πρόρριζον μὲν ἅπαν αὐτοῦ διὰ κατακλυσμοῦ τὸ γένος ἀπόλωλεν, ἡ δὲ μνήμη τῆς ἀδελφοκτονίας οὐδὲ πλήθει τοσούτων ὑδάτων ἐκπέπλυται). παρὰ πολὺ δὲ τεκνοκτόνος ἀδελφοκτόνου βαρύτερον, καὶ τοσοῦτον ὅσον ἀδελφοῦ πατὴρ οἰκειότερος. τί τοίνυν, δέσποτα, θεοσεβὲς καὶ θαυμαστῷ βίῳ αἰσχύνην ἐπάγεις ἀθάνατον, οὐ χρόνῳ δυναμένην ἐξαλειφθῆναι, οὐχ ὕδασι; δεῦρο δὴ, λοιπὸν [ἄκουσον ἡμῶν, καὶ] τῶν δεσμῶν τὸν υἱὸν ἄφες ἐλεύθερον, ῥίψον τὸ ξίφος, σβέσωμεν τὸ πῦρ, αὐτὸν τὸν βωμὸν κατασκάψωμεν, μηδὲν ὅλως ἴχνος ἐάσῃς ἀπίστου τολμήματος [ἐπὶ γῆς.] εἰ δὲ ἀπειθεῖς μετὰ τοσαύτην παραίνεσιν, καὶ πονηρῷ φιλονεικεῖς διακονήσασθαι δαίμονι, τοῦτο μόνον δεόμεθα, πρὸ τούτου ἀπόκτεινον ἡμᾶς, καὶ ἡδέως δεχόμεθα τὴν σφαγήν. ἄμεινον γὰρ ἡμῖν ἐνταῦθα πεσεῖν, ἢ δοῦλους κληθῆναι παιδοκτόνου δεσπότου. πῶς οὖν, τοιαῦτα καὶ λεγόντων καὶ πραττόντων ἐξ εὐνοίας τῶν δούλων, ὁ προπάτωρ καθυπώθη τῷ τοῦ δεσπότου προστάγματι; πῶς ἂν οὕτως ἐν ὅλῳ τῷ κόσμῳ ἀγαθὴ φιλοθεΐας ἔλαμψε πρᾶξις; πῶς ἂν ὑψηλὴ πίστεως ἀνωρθώθη στήλη; πῶς ἂν ἔργοις ἔμαθε κόσμος, ὅτι φόβος Θεοῦ πόθου παιδὸς τιμιώτερος; διὰ τοῦτο μόνος ἐπὶ τὴν θυσίαν παραγίνεται), μόνος τὸν μονογενῆ διὰ μονογενοὺς τῷ μόνῳ προσφέρων Θεῷ. ἐμάθετε, ἀγαπητοὶ, διὰ τῶν εἰρημένων τοῦ προπάτορος τὴν φιλοθεΐαν· μάθετε διὰ τῶν ἑξῆς καὶ τοῦ Θεοῦ τὴν ἄφατον φιλανθρωπίαν, μάθετε πῶς οἱ διὰ τὸν Θεὸν τῶν παρόντων καταφρονήσαντες καὶ προκόπτουσιν εἰς ἀρετὴν, καὶ τῶν προσκαίρων οὐχ ἁμαρτάνουσιν. ἔκειτο τοίων συμπεποδισμένος ὁ Ἰσαάκ, καὶ γυμνὸν τῷ πατρὶ παρέχων τὸν λαιμὸν εἰς σφαγήν, ἡ δὲ χεὶρ τοῦ ἱερέως ὑψηλὴ τὴν πληγὴν ἐπισπεύδουσα· καὶ παραχρῆμα φέρεται οὐρανόθεν ἐλέου φωνή, καθάπερ χεὶρ τὴν χεῖρα κωλύουσα, καὶ ταχυτάτῳ προστάγματι τὴν προθυμίαν τοῦ ἱερέως ἐπέχουσα. μὴ γάρ, φησιν, ἐπιβάλῃς τὴν χεῖρά σου ἐπὶ τὸ παιδάριον· ἀρκοῦμαι τῇ προθυμίᾳ, κἂν ἡ πρᾶξις ἀπείη. οὐκ ἤθελον σφαγιάσαι τὸν παῖδά σου, [ἀλλ'] ἤθελον φανερῶσαι τὴν πίστιν σου [ἐν ὅλῳ τῷ κόσμῳ]. ἐπειδὴ γὰρ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ, ἀλλὰ τὸ σὸν μέρος ἀπόλωλεν Ἰσαάκ, ὅσον ἐπὶ σοί, ἠτέκνωται Σάρρα, καὶ οὔτε σὺ ὀνομάζῃ πατήρ, [ἀπὸ τοῦ νῦν διὰ τὴν ἀγάπην τὴν εἰς ἐμὲ] σῶον ἀπολάμβανέ σου τὸν υἱόν, [μακρόβιόν τε καὶ πολυχρόνιον.] τὸ γὰρ ἔργον ἐμοὶ πέπρακται τῷ τὰς διαθέσεις [τῶν ἐννοιῶν] βλέποντι. ἀμείψομαι δέ σε πρὸς τούτοις, θεράπον, πάντῃ καταδήλῳ δωρεᾷ, [καὶ] προσφόρῳ προσηγορίᾳ τιμήσω σε, πᾶς ὅσιός σε καλέσει πατέρα· ἡ πρᾶξις αὕτη πολλούς σοι δικαίους ἀπογεννήσει παῖδας, σὺ πάντων τῶν εἰς ἐμὲ πιστευόντων κληθήσῃ πατήρ, ἐγώ σοι κατ' ἐξαίρετον ἐκ λίθων ἐγερῶ τέκνα. ἑνὸς υἱοῦ καταφρονήσας, ἕξεις ἀπείρους [ἀπὸ τοῦ νῦν]. πατέρα γὰρ πολλῶν ἐθνῶν τέθεικά σε· καὶ τὰ μὲν παρὰ Θεοῦ τοιαῦτα· ἡμεῖς δὲ ἅπαντες, ἀγαπητοί, ὑπογραμμῷ φιλοθεΐας τῷ προπάτορι Ἀβραὰμ χρώμενοι, μηδέν τι τῶν προσκαίρων ἀγαθῶν τῆς εἰς Θεὸν πίστεως ἡγώμεθα τιμιώτερον, μὴ πατρίδα, μὴ γένος, μὴ πλοῦτον, μὴ δόξαν, μὴ τέκνον ἀγαπητόν, κἂν μόνον τυγχάνῃ γενόμενον· ὅπως ὁμοιότητι πίστεως τέκνα γενόμενοι τοῦ προπάτορος Ἀβραάμ, εἰς τοὺς φωτεινοὺς αὐτοῦ κόλπους μετὰ Ἰσαὰκ ἀναπαυσώμεθα, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ια.

ΕΙΣ ΤΟ ΔΕΙΝ ΚΑΙ ΕΝ ΤΗ ΠΕΝΤΗΚΟΣΤΗ

καὶ ἀεὶ τῆς νηστείας μεμνῆσθαι, καὶ ὅτι οὐ παρουσία μόνον, ἀλλὰ καὶ μνήμη νηστείας ὠφελεῖ· καὶ περὶ τῆς τοῦ Θεοῦ προνοίας, καὶ ὅτι μετὰ τῶν ἄλλων οὐ μικρὸν μέρος αὐτῆς ἡ φυσικὴ τῶν γονέων περὶ τὰ ἔκγονα φιλία· καὶ ὅτι οὐ πατράσι μόνον, ἀλλὰ καὶ μητράσιν ἐπιτέτακται τὰ παιδία ῥυθμίζειν, καὶ πρὸς τῷ τέλει περὶ τῆς Ἄννης.

α. Βασ. α. α.

Ἐπειδὰν ξένον τινὰ καταχθέντα πρὸς ἡμᾶς ἡμέρας τινὰς ὑποδεξάμενοι φιλοφρόνως, καὶ λόγων αὐτῷ καὶ ἁλῶν κοινωνήσαντες, ἀποπέμψωμεν· τῇ μετὰ τὴν ἀποδημίαν ἐκείνην ἡμέρᾳ, τραπέζης παρατεθείσης, εὐθέως ἀναμιμνησκόμεθα αὐτοῦ τε καὶ τῶν λόγων τῆς συνουσίας, καὶ μετὰ πολλῆς αὐτὸν ἐπιζητοῦμεν τῆς ἀγάπης. τοῦτο δὴ καὶ ἐπὶ τῆς νηστείας ποιήσωμεν. καὶ γὰρ κατήχθη πρὸς ἡμᾶς ἡμέρας τεσσαράκοντα, ὑπεδεξάμεθα αὐτὴν φιλοφρόνως, καὶ ἀπεπέμψαμεν. ἐπεὶ οὖν μέλλομεν παρατιθέναι τράπεζαν νῦν πνευματικήν, ἀναμνησθῶμεν αὐτῆς, καὶ τῶν ἐξ αὐτῆς ἁπάντων ἐγγενομένων ἡμῖν ἀγαθῶν. οὐ γὰρ δὴ παρουσία νηστείας μόνον, ἀλλὰ καὶ μνήμη νηστείας τὰ μέγιστα ὠφελῆσαι δύναιτ' ἄν. καὶ καθάπερ οἱ φιλούμενοι παρ' ἡμῶν, οὐχὶ παρόντες μόνον, ἀλλὰ καὶ εἰς νοῦν ἡμῖν ἐρχόμενοι, πολλῆς ἡμᾶς πληροῦσιν ἡδονῆς· οὕτω καὶ αἱ τῆς νηστείας ἡμέραι, καὶ οἱ σύλλογοι, καὶ αἱ διατριβαὶ αἱ κοιναί, καὶ τὰ ἄλλα, ἃ παρ' ἐκείνης ἐκαρπούμεθα καλά, καὶ ἀπὸ τῆς μνήμης εὐφραίνει, κἂν ταῦτα ἅπαντα συλλέξαντες ἀναμνησθῶμεν, μεγάλα καὶ κατὰ τὸν παρόντα καιρὸν κερδανοῦμεν. ταῦτα δὲ λέγω οὐκ ἀναγκάζων νηστεύειν, ἀλλὰ πείθων μὴ τρυφᾶν, μηδὲ κατὰ τοὺς πολλοὺς τῶν ἀνθρώπων διακεῖσθαι, εἴγε ἀνθρώποις ἀνθρώπους τοὺς οὕτω μικροψύχως διακειμένους χρὴ καλεῖν, οἳ καθάπερ ἐκ δεσμῶν ἀφεθέντες, καὶ δεσμωτηρίου τινὸς ἀπαλλαγέντες χαλεποῦ, πρὸς ἀλλήλους λέγουσι, μόλις ποτὲ τὸ χαλεπὸν τῆς νηστείας διηνύσαμεν πέλαγος· ἄλλοι δὲ τούτων ἀσθενέστερον διακείμενοι, καὶ ὑπὲρ τῆς μελλούσης δεδοίκασι τεσσαρακοστῆς. τοῦτο δὲ γίνεται ἐκ τοῦ τὸν ἄλλον ἅπαντα καιρὸν τρυφῇ, καὶ ἀσωτίᾳ, καὶ μέθῃ πάσῃ μετὰ ὑπερβολῆς ἑαυτοὺς ἐκδιδόναι. ὡς εἴγε μεμελετήκειμεν τὰς ἄλλας ἡμέρας σεμνῶς καὶ ἐπιεικῶς ζῆν, καὶ ἀπελθοῦσαν ἂν ἐποθήσαμεν τὴν νηστείαν, καὶ παραγίνεσθαι μέλλουσαν μετὰ πολλῆς ἂν ὑπεδεξάμεθα τῆς ἡδονῆς. τί γὰρ οὐκ ἀγαθὸν ἡμῖν ἀπὸ νηστείας; πάντα γαλήνης γέμει καὶ καθαρᾶς εὐδίας. οὐχὶ καὶ οἰκίαι θορύβων καὶ δρόμων καὶ πάσης εἰσὶν ἠλευθερωμέναι ταραχῆς; καὶ πρὸ τῶν οἰκιῶν δὲ ἡ τῶν νηστευόντων διάνοια ταύτης ἀπολαύει τῆς ἡσυχίας· πόλις δὲ ἅπασα, τὴν ἐν τῇ διανοίᾳ, καὶ τὴν ἐν ταῖς οἰκίαις εὐταξίαν μιμεῖται. οὔτε γὰρ ἐν ἑσπέρᾳ ᾀδόντων ἔστιν ἀκοῦσαι, οὔτε ἐν ἡμέρᾳ θορυβούντων καὶ μεθυόντων, οὐ κραζόντων, οὐ μαχομένων, ἀλλὰ πολλὴν πανταχοῦ τὴν ἡσυχίαν ἔστιν ὁρᾶν. ἀλλ᾽ οὐχὶ νῦν οὕτως, ἀλλ᾽ εὐθέως ὑπὸ τὴν ἕω κραυγαί, καὶ θόρυβοι, καὶ μαγείρων δρόμοι, καὶ πολὺς μὲν ἐν ταῖς οἰκίαις, πολὺς δὲ ἐν τοῖς λογισμοῖς ὁ καπνός, τῶν παθῶν ἡμῖν ἔνδον ὑποκαιομένων, καὶ τῆς φλογὸς διεγειρομένης τῆς ἐν ταῖς ἀτόποις ἐπιθυμίαις ὑπὸ τῆς τρυφῆς. διὰ ταῦτα ζητοῦμεν καὶ ἀπελθοῦσαν τὴν νηστείαν· ἐκείνη γὰρ ταῦτα πάντα κατέστελλε. κἂν τοὺς πόνους αὐτῆς ἀπεθέμεθα, ἀλλὰ τὸν πόθον αὐτῆς μὴ καταλύσωμεν, μηδὲ τὴν μνήμην σβέσωμεν· ἀλλ᾽ ὅταν ἀριστήσας καὶ καθευδήσας εἰς τὴν ἀγορὰν ἐμβάλῃς, καὶ τὴν ἡμέραν πρὸς ἑσπέραν ἐπειγομένην ἴδῃς, εἰσελθὼν εἰς τὴν ἐκκλησίαν ταύτην, καὶ παρὰ τὸ βῆμα τοῦτο ἐλθών, ἀναμιμνήσκου τοῦ καιροῦ τῆς νηστείας, καθ᾽ ὃν μεστὴ μὲν ἡ ἐκκλησία τοῦ πλήθους ἡμῖν ἦν, σφόδρα δὲ ἡ τῆς ἀκροάσεως προθυμία, πολλὴ δὲ ἡδονή, καὶ διεγηγερμένη πάντων ἡ διάνοια, καὶ πάντα ταῦτα συλλέγων, ἀναμιμνήσκου τῶν ποθεινῶν ἡμερῶν ἐκείνων. κἂν μέλλῃς παρατίθεσθαι τράπεζαν, μετὰ τῆς μνήμης ταύτης ἅπτου τῶν ἐδεσμάτων, καὶ οὐδέποτε εἰς μέθην ἐξολισθῆσαι δυνήσῃ. ἀλλ᾽ ὥσπερ οἱ γυναῖκα σεμνὴν καὶ σώφρονα καὶ ἐλευθέραν ἔχοντες, καὶ σφόδρα αὐτῆς περικείμενοι, οὐδὲ ἀπούσης αὐτῆς, πόρνης καὶ διεφθαρμένης ἐρασθεῖεν ἄν, τοῦ πόθου τοῦ περὶ ἐκείνην προκατέχοντος τὴν διάνοιαν, καὶ ἑτέραν ἐπεισελθεῖν ἔρωτα οὐκ ἐῶντος· οὕτω δὴ καὶ ἐπὶ τῆς νηστείας, καὶ τῆς μέθης γίνεται. ἂν τοίνυν ἐκείνης τῆς ἐλευθέρας καὶ σώφρονος μνημονεύωμεν, τὴν πάνδημον πόρνην ταύτην, καὶ πάσης ἀσχημοσύνης μητέρα, τὴν μέθην λέγω, μετὰ πολλῆς διακρουσόμεθα τῆς εὐκολίας, τοῦ πόθου τῆς νηστείας, πάσης χειρὸς σφοδρότερον, ἀπωθοῦντος τὴν ταύτης ἀναισχυντίαν. διὰ ταῦτα δὴ πάντα παρακαλῶ κατὰ νοῦν ἀεὶ τὰς ἡμέρας ἐκείνας ἔχωμεν. ἵνα δέ τι κἀγὼ πρὸς τὴν μνήμην ἐκείνης συμβάλωμαι, τὴν αὐτὴν ὑπόθεσιν, ἣν τότε κινεῖν παρεσκευαζόμην, ταύτην καὶ νῦν εἰς μέσον ἀγαγεῖν πειράσομαι, ὥστε καὶ τῇ κατὰ τὴν διδασκαλίαν ὁμοιότητι γενέσθαι τινὰ τοῦ καιροῦ μνήμην ἡμῖν ἐκείνου. ὑμεῖς μὲν γὰρ ἴσως ἐπιλέλησθε, διὰ τὸ μεταξὺ πολλὰς γεγενῆσθαι διαλέξεις ἡμῖν, καὶ ὑπὲρ ἑτέρων πραγμάτων. καὶ γὰρ ἐλθόντος τοῦ πατρὸς ἀπὸ τῆς μακρᾶς ἀποδημίας, ἀναγκαῖον ἦν τὰ κατὰ τὸ στρατόπεδον συμβάντα ἅπαντα εἰπεῖν, καὶ μετὰ ταῦτα πρὸς Ἕλληνας ἀποτείνεσθαι, ὥστε τούτους ἀπὸ τῆς συμφορᾶς βελτίους γενομένους, καὶ πρὸς ἡμᾶς ἐκ τῆς Ἑλληνικῆς αὐτομολήσαντας πλάνης, μετ᾽ ἀκριβείας ῥιζῶσαι, καὶ διδάξαι οἵου μὲν ἀπηλλάγησαν σκότους, οἵῳ δὲ προσέδραμον ἀληθείας φωτί. μετ᾽ ἐκεῖνο πάλιν, πολλὰς ἡμέρας τῆς τῶν μαρτύρων ἀπελαύσαμεν πανηγύρεως, καὶ ἄκαιρον ἦν ἐν τάφοις μαρτύρων διατρίβοντας, τῶν τοῖς μάρτυσι πρεπόντων ἐγκωμίων ἀμοίρους ἀπελθεῖν. ταῦτα τὰ ἐγκώμια διεδέξατο πάλιν ἡ περὶ τῶν ὅρκων παραίνεσις. ἐπειδὴ γὰρ τὴν ἀγροικίαν ἅπασαν τῆς πόλεως εἴδομεν ἐπιβᾶσαν, ἐβουλήθημεν αὐτοῖς δόντες ἐφόδια ταῦτα, οὕτως αὐτοὺς ἐκπέμψαι παρ᾽ ἡμῶν ἅπαντας. ὑμῖν μὲν οὖν διὰ ταῦτα οὐκ ἂν εἴη

ἐπενθή-
μεν

εὐδίας.

ζητοῦμεν

σφοδρὰ

ἀπωθοῦν-
ἐκείνην

δυνατὸν ῥᾳδίως ἀνενεγκεῖν τὴν τότε ἡμῖν γενομένην πρὸς Ἕλληνας ζήτησιν· ἐγὼ δὲ ὁ διὰ παντὸς ἐν τούτοις ἐγρηγορκὼς, καὶ ταύτην ἔχων μελέτην, ῥᾷστα πρὸς ὑμᾶς ὀλίγα τῶν πότε εἰρημένων εἰπὼν, ὁλοκλήρου τῆς τῶν λόγων ὑποθέσεως ἀναμνῆσαι δυνήσομαι. τίς οὖν ἦν ἡμῖν ἡ ὑπόθεσις; ἐζητοῦμεν πῶς ἐξ ἀρχῆς ὁ Θεὸς ἡμῶν προεξενόει τοῦ γένους, καὶ πῶς τὰ συμφέροντα ἐπαίδευσεν, οὔτε γραμμάτων ὄντων, οὔτε γραφῶν δοθεισῶν· καὶ ἐδείκνυμεν ὅτι διὰ τῆς κατὰ τὴν κτίσιν θεωρίας πρὸς τὴν αὐτοῦ θεογνωσίαν ἐχειραγώγησεν· ὅτε καὶ λαβόμενος ὑμῶν, οὐχὶ τῆς χειρὸς, ἀλλὰ τῆς διανοίας, πανταχοῦ τῆς κτίσεως περιήγαγον, δεικνὺς οὐρανὸν, καὶ γῆν, καὶ θάλατταν, καὶ λίμνας, καὶ πηγὰς, καὶ ποταμοὺς, καὶ πελάγη μακρὰ, καὶ λειμῶνας, καὶ παραδείσους, καὶ κομῶντα τὰ λήϊα, καὶ βριθόμενα τοῖς καρποῖς τὰ δένδρα, καὶ καλυπτομένας δρυμοῖς κορυφὰς ὀρῶν· ὅτε καὶ περὶ σπερμάτων, καὶ περὶ βοτανῶν, καὶ περὶ λαχάνων, καὶ περὶ φυτῶν ἐγκάρπων τε καὶ ἀκάρπων, καὶ περὶ ἀλόγων, ἡμέρων τε καὶ ἀγρίων, ἐνύδρων τε καὶ χερσαίων, καὶ ἀμφιβίων, περὶ τῶν τὸν ἀέρα τεμνόντων, περὶ τῶν χαμαὶ συρομένων, καὶ περὶ αὐτῶν τῶν τοῦ παντὸς στοιχείων πολλὰ διελέχθημεν, καὶ καθ' ἕκαστον ἐπεβοῶμεν κοινῇ πάντες, ἀτονούσης ἡμῖν πρὸς τὸν ἄπειρον πλοῦτον τῆς διανοίας, καὶ τὸ πᾶν καταλαβεῖν μὴ δυναμένης, Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε; πάντα ἐν σοφίᾳ ἐποίησας. οὐ διὰ τὸ πλῆθος δὲ μόνον ἐθαυμάζομεν τοῦ Θεοῦ τὴν σοφίαν, ἀλλὰ καὶ δι' ἀμφότερα ταῦτα, ὅτι καὶ καλὴν καὶ μεγάλην καὶ θαυμαστὴν τὴν κτίσιν ἐποίησε, καὶ ὅτι πολλὰ πάλιν τῆς ἀσθενείας "αὐτῆς δείγματα ἐναπέθετο τοῖς ὁρωμένοις· τὸ μὲν, ἵνα θαυμάζηται ἐπὶ σοφίᾳ, καὶ πρὸς τὴν ἑαυτοῦ λατρείαν τοὺς ὁρῶντας ἐφέλκηται· τὸ δὲ, ἵνα μὴ τὸν ποιήσαντα ἀφέντες οἱ θεωροῦντες αὐτῶν τὸ κάλλος καὶ τὸ μέγεθος, ἀντ' ἐκείνου προσκυνήσωσι τὰ ὁρώμενα, τῆς ἐν αὐτοῖς ἀσθενείας δυναμένης τὴν τοιαύτην διορθῶσαι πλάνην. καὶ πῶς φθαρτὴ πᾶσά ἐστιν ἡ κτίσις, καὶ πρὸς τὸ βέλτιον μεταστήσεται σχῆμα, καὶ πλείονος ἀπολαύσεται δόξης, καὶ πότε, καὶ διὰ τί, καὶ τίνος ἕνεκεν φθαρτὴ γέγονε, καὶ ταῦτα ἅπαντα πρὸς ὑμᾶς ἐφιλοσοφοῦμεν τότε, καὶ τοῦ Θεοῦ τὴν δύναμιν κἀντεῦθεν ἐδείκνυμεν, ὅτι ἐν φθαρτοῖς σώμασι τοσοῦτον εἰργάσατο κάλλος (ὅπερ καὶ ἐξ ἀρχῆς αὐτοῖς συνεκλήρωσεν ὁ Θεὸς) τὸ τῶν ἄστρων, τὸ τοῦ οὐρανοῦ, τὸ τοῦ ἡλίου. καὶ γὰρ ὄντως ἐστὶ θαυμάσαι, πῶς ἐτῶν παρελθόντων τοσούτων, οὐδὲν ἔπαθον, οἷα τὰ ἡμέτερα σώματα, οὐδὲ τῷ γήρᾳ ἀσθενέστερα γέγονεν, οὐδὲ νόσῳ καὶ ἀρρωστίᾳ τινὶ "κατεμαλακίσθη, ἀλλὰ τὴν οἰκείαν ἀκμὴν καὶ τὸ κάλλος, ὅπερ, ὡς ἔφθην εἰπὼν, ἐξ ἀρχῆς αὐτοῖς συνεκλήρωσεν ὁ Θεὸς, μένει διατηροῦντα, καὶ οὔτε τὸ ἡλιακὸν ἐξετρίβη φῶς, οὔτε τὸ τῶν ἄστρων ἄνθος ἀμαυρότερον γέγονεν, οὐχ ἡ τοῦ οὐρανοῦ φαιδρότης ἐξερρύη, οὐχ οἱ τῆς θαλάττης ἐκινήθησαν ὅροι, οὐχ ἡ τῆς γῆς ἐσβέσθη δύναμις ἡ περὶ τοὺς τόκους τῶν ἐτησίων καρπῶν. καὶ ὅτι φθαρτὰ ταῦτά ἐστι, καὶ ἀπὸ λογισμῶν, καὶ ἀπὸ τῶν θείων γραφῶν ἀπεδείξαμεν· ὅτι δὲ καλὰ, καὶ φαιδρὰ, καὶ τὸ ἄνθος ἀκμάζον διετήρησεν, ἡ καθημερινὴ μάρτυς τῶν ὁρώντων ὄψις, ὃ δὴ μάλιστά ἐστι θαυμάσαι τοῦ ποιήσαντος οὕτως αὐτὰ ἐξ ἀρχῆς Θεοῦ. ἐπειδὴ δὲ ταῦτα λεγόντων ἡμῶν τότε τινὲς ἀντέτεινον, λέγοντες· οὐκοῦν πάντων τῶν ὁρωμένων ἀτιμότερος ὁ ἄνθρωπος, εἴγε οὐρανοῦ μὲν σῶμα, καὶ γῆς, καὶ ἡλίου, καὶ τὸ τῶν ἄστρων ἁπάντων πρὸς τοσοῦτον διήρκεσε χρόνον· οὗτος δὲ μετὰ ἑβδομήκοντα ἔτη διαλύεται, καὶ ἀπόλλυται. πρῶτον μὲν ἐκεῖνο ἂν εἴποιμεν, ὅτι οὐχ ὁλόκληρον διαλύεται τὸ ζῶον, ἀλλὰ τὸ κυριώτερον αὐτοῦ καὶ ἀναγκαιότερον, ἡ ψυχὴ μένει διηνεκῶς ἀθάνατος, οὐδενὶ τούτων εἴκουσα τῶν παθῶν, καὶ ἡ φθορὰ περὶ τὸ ἔλαττον γίνεται· δεύτερον ὅτι καὶ τούτῳ αὐτῷ τιμώμεθα μειζόνως. οὐδὲ γὰρ ἁπλῶς, οὐδὲ ἄνευ αἰτίας τινὸς, ἀλλὰ καὶ δικαίως, καὶ ἐπὶ χρησίμῳ, καὶ γῆρας καὶ νόσους ὑπομένομεν. δικαίως μὲν, ὅτι πρὸς ἁμαρτίαν κατεπέσομεν· χρησίμως δὲ, ἵνα τὴν ἐκ τῆς ῥᾳθυμίας ἐγγινομένην ἡμῖν ἀπόνοιαν διὰ τῆς ἐνδείας ταύτης καὶ τῶν παθῶν διορθώσωμεν. οὐ τοίνυν ἀτιμάζων ἡμᾶς ὁ Θεὸς τοῦτο γενέσθαι εἴασεν. Εἰ

Ψαλ. ϟα ε.

ἴσ. αὐτοῖς

κ. κατημαλάχθη

γὰρ

Λογ. ια

γὰρ ἠτίμαζεν, οὐκ ἂν τὴν ψυχὴν ἡμῖν ἀφῆκεν ἀθάνατον εἶναι. ἀλλ' οὐδὲ ἀσθενῶν, τὸ σῶμα τὸ ἡμέτερον ἐποίησε τοιοῦτον. εἰ γὰρ ἠσθένει, οὐκ ἂν τὸν οὐρανὸν, καὶ τοὺς ἀστέρας, καὶ τὸ σῶμα τῆς γῆς ἴσχυσε τοσοῦτον διακαρτερῆσαι χρόνον· ἀλλ' ὑπὲρ τοῦ βελτίους ποιῆσαι καὶ σωφρονεστέρους, καὶ αὐτῷ μᾶλλον καταπειθεῖς, ὅπερ ἁπάσης ἐστὶ σωτηρίας ὑπόθεσις. διὰ τοῦτο οὐρανὸν μὲν οὐκ ἐποίησεν, οὔτε γήρᾳ ἁλίσκεσθαί τέως, οὔτε ἄλλαις τισὶ τοιαύταις ἀρρωστίαις. ὁ γὰρ προαιρέσεως καὶ ψυχῆς ἀπεστερημένος, οὔτε ἁμαρτεῖν, οὔτε κατορθῶσαι δύναιτ' ἄν· ὅθεν οὐδὲ διορθώσεως αὐτῷ χρεία τοιαύτης. ἡμῖν δὲ τοῖς λόγῳ καὶ ψυχῇ τετιμημένοις ἀναγκαῖον γέγονεν ἡ διὰ τῶν παθῶν τούτων ἐγγενομένη σωφροσύνη, καὶ ταπεινοφροσύνη, ἐπεὶ καὶ παρὰ τὴν ἀρχὴν πρὸ τῶν ἄλλων ἁπάντων εἰς ἀπόνοιαν ἀπεσκίρτησεν ὁ πρῶτος γενόμενος ἄνθρωπος. ἄλλως δὲ, εἰ καθάπερ τὰ ἡμέτερα σώματα, οὕτω καὶ ὁ οὐρανὸς ἔμελλε κατασκευάζεσθαι καὶ γηρᾶν, πολλὴν ἂν πολλοὶ τοῦ ποιοῦντος κατέγνωσαν ἀσθένειαν, ὡς οὐκ ἰσχύοντος ἓν σῶμα διακαρτερῆσαι ἐπὶ πολλὰς ἐτῶν περιόδους· νῦν δὲ αὖθις καὶ αὕτη ἡ πρόφασις ἀνῄρηται, τῶν ἔργων ἐπὶ τοσοῦτον χρόνον μενόντων. πρὸς δὲ τοῖς εἰρημένοις, οὐδὲ μέχρι τούτου στήσεται τὰ ἡμέτερα, ἀλλ' ἐπειδὰν τῷ παρόντι βίῳ σωφρονισθῶμεν καλῶς, μετὰ πλείονος ἀναστήσει δόξης τὰ σώματα, καὶ οὐρανοῦ, καὶ ἡλίου, καὶ τῶν ἄλλων ἁπάντων ἔσται λαμπρότερα, καὶ πρὸς τὴν ἄνω μεταστήσεται λῆξιν. Εἷς μὲν οὖν θεογνωσίας τρόπος, ὁ διὰ τῆς κτίσεως ἁπάσης· ἕτερος δὲ οὐκ ἐλάττων, ὁ τοῦ συνειδότος, ὃν καὶ τοῦτον ἅπαντα τότε διὰ πλειόνων ἐξεθέμεθα λόγων, δεικνύντες πῶς αὐτοδίδακτος ἡμῖν ἐστιν ἡ τῶν καλῶν καὶ τῶν οὐ τοιούτων γνῶσις, καὶ πῶς ἔνδοθεν ἡμῖν τὸ συνειδὸς ἅπαντα ἐνηχεῖ ταῦτα. δύο γὰρ οὗτοι διδάσκαλοι γεγόνασιν ἡμῖν ἐξ ἀρχῆς, ἡ κτίσις, καὶ τὸ συνειδός· καὶ οὐδέτερος αὐτῶν φωνὴν ἀφιεὶς, σιγῇ τοὺς ἀνθρώπους ἐπαίδευον. ἥ τε γὰρ κτίσις διὰ τῆς ὄψεως ἐκπλήττουσα τὸν θεατὴν, εἰς τὸ τοῦ ποιήσαντος αὐτὴν θαῦμα παραπέμπει τὸν ὁρῶντα ἅπαντα· τό τε συνειδὸς ἔνδον ἐνηχοῦν, ἅπαντα ὑποβάλλει τὰ πρακτέα· καὶ τὴν δύναμιν αὐτοῦ, καὶ τῆς ψήφου τὴν κρίσιν, διὰ τῶν τῆς ὄψεως πραγμάτων καταλαμβάνομεν. ὅταν γὰρ ἔνδον κατηγορῇ τῆς ἁμαρτίας, συγχεῖ τὴν ὄψιν ἔξωθεν, καὶ πολλῆς τῆς ἀθυμίας πληροῖ. πάλιν ὠχροὺς ἐργάζεται καὶ περιδεεῖς, ὅταν ἐπί τινι τῶν αἰσχίστων ἁλῶμεν, καὶ τῆς φωνῆς μὲν οὐκ ἀκούομεν, διὰ δὲ τῆς ἔξωθεν ὄψεως τὴν ἔνδον γινομένην ἀγανάκτησιν θεωροῦμεν. μετὰ δὲ τούτων τῶν δύο, καὶ τρίτον ἡμῖν διδάσκαλον ἐδείκνυ προστεθέντα παρὰ τῆς τοῦ Θεοῦ κηδεμονίας ὁ λόγος, οὐκέτι ἄφωνον, καθάπερ τοὺς προτέρους, ἀλλὰ λόγῳ, καὶ παραινέσει, καὶ συμβουλῇ ῥυθμίζοντα ἡμῶν τὴν γνώμην. τίς δὲ οὗτός ἐστιν; ὁ συγκεκληρωμένος ἑκάστῳ γεννωμένῳ πατήρ. διὰ γὰρ τοῦτο φιλεῖσθαι παρὰ τῶν γεννησαμένων ἡμᾶς κατεσκεύασεν ὁ Θεὸς, ἵνα παιδευτὰς ἔχωμεν τῆς ἀρετῆς. οὐ γὰρ τὸ σπεῖραι ποιεῖ πατέρα μόνον, ἀλλὰ τὸ παιδεῦσαι καλῶς· οὐδὲ τὸ κυῆσαι μητέρα ἐργάζεται, ἀλλὰ τὸ θρέψαι καλῶς. καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, καὶ οὐχ ἡ φύσις, ἀλλ' ἡ ἀρετὴ ποιεῖ πατέρας, αὐτοὶ συνομολογήσαιεν ἂν ἡμῖν οἱ γονεῖς. τοὺς γοῦν υἱοὺς τοὺς ἑαυτῶν πολλάκις, ἐπειδὰν φαύλους ἴδωσι γενομένους, καὶ εἰς πονηρίαν ἀποσκιρτήσαντας, τῆς συγγενείας τῆς ἑαυτῶν ἐκκόπτουσιν, ἀποκηρύττοντες, ἑτέρους ποιοῦντες υἱοὺς οὐδαμόθεν αὐτοῖς πολλάκις προσήκοντας. ἆρα τί τούτου γένοιτ' ἂν παραδοξότερον, ὅταν οὓς μὲν ἐγέννησαν ἐκβάλλωσιν, οὓς δὲ οὐκ ἐγέννησαν εἰσάγωσιν; οὐχ ἁπλῶς ἡμῖν ταῦτα εἴρηται, ἀλλ' ἵνα μάθῃς, ὅτι προαίρεσις φύσεως δυνατωτέρα, καὶ αὕτη μᾶλλον ἐκείνης καὶ υἱοὺς καὶ πατέρας ποιεῖν εἴωθε. καὶ τοῦτο δὲ τῆς τοῦ Θεοῦ κηδεμονίας ἔργον ἐγένετο, τὸ μήτε γυμνοὺς τῆς φυσικῆς διαθέσεως ἀφεῖναι γενέας τοὺς παῖδας, μήτε τὸ πᾶν ἐπιτρέψαι πάλιν ἐκείνῃ. εἰ μὲν γὰρ μηδ' ὅλως ἔμελλον φιλεῖν τοὺς ἑαυτῶν υἱοὺς οἱ γονεῖς ἀνάγκῃ κινούμενοι φυσικῇ, ἀλλ' ἀπὸ τῶν τρόπων, καὶ τῶν κατορθωμάτων μόνον, πολλοὺς ἂν εἶδες ἔξω τῆς πατρῴας οἰκίας γινομένους διὰ τὴν οἰκείαν ὀλιγωρίαν,

μῶν

μὴ ἔμελλε
ρᾶν, ὁ δ'
σκα ἀξε-

ὑμῖν

Λογ. ια.

είαν, καὶ διασπώμενον ἡμῖν τὸ γένος. πάλιν εἰ τὸ πᾶν ἐπέτρεψε τῇ τυραννίδι τῆς φύσεως, καὶ μηδὲ πονηροὺς ὄντας μισεῖν ἀφῆκεν, ἀλλὰ καὶ ὑβριζόμενοι καὶ μυρία πάσχοντες παρ' αὐτῶν οἱ πατέρες δεινὰ, διὰ τὴν τῆς φύσεως ἀνάγκην ἔμενον θεραπεύοντες ὑβρίζοντας καὶ ἐμπαροινοῦντας αὐτοῖς τοὺς παῖδας, εἰς ἔσχατον ἂν κακίας τὸ γένος ἡμῖν ἐξώλισθεν. εἰ γὰρ νῦν οὐ τὸ πᾶν ἔχοντες τῇ φύσει θαρρεῖν οἱ παῖδες, ἀλλ' εἰδότες ὅτι πολλοὶ γενόμενοι φαῦλοι, καὶ τῆς οἰκίας, καὶ τῆς οὐσίας ἐξέπεσον τῆς πατρικῆς, ὅμως πολλαχοῦ τῷ τῶν γονέων φίλτρῳ θαρροῦντες ἐνυβρίζουσιν εἰς τοὺς τεκόντας· εἰ μὴ συνεχώρησεν αὐτοῖς ὁ Θεὸς καὶ ἀγανακτεῖν, καὶ ἐπεξιέναι, καὶ κακοὺς γινομένους ἐκβάλλειν τοὺς παῖδας, ποῦ πονηρίας ἂν οὐκ ἔστησαν; διὰ ταῦτα καὶ τῇ τῆς φύσεως ἀνάγκῃ, καὶ τῷ τῶν παιδίων τρόπῳ τὸ φίλτρον ἐνεπίστευσε τῶν γονέων ὁ Θεὸς, ἵνα καὶ ἁμαρτάνουσι σύμμετρα συγγινώσκωσι τοῖς παισὶ, τῆς φύσεως αὐτοὺς ἐπὶ τοῦτο παρακαλούσης, καὶ πονηροὺς γινομένους καὶ ἀνίατα νοσοῦντας μὴ παιδοτριβῶσιν ἐπὶ κακίαν τῇ πονηρίᾳ, τῆς φύσεως πάλιν ἐλεγχούσης καὶ δυναμένης ἀναγκάσαι καὶ φαύλους γενομένους θεραπεύειν τοὺς παῖδας. πόσης ταῦτα προνοίας, εἰπέ μοι, καὶ τὸ κελεῦσαι μὲν φιλεῖν, καὶ τὸ μέτρον ἐπιθεῖναι τῷ φίλτρῳ, καὶ τὸ πάλιν ἀμοιβὴν ὁρίσαι τῇ καλῇ παιδοτροφίᾳ; ὅτι γὰρ ἀμοιβὴ κεῖται, καὶ οὐκ ἀνδράσι μόνον, ἀλλὰ καὶ γυναιξὶν, ἄκουσον πῶς πολλαχοῦ καὶ ταύταις καὶ περὶ τούτων ἡ γραφὴ διαλέγεται, καὶ οὐχ ἧττον ταύταις, ἢ τοῖς ἀνδράσιν. εἰπὼν γὰρ ὁ Παῦλος, Ἡ δὲ γυνὴ ἐξαπατηθεῖσα ἐν παραβάσει γέγονεν, ἐπήγαγε· σωθήσεται δὲ διὰ τῆς τεκνογονίας. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἀλγεῖς, φησὶν, ὅτι σε ἡ πρώτη γυνὴ εἰς ὠδῖνας καὶ πόνους ἐνέβαλε καὶ κύησιν μακράν; ἀλλὰ μὴ δυσχεράνῃς· οὐ γὰρ τοσοῦτον ἐπηρεάσθης ἀπὸ τῶν ὠδίνων, καὶ τῶν πόνων, ὅσον κερδαίνεις, ἐὰν θέλῃς, ἀπὸ τῆς παιδοτροφίας πρόφασιν λαμβάνουσα κατορθωμάτων. τὰ γὰρ παιδία τὰ τικτόμενα, ἂν τῆς προσηκούσης ἀπολαύῃ θεραπείας, καὶ εἰς ἀρετὴν ἐνάγηται παρὰ τῆς σῆς προνοίας, πολλῆς σοι σωτηρίας ἀφορμὴ καὶ πρόφασις γίνεται, καὶ πρὸς τοῖς οἰκείοις κατορθώμασι, καὶ τῆς περὶ ταῦτα θεραπείας πολλὴν ἀπολήψῃ τὴν ἀμοιβήν. καὶ ἵνα μάθῃς, ὅτι οὐ τὸ τεκεῖν ποιεῖ μητέρα, οὐδὲ τούτῳ κεῖται μισθὸς, καὶ ἀλλαχοῦ μὲν χήρᾳ διαλεγόμενος ὁ Παῦλος οὕτως εἶπεν, Εἰ ἐτεκνοτρόφησε, καὶ οὐκ εἶπεν, εἰ ἐτεκνοποίησεν, ἀλλ', εἰ ἐτεκνοτρόφησε. τὸ μὲν γὰρ, τῆς φύσεως, τὸ δὲ, τῆς προαιρέσεώς ἐστι. καὶ διὰ τοῦτο καὶ ἐνταῦθα εἰπὼν, σωθήσεται διὰ τῆς τεκνογονίας, οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ δεῖξαι βουλόμενος, ὅτι οὐ τὸ γεννῆσαι τέκνα, ἀλλὰ τὸ θρέψαι τέκνα καλῶς, τοῦτο ἡμῖν φέρει τὸν μισθὸν, ἐπήγαγεν· ἐὰν μείνωσι τῇ πίστει, καὶ τῇ ἀγάπῃ, καὶ τῷ ἁγιασμῷ μετὰ σωφροσύνης. ὃ δὲ λέγει τοῦτο ἐστι· τότε λήψῃ πολὺν τὸν μισθὸν, ἐὰν οἱ γεννηθέντες παῖδες ἐπιμείνωσι τῇ πίστει καὶ τῇ ἀγάπῃ καὶ τῷ ἁγιασμῷ. ἂν τοίνυν αὐτοὺς εἰς ταῦτα ἐνάγῃς, ἂν παρακαλῇς, ἂν διδάξῃς, ἂν συμβουλεύσῃς, τῆς ἐπιμελείας ταύτης κείσεταί σοι παρὰ τοῦ Θεοῦ πολλὴ ἡ ἀμοιβή. μὴ τοίνυν ἀλλότριοι αὐτῶν εἶναι νομιζέτωσαν αἱ γυναῖκες, τὸ καὶ θηλειῶν καὶ ἀῤῥένων ἐπιμελεῖσθαι. οὐ γὰρ διέκρινεν ἐνταῦθα τὸ γένος, ἀλλὰ καὶ ἐκεῖ ἁπλῶς εἶπεν, Εἰ ἐτεκνοτρόφησε· καὶ ἐνταῦθα, ἐὰν ἐπιμείνωσι τῇ πίστει, καὶ τῇ ἀγάπῃ, καὶ τῷ ἁγιασμῷ. ὥστε ἀμφοτέρων ἡμῖν ἐπιμελητέον τῶν παιδίων, καὶ μάλιστα ταῖς γυναιξὶν, ὅσῳ καὶ τὰ πλείονα οἴκοι κάθηνται. τοὺς μὲν γὰρ ἄνδρας καὶ ἀποδημίαι, καὶ αἱ τῆς ἀγορᾶς φροντίδες, καὶ τὰ τῆς πόλεως πράγματα περιέλκουσι πολλάκις· ἡ δὲ γυνὴ πάσης τοιαύτης φροντίδος ἀτέλειαν ἔχουσα, εὐκολώτερον δύναιτ' ἂν τῶν τεχθέντων ἐπιμελεῖσθαι, πολλῆς ἀπολαύουσα τῆς σχολῆς. οὕτως αἱ παλαιαὶ ἐποίουν γυναῖκες. οὐ γὰρ ἀνδράσι μόνον, ἀλλ' οὐ καὶ γυναιξὶν ἀναγκαῖον τοῦτο τὸ ὄφλημα· λέγω δὲ, τὸ τῶν οἰκείων προνοεῖσθαι παίδων, καὶ εἰς φιλοσοφίαν αὐτοὺς ἐνάγειν. καὶ ὅτι τοῦτο ἐστιν ἀληθὲς, ἀρχαίαν τινὰ ἱστορίαν ὑμῖν διηγήσομαι. Ἄννα τις ἐγένετο παρὰ τοῖς Ἰουδαίοις γυνή. αὕτη ἡ Ἄννα πολὺν ἐνόση-

α. Τιμ. β. ιε.

α. Τιμ. ε. ι.

σεν

σιν ἀπαιδίας χρόνον, καὶ τὸ δὴ χαλεπώτερον, ὅτι ἡ ἀντίζηλος αὐτῆς παίδων ἦν μήτηρ πολλῶν. ἴστε δὲ ὡς τῇ φύσει καὶ καθ' ἑαυτὸ τὸ πρᾶγμα ἀφόρητόν ἐστι ταῖς γυναιξίν· ὅταν δὲ καὶ ἀντίζηλος παρῇ παῖδας ἔχουσα, πολλῷ χαλεπώτερον γίνεται. ἐν γὰρ τῇ τῆς γυναικὸς ἐκείνης εὐπραγίᾳ τὴν οἰκείαν ἀκριβέστερον καταμανθάνει συμφοράν· καθάπερ οὖν καὶ οἱ τῇ πενίᾳ συζῶντες ἐσχάτῃ, τότε ὀδυνῶνται μειζόνως, ὅταν ἐννοήσωσι τοὺς πλουτοῦντας. καὶ οὐ τοῦτο μόνον ἦν τὸ δεινόν, ὅτι παῖδας αὕτη μὲν οὐκ εἶχεν, ἐκείνη δὲ εἶχεν, ἀλλ' ὅτι καὶ ἀντίζηλος ἦν, καὶ οὐχ ὅτι ἀντίζηλος ἦν μόνον, ἀλλ' ὅτι καὶ παρώργιζεν αὐτὴν διὰ τὸ ἐξουθενεῖν αὐτήν. ὁ δὲ Θεὸς ταῦτα πάντα ὁρῶν ἠνείχετο, καὶ οὐκ ἔδωκεν αὐτῇ Κύριος, φησί, παιδίον κατὰ τὴν θλίψιν αὐτῆς, καὶ κατὰ τὴν ἀθυμίαν τῆς ψυχῆς αὐτῆς. τί ἐστι, κατὰ τὴν θλίψιν αὐτῆς; οὐκ ἔστιν εἰπεῖν, φησιν, ὅτι παρέργως ὁρῶν φέρουσαν τὴν συμφορὰν ἐπέσχεν αὐτῆς τὸν τόκον, ἀλλὰ καίτοι διακοπτομένην ὁρῶν, ὀδυνωμένην, θλιβομένην, οὐκ ἔλυσε τὴν ἀθυμίαν, ἕτερόν τι πολλῷ μεῖζον οἰκονομῶν. ταῦτα μὴ παρέργως ἀκούωμεν, ἀλλὰ καὶ ἐντεῦθεν μάθωμεν μεγίστην φιλοσοφίαν, καὶ ἐπειδὰν δεινῷ τινι περιπέσωμεν, κἂν ἀλγῶμεν, κἂν ὀδυρώμεθα, κἂν ἀφόρητον ἡμῖν εἶναι δοκῇ τὸ κακόν, μὴ σπεύδωμεν, μηδὲ ἀλύωμεν, ἀλλ' ἀναμένωμεν τοῦ Θεοῦ τὴν πρόνοιαν. ἐπίσταται γὰρ οὗτος σαφῶς πότε δεῖ λῦσαι τὸ ποιοῦν τὴν ἀθυμίαν ἡμῖν· ὅπερ οὖν καὶ ἐπὶ ταύτης συνέβη. οὐ γὰρ μισῶν αὐτήν, οὐδὲ ἀποστρεφόμενος ὁ Θεὸς ἀπέκλεισεν αὐτῆς τὴν μήτραν, ἀλλ' ἵνα ἡμῖν ἀνοίξῃ τὰς θύρας τῆς φιλοσοφίας τῆς ἐν τῇ γυναικί, καὶ τὸν πλοῦτον αὐτῆς τῆς πίστεως κατίδωμεν, καὶ γνῶμεν ὅτι λαμπροτέραν αὐτὴν ἐκ τούτου εἰργάζετο. ἄκουε δὲ καὶ τὰ ἑξῆς· Καὶ οὕτως ἐποίει, φησίν, ἐνιαυτὸν κατ' ἐνιαυτὸν ἀπὸ ἱκανοῦ ἐν τῷ ἀναβαίνειν αὐτὴν εἰς οἶκον Κυρίου. καὶ ἠθύμει καὶ ἔκλαιε, καὶ οὐκ ἤσθιεν. ἐπιτεταμένη ἡ ὀδύνη, πολὺ τὸ μῆκος τῆς λύπης, οὐ δύο καὶ τρεῖς ἡμέραι, οὐδὲ εἴκοσι καὶ ἑκατόν, οὐδὲ χίλιαι καὶ δὶς τοσαῦται. ἔτη πολλὰ λυπουμένη καὶ ὀδυνωμένη ἦν ἡ γυνή. τοῦτο γάρ ἐστι, τὸ ἀπὸ ἱκανοῦ. καὶ ὅμως οὐκ ἀπεδυσπέτησεν, οὐδὲ ἤλεγξεν αὐτῆς τὴν φιλοσοφίαν τοῦ χρόνου τὸ μῆκος, οὐδὲ τὰ ὀνείδη καὶ αἱ λοιδορίαι τῆς ἀντιζήλου, ἀλλ' ηὔχετο συνεχῶς καὶ ἱκέτευε. καὶ τὸ δὴ μεῖζον ἁπάντων, καὶ ὃ μάλιστα δείκνυσιν αὐτῆς τὸν περὶ τὸν Θεὸν πόθον, ὅτι οὐχ ἁπλῶς αὐτὸ τοῦτο τὸ παιδίον κτήσασθαι ἐπεθύμει, ἀλλὰ καρπὸν ἀναθεῖναι τῷ Θεῷ, καὶ τῆς οἰκείας γαστρὸς ἀπάρξασθαι, καὶ τῆς καλῆς ταύτης ὑποσχέσεως λαβεῖν τὸν μισθόν. πόθεν τοῦτο δῆλον; ἐκ τῶν μετὰ ταῦτα ῥημάτων. ἴστε γὰρ δήπου πάντες, ὅτι ταῖς γυναιξὶ διὰ τοὺς ἄνδρας μάλιστα ἀφόρητον ἡ ἀπαιδία. πολλοὶ γὰρ τῶν ἀνθρώπων οὕτως ἀλόγως διάκεινται, ὡς ταῖς γυναιξὶν ἐγκαλεῖν, ἐπειδὰν μὴ τίκτωσιν· οὐκ εἰδότες ὅτι τὸ τεκεῖν ἄνωθεν ἔχει τὴν ἀρχήν, ἀπὸ τῆς τοῦ Θεοῦ προνοίας, καὶ οὔτε γυναικὸς φύσις, οὔτε συνουσία, οὔτε ἄλλο οὐδὲν αὔταρκες πρὸς τοῦτό ἐστιν. ἀλλ' ὅμως καίτοιγε εἰδότες ὅτι ἀδίκως ἐγκαλοῦσιν, ὀνειδίζουσι, καὶ ἀποστρέφονται πολλάκις, καὶ οὐχ ἡδέως πρὸς αὐτὰς ἔχουσιν. ἴδωμεν τοίνυν καὶ ἐπὶ ταύτης τῆς γυναικὸς εἰ τοῦτο συνέβαινεν. ἂν μὲν γὰρ ἴδῃς αὐτὴν καταφρονουμένην, ἀτιμαζομένην, ὑβριζομένην, παρρησίαν οὐκ ἔχουσαν πρὸς τὸν ἄνδρα, οὐδὲ πολλῆς ἀπολαύουσαν τῆς εὐνοίας, δυνήσῃ στοχάσασθαι, ὅτι διὰ τοῦτο ἐπεθύμει παιδίου, ἵνα παρρησίαν ἔχῃ καὶ ἐλευθερίαν πολλήν, καὶ ποθεινοτέρα γένηται τῷ ἀνδρί. ἂν δὲ τοὐναντίον ἅπαν εὕρῃς αὐτὴν τῆς τὰ παιδία ἐχούσης μᾶλλον ἀγαπωμένην, καὶ πλείονος ἀπολαύουσαν εὐνοίας, εὔδηλον ὅτι οὐ δι' ἀνθρώπινόν τι, οὐδ' ἵνα τὸν ἄνδρα ἐπισπάσηται μᾶλλον, ἐπεθύμει παιδίου, ἀλλὰ διὰ τὴν εἰρημένην αἰτίαν. πόθεν οὖν τοῦτο δῆλον; ἄκουσον αὐτοῦ τοῦ συγγραφέως αὐτὸ λέγοντος· οὐδὲ γὰρ ἁπλῶς αὐτὸ τέθεικεν, ἀλλ' ἵνα τῆς γυναικὸς μάθῃς τὴν ἀρετήν. τί οὖν ἐστί φησιν; Ἠγάπα γὰρ ὁ Ἐλκανὰ τὴν Ἄνναν ὑπὲρ τὴν Φενάναν. Εἶτα μετὰ ταῦτα ἰδὼν αὐτὴν οὐκ ἐσθίουσαν, ἀλλὰ κλαίουσαν, φησί· τί ἐστί σοι, ὅτι κλαίεις; καὶ ἵνα τί οὐκ ἐσθίεις; καὶ ἵνα τί τύπτει σε ἡ καρδία σου; οὐκ ἀγαθὸς

a Βασ. α. ι.

a. Βασ. α. ζ.

a. Βασ. α. η.

ἐγώ σοι ὑπὲρ δέκα τέκνα; ὁρᾷς πῶς αὐτῆς ἐξήρτητο, καὶ ὑπὲρ ἐκείνης ἤλγει πλέον, οὐ διὰ τὸ μὴ ἔχειν παιδία, ἀλλὰ διὰ τὸ ὁρᾶν ἀθυμοῦσαν αὐτὴν καὶ περιοδυνωμένην; ἀλλ' ὅμως οὐκ ἔπεισεν αὐτὴν ἀποστῆναι τῆς ἀθυμίας. οὐ γὰρ δι' αὐτὸ ἐζήτει τὸ παιδίον, ἀλλ' ἵνα τινὰ καρπὸν ἐπιδείξηται τῷ Θεῷ. Καὶ ἀνέστη, φησὶ, μετὰ τὸ φαγεῖν αὐτοὺς ἐν Σηλώμ, καὶ μετὰ τὸ πιεῖν, καὶ κατέστη ἐνώπιον Κυρίου. οὐχ ἁπλῶς οὐδὲ τοῦτο εἴρηται, ὅτι μετὰ τὸ φαγεῖν καὶ πιεῖν· ἀλλ' ἵνα μάθῃς, ὅτι τὸν καιρὸν, ὃν ἀνέσεως ἕτεροι καὶ ἀδείας ποιοῦνται, τοῦτον εὐχῆς καὶ δακρύων ἐποιεῖτο καιρὸν, διὰ τὸ σφόδρα νήφειν καὶ ἐγρηγορέναι. καὶ κατέστη ἐνώπιον Κυρίου, καὶ Ἠλεὶ ὁ ἱερεὺς, φησὶν, ἐκάθητο ἐπὶ τοῦ δίφρου ἐπὶ τῶν φλιῶν ναοῦ Κυρίου. οὐδὲ τοῦτο ἁπλῶς εἴρηται, ὅτι ὁ Ἠλεὶ ὁ ἱερεὺς ἐκάθητο ἐπὶ τῶν φλιῶν ναοῦ Κυρίου, ἀλλ' ὑπὲρ τοῦ δεῖξαι τὴν θερμότητα τῆς γυναικός. καθάπερ γὰρ χήρα πολλάκις γυνὴ ἀπροστάτευτος οὖσα καὶ ἔρημος, ἐπηρεαζομένη, πολλὰ ἀδικουμένη, βασιλέως εἰσελαύνειν μέλλοντος, δορυφόρων, ἀσπιδηφόρων, ἱππέων, ἑτέρας πολλῆς θεραπείας παραπεμπούσης, οὐ καταπλήττεται, οὐδὲ προστάτου δεῖται, ἀλλὰ πάντας αὐτοὺς διατεμοῦσα μετὰ πολλῆς ἐντυγχάνει τῷ βασιλεῖ παῤῥησίας, τὴν οἰκείαν ἐκτραγῳδοῦσα συμφορὰν, τῆς ἀνάγκης αὐτὴν χειραγωγούσης· οὕτω δὴ καὶ αὕτη ἡ γυνὴ οὐκ ἠρυθρίασεν, οὐκ ᾐσχύνθη, τοῦ ἱερέως καθημένου, αὐτὴ δι' ἑαυτῆς αἰτῆσαι καὶ μετὰ πολλῆς τῆς παῤῥησίας τῷ βασιλεῖ προσελθεῖν· ἀλλ' ὑπὸ τοῦ πόθου πτερωθεῖσα, καὶ πρὸς τὸν οὐρανὸν ἀναβᾶσα τῇ διανοίᾳ, ὡς αὐτὸν ὁρῶσα τὸν Θεὸν, οὕτω μετὰ πάσης αὐτῷ θερμότητος διελέγετο. καὶ τί φησι; μᾶλλον δὲ οὐδὲν φθέγγεται πρότερον, ἀλλ' ἀπ' ὀδυρμῶν ποιεῖται τὰ προοίμια, καὶ θερμὰς ἀφίησι πηγὰς δακρύων. καὶ καθάπερ ὄμβρων καταφερομένων καὶ ἡ σκληροτέρα γῆ καταβρεχθεῖσα καὶ καταμαλαχθεῖσα, ῥᾳδίως ἑαυτὴν πρὸς τὰς τῶν καρπῶν διεγείρει γονάς· οὕτω καὶ ἐπὶ τῆς γυναικὸς ταύτης ἐγένετο. καθάπερ γὰρ ὑπὸ ὄμβρων τῶν δακρύων ἡ μήτρα μαλαττομένη, καὶ διὰ τῆς ὀδύνης διαθερμαινομένη, πρὸς τὴν καλὴν ἐκείνην τεκνογονίαν ἤρχετο διεγείρεσθαι. ἀκούσωμεν δὲ καὶ αὐτῶν τῶν ῥημάτων, καὶ τῆς καλῆς ταύτης ἱκετηρίας. κλαίουσα ἔκλαυσε, φησὶ, καὶ ηὔξατο εὐχὴν τῷ Κυρίῳ, λέγουσα, ΑΔΩΝΑΙ ΚΥΡΙΕ ΕΛΩΙ ΣΑΒΑΩΘ. φοβερὰ τὰ ῥήματα, καὶ φρίκης γέμοντα· καὶ καλῶς ἐποίησεν ὁ συγγραφεὺς μὴ μετενεγκὼν αὐτὰ πρὸς τὴν ἡμετέραν φωνήν. οὐ γὰρ ἴσχυσε μετὰ τῆς οἰκείας αὐτὰ ἀρετῆς μεταθεῖναι πρὸς τὴν ἑλλάδα γλῶτταν. οὐκ ἀφ' ἑνὸς δὲ αὐτὸν ἐκάλεσε ῥήματος ἡ γυνὴ, ἀλλ' ἀπὸ πολλῶν τῶν προσόντων αὐτῷ, τὸν περὶ αὐτὸν πόθον ἐνδεικνυμένη, καὶ τὴν θερμὴν διάθεσιν. καὶ καθάπερ οἱ τὰς δεήσεις γράφοντες τῷ βασιλεῖ, οὐκ ἐντιθέασιν ἓν ὄνομα μόνον, ἀλλὰ τὸν Τροπαιοῦχον, τὸν Αὔγουστον, τὸν Αὐτοκράτορα, καὶ πολλὰ ἕτερα τούτων πλείω προσθέντες, τότε ποιοῦνται τὴν ἱκετηρίαν· οὕτω καὶ αὕτη δέησίν τινα ἀναφέρουσα τῷ Θεῷ, πολλὰ τίθησιν ἐν τῷ προοιμίῳ τῆς δεήσεως ὀνόματα, τήν τε οἰκείαν διάθεσιν ἐνδεικνυμένη, καθάπερ ἔφθην εἰπὼν, καὶ τὴν εἰς τὸν παρακαλούμενον τιμήν. καὶ τὴν δέησιν αὐτὴν ὑπηγόρευσεν ἡ ὀδύνη. διὸ καὶ ταχέως ἠκούετο μετὰ πολλῆς αὐτὴν γράψασα τῆς συνέσεως. τοιαῦται γὰρ αἱ ἐξ ὀδύνης ψυχῆς γινόμεναι εὐχαί. καὶ γὰρ ἀντὶ χάρτου μὲν ἦν αὐτῆς ἡ διάνοια, ἀντὶ καλάμου δὲ ἡ γλῶττα, τὰ δάκρυα δὲ ἀντὶ μέλανος. διὸ καὶ μέχρι τῆς σήμερον ἡμέρας ἡ δέησις ἔμεινεν. ἀνεξάλειπτα γὰρ τὰ τοιαῦτα γίνεται γράμματα, ἅπερ ἂν ἐν ἐκείνῳ βαφῇ τῷ μέλανι. καὶ τὰ μὲν προοίμια τῆς δεήσεως τοιαῦτα· τὰ δὲ ἑξῆς τίνα; Ἐὰν ἐπιβλέπων ἐπιβλέψῃς, φησὶν, ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης σου. οὔπω οὐδὲν ἔλαβε, καὶ ἐξ ὑποσχέσεως τὴν ἀρχὴν ἐποιήσατο τῆς εὐχῆς. ἀμείβεται τὸν Θεὸν ἤδη μηδὲν ἐν χερσὶ κατέχουσα. οὕτως ἔζεε καὶ ὤδινε πρὸς τοῦτο μᾶλλον, ἢ πρὸς ἐκεῖνο, καὶ διὰ τοῦτο ηὔχετο λαβεῖν τὸ παιδίον. ἐὰν ἐπιβλέπων ἐπιβλέψῃς ἐπὶ τὴν

ταπείνωσιν

α. Βασ. α. θ.

α. Βασ. α. ια.

ταπείνωσιν τῆς δούλης σου. δύο δικαιώματα, φησιν, ἔχω, τὴν δουλείαν καὶ τὴν συμφοράν. καὶ δός μοι τῇ δούλῃ σου σπέρμα ἀνδρός, δώσω αὐτὸ δοτὸν ἐνώπιόν σου. τί ἐστιν, ἐνώπιόν σου δοτόν; ἔκδοτον καὶ ὁλόκληρον δοῦλον. ἀφίσταμαι τῆς ἐξουσίας ἁπάσης. τοσοῦτον γὰρ βούλομαι γενέσθαι μήτηρ μόνον, ὅσον τὴν ἀρχὴν παρ' ἐμοῦ λαβεῖν τὸ παιδίον, καὶ λοιπὸν ἐξίσταμαι καὶ παραχωρῶ. καὶ σκόπει γυναικὸς εὐλάβειαν. οὐκ εἶπεν, ἐὰν δῷς μοι τέκνα, τὰ δύο σοι δίδωμι, ἐὰν δὲ δύο, τὸν ἕνα σοι δίδωμι· ἀλλ', ἐὰν μόνον ἕνα δῷς, ὁλόκληρον ἀνατίθημί σοι τὸν καρπόν. καὶ οἶνον καὶ μέθυσμα οὐ μὴ πίεται. οὔπω ἔλαβε τὸ παιδίον, καὶ ἤδη διαπλάττει προφήτην, καὶ περὶ τῆς παιδοτροφίας αὐτοῦ διαλέγεται, καὶ συνθήκας ποιεῖται πρὸς τὸν Θεόν. ὢ παρρησίας γυναικός. ἐπειδὴ καταβαλεῖν οὐδὲ τότε εἶχε, διὰ τὸ μηδέπω λαβεῖν, ἀπὸ τῶν μελλόντων καταβάλλει τὴν τιμήν. καὶ καθάπερ πολλοὶ τῶν γηπόνων ἐν πενίᾳ ζῶντες ἐσχάτῃ, καὶ ἀργύριον οὐκ ἔχοντες ὥστε μόσχον ἢ πρόβατον πρίασθαι, ἐφ' ἡμισείᾳ παρὰ τῶν δεσποτῶν αὐτὰ λαμβάνουσιν, ἀπὸ τῶν μελλόντων καρπῶν τὴν τιμὴν ὑπισχνούμενοι καταβαλεῖν· οὕτω δὴ καὶ αὕτη, μᾶλλον δὲ καὶ πολλῷ πλέον ἐποίησεν. οὐ γὰρ ἐφ' ἡμισείᾳ τὸν υἱὸν λαμβάνει παρὰ τοῦ Θεοῦ, ἀλλ' ὥστε ὁλόκληρον αὐτῷ ἀποδοῦναι πάλιν, καὶ τὴν παιδοτροφίαν καρπώσασθαι. ἀρκοῦσαν γὰρ ἀμοιβὴν εἶναι ἐνόμισε, τὸ ποιῆσαι περὶ τὸν τοῦ Θεοῦ ἱερέα. καὶ οἶνον καὶ μέθυσμα οὐ μὴ πίεται, φησιν. οὐκ ἐνενόησε πρὸς ἑαυτὴν, λέγουσα· τί δὲ ἂν ἁπαλὸς ὢν ὑπὸ τῆς ὑδροποσίας διαφθείρηται; τί δὲ ἂν ἀρρωστίᾳ περιπέσῃ; τί δὲ ἂν ἀποθάνῃ, νόσῳ παραδοθεὶς χαλεπῇ; ἀλλ' ἐννοήσασα ὅτι ὁ δοὺς αὐτὸν, αὐτὸς καὶ τῆς ὑγείας προνοῆσαι δυνήσεται, ἐξ αὐτῶν τῶν σπαργάνων καὶ τῶν ὠδίνων εἰς τὴν ἁγιωσύνην αὐτὸν ἐνεβίβασεν, ἐπὶ τὸν Θεὸν ῥίψασα τὸ πᾶν, καὶ πρὸ τῶν ὠδίνων ἡ γαστὴρ αὐτῆς ἡγιάζετο προφήτην ἔχουσα, καὶ ἱερέα κύουσα, καὶ τὸ ἀνάθημα φέρουσα, ἀνάθημα ἔμψυχον. διὰ ταῦτα ἠνείχετο ἀθυμούσης αὐτῆς ὁ Θεός, διὰ τοῦτο βραδέως ἐδίδου, ἵνα λαμπροτέραν αὐτὴν τῷ τρόπῳ τοῦ τόκου ποιήσῃ, ἵνα δείξῃ τὴν φιλοσοφίαν. καὶ γὰρ εἰς τὴν εὐχὴν καταστᾶσα, οὐκ ἐμνήσθη τῆς ἀντιζήλου, οὐκ εἶπεν αὐτῆς τὰς λοιδορίας, οὐκ ἤνεγκεν εἰς μέσον τὰ ὀνείδη, οὐκ εἶπεν, ἐκδίκησόν με ἐκ τῆς μιαρᾶς καὶ πονηρᾶς γυναικὸς ἐκείνης, ἅπερ πολλάκις ποιοῦσι γυναῖκες· ἀλλὰ μηδὲ μνησθεῖσα τῶν ὀνειδῶν ἐκείνων, περὶ τῶν αὐτῇ συμφερόντων ηὔχετο μόνον. τοῦτο καὶ σὺ ποίησον, ἄνθρωπε, καὶ ὅταν ἴδῃς ἐχθρὸν λυποῦντα, πρὸς ἐκεῖνον μὲν μηδὲν ἐκβάλῃς ῥῆμα πικρὸν, μηδὲ εὔξῃ κατ' αὐτοῦ*· εἰσελθὼν δὲ, καὶ τὰ γόνατα κάμψας, καὶ δάκρυα ἀφεὶς, παρακάλει τὸν Θεὸν λῦσαι τὴν ἀθυμίαν, σβέσαι τὴν λύπην. ὅπερ οὖν καὶ αὕτη πεποίηκε, καὶ τὰ μέγιστα παρὰ τῆς ἐχθρᾶς ἐκαρπώσατο γυναικός. ἐκείνη γὰρ πρὸς τὸν τόκον τοῦ παιδίου συνέπραξε. καὶ πῶς, ἐγὼ λέγω. ἐπειδὴ ὠνείδισεν, ἔθλιψε, καὶ μείζονα τὴν ὀδύνην εἰργάσατο, ἀπὸ τῆς ὀδύνης ἡ εὐχὴ προσεκτικωτέρα γέγονεν, ἡ εὐχὴ τὸν Θεὸν ἐπεσπάσατο, καὶ ἐπινεῦσαι ἐποίησε· καὶ οὕτως ὁ Σαμουὴλ ἐτέχθη. ὥστε, ἐὰν νήφωμεν, οὐ μόνον ἡμᾶς οἱ ἐχθροὶ οὐδὲν παραβλάψαι δυνήσονται, ἀλλὰ καὶ ὠφελήσουσι τὰ μέγιστα, πρὸς πάντα ἡμᾶς σπουδαιοτέρους ἐργαζόμενοι, μόνον ἂν μὴ πρὸς λοιδορίας καὶ ὕβρεις, ἀλλὰ πρὸς εὐχὰς ἑαυτοὺς ἄγωμεν ἀπὸ τῆς παρ' ἐκείνων ἐγγινομένης ἡμῖν ἀθυμίας. τεκοῦσα δὲ τὸ παιδίον, ἐκάλεσεν αὐτὸ Σαμουὴλ, τουτέστιν, ἀκούσῃ Θεοῦ. ἐπειδὴ γὰρ ἐκ τοῦ ἀκουσθῆναι, καὶ ἐξ εὐχῆς αὐτὸν ἔλαβε, καὶ οὐκ ἀπὸ φύσεως, τῆς ἐργασίας τὴν μνήμην, ὥσπερ ἐν στήλῃ χαλκῇ, τῇ προσηγορίᾳ τοῦ παιδίου λοιπὸν ἐναπέθετο. καὶ οὐκ εἶπε, καλέσωμεν αὐτὸν τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ, ἢ τοῦ θείου, ἢ τοῦ πάππου, ἢ τοῦ ἐπιπάππου· ἀλλ' αὐτὸς ὁ δεδωκὼς αὐτὸν, αὐτὸς καὶ τῇ προσηγορίᾳ τοῦ παιδίου τιμάσθω, φησί. ταύτην ζηλώσατε γυναῖκες, ταύτην μιμησώμεθα ἄνδρες, καὶ τοσαύτην περὶ τὰ παιδία ποιώμεθα τὴν ἐπιμέλειαν, οὕτως ἐκτρέφωμεν τοὺς τεχθέντας, ἔν τε τοῖς ἄλλοις ἅπασιν, ἔν τε τῷ τῆς σωφροσύνης λόγῳ. οὐδὲν γὰρ

οὕτω

ὦ δῷς
δύο.

πολλαί

ὸς σὲ ἀ-
θῶς ἔχον-

ηκόσει

α. Βασ. α. κ.

τούτου σπουδάζειν χρὴ καὶ φροντίζειν ἐπὶ τῶν νέων, ὡς σωφροσύνης ἕνεκεν καὶ σεμνότητος. τοῦτο γὰρ μάλιστα τὸ πάθος ἐκείναις ἐνοχλεῖ ταῖς ἡλικίαις. καὶ ὅπερ ἐπὶ τῶν λύχνων ποιοῦμεν, τοῦτο καὶ ἐπὶ τῶν παιδίων φυλάττωμεν. πολλάκις γοῦν θεραπαινίδι λύχνον ἁπτούσῃ παρακελευόμεθα μὴ περιάγειν τὸν λύχνον, ἔνθα ἂν ᾖ καλάμη, ἢ χόρτος, ἤ τι τῶν τοιούτων, μήποτε ἀγνοούντων ἡμῶν, σπινθήρ τις "ἐκπεσὼν, καὶ τῆς ὕλης ἐπιλαβόμενος ἐκείνης, ὁλόκληρον ἐμπρήσῃ τὴν οἰκίαν· ταύτην καὶ ἐπὶ τῶν παιδίων τὴν πρόνοιαν ἔχωμεν, καὶ μὴ περιάγωμεν αὐτῶν τὰς ὄψεις, ἔνθα θεραπαινίδες ἀσελγεῖς, ἔνθα κόραι ἄσωτοι, ἔνθα δοῦλαι ἀκόλαστοι, ἀλλὰ κελεύωμεν καὶ παρεγγυῶμεν, κἂν θεραπαινίδα τοιαύτην ἔχωμεν, κἂν γείτονα, κἂν ἁπλῶς ἑτέραν τινὰ τοιαύτην, μήτε εἰς ὄψιν, μήτε εἰς συνουσίαν λόγων τοῖς νέοις ἔρχεσθαι, ὥστε μὴ σπινθῆρα ἐκεῖθεν "ἐκπεσόντα, ὁλόκληρον ἀνάψαι τοῦ παιδίου τὴν ψυχὴν, καὶ ἀπαραμύθητον γίνεσθαι τὴν συμφοράν. μὴ θεαμάτων δὲ μόνον, ἀλλὰ καὶ ἀκουσμάτων αὐτοὺς μαλθακῶν καὶ διακεκλασμένων ἀπάγωμεν, ἵνα μὴ γοητεύηται διὰ τούτων αὐτοῖς ἡ ψυχή· μηδὲ εἰς θέατρα αὐτοὺς ἀνάγωμεν, μηδὲ εἰς συμπόσια καὶ μέθας, ἀλλὰ τῶν θαλαμευομένων παρθένων μᾶλλον ἡμῖν οἱ νέοι φυλαττέσθωσαν. οὐδὲν γὰρ οὕτω τὴν ἡλικίαν ἐκείνην κοσμεῖν πέφυκεν, ὡς ὁ τῆς σωφροσύνης στέφανος, καὶ τὸ πάσης ἀσελγείας καθαρεύοντα, πρὸς γάμον ἐλθεῖν. οὕτω καὶ αἱ γυναῖκες αὐτοῖς γένοιντ' ἂν ποθειναὶ, ὅταν μὴ πορνείαν ἡ ψυχὴ προμεμελετηκυῖα, μηδὲ διεφθαρμένη ᾖ, ὅταν ἐκείνην εἰδὼς ᾖ τὴν γυναῖκα μόνην ὁ νέος τὴν γάμῳ συναφθεῖσαν αὐτῷ. οὕτω καὶ οἱ ἔρωτες θερμότεροι, καὶ ἡ εὔνοια γνησιωτέρα, καὶ ἡ φιλία ἀκριβεστέρα γίνεται, ὅταν μετὰ τοιαύτης φυλακῆς ἐπὶ τοὺς γάμους οἱ νέοι βαδίζωσιν. ὡς τάγε νῦν γινόμενα, οὐ γάμος ἐστὶν, ἀλλ' ἁπλῶς χρημάτων ἐμπορεία, καὶ καπηλεία. ὅταν γὰρ καὶ πρὸ τῶν γάμων διεφθαρμένος ὁ νέος ᾖ, καὶ μετὰ τὸν γάμον πάλιν πρὸς "ἑτέραν βλέπῃ γυναῖκα, τί τῶν γάμων ὄφελος, εἰπέ μοι; μείζων μὲν οὖν ἡ κόλασις, ἀσύγγνωστος ἡ ἁμαρτία, ὅταν γυναικὸς ἔνδον οὔσης εἰς πόρνας ἑαυτὸν καταισχύνῃ, καὶ "μοιχείαν ἐργάζηται. μετὰ γὰρ γυναῖκα, κἂν πόρνη ᾖ ἡ προσφθειρομένη τῷ γεγαμηκότι, μοιχεία τὸ πρᾶγμά ἐστι. ταῦτα δὲ γίνεται, καὶ μετὰ γάμον πρὸς τὰς ἑταιριζομένας γυναῖκας τρέχουσιν, ἐπειδὴ πρὸ τοῦ γάμου σωφρονεῖν οὐκ ἐμελέτησαν. ἐντεῦθεν μάχαι, καὶ λοιδορίαι, καὶ οἰκιῶν ἀνατροπαὶ, καὶ καθημερινοὶ πόλεμοι· ἐντεῦθεν ὁ πρὸς τὴν γυναῖκα ἔρως ἀπορρεῖ καὶ μαραίνεται, τῆς ἐν τοῖς πορνείοις ὁμιλίας ἐκλυούσης αὐτόν. ὡς ἐὰν σωφρονεῖν μάθῃ, πάντων ποθεινοτέραν τὴν αὐτοῦ γυναῖκα ἡγήσεται, καὶ μετὰ πολλῆς αὐτὴν ὄψεται τῆς εὐνοίας, καὶ πολλὴν πρὸς αὐτὴν τηρήσει τὴν ὁμόνοιαν· εἰρήνης δὲ οὔσης καὶ ὁμονοίας, πάντα εἰς τὴν οἰκίαν ἐκείνην εἰσελεύσεται τὰ ἀγαθά. ἵν' οὖν καὶ τὰ ἐνταῦθα ἡμῖν καλῶς οἰκονομῆται, καὶ μετὰ τούτων καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχωμεν, καὶ ἡμῶν αὐτῶν, καὶ τῶν παιδίων προνοῶμεν ταύτης ἕνεκεν μάλιστα τῆς ἐντολῆς, ὅπως μὴ ῥυπαρὰ ἐνδεδυμένοι ἱμάτια, εἰς τὸν πνευματικὸν ἐκεῖνον εἰσέλθωμεν γάμον, ἀλλὰ μετὰ παρρησίας πολλῆς ἀπολαύσωμεν τῆς ἐκεῖ κειμένης τοῖς ἀξίοις τιμῆς, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. ἐμπεσ.

γρ. ἐμπεσ.

γρ. ἑταίρα

γρ. μοιχεί

Λογ. ιϛ. ΕΙΣ ΤΗΝ ΠΙΣΤΙΝ ΤΗΣ ΑΝΝΗΣ, ΚΑΙ ΕΙΣ τὴν φιλοσοφίαν, καὶ εἰς τὴν ἐπιείκειαν αὐτῆς καὶ περὶ τῆς εἰς τοὺς ἱερέας τιμῆς, καὶ εἰς τὸ δεῖν καὶ ἀρχομένους ἀρίστου καὶ λήγοντας εὔχεσθαι.

μεν εἶναι

Οὐδὲν ἄρα ἴσον εὐχῆς, ἀγαπητοὶ, οὐδὲν πίστεως * δυνατώτερον. ἀμφότερα ἔδειξεν ἡμῖν ἡ Ἄννα πρώην. μετὰ γὰρ τούτων προσελθοῦσα τῷ Θεῷ τῶν δώρων, πάντα ὅσα ἠθέλησεν ἤνυσε, καὶ φύσιν πεπηρωμένην διώρθωσε, καὶ μήτραν κεκλεισμένην ἀνέῳξε, καὶ αἰχμαλώτην ἀνεῖλε, καὶ τὰ ὀνείδη τῆς ἀντιζήλου κατέλυσε, καὶ πρὸς παρρησίαν ἑαυτὴν ἐπανήγαγεν, ἐκ πέτρας ἀγόνου στάχυν κομῶντα θερίσασα. καὶ πάντως ἠκούσατε, πῶς ἔκλαυσε, πῶς ηὔξατο, πῶς ᾔτησε, καὶ ἔπεισε καὶ ἔλαβε, καὶ ἔτεκε καὶ ἔθρεψε καὶ ἀνέθηκε τὸν Σαμουήλ. ὥστε οὐκ ἄν τις ἁμάρτοι, μητέρα ὁμοῦ καὶ πατέρα τοῦ παιδίου τὴν γυναῖκα ταύτην προσειπών. Εἰ γὰρ καὶ ὁ ἀνὴρ ἔσπειρεν, ἀλλὰ τῷ σπέρματι τὴν δύναμιν ταύτης παρέσχεν ἡ εὐχὴ, καὶ σεμνοτέρας τοῦ Σαμουὴλ τὰς ἀρχὰς τῆς γεννήσεως ἐποίησεν. οὐ γὰρ δὴ, καθάπερ ἐπὶ τῶν λοιπῶν, ὕπνος καὶ σύνοδοι τῶν γεννησαμένων μόνον, ἀλλ' εὐχαὶ, καὶ δάκρυα, καὶ πίστις, ἀρχαὶ τῆς γεννήσεως ταύτης ἐγένοντο, καὶ σεμνοτέρας τῶν ἄλλων εἶχε τὰς γονὰς ὁ προφήτης, διὰ τὴν πίστιν τῆς μητρὸς γεγονώς. διὸ καὶ περὶ ταύτης εὐκαίρως ἄν τις εἴποι τῆς γυναικὸς, Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσι. ταύτην ζηλώσωμεν ἄνδρες, ταύτην μιμησώμεθα γυναῖκες. καὶ γὰρ ἑκατέρου γένους διδάσκαλός ἐστιν ἡ γυνή. ὅσαι στεῖραι, μὴ ἀπαγορευέτωσαν· ὅσαι μητέρες, οὕτω τρεφέτωσαν τεχθέντα τὰ παιδία· καὶ πάντες ζηλώσωμεν τῆς γυναικὸς τὴν φιλοσοφίαν τὴν περὶ τοῦ τόκου, τὴν πίστιν τὴν ἐν τῷ τόκῳ, τὴν σπουδὴν τὴν μετὰ τὸν τόκον. τί γὰρ ἂν γένοιτο τῆς γυναικὸς ἐκείνης φιλοσοφώτερον, ἢ συμφορὰν οὕτως ἀφόρητον πρᾴως ἤνεγκε καὶ γενναίως; καὶ οὐκ ἀπέστη πρότερον, ἕως ἔλυσε τὸ δεινὸν, καὶ τοῦ κακοῦ πέρας εὗρε θαυμαστὸν καὶ παράδοξον, οὐδένα κάτωθεν λαβοῦσα σύμμαχον καὶ βοηθόν. καὶ γὰρ ᾔδει τὸ τοῦ δεσπότου φιλάνθρωπον· διὸ καὶ μόνη προσῆλθε, καὶ ἤνυσεν ὅπερ ἠθέλησεν. οὐ γὰρ ἀνθρωπίνης βοηθείας, ἀλλὰ τῆς θείας ἐδεῖτο χάριτος ἡ διόρθωσις τῆς ἀθυμίας ἐκείνης. καὶ γὰρ οὐκ ἐν ζημίᾳ χρημάτων ἦν, ἵνα τις ἐνεγκὼν χρυσίον, λύσῃ τὴν ἀθυμίαν· οὐκ ἐν σώματος ἀρρωστίᾳ, ἵνα ἰατρῶν παρακαλέσῃ παῖδας, καὶ ἀπελάσῃ τὸ νόσημα. φύσις ἦν ἡ ἐπηρεαζομένη, τῆς ἄνωθεν δεομένη χειρός. διὸ δὴ πάντα τὰ ἐπὶ γῆς ἀφεῖσα, πρὸς τὸν τῆς φύσεως ἔδραμε δεσπότην, καὶ οὐκ ἀπέστη πρότερον, ἕως ἂν αὐτὸν ἔπεισε λῦσαι τὴν ἀπαιδίαν, καὶ τὴν μήτραν ἀνοῖξαι, καὶ ποιῆσαι μητέρα τὴν στεῖραν. μακαρία μὲν οὖν καὶ διὰ τοῦτο, οὐχ ὅτι μήτηρ ἐγένετο, ἀλλ' ὅτι οὐκ οὖσα ἐγένετο. ἐκεῖνο μὲν γὰρ κοινὸν τῆς φύσεως, τοῦτο δὲ ἐξαίρετον τῆς γυναικὸς ἦν κατόρθωμα. μακαρία μὲν οὖν καὶ διὰ τὰς ὠδῖνας ἐκείνας, μακαρία δὲ οὐχ ἧττον καὶ διὰ τὰ πρὸ τῶν ὠδίνων ἅπαντα. ἴστε γὰρ δήπου πάντες, καὶ γυναῖκες καὶ ἄνδρες, ὡς οὐδὲν ἀφορητότερον ἀπαιδίας γυναικὶ γένοιτ' ἄν· ἀλλὰ κἂν μυριάκις ἀπολαύῃ τῆς εὐημερίας, τὴν ἐκ τῆς πληγῆς ταύτης ὀδύνην ἐγγινομένην αὐτῇ οὐκ ἄν ποτε ἀποκρούσαιτο. Εἰ δὲ νῦν οὕτως ἀφόρητον, ὅτε πρὸς μείζονα φιλοσοφίαν ἐκλήθημεν, καὶ πρὸς τὸν οὐρανὸν ὁδεύομεν, καὶ λόγος ἡμῖν τῶν παρόντων οὐδεὶς, ἀλλὰ πρὸς ἑτέραν ζωὴν παρασκευαζόμεθα, καὶ πολὺ τὸ τῆς παρθενίας ἐγκώμιον, ἐννόησον ἡλίκον τότε κακὸν τὸ πρᾶγμα ἐνομίζετο εἶναι, ὅτε τῶν μελλόντων μὲν οὐδεμία τις ἦν ἐλπὶς, οὐδὲ ἔννοια τοῖς παλαιοῖς, πάντα δὲ ὑπὲρ τῶν παρόντων ἔπραττον πραγμάτων, καὶ ἀρά τις ἦν καὶ καταδίκη τὸ στεῖραν εἶναι καὶ ἄγονον. οὐκ ἔστιν εἰπεῖν, οὐδὲ παραστῆσαι τῷ λόγῳ τὴν ἀπὸ τῆς πληγῆς ταύτης ὀδύνην. μαρτυροῦσι γυναῖκες, ὅσαι πᾶσαν μὲν ἐπεδείξαντο φιλοσοφίαν, ταύτην δὲ τὴν δυσκληρίαν οὐκ ἤνεγκαν· ἀλλ' αἱ μὲν πρὸς τοὺς ἄνδρας ἐδυσχέραινον, αἱ δὲ τὸν βίον ἀβίωτον εἶναι ἐνόμισαν· τὴν δὲ γυναῖκα ταύτην οὐκ ἀθυμία μόνον ἡ διὰ τὴν στείρωσιν, ἀλλὰ καὶ ἕτερον ἐπολιόρκει πάθος, θυμὸς διὰ τὰ ὀνείδη τῆς ἀντιζήλου. καὶ καθάπερ ἀνέμων ἀπε-

Ψαλ. ρκε. ε.

σώματος
σία
ατρος,

ἀπεναντίας ἀλλήλοις ἐμπιπτόντων, καὶ σκάφος μέσον ἐν τῇ πρὸς ἀλλήλους ἀπολαβόντων μάχῃ, καὶ πολλὰ μὲν ἀπὸ τῆς πρύμνης, πολλὰ δὲ ἀπὸ τῆς πρῴρας ἐγειρόντων τὰ κύματα, ὁ κυβερνήτης ἐπὶ τῶν οἰάκων καθήμενος διασώζει τὸ σκάφος, τὰς τῶν κυμάτων ἐμβολὰς τῇ τῆς ἐπιστήμης σοφίᾳ διακρουόμενος· οὕτω καὶ ἡ γυνὴ τότε ἐκείνη, καθάπερ πνευμάτων ἐναντίων, τοῦ θυμοῦ, καὶ τῆς ἀθυμίας, εἰς τὴν ψυχὴν αὐτῆς ἐμπεσόντων, καὶ τοὺς λογισμοὺς αὐτῆς διακυκώντων, καὶ πολλὰ τὰ κύματα ἐγειρόντων, οὐχὶ δύο, καὶ τρεῖς, καὶ εἴκοσι ἡμέρας, ἀλλ' ἐπὶ ἐνιαυτοὺς ὁλοκλήρους (καὶ γὰρ ἐξ ἱκανοῦ τοῦτο ἐγίνετο, φησίν) ἤνεγκε τὸν χειμῶνα γενναίως, καὶ καταποντισθῆναι τὸν λογισμὸν οὐκ εἴασεν. ὁ γὰρ τοῦ Θεοῦ φόβος, καθάπερ κυβερνήτης ἐπὶ τῶν οἰάκων καθήμενος, ἔπειθε γενναίως φέρειν τὸ κλυδώνιον ἐκεῖνο· καὶ οὐ πρότερον ἀπέστη διακυβερνῶν αὐτῆς τὴν ψυχήν, ἕως εἰς τὸν εὔδιον λιμένα κατήγαγε πεπληρωμένην τοῦ φορτίου τὴν ναῦν, καὶ πολυτίμου θησαυροῦ τὴν γαστέρα γέμουσαν. οὐ γὰρ χρυσίον, οὐδὲ ἀργύριον ἐβάσταζεν, ἀλλὰ προφήτην καὶ ἱερέα. καὶ διπλοῦς ἦν αὐτῆς τῆς γαστρὸς ὁ ἁγιασμός, ὅτι τε τοιοῦτον ἦν τὸ κυούμενον παιδίον, ὅτι τε ἐξ ἀρχῆς, καὶ τῆς ἄνωθεν χάριτος τὴν ἀρχὴν τῆς κυήσεως ἔλαβεν. οὐχ ὁ φόρτος δὲ μόνον παράδοξος ἦν καὶ θαυμαστός, ἀλλὰ καὶ ὁ τρόπος τῆς ἐμπορίας παραδοξότερος γέγονεν. οὐδὲ γὰρ αὐτὸν ἀνθρώποις ἀπέδοτο, οὐδὲ ἐμπόροις τισὶ καὶ καπήλοις, ἀλλ' εὐθέως αὐτὸν ἐκβαλοῦσα τοῦ σκάφους ἐπώλησε τῷ Θεῷ, καὶ τοσαύτην εἰργάσατο τὴν ἐμπορίαν, ὅσην εἰκὸς ἦν Θεῷ συμβαλοῦσαν ἐργάσασθαι. ἀντὶ γὰρ τοῦ λαβεῖν αὐτόν, ἀντέδωκεν ἕτερον αὐτῇ τέκνον· μᾶλλον δὲ οὐχ ἕν, οὐδὲ α. Βασ. β. ε. δύο, οὐδὲ τρία, καὶ τέσσαρα μόνον, ἀλλὰ πολλῷ πλείονα, Ὅτι στεῖρα, φησίν, ἔτεκεν ἑπτά, καὶ ὑπερέβη τὸ κεφάλαιον ὁ τόκος. τοιαύτη γὰρ ἡ πρὸς τὸν Θεὸν πραγματεία, οὐ τὸ πολλοστὸν τοῦ κεφαλαίου, ἀλλὰ τὸ πολυπλάσιον ἀποδίδωσι. καὶ οὐ θήλεα μόνον ἔδωκε παιδία, ἀλλὰ καὶ ἐξ ἑκατέρας τῆς φύσεως τὸν τόκον αὐτῆς συνεκρότησεν, ὥστε ἀπηρτισμένην αὐτῇ γενέσθαι τὴν ἡδονήν.

Ταῦτα λέγω, οὐχ ἵνα ἐπαινέσητε μόνον, ἀλλ' ἵνα καὶ ζηλώσητε τὴν πίστιν, τὴν ἀνεξικακίαν τῆς γυναικός, ἣν ἠκούσατε μὲν ἐκ μέρους καὶ πρῴην. ὥστε δὲ καὶ τὰ λείψανα ἀποδοῦναι, δότε μοι μικρὸν διηγήσασθαι περὶ τῶν ῥημάτων τῶν μετὰ τὴν πρώτην εὐχὴν πρὸς τὸν ἱερέα καὶ τὸν παῖδα τοῦ ἱερέως γενομένων, ἵνα μάθητε τὸ πρᾶον καὶ τὸ ἥμερον φρόνημα α. Βασ. α. ιβ. τῆς γυναικός. Καὶ ἐγένετο, φησίν, ὅτε ἐπλήθυνε προσευχομένη ἐνώπιον Κυρίου, καὶ Ἠλεὶ ὁ ἱερεὺς ἐφύλαξε τὸ στόμα αὐτῆς. διπλῆν ἐνταῦθα ὁ συγγραφεὺς ἀρετὴν μαρτυρεῖ τῇ γυναικί, καὶ τὴν καρτερίαν τὴν ἐν ταῖς εὐχαῖς, καὶ τὸ τῆς διανοίας ἐγρηγορός· τὸ μὲν, διὰ τοῦ εἰπεῖν, ἐπλήθυνε, τὸ δὲ, διὰ τοῦ προσθεῖναι, ἐνώπιον Κυρίου. πάντες μὲν γὰρ εὐχόμεθα, ἀλλ' οὐ πάντες ἐνώπιον τοῦ Θεοῦ. ὅταν γὰρ τοῦ σώματος ἐπὶ γῆς κειμένου, καὶ τοῦ στόματος εἰκῆ ληροῦντος, ἡ διάνοια πανταχοῦ τῆς οἰκίας καὶ τῆς ἀγορᾶς περιέρχηται, πῶς ὁ τοιοῦτος δυνήσεται εἰπεῖν, ὅτι ἐνώπιον τοῦ Θεοῦ ηὔξατο; ἐνώπιον γὰρ Κυρίου εὔχεται, ὁ πάντοθεν ἑαυτοῦ τὴν ψυχὴν συλλέγων, καὶ μηδὲν ἔχων κοινὸν πρὸς τὴν γῆν, ἀλλὰ πρὸς αὐτὸν τὸν οὐρανὸν ἑαυτὸν μετοικίσας, καὶ πάντα ἀνθρώπινον λογισμὸν ἀπὸ τῆς ψυχῆς ἐκβαλών· καθάπερ οὖν καὶ αὕτη ἡ γυνὴ ἐποίησε τότε. ὅλην γὰρ ἑαυτὴν συναγαγοῦσα, καὶ συντείνασα τὴν διάνοιαν, ἐκάλει τὸν Θεὸν μετ' ὀδυνωμένης ψυχῆς. πῶς δέ φησιν, ὅτι καὶ ἐπλήθυνε τὴν εὐχήν; καίτοιγε βραχὺ τὸ μέτρον τῆς εὐχῆς τῆς γυναικός. οὐ γὰρ μακροὺς ἀπέτεινε λόγους, οὐδὲ εἰς μῆκος τὴν ἱκετηρίαν ἐξέβαλεν, ἀλλ' ὀλίγα καὶ ψιλὰ εἶπε α. Βασ. α. ια. ῥήματα, ΑΔΩΝΑΙ ΚΥΡΙΕ ΕΛΩΙ ΣΑΒΑΩΘ, ἐὰν ἐπιβλέπων ἐπιβλέψῃς ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης σου, καὶ μνησθῇς μου, καὶ μὴ ἐπιλάθῃ τῆς δούλης σου, καὶ δῷς τῇ δούλῃ σου σπέρμα ἀνδρός, δώσω αὐτὸν ἐνώπιόν σου δοτὸν ἕως ἡμέρας θανάτου αὐτοῦ, καὶ οἶνον καὶ μέθυσμα οὐ μὴ πίεται, καὶ σίδηρος οὐκ ἀναβήσεται ἐπὶ τὴν κεφαλὴν αὐτοῦ.

ποῖον τοῦτο πλῆθος ῥημάτων; τί ποτ' οὖν ἠνίξατο εἰπὼν, ἐπλήθυνε; Συνεχῶς τὰ αὐτὰ ἐφθέγγετο, καὶ οὐκ ἀφίστατο πολλὴν δαπανῶσα χρόνον διὰ τῶν αὐτῶν ῥημάτων. οὕτω γοῦν καὶ ἐν τοῖς εὐαγγελίοις ὁ Χριστὸς ἐπέταξεν εὔχεσθαι. Εἰπὼν γὰρ τοῖς μαθηταῖς, Μὴ κατὰ τοὺς ἐθνικοὺς εὔχεσθαι, καὶ μὴ βαττολογεῖν, καὶ μέτρον ἡμᾶς εὐχῆς ἐδίδαξε· δεικνὺς ὅτι οὐκ ἐν τῷ πλήθει τῶν ῥημάτων, ἀλλ' ἐν τῇ νήψει τῆς διανοίας κεῖται τὸ ἀκουσθῆναι. πῶς οὖν, φησιν; εἰ ὀλίγα δεῖ εὔχεσθαι, παραβολὴν εἶπεν αὐτοῖς πρὸς τὸ δεῖν ἀεὶ προσεύχεσθαι, ὅτι χήρα τις ἦν, ἣ τῇ συνεχείᾳ τῆς ἐντεύξεως ὠμὸν δικαστὴν καὶ ἀπάνθρωπον οὔτε Θεοῦ φόβον, οὔτε ἀνθρώπων ἔχοντα αἰδῶ, τῇ πυκνότητι τῆς προσόδου κατέκαμψε; πῶς δὲ καὶ ὁ Παῦλος παραινεῖ λέγων, Τῇ προσευχῇ προσκαρτεροῦντες; καὶ πάλιν, Ἀδιαλείπτως προσεύχεσθε. Εἰ γὰρ δεῖ μὴ μακροὺς ἀποτείνειν λόγους, καὶ συνεχῶς εὔχεσθαι, ἐναντίον τοῦτο ἐκείνου. ἀλλ' οὐκ ἔστιν ἐναντίον, μὴ γένοιτο, ἀλλὰ καὶ σφόδρα συμβαῖνον. καὶ γὰρ καὶ ὁ Χριστὸς καὶ ὁ Παῦλος βραχείας καὶ πυκνὰς ποιεῖσθαι τὰς εὐχὰς ἐκέλευσαν δι' ὀλίγων διαλειμμάτων. ἂν μὲν γὰρ εἰς μῆκος ἐκτείνῃς τὸν λόγον, ὀλιγωρήσας πολλάκις, πολλὴν ἔδωκας τὴν ἄδειαν τῷ διαβόλῳ προσελθεῖν, καὶ ὑποσκελίσαι, καὶ τὴν διάνοιαν ἀπαγαγεῖν τῶν λεγομένων· ἂν δὲ συνεχεῖς καὶ πυκνὰς ποιῇς τὰς εὐχὰς, τὸν καιρὸν ἅπαντα τῇ πυκνότητι διαλαμβάνων, δυνήσῃ σωφρονεῖν εὐκόλως, αὐτάς τε τὰς εὐχὰς μετὰ πολλῆς ποιήσῃ τῆς νήψεως· ὃ δὴ καὶ αὕτη ἐποίει, οὐ μακροὺς ἀποτείνουσα λόγους, ἀλλὰ συχνῶς καὶ πυκνότερον προσιοῦσα τῷ Θεῷ. Εἶτα ἐπειδὴ ἐπεστόμισεν αὐτὴν ὁ ἱερεὺς (τοῦτο γάρ ἐστι τὸ, Ἐφύλαξε τὸ στόμα αὐτῆς, καὶ τὰ χείλη αὐτῆς ἐκινεῖτο, φωνὴ δὲ αὐτῆς οὐκ ἠκούετο) ἐβιάσατο καὶ ὑπακοῦσαι τῷ ἱερεῖ, καὶ τῆς εὐχῆς μὴ ἀποστῆναι. ἐπεστόμιστο οὖν αὐτῆς ἡ φωνὴ, οὐκ ἐπεστόμιστο δὲ ἡ παρρησία, ἀλλὰ μειζόνως ἡ καρδία ἔνδον ἐβόα. τοῦτο γάρ ἐστι μάλιστα εὐχὴ, ὅταν ἔνδον αἱ βοαὶ ἀναφέρωνται· τοῦτο μάλιστα ψυχῆς πεπονημένης, μὴ τῷ τόνῳ τῆς φωνῆς, ἀλλὰ τῇ προθυμίᾳ τῆς διανοίας τὴν εὐχὴν ἐπιδείκνυσθαι. οὕτω καὶ Μωϋσῆς ηὔχετο. διὸ καὶ μηδὲν αὐτοῦ φθεγγομένου φησὶν ὁ Θεὸς, Τί βοᾷς πρὸς μέ; ἄνθρωποι μὲν γὰρ ταύτης μόνον ἐπακούουσι τῆς φωνῆς· ὁ δὲ Θεὸς πρὸ ταύτης τῶν ἔνδοθεν κραζόντων ἀκούει. ἄρα ἐστὶ καὶ μὴ κράζοντας ἀκούεσθαι, καὶ ἐπ' ἀγορᾶς βαδίζοντας εὔχεσθαι κατὰ διάνοιαν μετὰ πολλῆς ἀκριβείας, καὶ μετὰ φίλων συνεδρεύοντας, καὶ πάνθ' ὁποιονοῦν ποιοῦντας μετὰ σφοδρᾶς τῆς βοῆς καλεῖν τὸν Θεὸν, τῆς ἔνδον λέγω, καὶ μηδενὶ τῶν παρόντων κατάδηλον ταύτην ποιεῖν, ὅπερ οὖν καὶ ἡ γυνὴ αὕτη τότε ἐποίησε. φωνὴ γὰρ αὐτῆς οὐκ ἠκούετο, φησί· καὶ ὅμως εἰσήκουσεν αὐτῆς ὁ Θεός· τοσαύτη ἦν αὐτῆς ἔνδοθεν ἡ κραυγή. καὶ εἶπεν αὐτῇ τὸ παιδάριον Ἠλεί· Ἕως πότε μεθυσθήσῃ; περιελοῦσα τὸν οἶνόν σου ἀπὸ σοῦ, ἄπελθε ἐκ προσώπου Κυρίου. ἐνταῦθα μάλιστά ἐστι τὴν φιλοσοφίαν τῆς γυναικὸς ἰδεῖν. ἐπὶ τῆς οἰκίας ἡ ἀντίζηλος ὠνείδιζεν, ἦλθεν εἰς τὸν ναὸν, καὶ τὸ παιδάριον τοῦ ἱερέως ὕβριζε, καὶ ὁ ἱερεὺς ἐπετίμησεν. ἔφυγε τὸν οἴκοι χειμῶνα, ἦλθεν εἰς λιμένα, καὶ κύματα πάλιν εὗρεν ἕτερα. ἦλθε φάρμακον λαβεῖν, ἡ δὲ οὐ μόνον οὐκ ἔλαβεν, ἀλλὰ καὶ πληγὴν διὰ τῶν ὀνειδῶν προσεκτήσατο, καὶ τὸ ἕλκος μᾶλλον δι' αὐτῶν ηὐξάνετο. ἴστε γὰρ πῶς αἱ ὀδυνώμεναι ψυχαὶ πρὸς τὰς λοιδορίας καὶ τὰς ὕβρεις διάκεινται. καθάπερ γὰρ τὰ μείζονα τῶν τραυμάτων, οὐ τὴν τυχοῦσαν ἐπιβολὴν τῆς χειρὸς ἀνεχόμενα, χείρονα γίνεται· οὕτω καὶ ψυχὴ τεταραγμένη δυσάρεστός τε ἐστι, καὶ πρὸς ἅπαντα δυσχεραίνει, καὶ ὑπὸ τοῦ τυχόντος δάκνεται ῥήματος. ἀλλ' ὅμως οὐδὲν τοιοῦτον ἔπαθεν ἡ γυνὴ, καὶ ταῦτα, τοῦ παιδὸς λοιδορουμένου. Εἰ μὲν οὖν ὁ ἱερεὺς ἦν ὁ ὑβρικὼς, οὐχ οὕτω θαυμαστὴ ἦν ἡ ἀνεξικακία. τὸ γὰρ μέγεθος τοῦ ἀξιώματος, καὶ ὁ τῆς ἀρχῆς ὄγκος καὶ ἄκουσαν αὐτὴν ἔπειθε σωφρονεῖν· νυνὶ δὲ οὐδὲ πρὸς τὸ παιδάριον τοῦ ἱερέως ἐδυσχέρανε. διὰ τοῦτο καὶ μᾶλλον τὸν Θεὸν εἰς εὔνοιαν ἐπεσπάσατο. οὕτω καὶ ἡμεῖς ἂν λοιδορηθέντες, καὶ μυρία παθόντες δεινὰ, τοὺς ὀνειδίζοντας φέρωμεν γενναίως, μείζονα παρὰ τοῦ Θεοῦ τὴν εὔνοιαν ἐπισπασόμεθα.

Ματθ. ϛ. ζ.

Λουκ. ιη. γ.

Ῥωμ. ιβ. ιβ.
α. Θεσ. ε. ιζ.

Ἐξοδ. ιδ. ιε.

α. Βασ. α. ιδ.

πόθεν τοῦτο δῆλον; ἀπὸ τῶν τῷ Δαβὶδ συμβάντων. τί δὴ οὗτος ἔπαθεν; ἐξέπεσέ ποτε τῆς πατρίδος, καὶ περὶ τῆς ἐλευθερίας καὶ τῆς ψυχῆς αὐτῆς ἐκινδύνευε, καὶ τοῦ στρατοπέδου πρὸς τὸν ἀκόλαστον νεανίσκον τὸν τύραννον ἐκεῖνον καὶ παράλογον μεταταξαμένου, ἐπλανᾶτο κατὰ τὴν ἔρημον, καὶ οὐκ ἐδυσχέραινεν, οὐδὲ ἀπεδυσπέτησε πρὸς τὸν Θεόν, οὐδὲ εἶπε, τί ποτε τοῦτό ἐστι; συνεχώρησε τῷ παιδὶ κατεξαναστῆναι τοῦ γεγεννηκότος; καίτοι καὶ εἰ δίκαια ἐγκαλεῖν εἶχεν, οὐδὲ οὕτω τοῦτο γενέσθαι ἔδει· νυνὶ δὲ οὐ μικρόν, οὐ μέγα ἠδικημένος παρ' ἡμῶν, περιέρχεται τὴν δεξιὰν ἐπιθυμῶν αἵματι μολῦναι πατρικῷ, καὶ ὁ Θεὸς ἀνέχεται ταῦτα ὁρῶν. ἀλλ' οὐδὲν τούτων εἶπε. καὶ τὸ δὴ μεῖζον καὶ θαυμαστόν, ὅτι πλανωμένῳ, καὶ πάντων ἐκπεπτωκότι, Σεμεεί τις ἄνθρωπος πονηρὸς καὶ μιαρὸς ἐπέθετο αὐτῷ, μιαιφόνον ἀποκαλῶν, καὶ ἑτέροις μυρίοις αὐτὸν πλύνων ὀνείδεσιν. ὁ δὲ οὐδὲ οὕτως ἠγρίαινεν. εἰ δὲ λέγοι τις, καὶ τί θαυμαστόν, ὅτι οὐκ ἠμύνατο ἀσθενὴς ὤν, καὶ οὐκ ἰσχύων; ἐκεῖνο ἂν εἴποιμι, ὅτι οὐχ οὕτως αὐτὸν θαυμάζω, εἰ τὸ διάδημα καὶ τὴν βασιλείαν ἔχων, καὶ ἐπὶ τοῦ θρόνου καθήμενος, εἶτα λοιδορούμενος, ἤνεγκεν, ὡς νῦν αὐτὸν ἐπαινῶ καὶ ἐκπλήττομαι ἐν τῷ καιρῷ τῆς συμφορᾶς φιλοσοφήσαντα. τότε μὲν γὰρ ὁ τῆς ἀρχῆς ὄγκος, καὶ τὸ εὐτελὲς τοῦ ὑβρίζοντος καταφρονῆσαι αὐτὸν πολλάκις ἔπεισε. πολλοὶ δὲ καὶ ἄλλοι βασιλεῖς πολλάκις τοιαῦτα ἐφιλοσόφησαν, τὴν ὑπερβολὴν τῆς μανίας τῶν ὑβρικότων εἰς ἀπολογίαν λαβόντες. οὐ γὰρ ὁμοίως ἡμῶν εὐημερίας ἀπολαυόντων, καὶ κακουμένων, τὰ ὀνείδη καθάπτεσθαι πέφυκεν· ἀλλ' ὅταν πταίσωμεν, τότε καθικνεῖται μειζόνως ἡμῶν καὶ δάκνει σφοδρότερον. ἐπὶ δὲ τούτου, καὶ ἕτερόν τι πρὸς τοῖς εἰρημένοις ἐστὶν εἰπεῖν, ὅτι καὶ κύριος ἦν ἀμύνασθαι, ἀλλ' οὐκ ἠμύνατο. καὶ ἵνα μάθῃς, ὅτι οὐκ ἀσθενείας, ἀλλ' ἀνεξικακίας ἦν ἡ φιλοσοφία, τοῦ στρατηγοῦ τότε ἀξιοῦντος ἐπιτραπῆναι διαβῆναι, καὶ τὴν κεφαλὴν ἀποτεμεῖν τὴν ἐκείνου, οὐ μόνον οὐκ ἐπέτρεψεν ὁ Δαβίδ, ἀλλὰ καὶ ἐδυσχέρανε, λέγων· Τί ἐμοὶ καὶ σοί, υἱὲ Σαρουΐα; ἄφετε αὐτὸν καταρᾶσθαι, ὅπως ἴδοι τὴν ταπείνωσίν μου Κύριος, καὶ ἀνταποδῷ μοι ἀγαθὰ ἀντὶ τῆς κατάρας αὐτοῦ τῆς ἐν τῇ ἡμέρᾳ ταύτῃ· ὅπερ οὖν καὶ ἐγένετο. ὁρᾷς πῶς οἶδεν ὁ δίκαιος, ὅτι τὸ φέρειν γενναίως τὰς λοιδορίας ἀφορμὴ πλείονος εὐδοκιμήσεως γίνεται; διὰ τοῦτό ποτε καὶ τὸν Σαοὺλ εἴσω διπλοῦ τειχίου λαβών, καὶ κύριος ὢν ἀποσφάξαι, ἐφείσατο· καὶ ταῦτα, τῶν παρόντων κελευόντων ὠθῆσαι τὸ ξίφος. ἀλλ' οὔτε τὸ τῆς ἐξουσίας εὔκολον, οὔτε τὸ παρ' ἑτέρων προξενεῖσθαι, οὔτε τὸ πολλὰ πεπονθέναι δεινά, οὔτε τὸ προσδοκᾶν πείσεσθαι χαλεπώτερα, συνεχώρησεν ἑλκύσαι τὸ ξίφος. καίτοιγε οὐδὲ τῷ στρατοπέδῳ καταφανὴς ἔμελλεν ἔσεσθαι ταύτην ἐργασάμενος τὴν σφαγήν. σπήλαιον γὰρ ἦν, καὶ οὐδεὶς ἕτερος παρῆν, ἀλλὰ μόνος αὐτός. καὶ οὐκ εἶπεν, ὅπερ τις μοιχείαν ἐργαζόμενος ἔλεγε, σκότος κύκλῳ μου καὶ τοῖχοι, τί εὐλαβοῦμαι; ἀλλ' ἑώρα τὸν ἀκοίμητον ὀφθαλμόν, καὶ ἤδει ὅτι ὀφθαλμοὶ Κυρίου μυριοπλασίως ἡλίου φωτεινότεροι. διὰ τοῦτο πάντα οὕτως ἔπραττέ τε καὶ ἔλεγεν, ὡς ἐκείνου παρόντος, καὶ δικάζοντος τοῖς λεγομένοις. καί φησιν, Οὐ μὴ ἐπαγάγω τὴν χεῖρά μου ἐπὶ χριστὸν Κυρίου. οὐχ ὁρῶ τὴν πονηρίαν, ἀλλ' ὁρῶ τὴν ἀξίαν. μή μοι λεγέτω τις, ὅτι βίαιος καὶ μιαρός ἐστιν. ἐγὼ γὰρ τὴν τοῦ Θεοῦ τιμῶ ψῆφον, κἂν αὐτὸς ἀνάξιος φαίνηται. οὐ γάρ ἐστιν ἐμὸν ἔγκλημα, τὸ τοῦτον ἀνάξιον φανῆναι τῆς τιμῆς. ἀκουέτωσαν ὅσοι καταφρονοῦσιν ἱερέων, μανθανέτωσαν ὅσην εὐλάβειαν οὗτος περὶ βασιλέα ἐπεδείξατο. καίτοι πολὺ τιμιώτερος καὶ αἰδεσιμώτερος βασιλέως ὁ ἱερεύς, ὅσον καὶ ἐπὶ μείζονα ἀρχὴν κέκληται. μανθανέτωσαν μὴ κρίνειν, μηδὲ εὐθύνας ἀπαιτεῖν, ἀλλ' ὑποτάσσεσθαι καὶ εἴκειν. σὺ μὲν γὰρ τὸν τοῦ ἱερέως βίον, κἂν φαῦλος ᾖ τις καὶ ἠμελημένος, οὐκ οἶδας· οὗτος δὲ ἤδει μετ' ἀκριβείας ἅπαντα, ὅσα ἐποίησεν ὁ Σαούλ· ἀλλ' ὅμως καὶ οὕτως ᾐδεῖτο τὴν παρὰ τοῦ Θεοῦ δοθεῖσαν ἀρχήν.

β. Βασ. ις. κα. ις.

α. Βασ. κδ. ζ.

χήν. ὅτι δὲ κἂν εἰδὼς ᾖς ἀκριβῶς, οὐκ ἔχεις ἀπολογίαν, οὐδὲ συγγνώμην, καταφρονῶν τῶν προεστώτων, καὶ διακούων τῶν λεγομένων, ἄκουσον πῶς καὶ ταύτην ἡμῶν ἀνεῖλε τὴν πρόφασιν ὁ Χριστός, δι᾽ ὧν φησιν ἐν εὐαγγελίοις· Ἐπὶ τῆς καθέδρας Μωϋσέως ἐκάθισαν οἱ γραμματεῖς, καὶ οἱ Φαρισαῖοι· πάντα οὖν ὅσα ἂν εἴπωσιν ὑμῖν ποιεῖν, ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε. ὁρᾷς πῶς, ὧν ὁ βίος οὕτω διεφθαρμένος ἦν, ὡς ἄξιος εἶναι διαβολῆς τοῖς μαθητευομένοις, τούτων τὴν παραίνεσιν οὐκ ἠτίμασεν, οὐδὲ τὴν διδαχὴν ἐξέβαλε; ταῦτα δὲ λέγω, οὐχὶ τῶν ἱερέων κατηγορεῖν βουλόμενος· μὴ γένοιτο (καὶ γὰρ ὑμεῖς μάρτυρές ἐστε τῆς τε ἀναστροφῆς αὐτῶν καὶ τῆς εὐλαβείας ἁπάσης) ἀλλ᾽ ἵνα ἐκ πολλῆς τῆς περιουσίας πολλὴν αὐτοῖς τὴν αἰδῶ καὶ τὴν τιμὴν παρέχωμεν. οὐ γὰρ αὐτοὺς τοσοῦτον, ὅσον ἡμᾶς αὐτοὺς ὠφελήσομεν. Ὁ δεχόμενος οὖν προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται. Εἰ γὰρ τοὺς ἀλλήλων βίους οὐκ ἐπετράπημεν κρίνειν, πολλῷ μᾶλλον τοὺς τῶν πατέρων. ἀλλ᾽ ὅπερ ἔλεγον (πάλιν γὰρ ἐπὶ τὴν γυναῖκα ταύτην ἐπανελθεῖν ἀναγκαῖον) καὶ ὅτι τὸ φέρειν γενναίως τὰς λοιδορίας πολλῶν ἡμῖν ἀγαθῶν αἴτιον γίνεται, τοῦτο καὶ ἐπὶ τοῦ Ἰὼβ συνέβη. καὶ γὰρ ἐκεῖνον οὐχ οὕτω θαυμάζω περὶ τῆς παραινέσεως τῆς γυναικός, ὡς μετὰ τὴν ὀλεθρίαν συμβουλὴν ἐκείνην. καὶ μή τις παράδοξον εἶναι νομιζέτω τὸ λεγόμενον. πολλάκις γοῦν οὓς ἡ τῶν πραγμάτων φύσις οὐχ ὑπεσκέλισε, ῥῆμα καὶ παραίνεσις διεφθαρμένη κατέλυσεν. ὅπερ οὖν καὶ ὁ διάβολος συνειδώς, μετὰ τὴν ἀπὸ τῆς πείρας πληγήν, καὶ τὴν διὰ τῶν ῥημάτων ἐπάγει προσβολήν· ὅπερ οὖν ἐποίησεν ἐπὶ τοῦ Δαβίδ. ἐπειδὴ γὰρ εἶδεν αὐτὸν γενναίως ἐνεγκόντα τὴν ἐπανάστασιν τοῦ παιδὸς καὶ τὴν παράνομον ἐκείνην τυραννίδα, βουλόμενος ὑποσκελίσαι τὴν διάνοιαν, καὶ πεῖσαι εἰς ὀργὴν ἐκπεσεῖν, καθῆκεν ἐκεῖνον τὸν Σεμεεί, ῥήμασι πικροῖς παρασκευάσας δακεῖν αὐτοῦ τὴν ψυχήν. τοῦτο καὶ ἐπὶ τοῦ Ἰὼβ ἐκακούργησεν. ὡς γὰρ εἶδε κἀκεῖνον καταγελάσαντα αὐτοῦ τῶν βελῶν, καὶ ὥσπερ ἀδαμάντινον πύργον πρὸς πάντα στάντα γενναίως, καθώπλισε τὴν γυναῖκα, ἵνα ἀνύποπτος ἡ συμβουλὴ γένηται, καὶ ἐνέκρυψε τὸ δηλητήριον τοῖς ἐκείνης ῥήμασι, καὶ τὴν συμφορὰν ἐπετραγῴδησε. τί οὖν ὁ γενναῖος ἐκεῖνος; Ἵνα τί, ὡς μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας; Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Εἰ μὴ δεσπότης ἦν, μηδὲ τοσοῦτον ἡμῶν ὑπερέχων, ἀλλὰ φίλος τις ὁμότιμος, ποίαν εἴχομεν ἀπολογίαν, τοσαῦτα εὐεργετηθέντες παρ᾽ αὐτοῦ, καὶ τοῖς ἐναντίοις αὐτὸν ἀμειβόμενοι; Εἶδες γνώμην φιλόθεον, καὶ πῶς οὐ μεγαλοφρονεῖ, οὐδὲ ἐναβρύνεται ἐπὶ τῷ γενναίως ἐνεγκεῖν τὰς παρὰ φύσιν ἐκείνας πληγάς· οὔτε σοφίας εἶναι νομίζει καὶ μεγαλοψυχίας τὴν τοσαύτην ὑπομονήν· ἀλλ᾽ ὥσπερ ἀναγκαῖον ὄφλημα ἐκτιννύς, καὶ οὐδὲν ἀπεικὸς παθών, οὕτως ἐκ περιουσίας τὸ γύναιον ἐπεστόμισε. τοῦτο καὶ ἐπὶ τῆς γυναικὸς ταύτης γέγονεν. ἐπειδὴ γὰρ εἶδεν αὐτὴν γενναίως φέρουσαν τὴν ἀπαιδίαν, καὶ τῷ Θεῷ προσανίπλουσαν, καθῆκε τὸ παιδάριον τοῦ ἱερέως, ὥστε μᾶλλον αὐτὴν ἀγριᾶναι. ἀλλ᾽ οὐδὲν τούτων ἔπαθεν ἡ γυνή, ἀλλὰ μελετήσασα φέρειν τὰς λοιδορίας ἐπὶ τῆς οἰκίας, καὶ τοῖς ὀνείδεσιν ἐγγυμνασαμένη τῆς ἀντιζήλου, ἀδεῶς λοιπὸν πρὸς τὰς τοιαύτας ἀπεδύετο προσβολάς. διὸ καὶ ἐν τῷ ἱερῷ πολλὴν ἐπιείκειαν ἐπεδείκνυτο, ἀνδρείως μάλα καὶ μεγαλοψύχως τὰ σκώμματα φέρουσα, τὰ ἐπὶ τῇ μέθῃ καὶ τῇ παροινίᾳ. οὐδὲν δὲ δεῖ καὶ αὐτῶν ἀκοῦσαι τῶν ῥημάτων. Εἰπόντος γὰρ τοῦ παιδαρίου, περιελοῦ τὸν οἶνόν σου ἀπὸ σοῦ, καὶ ἄπελθε ἐκ προσώπου Κυρίου, ἀπεκρίθη ἡ Ἄννα, καὶ εἶπεν, οὐχί, Κύριε. τὸν ὑβρίσαντα δεσπότην ἐκάλεσε. καὶ οὐκ εἶπεν, ὃ πολλοὶ τῶν ἀνθρώπων λέγουσιν, εἰπέ μοι ταῦτα ὁ ἱερεύς; ταῦτα, ὁ διδάσκων τοὺς ἄλλους εἰς μέθην καὶ παροινίαν ἔσκωψεν; ἀλλ᾽ ἐσκόπησεν ὅπως ἀποκρούσαιτο μόνον τὴν ὑπόνοιαν, καίτοιγε οὐκ οὖσαν ἀληθῆ. ἡμεῖς δὲ πολλάκις, ἐπειδὰν λοιδορηθῶμεν, δέον ἀπολογήσασθαι καὶ ἀπαλλαγῆναι, ἐξάπτομεν τὸ πῦρ, καὶ καθάπερ θηρία τοῖς ὑβρικόσιν ἐπιπηδῶ-

Ματθ. κγ. β.

Ματθ. ι. μα.

Ιωβ. β. ι.

μεν, ἄγχοντες, ἕλκοντες, εὐθύνας ἀπαιτοῦντες τῶν εἰρημένων, καὶ τούτοις αὐτοῖς, οἷς ποιοῦμεν, τὴν καθ' ἡμῶν βεβαιοῦντες ὑπόνοιαν. Εἰ γὰρ βούλει δεῖξαι τοῖς ὑβρικόσιν, ὡς οὐ μεθύεις, δεῖξον διὰ πραότητος καὶ ἐπιεικείας, μὴ δι' ὕβρεως, μηδὲ διὰ λοιδορίας. ἂν μὲν γὰρ τύψῃς τὸν ὑβρικότα, μέθην σου καταγνώσονται πάντες· ἂν δὲ γενναίως ἐνέγκῃς, ἀπεκρούσω διὰ τῶν ἔργων τὴν πονηρὰν ὑποψίαν· ὅπερ οὖν καὶ ἡ γυνὴ τότε ἐποίησε, καὶ εἰποῦσα, οὐχὶ Κύριε, δι' αὐτῶν τῶν πραγμάτων ἐδείκνυ, ὅτι ψευδὴς ἦν ἡ ὑποψία. πόθεν δὲ ὅλως καὶ ὑπώπτευσεν ὁ ἱερεὺς τοῦτο; μὴ γὰρ γελῶσαν εἶδε; μὴ γὰρ χορεύουσαν; μὴ γὰρ περιφερομένην καὶ καταπίπτουσαν; μὴ γὰρ αἰσχρόν τι καὶ ἀνελεύθερον φθεγγομένην ῥῆμα; πόθεν οὖν ταύτην ἔσχε τὴν ὑπόνοιαν; οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν ἐκεῖνος, ἀλλ' ἀπὸ τοῦ καιροῦ τῆς ἡμέρας· καὶ γὰρ ἦν τὸ ἄριστον γεγενημένον, ὅτε τὴν εὐχὴν ἐποιεῖτο. πόθεν τοῦτο δῆλον; ἀπ' αὐτῶν τῶν ἄνωθεν εἰρημένων. Ἀνέστη γάρ, φησιν, Ἄννα μετὰ τὸ φαγεῖν αὐτοὺς ἐν Σηλώμ, καὶ μετὰ τὸ πιεῖν, καὶ κατέστη ἐνώπιον Κυρίου. ὁρᾷς; ὃν ἀνέσεως καιρὸν ποιοῦνται ἅπαντες, τοῦτον εὐχῆς ἐποιεῖτο αὕτη καιρόν, καὶ μετὰ τράπεζαν πρὸς ἱκετηρίαν ἀνέτρεχε, καὶ πηγὰς ἠφίει δακρύων, καὶ διάνοιαν παρεῖχε σωφρονοῦσαν καὶ νήφουσαν, καὶ μετὰ τράπεζαν οὕτως ἐκτενῶς ηὔξατο, ὡς δῶρον ὑπὲρ φύσιν λαβεῖν, καὶ λῦσαι στείρωσιν, καὶ φύσιν ἀσθενήσασαν διορθῶσαι. Ταῦτα τοίνυν ἀπὸ τῆς γυναικὸς ἐκμανθάνωμεν, ὥστε εἰδέναι μετ' εὐωχίαν εὔχεσθαι. ὁ γὰρ πρὸς τοῦτο παρεσκευασμένος, οὐδέποτε εἰς μέθην καὶ παροινίαν ἐκπεσεῖται, οὐδέποτε ὑπὸ ἀδηφαγίας διαῤῥαγήσεται, ἀλλὰ τὴν προσδοκίαν τῆς εὐχῆς ἀντὶ χαλινοῦ τοῖς λογισμοῖς ἐπικειμένην ἔχων, μετὰ τοῦ προσήκοντος μέτρου τῶν παρακειμένων ἅψεται πάντων, καὶ πολλῆς μὲν τὴν ψυχήν, πολλῆς δὲ τὸ σῶμα ἐμπλήσει τῆς εὐλογίας. τράπεζα γὰρ ἀπὸ εὐχῆς ἀρχομένη, καὶ εἰς εὐχὴν καταλήγουσα, οὐδέποτε ὑστερηθήσεται, ἀλλὰ πηγῆς δαψιλέστερον ἅπαντα ἡμῖν εἰσοίσει τὰ ἀγαθά. μὴ δὴ τοσοῦτον παρορῶμεν κέρδος. καὶ γὰρ ἄτοπον τοὺς μὲν οἰκέτας τοὺς ἡμετέρους, εἴ ποτέ τι τῶν παρακειμένων λάβοιεν παρὰ ἡμῶν μέρος, εὐχαριστεῖν τε ἡμῖν καὶ μετ' εὐφημίας ἀναχωρεῖν· ἡμᾶς δὲ τοσούτων ἀπολαύοντας ἀγαθῶν, μηδὲ τοσαύτην ἀποδιδόναι τῷ Θεῷ τὴν τιμήν, καὶ ταῦτα, μέλλοντας πολλῆς ἀπολαύσεσθαι τῆς ἀσφαλείας. ὅπου γὰρ εὐχὴ καὶ εὐχαριστία, ἁγίου πνεύματος παραγίνεται χάρις, καὶ φυγαδεύονται δαίμονες, καὶ πᾶσα ἀντικειμένη δύναμις δραπετεύει καὶ ἀφίσταται. ὁ μέλλων εἰς εὐχὴν τρέπεσθαι, οὐδὲν ἄτοπον τολμᾷ φθέγξασθαι, οὐδὲ ἐν μέσῃ τραπέζῃ· κἂν φθέγξηται, μεταγινώσκει ταχέως. διὸ χρὴ καὶ ἀρχομένους καὶ λήγοντας εὐχαριστεῖν τῷ Θεῷ. μάλιστα μὲν γὰρ οὐδὲ εἰς μέθην ἐμπεσούμεθα ῥᾳδίως, καθάπερ ἔφθην εἰπών, εἰ καταστήσαιμεν εἰς ταύτην ἑαυτοὺς τὴν συνήθειαν. ὥστε κἂν κραιπαλῶν, κἂν μεθύων ποτὲ ἀναστῇς, μηδὲ οὕτω καταλύσῃς τὸ ἔθος, ἀλλὰ κἂν καρηβαρῶμεν, κἂν περιφερώμεθα καὶ καταπίπτωμεν, καὶ οὕτως εὐξώμεθα, καὶ μὴ διαλύωμεν τὴν συνήθειαν. ἂν γὰρ τῇ προτέρᾳ ἡμέρᾳ οὕτως εὔξῃ, τῇ δευτέρᾳ διορθώσῃ τὴν ἐν τῇ προτέρᾳ γενομένην ἀσχημοσύνην ἡμέρᾳ. ὅταν τοίνυν ἀριστοποιώμεθα, μνημονεύωμεν ταύτης τῆς γυναικός, καὶ τῶν ταύτης δακρύων, καὶ τῆς μέθης τῆς καλῆς ταύτης. ἐμέθυε γὰρ καὶ ἡ γυνή, οὐκ ἀπὸ οἴνου, ἀλλ' ἀπ' εὐλαβείας πολλῆς. εἰ γὰρ μετ' ἄριστον τοιαύτη ἦν, ποία ἦν ὑπὸ τὴν ἕω; εἰ μετὰ τὸ φαγεῖν καὶ πιεῖν οὕτως ἐκτενῶς προσηύχετο, ὁποία ὑπῆρχε νῆστις οὖσα; ἐπανέλθωμεν τοίνυν πάλιν ἐπὶ τὰ ῥήματα αὐτῆς τὰ φιλοσοφίας γέμοντα πολλῆς καὶ πραότητος. α. Βασ. α. 15. Εἰποῦσα γάρ, οὐχὶ Κύριε, ἐπήγαγε· Γυνὴ ἐν σκληρᾷ ἡμέρᾳ ἐγώ εἰμι, καὶ οἶνον καὶ μέθυσμα οὐ πέπωκα. παρατήρησον· οὐδὲ ἐνταῦθα λέγει τὰ ὀνείδη τῆς ἀντιζήλου, οὐδὲ ἐκπομπεύει τὴν πονηρίαν ἐκείνης, οὐδὲ ἐκτραγῳδεῖ τὴν συμφορὰν τὴν οἰκείαν, ἀλλὰ τοσοῦτον ἀποκαλύπτει τὴν ἑαυτῆς ἀθυμίαν, ὅσον ἀπολογήσασθαι πρὸς τὸν ἱερέα μόνον. γυνὴ ἐν σκληρᾷ ἡμέρᾳ, φησίν, ἐγώ εἰμι· καὶ οἶνον καὶ μέθυσμα οὐ πέπωκα, καὶ ἐκχέω τὴν ψυχήν μου ἐνώπιον Κυρίου. οὐκ εἶπεν, εὔχομαι τῷ Θεῷ, ἱκε-

χ. πρ

τεύω τὸν Θεόν, ἀλλ' ἐκχέω τὴν ψυχήν μου ἐνώπιον Κυρίου· τουτέστιν, ὅλην ἐμαυτὴν μετέστησα πρὸς τὸν Θεόν, τὴν διάνοιάν μου ἐξεκένωσα πρὸς αὐτόν, ὅλῃ ψυχῇ καὶ δυνάμει τὴν εὐχήν μου ἐποιησάμην, εἶπον τῷ Θεῷ τὴν συμφορὰν τὴν ἐμήν, ἔδειξα τὸ ἕλκος, ἐκεῖνος τὸ φάρμακον θεῖναι δύναται. Μὴ δῷς τὴν δούλην σου εἰς πρόσωπον εἰς θυγατέρα λοιμήν. πάλιν δούλην ἑαυτὴν καλεῖ, καὶ πολλὴν ποιεῖται σπουδήν, ὥστε μὴ πονηρὰν δόξαν παρὰ τοῦ ἱερέως λαβεῖν. καὶ οὐκ εἶπε πρὸς ἑαυτήν, τί δέ μοι μέλει τῆς τούτου διαβολῆς; ἁπλῶς καὶ εἰκῆ κατηγόρησεν, ὑπώπτευσεν εἰς οὐδὲν δέον· τὸ συνειδός μου καθαρὸν ἔστω, καὶ πάντες με διαβαλλέτωσαν· ἀλλὰ τὸν ἀποστολικὸν ἐκεῖνον ἐπλήρου νόμον, τὸν κελεύοντα Προνοεῖσθαι καλὰ μὴ μόνον ἐνώπιον Κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων. καὶ παντὶ τρόπῳ τὴν ὑποψίαν ἀπεκρούετο λέγουσα, μὴ δῷς τὴν δούλην σου εἰς πρόσωπον εἰς θυγατέρα λύμην. τί δέ ἐστιν, εἰς πρόσωπον; μὴ νομίσῃς ἀναίσχυντον εἶναί με καὶ ἰταμήν· ἀθυμίας, οὐ παροινίας ἐστὶν αὕτη ἡ παρρησία, ὀδύνης, οὐχὶ μέθης. τί οὖν ὁ ἱερεύς; ὅρα κἀκείνου τὴν σύνεσιν. οὐ περιειργάσατο τὴν συμφοράν, οὐκ ἠβουλήθη πολυπραγμονῆσαι τὴν αἰτίαν, ἀλλὰ τί φησι; Πορεύου ἐν εἰρήνῃ, δῴη σοι Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ πᾶν αἴτημα, ὃ ᾐτήσω παρ' αὐτοῦ. τὸν κατήγορον συνήγορον εἰργάσατο ἡ γυνή. τοσοῦτόν ἐστιν ἐπιείκεια καὶ πραότης καλόν· καὶ ἀντὶ ὕβρεως ἐφόδια ἱκανὰ λαβοῦσα ἀπῆλθε, καὶ προστάτην ἔσχε καὶ πρεσβευτὴν τὸν ἐπιτιμήσαντα. καὶ οὐδὲ οὕτως ἀφίσταται, ἀλλὰ πάλιν φησίν, Εὗρεν ἡ δούλη σου χάριν ἐν ὀφθαλμοῖς σου· τουτέστι, μάθοις διὰ τοῦ τέλους αὐτοῦ, καὶ τῆς τῶν πραγμάτων ἐκβάσεως, ὡς οὐκ ἀπὸ παροινίας, ἀλλ' ἐξ ὀδύνης τοσαύτης ἐποιησάμην ἱκετηρίαν καὶ τὴν δέησιν. καὶ ἀπελθοῦσα, φησιν, οὐκέτι συνέπεσεν. εἶδες πίστιν γυναικός; πρὶν λάβῃ ὅπερ ᾔτησεν, ἐθάρσησεν ὡς λαβοῦσα. τὸ δὲ αἴτιον, ὅτι μετὰ πολλῆς ηὔξατο τῆς σφοδρότητος, μετὰ σπουδῆς ἀδιακρίτου. διὰ τοῦτο, ὡς πᾶν εἰληφυῖα, κατῆλθεν. ἄλλως δέ, καὶ ὁ Θεὸς λοιπὸν αὐτῆς τὴν ἀθυμίαν ἐξέβαλε, μέλλων διδόναι τὸ δῶρον. Ταύτην ζηλώσωμεν καὶ ἡμεῖς, καὶ ἐν ἁπάσαις ταῖς συμφοραῖς πρὸς τὸν Θεὸν καταφεύγωμεν. κἂν μὴ ἔχωμεν παιδία, παρ' ἐκείνου αἰτῶμεν· κἂν λάβωμεν, μετὰ πολλῆς ἀνατρέφωμεν αὐτὰ τῆς σπουδῆς, καὶ πάσης μὲν κακίας ἀπάγωμεν τοὺς νέους, μάλιστα δὲ ἀσελγείας. χαλεπὸς γὰρ οὗτος ὁ πόλεμος, καὶ οὐδὲν οὕτως ἐνοχλεῖ τὴν ἡλικίαν ἐκείνην, ὡς τοῦτο τὸ πάθος. πανταχόθεν τοίνυν αὐτοὺς τειχίζωμεν συμβουλαῖς, παραινέσεσι, φόβοις, ἀπειλαῖς. ἂν γὰρ ταύτης περιγένωνται τῆς ἐπιθυμίας, οὐδὲ ἑτέρᾳ ταχέως ἁλώσονται, ἀλλὰ καὶ χρημάτων ἔσονται κρείττους, καὶ μέθης κρατήσουσι καὶ παροινίας, καὶ τὰς πονηρὰς συνουσίας πάσῃ σπουδῇ διακρούσονται, καὶ ποθεινότεροι μὲν ἔσονται τοῖς γεγεννηκόσιν, αἰδεσιμώτεροι δὲ πᾶσιν ἀνθρώποις. τίς γὰρ οὐκ αἰδεσθήσεται σωφρονοῦντα νέον; τίς δὲ οὐκ ἀσπάσεται καὶ φιλήσει τὸν χαλινώσαντα τὰς ἀτόπους ἐπιθυμίας; τίς δὲ οὐχ αἱρήσεται καὶ τῶν σφόδρα εὐπορωτάτων μετὰ πολλῆς αὐτῷ τῆς χάριτος ἐκδοῦναι τὸ θυγάτριον, κἂν ἁπάντων ἐκεῖνος πενέστερος ᾖ; ὥσπερ γὰρ τὸν ἐν ἀσωτίᾳ ζῶντα, καὶ πόρναις προσέχοντα, κἂν ἁπάντων εὐπορώτερος ᾖ, οὐδεὶς οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὡς θελῆσαι κηδεστὴν λαβεῖν· οὕτω τὸν σώφρονα καὶ σεμνὸν οὐδεὶς οὕτως ἀνόητος, ὡς ἀποκρούσασθαι καὶ ἀτιμάσαι. ἵν' οὖν καὶ ἀνθρώποις αἰδέσιμοι, καὶ τῷ Θεῷ ποθεινοὶ οἱ παῖδες γένωνται, κατακοσμῶμεν αὐτῶν τὰς ψυχάς, καὶ μετὰ σωφροσύνης ἐπὶ τοὺς γάμους ἄγωμεν. οὕτω γὰρ καὶ τὰ παρόντα αὐτοῖς, ὥσπερ ἐκ πηγῶν, ἅπαντα ἥξει, καὶ τὸν Θεὸν ἕξουσιν ἵλεων, καὶ τῆς παρούσης, καὶ τῆς μελλούσης ἀπολαύσονται δόξης· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

μην.

α. Βασ. α. ιε.

Ρωμ. ιβ. ιζ.

α. Βασ. α. ιζ.

α. Βασ. α. ιη.

Λογ. ιγ.

ΕΙΣ ΤΗΝ ΑΝΝΑΝ, ΚΑΙ ΕΙΣ ΤΗΝ ΤΟΥ ΣΑΜΟΥΗΛ γαλακτοτροφίαν· καὶ ὅτι χρήσιμος ἡ περὶ τὸν τόκον βραδύτης, καὶ ὅτι ἐπικίνδυνον καὶ σφαλερὸν τὸ τῶν παίδων ἀμελεῖν.

Εἰ μὴ δοκῶ προσκορὴς τισὶν εἶναι καὶ φορτικός, βούλομαι τῆς αὐτῆς ὑποθέσεως ἅψασθαι πάλιν, ὑπὲρ ἧς καὶ πρῴην ὑμῖν διελέχθην, καὶ πρὸς τὴν Ἄνναν ὑμᾶς χειραγωγῆσαι, καὶ εἰς τὸν λειμῶνα τῶν κατορθωμάτων τῆς γυναικὸς εἰσαγαγεῖν τῷ λόγῳ· λειμῶνα οὐχὶ ῥοδωνιὰν ἔχοντα, οὐδὲ ἄνθη μαραινόμενα, ἀλλ' εὐχὴν καὶ πίστιν καὶ ἀνεξικακίαν πολλήν. πολὺ γὰρ ταῦτα τῶν ἠρινῶν ἀνθέων εὐωδέστερα, οὐχὶ πηγαῖς ὑδάτων, ἀλλ' ὄμβροις δακρύων ἀρδόμενα. οὐ γὰρ οὕτω τοὺς κήπους αἱ πηγαὶ τῶν ναμάτων εὐθαλεστέρους ποιοῦσιν, ὡς τὸ φυτὸν τῆς εὐχῆς αἱ πηγαὶ τῶν δακρύων ποτίζουσαι, πρὸς ὕψος μέγιστον ἀνατρέχειν παρασκευάζουσιν· ὅπερ οὖν καὶ ἐπὶ τῆς γυναικὸς ταύτης ἐγένετο. ὁμοῦ γὰρ ἐφθέγξατο, καὶ πρὸς τὸν οὐρανὸν ἀνέδραμεν ἡ εὐχή, καὶ καρπὸν ἤνεγκεν ὥριμον, τὸν ἅγιον Σαμουήλ. μὴ δὴ δυσχεράνητε, εἰ τῆς αὐτῆς ὑποθέσεως ἀρχόμεθα πάλιν. οὐ γὰρ τὰ αὐτὰ ἐροῦμεν, ἀλλ' ἕτερά τινα νέα καὶ πρόσφατα. καὶ γὰρ ἐπὶ τῆς αἰσθητῆς τραπέζης ἐξ ἑνὸς ὄψου πολλὰ ἄν τις ἐδέσματα κατασκευάσειε· καὶ τοὺς χρυσοχόους δὲ ὁρῶμεν, ἀπὸ μιᾶς μάζης χρυσίου, καὶ ψέλλια, καὶ περιδέρραια, καὶ ἕτερα πολλὰ εἴδη κόσμου ποιοῦντας. εἰ γὰρ καὶ μονοειδὴς ἡ ὕλη, ἀλλὰ ποικίλον ἡ τέχνη, καὶ οὐ στενοχωρεῖται τῷ μονοτρόπῳ τῆς ὑποκειμένης οὐσίας εὐπόριστος οὖσα καὶ πολυμήχανος. εἰ δὲ τὰ ἐνταῦθα τοιαῦτα, πολλῷ μᾶλλον ἡ τοῦ πνεύματος χάρις. ὅτι δὲ ποικίλη καὶ ταύτης ἡ τράπεζα, καὶ πολύτροπος, καὶ πολυειδής, ἄκουσον τοῦ Παύλου λέγοντος, ἐν οἷς γράφει, α. Κορ. ιβ. η. Ὧι μὲν διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως, ἑτέρῳ δὲ πίστις, ἄλλῳ χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν. ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται. ὁρᾷς πῶς ποικίλη; ἀλλ' εἰ καὶ οἱ ποταμοὶ πολλοί, ἀλλὰ μία ἡ πηγή· εἰ διάφορα τὰ ἐδέσματα, ἀλλ' εἷς ὁ ἑστιάτωρ. ἐπεὶ οὖν τοσαύτη ἡ τοῦ πνεύματος χάρις, εἴδομεν δὲ αὐτὴν στεῖραν οὖσαν, εἴδομεν αὐτὴν μητέρα γενομένην, εἴδομεν δακρύουσαν, εἴδομεν χαίρουσαν, Ρωμ. ιβ. ιε. συνηλγήσαμεν τότε· συνησθῶμεν σήμερον. οὕτω καὶ Παῦλος ἐκέλευσε χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων. τοῦτο δὲ οὐκ ἐπὶ τῶν συνακμασάντων ἡμῖν ἀνθρώπων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν πάλαι γεγενημένων ποιεῖν χρή. καὶ μή μοι λεγέτω τις, καὶ τί μοι κέρδος ἀπὸ τῆς Ἄννης ἔσται, καὶ τῶν ταύτης διηγημάτων; αἵ τε γὰρ στεῖραι δυνήσονται μαθεῖν, πῶς ἂν γένοιντο μητέρες· καὶ αἱ μητέρες εἴσονται πάλιν, ποῖος παιδοτροφίας ἄριστος ἂν γένοιτο τρόπος. οὐ γυναῖκες δὲ μόνον, ἀλλὰ καὶ ἄνδρες μέγιστα ἀπὸ τῆς ἱστορίας ταύτης καρπώσονται, παιδευθέντες ἡμέρως πρὸς τὰς αὐτῶν διακεῖσθαι γυναῖκας, κἂν ἀπαιδίαν νοσῶσι, καθάπερ ὁ Ἐλκανᾶ πρὸς τὴν Ἄνναν διέκειτο. οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἕτερον τούτου μεῖζον κερδανοῦσι, μαθόντες ὅτι δεῖ τοὺς γονεῖς ἅπαντας τῷ Θεῷ τὰ τεχθέντα τρέφειν παιδία. μὴ τοίνυν, ἐπειδὴ χρήματα καὶ ἀργύριον οὐκ ἔστι λαβεῖν ἀπὸ τοῦ διηγήματος, ἀνόνητον ἡμῖν εἶναι τὴν ἀκρόασιν νομίζωμεν· ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο κερδαλέαν καὶ ὠφέλιμον, ἐπειδὴ οὐ χρυσίον καὶ ἀργύριον, ἀλλ' ὃ πολλῷ μεῖζον τούτων ἐστί, ψυχῆς εὐλάβειαν, ἣ καὶ τοὺς ἐν τοῖς οὐρανοῖς ἡμῖν δείκνυσι θησαυρούς, μᾶλλον δὲ διδάσκει πῶς ἅπαντα διακρουσόμεθα κίνδυνον. χρήματα μὲν γὰρ παρασχεῖν καὶ ἀνθρώποις ῥᾴδιον, διορθῶσαι δὲ φύσιν, καὶ ἀθυμίαν λῦσαι τοιαύτην, καὶ ὀδύνην ἀνελεῖν, καὶ ψυχὴν ἀναστῆσαι καταπίπτειν μέλλουσαν, ἀνθρώπῳ μὲν οὐδενί, τῷ δὲ τῆς φύσεως δεσπότῃ μόνῳ δυνατόν. σὺ δέ, εἰ μὲν νόσημα ἀνίατον ἔχουσα, καὶ πόλιν περιελθοῦσα ἅπασαν, καὶ χρήματα δαπανήσασα, καὶ ἰατροῖς χρησαμένη πολλοῖς, καὶ μηδεμίαν εὑροῦσα παραμυθίαν ἐνέτυχες γυναικὶ τὸ αὐτὸ παθούσῃ πάθος καὶ ἀπαλλαγείσῃ, οὐκ ἂν ἀπέστης ἱκετεύουσα, παρακαλοῦσα, δεομένη, ὥστε πεῖσαι τὸν ἀπαλλάξαντα δεῖξαι· νυνὶ δὲ ὁρῶσα Ἄνναν ἑστῶσαν ἐν τῷ μέσῳ, καὶ τὸ πάθος αὐτῆς ἐξηγουμένην, καὶ τὸ φάρμακον λέγουσαν, καὶ τὸν ἰατρὸν δεικνύουσαν χωρὶς ἱκετηρίας, χωρὶς παρακλήσεως, οὐ προσελεύσῃ καὶ λήψῃ τὸ φάρμακον, οὐδὲ τῆς ἰατρείας μετ' ἀκριβείας ἁπάσης; καὶ πῶς δυνήσῃ ποτὲ ἐπιτυχεῖν ἀγαθοῦ; ἀλλ' ἕτεροι μὲν καὶ πελάγη διέβαλον μακρὰ πολλάκις, καὶ πολλὴν ἀποδημίαν ἐστείλαντο, καὶ χρήματα ἐδαπάνησαν, καὶ πόνον ὑπέμειναν, ἵνα τὸν ἐπὶ τῆς ἀλλοτρίας μηνυθέντα ἰατρὸν ἴδωσι, καὶ ταῦτα οὐ σφόδρα θαρροῦντες, ὅτι πάντως ἀπαλλαγήσονται τοῦ νοσήματος. σὺ δέ, ὦ γύναι, οὐ διαπόντιον ἀποδημίαν στέλλεσθαι μέλλουσα, οὐδὲ εἰς τὴν ὑπερορίαν μετοικίζεσθαι, οὐδὲ πόνον τινὰ τοιοῦτον ὑπομένειν (τί λέγω τὴν ὑπερορίαν;) οὐδὲ αὐτὸν μόνον τὸν οὐδὸν ἀναγκαζομένη τῆς οἰκίας ὑπερβῆναι, ἀλλὰ καὶ ἐν αὐτῷ δυναμένη τῷ θαλάμῳ συγγενέσθαι τῷ ἰατρῷ, καὶ χωρὶς μεσίτου τινὸς αὐτῷ διαλεχθῆναι περὶ πάντων ὧν ἂν ἐθέλῃς (Θεὸς γάρ, φησιν, ἐγγίζων ἐγώ εἰμι, καὶ Θεὸς οὐ πόρρωθεν) ἀναβάλλῃ καὶ ὀκνεῖς; καὶ ποίαν ἕξεις ἀπολογίαν; τίνος δὲ ἀπολαύσῃ συγγνώμης, ὅταν καὶ εὔκολον καὶ πανταχόθεν ῥᾳδίαν τῶν ἐπικειμένων κακῶν ἀπαλλαγὴν εὑρεῖν δυναμένη, ῥᾳθυμῇς, καὶ τὴν σαυτῆς σωτηρίαν προδίδῳς; οὐ γὰρ δὴ μόνον στείρωσιν ὁ ἰατρὸς οὗτος, ἀλλὰ καὶ πᾶν ὁποιονοῦν νόσημα καὶ ψυχῆς καὶ σώματος θεραπεῦσαι δύναται, θελήσας μόνον. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστόν, ὅτι χωρὶς πόνου, καὶ ἀποδημίας, καὶ δαπάνης, καὶ μεσιτῶν, ἀλλ' ὅτι καὶ χωρὶς ἀλγηδόνος τὴν ἰατρείαν ποιεῖται. οὐ γὰρ σιδήρῳ καὶ πυρὶ πρὸς τὸ πάθος ἵσταται, καθάπερ οἱ τῶν ἰατρῶν παῖδες ποιοῦσιν· ἀλλ' ἀρκεῖ νεῦσαι μόνον, καὶ πᾶσα μὲν ἀθυμία, πᾶσα δὲ ὀδύνη, καὶ πάθος ἅπαν δραπετεύει καὶ φυγαδεύεται. μὴ τοίνυν ἀμηχανῶμεν, μηδὲ ἀναβαλλώμεθα, καὶ εἰ πένητες ὦμεν καὶ εἰς ἐσχάτην καταπεπτωκότες ἔνδειαν. οὐδὲ γὰρ χρήματα ἐστὶ καταβαλεῖν, ἵνα πενίαν προβαλλώμεθα. οὐ γὰρ ἀργύριον οὗτος ὁ ἰατρὸς ἀπαιτεῖ τὸν μισθόν, ἀλλὰ δάκρυα, καὶ εὐχάς, καὶ πίστιν. κἂν ταῦτα ἔχων πρὸς αὐτὸν ἔλθῃς, λήψῃ πάντως, ὅπερ ἂν αἰτήσῃς, καὶ ἀπελεύσῃ μετὰ πολλῆς τῆς εὐφροσύνης. καὶ τοῦτο μὲν πολλαχόθεν ἔξεστι μαθεῖν, οὐχ ἥκιστα δὲ καὶ ἀπὸ τῆς γυναικὸς ταύτης. οὐ γὰρ χρυσίον καὶ ἀργύριον καταβαλοῦσα, ἀλλ' εὐχὴν καὶ πίστιν καὶ δάκρυα, ὅπερ ᾔτησε λαβοῦσα, οὕτως ἀπῆλθε. μὴ τοίνυν νομίζωμεν ἀκερδὲς ἡμῖν εἶναι τὸ διήγημα. Ταῦτα γὰρ ἐγράφη, φησί, πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν. ἀλλὰ προσέλθωμεν αὐτῇ, καὶ μάθωμεν, πῶς ἐλύθη τὸ νόσημα, καὶ τί μετὰ τὸ λυθῆναι πάλιν ἐποίησε, καὶ πῶς ἐχρήσατο τῷ δοθέντι δώρῳ παρὰ τοῦ Θεοῦ. Ἐκάθισε, φησί, καὶ ἐθήλασε τὸν Σαμουήλ. ὅρα πῶς ἑώρα τὸ παιδίον ἐκεῖνο λοιπόν, οὐχ ὡς παιδίον μόνον, ἀλλὰ καὶ ὡς ἀνάθημα· καὶ διπλοῦν αὐτῇ τὸ φίλτρον ἐγίνετο, τὸ μὲν ἀπὸ τῆς φύσεως, τὸ δὲ ἀπὸ τῆς χάριτος. ἐμοὶ δὲ δοκεῖ καὶ αἰδεῖσθαι τὸ παιδίον τὸ ἑαυτῆς· καὶ εἰκότως. εἰ γὰρ φιάλας καὶ ποτήρια χρυσᾶ μέλλοντές τινες ἀνατιθέναι τῷ Θεῷ, ἐπειδὰν κατασκευασθέντα λάβωσι, καὶ πρὸ τῆς ἡμέρας ἀποθῶνται οἴκοι, οὐχ ὡς κοινὰ λοιπὸν ὁρῶσι σκεύη, ἀλλ' ὡς ἀναθήματα, καὶ οὐδὲ τολμῶσιν ἁπλῶς καὶ εἰκῇ τούτων ἅψασθαι, καθάπερ καὶ τῶν λοιπῶν· πολλῷ μᾶλλον ἡ γυνὴ μετὰ τοιαύτης τῷ παιδίῳ γνώμης προσέχουσα, καὶ πρὶν εἰς τὸν ναὸν εἰσαγαγεῖν, καὶ ἐφίλει μειζόνως ἢ ὡς παιδίον, καὶ ἐθεράπευεν ὡς ἀνάθημα, ἁγιάζεσθαι δι' ἐκείνου νομίζουσα. καὶ γὰρ ἡ οἰκία αὐτῆς ναὸς ἐγένετο, τὸν προφήτην ἔνδον ἔχουσα καὶ τὸν ἱερέα. οὐκ ἐξ ὧν ὑπεδέχετο δὲ μόνον αὐτόν, ἀλλὰ καὶ ἐξ ὧν οὐκ ἐτόλμησεν ἐπιβῆναι τοῦ ναοῦ, πρὶν ἢ τῆς γαλακτοτροφίας ἀπαγαγεῖν αὐτόν, τὴν εὐλάβειαν αὐτῆς ἔστιν ἰδεῖν. Εἶπε γάρ, φησι, τῷ ἀνδρὶ αὐτῆς·

Ιερ. κγ. κγ.

α. Κορ. ι. ια.

α. Βασ. α. κγ.

οὐκ ἀναβήσομαι, ἕως τοῦ ἀναβῆναι τὸ παιδάριον μετ' ἐμοῦ· ὅταν δὲ ἀπογαλακτίσω αὐτὸ, ὀφθήσεται τῷ προσώπῳ Κυρίου, καὶ καθίσεται ἐκεῖ ἕως αἰῶνος. ὁρᾷς; ἀφεῖναι ἐπὶ τῆς οἰκίας, καὶ ἀνελθεῖν, οὐκ ἐνόμιζεν εἶναι ἀσφαλὲς (μετὰ γὰρ τὴν τοῦ δώρου δόσιν, οὐκ ἠνείχετο χωρὶς τοῦ δώρου φανῆναι) ἀναγαγοῦσα δὲ πάλιν, καὶ λαβοῦσα αὐτὸ, κατελθεῖν ἐδεδοίκει. διὰ τοῦτο ἔμεινε χρόνον τοσοῦτον, ὥστε μετὰ τοῦ δώρου φανῆναι. καὶ ἀνήγαγεν οὕτω καὶ κατέλιπε, καὶ οὔτε ἐκεῖνος τῆς θηλῆς ἀποσπασθεὶς ἐδυσχέραινεν (ἴστε δὲ πῶς ἀσχάλλειν εἴωθε τὰ παιδία τῆς γαλακτοτροφίας ἀπαγόμενα) οὔτε αὐτὴ ἤλγει τοῦ παιδίου χωριζομένη. τὴν γὰρ ἀπὸ τῆς φύσεως συμπάθειαν μεσιτεύουσα ἡ χάρις ἐνίκησε, καὶ συνεῖναι ἀλλήλοις ἐδόκουν. καὶ καθάπερ ἄμπελος ἐν ἑνὶ ἱδρυμένη χωρίῳ, μέχρι πολλοῦ περιάγει τὰ κλήματα, καὶ ἐκ πολλοῦ τοῦ διαστήματος κρεμάμενος ὁ βότρυς τῇ ῥίζῃ συγγίνεται· οὕτω δὴ καὶ ἐπὶ ταύτης ἐγένετο τῆς γυναικός. μένουσα γὰρ ἐπὶ τῆς πόλεως, τὸ κλῆμα αὐτῆς ἐξέτεινεν ἕως τοῦ ναοῦ, κἀκεῖ τὸν βότρυν ἐκρέμασεν ὥριμον, καὶ οὐδὲν τὸ διάστημα τοῦ τόπου διεκώλυσε, τῆς κατὰ Θεὸν ἀγάπης συναπτούσης τῇ μητρὶ τὸ παιδίον. εἰ γὰρ καὶ ἄωρος ἡ ἡλικία, ἀλλ' ὥριμος ἦν αὐτῷ ἡ ἀρετὴ, καὶ τοῖς ἀναβαίνουσιν εἰς τὸν ναὸν διδάσκαλος πᾶσιν ἐγίνετο θεοσεβείας πολλῆς. περιεργαζόμενοι γὰρ καὶ μανθάνοντες τῆς γεννήσεως αὐτοῦ τὸν τρόπον, ἀρκοῦσαν ἐλάμβανον παράκλησιν, τὴν εἰς τὸν Θεὸν ἐλπίδα· καὶ οὐδεὶς ὁρῶν τὸ παιδίον σιγῇ κατῄει, ἀλλὰ πάντες ἐδόξαζον τὸν παρ' ἐλπίδας αὐτὸ δεδωκότα. διὰ ταῦτα ὁ Θεὸς ἀνεβάλετο τὸν τόκον, ὥστε ἐπιτεῖναι ταύτην τὴν ἡδονὴν, ὥστε περιφανεστέραν τὴν γυναῖκα ποιῆσαι. οἱ γὰρ τὴν συμφορὰν αὐτῆς ἐπιστάμενοι, μάρτυρες ἐγίνοντο τῆς τοῦ Θεοῦ χάριτος. ὥστε τὸ πολλὴν αὐτὴν ἐν ἀπαιδίᾳ μεῖναι χρόνον, γνωριμωτέραν τε πᾶσιν ἐποίησε, καὶ παρὰ πάντων αὐτὴν μακαρίζεσθαι καὶ θαυμάζεσθαι, καὶ τὸν Θεὸν εὐχαριστεῖσθαι δι' αὐτῆς παρεσκεύασε. ταῦτα δὲ λέγω, ἵνα καὶ ἡμεῖς ἴδωμεν ἁγίας γυναῖκας ἐν ἀπαιδίᾳ οὔσας, ἢ ἐν ἄλλῳ τινὶ δεινῷ τοιούτῳ, μὴ δυσχεραίνωμεν, μηδὲ ἀσχάλλωμεν, μηδὲ λέγωμεν πρὸς ἑαυτούς, τί δήποτε περιεῖδεν ὁ Θεὸς μετ' ἀρετῆς τοσαύτης ζῶσαν γυναῖκα, καὶ παιδίον αὐτῇ οὐκ ἔδωκεν; οὐ γὰρ περιορῶντος ταῦτά ἐστιν, ἀλλ' εἰδότος τὸ συμφέρον ἡμῖν ἡμῶν αὐτῶν ἀκριβέστερον. ἀνῄει τοίνυν εἰς τὴν ποίμνην, καὶ τὸν μόσχον εἰς τὴν ἀγέλην εἰσήγαγε, καὶ εἰς τὸν λειμῶνα τὸ ῥόδον τὸ ἀκανθῶν ἀπηλλαγμένον, ῥόδον οὐδέποτε μαραινόμενον, ἀλλὰ διηνεκῶς ἀνθοῦν, καὶ πρὸς αὐτὸν δυνάμενον ἀναδραμεῖν τὸν οὐρανὸν, οὗ τῆς εὐωδίας ἅπαντες οἱ κατὰ τὴν οἰκουμένην ἀντιλαμβάνονται μέχρι τήμερον. τοσοῦτος οὖν ἐτῶν ἀριθμὸς, καὶ τὰ τῆς ἀρετῆς τῆς κατὰ τὴν εὐωδίαν ταύτην ἐπιτείνεται, καὶ οὐ γέγονεν ἀσθενεστέρα τῷ πλήθει τοῦ χρόνου. γρ. νέα τοιαύτη γὰρ τῶν πνευματικῶν ἡ φύσις. ἀνῆλθε τοίνυν τὸ καλὸν ἔρνος τοῦτο μεταφυτεύουσα. καὶ καθάπερ οἱ φιλόπονοι τῶν γηπόνων, πρότερον σπέρματα εἰς τὴν γῆν καταβάλλουσι κυπαρίττων καὶ ἑτέρων τοιούτων, εἶτα ἐπειδὰν ἴδωσι τὸ σπέρμα δένδρον γενόμενον, οὐκ ἀφιᾶσιν ἐπὶ τῆς αὐτῆς γῆς, ἀλλ' ἀνασπάσαντες ἐκεῖθεν, ἐφ' ἑτέραν μεταμοσχεύουσι χώραν, ὥστε νεαρωτέροις τοῖς κόλποις ὑποδεξαμένην τὴν γῆν, ἀκραιφνῆ καὶ ὁλόκληρον τὴν ἑαυτῆς δύναμιν εἰς τὴν ἀνατροφὴν ἐκείνης ἐπιδεῖξαι τῆς ῥίζης· οὕτω καὶ ἡ γυνὴ ἐποίησεν αὕτη. τὸ γὰρ παιδίον τὸ παρ' ἐλπίδας σπαρὲν ἐν τῇ γαστρὶ ἐκείνῃ, μετέθηκεν ἀπὸ τῆς οἰκίας, καὶ εἰς τὸν ναὸν ἐφύτευσεν, ἔνθα πηγαὶ καὶ ἀρδεῖαι πνευματικαὶ καὶ διηνεκεῖς. καὶ ἦν ἰδεῖν ἐκεῖνο τὸ προφητικὸν ἐπ' αὐτοῖς πληρούμενον, ὅπερ ὁ Δαβὶδ ἔλεγε, Ψαλ. α. α. β. Μακάριος ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν· ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός· καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ. οὐ γὰρ μετὰ τὴν πεῖραν τῆς κακίας ἐπὶ τὴν ἀπαλλαγὴν τῆς κακίας ἦλθεν, ἀλλ' ἐξ αὐτῶν τῶν σπαργάνων τὴν ἀρετὴν εἵλετο. οὐ μετέσχε συνεδρίων παρανομίας ἐχόντων, οὐδὲ ἐκοινώνησε συλλόγων ἀσεβείας πεπληρωμένων, ἀλλ' ἐκ πρώτης ἡλικίας ἀπὸ τοῦ μαζοῦ τῆς μητρὸς, ἐφ' ἕτερον ἦλθε μαζὸν πνευματικόν. καὶ ὥσπερ δένδρον διηνεκοῦς ἀπολαῦον ἀρδείας, πρὸς ὕψος ἀνατρέχει μέγα· οὕτω δὴ καὶ οὗτος πρὸς ἄκρον ἔφθασεν ἀρετῆς, τῇ τῶν θείων λογίων ποτιζόμενος ἀκροάσει διηνεκῶς. ἀλλ' ἴδωμεν καὶ πῶς αὐτὸν ἐφύτευσεν· ἀκολουθήσωμεν τῇ γυναικὶ, εἰσέλθωμεν εἰς τὸν ναὸν μετ' αὐτῆς. Ἀνέβη, φησὶ, μετ' αὐτοῦ εἰς Σηλὼμ ἐν μόσχῳ τριετίζοντι. διπλῆ λοιπὸν ἡ θυσία ἐγίνετο, καὶ ἦν ὁ μόσχος, ὁ μὲν ἄλογος, ὁ δὲ λογικός· καὶ τὸν μὲν ὁ ἱερεὺς κατέθυσε, τοῦτον δὲ ἡ γυνὴ ἀνέθηκε· μᾶλλον δὲ τῆς γυναικὸς ἦν βελτίων ἡ θυσία τῆς θυσίας, ἣν ὁ ἱερεὺς ἀνήνεγκε· καὶ γὰρ αὐτὴ ἱέρεια τῶν οἰκείων σπλάγχνων ἐγίνετο, καὶ τὸν πατριάρχην Ἀβραὰμ ἐμιμήσατο, καὶ πρὸς ἐκεῖνον τὴν ἅμιλλαν ἔθετο. ἀλλ' ἐκεῖνος μὲν λαβὼν τὸν υἱὸν, κατήγαγεν· αὕτη δὲ ἀφῆκεν ἐν τῷ ναῷ μένειν διηνεκῶς· μᾶλλον δὲ κἀκεῖνος ἀνέθηκε καθόλου. μὴ γὰρ δὴ τοῦτο ἴδῃς, ὅτι οὐκ ἔσφαξεν, ἀλλ' ὅτι τῇ γνώμῃ τὸ πᾶν ἀπήρτισεν. Εἶδες γυναῖκα πρὸς ἄνδρα ἁμιλλωμένην; εἶδες οὐδὲν παρὰ τῆς φύσεως ἐμποδισθεῖσαν ζηλῶσαι τὸν πατριάρχην; ἀλλ' ἴδωμεν πῶς αὐτὸν ἀνατίθησι. προσελθοῦσα τῷ ἱερεῖ, εἶπεν αὐτῷ· Ἐν ἐμοὶ, Κύριε. τί ποτέ ἐστιν, ἐν ἐμοί; μετ' ἀκριβείας πρόσεχε τοῖς λεγομένοις, φησίν. ἐπειδὴ γὰρ χρόνος παρῆλθε πολὺς, ἀναμνῆσαι βούλεται πάλιν τῶν πρώην εἰρημένων. ἐν ἐμοὶ, Κύριε, ζῇ ἡ ψυχή σου· ἐγὼ, φησὶν, ἡ γυνὴ ἡ καταστᾶσα ἐνώπιόν σου ἐν τῷ προσεύξασθαι πρὸς Κύριον. ὑπὲρ τοῦ παιδαρίου τούτου προσηυξάμην πρὸς Κύριον, καὶ ἔδωκέ μοι τὸ αἴτημά μου ὃ ᾐτησάμην παρ' αὐτοῦ· κἀγὼ κιχρῶ αὐτὸν τῷ Κυρίῳ πάσας τὰς ἡμέρας, ἃς ζῇ αὐτὸς, χρῆσιν τῷ Κυρίῳ. οὐκ εἶπεν, ἐγὼ ἡ γυνὴ, ἣν ὠνείδισας, ἣν ἐλοιδόρησας, ἣν ἔσκωψας εἰς παροινίαν καὶ μέθην· ἰδοὺ ἔδειξέ σοι ὁ Θεὸς, ὅτι οὐ μεθύω· σὺ δὲ ἁπλῶς τοῦτο ἐνεκάλεις. οὐδὲν τούτων τῶν τραχέων ῥημάτων εἶπεν· ἀλλὰ μετ' ἐπιεικείας ἀποκρίνεται πολλῆς· καίτοι τὴν ἀπὸ τῶν πραγμάτων ἔκβασιν ἔχουσα μαρτυροῦσαν αὐτῇ, καὶ δυναμένην ὀνειδίσαι νῦν τῷ ἱερεῖ, ὡς εἰκῇ καὶ μάτην αὐτὴν μεμψαμένῳ τότε, οὐδὲν τούτων ποιεῖ, ἀλλὰ τὴν εὐεργεσίαν τοῦ Θεοῦ λέγει μόνον. καὶ σκόπει δούλης εὐγνωμοσύνην. ὅτε ἔπασχε κακῶς, οὐδενὶ τὴν συμφορὰν ἐξεκάλυψεν, οὐδὲ εἶπε πρὸς τὸν ἱερέα, ἀντίζηλον ἔχω γυναῖκα, κἀκείνη μὲν ὀνειδίζουσά με καὶ λοιδορουμένη χορὸν ἔχει παίδων, ἐγὼ δὲ ἐν ἐπιεικείᾳ ζῶσα, οὐδέπω καὶ τήμερον ἠδυνήθην γενέσθαι μήτηρ, ἀλλὰ συνέκλεισέ μοι ὁ Θεὸς τὴν μήτραν, καὶ θλιβομένην ὁρῶν οὐκ ἠλέησεν. οὐδὲν τούτων εἶπεν· ἀλλὰ σιγήσασα τῆς συμφορᾶς τὸ εἶδος, ὅτι ἀθυμεῖ μόνον ἐδήλωσεν, εἰποῦσα, Ὅτι γυνὴ ἐν σκληρᾷ ἡμέρᾳ ἐγώ εἰμι. καὶ οὐδ' ἂν τοῦτο ἐφθέγξατο, εἰ μὴ ὁ ἱερεὺς ἠνάγκασε, μέθυσιν ὑποπτεύσας αὐτήν. ἐπειδὴ δὲ ἀνῆκε τὴν πληγὴν ἐκείνην, καὶ τὴν αἴτησιν ὁ Θεὸς ἔδωκε, τότε ποιεῖ καταφανῆ τὴν εὐεργεσίαν τῷ ἱερεῖ, βουλομένη κοινωνὸν τῆς εὐχαριστίας λαβεῖν, ὥσπερ τότε τῆς εὐχῆς ἔλαβε. καί φησιν, ὑπὲρ τοῦ παιδαρίου τούτου προσηυξάμην, καὶ ἔδωκέ μοι Κύριος τὸ αἴτημά μου ὃ ᾐτησάμην παρ' αὐτοῦ· καὶ νῦν κιχρῶ αὐτὸν τῷ Κυρίῳ. ὅρα πῶς μετριάζει. μὴ νομίσῃς με μέγα τι καὶ θαυμαστὸν ποιεῖν, φησὶν, ὅτι τὸ παιδίον ἀνατίθημι· οὐκ ἐγὼ κατῆρξα τοῦ κατορθώματος, ἀλλ' ὀφειλὴν ἀποδίδωμι. παρακαταθήκην γὰρ ἔλαβον, καὶ ταύτην ἀποκαθίστημι τῷ δεδωκότι. καὶ ταῦτα τὰ ῥήματα λέγουσα, καὶ ἑαυτὴν ἀνετίθει μετὰ τοῦ παιδίου, καθάπερ σειρᾷ τινι, τῇ τῆς φύσεως συμπαθείᾳ, πρὸς τὸν ναὸν ἑαυτὴν ἀναδήσασα. εἰ γὰρ ὅπου ὁ θησαυρὸς τοῦ ἀνθρώπου, ἐκεῖ καὶ ἡ καρδία αὐτοῦ, πολλῷ μᾶλλον ὅπου τὸ παιδίον τῆς γυναικὸς, ἐκεῖ καὶ ἡ διάνοια τῆς μητρὸς ἦν. καὶ ἡ γαστὴρ αὐτῆς εὐλογίας ἐπληροῦτο πάλιν. ἐπειδὴ γὰρ ταῦτα εἶπε τὰ ῥήματα, καὶ ηὔξατο, ἄκουσον τί φησιν ὁ ἱερεὺς πρὸς τὸν Ἐλκανᾶ. Ἀνταποδῴη σοι Κύριος σπέρμα ἕτερον ἀπὸ τῆς γυναικὸς ταύτης, ἀντὶ τοῦ χρέους οὗ ἔχρησας

α. Βασ. α. κδ.

α. Βασ. α. κϛ.

α. Βασ. β. κ.

τῷ Κυρίῳ. παρὰ μὲν τὴν ἀρχὴν οὐκ ἔλεγεν, ἀνταποδώσω σοι· ἀλλὰ τί; Δώσω σοι [illegible] αἴτημά σου. ἐπειδὴ δὲ ὀφειλέτην κατέστησε τὸν Θεόν, ἀνταποδώσω σοι λέγει, χρηστὰς περὶ τῶν μελλόντων ὑποτείνων ἐλπίδας. Εἰ γὰρ οὐκ ὀφείλων ἔδωκε, πολλῷ μᾶλλον μετὰ τὸ λαβεῖν ἀνταποδώσει. Ὥστε ὁ πρῶτος τοίνυν ἐξ εὐχῆς, καὶ ὁ μετ' ἐκεῖνον ἐξ εὐλογίας τὰς ἀρχὰς ἔλαβον· καὶ οὕτω λοιπὸν ὁλόκληρος ὁ καρπὸς τῆς γυναικὸς ἡγιάζετο. Ὥστε ἦν ὁ μὲν πρωτότοκος κατόρθωμα τῆς γυναικός, ὁ δεύτερος δὲ αὐτῆς καὶ τοῦ ἱερέως κοινωνός. καὶ καθάπερ γῆ λιπαρὰ καὶ πίων, δεξαμένη τὰ σπέρματα, κομῶντα δείκνυσιν ἡμῖν τὰ λήϊα· οὕτω καὶ ἡ γυνὴ μετὰ πίστεως τὰ ῥήματα δεξαμένη τοῦ ἱερέως, κομῶντας στάχυας ἑτέρους ἤνεγκε, καὶ τὴν παλαιὰν μετέβαλεν ἀράν, ἀπὸ εὐχῆς καὶ εὐλογίας τίκτουσα. καὶ σὺ τοίνυν, ὦ γύναι, ταύτην ζήλωσον, κἂν μὲν στεῖρα ᾖς, εὐχήν τε ἐπίδειξαι τοιαύτην, καὶ τὸν ἱερέα παρακάλεσον συνεφάψασθαί σοι τῆς πρεσβείας. πάντως ἂν μετὰ πίστεως δέξῃ τὰ ῥήματα, εἰς καρπὸν τελευτήσει καλὸν καὶ ὥριμον τῶν πατέρων ἡ εὐλογία. ἂν δὲ γένῃ μήτηρ, ἀνάθες σου καὶ σὺ τὸν υἱόν. ἐκείνη εἰς ναὸν ἀνήγαγε, σὺ ναὸν κατασκεύασον σαυτὴν βασιλικόν. Τὰ γὰρ μέλη ὑμῶν, φησι, σῶμα τοῦ Χριστοῦ ἐστι, καὶ ναὸς τοῦ ἐν α. Κορ. ς. θ. β. Κορ. ς. ις. ὑμῖν ἁγίου πνεύματος. καὶ ὁ Χριστός, Ἐνοικήσω ἐν ὑμῖν αὐτοῖς, καὶ ἐμπεριπατήσω. πῶς γὰρ οὐκ ἄτοπον οἰκίας μὲν γεγηρακυίας καὶ καταπίπτειν μελλούσας διορθοῦν, καὶ χρήματα δαπανῶντας, καὶ οἰκοδόμους συλλέγοντας, καὶ πάντα πραγματευομένους· τὴν δὲ οἰκίαν τοῦ Θεοῦ (οἰκία γὰρ τοῦ Θεοῦ, τοῦ νέου γένοιτ' ἂν ἡ ψυχή) μηδὲ τῆς τυχούσης ἀξιοῦν προνοίας; ὅρα μὴ ταὐτὸν ἀκούσῃς, ὅπερ καὶ Ἰουδαῖοί ποτε ἤκουσαν. ἐκεῖνοι γὰρ ἐπειδὴ τὸν ναὸν τοῦτον τὸν αἰσθητὸν ἀπὸ τῆς αἰχμαλωσίας ἐπανελθόντες ἠμελημένον ἑώρων, καὶ τὰς ἑαυτῶν ἐκαλλώπιζον οἰκίας, οὕτω παρώξυναν τὸν Θεόν, ὡς μὴ μόνον πέμψαι τὸν προφήτην, καὶ λιμὸν ἀπειλῆσαι, καὶ πολλὴν τῶν ἀναγκαίων τὴν σπάνιν, ἀλλὰ καὶ τὴν αἰτίαν τῆς ἀπειλῆς Ἀγγ. α. δ. ταύτης εἰπεῖν· Αὐτὴ δὲ ἦν, ὅτι ὑμεῖς μὲν οἰκεῖτε ἐν οἴκοις κοιλοσταθμοῖς, ὁ δὲ οἶκός μου ἠρήμωται. Εἰ δὲ περὶ τὸν ναὸν ἐκεῖνον ἡ ὀλιγωρία τοσαύτην ἐξῆψε τοῦ Θεοῦ τὴν ὀργήν, πολλῷ μᾶλλον ἡ τοῦ ναοῦ τούτου ῥαθυμία παροξυνεῖ τὸν δεσπότην. πολὺ γὰρ οὗτος ἐκείνου τιμιώτερος, ὅσῳ καὶ μείζονα ἔχει τῆς ἁγιασίας τὰ σύμβολα. μὴ τοίνυν ἀφῇς τοῦ Θεοῦ τὸν οἶκον σπήλαιον γενέσθαι λῃστῶν, ἵνα μὴ καὶ ἑτέραν ἐπιτίμησιν ἀκούσῃς, ἣν πρὸς τοὺς Ἰου- Ματθ. κα. ιγ. δαίους ὁ Χριστὸς ἐποιήσατο λέγων, Ὁ οἶκος τοῦ πατρός μου οἶκος προσευχῆς ἐστιν, ὑμεῖς δὲ ἐποιήσατε αὐτὸν σπήλαιον λῃστῶν. πῶς δὲ σπήλαιον λῃστῶν γίνεται; ὅταν ἀνελευθέρους καὶ ἀνδραποδώδεις ἐπιθυμίας, ὅταν ἀσέλγειαν πᾶσαν εἰσελθεῖν καὶ ἐμφιλοχωρῆσαι ταῖς ψυχαῖς τῶν νέων ἐάσωμεν. λῃστῶν γὰρ χαλεπώτεροι οἱ τοιοῦτοι λογισμοί· τὴν ἐλευθερίαν τῶν παίδων ἐξανδραποδίσαντες, δούλους τῶν ἀλόγων ποιοῦσι παθῶν, κατακεντοῦντες αὐτοὺς πανταχόθεν, καὶ πολλῶν τραυμάτων πληροῦντες αὐτῶν τὴν διάνοιαν. διὸ δὴ ταῦτα καθ' ἑκάστην ἡμέραν περισκοπῶμεν, καὶ καθάπερ μάστιγι τῷ λόγῳ χρώμενοι, πάντα τὰ τοιαῦτα πάθη τῆς ἐκείνων ψυχῆς ἀπελαύνωμεν, ἵνα τῆς ἄνω πολιτείας μετασχεῖν δυνηθῶσιν ἡμῖν οἱ παῖδες, καὶ τὴν ἐκεῖ λειτουργίαν ἀξιωθῶσιν ἐπιτελεῖν. οὐκ ἴστε ὅτι οἱ ἐν ταῖς πόλεσι πολιτευόμενοι, τῆς θηλῆς πολλάκις τοὺς ἑαυτῶν παῖδας εὐθὺς ἀποσπασθέντας, θαλλοφόρους, καὶ ἀγωνοθέτας, καὶ χορειάρχας ποιοῦσι; τοῦτο καὶ ἡμεῖς ἐργασώμεθα· ἐκ πρώτης ἡλικίας αὐτοὺς εἰς τὴν πολιτείαν εἰσαγάγωμεν τὴν ἐν τοῖς οὐρανοῖς. αὕτη μὲν γὰρ ἡ ἐπίγειος, δαπανηρὰ μόνον ἐστί, καὶ κέρδος οὐδὲν ἔχει. ποῖον γὰρ ἂν γένοιτο κέρδος ἐκ τῆς τῶν δήμων εὐφημίας, εἰπέ μοι; τῆς ἑσπέρας γὰρ καταλαβούσης, εὐθέως ὁ κρότος ἐκεῖνος καὶ ὁ θόρυβος ἅπας μαραίνεται, καὶ παρελθούσης τῆς πανηγύρεως, ὥσπερ ὄναρ τρυφήσαντες, οὕτως ἔρημοι πάσης καθίστανται εὐφροσύνης, καὶ οὔτε τὴν ἀπὸ τοῦ στεφάνου, οὔτε τὴν ἀπὸ τῆς στολῆς τῆς λαμπρᾶς καὶ τῆς ἄλλης φαντασίας εὐθυμίαν ἐπιμένουσαν αὐτοῖς ζητοῦντες εὑρεῖν δύναιντ' ἄν, ἀνέμου παντὸς ταχύτερον παραδραμόντων αὐτοὺς ἁπάντων. ἡ δὲ τῶν οὐρανῶν πολιτεία τοὐναντίον ἅπαν. χωρὶς δαπάνης πολυ φέρει τὸ κέρδος ἡμῖν καὶ μόνιμον. οὐ γὰρ ἄνθρωποι μεθύοντες, ἀλλὰ τῶν ἀγγέλων ὁ δῆμος τὸν ἐκεῖ πολιτευόμενοι κροτοῦσι διηνεκῶς. καὶ τί λέγω τῶν ἀγγέλων τὸν δῆμον; αὐτὸς αὐτὸν ὁ τῶν ἀγγέλων δεσπότης ἐπαινέσει καὶ ἀποδέξεται. ὁ δὲ παρὰ τοῦ Θεοῦ ἐπαινούμενος, οὐ μίαν, οὐδὲ δύο, καὶ τρεῖς ἡμέρας, ἀλλὰ διὰ παντὸς τοῦ αἰῶνος πομπεύει στεφανηφορῶν, καὶ γυμνὴν οὐκ ἄν ποτε ἴδοις τῆς δόξης ἐκείνης τὴν τοῦ τοιούτου κεφαλήν. οὐ γὰρ ὡρισμέναις ἡμέραις ὁ τῆς πανηγύρεως ταύτης περιγέγραπται χρόνος, ἀλλὰ πρὸς τὴν ἀθανασίαν τῶν μενόντων ἐκτείνεται. ταύτης τῆς λειτουργίας οὐκ ἄν ποτε γένοιτο πενία κώλυμα, ἀλλὰ δυνατὸν καὶ τὸν πένητα λειτουργῆσαι ταύτην τὴν λειτουργίαν, καὶ μάλιστα τὸν πένητα, ἅτε πάσης ἀπηλλαγμένον φαντασίας βιωτικῆς. οὐ γὰρ δαπάνης χρημάτων καὶ περιουσίας, ἀλλὰ ψυχῆς δεῖ καθαρᾶς καὶ σωφρονούσης διανοίας. ἀπὸ ταύτης καὶ τὰ ἱμάτια τῆς πολιτείας ἐκείνης ὑφαίνεται τῇ ψυχῇ, καὶ ὁ στέφανος πλέκεται. ὥστε ἂν μὴ τοῖς τῆς ἀρετῆς ᾖ κεκοσμημένη κατορθώμασιν, οὐδὲν ὄφελος αὐτῇ χρυσίου πολλοῦ, ὥσπερ οὖν οὐδὲ βλάβος ἔσται πενίας, ἐὰν τὸν ἔνδοθεν ἔχῃ πλοῦτον ἐναποκείμενον. ταύτην τὴν λειτουργίαν μὴ μόνον ἄρρενες παῖδες, ἀλλὰ καὶ θυγατέρες ἡμῖν λειτουργείτωσαν. οὐ γὰρ ὥσπερ ἐπὶ τῆς ἔξωθεν πολιτείας ἀνδράσι μόνον ταῦτα λειτουργεῖν ἐπιτέτακται, ἀλλὰ καὶ γυναῖκας ἐκεῖνο τὸ θέατρον δέχεται, καὶ γέροντας, καὶ νέους, καὶ δούλους, καὶ ἐλευθέρους. ὅπου γὰρ ψυχῆς ἐστιν ἡ ἐπίδειξις, οὐ φύσις, οὐχ ἡλικία, οὐκ ἀξίωμα βιωτικὸν, οὐκ ἄλλο οὐδὲν ἐμποδίζειν πέφυκε. διὰ δὴ τοῦτο παρακαλῶ ὑμᾶς ἐκ πρώτης ἡλικίας ἐκδιδόναι καὶ υἱοὺς καὶ θυγατέρας ταῖς τοιαύταις λειτουργίαις, καὶ τὰ τῇ τοιαύτῃ πολιτείᾳ ἁρμόζοντα προαποτίθεσθαι πλοῦτον αὐτοῖς, οὐ χρυσίον κατορύττοντας, οὐδὲ ἀργύριον συλλέγοντας, ἀλλ' ἐπιείκειαν, σωφροσύνην, σεμνότητα, τὴν ἄλλην ἅπασαν ἀρετὴν ἐναποτιθεμένους αὐτῶν τῇ ψυχῇ. ταύτης γὰρ δεῖται τῆς δαπάνης ἐκείνη ἡ λειτουργία. ἂν ταύτην οὖν καὶ ἑαυτοῖς, καὶ τοῖς παιδίοις συλλέξωμεν τὴν εὐπορίαν, καὶ κατὰ τὸν παρόντα βίον πολλῆς ἀπολαυσόμεθα τῆς λαμπρότητος, καὶ κατὰ τὴν μέλλουσαν ζωὴν τῆς μακαρίας ἐκείνης ἀκουσόμεθα φωνῆς, δι' ἧς ἅπαντας τοὺς ὁμολογήσαντας αὐτὸν ὁ Χριστὸς ἀνακηρύττει. ὁμολογία δὲ οὐχὶ διὰ πίστεως μόνον ἐστὶν, ἀλλὰ καὶ ἡ διὰ τῶν ἔργων, ὡς ἐὰν μὴ καὶ αὐτὴ παρῇ, κινδυνεύομεν μετὰ τῶν ἀρνουμένων κολάζεσθαι. οὐ γὰρ εἷς ἀρνήσεώς ἐστι τρόπος, ἀλλὰ πολλοὶ καὶ διάφοροι. καὶ σαφῶς ἡμῖν αὐτοὺς ὑπογράφων ὁ Παῦλος δείκνυσιν ἐν οἷς φησι, Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται· καὶ πάλιν, Εἰ δέ τις τῶν ἰδίων, καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται, καὶ ἔστι ἀπίστου χείρων· καὶ πάλιν, Φεύγετε τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία. ἐπεὶ οὖν ἀρνήσεως τοσοῦτοι τρόποι, εὔδηλον ὅτι καὶ ὁμολογίας τοσοῦτοι, καὶ πολλῷ πλείους· οὓς δὴ πάντας ὁμολογῆσαι σπουδάσωμεν, ἵνα καὶ αὐτοὶ τῆς ἐν τοῖς οὐρανοῖς τιμῆς ἀπολαύσωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ, καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τιτ. α. 15.
α. Τιμ. ε. η.
Κολασ. γ. ε.

Λογ. ιδ.

ΠΡΟΣ ΤΟΥΣ ΤΑΣ ΣΥΝΑΞΕΙΣ ΚΑΤΑΛΙΜΠΑΝΟΝΤΑΣ, καὶ εἰς τὰ θέατρα ἀναβαίνοντας· καὶ ὅτι οὐ μόνον χρησιμώτερον τῆς ἐν θεάτροις διαγωγῆς ἡ ἐν ἐκκλησίᾳ διατριβὴ, ἀλλὰ καὶ ἥδιον· καὶ εἰς τὴν δευτέραν ῥῆσιν τῆς Ἄννης, καὶ εἰς τὸ δεῖν συνεχῶς εὔχεσθαι, καὶ ἐν παντὶ τόπῳ, κἂν ἐν ἀγορᾷ ὦμεν, κἂν ἐν ὁδοῖς, κἂν ἐπὶ κλίνης.

Οὐκ οἶδα ποίοις χρήσομαι λόγοις σήμερον. καὶ γὰρ ὁρῶ τὰς συνάξεις ἐλαττουμένας, προφήτας ὑβριζομένους, ἀποστόλους παρορωμένους, πατέρας καταφρονουμένους, διὰ τὴν δούλων εἰς τὸν δεσπότην διαβαίνουσαν τὴν ὕβριν, βούλομαι μὲν ἐγκαλέσαι· τοὺς δὲ ὀφείλοντας ἀκοῦσαι τῆς κατηγορίας οὐχ ὁρῶ παρόντας, ἀλλ' ὑμᾶς τοὺς οὐδὲν δεομένους τῆς παραινέσεως ταύτης καὶ τῆς νουθεσίας. πλὴν ἀλλ' οὐδὲ σιγητέον ἡμῖν. τήν τε γὰρ ὀδύνην τὴν ἐπ' ἐκείνοις διαπνεῦσαι μικρὸν παρασκευάσομεν εἰς τὰ ἔξω, διὰ τῶν ῥημάτων ἐκβάλλοντες αὐτήν, αὐτούς τε ἐκείνους αἰσχύνεσθαι καὶ ἐρυθριᾶν ποιήσομεν, τοσούτους αὐτοῖς ἐπαφέντες κατηγόρους, τοὺς ἀκούοντας ἅπαντας ὑμᾶς. εἰ μὲν γὰρ ἐνταῦθα παρεγένοντο, ἡμῶν μόνον ἐπιτιμώντων ἤκουσαν ἄν· νῦν δὲ φεύγοντες τὴν παρ' ἡμῶν ἐπιτίμησιν, παρ' ὑμῶν ταῦτα ἀκούσονται πάντα. οὕτω καὶ φίλοι ποιοῦσιν· ἐπειδὰν τοὺς ὑπευθύνους μὴ εὕρωσι, τοῖς ἐκείνων ἐντυγχάνουσι φίλοις, ὥστε ἀπελθόντας εἰπεῖν τὰ εἰρημένα. τοῦτο καὶ ὁ Θεὸς ἐποίησε. τοὺς γὰρ εἰς αὐτὸν ἡμαρτηκότας ἀφείς, τῷ μηδὲν ἠδικηκότι κατεντυγχάνει τῷ Ἱερεμίᾳ, λέγων· Εἶδες τί ἐποίησέ μοι ἡ ἀσύνετος θυγάτηρ Ἰούδα; διὰ δὴ τοῦτο καὶ ἡμεῖς ὑμῖν παρεντυγχάνομεν κατ' ἐκείνων, ἵνα ἀπελθόντες διορθώσητε αὐτούς. τίς γὰρ ἂν ἐνέγκῃ τὴν ὀλιγωρίαν τὴν τοσαύτην; ἅπαξ τῆς ἑβδομάδος ἐνταῦθα συλλεγόμεθα, καὶ οὐδὲ ταύτην ἀνέχονται τὴν ἡμέραν τῶν βιωτικῶν ὑπερορᾶν φροντίδων. κἂν ἐγκαλῇ τις, εὐθέως πενίαν προβάλλονται, καὶ τὴν ἀναγκαίαν τροφήν, καὶ ἀσχολίας κατεπειγούσας, ἀπολογίαν κατηγορίας ἁπάσης χαλεπωτέραν μελετήσαντες. τί γὰρ ἂν ταύτης τῆς κατηγορίας γένοιτ' ἂν χεῖρον, ὅταν τὴν τοῦ Θεοῦ πραγματείαν ἑτέραν ἀναγκαιοτέραν ὑμῖν τι φαίνηται καὶ κατεπείγουσαν μᾶλλον; μάλιστα μὲν οὖν εἰ καὶ τοῦτο ἦν ἀληθές, κατηγορία ἡ ἀπολογία ἦν, ὥσπερ ἔφην. ἵνα δὲ μάθητε, ὅτι καὶ ταῦτα σκῆψις καὶ πρόφασις καὶ ῥᾳθυμίας ἐστὶ παραπετάσματα, οὐδὲν ἐμοῦ λέγοντος, ἡ μετὰ τὴν αὔριον αὐτοὺς ἐλέγξει πάντας ἡμέρα τοὺς τὰ τοιαῦτα προφασιζομένους, ὅταν πᾶσα ἡ πόλις πρὸς τὸν ἱππόδρομον μεταστῇ, καὶ οἰκίαι, καὶ ἀγοραὶ εἰς τὴν παράνομον θεωρίαν κενωθῶσιν ἐκείνην. καὶ ἐνταῦθα μὲν οὐδὲ τὸν κύκλον τῆς ἐκκλησίας τόπον πληρούμενόν ἐστιν ἰδεῖν· ἐκεῖ δὲ οὐ τὸν ἱππόδρομον μόνον, ἀλλὰ καὶ ὑπερῷα, καὶ οἰκίας, καὶ δώματα, καὶ κρημνούς, καὶ μυρίους ἑτέρους ἄνωθεν καταλαμβάνουσι τόπους· καὶ οὔτε πενία, οὔτε ἀσχολία, οὔτε ἀσθένεια σώματος, οὐ ποδῶν ἀρρωστία, οὐκ ἄλλο οὐδὲν τῶν τοιούτων ἐπέχει τὴν ἀκατάσχετον μανίαν· ἀλλ' ἄνθρωποι γεγηρακότες νέων ἀκμαζόντων σφοδρότερον ἐκεῖ τρέχουσι, τὴν πολιὰν καταισχύνοντες, τὴν ἡλικίαν παραδειγματίζοντες, τὸ γῆρας αὐτῶν καταγέλαστον ποιοῦντες. καὶ ἐνταῦθα μὲν εἰσιόντες, ναυτιῶντες, ὥσπερ καὶ ἐνοχλεῖσθαι νομίζουσι, καὶ ἀναπεπτώκασιν ἐν τῇ τῶν θείων γραφῶν ἀκροάσει, στενοχωρίαν καὶ πνιγμόν, καὶ τὰ τοιαῦτα προβαλλόμενοι· ἐκεῖ δὲ καὶ ἥλιον γυμνῇ δεχόμενοι τῇ κεφαλῇ, καὶ πατούμενοι, καὶ ὠθούμενοι, καὶ μετὰ πολλῆς πιεζόμενοι τῆς σφοδρότητος, καὶ μυρία ἕτερα πάσχοντες δεινά, καθάπερ ἐν λειμῶνι τρυφῶντες, οὕτω διάκεινται. διὰ τοῦτο ἡμῖν αἱ πόλεις εἰσὶ διεφθαρμέναι, ὅτι πονηροὶ τῆς νεότητός εἰσι διδάσκαλοι. πῶς γὰρ δυνήσῃ τὸν νέον ἄκοσμον ὄντα καὶ ἀσελγαίνοντα σωφρονίσαι, αὐτὸς ἐν πολιᾷ τοιαῦτα μετεωρίζων, αὐτὸς μετὰ τοσοῦτον χρόνον κόρον μὴ λαβὼν τῆς ἀπρεπεστάτης θέας ἐκείνης; πῶς δυνήσῃ ῥυθμίσαι τὸν υἱόν, πῶς κολάσαι τὸν οἰκέτην ἁμαρτάνοντα, πῶς ἑτέρῳ συμβουλεύσεις τὰ δέοντα ἀμελοῦντι, τοιαῦτα αὐτὸς ἐν ἐσχάτῳ γήρᾳ ἀσχημονῶν; κἂν μὲν ὑβρίσῃ νέος τὸν γεγηρακότα, τὴν ἡλικίαν εὐθέως προβάλλεται, καὶ μυρίους ἔχει συναγανακτοῦντας· ὅταν δὲ σωφρονίζειν δέῃ τὸν νέον, καὶ χαλινόν τινα ἀρετῆς αὐτῷ γενέσθαι, οὐδαμοῦ τῆς ἡλικίας αὐτοῖς λόγος, ἀλλ' αὐτῶν ἐκείνων μανικώτερον ἐπὶ τὴν παράνομον βαδίζουσι θεωρίαν. ταῦτα δὲ λέγω, καὶ τῶν γεγηρακότων καθάπτομαι, οὐχὶ τοὺς νέους ἀπαλλάττων κατηγορίας καὶ διαβολῆς, ἀλλὰ δι' ἐκείνων τούτους ἀσφαλιζόμενος. Εἰ γὰρ τὸν γεγηρακότα οὐ δεῖ, πολλῷ μᾶλλον τὸν νέον. ἐκεῖ μὲν γὰρ πολὺς ὁ γέλως, καὶ μείζων ἡ ἀσχημοσύνη· ἐνταῦθα δὲ χαλεπώτερος ὁ ὄλεθρος, βαθὺ τὸ βάραθρον, ὅσῳ καὶ ἀκμαιότερα μᾶλλον τὰ τῆς ἐπιθυμίας τοῖς νέοις, καὶ σφοδροτέρα αὐτοῖς ἡ φλόξ· κἂν μικρᾶς ἐπιλάβηται μόνον ἔξωθεν ὕλης, τὰ πάντα ἐμπίπρησι. καὶ γὰρ πρὸς θυμὸν καὶ πρὸς ἐπιθυμίας εὐέμπτωτος μᾶλλόν ἐστιν ὁ νέος· διὸ καὶ πλείονος δεῖται τῆς φυλακῆς, σφοδροτέρου τοῦ χαλινοῦ, ἀσφαλεστέρου τοῦ τειχίου καὶ τοῦ κωλύματος. μὴ γάρ μοι τοῦτο εἴπῃς, ἄνθρωπε, ὅτι ἡδονὴν ἔχει ἡ θεωρία· ἀλλ' εἰ μὴ μετὰ τῆς ἡδονῆς καὶ βλάβην ἔχει, τοῦτό με δίδαξον. καὶ τί λέγω βλάβην; ὅτι γὰρ οὐδὲ ἡδονὴν τὸ πρᾶγμα ἔχει, ἐντεῦθεν εἴσῃ σαφῶς. ἐκ τῆς ἱπποδρομίας ἀναχωρῶν ἐκείνης, ἀπάντησον τοῖς ἐκ τῆς ἐκκλησίας ἀναχωροῦσι, καὶ κατάμαθε μετὰ ἀκριβείας, τίς ἐστιν ἐν ἡδονῇ μείζονι, ὁ προφητῶν ἀκούσας, καὶ μεταλαβὼν εὐλογίας, καὶ διδασκαλίας ἀπολαύσας, καὶ τὸν Θεὸν παρακαλέσας ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων, καὶ κουφότερον ποιήσας τὸ συνειδός, καὶ μηδὲν ἑαυτῷ κατεγνωκὼς τοιοῦτον, ἢ σὺ ὁ καταλιπὼν τὴν μητέρα, καὶ τοὺς προφήτας ἀτιμάσας, καὶ εἰς τὸν Θεὸν ἐξυβρίσας, καὶ μετὰ τοῦ διαβόλου χορεύσας, καὶ βλασφημούντων ἀκούσας καὶ λοιδορουμένων, καὶ τὸν καιρὸν ἀναλώσας εἰκῇ καὶ μάτην, καὶ μηδὲν οἴκαδε ἔχων ἀπενεγκεῖν, μήτε σωματικόν, μήτε πνευματικὸν κέρδος ἐκεῖθεν. ὥστε ἡδονῆς ἕνεκεν μάλιστα ἐνταῦθα ἀπαντᾶν χρή. ἐκεῖ μὲν γὰρ εὐθέως κατάγνωσις, κατηγορία τοῦ συνειδότος, μετάνοια ἐπὶ τοῖς γεγενημένοις, αἰσχύνη καὶ ὄνειδος καὶ τὸ ἀπαρρησιάστους ἔχειν τοὺς ὀφθαλμούς· ἐνταῦθα δὲ τοὐναντίον ἅπαν, παρρησία, καὶ τὸ ἐλευθεροστομεῖν, καὶ τὸ μετὰ ἀδείας ἅπασι διαλέγεσθαι περὶ τῶν ἐνταῦθα ἀκουσμάτων ἁπάντων. ὅταν τοίνυν εἰς ἀγορὰν ἐμβάλῃς, καὶ πάντας ἴδῃς ἐπὶ τὴν θεωρίαν τρέχοντας ἐκείνην, κατάφυγε σὺ ἐπὶ τὴν ἐκκλησίαν εὐθέως, καὶ μικρὸν καρτερήσας χρόνον, τρύφα διηνεκῶς τῶν θείων ῥημάτων. ἂν μὲν γὰρ παρασυρεὶς μετὰ τῶν πολλῶν ἀπέλθῃς ἐκεῖ, μικρὸν ψυχαγωγηθεὶς, διὰ πάσης τῆς ἡμέρας ἀλγήσεις, τῆς τε ἐπιούσης, καὶ πολλῶν ἑτέρων, καταγινώσκων σαυτοῦ· ἂν δὲ μικρὸν ἐπίσχῃς σαυτόν, διὰ πάσης τῆς ἡμέρας ἕξεις τρυφᾶν. οὐ γὰρ ἐπὶ τούτου μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων οὕτω συμβαίνειν εἴωθεν. ἡ μὲν γὰρ κακία πρόσκαιρόν τινα ἔχει τὴν ἡδονήν, διηνεκῆ δὲ τὴν ὀδύνην· ἡ δὲ ἀρετὴ, βραχὺν μὲν τὸν πόνον, διηνεκὲς δὲ τὸ κέρδος μετὰ τῆς εὐφροσύνης. οἷον, ηὔξατό τις πρὸς Θεὸν, ἐδάκρυσεν, ἤλγησεν ὀλίγον χρόνον κατὰ τὴν εὐχήν, ἕτερος διὰ πάσης ἡμέρας ἐτρύφα, εἶτα ἐλεημοσύνην ἔδωκεν, ἐνήστευσεν, ἄλλο τι τῶν ἀγαθῶν εἰργάσατο, ἢ ὑβρισθεὶς οὐκ ἀντελοιδόρησεν. ἐν μιᾷ γοῦν καιροῦ ῥοπῇ καρτερήσας καὶ κατασχὼν τὸν θυμὸν, διὰ παντὸς γάνυται καὶ εὐφραίνεται, τῶν κατορθωμάτων ἀναμιμνήσκων ἑαυτὸν ἐκείνων. ἐπὶ δὲ τῆς κακίας, τοὐναντίον· ὕβρισέ τις, ἀντελοιδόρησε. μετὰ ταῦτα οἴκοι γενόμενος, ἑαυτὸν κατεσθίει τὰ ῥήματα ἀναλογιζόμενος, ἃ πολλάκις πολλὴν ἤνεγκε βλάβην. ὥστε εἰ διώκεις ἡδονήν, φεῦγε τὰς νεωτερικὰς ἐπιθυμίας, καὶ σωφροσύνης ἐπιμέλου, καὶ ἀκροάσει θείων πρόσεχε λογίων. Ταῦτα πρὸς ὑμᾶς λέγομεν, ἵνα ὑμεῖς πρὸς ἐκείνους λέγοντες, καὶ συνεχῶς τούτοις αὐτοὺς ἐπαντλοῦντες τοῖς ῥήμασιν, ἀφέλκητε πάσης πονηρᾶς συνηθείας, καὶ πείθητε λογισμῷ πάντα ποιεῖν τῷ προσήκοντι. τῶν γὰρ τοιούτων καὶ ἁπλῶς καὶ εἰκῇ φερομένων οὐδὲ τὴν σπουδὴν ἐπαινετὴν εὕροι τις ἂν οὖσαν. καὶ τοῦτο ἀπὸ τῆς ἐπιούσης συνάξεως δῆλον καθίστημι. τῆς γὰρ ἁγίας ἡμῖν τελουμένης πεντηκοστῆς, τοσοῦτον δραμεῖται πλῆθος, ὡς ἅπαντα ἡμῖν τὰ ἐνταῦθα στενοχωρεῖσθαι. ἀλλ' ὅμως οὐδὲ ταύτην ἀποδέχομαι τὴν συλλογήν· συνηθείας γάρ ἐστιν, οὐκ εὐλαβείας. τί τοίνυν γένοιτ' ἂν ἐκείνων ἀθλιώτερον, ὅταν καὶ ἡ ῥᾳθυμία αὐτῶν ἐγκλημάτων γέμῃ, καὶ ἡ δοκοῦσα εἶναι σπουδή, ἐγκωμίων ᾖ ἔρημος; τὸν γὰρ ζήλῳ καὶ πόθῳ καὶ σώφρονι λογισμῷ τοῦ θείου τούτου μετέχοντα συλλόγου, διηνεκῶς ταῦτα ποιεῖν χρή, ἀλλ' οὐχὶ μετὰ τῶν ἐν ἑορτῇ μόνον φαινομένων, μετ' ἐκείνων ἀφίστασθαι πάλιν, θρεμμάτων δίκην ἁπλῶς ἀγόμενον.

Ἠδυνάμην μὲν οὖν καὶ πρὸς πλέον μῆκος ἐκτεῖναι τὸ προοίμιον τοῦ λόγου· ἀλλ' ἐπειδὴ οἶδα σαφῶς, ὅτι καὶ περὶ τῆς ἡμετέρας παραινέσεως τὰ προσήκοντα ὑμῖν αὐτοῖς ποιοῦντες, καὶ πλείονα τῶν εἰρημένων ἔρξετε, ὥστε μὴ δόξαι παρενοχλεῖν ἐν τῇ κατ' ἐκείνων ἐπιτιμήσεσι, τὰ λειπόμενα ἅπαντα ὑμῖν ἀφεὶς, τῆς εἰωθυίας ἅψομαι διδασκαλίας, ἐπὶ τὴν τῆς Ἄννης ἱστορίαν ἐπαναγαγὼν τὸν λόγον. καὶ μὴ θαυμάσητε, εἰ μηδέπω τῆς ὑποθέσεως ταύτης ἀπηλλάγημεν. καὶ γὰρ οὐ δύναμαι τὴν γυναῖκα ταύτην ἀπὸ τῆς διανοίας ἐκβαλεῖν τῆς ἐμῆς· οὕτως αὐτῆς θαυμάζω τὴν εὐμορφίαν τῆς ψυχῆς, καὶ τὸ κάλλος τῆς διανοίας. φιλῶ γὰρ ὀφθαλμοὺς δακρύοντας ἐν εὐχαῖς, διὰ παντὸς μελετῶντας, καὶ χείλη, καὶ στόμα οὐκ ἐπιτρίμμασί τισιν ἐρυθραινόμενον, ἀλλ' εὐχαριστίᾳ τῇ πρὸς τὸν Θεὸν καλλωπιζόμενον, οἷον ἦν τὸ ταύτης· ἣν θαυμάζω μὲν ὅτι ἐφιλοσόφησε, θαυμάζω δὲ μειζόνως, ὅτι γυνὴ οὖσα ἐφιλοσόφησε, γυνή, ἧς πολλοὶ πολλάκις κατηγόρησαν. ἀπὸ γὰρ γυναικός, φησίν, ἀρχὴ ἁμαρτίας, καὶ δι' αὐτὴν ἀποθνήσκομεν πάντες. καὶ πάλιν, μικρὰ πᾶσα κακία α. Τιμ. β. ιδ. πρὸς κακίαν γυναικός· καὶ ὁ Παῦλος, Ἀδὰμ γὰρ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε. διὰ τοῦτο μάλιστα αὐτὴν θαυμάζω, ὅτι τὰ ἐγκλήματα ταῦτα διεκρούσατο, ὅτι τὴν κατηγορίαν ἀπέθετο, ὅτι τοῦ διαβαλλομένου γένους οὖσα καὶ κατηγορουμένου, τὰ ὀνείδη πάντα ἀπετρίψατο, διὰ τῶν ἔργων παιδεύουσα, ὅτι κακαὶ οὐ παρὰ τὴν φύσιν τοιαῦται γεγόνασιν, ἀλλὰ παρὰ τὴν προαίρεσιν καὶ τὴν οἰκείαν ὀλιγωρίαν, καὶ ὅτι ἐν τῷ γένει τούτῳ δυνατὸν ἄκρας ἀρετῆς ἐπιλαβέσθαι. φιλόνεικον γάρ ἐστι τὸ ζῶον τοῦτο καὶ εὔτονον. κἂν εἰς πονηρίαν ἀποκλίνῃ, μεγάλα ἐργάζεται κακά· κἂν ἀρετῆς ἐπιλάβηται, τὴν ψυχὴν προήσεται πρότερον, ἢ τῆς προθέσεως ἀποστήσεται. οὕτω γοῦν καὶ αὕτη τὴν φύσιν ἐνίκησε, καὶ τὴν ἀνάγκην ἐβιάσατο, καὶ τῇ προσεδρίᾳ τῆς εὐχῆς, ἀπὸ μήτρας πεπηρωμένης τέκνον βλαστῆσαι παρεσκεύασε. διὰ τοῦτο πάλιν ἐπὶ τὴν εὐχὴν α. Βασ. β. α. καταφεύγει, καὶ μετὰ τὸ λαβεῖν οὕτω λέγουσα· Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου. ὅτι μὲν οὖν, τί ἐστιν, ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, πρῴην εἶπον πρὸς τὴν ὑμετέραν ἀγάπην, δῆλον ὑμῖν· νυνὶ δὲ ἀναγκαῖον τὴν ἑξῆς ἑρμηνεῦσαι ῥῆσιν. εἰποῦσα γάρ, ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ἐπήγαγεν, Ὑψώθη κέρας μου ἐν Θεῷ μου. τί ἐστι, κέρας μου; καὶ γὰρ συνεχῶς ταύτῃ κέχρηται τῇ λέξει ἡ γραφή, ὡς Ψαλ. οδ. ι. ὅταν λέγῃ, Ὑψώθη κέρας αὐτοῦ, καὶ ὑψώθη κέρας Χριστοῦ αὐτοῦ. τί ποτ' οὖν λέγει κέρας; α. Βασ. β. ιβ. τὴν δύναμιν, τὴν δόξαν, τὴν περιφάνειαν, ἀπὸ μεταφορᾶς τῶν ἀλόγων ζώων αὐτὸ τιθείς. καὶ γὰρ ἐκείνοις ἀντὶ δόξης καὶ ὅπλου τὸ κέρας μόνον ἔθηκεν ὁ Θεός. κἂν ἀποβάλωσι τοῦτο, τὸ πλέον ἀπέβαλον τῆς δυνάμεως· καὶ καθάπερ ἄοπλος ὁ στρατιώτης, οὕτω καὶ ταῦρος χωρὶς κεράτων ῥᾳδίως ἁλίσκεται. οὐδὲν οὖν διὰ τούτου ἄλλο φησὶν ἡ γυνή, ἀλλ' ἢ ὅτι ὑψώθη ἡ δόξα μου. ἐπεὶ οὖν ὑψώθη ἐν Θεῷ, διὰ τοῦτο καὶ ἀσφαλὲς τὸ ὕψος ἐστί, βεβαίαν καὶ ἀκίνητον ἔχον τὴν ῥίζαν. ἡ μὲν γὰρ παρὰ τῶν ἀνθρώπων δόξα, τῶν δοξαζόντων μιμεῖται τὴν εὐτέλειαν, ὅθεν καὶ μεταπίπτει ῥᾳδίως· ἡ δὲ τοῦ Θεοῦ οὐχ οὕτως, ἀλλ' ἀκίνητος μένει διὰ παντός. καὶ ταῦτα ἀμφότερα δηλῶν ὁ προφήτης, κἀκείνης τὸ εὐμετάπτωτον, Ἠσ. μ. ζ. καὶ η. καὶ ταύτης τὸ μόνιμον, οὕτως ἔλεγε· Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε. περὶ δὲ τῆς τοῦ Θεοῦ οὐχ οὕτως, ἀλλὰ πῶς; Τὸ δὲ ῥῆμα τοῦ Θεοῦ εἰς τὸν αἰῶνα μένει. καὶ δῆλον τοῦτο καὶ ἀπὸ ταύτης τῆς γυναικός. βασιλεῖς μὲν γὰρ καὶ στρατηγοὶ καὶ δυνάσται, πολλὰ πραγματευσάμενοι πολλάκις, ὥστε αὐτῶν ἄληστον γενέσθαι τὴν μνήμην, καὶ τάφους λαμπροὺς οἰκοδομησάμενοι, καὶ ἀνδριάντας ἀναστήσαντες, καὶ εἰκόνας πολλὰς πολλαχοῦ, καὶ κατορθωμάτων ὑπομνήματα μυρία καταλιπόντες, σεσίγηνται, καὶ οὐδὲ ἀπὸ ψιλῆς τινος προσηγορίας εἰσί τισι γνώριμοι· αὕτη δὲ ἡ γυνὴ πανταχοῦ τῆς οἰκουμένης ᾄδεται νῦν. κἂν εἰς Σκυθίαν ἀπέλθῃς, κἂν εἰς Αἴγυπτον, κἂν εἰς Ἰνδούς, κἂν εἰς αὐτὰ τὰ πέρατα τῆς οἰκουμένης, πάντων ἀκούσῃ τὰ κατορθώματα τῆς γυναικὸς ταύτης ᾀδόντων, καὶ πᾶσαν ἁπλῶς, ὅσην ἥλιος ἐφορᾷ γῆν, ἡ δόξα τῆς Ἄννης καταλαμβάνει. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστόν, ὅτι πανταχοῦ τῆς οἰκουμένης ᾄδεται ἡ γυνή, ἀλλ᾽ ὅτι τοσούτου παρελθόντος χρόνου, οὐ μόνον οὐκ ἐσβέσθη τὰ τῆς εὐφημίας αὐτῆς, ἀλλὰ καὶ αὔξεται καὶ ἐπιτείνεται πολλῷ πλέον, καὶ τὴν φιλοσοφίαν αὐτῆς καὶ τὴν ὑπομονὴν καὶ τὴν καρτερίαν ἅπαντες ἴσασι· καὶ ἐν πόλεσι, καὶ ἐν ἀγροῖς, καὶ ἐν οἰκίαις, καὶ ἐν στρατοπέδοις, καὶ ἐν πλοίοις, καὶ ἐν ἐργαστηρίοις, καὶ πανταχοῦ τῆς γυναικὸς ἐγκωμιαζομένης ἀκούσῃ ταύτης. ὅταν γὰρ ὁ Θεός τινα δοξάσαι βουληθῇ, κἂν θάνατος ἐπιγένηται, κἂν χρόνου πλῆθος, κἂν ἄλλο ὁτιοῦν, μένει τὰ τῆς δόξης ἐκείνης ἀνθοῦντα διηνεκῶς, καὶ οὐδεὶς ἐπισκοτῆσαι τῇ περιφανείᾳ ταύτῃ δυνήσεται. διὰ τοῦτο καὶ αὐτὴ παιδεύουσα τοὺς ἀκούοντας ἅπαντας, ὅτι οὐ χρὴ καταφεύγειν τοῖς ἐπικήροις, ἀλλ᾽ ὅθεν βέβαια καὶ ἀκίνητα ἡμῖν μένει τὰ ἀγαθά, εἶπε τὸν τῆς δόξης αἴτιον. εἰποῦσα γάρ, ὅτι ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ἐπήγαγεν, ὑψώθη κέρας μου ἐν Θεῷ μου, διπλᾶ ἐνταῦθα ἡμῖν αἰνιττομένη τὰ ἀγαθά· ἅπερ δύσκολον συμβαίνειν ταχέως. καὶ γὰρ τοῦ σάλου, φησίν, ἀπηλλάγην, καὶ τὴν ἀτιμίαν ἀπεθέμην, καὶ ἀσφαλείας ἀπέλαυσα, καὶ δόξης μετέσχον. ταῦτα δὲ ἀμφότερα οὐκ ἄν τις ἴδοι ῥᾳδίως ἀλλήλοις συντρέχοντα. πολλοὶ γὰρ κινδύνων μὲν ἀπαλλάττονται, ἐπίδοξον δὲ οὐκ ἔχουσι βίον· ἕτεροι πάλιν δόξης μὲν ἀπολαύουσι καὶ περιφανείας, κινδυνεύειν δὲ ἀναγκάζονται διὰ τὴν δόξαν ταύτην. οἷόν τι λέγω· πολλοὶ πολλάκις τὸ δεσμωτήριον οἰκήσαντες, μοιχοὶ καὶ γόητες καὶ τυμβωρύχοι καὶ ἕτερα ἄττα τοιαῦτα ἡμαρτηκότες, εἶτα ἀπό τινος φιλανθρωπίας βασιλικῆς ἀφέθησαν τοῦ οἰκήματος. οὗτοι τῆς κολάσεως μὲν ἀπηλλάγησαν, τὰ δὲ ὀνείδη οὐκ ἀπετρίψαντο, ἀλλ᾽ ἔχουσι τὴν αἰσχύνην ἑπομένην αὐτοῖς. ἀλλ᾽ οἱ στρατιῶται γενναῖοι τὸν ἐπίδοξον καὶ περιφανῆ βίον διώκοντες, ῥιψοκινδύνως ἑαυτοὺς τοῖς πολεμίοις ἐκδόντες, πολλὰ πολλάκις ἔλαβον τραύματα, καὶ ἔσχατον ἄωρον ὑπέστησαν θάνατον. οὗτοι δόξης ἐπιθυμήσαντες, ἀσφαλείας ἐξέπεσον. ἐπὶ δὲ τῆς γυναικὸς ἀμφότερα ταῦτα συνέβη, καὶ ἀσφαλείας ἀπέλαυσε, καὶ δόξης ἐπέτυχεν. οὕτω καὶ ἐπὶ τῶν τριῶν παίδων ἐγένετο. καὶ γὰρ κινδύνων ἀπηλλάγησαν διαφυγόντες τὸ πῦρ, καὶ περιφανεῖς ἐγένοντο, ὑπὲρ φύσιν τοῦ στοιχείου νικήσαντες τὴν δύναμιν. τοιαῦτα τοῦ Θεοῦ τὰ κατορθώματα. ὁμοῦ γὰρ λαμπρὸν καὶ ἀσφαλῆ χαρίζεται βίον. ἅπερ οὖν ἀμφότερα καὶ αὐτὴ αἰνιττομένη ἔλεγεν, Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ· ὑψώθη κέρας μου ἐν Θεῷ μου. οὐχ ἁπλῶς εἶπεν, ἐν Θεῷ, ἀλλ᾽, ἐν Θεῷ μου, τὸν κοινὸν τῆς οἰκουμένης δεσπότην ἁρπάζουσα πρὸς ἑαυτήν. τοῦτο δὲ ἐποίησεν, οὐκ ἐλαττοῦσα αὐτοῦ τὴν δεσποτείαν, ἀλλὰ τὸν οἰκεῖον ἔρωτα ἐνδεικνυμένη τε καὶ παραμυθουμένη. τοιοῦτον γὰρ τῶν φιλούντων τὸ ἔθος· οὐκ ἀνέχονται μετὰ τῶν πολλῶν φιλεῖν, ἀλλ᾽ ἐξαιρέτως καὶ ἰδιαζόντως βούλονται αὐτῶν ἐνδείκνυσθαι τὸ φίλτρον. οὕτω καὶ ὁ Δαβὶδ ποιεῖ λέγων, Ὁ Θεός, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω. εἰπὼν γὰρ τὴν κοινὴν αὐτοῦ δεσποτείαν, εἶπε καὶ τὴν ἰδιάζουσαν τὴν ἐπὶ τῶν ἁγίων. καὶ πάλιν, Ὁ Θεός, ὁ Θεός μου, πρόσχες μοι· ἵνα τί ἐγκατέλιπές με; καὶ πάλιν, Ἐρῶ τῷ Θεῷ, ἀντιλήπτωρ μου εἶ. ψυχῆς γὰρ ζεούσης καὶ θερμῆς καὶ διακαιομένης ὑπὸ τοῦ πόθου ταῦτα τὰ ῥήματα. οὕτω καὶ ἡ γυνὴ αὕτη ἐποίησεν. ἀλλὰ τὸ μὲν ἀνθρώπους τοῦτο ποιεῖν, θαυμαστὸν οὐδέν· ὅταν δὲ ἴδῃς τὸν Θεὸν τοῦτο ποιοῦντα, τότε ἐκπλάγηθι. καθάπερ γὰρ οὗτοι οὐ κοινῇ μετὰ τῶν πολλῶν αὐτὸν καλοῦσιν, ἀλλὰ καὶ ἰδιαζόντως ἑαυτῶν αὐτὸν βούλονται εἶναι Θεόν· οὕτω καὶ αὐτός, οὐ κοινῇ μετὰ τῶν ἄλλων φησὶν αὐτῶν εἶναι Θεὸν μόνον, ἀλλὰ καὶ ἰδιαζόντως αὐτῶν. διὰ τοῦτο λέγει, Ἐγὼ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, οὐ συστέλλων αὐτοῦ τὴν δεσποτεί-

Ψαλμ. ξβ. α.
Ψαλμ. κα. α.
Ψαλμ. ζ. β.
Ἐξοδ. γ. κϛ.

αι, ἀλλ' ἐκείνων μᾶλλον. οὐ γὰρ οὕτω τὸ πλῆθος τῶν ἀρχομένων, ὡς ἡ ἀρετὴ τῶν βασιλευομένων δείκνυσιν αὐτοῦ τὴν ἀρχήν· οὐδὲ οὕτω χαίρει καλούμενος Θεὸς οὐρανοῦ καὶ γῆς καὶ θαλάττης καὶ τῶν ἐν τούτοις, ὡς χαίρει καλούμενος Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. ὅπερ ἐπὶ τῶν ἀνθρώπων οὐ γίνεται, τοῦτο ἐπὶ τοῦ Θεοῦ συμβαῖνόν ἐστιν ἰδεῖν. οἶδα τί λέγω. ἐπὶ τῶν ἀνθρώπων, ἀπὸ τῶν δεσποτῶν οἱ δοῦλοι καλοῦνται, καὶ οὕτως ἔθος ἅπασι λέγειν, ὁ δεῖνα ἐπίτροπος τοῦ δεῖνος, ὁ δεῖνα οἰκονόμος τοῦ δεῖνος, ὁ τοῦ στρατηγοῦ, τοῦ ὑπάρχου. οὐδεὶς δέ φησιν, ὁ δεῖνα ὁ ὕπαρχος τοῦ δεῖνος τοῦ ἐπιτρόπου· ἀλλὰ τοὺς ἐλάττονας ἀπὸ τῶν μειζόνων ἀεὶ καλεῖν εἰώθαμεν. ἐπὶ δὲ τοῦ Θεοῦ τοὐναντίον γέγονεν. οὐ γὰρ μόνον Ἀβραὰμ τοῦ Θεοῦ λέγεται, ἀλλὰ καὶ ὁ Θεὸς τοῦ Ἀβραάμ, καὶ ὁ δεσπότης ἀπὸ τοῦ δούλου καλεῖται. τοῦτο γοῦν αὐτὸ καὶ ὁ Παῦλος ἐκπληττόμενος ἔλεγε, Ἑβρ. ια. ιϛ. Δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ὁ Θεός, Θεὸς καλεῖσθαι αὐτῶν. οὐκ ἐπαισχύνεται, φησιν, ὁ δεσπότης ἀπὸ τῶν δούλων καλεῖσθαι. διὰ τί οὐκ ἐπαισχύνεται; εἰπὲ τὴν αἰτίαν, ἵνα μιμησώμεθα καὶ ἡμεῖς. ἀλλ' ἐκεῖνοι ξένοι καὶ παρεπίδημοι ἦσαν, φησιν. καὶ μὴν καὶ διὰ τοῦτο ἐπαισχύνεσθαι δεῖ. ὁ γὰρ ξένος, εὐτελὴς καὶ εὐκαταφρόνητος εἶναι δοκεῖ. οἱ δὲ ἅγιοι, οὐ τοῦτον ἦσαν ξένοι τὸν τρόπον, ὃν ἡμεῖς νομίζομεν, ἀλλ' ἕτερόν τινα καὶ παράδοξον. ἡμεῖς μὲν γὰρ ξένους ἐκείνους καλοῦμεν τοὺς τὴν αὐτῶν πατρίδα ἀφέντας, καὶ εἰς ἑτέραν γῆν ἐλθόντας. ἐκεῖνοι δὲ οὐχ οὕτως ἦσαν ξένοι, ἀλλὰ τῆς οἰκουμένης ἁπάσης ὑπεριδόντες, καὶ μικρὰν εἶναι νομίσαντες τὴν γῆν, πρὸς τὴν ἐν τοῖς οὐρανοῖς πόλιν ἔβλεπον, οὐ δι' ἀλαζονείαν, ἀλλὰ διὰ μεγαλοψυχίαν, οὐ δι' ἀπόνοιαν, ἀλλὰ διὰ φιλοσοφίαν. ἐπειδὴ γὰρ ἐσκέψαντο τὰ ἐπὶ γῆς ἅπαντα, καὶ εἶδον ὅτι ῥεῖ καὶ ἀπόλλυται, καὶ οὐδὲν ἐνταῦθα βέβαιον καὶ ἀκίνητον, οὐ πλοῦτος, οὐ δυναστεία, οὐ δόξα, οὐκ αὐτὴ ἡ ζωή, ἀλλ' ἕκαστον ἔχει τέλος, καὶ πρὸς τὸ οἰκεῖον ἐπείγεται πέρας· τὰ δὲ ἐν τοῖς οὐρανοῖς οὐ τοιαῦτα, ἀλλ' ἀτελεύτητα καὶ ἀθάνατα, εἵλοντο ξένοι τῶν ῥεόντων καὶ παρατρεχόντων γενέσθαι, ἵν' ἐκείνων τῶν μενόντων ἐπιλάβωνται. ξένοι τοίνυν ἦσαν, οὐ τῷ μὴ ἔχειν πατρίδα, ἀλλὰ τῷ πατρίδος ἐφίεσθαι τῆς ἀεὶ μενούσης. ὅπερ οὖν καὶ αὐτὸς παραδηλῶν ἔλεγεν· Ἑβρ. ια. ιδ. ιε. ιϛ. Οἱ δὲ ταῦτα λέγοντες, ἐμφανίζουσιν ὅτι πατρίδα ζητοῦσι. ποίαν, εἰπέ, πατρίδα; ἆρα τὴν προτέραν, ἣν ἀπέλιπον; οὐχί, φησιν. Εἰ γὰρ ἐκείνης ἐμέμνηντο, εἶχον ἂν καιρὸν ἀνακάμψαι· νῦν δὲ κρείττονος ὀρέγονται, τουτέστιν, ἐπουρανίου, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός. διὰ τοῦτο οὐκ ἐπαισχύνεται ὁ Θεὸς καλεῖσθαι αὐτῶν Θεός. μιμησώμεθα δὴ καὶ ἡμεῖς τούτους, παρακαλῶ, ὑπερίδωμεν τῶν παρόντων, ἐπιθυμήσωμεν τῶν μενόντων, λάβωμεν τὴν γυναῖκα ταύτην διδάσκαλον, καὶ πρὸς τὸν Θεὸν ἀεὶ καταφεύγωμεν, καὶ παρ' ἐκείνου πάντα αἰτῶμεν. οὐδὲν γὰρ εὐχῆς ἴσον. καὶ γὰρ τὰ ἀδύνατα αὕτη ποιεῖ δυνατά, καὶ τὰ δύσκολα ῥᾴδια, καὶ τὰ δυσχερῆ εὐθέα καθίστησι. ταύτην καὶ ὁ μακάριος Δαβὶδ κατώρθου. διὸ καὶ ἔλεγεν, Ψαλμ. ριη. ρξγ. Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. Εἰ δὲ βασιλεὺς ἀνὴρ μυρίαις βαπτιζόμενος φροντίσι καὶ πανταχόθεν περιελκόμενος, τοσαυτάκις τῆς ἡμέρας παρεκάλει τὸν Θεόν, τίνα ἂν ἔχοιμεν ἀπολογίαν ἢ συγγνώμην ἡμεῖς, τοσαύτην σχολὴν ἄγοντες, καὶ μὴ συνεχῶς αὐτὸν ἱκετεύοντες, καὶ ταῦτα τοσοῦτον μέλλοντες καρποῦσθαι κέρδος; ἀμήχανον γάρ, ἀμήχανον ἄνθρωπον μετὰ τῆς προσηκούσης προθυμίας εὐχόμενον, καὶ παρακαλοῦντα τὸν Θεὸν συνεχῶς, ἁμαρτεῖν ποτε. καὶ πῶς, ἐγὼ λέγω. ὁ διαθερμάνας αὐτοῦ τὴν διάνοιαν, καὶ τὴν ψυχὴν ἀναστήσας, καὶ πρὸς τὸν οὐρανὸν ἑαυτὸν μετοικίσας, καὶ οὕτω τὸν δεσπότην τὸν ἑαυτοῦ καλέσας, καὶ τῶν ἁμαρτημάτων ἀναμνησθείς, καὶ περὶ τῆς συγχωρήσεως τούτων αὐτῷ διαλεχθείς, καὶ παρακαλέσας ἵλεων γενέσθαι καὶ ἥμερον, ἀπὸ τῆς ἐν τοῖς λόγοις τούτοις διατριβῆς, πᾶσαν ἀποτίθεται βιωτικὴν φροντίδα, καὶ πτεροῦται, καὶ τῶν ἀνθρωπίνων παθῶν ὑψηλότερος γίνεται. κἂν ἐχθρὸν ἴδῃ μετὰ τὴν εὐχήν, οὐκ ἔτι ὡς ἐχθρὸν ὄψεται· κἂν γυναῖκα εὔμορφον, οὐ κατακλασθήσεται πρὸς τὴν ὄψιν, τοῦ πυρὸς τοῦ κατὰ τὴν εὐχὴν ἔνδον μένοντος, καὶ πάντα ἄτοπον λογισμὸν διωθουμένου.

μένου. ἀλλ' ἐπειδὴ ἀνθρώπους ὄντας εἰκὸς καὶ εἰς ῥᾳθυμίαν ἐμπεσεῖν, ἐπειδὰν παρέλθῃ μία καὶ δευτέρα ὥρα καὶ τρίτη μετὰ τὴν εὐχὴν, καὶ ἴδῃς τὴν γινομένην σοι θερμότητα κατὰ μικρὸν ἀπορρεῖν μέλλουσαν, δράμε ταχέως πάλιν ἐπὶ τὴν εὐχὴν, καὶ καταψυγεῖσάν σου τὴν διάνοιαν θέρμαινον. κἂν τοῦτο ποιῇς διὰ πάσης τῆς ἡμέρας, τὰ μεταξὺ διαλείμματα τῇ πυκνότητι τῶν εὐχῶν διαθερμαίνων, οὐ δώσεις τῷ διαβόλῳ ἀφορμὴν καὶ εἴσοδον κατὰ τῶν σῶν λογισμῶν. καὶ ὥσπερ ἀριστοποιούμενοι καὶ πίνειν μέλλοντες ποιοῦμεν, ἐπειδὰν ἴδωμεν τὸ θερμανθὲν ὕδωρ καταψυχθὲν, ἐπὶ τῆς ἐσχάρας αὐτὸ τίθεμεν πάλιν, ὥστε διαθερμανθῆναι ταχέως, τοῦτο καὶ ἐνταῦθα ποιῶμεν. καὶ καθάπερ ἐπ' ἀνθράκων, τῆς εὐχῆς, τιθέντες ἡμῶν τὸ στόμα, οὕτω πάλιν ἀνάπτωμεν ἡμῶν τὴν διάνοιαν εἰς εὐλάβειαν. καὶ μιμώμεθα τοὺς οἰκοδόμους· καὶ γὰρ ἐκεῖνοι πλίνθοις μέλλοντες οἰκοδομεῖν, διὰ τὸ τῆς ὕλης σαθρὸν, ξύλοις μακροῖς ἀποσφίγγουσι τὴν οἰκοδομὴν, καὶ οὐδὲ διὰ πολλοῦ τοῦτο ποιοῦσι τοῦ διαστήματος, ἀλλὰ δι' ὀλίγου, ἵνα τῇ πυκνότητι τῶν ξύλων τούτων ἀσφαλεστέραν τὴν συνθήκην τῶν πλίνθων ἐργάσωνται· τοῦτο καὶ σὺ ποίησον, καὶ τὰς βιωτικὰς πράξεις ἁπάσας, καθάπερ ἱμαντώσεσί τισι ξύλων, τῇ συνεχείᾳ τῶν εὐχῶν διαλαμβάνων, πανταχόθεν σου περίφραξον τὴν ζωήν. ἂν τοίνυν οὕτω ποιῇς, κἂν μυρίοι πνεύσωσιν ἄνεμοι λοιπὸν, κἂν πειρασμοὶ, κἂν ἀθυμίαι, κἂν λογισμοί τινες ἀηδεῖς, κἂν ὁτιοῦν ἐπέλθῃ δεινὸν, οὐ δυνήσεται καταβαλεῖν τὴν οἰκίαν ἐκείνην πυκναῖς οὕτως εὐχαῖς συνδεδεμένην. καὶ πῶς δυνατὸν, φησὶν, ἄνθρωπον βιωτικὸν, δικαστηρίῳ προσηλωμένον, κατὰ τρεῖς ὥρας εὔχεσθαι τῆς ἡμέρας, καὶ εἰς ἐκκλησίαν ἐντρέχειν; δυνατὸν καὶ σφόδρα εὔκολον. κἂν γὰρ εἰς ἐκκλησίαν δραμεῖν μὴ ῥᾴδιον, ἑστῶτα ἐκεῖ παρὰ τὰς θύρας, καὶ τῷ δικαστηρίῳ προσηλωμένον εὔξασθαι δυνατόν. οὐδὲ γὰρ οὕτω φωνῆς χρεία, ὡς διανοίας, οὐδὲ ἐκτάσεως χειρῶν, ὡς συντεταμένης ψυχῆς, οὐδὲ σχήματος, ἀλλὰ φρονήματος. ἐπεὶ καὶ ἡ Ἄννα αὕτη, οὐκ ἐπειδὴ λαμπρὰν καὶ μεγάλην ἀφῆκε φωνὴν, διὰ τοῦτο ἠκούετο, ἀλλ' ἐπειδὴ μεγάλα ἔνδον κατὰ τὴν καρδίαν ἐβόα. Ἡ φωνὴ γὰρ αὐτῆς οὐκ ἠκούετο, φησὶ, καὶ εἰσήκουσεν αὐτῆς ὁ Θεός. τοῦτο καὶ ἄλλοι πολλοὶ πολλάκις ἐποίησαν· καὶ βοῶντος τοῦ ἄρχοντος ἔνδοθεν, ἀπειλοῦντος, διατεινομένου, μαινομένου, παρὰ τὰς θύρας ἑστῶτες, σφραγισάμενοι, καὶ ὀλίγα ῥήματα κατὰ διάνοιαν εὐξάμενοι, εἰσελθόντες μετέβαλον αὐτὸν καὶ ἐπράϋνον καὶ ἥμερον ἐξ ἀγρίου κατέστησαν· καὶ οὐδὲν οὔτε ἀπὸ τοῦ τόπου, οὔτε ἀπὸ τοῦ καιροῦ, οὔτε ἀπὸ τῆς σιγῆς, πρὸς τὴν εὐχὴν ταύτην ἐνεποδίσθησαν. τοῦτο δὴ καὶ σὺ ποίησον, στέναξον πικρῶς, ἀναμνήσθητι τῶν ἁμαρτημάτων τῶν σῶν, ἀνάβλεψον εἰς τὸν οὐρανὸν, εἰπὲ κατὰ διάνοιαν, ἐλέησόν με ὁ Θεὸς, καὶ ἀπήρτισταί σου ἡ εὐχή. ὁ γὰρ εἰπὼν, ἐλέησον, ἐξομολόγησιν ἐπεδείξατο καὶ τῶν οἰκείων ἁμαρτημάτων. τῶν γὰρ ἡμαρτηκότων ἐστὶ τὸ ἐλεεῖσθαι. ὁ εἰπὼν, ἐλέησόν με, συγχώρησιν ἔλαβε τῶν πεπλημμελημένων. ὁ γὰρ ἐλεηθεὶς, οὐ κολάζεται· ὁ εἰπὼν, ἐλέησόν με, βασιλείας ἔτυχεν οὐρανῶν. ὃν γὰρ ὁ Θεὸς ἐλεήσει, οὐ κολάσεως ἀπαλλάττει μόνον, ἀλλὰ καὶ τῶν μελλόντων ἀγαθῶν ἀξιοῖ. μὴ τοίνυν προφασιζώμεθα λέγοντες, ὡς οὐκ ἔστι πλησίον εὐκτήριος οἶκος. ἡμᾶς γὰρ αὐτοὺς, ἐὰν νήφωμεν, ναοὺς ἐποίησε τοῦ Θεοῦ τοῦ πνεύματος ἡ χάρις· ὥστε πολλὴ ~~πανταχόθεν ἡμῖν~~ ἡ εὐκολία. καὶ γὰρ οὐ τοιαύτη ἡμῶν ἡ λατρεία, οἵα παρὰ Ἰουδαίοις τὸ πρότερον ἦν, πολὺ τὸ αἰσθητὸν ἔχουσα, καὶ πολλῆς δεομένη πραγματείας. ἐκεῖ μὲν γὰρ τὸν εὐχόμενον καὶ εἰς τὸ ἱερὸν ἀναβῆναι ἔδει, καὶ τρυγόνα πρίασθαι, καὶ ξύλα καὶ πῦρ μεταχειρίσαι, καὶ μάχαιραν λαβεῖν, καὶ τῷ βωμῷ παραστῆναι, καὶ πολλὰ ἕτερα διανύσαι ἐπιτάγματα· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, ἀλλ' ὅπουπερ ἂν ᾖς, τὸ θυσιαστήριον ἔχεις μετὰ σαυτοῦ, καὶ τὴν μάχαιραν, καὶ τὸ ἱερεῖον, αὐτὸς ὢν σὺ καὶ ἱερεὺς καὶ θυσιαστήριον καὶ ἱερεῖον. ὅπου γὰρ ἂν ᾖς, δύνασαι στῆσαί σου τὸν βωμὸν, προαίρεσιν νήφουσαν ἐπιδειξάμενος μόνον. καὶ οὐδὲν κωλύει τόπος, οὐδὲ ἐμποδίζει καιρός· ἀλλὰ κἂν γόνατα μὴ κλίνῃς, κἂν μὴ στῆθος τύψῃς καὶ τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνατείνῃς, διάνοιαν δὲ μόνον ἐπιδείξῃ θερμήν, τὸ πᾶν ἀπήρτισας τῆς εὐχῆς. ἔξεστι καὶ γυναῖκα ἠλακάτην κατέχουσαν καὶ ἱστουργοῦσαν ἀναβλέψαι εἰς τὸν οὐρανὸν τῇ διανοίᾳ, καὶ καλέσαι μετὰ θερμότητος τὸν Θεόν· ἔξεστι καὶ ἄνθρωπον εἰς ἀγορὰν ἐμβάλλοντα καὶ καθ᾽ ἑαυτὸν βαδίζοντα εὐχὰς ποιεῖσθαι ἐκτενεῖς· καὶ ἕτερον ἐπ᾽ ἐργαστηρίου καθήμενον καὶ δέρματα ῥάπτοντα, τὴν ψυχὴν ἀναθεῖναι πρὸς τὸν δεσπότην· ἔξεστι οἰκέτῃ, καὶ ὠνουμένῳ, καὶ ἀναβαίνοντι καὶ καταβαίνοντι, καὶ μαγείρῳ παρεστῶτι, ὅταν μὴ δυνατὸν εἰς ἐκκλησίαν ἐλθεῖν, εὐχὴν ποιεῖσθαι ἐκτενῆ καὶ διεγηγερμένην. οὐκ ἐπαισχύνεται τόπον ὁ Θεός· ἓν ζητεῖ μόνον, διάνοιαν θερμήν, καὶ ψυχὴν σωφρονοῦσαν. καὶ ἵνα μάθῃς ὅτι οὐ σχήματος χρεία καὶ τόπων πάντως καὶ καιρῶν, ἀλλὰ φρονήματος γενναίου καὶ διεγηγερμένου, ὁ Παῦλος ὕπτιος ἐπὶ τοῦ δεσμωτηρίου κείμενος, καὶ οὐκ ὀρθὸς ἑστὼς (οὐ γὰρ ἠφίει τὸ ξύλον, ᾧ τοὺς πόδας ἐδέδετο) ἐπειδὴ μετὰ προθυμίας ηὔξατο κείμενος, τὸ δεσμωτήριον ἔσεισε, καὶ τὰ θεμέλια διεσάλευσε, καὶ τὸν δεσμοφύλακα ἔδησε, καὶ πρὸς τὴν ἱερὰν μετὰ ταῦτα μυσταγωγίαν ἐχειραγώγησε. πάλιν ὁ Ἰεζεκίας οὐκ ὀρθὸς ἑστώς, οὐδὲ γόνατα κλίνας, ἀλλ᾽ ὕπτιος ἐπὶ τῆς κλίνης κείμενος διὰ τὴν ἀρρωστίαν, στρέψας ἑαυτὸν ἐπὶ τὸν τοῖχον, ἐπειδὴ τὸν Θεὸν θερμῶς ἐκάλεσε καὶ μετὰ ψυχῆς σωφρονούσης, καὶ ἀπόφασιν ἐξενεχθεῖσαν ἀνεκαλέσατο, καὶ πολλὴν ἐπεσπάσατο τὴν εὔνοιαν, καὶ πρὸς τὴν προτέραν ἐπανῆλθεν ὑγείαν. οὐκ ἐπ᾽ ἀνδρῶν δὲ ἁγίων καὶ μεγάλων μόνον, ἀλλὰ καὶ ἐπὶ πονηρῶν τοῦτο ἴδοι τις ἂν συμβαῖνον. καὶ γὰρ ὁ λῃστής, οὐκ ἐν οἴκῳ στὰς εὐκτηρίῳ, οὐδὲ γόνατα κλίνας, ἀλλ᾽ ἐπὶ τοῦ σταυροῦ τεταμένος, ἀπὸ ῥημάτων ὀλίγων, τῆς βασιλείας τῶν οὐρανῶν ἐπέτυχεν. ἄλλος ἐν βορβόρῳ καὶ λάκκῳ καὶ θηρίοις, ἕτερος ἐν αὐτῇ τοῦ κήτους τῇ νηδύϊ, τὸν Θεὸν παρακαλέσαντες, τὰ ἐπικείμενα ἅπαντα διέλυσαν, καὶ τὴν ἄνωθεν εὔνοιαν ἐπεσπάσαντο. καὶ ταῦτα μὲν λέγων, παραινῶ συνεχῶς ταῖς ἐκκλησίαις ἐπιχωριάζειν, καὶ ἐν οἰκίᾳ μετὰ πολλῆς ἡσυχίας εὔχεσθαι, καὶ κατὰ σχολὴν γόνατα κλίνοντας, καὶ τὰς χεῖρας ἀνατείνοντας· εἰ δὲ ἢ διὰ καιρόν, ἢ διὰ τόπον ἀπολειφθείημεν μεταξὺ πολλῶν ἑτέρων, μὴ διὰ τοῦτο τὰς συνήθεις ἀπολιμπάνειν εὐχάς, ἀλλὰ τοῦτον τὸν τρόπον, ὅνπερ εἶπον πρὸς τὴν ὑμετέραν ἀγάπην, εὔχεσθε καὶ παρακαλεῖτε τὸν Θεόν, ὡς οὐδὲν ἔλαττον παρὰ ταύτην ἕξοντες τὴν εὐχήν. ταῦτα εἶπον, οὐχ ἵνα κροτήσητε καὶ θαυμάσητε, ἀλλ᾽ ἵνα διὰ τῶν ἔργων αὐτὰ ἐπιδείξησθε, καὶ τὸν καιρὸν τὸν τῆς νυκτός, καὶ τὸν τῆς ἡμέρας, καὶ τὸν τῆς ἐργασίας καιρὸν ἐν εὐχαῖς καὶ δεήσεσι [τοῦτον] διαλαμβάνοντες. ἂν οὕτω τὰ καθ᾽ ἑαυτοὺς οἰκονομῶμεν, καὶ τὸν παρόντα μετὰ ἀσφαλείας διανύσομεν βίον, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχωμεν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ μεθ᾽ οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ιε. ΕΙΣ ΤΗΝ ΠΡΟΣΕΥΧΗΝ ΤΗΣ ΑΝΝΗΣ, ΚΑΙ Ὅτι χρήσιμος ἡ πενία, καὶ πλούτου πλείονα ἡδονὴν ἔχει καὶ ἀσφάλειαν

ΟἹ θησαυρὸν ἀνορύττοντες ἐν τῷ κόσμῳ, ἀγαπητοί, κἂν μυρία λάβωσιν ἐκεῖθεν χρήματα, οὐ πρότερον ἀφίστανται, ἕως ἂν τὸ πᾶν ἐξαντλήσωσιν. οὐ γὰρ τὸ πολλὰ λαβεῖν, ἀλλὰ τὸ μηδὲν ἀφεῖναι τοῦτο μάλιστα αὐτοὺς ἀνακτᾶσθαι πέφυκεν. εἰ δὲ οἱ περὶ τὰ χρήματα μαινόμενοι τοσαύτῃ περὶ τὰ ἀπολλύμενα καὶ μὴ μένοντα κέχρηνται τῇ σπουδῇ, πολλῷ μᾶλλον ἡμᾶς ἐπὶ τῶν θείων θησαυρῶν τοῦτο ποιεῖν χρή· μὴ πρότερον ἀφίστασθαι, ἕως ἅπαν τὸ φαινόμενον ἐξαντλήσωμεν. τὸ φαινόμενον δὲ εἶπον, ἐπειδὴ πάντα ἐξαντλῆσαι ἀμήχανον. πηγὴ γάρ ἐστι διηνεκῶς βλύζουσα τῶν θείων νοημάτων ἡ δύναμις, οὐδέποτε ἐπιλείπουσα, οὐδὲ δαπανωμένη. μὴ τοίνυν ἀποκάμωμεν. οὐδὲ γὰρ περὶ τῶν τυχόντων ἡμῖν ὁ λόγος, ἀλλὰ περὶ εὐχῆς, τῆς ἐλπίδος τῆς ἡμετέρας εὐχῆς ἐστί, δι' ἧς ἡ στεῖρα μήτηρ ἐγένετο, καὶ πολύπαις ἡ ἄπαις, καὶ ἡ κατώδυνος ἐν εὐθυμίᾳ· δι' ἣν ἡ πεπηρωμένη διωρθοῦτο φύσις, καὶ μήτρα ἀποκεκλεισμένη ἀνέῳκτο, καὶ τὰ ἀδύνατα δυνατὰ πάντα ἐγίνετο. δεῖ δὴ κατὰ μικρὸν διερευνώμεθα πάντα, καθ' ἑκάστην ῥῆσιν ἀναπτύξαντες, ὥστε μηδὲ τὸ μικρότατον ἡμᾶς, ὡς οἷόν τε, παραδραμεῖν. διὰ δὴ τοῦτο δύο διαλέξεις ὁλοκλήρους εἰς δύο ῥήσεις ἀνηλώσαμεν μόνας, εἴς τε τὴν πρώτην τὴν λέγουσαν, Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ· καὶ τὴν δευτέραν τὴν μετ' ἐκείνην, Ὑψώθη κέρας μου ἐν Θεῷ μου. ἀκόλουθον δὴ σήμερον ἐπὶ τὴν τρίτην ἐλθεῖν. τίς δέ ἐστιν αὕτη; Ἐπλατύνθη στόμα μου ἐπ' ἐχθρούς μου, φησὶν· εὐφράνθην ἐν σωτηρίᾳ σου. προσέχετε τῇ ἀκριβείᾳ τῆς λέξεως. οὐκ εἶπεν, ἠκονήθη στόμα μου ἐπ' ἐχθρούς μου. οὐ γὰρ πρὸς λοιδορίας καὶ σκώμματα παρεσκεύαστο, οὐ πρὸς ὀνείδη καὶ κατηγορίαν, ἀλλὰ πρὸς παραίνεσιν καὶ συμβουλὴν, πρὸς διόρθωσιν καὶ νουθεσίαν. διὰ τοῦτο οὐκ εἶπεν, ἠκονήθη ἡ γλῶσσά μου ἐπ' ἐχθρούς μου, ἀλλ', ἐπλατύνθη. ἀνέσεως ἀπέλαυσα, φησὶν, ἐλευθεροστομεῖν δύναμαι. νῦν ἀποκρουσαμένη τὴν αἰσχύνην, πρὸς παρρησίαν ἐπανῆλθον. καὶ οὐδὲ ἐνταῦθα εἶπε τὴν γυναῖκα τὴν ἀντίζηλον ὀνόματι, ἀλλὰ ἁπλῶς τῷ τῆς προσηγορίας ἀδιορίστῳ, καθάπερ προσωπείῳ κατέκρυψε τὴν τοσαῦτα λυπήσασαν. οὐκ εἶπεν, ἃ πολλαὶ λέγουσι γυναῖκες, κατῄσχυνεν αὐτὴν ὁ Θεὸς, κατέρραξε καὶ κατέβαλε τὴν μιαρὰν καὶ ἀλάζονα καὶ μεγαλήγορον· ἀλλ' ἁπλῶς, ἐπλατύνθη στόμα μου ἐπ' ἐχθρούς μου· Εὐφράνθην ἐν σωτηρίᾳ σου. ὅρα πῶς τὸν αὐτὸν διατηρεῖ νόμον διὰ τῆς εὐχῆς ἁπάσης. ὥσπερ γὰρ ἐν ἀρχῇ ἔλεγεν, Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου, ἐπλατύνθη στόμα μου ἐπ' ἐχθρούς μου· οὕτω καὶ ἐνταῦθα, Εὐφράνθην ἐν σωτηρίᾳ σου. οὐχ ἁπλῶς ἐν σωτηρίᾳ, ἀλλ' ἐν σωτηρίᾳ σου. οὐ γὰρ ἐπειδὴ ἐσώθην, φησὶν, ἀλλ' ἐπειδὴ διὰ σοῦ ἐσώθην, διὰ τοῦτο χαίρω καὶ ἀγάλλομαι. τοιαῦται τῶν ἁγίων αἱ ψυχαί· τῶν δώρων μᾶλλον χαίρουσιν ἐπὶ τῷ δεδωκότι Θεῷ. οὐ γὰρ αὐτὸν διὰ τὰ αὐτοῦ φιλοῦσιν, ἀλλ' ἐκεῖνα δι' αὐτόν. τοῦτο οἰκετῶν εὐγνωμόνων, τοῦτο δούλων εὐεργείσων, πάντων τῶν ἑαυτῶν τὸν δεσπότην τὸν ἑαυτῶν προτιθέναι. οὕτω, παρακαλῶ, καὶ ἡμεῖς διακείμεθα. κἂν ἁμαρτάνωμεν, μὴ ἀλγῶμεν, ἐπειδὴ κολαζόμεθα, ἀλλ' ἐπειδὴ παρωξύναμεν τὸν δεσπότην· κἂν κατορθώσωμεν, μὴ χαίρωμεν διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ἐπειδὴ ἠρέσαμεν τῷ βασιλεῖ τῶν οὐρανῶν. τῷ γὰρ νοῦν ἔχοντι γεέννης ἁπάσης φοβερώτερον τὸ προσκροῦσαι Θεῷ, ὥσπερ καὶ βασιλείας ἁπάσης ποθεινότερον τὸ ἀρέσαι Θεῷ. καὶ μὴ θαυμάσῃς, εἰ ἐπὶ τοῦ Θεοῦ οὕτω διακεῖσθαι χρὴ, ὅπου γε καὶ ἐπ' ἀνθρώπων οὕτω πολλοὶ διάκεινται. υἱοὺς γοῦν ἔχομεν πολλάκις γνησίους· κἂν ἄκοντες αὐτοὺς διαθῶμέν τι κακὸν, ἑαυτοὺς τιμωρούμεθα καὶ κολάζομεν· καὶ ἐπὶ φίλων δὲ τοῦτο ποιοῦμεν. εἰ δὲ ἐπὶ φίλων καὶ υἱῶν τοῦ κολασθῆναι τὸ λυπῆσαι ἐκείνους πολλῷ χαλεπώτερον εἶναι νομίζομεν, πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ οὕτω διακεῖσθαι χρὴ, καὶ γεέννης ἁπάσης χαλεπώτερον εἶναι νομίζειν τὸ ποιῆσαί τι τῶν μὴ δοκούντων αὐτῷ. τοιοῦτος ἦν ὁ μακάριος Παῦλος· διὰ τοῦτο ἔλεγε, Πέπεισμαι, ὅτι οὔτε ἄγγελοι, οὔτε ἀρχαὶ, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. καὶ ἡμεῖς δὲ τοὺς ἁγίους μάρτυρας ὅταν μακαρίζωμεν, ἀπὸ τῶν τραυμάτων πρότερον μακαρίζομεν, καὶ τότε ἀπὸ τῶν βραβείων· ἀπὸ τῶν πληγῶν, καὶ τότε ἀπὸ τῶν ἀποκειμένων στεφάνων. ἀπὸ γὰρ τῶν τραυμάτων τὰ βραβεῖα, οὐκ ἀπὸ τῶν βραβείων τὰ τραύματα τὴν ἀρχὴν λαμβάνει καὶ τὴν ὑπόθεσιν. οὕτω καὶ ὁ μακά-

α Βασ. β. α.

α Βασ. β. α.

Ρωμ. η. λθ.

ήγνυτο, πλύ-

ντες άκις γνη- ῶ ἀκονριος Παῦλος περὶ τῶν ἀποκειμένων ἀγαθῶν ἐπὶ τοῖς συμβαίνουσιν αὐτῷ διὰ τὸν Χριστὸν λυπηροῖς ἔχαιρε, καὶ ἐβόα λέγων, Κολασ. α. κδ. Χαίρω ἐν τοῖς παθήμασιν ὑπὲρ ἡμῶν. γρ. ὑμῶ καὶ πάλιν, Ρωμ. ε. γ. Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσι. καὶ πάλιν, Φιλιπ. α. κθ. Ὅτι ἡμῖν ἐχαρίσθη ἀπὸ τοῦ Θεοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. καὶ γὰρ ὄντως χάρις μεγίστη, τὸ καταξιωθῆναι διὰ Χριστόν τι παθεῖν, καὶ στέφανος δὲ τὸ τοιοῦτον ἀπηρτισμένος, καὶ ἀμοιβὴ τῆς μελλούσης ἀντιδόσεως οὐκ ἐλάττων. καὶ τοῦτο ἴσασιν ὅσοι γνησίως καὶ θερμῶς φιλοῦσι ἴσασι τὸν Χριστόν. τοιαύτη τις ἦν καὶ ἡ γυνὴ αὕτη, θερμὸν ἔχουσα περὶ τὸν Θεὸν πόθον, καὶ φίλτρον διακαές. διὰ τοῦτο ἔλεγεν, Εὐφράνθην ἐν σωτηρίᾳ σου. οὐδὲν γὰρ κοινὸν αὐτῇ πρὸς τὴν γῆν ἦν, ἀλλ' ὑπερεώρα ἀνθρωπίνης βοηθείας ἁπάσης, καὶ ἐπτέρωτο τῇ τοῦ πνεύματος χάριτι, καὶ μετάρσιος ἦν, καὶ πρὸς τὸν Θεὸν ἐν ἅπασιν ἔβλεπε, καὶ τῶν ἐπικειμένων δεινῶν τὴν λύσιν ἐκεῖθεν ἐζήτει. ᾔδει γὰρ, ᾔδει σαφῶς, ὅτι τὰ μὲν ἀνθρώπινα, οἷα ἂν ᾖ, μιμεῖται τὴν φύσιν τῶν δεδωκότων· δεῖ δὲ πανταχοῦ τῆς ἄνωθεν ἡμῖν ῥοπῆς, εἴτε μέλλοιμεν ἐπ' ἀσφαλοῦς ὁρμεῖν τῆς ἀγκύρας. διὰ τοῦτο καὶ πρὸς αὐτὸν ἐν ἅπασι κατέφυγε, καὶ λαβοῦσα τὴν χάριν, ἐπὶ τῷ δεδωκότι μᾶλλον ἔχαιρε, καὶ εὐχαριστοῦσα ἔλεγεν· α. Βασ. β. β. Οὐκ ἔστιν ἅγιος, ὡς ὁ Κύριος, καὶ οὐκ ἔστι δίκαιος, ὡς ὁ Θεὸς ἡμῶν· καὶ οὐκ ἔστιν ἅγιος, πλὴν σοῦ. ἄληπτος [γὰρ] ἡ κρίσις αὐτοῦ, φησι, καθαρὰ καὶ ἀπαραλόγιστος ἡ ψῆφος. Εἶδες ψυχῆς εὐγνώμονος ἔννοιαν. οὐ γὰρ εἶπε πρὸς ἑαυτὴν, τί γάρ μοι μέγα γέγονε; τί δὲ πλέον τῶν ἄλλων; ὅπερ ἡ ἀντίζηλος πάλαι ἔλαβε, καὶ μετὰ πολλῆς τῆς δαψιλείας, τοῦτο μετὰ πολὺν χρόνον ἐγὼ, μετὰ καμάτου καὶ δακρύων καὶ ἱκετηρίας καὶ δεήσεως καὶ πόνου πολλοῦ. ἀλλ' ἐπειδὴ καλῶς ἐπέπειστο περὶ τῆς τοῦ Θεοῦ προνοίας, οὐκ ἀπαιτεῖ τὸν δεσπότην εὐθύνας τῶν γινομένων, ὃ πολλοὶ τῶν ἀνθρώπων ποιοῦσι, καθ' ἑκάστην ἡμέραν τῷ Θεῷ δικάζοντες. κἂν ἴδωσι τὸν μὲν πλουτοῦντα, τὸν δὲ πενόμενον, μυρίους κατὰ τῆς προνοίας αὐτοῦ κινοῦσι λόγους. τί ποιεῖς, ἄνθρωπε; τῷ συνδούλῳ δικάζειν σε οὐκ ἀφῆκε Παῦλος, οὕτω λέγων, α. Κορ. δ. ε. Ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος· καὶ τὸν δεσπότην εἰς δικαστήριον ἕλκεις; καὶ λόγον ἀπαιτεῖς τῶν πεπραγμένων; καὶ οὐ φρίττεις, οὐδὲ δέδοικας; καὶ ποίας τεύξῃ συγγνώμης, ποίας δὲ ἀπολογίας, εἰπέ μοι, τοσαύτας μὲν τῆς προνοίας αὐτοῦ καθ' ἑκάστην ἡμέραν καὶ ὥραν ἀποδείξεις λαμβάνων, ἀπὸ δὲ τῆς κατὰ τὸν πλοῦτον καὶ τὴν πενίαν δοκούσης ἀνωμαλίας εἶναι καταψηφιζόμενος τῆς ἐν ἅπασιν εὐταξίας, καὶ ταῦτα ἀδίκως; εἰ γὰρ μετὰ τῆς προσηκούσης γνώμης, καὶ πεπονημένῃ διανοίᾳ καὶ ταῦτα ἐξετάζειν ἤθελες, εἰ καὶ μηδὲν ἕτερον ἦν τὸ συνιστῶν τὴν τοῦ Θεοῦ πρόνοιαν, ὁ πλοῦτος καὶ ἡ πενία ταύτην ἂν μάλιστα σαφῶς ἀπέδειξεν. ἂν γὰρ ἀνέλῃς τὴν πενίαν, τοῦ βίου τὴν σύστασιν ἀνεῖλες ἅπασαν, καὶ διέφθειρας ἡμῶν τὴν ζωήν· καὶ οὔτε ναύτης, οὔτε κυβερνήτης, οὐ γεωργὸς, οὐκ οἰκοδόμος, οὐχ ὑφάντης, οὐχ ὑποδηματορράφος, οὐ τέκτων, οὐ χαλκοτύπος, οὐ σκυτοτόμος, οὐ σιτοποιὸς, οὐκ ἄλλος τις τῶν δημιουργῶν ἔσται τούτων· τούτων δὲ οὐκ ὄντων, πάντα ἡμῖν οἰχήσεται. νῦν μὲν γὰρ, καθάπερ διδάσκαλός τις ἀρίστη, ἑκάστῳ τούτων ἐπικαθημένη ἡ τῆς πενίας ἀνάγκη πρὸς τὰ ἔργα καὶ ἄκοντας συνωθεῖ. εἰ δὲ ἅπαντες ἔμελλον πλουτεῖν, ἅπαντες ἔμελλον ἐν ἀργίᾳ ζῆν· καὶ οὕτω πάντα ἂν ἀπώλετο καὶ διεφθάρη. χωρὶς δὲ τῶν εἰρημένων καὶ ἑτέρως αὐτοὺς ἀπ' αὐτῶν, ὧν ἐγκαλοῦσι, πάλιν ἐπιστομίσαι ῥᾴδιον. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, κατηγορεῖς τῆς τοῦ Θεοῦ προνοίας, ἐπειδὴ ὁ μὲν πλείω, ὁ δὲ ἐλάττω κέκτηται χρήματα; τί οὖν ἂν ἐν τοῖς ἀναγκαιοτάτοις καὶ πολλῷ μείζοσι καὶ συνέχουσιν ἡμῶν τὴν ζωὴν δείξωμεν ἰσομοιρίαν οὖσαν πᾶσιν ἀνθρώποις; ψηφιῇ τῇ τοῦ Θεοῦ προνοίᾳ; ἀνάγκη πᾶσα. εἰ γὰρ τὸ μὴ πάντας ἐπίσης γρ. ἐξ ἴ ἀπολαύειν ἑνὸς πράγματος, χρημάτων λέγω, ἀπόδειξιν ποιῇ τοῦ μηδεμίαν εἶναι πρόνοιαν, ἂν φανῶσιν ἐξίσης ἅπαντες ἀπολαύοντες, οὐχ ἑνὸς πράγματος, οὐδὲ οὕτως εὐτελοῦς, ἀλλὰ πλειόνων καὶ πολὺ μειζόνων, ζόντων," εὔδηλον ὅτι καὶ ἄκων ἐκεῖθεν συναναγκασθήσῃ ψηφίσασθαι τῇ τοῦ Θεοῦ" προνοίᾳ. δεῦρο οὖν ἐπὶ τὰ συνέχοντα τὴν ζωὴν ἡμῶν ἴωμεν τῷ λόγῳ, καὶ διερευνησώμεθα αὐτὰ μετ' ἀκριβείας· καὶ εἰδῶμεν εἰ πλεονεκτεῖ τὸν πένητα ὁ πλούσιος ἐν ἐκείνοις. οἶνον ὁ πλούσιος ἔχει Θάσιον, καὶ ἕτερα πολλὰ τοιαῦτα πόματα πεφαρμακευμένα, καὶ μετὰ πολλῆς κατεσκευασμένα [τῆς] καρυκείας. ἀλλ' αἱ τῶν ὑδάτων πηγαὶ κοινῇ πᾶσι πρόκεινται, καὶ πλουσίοις, καὶ πένησι. τάχα ἐγέλασας ἀκούων τὴν ἰσότητα ταύτην. οὐκοῦν μάθε, πόσῳ τιμιώτερον οἴνου παντὸς, ὕδατος φύσις, καὶ ἀναγκαιότερον καὶ χρησιμώτερον· καὶ τότε σαυτοῦ καταγνώσῃ, καὶ τὸν ἀληθῆ τῶν πενήτων εἴσῃ πλοῦτον. οἴνου μὲν γὰρ ἀναιρεθέντος, οὐ πολλή τις ἂν γένοιτο βλάβη τινὶ, πλὴν τοῖς ἀσθενέσι μόνοις· ἂν δέ τις σβέσῃ τὰς τοῦ ὕδατος πηγὰς καὶ τὸ στοιχεῖον ἀνέλῃ, τὸν βίον ἡμῶν ἀνέτρεψεν ἅπαντα, καὶ πάσας τὰς τέχνας ἠφάνισε· καὶ οὔτε δύο δυνησόμεθα μόνον διαρκέσαι ἡμέρας, ἀλλ' εὐθέως ἀποθανούμεθα πάντες θάνατον ἐλεεινόν τινα καὶ χαλεπώτατον. ὥστε ἐν τοῖς ἀναγκαιοτάτοις καὶ συνέχουσιν ἡμῶν τὴν ζωὴν ὁ πένης οὐδὲν πλεονεκτεῖται, ἀλλ', εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν, καὶ πλεονεκτεῖ τοῦ πλουτοῦντος. πλουσίους μὲν γὰρ πολλούς ἐστιν ἰδεῖν ὑπὸ τῆς τοῦ σώματος ἀρρωστίας τῆς διὰ τὴν τρυφὴν ἐγγινομένης αὐτοῖς τὰ πολλὰ ὑδροποσίας ἀπεχομένους· ὁ δὲ πένης διὰ τοῦ βίου παντὸς ἀδεῶς ἀπολαύει τῶν ναμάτων τούτων, ὡς ἐπὶ πηγὰς μέλιτος, οὕτως ἐπὶ τὰς τῶν ὑδάτων τρέχων πηγὰς, καὶ εἰλικρινῆ καὶ καθαρὰν ἐκεῖθεν καρπούμενος τὴν ἡδονήν. τί δὲ ἡ τοῦ πυρὸς φύσις, οὐχὶ μυρίων ἀναγκαιοτέρα θησαυρῶν καὶ πλούτου παντὸς ἀνθρωπίνου; καὶ οὗτος πάλιν ἐξ ἴσης πλουσίῳ καὶ πένητι πρόκειται τῆς χρείας ὁ θησαυρός. ἡ δὲ παρὰ τοῦ ἀέρος γινομένη τοῖς σώμασιν ἡμῶν ὠφέλεια, καὶ τὸ φῶς τῆς ἀκτῖνος, ἆρα τοῖς μὲν εὐπόροις πλέον, τοῖς δὲ πένησιν ἔλαττον παραγίνεται; κἀκεῖνοι μὲν τέτρασιν, οὗτοι δὲ δύο μόνον καθορῶσιν αὐτὸ ὀφθαλμοῖς; ἀλλ' οὐδὲ τοῦτο ἂν ἔχοι τις εἰπεῖν. καὶ γὰρ καὶ πλουσίοις καὶ πένησιν ἴσον τῆς ἀπολαύσεως ὥρισται μέτρον, μᾶλλον δὲ καὶ ἐνταῦθα τοὺς πένητας τῶν πλουτούντων πλεονεκτοῦντας ἴδοι τις ἂν, ὅσῳ καὶ τρανοτέρας τὰς αἰσθήσεις, καὶ ὀξύτερον τὸ ὄμμα, καὶ ἀκριβεστέρας ἔχουσι τὰς ἀντιλήψεις ἁπάσας. διὸ καὶ γνησιωτέραν καρποῦνται τὴν ἡδονήν, καὶ μᾶλλον ἐντρυφῶσι, καὶ ἀπολαύουσι τῇ θεωρίᾳ τῆς κτίσεως. οὐκ ἐπὶ τῶν στοιχείων δὲ μόνον τούτων, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων τῶν παρὰ τῆς φύσεως εἰσενεχθέντων ἡμῖν, πολλὴν ὄψει τὴν ἰσότητα, μᾶλλον δὲ τὴν πλεονεξίαν παρὰ τοῖς πένησιν οὖσαν. καὶ γὰρ ὕπνος, ὁ πάσης τρυφῆς ἡδίων καὶ ἀναγκαιότερος, καὶ τροφῆς ἁπάσης χρησιμώτερος, εὐκολώτερος τοῖς πένησιν, ἢ τοῖς πλουσίοις ἐστίν· οὐκ εὐκολώτερος δὲ μόνον, ἀλλὰ καὶ εἰλικρινέστερος. ἐκείνοις μὲν γὰρ ἡ πολλὴ τρυφὴ, καὶ τὸ μήτε πεινῶντας ἐσθίειν, μήτε διψῶντας πίνειν, μήτε καθεύδειν νυστάζοντας, τὴν ἐν ἅπασιν ἡδονὴν ἐκλύειν εἴωθεν. οὐ γὰρ οὕτως ἡ τῶν πραγμάτων φύσις, ὡς τὸ τῆς χρείας ἀναγκαῖον ἕκαστον ἡμῖν τούτων ἡδὺ καθίστησιν. οὐχ οὕτω γοῦν τὸ πίνειν οἶνον ἡδίω καὶ ἀνθοσμίαν, ὡς τὸ διψῶντας πίνειν ὕδωρ εὐφραίνειν εἴωθεν· οὐχ οὕτω τὸ πλακοῦντας ἐσθίειν, ὡς τὸ πεινῶντας ἐσθίειν· οὐχ οὕτω τὸ καθεύδειν ἐπὶ στρωμνῆς ἁπαλῆς, ὡς τὸ νυστάζοντας καθεύδειν· ἅπερ ἅπαντα παρὰ τοῖς πένησι μᾶλλόν ἐστιν, ἢ παρὰ τοῖς πλουτοῦσι. τὰ δὲ τῆς ὑγιείας τοῦ σώματος καὶ τῆς ἄλλης εὐεξίας ἁπάσης οὐ κοινὰ καὶ πλουσίοις καὶ πένησι πρόκειται; μὴ δύναταί τις εἰπεῖν ἢ δεῖξαι, ὅτι πένητες μὲν ἀρρωστοῦσι μόνον, πλούσιοι δὲ διὰ παντὸς ἐν καθαρᾷ διαμένουσιν ὑγιείᾳ; τοὐναντίον μὲν οὖν ἐστιν ἰδεῖν· πένητας μὲν οὐ ῥᾳδίως ἁλισκομένους τοῖς ἀνιάτοις νοσήμασι, πανταχοῦ δὲ ἐν τοῖς τῶν πλουτούντων σώμασι ταῦτα βλαστάνοντα. ποδαλγίαι γοῦν καὶ καρηβαρείαι καὶ παρέσεις καὶ νεύρων ἀνήκεστοι διαστροφαὶ, καὶ πονηρὰ καὶ διεφθαρμένα ῥεύματα παντοδαπὰ, κἀκείνοις μάλιστα ἐνοχλεῖν εἴωθε τοῖς τρυφῶσι, τοῖς μύρων ὄζουσιν," ἐν τοῖς πονοῦσι καὶ ταλαιπωρουμένοις καὶ ἐκ τῆς καθ' ἑκάστην ἡμέραν ἐργασίας τὴν ἀναγκαίαν τροφὴν πορίζουσι. διὰ τοῦτο καὶ τῶν προσαιτῶν οἱ τρυφῇ συζῶντες ἀθλιώτεροι πάντες· καὶ τοῦτο οὐδ' ἂν αὐτοὶ οἱ τρυφῶντες ἀντείποιεν. πολλάκις γοῦν πλούσιος ἐπὶ στρωμνῆς κατακείμενος ἁπαλῆς, οἰκετῶν καὶ θεραπαινίδων παρόντων, πολλῆς θεραπείας ἀπολαύων παρὰ πάντων, πένητος διὰ τοῦ στενωποῦ ἀκούσας βοῶντος, ἄρτον αἰτοῦντος, ἐδάκρυσε, καὶ ἐστέναξε, καὶ ηὔξατο γενέσθαι τοιοῦτος μετὰ τῆς ὑγιείας, ἢ μετὰ τοῦ πλούτου τὴν ἀρρωστίαν ἔχειν. οὐκ ἐπὶ τῆς ὑγιείας δὲ μόνον, ἀλλὰ καὶ ἐπὶ τῆς παιδοποιΐας πάλιν οὐδὲν ὄψεταί τις τὸν πλούσιον τοῦ πένητος πλεονεκτοῦντα· ἀλλ' ὁμοίως καὶ παρὰ τούτοις, καὶ παρ' ἐκείνοις καὶ πολυπαιδίαι καὶ ἀπαιδίαι· μᾶλλον δὲ κἀνταῦθα ἴδοι τις ἂν τὸν πλούσιον ἐλαττούμενον. ὁ μὲν γὰρ πένης, κἂν μὴ γένηται πατὴρ, οὐ πολλῆς αἰσθάνεται τῆς ὀδύνης· ὁ δὲ πλούσιος, ὅσῳ τὴν οὐσίαν αὐξομένην ὁρᾷ, τοσούτῳ δάκνεται μᾶλλον ὑπὸ τῆς ἀπαιδίας, οὐδεμιᾶς ἡδονῆς αἰσθανόμενος διὰ τὴν ἐρημίαν τοῦ κληρονόμου. καὶ τοῦ πένητος μὲν ὁ κλῆρος, κἂν ἄπαις ἀπέλθῃ, διὰ τὴν εὐτέλειαν οὐκ ὢν περιμάχητος, εἰς φίλους διέβη καὶ συγγενεῖς· ὁ δὲ τοῦ πλουτοῦντος πολλοὺς πάντοθεν πρὸς ἑαυτὸν ὀφθαλμοὺς ἕλκων, εἰς τὰς χεῖρας τῶν ἐχθρῶν τοῦ τετελευτηκότος ἦλθε πολλάκις· καὶ ταῦτα ζῶν ἐκεῖνος, καὶ βλέπων ἐφ' ἑτέρων συμβαίνοντα, θανάτου παντὸς χαλεπώτερον βιώσεται βίον, καὶ ἐπ' αὐτοῦ τοῦτο συμβήσεσθαι προσδοκῶν. ἀλλὰ τὰ τοῦ θανάτου οὐ κοινά; οὐχὶ καὶ ἐπὶ πλουσίων καὶ πενήτων ἄωροι γίνονται θάνατοι; καὶ μετὰ τὸν θάνατον δὲ οὐχ ἅπασιν ὁμοίως καὶ τοῦτο, κἀκεῖνο τὸ σῶμα διαλύεται καὶ γίνεται τέφρα καὶ κόνις, καὶ σκώληκας τίκτει; ἀλλὰ τὰ τῶν ἐνταφίων οὐ κοινά, φησί. καὶ τί τὸ ὄφελος; ὅταν γὰρ πολλὴν ἐπιστοιβάσῃς τῷ πλουσίῳ στολὴν καὶ πολυτελῆ καὶ διάχρυσον, οὐδὲν ἕτερον, ἢ πλέον αὐτῷ προξενεῖς τὸ μῖσος, καὶ μείζονα τὴν κατηγορίαν, καὶ τὰ πάντων ἀνοίγεις στόματα κατὰ τοῦ τετελευτηκότος, καὶ ἀρὰς μυρίας ἐπισπᾶσαι κατ' αὐτοῦ, καὶ σφοδροτέραν τῆς πλεονεξίας ἀνάπτεις τὴν διαβολήν, ἑκάστου διαρρηγνυμένου, καὶ ἀποπνιγομένου, καὶ καταρωμένου τὸν τελευτήσαντα, ὅτι μηδὲ ἀποθανὼν τὴν περὶ τὰ χρήματα μανίαν κατέλυσε. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, ἀλλ' ὅτι καὶ τοὺς τῶν τοιχωρύχων ἀνοίγει ὀφθαλμούς. ὥστε ἡ πλείων θεραπεία πλείονος ἀσχημοσύνης αὐτῷ γίνεται πρόφασις. τὸ μὲν γὰρ σῶμα τοῦ πένητος οὐκ ἄν τις ἕλοιτο γυμνῶσαι λοιπόν. ἡ γὰρ εὐτέλεια τῶν ἱματίων φυλακὴ τῇ περιβολῇ τοῦ σώματος γίνεται· ἐνταῦθα δὲ κλεῖθρα καὶ μοχλοὶ καὶ θύραι καὶ φύλακες, καὶ πάντα εἰκῆ καὶ μάτην, τῆς τῶν χρημάτων ἐπιθυμίας τοὺς τὰ τοιαῦτα κακουργεῖν ἐπισταμένους πάντα τολμᾶν ἀναπειθούσης. ὥστε ἡ πλείων τιμὴ πλείονα ἐπάγει τῷ τετελευτηκότι τὴν ὕβριν. καὶ ὁ μὲν εὐτελῆ λαβὼν ἐντάφια, κεῖται τῆς τιμῆς ἀπολαύων· ὁ δὲ πολυτελῆ, γυμνοῦται καὶ ἀτιμάζεται. εἰ δὲ μηδὲν τούτων γένοιτο, οὐδὲ οὕτως ἔσται τι πλέον αὐτῷ, ἀλλ' ἢ τὸ δαψιλεστέραν παρασχεῖν τῷ σκώληκι τὴν τράπεζαν, καὶ πλείω γενέσθαι τὴν σηπεδόνα. ταῦτα οὖν, εἰπέ μοι, μακαρισμῶν ἄξια; καὶ τίς οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὡς ἀπὸ τούτων ζηλωτὸν νομίζειν εἶναι ἄνθρωπον; οὐ ταῦτα δὲ μόνον, ἀλλὰ καὶ τὰ ἄλλα καθ' ἕκαστον ἐπιόντες, καὶ μετὰ ἀκριβείας διερευνώμενοι, τοὺς πένητας τῶν πλουτούντων πολὺ πλέον εὑρήσομεν ἔχοντας. ταῦτ' οὖν ἅπαντα μετὰ ἀκριβείας σκοποῦντες, καὶ τοῖς ἄλλοις ἅπασιν ἐπεξιόντες (Δίδου γὰρ, φησί, σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται) κἀκεῖνο μεμνημένοι διηνεκῶς, ὅτι οὐδὲ ἀπ' αὐτῆς τῆς τῶν χρημάτων περιουσίας ἔσται τι πλέον τοῖς κεκτημένοις, ἀλλὰ φροντίδες καὶ ἀγωνίαι καὶ φόβοι καὶ κίνδυνοι, μηδὲν νομίζωμεν ἔλαττον ἔχειν τῶν πλουτούντων. ἐὰν γὰρ νήφωμεν, καὶ πλέον ἕξομεν, ἔν τε τοῖς κατὰ Θεὸν πράγμασιν, ἔν τε τοῖς παροῦσιν ἅπασι. καὶ γὰρ ἡδονὴν καὶ ἀσφάλειαν καὶ δόξαν ἀγαθὴν καὶ ὑγίειαν σώματος καὶ φιλοσοφίαν ψυχῆς καὶ χρηστὰς ἐλπίδας, καὶ τὸ μὴ ταχέως ἁμαρτάνειν παρὰ τοῖς πένησιν εὑρήσει τις μᾶλλον, ἢ παρὰ τοῖς πλουτοῦσι. μὴ τοίνυν κατὰ τοὺς ἀγνώμονας τῶν οἰκετῶν γογγύζωμεν, μηδὲ τοῦ δεσπότου κατηγορῶμεν, ἀλλ' ἐν πᾶσιν εὐχαριστῶμεν, καὶ ἓν μόνον νομίζωμεν εἶναι δεινόν, ἁμαρτίαν, καὶ ἀγαθόν, δικαιοσύνην. ἂν γὰρ οὕτως ὦμεν διακείμενοι, οὐ νόσος, οὐ πενία,

ἴσ. πλ
χων

Παροιμ. θ. θ.

οὐκ ἀτιμία, οὐκ ἄλλο οὐδὲν τῶν δοκούντων εἶναι λυπηρῶν ἡμᾶς δήξεται. ἀλλὰ καθαρὰν ἡδονὴν καρπωσάμενοι διὰ πάντων, τῶν μελλόντων ἀγαθῶν ἐπιτευξόμεθα, χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ιϛ. ΟΤΙ ΜΕΓΑ ΑΓΑΘΟΝ ΟΥ ΤΟ ΜΕΤΙΕΝΑΙ ΜΟΝΟΝ ἀρετήν, ἀλλὰ καὶ τὸ ἐπαινεῖν ἀρετήν· καὶ ὅτι μεῖζον ἔστησε τρόπαιον φεισάμενος τοῦ Σαοὺλ ὁ Δαβίδ, ἢ ὅτε τὸν Γολιὰθ κατήνεγκε· καὶ ὅτι ἑαυτὸν μᾶλλον, ἢ τὸν Σαοὺλ ὠφέλησε τοῦτο ποιήσας· καὶ εἰς τὴν ἀπολογίαν αὐτοῦ τὴν πρὸς τὸν Σαούλ.

ΥΜεῖς μὲν πρώην ἐπῃνέσατε τὸν Δαβὶδ τῆς ἀνεξικακίας· ἐγὼ δὲ ὑμᾶς ἐθαύμασα τῆς περὶ τὸν Δαβὶδ εὐνοίας τε καὶ φιλοστοργίας. οὐ γὰρ δὴ μόνον τὸ μετιέναι καὶ ζηλοῦν ἀρετήν, ἀλλὰ καὶ τὸ τοὺς μετιόντας ἐπαινεῖν καὶ θαυμάζειν, φέρει τινὰ μισθὸν ἡμῖν οὐ μικρόν· ὥσπερ οὖν οὐ μόνον τὸ ζηλοῦν κακίαν, ἀλλὰ καὶ τὸ τοὺς ἐν αὐτῇ ζῶντας ἐπαινεῖν, φέρει κόλασιν οὐ τὴν τυχοῦσαν ἡμῖν, καὶ εἰ χρή τι καὶ θαυμαστὸν εἰπεῖν, αὐτῶν τῶν ἐν πονηρίᾳ ζώντων χαλεπωτέραν. καὶ ὅτι τοῦτο ἐστὶν ἀληθές, δείκνυσιν ὁ Παῦλος ἐν οἷς φησιν. ἐπειδὴ γὰρ κακίας ἅπαν εἶδος ἠρίθμησε, καὶ τῶν καταπατούντων τοὺς τοῦ Θεοῦ νόμους κατηγόρησεν ἁπάντων, ἐπήγαγε λέγων περὶ αὐτῶν ἐκείνων· Οἵτινες τὸ δικαίωμα τοῦ Θεοῦ γνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσίν, οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσι. διὸ ἀναπολόγητος εἶ, ὦ ἄνθρωπε. ὁρᾷς ὅτι διὰ τοῦτο οὕτως εἶπεν, ἵνα δείξῃ τοῦτο ἐκείνου χαλεπώτερον ὄν; τοῦ γὰρ ἁμαρτάνειν τὸ καὶ ἐπαινεῖν τοὺς ἁμαρτάνοντας, πολὺ μεῖζον εἰς κολάσεως λόγον· καὶ μάλα εἰκότως. διεφθαρμένης γάρ ἐστι γνώμης καὶ ἀνίατα νοσούσης αὕτη ἡ ψῆφος. ὁ μὲν γὰρ μετὰ τοῦ πλημμελεῖν καταγινώσκων τῆς ἁμαρτίας, χρόνῳ ποτὲ ἑαυτὸν δυνήσεται καὶ ἀνακαλέσασθαι· ὁ δὲ ἐπαινῶν πονηρίαν, τῆς ἐκ τοῦ μετανοῆσαι θεραπείας ἑαυτὸν ἀπεστέρησεν. ὥστε εἰκότως τοῦτο ἐκείνου χαλεπώτερον ὁ Παῦλος εἶναι ἀπέδειξεν. ὥσπερ οὖν οὐχ οἱ τὰ φαῦλα πράσσοντες μόνοι, ἀλλὰ καὶ οἱ τούτοις ἐγκωμιάζοντες, τῆς αὐτῆς, ἢ καὶ χαλεπωτέρας, ἐκείνοις κοινωνοῦσι κολάσεως· οὕτως οἱ τοὺς ἀγαθοὺς ἐπαινοῦντες καὶ θαυμάζοντες, συμμέτοχοι τῶν ἐκείνοις ἀποκειμένων στεφάνων εἰσί. καὶ τοῦτο αὐτὸ πάλιν ἀπὸ τῆς γραφῆς ἔστιν ἰδεῖν. πρὸς γὰρ τὸν Ἀβραὰμ διαλεγόμενός φησιν ὁ Θεός· Εὐλογήσω τοὺς εὐλογοῦντάς σε, καὶ τοὺς καταρωμένους σε καταράσομαι. τοῦτο καὶ ἐπὶ τῶν Ὀλυμπιακῶν ἀγώνων συμβαῖνον ἴδοι τις ἄν. οὐ γὰρ ὁ τὸν στέφανον περικείμενος ἀθλητής, οὐδὲ ὁ τοὺς πόνους ὑπομένων καὶ τοὺς ἱδρῶτας μόνον, ἀλλὰ καὶ ὁ θαυμαστὴς τοῦ νενικηκότος, οὐκ ὀλίγην ἐκ τῆς εὐφημίας ἐκείνης καρποῦται τὴν ἡδονήν. διά τοι τοῦτο οὐχὶ τὸν γενναῖον ἐκεῖνον τῆς φιλοσοφίας μακαρίζω μόνον, ἀλλὰ καὶ ὑμᾶς τῆς περὶ αὐτὸν εὐνοίας. ἐπάλαισε μὲν γὰρ ἐκεῖνος, καὶ ἐνίκησε καὶ ἐστεφανώθη· ἐπαινέσαντες δὲ τὴν νίκην ὑμεῖς, οὐ μικρὸν τοῦ στεφάνου μέρος λαβόντες ἀπήλθετε. ἵν' οὖν μείζων ἡ ἡδονὴ γένηται καὶ πλέον τὸ κέρδος, φέρε, καὶ τὰ λειπόμενα τῆς ἱστορίας ἀποδῶμεν ὑμῖν. εἰπὼν γὰρ ὁ συγγραφεὺς τὰ ῥήματα, δι' ὧν παρῃτήσατο τὴν σφαγήν, ἐπήγαγε τό, ὅτι οὐκ ἔδωκεν αὐτοῖς ἀναστῆναι καὶ ἀποκτεῖναι τὸν Σαούλ, ὁμοῦ καὶ τὴν ἐκείνων ἐπιθυμίαν τὴν περὶ τὴν σφαγήν, καὶ τὴν ἀνδρείαν τὴν τούτου δεῖξαι βουλόμενος. καίτοιγε πολλοὶ τῶν ἐχθρῶν, καὶ οἱ δοκοῦντες φιλοσοφεῖν, κἂν αὐτοὶ μὴ καταδέξωνται ἀνελεῖν, ὑφ' ἑτέρων ἀναιρεῖσθαι μέλλοντας οὐκ ἂν ἕλοιντο κωλῦσαι.

Ῥωμ. α. λβ.
β. α.

Γεν. ιβ. γ.

α. Βασ. κδ. η.

κωλῦσαι. ὁ δὲ Δαβὶδ οὐχ οὕτως, ἀλλ' ὥσπερ τινὰ παρακαταθήκην λαβὼν, καὶ μέλλων αὐτῆς εὐθύνας διδόναι, οὐ μόνον αὐτὸς οὐχ ἥψατο τοῦ πολεμίου, ἀλλὰ καὶ ἑτέρους βουλομένους ἀνελεῖν ἐκώλυσε, σωματοφύλαξ ἀντὶ πολεμίου γενόμενος καὶ δορυφόρος ἄριστος. ὥστε οὐκ ἄν τις ἁμάρτοι τὸν Δαβὶδ μᾶλλον κινδύνῳ περιπεπτωκέναι εἰπὼν, ἢ τὸν Σαούλ. οὐ γὰρ τὸν τυχόντα ἀγῶνα ὑπέμεινε, πάντα τρόπῳ σπουδάζων αὐτὸν ἐξελέσθαι τῆς ἐπιβουλῆς τῶν περὶ ἐκείνων· οὐδὲ οὕτως ἐδεδοίκει μέλλων αὐτὸς ἀποσφάττεσθαι, ὡς ἐδεδοίκει μήποτε τῶν στρατιωτῶν τις ἐνδοὺς τῷ θυμῷ, διαφθείρῃ τὸν ἄνθρωπον. διὰ τοῦτο καὶ δικαιολογίαν τοιαύτην συνέθηκε. καὶ γὰρ κατήγοροι μὲν ἐκεῖνοι, κατηγορεῖτο δὲ ὁ καθεύδων, ἀπελογεῖτο δὲ ὁ πολέμιος, ἐδίκαζε δὲ ὁ Θεὸς καὶ τὴν τοῦ Δαβὶδ ψῆφον ἐκύρωσεν. οὐ γὰρ ἄνευ τῆς τοῦ Θεοῦ ῥοπῆς ἴσχυσεν ἂν τῶν μαινομένων ἐκείνων περιγενέσθαι. ἀλλ' ἡ τοῦ Θεοῦ χάρις ἦν ἡ τοῖς χείλεσιν ἐγκαθημένη τοῦ προφήτου, καὶ πειθώ τινα δοῦσα τοῖς ῥήμασιν ἐκείνοις. οὐ μικρὸν δὲ καὶ ὁ Δαβὶδ συνεβάλετο. ἐπειδὴ γὰρ αὐτοὺς τὸν ἔμπροσθεν χρόνον οὕτως ἐπαίδευσε, διὰ τοῦτο ἐν τῷ καιρῷ τῶν ἀγώνων παρεσκευασμένους εὗρε καὶ εἴκοντας. οὐ γὰρ ὡς στρατηγὸς στρατιωτῶν, ἀλλ' ὡς ἱερεὺς, οὕτως αὐτῶν περιειστήκει καὶ ἦν ἐκκλησία τὸ σπήλαιον ἐκεῖνο λοιπόν. καὶ γὰρ ὥσπερ τις ἐπισκοπὴν λαχὼν, οὕτω πρὸς αὐτοὺς ἐποιήσατο ὁμιλίαν· καὶ μετὰ τὴν ὁμιλίαν ταύτην, θυσίαν ἀνήνεγκε θαυμαστήν τινα καὶ παράδοξον, οὐ μόσχον καταθύσας, οὐκ ἀρνίον κατασφάξας, ἀλλ', ὃ πολλῷ τούτων τιμιώτερον ἦν, πραότητα καὶ ἐπιείκειαν ἀναθεὶς τῷ Θεῷ, καὶ τὸν ἄλογον καταθύσας θυμὸν, καὶ τὴν ὀργὴν ἀποκτείνας, καὶ νεκρώσας τὰ μέλη τὰ ἐπὶ τῆς γῆς· καὶ ἐγένετο αὐτὸς καὶ ἱερεῖον, καὶ ἱερεὺς, καὶ θυσιαστήριον. ὅ τε γὰρ προσενεγκὼν τὴν πραότητα καὶ τὴν ἐπιείκειαν λογισμὸς, ἥ τε ἐπιείκεια καὶ ἡ πραότης καὶ ἡ καρδία, ἐν ᾗ ταῦτα προσεφέρετο, ἅπαντα ἦν παρ' αὐτοῦ.

Ἐπεὶ οὖν προσήνεγκε τὴν καλὴν ταύτην θυσίαν, καὶ τὴν νίκην ἀπήρτισε, καὶ οὐδὲν τῶν τροπαίων ἐνέλιπεν, ἀνέστη λοιπὸν ἡ τῶν ἀγώνων ὑπόθεσις ὁ Σαούλ, καὶ ἐξῆλθεν ἀπὸ τοῦ σπηλαίου, τῶν γεγενημένων οὐδὲν εἰδώς. ἐξῄει δὲ καὶ ὁ Δαβὶδ ὄπισθεν, ἐλευθέροις λοιπὸν ὀφθαλμοῖς πρὸς τὸν οὐρανὸν βλέπων, καὶ μᾶλλον τότε γανύμενος, ἢ ὅτε τὸν Γολιὰθ κατήνεγκε καὶ τὴν τοῦ βαρβάρου κεφαλὴν ἀπέτεμε. καὶ γὰρ αὕτη λαμπροτέρα ἐκείνης ἡ νίκη, καὶ τὰ λάφυρα σεμνότερα, καὶ τὰ σκῦλα περιφανέστερα, καὶ τὸ τρόπαιον ἐνδοξότερον. ἐκεῖ μὲν γὰρ καὶ σφενδόνης ἐδεήθη καὶ λίθων καὶ παρατάξεως· ἐνταῦθα δὲ, πάντα ὁ λογισμὸς ἐγένετο, καὶ χωρὶς ὅπλων ἡ νίκη κατωρθοῦτο, καὶ ἀναιμωτὶ τὸ τρόπαιον ἵστατο. ἐπανῄει τοίνυν οὐχὶ κεφαλὴν βαστάζων βαρβάρου, ἀλλὰ θυμὸν νενεκρωμένον καὶ ὀργὴν ἐκνενευρισμένην. καὶ ταῦτα οὐκ εἰς τὴν Ἱερουσαλὴμ ἀνετίθει τὰ λάφυρα, ἀλλ' εἰς τὸν οὐρανὸν καὶ τὴν ἄνω πόλιν. νῦν οὐχὶ γυναῖκες χορεύουσαι ἀπήντων, ταῖς εὐφημίαις αὐτὸν δεχόμεναι, ἀλλὰ τῶν ἀγγέλων ὁ δῆμος ἄνωθεν ἐπεκρότει, ἀγάμενος τὴν φιλοσοφίαν, τὴν ἐπιείκειαν. ἐπανῄει γὰρ τῷ πολεμίῳ μυρία τραύματα δοὺς, τὸν μὲν Σαοὺλ διασώσας, τὸν δὲ ἀληθῶς ἐχθρὸν τὸν διάβολον πολλαῖς κατακοντίσας πληγαῖς. ὥσπερ γὰρ ὀργιζομένων ἡμῶν καὶ πυκτευόντων καὶ πρὸς ἀλλήλους συγκρουομένων, χαίρει τε καὶ γέγηθεν ἐκεῖνος· οὕτως εἰρηνευόντων καὶ ὁμονοούντων καὶ κρατούντων ὀργῆς, συστέλλεται πάλιν καὶ ταπεινοῦται, ἅτε ἐχθρὸς εἰρήνης ὢν, καὶ πολέμιος ὁμονοίας, καὶ βασκανίας πατήρ. ἐξῄει τοίνυν ὁ Δαβὶδ, δεξιὰν τῆς οἰκουμένης ἀντίρροπον ἔχων μετὰ τῆς κεφαλῆς ἐστεφανωμένην. καθάπερ γὰρ ἐπὶ τῶν ἄριστα πυκτευόντων, περὶ τῆς κεφαλῆς πολλάκις οἱ βασιλεῖς τὴν δεξιὰν τοῦ πυκτεύοντος ἢ παγκρατιάζοντος ἐστεφάνωσαν· οὕτω δὴ καὶ τὴν χεῖρα ἐκείνην ὁ Θεὸς ἐστεφάνου, ἣ τὸ ξίφος ἴσχυσε καθαρὸν ἐξενεγκεῖν, καὶ ἀναίμακτον τῷ Θεῷ δεῖξαι τὴν μάχαιραν, καὶ πρὸς τοσαύτην ἀντιστῆναι θυμοῦ ῥύμην. οὐκ ἐξῆλ-

θεν ἔχων τὸ διάδημα τοῦ Σαούλ, ἀλλ' ἐξῆλθεν ἔχων στέφανον δικαιοσύνης· οὐκ ἐξῆλθεν ἔχων πορφυρίδα βασιλικήν, ἀλλ' ἐξῆλθε περιβεβλημένος ἐπιείκειαν ὑπερβαίνουσαν ἀνθρωπίνην φύσιν, ἱμάτιον πάσης στολῆς λαμπρότερον. ἐξῆλθεν ἀπὸ τοῦ σπηλαίου μετὰ τοσαύτης περιφανείας, μεθ' ὅσης οἱ παῖδες οἱ τρεῖς ἀπὸ τῆς καμίνου. καθάπερ γὰρ ἐκείνους οὐ κατέκαυσε τὸ πῦρ, οὕτω καὶ τοῦτον ἡ πυρὰ τῆς ὀργῆς οὐκ ἐνέπρησε. κἀκείνοις μὲν ἔξωθεν τὸ πῦρ ὁμιλοῦν οὐδὲν ἐποίησεν· οὗτος δὲ ἔνδοθεν ἔχων τοὺς ἄνθρακας καιομένους, καὶ τὸν διάβολον ἔξωθεν ὁρῶν τὴν κάμινον ὑποκαίοντα, ἀπὸ τῆς ὄψεως τοῦ ἐχθροῦ, ἀπὸ τῆς παραινέσεως τῶν στρατιωτῶν, ἀπὸ τῆς εὐκολίας τῆς κατὰ τὴν σφαγήν, ἀπὸ τῆς ἐρημίας τῶν βοηθησόντων, ἀπὸ τῆς μνήμης τῶν παρελθόντων, ἀπὸ τῆς τῶν μελλόντων ἀγωνίας (καὶ γὰρ τοῦτο κληματίδος καὶ πίσσης καὶ στυππείου, καὶ πάντων τῶν τὴν Βαβυλωνίαν ἀναπτόντων κάμινον λαμπροτέραν ἀνῆγε τὴν φλόγα) οὐκ ἐνεπρήσθη, οὐδὲ ἔπαθέ τι τοιοῦτον, οἷον εἰκὸς ἦν, ἀλλ' ἐξῆλθε καθαρός, καὶ ἰδὼν τοῦ πολεμίου τὴν ὄψιν, ἐντεῦθεν μάλιστα ἐφιλοσόφησεν. ἰδὼν γὰρ αὐτὸν καθεύδοντα καὶ ἀκίνητον μένοντα, καὶ οὐδὲν δυνάμενον ἐργάσασθαι, πρὸς ἑαυτὸν εἶπε· ποῦ νῦν ὁ θυμὸς ἐκεῖνος; ποῦ δὲ ἡ πονηρία; ποῦ δὲ αἱ τοσαῦται μαγγανεῖαι καὶ ἐπιβουλαί; οἴχεται) πάντα ἐκεῖνα καὶ ἀπόλωλεν ὕπνου μικρᾶς προσβολῇ, καὶ κεῖται δεδεμένος ὁ βασιλεύς, οὐδὲν ἡμῶν περὶ τούτων βουλευσαμένων, οὐδὲ πραξάντων. ἑώρα καθεύδοντα, καὶ περὶ τοῦ κοινοῦ πάντων ἐφιλοσόφει θανάτου. ὕπνος γὰρ οὐδὲν ἕτερόν ἐστιν, ἢ θάνατος πρόσκαιρος, καὶ ἐφήμερος τελευτή. οὐκ ἂν τις ἀκαίρως καὶ τοῦ Δανιὴλ ἐνταῦθα ἀναμνησθείη. καθάπερ γὰρ ἐκεῖνος ἀνέβαινεν ἀπὸ τοῦ λάκκου, τῶν θηρίων περιγενόμενος, οὕτω καὶ οὗτος ἀπὸ τοῦ σπηλαίου, θηρίων ἑτέρων χαλεπωτέρων κρατήσας. ὥσπερ γὰρ τῷ δικαίῳ ἐκείνῳ λέοντες ἑκατέρωθεν παρεκάθηντο, οὕτω καὶ τούτῳ λέοντες ἀγριώτεροι πάντων, τὰ πάθη ἐπετίθετο· θυμὸς τῶν παρελθόντων ἔνθεν, φόβος τῶν μελλόντων ἐκεῖθεν· ἀλλ' ὅμως ἀμφότερα οὗτος κατέστελλε καὶ ἐπεστόμιζε τὰ θηρία, διδάσκων διὰ τῶν ἔργων, ὅτι οὐδὲν ἀσφαλέστερον τοῦ φείδεσθαι τῶν ἐχθρῶν, οὐδὲ σφαλερώτερον τοῦ βούλεσθαι ἐκδικεῖν ἑαυτὸν καὶ ἀμύνεσθαι. ὁ γοῦν βουληθεὶς ἐπεξελθεῖν, γυμνὸς καὶ ἄοπλος καὶ πάντων ἔρημος, καθάπερ αἰχμάλωτος παραδοθείς, οὕτως ἔκειτο· ὁ δὲ εἴκων καὶ παραχωρῶν πανταχοῦ, καὶ μηδὲ δικαίως ἐπεξελθεῖν ἑλόμενος, χωρὶς μηχανημάτων καὶ ὅπλων καὶ ἵππων καὶ στρατιωτῶν, τὸν πολέμιον εἰς χεῖρας ἐλάμβανε· καὶ τὸ δὴ μεῖζον ἁπάντων ἦν, τὸν Θεὸν εἰς πλείονα εὔνοιαν ἐπεσπάσατο. οὐ γὰρ διὰ τοῦτο μακαρίζω τὸν ἅγιον ἐκεῖνον, οὐχ ὅτι τὸν ἐχθρὸν ὑπὸ τοὺς πόδας εἶδε τοὺς ἑαυτοῦ κείμενον, ἀλλ' ὅτι εἰς χεῖρας λαβὼν ἐφείσατο. τὸ μὲν γὰρ τῆς τοῦ Θεοῦ δυνάμεως ἔργον ἦν, τὸ δὲ τῆς αὐτοῦ φιλοσοφίας. πῶς ἦν εἰκὸς λοιπὸν τοὺς στρατιώτας ἐκείνῳ προσέχειν, μεθ' ὅσης εὐνοίας διακεῖσθαι πρὸς αὐτόν; εἰ γὰρ μυρίας εἶχον ψυχάς, οὐκ ἂν ἑτοίμως ἁπάσας ἐπέδωκαν ὑπὲρ τοῦ στρατηγοῦ, ἔργῳ μαθόντες ἐν τῇ τοῦ πολεμίου κηδεμονίᾳ τὴν περὶ τοὺς οἰκείους εὔνοιαν; ὁ γὰρ περὶ τοὺς λελυπηκότας πρᾶος καὶ ἥμερος ὤν, πολλῷ μᾶλλον περὶ τοὺς εὐνοϊκῶς διακειμένους οὕτως ἔμελλε διακεῖσθαι. ὃ δὴ μέγιστον ἐνέχυρον ἀσφαλείας ἦν αὐτῷ, οὐκ εὐνούστεροι δὲ μόνον, ἀλλὰ καὶ προθυμότεροι περὶ τοὺς πολεμίους ἦσαν, εἰδότες ὅτι τὸν Θεὸν ἔχουσιν ὑπὲρ αὐτῶν πολεμοῦντα, τὸν ἀεὶ παρόντα τῷ στρατηγῷ, καὶ τὰ πράγματα ἅπαντα ἐξευμενίζοντα. καὶ τῷ Δαβὶδ δέ, οὐχ ὡς ἀνθρώπῳ λοιπόν, ἀλλ' ὡς ἀγγέλῳ προσεῖχον· καὶ παρὰ τῆς ἀντιδόσεως τοῦ Θεοῦ, μείζονα καὶ ἐνταῦθα τοῦ διασωθέντος αὐτὸς ἐκαρποῦτο, καὶ λαμπροτέραν ἤρατο νίκην, ἢ εἰ κατέθυσε τὸν Σαούλ. τί γὰρ ἂν τοσοῦτον ἐκέρδανε σφάξας τὸν ἐχθρόν, ὅσον ἐκαρπώσατο φεισάμενος νῦν; τοῦτο τοίνυν καὶ σὺ λογίζου, ἐπειδὰν λάβῃς τὸν λελυπηκότα σε, ὅτι πολλῷ μεῖζον καὶ κερδαλεώτερον τὸ φείσασθαι τοῦ διαφθεῖραι. ὁ μὲν γὰρ διαφθείρας καὶ καταγνώσεται πολλάκις ἑαυτοῦ, καὶ πονηρὸν ἕξει συνειδός,

δός, καθ' ἑκάστην ἡμέραν καὶ ὥραν ὑπὸ τῆς ἁμαρτίας ἐκείνης διωκόμενος· ὁ δὲ φεισάμενος καὶ μικρὸν καρτερήσας χρόνον, γάνυται μετὰ ταῦτα καὶ τρυφᾷ, χρηστὰς ἀναμένων ἐλπίδας, καὶ τὰς ἀμοιβὰς τῆς ἀνεξικακίας παρὰ τοῦ Θεοῦ προσδοκῶν· καὶ εἴ ποτε περιπέσοι τινὶ δεινῷ, μετὰ πολλῆς παρρησίας ἀπαιτήσει τὸν Θεὸν τὴν ἀντίδοσιν. καθάπερ οὖν καὶ οὗτος ἀπάντων ἀπήλαυσε τούτων, μεγάλας καὶ θαυμαστὰς τῆς περὶ τὸν ἐχθρὸν τοῦτον κηδεμονίας λαβὼν παρὰ τοῦ Θεοῦ τὰς ἀμοιβὰς ὕστερον.

α. Βασ. κδ. θ. Ἀλλὰ γὰρ ἴδωμεν καὶ τὰ μετὰ ταῦτα. Καὶ ἐξῆλθε Δαβὶδ ἐκ τοῦ σπηλαίου, φησὶν, ὀπίσω Σαοὺλ, καὶ ἐβόησεν ὀπίσω αὐτοῦ, οὕτω λέγων· κύριέ μου βασιλεῦ. καὶ ἀνέβλεψε Σαοὺλ ὀπίσω αὐτοῦ· καὶ ἔκυψε Δαβὶδ ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ προσεκύνησεν αὐτῷ. ταῦτα τοῦ σῶσαι τὸν ἐχθρὸν οὐκ ἐλάττονα φέρει κόσμον. οὐδὲ γὰρ τῆς τυχούσης ψυχῆς ἐστὶ τὸ μὴ φυσηθῆναι ταῖς εἰς τὸν πλησίον εὐεργεσίαις, μᾶλλον δὲ τὸ μὴ τὸ τῶν πολλῶν παθεῖν, οἳ καθάπερ ἀνδραπόδων οὕτως ὑπερορῶσι τῶν εὐεργετηθέντων, καὶ τὰς ὀφρῦς ἀνασπῶσιν. ἀλλ' οὐχ ὁ μακάριος Δαβὶδ οὕτως, ἀλλὰ μειζόνως ἐμετρίαζε, καὶ μετὰ τὴν εὐεργεσίαν. τὸ δὲ αἴτιον, ὅτι οὐδὲν τῶν κατορθωμάτων τούτων ἐνόμιζε τῆς αὐτοῦ σπουδῆς εἶναι, ἀλλὰ τὸ πᾶν ἀνετίθει τῇ θείᾳ χάριτι. διὰ τοῦτο αὐτὸς σώσας, αὐτὸς προσκυνεῖ τὸν σωθέντα, καὶ βασιλέα καλεῖ πάλιν, καὶ δοῦλον ὀνομάζει ἑαυτὸν, διὰ τοῦ σχήματος ἐκείνου καταστέλλων τὸ φύσημα, καὶ τὸν θυμὸν παραμυθούμενος, καὶ τὴν βασκανίαν ἀναιρῶν. ἀκούσωμεν δὲ καὶ τῆς ἀπολογίας α. Βασ. κδ. αὐτῆς· Ἵνα τί ἀκούεις τῶν λόγων τοῦ λαοῦ λεγόντων, ἰδοὺ, Δαβὶδ ζητεῖ τὴν ψυχήν σου; καὶ α. Βασ. ιη. ιε. καὶ κϛ. μὴν ἀνωτέρω τοῦτον ὁ συγγραφεὺς εἶπεν, ὅτι πᾶς ὁ λαὸς ἦν μετ' αὐτοῦ· καὶ ἤρεσκεν ὀφθαλμοῖς τῶν δούλων τοῦ βασιλέως· καὶ ὁ τοῦ κρατοῦντος υἱὸς, καὶ τὸ στρατόπεδον ἅπαν, μετ' αὐτοῦ ταῖς γνώμαις εἱστήκεσαν. πῶς οὖν ἐνταῦθά φησιν, ὅτι ἦσαν τινὲς ἐνδιαβάλλοντες καὶ συκοφαντοῦντες, καὶ τὸν Σαοὺλ παροξύνοντες; ὅτι γὰρ οὐ παρ' ἑτέρων ἀναπεισθεὶς, ἀλλ' αὐτὸς οἴκοθεν τὴν πονηρίαν ταύτην τεκὼν ἐπολέμει τῷ δικαίῳ, καὶ τοῦτο ἐδήλωσεν ὁ τὸ βιβλίον γράψας, εἰ- α. Βασ. ιη. η. πών· Ὅτι ἐκ τῆς εὐφημίας ὁ φθόνος ἐτίκτετο, καὶ προϊὼν ηὔξατο καθ' ἑκάστην ἡμέραν. τίνος οὖν ἕνεκεν ἐφ' ἑτέρους μετατίθησι τὴν αἰτίαν, λέγων· Ἵνα τί ἀκούεις τῶν λόγων τοῦ λαοῦ σου λεγόντων· ἰδοὺ, Δαβὶδ ζητεῖ τὴν ψυχήν σου; διδοὺς ἐξουσίαν αὐτῷ ἀποκρούσασθαι τὴν πονηρίαν. τοῦτο γοῦν καὶ πατέρες πολλάκις ποιοῦσιν ἐπὶ υἱῶν· καὶ λαβών τις ἐκείνων τὸν ἑαυτοῦ υἱὸν διεφθαρμένον καὶ πολλὰ εἰργασμένον κακὰ, κἂν πεπεικὼς τύχῃ ἑαυτὸν, ὅτι οἴκοθεν καὶ παρ' ἑαυτοῦ πρὸς τὴν πονηρίαν ἐξώκειλεν, ὅμως ἐφ' ἑτέρους μετάγει τὰ ἐγκλήματα πολλάκις οὑτωσὶ λέγων· οἶδα ὅτι οὐ σὸν γέγονε τὸ ἁμάρτημα· ἕτεροί σε διέφθειραν καὶ ἠπάτησαν· ἐκείνων ἅπαν ἐστὶ τὸ πλημμέλημα. ὁ γὰρ ταῦτα ἀκούων δυνήσεται, μικρὸν ἀπὸ τῆς κακίας διαβλέψας, εὐκολώτερον πρὸς ἀρετὴν ἐπανελθεῖν, αἰσχυνόμενος καὶ ἐρυθριῶν ἀνάξιος τῆς περὶ αὐτῷ δόξης φανῆναι. τοῦτο καὶ Παῦλος ἐποίησε, τοῖς Γαλάταις γράφων. μετὰ τοὺς πολλοὺς γοῦν καὶ μακροὺς ἐκείνους λόγους καὶ τὰς ἀφάτους κατηγορίας, ἃς αὐτῶν κατηγόρησε, πρὸς τῷ τέλει τῆς ἐπιστολῆς, βουλόμενος αὐτῶν ἀποσκευάσασθαι τὴν κατηγορίαν, ἵνα μικρὸν ἀναπνεύσαντες ἐκ τῶν ἐγκλημάτων δυνηθῶσιν εἰς ἀπολογίαν ἐλθεῖν, οὕτω Γαλατ. ε. ι. πως φησίν· Ἐγὼ πέποιθα εἰς ὑμᾶς, ὅτι οὐδὲν ἄλλο φρονήσετε· ὁ δὲ ταράσσων ὑμᾶς βαστάσει τὸ κρίμα, ὅστις ἂν ᾖ. οὕτω καὶ ὁ Δαβὶδ ἐποίησεν ἐνταῦθα. τὸ γὰρ εἰπεῖν, ἵνα τί ἀκούεις τῶν λόγων τοῦ λαοῦ λέγοντος, ἰδοὺ, Δαβὶδ ζητεῖ τὴν ψυχήν σου, ἔδειξεν ἑτέρους ὄντας τοὺς παροξύνοντας, ἑτέρους τοὺς διαφθείροντας. οὕτως ἦν παντὶ τρόπῳ σπουδάζων ἀπολογίαν αὐτῷ παρασχεῖν τῶν ἐγκλημάτων. εἶτα ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπολογούμενος φησί· α. Βασ. κδ. ια. Καὶ ἰδοὺ ἑωράκασιν οἱ ὀφθαλμοί σου σήμερον, ὡς παρέδωκέ σε Κύριος εἰς τὰς χεῖράς μου ἐν τῷ σπηλαίῳ, καὶ οὐκ ἠβουλήθην ἀποκτεῖναί σε· καὶ ἐφεισάμην σου, καὶ εἶπον· οὐκ ἐποίσω τὴν χεῖρά μου ἐπὶ τὸν κύριόν μου, ὅτι χριστὸς Κυρίου ἐστίν. ἐκεῖνοι μὲν οὖν διὰ ῥημάτων

μάτων διαβάλλουσί, φησιν· ἐγὼ δὲ διὰ πραγμάτων ἀπολογήσομαι, καὶ δι᾽ ἔργων ἀποσκευάζομαι τὴν κατηγορίαν. οὐ χρεία μοι λόγων, αὐτῆς τῶν πραγμάτων τῆς ἐκβάσεως παντὸς λόγου σαφέστερον δυναμένης διδάξαι, τίνες μὲν ἐκεῖνοι, τίς δὲ ἐγώ· καὶ ὡς συκοφαντία καὶ ψεῦδος ἡ κατ᾽ ἐμοῦ λεγομένη διαβολή. καὶ τούτων οὐχ ἕτερον, ἀλλ᾽ αὐτόν σε καλῶ μάρτυρα τὸν εὖ παθόντα. καὶ πῶς, φησιν, ἠδύνατο μαρτυρεῖν ἐκεῖνος; ἡνίκα γὰρ ταῦτα ἐγίνετο, ἐκάθευδε, καὶ οὔτε τῶν ῥημάτων ἤκουσεν, οὔτε τὸν Δαβὶδ εἶδε παρόντα, οὔτε τοῖς στρατιώταις διαλεγόμενον. πῶς οὖν ἀπαντησόμεθα, ἵνα σαφὴς ἡ ἀπόδειξις γένηται; εἰ γὰρ μάρτυρας παρήγαγεν ἀνθρώπους τοὺς τότε σὺν αὐτῷ ὄντας, ὑπώπτευσεν ἂν τὴν μαρτυρίαν ὁ Σαούλ, καὶ χαριζομένους τῷ δικαίῳ ταῦτα λέγειν ἐνόμισεν. εἰ δὲ ἀπὸ λογισμῶν τῶν εἰκότων ἐπεχείρησεν ἀπολογήσασθαι, μειζόνως ἔμελλεν ἀπιστεῖσθαι, τῆς τοῦ δικάζοντος γνώμης διεφθαρμένης. πῶς γὰρ, ὁ μετὰ τοσαύτας εὐεργεσίας πολεμῶν τῷ μηδὲν ἠδικηκότι, ἐδύνατο πιστεῦσαι, ὅτι ὁ ἀδικηθεὶς τὸν ἀδικήσαντα λαβὼν εἰς χεῖρας, ἐφείσατο; καὶ γὰρ ὡς τὰ πολλὰ οἱ πολλοὶ τῶν ἀνθρώπων ἐκ τῶν καθ᾽ ἑαυτοὺς καὶ περὶ τῶν ἄλλων τὰς ψήφους φέρουσιν· οἷον, ὁ μεθύων διηνεκῶς, οὐκ ἂν ῥᾳδίως πιστεύσειεν εἶναί τινα ἄνθρωπον ἐν ἐγκρατείᾳ ζῶντα· ὁ πόρναις προσέχων, καὶ τοὺς κοσμίως βιοῦντας ἀκολάστους εἶναι νομίζει· πάλιν, ὁ τὰ τῶν ἄλλων ἁρπάζων, οὐκ ἂν πεισθείη ῥᾳδίως, ὅτι εἰσὶν ἄνθρωποι καὶ τὰ ἑαυτῶν προϊέμενοι. οὕτω δὴ καὶ οὗτος, ἅπαξ ὑπὸ τῆς ὀργῆς ἁλούς, οὐκ ἂν ῥᾳδίως ἐπίστευσεν, ὅτι ἐστὶν ἄνθρωπος οὕτω τοῦ πάθους περιγενόμενος, ὡς μὴ μόνον μηδὲν ἀδικεῖν, ἀλλὰ καὶ τὸν ἀδικοῦντα σώζειν.

Ἐπεὶ οὖν καὶ ἡ γνώμη τοῦ δικάζοντος διέφθαρτο, καὶ μάρτυρες, εἰ παρήχθησαν, δι᾽ ὑποψίας ἔμελλον εἶναι, ᾠκονομήθη ἀπόδειξίν τινα γενέσθαι δυναμένην καὶ τοὺς σφόδρα ἀναισχυντοῦντας ἐπιστομίσαι. ποίαν δὴ ταύτην; τὸ πτερύγιον τῆς διπλοΐδος. ὃ καὶ προβαλλόμενος ἔλεγεν· Ἰδοὺ τὸ πτερύγιον τῆς διπλοΐδος ἐν τῇ χειρί μου, ὃ ἐγὼ ἀφεῖλον, καὶ οὐκ ἀπέκτεινά σε. ἄφωνος ὁ μάρτυς, ἀλλὰ τῶν φωνὴν ἐχόντων σαφέστερος. οὐ γὰρ ἂν εἰ μὴ πλησίον ἐγενόμην, φησί, καὶ τοῦ σώματος ἐγγὺς εἱστήκειν τοῦ σοῦ, τὸ μέρος ἂν ἔκοψα τοῦ ἱματίου. ὁρᾷς ὅσον ἀγαθὸν ἐγένετο ἐκ τοῦ κινηθῆναι παρὰ τὴν ἀρχὴν τὸν Δαβίδ; εἰ μὴ γὰρ ἐκινήθη πρὸς τὴν ὀργήν, οὐκ ἂν οὔτε τὴν φιλοσοφίαν ἐμάθομεν τοῦ ἀνδρός (οὐδὲ γὰρ ἀπὸ φιλοσοφίας, ἀλλ᾽ ἐξ ἀναισθησίας μᾶλλον ἔδοξεν ἂν πολλοῖς ἡ φειδὼ γενέσθαι) οὔτ᾽ ἂν ἐξέκοψε τὴν διπλοΐδα· μὴ ἐκκόψας δὲ, οὐδαμόθεν ἑτέρωθεν εἶχε πιστώσασθαι τὸν ἐχθρόν. νυνὶ δὲ κινηθεὶς καὶ τεμών, ἀναμφισβήτητον ἀπόδειξιν τῆς αὐτοῦ προνοίας παρέσχεν. ἐπεὶ οὖν οὕτως ἀληθῆ καὶ ἀνύποπτον μαρτυρίαν παρήγαγεν, αὐτὸν λοιπὸν τὸν ἐχθρὸν καὶ δικαστὴν καὶ μάρτυρα καλεῖ τῆς οἰκείας κηδεμονίας, οὑτωσὶ λέγων· Γνῶθι καὶ ἴδε σήμερον, ὅτι οὐκ ἔστιν ἐν τῇ χειρί μου κακία, οὐδὲ ἀθέτησις· καὶ σὺ δεσμεύεις τὴν ψυχήν μου τοῦ λαβεῖν αὐτήν. ἐντεῦθεν μάλιστα ἄν τις αὐτὸν θαυμάσειε τῆς μεγαλοψυχίας, ὅτι ἀπὸ τῶν κατ᾽ ἐκείνην τὴν ἡμέραν συμβάντων τὴν ἀπολογίαν ποιεῖται μόνον. τοῦτο γὰρ ἠνίξατο εἰπών· Γνῶθι καὶ ἴδε σήμερον. οὐδὲν λέγω τῶν παρελθόντων, φησίν· ἀρκεῖ μοι πρὸς ἀπόδειξιν ἡ παροῦσα ἡμέρα· καίτοιγε πολλὰς καὶ μεγάλας ἔμπροσθεν εὐεργεσίας γεγενημένας εἶχεν ἀριθμεῖν, εἴπερ ἐβούλετο. καὶ γὰρ τῆς πρὸς τὸν βάρβαρον μονομαχίας αὐτὸν ἀναμνῆσαι ἐδύνατο, καὶ εἰπεῖν, ὅτι τοῦ βαρβαρικοῦ πολέμου, καθάπερ κατακλυσμοῦ τινος ἅπασαν μέλλοντος περισύρειν τὴν πόλιν, καταπεπληγότων ὑμῶν καὶ δεδοικότων, καὶ καθ᾽ ἑκάστην ἡμέραν ἀποθανεῖσθαι προσδοκώντων, ἐγὼ παρελθών, οὐδενὸς ἀναγκάσαντος, ἀλλὰ καὶ σοῦ κωλύοντος καὶ κατέχοντος καὶ λέγοντος, Οὐ δυνήσῃ πορευθῆναι, ὅτι παιδάριον εἶ, αὐτὸς δὲ ἀνὴρ πολεμιστὴς ἐκ νεότητος αὐτοῦ, οὐκ ἀνεδυόμην· ἀλλὰ πρὸ τῶν ἄλλων ἁπάντων ἐπήδησα, καὶ τὸν πολέμιον ἐδεξάμην, καὶ τὴν κεφαλὴν ἀπέτεμον, καὶ ὥσπερ τινὰ

α. Βασ. κδ. ιϛ.

α. Βασ. κδ. ιϛ.

α. Βασ. ιζ. λγ.

χειμάρρου ῥύμην ἀνέστειλε τὴν ἔφοδον τῶν βαρβάρων ἐκείνων, καὶ τὴν πόλιν σειομένην ἔστησε· καὶ δι' ἐμέ, σοὶ μὲν τὴν βασιλείαν καὶ τὴν ψυχήν, οἱ δὲ λοιποὶ πάντες μετὰ τῆς ψυχῆς τὴν πόλιν, καὶ τὰς οἰκίας, καὶ τὰ παιδία, καὶ τὰς γυναῖκας ἔχουσι. καὶ μετ' ἐκεῖνο δὲ πάλιν τὸ τρόπαιον, ἑτέρους οὓς κατώρθωσε πολέμους, εἰπεῖν εἶχε οὐκ ἐλάττους ἐκείνου. καὶ ὅτι καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις ἐπιχειρήσαντος ἀνελεῖν, καὶ τὸ δόρυ κατὰ τῆς αὐτοῦ κεφαλῆς ἀφέντος, οὐκ ἐμνησικάκησε, καὶ ὅτι μετὰ ταῦτα μέλλων ἀποδιδόναι τὸν μισθὸν τῆς προτέρας μάχης, ἕδνα ἀπῄτησεν, οὐ χρυσίον καὶ ἀργύριον, ἀλλὰ σφαγὴν καὶ πανωλεθρίαν· καὶ οὐδὲ ἐνταῦθα ἀνένευσε.

Ταῦτα πάντα, καὶ πολλῷ πλείονα τούτων καὶ μείζονα εἶχεν εἰπεῖν· ἀλλ' οὐδὲν τούτων εἶπεν. οὐ γὰρ ὀνειδίσαι αὐτῷ τὰς εὐεργεσίας ἐβούλετο, ἀλλὰ πεῖσαι μόνον, ὅτι τῶν φιλούντων αὐτὸν καὶ κηδομένων ἐστίν, οὐχὶ τῶν ἐπιβουλευόντων καὶ πολεμούντων. διὰ τοῦτο πάντα ἐκεῖνα ἀφείς, τὸ ἐν αὐτῇ τῇ ἡμέρᾳ συμβὰν μόνον εἰς λόγον ἀπολογίας παρήγαγεν. οὕτως ἦν ἄτυφος καὶ κενοδοξίας καθαρὸς ἁπάσης, καὶ πρὸς ἓν ἔβλεπε μόνον, τὴν τοῦ Θεοῦ ψῆφον. α. Βασ. κδ. ιϛ. εἶτα φησί· Κρίναι Κύριος ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. τοῦτο εἶπε τὸ ῥῆμα, οὐχὶ κολασθῆναι βουλόμενος τὸν ἄνδρα, οὐδὲ τιμωρίαν παρ' αὐτοῦ λαβεῖν, ἀλλὰ φοβῆσαι τῇ μνήμῃ τῆς μελλούσης κρίσεως, καὶ οὐ φοβῆσαι μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπολογήσασθαι. μάλιστα μὲν γάρ, φησιν, ἔχω καὶ τὰς ἀπὸ τῶν πραγμάτων ἀποδείξεις· εἰ δὲ ἀπιστεῖς, αὐτὸν καλῶ τὸν Θεὸν μάρτυρα, τὸν τὰ ἀπόρρητα τῆς ἑκάστου διανοίας εἰδότα, καὶ τὸ συνειδὸς ἐρευνῆσαι δυνάμενον. ταῦτα δὲ ἔλεγε, δεικνὺς ὅτι οὐκ ἂν ἐτόλμησε καλέσαι τὸν ἀπαραλόγιστον δικαστήν, καὶ ἐπ' αὐτοῦ τὴν δίκην εἰσαγαγεῖν, εἰ μὴ σφόδρα ἦν πεπεικὼς ἑαυτόν, ὅτι πάσης ἐπιβουλῆς ἦν καθαρός. καὶ ὅτι οὐ στοχασμὸς τὰ εἰρημένα, ἀλλὰ καὶ ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπολογήσασθαι βουληθείς, κἀκεῖνον σωφρονίσαι θέλων, τῆς δίκης ἐκείνης ἀνέμνησεν, ἱκανὰ μὲν καὶ τὰ ἤδη γεγενημένα δηλῶσαι· οὐκ ἔλαττον δὲ ἐκείνων καὶ τὰ μετὰ ταῦτα συμβάντα τοῦτο πιστώσασθαι δύναται. καὶ γὰρ πάλιν αὐτὸν εἰς χεῖρας λαβών, μετὰ τὴν σωτηρίαν ταύτην ἐπιθέμενον αὐτῷ καὶ ἀνελεῖν βουλόμενον, καὶ δυνάμενος αὐτὸν μετὰ τοῦ στρατοπέδου κατακόψαι παντός, ἀφῆκεν, οὐδὲν ὧν εἰκὸς ἦν παθεῖν, πεπονθότα. διὸ καὶ συνιδὼν ὡς ἀνήκεστα νοσεῖ, καὶ τῆς πρὸς αὐτὸν ἔχθρας οὐδαμοῦ λήξει ποτέ, ἐξήγαγεν ἑαυτὸν τῶν ὀφθαλμῶν τῶν ἐκείνου, καὶ παρὰ τοῖς βαρβάροις ἔζη, δουλεύων, ἠτιμωμένος, αἰσχυνόμενος, ἐκ πόνου καὶ ταλαιπωρίας τὴν ἀναγκαίαν ἑαυτῷ πορίζων τροφήν. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστόν, ἀλλ' ὅτι καὶ πεσόντα ἀκούσας ἐπὶ τῆς παρατάξεως, διέρρηξέ τε τὸν χιτωνίσκον, καὶ σποδὸν κατεπάσατο, καὶ θρηνῶν ἐθρήνησεν, ὃν ἄν τις θρηνήσειε, παῖδα μονογενῆ καὶ γνήσιον ἀποβαλών, συνεχῶς αὐτοῦ τὸ ὄνομα ἀνακαλῶν μετὰ τοῦ παιδίου, καὶ ἐγκώμια συντιθείς, καὶ πικρὰν ἀφιεὶς φωνήν, καὶ μέχρις ἑσπέρας ἄσιτος μένων, καὶ αὐτὰ τὰ χωρία καταρώμενος τὰ δεξάμενα τὸ αἷμα τοῦ Σαούλ. β. Βασ. α. κα. Ὄρη γάρ, φησι, τὰ Γελβουέ· μὴ πέσοι ἐφ' ὑμᾶς, μήτε δρόσος, μήτε ὑετός· ὄρη θανάτου, ὅτι ἐκεῖ ἐξήρθη σκέπη δυνατῶν. ὅπερ πατέρες ποιοῦσι πολλάκις, καὶ τὴν οἰκίαν ἀποστρέφονται, καὶ τὸν στενωπὸν ἀηδῶς ὁρῶσι, δι' οὗ τὸν υἱὸν παρέπεμψαν, τοῦτο καὶ οὗτος ἐποίησε, καὶ κατηρᾶτο τοῖς ὄρεσι τοῖς τὴν σφαγὴν δεξαμένοις. μισῶ καὶ τὸν τόπον αὐτόν, διὰ τοὺς ἐκεῖ πεσόντας νεκρούς, φησι. μηκέτι τοίνυν βραχῆτε τοῖς ἄνωθεν ὑετοῖς. ἐβράχητε γὰρ ἅπαξ κακῶς τῷ τῶν φίλων μου αἵματι· καὶ συνεχῶς δὲ αὐτῶν περιστρέφει τὰ ὀνόματα, οὑτωσὶ λέγων· β. Βασ. α. κγ. Σαοὺλ καὶ Ἰωνάθαν, οἱ ἠγαπημένοι καὶ ὡραῖοι, οὐ κεχωρισμένοι ἐν τῇ ζωῇ αὐτῶν, καὶ ἐν τῷ θανάτῳ αὐτῶν οὐ διεχωρίσθησαν. ἐπειδὴ γὰρ τὰ σώματα μὴ παρόντα περιπτύξασθαι οὐκ εἶχε, περιπλέκεται αὐτῶν ταῖς προσηγορίαις, τὴν οἰκείαν ὀδύνην, ὡς οἷόν τε, τούτοις καταπραΰνων, καὶ τὸ τῆς συμφορᾶς παραμυθούμενος μέγεθος. ἐπειδὴ γὰρ πολλοῖς ἐδόκει τὸ πεσεῖν ἀμφοτέρους ἐν ἡμέρᾳ μιᾷ ἀνήκεστον εἶναι κακόν, αὐτὸ δὴ τοῦτο εἰς ὑπόθεσιν παραμυθίας ἔλαβε. " ὥσπερ γὰρ εἴρηται, ἐν τῇ ζωῇ αὐτῶν οὐ κεχωρισμένοι, καὶ ἐν τῷ θανάτῳ αὐτῶν οὐκ ἐχωρίσθησαν, οὐδὲν ἕτερον, " ἢ τοῦτο κατασκευάζοντος ἦν. οὐ γάρ ἐστι, φησὶν, εἰπεῖν, ὅτι ὀρφανίαν ὁ παῖς ἐθρήνησεν, οὐδὲ ἀπαιδίαν ὁ πατὴρ ὠδύρετο, ἀλλ᾽, ὃ μηδενὶ συνέβη, συνέβη ἐκείνοις. ὁμοῦ γὰρ καὶ κατὰ μίαν ἡμέραν τῆς ζωῆς ἀπεῤῥάγησαν, οὐ καταλειφθεὶς θάτερος. ἢ γὰρ ἂν ἀβίωτον ἑαυτῷ εἶναι τὸν βίον ἐνόμισε τῇ διασπάσει θατέρου. διεθερμάνθητε νῦν, ἐδακρύσατε, συνεχύθητε τὸν λογισμὸν, καὶ πρὸς ἄφεσιν δακρύων εὐτρεπεῖς ὑμῶν οἱ ὀφθαλμοὶ γεγένηνται; νῦν ἕκαστος ἀναμιμνησκέσθω μοι τοῦ ἐχθροῦ καὶ τοῦ λελυπηκότος, ἐπὶ ζεούσης τῷ πένθει τῆς διανοίας· καὶ τοῦτον καὶ ζῶντα φυλαττέτω, καὶ ἀπελθόντα πενθείτω, μὴ πρὸς ἐπίδειξιν, ἀλλ᾽ ἀπὸ διανοίας καὶ ψυχῆς γνησίας. κἂν δέῃ τι παθεῖν, ὥστε μὴ λυπῆσαι τὸν ἠδικηκότα, πάντα ποιείτω καὶ πασχέτω, παρὰ τοῦ Θεοῦ μεγάλας ἀναμένων τὰς ἀμοιβάς. ἰδοὺ γοῦν οὗτος καὶ τὴν βασιλείαν ἔλαβε, καὶ τὴν χεῖρα οὐκ ἐμόλυνεν, ἀλλὰ καθαρὰν ἔχων τὴν δεξιὰν, οὕτω τὸν στέφανον ἀνεδήσατο, καὶ ἐπὶ τὸν θρόνον ἀνέβη, τῆς ἁλουργίδος καὶ τοῦ διαδήματος λαμπροτέραν ἔχων εὐφημίας ὑπόθεσιν, τὸ φείσασθαι τοῦ πολεμίου, τὸ θρηνῆσαι πεσόντα. διὰ τοῦτο οὐχὶ ζῶν μόνον, ἀλλὰ καὶ τελευτήσας μνημονεύεται. ὥστε εἰ βούλει καὶ σὺ καὶ ἐνταῦθα διηνεκοῦς δόξης τυχεῖν, ἄνθρωπε, κἀκεῖ τῶν ἀκινήτων ἀπολαῦσαι καλῶν, μίμησαι τὴν ἀρετὴν τοῦ δικαίου, ζήλωσον τὴν φιλοσοφίαν, ἐπίδειξαι διὰ τῶν ἔργων τὴν ἀνεξικακίαν ταύτην· ἵνα τοὺς αὐτοὺς ὑπομείνας αὐτῷ πόνους, καὶ τῶν αὐτῶν ἀξιωθῇς ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἡ δόξα, σὺν τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ιζ. ΕΙΣ ΤΟ ΜΗ ΠΛΗΣΙΑΖΕΙΝ ΘΕΑΤΡΟΙΣ, ΚΑΙ ὅτι μοιχοὺς ἀπηρτισμένους ποιεῖ, καὶ ὅτι ἀθυμίας αἴτιον καὶ πολέμου τοῦτο, καὶ ὅτι πολὺ ἀνεξικακίας εἶδος ὑπερεβάλετο ὁ Δαβὶδ ἐν τοῖς κατὰ τὸν Σαούλ.

Πολλοὺς οἶμαι τῶν πρώην καταλιπόντων ἡμᾶς, καὶ πρὸς τὰ θέατρα τῆς παρανομίας αὐτομολησάντων παρεῖναι τήμερον. καὶ ἐβουλόμην εἰδέναι τούτους σαφῶς, ὥστε αὐτοὺς τῶν ἱερῶν " ἐκβαλεῖν προθύρων, οὐχ ἵνα μένωσιν ἔξω διηνεκῶς, ἀλλ᾽ ἵνα διορθωθέντες, ἐπανέλθωσι πάλιν. ἐπεὶ καὶ πατέρες παῖδας σφαλλομένους τῆς οἰκίας ἐκβάλλουσι πολλάκις, καὶ τῆς τραπέζης " ἀπείργουσιν, οὐχ ἵνα διὰ παντὸς τούτων ἐκπέσωσιν, ἀλλ᾽ ἵνα βελτίους τῇ νουθεσίᾳ ταύτῃ γενόμενοι, μετὰ τῆς προσηκούσης δόξης [καὶ τιμῆς] " ἐπὶ τὸν πατρῷον ἐπανέλθωσι κλῆρον. τοῦτο * καὶ ποιμένες ποιοῦσι, τὰ ψώρας ἐμπεπλησμένα πρόβατα τῶν ὑγιαινόντων " ἀπείργουσιν, ἵνα * ἀποθέμενα τὴν ἀῤῥωστίαν, μετ᾽ ἀσφαλείας πρὸς τὰ ὑγιαίνοντα ἐπανέλθῃ πάλιν, καὶ μὴ νοσοῦντα τὴν ἀγέλην ἅπασαν ἐμπλήσῃ τῆς ἀῤῥωστίας ἐκείνης. διά τοι τοῦτο καὶ ἡμεῖς ἐβουλόμεθα τούτους εἰδέναι. ἀλλ᾽ εἰ καὶ μὴ τοῖς [αἰσθητοῖς] ὀφθαλμοῖς αὐτοὺς διακρῖναι δυνάμεθα, ὁ λόγος αὐτοὺς " ἐπιγνώσεται πάντως, καὶ τοῦ συνειδότος αὐτῶν ἐπιλαβόμενος πείσει ῥᾳδίως ἑκόντας αὐτοὺς " ὑπεξελθεῖν, διδάσκων ὅτι ἐκεῖνος ἔνδον ἐστὶ μόνος, ὁ τῆς ἐνταῦθα διατριβῆς ἀξίαν " παρέχων τὴν γνώμην· ὡς ὁ μετὰ πολιτείας διεφθαρμένης τοῦ ἱεροῦ τούτου μετέχων συλλόγου, κἂν τὸ σῶμα ἐνταῦθα " εἰσάγῃ, ἐκβέβληται, καὶ τῶν ἀποκεκλεισμένων ἔξω καὶ μηδέπω δυναμένων τῆς ἱερᾶς " μετασχεῖν τραπέζης μᾶλλον ἀπελήλαται). ἐκεῖνοι μὲν γὰρ οἱ κατὰ τοὺς τοῦ Θεοῦ νόμους ἐκβληθέντες, καὶ μένοντες ἔξω, τέως χρηστὰς ἔχουσι τὰς ἐλπίδας. κἂν γὰρ " ἐθέλωσι διορθώσασθαι τὰ " παραπτώματα, τα, διὰ τῆς ἐκκλησίας, ἧς ἐξέπεσον, δυνήσονται μετὰ καθαροῦ τοῦ συνειδότος πάλιν ἐπανελθεῖν; οἱ δὲ μολύναντες ἑαυτούς, καὶ κελευσθέντες μὴ πρότερον ἐπιβῆναι, ἕως ἂν ἀποκαθάρωνται τὴν κηλῖδα τὴν ἐκ τῶν ἁμαρτημάτων, εἶτα ἀναισχυντοῦντες, χαλεπώτερον τὸ τραῦμα ἐργάζονται [καὶ] μεῖζον τὸ ἕλκος. οὐ γὰρ οὕτω τὸ ἁμαρτάνειν [ἐστὶ] χαλεπόν, ὡς ἡ μετὰ τὴν ἁμαρτίαν ἀναισχυντία, καὶ τὸ μὴ πείθεσθαι τοῖς ἱερεῦσι τὰ τοιαῦτα κελεύουσι. καὶ τί τοσοῦτον ἡμάρτηται τούτοις, φησίν, ὥστε αὐτοὺς ἐκβαλεῖν τῶν ἱερῶν τούτων περιβόλων; καὶ ποίαν ἑτέραν ταύτης ζητεῖς μείζονα ἁμαρτίαν, ὅταν μοιχοὺς ἑαυτοὺς ἀπηρτισμένους ποιήσαντες, ἀναιδῶς, καθάπερ κύνες λυττῶντες, ἐπιπηδῶσι τῇ ἱερᾷ * τραπέζῃ; καὶ εἰ βούλει μαθεῖν καὶ τὸν τρόπον τῆς μοιχείας, οὐκ ἐμὸν ἐρῶ σοι λόγον, ἀλλ' αὐτοῦ τοῦ μέλλοντος ἡμῶν δικά-

Ματθ. ε.κη. ζειν τὴν ζωὴν ἅπασαν. Ὁ γὰρ ἐμβλέψας, φησί, γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. εἰ δὲ ἡ ἀπὸ ταὐτομάτου κατὰ τὴν ἀγορὰν ἐντυχοῦσα γυνή, καὶ ὡς ἔτυχεν ἐσταλμένη, τὸν περιέργως ἰδόντα εἷλε πολλάκις τῇ τῆς ὄψεως θεωρίᾳ· οἱ μὴ ἁπλῶς, μηδὲ ἀπὸ ταὐτομάτου, ἀλλ' ἀπὸ σπουδῆς τοσαύτης, ὡς καὶ τῆς ἐκκλησίας ὑπεριδεῖν, καὶ διὰ τοῦτο ἀναβάντες ἐκεῖ, καὶ διημερεύσαντες, καὶ ταῖς ὄψεσι τῶν ἠτιμωμένων γυναικῶν ἐκείνων προσηλωμένοι, πῶς δυνήσονται λέγειν, ὅτι οὐ πρὸς ἐπιθυμίαν εἶδον; ὅπου καὶ ῥήματα διακεκλασμένα, καὶ ᾄσματα πορνικά, καὶ φωνὴ πολλὴν ἡδονὴν ἔχουσα, καὶ ὀφθαλμῶν ὑπογραφαί, καὶ ἐπιτρίμματα παρειᾶς, καὶ στολὴ περιέργως συγκειμένη, καὶ σχῆμα γοητείας γέμον, καὶ ἕτεραι πολλαὶ μαγγανεῖαι πρὸς ἀπάτην καὶ δέλεαρ τῶν ὁρώντων κατεσκευασμέναι, καὶ ῥᾳθυμία ψυχῆς τῶν θεωμένων, καὶ πολλὴ ἡ διάχυσις, καὶ ἡ παρὰ τοῦ τόπου πρὸς ἀσέλγειαν παράκλησις, καὶ ἡ τῶν φθασάντων, καὶ ἡ τῶν μετὰ ταῦτα ἀκουσμάτων, ἡ διὰ τῶν συρίγγων, ἡ διὰ τῶν αὐλῶν καὶ τῶν ἄλλων τῶν τοιούτων μελῳδία καταγοητεύουσα, καὶ τὸ στερρὸν τῆς διανοίας καταμαλάττουσα, καὶ ταῖς τῶν πορνῶν ἐπιβουλαῖς προευτρεπίζουσα τὰς τῶν καθημένων ψυχὰς καὶ εὐαλώτους ποιοῦσα, [δι' αὐτῶν διαστήσασα τοῦ Χριστοῦ.] εἰ γὰρ ἐνταῦθα, ὅπου ψαλμοί, καὶ εὐχαί, καὶ θείων λογίων ἀκρόασις, καὶ Θεοῦ φόβος, καὶ εὐλάβεια πολλή, πολλάκις, ὥσπερ τις λῃστὴς κακοῦργος, λαθοῦσα ἐπεισῆλθεν ἐπιθυμία· πῶς οἱ ἐν θεάτρῳ καθήμενοι, καὶ μηδὲν μήτε ὁρῶντες, μήτε ἀκούοντες ὑγιές, [ἀλλὰ πολλῆς γέμοντες αἰσχρότητος, πολλῆς τῆς βλακείας], καὶ διὰ πάντων πολιορκούμενοι, καὶ δι' ὤτων, καὶ δι' ὀφθαλμῶν, δύναιντ' ἂν ἀνώτεροι γενέσθαι τῆς πονηρᾶς ἐκείνης ἐπιθυμίας; μὴ δυνάμενοι δέ, πῶς δυνήσονται τὸ τῆς μοιχείας ἐγκλήματος ἀπηλλάχθαι; οἱ δὲ τὸ τῆς μοιχείας ἐγκλήματος οὐκ ἀπηλλαγμένοι, πῶς δυνήσονται χωρὶς μετανοίας τῶν ἁγίων τούτων ἐπιβῆναι προθύρων, καὶ τοῦ καλοῦ τούτου μετασχεῖν συλλόγου; διὸ δὴ παραινῶ καὶ δέομαι πρότερον ἐξομολογήσει καὶ μετανοίᾳ καὶ τοῖς ἄλλοις ἅπασιν ἀποσμηξαμένους τὴν ἐκ τῆς ἐκεῖ θεωρίας ἁμαρτίαν, οὕτω τῶν θείων ἀκροᾶσθαι λογίων. οὐ γὰρ τὸ τυχὸν ἡμῖν πεπλημμέληται. καὶ τοῦτο καὶ ἐκ παραδείγματος ἴδοι τις ἂν σαφῶς. εἰ γάρ τις οἰκέτης εἰς κιβώτιον, ἔνθα τὰ δεσποτικὰ ἱμάτια ἐναπέκειτο πολυτελῆ καὶ διάχρυσα, ἱμάτιον δουλικὸν ῥύπου γέμον καὶ πολλῶν τῶν φθειρῶν ἐναπέθετο, ἆρα ἂν πρᾴως ἤνεγκας τὴν ὕβριν, εἰπέ μοι; τί δέ, εἴ τις εἰς ἀγγεῖον χρυσοῦν μύρα διηνεκῶς ἔχειν εἰωθός, κόπρον καὶ βόρβορον ἐνέχεεν, οὐκ ἂν καὶ πληγὰς ἐπέθηκας τῷ πλημμελήσαντι τοῦτο; εἶτα κιβωτίων μὲν καὶ σκευῶν, καὶ ἱματίων, καὶ μύρων τοσαύτην ποιησόμεθα πρόνοιαν, τὴν δὲ ψυχὴν τὴν ἡμετέραν πάντων τούτων εὐτελεστέραν εἶναι νομιοῦμεν; καὶ ἔνθα τὸ μύρον τὸ πνευματικὸν εἰσεχύθη, διαβολικὰς πομπὰς ἐπεμβαλοῦμεν, καὶ ἀκούσματα Σατανικά, καὶ ᾄσματα πορνείας γέμοντα; καὶ πῶς ταῦτα ὁ Θεὸς οἴσει, εἰπέ μοι; καίτοι οὐ τοσοῦτον τὸ μέσον μύρου καὶ βορβόρου, καὶ ἱματίων δεσποτικῶν καὶ δουλικῶν, ὅσον τὸ μέσον τῆς πνευματικῆς χάριτος, καὶ ταύτης τῆς πονηρᾶς ἐνεργείας. οὐ δέδοικας, ἄνθρωπε, τοῖς αὐτοῖς ὀφθαλμοῖς καὶ τὴν κλίνην τὴν ἐπὶ τῆς ὀρχήστρας "βλέπων, ἔνθα τὰ μυσαρὰ τελεῖται τῆς μοιχείας δράματα, καὶ τὴν τράπεζαν ταύτην τὴν ἱεράν, ἔνθα τὰ φρικτὰ τελεῖται μυστήρια; ταῖς αὐταῖς ἀκοαῖς πόρνης ἀκούων αἰσχρολογούσης, καὶ προφήτου καὶ ἀποστόλου σε μυσταγωγοῦντος; τῇ αὐτῇ καρδίᾳ τὰ δηλητήρια δεχόμενος φάρμακα, καὶ τὴν θυσίαν τὴν φρικτήν*; οὐκ ἐντεῦθεν ἀνατροπαὶ βίων, καὶ διαφθοραὶ γάμων, καὶ πόλεμοι καὶ μάχαι ἐν ταῖς οἰκίαις; ὅταν γὰρ ὑπὸ τῆς ἐκεῖ θεωρίας "διαχυθῇς, καὶ χαυνότερος γενόμενος καὶ ἀσελγέστερος καὶ σωφροσύνης ἁπάσης ἐχθρὸς, ἐπανελθὼν ἴδῃς" τὴν γυναῖκα τὴν ἰδίαν, ἀηδέστερον ὄψει πάντως, "οἵα ἂν ᾖ. ὑπὸ γὰρ τῆς ἐν τοῖς θεάτροις ἐμπρησθεὶς ἐπιθυμίας, καὶ ὑπὸ τῆς ξένης ἐκείνης θεωρίας ἁλοὺς τῆς γεγοητευμένης, τὴν σώφρονα καὶ κοσμίαν καὶ τοῦ βίου παντὸς κοινωνὸν ἀτιμάζεις, ὑβρίζεις, μυρίοις περιβάλλεις ὀνείδεσιν, οὐδὲν ἔχων ὅλως ἐγκαλέσαι· ἀλλ' αἰσχυνόμενος τὸ πάθος εἰπεῖν, καὶ τὸ τραῦμα δεῖξαι, ὅπερ ἐκεῖθεν λαβὼν ἐπανῆλθες, ἑτέρας πλέκεις προφάσεις, ἀφορμὰς ζητῶν ἀπεχθείας ἀλόγους, καὶ τῶν μὲν οἴκοι πάντων ὑπερορῶν, πρὸς δὲ τὴν μιαρὰν καὶ ἀκάθαρτον κεχηνὼς ἐκείνην ἐπιθυμίαν, παρ' ἧς τὸ τραῦμα ἐδέξω· καὶ τὴν ἠχὼ τῆς φωνῆς ἔχων ἐγκαθημένην τῇ ψυχῇ ἔναυλον, καὶ τὸ σχῆμα καὶ τὸ βλέμμα καὶ τὰ κινήματα καὶ πάντα τῆς πορνείας τὰ εἴδωλα, οὐδὲν μετ' ἡδονῆς ὁρᾷς τῶν ἐπὶ τῆς οἰκίας. καὶ τί λέγω τὴν γυναῖκα καὶ τὴν οἰκίαν; καὶ τὴν ἐκκλησίαν γὰρ αὐτὴν ἀηδέστερον ὄψει, καὶ ῥημάτων "ἀπεχθῶς ἀκούσῃ τῶν περὶ σωφροσύνης, τῶν περὶ σεμνότητος (οὐκέτι γὰρ ἔσται σοι διδασκαλία, ἀλλὰ κατηγορία τὰ λεγόμενα) καὶ εἰς ἀπόγνωσιν κατὰ μικρὸν ὑποσυρεὶς, τέλεον ἑαυτὸν ἀπορρήξεις τῆς κοινωφελοῦς ταύτης διδασκαλίας. διὰ τοῦτο παρακαλῶ πάντας ὑμᾶς, αὐτούς τε φεύγειν τὰς πονηρὰς ἐν τοῖς θεάτροις διατριβάς, καὶ τοὺς ἐσχολακότας τούτοις ἐκεῖθεν ἀφέλκειν. οὐ γάρ ἐστι ψυχαγωγία, ἀλλ' ὄλεθρος, καὶ τιμωρία, καὶ κόλασις τὰ ἐκεῖ γινόμενα ἅπαντα. τί γὰρ ὄφελος τῆς προσκαίρου ταύτης ἡδονῆς, ὅταν διηνεκὴς ἐντεῦθεν ὀδύνη τίκτηται), καὶ ἐν ἡμέρᾳ, καὶ ἐν νυκτὶ κεντούμενος ὑπὸ τῆς ἐπιθυμίας, πᾶσιν ἧς δυσχερὴς καὶ δυσάρεστος; ἐξέτασον γοῦν σαυτὸν, "τίς μὲν γίνῃ ἀπὸ ἐκκλησίας ἀναχωρῶν," τίς δὲ ἀπὸ θεάτρων, καὶ ἑκατέρας δὲ παράβαλε τὰς ἡμέρας, καὶ οὐδὲν δεήσῃ τῶν ἡμετέρων λόγων. ἀρκέσει γὰρ ἑκατέρας ἡ σύγκρισις τῆς ἡμέρας δεῖξαι τὸ μέγεθος καὶ τῆς ἐντεῦθεν "ὠφελείας, καὶ τῆς ἐκεῖθεν βλάβης.

Ταῦτα καὶ ἤδη πρὸς τὴν ὑμετέραν ἀγάπην εἶπον, καὶ οὐδέποτε παύσομαι λέγων. τούς τε γὰρ νοσοῦντας τὰ τοιαῦτα νοσήματα παραμυθησόμεθα, τούς τε ὑγιαίνοντας ἀσφαλεστέρους ποιήσομεν. ἑκατέροις γὰρ ὁ περὶ τούτων χρήσιμος* λόγος· τοῖς μὲν, ἵνα ἀποστῶσι, τοῖς δὲ, ἵνα μὴ "ἐμπέσωσιν. ἀλλ' ἐπειδὴ χρὴ καὶ τοὺς ἐπιτιμῶντας τοῦτο συμμέτρως ποιεῖν, μέχρι τούτου ταύτην "στήσαντες τὴν παραίνεσιν, τὰ ὑπολειφθέντα ἐκ τῆς προτέρας ὑποθέσεως ὑμῖν ἀποδώσομεν, ἐπὶ τὸν Δαβὶδ ἐπανελθόντες πάλιν. καὶ γὰρ τοῖς ζωγράφοις ἔθος· ἐπειδὰν μέλλωσιν ἐμφερῆ τινα ἐργάζεσθαι εἰκόνα, καὶ μίαν καὶ δύο καὶ τρεῖς ἡμέρας τοὺς γράφεσθαι μέλλοντας παρακαθίζουσιν αὐτοῖς, ἵνα τῇ συνεχείᾳ τῆς θεωρίας ἀδιάπτωτον τῆς μορφῆς "διασώσωνται τὴν ἀκρίβειαν. ἐπεὶ οὖν καὶ ἡμῖν ζωγραφῆσαι πρόκειται νῦν, οὐχὶ τύπον μορφῆς σωματικῆς, ἀλλὰ ψυχῆς κάλλος, καὶ νοητὴν εὐμορφίαν, καὶ σήμερον ὑμῖν παρακαθῆσθαι βουλόμεθα τὸν Δαβὶδ, ἵνα πρὸς αὐτὸν πάντες ὁρῶντες, εἰς τὰς οἰκείας ἕκαστος ψυχὰς ἀπομάξησθε τὴν εὐμορφίαν τοῦ δικαίου, καὶ τὸ πρᾶον καὶ ἥμερον, καὶ μεγαλόψυχον, καὶ τὴν ἄλλην ἅπασαν αὐτοῦ ἀρετήν. εἰ γὰρ σώματος εἰκόνες φέρουσί τινα παραμυθίαν τοῖς ὁρῶσι, πολλῷ μᾶλλον αἱ τῆς ψυχῆς εἰκόνες. κἀκείνας μὲν οὐ δυνατὸν πανταχοῦ "ὁρᾷν, ἀλλ' ἀνάγκη διηνεκῶς ἐφ' ἑνὸς ἱδρῦσθαι τόπου· ταύτην δὲ ὅπουπερ ἂν "θέλῃς περιαγαγεῖν, οὐδὲν τὸ κωλῦον. ἐναποθέμενος γὰρ αὐτὴν τοῖς τῆς διανοίας ταμιείοις, ὅπουπερ ἂν ἧς, συνεχῶς εἰς αὐτὴν ὁρᾷν δυνήσῃ, καὶ πολλὴν παρ' αὐτῆς "καρποῦσθαι τὴν ὠφέλειαν.

Ματθ. ς. ιβ.

ὠφέλειαν. καὶ καθάπερ οἱ τοὺς ὀφθαλμοὺς νοσοῦντες, σπογγιὰς καὶ ἱματίων ῥάκη κυανιζόντων κατέχοντες, καὶ συνεχῶς εἰς αὐτὰ βλέποντες, καρποῦνταί τινα τοῦ νοσήματος παραμυθίαν ἀπὸ τοῦ χρώματος ἐκείνου· οὕτω καὶ σὺ ἂν τὴν εἰκόνα τοῦ Δαβὶδ πρὸ ὀφθαλμῶν ἔχῃς τῶν ἑαυτοῦ, καὶ συνεχῶς εἰς αὐτὴν ἀτενίζῃς, κἂν μυριάκις θυμὸς ἐνοχλῇ καὶ συγχέῃ τὸν ὀφθαλμὸν τῆς διανοίας, ὁρῶν εἰς ἐκεῖνον τὸν χαρακτῆρα τῆς ἀρετῆς, ὁλόκληρον δέξῃ τὴν ὑγίειαν, καὶ καθαρὰν τὴν φιλοσοφίαν. μὴ γάρ μοι λεγέτω τις, ὅτι μιαρὸν ἐχθρὸν ἔχω, πονηρὸν, διεφθαρμένον, ἀδιόρθωτον. οἶδα ἂν εἴπῃς, οὐκ ἔστι τοῦ Σαοὺλ χείρων, ὃς καὶ ἅπαξ, καὶ δὶς, καὶ πολλάκις διασωθεὶς ὑπὸ τοῦ Δαβὶδ, αὐτὸς μυρία ἐπιβουλεύσας, εἶτα ἀντὶ τούτων εὐεργετηθεὶς, ἔμεινε τὴν ἑαυτοῦ πονηρίαν διατηρῶν. τί γὰρ ἔχεις εἰπεῖν; ὅτι γῆν ἀπετέμετο, καὶ ἐν ἀγροῖς ἠδίκησεν, καὶ οἰκίας ὅρια ὑπερέβη, καὶ ἀνδράποδα ἥρπασε, καὶ ὕβρισε, καὶ ἐπλεονέκτησε, καὶ εἰς πενίαν ἤγαγεν; ἀλλ' οὔπω τὴν ψυχὴν ἀφείλετο, ὅπερ ἐκεῖνος ἐσπούδαζεν. εἰ δὲ καὶ τὴν ψυχὴν ἐσπούδασεν ἀφελέσθαι, ἀλλ' ἅπαξ τοῦτ' ἐτόλμησεν ἴσως, οὐχὶ δὶς, καὶ τρὶς, καὶ πολλάκις· ἀλλ' οὐ τοσαῦτα εὐεργετηθεὶς, ἀλλ' οὐκ ἐλθὼν εἰς τὰς χεῖρας καὶ ἅπαξ, καὶ δεύτερον, καὶ διασωθείς. εἰ δὲ καὶ τοῦτο, καὶ οὕτω πλεονεκτεῖ πάλιν ὁ Δαβίδ. οὐ γάρ ἐστιν ἴσον ἐπὶ τῆς παλαιᾶς ὄντα τοιαῦτα φιλοσοφεῖν, καὶ νῦν μετὰ τὴν χάριν τοιαύτας χαρίζεσθαι δωρεάς. οὐκ ἦν ὁ Δαβὶδ ἀκούσας τὴν παραβολὴν τῶν μυρίων ταλάντων, καὶ τῶν ἑκατὸν δηναρίων· οὐκ ἦν ὁ Δαβὶδ ἀκούσας τῆς εὐχῆς τῆς λεγούσης, Ἄφετε τοῖς ἀνθρώποις τὰ ὀφλήματα αὐτῶν, καθὼς καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος· οὐκ ἦν ἰδὼν τὸν Χριστὸν σταυρωθέντα, οὐχ αἷμα τὸ τίμιον ἐκχυθὲν, οὐδὲ τοὺς μυρίους περὶ φιλοσοφίας ἀκούσας λόγους· οὐκ ἀπέλαυσε θυσίας τοιαύτης, οὐδὲ αἵματος μετεῖχε δεσποτικοῦ· ἀλλ' ἀτελεστέροις ἐντρεφόμενος νόμοις καὶ οὐδὲν ἀπαιτοῦσι τοιοῦτον, πρὸς αὐτὴν τὴν κορυφὴν τὴν ἐν τῇ χάριτι ἔφθασε φιλοσοφήσας. καὶ σὺ μὲν πολλάκις ὑπὸ τῶν παρελθόντων ὀργιζόμενος, μνησικακεῖς· ἐκεῖνος δὲ καὶ ὑπὸ τῶν μελλόντων δεδοικὼς, καὶ εἰδὼς ἀκριβῶς, ὅτι ἀοίκητος αὐτῷ ἔσται ἡ πόλις, καὶ ἀβίωτος ὁ βίος σώσαντι τὸν ἐχθρὸν, οὐκ ἀφίστατο τῆς ἐκείνου κηδεμονίας, ἀλλὰ πάντα ἔπραττε, καθ' ἑαυτοῦ τὸν πολέμιον τρέφων. τίς ἂν εὕροι ταύτης μείζονα ἀνεξικακίαν εἰπέ μοι; ἵνα δὲ καὶ ἐκ τῶν νῦν γινομένων μάθῃς, ὅτι δυνατὸν, ἂν ἐθέλωμεν, πάντα ἄνθρωπον πρὸς ἡμᾶς ἀπεχθῶς ἔχοντα καταλλάξαι, τί λέοντος ἀγριώτερον; ἀλλ' ὅμως τοῦτον ἡμεροῦσιν ἄνθρωποι, καὶ γίνεται προβάτου παντὸς ἐπιεικέστερος ὁ πάντων θηρίων ἀγριώτερος καὶ βασιλικώτερος, καὶ διὰ τῆς ἀγορᾶς βαδίζει μηδένα δεδιττόμενος. τίνα οὖν ἕξομεν ἀπολογίαν, τίνα συγγνώμην, θηρία μὲν ἡμεροῦντες, ἀνθρώπους δὲ λέγοντες μὴ δύνασθαι καταπραΰνειν ποτὲ, μηδὲ ποιεῖν πρὸς ἡμᾶς ἔχειν ἡδέως; καίτοιγε τῷ θηρίῳ μὲν παρὰ φύσιν τὸ ἥμερον· τῷ ἀνθρώπῳ δὲ παρὰ φύσιν τὸ ἄγριον. ὅταν οὖν τῆς φύσεως περιγινώμεθα, τίνα ἕξομεν ἀπολογίαν, προαίρεσιν λέγοντες μὴ δύνασθαι διορθοῦν; εἰ δ' ἔτι φιλονεικεῖς, ἐκεῖνο ἂν εἴποιμι, ὅτι κἂν ἀνίατα νοσῇ, ὅσος σοι μείζων ὁ πόνος, τοσοῦτός σοι καὶ ὁ μισθὸς παραμυθοῦντι καὶ θεραπεύοντι τὸν νοσοῦντα ἀνίατα. ἓν τοίνυν σκοπῶμεν μόνον, οὐχ ὅπως μηδὲν πάθωμεν παρὰ τῶν ἐχθρῶν κακὸν, ἀλλ' ὅπως μηδὲν αὐτοὺς ἡμεῖς ἐργασόμεθα κακὸν, καὶ οὐδὲν πεισόμεθα δεινὸν, κἂν μυρία πάσχωμεν δεινά· ὥσπερ οὖν οὐδὲ ὁ Δαβὶδ, ἐλαυνόμενος, φυγαδευόμενος, μέχρι τῆς ψυχῆς αὐτῆς ἐπιβουλευόμενος, ἔπαθέ τι δεινὸν, ἀλλ' ἐκείνου λαμπρότερος ἦν καὶ σεμνότερος καὶ ποθεινότερος ἅπασιν, οὐκ ἀνθρώποις δὲ μόνον, ἀλλὰ καὶ αὐτῷ τῷ Θεῷ. τί γὰρ ἠδικήθη ὁ ἅγιος ἐκεῖνος τότε τοσαῦτα παθὼν παρὰ τοῦ Σαούλ; οὐχὶ μέχρι τῆς σήμερον ἡμέρας ᾄδεται, καὶ λαμπρὸς μὲν ἐν γῇ, λαμπρότερος δὲ ἐν οὐρανῷ; οὐχὶ τὰ ἀπόρρητα αὐτὸν ἀγαθὰ μένει, καὶ ἡ τῶν οὐρανῶν βασιλεία; τί δ' ὠφέλησεν ὁ ταλαίπωρος ἐκεῖνος καὶ ἄθλιος τοσαῦτ' ἐπιβουλεύσας; οὐχὶ καὶ τῆς βασιλείας ἐξέπεσε, καὶ ἐλεεινὸν ὑπέστη τὸν θάνατον μετὰ τῶν παίδων, καὶ παρὰ πάντων κατηγορεῖται; καὶ τὸ δὴ χαλεπώτερον, τὰς ἀθανάτους νῦν ἐκδέχεται τιμωρίας; ὅλως δὲ τί ποτέ ἐστιν, ὅπερ ἐγκαλῶν τῷ ἐχθρῷ οὐ βούλει καταλλαγῆναι;

χρήματά σε ἀφείλετο; ἀλλ' ἂν ἐνέγκῃς γενναίως τὴν ἁρπαγὴν, τοσοῦτον λήψῃ μισθὸν, ὅσον ἂν εἰ ταῖς τῶν πενήτων αὐτὰ χερσὶν ἐναπέθηκας. καὶ γὰρ ὁ πένησι δεδωκὼς, καὶ ὁ τῷ πλεονεκτήσαντι μήτε ἐπιβουλεύων, μήτε καταρώμενος, διὰ τὸν Θεὸν ταῦτα ἀμφότεροι ποιοῦσιν. ὅταν οὖν ἡ ὑπόθεσις τῆς δαπάνης ᾖ μία, εὔδηλον ὅτι καὶ στέφανος εἷς. ἀλλ' εἰς ψυχὴν ἐπεβούλευσε, καὶ ἀνελεῖν ἐπεχείρησε; μαρτύριόν σοι τὸ πρᾶγμα λογίζεται. αὐτὸν ἐπίβουλον, καὶ μέχρι τοσούτου τὴν ἔχθραν ἐξαγαγόντα, ἐν τοῖς εὐεργέταις ἀριθμῇς, καὶ διατελῇς εὐχόμενος ὑπὲρ αὐτοῦ, καὶ τὸν Θεὸν ἵλεων γενέσθαι παρακαλῶν. μὴ γὰρ δὴ τοῦτ' ἴδωμεν, ὅτι διεκώλυσεν ὁ Θεὸς σφαγῆναι τὸν Δαβὶδ, ἀλλ' ἐκεῖνο σκόπει, ὅτι τριπλοῦν καὶ τετραπλοῦν στέφανον μαρτυρίου ἀνεδήσατο ἀπὸ τῆς τοῦ Σαοὺλ ἐπιβουλῆς. ὁ γὰρ διὰ τὸν Θεὸν τὸν πολέμιον σώζων, τὸν ἅπαξ καὶ δὶς καὶ πολλάκις τὸ δόρυ κατὰ τῆς αὐτοῦ κεφαλῆς ἀκονήσαντα, καὶ γενόμενος κύριος ἀνελεῖν, εἶτα φεισάμενος, καὶ ταῦτ' εἰδὼς, ὅτι μετὰ τὴν φειδὼ ταύτην πάλιν ἐπιθήσεται, εὔδηλον ὅτι μυριάκις ἐσφάγη τῇ προθέσει· μυριάκις δὲ σφαγεὶς διὰ τὸν Θεὸν, πολλοὺς ἔχει μαρτυρίου στεφάνους, καὶ ὅπερ ὁ Παῦλος ἔλεγεν, Ὅτι καθ' ἑκάστην ἡμέραν ἀπέθνησκε διὰ τὸν Θεόν. δυνάμενος γὰρ ἀνελεῖν τὸν ἐπιβουλεύοντα, διὰ τὸν Θεὸν οὐκ ἠθέλησεν· ἀλλ' εἵλετο κινδυνεύειν καθ' ἑκάστην ἡμέραν μᾶλλον, ἢ δικαίαν ἐργασάμενος σφαγὴν, ἀπὸ τοσούτων ἀπαλλαγῆναι θανάτων. εἰ δὲ τὸν μέχρι ζωῆς αὐτῆς ἐπιβουλεύοντα ἀμύνασθαι καὶ μισεῖν οὐ χρὴ, πολλῷ μᾶλλον εἰς ὁτιοῦν ἄλλο ἀδικοῦντα. πολλοῖς δοκεῖ τὸ κακῶς ἀκούειν, καὶ εἰς ὑπόληψιν παραβλάπτεσθαι παρὰ τῶν ἐχθρῶν, πάντων θανάτων ἀφορητότερον εἶναι. φέρε οὖν, καὶ αὐτὸ τοῦτο ἐξετάσωμεν. εἶπέ σέ τις κακῶς, καὶ μοιχὸν καὶ πόρνον ἐκάλεσε; ταῦτ' εἰ μὲν ἀληθῆ λέγει, διόρθωσαι· εἰ δὲ ψευδῆ, καταγέλασον. εἰ σύνοιδας σαυτῷ τὰ εἰρημένα, σωφρόνησον· εἰ δὲ μὴ σύνοιδας, καταφρόνησον· μᾶλλον δὲ μὴ καταγελάσῃς, μηδὲ καταφρονήσῃς μόνον, ἀλλὰ καὶ χαῖρε, καὶ σκίρτα κατὰ τὸν τοῦ Κυρίου λόγον, τὸν κελεύοντα οὕτω ποιεῖν· Ὅταν γὰρ ὀνειδίσωσί, φησιν, ὑμᾶς, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι, χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. καὶ πάλιν, Χαίρετε καὶ σκιρτᾶτε, ὅταν ἐκβάλλωσιν ὑμῶν πονηρὸν ὄνομα ψευδόμενοι. ὅτι δὲ κἂν ἀληθεύων εἴπῃ, σὺ δὲ μετ' ἐπιεικείας ἐνέγκῃς τὰ ῥήματα, καὶ μὴ ἀνθυβρίσῃς, μηδὲ λοιδορήσῃς, ἀλλὰ στενάξῃς πικρὸν, καὶ καταγνῷς τῶν πεπλημμελημένων, οὐκ ἐλάττονα τοῦ προτέρου καρπώσῃ μισθόν. καὶ τοῦτ' ἀπὸ τῶν γραφῶν ὑμῖν παραστῆσαι πειράσομαι· ἵνα μάθητε ὅτι ὅσα οὐκ ὠφελοῦσι φίλοι ἐπαινοῦντες καὶ χαριζόμενοι, τοσαῦτ' ὠφελοῦσιν ἐχθροὶ κακῶς λέγοντες, κἂν ἀληθεύωσι, μόνον ἂν εἰς δέον ἡμεῖς ταῖς κατηγορίαις χρήσασθαι βουληθῶμεν. οἱ μὲν γὰρ φίλοι πολλάκις καὶ πρὸς χάριν κολακεύουσιν· οἱ δ' ἐχθροὶ τὰ ἁμαρτήματα εἰς μέσον ἄγουσιν. ἐπειδὴ γὰρ ὑπὸ φιλαυτίας ἡμεῖς τὰ ἡμέτερα πλημμελήματα οὐχ ὁρῶμεν, ὑπὸ τῆς ἔχθρας ἐκεῖνοι πολλάκις ἡμῶν ἀκριβέστερον θεασάμενοι καὶ ὀνειδίσαντες, εἰς ἀνάγκην ἡμᾶς ἐνέβαλον διορθώσεως, καὶ γέγονεν ἡμῖν ἡ ἔχθρα μεγίστης ὠφελείας ὑπόθεσις, οὐ μόνον ὅτι μιμνησκόμενοι παρ' ἐκείνων νοοῦμεν ἡμῶν τὰ ἁμαρτήματα, ἀλλ' ὅτι καὶ αὐτὰ καὶ ἀποτιθέμεθα. ἂν γὰρ ὀνειδίσῃ σε ὁ ἐχθρὸς ἁμάρτημα, ὃ σὺ σαυτῷ σύνοιδας, σὺ δ' ἀκούσας, ἐκεῖνον μὲν μὴ ὑβρίσῃς, στενάξῃς δὲ πικρὸν, καὶ τὸν Θεὸν παρακαλέσῃς, εὐθέως ἀπέθου τὴν ἁμαρτίαν ἅπασαν. ἆρα τί τούτου γένοιτ' ἂν μακαριώτερον; τί δ' εὐκολώτερον πρὸς ἁμαρτημάτων ἀπαλλαγήν; ἀλλ' ἵνα μὴ νομίσῃς ἡμᾶς ἁπλῶς σε ψυχαγωγεῖν, ἀπὸ τῶν θείων γραφῶν τὴν ὑπὲρ τούτων παρέξομαι μαρτυρίαν, ἵνα μηδὲν ἀμφιβάλῃς λοιπόν. Φαρισαῖός τις ἦν, καὶ τελώνης· ὁ μὲν εἰς ἐσχάτην κακίαν ἐληλακὼς, ὁ δὲ δικαιοσύνης ἐπιμελούμενος ἄκρας. καὶ γὰρ τὰ ὄντα προσήκατο, καὶ της βίων δὶς ἐτέλει, καὶ πλεονεξίας ἦν καθαρός. ἐκεῖνος δὲ ἐν ἁρπαγαῖς καὶ βίαις τὸν ἅπαντα χρόνον ἀνήλωσεν. ἀνῆλθον ἀμφότεροι προσεύξασθαι εἰς τὸ ἱερόν· εἶτα ἐκεῖνος στὰς ἔλεγεν, εὐχαριστῶ σοι, Κύριε, ὅτι οὐκ εἰμὶ ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων,

Ῥωμ. η. λϛ.

Ματθ. ε. ιβ.

Λουκ. ϛ. κβ.

Λουκ. ιη. ι.

ἀνθρώπων, ἅρπαγες, πλεονέκται· οὐδὲ ὡς οὗτος ὁ τελώνης. ὁ δὲ τελώνης πόῤῥωθεν ἑστὼς, οὐκ ἀνθύβρισεν, οὐκ ἀντελοιδόρησεν, οὐκ εἶπε ταῦτα τὰ τῶν πολλῶν ῥήματα· σὺ δὲ τολμᾷς τοῦ ἐμοῦ μεμνῆσθαι βίου, ἐπιλαβέσθαι δὲ τῶν ἐμοὶ πεπραγμένων; οὐ γάρ εἰμί σου βελτίων; εἴπω τὰ σοὶ πεπλημμελημένα, καὶ ποιήσω μηδέποτέ σε τῶν ἱερῶν τούτων ἐπιβῆναι προθύρων. οὐδὲν τούτων εἶπε τῶν ψυχρῶν ῥημάτων, ἃ καθ' ἑκάστην ἡμέραν ἀλλήλους πλύνοντες λέγομεν· ἀλλὰ πικρῶς στενάξας καὶ πατάξας τὸ στῆθος, τοσοῦτον εἶπε μόνον, Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· καὶ κατῆλθε δεδικαιωμένος. εἶδες τάχος; κατεδέξατο ὄνειδος, καὶ ἀπενίψατο ὄνειδος· ἐπέγνω τὰ ἁμαρτήματα, καὶ ἀπέθετο τὰ ἁμαρτήματα· καὶ ἡ κατηγορία τῆς ἁμαρτίας γέγονεν ἀναίρεσις τῆς ἁμαρτίας, καὶ ὁ ἐχθρὸς ἄκων εὐεργέτης καθίστατο. πόσα γὰρ ἔδει κάμνειν τὸν τελώνην νηστεύοντα, χαμευνοῦντα, ἀγρυπνοῦντα, τὰ ὄντα τοῖς δεομένοις ἀναλίσκοντα, ἐν σποδῷ καὶ σάκκῳ καθήμενον ἐν πολλῷ τῷ χρόνῳ, ὥστε δυνηθῆναι τὰ ἁμαρτήματα ἀποθέσθαι ἐκεῖνα; καὶ νῦν οὐδὲν τούτων ποιήσας, διὰ ψιλοῦ ῥήματος πᾶσαν ἀπέθετο τὴν κακίαν· καὶ τὰ ὀνείδη καὶ αἱ λοιδορίαι τοῦ δόξαντος αὐτὸν ὑβρίζειν, στέφανον αὐτῷ δικαιοσύνης ἐκόμισαν, χωρὶς ἱδρώτων, καὶ πόνων, καὶ χρόνου μακροῦ. ὁρᾷς ὅτι κἂν ἀληθῆ τις λέγῃ περὶ ἡμῶν, κἂν τοιαῦτα ἅπερ ἡμεῖς ἑαυτοῖς συνίσμεν, ἡμεῖς δὲ τὸν λέγοντα μὴ ὑβρίσωμεν, ἀλλὰ στενάξωμεν πικρὸν, καὶ τὸν Θεὸν ὑπὲρ τῶν ἁμαρτημάτων παρακαλέσωμεν, πάντα δυνησόμεθ' ἀποθέσθαι τὰ πλημμελήματα; οὕτω γοῦν καὶ οὗτος ἐδικαιώθη. ἐπειδὴ γὰρ οὐκ ἀνθύβρισεν ἐκεῖνον, ἀλλ' ἐστέναξεν ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων, κατῆλθε δεδικαιωμένος μᾶλλον οὗτος, ἢ ἐκεῖνος.

Ὁρᾷς ὅσον ἔχει κέρδος ἡ τῶν ἐχθρῶν ὕβρις, ἐὰν φιλοσόφως αὐτὴν φέρωμεν; ὅταν γοῦν καὶ ψευδόμενοι καὶ ἀληθεύοντες ἡμᾶς ὠφελῶσι, τίνος ἕνεκεν ἀλγοῦμεν, τίνος ἕνεκεν δακνόμεθα; ἂν μὴ σὺ σαυτὸν παραβλάψῃς, ἄνθρωπε, οὔτε φίλος, οὔτ' ἐχθρὸς, οὔτ' αὐτός σε ὁ διάβολος παραβλάψαι δυνήσεται. ὅταν γὰρ οἱ ὑβρίζοντες, οἱ δημεύοντες, οἱ μέχρι τῆς ζωῆς αὐτῆς ἐπιβουλεύοντες ὠφελῶσιν ἡμᾶς, καὶ οἱ μὲν μαρτυρίου στέφανον ἡμῖν πλέκωσι, καθάπερ ἀπεδείξαμεν, οἱ δὲ τὰ ἁμαρτήματα ἡμῶν ἀποσύρωσι, καὶ δικαίους ἡμᾶς ἐργάζωνται, ὥσπερ ἐπὶ τοῦ τελώνου γέγονε, τίνος ἕνεκεν ἐκθηριούμεθα πρὸς αὐτούς; μὴ τοίνυν λέγωμεν, ὁ δεῖνά με παρώξυνε, καὶ ὁ δεῖνά με προήγαγεν εἰπεῖν ῥήματα αἰσχρά· ἡμεῖς αἴτιοι πανταχοῦ τούτων. ἂν γὰρ θέλωμεν φιλοσοφεῖν, οὐδὲ δαίμων ἡμᾶς δυνήσεται κινῆσαι πρὸς ὀργήν. καὶ τοῦτο δῆλον καὶ ἐξ ἄλλων μὲν πολλῶν, καὶ ἀπ' αὐτῆς δὲ τῆς προκειμένης ἡμῖν ἱστορίας τῆς περὶ τὸν Δαβὶδ, ἣν ἄξιον καὶ σήμερον παραγαγεῖν εἰς μέσον, πρότερον ἀναμνήσαντες ὑμῶν τὴν ἀγάπην, ποῦ τὸν λόγον κατελύσαμεν πρῴην. ποῦ τοίνυν αὐτὸν κατελύσαμεν; εἰς τὴν ἀπολογίαν τὴν τοῦ Δαβίδ. οὐκοῦν ἀνάγκη σήμερον τὰ τοῦ Σαοὺλ ῥήματα εἰπεῖν, καὶ ἰδεῖν τί πρὸς τὴν δικαιολογίαν ἐκείνου ἀπεκρίνατο οὗτος. οὐ γὰρ δὴ μόνον ἀφ' ὧν ὁ Δαβὶδ ἐφθέγξατο ῥημάτων, ἀλλὰ καὶ ἀφ' ὧν ὁ Σαοὺλ λέγει, τὴν ἀρετὴν εἰσόμεθα τοῦ Δαβίδ. ἂν γὰρ φανῇ τι πρᾶον καὶ ἥμερον οὗτος φθεγγόμενος, τὴν αἰτίαν τούτων ἐκείνῳ λογιούμεθα τῷ μεταβαλόντι τὸν ἄνθρωπον, τῷ παιδεύσαντι καὶ ῥυθμίσαντι τὴν ψυχὴν αὐτοῦ. τί οὖν φησιν ὁ Σαούλ; ἀκούσας τοῦ Δαβὶδ εἰπόντος, ἰδοὺ τὸ πτερύγιον τῆς διπλοΐδος ἐν τῇ χειρί μου, καὶ τἄλλα πάνθ' ἃ μετὰ τούτων ἀπελογήσατο, ἡ φωνή σου αὕτη, τέκνον Δαβίδ; ὢ πόση γέγονεν ἀθρόον ἡ μεταβολή; ὁ γὰρ μηδ' ἀπὸ ψιλοῦ τοῦ ὀνόματος ἀνεχόμενος αὐτὸν καλέσαι ποτὲ, ἀλλὰ καὶ αὐτὴν αὐτοῦ μισῶν τὴν προσηγορίαν, καὶ εἰς συγγένειαν αὐτὸν ἤγαγε, τέκνον αὐτὸν προσειπών. τί τοῦ Δαβὶδ μακαριώτερον, ὃς τὸν ἀνδροφόνον πατέρα ἐποίησε, καὶ τὸν λύκον πρόβατον, καὶ τὴν κάμινον τῆς ὀργῆς δρόσου πολλῆς ἐνέπλησε, καὶ τὰ κύματα εἰς γαλήνην μετέβαλε, καὶ τὴν φλεγμονὴν τοῦ θυμοῦ κατέσβεσεν ἅπασαν; τὰ γὰρ ῥήματα ἐκεῖνα τοῦ Δαβὶδ εἰς τὴν διάνοιαν

α. Βασ. κδ. ιζ.

εἰσελθόντα τοῦ τεθηριωμένου τούτου, πᾶσαν ταύτην εἰργάσατο τὴν μεταβολήν, ὡς ἀπὸ τῶν ῥημάτων τούτων ἐστὶν ἰδεῖν. οὔτε γὰρ εἶπεν, οἱ λόγοι σοι οὗτοι, τέκνον Δαβίδ; ἀλλὰ τί; ἡ φωνή σου αὕτη, τέκνον Δαβίδ; καὶ πρὸς αὐτὴν γὰρ τὸν φθόγγον διεθερμαίνετο λοιπόν. καὶ καθάπερ πατὴρ χρονίας ἀκούσας φωνῆς παιδὸς ἐπανελθόντος ποθέν, οὐχὶ πρὸς τὴν ὄψιν μόνην, ἀλλὰ καὶ πρὸς τὴν φωνὴν αὐτὴν διεγείρεται· οὕτω καὶ ὁ Σαούλ, ἐπειδὴ τὰ ῥήματα τοῦ Δαβὶδ εἰσελθόντα τὴν ἔχθραν ἐξέβαλεν, ἐπέγνω λοιπὸν τὸν ἅγιον, καὶ πάθος ἀποθέμενος, πάθος ἐδέξατο. ἐκβαλὼν γὰρ θυμόν, ἐδέξατο εὐθυμίαν τε καὶ συμπάθειαν. καὶ καθάπερ νυκτὸς μὲν προσιούσης οὐδὲ παριόντα πολλάκις ἐπιγινώσκομεν φίλον, ἡμέρας δὲ γενομένης, καὶ πόρρωθεν ὁρῶντες αὐτὸν γνωρίζομεν· οὕτω καὶ ἐπὶ τῆς ἔχθρας συμβαίνειν εἴωθεν. ἕως μὲν ἂν ὦμεν ἀηδῶς πρὸς ἀλλήλους ἔχοντες, καὶ φωνῆς ἑτέρως ἀκούομεν, καὶ ὄψιν μετὰ διεφθαρμένης βλέπομεν γνώμης· ἐπειδὰν δὲ ἀποθώμεθα τὴν ὀργήν, ἡ πρὸ τούτου πολεμία καὶ ἐχθρὰ φωνή, προσηνὴς καὶ ἡδίστη ἡμῖν φαίνεται, καὶ ἡ πολεμία ὄψις καὶ ἀηδής, ποθεινὴ καὶ ἐπίχαρις. τοῦτο γίνεται καὶ ἐπὶ τοῦ χειμῶνος. οὐκ ἀφίησι τοῦ οὐρανοῦ τὸ κάλλος ἡ τῶν νεφῶν φαίνεσθαι συνδρομή· ἀλλὰ κἂν μυριάκις ὀξυδερκὲς ἔχωμεν τὸ ὄμμα, οὐκ ἰσχύομεν ἀντιλαβέσθαι τῆς ἄνω φαιδρότητος· ἐπειδὰν δὲ ἡ τῆς ἀκτῖνος θερμότης ἐνδιατείψασα καὶ διαρρήξασα τὸ νέφος, δείξῃ τὸν ἥλιον, δείκνυσι καὶ τὴν τοῦ οὐρανοῦ πάλιν εὐπρέπειαν. οὕτω καὶ ἐφ' ἡμῶν ὀργιζομένων γίνεται· καὶ καθάπερ νέφος πεπυκνωμένον πρὸ τῶν ὀφθαλμῶν καὶ πρὸ τῶν ἀκοῶν ἑστῶσα ἡ ἔχθρα, ἑτέρας καὶ τὰς φωνὰς καὶ τὰς ὄψεις ποιεῖ φαίνεσθαι· ἐπειδὰν δὲ φιλοσοφήσας τις τὴν ἔχθραν ἀπόθηται καὶ διαρρήξῃ τῆς λύπης τὸ νέφος, τότ' ἀδεκάστῳ λογισμῷ καὶ ὄψεται πάντα, καὶ ἀκούσεται· ὅπερ οὖν καὶ ὁ Σαοὺλ τότε ἔπαθεν. ἐπειδὴ γὰρ τὸ νέφος διερράγη τῆς ἔχθρας, ἐπέγνω τοῦ Δαβὶδ τὴν φωνήν, καί φησιν· ἡ φωνή σου αὕτη, τέκνον Δαβίδ; ποία αὕτη; ἡ τὸν Γολιὰθ κατενέγκουσα καὶ τὴν πόλιν ἐξαρπάσασα τῶν κινδύνων, καὶ περὶ δουλείας καὶ περὶ θανάτου κινδυνεύοντας ἅπαντας καὶ πρὸς ἀσφάλειαν καὶ πρὸς ἐλευθερίαν ἐπανάγουσα πάλιν, ἡ τὴν ἐκείνου καταστέλλουσα μανίαν, ἡ πολλὰ καὶ μεγάλα αὐτὸν ἐργασαμένη καλά. αὕτη γὰρ ἡ φωνὴ τὸν βάρβαρον ἐκεῖνον κατήνεγκε. πρὸ γὰρ τοῦ λίθου, ἡ τῆς εὐχῆς δύναμις αὐτὸν ἐνεκρώσατο. οὐ γὰρ ἁπλῶς τὸν λίθον ἔρριψεν, ἀλλὰ πρότερον εἰπών, Σὺ ἔρχῃ πρὸς μὲ ἐν τοῖς θεοῖς σου· ἐγὼ δὲ ἔρχομαι πρὸς σὲ ἐν ὀνόματι Κυρίου Σαβαώθ, ὃν ὠνείδισας σήμερον, οὕτως ἀφῆκε. καὶ αὕτη τὸν λίθον ἐχειραγώγησεν ἡ φωνή, αὕτη τὴν ἀγωνίαν ἐνέβαλε τῷ βαρβάρῳ, αὕτη τὸ θράσος ἐξέκοψε τοῦ πολεμίου. καὶ τί θαυμάζεις, εἰ θυμὸν καταστέλλει φωνὴ δικαίου, καὶ πολεμίους καθαιρεῖ, ὅπουγε καὶ δαίμονας ἀπελαύνει; ἐφθέγγοντο γοῦν μόνον οἱ ἀπόστολοι, καὶ πᾶσαι ἐδραπέτευον αἱ ἀντικείμεναι δυνάμεις· ἡ φωνὴ τῶν ἁγίων καὶ τὰ στοιχεῖα πολλάκις ἔστησε, καὶ τὰς ἐνεργείας αὐτῶν μετέβαλεν. εἶπε γοῦν ὁ Ἰησοῦς τοῦ Ναυῆ, Στήτω ὁ ἥλιος καὶ ἡ σελήνη, καὶ ἔστη· οὕτω καὶ ὁ Μωϋσῆς θάλατταν ἐπέδησε, καὶ ἀνῆκεν· οὕτως οἱ παῖδες οἱ τρεῖς καὶ τὴν ἐνέργειαν τοῦ πυρὸς ἔσβεσαν διὰ τῶν ὕμνων ἐκείνων καὶ διὰ τῆς φωνῆς. διὰ τοῦτο καὶ πρὸς αὐτὴν τὴν φωνὴν διαθερμανθεὶς ὁ Σαούλ, ἔλεγεν· Ἡ φωνή σου αὕτη, τέκνον Δαβίδ; τί γοῦν ὁ Δαβίδ; δοῦλός σου, κύριέ μου βασιλεῦ. ἅμιλλα λοιπὸν καὶ φιλονεικία γίνεται, τίς τὸν πλησίον μειζόνως τιμήσει· ἐκεῖνος εἰς συγγένειαν ἤγαγεν, οὗτος δεσπότην αὐτὸν ὠνόμασεν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἓν ζητῶ μόνον, φησί, τὴν σωτηρίαν τὴν σήν, καὶ τὴν ἐπίδοσιν τῆς ἀρετῆς· τέκνον με ἐκάλεσας, ἐγὼ δὲ ἀγαπῶ καὶ στέργω, ἐὰν δοῦλόν με ἔχῃς, μόνον μετὰ τοῦ ἀποθέσθαι τὴν ὀργήν, μόνον μετὰ τοῦ μηδὲν ὑποπτεύειν περὶ ἐμοῦ πονηρόν, καὶ μὴ νομίζειν ἐπίβουλον εἶναι καὶ πολέμιον. τὸν γὰρ ἀποστολικὸν ἐκεῖνον ἐπλήρου νόμον, τὸν κελεύοντα τῇ τιμῇ ἀλλήλους προηγεῖσθαι, ὑπερέχοντας ἑαυτῶν· οὐ καθάπερ πολλοί, βοσκημάτων διακείμενοι χεῖρον, οὐδὲ προσειπεῖν τὸν πλησίον ἀνέχονται πρότεροι, νομίζοντες ὑβρίζεσθαι

α. Βασ. ιζ. με.

Ἰησ. ι. ιϛ.

Ἐξοδ. ιδ. κα.
Δαν. γ.

Ρωμ. ιϛ. ι.
Φιλιπ. γ.

ὑβρίζεσθαι καὶ ἐλαττοῦσθαι, εἰ ψιλῆς τινι μεταδοῖεν προσρήσεως. τί ταύτης τῆς ἀνοίας γένοιτ' ἂν καταγελαστότερον; τί τοῦ τύφου καὶ τῆς ἀπονοίας αἰσχρότερον; τότε γάρ, τότε ἠλαττόνηκας, ὦ ἄνθρωπε, τότε ὑβρίσθης, τότε ἠτιμάσθης, ὅταν ἀναμείνῃς τὸν πλησίον πρότερόν σε προσειπεῖν. τί γὰρ ἀπονοίας χεῖρον; τί δὲ τύφου καὶ κενοδοξίας καταγελαστότερον; ἂν μὲν γὰρ πρότερος προσείπῃς, καὶ ὁ Θεὸς ἐπαινέσεται (ὃ πάντων μεῖζον) καὶ ἄνθρωποι δὲ ἀποδέξονται, καὶ τῆς ἐκείνου προσρήσεως σὺ τὸν μισθὸν ἅπαντα λήψῃ· ἂν δ' ἀναμείνῃς πρότερον τιμηθεὶς οὕτω τιμῆσαι, οὐδὲν μέγα εἰργάσω λοιπόν. ὁ γὰρ τῆς εἰς σὲ κατάρξας τιμῆς, αὐτὸς καὶ τῆς παρὰ σοῦ γινομένης εἰς αὐτὸν θεραπείας τὸν μισθὸν ἅπαντα λήψεται.

Μὴ ἀναμένωμεν τοίνυν τιμᾶσθαι παρ' ἑτέρων πρότεροι· ἀλλ' ἐπιτρέχωμεν ταῖς εἰς τὸν πλησίον τιμαῖς, καὶ τῆς προσρήσεως ἀεὶ κατάρχωμεν, καὶ μὴ νομίζωμεν ψιλὸν εἶναι καὶ εὐτελὲς τὸ κατόρθωμα τοῦτο, τὸ γίνεσθαι εὐπροσήγορον καὶ φιλοπροσήγορον. πολλὰς γοῦν φιλίας ἐλλειφθὲν τοῦτο διέκοψε, πολλὰς ἔχθρας εἰργάσατο· ὥσπερ οὖν μετὰ σπουδῆς πληρούμενον χρονίους πολέμους κατέλυσε, καὶ τὰς οὔσας φιλίας ἀπέσφιγξε. μὴ τοίνυν ἀμελῆς, ἀγαπητέ, τῆς περὶ ταῦτα σπουδῆς· ἀλλ' εἰ μὲν οἷόν τε, τοὺς ἀπαντῶντας, οἵτινες ἂν ὦσι, καὶ ἐν ταῖς προσρήσεσι, καὶ ἐν τοῖς ἄλλοις ἅπασι πρότεροι θεραπεύωμεν. ἂν δέ σε ἕτερος φθάσῃ, μείζονα ἐπίδειξαι τὴν τιμὴν πάλιν. καὶ γὰρ καὶ τοῦτο παρῄνεσεν ὁ Παῦλος, οὕτως εἰπών· Ἀλλήλους ἡγεῖσθε ὑπερέχοντας ἑαυτῶν. οὕτως ὁ Δαβὶδ ἐποίησε, καὶ πρότερος ἐτίμησε, καὶ τιμηθεὶς πάλιν μειζόνως ἀντετίμησεν, εἰπών· δοῦλός σου, κύριέ μου βασιλεῦ. καὶ ὅρα ὅσον εἰργάσατο κέρδος. ἐπειδὴ γὰρ εἶπε τοῦτο ὁ Δαβίδ, οὐκ ἤνεγκεν ἀδακρυτὶ λοιπὸν ταύτην ἀκοῦσαι τὴν φωνὴν ὁ Σαούλ· ἀλλ' ἀνωλόλυξε πικρόν, τὴν ὑγίειαν τὴν ἐν τῇ ψυχῇ, καὶ τὴν φιλοσοφίαν, ἣν ὁ Δαβὶδ ἐνέθηκε, διὰ τῶν δακρύων δηλῶν. τί γένοιτ' ἂν τοῦ προφήτου μακαριώτερον, ὃς ἐν βραχείᾳ καιροῦ ῥοπῇ οὕτω τὸν ἐχθρὸν μετερρύθμισε, καὶ ψυχὴν αἵματος καὶ σφαγῆς διψῶσαν λαβών, εἰς θρήνους ἐνέβαλεν ἀθρόον καὶ ὀλολυγμούς; οὐχ οὕτω θαυμάζω τὸν Μωϋσέα, ὅτι ἀπὸ πέτρας ἀκροτόμου πηγὰς ἐξήγαγεν ὑδάτων, ὡς θαυμάζω τὸν Δαβίδ, ὅτι ἐξ ὀφθαλμῶν λιθίνων πηγὰς ἐξήγαγε δακρύων. ἐκεῖνος μὲν τὴν φύσιν ἐνίκησεν, οὗτος δὲ τῆς προαιρέσεως περιεγίνετο· ἐκεῖνος ἐπάταξε τῇ ῥάβδῳ τὸν λίθον, οὗτος ἔκρουσε τῷ λόγῳ τὴν καρδίαν, οὐχ ἵνα λυπήσῃ, ἀλλ' ἵνα καθαρὰν ἐργάσηται καὶ προσηνῆ· ὅπερ οὖν καὶ ἐποίησε, μείζονα τῆς προτέρας εὐεργεσίας ἐπιδειξάμενος. ἐπαίνου μὲν ἄξιον καὶ μεγίστου θαύματος καὶ τὸ μὴ βαπτίσαι τὸ ξίφος, μηδὲ ἀποτεμεῖν τὴν πολεμίαν ἐκείνην κεφαλήν· πολλῷ δὲ πλειόνων ἂν εἴη στεφάνων, τὸ καὶ αὐτὴν αὐτοῦ μεταβαλεῖν τὴν προαίρεσιν καὶ βελτίω ποιῆσαι, καὶ πρὸς τὴν οἰκείαν αὐτὸν ἐπιείκειαν μεταβαλεῖν. αὕτη μείζων ἐκείνης ἡ εὐεργεσία. οὐ γάρ ἐστιν ἴσον ζωὴν χαρίσασθαι, καὶ εἰς φιλοσοφίαν ἐναγαγεῖν· οὐκ ἔστιν ἴσον ἀπαλλάξαι θυμοῦ πνέοντος φόνον ἄδικον, ἐξελέσθαι σφαγῆς, καὶ ἐξελέσθαι παραπληξίας ἐπὶ τοσοῦτον ὁδευούσης κακόν. τοῦτο μὲν γὰρ δορυφόρους κωλύσας αὐτὸν ἀνελεῖν κατὰ τὸν παρόντα βίον ὠφελεῖ· τὴν δὲ πονηρίαν τῆς ψυχῆς ἐκβαλών, διὰ τῆς τῶν ῥημάτων ἐπιεικείας, τὴν μέλλουσαν αὐτῷ ζωὴν ἐχαρίσατο καὶ τὰ ἀκίνητα ἀγαθά, τότε εἰς αὐτὸν ἧκεν. ὅταν οὖν αὐτὸν ἐπαινέσῃς διὰ τὴν οἰκείαν πραότητα, μειζόνως αὐτὸν θαύμασον διὰ τὴν τοῦ Σαοὺλ μεταβολήν. τοῦ γὰρ τῶν οἰκείων κρατῆσαι παθῶν, πολὺ πλέον ἐστὶ τὸ καὶ τῆς ἑτέρων περιγενέσθαι μανίας, καὶ φλεγμαίνουσαν καταστεῖλαι καρδίαν, καὶ τοσαύτην γαλήνην ἀπὸ τοσαύτης ἐργάσασθαι ζάλης, καὶ ὀφθαλμοὺς φόνον βλέποντας δακρύων ἐμπλῆσαι θερμῶν. καὶ τοῦτό ἐστιν, ὃ πολλῆς ἐκπλήξεως γέμει καὶ θαύματος. καὶ γὰρ εἰ μὲν τῶν ἐπιεικῶν καὶ μετρίων ἀνθρώπων ἦν ὁ Σαούλ, οὐ μέγα

Φιλιππ. β. γ.

ἦν

νῦν σφόδρα ἐπαναγαγεῖν αὐτὸν πρὸς τὴν οἰκείαν ἀρετήν· τὸ δὲ ἐκτεθηριωμένον καὶ πρὸς ἐσχάτην κακίαν ἐξοκείλαντα, καὶ πρὸς σφαγὴν ἐπειγόμενον, ἐν βραχείᾳ καιροῦ ῥοπῇ παρασκευάσαι πᾶσαν τὴν πικρίαν σβέσαι ἐκείνην, τίνα οὐκ ἂν ἀποκρύψειε τῶν πώποτε ἐπὶ διδασκαλίᾳ φιλοσοφίας βεβοημένων; καὶ σὺ τοίνυν, ὅταν λάβῃς τὸν ἐχθρὸν, μὴ τοῦτο σκόπει, ὅπως αὐτὸν ἀμυνόμενος καὶ μυρίαις πλήσας ταῖς λοιδορίαις ἐκπέμψῃς, ἀλλ' ὅπως θεραπεύσῃς, ὅπως ἐπαναγάγῃς πρὸς ἐπιείκειαν· καὶ μὴ πρότερον ἀποστῇς πάντα καὶ ποιῶν καὶ λέγων, ἕως ἂν περιγένῃ τῇ πραότητι τῆς ὠμότητος τῆς ἐκείνου. οὐδὲν γὰρ ἐπιεικείας δυνατώτερον. καὶ τοῦτ' αὐτὸ δηλῶν τις ἔλεγεν, ὅτι Λόγος ἁπαλὸς συγκλάει ὀστᾶ. καίτοι τί ὀστέου σκληρότερον; ἀλλ' ὅμως κἂν οὕτω σκληρός τις ᾖ καὶ ἀκαμπὴς, περιέσται ῥᾳδίως ὁ μετ' ἐπιεικείας αὐτῷ χρώμενος. καὶ πάλιν· Ἀπόκρισις ὑποπίπτουσα ἀποστρέφει ὀργάς. ὅθεν δῆλον ὅτι τοῦ κινηθῆναι τὸν ἐχθρὸν, καὶ τοῦ καταλλαγῆναι σὺ κυριώτερος ἐκείνου. ἐν γὰρ ἡμῖν, οὐκ ἐν τοῖς ὀργιζομένοις κεῖται καὶ τὸ σβεσθῆναι, καὶ τὸ πρὸς μείζονα ἐξαναφθῆναι φλόγα τὸν θυμὸν τῶν ἐκείνων. καὶ τοῦτ' αὐτὸ πάλιν ὁ τὰ πρότερα εἰπὼν ἐδήλωσε διὰ δαψιλοῦς παραδείγματος. ὥσπερ γὰρ, φησὶν, εἰς σπινθῆρα πυρὸς ἂν μὲν φυσήσῃς, ἐξῆψας τὴν φλόγα, ἂν δὲ πτύσῃς, κατέσβεσας, καὶ ἀμφοτέρων σὺ κύριος (ἀμφότερα γὰρ, φησὶν, ἐκ τοῦ στόματός σου πορεύεται) οὕτω καὶ ἐπὶ τῆς ἔχθρας τοῦ πλησίον· ἂν μὲν πεφυσημένους καὶ ἀπονενοημένους προσενέγκῃς λόγους, ἀνάπτεις ἐκείνου τὸ πῦρ, ἐκκαίεις τοὺς ἄνθρακας· ἂν δὲ προσηνεῖς καὶ περιεσταλμένους, πρὶν τὴν πυρὰν ἀρθῆναι, κατέσβεσας τὴν ὀργὴν ἅπασαν. μὴ τοίνυν λέγε, ὅτι τὰ καὶ τὰ ἔπαθον, τὰ καὶ τὰ ἤκουσα. πάντων γὰρ τούτων σὺ κύριος. οὕτω γὰρ ὥσπερ σπινθῆρα καὶ σβέσαι καὶ ἀνάψαι, καὶ θυμὸν ἐκκαῦσαι καὶ καταστεῖλαι πάλιν ἐν σοί. ὅταν ἴδῃς ἐχθρὸν, ἢ καὶ εἰς νοῦν λάβῃς, ὅσα μὲν ἤκουσας καὶ ἔπαθες λυπηρὰ, πάντ' ἐπιλανθάνου ταῦτα· εἰ δὲ καὶ ἀναμνησθείης, τῷ διαβόλῳ ταῦτα λογίζου. σὺ λέγε δὲ, εἴ τι σοι χρηστὸν εἶπέ ποτε, καὶ ἐποίησε. κἂν τῇ τούτων ἐνδιατρίβῃς μνήμῃ, ταχέως καταλύσεις τὴν ἔχθραν, κἂν μέλλῃς ἐγκαλεῖν καὶ διαλέγεσθαι, πρότερον τὸ πάθος ἐκβαλὼν καὶ τὸν θυμὸν σβέσας, οὕτως εὐθύνας ἀπαίτει, οὕτως ἔλεγχε, καὶ δυνήσῃ περιγενέσθαι ῥᾳδίως. θυμούμενοι γὰρ οὔτ' εἰπεῖν, οὔτ' ἀκοῦσαί ποτε δυνησόμεθά τι ὑγιές· ἀπαλλαγέντες δὲ τοῦ πάθους, οὔτ' αὐτοὶ ῥῆμά ποτ' ἐξοίσομεν τραχὺ, οὔθ' ἑτέρων λεγόντων οὕτως ἀκουσόμεθα. οὐ γὰρ ἡ τῶν λεγομένων φύσις, ὡς ἡ τῆς ἔχθρας πρόληψις ἡμᾶς ἀγριοῦν εἴωθε. πολλάκις γοῦν παρὰ φίλων τὰς αὐτὰς ἀκούσαντες λοιδορίας παιζόντων, ἢ καὶ χαριεντιζομένων, ἢ καὶ παρὰ παιδίων μικρῶν, οὐ μόνον οὐδὲν ἐπάθομεν ἀηδὲς, οὐδ' ἐξηγριώθημεν, ἀλλὰ καὶ ἐγελάσαμεν καὶ διεχύθημεν. οὐ γὰρ μετὰ διεφθαρμένης ἠκούσαμεν γνώμης, οὐδὲ μετὰ ψυχῆς θυμῷ προκατειλημμένης. ὥστε καὶ ἐπὶ τῶν ἐχθρῶν, ἂν σβέσῃς τὸν θυμὸν, ἂν τὴν ἔχθραν ἐκβάλῃς, οὐδὲν σε τῶν λεγομένων λυπῆσαι δυνήσεται. καὶ τί λέγω τῶν λεγομένων; οὐδὲν τῶν γινομένων, ὥσπερ οὖν οὐδὲ τὸν μακάριον τοῦτον· ἀλλ' ὁρῶν τὸν πολέμιον κατὰ τῆς αὐτοῦ σωτηρίας ὁπλιζόμενον, καὶ πάντα διὰ τοῦτο κινοῦντα, οὐ μόνον οὐκ ἠγρίαινεν, ἀλλὰ καὶ εἰς πλείονα ἦλθε συμπάθειαν. ὅσῳ μείζονα ἐπεβούλευε, τοσούτῳ μᾶλλον αὐτὸν ἐδάκρυεν. ᾔδει γὰρ, ᾔδει σαφῶς, ὅτι οὐχ ὁ πάσχων κακῶς, ἀλλ' ὁ ποιῶν, οὗτός ἐστι δακρύων ἄξιος καὶ θρήνων, ἑαυτὸν καταβλάπτων. διὰ τοῦτο καὶ μακρὰν πρὸς αὐτὸν συνέθηκεν ἀπολογίαν, καὶ οὐ πρότερον ἀπέστη, ἕως καὶ αὐτὸν ἀπολογήσασθαι παρεσκεύασε μετὰ δακρύων καὶ θρήνων. ἐπειδὴ γὰρ ἀνῴμωξε καὶ πικρὰν ἀφῆκε φωνὴν, καὶ μέγα ἀνωλόλυξεν, ἄκουσον τί φησι· Δίκαιος σὺ ὑπὲρ ἐμέ· ὅτι σὺ μὲν ἀνταπέδωκάς μοι ἀγαθὰ, ἐγὼ δὲ ἀνταπέδωκά σοι κακά. ὁρᾷς πῶς καὶ τῆς οἰκείας κακίας καταγινώσκει, καὶ τὴν ἀρετὴν ἀνυμνεῖ τοῦ δικαίου, καὶ μηδενὸς ἀναγκάζοντος ἀπολογεῖται; οὕτω καὶ σὺ ποίησον. ἐπειδὰν λά-

Σοφ. κη. ιη.

Παροιμ. ιε. α.

α Βασ. κδ. ιη.

ῃ; τὸν ἐχθρὸν, μὴ κατηγορήσῃς, ἀλλ' ἀπολόγησαι, ἵνα παρασκευάσῃς ἐκεῖνον ἑαυτοῦ κατηγορῆσαι. ἂν μὲν γὰρ ἡμεῖς κατηγορῶμεν, τραχύνεται· ἂν δὲ ἀπολογησώμεθα, ἐντρεπόμενος ἡμῶν τὴν ἐπιείκειαν, αὐτὸς ἑαυτοῦ κατηγορήσει λοιπόν. καὶ οὕτως ὅτι ἔλεγχος αὐτόπτης γίνεται, ἐκεῖνός τε τῆς πονηρίας ἀπηλλάττετο πάσης· ὅπερ οὖν καὶ ἐνταῦθα συνέβη, καὶ κατηγόρει μετὰ πολλῆς τῆς σφοδρότητος ὁ ἀδικήσας, τοῦ ἠδικημένου σιγῶντος. οὐδὲ γὰρ εἶπεν ἁπλῶς, εἰργάσω εἰς ἐμὲ ἀγαθὰ, ἀλλ' ἀνταπέδωκάς μοι ἀγαθά· τουτέστιν, ἀντὶ τῆς ἐπιβουλῆς, ἀντὶ τῆς σφαγῆς, ἀντὶ τῶν μυρίων κακῶν ἐκείνων εὐεργεσίαις ἡμᾶς ἠμείψω μεγάλαις· ἐγὼ δὲ οὐδ' οὕτως ἐγενόμην βελτίων, ἀλλὰ καὶ μετὰ τὰς εὐεργεσίας ἐκείνας ἐπέμεινα τῇ πονηρίᾳ, καὶ οὐδ' οὕτω μετέβαλον, ἀλλὰ διέμεινας τὸν σαυτοῦ διατηρῶν τρόπον, καὶ πάλιν ἡμᾶς ἐπιβουλεύοντας εὐεργετῶν. πόσων οὐκ ἂν εἴη στεφάνων ἄξιος καθ' ἕκαστον τῶν ῥημάτων τούτων ὁ Δαβίδ; εἰ γὰρ καὶ τὸ στόμα αὐτὰ ἐφθέγγετο τοῦ Σαοὺλ, ἀλλ' ἡ σοφία καὶ ἡ τέχνη τοῦ Δαβὶδ εἰς τὴν ἐκείνου κατεφύτευσεν αὐτὰ ψυχήν. α. Βασ. κδ. ιθ. Καὶ ἀπήγγειλάς μοι σήμερον, φησὶν, ἃ ἐποίησάς μοι ἀγαθὰ, ὡς ἀπέκλεισέ με Κύριος σήμερον εἰς τὰς χεῖράς σου, καὶ οὐκ ἀπέκτεινάς με. καὶ ἑτέραν αὐτῷ μαρτυρεῖ πάλιν ἀρετὴν, ὅτι εὐεργετήσας οὐκ ἐσίγησεν, οὐδ' ὑπερεῖδεν, ἀλλ' ἐλθὼν εἶπεν, οὐ πρὸς ἐπίδειξιν τοῦτο ποιῶν, ἀλλὰ δεῖξαι βουλόμενος, καὶ διὰ τῶν ἔργων αὐτὸν διδάξαι, ὅτι τῶν κηδομένων ἐστὶ καὶ προνοούντων, οὐ τῶν ἐπιβουλευόντων καὶ πονηρευομένων. τὸ γὰρ τὰς ἰδίας εὐεργεσίας λέγειν, ἔστιν ὅπου καὶ κέρδος ἔχει μέγιστον. ὅταν γὰρ μηδεμιᾶς ὑποθέσεως οὔσης προσφέρῃ τις αὐτὰς καὶ ἀνακηρύττῃ, τῶν ὀνειδιζόντων οὐδὲν ἄμεινον διακείσεται· ὅταν δὲ βουλόμενος πεῖσαι τὸν διεφθαρμένον, καὶ πονηρὰν περὶ αὐτοῦ περίληψιν ἔχοντα τοῦτο ποιῇ, κηδεμόνος ἐστὶ καὶ εὐεργέτης· ὅπερ οὖν καὶ ὁ Δαβὶδ ἐποίησεν, οὐ τῆς περὶ αὐτοῦ δόξης ἐρῶν, ἀλλὰ τὸν ἐρριζωμένον ἐν αὐτῷ θυμὸν ἀνασπάσαι βουλόμενος. καὶ διὰ τοῦτο γοῦν αὐτὸν ἐπῄνεσεν, ὅτι καὶ εὐεργέτησε, καὶ τὴν εὐεργεσίαν εἶπεν. εἶτα ζητῶν ἀμοιβὴν, καὶ οὐδεμίαν ἔχων τῶν γεγενημένων ἴσην εὑρεῖν, τὸν Θεὸν αὐτὸν αὐτῷ δίδωσιν ὀφειλέτην, οὑτωσὶ λέγων· α. Βασ. κδ. κ. Ὅτι εἰ εὕροι τις τὸν ἐχθρὸν αὐτοῦ ἐν θλίψει, καὶ ἐκπέμψει αὐτὸν ἐν ὁδῷ ἀγαθῇ, καὶ Κύριος ἀνταποδώσει αὐτῷ ἀγαθὰ, καθὼς πεποίηκας σὺ σήμερον. τί γὰρ καὶ εἶχεν ἄξιον ἀποδοῦναι τῆς εὐεργεσίας, εἰ καὶ τὴν βασιλείαν ἔδωκε, καὶ τὰς πόλεις ἁπάσας; οὐ γὰρ πόλεις ἁπλῶς καὶ βασιλείαν, ἀλλὰ καὶ αὐτὴν αὐτῷ τὴν ψυχὴν ἐχαρίσατο ὁ Δαβίδ· ἀντὶ δὲ ψυχῆς ἀντιδοῦναι ἑτέραν οὐκ εἶχε. διὰ τοῦτο αὐτὸν τῷ Θεῷ παραπέμπει, καὶ ταῖς ἐκεῖθεν γεραίρει ἀμοιβαῖς, τοῦτον μὲν ἐπαινῶν, καὶ παιδεύων ἅπαντας, ὅτι τότε μείζους ἡμῖν παρὰ τοῦ Θεοῦ κείσονται ἀντιδόσεις, ὅταν μυρία τοὺς ἐχθροὺς ἀγαθὰ ποιήσαντες, τὰ ἐναντία ἀπολάβωμεν. α. Βασ. κα. κϛ. εἶτά φησιν, ὅτι Ἰδοὺ ἐγὼ γινώσκω, ὅτι βασιλεύων βασιλεύσεις, καὶ στήσεται ἡ βασιλεία Ἰσραὴλ ἐν χειρί σου· καὶ νῦν ὄμοσόν μοι κατὰ τοῦ Κυρίου, ἵνα μὴ ἐξολοθρεύσῃς τὸ σπέρμα μου ὀπίσω μου· καὶ μὴ ἀφανίσῃς τὸ ὄνομά μου ἐκ τοῦ οἴκου τοῦ πατρός μου. καὶ πόθεν γινώσκεις, εἰπέ μοι, τοῦτο; παρὰ σοὶ τὰ στρατόπεδα, παρὰ σοὶ τὰ χρήματα, τὰ ὅπλα, αἱ πόλεις, οἱ ἵπποι, οἱ στρατιῶται, ἅπασα τῆς βασιλικῆς παρασκευῆς ἡ δύναμις· οὗτος δὲ ἔρημος καὶ γυμνὸς, ἄπολις καὶ ἀνέστιος, ἄοικος. πόθεν οὖν ταῦτα λέγεις, εἰπέ μοι; ἀπ' αὐτοῦ μὲν τοῦ τρόπου. οὐ γὰρ ἂν ὁ γυμνὸς, καὶ ἄοπλος, καὶ ἔρημος ἐμοῦ τοῦ καθωπλισμένου δύναμιν περιεγένετο, εἰ μὴ τὸν Θεὸν εἶχε μεθ' ἑαυτοῦ· ὁ δὲ τὸν Θεὸν ἔχων μεθ' ἑαυτοῦ, πάντων ἐστὶν ἰσχυρότερος. εἶδες οἷα φιλοσοφεῖ μετὰ τὴν ἐπιβουλὴν ὁ Σαούλ; εἶδες πῶς δυνατὸν ἅπασαν ἀποπλῦσαι πονηρίαν, καὶ μεταβαλέσθαι, καὶ πρὸς τὸ βέλτιον ἐπανελθεῖν; μὴ τοίνυν καταῤῥαθυμῶμεν τῆς ἑαυτῶν σωτηρίας. καὶ γὰρ πρὸς αὐτὰ κατενεχθῶμεν τῆς κακίας τὰ βάραθρα, δυνατὸν ἑαυτοὺς ἀνακτήσασθαι πάλιν, καὶ γενέσθαι βελτίους, καὶ πᾶσαν ἀποθέσθαι κακίαν. α. Βασ. κδ. κϛ. Εἶτά φησιν· Ὄμοσόν μοι κατὰ τοῦ Κυρίου, ἵνα μὴ ἐξολοθρεύσῃς τὸ σπέρμα μου, καὶ μὴ ἀφανίσῃς τὸ ὄνομά μου ἐκ τοῦ οἴκου τοῦ πατρός μου. δέησιν ὁ βασιλεὺς τῷ ἰδιώτῃ προσάγει, καὶ ἱκετηρίαν τίθησιν ὁ τὸ διάδημα περικείμενος, ὑπὸ τῶν παίδων τῶν ἑαυτοῦ παρακαλῶν τὸν φυγάδα. καὶ τοῦτο τῆς τοῦ Δαβὶδ ἀρετῆς τεκμήριον, τὸ περὶ τῶν τοιούτων θαῤῥῆσαι τὸν ἐχθρόν. εἰ δὲ ὅρκον ἀπαιτεῖ, οὐκ ἀπιστῶν τῷ τρόπῳ τοῦ Δαβὶδ, ἀλλ' ἐννοῶν ὅσα εἰς αὐτὸν εἰργάσατο κακά. ὄμοσόν μοι μὴ ἀφανίσαι τὸ σπέρμα μου ὀπίσω μου. ἐπίτροπον τὸν πολέμιον καταλιμπάνει τῶν ἑαυτοῦ παίδων, καὶ ταῖς ἐκείνου χερσὶν ἐντίθησι τὰ ἔκγονα, μονονουχὶ τῆς δεξιᾶς αὐτοῦ λαβόμενος διὰ τῶν ῥημάτων τούτων, καὶ τὸν Θεὸν μεσίτην εἰσάγων. τί οὖν ὁ Δαβίδ; ἆρα κἂν μικρὸν εἰρωνεύσατο πρὸς ταῦτα; οὐδαμῶς· ἀλλ' εὐθέως ἐπένευσε, καὶ τὴν χάριν ἔδωκε· καὶ τελευτήσαντος τοῦ Σαοὺλ, οὐ μόνον οὐκ ἀπέκτεινεν, ἀλλὰ καὶ πλέον ὧν ὡμολόγησε, τότε παρέσχε. τὸν γὰρ ἔκγονον τὸν τούτου, χωλὸν ὄντα καὶ πεπηρωμένον τὸ σκέλος, εἰς τὴν οἰκίαν εἰσήγαγε τὴν ἑαυτοῦ, καὶ ὁμοτράπεζον ἐποίησε, καὶ τῆς μεγίστης ἠξίωσε τιμῆς. καὶ οὐκ ἠρυθρία, οὐδὲ ἐνεκαλύπτετο, οὐδὲ τὴν τράπεζαν ἐνόμιζε καταισχύνεσθαι τὴν βασιλικὴν τῇ πηρώσει τοῦ παιδός· ἀλλ' ἐκαλλωπίζετο καὶ ἐνεβρύνετο μᾶλλον. καὶ γὰρ ἕκαστος τῶν συνδειπνούντων αὐτῷ, μεγάλην φιλοσοφίας διδασκαλίαν λαμβάνων ἀπῄει. ὁρῶν γὰρ τὸν ἔκγονον τοῦ Σαοὺλ, τοῦ τοσαῦτα κακὰ ἐργασαμένου τὸν Δαβὶδ, τοσαύτης ἀπολαύοντα παρ' αὐτῷ τιμῆς, εἰ καὶ πάντων θηρίων ἀγριώτερος ἦν, αἰσχυνόμενος καὶ ἐρυθριῶν πρὸς ἅπαντας τοὺς ἐχθροὺς ἐσπένδετο. καίτοι εἰ καὶ ἑτέρωθεν αὐτῷ τροφὴν ἐπέταξε, καὶ σιτηρέσιον ὥρισε τεταγμένον, πολὺ, μέγα ἦν· τὸ δὲ καὶ εἰς αὐτὴν αὐτὸν ἀναγαγεῖν τὴν τράπεζαν, ὑπερβολὴν ἔχει φιλοσοφίας. ἴστε γὰρ δήπου, ὡς οὐ σφόδρα εὔπορον ἐχθρῶν παῖδας φιλεῖν. τί λέγω φιλεῖν; μὴ μισεῖν μόνον, μηδὲ ἐλαύνειν. πολλοὶ γοῦν καὶ τελευτησάντων τῶν ἐχθρῶν εἰς τοὺς παῖδας τοὺς ἐκείνων τὴν πρὸς ἐκείνους ἀφῆκαν ὀργήν. ἀλλ' οὐχ ὁ γενναῖος οὗτος· ἀλλὰ καὶ ζῶντα τὸν πολέμιον διετήρησε, καὶ ἀπελθόντος ἐκείνου, τὴν περὶ ἐκείνου εὔνοιαν εἰς τοὺς παῖδας ἐνεδείξατο. τί τῆς τραπέζης τῆς ἐκείνου ἁγιώτερον, ἣν ἐχθροῦ παῖδες ἐκύκλουν, καὶ ἐχθροῦ σφαγέως; τί τῆς εὐωχίας ἐκείνης πνευματικώτερον, ἐν ᾗ τοσαῦται ἔβρυον εὐλογίαι; ἀγγέλου μᾶλλον, ἢ ἀνθρώπου συγκροτοῦντος ἦν. τὸ γὰρ ἀσπάζεσθαι καὶ φιλεῖν τοὺς παῖδας τοῦ μυριάκις αὐτὸν ἀνελεῖν ἐπιχειρήσαντος, καὶ οὕτω τὴν ζωὴν καταλύσαντος, εἰς ἐκεῖνον αὐτὸν τελεῖν ποιεῖ τὸν χορόν. τοῦτο καὶ σὺ ποίησον, ἀγαπητὲ, καὶ ζώντων καὶ τελευτώντων τῶν ἐχθρῶν τοὺς παῖδας θεράπευε· ζώντων μὲν, ἵνα τῷ τρόπῳ τούτῳ καταλλάξῃς αὐτῶν τοὺς πατέρας· ἀπελθόντων δὲ τοὺς παῖδας θεράπευε, ἵνα παρὰ τοῦ Θεοῦ πολλὴν ἐπισπάσῃ τὴν εὔνοιαν, καὶ μυρίους ἀναδήσῃ στεφάνους, καὶ μυρίας δέξῃ παρὰ πάντων εὐχὰς, οὐχὶ τῶν εὖ παθόντων μόνον, ἀλλὰ καὶ τῶν ὁρώντων. τοῦτό σοι κατ' ἐκείνην παραστήσεται τὴν ἡμέραν, καὶ μεγάλοι συνήγοροί σου οἱ εὐεργετηθέντες ἐχθροὶ κατὰ τὸν καιρὸν τῆς κρίσεως ἔσονται, καὶ πολλὰ διαλύσῃ τῶν ἁμαρτημάτων, καὶ ἀπαιτήσεις τὸν μισθὸν, κἂν μυρία πεπλημμεληκὼς ᾖς, τὴν εὐχὴν ἐκείνην προτεινόμενος τὴν λέγουσαν, Αφετε τοῖς ἐχθροῖς ὑμῶν, καὶ ὁ πατὴρ ὑμῶν ἀφίησιν ὑμῖν τὰ παραπτώματα ὑμῶν. μετὰ πολλῆς τῆς παῤῥησίας τὴν ἄφεσιν λήψῃ τῶν ἁμαρτημάτων ἁπάντων, καὶ ἐνταῦθα δὲ μετὰ χρηστῆς βιώσῃ τῆς ἐλπίδος, καὶ πάντας ἕξεις εὐνοϊκῶς πρὸς σὲ διακειμένους. οἱ γὰρ ὁρῶντες ὅτι τοὺς ἐχθροὺς καὶ τοὺς ἐκείνων παῖδας οὕτω φιλεῖς, πῶς οὐ χαρήσονται φίλοι γενέσθαι καὶ ἐπιτήδειοι, καὶ πάνθ' ὑπὲρ σοῦ καὶ ποιῆσαι καὶ παθεῖν; ὅταν οὖν τοσαύτης μὲν παρὰ τοῦ Θεοῦ τῆς εὐνοίας ἀπολαύῃς, οὕτω δὲ πάντας ἔχῃς τἀγαθά σοι συνευχομένους ἅπαντα, τίνος αἰσθήσῃ λυπηροῦ, τίνων δὲ οὐ βιώσεις μακαριώτερον βίον; ταῦτα μὴ ἐνταῦθα θαυμάζωμεν μόνον, ἀλλὰ καὶ ἐξελθόντες φυλάττωμεν, καὶ περιελθόντες, καὶ διερευνησάμενοι τοὺς ἐχθροὺς ἕκαστος τοὺς ἑαυτοῦ, καταλλάξωμεν ἡμῖν ἑαυτοῖς, καὶ φίλους ποιήσωμεν γνησίους. κἂν ἀπολογήσασθαι δέῃ, καὶ συγγνώμην αἰτῆσαι παρ' ἐκείνων, μὴ παραιτώμεθα, κἂν αὐτοὶ ὦμεν ἠδικημένοι. οὕτω μείζων ἡμῖν ὁ μισθὸς, οὕτω πλείων ἡ παῤῥησία, οὕτω τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτευξόμεθα πάντως, χάριτι καὶ φιλαν-

Ματθ. ς. ιδ.

θρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ιη.

ΟΤΕ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΕΞΩ ΕΥΡΕΘΕΙΣ ΕΥτρόπιος ἀπεσπάσθη, καὶ περὶ παραδείσου καὶ γραφῶν· καὶ ὅτι χρησίμη τῶν γραφῶν ἡ ἀνάγνωσις, καὶ ὅτι τοῦ παραδείσου βέλτιον αἱ γραφαί, ἡ δὲ ἐκκλησία τιμιωτέρα πάντων, καὶ εἰς τό, Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου.

Ψαλμ. μδ. ι.

Ἡδὺ μὲν λειμὼν καὶ παράδεισος, πολὺ δὲ ἡδύτερον τῶν θείων γραφῶν ἡ ἀνάγνωσις. ἐκεῖ μὲν γάρ εἰσιν ἄνθη μαραινόμενα, ἐνταῦθα δὲ νοήματα ἀκμάζοντα· ἐκεῖ ζέφυρος πνέων, ἐνταῦθα δὲ πνεύματος αὔρα· ἐκεῖ ἄκανθαι αἱ τειχίζουσαι, ἐνταῦθα δὲ πρόνοια Θεοῦ ἡ ἀσφαλιζομένη· ἐκεῖ τέττιγες ᾄδοντες, ἐνταῦθα δὲ προφῆται κελαδοῦντες· ἐκεῖ τέρψις ἀπὸ τῆς ὄψεως, ἐνταῦθα δὲ ὠφέλεια ἀπὸ τῆς ἀναγνώσεως. ὁ παράδεισος ἐν ἑνὶ χωρίῳ, αἱ δὲ γραφαὶ πανταχοῦ τῆς οἰκουμένης· ὁ παράδεισος καὶ δουλεύει καιρῶν ἀνάγκαις, αἱ δὲ γραφαὶ καὶ ἐν χειμῶνι, καὶ ἐν θέρει κομῶσι, τοῖς φύλλοις βρίθουσι καὶ τοῖς καρποῖς. προσέχωμεν τοίνυν τῇ τῶν γραφῶν ἀναγνώσει. ἐὰν γὰρ τῇ γραφῇ προσέχῃς, ἐκβάλλει σου τὴν ἀθυμίαν, φυτεύει σου τὴν ἡδονήν, ἀναιρεῖ τὴν κακίαν, ῥιζοῖ τὴν ἀρετήν, οὐκ ἀφίησιν ἐν θορύβῳ πραγμάτων τὰ τῶν κλυδωνιζομένων παθεῖν. ἡ θάλασσα μαίνεται, σὺ δὲ μετὰ γαλήνης πλέεις. ἔχεις γὰρ κυβερνήτην τὴν τῶν γραφῶν τὴν ἀνάγνωσιν. τοῦτο γὰρ τὸ σχοινίον οὐ διαῤῥήγνυσι τῶν πραγμάτων ὁ πειρασμός. καὶ ὅτι οὐ ψεύδομαι, μαρτυρεῖ τὰ πράγματα αὐτά. ἐπολιορκήθη ἡ ἐκκλησία πρὸ ὀλίγων ἡμερῶν· ἦλθε στρατόπεδον, καὶ πῦρ ἀπὸ τῶν ὀφθαλμῶν ἠφίει, καὶ τὴν ἐλαίαν οὐκ ἂν ἐμάρανε. ξίφη γεγύμνωτο, καὶ τραύματα οὐδεὶς ἐδέξατο. αἱ βασιλικαὶ πύλαι ἐν ἀγωνίᾳ, καὶ ἡ ἐκκλησία ἐν ἀσφαλείᾳ. καίτοιγε ὁ πόλεμος ἐνταῦθα ἔρρευσεν· ἐνταῦθα γὰρ ἐζητεῖτο ὁ καταφυγών· καὶ παριστάμεθα μὴ δεδοικότες τὸν ἐκείνων θυμόν. τί δήποτε;
Ματθ. ις. ιη. εἴχομεν ἐνέχυρον ἀσφαλὲς τὸ, Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν· καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. ἐκκλησίαν δὲ λέγω, οὐ τόπον μόνον, ἀλλὰ καὶ τρόπον· οὐ τοίχους ἐκκλησίας, ἀλλὰ νόμους ἐκκλησίας. ὅταν καταφεύγῃς ἐν ἐκκλησίᾳ, μὴ τόπῳ καταφύγῃς, ἀλλὰ τῇ γνώμῃ. ἐκκλησία γὰρ οὐ τοῖχος καὶ ὄροφος, ἀλλὰ πίστις καὶ βίος. μὴ λέγε, ὅτι προεδόθη ἀπὸ ἐκκλησίας ὁ προδοθείς. εἰ μὴ ἀφῆκε τὴν ἐκκλησίαν, οὐκ ἂν προεδίδοτο. μὴ λέγε, ὅτι καὶ κατέφυγε, καὶ προεδόθη. οὐχ ἡ ἐκκλησία αὐτὸν ἀφῆκεν, ἀλλ' αὐτὸς αὐτὴν κατέλιπεν. οὐκ ἔνδοθεν προεδόθη, ἀλλ' ἔξωθεν, διότι κατέλιπε τὴν ἐκκλησίαν. ἐβούλου σώζεσθαι; ὤφειλες κατέχειν τὸ θυσιαστήριον. οὐκ ἦσαν ἐνταῦθα τοῖχοι, ἀλλὰ Θεοῦ πρόνοια ἡ ἀσφαλιζομένη. ἁμαρτωλὸς εἶ; οὐκ ἀποπέμπεταί σε ὁ Θεός. Οὐκ ἦλθε γὰρ καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. πόρνη ἐσώθη, ἐπειδὴ πόδας κατέσχεν. ἠκούσατε τοῦ σήμερον ἀνεγνωσμένου; ταῦτα δὲ λέγω, ἵνα μηδέποτε εἰς ἐκκλησίαν καταφεύγων ἀμφιβάλλῃς. μένε εἰς ἐκκλησίαν, καὶ οὐ προδίδοσαι ἀπὸ τῆς ἐκκλησίας. ἐὰν δὲ φύγῃς ἀπὸ ἐκκλησίας, οὐκ αἰτία ἡ ἐκκλησία. ἐὰν μὲν γὰρ ᾖς ἔσω, ὁ λύκος οὐκ εἰσέρχεται· ἐὰν δὲ ἐξέλθῃς ἔξω, θηριάλωτος γίνῃ. ἀλλ' οὐ παρὰ τὴν μάνδραν τοῦτο, ἀλλὰ παρὰ τὴν σὴν μικροψυχίαν. ἐκκλησίας γὰρ οὐδὲν ἴσον. μή μοι λέγε τείχη καὶ ὅπλα. τείχη μὲν γὰρ τῷ χρόνῳ παλαιοῦται, ἡ ἐκκλησία δὲ οὐδέποτε γηρᾷ· τείχη βάρβαροι καταλύουσιν, ἐκκλησίας δὲ οὐδὲ δαίμονες περιγίνονται. καὶ ὅτι οὐ κόμπος τὰ ῥήματα, μαρτυρεῖ τὰ πράγματα. πόσοι ἐπολέμησαν τὴν ἐκκλησί-

ὧν, καὶ οἱ πολεμήσαντες ἀπώλοντο· αὕτη δὲ ὑπὲρ τῶν οὐρανῶν ἀναβέβηκε. τοιοῦτον ἔχει μέγεθος ἡ ἐκκλησία· πολεμουμένη νικᾷ, ἐπιβουλευομένη περιγίνεται, ὑβριζομένη λαμπροτέρα καθίσταται. δέχεται τραύματα, καὶ οὐ καταπίπτει ὑπὸ τῶν ἑλκῶν· κλυδωνίζεται, ἀλλ' οὐ καταποντίζεται· χειμάζεται, ἀλλὰ ναυάγιον οὐχ ὑπομένει· παλαίει, ἀλλ' οὐχ ἡττᾶται· πυκτεύει, ἀλλ' οὐ νικᾶται. διὰ τί οὖν συνεχώρησε τὸν πόλεμον; ἵνα δείξῃ λαμπρότερον τὸ τρόπαιον. παρῆτε κατὰ τὴν ἡμέραν ἐκείνην, καὶ ἐβλέπετε ὅσα ἐκινεῖτο ὅπλα· καὶ θυμὸς στρατιωτικὸς πυρὸς σφοδρότερος· καὶ ἡμεῖς ἐπὶ τὰς βασιλικὰς αὐλὰς "ἀπηγόμεθα. ἀλλὰ τί; "τοῦ Θεοῦ χάριτι οὐδὲν ἡμᾶς ἐκείνων κατέπληξε. ταῦτα δὲ λέγω, ἵνα καὶ ὑμεῖς μιμῆσθε. διὰ τί δὲ οὐ κατεπλάγημεν; ὅτι οὐδὲν τῶν παρόντων δεινῶν ἐδεδοίκαμεν. τί γάρ ἐστι δεινόν; θάνατος; οὐκ ἔστι τοῦτο δεινόν. ταχέως γὰρ ἐπὶ τὸν λιμένα ἀπερχόμεθα τὸν ἀκύμαντον. ἀλλὰ "δημεύσεις; Γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι. ἀλλ' ἐξορία; Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. ἀλλὰ συκοφαντίαι; Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅταν εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. ἑώρων τὰ ξίφη, καὶ τὸν οὐρανὸν ἐλογιζόμην· προσεδόκων τὸν θάνατον, καὶ τὴν ἀνάστασιν ἐνενόουν· ἑώρων τὰ κάτω πάθη, καὶ ἠριθμούμην τὰ ἄνω βραβεῖα· ἔβλεπον τὰς ἐπιβουλὰς, καὶ ἐλογιζόμην "τὸν ἄνω στέφανον. ἡ γὰρ ὑπόθεσις τῶν ἀγώνων ἀρκοῦσά μοι ἦν εἰς παράκλησιν καὶ παραμυθίαν. ἀπηγόμην δὲ, ἀλλ' οὐκ ἦν ὕβρις ἐμοὶ τὸ γινόμενον. ὕβρις γὰρ ἓν μόνον ἐστὶν, ἡ ἁμαρτία. κἂν γὰρ ἡ οἰκουμένη πᾶσά σε ὑβρίζῃ, σὺ δὲ σαυτὸν μὴ ὑβρίσῃς, οὐχ ὑβρίσθης. προδοσία δὲ μόνη ἐστὶν ἡ τοῦ συνειδότος. μὴ προδῷς σου τὸ συνειδὸς, καὶ οὐδεὶς σε προδίδωσιν. ἀπηγόμην, καὶ ἑώρων τὰ πράγματα, μᾶλλον δὲ τὰ ῥήματά μου πράγματα γινόμενα, τὴν ὁμιλίαν μου τὴν διὰ τῶν ῥημάτων, ἐπὶ τῆς ἀγορᾶς διὰ τῶν πραγμάτων κηρυττομένην. ποίαν ὁμιλίαν; ἣν ἔλεγον ἀεί· Ἄνεμος ἔπνευσε, καὶ τὰ φύλλα κατέβαλεν· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσεν· ἀπῆλθεν ἡ νὺξ, καὶ ἐφάνη ἡ ἡμέρα· ἠλέγχθη ἡ σκιὰ, καὶ ἐφάνη ἡ ἀλήθεια. ἀνέβησαν ἕως τῶν οὐρανῶν, καὶ κατέβησαν ἕως τῶν πεδίων. τὰ κύματα γὰρ ἄνω κατεστάλη διὰ τῶν ἀνθρωπίνων πραγμάτων. πῶς; διδασκαλία ἦν τὰ γινόμενα, καὶ ἔλεγον πρὸς ἐμαυτὸν, ἆρα σωφρονίζονται οἱ μετὰ ταῦτα; ἆρα οὐ παρέρχονται δύο ἡμέραι, καὶ λήθῃ τὰ γινόμενα παραδίδοται; ἔναυλα τὰ ὑπομνήματα ἦν. πάλιν εἴπω, πάλιν λαλήσω. τί ὄφελος; μᾶλλον δὲ ὄφελος. κἂν γὰρ μὴ πάντες ἀκούσωσιν, οἱ ἡμίσεις ἀκούσονται· κἂν μὴ οἱ ἡμίσεις ἀκούσωσι, τὸ τρίτον μέρος· κἂν μὴ τὸ τρίτον, τὸ τέταρτον· κἂν μὴ τὸ τέταρτον, κἂν δέκα, κἂν μὴ δέκα, κἂν πέντε, κἂν μὴ πέντε, κἂν εἷς, κἂν μὴ εἷς, ἐγὼ τὸν μισθὸν ἀπηρτισμένον ἔχω. Ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε· τὸ δὲ ῥῆμα τοῦ Θεοῦ μένει εἰς τὸν αἰῶνα. εἴδετε τῶν ἀνθρωπίνων πραγμάτων τὴν εὐτέλειαν, εἴδετε τῆς δυναστείας τὸ ἐπίκηρον, εἴδετε τὸν πλοῦτον, ὃν ἀεὶ δραπέτην ἐκάλουν, οὐ δραπέτην δὲ μόνον, ἀλλὰ καὶ ἀνδροφόνον. οὐ γὰρ καταλιμπάνει τοὺς ἔχοντας μόνον, ἀλλὰ καὶ σφάζει αὐτούς. ὅταν γάρ τις αὐτὸν θεραπεύῃ, τότε μάλιστα αὐτὸν παραδίδωσι. τί θεραπεύεις τὸν πλοῦτον, τὸν σήμερον πρὸς σὲ, καὶ αὔριον "πρὸς ἐκεῖνον; τί θεραπεύεις πλοῦτον, τὸν μηδέποτε κατασχεθῆναι δυνάμενον; βούλει θεραπεῦσαι αὐτόν; βούλει αὐτὸν κατασχεῖν; μὴ κατορύξῃς αὐτὸν, ἀλλὰ δὸς αὐτὸν εἰς τὰς χεῖρας τῶν πενήτων. θηρίον ἐστὶν ὁ πλοῦτος. ἂν μὲν κατέχηται, φεύγει· ἂν δὲ σκορπίζηται, μένει. Ἐσκόρπισε γὰρ, φησιν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. σκόρπισον, ἵνα μείνῃ· μὴ κατορύξῃς, ἵνα μὴ φύγῃ. ποῦ ὁ πλοῦτος, ἡδέως ἂν ἐροίμην τοὺς ἀπελθόντας. λέγω δὲ ταῦτα, οὐκ ὀνειδίζων (μὴ γένοιτο) οὐδὲ ἀναξαίνων τὰ ἕλκη, ἀλλὰ τὰ ἑτέρων ναυάγια ὑμῖν λιμένα κατασκευάζων. ὅτε οἱ στρατιῶται, καὶ τὰ ξίφη, ὅτε πόλις ἐκαίετο, ὅτε διάδημα οὐκ ἴσχυεν, ὅτε

Ἰὼβ α. ι.

α. Κορ. ι. κϛ.

Ματθ. ε. ιϐ.

Ησ. μ. π.

Ησ. μ. π.

Ψαλ. ρια. π.

πορφύρα ὑβρίζετο, ὅτε μανίας πάντα ἔγεμε, ποῦ ὁ πλοῦτος; ποῦ τὰ ἀργυρώματα; ποῦ αἱ κλίναι αἱ ἀργυραῖ; ποῦ οἱ οἰκέται; πάντες ἐν φυγῇ. ποῦ οἱ εὐνοῦχοι; πάντες ἀπεδραπέτευσαν. ποῦ οἱ φίλοι; τὰ προσωπεῖα ἤλλασσον. ποῦ αἱ οἰκίαι; ἀπεκλείοντο. ποῦ τὰ χρήματα; ἔφυγεν, ἔφυγεν ὁ ἔχων αὐτά. καὶ τὰ χρήματα ποῦ κατωρύγη, ποῦ ἐκρύβη τοῦτο ὅλον;

Μὴ φορτικός εἰμι, μὴ ἐπαχθὴς ἀεὶ λέγων, ὅτι ὁ πλοῦτος τοὺς κακῶς κεχρημένους προδίδωσιν; ἦλθεν ὁ καιρὸς δεικνὺς τῶν ῥημάτων τὴν ἀλήθειαν. τί κατέχεις αὐτόν, ἐν πειρασμῷ σε μηδὲν ὠφελοῦντα; εἰ ἔχει ἰσχύν, ὅταν ἐμπέσῃς εἰς ἀνάγκην, παρέστω σοι. εἰ δὲ τότε φεύγει, τί χρείαν αὐτοῦ ἔχεις; αὐτὰ τὰ πράγματα μαρτυρεῖ. τί τὸ ὄφελος; ξίφη ἠκονημένα, θάνατος ἀπειλούμενος, στρατόπεδον μαινόμενον, προσδοκία ἀπειλῆς τοσαύτης· καὶ ὁ πλοῦτος οὐδαμοῦ. ποῦ ἔφυγεν ὁ δραπέτης; αὐτός σοι κατεσκεύασε ταῦτα πάντα, καὶ ἐν καιρῷ ἀνάγκης φεύγει. καί γε πολλοὶ ἐγκαλοῦσί μοι ἀεὶ λέγοντες, κεκόλλησαι τοῖς πλουσίοις· καὶ γὰρ κἀκεῖνοι ἀεὶ κεκόλληνται τοῖς πένησιν. ἐγὼ δὲ οὐ κεκόλλημαι τοῖς πλουσίοις· οὐ τοῖς πλουσίοις δὲ, ἀλλὰ τοῖς κακῶς τῷ πλούτῳ κεχρημένοις. ἀεὶ γὰρ λέγω, ὅτι οὐ τὸν πλούσιον διαβάλλω, ἀλλὰ τὸν ἅρπαγα. ἄλλο δὲ πλούσιος, καὶ ἄλλο ἅρπαξ· ἄλλο εὔπορος, καὶ ἄλλο πλεονέκτης. διαίρει τὰ πράγματα, καὶ μὴ σύγχεε τὰ ἄμικτα. πλούσιος εἶ; οὐ κωλύω. ἅρπαξ εἶ; κατηγορῶ. ἔχεις τὰ σά; ἀπόλαυε. λαμβάνεις τὰ ἀλλότρια; οὐ σιγῶ. θέλεις με λιθάζειν; ἕτοιμός εἰμι τὸ αἷμά μου ἐκχέειν, μόνον τὴν ἁμαρτίαν σου κωλύω. ἐμοὶ οὐ μέλει μῖσος, οὐ μέλει μοι πόλεμος· ἑνὸς δέ μοι μόνον μέλει, τῆς προκοπῆς τῶν ἀκουόντων. καὶ οἱ πλούσιοι ἐμὰ τέκνα, καὶ οἱ πένητες ἐμὰ τέκνα. ἡ αὐτὴ γὰρ γαστὴρ ἀμφοτέρους ὤδινεν, αἱ αὐταὶ ὠδῖνες ἀμφοτέρους ἔτεκον. ἂν τοίνυν κεκόλλησαι τῷ πένητι, κατηγορῶ σου. οὐ τοῦ πένητος δὲ τοσοῦτον, ὅσον τοῦ πλουσίου τὸ ἀδίκημα. ὁ μὲν γὰρ πένης οὐδὲν μέγα ἀδικεῖται (εἰς χρήματα γὰρ βλάπτεται) σὺ δὲ εἰς ψυχὴν βλάπτῃ. ὁ βουλόμενος ἀποτεμνέτω, ὁ βουλόμενος λιθαζέτω, ὁ βουλόμενος μισείτω· ὑποθῆκαι γὰρ ἐμοὶ στεφάνων αἱ ἐπιβουλαί, καὶ ἀριθμὸς βραβείων τὰ τραύματα. οὐ δέδοικα τοίνυν ἐπιβουλήν· ἓν δέδοικα μόνον, ἁμαρτίαν. μή μέ τις ἐλέγξῃ ἁμαρτάνοντα, καὶ ἡ οἰκουμένη πᾶσα πολεμείτω μοι. ὁ γὰρ πόλεμος οὗτος λαμπρότερόν με ἐργάζεται. οὕτω καὶ ὑμᾶς παιδεῦσαι βούλομαι πάντας. ποῦ οἱ ἀπελθόντες, εἰπέ μοι; οὐχὶ πάντες ὑπέκυπτον; οὐχὶ οἱ ἐν ἀρχῇ ὄντες μεῖζον ἔτρεμον αὐτούς; οὐκ ἐθεράπευον; ἀλλ' ἦλθεν ἡ ἁμαρτία, καὶ πάντα ἠλέγχθη, καὶ οἱ θεραπεύοντες δικασταὶ ἐγένοντο, οἱ κολακεύοντες δήμιοι, οἱ τὰς χεῖρας καταφιλοῦντες αὐτοὶ αὐτοὺς εἷλκον ἀπὸ τῆς ἐκκλησίας, καὶ ὁ χθὲς τὴν χεῖρα καταφιλῶν, σήμερον πολέμιος. διατί; ὅτι οὔτε χθὲς μετὰ ἀληθείας ἐφίλει. ἦλθε γὰρ ὁ καιρός, καὶ ἠλέγχθη τὰ προσωπεῖα. οὐ χθὲς τὰς χεῖρας κατεφίλεις, καὶ σωτῆρα ὠνόμαζες καὶ κηδεμόνα καὶ εὐεργέτην; οὐκ ἐγκώμια ὕφαινες μυρία; διατί σήμερον κατηγορεῖς; χθὲς ἐπαινέτης, καὶ σήμερον κατήγορος; χθὲς ἐγκώμια, καὶ σήμερον ἐγκλήματα μηνύεις; τίς ἡ μεταβολή; τίς ἡ μετάστασις; ἀλλ' οὐκ ἐγὼ τοιοῦτος. ἀλλ' ἐγὼ ἐπιβουλευόμενος, προστάτης ἐγενόμην· μυρία ἔπαθον δεινά, καὶ οὐκ ἠμειψάμην. τὸν γὰρ δεσπότην τὸν ἐμαυτοῦ μιμοῦμαι, ὃς ἐν τῷ σταυρῷ ἔλεγε· Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι. ταῦτα δὲ λέγω, ἵνα μὴ τῇ ὑπονοίᾳ τῶν πονηρῶν διαφθείρησθε. πόσαι μεταβολαὶ γεγόνασιν, ἐξ οὗ τῆς πόλεως ἐπέβην, καὶ οὐδεὶς σωφρονίζεται; οὐδεὶς δὲ, ὅταν εἴπω, οὐ πάντων καταγινώσκω (μὴ γένοιτο) οὐ γὰρ ἔστι τὴν ἄρουραν ταύτην τὴν λιπαρὰν δεξαμένην σπέρματα μὴ καὶ στάχυν ἐνεγκεῖν· ἀλλ' ἐγὼ ἀκόρεστός εἰμι· οὐ βούλομαι ὀλίγους σωθῆναι, ἀλλὰ πάντας. κἂν εἷς ἀπολειφθῇ ἀπολλύμενος, ἐγὼ ἀπόλλυμαι, καὶ οἶμαι τὸν ποιμένα ἐκεῖνον μιμεῖσθαι, ὃς ἐνενήκοντα ἐννέα εἶχε πρόβατα, καὶ ἐπὶ τὸ ἓν τὸ πεπλανημένον ἔδραμε. μέ-

Λουκ. κγ. λδ.

χρι πότε χρήματα; μέχρι πότε ἄργυρος; μέχρι πότε χρυσός; μέχρι πότε οἶνος ἐκχεόμενος; μέχρι πότε κολακεία οἰκετῶν; μέχρι πότε κρατῆρες ἐστεμμένοι; μέχρι πότε συμπόσια Σατανικὰ, καὶ διαβολικῆς γέμοντα ἐνεργείας; οὐκ οἶδας, ὅτι ἀποδημία ἐστὶν ὁ παρὼν βίος; μὴ γὰρ πολίτης εἶ; ὁδίτης εἶ. συνῆκας τί εἶπον; οὐκ εἶ πολίτης, ἀλλ' ὁδίτης εἶ καὶ ὁδοιπόρος. μὴ εἴπῃς, ἔχω τήνδε τὴν πόλιν, καὶ ἔχω τήνδε. οὐκ ἔχει οὐδεὶς πόλιν ὧδε. ἡ πόλις ἄνω ἐστί· τὰ παρόντα ὁδός ἐστιν. ὁδεύομεν τοίνυν καθ' ἡμέραν, ἕως ἡ φύσις τρέχει. ἔστι τις ἐν ὁδῷ χρήματα ἀποτιθέμενος; ἔστι τις ἐν ὁδῷ χρυσίον κατορύττων; ὅταν οὖν εἰσέλθῃς εἰς πανδοχεῖον, εἰπέ μοι, τὸ πανδοχεῖον καλλωπίζεις; οὐχὶ, ἀλλ' ἐσθίεις καὶ πίνεις, καὶ ἐπείγῃ ἐξελθεῖν. πανδοχεῖόν ἐστιν ὁ παρὼν βίος. εἰσήλθομεν, κατελύσαμεν· σπουδάζωμεν ἐξελθεῖν μετὰ καλῆς τῆς ἐλπίδος. μηδὲν ἀφῶμεν ὧδε, ἵνα μὴ ἀπολέσωμεν ἐκεῖ. ὅταν εἰσέλθῃς εἰς τὸ πανδοχεῖον, τί λέγεις τῷ παιδί; βλέπε ποῦ ἀποτίθης τὰ πράγματα, μή τι καταλείπῃς ἐνταῦθα, ἵνα μή τι ἀπόληται, μήτε μικρὸν, μήτε εὐτελὲς, ἵνα πάντα εἰς τὴν οἰκίαν ἀπενέγκωμεν. οὕτω καὶ ἡμεῖς ἐν τῷ παρόντι βίῳ, βλέπωμεν ὥσπερ πανδοχεῖον τὸν βίον, καὶ μηδὲν ὧδε καταλείπωμεν ἐν τῷ πανδοχείῳ, ἀλλὰ πάντα εἰς τὴν μητρόπολιν ἀπενέγκωμεν. ὁδίτης εἶ καὶ ὁδοιπόρος, μᾶλλον δὲ καὶ ὁδίτου εὐτελέστερος. καὶ πῶς; ἐγὼ λέγω· ὁ ὁδίτης οἶδε τὸ πότε εἰσέρχεται εἰς τὸ πανδοχεῖον, καὶ πότε ἐκβαίνει· κύριος γάρ ἐστι τοῦ ἐξελθεῖν, ὥσπερ καὶ τοῦ εἰσελθεῖν. ἐγὼ δὲ εἰσερχόμενος εἰς τὸ πανδοχεῖον, τουτέστιν, εἰς τὸν παρόντα βίον, πότε ἐξέρχομαι οὐκ οἶδα. καὶ ἐνίοτε παρασκευάζομαι πολλοῦ χρόνου διατροφὰς, καὶ ὁ δεσπότης μου παραχρῆμα καλεῖ με· Ἄφρων, ἃ ἡτοίμασας, τίνι ἔσται; τῇ νυκτὶ γὰρ ταύτῃ λαμβάνουσι τὴν ψυχήν σου. Λουκ. ιβ. κ. ἄδηλος ἡ ἔξοδος, ἄστατος ἡ κτῆσις, μυρίοι κρημνοὶ, πανταχόθεν κύματα. τί μαίνῃ περὶ τὰς σκιάς; τί ἀφεὶς τὴν ἀλήθειαν, κατατρέχεις ἐπὶ τὰς σκιάς; ταῦτα λέγω, καὶ λέγων οὐ παύσομαι, συνεχῆ τὴν ὀδύνην ἐργαζόμενος, καὶ τὰ τραύματα καταστέλλων. καὶ οὐ διὰ τοὺς πεσόντας, ἀλλὰ διὰ τοὺς ἑστῶτας. ἐκεῖνοι γὰρ ἀπῆλθον, καὶ τέλος ἔλαβον· οἱ δὲ ἑστῶτες, ἐν ταῖς ἐκείνων συμφοραῖς ἀσφαλέστεροι γενέσθωσαν. καὶ τί, φησὶ, ποιήσωμεν; ἓν μόνον ποίησον, μίσησον χρήματα, καὶ φίλει σου τὴν ζωήν. ῥίψον τὰ ὄντα, οὐ λέγω τὰ πάντα, ἀλλὰ τὰ περιττὰ περίκοψον. τῶν ἀλλοτρίων μὴ ἐπιθύμει, τὴν χήραν μὴ γυμνώσῃς, τὸν ὀρφανὸν μὴ ἁρπάσῃς, τὴν οἰκίαν μὴ λάβῃς. οὐ λέγω πρόσωπα, ἀλλὰ πράγματα. εἴ τινος δὲ ἐπιλαμβάνεται τὸ συνειδὸς, αὐτὸς αἴτιος, οὐχ ὁ ἐμὸς λόγος. τί ἁρπάζεις, ὅπου φθόνος; ἅρπασον, ὅπου στέφανος. μὴ ἅρπαζε τὴν γῆν, ἀλλὰ τὸν οὐρανόν· βιαστῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. τί ἁρπάζεις τὸν πένητα, τὸν ἐγκαλοῦντα; ἅρπασον τὸν Χριστὸν, τὸν ἐπαινοῦντα. εἶδες ἀγνωμοσύνην καὶ μανίαν; ἁρπάζεις πένητα τὸν ἔχοντα ὀλίγον; ὁ Χριστὸς λέγει· ἐμὲ ἅρπασον, χάριν σοι ἔχω τῆς ἁρπαγῆς. Ματθ. ια. ιβ. τὴν ἐμὴν βασιλείαν ἅρπασαι καὶ βίασαι. τὴν κάτω βασιλείαν, ἐὰν θελήσῃς ἁρπάσαι, μᾶλλον δὲ κἂν θελήσῃς ἐννοῆσαι, κολάζῃ· τὴν ἄνω δὲ ἐὰν μὴ ἁρπάσῃς, τότε κολάζῃ. ὅπου τὰ βιωτικὰ, φθόνος· ὅπου δὲ τὰ πνευματικὰ, ἀγάπη.

Ταῦτα μελέτα καθ' ἑκάστην ἡμέραν, καὶ μὴ πάλιν ἰδὼν μετὰ δύο ἡμέρας ἄλλον ὀχήματι φερόμενον, σηρικὸν περιβεβλημένον, ἱματίοις κορυφούμενον, θορυβηθῇς, ταραχθῇς. μὴ ἐπαίνει πλούσιον, ἀλλὰ τὸν ἐν δικαιοσύνῃ μόνον. μὴ κάκιζε πένητα, ἀλλὰ μάθε τῶν πραγμάτων τὴν κρίσιν ἔχειν ὀρθὴν καὶ ἀδιάπτωτον. μὴ ἀπέχου ἐκκλησίας. οὐδὲν γὰρ ἐκκλησίας ἰσχυρότερον. ἡ ἐλπίς σου, ἡ ἐκκλησία· ἡ σωτηρία σου, ἡ ἐκκλησία· ἡ καταφυγή σου, ἡ ἐκκλησία. τοῦ οὐρανοῦ ὑψηλοτέρα ἐστὶ, τῆς γῆς πλατυτέρα ἐστίν. οὐδέποτε γηρᾷ, ἀεὶ δὲ ἀκμάζει. διὰ τοῦτο τὸ στερρὸν αὐτῆς καὶ ἀσάλευτον δηλοῦσα ἡ γραφὴ, ὄρος αὐτὴν καλεῖ· τὸ ἄφθορον, αὐτὴν καλεῖ παρθένον· τὸ πολυτελὲς, βασίλισσαν αὐτὴν καλεῖ· τὸ συγ-

γενὲς τὸ πρὸς τὸν Θεόν, θυγατέρα αὐτὴν καλεῖ· τὸ πολύγονον, στεῖραν αὐτὴν καλεῖ τίκτουσαν
ἑπτά· μυρία ὀνόματα, ἵνα παραστήσῃ αὐτῆς τὴν εὐγένειαν· ὥσπερ γὰρ ὁ δεσπότης αὐτῆς
πολλὰ ὀνόματα ἔχει, καὶ πατὴρ καλεῖται, καὶ ὁδὸς καλεῖται, καὶ ζωὴ καλεῖται, καὶ φῶς καλεῖται,
καὶ βραχίων καλεῖται, καὶ ἱλασμὸς καλεῖται, καὶ θεμέλιος καλεῖται, καὶ θύρα καλεῖται, καὶ
ἀναμάρτητος καλεῖται, καὶ θησαυρὸς καλεῖται, καὶ Κύριος καλεῖται, καὶ Θεὸς καλεῖται, καὶ
υἱὸς καλεῖται, καὶ μονογενὴς καλεῖται, καὶ μορφὴ Θεοῦ καὶ εἰκὼν Θεοῦ καλεῖται. μὴ ἀρκεῖ
ἓν ὄνομα παραστῆσαι τὸ ὅλον; οὐδαμῶς. ἀλλὰ διὰ τοῦτο μυρία ὀνόματα, ἵνα μάθωμέν τι
περὶ Θεοῦ, κἂν μικρόν. οὕτω δὴ καὶ ἡ ἐκκλησία πολλὰ καλεῖται· παρθένος λέγεται, καὶ
μὴν πόρνη ἦν πρὸ τούτου. τὸ γὰρ θαυμαστὸν τοῦ νυμφίου, ὅτι ἔλαβε πόρνην, καὶ ἐποίησε παρ-
θένον. ὢ καινῶν καὶ παραδόξων πραγμάτων. γάμος παρ' ἡμῖν παρθενίαν λύει, γάμος παρὰ
Θεῷ παρθενίαν συνίστησι. παρ' ἡμῖν ἡ οὖσα παρθένος, γαμουμένη οὐκ ἔστι παρθένος· παρὰ
Χριστῷ ἡ οὖσα πόρνη, γαμουμένη παρθένος γέγονεν. ἑρμηνευέτω ὁ αἱρετικὸς τοῦτο μόνον, ὁ
περιεργαζόμενος τὴν ἄνω γέννησιν, καὶ λέγων· πῶς ἐγέννησεν ὁ πατήρ; Εἰπὲ αὐτῷ, πῶς ἡ
ἐκκλησία πόρνη οὖσα, παρθένος ἐγένετο; πῶς δὲ ἡ γεννήσασα, παρθένος ἔμεινε; Ζηλῶ γὰρ
β. Κορ. ια. β. ὑμᾶς Θεοῦ ζήλῳ. ὁ Παῦλος· Ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν
παραστῆσαι τῷ Χριστῷ. ὢ σοφία καὶ σύνεσις. ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ. τί ἐστι τοῦτο;
″ζηλεύω, λέγει. ζηλεύεις ὁ πνευματικός; ζηλεύω γάρ, λέγει, ὡς ὁ Θεὸς ζηλεύει, οὐ πάθει,
ἀλλὰ ἀγάπῃ καὶ ζηλοτυπίᾳ. ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ. εἴπω σοι, πῶς ζηλεύει; εἶδεν τὸ
δαιμόνων διαφθειρομένην τὴν γῆν, καὶ τὸν υἱὸν αὐτοῦ ἐξέδωκε. τὰ γὰρ ῥήματα ἐπὶ τοῦ Θεοῦ λεγό-
μενα, οὐ τὴν αὐτὴν ἔχει ἰσχύν· οἷον, ″ζηλεύει Θεός, ὀργίζεται Θεός, μεταμελεῖται Θεός, μισεῖ Θεός·
τὰ ῥήματα ταῦτα ἀνθρώπινα, ἀλλὰ τὰ νοήματα θεοπρεπῆ. πῶς ζηλεύει Θεός; ζηλῶ γὰρ
ὑμᾶς Θεοῦ ζήλῳ. ὀργίζεται Θεός; Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με. ὥστε καὶ καθεύδε
Ψαλ. ϛ. α. μγ. κϛ. Θεός. Ἀνάστηθι, ἵνα τί ὑπνοῖς, Κύριε; μεταμελεῖται Θεός; Μετενόησα, ὅτι ἐποίησα τὸν ἄνθρω-
Γεν. ϛ. ζ. Ησ. α. ιδ. πον. μισεῖ ὁ Θεός; Τὰς ἑορτὰς ὑμῶν καὶ τὰς νεομηνίας μισεῖ ἡ ψυχή μου. ἀλλὰ μὴ
πρόσεχε τῇ εὐτελείᾳ τῶν λέξεων· ἀλλὰ λάβε θεοπρεπῆ τὰ νοήματα. ζηλεύει ὁ Θεός·
ἀγαπᾷ γάρ. ὀργίζεται ὁ Θεός, οὐ πάθει, ἀλλὰ τιμωρίᾳ καὶ κολάσει. ὑπνοῖ Θεός, οὐ καθεύ-
δων, ἀλλὰ μακροθυμῶν. ἔκλεγε τὰς λέξεις. οὕτω καὶ ὅταν ἀκούσῃς, ὅτι γεννᾷ Θεός, μὴ
τμῆσιν νόμιζε, ἀλλὰ τὸ ὁμοούσιον. τὰ γὰρ ῥήματα ταῦτα πολλὰ παρ' ἡμῶν ἐχρήσατο
ὁ Θεός· καὶ ἡμεῖς παρ' αὐτοῦ, ἵνα τιμηθῶμεν. Συνῆκας τί εἶπον; πρόσεχε μετὰ ἀκριβείας,
ἀγαπητέ. ὀνόματά ἐστι θεῖα, καὶ ὀνόματα ἀνθρώπινα. ἔλαβε παρ' ἐμοῦ, καὶ ἔδωκέ μοι αὐ-
τός. δός μοι τὰ σά, καὶ λάβε τὰ ἐμά, λέγει. τῶν ἐμῶν χρείαν ἔχεις; οὐκ ἐγὼ χρείαν ἔχω,
ἀλλὰ σύ· ἐπειδὴ γὰρ ἡ οὐσία μου ἀκήρατός ἐστι, σὺ δὲ ἄνθρωπος εἶ σώματι συμπεπλεγ-
μένος, σωματικὰς ζητῶν καὶ λέξεις, ἵνα σὺ ὁ σώματι συμπεπλεγμένος λαβὼν ἀπὸ τῶν πα-
ρά σοι γνωρίμων ῥημάτων, νοήσῃς τὰ ὑπερβαίνοντά σε νοήματα. ποῖα ἔλαβε παρ' ἐμοῦ,
ποῖα δὲ ἔδωκέ μοι ὀνόματα; αὐτὸς Θεός ἐστι, καὶ ἐμὲ Θεὸν ἐκάλεσεν. ἐκεῖ φύσις πράγμα-
τος, ἐνταῦθα τιμὴ ὀνόματος. ἐγὼ εἶπα· Θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες. ῥήματά ἐστιν ἐν-
Ψαλ. πα. ϛ. ταῦθα, ἐκεῖ δὲ πραγμάτων φύσις. ἐκάλεσέ με Θεόν· ἐτιμήθην γάρ. ἐκλήθη αὐ-
τὸς ἄνθρωπος, ἐκλήθη αὐτὸς υἱὸς ἀνθρώπου, ἐκλήθη αὐτὸς ὁδός, ἐκλήθη αὐτὸς θύρα,
ἐκλήθη αὐτὸς πέτρα. ταῦτα παρ' ἐμοῦ ἔλαβεν· ἐκεῖνα παρ' ἑαυτοῦ τὰ ῥήματά μοι ἔδωκε.
διὰ τί δὲ ἐκλήθη ὁδός; ἵνα μάθῃς, ὅτι δι' αὐτοῦ πρὸς τὸν πατέρα ἀνερχόμεθα. διὰ τί ἐκλήθη
πέτρα; ἵνα μάθῃς τὸ ἐπιτήδειον καὶ ἀσάλευτον καὶ ἑδραῖον τῆς πίστεως. διὰ τί ἐκλήθη θεμέλιος;
ἵνα μάθῃς, ὅτι πάντα βαστάζει. διὰ τί ἐκλήθη ῥίζα; ἵνα μάθῃς, ὅτι ἐν αὐτῷ ἀνθοῦμεν. διὰ
τί ἐκλήθη ποιμήν; ὅτι ἡμᾶς νέμει. διὰ τί ἐκλήθη πρόβατον; ὅτι ὑπὲρ ἡμῶν ἐτύθη, καὶ ἱλα-
σμὸς ἐγένετο. διὰ τί ἐκλήθη ζωή; ὅτι νεκροὺς ὄντας ἡμᾶς ἀνέστησε. διὰ τί ἐκλήθη φῶς; ὅτι σκό-

τους

τοις ἡμᾶς ἀπήλλαξε. διὰ τί ἐκλήθη βραχίων; ὅτι ὁμοούσιός ἐστι τῷ πατρί. διὰ τί ἐκλήθη λόγος; ὅτι ἀπὸ τοῦ πατρὸς ἐτέχθη. ὥσπερ γὰρ ὁ λόγος ὁ ἐμὸς ἀπὸ τῆς ψυχῆς μου γεννᾶται, οὕτω καὶ ὁ υἱὸς ἀπὸ τοῦ πατρὸς ἐτέχθη. διὰ τί ἐκλήθη ἱμάτιον; ὅτι ἐνδέδυμαι αὐτὸν βαπτισθείς. διὰ τί ἐκλήθη τράπεζα; ὅτι ἐσθίω αὐτὸν ἀπολαύσας τῶν μυστηρίων. διὰ τί ἐκλήθη οἶκος; ὅτι οἰκῶ ἐν αὐτῷ. διὰ τί ἔνοικος; ὅτι ναὸς αὐτοῦ γινόμεθα. διὰ τί ἐκλήθη κεφαλή; ὅτι μέλος αὐτοῦ κατέστην. διὰ τί ἐκλήθη νυμφίος; ὅτι νύμφην με ἡρμόσατο. διὰ τί ἐκλήθη "ἁγνός; ὅτι παρθένον με ἔλαβε. διὰ τί ἐκλήθη δεσπότης; ὅτι δούλη αὐτοῦ εἰμι. ὅρα γὰρ τὴν ἐκκλησίαν, ὅπερ ἔλεγον, ὅτι ποτὲ νύμφη ἐστὶ, ποτὲ θυγάτηρ ἐστὶ, ποτὲ παρθένος ἐστὶ, ποτὲ δούλη ἐστὶ, ποτὲ βασίλισσα ἐστὶ, ποτὲ στεῖρα ἐστὶ, ποτὲ ὄρος ἐστὶ, ποτὲ παράδεισός ἐστι, ποτὲ πολύτοκός ἐστι, ποτὲ κρίνον ἐστὶ, ποτὲ πηγή ἐστι· πάντα ἐστί. διὰ τοῦτο ἀκούσας ταῦτα, μὴ νόμιζε σωματικὰ εἶναι, παρακαλῶ, ἀλλὰ συντεῖνόν σου τὴν διάνοιαν. τὰ γὰρ σωματικὰ τοιαῦτα εἶναι οὐ δύνανται. οἷόν τι λέγω· τὸ ὄρος παρθένος οὐκ ἔστιν· ἡ παρθένος νύμφη οὐκ ἔστιν· ἡ βασίλισσα, δούλη οὐκ ἔστιν· ἡ ἐκκλησία πάντα ἐστί. διὰ τί; ὅτι οὐκ ἐν σώματι ταῦτα, ἀλλ' ἐν ψυχῇ. ἐν μὲν γὰρ σώματι ταῦτα ἐστενοχώρηται· ἐν δὲ ψυχῇ, πολὺ ἔχει τὸ πέλαγος.

Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου. βασίλισσα; ἡ πεπατημένη, ἡ πτωχὴ, πῶς βασίλισσα ἐγένετο; καὶ ποῦ ἀνέβη; ἄνω παρέστη ἡ βασίλισσα " ἐκ δεξιῶν σου. ἐπειδὴ ὁ βασιλεὺς ἐγένετο δοῦλος. οὐκ ἦν, ἀλλ' ἐγένετο. μάθε οὖν τὰ τῆς θεότητος, καὶ σοφίζου τὰ τῆς οἰκονομίας· μάθε τίς ἦν, καὶ τίς ἐγένετο διὰ σέ, καὶ μὴ σύγχεε τὰ πράγματα, μηδὲ τὴν ὑπόθεσιν τῆς φιλανθρωπίας, ἀφορμὴν ποιοῦ βλασφημίας. ὑψηλὸς ἦν, καὶ αὐτὴ ταπεινή· ὑψηλὸς οὐ τόπῳ, ἀλλὰ φύσει. ἀκήρατος ἦν, ἀνώλεθρος " τῇ οὐσίᾳ, ἄφθαρτος ἦν " τῇ φύσει, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὢν, ὡσαύτως ὢν, ὑπερβαίνων ἀγγέλους, ἀνώτερος τῶν ἄνω δυνάμεων, νικῶν λογισμὸν, ὑπερβαίνων διάνοιαν, ὀφθῆναι μὴ δυνάμενος, πιστευθῆναι δὲ μόνον. ἄγγελοι ἔβλεπον, καὶ ἔτρεμον, τὰ χερουβὶμ τὰς πτέρυγας ἐπέβαλλον, πάντα ἐν φόβῳ. Ἐπέβλεπεν ἐπὶ τὴν γῆν, καὶ ἐποίει αὐτὴν τρέμειν· ἠπείλει τῇ θαλάσσῃ, καὶ ἐξήραινεν αὐτήν· ποταμοὺς ἐξ ἐρήμου· τὰ ὄρη ἔστησε σταθμῷ, καὶ τὰς νάπας ζυγῷ. πῶς εἴπω; πῶς παραστήσω; ἡ μεγαλωσύνη αὐτοῦ πέρας οὐκ ἔχει, ἡ σοφία αὐτοῦ ἀριθμὸν οὐκ ἔχει, τὰ κρίματα αὐτοῦ ἀνεξιχνίαστα, αἱ ὁδοὶ αὐτοῦ ἀνεξερεύνητοι. ἀλλ' ὅμως ὁ τοσοῦτος καὶ τηλικοῦτος, εἰ ἀσφαλὲς καὶ τοῦτο εἰπεῖν, τοσοῦτος καὶ τηλικοῦτος. ἀλλὰ τί πάθω; ἄνθρωπός εἰμι, καὶ " ἀνθρωπικῶς διαλέγομαι. " πηλίνην κέκτημαι γλῶσσαν, συγγνώμην αἰτῶ παρὰ τοῦ δεσπότου. οὐ γὰρ ἐξ ἀπονοίας ταῖς λέξεσι ταύταις κέχρημαι, ἀλλὰ δι' ἀπορίαν τῆς ἀσθενείας καὶ τῆς φύσεως τῆς γλώττης τῆς ἡμετέρας. ἵλεως ἔσο, δέσποτα. οὐ γὰρ ἀπονοίᾳ κεχρημένος, ταύτας λέγω τὰς λέξεις, ἀλλ' οὐκ ἔχω ἄλλας. οὐ μὴν " οὐδὲ ἵσταμαι ἐν τῇ εὐτελείᾳ τῆς λέξεως, ἀλλὰ ἀναβαίνω τῷ πτερῷ τοῦ νοήματος. ὁ τοσοῦτος καὶ τηλικοῦτος. ταῦτα λέγω, ἵνα μὴ ταῖς λέξεσι παραμένων, μηδὲ τῇ πτωχείᾳ τῶν λεγομένων, μάθῃς καὶ αὐτὸς τοῦτο ποιεῖν. τί θαυμάζεις, εἰ ἐγὼ τοῦτο ποιῶ, ὅπουγε καὶ αὐτὸς, ὅταν βούληταί τι παραστῆσαι ὑπερβαῖνον τὰ ἀνθρώπινα, ἐπειδὴ ἀνθρώποις διαλέγεται, καὶ ἀνθρωπίναις κέχρηται εἰκόσιν, οὐκ ἀρκούσαις μὲν παραστῆσαι τὸ λεγόμενον, οὐδὲ δυναμέναις ὅλον τὸ μέγεθος ἀγαγεῖν εἰς τὸ μέσον, ἀρκούσαις δὲ τῇ ἀσθενείᾳ τῶν ἀκουόντων. συντεῖνον σαυτὸν, μὴ ἀπόκαμνε δὲ τοῦ λόγου μηκυνομένου. ὥσπερ γὰρ ὅταν φαίνηται, οὐχ ὅπερ ἐστὶ, φαίνεται, οὐδὲ γυμνὴ ἡ οὐσία φαίνεται (οὐδεὶς γὰρ εἶδε Θεὸν, αὐτὸ ὅ ἐστι. τῇ γὰρ συγκαταβάσει καὶ τὰ χερουβὶμ ἔτρεμε. συγκατέβη, καὶ τὰ ὄρη καπνίζεται· συγκατέβη, καὶ ἡ θάλασσα ξηραίνεται· συγκατέβη, καὶ ὁ οὐρανὸς σαλεύεται. καὶ εἰ μὴ συγκατέβη, τίς ἂν ἤνεγκεν) ὥσπερ οὖν οὐ φαίνεται ὅπερ ἐστὶν, ἀλλ' ὃ δύναται ὁ ὁρῶν ἰδεῖν (διὰ τοῦτο ποτὲ

Ψαλμ. μδ. ι.

μὴ

Ματθ. ιζ. β.

μὲν παλαιὸς φαίνεται, ποτὲ δὲ νέος· ποτὲ δὲ ἐν πυρί, ποτὲ δὲ ἐν αὔρᾳ, ποτὲ δὲ ἐν ὕδατι, ποτὲ δὲ ἐν ὅπλοις, οὐ μεταβάλλων τὴν οἰκείαν οὐσίαν, ἀλλὰ σχηματίζων τὴν ὄψιν πρὸς τὴν ποικιλίαν τῶν ὑποκειμένων) οὕτω δὴ καὶ ὅταν βούληταί τι περὶ αὐτοῦ εἰπεῖν, ἀνθρωπίνοις εἰκόσι κέχρηται. οἷον τί λέγω· Ἀνέβη εἰς τὸ ὄρος, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς τὸ φῶς, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκά, ὡσεὶ χιών. παρανοίξας, φησίν, ὀλίγον τι τῆς θεότητος, ἔδειξεν αὐτοῖς τὸν ἐνοικοῦντα Θεόν, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν. προσέχετε μετὰ ἀκριβείας τῷ λόγῳ. λέγει, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὰ ἱμάτια αὐτοῦ ὡς τὸ φῶς, καὶ ἡ ὄψις ὡς ὁ ἥλιος. ἐπειδὴ εἶπον, τοσοῦτος καὶ τηλικοῦτος, καὶ εἶπον, ἵλεώς μοι γενοῦ, δέσποτα (οὐ γὰρ ἐναπομένω τῇ λέξει, ἀλλ' ἀπορῶ, καὶ οὐκ ἔχω ἄλλην λέξιν ἐπιτεθειμένην) θέλω σε μαθεῖν, ὅτι ἀπὸ τῆς γραφῆς τοῦτο ἐπαιδεύθην. ἠθέλησεν οὖν δεῖξαι τὴν λαμπηδόνα αὐτοῦ ὁ εὐαγγελιστής, καὶ λέγει, ἔλαμψε. πῶς ἔλαμψεν, εἰπέ μοι; σφοδρῶς. καὶ πῶς λέγεις; ὡς ὁ ἥλιος. ὡς ὁ ἥλιος, λέγεις; ναί. διατί; διότι οὐκ ἔχω ἄλλο ἄστρον φαιδρότερον. καὶ λευκὸς ἦν ὡς χιών. διατί ὡς χιών; διότι οὐχ ἔχω ἄλλην ὕλην λευκοτέραν. ὅτι γὰρ οὐχ οὕτως ἔλαμψεν, ἀπὸ τοῦ ἑξῆς δείκνυται· καὶ ἔπεσον χαμαὶ οἱ μαθηταί. εἰ ὡς ὁ ἥλιος ἔλαμψεν, οὐκ ἂν ἔπιπτον οἱ μαθηταί. ἥλιον γὰρ ἔβλεπον καθ' ἡμέραν, καὶ οὐκ ἔπιπτον. ἀλλ' ἐπειδὴ ὑπὲρ τὸν ἥλιον ἔλαμψε, καὶ ὑπὲρ τὴν χιόνα, διὰ τοῦτο μὴ φέροντες τὴν λαμπηδόνα, κατέπεσον. εἰπέ μοι οὖν, ὦ εὐαγγελιστά, ὑπὲρ τὸν ἥλιον ἔλαμψε, καὶ σὺ λέγεις, ὡς ὁ ἥλιος; ναί. γνώριμόν σοι θέλων ποιῆσαι τὸ φῶς, οὐχ ἔχω ἄλλο ἄστρον μεῖζον, οὐκ ἔχω ἄλλην εἰκόνα τὴν ἐν τοῖς ἄστροις βασιλεύουσαν. ταῦτα εἶπον, ἵνα μὴ τῇ εὐτελείᾳ τῆς λέξεως ἐναπομείνῃς. ἔδειξά σοι τὸ πτῶμα τῶν μαθητῶν. ἔπεσον χαμαί, καὶ ἐκαρώθησαν, καὶ κατεχώννυντο. ἀνάστητε, λέγει, καὶ ἤγειρεν αὐτούς, καὶ ἦσαν βεβαρημένοι. τὴν γὰρ ὑπερβολὴν τῆς λαμπηδόνος οὐκ ἤνεγκαν, ἀλλὰ κάρος ἔλαβε τοὺς ὀφθαλμοὺς αὐτῶν· οὕτω τὸ φαινόμενον φῶς ὑπὲρ τὸν ἥλιον ἦν. εἶπε δὲ ὁ εὐαγγελιστής, ″ὡς ὁ ἥλιος· ἐπειδὴ τὸ ἄστρον τοῦτο γνώριμον ἡμῖν ἐστι, καὶ ἐν ὑπερβολῇ τῶν λοιπῶν ἄστρων ἁπάντων. ἀλλ' ὅπερ ἔλεγον, ὁ τοσοῦτος καὶ τηλικοῦτος, ἐπεθύμησε πόρνης. πόρνης ″ἐπεθύμει ὁ Θεός; ναί, πόρνης· τῆς φύσεως ἡμετέρας λέγω. πόρνης ἐπεθύμει ὁ Θεός; καὶ ἄνθρωπος μέν, ἐὰν ἐπιθυμήσῃ πόρνης, καταδικάζεται· Θεὸς δὲ πόρνης ἐπιθυμεῖ; καὶ πολύ. ἄνθρωπος μὲν γὰρ ἐπιθυμεῖ πόρνης, ἵνα γένηται πόρνος· Θεὸς δὲ ″ἐπιθυμεῖ πόρνης, ἵνα τὴν πόρνην παρθένον ἐργάσηται. ὥστε ἡ ἐπιθυμία τοῦ ἀνθρώπου ἀπώλεια τῆς ἐπιθυμουμένης· ἡ δὲ ἐπιθυμία τοῦ Θεοῦ, σωτηρία τῇ ἐπιθυμουμένῃ. ὁ τοσοῦτος καὶ τηλικοῦτος ἐπεθύμησε πόρνης; ″καὶ τί; ἵνα γένηται ὁ νυμφίος. τί ποιεῖ; οὐ πέμπει πρὸς αὐτὴν οὐδένα τῶν δούλων, οὐ πέμπει τὸν ἄγγελον πρὸς πόρνην, οὐ πέμπει ἀρχάγγελον, οὐ πέμπει τὰ χερουβίμ, οὐ πέμπει τὰ σεραφίμ· ἀλλ' αὐτὸς παραγίνεται ὁ ἐρῶν.

Πάλιν ἔρωτα ἀκούσας, μὴ αἰσθητὸν νόμιζε· ἔκλεγε τὰ νοήματα ἀπὸ τῶν λέξεων, καθάπερ ἀρίστη μέλιττα ἐφιπταμένη τοῖς ἄνθεσι, καὶ τὸ κηρίον λαμβάνουσα, τὰς δὲ βοτάνας ἐῶσα. ἐπεθύμησε πόρνης, καὶ τί ποιεῖ; οὐκ ἀνάγει αὐτὴν ἄνω (οὐ γὰρ ἐβούλετο πόρνην εἰς τὸν οὐρανὸν ″ἀναγαγεῖν) ἀλλὰ καταβαίνει αὐτὸς κάτω. ἐπειδὴ αὐτὴ οὐκ ἠδύνατο ἀναβῆναι ἄνω, αὐτὸς κατέβη κάτω. πρὸς τὴν πόρνην ἔρχεται, καὶ οὐκ αἰσχύνεται, ἔρχεται εἰς τὴν καλύβην αὐτῆς, ὁρᾷ αὐτὴν μεθύουσαν. καὶ πῶς ἔρχεται; οὐ γυμνῇ τῇ οὐσίᾳ, ἀλλὰ γίνεται ὅπερ ἦν ἡ πόρνη, οὐ τῇ γνώμῃ, ἀλλὰ τῇ φύσει γίνεται τοῦτο, ἵνα μὴ ἰδοῦσα αὐτὸν πτοηθῇ, ἵνα μὴ ἀποπηδήσῃ, ἵνα μὴ φύγῃ. ἔρχεται πρὸς τὴν πόρνην, καὶ γίνεται ἄνθρωπος. καὶ πῶς γίνεται; εἰς μήτραν κυοφορεῖται, αὔξεται κατὰ μικρόν, καὶ ἔρχεται τὴν ὁδὸν τῆς ἡλικίας τῆς ἐμῆς. τίς; ἡ οἰκονομία, οὐχ ἡ θεότης· ἡ τοῦ δούλου μορφή, οὐχ ἡ τοῦ δεσπότου· ἡ σὰρξ ἡ ἐμή, οὐχ ἡ οὐσία ″ἐκείνου. αὔξεται κατὰ μικρόν, καὶ μίγνυται ἀνθρώποις. ″καὶ τί; εὑρίσκει αὐτὴν ἑλκῶν

γέμουσαν,

γήμασαν, ἐκτεθηλειωμένην, ὑπὸ δαιμόνων πεφορπισμένην, καὶ τί ποιεῖ; προσέρχεται αὐτῇ. Εἶδεν ἐκείνη, καὶ ἔφυγε. καλεῖ μάγους· τί φοβεῖσθε; οὐκ εἰμὶ κριτής, ἀλλ' ἰατρός· οὐκ ἦλθον, ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον. καλεῖ εὐθέως μάγους. ὢ καινῶν καὶ παραδόξων πραγμάτων. αἱ ἀπαρχαὶ εὐθέως μάγοι. κεῖται ἐν φάτνῃ ὁ τὴν οἰκουμένην βαστάζων, καὶ ἐσπαργάνωται ὁ πάντα περιέπων. κεῖται ὁ ναὸς, καὶ ἐνοικεῖ ὁ Θεός· καὶ ἔρχονται μάγοι, καὶ προσκυνοῦσιν εὐθέως. ἔρχεται τελώνης, καὶ γίνεται εὐαγγελιστής· ἔρχεται πόρνη, καὶ γίνεται παρθένος· ἔρχεται Χαναναία, καὶ ἀπολαύει φιλανθρωπίας. τοῦτο ἐρῶντος, τὸ μὴ ἀπαιτῆσαι εὐθύνας ἁμαρτημάτων, ἀλλὰ συγχωρῆσαι παρανομήματα πλημμελήματα. καὶ τί ποιεῖ; λαμβάνει αὐτὴν, ἁρμόζεται αὐτήν. τί αὐτῇ δίδωσι; δακτύλιον. ποῖον; τὸ πνεῦμα τὸ ἅγιον, ὡς λέγει Παῦλος· Ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν Θεὸς, ὁ καὶ σφραγισάμενος ἡμᾶς, καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ πνεύματος. πνεῦμα αὐτῇ δίδωσιν. Εἶτά φησιν, οὐκ εἰς παράδεισόν σε ἐφύτευσα; λέγει, ναί. καὶ πῶς ἐξέπεσες ἐκεῖθεν; ἦλθεν ὁ διάβολος, καὶ ἔλαβέ με ἀπὸ τοῦ παραδείσου. ἐφυτεύθης ἐν τῷ παραδείσῳ, καὶ ἔβαλέ σε ἔξω. ἰδοὺ φυτεύω σε ἐν ἐμαυτῷ. πῶς; ἐγώ σε βαστάζω· οὐ τολμᾷ ἐμοὶ προσελθεῖν. οὐδὲ εἰς τὸν οὐρανόν σε ἀνάγω, ἀλλὰ μεῖζον ἐνταῦθα τοῦ οὐρανοῦ, ἐν ἐμαυτῷ τῷ δεσπότῃ τοῦ οὐρανοῦ βαστάζω σε. ποιμὴν βαστάζει, καὶ ὁ λύκος οὐκ ἔτι ἔρχεται, μᾶλλον δὲ ἀφίημι αὐτῷ καὶ προσελθεῖν. καὶ βαστάζει τὴν ἡμετέραν φύσιν· καὶ προσέρχεται ὁ διάβολος, καὶ ἡττᾶται. ἐφύτευσά σε ἐν ἐμαυτῷ. διὰ τοῦτο λέγει· Ἐγώ ἡ ῥίζα, ὑμεῖς τὰ κλήματα. καὶ ἐφύτευσεν αὐτὴν ἐν ἑαυτῷ. καὶ τί λοιπόν; ἀλλὰ ἁμαρτωλός εἰμι, φησι, καὶ ἀκάθαρτος. μή σοι μελέτω· ἰατρός εἰμι. οἶδα τὸ σκεῦος τὸ ἐμόν· οἶδα πῶς διεστράφη. πήλινον ἦν πρὸ τούτου, καὶ διεστράφη. ἀναπλάττω αὐτὸ διὰ λουτροῦ παλιγγενεσίας, καὶ παραδίδωμι αὐτὸ τῷ πυρί. ὅρα γάρ· ἔλαβε χοῦν ἀπὸ τῆς γῆς, καὶ ἐποίησε τὸν ἄνθρωπον. ἔπλασεν αὐτόν. ἦλθεν ὁ διάβολος, διέστρεψεν αὐτόν. ἦλθεν αὐτὸς, ἔλαβε πάλιν, ἀνεφύρασεν αὐτὸν, ἀνεχώνευσεν αὐτὸν ἐν τῷ βαπτίσματι· ἀλλ' οὐκ ἀφῆκεν αὐτῷ πήλινον εἶναι τὸ σῶμα, ἀλλ' ἐποίησεν αὐτὸ ὀστράκινον· παρέδωκε τὸν πηλὸν τῷ πυρὶ τοῦ πνεύματος. Αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρὶ ἐν ὕδατι· ἵνα ἀναπλασθῇ ἐν πυρὶ, ἵνα στερεωθῇ. διὰ τοῦτο ὁ προφήτης ἄνωθεν προσαγορεύων ἔλεγεν, Ὡς σκεύη κεραμέως συντρίψεις ἡμᾶς. οὐκ εἶπεν, ὡς σκεύη ὀστράκινα, ἃ ἕκαστος κέκτηται. ἔστι γὰρ σκεύη κεραμέως ἐκεῖνα, ἃ ἐργάζεται ὁ κεραμεὺς ἐν τῷ τροχῷ. ἀλλὰ τὰ σκεύη τοῦ κεραμέως πήλινα· τὰ δὲ ἡμέτερα ὀστράκινα. προαναφωνῶν οὖν τὴν διὰ τοῦ βαπτίσματος ἀναχώνευσιν, ὡς σκεύη, φησὶ, κεραμέως συντρίψεις ἡμᾶς. ἀναπλάττει, λέγει, καὶ χωνεύει. πῶς; καταβαίνω εἰς τὸ βάπτισμα, καὶ ἀναπλάττεταί μου τὸ σχῆμα, καὶ ἀναχωνεύεται τοῦ πνεύματος τῷ πυρὶ, καὶ γίνεται ὀστράκινον. ὅτι δὲ οὐ κόμπος τὰ ῥήματα, ἄκουσον τοῦ Ἰώβ· Ἐποίησας δὲ ἡμᾶς πηλόν. ὁ δὲ Παῦλος· Ἔχοντες δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν. ἀλλὰ βλέπε ὀστράκου ἰσχύν. οὐ γὰρ πυρὶ ὤπτηται, ἀλλὰ πνεύματι. πῶς τὸ ὀστράκινον ἰσχυρόν; Πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον, τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην, καὶ τὸ ὀστράκινον σκεῦος οὐ κατεκλάσθη. Νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα. τοσοῦτον ἐν τῷ βυθῷ πεποίηκε, καὶ τὸ ὀστράκινον οὐ διελύθη. ἐναυάγησε, καὶ ὁ θησαυρὸς οὐκ ἀπώλετο· τὸ πλοῖον ὑποβρύχιον, καὶ ὁ φόρτος ἔπλευσεν. ἔχοντες δὲ τὸν θησαυρόν. ποῖον θησαυρόν; πνεύματος χορηγίαν, δικαιοσύνην, ἁγιασμὸν, ἀπολύτρωσιν. ποῖον θησαυρόν. εἰπέ μοι; Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἔγειραι καὶ περιπάτει· Αἰνέα, ἰᾶταί σε Ἰησοῦς ὁ Χριστός· Σοὶ λέγω τὸ πονηρὸν πνεῦμα, ἄπελθε ἀπ' αὐτοῦ. Εἶδες θησαυρὸν βασιλικῶν θησαυρῶν λαμπρότερον; τί γὰρ τοιοῦτον δύναται ποιῆσαι μαργαρίτης βασιλέως, οἷον ῥῆμα ἀποστόλου; ἐπίθες μυρία διαδήματα νεκρῷ, καὶ οὐκ ἐγείρεται, ἓν δὲ ῥῆμα ἐξῆλθεν ἀποστόλου, καὶ στασιάζουσαν τὴν φύσιν ἐπανήγαγε, καὶ πρὸς τὸ ἀρχαῖον ἀποκατέστησεν.

β.Κορ.α.κβ.

Ιωαν.ιε.α.

Ματθ.γ.ια.

Ψαλ.β.θ.

β.Κορ.δ.ζ.

β.Κορ.ια.κδ.

Πραξ.γ.ϛ.
θ.λδ.

πεκατέστησεν. ἔχοντες δὲ τὸν θησαυρὸν τοῦτον. ὦ θησαυρὸς οὐ τεθρυλημένος μόνον, ἀλλὰ καὶ τηρῶν τὸν οἶκον, ἔνθα ἀπόκειται. συνῆκας τί εἶπον; οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες, ὅταν ἔχωσι θησαυρούς, μεγάλους οἴκους κατασκευάζουσιν, ὀχυροὺς τοίχους, μοχλούς, θύρας, φύλακας, κλεῖθρα, ἵνα τηρηθῇ ὁ θησαυρός· ὁ Χριστὸς δὲ τοὐναντίον ἐποίησεν· οὐκ ἐν λιθίνῳ, ἀλλ' ἐν ὀστρακίνῳ σκεύει τὸν θησαυρὸν ἔθηκεν. εἰ μέγας ὁ θησαυρός, διὰ τί τὸ σκεῦος ἀσθενές; ἀλλὰ μὴν διὰ τοῦτο ἀσθενὲς τὸ σκεῦος, ἐπειδὴ μέγας ὁ θησαυρός. οὐ γὰρ τηρεῖται ὑπὸ τοῦ σκεύους, ἀλλ' αὐτὸς τηρεῖ τὸ σκεῦος. τίθημι ἐγὼ τὸν θησαυρόν, τίς δύναται λοιπὸν κλέψαι; ἦλθεν ὁ διάβολος, ἦλθεν ἡ οἰκουμένη, ἦλθον μυρίοι, καὶ τὸν θησαυρὸν οὐκ ἔκλεψαν· ἐμαστίχθη, καὶ ὁ θησαυρὸς οὐ προεδόθη· κατεποντίσθη εἰς θάλασσαν, καὶ ναυάγιον οὐκ ἐποίησεν· ἀπέθανε, καὶ ὁ θησαυρὸς μένει. ἔδωκε τοίνυν τὸν ἀρραβῶνα. ποῦ εἰσιν οἱ τοῦ πνεύματος τὴν ἀξίαν βλασφημοῦντες; προσέχετε· Ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν Θεός, ὁ καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ πνεύματος. ἴστε πάντες ὑμεῖς, ὅτι ὁ ἀρραβὼν μέρος ἐστὶ μικρὸν τοῦ παντός. ὅπως, ἄκουε. ἀπέρχεταί τις ἀγοράσαι οἰκίαν πολλῆς τιμῆς, καὶ λέγει, δός μοι ἀρραβῶνα, ἵνα θαρρῶ. ἀπέρχεταί τις γυναῖκα ἀγαγέσθαι, προῖκα συντίθησι καὶ γραμματεῖα, καὶ λέγει, δός μοι ἀρραβῶνα. πρόσχες· καὶ ἐν πράσει δούλου ἀρραβών, καὶ ἐν πᾶσι τοῖς συναλλάγμασιν ἀρραβών. ἐπεὶ οὖν καὶ ὁ Χριστὸς συνάλλαγμα μεθ' ἡμῶν ἐποίει (καὶ γὰρ ὡς νύμφην με ἔμελλε λαμβάνειν) καὶ προῖκά μοι γράφει, οὐ χρημάτων, ἀλλ' αἵματος· προῖκα δέ μοι ταύτην γράφει τῶν ἀγαθῶν τὴν ἀπόδοσιν, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. ἔγραψε τοίνυν εἰς τὴν προῖκα, ἀθανασίαν, αἶνον μετὰ ἀγγέλων, ἀπαλλαγὴν θανάτου, ἐλευθερίαν ἁμαρτίας, κληρονομίαν βασιλείας (πολὺς ὁ πλοῦτος) δικαιοσύνην, ἁγιασμόν, ἀπαλλαγὴν τῶν παρόντων, εὕρεσιν τῶν μελλόντων. μεγάλη μοι ἦν ἡ προίξ. πρόσεχε μετὰ ἀκριβείας· βλέπε τί ποιεῖ. ἦλθε λαβεῖν τὴν πόρνην. λέγω γὰρ αὐτήν, ὡς ἦν ἀκάθαρτος, ἵνα μάθῃς τοῦ νυμφίου τὸν ἔρωτα. ἦλθεν, ἔλαβέ με, γράφει μοι προῖκα, λέγει, δίδωμί σοι πλοῦτον τὸν ἐμόν. πῶς; ἀπώλεσας, λέγει, παράδεισον; λάβε αὐτόν. ἀπώλεσας, λέγει, τὸ εὐειδές; λάβε αὐτό, [λάβε ταῦτα πάντα]. ἀλλ' ἡ προίξ μου οὐκ ἐδόθη μοι ὧδε. πρόσεχε. διὰ τοῦτο εἰς τὴν προῖκα ταύτην περιλέγει, ἅπερ ἔγραψέ μοι ἐν τῇ προικί, ἀνάστασιν σωμάτων, ἀφθαρσίαν. οὐ γὰρ ἀκολουθεῖ πάντως τῇ ἀναστάσει ἡ ἀφθαρσία, ἀλλὰ δύο ἦν ταῦτα. καὶ γὰρ πολλοὶ ἀνέστησαν, καὶ πάλιν ἔπεσον, ὥσπερ ὁ Λάζαρος, καὶ τὰ πολλὰ σώματα τῶν ἁγίων· ἀλλ' ὧδε οὐχ οὕτως, ἀλλ' ἀνάστασιν ἐν ἀφθαρσίᾳ, τὴν μετὰ ἀγγέλων χορείαν, τὴν τοῦ υἱοῦ ἀπάντησιν τὴν ἐν νεφέλαις, καὶ τό, Οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα, τὴν ἀπαλλαγὴν τοῦ θανάτου, τὴν ἐλευθερίαν τῆς ἁμαρτίας, τὸν κατακληροδοτισμὸν τῆς τελευτῆς. ποῖον ἐκεῖνον; Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. ἀγαθά μοι δίδως, ἃ οὐκ οἶδα; λέγει, ναί, ὧδε ἁρμόζω, ὧδέ με φίλει. εἰς τί οὖν οὐ δίδως μοι τὴν προῖκα ὧδε; ὅταν ἔλθῃς, φησί, πρὸς τὸν πατέρα μου, ὅταν ἔλθῃς εἰς τὰς βασιλικὰς αὐλάς. ἐγὼ πρὸς σὲ ἦλθον· μὴ γὰρ σὺ πρὸς μέ; ἦλθον, οὐχ ἵνα μείνῃς, ἀλλ' ἵνα λάβω σε καὶ ἀνέλθω. μὴ ζήτει ὧδε τὴν προῖκα. πάντα ἐν ἐλπίδι, πάντα ἐν πίστει. καὶ οὐδέν μοι δίδως ἐνταῦθα; λέγει, λάβε ἀρραβῶνα, ἵνα μοι πιστεύσῃς περὶ τοῦ μέλλοντος· λάβε ὑπόβολα, λάβε καὶ μνῆστρα. διὰ τοῦτο Παῦλος λέγει, Ἡρμοσάμην γὰρ ὑμᾶς. ὡς μνῆστρα ἔδωκεν ἡμῖν τὰ παρόντα ὁ Θεός· μνῆστρά ἐστι τὰ παρόντα, ἀρραβών ἐστιν ἡ προῖξ ὅλη ἐκεῖ μένει. πῶς, ἐγὼ λέγω. ὧδε γηρῶ, ἐκεῖ οὐ γηρῶ· ὧδε θνήσκω, ἐκεῖ οὐκ ἀποθνήσκω· ὧδε λυποῦμαι, ἐκεῖ οὐ λυποῦμαι· ὧδε πενία καὶ νόσος καὶ ἐπιβουλαί, ἐκεῖ οὐδὲν τοιοῦτον· ὧδε σκότος καὶ φῶς, ἐκεῖ φῶς μόνον· ὧδε ἐπιβουλή, ἐκεῖ ἀλήθεια· ὧδε νόσος, ἐκεῖ ὑγίεια· ὧδε

ζωὴ

α. Κορ. α. κϐ.

α. Θεσ. δ. ιζ.

Ρωμ. ια. η.

ζωὴ ἔχουσα τέλος, ἐκεῖ ζωὴ οὐκ ἔχουσα τέλος· ὧδε ἁμαρτία, ἐκεῖ δικαιοσύνη, ἁμαρτία δὲ οὐδαμοῦ· ὧδε φθόνος, ἐκεῖ οὐδὲν τοιοῦτον. δός μοι, φησί, ταῦτα. ἀνάμεινε, ἵνα καὶ οἱ σύνδουλοί σου φθάσωσιν, ἀνάμεινε. Ὁ δὲ βεβαιῶν ἡμᾶς, καὶ δοὺς ἡμῖν τὸν ἀρραβῶνα. ποῖον ἀρραβῶνα; τὸ πνεῦμα τὸ ἅγιον, τοῦ πνεύματος τὴν χορηγίαν. ἀλλ' ὃ λέγω περὶ τοῦ πνεύματος, ἔδωκε τοῖς ἀποστόλοις τὸν δακτύλιον, εἰπών· λάβετε, καὶ δότε πᾶσιν. ὁ δακτύλιος μερίζεται, μερίζεται, καὶ οὐ διαιρεῖται, μερίζεται, καὶ οὐκ ἀναλίσκεται. μάθε πνεύματος χορηγίαν. ἔλαβε Πέτρος, ἔλαβε καὶ Παῦλος πνεῦμα ἅγιον. περιῆλθε τὴν οἰκουμένην, ἁμαρτωλοὺς ἀπήλλαττεν ἁμαρτημάτων, χωλοὺς διώρθου, γυμνοὺς ἐνέδυε, νεκροὺς ἤγειρε, λεπροὺς ἐκαθάριζε, διάβολον ἐπεστόμιζε, δαίμονας ἀπέπνιγε, τῷ Θεῷ διελέγετο, ἐκκλησίας ἐφύτευσε, ναοὺς κατέσκαψε, βωμοὺς ἀνέτρεψε, τὴν κακίαν ἔλυσε, τὴν ἀρετὴν ἐφύτευσε, τοὺς ἀνθρώπους ἀγγέλους ἐποίησε. ταῦτα πάντα ἀκμὴν ἀρραβών. ἐπλήρωσε τὴν οἰκουμένην ἅπασαν. ἅπασαν δὲ ὅταν εἴπω, λέγω ὅσην ἥλιος ἐφορᾷ γῆν, θάλατταν, νήσους, ὄρη, νάπας, καὶ βουνούς. περιῆλθε, καθάπερ ὑπόπτερος, ὁ Παῦλος ἐνὶ στόματι παλαίων, ὁ σκηνοποιός, ὁ σμίλην μεταχειριζόμενος, καὶ δέρματα ῥάπτων, καὶ αὕτη ἡ τέχνη κώλυμα τῇ ἀρετῇ οὐκ ἐγένετο, ἀλλ' ὁ σκηνοποιὸς δαιμόνων ἰσχυρότερος, ὁ ἄσημος φιλοσόφων φιλοσοφώτερος. πόθεν; ἔλαβε τὸν ἀρραβῶνα, ἐβάσταζε τὸν δακτύλιον καὶ περιέφερε. ἔβλεπον πάντες, ὅτι ὁ βασιλεὺς ἡρμόσατο τὴν φύσιν ἡμῶν. εἶδεν ὁ δαίμων, καὶ ἀνεχώρει· εἶδε τὸν ἀρραβῶνα, καὶ ἔτρεμε καὶ ὑπεχώρει. ἱμάτια ἔβλεπε, καὶ ἐδραπέτευεν. ὢ δύναμις πνεύματος. οὐ τῇ ψυχῇ ἔδωκε τὴν ἐξουσίαν, οὐ τῷ σώματι, ἀλλὰ καὶ ἱματίῳ· οὐχ ἱματίῳ, ἀλλὰ καὶ σκιᾷ. περιῄει ὁ Πέτρος, καὶ ἡ σκιὰ αὐτοῦ νόσους ἐφυγάδευσε, καὶ δαίμονας ἀπήλαυνε, καὶ νεκροὺς ἤγειρε. περιῄει Παῦλος τὴν οἰκουμένην, τὰς ἀκάνθας ἀνατέμνων τῆς ἀσεβείας, τὰ σπέρματα καταβάλλων τῆς εὐσεβείας, καθάπερ ἀροτὴρ ἄριστος, τὸ ἄροτρον ἔχων τῆς διδασκαλίας. καὶ πρὸς τίνας ἦλθε; πρὸς Θρᾷκας, πρὸς Σκύθας, πρὸς Ἰνδούς, πρὸς Μαύρους, πρὸς Σαρδονίους, πρὸς Γότθους, πρὸς θηρία ἄγρια, καὶ μετέβαλλε πάντα. πόθεν; ἀπὸ τοῦ ἀρραβῶνος. πῶς διήρκεσεν; ἀπὸ τῆς τοῦ πνεύματος χάριτος, ἰδιώτης, γυμνός, ἀνυπόδητος. Ὁ καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ πνεύματος. διὰ τοῦτο λέγει, Καὶ πρὸς ταῦτα τίς ἱκανός; Ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ, ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους καινῆς διαθήκης, οὐ γράμματος, ἀλλὰ πνεύματος. ἴδε τὸ πνεῦμα πόσα ἐποίησεν. εὗρε τὴν γῆν δαιμόνων γέμουσαν, καὶ ἐποίησεν αὐτὴν οὐρανόν. μὴ γὰρ τὰ παρόντα ἐννοῆτε, ἀλλὰ ἀναλάβετε τῷ λογισμῷ αὐτά. τότε ἦν θρῆνος, τότε πανταχοῦ βωμοί, πανταχοῦ καπνός, πανταχοῦ κνίσαι, πανταχοῦ πορνεῖαι, πανταχοῦ τελεταί, πανταχοῦ θυσίαι, πανταχοῦ δαίμονες βακχεύοντες, πανταχοῦ ἀκρόπολις τοῦ διαβόλου, πανταχοῦ πορνεία στεφανουμένη· καὶ εἷς ἦν ὁ Παῦλος. πῶς οὐ κατεποντίσθη; πῶς οὐ διεσπάσθη; πῶς ἤνοιξε τὸ στόμα; εἰσῆλθεν εἰς Θηβαΐδα, καὶ αἰχμαλώτους ἔλαβεν· εἰσῆλθεν εἰς τὰς βασιλικὰς αὐλάς, καὶ τὸν βασιλέα μαθητὴν ἐποίησεν· εἰσῆλθεν εἰς τὸ δικαστήριον, καὶ λέγει αὐτῷ ὁ δικαστής, Παρ' ὀλίγον με πείθεις Χριστιανὸν γενέσθαι, καὶ ὁ δικαστής, μαθητὴς ἐγένετο· εἰσῆλθεν εἰς τὸ δεσμωτήριον, καὶ τὸν δεσμοφύλακα ἔλαβεν· ἀπῆλθεν εἰς βαρβάρων νήσους, καὶ τὴν ἔχιν διδάσκαλον ἐποίησεν· ἀπῆλθεν εἰς τὸν δῆμον τῶν Ῥωμαίων, καὶ τὴν σύγκλητον ἀπέσπασεν· ἀπῆλθεν εἰς ποταμούς, ἀπῆλθεν εἰς ἐρήμους τόπους πανταχοῦ τῆς οἰκουμένης. οὐ γῆ, οὐ θάλαττα ἄμοιρος αὐτοῦ ἐστι τῶν κατορθωμάτων. ἔδωκε γὰρ τὸν ἀρραβῶνα τοῦ δακτυλίου· καὶ δοὺς τὸν ἀρραβῶνα, λέγει· τὰ μὲν ἤδη δίδωμί σοι, τὰ δὲ ἐπαγγέλλομαι. διὰ τοῦτο λέγει αὐτῇ ὁ προφήτης· Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ. οὐχ ἱμάτιον λέγει, ἀλλ' ἀρετήν. διὰ τοῦτο ἡ γραφὴ ἀλλαχοῦ λέγει, Πῶς εἰσῆλθες ὧδε μὴ ἔχων

β. Κορ. α. κβ.

β. Κορ. β. ιϛ. γ. ϛ.

Ψαλμ. μδ. ι.

ἔνδυμα γάμου; ὥστε οὐκ ἔνδυμα λέγει, ἀλλὰ τὴν πορνείαν, * καὶ τὴν ῥυπαρὰν πρᾶξιν καὶ ἀκάθαρτον. ὥσπερ οὖν τὰ ῥυπαρὰ ἱμάτια, ἁμαρτία· οὕτω τὰ διάχρυσα, ἀρετή. ἀλλὰ τὸ ἱμάτιον τοῦτο τοῦ βασιλέως ἦν. αὐτὸς αὐτῇ καὶ ἱμάτιον ἔδωκε. γυμνὴ γὰρ ἦν, γυμνὴ καὶ ἀσχημονοῦσα.

Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ. οὐχ ἱμάτια λέγει, ἀλλ' ἀρετήν, οὐκ εἶπε, ἐν χρυσῷ. πρόσεχε· καὶ αὐτὴ ἡ λέξις πολλὴν ἔχει τὴν εὐγένειαν νοημάτων. οὐκ εἶπεν, ἐν χρυσῷ, ἀλλά, διαχρύσῳ. ἄκουε συνετῶς. τὸ χρυσοῦν ἱμάτιον, ὅλον ἐστὶ χρυσοῦν· τὸ δὲ διάχρυσον μέρη μὲν ἔχει χρυσᾶ, μέρη δὲ σηρικά. διατί οὖν μὴ χρυσοῦν ἱμάτιον εἶπε φορεῖν τὴν νύμφην, ἀλλὰ διάχρυσον; πρόσεχε ἀκριβῶς. τὴν πολιτείαν λέγει τῆς ἐκκλησίας τὴν ποικίλην. ἐπειδὴ γὰρ οὐ πάντες βίου ἑνός ἐσμεν, ἀλλ' ὁ μὲν παρθενίαν, ὁ δὲ χηρείαν, ὁ δὲ εὐσέβειαν ἀσκεῖ, ἱμάτιον τῆς ἐκκλησίας, ἡ πολιτεία τῆς ἐκκλησίας. ἐπειδὴ οὖν ᾔδει ὁ δεσπότης ἡμῶν, ὅτι ἂν μίαν ὁδὸν τέμῃ, πολλοὶ ἔχουσιν ὀκνῆσαι, ποικίλας ἔτεμεν ὁδούς. οὐ δύνασαι διὰ παρθενίας εἰσελθεῖν; εἴσελθε διὰ γάμου. οὐ δύνασαι διὰ μονογαμίας; κἂν διὰ δευτερογαμίας. οὐ δύνασαι διὰ σωφροσύνης εἰσελθεῖν; εἴσελθε δι' ἐλεημοσύνης. οὐ δύνασαι δι' ἐλεημοσύνης; εἴσελθε διὰ νηστείας. οὐ δύνασαι ταύτην; δεῦρο ἐκείνην. οὐ δύνασαι ἐκείνην; δεῦρο ταύτην. διὰ τοῦτο οὐκ ἔδειξε τὸ ἱμάτιον χρυσοῦν, ἀλλὰ διάχρυσον. ἢ τοῦτο σηρικόν ἐστιν, ἢ πορφυρᾶ ἐστιν, ἢ χρυσᾶ ἐστιν. οὐ δύνασαι εἶναι χρυσοῦς; γενοῦ σηρικός. δέχομαί σε, μόνον ἐν τῷ ἱματίῳ. α. Κορ. γ. ιβ. διὰ τοῦτο καὶ ὁ Παῦλος, Εἴ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον, χρυσόν, ἄργυρον, λίθους τιμίους. οὐ δύνασαι εἶναι λίθος τίμιος; γενοῦ χρυσός. οὐ δύνασαι εἶναι χρυσός; γενοῦ ἄργυρος· μόνον ἐν τῷ θεμελίῳ. α. Κορ. ιε μα. καὶ πάλιν ἀλλαχοῦ· Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων. οὐ δύνασαι εἶναι ἥλιος; γενοῦ σελήνη. οὐ δύνασαι εἶναι σελήνη; γενοῦ ἀστήρ. οὐ δύνασαι εἶναι μέγας ἀστήρ; γενοῦ κἂν μικρός, μόνον ἐν τῷ οὐρανῷ. οὐ δύνασαι εἶναι παρθένος; γάμησον μετὰ σωφροσύνης, μόνον ἐν τῇ ἐκκλησίᾳ. οὐ δύνασαι εἶναι ἀκτήμων; ἐλέησον, μόνον ἐν τῇ ἐκκλησίᾳ, μόνον ἐν τῷ ἱματίῳ, μόνον ὑπὸ τὴν βασίλισσαν. διάχρυσόν ἐστι τὸ ἱμάτιον, ποικίλον τὸ ἱμάτιον. οὐκ ἀποκλείω σοι τὴν ὁδόν. ἡ ἀφθονία γὰρ τῆς ἀρετῆς, εὔκολον ἐποίησε τὴν οἰκονομίαν τοῦ βασιλέως, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη. ποικίλον ἐστὶν αὐτῆς τὸ ἱμάτιον. καὶ εἰ βούλει, ἀνάπτυξον τὸ βάθος τοῦ λόγου τοῦ εἰρημένου, καὶ βλέπε τὸ ἱμάτιον τοῦτο τὸ διάχρυσον. ἐνταῦθα μὲν γὰρ εἰσὶ μὲν μονάζοντές εἰσιν, εἰσὶ δὲ γάμον σεμνὸν ἀσκοῦσιν, οὐ πολὺ ἐκείνων ἀπολιμπανόμενοι. καὶ εἰσὶ μὲν μονόγαμοι, αἱ δὲ χῆραι ἀνθοῦσαι. διὰ τί παράδεισος; ὅτι ποικίλος, ἔχων ἄνθη διάφορα, καὶ δένδρα, καὶ πολλοὺς τοὺς μαργαρίτας. πολλοὶ εἰσὶν ἀστέρες, ἀλλ' εἷς ὁ ἥλιος· πολλοὶ εἰσὶ βίοι, ἀλλ' εἷς ὁ παράδεισος· πολλοὶ εἰσὶ ναοί, ἀλλὰ μία ἡ μήτηρ. τὸ μέν, σῶμα, τὸ δέ, ὀφθαλμός, τὸ δέ, δάκτυλος, ἀλλὰ πάντες εἷς. ἐν τῷ αὐτῷ γὰρ τὸ μικρὸν καὶ τὸ μέγα καὶ τὸ ἧττον. ἡ παρθένος τῆς γεγαμημένης χρείαν ἔχει. καὶ γὰρ ἡ παρθένος ἀπὸ γάμου, ἵνα μὴ καταφρονῇ γάμου, ἡ παρθένος ῥίζα τοῦ γάμου. πάντα συνδεδεμένα, τὰ μικρὰ τοῖς μεγάλοις, καὶ τὰ μεγάλα τοῖς μικροῖς.

Ψαλ. μδ. ι. Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη. τὸ λοιπόν, Ἄκουσον θύγατερ. ὁ νυμφαγωγός φησιν, ὡς μέλλεις ἐξέρχεσθαι πρὸς τὸν νυμφίον, ὑπερβαίνοντά σου τὴν οὐσίαν, ὑπερβαίνοντά σου τὴν φύσιν. ἐγὼ νυμφαγωγός. ἄκουσον θύγατερ. εὐθέως ἐγένετο ἡ γυνή; ναί. οὐδὲν γὰρ σωματικόν. καὶ γὰρ ὡς γυναῖκα ἡρμόσατο, καὶ ὡς θυγατέρα φιλεῖ, καὶ ὡς δούλης προνοεῖ, καὶ ὡς παρθένον τηρεῖ, καὶ ὡς παράδεισον τειχίζει, καὶ ὡς μέλος περιέπει, καὶ ὡς κεφαλὴ προνοεῖ, καὶ ὡς ῥίζα φυτεύει, καὶ ὡς ποιμὴν βόσκει, καὶ ὡς νυμφίος ἁρμόζεται, καὶ ὡς ἱλαστήριον συγχωρεῖ, καὶ ὡς πρόβατον θύεται, καὶ ὡς νυμφίος διατηρεῖ ἐν κάλλει, καὶ ὡς ἀνὴρ προνοεῖ. τῆς κηδεμονίας πολλὰ τὰ νοήματα, ἵνα κἂν μικροῦ μέρους τῆς οἰκονομίας ἀπολαύσωμεν. ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ βλέπε τὰ γαμικὰ πράγματα, καὶ πῶς πνευματικά. ἄκουσον θύγατερ. θυγάτηρ ἦν τῶν δαιμόνων αὕτη πρότερον, θυγάτηρ τῆς γῆς, ἀναξία καὶ τῆς γῆς, καὶ νῦν γέγονε θυγάτηρ τοῦ βασιλέως. τοῦτο δὲ ἠθέλησεν ὁ ἐρῶν αὐτῆς. ὁ γὰρ ἐρῶν οὐκ ἐξετάζει τρόπον.

ὁ ἔρως οὐ βλέπει ἀμορφίαν. διὰ τοῦτο γὰρ καλεῖται ἔρως, ὅτι πολλάκις καὶ ἄμορφον φιλεῖ. οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν. ἄμορφον εἶδεν (οὐ γὰρ ἂν εἴποιμι αὐτὴν εὔμορφον) καὶ ἠράσθη, καὶ ποιεῖ αὐτὴν νέαν, μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα. ὢ νυμφίου καλλωπίζοντος ἀμορφίαν νύμφης. ἄκουσον θύγατερ, ἄκουσον, καὶ ἴδε. δύο λέγει, ἄκουσον, καὶ βλέπε. τὰ δύο ἀπὸ σοῦ, τὰ μὲν τοῖς ὀφθαλμοῖς, τὰ δὲ τῇ ἀκοῇ. ἐπεὶ οὖν ἡ προῖξ αὐτῆς ἐν ἀκοῇ ἦν, εἰ καί τινες ὀξύτερον προεῖδον, ἀναμενέτωσαν τοὺς ἀσθενεστέρους. καὶ ὑμᾶς ἐπαινῶ προλαβόντας, κἀκείνοις συγγινώσκω ἀκολουθοῦσιν. ἐπειδὴ ἡ προῖξ αὐτῆς ἐν ἀκοῇ ἦν (τί ἐστιν, ἐν ἀκοῇ; ἐν πίστει. ἡ γὰρ πίστις ἐξ ἀκοῆς. ἐν πίστει, οὐκ ἐν ἀπολαύσει, οὐκ ἐν πείρᾳ πάσῃ) προεῖπον, ὅτι εἰς δύο μέρη διεῖλε τὴν προῖκα αὐτῆς, καὶ τὰ μὲν ἔδωκεν αὐτῇ ἀντὶ ἀρραβῶνος, τὰ δὲ ἐπηγγείλατο αὐτῇ εἰς τὸ μέλλον. τί αὐτῇ ἔδωκεν; ἔδωκεν αὐτῇ ἁμαρτημάτων συγχώρησιν, κολάσεως ἄφεσιν, δικαιοσύνην, ἁγιασμόν, ἀπολύτρωσιν, σῶμα δεσποτικόν, τράπεζαν θείαν, πνευματικήν, νεκρῶν ἀνάστασιν. ταῦτα γὰρ πάντα εἶχον οἱ ἀπόστολοι. οὐκοῦν τὰ μὲν ἔδωκε, τὰ δὲ ἐπηγγείλατο· καὶ τὰ μὲν ἐν πείρᾳ ἦν καὶ ἀπολαύσει, τὰ δὲ ἐν ἐλπίδι καὶ ἐν πίστει. καὶ ἄκουε. τί ἔδωκε; τὸ βάπτισμα, τὴν θυσίαν. ταῦτα ἐν πείρᾳ. βλέπε δὲ τί ἐπηγγείλατο; ἀνάστασιν, σωμάτων ἀφθαρσίαν, τὴν μετὰ ἀγγέλων ἕνωσιν, τὴν μετὰ ἀρχαγγέλων χορείαν, τὴν μετ᾽ αὐτοῦ πολιτείαν, τὴν ζωὴν τὴν ἀκήρατον, τὰ ἀγαθά, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. συνῆτε τὸ λεγόμενον, μὴ ἀπολέσητε αὐτό. διὰ τοῦτο κάμνω, ἵνα νοήσητε. εἰς δύο οὖν ἦν αὐτῆς ἡ προῖξ διῃρημένη, εἰς τὰ παρόντα, καὶ εἰς τὰ μέλλοντα· εἰς τὰ ὁρώμενα, καὶ εἰς τὰ ἀκουόμενα· εἰς τὰ δεδομένα, καὶ εἰς τὰ πιστευόμενα· εἰς τὰ ἐν πείρᾳ, καὶ εἰς τὰ ἐν ἀπολαύσει· εἰς τὰ ἐν τῇ παρούσῃ ζωῇ, καὶ εἰς τὰ μετὰ τὴν ἀνάστασιν. ταῦτα βλέπεις, ἐκεῖνα ἀκούεις. βλέπε οὖν, τί λέγει αὐτῇ, ἵνα μὴ νομίσῃ, ὅτι ταῦτα μόνον ἔλαβε, καίτοι μεγάλα ἦν καὶ ἀπόρρητα καὶ πᾶσαν διάνοιαν ὑπερβαίνοντα. ἄκουσον θύγατερ, καὶ ἴδε· ἄκουσον ἐκεῖνα, καὶ βλέπε ταῦτα. ἵνα δὲ μὴ λέγῃς, πάλιν ἐπ᾽ ἐλπίδι; πάλιν ἐν πίστει; πάλιν ἐν τῷ μέλλοντι; καὶ βλέπε· τὰ μὲν δίδωμι, τὰ δὲ ἐπαγγέλλομαι· ἐκεῖνα μένουσιν ἐν ἐλπίδι, ταῦτα δὲ λάβε ἐνέχυρα, ταῦτα λάβε ἀρραβῶνα, ταῦτα λάβε εἰς ἀπόδειξιν. ἐπαγγέλλομαί σοι βασιλείαν, πίστευε ἀπὸ τῶν παρόντων, πίστευέ μοι. βασιλείαν μοι ἐπαγγέλλῃ; ναί. τὸ μεῖζόν σοι ἔδωκα ὁ πατὴρ λέγει· ἁρμόζομαι αὐτὴν τῷ υἱῷ. δίδωμί σοι βασιλείαν· ἀλλὰ βλέπε. περὶ αὐτῆς μεῖζόν σοι δέδωκα, τὸν δεσπότην τῆς βασιλείας. Ὅστις τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ᾽ ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσηται; ἀνάστασιν δίδως σωμάτων; ναί. τὸ μεῖζόν σοι ἔδωκα. ποῖον; ἀπαλλαγὴν ἁμαρτίας. πῶς τὸ μεῖζον; ὅτι τὸν θάνατον ἡ ἁμαρτία ἔτεκε. τὴν μητέρα ἔσφαξα, καὶ τὸν υἱὸν οὐ σφάζω; τὴν ῥίζαν ἐξήρανα, καὶ τὸν καρπὸν οὐκ ἀναιρῶ; ἄκουσον θύγατερ, καὶ ἴδε. τί ἴδω; νεκροὺς ἐγειρομένους, λεπροὺς καθαιρομένους, χαλινουμένην θάλασσαν, παραλυτικὸν σφιγγόμενον, παράδεισον ἀνοιγόμενον, ἄρτους πηγάζοντας, ἁμαρτήματα λυόμενα, χωλὸν πηδῶντα, λῃστὴν παραδείσου πολίτην γενόμενον, τελώνην εὐαγγελιστὴν καθιστάμενον, παρθένου σεμνοτέραν τὴν πόρνην. ἄκουσον, καὶ ἴδε. ἄκουσον ἐκεῖνα, καὶ βλέπε ταῦτα. ἀπὸ τῶν παρόντων λάβε τὴν ἀπόδειξιν καὶ περὶ ἐκείνων. ἔδωκά σοι ἐνέχυρα ταῦτα ἐκείνων ἀμείνω. καὶ τί θέλεις, λέγει; ταῦτα ἐμά. ἄκουσον θύγατερ, καὶ ἴδε· ταῦτα ἡ προίξ. τί εἰσφέρει ἡ νύμφη, ἴδωμεν. καὶ σὺ εἰσένεγκε. τί ποτε; ἵνα μὴ ἧς ἄπροικος. ἐγὼ τί ἔχω, φησίν, εἰσενεγκεῖν; ἀπὸ βωμῶν; ἀπὸ κνίσης; ἀπὸ δαιμόνων; τί ἔχω εἰσενεγκεῖν; τί; γνώμην καὶ πίστιν. ἄκουσον θύγατερ, καὶ ἴδε. καὶ τί θέλεις, ποιήσω; ἐπιλάθου τοῦ λαοῦ σου. ποίου λαοῦ; τῶν δαιμόνων, τῶν εἰδώλων, τοῦ καπνοῦ, τῆς κνίσης, τοῦ αἵματος. καὶ ἴδε, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου πατρός σου. ἄφες τὸν πατέρα σου, καὶ δεῦρο πρὸς μέ. ἐγὼ

Ρωμ. ια. η.

Ρωμ. η. λβ.

ἔνδυμα γάμου; ὥστε οὐκ ἔνδυμα λέγει, ἀλλὰ τὴν πορνείαν, *καὶ τὴν ῥυπαρὰν πρᾶξιν καὶ ἀκάθαρτον. ὥσπερ οὖν τὰ ῥυπαρὰ ἱμάτια, ἁμαρτία· οὕτω τὰ διάχρυσα, ἀρετή. ἀλλὰ τὸ ἱμάτιον τοῦτο τοῦ βασιλέως ἦν. αὐτὸς αὐτῇ καὶ ἱμάτιον ἔδωκε. γυμνὴ γὰρ ἦν, γυμνὴ καὶ ἀσχημονοῦσα.

Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ. οὐχ ἱμάτια λέγει, ἀλλ' ἀρετήν, οὐκ εἶπε, ἐν χρυσῷ. πρόσεχε· καὶ αὐτὴ ἡ λέξις πολλὴν ἔχει ἐνέργειαν νοημάτων. οὐκ εἶπεν, ἐν χρυσῷ, ἀλλά, διαχρύσῳ. ἄκουε συνετῶς. τὸ χρυσοῦν ἱμάτιον, ὅλον ἐστὶ χρυσοῦν· τὸ δὲ διάχρυσον μέρη μὲν ἔχει χρυσᾶ, μέρη δὲ σηρικά. διὰ τί οὖν μὴ χρυσοῦν ἱμάτιον εἶπε φορεῖν τὴν νύμφην, ἀλλὰ διάχρυσον; πρόσεχε ἀκριβῶς. τὴν πολιτείαν λέγει τῆς ἐκκλησίας τὴν ποικίλην. ἐπειδὴ γὰρ οὐ πάντες βίου ἑνός ἐσμεν, ἀλλ' ὁ μὲν παρθενίαν, ὁ δὲ χηρείαν, ὁ δὲ εὐσέβειαν ἀσκεῖ, ἱμάτιον τῆς ἐκκλησίας, ἡ πολιτεία τῆς ἐκκλησίας. ἐπειδὴ οὖν ἤδει ὁ δεσπότης ἡμῶν, ὅτι ἂν μίαν ὁδὸν τέμῃ, πολλοὶ ἔχουσιν ὀκνῆσαι, ποικίλας ἔτεμεν ὁδούς. οὐ δύνασαι διὰ παρθενίας εἰσελθεῖν; εἴσελθε διὰ γάμου. οὐ δύνασαι διὰ μονογαμίας; κἂν διὰ δευτερογαμίας. οὐ δύνασαι διὰ σωφροσύνης εἰσελθεῖν; εἴσελθε δι' ἐλεημοσύνης. οὐ δύνασαι δι' ἐλεημοσύνης; εἴσελθε διὰ νηστείας. οὐ δύνασαι ταύτην; δεῦρο ἐκείνην. οὐ δύνασαι ἐκείνην; δεῦρο ταύτην. διὰ τοῦτο οὐκ ἔδειξε τὸ ἱμάτιον χρυσοῦν, ἀλλὰ διάχρυσον. ἢ σηρική ἐστιν, ἢ πορφυρᾶ ἐστιν, ἢ χρυσᾶ ἐστιν. οὐ δύνασαι εἶναι χρυσοῦς; γενοῦ σηρικός. δέχομαί σε, μόνον ἐν τῷ ἱματίῳ. διὰ τοῦτο καὶ ὁ Παῦλος, Εἴ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον, χρυσόν, ἄργυρον, λίθους τιμίους. οὐ δύνασαι εἶναι λίθος τίμιος; γενοῦ χρυσός. οὐ δύνασαι εἶναι χρυσός; γενοῦ ἄργυρος· μόνον ἐν τῷ θεμελίῳ. καὶ πάλιν ἀλλαχοῦ· Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων. οὐ δύνασαι εἶναι ἥλιος; γενοῦ σελήνη. οὐ δύνασαι εἶναι σελήνη; γενοῦ ἀστήρ. οὐ δύνασαι εἶναι μέγας ἀστήρ; γενοῦ κἂν μικρός, μόνον ἐν τῷ οὐρανῷ. οὐ δύνασαι εἶναι παρθένος; γάμησον μετὰ σωφροσύνης, μόνον ἐν τῇ ἐκκλησίᾳ. οὐ δύνασαι εἶναι ἀκτήμων; ἐλέησον, μόνον ἐν τῇ ἐκκλησίᾳ, μόνον ἐν τῷ ἱματίῳ, μόνον ὑπὸ τὴν βασίλισσαν. διάχρυσόν ἐστι τὸ ἱμάτιον, ποικίλον τὸ ἱμάτιον. οὐκ ἀποκλείω σοι τὴν ὁδόν. ἡ ἀφθονία γὰρ τῆς ἀρετῆς, εὔκολον ἐποίησε τὴν οἰκονομίαν τοῦ βασιλέως, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη. ποικίλον ἐστὶν αὐτῆς τὸ ἱμάτιον. καὶ εἰ βούλει, ἀνάπτυξον τὸ βάθος τοῦ λόγου τοῦ εἰρημένου, καὶ βλέπε τὸ ἱμάτιον τοῦτο τὸ διάχρυσον. ἐνταῦθα μὲν γὰρ οἱ μὲν μονάζοντές εἰσιν, οἱ δὲ γάμον σεμνὸν ἀσκοῦσιν, οὐ πολὺ ἐκείνων ἀπολιμπανόμενοι. καὶ οἱ μὲν μονόγαμοι, αἱ δὲ χῆραι ἀνθοῦσαι. διὰ τί παράδεισος; ὅτι ποικίλος, ἔχων ἄνθη διάφορα, καὶ δένδρα, καὶ πολλοὺς τοὺς μεγαλορίζας. πολλοὶ οἱ ἀστέρες, ἀλλ' εἷς ὁ ἥλιος· πολλοὶ οἱ βίοι, ἀλλ' εἷς ὁ παράδεισος· πολλοὶ οἱ ναοί, ἀλλὰ μία ἡ μήτηρ. τὸ μὲν, σῶμα, τὸ δέ, ὀφθαλμός, τὸ δέ, δάκτυλος, ἀλλὰ πάντες εἷς. ἐν τῷ αὐτῷ γὰρ τὸ μικρὸν καὶ τὸ μέγα καὶ τὸ ἧττον. ἡ παρθένος τῆς γεγαμημένης χρείαν ἔχει. καὶ γὰρ ἡ παρθένος ἀπὸ γάμου, ἵνα μὴ καταφρονῇ γάμου, ἡ παρθένος ῥίζα τοῦ γάμου. πάντα συνδεδεμένα, τὰ μικρὰ τοῖς μεγάλοις, καὶ τὰ μεγάλα τοῖς μικροῖς.

Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη. τὸ λοιπόν, Ἄκουσον θύγατερ. ὁ νυμφαγωγός φησιν, ὡς μέλλεις ἐξέρχεσθαι πρὸς τὸν νυμφίον, ὑπερβαίνοντά σου τὴν οὐσίαν, ὑπερβαίνοντά σου τὴν φύσιν. ἐγὼ νυμφαγωγός. ἄκουσον θύγατερ. εὐθέως ἐγένετο ἡ γυνή; ναί. οὐδὲν γὰρ σωματικόν. καὶ γὰρ ὡς γυναῖκα ἡρμόσατο, καὶ ὡς θυγατέρα φιλεῖ, καὶ ὡς δούλης προνοεῖ, καὶ ὡς παρθένον τηρεῖ, καὶ ὡς παράδεισον τειχίζει, καὶ ὡς μέλος περιέπει, καὶ ὡς κεφαλὴ προνοεῖ, καὶ ὡς ῥίζα φυτεύει, καὶ ὡς ποιμὴν βόσκει, καὶ ὡς νυμφίος ἁρμόζεται, καὶ ὡς ἱλαστήριον συγχωρεῖ, καὶ ὡς πρόβατον θύεται, καὶ ὡς νυμφίος διατηρεῖ ἐν κάλλει, καὶ ὡς ἀνὴρ προνοεῖ. τῆς κηδεμονίας πολλὰ τὰ νοήματα, ἵνα κἂν μικροῦ μέρους τῆς οἰκονομίας ἀπολαύσωμεν. ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ βλέπε τὰ γαμικὰ πράγματα, καὶ πῶς πνευματικά. ἄκουσον θύγατερ. θυγάτηρ ἡ τῶν δαιμόνων αὕτη πρότερον, θυγάτηρ τῆς γῆς, ἀναξία καὶ τῆς γῆς, καὶ νῦν γέγονε θυγάτηρ τοῦ βασιλέως. οὕτω δὲ ἠθέλησεν ὁ ἐρῶν αὐτῆς. ὁ γὰρ ἐρῶν οὐκ ἐξετάζει τρόπον.

α. Κορ. γ. ιβ.

α. Κορ. ιε μα.

Ψαλ. μδ. ι.

* πορνεύσ

γρ. αὐτῆς

γρ. γενοῦ ἐλεήμων μόνον

γρ. ἐρωδ

γρ. νυμφαγωγὸς

γρ. μικροῦ μέρους

γρ. αὐτὴ

ὁ ἔρως οὐ βλέπει ἀμορφίαν. διὰ τοῦτο δὲ καλεῖται ἔρως, ὅτι πολλάκις καὶ ἄμορφον φιλεῖ. οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν. ἄμορφον εἶδεν (οὐ γὰρ ἂν εἴποιμι αὐτὴν εὔμορφον) καὶ ἠράσθη, καὶ ποιεῖ αὐτὴν νέαν, μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα. ὢ νυμφίου καλλωπίζοντος ἀμορφίαν νύμφης. ἄκουσον θύγατερ, ἄκουσον, καὶ ἴδε. δύο λέγει, ἄκουσον, καὶ βλέπε. τὰ δύο ἀπὸ σοῦ, τὰ μὲν τοῖς ὀφθαλμοῖς, τὰ δὲ τῇ ἀκοῇ. ἐπεὶ οὖν ἡ προῖξ αὐτῆς ἐν ἀκοῇ ἦν, εἰ καί τινες ὀξύτερον προέδραμον, ἀναμενέτωσαν τοὺς ἀσθενεστέρους. καὶ ὑμᾶς ἐπαινῶ προλαβόντας, καὶ ἐκείνοις συγγινώσκω ἀκολουθοῦσιν. ἐπειδὴ ἡ προῖξ αὐτῆς ἐν ἀκοῇ ἦν (τί ἐστιν, ἐν ἀκοῇ; ἐν πίστει. ἡ γὰρ πίστις ἐξ ἀκοῆς. ἐν πίστει, οὐκ ἐν ἀπολαύσει, οὐκ ἐν πείρᾳ πάσῃ) προεῖπον, ὅτι εἰς δύο μέρη διεῖλε τὴν προῖκα αὐτῆς, καὶ τὰ μὲν ἔδωκεν αὐτῇ ἀντὶ ἀρραβῶνος, τὰ δὲ ἐπηγγείλατο αὐτῇ εἰς τὸ μέλλον. τί αὐτῇ ἔδωκεν; ἔδωκεν αὐτῇ ἁμαρτημάτων συγχώρησιν, κολάσεως ἄφεσιν, δικαιοσύνην, ἁγιασμὸν, ἀπολύτρωσιν, σῶμα δεσποτικὸν, τράπεζαν θείαν, πνευματικὴν, νεκρῶν ἀνάστασιν. ταῦτα γὰρ πάντα εἶχον οἱ ἀπόστολοι. οὐκοῦν τὰ μὲν ἔδωκε, τὰ δὲ ἐπηγγείλατο· καὶ τὰ μὲν ἐν πείρᾳ ἦν καὶ ἀπολαύσει, τὰ δὲ ἐν ἐλπίδι καὶ ἐν πίστει. καὶ ἄκουε. τί ἔδωκε; τὸ βάπτισμα, τὴν θυσίαν. ταῦτα ἐν πείρᾳ. βλέπε δέ· τί ἐπηγγείλατο; ἀνάστασιν, σωμάτων ἀφθαρσίαν, τὴν μετὰ ἀγγέλων ἕνωσιν, τὴν μετὰ ἀρχαγγέλων χορείαν, τὴν μετ' αὐτοῦ πολιτείαν, τὴν ζωὴν τὴν ἀκήρατον, τὰ ἀγαθὰ, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. συνίετε τὸ λεγόμενον, μὴ ἀπολέσητε αὐτό. διὰ τοῦτο κάμνω, ἵνα νοήσητε. εἰς δύο οὖν ἦν αὐτῆς ἡ προῖξ διῃρημένη, εἰς τὰ παρόντα, καὶ εἰς τὰ μέλλοντα· εἰς τὰ ὁρώμενα, καὶ εἰς τὰ ἀκουόμενα· εἰς τὰ δεδομένα, καὶ εἰς τὰ πιστευόμενα· εἰς τὰ ἐν πείρᾳ, καὶ εἰς τὰ ἐν ἀπολαύσει· εἰς τὰ ἐν τῇ παρούσῃ ζωῇ, καὶ εἰς τὰ μετὰ τὴν ἀνάστασιν. ταῦτα βλέπεις, ἐκεῖνα ἀκούεις. βλέπε οὖν, τί λέγει αὐτῇ, ἵνα μὴ νομίσῃ, ὅτι ταῦτα μόνον ἔλαβε, καίτοι μεγάλα ἦν καὶ ἀπόρρητα καὶ πᾶσαν διάνοιαν ὑπερβαίνοντα. ἄκουσον θύγατερ, καὶ ἴδε· ἄκουσον ἐκεῖνα, καὶ βλέπε ταῦτα. ἵνα δὲ μὴ λέγῃς, πάλιν ἐπ' ἐλπίδι; πάλιν ἐν πίστει; πάλιν ἐν τῷ μέλλοντι; καὶ βλέπε· τὰ μὲν δίδωμι, τὰ δὲ ἐπαγγέλλομαι· ἐκεῖνα μένουσιν ἐν ἐλπίδι, ταῦτα δὲ λάβε ἐνέχυρα, ταῦτα λάβε ἀρραβῶνα, ταῦτα λάβε εἰς ἀπόδειξιν. ἐπαγγέλλομαί σοι βασιλείαν, πίστευε ἀπὸ τῶν παρόντων, πίστευέ μοι. βασιλείαν μοι ἐπαγγέλλῃ; ναί. τὸ μεῖζόν σοι ἔδωκα ὁ πατὴρ λέγει· ἁρμόζομαι αὐτὴν τῷ υἱῷ. δίδωμί σοι βασιλείαν· ἀλλὰ βλέπε. παρ' αὐτῆς μεῖζόν σοι δέδωκα, τὸν δεσπότην τῆς βασιλείας. Ὅστις τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; ἀνάστασιν δίδως σωμάτων; ναί. τὸ μεῖζον σοι ἔδωκα. ποῖον; ἀπαλλαγὴν ἁμαρτίας. πῶς τὸ μεῖζον; ὅτι τὸν θάνατον ἡ ἁμαρτία ἔτεκε. τὴν μητέρα ἔσφαξα, καὶ τὸν υἱὸν οὐ σφάζω; τὴν ῥίζαν ἐξήρανα, καὶ τὸν καρπὸν οὐκ ἀναιρῶ; ἄκουσον θύγατερ, καὶ ἴδε. τί ἴδω; νεκροὺς ἐγειρομένους, λεπροὺς καθαιρομένους, χαλινουμένην θάλασσαν, παραλυτικὸν σφιγγόμενον, παράδεισον ἀνοιγόμενον, ἄρτους πηγάζοντας, ἁμαρτήματα λυόμενα, χωλὸν πηδῶντα, λῃστὴν παραδείσου πολίτην γινόμενον, τελώνην εὐαγγελιστὴν καθιστάμενον, παρθένου σεμνοτέραν τὴν πόρνην. ἄκουσον, καὶ ἴδε. ἄκουσον ἐκεῖνα, καὶ βλέπε ταῦτα. ἀπὸ τῶν παρόντων λάβε τὴν ἀπόδειξιν καὶ περὶ ἐκείνων. ἔδωκά σοι ἐνέχυρα ταῦτα ἐκείνων ἀμείνω. καὶ τί θέλεις, λέγει; ταῦτα ἐμά. ἄκουσον θύγατερ, καὶ ἴδε· ταῦτα ἡ προίξ. τί εἰσφέρει ἡ νύμφη, ἴδωμεν. καὶ σὺ εἰσένεγκε. τί ποτε; ἵνα μὴ ἦς ἄπροικος. ἐγὼ τί ἔχω, φησὶν, εἰσενεγκεῖν; ἀπὸ βωμῶν; ἀπὸ κνίσης; ἀπὸ δαιμόνων; τί ἔχω εἰσενεγκεῖν; τί; γνώμην καὶ πίστιν. ἄκουσον θύγατερ, καὶ ἴδε. καὶ τί θέλεις, ποιήσω; ἐπιλάθου τοῦ λαοῦ σου. ποίου λαοῦ; τῶν δαιμόνων, τῶν εἰδώλων, τοῦ καπνοῦ, τῆς κνίσης, τοῦ αἵματος. καὶ ἴδε, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου πατρός σου. ἄφες τὸν πατέρα σου, καὶ δεῦρο πρὸς μέ. ἐγὼ

Ρωμ. ια. η.

Ρωμ. η. λβ.

τὸν πατέρα ἀφῆκα, καὶ ἦλθον πρός σε, καὶ σὺ οὐκ ἀφίης τὸν σὸν πατέρα; ἀλλὰ τὸ, ἀφῆκα, ἐπὶ τοῦ υἱοῦ, μὴ ἐγκαταλείπειν νόμιζε. συγκατέβην, ᾠκονόμηκα, σάρκα ἀνέλαβον. τοῦτο νυμφίου, τοῦτο νύμφης, ἵνα καταλείψῃ τοὺς γονέας, καὶ ἀλλήλοις ἁρμοσώμεθα.

Ψαλμ. μδ. ια. Ἄκουσον θύγατερ καὶ ἴδε, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου. καὶ τί μοι δίδως, ἐὰν ἐπιλάθωμαι; Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. ἔχεις ἐραστὴν τὸν δεσπότην. ἂν ἐκεῖνον ἐραστὴν ἔχῃς, τὰ ἐκείνου κέκτησαι. λάβε τὰ ἐκείνου, καὶ ἔχεις ἐκεῖνον, ἐὰν δυνήσητε συνιδεῖν τὸ λεγόμενον. λεπτὸν γάρ ἐστι τὸ νόημα, καὶ βούλομαι ἀποῤῥάψαι Ἰουδαίων τὴν γλῶτταν· ἀλλὰ συντείνατέ μοι τὴν διάνοιαν. ἄν τε γὰρ ἀκούῃ τις, ἄν τε μὴ ἀκούῃ, ἐγὼ σκάπτω, ἐγὼ ἀροτριῶ. ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. κάλλος ἐνταῦθα τὸ αἰσθητὸν λέγει ὁ Ἰουδαῖος, οὐχὶ τὸ νοητὸν, ἀλλὰ τὸ σωματικόν. πρόσχες· μάθωμεν τί ἐστι σωματικὸν κάλλος, καὶ τί ἐστι νοητόν. ἔστι ψυχὴ, ἔστι σῶμα, δύο οὐσίαι εἰσίν. ἔστι κάλλος σώματος, καὶ ἔστι κάλλος ψυχῆς. τί ἐστι κάλλος σώματος; ὀφρὺς ἐκτεταμένη, ὀφθαλμὸς μειδιῶν, παρειὰ ἐρυθραινομένη, χείλη φοινικίζοντα, τράχηλος ἀνεστηκὼς, κόμη κεραδαινομένη, δάκτυλοι εὐμήκεις, ἡλικία ἀνεστηκυῖα, λευκότης ἐπανθοῦσα. τοῦτο τὸ κάλλος τὸ σωματικὸν ἀπὸ φύσεως γίνεται, ἢ ἀπὸ προαιρέσεως; ὡμολόγηται, ὅτι ἀπὸ φύσεως. πρόσεχε, ἵνα μάθῃς τὸ φιλόσοφον νόημα. τοῦτο τὸ κάλλος, τὸ τῆς ὄψεως, τὸ τοῦ ὀφθαλμοῦ, τὸ τῆς κόμης, τὸ τοῦ μετώπου ἀπὸ φύσεως γίνεται, ἢ ἀπὸ προαιρέσεως; εὔδηλον ὅτι ἀπὸ φύσεως. ἡ γὰρ ἄμορφος κἂν μυρία φιλοκαλήσῃ, εὔμορφος γενέσθαι οὐ δύναται κατὰ τὸ σῶμα. τὰ γὰρ τῆς φύσεως ἀκίνητα, ὅροις πεπέδηται, μὴ μεταβαίνοντα. ἡ τοίνυν καλὴ, ἀεὶ καλὴ, κἂν μὴ ἔχῃ φιλοκαλίαν· ἡ δὲ ἄμορφος εὔμορφον ποιῆσαι οὐ δύναται, οὐδὲ ἡ εὔμορφος, ἄμορφον. διὰ τί; ἐπειδὴ φύσεώς ἐστι ταῦτα. εἶδες οὖν σωματικὸν κάλλος; ἄγωμεν ἔσω εἰς τὴν ψυχήν· ἡ δούλη πρὸς τὴν δέσποιναν· πρὸς τὴν ψυχὴν ἄγωμεν. βλέπε ἐκεῖνο κάλλος, μᾶλλον δὲ ἄκουε ἐκεῖνο. οὐ γὰρ δύνασαι αὐτὸ ἰδεῖν· ἀόρατον γάρ ἐστιν. ἄκουε ἐκεῖνο τὸ κάλλος. τί οὖν ἐστι κάλλος ψυχῆς; σωφροσύνη, ἐπιείκεια, ἐλεημοσύνη, ἀγάπη, φιλαδελφία, φιλοστοργία, ὑπακοὴ Θεοῦ, νόμου πλήρωσις, δικαιοσύνη, συντριβὴ διανοίας. ταῦτα κάλλη ψυχῆς. ταῦτα τοίνυν οὐκ ἔστι φύσεως, ἀλλὰ προαιρέσεως, καὶ ὁ μὴ ἔχων, δύναται ταῦτα λαβεῖν, ὁ δὲ ἔχων, ἐὰν ῥᾳθυμήσῃ, ἀπώλεσεν. ὥσπερ γὰρ ἔλεγον ἐπὶ τοῦ σώματος, ὅτι ἡ ἄμορφος εὔμορφος γενέσθαι οὐ δύναται· οὕτω καὶ ἐπὶ τῆς ψυχῆς τὸ ἐναντίον λέγω, ὅτι ἡ ἄμορφος ψυχὴ, εὔμορφος γενέσθαι δύναται. τί γὰρ ἀμορφότερον τῆς ψυχῆς Παύλου, ὅτε βλάσφημος ἦν καὶ ὑβριστής; τί δὲ εὐμορφότερον αὐτοῦ,
β. Τιμ. δ. ζ. ὅτε ἔλεγε, Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα; τί
Λουκ. κγ. μγ. ἀμορφότερον τῆς ψυχῆς τοῦ λῃστοῦ; τί δὲ εὐμορφότερον αὐτοῦ ἐγένετο, ὅτε ὑπήκουσεν, Ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ; τί ἀμορφότερον τοῦ τελώνου, ὅτε ἥρπασε; τί δὲ εὐμορφότερον, ὅτε τὴν οἰκείαν ἔδωκε γνώμην; ὁρᾷς, ὅτι τὴν εὐμορφίαν τοῦ σώματος οὐ δύνασαι μεταλλάξαι (οὐ γάρ ἐστι προαιρέσεως, ἀλλὰ φύσεως) ἡ δὲ τῆς ψυχῆς εὐμορφία ἐκ τῆς προαιρέσεως ἡμῖν πορίζεται. ἔλαβες τοὺς ὅρους. ποίους; ὅτι τὸ κάλλος τῆς ψυχῆς ἀπὸ ὑπακοῆς τοῦ Θεοῦ. ἐὰν γὰρ ὑπακούσῃ τῷ Θεῷ ἡ ἄμορφος
Πραξ. θ. ιδ. ψυχὴ, ἀποτίθεται τὴν ἀμορφίαν, καὶ γίνεται εὔμορφος. Σαῦλε, Σαῦλε, τί με διώκεις; ὁ δὲ, καὶ τίς εἶ, Κύριε; ἐγώ εἰμι Ἰησοῦς. καὶ ὑπήκουσε, καὶ ἡ ὑπακοὴ τὴν ἄμορφον ψυ-
Ματθ. ιθ. κα. χὴν εὔμορφον ἐποίησε. πάλιν τῷ τελώνῃ λέγει, Δεῦρο, ἀκολούθει μοι· καὶ ἀνέστη ὁ τελώνης, καὶ ἐγένετο ἀπόστολος. ἡ ἄμορφος ψυχὴ ἐγένετο εὔμορφος. πόθεν; ἀπὸ
Ματθ. δ. ιθ. ὑπακοῆς. πάλιν τοῖς ἁλιεῦσι λέγει, Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς γενέσθαι ἁλιεῖς ἀνθρώπων· καὶ ἀπὸ τῆς ὑπακοῆς ἐγένετο εὔμορφος αὐτῶν ἡ διά-

νοια. ἴδωμεν ὧδε ποῖον λέγει κάλλος. ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. ποῖον κάλλος ἐπιθυμήσει; τὸ ψυχικόν. πόθεν; ὅτι ἐπελάθετο. λέγει, ἄκουσον οὕτω, καὶ ἐπιλάθου. ταῦτα προαιρέσεώς ἐστιν. ἄκουσον εἶπεν, ἄμορφος ἀκούει, καὶ ἡ ἀμορφία αὕτη οὐ λύεται ἡ τοῦ σώματος. εἶπε τῇ ἁμαρτωλῷ, ἄκουσον, καὶ εἰ ὑπακούσει, βλέπε οἵα ἡ εὐμορφία. ἐπεὶ οὖν ἡ ἀμορφία τῆς νύμφης οὐκ ἦν φυσική, ἀλλὰ προαιρετικὴ (οὐ γὰρ ἤκουσε τοῦ Θεοῦ, ἀλλὰ παρέβη) διὰ τοῦτο ἑτέρῳ φαρμάκῳ ἄγει αὐτήν. ἄμορφος τοίνυν ἐγένου, οὐκ ἀπὸ φύσεως, ἀλλὰ προαιρέσεως, καὶ εὔμορφος ἐγένου ἀπὸ ὑπακοῆς. ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. εἶτα ἵνα μάθῃς, ὅτι οὐδὲν λέγει αἰσθητόν, ἀκούων σὺ κάλλος, μὴ ὀφθαλμοὺς νομίσῃς, μὴ ῥῖνα, μὴ στόμα, μηδὲ τράχηλον, ἀλλ' εὐλάβειαν, πίστιν, ἀγάπην, τὰ ἔνδον. Πᾶσα γὰρ ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν. ὑπὲρ δὲ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ Θεῷ, τῷ δοτῆρι, ὅτι αὐτῷ πρέπει μόνῳ δόξα, τιμή, κράτος* εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. μδ. ιδ.

* τῷ πατρὶ καὶ
τῷ υἱῷ καὶ τῷ
ἁγίῳ πνεύ-
ματι,

Λογ. ιθ. ΕΙΣ ΤΟ ΡΗΤΟΝ ΤΟΥ ΠΡΟΦΗΤΟΥ ΔΑΒΙΔ ΤΟ λέγον, Μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος· καὶ περὶ φιλοξενίας.

Ψαλμ. μη. ιϛ.

ΗΔὺ μὲν γηπόνῳ, τὸ ἀρότρῳ ἑλκύσαι εἰς καθαρισμὸν τῆς ἀρούρας, καὶ τὴν αὔλακα ἀνατεμεῖν, καὶ τὰς ἀκάνθας ἀνασπάσαι, καὶ οὕτω τὰ σπέρματα καταβαλεῖν, ἀκάνθης οὐκ οὔσης τῆς λυμαινομένης τὸν σπόρον. πολὺ δὲ ἥδιον τῷ λέγοντι, ὅταν εἰς ἀκοὴν καταβάλλῃ τὰ θεῖα νοήματα θόρυβον οὐκ ἔχουσαν. διὰ δὴ τοῦτο μετὰ ἡδονῆς ἁπτόμεθα τῶν λόγων, ὅτι τὴν ἄρουραν ταύτην ἐκκεκαθαρμένην ὁρῶμεν. εἰ γὰρ καὶ τὴν διάνοιαν ὑμῶν οὐ βλέπομεν, ἀλλὰ τὰ ὄμματα ὑμῶν διηνοιγμένα καὶ παρεστηκυῖα ἡ ἀκοὴ σημεῖά μοι δίδωσι τῆς ἔνδοθεν γαλήνης. εἰς μὲν γὰρ τὸ συνειδὸς ὑμῶν εἰσελθεῖν οὐ δύναμαι· τὰ δὲ ὄμματα τὰ ἑστηκότα καὶ μετέωρα γινόμενα φωνὴν ἀφίησιν, ὅτι θόρυβος οὐδεὶς ἔνδον ἐστίν, ἀλλὰ μᾶλλον ″βοᾷ μετὰ προθυμίας, κατάβαλλε τὰ σπέρματα, ὑποδεχόμεθα, ὅπερ ἂν καταβάλῃς, διὰ τὴν ἐλπίδα τοῦ καρποῦ· πᾶσαν γὰρ φροντίδα βιωτικὴν ἐξεώσαμεν τῆς διανοίας. διὰ δὲ τοῦτο καὶ βαθυτέρων ἀεὶ ἅπτομαι νοημάτων, θαῤῥῶν τῇ εὐγενείᾳ τῆς ἀρούρας. οὐ γὰρ δὴ σοφὸν διδάσκαλον ἡ γραφὴ ζητεῖ μόνον, ἀλλὰ καὶ συνετὸν ἀκροατήν. διὰ τοῦτο μακαρίζω μὲν ὑμᾶς, μακαρίζω δὲ καὶ ἐμαυτόν. Μακάριος γάρ, φησιν, ὁ λέγων εἰς ὦτα ἀκουόντων· καί, Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην. οὐκοῦν εἰς ὑμᾶς τοὺς μετὰ προθυμίας παραγινομένους καταβάλλομεν τὰ νοήματα. οἱ μὲν γὰρ ἄλλοι πάντες νῦν ἐν ἀγοραῖς καὶ βιωτικαῖς φροντίσι″ κατασήπονται, ὑμεῖς δὲ τῆς γῆς ὑψηλότεροι γινόμενοι, τὰ νοήματα ″νοερὰ δέχεσθε. κἀκεῖνοι μὲν τῇ δούλῃ δουλεύουσι, τῆς σαρκὸς ἐπιμελούμενοι, ὑμεῖς δὲ τὴν εὐγενῆ καὶ ἐλευθέραν ψυχὴν καλλωπίζοντες, διατηρεῖτε. ποῦ γὰρ διατρίβεις, ἄνθρωπε, νῦν; ἐν ἀγορᾷ; ἵνα τί συναγάγῃς; βόρβορον καὶ πηλόν; ἐλθέ, λάβε μύρον παρ' ἐμοῦ. τί συνάγεις χρήματα ἀπολλύμενα, φιλαργυρίαι τῶν ″τύραννοι, ἀρχὰς τὰς ἀπολλυμένας, περιουσίαν τῶν βιωτικῶν φροντίδων, τῶν νῦν οὐσῶν, καὶ αὔριον οὐκ οὐσῶν; τί δρέπῃ τὰ ἄνθη, καὶ ἀφίης τὸν καρπόν; τί τρέχεις ὀπίσω τῆς σκιᾶς, καὶ οὐ καταλαμβάνεις τὴν ἀλήθειαν; τί διώκεις τὰ ἀπολλύμενα, καὶ οὐ ζηλοῖς τὰ μένοντα; Ὅτι πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε· τὸ δὲ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα. γέγονας εὔπορος χρήμασι;

Σειρ. κε. ιϛ.
Ματθ. ε. ϛ.
Ησ. μ. ϛ.

. βοᾶτε
. κατατήκον-
αι,
. νοερῶς
. τυράννων
μένων,

μασι; καὶ τί τοῦτο πρὸς τὴν ψυχήν; εὐπορώτερος χρήμασι, καὶ πενέστερος "τὴν ψυχήν, κομᾷς τοῖς φύλλοις, καὶ πένη τῷ καρπῷ. τί ὄφελος, εἰπέ μοι; ἔλαβες χρήματα, ἃ μέλλεις ἐνταῦθα καταλιμπάνειν· ἔλαβες ἀρχήν, ἐξ ἧς ἐπιβουλὴ τίκτεται. ἐλθὲ, καὶ ἀπόλαυσον λόγων φιλοσόφων, δαπάνησόν σου τὰ ἁμαρτήματα, ἀνάλωσόν σου τὰ παρανομήματα, καθαρόν σου τὸ συνειδὸς, μετάρσιον ποίησον τὸν λογισμὸν, "γενοῦ ἄγγελος ὁ ἄνθρωπος, κατάλιπε τῆς σαρκὸς τὴν φύσιν, καὶ λάβε κοῦφον τὸ πτερὸν τῆς ζωῆς, ἀπάλλαξον σαυτὸν τῶν ὁρατῶν, καὶ κρέμασον σεαυτὸν "ἐν τοῖς ἀοράτοις, ἀνάβα εἰς τοὺς οὐρανοὺς, χόρευε μετὰ τῶν ἀγγέλων, παράστηθι τῷ βήματι τῷ ἄνω, τῷ ὑψηλῷ· κατάλιπε τὸν καπνὸν, καὶ τὴν σκιὰν, καὶ τὸν χόρτον καὶ τὴν ἀράχνην. οὐδὲ γὰρ ὄνομα οἶδα ἄξιον τῆς εὐτελείας ταύτης ἐπιθεῖναι. ταῦτα δὲ λέγω, καὶ λέγων οὐ παύσομαι. ἐλθὲ, καὶ γενοῦ ἄνθρωπος, ἵνα μὴ ἐπιψεύδηταί σου ἡ προσηγορία τῆς φύσεως. ἆρα συνήκατε τὸ λεχθὲν πρὸς ὑμᾶς; ἄνθρωπός ἐστι, φησιν, ἀλλ' ἄνθρωπος μὲν τὸ ὄνομα πολλάκις, οὐκ ἄνθρωπος δὲ τὸ φρόνημα. ὅταν γὰρ ἴδω σε ἀλόγως βιοῦντα, πῶς σε καλέσω ἄνθρωπον, ἀλλ' οὐχὶ βοῦν; ὅταν ἴδω σε ἁρπάζοντα, πῶς σε καλέσω ἄνθρωπον, ἀλλ' οὐχὶ λύκον; ὅταν ἴδω σε πορνεύοντα, πῶς σε καλέσω ἄνθρωπον, ἀλλ' οὐχὶ χοῖρον; ὅταν ἴδω σε δολερὸν, πῶς σε καλέσω ἄνθρωπον, ἀλλ' οὐχὶ ὄφιν; ὅταν ἴδω σε ἰὸν ἔχοντα, πῶς σε καλέσω ἄνθρωπον, ἀλλ' οὐχὶ ἀσπίδα; ὅταν ἴδω σε ἀνόητον, πῶς σε καλέσω ἄνθρωπον, ἀλλ' οὐχὶ ὄνον; ὅταν ἴδω σε μοιχεύοντα, πῶς σε καλέσω ἄνθρωπον, ἀλλ' οὐχὶ ἵππον θηλυμανῆ; ὅταν ἴδω σε ἀπειθῆ καὶ ἀσύνετον, πῶς σε καλέσω ἄνθρωπον, ἀλλ' οὐχὶ λίθον; ἔλαβες εὐγένειαν παρὰ τοῦ Θεοῦ, τί προδίδως τὴν ἀρετὴν τῆς φύσεως; τί ποιεῖς, εἰπέ μοι; ἕτεροι τέχνην ἔχουσιν ἄνθρωποι, τὰ ἄλογα, κατὰ τὸ ἐγχωροῦν, εἰς ἀνθρώπων συνήθειαν μεταπιθῆναι· ψιττακοὺς παιδεύουσι φωνῇ ἀνθρωπίνῃ φθέγγεσθαι, καὶ τῇ τέχνῃ τὴν φύσιν βιάζονται· λέοντας ἡμέρους ἐργάζονται, διὰ τῆς ἀγορᾶς ἕλκοντες. τὸν λέοντα ἥμερον ποιεῖς*, καὶ σαυτὸν λύκου ἀγριώτερον καθιστᾷς; καὶ τὸ δὴ χαλεπώτερον, ὅτι τῶν μὲν ἀλόγων ἕκαστον ἓν ἐλάττωμα ἔχει, ὁ λύκος [ὀλίγον] εἰς τὸ ἁρπακτικὸν, ὁ ὄφις εἰς τὸ δολερὸν, ἡ ἀσπὶς εἰς τὸ ἰῶδες· ἐπὶ δὲ ἀνθρώπου πονηροῦ, οὐκ ἔνι τοῦτο. οὐδὲ γὰρ ἓν ἐλάττωμα πολλάκις κέκτηται ὁ ἄνθρωπος, ἀλλὰ καὶ ἁρπακτικὸς γέγονε, καὶ δολερὸς, καὶ ἰώδης, καὶ τὰς τῶν ἀλόγων κακίας εἰς τὴν ἑαυτοῦ συνάγει ψυχήν. πῶς οὖν σε καλέσω ἄνθρωπον, ὃς οὐκ ἔχεις τῆς βασιλείας τὸ σύνθημα, οὐκ ἔχεις τὸ διάδημα, οὐκ ἔχεις τὴν πορφύραν; Ποιήσωμεν, φησιν, ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν. ἐννόησον κατὰ τίνος εἰκόνα ἐγένου*, καὶ μὴ κατενεχθῇς εἰς τὴν τῶν ἀλόγων εὐτέλειαν. ἐὰν ἴδῃς βασιλέα πορφύραν ῥίψαντα καὶ διάδημα, καὶ μετὰ τῶν "στρατιωτῶν συναγελαζόμενον, καὶ προδιδόντα τὴν ἀρχὴν τὴν ἑαυτοῦ, πῶς καλέσεις τὸν τοιοῦτον βασιλέα; καὶ σὺ ἄνθρωπος εἶ. μή μοι οὖν δείξῃς, ὅτι ψυχὴν ἀνθρώπου ἔχεις, ἀλλ' εἰ τὸ φρόνημα ἄνθρωπος εἶ. ἄρχων εἶ τῶν ἀλόγων, καὶ τῶν ἐν σοὶ ἀλόγων παθῶν δοῦλος ἐγένου. καὶ πῶς γένωμαι ἄνθρωπος, φησιν; εἰ κρατεῖς τῶν λογισμῶν τῆς σαρκὸς, ἐκείνων τῶν ἀλόγων, εἰ ἐξέβαλες πορνείαν, εἰ ἐξέβαλες ἐπιθυμίαν χρημάτων ἄκαιρον, εἰ ἐξέβαλες τὴν πονηρὰν ἐκείνην "τύραννον, εἰ καθαρὸν σαυτοῦ τὸ χωρίον εἰργάσω. ἀλλὰ πῶς γίνῃ ἄνθρωπος; ἐὰν ἔλθῃς ὧδε, ὅπου δημιουργοῦνται ἄνθρωποι. ἐὰν λάβω σε ἵππον, ποιῶ σε ἄνθρωπον· ἐὰν λάβω σε λύκον, ποιῶ σε ἄνθρωπον· ἐὰν λάβω σε ὄφιν, ποιῶ σε ἄνθρωπον, οὐ μεταβάλλων τὴν φύσιν, ἀλλὰ μεταθεὶς τὴν προαίρεσιν. "ἀλλὰ τί, φησι; τέκνα ἔχω, οἰκίας "προΐσταμαι, γυναικὸς ἐπιμελοῦμαι, πενίᾳ κατέχομαι, ἐπὶ τὴν ἀναγκαίαν "σπεύδω τροφήν. "σκῆψις ταῦτα καὶ "πρόφασις. εἰ μὲν γὰρ δι' ὅλου σε κατεῖχον ἐνταῦθα, καὶ οὐδὲ μικρὰν καιροῦ ῥοπὴν τοῖς ἔξω σε συνεχώρουν ἐκδιδόναι πράγμασι*, καλῶς ἂν ταῦτα ἔλεγες· μᾶλλον δὲ οὐδὲ τότε ταῦτα λέγειν ἐχρῆν.

Γεν. α. κϛ.

χρειῶν. ἱκανὸς γάρ σοι ὁ Θεὸς ἐνταῦθα ἀπολαυομένῳ πλείονος εὐπορίας τὰ σὰ πάντα διατυπῶσαι. νῦν δὲ οὐδὲ τοῦτό σε ἀναγκάζω, οὐδὲ λέγω, καθ' ἑκάστην ἡμέραν σχόλαζε, ἀλλὰ δευτέραν τῆς ἑβδομάδος. τί βαρὺ, τί φορτικόν; οὐδὲ ὅλην τὴν ἡμέραν, ἀλλὰ μικρὰν καιροῦ ῥοπὴν ἐλθὲ εἰς τὴν ἐκκλησίαν, δέξαι νοερὰ νοήματα, ἵνα μὴ δέξῃ τραύματα· οὐχ ἵνα ἄλλους καταβάλλῃς, ἀλλ' ἵνα ποιήσῃς τὴν ἀγορὰν ἐκκλησίαν. ἐλθὲ, λάβε ὅπλον, ἵνα ἐν τῷ ὅπλῳ μὴ δέξῃ τὴν πληγὴν βλαβεράν. στῆθι ἐπὶ τῆς παρατάξεως, μόνον ὡπλισμένος· στῆθι ἐν τόπῳ ἁγίῳ, μόνον καθαρὰ ἔχων τὰ ὄμματα· ἔμβηθι εἰς τὸν λιμένα, μόνον μετ' ἀκριβείας σαλεύων τὸ πλοῖον. ταῦτα ἐνταῦθα δυνάσαι μαθεῖν· καὶ οὐ θέλεις, ἀλλ' ἐξέρχῃ ἐν παρατάξει κοσμικῇ γυμνὸς τῶν τοῦ Θεοῦ ἐντολῶν. ἐννόησον ἡλίκον ἐστὶν ἐξιέναι ἀπὸ ἐκκλησίας πάντων τῶν ἀνθρωπίνων ὑπερορῶντα, καὶ τὰ λυπηρὰ πατοῦντα, καὶ χρηστῶν ὑψηλότερον γινόμενον, οὔτε ἐν ἐκείνοις ἐπαιρόμενον, οὔτε ἐν τούτοις πιεζόμενον· οἷος ἦν ὁ Ἰὼβ, οὔτε ὑπὸ τῆς πενίας βαπτιζόμενος, οὔτε ὑπὸ τοῦ πλούτου ἐπαιρόμενος, ἀλλ' ἐν τῇ ἀνωμαλίᾳ τῶν πραγμάτων ἴσην τὴν ἑαυτοῦ γνώμην διατηρῶν. ἐλθὲ, λάβε ὅπλον παρ' ἐμοῦ. ποῖον δὲ ὅπλον; ὃ πολλάκις σοι ἐγγυᾶται τὴν σωτηρίαν. ἐξέρχῃ, καὶ βλέπεις ἄνθρωπον ἐφ' ἵππου ἐπαιρόμενον χρυσοχαλινώτου, καὶ πολλοὺς περὶ αὐτὸν τοὺς δορυφόρους· πάλιν εὐτελῆ τινα καὶ ἀπερριμμένον. εἶτα εἰσέρχεταί σοι φθόνος διὰ τὸν πλούσιον, κατέχει σε βασκανία τοῦ πένητος. προσέρχεταί σοι ὁ Δαβὶδ, παρίσταταί σοι καὶ λέγει· Μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος. ἔξελθε μετὰ τοῦ προφήτου, καὶ μὴ φοβοῦ. ἄπελθε ὅπου λέγω σοι μετὰ τοῦ προφήτου, μετὰ τοῦ διδασκάλου, μετὰ τῆς βακτηρίας, μετὰ τοῦ κήρυκος, μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος. ἀλλ' ἐρεῖς, τοῦτο παραινοῦντός ἐστι καὶ συμβουλεύοντος, καὶ τὰ δέοντα ἀποφαινομένου· εἰπέ μοι καὶ τὸν τρόπον, δι' ὃν οὐκ ὀφείλω φοβηθῆναι τὸν ἄνθρωπον. ὅτι μιμεῖται τὴν φύσιν τοῦ ἀνθρώπου ἡ φύσις τοῦ πλούτου. καὶ πῶς, ἐγὼ λέγω. τί ἄνθρωπος; ζῶον εὐτελὲς, ἐπίκηρον, ὀλιγοχρόνιον. τοιοῦτον καὶ ὁ πλοῦτος, μᾶλλον δὲ οὐ τοιοῦτον, ἀλλὰ καὶ ἀσθενέστερον. οὐ γὰρ μετὰ τοῦ ἀνθρώπου τελευτᾷ πολλάκις, ἀλλὰ καὶ πρὸ τοῦ ἀνθρώπου τελευτᾷ. καὶ ἴστε ὑμεῖς μυρία ἐπὶ τῇ πόλει ταύτῃ ὑποδείγματα τῆς τελευτῆς τοῦ ἀώρου πλούτου, καὶ μεμαθήκατε, ὅτι ὁ μὲν κεκτημένος ζῇ, τὸ δὲ κτῆμα ἀπώλετο. τελευτὴ γὰρ πλούτου μεταβολὴ πενίας. ἐννόησον οὖν πῶς ὀλιγοχρόνιον τὸ κτῆμα. ὁ μὲν γὰρ κεκτημένος ζῇ, τὸ δὲ κτῆμα ἀπώλετο, καὶ εἴθε ἀπώλετο μόνον, καὶ μὴ συναπώλεσε τὸν κεκτημένον. οὐκοῦν οὐκ ἂν ἁμάρτοις τὸν πλοῦτον ἀγνώμονα οἰκέτην καλέσας, οἰκέτην αἱμοβόρον καὶ ἀνδροφόνον, οἰκέτην ἀμοιβὰς ἀποδιδόντα τῷ δεσπότῃ τὴν σφαγὴν, καὶ τὸ δὴ χαλεπώτερον, οὐχ ὅταν αὐτὸν καταλίπῃ, περιβάλλει κινδύνοις, ἀλλὰ καὶ πρὶν ἢ καταλίπῃ αὐτὸν, θορυβεῖ αὐτὸν καὶ ταράττει. μὴ γάρ μοι ἴδῃς τὸν τὰ σηρικὰ περιβεβλημένον ἱμάτια, καὶ μύρα πνέοντα, καὶ θεραπευόμενον ἔξωθεν. * ἀνάπτυξον αὐτοῦ τὸ συνειδὸς, γύμνωσον αὐτοῦ τὴν διάνοιαν ἔτι πλουτοῦντος, καὶ ὄψει ἔνδοθεν θορύβους καὶ ταραχάς. ὅταν ἴδῃς ἕτερον πίπτοντα, ἐν τῷ ἐκείνου πτώματι τὴν οἰκείαν συμφορὰν καταμάνθανε. τί γὰρ σφαλερώτερον τῶν ἀνθρωπίνων πραγμάτων; ὃ πολλάκις εἶπον, ὅτι ποταμίων ῥευμάτων μιμεῖται φύσιν *, ὁμοῦ τε φαίνεται καὶ παρατρέχει, ὁμοῦ κατέχεται καὶ ἀποπηδᾷ. μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος. τοῦτον λάβε τὸν λόγον, τὴν ᾠδὴν τὴν πνευματικήν. ὅταν γὰρ εἰσέλθῃ ὁ φθόνος, ἐπεισέλθῃ δὲ καὶ ὁ στίχος, ἀπαλλάττει τὸ ῥῆμα τὸ πάθος. μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος. ταῦτά μου τὰ φάρμακα οὐ χρημάτων δεόμενα, ἀλλὰ ἀνθρώπων. οὐ γὰρ σῶμα θεραπεύω, ἀλλὰ ψυχὴν ἰατρεύω· οὐ τὴν ὑμετέραν δὲ λέγω μόνον, ἀλλὰ καὶ τὴν ἐμαυτοῦ. εἰ γὰρ καὶ διδάσκαλός εἰμι, ἀλλ' ἄνθρωπός εἰμι, τῇ κοινῇ φύσει ὑποκείμενος, κοινὴν καὶ τὴν διδασκαλίαν παρέχων, μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος. λάβε τοῦτον τὸν στίχον, θησαυρὸν καὶ ὑπόθεσιν·

Ψαλμ. μη. ις.

θεσιν· λάβε τὸν στίχον ῥίζαν πλούτου καὶ εὐπορίας. οὐ γὰρ τὸ πλουτεῖν, ἀλλὰ τὸ μὴ βούλεσθαι πλουτεῖν, τοῦτο ἐστὶ πλοῦτος. ἆρα συνήκατε τὸ λεχθὲν πρὸς ὑμᾶς; ὁ βουλόμενος πλουτεῖν, χρείαν ἔχει χρημάτων, ὁ δὲ μὴ βουλόμενος πλουτεῖν, ἀεί ἐστιν ἐν εὐπορίᾳ. Μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ. μὴ φοβοῦ, εἰπέ μοι, διὰ τί; ἐπειδὴ γὰρ φοβεροί εἰσιν οἱ πλουτοῦντες, ἐκάλεσε τὴν ζωὴν ὁ προφήτης. τί δέδοικας ἄνθρωπον, φύλλοις κομῶντα, καρποῦ δὲ ἀπεστερημένον; τί δέδοικας ἄνθρωπον εἰς πορείαν βαδίζοντα; τί δέδοικας ἄνθρωπον ἀεὶ τρέμοντα; τί δέδοικας ἄνθρωπον διηνεκεῖ φόβῳ συζῶντα; ὁ μὲν γὰρ δοῦλός σου οὐ δέδοικέ σε ἀπιόντα, ἐκεῖνος δὲ τὸν δεσπότην ἔνδοθεν περιφέρει. ὅπου ἐὰν ἀπέλθῃ, ὁ ἔρως τῆς φιλοχρηματίας ἕπεται· καὶ πλουσίους, καὶ οἰκέτας, καὶ φίλους, καὶ βασκάνους, καὶ εὐεργέτας, ἅπαντας ὁμοῦ ἐχθροὺς ἔχει. φθόνον γὰρ ἐγείρει μέγαν. ὁ μὲν γὰρ πένης οὐδένα δεδοικὼς διάγει, ἐπειδὴ πλουτεῖ τῇ φιλοσοφίᾳ καὶ ὑπομονῇ· ὁ δὲ πλούσιος, ἐπειδὴ πλεονεξίᾳ συζῇ, μισεῖται παρὰ πάντων, καὶ ἐν κοινοῖς συλλόγοις πολέμιος περιέρχεται, κολακευόμενος μὲν τῷ προσώπῳ, μισούμενος δὲ τῇ διανοίᾳ. ὅτι δὲ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ὅταν ἔλθῃ ἄνεμος, καὶ ῥίψῃ τὰ φύλλα, ὅταν μεταβολὴ τῶν πραγμάτων γένηται, τότε εὑρίσκονται οἱ πεπλασμένοι φίλοι, τότε γνωρίζεται τὰ προσωπεῖα τῶν κολάκων, τότε φανεροῦται ὁ χορὸς τῶν ὑποκριτῶν, καὶ ἡ σκῆψις τοῦ δράματος. ἀνοίγονται τὰ στόματα πάντων λεγόντων, ὁ μιαρός, ὁ πονηρός, ὁ παμπόνηρος. τί λέγεις; οὐχὶ χθὲς αὐτὸν ἐκολάκευες; οὐχὶ τὰς χεῖρας αὐτοῦ κατεφίλεις; προσωπεῖον ἦν ἐκεῖνα· ἦλθεν ὁ καιρός, καὶ περιεῖλον τὸ προσωπεῖον, καὶ ἀπεφηνάμην τῇ διανοίᾳ. τί οὖν δέδοικας, εἰπέ μοι, τὸν ὑπὸ τοσούτων κατηγορούμενον; καὶ τί τοῦτο; εἴθε μὴ αὐτὸς ἑαυτοῦ κατηγόρει. ταῦτα λέγω οὐ πλοῦτον διαβάλλων (μυριάκις εἶπον) ἀλλὰ τοὺς κακῶς τῷ καλῷ κεχρημένους πράγματι. τὰ γὰρ χρήματα σὺν ταῖς πράξεσι καλά. πῶς καλὰ δέ; ἐὰν παραμυθῶνται τὴν πενίαν, ἐὰν διορθῶνται πτωχείαν. ἄκουσον πῶς λέγει ὁ Ἰώβ· Ἐγὼ ἤμην ὀφθαλμὸς τυφλῶν, ποὺς δὲ χωλῶν, ἐγὼ ἤμην πατὴρ ἀδυνάτων. ἰδοὺ πλοῦτος, καὶ ἀμβλία οὐκ ἦν, ἀλλὰ φιλοπτωχεία. ἡ οἰκία μου παντὶ ἐλθόντι ἀνέῳκτο. τοῦτο πλούτου διακονία, πλούτου οὐκ ὀνόματι, ἀλλὰ πράγματι. οὗτος ὁ πλοῦτος δοῦλος ἐκείνου τοῦ πλούτου: οὗτος μὲν γὰρ ὄνομά ἐστιν ἔρημον πραγμάτων, ἐκεῖνος δὲ ὀνόματος καὶ πράγματος ἔχει τὴν ἀλήθειαν. ποῖος; ὁ τῆς ἀρετῆς, ὁ τῆς ἐλεημοσύνης. πῶς, ἐγὼ λέγω. ἔστι πλούσιος τὰ πάντων ἁρπάζων, καὶ ἔστι πλούσιος τὰ ἑαυτοῦ τοῖς πένησι παρέχων· ὁ μὲν ἐν τῷ συνάγειν, ὁ δὲ ἐν τῷ ἀναλίσκειν πλουτῶν· καὶ ὁ μὲν σπείρει τὴν γῆν, ὁ δὲ γεωργεῖ τὸν οὐρανόν. ὅσον ὁ οὐρανὸς τῆς γῆς βελτίων, τοσοῦτον ἐκείνου ἡ εὐφορία τούτου ἀσθενεστέρα. οὗτος μυρίους ἔχει τοὺς ἐραστάς, ἐκεῖνος δὲ πάντας κατηγόρους· καὶ τὸ δὴ θαυμαστόν, ἐπὶ μὲν τοῦ ἅρπαγος καὶ πλεονέκτου, οὐ μόνοι οἱ ἠδικημένοι *, ἀλλὰ καὶ οἱ μηδὲν παθόντες κακὸν μισοῦσιν ἐκεῖνον, συναλγοῦντες τοῖς κακῶς πεπονθόσιν· ἐπὶ δὲ τοῦ ἐλεήμονος, οὐ μόνον οἱ ἐλεηθέντες, ἀλλὰ καὶ οἱ μὴ ἐλεηθέντες φιλοῦσιν αὐτόν. βέλτιον ἡ ἀρετὴ τῆς κακίας, ἀδελφοί. ἡ κακία καὶ τοὺς μὴ ἀδικηθέντας πολεμίους ἔχει, ἡ δὲ ἐλεημοσύνη καὶ τοὺς μὴ εὐεργετηθέντας ἐραστὰς κέκτηται. λέγουσι γὰρ πάντες, καλῶς αὐτῷ ὁ Θεὸς ποιήσει. τί γὰρ εὐεργετήθης; οὐκ ἐγώ, ἀλλ' ὁ ἀδελφός ὁ ἐμός· οὐκ ἐγώ, ἀλλὰ τὸ μέλος τὸ ἐμόν. τὴν γὰρ εἰς ἐκεῖνον γινομένην εὐποιΐαν εἰς ἐμαυτὸν λογίζομαι. εἶδες ἡλίκον ἡ ἀρετή; πῶς ποθεινόν; πῶς ἐπέραστον; πῶς καλόν; ὁ ἐλεήμων ὁ κοινὸς λιμήν, ὁ πατὴρ πάντων, ἡ βακτηρία τῶν γεγηρακότων. καὶ ἐπὶ μὲν τοῦ ἐλεήμονος, ἐὰν τι ἀηδὲς πάθῃ, εὔχονται πάντες, ὁ Θεὸς αὐτὸν ἐλεήσαι, ποιήσαι αὐτῷ καλῶς, παραμεῖναι αὐτῷ τὰ ἀγαθά· ἐὰν δὲ ἔλθῃς ἐπὶ τὸν ἅρπαγα, ἀκούσῃ λεγόντων, ὁ μιαρός, ὁ πονηρός, ὁ βέβηλος. τί ἠδίκησαι; ἐγὼ μὲν οὐδέν, ἀλλ' ὁ ἀδελφός ὁ ἐμός. βοαὶ μυρίαι καθ' ἑκάστην ἡμέραν· ἐὰν πέσῃ, πάντες ἐπεμβαίνουσι τούτῳ. τοῦτο ζωή; τοῦτο πλοῦτος; τοῦτο οὐ χαλεπώτερον καταδίκου; ὁ

Ἰὼβ κθ. ιε.

γρ. τοῦ Ἰὼβ λέγοντος

γρ. αἴθριον ἀνέῳκται

καταδίκος

κατάδικος δέδεται τὸ σῶμα, οὗτος δὲ τὴν ψυχήν. ὁρᾷς αὐτὸν δεσμώτην, καὶ οὐκ ἐλεεῖς αὐτόν. διὰ τοῦτο αὐτὸν μισῶ, ὅτι δέδεται, οὐκ ἀνάγκῃ, ἀλλὰ προαιρέσει· διότι τὴν ἅλυσιν ἐπεσπάσατο. πάλιν σὺ πρὸς τοὺς πλουσίους, ἐχθροί μοι; πάλιν ὑμεῖς κατὰ τῶν πενήτων. πάλιν σὺ κατὰ τῶν ἁρπαζόντων; πάλιν ὑμεῖς κατὰ τῶν ἁρπαζομένων. ὑμεῖς οὐ κορέννυσθε ἐσθίοντες καὶ καταδάκνοντες τοὺς πένητας, καὶ ἐγὼ οὐ κορέννυμαι διορθούμενος ὑμᾶς. ἀεὶ σὺ τούτοις κεκόλλησαι; ἀεὶ σὺ τῷ πένητι κεκόλλησαι; ἀπόστηθι σὺ τοῦ προβάτου μου, ἀπόστηθι τῆς ποίμνης μου, μὴ αὐτὴν λυμαίνου. εἰ δὲ λυμαίνῃ μου τὴν ποίμνην, ἐγκαλεῖς ὅτι διώκω σε; ποιμὴν εἰ ἤμην προβάτων, ἐνεκάλεις ἄν μοι, ὅτι οὐ διώκω ἐπερχόμενον τῇ ποίμνῃ λύκον; ποιμήν εἰμι λογικῶν θρεμμάτων· οὐ λίθῳ διώκω, ἀλλὰ λόγῳ. μᾶλλον δὲ οὐδὲ διώκω σε, ἀλλὰ καλῶ σε. γενοῦ πρόβατον, ἐλθὲ, γενοῦ τῆς ἀγέλης μου. τί λυμαίνῃ τὴν ποίμνην ὁ ὀφείλων αὐξῆσαι τὴν ἀγέλην; οὐ διώκω σε, ἀλλὰ λύκον διώκω. εἰ μὴ λύκος εἶ, οὐ διώκω σε. εἰ δὲ λύκος ἐγένου, σεαυτὸν αἰτιῶ. οὐκ εἰμὶ κατὰ τῶν πλουτούντων, ἀλλ' ὑπὲρ τῶν πλουτούντων. ταῦτα γὰρ λέγων, ὑπὲρ σοῦ λέγω, κἂν μὴ αἰσθάνῃ. πῶς ὑπὲρ ἐμοῦ λέγεις; ὅτι ἀπαλλάττω σε ἁμαρτίας, ἐλευθερῶ σε ἁρπαγῆς, πᾶσι ποιῶ φίλον, πᾶσι ποθεινόν. ἀεί σοι λέγω, ἥρπασας; ἐπλεονέκτησας; ἐλθὲ, καὶ μεταβάλλω σε, μεταβάλλω τὴν ἔχθραν εἰς φιλίαν, τὸν κίνδυνον εἰς ἀσφάλειαν. ταῦτα ἐνταῦθα, καὶ ἐκεῖ δίδωμί σοι πάλιν τὴν βασιλείαν τῶν οὐρανῶν, ἵνα μὴ εἰς τὰς ἀπαραιτήτους κολάσεις ἀπέλθῃς, ἵνα ἀπολαύσῃς τῶν ἀγαθῶν, ἃ ὀφθαλμὸς οὐκ εἶδεν, οὔτε οὖς ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. Ρωμ. ια. η. ταῦτα τοίνυν διώκοντός ἐστιν, ἢ συμβουλεύοντος; φιλοῦντός ἐστιν, ἢ μισοῦντός σε; ἀλλὰ σὺ μισεῖς με; ἀλλ' ἐγὼ φιλῶ σε. ἐπίταγμα ἔχω τοῦ δεσπότου μου, Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν. Ματθ. ε. μδ. οὐκ ἀφίσταμαί σου ἰατρεύων σε. ὁ δεσπότης ἡμῶν ἐσταυροῦτο, καὶ ἔλεγεν, Ἄφες αὐτοῖς, πάτερ· οὐ γὰρ οἴδασι τί ποιοῦσι. Λουκ. κγ. λδ. μὴ γάρ σε διώκω; τὸ πάθος σου ἐλαύνω. μὴ γάρ σοι πολεμῶ; τῇ κακίᾳ σου. καὶ οὐχ ἡγῇ με εὐεργέτην; οὐχ ἡγῇ με κηδεμόνα; οὐχ ἡγῇ με προστάτην πάντων μᾶλλον; τίς σοι περὶ τούτων ἄλλος ἐρεῖ; ὁ ἄρχων; οὐδεὶς τοιοῦτον· ἀλλὰ περὶ ἐγκλημάτων, περὶ κατηγορίας. ἀλλ' ἡ γυνή; περὶ κοσμίων, περὶ χρυσοῦ. ἀλλ' ὁ παῖς; περὶ κληρονομίας, περὶ διαθήκης, περὶ κλήρου. ἀλλ' ὁ οἰκέτης; περὶ ὑπηρεσίας, περὶ δουλείας, περὶ ἐλευθερίας. ἀλλὰ παράσιτοι; περὶ συμποσίων, περὶ δείπνων, περὶ ἀρίστων. ἀλλ' ὁ ἐν τῷ θεάτρῳ; περὶ γέλωτος αἰσχροῦ, περὶ ἐπιθυμίας ἀκολάστου. ἀλλ' ὁ ἐν τοῖς δικαστηρίοις; περὶ διαθηκῶν, περὶ κληρονομίας, περὶ ἐλευθερίας. ποῦ ἔχεις ἀκοῦσαι ταῦτα, εἰ μὴ παρ' ἐμοῦ; πάντες σε φοβοῦνται, ἐγὼ δέ σου καταφρονῶ. ἕως ἂν ἦς τοιοῦτος, καταφρονῶ σου, ὑπερορῶ σε, καταφρονῶ σοῦ τοῦ πάθους. ἐγὼ τέμνω, σὺ κράζεις· ἀλλ' οὐ φοβοῦμαί σου τὴν φωνὴν, ποθῶ δέ σου τὴν σωτηρίαν. ἰατρὸς γάρ εἰμι. ἄρα εἰ ἕλκος ἔχων ἰατρὸν μετεκάλεις, καὶ εἶδες ὅτι ἠκόνησε τὸ σιδήριον, οὐκ ἔλεγες, τέμε, εἰ καὶ ὀδυνῶμαι, τὴν ἀπὸ τῆς τομῆς σωτηρίαν ἐκδεχόμενος; ἐμὲ δὲ φεύγεις μὴ τέμνοντα, ἀλλὰ λόγῳ τὴν διάνοιάν σου καθαίροντα; καί τοι ὁ ἰατρὸς τί ποιεῖ; τέμνει πολλάκις, καὶ χεῖρον ποιεῖ τὸ ἕλκος· ἐγὼ δὲ οὐ ποιῶ χεῖρον, ἀλλὰ βέλτιον. ἐκεῖ μὲν γὰρ φύσις ἐστὶν ἡ ἀπορουμένη, καὶ φαρμάκων ἀδυναμία, ἐνταῦθα δὲ λόγων δυνάμεις. ἰατρὸς οὐκ ἐγγυᾶταί σου τὴν σωτηρίαν, ἐγὼ δὲ ἐγγυῶμαί σου τὴν σωτηρίαν. ἄκουέ μου. διὰ τοῦτο ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ κατῆλθεν, ἵνα ἡμᾶς ἀναγάγῃ, καὶ τῶν οὐρανῶν ὑψηλοτέρους ἐργάσηται. ἓν φοβοῦμαι μόνον, ἁμαρτίαν· τὰ δὲ ἄλλα ἅπαντα οἰχέσθω, κἂν πλοῦτος, κἂν πενία, κἂν δυναστεία, κἂν ὁτιοῦν. ταῦτα λέγω, καὶ λέγων οὐ παύσομαι. οὐδένα γὰρ βούλομαι ἀπολέσθαι τῆς ἀγέλης τῆς ἐμῆς. τί οὖν; δυνατόν ἐστι πλούσιον σωθῆναι; καὶ πάνυ. ὁ Ἰὼβ πλούσιος ἦν, ὁ Ἀβραὰμ πλούσιος ἦν. εἶδες αὐτοῦ τὸν πλοῦτον; βλέπε αὐτοῦ καὶ τὴν φιλοξενίαν. εἶδες αὐτοῦ τὴν τράπεζαν; βλέπε αὐτοῦ καὶ τὴν φιλοφροσύνην. τί οὖν ὁ Ἀβραάμ; πλούσιος ἦν, μὴ ἐφιλονείκησέ

σοι; πλούσιος ἦν ὁ Ἀβραάμ; ναὶ, πλούσιος ἦν. εἶδες αὐτοῦ τὸν πλοῦτον; βλέπε αὐ-
Γεν. ιη. α. β. γ. τοῦ καὶ τὴν διαγωγήν. κατὰ δὲ τὸ μεσημβρινὸν ὤφθη αὐτῷ ὁ Κύριος πρὸς τῇ δρυῒ τῇ Μαμ-
βρῇ καθημένῳ· καὶ ἰδοὺ τρεῖς ἄνδρες. καὶ ἀναστὰς (οὐ γὰρ ἐνόμιζεν, ὅτι Θεὸς ἦν ὁ παρών. πῶς
γάρ;) προσεκύνησε, καὶ λέγει, εἰ κεκρίκατέ με ἄξιον, ἵνα εἰσέλθητε εἰς τὴν σκηνὴν τοῦ
δούλου μου. εἶδες τί ἐποίει ἐν μεσημβρίᾳ ὁ γέρων; οὐχ ὑπὸ στέγην καθήμενος, ἀλλὰ
ξένους, καὶ ὁδοιπόρους οὐδαμόθεν γνωρίμους ἐπισπώμενος, καὶ ἀναστὰς προσεκύνησεν ὁ πλού-
σιος καὶ εὐγενής. ὁ χρήματα περιελόμενος, καταλιπὼν οἰκίαν, γυναῖκα, παῖδας, οἰκέτας, καί-
τοι τριακοσίους δέκα καὶ ὀκτὼ ἔχων, καταλιπὼν ἅπαντας, ἐξῆλθεν ἁλιεῦσαι, σαγήνην ἥ-
πλωσε φιλοξενίας, μήπου ὁδοιπόρος, μήπου ξένος, καὶ παραδράμῃ τὴν οἰκίαν. βλέπε
τί ποιεῖ ὁ γέρων. οὐκ ἐπιτρέπει οἰκέτῃ, καίτοι τριακοσίους δέκα καὶ ὀκτὼ ἔχων (ᾔδει γὰρ
ὅτι ῥᾳθυμόν ἐστι τὸ γένος τῶν οἰκετῶν) μήπου ἀπονυστάξῃ ὁ οἰκέτης, καὶ παραδράμῃ ὁ ξένος, γρ. μήπως
καὶ ἀπολέσω τὴν ἄγραν. ἴδε, ὁ Ἀβραάμ, ἴδε, ὁ πλούσιος. καταξιοῖς σὺ κἂν ἰδεῖν πένητα;
κἂν ἀποκριθῆναι; κἂν διαλεχθῆναι; ἀλλὰ κἂν ποτε δῷς, διὰ δούλου. ἀλλ' οὐκ ἦν ὁ
δίκαιος οὕτως· ἀλλὰ ἐκάθητο θερμὴν τὴν ἀκτῖνα δεχόμενος, δρόσον ἐν καύματι σταζό-
μενος. σκιὰ ἦν αὐτῷ ἡ ἐπιθυμία τῆς φιλοξενίας· ἐκάθητο τρυγῶν τὸν καρπὸν τῆς φι-
λοξενίας, καὶ τοῦτο πλούσιος. παράβαλλέ μοι τοὺς πλουσίους τοὺς νῦν. ἐν μεσημβρίᾳ ποῦ
κάθηνται; ἐν τῷ ᾅδῃ. ποῦ κάθηνται; ἐν τῷ θανάτῳ τῆς μέθης. ποῦ κάθηνται; ἐπὶ
τῆς δημοσίας ἐρριμμένοι, μεθύοντες, πεπωρωμένοι τὴν καρδίαν, ἀλόγων ἀλογώτεροι. ἀλλ'
οὐχ ὁ δίκαιος οὕτω. θέλεις μιμήσασθαι τὸν Ἀβραάμ; μίμησαι οὕτως, οὐ κωλύω, ἀλλὰ
Ματθ. ε. κ. καὶ βούλομαι· καίτοι μείζονα τοῦ Ἀβραὰμ ἀπαιτούμεθα. ἐὰν γὰρ, φησι, μὴ περισσεύσῃ
ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων, οὐκ εἰσελεύσεσθε εἰς τὴν βα-
σιλείαν τῶν οὐρανῶν. τέως δὲ σὺ κἂν τὸν Ἀβραὰμ φθάσον. καὶ τί εἶχεν ὁ Ἀβραάμ;
φιλόξενος ἦν, καὶ ἀνέστη, καὶ προσεκύνησεν, οὐδὲ εἰδὼς τίνες ἦσαν οἱ παριόντες. εἰ γὰρ
ᾔδει, οὐδὲν θαυμαστὸν ἐποίει, ὅτι Θεὸν ἐθεράπευσεν· ἀλλ' ἡ ἄγνοια τῶν παραγινομένων μεί-
ζονα αὐτοῦ δείκνυσι τῆς φιλοξενίας τὴν προθυμίαν. καὶ ἐκάθητο καὶ ὑπεδέχετο. καὶ πῶς;
δαψιλῶς, μόσχον ἔθυσε, καὶ καλεῖ καὶ τὴν Σάῤῥαν, καὶ κοινωνὸν ποιεῖ τῆς φιλοξενίας τὴν γυναῖ-
κα, καὶ οὐκ ἐν θαλάμῳ κρυπτομένην, ἀλλ' ὑπὸ τὴν δρῦν ἑστηκυῖαν. ἡ γὰρ τράπεζα ἐ-
κείνη λοιπὸν διήνοιξεν αὐτῆς τὴν μήτραν, καὶ τὴν πήρωσιν τῆς φύσεως διώρθωσεν. ἔθυσε
μόσχον, καὶ ἔλαβε τὸν Ἰσαάκ· ἐφύρασεν ἄλευρα, καὶ ἔλαβε τὸ σπέρμα αὐτοῦ, ὡς τὰ ἄστρα τοῦ γρ. αὐτῷ
οὐρανοῦ, καὶ ὡς τὴν ψάμμον τῆς θαλάσσης. ἀλλὰ πάντως ἐρεῖς· δὸς καὶ ἐμοὶ τὸν καρπὸν
τοιοῦτον γνήσιον. ἄθλιε, καὶ ταλαίπωρε, καὶ εὐτελέστατε, τὰ ἐν τῇ γῇ ζητεῖς; τὸν οὐρανὸν
σοι δίδωμι, τὴν μετ' ἀγγέλων χορείαν, τὴν δι' αἰῶνος ἀπόλαυσιν, καὶ θάνατον φθαρτὸν ζη-
τεῖς; ζωὴν σοι δίδωμι τέλος οὐκ ἔχουσαν. μείζων ἡ ἀμοιβὴ, πλείων ἡ ἀντίδοσις. πρόσε-
χε μετ' ἀκριβείας ὃ λέγω, ἵνα ἴδῃς ἀντιστροφὴν πραγμάτων. ὅτε ἔδει φιλοξενίαν ἐπιδείξασθαι
Γεν. ιη. ς. ὁ Ἀβραάμ, τί λέγει τῇ γυναικὶ αὐτοῦ Σάῤῥᾳ; σπεῦσον, καὶ φύρασον τρία μέτρα σεμιδάλεως.
ἀκουέτωσαν γυναῖκες τῶν λεγομένων. σπεῦσον, καὶ φύρασον τρία μέτρα σεμιδάλεως. κοινὸν γὰρ ἡ- ἴσ. ὑμῖν
μῖν τὸ θέατρον, ἑκατέρᾳ τῇ φύσει τὸ διδασκαλεῖον πρόκειται. ἀκουέτωσαν γυναῖκες τῶν
λεγομένων, ἀκουέτωσαν καὶ ἄνδρες, καὶ μιμείσθωσαν. σπεῦσον, φησι, καὶ φύρασον τρία μέτρα σε-
μιδάλεως, καὶ αὐτὸς ἔδραμεν ἐπὶ τὴν ἀγέλην τῶν βοῶν. μερίζονται τὸν πόνον, ἵνα μερί-
σωνται καὶ τὸν στέφανον. κοινὰ τὰ τοῦ γάμου, ἔστω κοινὰ καὶ τὰ τῆς ἀρετῆς. βοηθόν σε ἔλαβον,
γενοῦ μοι βοηθὸς καὶ ἐν τοῖς ὑψηλοτέροις πράγμασι. σπεῦσον, σπεῦσον. ἐπείγει τὴν γυ-
ναῖκα, [καὶ] ἵνα μὴ ἡ μέλλησις εἰς ῥᾳθυμίαν ἐμβάλλῃ τοὺς ξένους. σπεῦσον, καὶ φύρασον τρία
μέτρα σεμιδάλεως· ἐπίπονον τὸ ἐπίταγμα, φορτικὸν τὸ κέλευσμα· φύρασον τρία μέτρα
σεμιδάλεως. καὶ οὐκ εἶπε, τί τοῦτο; ἐπὶ ταύταις ταῖς ἐλπίσιν ἐνυμφεύθην σοι, ἵνα με

μυλωθρίδα καὶ ἀρτοποιὸν ποιήσῃς, γυναῖκα τὴν πλοῦτον ἔχουσαν τοσοῦτον; τριακοσίους δέκα καὶ ὀκτὼ δούλους ἔχεις, καὶ ἐκείνοις ἐπιτάξαι οὐκ εἵλου, ἀλλά με εἰς τὴν διακονίαν ταύτην ἐπιτάσσεις; οὐκ εἶπέ τι τοιοῦτο, οὐκ ἐνενόησεν· ἀλλ' ἐπειδὴ γυνὴ ἦν τοῦ Ἀβραάμ, οὐ συνουσίᾳ μόνον ″ σώματος, ἀλλὰ καὶ κοινωνίᾳ ἀρετῆς, διὰ τοῦτο λέγει, σπεῦσον. καὶ ἁρπάζει τὸ ἐπίταγμα ἐκείνη μετὰ προθυμίας· ᾔδει γὰρ τὸν καρπὸν βρύοντα τῆς φιλοξενίας. σπεῦσον, φύρασον. ᾔδει γὰρ τῆς γυναικὸς τὸ ἐπιμελές. ποῦ αἱ νῦν γυναῖκες; παραβαλλώμεθα αὐτὰς τῇ Σάρρᾳ. ἆρα τοιαῦτα ἐπιτάγματα δέχονται; τοιαῦτα ἔργα; ἔκβαλέ μοι τῆς φιλοκόσμου γυναικὸς τὴν χεῖρα, καὶ ὁρᾷς αὐτὴν κεχρυσωμένην ἔξωθεν, ἔνδοθεν δὲ πολιορκίαν κεκτημένην. πόσων πενήτων, εἰπέ μοι, πλεονεξίαν ἡ χείρ σου βαστάζει; ἔκβαλέ μοι τὴν χεῖρά σου, δεῖξον αὐτήν· τί ἐνδέδυται; πλεονεξίαν. ἔκβαλε τὴν χεῖρα τῆς Σάρρας· τί ἐνδέδυται; φιλοξενίαν, ἐλεημοσύνην, ἀγάπην, φιλοπτωχείαν. ὢ καλῆς δεξιᾶς. *ἀλλὰ μία μὲν μορφὴ δεξιᾶς, πολλὴ δὲ διαφορά. ἐκεῖ πηγαὶ δακρύων, ἐνταῦθα στέφανοι καὶ βραβεῖα. ταῦτα λέγω, ἵνα μήτε γυναῖκες τοιαῦτα παρὰ ἀνδρῶν ζητῶσι, μήτε ἄνδρες ἀνέχωνται γυναικῶν τοιαῦτα ἀπαιτουσῶν. ἴδε, ἡ Σάρρα, ἴδε, ἡ πλουσία ἐφύρασε τρία μέτρα σεμιδάλεως. πόσος ὁ πόνος; ἀλλ' οὐκ ᾔσθετο πόνου διὰ τὴν ἐλπίδα τοῦ καρποῦ καὶ τοῦ κέρδους. σπεῦσον, φύρασον τρία μέτρα σεμιδάλεως. τί μοι καλλωπίζῃ, γύναι; ἵνα τίνι ἀρέσῃς; τῷ ἀνδρί; κακὴ μελέτη, εἰ οὕτω μέλλεις ἀρέσκειν τῷ ἀνδρί, εἰ οὕτω σπουδάζεις ἀρέσκειν σου τῷ ἀνδρί. πῶς οὖν ἀρέσω; τῇ σωφροσύνῃ. ἀλλὰ πῶς ἀρέσω; τῇ ἐπιεικείᾳ, τῇ φιλοσοφίᾳ, τῇ πραότητι καὶ τῇ ἀγάπῃ, τῇ ὁμονοίᾳ, καὶ τῇ συμφωνίᾳ. ταῦτά σου τὰ κόσμια, γύναι· αὗταί σου αἱ ἀρεταὶ ὁμόνοιαν ἐργάζονται· ἐκεῖνα τὰ κόσμια ἀρέσκειν οὐ ποιεῖ, ἀλλὰ καὶ τῷ ἀνδρί σε φορτικὴν παρασκευάζει γενέσθαι. ὅταν γὰρ εἴπῃς, ἅρπασον καὶ φέρε μοι, ″ ἐν ὀλίγῳ μέν σοι ἀρέσκει, ὕστερον δὲ πολέμιον ἔχεις. ἵνα δὲ μάθῃς, ὅτι οὐκ ἀνδρὶ ἀρέσκεις· ἐν τῇ οἰκίᾳ γὰρ αὐτὰ ἀποτίθεσαι, καὶ ἐν τῇ ἐκκλησίᾳ αὐτὰ περιβάλλῃ. εἰ τῷ ἀνδρὶ ἤρεσκες, ἐν τῇ οἰκίᾳ ἂν αὐτὰ ἐφόρεις. ἀλλ' ὅπερ εἶπον, εἰσέρχῃ εἰς τὴν ἐκκλησίαν, κεχρυσωμένη τὰς χεῖρας, καὶ τὸν τράχηλον. ἐὰν ἔλθῃ Παῦλος, ὁ φοβερὸς ἐκεῖνος καὶ ποθεινός, φοβερὸς τοῖς ἁμαρτάνουσι, καὶ ποθεινὸς τοῖς εὐσεβοῦσι, βοᾷ καὶ λέγει ὡσαύτως· τὰς γυναῖκας κοσμεῖν ἑαυτὰς χρὴ μὴ ἐν χρυσῷ, μὴ ἐν μαργαρίταις, μὴ ἐν ἱματισμῷ πολυτελεῖ. εἶτα ἂν εἰσέλθῃ ὁ Ἕλλην, καὶ ἴδῃ ἄνω μὲν φορούσας ταῦτα ἐκείνας, κάτω δὲ Παῦλον ταῦτα λέγοντα, οὐκ ἐρεῖ, ὅτι σκηνὴ καὶ μῦθος ταῦτά ἐστιν; οὐκ ἔστι μὲν σκηνὴ τὰ ἡμέτερα, κἂν οὕτω ταῦτα γίνηται· ὁ δὲ Ἕλλην βλάπτεται καὶ λέγει, εἰσῆλθον εἰς ἐκκλησίαν χριστιανῶν, καὶ ἤκουσα τοῦ Παύλου λέγοντος, Μὴ ἐν χρυσῷ, μηδὲ ἐν μαργαρίταις, τὴν δὲ διὰ τῶν ἔργων ἐναντία ἐπιδεικνυμένην. τί σοι ὄφελος τοῦ χρυσίου, γύναι; ἵνα καλὴ φανῇς καὶ ὡραία; ἀλλ' οὐδέν σοι τοῦτο εἰς τὸ κάλλος τῆς ψυχῆς*. γενοῦ τὴν ψυχὴν εὔμορφος, καὶ ἔσῃ καὶ τὸ σῶμα ποθεινή. Σοφία ἀνθρώπου φωτιεῖ τὸ πρόσωπον ″ αὐτοῦ. καίτοι ἡ σοφία, τῆς ψυχῆς αὐτοῦ. οὐδὲν ποιεῖ πόθον καὶ ἔρωτα, ὡς ἀγάπη. ἐὰν γὰρ φιλῇ σε ὁ ἀνήρ σου, κἂν ἄμορφος ᾖς, ποθεινὴ αὐτῷ φανῇ· ἐὰν δὲ μισήσῃ σε, κἂν εὔμορφος ᾖς, οὐ θέλει σε ὁρᾶν. τὸ γὰρ μῖσος τῆς ψυχῆς οὐκ ἀφίησι τὴν εὐμορφίαν τῆς ὄψεως φαίνεσθαι. ὅταν γὰρ μέλλῃς αὐτὸν ἀπαιτεῖν κόσμια, καὶ χρυσόν, τότε μέλλει σε καὶ αὐτὸς μισεῖν καὶ φεύγειν, ὡς τὸν ἀπαιτητὴν ἐν ἀγορᾷ φεύγοντα. ἀλλ' ἐκεῖνον μὲν δύναται φυγεῖν, σὲ δὲ οὐ δύναται, ἔνδον οὖσαν διηνεκῶς καὶ ἀπαιτοῦσαν λειτουργίας λόγον οὐκ ἐχούσας. ταῦτα μὴ μόνον ἀκουέτω ἡ ἀκοή σου, ὦ γύναι, ἀλλὰ καὶ μεταβαλλέσθω σου ἡ διάνοια. φάρμακά ἐστι δάκνοντα, τὰ ῥήματα τὰ ἐμά· δάκνοντα πρὸς καιρὸν καὶ εὐφραίνοντα διηνεκῶς. ἰατρός εἰμι, σκαλεύω τὰ τραύματα, ἵνα μὴ παλαιότερα γινόμενα, χείρονα τὴν νομὴν ἐργάσηται. ἐγὼ μὲν γὰρ ἰατρεύω, τὴν διὰ λόγων ὑγείαν χαριζόμενος, ὁ δὲ τοῦ παρόντος βίου τὸν ″ἐπίκαιρον καὶ σφαλερὸν καὶ εὐκα-

ταφρόνητον

σωμάτων.

βλέπε δε- … κ δεξι-

ταῖ ὀλίγον

…ωπτελεῖ.

σου.

…ἔκκειον

α.Τιμ.β.θ.

Ἐκκλησ.η.α.

ταφέντων ἐπιδείκνυνται. ἀλλ' ὅπερ ἔλεγον περὶ τοῦ Ἀβραὰμ (οὐ γὰρ ἐπιλήσομαι τῆς ὑποσχέσεως) σπεῦσον, καὶ φύρασον, ταῦτα ἑκάστη γυνὴ ἐγγραφέτω τῇ διανοίᾳ, ταῦτα ἕκαστος ἀνὴρ ἐχέτω ἐν τῷ συνειδότι. τί μοι φέρεις σηρικὰ ἱμάτια, καὶ ἵππους χρυσοχαλινώτους, καὶ ἡμιόνους καλλωπιζομένας; ἡμίονος κάτω καλλωπίζεται, ὁ χρυσὸς ἐν στέγῃ κατέχεται· τὰ χρήματα ἡμίονοι ἄλογοι περιφέρουσι, χρυσοῦς ἔχουσαι χαλινούς· ἡμίονοι ἄλογοι καλλωπίζονται), ὁ δὲ πένης ἐν λιμῷ τηκόμενος τῇ θύρᾳ σου προσεδρεύει, καὶ ὁ Χριστὸς λιμῷ τήκεται. ὢ τῆς ἐσχάτης ἀνοίας. ποία ἀπολογία; ποία συγγνώμη, ὅταν ὁ Χριστὸς ἕστηκε παρὰ τὴν θύραν σου ἐν σχήματι πτωχοῦ, σὺ δὲ μηδὲ ὅλως εἶ ἐπικαμπτόμενος; τίς σε ἐξαιρήσεται τῆς ἐκεῖθεν τιμωρίας; δέδωκα, φησιν, ἔλεον. ἀλλὰ μὴ δῷς μόνον ὅσον θέλει ἐκεῖνος, ἀλλ' ὅσον δύνασαι. τί τότε ἐρεῖς, εἰπέ μοι, ὅταν αἱ κολάσεις αἱ ἀφόρητοι, ὅταν αἱ τιμωρίαι ἐκεῖναι, καὶ αἱ ἀπειλαί, καὶ αἱ φοβεραὶ δυνάμεις, ὅταν ὁ ποταμὸς τοῦ πυρὸς καχλάζῃ, ὅταν τὸ βῆμα τὸ φοβερόν, ὅταν τὸ κριτήριον τὸ ἀδέκαστον, ὅταν ἡ φύσις ἡ ἄναρχος, ὅταν ἐρημία τῶν ἀνθρωπίνων πραγμάτων, ὅταν μήτε πατήρ, μήτε μήτηρ, μήτε γείτων, μήτε βασιλεύς, μήτε παρεδρίτης, μήτε ξένος δύναταί σε ὠφελῆσαι, ἀλλὰ ἕστηκε μόνος ὁ ἄνθρωπος μετὰ τῶν ἔργων αὐτοῦ, κατακρινόμενος ὑπὸ ἐκείνων, ἢ καὶ στεφανούμενος ὑπὸ αὐτῶν; τί τότε ἐρεῖς; τότε ἀναμνησθήσῃ μου τῶν λόγων. ἀλλὰ τί σοι τὸ ὄφελος; οὐδέν. ἐπεὶ καὶ ὁ πλούσιος ἐκεῖνος ἀνεμνήσθη καὶ ἐζήτει καιρὸν μετανοίας, ἀλλ' οὐδὲν ἦν αὐτῷ κέρδος. πλὴν ἔλεγε, Πέμψον Λάζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατι, καὶ καταψύξῃ μου τὴν γλῶτταν, ὅτι πάνυ ὀδυνῶμαι. ἀλλ' οὐκ ἔπεμψε Λάζαρον, οὐχ ὅτι ζημίαν ἔφερε μία ῥανὶς εἰς τὴν μεγάλην τοῦ παραδείσου πηγήν, ἀλλ' ὅτι ἡ τῆς ἐλεημοσύνης σταγὼν ἀμίκτως ἔχει πρὸς τὴν ἀπήνειαν. ἐπειδὴ γὰρ ἐν τῷ καιρῷ τοῦ σταδίου κατεφρονήθη, ἐν τῷ καιρῷ τοῦ στεφάνου οὐδεμιᾶς παραμυθίας αὐτὸν ἠξίωσε. ταῦτα λέγω, ἵνα μήτε ὁ πένης δακρύῃ διὰ τὴν πενίαν, μήτε ὁ πλούσιος χαίρῃ διὰ τὸν πλοῦτον. εὔπορος εἶ; ἀπώλετο ὁ πλοῦτος, ἐὰν μὴ εἰς μέσον φέρῃς τὸν προσήκοντα πλοῦτον. σπεῦσον, καὶ φύρασον τρία μέτρα σεμιδάλεως. εἶτα ἔδραμεν αὐτὸς εἰς τὰς βόας, καὶ ἔθυσε μόσχον. δρομεὺς ἐγένετο ὁ γέρων. οὐ γὰρ ἐχαυνοῦτο αὐτῷ τῆς σαρκὸς ὁ τόνος, ἀλλ' ἐπενευροῦτο τῆς φιλοσοφίας ἡ διάνοια, ἐνίκησε τὴν φύσιν ἡ προθυμία. ὁ δεσπότης τριακοσίων δέκα καὶ ὀκτὼ οἰκετῶν, μόσχον βαστάζων, οὐ κατεβαρύνετο τῷ ἄχθει, ἀλλ' ἐκουφίζετο τῇ διανοίᾳ, καὶ τῇ ἐπιθυμίᾳ. ὢ δρόμος τῷ γέροντι προσκείμενος, καὶ ὑπηρεσία πολλή, καὶ τῇ γυναικὶ πόνος καὶ κάματος. οὐ γὰρ μόνον φιλοτιμίᾳ χρημάτων, καὶ δαψιλείᾳ τραπέζης, ἀλλὰ καὶ διακονίᾳ καὶ ὑπηρεσίᾳ πολλῇ τοὺς ξένους ἐδεξιώσαντο, οὐ δι' οἰκετῶν, ἀλλὰ διὰ τῶν χειρῶν καὶ τῶν μελῶν τῶν ἑαυτῶν ὑπηρετοῦντες. εἶτα παρειστήκει ἡ γυνὴ θεραπαίνης λαβοῦσα σχῆμα, καὶ οἱ ξένοι ἀνέκειντο, οἱ ἀγνῶτες. οὐ γὰρ παύσομαι τοῦτο λέγων. ἐνόμιζον γὰρ αὐτοὺς πένητας εἶναί τινας. ἀλλ' οὐ προσεῖχον τούτῳ, ἀλλ' ὅτι ξένους ὑπεδέχοντο. καὶ παρειστήκεισαν ἀμφότεροι ἐν τῷ καιρῷ ἐκείνῳ, τὸν βότρυν τῆς φιλοξενίας τρυγῶντες τῇ γνώμῃ, τῇ φιλοσοφίᾳ, τῇ διακονίᾳ, τῇ ὑποδοχῇ, τῷ πόνῳ, τῇ ὑπηρεσίᾳ, τῇ ἀγάπῃ, τῇ οἰκονομίᾳ, τῇ ἀκριβείᾳ, τῷ μηδὲν παραλιπεῖν. καὶ εἱστήκει παρὰ τὸ δένδρον ἡ γυνή, ἀντὶ θαλάμου τῷ δένδρῳ χρησαμένη, καὶ τὴν σκιὰν τῶν φύλλων ἔχουσα στέγην, καὶ οὐκ ᾐσχύνετο δημοσιεύεσθαι. εἱστήκει γὰρ τὴν οἰκείαν κοσμιότητα ἐπιδεικνυμένη, καὶ τῆς διακονίας τὸν καρπὸν τρυγῶσα. τί οὖν ὁ παραγινόμενος; Κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι, καὶ ἔσται τῇ Σάρρᾳ υἱός. οἵους καρποὺς ἐβλάστησεν ἡ τράπεζα; πῶς καλόν; πῶς ταχύν; πῶς ὥριμον; πῶς ὡς βότρυς περκάζων καὶ ἀπηρτισμένος; καὶ γὰρ τὸ ῥῆμα ἐκεῖνο εἰσῆλθεν εἰς τὴν μήτραν, καὶ ἐδημιούργησε τὸ παιδίον. τοιοῦτοι τῆς φιλοξενίας οἱ καρποί. πρόσεχε ὃ μέλλω λέγειν. μετὰ ταῦτα δέ, τὸ παιδίον ἐπειδὴ ηὐξήθη, τὸ ἀπὸ τῆς τραπέζης τεχθέν, ἐπειδὴ ἀνὴρ ἐγένετο ὁ τῆς φιλοξενίας

Λουκ. ιϛ. κδ.

Γεν. ιη. ι.

γρ. χρυσο λίνους,

γρ. κοχλάζ

γρ. ἵστατ

ἴσ. ἐπεν το, ἢ, ἐπε νεῦρωτ

γρ. τῇ διαν αὐτῆς μίᾳ:

γρ. ὁ

γρ. παρ

γρ. ἐνόμι το

γρ. καταπ πεῖν.

γρ. παρ σα.

γρ. ὁ

γρ. παρ χθὲν

καρπός (οὐ γὰρ οὕτως αὐτὸν ἡ μήτρα ἐγλύκανεν ἐκείνη, ὡς ἐγλύκανεν ἡ τράπεζα, περὶ δὲ πάντων τὸ ῥῆμα τοῦ Θεοῦ) ἐπειδὴ ηὐξήθη καὶ ἀνὴρ ἐγένετο, καὶ ὥρα γάμου λοιπὸν ἦν (πρόσεχε μετ᾽ ἀκριβείας ὃ λέγω) ἔμελλε λοιπὸν τελευτᾶν ὁ γέρων, ὁ μακάριος Ἀβραὰμ ἐκεῖνος, ὁ πατριάρχης, παρῴκει δὲ γυναιξὶ διεφθαρμέναις καὶ ἔθνει πονηροτάτῳ, καλέσας τὸν οἰκέτην τὸν ἑαυτοῦ, φησίν· Ὧδε πονηραί εἰσιν αἱ γυναῖκες τῶν Χαναναίων. τί οὖν θέλεις; ἄπελθε εἰς τὴν γῆν, ὅθεν ἐξῆλθον ἐγώ, καὶ ἄγαγε γυναῖκα ἐκεῖθεν τῷ υἱῷ μου. καινὰ πράγματα· ἴστε ὑμεῖς, καὶ σφόδρα ἐπίστασθε. ὅταν μὲν γὰρ γυναῖκα βούληταί τις ἀγαγεῖν τῷ υἱῷ, καὶ ὁ πατὴρ διαλέγεται καὶ ἡ μήτηρ, καὶ εἰς ἀλλοτρίας οἰκίας παραγίνονται, καὶ τούτοις κολακεύουσι, καὶ ἐκείνους θεραπεύουσι, καὶ προμνήστριαι πολλαί, καὶ νυμφαγωγοὶ γίνονται πολλοί, καὶ χρημάτων ὑποσχέσεις, καὶ πᾶσα σπουδὴ τῷ πατρὶ καὶ τῇ μητρὶ δι᾽ ἑαυτῶν διαλεχθῆναι, καὶ οὐκ αἰσχύνονται, οὐδὲ ἐρυθριῶσιν, οὐδὲ ἐπιτάττουσιν οἰκέταις· ὅταν δὲ ἔλθῃ ξένος, ἄπελθε σύ, κατένεγκε αὐτὸν κάτω, δέξαι αὐτόν. ὁ Ἀβραὰμ ἀντιστρόφως· ὅταν μὲν ἔδει ποιῆσαι πρᾶγμα ὑψηλὸν καὶ φιλόσοφον, δι᾽ ἑαυτοῦ ποιεῖ· τὴν φιλοξενίαν οὐκ ἐπέτρεψεν οἰκέτῃ, ἀλλὰ τῇ γυναικὶ καὶ ἑαυτῷ· ὅτε δὲ γυνὴ καὶ γάμος ″ὑφαίνετο, ἄπελθε, λέγει τῷ οἰκέτῃ. ὧδε τὸ ἐναντίον ποιοῦσιν αἱ γυναῖκες. ἐὰν μὲν θέλωσι χρυσοχόῳ διαλεχθῆναι, οὐκ αἰσχύνονται, ἀλλ᾽ ἐξέρχονται αὐταὶ δι᾽ ἑαυτῶν, καὶ παρακαθέζονται, ἵνα μὴ ὁ χρυσὸς κλαπῇ, καὶ ἡ ἐπιθυμία τῶν χρημάτων ἀφίησιν αὐτὰς καταφρονῆσαι τῆς εὐσχημοσύνης καὶ τῆς σεμνότητος. ἀλλ᾽ ὁ Ἀβραὰμ οὐχ οὕτως, ″ἀλλ᾽ ὅτε ξένους ἤθελεν ὑποδέξασθαι, δι᾽ ἑαυτοῦ καὶ τῆς γυναικὸς αὐτοῦ· ὅτε δὲ τὸν γάμον, διὰ τοῦ οἰκέτου. τί οὖν μέμνησαι τοῦ Ἀβραάμ; ὅτι πλούσιος ἦν. ταῦτα καὶ σὺ ἐννόει τοῦ Ἀβραάμ, καὶ οὐδέποτε καταφρονήσεις τινός. ἀλλὰ πόθεν ἐξέβην ταῦτα εἰπεῖν, τὸν προφήτην λαβὼν καὶ τὴν βακτηρίαν ἐκείνην, μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος; ἐκεῖνος γὰρ ὁ στίχος ἅπαντα ταῦτα ἔτεκε. καὶ ἰδοὺ θησαυρὸν εὑρήκαμεν χρυσοῦ γέμοντα. μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος*. λάβε τὴν βακτηρίαν ταύτην τὴν δυναμένην ὑποσυρμάσαντα τὰ σώματα ″ἀνορθῶσαι. οὐδὲ γὰρ οὕτω βακτηρία ″ὑπόσυρμα ὄντα τὰ σώματα τῶν παλαιῶν καὶ γεγηρακότων ἀνορθοῦν πέφυκεν, ὡς ὁ στίχος οὗτος τῶν νέων καὶ γεγηρακότων ἐν τῇ ἐπιθυμίᾳ καὶ ὑπὸ τῆς ἁμαρτίας ″πολιορκουμένων ″ὑπόσυρμον οὖσαν τὴν διάνοιαν ἐγείρει. μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος. τί δέδοικας ἄνθρωπον, οὐκ ὄντα ἄνθρωπον, ἀλλὰ λύκον; τί δέδοικας ἄνθρωπον ἀσεβημάτων γέμοντα, καὶ χρυσῷ πολιορκούμενον; τί δέδοικας ἄνθρωπον ὑπὸ τῆς ἀδικίας ταῖς ἑαυτοῦ παραδεδωκότα, καὶ τὸν πολέμιον ἔνδοθεν ″πολλάκις ἔχοντα; ἀλλ᾽ ἀπεφήνατό μοι ὁ προφήτης λέγων, μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος. εἰπέ μοι λοιπὸν καὶ τὸν τρόπον, δι᾽ ὃν οὐκ ὀφείλω φοβεῖσθαι τὸν πλούσιον. ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ. ὢ εὐγλυμία λέξεως. πῶς ἐν διηγήσει καὶ διδασκαλίᾳ φιλοσοφίαν εἰσήγαγε; μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ. οὐκ εἶπε, καὶ ὅταν πληθυνθῇ ἡ δόξα αὐτοῦ, ἀλλ᾽, ἡ δόξα τοῦ οἴκου αὐτοῦ. ὅταν γὰρ εἰσέλθῃς εἰς οἰκίαν τινὸς πλουσίου, καὶ ἴδῃς ἐν τῷ οἴκῳ αὐτοῦ κίονας ὑπεραίροντας τῷ μεγέθει, καὶ χρυσᾶς κεφαλίδας, καὶ μάρμαρα τῷ τοίχῳ προσαπεπηγότα, καὶ κρήνας ῥεούσας καὶ πηγὰς καὶ περιπάτους, καὶ δένδρα τῷ ἀνέμῳ καμπτόμενα, καὶ ″πάντα ψηφίδων γέμοντα, καὶ εὐνούχων χρυσοφορηκότων ἀγέλην, καὶ οἰκετῶν πλῆθος, καὶ τάπητας ἐπὶ τοῦ ἐδάφους κειμένους, καὶ τράπεζαν ἐκλάμπουσαν τῷ χρυσῷ, καὶ κοιτῶνας κεκοσμημένους· ταῦτα πάντα δόξα οἴκου ἐστίν, οὐ δόξα ἀνθρώπου. δόξα ″γὰρ ἀνθρώπου*, εὐλάβεια, ἐπιείκεια, ἐλεημοσύνη, πραότης, ταπεινοφροσύνη, εἰρήνη, δικαιοσύνη, ἀγάπη ἀνυπόκριτος πρὸς πάντας. ταῦτα πάντα δόξα ἀνθρώπου. τί φοβῇ τὸν πλούσιον; οὐκοῦν τὴν οἰκίαν αὐτοῦ μᾶλλον φοβοῦ. ἐκείνη γάρ ἐστιν ἡ πλουτοῦσα, οὐχ ὁ οἰκῶν. ἀλλ᾽ οὐ φοβοῦμαι ταύτην, φησί. διὰ τί; ὅτι ὁ

Γεν. κδ. δ.

χρυσὸς ἄψυχός ἐστιν ὕλη. ἀλλὰ τὸν ἄνθρωπον φοβῇ; ναί. διὰ τί; μὴ γὰρ αὐτοῦ ἐστιν ὁ πλοῦτος; τῆς οἰκίας ἡ περιφάνεια. * μάρμαρα ἔχει ὁ τοῖχος. τί οὖν πρὸς τὸν οἰκοῦντα; χρυσοῦς ὁ ὄροφος. τί οὖν πρὸς τὸν κεκτημένον; αἱ κεφαλαὶ τῶν κιόνων χρυσαῖ. τί οὖν πρὸς τὴν κεφαλὴν ἐκείνου τὴν * ἁμαρτίαις βεβαρημένην; ἀλλὰ καθαρὸν τὸ ἔδαφος; ἀλλ' ἀκάθαρτον τὸ συνειδός. ἀλλὰ σηρικὰ τὰ ἱμάτια; ἀλλὰ ῥακίων γέμουσα ἡ ψυχή. ἡ οἰκία πλουσία, ἀλλ' ὁ κεκτημένος τὴν οἰκίαν, πένης. ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ. καὶ ἵνα μάθητε, ὅτι τοῦ οἴκου ἐστὶν ἡ δόξα, καὶ οὐχὶ τοῦ ἀνθρώπου, ἀπὸ τῶν ῥημάτων ὑμῶν ἐλέγχω ὑμᾶς. εἰσερχόμενος πολλάκις εἰς οἰκίαν τινὸς ὡραίαν οὖσαν, ἐξερχόμενος τί λέγεις; ὡραῖα εἶδον μάρμαρα. μὴ λέγεις, ὡραῖον εἶδον ἄνθρωπον; θαυμαστοὶ οἱ κίονες, θυρίδες καλαί. μὴ λέγεις, θαυμαστὸς ὁ οἰκῶν; πολὺς ὁ χρυσὸς ἐν τῷ ὀρόφῳ. μὴ λέγεις, πολλὴ ἡ ἐλεημοσύνη; πολλαὶ αἱ κρῆναι καὶ δαψίλεια πολλή. μὴ λέγεις, πολλὴ ἡ δαψίλεια ἐκείνου τοῦ κεκτημένου; πανταχοῦ περὶ τοὺς τοίχους, πανταχοῦ περὶ τὰ μάρμαρα, πανταχοῦ περὶ τὰς κρήνας, πανταχοῦ περὶ τὰς πηγὰς διαλέγῃ. πάλιν ὁρᾷς ἵππον ἔχοντα χρυσοῦν χαλινόν, καὶ λέγεις, καλὸς ὁ χαλινός. οὐκοῦν τοῦ χρυσοχόου τὸ ἐγκώμιον. θαυμαστὸν τὸ ἱμάτιον· οὐκοῦν τοῦ ὑφάντου ὁ ἔπαινος. καλοὶ οἱ οἰκέται· οὐκοῦν τοῦ πεπωληκότος ὁ ἔπαινος. καὶ μένει μὲν ἐκεῖνος ἀστεφάνωτος, τὰ δὲ περὶ αὐτὸν ἐγκωμίων ἀπολαύουσιν. ἀλλ' ὅταν ἴδῃς ἄνθρωπον καλόν, λέγεις, καλὸς ἄνθρωπος, ὡραῖος, ἐπιεικής, θαυμαστός, ἐλεήμων, φιλόφρων, συντετριμμένος, ἀεὶ ἐν εὐχαῖς προσέχων, ἀεὶ ἐν νηστείαις παραμένων, ἀεὶ ἐν τῇ ἐκκλησίᾳ σχολάζων, ἀεὶ ἀχώριστός ἐστι τῆς θείας διδασκαλίας. ταῦτα, ἐγκώμια περὶ ἐκεῖνον*. μάθε οὖν τί πλοῦτος ἀνθρώπου, καὶ τί πλοῦτος οἰκίας, καὶ μὴ φοβοῦ. ἐὰν γὰρ μάθῃς διαιρεῖν τὸν πλοῦτον καλῶς, οὐκέτι φοβηθήσῃ. ὁρᾷς δὲ τὸν νομιζόμενον πλούσιον παρὰ σοὶ πένητα ὄντα καὶ πτωχόν; μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος. καὶ ἵνα μάθῃς, ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, εἰ καὶ ἐνταῦθά σε ἀπατᾷ, ἐν καιρῷ τῆς τελευτῆς αὐτοῦ βλέπε αὐτόν. μὴ λαμβάνει τι ἐκεῖ ἐκ τούτων ἁπάντων, καὶ ἀπέρχεται; εἶτα ἀπέθανε, καὶ κεῖται γυμνὸς ὁ τὰ σηρικὰ περιβεβλημένος ἱμάτια. κεῖται γυμνὸς ἐπὶ τοῦ βάθρου, καὶ οἱ οἰκέται ἀπέρχονται καὶ ἔρχονται, καὶ οὐδεὶς αὐτοῦ φροντίζει. οὐ γὰρ ἦσαν αὐτοῦ οἱ οἰκέται. ἀπεδήμησε, καὶ οὐδὲν αὐτοῦ λοιπὸν κεῖται. ἡ γυνὴ κατακόπτεται, τὰς τρίχας λύει, παρακαλοῦσι πάντες, οὐχ ὑπακούει· τὰ παιδία ἐν ὀρφανίᾳ, ἡ γυνὴ ἐν χηρείᾳ, πάντες ταπεινοί, οἰνοχόοι, κρατῆρες, παράσιτοι, κόλακες, εὐνοῦχοι· λαβεῖν τι ἐξ ἐκείνων τῶν σκευῶν, καὶ ἀπελθεῖν οὐ δύναται. ἀλλὰ τί; ἀποφέρεται μόνος· εὐφημίαις βάλλουσι. καὶ τί πρὸς αὐτὸν πάλιν; ἀλλ' ἡ κενοδοξία αὐτὸν εὐφραίνει. διὰ τί; μὴ γὰρ δύναταί τι λαβεῖν ἀπ' αὐτῆς; οὐ δύναται οὐδὲν ἐξ αὐτῶν παρασχεῖν αὐτῷ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. ἀπέρχεται εἰς τὸν τάφον ὁ πάντα ἁρπάζων, εἰς τρεῖς πήχεις θάπτεται, καὶ πλέον οὐδὲν ἢ γῆ ἐπάνω τῆς ὄψεως, καὶ τὸ κάλυμμα τῆς θήκης, καὶ ἀναχωρεῖ ἡ γυνή. ποῦ ὁ πλοῦτος; ποῦ οἱ δοῦλοι; ποῦ ἡ φαντασία; ποῦ ἡ οἰκία ἡ μεγάλη καὶ περικαλλής; καταλιμπάνουσιν αὐτόν. ἀφίησιν αὐτὸν καὶ ἡ γυνή, κἂν μὴ βούληται. ἡ δυσωδία γὰρ αὐτὴν ἐλαύνει, αἱ πηγαὶ τῶν σκωλήκων αὐτὴν διώκουσι. τοῦτο ὅλον; ναί. οὐδὲν γὰρ ἔχων ἀπῆλθε τῶν αὐτοῦ. καὶ ἵνα μάθῃς, ὅτι οὐδὲν ἔχων τῶν αὐτοῦ ἀπῆλθεν, οἱ μακάριοι μάρτυρες ἐπεὶ τὰ ἑαυτῶν λαμβάνουσιν, οὐκ ἀναχωροῦσι τοῦ τάφου αὐτῶν. καὶ ὧδε μὲν οὐδὲ γυνὴ ἀνέχεται παραμεῖναι· ἐκεῖ δὲ ὁ βασιλεὺς ῥίπτει τὸ διάδημα, καὶ παραμένει τῷ τάφῳ τοῦ μάρτυρος, δυσωπῶν καὶ δεόμενος δοθῆναι αὐτῷ λύσιν τῶν δεινῶν, καὶ νίκην κατ' ἐχθρῶν. μὴ οὖν φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος. τοῦτον λαβόντες τὸν στίχον, ἐξαρξώμεθα τῷ Κυρίῳ, ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦντες αὐτῷ τῷ πατρί, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Αμήν.

* λέγει
χ. περιφ
* ὢν
χ. εἰσερχόμ
οις οἰκίαν
ἔς; εἰς τὴν
δὲ τὴν οἰκία,
χ. πόθ
χ. πεπωλ
τῶ
χ. αἰετ
ἐστι,
χ. ἀνθρώπ
* τοῦτο
φανοι,
χ. πλουτ
χ. ἔχει
τα,
χ. βαθ
χ. ἠρέμ
ἴσ. μόνον,
χ.
χ.
καὶ
παρ
εὐλο

Λογ. κ. ΛΕΧΘΕΙΣ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΕΝ τῇ ἐκκλησίᾳ τῇ μεγάλῃ, ὀλίγων συνελθόντων, Εἰς τὸ, Μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος· καὶ περὶ ἐλεημοσύνης.

Ψαλμ. μη. ιϛ.

Βραχὺς ὁ καρπὸς τοῦ καλῶς εἰρηκότος, ἀλλ' εὔσημος· λεπτὴ ἡ νευρά, ἀλλὰ μεγάλη ἡ ἠχή· ὀλίγα τὰ ῥήματα, ἀλλὰ πολυτελῆ τὰ νοήματα. καὶ γὰρ δῆμον ὁλόκληρον τοῖς ἐπαίνοις ἀνεπτέρωσε, καὶ σπουδαιοτέρους τοῖς ἐγκωμίοις εἰργάσατο, καὶ τὸν αἴτιον τῆς γεωργίας ἐδήλωσεν, ὕμνους τε συνθεὶς αὐτῷ καὶ εὐχαριστήσας, κατὰ τὸν ἀποστολικὸν νόμον, εἰς δοξολογίαν τὸν λόγον κατέλυσεν. εἰ δὲ ταχέως τὴν τράπεζαν συνέστειλεν, οὐ διὰ πτωχείαν, ἀλλὰ διὰ ταπεινοφροσύνην. οὐ γὰρ ἀπορῶν πλείονα εἰπεῖν, εἰς σιγὴν τὸν λόγον κατέκλεισεν, ἀλλ' ἡμῖν τῆς διδασκαλίας παραχωρῶν. φέρε οὖν καὶ ἡμεῖς τῆς ζάλης τῶν ἤδη γεγενημένων θορύβων ἀπαλλαγέντες, ὥσπερ τισὶ ποταμίοις ὕδασι, τῇ τῶν γραφῶν ἀναγνώσει τὴν ἀκοὴν ἀποπλυνώμεθα. οὕτω καὶ ναῦται ποιοῦσιν, ἐπειδὰν χειμῶνα διαδραμόντες, καὶ πολὺ διαβάντες πέλαγος, εἰς λιμένα καταντήσωσι γαληνόν, ἱστία χαλάσαντες, καὶ κώπην ἀποθέμενοι, καὶ τῆς νεὼς ἀποβάντες, βαλανείοις, καὶ σιτίοις, καὶ ποτοῖς, καὶ ὕπνῳ καὶ ἀνέσει τὸ σῶμα ἀνακτησάμενοι, ἀκμαιότερον αὐτὸ πρὸς τὴν λοιπὴν ναυτιλίαν παρασκευάζουσι. τούτους δὴ καὶ ἡμεῖς μιμησώμεθα καὶ τῆς πρῴην γενομένης ταραχῆς ἀπαλλαγέντες, καὶ τοῦ θορύβου, καὶ τῶν κυμάτων, ὥσπερ εἴς τινα λιμένα εὔδιον, τῶν γραφῶν τὴν ἀνάγνωσιν τὴν ψυχὴν τὴν ἡμετέραν ὁρμίσωμεν. καὶ γὰρ λιμήν ἐστιν ἀκύμαντος, καὶ τεῖχος ἀρραγές, καὶ πύργος ἄσειστος, καὶ δόξα ἀναφαίρετος, καὶ ὅπλα ἄτρωτα, καὶ εὐθυμία ἀμάραντος, καὶ ἡδονὴ διηνεκής, καὶ πάντα ὅσα ἂν εἴποι τις καλά, τῶν θείων γραφῶν ἡ συνουσία. αὕτη καὶ ἀθυμίαν ἀποκρούεται, καὶ εὐθυμίαν διατηρεῖ, καὶ τὸν πένητα τῶν εὐπόρων πλουσιώτερον κατασκευάζει, καὶ τοῖς πλουτοῦσιν ἀσφάλειαν περιτίθησι, καὶ τὸν ἁμαρτωλὸν δίκαιον ποιεῖ, καὶ τὸν δίκαιον ἐν ἀσφαλεῖ καθίστησι φυλακῇ, καὶ τὰ ὄντα κακὰ ἀνασπᾷ, καὶ τὰ οὐκ ὄντα ἀγαθὰ καταφυτεύει, ἀπελαύνει πονηρίαν, πρὸς ἀρετὴν ἐπανάγει, οὐκ ἐπανάγει δὲ μόνον, ἀλλὰ καὶ ῥιζοῖ καὶ διηνεκῆ μένειν ποιεῖ, φάρμακον οὖσα πνευματικόν, ἐπῳδή τις θεία καὶ ἀπόρρητος, παθῶν ἀναιρετική. καὶ γὰρ τὰς ἀκάνθας ἀνασπᾷ τῶν ἁμαρτημάτων, καὶ καθαρὰν τὴν ἄρουραν ἐργάζεται, καὶ τὰ σπέρματα καταβάλλει τῆς εὐσεβείας, καὶ πρὸς ἀκμὴν τὸν καρπὸν ἄγει. μὴ δὴ τοσούτων παραμελῶμεν ἀγαθῶν, μηδὲ ἀπολιμπανώμεθα συνάξεων, ἀλλὰ συνεχῶς ἐνταῦθα τρέχωμεν, ἵνα διηνεκῶς θεραπευώμεθα, καὶ μηδεὶς μήτε φθόνῳ βάλληται πλουτοῦντα ὁρῶν, μήτε πενίᾳ πιέζηται· ἀλλὰ καταμαθὼν τὴν ἀληθῆ τῶν πραγμάτων φύσιν, παρατρεχέτω μὲν τῆς σκιᾶς, ἀντεχέσθω δὲ τῆς ἀληθείας. καὶ γὰρ σκιά, εἰ καὶ μείζων τοῦ σώματος εἶναι δοκεῖ, ἀλλ' ὅμως σκιὰ τυγχάνει· ἄλλως δὲ οὐδὲ ἔστι μείζων, ἀλλὰ τότε δοκεῖ, ὅταν μακροτέρω τῆς ἀκτῖνος γενώμεθα. οὕτω γοῦν, ἡνίκα περὶ σταθερὰν μεσημβρίαν τῆς ἀκτῖνος ὑπὲρ κεφαλὴν ἱσταμένης συνελαύνεται πάντοθεν, καὶ συστέλλεται καὶ βραχυτέρα γίνεται. ὃ δὴ καὶ ἐπὶ τῶν ἀνθρωπίνων ἐστὶν ἰδεῖν. ἕως μὲν γάρ τις μακροτέρω τῆς ἀρετῆς καθίστησιν ἑαυτόν, μεγάλα φαίνεται τὰ τοῦ παρόντος βίου πράγματα· ὅταν δὲ ἐν αὐτῷ τῷ φανοτάτῳ φωτὶ τῶν θείων ἑαυτὸν καταστήσῃ γραφῶν, τότε καὶ τὸ εὐτελὲς καὶ τὸ βραχὺ καὶ τὸ οὐδαμινὸν τῶν ἐπικήρων τούτων ὁρᾷ πραγμάτων, καὶ μανθάνει σαφῶς, ὅτι ποταμίων ὑδάτων οὐδὲν ἄμεινον ταῦτα διάκειται, ὁμοῦ τε φαινόμενα καὶ παρατρέχοντα. διά τοι τοῦτο ὁ προφήτης φιλοσοφῶν, τοὺς μικροψύχους, καὶ ταλαιπώρους, καὶ χαμαὶ συρομένους, καὶ κεχηνότας πρὸς τὴν τοῦ πλούτου φαντασίαν, καὶ δεδοικότας, καὶ τρέμοντας τοὺς ἐν τούτοις κομένῃ τὰ διορθούμενος, καὶ τῆς τοιαύτης ἀπάγων ἀγωνίας ἡμᾶς, καὶ πείθων ὡς οὐδὲν ὄντων καταφρονεῖν, ἔλεγε· μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ. ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα. εἶδες ἀκρίβειαν λέξεων καὶ διαίρεσιν σαφεστάτην; οὐδὲ γὰρ εἶπεν, ὅταν πληθυνθῇ ἡ δόξα αὐτοῦ, ἀλλ', ἡ δόξα τοῦ οἴκου αὐτοῦ, δεικνὺς ὅτι ἕτερον δόξα ἀνθρώπου, καὶ ἕτερον δόξα οἴκου. τί τοίνυν δόξα ἀνθρώπου, καὶ τί δόξα οἴκου; δεῖ γὰρ ταῦτα εἰδέναι σαφῶς, ὥστε μὴ τὰ ὀνείρατα παρὰ τῆς ἀληθείας ἀσπάζεσθαι. οἴκου μὲν οὖν δόξα στοαί, περίπατοι, χρυσοῦς ὄροφος, ἔδαφος ψηφῖσι καλλωπισθέν, λειμῶνες, παράδεισοι, ἀνδραπόδων ἀγέλαι, τὰ ἔπιπλα τὰ πολυτελῆ, ὧν οὐδὲν πρὸς τὸν ἄνθρωπον. ἀνθρώπου δόξα, πίστις ὀρθή, ζῆλος ὁ κατὰ Θεόν, ἀγάπη, πραότης, ἐπιείκεια, ἡ ἐν εὐχαῖς ἐκτένεια, ἡ τῆς ἐλεημοσύνης φιλοσοφία, σωφροσύνη, κοσμιότης, τὰ λοιπὰ ἅπαντα τῆς ἀρετῆς μέλη. καὶ ἵνα μάθῃς ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ὁ μὲν ἐκεῖνα κεκτημένος οὐ καρποῦται τὴν ἐξ αὐτῶν δόξαν, οὐδ' ἂν κληθείη τις καλός, ἐπειδὴ οἰκίαν ἔχει καλήν, ἢ παράδεισον, ἢ λειμῶνα, ἢ πλῆθος ἀνδραπόδων, ἢ ἱματίων πολυτέλειαν. τὸ γὰρ θαυμαστὸν ἅπαν περὶ τὸ κτῆμα ἵσταται, οὐ διαβαῖνον πρὸς τὸν ἔχοντα. τὴν γὰρ οἰκίαν θαυμάζομεν, καὶ τὸν παράδεισον, καὶ τὸν λειμῶνα, καὶ τῶν ἱματίων τὸ κάλλος, ἃ τῶν ἐργασαμένων τῆς τέχνης ἐστὶν ἐγκώμιον, οὐ τῆς τῶν κεκτημένων ἀρετῆς, ἀλλὰ καὶ τοὐναντίον ἅπαν τῆς κακίας ἀπόδειξις. τοσοῦτον γοῦν ἀπέχει τούτων ἡ φύσις τῶν κτημάτων τοὺς ἔχοντας δόξῃ περιβαλεῖν, ὅτι καὶ λυμαίνεται αὐτὴν μετὰ ὑπερβολῆς. καὶ γὰρ ὡς ὠμούς, καὶ ἀπανθρώπους, καὶ βαναύσους, καὶ φιλοσοφίας ἀλλοτρίους, οὕτως ἅπαντες κωμῳδοῦσι τοὺς ἐν τούτοις τὴν περιουσίαν ἐπιδεικνυμένους. οὐ γάρ ἐστιν ἀνθρώπου δόξα ταῦτα, καθὼς εἶπον, ἀλλὰ τοῦ οἴκου. τοὺς μέντοι ἐν σωφροσύνῃ ζῶντας, κοσμιότητι, πραότητι, ἐπιεικείᾳ, τῷ Θεῷ μετ' ἀκριβείας ἀνακειμένους, αὐτοὺς θαυμάζομεν, ἐπαινοῦμεν, ἀνακηρύττομεν· ἐπειδήπερ αὕτη ἀνθρώπου μάλιστά ἐστιν ἡ δόξα. ταῦτα γοῦν εἰδότες, μηδένα ζηλωτὸν εἶναι νομίζετε τῶν ἐκεῖνα περιβεβλημένων, ἃ μηδὲν πρὸς αὐτὸν ἔχει κοινόν. κἂν ἴδῃς ἐπὶ ὀχήματός τινα καθήμενον, τὰς ὀφρῦς ἀνασπῶντα, ἀνατεινόμενον, αὐτῶν ἁπτόμενον τῶν νεφελῶν, οὐ τῇ φύσει τοῦ πράγματος (οὐ γὰρ δυνατόν) ἀλλὰ τῇ ἀπονοίᾳ τῆς ψυχῆς, μᾶλλον δὲ τῇ ἀνοίᾳ, μὴ νόμιζε τοῦτον ἔνδοξον, μηδὲ ὑψηλὸν καὶ μέγαν. ὑψηλὸν γὰρ οὐχ ἡμίονοι ποιοῦσιν ἕλκουσαι, ἀλλ' ἀρετῆς κορυφὴ πρὸς τὰς ἁψῖδας ἀνάγουσα τῶν οὐρανῶν. κἂν ἄλλον θεάσῃ ἐφ' ἵππου καθήμενον, πολλοὺς ἔχοντα τοὺς ῥαβδούχους, καὶ σοβοῦντα ἐπὶ τῆς ἀγορᾶς, μηδὲ τοῦτον μακαρίζῃς διὰ ταῦτα· ἀλλ' ἀνάπτυξον αὐτοῦ τὴν ψυχήν, καὶ τότε περὶ αὐτοῦ ψηφίζου ταῦτα, ἅπερ ἡ ἐκείνης ὄψις ὑποβάλλει. ὡς τά γε νῦν ὁρώμενα καταγέλαστα. τί γὰρ σοβεῖς ἐπὶ τῆς ἀγορᾶς, εἰπέ μοι; τί δὲ ἐλαύνεις τοὺς ἀπαντῶντας, καὶ φυγαδεύεις, ἄνθρωπος ὤν, ἀνθρώπους; τίς ὁ τῦφος; τίς ἡ ἀπόνοια; μὴ γὰρ λύκος γέγονας, ἢ λέων, ὡς εἰσιὼν εἰς πόλιν ἅπαντας εἰς φυγὴν τρέπειν; μᾶλλον δὲ λύκος μὲν λύκον οὐκ ἄν ποτε ἐλάσῃ, οὐδὲ λέων λέοντα· ἀλλὰ συναγελάζονται, τὴν κοινωνίαν τῆς φύσεως αἰδούμενοι· σὺ δέ, ὁ μετὰ τῆς φύσεως καὶ ἕτερα πολλὰ δικαιώματα ἔχων ἡμερότητος, ταπεινοφροσύνης, ἰσονομίας, τί γίνῃ τῶν θηρίων θηριωδέστερος, καὶ διὰ τὸ ἄλογον τῶν λογικῶν καταφρονεῖς; καὶ ὁ μὲν δεσπότης σου εἰς οὐρανὸν ἀνήγαγε τὸν ἄνθρωπον, σὺ δὲ οὐδὲ ἀγορᾶς αὐτῷ μεταδίδως; τί δὲ λέγω εἰς οὐρανόν; εἰς θρόνον ἐκάθισε βασιλικόν, σὺ δὲ καὶ τῆς πόλεως ἐξελαύνεις; τί δέ σοι καὶ ὁ χαλινὸς εἶναι βούλεται ὁ χρυσοῦς ὁ τὸν ἵππον κατακοσμῶν; ποίας δὲ ἀπολογίας τεύξῃ, ἢ τίνος συγγνώμης, ὃ μὲν ἄλογον καὶ οὐδὲ τῆς φιλοτιμίας αἰσθανόμενον ὑπὲρ τὴν χρείαν καλλωπίζων (ταὐτὸν γὰρ ἐκείνῳ καὶ χρυσὸς, καὶ μόλιβδος) τὸν δὲ Χριστὸν λιμῷ τηκόμενον ὁρῶν, καὶ οὐδὲ τῆς ἀναγκαίας ποιῶν ἀπολαύειν τροφῆς; τί δὲ οὐκ ἀνέχῃ, ἄνθρωπος ὤν, ἀνθρώποις ἀναμίγνυσθαι, ἀλλ' ἐρημίαν ἐπι-

ζητεῖς

γρ. λέξεις

ζητεῖς ἐν μέσαις ταῖς πόλεσι, καὶ οὐκ ἐννοεῖς ὅτι καὶ ὁ δεσπότης σου μετὰ τελωνῶν ἤσθιε, καὶ μετὰ πόρνης διελέγετο, καὶ μετὰ λῃστῶν ἐσταυροῦτο, καὶ τοῖς ἀνθρώποις συνανεμίγνυτο· ἀλλὰ τῷ τύφῳ καὶ τῇ ἀπονοίᾳ τυραννούμενος, ἀπολλύεις καὶ τὸ ἄνθρωπος εἶναι; ἐντεῦθεν ἡμῖν ἡ πολλὴ τῆς ἐλεημοσύνης ὑπεροψία, ἐντεῦθεν ὁ τῆς πλεονεξίας ἔρως, ἐντεῦθεν ἡ ὠμότης καὶ ἀπανθρωπία. ὅταν γὰρ καὶ χαλινὸν χρυσοῦν τῷ ἵππῳ περιθῇς, καὶ μανιάκην χρυσοῦν τῷ οἰκέτῃ, καὶ πέταλα χρυσᾶ τῷ λίθῳ, καὶ δέρματα χρυσᾶ παρὰ σοὶ, καὶ ἱμάτια χρυσᾶ, καὶ ζώνη χρυσῆ, καὶ ὑποδήματα, καὶ τοσαύτας τῆς πονηρίας ταύτης σαυτῷ περιθῇς ἀνάγκας, βουλόμενος τὴν ἀκόρεστον ἐπιθυμίαν πληρῶσαι, καὶ τροφὴν τῷ πάντων ὠμοτάτῳ θηρίῳ παρέχῃ, τῇ φιλαργυρίᾳ λέγω, τότε καὶ ὀρφανοὺς ἀποδύεις, καὶ χήρας γυμνοῖς, καὶ κοινὸς περιέρχῃ πολέμιος ἅπασι, μάταιόν τινα ἀδιάλειπτον πόνον, καὶ δρόμον οὐδὲν ἔχοντα πέρας χρηστόν. τί γάρ σοι βούλεται τὸ τὸν οἰκέτην σου τὸν βάρβαρον χρυσοφορεῖν; τί τὸ κέρδος; τίς ἡ ὠφέλεια τῆς ψυχῆς; τίς ὄνησις σώματος; ποία πρόσοδος οἰκίας; τοὐναντίον μὲν ἅπαν, ἄχρηστος δαπάνη, ἀνάλωμα ἀλογίας γέμον, ἀσελγείας ὑπόθεσις, διδασκαλεῖον κακίας, βαναύσου βίου καὶ διαρρέοντος ἀφορμή, φθορὰ ψυχῆς, ὁδὸς ἐπὶ μυρία φέρουσα κακά. αἱ δὲ κλῖναι αἱ ἀργυρένδετοι, αἱ χρυσόπαστοι, καὶ τὰ ὑποπόδια, καὶ οἱ λέβητες οἱ ἐντεῦθεν κατεσκευασμένοι, καὶ ὁ πολὺς γέλως, τί σοι τὸν βίον ὀρθῶσαι δύναται; τί δὲ ἀμείνω σε ἐποίησεν, ἢ τὴν σύνοικον, ἢ ἄλλον τινὰ τῶν κατὰ τὴν οἰκίαν; οὐκ ἐντεῦθεν λῃσταὶ καὶ τοιχωρύχοι πολλοί; οὐκ ἐντεῦθεν οἰκέται δραπετεύουσιν; ὅταν γὰρ πανταχοῦ βλέποντες, ἄργυρον ἴδωσι στίλβοντα, τρέφεται ἐν αὐτοῖς τὸ νόσημα τῆς κλοπῆς. εἰ γάρ σε τὸν ἐλεύθερον, καὶ ἐπ' εὐγενείᾳ μέγα φρονοῦντα ἄργυρος ἐν ἀγορᾷ λάμπων ἐφέλκεται πρὸς τὴν ἐπιθυμίαν, πολλῷ μᾶλλον τὸν οἰκέτην. καὶ ταῦτα λέγω οὐκ ἀπαλλάττων ἐγκλημάτων τοὺς δραπέτας τῶν οἰκετῶν, καὶ τοὺς τὰ τοιαῦτα κακουργοῦντας, ἀλλὰ παραινῶν ὑμῖν μὴ παρατιθέναι τῶν τοιούτων νοσημάτων αὐτοῖς τὴν τροφήν. ἀλλὰ ποῦ καταθώμεθα αὐτά, φησιν; εἰς γῆν κατορύξωμεν; ἄπαγε. ἀλλ', εἰ βούλει τῆς ἐμῆς ἀνασχέσθαι συμβουλῆς, ἐρῶ σοι τρόπον, δι' οὗ τὸν δραπέτην εὐγνώμονα δυνήσῃ ποιῆσαι. καὶ γὰρ δραπέτης ἐστὶν ὁ πλοῦτος, σήμερον πρὸς τοῦτον, αὔριον πρὸς τὸν ἕτερον μεταπηδῶν· οὐ δραπέτης δὲ μόνον, ἀλλὰ καὶ δραπετοποιός, τοὺς φυλάττοντας αὐτὸν πολλάκις φυγάδας ποιῶν. πῶς ἂν οὖν ὁ δραπέτης οὗτος κατασχεθείη; ἀπὸ ἐναντίας τοῖς ἄλλοις δραπέταις. οἱ μὲν γὰρ ἄλλοι τηρούμενοι μένουσιν, οὗτος δὲ τηρούμενος φεύγει, σκορπιζόμενος μένει. εἰ δὲ καινὸν τὸ εἰρημένον εἶναί σοι δοκεῖ, μάνθανε τοῦτο παρὰ τῶν γεωπόνων. καὶ γὰρ ἐκεῖνοι τὸν σῖτον ἐὰν μὲν ἐν οἴκῳ κατακλείσαντες χώσωσι, σητὶ καὶ σκώληκι παραδόντες ἀπώλεσαν· ἐὰν δὲ σκορπίσωσιν εἰς τὰς ἀρούρας, οὐ μόνον φυλάττουσιν, ἀλλὰ καὶ πλείονα ἐργάζονται. οὕτω καὶ ὁ πλοῦτος, μένων μὲν ἐν κιβωτίοις, καὶ ὑπὸ θύραις ὢν καὶ μοχλοῖς, καὶ εἰς γῆν κατορυττόμενος, δραπετεύει ταχέως· ἐὰν δὲ αὐτόν, ὡς ὁ γεωπόνος τὸν σῖτον εἰς τὴν ἄρουραν, οὕτως εἰς τὰς τῶν πενήτων σκορπίσῃς γαστέρας, οὐ μόνον οὐ δραπετεύει, ἀλλὰ καὶ πλείων ἐκεῖθεν γίνεται. ταῦτα τοίνυν εἰδώς, μὴ παραδῷς αὐτὸν οἰκέτῃ, ἀλλὰ μυρίαις αὐτὸν ποίησον κατέχεσθαι χερσί, ταῖς τῶν χηρῶν, ταῖς τῶν ὀρφανῶν, ταῖς τῶν τὰ σώματα λελωβημένων, ταῖς τῶν τὸ δεσμωτήριον οἰκούντων. οὐ γὰρ ἂν δυνηθείη διαδρᾶναι τοσαύτας λαβάς, ἀλλὰ κατέχεται μετ' ἀσφαλείας, καὶ πλείων γίνεται. καὶ τί καταλείψω τοῖς παιδίοις, φησί; μάλιστα μὲν οὖν οὐ πάντα σοι ἀναγκάζω κενοῦν. εἰ δὲ καὶ πάντα, ταύτῃ μᾶλλον τοὺς παῖδας εὐπορωτέρους ποιήσεις, ἀντὶ χρημάτων τὸν Θεὸν αὐτοῖς καταλιμπάνων ἵλεω, τὴν ἀπὸ τῆς ἐλεημοσύνης εὐπορίαν, μυρίους προστάτας, καὶ εὐεργέτας καὶ ἐν ἀνθρώποις. ὥσπερ γὰρ τοὺς πλεονέκτας, κἂν μὴ ἀδικηθῶμεν, μισοῦμεν· οὕτω τοὺς ἐλεεῖν εἰδότας, κἂν μὴ αὐτοὶ τῆς φιλοτιμίας ἀπολαύσωμεν, αἰδούμεθα, καὶ ποθοῦμεν, οὐκ ἐκείνους μόνον, ἀλλὰ καὶ τοὺς ἐκείνων παῖδας. ἐννόησον τοίνυν ἡλίκος κόσμος τὸ τοὺς παῖδας ὁρωμένους μυρίους ἔχειν ἐραστάς, καὶ πάντας ταῦτα λέγειν τὰ ῥήματα, εἰ εἰς τὴν τῶν δεομένων διατροφὴν ἀνηλίσκετο ὁ πλοῦτος, ὁ τοῦ φιλανθρώπου, ὁ τοῦ ἐλεήμονος υἱός. ἀλλὰ σὺ τὸν μὲν ἀναίσθητον καλλωπίζεις εἰκῆ καὶ μάτην (ἀναίσθητος γάρ ἐστιν ὁ λίθος, κἂν μυρία τάλαντα αὐτῷ περιθῇς χρυσίου) τὸν δὲ αἰσθανόμενον καὶ λιμῷ τηκόμενον οὐδὲ τῆς ἀναγκαίας ποιεῖς μεταλαμβάνειν τροφῆς. ὅταν οὖν τὸ φοβερὸν βῆμα φανῇ, καὶ οἱ τοῦ πυρὸς ποταμοί, καὶ τῶν πεπραγμένων τὰς εὐθύνας ἀπαιτώμεθα, τί ἐρεῖς ὑπὲρ τῆς τοσαύτης βλακείας, ὑπὲρ τῆς τοσαύτης ἀνοίας, καὶ ὠμότητος καὶ ἀπανθρωπίας; ποίαν πρόφασιν εὔλογον; ὥσπερ γὰρ ἑκάστου τῶν ἄλλων σκοπός τις ἐστὶ καὶ λόγος, καὶ ὁ γεωργός, ἐὰν ἀπαιτήσῃς αὐτὸν εὐθύνας, ἐρεῖ τίνος ἕνεκεν καὶ βόας ἔζευξε, καὶ αὔλακας ἔτεμε, καὶ ἄροτρον εἵλκυσε· καὶ ὁ ἔμπορος, τίνος ἕνεκεν τὸ πλοῖον καθείλκυσε καὶ ἐργάτας ἐμισθώσατο, καὶ χρήματα ἐναπέθετο· καὶ ὁ οἰκοδόμος, καὶ ὁ ὑποδηματορράφος, καὶ ὁ χαλκοτύπος, καὶ ὁ ἀρτοποιός, καὶ ἕκαστος τῶν ὁντινοῦν μετιόντων τέχνην, ἀποδίδωσι τὸν λόγον καὶ τὴν αἰτίαν· οὕτω καὶ σύ, ὁ τὴν κλίνην τῷ ἀργύρῳ περιβάλλων, ὁ τοὺς ἵππους καὶ τοὺς λίθους χρυσῶν, ὁ τὰ δέρματα τοιαῦτα κατασκευάζων, ἂν ἀπαιτηθῇς εὐθύνας καὶ λόγον, ποίαν ἐρεῖς αἰτίαν; ποῖον τρόπον; ἡδίων ὁ ὕπνος ἐκ τῆς τοιαύτης γίνεται κλίνης; ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν· ἀλλ', εἰ χρή τι καὶ παράδοξον εἰπεῖν, καὶ ἀηδέστερος. φροντὶς γὰρ πλείων, καὶ ἀγωνία μείζων. ἀλλ' ἀσφαλεστέρα ἡ οἰκοδομὴ ἀπὸ τοῦ χρυσίου; ἀλλ' οὐδὲ τοῦτο. ἀλλ' ἀμείνων ὁ ἵππος ἀπὸ τοῦ χαλινοῦ; ἀλλ' ὁ οἰκέτης; τοὐναντίον μὲν ἅπαν καὶ ἐνταῦθα. τίνος οὖν ἕνεκα τοσαύτην ἀπειροκαλίαν ἐπιδείκνυσθε διὰ πάντων τούτων; πάντως ἐρεῖτε, ὅτι δόξαν ὑμῖν λαμπροτέραν κατασκευάζοντες. εἶτα οὐκ ἤκουσας καὶ ἐν προοιμίῳ τοῦ λόγου, ὅτι ταῦτα οὐκ ἔστιν ἀνθρώπου δόξα, ἀλλὰ τοὐναντίον ἅπαν, ἀτιμία καὶ ὄνειδος, καὶ κατηγορία καὶ γέλως; ἐκ τούτων τίκτεται φθόνος καὶ βασκανία, καὶ τὰ μυρία δεινά. καὶ ὅσῳ μονιμώτερα τὰ κτήματα, τοσούτῳ καὶ ἡ κατηγορία διηνεκής, καὶ αἱ μεγάλαι αὗται καὶ λαμπραὶ οἰκίαι ἑστήκασι φωνὴν ἀφιεῖσαι, καὶ μετὰ τελευτὴν τῶν κτησαμένων, κατηγόρων πικροτάτων. καὶ τὸ μὲν σῶμα τῇ γῇ παραδίδοται, ἡ δὲ ὄψις τῶν οἰκημάτων οὐκ ἀφίησι συγκαταχωσθῆναι τῇ σαρκὶ τῆς πλεονεξίας τὴν μνήμην· ἀλλ' ἕκαστος παριών, καὶ πρὸς τὸ ὕψος καὶ μέγεθος ἀφορῶν τῆς λαμπρᾶς καὶ μεγάλης οἰκίας, ἢ πρὸς ἑαυτόν, ἢ πρὸς τὸν πλησίον ἐρεῖ, ἐκ πόσων δακρύων αὕτη ᾠκοδομήθη ἡ οἰκία; πόσων ὀρφανῶν γυμνωθέντων; πόσων χηρῶν ἀδικηθεισῶν; πόσων τὸν μισθὸν στερηθέντων; ὥστε τοὐναντίον σοι συμβαίνει. βουλόμενος δόξης ἀπολαῦσαι ἐν τῷ ζῆν, οὐδὲ μετὰ τὸ καταλῦσαι τὸ ζῆν, ἀπαλλάττῃ τῶν κατηγόρων, ἀλλ' ὥσπερ ἐν στήλῃ χαλκῇ τὸ ὄνομά σου περιφέρουσα ἡ οἰκία, καὶ τοὺς οὐδὲ ζῶντά σε ἑωρακότας παρασκευάζει μυρίοις βάλλειν ὀνείδεσιν. ἐπεὶ οὖν οὐδὲ τοῦτο ἔχει τὸ κέρδος ἡ περιττὴ αὕτη φιλοτιμία, φεύγωμεν, ἀγαπητοί, φεύγωμεν τὸ νόσημα, καὶ μὴ γινώμεθα τῶν ἀλόγων θηριωδέστεροι. ἐκείνοις πάντα κοινά, καὶ γῆ, καὶ πηγαί, καὶ νομαί, καὶ ὄρη, καὶ νάπαι, καὶ οὐδὲν θάτερον θατέρου πλέον ἔχει· σὺ δὲ ἄνθρωπος ὤν, τὸ ἡμερώτατον ζῷον, θηρίου γίνῃ χαλεπώτερος, μυρίων πενήτων τροφάς, καὶ πολλάκις μυρίων μιᾷ κατακλείων οἰκίᾳ. καίτοιγε οὐχ ἡ φύσις ἡμῖν μόνη κοινή, ἀλλὰ καὶ ἕτερα πολλῷ τῆς φύσεως πλείονα· οὐρανὸς κοινός, καὶ ἥλιος, καὶ σελήνη, καὶ ὁ τῶν ἀστέρων χορός, καὶ ἀήρ, καὶ θάλασσα, καὶ πῦρ, καὶ ὕδωρ, καὶ γῆ, καὶ ζωή, καὶ τελευτή, καὶ αὔξησις, καὶ γῆρας, καὶ νόσος, καὶ ὑγεία, καὶ χρεία τροφῆς καὶ ἐνδυμάτων· καὶ τὰ πνευματικὰ πάλιν κοινά, καὶ ἡ τράπεζα αὕτη ἡ ἱερά, τὸ σῶμα τὸ δεσποτικόν, τὸ αἷμα τὸ τίμιον, τῆς βασιλείας ἡ ἐπαγγελία, τὸ λουτρὸν τῆς παλιγγενεσίας, ὁ καθαρμὸς τῶν ἁμαρτημάτων, ἡ δικαιοσύνη, Ρωμ. ια. κ. ὁ ἁγιασμός, ἡ ἀπολύτρωσις, τὰ ἀπόρρητα ἀγαθά, Α ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. πῶς οὐκ ἄτοπον τοὺς ἐν τοσούτοις κοινωνοῦντας ἀλλήλοις, καὶ φύσει, καὶ χάριτι, καὶ ἐπαγγελίαις, καὶ νομοθεσίαις, τούτους ἐν τοῖς χρήμασιν οὕτως εἶναι πλεονέκτας, καὶ τὴν αὐτὴν μὴ διατηρεῖν ἰσονομίαν, ἀλλὰ τῶν ἀλόγων ''ὑπερέρχεσθαι τὴν θηριωδίαν, καὶ ταῦτα, μέλλοντας αὐτῶν μικρὸν ὕστερον ἀφίστασθαι, καὶ οὐκ ἀφίστασθαι μόνον, ἀλλὰ καὶ περὶ τῶν ἐσχάτων, τούτων ἕνεκεν, κινδυνεύειν; ὁ γὰρ θάνατος τῆς μὲν ἀπολαύσεως ἀπάγει, πρὸς δὲ τὰς εὐθύνας ἄγει λοιπὸν, καὶ τὰς ἀθανάτους κολάσεις. ἵν' οὖν μὴ τοῦτο γένηται, πολλῇ χρησώμεθα τῇ ἐλεημοσύνῃ. αὕτη γάρ ἐστιν ἡ βασίλισσα τῶν ἀρετῶν, καὶ παραστήσεται μετὰ παρρησίας ἐκεῖ σε, καὶ ἐξαιρήσεται τῆς κολάσεως καὶ τῆς τιμωρίας, καὶ οὐδεὶς ἀντιστήσεται τῷ μετὰ ταύτης εἰς τὸν οὐρανὸν εἰσιόντι. καὶ γὰρ κοῦφοι αὐτῆς τὰ πτερὰ, καὶ πολλὴ τῆς παρρησίας αὐτῆς ἡ ὑπερβολὴ, καὶ πρὸς αὐτὸν ἀναβαίνει τὸν βασιλικὸν θρόνον, τοὺς αὐτῆς τροφίμους μετ' ἀδείας εἰσάγουσα. Αἱ εὐχαὶ γάρ σου, φησὶ, καὶ αἱ ἐλεημοσύναι ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ. ἵν' οὖν καὶ ἡμεῖς πρὸς τὸ ὕψος ἀναβῶμεν ἐκεῖνο, ἀπαλλαγέντες τῆς ἀκαίρου ταύτης πλεονεξίας καὶ ἀχρήστου τρυφῆς καὶ φιλοτιμίας; τὰ περιττὰ ποιήσωμεν χρήσιμα, τὸν πολὺν ἐκεῖνον ''παραθέμενοι πλοῦτον, καὶ τῇ δεξιᾷ τοῦ δικαστοῦ τοῦτον ἐγχειρίσαντες, ὃς καὶ φυλάξαι δυνήσεται μετ' ἀκριβείας, καὶ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ἐντεῦθεν ἥμερος γενήσεται καὶ ἵλεως· κἂν μυρία ὦμεν πεπλημμεληκότες, μεταδώσει συγγνώμης ἡμῖν καὶ ἀπολογίας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

περέχειν

μενοι

Πραξ. ι. δ.

Λογ. κα. ΕΠΑΙΝΟΣ ΤΩΝ ΑΠΑΝΤΗΣΑΝΤΩΝ ΕΝ ΤΗ ἐκκλησίᾳ, καὶ περὶ εὐταξίας τῆς ἐν ταῖς δοξολογίαις, καὶ εἰς τὸ, Εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου.

Ησ. ϛ. α.

Πολλὴν ὁρῶ τὴν σπουδὴν ἐνδεικνυμένους ὑμᾶς εἰς ἔργον ἀγαγεῖν τὰ πρώην ἡμῖν εἰρημένα. διὰ τοῦτο τοίνυν ἀόκνως τὰ τῆς διδασκαλίας *''καταβάλλομαι σπέρματα, χρησταῖς ἐντεῦθεν ταῖς ἐλπίσι ''τρεφόμενος. καὶ γὰρ ὁ γεωργὸς ὅταν μετὰ πόνου μὲν τὰ σπέρματα ''καταβάλῃ, εὐφοροῦσαν δὲ τὴν γῆν καὶ τὰ λήια κομῶντα θεάσηται, τῶν πρώην ἐπιλανθάνεται κόπων, καὶ πρὸς τὴν ἑξῆς ἐργασίαν τε καὶ ''συντήρησιν τῶν προσδοκωμένων διεγείρεται κερδῶν. καίτοι πόσον τιμιωτέρα, καὶ ἐπικερδὴς αὕτη ''καθέστηκεν ἡ γεωργία; ἐκείνη μὲν γὰρ τῶν καρπῶν τῶν αἰσθητῶν περιποιουμένη τὴν ἀφθονίαν, σώμασιν ἐναποτίθεται τροφήν· αὕτη δὲ τὴν τῶν λόγων καταβαλλομένη διδασκαλίαν, καὶ τὰ τοῦ πνεύματος πλεονάζουσα χαρίσματα, τὸν ψυχικὸν ἐναποτίθεται πλοῦτον, τὴν ἀδαπάνητον καὶ ἀκήρατον τροφὴν, τὴν μὴ διαλυομένην, μηδὲ ''φθειρομένην ἀκολουθίαν, ἀλλὰ ἀρρήτῳ τινὶ συντηρουμένην προνοίᾳ, καὶ νοητὴν τὴν ἀπόλαυσιν ἔχουσαν. αὕτη τῶν ἐμῶν πόνων ἡ ''ἐπικαρπία, οὗτος ὁ ἐναποτιθέμενος τῇ ὑμῶν ἀγάπῃ πλοῦτος. τοῦτον οὖν αὐξανόμενον ἐν ὑμῖν κατιδὼν, χαίρω διὰ παντὸς, ὡς μὴ εἰκῇ τὰ σπέρματα καταβαλλόμενος, ὡς μὴ μάτην τοὺς πόνους ὑπομείνας, ὡς εἰς εὔφορον καὶ λιπαρὰν ''ἐπισπείρων γῆν, καὶ πρὸς καρποφορίαν ἐπιτηδείαν. πόθεν οὖν τὸ τοιοῦτον καταστοχάζομαι κέρδος; πόθεν εἰς ἔργον τοὺς λόγους προκόπτοντας κατιδών; ἐκ τῆς παρούσης δηλονότι συνδρομῆς, ἐκ τοῦ τὴν μητέρα πάντων τὴν ἐκκλησίαν μετὰ σπουδῆς ὑμᾶς καταλαβεῖν, ἐκ τῆς παννύχου ταύτης καὶ διηνεκοῦς στάσεως, ἐκ τοῦ τὴν ἀγγελικὴν χοροστασίαν μιμουμένους, ἀκατάπαυστον τῷ κτίσαντι τὴν ὑμνολογίαν προσφέρειν. ὢ τῶν τοῦ Χριστοῦ δωρημάτων. ἄνω στρατιαὶ δοξολογοῦσιν ἀγγέλων· κάτω ἐν ἐκκλησίαις χοροστατοῦντες ἄνθρωποι, τὴν αὐτὴν ἐκείνοις ἐκμιμοῦνται δοξολογίαν. ἄνω τὰ σεραφὶμ τὸν τρισάγιον ὕμνον ἀναβοᾷ· κάτω τὸν αὐτὸν ἡ τῶν ἀνθρώπων ἀναπέμπει

ἀγω
καταβάλ-
λομαι
τρεφόμενος
καταβάλ-

ἐπιμέλειαν
γείρειεν

διαφθειρο-
μένην ἀκολυ-
ἀκαρ.

καταστοιἀναπέμπει πλῆθος. κοινὴ τῶν ἐπουρανίων, καὶ ἐπιγείων συγκροτεῖται πανήγυρις· μία εὐχαριστία, ἓν ἀγαλλίαμα, μία εὐφρόσυνος χοροστασία. ταύτην γὰρ ἡ ἄφραστος τοῦ δεσπότου συγκατάβασις ἐκρότησε, ταύτην δὲ πνεῦμα συνέπλεξε τὸ ἅγιον, ταύτης ἡ ἁρμονία τῶν φθόγγων τῇ πνευματικῇ εὐδοκίᾳ συνηρμόσθη. ἄνωθεν ἔχει τὴν τῶν μελῶν εὐρυθμίαν, καὶ ὑπὸ τῆς τριάδος, καθάπερ ὑπὸ πλήκτρου τινός, κινουμένη τὸ τερπνὸν καὶ μακάριον ἀπηχεῖ μέλος, τὸ ἀγγελικὸν ᾆσμα, τὴν ἄληκτον συμφωνίαν. τοῦτο τῆς ἐνταῦθα σπουδῆς τὸ πέρας, τοῦτ᾽ ἐστὶν ὁ τῆς συνελεύσεως ὑμῶν καρπός. διὰ τοῦτο χαίρω τὴν τοιαύτην κατορθῶν εὐδοκίμησιν· χαίρω τὴν ἐν ταῖς ψυχαῖς ὑμῶν εὐφροσύνην κατιδών, τὴν χαρὰν τὴν πνευματικήν, τὴν κατὰ Θεὸν ἀγαλλίασιν. οὐδὲν γὰρ οὕτω περιχαρῆ τὴν ἡμετέραν διατίθησι ζωήν, ὡς ἡ ἐν ἐκκλησίᾳ θυμηδία. ἐν ἐκκλησίᾳ ἡ τῶν χαιρόντων συντηρεῖται χαρά, ἐν ἐκκλησίᾳ ἡ τῶν ἀθυμούντων εὐθυμία, ἐν ἐκκλησίᾳ ἡ τῶν λυπουμένων εὐφροσύνη, ἐν ἐκκλησίᾳ ἡ τῶν καταπονουμένων ἀνάψυξις, ἐν ἐκκλησίᾳ ἡ τῶν κοπιώντων ἀνάπαυσις. Δεῦτε γάρ, φησι, πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι· κἀγὼ ἀναπαύσω ὑμᾶς. τί ταύτης τῆς φωνῆς γένοιτ᾽ ἂν ποθεινότερον; τί τῆς κλήσεως ταύτης ἡδύτερον; πρὸς εὐωχίαν σε καλεῖ ἐν ἐκκλησίᾳ* καλῶν ὁ δεσπότης, εἰς ἀνάπαυσιν ἀντὶ τῶν κόπων προτρέπεται, εἰς ἄνεσιν ἐκ τῶν ὀδυνηρῶν μετατίθησι, τὸ βάρος τῶν ἁμαρτημάτων κουφίζων. τρυφῇ τὴν ἀθυμίαν, καὶ εὐφροσύνῃ τὴν λύπην ἰᾶται. ὢ τῆς αὐτοῦ κηδεμονίας, ὢ κλήσεως ἐπουρανίου. σπεύσωμεν τοίνυν, ἀγαπητοί, αὐτὴν μὲν ἐπιτεινομένην ἐνδείκνυσθαι τὴν σπουδήν· μετὰ δὲ τῆς προσηκούσης εὐταξίας καὶ τοῦ πρέποντος σκοποῦ ταύτην ἀποπληροῦν. καὶ γὰρ τὸν περὶ τούτου λόγον ὑμῖν σήμερον κινῆσαι βούλομαι, φορτικὸν μὲν εἶναι* δοκοῦντα, ἀνεπαχθῆ δὲ καὶ ὠφέλιμον ὄντα τῇ ἀληθείᾳ. οὕτω γὰρ καὶ φιλόστοργοι πατέρες ποιοῦσιν. οὐ μόνον τὰ πρὸς ὀλίγον χαροποιοῦντα, ἀλλὰ καὶ τὰ λυποῦντα παρεσκευάνται τοῖς τέκνοις· καὶ οὐ τὰ αὐτόθεν ἐνδεικνύμενα τὴν ὠφέλειαν παραινοῦσιν αὐτοῖς, ἀλλὰ καὶ ὅσα δοκοῦσι μὲν εἶναι φορτικά, σωτήρια δέ ἐστιν ἀποπληρούμενα, καὶ ταῦτα μετὰ πολλῆς τῆς ἐπιμελείας διδάσκουσι, καὶ ἀσφαλῶς τὴν αὐτῶν ἀπαιτοῦσι συντήρησιν. καὶ τοῦτον προτείνομεν τὸν λόγον, ἵνα μὴ μάτην τὸν ἐνταῦθα καταβαλλώμεθα πόνον, ἵνα μὴ τὴν τῆς ἀγρυπνίας ὑπομένοντες ἀνάγκην, ἀνονήτως πυκτεύωμεν, ἵνα μὴ εἰς ἀέρα διαλυόμεναι αἱ φωναί, ἐπὶ ζημίᾳ μᾶλλον ἐνηχοῖντο, καὶ οὐκ ἐπὶ κέρδει. οὐδὲ γὰρ ἔμπορος μακρᾶς μὲν ἐμπορείας στελλόμενος, πολλὴν δὲ τὴν τῶν πνευμάτων ἐμβολήν, καὶ τὴν τῶν κυμάτων ἐπανάστασιν ὑπομένων, καταδέξοιτο ἂν εἰκῇ καὶ μάτην τοὺς τοιούτους ὑπομένειν κόπους· ἀλλὰ διὰ τοῦτο καὶ πελάγη τέμνει, καὶ κινδύνων κατατολμᾷ, καὶ τόπους ἐκ τόπων μεταμείβει, καὶ ἀύπνους πάσας διατελεῖ νύκτας, ἵνα τὰ τῆς ἐμπορείας αὐτῷ πλεονάζῃ. ὡς εἴγε τοῦτο μὴ προσῇ, ἀλλὰ σὺν τῷ κέρδει καὶ ἡ τῶν κεφαλαίων αὐτῷ ἐπιγένηται ζημία, οὐδὲ ἀπαίρειν ἔξεστιν αὐτῷ, οὐδὲ τοὺς πολυπλόκους ἐκείνους ὑπομένειν κινδύνους. τοῦτο τοίνυν εἰδότες, μετὰ τῆς προσηκούσης εὐλαβείας ἐνταῦθα παραγινώμεθα, ὅπως μὴ ἀντὶ ἁμαρτημάτων ἀφέσεως, προσθήκην τούτων ποιησάμενοι, οἴκαδε πορευσώμεθα. τί δέ ἐστι τὸ ζητούμενον, καὶ ὃ παρ᾽ ἡμῶν ἀπαιτεῖται; τὸ τοὺς θείους ἀναπέμποντας ὕμνους, φόβῳ πολλῷ συνεσταλμένους, καὶ εὐλαβείᾳ κεκοσμημένους, οὕτω προσφέρειν τούτους. καὶ γὰρ εἰσί τινες τῶν ἐνταῦθα, οὓς οὐδὲ τὴν ὑμετέραν ἀγάπην ἀγνοεῖν οἶμαι, οἵτινες καταφρονοῦντες μὲν τοῦ Θεοῦ, τὰ δὲ τοῦ πνεύματος λόγια, ὡς κοινὰ ἡγούμενοι, φωνὰς ἀτάκτους ἀφιᾶσι, καὶ τῶν μαινομένων οὐδὲν ἄμεινον διάκεινται, ὅλῳ τῷ σώματι δονούμενοι, καὶ περιφερόμενοι, καὶ ἀλλότρια τῆς πνευματικῆς καταστάσεως ἐπιδεικνύμενοι τὰ ἤθη. ἄθλιε καὶ ταλαίπωρε, δέον σε δεδοικότα καὶ τρέμοντα τὴν ἀγγελικὴν δοξολογίαν ἐκπέμπειν, φόβῳ τε τὴν ἐξομολόγησιν τῷ κτίστῃ ποιεῖσθαι, καὶ διὰ ταύτης συγγνώμην τῶν ἐπταισμένων αἰτεῖσθαι· σὺ δὲ τὰ μίμων καὶ ὀρχηστῶν ἐνταῦθα παράγεις,

Ματθ. ια. κη.

γρ. ἀφάτο

γρ. συνεκρό-
τησε,

γρ. ἅγιον, ταύ-
την τὴν ἁρ-
τ. φθ. πατρι-
κῇ δοξία συν-
ήρμοσται. ἐπ
ἄνωθεν.

γρ. πατρικῇ

γρ. ἡμῶν

γρ. παραμυ-
θία,

* σε

γρ. ἀπὸ

γρ. ἀρέτε

γρ. μὴ ἀπο-
κάμωμεν τοίνυν
ἀγαπητοί,
ἐπιτεινομέ-
νην μὲν ἐν-
δεικν. τ. σ.
ἐπὶ μετὰ

γρ. ἀποπλη-
ροῦντες

* πη

γρ. κίνδυν
ναρ; ὃς διὰ
τοῦτο

γρ. πολλὰς

γρ. συμβῇ

γρ. ἐξέσται

τὸν αὐτῷ,

γρ. ἐπιτεί
μεθ᾽. τί δ᾽
τὸ ζητ.

γρ. προσφέρ

γεις, ἀτάκτως μὲν τὰς χεῖρας ἐπιδινῶν, καὶ τοῖς ποσὶν ἐφαλλόμενος, καὶ ὅλῳ περικλώμενος τῷ σώματι. καὶ πῶς οὐ δέδοικας, οὐδὲ φρίττεις τοιούτων καταπολαύων λογίων; οὐκ ἐννοεῖς, ὅτι αὐτὸς ἀοράτως ἐνταῦθα πάρεστιν ὁ δεσπότης, καὶ ἑκάστου τὴν κίνησιν ἀναμετρεῖ, καὶ τὸ συνειδὸς ἐξετάζει; οὐκ ἐννοεῖς, ὅτι ἄγγελοι ταύτῃ τῇ φρικτῇ παρίστανται τραπέζῃ, καὶ φόβῳ ταύτην περιέπουσι; ἀλλὰ σὺ ταῦτα οὐ κατανοεῖς, ἐπειδὴ ὑπὸ τῶν ἐν τοῖς θεάτροις ἀκουσμάτων τε καὶ θεαμάτων τὸν νοῦν συνεσκοτίσθης, καὶ διὰ τοῦτο τὰ ἐκεῖσε παρατολμώμενα τοῖς τῆς ἐκκλησίας ἀναφύρεις τύποις. διὰ τοῦτο ταῖς ἀσήμοις κραυγαῖς τὸ τῆς ψυχῆς ἄτακτον δημοσιεύεις. πῶς οὖν συγγνώμην ἐξαιτήσῃ τῶν οἰκείων ἁμαρτημάτων; πῶς εἰς οἶκτον ἐπισπάσῃ τὸν δεσπότην, οὕτω καταπεφρονημένως τὴν δέησιν προτεινόμενος; ἐλέησόν με ὁ Θεός, λέγεις, καὶ τοῦ ἐλέους ἀλλότριον τὸ ἦθος ἐπιδείκνυσαι· σῶσόν με βοᾷς, καὶ ξένον τῆς σωτηρίας τὸ σχῆμα διατυποῖς. τί συντείνουσι πρὸς ἱκεσίαν χεῖρες ἐπὶ μετεωρισμῷ συνεχῶς ἐπαιρόμεναι καὶ ἀτάκτως περιφερόμεναι, κραυγή τε σφοδρὰ, καὶ τῇ βιαίᾳ τοῦ πνεύματος ὠθήσει τὸ ἄσημον ἔχουσα; οὐχὶ τὰ μὲν αὐτῶν τῶν ἐν ταῖς τριόδοις ἑταιριζομένων γυναικῶν, τὰ δὲ τῶν ἐν τοῖς θεάτροις φωνούντων ἐστὶν ἔργα; πῶς οὖν τολμᾷς τῇ ἀγγελικῇ ταύτῃ δοξολογίᾳ τὰ τῶν δαιμόνων ἀναμιγνύειν παίγνια; πῶς δὲ οὐκ αἰδῇ ταύτην τὴν φωνὴν, ἣν ἐκεῖ ἐκφέρεις, Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, λέγων, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ; τοῦτό ἐστιν, ἐν φόβῳ δουλεύειν, τὸ διακεχύσθαί τε καὶ διατείνεσθαι, καὶ μηδὲ σεαυτὸν ἐπίστασθαι περὶ τίνων διαλέγῃ τῇ ἀτάκτῳ τῆς φωνῆς ἐνηχήσει; τοῦτο καταφρονήσεώς ἐστιν, οὐ φόβου, ἀλαζονείας, οὐ ταπεινώσεως· τοῦτο παιζόντων μᾶλλον, ἢ δοξολογούντων. τί οὖν ἐστι τὸ δουλεύειν τῷ Κυρίῳ ἐν φόβῳ; τὸ πᾶσαν ἐντολὴν ἀποπληροῦντας, φόβῳ καὶ συστολῇ ταύτην κατεργάζεσθαι, καὶ συντετριμμένῃ καρδίᾳ, καὶ τεταπεινωμένῳ νοῒ τὰς ἱκεσίας προσβάλλεσθαι. καὶ οὐ μόνον δουλεύειν ἐν φόβῳ, ἀλλὰ καὶ ἀγαλλιᾶσθαι ἐν τρόμῳ τὸ πνεῦμα τὸ ἅγιον διὰ τοῦ προφήτου παρακελεύεται. ἐπειδὴ γὰρ ἡ τῆς ἐντολῆς πλήρωσις χαρὰν εἴωθεν ἐμποιεῖν τῷ τὴν ἀρετὴν ἀσκοῦντι, καὶ ταύτην, φησὶ, τρόμῳ καὶ δέει ποιεῖσθαι προσήκει· ἵνα μὴ τῇ ἀφοβίᾳ συγχεόμενοι, τούς τε πόνους ζημιωθῶμεν, καὶ τὸν Θεὸν παροξύνωμεν. πῶς δὲ ἔσται, φησὶν, ἀγάλλεσθαι ἐν τρόμῳ; καὶ γὰρ οὐδὲ δυνατὸν κατὰ ταυτὸν τὰ δύο συμβαίνειν, πολλῆς οὔσης τῆς μεταξὺ αὐτῶν διαφορᾶς. χαρὰ γάρ ἐστι καταθυμίων πλήρωσις, καὶ ἡδέων ἀπόλαυσις, καὶ ἀνιαρῶν λήθη· φόβος δὲ, ἐλπιζομένων κακῶν ἐπίτασις, ἐπὶ κατεγνωσμένῳ συνιστάμενος συνειδότι. πῶς οὖν ἐστιν ἀγάλλεσθαι ἐν φόβῳ, καὶ οὐχ ἁπλῶς ἐν φόβῳ, ἀλλ' ἐν τρόμῳ, ὅπερ ἐπίτασίς ἐστι τοῦ φόβου, καὶ πολλῆς ἀγωνίας σημεῖον; πῶς δέ, φησι, τοῦτο γένοιτο; αὐτά σε τὰ σεραφὶμ διδάσκουσιν, ἔργῳ τὴν τοιαύτην ἀποπληροῦντα διακονίαν. καὶ γὰρ ἐκεῖνα τῆς ἀφάτου δόξης ἀπολαύοντα τοῦ κτίστου, καὶ τὸ ἀμήχανον ἐνοπτριζόμενα κάλλος· οὐ λέγω αὐτὸ ἐκεῖνο, ὅπερ ἐστὶ τῇ φύσει (ἀκατανόητον γάρ τοῦτο, καὶ ἀθεώρητον, καὶ ἀσχημάτιστον, καὶ ἄτοπόν ἐστι τὸ οὕτω περὶ αὐτοῦ ὑπολαμβάνειν) ἀλλ' ὅσον ἐγχωροῦσιν, ὅσον ὑπὸ τῆς ἀκτῖνος ἐκείνης ἰσχύουσι καταλάμπεσθαι. ἐπειδὴ γὰρ διηνεκῶς λειτουργοῦσι κύκλῳ τοῦ βασιλικοῦ θρόνου, ἐν διηνεκεῖ χαρᾷ διατελοῦσιν, ἐν αἰδίῳ εὐφροσύνῃ, ἐν ἀγαλλιάσει ἀκαταπαύστῳ, χαίροντα, σκιρτῶντα, ἀσιγήτως δοξολογοῦντα. τὸ γὰρ ἐνώπιον ἑστάναι τῆς δόξης ἐκείνης, καὶ ἀπὸ τῆς ἐξ αὐτῆς ἀπαστραπτούσης καταφωτίζεσθαι αἴγλης, τοῦτο αὐτοῖς καὶ χαρὰ, τοῦτο καὶ ἀγαλλίασις, τοῦτο καὶ εὐφροσύνη, τοῦτο καὶ δόξα. τάχα τι πρὸς ἡδονὴν ἐπάθετε, καὶ εἰς ἐπιθυμίαν τῆς δόξης ἐκείνης γεγόνατε. ἀλλ' εἴγε βουληθείητε παραινοῦντος ἀκοῦσαι, καὶ μετ' εὐλαβείας τὴν πρέπουσαν δοξολογίαν ποιεῖσθαι, οὐκ ἀπολειφθήσεσθε τῆς τοιαύτης χαρᾶς. αὐτὸς γάρ ἐστιν ἐκεῖνος ὁ δεσπότης, ὁ καὶ ἐν οὐρανοῖς, καὶ ἐπὶ γῆς δοξαζόμενος. Πλήρης γὰρ ὁ οὐρανός, φησι, καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ. πῶς οὖν ἐκεῖνα τῆς τοσαύτης εὐφροσύνης ἀπολαύοντα, φόβῳ ταύτην ἀναμιγνύουσι; ἄκουσον τί φησιν ὁ προφήτης. Εἶ-

δον

Ψαλμ. β. ια.

Ησ. ϛ. γ. ιε.

Ησ. ϛ. α.

δον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. τίνος ἕνεκεν τὸ ὑψηλὸν εἰπὼν, καὶ τὸ ἐπηρμένον προσέθηκε; μὴ γὰρ οὐκ ἤρκει διὰ τοῦ ὑψηλοῦ τὸ πᾶν σημαίνειν τοῦ πράγματος, καὶ δεῖξαι τὸ τῆς ἀξίας ὑπερανεστηκός; διὰ τί οὖν τὸ ἐπηρμένον ἐπήγαγεν; ἵνα τὸ τῆς καθέδρας ἀκατάληπτον ἐνδείξηται. ἐπειδὴ γὰρ παρ' ἡμῖν τὸ ὑψηλὸν ἔννοιαν τινὰ παρέχεται συγκρίσεως πρὸς τὰ χαμαίζηλά τε, καὶ ταπεινότερα (οἷον, ὑψηλὰ μὲν τὰ ὄρη πρὸς τὰς πεδιάδας καὶ τὰ κοῖλα τῆς γῆς, ὑψηλὸς δὲ ὁ οὐρανὸς ὁ πάντων ὑπεραρθεὶς τῶν γηΐνων) τὸ δὲ ἐπηρμένον καὶ ἐξηρημένον μόνης ἐστὶν ἐκείνης τῆς ἀκαταλήπτου φύσεως, ἣν μήτε ἐννοῆσαι, μήτε ἑρμηνεῦσαι ἐστὶ δυνατόν· διὰ τοῦτό φησιν, Εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. καὶ τί ἕτερον εἶδες, ὦ προφῆτα; τί περὶ αὐτὸν ἐθεάσω; Καὶ τὰ σεραφὶμ εἱστήκεισαν, φησι, κύκλῳ αὐτοῦ. τί ποιοῦντα, καὶ τί λέγοντα, ποίας παρρησίας ἀπολαύοντα; παρρησίας μὲν, φησιν, οὐδεμιᾶς, φόβου δὲ καὶ καταπλήξεως γέμοντα, καὶ δι' αὐτοῦ τοῦ σχήματος τὸ ἄφατον ἐπιδεικνύμενα τοῦ δέους. Ταῖς γὰρ δυσὶ πτέρυξι κατεκάλυπτον τὰ πρόσωπα, ὁμοῦ μὲν ἀποτειχίζοντα τὴν ἐκπεμπομένην ἀκτῖνα τοῦ θρόνου διὰ τὸ μὴ δύνασθαι φέρειν τὴν ἄστεκτον αὐτῆς δόξαν, ὁμοῦ δὲ καὶ τὴν οἰκείαν εὐλάβειαν ὑποφαίνοντα, ἣν ἔχουσι πρὸς τὸν δεσπότην. τοιαύτῃ χαρᾷ χαίρουσιν ἐκεῖνα, τοιαύτῃ εὐφροσύνῃ ἀγάλλονται. καὶ οὐ μόνον τὰ πρόσωπα καλύπτουσιν, ἀλλὰ καὶ τοὺς πόδας. τίνος ἕνεκεν τοῦτο ποιοῦσι; τὰς μὲν γὰρ ὄψεις εἰκότως διὰ τὸ φοβερὸν τοῦ θεάματος, καὶ τὸ μὴ δύνασθαι ἀντοφθαλμεῖν τῇ ἀπροσίτῳ δόξῃ· τοὺς πόδας δὲ διὰ τί συγκαλύπτουσι; καὶ ἐβουλόμην μὲν ὑμῖν τοῦτο καταλιπεῖν, ὥστε * ποιεῖν ὑμᾶς περὶ τὴν αὐτοῦ λύσιν, καὶ ἐγρηγορέναι πρὸς τὴν τῶν πνευματικῶν ἔρευναν. ἵνα δὲ μὴ ἀσχολουμένην τὴν ὑμετέραν διάνοιαν εἰς τὴν αὐτοῦ ζήτησιν καταλιπὼν, ἀμελεῖν τῆς παραινέσεως παρασκευάσω, ἀναγκαῖον αὐτὸ ἐπιλύσασθαι. διὰ τί οὖν τοὺς πόδας κατακαλύπτουσι; ἄπληστον τὴν πρὸς τὸν κτίστην εὐλάβειαν ἐνδείκνυσθαι σπεύδουσι, πολλὴν τὴν ἀγωνίαν καὶ διὰ τοῦ σχήματος, καὶ διὰ τῆς φωνῆς, καὶ διὰ τῆς ὄψεως, καὶ δι' αὐτῆς τῆς στάσεως πειρώμενα δεικνύναι. ἐπειδή γε καὶ οὕτω τοῦ ἐπιθυμουμένου καὶ τοῦ προσήκοντος ἀποτυγχάνουσι, τῷ συγκαλύπτεσθαι πανταχόθεν, τὸ ἐλλεῖπον περικρύπτουσιν. ἆρα ἐνοήσατε τὸ εἰρημένον, ἢ πάλιν ἀναλαβεῖν αὐτὸ δίκαιον; ἀλλ' ἵνα σαφέστερον τοῦτο γένηται, ἐκ τῶν παρ' ἡμῖν παραδειγμάτων φανερὸν αὐτὸ ποιῆσαι πειράσομαι. παρίσταταί τις τῷ ἐπιγείῳ βασιλεῖ, καὶ διὰ πάντων μηχανᾶται, ὥστε πολλὴν τὴν πρὸς αὐτὸν εὐλάβειαν ἐπιδείξασθαι, ἵνα διὰ τούτου πλείονα τὴν ἐξ αὐτοῦ ἐπισπάσηται εὔνοιαν. τούτου χάριν καὶ διὰ τοῦ τῆς κεφαλῆς σχήματος, καὶ διὰ τῆς φωνῆς, καὶ διὰ τοῦ δεσμοῦ τῶν χειρῶν, καὶ τῆς τῶν ποδῶν συζεύξεως, καὶ τῆς συστολῆς τοῦ ὅλου σώματος τὴν τοιαύτην εὐλάβειαν ἐπιτηδεύει. τοῦτο καὶ ἐπὶ τῶν ἀσωμάτων ἐκείνων γίνεται δυνάμεων. καὶ γὰρ πολλὴν ἔχοντα τῆς πρὸς τὸν κτίστην εὐλαβείας τὴν ἐπιθυμίαν, καὶ ταύτην πανταχόθεν μηχανώμενα περιποιεῖσθαι, εἶτα τῆς ἐφέσεως ἀποτυγχάνοντα, τὸ ὑστέρημα τῆς ἐπιθυμίας τῷ καλύμματι ἐπικρύπτουσι. διὰ τοῦτο τοίνυν τάς τε ὄψεις καὶ τοὺς πόδας κατακαλύπτεσθαι λέγονται. εἰ καὶ ἄλλη τίς ἐστι μυστικωτέρα θεωρία ἡ περὶ τούτου θεωρουμένη· οὐχ ὅτι πόδας καὶ πρόσωπα ἔχουσιν (ἀσώματα γάρ ἐστιν, ὥσπερ καὶ τὸ θεῖον) ἀλλ' ἵνα διὰ τούτων ὁ λόγος ἐπιδείξῃ πανταχόθεν αὐτὰ συνεστάλθαι, φόβῳ τε καὶ εὐλαβείᾳ λειτουργεῖν τῷ δεσπότῃ. οὕτω δεῖ καὶ ἡμᾶς παρίστασθαι τὴν τοιαύτην αὐτῷ δοξολογίαν προσφέροντας, δεδοικότας καὶ τρέμοντας, καὶ ὡς αὐτὸν ἐκεῖνον τοῖς τῆς διανοίας ὁρῶντας ὀφθαλμοῖς. πάρεστι γὰρ ἐνταῦθα πάντως ὁ μηδενὶ τόπῳ περιγραφόμενος, καὶ τὰς φωνὰς ἁπάντων ἀπογράφεται. οὕτω τοίνυν συντετριμμένῃ καρδίᾳ καὶ τεταπεινωμένῃ τὴν αἴνεσιν ἀναπέμποντες, εὐπρόσδεκτον αὐτὴν ποιήσωμεν, καὶ ὡς εὐῶδες θυμίαμα πρὸς οὐρανὸν ἀναπέμψωμεν. Καρδίαν γάρ, φησι, συντετριμμένην, καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. ἀλλ' ὁ προφήτης, φησὶν, ἀλαλαγμῷ ποιεῖσθαι τὴν δοξολογίαν

Ησ. ς. ϛ.

Ψαλμ. ν. ιθ.

γρ. [illegible]

* πόνον ἴ.

γρ. [illegible]

γρ. [illegible]

γρ. τὴν [illegible]

Ψαλ. ϟζ. ε.

δοξολογίαν προστέτακται· Ἀλαλάξατε γὰρ τῷ Κυρίῳ πᾶσα ἡ γῆ. ἀλλ' οὐδὲ ἡμεῖς τὸν τοιοῦτον διακωλύομεν ἀλαλαγμὸν, ἀλλὰ τὴν ἄσημον βοήν· οὐδὲ τὴν φωνὴν τῆς αἰνέσεως, ἀλλὰ τὴν φωνὴν τῆς ἀταξίας, τὰς πρὸς ἀλλήλους φιλονεικίας, τὰς εἰκῆ καὶ μάτην ἐπαιρομένας χεῖρας ἐν τῷ ἀέρι, " τοὺς ἰσπαζομένους πόδας, τὰ ἄκοσμα καὶ διακεκλασμένα " ἤθη, ἅπερ τῶν ἐν τοῖς θεάτροις καὶ ταῖς ἱπποδρομίαις σχολαζόντων ἐστὶ παίγνια· ἐκεῖθεν ἡμῖν τὰ ὀλέθρια " ταῦτα " παρεισφέρεται) διδάγματα· ἐκεῖθεν αἱ εὐλαβεῖς αὗται καὶ δημωτικαὶ φωναί· ἐκεῖθεν αἱ τῶν χειρῶν ἀταξίαι, αἱ ἔριδες, αἱ φιλονεικίαι, τὰ " ἄτακτα ἤθη. οὐδὲν γὰρ οὕτω καταφρονεῖσθαι τῶν τοῦ Θεοῦ παρασκευάζει λογίων, ὡς οἱ τῶν ἐκεῖ θεαμάτων μετεωρισμοί. διὰ τοῦτο παρεκάλεσα πολλάκις μηδένα τῶν ἐνταῦθα παραγινομένων, καὶ τῆς θείας διδασκαλίας ἀπολαυόντων, καὶ τῆς φρικτῆς καὶ μυστικῆς μετεχόντων θυσίας, πρὸς ἐκεῖνα βαδίζειν τὰ θέατρα, καὶ τὰ θεῖα τοῖς δαιμονικοῖς ἀναμιγνύειν μυστήρια. ἀλλ' οὔπω τινὲς μεμήνασιν, ὥστε καὶ σχῆμα εὐλαβείας ἐπιφερόμενοι, καὶ εἰς πολιὰν ἐληλακότες βαθεῖαν, ὅμως αὐτομολοῦσι πρὸς ἐκεῖνα, μήτε τοῖς ἡμετέροις προσέχοντες λόγοις, μήτε τὴν οἰκείαν αἰσχυνόμενοι μόρφωσιν. ἀλλ' ὅταν αὐτοῖς τοῦτο προτείνωμεν, καὶ τὴν πολιὰν καὶ τὴν εὐλάβειαν αἰδεῖσθαι παραινῶμεν, τίς αὐτῶν ὁ ψυχρὸς καὶ καταγέλαστος λόγος; παράδειγμά, φησι, τῆς ἐκεῖ στεφάνων εἰσί, καὶ πλείστην ἐντεῦθεν καρπούμεθα τὴν ὠφέλειαν. τί λέγεις, ἄνθρωπε; " ἔωλος οὗτος ὁ λόγος, καὶ ἀπάτης ἀνάμεστος. πόθεν τὴν ὠφέλειαν καρποῦσαι; ἐκ τῶν μυρίων ἐκείνων φιλονεικιῶν, καὶ τῶν εἰκῆ καὶ μάτην καταβαλλομένων ὅρκων ἐπὶ κακῷ τῶν λεγόντων, ἢ ἐκ τῶν ὕβρεων, καὶ βλασφημιῶν, καὶ σκωμμάτων, οἷς ἀλλήλους καταντλοῦσιν οἱ θεαταὶ τῶν τοιούτων; ἀλλ' ἐκ τούτων μὲν οὐχί· ἐκ δὲ τῶν ἀτάκτων πάντως φωνῶν, καὶ τῆς ἀσήμου βοῆς, καὶ τῆς κόνεως τῆς ἀναπεμπομένης, καὶ τῶν ὠθούντων, καὶ βιαζομένων, καὶ τῶν ἀκκιζομένων κατέναντι γυναικῶν τὰ τῆς ὠφελείας συλλέγεις; καὶ ἐνταῦθα μὲν αὐτὸν τὸν δεσπότην τῶν ἀγγέλων προφῆται πάντες καὶ διδάσκαλοι ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου καθήμενον ὑποδεικνύουσι, καὶ τοῖς μὲν ἀξίοις τὰ βραβεῖα καὶ τοὺς στεφάνους ἀπονέμοντα, τοῖς δὲ ἀναξίοις γέενναν καὶ πῦρ ἀποκληροῦντα, καὶ αὐτὸς δὲ ὁ Κύριος τοῦτο διαβεβαιοῖ. εἶτα τούτων μὲν καταφρονεῖς, ἐν οἷς καὶ ὁ τοῦ συνειδότος φόβος, καὶ ὁ τῶν πεπραγμένων ἔλεγχος, καὶ ἡ τῶν εὐθυνῶν ἀγωνία, καὶ τὸ τῆς κολάσεως ἀπαραίτητον· ἵνα δὲ πρόφασιν ἄλογον τῶν σῶν ἐφεύρῃς μετεωρισμῶν, ὠφελεῖσθαι λέγεις, ἐν οἷς τὴν ἀπαραμύθητον ὑπομένεις ζημίαν; μή, δέομαι καὶ ἀντιβολῶ, μὴ προφασιζώμεθα προφάσεις ἐν ἁμαρτίαις. σκῆψις γὰρ ταῦτα, καὶ ἀπάτη ἡμῖν αὐτοῖς τὸ ἐπιζήμιον προξενοῦσα. ἀλλὰ περὶ " τούτου μὲν τοσαῦτα. ὥρα δὲ λοιπὸν εἰς τὴν προτέραν ἀναδραμεῖν παραίνεσιν, καὶ βραχέα περὶ ταύτης εἰπόντα, τὸ προσῆκον τέλος ἐπιθεῖναι τῷ λόγῳ. καὶ γὰρ οὐ μόνον τὰ τῆς ἀταξίας ἐνταῦθα, ἀλλὰ καὶ ἕτερόν τι χαλεπὸν " παρενοσεῖ νόσημα. ποῖον δὴ τοῦτο; τὸ πρὸς Θεὸν τὴν διάλεξιν ποιεῖσθαι προτιθεμένους, καὶ αὐτῷ τὴν " δοξολογίαν ἀναπέμποντας, εἶτα ἀφέντας τοῦτον, τῷ πλησίον ἕκαστος ἀπολαβὼν, καὶ τὰ κατ' οἶκον διατίθεσθαι, τὰ ἐν τῇ ἀγορᾷ, τὰ ἐν τῷ δήμῳ, τὰ ἐν τοῖς θεάτροις, τὰ ἐν τῷ στρατῷ, καὶ πῶς μὲν ταῦτα διῳκήθη, πῶς δὲ ἐκεῖνα παρεωράθη, καὶ τί τὸ πλεονάζον ἐν ταῖς πραγματείαις, τί δὲ τὸ ἐλλεῖπον· καὶ *ἁπλῶς περὶ πάντων τῶν κοινῶν καὶ *ἰδίων ἐνταῦθα διαλέγονται). καὶ ποίας ταῦτα συγγνώμης ἄξια; καὶ βασιλεῖ μέν τις τῷ ἐπιγείῳ διαλεγόμενος, περὶ ἐκείνων μόνων ποιεῖται τὸν λόγον, περὶ ὧν ἂν ἐκεῖνος βουληθείη, καὶ ὧν προτείνῃ τὰς ἐρωτήσεις· εἰ δὲ καὶ ἕτερόν τι παρὰ τὴν ἐκείνου γνώμην ὑποβαλεῖν τολμήσειε, τὴν ἐσχάτην τιμωρίαν ὑποστήσεται)· σὺ δὲ τῷ βασιλεῖ τῶν βασιλευόντων προσομιλῶν, ᾧ φρίττοντες λειτουργοῦσιν ἄγγελοι, ἀφεὶς τὴν πρὸς αὐτὸν διάλεξιν, περὶ πηλοῦ, καὶ κόνεως, καὶ ἀράχνης διαλέγῃ; (" ταῦτα γάρ ἐστι τὰ παρόντα πράγματα) καὶ πῶς οἴσεις τὴν τῆς καταφρονήσεως δίκην; τίς δέ σε τῆς τοιαύτης ἐξαιρήσεται τιμωρίας; ἀλλὰ κακῶς, φησι, [τὰ τῶν πραγμάτων, καὶ] τὰ τῆς πολιτείας διέκειτο), καὶ πολὺς ἡμῖν περὶ τούτου ὁ λόγος, πολὺς ὁ ἀγών. καὶ τίς ἡ αἰτία; ἡ τῶν κρατούντων, φησὶν, ἀβουλία. οὐχ ἡ τῶν κρατούντων ἀβουλία, ἀλλὰ ἡ ἡμῶν ἁμαρτία, ἡ τῶν πλημμελημάτων εἴσπραξις, ἐκείνη τὰ ἄνω κάτω πεποίηκεν, ἐκείνη πάντα τὰ δεινὰ εἰσήγαγεν, ἐκείνη τοὺς πολέμους ἐξώπλισεν, ἐκείνη τὴν ἧτταν ἐνήργησεν. οὐκ ἄλλοθεν ἡμῖν ὁ τῶν δυσχερῶν ἑσμὸς "ὑπερεχέθη, ἀλλ' ἢ ἐκ ταύτης τῆς αἰτίας. ὥστε κἂν Ἀβραάμ τις ᾖ ὁ κρατῶν, κἂν Μωϋσῆς, κἂν Δαβὶδ, κἂν Σολομὼν ὁ σοφώτατος, κἂν ἁπάντων δικαιότερος ἀνθρώπων, ἡμῶν κακῶς διακειμένων, ἀδιάφορον ἔχει τὴν πρὸς τὰ κακὰ αἰτίαν. πῶς καὶ τίνι τρόπῳ; ὅτι εἰ μὴ τῶν παρανομωτάτων εἴη, καὶ τῶν ἀβουλήτως καὶ ἀτάκτως φερομένων, ἡ ἡμῶν ἀβουλία καὶ ἀταξία τὸν τοιοῦτον ἐκαρποφόρησε, τὰ ἡμέτερα ἁμαρτήματα τὴν πληγὴν προεξένησε. Ὃ γὰρ κατὰ τὰς καρδίας ἡμῶν λαμβάνειν ἄρχονται, οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ τοῦτο, ὅτι προημαρτηκότες, τοιούτου τοῦ προεστηκότος ἐτύχομεν, κἄν τε τῶν ἱερωμένων ᾖ τις, κἄν τε τῶν τὰς κοσμικὰς διεπόντων "ἐξουσίας. εἰ δὲ καὶ λίαν δίκαιος ᾖ, καὶ οὕτω δίκαιος, ὥστε μέχρι τῆς Μωϋσέως ἀρετῆς ἐληλακέναι, οὐχ ἡ αὐτοῦ μόνου δικαιοσύνη τὰ "ἄμετρα τῶν ὑπηκόων συγκαλύψαι δυνήσεται πταίσματα. καὶ τοῦτο δὲ ἐξ αὐτοῦ ἄν τις ἀκριβῶς καταμάθοι τοῦ Μωϋσέως, τοῦ πολλὰ μὲν κακοπαθήσαντος ὑπὲρ τοῦ Ἰσραὴλ, πολλὴν δὲ τὴν ὑπὲρ αὐτοῦ ἱκεσίαν πρὸς τὸν Θεὸν ἐνστησαμένου, ὥστε τὴν ἐπηγγελμένην αὐτὸν κατακληρονομῆσαι γῆν. ἀλλ' ἐπεὶ ξένον ἑαυτὸν ἐκ τῆς κατασχέσεως ταῖς οἰκείαις κατέστησε παρανομίαις, οὐκ ἴσχυσεν ἡ αὐτοῦ δέησις τὴν τοῦ Θεοῦ δικαίαν ψῆφον μεταποιῆσαι, πάντος τοῦ λαοῦ ἐν τῇ ἐρήμῳ κατεστρωμένου. καίτοι τίς τοῦ Μωϋσέως δικαιότερος; ἢ τίς παρρησιαστικώτερος πρὸς τὸν Θεόν; ἰσχύειν μὲν λέγεται δικαίου

Ιακ. ε. ιϛ.

δέησις, ἀλλ' ἐνεργουμένη, τουτέστι, βοηθουμένη τῇ μεταμελείᾳ καὶ ἐπιστροφῇ, ὑπὲρ ὧν καταβάλλεται). οἷς δὲ ἀμετανόητος, καὶ ἀνεπίστροφός ἐστιν ὁ τρόπος, πῶς ἂν ἐπαμῦναι δυνήσηται αὐτῇ ἐκείνων τοῖς ἔργοις "ἀντικρουόντων; καὶ τί λέγομεν ἐπὶ ὁλοκλήρου λαοῦ παρανομοῦντος τοῦτο συμβαίνειν, ὅπου καὶ ἡ τῶν ὀλίγων ὑπηκόων ἁμαρτία, ἢ πολλάκις καὶ τοῦ ἑνὸς, τὴν τῶν δικαίως κρατούντων ὑπερακοντίζει παρρησίαν. καὶ τοῦτο πάλιν ἐξ αὐτοῦ ἄν τις κατανοήσειε τοῦ Ἰσραὴλ, ὃς ὑπὸ Μωϋσέως δημαγωγούμενος, ἡνίκα πρὸς τὴν τῶν ἀλλοφύλων παρέβαλε γῆν, καὶ τὴν πρὸς αὐτοὺς συνῆπτε μάχην, πῶς τινες αὐτῶν μανέντες εἰς τὰς ἐκείνων γυναῖκας, τὴν πάνδημον ἐκείνην θραῦσιν, καὶ τὸν ὄλεθρον κατειργάσαντο. ἐπὶ ἑνὸς δὲ καὶ τοιοῦτο συμβέβηκεν, ὡς ἐπὶ Ἄχαρ τοῦ τὴν ποικίλην στολὴν ἀφελομένου τοῦ ἀναθήματος, καὶ κατὰ τοῦ λαοῦ τὴν τοῦ Θεοῦ ἐκκαύσαντος ὀργήν. ἀλλ' "ἴσως τινὲς τῶν παρόντων τὰ τῆς ἱστορίας ταύτης "ἀγνοοῦσι. διὰ τοῦτο δεῖ βραχέα περὶ ταύτης "εἰπόντα ὑπομνῆσαι μὲν τοὺς εἰδότας, διδάξαι δὲ τοὺς ἀγνοοῦντας. οὗτος τοίνυν ὁ Ἄχαρ εἷς ἐτύγχανε τῶν μετὰ Ἰησοῦ τοῦ Ναυῆ διαβάντων τὸν Ἰορδάνην, Ἰησοῦ ἐκείνου τῇ ψήφῳ Θεοῦ διαδόχου Μωϋσέως προκεκριμένου, τοῦ εἰκόνα καὶ τύπον ἐπέχοντος τοῦ ἀληθινοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ὥσπερ γὰρ ἐκεῖνος ἐκ τῆς ἐρήμου διὰ τοῦ Ἰορδάνου εἰς τὴν γῆν τῆς ἐπαγγελίας τὸν λαὸν διεβίβασεν, οὕτω καὶ ὁ σωτὴρ ἡμῶν ἐκ τῆς ἐρήμου τῆς ἀγνωσίας καὶ τῆς εἰδωλολατρείας, διὰ τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος εἰς τὴν ἄνω Ἱερουσαλὴμ ἡμᾶς "μετεποίησεν, [εἰς] τὴν μητέρα τῶν πρωτοτόκων, ἐν ᾗ τῆς ἀληθινῆς καταπαύσεως ηὐτρεπίσθησαν αἱ μοναὶ ἔνθα ἡ ἀστασίαστος καὶ εἰρηνικὴ διατριβή. οὗτος τοίνυν τῇ τοῦ προστάττοντος δυνάμει τὸν λαὸν διαβιβάσας, προσέβαλε τῇ Ἱεριχῷ, καὶ τὴν ξένην ἐκείνην πολιορκίαν ἐνεργῶν, ἤδη

Ιησ. ϛ. ιζ.

τῶν τειχῶν καταπίπτειν μελλόντων, τί φησι πρὸς τὸν λαόν; Ἔσται ἀνάθημα ἡ πόλις αὕτη, καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτῇ, Κυρίῳ Σαβαώθ· πλὴν Ῥαὰβ τὴν πόρνην περιποιήσασθε αὐτήν. Φυλάξασθε οὖν ἀπὸ τοῦ ἀναθήματος, μήποτε ἐνθυμηθέντες ὑμεῖς λάβητε ἀπ' αὐτοῦ, καὶ ἐκτρίψητε ἡμᾶς. ἀφιερώθη, φησὶν, ἅπαντα τὰ ἐν τῇ πόλει (τοῦτο γὰρ

τὸ ἀνάθημα δηλοῖ) μή τις οὖν νοσφίσηται τῶν ἀνατεθέντων Κυρίῳ τῷ Θεῷ, καὶ ἐξολοθρεύσει
ἡμᾶς ἐκ τῆς γῆς. ἐπικίνδυνος ἡ ἐντολή, πολὺ δὲ τῆς ἀκριβείας τοῦ τε προστάσσοντος
Θεοῦ, καὶ τοῦ νομοθετοῦντος Ἰησοῦ. πῶς γὰρ οὐκ ἦν ἐν τοσούτῳ πλήθει μὴ παραβαθῆναι
τὸν νόμον τοῦτον, πολλῶν ὄντων τῶν συνωθούντων πρὸς τοῦτο; ἢ γὰρ τὸ ἀστάθμητον καὶ
τὸ φιλοκερδὲς τοῦ δήμου, ἢ τὸ μὴ πάντας κατηκόους γενέσθαι τῆς παρατεθείσης ἐντολῆς, ἢ ἡ
ποικιλία τῶν σκύλων, καθάπερ δέλεαρ, προκειμένη, καὶ τοὺς φιλοκτήμονας δελεάζουσα,
εὐκόλως ἂν πρὸς τὴν παράβασιν παρώρμησεν. ἀλλ' [ὅμως] ὁ νόμος οὕτως ἐτέθη, καὶ
ὑπὲρ κεφαλῆς ὁ τῆς παραβάσεως αὐτοῦ κίνδυνος ἐπεκρεμάσθη. τί οὖν μετὰ τοῦτο; κατέπεσον
τὰ τείχη, καὶ ἐν χερσὶ τῶν πολιορκούντων τὰ τῆς πόλεως ἐγένετο πάντα. παντὸς
τοίνυν τοῦ λαοῦ τὴν ἐντολὴν ταύτην διατηροῦντος, ἡ τοῦ ἑνὸς παράβασις εἰς ἅπαν
τὸ πλῆθος τὴν τοῦ Θεοῦ ἀνῆψεν ὀργήν. Ἐπλημμέλησαν γάρ, φησιν, οἱ υἱοὶ Ἰσραὴλ Ἰησ. ζ. ια.
πλημμέλειαν μεγάλην, καὶ ἐνοσφίσαντο, καὶ ἔλαβον ἀπὸ τοῦ ἀναθήματος, καὶ ἔλαβεν Ἄχαρ
υἱὸς Χαρμὶ ἀπὸ τοῦ ἀναθήματος, καὶ ἐθυμώθη ὀργῇ Κύριος τοῖς υἱοῖς Ἰσραήλ. καὶ μὴν
εἷς ἦν ὁ πλημμελήσας· πῶς οὖν ἐπλημμέλησαν οἱ υἱοὶ Ἰσραήλ, καὶ ἐθυμώθη Κύριος
τοῖς υἱοῖς Ἰσραήλ; ὁρᾷς πῶς ἡ τοῦ ἑνὸς ἁμαρτία παντὶ τῷ λαῷ τὴν τιμωρίαν προεξένησε;
πῶς πρὸς τὸ πλῆθος τὸν Θεὸν ἐξεπολέμωσεν; ἐπεὶ οὖν τὸ παράνομον ἐπράχθη,
καὶ οὐδεὶς ἦν ὁ συνειδώς, πλὴν μόνου τοῦ τὰ κρύφια γινώσκοντος Θεοῦ, ἡ μὲν τιμωρία
ἤμελλεν, ὁ δὲ πράξας τοῦτο, κἂν ἐδόκει λανθάνειν, ἀλλ' ὅμως ὑπὸ τοῦ συνειδότος, ὡς ὑπὸ
πυρὸς κατεκαίετο. ἦλθε τοίνυν καὶ τῆς ἀπειλῆς ὁ καιρός, καὶ τοῦ φανερὸν γενέσθαι τὸ ἁμάρτημα.
Ἀπέστειλε γάρ, φησιν, Ἰησοῦς ἄνδρας ἀπὸ Ἱεριχὼ εἰς Γαΐ, καὶ ἀνέβησαν ἐκεῖ ὡσεὶ τρισχίλιοι Ησ. ζ. α.
ἄνδρες, καὶ ἔφυγον ἀπὸ προσώπου τῶν ἀνδρῶν Γαΐ, καὶ ἀπέκτειναν ἀπ' αὐτῶν τριάκοντα
καὶ ἓξ ἄνδρας, καὶ ἀπεδίωξαν αὐτούς, καὶ συνέτριψαν αὐτούς, καὶ ἐπτοήθη ἡ καρδία τοῦ
λαοῦ, καὶ ἐγένετο ὥσπερ ὕδωρ. ὅρα μιᾶς ἁμαρτίας εἴσπραξιν, ὅρα πληγὴν ἀπαραμύθητον.
εἷς ἐπλημμέλησε, καὶ εἰς ἅπαντα τὸν δῆμον ὁ θάνατος καὶ ἡ δειλία ἐπέπεσε. τί
τοῦτο, ὦ φιλάγαθε δέσποτα; σὺ εἶ μόνος δίκαιος, καὶ εὐθεῖς αἱ κρίσεις σου· σὺ ἑκάστῳ κατὰ
τὰ οἰκεῖα ἔργα ἀπονέμεις [τὴν κρίσιν], σὺ ἔφης, φιλάνθρωπε, ἐν τῇ ἰδίᾳ ἕκαστον ἀποθανεῖσθαι
ἁμαρτίᾳ, καὶ μὴ ἄλλον ἀντὶ ἄλλου τιμωρηθήσεσθαι. τίς οὖν αὕτη ἡ δικαία σου
ψῆφος; καλά σου τὰ πάντα, Κύριε, καὶ λίαν καλά, καὶ πρὸς τὸ συμφέρον ἡμῖν οἰκονομούμενα.
λύμη τίς ἐστι, φησιν, ἡ ἁμαρτία· ἐκ κοινοῦ ἐκπομπευέσθω διὰ τῆς τιμωρίας εἰς
πάντας, ἵνα μὴ τοὺς πάντας καταλυμαίνηται, ἵνα γνόντες πόσην ἀπειλὴν μία παράβασις
ἔτεκε, φύγωσι τὴν ἐκ πλειόνων ἀτελεύτητον κόλασιν. ἰδὼν οὖν, φησιν, ὁ Ἰησοῦς τὴν
ἀνυπόστατον φυγήν, διέρρηξε τὰ ἱμάτια αὐτοῦ, καὶ ἔπεσεν ἐπὶ τὴν γῆν, ἐκείνους τοὺς θρήνους
τραγῳδῶν, οὓς ἡ θεία σημαίνει γραφή. τί οὖν πρὸς αὐτὸν ὁ δεσπότης; Ἀνάστηθι· ἵνα τί Ἰησ. ζ. ι.
οὕτω συμπέπτωκας; ἡμάρτηκεν ὁ λαός σου, καὶ παρέβη τὴν διαθήκην μου, καὶ οὐ μὴ δυνήσονται
οἱ υἱοὶ Ἰσραὴλ στῆναι κατὰ πρόσωπον τῶν ἐχθρῶν αὐτῶν, ἕως ἂν ἐξάρητε τὸ ἀνάθημα
ἐξ ὑμῶν αὐτῶν. ἐκηρύχθη τοίνυν ἐν τῷ λαῷ τοῦτο, καὶ μηνύεται ὑπὸ Θεοῦ ὁ
τὴν παράβασιν πράξας· συγκατατίθεται οὗτος. ἀπεκρίθη γάρ, φησιν, Ἄχαρ τῷ Ἰησοῦ, καὶ
εἶπεν· Ἀληθῶς ἥμαρτον ἐναντίον τοῦ Κυρίου Θεοῦ Ἰσραήλ· οὕτω, καὶ οὕτως ἐποίησα. εἶδον
ἐν τῇ προνομῇ στολὴν ψιλήν, ποικίλην, λίαν καλήν, καὶ διακόσια δίδραχμα ἀργυρίου, καὶ
γλῶσσαν μίαν χρυσῆν πεντήκοντα διδράχμων, καὶ ἐνθυμηθεὶς ἔλαβον, καὶ ἰδοὺ ταῦτα ἐγκέκρυπται
ἐν τῇ γῇ ἐν τῇ σκηνῇ μου. πάντα λοιπὸν εἰς φανερὸν ἄγει, ἐπειδὴ ἀψευδῆ τὸν ταῦτα
καταμηνύσαντα ἑώρα, σφοδρόν τε εἶχε τὸν ἐλέγχοντα μάρτυρα. ὅρα δὲ τὸν ἐπονείδιστον καὶ
ὀλέθριον αὐτοῦ θάνατον. Ἀνήνεγκε, φησιν, αὐτὸν Ἰησοῦς εἰς φάραγγα Ἄχωρ, καὶ τοὺς υἱοὺς αὐτοῦ,
καὶ τὰς θυγατέρας αὐτοῦ, καὶ τοὺς μόσχους αὐτοῦ, καὶ τὰ ὑποζύγια αὐτοῦ, καὶ πάντα τὰ πρόβατα

αὐτοῦ, καὶ τὴν σκηνὴν αὐτοῦ, καὶ πάντα ὅσα ὑπῆρχεν αὐτῷ· καὶ ἐλιθοβόλησαν αὐτὰ πᾶς Ἰσραὴλ ἐν λίθοις. αὕτη τῆς παρανομίας ἡ ἀνταπόδοσις· οὕτως ἡ τοῦ Θεοῦ ἀδέκαστός ἐστι δίκη. τοῦτο τοίνυν εἰδότες, οἰκείων ἁμαρτημάτων εἴσπραξιν, τὴν τῶν ἀνιαρῶν ἔφοδον λογιζώμεθα, καὶ καθ' ἑκάστην τὰ ἑαυτῶν ἐξετάζοντες ἐγκλήματα, μὴ ἑτέροις, ἀλλ' ἡμῖν αὐτοῖς τὴν τούτων παραιτώμεθα αἰτίαν. οὐ γὰρ ἡ τῶν ἀρχόντων " μόνον ἀπροσεξία, ἀλλὰ πολλῷ μᾶλλον τὰ ἡμέτερα πταίσματα τὰ κακὰ " συνεισήγαγεν. οὕτω τοίνυν ἐνταῦθα παραγινόμενος ἕκαστος, καὶ τὰ οἰκεῖα λογιζόμενος παραπτώματα, οὔτε ἑτέροις μέμψοιτο*, καὶ μετὰ τῆς προσηκούσης εὐταξίας τὴν " προσοῦσαν ἀναπέμψοι δοξολογίαν. ἔστι δὲ ἡ παρ' ἡμῶν ἀπαιτουμένη εὐταξία τοιαύτη· πρῶτον μὲν συντετριμμένῃ καρδίᾳ προσέρχεσθαι τῷ Θεῷ, ἔπειτα καὶ τὸ τῆς καρδίας ἦθος διὰ τοῦ φαινομένου σχήματος ὑποδεικνύειν, διὰ τῆς στάσεως, διὰ τῆς τῶν χειρῶν εὐταξίας, διὰ τῆς πρᾳείας καὶ συνεσταλμένης φωνῆς. εὔκολον γὰρ τοῦτο, καὶ παντὶ τῷ βουλομένῳ δυνατόν. πῶς οὖν εἰς πάντας κατορθωθήσεται; θῶμεν ἑαυτοῖς νόμον, καὶ εἴπωμεν, ὅτι κοινωφελὴς ἐντολὴ κατεβλήθη, καὶ δεῖ πάντας ἡμᾶς τῆς τοιαύτης μετασχεῖν ὠφελείας. διὰ τοῦτο καὶ τὰς ἀτάκτους κατασιγάσωμεν φωνάς, καὶ " τὰ τῶν χειρῶν καταστείλωμεν ἤθη, δεδεμένας ταύτας παριστάνοντες τῷ Θεῷ, καὶ μὴ τοῖς ἀκόσμοις ἐπαιρομένας νεύμασι. μισεῖ γὰρ τοῦτο, καὶ ἀποστρέφεται ὁ Θεός, ὥσπερ τὸν συνεσταλμένον ἀγαπᾷ καὶ προσίεται. Ἐπὶ τίνα γάρ, φησιν, ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους; εἴπωμεν ἀλλήλοις, ὅτι οὐ βούλεται αὐτῷ προσδιαλεγομένους ἡμᾶς καὶ ἑαυτοῖς προσομιλεῖν, οὐδὲ ἀφέντας τὴν πρὸς αὐτὸν διάλεξιν τὰς τῶν παρόντων ἀνακινεῖν συντυχίας, καὶ τῷ βορβόρῳ τοὺς μαργαρείτας ἀναφύρειν. ὕβριν γὰρ οἰκείαν, καὶ οὐ δοξολογίαν τὸ τοιοῦτον ἡγεῖται. κἂν τις βουληθείη ταύτην παραβῆναι τὴν ἐντολήν, ἐπιστομίσωμεν, ὡς ἐπίβουλον τῆς ἡμετέρας σωτηρίας, ἀποδιώξωμεν, ἔξω τῶν περιβόλων τῆς ἁγίας ἐκκλησίας ἐκβάλλωμεν. οὕτω γὰρ ποιοῦντες, τὰ μὲν πρότερα ἁμαρτήματα ῥᾳδίως ἀπονιψόμεθα, αὐτὸν δὲ τὸν δεσπότην εἰς μέσον ἕξομεν μετὰ τῶν ἁγίων ἀγγέλων συγχορεύοντα, καὶ ἑκάστῳ τοὺς τῆς εὐταξίας ἀπονέμοντα στεφάνους. ἐπεὶ γάρ ἐστι φιλάνθρωπος, καὶ μεγαλόδωρος, καὶ χαίρει ἐπὶ τῇ ἡμετέρᾳ σωτηρίᾳ, διὰ τοῦτο ἐπιτερπόμενος τοῖς ἡμῶν καλοῖς καὶ βασιλείαν οὐρανῶν ἐπηγγείλατο, καὶ ζωῆς ἀκηράτου μέθεξιν, καὶ πάντα τὰ ἀγαθὰ προητοίμασε, βουλόμενος ἡμᾶς ἐν τούτοις *κατασκηνῶσαι· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις τῷ πατρί, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ησ. ξς. β.

χ. μόν

χ. ἐπεισ

* αὐ

χ. πρέπ

χ. τὴν ἠ

συνήθ

αν.

* δι' αὐτ

Λογ. κβ. ΠΕΡΙ ΟΖΙΟΥ ΛΟΓΟΣ Β. ΚΑΙ ΕΙΣ ΤΟ ΡΗΤΟΝ, Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς, εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου· καὶ ὅτι οὐ δεῖ χρόνον, οὐδὲ στοιχεῖον ἓν παρατρέχειν τῶν θείων γραφῶν.

Ησ. ς. α.

Χαίρω συντρέχοντας ὑμᾶς ὁρῶν πρὸς τὴν ἀκρόασιν τῶν θείων λογίων, καὶ τεκμήριον μέγιστον τοῦτο ποιοῦμαι τῆς κατὰ Θεὸν ὑμῶν προκοπῆς. ὥσπερ γὰρ τὸ πεινῆν σωματικῆς ἐστιν εὐεξίας [σημεῖον], οὕτω τὸ λόγων ἐρᾶν πνευματικῶν ψυχικῆς ὑγιείας σημεῖόν ἐστι. χαίρομεν οὖν διὰ τοῦτο· δέδοικα δὲ μήποτε τῆς " προθυμίας ταύτης οὐδὲν ἄξιον δυνηθῶ παρασχεῖν. οὕτω που καὶ μήτηρ ὀδυνᾶται φιλόστοργος, ὅταν ὑπομάζιον ἔχουσα παῖδα τὰς τοῦ γάλακτος πηγὰς μὴ δύνηται ἀφθόνως παρασχεῖν αὐτῷ. ἀλλ᾽ ὅμως καὶ ἐνδεῶς ἔχουσα τὸν μαστὸν ἐπιδίδωσιν, ὁ δὲ λαβὼν ἕλκει καὶ κατατείνει, καὶ τῷ στόματι κατεψυγμένην θερμαίνων τὴν θηλὴν, πλείω τῆς οὔσης ἐκκαλεῖται τὴν τροφήν· ἡ δὲ μήτηρ ἀλγεῖ μὲν κατατεινομένων αὐτῆς τῶν μαζῶν, οὐκ ἀπωθεῖται δὲ τὸ παιδίον. μήτηρ γάρ ἐστι, καὶ πάντα ἂν ἕλοιτο παθεῖν μᾶλλον, ἢ λυπῆσαι τὸ τεχθέν. εἰ οὖν μητέρες περὶ τὰ ἔκγονα οὕτως εἰσὶ φιλόστοργοι, πολλῷ μᾶλλον ἡμᾶς περὶ τὴν ὑμετέραν ἀγάπην οὕτω διακεῖσθαι χρή. τῶν γὰρ τῆς φύσεως θερμότεραι αἱ τοῦ πνεύματος ὠδῖνές εἰσιν. ὥστε εἰ καὶ πολλῆς ἡμῖν πενίας ἡ τράπεζα γέμει, οὐδὲ οὕτως αὐτὴν ἀποκρυψόμεθα, ἀλλὰ πάντα εἰς μέσον [τὰ παρ᾽ ἡμῶν] φέροντες, καταθήσομεν ὑμῖν, "καὶ μικρὰ ὄντα ταῦτα καὶ εὐτελῆ, τὸν τῆς κατακρίσεως ὑφορώμενοι κίνδυνον. ἐπεὶ κἀκεῖνος ὁ τὸ τάλαντον ἐμπιστευθεὶς, οὐχ ὅτι μὴ πέντε προσήνεγκε τάλαντα, διὰ τοῦτο ἐνεκαλεῖτο, ἀλλ᾽ ὅτι καὶ τὸ ἓν κατέχωσεν ὅπερ ἔλαβε, διὰ τοῦτο δίκην "ἐδίδου. τὸ γὰρ ζητούμενον παρὰ τῷ Θεῷ [καὶ ἀνθρώποις] οὐκ ὀλίγα ἢ πολλὰ καταθεῖναι, ἀλλὰ μηδαμοῦ τῆς ὑπαρχούσης δυνάμεως ἐλάττω τὴν εἰσφορὰν ἐνεγκεῖν. ἠκούσατε πρώην, ὅτε πρὸς τὴν ὑμετέραν ἀγάπην διαλεχθῆναι κατηξιώθημεν, τὸν ψαλμὸν ἐκεῖνον ἀναγνωσκόντων ἡμῶν, ὃς τὸν ἁμαρτωλὸν τῶν ἱερῶν περιβόλων "ἐκβαλὼν, ἀγγέλοις καὶ ταῖς ἄνω δυνάμεσιν "εὐφημεῖν παρεκελεύετο τὸν τῶν ὅλων Θεόν. βούλεσθε οὖν καὶ σήμερον αὐτοῦ τοῦ "ἀγγελικοῦ μέλους ἀκούσωμεν ἐγγύς που παραστάντες ἐκεῖ; ἐμοίγε δοκεῖ. εἰ γὰρ ἄνθρωποι μιαροὶ χοροὺς "ἱστάντες ἐπὶ τῆς ἀγορᾶς, ἐν σκότει βαθεῖ καὶ "ἀωρὶ τῶν νυκτῶν πορνικὰ ᾄσματα καὶ "κεκλασμένα ᾄδοντες μέλη, πᾶσαν "ἀναπληροῦσι τὴν πόλιν [ἡμῶν] καὶ πρὸς ἑαυτοὺς ἐπιστρέφουσιν, ἡμεῖς τῶν ἐπουρανίων δήμων, τῶν ἄνω χορῶν τὸν βασιλέα τοῦδε τοῦ παντὸς ἀνυμνούντων οὐ συνδραμούμεθα, ὥστε ἀκοῦσαι τῆς θείας ἐκείνης καὶ μακαρίας φωνῆς; καὶ τίς ἂν ἡμῖν γένοιτο συγγνώμη; καὶ πῶς ἐστιν ἀκοῦσαι, φησίν; εἰς αὐτὸν ἀνελθόντας τὸν οὐρανὸν *, εἰ καὶ μὴ τῷ σώματι, [ἀλλὰ τῷ φρονήματι εἰ καὶ μὴ τῇ παρουσίᾳ], ἀλλὰ τῇ διανοίᾳ. τὸ μὲν γὰρ σῶμα γεῶδες ὂν καὶ βαρὺ, κάτω πέφυκε μένειν, ἡ δὲ ψυχὴ τῆς ἀνάγκης ταύτης ἀπήλλακται, [καὶ τοῖς ὑψηλοτάτοις καὶ "μετεωροτάτοις χωρίοις ῥᾳδίως ἐφίπταται·] ὥστε κἂν εἰς αὐτὰς θελήσῃ τῆς οἰκουμένης τὰς ἐσχατιὰς ἐλθεῖν, καὶ εἰς τὸν οὐρανὸν ἀναβῆναι, τὸ κωλῦον οὐδέν. οὕτως αὐτῇ κοῦφα τὰ πτερὰ τῶν λογισμῶν δέδωκεν ὁ Θεός. οὐ πτερὰ δὲ κοῦφα δέδωκε μόνον, ἀλλὰ καὶ ὀφθαλμοὺς ἐχαρίσατο πολλῷ τοῦ σώματος ὀξύτερον βλέποντας. ἡ μὲν γὰρ τοῦ σώματος ὄψις, ἂν μὲν διὰ κενοῦ "φέρηται τοῦ ἀέρος, μέχρι πολλοῦ τοῦ διαστήματος πρόεισιν· ἂν δὲ μικρῷ περιπέσῃ σώματι, καθάπερ ῥεῦμα φερόμενον ἀνακαιτισθὲν, εἰς τοὐπίσω πάλιν ἀποστρέφεται· οἱ δὲ τῆς ψυχῆς ὀφθαλμοὶ, κἂν τοῖχοι, κἂν τείχη, κἂν ὀρῶν μεγέθη, κἂν αὐτὰ τῶν οὐρανῶν εὕρωσιν αὐτοῖς ἀπαντῶντα τὰ σώματα, πάντα παραδραμοῦνται ῥᾳδίως. ἀλλ᾽ ὅμως οὕτω καὶ ταχυτῆτος καὶ ὀξυωπίας ἔχουσα ἡ ψυχὴ, οὐκ ἔστιν αὐτάρκης πρὸς τὴν τῶν οὐρανίων κατανόησιν αὐτὴ καθ᾽ ἑαυτὴν, ἀλλὰ τοῦ χειραγωγήσοντος αὐτὴν δεῖται. ποιήσωμεν οὖν ὃ περὶ τὰς βασιλικὰς αὐλὰς οἱ ἐπιθυμοῦντες ἰδεῖν ποιοῦσι. τί δαὶ ἐκεῖνοι ποιοῦσι; ζητήσαντες τὸν τὰ κλεῖθρα τῶν θυρῶν ἐγκεχειρισμένον, ἐκείνῳ προσέρχονται καὶ διαλέγονται καὶ ἱκετεύουσι, πολλάκις δὲ καὶ ἀργύριον καταβάλλουσιν, ὥστε δοῦναι αὐτοῖς τὴν χάριν. προσέλθωμεν οὖν καὶ ἡμεῖς "τινι τῶν τὰς πύλας ἐπιτετραμμένων τὰς οὐρανίους, καὶ διαλεχθῶμεν, ἱκετεύσωμεν, ἀντ᾽ ἀργυρίου προαίρεσιν ἐπιδειξώμεθα καὶ διάθεσιν εἰλικρινῆ. κἂν τοῦτον ἐκεῖνος λάβῃ τὸν μισθὸν, τῆς χειρὸς ἡμῶν λαβόμενος, πανταχοῦ περιηγήσεται, οὐκ αὐτὰ δεικνὺς τὰ βασίλεια, ἀλλ᾽ αὐτὸν καθήμενον τὸν βασιλέα, τῶν στρατευμάτων παρόντων, καὶ τῶν ἀρχιστρατήγων παρεστώτων, τῶν μυριάδων τῶν ἀγγελικῶν, τῶν χιλιάδων τῶν ἀρχαγγελικῶν· πάντα ἡμῖν ἐπιδείξει μετ᾽ ἀκριβείας, ὡς ἡμῖν ἰδεῖν δυνατόν. τίς

Ματθ. κε.

εἰ δὲ μικρὰ
ῦτα καὶ ἀ-
λῆ, ἀλλ᾽
ως παρέχο-
μ. ἐπεὶ
. ἔδωκε.

. ἐκβάλλων
. συνευφη-
ιν.
. μυστικοῦ
. ἱστῶντες
. ἀωρὰ
. κατακεκλ.
. αἱ ἀπετά-
υσι

εἰ δυνατὸν,

. πρόρρωτα-
ις

. φαίνηται

. ἐνὶ

οὖν ἐστιν οὗτος; τίς ὁ τὸ μέρος τοῦτο ἐμπεπιστευμένος, καθ' ὃ βουλόμεθα [νῦν] εἰσελθεῖν; Ἡσαΐας, ὁ τῶν προφητῶν μεγαλοφωνότατος. οὐκοῦν ἀνάγκη τούτῳ διαλεχθῆναι. ἀλλ' ἐπίβατε κατεσταλμένῳ ῥυθμῷ βαδίζοντες μετὰ ἡσυχίας πολλῆς. μηδεὶς φροντίδας ἔχων βιωτικὰς εἰσίτω, μηδεὶς μετέωρος μήτε ἐπτοημένος, ἀλλὰ ταῦτα πάντα ἔξω πρὸ τῶν θυρῶν ἀποθέμενοι, πάντες οὕτως εἰσίωμεν. εἰς ″ βασίλεια γὰρ εἰσερχόμεθα τῶν οὐρανῶν, ἀστραπτόντων ἐπιβαίνομεν χωρίων, πολλῆς τὰ ἔνδον γέμει σιγῆς καὶ μυστηρίων ἀπορρήτων. ἀλλὰ προσέχετε μετὰ ἀκριβείας. ἡ γὰρ τῶν γραφῶν ἀνάγνωσις τῶν οὐρανῶν ἐστιν ἄνοιξις.

Ησ. ϛ. α.

Καὶ ἐγένετο, φησὶ, τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεὺς, εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. εἶδες εὐγνώμονος οἰκέτου φιλοφροσύνην; εὐθέως ἡμᾶς παρὰ τὸν θρόνον εἰσήγαγε τὸν βασιλικὸν, οὐ μακρὰς πρότερον παραγαγὼν εἰσόδους, ἀλλ' ὁμοῦ τε τὰς πύλας ἀνέῳξε, καὶ κατάντικρυ τὸν βασιλέα καθήμενον ἔδειξε. καὶ τὰ σεραφεὶμ, φησὶν, εἱστήκεισαν κύκλῳ αὐτοῦ· ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ κατεκάλυπτον τὸ πρόσωπον*, καὶ ταῖς δυσὶ τοὺς πόδας, καὶ ταῖς δυσὶν ἐπέτοντο. καὶ ἐκέκραγον ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἔλεγον· Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ. ὄντως ἅγιος, ὅτι τοσούτων καὶ τηλικούτων μυστηρίων κατηξίωσε τὴν ἡμετέραν φύσιν, ὅτι τοιούτων ἡμᾶς ἐποίησεν ἀπορρήτων κοινωνούς. φρίκη με καὶ τρόμος μεταξὺ ἔλαβε τῆς ὠδῖνος ταύτης. καὶ τί θαυμαστὸν, εἰ ἐμὲ τὸν πηλινὸν καὶ τὸν ἀπὸ γῆς, ὅπουγε καὶ αὐτὰς τὰς ἄνω δυνάμεις διαπαντὸς μεγίστη ἔκπληξις κατέχει. διὰ τοῦτο γοῦν ἀποστρέφουσι τὰς ὄψεις, καὶ τὰς πτέρυγας ἀντὶ τείχους προβάλλονται, τὰς ἐκεῖθεν ἀκτῖνας μὴ φέρουσαι. καίτοι, φησὶ, συγκατάβασις ἦν τὸ φαινόμενον. πῶς οὖν οὐκ ἤνεγκαν; ἐμοὶ ταῦτα λέγεις; εἰπὲ τοῖς τὴν ἀπόρρητον καὶ μακαρίαν πολυπραγμονοῦσι φύσιν, τοῖς τὰ ἀτόλμητα τολμῶσι. τὰ σεραφεὶμ οὐδὲ συγκατάβασιν ″ ἐτόλμησαν ἰδεῖν, ἄνθρωπος δὲ ἐτόλμησεν εἰπεῖν, μᾶλλον δὲ ἄνθρωπος εἰς νοῦν ″ λαβεῖν ἐτόλμησεν, ὅτι τὴν φύσιν τὴν ἀκραιφνῆ [τὴν καὶ τοῖς χερουβεὶμ ἀθεώρητον] δύναται μετ' ἀκριβείας ἰδεῖν, [καὶ σαφῶς]; φρῖξον οὐρανὲ, ἔκστηθι γῆ· μείζονα ταῦτα ἐκείνων τὰ τολμήματα. ἃ μὲν γὰρ τότε ἠσέβουν ἐκεῖνοι, καὶ νῦν ἀσεβοῦσιν οὗτοι (τὴν γὰρ κτίσιν προσκυνοῦσιν ὁμοίως) ὃ δὲ ἐπενόησαν οὗτοι νῦν, οὐδεὶς τῶν τότε ἀνθρώπων οὔτε εἰπεῖν, οὔτε ἀκοῦσαι ἐτόλμησε. τί λέγεις; συγκατάβασις ἦν τὸ φαινόμενον; ναὶ, ἀλλὰ Θεοῦ συγκατάβασις. Εἰ ″ οὖν ὁ πολλὴν παῤῥησίαν ἔχων πρὸς τὸν Θεὸν Δανιὴλ ἄγγελον συγκαταβάντα αὐτῷ ἰδεῖν οὐχ ὑπέμεινεν, ἀλλ' ἔπεσε καὶ πρηνὴς ἔκειτο, τῶν συνδέσμων τῆς ″ ὀσφύος αὐτοῦ λυθέντων [ὑπὸ τῆς δόξης ἐκείνης], τί θαυμαστὸν, εἰ τὰ σεραφεὶμ ″ ἐξεπλάγη, οὐκ ἐνεγκόντα τὴν δόξαν ἐκείνην ″ ὁρᾶν; οὐ γὰρ τοσοῦτον τοῦ Δανιὴλ πρὸς τὸν ἄγγελον τὸ μέσον, ὅσον τοῦ Θεοῦ πρὸς τὰς δυνάμεις ἐκείνας. ἀλλ' ἵνα μὴ καὶ ἡμεῖς ἐπὶ πλεῖον τοῖς θαύμασι τούτοις ἐνδιατρίβοντες, εἰς θάμβος ἐμβάλωμεν ὑμῶν τὴν ψυχὴν, φέρε ἐπὶ τὴν ἀρχὴν τῆς ἱστορίας τὸν λόγον ἐπιστρέψαντες, ″ ταπεινοτέροις αὐτὴν ψυχαγωγήσωμεν διηγήμασι. καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς. ἄξιον πρῶτον ἐπιζητῆσαι, τίνος ἕνεκεν τὸν χρόνον ἡμῖν ὁ προφήτης ἐπισημαίνεται. οὐ γὰρ ἁπλῶς, οὐδὲ εἰκῆ τοῦτο ποιεῖ. τὰ γὰρ τῶν προφητῶν στόματα τοῦ Θεοῦ ἐστι στόμα· τὸ δὲ τοιοῦτον στόμα οὐδὲν ἂν εἴποι παρέργως. μὴ τοίνυν μηδὲ ἡμεῖς παρέργως ἀκούωμεν. εἰ γὰρ οἱ τὰ μέταλλα διορύττοντες, οὐδὲ τὰ μικρὰ ψήγματα παρατρέχουσιν, ἀλλ', ὅταν χρυσίτιδος ἐπιλάβωνται φλεβὸς, τὰς ἶνας ἀκριβῶς περισκοποῦσι, πόσῳ μᾶλλον ἐπὶ τῶν γραφῶν τοῦτο ποιεῖν ἡμᾶς χρή; καίτοιγε ἐπὶ τῶν μετάλλων σφόδρα δυσθήρατος ἡ τῶν ζητουμένων ἐστὶν εὕρεσις. ἐπειδὴ γὰρ καὶ τὰ μέταλλα γῆ, καὶ τὸ χρυσίον οὐδὲν ″ ἕτερον ἐστιν, ἢ γῆ, καὶ ἡ κοινωνία τῆς φύσεως τῶν ζητουμένων κλέπτει τὰς ὄψεις, ἀλλ' ὅμως οὐδὲ οὕτως ἀφίστανται ἐκεῖνοι, ἀλλὰ πᾶσαν ἀκρίβειαν ἐπιδείκνυνται· καίτοι ὁρῶντες ἴσασι, τί μὲν ὄντως γῆ, τί

δ'

γρ. βασιλ

* ἑαυτῶν

γρ. ἤνεγκαν

γρ. βαλεῖν

γρ. ὅ

γρ. αὐτῷ παραλυθέντων

γρ. συγκύπτει τὰς ὄψ

γρ. ἰδεῖν;

γρ. ἀσφαλεστέρους ὑμᾶς,

γρ. ἄλλο

δὲ ὄντως χρυσίον. ἐπὶ δὲ τῆς γραφῆς οὐκ ἔστιν οὕτως. οὐ γὰρ μετὰ τῆς γῆς ἀναμεμιγμένον πρόκειται τὸ χρυσίον, ἀλλὰ καθαρὸν χρυσίον ἐστί. Τὰ λόγια γὰρ, φησὶ, Κυρίου ἁγνὰ, ἀργύριον πεπυρωμένον δοκίμιον τῇ γῇ. (Ψαλ. ια. ζ.) οὐ γὰρ ἐστι μέταλλα κατεργασίας δεόμενα αἱ γραφαὶ, ἀλλὰ θησαυρὸν ἕτοιμον προέχουσι τοῖς ζητοῦσι τὸν πλοῦτον τὸν ἐξ αὐτῶν. ἀρκεῖ γὰρ παρακύψαι μόνον, καὶ πάσης ἐμπλησθέντας ὠφελείας ἀπελθεῖν. ἀρκεῖ μόνον διοῖξαι, καὶ τῶν λίθων εὐθέως θεωρῆσαι τὰς μαρμαρυγάς. ταῦτα δέ μοι οὐχ ἁπλῶς εἴρηται, οὐδὲ εἰκῆ ἐξέτεινα τὸν λόγον· ἀλλ' ἐπειδή τινές εἰσιν ἄνθρωποι βάναυσοι, οἳ, ἐπειδὰν τὰς θείας μετὰ χεῖρας λάβωσι βίβλους, εἶτα ἀριθμὸν χρόνων ἢ κατάλογον εὕρωσι κείμενον ὀνομάτων, εὐθέως παρατρέχουσι, καὶ πρὸς τοὺς ἐγκαλοῦντας λέγουσιν· ὀνόματα μόνον ἐστὶ, καὶ οὐδὲν χρήσιμον ἔχει. τί λέγεις; ὁ Θεὸς φθέγγεται, καὶ σὺ τολμᾷς εἰπεῖν, οὐδὲν χρήσιμον τῶν εἰρημένων ἐστίν; εἰ γὰρ ἐπιγραφὴν μόνον ἴδοις ψιλὴν, οὐ στήσῃ μετὰ σπουδῆς, εἰπέ μοι, καὶ τὸν κείμενον ἀνερευνήσεις πλοῦτον; καὶ τί λέγω χρόνους καὶ ὀνόματα καὶ ἐπιγραφάς; μάθε ὅσον ἰσχύει καὶ στοιχείου προσθήκη ἑνὸς μόνου, καὶ παῦσαι ὁλοκλήρων καταφρονῶν ὀνομάτων. ὁ πατριάρχης ἡμῶν Ἀβραὰμ (ἡμῖν γὰρ μᾶλλον, ἢ τοῖς Ἰουδαίοις προσήκει οὗτος) Ἀβρὰμ τὸ πρότερον ἐκαλεῖτο, ὅπερ ἑρμηνευόμενόν ἐστι περάτης· μετὰ δὲ ταῦτα, Ἀβραὰμ μετονομασθεὶς πατὴρ ἐγένετο πάντων τῶν ἐθνῶν, καὶ ἑνὸς προσθήκη στοιχείου τοσαύτην τῷ δικαίῳ τὴν ἀρχὴν ἐνεχείρισε. καθάπερ γὰρ οἱ βασιλεῖς τοῖς ἑαυτῶν ὑπάρχοις χρυσᾶς ὀρέγουσι δέλτους, σύμβολον τῆς ἀρχῆς· οὕτω καὶ ὁ Θεὸς τότε τῷ δικαίῳ ἐκείνῳ σύμβολον τῆς τιμῆς δέδωκε τὸ στοιχεῖον. ἀλλὰ περὶ μὲν ὀνομάτων ἐν ἑτέρῳ καιρῷ διηγήσομαι· ὅσον δὲ τῶν χρόνων τὸ κέρδος ἐστὶ γινωσκομένων, καὶ ὅσον τὸ βλάβος ἀγνοουμένων, ἀναγκαῖον εἰπεῖν. καὶ πρότερόν γε ἀπὸ τῶν βιωτικῶν τοῦτο ἐπιδείξομαι πραγμάτων. αἱ διαθῆκαι καὶ τὰ γραμματεῖα τὰ περὶ γάμων, τὰ περὶ ὀφλημάτων, τὰ περὶ τῶν ἄλλων συμβολαίων, ἐὰν μὴ τῆς ὑπατείας τοὺς χρόνους ἄνωθεν ἔχῃ προσγεγραμμένους, πάσης ἔρημα τῆς οἰκείας ἐστὶ δυνάμεως. τοῦτο γάρ ἐστιν * ἐκείνοις τὸ ἰσχυρὸν, τοῦτο τὰς ἀμφισβητήσεις ἀναιρεῖ, τοῦτο δικαστηρίων ἀπαλλάττει, καὶ τοὺς ἐχθροὺς φίλους ποιεῖ. διὰ τοῦτο οἱ ταῦτα γράφοντες, ὥσπερ λύχνον ἐπὶ λυχνίας, οὕτως ἐπὶ τοῦ μετώπου τῶν γραμμάτων προστυποῦσι τὴν ὑπατείαν, ἵνα πᾶσι τοῖς κάτω φαίνῃ. κἂν ταῦτα ἀνέλῃς, ἔσβεσας τὸ φῶς, καὶ πάντα σκότους καὶ πολλῆς ἐνέπλησας ταραχῆς. διὰ τοῦτο πᾶσα δόσις καὶ λῆψις, κἂν πρὸς φίλους, κἂν πρὸς ἐχθροὺς, κἂν πρὸς οἰκέτας, κἂν πρὸς ἐπιτρόπους καὶ οἰκονόμους γίνηται, ταύτης δεῖται τῆς ἀσφαλείας, καὶ πανταχοῦ καὶ μῆνας καὶ ἐνιαυτοὺς καὶ ἡμέρας κάτωθεν παραγράφομεν. εἰ οὖν ἐπὶ τῶν βιωτικῶν τοσαύτη τοῦ πράγματος ἡ ἰσχὺς, ἐπὶ τῶν πνευματικῶν πολλῷ μείζων καὶ χρησιμωτέρα. τὰς γὰρ προφητείας τοῦτο δείκνυσι προφητείας. οὐδὲ γὰρ ἄλλο τί ποτέ ἐστι προφητεία, ἀλλ' ἢ τῶν μελλόντων πραγμάτων προαναφώνησις. ὁ τοίνυν τοὺς καιροὺς ἀγνοῶν τῶν εἰρημένων πραγμάτων ἢ τῶν ἐκβάντων, πῶς δυνήσεται δεῖξαι τῷ φιλονεικοῦντι τὸ τῆς προφητείας ἀξίωμα; ἐντεῦθεν ἡμῖν καὶ οἱ πρὸς Ἕλληνας ἀγῶνες καὶ νῖκαι, ὅταν πρεσβύτερα ἀποφαίνωμεν τὰ ἡμέτερα τῶν παρ' ἐκείνοις. ἐντεῦθεν ἡμῖν καὶ πρὸς Ἰουδαίους ἀποδείξεις περὶ τῆς ἀληθείας εἰσί· πρὸς Ἰουδαίους τοὺς ἀθλίους καὶ ταλαιπώρους, οἳ διὰ τὴν τῶν χρόνων ἄγνοιαν τὸ μέγιστον σφάλμα ἐσφάλησαν. εἰ γὰρ ἤκουσαν τοῦ πατριάρχου λέγοντος, Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, (Γεν. μθ. ι.) καὶ εἰ παρετήρησαν μετ' ἀκριβείας τοὺς τῆς παρουσίας καιροὺς, οὐκ ἔμελλον, ἐκπεσόντες τοῦ Χριστοῦ, τῷ ἀντιχρίστῳ περιπίπτειν· καθάπερ οὖν καὶ αὐτὸς ὁ Χριστὸς τοῦτο αὐτοῖς αἰνιττόμενος εἶπεν· ὅτι Ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐκ ἐδέξασθέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε. (Ιωαν. ε. μγ.) εἶδες πόσον παράπτωμα ἀπὸ τῆς τῶν χρόνων γέγονεν ἀγνοίας; μὴ τοίνυν ἀμελήσῃς ὠφελείας τοσαύτης. καθάπερ γὰρ ὅροι καὶ στῆλαι ἐν τοῖς ἀγροῖς τὰς ἀρούρας οὐκ ἐῶσι συγχεῖσθαι· οὕτως οἱ χρόνοι καὶ οἱ καιροὶ τὰ πράγματα οὐκ ἐῶσιν ἀλλήλοις ″συμπίπτειν, ἀλλὰ διείργοντες ἀπ᾽ ἀλλήλων αὐτὰ, καὶ κατὰ τὴν προσήκουσαν ἕκαστα διατιθέντες τάξιν, πολλῆς ἀπαλλάττουσιν ἡμᾶς ταραχῆς. ἄξιον τοίνυν εἰπεῖν πρὸς ὑμᾶς, τίς ἦν οὗτος ὁ Ὀζίας, καὶ πότε ἐβασίλευσε, καὶ τίνων ἐβασίλευσε, καὶ πόσος αὐτῷ γέγονεν ὁ τῆς ἀρχῆς χρόνος, καὶ πῶς τὸν βίον κατέλυσε· μᾶλλον δὲ ἄξιον σιγῆσαι λοιπόν. ἀνάγκη γὰρ εἰς ἄπειρον πέλαγος ἱστορικὸν ἀφιέναι τὸν λόγον· τοὺς δὲ τοιοῦτον μέλλοντας πορεύεσθαι πέλαγος, οὐ κεκμηκότων τῶν πλωτήρων, ἀλλ᾽ ἀκμαζόντων, ἅπτεσθαι χρὴ τῆς ὁδοῦ. διὰ τοῦτο καὶ λιμένες καὶ νῆσοι πανταχοῦ τῆς θαλάσσης εἰσὶ πεφυτευμέναι, ἵνα καὶ κυβερνήτης καὶ ναύτης διαναπαύηται, ὁ μὲν τὴν κώπην ἀποτιθέμενος, ὁ δὲ τῶν οἰάκων ἐξανιστάμενος. διὰ τοῦτο καὶ πανδοχεῖα καὶ καταγώγια πανταχοῦ τῶν ὁδῶν ἐπινενόηται, ἵνα καὶ ὑποζύγια καὶ ὁδοιπόροι τῶν πόνων λήγωσι. διὰ τοῦτο καὶ τῷ λόγῳ τῆς διδασκαλίας καιρὸς σιωπῆς ὥρισται, ἵνα μήτε ἑαυτοὺς κατατρίβωμεν τῷ πλήθει τῶν λεγομένων, μήτε ὑμᾶς ἀποκναίωμεν. τούτους οἶδε τοὺς καιροὺς καὶ Σολομῶν, οὕτω λέγων· Καιρὸς τοῦ σιγῆσαι, καὶ καιρὸς τοῦ λαλῆσαι. γενέσθω οὖν ἡμῖν καιρὸς τοῦ σιγῆσαι, ἵνα γένηται καιρὸς τῷ διδασκάλῳ τοῦ λαλῆσαι. τὰ μὲν γὰρ ἡμέτερα ἔοικεν οἴνῳ προσφάτως τῶν ὑποληνίων ἐξαντληθέντι, τὰ δὲ τούτου προσέοικεν οἴνῳ πεπαλαιωμένῳ καὶ γεγηρακότι πολλὴν παρέχοντι καὶ τὴν ὠφέλειαν καὶ τὴν ἰσχὺν τοῖς δεομένοις. καὶ τὸ ἐπὶ τοῦ εὐαγγελίου ἐκεῖνο γέγονε σήμερον. μετὰ τὸν ἐλάττονα γὰρ οἶνον ὁ βελτίων εἰσκομίζεται. καὶ καθάπερ ἐκεῖνον οὐκ ἄμπελος ἔτεκε τότε, ἀλλ᾽ ἡ δύναμις ἐποίησε τοῦ Χριστοῦ· οὕτω καὶ τούτου τὸν λόγον οὐκ ἀνθρωπίνη παρέχει διάνοια, ἀλλ᾽ ἡ τοῦ πνεύματος χάρις. ἐπεὶ οὖν δαψιλῆ καὶ πνευματικὰ τὰ νάματα, μετὰ σπουδῆς ὑποδεξώμεθα, μετ᾽ ἀσφαλείας τηρήσωμεν, ἵνα τούτοις ἀρδόμενοι διηνεκῶς, ὡρίμους φέρωμεν τοὺς καρποὺς τῷ ταῦτα χαρισαμένῳ Θεῷ· ᾧ πρέπει πᾶσα δόξα καὶ τιμὴ σὺν τῷ μονογενεῖ αὐτοῦ υἱῷ καὶ τῷ παναγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐκκλησ. γ. ζ.

Ἰωαν. β. ι.

χ. συγχεῖ

Λογ. κδ. ΕΙΣ ΤΟ, ΥΨΩΘΗ Η ΚΑΡΔΙΑ ΟΖΙΟΥ, ΚΑΙ ΠΕΡΙ ταπεινοφροσύνης, καὶ ὅτι χρὴ μὴ θαρρεῖν τὸν ἐνάρετον, καὶ ὅσον κακὸν ἡ ἀπόνοια.

β. Παραλ. κϛ. ιϛ.

Εὐλογητὸς ὁ Θεός,* καὶ ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας ἐβλάστησαν μάρτυρες. κατηξιώθημεν καὶ ἡμεῖς ἀνθρώπους ἰδεῖν ὑπὲρ Χριστοῦ σφαττομένους, ἀνθρώπους αἷμα στάζοντας ἅγιον, τὴν ἐκκλησίαν ἅπασαν ″ἄρδον, αἷμα στάζοντας, δαίμοσι μὲν φοβερὸν, ἀγγέλοις δὲ ποθεινὸν, ἡμῖν δὲ σωτήριον. κατηξιώθημεν ἰδεῖν ἀνθρώπους ὑπὲρ εὐσεβείας ″πολεμοῦντας, νικῶντας, ″ἐστεφανωμένους· οὐκ ἰδεῖν δὲ κατηξιώθημεν μόνον, ἀλλὰ καὶ αὐτὰ τὰ σώματα τῶν ἀθλητῶν δέξασθαι, καὶ παρ᾽ ἑαυτοῖς τοὺς στεφανίτας ἔχομεν νῦν. ἀλλὰ τὸν μὲν περὶ τῶν μαρτύρων λόγον ″ἀφήσωμεν νῦν τῷ τῶν μαρτύρων ζηλωτῇ, τῷ κοινῷ διδασκάλῳ. αὐτοὶ δὲ τὰ κατὰ τὸν Ὀζίαν πρὸς ὑμᾶς ἐροῦμεν νῦν, παλαιὸν καταβάλλοντες χρέος, καὶ χρονίους ὠδῖνας ἀκροάσεως λύοντες. ὠδίνει γὰρ ἕκαστος ὑμῶν, εὖ οἶδ᾽ ὅτι, τῆς ἱστορίας ἀκοῦσαι ἐκείνης· καὶ τὴν ὠδῖνα ταύτην ἡμεῖς παρετείναμεν, οὐ τὴν ὀδύνην ὑμῖν ἐπιτεῖναι βουλόμενοι, ἀλλὰ τὴν ἐπιθυμίαν αὐξῆσαι σπουδάζοντες, ὥστε ἡδίστην ὑμῖν φανῆναι τὴν ἡμετέραν ἑστίασιν. οἱ μὲν γὰρ εὔποροι τῶν ἑστιατόρων, ἐὰν ἐμπεπλησμένους

* ἐπ

χ. ἀρδεύ

χ. παλαιο

χ. στεφανω-
νους

χ. ἀφήσ

πεπλησμένους λάβωσι τοὺς δαιτυμόνας, δύναιντ' ἂν τῇ πολυτελείᾳ τῶν παρασκευασθέντων διεγεῖραι τὴν ″ ἐπιθυμίαν αὐτοῖς· τὴν δὲ τῶν πεινώντων τράπεζαν οὐδὲν οὕτω ποιεῖ φαίνεσθαι λαμπρὰν, ὡς τὸ πεινῶντας ἀπαντῆσαι τοὺς μέλλοντας μετέχειν αὐτῆς. τίς οὖν ἐστιν * Ὀζίας, καὶ τίνων ἀπόγονος, καὶ τίνων βασιλεὺς, καὶ πόσον ἐβασίλευσε χρόνον, καὶ τί μὲν κατώρθωσε, τί δὲ ″ διήμαρτε, πῶς δὲ τὸν βίον κατέλυσεν, ἅπαντα ταῦτα πρὸς ὑμᾶς ἐροῦμεν νῦν, μᾶλλον δὲ ὅσα δυνατὸν εἰπεῖν, ὥστε μὴ τῷ πλήθει καταχῶσαι τὴν μνήμην ὑμῶν· ὅπερ γὰρ καὶ ἐπὶ τοῦ λυχναίου πυρός. ἂν μὲν γὰρ κατὰ μικρὸν ἐπιστάξῃς τῇ θρυαλλίδι τὸ ἔλαιον, ἰσχυρὰν ἔδωκας τῷ πυρὶ τὴν τροφήν· ἂν δὲ ἀθρόον καταχέῃς, καὶ τὴν οὖσαν φλόγα κατέσβεσας. Ἔστι τοίνυν ὁ Ὀζίας ἀπόγονος μὲν ὢν τοῦ Δαβὶδ, βασιλεὺς δὲ τῶν Ἰουδαίων· ἐβασίλευσε δὲ δύο καὶ πεντήκοντα ἔτη. καὶ τὰ πρῶτα ″ εὐδόκιμος ὢν, ὕστερον ″ εἰς ἁμαρτίαν κατέπεσε. μείζονα γὰρ τῆς οἰκείας φρονήσας ἀξίας, ἐπεπήδησε τῇ τῆς ἱερωσύνης ἀρχῇ. τοσοῦτόν ἐστιν ἀπόνοια κακόν. καὶ γὰρ ″ ἑαυτόν τινα ἕκαστον ἀγνοεῖν ἀναπείθει, καὶ μετὰ πολλοὺς πόνους ἅπαντα κενοῖ τῆς ἀρετῆς τὸν θησαυρόν. ἐπεὶ τὰ μὲν ἄλλα κακὰ ῥαθυμούντων ἡμῶν παραγίνεσθαι πέφυκεν, αὕτη δὲ κατορθοῦσιν ἡμῖν ἐπιφύεται. οὐδὲν γὰρ οὕτως ἀπόνοιαν τίκτειν εἴωθεν, ὡς συνειδὸς ἀγαθὸν, ἐὰν μὴ προσέχωμεν. διὰ τοῦτο καὶ ὁ ″ Χριστὸς εἰδὼς, ὅτι μετὰ τὰ κατορθώματα ἐπεισέρχεται τοῦτο τὸ πάθος ἡμῖν, τοῖς μαθηταῖς ἔλεγεν, Ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν. ὅταν γὰρ μέλλῃ ἐπεισιέναι τὸ θηρίον ὑμῖν, τότε διὰ τῶν ῥημάτων τούτων, φησὶν, ″ ἀποκλείετε τὰς θύρας αὐτῷ. καὶ οὐκ εἶπεν, ὅταν πάντα ποιήσητε, ἀχρεῖοί ἐστε, ἀλλ', ὑμεῖς λέγετε, ὅτι ἀχρεῖοί ἐσμεν. εἰπὲ, μὴ φοβηθῇς, οὐκ ἀπὸ τῆς κρίσεως τῆς σῆς φέρω τὴν ψῆφον ἐγώ. ἂν γὰρ σὺ σαυτὸν εἴπῃς ἀχρεῖον, ἐγώ σε ὡς χρήσιμον στεφανῶ. οὕτω καὶ ἀλλαχοῦ φησι, Λέγε σὺ πρῶτος τὰς ″ ἀνομίας σου, ἵνα δικαιωθῇς. ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν δικαστηρίων, μετὰ τὴν κατηγορίαν * τῶν ἁμαρτημάτων, θάνατος· ἐπὶ δὲ τοῦ θείου δικαστηρίου, μετὰ τὴν κατηγορίαν * στέφανος. διὰ τοῦτο ὁ Σολομὼν ἔλεγε, Μὴ δικαίου σαυτὸν ἐνώπιον Κυρίου. ἀλλ' οὐδενὸς τούτων ἤκουσεν Ὀζίας, ἀλλ' ἐπεισῆλθεν εἰς ″ τὸν ναὸν, καὶ θυμιᾶν ἐβούλετο· καὶ τοῦ ἱερέως κωλύοντος, οὐκ ἠνείχετο. τί οὖν ὁ Θεός; ἐπαφῆκεν αὐτῷ λέπραν κατὰ τοῦ μετώπου, τὴν ἀναίσχυντον * κολάζων ὄψιν, καὶ παιδεύων αὐτὸν, ὅτι θεῖόν ἐστι τὸ δικαστήριον, καὶ οὐ πρὸς ἀνθρώπους αὐτῷ ὁ πόλεμος ἦν. καὶ τὰ μὲν κατὰ τὸν Ὀζίαν, ″ ταῦτα. Φέρε ″ δὴ, καὶ ἄνωθεν τὴν ἱστορίαν αὐτὴν ἐπέλθωμεν. διὰ γὰρ τοῦτο καὶ αὐτὸς προλαβὼν ἐν βραχεῖ διηγησάμην ὑμῖν τὰ συμβεβηκότα [πάντα], ἵν' ὅταν ″ ἀκούητε τῆς γραφῆς ταῦτα ἀπαγγελλούσης, παρακολουθῆτε μετὰ ἀκριβείας αὐτοῖς. ἀλλὰ προσέχετε. Καὶ ἐποίησε, φησιν, Ὀζίας τὸ εὐθὲς ἐνώπιον Κυρίου. μεγάλην αὐτῷ διὰ τούτων ἐμαρτύρησεν ἀρετήν. οὐ γὰρ τὸ εὐθὲς ἐποίει μόνον, ἀλλὰ καὶ ἐνώπιον Κυρίου, οὐ * πρὸς ἐπίδειξιν ἀνθρώπων, καθάπερ ἐκεῖνοι οἱ ″ παρὰ τοῖς Ἰουδαίοις πρὸ τῆς ἐλεημοσύνης σαλπίζοντες, οἱ ἐν ταῖς νηστείαις τὰ πρόσωπα ἀφανίζοντες, οἱ τὰς εὐχὰς ἐν τοῖς ἀμφόδοις ποιούμενοι· ὧν τί γένοιτ' ἂν ἀθλιώτερον, ὅταν τοὺς μὲν πόνους ὑπομένωσι, τῆς δὲ ἀμοιβῆς ″ ἀποστερῶνται ἁπάσης; τί ποιεῖς, ἄνθρωπε; ἑτέρῳ μέλλεις εὐθύνας διδόναι τῶν πεπραγμένων, καὶ ἑτέρους μάρτυρας καλεῖς τῶν γινομένων; ἕτερον ἔχεις δικαστὴν, καὶ ἕτερον καθίζεις θεατήν; οὐχ ὁρᾷς τοὺς ἡνιόχους, οἳ τῆς πόλεως ἁπάσης ἄνω καθημένης ἐν ταῖς τῶν ἵππων ἁμίλλαις ἅπαν τοῦ σταδίου παρατρέχοντες τὸ μέρος, ἐκεῖ φιλονεικοῦσι τὰ τῶν ″ ἀντιπάλων ἅρματα καταστρέφειν, ἔνθα ἂν ἴδωσι τὸν βασιλέα καθήμενον, καὶ τοσούτων ὄψεων * ἕνα νομίζουσιν ἀξιοπιστότερον ὀφθαλμόν. σὺ δὲ αὐτὸν τὸν τῶν ἀγγέλων [αὐτῶν] βασιλέα τοῖς σοῖς δρόμοις ἀγωνοθετοῦντα ὁρῶν, ἐκεῖνον ἀφεὶς ἐπὶ τὰς τῶν ὁμοδούλων καταφεύγεις ὄψεις; διά τοι τοῦτο μετὰ τὰς μυρίας πάλας ἀστεφάνωτος ἀναχωρεῖς, μετὰ τοὺς πολλοὺς ἱδρῶτας χωρὶς βραβείων ἀπέρχῃ πρὸς τὸν ἀγωνοθέτην,

Λουκ. ιζ. ι.

Ησ. μγ. κς.

Σειρ. ζ. ε.

Β. Παραλειπ. κς. δ.

Ματθ. ς. ις.

…θυμίαν

…μαρτε

…δοκιμή-

…ρὸς
…αὐτόν

…Κύριος

…ποκλεί-
…τε

…ἁμαρτίας
καὶ ὁμολογί-

…ῶν ἁμαρτη-
…των
…τὸν ναὸν

…ιαῦ
…ποιαῦτα.
…ἦν

…ἀκούσητε

…ρὰ τοῖς
…δαίων

…ἀποστεροῦνται

…ἀντιπάλων

…ψεων

οθέτην; ἀλλ' οὐκ * Ὀζίας τοιοῦτος ἦν, ἀλλ' ἐνώπιον Κυρίου τὸ εὐθὲς ἐποίει. πῶς οὖν οὕτω μετ' ἀκριβείας πολιτευόμενος, ὑπεσκελίσθη καὶ κατέπεσε; τοῦτο γὰρ κἀγὼ θαυμάζω καὶ διαπορῶ, μᾶλλον δὲ οὐκ ἂν εἴη τοῦτο διαπορήσεως ἄξιον. ἄνθρωπος γὰρ ἦν, πρᾶγμα πρὸς ἁμαρτίαν εὐόλισθον, καὶ πρὸς κακίαν ὀξύρροπον. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ χαλεπόν, ἀλλ' ὅτι καὶ ὁδὸν στενὴν καὶ τεθλιμμένην ὁδεύειν ἐπετάγημεν ὑπὸ κρημνῶν ἑκατέρωθεν ἀπειλημμένην. ὅταν οὖν καὶ προαιρέσεως εὐκολία, καὶ ὁδοῦ δυσκολία συνέλθωσιν εἰς ταυτόν, μὴ θαύμαζε λοιπὸν ὑπὲρ τῶν παραπτωμάτων. καθάπερ γὰρ ἐν τοῖς θεάτροις οἱ τὴν σχοῖνον τὴν κάτωθεν ἄνω τεταμένην ἀναβαίνειν καὶ καταβαίνειν μελετῶντες, ἂν μικρὸν παραβλέψωσι, παραπεσόντες κατενεχθήσονται εἰς τὴν ὀρχήστραν καὶ ἀπολοῦνται· οὕτω καὶ οἱ τὴν ὁδὸν ταύτην ὁδεύοντες, ἂν μικρὸν ῥαθυμήσωσι, * καταχρημνίζονται. καὶ γὰρ ἐκείνης τῆς σχοίνου ἡ ὁδὸς αὕτη καὶ στενοτέρα καὶ ὄρθιος καὶ προσάντης μᾶλλόν ἐστι καὶ ὑψηλοτέρα πολλῷ. πρὸς γὰρ αὐτὸν ἄνω τελευτᾷ τὸν οὐρανόν, καὶ τότε ἡμῖν σφαλερώτερα ἔσται τὰ διαβήματα, ὅταν ἄνω καὶ πρὸς αὐτῇ γινώμεθα τῇ κορυφῇ. τοῖς γὰρ ἐφ' ὕψους ἑστῶσι πολὺς ὁ τρόμος, καὶ μία μόνον ἀσφάλεια λείπεται, τὸ μὴ κατακύψαι κάτω, μηδὲ εἰς γῆν ἰδεῖν. καὶ γὰρ χαλεπὸς ἐντεῦθεν ὁ σκοτόδινος γίνεται. διά τοι τοῦτο συνεχῶς ἡμῖν ὁ προφήτης ἐπιβοᾷ λέγων, Εἰς τὸ τέλος μὴ διαφθείρῃς, ῥαθυμοῦσαν ἡμῶν τὴν ψυχὴν ἀναστέλλων, καὶ μέλλουσαν καταπίπτειν ἀνέχων καὶ διακρατῶν. ἐν ἀρχῇ μὲν γὰρ οὐ πολλῆς δεόμεθα τῆς παρακλήσεως. τί δήποτε; ὅτι πᾶς ἄνθρωπος, κἂν ἁπάντων νωθέστατος ᾖ, μέλλων ἅπτεσθαι πράγματος, πολλὴν ἐν τοῖς προοιμίοις ἐπιδείκνυται τὴν σπουδήν, [καὶ] τῆς προθυμίας ἀκμαζούσης, καὶ τῆς δυνάμεως νεαρᾶς οὔσης ἔτι, [ῥᾳδίως πρὸς τὸ προκείμενον ἐπιβαίνει]. ὅταν δὲ τὸ πλέον τῆς ὁδοῦ προέλθωμεν, καὶ μαρανθῇ τὰ τῆς προθυμίας ἡμῖν, τὰ δὲ τῆς δυνάμεως [ἡμῶν] λήξῃ, μέλλωμεν δὲ καταπίπτειν, τότε ἡμῖν ὁ προφήτης εὐκαίρως παρίσταται, καθάπερ βακτηρίαν τινὰ τὸ ἐπίφθεγμα τοῦτο ὀρέγων, καὶ λέγων, Εἰς τὸ τέλος μὴ διαφθείρῃς. καὶ γὰρ ὁ διάβολος τότε σφοδρότερον πνεῖ· καὶ καθάπερ οἱ τὴν θάλατταν πλέοντες πειραταί, οὐχ ὅταν ἴδωσιν ἐξιόντα τοῦ λιμένος τὰ πλοῖα, τότε ἐπιτίθενται (τί γὰρ αὐτοῖς ὄφελος κενὸν καταδῦσαι τὸ σκάφος;) ἀλλ' ὅταν ἐπανίῃ πλήρη τὸν φόρτον ἔχοντα, τότε πᾶσαν κινοῦσι μηχανήν· οὕτω καὶ ὁ πονηρὸς δαίμων ἐκεῖνος, ὅταν ἴδῃ πολλὰ συνειλοχότας, νηστείαν, εὐχάς, ἐλεημοσύνην, σωφροσύνην, τὴν ἄλλην ἅπασαν ἀρετήν· ὅταν ἴδῃ γέμον ἡμῶν τὸ πλοῖον τῶν πολυτελῶν τῆς εὐσεβείας λίθων, τότε προσβάλλει, πάντοθεν διορύττων τὸν θησαυρόν, ὥστε παρ' αὐτὰ τοῦ λιμένος τὰ στόματα καταδῦσαι τὸ σκάφος, καὶ γυμνοὺς παραπέμψαι πρὸς ἐκεῖνον τὸν λιμένα λοιπόν. διὰ τοῦτο ὁ προφήτης παραινεῖ πᾶσι λέγων, Εἰς τὸ τέλος μὴ διαφθείρῃς. καὶ γὰρ μετὰ τὴν τοιαύτην πτῶσιν δυσανάκλητος πάλιν ἡ ἀνάστασις. ὁ γὰρ ἐλθὼν εἰς βάθος κακῶν, καταφρονεῖ. καὶ τῷ μὲν ἐν ἀρχῇ πεσόντι συγγινώσκομεν ἅπαντες διὰ τὴν ἀπειρίαν, τὸν δὲ μετὰ πολλοὺς δρόμους ὑποσκελισθέντα οὐκ ἄν τις ῥᾳδίως ἀξιώσειε συγγνώμης ἢ ἀπολογίας· ῥαθυμίας γὰρ τότε τὸ πτῶμα εἶναι δοκεῖ. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, ἀλλ' ὅτι καὶ πολλοὶ οἱ σκανδαλιζόμενοι τοῖς τῶν τοιούτων πτώμασίν εἰσιν, ὥστε καὶ ταύτῃ πάλιν ἀσύγγνωστον τὸ ἁμάρτημα γίνεται. ταῦτ' οὖν εἰδότες ἀκούωμεν τοῦ προφήτου, καὶ Εἰς τὸ τέλος μὴ διαφθείρωμεν. διὰ γὰρ τοῦτο καὶ ὁ Ἰεζεκιὴλ ἐβόα λέγων· Ἐὰν γένηταί τις δίκαιος, εἶτα μεταπεσὼν ἁμάρτῃ, οὐ μὴ μνησθῶσιν αὐτῷ αἱ δικαιοσύναι αὐτοῦ, ἀλλ' ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ ἀποθανεῖται. καὶ γὰρ καὶ οὗτος δέδοικεν ὑπὲρ τοῦ τέλους. καὶ οὐκ ἐντεῦθεν μόνον, ἀλλὰ καὶ διὰ τῶν ἐναντίων δείκνυσι πολλὴν τοῦ πράγματος τὴν ἰσχὺν οὖσαν. Ἂν γὰρ γένηταί τις ἁμαρτωλός, φησιν, εἶτα μεταβαλλόμενος γένηται δίκαιος, οὐ μὴ μνησθῶσιν αἱ ἁμαρτίαι αὐτοῦ· * ἐν τῇ δικαιοσύνῃ αὐτοῦ ζήσεται. ὁρᾷς καὶ ἐνταῦθα πολλὴν τοῦ τέλους αὐ-

Ψαλ. νϛ. ἐν τῇ ἐπιγραφῇ

Ἰεζεκ. γ. κ.

Ἰεζ. ιη. κα.

τὸν ποιούμενον πρόνοιαν. ἵνα γὰρ μήτε ὁ δίκαιος τῇ δικαιοσύνῃ αὐτοῦ θαῤῥῶν, εἰς ῥαθυμίαν ἀποκλίνας ἀπόληται, φοβεῖ διὰ τοῦ τέλους αὐτόν· μήτε ὁ ἁμαρτωλὸς ἀπογνοὺς ἐπὶ τοῖς παραπτώμασι, μένῃ διαπαντὸς ἐν τῷ πτώματι, ἀνίστησι διὰ τοῦ τέλους αὐτόν. ἥμαρτες πολλά, φησίν, ἀλλὰ μὴ ἀπελπίσῃς. ἔστι γὰρ ἐπάνοδος, ἐὰν ἐναντίον τῆς ἀρχῆς δείξῃς τὸ τέλος. πάλιν πρὸς τὸν δίκαιον, κατώρθωσας πολλά, φησίν, ἀλλὰ μὴ θαρσήσῃς. συμβαίνει γὰρ καὶ πεσεῖν, ἂν μὴ διὰ τέλους τὴν ἴσην ἔχῃς σπουδήν. Εἶδες πῶς "τοῦ μὲν τὴν ῥαθυμίαν, "τοῦ δὲ τὴν ἀπόγνωσιν ἀνεῖλεν; οὐδενὸς τούτων ἤκουσεν Ὀζίας· διὸ καὶ θαρσήσας, κατέπεσε πτῶμα χαλεπὸν καὶ ἀνίατον. οὐδὲ γὰρ "πᾶν πτῶμα ἴσον ἡμῖν ἐργάζεται τὸ τραῦμα, ἀλλὰ τῶν ἁμαρτιῶν, τὰ μὲν ὑπὸ κατάγνωσιν κεῖται μόνον, τὰ δὲ χαλεπωτάτην δέχεται τιμωρίαν. τοῖς γοῦν οὐκ ἀναμένουσι τοὺς ἀδελφοὺς ἐν τοῖς κοινοῖς δείπνοις ὁ Παῦλος ἐπιτιμῶν, οὕτως ἔλεγε· Τοῦτο δὲ παραγγέλλων, οὐκ ἐπαινῶ. ὁρᾷς μέχρι καταγνώσεως ἱστάμενον τὸ ἁμάρτημα, καὶ ψόγον ἔχον τὸ ἐπιτίμιον. ἀλλ' οὐχ, ὅταν περὶ πορνείας διαλέγηται, οὕτω ποιεῖ, ἀλλὰ πῶς; Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός. ἐνταῦθα γὰρ οὐκ ἔστι ψόγος, οὐδὲ κατάγνωσις, ἀλλ' ἡ χαλεπωτάτη τιμωρία. οἶδε καὶ ὁ Σολομὼν ἁμαρτημάτων διαφοράς. τὴν γοῦν κλοπὴν τῇ μοιχείᾳ συγκρίνων, οὑτωσί πως φησίν· Οὐ θαυμαστόν, ἐὰν ἁλῷ τις κλέπτων (κλέπτει γάρ, ἵνα ἐμπλήσῃ ψυχὴν αὐτοῦ πεινῶσαν) ὁ δὲ μοιχὸς δι' ἔνδειαν φρενῶν, ἀπώλειαν τῇ ἑαυτοῦ ψυχῇ περιποιεῖται. ἁμάρτημα καὶ τοῦτο, κἀκεῖνο, φησίν, ἀλλὰ τὸ μὲν ἔλαττον, τὸ δὲ μεῖζον. ὁ μὲν γὰρ "ἔχει τὴν ἀπὸ τῆς πενίας πρόφασιν· οὗτος δὲ πάσης ἀπολογίας "ἐστέρηται. ἀλλὰ καὶ οὗτος ἔχει, φησί, τὴν ἀπὸ τῆς φυσικῆς ἐπιθυμίας ἀνάγκην. ἀλλ' οὐκ ἀφίησιν ἡ κληρωθεῖσα αὐτῷ γυνή, ἀλλ' ἐφέστηκεν ἀποστεροῦσα τῆς συγγνώμης αὐτόν. διὰ γὰρ τοῦτο γάμος καὶ ἀπόλαυσις ἔνθεσμος, ἵνα μηδὲν ἔχῃ τούτων λέγειν ὁ ἀνήρ. διὰ τοῦτο αὐτῷ βοηθὸς ἐδόθη ἡ γυνή, ἵνα μαινομένην καταστέλλῃ τὴν φύσιν, ἵνα "στορέσῃ τῆς ἐπιθυμίας τὰ κύματα. ὥσπερ οὖν κυβερνήτης ἐν λιμένι ναυάγιον ἐργαζόμενος, οὐκ ἂν τύχοι συγγνώμης τινός· οὕτω καὶ ὁ ἄνθρωπος μετὰ τὴν ἀσφάλειαν τὴν ἀπὸ τοῦ γάμου, τοὺς ἑτέρων διορύττων γάμους, ἢ γυναῖκα εὐπρόσωπον περιέργως ὁρῶν, οὐκ ἂν τύχοι τινὸς ἀπολογίας, οὐ παρὰ ἀνθρώποις, οὐ παρὰ Θεῷ, κἂν μυριάκις λέγῃ τὴν τῆς φύσεως ἡδονήν. μᾶλλον δὲ ποία γένοιτ' ἂν ἡδονή, ὅπου φόβος καὶ "ἀγωνία καὶ κίνδυνος καὶ προσδοκία τοσούτων δεινῶν, ὅπου δικαστήρια καὶ εὐθῦναι, καὶ δικαστοῦ θυμὸς καὶ ξίφος καὶ "δήμιος καὶ βάραθρον καὶ ἀπαγωγή; πάντα * τρέμει καὶ δέδοικεν ὁ τοιοῦτος, τὰς σκιάς, τοὺς τοίχους, τοὺς λίθους αὐτούς, καθάπερ φωνὴν ἀφιέντας· πάντας ὑφορᾶται καὶ ὑποπτεύει, τοὺς οἰκέτας, τοὺς γείτονας, τοὺς φίλους, τοὺς ἐχθρούς, τοὺς πάντα εἰδότας, τοὺς οὐδὲν εἰδότας. μᾶλλον δέ, εἰ βούλει, καὶ ταῦτα "ἀνῃρήσθω, καὶ μηδεὶς ἴστω τὰ τετολμημένα, ἀλλ' ἢ μόνος αὐτὸς μετὰ τῆς ὑβριζομένης γυναικός. πῶς οἴσει τὸν ἀπὸ τῆς συνειδήσεως ἔλεγχον, πικρὸν πανταχοῦ περιφέρων κατήγορον; ὥσπερ γὰρ ἑαυτὸν οὐκ ἄν ποτέ τις φύγοι, οὕτως οὐδὲ τὴν ἀπὸ τοῦ κριτηρίου ψῆφον "ἐκείνου. τοῦτο δὲ δικαστήριον οὐ χρήμασι διαφθείρεται, οὐ κολακείαις ἐνδίδωσι. θεῖον γάρ ἐστι, καὶ παρὰ Θεοῦ ταῖς ἡμετέραις ἐνιδρυμένον ψυχαῖς. ὄντως ὁ μοιχὸς δι' ἔνδειαν φρενῶν, ἀπώλειαν τῇ ἑαυτοῦ ψυχῇ περιποιεῖται. οὐ μὴν οὐδὲ ὁ "κλέπτης κολάσεως ἀπεστέρηται· ἀλλὰ δίδωσι μὲν δίκην, ἐλάττονα δέ. αἱ γὰρ συγκρίσεις, οὐκ εἰς τὴν ἐναντίαν ἐξωθοῦσι τάξιν τὰ συγκρινόμενα, ἀλλ' ἀφεῖσαι μένειν ἐπὶ τῆς οἰκείας χώρας αὐτά, ἐλάττωσιν εἰσάγουσι καὶ ὑπεροχήν. τάχα οὐ συνήκατε τὸ λεχθέν· οὐκοῦν ἀνάγκη σαφέστερον * εἰπεῖν. καλὸν ὁ γάμος, ἀλλὰ κρείττων ἡ παρθενία· οὐκ ἐπειδὴ κρείττων ἡ παρθενία, διὰ τοῦτο κακὸν ὁ γάμος, ἀλλ' ἔλαττον μὲν ἐκείνου, καλὸν δὲ καὶ αὐτό. οὕτω καὶ ἐνταῦθα, κακὸν ἡ κλοπή, ἀλλ' ἔλαττον μὲν ἐκείνου, κακὸν δὲ καὶ αὐτό. Εἶδες ἁμαρτημάτων διαφοράς. ἴδωμεν οὖν ποίαν οὗτος ἁμαρτίαν ἥμαρτεν. Ὑψώθη, φησίν,

α. Κορ. ια. ιζ.

α. Κορ. γ. ιζ.

Παροιμ. ϛ.

φησὶν, ἡ καρδία αὐτοῦ. χαλεπὸν τὸ τραῦμα. ἀπόνοια γάρ ἐστιν, ἀπόνοια ἡ πηγὴ πάν-
των τῶν κακῶν. καὶ ἵνα συντόμως μάθῃς τοῦ νοσήματος τὴν κακίαν, ἐκεῖνο ἄκουσον. τὰ
μὲν ἄλλα ἁμαρτήματα περὶ τὴν ἡμετέραν στρέφεται φύσιν, ἡ δὲ ὑπερηφανία δύναμιν ἀ-
σώματον κατέσπασε, καὶ κατέβαλεν ἄνωθεν. τὸν γοῦν διάβολον οὐκ ὄντα πρότερον δια-
βολον, τοῦτο εἶναι διάβολον ἐποίησε. κἂν μὲν τὸν Ἡσαΐαν παραγάγωμεν μάρτυρα λέ-
Ησ. ιδ. ιγ. γοντα οὕτω περὶ αὐτοῦ· Εἰς τὸν οὐρανὸν ἀναβήσομαι, καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ. οἱ τὰς
ἀλληγορίας οὐχ ἡδέως δεχόμενοι, παραγράψονται τὴν μαρτυρίαν ἡμῶν· ἂν δὲ τὸν Παῦ-
λον ἐπιστήσωμεν αὐτῷ κατήγορον, οὐδεὶς οὐκέτι λοιπὸν ἀντερεῖ. τί οὖν ὁ Παῦλος
Τιμοθέῳ γράφων; ὅτι τὸν ἄρτι τοῦ κηρύγματος ἁψάμενον οὐ δεῖ πρὸς τὸ μέγα τῆς ἐπισκο-
α. Τιμ. γ. ς. πῆς ἄγειν ἀξίωμα, εἰπὼν οὕτω· Μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς, εἰς κρίμα ἐμπέσῃ καὶ παγί-
δα τοῦ διαβόλου· ἵνα μὴ τὰ αὐτὰ ἁμαρτὼν ἐκείνῳ, φησὶ, τὰ αὐτὰ αὐτῷ πείσηται. καὶ οὐκ
ἐντεῦθεν δὲ μόνον δῆλόν ἐστιν, ἀλλὰ καὶ ἐξ ὧν τῷ προτέρῳ πάντων ἀνθρώπων γενομένῳ συνε-
βούλευσεν ὁ πονηρὸς δαίμων ἐκεῖνος. ὥσπερ γὰρ τοῖς ἀγαθοῖς ἔθος "ταῦτα τοῖς πλησίον χ. ποια
παραινεῖν, δι' ὧν αὐτοὶ γεγόνασιν ἀγαθοί· οὕτω καὶ τοῖς πονηροῖς ἔθος τοιαῦτα εἰσηγεῖσθαι
τοῖς πλησίον, δι' ὧν αὐτοὶ γεγόνασι φαῦλοι. ἓν γὰρ καὶ τοῦτο τῆς πονηρίας εἶδός ἐστι, καὶ
παραμυθίαν ἡγοῦνται τῆς οἰκείας κολάσεως τὴν ἑτέρων ἀπώλειαν. τί οὖν ὁ διάβολος
συνεβούλευσε τῷ Ἀδάμ; μείζονα τῆς οἰκείας φύσεως λαβεῖν ἔννοιαν, καὶ ἰσοθεΐαν "ἐλπί- χ. φαντ
σαι. Εἰ γὰρ ἐμὲ τοῦ οὐρανοῦ τοῦτό, φησιν, ἐξέβαλε, πολλῷ μᾶλλον τοῦτον τοῦ παραδείσου ναι.
Παροιμ. γ. λδ. τὸ αὐτὸ τοῦτο ἐκβαλεῖ. διὰ τοῦτο καὶ ὁ Σολομὼν ἔλεγεν· Ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσ-
σεται. οὐκ εἶπεν, ὅτι ὁ Θεὸς ὑπερηφάνους ἀφίησι, καὶ ἐγκαταλιμπάνει, καὶ τῆς οἰκείας
βοηθείας γυμνοῖ, ἀλλ', ἀντιτάσσεται, φησιν· οὐχ ὅτι παρατάξεως αὐτῷ καὶ μάχης ἔδει πρὸς
τὸν ὑπερήφανον. τί γὰρ ὑπερηφάνου γένοιτ' ἂν ἀσθενέστερον; ὥσπερ γὰρ ὁ τὰς ὄψεις
ἀπολέσας, ἅπασι πρόκειται πρὸς τὸ κακῶς παθεῖν, οὕτως ὁ ὑπερήφανος, ὁ μὴ εἰδὼς τὸν
Σειρ. ι. ιδ. Κύριον (Ἀρχὴ γάρ, φησιν, ὑπερηφανίας, τὸ μὴ εἰδέναι τὸν Κύριον) καὶ ἀνθρώποις εὐάλω-
τός ἐστι, τοῦ φωτὸς ἐκπεσὼν ἐκείνου. Εἰ δὲ καὶ ἰσχυρὸς "εἴη, οὐκ ἂν παρατάξεως ἐδεήθη χ. ἦν.
τῷ Θεῷ πρὸς αὐτόν. ᾧ γὰρ ἡ βούλησις ἤρκεσε πρὸς τὸ πάντα παραγαγεῖν, πολλῷ
μᾶλλον καὶ πρὸς τὴν ἀναίρεσιν αὐτῶν ἀρκεῖ. τίνος οὖν ἕνεκέν φησιν, ἀντιτάσσεται; ἵνα τὸ
σφοδρὸν τῆς ἀπεχθείας ἐνδείξηται τῆς πρὸς τὸν ὑπερήφανον. ὅτι μὲν οὖν χαλεπὸν τὸ
τραῦμα τὸ τῆς ὑπερηφανίας, καὶ ἐκ τούτων, καὶ ἀλλαχόθεν δῆλον. Εἰ δὲ βούλεσθε, καὶ [ἀλλα-
χόθεν] τὴν αἰτίαν [" αὐτοῦ] μάθωμεν, ἀφ' ἧς τὸ ἕλκος ἐγένετο. καὶ γὰρ ἔθος τῇ γραφῇ, ἐπει- χ. αὐτῷ
δὰν μέλλῃ τινὸς κατηγορεῖν, μὴ τὴν ἁμαρτίαν αὐτῶν λέγειν μόνον, ἀλλὰ καὶ "αἰτίαν τῆς ἁ- χ. τὴν αἰτ
μαρτίας διδάσκειν ἡμᾶς. ποιεῖ δὲ τοῦτο, τοὺς ὑγιαίνοντας ἀσφαλεστέρους κατασκευάζουσα ἁμαρτ
πρὸς τὸ μὴ "τοῖς αὐτοῖς περιπεσεῖν. οὕτω καὶ ἰατροὶ πρὸς τοὺς κάμνοντας εἰσιόντες, πρό- χ. πάν
τερον νοσημάτων ἀνιχνεύουσι τὰς πηγάς, ὥστε ἄνωθεν ἀναστεῖλαι τὸ κακόν. ὁ γάρ, τῆς ῥίζης με-
νούσης, τὰ βλαστήματα ἐκτέμνων μόνον, οὐδὲν ἕτερον, ἢ ματαιοπονεῖ. ποῦ οὖν ἡ γραφὴ καὶ τὴν "
ἁμαρτίαν καὶ τὴν αἰτίαν τῆς ἁμαρτίας εἶπε; κατηγορεῖ τῶν πρὸ τοῦ κατακλυσμοῦ γενομένων ἐπὶ ταῖς οὐ
Γεν. ς. β. προσηκούσαις ἐπιμιξίαις, καὶ ἄκουσον πῶς τίθησι τὴν αἰτίαν. Ἰδόντες οἱ υἱοὶ τοῦ Θεοῦ
τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσιν, ἔλαβον αὐτὰς ἑαυτοῖς εἰς γυναῖκας. τί
οὖν; τὸ κάλλος τῆς ἁμαρτίας αἴτιον; μὴ γένοιτο. τῆς γὰρ Θεοῦ σοφίας ἔργον ἐστί· Θεοῦ
δὲ ἔργον οὐκ ἄν ποτε γένοιτο πονηρίας αἴτιον. ἀλλὰ τὸ ἰδεῖν; οὐδὲ τοῦτο. καὶ γοῦν καὶ τοῦτο τῆς
φύσεως ἔργον ἐστίν. ἀλλὰ τί; τὸ κακῶς ἰδεῖν. τοῦτο γὰρ προαιρέσεως "διεφθαρμένης ἐστί. χ. διεφ
Σειρ. θ. η. διὰ τοῦτο καί τις σοφὸς παραινεῖ λέγων, Μὴ καταμάνθανε κάλλος ἀλλότριον. οὐκ εἶπε, μένης
μὴ ἴδῃς (συμβαίνει γὰρ καὶ ἀπὸ "τοῦ αὐτομάτου τοῦτο γίνεσθαι) ἀλλά, μὴ καταμάνθανε, χ. πάν
φησί, τὴν ἐκ μελέτης κατανόησιν, τὴν περίεργον ὄψιν, τὴν μετὰ διατριβῆς πονηρὰν θεωρί- του.
αν.

ἀν, τὴν ἀπὸ ψυχῆς διεφθαρμένης καὶ ἐπιθυμούσης ἀναιρῶν. καὶ τί, φησιν, ἐκ τούτου γένοιτ' ἂν βλάβος; ἐκ τούτου, φησί, φιλία ὡς πῦρ ″ ἀνακαίεται. καθάπερ γὰρ τὸ πῦρ, ἐπειδὰν χόρτου τινὸς ἢ καλάμης ἐπιλάβηται, οὐκ ἀναμένει χρόνον τινά, ἀλλ' ὁμοῦ τε ἥψατο τῆς ὕλης, καὶ λαμπρὰν ἀνῆψε τὴν φλόγα· οὕτω καὶ τὸ πῦρ τῆς ἐπιθυμίας τῆς ἐν ἡμῖν, ἐπειδὰν διὰ τῆς τῶν ὀφθαλμῶν ὄψεως, εὐειδοῦς καὶ λαμπροῦ κάλλους ἅψηται, εὐθέως * ἐμπίπρησι τὴν ψυχήν. μὴ τοίνυν τὴν πρόσκαιρον ἴδῃς ἡδονὴν τὴν ἀπὸ τῆς θεωρίας, ἀλλὰ τὴν διηνεκῆ σκόπησον ὀδύνην τὴν ἀπὸ τῆς ἐπιθυμίας. ἡ μὲν γὰρ τὸ τραῦμα ἐνθεῖσα, ἀπεπήδησε πολλάκις· τὸ δὲ τραῦμα οὐκ ἀποπηδᾷ, ἀλλὰ μένει πολλάκις καὶ ἀπόλλυσι. καὶ καθάπερ ἔλαφος δεξαμένη βέλος ἐν καιρίῳ τοῦ σώματος, κἂν ″ ἐκφύγῃ τῶν θηρατῶν τὰς χεῖρας, οὐδὲν κερδαίνει λοιπόν· οὕτω καὶ ψυχὴ δεξαμένη βέλος ἐπιθυμίας ἐξ ἀκολάστου καὶ περιέργου θεωρίας, κἂν τὸ βέλος ἀφεῖσα ἀπέλθῃ, αὐτὴ διαφθείρεται καὶ ἀπόλλυται, πανταχοῦ τὸν πολέμιον ὁρῶσα [καὶ] ἑπόμενον [ἔχουσα]. ἀλλ' ὅπερ ἔλεγον (οὐ γὰρ ἔδει μακρὰς συγχωρεῖν τοῦ λόγου ποιεῖσθαι τὰς ἐκτροπάς) ὅτι ἡ γραφὴ καὶ τὰ ἁμαρτήματα καὶ τὰς αἰτίας αὐτῶν λέγειν εἴωθεν, ἄκουε γοῦν καὶ ἐνταῦθα τί φησι περὶ τοῦ ″ Ὀζία. οὐ γὰρ ὅτι ὑψώθη ἡ καρδία αὐτοῦ, τοῦτο μόνον ἡμᾶς ἐδίδαξεν, ἀλλὰ καὶ πόθεν ὑψώθη προσέθηκε. πόθεν οὖν ὑψώθη; Ηνίκα ἴσχυσε, φησιν, ὑψώθη ἡ καρδία αὐτοῦ. οὐκ ἤνεγκε τῆς δυναστείας τὸ μέγεθος, ἀλλ' ὥσπερ ἐξ ἀδηφαγίας μὲν γίνεται φλεγμονή, ἐκ φλεγμονῆς δὲ τίκτεται πυρετός, εἶτα ἐκεῖθεν θάνατος πολλάκις· οὕτω καὶ ἐνταῦθα ἀπὸ τῆς πολλῆς τῶν πραγμάτων περιβολῆς ἀπόνοια γέγονεν. ὅπερ γὰρ ἐπὶ τῶν σωμάτων φλεγμονή, τοῦτο ἐπὶ τῶν ψυχῶν ἀπόνοια. εἶτα ἐξ ἀπονοίας ἐπιθυμία τῶν οὐ προσηκόντων αὐτῷ πραγμάτων. ταῦτα οὐχ ἁπλῶς μηκύνομεν, ἀλλ' ἵνα μηδέποτε ζηλωτοὺς εἶναι νομίζητε, μηδὲ μακαρίζητε τοὺς ἐν δυναστείαις ὄντας, εἰδότες ὅσον τοῦ πράγματος τὸ ἐπισφαλές, ἵνα μηδέποτε τοὺς ἐν πενίᾳ καὶ ″ εὐτελείᾳ ἀθλίους ἡγῆσθε, εἰδότες ὅτι πλείων ἐντεῦθεν ἡ ἀσφάλεια. διὸ δὴ καὶ ὁ προφήτης ἐβόα λέγων· Ἀγαθόν μοι, Κύριε, ὅτι ἐταπείνωσάς με. ὅρα γοῦν ὅσον ἐκ τοῦ ὕψους γέγονε τὸ κακόν. ὑψώθη ἡ καρδία αὐτοῦ ἕως τοῦ διαφθεῖραι, φησί. τί ἐστιν, ἕως τοῦ διαφθεῖραι; τῶν πονηρῶν λογισμῶν οἱ μὲν οὐδὲ ὅλως ἡμῶν ἐπιβαίνουσι ″ τῇ ψυχῇ, ἂν πολλῇ περιφράξωμεν ἑαυτοὺς ἀσφαλείᾳ· οἱ δὲ τίκτονται μὲν ἔνδον, ῥαθυμησάντων δὲ ἡμῶν καὶ βλαστάνουσιν· ἂν δὲ περιληφθῶσιν, ἀποπνίγονται ταχέως καὶ καταχώννυνται· ἄλλοι καὶ τίκτονται, καὶ αὐξάνονται, καὶ πρὸς τὰς πονηρὰς ἐκβαίνουσι πράξεις, καὶ πᾶσαν ἡμῶν τῆς ψυχῆς τὴν ὑγίειαν διαφθείρουσιν, ὅταν ἐν πολλῇ γινώμεθα ῥαθυμίᾳ. τοῦτο οὖν φησιν, ὅτι ὑψώθη ἡ καρδία αὐτοῦ, καὶ οὐκ ἔμεινεν ἔνδον ἡ ἀπόνοια, οὐδὲ κατεσβέσθη, ἀλλ' ἐξεπήδησε, καὶ πρὸς ἔργον ἐλθοῦσα πονηρόν, πᾶσαν αὐτοῦ διέφθειρε τὴν ἀρετήν. τὸ μὲν οὖν μακάριον μήτε ὅλως δέξασθαι [τὸν] πονηρὸν λογισμόν· ὅπερ οὖν καὶ ὁ προφήτης ἔλεγε, Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου. οὐκ εἶπεν, ὑψώθη μέν, κατέστειλα δὲ αὐτήν, ἀλλ' οὐδὲ τὴν ἀρχὴν ὑψώθη, τουτέστιν, ἄβατον διὰ παντὸς ἐτήρησα τῇ κακίᾳ τὴν ψυχήν. τὸ μὲν οὖν μακάριον τοῦτο· τὸ δὲ μετ' ἐκεῖνο, ἐπεισελθόντας τοὺς λογισμοὺς ταχέως ἀπώσασθαι, καὶ μὴ συγχωρῆσαι ἐνδιατρῖψαι πλέον, ὥστε μὴ πονηρὰν ἐν ἡμῖν ἐργάσασθαι τὴν νομήν. εἰ δὲ καὶ μέχρι τούτου ῥαθυμήσαμεν, ἔστι διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν καὶ ταύτης τῆς ῥαθυμίας παραμυθία, καὶ πολλὰ παρὰ τῆς ἀγαθότητος ἐκείνης τῆς ἀφάτου καὶ μεγάλης τοῖς τοιούτοις τραύμασι κατεσκεύασται τὰ φάρμακα. ἀλλὰ φέρε λοιπὸν τὸν λόγον καταπαύσωμεν, ἵνα μὴ τοῦτο, ὅπερ ἐδείσαμεν ἐν ἀρχῇ, γένηται νῦν, καὶ τὸ πλῆθος λυμήνηται τὴν μνήμην ὑμῶν. διὸ καὶ διὰ βραχέων ἀνακεφαλαιώσασθαι τὰ εἰρημένα ἀναγκαῖόν ἐστιν. οὕτω γὰρ ″ αἱ μητέρες ποιοῦσιν. ἐπειδὰν ὀπώρας ἢ τραγήματα, ἤ τι τοιοῦτον εἰς τὸν παιδικὸν ἐμβάλωσι κόλπον, ὥστε μὴ τῇ ῥαθυμίᾳ τῶν παιδίων ἐκπεσεῖν τι τῶν δοθέντων αὐτοῖς,

Ψαλμ. ριη. οα.

Ψαλμ. ρλ. α.

περιστείλασαι πρότερον τὸν χιτωνίσκον ὑποβάλλουσι τῇ τῆς ζώνης ἀσφαλείᾳ. οὕτω καὶ ἡμεῖς ποιήσωμεν, εἰς μῆκος ἐκταθέντα τὸν λόγον περιστείλωμεν, καὶ τῇ τῆς μνήμης παρακαταθώμεθα φυλακῇ. ἠκούσατε πῶς οὐδὲν ἡμᾶς πρὸς ἐπίδειξιν χρὴ ποιεῖν *, καὶ πόσον ῥᾳθυμία κακόν, πῶς καὶ τὸν ἐν ἀκριβεῖ ζῶντα βίῳ ῥᾳδίως ὑπεσκέλισεν· ἔγνωτε πόσης ἡμῖν δεῖ τῆς σπουδῆς, καὶ μάλιστα πρὸς αὐτὰ τοῦ βίου τὰ τέλη, καὶ πῶς οὔτε ἀπογινώσκειν ἐπὶ τοῖς παραπτώμασι τὸν μεταβαλλόμενον, οὔτε θαρρεῖν ἐπὶ τοῖς κατορθώμασι τὸν ῥᾳθυμήσαντα χρή. διελέχθημεν περὶ διαφορᾶς ἁμαρτημάτων ὑμῖν, περὶ τοῦ μὴ κεχηνέναι πρὸς τὰ λαμπρὰ τῶν σωμάτων *, καὶ πόσον ἐκ τούτου κακόν, ἐδείξαμεν· τὰ περὶ ἀπονοίας εἰρημένα ὑμῖν μέμνησθε, τὰ περὶ τῶν πονηρῶν λογισμῶν. ταῦτα φυλάσσοντες, ἀναχωρήσωμεν οἴκαδε· μᾶλλον δὲ ταῦτα φυλάσσοντες, δεξώμεθα καὶ τὴν τελειοτέραν τοῦ καλοῦ διδασκάλου παραίνεσιν. τὰ μὲν γὰρ ἡμέτερα, οἷα ἂν εἴη, ἔχει τὰ τῆς νεότητος δείγματα· τὰ δὲ τούτου, οἷα ἂν ᾖ, πλείονι κεκόσμηται τῷ φρονήματι. καὶ τὰ μὲν ἡμέτερα προσέοικε ῥύακι ῥοιζηδὸν φερομένῳ· τὰ δὲ τούτου προσέοικε πηγῇ ποταμοὺς ἀφιείσῃ μεθ' ἡσυχίας πολλῆς, ἐλαίου μᾶλλον ἢ ὑδάτων μιμουμένῃ τὸν δρόμον. δεξώμεθα οὖν τὰ νάματα, ἵνα γένηται ἐν ἡμῖν πηγὴ ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

Λογ. κδ. ΕΙΣ ΤΟ ΡΗΤΟΝ ΤΟΥ ΠΡΟΦΗΤΟΥ ΗΣΑΙΟΥ

Ησ.ϛ.α.

τὸ λέγον· Ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς, εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπῃρμένου· καὶ ἔπαινος τῆς πόλεως τῆς Ἀντιοχείας· καὶ κατὰ τῶν κωλυόντων τὸν γάμον ἔνθεος ἀπόδειξις.

Ἀμπελὼν ἡμῖν σήμερον ἡ θέα γέγονε, καὶ φαιδρὸς ὁ σύλλογος. τί ποτε ἄρα τὸ αἴτιον; τῶν χθὲς σπερμάτων καρπός, ὁ σήμερον θερισμός· χθὲς ἐφυτεύσαμεν, καὶ σήμερον τρυγῶμεν. οὐ γὰρ γῆν ἄψυχον γεωργοῦμεν, ἵνα βραδύνῃ, ἀλλὰ ψυχὰς λογικάς· οὐκ ἔστι φύσις ἡ μέλλουσα, ἀλλὰ χάρις ἡ ταχύνουσα. εὔτακτος ἡμῖν ὁ λαός, φιλήκοος ὁ δῆμος· χθὲς ἐκλήθησαν, καὶ σήμερον στεφανοῦνται· τῆς χθὲς παραινέσεως ὁ καρπός, * ἡ σήμερον ὑπακοή. διὰ τοῦτο καὶ ἡμεῖς μετὰ προθυμίας τὰ σπέρματα καταβάλλομεν, ὅτι καθαρὰν ὁρῶμεν τὴν ἄρουραν, οὐδαμοῦ ἄκανθαι ἀποπνίγουσαι, οὐδὲ ὁδὸν πατουμένην, οὐδὲ πέτραι ἄγονοι· ἀλλὰ βαθεῖάν τινα καὶ λιπαρὰν χώραν, ὁμοῦ δεχομένην τὰ σπέρματα, καὶ τὸν στάχυν ἡμῖν παρέχουσαν. ταῦτα λέγω ἀεί, καὶ λέγων οὐ παύσομαι· ὅτι ἐγκώμιον τῆς πόλεως τῆς ἡμετέρας, οὐχ ὅτι σύγκλητον ἔχει, καὶ ὑπάτους ἀριθμεῖν ἔχομεν, οὐδ' ὅτι ἀνδριάντας πολλούς, οὐδ' ὅτι ὠνίων ἀφθονίαν, οὐδ' ὅτι θέσεως ἐπιτηδειότητα· ἀλλ' ὅτι δῆμον ἔχει φιλήκοον, καὶ ναοὺς Θεοῦ πεπληρωμένους καὶ ἡ ἐκκλησία μᾶλλον τρυφᾷ καθ' ἑκάστην ἡμέραν λόγον ῥέοντα, καὶ πόθον οὐδέποτε κορεννύμενον. ἡ γὰρ πόλις οὐκ ἀπὸ τῶν οἰκοδομῶν, ἀλλὰ ἀπὸ τῶν ἐνοίκων " χαρακτηρίζεται). μή μοι λέγε, ὅτι ἡ Ῥωμαίων πόλις μεγάλη τῷ μεγέθει· ἀλλὰ δεῖξόν μοι ἐκεῖ οὕτω λαὸν φιλήκοον. ἐπεὶ καὶ τὰ Σόδομα πύργους εἶχεν, ἡ δὲ καλύβη τὸν Ἀβραάμ. ἀλλ' ἐλθόντες οἱ ἄγγελοι, τὰ μὲν Σόδομα παρέδραμον, ἐπὶ δὲ τὴν καλύβην κατήχθησαν. οὐ γὰρ οἴκων περιφάνειαν ἐζήτουν, ἀλλὰ ψυχῆς ἀρετὴν περιῄεσαν ζητοῦντες καὶ κάλλος. οὕτω δὲ καὶ ἄλλως ἡ ἔρημος εἶχε τὸν Ἰωάννην, ἡ δὲ πόλις τὸν Ἡρώδην. διὰ τοῦτο ἡ ἔρημος πόλεως ἦν εὐγνωμονεστέρα. τί δήποτε; ὅτι οὐκ ἐν τοῖς κτίσμασιν ἡ προφητεία. ταῦτα δὲ λέγω, ἵνα μηδέποτε πόλιν * ἐγκωμιάσωμεν, ἀπὸ πραγμάτων καταλυομένην. τί μοι λέγεις οἰκοδομήματα καὶ κίονας; ταῦτα τῷ παρόντι συγκαταλύεται βίῳ. Εἴσελθε εἰς ἐκκλησίαν, καὶ βλέπε τῆς πόλεως τὴν εὐγένειαν, εἴσελθε, ἴδε πένητας ἐκ μεσονυκτίων μέχρι τῆς ἡμέρας παραμένοντας, βλέπε παννυχίδας ἱερὰς ἡμέρᾳ καὶ νυκτὶ συναφθείσας, οὔτε ἐν ἡμέρᾳ, οὔτε ἐν νυκτὶ τὴν τυραννίδα τοῦ ὕπνου, οὔτε τὴν ἀνάγκην τῆς πενίας φοβουμένους. μεγάλη πόλις, καὶ μητρόπολις * τῆς οἰκουμένης. πόσοι ἐπίσκοποι, πόσοι διδάσκαλοι ἦλθον ἐνταῦθα, καὶ παιδευθέντες παρὰ τοῦ λαοῦ ἀναχωροῦσι, καὶ τὸν νόμον τὸν ἔμφυτον ἐντεῦθεν μεταφυτεῦσαι παρασκευάζονται; ἐὰν λέγῃς μοι ἀξιώματα, καὶ χρημάτων περιουσίαν, ἀπὸ τῶν φύλλων τὸ δένδρον ἐπαινεῖς, καὶ οὐκ ἀπὸ τοῦ καρποῦ. ταῦτα δὲ λέγω, οὐ κολακεύων ὑμῶν τὴν ἀγάπην, ἀλλὰ τὴν ἀρετὴν ὑμῶν ἀνακηρύττων. μακάριος ἐγὼ δι' ὑμᾶς, μακάριοι ὑμεῖς δι' ἑαυτούς. Μακάριος ὁ λέγων εἰς ὦτα ἀκουόντων· οὕτως ἐγὼ μακάριος ἐγενόμην. Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην· ἴδε πῶς ὑμεῖς δι' ἑαυτοὺς μακάριοι γίνεσθε· μακάριος ἀνὴρ λόγων ἐρῶν πνευματικῶν. τοῦτο διΐστησιν ἡμᾶς τῶν ἀλόγων. οὐ γὰρ δὴ ἡ τοῦ σώματος ἀναλογία, οὐδὲ τὸ τρέφεσθαι, οὐδὲ τὸ πίνειν, οὐδὲ τὸ νέμεσθαι, οὐδὲ τὸ ζῆν. ταῦτα γὰρ ἡμῖν ἅπαντα κοινὰ πρὸς τὰ ἄλογα. ἀλλὰ τί διέστηκεν ἄνθρωπος τῶν ἀλόγων; τῷ λόγῳ. διὰ τοῦτο καὶ λογικὸν ζῶόν ἐστιν ὁ ἄνθρωπος. ὥσπερ γὰρ τρέφεται τὰ σώματα, οὕτω τρέφεται καὶ ἡ ψυχή· ἀλλὰ τὸ μὲν σῶμα, ἄρτῳ, ἡ δὲ ψυχή, λόγῳ. ἂν οὖν ἴδῃς ἄνθρωπον λίθον ἐσθίοντα, ἆρα ἂν εἴπῃς ἄνθρωπον εἶναι; οὕτως ἂν ἴδῃς μὴ λόγῳ τρεφόμενον, ἀλλ' ἀλογίᾳ, ἐρεῖς, οὐκέτι καὶ τὸ εἶναι ἄνθρωπος ἀπώλεσεν. ἡ γὰρ ἀναστροφὴ δείκνυσι τοῦ ἀνθρώπου τὴν εὐγένειαν. ἐπεὶ τοίνυν τὸ θέατρον ἡμῖν πεπλήρωται, καὶ πάλιν ἡ θάλασσα ἡ κυμαινομένη, καὶ γαλήνης γέμουσα, καὶ πάλιν τὸ πέλαγος τὸ χειμαζόμενον, καὶ ἑστηκός· φέρε δὴ τὸ πλοῖον ἑλκύσωμεν, ἀντὶ τοῦ ἱστίου, τὴν γλῶτταν ἀναπετάσαντες, ἀντὶ τοῦ ζεφύρου, τοῦ πνεύματος τὴν χάριν καλέσαντες, ἀντὶ τοῦ αὐχένος καὶ πηδαλίου, τῷ σταυρῷ χρώμενοι κυβερνήτῃ. ἡ θάλασσα μὲν γὰρ ἔχει ἁλμυρὰ ὕδατα, ἐνταῦθα δὲ ὕδωρ ζῶν· ἐκεῖ ἄλογα ζῶα, ἐνταῦθα δὲ ψυχαὶ λογικαί· ἐκεῖ οἱ πλέοντες ἀπὸ θαλάσσης εἰς γῆν, ἐνταῦθα δὲ οἱ πλέοντες ἀπὸ γῆς εἰς οὐρανὸν ὁρμίζονται· ἐκεῖ πλοῖα, ἐνταῦθα δὲ λόγοι πνευματικοί· ἐκεῖ σανίδες ἐν τῷ πλοίῳ, ἐνταῦθα δὲ λόγων συγκροτήματα· ἐκεῖ ἱστίον, ἐνταῦθα δὲ γλῶττα· ἐκεῖ ζεφύρου αὔρα, ἐνταῦθα πνεύματος ἐπιδημία· ἐκεῖ ἄνθρωπος κυβερνήτης, ἐνταῦθα δὲ κυβερνήτης ὁ Χριστός. διὰ δὴ τοῦτο τὸ πλοῖον χειμάζεται, ἀλλ' ὑποβρύχιον οὐ γίνεται. ἠδύνατο μὲν γὰρ καὶ ἐν γαλήνῃ πλεῖν, ἀλλ' οὐκ ἀφῆκεν ὁ κυβερνήτης, ἵνα καὶ τῶν πλεόντων τὴν ὑπομονὴν ἴδῃς, καὶ τοῦ κυβερνῶντος τὴν σύνεσιν ἀκριβῶς καταμάθῃς. ἀκουέτωσαν Ἕλληνες, ἀκουέτωσαν Ἰουδαῖοι τὰ κατορθώματα ἡμῶν, καὶ τὴν προεδρίαν τῆς ἐκκλησίας. ὑπὸ πόσων ἐπολεμήθη ἡ ἐκκλησία, ἀλλ' οὐδέποτε ἐνικήθη; πόσοι τύραννοι; πόσοι στρατηγοί; πόσοι βασιλεῖς; Αὔγουστος, Τιβέριος, Γάϊος, Κλαύδιος, Νέρων, ἄνθρωποι λόγοις τετιμημένοι, δυνατοί, τοσαῦτα ἐπολέμησαν ἀκμὴν νεάζουσαν, ἀλλ' οὐκ ἐξερρίζωσαν· ἀλλ' οἱ μὲν πολεμήσαντες σεσίγηνται καὶ λήθῃ παραδέδονται, ἡ δὲ πολεμηθεῖσα τὸν οὐρανὸν ὑπεραίρει. μὴ γάρ μοι τοῦτο ἴδῃς, ὅτι ἐν γῇ ἕστηκεν ἡ ἐκκλησία, ἀλλ' ὅτι ἐν οὐρανῷ πολιτεύεται. πόθεν τοῦτο δῆλον; δείκνυσι τῶν πραγμάτων ἡ ἀπόδειξις. ἐπολεμήθησαν ἕνδεκα μαθηταί, καὶ ἡ οἰκουμένη ἐπολέμει· οἱ δὲ πολεμηθέντες ἐνίκησαν, καὶ οἱ πολεμήσαντες ἀνῃρέθησαν· τὰ πρόβατα τῶν λύκων περιεγένοντο. Εἶδες ποιμένα τὰ πρόβατα ἐν μέσῳ τῶν λύκων ἀποστέλλοντα, ἵνα μηδὲ τῇ φυγῇ τὴν σωτηρίαν ποιήσωνται; ποῖος ποιμὴν τοῦτο ἐργάζεται; ἀλλ' ὁ Χριστὸς τοῦτο ἐποίησεν· ἵνα σοι δείξῃ, ὅτι οὐ κατὰ ἀκολουθίαν τῶν πραγμάτων, ἀλλ' ὑπὲρ φύσιν καὶ ἀκολουθίαν τὰ κατορθώματα γίνεται. ἡ γὰρ ἐκκλησία οὐρανοῦ μᾶλλον ἐρρίζωται. ἀλλ' ἴσως ἀπόνοιάν μου καταγινώσκει ὁ Ἕλλην. ἀλλ' ἀναμενέτω τῶν πραγμάτων τὴν ἀπόδειξιν, καὶ μανθανέτω τῆς ἀληθείας τὴν

Σειρ. κε. ν.
Ματθ. ε. ϛ.

ἰσχύν, πῶς εὐκολώτερον τὸν ἥλιον σβεσθῆναι, ἢ τὴν ἐκκλησίαν ἀφανισθῆναι. τίς ταῦτά φησιν; ὁ κηρύττων, ὁ θεμελιώσας αὐτήν· (Ματθ. κδ. λε) Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. Ταῦτα οὐ μόνον εἶπεν, ἀλλὰ καὶ ἐπλήρωσε. Διὰ τί γὰρ μᾶλλον οὐρανοῦ μείζονα αὐτὴν ἐθεμελίωσε; τιμιωτέρα γὰρ οὐρανοῦ ἡ ἐκκλησία. Διὰ τί οὐρανός; διὰ τὴν ἐκκλησίαν, οὐχ ἡ ἐκκλησία διὰ τὸν οὐρανόν. ὁ οὐρανὸς δὲ διὰ τὸν ἄνθρωπον, οὐκ ἄνθρωπος διὰ τὸν οὐρανόν. καὶ ἐξ ὧν αὐτὸς ἐποίησε δῆλον. οὐράνιον γὰρ σῶμα οὐκ ἀνέλαβεν ὁ Χριστός.

Ἀλλ' ἵνα μὴ μηκύνοντες τὸν λόγον, πάλιν χρεῶσται ἀναχωρήσωμεν σήμερον (ἴστε γὰρ ὅσαπερ χθὲς ὑπεσχόμεθα) καταβαλεῖν ἑτοιμάσωμεν. διὰ γὰρ τοῦτο ἀπολειφθέντας ἀνεβαλόμην. ἐπεὶ οὖν οἱ ἀπολειφθέντες τὰ ἑαυτῶν ἐπλήρωσαν, καὶ τῇ παρουσίᾳ ἡμῖν τὴν ἑαυτῶν ἐχαρίσαντο τράπεζαν πεπληρωμένην τῶν ἀναλωμάτων, φέρε δὲ, τὰ ὄψα παραθῶμεν, ὄψα οὐκ ἔωλα. εἰ γὰρ καὶ χθεσινά ἐστιν, ἀλλ' οὐ γίνονται ἔωλα. τί δήποτε; οὐκ ἔστι κρέα, ἵνα διαφθαρῇ, ἀλλὰ νοήματα διηνεκῶς ἀνθοῦντα. τὰ μὲν γὰρ κρέα φθείρεται (σῶμα γάρ ἐστι) τὰ δὲ νοήματα μένοντα, εὐωδέστερα καθίσταται). τί οὖν ἐστιν, ἃ χθὲς εἰρήκαμεν; καὶ γὰρ καὶ ἡμεῖς χθὲς ἀπηλαύσαμεν τραπέζης, καὶ οἱ ἀπολειφθέντες οὐκ ἐζημιώθησαν. (Ησ. ς. α) Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεὺς, εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. τίς ταῦτά φησιν; Ἡσαΐας, ὁ θεωρὸς τῶν Σεραφεὶμ, ὁ γάμῳ ὁμιλήσας, καὶ τὴν χάριν μὴ σβέσας. καὶ προσεσχήκατε τῷ προφήτῃ, καὶ ἠκούσατε τοῦ προφήτου σήμερον· (Ησ. ζ.) Ἔξελθε σὺ, καὶ Ἰασοὺβ ὁ υἱός σου. ἀναγκαῖον δὲ ταῦτα μὴ παραδραμεῖν. ἔξελθε σὺ, καὶ ὁ υἱός σου. υἱὸν εἶχεν ὁ προφήτης; οὐκοῦν εἶχεν υἱὸν, καὶ γυναῖκα· ἵνα μάθῃς, ὅτι οὐ φαῦλον ὁ γάμος, ἀλλὰ κακὸν ἡ πορνεία. ἀλλ' ἐπειδὴ πολλοῖς τισι διαλεγόμεθα, καὶ λέγομεν, διὰ τί μὴ ὀρθῶς ζῇς, διὰ τί μὴ βίον ἀκριβῆ ἐπιδείκνυσαι; πῶς δύναμαι, φησιν, ἐὰν μὴ ἀποτάξωμαι γυναικὶ, ἐὰν μὴ ἀποτάξωμαι παιδίοις, ἐὰν μὴ ἀποτάξωμαι πράγμασι; διὰ τί; μὴ κώλυμα ὁ γάμος; βοηθός σοι δέδοται ἡ γυνή· μὴ ἐπίβουλος; ὁ προφήτης οὐ γυναῖκα εἶχε, καὶ οὐκ ἐγένετο κώλυμα τοῦ πνεύματος ὁ γάμος· ἀλλὰ καὶ ὡμίλει τῇ γυναικὶ, καὶ προφήτης ἦν. ὁ Μωϋσῆς οὐ γυναῖκα εἶχε, καὶ πέτρας ἔρρηξε, καὶ ἀέρα μετέβαλε, καὶ Θεῷ διελέγετο, καὶ θεήλατον ὀργὴν ἀνέστελλεν; ὁ Ἀβραὰμ οὐχὶ γυναῖκα εἶχε, καὶ πατὴρ ἐγένετο ἐθνῶν, καὶ τῆς ἐκκλησίας; τὸν γὰρ Ἰσαὰκ υἱὸν εἶχε, καὶ αὐτὸς ἐγένετο κατορθωμάτων ὑπόθεσις. οὐκ ἀνήνεγκε τὸ παιδίον, τὸν καρπὸν τοῦ γάμου; οὐκ ἐγένετο καὶ πατὴρ καὶ φιλόθεος; οὐκ ἦν ἰδεῖν ἱερέα ἐξ οἰκείων σπλάγχνων γινόμενον; ἱερέα καὶ πατέρα; φύσιν νικωμένην, καὶ εὐλάβειαν κρατοῦσαν; σπλάγχνα πατούμενα, καὶ κατορθώματα εὐσεβείας περιγινόμενα; καὶ τὸν πατέρα λυόμενον, καὶ φιλόθεον στεφανούμενον; οὐκ εἶδες ὅλον φιλόπαιδα καὶ φιλόθεον; μήτι ἐκώλυσεν ὁ γάμος; τί δαὶ ἡ μήτηρ τῶν Μακκαβαίων, οὐχὶ γυνὴ ἦν; οὐχ ἑπτὰ δέδωκε παῖδας τῷ χορῷ τῶν ἁγίων; οὐκ εἶδεν αὐτοὺς μαρτυρήσαντας; οὐχ εἱστήκει καθάπερ ὄρος μὴ σαλευομένη; οὐχ εἱστήκει καθ' ἕκαστον αὐτῶν μαρτυροῦσα, καὶ μήτηρ μαρτύρων, καὶ ἑπτάκις ἐμαρτύρησε; βασανιζομένων γὰρ ἐκείνων, αὐτὴ τὴν πληγὴν ἐδέχετο. οὐδὲ γὰρ ἀπαθῶς οὕτω τὰ γινόμενα ἐδέχετο. μήτηρ γὰρ ἦν, καὶ τῆς φύσεως ἡ ὕβρις τὴν οἰκείαν δύναμιν ἐπεδείκνυτο. ἀλλ' οὐκ ἐνικᾶτο. θάλασσα γὰρ ἦν καὶ κύματα· ἀλλ' ὥσπερ ἡ θάλασσα μαινομένη καταλύεται, οὕτω καὶ ἡ φύσις ἐγειρομένη τῷ φόβῳ τοῦ Θεοῦ ἐχαλινοῦτο. πῶς αὐτοὺς ἤλειψε; πῶς αὐτοὺς ἔθρεψε; πῶς ἑπτὰ ναοὺς τῷ Θεῷ παρέστησεν, ἀνδριάντας χρυσοῦς, μᾶλλον δὲ καὶ χρυσοῦ τιμιωτέρους; ὅτι γὰρ οὐ τοιοῦτον χρυσὸς, οἷαι ψυχαὶ μαρτύρων, εἱστήκει ὁ τύραννος, καὶ ὑπὸ μιᾶς γυναικὸς ἡττώμενος ἀνεχώρει. ἐκεῖνος ὅπλοις ἐπολιόρκει, καὶ αὕτη προθυμίᾳ περιεγίνετο. ἐκεῖνος κάμινον ἀνῆψε, καὶ αὕτη τὴν ἀρετὴν τοῦ πνεύματος· ἐκεῖνος στρατόπεδον ἐκίνει, καὶ αὕτη

πρὸς ἀγγέλους μεθωρμίζετο. ἑώρα κάτω τὸν τύραννον, καὶ ἐνενόει τὸν ἄνω βασιλεύοντα· ἑώρα τὰς κάτω βασάνους, καὶ ἠρίθμει τὰ ἄνω βραβεῖα· ἑώρα τὴν παροῦσαν κόλασιν, καὶ ἐνενόει τὴν μέλλουσαν ἀθανασίαν. μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. μή τι κώλυμα ὁ γάμος ἐγένετο; τί δὲ ὁ Πέτρος, ἡ κρηπὶς τῆς ἐκκλησίας, ὁ μανικὸς ἐραστὴς τοῦ Χριστοῦ, ὁ ἀπαίδευτος τῷ λόγῳ, καὶ ῥητόρων περιγινόμενος, ὁ ἀμαθὴς, καὶ φιλοσόφων ἀποφράξας στόματα, ὁ τὴν ἑλληνικὴν σοφίαν, καθάπερ ἀράχνην, διαλύσας, ὁ τὴν οἰκουμένην περιδραμὼν, ὁ σαγηνεύσας τὴν θάλασσαν, καὶ ἁλιεύσας τὴν οἰκουμένην; τί δέ φησιν; Εἰσῆλθεν ὁ Ἰησοῦς πρὸς τὴν πενθερὰν Πέτρου πυρέσσουσαν. ὅπου πενθερὰ, ἐκεῖ καὶ γυνὴ, ἐκεῖ καὶ γάμος. τί δὲ ὁ Φίλιππος; οὐ τέσσαρας θυγατέρας εἶχεν. ὅπου δὲ τέσσαρες θυγατέρες, ἐκεῖ καὶ γυνὴ, καὶ γάμος. τί οὖν ὁ Χριστός; ἀπὸ παρθένου μέν· ἀλλ' εἰς γάμον παρεγένετο, καὶ δῶρα εἰσήνεγκεν. Οὐκ ἔχουσι γάρ, φησιν, οἶνον· καὶ τὸ ὕδωρ οἶνον ἐποίησε, τῇ παρθενίᾳ τὸν γάμον τιμῶν, τῇ δωρεᾷ τὸ πρᾶγμα θαυμάζων. ἵνα μὴ βδελύσσῃ τὸν γάμον, ἀλλὰ μισῇς τὴν πορνείαν, τῷ ἐμῷ κινδύνῳ ἐγὼ ἐγγυῶμαί σοι τὴν σωτηρίαν, κἂν γυναῖκα ἔχῃς. πρόσεχε σεαυτῷ· γυνὴ ἐὰν εὔχρηστος ἐστι, βοηθός σου ἐστί. τί οὖν ἂν μὴ ᾖ εὔχρηστος; ποίησον αὐτὴν εὔχρηστον. μὴ οὐκ ἐγένοντο καλαὶ γυναῖκες καὶ κακαὶ, ἵνα μὴ ἔχῃς πρόφασιν; ποταπὴ ἡ τοῦ Ἰὼβ ἦν; ἡ δὲ Σάῤῥα καλὴ ἦν· δείξω σοι γυναῖκα φαύλην καὶ πονηράν. οὐκ ἔβλαψε τὸν ἄνδρα ἡ γυνὴ τοῦ Ἰώβ. πονηρὰ ἦν καὶ φαύλη, καὶ βλασφημεῖν αὐτῷ συνεβούλευσε. τί οὖν; ἔσεισε τὸν πύργον; κατήνεγκε τὸν ἀδάμαντα; περιεγένετο τῆς πέτρας; ἔκρουσε τὸν στρατιώτην; διέτρησε τὸ σκάφος; ἐξερρίζωσε τὸ δένδρον; οὐδὲν τούτων· ἀλλ' ἐκείνη προσέκρουσε, καὶ ὁ πύργος ἀσφαλέστερος ἐγένετο. αὐτὴ τὰ κύματα ἤγειρε, καὶ τὸ πλοῖον οὐ κατεποντίζετο, ἀλλ' ἐξ οὐρίας ἔπλεεν· ὁ καρπὸς αὐτοῦ ἐτρυγήθη, καὶ τὸ δένδρον οὐκ ἐσαλεύθη· τὰ φύλλα ἔπεσε, καὶ ἡ ῥίζα ἔμενεν ἀσάλευτος. ταῦτα λέγω, ἵνα μηδεὶς προφασίζηται κακίαν γυναικός. φαύλη ἐστί; διόρθωσον αὐτήν. ἀλλά, φησιν, ἀπὸ παραδείσου με ἐξέβαλεν· ἀλλὰ καὶ εἰς οὐρανούς σε ἐξήνεγκεν· ἡ αὐτὴ μὲν φύσις, διάφορος δὲ ἡ γνώμη. ἀλλ' ἡ τοῦ Ἰὼβ φαύλη; ἀλλ' ἡ Σωσάννα καλή. ἀλλ' ἡ Αἰγυπτία ἀκόλαστος; ἀλλ' ἡ Σάῤῥα κοσμία. εἶδες ἐκείνην; βλέπε καὶ ταύτην· ἐπεὶ καὶ ἐν ἀνδράσιν, οἱ μὲν φαῦλοι, οἱ δὲ σπουδαῖοι. καλὸς ὁ Ἰωσήφ, οἱ δὲ πρεσβύτεροι ἀκόλαστοι. εἶδες πανταχοῦ κακίαν καὶ ἀρετὴν, μὴ τῇ φύσει ταῦτα κρινόμενα, ἀλλὰ τῇ γνώμῃ διαιρούμενα. μή μοι προφάσεις προφασίζου. ἀλλ' ἐπὶ τὰ χρέα καὶ τὴν καταβολὴν σπεύδωμεν.

Μαρκ. α. λ.

Ἰωαν. β. γ.

Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς. μέλλω λέγειν διατί ὁ προφήτης ἐπισημαίνεται τὸν καιρόν. ζητοῦσι γάρ τινες, τί δήποτε τῶν προφητῶν ἁπάντων τὸν καιρὸν τῆς ζωῆς τῶν βασιλέων ἱστορούντων, καὶ αὐτοῦ τούτου, ἐνταῦθα τὸ ἔθος ἐλύθη· καὶ οὐ λέγει, ἐν ταῖς ἡμέραις Ὀζίου, ἀλλ' ἐν τῇ τελευτῇ Ὀζίου. τοῦτο λῦσαι βούλομαι σήμερον. εἰ γὰρ καὶ πολὺ τὸ καῦμα, ἀλλὰ μείζων ἡ δρόσος τοῦ λόγου· εἰ καὶ βιάζεται τὸ σῶμα μαλακιζόμενον, ἀλλ' ἀκμάζουσα ἡ ψυχὴ εὐφραίνεται. μή μοι λέγε καῦμα καὶ ἱδρῶτα. ἐὰν ἱδρώσῃς τῷ σώματι, σμήχεις σου τὴν ψυχήν. οἱ παῖδες οἱ τρεῖς ἐν καμίνῳ ἦσαν, καὶ οὐδὲν ἔπαθον, ἀλλ' ἡ κάμινος δρόσος ἐγένετο. ὅταν ἐννοήσῃς ἱδρῶτα, ἐννόει καὶ τὸν μισθὸν καὶ τὴν ἀμοιβήν. καὶ γὰρ κολυμβητὴς ἄνθρωπος, δι' οὐδὲν ἄλλο τολμᾷ εἰς τὸ βάθος ἑαυτὸν καταβαλεῖν τῶν ὑδάτων, ἢ διὰ μαργαρίτας, τοῦ πολέμου τὴν ὑπόθεσιν. ἀλλ' οὐ τὴν ὕλην διαβάλλω, ἀλλὰ τὴν ἀκόλαστον γνώμην. καὶ σὺ, ἵνα λάβῃς θησαυρὸν ἀνέλλιπῆ, καὶ φυτεύσῃς ἄμπελον ἐν τῇ ψυχῇ σου, οὐκ ἀνέχῃ καύματος, οὐδὲ ἱδρῶτος; οὐχ ὁρᾷς τοὺς ἐν θεάτρῳ καθημένους, πῶς ἱδροῦσι, καὶ γυμνῇ τῇ κεφαλῇ τὴν ἀκτῖνα δέχονται, ἵνα γένωνται θανάτου αἰχμάλωτοι, ἵνα πόρνης δοῦλοι; εἰς ἀπώλειαν ἐκεῖνοι κάμνουσι, καὶ σὺ εἰς σωτηρίαν ἐκλύῃ; ἀθλητὴς εἶ, καὶ στρατιώτης. τίς οὖν ἐστιν ὁ Ὀζίας ἐκεῖνος; καὶ διὰ τί τὴν τελευτὴν αὐτοῦ [ταύτην] εἶπεν; ἐπειδὴ ὁ Ὀζίας βασιλεὺς ἦν, καὶ ἀνὴρ δίκαιος, καὶ πολλοῖς κομῶν τοῖς κατορθώμασιν· ἀλλ᾽ ὕστερόν ποτε εἰς ἀπόνοιαν ἦλθεν, εἰς ἀπόνοιαν τὴν μητέρα τῶν κακῶν, εἰς ἀλαζονείαν τὴν θορύβων γέμουσαν, εἰς ὑπερηφανίαν, τὴν ἀπώλειαν τοῦ διαβόλου. οὐδὲν γὰρ ἀπονοίας χεῖρον. διὰ τοῦτο καὶ τὸν λόγον ἅπαντα εἰς τοῦτο κατηναλώσαμεν χθὲς, τὴν ἀπόνοιαν καθαιροῦντες καὶ ταπεινοφροσύνην διδάσκοντες. εἴπω σοι, πόσον ἀγαθὸν ταπεινοφροσύνη, καὶ πόσον κακὸν ἀπόνοια; ἁμαρτωλὸς δίκαιον ἐνίκησεν, ὁ τελώνης τὸν φαρισαῖον, καὶ ῥήματα ἔργων περιεγένοντο. ποῖα ῥήματα; ὁ τελώνης λέγει· Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· ὁ Λουκ. ιη. ια. φαρισαῖος λέγει, Οὐκ εἰμὶ, ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαξ, ἢ πλεονέκτης. ἀλλὰ τί; νηστεύω δὶς τῆς ἑβδομάδος, ἀποδεκατῶ μου τὰ ὑπάρχοντα. ὁ φαρισαῖος ἔργα ἔδειξε δικαιοσύνης· ὁ τελώνης ῥήματα εἶπε ταπεινοφροσύνης. οἱ λόγοι ἔργων περιεγένοντο, καὶ ὁ τοσοῦτος θησαυρὸς ἐξεφυσήθη, καὶ ἡ τοσαύτη πενία εἰς πλοῦτον μετεβλήθη. ἦλθον δύο πλοῖα ἔχοντα γόμον· εἰσῆλθον ἀμφότερα εἰς τὸν λιμένα. ἀλλ᾽ ὁ τελώνης καλῶς τῷ λιμένι προσωρμίσθη, ὁ δὲ φαρισαῖος ναυάγιον ὑπέμεινεν· ἵνα μάθῃς πόσον κακὸν ἡ ἀπόνοια. δίκαιος εἶ; μὴ ταπεινώσῃς τὸν ἀδελφόν σου. κομᾷς κατορθώμασι; μὴ ὀνειδίσῃς τῷ πλησίον, καὶ ὑποτέμνῃς σου τὸ ἐγκώμιον. ὅσον μέγας εἶ, τοσοῦτον ταπείνου σεαυτόν. καὶ πρόσεχε μετ᾽ ἀκριβείας τῷ λόγῳ, ἀγαπητέ. μᾶλλον ὁ δίκαιος ὀφείλει φοβεῖσθαι τὴν ἀπόνοιαν, ἢ ὁ ἁμαρτωλός (τοῦτο καὶ χθὲς εἶπον, καὶ σήμερον λέγω διὰ τοὺς χθὲς ἀπολειφθέντας) διότι ὁ ἁμαρτωλὸς ἔχει τὸ συνειδὸς ἀνάγκῃ ταπεινόν, ὁ δὲ δίκαιος ἐπαίρεται κατορθώμασιν. ὥσπερ οὖν ἐπὶ τῶν πλοίων, οἱ μὲν ἔχοντες κενὸν πλοῖον, οὐ δεδοίκασι πειρατῶν σύστημα (οὐ γὰρ ἔρχονται διατρῆσαι τὸ πλοῖον τὸ μηδὲν ἔχον) οἱ δὲ φόρτου γέμον ἔχοντες πλοῖον, δεδοίκασι πειρατὰς (ὁ γὰρ πειρατὴς ἐκεῖ ἀνατρέχει), ὅπου χρυσὸς, ὅπου ἄργυρος, ὅπου λίθοι τίμιοι) οὕτω καὶ ὁ διάβολος, οὐκ εὐκόλως ἐπηρεάζει τῷ ἁμαρτωλῷ, ἀλλὰ τῷ δικαίῳ, ὅπου πλοῦτος πολύς. ἐπειδὴ πολλάκις ἡ ἀπόνοια ἐξ ἐπιβουλῆς τοῦ διαβόλου, νήφειν ἀναγκαῖον. ὅτι μέγας εἶ, τοσοῦτον ταπείνου σεαυτόν. ὅταν ἀναβῇς εἰς τὸ ὕψος, ἀσφαλίσασθαι χρείαν ἔχεις, ἵνα μὴ πέσῃς. διὸ καὶ ὁ Κύριος ἡμῶν λέγει· Λουκ. ιζ. ι. Ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν. τί μέγα φρονεῖς, ἄνθρωπος ὢν, τῆς γῆς συγγενής, ὁμοούσιος τῇ τέφρᾳ, ἔν τε τῇ φύσει, ἔν τε τῇ γνώμῃ, καὶ τῇ προαιρέσει τῶν πραγμάτων; σήμερον πλούσιος, αὔριον πένης, σήμερον ὑγιαίνων, αὔριον νοσῶν, σήμερον χαίρων, αὔριον λυπούμενος, σήμερον ἐν δόξῃ, αὔριον ἐν ἀτιμίᾳ, σήμερον ἐν νεότητι, αὔριον ἐν γήρᾳ; μὴ ἵσταταί τι τῶν ἀνθρωπίνων, ἀλλ᾽ ὥσπερ τῶν ποταμίων ῥευμάτων μιμεῖται τὸν δρόμον; ὄναρ τε γὰρ ἐφάνη, καὶ σκιᾶς εὐκολώτερον ἡμᾶς καταλιμπάνει. τί οὖν μέγα φρονεῖς, ἄνθρωπε, ὁ καπνὸς, ἡ ματαιότης; Ψαλμ. ρμγ. δ. Ἄνθρωπος γὰρ ματαιότητι ὡμοιώθη· ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ· Ησ. μ. ς. Ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε. ταῦτα λέγω, οὐχ ὡς τὴν οὐσίαν ἐξευτελίζων, ἀλλὰ τὴν ἀπόνοιαν χαλινῶν. καὶ γὰρ μέγα ἄνθρωπος, καὶ τίμιον ἀνὴρ ἐλεήμων. ἀλλ᾽ ὁ Ὀζίας ἐπειδὴ βασιλεὺς ὢν, καὶ τὸ διάδημα περικείμενος, ἐπειδὴ δίκαιος ἦν, ἐφρόνησέ ποτε μέγα, καὶ φρονήσας μέγα, καὶ μεῖζον τῆς ἀξίας, εἰσῆλθεν εἰς τὸ ἱερόν. καὶ τί φησιν; εἰσῆλθεν εἰς τὰ ἅγια τῶν ἁγίων, καὶ λέγει, βούλομαι θυμιᾶσαι. βασιλεὺς ὢν ἱερωσύνης ἀρχὴν ἁρπάζει. βούλομαι, φησὶ, θυμιᾶσαι, ἐπειδὴ δίκαιός εἰμι. ἀλλὰ μένε ἔσω τῶν οἰκείων ὅρων· ἄλλοι ὅροι βασιλείας, καὶ ἄλλοι ὅροι ἱερωσύνης· ἀλλ᾽ αὕτη μείζων ἐκείνης. οὐ γὰρ ἀπὸ τῶν φαινομένων φαίνεται βασιλεὺς, οὐδὲ ἀπὸ τῶν πεπηγμένων αὐτῷ λίθων, καὶ ὧν περίκειται) χρυσίων, ὀφείλει κρίνεσθαι ὁ βασιλεύς. ἐπειδὴ μὲν γὰρ τὰ ἐπὶ τῆς γῆς ἔλαχεν οἰκονομεῖν· ὁ δὲ τῆς ἱερωσύνης θεσμὸς, ἄνω κάθηται). Ματθ. ις. ιθ. Ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ. ὁ βασιλεὺς τὰ ἐνταῦθα πεπίστευται,

ται, ἐγὼ τὰ οὐράνια· ἐγὼ ὅταν εἴπω, τὸν ἱερέα λέγω. μὴ οὖν, ἂν ἴδῃς ἱερέα ἀνάξιον, τὴν ἱερωσύνην διάβαλλε. οὐ γὰρ τὸ πρᾶγμα διαβάλλειν δεῖ, ἀλλὰ τὸν κακῶς τῷ καλῷ κεχρημένον (ἐπεὶ καὶ ὁ Ἰούδας προδότης ἐγένετο, ἀλλ' οὐ κατηγορία τῆς ἀποστολῆς τοῦτο, ἀλλὰ τῆς ἐκείνου γνώμης) οὐ τὸ ἔγκλημα τῆς ἱερωσύνης, ἀλλὰ τὸ κακὸν τῆς γνώμης. καὶ σὺ τοίνυν μὴ τὴν ἱερωσύνην διάβαλλε, ἀλλὰ τὸν ἱερέα τὸν κακῶς τῷ καλῷ κεχρημένον. ἐπεὶ ὅταν σοί τις διαλέγηται, καὶ λέγῃ, Εἶδες τόνδε τὸν χειροτονηθέντα; Εἰπέ, ἀλλ' ἐγὼ οὐ περὶ προσώπων, ἀλλὰ περὶ πραγμάτων σοι διαλέγομαι. ἐπεὶ πόσοι ἰατροὶ δήμιοι ἐγένοντο, καὶ δηλητήρια δεδώκασιν ἀντὶ φαρμάκων; ἀλλ' οὐ τὴν τέχνην διαβάλλω, ἀλλὰ τὸν κακῶς τῇ τέχνῃ χρησάμενον. πόσοι ναῦται κατεπόντισαν πλοῖα; ἀλλ' οὐχ ἡ ναυτιλία, ἀλλ' ἡ κακὴ γνώμη ἐκείνων. κἂν ᾖ χειροτονηθεὶς φαῦλος, μὴ τοῦ δόγματος κατηγόρει καὶ τῆς ἱερωσύνης, ἀλλὰ τὸν κακῶς τῷ καλῷ κεχρημένον. ὁ βασιλεὺς σώματα ἐμπεπίστευται, ὁ δὲ ἱερεὺς ψυχάς· ὁ βασιλεὺς λοιπάδας χρημάτων ἀφίησιν, ὁ δὲ ἱερεὺς λοιπάδας ἁμαρτημάτων· ἐκεῖνος ἀναγκάζει, οὗτος παρακαλεῖ· ἐκεῖνος ἀνάγκῃ, οὗτος γνώμῃ· ἐκεῖνος ὅπλα ἔχει αἰσθητά, οὗτος ὅπλα πνευματικά· ἐκεῖνος πολεμεῖ πρὸς βαρβάρους, ἐμοὶ πόλεμος πρὸς δαίμονας. μείζων ἡ ἀρχὴ αὕτη· διὰ τοῦτο ὁ βασιλεὺς τὴν κεφαλὴν ὑπὸ χεῖρας τοῦ ἱερέως ἄγει, καὶ πανταχοῦ ἐν τῇ παλαιᾷ ἱερεῖς βασιλέας ἔχριον. ἀλλ' ὁ βασιλεὺς ἐκεῖνος τὰ ἴδια σκάμματα ὑπερβάς, καὶ τὸ μέτρον τῆς βασιλείας διαπηδήσας, προσθεῖναι ἐπεχείρησε, καὶ εἰσῆλθεν εἰς τὸ ἱερὸν μετὰ αὐθεντίας, θυμιάσαι θέλων. τί οὖν ὁ ἱερεύς; Οὐκ ἔξεστί σοι, Ὀζία, θυμιᾶσαι. ὅρα παρρησίαν, φρόνημα ἀδούλωτον, γλῶτταν οὐρανοῦ ἁπτομένην, ἐλευθερίαν ἀχείρωτον, ἀνθρώπου τὸ σῶμα, καὶ ἀγγέλου τὸ φρόνημα, χαμαὶ βαδίζοντα, καὶ ἐν οὐρανῷ πολιτευόμενον. Εἶδε τὸν βασιλέα, καὶ οὐκ εἶδε τὴν πορφύραν· εἶδε τὸν βασιλέα, καὶ οὐκ εἶδε τὸ διάδημα. μή μοι λέγε τὴν βασιλείαν, ὅπου παρανομία. οὐκ ἔξεστί σοι, βασιλεῦ, θυμιάσαι εἰς τὰ ἅγια τῶν ἁγίων, ὑπερβαίνεις τὰ σκάμματα, τὰ μὴ δεδομένα ζητεῖς· διὰ τοῦτο καὶ ἃ ἔλαβες, ἀπολεῖς. οὐκ ἔξεστί σοι θυμιάσαι, ἀλλὰ τοῖς ἱερεῦσιν· οὐκ ἔστι σὸν τοῦτο, ἀλλ' ἐμόν. μὴ ἥρπασά σου τὴν πορφυρίδα; μὴ ἁρπάσῃς μου τὴν ἱερωσύνην. οὐκ ἔξεστί σοι θυμιάσαι, ἀλλ' ἢ τοῖς ἱερεῦσι τοῖς υἱοῖς Ἀαρών. μετὰ πολὺν χρόνον, μετὰ τὴν τελευτὴν Ἀαρὼν τοῦτο ἐγένετο. καὶ διὰ τί οὐκ εἶπε, τοῖς ἱερεῦσι μόνον, ἀλλ' ἐμνημόνευσε καὶ τοῦ πατρός; Συνέβη ἐν ἐκείνῳ τῷ χρόνῳ τοιοῦτόν τι γενέσθαι. Δαθὰν γὰρ καὶ Ἀβειρὼν καὶ Κορὲ κατεπανέστησαν τοῦ Ἀαρών· ἠνοίχθη ἡ γῆ, καὶ κατέπιεν αὐτούς· ἦλθε πῦρ ἄνωθεν, καὶ κατέκαυσεν αὐτούς. βουλόμενος οὖν αὐτὸν ἀναμνῆσαι τῆς ἱστορίας ἐκείνης, ὅτι καί ποτε ἐπηρέασαν τὴν ἱερωσύνην, ἀλλ' οὐχ ἡττήθη, ἀλλ' ἐπῆλθε πλῆθος, καὶ ὁ Θεὸς αὐτῷ ἠμύνατο. οὐκ ἔξεστί σοι θυμιᾶν, ἀλλ' ἢ τοῖς ἱερεῦσι τοῖς υἱοῖς Ἀαρών. οὐκ εἶπεν, ἐννόησον τί ὑπέμειναν οἱ τότε ταῦτα ποιήσαντες· οὐκ εἶπεν, ἐννόησον ὅτι ἐκάησαν οἱ ἐπιτολμήσαντες, ἀλλ' εἶπε τὸν ἐκδικηθέντα Ἀαρών, καὶ εἰς ἀνάμνησιν αὐτὸν τῆς ἱστορίας ἤνεγκε. μὴ τόλμα τὰ τοῦ Δαθάν, ἵνα μὴ πάθῃς τοιαῦτα, οἷα ἐπὶ τοῦ Ἀαρών. ὁ δὲ βασιλεὺς Ὀζίας οὐκ ἠνέσχετο, ἀλλὰ τῇ ἀπονοίᾳ φυσιούμενος, ἐπεισῆλθεν εἰς τὸ ἱερόν, ἀνεπέτασε τὰ ἅγια τῶν ἁγίων, θέλων θυμιάσαι. τί οὖν ὁ Θεός; ἐπεὶ οὖν οὐ καλῶς ὁ ἱερεὺς κατεφρονήθη, καὶ λόγος ἱερωσύνης ἐπατεῖτο, καὶ οὐδὲν ἠδύνατο οὐκέτι ὁ ἱερεύς (ἱερέως γὰρ ἐλέγχειν ἐστὶ μόνον, καὶ παρρησίαν ἐπιδείκνυσθαι, οὐχ ὅπλα κινεῖν, οὐδὲ ἀσπίδας ἁρπάζειν, οὐδὲ δόρυ σείειν, οὐδὲ τόξον τείνειν, οὐδὲ βέλος πέμπειν, ἀλλὰ μόνον ἐλέγχειν καὶ παρρησίαν ἐπιδείκνυσθαι) ἐπειδὴ οὖν ἤλεγχεν ὁ ἱερεύς, οὐκ εἶξε δὲ ὁ βασιλεύς, ἀλλὰ ὅπλα ἐκίνει, καὶ ἀσπίδας, καὶ δόρατα, καὶ τῇ ἐξουσίᾳ ἐκέχρητο τῇ ἑαυτοῦ, ὁ ἱερεύς φησιν· ἐγὼ τὸ ἐμαυτοῦ ἐποίησα, οὐδὲν πλέον δύναμαι, βοήθησον ἱερωσύνῃ πατουμένῃ, νόμοι ἀδικοῦνται, θεσμοὶ ἀνατρέπονται. τί οὖν ὁ φιλάνθρωπος; Καὶ εὐθέως ἐξήνθησε λέπρα εἰς τὸ μέ-

2. Παραλ. κϛ.

Ἀριθ. ις.

τωπον αὐτοῦ. ὅπου ἡ ἀναισχυντία, ἐκεῖ καὶ ἡ τιμωρία. Εἶδες φιλανθρωπίαν τῆς τοῦ Θεοῦ τιμωρίας. οὐ κεραυνὸν ἀφῆκεν, οὐ γῆν ἔσεισεν, οὐ συνετάραξε τὸν οὐρανόν, ἀλλὰ ἐξήνθησεν ἡ λέπρα, οὐκ ἐν ἄλλῳ τόπῳ, ἀλλ' ἐπὶ τοῦ μετώπου, ἵνα τὴν κόλασιν τὸ πρόσωπον φέρῃ, ἵνα ὡς ἐν στήλῃ γράμματα ᾖ κείμενα. οὐδὲ γὰρ δι' αὐτὸν ἐγίνετο, ἀλλὰ διὰ τοὺς μετὰ Δαθάν. δυνάμενος γὰρ ἀξίως τὴν τιμωρίαν ἐπαγαγεῖν, οὐκ ἐπήνεγκεν· ἀλλὰ καθάπερ νόμος ἔκειτο ἐν ὑψηλῷ τόπῳ τινὶ λέγων· μὴ ποιῆτε τοιαῦτα, ἵνα μὴ πάθητε τοιαῦτα. ἐξῄει νόμος ἔμψυχος, καὶ μέτωπον φωνὴν ἠφίει σάλπιγγος λαμπροτέραν. γράμματα ἦν ἀναγεγραμμένα ἐν τῷ μετώπῳ, γράμματα ἐξαλειφθῆναι μὴ δυνάμενα. οὐ γὰρ ἦν μέλαν, ἵνα τις ἐξαλείψῃ, ἀλλ' ἀποφάσεως ἡ λέπρα, καὶ ἀκάθαρτον ἐποίει τοῦτον, ἵνα τοὺς ἄλλους καθαροὺς ποιήσῃ. καὶ καθάπερ τοὺς καταδίκους, ἐπειδὰν σπαρτίον λάβωσιν, ἐξάγουσιν αὐτοὺς τὸ σπαρτίον ἐπὶ τοῦ στόματος ἔχοντας· οὕτω καὶ οὗτος ἀντὶ σπαρτίου ἐπὶ τοῦ μετώπου εἶχε τὴν λέπραν ἀπαγόμενος, ἐπειδὴ τὴν ἱερωσύνην ὕβρισε. ταῦτα λέγω, οὐχὶ βασιλέας διαβάλλων, ἀλλὰ τοὺς τῇ ἀπονοίᾳ καὶ τῷ θυμῷ μεθύοντας, ἵνα μάθητε ὅτι ἡ ἱερωσύνη βασιλείας μείζων. ἀεὶ γὰρ ὁ Θεός, ὅταν ἁμάρτῃ ἡ ψυχή, τὸ σῶμα κολάζει. οὕτω καὶ ἐπὶ τοῦ Κάϊν ἐποίησεν· ἡ ψυχὴ ἥμαρτε φόνον ἐργασαμένη, καὶ τὸ σῶμα αὐτοῦ παρελύθη, καὶ μάλα εἰκότως. διὰ τί; Στένων καὶ τρέμων, φησίν, ἔσῃ ἐπὶ τῆς γῆς· καὶ περιῄει ὁ Κάϊν πᾶσι διαλεγόμενος, σιγῇ φωνὴν ἀφιείς, ἀφωνίᾳ παιδεύων. ἡ γλῶσσα ἐσίγα, καὶ τὰ μέλη ἐβόα, καὶ πᾶσι διελέγετο· διὰ τί στένει, διὰ τί τρέμει; ἀδελφὸν ἀπέκτεινα, φόνον εἰργασάμην. ὁ Μωϋσῆς μετὰ ταῦτα ἔλεγε διὰ γραμμάτων, ἐκεῖνος διὰ πραγμάτων περιῄει πᾶσι λέγων, οὐ φονεύσεις. εἶδες στόμα σιγῶν, καὶ πρᾶγμα βοῶν; Εἶδες νόμον ἔμψυχον περιφερόμενον; εἶδες στήλην περιερχομένην; Εἶδες τιμωρίαν τιμωρίας ἀναίρεσιν; Εἶδες κόλασιν παιδεύσεως ὑπόθεσιν γινομένην; Εἶδες ψυχὴν ἁμαρτοῦσαν, καὶ τὴν σάρκα κολαζομένην; καὶ μάλα εἰκότως. οὕτω δὲ καὶ ἐπὶ Ζαχαρίου, ἡ ψυχὴ ἥμαρτε, καὶ ἡ γλῶσσα ἐδέθη, ἐκεῖνος ὁ τὴν φωνὴν ἀμυνήσας Ζαχαρίας. οὕτω δὲ κἀκεῖνος ἐλεπρώθη, καὶ ἐξῄει ὁ βασιλεὺς πᾶσιν ὑπόδειγμα γινόμενος, καὶ ἐκαθάρθη τὸ ἱερόν, καὶ ἐξεβάλλετο, οὐδενὸς ὠθοῦντος, καὶ θέλων τὴν ἱερωσύνην προσλαβεῖν, καὶ ὃ εἶχεν ἀπώλεσε. καὶ ἐξῄει ἀπὸ τοῦ ἱεροῦ. τὸ μὲν παλαιὸν πάντα λεπρὸν ἦν νόμος ἔξω τῆς πόλεως ἐκβάλλεσθαι· νυνὶ δὲ οὐκέτι. διὰ τί; ἐπειδὴ ὡς παιδίοις προσεῖχεν ὁ Θεός. τότε λέπρα ἦν τοῦ σώματος, νῦν ἡ λέπρα τῆς ψυχῆς ζητεῖται. ἐξῄει τοίνυν ὁ βασιλεὺς ἐν λεπρότητι, καὶ οὐκ ἐξέβαλον αὐτὸν ἐκ τῆς πόλεως, αἰδούμενοι τὸ διάδημα αὐτοῦ καὶ τὴν βασιλείαν, ἀλλ' ἐκάθητο πάλιν παρανομῶν. τί οὖν ὁ Θεός; ὀργιζόμενος τοῖς Ἰουδαίοις ἔστησε τὴν προφητείαν. ταῦτα οὖν ἅπαντα διὰ τὸ ῥῆμα τοῦ προφήτου, ἵνα καταβάλω τὸ χρέος. ἐγὼ τὸ ἐμὸν ἐποίησα, φησίν· ὑμεῖς ὁ δῆμος φοβεῖσθε τὸν ἀκάθαρτον ἐκβαλεῖν; ἀλλ' αἰδεῖσθε τὴν βασιλείαν; μᾶλλον δὲ τὸν νόμον τοῦ Θεοῦ παραγράφετε. ἀφήκατε οὖν αὐτὸν ἔνδον καθέζεσθαι. τί οὖν ὁ Θεός; ἀπεστράφη αὐτούς· οὐκέτι, φησί, λαλῶ τοῖς προφήταις ὑμῶν, οὐκέτι πέμπω πνεύματος χάριν· καὶ οὐκ ἦν ῥῆμα τίμιον τότε, καὶ οὐκ ἦν ῥῆσις προφητεύουσα· σιγᾷ τοῦ πνεύματος ἡ χάρις, οὐκ ἐδείκνυτο ὁ Θεός. ἐπειδὴ ἐπὶ ἀκαθάρτου οὐκ ἦν ἡ χάρις, * οὐ περιεγίνετο, οὐ Θεὸς ἐφαίνετο, οὐχ ὁράσεις ἔδειξεν, οὐ προφῆται διελέγοντο τὰ ὀφειλόμενα. ἀλλ' ὥσπερ ἂν εἴπῃς, οὐκέτι διαλέγομαί σοι, οὐ λαλῶ σοι· οὕτως ὁ Θεὸς ὁρᾷ καὶ ὀργίζεται. οὐ γὰρ ἡμερότητος γέμουσαν ἐκόλασεν, οὐδὲ ἐτιμωρήσατο, οὐδὲ ἀνέκαυσε τὴν πόλιν, ἀλλὰ τί φησιν; οὐ θέλετέ με ἐκδικῆσαι; οὐχ ὁμιλῶ ὑμῖν. μὴ γὰρ οὐκ ἐδυνάμην αὐτὸν ἐκβαλεῖν; ἀλλ' ἐβουλήθην * ὑμῖν καταλείπειν. οὐ βούλεσθε; οὐδὲ ἐγὼ ὁμιλῶ ὑμῖν, οὐδὲ κινῶ τῶν προφητῶν τὴν ψυχήν. οὐκ ἐνεργεῖ τοῦ πνεύματος ἡ χάρις, σιγὴ ἦν, ἔχθρα Θεοῦ καὶ ἀνθρώπων. ἐπεὶ οὖν ἐκεῖνος μετὰ ταῦτα ἀπέθανε, καὶ ἐλύθη τῶν ἀκαθάρτων ἡ ὑπόθεσις. ἐπειδὴ οὖν χρόνον πολὺν εἶχεν ὁ προφήτης, μὴ προφητεύσας,

σας, ἐκείνου δὲ μὴ προφητεύοντος ἐλύθη ἡ ὀργή, καὶ ἡ προφητεία ἐπανῆλθε, λοιπὸν ἀναγκαίως ὁ προφήτης ἐπισημαίνεται τὸν καιρόν, καὶ λέγει· καὶ ἐγένετο ἐν τῷ ἐνιαυτῷ, οὗ ἀπέθανεν Οζίας ὁ βασιλεύς, εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. ὅτε ἀπέθανε, τότε εἶδον τὸν Κύριον. πρὶν γὰρ τὸν Θεὸν οὐχ ἑώρων ὀργιζόμενον ἡμῖν. ἦλθε γὰρ ὁ θάνατος τοῦ ἀκαθάρτου, καὶ ἔλυσε τὴν ὀργήν. διὰ τοῦτο, πανταχοῦ τῶν βασιλέων τὴν ζωὴν λέγων, ἐνταῦθα τελευτὴν εἶπε τοῦ Οζίου· ἐγένετο, φησι, τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Οζίας ὁ βασιλεύς, εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. ἀλλὰ πάλιν τοῦ Θεοῦ τὴν φιλανθρωπίαν ἐνταῦθα ἰδεῖν ἐστιν. ἀπέθανεν ὁ ἀκάθαρτος, καὶ κατηλλάγη Θεὸς τοῖς ἀνθρώποις. διὰ τί, μὴ ὄντων κατορθωμάτων ἐγένετο, ἀλλὰ τῷ ἀποθανεῖν αὐτόν; ὅτι φιλάνθρωπός ἐστι, καὶ οὐκ ἀκριβολογεῖται ἐν τοῖς τοιούτοις· ἓν ἐζήτει μόνον ὁ φιλάνθρωπος καὶ ἀγαθὸς Θεός, ἵνα ὁ ἀκάθαρτος ἐξέλθῃ. ταῦτα τοίνυν εἰδότες, ἀπόνοιαν διώξωμεν, ταπεινοφροσύνην ἀσπασώμεθα, τὴν εἰωθυῖαν δόξαν ἀναπέμψωμεν τῷ πατρί, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. κε. ΕΙΣ ΤΟ ΡΗΤΟΝ ΤΟΥ ΠΡΟΦΗΤΟΥ ΗΣΑΙΟΥ

τὸ λέγον· Ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Οζίας ὁ βασιλεύς, εἶδον τὸν Κύριον· καὶ ἡ ἀπόδειξις, ὅτι δικαίως ἐλεπρώθη Οζίας ἀναξίως θυμιάσας, ὅπερ οὐκ ἔξεστι βασιλεῦσιν, ἀλλ' ἱερεῦσι.

Ησ. ϛ. α.

ΦΕρε, τήμερον τοῖς κατὰ τὸν Οζίαν διηγήμασιν ἀποδῶμεν τὸ τέλος, καὶ τὴν ὀροφὴν λοιπὸν ἐπιθῶμεν τῷ λόγῳ, μήποτε καὶ ἡμεῖς καταγελασθῶμεν, καθάπερ ἐκεῖνος, ὁ τὸν πύργον ἐν τοῖς εὐαγγελίοις ἐπιχειρήσας μὲν οἰκοδομῆσαι, μὴ δυνηθεὶς δέ· μήποτέ τις τῶν παριόντων καὶ περὶ ἡμῶν εἴπῃ, Οὗτος ὁ ἄνθρωπος ἤρξατο μὲν οἰκοδομῆσαι, οὐκ ἴσχυσε δὲ ἐκτελέσαι. ὥστε δὲ σαφέστερα ὑμῖν γενέσθαι τὰ λεγόμενα, μικρὰ τῶν πρότερον εἰρημένων ἀναλάβωμεν. ἔσται γὰρ τὰ αὐτά, τοῖς μὲν ἀκηκοόσιν ὑπόμνησις, τοῖς δὲ μὴ ἀκηκοόσι διδασκαλία. πρῴην μὲν οὖν εἰρήκαμεν, πῶς ἦν εὐσεβὴς ὁ Οζίας, πῶς δὲ γέγονε φαῦλος, καὶ πόθεν, καὶ μέχρι ποῦ τῆς ἀπονοίας ὠλίσθησε. σήμερον δὲ ἀναγκαῖον εἰπεῖν, πῶς εἰσῆλθεν εἰς τὸ ἱερόν, πῶς ἐπεχείρησε θυμιάσαι, πῶς ἐκώλυσεν ὁ ἱερεύς, πῶς οὐκ εἶξεν ἐκεῖνος, πῶς ἐπεσπάσατο τοῦ Θεοῦ τὴν ὀργήν, πῶς ἐν τῇ λέπρᾳ τὸν βίον κατέλυσε· καὶ τίνος ἕνεκεν ὁ προφήτης τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ παρεὶς, τῆς τελευτῆς ἐμνημόνευσεν, οὑτωσὶ λέγων· Τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Οζίας ὁ βασιλεύς. τοῦτο γάρ ἐστι, δι' ὃ πᾶσαν ἐξ ἀρχῆς τὴν ἱστορίαν ἐκινήσαμεν. ἀλλὰ προσέχετε ἀκριβῶς. Καὶ ἐγένετο, φησιν, ἡνίκα ἴσχυσεν ὁ Οζίας ὁ βασιλεύς, ὑψώθη ἡ καρδία αὐτοῦ ἕως τοῦ διαφθεῖραι, καὶ ἠδίκησεν ἐν Κυρίῳ Θεῷ αὐτοῦ. τίς ὁ τρόπος τῆς ἀδικίας; Εἰσῆλθε, φησιν, εἰς τὸν ναὸν Κυρίου θυμιάσαι ἐπὶ τὸ θυσιαστήριον τοῦ θυμιάματος. ὢ τῆς τόλμης, ὢ τῆς ἀναισχυντίας· αὐτῶν τῶν ἱερῶν ἀδύτων κατετόλμησεν, εἰς τὰ ἅγια τῶν ἁγίων εἰσεπήδησεν, ὃ πᾶσιν ἄβατον ἦν χωρίον, πλὴν τοῦ ἀρχιερέως, τοῦτο βεβηλῶσαι ἐπιχείρησε. τοιοῦτόν ἐστιν εἰς ἀπόνοιαν ἐπαρθεῖσα ψυχή. καθάπαξ γὰρ τῆς οἰκείας ἀπογνοῦσα σωτηρίας, οὐδαμοῦ τῆς μανίας ἵσταται· ἀλλὰ τὰς ἡνίας τῆς σωτηρίας αὐτῆς ἐκδιδοῦσα ταῖς ἀλόγοις ἐπιθυμίαις πανταχοῦ φέρεται. καὶ καθάπερ ἵππος δυσήνιος, τὸν χαλινὸν ἀπὸ τοῦ στόματος ἐκβαλών, καὶ τὸν ἀναβάτην ῥίψας ἀπὸ τοῦ νώτου, πάντως ἀνέμου σφοδρότερον φέρεται, καὶ τοῖς ἀπαντῶσίν ἐστιν ἀφόρητος, ὑποφευγόντων ἁπάντων, κατασχεῖν δὲ τολμῶντος οὐδενός· οὕτω καὶ ψυχή, τὸν χαλινοῦντα αὐτὴν τοῦ Θεοῦ φόβον ἐκβαλοῦσα,

Λυκ. ιδ. κη.

Ησ. ϛ. α.

β. Παραλ. κϛ. ιϛ.

βαλοῦσα, καὶ τὸν ἡνιοχοῦντα ῥίψασα λογισμὸν ἅπαντα, τὰ τῆς κακίας ἐπιτρέχει χωρία, ἕως
ἂν εἰς τὰ τῆς ἀπωλείας βάραθρα φέρουσα κατακρημνίσῃ τὴν ἑαυτῆς σωτηρίαν. διὸ
χρὴ συνεχῶς αὐτὴν ἀνακρούεσθαι, καὶ καθάπερ τινὶ χαλινῷ, τῷ τῆς εὐσεβείας λογισμῷ, τὴν
ἄλογον αὐτῆς ἀναχαιτίζειν ὁρμήν· ὅπερ ὁ Ὀζίας οὐκ ἐποίησεν, ἀλλ᾽ εἰς αὐτὴν τὴν ἀ-
νωτάτω πάντων ἀρχὴν περιπόμησεν. ἱερωσύνη γὰρ καὶ αὐτῆς τῆς βασιλείας σεμνοτέρα, καὶ
μείζων ἐστὶν ἀρχή. μὴ γάρ μοι τὴν ἁλουργίδα εἴπῃς, μηδὲ τὸ διάδημα, μηδὲ τὰ ἱμάτια
Ησ. μ. ϛ. τὰ χρυσᾶ. σκιὰ πάντα ἐκεῖνα, καὶ τῶν ἐαρινῶν ἀνθῶν εὐτελέστερα. Πᾶσα γὰρ δόξα ἀν-
θρώπου, φησὶν, ὡς ἄνθος χόρτου, κἂν αὐτὴν λέγῃς τὴν βασιλικήν. μηδὲ ταῦτά μοι λέ-
γε, ἀλλ᾽ εἰ βούλει ἱερέως πρὸς βασιλέα τὸ διάφορον ἰδεῖν, τῆς ἑκάστῳ δεδομένης ἐξουσίας
τὸ μέτρον ἐξέτασον, καὶ πολλῷ τοῦ βασιλέως ὑψηλότερον ὄψει τὸν ἱερέα καθήμενον. Εἰ γὰρ
καὶ σεμνὸς ἡμῖν ὁ θρόνος φαίνεται ὁ βασιλικὸς ἀπὸ τῶν προσπεπηγότων αὐτῷ λίθων, καὶ τοῦ
περισφίγγοντος αὐτὸν χρυσίου, ἀλλ᾽ ὅμως τὰ ἐπὶ τῆς γῆς ἔλαχεν οἰκονομεῖν, καὶ πλέον ἔχει
τῆς ἐξουσίας ταύτης οὐδέν· ὁ δὲ τῆς ἱερωσύνης θρόνος ἐν τοῖς οὐρανοῖς ἵδρυται. καὶ τὰ ἐκεῖ
Ματθ. ιη. ιη. διέπειν ἐπιτέτραπται. τίς ταῦτά φησιν; αὐτὸς ὁ τῶν οὐρανῶν βασιλεύς. Ὅσα γὰρ ἂν
δήσητε, φησὶν, ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς· καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς,
ἔσται λελυμένα ἐν τοῖς οὐρανοῖς. τί ταύτης ἴσον γένοιτ᾽ ἂν τῆς τιμῆς; ἀπὸ τῆς γῆς τὴν
ἀρχὴν τῆς κρίσεως λαμβάνει ὁ οὐρανός. ἐπειδὴ ὁ κριτὴς ἐν τῇ γῇ κάθηται, ὁ δεσπό-
της ἕπεται τῷ δούλῳ· καὶ ἅπερ ἂν οὗτος κάτω κρίνει, ταῦτα ἐκεῖνος ἄνω κυροῖ. καὶ μέσος τοῦ
Θεοῦ καὶ τῆς ἀνθρώπων φύσεως ἕστηκεν ὁ ἱερεὺς, τὰς ἐκεῖθεν τιμὰς κατάγων πρὸς ἡμᾶς, καὶ
τὰς παρ᾽ ἡμῶν ἱκετηρίας ἀνάγων ἐκεῖ, ὀργιζόμενον αὐτὸν τῇ κοινῇ καταλλάττων φύσει,
προσκεκρουκότας ἡμᾶς ἐξαρπάζων τῶν ἐκείνου χειρῶν. διὰ τοῦτο καὶ αὐτὴν τὴν βασι-
λικὴν κεφαλὴν ὑπὸ τὰς τοῦ ἱερέως χεῖρας φέρων τίθησιν ὁ Θεὸς, παιδεύων ἡμᾶς, ὅτι
οὗτος ἐκείνου μείζων ὁ ἄρχων. τὸ γὰρ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. ἀλλὰ
περὶ ἱερωσύνης, καὶ ὅσον τῆς ἀξίας τὸ μέγεθος, ἐν ἑτέρῳ καιρῷ δηλώσομεν· τέως δὲ ἴδωμεν
τῆς ἀδικίας τὸ μέγεθος τοῦ βασιλέως, μᾶλλον δὲ τοῦ τυράννου. εἰσῆλθεν εἰς τὸν ναὸν Κυρίου,
εἰσῆλθε καὶ Ἀζαρίας ὁ ἱερεὺς ὀπίσω αὐτοῦ. ἆρα μὴ μάτην ἔλεγον, ὅτι μείζων τοῦ βα-
σιλέως ὁ ἱερεύς; οὐ γὰρ ὡς βασιλέα μέλλων ἐξελαύνειν, ἀλλ᾽ ὡς δραπέτην καὶ οἰκέ-
την ἀγνώμονα, οὕτως ἐπεισῆλθε μετὰ σφοδρότητος, ὥσπερ τις σκύλαξ γενναῖος ἐπι-
δραμὼν τῷ ἀκαθάρτῳ θηρίῳ, ὥστε αὐτὸ τῆς δεσποτικῆς ἐξαγαγεῖν οἰκίας. Εἶδες ψυ-
χὴν ἱερέως παρρησίας γέμουσαν πολλῆς, καὶ φρονήματος ὑψηλοῦ; οὐκ εἶδεν εἰς τὸν τῆς
ἀρχῆς ὄγκον, οὐκ ἐνενόησεν, ὅσον ἐστὶ ψυχὴν ἐπιθυμίᾳ μεθύουσαν κατασχεῖν, οὐκ ἤκουσε τοῦ
Παροιμ. ιθ. ιβ. Σολομῶντος λέγοντος· Ἀπειλὴ βασιλέως ὁμοία θυμῷ λέοντος· ἀλλὰ πρὸς τὸν ἀληθῆ
βασιλέα τῶν οὐρανῶν ἰδὼν, καὶ τὸ βῆμα ἐννοήσας ἐκεῖνο καὶ τὰς εὐθύνας, καὶ τούτοις ἑαυτὸν τοῖς
λογισμοῖς ὀχυρώσας, οὕτως ἐπεπήδησε τῷ τυράννῳ. ᾔδει γὰρ, ᾔδει σαφῶς, ὅτι ἀπειλὴ
βασιλέως ὁμοία θυμῷ λέοντος τοῖς πρὸς τὴν γῆν βλέπουσιν· ἀνθρώπῳ δὲ τὸν οὐρανὸν
φανταζομένῳ, καὶ παρεσκευασμένῳ τὴν ψυχὴν ἔνδον ἐν τοῖς ἀδύτοις ἀφεῖναι, ἢ τοὺς ἱεροὺς
νόμους ὑβριζομένους περιιδεῖν, κυνὸς παντὸς εὐτελέστερος ἦν ἐκεῖνος. οὐδὲν γὰρ ἀσθενέστε-
ρον τοῦ τοὺς θείους παραβαίνοντος νόμους· ὥσπερ οὖν οὐδὲν ἰσχυρότερον τοῦ τοὺς θείους ἐκδι-
Ιωαν. η. λδ. κοῦντος νόμους. Ὁ μὲν γὰρ τὴν ἁμαρτίαν ποιῶν, δοῦλός ἐστι τῆς ἁμαρτίας, κἂν μυρίους
ἐπὶ τῆς κεφαλῆς ἔχῃ στεφάνους· ὁ δὲ τὴν δικαιοσύνην ἐργαζόμενος, καὶ αὐτοῦ τοῦ βασιλέως
βασιλικώτερός ἐστι, κἂν πάντων ἔσχατος ᾖ. ταῦτα πρὸς ἑαυτὸν φιλοσοφήσας ὁ γενναῖος
ἐκεῖνος, ἐπεισῆλθε τῷ βασιλεῖ.

Συνεισέλθωμεν οὖν καὶ ἡμεῖς, εἰ δοκεῖ, ἵνα ἴδωμεν τί
πρὸς τὸν βασιλέα διαλέγεται. ἔξεστι γὰρ, οὐ μικρὸν [δὲ] εἰς ὠφελείας λόγον, ἐλεγχό-
μενον ἰδεῖν ὑπὸ ἱερέως βασιλέα. τί οὖν φησιν ὁ ἱερεύς; οὐκ ἔξεστί σοι, Ὀζία, θυμιᾶσαι

τῷ Κυρίῳ. Οὐκ ὠνόμασεν αὐτὸν βασιλέα, οὐδὲ ἀπὸ τοῦ τῆς ἀρχῆς ἐκάλεσεν ὀνόματος, ἐπειδὴ ἑαυτὸν περιλαβὼν ἐξέβαλε τῆς τιμῆς. Εἶδες παῤῥησίαν ἱερέως; Ἄκουσον κατάμαθε καὶ πρᾳότητα. οὐ γὰρ παῤῥησίας ἡμῖν δεῖ μόνον, ὅταν ἐλέγχειν μέλλωμεν, ἀλλὰ καὶ πρᾳότητος μᾶλλον, ἢ παῤῥησίας. ἐπειδὴ γὰρ οὐδένα τῶν ἀνθρώπων οὕτως ἀποστρέφονται καὶ μισοῦσιν οἱ ἁμαρτάνοντες, ὡς τὸν ἐλέγχειν μέλλοντα καὶ προφάσεως ἐπιλαβέσθαι ἐπιθυμοῦσιν, ὥστε ἀποπηδῆσαι, καὶ τὴν ἐπιτιμίαν διαφυγεῖν, δεῖ οὖν κατέχειν αὐτοὺς τῇ πρᾳότητι καὶ τῇ ἐπιεικείᾳ. οὐ γὰρ φωνὴν μόνον ἀφεὶς ὁ τοιοῦτος, ἀλλὰ καὶ βλεπόμενος, βαρὺς ἔσται τοῖς ἁμαρτάνουσι. Βαρὺς γὰρ ἡμῖν, φησίν, ἐστὶ καὶ βλεπόμενος. διὰ ταῦτα πολλὴν χρὴ τὴν πρᾳότητα ἐπιδείκνυσθαι. διὰ ταῦτα ὑμῖν καὶ ὁ λόγος ὑπ' ὄψιν ἤγαγε καὶ τὸν ἡμαρτηκότα, καὶ τὸν διορθοῦν αὐτὸν μέλλοντα. καὶ γὰρ οἱ σοφοὶ τῶν ἰατρῶν, ὅταν μέλλωσι σεσηπότα τέμνειν μέλη, ἢ λίθους τοῖς πόροις ἐναπεσφηνωμένους ἐξέλκειν, ἢ ἄλλο τι τῆς φύσεως ἁμάρτημα διορθοῦν, οὐκ εἰς γωνίαν λαβόντες τὸν κάμνοντα, τοῦτο ποιοῦσιν, ἀλλ' ἐν μέσαις αὐτὸν θέντες ταῖς ἀγοραῖς, καὶ θέατρον ἐκ τῶν παριόντων περιστήσαντες, οὕτως ἐπάγουσι τὴν τομήν. ποιοῦσι δὲ τοῦτο, οὐχὶ ταῖς ἀνθρωπίναις ἐμπομπεύειν βουλόμενοι συμφοραῖς, ἀλλ' ὥστε πολλὴν τῆς οἰκείας ὑγιείας ἕκαστον ποιεῖσθαι τὴν πρόνοιαν. οὕτω καὶ ἡ γραφὴ ποιεῖ· ἐπειδὰν τινα λάβῃ τῶν ἁμαρτανόντων, ἐφ' ὑψηλοῦ τοῦ κηρύγματος αὐτὸν προτίθησιν, οὐκ ἐν μέσαις ἀγοραῖς, ἀλλ' ἐν μέσῃ τῇ γῇ καὶ τὸ τῆς οἰκουμένης περιστήσασα θέατρον, οὕτω τὴν ἰατρείαν ἐπιδείκνυται, παιδεύουσα ἡμᾶς ἀσφαλεστέρους περὶ τὴν οἰκείαν εἶναι σωτηρίαν. ἴδωμεν οὖν πῶς ἐπιχειρεῖ τοῦτον ὁ ἱερεὺς διορθώσασθαι τότε. Οὐκ εἶπεν, ὦ μιαρὲ καὶ παμμίαρε, πάντα ἀνέτρεψας καὶ συνέχεας, εἰς ἔσχατον ἀσεβείας ἐξεπήδησας, οὐδὲ μακροὺς ἐξέτεινε κατηγορίας λόγους· ἀλλ' ὥσπερ οἱ τέμνοντες τοῦτο ποιεῖν συντόμως σπουδάζουσι, τῷ τάχει τῆς τομῆς κλέπτοντες τῆς ὀδύνης τὴν αἴσθησιν· οὕτω καὶ οὗτος τῇ βραχυλογίᾳ, τῆς θρασύτητος τοῦ βασιλέως τὴν φλεγμονὴν ἔστησεν. ὅπερ γὰρ ἐπὶ τῶν καμνόντων τομή, τοῦτο ἐπὶ τῶν ἁμαρτανόντων ἔλεγχος. καὶ τὴν μὲν ἐπιείκειαν μετὰ τῶν ἄλλων καὶ διὰ τῆς βραχυλογίας ἡμῖν ἐπιδείκνυται. Εἰ δὲ βούλει καὶ τὸν τόνον τῶν ῥημάτων ἰδεῖν, καὶ πόσον τὸ σιδήριον ἔκρυψεν, ἄκουσον. Οὐκ ἔξεστί σοί, φησι, θυμιᾶσαι Κυρίῳ, ἀλλ' ἢ τοῖς ἱερεῦσι τοῖς υἱοῖς Ἀαρών, τοῖς ἡγιασμένοις. ἐνταῦθα ἔδωκε τὴν πληγήν. καὶ πῶς, ἐγὼ λέγω. διὰ τί γὰρ οὐκ εἶπε, τοῖς ἱερεῦσιν ἁπλῶς, ἀλλὰ προσέθηκε τοῦ Ἀαρών; ἀρχιερεὺς ἐγένετο πρῶτος, καὶ ἐτολμήθη κατὰ τοὺς ἐκείνου χρόνους τοιοῦτον τόλμημα. Δαθὰν γὰρ καὶ Κορὲ καὶ Ἀβιρὼν συστάντες κατ' αὐτοῦ μετὰ καὶ ἑτέρων τινῶν ἐβούλοντο αὐτοὶ ἱερατεύειν. ἀλλὰ τοὺς μὲν ἡ γῆ διαστᾶσα κατέπιε, τοὺς δὲ πῦρ ἄνωθεν κατενεχθὲν κατέφλεξε. Ταύτης οὖν αὐτὸν τῆς ἱστορίας ὑπομνῆσαι βουλόμενος, ἀνέμνησεν αὐτὸν τοῦ Ἀαρὼν τοῦ τότε ἀδικηθέντος, ὥστε πρὸς τὴν τῶν ἠδικηκότων συμφορὰν παραπέμψαι τὴν τούτου διάνοιαν. πλὴν ἀλλ' οὐδὲν ἐγένετο πλέον· ἀλλ' οὐ παρὰ τὸν ἱερέα, ἀλλὰ παρὰ τὴν τοῦ βασιλέως θρασύτητα. δέον γὰρ ἐπαινέσαι τὸν ἱερέα, καὶ χάριν ὁμολογῆσαι τῆς συμβουλῆς· ὁ δὲ ἐθυμώθη, φησί, καὶ τὸ ἕλκος εἰργάσατο χαλεπώτερον. οὐ γὰρ οὕτως ἁμαρτία κακόν, ὡς ἡ μετὰ τὴν ἁμαρτίαν ἀναισχυντία. ἀλλ' οὐχ ὁ Δαβὶδ οὕτως· ἀλλὰ πῶς; μετὰ τὴν ὑπὸ τοῦ Ναθὰν γινομένην κατηγορίαν τὴν ἐπὶ τῇ Βηρσαβεέ, Ἡμάρτηκα τῷ Κυρίῳ, φησίν. Εἶδες συντετριμμένην καρδίαν; Εἶδες τεταπεινωμένην ψυχήν; Εἶδες πῶς καὶ τὰ πτώματα τῶν ἁγίων λαμπρά; καθάπερ γὰρ τὰ λαμπρὰ τῶν σωμάτων, καὶ ἐπὶ τῆς ἀῤῥωστίας πολλὰ τῆς εὐμορφίας ἡμῖν ἐνδείκνυται τὰ ἴχνη· οὕτω καὶ τῶν ἁγίων αἱ ψυχαί, καὶ ἐν αὐτοῖς τοῖς παραπτώμασι τῆς οἰκείας ἀρετῆς τὰ σύμβολα φέρουσι. καίτοιγε ἐκεῖνος μὲν ἐν μέσοις τοῖς βασιλείοις κατηγορεῖτο παρὰ τοῦ προφήτου, παρόντων πολλῶν· οὗτος δὲ ἔνδον ἐν τοῖς ἀδύτοις, καὶ ἀμάρτυρον εἶχε τὸν ἔλεγχον. ἀλλ' οὐδὲ οὕτως ἤνεγκε τὴν ἐπιτίμησιν. τί οὖν; ἀνίατος ἔμενεν;

β. Βασ. κ. ιδ.

ὄψεσιν

πισήσαν-

αμμί-τον

νέκρυ-

ειέσω.

ἔμενεν; οὐδαμῶς, ἀλλὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν. ἀλλ' ὥσπερ ἐπὶ τοῦ σεληνιαζομένου, τῶν μαθητῶν οὐκ ἰσχυσάντων τὸν δαίμονα ἐκβαλεῖν, ὁ Χριστός φησι, Φέρετέ μοι αὐτὸν ὧδε· οὕτω καὶ ἐνταῦθα, τοῦ ἱερέως μὴ δυνηθέντος πάντων δαίμονος χαλεπώτερον νόσημα, τὴν ἁμαρτίαν, ἐκβαλεῖν, αὐτὸς λοιπὸν ὁ Θεὸς τὸν κάμνοντα μεταχειρίζεται. καὶ τί ποιεῖ; λέπραν ἐπαφίησιν αὐτοῦ τῷ μετώπῳ. Ἐγένετο γάρ, φησιν, ἐν τῷ ἀπειλῆσαι αὐτὸν τῷ ἱερεῖ, λέπρα ἀνέτειλεν ἐπὶ τοῦ μετώπου αὐτοῦ, καὶ ἐξῄει λοιπόν, καθάπερ οἱ τὴν ἐπὶ θάνατον ἀπαγόμενοι, ἀπαρτίον ἐπὶ τοῦ στόματος ἔχοντες, τῆς καταδικαζούσης σύμβολον ψήφου· οὕτω καὶ αὐτὸς τῆς ἀτιμίας τὸ σύμβολον ἐπὶ τοῦ μετώπου φέρων, οὐ δημίων αὐτὸν ἑλκόντων, ἀλλὰ αὐτῆς τῆς λέπρας ἀντὶ " δημίων ἐπὶ " κεφαλὴν ὠθούσης. Εἰσῆλθεν ἱερωσύνην λαβεῖν, ὁ δὲ καὶ τὴν βασιλείαν ἀπώλεσεν· εἰσῆλθε γενέσθαι σεμνότερος, καὶ γέγονεν ἐναγέστερος. καὶ γὰρ ἰδιώτου πάντως λοιπὸν " ἀτιμότερος ἦν ἀκάθαρτος ὤν. τοσοῦτόν ἐστι κακόν, τὸ μὴ μένειν [ἔνδον] ἐπὶ τῶν δοθέντων ἡμῖν παρὰ τοῦ Θεοῦ μέτρων, ἄν τε ἐπὶ τιμῆς, ἄν τε ἐπὶ γνώσεως τοῦτο ᾖ. οὐχ ὁρᾷς ταύτην τὴν θάλατταν, πῶς ἐστι ταῖς βίαις ἀφόρητος, πόσοις κορυφοῦται τοῖς κύμασιν; ἀλλ' ὅμως πρὸς ὕψος διανισταμένη μέγα, καὶ μετὰ πολλοῦ προϊοῦσα τοῦ θυμοῦ, ἐπειδὰν ἔλθῃ πρὸς τὸ τεθὲν ὅριον αὐτῇ παρὰ τοῦ Θεοῦ, τὰ κύματα εἰς ἀφρὸν διαλύσασα, πρὸς ἑαυτὴν ἐπάνεισι. καίτοιγε τί ψάμμου γένοιτ' ἂν ἀσθενέστερον; ἀλλ' οὐκ ἐκεῖνό ἐστι τὸ κωλῦον, ἀλλ' ὁ τοῦ θέντος φόβος. εἰ δὲ οὐ σωφρονίζει σε τοῦτο τὸ παράδειγμα, τὰ κατὰ τὸν Ὀζίαν σε παιδευέτω, τὰ νῦν ἡμῖν εἰρημένα.

Ματθ. ιζ. ιη.

β. Παρ. κϛ. ιθ.

Ἀλλ' ἐπειδὴ τὴν ὀργὴν εἴδομεν τοῦ Θεοῦ καὶ τὴν ἀξίαν ἀνταπόδοσιν, φέρε καὶ τὴν φιλανθρωπίαν αὐτοῦ καὶ τὴν πολλὴν ἐπιείκειαν ἐπιδείξωμεν. οὐ γὰρ " μόνους τοὺς περὶ τῆς ὀργῆς δεῖ κινεῖν λόγους, ἀλλὰ καὶ τοὺς περὶ τῆς χρηστότητος· ἵνα μήτε εἰς ἀπόγνωσιν " ἐμβάλωμεν τοὺς ἀκούοντας, μήτε εἰς ῥᾳθυμίαν. οὕτω καὶ Παῦλος ποιεῖ, καὶ τούτοις ἀμφοτέροις κιρνᾷ τὴν παραίνεσιν, οὑτωσὶ λέγων· Ἴδε οὖν τὴν χρηστότητα, καὶ ἀποτομίαν Θεοῦ· ἵνα καὶ τῷ φόβῳ καὶ ταῖς ἐλπίσι ταῖς χρησταῖς ἀναστήσῃ τὸν πεπτωκότα. Εἶδες ἀποτομίαν Θεοῦ; ἴδε καὶ χρηστότητα. πῶς οὖν ὀψόμεθα τὴν χρηστότητα; ἂν μάθωμεν τίνος ἄξιος ἦν ὁ Ὀζίας. τίνων οὖν ἄξιος ἦν; ἅμα τῶν προθύρων ἐπιβὰς τῶν ἱερῶν μετὰ τοσαύτης ἀναισχυντίας, μυρίων σκηπτῶν, καὶ τῆς ἐσχάτης κολάσεως καὶ τιμωρίας. εἰ γὰρ οἱ πρότεροι ταῦτα τολμήσαντες ταύτην ἔδοσαν τὴν δίκην, οἱ περὶ Δαθὰν καὶ Κορὲ καὶ Ἀβειρών· πολλῷ μᾶλλον τοῦτον οὕτω κολάζεσθαι ἔδει, τὸν μηδὲ ταῖς ἐκείνων σωφρονισθέντα συμφοραῖς. ἀλλ' οὐκ ἐποίησε τοῦτο ὁ Θεός, ἀλλὰ πρότερον αὐτῷ λόγους " προσήγαγε πολλῆς ἐπιεικείας γέμοντας διὰ τοῦ ἱερέως· καὶ ἅπερ ὁ Χριστὸς παραινέσει ἀνθρώποις ποιεῖν, ὅταν εἰς ἀλλήλους ἁμαρτάνωσι, τοῦτο ὁ Θεὸς πρὸς τὸν ἄνθρωπον ἐποίησεν. Ὅταν γάρ, φησιν, ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου· οὕτω καὶ τὸν βασιλέα τοῦτον ἤλεγξεν ὁ Θεός. καὶ ὁ μὲν Χριστός φησιν· Ἐὰν μὴ ἀκούσῃ σου, ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης· ὁ δὲ Θεὸς φιλανθρωπίᾳ τοὺς οἰκείους ὑπερβαίνων νόμους, οὐδὲ οὕτως αὐτὸν ἐξέκοψεν, ἀλλὰ παρακούσαντα καὶ ἀπολακτίσαντα οὐκ ἀπέρριψεν, ἀλλὰ πάλιν προσίετο, καὶ παιδεύει τρόπῳ διόρθωσιν ἔχοντι μᾶλλον, ἢ τιμωρίαν. οὐδὲ γὰρ σκηπτὸν ἀφῆκεν ἄνωθεν, οὐδὲ κατέφλεξε τὴν ἀναίσχυντον κεφαλήν, ἀλλὰ τῇ λέπρᾳ μόνον ἐπαίδευσε. καὶ τὰ μὲν κατὰ τὸν Ὀζίαν τοιαῦτα· ἐγὼ δὲ ἓν ἔτι μόνον προσθείς, καταπαύσω τὸν λόγον. τί δὲ τοῦτό ἐστιν; ὃ πάλαι καὶ ἐξ ἀρχῆς ἐζητήσαμεν· τίνος ἕνεκεν ἐν τοῖς ἔξω πράγμασι, καὶ ἐν ταῖς προφητείαις, ἀπὸ τῶν εἰωθότων τῆς ζωῆς τῶν βασιλέων τοὺς χρόνους ἐπισημαίνεσθαι, οὗτος τοῦτο ἀφείς, τοῦ χρόνου τῆς τελευτῆς μέμνηται τοῦ Ὀζίου, οὑτωσὶ λέγων· Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς. καίτοιγε ἐνῆν τὸν τοῦ βασιλεύοντος χρόνον εἰπεῖν, ὥσπερ ἔθος ἅπασι τοῖς προφήταις ἦν· ἀλλ' οὐκ ἐποίησε τοῦτο. τίνος οὖν ἕνεκεν οὐκ ἐποίησε; νόμος ἦν παλαιὸς τοὺς λεπροὺς τῆς πόλεως ἐξελαύνεσθαι,

Ρωμαι. ια.

Ματθ. ιη. ιε.

ὡς

ὥστε καὶ τοὺς ἐν τῇ πόλει βελτίους γίνεσθαι, καὶ αὐτὸν μὴ παρακεῖσθαι τοῖς βουλομένοις ὑβρίζειν, σκωμμάτων καὶ χλευασίας ἀφορμήν, ἀλλ' ἔξω τῆς πόλεως μένοντα, παραπέτασμα τῆς συμφορᾶς ἔχειν, τὴν ἐρημίαν. τοῦτο καὶ τὸν βασιλέα τοῦτον ὑπομένειν ἐχρῆν μετὰ τὴν λέπραν. ἀλλ' οὐχ ὑπέμεινε, τῶν ἐν τῇ πόλει διὰ τὴν ἀρχὴν αὐτὸν αἰδεσθέντων· ἀλλ' ἔμενεν ἐν τῷ οἴκῳ αὐτοῦ κρυφίως. τοῦτο παρώξυνε τὸν Θεόν, τοῦτο τὴν προφητείαν ἐκώλυσε· καὶ ὅπερ ἐπὶ τοῦ Ἠλὶ γέγονε, ῥῆμα τίμιον ἦν, καὶ οὐκ ἦν ὅρασις διαστέλλουσα. σὺ δέ μοι καὶ ἐνταῦθα σκόπει τοῦ Θεοῦ τὴν φιλανθρωπίαν. οὐ γὰρ ἀνέτρεψε τὴν πόλιν, οὐδὲ ἀπώλεσε τοὺς ἐνοικοῦντας· ἀλλ' ὅπερ φίλοι ποιοῦσι πρὸς τοὺς ὁμοτίμους τῶν φίλων, ἐπειδὰν ἔχωσί τι δίκαιον ἐγκαλεῖν, ἐν παρασιωπήσει μένοντες, τοῦτο καὶ ὁ Θεὸς πρὸς τὸ ἔθνος ἐποίησε, μείζονος ὂν ἄξιον κολάσεως καὶ τιμωρίας. ἐγὼ μὲν γὰρ ἐξέβαλον αὐτόν, φησί, τοῦ ἱεροῦ, ὑμεῖς δὲ οὐδὲ τῆς πόλεως· ἐγὼ δήσας αὐτὸν διὰ τῆς λέπρας, ἰδιώτην παρέδωκα, ὑμεῖς δὲ οὐδὲ οὕτω παρεληλύθατε, ἀλλὰ τὸν ὑπ' ἐμοῦ καταδικασθέντα οὐκ ἠνέσχεσθε τῆς πόλεως ἐκβαλεῖν. καίτοι ποῖος ἂν τοῦτο βασιλεὺς ῥᾳδίως ἤνεγκεν, ἀλλ' οὐκ ἂν ἐκ βάθρων τὴν πόλιν ἀνέτρεψε, τὸν εἰς τὴν ὑπερορίαν μετοικισθῆναι κελευσθέντα, ἐνδιατρίβοντα τῇ πόλει ὁρῶν; ἀλλ' οὐχ ὁ Θεὸς τοῦτο ἐποίησε. Θεὸς γὰρ ἦν, καὶ οὐκ ἄνθρωπος. ἐπειδὴ δὲ ἐτελεύτησε, τῇ ζωῇ τούτου καὶ τὴν πρὸς ἐκείνους ὀργὴν συγκατέλυσε, καὶ τῆς προφητείας τὰς θύρας ἀνέῳξε, καὶ πάλιν πρὸς αὐτοὺς ἐπανῆλθε. σὺ δὲ ἐκ τοῦ τρόπου τῆς καταλλαγῆς σκόπει τοῦ Θεοῦ τὴν φιλανθρωπίαν. εἰ γὰρ ἴσως ἐξετάζοιτο τὸν τοῦ δικαίου λόγον, οὐδὲ τότε καταλλαγῆναι ἐχρῆν. τίνος ἕνεκεν; ὅτι οὐκ αὐτῶν κατόρθωμα γέγονε τὸ τὸν Ὀζίαν ἐκβαλεῖν. οὐ γὰρ αὐτοὶ λαβόντες ἀπήλασαν, ἀλλ' ἡ τελευτὴ νόμῳ φύσεως ἐπελθοῦσα τῆς πόλεως αὐτὸν ἐξέβαλε τότε. ἀλλ' οὐκ ἀκριβολογεῖται μέχρι τούτων πρὸς ἡμᾶς ὁ Θεός, ἀλλ' ἓν μόνον ζητεῖ, σχῆμα τῆς πρὸς ἡμᾶς καταλλαγῆς. ὑπὲρ δὲ τούτων ἁπάντων εὐχαριστήσωμεν αὐτῷ, δοξάσωμεν τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν· ἧς γένοιτο πάντας ἡμᾶς ἀξίους φανῆναι, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, κράτος, τιμή, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. κϛ. ΕΙΣ ΤΑ ΣΕΡΑΦΕΙΜ.

ΜΟλις ποτὲ τὸ κατὰ τὸν Ὀζίαν διεπλεύσαμεν πέλαγος· μόλις δὲ διεπλεύσαμεν, οὐ διὰ τὸ τῆς ὁδοῦ μῆκος, ἀλλὰ διὰ τὸ φιλομαθὲς ὑμῶν τῶν συμπλεόντων ἡμῖν. οὕτω καὶ κυβερνήτης ἐπιβάτας ἔχων φιλοτίμους καὶ πόλεις ξένας ἐπιθυμοῦντας ἰδεῖν, οὐκ ἐν ἡμέρᾳ μιᾷ διανύει τὴν ὁδόν, κἂν μιᾶς ἡμέρας τὸ διάστημα εἴη, ἀλλὰ πλείονα διατρίβειν ἀναγκάζεται χρόνον, καθ' ἕκαστον λιμένα τὸ σκάφος ὁρμίζων, καθ' ἑκάστην πόλιν ἐπιβαίνειν ἐπιτρέπων, ὥστε χαρίσασθαί τι τῇ τῶν συμπλεόντων ἐπιθυμίᾳ. τοῦτο καὶ ἡμεῖς ἐποιήσαμεν, οὐ νήσους πλέοντες, οὐδὲ ἐπίνεια καὶ λιμένας καὶ πόλεις ἐπιδεικνύντες, ἀλλ' ἀνδρῶν κατωρθωκότων ἀρετήν, καὶ διημαρτηκότων ῥᾳθυμίαν, βασιλέως ἀναισχυντίαν καὶ παρρησίαν ἱερέως, ὀργὴν Θεοῦ καὶ φιλανθρωπίαν, ἀμφότερα πρὸς διόρθωσιν γεγενημένα. ἀλλ' ἐπειδὴ λοιπὸν εἰς τὴν βασιλικὴν ἀπηντήσαμεν πόλιν, μηκέτι μέλλωμεν, ἀλλὰ καταστείλαντες ἑαυτούς, ὡς εἰς πόλιν εἰσιέναι μέλλοντες, οὕτως ἀναβῶμεν εἰς τὴν ἄνω μητρόπολιν, τὴν Ἱερουσαλήμ, τὴν μητέρα πάντων ἡμῶν, τὴν ἐλευθέραν, ἔνθα τὰ Σεραφείμ, ἔνθα τὰ χερουβείμ, ἔνθα χιλιάδες ἀρχαγγέλων, ἔνθα μυριάδες ἀγγέλων, ἔνθα ὁ θρόνος ὁ βασιλικός. μηδεὶς τοίνυν παρέστω βέβηλος, μηδὲ ἐναγής (μυστικῶν γὰρ μέλλομεν κατατολμᾶν διηγημάτων) μηδεὶς ἀκάθαρτος καὶ τῆς ἀκροάσεως ταύτης ἀνάξιος· μᾶλλον δὲ καὶ βέβηλος καὶ ἐναγὴς παρέστω πᾶς, ἀλλὰ τὴν ἀκαθαρσίαν καὶ τὴν πονηρίαν ἀποθέμενος ἔξω πᾶσαν, οὕτως εἰσίτω. καὶ γὰρ ἐκεῖνον τὸν τὰ ῥυπαρὰ ἱμάτια ἔχοντα διὰ τοῦτο ἐξήλασε τοῦ νυμφῶνος καὶ τῆς ἱερᾶς παστάδος ὁ τοῦ νυμφίου πατὴρ, οὐκ ἐπειδὴ εἶχεν ἱμάτια ῥυπαρὰ, ἀλλ᾽ ἐπειδὴ ἔχων αὐτὰ, οὕτως εἰσῄει. οὐδὲ γὰρ εἶπε πρὸς αὐτὸν, διὰ τί οὐκ ἔχεις ἔνδυμα γάμου; ἀλλὰ, διὰ τί οὐκ ἔχων ἔνδυμα γάμου οὕτως εἰσῆλθες; ἐπὶ τῶν τριόδων, φησὶν, εἱστήκεις προσαιτῶν, καὶ οὐκ ἐπῃσχύνθην σου τὴν πενίαν, οὐκ ἐβδελυξάμην σου τὴν ἀτιμίαν, ἀλλὰ πάσης ἐκείνης ἀπαλλάξας σε τῆς εὐτελείας, εἰσήγαγον εἰς τὸν νυμφῶνα τὸν ἱερὸν, καὶ δείπνων ἠξίωσα βασιλικῶν, καὶ πρὸς τὴν ἄνω τιμὴν ἤγαγον, τὸν ἐσχάτης ὄντα κολάσεως ἄξιον· σὺ δὲ οὐδὲ ταῖς εὐεργεσίαις ἐγένου βελτίων, ἀλλ᾽ ἐπὶ τῆς συνήθους ἔμεινας κακίας, ὑβρίσας μὲν εἰς τοὺς γάμους, ὑβρίσας δὲ εἰς τὸν νυμφίον. ἄπιθι τοίνυν λοιπὸν, καὶ δίδου τὴν ὀφειλομένην τῆς τοιαύτης ἀναισθησίας τιμωρίαν. σκοπείτω τοίνυν καὶ ἡμῶν ἕκαστος, μή τις ταύτην ἀκούσῃ τὴν φωνὴν, καὶ πάντα λογισμὸν ἀποβαλὼν τῆς πνευματικῆς διδασκαλίας ἀνάξιον, οὕτω τῆς ἱερᾶς μετεχέτω τραπέζης.

Ησ. ϛ. α.

Καὶ ἐγένετο, φησὶ, τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεὺς, εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. πῶς εἶδεν, οὐκ οἶδα. ὅτι μὲν γὰρ εἶδεν, εἶπεν, τὸ δὲ πῶς εἶδεν, ἐσιώπησε. δέχομαι τὰ εἰρημένα, οὐ πολυπραγμονῶ τὰ σεσιγημένα. κατανοῶ τὰ ἀποκαλυφθέντα, οὐ περιεργάζομαι τὰ συγκεκαλυμμένα. διὰ τοῦτο γὰρ συγκεκάλυπται. πέπλος χρυσοῦς ἐστι τῶν γραφῶν ἡ διήγησις, ὁ στήμων χρυσὸς, ἡ κρόκη χρυσός. οὐ περιυφαίνω τῶν ἀραχνῶν τὰ ὑφάσματα· τῶν ἐμῶν λογισμῶν τὴν ἀσθένειαν οἶδα.

Παροιμ. κβ. κη.

Μὴ μέταιρε ὅρια αἰώνια, φησὶν, ἃ ἔθεντο οἱ πατέρες σου. ὅρια κινεῖν οὐκ ἀσφαλὲς καὶ πῶς, ἅπερ ἡμῖν ὁ Θεὸς ἔθηκε, μεταθήσομεν; βούλει μαθεῖν πῶς εἶδε τὸν Θεόν; γενοῦ καὶ αὐτὸς προφήτης. καὶ πῶς δυνατὸν τοῦτο, φησὶ, γυναῖκα ἔχοντα, καὶ παιδοτροφίας ἐπιμελούμενον; δυνατὸν μὲν, ἐὰν ἐθέλῃς, ἀγαπητέ. καὶ γὰρ καὶ αὐτὸς γυναῖκα εἶχε, καὶ παίδων δύο πατὴρ ἦν, ἀλλ᾽ οὐδὲν τούτων αὐτὸν ἐκώλυσεν. οὐ γάρ ἐστι κώλυμα τῆς πρὸς τὸν οὐρανὸν ἀποδημίας ὁ γάμος. ἐπεὶ εἰ κώλυμα ἦν, καὶ ἐπιβουλεύειν ἡμῖν ἔμελλεν ἡ γυνὴ, οὐκ ἂν αὐτὴν ἐξ ἀρχῆς ποιῶν ὁ Θεὸς, ἐκάλεσε βοηθόν. ἐβουλόμην μὲν οὖν εἰπεῖν τί ποτέ ἐστι τὸ καθῆσθαι τὸν Θεόν. οὐ γὰρ δὴ κάθηται ὁ Θεός. σωμάτων γὰρ ὁ σχηματισμὸς, τὸ θεῖον δὲ ἀσώματον. ἐβουλόμην εἰπεῖν τί ποτέ ἐστι θρόνος Θεοῦ. οὐ γὰρ δὴ θρόνῳ ὁ Θεὸς ἐμπεριείληπται. ἀπερίγραπτον γὰρ τὸ θεῖον. ἀλλὰ δέδοικα, μὴ τῇ περὶ τούτων ἐνδιατρίβων διδασκαλίᾳ, παρελκύσω τὸ ὄφλημα. καὶ γὰρ πάντας ὁρῶ πρὸς τὰ Σεραφεὶμ κεχηνότας, οὐχὶ τήμερον μόνον, ἀλλὰ καὶ ἐκ προτέρας ἡμέρας. διόπερ, καθάπερ πλῆθος ἀνθρώπων, πολλῇ τῇ ῥύμῃ διακόπτων ὁ λόγος τῶν ἀπαντώντων νοημάτων τὸ πλῆθος, πρὸς ἐκείνην ἐπείγεται τὴν ἐξήγησιν. Καὶ τὰ Σεραφεὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, φησίν. ἰδοὺ τὰ Σεραφεὶμ, ἃ πάλαι ἐπεθυμεῖτε πάντες ἰδεῖν. θεάσασθε τοίνυν, καὶ τὴν ἐπιθυμίαν ἐμπλήσατε, ἀλλὰ μὴ μετὰ θορύβου, μηδὲ σπεύδοντι τῷ λογισμῷ, ὅπερ ἐπὶ τῶν βασιλικῶν εἰσόδων γίνεται. ἐκεῖ μὲν γὰρ εἰκότως τοῦτο αὐτὸ συμβαίνει. οὐ γὰρ ἀναμένουσιν οἱ δορυφόροι τῶν ὁρώντων τὰς ὄψεις, ἀλλὰ πρὶν ἢ πάντα αὐτοῖς ὀφθῆναι καλῶς, ἀναγκάζουσι παρατρέχειν· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ᾽ ἵστησιν ἡμῖν ὁ λόγος τὴν θεωρίαν, ἕως οὗ πάντα ἐπέλθητε, ὅσα δυνατὸν ἐπελθεῖν. καὶ τὰ Σεραφεὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ. πρὸ τοῦ τῆς φύσεως ἀξιώματος, ἐδίδαξεν ἡμᾶς τὸ ἀπὸ τῆς ἐγγύτητος τῆς κατὰ τὸν τόπον ἀξίωμα. οὐ γὰρ εἶπε πρῶτον τίνα ἦν τὰ Σεραφεὶμ, ἀλλ᾽ εἶπεν ἔνθα ἑστήκασι. τοῦτο γὰρ ἐκείνου τὸ ἀξίωμα μεῖζον. πῶς; ὅτι οὐχ οὕτω δείκνυσι τὰς δυνάμεις ἐκείνας μεγάλας οὔσας, τὸ Σεραφεὶμ εἶναι, ὡς τὸ ἐγγὺς ἑστάναι τοῦ θρόνου βασιλικοῦ. καὶ γὰρ καὶ ἡμεῖς τῶν δορυφόρων ἐκείνους ἐπισημοτέρους εἶναι

νομίζομεν, ὡς ἂν ἴδωμεν ἐγγύς που ζεύγεις ἐλαύνοντας τοῦ βασιλικοῦ ὀχήματος. οὕτω καὶ τῶν δυνάμεων τῶν ἀσωμάτων ἐκεῖναί εἰσι λαμπρότεραι, ὅσαιπερ ἂν ὦσιν ″ ἔγγιστα τοῦ θρόνου. Διὰ τοῦτο καὶ ὁ προφήτης ἀφεὶς διαλεχθῆναι περὶ τοῦ τῆς φύσεως αὐτῶν ἀξιώματος, πρότερον ἡμῖν διαλέγεται περὶ τῆς τοῦ τόπου προεδρίας, εἰδὼς ὅτι τοῦτο μείζων ὁ κόσμος ἐστὶ, καὶ ὅτι τοῦτο τῶν φύσεων ἐκείνων τὸ κάλλος. καὶ γὰρ τοῦτο ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ πᾶσα ἀσφάλεια, τὸ κύκλῳ τοῦ θρόνου [ἐκείνου] φαίνεσθαι. τοῦτο καὶ ἐπὶ τῶν ἀγγέλων ἐστὶν ἰδεῖν. καὶ γὰρ ἐκείνους βουλόμενος δεῖξαι μεγάλους ὁ Χριστὸς, οὐκ εἶπεν, ὅτι ἄγγελοί εἰσι, καὶ ἐσίγησεν· ἀλλ' ὅτι Οἱ ἄγγελοι αὐτῶν διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. ὥσπερ γὰρ ″ ἐνταῦθα μεῖζόν ἐστι τῆς ἀγγελικῆς ἀξίας τὸ βλέπειν τὸ πρόσωπον τοῦ πατρὸς· οὕτω τῆς τῶν Σεραφεὶμ ἀξίας μεῖζον τὸ ἑστάναι κύκλῳ τοῦ θρόνου, καὶ μέσον ἔχειν αὐτόν. ἀλλὰ τοῦτο τὸ μέγα καί σοι δυνατόν ἐστιν, ἂν ἐθέλης, λαβεῖν. οὐ γὰρ δὴ τῶν Σεραφεὶμ μόνον μέσος ἐστὶν, ἀλλὰ καὶ ἡμῶν αὐτῶν, ἂν ἐθέλωμεν. Οὗ γάρ εἰσι δύο ἢ τρεῖς, φησὶ, συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν· καὶ, Κύριος ἐγγὺς τοῖς συντετριμμένοις τῇ καρδίᾳ, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει. διὰ τοῦτο καὶ ὁ Παῦλος βοᾷ· Τὰ ἄνω φρονεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος. εἶδες πῶς ἡμᾶς ἔστησε μετὰ τῶν Σεραφεὶμ, ἐγγὺς ἀγαγὼν τοῦ θρόνου τοῦ βασιλικοῦ; εἶτά φησιν, Ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ ἓξ πτέρυγες τῷ ἑνί. τί ἡμῖν αἱ ἓξ πτέρυγες ἐνδείκνυνται αὗται; τὸ ὑψηλὸν καὶ μετάρσιον καὶ κοῦφον καὶ τὸ ταχὺ ἐκείνων τῶν φύσεων. διὰ τοῦτο καὶ ὁ Γαβριὴλ ὑπόπτερος κάτεισιν, οὐχ ὅτι πτερὰ περὶ τὴν ἀσώματον ἐκείνην δύναμιν, ἀλλ'* ὅτι ἐκ τῶν ὑψηλοτάτων κατῆλθε χωρίων, καὶ τὰς ἄνω διατριβὰς ἀφεὶς, ἀφῖκται. τί δὲ καὶ ὁ ἀριθμὸς βούλεται τῶν πτερύγων; ἐνταῦθα οὐ δεῖ τῆς παρ' ἡμῶν ἑρμηνείας. αὐτὸς γὰρ ἑαυτὸν ὁ λόγος ἐπέλυσε, τὴν χρείαν ἡμῖν αὐτῶν ἐξηγησάμενος. Ταῖς γὰρ δυσὶ, φησιν, ἐκάλυπτον τὰ πρόσωπα ἑαυτῶν· [εἰκότως,] ὥσπερ τινὶ διπλῷ διαφράγματι τὰς ὄψεις τειχίζουσαι, διὰ τὸ μὴ φέρειν τὴν ἐκ τῆς δόξης ἐκείνης ἐκπηδῶσαν ἀστραπήν. καὶ ″ ταῖς δυσὶ τοὺς πόδας· τάχα διὰ τὴν αὐτὴν ἔκπληξιν. εἰώθαμεν γὰρ καὶ ἡμεῖς, ὅτε ὑπό τινος θάμβους καταχεθῶμεν, πανταχόθεν περιστέλλειν τὸ σῶμα. καὶ τί λέγω τὸ σῶμα, ὅπουγε καὶ αὐτὴ ἡ ψυχὴ τοῦτο πάσχουσα, ″ ἐν ταῖς ὑπερβαλλούσαις ἐπιφανείαις, καὶ τὰς ἐνεργείας ἑαυτῆς συνέλκουσα, πρὸς τὸ βάθος καταφεύγει, καθάπερ τινὶ περιβολαίῳ τῷ σώματι ἑαυτὴν πανταχόθεν περιστέλλουσα; ἀλλὰ μή τις ἔκπληξιν καὶ θάμβος ἀκούων, ἀηδῆ τινα ἀγωνίαν αὐταῖς ἐπιγίνεσθαι νομιζέτω. καὶ γὰρ μετὰ τῆς ἐκπλήξεως ταύτης καὶ ἡδονή τις ἀφόρητος κεκραμένη ἐστί. Ταῖς δὲ δυσὶν ἐπέτοντο. Καὶ τοῦτο σημεῖον τοῦ τῶν ὑψηλῶν ἐφίεσθαι συνεχῶς, καὶ μηδέποτε κάτω βλέπειν. Καὶ ἐκέκραγεν ″ ἕτερος πρὸς τὸν ἕτερον· Ἅγιος, ἅγιος, ἅγιος. καὶ ἡ κραυγὴ πάλιν τοῦ θαύματος ἡμῖν δεῖγμα μέγιστον. οὐδὲ γὰρ ἁπλῶς ὑμνοῦσιν, ἀλλὰ μετὰ κραυγῆς ἰσχυρᾶς· καὶ οὐδὲ μετὰ κραυγῆς ἁπλῶς, ἀλλὰ καὶ διηνεκῶς τοῦτο ποιοῦσι. τὰ μὲν γὰρ λαμπρὰ τῶν σωμάτων, κἂν μὴ ὑπερβολῆς ᾖ λαμπρὰ, τότε ἡμᾶς μόνον ἐκπλήττειν εἴωθεν, ὅταν πρῶτον αὐτῶν ταῖς ὄψεσιν ἀντιλαμβανώμεθα· ἐπειδὰν δὲ πλέον αὐτῶν ἐνδιατρίψωμεν τῇ θεωρίᾳ, τῇ συνηθείᾳ τὸ θαῦμα καταλύομεν, τῶν ὀφθαλμῶν ἡμῶν ἐμμελετησάντων λοιπὸν τοῖς σώμασι. διὰ τοῦτο καὶ εἰκόνα βασιλικὴν ἄρτι μὲν ἀνατεθεῖσαν καὶ φαιδρὸν ἀπὸ τῶν χρωμάτων στίλβουσαν ἰδόντες, ἐκπληττόμεθα· μετὰ δὲ μίαν καὶ δευτέραν ἡμέραν, οὐκ ἔτι*. καὶ τί λέγω εἰκόνα βασιλικὴν, ὅπουγε καὶ ἐπ' αὐτῶν τῶν ἀκτίνων τοῦ ἡλίου τοῦτο αὐτὸ πεπόνθαμεν, ὧν οὐδὲν γένοιτ' ἂν φαιδρότερον σῶμα; οὕτως ἐπὶ τῶν σωμάτων ἁπάντων ἡ συνήθεια καταλύει τὸ θαῦμα· ἐπὶ δὲ τῆς τοῦ Θεοῦ δόξης οὐχ οὕτως, ἀλλὰ πᾶν τοὐναντίον. ὅσον γὰρ ″ ἐνδιατρίβουσι τῇ θεωρίᾳ τῆς δόξης ἐκείνης αἱ δυνάμεις αὗται, τοσοῦτον μᾶλλον ″ ἐκπλήττονται καὶ ″ ἐπιτείνουσι τὸ θαῦμα. διά τοι τοῦτο καὶ ἐξ οὗ γεγόνασι μέχρι νῦν ὁρῶσαι τὴν

Ματθ. ιη. ι.

Ματθ. ιη. κ.

Ψαλμ. λγ. ιη.

Κολασ. γ. α.

Ησ. ϛ. β.

δόξαν ἐκείνην, μηδέποτε ἐπαύσαντο μετ' ἐκπλήξεως βοῶσαι· ἀλλ' ὅπερ ἡμεῖς πάσχομεν ἐν βραχεῖ καιρῷ κατὰ τῶν ὄψεων ἡμῶν ἀστραπῆς φερομένης, τοῦτο ἐκεῖναι διηνεκῶς πάσχουσι, καὶ ἀπαύστως μετά τινος ἡδονῆς τὸ θαῦμα ἔχουσι. καὶ γὰρ οὐ μόνον κεκράγασιν, ἀλλὰ καὶ πρὸς ἀλλήλους τοῦτο ποιοῦσιν· ὃ τῆς ἐπιτεταμένης ἐκπλήξεως σημεῖόν ἐστιν. οὕτω καὶ ἡμεῖς, βροντῆς καταῤῥηγνυμένης, ἢ τῆς γῆς σειομένης, οὐ μόνον ἀναπηδῶμεν καὶ βοῶμεν, ἀλλὰ καὶ πρὸς ἀλλήλους καταφεύγομεν ἐν ταῖς οἰκίαις. τοῦτο καὶ τὰ Σεραφεὶμ ποιεῖ· καὶ διὰ τοῦτο ἕτερος πρὸς τὸν ἕτερον κέκραγεν, Αγιος, ἅγιος, ἅγιος. ἆρα ἐπέγνωτε τὴν φωνὴν ταύτην; ἆρα ἡμετέρα ἐστὶν, ἢ τῶν Σεραφείμ; καὶ ἡμετέρα καὶ τῶν Σεραφείμ, διὰ τὸν Χριστὸν τὸν ἀνελόντα τὸ μεσότοιχον, καὶ εἰρηνοποιήσαντα τὰ ἐν οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς, διὰ τὸν ποιήσαντα τὰ ἀμφότερα ἕν. πρότερον μὲν γὰρ ἐν τοῖς οὐρανοῖς οὗτος ᾔδετο μόνον ὁ ὕμνος. ἐπειδὴ δὲ ἐπιβῆναι τῆς γῆς κατηξίωσεν ὁ δεσπότης, καὶ τὴν μελῳδίαν ταύτην κατήνεγκε πρὸς ἡμᾶς. διὰ τοῦτο καὶ ὁ μέγας οὗτος ἀρχιερεὺς, ἐπειδὰν ἐπὶ τῆς ἁγίας ταύτης "ἑστήκῃ τραπέζης, τὴν λογικὴν ἀναφέρων λατρείαν, τὴν ἀναίμακτον προσφέρων θυσίαν, οὐχ ἁπλῶς ἡμᾶς ἐπὶ τὴν εὐφημίαν ταύτην καλεῖ, ἀλλὰ πρότερον τὰ Χερουβεὶμ εἰπὼν, καὶ τῶν Σεραφεὶμ ἀναμνήσας, οὕτω παρακελεύεται πᾶσιν ἀναπέμψαι τὴν φρικωδεστάτην φωνὴν, τῇ τῶν "συγχορευόντων μνήμῃ τὴν διάνοιαν ἡμῶν ἀπὸ τῆς γῆς "ἀνασπῶν, καὶ μονονουχὶ βοῶν πρὸς ἕκαστον ἡμῶν, καὶ λέγων, μετὰ τῶν Σεραφεὶμ ᾄδεις, μετὰ τῶν Σεραφεὶμ στῆθι, μετ' ἐκείνων τὰς πτέρυγας πέτασον, μετ' ἐκείνων περιίπτασο τὸν θρόνον τὸν βασιλικόν. καὶ τί θαυμαστὸν, εἰ μετὰ τῶν Σεραφεὶμ ἕστηκας, ὅπουγε ὧν Ἠσ. ς. ς. οὐκ ἐτόλμησεν ἅψασθαι τὰ Σεραφεὶμ, ταῦτά σοι μετὰ ἀδείας ἔδωκεν ὁ Θεός. Απεστάλη γὰρ πρὸς μὲ, φησὶν, ἓν τῶν Σεραφεὶμ, καὶ εἶχεν ἄνθρακα πυρὸς, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου. ἐκεῖνο τὸ θυσιαστήριον, τοῦ θυσιαστηρίου τούτου τύπος ἐστὶ καὶ εἰκών· ἐκεῖνο τὸ πῦρ, τούτου τοῦ πυρὸς τοῦ πνευματικοῦ. ἀλλ' οὐκ ἐτόλμησεν ἅψασθαι τῇ χειρὶ τὰ Σεραφεὶμ, ἀλλὰ τῇ λαβίδι· σὺ δὲ τῇ χειρὶ λαμβάνεις. ἂν μὲν "οὖν πρὸς τὴν ἀξίαν ἴδῃς τῶν προκειμένων, καὶ τῆς τῶν Σεραφεὶμ ἀφῆς ταῦτα μείζω πολλῷ· ἂν δὲ τὴν τοῦ δεσπότου σου φιλανθρωπίαν ἐννοήσῃς, "οὐδὲ πρὸς τὴν ἡμετέραν εὐτέλειαν ἐπαισχύνεται κατελθεῖν τῶν προκειμένων ἡ χάρις. ταῦτ' οὖν ἐννοῶν, ἄνθρωπε, καὶ τὸ μέγεθος τῆς δωρεᾶς λογιζόμενος, ἀνάστηθί ποτε, καὶ τῆς γῆς ἀποστὰς, πρὸς τὸν οὐρανὸν ἀνάβηθι. ἀλλ' ἕλκει τὸ σῶμα καὶ βιάζεται κάτω; ἀλλ' ἰδοὺ προσελαύνουσι νηστεῖαι, κοῦφα μὲν τῆς ψυχῆς ἐργαζόμεναι τὰ πτερὰ, κοῦφον δὲ τῆς σαρκὸς κατασκευάζουσαι τὸ φορτίον, κἂν μολύβδου παντὸς βαρύτερον λάβωσι σῶμα.

Αλλ' ὁ μὲν τῆς νηστείας ἀναμενέτω λόγος, ὁ δὲ τῶν μυστηρίων ἤδη κινείσθω, δι' ἃ καὶ αἱ νηστεῖαι. καθάπερ γὰρ τῶν ἐν τοῖς Ολυμπιακοῖς ἀγῶσι παλαισμάτων τέλος ὁ στέφανος, οὕτω καὶ τῆς νηστείας τέλος ἡ καθαρὰ κοινωνία. ὡς ἐὰν μὴ τοῦτο κατορθώσωμεν διὰ τῶν ἡμερῶν τούτων, εἰκῇ καὶ μάτην κατακόψαντες ἑαυτοὺς, ἀστεφάνωτοι καὶ χωρὶς βραβείων ἀπὸ τοῦ σκάμματος τῆς νηστείας ἀναχωρήσομεν. διὰ τοῦτο καὶ οἱ πατέρες ἐξέτειναν τῆς νηστείας τὸ στάδιον, προθεσμίαν μετανοίας διδόντες ἡμῖν, ἵνα καθηράμενοι καὶ ἀποσμήξαντες ἑαυτοὺς, οὕτω προσίωμεν. διὰ τοῦτο καὶ αὐτὸς ἐντεῦθεν ἤδη βοῶ λαμπρᾷ τῇ φωνῇ, καὶ διαμαρτύρομαι καὶ ἱκετεύω καὶ ἀντιβολῶ, μὴ μετὰ κηλῖδος, μηδὲ μετὰ πονηροῦ συνειδότος τῇ ἱερᾷ ταύτῃ προσιέναι τραπέζῃ. οὐ γὰρ ἂν εἴη τοῦτο "πρόσοδος, οὐδὲ κοινωνία, κἂν μυριάκις ἁψώμεθα τοῦ ἁγίου σώματος ἐκείνου, ἀλλὰ καταδίκη καὶ κόλασις καὶ τιμωρίας προσθήκη. μηδεὶς τοίνυν ἁμαρτωλὸς προσίτω, μᾶλλον δὲ οὐ λέγω, μηδεὶς ἁμαρτωλὸς, ἐπεὶ πρότερον ἐμαυτὸν ἀπείργω τῆς θείας τραπέζης, ἀλλὰ μηδεὶς μένων ἁμαρτωλὸς προσίτω. διὰ τοῦτο ἐντεῦθεν ἤδη προλέγω, ἵνα μὴ τῶν βασιλικῶν καταλαβόντων δείπνων, καὶ τῆς ἱερᾶς ἑσπέρας παραγινομένης ἐκείνης, ἔχῃ τις λέγειν, ἀπαρασκεύαστος εἰσῆλθον καὶ ἔρημος, καὶ ὅτι πάλαι ταῦτα προειπεῖν ἐχρῆν. εἰ γὰρ πάλαι ταῦτα ἤκουσα, πάντως ἂν μετεβαλόμην, πάντως ἂν ἐμαυτὸν καθάρας, οὕτω προσῆλθον. ἵν' οὖν μηδεὶς ταῦτα προφασίζεσθαι ἔχῃ, ἐντεῦθεν ἤδη προδιαμαρτύρομαι καὶ παρακαλῶ πολλὴν ἐπιδείξασθαι τὴν μετάνοιαν. οἶδα ὅτι πάντες ἐσμὲν ἐν ἐπιτιμίοις, καὶ ὅτι οὐδεὶς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν. ἀλλ' οὐ τοῦτό ἐστι τὸ δεινὸν, ὅτι ἁγνὴν καρδίαν οὐκ ἔχομεν, ἀλλ' ὅτι μὴ ἔχοντες καρδίαν ἁγνὴν, οὐδὲ τῷ δυναμένῳ ποιῆσαι ταύτην ἁγνὴν προσερχόμεθα. δύναται γὰρ, ἐὰν ἐθέλῃ· μᾶλλον δὲ καὶ πλέον ἡμῶν καθαροὺς ἡμᾶς εἶναι θέλει, ἀλλὰ ἀναμένει μικρὰν παρ' ἡμῶν ἀφορμὴν λαβεῖν, ἵνα μετὰ παρρησίας ἡμᾶς στεφανώσῃ. τίς τοῦ τελώνου γέγονεν ἁμαρτωλότερος; ἀλλ' ἵνα μόνον εἴπῃ, Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, κατῆλθεν ὑπὲρ τὸν Φαρισαῖον δεδικαιωμένος. καίτοι πόσην δύναμιν εἶχεν ἡ λέξις ἐκείνη; ἀλλ' οὐχ ἡ λέξις αὐτὴ ἐκάθηρεν, ἀλλ' ἡ διάθεσις, μεθ' ἧς καὶ τὴν λέξιν ἐκείνην εἶπε· μᾶλλον δὲ οὐδὲ ἡ διάθεσις μόνη, ἀλλὰ πρὸ ταύτης ἡ τοῦ Θεοῦ φιλανθρωπία. ποῖον γὰρ, εἰπέ μοι, κατόρθωμα, ποῖος πόνος, ποῖος ἱδρὼς τῷ ἁμαρτωλῷ, πεῖσαι ἑαυτὸν ὅτι ἐστὶν ἁμαρτωλὸς, καὶ πρὸς τὸν Θεὸν τοῦτο εἰπεῖν; ὁρᾷς ὡς οὐ μάτην ἔλεγον, ὅτι μικρᾶς παρ' ἡμῶν ἐπιλαβέσθαι προφάσεως βούλεται, καὶ τὸ πᾶν αὐτὸς εἰσφέρει λοιπὸν εἰς τὴν σωτηρίαν ἡμῶν; μετανοήσωμεν τοίνυν, κλαύσωμεν, θρηνήσωμεν. θυγατέρα τις πολλάκις ἀποβαλὼν, τὸν πλείω διατελεῖ τῆς ζωῆς αὐτοῦ χρόνον ἐν θρήνοις καὶ ὀδυρμοῖς· ἡμεῖς ψυχὴν ἀπωλέσαμεν, καὶ οὐ θρηνοῦμεν; σωτηρίας ἐξεπέσομεν, καὶ οὐ κατακοπτόμεθα; καὶ τί λέγω ψυχῆς καὶ σωτηρίας; δεσπότην παρωξύναμεν οὕτω πρᾶον καὶ ἥμερον, καὶ οὐ κατορύττομεν ἑαυτούς; καὶ γὰρ οὐχὶ δεσπότου κηδεμονικοῦ μόνον, ἀλλὰ καὶ πατρὸς φιλοστόργου καὶ μητρὸς φιλόπαιδος πᾶσαν εὔνοιαν ὑπερβαίνει τῇ περὶ ἡμᾶς κηδεμονίᾳ. Μὴ ἐπιλήσεται γὰρ, φησι, γυνὴ τοῦ παιδίου αὐτῆς, ἢ τοῦ μὴ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; εἰ δὲ καὶ ἐπιλάθοιτο γυνὴ, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σοι, λέγει Κύριος. πιστὴ μὲν οὖν καὶ πρὸ ἀποδείξεως ἡ ἀπόφασις· Θεοῦ γάρ ἐστι· πλὴν ἀλλὰ καὶ διὰ τῶν πραγμάτων, φέρε, παράσχωμεν τὴν ἀπόδειξιν. ἡ Ῥεβέκκα ποτὲ κελεύουσα τῷ παιδὶ τὸ κατὰ τὴν κλοπὴν τῶν εὐλογιῶν ὑποκρίνασθαι δρᾶμα, καὶ περιστείλασα αὐτὸν πάντοθεν καλῶς, καὶ τὸ προσωπεῖον ἐπιθεῖσα τοῦ ἀδελφοῦ, ἐπειδὴ εἶδεν οὐδὲ οὕτω θαρροῦντα, βουλομένη πάντα φόβον τοῦ παιδὸς ἐξελεῖν, Ἐπ' ἐμὲ ἡ κατάρα σου τέκνον, φησί. μητρὸς ὄντως τὸ ῥῆμα καὶ ἐκκρεμομένης τοῦ παιδός. ἀλλ' ὁ Χριστὸς τοῦτο οὐκ εἶπε μόνον, ἀλλὰ καὶ ἐποίησεν· οὐκ ἐπηγγείλατο μόνον, ἀλλὰ καὶ ἔργῳ ἔδειξε. καὶ βοᾷ Παῦλος λέγων· Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. τοῦτον οὖν παροξύνομεν, εἰπέ μοι; καὶ πῶς οὐ γεέννης αὐτῆς τοῦτο χαλεπώτερον, καὶ τοῦ ἀτελευτήτου σκώληκος καὶ τοῦ ἀσβέστου πυρός; ὅταν οὖν τῇ ἱερᾷ τραπέζῃ προσιέναι μέλλῃς, νόμιζε ἐκεῖ καὶ τὸν βασιλέα τῶν ἁπάντων παρεῖναι. καὶ γὰρ πάρεστιν ὄντως, τὴν ἑκάστου καταμανθάνων γνώμην· καὶ ὁρᾷ τίς μὲν μετὰ προσηκούσης ἁγιωσύνης, τίς δὲ μετὰ πονηροῦ προσέρχεται συνειδότος, μετὰ λογισμῶν ἀκαθάρτων καὶ ῥυπαρῶν, μετὰ πράξεων μιαρῶν. κἂν μὲν εὕρῃ τινὰ τοιοῦτον, τέως μὲν αὐτὸν τῷ δικαστηρίῳ τοῦ συνειδότος παραδίδωσιν. εἶτα ἂν μὲν λαβὼν ἐκεῖνος μαστίξῃ τοῖς λογισμοῖς, καὶ βελτίω κατασκευάσῃ, προσίεται πάλιν αὐτόν· ἂν δὲ ἀδιόρθωτος μείνῃ, καὶ οὕτω τότε λοιπὸν εἰς τὰς αὐτοῦ χεῖρας ἐμπίπτει, ὡς ἀχάριστος καὶ ἀγνώμων. ὅσον δὲ τοῦτό ἐστιν, ἄκουε Παύλου λέγοντος, Φοβερὸν ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος. οἶδα ὅτι δάκνει τὰ ῥήματα· ἀλλὰ τί πάθω; εἰ μὴ πικρὰ ἐπιθῶμαι τὰ φάρμακα, τὰ τραύματα οὐκ ἀφανισθήσεται· ἂν πικρὰ ἐπιθῶμαι, ὑμεῖς τὴν ὀδύνην οὐ φέρετε. στενά μοι πάντοθεν· πλὴν ἀλλ' ἀναγκαῖον ἀνασχεῖν τὴν χεῖρα λοιπόν. καὶ γὰρ ἱκανὰ τὰ εἰρημένα πρὸς διόρθωσιν τῶν προσεχόντων. ἀλλ' ἵνα μὴ μόνοις ὑμῖν, ἀλλὰ καὶ

θέλει τὸ
λον ἡμῶν
ὺς καθα-
εἶναι ἡμᾶς.
ρὰ

Λουκ. ιη. ι.

διατέλεσε
πα χαμ-
μεθα.
ψυχὴν καὶ
ρίαν;

Ησ. μθ. ιε.

Γεν. κζ. ιγ.

Γαλατ. γ. ιγ.

Ἑβρ. ι. λα.

φαιρεθή-
ι.

ἑτέροις δι' ὑμῶν γίνηται χρήσιμα, φέρε αὐτὰ πάλιν ἀνακεφαλαιωσώμεθα. Διελέχθημεν περὶ τῶν Σεραφεὶμ, ἐδείξαμεν ὅσον ἐστὶν ἀξίωμα, πλησίον ἑστάναι τοῦ θρόνου τοῦ βασιλικοῦ, καὶ ὅτι καὶ ἀνθρώποις τὸ ἀξίωμα τοῦτο κεκτῆσθαι δυνατόν. Εἴπομεν περὶ τῶν πτερύγων καὶ τῆς ἀπροσίτου δυνάμεως τοῦ Θεοῦ, καὶ περὶ τῆς πρὸς ἡμᾶς αὐτοῦ συγκαταβάσεως γινομένης· προσεθήκαμεν τὴν αἰτίαν τῆς κραυγῆς καὶ τοῦ διηνεκοῦς θαύματος, καὶ πῶς ἐν ἀκαταπαύστῳ θεωρίᾳ ἀκατάπαυστος καὶ ἡ δοξολογία τῶν Σεραφείμ· ἀνεμνήσαμεν ὑμᾶς εἰς ποῖον ἐτελέσαμεν χορὸν, καὶ μετὰ τίνων τὸν κοινὸν ἀνυμνήσαμεν δεσπότην· τοὺς περὶ μετανοίας προσεθήκαμεν λόγους. καὶ τέλος, ὅσον ἐστὶ κακὸν προσιέναι τοῖς μυστηρίοις μετὰ πονηροῦ συνειδότος ἀπεδείξαμεν, καὶ πῶς οὐκ ἔστι διαφυγεῖν τὸν ἀδιόρθωτον μένοντα. Ταῦτα καὶ γυνὴ παρὰ ἀνδρὸς μανθανέτω, καὶ παῖς παρὰ πατρὸς, καὶ οἰκέτης παρὰ δεσπότου, καὶ γείτων παρὰ γείτονος, καὶ φίλος παρὰ φίλου, μᾶλλον δὲ καὶ πρὸς τοὺς ἐχθροὺς ταῦτα διαλεγώμεθα. καὶ γὰρ καὶ τῆς ἐκείνων σωτηρίας ἡμεῖς ἐσμεν ὑπεύθυνοι. Εἰ γὰρ καὶ τὰ ὑποζύγια αὐτῶν πεπτωκότα διαναστῆσαι καὶ πεπλανημένα διασῶσαι καὶ ἐπαναγαγεῖν κελευόμεθα, πολλῷ μᾶλλον τὴν ψυχὴν αὐτῶν πλανωμένην ἐπαναγαγεῖν χρὴ, καὶ πεπτωκυῖαν διαναστῆσαι. ἂν οὕτω τὰ καθ' ἑαυτοὺς, καὶ τὰ κατὰ τοὺς πλησίον οἰκονομῶμεν, δυνησόμεθα μετὰ παῤῥησίας στῆναι ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, τιμὴ, κράτος σὺν τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ησ. με. ζ.

Λογ. κζ. ΕΙΣ ΤΗΝ ΠΡΟΦΗΤΙΚΗΝ ΡΗΣΙΝ, ΤΗΝ ΛΕγουσαν· Ἐγὼ Κύριος ὁ Θεὸς ἐποίησα φῶς, καὶ σκότος· ποιῶν εἰρήνην, καὶ κτίζων κακά.

Ὀλίγα μὲν τὰ εἰρημένα, γλυκεῖα δὲ τοῦ μέλιτος ἡ πηγὴ, μέλιτος κόρον οὐκ ἔχοντος. τοῦτο μὲν γὰρ τὸ αἰσθητὸν μέλι ἐν τῇ γλώττῃ καταλύει τὴν ἡδονὴν, καὶ εἰς φθορὰν χωρεῖ· τὸ δὲ τῆς διδασκαλίας μέλι ἐγκεύθεται τῷ συνειδότι, διηνεκῆ τὴν εὐφροσύνην παρέχον, καὶ πρὸς ἀφθαρσίαν ἡμᾶς χειραγωγοῦν. καὶ τὸ μὲν ἀπὸ βοτανῶν συντίθεται, τὸ δὲ ἀπὸ τῶν θείων γραφῶν ὑφαίνεται. τούτου σήμερον ὑμᾶς ἐνέπλησεν ὁ καλῶς εἰρηκὼς, καὶ τῆς ὑπακοῆς τὸ βραβεῖον ἥρπασε, καὶ τῆς ἀγάπης τὴν ἰσχὺν ὑπέδειξε καὶ τῆς πίστεως τὴν εὐγένειαν. φέρε δὴ καὶ ἡμεῖς τὴν εἰωθυῖαν πάλιν ὑμῖν παραθῶμεν τράπεζαν μετὰ πολλῆς τῆς προθυμίας. καὶ γὰρ σφόδρα χαίρομεν, ὅτι ἱπποδρομίας οὔσης οὕτω λαμπρᾶς, τοσοῦτον ἐνταῦθα πλῆθος ἀφῖκται τῆς ἐκεῖ καταφρονῆσαν διατριβῆς. διὸ δὴ καὶ αὐτοὶ μετὰ πολλῆς τῆς δαψιλείας τὸν κρατῆρα ἱστῶμεν, κρατῆρα, οὐ μέθην ποιοῦντα, ἀλλὰ σωφροσύνην κατασκευάζοντα. τοιοῦτος γὰρ ὁ τῶν γραφῶν οἶνος, τοιαῦτα τῆς τραπέζης ταύτης τὰ ὄψα· οὐ πιαίνει σάρκα. καὶ ταῦτα λέγομεν οὐκ ἀτιμάζοντες τῆς σαρκὸς τὴν φύσιν, ἀλλὰ προτιμῶντες τῆς ψυχῆς τὴν εὐγένειαν· οὐδὲ τὴν χρῆσιν ἐκβάλλοντες, ἀλλὰ τὴν ἀμετρίαν κολάζοντες. κἂν γὰρ φιλοσοφῶμεν, οὕτω δεῖ φιλοσοφεῖν, ὥστε μὴ διδόναι τοῖς τῶν αἱρετικῶν στόμασι λαβήν. καὶ γὰρ τὸ σῶμα τοῦτο ἔλαττον μὲν τῆς ψυχῆς, οὐκ ἐναντίον δὲ τῇ ψυχῇ· ἀλλ' ἁπλῆ μὲν αὐτὴ, διακονεῖται δὲ ταῖς ἐπιθυμίαις ταῖς ἐκείνου. ὁ γὰρ ἀριστοτέχνης Θεὸς οὐκ ἐκ μιᾶς καὶ δύο καὶ τριῶν οὐσιῶν τόδε τὸ πᾶν συνεστήσατο, ἀλλὰ ποικίλας καὶ διαφόρους φύσεις εἰσήγαγε, τῆς οἰκείας σοφίας τὴν περιουσίαν ἐν τῇ διαφορᾷ τῶν γινομένων ἐπιδεικνύμενος. οὐ γὰρ οὐρανὸν ἐποίησε μόνον, ἀλλὰ καὶ γῆν· οὐ γῆν μόνον, ἀλλὰ καὶ ἥλιον· οὐχ ἥλιον μόνον, ἀλλὰ καὶ σελήνην· οὐ σελήνην μόνον, ἀλλὰ καὶ ἀστέρας· οὐκ ἀστέρας μόνον, ἀλλὰ καὶ ἀέρα·

οὐκ ἀέρα μόνον, ἀλλὰ καὶ νεφέλας· οὐ νεφέλας μόνον, ἀλλὰ καὶ αἰθέρα· οὐκ αἰθέρα μόνον, ἀλλὰ καὶ λίμνας, καὶ πηγὰς, καὶ ποταμοὺς, καὶ ὄρη, καὶ νάπας, καὶ βουνοὺς, καὶ λειμῶνας, καὶ παραδείσους, καὶ σπέρματα καὶ φυτὰ, καὶ βοτανῶν εἴδη ποικίλα, καὶ διάφορα σχήματα, καὶ διαφόρους ἐνεργείας, καὶ διαφόρους φύσεις, ἁπανταχοῦ" τῷ κόσμῳ περιϊὼν ἴδοι τις ἄν· καὶ τὸ σῶμα τῆς οἰκουμένης ἐπιτρέχων τῷ λογισμῷ, ἐρεῖ μετὰ τοῦ προφήτου· Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε; πάντα ἐν σοφίᾳ ἐποίησας. ὥστε εἰ βούλει θέατρον ἰδεῖν, καταλιπὼν ἐκεῖνο τὸ σατανικὸν, ἐλθὲ ἐπὶ τοῦτο τὸ πνευματικόν· εἰ βούλει λύρας ἀκοῦσαι, ἀφεὶς ἐκείνην τὴν μελῳδίαν, καὶ τὸ εὔτονον τῆς διανοίας συντείνας, ἐλθὲ ἐπὶ ταύτην τὴν διεγείρουσάν σου τὸ φρόνημα, καὶ νευροῦσάν σου τὴν διάνοιαν. ὅρα φθόγγους διαφόρους καὶ νευρὰς ἐνηλλαγμένας, μίαν καὶ πανάρμονιον μελῳδίαν τῷ ἀριστοτέχνῃ Θεῷ πανταχόθεν ἀναπεμπούσας ** λείπει **. γάρ τις ** λείπει ** τος ἐκ διαφόρων φθόγγων συγκείμενος μίαν ἔχει μελῳδίαν, τὴν εἰς τὸν ποιήσαντα δοξολογίαν. καὶ ἠχοῦσι μὲν καθ' ἑαυτὰς αἱ νευραὶ, ἠχοῦσι δὲ καὶ μετ' ἀλλήλων. καὶ ἵνα μάθῃς πῶς καθ' ἑαυτὰς ἠχοῦσι, κροῦσον τῷ λογισμῷ τὴν νευρὰν τοῦ οὐρανοῦ, καὶ ἀκούσῃ μεγάλα ἠχούσης, καὶ τῷ Θεῷ δόξαν ἀναπεμπούσης. ὅπερ οὖν καὶ ὁ προφήτης συνιδὼν, ἔλεγεν· Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. ἀπὸ τῆς νευρᾶς ἐκείνης μετάβηθι ἐπὶ τὴν νευρὰν τῆς ἡμέρας καὶ τῆς νυκτὸς, καὶ ὄψει καὶ τούτους σου φθόγγους λύρας ἁπάσης καὶ κιθάρας ἥδιον φθεγγομένους· καὶ μάλιστα, ὅταν ᾖ τις ὁ τὰς νευρὰς ταύτας ἀνακρούσασθαι ἐπιστάμενος. καὶ πῶς ἠχοῦσι, φησί; στόμα οὐρανὸς οὐκ ἔχει, οὔτε γλῶτταν, οὐδὲ ὑπερῴαν, οὐδὲ ὀδόντας, οὐδὲ χείλη. πῶς οὖν ἡ φωνὴ πρόεισι; πῶς δὲ ἡ ἡμέρα φθέγγεται; οὐδὲ γὰρ ταῦτα ὄργανα φωνητικά ἐστιν, ἀλλὰ δρόμος ἐστὶν ἡλίου καὶ σελήνης, ἡμέρα καὶ νὺξ, καιροῦ περίοδος. ἵν' οὖν μή τις τῶν παχυτέρων ταῦτα ἀκούων θορυβῆται καὶ ταράττηται, ἄκουσον πῶς ὁ προφήτης ἐπαγωνίζεται τῷ εἰρημένῳ. εἰπὼν γὰρ, ὅτι οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, καὶ ὅτι ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν, οὐκ ἔστη μέχρι τούτου, ἀλλ' ἐπήγαγεν· Οὐκ εἰσὶ λαλιαὶ, οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐ μόνον φωνὴν ἔχουσιν ἡμέρα καὶ νὺξ," καὶ οὐκ ἄνθρωπος, ἀλλὰ καὶ τοιαύτην φωνὴν, ἣ τῆς ἀνθρωπίνης ἐστὶν εὐσημοτέρα, καὶ σαφεστέρα, καὶ εὐτονωτέρα. πῶς καὶ τίνι τρόπῳ; ἄκουσον τῆς ῥήσεως αὐτῆς. Οὐκ εἰσὶ λαλιαὶ, οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. τί ποτ' οὖν τοῦτό ἐστιν; ἐγκώμιον τῆς φωνῆς, ἔπαινος τῆς ἠχῆς. ἡ μὲν γὰρ ἐμὴ φωνὴ τῷ ἐμῷ ὁμοφώνῳ γνώριμος, ἑτερογλώσσῳ δὲ οὐκ ἔτι· οἶδε τί λέγω, Ἑλλάδι διαλεγομένῳ μοι γλώττῃ. ἂν τοίνυν τὴν φωνὴν εἰδῇ τις, ἐκεῖνος ἀκούσεταί μου· ὁ δὲ Σκύθης καὶ ὁ Θρᾷξ καὶ ὁ Μαῦρος καὶ ὁ Ἰνδὸς οὐκ ἔτι. ἡ γὰρ διαφορὰ τῆς γλώττης οὐκ ἀφίησιν εὔσημον αὐτῷ γενέσθαι τὴν ἐμὴν διάλεξιν. πάλιν ἐγὼ τοῦ Σκύθου καὶ τοῦ Θρᾳκὸς διαλεγομένου οὐ δυνήσομαι ἀκούειν, οὐδὲ ἕτερος τῆς ἑτέρου γλώττης· ἐπὶ δὲ τοῦ οὐρανοῦ, καὶ τῆς νυκτὸς, καὶ τῆς ἡμέρας οὐκ ἔστι τοῦτο· ἀλλὰ τοιαύτη αὐτῶν ἐστιν ἡ φωνὴ, ὡς πάσῃ γλώττῃ, πάσῃ λαλιᾷ, παντὶ ἔθνει ἀκούεσθαι, καὶ εὔδηλον εἶναι καὶ σαφῆ. διὰ τοῦτο εἰπὼν, ὅτι οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, καὶ ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, ἐπήγαγεν· Οὐκ εἰσὶ λαλιαὶ, οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· τοιαύτην ἔχουσι λαλιὰν, καὶ τοιαύτην ἔχουσι φωνὴν ἡ ἡμέρα, καὶ ἡ νὺξ, καὶ ὁ οὐρανὸς, καὶ τὰ κτίσματα ἅπαντα, ὡς πάσαις ταῖς λαλιαῖς, τουτέστι, πάσαις ταῖς γλώτταις, πᾶσι τοῖς ἔθνεσιν ἀκούεσθαι αὐτῶν τὴν φωνήν. οὐ γάρ ἐστι λαλιὰ, φησὶ, τουτέστιν, οὐκ ἔστιν ἔθνος, οὐκ ἔστι φωνὴ, ἔνθα μὴ ἀκούεται ἡ φωνὴ τοῦ οὐρανοῦ· ἀλλὰ καὶ ὁ Σκύθης, καὶ ὁ Θρᾷξ, καὶ ὁ Μαῦρος, καὶ ὁ Ἰνδὸς, καὶ ὁ Σαυρομάτης, καὶ πᾶσα λαλιὰ, καὶ πᾶσα γλῶττα, καὶ πᾶν ἔθνος δυνήσεται ταύτης ὑπακούειν τῆς φωνῆς. πῶς καὶ τίνι τρόπῳ; τοῦτο λοιπὸν ἄκουε, ἵνα μάθῃς πῶς σιγῶν ὁ οὐρανὸς φθέγγεται. ὅταν γὰρ ἴδῃς

τοῦ κόσμου

Ψαλμ. ργ. κδ.

Ψαλμ. ιη. α.

Ψαλμ. ιη. γ.

ὁ οὐρανὸς,

αὐτοῦ τὸ κάλλος, τὸ μέγεθος, τὴν θέσιν, τὸ διαρκὲς, τὴν φαιδρότητα, καὶ ταῦτα πάντα συναγαγὼν παρὰ σαυτῷ, δοξάσῃς τὸν δημιουργὸν, εὐφημήσῃς τὸν ποιήσαντα, ὁ οὐρανὸς φωνὴν ἀφῆκε, διὰ τῆς γλώττης ἀναπέμψας τῷ Θεῷ δόξαν. καὶ τοῦτό ἐστι τὸ εἰρημένον, ὅτι οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. πῶς καὶ τίνι τρόπῳ; τὸν θεατὴν τῷ κάλλει τῆς οἰκείας φαιδρότητος εἰς θαῦμα παραπέμποντες τοῦ δημιουργοῦ. ὅταν γὰρ ἰδὼν τὸ τοιοῦτον ἔργον, εἴπῃς, δόξα σοι ὁ Θεὸς, ἡλίκον σῶμα εἰργάσω, καὶ ἐν τῷ μέσῳ τέθεικας; οἱ οὐρανοὶ τὴν δόξαν ταύτην ἀνήνεγκαν, τῇ σῇ γλώττῃ χρησάμενοι, καὶ διὰ τῆς ὄψεως τὸ θαῦμα παραπέμποντες. οὕτω σιγῶντες ἀναφέρουσι δόξαν τῷ Θεῷ, καὶ ταύτης τῆς φωνῆς πάντες ἀκούουσιν. ἐπειδὴ γὰρ οὐκ ἔστιν ἀκοῇ ταῦτα μαθεῖν, ἀλλ' ὄψει καὶ θεωρίᾳ, ὄψις δὲ πᾶσι μία, εἰ καὶ ἡ γλῶττα διάφορος, καὶ Βάρβαροι, καὶ Σκύθαι, καὶ Θρᾷκες, καὶ Μαῦροι, καὶ Ἰνδοὶ ταύτης ἀκούουσι τῆς φωνῆς· τουτέστι, τὸ θαῦμα βλέποντες, τὸ κάλλος ἐκπληττόμενοι, τὴν φαιδρότητα, τὸ μέγεθος, τὰ ἄλλα ἅπαντα τὰ περὶ τὸν οὐρανὸν, δόξαν ἀναφέρουσι τῷ δημιουργῷ οἱ καλῶς φρονοῦντες. τὸ αὐτὸ καὶ περὶ τῆς ἡμέρας καὶ τῆς νυκτός ἐστιν εἰπεῖν. ὥσπερ γὰρ ὁ οὐρανὸς τῷ κάλλει, τῇ θέσει, τῷ μεγέθει, τῇ φαιδρότητι, τῷ διαρκεῖ τοῦ χρόνου, τῇ χρείᾳ, τῇ ἐνεργείᾳ, τοῖς ἄλλοις ἅπασιν εἰς θαῦμα παραπέμπων τὸν θεατὴν, ποιεῖ δόξαν ἀναφέρειν τῷ δημιουργῷ· οὕτω νὺξ καὶ ἡμέρα. ὅταν γὰρ ἴδῃς τὴν εὐταξίαν τῶν καιρῶν τούτων, καὶ πῶς τὸ οἰκεῖον ἀπαρτίσασα μέτρον ἡ ἡμέρα, οὐ φιλονεικεῖ τὴν νύκτα ἐξῶσαι τῶν οἰκείων ὅρων, οὐδὲ πλεονεξίαν τινὰ ἐπιδείκνυται, οὐδὲ, ἐπειδὴ φαιδροτέρα ἐστὶν αὐτῆς, τὸν ἅπαντα βιάζεται κατέχειν χρόνον, ἀλλὰ παραχωρεῖ· καὶ ἡ νὺξ τὸ αὐτὸ πάλιν, ἀπαρτίσασα τὸν αὐτῆς δρόμον, παραχωρεῖ τῇ ἡμέρᾳ, καὶ τοῦτο ἐπὶ τοσούτοις ἔτεσι γέγονε, καὶ οὐδεμία σύγχυσις, οὐδὲ ταραχὴ, καὶ οὔτε αὕτη ἐξώθησεν ἐκείνην, οὔτε ἐκείνη ἐπλεονέκτησε ταύτην (καίτοι ἡ μὲν φαιδροτέρα, ἡ δὲ ζοφωδεστέρα) πάλιν τὴν εὐταξίαν θαυμάσας, οὐ δόξαν ἀναπέμψεις Θεῷ; καὶ καθάπερ ἀδελφαὶ δύο οἰκείως πρὸς ἀλλήλας διακείμεναι, πατρῷον διανειμάμεναι κλῆρον ἐν σταθμοῖς καὶ ζυγοῖς, οὐδὲ τὸ τυχὸν ἑτέρα τὴν ἑτέραν πλεονεκτεῖ· οὕτω δὴ καὶ νὺξ καὶ ἡμέρα τὸν χρόνον ἅπαντα διελόμεναι, τοσαύτην διατηροῦσιν ἰσότητα, οὐδὲ τὸ τυχὸν ἀλλήλας πλεονεκτοῦσαι, ὅσην ἴστε διὰ τῆς πείρας αὐτῆς μαθόντες. ἀκουέτωσαν οἱ πλεονέκται, καὶ τοὺς ἀδελφοὺς ἐξωθούμενοι τοῦ κλήρου. αἰδείσθωσαν τὴν τῶν καιρῶν τούτων εὐταξίαν, νυκτὸς καὶ ἡμέρας τὴν ἰσονομίαν, καὶ καταλυέτωσαν τὸ ἑαυτῶν νόσημα. οὕτω τοίνυν ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν, οὐ φωνὴν ἀφιεῖσαι, ἀλλὰ διὰ τῆς εὐταξίας, καὶ τοῦ ῥυθμοῦ, καὶ τῆς ἰσότητος, καὶ τῶν παρεμποδίστων μέτρων, σάλπιγγος λαμπρότερον τὸν δημιουργὸν ἀνακηρύττουσαι· οὐκ ἐν μιᾷ τῆς οἰκουμένης γωνίᾳ, ἀλλ' ὅσην ὁ ἥλιος ἐφορᾷ γῆν. αὗται γὰρ αἱ φωναὶ πανταχοῦ τῆς οἰκουμένης φέρονται, ἐπειδὴ πανταχοῦ ὁ οὐρανὸς, καὶ πανταχοῦ ἡμέρα, καὶ πανταχοῦ νὺξ, καὶ τὴν διδασκαλίαν αὐτοῦ ἐκτείνουσι καὶ ἐν γῇ, καὶ ἐν θαλάττῃ. διὰ τοῦτο ὁ προφήτης οὐκ εἶπεν ἁπλῶς, ὅτι οἱ οὐρανοὶ φθέγγονται δόξαν Θεοῦ, ἀλλὰ διηγοῦνται· τουτέστι, καὶ ἑτέρους παιδεύουσι, καὶ μαθητὰς ἔχουσι τὸ τῶν ἀνθρώπων γένος· καὶ διδάσκαλοι μέγιστοι εἰς τὸ μέσον εἰσὶ προβαλλόμενοι, ἀντὶ βιβλίων καὶ γραμμάτων, τῆς οἰκείας φύσεως τὸ κάλλος, καὶ ἰδιώταις, καὶ σοφοῖς, καὶ πᾶσι παρέχοντες ἐπιέναι, καθάπερ ἐν βιβλίῳ, τὴν ἐγκειμένην αὐτοῖς περὶ τῆς τοῦ Θεοῦ σοφίας καὶ δυνάμεως διδασκαλίαν. οὕτω καὶ ἄνθρωποι οὐχὶ φθεγγόμενοι, ἀλλὰ καὶ σιγῶντες δι' ἑτέρων δοξάζουσι τὸν Θεόν. διὸ καὶ ὁ Χριστὸς ἔλεγε, Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. ὥσπερ οὖν τις ὁρῶν βίον λάμποντα, καὶ σιγῶντος τοῦ βιοῦντος, δόξαν ἀναφέρει τῷ Θεῷ· οὕτω δὴ καὶ τὸ κάλλος ὁρῶν τοῦ οὐρανοῦ, δοξάζει τὸν ποιήσαντα. διὰ τοῦτο ἔλεγεν, Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, διὰ τὴν θεατήν. ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν. γνῶσιν; ποίαν; τὴν περὶ

Matth. 5. 15.

τοῦ ποιήσαντος. ὥσπερ γὰρ ἡ ἡμέρα εἰς ἐργασίαν ἐξάγει τὸν ἄνθρωπον, οὕτως ἡ νὺξ διαδεξαμένη, ἀπὸ τῶν μυρίων ἀναπαύει μόχθων, καὶ τῶν φροντίδων ἀφίησι καὶ κάμνουσαν τὴν κόρην κοιμίζουσα, καὶ τὰ βλέφαρα κατασέλλουσα, ἀκμάζουσαν τῇ δυνάμει παρασκευάζει τὴν ἀκτῖνα δέχεσθαι πάλιν. ὥστε καὶ ταύτης οὐκ ὀλίγον τὸ χρήσιμον, ἀλλὰ καὶ σφόδρα πολύ. εἰ γὰρ μὴ διανέπαυε τὸν ἄνθρωπον ἀπὸ τῶν μυρίων μόχθων ὑποδεχομένη, οὐδὲν ὄφελος ἦν τῆς ἡμέρας εἰς ἐργασίαν αὐτὸν εἰσαγαγούσης. τῆς γὰρ φύσεως ἀπαγορευούσης τῷ διηνεκεῖ πόνῳ διεφθάρη ἄν, καὶ ἀπώλετο τὸ ζῶον, καὶ οὐδὲν αὐτῷ πλέον ἐκ τῆς ἀκτῖνος ἐγένετο. ἡ τοίνυν ποιοῦσα τὴν ἡμέραν χρήσιμον τῷ ἀνθρώπῳ, αὕτη μάλιστά ἐστιν, ἡ διὰ τῆς οἰκείας διακονίας τὸν ἀπολαύοντα τῆς χορείας αὐτῆς πρὸς τὴν τοῦ Θεοῦ γνῶσιν χειραγωγοῦσα. ὅταν γὰρ ἐννοήσῃ τις, πόσον μὲν τὸ χρήσιμον τῆς ἡμέρας, πόσον δὲ τὸ τῆς νυκτὸς, καὶ πῶς αὕτη διαδέχεται ἐκείνην, καὶ ἐναλλὰξ, ὥσπερ ἐν τινὶ χορῷ, τὸ μῆκος ἡμερῶν ἀμοιβαδὸν διαδεχόμεναι διατηροῦσι, κἂν ἁπάντων ἀνθρώπων νωθέστερος ᾖ, δυνήσεται τὸν οἰκεῖον λογισμὸν ἀνακινῶν, εἰδέναι τοῦ ἀριστοτέχνου Θεοῦ τὴν σοφίαν, ὃς διὰ τῆς ἡμέρας καὶ τῆς νυκτὸς ἐπεδείξατο, ἐκείνην μὲν εἰς ἐργασίαν, ταύτην δὲ εἰς ἄνεσιν τῶν πόνων ἀποκληρώσας ἡμῖν.

Ἀλλὰ ταῦτα μὲν ἐκ τῶν προοιμίων ἅπαντα εἰπεῖν διεξέβημεν. ἐπειδὴ δὲ τῶν σήμερον ἡμῖν ἀναγνωσθέντων τινὰ πολλοὺς τῶν οὐ προσεχόντων ἴσως ἐθορύβησε, καὶ τῶν ἀπείρως γραφὰς ἐχόντων, φέρε δὴ, πολλῇ τῇ ῥύμῃ πρὸς ταῦτα χωρήσωμεν. ἀνεγνώσθη μὲν γὰρ καὶ ἡ αἱμορροοῦσα ἡ τῇ ἁφῇ τὰς πηγὰς τῶν αἱμάτων στήσασα, καὶ τῇ τῆς πίστεως δυνάμει τοσοῦτον συλήσασα θησαυρὸν (καὶ γὰρ ἦν κλοπὴ τὸ γινόμενον· ἀλλὰ καὶ κλοπὴ εὐδοκιμοῦσα, καὶ ἡ συλήσασα μετὰ τὸν ἔλεγχον ἐπαινουμένη. αὐτὸς γὰρ ὁ συληθεὶς Ἰησοῦς ἀνακηρύττει τὸ γενόμενον) ἀνεγνώσθη καὶ τὰ στίγματα Παύλου, τὰ τραύματα, τὰ δεσμωτήρια, αἱ ἀπαγωγαὶ, τὰ ναυάγια, τὰ δεσμὰ, αἱ ἁλύσεις, αἱ ἐπιβουλαὶ αἱ ποικίλαι καὶ διηνεκεῖς, οἱ θάνατοι οἱ καθημερινοὶ, ὁ λιμὸς, τὸ δίψος, ἡ γυμνότης, ἡ ἐπισύστασις ἡ καθημερινή. ἀλλὰ τί πάθω; ἀνάγκη φυγεῖν πολλῇ τῇ σφοδρότητι χρησάμενον, μὴ πάλιν ὁ Παῦλος κατασχὼν, ἀπαγάγῃ τοῦ προκειμένου. καὶ γὰρ ἴστε, πολλάκις ἑτέρωθί με βαδίζοντα καὶ τετραμμένον ἀπαντήσας ἐν μέσῳ τῷ λόγῳ κατέσχε, καὶ οὕτως εἷλεν, ὡς ἐν αὐτῷ πεῖσαι καταλῦσαι τὸν λόγον. ἵν' οὖν μὴ καὶ σήμερον τοῦτο πάθωμεν, καθάπερ χαλινὸν ἐκεῖσε φερομένῳ τῷ λόγῳ μετὰ πολλῆς τῆς σφοδρότητος ἐμβαλόντες, οὕτως αὐτὸν ἑλκύσωμεν, καὶ ἐπὶ τὴν προφητικὴν ἀγάγωμεν ῥῆσιν. τίς οὖν ἐστιν ἡ ῥῆσις; Ἐγὼ Κύριος, φησὶν, ὁ ποιήσας φῶς καὶ σκότος, ὁ ποιῶν εἰρήνην, καὶ κτίζων κακά. Ὁρᾶτε ὡς οὐκ εἰκῇ οὐδὲ μάτην ἐπὶ τὸ χωρίον τοῦτο τὸν δρόμον ἐποιησάμεθα· ἀλλὰ πάντα τὰ ἄλλα παρατρέχοντες, ἐνταῦθα ἀπαντῆσαι ἐσπουδάζομεν. καὶ γὰρ πολὺν τῷ μὴ προσέχοντι τὸν θόρυβον ἐμποιεῖ τὸ εἰρημένον. διαναστῆτε τοίνυν καὶ συντείνατε τὴν ἀκοὴν, καὶ πᾶσαν βιωτικὴν φροντίδα ἐκβαλόντες, προσέχετε τοῖς λεγομένοις. καὶ γὰρ βούλομαι τοῦτον νῦν ὑμῖν τῆς ἐνταῦθα παρουσίας τὸν μισθὸν ἀποδοῦναι, καὶ τὴν πνευματικὴν ἐμπλήσας ἐδεσμάτων, οὕτως ἐκπέμψαι· ὥστε καὶ τοὺς ἀπολειφθέντας ἔργῳ μαθεῖν ἡλίκην ὑπέμειναν ζημίαν. εἴσονται δὲ, εἰ μετὰ ἀκριβείας ὑποδεξάμενοι τὰ λεγόμενα, καὶ πρὸς ἐκείνους διαβιβάσαι δυνηθείημεν. Ἐγὼ Κύριος ὁ Θεὸς ὁ ποιήσας φῶς καὶ σκότος, ὁ ποιῶν εἰρήνην, καὶ κτίζων κακά. Συνεχῶς αὐτὸ περιστρέφω, ὥστε ἐντεθῆναι ὑμῶν τῇ διανοίᾳ, καὶ τότε τὴν λύσιν ἐπαγαγεῖν. οὐδὲ γὰρ οὗτος μόνος τοῦτό φησιν, ἀλλὰ καὶ ἕτερος προφήτης συνῳδὰ τούτῳ ἀποφθεγγόμενος ἔλεγεν· Εἰ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησε; τί οὖν ἐστι τὸ εἰρημένον; ἅπασι γὰρ δεῖ μίαν λύσιν ἐπαγαγεῖν. τίς οὖν ἐστιν ἡ λύσις; εἰ μάθοιμεν τῶν λέξεων τούτων τὴν δύναμιν. ἀλλὰ προσέχετε μετὰ ἀκριβείας. οὐ γὰρ εἰκῇ, οὐδὲ μάτην συνεχῶς τοῦτο ὑμῖν παραγγέλλομεν,

Ματθ. θ. κ.

Ησ. με. ζ.

Αμως. γ. ς.

μεν. ἀλλ' ἐπειδὴ πρὸς τὸ βάθος τῶν νοημάτων λοιπὸν χωροῦμεν. τῶν πραγμάτων τὰ μέν ἐστι
καλά, τὰ δὲ κακά, τὰ δὲ μέσα· ὧν ἔνια πολλοῖς μὲν εἶναι δοκεῖ κακά, οὐκ ἔστι δέ, ἀλλὰ λέγεται
μόνον καὶ ὑποπτεύεται. ἀλλ' ἵνα σαφέστερον ὃ λέγω ποιήσω, φέρε καὶ ἐπὶ παραδειγμάτων
τὸν λόγον γυμνάσωμεν. ἡ πενία δοκεῖ μὲν πολλοῖς εἶναι κακόν, οὐκ ἔστι δέ· ἀλλ' εἴ τις
νήφοι καὶ φιλοσοφεῖ, καὶ κακῶν ἀναιρετικόν. ὁ πλοῦτος πάλιν δοκεῖ μὲν πολλοῖς εἶναι καλόν,
οὐκ ἔστι δὲ ἁπλῶς καλόν, εἰ μή τις εἰς δέον αὐτῷ χρώμενος εἴη. εἰ γὰρ ἁπλῶς καλὸν
ἦν ὁ πλοῦτος, ἔδει καὶ τοὺς ἔχοντας αὐτὸν εἶναι καλούς. εἰ δὲ οὐ πάντες οἱ πλουτοῦντες ἐνάρετοι,
ἀλλ' οἱ καλῶς τῷ πλούτῳ κεχρημένοι, εὔδηλον ὅτι οὐχ ἁπλῶς αὐτὸ καθ' ἑαυτὸ ὁ πλοῦτος
καλόν, ἀλλ' ὕλη τίς ἐστιν ἀρετῆς ἐν τῷ μέσῳ κειμένη. σκόπει δέ· εἰσὶν ἐν τῷ σώματι
ποιότητες, ἃς οἱ ἔχοντες ἀπ' αὐτῶν καλοῦνται. οἷόν τι λέγω; τὸ λευκὸν οὐκ ἔστιν οὐσία,
ἀλλὰ ποιότης, καὶ συμβεβηκὸς ἐπιγινόμενον τῇ οὐσίᾳ. ἐὰν οὖν τινι προσγένηται τοῦτο, λευκὸν
τὸν τοιοῦτον καλοῦμεν. ἔστιν ἀρρωστία πάλιν καὶ αὐτὴ ποιότης τις οὖσα καὶ συμβεβηκός· κἂν
τινι προσγένηται, ἄρρωστον τὸν τοιοῦτον καλοῦμεν. εἰ τοίνυν καὶ ὁ πλοῦτος ἦν ἀρετή, ἔδει
τὸν ἔχοντα τὸν πλοῦτον ἐνάρετον εἶναι καὶ λέγεσθαι. εἰ δὲ οὐ πάντως ὁ πλούσιος ἐνάρετος,
οὐκ ἀρετή, οὐδὲ καλὸν ὁ πλοῦτος ἁπλῶς, ἀλλὰ παρὰ τὴν γνώμην τοῦ χρωμένου τοῦτο
γίνεται. πάλιν ἡ πενία εἰ κακὸν ἦν, ἔδει τοὺς ἐν πενίᾳ ἅπαντας εἶναι κακούς. εἰ δὲ πολλοὶ
τῶν ἐν πενίᾳ ὄντων, τῶν οὐρανῶν ἐπελάβοντο, οὐκ ἄρα ἡ πενία κακόν. τί οὖν ὅτι πολλοὶ
βλασφημοῦσι διὰ τὴν πενίαν, φησίν; οὐ διὰ τὴν πενίαν, ἀλλὰ διὰ τὴν οἰκείαν
ἀφροσύνην τε καὶ μικροψυχίαν τοῦτο ποιοῦσι. καὶ τούτων ἀπόδειξις ὁ μακάριος Ἰώβ, ὃς ἐν
ἐσχάτῃ πενίᾳ ὤν, καὶ πρὸς αὐτὸ τῆς πενίας κατενεχθεὶς τὸ βάραθρον, οὐ μόνον οὐκ ἐβλασφήμησεν,
Ἰὼβ α. κα. ἀλλ' εὐλογῶν τὸν Θεὸν διετέλει, λέγων· Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο·
ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας.
ἀλλὰ καὶ διὰ τὸν πλοῦτον πολλοί, φησιν, ἁρπάζουσι καὶ πλεονεκτοῦσιν. ἀλλ' οὐ διὰ τὸν
πλοῦτον, ἀλλὰ διὰ τὴν οἰκείαν ἀφροσύνην. καὶ τούτου μάρτυς πάλιν ὁ αὐτὸς ἄνθρωπος
οὗτος, ὃς ἐν τοσούτῳ πλούτῳ οὐ μόνον οὐχ ἥρπασε τὰ ἑτέρων, ἀλλὰ καὶ τὰ οἰκεῖα ** λείπει **
Ἰὼβ λα. λβ. καὶ λιμένα ἐπὶ τοῖς ξένοις κατεσκεύαζεν, οὕτω λέγων· Ἡ οἰκία μου παντὶ ξένῳ ἐλθόντι ἠνέῳκτο.
καὶ ὁ Ἀβραὰμ πλοῦτον τοσοῦτον ἔχων, τοῖς παριοῦσι πάντα ἐδαπάνα· καὶ οὔτε τοῦτον,
οὔτε ἐκεῖνον πλεονέκτην ὁ πλοῦτος ἐποίησεν, ὥσπερ οὐδὲ βλάσφημον οὔτε ἐκεῖνον, οὔτε τὸν
Λάζαρον ἡ πενία· ἀλλ' οὕτω διέλαμψαν ἑκάτεροι, μηδὲ τῆς ἀναγκαίας εὐποροῦντες
τροφῆς, ὡς τὸν μὲν παρὰ τοῦ Θεοῦ δέξασθαι τὴν μαρτυρίαν, τοῦ τὰ ἀπόρρητα σαφῶς εἰδότος,
τὸν δὲ ὑπὸ τῶν ἀγγέλων προηγουμένων οὕτως ἐντεῦθεν ἀπενεχθῆναι, καὶ ὁμόσκηνιον τῷ
πατριάρχῃ γενέσθαι, καὶ τῶν ἀγαθῶν ἀπολαύειν, ὧν ἐκεῖνος. ἄρα τῶν μέσων ταῦτά ἐστι,
πενία καὶ πλοῦτος, ὑγίεια καὶ νόσος, καὶ ζωὴ καὶ θάνατος, δόξα καὶ τιμή, δουλεία καὶ ἐλευθερία,
καὶ ὅσα τοιαῦτα. οὐ γὰρ δεῖ πάντα ἐπιέναι, ὥστε μὴ μηκύνειν τὸν λόγον· ἀλλὰ ἐν τούτοις
Παροιμ. θ. θ. παρέχοντα ὑμῖν ἀφορμὰς ἐπὶ τὰ κατεπείγοντα βαδίζειν. Δίδου γάρ, φησι, σοφῷ ἀφορμήν,
καὶ σοφώτερος ἔσται. ἄρα τῶν μέσων ταῦτά ἐστι πάντα, ὡς τούτοις καὶ εἰς καλόν, καὶ εἰς
κακὸν οἱ χρώμενοι δύναιντ' ἄν. ὅτι γὰρ τῶν μέσων ἐστὶ ταῦτα, ὧν ὁ πλοῦτος, ἔδειξεν ὁ
Ἀβραάμ, εἰς δέον αὐτῷ χρησάμενος· ἔδειξε δὲ καὶ ἐπὶ τοῦ Λαζάρου ὁ πλούσιος, ἐπ' ἀπωλείᾳ
τῆς ἑαυτοῦ κεφαλῆς τὰ ὄντα δαπανήσας. οὔτε οὖν καλὸν ἁπλῶς ὁ πλοῦτος, οὔτε
κακόν. εἰ καλὸν ἦν ἁπλῶς, ἀλλ' οὐχὶ μέσον, οὐκ ἂν ὁ ἐπὶ τοῦ Λαζάρου πλούσιος τοιαῦτα
ἐκολάζετο· εἰ κακὸν ἦν, οὐκ ἂν Ἀβραὰμ οὕτως εὐδοκίμησε πλούσιος ὤν. τοιοῦτόν τι
καὶ ἡ νόσος ἐστίν. εἰ γὰρ κακὸν ἦν ἡ νόσος, ἔδει καὶ τοῦτον κακὸν εἶναι τὸν ἔχοντα. ἄρα καὶ
α. Τιμ. ε. κγ. Τιμόθεος ἔμελλεν εἶναι κατὰ τοῦτο κακός, ἐσχάτῃ νόσῳ παλαίων. Οἴνῳ γὰρ ὀλίγῳ χρῶ, φησι,
διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας. εἰ δὲ οὐ μόνον κακὸς οὐκ ἦν ἐντεῦθεν, ἀλλὰ

καὶ πολλοῦ μισθοῦ παρακαταθήκην ἐλάμβανε, γυναικὸς τὴν ἀῤῥωστίαν ἐνέγκας, οὐ δηλοῖ ὅτι οὐ κακὸν ἡ νόσος. καὶ ἕτερος δὲ προφήτης τοὺς ὀφθαλμοὺς νοσῶν διετέλει· ἀλλ' οὐ κατὰ τοῦτο κακός, ἀλλὰ καὶ προεφήτευε, καὶ τὰ μέλλοντα προεώρα, καὶ οὐδὲ ἡ νόσος εἰς τὴν ἀρετὴν ἐγίνετο κώλυμα. ἀλλ' οὐδὲ ἡ ὑγίεια ἁπλῶς καλόν, ἂν μή τις εἰς δέον κεχρημένος αὐτῇ εἴη, ἀλλ' εἰς ἐργασίαν πονηράν, ἢ εἰς ἀργίαν ἀνόνητον. οὐδὲ γὰρ τοῦτο ἀνεύθυνον. διὸ καὶ ὁ Παῦλος ἔλεγεν, Εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω. ἀλλὰ ταῦτα τῶν μέσων ἐστί, παρὰ τοὺς χρωμένους ποτὲ μὲν τοῦτο, ποτὲ δὲ ἐκεῖνο γινόμενον. Καὶ τί δεῖ λέγειν ὑγίειαν, καὶ νόσον, καὶ πλοῦτον, καὶ πενίαν; αὐτὸ γὰρ τοῦτο, ὃ δοκεῖ τοῖς πολλοῖς εἶναι τῶν ἀγαθῶν κεφάλαιον, καὶ τῶν κακῶν ὁ κολοφών, ὁ θάνατος λέγω καὶ ἡ ζωή, οὐδὲ ταῦτα ἁπλῶς ἔϛαι, ἀλλὰ καὶ ταῦτα τῶν μέσων, παρὰ τὴν γνώμην τῶν χρωμένων ἑκάτερα ταῦτα γινόμενα. οἷον τι λέγω· τὸ ζῆν καλόν, ὅταν εἰς δέον χρώμενος αὐτῷ τις εἴη· ὅταν δὲ εἰς ἁμαρτήματα καὶ παρανομίας, οὐκέτι ἂν εἴη καλόν, ἀλλὰ βέλτιον τὸν τοιοῦτον τελευτῆσαι. πάλιν ὃ τοῖς πολλοῖς φαυλότερον εἶναι δοκεῖ, μυρίων ἀγαθῶν γένοιτ' ἂν αἴτιον, ὅταν αἰτίαν ἔχῃ τὴν προσήκουσαν. καὶ δηλοῦσιν οἱ μάρτυρες, οἳ πάντων εἰσὶ διὰ τὴν τελευτὴν μακαριώτεροι. διὰ δὴ τοῦτο ὁ Παῦλος οὐχ ἁπλῶς ἐπιθυμεῖ ζῆν ἐν Χριστῷ, ἀλλ' ἐπειδὴ τοῦτο αὐτῷ καρπὸς ἔργου. Καὶ τί αἱρήσομαι γάρ, φησιν, οὐ γνωρίζω· συνέχομαι δὲ ἐκ τῶν δύο, τὴν ἐπιθυμίαν ἔχων τοῦ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι (πολλῷ γὰρ μᾶλλον κρεῖσσον) τὸ δὲ ἐπιμεῖναι τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς. Διὰ δὴ τοῦτο καὶ ὁ προφήτης, Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. οὐχ ἁπλῶς ὁ θάνατος, ἀλλ' ὁ τοιόσδε θάνατος. καὶ πάλιν ἀλλαχοῦ, Θάνατος ἁμαρτωλῶν πονηρός. ὁρᾷς καὶ τοῦτο τῶν μέσων, οὐχ ἁπλῶς καλόν, οὐδὲ ἁπλῶς κακόν, ἀλλ' ἀπὸ τῆς γνώμης τῶν ὑποδεχομένων αὐτό. διὰ δὴ τοῦτο καὶ ὁ σοφώτατος Σολομῶν, τὸ μέσον τούτων τὸ χρήσιμον καταλέγων, καὶ φιλοσοφῶν περὶ αὐτῶν, καὶ δεικνὺς ὅτι οὐχ ἁπλῶς τοῦτο καλόν, κἀκεῖνο κακόν, ἀλλὰ μετὰ καιροῦ τοῦ προσήκοντος γινόμενα καλά, κἂν φορτικὰ εἶναι δοκῇ, ὅταν τὸν καιρὸν μὴ ἔχῃ τὸν προσήκοντα, Καιρὸς τοῦ κλαῦσαι, καὶ καιρὸς τοῦ γελάσαι, ἔλεγε, καιρὸς τοῦ ζῆσαι, καὶ καιρὸς τοῦ ἀποθανεῖν. οὐδὲ γὰρ πανταχοῦ τὸ χαίρειν καλόν, ἀλλ' ἔστιν ὅπου καὶ βλαβερόν· οὔτε πανταχοῦ τὸ ἀλγεῖν καλόν, ἀλλ' ἔστιν ὅπου καὶ θανάσιμον, καὶ ὀλέθριον. καὶ τοῦτο αὐτὸ πάλιν δεικνὺς ὁ Παῦλος ἔλεγεν· Ἡ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται· ἡ δὲ τοῦ κόσμου λύπη θάνατον κατεργάζεται. ὁρᾷς καὶ τοῦτο τῶν μέσων ὄν; οὐκοῦν καὶ τὸ ἐναντίον αὐτοῦ τῶν μέσων, τὸ χαίρειν λέγω. διόπερ οὐχ ἁπλῶς χαίρειν ἐκέλευσεν, ἀλλὰ χαίρειν ἐν Κυρίῳ.

β. Θεσ. γ. ι.
Φιλιπ. α. κϐ.
Ψαλμ. ριε. ε.
Ψαλμ. λγ. κα.
Ἐκκλη. γ. δ.
β. Κορ. ζ. ι.

Ἀλλ' ὁ μὲν τῶν μέσων λόγος ἱκανῶς ἡμῖν διακρίνηται, εἴγε ἀκροατὰς ἔχει προσέχοντας. ἰτέον δὲ λοιπὸν ἐπὶ τὰ μὴ μέσα, ἀλλ' ἐπὶ τὰ καλά, ἃ οὐκ ἂν γένοιτο κακά, καὶ ἐπὶ τὰ κακά, ἃ οὐκ ἂν γένοιτο καλά. ταῦτα μὲν γὰρ τὰ εἰρημένα, ποτὲ μὲν τοῦτο, ποτὲ δὲ ἐκεῖνο γίνεται· οἷον ὁ πλοῦτος, ποτὲ μὲν κακόν, ὅταν εἰς πλεονεξίαν δαπανᾶται, ποτὲ δὲ καλόν, ὅταν εἰς ἐλεημοσύνην ἀναλίσκηται· καὶ τὰ ἄλλα τοιαῦτα κατὰ τὸν κανόνα τοῦτον. ἔστι δέ τινα, ἃ οὐκ ἂν ποτε γένοιτο κακά· τὰ δέ, ἐναντία τούτοις, ἀεὶ κακά, καὶ οὐκ ἄν ποτε γένοιτο καλά· οἷον, ἀσέβεια, βλασφημία, ἀσέλγεια, ὠμότης, ἀπανθρωπία, γαστριμαργία, καὶ ὅσα τοιαῦτα. οὐ λέγω ὅτι ἄνθρωπος κακὸς οὐκ ἂν ποτε γένοιτο καλός, οὔτε καλὸς οὐκ ἂν ποτε γένοιτο κακός· ἀλλ' ὅτι αὐτὰ τὰ πράγματα οὐκ ἂν ποτε γένοιτο. ταῦτα μὲν γὰρ ἀεὶ ἐπὶ τῆς οἰκείας τάξεως, τά τε καλά, καὶ τὰ κακά· ὁ δὲ ἄνθρωπος, ὅταν μὲν ἐκεῖνα ἕληται, καλός, ὅταν δὲ ἐναντία, κακός. οὐκοῦν τρεῖς αὗται μοῖραι. τὰ μὲν γὰρ καλά, οὐκ ἂν γένοιτο κακά, οἷον, σωφροσύνη, ἐλεημοσύνη, καὶ ὅσα τοιαῦτα· τὰ δὲ κακά, οὐκ ἂν ποτε γένοιτο καλά, οἷον, ἀσέλγεια, ἀπανθρωπία, ὠμότης· τὰ δέ, ποτὲ μὲν τοῦτο, ποτὲ δὲ ἐκεῖνο γινόμενον, παρὰ τὴν γνώμην τῶν χρωμένων· ὁ πλοῦτος, ποτὲ μὲν γὰρ εἰς πλεονεξίαν ὑπηρετεῖται,

ρητεῖται, ποτὲ δὲ εἰς ἐλεημοσύνην, ἀλλὰ παρὰ τὴν γνώμην τῶν χρωμένων. πενία ποτὲ
μὲν εἰς βλασφημίαν, ποτὲ δὲ εἰς εὐφημίαν καὶ φιλοσοφίαν ὑπηρετεῖται. ἐπεὶ οὖν
πολλοὶ τῶν ἀλογωτέρων (ἐπὶ γὰρ τὴν λύσιν ἰτέον λοιπὸν) οὐ τὰ κακὰ μόνον, ἃ οὐκ ἄν ποτε
γένοιτο καλά, ἀλλὰ καὶ τῶν μέσων ἔνια, κακὰ καλοῦσιν, οἷον, πενίαν, αἰχμαλωσίαν, δουλείαν,
ἅπερ ἐδείξαμεν οὐ τῶν κακῶν, ἀλλὰ τῶν μέσων ὄντα· πολλοὶ δὲ, ὅπερ ἔφθην εἰπὼν,
ταῦτα κακὰ καλοῦσιν, οὐκ ὄντα κακά," περὶ ὧν ὁ προφήτης φησὶ, τῶν κατὰ τὴν τῶν πολλῶν
ὑπόνοιαν καλουμένων, οὐ τῶν ὄντως κακῶν, περὶ αἰχμαλωσίας, περὶ δουλείας, περὶ λιμοῦ,
καὶ ὅσα τοιαῦτα. ὅτι γὰρ ταῦτα οὐ κακά, ἀλλὰ καὶ κακῶν ἀναιρετικά, τὸν λιμὸν πρότερον
εἰς μέσον ἀγάγωμεν, τὸν πᾶσι φρικτὸν καὶ φοβερὸν εἶναι δοκοῦντα. πῶς οὖν οὐ κακὸν,
μάνθανε, καὶ παιδεύου φιλοσοφεῖν. ἡνίκα τῶν Ἑβραίων ὁ δῆμος εἰς ἔσχατον ἐξώκειλε
παρανομίας, τότε δὴ ὁ μέγας Ἠλίας, καὶ τῶν οὐρανῶν ἄξιος, ὁ βουλόμενος τὴν ἐκ
γ. Βασ. ιζ. α. τῆς ῥαθυμίας νόσον ἀνελεῖν, καὶ διορθῶσαι ταύτην, ἐπήγαγε λέγων· Ζῇ Κύριος, ᾧ παρέστην
ἐνώπιον αὐτοῦ, εἰ ἔσται ὑετὸς, εἰ μὴ διὰ στόματός μου· καὶ ὁ μηλωτὴν μόνην κεκτημένος, τὸν
οὐρανὸν ἀπέκλεισε· τοσαύτη παρρησία αὐτῷ πρὸς τὸν Θεόν. ὁρᾷς ὅτι οὐ κακὸν ἡ πενία; οὐκ
ἂν ὁ πάντων ἀνθρώπων πενέστερος τοσαύτης ἀπέλαυσε παρρησίας, ὡς χαμαὶ βαδίζων,
ἑνὶ μόνῳ λόγῳ τοσαύτην ἰσχὺν ἐπιδείξασθαι. εἰπὼν τοίνυν τοῦτο, ἐπήγαγε λιμὸν, καθάπερ
παιδαγωγὸν ἄριστον, καὶ διορθωτὴν τῶν γινομένων κακῶν· καὶ καθάπερ πυρετοῦ
λάβρου εἰς σῶμα ἐμπεσόντος, καὶ αὐταὶ τῆς γῆς αἱ φλέβες ἀνεξηράνθησαν, καὶ χείμαρροι
ἐπέλιπον, καὶ βοτάναι, καὶ τῆς γῆς αἱ λαγόνες ἄγονοι λοιπὸν ἦσαν. καὶ οὐ μικρὰ τότε ὁ δῆμος
ἐκαρπώσατο, τῆς ῥύμης τῆς ἐπὶ τὴν παρανομίαν ἀπαλλαγεὶς, καὶ συσταλεὶς, καὶ γενόμενος
ἐπιεικέστερος, καὶ τῷ προφήτῃ χειροήθης. οἱ γὰρ πρὸς τὰ εἴδωλα τρέχοντες, καὶ τοὺς υἱοὺς
αὐτῶν κατασφάττοντες τοῖς δαιμονίοις, οὗτοι, τοσούτων ἱερέων τῆς Βάαλ ἀναιρουμένων, οὐκ
ἐδυσχέραναν, οὐκ ἠγανάκτησαν· ἀλλ᾽ ἤνεγκαν σιγῇ καὶ φόβῳ τὸ γινόμενον, ἀπὸ τοῦ λιμοῦ
βελτίους γενόμενοι. ὁρᾷς ὡς οὐ μόνον κακὸν ὁ λιμὸς, ἀλλὰ καὶ κακῶν ἀναιρετικὸς, ἐν τάξει
φαρμάκου τὰ νοσήματα διορθωσάμενος; εἰ καὶ τὴν αἰχμαλωσίαν αὐτὴν" ἰδεῖν οὐ τῶν κακῶν
οὖσαν, ἐννόησον τίνες μὲν ἦσαν οἱ Ἰουδαῖοι πρὸ τῆς αἰχμαλωσίας, τίνες δὲ ἐν τῇ αἰχμαλωσίᾳ·
ἵνα μάθῃς ὅτι οὔτε ἡ ἐλευθερία ἁπλῶς καλὸν, οὔτε ἡ αἰχμαλωσία κακόν. ὅτε
μὲν γὰρ ἦσαν ἐν ἐλευθερίᾳ, καὶ τὴν πατρίδα εἶχον τὴν ἑαυτῶν, τοιαῦτα ἔπραττον, ὡς καθ᾽
ἑκάστην ἡμέραν τοὺς προφήτας αὐτῶν καταβοᾷν, τῶν νόμων πατουμένων, καὶ τῶν εἰδώλων
προσκυνουμένων, καὶ τῶν ἐντολῶν τοῦ Θεοῦ" παραβαινομένων· ἐπειδὴ δὲ ἀπηνέχθησαν εἰς
γῆν ἀλλοτρίαν, καὶ ἐν τῇ τῶν βαρβάρων χώρᾳ διέτριβον, οὕτω συνεστάλησαν, καὶ βελτίους
ἐγένοντο, καὶ τοῦ νόμου φύλακες, ὡς ἔστιν ἐκ τοῦ ψαλμοῦ τούτου μαθεῖν, ὃν ἀναγκαῖον εἰς μέσον
Ψαλμ. ρλϛ. α. β. γ. ἀγαγεῖν σήμερον, ἵνα μάθητε τῆς αἰχμαλωσίας τὸν καρπόν. τίς δέ ἐστιν ὁ ψαλμός; Ἐπὶ
τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς
τὴν Σιών· ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν· ὅτι ἐκεῖ ἐπηρώτησαν
ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν, λέγοντες· ᾌσατε ἡμῖν ἐκ τῶν
ᾠδῶν Σιών. πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; εἶδες πῶς αὐτοὺς συνέστελλεν ἡ
αἰχμαλωσία; πρὸ μὲν γὰρ ταύτης καὶ τῶν προφητῶν ἐνηχούντων μὴ παραβαίνειν τὸν νόμον, οὐκ
ἠνείχοντο· μετὰ δὲ ταύτην, καὶ τῶν βαρβάρων ἐπικειμένων, καὶ τῶν κυριευόντων καταναγκαζόντων
καὶ κατεπειγόντων παραβαίνειν, οὐχ ὑπήκουον· ἀλλ᾽ ἔλεγον, οὐκ ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ
γῆς ἀλλοτρίας, ἐπειδὴ ὁ νόμος τοῦτο οὐκ ἐπιτρέπει. ὅρα δὲ καὶ τοὺς παῖδας τοὺς τρεῖς, οὐ μόνον οὐδὲν
βλαπτομένους ἀπὸ τῆς αἰχμαλωσίας, ἀλλὰ καὶ λαμπροτέρους ἀπ᾽ αὐτῆς γινομένους, καὶ τὸν Δανιὴλ
ὁμοίως. τί δὲ ὁ Ἰωσήφ; τί κακὸν ἔπαθε, καὶ ξένος, καὶ δοῦλος, καὶ δέσμιος γενόμενος; οὐχὶ διὰ
τοῦτο μόνον εὐδοκίμει καὶ ἔλαμπε; τί δὲ ἡ βάρβαρος ἐκείνη γυνὴ, καὶ ἐν πλούτῳ καὶ ὑπερηφα-

νίας καὶ ἐν ἐλευθερίᾳ διατρίβουσα, ἐντεῦθεν ἀπώνατο; οὐχὶ πάντων ἦν ἀθλιωτέρα, ἐπειδὴ τούτοις εἰς δέον χρήσασθαι οὐκ ἠθέλησεν; οὐκοῦν ταῦτα μὲν ἡμῖν ἀποδέδεικται σαφῶς, τίνα μὲν κακά, τίνα δὲ καλά, τίνα δὲ μέσα· καὶ ὅτι περὶ τῶν μέσων ὁ προφήτης φησίν, οὐ τῶν ὄντως κακῶν, ἀλλὰ τῶν δοκούντων εἶναι τοῖς πολλοῖς, αἰχμαλωσίας, δουλείας, ἀπαγωγῆς. τίνος δὲ ἕνεκεν ταῦτα εἴρηται, ἀναγκαῖον εἰπεῖν.

Φιλάνθρωπος ὢν ὁ Θεός, καὶ περὶ τὸ ἐλεεῖν ὀξύς, πρὸς δὲ τὸ τιμωρεῖσθαι καὶ κολάζειν ἀναδυόμενος, ὥστε μὴ τοὺς Ἰουδαίους παραδοῦναι τιμωρίαις, προφήτας ἔπεμψε, φοβῶν αὐτοὺς διὰ τῶν ῥημάτων, ὥστε μὴ κολάσαι διὰ τῶν πραγμάτων, ὅπερ καὶ ἐπὶ τῶν Νινευιτῶν ἐποίει. καὶ γὰρ ἐκεῖ τότε τὴν πόλιν καταστρέψαι ἠπείλησεν, οὐχ ἵνα καταστρέψῃ, ἀλλ' ἵνα μὴ καταστρέψῃ· ὅπερ οὖν καὶ ἐγένετο. τοῦτο δὴ καὶ τότε ἔπραττε, καὶ προφήτας ἔπεμπεν, ἀπειλῶν βαρβάρων ἔφοδον, πολέμους, αἰχμαλωσίας, δουλείας, ἀπαγωγήν, τὴν ἐν ἀλλοτρίᾳ διατριβήν. καὶ καθάπερ πατὴρ φιλόστοργος παῖδα ἀκόλαστον ἔχων καὶ ῥάθυμον, σωφρονίσαι θέλων, ἱμάντας ἐπιζητεῖ, σχοίνους ἀπειλεῖ, λέγων· δήσω, μαστίξω, ἀναιρήσω, καὶ γίνεται ἐν τοῖς ῥήμασι φοβερός, ὥστε ταύτῃ τὴν κακίαν ἀναστεῖλαι τοῦ νέου· οὕτω δὴ καὶ ὁ Θεὸς ἠπείλει συνεχῶς, τῷ φόβῳ ποιῆσαι βελτίους βουλόμενος. ταῦτα ὁρῶν ὁ διάβολος, καὶ βουλόμενος ἐκλῦσαι τὴν ἐκ τῆς τοιαύτης ἀπειλῆς διόρθωσιν γινομένην, καθῆκε ψευδοπροφήτας, καὶ τῶν προφητῶν ἀπειλούντων αἰχμαλωσίαν, καὶ δουλείαν, καὶ λιμούς, ἐκεῖνοι τὰ ἐναντία ἔλεγον, εἰρήνην, εὐετηρίαν, καὶ μυρίων ἀγαθῶν ἀπόλαυσιν. διὸ καὶ ὀνειδίζοντες αὐτοῖς οἱ προφῆται ἔλεγον· Εἰρήνη, εἰρήνη, καὶ ποῦ ἐστιν εἰρήνη; καὶ ὅσοι τῶν φιλολόγων, τοῦτο ἴσασιν, ὡς ἄπαντα κρατεῖ, ἃ τοῖς προφήταις πρὸς τοὺς ψευδοπροφήτας ἐγίνοντο, ἐκλύοντα τοῦ λαοῦ τὴν σπουδήν. ἐπεὶ οὖν οὕτως ἐκλύοντες διέφθειραν τὸν λαόν, φησὶν ὁ Θεὸς διὰ τῶν προφητῶν· Ἐγὼ ὁ Θεὸς ποιῶν εἰρήνην, καὶ κτίζων κακά. καὶ ποῖα κακά; ταῦτα τὰ εἰρημένα, αἰχμαλωσίαν, δουλείαν, καὶ ὅσα τοιαῦτα· οὐ πορνείαν, καὶ ἀσέλγειαν, καὶ πλεονεξίαν, οὐδὲ ἄλλο τῶν τοιούτων οὐδέν. διὰ τοῦτο καὶ ὁ ἕτερος προφήτης εἰπών, Εἰ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησε, ταύτην λέγει τὴν κακίαν, τοὺς λιμούς, τὰς νόσους, τὰς θεηλάτους πληγάς. οὕτω καὶ ὁ Χριστός, ὅταν λέγῃ· Ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς, τοὺς ἱδρῶτας, τὸν μόχθον, τὴν ταλαιπωρίαν φησί. τοῦτο οὖν φησιν ὁ προφήτης· μὴ ὑμᾶς ἐκλυέτωσαν οἱ ψευδοπροφῆται. ὁ γὰρ Θεὸς ὑμῖν εἰρήνην δοῦναι δύναται, καὶ αἰχμαλωσίᾳ παραδοῦναι· τουτέστιν, ὁ ποιῶν εἰρήνην, καὶ κτίζων κακά. καὶ ἵνα μάθῃς ὅτι τοῦτό ἐστιν ἀληθές, αὐτὰς τὰς λέξεις βασανίσωμεν μετὰ ἀκριβείας. εἰπὼν γὰρ ἄνω, ἐγώ εἰμι ὁ ποιήσας φῶς, καὶ σκότος, τότε ἐπήγαγε, ποιῶν εἰρήνην, καὶ κτίζων κακά. δύο ἐναντία ἄνω τέθεικε, καὶ δύο ἐναντία μετὰ ταῦτα, ἵνα μάθῃς ὅτι οὐ περὶ πορνείας λέγει, ἀλλὰ περὶ συμφορῶν. τί γὰρ ἀντιδιαστέλλεται τῇ εἰρήνῃ; εὔδηλον ὅτι αἰχμαλωσία· οὐκ ἀσέλγεια, οὐδὲ πορνεία, οὐδὲ πλεονεξία. ὥσπερ οὖν ἀνωτέρω ἐναντία δύο τέθεικεν, οὕτω δὴ καὶ ἐνταῦθα. ἐναντίον δὲ τῇ εἰρήνῃ οὐ πορνεία, οὐδὲ μοιχεία, οὐδὲ ἀσέλγεια, οὐδὲ αἱ λοιπαὶ κακίαι· ἀλλ' αἰχμαλωσία καὶ δουλεία. ἀλλ' ὅπερ ἐπὶ τῶν στοιχείων πάρεστι, τοῦτο καὶ ἐπὶ τῶν πραγμάτων. οἶσθα τί λέγω· ὥσπερ ἐποίησε φῶς καὶ σκότος, καὶ πολλοῖς τὸ μὲν φῶς ἡδὺ δοκεῖ εἶναι, τὸ δὲ σκότος ἐπαχθές, καὶ διαβάλλουσι τὴν νύκτα ὡς πονηράν τινα οὖσαν· οὕτω δὴ καὶ ἐπὶ τῶν πραγμάτων. ἀλλ' οὔτε τὴν νύκτα διαβλητέον, οὐδὲ τὸ σκότος, οὐδὲ ἁπλῶς τὴν δουλείαν, καὶ τὴν αἰχμαλωσίαν. τί γάρ, εἰπέ μοι, φαῦλον ἔχει τὸ σκότος; οὐχὶ πόνων ἐστὶν ἀνάπαυσις; οὐχὶ φροντίδων ἄνεσις; οὐχὶ λύπης ἀναίρεσις; οὐχὶ ἰσχύος προσθήκη; εἰ δὲ μὴ σκότος ἦν καὶ νύξ, πότε ἂν ἀπελαύσαμεν τοῦ φωτός; οὐκ ἂν διεφθάρη καὶ ἀπώλετο τοῦτο τὸ ζῶον ὁ ἄνθρωπος; ὥσπερ δὲ τὸ σκότος δοκεῖ μὲν τοῖς ἀνοήτοις εἶναι κακόν, οὐκ ἔστι δέ, ἀλλὰ πρὸς τὴν ἡμέραν ἡμῖν συντελεῖ, καὶ πρὸς τὰς ἐργασίας ἐν αὐτῇ τοὺς ἀναπαυσαμένους ἐπιτηδειοτέρους κατασκευάζει· οὕτως οὐδὲ αἰχμαλωσία φαῦ-

Ἰερ. ς. ιδ.

Ἀμως. γ. ς.

Ματθ. ς. λδ.

λον

λοι (περὶ ὧν ὁ προφήτης διελέγετο λέγων, Ὁ ποιῶν εἰρήνην, καὶ κτίζων κακά) ἀλλὰ χρησιμώτεροι τοῖς εἰς δέον χρωμένοις· σωφρονεστέρους δὲ καὶ ἐπιεικεστέρους ποιεῖ, περικόπτουσα ἀπόνοιαν. ἀδούλωτον γὰρ ἡ ἀρετή, καὶ οὐδὲν αὐτῆς περιγενέσθαι δύναιτ' ἄν, οὐ δουλεία, οὐκ αἰχμαλωσία, οὐ πενία, οὐ νόσος, οὐκ αὐτός, ὁ πάντων τυραννικώτερος, ὁ θάνατος. καὶ δηλοῦσιν ἅπαντες οἱ ταῦτα ὑπομείναντες ἅπαντα, καὶ δι' αὐτῶν μειζόνως λάμψαντες. τί γὰρ τὸν Ἰωσὴφ ἔβλαψεν ἡ δουλεία; (οὐδὲν γὰρ κωλύει πάλιν τοὺς αὐτοὺς ἄνδρας εἰς μέσον ἀγαγεῖν) τί δὲ τὰ δεσμά; τί δὲ αἱ ἁλύσεις; τί δὲ ἡ συκοφαντία; τί δὲ ἡ ἐπιβουλή; τί δὲ ἡ ἐπὶ τῆς ἀλλοτρίας διατριβή; τί τὸν Ἰὼβ ἡ τῶν βουκολίων καὶ τῶν ποιμνίων ἀναίρεσις; ὁ βίαιος καὶ ἄωρος τῶν παίδων θάνατος; ἡ πληγὴ τοῦ σώματος; αἱ πηγαὶ τῶν σκωλήκων; ἡ ὀδύνη ἡ ἀκαρτέρητος; ἡ ἐπὶ τῆς κοπρίας καθέδρα; ἡ ἐπιβουλὴ τῆς γυναικός; τὰ ὀνείδη τῶν φίλων; αἱ λοιδορίαι τῶν οἰκετῶν; τί δὲ τὸν Λάζαρον τὸ ἐν τῷ πυλῶνι κεῖσθαι, καὶ ταῖς γλώσσαις τῶν κυνῶν περιλείχεσθαι, καὶ ὁ λιμὸς ὁ διηνεκής, καὶ ἡ ὑπεροψία τοῦ πλουσίου, καὶ τὰ τραύματα, καὶ ἡ νόσος ἡ ἀφόρητος, καὶ ἡ ἐρημία τῶν προϊσαμένων, καὶ ἡ ὑπεροψία τῶν βοηθούντων; τί δὲ τὸν Παῦλον αἱ νιφάδες ἐκείνων τῶν δεσμωτηρίων, τῶν ἀπαγωγῶν, τῶν θανάτων, τῶν καταποντισμῶν, τῶν λοιπῶν πειρασμῶν, ἃς οὐδὲ λόγῳ ἐξαριθμήσασθαι ἔνι; ταῦτα ἅπαντα ἀναλογισάμενοι κακίαν φεύγωμεν, ἀρετὴν διώκωμεν· καὶ εὐχώμεθα μὲν μὴ εἰσελθεῖν εἰς πειρασμόν· εἰ δέ ποτε ἐμπέσομεν, μὴ ἀλύωμεν, μηδὲ δυσχεραίνωμεν. καὶ γὰρ ὅπλα ἐστὶ ταῦτα ἀρετῆς τοῖς εἰς δέον χρωμένοις, καὶ δυνησόμεθα διὰ πάντων εὐδοκιμεῖν, ἐὰν νήφωμεν, καὶ τῶν αἰωνίων ἀγαθῶν ἀπολαῦσαι· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. κη. ΕΙΣ ΤΟ ΡΗΤΟΝ ΤΟΥ ΠΡΟΦΗΤΟΥ ΙΕΡΕΜΙΟΥ,

Ιερ. ι. κγ. Κύριε, οὐχὶ τοῦ ἀνθρώπου ἡ ὁδὸς αὐτοῦ, οὐδὲ ἄνθρωπος πορεύσεται καὶ κατορθώσει τὴν πορείαν αὐτοῦ, καὶ κατευθυνεῖ τὴν ὁδὸν αὐτοῦ.

Τῆς ὁδοῦ ταύτης τῆς αἰσθητῆς καὶ λεωφόρου τὰ μέν ἐστιν ὕπτια καὶ λεῖα, τὰ δὲ προσάντη καὶ τραχύτερα· οὕτω δὴ καὶ τῶν θείων γραφῶν τὰ μέν ἐστιν αὐτόθεν πᾶσιν εὐσύνοπτα, τὰ δὲ πλείονος ἐξεργασίας καὶ πόνου δεόμενα. ἀλλ' ὅταν μὲν ἰσόπεδον καὶ λείαν ὁδεύωμεν ὁδόν, οὐ πολλῆς ἡμῖν δεῖ ἀκριβείας· ὅταν δὲ ὑπτίαν καὶ στενὴν καὶ πρὸς αὐτὴν ἀνατεινομένην τὴν ἀκρώρειαν, καὶ ὑπὸ κρημνῶν ἑκατέρωθεν ἀπειλημμένην, νηφούσης ἡμῖν δεῖ ψυχῆς καὶ διεγηγερμένης, τῆς δυσχωρίας ῥᾳθυμεῖν οὐκ ἐπιτρεπούσης. κἂν γὰρ μικρόν τις παραβλέψῃ, μόνου τοῦ ποδὸς ὀλισθήσαντος, ἅπαν τὸ σῶμα κατακρημνίζεται, κἂν εἰς φάραγγας κατακύψῃ κάτω, σκοτοδίνῳ κατεχόμενος καταφέρεται. οὕτω δὴ καὶ ἐπὶ τῶν θείων γραφῶν, τὰ μὲν εὔκολα καὶ ῥᾴδια τῶν νοημάτων καὶ ἀπονητὶ παραδέξασθαι ἔνι, τὰ δὲ τραχύτερα καὶ προσάντη οὐχ ὁμοίως εὔπορον διαβῆναι. διὸ νήφειν ἅπαντας δεῖ καὶ ἐγρηγορέναι, ὅταν τοιαῦτα διαβαίνωμεν χωρία, ὥστε μὴ περὶ τῶν ἐσχάτων ἡμῖν γενέσθαι τὸν κίνδυνον. διὰ γὰρ τοῦτο καὶ ἡμεῖς ποτὲ μὲν ἐν τοῖς εὐκολωτέροις ὑμᾶς "ἐγυμνάζομεν, ποτὲ δὲ ἐπὶ τὰ δυσκολώτερα ἄγομεν, ἵνα καὶ τὸν πόνον" ὑμῖν παραμυθησώμεθα, καὶ τὴν ῥᾳθυμίαν ἐκβάλωμεν. ὥσπερ γὰρ οἱ διαπαντὸς εὐκολίας ἀπολαύοντες, χαυνότεροι γίνονται, οὕτως οἱ διηνεκῶς πρὸς τραχύτερα ἑλκόμενοι, πρὸς τὸν πόνον ἀπογινώσκουσι. δεῖ τοίνυν ἀναμεμίχθαι τὸ τῆς διδασκαλίας εἶδος, καὶ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο μεταχειρίζειν, ὥστε μήτε χαυνοῦσθαι πέρα τοῦ μέτρου τὴν διάνοιαν ἡμῖν, μήτε διαπιεζομένην

ὑπὸ

γρ. γυμνά-
ζωμεν,
γρ. ὑμῶν

ὑπὲρ τὸ δέον διαῤῥήγνυσθαι πάλιν πρὸς τοὺς πόνους ἀπαγορεύουσαν. Διὰ τοῦτο πρῴην ὑμῖν περὶ Παύλου καὶ Πέτρου διαλεχθέντες καὶ τῆς ἐν Ἀντιοχείᾳ γενομένης αὐτοῖς πρὸς ἀλλήλους ἀμφισβητήσεως, καὶ τὴν δοκοῦσαν ἐκείνων εἶναι μάχην πάσης εἰρήνης χρησιμωτέραν ὑμῖν ἀποδείξαντες, καὶ ἐπὶ τὴν ὑπτίαν ἐκείνην καὶ τραχεῖαν ἀγαγόντες ὁδὸν, ἐπειδὴ πεπονηκότας εἴδομεν, τῇ μετ' ἐκείνην ἡμέρᾳ πρὸς ἑτέραν εὐκολωτέραν ἐχειραγωγοῦμεν ὑπόθεσιν, τοῦ μακαρίου Εὐσταθίου τὰ ἐγκώμια διηγούμενοι, καὶ μετ' ἐκεῖνον τοῦ γενναίου μάρτυρος Ῥωμανοῦ τοὺς ἐπαίνους διεξιόντες· ὅτε δὴ καὶ λαμπρότερον ἡμῖν τὸ θέατρον γέγονε, καὶ πλείων ὁ κρότος, καὶ μείζων ὁ θόρυβος. καθάπερ γὰρ τις καμὼν, εἶτα εἰς λειμῶνα εἰσελθὼν, γάνυται καὶ διαχεῖται, τραχὺ μὲν ὁρῶν οὐδὲν οὐδὲ ἐπίπονον, ἄνεσιν δὲ καὶ τέρψιν καὶ ψυχαγωγίαν πολλήν· οὕτω καὶ ὑμεῖς μοι διέκεισθε τότε. ἀπὸ γὰρ τῶν πόνων καὶ τῶν δυσκολιῶν τῆς ἀκροάσεως ἐκείνης, ὥσπερ εἰς λειμῶνα, εἰσελθόντες τῶν μαρτύρων τὰ ἐγκώμια, μετὰ πολλῆς τῆς ἀδείας τῆς τέρψεως ἐνεφορεῖσθε ἐκείνης. οὐδὲ γὰρ λαβαὶ καὶ ἀντιλαβαὶ ἦσαν τότε, οὐδὲ παλαίσματα καὶ διαδύσεις, ἀλλ', οὐδενὸς ἀντικρούοντος, ἄφετος καθ' ἑαυτὸν ὁ λόγος ἠγωνίζετο, ἀπολελυμένος καὶ ἐλεύθερος ὤν. διὰ τοῦτο δὲ καὶ λαμπρότερος ἦν καὶ πανηγυρικώτερος καὶ πλειόνων ἀπέλαυεν ἐπαίνων. ἡ γὰρ διάνοια τῶν ἀκροατῶν, ὅταν μετ' εὐκολίας τοῖς λεγομένοις παρακολουθῇ, πολλῆς ἀνέσεως ἀπολαύουσα, προθυμότερον πρὸς τὸν ἔπαινον τοῦ λέγοντος διεγείρεται. ἐπεὶ οὖν ἱκανῶς ὑμᾶς ἀνεκτησάμεθα ἐν ταῖς ἡμέραις ταύταις, οὐδὲν ἐπίπονον καὶ τραχὺ πρὸς τὴν ὑμετέραν κινήσαντες ἀγάπην, φέρε δὴ τήμερον ὑμᾶς πάλιν ἐπὶ τὴν προτέραν ἀγάγωμεν γυμνασίαν, πρὸς τὰ ἐπιπονώτερα τῶν γραφῶν καὶ πολλῆς δεόμενα συνέσεως χειραγωγοῦντες ὑμᾶς· οὐχ ἵνα συντρίψωμεν τῷ καμάτῳ, ἀλλ' ἵνα γυμνάσωμεν εἰς τὸ δύνασθαι καὶ ταῦτα μετὰ ἀσφαλείας διαβαίνειν τὰ χωρία. ὥσπερ οὖν τότε παρὰ μὲν τὴν ἀρχὴν ἐδόκει μάχη τις εἶναι καὶ φιλονεικία τῶν ἀποστόλων· ἐπειδὴ δὲ ἀνέβημεν τοὺς σκοπέλους ἐκείνους, εἴδομεν αὐτῶν λοιπὸν τὸν καρπὸν τοῦ πνεύματος, ἀγάπην, χαρὰν, εἰρήνην, καὶ οὐ μάταιος ἡμῖν οὐδὲ περιττὸς ὁ πόνος ἐγένετο, ἀλλ' εἰς εὐφροσύνην κατέληξεν· οὕτω καὶ σήμερον προσδοκῶ ταῖς εὐχαῖς ταῖς ὑμετέραις, ἂν μετὰ καρτερίας καὶ πολλῆς τῆς ὑπομονῆς τὴν προκειμένην ἡμῖν διανύσωμεν ὁδὸν, καὶ ἐπὶ τὴν κορυφὴν αὐτὴν ἀναβῆναι δυνηθῶμεν, ἰσόπεδα καὶ λεῖα καὶ ὕπτια πάντα εὑρήσειν ἐκεῖ. τί ποτ' οὖν ἐστι τὸ προκείμενον ἡμῖν νῦν; τὸ παρὰ τοῦ προφήτου σήμερον ἀναγνωσθέν· Κύριε, οὐκ ἐν τῷ ἀνθρώπῳ ἡ ὁδὸς αὐτοῦ, οὐδὲ ἄνθρωπος πορεύσεται καὶ κατορθώσει τὴν πορείαν αὐτοῦ. Τὸ μὲν ζήτημα, τοῦτο· ὑμεῖς δὲ, ὥσπερ τότε παρέχετε τὴν σπουδὴν, καὶ νῦν συντείνατε ἑαυτούς. οὐδὲ γὰρ τοῦτο ἔλαττον ἐκείνου τὸ ζήτημα, ἀλλὰ καὶ πλείονος δεῖται φροντίδος. τί δήποτε; ὅτι ἡ μὲν Παύλου καὶ Πέτρου δοκοῦσα μὲν εἶναι διαφορὰ, οὐκ οὖσα δὲ, οὐ πολλοῖς γνώριμος ἦν, ὅθεν οὐδὲ πολλὴν ἐκ τῆς ἀγνοίας εἰκὸς ἦν γενέσθαι τὴν βλάβην· αὕτη δὲ ἡ ῥῆσις πανταχοῦ περιφέρεται, ἐν οἰκίαις, ἐν ἀγοραῖς, ἐν χώραις, ἐν πόλεσιν, ἐν γῇ καὶ θαλάττῃ καὶ νήσοις· καὶ ὅπουπερ ἂν ἀπέλθοις, ἀκούσῃ ταῦτα λεγόντων πολλῶν· γέγραπται, οὐκ ἐν τῷ ἀνθρώπῳ ἡ ὁδὸς αὐτοῦ. οὐ ταύτην δὲ μόνον μεμελετήκασι τὴν ῥῆσιν, ἀλλὰ καὶ ἑτέρας πρὸς ταύτην συνείρουσι τοιαύτας· ὅτι Οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος· καὶ μετ' ἐκεῖνο πάλιν, Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες αὐτόν. τοῦτο δὲ ποιοῦσι, τῆς οἰκείας ῥαθυμίας προκαλύμματα τὰς θείας γραφὰς προβαλλόμενοι, καὶ τὴν σωτηρίαν ἡμῶν καὶ τὴν ἐλπίδα διὰ τούτων διαθρύπτειν ἐπιχειροῦντες τῶν ῥημάτων. οὐδὲν γὰρ ἕτερον κατασκευάσαι βούλονται διὰ τούτων, ἀλλ' ἢ ὅτι οὐδενός ἐσμεν κύριοι. πάντα οἴχεται τὰ καθ' ἡμᾶς· εἰκῆ βασιλείας ὑπόσχεσις, εἰκῆ γεέννης ἀπειλή· εἰκῆ νόμοι καὶ τιμωρίαι καὶ κολάσεις καὶ συμβουλαί. τί γὰρ ἄν τις παραινέσειε τῷ μηδενὸς ὄντι κυρίῳ; τί δὲ ἄν τις ὑπόσχοιτο τῷ

Ιερ. ι. κγ.

Ρωμ. θ. 16.
Ψαλμ. ρκς. α.

πάσης ἐξουσίας ἀπεστερημένῳ; οὔτε ὁ κατορθώσας ἄξιός ἐστιν ἐπαίνου, οὔτε ὁ διαμαρτάνων ὑπεύθυνος κολάσεως καὶ τιμωρίας, ἂν μὴ ἐφ' ἡμῖν ᾖ τὰ πρακτέα. Εἰ δὲ τοῦτο πεισθεῖεν ἄνθρωποι, οὐδεὶς οὐκέτι λοιπὸν οὐκ ἀρετῆς ἀνθέξεται, οὔτε κακίας φεύξεται. Εἰ γὰρ νῦν καθ' ἑκάστην ἡμέραν περὶ γεέννης ἀκουόντων ἡμῶν, περὶ βασιλείας διαλεγομένων, καὶ τὰς κολάσεις τὰς ἀφορήτους, καὶ τὰ ἔπαθλα τὰ ὑπερβαίνοντα διάνοιαν ἀνθρωπίνην προτιθέντων, συμβουλευόντων, παρακαλούντων, πάντα κινούντων λόγον, μόλις τινὲς ὑπομένουσι τοὺς ὑπὲρ τῆς ἀρετῆς ἱδρῶτας, μόλις ἀφίστανται τῆς ἐν τοῖς ἁμαρτήμασιν ἡδονῆς· ἂν καὶ ταύτην ἐκκόψῃς τὴν ἄγκυραν τὴν ἱεράν, οὐχ ὁλόκληρον βαπτισθήσεται τὸ σκάφος, καὶ πάντες οἰχήσονται γενόμενοι τέλεον ὑποβρύχιοι, καὶ πολλὰ ἔσται καθ' ἡμέραν τὰ ναυάγια; οὐδὲν γάρ, οὐδὲν οὕτως ἐσπούδακεν ὁ διάβολος, ὡς τοῦτο πεῖσαι τὴν ἀνθρωπίνην ψυχήν, ὅτι οὔτε ἐν τοῖς ἁμαρτήμασίν ἐστιν ὑπεύθυνος κολάσεως, οὔτε ἐν τοῖς κατορθώμασιν ἐπαίνων ἄξιος καὶ στεφάνων· ἵνα καὶ τῶν σπουδαίων ἐκλύσῃ τὰς χεῖρας, καὶ σβέσῃ τὴν προθυμίαν, καὶ τῶν ἀναπεπτωκότων ἐπιτείνῃ τὴν ὀλιγωρίαν καὶ αὐξήσῃ τὴν ῥᾳθυμίαν. διὸ χρὴ προσέχειν μετ' ἀκριβείας τοῖς λεγομένοις. κρημνὸς ἑκατέρωθέν ἐστι καὶ βόθρος, ἂν μὴ νηφόντως ἀναγνῶμεν τὸ ῥητόν. Τί γὰρ εἴπωμεν; ὅτι ἐψεύσατο ὁ προφήτης; ἀλλ' ἐπικίνδυνον. προφήτης γὰρ οὐ ψεύδεται· τὰ γὰρ τοῦ Θεοῦ φθέγγεται ῥήματα. ἀλλ' οὐκ ἐψεύσατο ὁ προφήτης; οὐκοῦν οὐκ ἐφ' ἡμῖν τὰ πρακτέα; ἀλλὰ καὶ ἐφ' ἡμῖν τὰ πρακτέα, καὶ ὁ προφήτης οὐκ ἐψεύσατο· καὶ ἀμφότερα ταῦτα παραστήσομεν, ἐὰν προσέχητε. Διὰ γὰρ τοῦτο ἑκατέρωθεν ἔδειξα τὸν κρημνόν, ἵνα νήφοντες διανύσωμεν τὴν προκειμένην ὁδόν. μὴ γὰρ δὴ τοῦτο μόνον ἐξετάσωμεν, τό, Οὐκ ἐν τῷ ἀνθρώπῳ ἡ ὁδὸς αὐτοῦ, ἀλλὰ καὶ τὴν ἀκολουθίαν ἅπασαν, καὶ ὑπὲρ τίνων εἴρηται, καὶ παρὰ τίνος, καὶ πρὸς τίνα, καὶ διὰ τί, καὶ πότε, καὶ πῶς. οὐ γὰρ ἀρκεῖ τὸ λέγειν, ὅτι ἐν ταῖς γραφαῖς γέγραπται, οὐδὲ ἁπλῶς περιασπῶντας ῥήματα καὶ σπαράσσοντας τὰ μέλη τοῦ σώματος τῶν θεοπνεύστων γραφῶν, ἔρημα καὶ γυμνὰ τῆς οἰκείας αὐτῶν συναφείας λαβόντας, ἐπ' ἐξουσίας καὶ ἀδείας ἐπηρεάζειν αὐτοῖς. οὕτω γὰρ πολλὰ δόγματα διεφθαρμένα εἰς τὸν βίον εἰσενήνεκται τὸν ἡμέτερον, τοῦ διαβόλου πείθοντος τοὺς ῥᾳθυμοτέρους διεστραμμένως ἀπαγγέλλειν τὰ ἐν ταῖς γραφαῖς κείμενα, ἢ προστιθέντας, ἢ ὑφαιροῦντας ἐπιζοφοῦν τὴν ἀλήθειαν. οὐ τοίνυν ἀρκεῖ τὸ εἰπεῖν, ὅτι ἐν τῇ γραφῇ γέγραπται, ἀλλὰ χρὴ καὶ τὴν ἀκολουθίαν ἀναγνῶναι πᾶσαν. ἐπεὶ εἰ μέλλοιμεν διακόπτειν τὴν πρὸς ἄλληλα συνέχειαν αὐτῶν καὶ συγγένειαν, πολλὰ οὕτω τεχθήσεται πονηρὰ δόγματα. καὶ γὰρ ἐν τῇ γραφῇ γέγραπται, ὅτι Οὐκ ἔστι Θεός, καὶ ὅτι Ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ τοῦ μὴ βλέπειν εἰς τέλος, καὶ ὅτι Οὐκ ἐκζητήσει ὁ Θεός. τί οὖν, εἰπέ μοι; οὐκ ἔστι Θεός; οὐδὲ ἐφορᾷ τὰ κατὰ γῆν πράγματα; καὶ τίς τοῦτο ἀνάσχοιτο εἰπεῖν, ἢ ἀκοῦσαι, καίτοιγε ἐν τῇ γραφῇ γέγραπται; ἀλλὰ μάθετε πῶς γέγραπται.

Ψαλ. ιγ. α.

Εἶπε, φησίν, Ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. οὐ τῆς γραφῆς ἐστιν ἡ γνώμη καὶ ἡ ψῆφος, ἀλλὰ τῆς τοῦ ἄφρονος διανοίας· οὐ τὰ ἑαυτῆς εἶπεν ἡ γραφή, ἀλλὰ τὰ ἑτέρου ἀπήγγειλε.

Ψαλμ. θ. λϛ. καὶ λδ.

καὶ πάλιν Ἕως τίνος παρώξυνεν ὁ ἀσεβὴς τὸν Θεόν; εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἐκζητήσει· ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ, τοῦ μὴ βλέπειν εἰς τέλος. καὶ ἐνταῦθα πάλιν ἀσεβοῦς ἀνθρώπου καὶ διεφθαρμένου κρίσιν καὶ ψῆφον ἐκτίθεται. οὕτω καὶ ἰατροῖς ἔθος ἐστὶ τοῖς ὑγιαίνουσι διαλεγομένοις τὰ τῶν παραπαιόντων καὶ ἐξεστηκότων ἁμαρτήματα λέγειν, ἵνα τούτους ἀσφαλεστέρους ἐργάσωνται. ἐπεὶ οὖν ὑγεία μὲν ψυχῆς εὐσέβεια, νόσος δὲ ἐσχάτη καὶ ἀρρωστία, τὸ τὸν Θεὸν μὴ εἰδέναι, λέγει τὰ ῥήματα τῶν ἀσεβούντων, οὐχ ἵνα ἀκούωμεν ἁπλῶς, ἀλλ' ἵνα φυλαξώμεθα· λέγει τί εἶπεν ὁ ἄφρων, ἵνα σὺ γένῃ φρόνιμος, καὶ μὴ δέξῃ τὸ ῥῆμα· λέγει τί εἶπεν ὁ ἀσεβής, ἵνα σὺ φύγῃς τὴν ἀσέβειαν. οὐ μόνον δὲ τῆς ἀκολουθίας ἐκκόπτειν οὐ χρή, ἀλλὰ καὶ ὑγιῶς προφέρειν αὐτά, καὶ μηδὲν προστιθέναι. πολλοὶ γοῦν καὶ ἕτερα τινὰ ἀπὸ τῶν γραφῶν περιφέρουσι, διεστραμμένως ἀπαγγέλλοντες. γέγραπται γάρ, φησιν, Εἰ πυροῦσαι, γάμησον. οὐδαμοῦ δὲ τοῦτο οὕτως ἐστὶ γεγραμμένον. ἀλλὰ πῶς εἴρηται, σκόπησον· Λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐταῖς ἐστιν, ἐὰν μείνωσιν ὡς κἀγώ· εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμείτωσαν· κρεῖσσον γάρ ἐστι γαμῆσαι, ἢ πυροῦσθαι. οὐκ ἔστιν δὲ ταὐτόν, φησι, τὸ Εἰ πυροῦσαι, γάμησον; μάλιστα μέν, εἰ καὶ ταὐτὸν ἦν, τὸ Εἰ πυροῦσαι, γάμησον, οὐκ ἐχρῆν ἀφέντας αὐτοὺς τὴν ὑγιῆ τῆς γραφῆς ἀπαγγελίαν, διαστρέφειν καὶ οἰκείοις ῥήμασι περιφέρειν τὰ τῆς γραφῆς νοήματα· νυνὶ δὲ καὶ πολὺ τὸ μέσον εὑρήσομεν. ἂν μὲν γὰρ ἁπλῶς εἴπῃς, Εἰ πυροῦσαι, γάμησον, πᾶσιν ἔδωκας ἐξουσίαν τοῖς παρθενεύειν προῃρημένοις, ἡνίκα ἂν ὑπὸ ἐπιθυμίας ὀχληθεῖεν, τὰς πρὸς τὸν Θεὸν διαλῦσαι συνθήκας, καὶ πρὸς τὸν γάμον αὐτομολῆσαι, καὶ τῆς προτέρας ὑποσχέσεως ἐπιλαθέσθαι. εἰ δὲ μάθοις τίσιν ὁ Παῦλος διαλέγεται, ὅτι οὐχ ἅπασιν ἁπλῶς, ἀλλὰ τοῖς οὐδέπω γεγενημένοις ἐν ὑποσχέσεσι, δυνήσῃ ταύτην τὴν ἐπιβλαβῆ καὶ ὀλέθριον ἀνελεῖν ἐξουσίαν. λέγω γάρ, φησι, τοῖς ἀγάμοις καὶ ταῖς χήραις, οὐ ταῖς ὑπεσχημέναις χηρείαν, ἀλλὰ ταῖς μήτε τοῦτο, μήτε ἐκεῖνο μηδέπω ψηφισαμέναις, ἀλλ' ἐν μεταιχμίῳ τινὶ τῆς γνώμης ἑκατέρας οὔσης· οἷον, ἀπέβαλέ τις ἄνδρα, φησίν· οὔπω κέκρικε παρ' ἑαυτῇ, οὔτε ἐκύρωσεν, εἴτε χηρείαν ἑλέσθαι δέοι, εἴτε δεύτερον ἐπεισαγαγεῖν νυμφίον. ταύτῃ παραινῶ, φησιν, ὅτι καλὸν τὸ οὕτως εἶναι. εἰ δὲ μὴ δύναιτο φέρειν τὸ φορτίον, γαμείτω. τὰς μέντοι ἐπιβαλλομένας ἤδη καὶ ἀπογραψαμένας εἰς τὴν τῆς χηρείας ὑπομονήν, καὶ πρὸς τὸν Θεὸν θεμένας συνθήκας οὔ φησι λοιπὸν εἶναι κυρίας τοῦ πρὸς δεύτερον γάμον ἐπελθεῖν. διὰ τοῦτο Τιμοθέῳ γράφων περὶ αὐτῶν, οὕτω πως φησί· Νεωτέρας δὲ χήρας παραιτοῦ. ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσιν, ἔχουσαι κρίμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν. ὁρᾷς πῶς αὐτὰς ἐνταῦθα κολάζει καὶ τιμωρεῖται, καί φησιν ὑπευθύνους εἶναι δίκῃ καὶ κρίματι, ὅτι τὰς πρὸς τὸν Θεὸν συνθήκας ἠθέτησαν καὶ τὴν ὑπόσχεσιν διεψεύσαντο. ὥστε ἐκ τούτου δῆλον, ὅτι ἐκεῖνο τὸ ῥητὸν οὐ πρὸς τὰς ὑπεσχημένας εἴρηται. διὰ τοῦτο οὐχ ἁπλῶς αὐτὸ χρὴ περιφέρειν, ἀλλ' εἰδέναι καὶ τὰ πρόσωπα, πρὸς ἃ διαλέγονται αἱ γραφαί. πάλιν ἑτέραν περιφέρουσι ῥῆσιν, οὐχὶ διαστρέφοντες αὐτῆς τὴν συνθήκην, ἀλλ' ἕτερον οὐκ ἐγγεγραμμένον προστιθέντες. τοιαύτη γὰρ ἡ τοῦ διαβόλου κακουργία, ἢ πλεονασμῷ, ἢ ὑφαιρέσει, ἢ διαστροφῇ, ἢ μεταβολῇ τῶν κειμένων τὰ ὀλέθρια εἰσάγειν δόγματα. τί δὲ τοῦτο ἐστὶ τὸ ῥῆμα; Ἐμόν ἐστι, φησι, τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον· καὶ ᾧ ἐὰν θέλω, δώσω αὐτά. τούτου τὸ μὲν εἴρηται, τὸ δὲ οὐκ εἴρηται, ἀλλ' ἔξωθέν ποθεν προσέρριπται. τὸ μὲν γάρ, ἐμὸν τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον, εἶπεν ὁ προφήτης· τὸ δέ, ᾧ ἐὰν θέλω, δίδωμι αὐτά, οὐκέτι προσέθηκεν, ἀλλ' ἐκ τῆς τῶν πολλῶν ἀμαθίας περιφέρεται. τίς δὲ καὶ ἐκ τούτου γίνεται βλάβη; πολλοὶ μιαροὶ καὶ γόητες καὶ ἀκόλαστοι, καὶ οὐδὲ τὸν ἥλιον τοῦτον ὁρᾷν ἄξιοι οὔτε ζῆν οὔτε ἀναπνεῖν, πολλῆς ἀπολαύουσιν εὐπορίας, ἀνατρέποντες πάντα, οἰκίας χηρῶν ἁρπάζοντες, ὀρφανοὺς λυμαινόμενοι, τῶν καταδεεστέρων ἐπαιρόμενοι. βουλόμενος τοίνυν ὁ διάβολος πεῖσαι τοὺς ἀνθρώπους, ὅτι πᾶς πλοῦτος ἄνωθέν ἐστι [καὶ] ἐκ τῆς τοῦ Θεοῦ δωρεᾶς, ἵν' ἐκ τούτου πολλὴν βλασφημίαν προστρίψηται τῷ δεσπότῃ, ῥῆσιν ἀπὸ τῆς γραφῆς λαβὼν τὴν λέγουσαν, ἐμὸν τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον, ἑτέραν τὴν οὐκ οὖσαν ἐν τῇ γραφῇ προσέθηκε λέγων καὶ ᾧ ἐὰν θέλω, δώσω αὐτά. ὁ δὲ προφήτης Ἀγγαῖος οὐχ οὕτω φησίν· ἀλλ' ἡνίκα ἐπανῆλθον ἐκ τῆς βαρβάρου γῆς οἱ Ἰουδαῖοι, καὶ τὸν ναὸν ἔμελλον ἀνιστᾶν καὶ εἰς τὴν προτέραν ἄγειν εὐπρέπειαν, ἐπειδὴ διηπόρουν πολεμίων περιεστώτων, πενίας οὔσης πολλῆς, οὐδεμιᾶς οὐδαμόθεν εὐπορίας φαινομένης, βουλόμενος εἰς χρηστὰς ἀναγαγεῖν αὐτοὺς ἐλπίδας καὶ πεῖσαι θαρρεῖν περὶ τοῦ τέλους, φησὶν ἐκ προσώπου τοῦ Θεοῦ· Ἐμόν ἐστι τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον· καὶ ἔσται ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην. καὶ τί τοῦτο πρὸς τὸ προκείμενον, φησιν;

α. Κορ. ζ. η. θ.

α. Τιμ. ε. ια.

Ἀγγ. β. θ.

πάσης ἐξουσίας ἀπεστερημένῳ; οὔτε ὁ κατορθώσας ἄξιός ἐστιν ἐπαίνου, οὔτε ὁ διαμαρτάνων ὑπεύθυνος κολάσεως καὶ τιμωρίας, ἂν μὴ ἐφ' ἡμῖν ᾖ τὰ πρακτέα. εἰ δὲ τοῦτο πεισθεῖεν ἄνθρωποι, οὐδεὶς οὐκέτι λοιπὸν οὐκ ἀρετῆς ἀνθέξεται, οὐ κακίας φεύξεται. εἰ γὰρ νῦν καθ' ἑκάστην ἡμέραν περὶ γεέννης ἐνηχούντων ἡμῶν, περὶ βασιλείας διαλεγομένων, καὶ τὰς κολάσεις τὰς ἀφορήτους, καὶ τὰ ἔπαθλα τὰ ὑπερβαίνοντα διάνοιαν ἀνθρωπίνην προτιθέντων, συμβουλευόντων, παρακαλούντων, πάντα κινούντων λόγον, μόλις τινὲς ὑπομένουσι τοὺς ὑπὲρ τῆς ἀρετῆς ἱδρῶτας, μόλις ἀφίστανται τῆς ἐν τοῖς ἁμαρτήμασιν ἡδονῆς· ἂν καὶ ταύτην ἐκκόψῃς τὴν ἄγκυραν τὴν ἱεράν, οὐχ ὁλόκληρον βαπτισθήσεται τὸ σκάφος, καὶ πάντες οἰχήσονται γενόμενοι τέλεον ὑποβρύχιοι, καὶ πολλὰ ἔσται καθ' ἡμέραν τὰ ναυάγια; οὐδὲν γάρ, οὐδὲν οὕτως ἐσπούδακεν ὁ διάβολος, ὡς τοῦτο πεῖσαι τὴν ἀνθρωπίνην ψυχήν, ὅτι οὔτε ἐν τοῖς ἁμαρτήμασίν ἐστιν ὑπεύθυνος κολάσεως, οὔτε ἐν τοῖς κατορθώμασιν ἐπαίνων ἄξιος καὶ στεφάνων· ἵνα καὶ τῶν σπουδαίων ἐκλύσῃ τὰς χεῖρας, καὶ σβέσῃ τὴν προθυμίαν, καὶ τῶν ἀναπεπτωκότων ἐπιτείνῃ τὴν ὀλιγωρίαν καὶ αὐξήσῃ τὴν ῥαθυμίαν. διὸ χρὴ προσέχειν μετ' ἀκριβείας τοῖς λεγομένοις. κρημνὸς ἑκατέρωθέν ἐστι καὶ βόθρος, ἂν μὴ νηφόντως ἀναγνῶμεν τὸ ῥητόν. τί γὰρ εἴπωμεν; ὅτι ἐψεύσατο ὁ προφήτης; ἀλλ' ἐπικίνδυνον. προφήτης γὰρ οὐ ψεύδεται· τὰ γὰρ τοῦ Θεοῦ φθέγγεται ῥήματα. ἀλλ' οὐκ ἐψεύσατο ὁ προφήτης; οὐκοῦν οὐκ ἐφ' ἡμῖν τὰ πρακτέα; ἀλλὰ καὶ ἐφ' ἡμῖν τὰ πρακτέα, καὶ ὁ προφήτης οὐκ ἐψεύσατο· καὶ ἀμφότερα ταῦτα παραστήσομεν, ἐὰν προσέχητε. διὰ γὰρ τοῦτο ἑκατέρωθεν ἔδειξα τοὺς κρημνούς, ἵνα νήφοντες διανύσωμεν τὴν προκειμένην ἡμῖν ὁδόν. μὴ γὰρ δὴ τοῦτο μόνον ἐξετάσωμεν, τό, Οὐκ ἐν ἀνθρώπῳ ἡ ὁδὸς αὐτοῦ, ἀλλὰ καὶ τὴν ἀκολουθίαν ἅπασαν, καὶ ὑπὸ τίνων εἴρηται, καὶ διὰ τίνος, καὶ πρὸς τίνα, καὶ διὰ τί, καὶ πότε, καὶ πῶς. οὐ γὰρ ἀρκεῖ τὸ λέγειν, ὅτι ἐν ταῖς γραφαῖς γέγραπται, οὐδὲ ἁπλῶς περισπῶντας ῥήματα καὶ σπαράττοντας τὰ μέλη τοῦ σώματος τῶν θεοπνεύστων γραφῶν, ἔρημα καὶ γυμνὰ τῆς οἰκείας αὐτῶν συναφείας λαβόντας, ἐπ' ἐξουσίας καὶ ἀδείας ἐπηρεάζειν αὐτοῖς. οὕτω γὰρ πολλὰ δόγματα διεφθαρμένα εἰς τὸν βίον εἰσενήνεκται τὸν ἡμέτερον, τοῦ διαβόλου πείθοντος τοὺς ῥαθυμοτέρους διεστραμμένως ἀπαγγέλλειν τὰ ἐν ταῖς γραφαῖς κείμενα, ἢ προστιθέντας, ἢ ὑφαιροῦντας ἐπιζοφοῦν τὴν ἀλήθειαν. οὐ τοίνυν ἀρκεῖ τὸ εἰπεῖν, ὅτι ἐν τῇ γραφῇ γέγραπται, ἀλλὰ χρὴ καὶ τὴν ἀκολουθίαν ἀναγνῶναι πᾶσαν. ἐπεὶ εἰ μέλλοιμεν διακόπτειν τὴν πρὸς ἄλληλα συνέχειαν αὐτῶν καὶ συγγένειαν, πολλὰ οὕτω τεχθήσεται πονηρὰ δόγματα. καὶ γὰρ ἐν τῇ γραφῇ γέγραπται, ὅτι Οὐκ ἔστι Θεός, καὶ ὅτι Ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ τοῦ μὴ βλέπειν εἰς τέλος, καὶ ὅτι Οὐκ ἐκζητήσει ὁ Θεός. τί οὖν, εἰπέ μοι; οὐκ ἔστι Θεός; οὐδὲ ἐφορᾷ τὰ καθ' ἡμᾶς πράγματα; καὶ τίς τοῦτο ἀνάσχοιτο εἰπεῖν, ἢ ἀκοῦσαι, καίτοιγε ἐν τῇ γραφῇ γέγραπται; ἀλλὰ μάθε πῶς γέγραπται.

Ψαλμ. ιγ. α.

Εἶπε, φησίν, Ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. οὐ τῆς γραφῆς ἐστιν ἡ γνώμη καὶ ἡ ψῆφος, ἀλλὰ τῆς τοῦ ἄφρονος διανοίας· οὐ τὰ ἑαυτῆς εἶπεν ἡ γραφή, ἀλλὰ τὰ ἑτέρου ἀπήγγειλε.

Ψαλμ θ. λς. καὶ λδ.

καὶ πάλιν Ἕως τίνος παρώξυνεν ὁ ἀσεβὴς τὸν Θεόν; εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἐκζητήσει· ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ, τοῦ μὴ βλέπειν εἰς τέλος. καὶ ἐνταῦθα πάλιν ἀσεβοῦς ἀνθρώπου καὶ διεφθαρμένου κρίσιν καὶ ψῆφον ἐκτίθεται. οὕτω καὶ ἰατροῖς ἔθος ἐστὶ τοῖς ὑγιαίνουσι διαλεγομένοις τὰ τῶν παραπαιόντων καὶ ἐξεστηκότων ἁμαρτήματα λέγειν, ἵνα τούτους ἀσφαλεστέρους ἐργάσωνται. ἐπεὶ οὖν ὑγεία μὲν ψυχῆς εὐσέβεια, νόσος δὲ ἐσχάτη καὶ ἀρρωστία, τὸ τὸν Θεὸν μὴ εἰδέναι, λέγει τὰ ῥήματα τῶν ἀσεβούντων, οὐχ ἵνα ἀκούωμεν ἁπλῶς, ἀλλ' ἵνα φυλαξώμεθα· λέγει τί εἶπεν ὁ ἄφρων, ἵνα σὺ γένῃ φρόνιμος, καὶ μὴ δέξῃ τὸ ῥῆμα· λέγει τί εἶπεν ὁ ἀσεβής, ἵνα σὺ φύγῃς τὴν ἀσέβειαν. οὐ μόνον δὲ τῆς ἀκολουθίας ἐκκόπτειν οὐ χρή, ἀλλὰ καὶ ὑγιῆ προφέρειν αὐτά, καὶ μηδὲν προστιθέναι. πολλοὶ γοῦν καὶ ἕτερα· ἵνα ἀπὸ τῶν γραφῶν περιφέρωσι, διεστραμμένως ἀπαγγέλλοντες. γέγραπται γάρ, φησιν, Εἰ πυροῦσαι, γάμησον. οὐδαμοῦ δὲ τοῦτο οὕτως ἐστὶ γεγραμμένον. ἀλλὰ πῶς εἴρηται, σκόπησον· Λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐτοῖς ἐστιν, ἐὰν μείνωσιν ὡς κἀγώ· εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμείτωσαν· κρεῖσσον γάρ ἐστι γαμῆσαι, ἢ πυροῦσθαι. οὐκ ἔστιν οὖν ταὐτόν, φησι, τὸ Εἰ πυροῦσαι, γάμησον; μάλιστα μὲν, εἰ καὶ ταὐτὸν ἦν, τὸ Εἰ πυροῦσαι, γάμησον, οὐκ ἐχρῆν ἀφέντας αὐτοὺς τὴν ὑγιῆ τῆς γραφῆς ἀπαγγελίαν, διαστρέφειν καὶ οἰκείοις ῥήμασι προφέρειν τὰ τῆς γραφῆς νοήματα· νυνὶ δὲ καὶ πολὺ τὸ μέσον εὑρήσομεν. ἂν μὲν γὰρ ἁπλῶς εἴπῃς, Εἰ πυροῦσαι, γάμησον, πᾶσιν ἔδωκας ἐξουσίαν τοῖς παρθενίαν προῃρημένοις, ἡνίκα ἂν ὑπὸ ἐπιθυμίας ὀχληθεῖεν, τὰς πρὸς τὸν Θεὸν διαλῦσαι συνθήκας, καὶ πρὸς τὸν γάμον αὐτομολῆσαι, καὶ τῆς προτέρας ὑποσχέσεως ἐπιλαθέσθαι. εἰ δὲ μάθοις τίσιν ὁ Παῦλος διαλέγεται, ὅτι οὐχ ἅπασιν ἁπλῶς, ἀλλὰ τοῖς οὐδέπω γεγενημένοις ἐν "ὑποσχέσεσι, δυνήσῃ ταύτην τὴν ἐπιβλαβῆ καὶ ὀλέθριον ἀνελεῖν ἐξουσίαν. λέγω γάρ, φησι, τοῖς ἀγάμοις καὶ ταῖς χήραις, οὐ ταῖς ὑπεσχημέναις χηρείαν, ἀλλὰ ταῖς μήτε τοῦτο, μήτε ἐκεῖνο μηδέπω ψηφισαμέναις, ἀλλ' ἐν μεταιχμίῳ τινὶ τῆς γνώμης ἑκατέρας "οὔσης· οἷον, ἀπέβαλέ τις ἄνδρα, φησίν· οὔπω κέκρικε παρ' ἑαυτῇ, οὔτε ἐκύρωσεν, εἴτε χηρείαν ἑλέσθαι δέοι, εἴτε δεύτερον ἐπεισαγαγεῖν νυμφίον. ταύτῃ παραινῶ, φησιν, ὅτι καλὸν τὸ οὕτως εἶναι. εἰ δὲ μὴ δύναιτο φέρειν τὸ φορτίον, γαμείτω. τὰς μέντοι ἐπιβαλλομένας ἤδη καὶ ἀπογραψαμένας εἰς τὴν τῆς χηρείας ὑπομονὴν, καὶ πρὸς τὸν Θεὸν θεμένας συνθήκας οὔ φησι λοιπὸν εἶναι κυρίας τοῦ πρὸς δεύτερον γάμον ἐπανελθεῖν. διὰ τοῦτο Τιμοθέῳ γράφων περὶ αὐτῶν, οὕτω πως φησί· Νεωτέρας δὲ χήρας παραιτοῦ. ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσιν, ἔχουσαι κρίμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν. ὁρᾷς πῶς αὐτὰς ἐνταῦθα κολάζει καὶ τιμωρεῖται, καί φησιν ὑπευθύνους εἶναι δίκῃ καὶ κρίματι, ὅτι τὰς πρὸς τὸν Θεὸν συνθήκας ἠθέτησαν καὶ τὴν ὑπόσχεσιν διεψεύσαντο. ὥστε ἐκ τούτου δῆλον, ὅτι ἐκεῖνο τὸ ῥητὸν οὐ πρὸς τὰς ὑπεσχημένας εἴρηται. διὰ τοῦτο οὐχ ἁπλῶς "αὐτὰ χρὴ προφέρειν, ἀλλ' εἰδέναι καὶ τὰ πρόσωπα, πρὸς ἃ διαλέγονται αἱ γραφαί. πάλιν "ἑτέραν περιφέρουσι "ῥῆσιν, οὐχὶ διαστρέφοντες "αὐτῆς τὴν συνθήκην, ἀλλ' ἕτερον οὐκ "ἐγγεγραμμένον προστιθέντες. "τοιαύτη γὰρ ἡ τοῦ διαβόλου "κακουργία, ἢ πλεονασμῷ, ἢ ὑφαιρέσει, ἢ διαστροφῇ, ἢ μεταβολῇ τῶν κειμένων τὰ ὀλέθρια εἰσάγειν δόγματα. τί δὲ τοῦτό ἐστι τὸ ῥῆμα; Ἐμόν ἐστι, φησι, τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον· καὶ ᾧ ἐὰν θέλω, δώσω αὐτά. τούτου τὸ μὲν εἴρηται, τὸ δὲ οὐκ εἴρηται, ἀλλ' ἔξωθέν ποθεν προσέρριπται. τὸ μὲν γάρ, ἐμὸν τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον, εἶπεν ὁ προφήτης· τὸ δὲ, ᾧ ἐὰν θέλω, "δίδωμι αὐτά, οὐκ ἔτι "προσέθηκεν, ἀλλ' ἐκ τῆς τῶν πολλῶν ἀμαθίας "περιφέρεται. τίς δὲ καὶ ἐκ τούτου γίνεται βλάβη; πολλοὶ μιαροὶ καὶ γόητες καὶ ἀκόλαστοι, καὶ οὐδὲ τὸν ἥλιον τοῦτον ὁρᾶν ἄξιοι οὔτε ζῆν οὔτε ἀναπνεῖν, πολλῆς ἀπολαύουσιν εὐπορίας, ἀνατρέποντες πάντα, οἰκίας χηρῶν ἁρπάζοντες, ὀρφανοὺς λυμαινόμενοι, τῶν καταδεεστέρων ἐπαιρόμενοι. βουλόμενος τοίνυν ὁ διάβολος πεῖσαι τοὺς ἀνθρώπους, ὅτι πᾶς πλοῦτος ἄνωθέν ἐστι [καὶ] ἐκ τῆς τοῦ Θεοῦ δωρεᾶς, ἵν' ἐκ τούτου πολλὴν βλασφημίαν προστρίψηται τῷ δεσπότῃ, ῥῆσιν ἀπὸ τῆς γραφῆς λαβὼν τὴν λέγουσαν, ἐμὸν τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον, ἑτέραν τὴν οὐκ οὖσαν ἐν τῇ γραφῇ προσέθηκε λέγων· καὶ ᾧ ἐὰν θέλω, δώσω "αὐτά. ὁ δὲ προφήτης Ἀγγαῖος οὐχ οὕτω φησίν· ἀλλ' ἐπειδὴ ἐπανῆλθον ἐκ τῆς "βαρβάρου γῆς οἱ Ἰουδαῖοι, καὶ τὸν ναὸν ἔμελλον ἀνιστᾶν καὶ εἰς τὴν προτέραν ἄγειν εὐπρέπειαν, ἐπειδὴ διηπόρουν πολεμίων περιεστώτων, πενίας οὔσης πολλῆς, οὐδεμιᾶς οὐδαμόθεν εὐπορίας φαινομένης, βουλόμενος εἰς χρηστὰς ἀγαγεῖν αὐτοὺς ἐλπίδας καὶ πεῖσαι θαρρεῖν "περὶ τοῦ τέλους, φησὶν ἐκ προσώπου τοῦ Θεοῦ· Ἐμόν ἐστι τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον· καὶ ἔσται ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην. καὶ τί τοῦτο πρὸς τὸ προκείμενον, φησιν;

α. Κορ. ζ. η. θ.

α. Τιμ. ε. ια.

Αγγ. β. θ.

ὅτι οὐ δεῖ ἁπλῶς τὰς τῶν γραφῶν ῥήσεις παραφέρειν, οὐδὲ ἐκκόπτοντας τῆς ἀκολουθίας, οὐδὲ τῆς συγγενείας ἀπαρτῶντας, οὐδὲ ἔρημα καὶ γυμνὰ τὰ ῥήματα τῆς τῶν ἑπομένων ἢ προλαβόντων βοηθείας λαμβάνοντας συκοφαντεῖν ἁπλῶς καὶ ἐπηρεάζειν. πῶς γὰρ οὐκ ἄτοπον, ἐν δικαστηρίῳ μὲν περὶ βιωτικῶν δικαζομένους πραγμάτων ἅπαντα εἰς μέσον προτιθέναι τὰ δικαιώματα, καὶ τόπους καὶ καιροὺς καὶ αἰτίας καὶ πρόσωπα καὶ μυρία παράγειν ἕτερα, περὶ δὲ ζωῆς αἰωνίου προκειμένων ἡμῖν ἀγώνων, ἁπλῶς καὶ ὡς ἔτυχε τὰ ἀπὸ τῶν γραφῶν παραφέρειν; καὶ νόμον μὲν οὐδεὶς ἀναγνώσεται βασιλικὸν ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλ' ἂν μὴ καὶ τὸν χρόνον εἴπῃ, καὶ τὸν θέντα ἐπιδείξῃ, καὶ ὑγιῆ καὶ ὁλόκληρον αὐτὸν παράγηται, κολάζεται καὶ δίκην δίδωσι τὴν ἐσχάτην· ἡμεῖς δὲ οὐκ ἀνθρώπων νόμον, ἀλλὰ τὸν ἄνωθεν ἐκ τῶν οὐρανῶν ἐνεχθέντα ἀναγινώσκοντες, τοσαύτῃ ῥᾳθυμίᾳ χρησόμεθα, ὡς μέλη καὶ μέρη παρασπᾶν; καὶ ποῦ ταῦτα ἀπολογίας ἄξια καὶ συγγνώμης;

Τάχα πέρα τοῦ μέτρου ἐξέτεινα τὸν λόγον· ἀλλ' οὐχ ἁπλῶς, ἀλλ' ἵνα τῆς πονηρᾶς ὑμᾶς ἀπαγάγω συνηθείας. μὴ τοίνυν ἀποκάμωμεν, ἕως ἂν τὸ τέλος εὕρωμεν. διὰ γὰρ τοῦτο ἐγενόμεθα, οὐχ ἵνα φάγωμεν καὶ πίωμεν καὶ περιβαλώμεθα, ἀλλ' ἵνα φύγωμεν κακίαν, ἑλώμεθα δὲ ἀρετὴν, τῆς θείας ἐπιλαβόμενοι φιλοσοφίας. ὅτι γὰρ οὐχ ἵνα φάγωμεν καὶ πίωμεν ἐγενόμεθα, ἀλλ' ἐφ' ἑτέροις πολλῷ μείζοσι καὶ βελτίοσιν, ἄκουσον τοῦ Θεοῦ καὶ τὴν αἰτίαν λέγοντος, ἐφ' ᾗ τὸν ἄνθρωπον ἐποίησε. διαπλάττων γὰρ αὐτὸν, οὕτω πως φησί· Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. ὅμοιοι δὲ Θεοῦ γινόμεθα οὐκ ἐσθίοντες καὶ πίνοντες καὶ περιβαλλόμενοι (Θεὸς γὰρ οὔτε ἐσθίει, οὔτε πίνει, οὔτε περιβάλλεται) ἀλλὰ δικαιοσύνην ἀσκοῦντες, φιλανθρωπίαν ἐπιδεικνύμενοι, χρηστοὶ καὶ ἐπιεικεῖς ὄντες, τοὺς πλησίον ἐλεοῦντες, ἀρετὴν διώκοντες. ἐπεὶ τὸ φαγεῖν καὶ τὸ πιεῖν κοινὸν πρὸς τὴν τῶν ἀλόγων φύσιν ἡμῖν ἐστι, καὶ οὐδὲν ἐκείνων κατὰ τοῦτο ἀμείνους ἐσμέν. ἀλλὰ πόθεν ἡμῖν ἡ ὑπεροχή; ἐκ τοῦ κατ' εἰκόνα Θεοῦ γενέσθαι καὶ ὁμοίωσιν. μὴ τοίνυν ἀποκάμωμεν τοὺς ὑπὲρ ἀρετῆς κινοῦντες λόγους, ἀλλ' ἀναγαγόντες τὴν προφητικὴν ταύτην ῥῆσιν εἰς μέσον, μετὰ ἀκριβείας αὐτὴν διερευνησώμεθα, καὶ * τίς ὁ εἰρηκὼς, καὶ ὑπὲρ τίνων, καὶ πότε, καὶ πρὸς τίνα, καὶ πῶς τῶν πραγμάτων διακειμένων, καὶ πάντα ἁπλῶς ἐξετάζοντες τὰ πρὸς τὴν εὕρεσιν συντελοῦντα. ὁ μὲν οὖν εἰρηκὼς, Ἱερεμίας ἐστὶν ὁ προφήτης, οὐ μὴν ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὑπὲρ ἑτέρων τὴν ἱκετηρίαν ποιούμενος, ὑπὲρ Ἰουδαίων, τῶν ἀγνωμόνων, τῶν ἀναισθήτων, τῶν ἀδιορθώτως ἐχόντων, τῶν ὀφειλόντων κολασθῆναι καὶ τὴν ἐσχάτην ὑπομεῖναι τιμωρίαν, περὶ ὧν φησιν αὐτῷ ὁ Θεὸς, μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου, ὅτι οὐκ εἰσακούσομαί σου. καὶ τινες μέν φασι τοῦτο περὶ τοῦ Ναβουχοδονόσορ λέγεσθαι. ἐπειδὴ γὰρ ἔμελλεν ἐπιστρατεύειν αὐτοῖς ὁ βάρβαρος, καὶ τὴν πόλιν ἀφανίζειν, καὶ λαβὼν αἰχμαλώτους ἀπιέναι, βουλόμενος πεῖσαι πάντας, ὅτι οὐ παρὰ τὴν οἰκείαν ἰσχὺν καὶ δύναμιν τῆς πόλεως περιγίνεται, ἀλλὰ διὰ τὰ τούτων ἁμαρτήματα, τοῦ Θεοῦ στρατηγοῦντος τὸν πόλεμον, καὶ χειραγωγοῦντος αὐτὸν ἐπὶ τὴν οἰκείαν πόλιν, φησίν· Οἶδα, Κύριε, ὅτι οὐχὶ τοῦ ἀνθρώπου ἡ ὁδὸς αὐτοῦ, οὐδὲ ἄνθρωπος πορεύσεται καὶ κατορθώσει τὴν πορείαν αὐτοῦ. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἡ ὁδὸς αὕτη, φησὶν, ἣν ὁ βάρβαρος βαδίζει νῦν ἐπιστρατεύων ἡμῖν, οὐχὶ παρ' ἑαυτοῦ ἐστιν, οὐδὲ ἐκεῖνος κατόρθωσε τὸν πόλεμον τοῦτον καὶ τὴν νίκην, ἀλλ' εἰ μὴ σὺ προέδωκας ἡμᾶς ταῖς ἐκείνου χερσὶν, οὐκ ἂν ἐκράτησεν, οὐδὲ περιεγίνετο. διὰ τοῦτο, φησι, δέομαι καὶ ἀντιβολῶ, ἐπειδὴ τοῦτο ἔδοξε, μετὰ μέτρου γενέσθαι τὴν τιμωρίαν· παίδευσον ἡμᾶς, πλὴν ἐν κρίματι, καὶ μὴ ἐν θυμῷ. ἀλλ' ἐπειδή τινες πρὸς τοῦτο ἀντιλέγουσι, καὶ οὐχὶ περὶ τοῦ βαρβάρου φασὶν εἰρῆσθαι, ἀλλὰ περὶ τῆς κοινῆς φύσεως τῶν ἀνθρώπων, ἀνάγκη καὶ πρὸς τούτους ἀπομαχήσασθαι. τί οὖν ἐστι πρὸς τούτους εἰπεῖν; ὅτι ὑπὲρ ἀνθρώπων ἡμαρτηκότων ἠξίου, ὑπὲρ ὧν ἐκωλύθη πολλάκις

Γεν α. κς.

λάκις ἀξιοῦν. διὰ τοῦτο τὴν πόλιν παρασκευάζει θρηνῆσαι πρότερον. ἐπειδὴ γὰρ συνεχῶς ἔλεγε, μὴ ἀξίου ὑπὲρ αὐτῶν, τὴν δεομένην αὐτὴν τῆς φιλανθρωπίας καθίησι πρότερον, ἵνα ἐκεῖθεν ἀφορμὴν τινὰ καὶ πρόφασιν εὔλογον λάβῃ τῆς πρὸς τὸν Θεὸν ὑπὲρ αὐτῶν ἱκετηρίας, καὶ πρὸς αὐτὴν ἀποτείνει τὸν λόγον, καί φησιν· Ἐρρέθη, οὐαὶ τῷ συντρίμματί σου, Ἱερ. ι. ἐν ιθ. κ. κα. κβ. ἀλγηρὰ ἡ πληγή σου. εἶτα ἐκείνη φησίν· ὄντως τοῦτό μου τὸ τραῦμά ἐστιν, ἡ σκηνή μου ὤλετο, αἱ δέῤῥεις μου διεσπαράχθησαν, οἱ υἱοί μου καὶ τὰ πρόβατά μου ἐξῆλθεν ἀπ' ἐμοῦ, καὶ οὐκ εἰσίν· οἱ ποιμένες μου ἠφρονεύσαντο, καὶ τὸν Κύριον οὐκ ἐξεζήτησαν· φωνῆς ἀκοὴ ἔρχεται καὶ σεισμὸς μεγάλου ἀπὸ βοῤῥᾶ, τοῦ πατάξαι τὰς πόλεις Ἰούδα εἰς ἀφανισμὸν καὶ κοίτην στρουθῶν. εἶτα ἐπειδὴ ἐτραγῴδησε τὴν οἰκείαν συμφορὰν ἐκείνη, φησί· Κύριε, οὐχὶ τοῦ ἀνθρώπου ἡ ὁδὸς αὐτοῦ. ἰδοὺ, ἐπειδὴ θρηνεῖ, φησι, δόγμα ὀλέθριον εἰσήγαγεν εἰς τὴν οἰκουμένην, τὴν ἐξουσίαν ἡμῶν ἀφαιρούμενος, καὶ λέγων οὐκ ἐφ' ἡμῖν εἶναι τὰ πρακτέα; οὐδαμῶς, ἀλλὰ καὶ θρηνῶν ἀσφαλίζεται. εἰπὼν γὰρ, ὅτι οὐχὶ τοῦ ἀνθρώπου ἡ ὁδὸς αὐτοῦ, οὐκ ἐσιώπησεν, ἀλλ' ἐπήγαγεν· οὐδὲ ἄνθρωπος πορεύσεται καὶ κατορθώσει τὴν πορείαν αὐτοῦ. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐκ ἐφ' ἡμῖν ἐστι τὸ πᾶν· ἀλλὰ τὸ μὲν ἐφ' ἡμῖν, τὸ δὲ ἐπὶ τῷ Θεῷ. τὸ μὲν γὰρ ἑλέσθαι τὰ κάλλιστα, καὶ βουληθῆναι, καὶ σπουδάσαι, καὶ πάντα ὑπομεῖναι πόνον, τῆς ἡμετέρας ἐστὶ προθέσεως· τὸ δὲ εἰς τέλος ἀγαγεῖν αὐτὰ, καὶ μὴ συγχωρῆσαι διαπεσεῖν, καὶ πρὸς αὐτὸ τὸ πέρας ἐλθεῖν τῶν κατορθωμάτων, τῆς ἄνωθέν ἐστι χάριτος. ἐμερίσατο γὰρ πρὸς ἡμᾶς τὴν ἀρετὴν ὁ Θεὸς, καὶ οὔτε ἐφ' ἡμῖν ἀφῆκε τὸ πᾶν εἶναι, ἵνα μὴ εἰς ἀπόνοιαν ἐπαιρώμεθα, οὔτε αὐτὸς τὸ πᾶν ἔλαβεν, ἵνα μὴ εἰς ῥαθυμίαν ἀποκλίνωμεν· ἀλλ' ὀλίγον ἀφεὶς ἐπὶ τοῖς ἡμετέροις πόνοις, τὸ πλέον αὐτὸς κατορθοῖ. ὅτι γὰρ εἰ τὸ πᾶν ἦν ἐφ' ἡμῖν, πολλοὺς ἂν τοῦτο εἰς ἀπόνοιαν ἐπῆρε καὶ ἐξετραχήλισεν, ἀκούομεν τοῦ Φαρισαίου, τί φησιν, εἰς ὅσην ἀλαζονείαν ἐπήρετο, πῶς ἐμεγαληγόρει καὶ τῆς οἰκουμένης ἁπάσης ἐφρόνησε μείζονα. διὰ τοῦτο οὐ τὸ πᾶν ἡμῶν ἐποίησεν, ἀλλ' ἀφῆκέ τι ἐφ' ἡμῖν εἶναι, ἵνα εὐπρόσωπον λάβῃ πρόφασιν τοῦ δικαίως ἡμᾶς στεφανοῦν. καὶ τοῦτο ἐδήλωσε διὰ τῆς παραβολῆς ἐκείνης, καθ' ἣν φησιν, ὅτι περὶ τὴν ἑνδεκάτην ὥραν εὑρὼν ἀνθρώπους, ἔπεμψεν εἰς Ματθ. κ. ς. τὸν ἀμπελῶνα ἐργάζεσθαι. καίτοι τί ἐν τῇ ἑνδεκάτῃ ὥρᾳ εἰργάσαντο; ἀλλ' ὅμως ἤρκεσε τῷ Θεῷ καὶ ἡ βραχεῖα τοῦ καιροῦ ῥοπὴ πρὸς τὸ δοῦναι τὸν μισθὸν αὐτοῖς ἀπηρτισμένον. καὶ ἵνα μάθῃς ὅτι τοῦτο ἀληθῶς ὁ προφήτης φησὶ, καὶ οὐκ ἀφαιρεῖται τὴν ἐξουσίαν ἡμᾶς, ἀλλὰ περὶ τοῦ τέλους τῶν πραγμάτων ἐνταῦθα φιλοσοφεῖ, ἄκουσον τῆς ἐπαγωγῆς. εἰπὼν γὰρ, οὐκ ἐν ἀνθρώπῳ ἡ ὁδὸς αὐτοῦ, εὐθέως ἐπιφέρει, Παίδευσον ἡμᾶς, Κύριε, πλὴν ἐν Ἱερεμ. ι. κδ. κρίσει, καὶ μὴ ἐν θυμῷ. εἰ γὰρ μηδὲν ὅλως ἐφ' ἡμῖν ἦν, περιττῶς ἔλεγε, παίδευσον ἡμᾶς, πλὴν ἐν κρίσει. τί γὰρ ἂν ἀδικώτερον γένοιτο τοῦ κολάζεσθαι τοὺς οὐκ ὄντας κυρίους τῶν πρακτέων, καὶ τιμωρίαν ὑπέχειν ἀνθρώπους, ὧν ἡ ὁδὸς καὶ ὁ βίος οὐκ ἐπὶ τῇ αὐτῶν ἐξουσίᾳ κεῖται; ὥστε ὅταν φαίνηται τὸν Θεὸν παρακαλῶν ὑπὲρ τοῦ μὴ σφοδροτέραν γενέσθαι τὴν τιμωρίαν κατ' αὐτῶν, οὐδὲν ἕτερον, ἢ τοῦτο ἐμφαίνει, ὅτι ἄξιοι τοῦ κολάζεσθαι καὶ τιμωρίαν ὑπέχειν εἰσί. τοῦτο δὲ οὐδὲν ἕτερόν ἐστιν, ἢ τὸ αὐτεξούσιον συνίστησιν. εἰ γὰρ μὴ κύριοι τῶν πρακτέων ἦσαν, οὐχὶ πρᾳοτέραν ἔδει τὴν τιμωρίαν ἀξιοῦν αὐτοὺς ὑπέχειν, ἀλλὰ μηδὲ ὅλως κολάζεσθαι· μᾶλλον δὲ οὐδὲ ἀξιώσεως ἔδει. ὁ γὰρ Θεὸς οὐ δεῖται τοῦ παρακαλοῦντος αὐτὸν, ὥστε μὴ κολάσαι τοὺς ἀνευθύνους. καὶ τί λέγω, ὁ Θεὸς, ὅπου γε οὐδὲ ἄνθρωπος νοῦν ἔχων; ὅταν οὖν φαίνηται παρακαλῶν ὁ προφήτης ὑπὲρ Ἰουδαίων, ὡς ὑπὲρ ἡμαρτηκότων εὔδηλον ὅτι παρακαλεῖ. ἁμαρτία δὲ τότε φαίνεται, ὅταν ἡμεῖς, ὄντες κύριοι τοῦ μὴ παραβῆναι τὸν νόμον, παραβαίνωμεν. ὥστε πανταχόθεν δῆλον ἡμῖν ὅτι καὶ ἐφ' ἡμῖν, καὶ ἐπὶ τῷ Θεῷ τὰ ἡμέτερα κεῖται κατορθώματα. τοιοῦτόν ἐστι καὶ τὸ, Οὐ τοῦ θέλοντος, Ρωμ θ. ις. οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ. καὶ τίνος ἕνεκεν τρέχω, φησί; τίνος δὲ ἕνεκεν

θέλω, εἰ μὴ τὸ πᾶν ἐν ἐμοὶ κεῖται; ἵνα διὰ τοῦ θέλειν καὶ τοῦ τρέχειν ἐπισπάσῃ τοῦ Θεοῦ τὴν
ῥοπὴν καὶ τὴν εὔνοιαν, ὥστε συμπρᾶξαι καὶ χεῖρα ὀρέξαι καὶ πρὸς τὸ τέλος ἀγαγεῖν. ἐὰν
γὰρ ἀμελὴς ᾖς οὗτος, καὶ παύσῃ τρέχων καὶ θέλων, οὔτε ὁ Θεὸς ὀρέξει χεῖρα, ἀλλ' ἀποστήσεται καὶ αὐτός.
Ματθ κγ λζ. πόθεν τοῦτο δῆλον; ἄκουσον τί φησι τῇ Ἱερουσαλήμ. Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ
τέκνα σου, καὶ οὐκ ἠθελήσατε; ἰδοὺ, ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. ὁρᾷς, ἐπειδὴ οὐκ ἠθέλησαν,
πῶς ἀπέστη καὶ ὁ Θεός; διὰ τοῦτο χρεία ἡμῖν καὶ τοῦ θέλειν καὶ τοῦ τρέχειν, ἵνα καὶ τὸν Θεὸν
ἐπισπασώμεθα. τοῦτο οὖν φησι καὶ ὁ προφήτης, ὅτι τὸ κατορθῶσαι, οὐκ ἐν ἡμῖν, ἀλλ'
ἐν τῇ τοῦ Θεοῦ βοηθείᾳ· τὸ δὲ ἐλέσθαι, ἐν ἡμῖν καὶ ἐν τῇ ἡμετέρᾳ προαιρέσει. οὐκοῦν εἰ
ἐν τῇ τοῦ Θεοῦ βοηθείᾳ τὸ κατορθῶσαι, φησὶ, κἂν μὴ κατορθώσω, οὐδεμίαν ἂν εἴην
δίκαιος ὑποσχεῖν αἰτίαν. ὅταν γὰρ τὰ παρ' ἐμαυτοῦ παρέχω πάντα, καὶ θελήσω, καὶ προέλωμαι,
καὶ τῶν πραγμάτων ἅψωμαι, ὁ δὲ τοῦ τέλους κύριος ὢν μὴ συμπράξῃ μηδὲ χεῖρα
ὀρέξῃ, παντὸς ἀπήλλαγμαι ἐγκλήματος. ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. ἀμήχανον
γὰρ, θελησάντων ἡμῶν καὶ προελομένων καὶ βουληθέντων, τὸν Θεὸν ἐγκαταλιπεῖν. εἰ γὰρ
τοῖς μὴ βουλομένοις παραινεῖ καὶ συμβουλεύει, ἵνα θελήσωσι καὶ βουληθῶσι, πολλῷ μᾶλλον
Σειρ. β. ι. τοὺς αἱρουμένους οὐκ ἐγκαταλιμπάνει. Ἐμβλέψατε γὰρ, φησιν, εἰς ἀρχαίας γενεὰς, καὶ
ἴδετε, τίς ἤλπισεν ἐπὶ Κύριον, καὶ κατῃσχύνθη; ἢ τίς ἐνέμεινε ταῖς ἐντολαῖς αὐτοῦ, καὶ ὑπερεῖδεν
Ρωμ ε ε. αὐτόν; καὶ πάλιν ὁ Παῦλός φησιν· Ἡ δὲ ἐλπὶς οὐ καταισχύνει, ἡ ἐλπὶς ἡ εἰς τὸν Θεόν. ἀμήχανον
γὰρ τοῦ τέλους ἐκπεσεῖν τὸν ὅλῃ διανοίᾳ ἐπὶ τὸν Θεὸν ἐλπίζοντα, καὶ τὰ παρ' ἑαυτοῦ πάντα
α κορ. ι. ιβ. εἰσφέροντα. καὶ πάλιν, Πιστὸς δὲ ὁ Θεὸς, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε,
ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν. διὰ τοῦτο παραινεῖ
Σειρ. β α. σοφός τις ἀνὴρ, λέγων· Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου
εἰς πειρασμόν· εὔθυνον τὴν καρδίαν σου, καὶ καρτέρησον, καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς· κολλήθητι
Ματθ. ι. κβ. αὐτῷ, καὶ μὴ ἀποστῇς. καὶ ἕτερος παραινεῖ λέγων· Ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.
ταῦτα δὲ πάντα κανόνες εἰσὶ καὶ ὅροι καὶ δόγματα ἀκίνητα. καὶ δεῖ τοῦτο πεπηγέναι ἐν τῇ ψυχῇ
τῇ ἡμετέρᾳ, ὅτι ἀμήχανόν τινα σπουδῇ χρώμενον καὶ μεριμνῶντα ὑπὲρ τῆς ἑαυτοῦ σωτηρίας,
καὶ τὰ παρ' ἑαυτοῦ πάντα ἐπιδεικνύμενον, ἐγκαταλειφθῆναί ποτε παρὰ τοῦ Θεοῦ.
Λουκ. κβ. λα. οὐκ ἀκούεις τί φησι πρὸς τὸν Πέτρον; Σίμων, Σίμων, ποσάκις ᾐτήσατο ὁ Σατανᾶς σινιάσαι
ὑμᾶς ὡς τὸν σῖτον· κἀγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου. ὅταν μὲν
γὰρ ἴδῃ τὸν φόρτον μείζω τῆς ἡμετέρας δυνάμεως ὄντα, ὀρέγει χεῖρα, καὶ ἐπικουφίζει τὸν πειρασμόν·
ὅταν δὲ ἴδῃ ἐξ οἰκείας ῥαθυμίας καὶ ὀλιγωρίας τὴν οἰκείαν προδιδόντας σωτηρίαν,
καὶ μὴ βουλομένους σωθῆναι, ἀφίησι καὶ ἐγκαταλιμπάνει. οὐ γὰρ βιάζεται, οὐδὲ ἀναγκάζει.
καὶ ὅπερ ἐπὶ τῆς διδασκαλίας ἐποίει, τοῦτο καὶ ἐνταῦθα γίνεται. καθάπερ γὰρ ἐκεῖ
τοὺς μὴ θέλοντας ἀκούειν, ἀλλ' ἀποπηδῶντας, οὐκ εἷλκεν οὐδὲ ἐβιάζετο, τοῖς δὲ προσέχουσι
διέλυε τὰ ἀσαφῆ, καὶ τὰ αἰνίγματα ἐποίει φανερά· οὕτω δὴ καὶ ἐπὶ τῶν πραγμάτων
τοὺς μὲν ἀναλγήτους καὶ οὐκ ἐθέλοντας οὐκ ἀναγκάζει οὐδὲ βιάζεται, τοὺς δὲ προαιρουμένους
Πραξ. ι. λε. ἐπισπᾶται μετὰ πολλῆς τῆς σφοδρότητος. διὰ τοῦτο καὶ ὁ Πέτρος φησίν· Ἐπ' ἀληθείας καταλαμβάνομαι,
ὅτι ἐν παντὶ ἔθνει ὁ φοβούμενος τὸν Θεὸν καὶ ἐργαζόμενος δικαιοσύνην,
Ησ. α. ιθ. κ. δεκτὸς αὐτῷ ἐστι. καὶ ὁ προφήτης αὐτὸ τοῦτο παραινεῖ λέγων· Ἐὰν θέλητε, καὶ εἰσακούσητέ
μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς
κατέδεται. ταῦτα οὖν εἰδότες, καὶ ὅτι καὶ τὸ θέλειν καὶ τὸ τρέχειν ἐν ἡμῖν ἐστι, καὶ διὰ
τοῦ θέλειν καὶ τοῦ τρέχειν τὸν Θεὸν ἐπισπώμεθα πρὸς τὴν ἡμετέραν βοήθειαν, ἐπισπασάμενοι
δὲ αὐτὸν, πρὸς τὸ τέλος ἥξομεν τῶν πραγμάτων, διαναστῶμεν, ἀγαπητοὶ, καὶ πᾶσαν σπουδὴν
ἐπιδειξώμεθα ἐν τῇ τῆς ψυχῆς σωτηρίᾳ τῆς ἡμετέρας· ἵνα μικρὸν ἐνταῦθα πονήσαντες
χρόνον, κατὰ τὸν ἀγήρω καὶ ἀθάνατον αἰῶνα τῶν ἀθανάτων ἀπολαύσωμεν ἀγαθῶν· ὧν

γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. κθ. ΠΡΟΣ ΤΟΥΣ ΕΙΣ ΤΑΣ ΙΠΠΟΔΡΟΜΙΑΣ ἈΠΕΛΘΟΝΤΑΣ, καὶ εἰς τὸ ῥητὸν τοῦ εὐαγγελίου· Εἰσέλθετε διὰ τῆς στενῆς πύλης, ὅτι πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς· καὶ πρὸς τῷ τέλει εἰς πλούσιον καὶ εἰς τὸν Λάζαρον.

Ματθ. ζ. ιγ. ιδ.

Βούλομαι τῆς συνήθους ἅψασθαι πάλιν διδασκαλίας, καὶ τὴν πνευματικὴν ὑμῖν παραθεῖναι τράπεζαν· καὶ ὀκνῶ καὶ ἀναδύομαι, ὁρῶν οὐδὲν καρπουμένους ὑμᾶς ἐκ τῆς συνεχοῦς διδασκαλίας. ἐπεὶ καὶ γηπόνος, ἐπειδὰν δαψιλῶς τῇ χειρὶ τὰ σπέρματα τοῖς κόλποις τῆς γῆς παρακαταθῆται, καὶ μὴ ἀξίαν τῶν πόνων ἴδῃ τὴν βλάστην γινομένην, οὐ μετὰ τῆς αὐτῆς προθυμίας τῆς γεωργίας ἅπτεται. ἡ γὰρ ἐλπὶς ἀεὶ τῆς τῶν καρπῶν φορᾶς ὑποτέμνεται τὸ βαρὺ τῶν πόνων. τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς τὸν πολὺν τοῦτον πόνον τῆς διδασκαλίας κούφως ἂν ἠνέγκαμεν, εἰ ἐμάθομεν πλέον τι γινόμενον ἐκ τῆς παραινέσεως τῆς ἡμετέρας εἰς ὠφέλειαν τὴν ὑμετέραν. νυνὶ δ' ὅταν θεασώμεθα, ὅτι μετὰ τὰς τοσαύτας ἡμῶν παραινέσεις, μετὰ τὰς τοσαύτας νουθεσίας καὶ ἐπιπλήξεις (οὐδὲ γὰρ ἐπαυσάμεθα συνεχῶς ὑμᾶς ὑπομιμνήσκοντες τοῦ φοβεροῦ δικαστηρίου καὶ τῶν εὐθυνῶν τῶν ἀπαραιτήτων, καὶ τοῦ πυρὸς ἐκείνου τοῦ ἀσβέστου, καὶ τοῦ σκώληκος τοῦ ἀτελευτήτου) τινὲς τῶν ταῦτα ἀκουόντων (οὐδὲ γὰρ κατὰ πάντων ἐκφέρω τὴν ψῆφον, μὴ γένοιτο) πάντων τούτων ἐπιλαθόμενοι, πάλιν ἐπὶ τὴν Σατανικὴν θεωρίαν τῆς ἱπποδρομίας ἑαυτοὺς ἐκδεδώκασι, ποίᾳ λοιπὸν προσδοκίᾳ τῶν αὐτῶν ἀψόμεθα πόνων, καὶ τὴν διδασκαλίαν αὖθις ταύτην τὴν πνευματικὴν παραθήσομεν, ὁρῶντες μηδὲν πλέον αὐτοὺς ἐντεῦθεν καρπουμένους, ἀλλ' ἁπλῶς συνηθείᾳ τινὶ κατακολουθοῦντας, καὶ κροτοῦντας μὲν τὰ παρ' ἡμῶν λεγόμενα καὶ δεικνῦντας ἡμῖν, ὡς μεθ' ἡδονῆς δέχονται τοὺς ἡμετέρους λόγους, καὶ μετὰ τοῦτο πάλιν ἐπὶ τὸν ἱππόδρομον τρέχοντας, καὶ μείζονας τοὺς κρότους ἐπὶ τοὺς ἡνιόχους ἐπιδεικνυμένους καὶ ἀκατάσχετον τὴν μανίαν, καὶ μετὰ πολλοῦ τοῦ τόνου συντρέχοντας, καὶ πρὸς ἀλλήλους πολλάκις διαπληκτιζομένους καὶ λέγοντας, ὅτι ὁ μὲν τῶν ἵππων οὐ καλῶς ἔδραμεν, ὁ δὲ ὑποσκελισθεὶς κατέπεσεν· καὶ ὁ μὲν τούτῳ τῷ ἡνιόχῳ ἑαυτὸν προσνέμει, ὁ δὲ τῷ ἑτέρῳ· καὶ οὐδαμοῦ ἔννοια, οὐδὲ ὑπόμνησις τῶν ἡμετέρων λόγων, οὐδὲ τῶν πνευματικῶν καὶ φρικτῶν μυστηρίων τῶν ἐνταῦθα τελουμένων, ἀλλὰ καθάπερ αἰχμάλωτοι γενόμενοι ὑπὸ τῶν τοῦ διαβόλου παγίδων, ἐκεῖ διημερεύουσι, τῇ Σατανικῇ θεωρίᾳ ἑαυτοὺς ἐκδεδωκότες, καὶ εἰς αἰσχύνην προκείμενοι καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τοῖς τὰ ἡμέτερα διασύρειν βουλομένοις; τίς ἂν οὕτω, κἂν σφόδρα ᾖ λίθινος, ἢ καὶ ἀναίσθητος, ταῦτα ἀναλγήτως ἐνεγκεῖν δυνήσεται, μήτι γε ἡμεῖς οἱ πατρικὴν φιλοστοργίαν περὶ πάντας ὑμᾶς ἐπιδείκνυσθαι σπουδάζοντες; οὐδὲ γὰρ τοῦτο μόνον ἐστὶ τὸ λυποῦν ἡμᾶς, ὅτι ἀνόνητον τὸν ἡμέτερον ἐπιδείκνυσθε κάματον, ἀλλὰ πολλῷ πλέον [ἡμῶν] καθάπτει)*, ὅταν ἐννοήσωμεν, ὅτι βαρυτέραν ἑαυτοῖς οἱ ταῦτα ποιοῦντες ἐργάζονται τὴν κατάκρισιν. Ἡμεῖς γὰρ τῶν πόνων τὴν ἀμοιβὴν ἀναμένομεν παρὰ τοῦ δεσπότου. τὸ γὰρ ἡμέτερον ἅπαν πεποιήκαμεν, καὶ τὸ ἀργύριον κατεβάλομεν, καὶ τὸ τάλαντον τὸ ἐμπιστευθὲν ἡμῖν διενείμαμεν, καὶ οὐδὲν τῶν εἰς ἡμᾶς ἡκόντων παραλελοίπαμεν· οἱ δὲ τὰ ἀργύρια δεξάμενοι ταῦτα τὰ πνευματικά, ποίαν ἕξουσιν, εἰπέ μοι, ἀπολογίαν, ποίαν δὲ συγγνώμην, ὅταν μὴ μόνον αὐτὰ ἀπαιτῶνται, ἀλλὰ καὶ τὴν τούτων ἐργασίαν; ποίοις ὀφθαλμοῖς ὄψονται τὸν κριτήν; πῶς οἴσουσι τὴν ἡμέραν ἐκείνην τὴν φοβεράν; τὰ κολαστήρια τὰ ἀφόρητα; μὴ γὰρ εἰς ἄγνοιαν ἔχουσι καταφυγεῖν; καθ' ἑκάστην ἡμέραν ἐνηχοῦμεν, παραινοῦμεν, παρατρεπόμεθα, δεικνύομεν τῆς ἀπάτης τὸν ὄλεθρον, τῆς βλάβης τὸ μέγεθος, τῆς Σατανικῆς πανηγύρεως τὸν δόλον, καὶ οὐδὲ οὕτω καθικέσθαι ἠδυνήθημεν. καὶ τί λέγω τὴν ἡμέραν ἐκείνην τὴν φοβεράν; τέως τὰ ἐνταῦθα γυμνάσωμεν. πῶς, εἰπέ μοι, οἱ τῆς Σατανικῆς ἐκείνης μετασχόντες θεωρίας δυνήσονται μετὰ παρρησίας ἐνταῦθα παραγλυέσθαι, τὸ συνειδὸς ἔχοντες κατεξλυισάμενον καὶ καταβοῶν* μεγάλα; ἢ οὐκ ἀκούουσιν οὗτοι τοῦ μακαρίου Παύλου λέγοντος [τοῦ διδασκάλου τῆς οἰκουμένης], Τίς κοινωνία φωτὶ πρὸς σκότος; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου; πόσης γὰρ οὐκ ἂν εἴη καταγνώσεως ἄξιοι, ὅταν ὁ πιστὸς καὶ τῶν ἐνταῦθα τελουμένων καὶ εὐχῶν καὶ φρικτῶν μυστηρίων καὶ πνευματικῆς διδασκαλίας ἀπολαύων, μετὰ τὴν ἐνταῦθα τελετὴν ἀπελθὼν καθέζηται εἰς τὴν Σατανικὴν ἐκείνην θεωρίαν μετὰ τοῦ ἀπίστου, μετὰ τοῦ ἐν τῷ σκότει τῆς ἀσεβείας πλανωμένου, ὁ τῷ φωτὶ τοῦ τῆς δικαιοσύνης ἡλίου καταυγασθείς; πῶς, εἰπέ μοι, λοιπὸν ἐπιστομίσαι δυνησόμεθα, ἢ Ἕλληνας, ἢ Ἰουδαίους; πῶς δὲ ἐναγαγεῖν αὐτοῖς ἰσχύσομεν, καὶ πείσομεν μεταταξασθαι εἰς τὴν εὐσέβειαν, ὅταν ὁρῶσι τοὺς μεθ' ἡμῶν τεταγμένους εἰς τὰ ὀλέθρια ἐκεῖνα καὶ πάσης λύμης γέμοντα θέατρα συμφυρομένους αὐτοῖς; τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, μετὰ τὸ παραγλυέσθαι ἐνταῦθα καὶ ἐκκαθαίρεσθαι τὸν λογισμόν, καὶ τὴν διάνοιαν εἰς ὕψιν ἀναγεῖν καὶ κατανύξιν, πάλιν ἀπελθὼν ἐκεῖ καταρρυπαίνεις ἑαυτόν; ἢ οὐκ ἀκούεις σοφοῦ τινος λέγοντος, Εἷς οἰκοδομῶν, καὶ εἷς καθαιρῶν, τί ὠφέλησαν πλέον ἢ κόπους; ὃ δὲ καὶ νῦν γίνεται. ὅταν γὰρ τὰ ἐνταῦθα ὑφ' ἡμῶν οἰκοδομηθέντα διὰ τῆς συνεχοῦς διδασκαλίας καὶ τῆς παραινέσεως ταύτης τῆς πνευματικῆς, ἀπελθὼν ἀθρόον ἐκεῖ πάντα καθέλῃς, καὶ εἰς ἔδαφος, ὡς εἰπεῖν, καταγάγῃς, ποῖον ὄφελος πάλιν ἡμᾶς ἄνωθεν τὰ τῆς οἰκοδομῆς ἐπιδείκνυσθαι, καὶ πάλιν ὑμᾶς τὰ τῆς καθαιρέσεως; πόσης τοῦτο ἀνοίας οὐκ ἂν εἴη καὶ παραπληξίας; εἰπὲ γάρ μοι· εἰ ἐθεάσω ἐν ταῖς αἰσθηταῖς ταύταις οἰκοδομαῖς ταῖς διὰ τῶν λίθων γινομέναις τοῦτό τινα ποιοῦντα, οὐχὶ ὡς μεμηνότι αὐτῷ προσέξεις καὶ εἰκῇ καὶ μάτην κοπιωμένῳ, καὶ εἰς οὐδὲν δέον πάντα τὰ αὐτοῦ καταναλίσκοντι; τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τῆς οἰκοδομῆς ταύτης τῆς πνευματικῆς λογίζου, καὶ τὴν αὐτὴν ἔκφερε ψῆφον. ἰδοὺ γὰρ ἡμεῖς μέν, ἐπειδὴ εἰς τοῦτο ἐτάχθημεν παρὰ τῆς τοῦ Θεοῦ χάριτος, καθ' ἑκάστην ἡμέραν τὴν οἰκοδομὴν ταύτην τὴν πνευματικὴν εἰς ὕψος ἐγείρομεν, καὶ πρὸς τὴν τῆς ἀρετῆς διδασκαλίαν ὑμᾶς ἐνάγειν σπουδάζομεν· τινὲς δὲ τῶν ἐνταῦθα συντρεχόντων τὴν μετὰ πολλοῦ πόνου αὐξηθεῖσαν οἰκοδομὴν ἐν μιᾷ καιροῦ ῥοπῇ μονονουχὶ ταῖς οἰκείαις χερσὶ διὰ τῆς ἀφάτου ταύτης ῥαθυμίας εἰς ἔδαφος κατάγουσιν, ἡμῖν μὲν πολλὴν τὴν ἀθυμίαν ἐντεῦθεν τίκτοντες, ἑαυτοῖς δὲ μέγιστον τὸν ὄλεθρον καὶ τὴν ζημίαν ἀφόρητον.

Τάχα σφοδροτέραν τὴν ἐπιτίμησιν ἐποιησάμεθα· ὅσον μὲν πρὸς τὴν ἡμετέραν φιλοστοργίαν σφοδροτέραν, ὅσον δὲ πρὸς τὸ μέγεθος τοῦ πλημμελήματος οὐδὲ τὴν ἀξίαν. ἀλλ' ὅμως ἐπειδὴ δεῖ καὶ τοῖς πεπτωκόσι χεῖρα ὀρέγειν, καὶ περὶ τοὺς τοσοῦτον ἐρραθυμηκότας τὴν πατρικὴν εὔνοιαν ἐπιδείξασθαι, οὐδὲ οὕτως ἀπαγορεύομεν αὐτοῖς τὴν σωτηρίαν· μόνον ἐὰν βουληθῶσι μηκέτι τοῖς αὐτοῖς πάλιν περιπεσεῖν, ἀλλὰ μέχρι τούτου στῆσαι τὰ τῆς ῥᾳθυμίας, καὶ ἀπαγορεῦσαι ἑαυτοῖς τὴν ἐπὶ τὰς ἱπποδρομίας ἄνοδον, καὶ πᾶσαν τὴν τοιαύτην Σατανικὴν θεωρίαν. δεσπότην γὰρ ἔχομεν φιλάνθρωπον καὶ ἥμερον καὶ κηδεμονικόν, ὃς, ἐπειδὴ οἶδε τὴν ἀσθένειαν τῆς φύσεως τῆς ἡμετέρας, ἐπειδὰν ἁμαρτήματί τινι περιπέσωμεν ῥαθυμίᾳ ὑποσκελισθέντες, ἓν μόνον ἐπιζητεῖ παρ' ἡμῶν, μὴ ἀπογνῶναι, ἀλλ' ἀποστῆναι

τοῦ

β. Κορ. ς. ιδ.

Σειρ. λδ. κη.

* τὸ

α παρο-
μεν,
ειχθῶ.

τοῦ πλημμελήματος, καὶ πρὸς τὴν ἐξομολόγησιν ἐπειχθῶμεν. κἂν τοῦτο ποιήσωμεν, ταχέως ἡμῖν τὴν συγχώρησιν ἐπαγγέλλεται· αὐτὸς γάρ ἐστιν ὁ λέγων· Μὴ ὁ πίπτων οὐκ ἀνίσταται, ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει; ταῦτα τοίνυν εἰδότες, μὴ καταφρονῶμεν τοῦ οὕτω φιλανθρώπου δεσπότου, ἀλλὰ παραιτησώμεθα τῆς συνηθείας τῆς ἐπιβλαβοῦς· καὶ μὴ τὴν πλατεῖαν πύλην, καὶ εὐρύχωρον ὁδὸν βαδίζωμεν· καθάπερ σήμερον ἠκούσατε τοῦ κοινοῦ πάντων δεσπότου παραινοῦντος ἐν τῷ εὐαγγελίῳ, καὶ λέγοντος· Εἰσέλθετε διὰ τῆς στενῆς πύλης, ὅτι πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς. ἀκούσας πλατεῖαν πύλην, καὶ εὐρύχωρον ὁδόν, μὴ τοῖς προοιμίοις ἀπατηθῇς, μηδέ, ὅτι πολλοὶ εἰσέρχονται δι' αὐτῆς, τοῦτο ἴδῃς, ἀλλ' ἐννόει ὅτι εἰς στενὸν καταστρέφει τέλος. κἀκεῖνο δὲ συνετῶς λογίζου, ὅτι οὐ περὶ αἰσθητῆς πύλης ἐστὶν ὁ λόγος, οὐδὲ περὶ ὁδοῦ ἁπλῶς, ἀλλὰ περὶ πάσης τῆς ζωῆς τῆς ἡμετέρας, καὶ περὶ ἀρετῆς καὶ κακίας ἐστὶν ἡ παραίνεσις. διά τοι τοῦτο καὶ ἀρχόμενος οὕτως ἤρξατο λέγων, Εἰσέλθετε διὰ τῆς στενῆς πύλης, τὴν τῆς ἀρετῆς πύλην οὕτω καλῶν. εἶτα εἰπών, ὅτι εἰσέλθετε διὰ τῆς στενῆς πύλης, διδάσκει ἡμᾶς λοιπὸν τὴν αἰτίαν, δι' ἣν τοῦτο παραινεῖ. εἰ γὰρ καὶ στενή, φησιν, αὕτη, καὶ πολὺν ἔχει τὸν κάματον ἐν τῇ εἰσόδῳ, ἀλλ' ἐὰν μικρὸν κάμητε, εἰς πολὺ πλάτος ἐκβήσεσθε καὶ εὐρυχωρίαν πολλὴν τὴν ἄνεσιν δυναμένην ὑμῖν παρέχειν. μὴ τοίνυν ὅτι στενή ἐστι [, φησιν,] ἴδητε, μηδὲ τὰ προοίμια ὑμᾶς θορυβείτω, μηδὲ τὸ στενὸν τῆς εἰσόδου ὀκνηροὺς ἀπεργαζέσθω. ἡ γὰρ πλατεῖα αὕτη πύλη, καὶ ἡ εὐρύχωρος ὁδὸς εἰς ἀπώλειαν καταστρέφει. διὸ καὶ πολλοὶ τῇ ἀρχῇ καὶ τοῖς προοιμίοις ἀπατώμενοι, καὶ οὐδὲν τῶν μελλόντων προορώμενοι, εἰς τὴν ἀπώλειαν ἑαυτοὺς ἐκδιδόασι. διὰ τοῦτό φησιν, ὅτι πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς. καὶ καλῶς αὐτὴν πλατεῖαν πύλην ἐκάλεσε, καὶ εὐρύχωρον ὁδὸν τὴν ἐπὶ τὴν ἀπώλειαν ἀπάγουσαν. οἱ γὰρ ἐπὶ τὰς ἱπποδρομίας ἀναβαίνειν σπεύδοντες, καὶ τὰς ἄλλας τὰς Σατανικὰς θεωρίας, καὶ τῆς σωφροσύνης ἀμελοῦντες, καὶ τῆς ἀρετῆς οὐδένα λόγον ποιούμενοι, καὶ ἀσελγαίνειν βουλόμενοι, καὶ οἱ τῇ τρυφῇ καὶ τῇ γαστριμαργίᾳ ἑαυτοὺς ἐκδιδόντες, καὶ περὶ τὴν τῶν χρημάτων μανίαν καὶ λύτταν καθ' ἑκάστην ἡμέραν δαπανώμενοι, καὶ πρὸς τὰ τοῦ παρόντος βίου πράγματα κεχηνότες, διὰ τῆς πλατείας πύλης βαδίζουσι καὶ εὐρυχώρου ὁδοῦ· ἀλλ' ἐπειδὰν ἐπὶ πολὺ προέλθωσι, καὶ πολλὰ τῶν ἁμαρτημάτων ἑαυτοῖς τὰ φορτία συνάξωσι, καταδαπανώμενοι, ἐλθόντες εἰς τὸ τῆς ὁδοῦ τέλος, οὐκέτι περαιτέρω προελθεῖν δύνανται, τῆς στενότητος τῆς ὁδοῦ πιεζούσης αὐτούς, διὰ τὸ μὴ δύνασθαι τῷ ὄγκῳ τῶν ἁμαρτημάτων βαρυνομένους ταύτην διελθεῖν· διὸ ἀνάγκη εἰς αὐτὸν τῆς ἀπωλείας τὸν κρημνὸν αὐτοὺς καταστρέψαι. ποῖον οὖν ὄφελος, εἰπέ μοι, πρὸς ὀλίγον τὴν εὐρύχωρον βαδίσαντας, ἐν διηνεκεῖ ἀπωλείᾳ γενέσθαι; καὶ ὄναρ, ὡς εἰπεῖν, τρυφήσαντας, ἐν ἀληθείᾳ κολάζεσθαι; ὅπερ γάρ ἐστι μιᾶς νυκτὸς ὄναρ, τοῦτο ἅπας ὁ παρὼν βίος πρὸς τὴν διαδεξαμένην ἡμᾶς κόλασιν καὶ τιμωρίαν. μὴ γάρ, ἵνα ἁπλῶς ἀναγινώσκωμεν, ταῦτα γέγραπται; διὰ τοῦτο ἡ τοῦ πνεύματος χάρις γραφῇ τοὺς τοῦ Κυρίου λόγους παραδοθῆναι πεποίηκεν, ἵνα προφυλακτικὰ τῶν παθῶν τῶν ἡμετέρων φάρμακα ἐντεῦθεν λαμβάνοντες, τὴν ἐπηρτημένην κόλασιν διαφυγεῖν δυνηθῶμεν. διὰ τοῦτο καὶ τότε κατάλληλα τοῖς τραύμασιν αὐτῶν τὰ φάρμακα ἐπιτιθεὶς ὁ δεσπότης ἡμῶν Χριστός, ἔλεγε παραινῶν· Εἰσέλθετε διὰ τῆς στενῆς πύλης. στενὴν δὲ αὐτὴν ἐκάλει, οὐκ ἐπειδὴ τῇ φύσει στενὴ τυγχάνει, ἀλλ' ἐπειδὴ ἡ γνώμη ἡ ἡμετέρα πρὸς ῥᾳθυμίαν μᾶλλον ῥέπουσα, στενὴν αὐτὴν εἶναι νομίζει. οὐδὲ γὰρ ἵνα ἀποστρέψῃ ἡμᾶς, διὰ τοῦτο στενὴν αὐτὴν ὠνόμασεν, ἀλλ' ἵνα τὸ πλάτος τῆς ἑτέρας φυγόντες, καὶ ἐκ τοῦ τέλους ἑκάστην καταμαθόντες, οὕτω ταύτην μᾶλλον ἑλώμεθα. ἀλλ' ἵνα πᾶσιν ὁ λόγος εὐσημότερος γένηται,

φέρε.

Ἱερ. η. δ.

Ματθ. ζ. ιγ.

κούσας

εργασίαν

εντοῦ

φέρε, εἰ δοκεῖ, παραγάγωμεν εἰς μέσον τὸν διὰ τῆς πλατείας πύλης εἰσελθόντα καὶ διὰ τῆς εὐρυχώρου βαδίσαντα, καὶ ἴδωμεν οἷον αὐτὸν ἐδέξατο τέλος, καὶ τὸν διὰ τῆς στενῆς πύλης εἰσελθόντα καὶ τεθλιμμένης ὁδοῦ, καὶ καταμάθωμεν καὶ τούτους οἷα ἐδέξατο τὰ ἀγαθά. ἕνα τοίνυν τῶν διὰ ταύτης τῆς πύλης εἰσελθόντων τῆς πλατείας, καὶ ἕνα τῶν διὰ τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ βαδισάντων εἰς μέσον ὑμῖν προθέντες, δείξωμεν τῶν παρὰ τοῦ ″Κυρίου εἰρημένων τὴν ἀλήθειαν, αὐτῇ πάλιν τῇ τοῦ ″Κυρίου παραβολῇ χρησάμενοι. τίς οὖν ἐστιν ὁ διὰ τῆς πλατείας πύλης εἰσελθὼν, καὶ τὴν εὐρύχωρον ὁδὸν βαδίσας; πρότερον γὰρ προσήκει δεῖξαι τίς οὗτος ἐστι, καὶ πόσον μῆκος ὥδευσεν ὁδοῦ ″τῇ πλατείᾳ βαδίζων, καὶ τότε φανερὸν ὑμῖν ποιῆσαι, εἰς οἷον κατέστρεψε τέλος. καὶ οἶδα μὲν, ὅτι συνετοὶ ὄντες ἤδη συνήκατε τὸ μέλλον ῥηθήσεσθαι· ἀλλ᾽ ὅμως καὶ ἡμᾶς ἀναγκαῖον εἰπεῖν. ἀναμνήσθητέ μοι τοῦ πλουσίου ἐκείνου, τοῦ καθ᾽ ἑκάστην ἡμέραν τὴν πορφύραν καὶ ″τὰ βύσσινα ἐνδιδυσκομένου,
Λουκ. ις. καὶ λαμπρῶς ἑστιωμένου, καὶ παρασίτους καὶ κόλακας τρέφοντος, καὶ πολὺν τὸν″ ἄκρατον″ ἐγχεομένου, καὶ γαστριζομένου καθ᾽ ἑκάστην ἡμέραν, καὶ τῇ τρυφῇ τῇ πολλῇ ἑαυτὸν ἐκδεδωκότος, καὶ διὰ τῆς πλατείας πύλης εἰσελθόντος, καὶ ἐν ἡδονῇ καὶ εὐθυμίᾳ βιωτικῇ διηνεκῶς τυγχάνοντος. πάντα γὰρ αὐτῷ, ὥσπερ ἐκ πηγῶν ἐπέρρει· θεραπεία πολλὴ, τρυφὴ ἄφατος, σώματος ὑγεία, χρημάτων περιουσία, τιμὴ παρὰ τῶν πολλῶν, αἱ παρὰ τῶν κολάκων εὐφημίαι, καὶ οὐδὲν ἦν αὐτῷ τέως τὸ λυποῦν· καὶ τὸ δὴ μεῖζον, ὅτι ἐν τοσαύτῃ κραιπάλῃ καὶ ἀδηφαγίᾳ διημερεύων, οὐ μόνον ὑγείας ἀπήλαυσε σωματικῆς καὶ ἀδείας πάσης, ἀλλὰ καὶ τὸν πένητα Λάζαρον ἐπὶ τοῦ πυλῶνος κατακείμενον καὶ ἡλκωμένον καὶ ὑπὸ τῶν κυνῶν κυκλούμενον καὶ διαλειχόμενον, καὶ λιμῷ τηκόμενον ἀνηλεῶς παρέτρεχεν, οὐδὲ ψιχίων αὐτῷ μεταδιδούς. καὶ ὁ μὲν διὰ τῆς πύλης τῆς πλατείας εἰσελθὼν, τὴν εὐρύχωρον ὁδὸν ἐβάδιζε, τὴν τῆς τρυφῆς, τὴν τῆς ἀκολασίας, τὴν τοῦ γέλωτος, τὴν τῆς ἀνέσεως, τὴν τῆς γαστριμαργίας, τὴν τῆς μέθης, τῆς τῶν χρημάτων περιβολῆς, τῆς ἐν τῇ ἐσθῆτι βλακείας. καὶ μέχρι πολλοῦ πάντα τὸν χρόνον τῆς παρούσης ζωῆς τὴν εὐρύχωρον ὁδὸν ἐβάδισεν, οὐδενὸς λυπηροῦ πεῖραν λαβὼν, ἀλλὰ πάντοτε ἐξ οὐρίας φερόμενος, καὶ ἅτε δὴ ἀεὶ δι᾽ εὐρυχώρου βαδίζων ὁδοῦ, μετὰ πολλῆς τῆς ἀδείας διέτρεχεν. οὐδαμοῦ σκόπελοι, οὐδαμοῦ κρημνοί, οὐδαμοῦ ὕφαλοι * σπιλάδες, οὐδαμοῦ ναυάγιον, οὐδαμοῦ ἀνώμαλος μεταβολὴ, ἀλλὰ διηνεκῶς στερεὰν καὶ ἰσόπεδον ὁδεύων, οὕτω τὸν παρόντα βίον″ διέδραμε, καθ᾽ ἑκάστην τὴν ἡμέραν ὑπὸ τῶν κυμάτων τῆς κακίας″ καταποντιζόμενος, καὶ οὐ λαμβάνων αἴσθησιν· καθ᾽ ἑκάστην ἡμέραν σπαραττόμενος ὑπὸ τῶν ἀτόπων ἐπιθυμιῶν, καὶ μᾶλλον ἡδόμενος· διηνεκῶς πολιορκούμενος ὑπὸ ἀσελγείας, ὑπὸ γαστριμαργίας, ὑπὸ τῆς τῶν χρημάτων μανίας, καὶ οὐδεμίαν τῶν δεινῶν λαμβάνων τὴν αἴσθησιν, οὐδὲ προϊδεῖν δυνάμενος * τῆς ὁδοῦ τὸ τέλος· ἀλλὰ τὸ παρὸν ἡδὺ μόνον καρπούμενος, οὐδεμίαν ἔννοιαν ἐλάμβανε τῆς διηνεκοῦς ὀδύνης, ἀλλ᾽ ἀπατώμενος, ὡς εἰπεῖν, ἐβάδιζε τὴν εὐρύχωρον ὁδὸν, εἰς αὐτὸν τὸν κρημνὸν ἐπειγόμενος, ὑπὸ τῆς πολλῆς μέθης συνιδεῖν οὐκ ἔχων. ἡ γὰρ ἐν ἅπασι τοῖς βιωτικοῖς εὐημερία καταβαπτίσασα αὐτοῦ τὸν λογισμὸν, ἐτύφλωσε τὸ ὄμμα τῆς διανοίας, καὶ καθάπερ πεπηρωμένος λοιπὸν τὰς ὄψεις, οὕτως ἐβάδιζεν, οὐκ εἰδὼς ποῦ φέρεται· τάχα δὲ οὐδὲ ἔννοιαν ἐλάμβανε τῆς ἀνθρωπίνης φύσεως, ὁρῶν ἑαυτὸν οὐδεμίαν δυσκολίαν ὑπομένοντα. οὐδὲ γὰρ ἐτρύφα μόνον, ἀλλὰ καὶ ἐπλούτει· οὐδὲ ἐπλούτει μόνον, ἀλλὰ καὶ ὑγείας σώματος ἀπήλαυεν· οὐδὲ ὑγείας σώματος ἀπήλαυε μόνον, ἀλλὰ καὶ θεραπείας, καὶ οὐ θεραπείας μόνον πολλῆς, ἀλλὰ καὶ ἐπιρρέοντα, ὥσπερ ἐκ πηγῶν, αὐτῷ πάντα ὁρῶν, ἐν ἡδονῇ διῆγε διηνεκῶς. εἴδετε, ἀγαπητοὶ, τὸν διὰ τῆς πλατείας πύλης εἰσελθόντα, καὶ τὴν εὐρύχωρον ὁδὸν δι᾽ ὅλου βαδίσαντα, ὅσης ἀνέσεως″ ἀπήλαυεν; ἀλλὰ μηδεὶς τῶν ταῦτα ἀκουόντων πρὸ τοῦ τέλους μακαρίσαι αὐτὸν ἀνασχέσθω, ἀλλὰ ἀναμεινάτω τῶν πραγμάτων τὸ τέλος, καὶ τότε οἴσει τὴν ψῆφον. εἰ δοκεῖ τοίνυν καὶ τὸν διὰ τῆς στενῆς πύλης εἰσελθόντα, καὶ

τὴν τεθλιμμένην ὁδὸν ὁδεύσαντα παραγάγωμεν εἰς μέσον, καὶ οὕτω τὸ τέλος ἀμφοτέρων θεασάμενοι, τὴν προσήκουσαν περὶ ἑκάστου ψῆφον οἴσομεν. τίνα δὲ ἄλλον ἔχομεν νῦν παραγαγεῖν, ἢ τὸν Λάζαρον, τὸν ἐπὶ τοῦ πυλῶνος τοῦ πλουσίου κατακείμενον, καὶ ὑπὸ τῶν ἑλκῶν ἐκείνων πολιορκούμενον, καὶ ὁρῶντα τὰς γλώσσας τῶν κυνῶν ψαυούσας αὐτοῦ τῶν τραυμάτων, καὶ μηδὲ ἀπελάσαι τούτους ἰσχύοντα. καθάπερ γὰρ ἐκεῖνος διὰ τῆς πλατείας εἰσελθὼν, τὴν εὐρύχωρον ἐβάδιζεν· οὕτω δὴ καὶ ὁ μακάριος οὗτος (μακάριον γὰρ αὐτὸν ἤδη καλῶ διὰ τῆς στενῆς εἰσελθεῖν ἑλόμενον) εἰσῆλθε διὰ τῆς στενῆς πύλης τῆς ἀπεναντία ἐκείνης πάντα ἐχούσης. καθάπερ ἐκεῖνος διηνεκῶς ἐτρύφα, οὕτω καὶ οὗτος λιμῷ παλαίων διετέλει. καὶ ἐκεῖνος μὲν μετὰ τῆς τρυφῆς καὶ ὑγείας σώματος ἀπήλαυε, καὶ χρημάτων περιουσίας, καὶ ἐν γαστριμαργίᾳ καὶ μέθῃ διημερεύων κατεδαπανᾶτο· οὗτος δὲ ὑπὸ τοῦ λιμοῦ καὶ ἐσχάτῃ πενίᾳ περιβεβλημένος καὶ νόσῳ διηνεκεῖ καὶ ἕλκεσιν ἀφορήτοις, οὐδὲ τῆς ἀναγκαίας ηὐπόρει τροφῆς, ἀλλὰ τῶν ψιχίων ἐπεθύμει τῶν ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου, καὶ οὐδὲ τούτων ἠξίωτο. Εἶδες πῶς διὰ τῆς στενῆς πύλης οὗτος εἰσελθὼν, τὴν τεθλιμμένην ὁδὸν διηνεκῶς ἐβάδιζεν; Εἶδες πῶς ἐκεῖνος διὰ τῆς πλατείας πύλης καὶ τῆς εὐρυχώρου ὁδοῦ ἐπορεύετο;

Λουκ. ις. κ.

Ἀλλ' ἴδωμεν λοιπὸν ἑκατέρων τὸ τέλος, καὶ πῶς μὲν ἐκεῖνος εἰς στενὸν κατέστρεψε τέλος, πῶς δὲ οὗτος εἰς πλατὺ καὶ πολλῆς ἀνέσεως γέμον· ἵνα ταῦτα μαθόντες ἀκριβῶς, μὴ τὴν εὐρύχωρον ἐκ παντὸς τρόπου διώκωμεν ὁδὸν, μηδὲ διὰ τῆς πλατείας πύλης εἰσέρχεσθαι σπουδάζωμεν, ἀλλὰ τὴν στενὴν πύλην μεταδιώκωμεν, καὶ τὴν τεθλιμμένην ὁδὸν βαδίζωμεν, ἵνα εἰς χρηστὸν καὶ ἀνέσεως γέμον τέλος καταντῆσαι δυνηθῶμεν. ἐπειδὴ γὰρ τὸ τέλος τῆς ἑκάστου ζωῆς ἔφθασεν, ὅρα τί φησι περὶ τοῦ τὴν τεθλιμμένην ὁδεύοντος πρότερον. Ἐγένετο δέ, φησιν, ἀποθανεῖν τὸν πτωχὸν, καὶ ἀπενεχθῆναι αὐτὸν ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον Ἀβραάμ. τάχα καὶ ἄγγελοι ἀπῆγον αὐτὸν προηγούμενοι καὶ δορυφοροῦντες, καὶ εἰς τὸ τῆς ἀνέσεως χωρίον μετὰ τὰς πολλὰς ἐκείνας θλίψεις καὶ τὴν στενὴν ὁδοιπορίαν ἀποκαθιστῶντες. Εἶδες ὅσον τῆς στενῆς πύλης καὶ τῆς τεθλιμμένης ὁδοῦ τὸ πλάτος ἐν τῷ τέλει φαίνεται; ὅρα λοιπὸν καὶ τῆς εὐρυχώρου ὁδοῦ τὰ ὀλέθρια τέλη. Ἀπέθανε, φησι, καὶ ὁ πλούσιος, καὶ ἐτάφη. οὐδεὶς ὁ προηγούμενος, οὐδεὶς ὁ δορυφορῶν, οὐδεὶς ὁ ὁδηγῶν, καθάπερ τὸν Λάζαρον. ἐπειδὴ γὰρ ἐν τῇ εὐρυχώρῳ ὁδῷ τούτων ἁπάντων ἀπήλαυε, καὶ πολλοὺς εἶχε τοὺς δορυφοροῦντας, τοὺς θεραπεύοντας, τοὺς κόλακας λέγω, τοὺς παρασίτους, ἡνίκα πρὸς τὸ τέλος ἔφθασε, γυμνὸς καὶ ἔρημος ἁπάντων γέγονε μετὰ τὰς πολλὰς ἐκείνας ἀνέσεις, μᾶλλον δὲ μετὰ τὴν βραχεῖαν ἐκείνην ἄνεσιν καὶ εὐημερίαν. ἅπας γὰρ ὁ παρὼν βίος βραχὺς, τῷ μέλλοντι αἰῶνι συγκρινόμενος. μετὰ τὴν βραχεῖαν τοίνυν ἄνεσιν, ἧς ἀπήλαυσε τὴν εὐρύχωρον ὁδὸν βαδίζων, τὸ τῆς στενοχωρίας καὶ τῆς θλίψεως χωρίον αὐτὸν ἐδέξατο. καὶ ἐκεῖνος μὲν ἐν τοῖς κόλποις τοῦ πατριάρχου ἐπανεπαύετο, τῶν πόνων καὶ τῆς πολλῆς ταλαιπωρίας τὰς ἀμοιβὰς ἀπολαμβάνων, καὶ μετὰ τὸν λιμὸν καὶ τὰ ἕλκη καὶ τὴν ἐν τῷ πυλῶνι κατάκλισιν, τῆς ἀπορρήτου ἐκείνης ἀνέσεως καὶ οὐδὲ λόγῳ ἑρμηνευθῆναι δυναμένης μετεῖχεν· οὗτος δὲ μετὰ τὴν τρυφὴν καὶ ἄνεσιν καὶ γαστριμαργίαν τὴν πολλὴν καὶ τὴν μέθην εἰς τὴν ἀπαραίτητον κόλασιν ἐκείνην καταντήσας ἀπετηγανίζετο. καὶ ἵνα ἑκάτερος αὐτῶν διὰ τῶν πραγμάτων μάθῃ, ὁ μὲν τῆς στενῆς ὁδοῦ τὸ κέρδος, ὁ δὲ τῆς εὐρυχώρου τὴν ζημίαν καὶ τὸν ὄλεθρον, ἀπὸ πολλοῦ τοῦ διαστήματος ἀλλήλους ὁρῶσιν. ἄκουε δὲ πῶς. Καὶ ἐν τῷ ᾅδῃ, φησὶν, ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ, ὑπάρχων ἐν βασάνοις, ὁρᾷ τὸν Ἀβραὰμ ἀπὸ μακρόθεν καὶ Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ. ἐμοὶ δὲ δοκεῖ, ὅτι θεασάμενος τὴν ἀθρόαν οὕτω τῶν πραγμάτων μεταβολὴν, καὶ τὸν μὲν ἐν τῷ πυλῶνι ἐρριμμένον, καὶ ταῖς γλώσσαις τῶν κυνῶν προκείμενον τοσαύτης ἀπολαύοντα τῆς παρρησίας καὶ τοῖς κόλποις τοῦ πατριάρχου ἐνδιαιτώμενον,

Λουκ. ις. κϐ.

Λουκ. ις. κγ.

διαιτώμενον, ἑαυτὸν δὲ τοσαύτῃ αἰσχύνῃ περιβεβλημένον καὶ μετὰ ταύτης καὶ ὑπὸ τοῦ πυρὸς ἀποτηγανιζόμενον, πλείονα τῆς ὀδύνης τὴν αἴσθησιν ἐλάμβανεν. ὁρῶν τοιγαροῦν εἰς τὸ ἐναντίον τὰ πράγματα μεταστάντα, καὶ αὐτὸν μέν, ὡς εἰπεῖν, ἐν ὀνείρῳ καὶ σκιᾷ τρυφήσαντα, [καὶ] νῦν τὴν ἀφόρητον κόλασιν ὑπομένοντα, καὶ μετὰ τὴν εὐρύχωρον ὁδὸν καὶ τὴν πλατεῖαν πύλην εἰς οὕτω στενὸν καταστρέψαντα τέλος· ἐκεῖνον δὲ τὰ ἐναντία συμβεβηκότα, καὶ διὰ τὴν ἐνταῦθα ὑπομονὴν τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν αὐτὸν ἀπολαύοντα· καὶ ἐν ἀμηχανίᾳ γεγονώς, καὶ τῇ πείρᾳ μαθὼν τὴν ἀπάτην, ἣν ὑπέμεινε δι' ὅλου τὴν εὐρύχωρον ὁδὸν ἐλόμενος, ἱκετηρίαν τίθησι πρὸς τὸν πατριάρχην, καὶ ἐλεεινὰ φθέγγεται ῥήματα, καὶ δακρύων γέμοντα. καὶ ὁ πρὸ τούτου μηδὲ ἐπιστρεφόμενος, μηδὲ ἰδεῖν ἀνεχόμενος τὸν Λάζαρον, τὸν πένητα, τὸν ἐν τῷ πυλῶνι ἐρριμμένον, ἀλλὰ καὶ βδελυττόμενος αὐτόν, ὡς εἰπεῖν, διὰ τὴν τῶν ἑλκῶν δυσωδίαν, καὶ τὴν οἰκείαν βλακείαν, ἐν ᾗ διηνεκῶς τρυφῶν διῆγε, νῦν ἱκετεύει τὸν πατριάρχην, καί φησι· Λουκ. ις. κδ. Πάτερ Ἀβραὰμ ἐλέησόν με, καὶ πέμψον Λάζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος, καὶ καταψύξῃ τὴν γλῶσσάν μου, ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ. ἱκανὰ τὰ ῥήματα εἰς οἶκτον ἀφελκύσασθαι, ἀλλ' ὅμως οὐδὲ οὕτως ὤνησέ τι πλέον. ἄκαιρος γὰρ ἡ ἐξομολόγησις, καὶ ἡ παράκλησις οὐκ ἐν καιρῷ τῷ δέοντι γινομένη. πέμψον, φησί, τὸν Λάζαρον ἐκεῖνον, τὸν πένητα, ὃν πρὸ τούτου ἐβδελυττόμην, ᾧ τῶν ψιχίων οὐ μετεδίδουν· ἐκείνου δέομαι νῦν, καὶ τὸν δάκτυλον ἐκείνου ἐπιζητῶ, ὃν οἱ κύνες ἔλειχον. εἶδες πῶς συνέστειλεν αὐτὸν ἡ τιμωρία; εἶδες πῶς εἰς στενὸν τέλος κατήντησεν ἡ εὐρύχωρος ὁδός; καὶ οὐ ποιεῖται πρὸς τὸν Λάζαρον τὴν ἱκετηρίαν, ἀλλὰ πρὸς τὸν πατριάρχην. εἰκότως. οὐδὲ γὰρ ἀντιβλέψαι ἐτόλμα τῷ πένητι. ἐνενόει γὰρ οἶμαι τὴν οἰκείαν ἀπανθρωπίαν, καὶ τὸ ἀνηλεὲς λογιζόμενος ὅπερ εἰς αὐτὸν ἐπεδείξατο, ὑπώπτευεν αὐτὸν ἴσως μηδὲ ἀποκρίσεως ἀξιοῦν. διά τοι τοῦτο οὐδὲ πρὸς αὐτὸν ποιεῖται τὴν παράκλησιν, ἀλλὰ τὸν πατριάρχην ἱκετεύει. ἀλλ' ὅμως οὐδὲ οὕτως ἐκέρδανέ τι πλέον. τοσοῦτον κακόν ἐστιν ἡ ἀκηδία, καὶ τὸ τὸν δεδομένον ἡμῖν τῆς ζωῆς καιρὸν παρὰ τῆς τοῦ Θεοῦ φιλανθρωπίας εἰς τὴν τῆς ἡμετέρας σωτηρίας ὑπόθεσιν προδιδόναι. ποῖον γὰρ ἀδάμαντα οὐκ ἂν κατέκαμψε ταῦτα τὰ ῥήματα, καὶ εἰς οἶκτον καὶ συμπάθειαν ἤγαγεν; ἀλλ' ὅμως οὐδὲ οὕτως ὁ πατριάρχης ἐπινεύει τῇ αἰτήσει, ἀλλ' ἀποκρίσεως μὲν αὐτὸν ἀξιοῖ, διδάσκει δὲ αὐτὸν ὅτι αὐτὸς ἑαυτῷ αἴτιος τούτων ἐγένετο τῶν κακῶν. φησὶ γὰρ πρὸς αὐτὸν ὁ πατριάρχης· Λουκ. ις. κε. Τέκνον, μνήσθητι ὅτι ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ ὁ μὲν παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. καὶ ἐπὶ πᾶσι τούτοις, μεταξὺ ὑμῶν καὶ ἡμῶν χάσμα μέγα ἐστήρικται, ὅπως οἱ θέλοντες διαβῆναι ἔνθεν πρὸς ὑμᾶς μὴ δύνωνται, μηδὲ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσι. φοβερὰ τὰ εἰρημένα, καὶ ἱκανὰ καθικέσθαι τῶν νοῦν ἐχόντων. ἵνα γὰρ διδάξῃ αὐτόν, ὅτι αὐτὸς μὲν τὴν οἰκείαν εὐσπλαγχνίαν περὶ αὐτὸν ἐπιδείκνυσι, καὶ εἰς οἶκτον ἐπικάμπτεται, ὁρῶν αὐτοῦ τῆς κολάσεως τὴν ἐπίτασιν, οὐδὲν δὲ πλέον αὐτῷ εἰς παραμυθίαν ἐνεγκεῖν δύναται, μονονουχὶ ἀπολογούμενος αὐτῷ φησιν, ὅτι ἐβουλόμην χεῖρα σοι ὀρέξαι, καὶ ἐπικουφίσαι σου τὰς ἀλγηδόνας, καὶ τῆς τιμωρίας ὑποτέμνεσθαι τὸ σφοδρόν, ἀλλὰ προλαβὼν αὐτὸς ταύτης ἀπεστέρησας ἑαυτὸν τῆς παραμυθίας· διὰ τοῦτό φησι, τέκνον, μνήσθητι. ὅρα τοῦ πατριάρχου τὴν ἀγαθότητα· τέκνον αὐτὸν καλεῖ. ἀλλὰ τοῦτο μὲν τὴν ἡμερότητα τὴν ἑαυτοῦ ἐμφῆναι δύναται, οὐδεμίαν δὲ αὐτῷ βοήθειαν παρέχει, διὰ τὸ ὑφ' ἑαυτοῦ αὐτὸν προδίδοσθαι. τέκνον, φησί, μνήσθητι ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου· εἰς ἔννοιαν ἐλθὲ τῶν παρελθόντων, μὴ ἐπιλάθῃ πόσης τρυφῆς ἀπήλαυσας, πόσης ἀνέσεως, πόσης φαντασίας, πῶς ἐν γαστριμαργίᾳ καὶ μέθῃ πάντα τὸν βίον διετέλεσας, ἐν ἐκείνοις νομίζων εἶναι πάντα τὸν αἰῶνα, καὶ ἐκεῖνα ὁριζόμενος εἶναι τὰ ἀγαθά. ἀπὸ τῆς ψήφου τῆς αὐτοῦ τὴν ἀπόκει-

σαι

σιν πρὸς αὐτὸν ἐποιήσατο. οὐδὲν γὰρ ἐκεῖνος ὑψηλὸν φανταζόμενος, οὐδὲ τὰ μέλλοντα αὐτὸν διαδέχεσθαι κακὰ πρὸ τῶν ὀφθαλμῶν ἔχων, ἐκεῖνα ἀγαθὰ εἶναι ἐνόμιζε. τοῦτο [γὰρ] καὶ νῦν ἔθος λέγειν τοῖς πολλοῖς τοῖς περὶ τρυφὴν καὶ τὴν ἀδηφαγίαν ἐπτοημένοις, ὅτι πολλὰ ἀγαθὰ ἐσχήκαμεν, ὅταν βούλωνται ἀνάξαι τῆς πολλῆς τρυφῆς τὴν ἐπίτασιν. μὴ κάλει ταῦτα ἁπλῶς ἀγαθὰ, ἄνθρωπε, ἐννοῶν ὅτι ταῦτα μὲν ἐδόθη παρὰ τοῦ δεσπότου, ἵνα τῆς συμμετρίας ἀπολαύοντες, τὴν σύστασιν ἔχωμεν τῆς ζωῆς, καὶ τὴν ἀσθένειαν διακρατῶμεν τοῦ σώματος· ἕτερα δέ ἐστι τὰ ὄντως ἀγαθά. οὐδὲν γὰρ τούτων ἀγαθὸν, οὐ τρυφὴ, οὐ πλοῦτος, οὐκ ἐσθῆτος πολυτέλεια, ἀλλ᾽ ὄνομα μόνον ἔχει. τί δὲ λέγω ὄνομα μόνον ἔχει; ταῦτα μὲν οὖν πολλάκις καὶ ὀλέθρου ἡμῖν αἴτια γίνεται, ἐπειδὰν μὴ δεόντως αὐτοῖς χρησώμεθα. ὁ γὰρ πλοῦτος τότε ἂν γένοιτο ἀγαθὸς τῷ κεκτημένῳ, ὅταν μὴ εἰς τρυφὴν μόνον αὐτὸν ἀναλίσκῃ, μηδὲ εἰς μέθην καὶ τὰς ἐπιβλαβεῖς ἡδονὰς, ἀλλ᾽ ὅταν τῆς τρυφῆς συμμέτρως ἀπολαύων, τὰ λοιπὰ εἰς τὰς τῶν πενήτων διανέμῃ γαστέρας, τότε ἀγαθὸν ὁ πλοῦτος. εἰ δὲ μέλλοι τις τρυφῇ ἑαυτὸν ἐκδιδόναι καὶ τῇ ἄλλῃ ἀσωτίᾳ, οὐ μόνον οὐδὲν αὐτὸν ὀνίνησιν, ἀλλὰ καὶ εἰς βαθὺν κρημνὸν κατάγει, ὃ δὲ καὶ ὁ πλούσιος οὗτος πέπονθε. διό φησιν αὐτῷ ὁ πατριάρχης, τέκνον, μνήσθητι ὅτι ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου. ἐκεῖνα ἃ ἐνόμιζες εἶναι ὄντως ἀγαθὰ, ταῦτα ἀπέλαβες, καὶ Λάζαρος ὁμοίως τὰ κακὰ, οὐκ ἐπειδὴ Λάζαρος αὐτὰ κακὰ ἐνόμιζε (μὴ γένοιτο) ἀλλ᾽ ἀπὸ τῆς ψήφου τοῦ πλουσίου καὶ τοῦτο ἐπήγαγεν. ἐκεῖνος γὰρ ταύτην παρ᾽ ἑαυτῷ κυρώσας τὴν ψῆφον, τὸν μὲν πλοῦτον καὶ τὴν τρυφὴν καὶ τὴν ἀκολασίαν καὶ τὴν ἄλλην βλακείαν ἀγαθὰ ἐνόμιζε· τὴν δὲ πενίαν καὶ τὸν λιμὸν καὶ τὴν χαλεπὴν ἀρρωστίαν κακὰ ὑπώπτευεν. ὡς οὖν αὐτὸς ὑπελάμβανες, καὶ τὴν ἐψευσμένην κρίσιν ἐκείνην εἶχες, μνήσθητι, ὅτι κατὰ τὴν σὴν ψῆφον καὶ σὺ τὰ ἀγαθὰ ἐκεῖνα ἀπέλαβες, τὴν πλατεῖαν καὶ εὐρύχωρον ὁδεύσας ὁδὸν, καὶ Λάζαρος ὁμοίως τὰ κακὰ κατὰ τὸν σὸν λόγον, τὴν στενὴν πύλην καὶ τὴν τεθλιμμένην βαδίσας ὁδόν. ἐπεὶ οὖν σὺ μὲν τὰ προοίμια μόνον εἶδες τῆς ὁδοῦ, οὗτος δὲ καὶ πρὸς τὸ τέλος ἑώρα, οὐδὲν ἀπὸ τοῦ προοιμίου τῆς ὁδοῦ γινόμενος ὀκνηρότερος, διὰ τοῦτο νῦν ἐνταῦθα παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι, καὶ ἀπεναντίας ἀλλήλοις τὸ τέλος κατήντησεν.

Εἴδετε δι᾽ αὐτῶν τῶν πραγμάτων τῆς εὐρυχώρου καὶ πλατείας ὁδοῦ τὸ τέλος, ἐμάθετε τῆς στενῆς πύλης καὶ τῆς τεθλιμμένης ὁδοῦ ὅπως χρηστὸν τὸ πέρας ἐδέξατο τὸν ταύτην ἐλόμενοι· ἀκούσατε δὴ καὶ τὸ φοβερώτερον. καὶ ἐπὶ πᾶσι, φησι, τούτοις μεταξὺ ἡμῶν καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται, ὅπως οἱ θέλοντες διαβῆναι ἔνθεν ἐκεῖ μὴ δύνωνται, μηδὲ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσι. μὴ ἁπλῶς παραδράμωμεν, ἀγαπητοὶ, [τὸ λεχθὲν, ἀλλ᾽ ἐννοήσωμεν] τῶν λεχθέντων τὴν ἀκρίβειαν, καὶ ὅσης ἀπολαύει τῆς τιμῆς καὶ τῆς προεδρίας ὁ παρὰ τὸν πυλῶνα ἐῤῥιμμένος, ὁ εὐκαταφρόνητος, ὁ πένης, ὁ τῷ λιμῷ διηνεκῶς παλαίων, ὁ τοῖς ἕλκεσι πολιορκούμενος, ὁ τοῖς κυσὶ προκείμενος. ἡδέως γὰρ ταῦτα στρέφω συνεχῶς, ἵνα μηδεὶς τῶν ἐν πενίᾳ, ἢ τῶν ἐν νόσοις ὄντων καὶ λιμῷ καταφρονήσῃ, ἑαυτὸν ταλανίζων, ἀλλὰ μεθ᾽ ὑπομονῆς καὶ εὐχαριστίας ἅπαντα φέρων, ἤδη ταῖς χρησταῖς ἐλπίσι τρέφηται, τὰς ἀπορρήτους ἐκείνας ἀναμένων ἀμοιβὰς, καὶ τῶν πόνων τὰς ἀντιδόσεις. καὶ ἐπὶ πᾶσι τούτοις. τί ἐστιν, ἐπὶ πᾶσι τούτοις; εἰπὼν, ὅτι σὺ μὲν ἅπαντα ἐν τῷ παρόντι βίῳ ἀπέλαβες, ἅπερ ἡγοῦ εἶναι ἀγαθὰ, καὶ ὅτι οὗτος ἀπέλαβεν, ἅπερ σὺ ἐνόμιζες εἶναι κακὰ, τοῦτο προσέθηκε, διδάσκων αὐτὸν, ὅτι καὶ ἀκόλουθον ἕκαστοι τέλος ἐδέξατο ἐπὶ πᾶσι τοῖς ῥηθεῖσι, σὲ μὲν μετὰ τὴν τῶν ἀγαθῶν, ὧν ἐνόμιζες ἀπολαύειν, ἡ θλίψις καὶ ἡ στενοχωρία καὶ τὸ πῦρ τὸ ἄσβεστον, τοῦτον δὲ μετὰ τὸ προσπαλαίσαι ἐν διηνεκεῖ τῇ ζωῇ οἷς ἐνόμιζες αὐτὸς εἶναι κακοῖς, ἡ ἄνεσις καὶ ἡ τῶν ἀγαθῶν ἀπόλαυσις καὶ ἡ μετὰ τῶν ἁγίων λῆξις. ἐπειδὴ τοίνυν τὸ τέλος ἀκόλουθον ἕκαστος εὗρε, καί σε μὲν ἡ πλατεῖα πύλη καὶ ἡ εὐρύχωρος ὁδὸς εἰς ταύτην τὴν στενοχωρίαν καταλῦσαι πεποίηκε, τοῦτον δὲ ἡ στενὴ καὶ τεθλιμμένη εἰς ταύτην ἤγαγε τὴν ἄνεσιν. καὶ ἐπὶ πᾶσι τούτοις μεταξὺ ἡμῶν καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται. ὁρᾷ τὸν πένητα, τὸν ἡλκωμένον (πάλιν γὰρ ταῦτα λέγω) τῷ πατριάρχῃ συναριθμούμενον, καὶ τῷ χορῷ τῶν δικαίων καταλεγμένον. μεταξὺ γὰρ ἡμῶν καὶ ὑμῶν, φησιν. εἶδες οἵα λῆξις διεδέξατο τὸν μεθ' ὑπομονῆς καὶ εὐχαριστίας τὴν χαλεπὴν ἐκείνην ἀρρωστίαν καὶ τὸν λιμὸν ἐνεγκόντα; μεταξὺ γὰρ ἡμῶν καὶ ὑμῶν, φησι, χάσμα μέγα ἐστήρικται. πολύ, φησίν, ἐστι τὸ διεῖργον, καὶ οὐχ ἁπλῶς χάσμα, ἀλλὰ μέγα. καὶ γὰρ ἀληθῶς πολὺ τὸ μέσον τῆς ἀρετῆς καὶ τῆς κακίας, καὶ πολλὴ ἡ διαφορά. ἡ μὲν γάρ ἐστι πλατεῖα καὶ εὐρύχωρος, ἡ δὲ στενὴ καὶ τεθλιμμένη· ἡ μὲν τρυφὴ πλατεῖα καὶ εὐρύχωρος, ἡ δὲ πενία καὶ ἡ ἔνδεια στενὴ καὶ τεθλιμμένη. ὥσπερ οὖν ἐνταῦθα ἐναντίαι εἰσὶν αἱ ὁδοί, καὶ ὁ μὲν τὴν παρθενίαν ἑλόμενος τὴν στενὴν ὁδεύει καὶ τεθλιμμένην, καὶ ὁ τὴν σωφροσύνην μεταδιώκων, καὶ ὁ τὴν ἀκτημοσύνην ἀσπαζόμενος, καὶ ὁ τῆς κενοδοξίας ὑπερορῶν, ὁ δὲ τὴν πλατεῖαν ὁδεύειν σπεύδων καὶ τὴν εὐρύχωρον, μέθῃ καὶ τρυφῇ, καὶ χρημάτων μανίᾳ καὶ ἀκολασίᾳ, καὶ ταῖς ἐπιβλαβέσι θεωρίαις ἑαυτὸν ἐκδίδωσι, καὶ πολλὴ ἑκατέρων ἐστὶν ἡ διαφορά· οὕτω δὴ καὶ ἐν τῷ τῆς κολάσεως καιρῷ καὶ τῆς ἀνταποδόσεως, τῶν ἀμοιβῶν πολὺ τὸ μέσον ἐστὶν εὑρεῖν. χάσμα γάρ, φησι, μέγα ἐστήρικται μεταξὺ ἡμῶν, τουτέστι, τῶν δικαίων, τῶν ἐναρέτων, τῶν τὴν λῆξιν ἐκείνην λαχόντων· καὶ ὑμῶν, τουτέστι, τῶν ἐν πονηρίᾳ καὶ κακίᾳ καταδαπανηθέντων. καὶ τοσοῦτόν ἐστι μέγα τὸ χάσμα, ὥστε μήτε ἐντεῦθεν ἑστῶτά τινα πρὸς ὑμᾶς διαβῆναι δύνασθαι, μήτε ἐκεῖθεν πρὸς ἡμᾶς διαπεράσαι. εἶδες χάσματος μέγεθος; εἶδες ἀπόκρισιν γεέννης βαρυτέραν; ἆρα ἐν προοιμίοις ἀκούσαντες τὴν εὐημερίαν τοῦ πλουσίου καὶ τὴν πολλὴν θεραπείαν ἣν εἶχε, παρὰ πάντων δορυφορούμενος, καὶ καθ' ἑκάστην ἡμέραν τῇ τρυφῇ προσηλωμένος, οὐκ ἐνομίζετε μακάριον εἶναι; καὶ πάλιν ὁρῶντες τὸν πένητα ἐπὶ τοῦ πυλῶνος ἐρριμμένον, καὶ τοῖς χαλεποῖς ἕλκεσιν ἐκείνοις ἐκδεδομένον, οὐκ ἐταλανίζετε αὐτοῦ τὴν ζωήν; ἀλλ' ἰδοὺ νῦν ἀπὸ τοῦ τέλους τῶν πραγμάτων τὰ ἐναντία ὁρῶμεν γινόμενα, καὶ τὸν μὲν ἐν τηγάνοις μετὰ τὴν τρυφὴν ἐκείνην, καὶ τὴν μέθην, τὸν δὲ ἐν τοῖς κόλποις τοῦ πατριάρχου μετὰ τὴν πενίαν ἐκείνην τὴν ἐσχάτην καὶ τὸν λιμόν. ἀλλ' ἵνα μὴ εἰς πολὺ μῆκος ἐκτείνωμεν τὸν λόγον, ἀρκεῖ μέχρι τούτου συστεῖλαι τὴν διδασκαλίαν, καὶ παρακαλέσαι τὴν ὑμετέραν ἀγάπην, μὴ τὴν πλατεῖαν μεταδιώκειν πύλην, μηδὲ τὴν εὐρύχωρον ὁδόν, μηδὲ τὴν ἄνεσιν ἐκ παντὸς τρόπου ζητεῖν, ἀλλὰ τὸ τέλος ἑκατέρας ἐννοοῦντας, ταύτην μὲν φεύγειν, λογιζομένους τὰ κατειληφότα τὸν πλούσιον τοῦτον, τὴν δὲ στενὴν πύλην μεταδιώκειν καὶ τὴν τεθλιμμένην ὁδόν, ἵνα εἰς τὸ τῆς ἀνέσεως χωρίον μετὰ τὴν ἐνταῦθα θλίψιν καταλῦσαι δυνηθῶμεν. φεύγετε τοίνυν, παρακαλῶ, τὰς Σατανικὰς θεωρίας, καὶ τὴν ἐπιβλαβῆ τῶν ἱπποδρομιῶν θέαν. διὰ γὰρ τοὺς ὑποσυρέντας καὶ πρὸς τὴν εὐρύχωρον ὁδὸν βαδίσαντας, ταῦτα εἰπεῖν ἠναγκάσθημεν, ἵνα μαθόντες, ἐκείνην μὲν καταλίπωσι, τὴν δὲ τεθλιμμένην ὁδεύσαντες, τὴν τῆς ἀρετῆς λέγω, τῶν κόλπων τοῦ πατριάρχου ὁμοίως τῷ Λαζάρῳ ἀξιωθῶσι, καὶ τῆς γεέννης τοῦ πυρὸς κοινῇ πάντες ἐλευθερωθέντες, τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐ ἤκουσεν, ἀπολαύσωμεν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. λ. ΠΕΡΙ ΤΟΥ ΚΑΤΑ ΘΕΟΝ ΠΟΛΙΤΕΥΕΣΘΑΙ,

Ματθ. ζ. ιδ.

καὶ εἰς τό, στενὴ ἡ πύλη, καὶ τὰ ἑξῆς, καὶ ἑρμηνεία τῆς προσευχῆς, τὸ Πάτερ ἡμῶν.

Πάσης μὲν θεοπνεύστου γραφῆς ἡ ἀνάγνωσις γίνεται τοῖς προσέχουσιν εὐσεβείας ἐπίγνωσις· ἡ δὲ τῶν εὐαγγελίων γραφὴ ὑψηλοτέρων ἐστὶ διδαγμάτων ὑποδοχή. τὰ γὰρ ἐν αὐτοῖς ἐμφερόμενα λόγια, ὑψίστου βασιλέως ὑπάρχει θεσπίσματα. διὸ καὶ φοβερά τις ἠπείληται κόλασις τοῖς μὴ φυλάττουσιν ἀκριβῶς τὰ παρ' αὐτοῦ εἰρημένα. εἰ γὰρ τῶν ἐπὶ γῆς ἀρχόντων ὁ παραβαίνων τοὺς νόμους, ἀπαραίτητον ὑφίσταται κόλασιν, πόσῳ μᾶλλον ἀφορήτοις ἐκδοθήσεται βασάνοις ὁ τοῦ ἐπουρανίου* ἀθετῶν τὰ προστάγματα; ἐπεὶ οὖν μέγας ἐστὶν ὁ τῆς ἀπροσεξίας κίνδυνος, μετὰ πολλῆς ἀκριβείας προσέχωμεν τῇ ἀκροάσει τῶν ἀρτίως ἀναγνωσθέντων ἡμῖν ἐκ τοῦ εὐαγγελίου ῥημάτων. τίνα δὲ ταῦτά ἐστι; Στενή, φησιν, ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν. καὶ πάλιν, Πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ διερχόμενοι δι' αὐτῆς. τούτων ἐγὼ συνεχῶς ἀκούων τῶν λόγων, καὶ τῶν ἀνθρώπων τὴν ἐπὶ τὰ μάταια βλέπων σπουδήν, λίαν θαυμάζω τῶν εἰρημένων. πάντες γὰρ διὰ τῆς πλατείας βαδίζουσιν ὁδοῦ, πάντες εἰς τὰ παρόντα κεχήνασι πράγματα, καὶ τῶν μελλόντων οὐδέποτε λαμβάνουσιν ἔννοιαν· ἀλλ' εἰς μὲν τὰς σωματικὰς ἀπολαύσεις ἀδιαλείπτως ἐπείγονται, τὰς δὲ ψυχὰς ἐῶσιν ἐν λιμῷ κατατήκεσθαι, καὶ μυρία καθ' ἑκάστην ἡμέραν λαμβάνοντες τραύματα, οὐδέποτε αἴσθησιν ἔχουσι τῶν ἐν οἷς εἰσι κακῶν. καὶ τῶν μὲν τοῦ σώματος ἕνεκα παθημάτων, φοιτῶσι πρὸς τοὺς ταῦτα θεραπεύοντας, καὶ αὐτοὺς δὲ τούτοις οἴκαδε παραπέμπονται, καὶ μισθοὺς παρέχουσιν ὅτι μάλιστα πλείστους, καὶ καρτερίαν ἐπιδείκνυνται πολλήν, καὶ τῆς ἐπιπόνου θεραπείας ἀνέχονται, ἵνα τὴν ἐκείνου ὑγείαν ὠνήσωνται· τῆς δὲ ψυχῆς κακῶς διακειμένης παντελῶς ἀμελοῦσι, καὶ τὴν ἀξιέραστον αὐτῆς ὑγείαν λαβεῖν οὐ σπουδάζουσι, καίτοι σαφῶς ἐπιστάμενοι, ὅτι τὸ μὲν σῶμα θνητόν ἐστι καὶ ἐπίκηρον, καὶ τοῖς ἐαρινοῖς προσέοικεν ἄνθεσιν (ὁμοίως γὰρ ἐκείνοις μαραίνεται καὶ σβέννυται), καὶ φθορᾷ παραδίδοται) τὴν δὲ ψυχὴν ἴσασιν ἀθανασίᾳ τετιμημένην, καὶ κατ' εἰκόνα θείαν γεγενημένην, καὶ τοῦ ζώου πεπιστευμένην τοὺς οἴακας. ὅπερ γάρ ἐστιν ἡνίοχος ἅρματι, καὶ κυβερνήτης πλοίῳ, καὶ μουσικὸς ὀργάνῳ, τοῦτο εἶναι τῷ γηΐνῳ τούτῳ σκεύει τὴν ψυχὴν ὁ πλάστης ἐνομοθέτησεν. αὕτη γὰρ κατέχει τὰς ἡνίας, καὶ κινεῖ τὰ πηδάλια, καὶ τὰς χορδὰς ἀνακρούεται, καὶ εὖ μὲν τοῦτο πράττουσα, τὸ παναρμόνιον τῆς ἀρετῆς ἀνακρούεται μέλος· ὅταν δὲ ἢ χαλάσῃ τοὺς φθόγγους, ἢ διατείνῃ πέρα τοῦ δέοντος, καὶ τῇ τέχνῃ καὶ τῇ ἁρμονίᾳ λυμαίνεται. ταύτης τοίνυν ἀμελοῦσιν οἱ πολλοὶ τῶν ἀνθρώπων, καὶ οὐδὲ βραχείας αὐτὴν ἐπιμελείας ἀξιοῦσιν, ἀλλ' ἅπαντα τῆς ζωῆς αὐτῶν τὸν χρόνον εἰς τὰς σωματικὰς ἀναλίσκουσι φροντίδας. καὶ οἱ μὲν τὸν τῶν ναυτίλων ἀσπάζονται βίον, καὶ κύμασι καὶ πνεύμασι μάχονται, τὴν ζωὴν καὶ τὸν θάνατον μεθ' ἑαυτῶν περιφέροντες, καὶ τὰς τῆς σωτηρίας ἐλπίδας ἐν ὀλίγαις σανίσι κατέχοντες· οἱ δὲ τοὺς τῆς γεωπονίας ἀναδέχονται ἱδρῶτας, βοῦς ἀροτῆρας ζευγνῦντες, καὶ τὴν γῆν ἀροτριῶντες, καὶ νῦν μὲν σπείροντες καὶ θερίζοντες, νῦν δὲ φυτεύοντες καὶ τρυγῶντες, καὶ ἅπας αὐτοῖς ὁ χρόνος μετὰ τῆς τοιαύτης ὁδεύει ταλαιπωρίας· οἱ δὲ τὰς ἐμπορίας ἐπέρχονται, καὶ διὰ τούτων τὰς ἐν γῇ τε καὶ θαλάττῃ ποιοῦνται ἀποδημίας, καὶ τῆς οἰκείας τὴν ἀλλοδαπὴν προτιμῶσι, καὶ πατρίδα, καὶ γένος, καὶ φίλους, καὶ ὁμοζύγους μετὰ παίδων καταλιμπάνοντες, ὀλίγων ἕνεκα κερδῶν τὴν ξένην ἀσπάζονται. καὶ τί δεῖ πάσας καταλέγειν τὰς τέχνας, ἃς ταῖς χρείαις τοῦ σώματος ἐξεῦρον οἱ ἄνθρωποι, ἐν αἷς διημερεύοντες καὶ διανυκτερεύοντες, τὴν μὲν ἐκείνου θεραπείαν ἑαυτοῖς περιποιοῦνται, τὴν δὲ ψυχὴν ὑπερορῶσι πεινῶσάν τε καὶ διψῶσαν καὶ αὐχμῶσαν καὶ ῥυπῶσαν, καὶ ὑπὸ μυρίων ἐνοχλουμένην κακῶν; καὶ μετὰ πολλοὺς ἱδρῶτας καὶ πόνους, οὐδὲ τὸ θνητὸν σῶμα θανάτου κρεῖττον ἐργάζονται, καὶ

Ματθ. ζ. ιδ.
ιγ.

τὴν ἀθάνατον μετὰ τοῦ θνητοῦ ταῖς ἀθανάτοις ὑποβάλλουσι τιμωρίαις. διὰ τοῦτο λίαν ὀλοφυρόμενος τὴν περικεχυμένην ἄγνοιαν ταῖς τῶν ἀνθρώπων ψυχαῖς, καὶ τῆς ἐπικειμένης αὐταῖς ἀχλύος τὴν παχύτητα, ἐβουλόμην μὲν εὑρεῖν σκοπιάν τινα ὑψηλὴν ὑποδεικνύουσάν μοι πάντα τὰ τῶν ἀνθρώπων γένη· ἐβουλόμην δὲ καὶ φωνῆς τυχεῖν, πάντα περιηχούσης τὰ πέρατα, καὶ πᾶσιν ἀρκούσης τοῖς ἐπὶ τῆς γῆς, καὶ στῆναι καὶ βοῆσαι, καὶ τὴν Δαυϊτικὴν ἐκείνην ἀνακράξαι φωνὴν, (Ψαλμ. δ γ.) Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος, προτιμῶντες τῶν οὐρανίων τὰ γήϊνα, τῶν αἰωνίων τὰ πρόσκαιρα, τῶν ἀφθάρτων τὰ φθειρόμενα; ἕως πότε τοὺς ὀφθαλμοὺς μύετε, καὶ τὰ ὦτα βύετε, καὶ τῆς θείας φωνῆς οὐκ ἀκούετε, τῆς καθ᾽ ἑκάστην ἡμέραν βοώσης, (Ματθ. ζ. ζ.) Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν, ζητεῖτε, καὶ εὑρήσετε, κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν; πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. ἐπεὶ δέ τινες ἀτελέστερον διακείμενοι, καὶ πρὸς τὰ βιωτικὰ μᾶλλον ἐπιρρεπῶς ἔχοντες, καὶ τοῖς φιλοσάρκοις ἐνδυπαθοῦντες λογισμοῖς, οὐ καθηκόντως ποιοῦνται τὰς αἰτήσεις, τούτου χάριν ὁ κοινὸς δεσπότης εὐχῆς ἡμῖν διδασκαλίαν ὑπέδειξεν, εἰπών· (Ματθ. ϛ ζ.) Ὅταν προσεύχησθε, μὴ βαττολογεῖτε, ὥσπερ οἱ ἐθνικοί· δοκοῦσι γὰρ, ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται· βαττολογίαν ὀνομάζων, τὴν φλυαρίαν, τὴν διὰ πολλῶν μὲν λόγων προσφερομένην, ὠφελείας δὲ πάσης ἐστερημένην. ὑπαινίττεται τοίνυν, ἀπαγορεύων τὴν βαττολογίαν ὁ Κύριος, μὴ χρῆναι τοὺς προσευχομένους αἰτεῖν τὰ ῥέοντα καὶ ἀπολλύμενα· μὴ σώματος ὡραιότητα, τὴν ὑπὸ χρόνου μαραινομένην καὶ ὑπὸ νόσου δαπανωμένην, καὶ ὑπὸ θανάτου καλυπτομένην (τοιοῦτον γὰρ τὸ σωματικὸν κάλλος. ἄνθος ἐστὶν ὀλιγοχρόνιον, πρὸς ὀλίγον μὲν φαινόμενον'' τῷ ἀέρι τῆς νεότητος, μετ᾽ ὀλίγον δὲ ''φαινόμενον ὑπὸ τῆς τοῦ χρόνου παλαιότητος. εἰ δὲ καὶ τὴν ὑπόστασιν αὐτοῦ τις διεξετάζειν ἐθέλοι, τότε πλέον αὐτοῦ διαπτύειν δυνήσεται. οὐδὲν γὰρ ἕτερόν ἐστιν, ἢ φλέγμα καὶ αἷμα καὶ ῥεῦμα, καὶ τροφῆς διαμασηθείσης χυλός. ἐκ τούτου γὰρ καὶ ὀφθαλμοί, καὶ παρειαί, καὶ ῥῖνες, καὶ ὀφρύες, καὶ χείλη, καὶ ὅλον ἀρδεύεται τὸ σῶμα. κἂν ἐπιλείψῃ ποτὲ ἡ τούτων ἀρδεία, συνεπιλείψει πάντως καὶ τοῦ προσώπου ἡ εὐμορφία) μὴ πλοῦτον χρημάτων τὸν καθ᾽ ὁμοιότητα τῶν ποταμίων ὑδάτων ἐπιρρέοντά τε καὶ μεταρρέοντα, καὶ νῦν μὲν παρὰ τούτῳ, νῦν δὲ παρ᾽ ἐκείνῳ πηδῶντα, καὶ τοὺς κατέχοντας φεύγοντα, καὶ τοῖς φιλοῦσιν αὐτὸν παραμένειν οὐκ ἀνεχόμενον, καὶ μυρίους ἐπιβούλους ἔχοντα, καὶ σῆτας, καὶ λῃστάς, καὶ συκοφάντας, καὶ ἐμπρησμούς, καὶ ναυάγια, καὶ πολέμων ἐφόδους, καὶ δημίων ἐπαναστάσεις, καὶ κακουργίας οἰκετῶν, καὶ χρημάτων ἀφαιρέσεις, καὶ προσθήκας, καὶ μειώσεις, καὶ τἄλλα ὅσα τοῖς ἐρῶσι χρημάτων ὑπὸ τῆς φιλοπλουτίας ἐπιφύεται δεινά· μὴ δυναστείαν ἀξιωμάτων. πολλὰ γὰρ καὶ ταύτῃ ἀλγεινὰ παραφύεται), φροντίδων τηκεδόνες, ἀγρυπνίαι συνεχεῖς, ἐπιβουλαὶ παρὰ τῶν φθονούντων, κατασκευαὶ παρὰ τῶν μισούντων, στωμυλία ῥητόρων τοῖς κατεγλωττισμένοις λόγοις ὑποκλέπτουσα τὴν ἀλήθειαν, καὶ πολλὴν τοῖς δικάζουσι προξενοῦσα κίνδυνον. εἰσὶ γάρ, εἰσὶ βαττολόγοι τινὲς, καὶ ματαιολόγοι, ταῦτά τε καὶ τὰ τοιαῦτα παρὰ τοῦ Θεοῦ τῶν ὅλων αἰτοῦντες, καὶ τῶν ὄντως ἀγαθῶν οὐδένα ποιούμενοι λόγον. καὶ τὸν μὲν ἰατρὸν οὐκ οἱ νοσοῦντες διδάσκουσι τὴν φαρμάκων τὴν χρῆσιν, ἀλλὰ τῶν ὑπ᾽ αὐτοῦ προσφερομένων ἀνέχονται μόνον, κἂν ἐπίπονος ᾖ ὁ τῆς θεραπείας τρόπος· καὶ τὸν κυβερνήτην οἱ πλέοντες οὐ κελεύουσι τοιῶσδε κατέχειν τοὺς οἴακας, καὶ τὸ σκάφος ἰθύνειν, ἀλλ᾽ ἐπὶ τῶν ''στρωμάτων καθήμενοι, τῆς ἐκείνου ἐπιστήμης ἀνέχονται, οὐ μόνον ἐξ οὐρίων φερόμενοι, ἀλλὰ καὶ τὸν ἔσχατον ὑπομένοντες κίνδυνον. τῷ Θεῷ δὲ μόνον, τῷ τὸ συμφέρον ἡμῖν ἀκριβῶς ἐπισταμένῳ διδόναι, οἱ τὰς φρένας κακῶς διακείμενοι, παραχωρεῖν οὐκ ἀνέχονται, ἀλλ᾽ αἰτοῦσιν ὡς ὠφέλιμα τὰ ὀλέθρια, ὅμοιοι ποιοῦντες ἀρρώστῳ, τὸν ἰατρὸν δοῦναι αὐτῷ παρακαλοῦντι, οὐχ ὅσα λύει τὴν νόσον, ἀλλ᾽ ὅσα τρέφει τὴν ὕλην τὴν τῆς νόσου μητέρα. ἀλλ᾽

οὐκ ἀνέξεται ὁ ἰατρὸς τῆς τοῦ κάμνοντος ἱκετείας, ἀλλὰ κἂν δακρύοντα ἴδῃ καὶ ὀλοφυρόμενον, τοῖς νόμοις τῆς τέχνης ἀκολουθεῖ μᾶλλον, ἢ τοῖς τούτου δάκρυσιν ἐπικάμπτεται, καὶ τὴν ἀπείθειαν οὐκ ἀπανθρωπίαν, ἀλλὰ φιλανθρωπίαν ὀνομάζομεν. πειθόμενος μὲν γὰρ τῷ νοσοῦντι, καὶ τὰ πρὸς ἡδονὴν χαριζόμενος, τὰ πολεμίων εἰς αὐτὸν ἐργάζεται· ἀντιτείνων δὲ [αὐτῷ], καὶ τῇ ἐπιθυμίᾳ μαχόμενος*, ἐλέῳ κέχρηται καὶ φιλανθρωπίᾳ· οὕτω καὶ ὁ τῶν ἡμετέρων ψυχῶν ἰατρὸς, οὐκ ἀνέχεται δοῦναι τοῖς αἰτοῦσι τὰ εἰς βλάβην αὐτοῖς ἐσόμενα. οὔτε γὰρ οἱ φιλόστοργοι πατέρες τοῖς κομιδῇ νηπίοις μαχαίρας ἐπιζητοῦσιν, ἢ πυρὸς ἄνθρακας, ὀρέγειν ἀνέχονται· ἴσασι γὰρ σαφῶς βλαβερὰν αὐτοῖς οὖσαν τὴν τοιαύτην δόσιν. τινὲς δὲ τῶν εἰς ἐσχάτην ἀλογίαν ἐκπεπτωκότων, οὐ μόνον σώματος ὡραιότητα, καὶ πλοῦτον καὶ δυναστείαν, καὶ ὅσα τοιαῦτα, παρὰ τοῦ τῶν ὅλων Θεοῦ αἰτοῦσιν, ἀλλὰ καὶ τοῖς ἐχθροῖς αὐτῶν ἐπαρῶνται, καί τινα τιμωρίαν ἐπενεχθῆναι αὐτοῖς ἱκετεύουσι, καὶ ὃν ἑαυτοῖς ἥμερον εἶναι καὶ φιλάνθρωπον εὔχονται, τοῦτον τοῖς ἐχθροῖς ἀνήμερον γενέσθαι καὶ ἀπάνθρωπον βούλονται.

Ταῦτα τοίνυν ὁ δεσπότης προαναστέλλων, παρεγγυᾷ μὲν μὴ βαττολογεῖν· διδάσκει δὲ τίνα χρὴ λέγειν ἐν τῇ προσευχῇ, καὶ ἐν ὀλίγοις ῥήμασι πᾶσαν ἀρετὴν ἐκπαιδεύει. οὐ μόνον γὰρ εὐχῆς ἐστι διδασκαλία ἐκεῖνα τὰ ῥήματα, ἀλλὰ καὶ βίου τελείου παιδαγωγία. ἵνα δὲ ἐστὶ ταῦτα, καὶ τίς ἡ τούτων ἔννοια, μετὰ πολλῆς ἀκριβείας ἐξετάσωμεν, καὶ ὡς θείους νόμους ἀσφαλῶς τηρήσωμεν. Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς. ὢ πόση τῆς φιλανθρωπίας ἡ ὑπερβολή; ὢ πόση τῆς φιλοτιμίας ἡ ὑπεροχή; ποῖος ἀρκέσει λόγος πρὸς εὐχαριστίαν τοῦ τοσαῦτα πηγάζοντος ἡμῖν ἀγαθά; σκόπησον, ἀγαπητέ, τῆς σῆς καὶ ἐμῆς φύσεως τὴν εὐτέλειαν, ἐρεύνησον τὴν συγγένειαν, τὴν γῆν, τὸν χοῦν, τὸν πηλὸν, τὴν πλίνθον, τὴν σποδόν. ἀπὸ γὰρ τῆς γῆς διαπλασθέντες, πάλιν εἰς τὴν γῆν μετὰ τέλος ἀναλυόμεθα. ταῦτα οὖν ἐννοήσας ἐκπλάγηθι τὸν ἀνεξιχνίαστον πλοῦτον τῆς πολλῆς περὶ ἡμᾶς τοῦ Θεοῦ ἀγαθότητος, ὅτι πατέρα καλεῖν προσετάχθης αὐτὸν, ὁ γήϊνος τὸν οὐράνιον, ὁ θνητὸς τὸν ἀθάνατον, ὁ φθαρτὸς τὸν ἄφθαρτον, ὁ πρόσκαιρος τὸν αἰώνιον, ὁ χθὲς καὶ πρῴην πηλὸς, τὸν ὄντα πρὸ τῶν αἰώνων Θεόν. ἀλλ' οὐ μάτην ἐδιδάχθης ταύτην ἀφιέναι τὴν φωνὴν, ἀλλ' ἵνα τὴν ὑπὸ τῆς γλώττης σου προφερομένην τοῦ πατρὸς ὀνομασίαν αἰδούμενος, μιμῇ αὐτοῦ τὴν ἀγαθότητα, ὡς καὶ ἀλλαχοῦ φησί· Γίνεσθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. οὐ δύναται γὰρ πατέρα καλεῖν τὸν φιλάνθρωπον Θεὸν ὁ τὴν γνώμην ἔχων θηριώδη καὶ ἀπάνθρωπον. οὐδὲ γὰρ σώζει τοὺς χαρακτῆρας ἐν τῷ ἐπουρανίῳ πατρὶ ἀγαθότητος, ἀλλ' εἰς τὸ θηριῶδες εἶδος ἑαυτὸν μετεμόρφωσε, καὶ τῆς θεϊκῆς εὐγενείας ἐξέπεσε, κατὰ τὸ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον· Ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. ὅταν γάρ τις σκιρτᾷ μὲν ὡς ταῦρος, λακτίζῃ δὲ ὡς ὄνος, μνησικακῇ δὲ ὡς κάμηλος, καὶ γαστριμαργῇ μὲν ὡς ἄρκος, ἁρπάζῃ δὲ ὡς λύκος, πλήττῃ δὲ ὡς σκορπίος, ὕπουλος δὲ ᾖ ὡς ἀλώπηξ, χρεμετίζῃ δὲ ἐπὶ γυναιξὶν ὡς ἵππος θηλυμανής, πῶς δύναται ὁ τοιοῦτος τὴν υἱῷ πρέπουσαν διαπέμψαι φωνὴν, καὶ πατέρα ἑαυτοῦ καλεῖν τὸν Θεόν; τί οὖν ὀνομάζεσθαι χρὴ τὸν τοιοῦτον; θηρίον; ἀλλὰ τὰ θηρία ἑνὶ τούτων τῶν ἐλαττωμάτων κατέχεται· οὗτος δὲ πάντα συναγαγὼν ἐν ἑαυτῷ, καὶ τῆς ἐκείνων ἀλογίας γέγονεν ἀλογώτερος. καὶ τί λέγω θηρίον; θηρίου παντὸς χαλεπώτερός ἐστιν ὁ τοιοῦτος. ἐκεῖνα μὲν γὰρ, καίτοι κατὰ φύσιν ἄγρια ὄντα, ἀνθρωπίνης ἀπολαύσαντα τέχνης, ἥμερα πολλάκις γίνεται· οὗτος δὲ, ἄνθρωπος ὤν, καὶ τὴν ἐκείνων ἀγριότητα τὴν κατὰ φύσιν εἰς τὴν ἡμερότητα μεταβαλὼν τὴν παρὰ φύσιν, ποίαν ἕξει ἀπολογίαν, τὴν ἑαυτοῦ πραότητα τὴν κατὰ φύσιν εἰς ἀγριότητα ἐξάγων τὴν παρὰ φύσιν; καὶ τὸ μὲν ἄγριον φύσει ποιῶν ἥμερον, ἑαυτὸν δὲ τὸν ἥμερον φύσει ποιῶν ἄγριον; καὶ λέοντα μὲν τιθασεύων, καὶ χειροήθη ποιῶν, τὸν δὲ θυμὸν τὸν ἴδιον κατασκευάζων ἀγριώτερον;

Ματθ. ς. θ.

Ματθ. ε. μη.

Ψαλ. μη. κα.

γελωτοποιῶν; καίτοι ἐκεῖ δύο ἐστὶ κωλύματα, καὶ τὸ λογισμοῦ ἐστερῆσθαι τὸ θηρίον, καὶ τὸ πολλῷ τῶν ἀνθρώπων εἶναι θυμωδέστερον· ἀλλ' ὅμως διὰ τῆς παρὰ τοῦ Θεοῦ δοθείσης σοφίας, καὶ τῆς θηριώδους περιγίνεται φύσεως. καὶ ὁ ἐπὶ τῶν θηρίων τὴν φύσιν νικῶν, ἐφ' ἑαυτοῦ μετὰ τῆς φύσεως καὶ τῆς προαιρέσεως ἀπόλλυσι καλόν· καὶ λέοντα μὲν ποιεῖ ἄνθρωπον, ἑαυτὸν δὲ περιορᾷ ἐξ ἀνθρώπου γινόμενον λέοντα· καὶ ἐκείνῳ μὲν τὰ ὑπὲρ φύσιν χαρίζεται, ἑαυτῷ δὲ οὐδὲ τὰ κατὰ φύσιν πορίζεται. πῶς τοίνυν ὁ τοιοῦτος δυνήσεται πατέρα καλεῖν τὸν Θεόν; ὁ μέντοι περὶ τὸν πλησίον ἥμερος καὶ φιλάνθρωπος, καὶ τοὺς εἰς αὐτὸν πλημμελοῦντας οὐκ ἀμυνόμενος, ἀλλ' εὐεργεσίαις τὰς ἀδικίας ἀμειβόμενος, οὐ κατακρίνεται πατέρα καλῶν τὸν Θεόν. πρόσεχε δὲ τῇ ἀκριβείᾳ τοῦ λόγου, πῶς ἡμῖν νομοθετεῖ τὸ φιλάλληλον, καὶ εἰς ἀγαπητικὴν ἅπαντας συνάπτει διάθεσιν. οὐ γὰρ ἐκέλευε λέγειν, πάτερ μου, ὁ ἐν τοῖς οὐρανοῖς, ἀλλά, πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἵνα κοινὸν πατέρα ἔχειν διδαχθέντες, ἀδελφικὴν πρὸς ἀλλήλους δεικνύωμεν εὔνοιαν. εἶτα διδάσκων ἡμᾶς καταλιπεῖν τὴν γῆν, καὶ μὴ κεχηνέναι κάτω, ἀλλὰ τὰ τῆς πίστεως λαβεῖν πτερά, καὶ ἀναπτῆναι, καὶ διαβῆναι τὸν αἰθέρα, καὶ ζητῆσαι τὸν καλούμενον πατέρα, προσέταξε λέγειν, πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς. οὐκ ἐπειδὴ ἐν τοῖς οὐρανοῖς μόνον ἐστὶν ὁ Θεός, ἀλλ' ἵνα ἡμᾶς κάτω περὶ γῆν καλινδουμένους ἀνανεῦσαι εἰς οὐρανοὺς παρασκευάσῃ, καὶ τῷ κάλλει τῶν ἐπουρανίων ἀγαθῶν περιλάμψας, τὴν ἐπιθυμίαν ἡμῶν πᾶσαν ἐκεῖ μετενέγκῃ. Εἶτα δευτέραν προσέθηκε ῥῆσιν, εἰπών, Ἁγιασθήτω τὸ ὄνομά σου. καί μοι μηδεὶς ἀνοήτως ὑπολαμβανέτω ἁγιασμοῦ προσθήκην χαρίζεσθαι τῷ Θεῷ ἐν τῷ λέγειν, ἁγιασθήτω τὸ ὄνομά σου. ἅγιος γάρ ἐστι, καὶ πανάγιος, καὶ ἁγίων ἁγιώτατος. καὶ ταύτην αὐτῷ τὴν ὑμνῳδίαν Ησ. ϛ. γ. προσφέρει τὰ σεραφεὶμ ἀσιγήτοις βοῶντα κραυγαῖς, Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ. ἀλλ' ὥσπερ οἱ τοῖς βασιλεῦσι τὰς εὐφημίας προσφέροντες, καὶ βασιλέας καλοῦντες καὶ αὐτοκράτορας, οὐχ ὃ μὴ ἔχουσι χαρίζονται, ἀλλ' ὅπερ ἔχουσιν, εὐφημοῦσιν· οὕτω καὶ ἡμεῖς, οὐ τὴν οὐκ οὖσαν ἁγιωσύνην προσφέρομεν τῷ Θεῷ, λέγοντες, ἁγιασθήτω τὸ ὄνομά σου, ἀλλὰ τὴν οὖσαν δοξάζομεν. τὸ γάρ, ἁγιασθήτω, ἀντὶ τοῦ, δοξασθήτω, εἴρηται. διδασκόμεθα τοίνυν διὰ τῆς φωνῆς ταύτης τὸν κατ' ἀρετὴν μετιέναι βίον, ἵνα τοῦτον ὁρῶντες οἱ ἄνθρωποι, τὸν οὐράνιον ἡμῶν πατέρα Ματθ. ε. ιε. δοξάζωσιν. ὃ καὶ ἀλλαχοῦ φησι· Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. μετὰ τοῦτο λέγειν ἐδιδάχθημεν, Ἐλθέτω ἡ βασιλεία σου. Τυραννούμενοι γὰρ ὑπὸ τῶν τοῦ σώματος παθημάτων, καὶ μυρίας πειρασμῶν δεχόμενοι προσβολάς, τῆς τοῦ Θεοῦ χρήζομεν Ρω. ϛ. ιϛ. ιγ. βασιλείας, ἵνα μὴ βασιλεύσῃ ἡ ἁμαρτία ἐν τῷ θνητῷ σώματι ἡμῶν εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ, μηδὲ παριστάνωμεν τὰ μέλη ἡμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, ἀλλ' ἵνα παραστήσωμεν ὅπλα δικαιοσύνης τῷ Θεῷ, καὶ στρατευώμεθα τῷ βασιλεῖ τῶν αἰώνων. διδασκόμεθα δὲ πρὸς τούτοις, μὴ σφόδρα τῷ παρόντι βίῳ προσεστηκέναι, ἀλλὰ καταφρονεῖν μὲν τῶν παρόντων, ἐπιθυμεῖν δὲ τῶν μελλόντων ὡς μενόντων, καὶ τὴν βασιλείαν ἐκείνην ζητεῖν, τὴν οὐράνιον καὶ αἰώνιον, καὶ τοῖς ἐνταῦθα τερπνοῖς μὴ κατέχεσθαι, μὴ σωμάτων εὐμορφίᾳ, μὴ χρημάτων εὐπορίᾳ, μὴ κτημάτων εὐθηνίᾳ, μὴ λίθων πολυτελείαις, μὴ οἴκων μεγαλουργίαις, μὴ ἡγεμονίαις καὶ στρατηγίαις, μὴ ἁλουργίδι καὶ διαδήματι, μὴ ὀψοποιΐαις καὶ καρυκείαις καὶ παντοδαπαῖς χλιδαῖς, μὴ ἄλλῳ τινὶ τῶν τὰς ἡμετέρας δελεαζόντων αἰσθήσεις, ἀλλὰ πᾶσι τούτοις ἐρρῶσθαι φράσαντες, τῆς τοῦ Θεοῦ βασιλείας ἀδιαλείπτως ὀρέγεσθαι. οὕτως ἡμᾶς καὶ ταύτην διδάξας τὴν ἀρετήν, ἐκέλευσε λέγειν, Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. ἐντεθεικὼς γὰρ ἡμῖν τῶν μελλόντων τὸν ἔρωτα, καὶ τῆς ἐπουρανίου βασιλείας τὴν ἐπιθυμίαν, καὶ τρώσας ἡμᾶς ἐκείνῳ τῷ πόθῳ, παρασκευάζει λέγειν, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. δὸς ἡμῖν, φησι, δέσποτα, τὴν ἐν οὐρανῷ μιμεῖσθαι πολιτείαν, ἵν᾽ ἃ θέλεις αὐτός, καὶ ἡμεῖς θέλωμεν. ἐπάρκεσον τοίνυν προαιρέσει καμνούσῃ, καὶ ποίησον μὲν ἐπιθυμοῦσι τὰ σά, ὑπὸ δὲ τῆς τοῦ σώματος ἀσθενείας κωλυομένοις· ὄρεξον χεῖρα τοῖς τρέχειν μὲν ἐπειγομένοις, χωλεύειν δὲ ἠναγκασμένοις. ὑπόπτερος ἡ ψυχή, ἀλλὰ βαρύνει ταύτην ἡ σάρξ· ὀξεῖα ἐκείνη πρὸς τὰ οὐράνια, ἀλλὰ βραδεῖα αὕτη πρὸς τὰ ἐπίγεια. τῆς δὲ σῆς βοηθείας παρούσης, ἔσται δυνατὰ καὶ τὰ λίαν ἀδύνατα. γενηθήτω τοίνυν τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. καὶ ἐπειδὴ τῆς γῆς ἐμνημόνευσε, χρεία δὲ τοῖς ἐξ αὐτῆς γεγενημένοις καὶ ἐν αὐτῇ διαιτωμένοις, καὶ γήϊνον σῶμα περικειμένοις, καὶ τῆς καταλλήλου τροφῆς, ἀναγκαίως ἐπήγαγε, Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. ἄρτον ἐκέλευσεν αἰτεῖν ἐπιούσιον, οὐ τρυφήν, ἀλλὰ τροφήν, τὴν τὸ ἐλλεῖπον ἀναπληροῦσαν τοῦ σώματος, καὶ τὸν ἐκ λιμοῦ κωλύουσαν θάνατον· οὐ τραπέζας φλεγμαινούσας, οὐδὲ ὄψων ποικιλίας, καὶ ὀψοποιῶν μαγγανείας, καὶ ἀρτοποιῶν ἐπινοίας, καὶ οἴνους ἀνθοσμίας, καὶ τἆλλα ὅσα τὸν μὲν λαιμὸν ἡδύνει, τὴν δὲ γαστέρα φορτίζει, καὶ σκιρτᾶν τὸ σῶμα κατὰ τῆς ψυχῆς παρασκευάζει, καὶ δυσηνίοχον τῷ ἡνιόχῳ τὸν πῶλον ἐργάζεται. οὐ ταῦτα ἡμᾶς αἰτεῖν ὁ λόγος ἐδίδαξεν, ἀλλ᾽ ἄρτον ἐπιούσιον, τουτέστιν, ἐπὶ τὴν οὐσίαν τοῦ σώματος διαβαίνοντα, καὶ συγκροτῆσαι ταύτην δυνάμενον. καὶ τοῦτον δὲ οὐκ εἰς πολλὴν ἐτῶν ἀριθμὸν αἰτεῖν ἐκελεύσθημεν, ἀλλὰ τὸν σήμερον ἡμῖν ἀρκοῦντα μόνον. Μὴ μεριμνήσητε γάρ, φησιν, εἰς τὴν αὔριον. τί δήποτε γὰρ περὶ τῆς αὔριον φροντίζει τις, ὁ τὴν αὔριον οὐ πάντως ἐσόμενος, ἀλλὰ τὸν μὲν πόνον δεξάμενος; θάρρησον τῷ Θεῷ τῷ διδόντι τροφὴν πάσῃ σαρκί. ὁ τὸ σῶμά σου δεδωκώς, καὶ τὴν ψυχὴν ἐμφυσήσας, καὶ ζῶόν σε λογικὸν κατασκευάσας, καὶ πάντα σοι τὰ ἀγαθὰ πρὸ διαπλάσεως ἑτοιμάσας, πῶς σε διαπλασθέντα περιόψεται, ὃς ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους; τούτῳ τοίνυν θαρρῶν, τὴν ἐφήμερον μόνην αἴτει τροφήν, τῆς δὲ αὔριον αὐτῷ κατάλιπε τὴν φροντίδα, ὡς καὶ ὁ μακάριος ἔλεγε Δαβίδ· Ἐπίρριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει. οὕτω διὰ τῶν εἰρημένων τὴν ἄκραν ἐκπαιδεύσας φιλοσοφίαν, εἰδὼς ὅτι τῶν ἀδυνάτων ἐστίν, ἀνθρώπους ἡμᾶς ὄντας καὶ θνητὸν σῶμα περικειμένους μὴ πταίειν, ἐδίδαξε λέγειν, Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. τρία κατ᾽ αὐτὸ ἀγαθὰ διὰ τοῦδε τοῦ λόγου πραγματεύεται· τοὺς μὲν ἄκρους τὴν ἀρετήν, μετριότητα διδάσκει φρονήματος, καὶ παρακελεύεται μὴ θαρρεῖν τοῖς κατορθώμασιν, ἀλλὰ δεδιέναι καὶ τρέμειν καὶ τῶν προτέρων ἁμαρτημάτων μνημονεύειν· ὡς καὶ ὁ θεσπέσιος ποιεῖ Παῦλος, μετὰ μυρία κατορθώματα λέγων· Ὅτι Ἰησοῦς Χριστὸς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. οὐκ εἶπεν, ἤμην, ἀλλ᾽, εἰμί, δεικνὺς ὅτι ἄπαυστον εἶχε τῶν εἰργασμένων τὴν μνήμην. τοῖς μὲν οὖν ἄκροις τὴν ἀρετὴν ἀπὸ τῆς ταπεινοφροσύνης ἀσφάλειαν διὰ τούτων τῶν λόγων ἐμηχανήσατο· τοὺς δὲ πταίσαντας μετὰ τὴν τοῦ ἁγίου βαπτίσματος χάριν, οὐκ ἀφίησιν ἀπογινώσκειν τῆς ἑαυτῶν σωτηρίας, ἀλλ᾽ αἰτεῖν διδάσκει παρὰ τοῦ ἰατροῦ τῶν ψυχῶν τῆς ἀφέσεως τὰ φάρμακα. πρὸς δὲ τούτοις, καὶ φιλανθρωπίας διδασκαλίαν ὁ λόγος προστίθεται. βούλεται γὰρ ἡμᾶς ἡμέρους εἶναι περὶ τοὺς ὁμοδούλους, ἀμνησικάκους περὶ τοὺς εἰς ἡμᾶς πλημμελοῦντας, καὶ τῇ περὶ τούτους συγγνώμῃ ἑαυτοῖς δωρεῖσθαι συγγνώμην, καὶ ἡμᾶς αὐτοὺς προεισφέρειν τῆς φιλανθρωπίας τὰ μέτρα. τοσοῦτον γὰρ αἰτούμεθα λαβεῖν, ὅσον τοῖς πλησίον παρέχομεν, καὶ τοσαύτης ἀξιοῦμεν συγγνώμης τυχεῖν, ὅσην τοῖς ὀφείλουσι δωρούμεθα. πρὸς τούτοις, ἐκελεύσθημεν λέγειν, Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. πολλὰ μὲν γὰρ ἡμῖν ἐκ διαβολικῆς ἐνεργείας προσγίνεται λυπηρά, πολλὰ δὲ καὶ ἐξ ἀνθρώπων, ἢ περιφανῶς ἐπιβουλευόντων. καὶ τὸ σῶμα ποτὲ μὲν ἐπανιστάμενον τῇ ψυχῇ, χαλεπὴν ἐργάζεται βλάβην· ποτὲ δὲ παντοδαποῖς ἀρρωστήμασι περιπῖπτον, ὀδύνας ἡμῖν ἐπιφέρει

πιφέρει

Ματθ. ϛ. λδ.

Ψαλμ. νδ. κε.

α. Τιμ. α. ιε.

περιφέρει καὶ ἀηδίας. ἐπεὶ τοίνυν πολλὰ καὶ διάφορά ἐστι τὰ πολλαχόθεν προσπίπτοντα λυπηρά, ἐδιδάχθημεν παρὰ τοῦ Θεοῦ τῶν ὅλων αἰτεῖν τὴν τούτων ἀπαλλαγήν. αὐτοῦ γὰρ ἐπαμύνοντος, πᾶσα μὲν κατασβέννυται ζάλη, ὁ δὲ κλύδων εἰς γαλήνην μεθίσταται, καὶ ὑποχωρεῖ κατῃσχυμμένος ὁ πονηρός, καθάπερ ποτὲ τοὺς ἀνθρώπους καταλείπων, κατὰ τῶν χοίρων ἐχώρησεν, οὐδὲ ἐκεῖνο ποιῆσαι τολμήσας δίχα τοῦ κελεύσαντος. ὁ δὲ κατὰ χοίρων ἐξουσίαν οὐκ ἔχων, πῶς ἀνθρώπων ἐγρηγορότων καὶ νηφόντων, καὶ ὑπὸ Θεοῦ φυλαττομένων, καὶ βασιλέα οἰκεῖον ἡγουμένων αὐτὸν κρατῆσαι δυνήσεται; διὰ τοῦτο καὶ τῷ τέλει τῆς προσευχῆς, τοῦ Θεοῦ τὴν βασιλείαν καὶ τὴν δύναμιν καὶ τὴν δόξαν ὑπέδειξεν, εἰπών· ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν. ταῦτα γάρ, φησιν, αἰτῶ παρὰ σοῦ, ὅτι οἶδά σε βασιλέα πάντων, αἰώνιον κεκτημένον κράτος, καὶ πάντα δυνάμενον, ὅσαπερ ἂν θέλῃς, καὶ δόξαν κεκτημένον ἀναφαίρετον. ὑπὲρ δὲ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ τοσούτων ἡμᾶς ἀξιώσαντι ἀγαθῶν, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ κράτος, τῷ πατρί, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. 15 κβ.

Λογ. λα. ΕΙΣ ΤΗΝ ΕΠΙΛΥΣΙΝ ΤΗΣ ΧΑΝΑΝΑΙΑΣ. *ἘΡρέθη δὲ μετὰ τὸ ὑποστρέψαι αὐτὸν ἐκ τῆς ἐξορίας.

ΠΟλὺς ὁ χειμών, ἀλλὰ τὴν προθυμίαν τῶν παραγινομένων οὐ διεκώλυσε· πολλοὶ οἱ πειρασμοί, ἀλλὰ τὸν πόθον ὑμῶν οὐκ ἐξέλυσαν. οὐ παύεται ἡ ἐκκλησία πολεμουμένη καὶ νικῶσα, ἐπιβουλευομένη καὶ περιγινομένη. ὅσον ἄλλοι ἐπιβουλεύουσι, τοσοῦτον αὕτη αὔξεται. καὶ τὰ μὲν κύματα διαλύεται, ἡ δὲ πέτρα ἕστηκεν ἀκίνητος. ἐν ἡμέρᾳ διδασκαλία, ἐν νυκτὶ παννυχίδες. ἡ ἡμέρα πρὸς τὴν νύκτα ἁμιλλᾶται· ἐκεῖ″ συνάξεις, καὶ ἐνταῦθα″ συνάξεις. ἡ νὺξ τὴν ἀγορὰν ἐκκλησίαν ἐργάζεται, ἡ δὲ προθυμία πυρὸς σφοδροτέρα. οὐ δέεσθε παραινέσεως, καὶ ἐπιδείκνυσθε τὴν σπουδήν. τίς οὐκ ἂν ἐκπλαγείη, τίς οὐκ ἂν θαυμάσειεν; οὐ μόνον οἱ ὄντες οὐκ ἀπελείφθησαν, ἀλλὰ καὶ οἱ μὴ ὄντες προσεγίνοντο. τοιοῦτον τῶν πειρασμῶν τὸ κέρδος. καθάπερ γὰρ ὑετὸς εἰς τὴν γῆν κατιὼν διεγείρει τὰ σπέρματα, οὕτω καὶ ὁ πειρασμὸς εἰς τὴν ψυχὴν εἰσιὼν διεγείρει τὴν προθυμίαν. λόγος ἐστὶ τοῦ Θεοῦ ἀκίνητος· Πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. ὁ πολεμῶν, ἑαυτὸν καταλύει, τὴν δὲ ἐκκλησίαν ἰσχυροτέραν δείκνυσιν· ὁ πολεμῶν, τὴν ἰσχὺν ἑαυτοῦ καταβάλλει, ἡμῶν δὲ λαμπρότερον ἐργάζεται τὸ τρόπαιον. ὁ Ἰὼβ ἦν καλὸς καὶ πρὸ τούτου, μετὰ δὲ ταῦτα βελτίων ἐφάνη. οὐχ οὕτω καλὸς ἦν ὅτε ἀσινὴς ἦν τὸ σῶμα, ὡς καλὸς ἦν ὅτε τῷ ἰχῶρι τῶν τραυμάτων ἐστεφανοῦτο. μηδέποτε φοβηθῇς πειρασμόν, ἐὰν ψυχὴν παρεσκευασμένην ἔχῃς. οὐ βλάπτει ἡ θλῖψις, ἀλλ᾽ ὑπομονὴν κατεργάζεται. ὥσπερ γὰρ τὸ χρυσίον οὐ βλάπτει ἡ κάμινος, οὕτως οὐδὲ τὸν γενναῖον διαφθείρει ἡ θλῖψις. τί ποιεῖ ἡ κάμινος τὸ χρυσίον; καθαρὸν ἀποτελεῖ. τί ἐργάζεται ἡ θλῖψις τῷ φέροντι τὴν ὑπομονήν; ὑψηλότερον κατασκευάζει, ῥαθυμίαν περικόπτει, συνάγει τὴν ψυχήν, σωφρονέστερον ποιεῖ τὸν λογισμόν. ἐπήγαγον πειρασμόν, ἵνα τὰ πρόβατα ἀπελάσωσι, καὶ τὸ ἐναντίον ἐξέβη· εἰσήγαγε γὰρ ποίμνια. ἐν τίσι τὰ ἡμέτερα; ἐν εὐδοκιμήσει. ἐν τίσι τὰ ἐκείνων; ἐν αἰσχύνῃ. ποῦ εἰσι τὰ ἐκείνων; οὐδὲ φαίνονται. τὴν ἀγορὰν περιέρχομαι, καὶ οὐδένα βλέπω. φύλλα ἦν, καὶ ἀνέμου φυσήσαντος ἐξέπεσεν· ἄχυρα ἦν, καὶ διερριπίσθη, καὶ ὁ σῖτος ἐφάνη ὥριμος· μόλυβδος ἦν, καὶ ἐτάκη, καὶ τὸ χρυσίον διέμεινε καθαρόν. τίς αὐτοὺς ἐλαύνει; οὐδείς. ἀλλὰ τὸ συνειδὸς πολέμιον ἔχουσι

Ματθ. 15. ιη.

συνοικοῦντ

συνοικοῦντα μετὰ τὴν ἁμαρτίαν. ἴσασι τί ἔπραξαν. ἐπεὶ καὶ ὁ Κάϊν ἐβούλετο σφάξαι τὸν ἀδελφὸν αὐτοῦ. ἀλλ' ὅτε ἐβούλετο σφάξαι, ἡ ἐπιθυμία ὤδινε· ἐπειδὴ δὲ τὴν ἁμαρτίαν εἰργάσατο, στένων καὶ τρέμων πανταχοῦ τῆς οἰκουμένης περιήρχετο. οὗτοι δὲ, εἰ καὶ μὴ ἔσφαξαν τῇ πείρᾳ, ἀλλ' ἔσφαξαν τῇ γνώμῃ. ἡ σφαγὴ προεχώρησεν ὅσον κατὰ τὴν ἐκείνων πονηρίαν, ἡ δὲ ζωὴ συνεχωρήθη διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν. Ταῦτα λέγω, τὴν προθυμίαν τὴν ὑμετέραν ἐπαλείφων, ἵνα μηδέποτε φοβηθῆτε πειρασμόν. πέτρα εἶ; μὴ φοβοῦ τὰ κύματα. Ἐπὶ γὰρ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς, φησί. ποτὲ ἔξωθεν οἱ πόλεμοι, ποτὲ ἔνδοθεν· ἀλλ' οὐδεὶς καταποντίζει τὸ σκάφος. ἀλλ' ἵνα μὴ τὸν ἅπαντα καιρὸν εἰς τὰ ἐκείνων ἐγκλήματα ἀναλώσωμεν, παραδόντες αὐτοὺς τῷ φόβῳ τοῦ συνειδότος, καὶ τὸν δήμιον ἀφέντες ταλανίζειν αὐτῶν τὴν διάνοιαν καὶ τὸν λογισμὸν τῶν ἀκαίρων ἐπιθυμιῶν, ἀφέντες τοὺς φυγάδας, μηδενὸς ἐλαύνοντος, ἀφέντες τοὺς ἀτίμους, μηδενὸς αὐτοῖς πολεμοῦντος, ἡμεῖς τὴν συνήθη παραθήσομεν τράπεζαν. οὐδὲ γὰρ δίκαιον τὸν καιρὸν ἀναλῶσαι εἰς τὰ ἐγκλήματα τῶν ἐχθρῶν, καὶ τὰ παιδία λιμῷ τηκόμενα παριδεῖν. χθὲς τοίνυν ὁ Παῦλος τὴν τράπεζαν ἡμῖν παρέθηκε, σήμερον ὁ Ματθαῖος· χθὲς ὁ σκηνοποιὸς, σήμερον ὁ τελώνης· χθὲς ὁ βλάσφημος, σήμερον ὁ ἅρπαξ· χθὲς ὁ διώκτης, σήμερον ὁ πλεονέκτης. ἀλλ' ὁ βλάσφημος οὐκ ἔμεινε βλάσφημος, ἀλλ' ἐγένετο ἀπόστολος· καὶ ὁ ἅρπαξ οὐκ ἔμεινεν ἅρπαξ, ἀλλ' ἐγένετο εὐαγγελιστής. λέγω καὶ τὴν προτέραν κακίαν, καὶ τὴν μετὰ ταῦτα ἀρετὴν, ἵνα μάθῃς ὅση τῆς μετανοίας ἡ ὠφέλεια, ἵνα μηδέποτε σὺ τῆς σωτηρίας ἀπογνῷς. οἱ διδάσκαλοι ἡμῶν ἀπὸ ἁμαρτίας ἔλαμπον πρὸ τούτου, ἀλλ' ὕστερον ἔλαμψαν ἀπὸ δικαιοσύνης. τελώνης καὶ βλάσφημος, τὰ ἀκροθίνια τῆς πονηρίας. τί γάρ ἐστι τελώνιον; ἁρπαγὴ ἔννομος, βία πεπαρρησιασμένη, ἀδικία νόμον ἔχουσα συνήθειαν. λῃστῶν χαλεπώτερος ὁ τελώνης. τί ἐστι τελώνιον; βία νόμον εἰς συνήθειαν περιβαλλομένη, τὸν ἰατρὸν ἔχουσα δήμιον. συνήκατε ὃ εἶπον; οἱ νόμοι ἰατροί εἰσιν, ἔπειτα καὶ δήμιοι γίνονται. οὐ γὰρ λύουσι τὸ ἕλκος, ἀλλὰ αὔξουσι. τί ἐστι τελώνιον; ἀναίσχυντος ἁμαρτία, ἁρπαγὴ πρόφασιν οὐκ ἔχουσα, λῃστείας χαλεπωτέρα. ὁ λῃστὴς κἂν αἰσχύνεται κλέπτων· οὗτος δὲ παρρησιάζεται ἁρπάζων. ἀλλ' οὗτος ὁ τελώνης ἀθρόον εὐαγγελιστὴς ἐγένετο. πῶς δὲ καὶ τίνι τρόπῳ; Παράγων, φησὶν, ὁ Ἰησοῦς εἶδε Ματθαῖον ἐπὶ τὸ τελώνιον καθήμενον, καὶ λέγει αὐτῷ, ἀκολούθει μοι. ὢ λόγου δύναμις. εἰσῆλθε τὸ ἄγκιστρον, καὶ τὸν αἰχμάλωτον στρατιώτην ἐποίησε, τὸν πηλὸν χρυσὸν εἰργάσατο. εἰσῆλθε τὸ ἄγκιστρον, καὶ εὐθέως ἀναστὰς ἠκολούθησεν αὐτῷ. εἰς τὸ βάθος ἦν τῆς πονηρίας, καὶ εἰς τὴν ἁψῖδα ἀνέβη τῆς ἀρετῆς. μηδεὶς τοίνυν, ἀγαπητοὶ, ἀπογινωσκέτω τῆς ἑαυτοῦ σωτηρίας. οὐκ ἔστι φύσεως τὰ τῆς πονηρίας· προαιρέσει τετιμήμεθα καὶ ἐλευθερίᾳ. τελώνης εἶ; δύνασαι γενέσθαι εὐαγγελιστής. βλάσφημος εἶ; δύνασαι γενέσθαι ἀπόστολος. λῃστὴς εἶ; δύνασαι παράδεισον συλῆσαι. μάγος εἶ; δύνασαι προσκυνῆσαι τὸν δεσπότην. οὐκ ἔστιν οὐδεμία κακία μετανοίᾳ μὴ λυομένη. διὰ τοῦτο τὰ ἀκροθίνια τῆς πονηρίας ἐξελέξατο ὁ Χριστὸς, ἵνα μηδεὶς πρὸς τὸ τέλος ἀποφυγεῖν ἔχοι. μή μοι λέγε, ἀπώλεσα, καὶ τί λοιπόν; μή μοι λέγε, ἡμάρτηκα, καὶ τί ποιήσω; ἰατρὸν ἔχεις ἀνώτερον τῆς ἀῤῥωστίας, ἰατρὸν ἔχεις νικῶντα τοῦ νοσήματος τὴν φύσιν, ἰατρὸν ἔχεις νεύματι θεραπεύοντα, ἰατρὸν ἔχεις θελήματι διορθούμενον καὶ δυνάμενον βουλόμενον. οὐκ ὄντα σε παρήγαγεν, ὄντα σε καὶ διαστραφέντα πολλῷ μᾶλλον διορθῶσαι δυνήσεται. οὐκ ἤκουσας, ὡς τὸ πρότερον ἔλαβε χοῦν ἀπὸ τῆς γῆς, καὶ ἔπλασε τὸν ἄνθρωπον; πῶς τὴν γῆν σάρκα ἐποίησε; πῶς νεῦρα; πῶς ὀστέα; πῶς δέρμα; πῶς φλέβας; πῶς ῥῖνα; πῶς ὀφθαλμούς; πῶς βλέφαρα; πῶς ὀφρῦς; πῶς γλῶτταν; πῶς θώρακα; πῶς χεῖρας; πῶς πόδας; πῶς τὰ ἄλλα πάντα; γῆ ἦν τὸ ὑποκείμενον, μία οὐσία, καὶ εἰσῆλθεν ἡ τέχνη, καὶ ποικίλην εἰργάσατο

Ματθ. 16. 18.

Ματθ. 9. 9.

εἰργάσατο τὴν δημιουργίαν. μὴ δύνασαι τὸν τρόπον εἰπεῖν καθ' ὅνπερ ἐδημιουργήθης; οὕτως οὐδὲ τὸν τρόπον δύνασαι εἰπεῖν καθ' ὃν καθαιρεῖται τὰ ἁμαρτήματα. εἰ γὰρ τὸ πῦρ ἐμπῖπτον εἰς τὰς ἀκάνθας, ἀναλίσκει αὐτάς, πολλῷ μᾶλλον τὸ βούλημα τοῦ Θεοῦ τὰ πλημμελήματα τὰ ἡμέτερα δαπανᾷ καὶ πρόρριζα ἀνασπᾷ, καὶ τοῦ μὴ ἡμαρτηκότος τὸν ἡμαρτηκότα ὅμοιον κατασκευάζει. μὴ ζήτει τὸν τρόπον, μὴ περιεργάζου τὸ γινόμενον, ἀλλὰ πίστευε τῷ θαύματι. ἡμάρτηκα, λέγεις, πολλὰ καὶ μεγάλα; καὶ τίς ἐστιν ἀναμάρτητος; ἀλλ' ἐγὼ χαλεπά, φησί, καὶ μεγάλα καὶ ὑπὲρ πάντα ἄνθρωπον. ἀρκεῖ σοι εἰς θυσίαν τοῦτο. Λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς· ἐπίγνωθι ὅτι ἥμαρτες, καὶ ἀρχή σοι διορθώσεως τοῦτο γενήσεται. στέναξον, γενοῦ κατηφής, ἔκχεε δάκρυα. μὴ γὰρ ἄλλο τι εἰσήνεγκεν ἡ πόρνη; οὐδὲν ἕτερον, ἢ δάκρυα καὶ μετάνοιαν. ἔλαβε χειραγωγὸν τὴν μετάνοιαν, καὶ προσῆλθε τῇ πηγῇ. τί δέ φησιν ὁ τελώνης καὶ ὁ εὐαγγελιστής, ἀκούσωμεν. Καὶ ἐξελθὼν ὁ Ἰησοῦς ἐκεῖθεν, ἦλθεν εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος. καὶ ἰδοὺ γυνή. θαυμάζει ὁ εὐαγγελιστής, ἰδοὺ γυνή, τὸ παλαιὸν ὅπλον τοῦ διαβόλου, ἡ τοῦ παραδείσου με ἐκβαλοῦσα, ἡ μήτηρ τῆς ἁμαρτίας, ἡ ἀρχηγὸς τῆς παραβάσεως, αὕτη ἐκείνη ἡ γυνὴ ἔρχεται, αὕτη ἡ φύσις. καινὸν θαῦμα καὶ παράδοξον. Ἰουδαῖοι φεύγουσι, καὶ ἡ γυνὴ καταδιώκει. καὶ ἰδοὺ γυνὴ ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα, παρεκάλει αὐτὸν λέγουσα· Κύριε, υἱὲ Δαβίδ, ἐλέησόν με. εὐαγγελίστρια γέγονεν ἡ γυνή, καὶ τὴν θεότητα καὶ τὴν οἰκονομίαν ὁμολογεῖ. Κύριε, τὴν δεσποτείαν· υἱὲ Δαβίδ, τῆς σαρκὸς τὴν ἀνάληψιν. ἐλέησόν με. ὅρα φιλόσοφον ψυχήν. ἐλέησόν με, οὐκ ἔχω κατορθώματα βίου, οὐκ ἔχω παρρησίαν πολιτείας· ἐπὶ ἔλεον καταφεύγω, ἐπὶ τὸν κοινὸν τῶν ἡμαρτηκότων λιμένα. ἐπὶ ἔλεον καταφεύγω, ὅπου δικαστήριον οὐκ ἔστιν, ὅπου ἀνεξέταστος ἡ σωτηρία. καίτοι οὕτω πονηρὰ οὖσα καὶ παράνομος, ἐτόλμησε προσελθεῖν. καὶ ὅρα γυναικὸς φιλοσοφίαν. οὐ παρακαλεῖ Ἰάκωβον, οὐ δεῖται Ἰωάννου, οὐδὲ προσέρχεται Πέτρῳ, ἀλλὰ διέτεμε τὸν χορόν. οὐκ ἔχω μεσίτου χρείαν, ἀλλὰ λαβοῦσα τὴν μετάνοιαν συνήγορον, αὐτῇ τῇ πηγῇ προσέρχομαι. διὰ τοῦτο κατέβη, διὰ τοῦτο σάρκα ἀνέλαβεν, ἵνα κἀγὼ αὐτῷ διαλεχθῶ. ἄνω τὰ χερουβὶμ αὐτὸν τρέμει, καὶ κάτω πόρνη αὐτῷ διαλέγεται. ἐλέησόν με. ψιλὸν τὸ ῥῆμα, καὶ πέλαγος ἀχανὲς σωτηρίας εὑρίσκει. ἐλέησόν με. διὰ τοῦτο παρεγένου, διὰ τοῦτο σάρκα ἀνέλαβες, διὰ τοῦτο ἐγένου ὅπερ ἐγὼ εἰμί. ἄνω τρόμος, καὶ κάτω παρρησία. ἐλέησόν με. οὐ χρείαν ἔχω μεσίτου, ἐλέησόν με. τί ἔχεις; ἔλεον ζητῶ. τί πάσχεις; ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. ἡ φύσις βασανίζεται, ἡ συμπάθεια γυμνάζεται. ἐξῆλθε συνήγορος τοῦ θυγατρίου· οὐ φέρει τὴν νοσοῦσαν, ἀλλὰ φέρει τὴν πίστιν. Θεός ἐστι, καὶ τὰ πάντα βλέπει. ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. πένθος χαλεπόν. τὸ κέντρον τῆς φύσεως τὴν μήτραν διέσχισε, τὸ κλυδώνιον ἐν τοῖς σπλάγχνοις. τί ποιήσω; ἀπόλλυμαι. καὶ διατί μὴ λέγεις, ἐλέησον τὴν θυγατέρα μου, ἀλλ', ἐλέησόν με; ἐκείνη ἐν ἀναισθησίᾳ ἔχει τὸ πάθος, οὐκ οἶδε τί πάσχει, οὐκ αἰσθάνεται τῆς ὀδύνης, παραπέτασμα τῆς συμφορᾶς ἔχουσα τὸ ἀνώδυνον, μᾶλλον δὲ τὸ ἀναίσθητον· ἐμὲ δὲ ἐλέησον τὴν θεωρὸν τῶν καθημερινῶν κακῶν. θέατρον ἔχω συμφορᾶς ἐν τῇ οἰκίᾳ. ποῦ ἀπέλθω; εἰς τὴν ἔρημον; ἀλλ' οὐ τολμῶ αὐτὴν καταλιπεῖν μόνην. ἀλλὰ εἰς τὴν οἰκίαν; ἀλλ' εὑρίσκω τὸν πολέμιον ἔνδον, τὰ κύματα ἐν τῷ λιμένι, θέατρον συμφορᾶς. τί αὐτὴν καλέσω; νεκράν; ἀλλὰ κινεῖται. ἀλλὰ ζῶσαν; ἀλλ' οὐκ οἶδεν ὃ ποιεῖ. οὐκ οἶδα εὑρεῖν ὄνομα ἑρμηνεῦον τὸ πάθος. ἐλέησόν με. εἰ ἐτεθνήκει τὸ θυγάτριον, οὐκ ἂν τοιαῦτα ἔπασχον· παρέδωκα ἂν τοῖς κόλποις τῆς γῆς τὸ σῶμα, καὶ τῷ χρόνῳ τὴν λήθην ἂν εἰσήγαγον, καὶ διεφόρησα ἂν τὸ ἕλκος· νῦν δὲ νεκρὸν ἔχω διηνεκῆ θεωρίαν μοι ἐργαζόμενον, ὑφαίνοντά μοι τὸ τραῦμα, πλεονάζοντά μοι τὸ πάθος. πῶς ἴδω ὀφθαλμοὺς διαστρεφομένους; χεῖρας στραγγαλουμένας; πλοκάμους λυομένους; ἀφρὸν προϊέμενον; τὸν δήμιον ἔνδον

Ησ. μγ.

Ματθ. ιε. κα.

δον ὄντα καὶ μὴ φαινόμενον; τὸν μαστίζοντα μὴ ὁρώμενον, τὰς δὲ μάστιγας φαινομένας; ἕστηκα θεωρὸς τῶν ἀλλοτρίων κακῶν, ἕστηκα τῆς φύσεώς με κεντριζούσης. ἐλέησόν με. χαλεπὸν τὸ κλυδώνιον, πάθος καὶ φόβος· πάθος φύσεως, καὶ φόβος δαίμονος. προσελθεῖν οὐ δύναμαι, οὐδὲ κατασχεῖν. ὠθεῖ με τὸ πάθος, καὶ διακρούεταί με ὁ φόβος. ἐλέησόν με. ἐννόησον γυναικὸς φιλοσοφίαν. οὐκ ἀπῆλθε πρὸς μάγους, οὐκ ἐκάλεσε μάντεις, οὐ περίαπτα ἐποίησεν, οὐ μαγγανευτρίας γυναῖκας ἐμισθώσατο, ταύτας τὰς γοητευούσας δαίμονας καὶ αὐξούσας τὸ ἕλκος· ἀλλ' ἀφῆκε τοῦ διαβόλου τὸ ἐργαστήριον, καὶ ἔρχεται ἐπὶ τὸν σωτῆρα τῶν ψυχῶν τῶν ἡμετέρων. ἐλέησόν με· ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. ἴστε τὸ πάθος, ὅσοι πατέρες ἐγένεσθε· βοηθήσατέ μου τῷ λόγῳ, ὅσαι μητέρες ἐγένεσθε. οὐ δύναμαι* ἑρμηνεῦσαι τὸν χειμῶνα, ὃν ὑπέμεινε τὸ γύναιον. ἐλέησόν με, ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. Εἶδες τὴν φιλοσοφίαν τῆς γυναικός, εἶδες τὴν καρτερίαν; τὴν ἀνδρείαν; τὴν ὑπομονήν; ὁ δὲ οὐκ ἀπεκρίνατο αὐτῇ λόγον. καινὰ πράγματα. παρακαλεῖ, δέεται, κλαίει τὴν συμφοράν, αὔξει τὴν τραγῳδίαν, διηγεῖται τὸ πάθος· καὶ ὁ φιλάνθρωπος οὐκ ἀποκρίνεται. ὁ λόγος σιωπᾷ, ἡ πηγὴ κλείεται, ὁ ἰατρὸς τὰ φάρμακα συστέλλει. τί τὸ καινόν; τί τὸ παράδοξον; ἄλλοις ἐπιτρέχεις, καὶ ταύτην ἐπιτρέχουσαν ἐλαύνεις; ἀλλ' ἐννόησον τοῦ ἰατροῦ τὴν φιλοσοφίαν. ὁ δὲ οὐκ ἀπεκρίνατο αὐτῇ λόγον. τίνος ἕνεκα; ὅτι οὐ τὰ ῥήματα ἐξήταζεν, ἀλλὰ τὰ ἀπόρρητα τῆς διανοίας κατεμάνθανεν. ὁ δὲ οὐκ ἀπεκρίνατο αὐτῇ λόγον. τί δὲ οἱ μαθηταί; ἐπειδὴ οὐκ ἔτυχεν ἡ γυνὴ ἀποκρίσεως, προσελθόντες αὐτῷ λέγουσιν· Ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν. (Ματθ. ιε. κγ.) ἀλλὰ σὺ τῆς ἔξωθεν ἀκούεις κραυγῆς, ἐγὼ δὲ τῆς ἔνδοθεν. μεγάλη ἡ φωνὴ τοῦ στόματος, ἀλλὰ μείζων ἡ τῆς διανοίας. ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν. ἄλλος δὲ λέγει εὐαγγελιστής, ἔμπροσθεν ἡμῶν. ἐναντία τὰ εἰρημένα, ἀλλ' οὐ ψευδῆ. ἀμφότερα γὰρ ἐποίει. πρότερον γὰρ ὄπισθεν ἔκραζεν· ὅτε δὲ οὐκ ἀπεκρίθη, ἦλθεν ἔμπροσθεν, καθάπερ κύων "λείχων τοὺς πόδας τοῦ κυρίου αὐτοῦ. ἀπόλυσον αὐτήν. θέατρον περιέστησε, δῆμον συνήγαγε. * τὴν αἰσχύνην ἐθεώρουν τὴν ἀνθρωπίνην ἐκεῖνοι, ὁ δὲ δεσπότης τὴν φιλανθρωπίαν καὶ τὴν σωτηρίαν τῆς γυναικός. ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν. τί οὖν ὁ Χριστός; Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. ὅτε ἀπεκρίνατο, χεῖρον αὐτῆς ἐποίησε τὸ ἕλκος. ἰατρὸς γὰρ ἦν τέμνων, οὐχ ἵνα διέλῃ, ἀλλ' ἵνα συνάψῃ. ἐνταῦθα προσέχετέ μοι μετὰ ἀκριβείας, καὶ συντείνατέ μοι τὴν διάνοιαν. ζήτημα γὰρ βαθὺ ἀνερευνῆσαι βούλομαι. οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. τοῦτο ὅλον; διὰ τοῦτο ἄνθρωπος ἐγένου, σάρκα ἀνέλαβες, οἰκονομίας τοσαύτας εἰργάσω, ἵνα μίαν γωνίαν σώσῃς, καὶ ταύτην ἀπολλυμένην; ἡ δὲ οἰκουμένη πᾶσα ἔρημος, Σκύθαι, Θρᾷκες, Ἰνδοί, Μαῦροι, Κίλικες, Καππαδόκες, Σύροι, Φοίνικες, ὅσην ὁ ἥλιος ἐφορᾷ γῆν; διὰ Ἰουδαίους μόνους ἦλθες, τὰ δὲ ἔθνη ἐν ἐρημίᾳ*; καὶ περιορᾷς κνίσαν; περιορᾷς καπνόν; περιορᾷς τὸν πατέρα σου ὑβριζόμενον; εἴδωλα προσκυνούμενα; δαίμονας θεραπευομένους; καίτοι οἱ προφῆται οὐ ταῦτα λέγουσιν, ἀλλ' ὁ πρόγονός σου ὁ κατὰ σάρκα τί φησιν; Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. (Ψαλ. β. η.) Ἠσαΐας δὲ ὁ τῶν σεραφὶμ θεωρός, Καὶ ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ' αὐτὸν ἔθνη ἐλπιοῦσι. (Ησ. ια. ι.) καὶ Ἰακώβ, Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως οὗ ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν. (Γεν. μθ. ι.) καὶ Μαλαχίας, Διότι ἐν ὑμῖν συγκλεισθήσονται πύλαι χαλκαῖ, καὶ οὐκ ἀλλάξονται τὸ προκείμενον· Ὅτι ἀπὸ ἀνατολῶν καὶ μέχρι δυσμῶν ἡλίου τὸ ὄνομά σου δοξάζεται ἐν τοῖς ἔθνεσι, (Μαλ. α. ια.) καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσφέρεται τῷ Κυρίῳ, καὶ θυσία καθαρά· καὶ ὁ Δαβὶδ πάλιν, Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε (Ψαλ. μϛ. α.)

τῷ

γμμα ἔ-
σου δ.

ζατιρίσως

ειλείχων

όλωλω ἢ

ροφαῖ;

Ψαλμ. μς. α.
Ματθ. κη. ιθ.
Ματθ. η.
Λουκ. κγ. μγ.
Ματθ. θ. ϛ.
Ιωαν. ια. μγ.
Ἐξοδ. κγ. κδ.
Δευτ. ζ. γ.
Ησ. ε. α.

τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως· ὅτι Κύριος ὕψιστος, φοβερὸς, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος. καὶ ἄλλος, Εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ. καὶ σὺ αὐτὸς ἔφης, Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἐλθὼν δὲ οὐ μάγους εὐθέως ἐκάλεσας, τὴν ἀκρόπολιν τῶν ἐθνῶν; τὴν τυραννίδα τοῦ διαβόλου; τὴν δύναμιν τῶν δαιμόνων; οὐ καταβὰς προφήτας αὐτοὺς ἐποίησας; οὐ μάγους καλεῖς, καὶ προφῆται περὶ ἐθνῶν λέγουσιν, ἀναστὰς ἀπὸ τοῦ ᾅδου λέγεις τοῖς μαθηταῖς, Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· καὶ ὅτε ἦλθεν ἡ ἀθλία, ἡ ταλαίπωρος, ὑπὲρ θυγατρὸς παρακαλοῦσα, συμφορὰν δεομένη λῦσαι, τότε λέγεις, Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ; καὶ ὅτε μὲν ἑκατόνταρχος προσῆλθε, λέγεις· Ἐγὼ ἐλθὼν ἰάσομαι αὐτόν· ὅτε ὁ λῃστὴς, Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ· ὅτε ὁ παραλυτικὸς, Ἐγερθεὶς ἆρόν σου τὴν κλίνην, καὶ ὕπαγε· ὅτε ὁ Λάζαρος, Λάζαρε δεῦρο ἔξω· καὶ ἐξῆλθε τετραήμερος. λεπροὺς καθαίρεις, νεκροὺς ἐγείρεις, παραλυτικὸν σφίγγεις, τυφλοὺς θεραπεύεις, λῃστὰς σώζεις, πόρνην παρθένου σωφρονεστέραν ποιεῖς, καὶ ταύτῃ οὐδὲν ἀποκρίνῃ; τί τὸ καινόν; τί τὸ ξένον; τί τὸ παράδοξον; προσέχετε ἀκριβῶς, ἵνα μάθητε γυναικὸς ἀνδρείαν καὶ δεσπότου σοφίαν καὶ κηδεμονίαν, ἵνα μάθητε μέλλησιν κέρδος ἔχουσαν, ἵνα μάθητε τὴν αἴτησιν πλοῦτον περιεχομένην· ἵνα κἂν εὔξῃ καὶ σύ, καὶ μὴ λάβῃς, μηδέποτε ἀποστῇς. πρόσεχε καὶ συντείνον σεαυτόν. ὅτε τῆς Αἰγυπτιακῆς ἀπηλλάγησαν Ἰουδαῖοι τυραννίδος, καὶ τοῦ Φαραὼ τὰς χεῖρας ἀποφυγόντες, ἐπὶ τὴν ἔρημον ᾔεσαν, καὶ ἔμελλον εἰσιέναι τὴν Χαναναίων γῆν τῶν εἰδωλομανῶν καὶ ἀσεβῶν ἀνθρώπων, προσκυνούντων λίθους, θεραπευόντων ξύλα, πολλὴν ἀσέβειαν ἐπιδεικνυμένων, δέδωκεν αὐτοῖς ὁ Θεὸς τὸν νόμον τοῦτον, λέγων, Μὴ λάβῃς παρὰ τῶν υἱῶν αὐτῶν εἰς γαμβροὺς, μηδὲ δῷς τὴν θυγατέρα σου νύμφην αὐτοῖς. μὴ μεταδῷς αὐτοῖς χρυσίου μήτε τραπέζης κοινωνίαν μηδὲ συνουσίαν μηδὲ ἄλλου μηδενὸς τῶν τοιούτων, ὅτι παράνομα τὰ ἔθνη, εἰς ἃ εἰσάγω σε κληρονομῆσαι αὐτῶν. τοῦτο οὖν αὐτοῖς ὁ νόμος μονονουχὶ ἐνετέλλετο· μὴ ἀγοράσῃς, μὴ πωλήσῃς, μὴ γάμον ἐπιτελέσῃς μηδὲ συμβόλαια, ἀλλ' ἔσο εἰ καὶ τῷ τόπῳ ἐγγύς, ἀλλὰ τῷ τρόπῳ κεχωρισμένος. μηδέν σοι κοινὸν πρὸς αὐτοὺς, μὴ συναλλάγματα, μὴ πράσεις, μὴ ἀγορασίαι, μὴ ἐπιγαμίαι, μὴ ἐπιγαμβρεῖαι, ἵνα μὴ τῆς συγγενείας ἡ ἀνάγκη εἰς ἀσέβειαν σε ἐξολισθῆσαι παρασκευάσῃ, ἵνα μὴ τὸ δοῦναι καὶ τὸ λαβεῖν ποιήσῃ φίλον αὐτῶν· ἀλλ' ἐχθρὸς ἀεὶ ἔσο αὐτοῖς. μηδέν σοι καὶ Χαναναίοις, μὴ χρυσὸν αὐτῶν λάβῃς μηδὲ ἀργύριον, μὴ ἱματισμὸν, μὴ θυγατέρα, μὴ υἱὸν, μὴ ἄλλο τι τῶν τοιούτων μηδέν· ἀλλ' αὐτὸς καθ' ἑαυτὸν ἔσο. γλῶτταν ἔχεις χωρίζουσάν σε, καὶ νόμον σοι ἔδωκα. διὰ τοῦτο καὶ ὁ νόμος φραγμὸς λέγεται. ὥσπερ γὰρ ἀμπελῶνι φραγμὸς περίκειται, οὕτω καὶ τοῖς Ἰουδαίοις ὁ νόμος, ἵνα μὴ ὑπερβάντες ἀναμιγῶσι τοῖς Χαναναίοις. ἦσαν γὰρ παρ' αὐτοῖς παράνομοι ἐπιμιξίαι, διεφθαρμένοι τῆς φύσεως καὶ νόμοι, εἴδωλα προσκυνούμενα, ξύλα θεραπευόμενα, Θεὸς ὑβριζόμενος, τέκνα σφαττόμενα, πατέρες ἐμπτυόμενοι, μητέρες ἀτιμαζόμεναι, πάντα ἠλλοίωτο, πάντα διατετάρακτο, δαιμόνων ζωὴν ἔζων. διὰ τοῦτο οὐδέποτε συναλλάγματα ἐποίουν, οὐ συμβόλαια, οὐ πράσεις μετ' ἐκείνων· ἀλλ' ὁ νόμος ἐπὶ τοῖς μεγίστοις κείμενος, εἶργε μετ' ἀλλήλων τοὺς γάμους, τὰ συμβόλαια, τὰς ἐπιγαμβρίας. οὐδὲν κοινὸν πρὸς ἐκείνους εἶχον. ἀπειρημένοι οὖν ἦν ἐν τῷ νόμῳ τὸ συναλλάξαι Χαναναίοις, τὸ χρυσίον μεταδοῦναι, ἢ ἕτερόν τι, ἵνα μὴ τῆς φιλίας ἡ ὑπόθεσις ἀσεβείας ἀφορμὴ γένηται· ὁ νόμος περιέκειτο ἀντὶ φραγμοῦ. Ἀμπελῶνα, φησιν, ἐφύτευσα, καὶ φραγμὸν περιέθηκα, τουτέστι, νόμον, οὐχὶ ἀπὸ ἀκανθῶν, ἀλλ' ἀπὸ ἐντολῶν, τειχίζοντα καὶ ἀπείργοντα αὐτούς. ἀπειρημένοι οὖν καὶ Χαναναῖοι, βδελυροὶ, ἀσεβεῖς, ἐναγεῖς, μιαροὶ, ἀκάθαρτοι.

διὸ καὶ οὐδὲ ἀκοῦσαι αὐτῆς ἠνείχοντο οἱ Ἰουδαῖοι, τὸν νόμον πληροῦντες αὐτὸν λοιπόν. ἐπεὶ οὖν αὕτη ἡ γυνὴ ἀπὸ τῶν Χαναναίων ἦν (ἰδοὺ γὰρ γυνή, φησιν, ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα) ἐπεὶ οὖν αὕτη ἡ γυνὴ ἀπὸ τῶν Χαναναίων ἦν, προσῆλθε δὲ τῷ Χριστῷ, διὰ τοῦτο ἔλεγε, Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας, εἰ παρέβην τὸν νόμον; ἐπειδὴ γὰρ ἄνθρωπος ἦν, καὶ τὰ ἀνθρώπινα ἐπεδείκνυτο. λοιπὸν προσέχετε μετὰ ἀκριβείας τῷ λόγῳ. ἐπειδὴ ἡ γυνὴ Χαναναία ἦν, καὶ τῶν ὁρίων ἐκείνων, ἔνθα καὶ λύσσα καὶ μανία καὶ ἀσέβεια, ἔνθα διαβόλου τυραννὶς, καὶ δαιμόνων βακχεῖαι, καὶ φύσις πατουμένη, καὶ εἰς ἀλόγων ἀλογίας κατηνέχθησαν, εἰς δαιμόνων μανίας, ἐπέταττε δὲ καὶ ὁ νόμος, μηδέν σοι καὶ Χαναναίοις, μὴ δῷς, μὴ λάβῃς παρ' ἐκείνων, μὴ γυναῖκα λάβῃς, μὴ υἱὸν λάβῃς, μὴ συμβόλαια ποιήσῃς, μὴ συναλλάγματα (διὰ τοῦτο δὲ φραγμὸν περιέθηκα) ἐλθὼν δὲ ὁ Χριστὸς, καὶ τὰ τῶν ἀνθρώπων ἀναλαβὼν ὅπλα, αὐθωρὸν περιετμήθη, θυσίας προσήνεγκε, προσφορὰς, τὰ ἄλλα πάντα, ἔμελλε δὲ λύειν τὸν νόμον· ἵνα μὴ λέγωσιν, ὅτι ἀτονήσας πληρῶσαι αὐτὸν, διὰ τοῦτο ἔλυσε, πρότερον αὐτὸν πληροῖ, καὶ τότε λύει, ἵνα μὴ νομίσῃς ὅτι ἀτονεῖ, ἀλλὰ πληροῖ πάντα κατὰ τὸ ἔθος. διὰ τοῦτο βοᾷ καὶ λέγει, Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; ἐπεὶ οὖν καὶ τοῦτο νόμιμον ἦν, τὸ μηδὲν κοινὸν ἔχειν μετὰ Χαναναίων, ἵνα μὴ ἄρξωνται ἐγκαλεῖν αὐτῷ οἱ Ἰουδαῖοι καὶ λέγειν, διὰ τοῦτο οὐκ ἐπιστεύσαμέν σοι· παράνομος γὰρ ἦς, ἔλυσας τὸν νόμον, ἀπῆλθες εἰς τὴν Χαναναίων χώραν, Χαναναίοις ἀνεμίγης, τοῦ νόμου λέγοντος, μὴ ἀναμιγῇς, διὰ τοῦτο αὐτῇ οὐδὲν λαλεῖ τέως. πρόσεχε πῶς πληροῖ τὸν νόμον, καὶ οὐ προδίδωσι τὴν σωτηρίαν· καὶ Ἰουδαίους ἐπιστομίζει, καὶ ταύτην ἀνακτᾶται. ὁ δὲ οὐκ ἀπεκρίνατο, φησιν, αὐτῇ λόγον. μή μοι προφάσεις εἴπῃς. ἰδὲ οὐ λαλῶ, ἰδὲ οὐ διαλέγομαι, ἰδὲ συμφορὰ, καὶ τὸ ἐμαυτοῦ οὐκ ἐπιδείκνυμι, ἰδὲ ναυάγιον, καὶ ὁ κυβερνήτης οὐκ ἀναλύω τὸν χειμῶνα διὰ τὴν ὑμετέραν ἀγνωμοσύνην, ἵνα μὴ ἔχητε πρόφασιν. ἰδὲ, γυνὴ θέατρόν μοι περιέστησε, καὶ οὔπω λαμβάνει ἀπόκρισιν, ἵνα μὴ λέγητε, ὅτι ἐπέδωκας σεαυτὸν Χαναναίοις, καὶ παρέβης τὸν νόμον, καὶ ταύτην πρόφασιν ἐχομένην τοῦ μὴ πιστεῦσαί σοι. σκόπει πῶς διὰ τοῦτο οὐκ ἀπεκρίνατο τῇ γυναικὶ, ἵνα ἀποκριθῇ Ἰουδαίοις. ἡ πρὸς τὴν γυναῖκα σιγὴ, φωνὴ ἀγνωμοσύνης τοῖς Ἰουδαίοις ἐγίνετο. ταῦτα δὲ ἐποίει οὐ πρὸς τὴν οἰκείαν ἀξίαν, ἀλλὰ πρὸς τὴν ἐκείνων συγκαταβαίνων ἀσθένειαν. καὶ γὰρ ὅτε τὸν λεπρὸν ἐκαθάρισε, λέγει· Ἄπελθε, προσένεγκε τὸ δῶρον, ὃ προσέταξε Μωϋσῆς. σὺ ἐκάθαρας, καὶ πέμπεις αὐτὸν εἰς τὸν νόμον Μωϋσέως; ναί. διὰ τί; διὰ τοὺς * Ἰουδαίους, ἵνα μὴ ἄρξωνται ἐγκαλεῖν, ὅτι παρέβην τὸν νόμον. διὰ τοῦτο καὶ ὅτε ἐθεράπευσε τὸν λεπρὸν, ξένως ἐθεράπευσεν αὐτόν. καὶ ἄκουε πῶς. Καὶ ἰδοὺ λεπρὸς προσελθὼν παρεκάλει αὐτὸν λέγων, Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι· καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἥψατο αὐτοῦ, λέγων· θέλω, καθαρίσθητι. ἐν τῷ νόμῳ οὐκ ἐξῆν ἅπτεσθαι λεπροῦ. ὅτε οὖν ἦλθε Νεαιμὰν ὁ στρατηλάτης πρὸς Ἐλισσαῖον τὸν προφήτην λέπρᾳ κατεχόμενος, λέγει αὐτῷ ὁ μαθητής, Ἰδοὺ λεπρὸς στρατηλάτης ἔξω. ὁ δὲ πέμπει τὸν μαθητὴν ἐξελθεῖν καὶ εἰπεῖν αὐτῷ, ἄπελθε λοῦσαι εἰς τὸν Ἰορδάνην, καὶ οὐκ ἐτόλμησεν ἐξελθεῖν αὐτὸς καὶ ἰδεῖν τὸν λεπρὸν καὶ ἅψασθαι αὐτοῦ. ἐπεὶ οὖν ἐκαθάρισεν ὁ Ἐλισσαῖος λεπρὸν, ἵνα μὴ λέγωσιν οἱ Ἰουδαῖοι, ὅτι ὁμοίως Ἐλισσαίῳ ἐκάθαρε, διὰ τοῦτο ἐκεῖνος μὲν οὐ τολμᾷ ἅψασθαι, οὗτος δὲ ἅπτεται), καὶ λέγει, θέλω, καθαρίσθητι. καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ, ἥψατο τοῦ λεπροῦ. διὰ τί ἥψατο; ἵνα σε διδάξῃ ὅτι οὐκ ἔστι δοῦλος ὑποκείμενος νόμῳ, ἀλλὰ δεσπότης ἐπικείμενος τῷ νόμῳ. πῶς οὖν ἐτήρησε τὸν νόμον; τῷ εἰπεῖν, θέλω, καθαρίσθητι, καὶ μὴ εὐθέως αὐτοῦ ἅψασθαι. προέλαβεν ὁ λόγος, ἐδραπέτευσε τὸ νόσημα, εἶτα ἥψατο τοῦ ἀκαθάρτου, καὶ εἶπε, θέλω, καθαρίσθητι. πῶς; εὐθέως ἐκαθαρίσθη. οὐχ εὑρίσκει ὁ εὐαγγελιστὴς εἰπεῖν (καὶ γὰρ τὸ εὐθέως βραδύ ἐστιν) οὐχ εὑρίσκει λόγον ἰσόρροπον τῷ τάχει τῆς ἐνεργείας. εὐ-

λέγξει]

λέγξει

Ιωαν. η. μϛ.

Ματθ. η. δ.

Ματθ. η. α. β. γ.

δ. Βασ. ε.

θέως· πῶς; ἅμα ἐξέβη ὁ λόγος, καὶ ἐδραπέτευσε τὸ νόσημα, ἐφυγαδεύθη ἡ λέπρα, λοιπὸν
Ματθ. η. δ. καθαρὸς ὁ λεπρός. διὰ τοῦτο λέγει· Ὕπαγε, σεαυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ προσένεγκε
τὸ δῶρον, ὃ προσέταξε Μωϋσῆς, εἰς μαρτύριον αὐτοῖς. τίσι; τοῖς Ἰουδαίοις· ἵνα μὴ λέγωσιν
ὅτι παραβαίνω τὸν νόμον. ἐγὼ ἐθεράπευσα, καὶ λέγω, προσένεγκε τὸ δῶρον τοῦ νόμου,
ἵνα ἐκείνῃ τῇ ἡμέρᾳ ὁ λεπρὸς αὐτὴν κατηγορήσῃ λέγων· ἐμοὶ προσέταξε
δῶρον κατὰ νόμον προσενεγκεῖν. καὶ ὥσπερ πολλὰ ἕνεκεν Ἰουδαίων ἐποίει ὁ Χριστὸς, ἀναπολογήτους
Ματθ. ιε. κβ. αὐτοὺς εἰς πάντα ποιῶν, οὕτω καὶ ἐνταῦθα. Ἐλέησόν με, ὅτι ἡ θυγάτηρ
κγ. μου κακῶς δαιμονίζεται. ὁ δὲ οὐκ ἀπεκρίνατο αὐτῇ λόγον. προσελθόντες
δὲ οἱ μαθηταὶ αὐτοῦ λέγουσιν, ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν. τί οὖν
αὐτός; οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.
ἵνα μὴ λέγωσιν Ἰουδαῖοι, ὅτι ἀφῆκας ἡμᾶς, καὶ ἀπῆλθες ἔξω, καὶ διὰ τοῦτο
σοι οὐκ ἐπιστεύσαμεν· ἰδού, φησι, καὶ ἀπὸ ἐθνῶν ἔρχονται, καὶ οὐ δέχομαι αὐτούς· ὑμᾶς δὲ καὶ
Ματθ. ια. κη. φεύγοντας καλῶ, Δεῦτε πρός με πάντες οἱ κοπιῶντες, καὶ οὐκ ἔρχεσθε. ταύτην ἀπορρίπτω,
Ψαλ. ιζ. μδ. καὶ παραμυθοῦμαι. Λαός, ὃν οὐκ ἔγνω, ἐδούλευσέ μοι, φησιν· εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ
Ἡσ. ξε. α. μου. καὶ ἀλλαχοῦ, Ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ζητοῦσι, καὶ εὑρέθην τοῖς ἐμὲ μὴ
ἐπερωτῶσιν. ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν. ἴδωμεν οὖν τί φησιν ὁ Χριστός.
οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. οὐκ ἦν τὰ
ῥήματα ἀποτρεπτικά; μονονουχὶ γὰρ λέγει, ἀπόστηθι, ὅτι οὐδὲν κοινὸν ἔχεις πρὸς ἐμέ· οὐκ
ἦλθον διὰ σέ, ἀλλ' ἦλθον διὰ Ἰουδαίους· οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ
ἀπολωλότα οἴκου Ἰσραήλ. ἡ δὲ ἀκούσασα εἶπε· ναί, Κύριε, βοήθει μοι, καὶ προσεκύνει
Ματθ. ιε. κε. λέγουσα. ὁ δὲ οὐκ ἀπεκρίνατο αὐτῇ. ἀλλ' ὅρα ἀπόκρισιν. Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον
τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις. ὢ κηδεμονία ἰατροῦ. ἐν ἀπαγορεύσει ἐπισπᾶται
αὐτήν. οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων. τίνων; τῶν Ἰουδαίων· καὶ δοῦναι
τοῖς κυναρίοις, τουτέστιν, ὑμῖν. οὕτως εἰς αἰσχύνην Ἰουδαίων ταῦτα εἰρήκει ὁ Κύριος. τέκνα
Φιλιπ. γ. β. γὰρ καλούμενοι, κύνες ἐγένοντο. διὰ τοῦτο καὶ Παῦλος λέγει· Βλέπετε τοὺς κύνας, βλέπετε
τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατατομήν. ἡμεῖς γάρ ἐσμεν ἡ περιτομή· οἱ
Γαλατ. δ. ιθ. ἐθνικοὶ κύνες ἐκλήθησαν, καὶ ἐγένοντο τέκνα. Τέκνα μου, οὓς πάλιν ὠδίνω ἄχρις οὗ μορφωθῇ
Χριστὸς ἐν ὑμῖν. τὸ ἐγκώμιον τοῦτο, Ἰουδαίου κατηγορία ἐστίν. οὐκ ἔστι καλὸν λαβεῖν τὸν
Ματθ. ιε. κζ. ἄρτον τῶν τέκνων, καὶ δοῦναι τοῖς κυναρίοις. τί οὖν ἡ γυνή; ναί, Κύριε. ὢ βία γυναικός, ὢ
φιλονεικία ψυχῆς. ὁ ἰατρὸς λέγει, οὐχί, καὶ αὐτὴ λέγει, ναί· ὁ δεσπότης λέγει, οὐκ, αὐτὴ λέγει,
ναί· οὐ κατηγοροῦσα οὐδὲ ἀναισχυντοῦσα, ἀλλὰ σωτηρίαν ἐκδεχομένη. οὐκ ἔστι καλὸν
λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ δοῦναι τοῖς κυναρίοις. ναί, Κύριε. κύνα με καλεῖς, ἐγὼ
δέ σε Κύριον καλῶ· σὺ μὲν ὑβρίζεις, ἐγὼ δέ σε ὑμνῶ. ναί, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίουσιν
ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἐκ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. ὢ σοφία γυναικός·
ἀπὸ τοῦ ὑποδείγματος εὗρε λόγον πρέποντα. κύνα με καλεῖς. ὡς κύων τρέφομαι.
οὐ παραιτοῦμαι τὸ ὄνειδος· οὐ φεύγω τὴν κλῆσιν, λάβω οὖν τὴν τροφὴν τοῦ κυνός. καὶ λέγει
πρᾶγμα ἐν συνηθείᾳ συμβαῖνον. σὺ τὰ σὰ στῆσον· κύνα με ἐκάλεσας, δός μοι ψιχίον.
συνήγορος ἐγένου μοι τῇ αἰτήσει. ἐν τῇ παραιτήσει τὴν συγκατάθεσιν ἐπίδειξον. ναί,
Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίουσιν ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν
κυρίων αὐτῶν. τί οὖν ὁ παραιτούμενος, ὁ διώκων, ὁ ἐλαύνων, ὁ λέγων, οὐκ ἔστι καλὸν λαβεῖν
τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις; ὁ λέγων, οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ
πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ; Ω γύναι, μεγάλη σου ἡ πίστις. ἐπαινέτης ἀθρόος
ἐγένου; ἀνακηρύττεις τὴν γυναῖκα; οὐκ ἤλαυνες; οὐκ ἐδίωκες; θαρσεῖ· διὰ τοῦτο ἀπεβαλόμην.
εἰ γὰρ ἐξ ἀρχῆς αὐτὴν ἀπέλυσα, οὐκ ἂν ἔμαθες αὐτῆς τὴν πίστιν. εἰ

ἐκ

παροιμίαν ἔλαβεν, ἀνεχώρει ἂν ταχὺ; καὶ τὸν θησαυρὸν αὐτῆς οὐκ ἂν ἠπίστατό τις. διὰ τοῦτο ἀνεβαλόμην τὴν δόσιν, ἵνα ἅπασι δείξω τὴν πίστιν. ὦ γύναι. Θεὸς λέγει, ὦ γύναι. ἀκουέτωσαν οἱ εὐχόμενοι μετὰ βαναυσίας. ὅταν εἴπω τινὶ, παρακάλεσον τὸν Θεὸν, δεήθητι αὐτοῦ, ἱκέτευσον αὐτὸν, λέγει· παρεκάλεσα ἅπαξ, δεύτερον, τρίτον, δέκατον, εἰκοστὸν· καὶ οὐκέτι οὐκ ἔλαβον. μὴ ἀποστῇς, ἀδελφὲ, ἕως ἂν λάβῃς· τέλος αἰτήσεως, ἡ δόσις τοῦ αἰτουμένου. τότε ἀπόστηθι, ὅταν λάβῃς· μᾶλλον δὲ μηδὲ τότε, ἀλλὰ καὶ τότε παράμενε. κἂν μὴ λάβῃς, αἴτει ἵνα λάβῃς· ὅταν δὲ λάβῃς, εὐχαρίστησον, ὅτι ἔλαβες. εἰσέρχονται πολλοὶ ἐν τῇ ἐκκλησίᾳ, ἀπαρτίζουσι μυρίους στίχους εὐχῆς, καὶ ἐξέρχονται, καὶ οὐκ οἴδασι τί εἶπον· τὰ χείλη κινεῖται, ἡ δὲ ἀκοὴ οὐκ ἀκούει. σὺ οὐκ ἀκούεις τῆς εὐχῆς σου, καὶ τὸν Θεὸν θέλεις εἰσακοῦσαι τῆς εὐχῆς σου; ἔκλινα λέγεις τὰ γόνατα, ἀλλ' ἡ διάνοιά σου ἔξω ἐπέτετο· τὸ σῶμά σου ἔνδον τῆς ἐκκλησίας, καὶ ἡ γνώμη σου ἔξω· τὸ στόμα ἔλεγε τὴν εὐχὴν, καὶ ἡ διάνοια ἠρίθμει τόκους, συμβόλαια, συναλλάγματα, χωρία, κτήματα, φίλων συνουσίας. ὁ γὰρ διάβολος πονηρὸς ὢν, καὶ εἰδὼς ὅτι ἐν καιρῷ εὐχῆς μεγάλα αἰύομεν*, τότε ἐπέρχεται. πολλάκις κείμεθα ὕπτιοι ἐν κλίνῃ, καὶ οὐδὲν λογιζόμεθα· ἤλθομεν εὔξασθαι, καὶ μυρίοι λογισμοὶ, ἵνα ἐκβάλῃ ἡμᾶς κενούς.

Ταῦτα τοίνυν εἰδὼς ἐν ταῖς εὐχαῖς, ἀγαπητὲ, γίνεσθαι, τὴν Χαναναίαν μίμησαι, ὁ ἀνὴρ τὴν γυναῖκα, τὴν ἀλλόφυλον, τὴν ἀσθενῆ, τὴν ἀπερριμμένην καὶ εὐκαταφρόνητον. ἀλλ' οὐκ ἔχεις θυγατέρα δαιμονιζομένην; ἀλλ' ἔχεις ψυχὴν ἁμαρτάνουσαν. τί εἶπεν ἡ Χαναναία; ἐλέησόν με, ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. εἰπὲ καὶ σὺ, ἐλέησόν με, ἡ ψυχή μου κακῶς δαιμονίζεται. μέγας γὰρ δαίμων ἡ ἁμαρτία. ὁ δαιμονῶν ἐλεεῖται, ὁ ἁμαρτάνων μισεῖται· ἐκεῖνος συγγνώμην ἔχει, οὗτος ἀπολογίας ἐστέρηται. ἐλέησόν με· βραχὺ τὸ ῥῆμα, καὶ πέλαγος εὗρε φιλανθρωπίας. ὅπου γὰρ ἔλεος, πάντα τὰ ἀγαθά· κἂν ἔξω ᾖς, κράζε καὶ λέγε, ἐλέησόν με, μὴ κινῶν τὰ χείλη, ἀλλὰ τῇ διανοίᾳ βοῶν. καὶ σιωπώντων γὰρ ἀκούει ὁ Θεός. οὐ ζητεῖται τόπος, ἀλλ' ἀρχὴ τρόπου. ὁ Ἱερεμίας ἐν βορβό- Ἱερ. λη. ρῳ ἦν, καὶ τὸν Θεὸν ἐπεσπάσατο· ὁ Δανιὴλ ἐν λάκκῳ λεόντων, καὶ τὸν Θεὸν ἐξευμενίσατο· Δαν. ϛ. οἱ παῖδες οἱ τρεῖς ἐν τῇ καμίνῳ ἦσαν, καὶ τὸν Θεὸν ὑμνοῦντες ἐδυσώπησαν· ὁ λῃστὴς ἐ- Δαν. γ. σταυρώθη, καὶ οὐκ ἐκώλυσεν ὁ σταυρὸς, ἀλλὰ τὸν παράδεισον ἤνοιξεν· ὁ Ἰὼβ ἐν κοπρίᾳ ἦν, καὶ Λουκ. κγ. Ἰωβ. β. τὸν Θεὸν ἵλεων κατεσκεύασεν· ὁ Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους, καὶ τὸν Θεὸν ὑπήκοον εἶχε. Ἰων. β. κἂν ἐν βαλανείῳ ᾖς, εὔχου, κἂν ἐν ὁδῷ, κἂν ἐπὶ κλίνης· ὅπου ἐὰν ᾖς, εὔχου. ναὸς εἶ τοῦ Θεοῦ, μὴ ζήτει τόπον· γνώμης χρεία μόνον. κἂν δικαστῇ παραστῇς, εὔχου· ὅταν ὀργίζηται ὁ δικαστὴς, εὔχου. θάλαττα ἦν ἔμπροσθεν, ὄπισθεν Αἰγύπτιοι, μέσος ὁ Μωϋσῆς. πολλὴ ἐν τῇ εὐχῇ στενοχωρία, ἀλλὰ μέγα τὸ πλάτος τῆς εὐχῆς ἦν. ὄπισθεν οἱ Αἰγύπτιοι ἐδίωκον, ἔμπροσθεν ἡ θάλασσα, μέση ἡ εὐχή. καὶ οὐδὲν ἐλάλει ὁ Μωϋσῆς, καὶ λέγει αὐτῷ ὁ Θεός· Τί βοᾷς πρός με; τὸ μὲν στόμα οὐ λαλεῖ, ἡ δὲ διάνοια βοᾷ. καὶ σὺ τοίνυν, ἀγαπητὲ, Ἐξοδ. ιδ. ιε. ὅταν παραστῇς δικαστῇ μαινομένῳ, τυραννοῦντι, τὰ μέγιστα ἀπειλοῦντι, καὶ ἄλλοις δημίοις ταὐτὰ ποιοῦσιν, εὖξαι σὺ τῷ Θεῷ, καὶ εὐχομένου σου τὰ κύματα καταστέλλεται. ὁ δικαστὴς ἐπὶ σέ; σὺ ἐπὶ τὸν Θεὸν κατάφευγε. ὁ ἄρχων πλησίον σου; σὺ τὸν δεσπότην κάλεσον. μὴ γὰρ ἄνθρωπός ἐστιν, ἵνα ἀπέλθῃς εἰς τόπον; Θεὸς ἀεὶ ἐγγύς ἐστιν. ἐὰν θέλῃς παρακαλέσαι ἄνθρωπον, ἐρωτᾷς τί ποιεῖ, καθεύδει, ἀσχολεῖται, ὁ διακονῶν οὐκ ἀποκρίνεταί σοι. ἐπὶ δὲ τοῦ Θεοῦ οὐδὲν τούτων. ὅπου ἐὰν ἀπέλθῃς καὶ καλέσῃς, ἀκούει. οὐκ ἀσχολία, οὐ μεσίτης, οὐ διάκονος διατειχίζει. εἰπὲ, ἐλέησόν με, καὶ παρευθὺ Θεὸς παραγίνεται. Ἔτι γὰρ, φη- Ἠσ. νη. θ. σι, λαλοῦντός σου, ἐρῶ, ἰδοὺ ἐγὼ πάρειμι. ὢ ῥῆμα ἡμερότητος γέμον. οὐδὲ ἀναμένει τελέσαι τὴν εὐχήν. οὔπω τελεῖς τὴν εὐχὴν, καὶ λαμβάνεις τὴν δόσιν. ἐλέησόν με. ταύτην μιμησώμεθα τὴν Χαναναίαν, παρακαλῶ, ἐλέησόν με, ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται.

ὁ δὲ Κύριος λέγει πρὸς αὐτήν· ὦ γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις. ποῦ ὁ αἱρετικός; μὴ εἶπε, παρακαλέσω μου τὸν πατέρα; μὴ εἶπεν, ἱκετεύσω τὸν γεννήσαντά με; μὴ εὐχῆς χρεία ἐνταῦθα; οὐδαμῶς. διὰ τί; ἐπειδὴ μεγάλη ἦν ἡ πίστις. μέγα ἦν τὸ σκεῦος, μεγάλη καὶ ἡ χάρις ἐξεχύθη. ὅπου δὲ εὐχῆς, ἀσθενὲς τὸ σκεῦος. ὦ γύναι, μεγάλη σου ἡ πίστις. οὐ νεκρὸν εἶδες ἐγειρόμενον, οὐ λεπρὸν καθαριζόμενον, οὐ προφητῶν ἤκουσας, οὐ νόμον ἐμελέτησας, οὐ θάλατταν εἶδες σχιζομένην, οὐχ ἕτερόν τι σημεῖον ἑώρακας παρ' ἐμοῦ γινόμενον· ὑβρίσθης δὲ μᾶλλον παρ' ἐμοῦ, καὶ ἐξηπορήθης. ἀπηγόρευσά σου τὸ πάθος· καὶ οὐκ ἀνεχώρησας, ἀλλὰ παρέμεινας. λοιπὸν ἀπόλαβε καὶ σὺ παρ' ἐμοῦ ἀξίαν καὶ πρέπουσαν εὐφημίαν. ὦ γύναι, μεγάλη σου ἡ πίστις. ἀπέθανεν ἡ γυνή, καὶ τὸ ἐγκώμιον αὐτῆς μένει διαδήματος ὂν λαμπρότερον. ὅπου ἐὰν ἀπέλθῃς, ἀκούεις τοῦ Χριστοῦ λέγοντος, ὦ γύναι, μεγάλη σου ἡ πίστις. εἴσελθε εἰς Περσῶν τὴν ἐκκλησίαν, καὶ ἀκούσεις τοῦ Χριστοῦ λέγοντος, ὦ γύναι, μεγάλη σου ἡ πίστις· εἰς τὴν Γότθων, εἰς τὴν βαρβάρων, εἰς τὴν Ἰνδῶν, εἰς τὴν Μαύρων, ὅσην ἥλιος ἐφορᾷ γῆν. ἕνα λόγον ὁ Χριστὸς ἐφθέγξατο, καὶ οὐ σιωπᾷ ὁ λόγος, ἀλλὰ μεγάλῃ τῇ φωνῇ ἀνακηρύττει τὴν πίστιν αὐτῆς, λέγων, ὦ γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις. οὐκ εἶπε, θεραπευθήτω τὸ θυγάτριόν σου· ἀλλ' ὡς θέλεις, σὺ αὐτὴν θεράπευσον· σὺ γενοῦ ἰατρός· σοὶ ἐγχειρίζω τὸ φάρμακον· ὕπαγε, ἐπίθες, γενηθήτω σοι ὡς θέλεις. τὸ θέλημά σου θεραπευσάτω αὐτήν. ἡ Χαναναία θελήματι ἐθεράπευσε, καὶ ὁ υἱὸς τοῦ Θεοῦ ἀφ' ἑαυτοῦ οὐ θεραπεύει; γενηθήτω σοι ὡς θέλεις. οὐδὲ ἐκέλευσεν ἡ γυνή, οὐδὲ ἐπέταξε τῷ δαιμονίῳ, ἀλλ' ἠθέλησε μόνον· καὶ τὸ θέλημα τῆς γυναικὸς ἐθεράπευσε, καὶ δαίμονας ἐξέβαλε. ποῦ εἰσιν οἱ τολμῶντες λέγειν, ὅτι δι' εὐχῆς ὁ υἱὸς ἰᾶται; γενηθήτω σοι, ὡς θέλεις. βλέπε καὶ τῆς λέξεως τὴν εὐγένειαν. τὸν πατέρα τὸν ἑαυτοῦ μιμεῖται. ὅτε γὰρ ἐποίει τὸν οὐρανὸν ὁ Θεός, εἶπε, γενηθήτω ὁ οὐρανός, καὶ ἐγένετο ὁ οὐρανός· γενηθήτω ἥλιος, καὶ ἐγένετο ἥλιος· γενηθήτω γῆ, καὶ ἐγένετο γῆ· ἐπιτάγματι τὴν οὐσίαν ἤγαγεν. οὕτω καὶ αὐτός, γενηθήτω σοι, ὡς θέλεις. ἡ συγγένεια τῆς λέξεως τὴν κοινωνίαν τῆς φύσεως ἔδειξε. καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς. πότε; ἀπὸ τῆς ὥρας ἐκείνης· οὐκ ἐξ ὅτου ἦλθεν ἡ μήτηρ αὐτῆς ἐν τῷ οἴκῳ, ἀλλὰ πρὶν ἐλθεῖν. ἦλθεν εὑρεῖν δαιμονιῶσαν, καὶ εὗρεν ὑγιαίνουσαν τῷ θελήματι αὐτῆς θεραπευθεῖσαν. ὑπὲρ δὲ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ Θεῷ, ὅτι αὐτῷ πρέπει δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. ιη κδ.

Λογ. λϛ. ΕΙΣ ΤΗΝ ΠΑΡΑΒΟΛΗΝ ΤΟΥ ΤΑ ΜΥΡΙΑ ΤΑΛΑΝΤΑ ὀφείλοντος, καὶ τὰ ἑκατὸν δηνάρια ἀπαιτοῦντος· καὶ ὅτι παντὸς ἁμαρτήματος τὸ μνησικακεῖν χεῖρον.

ΩΣ ἐκ μακρᾶς ἀποδημίας ἐπανελθὼν πρὸς ὑμᾶς, οὕτω διάκειμαι τήμερον. τοῖς γὰρ φιλοῦσιν, ὅταν μὴ δύνωνται συγγενέσθαι τοῖς φιλουμένοις, οὐδὲν ὄφελός ἐστι τῆς παρουσίας. διά τοι τοῦτο καὶ ἡμεῖς ἐνδημοῦντες, τῶν ἀποδημούντων οὐδὲν ἄμεινον διεκείμεθα, ἐπειδὴ τὸν παρελθόντα χρόνον διαλεχθῆναι πρὸς ὑμᾶς οὐκ ἰσχύσαμεν. ἀλλὰ σύγγνωτε. οὐδὲ γὰρ ῥᾳθυμίας, ἀλλ' ἀσθενείας ἦν ἡ σιγή. ὑμεῖς μὲν οὖν χαίρετε νῦν, ἐπειδὴ τῆς ἀρρωστίας ἀπηλλάγημεν· ἐγὼ δὲ χαίρω, ἐπειδὴ τὴν ὑμετέραν ἀπέλαβον ἀγάπην. ἐπεὶ καὶ ἡνίκα ἠσθένουν, τῆς νόσου μοι χαλεπώτερον ἦν τὸ μὴ δύνασθαι τοῦ ἀγαπητοῦ τούτου μετέχειν συλλόγου· καὶ νῦν ἐπειδὴ τὴν ἀρρωστίαν ἀπεθέμην, τῆς ὑγιείας μοι ποθεινότερον γέγονε τὸ μετ' ἀδείας ἔχειν ἐντρυφᾶν ὑμῶν τῇ ἀγάπῃ. οὐδὲ γὰρ οὕτω πυρετὸς σώματος φύσει κατακαίειν εἴωθε τοὺς πυρέττοντας, ὡς τὰς ἡμετέρας ψυχὰς τὸ κεχωρίσθαι τῶν φιλουμένων· καὶ καθάπερ ἐκεῖνοι φιάλας καὶ ποτήρια καὶ ψυχρὰ νάματα ἐπιζητοῦσιν, οὕτως οὗτοι τῶν ποθουμένων τὰς ὄψεις. ἴσασι ταῦτα καλῶς, ὅσοι φιλεῖν εἰώθασι. φέρε οὖν, ἐπειδὴ τὴν ἀρρωστίαν ἀπεθέμεθα, πάλιν ἀλλήλων ἐμφορηθῶμεν, εἴγε δυνατὸν ἐμφορηθῆναί ποτε. ἡ γὰρ τῆς ἀγάπης φύσις κόρον οὐκ οἶδεν, ἀλλ' ἀεὶ τῶν ἀγαπωμένων ἀπολαύουσα, πρὸς μείζονα αἴρεται φλόγα. καὶ τοῦτο ὁ τῆς ἀγάπης τρόφιμος Παῦλος εἰδὼς ἔλεγε, Μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾷν ἀλλήλους. Ῥωμ. ιγ. η. τοῦτο γὰρ μόνον ἐστὶ ὄφλημα ἀεὶ μὲν καταβάλλεται, οὐδέποτε δὲ ἀποδίδοται· ἐνταῦθα τὸ διηνεκῶς ὀφείλειν καλὸν καὶ ἐπαίνων ἄξιον. ἐπὶ μὲν γὰρ τῶν χρημάτων τοὺς μηδὲν ὀφείλοντας ἐπαινοῦμεν, ἐπὶ δὲ τῆς ἀγάπης τοὺς διηνεκῶς ὀφείλοντας ἀποδεχόμεθα καὶ θαυμάζομεν· καὶ ὅπερ ἀγνωμοσύνης ἐκεῖ, τοῦτο ἐνταῦθα εὐγνωμοσύνης σημεῖόν ἐστι, τὸ μηδέποτε διαλύεσθαι τὸ τῆς ἀγάπης ὄφλημα. μὴ δυσχεράνητε δὲ πρὸς τὸ μῆκος τῶν μελλόντων ῥηθήσεσθαι. καὶ γὰρ κιθαρῳδίαν ὑμᾶς τινα θαυμαστὴν διδάξαι βούλομαι, οὐχὶ λύραν νευρὰν μεταχειρισάμενος, ἀλλὰ τὰς τῶν γραφῶν ἱστορίας καὶ τὰς τοῦ Θεοῦ ἐντολὰς ἀντὶ νευρῶν ἀνατείνας. καὶ καθάπερ οἱ κιθαρῳδοὶ τοὺς δακτύλους τῶν μαθητευομένων λαμβάνοντες, ἠρέμα τοῖς φθόγγοις προσάγουσι, καὶ διαψηλαφᾷν μετ' ἐμπειρίας διδάσκοντες, ἐκ τῶν ἀφώνων φθόγγων τε καὶ νευρῶν πάσης φωνῆς ἡδίω καὶ γλυκυτέραν παιδεύουσι κατασκευάζειν φωνήν, οὕτω δὴ καὶ ἡμεῖς ποιήσωμεν· ἀντὶ δακτύλων τὴν διάνοιαν ὑμῶν μεταχειρισάμενοι, καὶ ταῖς ἐντολαῖς τοῦ Θεοῦ προσαγαγόντες, μετ' ἐμπειρίας αὐτῶν ἅπτεσθαι παρακαλέσομεν τὴν ὑμετέραν ἀγάπην, οὐχ ἵνα ἀνθρώπων θέατρον, ἀλλ' ἵνα τῶν ἀγγέλων τὸν δῆμον διὰ ταύτης τῆς ἡδονῆς ἀναστήσητε. οὐ γὰρ ἀρκεῖ τὰ θεῖα λόγια ἐπελθεῖν μόνον, ἀλλὰ δεῖ καὶ τῆς ἀπὸ τῶν ἔργων ἐπιδείξεως. καὶ καθάπερ ἐπὶ τῆς κιθάρας, ἅπτεται μὲν ὁ τεχνίτης τῶν νευρῶν, ἅπτεται δὲ καὶ ὁ ἄπειρος, ἀλλ' ὁ μὲν λυπεῖ τὸν ἀκροατήν, ὁ δὲ ψυχαγωγεῖ καὶ τέρπει, καίτοιγε οἱ αὐτοὶ δάκτυλοι καὶ αἱ αὐταὶ νευραί, ἀλλ' οὐχ ἡ αὐτὴ ἐμπειρία· οὕτω δὴ καὶ ἐπὶ τῶν θείων γραφῶν. ἐπέρχονται μὲν πολλοὶ τὰ θεῖα λόγια, ἀλλ' οὐ πάντες κερδαίνουσιν, οὐδὲ καρποῦνται πάντες. τὸ δὲ αἴτιον, ἐπειδὴ μήτε τοῖς εἰρημένοις ἐμβαθύνουσι, μήτε μετὰ τέχνης τῆς κιθάρας ἅπτονται. ὅπερ γὰρ ἐπὶ τῆς κιθαρῳδίας ἡ τέχνη, τοῦτο ἐπὶ τῶν τοῦ Θεοῦ νόμων ἡ διὰ τῶν ἔργων ἐπίδειξις. ἤδη μὲν οὖν μίαν ἐκρούσαμεν νευρὰν δι' ὅλης τῆς τεσσαρακοστῆς, τὸν περὶ τῶν ὅρκων νόμον ὑμῖν ἀναγινώσκοντες, καὶ διὰ τὴν τοῦ Θεοῦ χάριν πολλὰ στόματα τῶν ἀκροατῶν ἡμῖν ἐπαιδεύθη τὴν τοῦ νόμου μελῳδίαν ἐκείνου, καὶ τὴν πονηρὰν ἀπελάσαντες συνήθειαν ἀντὶ τοῦ τὸν Θεὸν ὀμνύναι, τὸ ναί, καὶ τὸ οὔ, καὶ τὸ πίστευσον, ἐπὶ τοῦ στόματος περιφέρουσι διηνεκῶς ἐπὶ διαλέξεως ἁπάσης· κἂν μυρίων πραγμάτων ἀνάγκη βιάζηται, περαιτέρω προελθεῖν οὐκ ἂν ἀνάσχοιντο. ἐπειδὴ δὲ οὐκ ἀρκεῖ πρὸς σωτηρίαν ἡμῖν μιᾶς ἐντολῆς ὑποδοχή, φέρε τήμερον καὶ ἐπὶ ἑτέραν ὑμᾶς μεταγάγωμεν. καὶ γὰρ καὶ εἰ μὴ πάντες κατώρθωσαν τὸν πρότερον νόμον, ἀλλά γε τοῦ χρόνου προϊόντος τοὺς φθάσαντας οἱ ὑστερήσαντες καταλήψονται. καὶ γὰρ ἔγνων, ὡς τοσαύτη τοῦ πράγματος γέγονε σπουδή, ὡς καὶ ἐπὶ οἰκίας καὶ ἐπὶ τραπέζης ἀνδράσι πρὸς γυναῖκας, δούλοις πρὸς ἐλευθέρους ἅμιλλαι εἶναι περὶ τῆς ἐντολῆς ταύτης, καὶ ἐμακάρισα τοὺς οὕτως ἑστιωμένους. τί γὰρ τῆς τραπέζης ἐκείνης ἁγιώτερον γένοιτ' ἄν, ἔνθα μέθη μὲν καὶ ἀδηφαγία καὶ πᾶσα ἀσωτία ἀπελήλαται, θαυμαστὴ δέ τις ἀντεισενήνεκται περὶ τῆς φυλακῆς τῶν τοῦ Θεοῦ νόμων ἅμιλλα· καὶ παρατηρεῖ μὲν ἀνὴρ τὴν γυναῖκα, ὅπως εἰς τὰ τῆς ἐπιορκίας μηδέποτε ἐμπέσῃ βάραθρα, φυλάττει δὲ γυνὴ τὸν ἄνδρα, καὶ καταδίκη τῷ παραβαίνοντι κεῖται μεγίστη· οὐκ ἐπαισχύνεται δὲ οὐδὲ ὑπὸ τῶν δούλων ὁ δεσπότης ἐλέγχεσθαι, οὐδὲ τοὺς οἰκέτας αὐτοῦ ἐπὶ τούτοις διορθοῦν:

θοιῶ; οὐκ ἂν τις ἁμάρτοι τὴν τοιαύτην οἰκίαν, ἐκκλησίαν Θεοῦ προσειπών. ὅπου γὰρ σωφροσύνη τοσαύτη, ὡς ἐν καιρῷ τρυφῆς μεμνημένων ὑπὲρ τῶν θείων νόμων, καὶ οὐδὲ παρόντας ἅπαντας ὑπὲρ τούτου πρὸς ἀλλήλους ἀγωνίζεσθαι καὶ φιλονεικεῖν, εὔδηλον, ὅτι δαίμων μὲν ἅπας καὶ πονηρὰ δύναμις ἀπελήλαται). Χριστὸς δὲ πάρεστι χαίρων ἐπὶ τῇ καλῇ τῶν δούλων φιλονεικίᾳ, πᾶσαν αὐτοῖς ἐπιδαψιλευόμενος εὐλογίαν. διὰ δὴ τοῦτο ταύτην ἀφεὶς λοιπὸν τὴν ἐντολὴν (οἶδα γὰρ ὅτι Θεοῦ χάριτι πᾶσαν ἐπιδραμεῖται τὴν πόλιν ὑμῖν θερμὰ προοίμια ἀναλαβοῦσι καὶ ἀρχὴν ἰσχυρὰν) ἐφ' ἑτέραν μεταβήσομαι, τὴν τῆς ὀργῆς ὑπεροψίαν. ὥσπερ γὰρ ἐπὶ τῆς κιθάρας οὐκ ἀρκεῖ μόνον ἀπὸ μιᾶς νευρᾶς τὴν μελῳδίαν ἐργάσασθαι, ἀλλὰ πάσας ἐπιέναι δεῖ μετὰ ῥυθμοῦ τοῦ προσήκοντος· οὕτω καὶ ἐπὶ τῆς κατὰ ψυχὴν ἀρετῆς οὐκ ἀρκεῖ μόνος ἡμῖν εἰς σωτηρίαν εἷς νόμος, καθάπερ ἔφθην εἰπών, ἀλλὰ δεῖ πάντας αὐτοὺς μετὰ ἀκριβείας φυλάττειν, εἰ δὴ μέλλοιμεν τῆς ἁπάσης ἁρμονίας ἡδίω καὶ χρησιμωτέραν μελῳδίαν ἐργάζεσθαι. ἔμαθές σου τὸ στόμα μὴ ὀμνύναι; ἐπαιδεύθη ἡ γλῶττα ναὶ καὶ οὐ λέγειν πανταχοῦ; μαθέτω καὶ λοιδορίαν ἀποστρέφεσθαι ἅπασαν, καὶ πλείονα περὶ τὴν ἐντολὴν ταύτην εἰσφέρειν σπουδήν, ἐπειδὴ καὶ πλείονος ἡμῖν δεῖται καὶ πόνου. ἐκεῖ μὲν γὰρ συνηθείας περιγενέσθαι μόνον ἔδει, ἐπὶ δὲ τῆς ὀργῆς εὐτονωτέρας δεῖ τῆς σπουδῆς. τυραννικὸν γὰρ τὸ πάθος, καὶ πολλάκις παρασύρει τοὺς νήφοντας, καὶ πρὸς τὸ βάραθρον αὐτὸ κατάγει τῆς ἀπωλείας. ἀνάσχεσθε τοίνυν τοῦ μήκους τῶν λόγων. καὶ γὰρ ἄτοπον καθ' ἑκάστην ἡμέραν τραυματιζομένους ἐν ἀγοραῖς, ἐν οἰκίαις, ὑπὸ φίλων, ὑπὸ συγγενῶν, ὑπὸ ἐχθρῶν, ὑπὸ γειτόνων, ὑπὸ οἰκετῶν, ὑπὸ γυναικός, ὑπὸ παιδίου, ὑπὸ οἰκείων λογισμῶν, μηδὲ ἅπαξ τῆς ἑβδομάδος ἁπάσης ὑπὲρ τῆς θεραπείας τῶν τραυμάτων ἐκείνων φροντίζειν, καὶ ταῦτα εἰδότας ὡς ἀδάπανός τε καὶ ἀνώδυνος οὗτος τῆς θεραπείας ὁ τρόπος. οὐδὲ γὰρ τὸ σιδήριον ἐν τῇ χειρὶ κατέχων νῦν, ἀλλὰ λόγον ἀντὶ σιδηρίου μεταχειρίζομαι, σιδηρίου μὲν παντὸς ὄντα τομώτερον, καὶ πᾶσαν τῆς ἁμαρτίας ἐκκόπτοντα τὴν σηπεδόνα, οὐ παρέχοντα δὲ ὀδύνην τῷ τεμνομένῳ. οὐκ ἔχω πῦρ ἐν τῇ δεξιᾷ, ἀλλ' ἔχω διδασκαλίαν πυρὸς σφοδροτέραν, οὐ καυτῆρα ἐπάγουσαν, ἀλλ' ἀναστέλλουσαν μὲν τὴν νομὴν τῆς κακίας, αὐτὴ δὲ ἀλγηδόνος, πολλὴν τῷ τῆς κακίας ἀπαλλαττομένῳ παρέχουσαν τὴν ἡδονήν. οὐ χρεία χρόνων ἐνταῦθα, οὐ χρεία πόνων, οὐ χρεία χρημάτων· ἀρκεῖ θελῆσαι μόνον, καὶ πάντα τὰ τῆς ἀρετῆς ἡμῖν κατώρθωται. κἂν ἐννοήσωμεν τὸ ἀξίωμα τοῦ κελεύοντος Θεοῦ καὶ νομοθετοῦντος, ἱκανὴν ληψόμεθα διδασκαλίαν καὶ παραίνεσιν. οὐδὲ γὰρ οἴκοθεν φθεγγόμεθα, ἀλλ' ἐπὶ τὸν νομοθέτην ἅπαντας ὑμᾶς ἄγομεν. ἕπεσθε τοίνυν, καὶ τῶν θείων ἀκούετε νόμων.

Ποῦ τοίνυν περὶ ὀργῆς καὶ τοῦ μνησικακεῖν διελέχθη; πολλαχοῦ μὲν καὶ ἀλλαχοῦ· μάλιστα δὲ διὰ τῆς παραβολῆς ἐκείνης, ἣν πρὸς τοὺς μαθητὰς ἔλεγεν, οὑτωσί πως ἀρξάμενος.

Ματθ. ιη. κγ

Διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ. ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, προσηνέχθη αὐτῷ εἷς ὀφειλέτης μυρίων ταλάντων. καὶ μὴ ἔχοντος δὲ αὐτοῦ ἀποδοῦναι, ἐκέλευσεν αὐτὸν πραθῆναι, καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ τὰ τέκνα, καὶ πάντα ὅσα εἶχε, καὶ ἀποδοθῆναι. πεσὼν οὖν ὁ δοῦλος ἐκεῖνος εἰς τοὺς πόδας αὐτοῦ, παρεκάλει αὐτὸν, λέγων· κύριε, μακροθύμησον ἐπ' ἐμοί, καὶ πάντα σοι ἀποδώσω. σπλαγχνισθεὶς δὲ ὁ κύριος τοῦ δούλου ἐκείνου, ἀπέλυσεν αὐτὸν, καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ. ἐξελθὼν δὲ ἐκεῖνος εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ἑκατὸν δηνάρια, καὶ κρατήσας ἔπνιγεν αὐτὸν λέγων· ἀπόδος μοι ὅ,τι ὀφείλεις. πεσὼν οὖν ὁ σύνδουλος αὐτοῦ εἰς τοὺς πόδας αὐτοῦ, παρεκάλει αὐτὸν λέγων· μακροθύμησον ἐπ' ἐμοί, καὶ πάντα σοι ἀποδώσω. ὁ δὲ οὐκ ἤθελεν, ἀλλὰ ἀπελθὼν ἔβαλεν αὐτὸν εἰς φυλακήν, ἕως οὗ ἀποδῷ * τὸ ὀφειλόμενον. ἰδόντες δὲ οἱ σύνδουλοι αὐτοῦ ἠγανάκτησαν, καὶ ἐλθόντες διεσάφησαν τῷ κυρίῳ αὐτῶν. τότε καλέσας αὐτὸν ὁ κύριος αὐτοῦ, εἶπε· δοῦλε πονηρέ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με· οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς καὶ ἐγώ σε ἠλέησα; τότε παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς, ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον αὐτῷ. οὕτω καὶ ὁ πατήρ μου ὁ οὐράνιος ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ παραπτώματα αὐτῶν. ἡ μὲν παραβολὴ αὕτη· δεῖ δὲ εἰπεῖν τίνος ἕνεκεν καὶ τῆς αἰτίας αὐτὴν προστέθεικεν. οὐ γὰρ ἁπλῶς εἶπεν, ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν, ἀλλὰ διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία οὐρανῶν. τίνος οὖν ἕνεκεν ἡ αἰτία προσέσκηται; περὶ ἀνεξικακίας τοῖς μαθηταῖς διελέγετο, καὶ κρατεῖν ὀργῆς αὐτοὺς ἐπαίδευε, καὶ τῶν παρ' ἑτέρων εἰς ἡμᾶς γινομένων ἀδικημάτων μὴ πολὺν ποιεῖσθαι λόγον, οὕτω λέγων· Ἐὰν ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε καὶ ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου· ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου. ταῦτα δὲ καὶ τὰ τοιαῦτα τοῦ Χριστοῦ διαλεγομένου τοῖς μαθηταῖς καὶ φιλοσοφεῖν διδάσκοντος, Πέτρος ὁ τοῦ χοροῦ τῶν ἀποστόλων κορυφαῖος, τὸ στόμα τῶν μαθητῶν, ὁ στύλος τῆς ἐκκλησίας, τὸ στερέωμα τῆς πίστεως, ὁ τῆς ὁμολογίας θεμέλιος, ὁ τῆς οἰκουμένης ἁλιεὺς, ὁ τὸ γένος ἡμῶν ἀπὸ τοῦ βυθοῦ τῆς πλάνης εἰς τὸν οὐρανὸν ἀναγαγὼν, ὁ πανταχοῦ θερμὸς καὶ παρρησίας γέμων, μᾶλλον δὲ ἀγάπης, ἢ παρρησίας, σιγώντων ἁπάντων προσελθὼν τῷ διδασκάλῳ, φησί· Ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ; ἕως ἑπτάκις; ὁμοῦ καὶ ἐρωτᾷ καὶ ὑπισχνεῖται, καὶ πρὶν μάθῃ, φιλοτιμεῖται. τὴν γὰρ γνώμην τοῦ διδασκάλου σαφῶς εἰδὼς, ὅτι πρὸς φιλανθρωπίαν ῥέπει, καὶ πλέον ἐκεῖνος μάλιστα πάντων [illegible] ὁ μάλιστα πάντων τὰ ἁμαρτήματα τῶν πλησίον παρατρέχων καὶ μὴ πικρῶς ἐξετάζων, βουλόμενος ἀρέσαι τῷ νομοθέτῃ, φησὶν, ἕως ἑπτάκις; εἶτα ἵνα μάθῃς τί μὲν ἄνθρωπος, τί δὲ Θεὸς, καὶ πῶς ἡ τούτου φιλοτιμία, ὅπουπερ ἂν ἀφίκηται, πρὸς τὴν εὐπορίαν τὴν ἐκείνου συγκρινομένη, πενίας ἐστὶν ἁπάσης εὐτελεστέρα, καὶ ὅτι ὅσον σταγὼν πρὸς πέλαγος ἄπειρον, τοσοῦτον ἡ ἡμῶν ἡ ἀγαθότης πρὸς τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν, εἰπόντος αὐτοῦ ἕως ἑπτάκις, καὶ νομίσαντος αὐτοῦ μεγάλα φιλοτιμεῖσθαι καὶ δαψιλεύεσθαι, ἄκουσον τί φησιν. Οὐ λέγω σοι, ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά. τινὲς ἑπτὰ καὶ ἑβδομήκοντα νομίζουσιν, οὐκ ἔστι δέ· ἀλλὰ παρ' ὀλίγον πεντακοσιοστόν ἐστι. τὸ γὰρ ἑπτάκις ἑβδομήκοντα, τετρακόσια καὶ ἐνενήκοντά ἐστι. καὶ μὴ νομίσῃς δύσκολον εἶναι τὸ ἐπίταγμα, ἀγαπητέ. ἐὰν γὰρ ἅπαξ καὶ δεύτερον καὶ τρίτον ἁμαρτόντι συγχωρήσῃς τῆς ἡμέρας, κἂν σφόδρα ᾖ λίθινος, κἂν αὐτῶν τῶν δαιμόνων ἀγριώτερος ὁ λελυπηκὼς, οὐκ ἔσται οὕτως ἀναίσθητος, ὡς πάλιν τοῖς αὐτοῖς περιπεσεῖν· ἀλλὰ τῇ πυκνότητι τῆς συγχωρήσεως σωφρονισθεὶς, βελτίων ἔσται καὶ ἐπιεικέστερος· σύ τε αὖ ἐὰν ᾖς παρεσκευασμένος τοσαυτάκις καταφρονεῖν τῶν εἰς σὲ γινομένων ἁμαρτημάτων, ἀπὸ μιᾶς καὶ δευτέρας καὶ τρίτης συγχωρήσεως γυμνασάμενος, οὐδὲ πόνον ἕξεις λοιπὸν ἐν τῇ τοιαύτῃ φιλοσοφίᾳ, μελετήσας καθάπαξ τῇ πυκνότητι τῆς συγχωρήσεως μηδὲ πλήττεσθαι παρὰ τῶν τοῦ πέλας ἁμαρτημάτων. ταῦτα ἀκούσας ὁ Πέτρος, ἀχανὴς εἱστήκει, οὐχ ὑπὲρ ἑαυτοῦ φροντίζων μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν μελλόντων αὐτῷ ἐμπιστεύεσθαι. ἵνα οὖν μὴ τὸ αὐτὸ ποιήσῃ, ὅπερ καὶ ἐφ' ἑτέρων ἐντολῶν ἐποίησε προλαβὼν, ἀπέκλεισεν αὐτῷ πᾶσαν ἐρώτησιν. τί δὲ ἐπὶ τῶν λοιπῶν ἐντολῶν ἐποίησεν; εἴ ποτέ τι τοιοῦτον ὁ Χριστὸς ἐπέταττεν, ὃ δυσκολίαν τινὰ ἔχειν ἐδόκει, προπηδῶν τῶν ἄλλων ἠρώτα καὶ ἐπυνθάνετο περὶ τῆς ἐντολῆς. καὶ γὰρ ὅτε προσελθὼν ὁ πλούσιος περὶ τῆς αἰωνίου ζωῆς τὸν Χριστὸν ἠρώτα, καὶ μαθὼν τὰ ποιητικὰ τῆς τελειότητος, ἀπῄει λυπούμενος ὑπὸ τῶν χρημάτων, εἰπόντος τοῦ Χριστοῦ, Ὅτι εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος διελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν εἰσελθεῖν, ὁ Πέτρος, καίτοι πάντων ἑαυτὸν γυμνώσας, καὶ οὐδὲ τὸ ἄγκιστρον κατέχων λοιπὸν, ἀλλὰ καὶ τῆς τέχνης καὶ τοῦ ἀκατίου καταφρονήσας, προσελθὼν ἔλεγε τῷ Χριστῷ, καὶ τίς δύναται σωθῆναι; καὶ ὅρα καὶ ἐπιείκειαν μαθητοῦ, καὶ θερμότητα. οὔτε γὰρ εἶπεν, ἀδύ-

Ματθ. ιη. ιε.

Ματθ. ιη. κα.

Μαρκ. ι. κδ.

νατον

νατα ἐπιταγὰς, δύσκολον τὸ ἐπίταγμα, χαλεπὸς ὁ νόμος· οὔτε ἐσίγησεν, ἀλλὰ καὶ τὴν ὑπὲρ τῶν λοιπῶν κηδεμονίαν ἐπεδείξατο, καὶ τὴν διδασκάλῳ παρὰ μαθητοῦ τιμὴν ὀφειλομένην ἀπένειμεν, οὕτως εἰπὼν, καὶ τίς δύναται σωθῆναι; καὶ μηδέπω γενόμενος ποιμὴν, ποιμένος εἶχε ψυχὴν, καὶ μηδέπω τὴν ἀρχὴν ἐγχειρισθεὶς, τὴν πρέπουσαν ἄρχοντι κηδεμονίαν ἐφύλαττεν, ὑπὲρ τῆς οἰκουμένης ἁπάσης φροντίζων. εἰ μὲν γὰρ πλούσιος ἦν καὶ πολλὰ χρήματα περιβεβλημένος, ἴσως εἶπέ τις ἂν, ὅτι οὐ τῶν λοιπῶν, ἀλλ' ἑαυτοῦ κηδόμενος, καὶ ὑπὲρ τῶν καθ' ἑαυτὸν πραγμάτων φροντίζων, ταύτην προσῆγε τὴν πεῦσιν· νυνὶ δὲ ἡ πενία ταύτης αὐτὸν ἀπαλλάττει τῆς ὑποψίας, καὶ δείκνυσιν ὡς τῆς ἑτέρων κηδόμενος σωτηρίας ἐμερίμνα καὶ περιειργάζετο, καὶ παρὰ τοῦ διδασκάλου μαθεῖν ἐβούλετο τὴν τῆς σωτηρίας ὁδόν. Διὰ τοῦτο καὶ ὁ Χριστὸς αὐτὸν παραθαρρύνων ἔλεγε, τὰ παρὰ ἀνθρώποις ἀδύνατα, παρὰ τῷ Θεῷ δυνατά ἐστι. μὴ γὰρ νομίσῃς, φησὶν, ὑμᾶς ἐρήμους ἐγκαταλιμπάνεσθαι· ἐγὼ συνεφάπτομαι ταύτης ὑμῖν τῆς σπουδῆς, καὶ τὰ ἄπορα ποιῶ ῥᾴδια γενέσθαι καὶ εὔκολα. πάλιν περὶ γάμου καὶ γυναικὸς διαλεγομένου τοῦ Χριστοῦ καὶ λέγοντος, ὅτι Ὁ ἀπολύων γυναῖκα παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι, καὶ πᾶσαν κακίαν γυναικὸς παραινοῦντος φέρειν πλὴν πορνείας μόνης, ὁ Πέτρος τῶν ἄλλων σιγώντων προσελθὼν ἔλεγε τῷ Χριστῷ· Εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικὸς, οὐ συμφέρει γαμῆσαι. ὅρα καὶ ἐνταῦθα πῶς καὶ τὴν πρέπουσαν διδασκάλῳ τιμὴν ἐφύλαξε, καὶ τῆς τῶν λοιπῶν ἐφρόντισε σωτηρίας, οὐδὲ ἐνταῦθα ὑπὲρ τῶν καθ' ἑαυτὸν μεριμνῶν. ἵνα δὲ μὴ καὶ ἐνταῦθα εἴπῃ τι τοιοῦτον, προλαβὼν διὰ τῆς παραβολῆς προανέστειλεν αὐτοῦ τὴν ἀντίρρησιν. τούτου χάριν καὶ ὁ εὐαγγελιστὴς εἶπε· διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὃς ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ, δεικνὺς ὅτι διὰ τοῦτο λέγει τὴν παραβολὴν ταύτην, ἵνα μάθῃς ὅτι κἂν ἑβδομηκοντάκις ἑπτὰ ἀφῇς τῆς ἡμέρας τῷ ἀδελφῷ τὰ ἁμαρτήματα, οὐδέπω οὐδὲν μέγα εἰργάσω, ἀλλὰ πολὺ καὶ ἄφατον ἀπολείπῃ τῆς δεσποτικῆς φιλανθρωπίας, καὶ οὐ τοσοῦτον δίδως ὅσον λαμβάνεις.

Ματθ. ιθ. ι.

Ἐπακούσωμεν τοίνυν τῆς παραβολῆς. εἰ γὰρ δοκεῖ καὶ αὐτόθεν εἶναι σαφὴς, ἀλλ' ἔχει καὶ ἐναποκεκρυμμένον τινὰ θησαυρὸν νοημάτων ἄφατον. ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ. μὴ παραδράμῃς ἁπλῶς τὴν ῥῆσιν, ἀλλὰ καὶ ἀνάπτυξόν μοι τὸ δικαστήριον ἐκεῖνο, καὶ εἰς τὸ συνειδὸς εἰσελθὼν τὸ σεαυτοῦ, ἀναλόγισαι τὰ πεπραγμένα σοι παρὰ πᾶσαν τὴν ζωήν. καὶ ὅταν ἀκούσῃς, ὅτι συναίρει λόγον μετὰ τῶν δούλων αὐτοῦ, καὶ βασιλεῖς, καὶ στρατηγοὺς, καὶ ἐπάρχους, καὶ πλουσίους καὶ πένητας, καὶ δούλους καὶ ἐλευθέρους, πάντας ἀναλογίζου. Πάντας γὰρ ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ· κἂν πλούσιος ᾖς, ἐννόησον ὅτι δώσεις λόγον, πότερον εἰς πόρνας, ἢ εἰς πένητας τὰ χρήματα κατηνάλωσας, πότερον εἰς παρασίτους καὶ κόλακας, ἢ εἰς τοὺς δεομένους, πότερον εἰς ἀσέλγειαν ἢ εἰς φιλανθρωπίαν, πότερον εἰς τρυφὴν καὶ ἀσωτίαν καὶ μέθην, ἢ εἰς τὴν τῶν ἐπηρεαζομένων βοήθειαν. οὐχ ὑπὲρ τῆς δαπάνης δὲ μόνον, ἀλλὰ καὶ ὑπὲρ τῆς κτήσεως ἀπαιτηθήσῃ λόγον, πότερον ἐκ δικαίων πόνων, ἢ ἐξ ἁρπαγῆς καὶ πλεονεξίας συνέλεξας, πότερον κλῆρον διαδεξάμενος πατρῷον, ἢ τὰς τῶν ὀρφανῶν καταστρέψας οἰκίας, καὶ τὰς τῶν χηρῶν διαρπάσας οὐσίας. καὶ καθάπερ ἡμεῖς τοῖς οἰκέταις τοῖς ἡμετέροις οὐχὶ τῆς ἐξόδου μόνον τῶν χρημάτων, ἀλλὰ καὶ τῆς εἰσόδου ἀπαιτοῦμεν τὸν λόγον, ἐξετάζοντες πόθεν ὑπεδέξαντο τὰ χρήματα, καὶ παρὰ τίνων, καὶ πῶς, καὶ πόσα· οὕτω δὴ καὶ ὁ Θεὸς οὐχὶ τῆς δαπάνης μόνον, ἀλλὰ καὶ τῆς κτήσεως ἡμᾶς ἀπαιτεῖ τὰς εὐθύνας. οὐχ ὁ πλούσιος δὲ μόνον, ἀλλὰ καὶ ὁ πένης τῆς πενίας δίδωσι λόγον· εἰ γενναίως καὶ εὐχαρίστως τὴν πενίαν ἤνεγκεν, εἰ μὴ ἀπεδυσπέτησεν, εἰ μὴ ἐδυσχέρανεν, εἰ μὴ κατηγόρησε τῆς τοῦ Θεοῦ προνοίας, ἑτέρων ὁρῶν τρυφῶντα καὶ σπαταλῶντα, ἑαυτὸν δὲ ὄντα ἐν ἐνδείᾳ. ὥσπερ γὰρ ὁ πλούσιος τῆς ἐλεημοσύνης, οὕτω καὶ ὁ πένης τῆς ὑπομονῆς ἀπαιτεῖται λόγον· μᾶλλον δὲ οὐδὲ τῆς ὑπομονῆς μόνον, ἀλλὰ καὶ αὐτῆς τῆς ἐλεημοσύνης. οὐ γὰρ ἔστι κώλυμα πρὸς ἐλεημοσύνην ἡ πενία, καὶ μάρτυς ἡ χήρα ἡ τὰ δύο καταβαλοῦσα λεπτά, καὶ τοὺς πολλὰ καταθέντας ὑπερακοντίσασα διὰ τῆς μικρᾶς ἐκείνης καταβολῆς. οὐ πλούσιοι δὲ καὶ πένητες μόνον, ἀλλὰ καὶ ἄρχοντες καὶ δικασταὶ μετὰ πολλῆς ἐξετάζονται τῆς ἀκριβείας, εἰ μὴ διέφθειραν τὸ δίκαιον, εἰ μὴ πρὸς χάριν, εἰ μὴ πρὸς ἀπέχθειαν ἐψηφίσαντο τοῖς δικαζομένοις, εἰ μὴ κολακεύοντες ἔδωκαν παρὰ τὸ δέον τὴν ψῆφον, εἰ μὴ μνησικακοῦντες ἐπηρέασαν τοῖς οὐδὲν ἠδικηκόσιν. οὐχ οἱ ἔξωθεν δὲ μόνον ἄρχοντες, ἀλλὰ καὶ οἱ τῶν ἐκκλησιῶν προεστῶτες τῆς οἰκείας ἀρχῆς ὑφέξουσι τὸν λόγον· καὶ μάλιστα οὗτοί εἰσιν οἱ ἐπὶ πλέον τὰς πικρὰς καὶ βαρείας εὐθύνας ὑπέχοντες. καὶ γὰρ ὁ τοῦ λόγου τὴν διακονίαν ἐγκεχειρισμένος ἐξετασθήσεται μετὰ ἀκριβείας ἐκεῖ, εἰ μήτε ὄκνῳ, μήτε φθόνῳ παρῆκέ τι τῶν δεόντων εἰπεῖν, καὶ διὰ τῶν ἔργων ἐπέδειξεν ὅτι πάντα διεστείλατο, καὶ οὐδὲν ἔκρυψε τῶν συμφερόντων. πάλιν ὁ τὴν ἐπισκοπὴν λαχών, ὅσῳ πρὸς μείζονα ὄγκον* ἀναβέβηκε, τοσούτῳ πλείονα ἀπαιτηθήσεται λόγον, οὐχὶ διδασκαλίας μόνον καὶ πενήτων προστασίας, ἀλλὰ καὶ χειροτονιῶν δοκιμασίας καὶ μυρίων ἑτέρων. καὶ ταῦτα δηλῶν ὁ Παῦλος, τῷ Τιμοθέῳ ἔγραφε· Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις. καὶ Ἑβραίοις δὲ περὶ τῶν αὐτῶν ἀρχόντων παραινῶν, ἑτέρως ἐφόβει οὕτω λέγων· Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες. τότε οὐχὶ πραγμάτων δὲ μόνον, ἀλλὰ καὶ ῥημάτων ὑφέξομεν εὐθύνας. καθάπερ γὰρ καὶ ἡμεῖς ἀργύρια τοῖς οἰκέταις ἐμπιστεύσαντες, ἁπάντων ἀπαιτοῦμεν αὐτοὺς λόγον, οὕτω καὶ ὁ Θεός, ῥήματα ἡμῖν ἐμπιστεύσας, ζητήσει τῆς δαπάνης αὐτῶν τὸν τρόπον. ἀπαιτούμεθα δὲ καὶ ἐξεταζόμεθα μετὰ ἀκριβείας, εἰ μὴ εἰκῆ μηδὲ μάτην αὐτὰ ἀνηλώσαμεν. οὐ γὰρ οὕτως ἀργύριον ἁπλῶς ἀναλωθὲν ἔβλαψεν, ὡς ῥήματα εἰκῆ καὶ μάτην ἐξενεχθέντα καὶ εἰς οὐδὲν δέον. ἀργύριον μὲν γὰρ μάτην δαπανηθὲν ἐν χρήμασι πολλάκις τὴν ζημίαν ἤνεγκε, λόγος δὲ ἁπλῶς προσενεχθεὶς ὁλοκλήρους ἀνέτρεψεν οἰκίας, καὶ ψυχὰς ἀπώλεσε καὶ κατέλυσε. καὶ τὴν μὲν χρημάτων τὴν ζημίαν διορθῶσαι πάλιν ἔνι, λόγον δὲ ἐκπηδήσαντα καθάπαξ ἀνακλήσασθαι πάλιν οὐκ ἔνι. καὶ ὅτι λόγων δίδομεν δίκας, ἄκουσον τί φησιν ὁ Χριστός. Λέγω δὲ ὑμῖν, ὅτι πᾶν ῥῆμα ἀργόν, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι ἐπὶ τῆς γῆς, ἀποδώσουσι λόγον περὶ αὐτοῦ ἐν ἡμέρᾳ κρίσεως. ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ, καὶ ἐκ τῶν λόγων σου κατακριθήσῃ. οὐ ῥημάτων δὲ μόνον δίδομεν εὐθύνας, ἀλλὰ καὶ ἀκουσμάτων· οἷον εἰ παρεδέξω κατηγορίαν κατὰ τοῦ πλησίον ψευδῆ λεγομένην. Ἀκοὴν γάρ, φησι, ματαίαν μὴ παραδέξῃ. εἰ δὲ οἱ δεχόμενοι ματαίαν ἀκοὴν οὐκ ἂν τύχοιεν συγγνώμης, οἱ διαβάλλοντες καὶ κατηγοροῦντες ποίαν ἕξουσιν ἀπολογίαν; καὶ τί λέγω ῥήματα καὶ ἀκοάς, ὅπουγε καὶ ἐνθυμημάτων εὐθύνας ὑπέχομεν; καὶ τοῦτο αὐτὸ ὁ Παῦλος δηλῶν ἔλεγεν· Ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν. καὶ ὁ ψαλμῳδὸς δέ φησιν, ὅτι Ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι. τί ἐστιν, ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι; οἷον, εἰ μετὰ δόλου καὶ πονηρᾶς γνώμης πρὸς τὸν ἀδελφὸν διελέχθης, εἰ διὰ τοῦ στόματος αὐτὸν ἐπῄνεσας καὶ τῆς γλώττης, κατὰ διάνοιαν δ' ἐκάκωσας καὶ ἐφθόνησας αὐτῷ. πάλιν γὰρ τοῦτο αὐτὸ ὁ Χριστὸς ἐνδεικνύμενος, ὅτι οὐχὶ ἔργων μόνον, ἀλλὰ καὶ ἐνθυμημάτων δίδομεν δίκην, ἔλεγεν· Ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. καίτοι οὐ προῆλθεν εἰς ἔργον ἡ ἁμαρτία, ἀλλ' ἐν διανοίᾳ τέως ἐστίν· ἀλλ' οὐδὲ οὕτως ἀνέγκλητος δύναται ῥυῆναι ὁ διὰ τοῦτο περιεσκοπῶν τὰ κάλλη γυναικῶν, ἵνα ἀνάψῃ παρανόμου ἐπιθυμίαν. ὅταν οὖν ἀκούσῃς, ὅτι

Συναίρει

Ματθ. ιβ. μβ.

α. Τιμ. ε κβ.

Εβ ιγ ιζ.

Ματθ. ιβ. λϛ.

Ἐξοδ. κγ. α.

α. Κορ δ. ε.

Ψαλμ. οε ι.

Ματθ. ε κη.

μὴ απα-
ζοντα τὴν
ίαν,

ἐνέδωκαν

ἀρχῆς

περιέχομεν

ἀνηλώσα-
μεν

προσενεχ-
θεὶς
ἅπαξ

εἶπη

αὐτὸν ἐ-
παίζεις καὶ
θόνεις

Συναίρει λόγον μετὰ τῶν δούλων αὐτοῦ, μὴ παρέλθῃς ἁπλῶς τὴν ῥῆσιν, ἀλλ' ἐννόησον πᾶσαν ἀξίαν, πᾶσαν ἡλικίαν, ἑκατέραν τὴν φύσιν, τῶν τε ἀνδρῶν, "τῶν τε γυναικῶν· ἐννόησον οἷον ἔσται τότε τὸ δικαστήριον, ἀναλόγισαι τὰ ἡμαρτημένα σοι πάντα. κἂν γὰρ αὐτὸς ἐπιλάθῃ τῶν πεπλημμελημένων, ὁ Θεὸς οὐδέποτε ἐπιλήσεται, ἀλλὰ πάντα παρὰ τῶν ὀφθαλμῶν στήσει τῶν ἡμετέρων, ἂν μὴ προλαβόντες αὐτὰ καταλύσωμεν νῦν διὰ μετανοίας καὶ ἐξομολογήσεως καὶ τοῦ μηδέποτε μνησικακεῖν τοῖς πλησίον. τίνος δὲ ἕνεκεν ποιεῖ τὸ λογοθέσιον; οὐχ ὡς αὐτὸς ἀγνοῶν (πῶς γὰρ, ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν;) ἀλλ' ἵνα σε πείσῃ τὸν οἰκέτην, ὅτι δικαίως ὀφείλεις, ὅπερ ἂν ὀφείλῃς· μᾶλλον δὲ οὐχ ἵνα μάθῃς μόνον, ἀλλ' ἵνα καὶ ἀποτίσῃ. ἐπεὶ καὶ τῷ προφήτῃ διὰ τοῦτο ἐκέλευσε τὰ ἁμαρτήματα λέγειν τῶν Ἰουδαίων. Λέγε γάρ, φησι, τὰς ἀνομίας αὐτῶν τῷ οἴκῳ Ἰακώβ, καὶ τὰς ἁμαρτίας αὐτῶν τῷ οἴκῳ Ἰσραήλ· οὐχ ἵνα ἀκούσωσι μόνον, ἀλλ' ἵνα διορθώσωνται.

Ησ. νη. α.

Ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, προσηνέχθη αὐτῷ εἷς ὀφειλέτης μυρίων ταλάντων. "ἆρα πόσα "ἐνεπιστεύθη, ὅτι τοσαῦτα κατέφαγε; μέγας ὁ τῶν ὀφλημάτων ὄγκος. καὶ οὐχὶ μόνον τοῦτό ἐστι τὸ χαλεπόν, ἀλλ' ὅτι καὶ πρῶτος προσηνέχθη τῷ δεσπότῃ. εἰ μὲν γὰρ μετὰ πολλοὺς ἑτέρους ἀγνωμονήσαντας ὕστερον προσηνέχθη, οὐχ οὕτω θαυμαστὸν ἦν τὸ μὴ παροξυνθῆναι τὸν δεσπότην. ἡ γὰρ τῶν φθασάντων ἀγνωμοσύνη, τοῖς μετὰ ταῦτα ἠγνωμονηκόσιν ἡμερώτερον αὐτὸν ἔμελλε ποιεῖν. τὸ δὲ πρῶτον εἰσαχθέντα ἀγνώμονα φανῆναι, καὶ οὕτως ἀγνώμονα γενόμενον, φιλανθρώπου τυχεῖν δεσπότου, τοῦτό ἐστι τὸ μάλιστα θαυμαστὸν καὶ παράδοξον. ἄνθρωποι μὲν οὖν, ἐπειδὰν εὕρωσι τοὺς ὀφείλοντας, ὥσπερ "θήραν καὶ ἄγραν εὑρόντες, οὕτω γεγήθασι, καὶ πάντα ποιοῦσιν, ὅπως τὸ πᾶν ἀπαιτήσωσι. κἂν μὴ δυνηθῶσι διὰ τὴν πενίαν τῶν ὀφειλόντων, τὴν ὑπὲρ τῶν χρημάτων ὀργὴν εἰς τὸ ταλαίπωρον σῶμα τῶν ἀθλίων ἐκχέουσιν, αἰκίζοντες καὶ τύπτοντες καὶ μυρία αὐτοῖς διατιθέντες κακά· ὁ δὲ Θεὸς τοὐναντίον, ἅπαντα ἐκίνει καὶ ἐπραγματεύετο, ὅπως αὐτὸν ἀπαλλάξῃ τῶν ὀφλημάτων. ἐπὶ γὰρ ἡμῶν τὸ ἀπαιτῆσαι, πλοῦτος· ἐπὶ δὲ Θεοῦ τὸ συγχωρῆσαι, πλοῦτος. ἡμεῖς ἐπειδὰν λάβωμεν τὰ ὀφειλόμενα, τότε εὐπορώτεροι γινόμεθα· ὁ δὲ Θεὸς ἐπειδὰν συγχωρήσῃ τὰ πλημμελήματα, τότε μάλιστα πλουτεῖ. πλοῦτος γὰρ Θεοῦ, τῶν ἀνθρώπων ἡ σωτηρία, καθάπερ ὁ Παῦλός φησιν· Ὁ πλουτῶν εἰς πάντας, καὶ ἐπὶ πάντας τοὺς ἐπικαλουμένους αὐτόν. ἀλλ' ἴσως εἴποι τις ἄν, καὶ πῶς ὁ βουλόμενος ἀφεῖναι καὶ συγχωρῆσαι τὰ ἐγκλήματα, ἐκέλευσεν αὐτὸν πραθῆναι; αὐτὸ μὲν οὖν τοῦτο μάλιστα αὐτοῦ τὴν φιλανθρωπίαν δείκνυσιν. ἀλλὰ μὴ ἐπειγώμεθα, ἀλλὰ τάξει προβαίνωμεν ἐπὶ τὴν τῆς παραβολῆς διήγησιν. Μὴ ἔχοντος δὲ αὐτοῦ "ἀποδοῦναι, φησί. τί ἐστι, μὴ ἔχοντος αὐτοῦ ἀποδοῦναι; πάλιν ἐπίτασις ἀγνωμοσύνης. ὅταν γὰρ εἴπῃ, μὴ ἔχοντος αὐτοῦ ἀποδοῦναι, οὐδὲν ἄλλο λέγει, ἀλλ' ἢ ὅτι κατορθωμάτων ἔρημος ἦν, καὶ οὐδὲν εἶχεν ἔργον ἀγαθόν, ὥστε λογισθῆναι αὐτῷ εἰς τὴν τῶν ἁμαρτημάτων "ἀπαλλαγήν. λογίζεται γάρ, λογίζεται πάντως ἡμῖν ἐπὶ ἁμαρτημάτων ἀπαλλαγῇ κατορθώματα, καθάπερ οὖν καὶ πίστις εἰς δικαιοσύνην. Τῷ γὰρ μὴ ἐργαζομένῳ, πιστεύοντι δὲ ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ, λογίζεται ἡ πίστις αὐτοῦ εἰς δικαιοσύνην. καὶ τί λέγω πίστιν καὶ κατορθώματα, ὅπουγε καὶ θλίψεις λογίζονται ἡμῖν εἰς ἁμαρτημάτων "ἀνάλωσιν; καὶ τοῦτο δηλοῖ μὲν ὁ Χριστὸς διὰ τῆς τοῦ Λαζάρου παραβολῆς. εἰσάγων τὸν Ἀβραὰμ λέγοντα πρὸς τὸν πλούσιον, Ὅτι Λάζαρος ἀπέλαβεν ἐν τῇ ζωῇ αὐτοῦ τὰ κακά, καὶ διὰ τοῦτο ὧδε παρακαλεῖται. δηλοῖ δὲ καὶ ὁ Παῦλος Κορινθίοις ἐπιστέλλων περὶ τοῦ πεπορνευκότος, καὶ λέγων οὕτω· Παράδοτε τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ. καὶ ἑτέρους δὲ ἡμαρτηκότας παραμυθούμενος οὕτως ἔλεγε· Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ

Ρωμ. ι. ιβ.

Ρωμ. δ. ε.

Λουκ. ιϛ. κε.

α. Κορ. ε. ε.

α. Κορ. ια. λ.

λοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί. Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ Κυρίου, παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. εἰ δὲ πειρασμὸς καὶ νόσος καὶ ἀσθένεια καὶ σαρκὸς ὄλεθρος, ἅπερ ἀβουλήτως ὑπομένομεν, οὐκ αὐτοὶ κατασκευάζοντες, λογίζεται ἡμῖν εἰς ἁμαρτιῶν διάλυσιν, πολλῷ μᾶλλον κατορθώματα, ἅπερ ἑκόντες καὶ σπουδάζοντες μετερχόμεθα. ἀλλ' οὗτος ἔρημος μὲν ἀγαθοῦ παντὸς ἦν, φορτίον δὲ ἁμαρτημάτων ἀφόρητον εἶχε. διὰ τοῦτό φησι, μὴ ἔχοντος αὐτοῦ ἀποδοῦναι, ἐκέλευσεν αὐτὸν πραθῆναι. ὅθεν μάλιστά ἐστι τοῦ δεσπότου τὴν φιλανθρωπίαν καταμαθεῖν, ὅτι καὶ τὸ λογοθέσιον ἐποίησε, καὶ πραθῆναι ἐκέλευσεν. ἀμφότερα γὰρ ταῦτα εἰργάσατο, ὥστε αὐτὸν μὴ πραθῆναι. πόθεν τοῦτο δῆλον; ἀπὸ τοῦ τέλους. εἰ γὰρ πραθῆναι αὐτὸν ἐβούλετο, τίς ὁ κωλύων ἦν; τίς ὁ ἐμποδίζων; τίνος οὖν ἕνεκεν ἐκέλευσε, μὴ μέλλων ποιεῖν; ἵνα αὐξήσῃ τὸν φόβον· τὸν δὲ φόβον ηὔξησε διὰ τῆς ἀπειλῆς, ἵνα αὐτὸν εἰς ἱκετηρίαν ἐμβάλῃ· εἰς ἱκετηρίαν δὲ αὐτὸν ἐνέβαλεν, ἵνα ἀφορμὴν λάβῃ συγχωρήσεως. ἠδύνατο μὲν γὰρ καὶ πρὸ τῆς παρακλήσεως αὐτὸν ἀφεῖναι, ἀλλ' ἵνα μὴ χείρονα ἐργάσηται, τοῦτο οὐκ ἐποίησεν. ἠδύνατο καὶ πρὸ τοῦ λογοθεσίου ποιῆσαι τὴν συγχώρησιν· ἀλλ' ἵνα μὴ τὸν ὄγκον ἀγνοῶν τῶν ἁμαρτημάτων, ἀπανθρωπότερος γένηται καὶ ὠμότερος περὶ τὸν πλησίον, διὰ τοῦτο αὐτὸν πρότερον ἐδίδαξε τὸ μέγεθος τοῦ χρέους, καὶ τότε ἀφῆκεν ἅπαν. Εἰ γὰρ τοῦ λογοθεσίου γενομένου, καὶ τοῦ ὀφειλήματος δειχθέντος, καὶ τῆς ἀπειλῆς ἐπενεχθείσης, καὶ τῆς καταδίκης γενομένης δήλης, ἣν ὑπομεῖναι δίκαιος ἦν, οὕτως ἄγριος καὶ ὠμὸς περὶ τὸν σύνδουλον ἐγένετο, εἰ μηδὲν τούτων ἐξέβη, ποῦ οὐκ ἂν ἐξώλισθεν ἀγριότητος; διὰ τοῦτο ταῦτα πάντα ὁ Θεὸς ἐποίει καὶ ἐπραγματεύετο, προαναστέλλων αὐτοῦ τὴν ἀπήνειαν ἐκείνην. Εἰ δὲ μηδενὶ διωρθώθη τούτων, οὐ παρὰ τὸν διδάσκαλον, ἀλλὰ παρ' ἐκεῖνον τὸν μὴ δεξάμενον τὴν διόρθωσιν ἡ αἰτία. πλὴν ἀλλ' ἴδωμεν πῶς αὐτοῦ μεθοδεύει τὸ ἕλκος. Πεσὼν οὖν, φησι, παρὰ τοὺς πόδας αὐτοῦ, παρεκάλει αὐτὸν λέγων, μακροθύμησον ἐπ' ἐμοί, καὶ πάντα σοι ἀποδώσω. καὶ μὴν εἶπεν, ὅτι οὐκ εἶχεν * ἀποδοῦναι. ἀλλὰ τοιοῦτον τῶν ὀφειλόντων τὸ ἔθος· κἂν μηδὲν ἔχωσιν ἀποδοῦναι, ἐπαγγέλλονται, ὥστε τῶν παρόντων ἀπαλλαγῆναι δεινῶν. ἀκούσωμεν ὅσοι ῥαθυμοῦμεν εὐχῆς, πόση τῶν δεήσεων ἡ δύναμις. οὐ νηστείαν ἐπεδείξατο οὗτος, οὐκ ἐλεημοσύνην, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλ' ἔρημος ὢν καὶ γυμνὸς πάσης ἀρετῆς, ἐπειδὴ παρεκάλεσε τὸν δεσπότην μόνον, ἴσχυσεν αὐτὸν ἐπισπάσασθαι πρὸς ἔλεον. μὴ τοίνυν ἀπαγορεύωμεν ἐν ταῖς δεήσεσι. τίς γὰρ τούτου γένοιτ' ἂν ἁμαρτωλότερος, ὃς τοσούτοις μὲν ἐγκλήμασιν ὑπεύθυνος ἦν, κατόρθωμα δὲ οὐ μικρόν, οὐ μέγα ἐκέκτητο; ἀλλ' ὅμως οὐκ εἶπε πρὸς ἑαυτόν, ἀπαρρησίαστός εἰμι, αἰσχύνης γέμω· πῶς δύναμαι προσελθεῖν; πῶς δύναμαι παρακαλέσαι; ὃ πολλοὶ τῶν ἁμαρτανόντων λέγουσι, διαβολικὴν νοσοῦντες εὐλάβειαν. ἀπαρρησίαστος εἶ; διὰ τοῦτο πρόσελθε, ἵνα κτήσῃ παρρησίαν πολλήν. μὴ γὰρ ἄνθρωπός ἐστιν ὁ μέλλων σοι καταλλάττεσθαι, ἵνα αἰσχυνθῇς καὶ ἐρυθριάσῃς; Θεός ἐστιν, ὁ σοῦ μᾶλλον βουλόμενος ἀπαλλάξαι σε τῶν ἐγκλημάτων. οὐχ οὕτω σὺ τῆς σεαυτοῦ [ἀσφαλείας ἐπιθυμεῖς], ὡς ἐκεῖνος ἐφίεταί σου τῆς σωτηρίας. καὶ τοῦτο δι' αὐτῶν τῶν ἔργων ἡμᾶς ἐπαίδευσεν. οὐκ ἔχεις παρρησίαν; διὰ τοῦτο δυνήσῃ παρρησίαν ἔχειν, ὅτι οὕτω διάκεισαι. μεγίστη γὰρ παρρησία, τὸ μὴ νομίζειν ἔχειν παρρησίαν· ὥσπερ οὖν αἰσχύνη μεγίστη, τὸ δικαιοῦν ἑαυτὸν ἐνώπιον Κυρίου. ἐκεῖνος ἀκάθαρτός ἐστι, κἂν ἁπάντων ἀνθρώπων ἁγιώτερος ᾖ· ὥσπερ οὖν δίκαιος οὗτος ὁ πείσας ἑαυτὸν πάντων ἔσχατον εἶναι. καὶ μάρτυρες τῶν λεγομένων ὁ Φαρισαῖος καὶ ὁ τελώνης. μὴ τοίνυν ἀπογινώσκωμεν ἐν τοῖς ἁμαρτήμασι, μηδὲ ἀπαγορεύωμεν, ἀλλὰ προσερχώμεθα τῷ Θεῷ, προσπίπτωμεν, παρακαλῶμεν, ὅπερ οὗτος ἐποίησε, μέχρι τούτου καλῇ τῇ γνώμῃ χρησάμενος. τό τε γὰρ μὴ ἀπαγορεῦσαι, τό τε μὴ ἀπογνῶναι, τό τε ὁμολογῆσαι τὰ ἡμαρτημένα, τό τε αἰτῆσαι ἀναβολὴν ἵνα καὶ μέλλησιν, ταῦτα πάντα καλά, καὶ διανοίας συντετριμμένης καὶ τεταπεινωμένης ψυχῆς. τὰ δὲ ἐντεῦθεν οὐκ ἔτι ὅμοια τοῖς προτέροις. ἅπερ γὰρ διὰ τῆς ἱκετείας συνήγαγε, ταῦτα ἀθρόον ἐξέχεεν ἅπαντα διὰ τῆς εἰς τὸν πλησίον ὀργῆς. ἀλλὰ τέως ἐπὶ τὸν τρόπον τῆς συγχωρήσεως ἔλθωμεν· ἴδωμεν πῶς αὐτὸν ἀφῆκε, καὶ πόθεν ἐπὶ τοῦτο ἦλθεν ὁ δεσπότης. Σπλαγχνισθεὶς ὁ κύριος αὐτοῦ, φησιν, ἀπέλυσεν αὐτόν, καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ. ἐκεῖνος μέλλησιν ᾔτησεν, οὗτος συγχώρησιν ἔδωκεν· ὥστε πλέον οὗ ᾔτησεν, ἔλαβεν ἐκεῖνος. διὸ καὶ Παῦλός φησι, Τῷ δυναμένῳ πάντα ποιῆσαι ὑπὲρ ἐκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν. οὐδὲ γὰρ ἰσχύεις ἐννοῆσαι τοσαῦτα, ὅσα ἐκεῖνός σοι παρεσκεύασε δοῦναι. μὴ τοίνυν αἰσχυνθῇς, μηδὲ ἐρυθριάσῃς· μᾶλλον δὲ αἰσχύνου μὲν ἐπὶ τοῖς ἁμαρτήμασι· μὴ ἀπογίνωσκε δέ, μηδὲ ἀφίστασο τῆς εὐχῆς, ἀλλὰ πρόσελθε καὶ ἁμαρτωλὸς ὤν, ἵνα καταλλάξῃς σου τὸν δεσπότην, ἵνα δῷς αὐτῷ τὴν οἰκείαν φιλανθρωπίαν ἐν τῇ συγχωρήσει τῶν ἁμαρτιῶν τῶν σῶν ἐπιδείξασθαι. ὡς ἐὰν φοβηθῇς προσελθεῖν, ἐνεπόδισας αὐτοῦ τῇ ἀγαθότητι, διεκώλυσας αὐτοῦ τῆς χρηστότητος τὴν δαψιλείαν, τό γε εἰς σὲ ἧκον. μὴ τοίνυν ἀναπίπτωμεν, μηδὲ ὀκνῶμεν ἐν ταῖς εὐχαῖς. κἂν γὰρ πρὸς αὐτὸ τῆς κακίας κατενεχθῶμεν τὸ βάραθρον, ταχέως ἐκεῖθεν ἡμᾶς ἀνασπάσαι δυνήσεται. οὐδεὶς τοσαῦτα ἥμαρτεν, ὅσα οὗτος. καὶ γὰρ ἅπαν εἶδος πονηρίας ἐπῆλθε· καὶ τοῦτο δηλοῖ τὰ μυρία τάλαντα. οὐδεὶς ἔρημος οὕτως ἦν, ὡς οὗτος. τοῦτο γὰρ δηλοῖ τὸ μὴ ἔχειν αὐτὸν ἀποτίσαι. ἀλλ᾽ ὅμως τὸν πάντοθεν προδοθέντα ἴσχυσεν εὐχῆς ἐξαρπάσαι δύναμις. καὶ τοσοῦτον δύναταί, φησιν, εὐχή, ὡς τὸν δι᾽ ἔργων καὶ μυρίων πραγμάτων προσκρούσαντα τῷ δεσπότῃ ἀπαλλάξαι κολάσεως καὶ τιμωρίας; ναί, τοσοῦτον δύναται, ἄνθρωπε. οὐδὲ γὰρ αὕτη μόνη ἐστὶν ἡ τὸ πᾶν ἀνύουσα, ἀλλ᾽ ἔχει σύμμαχον καὶ βοηθὸν μέγιστον, τὴν φιλανθρωπίαν τοῦ δεχομένου τὴν εὐχὴν Θεοῦ, ἥτις ἐνταῦθα τὸ πᾶν εἰργάσατο, καὶ τὴν εὐχὴν ἐποίησε δυνατήν. τοῦτο γοῦν καὶ αἰνιττόμενος, ἔλεγε· σπλαγχνισθεὶς ὁ κύριος αὐτοῦ, ἀπέλυσεν αὐτόν, καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ· ἵνα μάθῃς ὅτι, μετὰ τῆς εὐχῆς, καὶ πρὸ τῆς εὐχῆς, τοῦ δεσπότου τὰ σπλάγχνα τὸ πᾶν ἐποίησεν.

Ἐφεσ. γ. κ.

Ἐξελθὼν δὲ ἐκεῖνος εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ἑκατὸν δηνάρια, καὶ κρατήσας αὐτὸν ἔπνιγε, λέγων, ἀπόδος μοι, εἴ τι ὀφείλεις. Ἆρα τί τούτου γένοιτ᾽ ἂν μιαρώτερον; ἔναυλον ἔχων τὴν εὐεργεσίαν, ἐπελήσθη τῆς τοῦ δεσπότου φιλανθρωπίας. ὁρᾷς ὅσον ἐστὶν ἀγαθὸν ἁμαρτημάτων μεμνῆσθαι; καὶ γὰρ οὗτος, εἰ διηνεκῶς τούτων ἐμέμνητο, οὐκ ἂν οὕτως ἄγριος ἐγένετο καὶ ἀπάνθρωπος. διὰ τοῦτο συνεχῶς λέγω, καὶ λέγων οὐ παύσομαι, ὅτι χρήσιμον σφόδρα καὶ ἀναγκαῖον, τὸ διηνεκῶς μνημονεύειν ἡμᾶς τῶν πεπλημμελημένων ἡμῖν ἁπάντων. οὐδὲν γὰρ οὕτω φιλόσοφον καὶ ἐπιεικῆ καὶ πρᾶον τὴν ψυχὴν ἐργάσασθαι δύναται, ὡς ἡ διηνεκὴς τῶν ἁμαρτημάτων μνήμη. διὰ τοῦτο καὶ ὁ Παῦλος οὐ μόνον τῶν μετὰ τὸ λουτρόν, ἀλλὰ καὶ τῶν πρὸ τοῦ βαπτίσματος ἁμαρτημάτων ἐμέμνητο, καίτοιγε ἀφανισθέντων καθάπαξ. εἰ δὲ ἐκεῖνος τῶν πρὸ τοῦ βαπτίσματος ἐμέμνητο, πολλῷ μᾶλλον ἡμᾶς τῶν μετὰ τὸ βάπτισμα μεμνῆσθαι δεῖ. οὐ γὰρ δὴ μόνον αὐτὰ διαλύομεν τῇ μνήμῃ, ἀλλὰ καὶ πρὸς ἅπαντας ἀνθρώπους ἐπιεικέστερον διακεισόμεθα, καὶ τῷ Θεῷ μετὰ πλείονος δουλεύσομεν τῆς εὐνοίας, τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν ἐκ τῆς τούτων μνήμης καταμανθάνοντες· ὅπερ οὗτος οὐκ ἐποίησεν, ἀλλ᾽ ἐπιλαθόμενος τοῦ μεγέθους τῶν ὀφλημάτων, καὶ τῆς εὐεργεσίας ἐπελάθετο· τῆς δὲ εὐεργεσίας ἐπιλαθόμενος, πονηρὸς περὶ τὸν σύνδουλον ἐγένετο, καὶ διὰ τῆς εἰς ἐκεῖνον πονηρίας ἅπαντα, ἅπερ ἐκέρδανεν ἀπὸ τῆς τοῦ Θεοῦ φιλανθρωπίας, ἀπώλεσε. κρατήσας γὰρ αὐτὸν ἔπνιγε, λέγων, ἀπόδος μοι, εἴ τι ὀφείλεις. οὐκ εἶπεν, ἀπόδος μοι τὰ ἑκατὸν δηνάρια (ᾐσχύνετο γὰρ τοῦ χρέους τὴν εὐτέλειαν) ἀλλ᾽ ἀπόδος, εἴ τι ὀφείλεις. ὁ δὲ πεσὼν ἐπὶ τοὺς πόδας αὐτοῦ, παρεκάλει αὐτόν, λέγων· μακροθύμησον ἐπ᾽ ἐμοί, καὶ πάντα σοι ἀποδώσω. διὰ τῶν ῥημάτων, δι᾽ ὧν ἐκεῖ-

νος εὕρετο τὴν συγχώρησιν, διὰ τοῦτον οὐκ ἐσμὲν ἄξιοι σωθῆναι. ὁ δὲ ὑπὸ τῆς ἄγαν ὠμότητος, οὐδὲ τούτοις τοῖς λόγοις κατεκάμπτετο, οὐδὲ ἐνενόησεν, ὅτι διὰ τούτων ἐσώθη τῶν ῥημάτων. καίτοιγε καὶ εἰ συνεχώρησεν, οὐδὲ οὕτω φιλανθρωπία τὸ πρᾶγμα λοιπὸν ἦν, ἀλλ' ὀφειλὴ καὶ χρέος. εἰ μὲν γὰρ, πρὶν ἢ γενέσθαι τὸ λογοθέσιον, καὶ τὴν ψῆφον ἐξενεχθῆναι ἐκείνην, καὶ τοσαύτης ἀπολαῦσαι εὐεργεσίας, τοῦτο ἐποίησεν, οἰκείας μεγαλοψυχίας ἦν τὸ γινόμενον· νυνὶ δὲ μετὰ τοσαύτην δωρεὰν καὶ τοσούτων ἁμαρτημάτων ἄφεσιν, ὥσπερ ἀναγκαίου τινὸς ὀφλήματος λοιπὸν ὑπεύθυνος ἦν τῆς περὶ τὸν σύνδουλον ἀνεξικακίας. ἀλλ' ὅμως οὐδὲ τοῦτο ἐποίησεν, οὐδὲ ἐνενόησεν ὅσον τὸ μέσον ἦν τῆς ἀφέσεως, ἧς τε αὐτὸς ἀπήλαυσε, καὶ ἣν περὶ τὸν σύνδουλον ἐπιδείκνυσθαι ἔμελλεν. οὐ γὰρ δὴ τῇ ποσότητι τῶν ὀφλημάτων, οὐδὲ τῷ ἀξιώματι τῶν προσώπων μόνον, ἀλλὰ καὶ αὐτῷ τῷ τρόπῳ πολλὴν τὴν διαφορὰν ἴδοι τις ἄν. ἐκεῖνα μὲν γὰρ μυρία τάλαντα ἦν, ταῦτα δὲ ἑκατὸν δηνάρια· καὶ ἐκεῖνος μὲν εἰς τὸν δεσπότην ὕβρισεν, ὁ δὲ ὀφείλων αὐτῷ εἰς τὸν σύνδουλον· καὶ ἐκεῖνος μὲν εὐπαθῶν ἔμελλε χαρίζεσθαι, ὁ δεσπότης δὲ οὐ μικρὸν, οὐ μέγα ἀγαθὸν ἰδὼν παρ' αὐτοῦ γινόμενον, πάντα ἀφῆκεν. ἀλλ' ὅμως οὐδὲν τούτων ἐνενόησεν, ἀλλὰ καθάπαξ ὑπὸ τῆς ὀργῆς πηρωθεὶς ἦγχεν αὐτὸν, καὶ εἰς τὸ δεσμωτήριον ἐνέβαλεν. Ἰδόντες δὲ οἱ σύνδουλοι αὐτοῦ, φησιν, ἠγανάκτησαν. καὶ πρὸ τοῦ δεσπότου οἱ σύνδουλοι καταψηφίζονται ἵνα μάθῃς τοῦ δεσπότου τὸ ἥμερον. ἀκούσας δὲ ὁ δεσπότης αὐτοῦ, καὶ καλέσας αὐτὸν, πάλιν κρίνεται πρὸς αὐτόν. καὶ οὐδὲ οὕτως ἁπλῶς ἐκφέρει τὴν καταδίκην, ἀλλὰ πρότερον δικαιολογεῖται, καὶ τί φησι; δοῦλε πονηρὲ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι. τί τούτου γένοιτ' ἂν ἀγαθώτερον τοῦ δεσπότου; ὅτε μὲν αὐτῷ ὤφειλε τὰ μυρία τάλαντα, οὐδὲ μέχρι ῥήματος αὐτὸν ἐκάλεσεν, ἀλλὰ πραθῆναι μόνον ἐκέλευσε, καὶ τοῦτο ἵνα ἀπαλλάξῃ τῆς ὀφλήσεως. ἐπειδὴ δὲ εἰς τὸν σύνδουλον πονηρὸς ἐγένετο, τότε ὀργίζεται καὶ παροξύνεται, ἵνα μάθῃς ὅτι εὐκολώτερον τὰ εἰς αὐτὸν ἀφίησιν, ἢ τὰ εἰς τὸν πλησίον ἁμαρτήματα. καὶ οὐκ ἐνταῦθα μόνον τοῦτο ποιεῖ, ἀλλὰ καὶ ἀλλαχοῦ. Ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν σου, φησιν, ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελ- Ματθ. ε. κγ.
φός σου ἔχει τι κατὰ σοῦ, ὕπαγε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου. ὁρᾷς πῶς πανταχοῦ τῶν αὐτοῦ τὰ ἡμέτερα προτιμᾷ, καὶ τῆς εἰρήνης καὶ τῆς ἀγάπης τῆς εἰς τὸν πλησίον οὐδὲν ἀνώτερον τίθησι; καὶ πάλιν ἀλλαχοῦ, Ὁ ἀπο- Ματθ. ε. λβ.
λύων τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι. διὰ δὲ Παύλου οὕτως ἐνομοθέτει· Εἴ τις ἀνὴρ γυναῖκα ἔχει ἄπιστον, καὶ αὐτὴ συνευδοκεῖ οἰκεῖν μετ' α. Κορ. ζ. ιβ.
αὐτοῦ, μὴ ἀφιέτω αὐτήν. ἂν μὲν γὰρ πορνεύσῃ, φησὶν, ἔκβαλε· ἂν δὲ ἄπιστος ᾖ, μὴ ἐκβάλῃς. ἐὰν εἰς σὲ ἁμάρτῃ, φησὶν, ἀπόκοψον· ἐὰν δὲ εἰς ἐμὲ ἁμάρτῃ, κάτεχε. οὕτω καὶ ἐνταῦθα, ὅτε μὲν εἰς αὐτὸν ἥμαρτεν ἁμαρτήματα τοσαῦτα, συνεχώρησεν· ὅτε δὲ εἰς τὸν σύνδουλον ἥμαρτεν ἐλάττονα πολλῷ καὶ βραχία τῶν εἰς τὸν δεσπότην, οὐκ ἀφῆκεν, ἀλλ' ἐπεξῆλθε· καὶ ἐνταῦθα μὲν πονηρὸν ἐκάλεσεν, ἐκεῖ δὲ οὐδὲ μέχρι ῥήματος αὐτὸν ἐλύπησε. διὰ τοῦτο μὲν καὶ ἐνταῦθα καὶ τοῦτο πρόσκειται, ὅτι ὀργισθεὶς παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς. ἡνίκα δὲ αὐτὸν ἀπῄτει λόγον τῶν μυρίων ταλάντων, οὐδὲν τοιοῦτον προσέθηκεν· ἵνα μάθῃς, ὅτι ἐκείνη μὲν ἡ ψῆφος οὐχὶ ὀργῆς ἦν, ἀλλὰ κηδεμονίας πρὸς συγχώρησιν ἐπαγομένης· αὕτη δὲ αὐτὸν μάλιστα παρώξυνεν ἡ ἁμαρτία.

Ἆρα τί γένοιτ' ἂν μνησικακίας χεῖρον, ὅταν φιλανθρωπίαν ἐξενεχθεῖσαν ἀνακαλῆται Θεοῦ, καὶ ἅπερ οὐκ ἴσχυσεν αὐτὸν διαφθεῖραι τὰ ἁμαρτήματα, ταῦτα ἰσχύει αὐτὸν ἐργάσασθαι ἡ κατὰ τοῦ πλησίον ὀργή; καίτοιγε γέγραπται, ὅτι Ἀμεταμέλητα τὰ χαρίσματα * τοῦ Θεοῦ. Ρωμ. ια. κθ.
πῶς οὖν ἐνταῦθα μετὰ τὸ ἐξενεχθῆναι τὴν δωρεὰν, μετὰ τὸ προχωρῆσαι τὴν φιλανθρωπίαν, ἀνεκλήθη πάλιν ἡ ψῆφος; διὰ τὴν μνησικακίαν· ὥστε οὐκ ἄν τις ἁμάρτοι, πάσης ἁμαρτίας ταύτην χαλεπωτέραν ἀποφηνάμενος εἶναι. αἱ μὲν γὰρ ἄλλαι πᾶσαι ἠδυνήθη-

σαν συγχωρήσει εὑρέσθαι, αὕτη δὲ οὐ μόνον οὐκ ἰσχύει συγγνώμης τυχεῖν, ἀλλὰ καὶ τὰς ἑτέρας ἀφανισθείσας καθάπαξ ἀνανεοῦσι πάλιν. ὥστε διπλοῦν κακὸν ἡ μνησικακία, ὅτι τε οὐδεμίαν ἀπολογίαν ἔχει παρὰ τῷ Θεῷ, καὶ ὅτι τὰ λοιπὰ ἡμῶν ἁμαρτήματα, κἂν συγχωρηθῇ, πάλιν ἀνακαλεῖται καὶ καθ' ἡμῶν ἵστησιν· ὅπερ οὖν καὶ ἐνταῦθα ἐποίησεν. οὐδὲν γὰρ, οὐδὲν οὕτως ὁ Θεὸς μισεῖ καὶ ἀποστρέφεται, ὡς ἄνθρωπον μνησίκακον καὶ διατηροῦντα ὀργήν. καὶ τοῦτο μάλιστα μὲν ἐντεῦθεν ἐπεδείξατο, καὶ ἀπὸ τῆς εὐχῆς δὲ αὐτῆς ἐκέλευσεν ἡμῖν λέγειν οὕτως, Αφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Ματθ. ς. ιϛ. Ταῦτα οὖν ἅπαντα εἰδότες, καὶ τὴν παραβολὴν ἐγγράψαντες ταύτην ἐν ταῖς καρδίαις, ὅταν ἐννοήσωμεν ἅπερ πεπόνθαμεν παρὰ τῶν συνδούλων, λογισώμεθα ἅπερ ἐποιήσαμεν εἰς τὸν δεσπότην· καὶ τῷ φόβῳ τῶν οἰκείων ἁμαρτημάτων τὸν θυμὸν τὸν ἐπὶ τοῖς ἀλλοτρίοις πλημμελήμασι ταχέως ἀπώσασθαι δυνησόμεθα. εἰ γὰρ δεῖ μεμνῆσθαι ἁμαρτημάτων, τῶν οἰκείων δεῖ μεμνῆσθαι μόνον. ἐὰν δὲ τῶν οἰκείων μνημονεύσωμεν, οὐδέποτε τὰ ἀλλότρια λογιούμεθα· ὥσπερ οὖν ἂν τούτων ἐπιλανθανώμεθα, ἐκεῖνα ῥᾳδίως ἐμφιλοχωρήσει τοῖς ἡμετέροις λογισμοῖς. καὶ γὰρ οὗτος εἰ τῶν μυρίων ταλάντων ἐμέμνητο, οὐκ ἂν ἐμνήσθη τῶν ἑκατὸν δηναρίων· ἀλλ' ἐπειδὴ ἐκείνων ἐπελάθετο, διὰ τοῦτο ὑπὲρ τούτων ἦγχε τὸν σύνδουλον, καὶ ὀλίγα βουλόμενος ἀπαιτῆσαι, οὔτε ἐκείνων ἐπέτυχεν, ἀλλὰ καὶ τῶν μυρίων ταλάντων τὸν ὄγκον εἰς τὴν ἑαυτοῦ κεφαλὴν ἀπεσπάσατο. διὰ τοῦτο θαρρῶν ἂν εἴποιμι, ὅτι πάσης ἁμαρτίας αὕτη χαλεπωτέρα· μᾶλλον δὲ οὐκ ἐγὼ λέγω τοῦτο, ἀλλ' ὁ Χριστὸς διὰ τῆς παραβολῆς ταύτης τοῦτο ἀπεφήνατο. εἰ γὰρ μὴ τῶν μυρίων ταλάντων, λέγω δὴ τῶν ἀφάτων ἁμαρτημάτων αὕτη χαλεπωτέρα ἦν, οὐκ ἂν διὰ ταύτην κἀκεῖνα ἀνεκαλέσατο. μηδὲν τοίνυν οὕτω σπουδάζωμεν, ὡς ὀργῆς καθαρεύειν, καὶ τοὺς πρὸς ἡμᾶς ἀηδῶς ἔχοντας καταλλάττειν, εἰδότες ὅτι οὔτε εὐχὴ, οὔτε ἐλεημοσύνη, οὔτε νηστεία, οὔτε κοινωνία μυστηρίων, οὔτε ἄλλο τῶν τοιούτων οὐδὲν, ἐὰν μνησικακῶμεν, δυνήσεται ἡμῶν προστῆναι κατὰ τὴν ἡμέραν ἐκείνην· ὥσπερ οὖν ἐὰν ταύτης περιγινώμεθα τῆς ἁμαρτίας, κἂν μυρία ἔχωμεν πλημμελήματα, δυνησόμεθά τινος συγγνώμης τυχεῖν. καὶ οὐχὶ ἐμὸς ὁ λόγος, ἀλλ' αὐτοῦ τοῦ μέλλοντος ἡμᾶς τότε κρίνειν Θεοῦ. Ματθ. ιη. κε. καθάπερ γὰρ ἐνταῦθα εἶπεν, ὅτι Οὕτω ποιήσει καὶ ὁ πατήρ μου, ἐὰν μὴ ἀφῆτε ἕκαστος ἀπὸ τῶν καρδιῶν ὑμῶν· οὕτω καὶ ἀλλαχοῦ φησιν, Ματθ. ς. ιδ. Ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος. ἵνα οὖν καὶ ἐνταῦθα πρᾶον καὶ ἤρεμον διάγωμεν βίον, κἀκεῖ συγχωρήσεως καὶ ἀφέσεως τύχωμεν, σπουδάζωμεν καὶ πραγματευώμεθα, ὅσους ἂν ἔχωμεν ἐχθροὺς, καταλλάττειν ἡμῖν. οὕτω γὰρ καὶ τὸν δεσπότην ἡμῶν, κἂν μυρία ὦμεν ἡμαρτηκότες, καταλλαξόμεθα, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. κ. κ.

Λογ. λγ. ΚΑΤΑ ΑΙΡΕΤΙΚΩΝ, ΚΑΙ ΕΙΣ ΤΗΝ ΑΙΤΗΣΙΝ τῆς μητρὸς τῶν υἱῶν Ζεβεδαίου.

ΕΚ πολέμου χθὲς ἐπανήλθομεν, ἐκ πολέμου καὶ μάχης αἱρετικῆς, ἠμαγμένα τὰ ὅπλα ἔχοντες, τὸ ξίφος τοῦ λόγου πεφοινιγμένον, οὐ σώματα καταβαλόντες, ἀλλὰ λογισμοὺς ἀνελόντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, τοιοῦτον γὰρ τῆς μάχης ταύτης τὸ εἶδος· διὸ καὶ τοιαύτη τῶν ὅπλων ἡ φύσις. ἅπερ ἀμφότερα διδάσκων ὁ μακάριος Παῦλος, ἔλεγε· Β. Κορ. ι. δ. Τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικά, ἀλλὰ δυνατὰ τῷ Θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων, λογισμοὺς καθαιροῦντα, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. ἔδει μὲν οὖν ὑμῖν τοῖς ἀπολειφθεῖσιν εἰπεῖν τὰ πτώματα τὰ χθὲς γενόμενα, καὶ διηγήσασθαι τὴν παράταξιν, τὴν συμβολήν, τὴν νίκην, τὰ τρόπαια. ἀλλ' ἵνα μὴ ῥαθυμοτέρους ὑμᾶς ποιήσωμεν, ταῦτα παραδραμόντες, ὥστε τῇ ζημίᾳ τοὺς ἀπολειφθέντας * δηχθέντας σπουδαιοτέρους γενέσθαι, πάλιν τῶν ἑξῆς ἁψόμεθα σήμερον. εἰ δέ τις σπουδαῖος καὶ διεγηγερμένος ᾖ, παρὰ τῶν παραγενομένων εἴσεται τὰ λεχθέντα ἡμῖν τῇ χθὲς ἡμέρᾳ. καὶ γὰρ τοσαύτην ἡμῖν τὴν προθυμίαν οἱ ἀκροαταὶ ἐπεδείξαντο, ὡς πάντα λαβόντες οἴκαδε ἀναχωρῆσαι, καὶ μηδὲν ἀφεῖναι διαρρυῆναι τῶν εἰρημένων. ἐκεῖνα μὲν οὖν παρ' ἐκείνων εἴσεσθε· ἃ δὲ σήμερον ἀναγκαῖον εἰπεῖν, ταῦτα ἡμεῖς ἐροῦμεν ὑμῖν, τὴν ἀντίθεσιν, ἣν οἱ τῶν αἱρετικῶν παῖδες ἀντεπήγαγον, εἰς μέσον προθέντες. τίς οὖν ἐστιν αὕτη; ἐπειδὴ πρώην περὶ τῆς τοῦ μονογενοῦς ἐξουσίας διελεγόμεθα, δεικνύντες ἴσην οὖσαν τὴν ἐξουσίαν τοῦ γεγεννηκότος αὐτὸν πατρός, καὶ πολλὴν ὑπὲρ τούτων ἀνηλώσαμεν λόγον, πληγέντες τοῖς εἰρημένοις ἐκεῖνοι, φωνήν τινα εὐαγγελικήν, ἑτέρως μὲν εἰρημένην, ἑτέρως δὲ παρ' αὐτῶν ὑποπτευθεῖσαν εἰρῆσθαι, ταύτην ἀντεπήγαγον λέγοντες· καὶ μὴν γέγραπται, Τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται ὑπὸ τοῦ πατρός μου. ἐγὼ δέ, ὅπερ ἀεὶ παρακαλῶ τὴν ὑμετέραν ἀγάπην, τοῦτο καὶ σήμερον παραινῶ καὶ συμβουλεύω, μὴ ἁπλῶς ἐπιέναι τὰ γράμματα, ἀλλὰ διερευνᾶσθαι τὰ νοήματα. εἰ γάρ τις ἁπλῶς ταῖς λέξεσι παρακάθοιτο, καὶ μηδὲν πλέον τῶν γεγραμμένων ἐπιζητοίη, πολλὰ ἁμαρτήσεται. καὶ γὰρ καὶ πτέρυγας τὰ γράμματα ἔχειν φησὶ τὸν Θεόν, τοῦ προφήτου λέγοντος, ὅτι Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με. ἀλλ' οὐ παρὰ τοῦτο πτερωτὴν εἶναι φήσομεν τὴν νοερὰν ἐκείνην καὶ ἀσώματον οὐσίαν. εἰ γὰρ ἐπ' ἀνθρώπων οὐκ ἔνι τοῦτο εἰπεῖν, πολλῷ μᾶλλον ἐπὶ τῆς ἀκηράτου καὶ ἀοράτου καὶ ἀκαταλήπτου φύσεως ἐκείνης. τί οὖν ἐστιν ἀπὸ τῶν πτερύγων νοητέον ἡμῖν; τὴν βοήθειαν, τὴν ἀσφάλειαν, τὴν σκέπην, τὴν συμμαχίαν, τὸ ἀχείρωτον τῆς βοηθείας. πάλιν ὑπνοῦν αὐτὸν φασὶν αἱ γραφαί, ὡς ἐν τῷ, Ἀνάστηθι, ἵνα τί ὑπνοῖς, Κύριε; οὐχ ἵνα τὸν Θεὸν καθεύδειν ὑποπτεύωμεν (τοῦτο γὰρ ἐσχάτης ἀνοίας) ἀλλὰ τῷ ὀνόματι τοῦ ὕπνου τὴν μακροθυμίαν καὶ τὴν ἀνεξικακίαν αὐτοῦ ἡμῖν ἐμφαίνουσαι. ἕτερος δὲ προφήτης φησί, Μὴ ἐστὶν ὡς ἄνθρωπος ὑπνῶν; ὁρᾷς ὅτι πολλῆς ἡμῖν τῆς συνέσεως χρεία τὸν θησαυρὸν διερευνωμένοις τῶν θείων γραφῶν; ὡς ἐὰν ἁπλῶς καὶ εἰκῇ, καὶ ὡς ἔτυχεν, ἀκούωμεν τῶν λεγομένων, οὐ μόνον τὰ ἄτοπα ἐκεῖνα ἕψεται, ἀλλὰ καὶ μάχη πολλὴ ἐν τοῖς εἰρημένοις φανεῖται. ὁ μὲν γὰρ ὑπνοῦν αὐτόν φησιν, ὁ δὲ μὴ ὑπνοῦν· ἀλλὰ ἀμφότερα ἀληθῆ, ἂν τὴν προσήκουσαν ἔννοιαν ἐκλάβῃς. ὁ μὲν γὰρ λέγων αὐτὸν ὑπνοῦν, τὴν ἐπίτασιν τῆς μακροθυμίας ἐνδείκνυται· ὁ δὲ λέγων μὴ ὑπνοῦν, τὸ ἀκήρατον τῆς φύσεως ἡμῖν ἐμφαίνει. ἐπεὶ οὖν πολλῆς συνέσεως ἡμῖν χρεία, μηδὲ τοῦτο ἁπλῶς ἐκλάβωμεν τὸ εἰρημένον, τό, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται ὑπὸ τοῦ πατρός μου. οὐ γὰρ ἐξουσίας ἀναίρεσις τοῦτο, οὐδὲ αὐθεντίας ἀκρωτηριασμός, ἀλλὰ κηδεμονίας πολλῆς ἀπόδειξις, καὶ σοφίας, καὶ προνοίας τῆς ὑπὲρ τοῦ γένους τοῦ ἡμετέρου. ὅτι γὰρ κύριός ἐστι καὶ κολάζειν καὶ τιμᾶν, ἄκουσον τί φησιν αὐτὸς ὁ ταῦτα λέγων· Ὅταν [γὰρ] ἔλθῃ, φησίν, ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ, στήσει τὰ [μὲν] πρόβατα ἐκ δεξιῶν, τὰ [δὲ] ἐρίφια ἐξ εὐωνύμων· καὶ ἐρεῖ τοῖς ἐκ δεξιῶν αὐτοῦ, δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα, καὶ ἐποτίσατέ με, ξένος ἤμην, καὶ συνηγάγετέ με. τοῖς δὲ ἐξ εὐωνύμων ἐρεῖ, πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. ἐπείνασα γάρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με, ξέ-

Ματθ. κ. κγ.

Ματθ. κε. λα. λγ.

νος ἤμελλω, καὶ οὐ συνηγάγετέ με. εἶδες κρίσιν ἀπηρτισμένην; καὶ πῶς καὶ τιμᾷ, καὶ κολάζει, καὶ στεφανοῖ, καὶ τιμωρεῖται, καὶ τοὺς μὲν εἰς τὴν βασιλείαν εἰσάγει, τοὺς δὲ εἰς τὴν γέενναν ἀποπέμπει; σκόπει δὲ καὶ ἐνταῦθα τὴν πολλὴν" περὶ τὸ γένος ἡμῶν κηδεμονίαν. τοῖς μὲν γὰρ στεφανουμένοις ὅτε διελέγετο, δεῦτε, φησιν, οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν πρὸ καταβολῆς κόσμου· τοῖς δὲ κολαζομένοις οὐκ εἶπε, πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον ὑμῖν, ἀλλὰ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ. τὴν μὲν γὰρ βασιλείαν ἀνθρώποις" ἡτοίμασε, τὴν δὲ γέενναν οὐκ ἀνθρώποις, φησὶν, ἀλλὰ τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ *. εἰ δὲ ὑμεῖς τοιοῦτον ἐπεδείξασθε βίον, ὡς ἄξιοι γενέσθαι τῆς κολάσεως καὶ τῆς τιμωρίας, ἑαυτοῖς ἂν εἴητε τοῦτο λογίζεσθαι δίκαιοι. καὶ σκόπει τὸ πρὸς φιλανθρωπίαν ἐπιρρεπές. οὔπω γὰρ τῶν ἀγωνιστῶν γενομένων, οἱ στέφανοι προητοιμάσθησαν, καὶ τὰ βραβεῖα προπαρεσκευάσθησαν. κληρονομήσατε γὰρ, φησι, τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν πρὸ καταβολῆς κόσμου. καὶ ἐπὶ τῆς παραβολῆς δὲ τῶν δέκα παρθένων τὸ τοιοῦτον ἴδοι τις ἄν. ἐπειδὴ γὰρ ἔμελλε παραγίνεσθαι ὁ νυμφίος, λέγουσιν αἱ μωραὶ ταῖς φρονίμοις,
Ματθ. κε. θ. Δότε ἡμῖν" ἐκ τοῦ ἐλαίου ὑμῶν· αἱ δὲ πρὸς αὐτὰς, μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν· οὐ περὶ ἐλαίου καὶ πυρὸς ἐνταῦθα διαλεγομένη ἡ γραφὴ, ἀλλὰ περὶ παρθενίας καὶ φιλανθρωπίας. καὶ τὴν μὲν παρθενίαν ἐν τάξει πυρὸς, τὴν δὲ ἐλεημοσύνην ἐν τάξει ἐλαίου τίθησι, δεικνῦσα ὅτι σφόδρα δεῖται φιλανθρωπίας ἡ παρθενία, καὶ δίχα ταύτης [τῆς αἰτίας] σωθῆναι οὐκ ἔνι. τίνες δὲ οἱ τὸ ἔλαιον τοῦτο πωλοῦντες; τίνες ἄλλοι, ἀλλ' ἢ οἱ πένητες; οὐ γὰρ λαμβάνουσι μᾶλλον, ἢ διδόασι. μὴ δὴ νόμιζε τὴν ἐλεημοσύνην ἀνάλωμα εἶναι, ἀλλὰ πρόσοδον, μηδὲ δαπάνην, ἀλλὰ πραγματείαν. μείζω γὰρ λαμβάνεις, ἢ δίδως. δίδως ἄρτον, καὶ λαμβάνεις ζωὴν αἰώνιον· δίδως ἱμάτιον, καὶ λαμβάνεις ἀφθαρσίας περιβόλαιον· δίδως κοινωνίαν στέγης, καὶ λαμβάνεις βασιλείαν οὐρανῶν· παρέχεις τὰ ἀπολλύμενα, καὶ δέχῃ τὰ διηνεκῶς μένοντα. καὶ πῶς ἂν δυνάμην ἐλεεῖν πένης ὤν, φησι; μάλιστα ὅταν πένης ᾖς, τότε δύνασαι ἐλεεῖν. ὁ μὲν γὰρ πλουτῶν, μεθύων τῇ περιουσίᾳ τῶν" πραγμάτων, καὶ πυρετὸν χαλεπώτατον πυρέττων, καὶ ἀκόρεστον ἔχων ἔρωτα, πλείονα ποιεῖν" τὰ ὄντα βούλεται· ὁ δὲ πένης ταύτης ἀπηλλαγμένος τῆς νόσου, καὶ τῆς ἀρρωστίας καθαρεύων, εὐκολώτερον ἐκ τῶν ὄντων προήσεται. οὐ γὰρ τὰ μέτρα τῆς οὐσίας, ἀλλὰ τὰ μέτρα τῆς γνώ-
Μαρκ. ιβ. μβ. μης ἐλεημοσύνην ἐργάζεσθαι πέφυκεν· ἐπεὶ καὶ ἡ χήρα ἐκείνη τότε δύο κατέβαλεν ὀβολοὺς, καὶ τοὺς τῷ πλούτῳ κομῶντας ὑπερηκόντισε. καὶ ἡ ἄλλη χήρα ἐν δρακὶ ἀλεύρου καὶ ὀλίγῳ ἐλαίῳ τὴν οὐρανομήκη ἐκείνην ψυχὴν ἐξενοδόχησε, καὶ οὐδεμιᾷ τούτων γέγονεν ἡ πενία κώλυμα. μὴ δὴ προφασίζου περιττὰ καὶ" ἀνόνητα. οὐ γὰρ περιουσίαν εἰσφορᾶς ἀπαιτεῖ, ἀλλὰ πλοῦτον προαιρέσεως, ὃς οὐκ ἀπὸ τοῦ μέτρου τῶν δεδομένων, ἀλλ' ἀπὸ τῆς" προθυμίας τῶν παρεχόντων" δείκνυται. πένης εἶ, καὶ πάντων ἀνθρώπων πενέστερος; ἀλλ'" οὐκ εἶ τῆς χήρας ἐκείνης πτωχότερος, ἣ τοὺς πλουτοῦντας ἐκ πολλοῦ τοῦ περιόντος ὑπερηκόντισεν. ἀλλὰ καὶ αὐτῆς ἀπορεῖς τῆς ἀναγκαίας τροφῆς; ἀλλ' οὐκ εἶ τῆς Σιδωνίας ἀπορώτερος, ἣ πρὸς αὐτὸν ἐλθοῦσα τοῦ λιμοῦ τὸν πυθμένα, τοῦ θανάτου προσδοκωμένου λοιπὸν, καὶ χοροῦ παίδων περιεστῶτος, οὐδὲ οὕτως ἐφείσατο τῶν ὄντων, ἀλλὰ διὰ τῆς ἐπιτεταμένης πενίας πλοῦτον ἄφατον ἐπορίσατο, ἅλωνα τὴν χύτραν, καὶ ληνὸν τὴν ὑδρίαν ἐργασαμένη, ἐξ ὀλίγων πολλὰ πηγάζειν παρασκευάσασα.

Ἀλλ' ἐπὶ τὸ προκείμενον ἴωμεν, ἵνα μὴ συνεχεῖς τὰς παρεκτροπὰς ποιώμεθα. ἐπειδὴ οὖν ἔμελλεν ὁ νυμφίος ἔρχεσθαι, ταῦτα πρὸς ἀλλήλας αἱ παρθένοι διελέγοντο· καὶ ἐκεῖναι πρὸς τοὺς πωλοῦντας ἔπεμπον αὐτάς· ἀλλ' οὐκ ἦν καιρὸς ἔτι λοιπὸν ἀγοράζειν ἔλαιον· εἰκότως. οἱ γὰρ πωλοῦντες ἐν τῷ παρόντι βίῳ μόνον εἰσί· μετὰ δὲ τὴν ἐντεῦθεν

ἀποδημίαν, καὶ τὸ λυθῆναι τὸ θέατρον, οὐκ ἔστι λοιπὸν φάρμακον εὑρεῖν τοῖς γεγυμνωμένοις, οὐδὲ
συγγνώμην καὶ ἀπολογίαν, ἀλλ' ἀνάγκη λοιπὸν κολάζεσθαι, ὅπερ καὶ τότε γέγονεν. ἐπειδὴ
γὰρ ἦλθεν ὁ νυμφίος, αἱ μὲν εἰσῆλθον λαμπρὰς ἔχουσαι τὰς λαμπάδας, αἱ δὲ ὑστερήσασαι
τῆς εἰσόδου τὰς θύρας ἐπάταττον τοῦ νυμφῶνος, καὶ τὸ φοβερὸν ῥῆμα ἐκεῖνο ἤκουον, ὑπάγετε,
οὐκ οἶδα ὑμᾶς. εἶδες αὐτὸν πάλιν καὶ τιμῶντα καὶ κολάζοντα, καὶ στεφανοῦντα, καὶ
τιμωροῦντα, καὶ δεχόμενον καὶ ἀποπέμποντα, καὶ ἑκατέρου τοῦ μέρους τῆς κρίσεως ὄντα κύριον;
τοῦτο καὶ ἐπὶ τοῦ ἀμπελῶνος, τοῦτο καὶ ἐπὶ τῶν πέντε καὶ δύο ταλάντων, καὶ τοῦ ἑνὸς
ἴδοι τις ἄν. τοὺς μὲν γὰρ ἀπεδέξατο καὶ εἰσήγαγεν ἐπὶ πλείοσι, τὸν δὲ ἐκέλευσε δεθέντα ἔξω
βάλλεσθαι εἰς τὸ σκότος τὸ ἐξώτερον. ἀλλὰ τίς αὐτῶν ὁ δριμὺς λόγος, μᾶλλον δὲ πολλῆς
ἀνοίας γέμων; ἔχει μὲν ἐξουσίαν καὶ κολάζειν καὶ στεφανοῦν, καὶ τιμωρεῖσθαι καὶ ἀμοιβὰς διδόναι·
ἀλλὰ τὴν προεδρίαν, φησὶ, τὴν ἀνωτάτω, καὶ τὴν ὑψηλοτάτην τιμὴν ταύτην
ἔφησεν οὐκ εἶναι αὐτοῦ δοῦναι. τί οὖν; ἐὰν μάθῃς ὅτι οὐδέν ἐστιν ὑπεξῃρημένον αὐτοῦ τῆς
ψήφου, καταθήσῃ ποτὲ τὴν ἄκαιρον ταύτην φιλονεικίαν; οὐκοῦν αὐτοῦ πάλιν ἄκουε λέγοντος,
Ὅτι ὁ πατὴρ οὐ κρίνει οὐδένα, ἀλλὰ πᾶσαν τὴν κρίσιν δέδωκε τῷ υἱῷ. εἰ τοίνυν Ιωαν. ε. κβ.
πᾶσαν τὴν κρίσιν ἔχει, οὐδὲν ὑπεξῄρηται τῆς ψήφου. ὁ γὰρ πᾶσαν ἔχων τὴν κρίσιν,
κύριός ἐστι πάντας καὶ τιμωρεῖσθαι καὶ στεφανοῦν. τὸ δὲ, ἔδωκεν, ἐνταῦθα μὴ ἀνθρωπίνως
ἀκούσῃς, ἀγαπητέ. οὐ γὰρ οὐκ ἔχοντι ἔδωκεν, οὐδὲ ἀτελῆ ἐγέννησεν, οὐδὲ ὕστερον αὐτῷ
προσεγένετο, ἀλλὰ τὸ, ἔδωκε, τοιοῦτόν ἐστι, τοιοῦτον αὐτὸν ἐγέννησε, τέλειον, ἀπηρτισμένον.
ταύτῃ δὲ κέχρηται τῇ λέξει, ἵνα μὴ δύο ἀγεννήτους νομίσῃς θεοὺς, ἀλλ' ἵνα ἴδῃς καὶ τὴν ῥίζαν καὶ
τὸν καρπὸν, οὐχ ἵνα ὕστερον αὐτῷ προσγεγενῆσθαι νομίσῃς τοῦτο. καὶ γὰρ ἐρωτώμενος Ματθ. κζ. ια.
ἀλλαχοῦ, εἰ βασιλεὺς εἴη, οὐκ εἶπεν, ὅτι ἔλαβον τὴν βασιλείαν, [οὐκ εἶπεν, ὅτι
προσεγένετο αὐτῷ ὕστερον ἡ βασιλεία,] ἀλλ' ὅτι, Ἐγὼ εἰς τοῦτο γεγέννημαι. εἰ βασιλεὺς
ἀπηρτισμένος ἐγεννήθη, εὔδηλον ὅτι καὶ κριτὴς καὶ δικαστής. βασιλέως γὰρ μάλιστα τὸ κρίνειν
καὶ δικάζειν, καὶ τιμᾶν καὶ τιμωρεῖσθαι. καὶ ἑτέρωθεν δὲ τοῦτο ἴδοι τις ἂν, ὅτι καὶ τὰς ἄνω
τιμὰς κύριος αὐτός ἐστι διδόναι. ἐὰν γὰρ παραγάγωμεν εἰς τὸ μέσον τὸν ἁπάντων
ἀνθρώπων ἀμείνω, καὶ δείξωμεν τοῦτον ὑπ' αὐτοῦ στεφανούμενον, τίς λοιπὸν ὑπολειφθήσεται
πρόφασις ὑμῖν; τίς οὖν ἁπάντων ἀνθρώπων ἀμείνων; τίς δὲ ἕτερος, ἀλλ' ἢ ὁ σκηνοποιὸς ἐκεῖνος, ὁ τῆς
οἰκουμένης διδάσκαλος, ὁ γῆν καὶ θάλασσαν, καθάπερ ὑπόπτερος, περιδραμὼν, τὸ σκεῦος τῆς
ἐκλογῆς, ὁ νυμφαγωγὸς τοῦ Χριστοῦ, ὁ τῆς ἐκκλησίας φυτουργὸς, ὁ σοφὸς ἀρχιτέκτων, ὁ κήρυξ, ὁ δρομεὺς,
ὁ ἀγωνιστὴς, ὁ στρατιώτης, ὁ παιδοτρίβης, ὁ πανταχοῦ τῆς οἰκουμένης ὑπομνήματα τῆς οἰκείας
ἀρετῆς καταλιπὼν, ὁ πρὸ τῆς ἀναστάσεως εἰς τρίτον ἁρπαγεὶς οὐρανὸν, ὁ εἰς παράδεισον
ἀπενεχθεὶς, ὁ ἀπορρήτων κοινωνήσας τῶν Θεοῦ μυστηρίων, ὁ τοιαῦτα ἀκούσας καὶ λαλήσας, ἃ
ἀνθρωπίνῃ φύσει λαλῆσαι οὐκ ἔνι, ὁ καὶ χάριτος πλείονος ἀπολαύσας, καὶ μείζονα κόπον
ἐπιδειξάμενος; ὅτι γὰρ πλεῖον ἁπάντων ἔκαμεν, ἄκουσον αὐτοῦ λέγοντος, ὅτι Περισσότερον α Κορ ιε. ι.
αὐτῶν πάντων ἐκοπίασα. εἰ δὲ περισσότερον πάντων ἔκαμε, περισσότερον καὶ στεφανοῦται.
ἕκαστος γὰρ τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον. εἰ τοίνυν μείζονα τῶν
ἀποστόλων λαμβάνει στέφανον, τῶν δὲ ἀποστόλων ἴσος οὐδεὶς γέγονεν, οὐδεὶς δὲ κἀκείνων μείζων,
εὔδηλον ὅτι τῆς ἀνωτάτω ἀπολαύσεται τιμῆς καὶ προεδρίας. τίς οὖν ἐστιν, ὁ αὐτὸν στεφανῶν;
ἄκουσον αὐτοῦ λέγοντος· Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν β. Τιμ. δ. ζ.
τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν
ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής. Ὁ πατὴρ οὐ κρίνει οὐδένα, ἀλλὰ πᾶσαν τὴν κρίσιν Ιωαν. ε. κβ.
δέδωκε τῷ υἱῷ. οὐκ ἐντεῦθεν δὲ τοῦτο μόνον δῆλον, ἀλλὰ καὶ ἐκ τῶν ἑξῆς. Οὐ μόνον δὲ ἐμοὶ,
ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ. τίνος δέ ἐστιν ἡ ἐπιφάνεια; αὐτοῦ
λέγοντος ἄκουσον. Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, παιδεύουσα Τιτ β. ια.

ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ
εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν
[τῆς δόξης] τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ἀλλ' ἡ μὲν πρὸς τοὺς αἱρετικοὺς
ἡμῖν μάχη τέλος ἔχει, καὶ τὸ τρόπαιον ἐστήσαμεν, καὶ τὴν νίκην λαμπρὰν ἠράμεθα,
ἐκ τῶν εἰρημένων ἁπάντων ἀποδείξαντες, ὅτι κύριος καὶ τιμᾶν καὶ κολάζειν ἐστὶ, πᾶσάν τε
τὴν κρίσιν ἔχων, καὶ τῶν ἀπόντων ἀμείνω στεφανῶν καὶ ἀνακηρύττων, καὶ ἐν ταῖς παραβολαῖς
ἐκείναις ἑκάτερα αὐτὸς ἐργαζόμενος. δεῖ δὲ λοιπὸν καὶ τὸν θόρυβον τῶν ἀδελφῶν ἐκβαλεῖν,
καὶ διδάξαι τίνος ἕνεκεν οὕτως εἴρηκεν, ὅτι οὐκ ἔστιν ἐμὸν" τὸ δοῦναι. καὶ γὰρ οἶμαι
πολλοὺς ἐπαπορεῖν τοῖς εἰρημένοις. ἵν' οὖν τὴν ἀπορίαν λύσωμεν, καὶ τὸν θόρυβον τῆς ψυχῆς
κατευνάσωμεν, συντείνατέ μοι τὴν διάνοιαν, παρασκευάσατέ μοι τὴν γνώμην.
καὶ γὰρ πλείονός μοι πόνου δεῖ νῦν. οὐ γάρ ἐστιν ἴσον πολεμεῖν καὶ διδάσκειν, βάλλειν τὸν ἐχθρὸν, καὶ
διορθοῦσθαι τὸν οἰκεῖον· ἀλλὰ πλείονός μοι χρεία ἐνταῦθα τῆς σπουδῆς, ὥστε μὴ παριδεῖν
τὸ μέρος χωλεῦον, μηδέ τινα θορυβούμενον παραδραμεῖν. λέγω γὰρ (ἀλλὰ μὴ θορυβεῖσθε
πρὸς" τὰ λεγόμενα, μηδὲ ταράττεσθε) ὅτι οὐ μόνον τοῦ υἱοῦ φημι μὴ εἶναι, ἀλλ' οὐδὲ τοῦ πατρός·
καὶ μεγάλῃ ταῦτα βοῶ τῇ φωνῇ καὶ σάλπιγγος" λαμπρότερον, ὅτι οὐκ ἔστιν αὐτοῦ δοῦναι,
οὔτε αὐτοῦ, οὔτε τοῦ πατρός. εἰ γὰρ αὐτοῦ ἦν, καὶ τοῦ πατρὸς ἦν· εἰ τοῦ πατρὸς ἦν, καὶ
αὐτοῦ. διὰ τοῦτο καὶ αὐτὸς οὐκ εἶπεν*, οὐκ ἔστιν ἐμὸν δοῦναι ἀλλὰ τοῦ πατρὸς, ἀλλὰ τί; οὐκ
ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται. δείκνυσιν ὅτι οὔτε αὐτοῦ, οὔτε τοῦ πατρὸς, ἀλλ' ἑτέρων
τινῶν. τί οὖν ἐστι τὸ εἰρημένον; οἶμαι γὰρ ὑμῖν ηὐξῆσθαι τὸν θόρυβον, καὶ πλείονα γενέσθαι
τὴν ἀπορίαν, καὶ ἐναγωνίους εἶναι. ἀλλὰ μὴ δείσητε· οὐ γὰρ ἀποστήσομαι, ἕως ἂν ἐπαγάγω
τὴν λύσιν. μικρὸν δὲ ἀνάσχεσθε ἀνωτέρω τὸν λόγον ἀναγαγόντος. οὐ γὰρ ἑτέρως μετὰ σαφηνείας
ἅπαντα" ὑμῖν παρακαταθέσθαι τῇ γνώμῃ δυνατόν. τί ποτ' οὖν ἐστι τὸ εἰρημένον;
ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου* ἀναχωροῦντι πρὸς τὰ Ἱεροσόλυμα τῷ Ἰησοῦ προσῆλθε
μετὰ τῶν παίδων λέγουσα· Εἰπὲ, ἵνα οἱ δύο υἱοί μου καθίσωσιν, εἷς ἐκ δεξιῶν σου, καὶ
Μαρ ι.λε εἷς ἐξ εὐωνύμων σου. ἕτερος δὲ Εὐαγγελιστής φησιν, ὅτι οἱ παῖδες ταῦτα ἠτοῦντο παρὰ τοῦ
Χριστοῦ. ἀλλ' οὐκ ἔστι διαφωνία (οὐδὲ γὰρ ταῦτα δεῖ τὰ μικρὰ παρατρέχειν) ἀλλὰ
τὴν μητέρα προβαλλόμενοι, ἐπειδὴ εἶπεν ἐκείνη καὶ θύραν ἤνοιξε, καὶ αὐτοὶ τὴν ἱκετηρίαν
προσήγαγον, οὐκ εἰδότες μὲν" ἅπερ ἔλεγον, λέγοντες δὲ ὅμως. εἰ γὰρ καὶ ἀπόστολοι ἦσαν, ἀλλ'
ἀτελέστερον ἔτι διέκειντο, καθάπερ νεοττοὶ, ὡς ἐν καλιᾷ" πλαζόμενοι, οὐδέπω τοῦ πτεροῦ
παγέντος αὐτοῖς. καὶ τοῦτο μάλιστα ὑμᾶς ἀναγκαῖον εἰδέναι, ὅτι περὶ τοῦ σταυροῦ ἐν πολλῇ
Ματθ ιϛ.ια. ἦσαν ἀγνοίᾳ. διὸ καὶ ἐπιτιμῶν αὐτοῖς ἔλεγεν, Ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε; οὔπω νοεῖτε, οὔτε
συνίετε, ὅτι οὐ περὶ τῶν ἄρτων εἶπον ὑμῖν προσέχειν ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων;
Ιωαν ιϛ.ιβ. καὶ πάλιν, Πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. οὐ μόνον δὲ ἠγνόουν τὰ
ὑψηλότερα, ἀλλὰ καὶ ἃ ἤκουον ἀπέβαλλον ἀπὸ φόβου καὶ δειλίας πολλάκις. ὅπερ ἐνδεικνὺς
Ιωαν ιϛ.ε. αὐτοῖς ἔλεγεν, Οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με ποῦ ὑπάγεις, ἀλλ' ὅτι ταῦτα εἶπον ὑμῖν, ἡ λύπη
Ιωαν ιδ.κϛ. πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. καὶ πάλιν, Ἐκεῖνος ὑμᾶς ἀναμνήσει πάντα, καὶ διδάξει
ὑμᾶς, περὶ τοῦ παρακλήτου λέγων. οὐκ ἂν δὲ εἶπεν, ἀναμνήσει, εἰ μὴ πολλὰ τῶν
εἰρημένων ἐξέβαλλον. ταῦτα δέ μοι οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ἐπειδὴ φαίνεται Πέτρος νῦν μὲν
Ματθ ιϛ.κγ. ἀπηρτισμένην" ὁμολογίαν ὁμολογῶν, νῦν δὲ πάντων ἐπιλελησμένος. ὁ γὰρ εἰπὼν, Σὺ εἶ
ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, καὶ μακαρισθεὶς ἐπὶ τούτοις, τοιοῦτον ἔπαθε μετὰ μικρὸν,
ὡς Σατανᾶς προσαγορευθῆναι. λέγει γὰρ, Ὕπαγε ὀπίσω μου, Σατανᾶ, σκάνδαλόν
μου εἶ· ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων.* ἐπειδὴ γὰρ περὶ σταυροῦ
αὐτῷ διελέγετο καὶ ἀναστάσεως, οὐκ εἰδὼς τὸ βάθος τῶν λεγομένων, οὐδὲ τὸ ἀπόρρητον
τῶν δογμάτων, οὐδὲ τὴν μέλλουσαν τῇ οἰκουμένῃ σωτηρίαν καταλαμβάνειν, λαβὼν αὐτὸν

χ. τῦν

χ. πλείονον,

χ. λαμπρότερα

* αὐτός

χ. υἱῶν,

* Ἰακώβου Ἰωάννου,

χ. ὅπερ οἱ παῖδες

χ. ἔχων

κατ' ἰδίαν, ἔλεγεν, ἵλεώς σοι, οὐ μὴ ἔσται σοι τοῦτο. ὁρᾷς πῶς οὐδὲ περὶ ἀναστάσεως οὐδὲν ᾔδεισαν σαφές; καὶ τοῦτο αὐτὸ ὁ Εὐαγγελιστὴς ἐπισημαινόμενος ἔλεγεν· οὐδέπω γὰρ ᾔδεισαν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι. εἰ δὲ ταῦτα οὐκ ἐπιστάμενοι, πολλῷ μᾶλλον τὰ ἄλλα ἠγνόουν, * τὰ περὶ βασιλείας τῆς ἄνω, καὶ τῆς ἀπαρχῆς τῆς ἡμετέρας, καὶ τῆς εἰς οὐρανὸν ἀναλήψεως, καὶ χθαμαλοί τινες ἦσαν ἔτι, οὐδέπω δυνάμενοι ὑψηλὰ πέτασθαι. ἅτε οὖν τοιαύτην ἔχοντες ἔννοιαν, καὶ προσδοκῶντες ὅτι εὐθέως ἀπαντήσει αὐτοῖς ἡ βασιλεία ἐν Ἱεροσολύμοις (ταύτης γὰρ οὐδὲν πλέον ᾔδεισαν· ὅπερ οὖν καὶ ἕτερος Εὐαγγελιστὴς ἐπισημαίνεται λέγων, ὅτι ἐνόμιζον ἤδη παραγίνεσθαι αὐτοῦ τὴν βασιλείαν, ἀνθρωπίνην τινὰ αὐτὴν ὑποπτεύοντες, καὶ προσδοκῶντες ἐπὶ τοῦτο αὐτὸν χωρεῖν, ἀλλ' οὐκ ἐπὶ σταυρὸν καὶ θάνατον· καὶ γὰρ μυριάκις ἀκούοντες, σαφῶς εἰδέναι οὐκ εἶχον) ἐπεὶ οὖν τετρανωμένην μὲν τῶν δογμάτων οὐδέπω ἀκρίβειαν ἐκέκτηντο, ἐνόμιζον δὲ αὐτὸν ἐπὶ βασιλείαν χωρεῖν τὴν αἰσθητὴν ταύτην, καὶ βασιλεύειν ἐν Ἱεροσολύμοις, ἀπολαβόντες αὐτὸν ἐπὶ τῆς ὁδοῦ, ὡς καιρὸν ἐπιτήδειον ″ἔχειν νομίζοντες, ταύτην ″αἰτοῦνται τὴν αἴτησιν. ἀπορρήξαντες γὰρ ἑαυτοὺς τοῦ χοροῦ τῶν μαθητῶν, καὶ εἰς ἑαυτοὺς τὸ πᾶν περιστήσαντες, ἀξιοῦσιν ὑπὲρ προεδρίας καὶ τοῦ πρώτοι γενέσθαι τῶν ἄλλων, νομίζοντες ἤδη τὰ πράγματα εἰληφέναι τέλος, καὶ τὸ πᾶν κατορθῶσθαι, καὶ στεφάνων εἶναι) λοιπὸν καὶ ″ἀμοιβῆς καιρόν, ὅπερ καὶ αὐτὸ τῆς ἐσχάτης ἀγνοίας ἦν. καὶ ὅτι οὐ στοχασμὸς ταῦτά εἰσιν, οὐδὲ λόγων ″πιθανότητες, παρ' αὐτοῦ τοῦ Ἰησοῦ τοῦ τὰ ἀπόρρητα ἐπισταμένου τὴν ἀπόδειξιν ὑμῖν ἐπαγάγω. ἐπειδὴ γὰρ ταῦτα ᾔτησαν, ″ἄκουε τί φησι πρὸς αὐτούς. Οὐκ οἴδατε τί αἰτεῖσθε. τί ταύτης σαφέστερον τῆς ἀποδείξεως; ὁρᾷς ὅτι οὐκ ᾔδεισαν ὅπερ ᾐτοῦντο, περὶ στεφάνων καὶ ἀμοιβῶν καὶ προεδρίας καὶ τιμῆς αὐτῷ διαλεγόμενοι, οὐδέπω τῶν ἀγώνων οὐδὲ ἀρχὴν εἰληφότων; δύο τοίνυν αἰνίττεται διὰ τοῦ λέγειν, οὐκ οἴδατε τί αἰτεῖσθε· ἓν μὲν, ὅτι περὶ βασιλείας διαλέγονται, ἧς οὐδεὶς ἦν τῷ Χριστῷ λόγος· (οὐ γὰρ δὴ περὶ ταύτης ἐπήγγελτο τῆς κάτω καὶ τῆς αἰσθητῆς) ἕτερον δὲ, ὅτι προεδρίαν ζητοῦντες ἤδη καὶ τιμὰς τὰς ἀνωτάτω, καὶ τῶν ἑτέρων βουλόμενοι λαμπρότεροι φανῆναι καὶ περιφανέστεροι, οὐδὲ ἐν καιρῷ ταῦτα ζητοῦσιν, ἀλλὰ καὶ σφόδρα ἀκαίρως. ὁ γὰρ καιρὸς ἐκεῖνος οὐχὶ στεφάνων, οὐδὲ ἐπάθλων, ἀλλ' ἀγωνισμάτων καὶ παλαισμάτων καὶ πόνων καὶ ἱδρώτων καὶ σκαμμάτων καὶ πολέμων. ὃ οὖν λέγει, τοιοῦτόν ἐστιν· οὐκ οἴδατε τί αἰτεῖσθε, περὶ τούτων μοι διαλεγόμενοι, οὐδέπω καμόντες οὐδὲ ἀποδυσάμενοι πρὸς τοὺς ἀγῶνας, ἔτι τῆς οἰκουμένης ἀδιορθώτου μενούσης, τῆς ἀσεβείας ἐπικρατούσης, τῶν ἀνθρώπων ἁπάντων ἀπολωλότων· οὐδέπω τῆς βαλβίδος ἐξεπηδήσατε, οὐδέπω πρὸς τὰ παλαίσματα ἀπεδύσασθε. δύνασθε πιεῖν τὸ ποτήριον, ὃ ἐγὼ μέλλω πίνειν, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ ″βαπτίζομαι, βαπτισθῆναι; ποτήριον ἐνταῦθα καὶ βάπτισμα καλεῖ τὸν σταυρὸν τὸν ἑαυτοῦ καὶ τὸν θάνατον· ποτήριον μὲν, ἐπειδὴ μεθ' ἡδονῆς αὐτὸ ἔπιε· βάπτισμα δὲ, ἐπειδὴ δι' αὐτοῦ τὴν οἰκουμένην ἐκάθηρεν· οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ διὰ τὴν εὐκολίαν τῆς ἀναστάσεως. ὥσπερ γὰρ ὁ βαπτιζόμενος ὕδατι, μετὰ πολλῆς ἀνίσταται τῆς εὐκολίας, οὐδὲν ὑπὸ τῆς τῶν ὑδάτων φύσεως ″κωλυόμενος, οὕτω καὶ αὐτὸς εἰς θάνατον καταβὰς, μετὰ πλείονος ἀνέβη τῆς εὐκολίας· διὰ τοῦτο αὐτὸ βάπτισμα καλεῖ. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· δύνασθε σφαγῆναι καὶ ἀποθανεῖν; τούτων γὰρ ὁ καιρὸς νῦν, θανάτων καὶ κινδύνων καὶ πόνων. λέγουσιν ἐκεῖνοι, δυνάμεθα, οὐδὲ εἰδότες, τί ποτε ἐστὶ τὸ λεγόμενον, ἀλλὰ τῇ ἐλπίδι τῆς ἀπολήψεως ὑπισχνούμενοι. λέγει πρὸς αὐτούς· τὸ μὲν ποτήριον πίεσθε, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε, τὸν θάνατον οὕτω λέγων. καὶ γὰρ Ἰάκωβος ἀπετμήθη μαχαίρᾳ, καὶ Ἰωάννης πολλάκις ἀπέθανε. τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων μου, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται ὑπὸ τοῦ πατρός μου. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἀποθανεῖσθε μὲν καὶ σφαγήσεσθε καὶ μαρτυρίῳ τελειωθήσεσθε· τὸ μέντοι πρώτους γενέσθαι,

Πραξ. α 5.

σθαι, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλὰ τῶν ἀγωνιζομένων λαβεῖν διὰ πλείονος τῆς σπουδῆς, διὰ μείζονος τῆς προθυμίας. ἵνα δὲ, ὃ λέγω, γένηται σαφέστερον, ὑποθώμεθα εἶναι ἀγωνοθέτην, εἶτα μητέρα ἀθλητὰς ἔχουσαν δύο παῖδας προσελθεῖν μετὰ τῶν παίδων αὐτῆς τῷ ἀγωνοθέτῃ καὶ λέγειν, εἰπὲ ἵνα οὗτοι οἱ δύο υἱοί μου τῶν στεφάνων λάβωσι. τί τοίνυν ἐκεῖνος ἀποκρίνεται; τὸ αὐτὸ δὴ τοῦτο, ὅτι οὐκ ἔστιν ἐμὸν δοῦναι· ἀγωνοθέτης εἰμὶ, οὐ χάριτι βραβεύων, οὐδὲ ἱκετηρίᾳ, οὐδὲ δεήσει τῶν προσιόντων, ἀλλὰ τῷ τέλει τῶν πραγμάτων. τοῦτο γὰρ μάλιστα [τοῦ] ἀγωνοθέτου, τὸ μὴ ἁπλῶς καὶ ὡς ἔτυχε διδόναι τὰ βραβεῖα, ἀλλὰ ἀνδρείας τιμῶντα. τοῦτο δὴ καὶ ὁ Χριστός φησιν, οὐκ ἐξαίρων τὰ τῆς οὐσίας, ἀλλὰ τοῦτο δηλῶν, ὅτι οὐκ αὐτοῦ μόνου ἐστὶ δοῦναι, ἀλλὰ καὶ τῶν ἀγωνιζομένων λαβεῖν. εἰ γὰρ αὐτοῦ μόνου ἦν, πάντες ἄνθρωποι ἂν ἐσώθησαν, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἦλθον. εἰ αὐτοῦ μόνου ἦν, οὐκ ἂν ἐγένοντο διάφοροι τιμαί. πάντας γὰρ αὐτὸς ἐποίησε, καὶ πάντων ὁμοίως κήδεται). ὅτι δὲ εἰσι διάφοροι τιμαὶ, ἄκουε Παύλου τοῦτο δηλοῦντος καὶ λέγοντος,

α. Κορ. ιε. μα.

Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων. ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ. καὶ πάλιν,

α. Κορ. γ. ιβ.

Εἴ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον, χρυσὸν, ἄργυρον, λίθους τιμίους. τὸ ποικίλον γὰρ τῆς ἀρετῆς ἐμφαίνων ὁ Παῦλος, οὕτω τὸν λόγον διεσκεύασε. ταῦτα δὲ ἔλεγε δεικνὺς ὅτι οὐκ ἔστι καθεύδοντας καὶ ῥέγχοντας εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλὰ διὰ πολλῶν θλίψεων δεῖ λαβεῖν τὰ βραβεῖα ἐκεῖνα. ἐπειδὴ γὰρ διὰ τὸ πολλῆς ἀπολαύειν φιλίας καὶ παρρησίας, ἐνόμιζον ὅτι καὶ τῶν ἑτέρων προτιμηθήσονται, ἵνα μὴ ταῦτα ὑποπτεύοντες, ῥαθυμότεροι γένωνται, ταύτης ἀπάγων αὐτοὺς τῆς ὑπονοίας, φησὶν, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' ὑμῶν, εἰ βουληθείητε λαβεῖν, ἵνα πλείονα ἐπιδείξησθε προθυμίαν, ἵνα μείζονα πόνον, ἵνα πολλὴν τὴν σπουδήν. τοῖς γὰρ ἔργοις τίθημι τοὺς στεφάνους, καὶ τοῖς πόνοις τὰς τιμὰς, καὶ τῷ ἱδρῶτι τὰ βραβεῖα. αὕτη παρ' ἐμοὶ σύστασις ἀρίστη, ἡ ἀπὸ τῶν ἔργων ἀπόδειξις. ὁρᾷς πῶς οὐ μάτην ἔλεγον, ὅτι οὔτε αὐτοῦ ἐστιν, οὔτε τοῦ πατρὸς, ἀλλὰ τῶν ἀγωνιζομένων καὶ πονούντων καὶ ταλαιπωρουμένων; διὰ δὴ τοῦτο καὶ τῇ Ἱερουσαλὴμ ἔλεγε·

Ματ. κγ. λζ.

Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα ὑμῶν, ὃν τρόπον ὄρνις τὰ νοσσία ἑαυτῆς, καὶ οὐκ ἠθελήσατε. ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. ὁρᾷς ὅτι τὸν ῥαθυμοῦντα καὶ ἀναπεπτωκότα, καὶ ὕπτιον κείμενον οὐκ ἔνι σωθῆναί ποτε; ἐκ τούτου καὶ ἕτερόν τι μανθάνομεν ἀπόρρητον, ὅτι οὐκ ἀρκεῖ οὐδὲ μαρτύριον τὴν ἀνωτάτω δοῦναι τιμὴν καὶ τὴν ὑψηλοτάτην προεδρίαν. ἰδοὺ γοῦν τούτους προεῖπεν, ὅτι μαρτυρήσουσι μὲν, οὐ πάντως δὲ τῶν πρωτείων τεύξονται. εἰσὶ γάρ τινες οἳ καὶ μείζονα δυνάμενοι ἐπιδείξασθαι. καὶ τοῦτο δηλῶν ἔλεγε, τὸ μὲν ποτήριόν μου πίεσθε, καὶ τὸ βάπτισμα βαπτισθήσεσθε, τὸ δὲ καθίσαι ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων μου, οὐκ ἔστιν ἐμὸν δοῦναι· οὐχ ὅτι καθίζει, ἀλλὰ τὸ μείζονος ἀπολαῦσαι τιμῆς, τὸ τῶν πρωτείων ἐπιτυχεῖν, τὸ ἀνωτέρω πάντων γενέσθαι, τοῦτ' ἔστι φησί· τὸ δὲ καθίσαι ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων, συγκαταβαίνων αὐτοῖς ἐπὶ τῇ ὑπονοίᾳ φησίν. ἐκεῖνοι γὰρ τὰ πρῶτα ἐζήτουν, καὶ τὸ τῶν ἄλλων ἁπάντων μείζους φανῆναι. τοῦτο οὖν αὐτό φησι, τὸ τῶν ἄλλων ὑμᾶς μείζους φανῆναι καὶ πάντων ἀνωτέρους, οὐκ ἔστι ἀπὸ τούτου μόνου λαβεῖν. ἀποθανεῖσθε μὲν γάρ. τὸ δὲ τῆς ἀνωτάτω τιμῆς ἀπολαῦσαι, οὐκ ἔστι ἐμὸν δοῦναι, ἀλλ' ἐκείνοις οἷς ἡτοίμασται. καὶ τίσιν ἡτοίμασται, εἰπέ μοι; ἴδωμεν τίνες οὗτοι οἱ μακάριοι καὶ τρισμακάριοι, καὶ τῶν λαμπρῶν ἐκείνων ἀπολαύοντες στεφάνων. τίνες οὖν εἶεν οὗτοι, καὶ τί ποιήσαντες οὕτω φανοῦνται λαμπροί; ἀκούσωμεν αὐτοῦ λέγοντος.

Ματθ. κ. κδ.

ἐπειδὴ γὰρ ἠγανάκτησαν οἱ δέκα περὶ τῶν δύο, ὅτι δὴ ἀπορραγέντες τοῦ χοροῦ, τὴν ἀνωτάτω τιμὴν εἰς ἑαυτοὺς περιστῆσαι ἐβούλοντο, ὅρα πῶς καὶ ἐκείνων διορθοῦται τὸ πάθος, καὶ τούτων. καλέσας γὰρ αὐτοὺς, φησίν· οἱ ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν, καὶ οἱ μεγάλοι [αὐτῶν] κατεξουσιάζουσιν αὐτῶν· παρὰ δὲ ὑμῖν οὐκ ἔσται οὕτως· ἀλλ' ὁ θέλων ἐν ὑμῖν εἶναι πρῶτος, γενέσθω πάντων ἔσχατος.

ρατες. ὁρᾷς ὅτι τοῦτο ἐβούλοντο, τὸ πρῶτοι γενέσθαι καὶ μείζους καὶ ἀνώτεροι, καί, ὡς ἂν εἴποι τις, ἄρχοντες αὐτῶν; διὰ δὴ τοῦτο πρὸς τοῦτο ἱστάμενος, καὶ τὰ ἀπόρρητα αὐτῶν εἰς μέσον ἐξάγων, ἔλεγεν· ὁ θέλων ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω πάντων διάκονος. εἰ προεδρίας ἐρᾶτε, φησί, καὶ τῆς ἀνωτάτω τιμῆς, τὰ ἔσχατα διώκετε, τὸ πάντων εὐτελέστεροι εἶναι, τὸ πάντων ταπεινότεροι, τὸ πάντων μικρότεροι, τὸ μετὰ τοὺς ἄλλους ἑαυτοὺς τάττειν. αὕτη γὰρ ἡ ἀρετὴ ἐκείνην δίδωσι τὴν τιμήν. τὸ παράδειγμα ἐγγύθεν, καὶ μετὰ πολλῆς τῆς περιουσίας. Οὐ γὰρ ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου διακονηθῆναι, ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν. ὅτι γὰρ τοῦτο ποιεῖ λαμπροὺς καὶ ἐπισήμους, ὁρᾶτε ἐπ' ἐμοῦ, φησί, τὸ πρᾶγμα συμβαῖνον, τοῦ μὴ δεομένου τιμῆς μηδὲ δόξης, ἀλλ' ὅμως καὶ ἐγὼ τὰ μυρία ἀγαθὰ διὰ τούτου κατορθῶ. πρὶν ἢ μὲν γὰρ λαβεῖν αὐτὸν τὴν σάρκα καὶ ταπεινῶσαι ἑαυτόν, πάντα ἀπωλώλει καὶ διέφθαρτο. ἐπειδὴ δὲ ἐταπείνωσεν ἑαυτόν, πάντα εἰς ὕψος ἀνήγαγε, κατάραν ἠφάνισε, θάνατον ἔσβεσε, παράδεισον ἀνέῳξεν, ἁμαρτίαν ἐνέκρωσεν, οὐρανοῦ ἁψῖδας ἀνεπέτασε, τὴν ἀπαρχὴν ἡμῶν εἰς οὐρανοὺς ἀνήγαγε, τὴν οἰκουμένην εὐσεβείας ἐπλήρωσε, τὴν πλάνην ἀπήλασε, τὴν ἀλήθειαν ἐπανήγαγε, τὴν ἀπαρχὴν ἡμῶν εἰς θρόνον ἀνεβίβασε βασιλικόν, τὰ μυρία ἀγαθὰ εἰργάσατο, ἃ μήτε ἐγώ, μήτε πάντες ἄνθρωποι δύναιντ' ἂν τῷ λόγῳ παραστῆσαι. καὶ πρὶν ἢ μὲν ταπεινῶσαι ἑαυτόν, ἄγγελοι μόνοι αὐτὸν ἐγίνωσκον· ἐπειδὴ δὲ ἐταπείνωσεν ἑαυτόν, ἅπασα ἡ τῶν ἀνθρώπων φύσις ἐπέγνω αὐτόν. ὁρᾷς πῶς ἡ ταπείνωσις οὐκ ἐλάττωσιν εἰργάσατο, ἀλλὰ μυρία κέρδη, μυρία κατορθώματα, καὶ μεῖζον αὐτοῦ τὴν δόξαν διαλάμψαι ἐποίησεν. Εἰ δὲ ἐπὶ Θεοῦ, τοῦ ἀνενδεοῦς καὶ μηδενὸς προσδεομένου, τὸ ταπεινωθῆναι τοσούτων γέγονεν ἀγαθῶν πρόξενον, καὶ πλείους αὐτῷ τοὺς οἰκέτας προσήγαγε, καὶ τὴν βασιλείαν ἐπέτεινε, τί δέδοικας αὐτός, μὴ ἀπὸ τοῦ ταπεινωθῆναι ἐλαττωθῇς; τότε ὑψηλὸς ἔσῃ, τότε μέγας, τότε λαμπρός, τότε περιφανής, ὅταν σεαυτὸν ἐξευτελίσῃς, ὅταν μὴ τῶν πρωτείων ἐρᾷς, ὅταν ἐλαττωθῆναι καταδέξῃ καὶ σφαγῆναι καὶ κινδυνεῦσαι, ὅταν τὴν διακονίαν τῶν πολλῶν μεταδιώξῃς, καὶ τὴν θεραπείαν καὶ τὴν κηδεμονίαν, καὶ ὑπὲρ τούτου πάντα καὶ ποιῆσαι καὶ παθεῖν ᾖς παρεσκευασμένος. Ταῦτα οὖν ἐννοοῦντες, ἀγαπητοί, διώκωμεν ταπεινοφροσύνην μετὰ πολλῆς τῆς περιουσίας, καὶ ὅταν ὑβριζώμεθα καὶ καταπτυώμεθα, καὶ τὰ ἔσχατα πάντα ὑπομένωμεν, καὶ ἀτιμαζώμεθα, καὶ καταφρονώμεθα, πάντα μεθ' ἡδονῆς φέρωμεν. Οὐδὲν γὰρ οὕτω ποιεῖν ὕψος εἴωθε καὶ δόξαν καὶ τιμήν, καὶ μέγαν δεικνύναι, ὡς ἡ τῆς ταπεινοφροσύνης ἀρετή· ἧς γένοιτο μετὰ ἀκριβείας κατορθοῦντας ἡμᾶς τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ ἡ δόξα καὶ ἡ τιμὴ τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. κ. μη.

Λογ. λδ. ΕΙΣ ΤΟ, ΠΑΤΕΡ, ΕΙ ΔΥΝΑΤΟΝ ΕΣΤΙ, ΠΑΡΕΛθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ· καὶ κατὰ Μαρκιωνιστῶν καὶ Μανιχαίων· καὶ ὅτι οὐ χρὴ ἐπιπηδᾶν τοῖς κινδύνοις, ἀλλὰ παντὸς θελήματος προτιμᾶν τὸ τοῦ Θεοῦ θέλημα.

Ματθ. κϛ. λθ.

ΒΑθεῖαν τὴν τομὴν τοῖς ἁρπάζουσι καὶ πλεονεκτεῖν βουλομένοις πρῴην ἐδώκαμεν, οὐχ ἵνα πλήξωμεν, ἀλλ' ἵνα διορθωσώμεθα, οὐ τοὺς ἀνθρώπους μισοῦντες, ἀλλὰ τὴν πονηρίαν ἀποστρεφόμενοι. ἐπεὶ καὶ ἰατρὸς τέμνει τὸ ἕλκος, οὐ τῷ νοσοῦντι σώματι πολεμῶν, ἀλλὰ τῇ νόσῳ καὶ τῷ τραύματι μαχόμενος. Φέρε δή, σήμερον μικρὸν ἐνδῶμεν αὐτοῖς, ὥστε αὐτοὺς ἀπὸ τῆς ὀδύνης ἀναπνεῦσαι, καὶ μὴ συνεχῶς χοὺς πληττομένους ἀποσκιρτῆσαι τῆς θεραπείας. οὕτω καὶ ἰατροὶ ποιοῦσι· μετὰ τὰς τομὰς ἐμπλάστρους ἐπιτιθέασι καὶ φάρμακα, καὶ διαλιμπάνουσιν ἡμέρας, τὰ παραμυθούμενα τὴν ὀδύνην ἐπινοοῦντες. τούτους δὴ καὶ ἡμεῖς μιμούμενοι σήμερον ἐνδῶμεν αὐτοῖς, ὥστε καρπώσασθαι τὴν ἀπὸ τῆς ἡμετέρας διαλέξεως ὠφέλειαν, καὶ τὸν περὶ δογμάτων κινήσωμεν λόγον, εἰς τὰ ἀνεγνωσμένα τῶν λόγων ἀφιέντες. καὶ γὰρ οἶμαι πολλοὺς διαπορεῖν, τίνος ἕνεκεν ταῦτα εἴρηται παρὰ τοῦ Χριστοῦ. εἰκὸς δὲ καὶ αἱρετικοὺς παρόντας ἐπιπηδῆσαι τοῖς εἰρημένοις, καὶ πολλοὺς τῶν ἀφελεστέρων ἀδελφῶν ἐντεῦθεν ὑποσκελίζειν. ἵν' οὖν καὶ τὴν ἐκείνων ἔφοδον ἀποτειχίσωμεν, καὶ τοὺς διαποροῦντας θορύβου καὶ ταραχῆς ἀπαλλάξωμεν, μεταχειρίσαντες τὸ εἰρημένον, ἐνδιατρίψωμεν τῇ λέξει, καὶ πρὸς τὸ βάθος καταβῶμεν τῶν νοημάτων. οὐδὲ γὰρ ἀρκεῖ ἡ ἀνάγνωσις, ἐὰν μὴ προσῇ καὶ ἡ γνῶσις. ἐπεὶ καὶ ὁ εὐνοῦχος Πραξ. η. κζ. Κανδάκης ἀνεγίνωσκεν· ἀλλ' ἕως ὅτε παρεγένετο ὁ διδάσκων αὐτὸν τί ποτε ἦν ὃ ἀνεγίνωσκεν, οὐδὲν ἐκαρποῦτο μέγα. ἵν' οὖν μὴ καὶ ὑμεῖς τὸ αὐτὸ πάθητε, προσέχετε τοῖς λεγομένοις, συντείνατε τὴν διάνοιαν, σχολάζουσάν μοι τὴν ψυχὴν παράσχετε· ὀξυδερκὲς ἔστω τὸ ὄμμα, συντεταμένη ἡ γνώμη, ἀπηλλαγμένη φροντίδων βιωτικῶν ἡ ψυχή, ἵνα μὴ καταβάλωμεν εἰς τὰς ἀκάνθας, μηδὲ εἰς τὰς πέτρας, μηδὲ παρὰ τὴν ὁδὸν τὰ λεγόμενα· ἀλλὰ βαθύγειον καὶ λιπαρὰν γεωργοῦντες ἄρουραν, κομῶντα τὸν ἀστάχυν ἀμήσωμεν. ἐὰν γὰρ οὕτω προσέχητε τοῖς λεγομένοις, καὶ ἡμῖν κουφότερον τὸν πόνον ἐργάσεσθε, καὶ ὑμῖν Ματθ κς. λθ. εὐκολωτέραν τὴν εὕρεσιν κατασκευάσετε. τί οὖν ἐστι τὸ ἀνεγνωσμένον; Πάτερ, εἰ δυνατόν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ. τί ποτέ ἐστιν ὅ φησι; δεῖ γὰρ τὸ εἰρημένον σαφέστερον ἑρμηνεύσαντας, οὕτως ἐπαγαγεῖν τὴν λύσιν. τί οὖν ἐστιν ὅ φησι; πάτερ, εἰ δυνατόν, παράγαγε τὸν σταυρόν. τί λέγεις; ἀγνοεῖ εἴτε δυνατόν, εἴτε ἀδύνατον τοῦτο; καὶ τίς ἂν τοῦτο εἴποι; καίτοι τὰ ῥήματα ἀγνοοῦντός ἐστιν. εἰ γὰρ τοῦ, ἡ, προσθήκη, ἀμφιβάλλοντός ἐστιν. ἀλλ', ὅπερ ἔφην, οὐ δεῖ τοῖς ῥήμασι προσέχειν, ἀλλὰ πρὸς τὰ νοήματα τρέπεσθαι, καὶ τὸν σκοπὸν τοῦ λέγοντος εἰδέναι, καὶ τὴν αἰτίαν, καὶ τὸν καιρόν, καὶ πάντα συναγαγόντα, οὕτω θηρᾶν τὴν ἐναποκειμένην διάνοιαν. ἡ οὖν σοφία ἡ ἀπόρρητος, ὁ τὸν πατέρα οὕτως εἰδώς, ὡς ὁ πατὴρ οἶδε τὸν υἱόν, πῶς ἂν τοῦτο ἠγνόησεν; οὐδὲ γὰρ μείζων αὕτη ἡ γνῶσις ἡ περὶ τοῦ πάθους τῆς γνώσεως τῆς περὶ Ιωαν. ι. ιε. τῆς οὐσίας, ἣν ἀκριβῶς μόνος οἶδεν αὐτός· Καθὼς γάρ, φησι, γινώσκει με ὁ πατήρ, κἀγὼ γινώσκω τὸν πατέρα. καὶ τί λέγω περὶ τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ; οὐδὲ γὰρ οἱ προφῆται φαίνονται τοῦτο ἠγνοηκότες, ἀλλὰ καὶ εἰδότες σαφῶς καὶ προαναφωνοῦντες μετὰ πολλῆς τῆς πληροφορίας, ὅτι δεῖ τοῦτο γενέσθαι, καὶ ὅτι πάντως ἔσται. ἄκουε γοῦν πῶς διαφόρως ἅπαντες τὸν σταυρὸν ἀπαγγέλλουσι. πρῶτος ὁ πατριάρχης Ἰακώβ. πρὸς γὰρ αὐ- Γεν. μθ. θ. τὸν ἀποτείνων τὸν λόγον φησίν, Ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης· βλαστὸν τὴν παρθένον, καὶ τὸ ἄχραντον τῆς Μαρίας ἐμφαίνων. εἶτα τὸν σταυρὸν δηλῶν ἔλεγεν· Ἀναπεσὼν ἐκοιμήθης ὡς λέων, καὶ ὡς σκύμνος λέοντος. τίς ἐγερεῖ αὐτόν; τὸν γὰρ θάνατον αὐτοῦ κοίμησιν ἐκάλεσε καὶ ὕπνον· καὶ τῷ θανάτῳ συνῆψε τὴν ἀνάστασιν λέγων, τίς ἐγερεῖ αὐτόν; ἄλλος μὲν οὐδείς, Ιωαν. ι. ιη. αὐτὸς δὲ ἑαυτόν. διὸ καὶ ὁ Χριστὸς ἔλεγεν, Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν Ιωαν. β. ιθ. ἔχω λαβεῖν αὐτήν. καὶ πάλιν· Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. τί δέ ἐστιν, ἀναπεσὼν ἐκοιμήθης ὡς λέων; ὥσπερ γὰρ ὁ λέων οὐκ ἐγρηγορὼς μόνον, ἀλλὰ καὶ καθεύδων ἐστὶ φοβερός· οὕτω καὶ ὁ Χριστός, οὐ πρὸ τοῦ σταυροῦ μόνον, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ σταυρῷ, καὶ ἐν αὐτῇ τῇ τελευτῇ φοβερὸς ἦν, καὶ τὰ μεγάλα τότε εἰργάζετο θαύματα, ἥλιον ἀποστρέφων, πέτρας τέμνων, τὴν γῆν κλονῶν, τὸ καταπέτασμα σχίζων, τὴν γυναῖκα Ματθ. κζ. δ. καὶ ιθ. τοῦ Πιλάτου δεδιττόμενος, τὸν Ἰούδαν ἐλέγχων. τότε γὰρ ἔλεγεν, Ἥμαρτον παραδοὺς αἷμα ἀθῷον. καὶ ἡ γυνὴ τοῦ Πιλάτου ἐδήλου, Μηδέν σοι καὶ τῷ δικαίῳ τούτῳ· πολλὰ γὰρ ἔπαθον κατ' ὄναρ δι' αὐτόν. τότε δὲ σκότος τὴν οἰκουμένην κατελάμβανε, καὶ νὺξ ἐν ἡμέρᾳ μέση″ ἐφαίρετο. τότε ὁ θάνατος ἐπίκτετο, καὶ ἡ τυραννὶς αὐτοῦ κατελύετο. πολλὰ γοῦν σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη. Ταῦτα ἄνωθεν προλέγων ὁ πατριάρχης, καὶ δεικνὺς ὅτι καὶ σταυρούμενος ἔσται φοβερός, ἀναπεσών, φησιν, ἐκοιμήθης ὡς λέων. καὶ οὐκ εἶπε, κοιμηθήσῃ, ἀλλ', ἐκοιμήθης, διὰ τὸ πάντως ″ ἐσόμενον. ἔθος γὰρ τοῖς προφήταις πολλαχοῦ τὰ μέλλοντα, ὡς προγεγενημένα, προλέγειν. ὥσπερ γὰρ οὐκ ἔνι τὰ γεγενημένα μὴ γεγενῆσθαι, οὕτως οὐδὲ τοῦτο, καίτοι μέλλον ὄν, μὴ γενέσθαι. διά τοι τοῦτο τῷ σχήματι τοῦ παρῳχηκότος χρόνου τὰ μέλλοντα προαναφωνοῦσι, τὸ ἀδιάπτωτον αὐτῶν καὶ πάντως ἐσόμενον διὰ τούτων ἐνδεικνύμενοι. οὕτω καὶ ὁ Δαβὶδ τὸν σταυρὸν δηλῶν, ἔλεγεν· Ὤρυξαν χεῖράς μου καὶ πόδας μου. οὐκ εἶπεν, ὀρύξουσιν, ἀλλ', ὤρυξαν. ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου. καὶ οὐ τοῦτο λέγει μόνον, ἀλλὰ καὶ τὰ παρὰ τῶν στρατιωτῶν γεγονότα. Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ χολὴν αὐτὸν ἐψώμισαν, καὶ ὄξος ἐπότισαν. Ἔδωκαν ″ γάρ, φησιν, εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος. ἕτερος δὲ πάλιν, ὅτι λόγχῃ αὐτὸν ἔπαισαν, φησιν. Ὄψονται γὰρ εἰς ὃν ἐξεκέντησαν. ὁ δὲ Ἡσαΐας ἑτέρως πάλιν τὸν σταυρὸν προαναφωνῶν, ἔλεγεν· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ· ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. σὺ δέ μοι παρατήρει πῶς ἕκαστος τούτων, ὡς περὶ παρῳχηκότων, διαλέγεται, τὸ πάντως ἐσόμενον καὶ ἀναντιρρήτως ἐκβησόμενον διὰ τοῦ χρόνου τούτου δηλῶν. οὕτω καὶ ὁ Δαβὶδ τὸ δικαστήριον ὑπογράφων, ἔλεγεν· Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ. οὐ τὸ δικαστήριον δὲ λέγει μόνον, καὶ τὸν σταυρόν, καὶ τὰ ἐν τῷ σταυρῷ, ἀλλὰ καὶ τὸν προδεδωκότα, ὅτι ὁμοδίαιτος καὶ ὁμοτράπεζος ἦν. Ὁ γὰρ ἐσθίων, φησίν, ″ ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν. καὶ τὴν φωνὴν δὲ οὕτω προλέγει, ἣν ἔμελλεν ἀφιέναι ἐν τῷ σταυρῷ, λέγων· Ὁ Θεός, ὁ Θεός μου, ἵνα τί ἐγκατέλιπές με; καὶ τὸν τάφον πάλιν· Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς, καὶ ἐν σκιᾷ θανάτου. καὶ τὴν ἀνάστασιν· Οὐ γὰρ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. καὶ τὴν ἀνάληψιν· Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος. καὶ τὴν ἐκ δεξιῶν καθέδραν· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. ὁ δὲ Ἡσαΐας καὶ τὴν αἰτίαν φησί, λέγων· Ὅτι ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ″ ἥκει εἰς θάνατον· καὶ ὅτι ἐπειδὴ πάντες ὡς πρόβατα ἐπλανήθημεν, διὰ τοῦτο σφαγιάζεται. εἶτα καὶ τὸ κατόρθωμα ἐπάγει λέγων, Τῷ μώλωπι αὐτοῦ ἡμεῖς πάντες ἰάθημεν, καὶ ὅτι ἁμαρτίας πολλῶν ἀνήνεγκεν. Εἶτα οἱ μὲν προφῆται καὶ τὸν σταυρὸν ᾔδεισαν, καὶ τοῦ σταυροῦ τὴν αἰτίαν, καὶ τὰ ἐκ τοῦ σταυροῦ κατορθούμενα, καὶ τὸν τάφον, καὶ τὴν ἀνάστασιν, καὶ τὴν ″ ἀνάβασιν, καὶ τὴν προδοσίαν, καὶ τὸ δικαστήριον, καὶ πάντα μετὰ ἀκριβείας διέγραψαν· ὁ δὲ ἀποστείλας αὐτούς, καὶ ταῦτα κελεύσας εἰπεῖν, αὐτὸς ἠγνόει; καὶ τίς ἂν ταῦτα νοῦν ἔχων εἴποι; ὁρᾷς ὅτι οὐ δεῖ τοῖς ῥήμασιν ἁπλῶς προσέχειν; οὐ γὰρ δὴ τοῦτο μόνον ἐστὶ τὸ ἄπορον, ἀλλὰ καὶ τὸ ἑξῆς ἀπορώτερον. τί γάρ φησι; Πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο. οὐ γὰρ δὴ ἀγνοῶν μόνον εὑρεθήσεται, ἀλλὰ καὶ παραιτούμενος τὸν σταυρόν. ὃ γὰρ λέγει τοῦτό ἐστιν· Εἰ ἐγχωρεῖ, φησι, μὴ ἐμπέσοιμι εἰς τὸ σταυρωθῆναι, μηδὲ ἀναιρεθῆναι. καίτοι τῷ Πέτρῳ τῷ κορυφαίῳ τῶν ἀποστόλων τοῦτο αὐτῷ εἰπόντι, ὅτι Ἵλεώς σοι, Κύριε, οὐ μὴ ἔσται σοι τοῦτο, οὕτω σφόδρα ἐπετίμησεν, ὡς εἰπεῖν, Ὕπαγε ὀπίσω μου, Σατανᾶ, σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων· καίτοιγε πρὸ μικροῦ μακαρίσας αὐτόν. ἀλλ' οὕτως αὐτῷ ἄτοπον ἐδόκει εἶναι τὸ μὴ σταυρωθῆναι, ὡς ἐκεῖνον τὸν παρὰ τοῦ πατρὸς τὴν ἀποκάλυψιν δεξάμενον, τὸν μακαρισθέντα, τὸν λαβόντα τὰς

κλεῖς

ἐφέρετο.
ἐπόμενον.
γάρ,
μετ' ἐμοῦ
ον, ἐπῆρ-
ἐπ.
ἤχθη
ἀνάβασιν, καὶ
προδοσίαν,

Ψαλ. κα. ιη.
Ζαχ. ιβ. ι.
Ησ. νγ. ζ.
Ψαλ. β. α.
Ψαλμ. μ. ι.
Ψαλμ. πζ. ϛ.
Ψαλ. ιϛ. ι.
Ψαλ. μϛ. ϛ.
Ψαλ. ρθ. α.
Ησ. νγ. η.
Ματθ. ιϛ. κγ.

κλεῖς τῶν οὐρανῶν, Σατανᾶν καλέσαι καὶ σκάνδαλον, καὶ αἰτιᾶσθαι, ὡς μὴ φρονοῦντα τὰ τοῦ
Θεοῦ, ἐπειδὴ εἶπεν αὐτῷ, ἵλεώς σοι, Κύριε, οὐ μὴ ἔσται σοι τοῦτο, τὸ σταυρωθῆναι. ὁ τοίνυν
τὸν μαθητὴν οὕτως ὑβρίσας, καὶ τοσαύτῃ κατ' αὐτοῦ χρησάμενος τῇ καταφορᾷ, ὡς καὶ
Σατανᾶν αὐτὸν καλέσαι μετὰ τοσαῦτα ἐγκώμια, ἐπειδὴ ἔλεγε, μὴ σταυρωθῇς, πῶς αὐτὸς
ἐβούλετο μὴ σταυρωθῆναι; πῶς δὲ μετὰ ταῦτα τοῦ καλοῦ ποιμένος ὑπογράφων τὴν εἰκόνα,
τοῦτο ἔφησε μάλιστα δεῖγμα εἶναι τῆς ἀρετῆς αὐτοῦ, τὸ σφάττεσθαι ὑπὲρ τῶν προβάτων,
Ιωαν. ι. ια. οὕτω λέγων· Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν
ὑπὲρ τῶν προβάτων; καὶ οὐδὲ μέχρι τούτου ἔστη, ἀλλὰ καὶ ἐπήγαγεν· ὁ δὲ μισθωτός,
καὶ οὐκ ὢν ποιμήν, θεωρεῖ τὸν λύκον ἐρχόμενον, καὶ ἀφίησι τὰ πρόβατα, καὶ φεύγει. εἰ τοίνυν
τοῦ καλοῦ μὲν ποιμένος, τὸ σφάττεσθαι, τοῦ δὲ μισθωτοῦ, τὸ μὴ βούλεσθαι τοῦτο ὑπομένειν, πῶς
Ιωαν. ι. ιη. αὐτὸς λέγων εἶναι ποιμὴν καλός, παρακαλεῖ μὴ σφαγιασθῆναι; πῶς δὲ ἔλεγεν, Ἐγὼ τίθημι
τὴν ψυχήν μου ἀπ' ἐμαυτοῦ; εἰ γὰρ ἀπὸ σαυτοῦ τίθης, πῶς ἕτερον παρακαλεῖς,
ἵνα μὴ θῇς; πῶς δὲ αὐτὸν ὁ Παῦλος θαυμάζει ταύτης ἕνεκα τῆς προφάσεως, οὕτω λέγων·
Φιλιπ. β. ς. Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλὰ ἑαυτὸν
ἐκένωσε, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς,
ὡς ἄνθρωπος, ἑαυτὸν ἐταπείνωσε, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ
Ιωαν. ι. ιζ. σταυροῦ; αὐτὸς δὲ πάλιν οὕτω πως φησί· Διὰ τοῦτό με ἀγαπᾷ ὁ πατήρ, ὅτι ἐγὼ τὴν
ψυχήν μου τίθημι, ἵνα πάλιν λάβω αὐτήν. εἰ γὰρ οὐ βούλεται, ἀλλὰ παραιτεῖται καὶ
παρακαλεῖ τὸν πατέρα, πῶς διὰ τοῦτο ἀγαπᾶται; ἡ γὰρ ἀγάπη τῶν κατὰ γνώμην γινομένων
Εφ. ε. β. ἐστί. πῶς δέ φησι πάλιν ὁ Παῦλος, Ἀγαπᾶτε ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν
ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν; αὐτὸς δὲ πάλιν ὁ Χριστὸς μέλλων σταυροῦσθαι,
Ιωαν. ιζ. α. ἔλεγε· Πάτερ, ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν υἱόν, δόξαν τὸν σταυρὸν καλῶν. καὶ
πῶς ἐνταῦθα μὲν παραιτεῖται, ἐκεῖ δὲ καὶ κατεπείγει; ὅτι γὰρ δόξα ὁ σταυρός, ἄκουσον τί
Ιωαν. ζ. λθ. φησιν ὁ εὐαγγελιστής· Οὐδέπω γὰρ ἦν πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὔπω ἐδοξάσθη. ὃ δὲ
λέγει, τοῦτό ἐστιν· οὐδέπω ἦν δοθεῖσα ἡ χάρις, ἐπειδὴ ἡ ἔχθρα ἡ πρὸς τοὺς ἀνθρώπους οὐδέπω
ἦν καταλυθεῖσα, τῷ μηδέπω τὸν σταυρὸν προκεχωρηκέναι. ὁ γὰρ σταυρὸς τὴν ἔχθραν
τοῦ Θεοῦ κατέλυσε τὴν πρὸς τοὺς ἀνθρώπους, τὰς καταλλαγὰς ἐκόμισε, τὴν γῆν οὐρανὸν
ἐποίησε, τοὺς ἀνθρώπους τοῖς ἀγγέλοις ἀνέμιξε, τοῦ θανάτου τὴν ἀκρόπολιν " κατήρειπε,
τοῦ διαβόλου τὴν ἰσχὺν ἐξενεύρωσε, τῆς ἁμαρτίας τὴν δύναμιν ἠφάνισε, τὴν γῆν
τῆς πλάνης ἀπήλλαξε, τὴν ἀλήθειαν ἐπανήγαγε, τοὺς δαίμονας ἀπήλασε, ναοὺς
καθεῖλε, βωμοὺς " ἀνέτρεψε, κνίσσαν ἠφάνισε, τὴν ἀρετὴν κατεφύτευσε, τὰς ἐκκλησίας
ἐρρίζωσε. σταυρός, τὸ τοῦ πατρὸς θέλημα, ἡ τοῦ υἱοῦ δόξα, τὸ τοῦ πνεύματος ἀγαλλίαμα,
Γαλατ. ς. ιδ. τὸ τοῦ Παύλου καύχημα. Ἐμοὶ γάρ, φησι, μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν
τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. σταυρὸς ὁ τοῦ ἡλίου φανώτερος, ὁ τῆς ἀκτῖνος
φαιδρότερος. ὅταν γὰρ ἐκεῖνος σκοτίζηται, τότε οὗτος λάμπει. σκοτίζεται δὲ ὁ ἥλιος τότε
οὐκ ἀφανιζόμενος, ἀλλὰ νικώμενος τῇ τοῦ σταυροῦ φαιδρότητι. σταυρὸς τὸ χειρόγραφον
ἡμῶν διέρρηξε, τοῦ θανάτου τὸ δεσμωτήριον ἄχρηστον ἐποίησε, σταυρὸς τῆς τοῦ Θεοῦ ἀγάπης
Ιωαν. γ. ις. ἡ ἀπόδειξις. Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν,
Ρωμ. ε. ι. ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτόν, μὴ ἀπόληται. καὶ πάλιν ὁ Παῦλος· Εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν
τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ. σταυρὸς τὸ τεῖχος τὸ ἀρραγές, τὸ
ὅπλον τὸ ἀχείρωτον, τῶν πλουτούντων ἡ ἀσφάλεια, τῶν πενήτων ἡ εὐπορία, τῶν ἐπιβουλευομένων
τὸ τεῖχος, τῶν πολεμουμένων τὸ ὅπλον, τῶν παθῶν ἡ ἀναίρεσις, τῆς ἀρετῆς
Ματθ. ιβ. λθ. ἡ κτῆσις, τὸ σημεῖον τὸ θαυμαστὸν καὶ παράδοξον. Σημεῖον γὰρ ἐπιζητεῖ ἡ γενεὰ αὕτη· καὶ σημεῖον
α. Κορ. α. κβ. οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ. καὶ πάλιν ὁ Παῦλος· Ἐπειδὴ καὶ Ἰουδαῖοι

σημεῖον αἰτοῦσι, καὶ Ἕλληνες σοφίαν ζητοῦσιν· ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον. σταυρὸς παράδεισον ἠνέῳξε, λῃστὴν εἰσήγαγε, τὸ τῶν ἀνθρώπων γένος ἀπόλλυσθαι μέλλον καὶ οὐδὲ τῆς γῆς ἄξιον πρὸς τὴν τῶν οὐρανῶν βασιλείαν ἐχειραγώγησε. "τοσαῦτα ἀγαθὰ ἀπὸ τοῦ σταυροῦ καὶ γέγονε καὶ γίνεται, καὶ οὐ βούλεται σταυρωθῆναι, εἰπέ μοι; καὶ τίς ἂν τοῦτο εἴποι; εἰ δὲ μὴ ἐβούλετο, τίς αὐτὸν ἠνάγκασε; τίς ἐβιάσατο; τί δὲ καὶ προέπεμψε προφήτας "ἀπαγγέλλοντας, ὅτι σταυρωθήσεται, μὴ μέλλων σταυροῦσθαι, μηδὲ βουλόμενος τοῦτο ὑπομεῖναι; τίνος δὲ ἕνεκεν καὶ ποτήριον καλεῖ τὸν σταυρόν, εἴγε μὴ ἐβούλετο σταυρωθῆναι; τοῦτο γὰρ ἐνδεικνυμένου ἐστὶ τὴν ἐπιθυμίαν, ἣν ἔχει περὶ τὸ πρᾶγμα. ὥσπερ γὰρ τοῖς διψῶσι τὸ ποτήριον ἡδύ, οὕτω καὶ αὐτῷ τὸ σταυρωθῆναι. διὸ καὶ ἔλεγεν· Ἐπιθυμίᾳ Λουκ. κβ. ιε. ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν, οὐχ ἁπλῶς εἰπὼν τοῦτο, ἀλλὰ διὰ τὴν αἰτίαν ταύτην, ἐπειδὴ μετὰ τὴν ἑσπέραν ὁ σταυρὸς αὐτὸν διεδέχετο. ὁ τοίνυν καὶ δόξαν τὸ πρᾶγμα καλῶν, καὶ τῷ μαθητῇ ἐπιτιμῶν, ὅτι διεκώλυεν αὐτόν, καὶ τὸν καλὸν ποιμένα ἐντεῦθεν δεικνὺς ἀπὸ τοῦ σφάττεσθαι ὑπὲρ τῶν προβάτων, καὶ ἐπιθυμίᾳ ἐπιθυμεῖν λέγων τὸ πρᾶγμα, καὶ ἑκὼν ἐπὶ τοῦτο ἐρχόμενος, πῶς παρακαλεῖ μὴ γενέσθαι τοῦτο; εἰ δὲ μὴ ἐβούλετο, τί δύσκολον ἦν διακωλῦσαι τοὺς ἐρχομένους ἐπὶ τοῦτο; νῦν δὲ καὶ "ὁρᾷς αὐτὸν ἐπιτρέχοντα τῷ πράγματι. ὅτε γοῦν ἐπῆλθον αὐτῷ, λέγει, Τίνα ζητεῖτε; οἱ δὲ λέγουσιν, Ιωαν. ιη. ε. Ἰησοῦν. καὶ λέγει αὐτοῖς, ἰδού, ἐγώ εἰμι· καὶ ἀπῆλθον εἰς τὰ ὀπίσω καὶ ἔπεσον χαμαί. οὕτω πηρώσας αὐτοὺς πρότερον καὶ δείξας, ὅτι ἠδύνατο διαφυγεῖν, τότε ἐξέδωκεν ἑαυτόν· ἵνα μάθῃς ὅτι οὐκ ἀνάγκῃ" οὐδὲ βίᾳ, οὐδὲ τῇ τυραννίδι τῶν ἐπελθόντων ἄκων τοῦτο ὑπέμεινεν, ἀλλ' ἑκὼν καὶ προαιρούμενος καὶ βουλόμενος, καὶ ἐκ πολλοῦ ταῦτα οἰκονομῶν. διὰ τοῦτο καὶ προφῆται προεπέμποντο, καὶ πατριάρχαι προέλεγον, καὶ διὰ ῥημάτων καὶ διὰ πραγμάτων ὁ σταυρὸς "προδιετυποῦτο. καὶ γὰρ τοῦ Ἰσαὰκ ἡ σφαγὴ τὸν σταυρὸν ἐδήλου ἡμῖν. διὸ καὶ ἔλεγεν, Ἀβραὰμ ὁ πατὴρ "ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν "δόξαν Ιωαν. η. νϛ. τὴν ἐμήν, καὶ εἶδε, καὶ ἐχάρη. εἶτα ὁ μὲν πατριάρχης ἐχάρη βλέπων τὴν εἰκόνα τοῦ σταυροῦ, αὐτὸς δὲ παραιτεῖται τὸ πρᾶγμα; καὶ Μωϋσῆς δὲ οὕτω τοῦ Ἀμαλὴκ περιεγένετο, ἐπειδὴ τὸν τύπον ἐπεδείκνυτο τοῦ σταυροῦ. καὶ μυρία ἄν τις ἴδοι ἐν τῇ παλαιᾷ γινόμενα, τὸν σταυρὸν προδιαγράφοντα. τίνος οὖν ἕνεκεν οὕτως ἐγένετο, εἴγε ὁ σταυροῦσθαι μέλλων οὐκ ἐβούλετο τοῦτο γίνεσθαι;

Καὶ τὸ μετὰ τοῦτο δὲ "ἔτι ἀπορώτερον. εἰπὼν γάρ, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο, ἐπήγαγε, πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. ἐντεῦθεν γὰρ *, ὅσον κατὰ τὴν ῥῆσιν, δύο θελήματα ἐναντία ἀλλήλοις "εὑρίσκομεν, εἴγε ὁ μὲν πατὴρ βούλεται αὐτὸν σταυρωθῆναι, αὐτὸς δὲ οὐ βούλεται. καίτοιγε πανταχοῦ ὁρῶμεν αὐτὸν τὰ αὐτὰ τῷ πατρὶ βουλόμενον, τὰ αὐτὰ προαιρούμενον. καὶ γὰρ ὅταν λέγῃ, Δὸς αὐτοῖς, καθὼς ἐγὼ καὶ σὺ ἕν ἐσμεν, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν Ιωαν. ιζ. ια. ἓν ὦσιν, οὐδὲν ἄλλο λέγει, εἰ μὴ τὸ μίαν εἶναι γνώμην πατρὸς καὶ υἱοῦ. καὶ ὅταν λέγῃ, Τὰ ῥήματα, Ιωαν. ε. ξγ. ἃ ἐγὼ λαλῶ, οὐ λαλῶ ἐγώ, ἀλλ' ὁ πατὴρ ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα ταῦτα, τοῦτο ἐνδείκνυται. καὶ ὅταν λέγῃ, ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, καὶ οὐ δύναμαι ἀπ' ἐμαυτοῦ ποιεῖν οὐδέν, οὐ τοῦτο δηλῶν λέγει, ὅτι ἐξουσίας ἀπεστέρηται ἢ τοῦ λαλεῖν ἢ τοῦ ποιεῖν, ἄπαγε, ἀλλὰ μετὰ ἀκριβείας δεῖξαι βουλόμενος σύμφωνον αὐτοῦ τὴν γνώμην, καὶ τὴν ἐν ῥήμασι, καὶ τὴν ἐν πράγμασι, καὶ τὴν ἐν πάσαις οἰκονομίαις πρὸς τὸν πατέρα μίαν καὶ τὴν αὐτὴν οὖσαν, καθὼς καὶ ἤδη πολλάκις ἀπεδείξαμεν. Τὸ γὰρ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, οὐκ ἐξουσίας ἀναίρεσις, ἀλλὰ συμφωνίας ἐστὶν ἀπόδειξις. πῶς οὖν ἐνταῦθά φησι, Πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ; τάχα εἰς πολὺν ὑμᾶς ἀγῶνα ἐνεβάλομεν, ἀλλὰ διαναστῆτε. εἰ γὰρ καὶ πολλὰ τὰ εἰρημένα, ἀλλ' εὖ οἶδα ὅτι νεάζει ὑμῶν ἡ "προθυμία. πρὸς γὰρ αὐτὴν λοιπὸν τὴν λύσιν ὁ λόγος ἐπείγεται. τίνος οὖν ἕνεκεν οὕτως εἴρηται; προσέχετε μετὰ ἀ-

σεβείας. πολὺ δυσπαράδεκτος ἦν ὁ τῆς σαρκώσεως λόγος. ἡ γὰρ ὑπερβολὴ τῆς φιλανθρωπίας αὐτοῦ, καὶ τὸ μέγεθος τῆς συγκαταβάσεως τούτου φρίκης ἔγεμε, καὶ πολλῆς ἐδέετο κατασκευῆς ὥστε παραδεχθῆναι. ἐννόησον γὰρ ἡλίκον ἦν ἀκοῦσαι καὶ μαθεῖν, ὅτι ὁ Θεὸς ὁ ἄρρητος, ὁ ἄφθαρτος, ὁ ἀπερινόητος, ὁ ἀόρατος, ὁ ἀκατάληπτος, οὗ ἐν τῇ χειρὶ τὰ πέρατα τῆς γῆς, ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζων αὐτά, οὗ τὴν ῥοπὴν τῆς συγκαταβάσεως οὐδὲ τὰ Χερουβεὶμ ἐνεγκεῖν ἠδυνήθησαν, ἀλλὰ τὰς ὄψεις ἀπέκρυπτον τῇ προβολῇ τῶν πτερύγων· οὗτος ὁ πάντα νοῦν ὑπερβαίνων, καὶ πάντα λογισμὸν νικῶν, παραδραμὼν ἀγγέλους, ἀρχαγγέλους, πάσας τὰς ἄνω νοερὰς δυνάμεις, κατεδέξατο γενέσθαι ἄνθρωπος, καὶ σάρκα τὴν ἀπὸ γῆς καὶ πηλοῦ πλασθεῖσαν ἀναλαβεῖν, καὶ εἰς μήτραν ἐλθεῖν παρθενικὴν καὶ ἐνναμηνιαῖον κυοφορηθῆναι χρόνον, καὶ γαλακτοτροφηθῆναι, καὶ τὰ ἀνθρώπινα πάντα παθεῖν. ἐπεὶ οὖν οὕτω παράδοξον ἦν τὸ μέλλον ἔσεσθαι, ὡς καὶ γενόμενον παρὰ πολλοῖς ἀπιστεῖσθαι, πρότερον προφήτας προπέμπει, τοῦτο αὐτὸ ἀπαγγέλλοντας. καὶ γὰρ ὅτε πατριάρχης αὐτὸ προανεφώνει λέγων,
Γεν. μθ. θ. Ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης· ἀναπεσὼν ἐκοιμήθης ὡς λέων· ὅτε Ἡσαΐας λέγων, Ἰδοὺ ἡ παρ-
Ησ. ζ. ιδ. καὶ νγ. β. θένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. καὶ ἕτερος πάλιν, Εἴδομεν αὐτὸν ὡς παιδίον, ὡς ῥίζαν ἐν γῇ διψώσῃ. γῆν δὲ διψῶσαν τὴν μήτραν λέγει τὴν παρθενικήν, διὰ τὸ μὴ δέξασθαι σπέρμα ἀνθρώπου, μηδὲ συνουσίας ἀπολαῦσαι, ἀλλὰ
Ησ. θ. ς. καὶ ια. α. χωρὶς γάμων αὐτὸν τεκεῖν. καὶ πάλιν, Παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν· καὶ πάλιν, Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται. ὁ δὲ Βαροὺχ
Βαρὺχ γ. λς. λζ. λη. ὁ ἐν Ἱερεμίᾳ φησίν· Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. καὶ ὁ Δα-
Ψαλ. οα. ς. βὶδ τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν δηλῶν ἔλεγε, Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν, ὅτι ἀψοφητὶ καὶ ἀταράχως εἰς τὴν μήτραν εἰσελήλυθε τὴν παρθενικήν. ἀλλ' οὐκ ἤρκεσε ταῦτα μόνον, ἀλλὰ καὶ παραγενόμενος, ἵνα μὴ νομισθῇ φαντασία τὸ γενόμενον, οὐ τῇ ὄψει μόνον πιστοῦται τὸ πρᾶγμα, ἀλλὰ καὶ χρόνῳ πολλῷ, καὶ τῷ διὰ πάντων ἐλθεῖν τῶν ἀνθρωπίνων. οὐ γὰρ ἁπλῶς εἰς ἄνθρωπον εἰσέρχεται ἀπηρτισμένον καὶ πεπληρωμένον, ἀλλ' εἰς μήτραν παρθενικήν, ὥστε καὶ κυοφορήσεως, καὶ τόκων ἀνασχέσθαι, καὶ γαλακτοτροφίας, καὶ αὐξήσεως, καὶ τῷ μήκει τοῦ χρόνου καὶ τῇ διαφορᾷ τῶν ἡλικιῶν ἁπασῶν πιστώσασθαι τὸ γενόμενον. καὶ οὐδὲ ἐνταῦθα ἵσταται τὰ τῆς ἀποδείξεως μόνον, ἀλλὰ καὶ περιφέρων τὴν σάρκα, ἀφίησιν αὐτὴν τὰ τῆς φύσεως ἐλαττώματα ὑπομεῖναι, καὶ πεινῆσαι καὶ διψῆσαι καὶ καθευδῆσαι καὶ κοπιᾶσαι, τέλος καὶ ἐπὶ τὸν σταυρὸν ἐρχόμενος, ἀφίησιν αὐτὴν τὰ τῆς σαρκὸς παθεῖν. διὰ γὰρ τοῦτο καὶ κρουνοὶ κατεφέροντο ἱδρώτων ἐξ αὐτῆς, καὶ ἄγγελος ηὑρίσκετο αὐτὴν διακρατῶν, καὶ λυπεῖται καὶ ἀδημονεῖ· καὶ γὰρ πρὶν ἢ ταῦτα εἰπεῖν, φησίν, ἡ ψυχή μου τετάρακται καὶ περίλυπός ἐστιν ἕως θανάτου. εἰ οὖν τούτων ἁπάντων γενομένων τὸ πονηρὸν τοῦ διαβόλου στόμα διὰ Μαρκίωνος τοῦ Ποντικοῦ, καὶ Οὐαλεντίνου, καὶ Μανιχαίου τοῦ Πέρσου, καὶ ἑτέρων πλειόνων αἱρέσεων ἐπεχείρησεν ἀνατρέψαι τὸν περὶ τῆς οἰκονομίας λόγον, καὶ ἤχησε σατανικήν τινα ἠχὴν λέγων, ὅτι οὐδὲ ἐσαρκώθη, οὐδὲ σάρκα περιεβάλετο, ἀλλὰ δόκησις τοῦτο ἦν καὶ φαντασία, καὶ σκηνὴ καὶ ὑπόκρισις, καίτοι τῶν παθῶν βοώντων, τοῦ θανάτου, τοῦ τάφου, τῆς πείνης· εἰ μηδὲν τούτων ἐγεγόνει, πῶς οὐ πολλῷ πλέον ὁ διάβολος τὰ πονηρὰ ταῦτα ἀνέσπειρε τῆς ἀσεβείας δόγματα; διά τοι τοῦτο, ὥσπερ ἐπείνησεν, ὥσπερ ἐκαθεύδησεν, ὥσπερ ἐκοπίασεν, ὥσπερ ἔφαγεν, ὥσπερ ἔπιεν, οὕτω καὶ θάνατον παραιτεῖται, τὸ ἀνθρώπινον ἐνδεικνύμενος, καὶ τὴν ἀσθένειαν τῆς φύσεως τὴν οὐκ ἀνεχομένην ἀπαθῶς ἀπορραγῆναι

γῆναι τῆς παρούσης ζωῆς. εἰ γὰρ μηδὲν τούτων εἰρήκει, εἶχον ἂν εἰπεῖν, ὅτι εἰ ἄνθρω-
πος ἦν, ἔδει αὐτὸν παθεῖν τὰ τοῦ ἀνθρώπου. τίνα δέ ἐστι ταῦτα; τὸ μέλλοντα σταυροῦ-
σθαι, καὶ δειλιᾶν καὶ ἀγωνιᾶν, καὶ μὴ ἀπαθῶς ἀπορρήγνυσθαι τῆς παρούσης ζωῆς. τῇ φύσει
γὰρ ἔγκειται τὸ φίλτρον τὸ περὶ τὰ παρόντα. διά τοι τοῦτο δεῖξαι βουλόμενος ἀληθῆ τῆς
σαρκὸς τὴν περιβολὴν, καὶ τὴν οἰκονομίαν πιστώσασθαι, μετὰ πολλῆς τῆς ἀποδείξεως τὰ πά-
θη γυμνὰ περιτίθησιν.

Εἷς μὲν οὖν λόγος οὗτος· ἔστι δὲ καὶ ἕτερος τούτου οὐκ ἐλάττων. τίς δὲ οὗτος; παραγενόμενος
ὁ Χριστὸς, πᾶσαν ἀρετὴν παιδεῦσαι τοὺς ἀνθρώπους ἐβούλετο· ὁ δὲ παιδεύων, οὐ λόγῳ
μόνον διδάσκει, ἀλλὰ καὶ ἔργῳ. αὕτη γὰρ ἡ ἀρίστη διδασκαλία ἐστὶ τοῦ διδάσκοντος. ἐπεὶ
καὶ κυβερνήτης παρακαθίζων τὸν μαθητὴν, δείκνυσι μὲν αὐτῷ πῶς κατέχει τοὺς οἴακας,
προστίθησι δὲ καὶ λόγον τῷ ἔργῳ· καὶ οὔτε λέγει μόνον, οὔτε ἐργάζεται μόνον. ὁμοίως καὶ οἰκο-
δόμος παραστήσας τὸν μέλλοντα παρ' αὐτοῦ μανθάνειν πῶς τοῖχος ὑφαίνεται, δείκνυσι μὲν
αὐτῷ διὰ τοῦ ἔργου, δείκνυσι δὲ αὐτῷ καὶ διὰ τοῦ λόγου· ὡσαύτως καὶ ὑφάντης, καὶ ποικιλ-
τὴς, καὶ χρυσοχόος, καὶ χαλκοτύπος, καὶ πᾶσα τέχνη διά λόγων τε καὶ ἔργων ἔχει τὸν διδάσκοντα.
ἐπεὶ οὖν καὶ αὐτὸς παρεγένετο παιδεῦσαι ἡμᾶς πᾶσαν ἀρετὴν, διὰ τοῦτο καὶ λέγει τὰ
πρακτέα, καὶ ποιεῖ. Ὁ γὰρ ποιήσας, φησὶ, καὶ διδάξας, οὗτος μέγας κληθήσεται ἐν τῇ βασι- Ματθ. ε. ιθ.
λείᾳ τῶν οὐρανῶν. σκόπει δέ· ἐκέλευσεν εἶναι ταπεινόφρονας καὶ πρᾳεῖς, καὶ ἐδίδαξε διὰ
τῶν ῥημάτων. ὅρα πῶς αὐτὰ παιδεύει καὶ διὰ τῶν πραγμάτων. Εἰπὼν γὰρ, Μακάριοι οἱ Ματθ. ε. γ.
πτωχοὶ τῷ πνεύματι, μακάριοι οἱ πρᾳεῖς, δείκνυσι πῶς αὐτὰ δεῖ κατορθοῦν. πῶς οὖν
ἐδίδαξε; Λαβὼν λέντιον διέζωσεν ἑαυτὸν, καὶ ἔνιψε τῶν μαθητῶν τοὺς πόδας. τί ταύτης ἴσον τῆς Ιωαν. ιγ. δ.
ταπεινοφροσύνης; οὐκ ἔτι γὰρ διὰ τῶν λόγων μόνον ταύτην παιδεύει, ἀλλὰ καὶ διὰ τῶν ἔργων.
πάλιν τὴν πρᾳότητα καὶ τὴν ἀνεξικακίαν διδάσκει διὰ τῶν ἔργων. πῶς; ἐρραπίσθη παρὰ τοῦ δού-
λου τοῦ ἀρχιερέως, καί φησιν, Εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ κα- Ιωαν. ιη. κγ.
λῶς, τί με δέρεις; ἐκέλευσεν εὔχεσθαι ὑπὲρ τῶν ἐχθρῶν. πάλιν καὶ τοῦτο διὰ τῶν ἔργων παιδεύει.
ἀναβὰς γὰρ ἐν τῷ σταυρῷ λέγει, Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσιν. ὥσπερ οὖν Λυκ. κγ. λδ.
ἐκέλευσεν εὔχεσθαι, οὕτω καὶ αὐτὸς εὔχεται, σε παιδεύων εὔχεσθαι, οὐκ αὐτὸς ἀτονῶν ἀφιέναι.
πάλιν ἐκέλευσεν εὖ ποιεῖν τοῖς μισοῦσιν ἡμᾶς, καὶ καλῶς ποιεῖν τοὺς ἐπηρεάζοντας. τοῦτο δὲ
διὰ τῶν ἔργων ἐποίησε. τῶν γὰρ Ἰουδαίων τοὺς δαίμονας ἐξέβαλε, τῶν καλούντων αὐτὸν δαιμο-
νῶντα, ἐλαύνοντας εὐεργέτει, ἐπιβουλεύοντας ἔτρεφε, σταυρῶσαι βουλομένους εἰς βασι-
λείαν ἐχειραγώγει. ἔλεγε πάλιν τοῖς μαθηταῖς, Μὴ κτήσησθε χρυσὸν, μηδὲ ἄργυρον, μηδὲ
χαλκὸν εἰς τὰς ζώνας ὑμῶν, πρὸς ἀκτημοσύνην ἀλείφων· τοῦτο πάλιν διὰ τῶν ἔργων Ματθ. ι. θ.
ἐπαίδευεν οὕτω λέγων, Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώ- Ματθ. η. κ.
σεις· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλῖναι. καὶ οὐκ ἦν αὐτῷ τρά-
πεζα, οὐκ οἰκία, οὐκ ἄλλο τι τῶν τοιούτων οὐδέν· οὐκ ἐπειδὴ ἠπόρει, ἀλλ' ἐπειδὴ ἐπαίδευε
τοὺς ἀνθρώπους ταύτην ἐλθεῖν τὴν ὁδόν. κατὰ δὴ τοῦτον τὸν τρόπον καὶ εὔχεσθαι αὐτοὺς ἐδί-
δασκεν. ἔλεγον οὖν αὐτῷ, δίδαξον ἡμᾶς εὔχεσθαι. διὰ τοῦτο καὶ εὔχεται, ἵνα ἐκεῖνοι μά- Λυκ. ια. α.
θωσιν εὔχεσθαι. ἀλλ' οὐκ εὔχεσθαι μόνον, ἀλλὰ καὶ πῶς δεῖ εὔχεσθαι μαθεῖν αὐτοὺς ἐχρῆν.
διὰ δὴ τοῦτο καὶ εὐχὴν παρέδωκεν οὕτως ἔχουσαν· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθή-
τω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς·
τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς
ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, τουτέστιν, εἰς κινδύνους, εἰς
ἐπιβουλάς. ἐπεὶ οὖν ἐκέλευσεν εὔχεσθαι, μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, τοῦτο αὐτὸ
διδάσκει αὐτοὺς δι' αὐτοῦ τοῦ πράγματος λέγων, πάτερ, εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ
τὸ ποτήριον τοῦτο, παιδεύων ἅπαντας τοὺς ἁγίους μὴ ἐπιπηδᾶν τοῖς κινδύνοις, μηδὲ ἐπιρ-

ῥίπτειν ἑαυτούς, ἀλλ' ἀναμένειν μὲν ἐπιόντας, καὶ ἀνδρείαν πᾶσαν ἐπιδείκνυσθαι· μὴ μὴν αὐτοὺς προπηδᾷν, μηδὲ πρώτους ὁμόσε τοῖς δεινοῖς ἰέναι. τί δήποτε; ἵνα καὶ ταπεινοφροσύνην διδάσκων, καὶ τῆς κενοδοξίας ἐγκλημάτων ἀπαλλάττῃ. διά τοι τοῦτο καὶ ἐνταῦθα, ὅτι ταῦτα ἔλεγεν, ἀπελθών, φησι, προσηύξατο· καὶ μετὰ τὸ προσεύξασθαι λέγει τοῖς μαθηταῖς οὕτως· Οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ' ἐμοῦ; γρηγορεῖτε καὶ προσεύχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν. ὁρᾷς ὅτι οὐ προσεύχεται μόνον, ἀλλὰ καὶ παραινεῖ; τὸ μὲν γὰρ πνεῦμα πρόθυμον, φησιν, ἡ δὲ σὰρξ ἀσθενής. τοῦτο δὲ ἔλεγε, τύφου τὴν ψυχὴν αὐτῶν κενῶν, καὶ ἀπονοίας ἀπαλλάττων, συνεσταλμένους ποιῶν, μετριάζειν παρασκευάζων. ὅ τοίνυν ἠβούλετο αὐτοὺς διδάσκειν εὔχεσθαι, τοῦτο καὶ αὐτὸς ηὔξατο ἀνθρωπίνως· οὐ κατὰ τὴν θεότητα (ἀπαθὲς γὰρ τὸ θεῖον) ἀλλὰ κατὰ τὴν ἀνθρωπότητα. ηὔξατο δὲ παιδεύων ἡμᾶς εὔχεσθαι, καὶ ἀεὶ ζητεῖν τῶν δεινῶν τὴν ἀπαλλαγήν· εἰ δὲ μὴ ἐγχωροίη, στέργειν τὰ τῷ Θεῷ δοκοῦντα. διὰ τοῦτο ἔλεγε, πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ· οὐκ ἐπειδὴ ἄλλο μὲν αὐτοῦ βούλημα, ἄλλο δὲ τοῦ πατρός· ἀλλ' ἵνα παιδεύσῃ τοὺς ἀνθρώπους, κἂν ἀγωνιῶσι, κἂν τρέμωσι, κἂν κίνδυνος ἐπίῃ, κἂν μὴ βούλωνται ἀπορραγῆναι τῆς παρούσης ζωῆς, ὅμως τοῦ οἰκείου βουλήματος προτιμᾷν τὸ τοῦ Θεοῦ βούλημα· ὅπερ οὖν καὶ Παῦλος παιδευθεὶς, ἀμφότερα ταῦτα διὰ τῶν ἔργων ἔδειξε. τούς τε γὰρ πειρασμοὺς ἠξίωσεν ἀποκινηθῆναι αὐτοῦ, οὕτω λέγων, Ὑπὲρ τούτου τρίτον τὸν Κύριον παρεκάλεσα· καὶ ἐπειδὴ οὐκ ἔδοξε τῷ Θεῷ, φησι, διὸ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν διωγμοῖς. τάχα δὲ ἀσαφὲς τὸ εἰρημένον· οὐκοῦν ποιῶ αὐτὸ σαφέστερον. ἐκινδύνευε πολλὰ ὁ Παῦλος, καὶ ηὔξατο μὴ κινδυνεύειν. ἤκουσεν οὖν τοῦ Χριστοῦ λέγοντος, ὅτι Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. ἐπεὶ οὖν εἶδε τοῦ Θεοῦ θέλημα ὄν, λοιπὸν τὸ ἑαυτοῦ θέλημα ὑποτάττει τῷ τοῦ Θεοῦ θελήματι. ταῦτα τοίνυν ἀμφότερα ἀπὸ τῆς εὐχῆς ταύτης ἐπαίδευσε, μήτε ἐπιπηδᾷν τοῖς κινδύνοις, ἀλλὰ καὶ εὔχεσθαι μὴ ἐμπεσεῖν εἰς αὐτούς· εἰ δὲ ἐπέλθοιεν, φέρειν αὐτοὺς γενναίως, καὶ τοῦ οἰκείου θελήματος προτιμᾷν τὸ τοῦ Θεοῦ θέλημα. ταῦτα οὖν εἰδότες, εὐχώμεθα μὲν μηδέποτε εἰσελθεῖν εἰς πειρασμόν· κἂν εἰσέλθωμεν, παρακαλῶμεν τὸν Θεὸν διδόναι ἡμῖν ὑπομονὴν καὶ ἀνδρείαν, καὶ τὸ αὐτοῦ θέλημα παντὸς θελήματος ἡμῶν προτιμῶμεν. οὕτω γὰρ καὶ τὸν παρόντα βίον μετὰ ἀσφαλείας διανύσομεν, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτευξόμεθα· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. κϛ. μα.

β. Κορ. ιβ. η.

Λογ. λε. ΜΕΤΑ ΤΑΣ ΚΑΛΑΝΔΑΣ ΤΗ ΕΞΗΣ ΕΝ ΑΝΤΙΟΧΕΙᾼ λεχθεὶς κατὰ μεθυόντων, καὶ περὶ τῶν εἰς καπηλεῖα εἰσιόντων, καὶ εἰς τὴν πόλιν χορείας τελούντων, καὶ ὅτι τὸν διδάσκαλον οὐ χρὴ ἀπογινώσκειν τῶν μαθητῶν, κἂν πρὸς τὸ παρὸν μὴ πείθωνται, καὶ εἰς τὸν πτωχὸν Λάζαρον καὶ τὸν πλούσιον λόγος πρῶτος.

Τὴν χθὲς ἡμέραν, ἑορτὴν οὖσαν διαβολικήν, ἐποιήσατε ὑμεῖς ἑορτὴν πνευματικήν, μετὰ πολλῆς τῆς εὐνοίας τοὺς παρ' ἡμῶν δεξάμενοι λόγους, καὶ τὸ πλέον ἐνταῦθα τῆς ἡμέρας διατρίψαντες, καὶ μέθην μεθυσθέντες σωφροσύνης γέμουσαν, καὶ μετὰ τοῦ Παύλου χορεύσαντες. διπλοῦν τοίνυν οὕτω τὸ κέρδος ὑμῖν γέγονεν, ὅτι καὶ τῆς ἀτάκτου τῶν μεθυόντων ἀπηλλάγητε χορείας, καὶ σκιρτήματα ἐσκιρτήσατε πνευματικά, πολλὴν εὐταξίαν ἔχοντα· καὶ μετέχετε κρατῆρος, οὐκ ἄκρατον ἐκχέοντος, ἀλλὰ διδασκαλίας πεπληρωμένου πνευματικῆς· καὶ αὐλὸς ἐγένεσθε καὶ κιθάρα τῷ πνεύματι τῷ ἁγίῳ· καὶ τῶν ἄλλων τῷ διαβόλῳ χορευόντων, ὑμεῖς ὄργανα καὶ σκεύη πνευματικὰ κατασκευάσαντες ἑαυτοὺς, διὰ τῆς ἐνταῦθα διατριβῆς, ἐδώκατε τῷ πνεύματι κροῦσαι τὰς ὑμετέρας ψυχὰς, καὶ τὴν παρ' ἑαυτοῦ χάριν ἐμπνεῦσαι ταῖς ὑμετέραις διανοίαις· ὅθεν καὶ παναρμόνιον ἠχήσατε μέλος, οὐκ ἀνθρώπους μόνον, ἀλλὰ καὶ τὰς ἄνω δυνάμεις εὐφραῖνοι. Φέρε οὖν καὶ σήμερον κατὰ μέθης ὁπλίσωμεν τὴν γλῶτταν, καὶ τὸν ὑγρὸν καὶ διαρρέοντα καταβάλωμεν βίον· κατηγορήσωμεν τῶν ἐν αὐτῇ διημερευόντων, οὐχ ἵνα αὐτοὺς καταισχύνωμεν, ἀλλ' ἵνα αὐτοὺς αἰσχύνης ἀπαλλάξωμεν· οὐχ ἵνα αὐτοὺς ὀνειδίσωμεν, ἀλλ' ἵνα αὐτοὺς διορθωσώμεθα· οὐχ ἵνα αὐτοὺς ἐκπομπεύσωμεν, ἀλλ' ἵνα πομπῆς ἀσχήμονος ἀπαγάγωμεν, καὶ τῶν τοῦ διαβόλου χειρῶν ἐξαρπάζωμεν. ὁ γὰρ ἐν μέθῃ διημερεύων, καὶ τρυφῇ, καὶ ἀδηφαγίᾳ, ὑπὸ αὐτὴν τοῦ διαβόλου τὴν τυραννίδα γεγένηται. καὶ γένοιτο μέν τι πλέον γενέσθαι ἐκ τῶν ἡμετέρων ῥημάτων· ἂν δὲ ἄρα τοῖς αὐτοῖς ἐπιμένωσι καὶ μετὰ τὴν παραίνεσιν, οὐδὲ οὕτως ἡμεῖς ἀποστησόμεθα τῆς πρὸς αὐτοὺς συμβουλῆς. καὶ γὰρ αἱ κρῆναι, κἂν μηδεὶς ὑδρεύηται, ῥέουσι· καὶ αἱ πηγαὶ, κἂν μηδεὶς ἀρύηται, ἀναβλύζουσι· καὶ οἱ ποταμοὶ, κἂν μηδεὶς πίνῃ, τρέχουσι. δεῖ τοίνυν καὶ τὸν λέγοντα, κἂν μηδεὶς προσέχῃ, τὰ παρ' ἑαυτοῦ πάντα πληροῦν. καὶ γὰρ νόμος ἡμῖν τοῖς τὴν τοῦ λόγου διακονίαν ἐγκεχειρισμένοις παρὰ τοῦ φιλανθρώπου κεῖται Θεοῦ μηδέποτε τὰ παρ' ἑαυτῶν ἐλλιμπάνειν, μηδὲ σιγᾷν, κἂν ἀκούῃ τις, κἂν παρατρέχῃ. ὁ γοῦν Ἱερεμίας, ἐπειδὴ πολλὰ τοῖς Ἰουδαίοις ἀπειλῶν, καὶ τὰ μέλλοντα προαναφωνῶν δεινὰ, παρὰ τῶν ἀκουόντων ἐκωμῳδεῖτο, καὶ δι' ὅλης ἐγελᾶτο τῆς ἡμέρας, ἐβουλεύσατό ποτε τῆς προφητείας ἀποστῆναι ἐκείνης, ἅτε ἀνθρώπινόν τι παθὼν, καὶ τὰ σκώμματα καὶ τὰς λοιδορίας οὐκ ἐνεγκών. καὶ ἄκουε αὐτοῦ τοῦτο δηλοῦντος, δι' ὧν φησιν· Ἐγενόμην εἰς γέλωτα ὅλην τὴν ἡμέραν· εἶπον, οὐ μὴ λαλήσω, οὐδὲ μὴ ὀνομάσω τὸ ὄνομα Κυρίου· καὶ ἐγένετο ἐν ἐμοὶ ὡς πῦρ καιόμενον καὶ φλεγμαῖνον ἐν τοῖς ὀστέοις μου. παρεῖμαι πάντοθεν, καὶ οὐ δύναμαι φέρειν. Ἱερ. κ. ζ. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐβουλευσάμην ἀποστῆναι τῆς προφητείας, φησὶν, ἐπειδὴ οὐκ ἤκουον οἱ Ἰουδαῖοι· καὶ ἅμα τοῦτο ἐβουλευσάμην, καθάπερ πῦρ εἰς τὴν ψυχὴν ἐνέπεσε τὴν ἐμὴν ἡ τοῦ πνεύματος ἐνέργεια, καὶ πάντα τὰ ἔνδον κατέφλεγεν, ἐπιδαπανῶσά μου τὰ ὀστᾶ καὶ κατεσθίουσα οὕτως, ὡς μὴ δύνασθαί με ἐνεγκεῖν τὸν ἐμπρησμὸν ἐκεῖνον. εἰ δὲ ὁ γελώμενος καὶ χλευαζόμενος ἐκεῖνος καὶ καθ' ἑκάστην λοιδορούμενος τὴν ἡμέραν, ἐπειδὴ ἐβουλεύσατο σιγῆσαι, τοσαύτην ὑπέστη τιμωρίαν· τίνος ἂν εἴημεν ἡμεῖς συγγνώμης ἄξιοι, τοιοῦτον μὲν οὐδέπω παθόντες οὐδὲν, διὰ δὲ τὴν ῥαθυμίαν τινῶν μικροψυχήσαντες, καὶ τῆς διδασκαλίας ἀποστάντες τῆς πρὸς ἐκείνους· καὶ μάλιστα, ὅταν τοσοῦτοι οἱ προσέχοντες ὦσι; ταῦτα δὲ λέγω, οὐκ ἐμαυτὸν παραμυθούμενος, οὐδὲ παρακαλῶν (καὶ γὰρ πέπεικα τὴν ἐμαυτοῦ ψυχὴν, ἕως ἂν ἐμπνέω, καὶ δοκῇ τῷ Θεῷ κατὰ τὸν παρόντα βίον ἡμᾶς εἶναι, ταύτην πληροῦν τὴν διακονίαν, καὶ ἄν τι προσέχῃ τις, ἄν τε μὴ προσέχῃ, τὸ ἐπιταχθὲν ποιεῖν) ἀλλ' ἐπειδή τινές εἰσιν οἱ τὰς τῶν πολλῶν ἐκλύοντες χεῖρας, καὶ πρὸς τῷ μηδὲν αὐτοὺς χρήσιμον εἰς τὸν βίον εἰσφέρειν τὸν ἡμέτερον, καὶ τὴν * ἑτέρων παραλύοντες σπουδὴν, χλευάζοντες καὶ διακωμῳδοῦντες καὶ λέγοντες, ἀπόστηθι συμβουλεύων, παῦσαι παραινῶν· οὐ βούλονται σοι προσέχειν, μηδὲν κοινὸν ἔχε πρὸς αὐτούς· ἐπειδή τινές εἰσι ταῦτα λέγοντες, τὴν πονηρὰν καὶ ἀπάνθρωπον ταύτην γνώμην καὶ διαβολικὴν ἐπιβουλὴν τῆς ψυχῆς τῶν πολλῶν ἐκκόψαι βουλόμενος, μακρότερον τοῦτον ποιῶ τὸν λόγον. καὶ γὰρ καὶ χθὲς οἶδα πολλοὺς εἰρηκότας ταῦτα τὰ ῥήματα, οἳ, ἐπειδὴ τινας εἶδον ἐν καπηλείῳ διατρίψαντας, γελῶντες καὶ διαχλευάζοντες ἔλεγον· πάνυ γε γὰρ ἐπείσθησαν· ὅλως οὐδεὶς εἰς καπηλεῖον εἰσῆλθε· ἅπαντες ἐσωφρόνησαν. τί λέγεις ἄνθρωπε; τοῦτο γὰρ ὑπεσχόμεθα πάντὰς ἐν μιᾷ σαγηνεύειν ἡμέρᾳ; εἰ γὰρ δέκα μόνον ἐπείσθησαν, εἰ γὰρ πέντε μόνον, εἰ γὰρ εἷς, οὐχ ἱκανὸν ἡμῖν εἰς παραμυθίαν; ἐγὼ δὲ καὶ ὑπερβολὴν ἑτέραν ποιοῦμαι. κείσθω μηδένα πεπεῖσθαι τοῖς ἡμετέροις λόγοις (ὅπερ ἀδύνατον, εἰς τοσαύτας ἀκοὰς σπειρόμενοι λόγοι ἄκαρποι γενέσθαι ποτέ) πλὴν ἀλλὰ κείσθω τοῦτο αὐτό· οὐδὲ οὕτως ἀκερδὴς ἡμῖν ὁ λόγος. εἰ γὰρ καὶ εἰσῆλθον εἰς καπηλεῖον, ἀλλ' οὐ μετὰ τῆς αὐτῆς ἀναισχυντίας εἰσῆλθον, ἀλλὰ καὶ ἐπὶ τῆς τραπέζης πολλάκις τῶν ἡμετέρων ἐμνήσθησαν λόγων, τῆς ἐπιτιμήσεως, τῆς ἐπιπλήξεως· καὶ μνησθέντες, ᾐσχύνθησαν, ἠρυθρίασαν κατὰ διάνοιαν· οὐ μετὰ "τοσαύτης ἰταμότητος τὰ εἰωθότα ἔπραξαν. τοῦτο δὲ ἀρχὴ σωτηρίας καὶ μεταβολῆς ἀρίστης, τὸ ὅλως αἰσχυνθῆναι, τὸ ὅλως καταγνῶναι τῶν γινομένων. καὶ πρὸς τούτοις δὲ οὐκ ἔλαττον καὶ ἕτερον ἡμῖν ἐκ τούτου γεγένηται κέρδος. ποῖον δὴ τοῦτο; τὸ καὶ τοὺς σωφρονοῦντας σεμνοτέρους ποιῆσαι, καὶ πεῖσαι διὰ τῶν εἰρημένων, ὅτι ἄριστα πάντων εἰσὶ βεβουλευμένοι, μὴ συναπαγόμενοι τοῖς πολλοῖς. οὐκ ἀνέστησα τοὺς νοσοῦντας; ἀλλὰ τοὺς ὑγιεῖς ἀσφαλεστέρους ἐποίησα. οὐκ ἀπήγαγέ τινας τῆς κακίας ὁ λόγος; ἀλλὰ τοὺς ἐν ἀρετῇ ζῶντας ἀκριβεστέρους εἰργάσατο. εἴπω τι καὶ πρὸς τούτοις τρίτον. οὐκ ἔπεισα σήμερον; ἀλλ' αὔριον ἴσως δυνήσομαι πεῖσαι. ἀλλ' οὐδὲ αὔριον; ἀλλὰ μετὰ τὴν αὔριον, ἢ καὶ μετ' ἐκείνην ἴσως. ὁ σήμερον ἀκούσας, καὶ διακρουσάμενος, αὔριον ἴσως ἀκούσεται καὶ καταδέξεται· ὁ καὶ σήμερον καὶ αὔριον καταφρονήσας, μετὰ πλείους ἴσως ἡμέρας προσέξει τοῖς λεγομένοις. καὶ γὰρ καὶ ἁλιεὺς πολλάκις δι' ὅλης τῆς ἡμέρας κενὸν ἀνασπάσας τὸ δίκτυον, ἐν ἑσπέρᾳ πολλάκις ἀναχωρεῖν μέλλων, τὸν δι' ὅλης αὐτὸν τῆς ἡμέρας διαφυγόντα ἰχθὺν ἁλιεύσας ἀπῆλθεν. εἰ δὲ μέλλοιμεν διὰ τὰς ἀεὶ γινομένας ἀποτυχίας ἐν ἀργίᾳ εἶναι, καὶ τῶν πραγμάτων ἀφίστασθαι πάντων, ἅπας ἡμῖν ὁ βίος ἀπολεῖται· καὶ οὐχὶ τὰ πνευματικὰ μόνον, ἀλλὰ καὶ τὰ βιωτικὰ οἰχήσεται πάντα. καὶ γὰρ ὁ γεωργὸς εἰ μέλλοι διὰ τὰς ἅπαξ καὶ δὶς καὶ πολλάκις γινομένας τῶν ἀέρων ἀνωμαλίας τῆς γεωργίας ἀποπηδᾶν, λιμῷ ταχέως "ἀπολούμεθα πάντες. καὶ κυβερνήτης δὲ εἰ διὰ τὸν ἅπαξ καὶ δὶς καὶ πολλάκις συμβάντα χειμῶνα φύγοι τὴν θάλατταν, ἄπλωτον ἡμῖν ἔσται τὸ πέλαγος, καὶ ἄχρηστος [καὶ] ἐντεῦθεν [ἡμῖν] ὁ βίος πάλιν γενήσεται. "καθ' ἑκάστην δὲ τέχνην ἐπιών, εἰ ταῦτα παραινοίης καὶ συμβουλεύοις, πάντα ἄρδην ἀπολεῖται, καὶ ἀοίκητος ἔσται ἡ γῆ. ἅπερ οὖν "ἅπαντες εἰδότες, κἂν ἅπαξ, κἂν δίς, κἂν πολλάκις ἀποτύχωσι τοῦ τέλους τῶν πραγμάτων, ἐν οἷς εἰσι καὶ διατρίβουσι, πάλιν αὐτῶν ἐπιλαμβάνονται μετὰ τῆς αὐτῆς προθυμίας. ἅπερ ἅπαντα δὴ καὶ ἡμεῖς εἰδότες, ἀγαπητοί, μή, παρακαλῶ, μὴ ταῦτα φθεγγώμεθα, μηδὲ λέγωμεν· τί διὰ λόγων ἡμῖν τοσούτων; οὐδὲν ἐκ τῶν λόγων τούτων ὄφελος γέγονε. καὶ γὰρ ὁ γηπόνος ἅπαξ καὶ δὶς καὶ πολλάκις τὴν αὐτὴν σπείρας ἄρουραν, καὶ ἀποτυχὼν τοῦ "κέρδους, πάλιν αὐτὴν εἰργάσατο, καὶ ἐν ἑνὶ πολλάκις ἐνιαυτῷ τοῦ παντὸς χρόνου τὴν ζημίαν ἀνέσωσε. καὶ ἔμπορος δὲ ναυάγια πολλὰ πολλάκις ὑπομείνας, οὐκ ἀπέστη τοῦ λιμένος, ἀλλὰ καὶ πλοῖον καθείλκυσε, καὶ ναύτας ἐμισθώσατο, καὶ χρήματα δανεισάμενος τῶν αὐτῶν ἥψατο πραγμάτων, καίτοι τοῦ μέλλοντος ὁμοίως ὄντος ἀδήλου. καὶ ἕκαστος δὲ τῶν ὁτιοῦν μετιόντων, οὕτω ποιεῖν εἰώθασιν, ὥσπερ ὁ γεωργὸς καὶ ὁ ἔμπορος. εἶτα ἐκεῖνοι μὲν τοσαύτῃ "χρῶνται περὶ τὰ βιωτικὰ σπουδῇ, καίτοι τοῦ τέλους ὄντος ἀδήλου, ἡμεῖς δέ, ἂν εἰπόντες μὴ ἀκουσθῶμεν, εὐθέως ἀποστησόμεθα; καὶ ποίαν ἕξομεν συγγνώμην; τίνα δὲ ἀπολογίαν; καίτοι ἐκείνοις μὲν ἐν ταῖς ἀποτυχίαις οὐδείς ἐστιν ὁ τὴν ζημίαν "παραμυθησόμενος· οἷον, ἐὰν ἐπικλύσῃ τὸ πλοῖον ἡ θάλασσα, οὐδεὶς τὴν πενίαν τοῦ ναυαγοῦντος διορθώσεται· ἂν καταχώσῃ τὴν ἄρουραν ἐπομβρία, καὶ ἀποπνίξῃ τὰ σπέρματα, ἀνάγκη κεναῖς τὸν γεωργὸν οἴκαδε ἀναχωρῆσαι χερσίν. ἐφ' ἡμῶν δὲ τῶν λεγόντων καὶ παραινούντων οὐχ οὕτως· ἀλλὰ κἂν καταβάλῃς τὰ σπέρματα, καὶ ὁ ἀκροατὴς μὴ δέξηται, μηδὲ ἐνέγκῃ τὸν καρπὸν τῆς ὑπακοῆς, σὺ τὸν μισθὸν ἔχεις ἀπηρτισμένον

χ. τ. αὐτ.

χ. καὶ

χ. χρῶν-
ται ἀεὶ

χ. παραμυ-
θούμενος

ἀπηρτισμένον παρὰ τοῦ Θεοῦ τῆς συμβουλῆς· καὶ τοσαύτην ἀπολήψῃ τὴν ἀμοιβὴν, καὶ παρακούσαντος ἐκείνου, ὅσην ἔλαβες ἂν, εἰ ὑπήκουσε. τὸ γὰρ σαυτοῦ πᾶν ἐπλήρωσας. τοῦ [μὴ] πεῖσαι τοὺς ἀκούοντας οὐκ ἐσμὲν ὑπεύθυνοι, ἀλλὰ τοῦ συμβουλεῦσαι μόνον. τὸ μὲν γὰρ παραινέσαι, ἡμέτερον· τὸ δὲ πεισθῆναι, ἐκείνων. καὶ καθάπερ ἡμῶν μὴ παραινεσάντων, κἂν μυρία κατορθώσωσιν ἐκεῖνοι, μόνοις αὐτοῖς ἅπας ὁ μισθὸς κείσεται, ἡμῖν δὲ οὐδὲν ἔσται τὸ κέρδος, ἐπειδὴ μὴ συνεβουλεύσαμεν· οὕτως ἂν ἡμῶν παραινεσάντων ἐκεῖνοι μὴ προσέχωσιν, ἅπασα αὐτοὺς ἡ τιμωρία καταλήψεται, ἡμῖν δὲ οὐδὲν ἔσται ἔγκλημα, ἀλλὰ καὶ πολὺς ὁ μισθὸς ἀπαντήσεται παρὰ τοῦ Θεοῦ· τὸ γὰρ ἡμῶν ἅπαν ἐπληρώσαμεν. καταβαλεῖν μόνον κελευόμεθα τὰ ἀργύρια ἐπὶ τοὺς τραπεζίτας, εἰπεῖν καὶ συμβουλεῦσαι. εἰπὲ τοίνυν, καὶ παραίνεσον τῷ ἀδελφῷ. ἀλλ' οὐκ ἤκουσεν; ἀλλὰ σὺ τὸν μισθὸν ἔχεις ἀπηρτισμένον· μόνον ἂν ἀεὶ τοῦτο ποιῇς, ἂν μηδέποτε ἀποστῇς, ἕως ἂν πείσῃς, ἕως ἂν ἐμπνέῃς. πέρας ἔστω τῆς συμβουλῆς, ἡ ὑπακοὴ τοῦ παραίνεσιν ὑποδεχομένου. ὁ διάβολος κατὰ τῆς σωτηρίας ἀεὶ τρέχει τῆς ἡμετέρας, οὐδὲν αὐτὸς κερδαίνων, ἀλλὰ καὶ τὰ μέγιστα ″βλαπτόμενος ἀπὸ τῆς σπουδῆς. ἀλλ' ὅμως τοσαύτην ἔχει μανίαν, ὡς καὶ πολλάκις ἀδυνάτοις ἐπιχειρεῖν πράγμασι, καὶ ″ἐπιθέσθαι μὴ μόνον ἐκείνοις, οὓς προσδοκᾷ πάντως ὑποσκελίζειν καὶ περιτρέπειν, ἀλλὰ καὶ οὓς εἰκὸς περιέσεσθαι τῶν μηχανημάτων αὐτοῦ. τὸν γοῦν Ἰὼβ ἀκούων ἐπαινούμενον * παρὰ τοῦ τὰ ἀπόρρητα πάντα εἰδότος Θεοῦ, προσεδόκησε δυνήσεσθαι καὶ περιτρέπειν. καὶ οὐκ ἀπέστη πάντα κινῶν καὶ μηχανώμενος [ὁ δόλιος], ὥστε ὑποσκελίσαι τὸν ἄνθρωπον· καὶ οὐκ ἀπεγίνωσκεν ὁ μιαρὸς καὶ παμπόνηρος δαίμων ἐκεῖνος, ″καίτοι τοῦ Θεοῦ τοσαύτην τῷ δικαίῳ ψηφισαμένου τὴν ἀρετήν. εἶτα οὐκ αἰσχυνόμεθα, οὐδὲ ″ἐρυθριάζομεν, εἰπέ μοι, εἰ, τοῦ διαβόλου μηδέποτε ἀπογινώσκοντος τῆς ἀπωλείας ἡμῶν, ἀλλ' ἀεὶ προσδοκῶντος αὐτὴν, αὐτοὶ τῆς τῶν ἀδελφῶν ἀπογνωσόμεθα σωτηρίας; καίτοι ἐκεῖνον μὲν καὶ πρὸ τῆς πείρας ἀποστῆναι τῶν παλαισμάτων ἔδει (Θεὸς γὰρ ἦν ὁ μαρτυρῶν τῷ δικαίῳ τὴν ἀρετὴν) ἀλλ' ὅμως οὐκ ἀπέστη· ἀλλ' ὑπὸ πολλῆς μανίας τῆς καθ' ἡμῶν καὶ μετὰ τὴν τοῦ Θεοῦ μαρτυρίαν ἤλπισε περιέσεσθαι τοῦ γενναίου τότε ἐκείνου. ἡμᾶς δὲ οὐδέν ἐστι τοιοῦτον τὸ ποιοῦν εἰς ἀπόγνωσιν ἐμπίπτειν, καὶ ὅμως ἀφιστάμεθα. καὶ ὁ μὲν διάβολος, καίτοι τοῦ Θεοῦ κωλύοντος, οὐκ ἀναχωρεῖ τῆς καθ' ἡμῶν μάχης· σὺ δὲ, τοῦ Θεοῦ προτρέποντός σε καὶ διεγείροντος εἰς τὴν ἀντίληψιν τῶν πεπτωκότων, ἀποπηδᾷς; ἤκουσεν ὁ διάβολος τοῦ Θεοῦ λέγοντος· Ἄνθρωπος δίκαιος, ἀληθινὸς, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος, καὶ ὅτι οὐδείς ἐστι τοιοῦτος τῶν ἐπὶ τῆς γῆς· καὶ μετὰ τοσαύτας καὶ τοιαύτας ψήφους ἐνέμεινεν ὅμως λέγων· μήποτε τῇ συνεχείᾳ καὶ τῷ μεγέθει τῶν ἐπαγομένων αὐτῷ κακῶν δυνηθῶ αὐτοῦ περιγίνεσθαι, καὶ τὸν μέγαν τοῦτον καθελεῖν πύργον; τίς οὖν ἡμῖν ἔσται συγγνώμη, ἀγαπητοὶ, τίς δὲ ἀπολογία, εἰ τοσαύτῃ τοῦ πονηροῦ δαίμονος καθ' ἡμῶν κεχρημένου μανίᾳ, ἡμεῖς μηδὲ τὸ πολλοστὸν τῆς τοσαύτης σπουδῆς εἰς τὴν σωτηρίαν τῶν ἡμετέρων ἀδελφῶν εἰσενέγκοιμεν, καὶ ταῦτα τὸν Θεὸν σύμμαχον ἔχοντες; ὅταν γοῦν ἴδῃς σκληρὸν καὶ ἀπηνῆ τὸν ἀδελφὸν, καὶ μὴ προσέχοντά σοι· λέγε πρὸς σεαυτὸν, μήποτε τῷ χρόνῳ δυνηθῶμεν πεῖσαι; οὕτω καὶ Παῦλος ἐκέλευσε ποιεῖν· Δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, ἐν πραότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους, μήποτε δῴη αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας. οὐχ ὁρᾷς τοὺς πατέρας, ″πῶς, πολλάκις τῶν υἱῶν αὐτοῖς ἀπεγνωσμένων, παρακάθηνται δακρύοντες, θρηνοῦντες, καταφιλοῦντες, τὰ παρ' ἑαυτῶν εἰσφέροντες ἅπαντα ἕως ἐσχάτης ἀναπνοῆς; τοῦτο καὶ σὺ περὶ τὸν ἀδελφὸν ποίησον. καίτοι ἐκεῖνοι μὲν ἀπὸ τῶν θρήνων καὶ τῶν δακρύων οὔτε τὴν ἀρρωστίαν ἀπελάσαι, οὔτε τὸν θάνατον ἐπελθόντα ἀποκρούσασθαι δύνανται· σὺ δὲ ψυχὴν ἀπεγνωσθεῖσαν τῇ

καρτερίᾳ

πραγ-
ματ.
ἐπιτήδευ
υμαζό-
ον
καὶ ταῦτα
ἐρυθριῶμ.
ῶπ, καίτοι

Ἰωβ. α. η.

β. Τιμ. β. κδ.

καρτερίᾳ καὶ τῇ προσεδρίᾳ δυνήσῃ πολλάκις διὰ τῶν θρήνων καὶ τῶν δακρύων ἐπισπάσασθαι καὶ ἀναστῆσαι. Συνεβούλευσας, καὶ οὐκ ἔπεισας; δάκρυσον, καὶ καθάψῃ πολλάκις· στέναξον πικρόν, ἵνα αἰδεσθεὶς σου τὴν κηδεμονίαν, ἐπιστρέψῃ πρὸς τὴν σωτηρίαν. τί δὲ δυνήσομαι ἐγὼ μόνος ποιεῖν; οὐ γὰρ δὴ πᾶσιν ὑμῖν καθ' ἑκάστην συντυγχάνειν δύναμαι [μόνος] τὴν ἡμέραν, οὐδὲ ἀρκῶ πλήθει τοσούτῳ διαλέγεσθαι μόνος. ὑμεῖς δὲ, εἰ βουληθείητε τὴν ἀλλήλων διανείμασθαι σωτηρίαν, καὶ ἕκαστος ἕνα ἀπολάβοι τῶν ἠμελημένων ἀδελφῶν, ταχέως ἡμῖν τὰ τῆς οἰκοδομῆς αὐξηθήσεται. καὶ τί χρὴ λέγειν τῶν μετὰ πολλῶν παραινέσεων ἀνακτωμένων ἑαυτούς; οὐδὲ γὰρ ἐκείνων τῶν ἀνίατα νοσούντων ἀφίστασθαι χρὴ καὶ ἀμελεῖν· κἂν προειδότες ὦμεν σαφῶς, ὅτι πολλῆς ἀπολαύσαντες τῆς σπουδῆς καὶ συμβουλῆς, οὐδὲν κερδανοῦσι πλέον.

Εἰ δὲ παράδοξος ὑμῖν ὁ λόγος οὗτος εἶναι δοκεῖ· φέρε, ἀφ' ὧν ὁ Χριστὸς ἐποίησέ τε καὶ εἶπεν, ἀπὸ τούτων αὐτὸν πιστωσόμεθα. ἡμεῖς μὲν γὰρ οἱ ἄνθρωποι τὸ μέλλον ἀγνοοῦμεν, ὅθεν οὐδὲ διϊσχυρίζεσθαι δυνάμεθα περὶ τῶν ἀκουόντων, εἴτε πεισθήσονται, εἴτε ἀπειθήσουσι τοῖς παρ' ἡμῶν λεγομένοις· ὁ δὲ Χριστὸς ταῦτα ἀμφότερα εἰδὼς σαφῶς, οὐ διέλιπε τὸν οὐκ ἀκουσόμενον αὐτοῦ διορθούμενος μέχρι τέλους. τὸν γοῦν Ἰούδαν εἰδὼς οὐκ ἀποστησόμενον τῆς προδοσίας, οὐ διέλιπε συνεχῶς συμβουλαῖς, παραινέσεσιν, εὐεργεσίαις, ἀπειλαῖς, παντὶ τρόπῳ διδασκαλίας ἀναστέλλων αὐτὸν ἐκ τῆς προδοσίας, καὶ συνεχῶς ἀνακρουόμενος, ὥσπερ τινὶ χαλινῷ, τῷ λόγῳ. τοῦτο δὲ ποιεῖ, παιδεύων ἡμᾶς, κἂν προειδότες ὦμεν, ὅτι οὐ πεισθήσονται οἱ ἀδελφοί, τὰ παρ' ἑαυτῶν ἅπαντα ἀποπληροῦν, ὡς ἀπηρτισμένου τῆς συμβουλῆς ἡμῖν τοῦ μισθοῦ. καὶ ὅρα πῶς
Ματθ. κϛ. κα. συνεχῶς αὐτὸν καὶ σοφῶς ἀνέστελλε, δι' ὧν ἔλεγεν· Εἷς ἐξ ὑμῶν παραδώσει με. καὶ πά-
Ἰωάν. ιγ. ιη. λιν, Οὐ περὶ πάντων ὑμῶν λέγω· οἶδα οὓς ἐξελεξάμην· καὶ πάλιν, Εἷς ἐξ ὑμῶν διάβολός ἐστι. καὶ ἠνείχετο πάντας ἐν ἀγωνίᾳ καθιστᾶν, ὥστε μὴ ἐκπομπεῦσαι τὸν προδότην, καὶ ἀναισχυντότερον ποιῆσαι τῇ τῶν ἐλέγχων περιφανείᾳ. ὅτι γὰρ καὶ τοῖς ἄλλοις ἀγωνίαν καὶ φόβον ἐνέβαλε τὰ λεγόμενα, καίτοι μηδὲν ἑαυτοῖς συνειδόσι πονηρόν, ἄκουσον πῶς ἕκαστος
Ματθ. κϛ. κβ. ἀγωνιῶν ἔλεγε· Μήτι ἐγώ εἰμι, Κύριε; οὐ διὰ ῥημάτων δὲ μόνον, ἀλλὰ καὶ διὰ πραγμάτων αὐτὸν ἐπαίδευεν. ἐπεὶ γὰρ τὴν ἑαυτοῦ φιλανθρωπίαν ἐπεδείξατο πολλάκις καὶ διὰ πάντων, λεπροὺς καθαίρων, δαίμονας ἀπελαύνων, νοσοῦντας ἰώμενος, νεκροὺς ἐγείρων, παραλελυμένους σφίγγων, καὶ πάντας μὲν εὐηργέτησεν, * ἐκόλασε δὲ οὐδένα,
Ἰωάν. ιβ. μζ. καὶ συνεχῶς ἔλεγεν, Οὐκ ἦλθον * ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον· ἵνα μὴ νομίσῃ ὁ Ἰούδας, ὅτι εὐεργετεῖν μὲν μόνον οἶδεν ὁ Χριστός, κολάζειν δὲ οὐκ ἔτι, καὶ τοῦτο αὐτὸν διδάσκει τὸ μέρος, οἶδεν ὅτι καὶ κολάζειν δύναται καὶ τιμωρεῖσθαι τοὺς ἁμαρτάνοντας. καὶ ὅρα πῶς σοφῶς καὶ προσηκόντως καὶ τοῦτον μὲν ἐπαίδευσε, καὶ ἀνθρώπων οὐδένα κολάσαι, οὐδὲ τιμωρήσασθαι ἠνέσχετο. πῶς οὖν, ἵνα μάθῃ τὴν τιμωρητικὴν αὐτοῦ δύναμιν ὁ μαθητής; εἰ μὲν γὰρ ἐκόλασέ τινα, ἔδοξεν ἂν ἐναντιοῦσθαι ἑαυτῷ λέγοντι· οὐκ ἦλθον, ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον. πάλιν, εἰ μηδένα ἐκόλασεν, ἀδιόρθωτος ἔμενεν ὁ μαθητής, οὐ μανθάνων διὰ τῶν ἔργων τὴν κολαστικὴν αὐτοῦ δύναμιν. τί οὖν ἵνα γένηται, ὥστε καὶ τὸν μαθητὴν φοβηθῆναι καὶ μὴ καταφρονήσαντα γενέσθαι χείρω, καὶ ἀνθρώπων μηδένα πληγῆναι, μηδὲ κόλασιν ὑπομεῖναι καὶ τιμωρίαν; εἰς τὴν συκῆν τὴν
Ματθ. κα. ιθ. δύναμιν ταύτην ἐπιδείκνυται ὁ Χριστός, εἰπών, Μηκέτι ἐκ σοῦ καρπὸς γένηται, καὶ ῥήματι ψιλῷ ξηράνας αὐτὴν παραχρῆμα. οὕτω γὰρ οἵ τε ἄνθρωποι πάντες ἔμενον ἀβλαβεῖς, αὐτός τε τὴν ἑαυτοῦ δύναμιν ἐπεδείκνυτο, τοῦ φυτοῦ δεξαμένου τὴν τιμωρίαν. καὶ ὁ μαθητὴς δὲ, εἰ προσεῖχε, μεγάλην ἂν ἀπὸ τῆς κολάσεως ταύτης ἐκαρπώσατο τὴν ὠφέλειαν. ἀλλ' ὅμως οὐδὲ οὕτω διωρθώθη. ὁ δὲ Χριστὸς καὶ τοῦτο προειδώς, οὐχὶ τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερον μετὰ τοῦτο πολλῷ μεῖζον τούτου ἐποίησεν. ὅτε γοῦν ἐπέθεντο αὐτῷ οἱ Ἰουδαῖοι μετὰ

μαχαιρῶν καὶ ξύλων τὰς χεῖρας ὁπλίσαντες κατ' αὐτοῦ, τότε πάντας αὐτοὺς ἐπήρωσε. τὸ γὰρ εἰπεῖν, Τίνα ζητεῖτε; τοῦτο ἐμφαίνοντός ἐστιν. ἐπειδὴ γὰρ ἔλεγε συνεχῶς ὁ Ἰούδας· τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; Ιωαν. ιη. ε. βουλόμενος ὁ Κύριος καὶ τοὺς Ἰουδαίους πεῖσαι, κἀκεῖνον διδάξαι, ὅτι ἑκὼν ἔρχεται ἐπὶ τὸ πάθος, καὶ τὸ πᾶν αὐτοῦ ἐστιν, οὐ τῆς ἐκείνου κακουργίας δυνηθείσης αὐτοῦ περιγενέσθαι, αὐτοῦ τοῦ προδότου μετὰ πάντων ἑστῶτος, φησι, τίνα ζητεῖτε; οὕτως οὐκ ᾔδει ὃν ἔμελλε παραδιδόναι, ἀλλ' ἐπήρωσεν αὐτοῦ τὴν ὄψιν· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ὑπτίους ἅπαντας ἔρριψε διὰ τῆς φωνῆς ταύτης. καὶ ἐπειδὴ μηδὲ τοῦτο αὐτοὺς ἐπιεικεστέρους ἐποίησε, μηδὲ τὸν μιαρὸν ἐκεῖνον τῆς προδοσίας ἀπέστησεν, ἀλλ' ἔμενεν ἀνίατος ὤν, οὐδὲ οὕτω πάλιν ὁ Χριστὸς ἀπέστη τῆς περὶ αὐτὸν εὐνοίας τε καὶ ἐπιμελείας. ἀλλ' ὅρα πῶς ἐντρεπτικώτατα τῆς ἀναιδοῦς καθάπτεται ψυχῆς, καὶ φθέγγεται" ῥήματα ἱκανὰ καὶ λιθίνην μαλάξαι διάνοιαν. ἐπειδὴ γὰρ ὥρμησεν αὐτὸν φιλῆσαι, τί φησιν; Ἰούδα, φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώπου παραδίδως; Λυκ. κβ. μη. οὐδὲ αὐτὸ τῆς προδοσίας αἰσχύνῃ τὸ σχῆμα; ταῦτα δὲ ἔλεγεν ὁ Χριστὸς καθαπτόμενος αὐτοῦ, καὶ τῆς προτέρας ἀναμιμνήσκων συνηθείας. ἀλλ' ὅμως τοσαῦτα τοῦ Κυρίου καὶ ποιήσαντος, καὶ εἰπόντος, οὐκ ἐγένετο βελτίων ἐκεῖνος· οὐ παρὰ τὴν τοῦ συμβουλεύσαντος ἀσθένειαν, ἀλλὰ παρὰ τὴν αὐτοῦ" ῥαθυμίαν. ὁ δὲ Χριστός, καίτοι ταῦτα πάντα προειδώς, οὐ διέλιπεν ἐξ ἀρχῆς μέχρι τέλους τὰ παρ' ἑαυτοῦ ἅπαντα ἐπιδεικνύμενος. ἅπερ οὖν ἅπαντα καὶ ἡμᾶς εἰδότας, ἀγαπητοί, συνεχῶς καὶ διαπαντὸς τοὺς ἠμεληκότας τῶν ἀδελφῶν τῶν ἡμετέρων ῥυθμίζειν [καὶ" φιλεῖν] χρή, κἂν μηδὲν ἐκ τῆς συμβουλῆς γίνηται κέρδος. εἰ γὰρ ὁ τὸ τέλος εἰδὼς τοιοῦτον ἐσόμενον, τοσαύτῃ περὶ τὸν οὐδὲν μέλλοντα καρποῦσθαι ἐκ τῆς παραινέσεως ταύτης ἐχρήσατο προνοίᾳ, ποίας ἂν εἴημεν ἄξιοι συγγνώμης ἡμεῖς, ὅταν μηδὲ τὴν τῶν πραγμάτων ἔκβασιν εἰδότες, οὕτω τῆς τῶν πλησίον σωτηρίας ῥαθυμῶμεν, ἐκ πρώτης καὶ δευτέρας αὐτοὺς συμβουλῆς ἐγκαταλιμπάνοντες; μετὰ δὲ τῶν εἰρημένων ἁπάντων καὶ τὰ καθ' ἡμᾶς αὐτοὺς ἐννοήσωμεν, ὅτι καθ' ἑκάστην ἡμέραν τοῦ Θεοῦ πρὸς ἡμᾶς διαλεγομένου διὰ τῶν προφητῶν, διὰ τῶν ἀποστόλων, καθ' ἑκάστην παρακούομεν τὴν ἡμέραν· καὶ ὅμως οὐκ ἀφίσταται καὶ διαλεγόμενος, καὶ παρακαλῶν ἀεὶ τοὺς ἀφηνιάζοντας καὶ μὴ προσέχοντας. καὶ βοᾷ Παῦλος λέγων· Ὑπὲρ" Κυρίου πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν, δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ. εἰ γὰρ χρή τι καὶ θαυμαστὸν εἰπεῖν· οὐ τοσούτων ἐπαίνων ἄξιος ὁ προειδώς, ὅτι πεισθήσεται πάντως ὁ δεχόμενος τὴν συμβουλήν, καὶ οὕτω συμβουλεύων· ὡς ὁ πολλάκις μὲν εἰπὼν καὶ συμβουλεύσας καὶ ἀποτυχών, οὐκ ἀφιστάμενος δὲ οὐδὲ οὕτω. τὸν μὲν γὰρ πρότερον ἡ τοῦ πεισθήσεσθαι ἐλπὶς τὸν ἀκούοντα, κἂν ἁπάντων νωθέστερος ᾖ, διεγείρει πρὸς τὴν παραίνεσιν. οὗτος δὲ ὁ συνεχῶς συμβουλεύων καὶ παρακουόμενος, εἶτα οὐκ ἀφιστάμενος, θερμοτάτης καὶ γνησιωτάτης ἀγάπης τεκμήριον ἐπιδείκνυται, ἐλπίδι μὲν οὐδεμιᾷ τοιαύτῃ τρεφόμενος, διὰ δὲ τὸ πρὸς τὸν ἀκούοντα φίλτρον μόνον τῆς περὶ τὸν ἀδελφὸν οὐκ ἀφιστάμενος" ἐπιμελείας.

Ἀλλ' ὅτι μὲν χρὴ μηδέποτε ἀφίστασθαι τῶν πεπτωκότων, κἂν προειδότες ὦμεν, ὅτι οὐ πεισθήσονται ἡμῖν, ἱκανῶς ἀποδέδεικται. δεῖ δὲ λοιπὸν ἐπὶ τὴν τῶν τρυφώντων κατηγορίαν βαδίσαι. ἕως" γὰρ ἂν ἑστήκῃ ἡ ἑορτὴ αὕτη, καὶ τὰ ἕλκη τῆς μέθης ἐν ταῖς τῶν μεθυόντων ἐργάζεται ψυχαῖς ὁ διάβολος, καὶ ἡμᾶς τὰ φάρμακα ἐπιθεῖναι χρή. χθὲς μὲν οὖν τὸν Παῦλον αὐτοῖς ἐπετειχίσαμεν λέγοντα· Εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε. α. Κορ. ι. λα. σήμερον δὲ τὸν Παῦλον δεσπότην δείξομεν αὐτοῖς, οὐχὶ παραινοῦντα μόνον, οὐδὲ συμβουλεύοντα ἀπέχεσθαι τρυφῆς, ἀλλὰ καὶ κολάζοντα τὸν ἐν τρυφῇ ζῶντα, καὶ τιμωρούμενον. ἡ γὰρ τοῦ πλουσίου καὶ τοῦ Λαζάρου καὶ τῶν ἑκατέροις συμβάντων ἱστορία, οὐδὲν ἕτερον, ἢ τοῦτο ἐνδείκνυται. μᾶλλον δέ, ἵνα μὴ παρέργως τοῦτο ποιήσωμεν, ἄνωθεν

ὑμῖν

Λουκ. ις. ιθ.

ὑμῖν αὐτὴν ἀναγνώσομαι τὴν παραβολήν. Ἄνθρωπός τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον, εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς· πτωχὸς δέ τις ἦν ὀνόματι Λάζαρος, ὃς ἐβέβλητο εἰς τὸν πυλῶνα αὐτοῦ ἡλκωμένος, καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου. ἀλλὰ καὶ οἱ κύνες ἐρχόμενοι, περιέλειχον τὰ ἕλκη αὐτοῦ. Τίνος μὲν οὖν ἕνεκεν ἐν παραβολαῖς ἐλάλει ὁ δεσπότης, καὶ τί δήποτε τῶν παραβολῶν τὰς μὲν ἔλυε, τὰς δὲ οὐκ ἔλυε, καὶ τί ποτ' ἐστιν ἡ παραβολή, καὶ ὅσα τοιαῦτα, εἰς ἕτερον καιρὸν ταμιευσώμεθα, ὥστε μὴ τοῦ κατεπείγοντος ἀποστῆναι λόγου νῦν. ἐκεῖνο δὲ τέως πρὸς ὑμᾶς ἐροῦμεν μόνον, τίς ἐστι τῶν εὐαγγελιστῶν, ὁ τὴν παραβολὴν ταύτην εἰρηκέναι τὸν Χριστὸν εἰπών. τίς οὖν ἐστι; ὁ Λουκᾶς μόνος. καὶ γὰρ καὶ τοῦτο ἀναγκαῖον εἰδέναι, ὅτι τῶν εἰρημένων τὰ μὲν οἱ τέσσαρες εἶπον, τὰ δὲ κατ' ἰδίαν ἕκαστος ἀπολαβών. τίνος ἕνεκεν; ἵνα καὶ τῶν λοιπῶν ἀναγκαία ἡμῖν ἡ ἀνάγνωσις γένηται, καὶ τὸ τῆς συμφωνίας ἐξαίρετον διαφανῇ. εἰ μὲν γὰρ πάντες πάντα εἶπον, οὐκ ἂν πᾶσι μετὰ σπουδῆς προσείχομεν, ἀρκοῦντος ἑνὸς διδάξαι τὸ πᾶν. εἰ δὲ πάντες πάντα ἐξηλλαγμένα εἶπον, οὐκ ἂν ἐφάνη τὸ τῆς συμφωνίας ἐξαίρετον. διὰ τοῦτο καὶ κοινῇ πάντες πολλὰ ἔγραψαν, καὶ κατ' ἰδίαν ἕκαστος ἀπολαβών. ὅπερ οὖν Χριστὸς διὰ τῆς παραβολῆς διδάσκει, τοῦτό ἐστιν. ἄνθρωπός τις, φησίν, ἦν πλούσιος κακίᾳ πολλῇ συζῶν· οὐδεμιᾶς πεῖραν ἐδέχετο συμφορᾶς, ἀλλὰ πάντα αὐτῷ, ὥσπερ ἐκ πηγῶν, ἐπέρρει. ὅτι γὰρ οὐδὲν τῶν ἀδοκήτων συνέβαινεν αὐτῷ, οὐδ' ἀθυμίας ὑπόθεσις, οὐδ' ἀνωμαλία τις βιωτική, αὐτὸ τοῦτο ᾐνίξατο τῷ εἰπεῖν, ὅτι ηὐφραίνετο καθ' ἡμέραν. ὅτι δὲ κακίᾳ συνέζη, δῆλον μὲν καὶ ἐκ τοῦ λαχόντος αὐτῷ τέλους, καὶ πρὸ τοῦ τέλους δὲ ἐκ τῆς περὶ τὸν πένητα * γενομένης ὑπεροψίας. ὅτι γὰρ οὐ μόνον ἐκεῖνον τὸν ἐν τῷ πυλῶνι, ἀλλ' οὐδὲ ἄλλον τινὰ ἠλέει, αὐτὸς ἐκεῖνος τοῦτο ἔδειξεν. εἰ γὰρ τὸν ἐν τῷ πυλῶνι διηνεκῶς ἐρριμμένον, καὶ πρὸ τῶν ὀφθαλμῶν κείμενον, ὃν καθ' ἑκάστην ἡμέραν, καὶ ἅπαξ, καὶ δίς, καὶ πλεονάκις ὁρᾶν ἠναγκάζετο εἰσιών, καὶ ἐξιών (οὐ γὰρ ἐν ἀμφόδῳ, οὐδ' ἐν κρυπτῷ καὶ στενωπῷ κατέκειτο τόπῳ, ἀλλ' ἔνθα συνεχεῖς τὰς εἰσόδους καὶ τὰς ἐξόδους ποιούμενος ὁ πλούσιος, ἄκων αὐτὸν ὁρᾶν ἠναγκάζετο) εἰ τοίνυν τοῦτον οὐκ ἠλέησε, [τὸν ἐν τοιούτῳ χαλεπῷ πάθει κατακείμενον, καὶ πενίᾳ καὶ ἀπορίᾳ τοσαύτῃ συζῶντα, μᾶλλον δὲ διὰ παντὸς τοῦ βίου ἀρρωστίᾳ ταλαιπωροῦντα καὶ ἀρρωστίᾳ χαλεπωτάτῃ·] πρὸς τίνα ἂν τῶν ἐντυγχανόντων ἐπεκάμφθη ποτέ; καὶ γὰρ εἰ τὴν προτέραν ἡμέραν παρέδραμε, τὴν δευτέραν εἰκὸς ἦν τι παθεῖν. εἰ δὲ καὶ ἐν ταύτῃ παρεῖδεν, ἀλλὰ τὴν τρίτην, ἢ τὴν τετάρτην, * ἢ τὴν μετ' ἐκείνην, πάντως αὐτὸν ἐπικαμφθῆναι ἔδει, κἂν εἰ τῶν θηρίων ἀγριώτερος ἦν. ἀλλ' οὐδὲν ἔπαθε τοιοῦτον· ἀλλὰ καὶ ἐκείνου τοῦ δικαστοῦ, τοῦ μήτε τὸν Θεὸν φοβουμένου, μήτε ἀνθρώπους αἰδουμένου καὶ ἰταμώτερος καὶ ἀπηνέστερος γέγονεν. ἐκεῖνον μὲν γὰρ ἡ τῆς χήρας συνέχεια, καὶ ταῦτα, ὠμὸν ὄντα καὶ ἄγριον, δοῦναι τὴν χάριν ἔπεισε, καὶ πρὸς τὴν ἱκετηρίαν ἐπέκαμψε· τοῦτον δὲ οὐδὲ τοῦτο ἴσχυσεν ἐπικάμψαι πρὸς τὴν τοῦ πένητος ἀντίληψιν. καίτοιγε οὐκ ἴση ἦν ἡ αἴτησις· ἀλλ' αὕτη πολλῷ εὐκολωτέρα καὶ δικαιοτέρα. ἡ μὲν γὰρ κατὰ τῶν ἐχθρῶν αὐτὸν παρεκάλει, οὗτος δὲ ἠξίου λῦσαι λιμόν, καὶ μὴ περιιδεῖν ἀπολλύμενον· κἀκείνη μὲν ἠνώχλει παρακαλοῦσα, οὗτος δὲ πολλάκις τῆς ἡμέρας * ἐφαίνετο τῷ πλουσίῳ σιγῇ κείμενος. πολὺ δὲ τοῦτο ἱκανὸν μαλάξαι μᾶλλον καὶ λιθίνην διάνοιαν. ἐνοχλούμενοι γὰρ πολλάκις καὶ παροξυνόμεθα· ὅταν δὲ τοὺς δεομένους [βοηθείας] ἴδωμεν σιγῇ πολλῇ παρεστῶτας, καὶ μηδὲν φθεγγομένους, ἀλλ' * ἀποτυγχάνοντας μὲν ἀεί, μὴ δυσχεραίνοντας δέ, ἀλλὰ σιγῇ φαινομένους μόνον ἡμῖν, κἂν αὐτῶν τῶν λίθων ὦμεν ἀναισθητότεροι, τὴν ὑπερβολὴν τῆς ἐπιεικείας αἰδεσθέντες κατακαμπτόμεθα. καὶ ἕτερον δέ τι πρὸς τούτοις τούτων οὐκ ἔλαττον ἦν, τὸ καὶ τὴν ὄψιν αὐτὴν ἐλεεινὴν εἶναι τοῦ πένητος, λιμῷ καὶ ἀρρωστίᾳ μακρᾷ κατεργασθεῖσαν. ἀλλ' ὅμως οὐδὲν τούτων τὸν ἀνήμερον ἐκεῖνον ἐμάλαξε.

πρώτη μὲν οὖν κακία αὕτη ὠμότητος, καὶ ἀπανθρωπίας ὑπερβολὴν οὐκ ἔχουσα. οὐ γάρ ἐστιν ἴσον ἐν πενίᾳ ζῶντα μὴ βοηθεῖν τοῖς δεομένοις, καὶ τοσαύτης ἀπολαύοντα τρυφῆς, λιμῷ τηκομένους [ἑτέρους] περιορᾶν. πάλιν οὐκ ἔστιν ἴσον, ἅπαξ ἢ δεύτερον ἰδόντα πτωχὸν, παραδραμεῖν, καὶ καθ' ἑκάστην ἡμέραν βλέποντα μηδὲ ὑπὸ τῆς κατὰ τὴν ὄψιν συνεχείας πρὸς τὸν ἔλεον καὶ τὴν φιλανθρωπίαν διαναστῆναι ταύτην. πάλιν οὐκ ἔστιν ἴσον ἐν συμφοραῖς ὄντα καὶ ἀθυμίαις καὶ κακῶς τὴν ψυχὴν διακείμενον μὴ βοηθεῖν τοῖς πλησίον, καὶ τοσαύτης ἀπολαύοντα εὐφροσύνης καὶ διηνεκοῦς εὐπραγίας, λιμῷ τηκομένους ἑτέρους περιορᾶν, καὶ ἀποκλεῖσαι τὰ σπλάγχνα, καὶ μηδὲ ὑπὸ τῆς χαρᾶς αὐτῆς γενέσθαι φιλανθρωπότερον. ἴστε γὰρ δήπου τοῦτο, ὅτι κἂν ἁπάντων ὦμεν ἀγριώτεροι, ταῖς εὐπραγίαις ἡμερώτεροι καὶ χρηστότεροι πεφύκαμεν γίνεσθαι. ἀλλ' ἐκεῖνος οὐδὲ ὑπὸ τῆς εὐημερίας βελτίων ἐγένετο, ἀλλ' ἔμενεν ἐκτεθηριωμένος, μᾶλλον δὲ καὶ θηρίου παντὸς ὠμότητα καὶ ἀπανθρωπίαν τοῖς τρόποις ἀπέκρυψεν. ἀλλ' ὅμως ὁ μὲν ἐν πονηρίᾳ ζῶν καὶ ἀπανθρωπίᾳ, πάσης ἀπήλαυεν εὐπραγίας, ὁ δὲ δίκαιος καὶ ἀρετῆς ἐπιμελούμενος, ἐν ἐσχάτοις ἦν κακοῖς. ὅτι γὰρ δίκαιος ὁ Λάζαρος ἦν, πάλιν καὶ ἐνταῦθα τὸ τέλος ἀπέδειξε, καὶ πρὸ τοῦ τέλους αὐτὴ ἡ κατὰ τὴν πενίαν ὑπομονή. ἆρα οὐ δοκεῖτε αὐτὰ παρόντα τὰ πράγματα ὁρᾶν; πλήρης τῷ πλουσίῳ ἡ ναῦς τῆς ἐμπορείας ἦν, καὶ ἐξ οὐρίας ἔπλει. ἀλλὰ μὴ θαυμάσητε· εἰς ναυάγιον γὰρ ἠπείγετο, ἐπειδὴ τὸν φόρτον οὐκ ἠθέλησε διαθέσθαι μετ' εὐλαβείας. βούλει σοι καὶ ἑτέραν εἴπω κακίαν αὐτοῦ, τὸ καθ' ἑκάστην ἡμέραν τρυφᾶν ἀδεῶς; καὶ γὰρ καὶ τοῦτο κακία ἐσχάτη, οὐχὶ νῦν, ὅτε τοσαύτην ἀπαιτούμεθα φιλοσοφίαν, ἀλλὰ καὶ ἐν ἀρχῇ, ἐπὶ τῆς παλαιᾶς, ὅτε οὐ τοσαύτης φιλοσοφίας ἐπίδειξις ἦν. ἄκουσον γοῦν τί φησιν ὁ προφήτης. Οὐαὶ οἱ ἐρχόμενοι εἰς ἡμέραν κακήν, οἱ ἐγγίζοντες καὶ Αμ. ς. γ. ἁπτόμενοι σαββάτων ψευδῶν. τί ἐστιν, οἱ ἁπτόμενοι σαββάτων ψευδῶν; οἱ Ἰουδαῖοι νομίζουσιν, ὅτι δι' ἀργίαν αὐτοῖς τὸ σάββατον δέδοται. οὐκ ἔστι δὲ αὕτη ἡ αἰτία, ἀλλ' ἵνα τῶν βιωτικῶν ἑαυτοὺς ἀπαγαγόντες, τὴν σχολὴν ἅπασαν εἰς τὰ πνευματικὰ ἀναλίσκωσιν. ὅτι δὲ οὐκ ἀργίας ἐστὶ τὸ σάββατον, ἀλλ' ἐργασίας [ἐστὶ] πνευματικῆς ὑπόθεσις, ἀπ' αὐτῶν τῶν πραγμάτων δῆλον. ὁ γοῦν ἱερεὺς διπλοῦν ἔργον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ποιεῖ· καὶ καθ' ἑκάστην ἡμέραν ἁπλῆς ἀναφερομένης θυσίας, διπλῆν ἀναφέρειν κελεύεται τότε. εἰ δὲ καθάπαξ ἀργίας ἦν τὸ σάββατον, πρὸ τῶν ἄλλων τὸν ἱερέα ἀργεῖν ἐχρῆν. ἐπεὶ οὖν οἱ Ἰουδαῖοι τῶν βιωτικῶν ἀπαλλαγέντες πραγμάτων, τοῖς πνευματικοῖς οὐ προσεῖχον, σωφροσύνῃ, καὶ ἐπιεικείᾳ, καὶ ἀκροάσει θείων λογίων· ἀλλὰ τοὐναντίον ἐποίουν, γαστριζόμενοι, μεθύοντες, διαρρηγνύμενοι, τρυφῶντες, διὰ τοῦτο κατηγόρησεν αὐτῶν ὁ προφήτης. εἰπὼν γὰρ, Οὐαὶ οἱ ἐρχόμενοι εἰς ἡμέραν κακήν, καὶ ἐπαγαγὼν, οἱ ἐφαπτόμενοι σαββάτων ψευδῶν, ἔδειξε διὰ τῆς ἐπαγωγῆς, πῶς ἦν αὐτοῖς τὰ σάββατα ψευδῆ. πῶς οὖν αὐτὰ ἐποίουν ψευδῆ; τῷ κακίαν ἐργάζεσθαι, τρυφῶντες, μεθύοντες, καὶ τὰ μυρία αἴσχιστα καὶ χαλεπὰ πράττοντες. καὶ ὅτι τοῦτο ἐστιν ἀληθὲς, ἄκουσον τῶν ἑξῆς. δείκνυσι γὰρ ὁ λέγω, δι' ὧν εὐθὺς ἐπάγει καὶ λέγει· Οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων, καὶ κατασπαταλῶντες Αμ. ς. δ. ἐπὶ τῶν στρωμνῶν αὐτῶν, οἱ ἐσθίοντες ἐρίφους ἐκ ποιμνίων, καὶ μοσχάρια ἐκ βουκολίων γαλαθηνὰ, οἱ πίνοντες τὸν διϋλισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι. ἔλαβες τὸ σάββατον, ἵνα τῆς πονηρίας ἀπαλλάξῃς τὴν ψυχήν· σὺ δὲ αὐτὴν κατεργάζῃ πλέον. τί γὰρ ἂν γένοιτο τῆς βλακείας ταύτης χεῖρον, ἢ τὸ ἐπὶ κλινῶν ἐλεφαντίνων καθεύδειν; αἱ ἄλλαι ἁμαρτίαι, [κἂν μικρὰν τινὰ] ἡδονὴν ἔχουσιν, οἷον ἡ μέθη, ἡ πλεονεξία, καὶ ἀσωτία· τὸ δὲ ἐπὶ κλινῶν ἐλεφαντίνων καθευδῆσαι, ποίαν ἡδονὴν ἔχει; ποίαν παραμυθίαν; μὴ γὰρ ἡδίω καὶ γλυκύτερον ἡμῖν τὸν ὕπνον ἐργάζεται τῆς κλίνης τὸ κάλλος; φορτικώτατον [μᾶλλον] μὲν οὖν καὶ ἐπαχθέστατον τοῦτο, ἐὰν νοῦν ἔχωμεν. ὅταν γὰρ ἐννοήσῃς, ὅτι, σοῦ καθεύδοντος ἐπὶ κλίνης ἐλεφαντίνης, * ἕτερος οὐδὲ ἄρτου μετὰ ἀδείας ἀπολαύειν ἔχει· οὐ καταγνώσεταί σου τὸ συνειδὸς, καὶ ἐπιμαστήσεται κατηγοροῦν τῆς ἀνωμαλίας ταύτης; Εἰ δὲ τὸ ἐπὶ ἐλεφαντίνων κλινῶν καθεύδειν, ἔγκλημα, ὅταν καὶ ἀργύρῳ περιβεβλημέναι πανταχόθεν ὦσι, ποίαν ἕξομεν ἀπολογίαν; βούλει κάλλος κλίνης ἰδεῖν; ἐγώ σοι δείκνυμι νῦν, οὐκ ἰδιωτικῆς, οὐδὲ στρατιωτικῆς, ἀλλὰ βασιλικῆς κλίνης εὐπρέπειαν. κἂν γὰρ φιλοτιμότατος ἦς πάντων, εὖ οἶδα, ὅτι τῆς τοῦ βασιλέως κλίνης οὐκ ἐθελήσεις ἔχειν εὐπρεπεστέραν· καὶ, τὸ δὴ μεῖζον, οὐ τοῦ τυχόντος βασιλέως, ἀλλὰ τοῦ πρώτου, καὶ τοῦ πάντων βασιλέων βασιλικωτέρου, καὶ μέχρι νῦν ᾀδομένου πανταχοῦ τῆς οἰκουμένης· δείκνυμί σοι κλίνην, τὴν τοῦ μακαρίου Δαβίδ. ποταπὴ τοίνυν ἦν ἐκείνη; οὐκ ἀργύρῳ καὶ χρυσῷ, ἀλλὰ δάκρυσι, καὶ ἐξομολογήσεσι πάντοθεν ἦν κεκαλλωπισμένη. καὶ ταῦτα αὐτός φησιν οὕτω λέγων· Ψαλμ. ς. Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. ὥσπερ γὰρ μαργαρῖται, τὰ δάκρυα αὐτῇ ἐπεπήγει πάντοθεν. καὶ σκόπει μοι φιλόθεον ψυχήν. ἐπειδὴ γὰρ ἐν ἡμέρᾳ πολλαὶ αἱ φροντίδες ἀρχόντων, ταξιαρχῶν, ἐθνῶν, δήμων, στρατιωτῶν, πολέμων, εἰρήνης, τῶν πολιτικῶν πραγμάτων, τῶν κατὰ τὴν οἰκίαν, τῶν πόρρωθεν, τῶν πλησίον, περιεῖλκον αὐτὸν καὶ ἀπῆγον· τὴν σχολὴν, ἣν πάντες εἰς τὸ καθεύδειν ἀναλίσκομεν, εἰς ἐξομολόγησιν καὶ εὐχὰς καὶ δάκρυα ἀνήλισκεν ἐκεῖνος. καὶ οὐχὶ μίαν τοῦτο ἐποίησε νύκτα, τὴν δὲ δευτέραν ἐπαύσατο· οὐδὲ δύο καὶ τρεῖς, τὰς δὲ μεταξὺ διέλιπεν· ἀλλὰ καθ' ἑκάστην νύκτα τοῦτο ἔπραττε. Λούσω γὰρ καθ' ἑκάστην νύκτα, φησὶ, τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω, τὴν δαψίλειαν τῶν δακρύων καὶ τὴν συνέχειαν ἐμφαίνων. πάντων γὰρ ἡσυχαζόντων, καὶ ἐν ἠρεμίᾳ ὄντων, μόνος τῷ Θεῷ τότε ἐνετύγχανε, καὶ παρῆν ὁ ἀκοίμητος ὀφθαλμὸς ὀδυρομένῳ καὶ θρηνοῦντι καὶ τὰ οἰκεῖα ἐξαγγέλλοντι κακά. τοιαύτην καὶ σὺ κατασκεύασον κλίνην. ὁ μὲν γὰρ ἄργυρος περικείμενος καὶ φθόνον παρὰ τῶν ἀνθρώπων ἐγείρει, καὶ ὀργὴν ἐκκαίει τὴν ἄνωθεν· τὰ δὲ τοιαῦτα δάκρυα, οἷα τὰ τοῦ Δαβὶδ, καὶ αὐτὸ τὸ τῆς γεέννης οἶδε κατασβέσαι πῦρ. βούλει σοι καὶ ἑτέραν δείξω κλίνην; τὴν τοῦ Ἰακὼβ λέγω. ἔδαφος εἶχεν ὑποκείμενον, καὶ λίθον ὑπὸ τὴν κεφαλὴν αὐτοῦ. διὰ τοῦτο καὶ τὸν νοητὸν εἶδε λίθον, καὶ τὴν κλίμακα ἐκείνην, δι' ἧς ἀνέβαινον, καὶ κατέβαινον ἄγγελοι.

Τοιαύτας ἐπινοῶμεν κλίνας καὶ ἡμεῖς, ἵνα καὶ τοιαῦτα βλέπωμεν ὀνείρατα. ἂν δὲ ἐπὶ τῆς ἀργυρᾶς ὦμεν κατακείμενοι, οὐ μόνον οὐδεμίαν ἡδονὴν καρπωσόμεθα, ἀλλὰ καὶ ἀθυμίαν ὑπομενοῦμεν. ὅταν γὰρ ἐννοήσῃς, ὅτι ἐν κρυμῷ ἐσχάτῳ, ἐν νυκτὶ μέσῃ, σοῦ καθεύδοντος ἐπὶ κλίνης, ὁ πένης ἐπὶ στιβάδος ἔρριπται ἐν τοῖς τῶν βαλανείων προπυλαίοις, καλάμην περιβεβλημένος, τρέμων, πηγνύμενος τῷ κρύει, ἀγχόμενος τῷ λιμῷ· κἂν ἁπάντων μᾶλλον λίθινος ἦς, εὖ οἶδα, ὅτι καταγνώσῃ σαυτοῦ, σὺ μὲν ὑπὲρ τὴν χρείαν τρυφῶν, ἐκεῖνον δὲ μηδὲ τῶν κατὰ τὴν χρείαν ἀπολαύειν ἀφείς. Οὐδεὶς στρατευόμενος, φησὶν, ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις. στρατιώτης εἶ πνευματικός· στρατιώτης δὲ τοιοῦτος οὐ καθεύδει ἐπὶ κλίνης ἐλεφαντίνης, ἀλλ' ἐπὶ ἐδάφους· οὐ χρίεται μύροις. τῶν γὰρ ἑταιρηκότων καὶ διεφθαρμένων ἡ τοιαύτη σπουδὴ, τῶν ἐπὶ τῆς σκηνῆς, τῶν ἐν ἀμελείᾳ ζώντων. σὲ δὲ οὐχὶ μύρων, ἀλλ' ἀρετῆς ἀποπνεῖν δεῖ. οὐδὲν ψυχῆς ἀκαθαρτότερον, ὅταν τὸ σῶμα τοιαύτην ἔχῃ * τὴν εὐωδίαν. τῆς γὰρ δυσωδίας τῆς ἔνδον, καὶ τῆς ἀκαθαρσίας δεῖγμα, ἡ τοῦ σώματος καὶ τῶν ἱματίων εὐωδία γένοιτ' ἄν. ὅταν γὰρ ἐπελθὼν ὁ διάβολος διαθρύψῃ τὴν ψυχὴν, καὶ βλακείας ἐμπλήσῃ πολλῆς· τότε καὶ εἰς τὸ σῶμα τῆς οἰκείας διαφθορᾶς τὴν κηλίδα ἐναπομάσσεται διὰ τῶν μύρων. καὶ καθάπερ οἱ κορύζῃ τινὶ καὶ κατάρρῳ διηνεκῶς ἁλισκόμενοι, καὶ τὰ ἱμάτια, καὶ τὰς χεῖρας καὶ τὴν ὄψιν μολύνουσι, τὸ διὰ τῶν ῥινῶν ῥέον συνεχῶς ἐναπομασσόμενοι· οὕτω δὴ καὶ ἡ ψυχὴ, τοῦ πονηροῦ τούτου ῥεύματος τὴν κακίαν εἰς

τὸ σῶμα ἐναπομάσσεσθαι). τίς γὰρ γενναῖόν τι καὶ χρηστὸν ὑπολήψεται περὶ τοῦ μύρων ὄζοντος καὶ γυναικιζομένου, μᾶλλον δὲ ἑταιριζομένου καὶ ὀρχηστικὸν ἀναιρουμένου βίον; πνείτω σου πνευματικῆς εὐωδίας ἡ ψυχή, ἵνα καὶ σαυτὸν καὶ τοὺς συγγινομένους σοι ὠφελήσῃς τὰ μέγιστα. οὐδὲν γάρ, οὐδὲν τρυφῆς χαλεπώτερον. ἄκουσον τί περὶ αὐτῆς φησι πάλιν ὁ Μωϋσῆς· Ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος. καὶ οὐκ εἶπεν, ὅτι ἀπέστη, ἀλλ', ἀπελάκτισεν ὁ ἠγαπημένος, τὸ ἄγριον καὶ δυσήνιον αὐτοῦ παρεμφαίνων ἡμῖν. καὶ πάλιν ἀλλαχοῦ· Φαγὼν καὶ πιὼν πρόσεχε σεαυτῷ, μήποτε ἐπιλάθῃ Κυρίου τοῦ Θεοῦ σου. οὕτως ἡ τρυφὴ πρὸς λήθην ἐξάγειν εἴωθε*. καὶ σὺ τοίνυν, ἀγαπητέ, ἐπὰν καθίσῃς ἐπὶ τῆς τραπέζης, ἀναμνήσθητι ὅτι μετὰ τὴν τράπεζαν εὔχεσθαί σε δεῖ· καὶ οὕτω συμμέτρως ἔμπλησον τὴν γαστέρα, ἵνα μὴ βαρυνόμενος ἀδυνατήσῃς γόνυ κλῖναι, καὶ τὸν Θεὸν παρακαλέσαι. οὐχ ὁρᾶτε τὰ ὑποζύγια, ὅτι μετὰ τὴν φάτνην ὁδοιπορείας ἅπτεται, καὶ ἀχθοφορεῖ, καὶ τὴν οἰκείαν διακονίαν ἀποπληροῖ; σὺ δὲ μετὰ τὴν τράπεζαν ἄχρηστος πρὸς πολὺ ἔργον καὶ ἀνεπιτήδειος γίνῃ; καὶ πῶς οὐκ ἔσῃ καὶ τῶν ὄνων αὐτῶν ἀτιμότερος; τίνος ἕνεκεν; ὅτι τότε μάλιστα νήφειν χρὴ καὶ ἐγρηγορέναι. ὁ γὰρ μετὰ τὴν τράπεζαν καιρός, εὐχαριστίας ἐστὶ καιρός· τὸν δὲ εὐχαριστοῦντα οὐχὶ μεθύειν, ἀλλὰ νήφειν δεῖ καὶ ἐγρηγορέναι. ἀπὸ τραπέζης μὴ ἐπὶ κλίνην, ἀλλ' ἐπ' εὐχὴν τρεπώμεθα, ἵνα μὴ τῶν ἀλόγων ἀλογώτεροι γινώμεθα. οἶδα ὅτι πολλοὶ καταγνώσονται τῶν λεγομένων, ὡς καινήν τινα καὶ παράδοξον συνήθειαν εἰσαγόντων τῷ βίῳ· ἀλλ' ἐγὼ μειζόνως τῆς πονηρᾶς καταγνώσομαι συνηθείας τῆς νῦν κατεχούσης [ἡμᾶς]. ὅτι γὰρ μετὰ τροφὴν καὶ τράπεζαν, οὐχ ὕπνον, οὐδὲ εὐνήν, ἀλλ' εὐχὰς καὶ θείων γραφῶν ἀνάγνωσιν διαδέχεσθαι χρή, τοῦτο σαφέστερον ἐδήλωσεν ὁ Χριστός. τὰ γοῦν ἄπειρα πλήθη τότε ἑστιάσας ἐπὶ τῆς ἐρήμου, οὐκ ἐπὶ κλίνην καὶ ὕπνον αὐτοὺς ἔπεμψεν, ἀλλ' ἐπὶ θείων ἀκρόασιν ἐκάλεσε λογίων. οὐ γὰρ διέρρηξεν αὐτῶν τὰς γαστέρας, οὐδὲ εἰς μέθην ἐξέβαλεν, ἀλλὰ πληρώσας αὐτῶν τὴν χρείαν, πρὸς τὴν πνευματικὴν ἦγε τροφήν. οὕτω καὶ ἡμεῖς ποιῶμεν, καὶ τοσοῦτον ἐθίσωμεν ἑαυτοὺς ἐσθίειν, ὅσον πρὸς τὸ ζῆν μόνον, οὐχ ὅσον διασπᾶσθαι καὶ βαρύνεσθαι. οὐ γὰρ διὰ τοῦτο ἐγενόμεθα καὶ ζῶμεν, ἵνα φάγωμεν καὶ πίωμεν· ἀλλὰ διὰ τοῦτο ἐσθίομεν, ἵνα ζῶμεν. οὐ τὸ ζῆν διὰ τὸ φαγεῖν, ἀλλὰ διὰ τὸ ζῆν τὸ φαγεῖν γέγονεν ἐξ ἀρχῆς. ἡμεῖς δὲ ὡς διὰ τοῦτο ἐλθόντες εἰς τὸν κόσμον, οὕτως ἅπαντα εἰς τοῦτο καταναλίσκομεν. ἀλλ' ἵνα σφοδροτέρα γένηται τῆς τρυφῆς ἡ κατηγορία, καὶ μάλα καθίκηται τῶν ἐν αὐτῇ ζώντων, φέρε, πάλιν ἐπὶ τὸν Λάζαρον τὸν λόγον ἀγάγωμεν. οὕτω γὰρ ἡμῖν ἀληθεστέρα τε καὶ ἐναργεστέρα ἡ παραίνεσις ἔσται καὶ ἡ συμβουλή, ὅταν μὴ διὰ ῥημάτων, ἀλλὰ διὰ πραγμάτων ἴδητε παιδευομένους καὶ κολαζομένους τοὺς ἀδηφαγίᾳ προσέχοντας. ὁ μὲν οὖν πλούσιος τοσαύτῃ πονηρίᾳ συνέζη, καὶ καθ' ἑκάστην ἐνέτρυφα τὴν ἡμέραν, καὶ ἐνεδιδύσκετο λαμπρῶς, χαλεπωτέραν ἑαυτῷ ἀναπλέκων τὴν κόλασιν, καὶ μεῖζον τὸ πῦρ ἐργαζόμενος [καὶ] ἀπαραμύθητον ἑαυτῷ ποιῶν τὴν δίκην, καὶ ἀσύγγνωστον τὴν τιμωρίαν. ὁ δὲ πένης ἔρριπτο παρὰ τὸν πυλῶνα αὐτοῦ, καὶ οὔτε ἀπεδυσπέτησεν, οὔτε ἐβλασφήμησεν, οὔτε ἠγανάκτησεν. οὐκ εἶπε πρὸς ἑαυτόν, ὃ πολλοὶ λέγουσι· τί ποτε τοῦτο ἐστίν; οὗτος μὲν πονηρίᾳ συζῶν καὶ ὠμότητι καὶ ἀπανθρωπίᾳ, καὶ τὰ ὑπὲρ τὴν χρείαν ἀπολαύει πάντων, καὶ οὐδὲ ἀθυμίαν ὑπομένει, οὐδ' ἄλλο τι τῶν ἀδοκήτων, οἷα πολλὰ [τὰ] παρὰ ἀνθρώποις ἐστίν, ἀλλὰ καὶ καθαρὰν καρποῦται τὴν ἡδονήν· ἐγὼ δὲ οὐδὲ τὰς ἀναγκαίας ἔχω τροφῆς μεταλαβεῖν. ἀλλὰ τούτῳ μὲν εἰς παρασίτους καὶ κόλακας, καὶ μέθην τὰ ὄντα ἅπαντα δαπανῶντι, ὥσπερ ἐκ πηγῶν ἄφθονα ἐπιρρεῖ· ἐγὼ δὲ παράδειγμα τοῖς ὁρῶσι κεῖμαι καὶ αἰσχύνη καὶ γέλως, λιμῷ τηκόμενος. ἆρα ταῦτα προνοίας; ἆρα ἐφορᾷ δίκη τις τὰ ἀνθρώπινα πράγματα; οὐδὲν τούτων οὐκ εἶπεν, οὐκ ἐνενόησε. πόθεν τοῦτο δῆλον; ἐξ ὧν ἀπήγαγον αὐτὸν οἱ ἄγγελοι δορυφοροῦντες, καὶ εἰς τὸν κόλπον τοῦ Ἀβραὰμ ἀποκατέστησαν· οὐκ ἂν δέ, εἰ βλάσφημος ἦν, τοσαύτης ἀπέλαυσε τιμῆς. οὕτω μὲν οὖν οἱ πολλοὶ διὰ τοῦτο θαυμάζουσι τὸν ἄνθρωπον μόνον, ὅτι ἐν πενίᾳ ἦν· ἐγὼ δὲ δείκνυμι τιμωρίας ἐννέα τὸν ἀριθμὸν αὐτὸν ὑπομείναντα·

Δευτ. ιε. ιε.

οὐχ ἵνα κολάζῃ), ἀλλ' ἵνα λαμπρότερος ″ γένηται), ὅπερ οὖν καὶ ἐγένετο. δεινὸν μὲν γὰρ οὕτως καὶ ἡ πενία, καὶ ἴσασιν ὅσοι πεῖραν ταύτης εἰλήφασι. λόγος γὰρ οὐδεὶς παραστῆσαι δυνήσεται τὴν ὀδύνην, ὅσην ὑπομένουσιν οἱ τῇ πτωχείᾳ συζῶντες, καὶ φιλοσοφεῖν οὐκ εἰδότες. ἐπὶ δὲ τοῦ Λαζάρου, οὐ τοῦτο μόνον ἦν τὸ δεινὸν, ἀλλὰ καὶ ἀρρωστία ″ αὐτῇ συνέζευκτο, καὶ αὕτη μεθ' ὑπερβολῆς. καὶ ὅρα πῶς ἑκατέρας τὰς συμφορὰς δείκνυσιν εἰς ἄκρον ἐλθούσας. ὅτι μὲν γὰρ πᾶσαν πενίαν ἡ τοῦ Λαζάρου πενία τότε ἐνίκησεν, ἔδειξεν εἰπών· Ὅτι οὐδὲ τῶν ψιχίων ἀπήλαυε τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου. ὅτι δὲ καὶ ἡ ἀρρωστία πρὸς τὸ αὐτὸ μέτρον ἐφθάκει τῇ πενίᾳ, μεθ' ὃ λοιπὸν * ἐκταθῆναι οὐκ ἦν, καὶ τοῦτο αὐτὸ πάλιν ἐδήλωσεν, εἰπών· ὅτι καὶ κύνες ἀπέλειχον τὰ ἕλκη αὐτοῦ. οὕτως ἦν ἐξησθενηκὼς, ὡς μηδὲ τοὺς κύνας ἀποσοβῆσαι δύνασθαι, ἀλλὰ νεκρὸς ἔμψυχος ἔκειτο, ἐπιόντας μὲν αὐτοὺς θεωρῶν, ἀμύνασθαι δὲ οὐκ ἰσχύων. οὕτως αὐτῷ τὰ μέλη παρεῖτο, οὕτω κατείχετο τῇ ἀρρωστίᾳ, οὕτω δεδαπάνητο τῷ πειρασμῷ. εἶδες μετ' ἄκρας ὑπερβολῆς καὶ ″ τὴν πενίαν καὶ τὴν ἀρρωστίαν πολιορκούσας αὐτοῦ τὸ σῶμα; εἰ δὲ καθ' ἑαυτὸ τούτων ἕκαστον ἀφόρητον καὶ δεινὸν, ὅταν ὁμοῦ συμπεπλεγμένα ᾖ, πῶς οὐκ ἀδάμας τις ἦν ὁ ταῦτα ὑπομένων; πολλοὶ πολλάκις ἀρρωστοῦσιν, ἀλλὰ τῆς ἀναγκαίας οὐκ ἀποροῦσι τροφῆς· ἄλλοι πενίᾳ μὲν συζῶσιν ἐσχάτῃ, ἀλλ' ὑγιείας ἀπολαύουσι· καὶ θάτερον θατέρου παραμυθία γίνεται. ἐνταῦθα δὲ ἀμφότερα ταῦτα συνεδεδραμήκει. ἀλλ' ἔχεις μοί τινα εἰπεῖν καὶ ἐν ἀρρωστίᾳ ὄντα καὶ ἐν πενίᾳ; ἀλλ' οὐκ ἐν ἐρημίᾳ τοσαύτῃ. εἰ γὰρ καὶ μὴ παρ' ἑαυτοῦ μηδὲ οἴκοθεν, ἀλλ' ὑπὸ τῶν ὁρώντων ἐλεεῖσθαι δύναιτο ἂν εἰς τὸ μέσον προκείμενος· τούτῳ δὲ τὰ προειρημένα δεινὰ χαλεπώτερα ἐποίει γίνεσθαι τῶν προστησομένων ἡ ἐρημία. καὶ αὐτὴν ταύτην πάλιν χαλεπωτέραν ἐποίει φαίνεσθαι, τὸ ἐν πυλῶνι κεῖσθαι τοῦ πλουσίου. εἰ μὲν γὰρ ἐπὶ τῆς ἐρήμου καὶ τῆς ἀοικήτου κείμενος, ταῦτ' ἔπασχε καὶ παρεωρᾶτο, οὐκ ἂν οὕτως ἤλγησε. τὸ γὰρ μηδένα παρεῖναι, καὶ ἄκοντα φέρειν ἐποίει τὰ ″ συμβαίνοντα· τὸ δὲ ἐν μέσῳ τοσούτων κείμενον μεθυόντων, εὐημερούντων, παρὰ μηδενὸς μηδὲ τῆς τυχούσης ἐπιμελείας τυγχάνειν, δριμυτέραν ἐποίει τῶν ὀδυνῶν γίνεσθαι τὴν αἴσθησιν, καὶ τὴν ἀθυμίαν ἐξέκαιε μᾶλλον. οὐ γὰρ οὕτως ἀπόντων τῶν βοηθούντων, ὡς παρόντων μὲν, οὐκ ἐθελόντων δὲ ὀρέξαι χεῖρα, δάκνεσθαι πεφύκαμεν ἐν ταῖς συμφοραῖς· ὅπερ οὖν κἀκεῖνος τότε ἔπασχεν. οὐδεὶς γὰρ ἦν, οὐχ ὁ λόγῳ παρακαλῶν, οὐχ ὁ ἔργῳ παραμυθούμενος, οὐ φίλος, οὐ γείτων, οὐ συγγενὴς, οὐ τῶν ὁρώντων οὐδεὶς, πάσης τῆς τοῦ πλουσίου διεφθαρμένης οἰκίας. ἔτι πρὸς τούτοις, ἑτέραν αὐτῷ προσθήκην ὀδύνης ἐνεποίει τὸ καὶ ἕτερον εὐπραγοῦντα ὁρᾶν· οὐκ ἐπειδὴ βάσκανος ἦν καὶ πονηρὸς, ἀλλ' ἐπειδὴ πεφύκαμεν ἅπαντες ἐν ταῖς ἑτέρων εὐημερίαις ἀκριβέστερον τὰς οἰκείας καταμανθάνειν συμφοράς. ἐπὶ δὲ τοῦ πλουσίου καὶ μεῖζον προσῆν αὐτῷ ἕτερον τὸ δυνάμενον αὐτὸν δάκνειν. οὐ γὰρ δὴ μόνον ταῖς εὐημερίαις ταῖς ἐκείνου συγκρίνων τὴν ἑαυτοῦ δυσπραγίαν, μείζονα τὴν αἴσθησιν ἐλάμβανε τῶν οἰκείων κακῶν, ἀλλὰ καὶ λογιζόμενος, ὅτι ὁ μὲν μετ' ὠμότητος καὶ ἀπανθρωπίας ζῶν, ἐν ἅπασιν εὐοδοῦται· αὐτὸς δὲ μετ' ἀρετῆς καὶ ἐπιεικείας τὰ ἔσχατα πάσχει δεινά· καὶ ἔνθεν ἀπαραμύθητον τὴν ἀθυμίαν πάλιν ὑπέμενεν. εἰ γὰρ δίκαιος ἦν, εἰ γὰρ ἐπιεικὴς, εἰ γὰρ θαυμαστὸς ὁ ἀνὴρ, εἰ γὰρ πάσης γέμων ἀρετῆς, οὐκ ἂν αὐτὸν ἐλύπησε· νυνὶ δὲ καὶ πονηρίᾳ συζῶν, καὶ πρὸς ἔσχατον κακίας ἐληλακὼς, καὶ τοσαύτην ἀπανθρωπίαν ἐπιδεικνύμενος, καὶ τὰ τῶν ἐχθρῶν ″ αὐτὸν διατιθεὶς, καὶ ὥσπερ λίθον αὐτὸν παρατρέχων ἀναισχύντως καὶ ἀνηλεῶς, καὶ μετὰ ταῦτα πάντα τοσαύτης ἀπολαύων ″ εὐπορίας· ἐννόησον ″ πῶς εἰκὸς ἦν, ὥσπερ ἐπαλλήλοις κύμασι βαπτίζειν αὐτὸν τοῦ πένητος τὴν ψυχήν. ἐννόησον τὸν Λάζαρον, οἷον εἰκὸς ἦν εἶναι, ὁρῶντα παρασίτους, κόλακας, οἰκέτας ἀναβαίνοντας, καταβαίνοντας, ἐξιόντας, εἰσιόντας, κατατρέχοντας, θορυβοῦντας, μεθύοντας, πηδῶντας, καὶ πᾶσαν ἄλλην ἀσέλγειαν ἐπιδεικνυμένους. ὥσπερ γὰρ δι' αὐτὸ τοῦτο ἐλθὼν, ἵνα μάρτυς ᾖ τῶν ἀλλοτρίων ἀγαθῶν, οὕτως εἰς τὸν πυλῶνα ἔῤῥιπτο· τοσοῦτον ζῶν, ὅσον αἰσθάνεσθαι εἶχε τῶν οἰκείων κακῶν μόνον· ἐν λιμένι ναυάγιον ὑπομένων, πλησίον πηγῆς δίψῃ χαλεπωτάτῃ τὴν ψυχὴν ἀγχόμενος. Εἴπω τι καὶ ἕτερον πρὸς τούτοις κακόν; οὐκ εἶχεν εἰς ἕτερον Λάζαρον ἰδεῖν. ἡμεῖς μὲν γὰρ κἂν μυρία πάθωμεν κακὰ, ἀλλ' ἔχομεν εἰς ἐκεῖνον ἰδόντες, ἱκανὴν δέχεσθαι παράκλησιν, καὶ πολλῆς ἀπολαῦσαι τῆς παραμυθίας (τὸ γὰρ κοινωνοὺς εὑρίσκειν τῶν οἰκείων κακῶν ἢ ἐν πράγμασιν, ἢ ἐν διηγήμασι, πολλὴν φέρει τοῖς ὀδυνωμένοις παράκλησιν) ἐκεῖνος δὲ οὐδένα ἕτερον εἶχεν ἰδεῖν τῶν τὰ αὐτὰ αὐτῷ πεπονθότα· μᾶλλον δὲ οὐδὲ ἀκοῦσαί τινος ἐπὶ τῶν προγόνων τῶν ἑαυτοῦ τοσαῦτα ὑπομείναντος. ἱκανὸν δὲ τοῦτο σκοτῶσαι ψυχήν. ἔστι καὶ ἕτερον πρὸς τούτοις εἰπεῖν, ὅτι οὐδέν τι περὶ ἀναστάσεως φιλοσοφεῖν ἠδύνατο, ἀλλὰ μέχρι τοῦ παρόντος βίου τὰ παρόντα ἐνόμιζε συγκεκλεῖσθαι πράγματα. τῶν γὰρ πρὸ τῆς χάριτος ἦν. εἰ δὲ νῦν ἐφ' ἡμῶν, μετὰ τοσαύτην θεογνωσίαν, καὶ τὰς χρηστὰς τῆς ἀναστάσεως ἐλπίδας, καὶ τὰς κειμένας τοῖς ἁμαρτάνουσι τιμωρίας ἐκεῖ, καὶ τὰ ἡτοιμασμένα τοῖς κατορθοῦσιν ἀγαθὰ, οὕτω μικροψύχως τινὲς καὶ ταλαιπώρως διάκεινται, ὡς μηδὲ ταύταις διορθοῦσθαι ταῖς προσδοκίαις· τί πάσχειν εἰκὸς ἦν ἐκεῖνον καὶ ταύτης ἀπεστερημένον τῆς ἀγκύρας; ἐκεῖνος γὰρ οὐδὲν οὐδέπω τοιοῦτον φιλοσοφεῖν ἠδύνατο, διὰ τὸ μηδέπω τὸν καιρὸν τούτων ἀφῖχθαι τῶν διδαγμάτων.

Ἦν τι καὶ πρὸς τούτοις ἄλλο, ὃ καὶ τὴν δόξαν αὐτοῦ διαβεβλῆσθαι παρὰ τοῖς ἀνοήτοις τῶν ἀνθρώπων. καὶ γὰρ εἰώθασιν οἱ πολλοὶ, ἐπειδὰν ἴδωσί τινας ἐν λιμῷ καὶ νόσῳ διηνεκεῖ, καὶ τοῖς ἐσχάτοις ὄντας κακοῖς, μηδὲ χρηστὴν περὶ αὐτῶν δόξαν ἔχειν· ἀλλ' ἀπὸ τῆς συμφορᾶς τὰ κατὰ τὸν βίον κρίνειν, καὶ διὰ πονηρίαν νομίζειν πάντως αὐτοὺς οὕτω ταλαιπωρεῖσθαι. καὶ πολλὰ ἄλλα τοιαῦτα πρὸς ἀλλήλους λέγουσιν (ἀνοήτως μὲν, λέγουσι δὲ ὅμως) ὅτι οὗτος, εἰ τῷ Θεῷ φίλος ἦν, οὐκ ἂν εἴασεν αὐτὸν ἐν πενίᾳ, καὶ τοῖς ἄλλοις κακοῖς ταλαιπωρεῖσθαι. οὕτω γοῦν καὶ ἐπὶ τοῦ Ἰὼβ, καὶ ἐπὶ τοῦ Παύλου συνέβη. καὶ γὰρ ἐκείνῳ ἔλεγον· Μὴ πολλάκις σοι λελάληται ἐν κόπῳ; ἰσχὺν δὲ ῥημάτων σου τίς ὑποίσει; εἰ γὰρ σὺ ἐνουθέτησας πολλοὺς, καὶ χεῖρας ἀσθενοῦς παρεκάλεσας, ἀσθενοῦντας δὲ ἐξανέστησας ῥήμασι, γόνασι δὲ ἀδυνατοῦσι περιέθηκας θάρσος· νυνὶ δὲ ἥκει ἐπὶ σὲ πόνος *. σὺ δὲ ἐσπούδακας. πότερον οὐχ ὁ φόβος σου ἐστὶν ἐν ἀφροσύνῃ; ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Εἴ τι σοί, φησιν, ἀγαθὸν ἦν πεπραγμένον, οὐκ ἂν ταῦτα ἔπαθες ἅπερ ἔπαθες· ἀλλ' ἁμαρτημάτων τίνεις δίκας, καὶ παρανομίας. καὶ τοῦτο ἦν ὃ μάλιστα ἔδακνε τὸν μακάριον Ἰώβ. καὶ περὶ τοῦ Παύλου δὲ οἱ βάρβαροι τοῦτο ἔλεγον. ἐπειδὴ γὰρ εἶδον τὴν ἔχιν ἐκκρεμαμένην αὐτοῦ τῆς χειρὸς, οὐδὲν χρηστὸν περὶ αὐτοῦ ὑπενόησαν, ἀλλὰ τῶν τὰ ἔσχατα κακὰ τετολμηκότων αὐτὸν εἶναι ἐνόμιζον. καὶ δηλοῦσιν ἐξ ὧν ἔλεγον. Τοῦτον γὰρ, φασιν, ἐκ τῆς θαλάσσης σωθέντα ἡ δίκη ζῆν οὐκ εἴασεν. οὐχ ὡς ἔτυχε δὲ καὶ τοῦτο ἡμᾶς εἴωθε θορυβεῖν. ἀλλ' ὅμως τοσούτων ὄντων τῶν κυμάτων, καὶ ἐπαλλήλων φερομένων, οὐ κατεποντίσθη τὸ σκάφος· ἀλλ' ὡς ἐν καμίνῳ κείμενος, καθάπερ δρόσου διηνεκοῦς ἀπολαύων, οὕτως ἐφιλοσόφει. οὐ γὰρ εἶπε πρὸς ἑαυτὸν οὐδὲν τοιοῦτον, οἷα πολλοὺς λέγειν εἰκός· ὅτι οὗτος ὁ πλούσιος, ἂν μὲν ἀπελθὼν ἐκεῖ κολασθῇ καὶ δῷ τιμωρίαν, ἓν ἓν γέγονεν· ἂν δὲ κἀκεῖ τῶν αὐτῶν ἀπολαύσῃ τιμῶν, δύο γέγονεν οὐδέν. ἢ οὐ ταῦτα περιφέρετε ἐν ταῖς ἀγοραῖς ὑμεῖς οἱ πολλοὶ, τὰ ἀπὸ τῆς ἱπποδρομίας καὶ τῶν ἔξω θεάτρων εἰς τὴν ἐκκλησίαν εἰσάγοντες; αἰσχύνομαι μὲν οὖν εἰς μέσον ταῦτα προθεὶς τὰ ῥήματα, καὶ ἐρυθριῶ· πλὴν ἀλλ' ἀνάγκη ταῦτα εἰπεῖν, ἵνα ὑμεῖς ἀπαλλαγῆτε τοῦ ἀτάκτου γέλωτος καὶ τῆς αἰσχύνης καὶ τῆς βλάβης τῆς ἀπὸ τῶν ῥημάτων τούτων. ταῦτα πολλοὶ

Ιωβ. δ. β.

Πραξ. κη. δ.

πολλάκις γελῶντες λέγουσιν. ἀλλὰ καὶ τοῦτο διαβολικῆς κακουργίας ἐστὶν, ἐν παίξει ῥημάτων ἀστείων διεφθαρμένα εἰσάγειν εἰς τὸν βίον ἡμῶν δόγματα. ταῦτα γὰρ συνεχῶς καὶ ἐν ἐργαστηρίοις, καὶ ἐπὶ τῆς ἀγορᾶς, καὶ ἐν ταῖς οἰκίαις πολλοὶ περιφέρουσιν· ὅπερ ἐσχάτης ἀπιστίας ἐστὶ καὶ παρανοίας καὶ γέλωτος ὄντως καὶ παιδικῆς διανοίας. τὸ μὲν γὰρ λέγειν, ὅτι ἐὰν ἀπελθόντες οἱ πονηροὶ κολασθῶσι, καὶ μὴ σφόδρα πεπεικέναι ἑαυτοὺς, ὅτι κολασθήσονται· πάντως ἀπιστούντων ἐστὶ καὶ διαμφισβητούντων· τὸ δὲ, εἰ καὶ τοῦτο συμβαίη (ὅπερ οὖν καὶ συμβήσεται) νομίζειν τῆς ἴσης αὐτοὺς τοῖς δικαίοις ἀνταποδόσεως ἀπολελαυκέναι, τοῦτο ἐσχάτης ἀνοίας. τί λέγεις, εἰπέ μοι; ἐὰν ἀπελθὼν ὁ πλούσιος ἐκεῖ κολάζηται, ἓν ἓν γέγονε; καὶ πῶς ἂν ἔχοι λόγον; πόσα γὰρ αὐτὸν ἐνταῦθα βούλει θεῖναι ἀπολελαυκέναι τῶν χρημάτων ἔτη; βούλει θῶμεν ἑκατόν; ἐγὼ δὲ καὶ διακόσια τίθημι, καὶ τριακόσια, καὶ δὶς τοσαῦτα· καὶ, εἰ βούλει, καὶ χίλια (ὅπερ ἀδύνατον· Αἱ ἡμέραι γὰρ, φησὶ, τῶν ἐτῶν ἡμῶν, ὀγδοήκοντα ἔτη) πλὴν ἀλλὰ κείσθω καὶ χίλια. μὴ ζωὴν ἔχεις, εἰπέ μοι, ἐνταῦθα διάξαι τέλος οὐκ ἔχουσαν, οὐδὲ πέρας ἐπισταμένην, οἵαπερ ἐστὶν ἡ τῶν δικαίων ἐκεῖ; εἴ τις οὖν, εἰπέ μοι, ἐν ἔτεσιν ἑκατὸν μίαν νύκτα ὄναρ ἰδὼν χρηστὸν, καὶ πολλῆς καθ' ὕπνους ἀπολαύσας τρυφῆς, τὰ ἑκατὸν ἔτη κολάζοιτο· ἆρα δυνήσῃ λέγειν ἐπὶ τούτου, ἓν καὶ ἕν, καὶ τὴν μίαν νύκτα τῶν ὀνειράτων ἐκείνων τοῖς ἑκατὸν ἔτεσιν ἀντίρροπον ποιεῖσθαι; οὐκ ἔστιν εἰπεῖν. τοῦτο δὴ καὶ περὶ τῆς μελλούσης ζωῆς λογίζου. ὅπερ γάρ ἐστιν ὄναρ ἓν πρὸς ἑκατὸν ἔτη, τοῦτό ἐστιν ὁ παρὼν βίος πρὸς τὴν μέλλουσαν ζωήν· μᾶλλον δὲ καὶ πολλῷ πλέον. ὅσον ἐστὶ σταγὼν μικρὰ πρὸς πέλαγος ἄπειρον, τοσοῦτόν ἐστι χίλια ἔτη πρὸς τὴν μέλλουσαν δόξαν ἐκείνην καὶ ἀπόλαυσιν. καὶ τί γὰρ ἂν ἔχοι τις πλέον εἰπεῖν, ἢ ὅτι πέρας οὐκ ἔχει καὶ τέλος οὐκ οἶδε; καὶ ὅσον ἐστὶ τὸ μέσον ὀνείρων καὶ τῆς τῶν πραγμάτων ἀληθείας, τοσοῦτόν ἐστι τῆς καταστάσεως ταύτης καὶ τῆς ἐκεῖ τὸ διάφορον· ἄλλως δὲ, καὶ πρὸ τῆς ἐκεῖ κολάσεως, ἐνταῦθα οἱ πονηρευόμενοι καὶ ἐν ἁμαρτίαις ζῶντες κολάζονται. μὴ γάρ μοι τὸν τραπέζης ἀπολαύοντα πολυτελοῦς ἁπλῶς εἴπῃς, καὶ τὸν ἱμάτια περιβεβλημένον σηρικὰ, καὶ ἀνδραπόδων ἀγέλας περιφέροντα, καὶ σοβοῦντα ἐπὶ τῆς ἀγορᾶς· ἀλλ' ἀνάπτυξόν μοι τούτου τὸ συνειδὸς, καὶ ὄψει πολὺν ἔνδοθεν θόρυβον, τῶν ἁμαρτημάτων φόβον διηνεκῆ, χειμῶνα, ταραχὴν, καθάπερ ἐν δικαστηρίῳ, τὸν νοῦν ἐπὶ τὸν θρόνον ἀναβαίνοντα τοῦ συνειδότος, καὶ ὥσπερ τινὰ δικαστὴν καθήμενον, καὶ τοὺς λογισμοὺς παριστῶντα, καθάπερ δημίους, καὶ ἀναρτῶντα τὴν διάνοιαν, καὶ καταξαίνοντα ὑπὲρ τῶν ἡμαρτημένων, καὶ ἐμβοῶντα μεγάλα, μηδενὸς εἰδότος, ἀλλ' ἢ τοῦ ταῦτα ἐπισταμένου βλέπειν Θεοῦ μόνου. καὶ γὰρ ὁ μοιχεύων, κἂν μυριάκις ᾖ πλούσιος, κἂν μηδένα κατηγοροῦντα ἔχῃ, οὐ παύεται ἑαυτοῦ κατηγορῶν ἔνδον· καὶ ἡ μὲν ἡδονὴ πρόσκαιρος, ἡ δὲ ὀδύνη διηνεκής. φόβος πανταχόθεν καὶ τρόμος, ὑποψία καὶ ἀγωνία· τοὺς στενωποὺς δέδοικε, τὰς σκιὰς αὐτὰς τρέμει, τοὺς οἰκέτας τοὺς ἑαυτοῦ, τοὺς συνειδότας, τοὺς ἀγνοοῦντας, τὴν ἠδικημένην αὐτὴν, τὸν ὑβρισμένον ἄνδρα· περιέρχεται πικρὸν κατήγορον περιφέρων τὸ συνειδὸς, αὐτοκατάκριτος ὢν, καὶ οὐδὲ μικρὸν ἀναπνεῦσαι δυνάμενος. καὶ γὰρ καὶ ἐπὶ κλίνης, καὶ ἐν τραπέζῃ, καὶ ἐν ἀγορᾷ, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἡμέρᾳ, καὶ ἐν νυκτὶ, καὶ ἐν αὐτοῖς τοῖς ὀνείρασι πολλάκις τὰ τῆς ἁμαρτίας εἴδωλα βλέπει, καὶ τὸν τοῦ Κάϊν ζῇ βίον, στένων καὶ τρέμων ἐπὶ τῆς γῆς· καὶ μηδενὸς εἰδότος, ἔνδον ἔχει τὸ πῦρ συνειλεγμένον ἀεί. τοῦτο καὶ οἱ ἁρπάζοντες, καὶ οἱ πλεονεκτοῦντες πάσχουσι· τοῦτο καὶ οἱ μεθύοντες, καὶ ἕκαστος δὲ ἁπλῶς τῶν ἐν ἁμαρτίαις ζώντων. ἀμήχανον γὰρ ἐκεῖνο διαφθαρῆναι τὸ δικαστήριον, ἀλλὰ κἂν μὴ μετιῶμεν τὴν ἀρετὴν, * ὅμως ὀδυνώμεθα, ἐπειδὰν μὴ μετερχώμεθα. κἂν μετιῶμεν τὴν κακίαν, ὅμως παυσάμενοι τῆς ἡδονῆς τῆς κατὰ τὴν ἁμαρτίαν, αἰσθανόμεθα τῆς ὀδύνης. μὴ τοίνυν λέγωμεν ἐπὶ τῶν πλουτούντων ἐνταῦθα καὶ πονηρευομένων, καὶ τῶν δικαίων τῶν ἀπολαυόντων ἐκεῖ, ὅτι ἓν ἕν, ἀλλ' ὅτι δύο οὐδέν. τοῖς μὲν γὰρ δικαίοις καὶ τὰ ἐκεῖ

Ψαλμ. πθ. ια.

καὶ τὰ ἐνταῦθα πολλὴν παρέχει τὴν ἡδονήν· οἱ δὲ ἐν πονηρίαις καὶ ἐν πλεονεξίαις, καὶ ἐνταῦθα καὶ ἐκεῖ κολάζονται. καὶ γὰρ καὶ ἐνταῦθα κολάζονται τῇ προσδοκίᾳ τῆς ἐκεῖ τιμωρίας, καὶ τῇ πονηρᾷ παρὰ πάντων ὑποψίᾳ, καὶ αὐτῷ τῷ ἁμαρτάνειν καὶ τὴν ψυχὴν τὴν ἑαυτῶν διαφθείρειν· καὶ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἀφορήτους ὑπομένουσι τιμωρίας. πάλιν οἱ δίκαιοι, κἂν μυρία πάσχωσιν ἐνταῦθα δεινά, χρησταῖς (ὥσπερ ἔφην) ταῖς ἐλπίσιν ἡδονὴν ἔχοντες καθαράν, βεβαίαν, ἀκίνητον· καὶ μετὰ ταῦτα, τὰ μυρία αὐτὸν διαδέξεται ἀγαθά, καθάπερ οὖν καὶ τὸν Λάζαρον. μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι ἥλκωτο, ἀλλὰ τοῦτο σκόπει, ὅτι χρυσοῦ παντὸς τιμιωτέραν ἔνδον εἶχε τὴν ψυχήν· μᾶλλον δὲ οὐ τὴν ψυχὴν μόνον, ἀλλὰ καὶ τὸ σῶμα αὐτοῦ. ἀρετὴ γὰρ σώματος οὐ πολυσαρκία καὶ εὐεξία, ἀλλὰ τοσαύτας καὶ τοιαύτας φέρειν βασάνους. οὐ γάρ, εἴ τις ἐπὶ τοῦ σώματος τραύματα ἔχοι τοιαῦτα, βδελυκτὸς ὁ τοιοῦτος· ἀλλ' εἴ τις ἐπὶ τῆς ψυχῆς ἕλκη μυρία ἔχων, μηδεμίαν αὐτῶν ἐπιμέλειαν ποιοῖτο· οἷος ἦν ἐκεῖνος ὁ πλούσιος, ἔνδοθεν ἡλκωμένος ἅπας. καὶ καθάπερ οἱ κύνες τούτου περιέλειχον τὰ τραύματα, οὕτως ἐκείνου δαίμονες τὰ ἁμαρτήματα· καὶ καθάπερ οὗτος ἐν λιμῷ τροφῆς, οὕτως ἐκεῖνος ἐν λιμῷ πάσης ἀρετῆς ἔζη.

Ταῦτ' οὖν εἰδότες ἅπαντα φιλοσοφῶμεν, καὶ μὴ λέγωμεν, ὅτι εἰ τὸν δεῖνα ἐφίλει ὁ Θεός, οὐκ ἂν αὐτὸν ἀφῆκε γενέσθαι ″πένητα. αὐτὸ μὲν οὖν τοῦτο μέγιστον ἀγάπης τεκμήριόν ἐστιν. Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱόν, ὃν παραδέχεται· καὶ Ἑβρ. ιβ. ϛ. πάλιν, Τέκνον, ἐὰν προσέρχῃ δουλεύειν Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν, εὔθυνον Σειρ. β. α. τὴν καρδίαν σου, καὶ καρτέρησον. ἐκβάλωμεν οὖν, ἀγαπητοί, *τὰς περιττὰς ταύτας περιλήψεις [ἀφ' ἑαυτῶν], καὶ τὰ δημώδη ταῦτα ῥήματα. Αἰσχρότης γάρ, φησί, καὶ μωρολογία, καὶ εὐτραπελία Ἐφεσ. ε. δ. μὴ ἐκπορευέσθω ἐκ τοῦ στόματος ὑμῶν.″ μήτε οὖν αὐτοὶ ταῦτα λέγωμεν, ἀλλὰ κἂν ἑτέρους ἴδωμεν ταῦτα λέγοντας, ἐπιστομίσωμεν, κατεξανιστῶμεν σφοδρῶς, ἐπισχῶμεν τὴν ἀναίσχυντον αὐτῶν γλῶτταν. εἴ τινα ἴδῃς, εἰπέ μοι, λῄσταρχον κατατρέχοντα τὰς ὁδούς, τοῖς παριοῦσιν ἐφεδρεύοντα, τὰ ἐκ τῶν ἀγρῶν ἁρπάζοντα, εἰς σπήλαια καὶ καταδύσεις χρυσίον καὶ ἀργύριον κατορύττοντα, καὶ ἀγέλας ἀποκλείοντα πολλὰς ἐκεῖ, καὶ ἱμάτια καὶ ἀνδράποδα πολλὰ κεκτημένον ἐκ τῆς καταδρομῆς ἐκείνης· ἆρα αὐτόν, εἰπέ μοι, μακαρίζεις διὰ τὸν πλοῦτον ἐκεῖνον, ἢ ταλανίζεις διὰ τὴν μέλλουσαν αὐτὸν διαδέχεσθαι δίκην; καίτοι οὔπω συνείληπται, οὐδὲ εἰς χεῖρας τοῦ δικαστοῦ παραδέδοται, οὐδὲ εἰς δεσμωτήριον ἐνέπεσεν, οὐδὲ κατήγορον ἔχει, οὐδὲ ὑπὸ ψῆφον ἐγένετο· ἀλλὰ τρυφᾷ, μεθύει, ″εὐπορίας ἀπολαύει πολλῆς. ἀλλ' ὅμως οὐ διὰ τὰ παρόντα καὶ τὰ ὁρώμενα αὐτὸν μακαρίζομεν, ἀλλὰ διὰ τὰ μέλλοντα καὶ προσδοκώμενα ταλανίζομεν. τοῦτο δὲ ἐπὶ τῶν πλουτούντων καὶ πλεονεκτούντων λόγισαι. λῃσταί τινές εἰσιν ὁδοῖς ἐφεδρεύοντες, τὰ τῶν παριόντων ἁρπάζοντες, ὥσπερ ἐν σπηλαίοις καὶ καταδύσεσι, τοῖς ἑαυτῶν θαλάμοις κατορύττοντες τὰς ἑτέρων περιουσίας. μὴ τοίνυν μακαρίζωμεν αὐτοὺς διὰ τὰ παρόντα, ἀλλὰ ταλανίζωμεν διὰ τὰ μέλλοντα, διὰ τὸ φοβερὸν ἐκεῖνο δικαστήριον, διὰ τὰς ἀπαραιτήτους εὐθύνας, διὰ τὸ σκότος τὸ ἐξώτερον, ὃ μέλλει αὐτοὺς ὑποδέχεσθαι. καίτοι οἱ μὲν λῃσταὶ πολλάκις διέφυγον ἀνθρώπων χεῖρας· ἀλλ' ὅμως καὶ τοῦτο εἰδότες, καὶ ἑαυτοῖς, καὶ ἐχθροῖς ἀπευξαίμεθα ἂν τὸν ἐκείνων βίον, καὶ τὴν εὐπορίαν τὴν ἐπάρατον. ἐπὶ δὲ τοῦ Θεοῦ οὐκ ἔστι τοῦτο εἰπεῖν. οὐδεὶς γὰρ αὐτοῦ διαφεύξεται τὴν ψῆφον, ἀλλὰ πάντες πάντως οἱ ἐν πλεονεξίαις καὶ ἁρπαγαῖς ζῶντες, τὴν παρ' αὐτοῦ δίκην ἐπισπάσονται τὴν ἀθάνατον ἐκείνην καὶ τέλος οὐκ ἔχουσαν, καθάπερ οὖν καὶ ὁ πλούσιος ἐκεῖνος. ἅπερ οὖν ἅπαντα παρ' ἑαυτοῖς συλλέγοντες, ἀγαπητοί, μὴ τοὺς ἐν πλούτῳ, ἀλλὰ τοὺς ἐν ἀρετῇ ζῶντας μακαρίζωμεν· μὴ τοὺς ἐν πενίᾳ, ἀλλὰ τοὺς ἐν κακίᾳ ταλανίζωμεν.

τηγανίζωμεν. μὴ τὰ παρόντα βλέπωμεν, ἀλλὰ τὰ μέλλοντα σκοπῶμεν· μὴ τὴν ἔξωθεν περιβολὴν, ἀλλὰ τὸ ἑκάστου συνειδὸς ἐξετάζωμεν, καὶ τὴν ἐν τῷ κατορθώματι ἀρετὴν καὶ χαρὰν διώκοντες, ζηλώσωμεν τὸν Λάζαρον καὶ πλούσιοι καὶ πένητες. οὐ γὰρ ἕνα καὶ δύο καὶ τρεῖς μόνους ἐστὶν, ἀλλὰ πλείστους ἄθλους ἀρετῆς ὑπέμεινε· τὴν πενίαν λέγω, τὴν ἀρρωστίαν, τὴν ἐρημίαν τῶν προστησομένων, ὃ ἐν οἰκίᾳ δυναμένην τὰ τοιαῦτα σβέσαι κακὰ ἅπαντα ὑπομεῖναι ἐκεῖνα, καὶ μηδενὸς ἐπὶ παραμυθίας λόγου ἀξιοῦσθαι· τὸ τρυφῆς τοσαύτης ἀπολαύοντα τὸν ὑπερορῶντα ὁρᾶν, καὶ οὐ τρυφῆς ἀπολαύοντα μόνον, ἀλλὰ καὶ ἐν πονηρίᾳ ζῶντα, καὶ μηδὲν πάσχοντα δεινόν· τὸ καὶ μὴ πρὸς Λάζαρον ἕτερον ἔχειν ἰδεῖν, τὸ μηδὲν περὶ ἀναστάσεως δύνασθαι φιλοσοφεῖν τὸ μετὰ τῶν εἰρημένων κακῶν καὶ πονηρὰν παρὰ τοῖς πολλοῖς ἀπὸ τῶν συμφορῶν ἐκείνων λαμβάνειν ὑπόληψιν· τὸ μὴ μέχρι δύο καὶ τριῶν ἡμερῶν, ἀλλὰ διὰ παντὸς τοῦ βίου, καὶ ἑαυτὸν ἐν τούτοις, καὶ τὸν πλούσιον ἐν τοῖς ἐναντίοις ὁρᾶν. τίνα οὖν ἕξομεν ἀπολογίαν, εἰ οὗτος πάντα ὁμοῦ τὰ δεινὰ μετὰ τοσαύτης φέροντος ἀνδρείας, ἡμεῖς μηδὲ τὰ ἡμίση τούτων οἴσομεν; οὐ γὰρ ἔχεις, οὐκ ἔχεις δεῖξαι, οὐδὲ εἰπεῖν ἄλλον τινὰ τοσαῦτα καὶ τοιαῦτα πεπονθότα κακά. διὰ γὰρ τοῦτο αὐτὸν καὶ εἰς μέσον προὔθηκεν ὁ Χριστὸς, ἵνα ὅπουπερ ἂν ἐμπέσωμεν τῶν δεινῶν, ὁρῶντες παρὰ τούτῳ τὴν ὑπερβολὴν οὖσαν τῶν θλίψεων, ἱκανὴν ἐκ τῆς ἐκείνου φιλοσοφίας καὶ ὑπομονῆς ἀναλάβωμεν παράκλησιν καὶ παραμυθίαν. κοινὸς γάρ τις οἰκουμένης διδάσκαλος πρόκειται τοῖς ὁποιονοῦν πάσχουσι δεινὸν, πρὸς αὐτὸν παρέχων πᾶσιν ὁρᾶν, καὶ πάντας αὐτοὺς νικῶν τῇ τῶν οἰκείων κακῶν ὑπερβολῇ. ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστήσαντες τῷ φιλανθρώπῳ Θεῷ, καρπωσώμεθα τὴν ἐκ τοῦ διηγήματος ὠφέλειαν, συνεχῶς αὐτὸν καὶ ἐν συνεδρίοις, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ πανταχοῦ περιφέροντες, καὶ μετὰ ἀκριβείας ἅπαντα τὸν ἐκ τῆς παραβολῆς ταύτης καταμανθάνοντες πλοῦτον· ἵνα καὶ τὰ παρόντα ἀλύπως παραδράμωμεν δεινὰ, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, τιμὴ, προσκύνησις νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. καὶ πολὺ πλείους

γρ. ἔχειν

γρ. αὐτὴ

Λογ. λϛ. ΕΙΣ ΤΟΝ ΛΑΖΑΡΟΝ ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ·

καὶ ὅτι αἱ ψυχαὶ τῶν βιοθανάτων οὐ γίνονται δαίμονες, καὶ περὶ κρίσεως καὶ ἐλεημοσύνης.

Ἐθαύμασα τὴν ἀγάπην ὑμῶν, ὅτι τὸν περὶ τοῦ Λαζάρου πρῴην ἐκίνησα λόγον, ὅτι καὶ τὴν ὑπομονὴν τοῦ πένητος ἀπεδέξασθε, καὶ τὴν ὠμότητα καὶ ἀπανθρωπίαν τοῦ πλουτοῦντος ἀπεστράφητε. οὐ μικρὰ δὲ ταῦτα καλοκἀγαθίας δείγματα. κἂν γὰρ μὴ μετιῶμεν ἀρετὴν, ἐπαινῶμεν δὲ ἀρετὴν, δυνησόμεθα πάντως αὐτὴν μετελθεῖν. κἂν μὴ φεύγωμεν κακίαν, ἀλλὰ ψέγωμεν κακίαν, δυνησόμεθα πάντως αὐτὴν ἐκφυγεῖν. ἐπεὶ οὖν μετὰ πολλῆς εὐνοίας ἐκείνους ὑπεδέξασθε τοὺς λόγους, φέρε, καὶ τὰ λείψανα ὑμῖν ἀποδώσωμεν. Εἴδετε αὐτὸν ἐν τῷ πυλῶνι τοῦ πλουσίου τότε, βλέπετε αὐτὸν σήμερον ἐν τοῖς κόλποις τοῦ Ἀβραάμ· Εἴδετε αὐτὸν ὑπὸ κυνῶν περιλειχόμενον, βλέπετε αὐτὸν ὑπὸ ἀγγέλων δορυφορούμενον· Εἴδετε αὐτὸν ἐν πενίᾳ τότε, βλέπετε ἐν τρυφῇ νῦν· Εἴδετε ἐν λιμῷ, βλέπετε ἐν ἀφθονίᾳ πολλῇ· Εἴδετε ἀγωνιζόμενον, βλέπετε στεφανούμενον· Εἴδετε τοὺς πόνους, βλέπετε τὰς ἀμοιβὰς καὶ πλούσιοι καὶ πένητες· πλούσιοι μὲν, ἵνα μὴ μέγα εἶναι νομίζητε τὸν πλοῦτον χωρὶς ἀρετῆς· πένητες δὲ, ἵνα μηδὲν κακὸν νομίζητε εἶναι τὴν πενίαν. ἑκατέροις δὲ διδάσκαλος οὗτος ἐγένετο. Εἰ γὰρ ἐν

γρ. ὑποδέχεσθ

πενίᾳ ἐκεῖνος ὢν οὐκ ἀπεδυσπέτησε, τίνα ἕξουσι συγγνώμην οἱ ἐν πλούτῳ τοῦτο ποιοῦντες; εἰ ἐν λιμῷ καὶ τοσούτοις κακοῖς ὢν εὐχαρίστησε, ποίαν ἕξουσιν ἀπολογίαν οἱ μετ' ἀφθονίας μὴ βουλόμενοι πρὸς τὴν αὐτὴν ἐλθεῖν ἀρετήν; πάλιν οἱ πένητες οἱ διὰ τὴν πτωχείαν ἀγανακτοῦντες καὶ δυσχεραίνοντες, τίνα ἕξουσι συγγνώμην, ὅταν οὗτος καὶ λιμῷ καὶ πενίᾳ καὶ ἐρημίᾳ καὶ ἀῤῥωστίᾳ διηνεκεῖ ζῶν ἐν οἰκίᾳ πλουτοῦντος, καὶ παρὰ πάντων ὑπερορώμενος, καὶ πρὸς ἑτέρους τὰ αὐτὰ αὐτῷ πεπονθότας ἰδεῖν οὐκ ἔχων, οὕτω φαίνηται φιλοσοφῶν; ἀπὸ τούτου μάθωμεν, μὴ τοὺς πλουτοῦντας μακαρίζειν, μηδὲ τοὺς πενομένους ταλανίζειν. μᾶλλον δὲ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, οὐδὲ πλούσιός ἐστιν ἐκεῖνος ὁ πολλὰ περιβεβλημένος, ἀλλ' ὁ μὴ πολλῶν δεόμενος· οὐδὲ πένης ἐστὶν ἐκεῖνος ὁ μηδὲν κεκτημένος, ἀλλ' ὁ πολλῶν ἐφιέμενος· καὶ τοῦτον ὅρον πενίας καὶ πλούτου δεῖ νομίζειν εἶναι. ἂν τοίνυν ἴδῃς τινὰ πολλῶν ἐφιέμενον, πάντων αὐτὸν πενέστερον εἶναι νόμιζε, κἂν τὰ πάντων ᾖ κεκτημένος χρήματα. ἂν δὲ πάλιν ἴδῃς τινὰ μὴ πολλῶν δεόμενον, πάντων αὐτὸν εὐπορώτερον εἶναι ψηφίζου, κἂν μηδὲν κεκτημένος ᾖ. τῇ γὰρ διαθέσει τῆς γνώμης, οὐ τῷ μέτρῳ τῆς οὐσίας, τὰς πενίας καὶ εὐπορίας κρίνειν εἰώθαμεν. ὥσπερ οὖν τὸν διηνεκῶς διψῶντα οὐκ ἂν εἴποιμεν ὑγιαίνειν, κἂν ἀφθονίας ἀπολαύῃ, κἂν παρὰ ποταμοῖς καὶ πηγαῖς κατακέηται (τί γὰρ ὄφελος τῆς τῶν ὑδάτων δαψιλείας ἐκείνης, ὅταν τὸ πάθος ἄσβεστον μένῃ;) οὕτω δὴ καὶ ἐπὶ τῶν πλουτούντων ποιῶμεν· τοὺς ἐπιθυμοῦντας ἀεὶ καὶ διψῶντας τῶν ἀλλοτρίων, μηδέποτε νομίζωμεν ὑγιαίνειν, μηδὲ ἀφθονίας ἀπολαύειν τινός. ὁ γὰρ τὴν ἑαυτοῦ στῆσαι μὴ δυνάμενος ἐπιθυμίαν, κἂν τὰ πάντων περιβέβληται, πῶς οὗτος ἔσται ἐν εὐπορίᾳ ποτέ; τοὺς μέντοι τοῖς οἰκείοις ἀρκουμένους, καὶ στέργοντας τὰ ἑαυτῶν, καὶ μὴ περισκοπουμένους τὰς ἀλλοτρίας οὐσίας, κἂν ἁπάντων ὦσιν ἀπορώτεροι, πάντων εὐπορωτέρους εἶναι χρὴ νομίζειν. ὁ γὰρ μὴ δεόμενος τῶν ἀλλοτρίων, ἀλλ' ἐν αὐταρκείᾳ ἀγαπῶν εἶναι, πάντων ἐστὶν εὐπορώτερος. ἀλλ', εἰ δοκεῖ, ἐπὶ τὴν προκειμένην ὑπόθεσιν ἐπανέλθωμεν. Ἐγένετο, φησίν, ἀποθανεῖν τὸν Λάζαρον, καὶ ἀπενεχθῆναι ὑπὸ τῶν ἀγγέλων. ἐνταῦθα πονηρὸν νόσημα τῆς ὑμετέρας ἐξελεῖν βούλομαι ψυχῆς. καὶ γὰρ πολλοὶ τῶν ἀφελεστέρων νομίζουσι τὰς ψυχὰς τῶν βιαίῳ θανάτῳ τελευτώντων δαίμονας γίνεσθαι. οὐκ ἔστι δὲ τοῦτο, οὐκ ἔστιν. οὐ γὰρ αἱ ψυχαὶ τῶν βιαίως ἀποθανόντων δαίμονες γίνονται, ἀλλ' αἱ ψυχαὶ τῶν ἐν ἁμαρτήμασι ζώντων· οὐ τῆς οὐσίας αὐτῶν μεταβαλλομένης, ἀλλὰ τῆς προαιρέσεως [αὐτῶν] τὴν ἐκείνων μιμουμένης κακίαν. τοῦτο γοῦν καὶ πρὸς τοὺς Ἰουδαίους δηλῶν ὁ Χριστὸς ἔλεγεν· Ὑμεῖς τοῦ διαβόλου υἱοί ἐστε. υἱοὺς δὲ διαβόλου αὐτοὺς εἶπεν, οὐκ ἐπειδὴ εἰς τὴν οὐσίαν τὴν ἐκείνου μετέπεσον, ἀλλ' ἐπειδὴ τὰ ἔργα ἐκείνου ἐποίουν. διὸ καὶ προστίθησι· Τὰς γὰρ ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν. καὶ πάλιν ὁ Ἰωάννης· Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ δόξητε λέγειν, * πατέρα ἔχομεν τὸν Ἀβραάμ. συγγενείας γὰρ νόμους, οὐ τοὺς ἀπὸ τῆς φύσεως, ἀλλὰ τοὺς ἀπὸ τῆς ἀρετῆς καὶ τῆς κακίας οἶδεν ἡ γραφὴ καλεῖν· καὶ ἐὰν αὖ τις ὁμότροπος γένηται, τούτου καὶ υἱὸς καὶ ἀδελφὸς εἶναι φησὶν ἡ γραφή. διὰ τίνος ἕνεκεν ὁ διάβολος τὸ πονηρὸν δόγμα τοῦτο εἰσήγαγε; τὴν τῶν μαρτύρων ἐπεχείρησε διορύξαι δόξαν. ἐπειδὴ γὰρ βιαίῳ θανάτῳ τελευτῶσιν ἐκεῖνοι, βουλόμενος αὐτῶν κατασκεδάσαι πονηρὰν ὑπόληψιν, τοῦτο ἐποίησεν. ἀλλὰ τοῦτο μὲν οὐκ ἴσχυσε (μένουσι γὰρ τὴν οἰκείαν ἔχοντες λαμπρότητα) ἕτερον δὲ χαλεπώτατον κατειργάσατο. τοὺς γὰρ γόητας * τοὺς ὑπηρετουμένους αὐτῷ διὰ τούτων πείσας τῶν δογμάτων, πολλῶν νέων ἀθλίων σφάγματα καταστρέφειν ἐλπίδι τοῦ δαίμονας ἔσεσθαι, καὶ πάλιν αὐτοῖς ὑπηρετεῖν. ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι. τί οὖν, ὅτι οἱ δαίμονες λέγουσι, τὴν ψυχὴν τοῦ δεῖνος ἐγώ εἰμι, φησί; διὰ γὰρ τοῦτο οὐ πείθομαι, ἐπειδὴ δαίμονες λέγουσιν· ἀπατῶσι γὰρ τοὺς ἀκούοντας. διὰ τοῦτο καὶ ὁ Παῦλος καὶ ἀληθεύοντας ἐπεστόμιζεν αὐτούς, ἵνα μὴ προφα-

σιν

νομίζων

...ιοθανόν-
... ἄλλ. βιο-
...άτων

Λουκ. ιϛ. κβ.

Ιωαν. η. μδ.

Ματθ. γ. ζ.

σιν λαβόντες, τοῖς ἀληθέσι καὶ ψευδῆ πάλιν ἀναμίξωσι, καὶ ἀξιόπιστοι γένωνται. ἐπειδὴ γὰρ Πράξ. ις. ιζ. ἔλεγεν, Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσὶ, καταγγέλλοντες ἡμῖν ὁδὸν σωτηρίας, διαπονηθεὶς τῷ πνεύματι, ἐπετίμησε τῷ Πύθωνι, καὶ ἐξελθεῖν ἐκέλευσε. καίτοιγε τί πονηρὸν ἔλεγεν; ὅτι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσίν. ἀλλ' ἐπειδὴ πολλοὶ τῶν ἀφελεστέρων ἀεὶ διακρίνειν οὐκ ἴσασι τὰ παρὰ τῶν δαιμόνων λεγόμενα, καθάπαξ αὐτοῖς ἀπέκλεισε τὸ πιστεύεσθαι. τῶν ἠτιμωμένων εἶ, φησιν, ἀπαρρησίαστος εἶ, σιώπα, πεφίμωσο. οὐκ ἔστι σοὶ τὸ κηρύττειν· ἀποστόλων ἐστὶ τοῦτο τὸ ἀξίωμα. τί ἁρπάζεις τὸ μὴ σόν; σίγα, ἠτίμωσαι. Λουκ. δ. λδ. οὕτω καὶ ὁ Χριστὸς ἐποίησε· λέγουσιν αὐτῷ τοῖς δαίμοσιν, Οἴδαμέν σε τίς εἶ, ἐπετίμησεν αὐτοῖς μετὰ πολλῆς τῆς σφοδρότητος, διδάσκων ἡμᾶς μηδαμοῦ δαίμονι πείθεσθαι, μηδὲ ἂν σοι ὑγιές τι λέγῃ. ἅπερ δὴ καὶ μαθόντες μὴ πειθώμεθα δαίμονι καθόλου· ἀλλὰ κἂν ἀληθές τι φθέγγηται, φεύγωμεν αὐτὸν καὶ ἀποστρεφώμεθα. τὰ γὰρ ὑγιῆ δόγματα καὶ σωτήρια, οὐ παρὰ δαιμόνων, ἀλλὰ παρὰ τῆς θείας γραφῆς ἐστὶ μετ' ἀκριβείας μαθεῖν. ὅτι γὰρ οὐκ ἔστι ψυχὴν τοῦ σώματος ἐξελθοῦσαν ὑπὸ τὴν τῶν δαιμόνων γενέσθαι τυραννίδα, ἄκουσον Ρωμ. ϛ. ζ. τί φησιν ὁ Παῦλος. Ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας, τουτέστιν, οὐκ ἔτι ἁμαρτάνει. εἰ γὰρ ἐν τῷ σώματι οἰκούσῃ τῇ ψυχῇ βίαν ἐπαγαγεῖν οὐ δυνήσεται ὁ διάβολος, εὔδηλον ὅτι οὐδὲ ἀπελθούσῃ. πῶς οὖν ἁμαρτάνουσι, φησιν, εἰ μὴ βίαν πάσχωσιν; ἑκοῦσαι καὶ βουλόμεναι, καὶ ἑαυτὰς ἐκδιδοῦσαι, οὐκ ἀναγκαζόμεναι, οὐδὲ τυραννούμεναι. καὶ τοῦτο ἐδήλωσαν ἅπαντες οἱ περιγενόμενοι τῶν ἐκείνου μηχανημάτων. τὸν γοῦν Ἰὼβ μυρία κακώσας, οὐκ ἴσχυσε πεῖσαι βλάσφημόν τι ῥῆμα ἐξενεγκεῖν. ὅθεν δῆλον, ὅτι καὶ τοῦ πείθεσθαι, καὶ τοῦ μὴ πείθεσθαι ταῖς ἐκείνου συμβουλαῖς ἡμεῖς ἐσμεν κύριοι, καὶ ἀνάγκην οὐδεμίαν, οὐδὲ τυραννίδα ὑφιστάμεθα παρ' ἐκείνου.

Οὐκ ἐκ τῶν εἰρημένων δὲ μόνον, ἀλλὰ καὶ ἐκ τῆς προκειμένης παραβολῆς εὔδηλον, ὅτι τοῦ σώματος αἱ ψυχαὶ ἐξελθοῦσαι, οὐκ ἔτι ἐνταῦθα διατρίβουσιν, ἀλλ' εὐθέως ἀπάγονται. Λουκ. ις. κβ. καὶ ἄκουε πῶς. Ἐγένετο γὰρ αὐτὸν, φησιν, ἀποθανεῖν, καὶ ἀπενεχθῆναι ὑπὸ τῶν ἀγγέλων. οὐχ αἱ τῶν δικαίων δὲ μόνον, ἀλλὰ καὶ τῶν ἐν πονηρίᾳ ζώντων ἀπάγονται ἐκεῖ αἱ ψυχαί. καὶ τοῦτο δὲ Λουκ. ιβ. ιθ. πάλιν ἐξ ἑτέρου πλουσίου δῆλον. ἐπειδὴ γὰρ εὐφόρησεν ἡ χώρα αὐτοῦ, εἶπεν ἐν ἑαυτῷ· Τί ποιήσω; καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω. οὐδὲν ἀθλιώτερον τῆς τοιαύτης γνώμης. ὄντως καθεῖλεν αὐτοῦ τὰς ἀποθήκας. ἀποθῆκαι γὰρ ἄσυλοι, οὐχ οἱ τοῖχοι, ἀλλ' αἱ τῶν πενήτων εἰσὶ γαστέρες· ὁ δὲ ἐκείνας ἀφεὶς, περὶ τοίχους ἠσχολεῖτο. τί οὖν φησι πρὸς αὐτὸν ὁ Θεός; Ἄφρον, ταύτῃ τῇ νυκτὶ ἀπαιτοῦσι τὴν ψυχήν σου ἀπὸ σοῦ. καὶ ὅρα· ἐνταῦθα φησὶν ἀπενεχθῆναι ὑπὸ τῶν ἀγγέλων, ἐκεῖ ἀπαιτοῦσι· καὶ τὴν μὲν ὡς δεσμώτην ἐξήγαγον, τὴν δὲ ὡς στεφανίτην ἐδορυφόρουν. καὶ καθάπερ ἐν τῷ σκάμματι πολλὰ ἕνα τραύματα λαβόντα καὶ αἵματι καταρραντισμένον, εἶτα τὴν κεφαλὴν ἀναδησάμενοι οἱ περὶ τὸ σκάμμα ἑστῶτες ὑποδεξάμενοι μετὰ πολλῆς τῆς εὐφημίας οἴκαδε ἄγουσι κροτοῦντες, εὐφημοῦντες, θαυμάζοντες· οὕτω καὶ τὸν Λάζαρον ἄγγελοι τότε ἀπήγαγον· ἐκείνου δὲ τὴν ψυχὴν ἀπῄτουν φοβεραί τινες δυνάμεις, ἴσως ἀπεσταλμέναι ἐπὶ τοῦτο. οὐ γὰρ αὐτόματος ἡ ψυχὴ πρὸς ἐκείνην ἀναχωρεῖ τὴν ζωήν· ἐπειδὴ μηδὲ δυνατόν. εἰ γὰρ πόλιν ἐκ πόλεως ἀμείβοντες, τοῦ χειραγωγοῦντος δεόμεθα, πολλῷ μᾶλλον ἡ ψυχὴ τῆς σαρκὸς ἀπορραγεῖσα, καὶ πρὸς τὴν μέλλουσαν μεθισταμένη ζωὴν, τῶν ὁδηγησόντων αὐτὴν δεήσεται. διὰ τοῦτο πολλάκις ἀναδύεται, καὶ πρὸς τὸ βάθος κάτω χωρεῖ, καὶ δέδοικε, καὶ φρίττει, μέλλουσα τῆς σαρκὸς ἀφίστασθαι. ἀεὶ μὲν γὰρ ἡμᾶς κεντεῖ τῶν ἁμαρτημάτων τὸ συνειδὸς, μάλιστα δὲ κατ' ἐκείνην τὴν ὥραν, ὅταν μέλλωμεν ἐντεῦθεν ἀπάγεσθαι πρὸς τὰς εὐθύνας τὰς ἐκεῖ καὶ τὸ φοβερὸν δικαστήριον. τότε, εἴτε ἥρπασέ τις, εἴτε ἐπλεονέκτησεν, εἴτε τινὰ ἐπηρέασεν, εἴτε τινὸς γέγονεν ἐχθρὸς ἀδίκως, εἴτε ἄλλο ὁτι-

οῦν

οῦ δεινὸν εἰργάσατο· ἅπας ὁ τῶν ἁμαρτημάτων ἑσμὸς ἀνανεοῦται καὶ πρὸ τῶν ὀφθαλμῶν ἵσταται, καὶ τὴν διάνοιαν κεντεῖ. καὶ καθάπερ οἱ τὸ δεσμωτήριον οἰκοῦντες, ἀεὶ μὲν ἐν κατηφείᾳ καὶ ὀδύναις εἰσί, μάλιστα δὲ κατὰ τὴν ἡμέραν ἐκείνην, καθ' ἣν ἂν μέλλωσιν ἐξάγεσθαι, καὶ πρὸς αὐτὰς τὰς τοῦ δικάζοντος ἄγεσθαι θύρας· καὶ περὶ τῶν κιγκλίδων ἑστῶτες, καὶ τῆς τοῦ κρίνοντος φωνῆς ἔνδοθεν ἀκούοντες, ἀποπήγνυνται τῷ φόβῳ, καὶ τῶν νεκρῶν οὐδὲν ἄμεινον διάκεινται· οὕτω καὶ ἡ ψυχὴ μάλιστα μὲν καὶ ἐν αὐτῷ τῷ καιρῷ τῆς ἁμαρτίας ὀδυνᾶται καὶ στενοχωρεῖται, πολλῷ δὲ πλέον ὅταν ἐντεῦθεν ἀποσπασθεῖσα ἀπάγεσθαι μέλλῃ. σιγᾶτε ταῦτα ἀκούοντες; πολλὴν ὑμῖν ἔχω χάριν τῆς σιγῆς ταύτης μᾶλλον, ἢ τῶν κρότων. οἱ μὲν γὰρ κρότοι καὶ οἱ ἔπαινοι λαμπρότερον ἐμὲ ποιοῦσιν, ἡ σιγὴ δὲ αὕτη σωφρονεστέρους ὑμᾶς ἐργάζεται. οἶδα ὅτι λυπεῖ τὰ λεγόμενα, ἀλλὰ πολὺ κέρδος ἔχει καὶ ἄφατον. ὁ πλούσιος ἐκεῖνος, εἴ τινα εἶχε τοιαῦτα αὐτῷ παραινοῦντα, ἀλλὰ μὴ κόλακας τοὺς πρὸς χάριν ἅπαντα συμβουλεύοντας, καὶ εἰς τρυφὴν ἕλκοντας, οὐκ ἂν εἰς τὴν γέενναν ἦλθεν ἐκείνην, οὐκ ἂν τὰς βασάνους ὑπέμεινε τὰς ἀφορήτους, οὐκ ἂν ἀπαρηγόρητα μετὰ ταῦτα μετενόησεν· ἀλλ' ἐπειδὴ τὰ πρὸς χάριν ἅπαντες διελέγοντο, παρέδωκαν αὐτὸν τῷ πυρί. Εἴθε ἦν ἀεὶ καὶ διηνεκῶς ταῦτα φιλοσοφεῖν, καὶ περὶ γεέννης φθέγγεσθαι. Ἐν μὲν πᾶσι γάρ, φησι, τοῖς λόγοις σου μιμνήσκου τὰ ἔσχατά σου, καὶ εἰς τὸν αἰῶνα οὐ μὴ ἁμάρτῃς. καὶ πάλιν, Ἑτοίμαζε εἰς τὴν ἔξοδον τὰ ἔργα σου, καὶ παρασκεύαζε πρὸς τὴν ὁδόν. εἴ τινος ἥρπασάς τι, ἀπόδος, καὶ εἰπὲ κατὰ τὸν Ζακχαῖον· Δίδωμι" τετραπλασίονα τὰ ἁρπαγέντα. εἴ τινός τι ἐσυκοφάντησας, εἴ τινος γέγονας ἐχθρὸς, καταλλάγηθι πρὸ τοῦ δικαστηρίου, πάντα ἐνταῦθα διάλυσαι, ἵνα χωρὶς πραγμάτων τὸ βῆμα ἴδῃς ἐκεῖνο. ἕως μὲν ἐνταῦθά ἐσμεν, ἐλπίδας ἔχομεν χρηστάς· ἐπειδὰν δὲ ἀπέλθωμεν ἐκεῖ, κύριοι λοιπὸν μετανοίας οὐκ ἐσμὲν, οὐδὲ τοῦ τὰ ἡμαρτημένα ἡμῖν ἀπονίψασθαι. διὸ χρὴ παρασκευάζεσθαι συνεχῶς πρὸς τὴν ἐνθένδε ἔξοδον. τί γὰρ ἐὰν ἑσπέρας δόξῃ τῷ δεσπότῃ καλέσαι ἡμᾶς; τί δὲ ἐὰν αὔριον; ἄδηλον γὰρ τὸ μέλλον, ἵνα ἐναγώνιοι διηνεκῶς ὦμεν, καὶ πρὸς τὴν ἀποδημίαν εὐτρεπεῖς ἐκείνην· καθάπερ οὖν οὗτος ὁ Λάζαρος διαπαντὸς ἦν ἐν ὑπομονῇ καὶ καρτερίᾳ, διὸ καὶ μετὰ τοσαύτης ἀπήγετο τιμῆς. Ἀπέθανε δὲ καὶ ὁ πλούσιος, καὶ ἐτάφη, καθάπερ ἐν μνήματι, τῷ σώματι τῆς ψυχῆς αὐτοῦ κατορωρυγμένης, καὶ τάφον περιφερούσης τὴν σάρκα. ὥσπερ γὰρ ἁλύσει τινὶ, τῇ μέθῃ καὶ τῇ γαστριμαργίᾳ πεπεδημένος, οὕτως ἄπρακτον αὐτὴν καὶ νεκρὰν εἰργάσατο. μὴ ἁπλῶς παραδράμῃς, ἀγαπητέ, τὸ, ἐτάφη· ἀλλ' ἐνταῦθά μοι νόει τὰς τραπέζας τὰς περιηργυρωμένας, τὰς κλίνας, τοὺς τάπητας, τὰ" ἐπιβλήματα, τὰ ἄλλα τὰ κατὰ τὴν οἰκίαν ἅπαντα, τὰ μύρα, τὰ ἀρώματα, τὸν πολὺν ἄκρατον, τῶν ἐδεσμάτων τὰς ποικιλίας, τὰ καρυκεύματα, τοὺς μαγείρους, τοὺς κόλακας, τοὺς δορυφόρους, τοὺς οἰκέτας, τὴν ἄλλην ἅπασαν φαντασίαν κατεσβεσμένην καὶ καταμαρανθεῖσαν. "πάντα σποδὸς," πάντα τέφρα καὶ κόνις, θρῆνοι καὶ ὀδυρμοὶ, οὐδενὸς δυναμένου βοηθῆσαι λοιπὸν, οὐδ' ἀπελθοῦσαν ἐπαναγαγεῖν τὴν ψυχήν. τότε ἡ δύναμις ἠλέγχετο τοῦ χρυσίου, καὶ τῆς πολλῆς περιουσίας. ἐκ γὰρ τοσαύτης θεραπείας γυμνὸς καὶ μόνος ἀπήγετο, οὐδὲν ἐκ τῆς τοσαύτης εὐπορίας ἀπενεγκεῖν ἐντεῦθεν δυνάμενος· ἀλλ' ἔρημος, ἀπροστάτευτος [ἀπήγετο]· οὐδεὶς τῶν θεραπευσάντων, οὐδεὶς τῶν βοηθησόντων παρῆν" ἐξαιρησόμενος τῆς κολάσεως καὶ τῆς τιμωρίας· ἀλλὰ πάντων ἐκείνων ἀποσπασθεὶς, μόνος ἀπελαμβάνετο τὰς ἀφορήτους ὑπομένειν τιμωρίας. ὄντως Πᾶσα σὰρξ ὡς χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου. ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε· τὸ δὲ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα. ἦλθεν ὁ θάνατος, καὶ πάντα ἔσβεσεν ἐκεῖνα· καὶ καθάπερ αἰχμάλωτον λαβὼν, οὕτως ἀπήγαγε κάτω κύπτοντα, αἰσχύνης γέμοντα, ἀπαρρησίαστον, τρέμοντα, δεδοικότα, ὥσπερ ἐν ὀνείροις ἀπολαύσαντα τῆς τρυφῆς ἐκείνης ἁπάσης. καὶ λοιπὸν ἱκέτης

ὁ πλούσιος

Σειρ. ζ. λϛ.

Παροιμ. κδ. κζ.

Λουκ. ιθ. η.

Ησ. μ. ζ.

ὁ πλούσιος τοῦ πένητος ἐγένετο, καὶ τῆς τούτου τραπέζης ἐδεῖτο, τοῦ λιμώττοντός ποτε, καὶ τοῖς στόμασι τῶν κυνῶν προκειμένου. καὶ τὰ πράγματα μετεβάλλετο, καὶ ἐμάνθανον ἅπαντες, τίς ἦν ὁ πλούσιος, καὶ τίς ἦν ὁ πένης· καὶ ὅτι ὁ μὲν Λάζαρος πάντων ἦν εὐπορώτερος, οὗτος δὲ πάντων πενέστερος. καθάπερ γὰρ ἐν σκηνῇ, προσωπεῖα βασιλέων καὶ στρατηγῶν καὶ ἰατρῶν καὶ ῥητόρων καὶ σοφιστῶν καὶ στρατιωτῶν λαμβάνοντες εἰσέρχονταί τινες, οὐδὲν τούτων ὄντες αὐτοί· οὕτω δὴ καὶ ἐπὶ τοῦ παρόντος βίου, καὶ πενία καὶ πλοῦτος προσωπεῖα μόνον εἰσίν. ὥσπερ οὖν ἐν τῷ θεάτρῳ καθήμενος, ἂν ἴδῃς τινὰ τῶν κάτω παιζόντων προσωπεῖον ἔχοντα βασιλέως, οὐ μακαρίζεις αὐτὸν, οὐδὲ βασιλέα εἶναι νομίζεις, οὐδ᾽ ἂν εὔξαιο γενέσθαι τοιοῦτος· ἀλλ᾽ εἰδὼς, ὅτι τῶν ἀγοραίων τίς ἐστι, σχοινοστρόφος τυχὸν, ἢ χαλκοτύπος, ἢ ἕτερόν τι τοιοῦτον, οὐ μακαρίζεις διὰ τὸ προσωπεῖον καὶ τὴν στολὴν, οὐδ᾽ ἀπὸ τούτων αὐτοῦ κρίνεις τὴν πολιτείαν, ἀλλὰ καταπτύεις αὐτοῦ διὰ τὴν ἄλλην εὐτέλειαν· οὕτω δὴ καὶ ἐνταῦθα, καθάπερ ἐν θεάτρῳ, τῷ κόσμῳ καθήμενος, καὶ ἐπὶ σκηνῆς παίζοντας βλέπων, ἐπειδὰν ἴδῃς πλουτοῦντας πολλοὺς, μὴ πλουσίους ἀληθῶς εἶναι νόμιζε, ἀλλὰ πλουσίων περικεῖσθαι προσωπεῖα. καθάπερ γὰρ ἐκεῖνος, ὁ ἐπὶ τῆς σκηνῆς τὸν βασιλέα καὶ τὸν στρατηγὸν ὑποκρινόμενος, πολλάκις οἰκέτης ὢν τυγχάνει, ἢ τῶν σῦκα καὶ βότρυς πωλούντων ἐπ᾽ ἀγορᾶς· οὕτω δὴ καὶ οὗτος ὁ πλούσιος, πολλάκις πάντων πενέστερος ὢν τυγχάνει. ἂν γὰρ περιέλῃς αὐτοῦ τὸ προσωπεῖον, καὶ τὸ συνειδὸς ἀναπτύξῃς, καὶ εἰς τὴν διάνοιαν εἰσέλθῃς, πολλὴν εὑρήσεις ἀρετῆς ἐκεῖ πενίαν, καὶ πάντων ἀτιμότερον ὄντα τῶν ἀνθρώπων. ὥσπερ γὰρ ἐπὶ τῶν θεάτρων τῆς ἑσπέρας καταλαβούσης, καὶ τῶν συγκαθημένων ἀναχωρησάντων, ἐξελθόντες ἔξω, καὶ τὰ σχήματα τῆς ὑποκρίσεως ἀποθέμενοι, οἱ βασιλεῖς καὶ στρατηγοὶ πᾶσιν εἶναι δοκοῦντες, φαίνονται λοιπὸν ὅπερ εἰσίν· οὕτω δὴ καὶ νῦν τοῦ θανάτου παραγινομένου, καὶ τοῦ θεάτρου λυθέντος, τὰ τοῦ πλούτου προσωπεῖα καὶ τὰ τῆς πενίας ἀποθέμενοι πάντες, ἀπῆλθον ἐκεῖ· καὶ ἀπὸ τῶν ἔργων μόνον κρινόμενοι φαίνονται, τίνες μὲν ἀληθῶς πλούσιοι, τίνες δὲ πένητες, καὶ τίνες μὲν ἔντιμοι, τίνες δὲ ἄδοξοι. πολλάκις γοῦν τῶν ἐνταῦθά τις πλουτούντων εὑρέθη πάντων ἐκεῖ πενέστερος ὤν, καθάπερ οὖν καὶ ὁ πλούσιος οὗτος. ἐπειδὴ γὰρ ἡ ἑσπέρα κατέλαβε, τουτέστιν, ὁ θάνατος, καὶ ἐκ τοῦ θεάτρου τῆς παρούσης ζωῆς ἐξῆλθε, καὶ τὸ προσωπεῖον ἀπέθετο, ὤφθη πάντων ἐκεῖ πενέστερος ὤν, καὶ οὕτω πένης, ὡς μηδὲ σταγόνος ὕδατος εἶναι κύριος· ἀλλ᾽ ὑπὲρ ταύτης προσαιτεῖν, καὶ μηδ᾽ αὐτῆς ἐπιτυγχάνειν τῆς αἰτήσεως. τί ταύτης τῆς πενίας πενέστερον γένοιτ᾽ ἄν; καὶ ἄκουε πῶς. Λουκ. ιϛ. κγ. Ἐπάρας γὰρ τοὺς ὀφθαλμοὺς αὐτοῦ, φησὶ πρὸς τὸν Ἀβραάμ· πάτερ, ἐλέησόν με, καὶ πέμψον Λάζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος, καὶ ἐπιστάξῃ τῷ στόματί μου. ὁρᾷς πόσον ἐστὶν ἡ θλῖψις; πλησίον ὄντα παρέτρεχε, καὶ πόρρω γε ὄντα καλεῖ νῦν· ὃν πολλάκις εἰσιών τε καὶ ἐξιὼν οὐχ ἑώρα, τοῦτον μακρόθεν ὄντα μετ᾽ ἀκριβείας βλέπει. τίνος δὲ ἕνεκεν αὐτὸν ὁρᾷ; πολλάκις ἴσως εἶπεν * ὁ πλούσιος οὗτος, τί μοι εὐλαβείας καὶ ἀρετῆς χρεία; πάντα μοι καθάπερ ἐκ πηγῶν ἐπιρρεῖ, πολλῆς ἀπολαύω τῆς ἀφθονίας, πολλῆς τῆς εὐημερίας, οὐδὲν ὑπομένω τῶν ἀδοκήτων· τίνος ἕνεκα μετέρχομαι ἀρετήν; οὗτος ὁ πένης ἐν δικαιοσύνῃ καὶ εὐσεβείᾳ ζῶν, μυρία πάσχει δεινά. ταῦτα δὴ πολλοὶ καὶ νῦν πολλάκις λέγουσιν. ἵν᾽ οὖν πρόρριζα ταῦτα ἀνασπασθῇ τὰ κακὰ δόγματα, δείκνυσιν αὐτοῖς, ὅτι καὶ τῇ κακίᾳ κόλασις κεῖται, καὶ τιμὴ καὶ στέφανος τοῖς ὑπὲρ τῆς εὐσεβείας πόνοις. οὐ διὰ τοῦτο δὲ μόνον αὐτὸν εἶδεν, ἀλλ᾽ ἵνα, ὅπερ ἔπαθεν ὁ πένης, τοῦτο καὶ ὁ πλούσιος πάθῃ νῦν μετὰ μείζονος τῆς ὑπερβολῆς. καθάπερ γὰρ ἐκείνῳ χαλεπωτέραν ἐποιεῖτο τὴν βάσανον τὸ ἐν τῷ πυλῶνι τοῦ πλουσίου κεῖσθαι, καὶ ὁρᾷν * τὰ ἀλλότρια ἀγαθά· οὕτω δὴ καὶ τούτῳ χαλεπωτέραν ἐποίει τὴν τιμωρίαν νῦν, τὸ ἐν τῇ γεέννῃ κεῖσθαι, καὶ ὁρᾷν τὴν τοῦ Λαζάρου τρυφήν· ἵνα μὴ τῇ φύσει τῶν βασάνων μόνον, ἀλλὰ καὶ τῇ παραθέσει τῆς ἐκείνου τιμῆς ἀφορητοτέραν ἔχῃ τὴν κόλασιν. καὶ καθάπερ τὸν Ἀδὰμ ἐκβάλλων * τοῦ παραδείσου, κατέναντι τοῦ παραδείσου κατῴκισεν ὁ Θεὸς, ἵνα ἡ συνεχὴς ὄψις ἀνανεοῦσα τὸ πάθος, ἀκριβεστέραν αὐτῷ παράσχῃ τῆς ἐκπτώσεως τῶν ἀγαθῶν τὴν αἴσθησιν· οὕτω δὴ καὶ τοῦτον κατέναντι τοῦ Λαζάρου κατῴκισεν, ἵνα ἴδῃ τίνων ἑαυτὸν ἀπεστέρησεν. ἔπεμψά σοι, φησὶν, εἰς τὰ πρόθυρα τὸν [πένητα] Λάζαρον, ἵνα σοι γένηται διδάσκαλος ἀρετῆς, καὶ φιλανθρωπίας ὑπόθεσις· παρεῖδες τὸ κέρδος, οὐκ ἠθέλησας εἰς δέον χρήσασθαι τῇ τῆς σωτηρίας ἀφορμῇ· χρήσῃ λοιπὸν αὐτῷ εἰς μείζονα κολάσεως καὶ τιμωρίας ὑπόθεσιν. ἀπὸ τούτων μανθάνομεν, ὅτι πάντες οἱ παρ' ἡμῶν ἐπηρεαζόμενοι καὶ ἀδικούμενοι, κατὰ πρόσωπον ἡμῶν στήσονται τότε. καίτοι οὗτος οὐδὲν ἠδίκητο παρὰ τοῦ πλουσίου. οὐ γὰρ τὰ ἐκείνου ἔλαβε χρήματα ὁ πλούσιος, ἀλλὰ τῶν ἑαυτοῦ οὐ μετέδωκεν. εἰ δὲ τῶν ἑαυτοῦ μὴ μεταδιδοὺς, κατήγορον ἔχει τὸν οὐκ ἐλεηθέντα· ὁ καὶ τὰ ἀλλότρια ἁρπάσας, ποίας τεύξεται συγγνώμης, πανταχόθεν αὐτὸν περιεστώτων τῶν ἠδικημένων; οὐ γὰρ μαρτύρων ἐκεῖ χρεία, οὐδὲ κατηγόρων, οὐδὲ ἀποδείξεων, οὐδὲ τεκμηρίων· ἀλλ' αὐτὰ καθ' ἑαυτὰ τὰ πράγματα, οἷάπερ αὐτὰ κατεσκευάσαμεν, πρὸ τῶν ὀφθαλμῶν φαίνεται τῶν ἡμετέρων. Ἰδοὺ γὰρ, φησὶν, ἄνθρωπος, καὶ τὰ ἔργα αὐτοῦ. καὶ γὰρ καὶ τοῦτο ἁρπαγὴ, τὸ μὴ μεταδοῦναι τῶν ὄντων.

Καὶ τάχα ὑμῖν θαυμαστὸν εἶναι δοκεῖ τὸ λεγόμενον. ἀλλὰ μὴ θαυμάσητε· μαρτυρίαν γὰρ ὑμῖν ἀπὸ τῶν θείων παρέξομαι γραφῶν λέγουσαν, ὅτι οὐ τὸ τὰ ἀλλότρια ἁρπάζειν μόνον, ἀλλὰ καὶ τὸ τῶν ἑαυτοῦ μὴ μεταδιδόναι ἑτέροις, καὶ τοῦτο ἁρπαγὴ καὶ πλεονεξία καὶ ἀποστέρησίς ἐστι. τίς οὖν ἐστιν αὕτη; τοῖς Ἰουδαίοις ἐγκαλῶν ὁ Θεὸς διὰ τοῦ προφήτου, φησίν· Ἐξήνεγκεν ἡ γῆ τὰ ἐκφόρια αὐτῆς, καὶ οὐκ εἰσηνέγκατε τὰ ἐπιδέκατα· ἀλλ' ἡ ἁρπαγὴ τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν. ἐπειδὴ τὰς προσφορὰς, φησὶ, τὰς εἰωθυίας οὐκ ἐδώκατε, ἡρπάσατε τὰ τοῦ πένητος. τοῦτο δὲ λέγει, δεικνὺς τοῖς πλουσίοις, ὅτι τὰ τῶν πενήτων ἔχουσι, κἂν πατρῷον διαδέξωνται κλῆρον, κἂν ὁθενδήποτε συλλέξωσι τὰ χρήματα. καὶ πάλιν ἀλλαχοῦ λέγει· Μὴ ἀποστερήσῃς τὴν ζωὴν τοῦ πτωχοῦ. ὁ δὲ ἀποστερῶν, τὰ ἀλλότρια ἀποστερεῖ. ἀποστέρησις γὰρ λέγεται, ὅταν τὰ ἀλλότρια λαβόντες κατέχωμεν. καὶ διὰ τούτου τοίνυν παιδευόμεθα, ὅτι ὅταν ἐλεημοσύνην μὴ παρέχωμεν, ἐν ἴσῳ τοῖς ἀποστεροῦσι κολασόμεθα. δεσποτικὰ γάρ ἐστι τὰ χρήματα, ὅθεν ἂν αὐτὰ συλλέξωμεν [κἂν τοῖς δεομένοις αὐτὰ παρέξωμεν, πολλῆς ἐπιτευξόμεθα τῆς ἀφθονίας]. καὶ διὰ τοῦτό σοι πλείονα ἔχειν συνεχώρησεν ὁ Θεὸς, οὐχ ἵνα εἰς πορνείαν, καὶ μέθην, καὶ ἀδηφαγίαν, καὶ ἱματίων πολυτέλειαν, καὶ τὴν ἄλλην βλακείαν ἀναλώσῃς, ἀλλ' ἵνα τοῖς δεομένοις αὐτὰ διανείμῃς. καθάπερ γὰρ ὑποδέκτης τις βασιλικὰ δεξάμενος χρήματα, ἂν ἀφεὶς οἷς ἂν κελεύηται διανεῖμαι, εἰς οἰκείαν καταναλώσῃ βλακείαν, εὐθύνας δίδωσι καὶ προσαπόλλυται· οὕτω δὴ καὶ ὁ πλούσιος, ὑποδέκτης τίς ἐστι τῶν τοῖς πένησιν ὀφειλομένων χρημάτων διανεμηθῆναι, ἐπιταχθεὶς αὐτὰ διανέμειν τῶν ἑαυτοῦ συνδούλων τοῖς πενομένοις. ἂν οὖν πλέον τι τῆς χρείας εἰς ἑαυτὸν ἀναλώσῃ τῆς ἀναγκαίας, χαλεπωτάτας ἐκδώσει τὰς εὐθύνας. οὐ γάρ ἐστιν αὐτοῦ τὰ αὐτοῦ, ἀλλὰ τῶν συνδούλων τῶν ἑαυτοῦ. φειδώμεθα τοίνυν αὐτῶν, ὡς ἀλλοτρίων, ἵνα γένηται ἡμέτερα. πῶς δὲ αὐτῶν φεισόμεθα, ὡς ἀλλοτρίων; ὅταν μὴ εἰς περιττὰς αὐτὰ ἀναλίσκωμεν χρείας, μηδὲ εἰς ἡμετέρας μόνον, ἀλλὰ ταῖς τῶν πενήτων αὐτὰ συμμερίζωμεν χερσί. κἂν εὔπορος ᾖς, πλέον δέ τι τῆς χρείας ἀναλίσκῃς, λόγον δώσεις τῶν ἐμπιστευθέντων σοι χρημάτων. τοῦτο καὶ ἐπὶ τῶν οἰκιῶν γίνεται τῶν μεγάλων. πολλοὶ γοῦν τὰ ταμιεῖα τὰ ἑαυτῶν τοῖς οἰκέταις τοῖς ἑαυτῶν ἐνεπίστευσαν· ἀλλ' ὅμως οἱ πιστευθέντες ἐκεῖνοι φυλάττουσι τὰ δεδομένα, καὶ οὐκ ἀποχρῶνται τοῖς ἐμπιστευθεῖσιν, ἀλλ' οἷς ἂν ὁ δεσπότης, καὶ ἡνίκα κελεύσῃ, διανέμουσι. τοῦτο καὶ σὺ ποίησον. καὶ γὰρ ἔλαβες ἑτέρων πλείονα, καὶ ὑπεδέξω, οὐχ ἵνα αὐτὰ ἀναλώσῃς μόνος, ἀλλ' ἵνα καὶ ἑτέροις οἰκονόμος γένῃ καλός. ἄξιον δὲ κἀκεῖνο ζητῆσαι, τί δήποτε οὐχὶ παρ' ἑτέρῳ δικαίῳ τὸν Λάζαρον

Ἀγγ. α. ι.

Σειρ. δ. α.

ζαρον ὁρᾷ, ἀλλ' ἐν τοῖς κόλποις εἶδε τοῦ Ἀβραάμ. φιλόξενος ἦν ὁ Ἀβραάμ. ἵν' οὖν καὶ τοῦτο ἔλεγχος αὐτῷ γένηται τῆς μισοξενίας, διὰ τοῦτο αὐτὸν μετ' ἐκείνου βλέπει. ἐκεῖνος γὰρ καὶ τοὺς παριόντας ἐθήρευε, καὶ εἰς τὴν οἰκίαν εἷλκεν εἴσω τὴν ἑαυτοῦ· οὗτος δὲ καὶ τὸν ἔσω κείμενον παρεώρα, καὶ θησαυρὸν τοσοῦτον ἔχων [καὶ] σωτηρίας ὑπόθεσιν, παρέτρεχε καθ' ἑκάστην ἡμέραν, καὶ οὐκ ἐχρήσατο εἰς δέον τῇ τοῦ πένητος προστασίᾳ. ἀλλ' οὐχ ὁ πατριάρχης τοιοῦτος, ἀλλὰ τοὐναντίον ἅπαν· πρὸ τῆς θύρας καθήμενος ἐσαγήνευε τοὺς παριόντας ἅπαντας. καὶ καθάπερ τις ἁλιεὺς ἀμφίβληστρον βάλλων εἰς τὴν θάλασσαν, ἀνασπᾷ μὲν ἰχθῦν, ἀνασπᾷ δὲ καὶ χρυσίον πολλάκις καὶ μαργαρίτας· οὕτω δὴ καὶ οὗτος, σαγηνεύων ἀνθρώπους, ἡλίευσέ ποτε καὶ ἀγγέλους. καὶ τὸ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι μὴ εἰδώς. ὅπερ οὖν

Ἑβρ. ιγ. β. καὶ ὁ Παῦλος ἐκπληττόμενος παραινεῖ καὶ λέγει· Τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε. διὰ γὰρ ταύτης ἔλαθόν τινες ξενίσαντες ἀγγέλους. καὶ καλῶς εἶπεν, ἔλαθον. εἰ γὰρ εἰδὼς αὐτοὺς ὑπεδέξατο μετὰ τοσαύτης εὐνοίας, οὐδὲν μέγα καὶ θαυμαστὸν ἐποίησεν· ὁ δὲ πᾶς ἔπαινος, ὅτι ἀγνοῶν τίνες οἱ παριόντες ἦσαν, καὶ ἀνθρώπους αὐτοὺς εἶναι νομίζων ἁπλῶς ὁδίτας, μετὰ τοσαύτης αὐτοὺς ἔνδον ἐκάλεσε τῆς προθυμίας. καὶ σὺ τοίνυν, ἂν μέν τινα περιφανῆ καὶ λαμπρὸν ὑποδεξάμενος, πολλὴν ἐπιδείξῃ τὴν προθυμίαν, θαυμαστὸν οὐδὲν εἰργάσω. ἡ γὰρ ἀρετὴ τοῦ ξενισθέντος καὶ τὸν μισόξενον καταναγκάζει πολλάκις πᾶσαν εὔνοιαν ἐπιδείξασθαι· τὸ δὲ μέγιστον καὶ θαυμαστόν, ὅταν καὶ τοὺς τυχόντας, καὶ τοὺς ἀπερριμμένους, καὶ τοὺς εὐτελεῖς μετὰ πολλῆς δεχώμεθα τῆς εὐνοίας. διὰ τοῦτο καὶ ὁ Χριστὸς τοὺς τοιούτους οὕτως ὑποδεχομένους

Ματθ. κε. μ. ἔλεγεν· Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. καὶ πάλιν·

Ματθ. ιη. ιδ. καὶ ϛ. Οὕτως οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ πατρὸς ὑμῶν, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων. καὶ πάλιν, Ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων, συμφέρει αὐτῷ, ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ῥιφῇ ἐν τῇ θαλάσσῃ. καὶ πανταχοῦ πολὺς τῷ Χριστῷ τῶν μικρῶν καὶ ἐλαχίστων ὁ λόγος. ὅπερ οὖν καὶ ὁ Ἀβραὰμ εἰδώς, οὐκ ἐξήταζε τοὺς παριόντας τίνες εἶεν, καὶ πόθεν, καθάπερ ἡμεῖς νῦν· ἀλλ' ἁπλῶς τοὺς παριόντας ὑπεδέχετο πάντας. τὸν γὰρ φιλοφροσύνην ἐπιδεικνύμενον, οὐκ εὐθύνας ἀπαιτεῖν δεῖ βίου, ἀλλὰ μόνον πενίαν διορθοῦν, καὶ τὴν χρείαν πληροῦν. μίαν ἔχει συνηγορίαν ὁ πένης, τὴν ἔνδειαν καὶ τὸ καθεστάναι ἐν χρείᾳ· μηδὲν αὐτὸν λοιπὸν ἀπαίτει πλέον, ἀλλὰ κἂν ἁπάντων ᾖ πονηρότατος καὶ τῆς ἀναγκαίας ἀπορῇ τροφῆς, λύωμεν αὐτοῦ τὸν λιμόν. οὕτω καὶ ὁ Χριστὸς ἐκέ-

Ματθ. ε. με. λευσε ποιεῖν, λέγων· Γίνεσθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. λιμήν ἐστι τῶν ἐν ἀνάγκῃ ὁ ἐλεήμων. ὁ δὲ λιμὴν τοὺς ναυαγίῳ περιπεσόντας ἅπαντας ὑποδέχεται, καὶ λύει τῶν κινδύνων· κἂν πονηροί, κἂν χρηστοί, κἂν ὁποιοιοῦν ὦσιν οἱ κινδυνεύσαντες, εἴσω τῶν οἰκείων αὐτοὺς παραπέμπει κόλπων. καὶ σὺ τοίνυν ὁρῶν ἐπὶ τῆς γῆς τῷ τῆς πενίας ναυαγίῳ περιπεσόντα τὸν ἄνθρωπον, μὴ δίκαζε, μηδὲ εὐθύνας ἀπαίτει, ἀλλὰ λῦσον τὴν συμφοράν. τί σαυτῷ παρέχεις πράγματα; ἀπήλλαξέ σε περιεργίας ἁπάσης καὶ πολυπραγμοσύνης ὁ Θεός. πόσα ἔμελλον πολλοὶ λέγειν καὶ δυσχεραίνειν, εἰ προσέταξεν ὁ Θεὸς τὸν βίον μετὰ ἀκριβείας ἐξετάζειν, τὴν ἀναστροφήν, τὰ πεπραγμένα ἑκάστῳ περιεργάζεσθαι πρότερον, καὶ τότε ἐλεεῖν; νυνὶ δὲ πάσης τοιαύτης ἀπηλλάγμεθα δυσκολίας. τί οὖν περιττὰς ἐπισπώμεθα φροντίδας; ἕτερόν ἐστι δικαστής, ἕτερον ἐλεήμων. ἐλεημοσύνη τὸ διδόναι διὰ τοῦτο λέγομεν, ὅτι καὶ τοῖς ἀναξίοις διδόαμεν. τοῦτο καὶ Παῦλος παραι-

Γαλατ. ϛ. θ. νεῖ ποιεῖν, λέγων· Ὑμεῖς δὲ τὸ καλὸν ποιοῦντες μὴ ἐκκακῆτε, πρὸς πάντας μέν, μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως. ἂν τοὺς ἀναξίους περιεργαζώμεθα καὶ πολυπραγμονῶμεν, οὐδὲ ἄξιοί ποτε ῥᾳδίως ἐμπεσοῦνται ἡμῖν· ἂν δὲ καὶ τοῖς ἀναξίοις παρέχωμεν, πάντως καὶ οἱ ἄξιοι καὶ οἱ πάντων ἐκείνων ἀντάξιοι εἰς τὰς ἡμετέρας ἥξουσι χεῖρας· ὥσπερ οὖν καὶ ἐπὶ τοῦ μακαρίου γέροντος Ἀβραάμ, ὃς οὐ περιεργαζόμενος, οὐδὲ πολυπραγμονῶν τοὺς παριόντας, ἐδυνήθη καὶ ἀγγέλους ὑποδέξασθαί ποτε. τοῦτον καὶ ἡμεῖς ζηλώσωμεν, καὶ μετ' αὐτοῦ τὸν ἔγγονον τὸν ἐκείνου τὸν Ἰώβ. καὶ γὰρ καὶ οὗτος τὴν τοῦ προγόνου μεγαλοψυχίαν μετὰ πάσης ἐμιμήσατο τῆς ἀκριβείας, καὶ διὰ τοῦτο ἔλεγεν· Ἡ θύρα μου παντὶ ἐλθόντι ἀνέῳκτο· οὐχὶ (Ιωβ. λα. λϛ.) τῷ δεῖνι μὲν ἀνέῳκτο, ἑτέρῳ δὲ ἀπεκέκλειστο, ἀλλὰ πᾶσιν ἁπλῶς αὕτη. οὕτω καὶ ἡμεῖς ποιῶμεν, παρακαλῶ, μηδὲν ἀκριβολογούμενοι πέρα τοῦ δέοντος. ἀξία γὰρ τοῦ πένητος ἡ χρεία μόνον ἐστί· κἂν ὁστισοῦν μετὰ ταύτης ἔλθῃ πρὸς ἡμᾶς ποτε, μηδὲν περιεργαζώμεθα πλέον (οὐ γὰρ τῷ τρόπῳ παρέχομεν, ἀλλὰ τῷ ἀνθρώπῳ) οὐδὲ διὰ τὴν ἀρετὴν αὐτοῦ, ἀλλὰ διὰ τὴν συμφορὰν ἐλεῶμεν, ἵνα καὶ αὐτοὶ παρὰ τοῦ δεσπότου τὸν πολὺν ἔλεον ἐπισπασώμεθα, ἵνα καὶ αὐτοὶ, ἀνάξιοι ὄντες, φιλανθρωπίας ἐπιτύχωμεν. Εἰ γὰρ μέλλοιμεν τὴν ἀξίαν ἐπιζητεῖν ἐπὶ τῶν συνδούλων τῶν ἡμετέρων, καὶ ἀκριβολογεῖσθαι, τοῦτο καὶ ὁ Θεὸς ἐφ' ἡμῶν ἐργάσεται· καὶ ζητοῦντες τοὺς ὁμοδούλους ἀπαιτῆσαι εὐθύνας, αὐτοὶ τῆς ἄνωθεν ἐκπεσούμεθα φιλανθρωπίας. Ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε, φησίν. (Ματθ. ζ. β.)

Ἀλλ' ἐπὶ τὴν ὑπόθεσιν πάλιν τὸν λόγον ἐπαναγάγωμεν. ἰδὼν τοίνυν αὐτὸν ἐν τοῖς κόλποις τοῦ Ἀβραάμ, φησί· Πάτερ Ἀβραάμ, ἐλέησόν με, καὶ πέμψον Λάζαρον. (Λουκ. ις. κδ.) τίνος ἕνεκεν οὐχὶ πρὸς τὸν Λάζαρον τὸν λόγον ἀπέτεινεν; ἐμοὶ δοκεῖ ὅτι ᾐσχύνθη καὶ ἠρυθρίασε, καὶ ἐκ τῶν κατ' αὐτὸν πραγμάτων ἐνόμιζεν [αὐτὸν] μνησικακήσειν πάντως. Εἰ γὰρ ἐγώ, φησι, τοσαύτης ἀπολαύων εὐπορίας, καὶ οὐδὲν ἠδικημένος, ἐν τοσούτοις ὄντα κακοῖς ὑπερεῖδον τὸν ἄνθρωπον, καὶ οὐδὲ ψιχίων μετέδωκα, πολλῷ μᾶλλον αὐτὸς οὕτως ὑπεροφθεὶς οὐκ ἐπινεύσει τῇ χάριτι. Ταῦτα οὐχὶ τοῦ Λαζάρου κατηγοροῦντες λέγομεν (οὐ γὰρ δὴ οὕτως ἐκεῖνος διέκειτο· μὴ γένοιτο) ἀλλ' ὅτι οὗτος ταῦτα δεδοικὼς, οὐκ ἐκάλεσεν ἐκεῖνον, ἀλλὰ τὸν Ἀβραὰμ ἐφώνησεν, ὃν ἀγνοεῖν ᾤετο τὰ γεγενημένα· καὶ τὸν δάκτυλον ἐπεζήτησεν ἐκεῖνον, ὃν ταῖς γλώτταις τῶν κυνῶν ἀφῆκε περιλειχθῆναι πολλάκις. τί οὖν ἐκεῖνος; Τέκνον, (Λουκ. ις. κε.) ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου. ὅρα φιλοσοφίαν, ὅρα φιλοστοργίαν δικαίου. οὐκ εἶπεν, ἀπάνθρωπε καὶ ὠμὲ καὶ παμπόνηρε, τοσαῦτα [κακὰ] διαθεὶς τὸν ἄνθρωπον, φιλανθρωπίας μέμνησαι νῦν καὶ ἐλέου καὶ συγγνώμης; οὐκ ἐρυθριᾷς, οὐδὲ αἰσχύνῃ; ἀλλὰ τί; τέκνον, φησίν, ἀπέλαβες τὰ ἀγαθά σου. Ψυχὴν γὰρ κεκακωμένην μὴ προσταράξῃς, φησίν. ἀρκεῖ τὰ τῆς τιμωρίας αὐτῷ· μὴ προσεπεμβαίνωμεν αὐτοῦ ταῖς συμφοραῖς. ἄλλως δὲ, καὶ ἵνα μὴ νομίσῃ, ὅτι μνησικακῶν ὑπὲρ τῶν παρελθόντων, ἐκώλυσεν ἀπελθεῖν τὸν Λάζαρον, τέκνον αὐτὸν καλεῖ, μονονουχὶ ὑπὲρ ἑαυτοῦ διὰ τῆς προσηγορίας ἀπολογούμενος. οὐ κύριός εἰμι, σοί, φησι, μεταδίδωμι τὸ δὲ ἐντεῦθεν ἀπελθεῖν ἐκεῖ, οὐκ ἔστιν ἡμέτερον λοιπόν, ἀπέλαβες τὰ ἀγαθά σου. καὶ διὰ τί οὐκ εἶπεν, ἔλαβες, ἀλλὰ, ἀπέλαβες; πολὺ πέλαγος ἐντεῦθεν ἡμῖν νοημάτων ὁρῶ ἀνοιγόμενον. διὸ δὴ πάντα τὰ εἰρημένα μετὰ ἀκριβείας φυλάξαντες, τά τε νῦν, τά τε πρῴην λεχθέντα, μετὰ ἀσφαλείας ἁπάσης ἀποθώμεθα, καὶ πρὸς τὴν τῶν μελλόντων ῥηθήσεσθαι ἀκρόασιν ἐκ τῶν εἰρημένων ἐπιτηδειοτέρους ἑαυτοὺς κατασκευάσατε· καὶ εἰ μὲν δυνατὸν ὑμῖν γένοιτο, πάντα μοι μνημονεύετε· εἰ δὲ μὴ δύνασθε πάντα, ἀντὶ πάντων ἐκεῖνο, παρακαλῶ, μέμνησθε διηνεκῶς, ὅτι τὸ μὴ μεταδιδόναι πένησιν [ἐκ τῶν οἰκείων χρημάτων], ἁρπαγὴ πενήτων ἐστὶ καὶ ἀποστέρησις τῆς ἐκείνων ζωῆς· καὶ οὐ τὰ ἡμέτερα, ἀλλὰ τὰ ἐκείνων κατέχομεν. ἂν γὰρ οὕτως ὦμεν διακείμενοι, πάντως προησόμεθα τὰ χρήματα· καὶ πεινῶντα θρέψαντες τὸν Χριστὸν ἐνταῦθα, καὶ πολλὴν ἐκεῖ τὴν ἐμπορίαν ἀποθέμενοι, δυνησόμεθα τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ, τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, τιμή, κράτος, νῦν καὶ ἀεὶ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. λζ. ΕΙΣ ΤΟΝ ΛΑΖΑΡΟΝ ΛΟΓΟΣ ΤΡΙΤΟΣ· ΚΑΙ τίνος ἕνεκεν οὐκ εἶπεν, Ἔλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, ἀλλ', ἀπέλαβες· καὶ διατί οἱ μὲν δίκαιοι κινδύνοις πολλάκις περιπίπτουσιν, οἱ δὲ ἁμαρτωλοὶ τούτους διαφεύγουσιν.

Λουκ. ις. κε.

Οὐ τὰ τυχόντα ἡμᾶς ὤνησεν ἡ κατὰ τὸν Λάζαρον παραβολὴ, καὶ πλουσίους καὶ πένητας· τοὺς μὲν εὐκόλως φέρειν τὴν πενίαν παιδεύσασα, τοὺς δὲ οὐκ ἀφιεῖσα μέγα φρονεῖν ἐπὶ τῷ πλούτῳ· ἀλλὰ δι' αὐτῶν τῶν ἔργων διδάξασα, ὅτι πάντων ἐλεεινότερος ὁ τρυφῇ συζῶν, καὶ μηδενὶ τῶν ὄντων μεταδιδούς. Φέρε οὖν καὶ σήμερον τῆς αὐτῆς πάλιν ἁψώμεθα ὑποθέσεως· ἐπεὶ καὶ οἱ τὰ μέταλλα ἐργαζόμενοι, ἔνθα ἂν ἴδωσι πολλὰς τοῦ χρυσίου τὰς ἶνας, ἐκεῖ διασκάπτουσι πάλιν, καὶ οὐκ ἀφίστανται πρότερον, ἕως ἂν ἅπαν τὸ φαινόμενον ἐξαντλήσωσιν. ἐπανίωμεν τοίνυν, ἔνθα πρώην κατελίπομεν τὸν λόγον, ἵνα ἐκεῖθεν αὐτὸν ἀνελώμεθα. ἐνῆν μὲν γὰρ καὶ ἐν ἡμέρᾳ μιᾷ πᾶσαν ὑμῖν ταύτην ἐξαπλῶσαι τὴν παραβολήν· ἀλλ' οὐχ ὅπως πολλὰ εἰπόντες ἀπέλθωμεν, τοῦτο ἐσπουδάκαμεν, ἀλλ' ὅπως μετ' ἀκριβείας τὰ λεχθέντα δεξάμενοι καὶ κατασχόντες, λάβοιτέ τινα ἀπὸ τῆς φυλακῆς ταύτης αἴσθησιν ὠφελείας πνευματικῆς. καὶ γὰρ μήτηρ φιλόστοργος μέλλουσα ἐπὶ στερεὰν τὸ γαλακτοτροφούμενον παιδίον ἄγειν τροφὴν, ἂν μὲν ἀθρόον ἐγχέῃ τῷ στόματι τὸν ἄκρατον, οὐδὲν ὀνίνησιν, ἀποβλύζοντος τοῦ παιδίου τὸ διδόμενον, καὶ διαβρέχοντος περὶ τὰ στήθη τὸ χιτωνίσκιον· ἂν δὲ ἠρέμα καὶ κατὰ μικρὸν ἐγχέῃ, παραπέμπει τὸ δοθὲν ἀλύπως. ἵν' οὖν καὶ ὑμεῖς τὸ δοθὲν μὴ ἀποβλύσητε, οὐκ ἀθρόον ὑμῖν ἐπεκλίναμεν τὸ τῆς διδασκαλίας ποτήριον, ἀλλ' εἰς πολλὰς ὑμῖν αὐτὸ κατεκερματίσαμεν ἡμέρας, ἐν ταῖς μεταξὺ ταύταις ἡμέραις διαναπαύεσθαι παρασχόντες ὑμῖν ἐκ τοῦ τῆς ἀκροάσεως πόνου, ἵνα καὶ τὰ καταβληθέντα παγῇ μετὰ ἀσφαλείας ἐν τῇ διανοίᾳ τῆς ὑμετέρας ἀγάπης, καὶ τὰ ῥηθήσεσθαι μέλλοντα ἀνειμένῃ καὶ ἀκμαζούσῃ δέξησθε ψυχῇ. διὰ τοῦτο καὶ τὴν ὑπόθεσιν τῶν μελλόντων ῥηθήσεσθαι πολλάκις ὑμῖν προλέγομεν πρὸ πολλῶν ἡμερῶν, ἵνα ἐν ταῖς μεταξὺ ταύταις ἡμέραις τὸ βιβλίον λαβόντες, καὶ τὴν περικοπὴν ἅπασαν ἐπιόντες, καὶ καταμαθόντες τί μὲν εἴρηται, τί δὲ ὑπολέλειπται, εὐμαθεστέραν ὑμῶν ποιήσητε τὴν διάνοιαν πρὸς τὴν ἀκρόασιν τῶν μετὰ ταῦτα ῥηθησομένων. καὶ τοῦτο ἀεὶ παρακαλῶ, καὶ παρακαλῶν οὐ παύσομαι, ἵνα μὴ μόνον ἐνταῦθα τοῖς λεγομένοις προσέχητε, ἀλλὰ καὶ οἴκοι γινόμενοι, τῇ τῶν θείων γραφῶν ἀναγνώσει συνεχῶς ἐνδιατρίβητε. τοῦτο καὶ τοῖς ἰδίᾳ συγγινομένοις ἡμῖν οὐ διέλιπον ἀεὶ παρεγγυῶν. μὴ γάρ μοι λεγέτω τις τὰ ψυχρὰ ῥήματα ἐκεῖνα, καὶ πολλῆς καταγνώσεως ἄξια, ὅτι δικαστηρίῳ προσήλωμαι, τὰ τῆς πόλεως πράττω πράγματα, τέχνην μετέρχομαι, γυναῖκα ἔχω, παιδία τρέφω, οἰκίας προΐσταμαι, ἀνήρ εἰμι βιωτικός· οὐκ ἔστιν ἐμὸν γραφὰς ἀναγινώσκειν, ἀλλ' ἐκείνων τῶν ἀποταξαμένων, τῶν τὰς κορυφὰς τῶν ὀρέων κατειληφότων, τῶν τοῦτον τὸν βίον ἐχόντων διηνεκῶς. τί λέγεις, ἄνθρωπε; οὐκ ἔστι σὸν ἔργον γραφαῖς προσέχειν, ἐπειδὴ μυρίαις περιέλκῃ φροντίσι; σὸν μὲν οὖν μᾶλλόν ἐστιν, ἢ ἐκείνων. οὐ γὰρ οὕτως ἐκεῖνοι χρήζουσι τῆς ἀπὸ τῶν θείων γραφῶν βοηθείας, ὡς οἱ ἐν μέσῳ στρεφόμενοι πραγμάτων πολλῶν. οἱ μὲν γὰρ μοναχοὶ τῆς ἀγορᾶς καὶ τῶν ἐκ τῆς ἀγορᾶς ἀπαλλαγέντες θορύβων, καὶ τὰς καλύβας ἐν ἐρημίᾳ πηξάμενοι, καὶ πρὸς οὐδένα κοινὸν οὐδὲν ἔχοντες, ἀλλ' ἐμφιλοσοφοῦντες μετ' ἀδείας τῇ τῆς ἡσυχίας ἐκείνης γαλήνῃ, καθάπερ ἐν λιμένι καθήμενοι, πολλῆς τῆς ἀσφαλείας ἀπολαύουσιν· ἡμεῖς δὲ, οἱ καθάπερ ἐν μέσῳ πελάγει σαλεύοντες, καὶ μυρίων ἁμαρτημάτων ἀνάγκας ἔχοντες, συνεχῶς καὶ διηνεκοῦς ἀεὶ δεόμεθα τῆς ἀπὸ τῶν γραφῶν παρακλήσεως. ἐκεῖνοι πόῤῥω τῆς μάχης κάθηνται, διόπερ οὐδὲ πολλὰ δέχονται τραύματα· σὺ δὲ διηνεκῶς ἐπὶ τῆς παρατάξεως ἕστηκας, καὶ συνεχεῖς δέχῃ τὰς πληγάς. διὸ καὶ πλειόνων σοι δεῖ τῶν φαρμάκων. καὶ γὰρ ἡ γυνὴ παροξύνει, καὶ υἱὸς λυπεῖ, καὶ οἰκέτης εἰς ὀργὴν ἐμβάλλει, καὶ ἐχθρὸς ἐπιβουλεύει, καὶ φίλος βασκαίνει, καὶ γείτων ἐπηρεάζει, καὶ συστρατιώτης ὑποσκελίζει, πολλάκις καὶ δικαστὴς ἀπειλεῖ, καὶ πενία λυπεῖ, καὶ ἀποβολὴ τῶν οἰκείων πένθος ἐργάζεται, καὶ εὐημερία φυσᾷ, καὶ δυσπραγία συστέλλει· καὶ πολλαὶ μὲν ὀργῆς, πολλαὶ δὲ φροντίδων, πολλαὶ δὲ ἀθυμίας καὶ λύπης, πολλαὶ δὲ κενοδοξίας καὶ ἀπονοίας ἀφορμαὶ καὶ ἀνάγκαι πάντοθεν ἡμᾶς περιστοιχίζονται, καὶ μυρία πανταχόθεν τὰ βέλη φέρεται. διὸ τῆς ἀπὸ τῶν γραφῶν πανοπλίας χρεία διηνεκῶς. ἐπίγνωθι γάρ, φησιν, ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις, καὶ ἐπὶ ἐπάλξεων πόλεως περιπατεῖς. καὶ γὰρ αἱ τῆς σαρκὸς ἐπιθυμίαι χαλεπώτεραι τῶν ἐν μέσῳ στρεφομένων κατεξανίστανται. καὶ γὰρ καὶ ὄψις εὐπρεπὴς, καὶ σῶμα λαμπρὸν διὰ τῶν ὀφθαλμῶν ἔβαλε, καὶ ῥῆμα αἰσχρὸν διὰ τῆς ἀκοῆς εἰσελθὸν ἐθορύβησεν ἡμῶν τὸν λογισμὸν, πολλάκις δὲ καὶ μέλος κατακεκλασμένον τὸ τῆς ψυχῆς εὔτονον κατεμάλαξε. καὶ τί λέγω ταῦτα; τὸ γὰρ πάντων τούτων εὐτελέστατον εἶναι πολλάκις δοκοῦν, μύρων ὀσμὴ προσπεσοῦσα ποθεν παρὰ γυναικῶν ἑταιριζομένων ἐν τῇ παρόδῳ, λαβοῦσα ἀπῆλθεν αἰχμάλωτον ἀπὸ ψιλῆς τῆς συντυχίας. καὶ πολλὰ τοιαῦτά ἐστι τὰ πολιορκοῦντα ἡμετέραν ψυχήν· καὶ δεῖ τῶν θείων φαρμάκων ἡμῖν, ἵνα καὶ τὰ γινόμενα ἕλκη θεραπεύωμεν, καὶ τὰ μηδέπω μὲν γινόμενα, μέλλοντα δὲ γίνεσθαι, προαναστέλλωμεν, πόῤῥωθεν τοῦ διαβόλου τὰ βέλη κατασβεννύντες καὶ ἀποκρουόμενοι διὰ τῆς συνεχοῦς τῶν θείων γραφῶν ἀναγνώσεως. οὐ γάρ ἐστιν, οὐκ ἔστι τινὰ σωθῆναι μὴ συνεχῶς ἀναγνώσεως ἀπολαύοντα πνευματικῆς· ἀλλ' ὄντως ἀγαπητὸν, εἰ καὶ διηνεκεῖς ταύτης ἀπολαύοντες τῆς θεραπείας, δυνηθείημεν σωθῆναί ποτε. ὅταν δὲ καθ' ἑκάστην μὲν πληττώμεθα τὴν ἡμέραν, ἰατρείας δὲ μηδεμιᾶς ἀπολαύωμεν, ποία σωτηρίας ἐλπίς; οὐχ ὁρᾷς τοὺς χαλκοτύπους, τοὺς χρυσοχόους, τοὺς ἀργυροκόπους, τοὺς ὁποιανοῦν μετιόντας τέχνην, ἅπαντα τὰ τῆς τέχνης ἔχοντας ἀπηρτισμένα τὰ ἐργαλεῖα; κἂν λιμὸς ἀναγκάζῃ, κἂν πενία θλίβῃ, πάντα αἱρουμένους ὑπομεῖναι μᾶλλον, ἢ τῶν τῆς τέχνης ὀργάνων ἀποδόσθαι τι, καὶ διατραφῆναι; πολλοὶ γοῦν πολλάκις δανείσασθαι μᾶλλον εἵλοντο, [καὶ διαθρέψαι καὶ τὴν οἰκίαν καὶ τὰ παιδία], ἢ τῶν τῆς τέχνης ἐργαλείων κἂν τὸ μικρότατον ἀποδόσθαι· καὶ μάλα γε εἰκότως. ἴσασι γὰρ ὅτι, πραθέντων ἐκείνων, ἄχρηστα τὰ τῆς τέχνης αὐτοῖς ἅπαντα, καὶ ἡ τῆς εὐπορίας ὑπόθεσις ἀνῄρηται πᾶσα. ἐκείνων μὲν γὰρ μενόντων, δυνατὸν τὰ γινόμενα δανείσματα χρόνῳ ποτὲ διαλύσασθαι τῇ τέχνῃ συνεχῶς χρωμένους· εἰ δὲ φθάσαντες ἑτέροις αὐτὰ ἀποδοῖντο, οὐδεμίαν οὐκέτι παραμυθίαν τῇ πενίᾳ καὶ τῷ λιμῷ ποθεν ἐπινοῆσαι δυνήσονται. οὕτως οὖν καὶ ἡμᾶς διακεῖσθαι χρή. καθάπερ γὰρ ἐκείνοις ἐργαλεῖα τῆς τέχνης ἐστὶ σφῦρα καὶ ἄκμων καὶ πυράγρα· οὕτω δὴ καὶ ἡμῖν ἐργαλεῖα τῆς τέχνης ἐστὶν, ἀποστολικὰ καὶ προφητικὰ βιβλία, καὶ πᾶσα γραφὴ θεόπνευστος *. καὶ καθάπερ ἐκεῖνοι δι' ἐκείνων τὰ σκεύη πάντα, ἅπερ ἂν λάβωσι, διαπλάττουσιν· οὕτω δὴ καὶ ἡμεῖς διὰ τούτων τὴν ψυχὴν τὴν ἡμετέραν χαλκεύομεν, καὶ διεστραμμένην διορθοῦμεν, καὶ παλαιωθεῖσαν ἀνακαινίζομεν. κἀκεῖνοι μὲν μέχρι τῶν σχημάτων τὴν ἑαυτῶν ἐπιδείκνυνται τέχνην (οὐ γὰρ δὴ τὴν ὕλην τῶν σκευῶν μεταβαλεῖν δύναιντ' ἄν, οὐδὲ τὸν ἄργυρον ποιῆσαι χρυσὸν, ἀλλὰ τοὺς τύπους αὐτῶν μεταῤῥυθμίζουσι μόνον) σὺ δὲ οὐχ οὕτως· ἀλλ' ἔχεις τι πλέον [ἐκείνων], καὶ ξύλινον σκεῦος λαβὼν δυνήσῃ ποτὲ χρυσοῦν ποιῆσαι. καὶ τούτου μάρτυς ὁ Παῦλος, οὕτω λέγων· Ἐν μεγάλῃ δὲ οἰκίᾳ οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα. ἐὰν τις οὖν ἐκκαθάρῃ ἑαυτὸν ἐκ τούτων *, ἔσται σκεῦος εἰς τιμὴν

β. Τιμ. β. κ.

ἡγιασμένον, καὶ εὔχρηστον τῷ δεσπότῃ, εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον. μὴ τοίνυν ἀμελῶμεν τῆς κτήσεως τῶν βιβλίων, ἵνα μὴ περὶ τὰ καίρια δεξώμεθα τὴν πληγήν· μηδὲ χρυσίον κατορύττωμεν, ἀλλὰ βιβλία θησαυρίζωμεν ἑαυτοῖς πνευματικά. τὸ μὲν γὰρ χρυσίον, ὅταν γένηται πλέον, τότε μάλιστα ἐπιβουλεύει τοῖς κεκτημένοις· τὰ δὲ βιβλία ἀποκείμενα, πολλὴν παρέχει τοῖς ἔχουσι τὴν ὠφέλειαν. ὥσπερ γὰρ ἔνθα ἂν ᾖ ἀποκείμενα ὅπλα βασιλικά, κἂν μηδεὶς ᾖ ὁ κεχρημένος, πολλὴν παρέχει τοῖς ἔνδον οἰκοῦσι τὴν φυλακήν, οὔτε λῃστῶν, οὔτε τοιχωρύχων, οὔτε ἄλλου τινὸς τῶν κακούργων τολμῶντος ἐπιβῆναι τῆς οἰκίας· οὕτως ἔνθα ἂν ᾖ βιβλία πνευματικά, πᾶσα ἐκεῖθεν ἐλαύνεται ἐνέργεια διαβολική, καὶ πολλὴ τοῖς "ἐνοικοῦσιν ἀρετῆς παράκλησις γίνεται. καὶ αὐτὴ γὰρ καθ' ἑαυτὴν τῶν βιβλίων ἡ ὄψις ὀκνηροτέρους ἡμᾶς πρὸς τὴν ἁμαρτίαν ἐργάζεται. κἄν τι γὰρ τολμήσωμεν τι τῶν ἀπηγορευμένων, καὶ ἀκαθάρτους ἑαυτοὺς ἐργασώμεθα, ἐπανιόντες οἴκαδε, καὶ τὰ βιβλία ὁρῶντες," μᾶλλον ἡμῶν καταδικάζομεν τὸ συνειδός, καὶ πρὸς τὸ τοῖς αὐτοῖς περιπεσεῖν ὀκνηρότεροι γινόμεθα. ἄν τι πάλιν ἐν ἁγιωσύνῃ διατελῶμεν, πλείονα ἐκεῖθεν λαμβάνομεν τὴν "ὠφέλειαν. ἅμα γὰρ ἥψατό τις εὐαγγελίου, καὶ μετερρύθμισεν ἑαυτοῦ τὴν διάνοιαν εὐθέως, καὶ τῶν βιωτικῶν ἀπέστησε καὶ ἀπὸ τῆς "ὄψεως μόνης αὐτῆς. εἰ δὲ καὶ ἀνάγνωσις προσγένοιτο ἀκριβής, καθάπερ ἐν ἱεροῖς ἀδύτοις ἡ ψυχὴ τελουμένη, οὕτως ἐκκαθαίρεται καὶ βελτίων γίνεται, τοῦ Θεοῦ ὁμιλοῦντος αὐτῇ διὰ τῶν γραμμάτων ἐκείνων. τί οὖν ἂν μὴ εἰδῶμεν τὰ ἐγκείμενα, φησί; μάλιστα μὲν κἂν μὴ εἰδῇς τὰ ἐγκείμενα, ἀπ' αὐτῆς τῆς ἀναγνώσεως πολὺς ὁ ἁγιασμὸς γίνεται· ἄλλως δέ, ἀδύνατον πάντα ἐπίσης ἀγνοεῖν. διὰ γὰρ τοῦτο ἡ τοῦ πνεύματος ᾠκονόμησε χάρις τελώνας καὶ ἁλιέας καὶ σκηνοποιοὺς καὶ ποιμένας καὶ "αἰπόλους καὶ ἰδιώτας καὶ ἀγραμμάτους ταῦτα συνθεῖναι τὰ βιβλία, ἵνα μηδεὶς τῶν ἰδιωτῶν εἰς ταύτην ἔχῃ καταφεύγειν τὴν πρόφασιν, ἵνα πᾶσιν εὐσύνοπτα ᾖ τὰ λεγόμενα· ἵνα καὶ ὁ χειροτέχνης, καὶ οἰκέτης, καὶ ἡ χήρα γυνή, καὶ ὁ πάντων ἀνθρώπων ἀμαθέστατος, κερδάνῃ τι καὶ ὠφεληθῇ παρὰ τῆς ἀκροάσεως. οὐ γὰρ πρὸς κενοδοξίαν, καθάπερ οἱ ἔξωθεν, ἀλλὰ πρὸς τὴν σωτηρίαν τῶν ἀκουόντων ταῦτα πάντα συνέθηκαν οἱ παρὰ τὴν ἀρχὴν καταξιωθέντες τῆς τοῦ πνεύματος χάριτος." οἱ μὲν γὰρ ἔξωθεν φιλόσοφοι, καὶ ῥήτορες, καὶ συγγραφεῖς οὐ τὸ κοινῇ συμφέρον ζητοῦντες, ἀλλ' ὅπως αὐτοὶ θαυμασθεῖεν μόνον σκοποῦντες, εἴ τι καὶ χρήσιμον εἶπον, καὶ τοῦτο καθάπερ ἐν ζόφῳ τινί*," τῇ τῆς συνηθείας ἀσαφείᾳ κατέκρυψαν. οἱ δὲ ἀπόστολοι καὶ οἱ προφῆται τοὐναντίον ἅπαν ἐποίησαν. σαφῆ γὰρ καὶ δῆλα τὰ παρ' ἑαυτῶν κατέστησαν ἅπασιν, ἅτε κοινοὶ τῆς οἰκουμένης ὄντες διδάσκαλοι, ἵνα ἕκαστος καὶ δι' ἑαυτοῦ μανθάνειν δύνηται ἐκ τῆς ἀναγνώσεως μόνης τὰ λεγόμενα. καὶ τοῦτο προαναφωνῶν ὁ προφήτης ἔλεγεν· Ἔσονται πάντες διδακτοὶ Θεοῦ· καὶ οὐ μὴ εἴπῃ ἕκαστος τῷ πλησίον αὐτοῦ, γνῶθι τὸν Κύριον, ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ* ἕως μεγάλου αὐτῶν. καὶ ὁ Παῦλός φησι· Κἀγώ, ἀδελφοί, ἦλθον πρὸς ὑμᾶς, οὐ καθ' ὑπεροχὴν λόγου, ἢ σοφίας, καταγγέλλων ὑμῖν τὸ" μυστήριον τοῦ Θεοῦ. καὶ πάλιν· Ὁ λόγος μου καὶ τὸ κήρυγμά μου, οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως. καὶ πάλιν· Λαλοῦμεν γὰρ σοφίαν, φησίν, οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων. τίνι γὰρ οὐκ ἔστι δῆλα τὰ "τῶν εὐαγγελίων ἅπαντα; τίς δὲ ἀκούων, ὅτι μακάριοι οἱ πρᾳεῖς, μακάριοι οἱ ἐλεήμονες, μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, καὶ ὅσα τοιαῦτα, διδασκάλου δεήσεται," ὥστε τι μαθεῖν τῶν λεγομένων; ἀλλὰ τὰ τῶν σημείων καὶ θαυμάτων καὶ ἱστοριῶν οὐχὶ καὶ τῷ τυχόντι γνώριμα καὶ σαφῆ; σκῆψις ταῦτα καὶ πρόφασις καὶ ῥᾳθυμίας παρακαλύμματα. οὐ νοεῖς τὰ ἐγκείμενα; πῶς γὰρ δυνήσῃ νοῆσαί ποτε, μηδὲ ἁπλῶς ἐγκύψαι βουλόμενος; λάβε μετὰ χεῖρας τὸ βιβλίον· ἀνάγνωθι τὴν ἱστορίαν ἅπασαν· καὶ τὰ γνώριμα κατασχών, τὰ ἄδηλα καὶ τὰ ἀσαφῆ πολλάκις ἔπελθε. κἂν μὴ δυνηθῇς τῇ συνεχείᾳ τῆς ἀναγνώσεως

Ιερ. λα.

α. Κορ. β. α.

δ.

α. Κορ. β. ς.

Ματθ. ε.

ναγνώσεως εὕρῃς τὸ λεγόμενον, βάδιζε πρὸς τὸν σοφώτερον, ἐλθὲ πρὸς τὸν διδάσκαλον, ἀνακοίνωσαι περὶ τῶν εἰρημένων, πολλὴν ἐπίδειξαι τὴν σπουδήν. κἂν ἴδῃ σε ὁ Θεὸς τοσαύτῃ κεχρημένον τῇ προθυμίᾳ, οὐ περιόψεταί σου τὴν ἀγρυπνίαν καὶ τὴν φροντίδα· ἀλλὰ κἂν ἄνθρωπος μὴ διδάξῃ τὸ ζητούμενον, αὐτὸς ἀποκαλύψει πάντως. ἀναμνήσθητι τοῦ εὐνούχου τῆς βασιλίδος Αἰθιόπων, ὃς ἄνθρωπος βάρβαρος ὢν, καὶ μυρίαις συνεχόμενος φροντίσι, καὶ πάντοθεν πολλοῖς περικυκλούμενος πράγμασιν, οὐκ εἰδὼς ἅπερ ἀνεγίνωσκεν, ὅμως ἀνεγίνωσκεν ἐπὶ τοῦ ὀχήματος καθήμενος. εἰ δὲ ἐν ὁδῷ τοσαύτην σπουδὴν ἐπεδείκνυτο, ἐννόησον τίς ἦν οἴκοι διατρίβων. εἰ τὸν καιρὸν τῆς ὁδοιπορίας οὐκ ἠνείχετο χωρὶς ἀναγνώσεως μένειν, πολλῷ μᾶλλον ἐν τῇ οἰκίᾳ καθήμενος· εἰ μηδὲν εἰδὼς ὧν ἀνεγίνωσκεν, οὐκ ἀφίστατο τῆς ἀναγνώσεως, πολλῷ μᾶλλον μετὰ τὸ μαθεῖν. ὅτι γὰρ ἅπερ ἀνεγίνωσκεν οὐκ ᾔδει, ἄκουσον τί φησιν αὐτῷ ὁ Φίλιππος· Ἆρά γε γινώσκεις ἃ ἀναγινώσκεις; κἀκεῖνος ταῦτα ἀκούσας οὐκ ἠρυθρίασεν, οὐδὲ ᾐσχύνθη, ἀλλ' ὡμολόγησε τὴν ἄγνοιαν, καί φησι· πῶς γὰρ ἂν δυναίμην, ἐὰν μή τις ὁδηγήσῃ με; ἐπεὶ οὖν οὐδέπω τὸν ὁδηγοῦντα ἔχων, οὕτως ἀνεγίνωσκε, διὰ τοῦτο ταχέως ἐπελάβετο τοῦ χειραγωγοῦντος. εἶδεν αὐτοῦ τὴν προθυμίαν ὁ Θεός, ἀπεδέξατο τὴν σπουδήν, καὶ ἔπεμψεν αὐτῷ διδάσκαλον εὐθέως. ἀλλ' οὐ πάρεστιν ὁ Φίλιππος νῦν· ἀλλὰ τὸ πνεῦμα τὸ κινῆσαν τὸν Φίλιππον πάρεστι. μὴ καταφρονῶμεν τῆς σωτηρίας ἡμῶν, ἀγαπητοί. Ταῦτα πάντα ἐγράφη δι' ἡμᾶς, πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε. μεγάλη ἀσφάλεια πρὸς τὸ μὴ ἁμαρτάνειν, τῶν γραφῶν ἡ ἀνάγνωσις· μέγας κρημνὸς καὶ βάραθρον βαθὺ, τῶν γραφῶν ἡ ἄγνοια· μεγάλη προδοσία σωτηρίας, τὸ μηδὲν ἀπὸ τῶν θείων εἰδέναι νόμων. τοῦτο καὶ αἱρέσεις ἔτεκε, τοῦτο καὶ βίον διεφθαρμένον εἰσήγαγε, τοῦτο τὰ ἄνω κάτω πεποίηκεν. ἀμήχανον γὰρ, ἀμήχανον ἄκαρπον ἀναχωρῆσαί τινα συνεχῶς ἀναγνώσεως ἀπολαύοντα μετὰ ἐπιστασίας.

Πραξ. η. λ.

α. Κορ. ι. ια.

Ἰδοὺ γοῦν μία παραβολὴ πόσα ἡμᾶς ὠφέλησε; πῶς ἡμῶν βελτίω τὴν ψυχὴν εἰργάσατο; πολλοὶ μὲν γὰρ, εὖ οἶδ', ὅτι διαρκῆ τὴν ὠφέλειαν ἐκ τῆς ἀκροάσεως λαβόντες ἀπῆλθον. εἰ δέ εἰσί τινες, οἳ μὴ τοσοῦτον ἐκαρπώσαντο, ἀλλ' ὅμως τὴν γοῦν ἡμέραν αὐτὴν, καθ' ἣν ἤκουσαν, βελτίους ἐγένοντο πάντως. οὐ μικρὸν δὲ καὶ τὸ ἡμέραν μίαν ἐν ἁμαρτημάτων κατανύξει διαγαγεῖν, καὶ διαβλέψαι πρὸς τὴν ἄνω φιλοσοφίαν, καὶ παρασχεῖν τῇ ψυχῇ μικρὸν γοῦν ἀπὸ τῶν βιωτικῶν ἀναπνεῦσαι φροντίδων. ἂν δὲ καθ' ἑκάστην τοῦτο ποιῶμεν σύναξιν, καὶ μὴ διαλιμπάνωμεν, ἡ συνέχεια τῆς ἀκροάσεως ἐργάσεταί τι μέγα καὶ γενναῖον ἐν ἡμῖν ἀγαθόν. Φέρε οὖν καὶ τὰ ἑξῆς πάλιν ἀποδῶμεν ὑμῖν τῆς παραβολῆς. τίνα δέ ἐστι τὰ ἑξῆς; εἰπόντος τοῦ πλουσίου, Πέμψον Λάζαρον, ἵνα ἐπιστάξῃ τῷ ἄκρῳ τοῦ δακτύλου αὐτοῦ, καὶ καταψύξῃ μου τὴν γλῶτταν, ἀκούσωμεν τί φησιν Ἀβραάμ. Τέκνον, μνήσθητι, ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος τὰ κακά· καὶ νῦν οὗτος παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. καὶ ἐπὶ πᾶσι δὲ τούτοις, χάσμα μέγα μεταξὺ ἡμῶν τε καὶ ὑμῶν ἐστήρικται, ὅπως οἱ θέλοντες ἔνθεν διαβῆναι πρὸς ἡμᾶς, μὴ δύνωνται, μήτε οἱ ἐντεῦθεν, ἐκεῖ διαπερῶσι. Φορτικὰ τὰ εἰρημένα, καὶ πολλὴν ἡμῶν κατέχεε τὴν ὀδύνην· οἶδα κἀγώ· ἀλλ' ὅσον δάκνει τὸ συνειδὸς, τοσοῦτον καὶ ὠφελεῖ τὴν διάνοιαν τῶν δακνομένων. εἰ μὲν γὰρ ἐκεῖ ταῦτα ἐλέγετο ἡμῖν, καθάπερ τῷ πλουσίῳ, ὄντως θρηνεῖν ἔδει, καὶ ὀδύρεσθαι, καὶ πενθεῖν, ὅτι μετανοίας καιρὸς οὐκ ἔτι ἡμῖν ὑπολέλειπτο. ὅταν δὲ ἐνταῦθα ὄντες ταῦτα ἀκούωμεν, ὅπου καὶ ἀνανῆψαι δυνατὸν, καὶ τὰ ἡμαρτημένα ἀπονίψασθαι, καὶ πολλὴν κτήσασθαι τὴν παρρησίαν, καὶ ἐκ τῶν ἑτέροις συμβάντων κακῶν φοβηθέντας μεταβαλέσθαι, εὐχαριστῶμεν τῷ φιλανθρώπῳ Θεῷ, τῷ διὰ τῆς ἑτέρων κολάσεως τὴν ἡμετέραν διεγείροντι νωθείαν, καὶ ἀφυπνίζοντι καθεύδοντας ἡμᾶς. διὰ γὰρ τοῦτο

Λουκ. ις. κδ. κε.

ταῦτα προείρηται, ἵνα μὴ ταῦτα πάθωμεν. Εἰ γὰρ ἐβούλετο κολάσαι, οὐκ ἂν ταῦτα προεῖπεν. ἐπειδὴ δὲ οὐ βούλεται ἐμβαλεῖν εἰς τιμωρίαν, διὰ τοῦτο προλέγει τὴν τιμωρίαν, ἵνα τῇ προρρήσει σωφρονισθέντες, τὴν διὰ τῶν πραγμάτων ἐκφύγωμεν πεῖραν. ἀλλὰ τίνος ἕνεκεν οὐκ εἶπεν, ἔλαβες τὰ ἀγαθά σου, ἀλλ', ἀπέλαβες; μέμνησθε γὰρ, εὖ οἶδ', ὅτι ἐντεῦθεν ἔφην πέλαγος ἀχανὲς καὶ μέγα νοημάτων ἡμῖν ἀνοίγεσθαι. τὸ γὰρ, ἀπέλαβες, ὀφειλήν τινα ἐνδεικνυμένου καὶ δηλοῦντός ἐστιν. ἀπολαμβάνει γάρ τις τὰ ὀφειλόμενα. εἰ τοίνυν μιαρὸς καὶ παμμίαρος, καὶ ὠμὸς, καὶ ἀπάνθρωπος ἐκεῖνος ὁ πλούσιος ἦν, τίνος ἕνεκεν οὐκ εἶπεν αὐτῷ, ἔλαβες τὰ ἀγαθά σου, ἀλλ', ἀπέλαβες, ὡς χρεωστούμενα καὶ ὀφειλόμενα; τί οὖν ἐντεῦθεν μανθάνομεν; ὅτι κἂν μιαροί τινες ὦσι, καὶ εἰς ἔσχατον κακίας ἐληλακότες, πολλάκις ἕν τι καὶ δύο καὶ τρία εἰργάσαντο ἀγαθά. καὶ ὅτι οὐ στοχαζόμενος ταῦτα νῦν λέγω, δῆλον ἐντεῦθεν. τί γὰρ τοῦ κριτοῦ τῆς ἀδικίας ἐκείνου μιαρώτερον γέγονε; τί δὲ ἀπανθρωπότερον; τί δὲ ἀσεβέστερον; ἐκεῖνος οὔτε τὸν Θεὸν ἐφοβεῖτο, οὔτε ἀνθρώπους ᾐσχύνετο· ἀλλ' ὅμως τοσαύτῃ πονηρίᾳ συζῶν, εἰργάσατό τι καλὸν, τὴν συνεχῶς ἐνοχλοῦσαν αὐτῷ ἐλεήσας χήραν, καὶ ἐπινεύσας τῇ χάριτι, καὶ δοὺς τὴν αἴτησιν, καὶ ἐπεξελθὼν τοῖς ἀδικοῦσιν αὐτήν. οὕτω συμβαίνει τινὰ ἀκόλαστον μὲν εἶναι, ἐλεήμονα δὲ πολλάκις· ἢ ἀπάνθρωπον μὲν, σώφρονα δέ. εἰ δὲ καὶ ἀκόλαστος καὶ ὠμὸς εἴη, ἀλλ' ὅμως ἕν τι κατὰ τὸν βίον πολλάκις ἔπραξεν ἀγαθόν. τὸ αὐτὸ δὴ πάλιν καὶ ἐπὶ τῶν χρηστῶν ὑποπτεύειν χρή. καθάπερ γὰρ οἱ φαυλότατοι ἐργάζονταί τι πολλάκις χρηστὸν, οὕτω καὶ οἱ σπουδαῖοι καὶ ἐνάρετοι διαμαρτάνουσί τι πολλάκις. τίς γὰρ καυχήσεται, φησὶν, ἁγνὴν ἔχειν τὴν καρδίαν, ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτίας; ἐπεὶ οὖν εἰκὸς ἦν καὶ τὸν πλούσιον, εἰ καὶ πρὸς ἔσχατον ἐληλάκει πονηρίας, ἐργάσασθαί τι ἀγαθὸν, καὶ τὸν Λάζαρον, εἰ καὶ πρὸς ἄκρον ἀφίκετο ἀρετῆς, ἡμαρτηκέναι τι μικρὸν, ὅρα πῶς ἀμφότερα ταῦτα ᾐνίξατο ὁ πατριάρχης, εἰπών· ὅτι καὶ σὺ ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά. ὃ δὲ λέγει τοῦτό ἐστιν· εἴ τι καὶ σὺ ἀγαθὸν εἰργάσω, καὶ ὠφείλετό σοι τούτου ὁ μισθὸς, πάντα ταῦτα ἐν ἐκείνῳ τῷ κόσμῳ ἀπέλαβες, τρυφῶν, πλουτῶν, εὐημερίας ἀπολαύων καὶ εὐπραγίας πολλῆς. καὶ ἐκεῖνος εἴ τι κακὸν εἰργάσατο, πάντα ἀπέλαβεν ἐν πενίᾳ καὶ λιμῷ καὶ τοῖς ἐσχάτοις ταλαιπωρούμενος κακοῖς· καὶ γυμνὸς ἑκάτερος ὑμῶν ἐνταῦθα ἀφῖκται, ἐκεῖνος μὲν ἁμαρτημάτων, σὺ δὲ δικαιοσύνης κατορθωμάτων. διὰ τοῦτο καὶ ἐκεῖνος καθαρὰν ἔχει τὴν παράκλησιν, καὶ σὺ ἀπαραμύθητον ὑπομένεις τὴν τιμωρίαν. ὅταν γὰρ μικρὰ καὶ εὐτελῆ τὰ κατορθώματα ἡμῶν ᾖ, καὶ πολὺς καὶ ἄφατος ὁ τῶν ἁμαρτημάτων ὄγκος, εἶτα ἐνταῦθα εὐπραγίας ἀπολαύσωμεν, καὶ μηδὲν πάθωμεν δεινὸν, καὶ αὐτῆς τῶν ἀγαθῶν τῆς ἀμοιβῆς ἔρημοι καὶ γυμνοὶ πάντως ἀπελευσόμεθα, πάντων ἐνταῦθα ἀπολαβόντες· ὥσπερ οὖν ὅταν μεγάλα μὲν ᾖ τὰ κατορθώματα καὶ πολλὰ, μικρὰ δὲ καὶ εὐτελῆ τὰ ἁμαρτήματα, εἶτα πάθωμέν τι δεινὸν, καὶ αὐτὰ τὰ μικρὰ ἐνταῦθα ἀποθέμενοι, καθαρὰν καὶ ἀπηρτισμένην ἐκεῖ τὴν τῶν ἀγαθῶν ἔργων ἀπολαμβάνομεν ἀντίδοσιν. ὅταν οὖν ἴδῃς τινὰ ζῶντα μὲν ἐν πονηρίᾳ, μηδὲν δὲ ἐνταῦθα πάσχοντα δεινὸν· μὴ μακαρίσῃς, ἀλλὰ δάκρυσον καὶ θρήνησον, ὡς πάντα ἐκεῖ τὰ δεινὰ ὑποστησόμενον· καθάπερ οὖν καὶ ὁ πλούσιος ἐκεῖνος. πάλιν ὅταν ἴδῃς τινὰ ἀρετῆς ἐπιμελούμενον, καὶ μυρίοις ὑπομένοντα πειρασμοῖς· μακάρισον, ζήλωσον, ὡς καὶ τῶν ἁμαρτημάτων αὐτῷ πάντων ἐνταῦθα διαλυομένων, καὶ πολλῶν τῆς ὑπομονῆς ἑτοιμαζομένων ἐκεῖ τῶν μισθῶν· ὥσπερ οὖν καὶ ἐπὶ τοῦ Λαζάρου τούτου γέγονε. τῶν γὰρ ἀνθρώπων οἱ μὲν ἐνταῦθα τιμωροῦνται μόνον, οἱ δὲ ἐνταῦθα μὲν οὐδὲν πάσχουσι δεινὸν, πᾶσαν δὲ ἐκεῖ τὴν τιμωρίαν ἀπολαμβάνουσιν· οἱ δὲ καὶ ἐνταῦθα * καὶ ἐκεῖ κολάζονται. τίνας οὖν ἐκ τῶν τριῶν μακαρίζετε τούτων; προτέρους μὲν, εὖ οἶδ', ὅτι τοὺς ἐνταῦθα κολαζομένους καὶ ἀποτιθεμένους τὰ ἁμαρτήματα. δευτέρους δὲ μετ' ἐκείνους τίνας; ὑμεῖς μὲν ἴσως τοὺς οὐδὲν ἐνταῦθα πάσχοντας, ἀλλ' ἐκεῖ πᾶσαν ὑπομένοντας τὴν τιμωρίαν·

Λουκ. ιη.

ἐγὼ δὲ οὐ τούτους, ἀλλὰ τοὺς καὶ ἐνταῦθα καὶ ἐκεῖ κολαζομένους. ὁ μὲν γὰρ ἐνταῦθα τιμωρίαν δοὺς, κουφοτέρας αἰσθήσεται τῆς ἐκεῖ κολάσεως· ὁ δὲ πάσας ἀναγκαζόμενος ἐκεῖ τὴν κόλασιν ὑπομένειν, ἀπαραίτητον ἕξει τὴν δίκην· καθάπερ καὶ οὗτος ὁ πλούσιος ἐνταῦθα μηδὲν διαλυσάμενος τῶν οἰκείων ἁμαρτημάτων, οὕτω χαλεπῶς ἐκολάζετο, ὡς μηδὲ σταγόνος μικρᾶς δυνηθῆναι ἐπιτυχεῖν. καὶ τούτων δὲ αὐτῶν τῶν ἁμαρτανόντων μὲν, μηδὲν δὲ ἐνταῦθα παθόντων δεινὸν, πολλῷ μᾶλλον ἐκείνους ταλανίζω τοὺς μετὰ τοῦ μὴ τιμωρεῖσθαι ἐνταῦθα καὶ τρυφῆς καὶ ἀδείας ἀπολαύοντας. ὥσπερ γὰρ τὸ μὴ δοῦναι δίκην ἐνταῦθα τῶν ἁμαρτημάτων, χαλεπωτέραν ἐκεῖ ποιεῖ τὴν τιμωρίαν· οὕτω δὴ τὸ πολλῆς ἀδείας ἀπολαύειν τοὺς ἁμαρτάνοντας καὶ τρυφῆς καὶ εὐπορίας, ἐφόδιον αὐτοῖς καὶ ὑπόθεσις κολάσεως καὶ τιμωρίας ἐκεῖ γίνεται μείζονος. ὅταν γὰρ ἁμαρτάνοντες τιμωρώμεθα ὑπὸ τοῦ Θεοῦ, αὐτὸ τοῦτο ἡμᾶς μάλιστα εἰς τὸ πῦρ μειζόνως ἐμβαλεῖν δυνήσεται. εἰ γὰρ μακροθυμίας τις ἀπολαύων μόνον, ἂν εἰς δέον αὐτῇ μὴ χρήσηται, χαλεπωτέραν ἕξει τὴν τιμωρίαν· ὅταν μετὰ τῆς μακροθυμίας καὶ τιμὰς ἔχῃ μεγίστας, εἶτα ἐπιμένῃ τῇ πονηρίᾳ, τίς αὐτὸν ἐξελεῖται τῆς κολάσεως ἐκείνης; ὅτι γὰρ οἱ μακροθυμίας ἐνταῦθα ἀπολαύοντες συνάγουσιν ἑαυτοῖς ὁλόκληρον ἐκεῖ τὸ κακὸν, ἐὰν μὴ μετανοήσωσιν, ἄκουσον τί φησιν ὁ Παῦλος· Λογίζῃ δὲ τοῦτο, ὦ ἄνθρωπε, ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας, καὶ ποιῶν αὐτὰ, ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ Θεοῦ; ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ, καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν, ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει; κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ Θεοῦ. ὅταν οὖν ἴδωμεν [τινας] πλουτοῦντας, τρυφῶντας, μύρων ὄζοντας, ἐν μέθῃ διημερεύοντας, ἐν δυναστείᾳ ὄντας καὶ δόξῃ πολλῇ καὶ πολλῇ τῇ φαντασίᾳ καὶ περιφανείᾳ, καὶ ἁμαρτάνοντας, καὶ μηδὲν πάσχοντας δεινόν· δι' αὐτὸ τοῦτο αὐτοὺς μάλιστα δακρύωμεν καὶ θρηνῶμεν, ὅτι ἁμαρτάνοντες οὐ κολάζονται. ὥσπερ γὰρ εἴ τινα εἴδες ὑδέρῳ ἢ σπληνὶ κατεχόμενον, ἢ σηπεδόνα τινὰ ἔχοντα καὶ ἕλκη μυρία πανταχόθεν· εἶτα ἐπὶ πᾶσι τούτοις μεθύοντα, τρυφῶντα, καὶ τὸ νόσημα ἐπιτείνοντα· οὐ μόνον οὐ θαυμάζεις, οὐδὲ μακαρίζεις διὰ τὴν τρυφὴν, ἀλλὰ δι' αὐτὸ τοῦτο μάλιστα ταλανίζεις αὐτόν· οὕτω καὶ ἐπὶ τῆς ψυχῆς λογίζου. ὅταν ἴδῃς ἄνθρωπον πονηρίᾳ συζῶντα, καὶ πολλῆς ἀπολαύοντα τῆς εὐημερίας, καὶ οὐδὲν πάσχοντα δεινὸν, διὰ τοῦτο μᾶλλον θρήνησον, ὅτι νοσήματι κατεχόμενος καὶ σηπεδόνι χαλεπωτάτῃ, τὴν ἀρρωστίαν ἐπιτείνει, διὰ τῆς τρυφῆς καὶ τῆς ἀδείας χείρων γινόμενος. οὐ γὰρ ἡ κόλασις κακὸν, ἀλλ' ἡ ἁμαρτία κακόν. αὕτη μὲν γὰρ τοῦ Θεοῦ ἀφίστησιν, ἐκείνη δὲ συνάγει ἡμᾶς πρὸς τὸν Θεὸν, καὶ καταλύει τὴν ὀργήν. πόθεν τοῦτο δῆλον; ἄκουσον τοῦ προφήτου λέγοντος· Παρακαλεῖτε, παρακαλεῖτε τὸν λαόν μου ἱερεῖς, λαλήσατε ἐπὶ τὴν καρδίαν Ἱερουσαλὴμ, ὅτι ἐδέξατο ἐκ χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς. καὶ πάλιν, Κύριος ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν· πάντα γὰρ ἀπέδωκας ἡμῖν. καὶ ἵνα μάθητε, ὅτι οἱ μὲν ἐνταῦθα, οἱ δὲ ἐκεῖ κολάζονται, οἱ δὲ καὶ ἐνταῦθα καὶ ἐκεῖ, ἀκούσατε τί φησιν ὁ Παῦλος κατηγορῶν τῶν ἀναξίως κοινωνούντων τοῖς μυστηρίοις. εἰπὼν γὰρ, ὅτι Ὁ ἐσθίων καὶ πίνων τὸ σῶμα καὶ αἷμα ἀναξίως τοῦ Κυρίου, ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ, ἐπήγαγεν εὐθέως· Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί. εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· νῦν δὲ κρινόμενοι ὑπὸ τοῦ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. ὁρᾷς πῶς ἡ ἐνταῦθα κόλασις ἐξαρπάζει τῆς ἐκεῖ τιμωρίας ἡμᾶς; καὶ περὶ τοῦ πεπορνευκότος δέ φησι· Παράδοτε τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ ἀπὸ τοῦ Λαζάρου δὲ τοῦτο δῆλον, ὅτι εἴ τι κακὸν ἐποίησεν, ἐνταῦθα τοῦτο ἀπονιψάμενος, οὕτως ἀπῆλθεν ἐκεῖ καθαρός. καὶ ἀπὸ τοῦ παραλελυμένου δὲ τοῦτο

Ρωμ. β. γ.

Ησ. μ. α. β.

Ησ. κϛ. ιϛ.

α. Κορ. ια. κζ. κη. κθ.

α. Κορ. ε. ε.

Ιωαν. ε.

ἔστι

ἐστι δῆλον, ὃς τριάκοντα καὶ ὀκτὼ ἔτη εἶχεν ἐν τῇ ἀσθενείᾳ, ἵνα διὰ τοῦ μήκους τῆς ἀρρωστίας καὶ τὰ ἁμαρτήματα ἀπέθετο. ὅτι δὲ ἐξ ἁμαρτημάτων οὕτω διέκειτο, ἄκουσον τί φησιν ὁ Χριστός· Ἰωαν. ε. ιδ. Ἴδε, ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται.

Ὅτι μὲν οὖν τινες ἐνταῦθα κολάζονται, καὶ τὰ ἁμαρτήματα ἀποτίθενται, δῆλον ἐκ τούτων· ὅτι δέ τινες καὶ ἐνταῦθα καὶ ἐκεῖ κολάζονται, ὅταν μὴ τὴν ἀξίαν τοῦ μεγέθους τῶν ἁμαρτημάτων ἐνταῦθα ἀπολάβωσι τιμωρίαν, ἄκουσον περὶ τῶν Σοδομιτῶν τί φησιν ὁ Χριστός. Λουκ. θ. ε. Εἰπὼν γάρ, ὅτι Ὃς ἂν μὴ δέξηται ὑμᾶς, ἀποτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν, ἐπήγαγε λέγων· Ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρας ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ. τῷ γὰρ εἰπεῖν, ἀνεκτότερον, τοῦτο ἐδήλωσεν, ὅτι κἀκεῖνοι κολασθήσονται μέν, κουφότερον δὲ ἐπειδὴ καὶ ἐνταῦθα ἔδωκαν δίκην. ὅτι δὲ εἰσί τινες οἳ ἐνταῦθα μὲν οὐδὲν παθόντες δεινόν, ἐκεῖ δὲ πᾶσαν ὑπομένοντες τιμωρίαν, ἐδήλωσεν ἡμῖν ὁ πλούσιος οὗτος, ἀπαραίτητον ἐκεῖ κόλασιν ὑπομένων, καὶ μηδὲ μικρᾶς ἀπολαύων παραμυθίας, διὰ τὸ πᾶσαν ἐκεῖ τηρηθῆναι αὐτῷ τὴν τιμωρίαν. ὥσπερ οὖν ἐπὶ τῶν ἁμαρτανόντων, οἱ μηδὲν παθόντες ἐνταῦθα δεινόν, μείζονα ὑφίστανται τὴν τιμωρίαν ἐκεῖ· οὕτως ἐπὶ τῶν κατορθούντων, οἱ πολλὰ παθόντες ἐνταῦθα δεινά, πολλῆς ἀπολαύσονται τιμῆς ἐκεῖ. καὶ καθάπερ ἁμαρτωλῶν ὄντων δύο, ἂν ὁ μὲν ἐνταῦθα κολασθῇ, ὁ δὲ μὴ κολασθῇ, μακαριώτερός ἐστιν ὁ κολασθεὶς τοῦ μὴ κολασθέντος· οὕτω δὴ καὶ δικαίων ἐνταῦθα ὄντων δύο, ἂν ὁ μὲν πλείους, ὁ δὲ ἐλάττους ὑπομείνῃ τὰς θλίψεις, μακαριώτερος ὁ τὰς πλείους ὑπομείνας ἐστίν· ἐπειδὴ ἑκάστῳ ἀποδώσει κατὰ τὰ ἔργα αὐτοῦ. τί οὖν; οὐκ ἔστι τις καὶ ἐνταῦθα, φησί, καὶ ἐκεῖ ἀνέσεως ἀπολαύων; ἀμήχανον τοῦτό ἐστιν, ἄνθρωπε, καὶ τῶν ἀδυνάτων ἕν. οὐ γάρ ἐστιν, οὐκ ἔστι τὸν ἐνταῦθα ῥαθυμίας καὶ ἀδείας ἀπολαύοντα, καὶ τρυφῶντα συνεχῶς ἐν πᾶσι, καὶ τὸν εἰκῇ καὶ ἁπλῶς ζῶντα βίον, τιμῆς ἀπολαῦσαι ἐκεῖ. κἂν γὰρ πενία μὴ ἐνοχλῇ, ἀλλ' ἐπιθυμία ἐνοχλεῖ, καὶ διὰ ταύτης κατέχεται, καὶ οὐ μικρὸς ἐν τούτῳ ὁ πόνος· κἂν νόσος μὴ ἐπηρεάζῃ, ἀλλὰ θυμὸς ἐκκάει, καὶ οὐχ ἡ τυχοῦσα ὀδύνη περιγενέσθαι ὀργῆς· κἂν πειρασμοὶ μὴ ἐπενεχθῶσιν, διαλογισμοὶ πονηροὶ συνεχῶς ἐπανίστανται· οὐκ ἔστι δὲ τὸ τυχὸν χαλινῶσαι ἐπιθυμίαν ἄτοπον, παῦσαι κενοδοξίαν, καταστεῖλαι ἀπόνοιαν, τρυφῆς ἀποστῆναι, ἐν σκληραγωγίᾳ διάγειν. τὸν γὰρ μὴ ταῦτα καὶ τὰ τοιαῦτα ποιοῦντα ἀμήχανον σωθῆναί ποτε. καὶ ὅτι οἱ τρυφῶντες οὐ σώζονται, ἄκουσον τί φησιν ὁ Παῦλος περὶ γυναικὸς χήρας· α. Τιμ. ε. ϛ. Ἡ δὲ σπαταλῶσα, ζῶσα τέθνηκεν. εἰ δὲ περὶ γυναικὸς τοῦτο εἴρηται, πολλῷ μᾶλλον περὶ ἀνδρός. καὶ ὅτι οὐκ ἔστι τινὰ ἄνετον ζῶντα βίον ἐπιτυχεῖν τῶν οὐρανῶν, καὶ ὁ Χριστὸς τοῦτο αὐτὸ δῆλον ἐποίησεν, οὕτως εἰπών· Ματθ. ζ. ιδ. Στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν. Ματθ. ια. λ. πῶς οὖν λέγει, φησίν, Ὁ ζυγός μου χρηστός ἐστι, καὶ τὸ φορτίον μου ἐλαφρόν; εἰ γὰρ στενὴ ἡ ὁδὸς καὶ τεθλιμμένη, πῶς πάλιν αὐτὴν ἐλαφρὰν καὶ κούφην καλεῖ; τὸ μὲν διὰ τὴν φύσιν τῶν πειρασμῶν, τὸ δὲ διὰ τὴν προαίρεσιν τῶν μελιόντων. ἔστι γάρ τι καὶ τὸ ἀφόρητον τῇ φύσει γενέσθαι κοῦφον, ὅταν μετὰ προθυμίας αὐτὸ δεχώμεθα· ὥσπερ οὖν καὶ οἱ Πράξ. ε. μα. ἀπόστολοι μαστιγωθέντες ὑπέστρεφον χαίροντες, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἀτιμασθῆναι. καίτοι ἡ φύσις τῶν βασάνων θλῖψιν εἴωθεν ἐμποιεῖν καὶ ὀδύνην· ἀλλ' ἡ προαίρεσις τῶν μαστιγωθέντων καὶ τὴν φύσιν τῶν πραγμάτων ἐνίκησε. διὰ τοῦτο β. Τιμ. γ. ιϛ. καὶ ὁ Παῦλός φησι· Πάντες δὲ οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται. ὥστε κἂν ἄνθρωπος μὴ διώκῃ, ἀλλ' ὁ διάβολος πολεμεῖ, καὶ πολλῆς ἡμῖν δεῖ τῆς φιλοσοφίας καὶ μεγάλης τῆς καρτερίας, ἵνα ἐν ταῖς εὐχαῖς νήφωμεν καὶ ἀγρυπνῶμεν, ἵνα τῶν ἀλλοτρίων μὴ ἐπιθυμῶμεν, ἵνα τὰ ὄντα πρὸς τοὺς δεομένους διανεμώμεθα, ἵνα πάσῃ τρυφῇ στένειν καὶ οἰμώζειν εἴπωμεν, καὶ τῇ διὰ τῶν ἱματίων, καὶ τῇ διὰ τῆς τραπέζης, ἵνα πλεονεξίαν φύγωμεν, Ἐφ. δ. λα. ἵνα μέθην, ἵνα λοιδορίας, ἵνα γλώττης κρατῶμεν, ἵνα μηδὲ βοῶμεν ἀτάκτως (Πᾶσα γὰρ

πικρία καὶ θυμὸς καὶ ὀργὴ καὶ κραυγὴ καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν) ἵνα μὴ αἰσχρολογῶμεν, ἵνα μὴ ἀστεῖα λέγωμεν. οὐ μικρὸς δὲ πόνος οὗτος, ἀκριβῆ τὴν τούτων παρατήρησιν ἐπιδείκνυσθαι. καὶ ἵνα μάθῃς πόσον ἐστὶ τὸ φιλοσοφεῖν, καὶ ὡς οὐκ ἔχει τὸ πρᾶγμα ἄνεσιν, ἄκουσον τί φησιν ὁ Παῦλος· Ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ. τοῦτο γὰρ εἰπὼν, ᾐνίξατο τὴν βίαν καὶ τὸν πολὺν πόνον, ὃν ὑπομένειν ἀνάγκη τοὺς βουλομένους ἐν ἅπασιν εὐήνιον κατασκευάζειν τὸ σῶμα. καὶ ὁ Χριστὸς δὲ τοῖς μαθηταῖς ἔλεγεν· Ἐν τῷ κόσμῳ θλίψιν ἕξετε, ἀλλὰ θαρσεῖτε· ἐγὼ νενίκηκα τὸν κόσμον. αὕτη, φησὶν, ἡ θλίψις ἄνεσιν ὑμῖν παρέξει. σκάμμα ἐστὶν ὁ παρὼν βίος. ἐν δὲ τῷ σκάμματι καὶ ἐν τοῖς ἀγῶσιν οὐκ ἂν δύναιτο ἀπολαύειν ἀνέσεως ὁ στεφανοῦσθαι μέλλων. ὥστε εἴ τις βούλοιτο στεφανωθῆναι, τὸν σκληρὸν καὶ ἐπίπονον αἱρείσθω βίον, ἵνα βραχὺν ἐνταῦθα πονήσας χρόνον, διηνεκοῦς ἀπολαύσῃ τιμῆς ἐκεῖ. πόσαι προσπίπτουσι καθ' ἑκάστην ἡμέραν ἀθυμίαι; ἡλίκης δέ ἐστι ψυχῆς μὴ ἀποδυσπετῆσαι μηδὲ δυσχερᾶναι, ἀλλὰ εὐχαριστῆσαι, δοξάσαι, προσκυνῆσαι τὸν συγχωροῦντα τοὺς πειρασμοὺς τούτους ἐπενεχθῆναι; πόσα ἀδόκητα; πόσαι στενοχωρίαι; καὶ δεῖ θλίβειν τοὺς πονηροὺς λογισμοὺς, καὶ μὴ συγχωρεῖν τῇ γλώττῃ φθέγγεσθαί τι τῶν ἀτόπων. καθάπερ καὶ ὁ μακάριος Ἰὼβ μυρία παθὼν ἔμενεν εὐχαριστῶν τῷ Θεῷ. εἰσὶ δέ τινες, οἳ ἐὰν προσπταίσωσιν ἔν τινι, ἢ παρά τινος λοιδορηθῶσιν, ἢ ἀρρωστίᾳ περιπέσωσιν, ἢ ποδαλγίᾳ, ἢ κεφαλαλγίᾳ, ἢ ἄλλῳ τινὶ τοιούτῳ νοσήματι, βλασφημοῦσιν εὐθέως· καὶ τὸν μὲν πόνον ὑφίστανται τοῦ νοσήματος, τοῦ κέρδους δὲ ἀποστεροῦνται. τί ποιεῖς, ἄνθρωπε, τὸν εὐεργέτην καὶ σωτῆρα καὶ προστάτην καὶ κηδεμόνα βλασφημῶν; ἢ οὐκ αἰσθάνῃ κατὰ κρημνοῦ φερόμενος, καὶ εἰς βάραθρον σαυτὸν ἐμβάλλων ἀπωλείας ἐσχάτης; μὴ γὰρ, ἐὰν βλασφημήσῃς, κουφότερον τὸ πάθος ποιεῖς; ἐπιτείνεις μὲν οὖν αὐτὸ, καὶ χαλεπωτέραν ἐργάζῃ τὴν ὀδύνην. διὰ γὰρ τοῦτο ὁ διάβολος μυρία ἐπάγει δεινὰ, ἵνα εἰς ἐκεῖνό σε καταγάγῃ τὸ βάραθρον. κἂν μὲν ἴδῃ βλασφημοῦντα ῥᾳδίως, αὔξει τὴν ἀλγηδόνα, καὶ μείζονα ποιεῖ, ἵνα κεντούμενος ἀποδυσπετήσῃς πάλιν. ἂν δὲ ἴδῃ σε γενναίως φέροντα, καὶ ὅσῳ τὸ πάθος ἐπιτείνεται, τοσούτῳ μᾶλλον εὐχαριστοῦντα τῷ Θεῷ, ἀφίσταται εὐθέως, ὡς εἰκῇ καὶ μάτην προσεδρεύων λοιπόν. καὶ καθάπερ κύων τραπέζῃ παρεστὼς, ἂν μὲν ἴδῃ τὸν ἐσθίοντα ἄνθρωπον συνεχῶς αὐτῷ ῥίπτοντα τῶν ἐπὶ τῆς τραπέζης τι κειμένων, μένει διηνεκῶς· ἂν δὲ ἅπαξ καὶ δεύτερον παραστὰς μηδὲν ἀπέλθῃ λαβὼν, ἀφίσταται λοιπὸν, ἅτε εἰκῇ προσεδρεύων καὶ μάτην· οὕτω καὶ ὁ διάβολος συνεχῶς κέχηνε πρὸς ἡμᾶς. ἂν μὲν ῥίψῃς αὐτῷ, καθάπερ κυνὶ, ῥῆμα βλάσφημον, δεξάμενος πάλιν ἐπιτίθεται· ἂν δὲ μείνῃς εὐχαριστῶν, ἀπέπνιξας αὐτὸν τῷ λιμῷ, καὶ ταχέως ἀπήγαγες καὶ ἀποπηδῆσαι ἐποίησας. ἀλλ' οὐ δύνασαι σιγᾷν ὑπὸ τῆς ὀδύνης κεντούμενος. οὐδὲ ἐγὼ κωλύω σε φθέγγεσθαι· ἀλλ' ἀντὶ τῆς βλασφημίας εὐχαριστίαν, ἀντὶ τῆς ἀποδυσπετήσεως εὐφημίαν· ἐξομολόγησαι τῷ δεσπότῃ, βόα μεγάλα εὐχόμενος, βόα μεγάλα δοξάζων τὸν Θεόν. οὕτω σοι καὶ τὸ πάθος ἐπικουφίζεται, τοῦ διαβόλου μὲν ἀφισταμένου διὰ τῆς εὐχαριστίας, τῆς τοῦ Θεοῦ δὲ βοηθείας παραγινομένης. ἂν μὲν γὰρ βλασφημήσῃς, καὶ τὴν τοῦ Θεοῦ συμμαχίαν ἀπεκρούσω, καὶ σφοδρότερον εἰργάσω κατὰ σαυτοῦ τὸν διάβολον, καὶ μᾶλλον σαυτὸν ἐνέπληξας ταῖς ἀλγηδόσιν. ἂν δὲ εὐχαριστήσῃς, τάς τε ἐπιβουλὰς ἀπεκρούσω τὰς τοῦ πονηροῦ δαίμονος, καὶ τὴν τοῦ κηδεμόνος Θεοῦ θεραπείαν ἐπεσπάσω πρὸς σεαυτόν. ἀλλ' ὑπὸ τῆς συνηθείας ὁρμᾷ πολλάκις ἡ γλῶττα τὸ πονηρὸν ἐκεῖνο φθέγξασθαι ῥῆμα. ἀλλ' ἐπειδὰν ὁρμήσῃ, πρὶν ἢ τὸ ῥῆμα ἐξενεγκεῖν, κατάδακε τοῖς ὀδοῦσιν αὐτὴν πανταχόθεν σφοδρῶς. βέλτιον αὐτὴν αἷμα ῥέειν νῦν, ἢ τότε σταγόνος ἐπιθυμοῦσαν μὴ δυνηθῆναι τῆς παραμυθίας ταύτης τυχεῖν. βέλτιον αὐτὴν πρόσκαιρον ὑπομεῖναι πόνον, ἢ διηνεκοῦς κολάσεως ὑποστῆναι τὴν τιμωρίαν τότε· καθάπερ καὶ ἡ

τοῦ

α. Κορ. θ. κζ.

Ἰωαν. ις. λγ.

ποιήσαντες ἀπολαύ-
του

παρεδρεύ- ἄλλ. ἐφεδρεύων

ἐπιτίθεται

τοῦ πλουσίου τότε γλῶττα φλεγομένη, παραμυθίας ἔτυχεν οὐδεμιᾶς. τοὺς ἐχθρούς σου προσέταξεν ὁ Θεὸς φιλεῖν· σὺ δὲ τὸν φιλοῦντά σε ἀποστρέφῃ Θεόν; τοὺς ἐπηρεάζοντας εὐφημεῖν, τοὺς λοιδοροῦντας εὐλογεῖν· σὺ δὲ τὸν εὐεργέτην καὶ προστάτην λέγεις κακῶς μηδὲν ἠδικημένος; μὴ γὰρ οὐκ ἠδύνατο λῦσαι τὸν πειρασμόν; ἀλλὰ συνεχώρησεν, ἵνα γένῃ δοκιμώτερος. ἀλλ' ἰδού, φησι, καταπίπτω καὶ ἀπόλλυμαι. οὐ παρὰ τὴν τοῦ πειρασμοῦ φύσιν, ἀλλὰ παρὰ τὴν ῥᾳθυμίαν τὴν σήν. τί γὰρ εὐκολώτερον, εἰπέ μοι, βλασφημία, ἢ εὐχαριστία; οὐχὶ τὸ μὲν καὶ τοὺς ἀκούοντας ἐχθρούς σοι καὶ πολεμίους καθίστησι, καὶ εἰς ἀθυμίαν ἐμβάλλει, μετὰ ταῦτα καὶ πολλὴν ἐργάζεται τὴν ὀδύνην· τὸ δὲ μυρίους σοι φέρει φιλοσοφίας στεφάνους, καὶ μυρία παρὰ πάντων θαύματα, καὶ μεγάλας παρὰ τοῦ Θεοῦ τὰς ἀμοιβάς; τί τοίνυν τὸ ὠφελοῦν καὶ εὔκολον καὶ ἡδὺ ἀφείς, τὸ βλάπτον καὶ λυποῦν καὶ κατατῆκον ἀντ' ἐκείνου διώκεις; ἄλλως δὲ, εἰ ἡ τοῦ πειρασμοῦ καὶ τῆς πενίας θλίψις αἰτία τῆς βλασφημίας ἐγίνετο, πάντας ἔδει τοὺς ἐν πενίᾳ βλασφημεῖν· νυνὶ δὲ τῶν ἐν πενίᾳ ζώντων ἐσχάτῃ πολλοὶ διηνεκῶς εὐχαριστοῦσιν, ἕτεροι δὲ ἀπολαύοντες πλούτου καὶ τρυφῆς, οὐ διαλιμπάνουσι βλασφημοῦντες. οὕτως οὐχ ἡ τῶν πραγμάτων φύσις, ἀλλ' ἡ προαίρεσις ἡ ἡμετέρα καὶ τοῦτο κἀκεῖνο ἐργάζεται.

Διὰ γὰρ τοῦτο καὶ ταύτην ἀνεγνώκαμεν τὴν παραβολήν, ἵνα μάθῃς, ὅτι τοὺς μὲν ῥᾳθυμοῦντας οὐδὲ ὁ πλοῦτος ὀνίνησι, τοὺς προσέχοντας δὲ οὐδὲ ἡ πενία καταβλάψαι δύναται. καὶ τί λέγω πενίαν; κἂν ἅπαντα ὁμοῦ συνέλθῃ τὰ ἐν ἀνθρώποις κακά, τὴν τοῦ φιλοθέου καὶ φιλοσόφου ψυχὴν οὐδέποτε ἐλέγξει, οὐδ' ἀποστῆσαι πείσει τῆς ἀρετῆς (καὶ τούτων μάρτυς ὁ Λάζαρος) ὥσπερ δὴ τὸν χαῦνον καὶ διαλελυμένον οὐ πλοῦτος, οὐχ ὑγίεια, οὐ διηνεκὴς εὐημερία, οὐκ ἄλλο οὐδὲν ὠφελῆσαι δυνήσεταί ποτε. μὴ τοίνυν λέγωμεν, ὅτι πενία καὶ νόσος καὶ κινδύνων ἐπαγωγαὶ βλασφημεῖν ἀναγκάζουσιν. οὐ πενία, ἀλλὰ ἄνοια· οὐ νόσος, ἀλλὰ καταφρόνησις· οὐ κινδύνων ἐπαγωγαί, ἀλλ' εὐλαβείας ἐρημία, καὶ εἰς βλασφημίαν, καὶ εἰς πᾶσαν ἄγει κακίαν τοὺς μὴ προσέχοντας. ἀλλὰ τίνος ἕνεκεν, φησι, τοὺς μὲν ἐνταῦθα κολάζει, τοὺς δὲ ἐκεῖ· καὶ οὐκ ἐνταῦθα πάντας; τίνος ἕνεκεν; ὅτι εἰ τοῦτο ἦν, πάντες ἂν ἀπωλόμεθα· πάντες γάρ ἐσμεν ἐν ἐπιτιμίοις. πάλιν, εἰ μηδεὶς ἐνταῦθα ἐκολάζετο, ῥᾳθυμότεροι οἱ πλείους ἐγίνοντο, καὶ πολλοὶ ἂν εἶπον μὴ εἶναι πρόνοιαν. εἰ γὰρ νῦν ὁρῶντες τῶν πονηρῶν πολλοὺς κολαζομένους, πολλὰ τοιαῦτα βλασφημοῦσιν· εἰ μηδὲ τοῦτο ἦν, τί οὐκ ἂν εἶπον; ποῦ δὲ οὐκ ἂν ἦλθον κακίας; διὰ τοῦτο ὁ Θεὸς τοὺς μὲν ἐνταῦθα κολάζει, τοὺς δὲ οὐ κολάζει. κολάζει μὲν γάρ τινας, τὴν κακίαν αὐτῶν ἐκκόπτων, καὶ κουφοτέραν τὴν ἐκεῖ ποιῶν τιμωρίαν, ἢ καὶ τέλεον ἀπαλλάττων αὐτούς, καὶ τοὺς ἐν πονηρίᾳ ζῶντας σωφρονεστέρους ποιῶν τῇ τούτων τιμωρίᾳ. τοὺς δὲ οὐ κολάζει πάλιν, ἵνα ἂν μὲν προσέχωσιν ἑαυτοῖς, μετανοήσαντες καὶ τὴν τοῦ Θεοῦ μακροθυμίαν αἰδεσθέντες καὶ τῆς ἐνταῦθα κολάσεως ἀπαλλαγῶσι καὶ τῆς ἐκεῖ τιμωρίας· ἂν δὲ ἐπιμείνωσι μηδὲν ἀπὸ τῆς ἀνεξικακίας ὠφελούμενοι τοῦ Θεοῦ, μείζονα ὑποστῶσι τὴν τιμωρίαν διὰ τὴν ἄγαν αὐτῶν καταφρόνησιν. εἰ δὲ λέγοι τις [τῶν οὐκ εἰδότων], ὅτι οἱ κολαζόμενοι ἐπηρεάζονται (ἠδύναντο γὰρ μετανοῆσαι) ἐκεῖνο ἂν εἴποιμεν, ὅτι εἰ προῄδει μετανοήσοντας αὐτοὺς ὁ Θεός, οὐκ ἂν ἐκόλασεν. εἰ γὰρ οὓς οἶδεν ἀδιορθώτους μένοντας, ὅμως ἀφίησι, πολλῷ μᾶλλον, οὓς ᾔδει κερδανοῦντας ἀπὸ τῆς αὐτοῦ μακροθυμίας, εἴασεν ἂν ἐν τῇ παρούσῃ ζωῇ, ὥστε ἀπολαῦσαι τῆς προθεσμίας εἰς μετάνοιαν. νυνὶ δὲ προαναρπάζων αὐτούς, κἀκείνοις κουφοτέραν τὴν ἐκεῖ δίκην καθίστησι, καὶ τούτους σωφρονεστέρους ταῖς ἐκείνων τιμωρίαις ἀπεργάζεται. καὶ τίνος ἕνεκεν οὐκ ἐπὶ πάντων τοῦτο ποιεῖ τῶν πονηρῶν; ἵνα τῷ φόβῳ καὶ ταῖς ἑτέρων τιμωρίαις, μένοντες σωφρονέστεροι γένωνται, καὶ τὴν μακροθυμίαν ἐπαινέσαντες τοῦ Θεοῦ καὶ τὴν ἐπιείκειαν αἰδεσθέντες, τῆς πονηρίας ἀποστῶσιν. ἀλλ' οὐδὲν τούτων ποιοῦσι, φησιν. ἀλλ' οὐχ ὁ Θεὸς αἴτιος λοιπόν, ἀλλ' ἡ ἐκείνων ῥᾳθυμία ῥᾳθυμίᾳ μὴ βουληθέντων τοσούτοις φαρμάκοις εἰς τὴν οἰκείαν ἀποχρήσασθαι σωτηρίαν. καὶ ἵνα μάθῃς, ὅτι διὰ τοῦτο, τοῦτο ποιεῖ, πρόσεχε. ἔμιξέ ποτε τὸ αἷμα τῶν Γαλιλαίων ὁ Πιλάτος μετὰ τῶν θυσιῶν, καὶ προσελθόντες [τινὲς] ἀπήγγειλαν τῷ Χριστῷ αὐτὸ τοῦτο· καὶ λέγει, Τί δοκεῖτε, ὅτι ἐκεῖνοι οἱ Γαλιλαῖοι ἁμαρτωλοὶ μόνοι ἦσαν; οὐχί, λέγω ὑμῖν· ἀλλ᾽, ἐὰν μὴ μετανοήσητε, καὶ ὑμεῖς ὁμοίως ἀπολεῖσθε. πάλιν ἕτεροι δέκα καὶ ὀκτὼ κατεχώσθησαν ὑπὸ πύργου τινός, καὶ περὶ ἐκείνων τὰ αὐτὰ εἶπε. τῷ μὲν γὰρ εἰπεῖν, τί δοκεῖτε, ὅτι ἐκεῖνοι ἁμαρτωλοὶ ἦσαν μόνοι; οὐχί, λέγω ὑμῖν· ἔδειξεν, ὅτι καὶ οἱ ζῶντες τῶν αὐτῶν ἦσαν ὑπεύθυνοι. τῷ δὲ εἰπεῖν, ὅτι ἐὰν μὴ μετανοήσητε, καὶ ὑμεῖς ὡσαύτως ἀπολεῖσθε· ἔδειξεν, ὅτι κἀκείνοις συνεχώρησε διὰ τοῦτο ταῦτα παθεῖν, ἵνα οἱ ζῶντες ἐκ τῶν ἑτέροις συμβάντων φοβηθέντες καὶ μετανοήσαντες, βασιλείας κληρονόμοι γένωνται. τί οὖν, ἵνα γένωμαι ἐγὼ βελτίων, ἐκεῖνος κολάζεται, φησίν; οὐ διὰ τοῦτο. ἀλλὰ κολάζεται μὲν διὰ τὴν οἰκείαν ἁμαρτίαν· γίνεται δὲ ἐκ περιουσίας τοῖς προσέχουσι σωτηρίας ὑπόθεσις, τῷ φόβῳ τῶν αὐτῷ συμβάντων σπουδαιοτέρους αὐτοὺς ποιῶν. οὕτω καὶ δεσπόται ποιοῦσιν· ἕνα πολλάκις μαστιγώσαντες οἰκέτην, τοὺς λοιποὺς σωφρονεστέρους ἐποίησαν τῷ φόβῳ. ὅταν οὖν ἴδῃς τινὰς ἢ ναυαγίῳ περιπεσόντας, ἢ ὑπὸ οἰκίας καταχωσθέντας, ἢ ὑπὸ ἐμπρησμοῦ διαπολλυμένους, ἢ ὑπὸ ποταμῶν παρασυρέντας, ἢ ἄλλῳ τινὶ τρόπῳ τοιούτῳ βιαίῳ τὴν ζωὴν καταλύσαντας, εἶτα ἑτέρους τὰ αὐτὰ αὐτοῖς ἢ καὶ τὰ χείρονα ἁμαρτάνοντας, καὶ μηδὲν παθόντας τοιοῦτον, μὴ θορυβηθῇς λέγων, τί δήποτε τὰ αὐτὰ ἁμαρτάνοντες, οὐ τὰ αὐτὰ πεπόνθασιν; ἀλλὰ τοῦτο λογίζου, ὅτι τοὺς μὲν εἴασεν ἀναιρεθῆναι καὶ ἀποπνιγῆναι, ἡμερωτέραν αὐτοῖς παρασκευάζων τὴν ἐκεῖ τιμωρίαν, ἢ καὶ τέλεον αὐτοὺς ἀπαλλάττων· τούτους δὲ οὐδὲν ἀφῆκε τοιοῦτον παθεῖν, ἵνα τῇ τούτων τιμωρίᾳ σωφρονισθέντες, ἐπιεικέστεροι γένωνται. ἂν δὲ ἐπιμείνῃ τοῖς αὐτοῖς, ἀπαραμύθητον ἑαυτῷ παρὰ τῆς ἑαυτοῦ ῥᾳθυμίας σωρεύσει τὴν τιμωρίαν· καὶ ὁ Θεὸς οὐκ αἴτιος τῆς ἀφορήτου κολάσεως. πάλιν ἂν ἴδῃς δικαίους θλιβομένους, ἢ τὰ προειρημένα ἅπαντα πάσχοντας, μὴ καταπέσῃς. καὶ γὰρ κἀκείνοις λαμπροτέρους τοὺς στεφάνους ἐργάζεται τὰ δεινά· καὶ ἁπλῶς πᾶσα κόλασις, ἂν μὲν ἐπὶ ἁμαρτωλῶν γίνηται, ὑποτέμνεται τὸ τῆς ἁμαρτίας φορτίον· ἂν δὲ ἐπὶ δικαίων, φαιδροτέραν αὐτῶν ἐργάζεται τὴν ψυχήν, καὶ μέγιστον ἑκατέροις τὸ κέρδος ἀπὸ τῆς θλίψεως συμβαίνει, μόνον ἐὰν εὐχαρίστως φέρωμεν. τοῦτο γάρ ἐστι τὸ ζητούμενον· διὰ τοῦτο μυρίων τοιούτων παραδειγμάτων ἡ τῆς θείας γραφῆς ἱστορία ἐμπέπλησται· καὶ δικαίους καὶ πονηροὺς κακῶς πάσχοντας ἡμῖν ὑποδείκνυσιν, ἵνα ἄν τε δίκαιος ᾖ τις, ἄν τε ἁμαρτωλός, ἔχων τὰ ὑποδείγματα, φέρῃ γενναίως. οὐ πάσχοντας δὲ κακῶς μόνον, ἀλλὰ καὶ εὐπραγοῦντάς σοι δείκνυσι πονηρούς, ἵνα μὴ ταῖς ἐκείνων εὐπραγίαις θορυβηθῇς, μαθὼν ἀπὸ τῶν τῷ πλουσίῳ τούτῳ συμβεβηκότων, ὅτι αὐτοὺς μετὰ ταῦτα μένει τὸ πῦρ, εἰ μὴ μεταβληθεῖεν *. καὶ οὐκ ἔστι, φησί, καὶ ἐνταῦθα καὶ ἐκεῖ ἀνέσεως ἀπολαύειν; οὐκ ἔστι. διὰ τοῦτο ἐνταῦθα οἱ δίκαιοι τὸν ἐπίπονον ἐβίωσαν βίον. τί οὖν, φησίν, ὁ Ἀβραάμ; καὶ τίς τοσαῦτα ἔπαθε δεινά; οὐχὶ τῆς πατρίδος ἐξέπεσεν; οὐχὶ τῶν οἰκείων ἐχωρίσθη πάντων; οὐκ ἐν ἀλλοτρίᾳ γῇ λιμὸν ὑπέμεινεν; οὐχί, καθάπερ ἀλήτης, συνεχῶς μετῳκίσατο ἀπὸ Βαβυλῶνος εἰς Μεσοποταμίαν, κἀκεῖθεν εἰς Παλαιστίνην, εἶτα ἐντεῦθεν εἰς Αἴγυπτον; τί δ᾽ ἄν τις εἴποι τὸν τῆς γυναικός, τὸν τῶν βαρβάρων πολέμους καὶ σφαγάς; τὴν αἰχμαλωσίαν τῆς τοῦ συγγενοῦς οἰκίας; μυρία ἕτερα τοιαῦτα; ὅτε δὲ καὶ τὸν υἱὸν ἔλαβεν, οὐ τὰ πάντων ἀνήκεστα ὑπέμεινε, τὸν αὐτῷ ποθεινὸν καὶ ἐπέραστον ταῖς αὐτοῦ σφάξαι χερσὶ κελευόμενος; τί δαὶ αὐτὸς ὁ σφαγιασθεὶς Ἰσαάκ; οὐχὶ πάντοθεν ἠλαύνετο παρὰ τῶν ὁμόρων συνεχῶς, καὶ τὴν γυναῖκα ἀφῃρέθη, καθάπερ καὶ ὁ πατήρ, καὶ ἐν ἀπαιδίᾳ τοσοῦτον διέμεινε χρόνον; τί δὲ ὁ Ἰακὼβ ὁ ἐν οἰκίᾳ τραφείς, οὐχὶ τοῦ πάππου χαλεπώτερα ὑπέμεινε; καὶ ἵνα μὴ πάντα καταλέγοντες μακρὸν ποιῶμεν τὸν λόγον, ἄκουσον τί φησι περὶ τῆς ἀπά-

Λουκ. ιγ. α.

Γεν. μζ. θ. σης αὐτοῦ ζωῆς. Μικραὶ καὶ πονηραὶ αἱ ἡμέραι μου, καὶ οὐκ ἀφίκοντο εἰς τὰς ἡμέρας τῶν πατέρων μου.
καίτοι τίς ἰδὼν αὐτὸν ἐπὶ θρόνου βασιλικοῦ καθήμενον καὶ τοσαύτης ἀπολαύοντα
δόξης, οὐκ ἂν ἐπελάθετο τῶν παρελθουσῶν συμφορῶν; ἀλλ' ὅμως ἐκεῖνος οὕτως ἦν τεταριχευμένος,
ὡς μηδὲ ἐν εὐημερίᾳ τοσαύτῃ ἐπιλαθέσθαι τῶν γεγενημένων δεινῶν. τί δὲ ὁ Δαβίδ,
Ψαλμ. πθ. ι. πόσας ὑπέμεινε τραγῳδίας; οὐχὶ τὰ αὐτὰ αὐτῷ καὶ οὗτος φθέγγεται λέγων· Αἱ ἡμέραι
τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη· ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη, καὶ τὸ πλεῖον
Ἱερ. κ αὐτῶν κόπος καὶ πόνος; τί δὲ ὁ Ἱερεμίας; οὐχὶ καὶ τὴν ἡμέραν αὐτοῦ τῆς γεννήσεως καταρᾶται διὰ τὰ
Ἐξοδ. λϛ. λ. ἐπάλληλα δεινά; τί δὲ ὁ Μωϋσῆς; οὐχὶ καὶ αὐτὸς ἀπαγορεύων φησίν, Ἀπόκτεινόν με, εἰ οὕτω
μοι μέλλεις ποιεῖν; ὁ δὲ Ἠλίας, ἡ οὐρανομήκης ψυχή, ὁ τὸν οὐρανὸν ἀποκλείσας, οὐ μετὰ τὰ πολλὰ
θαύματα θρηνῶν διετέλει πρὸς τὸν Θεόν, λέγων· Ἆρον τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ὅτι
γ. Βασ. ιθ. δ. οὐκ εἰμὶ βελτίων "τῶν πατέρων μου; καὶ τί χρὴ τούτων ἕκαστον ἐπιέναι; πάντας γὰρ αὐτοὺς
Ἑβρ. ια. γ. ὁμοῦ συλλαβὼν ὁ Παῦλος, διέξεισι λέγων· Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν,
ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. καὶ ἁπλῶς πᾶσα ἀνάγκη
τὸν μέλλοντα εὐαρεστεῖν τῷ Θεῷ καὶ δόκιμον εἶναι καὶ ἁγνόν, μὴ τὸν ἄνετον καὶ ὑγρὸν καὶ διακεχυμένον
β. Τιμ. β. ε. διώκειν βίον· ἀλλὰ τὸν ἐπίπονον, καὶ μόχθων γέμοντα πολλῶν καὶ ἱδρώτων. Οὐδεὶς
α. Κορ. θ. κε. γὰρ στεφανοῦται, φησίν, ἐὰν μὴ νομίμως ἀθλήσῃ. καὶ ἑτέρωθι, Πᾶς δὲ ὁ ἀγωνιζόμενος,
πάντα ἐγκρατεύεται, καὶ ἀπὸ ῥήματος, φησί, καὶ ἀπὸ βλέμματος, καὶ ἀπὸ φωνῆς [αἰσχρᾶς],
καὶ ἀπὸ λοιδορίας, καὶ ἀπὸ βλασφημίας, καὶ ἀπὸ αἰσχρολογίας. [ἐντεῦθεν μανθάνομεν,
ὅτι] κἂν μὴ πειρασμὸς ἡμῖν ἐπενεχθῇ ποθεν ἔξωθεν, "ἑαυτοὺς γυμνάζειν δεῖ καθ'
ἑκάστην ἡμέραν νηστείαις, σκληραγωγίαις, εὐτελεῖ τροφῇ, λιτῇ τραπέζῃ, τὰς πολυτελείας
πανταχοῦ φεύγοντας· ἄλλως γὰρ οὐκ ἔστιν εὐαρεστῆσαι Θεῷ. μὴ γάρ μοι τὸ ψυχρὸν
ῥῆμα ἐκεῖνο λεγέτω τις, ὅτι καὶ τὰ ἐνταῦθα ὁ δεῖνα ἔχει, καὶ τὰ ἐκεῖ. ἀμήχανον τοῦτο ἐπὶ τῶν
πλουτούντων καὶ τρυφώντων καὶ ἀμεριμνούντων συμβῆναι· ἀλλ', εἰ χρὴ τοῦτο εἰπεῖν, ἐπὶ
τῶν θλιβομένων ἐστὶν εἰπεῖν, τῶν ἐν στενοχωρίᾳ, ὅτι καὶ τὰ ἐνταῦθα ἔχουσι, καὶ τὰ ἐκεῖ. τὰ
μὲν γὰρ ἐκεῖ ἔχουσιν, ἀμοιβῆς ἀπολαύοντες· τὰ δὲ ἐνταῦθα ἔχουσι, ταῖς ἐλπίσιν ἐκείνων συντρεφόμενοι,
καὶ οὐ λαμβάνοντες αἴσθησιν τῶν παρόντων δεινῶν τῇ προσδοκίᾳ τῶν μελλόντων ἀγαθῶν.
ἀλλ' ἀκούσωμεν καὶ τῶν ἑξῆς.

Λουκ. ιϛ. κϛ. Ἐπὶ πᾶσι δὲ τούτοις, χάσμα μέγα ἐστήρικται, φησίν, ἀνὰ μέσον ἡμῶν καὶ ὑμῶν. καλῶς
Ψαλμ. μθ. ζ. ἄρα εἶπεν ὁ Δαβίδ, ὅτι Ἀδελφὸς οὐ λυτροῦται· * οὐδὲ γὰρ δυνατόν, κἂν ἀδελφός,
κἂν πατὴρ ᾖ, κἂν υἱός. ὅρα γάρ· τέκνον ἐκάλεσεν ὁ Ἀβραὰμ τὸν πλούσιον, καὶ τὰ πατρὸς
ἐπιδείξασθαι οὐκ ἴσχυσε· πάτερ "προσεῖπε τὸν Ἀβραὰμ ὁ πλούσιος, καὶ ἧς εἰκὸς ἀπολαῦσαι
τέκνον πατρικῆς εὐνοίας," οὐκ ἠδυνήθη, ἵνα μάθῃς, ὅτι οὔτε συγγένεια, οὔτε φιλία,
"οὔτε παρρησία, οὔτε ἄλλο τι τῶν ὄντων ὀνῆσαι δύναται τὸν ὑπὸ τῆς οἰκείας ζωῆς προδεδομένον.
Ταῦτα δὲ λέγω, ἐπειδὴ πολλοὶ πολλάκις ἡμῶν προσηκόντων προσέχειν ἑαυτοῖς
καὶ νήφειν, ῥᾳθυμοῦσι καὶ εἰς γέλωτα τὴν παραίνεσιν ἐκβάλλουσι, λέγοντες· σύ μου
"προστήσῃ, φησί, κατ' ἐκείνην τὴν ἡμέραν· καὶ θαρρῶ, καὶ οὐ δέδοικα. πάλιν ἄλλος,
πατέρα μάρτυρα ἔχω· φησὶ καὶ ἕτερος, πάππον ἐπίσκοπον· ἄλλοι πάλιν ἀπὸ τῆς οἰκίας
πάντας τῆς ἑαυτῶν προβάλλονται. ἀλλὰ πάντα ψυχρὰ ταῦτα τὰ ῥήματα. "οὐδὲ
γὰρ ἡμᾶς ἡ ἑτέρων ἀρετὴ ὠφελῆσαι τότε δυνήσεται. ἀναμνήσθητι τῶν παρθένων ἐκείνων,
αἳ ταῖς πέντε παρθένοις οὐ μετέδωκαν τοῦ ἐλαίου· ἀλλ' αἱ μὲν εἰσῆλθον εἰς τὸν νυμφῶνα,
"αἱ δὲ ἀπεκλείσθησαν. μέγα ἀγαθὸν ἐν τοῖς οἰκείοις κατορθώμασι τὰς ἐλπίδας τῆς σωτηρίας
Ἱερ. ζ. ιϛ. ἔχειν· φίλος δὲ ἐκεῖ οὐδεὶς οὐδέποτε "προΐσταται. εἰ γὰρ ἐνταῦθά φησι τῷ Ἱερεμίᾳ, Μὴ
ἀξίου περὶ τοῦ λαοῦ τούτου, ἔνθα κύριοι τοῦ μεταβαλέσθαι· πολλῷ μᾶλλον ἐκεῖ. τί λέγεις;
πατέρα μάρτυρα ἔχεις; αὐτὸ μὲν οὖν σε τοῦτο μάλιστα καταδικάσαι δυνήσεται πλέον,

ὅταν οἴκοθεν ἔχων τὰ παραδείγματα τῆς ἀρετῆς, ἀνάξιον σεαυτὸν τῆς προγονικῆς παρέχῃς ἀρετῆς. ἀλλὰ φίλον ἔχεις γνήσιον καὶ θαυμαστόν; οὐδὲ οὗτός σοι παραστήσεται τότε. πῶς οὖν φησι, Ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ μαμμωνᾶ τῆς ἀδικίας, ἵν' ὅταν ἐκλίπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς*; οὐχ ἡ φιλία ἐστὶν ἐνταῦθα ἡ παρισταμένη, ἀλλ' ἡ ἐλεημοσύνη. ἐὰν γὰρ ἡ φιλία μόνη παρίστατο, ἔδει ἁπλῶς εἰπεῖν, ποιήσατε ὑμῖν φίλους· νυνὶ δὲ δηλῶν, ὅτι οὐχ ἡ φιλία μόνη παρίσταται, προσέθηκεν, ἐκ τοῦ μαμμωνᾶ τῆς ἀδικίας. καίτοι ἴσως εἴποι τις ἄν, ὅτι δυνάμαι χωρὶς τοῦ μαμμωνᾶ ποιῆσαι φίλον, καὶ σπουδαιότερον μᾶλλον, ἢ διὰ τοῦ μαμμωνᾶ. ἀλλ' ἵνα μάθῃς ὅτι ἐλεημοσύνη ἐστὶν ἡ παρισταμένη, καὶ τὸ ἔργον τὸ σὸν καὶ τὸ κατόρθωμα, οὐκ ἐν ταῖς φιλίαις ταῖς τῶν ἁγίων ἁπλῶς, ἀλλ' ἐν ταῖς φιλίαις ταῖς διὰ τοῦ μαμμωνᾶ γινομέναις, ἔπεισέ σε θαῤῥεῖν. ἅπερ οὖν ἅπαντα εἰδότες, ἀγαπητοὶ, προσέχωμεν ἑαυτοῖς μετὰ ἀκριβείας ἁπάσης. κἂν κολαζώμεθα, εὐχαριστῶμεν· κἂν ἐν εὐημερίᾳ διάγωμεν, ἀσφαλιζώμεθα ἑαυτούς, καὶ ταῖς ἑτέρων τιμωρίαις σωφρονιζόμενοι, διὰ μετανοίας καὶ κατανύξεως καὶ συνεχοῦς ἐξομολογήσεως ″εὐχαριστῶμεν· καὶ εἴ τι πεπλημμέληται κατὰ τὸν παρόντα βίον ἡμῖν, ἀποθέμενοι, καὶ μετὰ πολλῆς τῆς σπουδῆς πᾶσαν τῆς ψυχῆς ἡμῶν ἀποσμήξαντες τὴν κηλῖδα, παρακαλῶμεν τὸν Θεὸν καταξιῶσαι ″πάντα ἐνταῦθα διαλυσαμένους, οὕτως ἀπελθεῖν ἐκεῖσε, ἵνα μὴ μετὰ τοῦ πλουσίου, ἀλλὰ μετὰ τοῦ Λαζάρου τῶν τοῦ πατριάρχου κόλπων ἀπολαύσαντες, τοῖς ἀθανάτοις ″ἐντρυφῶμεν ἀγαθοῖς· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λουκ. ιϛ. θ.

Λογ. λη. ΕΙΣ ΤΟΝ ΠΛΟΥΣΙΟΝ ΚΑΙ ΤΟΝ ΛΑΖΑΡΟΝ

λόγος τέταρτος.

Τῆς τοῦ Λαζάρου παραβολῆς τὸ τέλος ἀνάγκη τήμερον ἀποδοῦναι. ὑμεῖς μὲν γὰρ ἴσως τὸ πᾶν ἡμῖν ἀπηρτίσθαι νομίζετε· οὐ μὴν ἔγωγε χρήσομαι ὑμῶν εἰς ἀγάπην τῇ ἀγνοίᾳ, οὐδὲ ἀποστήσομαι πρότερον, ἕως ἂν τὸ φαινόμενον ἅπαν ἀπέλθω λαβών. ἐπεὶ καὶ γεωργὸς τῆς ἀμπέλου τρυγηθείσης ἁπάσης, οὐ πρότερον ἀφίσταται, ἕως ἂν καὶ τὰς ῥάγας ἐκτέμῃ. ἐπεὶ οὖν καὶ νῦν ὁρῶ, ὥσπερ ὑπὸ φύλλοις, τοῖς γράμμασιν ἐναποκεκρυμμένα νοήματα ἔτι, φέρε δὴ καὶ ταῦτα, ἀντὶ δρεπάνης, τῷ λόγῳ χρησάμενοι, πάλιν μετ' ἀκριβείας ἀποτρυγήσωμεν. ἄμπελος μὲν γὰρ τρυγηθεῖσα καθάπαξ, ἕστηκε γυμνὴ τοῦ καρποῦ, φύλλα ἔχουσα μόνον· ἡ δὲ ἄμπελος ἡ πνευματικὴ τῶν θείων γραφῶν οὐχ οὕτως, ἀλλ' ἂν τὸ φαινόμενον ἅπαν ἀνελώμεθα, τὸ πλέον ἐναπομένει πάλιν. πολλοὶ γοῦν μὲν καὶ πρὸ ἡμῶν εἰς ταύτην εἰρήκασι τὴν ὑπόθεσιν, πολλοὶ καὶ μεθ' ἡμᾶς ἴσως ἐροῦσιν· ἀλλ' οὐδεὶς τὸν ἅπαντα πλοῦτον κενῶσαι δυνήσεται. τοιαύτη γὰρ τῆς περιουσίας ταύτης ἡ φύσις. ὅσῳπερ ἂν διασκάψῃς ἐν τῷ βάθει, τοσούτῳ πλέον ἀναβλύσει τὰ θεῖα νοήματα. πηγὴ γάρ ἐστιν οὐδέποτε ἐπιλείπουσα. καὶ ἔδει μὲν τῇ προτέρᾳ συνάξει τοῦτο ὑμῖν ἀποδοῦναι τὸ χρέος· ἀλλ' οὐκ ἀσφαλὲς εἶναι ἐνομίσαμεν, τοῦ μακαρίου Βαβύλα καὶ τῆς ξυνωρίδος τῶν ἁγίων μαρτύρων τῶν μετ' ἐκεῖνον παρελθεῖν τὰ κατορθώματα. διὸ τὴν καταβολὴν ὑπερεθέμεθα, τηροῦντες εἰς τὴν παροῦσαν ὑμῖν ἡμέραν ὁλόκληρον τὴν ἔκτισιν. φέρε οὖν, ἐπειδὴ καὶ τοῖς πατράσι τὰς εὐφημίας ἀποδεδώκαμεν, οὐ τὰς κατ' ἀξίαν τὴν ἐκείνων, ἀλλὰ τὰς κατὰ δύναμιν τὴν ἡμετέραν, ἀποδῶμεν καὶ ὑμῖν τοῦ διηγήματος τούτου τὸ λείψανον. ἀλλὰ μὴ ἀποκάμητε, ἕως ἂν πρὸς τὸ τέλος ἀφικώμεθα, ἐκεῖθεν ἀναλαβόντες τὸν λόγον, ἔνθα αὐτὸν κατελίπομένην προσόδου. ποῦ δὲ αὐτὸν κατελίπομεν; ἐν τῷ χάσματι τῷ διείργοντι τοὺς δικαίους ἀπὸ τῶν ἁμαρτωλῶν. Εἰπόντος γὰρ τοῦ πλουσίου, Πέμψον Λάζαρον, Εἶπε πρὸς αὐτὸν ὁ Ἀβραάμ·

Λουκ. ις. κδ.

Χάος μέγα ἐστήρικται μεταξὺ ἡμῶν καὶ ὑμῶν, ὅπως οἱ θέλοντες διαβῆναι ἐκεῖθεν πρὸς ὑμᾶς μὴ δύνωνται, μηδὲ οἱ ἐντεῦθεν ἐκεῖ διαπερῶσι. καὶ ἐδείκνυμεν διὰ πολλῶν τῶν εἰρημένων, ὡς ὅτι μετὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν ἐν τοῖς οἰκείοις κατορθώμασι τὰς ἐλπίδας τῆς σωτηρίας ἔχειν χρή, μὴ πατέρας καὶ πάππους καὶ ἐπιπάππους ἀριθμοῦντας, μηδὲ συγγενεῖς, καὶ φίλους, καὶ οἰκείους, καὶ γείτονας. Ἀδελφὸς γὰρ οὐ λυτροῦται· λυτρώσεται ἄνθρωπος; ἀλλ᾽ ὅσα ἂν παρακαλέσωσι καὶ καθικετεύσωσιν οἱ μετὰ ἁμαρτημάτων ἐντεῦθεν ἀπελθόντες, πάντα εἰκῆ καὶ μάτην λοιπὸν ἐροῦσι.

Ψαλ. μη.

Ματθ. κε.

καὶ γὰρ αἱ παρθένοι αἱ πέντε παρεκάλεσαν τὰς ὁμήλικας ὑπὲρ ἐλαίου, καὶ οὐκ ἐπέτυχον· καὶ ὁ τὸ τάλαντον κατακρύψας [τὸ] ἐν τῇ γῇ, πολλὰ ἀπολογησάμενος, κατεκρίθη πάλιν· καὶ οἱ μὴ θρέψαντες αὐτὸν πεινῶντα, μηδὲ ποτίσαντες διψῶντα, καὶ αὐτοὶ δοκοῦντες εἰς ἄγνοιαν καταφεύγειν, οὐδὲ ἐκεῖνοι συγγνώμης καὶ ἀπολογίας ἔτυχον, ἕτεροι δὲ οὐδὲ εἰπεῖν τι ἴσχυσαν, ὥσπερ ἐκεῖνος ὁ τὰ ῥυπαρὰ ἐνδεδυμένος ἱμάτια· ἐγκαλούμενος γὰρ ἐσίγα. οὐχ οὗτος δὲ μόνον, ἀλλὰ καὶ ἄλλος τῷ πλησίον μνησικακήσας, καὶ ἑκατὸν ἀπαιτήσας δηνάρια, εἶτα ὑπὲρ τούτων αὐτῶν παρὰ τοῦ δεσπότου ἐγκαλούμενος ἐπὶ ὠμότητι καὶ ἀπανθρωπίᾳ, οὐδὲν ἔσχεν εἰπεῖν. ὅθεν δῆλον, ὅτι οὐδεὶς ἡμῶν ἐκεῖ προστήσεται, ἐὰν ἔργα μὴ ἔχωμεν ἀγαθά· ἀλλ᾽ ἄν τε καθικετεύωμεν καὶ παρακαλῶμεν, ἄν τε σιγῶμεν, ὁμοίως ἐφ᾽ ἡμᾶς ἥξει τὰ τῆς κολάσεως καὶ τῆς τιμωρίας. ἄκουσον γοῦν πῶς καὶ οὗτος αἰτήσας αἰτήσεις δύο τὸν Ἀβραάμ, ἀμφοτέρων ἀπέτυχε. πρότερον μὲν γὰρ ὑπὲρ ἑαυτοῦ τὴν ἱκετηρίαν ἐποιεῖτο λέγων, πέμψον Λάζαρον· ὕστερον δὲ οὐκ ἔτι ὑπὲρ ἑαυτοῦ, ἀλλὰ ὑπὲρ τῶν ἀδελφῶν. ἀλλὰ οὐδεμίαν ἤνυσεν αἴτησιν· ἡ μὲν γὰρ ἦν ἀδύνατος ἡ προτέρα, ἡ δευτέρα δὲ περιττὴ ἡ ὑπὲρ τῶν ἀδελφῶν. πλὴν ἀλλά, εἰ δοκεῖ, καὶ αὐτῶν ἀκούσωμεν τῶν ῥημάτων μετὰ πολλῆς τῆς σπουδῆς. Εἰ γὰρ ἄρχοντος ἐν ἀγορᾷ μέσῃ κατάδικον ἀγαγόντος, καὶ δημίους περιστήσαντος, καὶ καταξαίνοντος τὸν ὑπεύθυνον, μετὰ πολλῆς τῆς προθυμίας συντρέχουσιν ἅπαντες ἀκοῦσαι βουλόμενοι, τί μὲν ὁ δικαστὴς ἐρωτᾷ, τί δὲ ὁ κατάδικος ἀποκρίνεται· πολλῷ μᾶλλον ἐνταῦθα μετὰ ἀκριβείας ἀκούειν χρή, τί μὲν ὁ κατάδικος οὗτος, ὁ πλούσιος λέγω, ἀξιοῖ, τί δὲ ὁ δίκαιος δικαστὴς ἀποκρίνεται διὰ τοῦ Ἀβραάμ. οὐ γὰρ ὁ πατριάρχης ἦν ὁ δικάζων, εἰ καὶ αὐτὸς ἐφθέγγετο· ἀλλ᾽ ὥσπερ τῶν ἔξωθεν δικαστηρίων τύπον, ὅταν ὦσί τινες ὑπεύθυνοι λῃσταὶ καὶ ἀνδροφόνοι, πόρρω τῆς ὄψεως τοῦ δικάζοντος ἀποστήσαντες τούτους οἱ νόμοι τῆς τοῦ κρατοῦντος οὐκ ἐπιτρέπουσιν ἀκοῦσαι φωνῆς, καὶ τούτῳ μετὰ τῶν ἄλλων αὐτοὺς ἀτιμάζοντες, ἀλλὰ μέσος τις διακονεῖ ταῖς ἐρωτήσεσι τοῦ δικάζοντος, καὶ ταῖς ἀποκρίσεσι τῶν δικαζομένων, οὕτω δὴ καὶ τότε ἐγένετο· οὐ τοῦ Θεοῦ φθεγγομένου πρὸς αὐτὸν ἤκουεν ὁ κατάδικος, ἀλλὰ μέσος ἦν ὁ Ἀβραάμ, τὰ παρὰ τοῦ δικάζοντος διακονούμενος τῷ δικαζομένῳ. οὐ γὰρ οἴκοθεν ἔλεγεν ἅπερ ἔλεγεν, ἀλλὰ θείους ἀνεγίνωσκε νόμους αὐτῷ, καὶ τὰς ἄνωθεν φερομένας ἔλεγεν ἀποφάσεις. διόπερ οὗτος οὐδὲν ἀντιλέγειν εἶχε. προσέχωμεν τοίνυν μετὰ ἀκριβείας τοῖς λεγομένοις. καὶ γὰρ ἐπίτηδες ἐνδιατρίβω ταύτῃ τῇ παραβολῇ, καὶ τετάρτην ἡμέραν ἔχων ταύτης οὐκ ἀφίσταμαι, ἐπειδὴ καὶ πολὺ τὸ κέρδος ἐκ τούτου τοῦ διηγήματος ὁρῶ γινόμενον καὶ πλουσίοις καὶ πένησι, καὶ τοῖς ὑπὲρ τῆς τῶν πονηρῶν εὐπραγίας καὶ τῆς τῶν δικαίων πενίας καὶ θλίψεως θορυβουμένοις. καὶ γὰρ οὐδὲν οὕτω τοὺς πολλοὺς σκανδαλίζειν εἴωθε καὶ ταράττειν, ὡς τὸ πλουσίους ἐν πονηρίᾳ ζῶντας εὐημερίας ἀπολαύειν πολλῆς, καὶ δικαίους μετὰ ἀρετῆς ζῶντας πρὸς ἐσχάτην ἐλαύνεσθαι πενίαν, καὶ ἕτερα μυρία τῆς πενίας ὑπομένειν χαλεπώτερα πράγματα. ἀλλὰ αὕτη ἱκανὴ ἡ παραβολὴ παρασχεῖν τὰ φάρμακα, τοὺς μὲν πλουτοῦντας σωφρονίζουσα, τοὺς δὲ πένητας παραμυθουμένη· ἐκείνους μὲν παιδεύουσα μὴ μεγαφρονεῖν, τοὺς δὲ πένητας παραμυθουμένη ἐπὶ τοῖς

παροῦσι

πρόσεστι· κἀκεῖνος μὲν μὴ μεγαλαυχείτω περιουσίᾳ, ὅταν πονηρευόμενοι μὴ δῶσιν ἐνταῦθα δίκην, ὡς χαλεπωτάτης ἀπαντησομένης αὐτοῖς ἐκεῖ τῆς τιμωρίας, τούτους δὲ παρακαλοῦσα, μὴ ταῖς ἑτέρων εὐπραγίαις θορυβεῖσθαι, μηδὲ νομίζειν ἀπρονόητα εἶναι τὰ καθ' ἡμᾶς, ὅταν δίκαιος μὲν ἐνταῦθα πάσχῃ κακῶς, πονηρὸς δὲ καὶ μιαρὸς ἄνθρωπος εὐημερίας ἀπολαύῃ διηνεκοῦς. ἀμφότεροι γὰρ τὸ κατ' ἀξίαν ἀπολήψονται ἐκεῖ, ὁ μὲν τοὺς στεφάνους τῆς ὑπομονῆς καὶ τῆς καρτερίας, ὁ δὲ τὰς κολάσεις καὶ τὰς τιμωρίας τῆς πονηρίας. ταύτην τὴν παραβολὴν ἐγγράψατε καὶ πλούσιοι καὶ πένητες· πλούσιοι ἐν τοῖς τοίχοις τῆς ὑμετέρας οἰκίας, πένητες δὲ ἐν τοῖς τοίχοις τῆς διανοίας. κἂν ἐξαλειφθῇ ποτε λήθης ἐπιγινομένης, ἐπιχρίσατε πάλιν διὰ τῆς μνήμης ἄνωθεν. μᾶλλον δὲ καὶ οἱ πλούσιοι πρὸ τῆς οἰκίας ἐν τῇ διανοίᾳ διαγράψατε καὶ συνεχῶς περιφέρετε, καὶ ἔσται διδασκαλεῖον ὑμῖν καὶ ὑπόθεσις φιλοσοφίας ἁπάσης. ἐὰν γὰρ ταύτην διηνεκῶς ἐγγεγραμμένην ἔχωμεν ἐν τῇ διανοίᾳ, οὔτε τὰ περιχαρῆ τοῦ παρόντος βίου ἡμᾶς φυσῆσαι δυνήσεται, οὔτε τὰ λυπηρὰ ταπεινῶσαι καὶ καθελεῖν· ἀλλ' ὡς πρὸς τὰς ζωγραφίας τὰς ἐν τοῖς τοίχοις, οὕτω πρὸς ἑκάτερα ταῦτα διακεισόμεθα. καθάπερ γὰρ ἐν τοῖς τοίχοις γεγραμμένον ὁρῶντες πλούσιον καὶ πένητα, οὔτε ἐκείνῳ φθονοῦμεν, οὔτε τοῦ πένητος ὑπερορῶμεν, διὰ τὸ σκιὰν, ἀλλὰ μὴ πραγμάτων ἀλήθειαν εἶναι τὰ ὁρώμενα· οὕτω καὶ πλούτου καὶ πενίας, καὶ δόξης καὶ ἀτιμίας, καὶ τῶν ἄλλων ἁπάντων τῶν τε σκυθρωπῶν καὶ φαιδρῶν τὴν φύσιν ἂν καταμάθωμεν, τῆς ἐξ ἑκάστου τούτων ἐγγινομένης ἡμῖν ἀνωμαλίας ἀπαλλαγησόμεθα. σκιᾶς γάρ ἐστιν ἀπατηλότερα ἅπαντα ταῦτα, καὶ τὸ ὑψηλὸν καὶ γενναῖον, οὐδὲν οὔτε τῶν λαμπρῶν καὶ ἐπιδόξων ἐπᾶραι, οὔτε τῶν ταπεινῶν καὶ ἀπερριμμένων συστεῖλαι δυνήσεται.

Ἀλλὰ γὰρ ὥρα λοιπὸν ἡμῖν καὶ τῶν ῥημάτων ἀκοῦσαι τῶν τοῦ πλουσίου. ἐρωτῶ σε, φησὶ, πάτερ, τουτέστι, παρακαλῶ, δέομαι, ἱκετεύω, ἵνα πέμψῃς εἰς τὸν οἶκον τοῦ πατρός μου Λάζαρον (εἰσὶ γάρ μοι πέντε ἀδελφοὶ) ἵνα διαμαρτύρηται αὐτοῖς, ὅπως μὴ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου. Λουκ. ις. κζ. ἐπειδὴ τῆς καθ' ἑαυτὸν ἀπέτυχεν, ὑπὲρ ἑτέρων ποιεῖται τὴν ἱκετηρίαν. ὅρα πῶς φιλάνθρωπος καὶ ἥμερος γέγονεν ὑπὸ τῆς κολάσεως. ὁ γὰρ τοῦ Λαζάρου καταφρονῶν παρόντος, ἑτέρων ἀπόντων φροντίζει· ὁ τὸν πρὸ τῶν ὀφθαλμῶν κείμενον παρατρέχων, τῶν οὐχ ὁρωμένων μέμνηται, καὶ μετὰ πολλῆς ἀξιοῖ τῆς τιμῆς καὶ τῆς σπουδῆς, ὥστε γενέσθαι τινὰ αὐτῶν πρόνοιαν πρὸς ἀπαλλαγὴν τῶν καταληψομένων αὐτοὺς κακῶν. καὶ παρακαλεῖ πεμφθῆναι τὸν Λάζαρον εἰς τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ, ἔνθα τὰ σκάμματα ἦν αὐτῷ, καὶ τὸ στάδιον ἀνεῴγει τῆς ἀρετῆς. ἐκεῖνοι βλεπέτωσαν αὐτὸν ἐστεφανωμένον, φησὶν, οἱ θεασάμενοι ἀγωνισάμενον· οἱ μάρτυρες αὐτοῦ τῆς πενίας καὶ τοῦ λιμοῦ καὶ τῶν μυρίων κακῶν, γενέσθωσαν μάρτυρες τῆς τιμῆς, τῆς μεταβολῆς, τῆς δόξης ἁπάσης· ἵνα ἑκατέρωθεν παιδευθέντες καὶ μαθόντες, ὅτι οὐ μέχρι τοῦ παρόντος βίου τὰ ἡμέτερα ἵσταται πράγματα, οὕτω παρασκευάσωνται, ὡς δυνηθῆναι ταύτην τὴν κόλασιν διαφυγεῖν καὶ τὴν τιμωρίαν. τί οὖν ὁ Ἀβραάμ; Ἔχουσι Μωϋσέα, καὶ τοὺς προφήτας, φησὶν (ἀκουσάτωσαν αὐτῶν) Λουκ. ις. κθ. οὐχ οὕτω, φησὶ, σὺ κήδῃ τῶν ἀδελφῶν σου, ὡς ὁ ποιήσας αὐτοὺς Θεός. μυρίους αὐτοῖς ἐπέστησε διδασκάλους παραινοῦντας, συμβουλεύοντας, νουθετοῦντας. τί οὖν αὐτὸς πάλιν; Οὐχὶ, φησὶ, πάτερ Ἀβραάμ, ἀλλ' ἐάν τις ἀπὸ νεκρῶν ἀπέλθῃ, αὐτῷ πιστεύσουσι. ταῦτα δὴ τὰ τῶν πολλῶν ῥήματα. ποῦ νῦν εἰσιν οἱ λέγοντες, τίς ἦλθεν ἐκεῖθεν; τίς ἐκ τῶν νεκρῶν ἀνέστη; τίς εἶπε τὰ ἐν ᾅδου; πόσα τοιαῦτα καὶ τηλικαῦτα πρὸς ἑαυτὸν εἶπεν ὁ πλούσιος ἐκεῖνος, ἡνίκα ἐτρύφα; οὐδὲ γὰρ ἁπλῶς παρεκάλεσεν ἀναστῆναί τινα ἐκ τῶν νεκρῶν, ἀλλ' ἐπειδὴ τῶν γραφῶν ἀκούων κατεφρόνει, κατεγέλα, μύθους εἶναι ἐνόμιζε τὰ λεγόμενα. ἀφ' ὧν οὖν αὐτὸς ἔπαθε, καὶ περὶ τῶν ἀδελφῶν ἐνόμιζε. κἀκεῖνοι, φησὶν, οὕτως ὑποπτεύουσιν. ἐὰν δέ τις ἀπὸ νεκρῶν ἀπέλθῃ, οὐκ ἀπιστήσουσιν αὐτῷ, οὐδὲ καταγελάσονται, ἀλλὰ μᾶλλον τοῖς λεγομένοις προσέχουσι. τί οὖν ὁ Ἀβραάμ; Εἰ Μωϋσέως καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν, οὐδὲ ἐάν τις ἐκ νεκρῶν ἀναστῇ, ἀκούσονται. καὶ ὅτι τοῦτο ἐστὶν ἀληθές, ὅτι ὁ τῶν γραφῶν οὐκ ἀκούων, οὐδὲ νεκρῶν ἀνισταμένων ἀκούσεται, ἔδειξαν οἱ Ἰουδαῖοι, οἳ ἐπειδὴ Μωϋσέως οὐκ ἤκουσαν καὶ τῶν προφητῶν, οὐδὲ νεκροὺς ἀναστάντας ἰδόντες ἐπίστευσαν· ἀλλὰ νῦν μὲν ἀνελεῖν τὸν Λάζαρον ἐπεχείρησαν, νῦν δὲ τοῖς Ἀποστόλοις ἐπεπήδων, καίτοι πολλῶν ἀναστάντων νεκρῶν ἐν τῷ καιρῷ τοῦ σταυροῦ. ἵνα δὲ καὶ ἑτέρωθεν μάθῃς, ὅτι ἀξιοπιστοτέρα ἡ τῶν προφητῶν διδασκαλία τῆς τῶν ἀνισταμένων ἀπαγγελίας, ἐκεῖνο σκόπησον, ὅτι νεκρὸς μὲν ἅπας δοῦλός ἐστιν· ἃ δὲ αἱ γραφαὶ φθέγγονται, ταῦτα ὁ δεσπότης ἐφθέγξατο. ὥστε κἂν νεκρὸς ἀναστῇ, κἂν ἄγγελος ἐξ οὐρανοῦ καταβῇ, πάντων ἔσονται αἱ γραφαὶ ἀξιοπιστότεραι. ὁ γὰρ τῶν ἀγγέλων δεσπότης, καὶ τῶν νεκρῶν καὶ τῶν ζώντων κύριος, αὐτὸς ἐκείνας ἐνομοθέτησε. καὶ ὅτι περιττὰ ζητοῦσιν οἱ ζητοῦντες νεκροὺς ἐκεῖθεν ἐλθεῖν, πρὸς τοῖς εἰρημένοις καὶ ἀπὸ τῶν παρόντων ἐστὶ δεῖξαι δικαστηρίων τοῦτο. ἡ γέεννα οὐ φαίνεται τοῖς ἀπίστοις· τοῖς γὰρ πιστοῖς ἐστι δήλη καὶ φανερά, ἀλλ᾽ ὅμως τοῖς ἀπίστοις οὐ φαίνεται. τὰ μέντοι δικαστήρια φαίνεται, καὶ καθ᾽ ἑκάστην ἡμέραν ἀκούομεν, ὅτι ὁ δεῖνα ἐκολάσθη, τοῦ δεῖνος ἡ οὐσία ἐδημεύθη*, ἕτερος τὰ μέταλλα ἐργάζεται, ἄλλος κατεκάη πυρί, ἄλλος ἑτέρῳ τρόπῳ κολάσεως καὶ τιμωρίας ἀπώλετο. ἀλλ᾽ ὅμως ταῦτα ἀκούοντες οἱ πονηροὶ καὶ κακοῦργοι καὶ γόητες, οὐ σωφρονίζονται. καὶ τί λέγω, εἰ οἱ μηδέποτε τούτοις περιπεσόντες οὐ σωφρονίζονται; πολλάκις πολλοὶ τούτων ἁλόντες καὶ διαφυγόντες τὴν κόλασιν, καὶ τὸ δεσμωτήριον διορύξαντες καὶ ἀποπηδήσαντες, πάλιν τοῖς αὐτοῖς ἐπέθεντο, καὶ πολλῷ χαλεπώτερα τούτων εἰργάσαντο. μὴ τοίνυν ζητῶμεν παρὰ νεκρῶν ἀκούειν ταῦτα, ἃ πολλῷ σαφέστερον αἱ γραφαὶ καθ᾽ ἑκάστην ἡμᾶς παιδεύουσι τὴν ἡμέραν. εἰ γὰρ ᾔδει τοῦτο ὁ Θεός, ὅτι νεκροὶ ἀνιστάμενοι τοὺς ζῶντας ὠφέλησαν ἄν, οὐκ ἂν παρέλιπεν, οὐδ᾽ ἂν παρῆκε τοσοῦτον κέρδος ὁ πάντα ἡμῖν πρὸς τὸ συμφέρον πραγματευόμενος. χωρὶς δὲ τούτων, εἰ συνεχῶς ἔμελλον ἀνίστασθαι νεκροί, καὶ τὰ ἐκεῖ πάντα ἀπαγγέλλειν ἡμῖν, καὶ τοῦτο ἂν τῷ χρόνῳ κατεφρονήθη πάλιν. πρὸς δὲ τούτοις καὶ πονηρὰ ἂν εἰσήγαγε δόγματα ὁ διάβολος μετὰ πολλῆς τῆς εὐκολίας. εἴδωλα γὰρ ἠδύνατο δεικνύναι πολλάκις, ἢ καὶ παρασκευάζων τινὰς ὑποκρίνασθαι θάνατον καὶ κατορύττεσθαι, δεικνύναι πάλιν ὡς ἐκ νεκρῶν ἀναστάντας, καὶ δι᾽ ἐκείνων ὅσα ἐβούλετο πιστεύεσθαι ταῖς τῶν ἀπατωμένων διανοίαις. εἰ γὰρ νῦν, οὐδενὸς ὄντος τοιούτου, ὄνειροι πολλάκις φανέντες ἐν τύποις τῶν ἀπελθόντων, πολλοὺς ἠπάτησαν καὶ διέφθειραν· πολλῷ μᾶλλον, εἰ τοῦτο γεγυμνασμένον ἦν καὶ κεκρατηκὸς ἐν ταῖς τῶν ἀνθρώπων διανοίαις, τὸ ὅτι πολλοὶ τῶν ἀπελθόντων ἐπανῆλθον πάλιν, μυρίους ἂν ὁ μιαρὸς δαίμων ἐκεῖνος δόλους ἔπλεξε, καὶ πολλὴν ἀπάτην εἰς τὸν βίον εἰσήγαγε. διὰ τοῦτο ἀπέκλεισε τὰς θύρας ὁ Θεός, καὶ οὐκ ἀφίησί τινα τῶν ἀπελθόντων ἐπανελθόντα εἰπεῖν τὰ ἐκεῖ, ἵνα μὴ λαβὼν ἀφορμὴν ἐντεῦθεν ἐκεῖνος, τὰ παρ᾽ ἑαυτοῦ πάντα εἰσαγάγῃ. καὶ γὰρ ὅτε προφῆται ἦσαν, ψευδοπροφήτας ἤγειρε· καὶ ὅτε ἀπόστολοι, ψευδαποστόλους· καὶ ὅτε Χριστὸς ἐφάνη, ψευδοχρίστους· καὶ ὅτε δόγματα εἰσηνέχθη ὑγιῆ, διεφθαρμένα εἰσήγαγε, τὰ ζιζάνια πανταχοῦ διασπείρων. ὥστε εἰ καὶ τοῦτο συνέβη, καὶ τοῦτο ἐπεχείρησεν ἂν ὑποκρίνασθαι διὰ τῶν οἰκείων ὀργάνων, οὐχὶ νεκροὺς ἀληθῶς ἀνιστάς, ἀλλὰ μαγγανείαις τισὶ καὶ ἀπάταις τὰς ὄψεις τῶν ὁρώντων ἀπατῶν, ἢ καί τινας παρασκευάζων, ὥσπερ ἔφθην εἰπών, ὑποκρίνεσθαι τελευτήν, τὰ ἄνω κάτω πάντα ἐποίησεν ἂν καὶ συνέχεεν. ἀλλ᾽ ὁ Θεὸς ἅπαντα ταῦτα προειδώς, ἀπετείχισεν αὐτῷ τὴν ἐπιβουλὴν ταύτην, καὶ φειδόμενος ἡμῶν, οὐ συνεχώρησεν ἐλθόντι τινί ποτε ἐκεῖθεν περὶ τῶν ἐκεῖ διαλεχθῆναι τοῖς ζῶσιν ἀνθρώποις, παιδεύων ἡμᾶς πάντων ἀξιοπιστοτέρας ἡγεῖσθαι τὰς θείας γραφάς. πολὺ γὰρ τῆς τῶν νεκρῶν ἀναστάσεως σαφέστερα ἡμῖν ἔδειξε πράγματα. τὴν οἰκουμένην ἐπέστρεψαν ἅπασαν, τὴν πλάνην ἀπήλασε, τὴν ἀλήθειαν ἐπανήγαγε. δι' ἁλιέων καὶ εὐτελῶν ἀνθρώπων ταῦτα πάντα κατώρθωσε, καὶ ἱκανὰς ἀποδείξεις τῆς ἑαυτοῦ προνοίας πανταχοῦ παρέχει ἡμῖν. μὴ τοίνυν μέχρι τοῦ παρόντος βίου τὰ ἡμέτερα συγκεκλεῖσθαι νομίζωμεν, ἀλλὰ πιστεύωμεν, ὅτι πάντως ἔσται κρίσις καὶ ἀνταπόδοσις τῶν ἐνταῦθα παρ' ἡμῶν γινομένων ἁπάντων. τοῦτο γὰρ οὕτως ἐστὶ σαφὲς καὶ ἐναργὲς πᾶσιν, ὡς καὶ Ἰουδαίους καὶ Ἕλληνας καὶ αἱρετικοὺς, καὶ πάντας οὑστινασοῦν ἀνθρώπους ὑπὲρ τούτων ὁμογνωμονεῖν. εἰ γὰρ καὶ μὴ καθὼς προσήκει περὶ ἀναστάσεως φιλοσοφοῦσιν ἅπαντες, ἀλλ' ὅμως περὶ τῆς κρίσεως καὶ τῆς κολάσεως καὶ τῶν ἐκεῖ δικαστηρίων ἅπαντες συμφωνοῦσιν, ὅτι ἐστί τις τῶν ἐνταῦθα γινομένων ἀντίδοσις ἐκεῖ. εἰ γὰρ μὴ τοῦτο ἦν, τίνος ἕνεκεν οὐρανὸν τοσοῦτον ἔτεινε, γῆν ὑπεστόρεσε, θάλασσαν ἥπλωσεν, ἀέρα ἐξέχεε, τοσαύτην πρόνοιαν ἐπεδείξατο, εἰ μὴ μέχρι τέλους ἔμελλεν ἡμῶν προστήσεσθαι; οὐχ ὁρᾷς πόσοι βιώσαντες ἐν ἀρετῇ, μυρία παθόντες δεινὰ ἀπῆλθον, μηδὲν ἀπολαβόντες ἀγαθόν; ἕτεροι δὲ πάλιν πονηρίαν πολλὴν ἐπιδειξάμενοι, τὰς ἑτέρων ἁρπάσαντες οὐσίας, χήρας καὶ ὀρφανοὺς ἀποδύσαντες καὶ καταδυναστεύσαντες, πλούτου καὶ τρυφῆς καὶ μυρίων ἀπολαύσαντες ἀγαθῶν ἀπῆλθον, οὐδὲ τὸ τυχὸν παθόντες δεινόν; πότε οὖν ἢ ἐκεῖνοι οἱ πρότεροι τῆς ἀρετῆς ἀπολήψονται τὰς ἀμοιβὰς, ἢ οὗτοι τῆς πονηρίας δώσουσι τὰς τιμωρίας, εἰ μέχρι τοῦ παρόντος τὰ ἡμέτερα ἵσταται πράγματα; ὅτι γὰρ, εἰ ἔστι Θεὸς, ὥσπερ οὖν καὶ ἔστι, δίκαιός ἐστι, πᾶς ὁστισοῦν ἂν εἴποι. ὅτι δὲ, εἰ δίκαιός ἐστι, καὶ τούτοις κἀκείνοις ἀποδώσει τὰ κατ' ἀξίαν, καὶ τοῦτο (συνωμολόγηται). εἰ δὲ μέλλοι κἀκείνοις καὶ τούτοις ἀποδιδόναι κατ' ἀξίαν, ἐνταῦθα δὲ οὐδεὶς αὐτῶν ἀπέλαβεν, οὔτε ἐκεῖνος τῆς πονηρίας τὴν κόλασιν, οὔτε οὗτος τῆς ἀρετῆς τὰς ἀμοιβὰς, εὔδηλον ὅτι λείπεταί τις καιρὸς, ἐν ᾧ τὴν προσήκουσαν ἀντίδοσιν ἑκάτεροι τούτων ἕξουσι. τίνος δὲ ἕνεκεν ὅλως ἐν τῇ διανοίᾳ τῇ ἡμετέρᾳ κριτὴν οὕτω διηνεκῶς ἐγρηγορότα καὶ νήφοντα κατέστησεν ἡμῖν ὁ Θεὸς, τὸ συνειδὸς λέγω; οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδεὶς δικαστὴς οὕτως ἄγρυπνος ἐν ἀνθρώποις, οἷον τὸ ἡμέτερον συνειδός. οἱ μὲν γὰρ ἔξωθεν δικασταὶ καὶ ὑπὸ χρημάτων διαφθείρονται, καὶ κολακείαις χαυνοῦνται, καὶ διὰ φόβον καθυποκρίνονται, καὶ πολλὰ ἕτερά ἐστι τὰ λυμαινόμενα τὴν ὀρθὴν ἐκείνων ψῆφον· τὸ δὲ τοῦ συνειδότος δικαστήριον οὐδενὶ τούτων εἴκειν οἶδεν· ἀλλὰ, κἂν χρήματα δῷς, κἂν κολακεύσῃς, κἂν ἀπειλήσῃς, κἂν ἕτερον ὁποιοῦν ἐργάσῃ, δικαίαν ἐξοίσει τὴν ψῆφον κατὰ τῶν ἡμαρτηκότων λογισμῶν· καὶ αὐτὸς ὁ τὴν ἁμαρτίαν ἐργασάμενος αὐτὸς ἑαυτοῦ καταδικάζει, κἂν μηδεὶς ἕτερος κατηγορῇ· καὶ οὐχ ἅπαξ, οὐδὲ δὶς, ἀλλὰ καὶ πολλάκις καὶ διὰ παντὸς τοῦ βίου τοῦτο ποιῶν διατελεῖ. κἂν πολὺς παρέλθῃ χρόνος, οὐδέποτε ἐπιλήσεται τῶν γεγενημένων· ἀλλὰ καὶ ἐν τῷ γίνεσθαι τὴν ἁμαρτίαν, καὶ πρὶν γενέσθαι, καὶ μετὰ τὸ γενέσθαι σφοδρὸς ἐφέστηκεν ἡμῖν κατήγορος, καὶ μάλιστα μετὰ τὸ γενέσθαι. ἐν μὲν γὰρ τῷ πράττειν τὴν ἁμαρτίαν, ὑπὸ τῆς ἡδονῆς μεθύοντες οὐχ οὕτως αἰσθανόμεθα· ἐπειδὰν δὲ γένηται καὶ λάβῃ τέλος, τότε δὴ μάλιστα, τῆς ἡδονῆς σβεσθείσης ἁπάσης, τὸ πικρὸν τῆς μετανοίας ἐπεισέρχεται κέντρον, ἀπεναντίας ταῖς ὠδινούσαις γυναιξίν. ἐπ' ἐκείνων μὲν γὰρ πρὸ τοῦ τόκου πολὺς [καὶ ἀφόρητος] ὁ πόνος καὶ ὠδῖνες δριμεῖαι διακόπτουσαι ταῖς ἀλγηδόσιν αὐτάς· μετὰ δὲ τὸν τόκον ἄνεσις, τῷ βρέφει τῆς ὀδύνης συνεξελθούσης. ἐνταῦθα δὲ οὐχ οὕτως· ἀλλ' ἕως μὲν ἂν ὠδίνωμεν καὶ συλλαμβάνωμεν τὰ διεφθαρμένα βουλεύματα, εὐφραινόμεθα καὶ χαίρομεν· ἐπειδὰν δὲ ἀποτέκωμεν τὸ πονηρὸν παιδίον τὴν ἁμαρτίαν, τότε τὸ αἶσχος τοῦ τεχθέντος ἰδόντες ὀδυνώμεθα, τότε διακοπτόμεθα τῶν ὠδινουσῶν γυναικῶν χαλεπώτερον.

Διὸ παρακαλῶ μὴ δέχεσθαι μὲν μάλιστα παρὰ τὴν ἀρχὴν ἐπιθυμίαν διεφθαρμένην· εἰ δὲ καὶ δεξόμεθα, ἀποπνίγειν ἔνδον τὰ σπέρματα· εἰ δὲ καὶ μέχρι τούτου ῥαθυμήσαμεν, ἐξελθοῦσαν εἰς ἔργον τὴν ἁμαρτίαν ἀποκτείνειν πάλιν δι' ἐξομολογήσεως καὶ δακρύων, διὰ τοῦ κατηγορεῖν ἑαυτῶν. οὐδὲν γὰρ οὕτως ὀλέθριον τῇ ἁμαρτίᾳ, ὡς κατηγορία καὶ κατάγνωσις σὺν μετανοίᾳ καὶ δάκρυσι. κατέγνως σου τὴν ἁμαρτίαν; ἀπέθου τὸ φορτίον. καὶ τίς ταῦτά φησιν; αὐτὸς ὁ δικάζων Θεός. Λέγε σὺ τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς; τίνος γὰρ ἕνεκεν αἰσχύνῃ καὶ ἐρυθριᾷς, εἰπέ μοι, τὰ ἁμαρτήματα εἰπεῖν; μὴ γὰρ ἀνθρώπῳ λέγεις, ἵνα ὀνειδίσῃ σε; μὴ γὰρ τῷ συνδούλῳ ὁμολογεῖς, ἵνα ἐκπομπεύσῃ; τῷ δεσπότῃ, τῷ κηδεμόνι, τῷ φιλανθρώπῳ, τῷ ἰατρῷ τὸ τραῦμα ἐπιδεικνύεις. μὴ γὰρ, κἂν σὺ μὴ εἴπῃς, ἐκεῖνος οὐκ οἶδεν, ὅς γε καὶ πρὸ τοῦ πραχθῆναι ἠπίστατο; τίνος οὖν ἕνεκεν οὐ λέγεις; μὴ γὰρ ἐκ τῆς σῆς κατηγορίας φορτικώτερον γίνεται τὸ ἁμάρτημα; ἡμερώτερον μὲν οὖν καὶ κουφότερον. καὶ διὰ τοῦτο βούλεταί σε εἰπεῖν, οὐχ ἵνα κολάσῃ, ἀλλ' ἵνα συγχωρήσῃ· οὐχ ἵνα αὐτὸς μάθῃ τὴν ἁμαρτίαν (πῶς γὰρ, ὁ εἰδώς;) ἀλλ' ἵνα σὺ μάθῃς πόσον σοι συγχωρεῖ χρέος. Βούλεται δέ σε μαθεῖν τῆς χάριτος τὸ μέγεθος, ἵνα εὐχαριστῶν διατελῇς, ἵνα ὀκνηρότερος πρὸς ἁμαρτίαν ᾖς, ἵνα προθυμότερος εἰς ἀρετήν. ἂν μὴ εἴπῃς τοῦ χρέους τὸ μέγεθος, οὐκ ἐπιγινώσκεις τῆς χάριτος τὴν ὑπερβολήν. οὐκ ἀναγκάζω, φησὶν, εἰς μέσον ἐλθεῖν σε θέατρον, καὶ μάρτυρας περιστῆσαι πολλούς· ἐμοὶ τὸ ἁμάρτημα εἰπὲ μόνῳ κατ' ἰδίαν, ἵνα θεραπεύσω τὸ ἕλκος, καὶ ἀπαλλάξω τῆς ὀδύνης. διὰ τοῦτο τὸ συνειδὸς ἡμῖν ἐγκατέθηκε καὶ πατρὸς φιλοστοργότερον. πατὴρ μὲν γὰρ ἅπαξ, ἢ δεύτερον, ἢ καὶ τρίτον, ἢ καὶ δεκάκις ἐπιτιμήσας τῷ παιδὶ, ἐπειδὰν ἴδῃ μένοντα ἀδιόρθωτον, ἀπαγορεύσας ἀποκηρύττει, καὶ τῆς οἰκίας ἐκβάλλει, καὶ τῆς συγγενείας διακόπτει. ἀλλ' οὐ τὸ συνειδός· ἀλλὰ, κἂν ἅπαξ, κἂν δεύτερον, κἂν τρίτον, κἂν μυριάκις εἴπῃ, καὶ παρακούσῃς, πάλιν ἐρεῖ, καὶ οὐκ ἀφίσταται ἕως ἐσχάτης ἀναπνοῆς· καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀμφόδοις, καὶ ἐν τραπέζῃ, καὶ ἐν ἀγορᾷ, καὶ ἐν ὁδοῖς, πολλάκις δὲ καὶ ἐν ὀνείρασιν αὐτοῖς τῶν ἡμαρτημένων ἡμῖν τὰ εἴδωλα καὶ τὰς φαντασίας παρίστησι. καὶ ὅρα σοφίαν Θεοῦ. οὔτε διηνεκῆ τὴν κατηγορίαν ἐποίησεν εἶναι τοῦ συνειδότος (οὐ γὰρ ἂν ἠνέγκαμεν τὸ φορτίον, συνεχῶς ἐγκαλούμενοι) οὔτε οὕτως ἀσθενῆ, ὡς ἐκ πρώτης καὶ δευτέρας ἀπαγορεῦσαι παραινέσεως. εἰ μὲν γὰρ καθ' ἑκάστην ἡμέραν καὶ ὥραν ἔμελλεν ἡμᾶς κεντεῖν, κἂν ἀπεπνίγημεν ἀπὸ τῆς ἀθυμίας· εἰ δὲ ἅπαξ καὶ δεύτερον ὑπομνῆσαν ἀπέστη τῆς ἐπιτιμήσεως, οὐκ ἂν πολλὴν ἐκαρπωσάμεθα τὴν ὠφέλειαν. διὰ τοῦτο διηνεκῆ μὲν ταύτην ἐποίησεν εἶναι τὴν ἐπιτίμησιν, οὐ μὴν συνεχῆ· διηνεκῆ μὲν, ἵνα μὴ εἰς ῥᾳθυμίαν ἐμπίπτωμεν, ἀλλ' ἀεὶ καὶ μέχρι τελευτῆς ὑπομιμνησκόμενοι νήφωμεν· οὐ συνεχῆ δὲ οὐδὲ ἐπάλληλον, ἵνα μὴ καταπίπτωμεν, ἀλλὰ ἀνέσεις τινὰς λαμβάνοντες καὶ παραμυθίας ἀναπνέωμεν. ὥσπερ γὰρ τὸ μηδ' ὅλως ἀλγεῖν ἐπὶ τοῖς ἁμαρτήμασιν, ὀλέθριον, καὶ τὴν ἐσχάτην ἀναισθησίαν ἐντίκτον ἡμῖν· οὕτω τὸ συνεχῶς καὶ πέρα τοῦ μέτρου τοῦτο πάσχειν, ἐπιβλαβές. ἡ γὰρ ὑπερβολὴ τῆς ἀθυμίας ἴσχυε καὶ τῶν κατὰ φύσιν πολλάκις ἐκβαλοῦσα φρενῶν, ὑποβρύχιον ποιῆσαι τὴν ψυχὴν, καὶ πρὸς ἅπαντα ἄχρηστον ἐργάσασθαι τὰ καλά. διὰ τοῦτο καὶ ἐκ διαλειμμάτων ἡμῖν τοὺς τοῦ συνειδότος ἐλέγχους παρεσκεύασεν ἐπιτίθεσθαι, ἐπειδὴ σφόδρα ἐστὶν ἀπότομος, καὶ παντὸς κέντρου σφοδρότερον τὸν ἡμαρτηκότα νύττειν εἴωθεν. οὐδὲ γὰρ ἡνίκα ἂν ἁμαρτάνωμεν αὐτοὶ, ἀλλὰ καὶ ἡνίκα ἂν ἕτεροι τὰ αὐτὰ πλημμελῶσιν ἡμῖν, διεγείρεται σφοδρῶς καὶ μετὰ πολλῆς ἡμῶν καταβοᾷ τῆς εὐτονίας. καὶ γὰρ ὁ πόρνος, καὶ ὁ μοιχὸς, καὶ ὁ κλέπτης, οὐ μόνον ὅταν αὐτὸς κατηγορῆται, ἀλλ' ὅταν καὶ ἑτέρων τοιαῦτα τολμησάντων ἀκούῃ κατηγορουμένων, αὐτὸς ἡγεῖται μαστίζεσθαι, ἐν ταῖς ἑτέρων ἐπιτιμήσεσι τῆς οἰκείας ἁμαρτίας λαμβάνων ἀνάμνησιν. καὶ ἐγκαλεῖται μὲν ἄλλος, πλήττεται δὲ οὗτος ὁ μηδὲν ἐγκαλούμενος, ὅταν ᾖ τὰ αὐτὰ ἐκείνῳ τετολμηκώς. ὥσπερ οὖν καὶ ἐπὶ τοῖς κατορθώμασιν, ἑτέρων ἐγκωμιαζομένων, καὶ στεφανουμένων, οἱ τὰ αὐτὰ κατωρθωκότες ἐκείνοις, χαίρουσι καὶ ἀγάλλονται, ὡς οὐκ ἐκείνων μᾶλλον, ἢ αὐτῶν ἐπαινουμένων.

Ησ. μγ. κϛ.

νουμένων.

γουμένων. τί τοίνυν γένοιτ' ἂν τοῦ ἡμαρτηκότος ἀθλιώτερον, ὅταν ἑτέρων κατηγορουμένων, αὐτὸς καταδύηται; τί δὲ τοῦ ζῶντος ἐν ἀρετῇ μακαριώτερον, ὅταν ἑτέρων ἐπαινουμένων, αὐτὸς χαίρῃ καὶ διαχέηται, ἐν τοῖς ἑτέρων ἐγκωμίοις ὑπόμνησιν λαμβάνων τῶν οἰκείων κατορθωμάτων; ταῦτα τῆς τοῦ Θεοῦ σοφίας τὰ ἔργα, ταῦτα τῆς μεγίστης αὐτοῦ προνοίας τὰ σημεῖα. ἄγκυρα γάρ τις ἐστὶν ἱερὰ τοῦ συνειδότος ἡ ἐπιτίμησις, οὐκ ἐῶσα τέλεον ἡμᾶς εἰς τὸν τῆς ἁμαρτίας καταποντισθῆναι βυθόν. οὐδὲ γὰρ παρ' αὐτὸν τῶν ἁμαρτημάτων τὸν καιρὸν μόνον, ἀλλὰ καὶ μετὰ πολλὰς ἐνιαυτῶν περιόδους οἶδεν ἡμᾶς πολλάκις παλαιᾶς ἀναμιμνήσκειν ἁμαρτίας. καὶ τοῦτο καὶ ἀπ' αὐτῶν παραστήσομαι τῶν γραφῶν σαφῆ τὴν ἀπόδειξιν. ἀπέδοντό ποτε τὸν Ἰωσὴφ οἱ ἀδελφοί, ἐγκαλεῖν μὲν οὐδὲν ἔχοντες, ὅτι δὲ ἐνύπνια ἑώρα τὴν μέλλουσαν αὐτῷ προαναφωνοῦντα δόξαν. Εἶδον γάρ, φησι, τὰ δράγματα ὑμῶν προσκυνήσαντα τὸ ἐμὸν δράγμα· καίτοι διὰ τοῦτο φυλάττειν αὐτὸν ἐχρῆν. στέφανος γὰρ τῆς οἰκίας ἁπάσης ἔμελλεν ἔσεσθαι, καὶ λαμπρότης τοῦ γένους παντός. ἀλλὰ τοιοῦτον * ἡ βασκανία· τοῖς οἰκείοις πολεμεῖ καλοῖς. καὶ μᾶλλον ἂν ″ἕλοιτο μυρία ″πάσχειν δεινὰ ὁ βασκαίνων, ἢ τὸν πλησίον ἰδεῖν εὐδοκιμοῦντα, κἂν εἰς αὐτὸν διαβαίνειν μέλλοι τὰ τῆς εὐδοξίας· οὗ τί γένοιτ' ἂν ἀθλιώτερον; ὅπερ οὖν κἀκεῖνοι ἔπαθον, καὶ ἰδόντες αὐτὸν πόρρωθεν ἥκοντα, * τροφὴν αὐτοῖς κομίζοντα, πρὸς ἀλλήλους ἔλεγον· Δεῦτε, ἀποκτείνωμεν αὐτόν, καὶ ἴδωμεν τί ἔσται τὰ ἐνύπνια αὐτοῦ. εἰ δὲ μὴ ὡς ἀδελφὸν ᾐδέσθης; οὐδὲ τὴν φύσιν ἐπέγνως· τὴν γοῦν τράπεζαν αὐτὴν αἰδεσθῆναι ἔδει, καὶ τὸν τῆς διακονίας τρόπον, ὅτι θρέψων σε παρεγένετο. ἀλλ' ὅρα πῶς καὶ ἄκοντες προφητεύουσι. δεῦτε, φασιν, ἀποκτείνωμεν αὐτόν, καὶ ἴδωμεν τί ἔσται αὐτοῦ τὰ ἐνύπνια. εἰ γὰρ οὐκ ἐβουλεύσαντο, καὶ τὸν δόλον ὕφηναν, καὶ τὴν ἀναιδῆ βουλὴν ἔρραψαν ἐκείνην, οὐκ ἂν ἔγνωσαν τῶν ἐνυπνίων ἐκείνων τὴν δύναμιν. οὐ γὰρ ἦν ἴσον, μηδὲν παθόντα δεινὸν ἐπὶ τὸν θρόνον ἀναβῆναι τῆς Αἰγύπτου, καὶ διὰ τοσούτων τῶν κωλυμάτων [καὶ τῶν ″ἐμποδίων] τῆς αὐτῆς ταύτης ἐπιλαβέσθαι λαμπρότητος. εἰ μὴ γὰρ ἐπεβούλευσαν, οὐκ ἂν εἰς Αἴγυπτον ἀπέδοντο· εἰ μὴ ἀπέδοντο εἰς Αἴγυπτον, οὐκ ἂν ἠράσθη ἡ δέσποινα· εἰ μὴ ἠράσθη ἡ δέσποινα, οὐκ ἂν ἐνεβλήθη εἰς τὸ δεσμωτήριον, οὐκ ἂν συνέκρινε τὰ ὀνείρατα, οὐκ ἂν τῆς βασιλείας ἐπέτυχεν· εἰ μὴ τῆς βασιλείας δὲ ἐπέτυχεν ἐκείνης, οὐκ ἂν ἦλθον οὗτοι κατ' ἐμπορείαν σίτου, καὶ προσεκύνησαν αὐτόν. ὥστε ἐπειδὴ ἀπέκτειναν αὐτόν, διὰ τοῦτο μάλιστα ἔγνωσαν αὐτοῦ τὰ ἐνύπνια. τί οὖν; αὐτοὶ πρόξενοι τῶν μελλόντων ἀγαθῶν αὐτῷ πάντων ἐγένοντο καὶ τῆς περιφανείας ἐκείνης; οὐδαμῶς. ἀλλὰ αὐτοὶ μὲν θανάτῳ καὶ ἀθυμίᾳ καὶ τῇ δουλείᾳ καὶ τοῖς ἐσχάτοις παραδοῦναι ″ἐβουλεύσαντο κακοῖς· ὁ δὲ εὐμήχανος Θεός, τῇ τῶν ἐπιβουλευόντων πονηρίᾳ πρὸς τὴν τοῦ πραθέντος καὶ ἐπιβουλευθέντος εὐδοκίμησιν ἀπεχρήσατο. ἵνα δὲ μὴ συντυχίας τινός, μηδὲ πραγμάτων ″περιπετείας τὰ συμβαίνοντα εἶναι νομίζηται, δι' αὐτῶν τῶν ἐναντιουμένων, δι' αὐτῶν τῶν κωλυόντων, αὐτὰ κατασκευάζει τὰ κωλυόμενα ὁ Θεός, τοῖς ἐχθροῖς αὐτοῦ πρὸς τὴν εὐδοκίμησιν διακόνοις χρώμενος, ἵνα μάθῃς, ὅτι ἃ ὁ Θεὸς ″βεβούλευται, ~~οὐδεὶς διασκεδάσει, καὶ~~ τὴν χεῖρα αὐτοῦ τὴν ὑψηλὴν οὐδεὶς ἀποστρέψει· ἵν' ὅταν ἐπιβουλεύῃ παρά τινων, μὴ ″καταπίπτῃς, μηδὲ δυσχεραίνῃς, ἀλλ' εἰδέναι ἔχῃς, ὅτι πρὸς τέλος ἅπαντα χρηστὸν ἡ ἐπιβουλή, μόνον ἂν γενναίως φέρῃς τὰ συμπίπτοντα. ἰδοὺ γοῦν καὶ ἐνταῦθα φθόνος βασιλείαν ἔτεκε, καὶ βασκανία διάδημα προεξένησε, καὶ θρόνον ἐκόμισε· καὶ αὐτοὶ οἱ ἐπιβουλεύσαντες, αὐτοὶ συνώθησαν αὐτὸν πρὸς τὸ μέγεθος ἐκείνης τῆς ἀρχῆς· καὶ ὁ μὲν ἐπιβουλευθεὶς ἐβασίλευσεν, οἱ δὲ ἐπιβουλεύσαντες ἐδούλευον· κἀκεῖνος μὲν προσεκυνεῖτο, οὗτοι δὲ προσεκύνουν. ὅταν τοίνυν ἐπέλθῃ σοι δεινὰ συνεχῆ καὶ ἐπάλληλα, μὴ θορυβοῦ, μηδὲ δυσχέραινε, ἀλλ' ἀνάμενε τὸ τέλος. πάντως γὰρ ἀπαντήσεται τῆς τοῦ Θεοῦ μεγαλοδωρεᾶς ἄξιοι, μόνον ἐὰν εὐχαρίστως τὰ [ἐν μέσῳ]

Γεν. λζ. ζ.

Γεν. λζ. κ.

σῳ] συμπίπτοντα ἐλέγχῃς. ἐπεὶ καὶ οὗτος μετὰ τὰ ὀνείρατα ἐκεῖνα περὶ τῶν ἐσχάτων κινδυνεύσας, γρ. τῶν ὀνειράτων ἐκείνων
καὶ πραθεὶς ὑπὸ τῶν ἀδελφῶν, καὶ διὰ τῆς δεσποίνης ἐπιβουλευθείς, καὶ
πάλιν εἰς δεσμωτήριον ἐμπεσών, οὐκ εἶπε πρὸς ἑαυτόν, τί ποτε τοῦτό ἐστιν; ἀπάτη τὰ ὀνείρατα
ἐκεῖνα ἦν· διέπεσον τῆς πατρίδος, ἀπεστερήθην ἐλευθερίας· διὰ τὸν Θεὸν οὐκ γρ. δι' ὧ
εἶξα τῇ δεσποίνῃ πρὸς μοιχείαν καλούσῃ· διὰ σωφροσύνην καὶ ἀρετὴν κολάζομαι. καὶ
οὐδὲ οὕτως ἠμύνετο, οὐδὲ χεῖρα ὤρεξεν, ἀλλ' εἴασε παραδοθῆναι δεσμοῖς ἐπαλλήλοις, καὶ
συνεχέσι συμφοραῖς. μετὰ γὰρ τὸν λάκκον, δουλεία· μετὰ δουλείαν, ἐπιβουλή· μετὰ ἐπιβουλήν,
συκοφαντία· μετὰ συκοφαντίαν, δεσμωτήριον. ἀλλ' οὐδὲν τούτων αὐτὸν ἐθορύβει, ἀλλ' ἔμενε
τῇ ἐλπίδι θαρρῶν, καὶ εἰδὼς ὅτι τὰ εἰρημένα οὐ διαπεσεῖται οὐδέποτε. ἐδύνατο μὲν γὰρ
ὁ Θεὸς καὶ παρ' αὐτὴν αὐτὰ πληρῶσαι τὴν ἡμέραν· ἀλλ' ἵνα καὶ τὴν αὐτοῦ δύναμιν ἐπιδείξηται,
καὶ τὴν πίστιν τῶν αὐτοῦ δούλων, ἀφίησι χρόνον μεταξὺ παρεμπεσεῖν μακρόν, καὶ
πολλὰ γενέσθαι κωλύματα, ἵνα καὶ τὴν αὐτοῦ μάθῃς ἰσχύν, τότε πληροῦντος τὰ ἐπηγγελμένα,
ὅταν εἰς ἀπόγνωσιν ἐμπέσῃ, καὶ τὴν τῶν δούλων ἴδῃς ὑπομονὴν καὶ πίστιν, οὐδενὶ
τῶν ἐν μέσῳ συμβαινόντων τῆς ἀγαθῆς προσδοκίας ἐκπιπτόντων. ἀλλ', ὅπερ ἔλεγον, ἐπανῆλθον
αὐτοί, τοῦ λιμοῦ, καθάπερ στρατιώτου τινός, ἐπὶ κεφαλὴν αὐτοὺς ὠθοῦντος καὶ
περιστάντος ἄρχοντι τῷ Ἰωσήφ, καὶ ἐβούλοντο πρίασθαι σῖτον. ὁ δὲ τί φησι πρὸς αὐτούς; γρ. περιστάντος
Κατάσκοποί ἐστε. οἱ δὲ εἶπον ἐν ἑαυτοῖς, τί ποτε τοῦτό ἐστι; τροφὴν ἤλθομεν ἐμπορευσόμενοι,
καὶ περὶ ψυχῆς κινδυνεύομεν; εἰκότως. ἐπεὶ καὶ αὐτὸς τροφὴν ὑμῖν ἐκόμισε, καὶ περὶ
τῆς ζωῆς ἐκινδύνευσεν. ἀλλ' αὐτὸς μὲν ἀληθείᾳ ὑπέμενεν, ὑμεῖς δὲ ὑποκρίσει τοῦτο πάσχετε.
οὐ γὰρ ἐχθρὸς ἦν, ἀλλὰ προσωπεῖον ἀνέλαβεν ἐχθροῦ, ἵνα τὰ κατὰ τὴν οἰκίαν μετὰ ἀκριβείας
μάθῃ. ἐπειδὴ γὰρ πονηροὶ περὶ αὐτὸν ἐγένοντο καὶ ἀγνώμονες, τόν τε Βενιαμὶν οὐκ εἶδε μετ' γρ. δ
αὐτῶν ὄντα, δείσας ὑπὲρ τοῦ παιδός, μήποτε καὶ ἐκεῖνος τὰ ἀδελφὰ αὐτῷ πέπονθε, κελεύει δεθῆναι
ἕνα καὶ ἀφεθῆναι ἐκεῖ· εἶτα αὐτοὺς λαβόντας τὸν σῖτον ἅπαντας ἀπελθεῖν, ἀπειλήσας
θάνατον αὐτοῖς, εἰ μὴ τὸν ἀδελφὸν τὸν ἑαυτῶν ἐπαγάγοιεν. ἐπεὶ οὖν ταῦτα ἐγένετο, καὶ
εἶπεν, ἀφετέ τινα ἐνταῦθα, καὶ τὸν ἀδελφὸν ὑμῶν ἀγάγετε, εἰ δὲ μή, θανάτῳ ἀποθανεῖσθε·
Γεν. μβ. κα. τί πρὸς ἀλλήλους ἔλεγον ἐκεῖνοι; Ναί, ἐν ἁμαρτίαις* ἐσμὲν περὶ τοῦ ἀδελφοῦ ἡμῶν, * γὰρ
ὅτε κατεδέετο ἡμῶν. εἶδες μετὰ πόσον χρόνον τῆς ἁμαρτίας ἀνεμνήσθησαν ἐκείνης. καὶ πρὸς
Γεν. λζ. λγ. μὲν τὸν πατέρα ἔλεγον, Θηρίον πονηρὸν κατέφαγε τὸν Ἰωσήφ· αὐτοῦ δὲ τοῦ Ἰωσὴφ παρόντος καὶ
ἀκούοντος, τὴν ἁμαρτίαν ἐξήλεγχον. τί τούτου παραδοξότερον γένοιτ' ἄν; δικαστήριον χωρὶς
ἐλέγχων γέγονε, καὶ ἀπολογία χωρὶς κατηγορίας, καὶ ἀπόδειξις ἄνευ μαρτύρων, αὐτῶν τῶν
τὸ πρᾶγμα ἐργασαμένων ἑαυτοὺς ἐλεγχόντων, καὶ τὸ λάθρα γεγυμνημένον ἐκπομπευόντων.
τίς ἔπεισε, τίς ἠνάγκασεν εἰς μέσον ἐξενεγκεῖν τὰ πρὸ τοσούτου τολμηθέντα χρόνου;
οὐκ εὔδηλον, ὅτι τὸ συνειδός, ὁ ἀπαραλόγιστος δικαστής, συνεχῶς αὐτῶν κατέσειε τὴν διάνοιαν,
καὶ τὴν ψυχὴν ἐθορύβει; καὶ ὁ φονευθεὶς τότε ἐκάθητο σιγῇ δικάζων αὐτοῖς· καὶ μηδεμιᾶς
ἐξενεχθείσης ἀποφάσεως, καθ' ἑαυτῶν τὴν καταδικάζουσαν αὐτοὺς ψῆφον αὐτοὶ ἔφερον. καὶ
Γεν. μβ. κβ. οὗτοι μὲν ταῦτα ἔλεγον· ἕτερος δὲ ἀπελογεῖτο, λέγων· Οὐκ ἐλάλησα πρὸς ὑμᾶς, οὕτω λέγων· γρ. αὐτῷ
μὴ ἀδικήσητε τὸ παιδάριον, μηδὲ ποιήσητε αὐτὸν μηδὲν κακόν, ὅτι ἀδελφὸς ἡμῶν ἐστι·
καὶ ἰδοὺ νῦν τὸ αἷμα αὐτοῦ ἐκζητεῖται, φησιν, ἐκ τῶν χειρῶν ἡμῶν; καίτοι οὐδὲν αὐτός, ὁ ταῦτα
λέγων περὶ τοῦ φόνου καὶ τῆς σφαγῆς ἐκείνης, εἶπεν, ἀλλ' αὐτὸς μὲν καθήμενος οὐδὲν τοιοῦτον
ἐζήτει, ἀλλὰ τὸν ἕτερον ἀδελφὸν ἐπεζήτει· τὸ δὲ συνειδὸς αὐτῶν ἐπιλαβόμενον καιροῦ,
διανέστη καὶ καθήψατο τῆς ἐκείνων διανοίας, καὶ μηδενὸς ἀναγκάζοντος, τὰ τετολμημένα
ὁμολογῆσαι παρεσκεύασε. ταῦτα καὶ ἡμεῖς πολλάκις πάσχομεν, παρελθόντων τῶν ἁμαρτημάτων.
ἐν δεινοῖς γὰρ ἐξεταζόμενοι καὶ περιστάσεσι, μνημονεύομεν τῶν προτέρων ἁμαρτημάτων.
ἅπερ οὖν ἅπαντα εἰδότες, ἐπειδάν τι πράξωμεν πονηρόν, μὴ ἀναμένω-

μεν συμφορὰς καὶ περιστάσεις, μηδὲ κινδύνους καὶ δεσμά, ἀλλὰ καθ' ἑκάστην ὥραν τε καὶ ἡμέραν ἀνακινῶμεν παρ' ἑαυτοῖς τὸ δικαστήριον τοῦτο, καὶ τὰς ψήφους καθ' ἑαυτῶν φέρωμεν, καὶ πειρώμεθα παντὶ τρόπῳ ἀπολογεῖσθαι τῷ Θεῷ, καὶ μήτε αὐτοὶ περὶ τῆς ἀναστάσεως καὶ τῆς κρίσεως ἀμφισβητῶμεν, μήτε ἑτέρων λεγόντων ἀνεχώμεθα, ἀλλὰ παντὶ τρόπῳ διὰ τῶν εἰρημένων αὐτοὺς ἐπιστομίζωμεν. οὐ γὰρ ἄν, εἰ μὴ τότε ἐμέλλομεν εὐθύνας ὑφέξειν τῶν πεπλημμελημένων, τοιοῦτον ἡμῖν ἐνταῦθα δικαστήριον ἐγκατέστησεν ὁ Θεός· ἀλλὰ καὶ τοῦτο τῆς αὐτοῦ φιλανθρωπίας τεκμήριον. ἐπειδὴ γὰρ τότε μέλλει λόγον ἡμᾶς ἀπαιτεῖν τῶν πεπλημμελημένων, ἐγκατέστησε τοῦτον τὸν ἀδέκαστον κριτήν, ἵνα τοῦτο ἐνταῦθα ὑπὲρ τῶν ἡμαρτημένων δικάζων ἡμῖν, καὶ σωφρονεστέρους ποιῶν, ἐξαρπάσῃ τῆς μελλούσης ἐκεῖ κρίσεως. ὅπερ οὖν καὶ ὁ Παῦλος λέγει· Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα ὑπὸ τοῦ Κυρίου. ἵνα οὖν μὴ τότε κολαζώμεθα, μὴ τότε εὐθύνας ὑπέχωμεν, ἕκαστος εἰς τὸ συνειδὸς εἰσελθέτω τὸ ἑαυτοῦ, καὶ τὴν ζωὴν ἀναπτύξας, καὶ ἅπαντα τὰ πεπλημμελημένα μετ' ἀκριβείας ἐπελθών, καταγινωσκέτω τῆς ψυχῆς τῆς ταῦτα ἐργασαμένης, κολαζέτω τοὺς λογισμούς, θλιβέτω, στενοχωρείτω τὴν ἑαυτοῦ διάνοιαν, δίκην ἑαυτὸν ἀπαιτείτω τῶν ἡμαρτημένων διὰ τῆς καταγνώσεως, διὰ τῆς μετανοίας τῆς ἠκριβωμένης, διὰ δακρύων, διὰ ἐξομολογήσεως, διὰ νηστείας καὶ ἐλεημοσύνης, διὰ ἐγκρατείας καὶ ἀγάπης, ἵνα παντὶ τρόπῳ δυνηθῶμεν πάντα ἐνταῦθα ἀποθέμενοι τὰ ἁμαρτήματα, μετὰ πολλῆς ἀπελθεῖν ἐκεῖ τῆς παρρησίας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, σὺν τῷ ἁγίῳ πνεύματι, δόξα, τιμή, καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. λθ. ΕΙΣ ΤΟΝ ΤΕΛΩΝΗΝ, ΚΑΙ ΕΙΣ ΤΟΝ ΦΑΡΙσαῖον, καὶ περὶ ταπεινοφροσύνης καὶ προσευχῆς.

Λουκ. ιη.

Καθάπερ, ἀδελφοί, νεφῶν συνδρομὴ παρὰ μὲν τὴν ἀρχὴν ζοφερὸν ποιεῖ τὸν ἀέρα· ἐπὰν δὲ ἐπαλλήλους ἀφῇ τὰς νιφάδας, ἀποθεμένη τὸν ὑετὸν ἅπαντα, γαληνὸν καὶ φαιδρὸν ἐργάζεται τόδε τὸ πᾶν· οὕτω δὴ καὶ ἀθυμία, ἕως μὲν ἔνδον συστρέφεται, σκοτοῖ τοὺς ἡμετέρους λογισμούς· ἐπειδὰν δὲ διὰ τῶν τῆς προσευχῆς ῥημάτων, καὶ τῶν μετ' ἐκείνης δακρύων ἐκκενωθῇ, καὶ εἰς τὸ ἔξω διαπνεύσῃ, πολλὴν ἐντίθησι τὴν φαιδρότητα, τῆς ἀντιλήψεως τοῦ Θεοῦ ἐν τῇ ψυχῇ, καθάπερ ἀκτῖνος, εἰς τὴν διάνοιαν ἀναφθείσης τοῦ εὐχομένου. ἀλλὰ τίς ὁ ψυχρὸς τῶν πολλῶν λόγος; ἀπαρρησίαστος, φησίν, εἰμί, αἰσχύνης γέμω, οὐδὲ ἀνοῖξαι τὸ στόμα δύναμαι. Σατανικὴ αὕτη ἡ εὐλάβεια· ῥᾳθυμίας ταῦτα παρακαλύμματα. ἀποκλεῖσαι γάρ σοι τὰς θύρας τῆς πρὸς τὸν Θεὸν εἰσόδου βούλεται ὁ διάβολος. ἀπαρρησίαστος, φησίν, εἰμί. μεγάλη μὲν οὖν παρρησία τοῦτο αὐτό, τὸ σαυτὸν νομίζειν ἀπαρρησίαστον εἶναι· ὥσπερ οὖν ἐσχάτη αἰσχύνη καὶ κατάκρισις, τὸ νομίζειν παρρησίαν ἔχειν. κἂν γὰρ πολλὰ ἔχῃς κατορθώματα, καὶ μηδὲν σαυτῷ συνειδῇς πονηρόν, νομίζῃς δὲ παρρησίαν ἔχειν, πάσης ἐξέπεσες σωτηρίας. κἂν μυρία ἔχῃς ἁμαρτήματα εἰς τὸ συνειδός, καὶ μόνον τοῦτο πείσῃς σαυτῷ, ὅτι πάντων ἔσχατος εἶ, πολλὴν ἕξεις πρὸς τὸν Θεὸν τὴν παρρησίαν· καίτοι τοῦτο οὔτε ταπεινοφροσύνη ἐστί, τὸ ὄντα ἁμαρτωλὸν λέγειν ἑαυτὸν ἁμαρτωλόν. ταπεινοφροσύνη ἐστίν, ὅταν τις πολλὰ καὶ μεγάλα συνειδὼς ἑαυτῷ κατορθώματα, μηδὲν μέγα περὶ ἑαυτοῦ φαντάζηται. καὶ γὰρ οὐχὶ τοὺς ταπεινοφρονοῦντας μόνον, ἀλλὰ καὶ τοὺς εὐγνωμόνως τὰ ἁμαρτήματα ἑαυτῶν καταλέγοντας προσίεται καὶ δέχεται, καὶ γίνεται ἵλεως καὶ εὐμενὴς τοῖς οὕτω διακειμένοις ὁ Θεός. ἵνα δὲ μάθῃς ὅσον ἐστὶν ἀγαθὸν μηδὲν μέγα περὶ ἑαυτοῦ φαντάζεσθαι, ἡνιόχους μοι δύο ποίησον τῷ λόγῳ ἐπὶ τὸ στάδιον ἐλθόντας, καὶ ἅρματα ζεύξαντας· τὸ μὲν δικαιοσύνην, καὶ ὑπερηφανίαν· τὸ δὲ ἕτερον, ἁμαρτίαν καὶ ταπεινοφροσύνην· καὶ ὄψει τὸ ζεῦγος τῆς ἁμαρτίας προλαμβάνον τὸ τῆς δικαιοσύνης, οὐ παρὰ τὴν οἰκείαν δύναμιν, ἀλλὰ παρὰ τὴν ἰσχὺν τῆς συζύγου ταπεινοφροσύνης· κἀκεῖνο πάλιν ἡττώμενον, οὐ παρὰ τὴν ἀσθένειαν τῆς δικαιοσύνης, ἀλλὰ παρὰ τὸ βάρος τῆς ὑπερηφανίας καὶ τὸν ὄγκον. ὥσπερ γὰρ ἡ ταπεινοφροσύνη διὰ τὸ ὑπερβάλλον αὐτῆς ὕψος τῆς ἁμαρτίας νικᾷ τὴν βαρύτητα, καὶ φθάνει πρὸς τὸν Θεὸν ἀναβῆναι· οὕτω δὴ καὶ ἡ ὑπερηφανία, διὰ τὸ πολὺ βάρος αὐτῆς καὶ τὸν ὄγκον, ἰσχύει τῆς κορυφαιοτάτης δικαιοσύνης περιγίνεσθαι, καὶ καθελκῦσαι κάτω ῥᾳδίως αὐτήν. καὶ ὅτι τοῦτο ἐκείνου τοῦ ζεύγους ταχύτερον, φέρε, εἰς μέσον προθῶμεν τὸ ἀρτίως ἡμῖν ὑπαναγνωσθὲν τοῦ εὐαγγελίου ῥητόν. Λουκ. ιη. ι. Ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι, ὁ εἷς φαρισαῖος, καὶ ὁ εἷς τελώνης. γρ. ἕτερος οἱ δύο ἡνίοχοι τῷ σταδίῳ ἐπέβησαν. ἔζευξεν ὁ φαρισαῖος δικαιοσύνην καὶ ὑψηλοφροσύνην· ὁ δὲ τελώνης ἁμαρτίαν καὶ ταπεινοφροσύνην. προσηύχετο ὁ φαρισαῖος ταῦτα λέγων· ὁ Θεὸς, εὐχαριστῶ σοι, ὅτι οὐκ εἰμὶ, ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοὶ, ἢ καὶ ὡς οὗτος ὁ τελώνης. ὢ τῆς μανίας, ὢ τῆς ὑπερόγκου ἀλαζονείας, ὢ τῆς ὑπερβαλλούσης μεγαλαυχίας. οὐκ ἐχώρησεν αὐτοῦ τὴν μανίαν πᾶσα τῶν ἀνθρώπων ἡ φύσις εἰς ὀνειδισμόν· γρ. ἐκόρεσεν ἀλλὰ καὶ τῷ τελώνῃ πλησίον ἑστῶτι, μετὰ πολλῆς ἐπεπήδησε τῆς ἀνοίας. τί οὖν ἐκεῖνος; ἀπεκρούσατο τὰ ὀνείδη; οὐκ ἤλγησεν ἐπὶ τῇ κατηγορίᾳ, ἀλλὰ κατεδέξατο τὸ εἰρημένον μετ' εὐγνωμοσύνης· καὶ γέγονε τὸ τοῦ ἐχθροῦ βέλος αὐτῷ φάρμακον ἰάσεως, καὶ τὸ ὄνειδος ἐγκώμιον, καὶ ἡ κατηγορία στέφανος. ὁ Θεὸς, εὐχαριστῶ σοι, ὅτι οὐκ εἰμὶ, ὡς οἱ πολλοὶ τῶν ἀνθρώπων, ἢ καὶ ὡς οὗτος ὁ τελώνης. νηστεύω δεύτερον τοῦ σαββάτου, ἀποδεκατῶ ὅσα κτῶμαι. γρ. δὶς τί λέγεις, ἄθλιε; ἐπὶ νηστείᾳ μεγαλαυχεῖς; οὐκ αἰσθάνῃ τοσαύτην ὑπεροψίαν νοσῶν; τὸν τῆς ὑπερβαλλούσης ἀλαζονείας τὸν ὄγκον οὐχ ὁρᾷς; Ματθ. κγ. κδ. Διϋλίζεις τὸν κώνωπα, τὴν δὲ κάμηλον καταπίνεις, καὶ νομομαθὴς σεαυτὸν λέγων, τὸ γεγραμμένον ἀγνοεῖς· Παροιμ. κζ. β. Ἐγκωμιαζέτω σε ὁ πέλας, καὶ μὴ τὸ σὸν στόμα· ἀλλότριος, καὶ μὴ τὰ σὰ χείλη. Λουκ. ιη. ιγ. Ὁ δὲ τελώνης μακρόθεν ἑστὼς, οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς ἐπᾶραι εἰς τὸν οὐρανὸν, ἀλλ' ἔτυπτε τὸ στῆθος αὐτοῦ, λέγων, ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. ἤκουσεν ὁ φιλάνθρωπος τῶν ταπεινῶν ῥημάτων, καὶ εὐθέως τὸν στέφανον ἐχαρίσατο. Λέγω δὲ ὑμῖν, κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ ὑπὲρ τὸν φαρισαῖον. τοσοῦτόν ἐστι ταπεινοφροσύνη καλὸν, τοσοῦτόν ἐστι τὸ κέρδος μὴ δάκνεσθαι ταῖς τῶν ἑτέρων λοιδορίαις, μηδὲ ἐκθηριοῦσθαι πρὸς τὰς τῶν πλησίον ὕβρεις. ἔστι γάρ τι καὶ ἀπ' αὐτῶν καρπώσασθαι μέγα καὶ γενναῖον ἀγαθὸν, ὅπερ καὶ ἐπὶ τοῦ τελώνου γέγονε. δεξάμενος γὰρ τὰ ὀνείδη, ἀπέθετο τὰ ἁμαρτήματα· καὶ εἰπὼν, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, κατῆλθε δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ ὑπὲρ ἐκεῖνον. καὶ λόγοι περιεγένοντο ἔργων, καὶ ῥήματα πράξεων ἐνίκησαν. ὁ μὲν γὰρ δικαιοσύνην προεβάλλετο, καὶ νηστείας καὶ δεκάτας· οὗτος δὲ ῥῆμα εἶπε ψιλὸν, καὶ πάντα ἀπέθετο τὰ ἁμαρτήματα. οὐ γὰρ τῶν ῥημάτων ἤκουσεν ὁ Θεὸς μόνον, ἀλλὰ καὶ τῆς διανοίας, ἐξ ἧς ταῦτα προεβάλλετο, καὶ τεταπεινωμένην εὑρὼν καὶ συντετριμμένην ψυχὴν, ἠλέησε καὶ ἐφιλανθρωπεύσατο. γρ. διάνοιαν

Ταῦτα δὲ οὐχ ἵνα ἁμαρτάνωμεν λέγω, ἀλλ' ἵνα ταπεινοφρονῶμεν. εἰ γὰρ τελώνης ἄνθρωπος, τὸ ἔσχατον τῆς κακίας εἶδος, οὐχὶ ταπεινοφρονήσας μόνον, ἀλλὰ καὶ εὐγνωμόνως τὰ ἁμαρτήματα εἰπὼν, καὶ ὅπερ ἦν ὁμολογήσας, τοσαύτην εὔνοιαν ἐπεσπάσατο παρὰ τοῦ Θεοῦ· πόσην οἱ μεγάλα μὲν κατωρθωκότες ἀγαθὰ, μηδὲν μέγα περὶ ἑαυτῶν νομίζοντες ἐπισπάσονται τὴν βοήθειαν αὐτοῦ; διὰ τοῦτο παρακαλῶ ἐξομολογεῖσθαι συνεχῶς. οὐδὲ γὰρ εἰς θέατρον σε ἄγω τῶν συνδούλων τῶν σῶν, οὐδὲ ἐκκαλύψαι τοῖς

ἀνθρώποις ἀναγκάζω τὰ ἁμαρτήματά σου. τὸ συνειδὸς ἀνάπτυξον ἔμπροσθεν τοῦ Θεοῦ,
αὐτῷ δεῖξον τὰ πράγματα καὶ τὰ τραύματα, καὶ παρ' αὐτοῦ τὰ φάρμακα αἴτησον· δεῖξον
τῷ μὴ ὀνειδίζοντι, ἀλλὰ θεραπεύοντι. κἂν γὰρ σὺ σιγήσῃς, οἶδεν ἐκεῖνος ἅπαντα. εἰπὲ
* πάντα τοίνυν, ἵνα κερδάνῃς· εἰπὲ, ἵνα * ἀποθέμενος, ἐκεῖ καθαρὸς ἀπέλθῃς τῶν πλημμελημάτων,
καὶ τῆς ἀφορήτου δημοσιεύσεως ἐκείνης ἀπαλλαγῇς. οἱ τρεῖς παῖδες ἐν καμίνῳ διῆγον,
χ. πα' ψυχάς καὶ τὴν ψυχὴν ἐπέδωκαν ὑπὲρ τῆς εἰς τὸν δεσπότην ὁμολογίας. ἀλλ' ὅμως μετὰ
τοσαῦτα καὶ τοιαῦτα κατορθώματα λέγουσιν· Οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα, αἰσχύνη καὶ Δαν. γ. λγ.
ὄνειδος ἐγενήθη τοῖς δούλοις σου. ἡμεῖς τοίνυν ἀνοίγομεν ἡμῶν τὸ στόμα, ἵνα αὐτὸ τοῦτο εἴπωμεν,
ὅτι οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα, καὶ αὐτῷ τούτῳ τὸν δεσπότην ἐπισπασώμεθα. εὐχῆς
δύναμις πυρὸς δύναμιν ἔσβεσε, λεόντων θυμὸν ἐχαλίνωσε, πολέμους ἔλυσε, μάχας ἔπαυσε,
χειμῶνας ἐπράϋνε, δαίμονας ἤλασεν, οὐρανοῦ πύλας ἀνέῳξε, δεσμὰ θανάτου διέκοψεν,
ἀρρωστίας ἐφυγάδευσεν, ἐπηρείας ἀπεκρούσατο, πόλεις σειομένας ἔστησε, καὶ τὰς ἄνωθεν
φερομένας πληγὰς, καὶ τὰς παρὰ ἀνθρώπων ἐπιβουλὰς, καὶ πάντα ἁπλῶς ἀνεῖλε
τὰ δεινά. εὐχὴν δὲ λέγω πάλιν, οὐ τὴν ἁπλῶς διὰ τοῦ στόματος προφερομένην,
ἀλλὰ τὴν ἐκ τοῦ βάθους τῆς καρδίας ἀνιοῦσαν. καθάπερ γὰρ τῶν δένδρων ὅσα ἂν
πρὸς τὸ βάθος καταπέμψῃ τὰς ῥίζας, κἂν μυρίας ἀνέμων δέξηται προσβολὰς, οὐ διακλᾶται,
οὐδὲ ἀνασπᾶται, τὴν ῥίζαν μετὰ ἀκριβείας τῷ βάθει τῆς γῆς περισφιγγομένων· οὕτω
δὴ καὶ εὐχαὶ αἱ κάτωθεν ἐκ τοῦ βάθους τῆς καρδίας ἀναπεμπόμεναι, ἐρριζωμέναι
μετὰ ἀσφαλείας, πρὸς ὕψος ἀνατείνονται, καὶ οὐδεμιᾷ προσβολῇ λογισμοῦ παρατρέπονται.
διὰ τοῦτο καὶ ὁ προφήτης φησίν· Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε. ταῦτα Ψαλ. ρκθ. α.
λέγω, οὐχ ἵνα ἐπαινῆτε μόνον, ἀλλ' ἵνα καὶ ἐπὶ τῶν ἔργων ἐπιδείκνυσθε. εἰ γὰρ τὸ πρὸς
ἀνθρώπους ἐξειπεῖν τὰς οἰκείας συμφορὰς, καὶ τὰ καταληφθέντα ἐκτραγῳδῆσαι κακὰ,
φέρει τινὰ τοῖς ὀδυνωμένοις παραμυθίαν, ὥσπερ τινὸς διαπνοῆς διὰ τοῦ λόγου γινομένης·
πολλῷ μᾶλλον, ἐὰν πρὸς τὸν δεσπότην τὸν σὸν ἀνακοινώσῃ τὰ τῆς οἰκείας ψυχῆς
πάθη, λήψῃ τινὰ ψυχαγωγίαν καὶ παραμυθίαν πολλήν. ἄνθρωπος μὲν γὰρ καὶ βαρύνεται
πολλάκις τὸν πρὸς αὐτὸν ἀποδυρόμενον καὶ θρηνοῦντα, καὶ διακρούεται καὶ
ἀπωθεῖται· ὁ δὲ Θεὸς οὐχ οὕτως, ἀλλὰ προσίεται καὶ ἐπισπᾶται, κἂν διημερεύσῃς ἀνακοινούμενος
αὐτῷ τὰς συμφορὰς, τότε σε μᾶλλον φιλεῖ καὶ ἐπινεύει σου ταῖς ἱκεσίαις. τοῦτο γοῦν
αὐτὸς ἐνδεικνύμενος ὁ Χριστὸς ἔλεγε· Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, Ματθ. ια. κη.
κἀγὼ ἀναπαύσω ὑμᾶς. καλεῖ, μὴ παρακούσωμεν· ἐπισπᾶται, μὴ ἀποπηδήσωμεν.
κἂν γὰρ μυρία ἁμαρτήματα ἔχωμεν, τότε μειζόνως προστρέχωμεν. καὶ γὰρ τοὺς τοιούτους καλεῖ.
Οὐ γὰρ ἦλθον, φησὶ, καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν. καλεῖ τοὺς ἐξ ὅλης Ματθ. θ. ιγ.
καρδίας λέγοντας, ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· καὶ ἐνταῦθα τοὺς πεφορτισμένους,
πεπονηκό- τὰ αἴτια τοὺς πεπονηκότας, τοὺς ἐκ τοῦ βάθους τῶν ἁμαρτημάτων κεκοπιακότας. Θεὸς
παρακλήσεως λέγεται, καὶ Θεὸς οἰκτιρμῶν, ἐπειδὴ τοῦτο ἔργον αὐτῷ διηνεκῶς τοὺς ὀδυνωμένους
παραμυθεῖσθαι καὶ παρακαλεῖν, κἂν μυρία ἁμαρτήματα ἔχωσι· μόνον ἐπιδῶμεν ἑαυτοὺς,
προσδράμωμεν, μόνον προσδράμωμεν αὐτῷ, καὶ μὴ ἀποστῶμεν, καὶ διὰ τῆς πείρας αὐτῆς εἰσόμεθα
τὴν εἰρημένων τὴν ἀλήθειαν, καὶ οὐδὲν ἡμᾶς τῶν ὄντων λυπῆσαι δυνήσεται, ἐὰν
ἔχωμεν ἐκτενῆ καὶ διηκριβωμένην εὐχήν· ὅπερ ἐὰν ἐπέλθῃ, ῥᾳδίως διὰ ταύτης ἀποκρουσόμεθα.
καὶ τί θαυμαστὸν, εἰ περιστάσεις ἀνθρωπίνας οἶδε λύειν εὐχῆς δύναμις, ὅπουγε
καὶ ἁμαρτημάτων φύσιν σβέννυσι καὶ ἀφανίζει ῥᾳδίως. ἵν' οὖν καὶ μετ' εὐκλείας τὸν παρόντα
διανύσωμεν βίον, καὶ ὅσα προσετρίψάμεθα ἁμαρτήματα, ταῦτα ἀποθώμεθα, καὶ μετὰ
παρρησίας στῶμεν ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ, τοῦτο διηνεκῶς κατασκευάζωμεν ἑαυτοῖς

τὸ φάρμακον, ἀπὸ δακρύων καὶ σπουδῆς καὶ προσεδρίας καὶ καρτερίας συντεθέντες αὐτό. οὕτω γὰρ διηνεκῶς ἀπολαύσομεν τῆς σωτηρίας, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ιωα. ε. α. καὶ ιζ.

Λογ. μ.

ΕΙΣ ΤΟΝ ΠΑΡΑΛΥΤΙΚΟΝ ΤΟΝ ΤΑ ΤΡΙΑκοντα ὀκτὼ ἔτη ἔχοντα ἐν τῇ ἀσθενείᾳ αὐτοῦ, καὶ εἰς τὸ, Ὅτι πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι.

Εὐλογητὸς ὁ Θεός· καθ' ἑκάστην σύναξιν αὐξανομένην ὁρῶ τὴν ἄρουραν, κομῶντα τὰ λήϊα, πεπληρωμένην τὴν ἅλωνα, πληθύνοντα τὰ δράγματα. καίτοιγε οὐ πολλὰς ἡμέρας ἔχομεν, ἐξ οὗ τὸν σπόρον τοῦτον κατεβάλομεν, καὶ ἰδοὺ πλούσιος ἡμῖν εὐθέως ὁ στάχυς τῆς ὑπακοῆς ἐβλάστησεν. ὅθεν δῆλον, ὅτι οὐκ ἀνθρωπίνη δύναμις, ἀλλὰ θεία χάρις ταύτην γεωργεῖ τὴν ἐκκλησίαν. καὶ γὰρ τοιαύτη ἡ φύσις τοῦ σπόρου τοῦ πνευματικοῦ. οὐκ ἀναμένει χρόνον, οὐ περιμένει πλῆθος ἡμερῶν, οὐκ ἐκδέχεται περιόδους μηνῶν, οὐδὲ ὥρας καὶ καιροὺς καὶ ἐνιαυτούς· ἀλλ' ἔστιν ἐν ἡμέρᾳ μιᾷ καταβαλόντα τὰ σπέρματα, μεστῷ καὶ πεπληρωμένῳ τῷ βραχίονι τοῦτον ἀμῆσαι τὸν ἀμητόν. οἱ μὲν γὰρ τὴν αἰσθητὴν ταύτην ἀνατέμνοντες γῆν, πολλῆς δέονται τῆς πραγματείας, καὶ μακρᾶς τῆς ἀναβολῆς. καὶ γὰρ καὶ βοῦς ἀροτῆρας ὑπὸ τὴν ζεύγλην ἄγειν ἀναγκάζονται, καὶ βαθεῖαν αὔλακα τέμνειν, καὶ δαψιλῆ τὰ σπέρματα καταβάλλειν, καὶ τὴν ἐπιφάνειαν ἐξομαλίσαι τῆς γῆς, καὶ τὰ καταβληθέντα πάντα περιστεῖλαι, καὶ ἀναμεῖναι συμμέτρους ὄμβρων φορὰς, καὶ πολλὰ ἕτερα φιλοπονῆσαι, καὶ πολὺν ἐκδέξασθαι χρόνον, καὶ τότε τοῦ τέλους ἐπιτυχεῖν. ἐνταῦθα δὲ καὶ ἐν θέρει, καὶ ἐν χειμῶνι καὶ σπείρειν καὶ ἀμᾶσθαι ἔνι. καὶ ἐν αὐτῇ τῇ ἡμέρᾳ πολλάκις ἀμφότερα γέγονε, καὶ μάλιστα ὅταν λιπαρὰ καὶ πίων τύχῃ οὖσα ἡ γεωργουμένη ψυχή· ὃ δὴ καὶ ἐφ' ὑμῶν ἔστιν ἰδεῖν. διὸ καὶ ἡμεῖς πρὸς ὑμᾶς προθυμότερον τρέχομεν· ἐπεὶ καὶ γεωργὸς ἐκείνην ἐργάζεται τὴν ἄρουραν ἐπιτήδειον, ἀφ' ἧς τὴν ἅλωνα πολλάκις ἐνέπλησεν. ἐπεὶ οὖν καὶ ὑμεῖς ἐξ ὀλίγου πόνου πολλὴν ἡμῖν παρέχετε τὴν πρόσοδον, μετὰ πολλῆς τῆς προσοχῆς τῆς γεωργίας ἁπτόμεθα ταύτης, καὶ τῶν πρότερον εἰρημένων τὰ λείψανα ὑμῖν κομίζοντες ἥκομεν. τότε μὲν οὖν ἀπὸ τῆς παλαιᾶς τοὺς λόγους ὑφήναμεν τοὺς περὶ τῆς δόξης τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ· νυνὶ δὲ ἀπ' αὐτῆς τὸ αὐτὸ τοῦτο ποιήσωμεν. τότε [οὖν] ἐλέγομεν, ὅτι ὁ Χριστὸς ἔλεγεν· Εἰ ἐπιστεύετε Μωϋσῇ, ἐπιστεύετε ἂν ἐμοί· νυνὶ δὲ λέγομεν, ὅτι εἶπε Μωϋσῆς, Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμὲ, αὐτοῦ ἀκούσεσθε. ὥσπερ γὰρ ὁ Χριστὸς πρὸς τὸν Μωϋσέα παραπέμπει, ἵνα δι' ἐκείνου πρὸς ἑαυτὸν ἐπισπάσηται, οὕτως ὁ Μωϋσῆς τῷ διδασκάλῳ παραδίδωσι τοὺς μαθητὰς, κελεύων αὐτῷ κατὰ πάντα πείθεσθαι. πειθώμεθα τοίνυν, οἷς ἂν ποιῇ καὶ λέγῃ, τοῖς τε ἄλλοις ἅπασι, καὶ τούτῳ τῷ σήμερον ἀναγνωσθέντι ἡμῖν σημείῳ. τί δὲ τοῦτό ἐστιν; Ἦν, φησιν, ἑορτὴ τῶν Ἰουδαίων, καὶ ἀνέβη Ἰησοῦς εἰς Ἱεροσόλυμα. ἔστι δὲ ἐν τοῖς Ἱεροσολύμοις προβατικὴ κολυμβήθρα, ἡ λεγομένη Ἑβραϊστὶ Βηθεσδᾶ, πέντε στοὰς ἔχουσα, εἰς ἣν λόγος ἔχει παραγινόμενον ἄγγελον κατὰ καιρὸν καταδύεσθαι. καὶ τοῦτο γινώσκεσθαι διὰ τὴν τοῦ ὕδατος κίνησιν· τὸν οὖν πρῶτον ἐμβάντα μετὰ τὸν ἐν τῷ ὕδατι κλύδωνα, ὑγιῆ γίνεσθαι, ὅ, τι δήποτε ἄρρωστημα ἔχοντα. ἐν ταύταις οὖν κατέκειτο ταῖς στοαῖς πλῆθος ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν, ἐκδεχομένων τὴν

Ιωαν. ε. μϛ.

Δευτ. ιη. ιε.

Ιωαν. ε. α.

τοῦ ὕδατος κίνησιν. τίνος οὖν ἕνεκεν τὰ Ἱεροσόλυμα συνεχῶς ὁ Χριστὸς καταλαμβάνει, καὶ ἐν ταῖς ἑορταῖς ἐπιχωριάζει τοῖς Ἰουδαίοις; ἐπειδὴ τότε τὸ πλῆθος συνελέγετο, καὶ τὸν τόπον ἐκεῖνον καὶ τὸν καιρὸν παρετήρει, ὥστε ἐπιλαβέσθαι τῶν ἀσθενούντων. οὐ γὰρ τοσαύτην οἱ κάμνοντες εἶχον ἐπιθυμίαν ἀπαλλαγῆναι τῶν νοσημάτων, ὅσην ὁ ἰατρὸς ἐπεποίητο σπουδὴν ἀπαλλάξαι αὐτοὺς τῆς ἀρρωστίας. ὅτε τοίνυν πλήρης ὁ σύλλογος αὐτῶν ἦν, καὶ ἀπηρτισμένον τὸ θέατρον, τότε εἰς μέσον ἐρχόμενος, τὰ πρὸς τὴν σωτηρίαν τῆς ἐκείνων ψυχῆς ἐπεδείκνυτο. κατέκειτο τοίνυν πλῆθος ἀσθενούντων ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν, καὶ ὁ μὲν πρῶτος καταβαίνων ἐθεραπεύετο μετὰ τὴν τοῦ ὕδατος κίνησιν, ὁ δὲ δεύτερος οὐκέτι· ἀλλ' ἀνήλωτο τὸ φάρμακον, ἐδαπάνητο ἡ ἰατρεία τῆς χάριτος, λοιπὸν ἔρημα τὰ ὕδατα ἔμενε, τῆς τοῦ πρώτου καταβαίνοντος ἀρρωστίας ἅπαν ἀναμαξαμένης αὐτό. καὶ μάλα εἰκότως. δουλικὴ γὰρ ἦν ἡ χάρις. ἀλλ' οὐχ ὅτε ὁ δεσπότης παρεγένετο, οὕτως ἐγίνετο, οὐδὲ ὁ πρῶτος καταβαίνων εἰς τὴν κολυμβήθραν τῶν ὑδάτων τοῦ βαπτίσματος ἐθεραπεύετο μόνος, ἀλλὰ καὶ ὁ πρῶτος, καὶ ὁ δεύτερος, καὶ ὁ τρίτος, καὶ ὁ τέταρτος, καὶ ὁ δέκατος, καὶ ὁ εἰκοστός· κἂν μυρίους εἴπῃς, κἂν δὶς τοσούτους, κἂν τρὶς, κἂν ἀπείρους τῷ πλήθει, κἂν τὴν οἰκουμένην ἅπασαν ἐμβάλῃς εἰς τὴν κολυμβήθραν τῶν ὑδάτων, οὐδὲ κατὰ μικρὸν ἐλαττοῦται ἡ χάρις, ἀλλ' ἡ αὐτὴ μένει, πάντας ἐκείνους καθαίρουσα. τοσοῦτον τὸ μέσον δουλικῆς δυνάμεως, καὶ δεσποτικῆς αὐθεντίας. ἐκεῖνος ἕνα ἐθεράπευσεν, οὗτος τὴν οἰκουμένην ἅπασαν· ἐκεῖνος διὰ τοῦ ἐνιαυτοῦ ἕνα, οὗτος καθ' ἑκάστην ἡμέραν, εἰ βούλει μυρίους ἐμβάλλειν, ἅπαντας ὑγιαίνοντας ἀποδίδωσιν· ἐκεῖνος καταβαίνων, καὶ ταράττων τὸ ὕδωρ· οὗτος οὐχ οὕτως· ἀλλ' ἀρκεῖ ψιλὴν αὐτοῦ καλέσαι τὴν προσηγορίαν ἐπὶ τῶν ὑδάτων μόνον, καὶ πᾶσαν αὐτοῖς ἐναποθέσθαι θεραπείας ὑπόθεσιν· κἀκεῖνος μὲν σωμάτων πήρωσιν ἰᾶτο, οὗτος δὲ ψυχῆς κακίαν διορθοῦται. ὁρᾷς πῶς διὰ πάντων πολὺ τὸ μέσον καὶ ἄπειρον φαίνεται; κατέκειτο τοίνυν πλῆθος ἀσθενούντων ἀναμένον τὴν τοῦ ὕδατος κίνησιν. καὶ γὰρ ἰατρεῖον ἦν ὁ τόπος πνευματικόν. καθάπερ οὖν ἐν ἰατρείῳ πολλούς ἐστιν ἰδεῖν τὸν ὀφθαλμὸν ἐκκεκομμένους, πεπηρωμένους τὸ σκέλος, ἄλλο μέλος ἀρρωστοῦντας, εἶτα κοινῇ πάντας συγκαθημένους, καὶ τὸν ἰατρὸν ἀναμένοντας· οὕτω δὴ καὶ ἐν ἐκείνῳ τῷ χωρίῳ τὸ πλῆθος τῶν συνεληλυθότων ἦν ἰδεῖν. ἐν ταύταις ταῖς στοαῖς ἦν τις ἄνθρωπος τριάκοντα καὶ ὀκτὼ ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ αὐτοῦ. τοῦτον ἰδὼν ὁ Ἰησοῦς κατακείμενον, καὶ γνοὺς ὅτι ἤδη πολὺν χρόνον ἔχει, λέγει αὐτῷ· θέλεις ὑγιὴς γενέσθαι; ἀπεκρίθη αὐτῷ ὁ ἀσθενὴς, καὶ εἶπε, ναὶ, Κύριε· ἄνθρωπον δὲ οὐκ ἔχω, ἵν', ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν· ἐν ᾧ δὲ ἐγὼ ἔρχομαι, ἄλλος πρὸ ἐμοῦ καταβαίνει. τίνος ἕνεκεν οὖν ἄλλους πάντας παραδραμὼν ὁ Ἰησοῦς, πρὸς τοῦτον ἦλθεν; ἵνα καὶ τὴν δύναμιν, καὶ τὴν φιλανθρωπίαν ἐνδείξηται· τὴν δύναμιν μὲν, ὅτι τὸ νόσημα λοιπὸν ἀνίατον ἐγεγόνει, καὶ εἰς ἀμηχανίαν περιειστήκει τὰ τῆς ἀρρωστίας αὐτῷ· τὴν δὲ φιλανθρωπίαν, ὅτι τὸν μάλιστα ἄξιον ὄντα ἐλέους καὶ εὐεργεσίας, τοῦτον πρὸ τῶν ἄλλων εἶδεν ὁ κηδεμὼν, καὶ φιλάνθρωπος.

ἐφθαλ-

Μὴ δὴ παραδράμωμεν ἁπλῶς τὸ χωρίον, μηδὲ τὸν ἀριθμὸν τῶν τριάκοντα καὶ ὀκτὼ ἐτῶν, ὧν εἶχεν ἐν τῇ ἀσθενείᾳ αὐτοῦ. ἀκουέτωσαν ἅπαντες, ὅσοι πενίᾳ παλαίουσι διηνεκεῖ, ὅσοι καὶ ἀρρωστίᾳ συζῶσιν, ὅσοι περιστάσεις ὑπομένουσι πραγμάτων βιωτικῶν, ὅσοι χειμῶνα καὶ κλυδώνιον τῶν ἀδοκήτων ὑπέστησαν κακῶν. κοινὸς οὗτος ὁ παραλυτικὸς κεῖται λιμὴν τῶν ἀνθρωπίνων συμφορῶν. οὐδεὶς γὰρ οὕτως ἠλίθιος, οὐδεὶς οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὡς πρὸς τοῦτον ἀφορῶντα, μὴ πάντα τὰ ἐπαγόμενα φέρειν γενναίως καὶ μετὰ προθυμίας ἁπάσης. εἰ γὰρ εἴκοσιν ἔτη ἦν, εἰ γὰρ δέκα, εἰ γὰρ πέντε μόνον, οὐκ ἦν ἱκανὰ διαλῦσαι αὐτοῦ τὸν τόνον τῆς ψυχῆς; ὁ δὲ τριάκοντα καὶ ὀκτὼ ἔτη μένει, καὶ οὐκ ἀφίσταται, καὶ πολλὴν ἐπιδείκνυται τὴν ὑπομονήν. τάχα ὑμῖν θαυμαστὸν εἶναι δοκεῖ τοῦ χρόνου τὸ

μήκους, ἀλλ' ἐὰν ἀκούσητε αὐτῶν τῶν ῥημάτων, τότε μάλιστα εἴσεσθε αὐτοῦ τὴν φιλοσοφίαν, καὶ τὴν ὑπομονὴν ἅπασαν. ἐπέστη ὁ Ἰησοῦς, καὶ λέγει αὐτῷ· Θέλεις ὑγιὴς γενέσθαι; καὶ τίς ἂν τοῦτο ἠγνόησεν, ὅτι ἐβούλετο γενέσθαι ὑγιής; τίνος οὖν ἕνεκεν ἐρωτᾷ; οὐκ ἀγνοῶν· ὁ γὰρ τὰ ἀπόρρητα τῆς διανοίας εἰδώς, πολλῷ μᾶλλον τὰ δῆλα καὶ σαφῆ πᾶσιν ἠπίστατο. Ματθ. η. τίνος ἕνεκεν ἠρώτα; ὥσπερ τότε τῷ ἑκατοντάρχῃ φησίν, Ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν, οὐκ ἀγνοῶν ἅπερ ἤμελλεν ἐρεῖν, ἀλλὰ προειδὼς καὶ σφόδρα ἀκριβῶς ἐπιστάμενος, καὶ βουλόμενος ἀρχὴν αὐτῷ δοῦναι καὶ πρόφασιν, ὥστε τὴν ἐν σκιᾷ ἐκκαλύψαι πᾶσιν εὐλάβειαν, καὶ εἰπεῖν, Μή, Κύριε· οὐ γάρ εἰμι ἄξιος, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς· οὕτω καὶ ἐπὶ τοῦ παραλελυμένου τούτου εἰδὼς ἅπερ ἤμελλεν ἐρεῖν, ἐρωτᾷ εἰ βούλοιτο θεραπευθῆναι, οὐκ ἐπειδὴ ἠγνόει τοῦτο, ἀλλ' ἵνα παράσχῃ αὐτῷ τινα πρόφασιν καὶ ἀφορμὴν ἐκτραγῳδῆσαι τὴν οἰκείαν συμφοράν, καὶ γενέσθαι διδάσκαλον ὑπομονῆς. εἰ γὰρ σιγῇ τὸν ἄνθρωπον ἐθεράπευσεν, ἐζημιώθημεν ἂν ἡμεῖς ζημίαν τὴν ἐσχάτην, μὴ μαθόντες αὐτοῦ τῆς ψυχῆς τὴν καρτερίαν. ὁ δὲ Χριστὸς οὐ τὰ παρόντα διορθοῦται μόνον, ἀλλὰ καὶ τὰ μέλλοντα πολλῆς ἀξιοῖ τῆς ἐπιμελείας. διδάσκαλον τοίνυν ὄντα αὐτὸν καρτερίας καὶ ὑπομονῆς ἅπασιν ἐξεκάλυψε τοῖς τὴν οἰκουμένην οἰκοῦσι, διὰ τῆς ἐρωτήσεως εἰς ἀνάγκην αὐτὸν ἀποκρίσεως ἐμβαλών. Θέλεις ὑγιὴς γενέσθαι; τί οὖν ἐκεῖνος; οὐκ ἐδυσχέρανεν, οὐκ ἠγανάκτησεν, οὐκ εἶπε πρὸς τὸν ἐρωτήσαντα, ὁρᾷς με παραλελυμένον, τὸν χρόνον ἔγνως τὸν μακρὸν τῆς ἐμῆς ἀρρωστίας, καὶ ἐρωτᾷς εἰ βούλομαι γενέσθαι ὑγιής; ταῖς ἐμαῖς ἦλθες ἐπιγελάσαι συμφοραῖς, καὶ ἀλλότρια κωμῳδῆσαι κακά; ἴστε γὰρ ὡς μικρόψυχοι οἱ ἄρρωστοι εἰσιν, εἰ καὶ ἐνιαυτὸν μόνον ἐπὶ κλίνης κατακλιθεῖεν· ὅπου δὲ τριάκοντα καὶ ὀκτὼ ἔτη τὸ νόσημα παρετάθη, πῶς οὐκ εἰκὸς ἅπασαν ἀνηλῶσθαι φιλοσοφίαν ἐν μακρῷ τῷ χρόνῳ δαπανηθεῖσαν; ἀλλ' ὅμως οὐδὲν τοιοῦτον οὔτε εἶπεν, οὔτε ἐνενόησεν ἐκεῖνος, ἀλλὰ μετὰ πολλῆς τῆς ἐπιεικείας ποιεῖται τὴν ἀπόκρισιν, καί φησι, Ναί, Κύριε· ἀλλ' ὅτι ἄνθρωπον οὐκ ἔχω, ἵν', ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν. ὅρα πόσα συνῆλθεν ὁμοῦ, καὶ τὸν ἄνθρωπον ἐπολιόρκει· νόσος, καὶ πενία, καὶ ἐρημία τῶν προστησομένων. ἐν ᾧ δὲ ἐγὼ ἔρχομαι, ἄλλος πρὸ ἐμοῦ καταβαίνει. τοῦτο πάντων ἐλεεινότερον, καὶ λίθον αὐτὸν ἱκανὸν ἐπικάμψαι. καὶ γὰρ ὁρᾶν μοι δοκῶ τὸν ἄνθρωπον ἕρποντα καθ' ἕκαστον ἐνιαυτόν, καὶ πρὸς αὐτὸ τὸ στόμα τῆς κολυμβήθρας γινόμενον, καὶ ἐν αὐτῷ τῷ τέλει τῆς χρήσεως ἐκκρεμάμενον ἐλπίδος καθ' ἕκαστον ἐνιαυτόν. καὶ τὸ δὴ μεῖζον, ὅτι ταῦτα ὑπέμεινεν οὐκ ἐπὶ δύο καὶ τρισὶ καὶ δέκα ἔτεσιν, ἀλλ' ἐπὶ ὀκτὼ καὶ τριάκοντα. καὶ τὴν μὲν σπουδὴν ἐπεδείκνυτο πᾶσαν, τοῦ δὲ καρποῦ ἐξέπιπτε· καὶ ὁ μὲν δρόμος ἐγίνετο, τοῦ δὲ δρόμου τὸ βραβεῖον ἑτέρου ἐπὶ τοῖς πολλοῖς ἐκείνοις ἔτεσι. καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ ἄλλους ἀπαλλαττομένους ἑώρα. ἴστε γὰρ δὴ τοῦτο, ὅτι τῶν οἰκείων κακῶν ἀκριβεστέραν αἴσθησιν λαμβάνομεν, ὅταν ἑτέρους τοῖς αὐτοῖς περιπεσόντας δεινοῖς, καὶ ἀπαλλαγέντας ἴδωμεν. διὰ τοῦτο καὶ ὁ πένης, ὅταν ἴδῃ πλουτοῦντα ἕτερον, τότε μᾶλλον τῆς οἰκείας αἰσθάνεται πενίας· καὶ ὁ νοσῶν πλέον ὀδυνᾶται, ὅταν πολλοὺς τῶν καμνόντων ἴδῃ τὴν ἀρρωστίαν ἀποθεμένους, αὐτὸν δὲ οὐδεμίαν ἔχοντα χρηστὴν ἐλπίδα. ἐν γὰρ ταῖς ἑτέρων εὐπραγίαις τὰς οἰκείας σαφέστερον καθορῶμεν συμφοράς· ὃ δὴ καὶ τούτῳ τότε συνέβαινεν. ἀλλ' ὅμως καὶ νοσήματι καὶ πενίᾳ καὶ ἐρημίᾳ ἐπὶ τοσοῦτον χρόνον παλαίων, καὶ ἑτέρους ὁρῶν ἀπαλλαττομένους, καὶ αὐτὸν ἐπιχειρήσαντα μὲν ἀεί, ἰσχύοντα δὲ οὐδέποτε, καὶ οὐδὲ μετὰ ταῦτα πάλιν ἐλπίζων ἀπαλλαγήσεσθαι τοῦ δεινοῦ, οὐδὲ οὕτως ἀφίστατο, ἀλλὰ κατ' ἐνιαυτὸν ἐπέτρεχεν. ἡμεῖς δὲ ἐὰν ἅπαξ πρὸς τὸν Θεὸν δεξώμεθα περὶ ὁτουοῦν, καὶ μὴ λάβωμεν, εὐθέως ἀλύομεν, καὶ εἰς ἀκηδίαν ἐσχάτην ἐμπίπτομεν· ὡς τῆς αἰτήσεως ἀφιστάμεθα, ἐκλυόμεν τὴν σπουδήν. ἆρά ἐστι κατ' ἀξίαν, ἢ τὸν παραλυτικὸν ἐπαινέσαι, ἢ τὴν ἡμετέραν κακίσαι ῥᾳθυμίαν; ποίας γὰρ ἂν εἴημεν ἀπολογίας ἄξιοι, ποίας δὲ συγγνώμης, ὅταν ἐκείνου τριάκοντα καὶ ὀκτὼ καρτερήσαντος ἔτη, ἡμεῖς οὕτω ταχέως ἀναπίπτωμεν; τί οὖν ὁ Χριστός; ὅτε ἔδειξεν, ὅτι θεραπείας ἄξιός ἐστι, καὶ δικαίως πρὸ τῶν ἄλλων ἐπ' αὐτὸν ἦλθε, καὶ λέγει αὐτῷ· ἔγειραι, ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει. ὁρᾷς πῶς οὐδὲν ἀπὸ τῶν τριάκοντα καὶ ὀκτὼ ἐτῶν παρεβλάβη, ἐπειδὴ μεθ' ὑπομονῆς ἤνεγκε τὸ συμβάν; ἥ τε γὰρ ψυχὴ φιλοσοφωτέρα αὐτῷ ἐν τῷ μακρῷ τούτῳ γέγονε χρόνῳ, ὥσπερ ἐν χωνευτηρίῳ τῇ συμφορᾷ δοκιμαζομένη, τήν τε ἰατρείαν μετὰ πλείονος ἀπελάμβανε δόξης. οὐ γὰρ ἄγγελος, ἀλλ' αὐτὸς ὁ τῶν ἀγγέλων ἐθεράπευεν αὐτὸν δεσπότης. τίνος δὲ ἕνεκεν καὶ τὴν κλίνην αὐτῷ ἐκέλευσε λαβεῖν; ἑνὸς μὲν μάλιστα καὶ πρώτου, ἵνα ἀπαλλάξῃ λοιπὸν τοὺς Ἰουδαίους τῆς τοῦ νόμου παρατηρήσεως. τοῦ γὰρ ἡλίου φανέντος, οὐκ ἔτι τῷ λύχνῳ προσεδρεύειν ἔδει· τῆς ἀληθείας δειχθείσης, οὐκ ἔτι τὸν τύπον περιέχειν ἐχρῆν. διὰ τοῦτο, εἴ ποτε σάββατον ἔλυε, μέγιστον ἐν αὐτῷ σημεῖον εἰργάζετο, ἵνα ἡ τοῦ θαύματος ὑπερβολὴ τοὺς ὁρῶντας ἐκπλήττουσα, τὴν τῆς ἀργίας παρατήρησιν κατὰ μικρὸν ὑποσύρουσα ἐξέλῃ. δεύτερον δὲ, ἵνα ἐπιστομίσῃ αὐτῶν τὰ ἀναίσχυντα στόματα. ἐπειδὴ γὰρ περὶ τὴν κρίσιν τῶν θαυμάτων ἐκακούργουν, καὶ τῇ δόξῃ τῶν γινομένων ἐπηρεάζειν ἐπεχείρουν, ὥσπερ τι τρόπαιον καὶ ἔλεγχον ἀναμφισβήτητον τῆς ὑγείας, τὴν φορὰν τῆς κλίνης ἐκέλευεν ἐπιδείκνυσθαι· ἵνα μὴ, ὅπερ ἐπὶ τοῦ τυφλοῦ ἔλεγον, τοῦτο καὶ ἐπὶ τούτου λέγωσι. τί δὲ ἔλεγον ἐπὶ ἐκείνου; οὗτός ἐστιν, οὐκ ἔστιν οὗτος, αὐτός ἐστιν. Ἰωαν. θ. θ. ἵνα μὴ οὖν καὶ ἐπὶ τούτου λέγωσι τὰ τοιαῦτα, ἡ κλίνη κατήγορος αὐτῶν τῆς ἀναισχυντίας γίνεται, ἐφ' ὕψους φερομένη. ἔστι τι καὶ τρίτον εἰπεῖν, τῶν εἰρημένων οὐκ ἔλαττον. ἵνα γὰρ μάθῃς, ὅτι οὐκ ἀνθρωπίνη τέχνη, ἀλλ' ἡ θεία δύναμις τὸ πᾶν εἰργάσατο, ἐκέλευσεν αὐτῷ φέρειν τὴν κλίνην, τῆς ἀληθοῦς καὶ εἰλικρινοῦς ὑγιείας μεγίστην παρέχων ἀπόδειξιν καὶ σαφῆ· ἵνα μή τις τῶν βλασφήμων ἐκείνων λέγῃ, ὅτι συνυποκρινόμενος ὁ παραλυτικὸς, καὶ τῷ Χριστῷ χαριζόμενος, ἐσχηματίσατο βαδίζειν ψιλῶς. διὰ τοῦτο καὶ φορτίον ἐπὶ τῶν ὤμων αὐτοῦ κελεύει φέρειν. εἰ γὰρ μὴ ἦν πεπηγότα αὐτῷ καλῶς τὰ μέλη, καὶ τὰ ἄρθρα σφιγγόμενα, οὐκ ἂν ἐδυνήθη βαστάσαι τοσοῦτον ὄγκον ἐπὶ τῶν ὤμων. καὶ πρὸς τούτοις δὲ ἅπασι κἀκεῖνο ἐδείκνυτο, ὅτι ὑφ' ἓν ἅπαντα γίνεται, ὅταν ὁ Χριστὸς προστάττῃ, καὶ ἀπαλλαγὴ νόσου, καὶ ὑγιείας ἐπάνοδος. οἱ μὲν γὰρ ἰατροὶ κἂν ἀπαλλάξωσι νοσημάτων, ἀλλ' ὑφ' ἓν πρὸς ὑγείαν ἐπαναγαγεῖν τοὺς ἀρρωστοῦντας οὐκ ἰσχύουσιν, ἀλλ' ἑτέρου δέονται μακροῦ χρόνου τοῦ τῆς ἀναλήψεως, ὥστε τὰ λείψανα τῆς ἀρρωστίας κατὰ μικρὸν ἀποξύσαι τοῦ σώματος, καὶ ἐκβαλεῖν. ὁ δὲ Χριστὸς οὐχ οὕτως· ἀλλ' ἐν μιᾷ καιροῦ ῥοπῇ καὶ τῆς ἀρρωστίας ἀπήλλαξε, καὶ τὴν ὑγείαν ἐπανήγαγε, καὶ μέσος οὐδεὶς ἐγένετο χρόνος, ἀλλ' ἅμα τῆς ἁγίας γλώττης ἐξεπήδησεν ἡ ἱερὰ ἐκείνη φωνὴ, καὶ τὸ νόσημα τοῦ σώματος ἐδραπέτευε, καὶ ὁ λόγος ἔργον ἐγένετο, καὶ ἡ ἀρρωστία πᾶσα πανταχόθεν ἐθεραπεύετο. καὶ καθάπερ θεράπαινά τις στασιάζουσα, ἐπειδὰν ἴδῃ τὸν ἑαυτῆς δεσπότην, συστέλλεται, καὶ πρὸς εὐταξίαν τὴν προσήκουσαν ἐπανέρχεται· οὕτω καὶ ἡ φύσις τοῦ σώματος, καθάπερ θεράπαινά τις τότε στασιάσασα, καὶ τὴν πάρεσιν ἐργασαμένη, ἐπειδὴ τὸν δεσπότην εἶδε τὸν ἑαυτῆς παραγενόμενον, πρὸς τὴν οἰκείαν ἐπανῆλθεν εὐταξίαν, καὶ τὸν πρέποντα κόσμον ἀνέλαβε· καὶ ταῦτα πάντα ἡ φωνὴ εἰργάσατο. οὐ γὰρ ἦν ψιλὰ τὰ ῥήματα, ἀλλὰ ῥήματα Θεοῦ, περὶ ὧν φησιν, ὅτι ἰσχυρὰ ἔργα λόγων αὐτοῦ. Ἰωήλ. β. ια. εἰ γὰρ οὐκ ὄντα ἄνθρωπον ἐποίησε, πολλῷ μᾶλλον σαθρωθέντα καὶ διαλυθέντα πάλιν ἐπανώρθωσεν.

Ἐνταῦθα ἡδέως ἂν ἐροίμην τοὺς πολυπραγμονοῦντας τοῦ Θεοῦ τὴν οὐσίαν, πῶς συνῆλθε τὰ μέλη ἐκεῖνα; πῶς ἐσφίγγετο τὰ ὀστᾶ; πῶς ὁ τόνος τῆς γαστρὸς ὁ διαλελυμένος ἐρρώννυτο; πῶς τὰ χαλασθέντα νεῦρα πάλιν ἐτείνοντο, καὶ ἡ καταβληθεῖσα δύναμις ἀνίστατο καὶ ἀνωρθοῦτο; ἀλλ' οὐκ ἂν ἔχοιεν. τὸ πῶς εἰσῆλθεν. οὐκοῦν θαύμαζε τὸ γεγενημένον μόνον, μὴ περιεργάζου τὸν τρόπον. ἐπειδὴ τοίνυν ἐποίησε τὸ προσταχθὲν, καὶ τὴν κλίνην ἔλαβεν, ἰδόντες αὐτὸν οἱ Ἰουδαῖοι, λέγουσι· Σάββατόν ἐστι, καὶ οὐκ ἔξεστιν ἆραι τὸν κράββατόν σου ἐν σαββάτῳ. (Ἰωαν. ε. ι. ια.) δέον προσκυνῆσαι τὸν ἐργασάμενον, δέον θαυμάσαι τὸ γεγενημένον, οἱ δὲ περὶ σαββάτου διαλέγονται, ἀληθῶς οἱ τὸν κώνωπα διϋλίζοντες, καὶ τὴν κάμηλον καταπίνοντες. τί οὖν ἐκεῖνος; Ὁ ποιήσας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν, ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει. ὁρᾷς εὐγνωμοσύνην ἀνθρώπου; ὁμολογεῖ τὸν ἰατρὸν, καὶ ἀξιόπιστόν φησιν εἶναι τοῦ προστάγματος τὸν νομοθέτην. καὶ ὥσπερ αὐτίκα ὁ τυφλὸς συνελογίσατο, οὕτω καὶ οὗτος. (γ. αὐτὶς) πῶς δὲ ἐκεῖνος συνελογίσατο; ἔλεγον αὐτῷ ὅτι οὗτος ὁ ἄνθρωπος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, ὅτι τὸ σάββατον οὐ τηρεῖ. (Ἰωαν. θ. ις.) τί οὖν ἐκεῖνος; οἴδαμεν, φησὶν, ὅτι ἁμαρτωλῶν ὁ Θεὸς οὐκ ἀκούει· οὗτος δὲ ἤνοιξέ μου τοὺς ὀφθαλμούς. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· εἰ παρέβη τὸν νόμον, ἥμαρτεν· εἰ δὲ ἥμαρτεν, οὐκ ἂν τοσοῦτον ἴσχυσεν. ἔνθα γὰρ ἁμαρτία, ἐπίδειξις δυνάμεως οὐκ ἔστιν. ἀλλὰ μὴν ἴσχυσεν, οὐκ ἄρα ἥμαρτε παραβὰς τὸν νόμον. οὕτω καὶ οὗτος συλλογίζεται. τὸ γὰρ εἰπεῖν, ὁ ποιήσας με ὑγιῆ, τοῦτο ᾐνίξατο, ὅτι εἰ οὗτός ἐστιν ὁ (γ. τῷ) ἐπιδειξάμενος δύναμιν, ὡς οὐκ ἂν εἴη δίκαιος παρανομίας ἐγκλήμασιν ὑπεύθυνος γίνεσθαι. τί οὖν οὗτοι; ποῦ ἐστιν ὁ ἄνθρωπος ὁ εἰπών σοι, ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει; ὅρα τὴν ἀγνωμοσύνην καὶ τὴν ἀναισθησίαν, ὅρα ψυχὴν ἀλαζονείας γέμουσαν. οἱ γὰρ τῶν φθονούντων ὀφθαλμοὶ ὑγιὲς μὲν οὐδὲν βλέπουσιν, ὅθεν δέ ἐστι λαβὴν εὑρεῖν μόνον· οὕτω καὶ οὗτοι, τοῦ θεραπευθέντος ἀμφότερα ὁμολογήσαντος, καὶ ὅτι ἐθεράπευσε, καὶ ὅτι ἐκέλευσεν ἆραι τὴν κλίνην, τὸ μὲν ἀπέκρυψαν, τὸ δὲ εἶπον. ἀπέκρυψαν μὲν τὸ θαῦμα, προσβάλλεται δὲ τὴν τοῦ σαββάτου παράλυσιν. οὐ γὰρ εἶπον, ποῦ ἐστιν ὁ ποιήσας σε ὑγιῆ, ἀλλὰ σιγήσαντες ἐκεῖνο, εἶπον, ποῦ ἐστιν ὁ εἰπών σοι, ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε. οὗτος δὲ οὐκ ᾔδει. ὁ γὰρ Ἰησοῦς ἐξένευσεν, ὄχλου ὄντος ἐν τῷ τόπῳ. τοῦτο ἀπολογία τοῦ ἀνθρώπου μεγίστη, τοῦτο τῆς τοῦ Χριστοῦ κηδεμονίας ἀπόδειξις. ἵν᾽ ὅταν ἀκούσῃς, ὅτι παραγενόμενον αὐτὸν οὐχ ὁμοίως ὑπεδέξατο τῷ ἑκατοντάρχῃ, οὐδὲ εἶπεν, ὅτι εἰπὲ λόγον, καὶ ἰαθήσεται ὁ παῖς μου, (Ματθ. η. η.) (γ. λόγῳ) μὴ κατηγορήσῃς αὐτοῦ ἀπιστίαν, εἴπερ οὐκ ᾔδει αὐτόν. οὐδὲ γὰρ ᾔδει ὅστις ποτὲ ἦν. πῶς γὰρ αὐτὸν οὗ ποτε πρότερον ἰδὼν ἠπίστατο; διὰ τοῦτο ἔλεγεν, οὐκ ἔχω ἄνθρωπον, ἵνα βάλῃ με εἰς τὴν κολυμβήθραν. ὡς εἰ ᾔδει αὐτὸν, οὐκ ἂν κολυμβήθρας ἐμνήσθη, οὐδὲ τῆς ἐκεῖ καταβάσεως, ἀλλ᾽ οὕτως ἂν ἠξίωσε θεραπευθῆναι, ὡς καὶ ἐθεραπεύθη. ἀλλ᾽ ἐνόμισεν ἕνα τῶν πολλῶν αὐτὸν εἶναι, καὶ ἄνθρωπον ψιλὸν, καὶ διὰ τοῦτο τῆς προτέρας ἐμνήσθη θεραπείας. ἀπόδειξις δὲ τοῦτο τῆς τοῦ Χριστοῦ κηδεμονίας, πάλιν καταλιπεῖν τὸν ἰαθέντα, καὶ μὴ καταστῆσαι ἐκείνῳ δῆλον ἑαυτόν. ἵνα γὰρ μὴ ὑποπτεύσωσιν οἱ Ἰουδαῖοι, ὅτι ὑποβολιμαῖος ἦν οὗτος ὁ μάρτυς, καὶ τοῦ Χριστοῦ παρόντος καὶ πείθοντος αὐτὸν τοῦτο ἔλεγεν, ἄγνοια καὶ τὸ μὴ παρεῖναι ταύτην ἀνῄρει τὴν ὑποψίαν. εἶπε γὰρ ὁ εὐαγγελιστὴς, ὅτι οὐκ ᾔδει αὐτὸν τίς ἐστι. διὰ τοῦτο μόνον καὶ καθ᾽ ἑαυτὸν πέμπει τὸν τεθεραπευμένον, ἵνα ὡς βούλονται, κατὰ μόνας λαβόντες βασανίσωσι τὸ γεγενημένον, καὶ λαβόντες ἰσχυρὰν τοῦ πράγματος ἀπόδειξιν παύσωνται τῆς ἀκαίρου μανίας. διὰ τοῦτο αὐτὸς μὲν οὐδὲν φθέγγεται, τὴν δὲ διὰ τῶν πραγμάτων αὐτοῖς ἐπίδειξιν παρέχεται, πανταχοῦ φωνὴν σαφεστάτην ἀφεὶς, καὶ σάλπιγγος λαμπροτέραν ἁπάσης. οὕτω γὰρ καὶ ἀνύποπτος λοιπὸν ἦν ἡ μαρτυρία. ὁ ποιήσας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν, ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε. ὁ παραλυτικὸς εὐαγγελιστὴς γέγονε, διδάσκαλος τῶν ἀπίστων, ἰατρὸς καὶ κήρυξ εἰς ἐκείνων αἰσχύνην καὶ κατάκρισιν· ἰατρὸς, οὐχὶ διὰ φωνῆς, ἀλλὰ δι᾽ ἔργων, οὐχὶ διὰ λόγων, ἀλλὰ διὰ τῶν πραγμάτων αὐτῶν. σαφῆ γὰρ καὶ ἀναμφισβήτητον ἐπεφέρετο τὴν ἀπόδειξιν, καὶ, ὅπερ ἔλεγεν, ἐδείκνυε διὰ τοῦ σώματος.

(Ἰωαν. ε. ιδ.) Μετὰ ταῦτα εὑρίσκει αὐτὸν ὁ Ἰησοῦς, καὶ λέγει αὐτῷ· ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται. εἶδες ἰατροῦ σοφίαν, εἶδες κηδεμονίαν; οὐκ ἀπήλλαξε τοῦ παρόντος νοσήματος μόνον, ἀλλὰ καὶ πρὸς τὸ μέλλον ἀσφαλίζεται. καὶ πῶς; εὐχερῶς. ὅτε μὲν γὰρ ἦν ἐπὶ τῆς κλίτης, οὐδὲν τοιοῦτον εἶπεν. οὐκ ἀνέμνησεν αὐτὸν ἁμαρτημάτων. δυσάρεστος γάρ πως καὶ ταλαίπωρός ἐστιν ἡ τῶν ἀρρωστούντων ψυχή. ὅτε δὲ ἀπήλασε τὴν ἀρρωστίαν, ὅτε πρὸς τὴν ὑγίειαν ἐπανήγαγεν, ὅτε τῆς δυνάμεως αὐτοῦ καὶ τῆς κηδεμονίας ἔργῳ τὴν ἀπόδειξιν παρέσχετο, τότε εὔκαιρον ποιεῖται τὴν συμβουλὴν καὶ τὴν παραίνεσιν, ἀξιόπιστος δι' αὐτῶν λοιπὸν τῶν ἔργων φαινόμενος. τί οὖν; ἐκεῖνος ἀπελθὼν κατάδηλον ἐποίησεν αὐτὸν τοῖς Ἰουδαίοις, κοινωνοὺς αὐτοὺς βουλόμενος λαβεῖν τῆς ἀληθοῦς διδασκαλίας· ἀλλ' ἐκεῖνοι διὰ τοῦτο ἐμίσουν αὐτόν, φησί, καὶ ἐδίωκον. ἐνταῦθά μοι προσέχετε· ἐνταῦθα γὰρ ὁ πᾶς ἐστιν ἀγών. διὰ τοῦτο ἐδίωκον αὐτόν, ὅτι ταῦτα ἐποίει ἐν σαββάτῳ. ἴδωμεν οὖν πῶς ἀπολογεῖται. ὁ γὰρ τῆς ἀπολογίας τρόπος δείκνυσιν ἡμῖν, εἴτε τῶν ὑποτεταγμένων, εἴτε τῶν ἐλευθέρων ἐστίν, εἴτε τῶν διακονουμένων, εἴτε τῶν ἐπιταττόντων. παρανομία μεγίστη ἐδόκει εἶναι τὸ γενόμενον. καὶ γὰρ ξύλα ποτέ τις ἐν σαββάτῳ συλλέξας ἐλιθάσθη διὰ τοῦτο, ὅτι βαστάγματα ἔφερεν ἐν σαββάτῳ. τοῦτο δὲ μέγα ἁμάρτημα ἐνεκαλεῖτο ὁ Χριστός, ὅτι ἔλυσε τὸ σάββατον. ἴδωμεν οὖν εἰ παρ' ἑτέρῳ συγγνώμην αἰτεῖ ὡς δοῦλος καὶ ὑποτεταγμένος, ἢ ὡς ἐξουσίαν ἔχων καὶ αὐθεντίαν ἐπιδείκνυται, ὡς δεσπότης, καὶ ἐπικείμενος τῷ νόμῳ, καὶ τὰς ἐντολὰς αὐτὸς δεδωκώς. πῶς οὖν ἀπολογεῖται, φησίν; Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. Ἰωαν. ε. ιζ. εἶδες αὐθεντίαν. καίτοι εἰ καταδεέστερος καὶ ἐλάττων ἦν τοῦ πατρός, οὐκ ἔστι τὸ εἰρημένον ἀπολογία, ἀλλ' ἔγκλημα μεῖζον, καὶ κατηγορία χαλεπωτέρα. ὅταν γὰρ ποιῇ τις, ὃ τῷ μείζονι μόνῳ ποιεῖν ἔξεστιν, εἶτα ἁλοὺς ἐγκαλῆται, καὶ λέγει, ὅτι ἐπειδὴ ὁ μείζων ἐποίησε, διὰ τοῦτο κἀγὼ ἐποίησα, οὐ μόνον οὐκ ἀπολύει τῶν ἐγκλημάτων ἑαυτὸν τούτῳ τῆς ἀπολογίας τῷ τρόπῳ, ἀλλὰ καὶ μείζονος μέμψεως καὶ κατηγορίας ὑπεύθυνον ἑαυτὸν καθίστησιν. ὑπερηφανίας γὰρ καὶ ἀλαζονείας ἐστί, τὸ τοῖς μείζοσι τῆς ἀξίας ἐπιχειρεῖν πράγμασι. καὶ ὁ Χριστὸς τοίνυν εἰ καταδεέστερος ἦν, οὐκ ἦν ἀπολογία τὸ λεγόμενον, ἀλλ' ἔγκλημα μεῖζον. ἐπειδὴ δὲ ἴσος αὐτῷ ἦν, διὰ τοῦτο οὐκ ἔστιν ἔγκλημα. καὶ εἰ βούλεσθε, ἐπὶ ὑποδείγματος, ὃ λέγω, ποιήσω φανερόν. τῷ βασιλεῖ φέρειν ἁλουργίδα, καὶ διάδημα ἔχειν ἐπὶ τῆς κεφαλῆς μόνῳ ἔξεστιν, ἑτέρῳ δὲ οὐδενί. ἐὰν τοίνυν φανῇ τις τῶν πολλῶν τοῦτο τὸ σχῆμα περικείμενος, εἶτα καὶ εἰς δικαστήριον ἑλκόμενος λέγῃ, ὅτι ἐπειδὴ ὁ βασιλεὺς τοῦτο τὸ σχῆμα περίκειται, διὰ τοῦτο κἀγὼ περίκειμαι, οὐ μόνον οὐκ ἀφίησιν ἑαυτὸν τῆς κατηγορίας, ἀλλὰ καὶ μείζονος κολάσεως καὶ τιμωρίας καθίστησιν ὑπεύθυνον τῷ τρόπῳ τῆς ἀπολογίας. πάλιν τὸ τοὺς αἰτίους ἀφεῖναι κολάσεως καὶ τιμωρίας, οἷον ἀνδροφόνους, λῃστάς, τυμβωρύχους, καὶ τοὺς ἕτερα τοιαῦτα τετολμηκότας, βασιλικῆς ἐστι φιλοτιμίας μόνης. κἂν τοίνυν τις δικαστὴς τὸν καταδικασθέντα χωρὶς βασιλικῆς γνώμης ἀφεὶς, ἐγκαλῆται, καὶ λέγῃ καὶ αὐτός, ὅτι ἐπειδὴ καὶ βασιλεὺς ἀφίησι, κἀγὼ ἀφίημι, οὐ μόνον οὐκ ἀπαλλάττεται τούτῳ τῷ τρόπῳ, ἀλλὰ καὶ μείζονα ἐξάπτει καθ' ἑαυτοῦ τὴν ὀργήν. καὶ μάλα εἰκότως. οὐδὲ γὰρ δίκαιον ἐν ταῖς προνομίαις ἐπὶ τὴν τῶν μειζόνων αὐθεντίαν ἀναβαίνοντας τοὺς ὑποδεεστέρους, ἐκεῖθεν ἑαυτοῖς πορίζεσθαι τὴν ἀπολογίαν· ἐπειδὴ τοῦτο ὕβρις μείζων ἐστὶν εἰς τοὺς ἐγχειρίσαντας αὐτοῖς τὴν ἀρχήν. διὰ τοῦτο ἂν μὲν ὑποδεέστερος ᾖ τις, οὐδέποτε τοῦτον ἀπολογήσεται τὸν τρόπον· ἐὰν δὲ βασιλεὺς καὶ τῆς αὐτῆς ὢν ἀξίας, μετὰ παρρησίας τοῦτο ἐρεῖ. ὡς γὰρ ἡ τῆς ἀρχῆς μία ὑπεροχή, οὕτω καὶ ἡ ἐξουσία μία γένοιτο ἂν εἰκότως. ὥστε ἂν φανῇ τις οὕτως ἀπολογούμενος, ἀνάγκη πᾶσα τῆς αὐτῆς ἀξίας εἶναι ἐκείνῳ, οὗ τὴν ἐξουσίαν ὑπὲρ ἑαυτοῦ προβάλλεται. οὐκοῦν ἐπειδὴ καὶ ὁ Χριστὸς οὕτως ἐδικαιολογήσατο πρὸς Ἰουδαίους, ἀναμφισβητήτως ἡμῖν ἀπέδειξεν, ὅτι τῆς αὐτῆς ἀξίας ἐστὶ τῷ πατρί. καὶ μεταγάγωμεν, εἰ δοκεῖ, τὸ ὑπόδειγμα ἐπὶ τὰ ῥήματα τοῦ Χριστοῦ, καὶ τὸ ἔργον, ὅπερ εἰργάσατο. ἔστω τοίνυν τὸ μετ' ἐξουσίας λῦσαι τὸ σάββατον, ὅπερ ἡ ἁλουργίς, καὶ τὸ διάδημα, καὶ τὸ ἀφιέναι τοὺς ὑπευθύνους. ὥσπερ οὖν ἐκεῖνα τῷ βασιλεῖ μόνῳ ἔξεστιν, οὐδενὶ δὲ ἄλλῳ τῶν ὑποκειμένων· ἐὰν δὲ φανῇ τις ποιῶν αὐτά, καὶ δικαίως ποιῶν, ἀναγκἀκεῖνοι βασιλέα εἶναι, οὕτω δὴ καὶ ἐνταῦθα. ἐπειδὴ φαίνεται μετὰ αὐθεντίας ταῦτα ποιῶν ὁ Χριστός, εἶτα ἐγκαλούμενος τὸν πατέρα προβάλλεται λέγων, ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, ἀνάγκη πάντα καὶ τοῦτον ἴσον εἶναι ἐκείνῳ τῷ μετὰ αὐθεντίας ποιοῦντι. οὐ γὰρ ἄν, εἰ μὴ ἴσος ἦν αὐτῷ, τούτῳ τῷ τῆς δικαιολογίας ἐχρήσατο τῷ τρόπῳ. καὶ ἵνα σαφέστερον μάθῃς τὸ λεγόμενον, ἔλυσαν τὸ σάββατόν ποτε οἱ μαθηταὶ ἐν τῷ τίλλειν τοὺς στάχυας, καὶ ἐσθίειν ἐν σαββάτῳ· ἔλυσε καὶ αὐτὸς νῦν. ἐνεκάλεσαν κἀκείνοις οἱ Ἰουδαῖοι, ἐνεκάλεσαν καὶ τούτῳ. ἴδωμεν πῶς μὲν ὑπὲρ ἐκείνων ἀπολογεῖται, πῶς δὲ ὑπὲρ ἑαυτοῦ· ἵνα ἐκ τῆς διαφορᾶς τὴν ὑπεροχὴν καὶ τὴν ἀπολογίαν αὐτοῦ μάθῃς. πῶς οὖν ὑπὲρ ἐκείνων ἀπολογεῖται; Οὐκ ἀνέγνωτε τί ἐποίησε Δαβίδ, ὅτε ἐπείνασεν; ὅταν μὲν γὰρ ὑπὲρ τῶν δούλων ἀπολογῆται, ἐπὶ τὸν σύνδουλον αὐτῶν καταφεύγει Δαβίδ· ὅταν δὲ ὑπὲρ ἑαυτοῦ, ἐπὶ τὸν πατέρα ἀνάγει τὸν λόγον· ὁ πατήρ μου ἐργάζεται, κἀγὼ ἐργάζομαι.

Καὶ ποίαν ἐργασίαν λέγει, ἴσως εἴποι τις ἄν; (ἐν γὰρ ἓξ ἡμέραις κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ) τὴν καθημερινὴν πρόνοιαν. οὐ γὰρ παρήγαγε μόνον τὴν κτίσιν, ἀλλὰ καὶ παραχθεῖσαν αὐτὴν συγκροτεῖ. κἂν ἀγγέλους εἴπῃς, κἂν ἀρχαγγέλους, κἂν τὰς ἄνω δυνάμεις, κἂν πάντα ἁπλῶς τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, τῆς προνοίας ἀπολαύει τῆς ἐκείνου· κἂν ἔρημα γένηται τῆς ἐνεργείας ἐκείνης, οἴχεται καὶ διαρρεῖ, καὶ ἀπόλλυται. βουλόμενος τοίνυν δεῖξαι ὁ Χριστός, ὅτι τῶν προνοούντων ἐστί, καὶ οὐχὶ τῶν προνοουμένων, τῶν ἐνεργούντων, οὐχὶ τῶν ἐνεργουμένων, εἶπεν, ὁ πατήρ μου ἐργάζεται, κἀγὼ ἐργάζομαι, τὸ πρὸς τὸν πατέρα ἰσοστάσιον ἐπιδεῖξαι βουλόμενος. ταῦτα δὲ μέμνησθε, καὶ φυλάττετε μετὰ ἀκριβείας ἁπάσης, καὶ τὴν ἀπὸ τῆς πολιτείας φιλοσοφίαν τῇ τῶν δογμάτων ὀρθότητι συνυφαίνετε, ὃ καὶ πρῴην παρεκάλεσα, καὶ νῦν παρακαλῶ, καὶ παρακαλῶν οὐ παύσομαι· πολιτείαν δὲ καὶ φιλοσοφίαν οὐδὲν οὕτως, ὡς ἡ ἐνταῦθα ποιεῖ διατριβή. καθάπερ γὰρ ἡ χερσουμένη γῆ, μηδένα τὸν ἀρδεύοντα ἔχουσα, γέμει ἀκανθῶν, καὶ τριβόλων, ἡ δὲ γεωργικῆς ἀπολαύουσα χειρῶν, τέθηλε, καὶ κομᾷ, καὶ πολὺ βρύει τῷ καρπῷ· οὕτω δὴ καὶ ἡ ψυχή. ἡ μὲν τῆς ἀρδείας τῶν θείων ἀπολαύουσα λογίων, τέθηλε, καὶ κομᾷ, καὶ πολὺ βρύει τῷ καρπῷ τοῦ πνεύματος· ἡ δὲ ἐν αὐχμῷ, καὶ ἀμελείᾳ, καὶ σπάνῃ τῆς τοιαύτης ἀρδείας καθεστῶσα ἐρημοῦται, καὶ ὑλομανεῖ, καὶ ἀκάνθας ἐκφέρει πολλάς, τῆς ἁμαρτίας τὴν φύσιν. ἔνθα δὲ ἄκανθαι, ἐκεῖ δράκοντες καὶ ὄφεις καὶ σκορπίοι, καὶ πᾶσα ἡ δύναμις τοῦ διαβόλου. καὶ εἰ ἀπιστεῖς * τῷ λόγῳ, φέρε, τοὺς ἀπολειφθέντας, καὶ ἡμᾶς παραβάλωμεν, καὶ ὄψεσθε τί τὸ πολὺ τὸ μέσον. μᾶλλον δὲ ἡμεῖς ἡμᾶς ἑαυτοὺς ἐξετάσωμεν, τίνες μέν ἐσμεν θείας ἀπολαύοντες διδασκαλίας, τίνες δὲ ἐπὶ πλέον ταύτης ἀποστερούμενοι τῆς ὠφελείας τυγχάνομεν. μὴ τοίνυν προδῶμεν κέρδος τοσοῦτον. ἡ γὰρ ἐνταῦθα διατριβή, πάντων ὑπόθεσίς ἐστι τῶν ἀγαθῶν. ἐντεῦθεν ἀναχωρῶν καὶ ἀνὴρ γυναικὶ φαίνεται τιμιώτερος, καὶ γυνὴ ἀνδρὶ ποθεινοτέρα. γυναῖκα γὰρ ἐπέραστον οὐκ εὐμορφία ποιεῖ σώματος, ἀλλὰ ψυχῆς ἀρετή. οὐκ ἔνι γράμματα, καὶ ὑπογραφαί, οὐδὲ χρυσίον, καὶ ἱμάτια πολυτελῆ, ἀλλὰ σωφροσύνη, καὶ ἐπιείκεια, καὶ φόβος ἐρειδόμενος πρὸς Θεόν. καὶ τὸ νοητὸν κάλλος οὐκ ἔστιν ἀλλαχοῦ πρὸς ἀκρίβειαν ἀσκηθῆναι, ἀλλ᾽ ἢ ἐν τῷ θαυμαστῷ καὶ θείῳ τούτῳ χωρίῳ, τῶν ἀποστόλων, τῶν προφητῶν ἀποσμηχόντων, καλλωπιζόντων, ἀποξυόντων τῆς ἁμαρτίας τὸ γῆρας, ἐπαγόντων τῆς νεότητος τὴν ἀκμήν, πᾶσαν κηλῖδα, πᾶσαν ῥυτίδα, πάντα σπῖλον ἐκβαλλόντων τῆς ψυχῆς τῆς ἡμετέρας. τοῦτο τοίνυν καὶ ἄνδρες, καὶ γυναῖκες σπουδάσωμεν ἑαυτοῖς ἐγκατοικίσαι τὸ κάλλος. τὸ μὲν γὰρ τοῦ σώματος καὶ νόσος ἐμάρανε, καὶ πλῆθος χρόνου διέφθειρε, καὶ γῆρας ἔσβεσε, καὶ θάνατος ἐπελθὼν ἀνεῖλεν ἅπαν· τὸ δὲ τῆς ψυχῆς, οὐ χρόνος, οὐ νόσος, οὐ γῆρας, οὐ θάνατος, οὐκ ἄλλο οὐδὲν τῶν τοιούτων λυμήνασθαι δύναται, ἀλλὰ μένει διηνεκῶς ἀνθοῦν. καὶ τὸ μὲν τοῦ σώματος τοὺς ὁρῶντας εἰς ἀκολασίαν ἐκκαλεῖται πολλάκις, τὸ δὲ τῆς

ψυχῆς

γρ. ποιῶν

γρ. σπάνει

* μου

γρ. τί, ἐν
τρίμματα

ψυχῆς κάλλος αὐτὸν τὸν Θεὸν πρὸς τὸν ἔρωτα ἐπισπᾶται τὸν οἰκεῖον, καθάπερ καὶ ὁ προφήτης φησὶ, πρὸς τὴν ἐκκλησίαν διαλεγόμενος· Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. ἵνα οὖν, ἀγαπητοὶ, γενώμεθα φίλοι τῷ Θεῷ, τοῦτο καθ' ἑκάστην ἡμέραν ἐξασκῶμεν τὸ κάλλος, τῇ τῶν γραφῶν ἀναγνώσει πᾶσαν κηλῖδα ἀποσμήχοντες, ταῖς εὐχαῖς, ταῖς ἐλεημοσύναις, τῇ πρὸς ἀλλήλους ὁμονοίᾳ· ἵνα ὁ βασιλεὺς ἐρασθεὶς ἡμῶν τῆς κατὰ τὴν ψυχὴν εὐμορφίας, τῆς βασιλείας τῶν οὐρανῶν ἡμᾶς καταξιώσῃ· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ψαλμ. μδ. ιϛ.

Λογ. μα. ΕΙΣ ΤΟΝ ΤΕΤΡΑΗΜΕΡΟΝ ΛΑΖΑΡΟΝ.

Ἰωαν. ια. ια.

ΣΗμερον ἐκ νεκρῶν ἐγειρόμενος ὁ Λάζαρος πολλῶν καὶ διαφόρων σκανδάλων τὴν λύσιν ἡμῖν χαρίζεται. καὶ γὰρ οὐκ οἶδα ὅπως τὸ ἀνάγνωσμα τοῦτο καὶ τοῖς αἱρετικοῖς δέδωκε βλάβην, καὶ τοῖς Ἰουδαίοις ἀντιλογίας ἀφορμὴν, οὐκ ἐξ ἀληθείας (μὴ γένοιτο) ἀλλ' ἐκ τῆς ἐκείνων κακοτέχνου ψυχῆς. πολλοὶ μὲν γὰρ τῶν αἱρετικῶν λέγουσιν, ὅτι οὐχ ὅμοιος ὁ υἱὸς τῷ πατρί. διὰ τί; ὅτι ἐδεήθη, φησὶ, προσευχῆς ὁ Χριστὸς εἰς τὸ ἐγεῖραι τὸν Λάζαρον. εἰ μὴ γὰρ προσηύξατο, οὐκ ἂν ἤγειρε τὸν Λάζαρον. καὶ πῶς ἔσται, φησὶν, ὅμοιος ὁ προσευξάμενος τῷ δεξαμένῳ τὴν ἱκεσίαν; ὁ μὲν γὰρ προσεύχεται, ὁ δὲ τὴν προσευχὴν παρὰ τοῦ ἱκετεύοντος ἐδέξατο. βλασφημοῦσι δὲ μὴ νοοῦντες ὅπως συγκαταβάσεως ἦν, καὶ τῆς τῶν παρόντων ἕνεκα ἀσθενείας ἡ προσευχή. ἐπεὶ, εἰπέ μοι, τίς μείζων; ὁ νίπτων τοὺς πόδας, ἢ ἐκεῖνος, οὗ νίπτει τοὺς πόδας; πάντως ὅτι ἐκεῖνος μείζων, οὗ ἔνιψε τοὺς πόδας ὁ νίπτων. ἀλλ' ὁ σωτὴρ ἔνιψε τοὺς πόδας τοῦ προδότου Ἰούδα. μετὰ γὰρ τῶν μαθητῶν ἦν. τίς ἄρα μείζων; ὁ προδότης Ἰούδας τοῦ δεσπότου Χριστοῦ, ἐπείπερ ὁ Χριστὸς ἔνιψε τοὺς πόδας αὐτοῦ; μὴ γένοιτο. τί δὲ ταπεινότερόν ἐστι, τὸ νίψαι τοὺς πόδας, ἢ τὸ προσεύξασθαι; πάντως ὅτι τὸ νίψαι τοὺς πόδας. ὁ οὖν τὸ ταπεινότερον μὴ παραιτησάμενος ποιῆσαι, πῶς τὸ ὑψηλότερον παρῃτήσατο ἂν ποιῆσαι; ἀλλὰ πάντως διὰ τὴν τῶν παρόντων ἀσθένειαν ἐγένετο Ἰουδαίων, ὡς προϊὼν ὁ λόγος ἀποδείξει. ἀλλὰ καὶ Ἰουδαῖοι λαβόντες ἐντεῦθεν ἀντιλογίας ἀφορμὴν, λέγουσι· πῶς τοῦτον οἱ χριστιανοὶ Θεὸν ἔχουσι, τὸν καὶ τὸν τόπον ἀγνοήσαντα, ἔνθα τεθνηκὼς κατέκειτο Λάζαρος; ἐπειδήπερ ἔλεγεν ὁ σωτὴρ ταῖς περὶ Μάρθαν καὶ Μαρίαν ἀδελφαῖς Λαζάρου, Ποῦ τεθείκατε αὐτόν; Εἶδες, φησὶν, ἄγνοιαν; εἶδες ἀσθένειαν; ὁ καὶ τὸν τόπον ἀγνοήσας, οὗτος Θεός; ἀλλ' ἐρῶ πρὸς αὐτοὺς, οὐχ οὕτως ἔχων, ἀλλὰ τὴν ἀντίθεσιν αὐτῶν καταισχῦναι βουλόμενος. ἠγνόησε, λέγεις, ὁ Χριστὸς, ὦ Ἰουδαῖε, διὰ τὸ εἰπεῖν, ποῦ τεθήκατε αὐτόν; οὐκοῦν καὶ ὁ πατὴρ ἠγνόησεν ἐν τῷ παραδείσῳ, ποῦ κέκρυπτο ὁ Ἀδάμ. περιήρχετο γὰρ ὡς ἐπιζητῶν αὐτὸν ἐν τῷ παραδείσῳ, λέγων· Ἀδὰμ, ποῦ εἶ; ἀντὶ τοῦ, ποῦ ἐκρύβης; διὰ τί δὲ πρότερον οὐκ εἶπε τὸν τόπον, ὅθεν μετὰ παρρησίας ὡμίλει τῷ Θεῷ ὁ Ἀδάμ; Ἀδὰμ, ποῦ εἶ; κἀκεῖνος φησὶ, τῆς φωνῆς σου ἤκουσα περιπατοῦντος ἐν τῷ παραδείσῳ, καὶ ἐφοβήθην, ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην. εἰ ταύτην, ὦ Ἰουδαῖε, ἄγνοιαν καλεῖς, κἀκείνην κάλεσον ἄγνοιαν. ἔλεγε γὰρ ὁ Χριστὸς ταῖς περὶ Μάρθαν καὶ Μαρίαν, ποῦ τεθείκατε αὐτόν; ταύτην οὖν ἄγνοιαν καλεῖς; τί οὖν λέγεις, ὅταν ἀκούσῃς τοῦ Θεοῦ λέγοντος τῷ Κάϊν, Ποῦ Ἄβελ ὁ ἀδελφός σου; τί λέγεις; εἰ ταύτην ἄγνοιαν καλεῖς, κἀκείνην ἄγνοιαν κάλεσον. λάβε καὶ ἑτέραν ἀπόδειξιν ἀπὸ τῆς θείας γραφῆς. Εἶπεν ὁ Θεὸς τῷ Ἀβραὰμ, Κραυγὴ Σοδόμων καὶ Γομόρρας

Ἰωαν. ια. λδ.

Γεν. γ. θ.

Γεν. δ. θ.

Γεν. ιη. θ.

μόῤῥας ἥκει πρός με. καταβὰς οὖν ὄψομαι, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρός με συντελοῦνται· εἰ δὲ μή, ἵνα γνῶ. ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν, ὁ ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός, ὁ εἰδὼς τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων μονώτατος ἔλεγε· καταβὰς οὖν ὄψομαι, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρός με συντελοῦνται· εἰ δὲ μή, ἵνα γνῶ. εἰ ἐκεῖνο ἀγνοίας, καὶ τοῦτο ἀγνοῆσαί ἐστιν. ἀλλ' οὔτε ὁ πατὴρ κατὰ τὴν παλαιὰν διαθήκην ἠγνόησεν, οὔτε ὁ υἱὸς κατὰ τὴν καινὴν διαθήκην. τί οὖν ἐστι, καταβὰς ὄψομαι, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρός με συντελοῦνται· εἰ δὲ μή, ἵνα γνῶ; ἀκοή, φησιν, ἦλθε πρός με. ἀλλὰ θέλω πάλιν ἀκριβέστερον διὰ αὐτῶν τῶν πραγμάτων τὴν πεῖραν λαβεῖν, οὐχ ὅτι ἐγὼ ἀγνοῶ, ἀλλ' ὅτι διδάξαι βούλομαι τοὺς ἀνθρώπους μὴ ἁπλῶς τοῖς λόγοις προσέχειν, μηδὲ, ἐὰν εἴπῃ τίς τι κατὰ τοῦ ἑτέρου, πιστεύειν εὐχερῶς· ἀλλὰ πρότερον αὐτοὺς ψηλαφήσαντας ἀκριβῶς καὶ δι' αὐτῶν τῶν πραγμάτων τὴν πεῖραν καταμαθόντας, οὕτω πιστεύειν χρή. καὶ διὰ τοῦτο ἐν γραφῇ ἑτέρᾳ ἔλεγε, Μὴ πιστεύετε παντὶ λόγῳ. οὐδὲν γὰρ οὕτως ἀνατρέπει τὴν ζωὴν τῶν ἀνθρώπων, ὡς τὸ ταχέως πιστεύειν τινὰ τοῖς λεγομένοις. τοῦτο καὶ ὁ προφήτης Δαβὶδ προφητεύων ἔλεγε, Τὸν καταλαλοῦντα λάθρᾳ τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. εἶδες πῶς οὐκ ἐγένετο ἄγνοια τῷ σωτῆρι ἐν τῷ εἰπεῖν, ποῦ τεθείκατε αὐτόν, ὡς οὐδὲ τῷ πατρὶ ἐν τῷ εἰπεῖν τῷ Ἀδάμ, ποῦ εἶ, ἢ τῷ Κάϊν, ποῦ ὁ ἀδελφός σου Ἄβελ, ἢ καταβὰς ὄψομαι, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρός με συντελοῦνται· εἰ δὲ μή, ἵνα γνῶ;

Ψαλ. ρ. ε.

Οὐκοῦν ὥρα δὴ λοιπὸν πρὸς ἐκείνους παρατάξασθαι τοὺς λέγοντας, ὅτι δι' ἀσθένειαν ὁ Χριστὸς προσευξάμενος ἤγειρε τὸν Λάζαρον. προσέχετε δή, ἀγαπητοί, μετὰ πάσης ἀκριβείας, παρακαλῶ. ἐτελεύτησε τοίνυν ὁ Λάζαρος, καὶ οὐκ ἦν ἐν τοῖς τόποις ἐκείνοις ὁ Ἰησοῦς, ἀλλ' ἐν τῇ Γαλιλαίᾳ, καὶ ἔλεγε τοῖς μαθηταῖς αὐτοῦ· Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται. ἐκεῖνοι δὲ νομίζοντες ὅτι περὶ τοῦ ὕπνου τοῦτο διαλέγεται, λέγουσιν αὐτῷ· Κύριε, εἰ κεκοίμηται, σωθήσεται. λέγει αὐτοῖς φανερῶς ὁ Ἰησοῦς, Λάζαρος ἀπέθανεν. ἔρχεται λοιπὸν ὁ σωτὴρ ἐν τοῖς Ἱεροσολύμοις εἰς τὸν τόπον ὅπου ὁ Λάζαρος ἔκειτο, καὶ ἀπαντᾷ αὐτῷ ἡ ἀδελφὴ τοῦ Λαζάρου, καὶ λέγει αὐτῷ· Κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανέ μου ὁ ἀδελφός. εἰ ἦς ὧδε. ἀσθενὴς ἡ γυνή. οὐκ ἐπίσταται νῦν ἡ γυνή, ὅτι καὶ μὴ παρὼν ὁ Χριστὸς σωματικῶς, παρῆν τῇ τῆς θεότητος ἐξουσίᾳ· ἀλλὰ τῇ τοῦ σώματος παρουσίᾳ ἐπιμετρεῖται τοῦ διδασκάλου τὴν δύναμιν. Λέγει αὐτῷ ἡ Μάρθα, Κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανέ μου ὁ ἀδελφός. καὶ νῦν, φησιν, οἶδα ὅτι ὅσα ἂν αἰτήσῃ τὸν Θεόν, δίδωσί σοι. ὁ σωτὴρ οὖν πρὸς τὴν αἴτησιν αὐτῆς ποιεῖ τὴν προσευχήν. οὐ γὰρ προσευχῆς ἐδέετο ὁ Θεός, ἵνα τὸν νεκρὸν ἐγείρῃ. μὴ γὰρ καὶ ἄλλους νεκροὺς οὐκ ἤγειρεν; ὅτε ἀπήντησέ τινα ἐκφερόμενον ἐν τῇ πύλῃ νεκρόν, μόνον ἥψατο τῆς σοροῦ, καὶ ἀνέστησε τὸν νεκρόν. μὴ προσευχῆς ἐδεήθη τότε εἰς τὸ ἐγεῖραι τὸν τεθνεῶτα; καὶ πάλιν ἄλλοτε, μόνον λόγῳ εἶπεν ἐπὶ τῆς κόρης, Ταλιθὰ κοῦμι, καὶ εὐθέως παρέδωκεν αὐτὴν τοῖς γονεῦσιν αὐτῆς ὑγιῆ. μὴ προσευχῆς ἐδεήθη τότε; καὶ τί λέγω περὶ τοῦ διδασκάλου; οἱ μαθηταὶ αὐτοῦ λόγῳ μόνῳ τοὺς νεκροὺς ἤγειραν. Πέτρος τὴν Ταβιθὰν οὐ λόγῳ διήγειρε; Παῦλος δὲ διὰ τῶν ἱματίων αὐτοῦ πολλὰ σημεῖα πεποίηκε; μάθε δὲ καὶ τὸ παραδοξότερον τούτων. ἡ σκιὰ τῶν ἀποστόλων νεκροὺς ἤγειρεν. Ἔφερον γάρ, φησιν, ἐπὶ κραββάτων τοὺς κακῶς ἔχοντας, ἵνα κἂν ἡ σκιὰ Πέτρου ἐπισκιάζῃ τινὶ αὐτῶν, καὶ εὐθέως διηγείροντο. τί οὖν; ἡ σκιὰ τῶν μαθητῶν διήγειρε τοὺς νεκρούς, καὶ ὁ διδάσκαλος προσευχῆς ἐδέετο, ἵνα τὸν νεκρὸν ἐγείρῃ; ἀλλὰ διὰ τὴν ἀσθένειαν τῆς γυναικὸς ποιεῖ τὴν προσευχὴν ὁ σωτήρ. λέγει γὰρ αὐτῷ, Κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανέ μου ὁ ἀδελφός· καὶ νῦν οἶδα, ὅτι ὅσα ἂν αἰτήσῃ τὸν Θεόν, δίδωσί σοι ὁ Θεός. προσευχὴν ἤτησας, προσευχὴν δίδωμι. κεῖται ἡ πηγή. ὅσον ἐάν τις προσενέγκῃ ἀγγεῖον, γεμίζει

Λουκ. ζ. ιδ.

Μαρκ. ε. μα.

Πραξ. θ. μ.

Πραξ. ε. ιε.

μίζει αὐτῷ. ἐὰν ᾖ μέγα, μέγα λαμβάνει· ἐὰν ᾖ μικρὸν, μικρὸν λαμβάνει. αὕτη τοίνυν προσευχὴν ᾔτησε, καὶ δίδωσι προσευχὴν ὁ σωτήρ. ἄλλος εἶπεν, Οὐκ εἰμὶ ἄξιος, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς, ἀλλὰ μόνον γενηθήτω σοι, εἰπὲ λόγῳ, καὶ ἰαθήσεται ὁ παῖς μου· καὶ εἶπεν αὐτῷ ὁ σωτήρ· Κατὰ τὴν πίστιν σου γενηθήτω σοι. ἄλλος εἶπε, Δεῦρο θεράπευσόν μου τὴν θυγατέρα· καὶ εἶπεν αὐτῷ, ἀκολουθήσω σοι. πρὸς τὰς προαιρέσεις τοίνυν τῶν ἀνθρώπων καὶ ἡ θεραπεία τοῦ ἰατροῦ προσάγεται. ἄλλη πάλιν ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ λάθρα, καὶ λάθρα τὴν θεραπείαν ἐκαρπώσατο. ἕκαστος ὡς ἐπίστευε, καὶ τὴν θεραπείαν ἐλάμβανε. αὕτη λέγει, οἶδα ὅτι ὅσα ἂν αἰτήσῃ τὸν πατέρα, δίδωσί σοι ὁ πατήρ. καὶ ἐπειδὴ προσευχὴν ᾔτησεν ἡ Μάρθα, προσευχὴν δίδωσιν ὁ σωτὴρ, οὐκ αὐτὸς τῆς προσευχῆς ἐπιδεόμενος, ἀλλὰ τῆς γυναικὸς ἀσθένειαν συμπεριφερόμενος, καὶ ἵνα δείξῃ, ὅτι οὐκ ἔστιν ἀντίθεος, ἀλλ᾽ ὅτι καὶ ὃ ἂν αὐτὸς ποιῇ, τοῦτο καὶ ὁ πατὴρ ποιεῖ. ἔπλασεν ὁ Θεὸς ἐξ ἀρχῆς τὸν ἄνθρωπον· ἀμφοτέρων ἐγένετο τὸ πλάσμα. Ποιήσωμεν γὰρ, φησὶν, ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν. πάλιν ἠθέλησε τὸν λῃστὴν εἰς τὸν παράδεισον εἰσενεγκεῖν· καὶ εὐθέως λόγον εἶπε, καὶ τὸν λῃστὴν εἰς τὸν παράδεισον εἰσήγαγε, καὶ οὐκ ἐδεήθη προσευχῆς· καίτοιγε πάντας τοὺς μετὰ τὸν Ἀδὰμ κωλύσας ἦν ὁ Χριστὸς ἐξ ἐκείνης τῆς εἰσόδου. ἔθηκε γὰρ τὴν φλογίνην ῥομφαίαν φυλάττειν τὸν παράδεισον. ἀλλ᾽ αὐθεντίᾳ Χριστὸς τὸν παράδεισον ἠνέῳξε, καὶ τὸν λῃστὴν εἰσήγαγε. λῃστὴν, δέσποτα, εἰσάγεις εἰς τὸν παράδεισον; ὁ πατὴρ ὁ σὸς διὰ μόνην ἁμαρτίαν τὸν Ἀδὰμ ἐξήγαγεν ἐκ τοῦ παραδείσου, καὶ σὺ τὸν λῃστὴν εἰσάγεις τὸν μυρίοις κακοῖς, καὶ μυρίαις παρανομίαις ὑπεύθυνον; καὶ ἁπλῶς οὕτω διὰ μιᾶς φωνῆς εἰς τὴν παράδεισον αὐτὸν εἰσάγεις; ναί. οὔτε γὰρ ἐκεῖνο χωρὶς ἐμοῦ γέγονεν, οὔτε τοῦτο χωρὶς τοῦ πατρός μου· ἀλλὰ καὶ τοῦτο ἐμὸν, κἀκεῖνο τοῦ πατρός μου. ἐγὼ γὰρ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί. καὶ ἵνα εἰδῇς, ὅτι οὐκ ἐγένετο προσευχῆς ἔργον τὸ ἀναστῆναι τὸν νεκρὸν, ἄκουσον τῆς προσευχῆς. τί γάρ φησιν; Εὐχαριστῶ σοι, πάτερ, ὅτι ἤκουσάς μου. τί οὖν; τοῦτο προσευχῆς εἶδός ἐστι; τοῦτο τύπος ἱκεσίας; εὐχαριστῶ σοι, ὅτι ἤκουσάς μου. ἐγὼ δὲ, φησὶν, ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις. εἰ οὖν οἶδας, ὦ Κύριε, ὅτι πάντοτέ σου ἀκούει ὁ πατὴρ, τί λοιπὸν περὶ ὧν οἶδας παρενοχλεῖς; ἐγὼ μὲν, φησὶν, οἶδα ὅτι πάντοτέ μου ἀκούει ὁ πατὴρ, ἀλλὰ διὰ τὸν περιεστῶτα ὄχλον εἶπον, ἵνα γνῶσι πάντες, ὅτι σύ με ἀπέστειλας. μή τι διὰ τὸν νεκρὸν προσηύξατο; μὴ ἱκέτευσεν ἵνα ἀναστῇ ὁ Λάζαρος; μὴ εἶπε, πάτερ, κέλευσον τὸν θάνατον ὑπακοῦσαι; μὴ εἶπε, πάτερ, κέλευσον τῷ ᾅδῃ, μὴ τὰς πύλας ἀποκλείσῃ, ἀλλὰ προθύμως τὸν νεκρὸν ἀποδοῦναι; ἀλλὰ διὰ τὸν περιεστῶτα τοῦτον ὄχλον εἶπον, φησὶν, ἵνα γνῶσι πάντες, ὅτι σύ με ἀπέστειλας. οὐκοῦν οὐκ ἔστι τὸ γινόμενον σημεῖον, ἀλλὰ κατήχησις τῶν παρόντων. εἶδες πῶς οὐκ ἐγένετο ἡ προσευχὴ διὰ τὸν νεκρὸν, ἀλλὰ διὰ τοὺς παρόντας ἀπίστους, ἵνα γνῶσι, φησὶν, ὅτι σύ με ἀπέστειλας. καὶ πῶς ἔχουσι γνῶναι, φησὶν, ὅτι αὐτός σε ἀπέστειλε; πρόσεχε, παρακαλῶ, μετὰ πάσης ἀκριβείας. ἰδοὺ, φησὶ, μετὰ τῆς ἐμῆς αὐθεντίας καλῶ τὸν νεκρόν· ἰδοὺ τῇ οἰκείᾳ ἐξουσίᾳ ἐπιτάττω τῷ θανάτῳ· καλῶ τὸν πατέρα, πατέρα· καλῶ καὶ τὸν Λάζαρον ἐκ τοῦ τάφου. εἰ οὐκ ἔστι τὸ πρῶτον ἀληθὲς, μηδὲ τοῦτο γενέσθω. εἰ δὲ ἀληθῶς ὁ πατὴρ, πατὴρ, ὑπακουέτω καὶ ὁ νεκρὸς πρὸς διδασκαλίαν τῶν παρόντων. τί γὰρ ὁ Χριστὸς ἔλεγε; Λάζαρε, δεῦρο ἔξω. ὅτε γέγονεν ἡ προσευχὴ, οὐκ ἀνέστη ὁ νεκρός· ἀλλ᾽ ὅτε εἶπε, Λάζαρε, δεῦρο ἔξω, τότε ἀνέστη ὁ νεκρός. ὦ τυραννὶς τοῦ θανάτου, ὦ τυραννὶς τῆς δυνάμεως ἐκείνης τῆς κατεχούσης τὴν ψυχήν. ὦ ᾅδη, προσευχὴ γέγονε, καὶ οὐκ ἀπολύεις τὸν νεκρόν; οὐχί, φησί. διατί; ὅτι οὐ προσετάχθην. δέσμιός εἰμι αὐτόθι κατέχων τὸν ὑπεύθυνον. ἐὰν μὴ προσταχθῶ, φησὶν, οὐκ ἀπολύω. ἡ γὰρ προσευχὴ, φησὶν, οὐ δι᾽ ἐμὲ γέγονεν, ἀλλὰ διὰ τοὺς παρόντας ἀπίστους. ἐγὼ γὰρ, ἐὰν μὴ προσταχθῶ, οὐκ ἀπολύω τὸν ὑπεύθυνον.

Ματθ. η. η.

Ματθ. θ. ιθ.

Ματθ. θ. κ.

Γεν. α. κϛ.

Γεν. γ. κδ.

ἀναμνήσω

ἀνάρθρῳ τὴν φωνὴν, ἵνα ἀπολύσῃ τὴν ψυχήν. Λάζαρε, δεῦρο ἔξω. ἤκουσε τοῦ δεσποτικοῦ προστάγματος ὁ νεκρὸς, καὶ εὐθέως τοῦ θανάτου τοὺς νόμους παρέλυσεν. αἰσχυνέσθωσαν οἱ αἱρετικοὶ, καὶ ἀπολέσθωσαν ἀπὸ προσώπου τῆς γῆς. καὶ γὰρ ἀπέδειξεν ὁ λόγος, ὅτι οὐ διὰ τὴν τοῦ νεκροῦ ἀνάστασιν γέγονεν ἡ προσευχὴ, ἀλλὰ διὰ τὴν τῶν τότε παρόντων ἀπίστων ἀσθένειαν. Λάζαρε, δεῦρο ἔξω. καὶ διὰ τί ὀνόματι τὸν νεκρὸν ἐκάλεσε; διὰ τί; ἵνα μὴ τὴν φωνὴν ἀπολελυμένην εἰς τοὺς νεκροὺς ἀποτείνας, πάντας τοὺς ἐν τοῖς τάφοις ἐγείρῃ, διὰ τοῦτό φησι, Λάζαρε, δεῦρο ἔξω. σὲ μόνον ἐπὶ τοῦ παρόντος τέως ἀνακαλοῦμαι ὄχλου, ἵνα διὰ τοῦ μέρους καὶ τὴν τῶν μελλόντων ἐπιδείξω δύναμιν. ὁ γὰρ ἕνα ἐγείρας ἐγὼ, τὴν οἰκουμένην ἀνιστῶ. ἐγὼ γάρ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή. Λάζαρε, δεῦρο ἔξω. καὶ ἐξῆλθεν ὁ νεκρὸς δεδεμένος κειρίαις. ὢ τῶν παραδόξων πραγμάτων. ὁ τὴν ψυχὴν ἐκ τῶν δεσμῶν τοῦ θανάτου λύσας, ὁ τὰς πύλας τοῦ ᾅδου διαῤῥήξας, ὁ πύλας χαλκᾶς καὶ μοχλοὺς σιδηροῦς συντρίψας, καὶ τὴν ψυχὴν ἐκ τῶν δεσμῶν τοῦ θανάτου ἐλευθερώσας, οὐκ ἠδύνατο καὶ τὰς κειρίας λῦσαι τοῦ νεκροῦ; ναὶ, ἠδύνατο· ἀλλὰ κελεύει τοῖς Ἰουδαίοις λῦσαι τὰς κειρίας, ἃς αὐτοὶ πρότερον ἐνταφιάζοντες ἔσφιγξαν, ἵνα τῶν οἰκείων δεσμῶν ἐπιγνῶσι τὰ γνωρίσματα, ἵνα τῇ πείρᾳ μάθωσιν, ἐξ ὧν ἔπραξαν, ὅτι Λάζαρός ἐστιν ὁ παρ' αὐτῶν ἐνταφιασθεὶς*, καὶ Χριστός ἐστι κατ' εὐδοκίαν τοῦ πατρὸς παραγενόμενος εἰς τὸν κόσμον, ὁ ζωῆς καὶ θανάτου τὴν ἐξουσίαν ἔχων. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ σου πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἴσ. προστάγ
ματος
γρ. κειρία

* καὶ ἵνα μ
τὸ πρᾶγμ
ὡς φάντασ
διαβάλλω

Λογ. μϐ. ΣΥΝΑΞΕΩΣ ΔΙΑ ΧΡΟΝΟΥ ΕΝ ΤΗ ΠΑΛΑΙΑ

ἐκκλησίᾳ γενομένης, εἰς τὴν ἐπιγραφὴν τῶν πράξεων τῶν ἀποστόλων, καὶ ὅτι χρησιμώτερος βίος ἐνάρετος σημείων καὶ θαυμάτων, καὶ κατὰ τί διαφέρει πολιτεία σημείων.

Διὰ χρόνου πρὸς τὴν μητέρα ἡμῶν ἐπανήλθομεν πάλιν, τὴν ποθεινὴν καὶ ἐπέραστον ταύτην ἅπασιν ἐκκλησίαν, πρὸς τὴν μητέρα ἡμῶν καὶ τῶν ἐκκλησιῶν ἁπασῶν. μήτηρ μὲν γὰρ, οὐχ ὅτι τῷ χρόνῳ πρεσβυτέρα μόνον ἐστίν· ἀλλ' ὅτι καὶ ὑπὸ ἀποστολικῶν ἐθεμελιώθη χειρῶν. διὰ τοῦτο πολλάκις καὶ κατασκαφεῖσα διὰ τὸ ὄνομα τοῦ Χριστοῦ, πάλιν ὠρθώθη διὰ τῆς δυνάμεως τοῦ Χριστοῦ. οὐ γὰρ αἱ ἀποστολικαὶ μόνον αὐτὴν ἐθεμελίωσαν χεῖρες, ἀλλὰ καὶ τοῦ δεσπότου τῶν ἀποστόλων ἡ ἀπόφασις ἐτείχισεν αὐτὴν καινῷ καὶ παραδόξῳ τειχισμοῦ τρόπῳ. οὐ γὰρ ξύλα καὶ λίθους συνθεὶς, οὕτως ᾠκοδόμησε τὸν περίβολον, οὐδὲ τάφρον ἔξωθεν περιελάσας, καὶ σκόλοπας καταπήξας, καὶ πύργους ἀναστήσας, οὕτως αὐτὴν ἠσφαλίσατο· ἀλλ' ἐφθέγξατο δύο ῥήματα ψιλὰ μόνον, καὶ ταῦτα ἤρκεσεν ἀντὶ τείχους αὐτῇ, καὶ πύργου, καὶ τάφρου, καὶ ἀσφαλείας ἁπάσης. καὶ τίνα ἐστὶ τὰ ῥήματα ταῦτα, ἃ τοσαύτην ἔχει τὴν ἰσχύν; Ἐπὶ τῇ πέτρᾳ ταύτῃ οἰκοδομήσω μου τὴν ἐκκλησίαν· καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. τοῦτό ἐστι τὸ τεῖχος, τοῦτο ὁ περίβολος, τοῦτο ἡ ἀσφάλεια, τοῦτο λιμὴν καὶ καταφυγή. σὺ δέ μοι σκόπει κἀντεῦθεν τοῦ τείχους τὸ ἀῤῥαγές. οὐ γὰρ εἶπεν, ὅτι ἀνθρώπων ἐπιβουλαὶ οὐ κατισχύσουσιν αὐτῆς μόνον, ἀλλ' ὅτι οὐδὲ αὐταὶ αἱ μηχαναὶ τοῦ ᾅδου. πύλαι γάρ, φησιν, ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. οὐκ εἶπε, προσβαλοῦσιν αὐτῇ, ἀλλ' ὅτι οὐ κατισχύσουσιν αὐτῆς. προσβαλοῦσι μὲν γάρ, οὐ περιέσονται δὲ αὐτῆς. ἀλλὰ τί ποτέ ἐστι, πύλαι ᾅδου; τάχα γὰρ ἀσαφὲς τὸ εἰρημένον. μάθωμεν τί ἐστι πύλη πόλεως, καὶ τότε εἰσόμεθα τί ἐστι πύλη ᾅδου. πύλη πόλεώς ἐστιν εἴσοδος ἡ εἰς τὴν πόλιν· οὐκοῦν καὶ πύλη ᾅδου ἐστὶ κίνδυνος εἰς τὸν ᾅδην φέρων.

Ματθ. ις. ιη.

ρων. ὃ τοίνυν λέγω τοιοῦτόν ἐστιν· ἂν τοιοῦτοι κίνδυνοι καταρράγωσι καὶ περιβάλλωσιν, ὡς πρὸς αὐτὸν ἐγγίζειν ἡμᾶς τὸν ᾅδην, ἀπερίτρεπτος ἡ ἐκκλησία μένει. ἠδύνατο μὲν γὰρ μὴ ἀφεῖναι πειρασμοὺς αὐτὴν λαβεῖν τὴν ἀρχήν. τίνος οὖν ἕνεκεν ἀφίησιν; ὅτι πολλῷ μεῖζόν ἐστι τοῦ κωλῦσαι τοὺς πειρασμοὺς τὸ συγχωρήσαντα τοὺς πειρασμοὺς ἐλθεῖν, μηδὲν ἀφεῖναι δεινὸν ἐκ τῆς ἐπαγωγῆς τούτων παθεῖν. διὰ τοῦτο ἀφῆκε πάντας ἐπελθεῖν τοὺς πειρασμούς, ἵνα δοκιμωτέραν αὐτὴν ἐργάσηται. Ἡ γὰρ θλίψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν. καὶ ἵνα τὴν δύναμιν τὴν ἑαυτοῦ μετὰ πλείονος ἐπιδείξηται περιουσίας, ἐξ αὐτῶν τῶν πυλῶν τοῦ θανάτου ἐξαρπάζει αὐτήν. διὰ τοῦτο καὶ τὸ κλυδώνιον εἴασε γενέσθαι, καὶ βαπτισθῆναι τὸ σκάφος οὐκ εἴασεν. οὕτω καὶ κυβερνήτην θαυμάζομεν, οὐχ ὅταν ἐξ οὐρίας πλέων, οὐδ᾽ ὅταν κατὰ πρύμναν ἱσταμένου τοῦ πνεύματος διασώσῃ τὸ σκάφος· ἀλλ᾽ ὅταν τῆς θαλάσσης στασιαζούσης, καὶ τῶν κυμάτων ἀγριουμένων, καὶ τοῦ χειμῶνος καταρρηγνυμένου, τὴν τέχνην πρὸς τὴν τῶν ἀνέμων ἀντιστήσας φοράν, ἐκ μέσου τοῦ χειμῶνος ἐξαρπάσῃ τὸ πλοῖον. οὕτω καὶ ὁ Χριστὸς ἐποίησε· καθάπερ πλοῖον ἐν θαλάττῃ, τὴν ἐκκλησίαν ἐν τῇ οἰκουμένῃ φέρεσθαι πάλιν ἀφείς, οὐ κατέλυσε τὴν ζάλην, ἀλλ᾽ ἐξήρπασε τῆς ζάλης· οὐ κατέστειλε τὴν θάλασσαν, ἀλλ᾽ ἠσφαλίσατο τὴν ναῦν. καὶ διανισταμένων τῶν πανταχοῦ δήμων, καθάπερ κυμάτων ἀγρίων, καὶ προσβαλλόντων αὐτῇ τῶν πνευμάτων τῶν πονηρῶν, καθάπερ χαλεπῶν ἀνέμων, καὶ πάντοθεν ἐγειρομένου τοῦ χειμῶνος, πολλὴν τῇ ἐκκλησίᾳ τὴν γαλήνην ἐποίει. καὶ τὸ δὴ θαυμαστόν, ὅτι οὐ μόνον ὁ χειμὼν οὐ κατέκλυσε τὴν ναῦν, ἀλλ᾽ ὅτι καὶ τὸν χειμῶνα ἡ ναῦς κατέλυσεν. οἱ γὰρ διωγμοὶ οἱ συνεχεῖς οὐ μόνον οὐ κατεπόντισαν τὴν ἐκκλησίαν, ἀλλὰ καὶ διελύθησαν ὑπὸ τῆς ἐκκλησίας. πῶς καὶ τίνα τρόπον, καὶ πόθεν; ἀπὸ τῆς ἀποφάσεως ταύτης τῆς λεγούσης, Πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. πόσα ἔκαμον Ἕλληνες, ὥστε τὸ ῥῆμα τοῦτο καθελεῖν, ὥστε ἄκυρον ποιῆσαι τὴν ἀπόφασιν, καὶ οὐκ ἴσχυσαν καταλῦσαι. Θεοῦ γὰρ ἡ ἀπόφασις ἦν. καὶ καθάπερ πύργον ἐξ ἀδαμαντίνων λίθων συγκείμενον, σιδήρῳ συνδεδεμένον ἀκριβῶς, οἱ πολέμιοι πανταχόθεν βάλλοντες, οὔτε τὴν οἰκοδομὴν χαυνοῦσιν, οὔτε τὴν ἁρμονίαν διαλύουσιν, ἀλλ᾽ ἀπέρχονται τὸν μὲν πύργον μηδὲν καταβλάψαντες, μηδὲ ποιήσαντές τι κακόν, τὴν δὲ ἑαυτῶν καταλύσαντες δύναμιν· οὕτω δὴ καὶ τὸ ῥῆμα τοῦτο, καθάπερ πύργον ὑψηλὸν ἐν μέσῃ τῇ οἰκουμένῃ μετὰ ἀσφαλείας τετειχισμένον, οἱ Ἕλληνες πανταχόθεν βάλλοντες αὐτοί τε ἰσχυρὸν ἀπέφηναν, τὴν δὲ ἑαυτῶν καταλύσαντες ἰσχύν, οὕτως ἀπέθανον. τί γὰρ οὐκ ἐμηχανήσαντο κατὰ τῆς ἀποφάσεως ταύτης; στρατόπεδα παρεσκευάζετο, ὅπλα ἐκινεῖτο, βασιλεῖς καθωπλίζοντο, δῆμοι διηγείροντο, πόλεις διανίσταντο, δικασταὶ παρωξύνοντο, ἅπαν τιμωρίας εἶδος ἐπενοεῖτο· οὐδεὶς παρελιμπάνετο κολάσεως τρόπος· πῦρ, καὶ σίδηρος, καὶ θηρίων ὀδόντες, καὶ κρημνοί, καὶ καταποντισμοί, καὶ βάραθρον, καὶ ξύλον, καὶ σταυρός, καὶ κάμινος, καὶ πάντα, ὅσα ὤφθη πώποτε, βασανιστήρια εἰς μέσον ἐφέρετο· ἀπειλῶν ὄγκος ἄφατος, τιμῶν ὑποσχέσεις ἄφατοι, ὥστε ἐκείνῳ μὲν φοβῆσαι τῷ τρόπῳ, τούτῳ δὲ ἐκλῦσαι καὶ δελεάσαι. οὐδὲν γοῦν ἀπάτης, οὐ βίας παρελιμπάνετο εἶδος. καὶ γὰρ πατέρες παῖδας παρεδίδωσαν, καὶ παῖδες πατέρας ἠγνόησαν· μητέρες ὠδίνων ἐπελάθοντο· καὶ οἱ τῆς φύσεως ἀνετράπησαν νόμοι. ἀλλ᾽ ὅμως οἱ θεμέλιοι τῆς ἐκκλησίας οὐδὲ οὕτως ἐσαλεύθησαν· ἀλλὰ διὰ τῆς συγγενείας αὐτῆς ὁ πόλεμος ἤρετο, καὶ τῶν τειχῶν αὐτῆς οὐχ ἥψατο, διὰ τὸ ῥῆμα ἐκεῖνο τὸ λέγον, ὅτι πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. μὴ γὰρ ἴδῃς, ὅτι ῥῆμα ἦν, ἀλλ᾽ ὅτι ῥῆμα Θεοῦ. καὶ γὰρ τὸν οὐρανὸν ῥήματι ἐστερέωσεν ὁ Θεός, καὶ τὴν γῆν ῥήματι ἐθεμελίωσεν ἐπὶ τῶν ὑδάτων, τὴν πυκνὴν ταύτην καὶ βαρεῖαν φύσιν ἐπὶ τῆς χαυνοτάτης ἐκείνης καὶ διαρρεούσης ποιήσας φέρεσθαι· καὶ τὴν θάλασσαν τὴν ἀπόρρητον ταῖς βίαις, ἐκείνην τὴν τοσαῦτα ἔχουσαν κύματα, ἀσθενεῖ τειχίῳ τῇ ψάμμῳ πανταχόθεν ἐτείχισε διὰ ῥήματος.

Ρωμ. ε. γ.

Ματθ. ις. ιη.

τος. ὁ τοίνυν διὰ ῥήματος τὸν οὐρανὸν στερεώσας, τὴν γῆν θεμελιώσας, τὴν θάλασσαν περιφράξας, τί θαυμάζεις, εἰ τὴν οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης τιμιωτέραν ἐκκλησίαν διὰ τοῦ ῥήματος τούτου πάλιν ἐτείχισεν; ἀλλ' ἐπειδὴ οὕτως ἡ οἰκοδομὴ ἄσειστος, οὕτω τὸ τεῖχος ἀῤῥαγές, ἴδωμεν πῶς κατεβάλλοντο οἱ ἀπόστολοι τοὺς θεμελίους, πόσον βάθος ἔσκαψαν, ὥστε ἄσειστον γενέσθαι τὴν οἰκοδομήν. οὐκ ἔσκαψαν βάθος, οὐκ ἐδεήθησαν πόνου τοσούτου. διὰ τί; παλαιὸν εὗρον θεμέλιον καὶ ἀρχαῖον, τὸν τῶν προφητῶν. καθάπερ οὖν ἄνθρωπος μέλλων οἰκίαν μεγίστην οἰκοδομεῖν, ἐπειδὰν εὕρῃ θεμέλιον παλαιὸν καὶ ἰσχυρὸν καὶ ἀῤῥαγῆ, οὐκ ἀναμοχλεύει τὸν θεμέλιον, οὐ κινεῖ τοὺς λίθους, ἀλλ' ἀφεὶς ἑστάναι ἀκίνητον, οὕτως ἐπιτίθησι τὴν νέαν καὶ πρόσφατον οἰκοδομήν· οὕτω καὶ οἱ ἀπόστολοι μέλλοντες τὸ μέγα τοῦτο οἰκοδόμημα οἰκοδομεῖν, τὴν πανταχοῦ τῆς οἰκουμένης ἐκκλησίαν ἱδρυμένην, οὐ διέσκαψαν βάθος, ἀλλ' εὑρόντες παλαιὸν θεμέλιον, τὸν τῶν προφητῶν, οὐκ ἀνεμόχλευσαν ἐκεῖνον, οὐκ ἐκίνησαν τὴν οἰκοδομήν, καὶ τὴν διδασκαλίαν· ἀλλ' ἀφέντες αὐτὴν μένειν ἀκίνητον, οὕτως ἐπέθηκαν τὴν παρ' ἑαυτῶν διδασκαλίαν, τὴν νέαν ταύτην τῆς ἐκκλησίας πίστιν. καὶ ἵνα μάθῃς ὅτι οὐκ ἐκίνησαν τὸν παλαιὸν θεμέλιον, ἀλλ' ἐπάνω αὐτοῦ ᾠκοδόμησαν, ἄκουσον αὐτοῦ τοῦ σοφοῦ ἀρχιτέκτονος Παύλου λέγοντος ἡμῖν τῆς οἰκοδομῆς τὴν ἀκρίβειαν· αὐτὸς γάρ ἐστιν ὁ σοφὸς ἀρχιτέκτων. Ὡς σοφὸς γάρ, φησιν, ἀρχιτέκτων θεμέλιον τέθεικα. ἀλλ' ἴδωμεν πῶς αὐτὸν τέθεικε τὸν θεμέλιον. ἐπάνω, φησίν, ἑτέρου θεμελίου παλαιοῦ, τοῦ τῶν προφητῶν. πόθεν τοῦτο δῆλον; Οὐκ ἔτι ἐστὲ ξένοι, φησίν, ἀλλὰ συμπολῖται τῶν ἁγίων, ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν. Εἶδες θεμέλιον καὶ θεμέλιον, τὸν μὲν τῶν προφητῶν, τὸν δὲ τῶν ἀποστόλων δευτέρῳ κείμενον. καὶ τὸ δὴ θαυμαστόν, οὐκ εὐθέως μετὰ τοὺς προφήτας ἦλθον οἱ ἀπόστολοι, ἀλλὰ πολὺς μεταξὺ παρεγένετο χρόνος. τί δήποτε; ὅτι οἱ ἄριστοι τῶν οἰκοδόμων τοῦτο ποιοῦσιν· ἐπειδὰν καταβάλλωνται θεμέλιον, οὐκ εὐθέως ἐπιτιθέασι τὴν οἰκοδομήν, ἵνα μὴ ἁπαλωτέρα καὶ πρόσφατος οὖσα τοῦ θεμελίου ἡ ἐργασία, ἀδυνατήσῃ τῶν τειχῶν ἐνεγκεῖν τὸ βάρος. διὰ τοῦτο ἀφέντες χρόνῳ πολλῷ παγῆναι τοὺς λίθους, ἐπειδὰν ἴδωσιν ἀκριβῶς σφιγχθέντας, τότε ἐπιτιθέασι καὶ τῶν τοίχων τὸ βάρος. οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν· ἀφεὶς παγῆναι τὸν θεμέλιον τῶν προφητῶν ἐν ταῖς τῶν ἀκουσάντων ψυχαῖς, καὶ γενέσθαι βεβαίαν τὴν διδασκαλίαν, ὅτε εἶδεν ἄσειστον οὖσαν τὴν οἰκοδομήν, ὅτε πάγια τὰ δόγματα τὰ ἱερά, ὥστε δυνηθῆναι τὴν κατὰ τὴν χάριν φιλοσοφίαν ἐνεγκεῖν, τότε ἀπέστειλε τοὺς ἀποστόλους, ἐπὶ τῷ θεμελίῳ τῶν προφητῶν τοὺς τοίχους τῆς ἐκκλησίας ἀναστήσοντας. διὰ τοῦτο οὐκ εἶπεν, οἰκοδομηθέντες ἐπὶ τῷ θεμελίῳ, τουτέστιν, ἐπάνω οἰκοδομηθέντες.

α. Κορ. γ. ι.
Ἐφ. β. ιθ.

Ἀλλ' ἴδωμεν πῶς ᾠκοδομήθησαν. πόθεν οὖν εἰσόμεθα; πόθεν δὲ ἄλλοθεν, ἀλλ' ἢ ἀπὸ τῆς βίβλου τῶν πράξεων, περὶ ἧς καὶ ἐν ταῖς ἔμπροσθεν ὑμῖν ἡμέραις διελέχθημεν. τάχα γάρ τι καὶ μικρὸν ἐκεῖθεν ὑμῖν ὀφείλομεν χρέος, ὅπερ ἀνάγκη καταθεῖναι σήμερον. τί οὖν ἐστι τὸ χρέος; αὐτὴν τοῦ βιβλίου τὴν ἐπιγραφὴν ἑρμηνεῦσαι σπουδάσωμεν. οὐ γὰρ ψιλή τις ἐστὶ καὶ σαφής, καθὼς πολλοὶ νομίζουσιν, ἀλλὰ δεῖται καὶ ἐξετάσεως. τίς οὖν ἡ ἐπιγραφὴ τοῦ βιβλίου; Πράξεις ἀποστόλων. οὐ δοκεῖ σαφὲς εἶναι; οὐ δοκεῖ γνώριμον, καὶ δῆλον ἅπασιν; ἀλλ' ἂν παρακολουθῆτε τοῖς λεγομένοις, ὄψεσθε ὅσον τὸ βάθος τῆς ἐπιγραφῆς ταύτης. διὰ τί γὰρ οὐκ εἶπε, θαύματα ἀποστόλων; διὰ τί οὐκ ἐπέγραψε, σημεῖα ἀποστόλων, δυνάμεις καὶ τέρατα ἀποστόλων· ἀλλ' ἢ πράξεις ἀποστόλων; οὐ γὰρ τὸ αὐτό ἐστι πράξεις, καὶ θαύματα· οὐ τὸ αὐτό ἐστι πράξεις, καὶ τέρατα, καὶ δυνάμεις· ἀλλὰ πολλὴ ἡ διαφορὰ τούτων ἑκατέρων. πράξις μὲν γάρ ἐστιν οἰκείας σπουδῆς κατόρθωμα, θαῦμα δὲ θείας δωρεᾶς χάρισμα. Εἶδες ὅσον τὸ μέσον πράξεως, καὶ θαύματος; πράξις ἐστὶν ἀνθρωπίνων ἱδρώτων συντέλεσμα, θαῦμά ἐστι θείας φιλοτιμίας ἐπίδειξις· πράξις ἐστὶν ἐκ τῆς ἡμετέρας προαιρέσεως τὴν ἀρχὴν ἔχουσα, θαῦμα δέ ἐστιν ἐκ τῆς τοῦ Θεοῦ χάριτος τὰ προοίμια λαμβάνον· καὶ τὸ μὲν τῆς ἄνωθεν ῥοπῆς, τὸ δὲ τῆς κάτωθεν γνώμης. πρᾶξις δὲ ἐξ ἀμφοτέρων ὑφαίνεται, καὶ ἐξ ἡμετέρας σπουδῆς, καὶ ἐκ θείας χάριτος· τὸ δὲ θαῦμα γυμνὴν ἐπιδείκνυται τὴν ἄνωθεν χάριν, οὐδὲν τῶν ἡμετέρων ἱδρώτων δεόμενον. πρᾶξίς ἐστιν ἐπιεικῆ εἶναι, σώφρονα, μέτριον, ὀργῆς κρατεῖν, ἐπιθυμίας καταγωνίζεσθαι, ἐλεημοσύνας ποιεῖν, φιλανθρωπίαν ἐπιδείκνυσθαι, ἅπασαν ἀσκεῖν ἀρετήν. τοῦτο πρᾶξίς ἐστι, καὶ πόνος, καὶ ἱδρὼς ἡμέτερος. θαῦμά ἐστι δαίμονας ἀπελαύνειν, τυφλωθέντας ὀφθαλμοὺς ἀνοίγειν, λεπρῶν τὰ σώματα καθαίρειν, διαλελυμένα μέλη σφίγγειν, νεκροὺς ἐγείρειν, ἕτερα τοιαῦτα θαυματουργεῖν. Εἶδες πόσον τὸ μέσον πράξεων καὶ θαυμάτων, πολιτείας καὶ σημείων, τῆς ἡμετέρας σπουδῆς καὶ τῆς τοῦ Θεοῦ χάριτος; Βούλει καὶ ἑτέραν σοι δείξω διαφοράν; διὰ γὰρ ὑμᾶς σήμερον ἅπαντα τὸν λόγον τοῦτον ἐκίνησα, ὥστε μαθεῖν τὸ θαῦμα καὶ τὸ σημεῖον. τὸ θαῦμα μεῖζον μέν ἐστι, καὶ φρικωδέστερον, καὶ τὴν ἡμετέραν ὑπερβαῖνον φύσιν· ἡ δὲ πρᾶξις καὶ ἡ πολιτεία ἔλαττον μὲν τῶν σημείων, χρησιμώτερον δὲ καὶ κερδαλεώτερον. πόνων γάρ ἐστιν ἀμοιβὴ καὶ σπουδῆς μισθός. καὶ ἵνα μάθῃς, ὅτι ἡ πρᾶξις τοῦ σημείου κερδαλεωτέρα καὶ χρησιμωτέρα, πρᾶξις μὲν ἀγαθὴ καὶ χωρὶς σημείων εἰς τὸν οὐρανὸν τοὺς κατωρθωκότας εἰσήγαγε, θαῦμα δὲ καὶ σημεῖα χωρὶς πολιτείας οὐκ ἴσχυσε πρὸς τὰ πρόθυρα χειραγωγῆσαι ἐκεῖνα. καὶ πῶς, ἐγὼ δείξω. ὑμεῖς δὲ παρατηρεῖτε πῶς τὴν προεδρίαν αἱ πράξεις ἔχουσι κατὰ τὴν τῶν μισθῶν ἀμοιβήν· πῶς τὰ μὲν σημεῖα καθ' ἑαυτὰ ὄντα οὐ σώζει τοὺς ποιοῦντας, ἡ δὲ πρᾶξις καθ' ἑαυτὴν οὖσα, οὐδενὸς ἑτέρου δεῖται πρὸς σωτηρίαν τῶν κεκτημένων. Πολλοὶ ἐροῦσί μοι, φησὶν ὁ Χριστὸς, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν; (τοῦτο σημεῖον καὶ θαῦμα) οὐ τῷ σῷ ὀνόματι δαιμόνια πολλὰ ἐξεβάλομεν, καὶ δυνάμεις πολλὰς ἐποιήσαμεν; ὁρᾷς πανταχοῦ σημεῖα καὶ θαύματα. ἴδωμεν τί φησιν ὁ Θεός. ἐπειδὴ γυμνὰ τὰ θαύματα, καὶ οὐδαμοῦ πολιτεία, πορεύεσθε, φησὶν, ἀπ' ἐμοῦ, οὐκ οἶδα ὑμᾶς, οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. Εἰ οὐκ οἶδας αὐτοὺς, πῶς οἶδας αὐτοὺς, εἰ ἐργάζονται τὴν ἀνομίαν; ἵνα μάθῃς, τὸ, οὐκ οἶδα ὑμᾶς, οὐκ ἀγνοίας ἐστὶν, ἀλλὰ μίσους καὶ ἀποστροφῆς. οὐκ οἶδα ὑμᾶς. τίνος ἕνεκεν, εἰπέ μοι; οὐ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν; διὰ τοῦτο γὰρ ὑμᾶς μισῶ καὶ ἀποστρέφομαι, φησὶν, ὅτι οὐδὲ τῆς δωρεᾶς βελτίους ἐγένεσθε, ὅτι τοσαύτης ἀπολαύσαντες τιμῆς ἐμείνατε ἐπὶ τῆς αὐτῆς κακίας. πορεύεσθε ἀπ' ἐμοῦ· οὐκ οἶδα ὑμᾶς. τί δαί; τὸ παλαιὸν ἀνάξιοι ἐλάμβανον χαρίσματα, καὶ διεφθαρμένοι τὸν βίον σημεῖα ἐπεδείκνυντο, καὶ θείας ἀπήλαυον δωρεᾶς, τῆς πολιτείας οὐκ ἐπιμελούμενοι τῆς ἀρίστης; ἀπήλαυον διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, οὐ διὰ τὴν οἰκείαν ἀξίαν. ἔδει γὰρ πανταχοῦ σπαρῆναι τῆς εὐσεβείας τὸν λόγον, ἐπειδὴ ἀρχὴ καὶ προοίμια τῆς πίστεως ἦν. καθάπερ οὖν γηπόνος ἄριστος νεόφυτον δένδρον τοῖς κόλποις τῆς γῆς ἄρτι παρακαταθέμενος ἁπαλὸν ὑπάρχον ἔτι, πολλῆς ἐπιμελείας ἀξιοῖ, πανταχόθεν περιφράττων, τειχίζων καὶ λίθοις καὶ ἀκάνθαις, ὥστε μὴ ὑπὸ ἀνέμων ἀνασπασθῆναι, μήτε ὑπὸ ἄλλης τινὸς ἐπηρεασθῆναι βλάβης· ἐπειδὰν δὲ παγῇ καὶ πρὸς ὕψος ἀναδράμοι ἤδη, περιαιρεῖ τὰ τειχία (ἀρκεῖ γὰρ αὐτὸ τὸ δένδρον πρὸς τὸ μηδὲν τοιοῦτον παθεῖν) οὕτω καὶ ἐπὶ τῆς πίστεως γέγονεν. ὅτε νεόφυτος ἦν, ὅτε ἁπαλὴ ὑπῆρχεν, ἐπιμελείας ἠξιοῦτο πάντοθεν· ἐπειδὴ δὲ ἐπάγη καὶ ἐρριζώθη καὶ πρὸς ὕψος ἀνέδραμεν, ἐπειδὴ πᾶσαν τὴν οἰκουμένην ἐπλήρωσε, καὶ περιῆρε τὰ τειχία, καὶ τὰ ἀσφαλίσματα λοιπὸν ἀνεῖλεν ὁ Χριστός. διὰ τοῦτο παρὰ μὲν τὴν ἀρχὴν καὶ ἀναξίοις χαρίσματα ἐδίδοτο. χρείαν γὰρ εἶχε τὸ παλαιὸν, τῆς πίστεως ἕνεκα, ταύτης τῆς βοηθείας· νῦν δὲ οὐδὲ ἀξίοις δίδοται. ἡ γὰρ ἰσχὺς τῆς πίστεως οὐκέτι ταύτης δεῖται τῆς συμμαχίας. καὶ ἵνα μάθῃς ὅτι οὐκ ἐψεύδοντο ἐκεῖνοι, ἀλλὰ ἀληθῶς σημεῖα ἐποίησαν, καὶ ἀναξίοις ἀνθρώποις χαρίσματα ἐδίδον-

Ματθ. ζ. κβ.

το· καὶ ἵνα πρὸς τοῖς εἰρημένοις καὶ ἕτερόν τι κατορθωθῇ, καὶ τὴν τοῦ Θεοῦ δωρεὰν αἰδεσθέντες
ἐκεῖνοι ἀποθῶνται τὴν πονηρίαν, Ἰούδας ὁ τῶν δώδεκα παρὰ πᾶσιν ὁμολογεῖται, ὅτι σημεῖα
ἐποίει, ὅτι δαίμονας ἐξέβαλεν, ὅτι νεκροὺς ἤγειρεν, ὅτι λεπροὺς ἐκάθηρεν· ἀλλ' ὅμως ἐξέπεσε
τῆς βασιλείας τῶν οὐρανῶν. οὐ γὰρ ἴσχυσεν αὐτὸν σῶσαι τὰ σημεῖα, ἐπειδὴ λῃστὴς καὶ
κλέπτης, καὶ τοῦ δεσπότου προδότης ἐγένετο. ὅτι μὲν τὰ σημεῖα οὐκ ἰσχύει σῶσαι χωρὶς πολιτείας
ἀρίστης καὶ βίου καθαροῦ καὶ διηκριβωμένου, ἀπὸ τούτων ἀποδέδεικται· ὅτι δὲ πολιτεία
οὐκ ἔχουσα τὴν ἀπὸ τῶν σημείων παραμυθίαν, οὐδὲ σύμμαχον λαβοῦσα ἐκείνην, ἀλλ'
αὐτὴ καθ' ἑαυτὴν φανεῖσα, ἰσχύει μετὰ παρρησίας εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν,
Ματθ. κε. λδ'. ἄκουσον αὐτοῦ τοῦ Χριστοῦ λέγοντος· Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε
τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. διὰ τί; ὅτι νεκροὺς ἠγείρατε;
ὅτι λεπροὺς ἐκαθήρατε; ὅτι δαίμονας ἠλάσατε; οὐχί· ἀλλὰ διὰ τί; Πεινῶντα εἴδετέ
με, φησί, καὶ ἐθρέψατε· διψῶντα, καὶ ἐποτίσατέ με· γυμνόν, καὶ περιεβάλετέ με· ξένον,
καὶ συνηγάγετε. οὐδαμοῦ θαύματα, ἀλλὰ πανταχοῦ πολιτεία. ὥσπερ οὖν ἐκεῖ πανταχοῦ
θαύματα, καὶ εὐθέως κόλασις, ἐπειδὴ γυμνὰ τὰ θαύματα τῆς πολιτείας, οὕτω καὶ ἐνταῦθα,
πανταχοῦ πολιτεία, καὶ οὐδαμοῦ θαύματα, καὶ εὐθέως ἡ σωτηρία· ἐπειδὴ ἰσχύει καθ' ἑαυτὴν
σῶσαι ἡ ἀρίστη πολιτεία τοὺς κεκτημένους αὐτήν. διὰ τοῦτο καὶ ὁ μακάριος οὗτος, καὶ γενναῖος
καὶ θαυμάσιος Λουκᾶς, οὕτως ἐπέγραψε τὸ βιβλίον, πράξεις ἀποστόλων, οὐ θαύματα ἀποστόλων·
καίτοι καὶ θαύματα πεποιήκασιν. ἀλλ' ἐκεῖνα μὲν καιρῷ γέγονε, καὶ παρῆλθε· ταῦτα
δὲ διὰ παντὸς τοῦ χρόνου πάντας ἐπιδείκνυσθαι χρὴ τοὺς σώζεσθαι μέλλοντας. ἐπεὶ
οὖν οὐ πρὸς τὰ σημεῖα, ἀλλὰ πρὸς τὰς πράξεις τῶν ἀποστόλων ὁ ζῆλος ἡμῖν, διὰ τοῦτο
οὕτως τὸ βιβλίον ἐπέγραψεν. ἵνα γὰρ μὴ λέγῃς, μᾶλλον δὲ ἵνα μὴ λέγωσιν οἱ ῥᾴθυμοι, ἐπειδὰν
αὐτοὺς παρακαλοῦμεν πρὸς τὴν μίμησιν τῶν ἀποστόλων, καὶ λέγωμεν, μίμησαι Πέτρον,
ζήλωσον Παῦλον, γενοῦ κατὰ Ἰωάννην, ἀκολούθησον Ἰάκωβον· ἵνα μὴ λέγωσιν, οὐ δυνάμεθα,
οὐδὲ ἰσχύομεν, ἐκεῖνοι γὰρ νεκροὺς ἀνέστησαν, λεπροὺς ἐκάθηραν, ἐπιστομίζων ἡμῶν
τὴν ἀναίσχυντον ἀπολογίαν, σιώπα, φησί, πεφίμωσο. οὐ θαύματα, ἀλλὰ πολιτεία
εἰς τὴν βασιλείαν εἰσάγει τῶν οὐρανῶν. ζήλωσον τοίνυν τὴν πολιτείαν τῶν ἀποστόλων,
καὶ οὐδὲν ἔλαττον ἕξεις τῶν ἀποστόλων. οὐ γὰρ τὰ σημεῖα ἀποστόλους ἐποίησεν, ἀλλ' ὁ βίος
ὁ καθαρός. καὶ ὅτι τοῦτό ἐστι τὸ γνώρισμα τῆς ἀποστολικῆς εἰκόνος, καὶ τοῦ χαρακτῆρος τῶν
μαθητῶν, ἄκουσον τοῦ Χριστοῦ τοῦτο δηλοῦντος τὸ σημεῖον. χαρακτηρίζων γὰρ τῶν μαθητῶν
Ιωαν. ιγ. λε. τὰς εἰκόνας, καὶ δεικνὺς τί ποτέ ἐστιν ἀποστολῆς γνώρισμα, οὕτως εἶπεν· Ἐν τούτῳ γνώσονται
πάντες, ὅτι μαθηταί μου ἐστέ. ἐν τούτῳ, ποίῳ; ἐν τῷ θαύματα ποιεῖν; ἐν τῷ νεκροὺς
ἐγείρειν; οὐχί, φησιν· ἀλλ' ἐν τίνι; ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε
Ρωμ. ιγ. ι. ἀλλήλους. ἡ δὲ ἀγάπη οὐχὶ θαυμάτων, ἀλλὰ πολιτείας ἐστί. Πλήρωμα γὰρ νόμου
ἡ ἀγάπη. εἶδες τὸ γνώρισμα τῶν μαθητῶν; εἶδες τὴν εἰκόνα τῆς ἀποστολῆς; εἶδες
τὴν μορφήν; εἶδες τὸν τύπον; μηδὲν πλέον ζήτει. ὁ γὰρ δεσπότης ἀπεφήνατο, ὅτι
ἀγάπη χαρακτηρίζει τοὺς μαθητάς. ἂν τοίνυν ἔχῃς ἀγάπην, ἀπόστολος γέγονας, καὶ τῶν ἀποστόλων
Ιωαν. κα. ιζ. πρῶτος. βούλει ἑτέρωθεν τοῦτο μαθεῖν; πρὸς Πέτρον εἰπὼν ὁ Χριστός, Πέτρε,
φιλεῖς με πλέον τούτων, φησί; τούτου δὲ ἴσον οὐδὲν εἰς τὸ τυχεῖν βασιλείας οὐρανῶν, ἀλλ'
ὅταν φαινώμεθα τὸν Χριστὸν φιλοῦντες, ὡς φιλεῖν δεῖ. καὶ τὸ γνώρισμα εἶπε. τί ποτ' οὖν
ἐστι τοῦτο; καὶ τί ποιοῦντες δυνάμεθα φιλεῖν πλέον τῶν ἀποστόλων; ἆρα τοὺς νεκροὺς ἐγείροντες;
ἢ ἄλλα τινὰ θαύματα ἐπιδεικνύμενοι; οὐδαμῶς· ἀλλὰ τί ποιοῦντες; αὐτοῦ τοῦ φιλουμένου
Χριστοῦ ἀκούσωμεν. Εἰ γὰρ φιλεῖς με, φησί, πλέον τούτων, ποίμαινε τὰ πρόβατά μου. ἰδοὺ
καὶ ἐνταῦθα πολιτεία εὐδοκιμεῖ. τὸ γὰρ κηδεμονικόν, τὸ συμπαθητικόν, τὸ προστατικόν,
τὸ μὴ τὰ ἑαυτοῦ ζητεῖν, ἀλλὰ πάντα, ἃ τὸν ποιμαίνοντα ἔχειν δεῖ, πάντα ταῦτα πολιτεί-

ας ἐστὶν, οὐχὶ θαυμάτων, οὐδὲ σημείων. ἀλλ' ἐκεῖνοί, φησι, διὰ τὰ θαύματα τοιοῦτοι γεγόνασιν. οὐχὶ διὰ τὰ θαύματα, ἀλλὰ διὰ τὴν πολιτείαν, καὶ ἐντεῦθεν μάλιστα ἔλαμψαν. διὰ τοῦτό φησιν αὐτοῖς, Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ἵνα ἴδωσιν οἱ ἄνθρωποι, οὐχὶ τὰ θαύματα, ἀλλὰ τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. ὁρᾷς πανταχοῦ τὴν πολιτείαν διαλάμπουσαν, τὸν βίον τὸν ἐνάρετον θαυμαζόμενον;

Ματθ. ε. ιϛ.

Βούλει σοι δείξω καὶ αὐτὸν τὸν Πέτρον, τοῦτον τὸν κορυφαῖον τῶν ἀποστόλων, καὶ πολιτείαν ἐπιδειξάμενον μεγίστην, καὶ θαύματα ποιήσαντα ὑπερβαίνοντα ἀνθρωπίνην φύσιν, καὶ ἀμφότερα παρ' ἄλληλα κείμενα, καὶ τὸ θαῦμα, καὶ τὴν πολιτείαν, καὶ ἀπὸ τῆς πολιτείας μᾶλλον, ἢ ἀπὸ τῶν σημείων τιμηθέντα; ἄκουε τῆς ἱστορίας ταύτης. Πέτρος καὶ Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερὸν περὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐνάτην. μὴ παραδράμῃς ἁπλῶς τὸ διήγημα, ἀλλ' εὐθέως ἐπίστα τῷ προοιμίῳ, καὶ μάθε πόση ἦν ἡ ἀγάπη καὶ ἡ συμφωνία καὶ ἡ ὁμόνοια, καὶ πῶς πανταχοῦ οὗτοι ἐκοινώνουν ἀλλήλοις, καὶ συνδεδεμένοι τῷ δεσμῷ τῆς κατὰ Θεὸν φιλίας, ἅπαντα ἔπραττον, καὶ ἐν τραπέζῃ καὶ ἐν εὐχῇ καὶ ἐν βαδίσει καὶ ἐν τοῖς ἄλλοις ἅπασι μετ' ἀλλήλων ἐφαίνοντο. εἰ δὲ ἐκεῖνοι οἱ στύλοι, οἱ πύργοι, οἱ πολλὴν παρρησίαν ἔχοντες πρὸς τὸν Θεὸν, τῆς παρ' ἀλλήλων ἐδέοντο βοηθείας, καὶ ὑπὸ τῆς παρ' ἀλλήλων συμμαχίας διωρθοῦντο, πόσῳ μᾶλλον ἡμεῖς οἱ ἀσθενεῖς, καὶ ταλαίπωροι, καὶ οὐδενὸς ἄξιοι λόγου, τῆς ἀλλήλων δεησόμεθα βοηθείας; Ἀδελφὸς γὰρ ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά. καὶ πάλιν· Ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; Πέτρος καὶ Ἰωάννης ἦσαν, καὶ τὸν Ἰησοῦν εἶχον μέσον. Ὅπου γὰρ ἂν ὦσι συνηγμένοι δύο ἢ τρεῖς, φησιν, ἐν τῷ ὀνόματί μου, ἐγὼ ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. εἶδες πόσον ἐστὶ τὸ ἐπὶ τὸ αὐτὸ εἶναι; οὐχ ἁπλῶς δὲ ἦσαν ἐπὶ τὸ αὐτὸ, ἐπεὶ καὶ νῦν ἐπὶ τὸ αὐτὸ πάντες ἐσμέν· ἀλλ' ἐπὶ τὸ αὐτὸ εἶναι χρὴ τῷ συνδέσμῳ τῆς ἀγάπης, τῇ διαθέσει τῆς προαιρέσεως· καὶ ὥσπερ τὰ σώματα ἡμῶν ἐγγὺς ἀλλήλων ἐστὶ νῦν, καὶ συσφίγγεται ἐπὶ τὸ αὐτὸ, οὕτω καὶ τὰς καρδίας συσφίγγεσθαι χρή. Πέτρος καὶ Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερόν. ἐσχίσθη τὸ καταπέτασμα, ἠρημώθη τὰ ἅγια τῶν ἁγίων, ἀνῃρέθη ἡ ἐν ἑνὶ τόπῳ προσκύνησις. ὁ Παῦλος βοᾷ λέγων, Ἐν παντὶ τόπῳ ἐπαίρετε ὁσίους χεῖρας. τί τοίνυν τρέχουσιν αὐτοὶ εἰς τὸ ἱερὸν προσεύξασθαι; πάλιν ἐπὶ τὴν Ἰουδαϊκὴν ἦλθον ἀσθένειαν; μὴ γένοιτο. ἀλλὰ συγκαταβαίνουσι τοῖς ἀσθενεστέροις, ἐκεῖνο πληροῦντες τὸ ῥῆμα Παύλου, τὸ λέγον, Ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος. συγκαταβαίνουσι τοῖς ἀσθενέσιν, ἵνα μὴ μείνωσιν ἀσθενεῖς ἐκεῖνοι. ἄλλως δὲ, καὶ ἐκεῖ συνήγετο πᾶσα ἡ πόλις. καθάπερ οὖν ἁλιεῖς ἄριστοι ἐκείνους τοὺς κόλπους τῶν ποταμῶν διώκουσιν, ἔνθα πάντες συλλέγονται οἱ ἰχθύες, ὥστε μετ' εὐκολίας ἐπιτυχεῖν τῆς θήρας· οὕτω δὴ καὶ οἱ ἀπόστολοι οὗτοι, οἱ πνευματικοὶ ἁλιεῖς, εἰς ἐκεῖνον τὸν κόλπον ἔσπευδον, ὅπου πᾶσα ἡ πόλις συνήγετο, ἵνα ἐκεῖ τὸ τοῦ εὐαγγελίου δίκτυον ἁπλώσαντες, μετ' εὐκολίας τύχωσι τῆς ἄγρας. τοῦτο δὲ ἐποίουν μιμούμενοι τὸν διδάσκαλον. καὶ γὰρ ὁ Χριστός φησι, Καθ' ἡμέραν μεθ' ὑμῶν ἤμην ἐν τῷ ἱερῷ. διὰ τί ἐν τῷ ἱερῷ; ἵνα τοὺς ἐκ τοῦ ἱεροῦ λάβῃ. οὕτω καὶ οὗτοι ἀπήρχοντο μὲν ὡς προσευξάμενοι, διδασκαλίαν δὲ ἔμελλον κατασπείρειν ἐκεῖ. Εἰς τὸ ἱερὸν προσεύξασθαι περὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐνάτην. οὐδὲ ἡ ὥρα αὐτοῖς ἁπλῶς παρατετήρηται. καὶ γὰρ εἶπον ὑμῖν πολλάκις περὶ τῆς ὥρας ταύτης, ὅτι ἐν αὐτῇ παράδεισος ἀνεῴγη καὶ ὁ λῃστὴς εἰσῆλθεν, ἐν αὐτῇ ἡ κατάρα ἀνῃρέθη, ἐν αὐτῇ ἡ θυσία τῆς οἰκουμένης προσηνέχθη, ἐν αὐτῇ τὸ σκότος ἐλύθη, ἐν αὐτῇ τὸ φῶς ἔλαμψε, καὶ τὸ αἰσθητὸν καὶ τὸ νοητόν. περὶ ὥραν ἐνάτην. ὅτε ἕτεροι ἀπὸ ἀρίστου καὶ μέθης καθεύδουσιν ὕπνον βαθὺν, τότε ἐκεῖνοι νήφοντες, καὶ διεγηγερμένοι, καὶ πολλῷ τῷ πόθῳ ζέοντες, ἐπὶ τὴν προσευχὴν ἔσπευδον. εἰ δὲ ἐκεῖνοι εὐχῆς ἐδέοντο, εὐχῆς οὕτω

Πραξ. γ. α.

Παροιμ. ιη. ιθ.

Ψαλμ. ρλϐ. α.

Ματθ. ιη. κ.

α. Τιμ. ϐ. η.

α. Κορ. θ. κ.

Ματθ. κϛ. νε.

ἐκπλοῦς, εὐχῆς οὕτω διηκριβωμένης, οἱ τοσαύτην ἔχοντες παῤῥησίαν, οἱ μηδὲν ἑαυτοῖς συνειδότες πονηρὸν, τί ποιήσομεν ἡμεῖς, μυρίων γέμοντες τραυμάτων, οὐκ ἐπιτιθέντες δὲ τὸ εὐχῆς τὸ φάρμακον; μέγα ὅπλον εὐχή. βούλει μαθεῖν πῶς μέγα ὅπλον ἡ εὐχή; προστα- Πρξ. ϛ. γ. σίας πεινώντων παρέδραμον οἱ ἀπόστολοι, ἵνα πλείονα σχολὴν περὶ τὴν εὐχὴν ἔχωσι. Καταστήσατε γὰρ, φησὶν, ἐξ ὑμῶν ἄνδρας μαρτυρουμένους ἑπτὰ· ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν. ἀλλ᾽, ὅπερ ἔλεγον (μὴ γὰρ ἐκπέσωμεν τῆς ὑποθέσεως, ὅτι ὁ μὲν Πέτρος καὶ πρᾶξιν ἐπεδείξατο, καὶ θαῦμα ἐποίησε, καὶ ἀπὸ τῆς πράξεως ἐπαινεῖται μᾶλλον) ἀνῆλθεν οὖν εἰς τὸ ἱερὸν προσεύξασθαι· καὶ ἰδοὺ χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ, βασταζόμενος ἐκεῖ πρὸς τὴν θύραν τοῦ ἱεροῦ. ἀπ᾽ αὐτῶν τῶν ὠδίνων ἡ πήρωσις τῆς φύσεως ἦν, καὶ μεῖζον ἰατρικῆς τέχνης τὸ νόσημα· ἵνα μειζόνως ἐπιδειχθῇ ἡ τοῦ Θεοῦ χάρις. ἐκεῖνος οὖν ὁ χωλὸς ἔκειτο πρὸς τὴν πύλην τοῦ ἱεροῦ· καὶ ἰδὼν αὐτοὺς εἰσιόντας, προσέσχεν αὐτοῖς ζητῶν ἐλεημοσύνην παρ᾽ αὐτῶν λαβεῖν. τί οὖν ὁ Πέτρος; βλέψον εἰς ἡμᾶς, φησίν. ἱκανὴ ἀπὸ τῆς ὄψεως ἡ ἀπόδειξις τῆς ἀκτημοσύνης. οὐ χρεία λόγων, οὐδὲ ἀποδείξεως, οὐδὲ ἀποκρίσεως, οὐδὲ διδασκαλίας. ὁ στολισμός σοι δείκνυσι τὸν ἀκτήμονα. τοῦτο οὖν ὅλον τὸ κατόρθωμα τῆς ἀποστολῆς, ἵνα ταῦτα λέγῃς πρὸς τὸν πένητα, ἵνα μὴ διορθώσῃ τὴν πενίαν μόνον, ἵνα εἴπῃς, ὄψει μείζονα πλοῦτον. Ἀργύριον, φησὶ, καὶ χρυσίον οὐκ ἔχω· ὃ δὲ ἔχω τοῦτό σοι δίδωμι· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἔγειρε, καὶ περιπάτει. εἶδες πενίαν καὶ πλοῦτον, πενίαν μὲν χρημάτων, πλοῦτον δὲ χαρισμάτων. οὐκ ἔλυσε πενίαν χρημάτων, ἀλλὰ διώρθωσε πενίαν φύσεως. ὅρα τὴν ἐπιείκειαν Πέτρου· βλέψον εἰς ἡμᾶς. οὐχ ὕβρισεν, οὐκ ἐλοιδορήσατο, ὃ πολλάκις ποιοῦμεν ἡμεῖς πρὸς τοὺς ἐντυγχάνοντας ἡμῖν, εὐθύνας ἐγκαλοῦντες αὐτοῖς, ὅτι καθεύδουσι. μὴ γὰρ τοῦτο ἐπετάγης, ἀλλὰ θρέψαι. οὐκ ἐκέλευσέ σοι ἀργίαν ἐγκαλεῖν, ἀλλὰ πενίαν διορθοῦσθαι· οὐκ ἐποίησέ σε κατήγορον κακίας, ἀλλὰ ἰατρὸν κατέστησε συμφορᾶς· οὐχ ἵνα ὀνειδίζῃς νωθείαν, ἀλλ᾽ ἵνα χεῖρα ὀρέγῃς τοῖς κειμένοις· οὐχ ἵνα κακίζῃς τρόπον, ἀλλ᾽ ἵνα λύσῃς λιμόν. ἡμεῖς δὲ τοὐναντίον ποιοῦμεν ἀφέντες παραμυθήσασθαι τοὺς προσιόντας τῇ δόσει τῶν χρημάτων, καὶ προσεπιτρίβομεν αὐτῶν τὰ τραύματα ταῖς τῶν ἐγκλημάτων ἐπαγωγαῖς. ἀλλὰ καὶ ἀπολογεῖται τῷ πένητι, καὶ μετ᾽ ἐπιεικείας διαλέ- Σειρ. δ. η. γεται. Κλῖνον γὰρ, φησὶ, πτωχῷ ἀλύπως τὸ οὖς σου, καὶ ἀποκρίθητι αὐτῷ ἐν πραότητι εἰρηνικά. ἀργύριον καὶ χρυσίον οὐκ ἔχω· ὃ δὲ ἔχω τοῦτο σοι δίδωμι. ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἔγειρε καὶ περιπάτει. δύο ἐνταῦθά ἐστι, πολιτεία καὶ θαῦμα· πολιτεία, τὸ ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι. πολιτείας γὰρ τὸ καταφρονεῖν τῶν γηΐνων πραγμάτων, τὸ ῥῖψαι τὰ ὑπάρχοντα, τὸ ὑπεριδεῖν τῆς παρούσης ματαιότητος· θαῦμα δὲ, τὸ ἐγεῖραι τὸν χωλὸν, τὸ διορθῶσαι τὰ μέλη τὰ πεπηρωμένα. ἰδοὺ τοίνυν καὶ πολιτεία καὶ θαῦμα. ἴδωμεν οὖν πόθεν ὁ Πέτρος καυχᾶται. τί εἶπεν; ὅτι θαύματα ἐποίησε; καίτοι θαύματα ἦν πεποιηκὼς τότε· Ματθ. ιθ. κζ. ἀλλ᾽ οὐκ εἶπε τοῦτο, ἀλλὰ τί; Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι. Εἶδες τὴν πολιτείαν καὶ τὸ θαῦμα, καὶ τὴν πολιτείαν στεφανουμένην; τί οὖν ὁ Χριστός; τοῦτον ἀπε- Ματθ. ιθ. κη. δέξατο καὶ ἐπῄνεσε. Λέγω γὰρ ὑμῖν, φησὶν, ὅτι ὑμεῖς οἱ ἀφέντες οἰκίας, καὶ τὰ λοιπά. οὐκ εἶπεν, οἱ ἀναστήσαντες νεκροὺς, ἀλλ᾽ ὑμεῖς οἱ ἀφέντες τὰ ὑπάρχοντα ὑμῶν, καθήσεσθε ἐπὶ δώδεκα θρόνους· καὶ πᾶς, ὅστις ἀφῆκε τὰ ὑπάρχοντα αὐτῷ πάντα, ταύτης ἀπολαύσεται τῆς τιμῆς. οὐ δύνασαι ἀναστῆσαι χωλὸν, καθάπερ ὁ Πέτρος; ἀλλὰ δύνασαι εἰπεῖν, ὡς ἐκεῖνος· Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι. κἂν τοῦτο εἴπῃς, ἐγένου ἐγγὺς τοῦ Πέτρου· μᾶλλον δὲ οὐδὲ ἂν εἴπῃς, ἀλλ᾽ ἐὰν ποιήσῃς. οὐ δύνασαι ξηρὰν διορθῶσαι χεῖρα; ἀλλὰ δύνασαι τὴν σαυτοῦ χεῖρα ξηρὰν γενομένην ὑπὸ ἀπανθρωπίας ποιῆσαι ἐκταθῆναι διὰ Σειρ. δ. λα. φιλανθρωπίας. Μὴ ἔστω γὰρ, φησὶν, ἡ χείρ σου ἐκτεταμένη εἰς τὸ λαβεῖν, ἐν δὲ τῷ διδόναι συνεσταλμένη. ὁρᾷς ὅτι οὐχ ἡ ξηρότης, ἀλλὰ καὶ ἀπανθρωπία συστέλλει τὴν χεῖρα; ἐκτεῖνον οὖν αὐτὴν διὰ φιλανθρωπίας καὶ ἐλεημοσύνης. οὐ δύνασαι ἐκβαλεῖν δαίμονα; ἀλλ' ἔκβαλε ἁμαρτίαν, καὶ μείζονα λήψῃ μισθόν. Εἶδες πῶς πανταχοῦ ἡ πολιτεία, καὶ τὰ κατορθώματα μείζονα ἔπαινον ἔχει τῶν θαυμάτων, καὶ πλείονα τὴν ἀμοιβήν; Εἰ δὲ βούλει, καὶ ἑτέρωθεν τοῦτο δείξομεν. Προσῆλθον αὐτῷ, φησὶν, οἱ ἑβδομήκοντα μαθηταὶ, καὶ ἔχαιρον, καὶ ἔλεγον· Κύριε, ἐν τῷ ὀνόματί σου καὶ τὰ δαιμόνια ἡμῖν ὑπακούουσι. καὶ λέγει αὐτοῖς· μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑμῖν ὑπακούει, ἀλλὰ χαίρετε, ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς. ὁρᾷς πανταχοῦ τὴν πολιτείαν θαυμαζομένην;

Λουκ. ι. κ.

Φέρε οὖν, ἀναλογισώμεθα τὰ εἰρημένα ἄνωθεν. Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους. ἰδοὺ ἀπὸ πολιτείας, οὐκ ἀπὸ θαυμάτων, τὸ γνώρισμα τοῦ μαθητὰς εἶναι ἀποδέδεικται. Πέτρε, φιλεῖς με πλέον τούτων; ποίμαινε τὰ πρόβατά μου. ἰδοὺ καὶ ἕτερον γνώρισμα, καὶ αὐτὸ πάλιν ἀπὸ πολιτείας. τρίτον πάλιν γνώρισμα· Μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑμῖν ὑπακούει, ἀλλὰ χαίρετε, ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς. καὶ τοῦτο πολιτείας πάλιν κατόρθωμα. Βούλει καὶ τετάρτην ἀπόδειξιν τούτου μαθεῖν; Λαμψάτω, φησὶ, τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ἵνα ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. ἰδοὺ καὶ ἐνταῦθα ἔργα φαίνεται. καὶ ὅταν λέγῃ πάλιν· Ὅστις ἀφῆκεν οἰκίαν, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς ἕνεκεν ἐμοῦ, ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει, τὴν πολιτείαν ἐπαινεῖ, καὶ τὸν διηκριβωμένον βίον. Εἶδες τοὺς μαθητὰς ἀπὸ τοῦ φιλεῖν ἀλλήλους γνωριζομένους, τὸν δὲ ὑπὲρ τοὺς ἀποστόλους φιλοῦντα τὸν Χριστὸν ἀπὸ τοῦ ποιμαίνειν τοὺς ἀδελφοὺς φαινόμενον, τοὺς δὲ ὀφείλοντας χαίρειν, οὐκ ἀπὸ τοῦ δαίμονας ἐκβάλλειν, ἀλλ' ἀπὸ τοῦ ἐγγεγράφθαι ἐν τῷ οὐρανῷ κελευομένους εὐφραίνεσθαι, καὶ τοὺς μὲν τὸν Θεὸν δοξάζοντας ἀπὸ τῆς τῶν ἔργων λαμπρότητος δεικνυμένους, τοὺς δὲ ζωῆς ἐπιτυχόντας καὶ ἑκατονταπλασίονα λαμβάνοντας, ἀπὸ τῆς τῶν παρόντων ἁπάντων ὑπεροψίας ἐπιτυχόντας ταύτης τῆς δωρεᾶς. τούτους μίμησαι πάντας, καὶ δυνήσῃ καὶ μαθητὴς εἶναι, καὶ ἐν τοῖς φίλοις τοῦ Θεοῦ ἀριθμεῖσθαι, καὶ δοξάζειν τὸν Θεὸν, καὶ τῆς αἰωνίου ζωῆς ἀπολαῦσαι. καὶ οὐδὲν ἔσται σοι κώλυμα πρὸς τὸ τυχεῖν τῶν ἀγαθῶν ἁπάντων, τὸ μὴ ποιεῖν σημεῖα, ἐὰν πολιτείαν ἔχῃς διηκριβωμένην. καὶ γὰρ αὐτὸς, τοῦτο τὸ ὄνομα, Πέτρος, οὐκ ἀπὸ θαυμάτων καὶ σημείων ἔλαβεν, ἀλλ' ἀπὸ ζήλου καὶ φίλτρου γνησίου. οὐδὲ γὰρ ἐπειδὴ νεκροὺς ἀνέστησεν, οὐδὲ ἐπειδὴ χωλὸν ἀνώρθωσεν, οὕτως ἐκλήθη· ἀλλ' ἐπειδὴ πίστιν μετὰ τῆς ὁμολογίας ἐπεδείξατο γνησίαν, τὸ ὄνομα τοῦτο ἐκληρονόμησε, Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν. διὰ τί; οὐχ ὅτι θαύματα ἐποίησεν, ἀλλ' ὅτι εἶπε, Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. ὁρᾷς ὅτι καὶ αὐτὸ τὸ Πέτρον κληθῆναι, οὐκ ἀπὸ θαυμάτων, ἀλλ' ἀπὸ ζήλου πεπυρωμένου ἔλαβε τὴν ἀρχήν; ἀλλ' ἐπειδὴ Πέτρου ἐμνήσθην, εἰσῆλθέ μοι καὶ ἑτέρου Πέτρου μνήμη, τοῦ κοινοῦ πατρὸς, καὶ διδασκάλου, ὃς τὴν ἐκείνου διαδεξάμενος ἀρετὴν, καὶ τὴν καθέδραν ἐκληρονόμησε τὴν ἐκείνου. ἓν γὰρ καὶ τοῦτο πλεονέκτημα τῆς ἡμετέρας πόλεως, τὸ τῶν ἀποστόλων τὸν κορυφαῖον λαβεῖν ἐν ἀρχῇ διδάσκαλον. ἔδει γὰρ τὴν πρὸ τῆς οἰκουμένης ἁπάσης τὸ τῶν Χριστιανῶν ἀναδησαμένην ὄνομα, τὸν τῶν ἀποστόλων πρῶτον ποιμένα λαβεῖν. ἀλλὰ λαβόντες αὐτὸν διδάσκαλον, οὐκ εἰς τέλος κατέσχομεν, ἀλλὰ παρεχωρήσαμεν τῇ βασιλίδι Ῥώμῃ· μᾶλλον δὲ εἰς τὸ τέλος αὐτὸν ἐσχήκαμεν. τὸ μὲν γὰρ σῶμα Πέτρου οὐ κατέχομεν, τὴν δὲ πίστιν Πέτρου κατέχομεν ὡς Πέτρον· τὴν δὲ πίστιν Πέτρου κατέχοντες, αὐτὸν ἔχομεν Πέτρον. οὕτω καὶ τὸν ἐκείνου ζηλωτὴν ὁρῶντες, αὐτὸν δοκοῦμεν ὁρᾶν. καὶ γὰρ τὸν Ἰωάννην Ἠλίαν ἐκάλεσεν ὁ Χριστὸς, οὐκ ἐπειδὴ Ἠλίας ἦν ὁ Ἰωάννης, ἀλλ' ἐπειδὴ ἐν

Ιωαν. ιγ. λε.
Ιωαν. κα. ιζ.
Ματθ. ε. ιϛ.
Ματθ. ιθ. κθ.
Ματθ. ιϛ. ιη.

πνεύματι καὶ δυνάμει ἦλθεν Ἡλίου. καθάπερ οὖν ὁ Ἰωάννης, ἐπειδὴ ἐν πνεύματι καὶ δυνάμει ἦλθεν Ἡλίου, Ἡλίας ἐλέγετο, οὕτω καὶ οὗτος, ἐπειδὴ ἐν ὁμολογίᾳ καὶ πίστει Πέτρου παραγέγονεν, εἰκότως ἂν καὶ τῆς προσηγορίας ἐκείνης ἀξιωθείη. ἡ γὰρ τῆς πολιτείας συγγένεια, καὶ τὴν κοινωνίαν τῶν ὀνομάτων ποιεῖ. εὐξώμεθα δὲ πάντες καὶ εἰς τὸ Πέτρου γῆρας αὐτὸν ἐλθεῖν.
Ιωαν. κα. ιη. καὶ γὰρ ὁ ἀπόστολος ἐν γήρᾳ τὸν βίον κατέλυσεν. Ὅταν γὰρ, φησὶ, γηράσῃς, ἄλλοι ζώσουσί σε, καὶ ἄξουσιν ὅπου οὐ θέλεις. αἰτήσωμεν δὴ καὶ τούτῳ μακρὰν πολιτείαν. ἐκτεινόμενον γὰρ αὐτοῦ τὸ γῆρας, τὴν ὑμετέραν νεότητα τὴν πνευματικὴν μᾶλλον ἀκμάζειν ποιεῖ· ἣν γένοιτο διαπαντὸς ἐν ἀκμῇ τηρηθῆναι, εὐχαῖς μετ' ἐκείνου καὶ τούτου τοῦ Πέτρου, χάριτι δὲ καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. μγ. ΠΡΟΣ ΤΟΥΣ ΕΓΚΑΛΕΣΑΝΤΑΣ ΥΠΕΡ ΤΟΥ μήκους τῶν προοιμίων, καὶ ὅτι χρήσιμον τὸ φέρειν ἐλέγχους, καὶ τίνος ἕνεκεν οὐκ εὐθέως πιστεύσας μετωνομάσθη Παῦλος, καὶ ὅτι οὐκ ἐξ ἀνάγκης, ἀλλ' ἐκ προαιρέσεως γέγονεν αὐτῷ ἡ μεταβολὴ, καὶ εἰς τὸ ῥητόν· Σαῦλε, Σαῦλε, τί με διώκεις;

Ἐνεκάλεσαν ἡμῖν τινες τῶν ἀγαπητῶν τῶν ἡμετέρων, ὅτι τοῦ λόγου τὰ προοίμια πρὸς μῆκος ἐκτείνομεν. καὶ εἰ μὲν δικαίως, ἢ ἀδίκως ἐνεκάλεσαν, τότε εἴσεσθε, ἐπειδὰν καὶ τὰ παρ' ἡμῶν ἀκούσαντες, ὡς ἐν κοινῷ δικαστηρίῳ τὴν ψῆφον ἐνέγκητε. ἐγὼ δὲ καὶ πρὶν ἀποδεῖξαι τοῦτο, χάριν αὐτοῖς ἔχω τῶν ἐγκλημάτων. κηδεμονίας γὰρ, οὐ πονηρίας ἐστὶ τὰ ἐγκλήματα. καὶ τὸν φιλοῦντά με, οὐχ ὅταν ἐπαινῇ με μόνον, ἀλλὰ καὶ ὅταν ἐγκαλῇ καὶ διορθῶται, τότε φαίην ἂν ἔγωγε φιλεῖν. τὸ μὲν γὰρ ἁπλῶς πάντα ἐπαινεῖν, καὶ τὰ καλῶς ἔχοντα, καὶ τὰ μὴ καλῶς, οὐκ ἔστι φιλοῦντος, ἀλλ' ἀπατεῶνος καὶ εἴρωνος· τὸ δὲ ἐπαινεῖν μὲν ἄν τι τῶν δεόντων γένηται, ἐγκαλεῖν δὲ ἄν τι διαμαρτάνηται, τοῦτο φίλου καὶ κηδεμόνος. καὶ ἵνα μάθητε, ὅτι τὸ ἁπλῶς πάντα ἐπαινεῖν καὶ μακα-
Ησ. γ. ια. ρίζειν ἐπὶ πᾶσιν, οὐκ ἔστι φίλου, ἀλλὰ πλανῶντος· Λαός μου γὰρ, φησιν, οἱ μακαρίζοντες ὑμᾶς, πλανῶσιν ὑμᾶς, καὶ τὴν τρίβον τῶν ποδῶν ὑμῶν ἐκταράσσουσι. τὸν μὲν οὖν ἐχθρὸν οὐδὲ ἐπαινοῦντα δέχομαι, τὸν δὲ φίλον καὶ ἐγκαλοῦντα προσίεμαι. ἐκεῖνος, κἂν φιλῇ με, ἀηδής ἐστιν· οὗτος, κἂν τραυματίζῃ με, ποθεινός ἐστιν· ἐκείνου τὸ φίλημα ὑποψίας γέμει,
Παροιμ. κζ. ς. τούτου τὸ τραῦμα κηδεμονίαν ἔχει. διὰ τοῦτό φησί τις· Ἀξιοπιστότερα τραύματα φίλου, ἢ ἑκούσια φιλήματα ἐχθροῦ. τί λέγεις, τραύματα φιλημάτων βελτίονα, φησίν; οὐ γὰρ τῇ φύσει τῶν γινομένων, ἀλλὰ τῇ διαθέσει τῶν ποιούντων προσέχω. βούλει μαθεῖν, πῶς
Ματθ. κς. μθ. ἀξιοπιστότερα τραύματα φίλου, ἢ ἑκούσια φιλήματα ἐχθροῦ; ἐφίλησε τὸν Κύριον ὁ Ἰούδας, ἀλλὰ προδοσίας αὐτοῦ τὸ φίλημα ἦν, ἰοῦ αὐτοῦ τὸ στόμα εἶχε, πονηρίας ἡ γλῶσσα ἐπέπληστο· τὸν παρὰ Κορινθίοις πεπορνευκότα ἐτραυμάτισεν ὁ Παῦλος, ἀλλ' ἔσωσε. καὶ
α. Κορ. ε. ε. πῶς ἐτραυμάτισε, φησί; τῷ Σατανᾷ παραδούς. Παράδοτε γὰρ, φησι, τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός. διὰ τί; Ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ. εἶδες τραύματα σωτηρίαν ἔχοντα; εἶδες φίλημα προδοσίας γέμον; οὕτως ἀξιοπιστότερα τραύματα φίλου, ἢ ἑκούσια φιλήματα ἐχθροῦ. τοῦτο μὴ ἐπ' ἀνθρώπων μόνον, ἀλλὰ καὶ ἐπὶ τοῦ Θεοῦ, καὶ ἐπὶ τοῦ διαβόλου ἐξετάσωμεν. ὁ μὲν φίλος, ὁ δὲ ἐχθρός· ὁ μὲν σωτὴρ καὶ κηδεμών, ὁ δὲ ἀπατεὼν καὶ πολέμιος. ἀλλ' ὁ μὲν ἐφίλησέ ποτε, ὁ δὲ ἐτραυμάτισε.
Γεν. γ. ε. καὶ ιθ. πῶς ὁ μὲν ἐφίλησεν, ὁ δὲ ἐτραυμάτισεν; ὁ μὲν εἶπεν, Ἔσεσθε ὡς θεοί· ὁ δὲ εἶπε, Γῆ εἶ,

καὶ εἰς γῆν ἀπελεύσῃ. τίς οὖν ὠφέλησε μᾶλλον, ἐκεῖνος ὁ εἰπὼν, ὅτι ἔσεσθε ὡς θεοὶ, ἢ οὗτος ὁ εἰπὼν, ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ; οὗτος θάνατον ἠπείλησεν, ἐκεῖνος ἀθανασίαν ἐπηγγείλατο. ἀλλ' ὁ μὲν ἀθανασίαν ἐπαγγειλάμενος, καὶ τοῦ παραδείσου ἐξέβαλεν· ὁ δὲ θάνατον ἀπειλήσας, εἰς τὸν οὐρανὸν ἀνήγαγεν. εἶδες πῶς ἀξιοπιστότερα τραύματα φίλου, ἢ ἑκούσια φιλήματα ἐχθροῦ; διὰ τοῦτο καὶ πρὶν ἀποδεῖξαι, χάριν ἔχω τοῖς ἐγκαλοῦσιν. οἱ μὲν γὰρ, κἂν δικαίως, κἂν ἀδίκως ἐγκαλῶσιν, οὐκ ὀνειδίσαι βουλόμενοι, ἀλλὰ διορθῶσαι, τοῦτο ποιοῦσιν· οἱ δὲ ἐχθροὶ, κἂν δικαίως ἐγκαλῶσιν, οὐχὶ διορθῶσαι, ἀλλ' ἐκπομπεῦσαι σπουδάζοντες ἐλέγχουσιν· οὗτοι τοίνυν ἐπαινοῦντες, σπουδαιοτέρους ζητοῦσι ποιῆσαι, ἐκεῖνοι δὲ, κἂν ἐπαινῶσιν, ὑποσκελίσαι σπεύδουσι. πλὴν ὅπως ἂν ὁ ἔλεγχος κινῆται, μέγα ἀγαθὸν τὸ δύνασθαι φέρειν ἐλέγχους καὶ ἐγκλήματα, καὶ μὴ ἐκθηριοῦσθαι. Ὁ γὰρ μισῶν ἐλέγχους, ἄφρων ἐστὶ, φησίν. οὐκ εἶπε, τοιούσδε, ἢ τοιούσδε ἐλέγχους, ἀλλ' ἁπλῶς, ἐλέγχους. εἰ μὲν γὰρ δικαίως ἐνεκάλεσεν ὁ φίλος, διόρθωσαι τὸ ἁμάρτημα· εἰ δὲ ἀλόγως ἐμέμψατο, τέως ἐπαίνεσον αὐτὸν τῆς γνώμης, ἀποδέξαι τὸν σκοπὸν, χάριν ὁμολόγησον τῆς φιλίας. ἀπὸ γὰρ τοῦ σφόδρα φιλεῖν τὸ ἐγκαλεῖν γέγονε. μὴ δυσχεραίνωμεν ἐλεγχόμενοι. καὶ γὰρ μεγάλα ὀνίνησι τοῦτο τὴν ζωὴν τὴν ἡμετέραν, εἰ γένοιτο παρὰ πάντων, εἰ καὶ ἐλέγχοιμεν τοὺς ἁμαρτάνοντας, καὶ ἁμαρτάνοντες φέροιμεν τοὺς ἐλέγχους εὐκόλως. ὅπερ γὰρ ἐπὶ τῶν τραυμάτων ἐστὶ τὰ φάρμακα, τοῦτο ἐπὶ τῶν ἁμαρτημάτων οἱ ἔλεγχοι. ὥσπερ οὖν ὁ τὰ φάρμακα διακρουόμενος, δυσίατος· οὕτω καὶ ὁ τοὺς ἐλέγχους μὴ καταδεχόμενος, ἄφρων. ἀλλ' ἐκθηριοῦνται πολλοὶ πολλάκις, πρὸς ἑαυτοὺς ἐννοοῦντες καὶ λέγοντες· σοφὸς, φησὶν, ἐγὼ, καὶ συνετὸς τοῦ δεῖνος ἀνέξομαι; οὐκ εἰδότες, ὅτι τοῦτο αὐτὸ ἐσχάτης ἀνοίας τεκμήριον. Εἶδον γὰρ, φησὶν, ἄνθρωπον δοκοῦντα σοφὸν εἶναι παρ' ἑαυτῷ, ἐλπίδα δὲ ἔχει μᾶλλον ὁ ἄφρων αὐτοῦ. διὰ τοῦτο καὶ Παῦλος λέγει, Μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς. κἂν γὰρ μυριάκις εἶ σοφὸς, καὶ τὰ δέοντα συνορᾷς, ἀλλ' ἄνθρωπος εἶ, καὶ χρείαν ἔχεις συμβούλου. ὁ Θεὸς γὰρ μόνος ἐστὶν ἀνενδεὴς, καὶ μόνος οὐ δεῖται συμβούλου. διὸ καὶ περὶ ἐκείνου μόνου λέγεται· Τίς γὰρ ἔγνω νοῦν Κυρίου, ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; ἄνθρωποι δὲ, κἂν μυριάκις ὦμεν σοφοὶ, μυριάκις ἐλεγχόμεθα, καὶ τὸ τῆς φύσεως ἡμῶν ἀσθενὲς διαφαίνεται. Οὐ γὰρ δύναται πάντα εἶναι ἐν ἀνθρώποις, φησί. διὰ τί; ὅτι οὐκ ἀθάνατος υἱὸς ἀνθρώπου. τί φωτεινότερον ἡλίου; ἀλλ' ὅμως καὶ τοῦτο ἐκλείπει. καθάπερ οὖν ἐκεῖνο τὸ φῶς τὸ λαμπρὸν, τὴν ἀποστράπτουσαν ἀκτῖνα, σκότος ἐπελθὸν ἀποκρύπτει· οὕτω πολλάκις καὶ τὴν σύνεσιν τὴν ἡμετέραν, καθάπερ ἐν σταθηρᾷ μεσημβρίᾳ λάμπουσαν καὶ διαφαινομένην, ἐπελθοῦσα ἄνοια ἀπέκρυψε πολλάκις. καὶ ὁ μὲν σοφὸς τὸ δέον οὐ συνεῖδεν, ὁ δὲ ἐλάττων ἐκείνου πολλῷ ὀξύτερον ἐκείνου τοῦτο ἐφώρασε.* τοῦτο γέγονεν, ἵνα μήτε ὁ σοφὸς ἐπαίρηται, μήτε ὁ εὐτελὴς ἑαυτὸν ταλανίζῃ. μέγα ἀγαθὸν ἐλέγχους δύνασθαι φέρειν, μέγα ἀγαθὸν δύνασθαι ἐλέγχειν. τοῦτο κηδεμονίας μεγίστης. νυνὶ δὲ ἂν μὲν ἴδωμεν ἄνθρωπον τὸν χιτωνίσκον ἔχοντα παραλελυμένον ἐκ πλαγίων, ἢ τὴν ἄλλην στολὴν κακῶς περικειμένην, διορθοῦμεν καὶ ὑπομιμνήσκομεν· ἂν δὲ ἴδωμεν αὐτοῦ τὴν ζωὴν παραλελυμένην, οὐδὲ λόγον προϊέμεθα· ἂν ἴδωμεν αὐτοῦ τὸν βίον ἀσχήμονα ὄντα, παρατρέχομεν. καίτοι τὰ μὲν τῶν ἱματίων, μέχρι γέλωτος· τὰ δὲ τῆς ψυχῆς, μέχρι κινδύνου καὶ τιμωρίας ἐστίν. ὁρᾷς τὸν ἀδελφὸν, εἰπέ μοι, κατὰ κρημνοῦ φερόμενον, ἢ ἠμελημένον ἔχοντα βίον, οὐ συνορῶντα τὸ δέον, καὶ οὐκ ὀρέγεις χεῖρα; οὐκ ἀνιστᾷς ἐκ τοῦ πτώματος; οὐκ ἐγκαλεῖς καὶ ἐλέγχεις; ἀλλὰ τὸ μὴ προσκροῦσαι αὐτῷ, καὶ φανῆναι ἐπαχθὴς προτιμᾷς τῆς ἐκείνου σωτηρίας; καὶ ποίαν ἕξεις συγγνώμην παρὰ τοῦ Θεοῦ; τίνα ἀπολογίαν; οὐκ ἤκουσας τί τοῖς Ἰουδαίοις ἐκέλευσεν ὁ Θεός· Τὰ ὑποζύγια τῶν ἐχθρῶν μὴ περιορᾷν πλανώμενα, μηδὲ παρατρέχειν πεπτωκότα; εἶτα Ἰουδαῖοι μὲν τὰ ἄλογα κελεύονται μὴ περιορᾷν τῶν ἐχθρῶν,

Παροιμ. ιβ.

ἀνίατος

Παροιμ. κϛ. ιβ.

Ρωμ. ιβ. ιϛ.

Ρωμ. ια. λδ.

Ἐξοδ. κγ. δ.

ἐχθρῶν, ἡμεῖς δὲ τὰς ψυχὰς τῶν ἀδελφῶν καθ' ἑκάστην ὑποσκελιζομένας ἡμέραν περιο-
ρώμεθα; καὶ πῶς οὐκ ἐσχάτης τοῦτο ὠμότητος καὶ θηριωδίας, μηδὲ τοσαύτην ἀπονέμειν ἀν-
θρώποις πρόνοιαν, ὅσην τοῖς ἀλόγοις ἐκεῖνοι; τοῦτο πάντα ἀνέτρεψε, τοῦτο τὸν βίον ἡμῶν
συνέχεε, ὅτι οὔτε ἐλεγχόμενοι φέρομεν γενναίως, οὔτε ἑτέρους ἐλέγχειν βουλόμεθα. διὰ
γὰρ τοῦτο καὶ ἀπαχθεῖς ἐσμεν ἐλέγχοντες, ἐπειδὴ ἐκθηριούμεθα ἐλεγχόμενοι. Εἰ γὰρ ᾔδει ὁ ἀ-
δελφός, ὅτι ἐλέγξας σε ἐπῄνεσε τὸ παρὰ σοῦ, καὶ αὐτὸς ἐλεγχόμενος, τὴν αὐτὴν ἀμοιβὴν ἀ-
πέδωκεν ἄν. βούλει μαθεῖν ὅτι κἂν σφόδρα συνετὸς ᾖς, κἂν σφόδρα ἀπηρτισμένος, κἂν πρὸς
αὐτὴν τὴν ἄκραν κορυφὴν ἔλθῃς τῆς ἀρετῆς, χρείαν ἔχεις συμβούλου καὶ διορθοῦντος καὶ
Ἀριθμ. ιβ. γ ἐλέγχοντος; ἄκουσον ἱστορίαν παλαιάν. οὐδὲν Μωϋσέως ἦν ἴσον. Καὶ γὰρ πραότατος, φησιν,
ἦν πάντων ἀνθρώπων ἐκεῖνος, καὶ τῷ Θεῷ φίλος, καὶ τῆς ἔξωθεν φιλοσοφίας ἐνεπέπληστο,
Πραξ. ζ. κβ. καὶ τῆς πνευματικῆς πλήρης ἦν συνέσεως. Ἐπαιδεύθη γάρ, φησι, Μωϋσῆς πᾶσαν σοφίαν
Αἰγυπτίων (″Εἶδες ἀπηρτισμένην αὐτοῦ τὴν παίδευσιν) καὶ ἦν δυνατὸς ἐν λόγῳ καὶ ἔργῳ,
″καὶ ἄλλῃ ἀρετῇ. ἀλλ' ἄκουσον καὶ ἑτέραν μαρτυρίαν. Πολλοῖς, φησι, προφήταις ὡμί-
λησεν ὁ Θεός, ἀλλ' οὐδενὶ οὕτως ὡμίλησεν· ἀλλὰ τοῖς μὲν ἄλλοις ἐν ″αἰνίγμασι καὶ δι' ὀνειρά-
Δευτ. λδ. ι των, τῷ δὲ Μωϋσῇ πρόσωπον πρὸς πρόσωπον. τί μεῖζον τούτου ζητεῖς τεκμήριον τῆς ἀρε-
τῆς ἐκείνου, ὅταν ὁ πάντων δεσπότης τῷ δούλῳ, ὡς φίλῳ διαλέγηται; ἦν τοίνυν σοφὸς καὶ
τὴν ἔξω καὶ τὴν ἔσω παιδείαν· ἦν δυνατὸς ἐν λόγῳ καὶ ἔργῳ· ἐπέταττεν αὐτῇ τῇ κτίσει, ἐπειδὴ
φίλος ἦν τοῦ δεσπότου τῆς κτίσεως· ἐξήγαγε λαὸν τοσοῦτον ἐξ Αἰγύπτου· τὴν θάλασσαν
ἔσχισε, καὶ πάλιν συνήγαγε· καὶ ἦν ἰδεῖν θαῦμα παράδοξον. τότε γὰρ πρῶτον ″ἐπεῖδεν
ἥλιος θάλασσαν οὐ πλεομένην, ἀλλὰ πεζευομένην, πέλαγος οὐχὶ κώπαις καὶ πλοίοις, ἀλ-
λὰ ποσὶν ἵππων περώμενον. ἀλλ' ὅμως ὁ σοφός, ὁ δυνατὸς ἐν λόγῳ καὶ ἔργῳ, ὁ φίλος τοῦ
Θεοῦ, ὁ τῇ κτίσει ἐπιτάξας, ὁ τοσαῦτα θαυματουργήσας, οὐ συνεῖδε πρᾶγμα πολλοῖς τῶν
Ἐξοδ. ιη. ἀνθρώπων εὐσύνοπτον. ἀλλ' ὁ μὲν κηδεστὴς αὐτοῦ, βάρβαρος ἄνθρωπος καὶ εὐτελής, συνεῖ-
δεν αὐτό, καὶ εἰς μέσον ἤγαγεν· ἐκεῖνος δὲ αὐτὸ οὐχ εὗρε. τί οὖν ἐστι τοῦτο; ἀκούσατε, ἵνα
μάθητε, ὅτι ἕκαστος συμβούλου δεῖται, κἂν κατὰ Μωϋσέα γένηται, καὶ ὅτι τὰ τοὺς μεγάλους λαν-
θάνοντα καὶ θαυμαστοὺς ἀνθρώπους, τοὺς μικροὺς καὶ εὐτελεῖς πολλάκις οὐκ ἔλαθεν. ἐπειδὴ
γὰρ ἐξῆλθεν ὁ Μωϋσῆς ἐξ Αἰγύπτου, καὶ ἦν ἐν τῇ ἐρήμῳ, εἱστήκει πλησίον αὐτοῦ ὁ λαὸς ἅπας,
ἑξακόσιαι χιλιάδες, καὶ πᾶσι διέλυε τὰ ἐγκλήματα τοῖς πρὸς ἀλλήλους ἀμφισβητοῦσιν.
ἰδὼν τοίνυν αὐτὸν ὁ κηδεστὴς τοῦτο ποιοῦντα ὁ Ἰοθώρ, ἄνθρωπος βάρβαρος καὶ ἀνόητος καὶ ἐν
ἐρήμῳ βεβιωκώς, καὶ οὔτε νόμων οὔτε πολιτείας τινὶ κοινωνήσας ποτέ, ἀλλ' ἐν ἀσεβείᾳ ζῶν,
οὗ τί γένοιτ' ἂν μεῖζον ἀνοίας τεκμήριον; (οὐδὲν γὰρ Ἑλλήνων ἀνοητότερον) ἀλλ' ὅμως ἐκεῖνος
ὁ βάρβαρος, ὁ ἀσεβής, ὁ ἀνόητος, ἰδὼν οὐ δεόντως αὐτὸν ποιοῦντα, διώρθωσε τὸν Μωϋσέα
τὸν σοφὸν καὶ συνετὸν καὶ τοῦ Θεοῦ φίλον. καὶ εἰπὼν πρὸς αὐτόν, Τί οὗτοι ἑστήκασιν ἐνώ-
Ἐξοδ. ιη. ιδ. πιόν σου; καὶ μαθὼν τὴν αἰτίαν λέγει· Οὐκ ὀρθῶς σὺ τοῦτο ἐποίησας, φησί. μετ' ἐπιτιμήσεως ἡ
συμβουλή· καὶ οὔτε οὕτως ἠγρίαινεν ἐκεῖνος, ἀλλ' ἠνείχετο ὁ σοφός, ὁ συνετὸς καὶ τοῦ Θεοῦ
φίλος, ὁ τοσαύταις ἐφεστηκὼς μυριάσιν. οὐδὲ γὰρ τοῦτο μικρόν, τὸ παρὰ τοῦ βαρβάρου καὶ
ἰδιώτου παιδεύεσθαι. καὶ οὔτε τὰ θαύματα, ἅπερ εἰργάσατο, οὔτε τὸ μέγεθος τῆς ἀρχῆς
αὐτὸν ἐπῆρεν, οὔτε τὸ παρόντων τῶν ὑπηκόων διορθοῦσθαι, ἐρυθριάσαι ἐποίησεν· ἀλλ' ἐν-
νοήσας ὅτι εἰ καὶ μεγάλα αὐτῷ εἴργασται σημεῖα, ἀλλ' ὅμως ἀνθρωπίνης φύσεως μετέχει,
ἣν πολλὰ λανθάνει πολλάκις, μετ' ἐπιεικείας ἐδέξατο τὴν συμβουλήν. πολλοὶ δὲ πολλά-
κις ὑπὲρ τοῦ μὴ φανῆναι δεόμενοι συμβουλῆς τῆς παρ' ἑτέρων, εἵλοντο προδοῦναι τὴν ὠφέ-
λειαν τὴν ἀπὸ τῆς γνώμης, ἢ δεξάμενοι τὴν παραίνεσιν διορθῶσαι τὸ ἁμάρτημα· μᾶλλον
ἀγνοεῖν ἢ μαθεῖν κατεδέξαντο, οὐκ εἰδότες ὅτι οὐ τὸ μαθεῖν ἔγκλημα, ἀλλὰ τὸ ἀγνοεῖν κα-
τηγορία· οὐ τὸ διδάσκεσθαι, ἀλλὰ τὸ ″ἐν ἀμαθίᾳ εἶναι· οὐ τὸ ἐλέγχεσθαι, ἀλλὰ τὸ ἁμαρ-
τάνειν

τολμᾶν ἀδιόρθωτα. ἔστι γάρ, ἔστι καὶ παρὰ ἀνθρώπῳ μικρῷ καὶ εὐτελεῖ εὑρεθῆναί τι τῶν δεόντων, ὃ παρὰ τῷ σοφῷ καὶ μεγάλῳ πολλάκις οὐχ εὕρηται. ὅπερ οὖν συνιδὼν ὁ Μωϋσῆς ἤκουε μετὰ πάσης ἐπιεικείας ἐκείνου συμβουλεύοντος, καὶ λέγοντος· ποίησόν σοι χιλιάρχους, ἑκατοντάρχους, πεντηκοντάρχους, δεκάρχους· καὶ τὸ ῥῆμα τὸ βαρὺ διοίσουσιν ἐπὶ σέ, τὸ δὲ κοῦφον αὐτοὶ διαλύσουσι). καὶ ἀκούσας οὐκ ᾐσχύνθη, οὐκ ἠρυθρίασεν, οὐκ ᾐδέσθη τοὺς ὑπηκόους, οὐκ εἶπε πρὸς ἑαυτόν, ὅτι καταγνώσονταί μου οἱ ἀρχόμενοι, εἰ ἄρχων ὢν παρ' ἑτέρου μανθάνω τὰ δέοντα, ἀλλὰ καὶ ἐπείσθη καὶ ἐποίησε τὸ πρόσταγμα. καὶ οὐ μόνον ἐκείνους οὐκ ᾐσχύνθη τοὺς τότε, ἀλλ' οὐδὲ ἡμᾶς τοὺς μετὰ ταῦτα ἐσομένους· ἀλλ' ὥσπερ ἐγκαλλωπιζόμενος τῇ διορθώσει τῇ παρὰ τοῦ κηδεστοῦ γενομένῃ, οὐ τοὺς τότε μόνον ἀνθρώπους, ἀλλὰ καὶ τοὺς ἐξ ἐκείνου μέχρι σήμερον γενομένους, καὶ τοὺς αὖθις ἐσομένους μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας κατὰ τὴν οἰκουμένην ἅπασαν διὰ τῶν γραμμάτων ἐδίδαξε, καὶ ὅτι αὐτὸς τὸ δέον συνιδεῖν οὐκ ἠδυνήθη, καὶ ὅτι τὴν διόρθωσιν ἐδέξατο παρὰ τοῦ κηδεστοῦ. ἡμεῖς δέ, ἐὰν ἕνα ἄνθρωπον ἴδωμεν παρόντα ἐλεγχομένων ἡμῶν καὶ διορθουμένων, ἰλιγγιῶμεν, ἐξιστάμεθα, νομίζομεν τῆς ζωῆς ἐκπεπτωκέναι πάσης. ἀλλ' οὐκ ἐκεῖνος· ἀλλ' ὁρῶν τοσαύτας χιλιάδας παρούσας οὐκ ἠρυθρίασε, μᾶλλον δὲ τοσαύτας μυριάδας τὰς τότε, τὰς ἐξ ἐκείνου μέχρι νῦν κατὰ τὴν γῆν ἅπασαν, ἀλλὰ κηρύττει πᾶσι καθ' ἑκάστην ἡμέραν διὰ τῶν γραμμάτων, ὅτι ὅπερ αὐτὸς οὐ συνεῖδε, τοῦτο ὁ κηδεστὴς συνεῖδε. τίνος οὖν ἕνεκεν τοῦτο ἐποίησε, καὶ μνήμῃ παρέδωκε τὸ γεγενημένον; ἵνα ἡμᾶς πείσῃ μηδέποτε ἐφ' ἑαυτοῖς μέγα φρονεῖν, κἂν ἁπάντων ὦμεν σοφώτεροι, μηδὲ ἀτιμάζειν τὰς παρ' ἑτέρων συμβουλίας, κἂν ἁπάντων ὦσιν εὐτελέστεροι. ἂν μὲν γάρ τι τῶν δεόντων συμβουλεύσῃ τις, κἂν οἰκέτης ᾖ, δέξαι τὴν παραίνεσιν· ἂν δέ τι τῶν ὀλεθρίων, κἂν ἐν ἀξιώματι τυγχάνῃ μεγίστῳ, παράπεμψαι τὴν γνώμην. οὐ γὰρ τῇ ποιότητι τῶν προσώπων τῶν συμβουλευόντων, ἀλλ' αὐτῇ τῆς συμβουλῆς τῇ φύσει προσέχειν δεῖ πανταχοῦ. ὅπερ οὖν καὶ Μωϋσῆς ἐποίησε, παιδεύων ἡμᾶς μὴ ἐρυθριᾶν ἐλεγχομένους, κἂν ὁλόκληρος ἡμῖν δῆμος παρῇ. ἐγκώμιον γὰρ τοῦτο μέγιστον, καὶ ἔπαινος οὐχ ὁ τυχών, καὶ φιλοσοφίας ἔπαινος τῆς ἀνωτάτω, τὸ φέρειν ἔλεγχον γενναίως. οὐχ οὕτω γὰρ τὸν Ἰοθὼρ ἐπαινοῦμεν καὶ θαυμάζομεν νῦν, ὅτι τὸν Μωϋσέα διώρθωσεν, ὡς ἐκπληττόμεθα τὸν ἅγιον ἐκεῖνον, ὅτι οὔτε ᾐσχύνθη διορθούμενος τοσούτων παρόντων, καὶ μνήμῃ τὸ γεγενημένον παρέδωκε, διὰ πάντων τὴν αὐτοῦ φιλοσοφίαν δείξας, καὶ ὅτι μετὰ πολλῆς τῆς ὑπερβολῆς τὴν παρὰ τῶν πολλῶν κατεπάτησε δόξαν.

Ἀλλὰ γὰρ ὑπὲρ προοιμίων ἀπολογούμενοι, πάλιν μεῖζον τὸ προοίμιον πεποιήκαμεν. ἀλλ' οὐχ ἁπλῶς οὐδὲ εἰκῇ, ἀλλ' ὑπὲρ τῶν μεγίστων ὑμῖν διαλεγόμενοι καὶ ἀναγκαιοτάτων, ἵνα γενναίως ἐλεγχόμενοι φέρωμεν, ἵνα προθύμως ἐλέγχωμεν τοὺς ἁμαρτάνοντας καὶ διορθῶμεν. ἀνάγκη δὲ λοιπὸν ἀπολογήσασθαι ὑπὲρ τοῦ μήκους, καὶ εἰπεῖν τίνος ἕνεκεν μακρὰ ποιοῦμεν προοίμια. τίνος οὖν ἕνεκεν τοῦτο ποιοῦμεν; πλήθει τοσούτῳ διαλεγόμεθα, ἀνθρώποις γυναῖκας ἔχουσιν, οἰκίας προεστηκόσιν, ἐν ἐργασίᾳ καθημερινῇ ζῶσιν, ἐν βιωτικοῖς πράγμασι. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δυσχερές, ὅτι διηνεκῶς εἰσιν ἠσχολημένοι, ἀλλ' ὅτι καὶ ἅπαξ τῆς ἑβδομάδος αὐτοὺς ἐνταῦθα λαμβάνομεν. βουλόμενοι τοίνυν εὐσύνοπτα κατασκευάζειν αὐτοῖς τὰ λεγόμενα, διὰ τῶν προοιμίων σαφεστέραν ποιῆσαι τὴν διδασκαλίαν σπουδάζομεν. ὁ μὲν γὰρ μηδὲν ἔργον ἔχων, ἀλλ' ἀεὶ ταῖς γραφαῖς προσηλωμένος, οὐ δέεται προοιμίων, οὐ δεῖται κατασκευῆς· ἀλλ' ἀκούσας εὐθέως τοῦ λέγοντος, δέχεται τῶν λεγομένων τὴν διάνοιαν. ἄνθρωπος δὲ τὸν μὲν πλείω χρόνον πράγμασι βιωτικοῖς προσδεδεμένος, ὀλίγον δὲ καὶ βραχὺ ἐνταῦθα παραγενόμενος, ἂν μὴ προοιμίων ἀκούσῃ καὶ κατασκευῆς πλείονος, καὶ πανταχόθεν ἤδη προοδοποιηθέντα αὐτῷ τὸν λόγον, οὐδὲν κερδάνας ἀπέρχεται. οὐ τοῦτο δὲ μόνον ἡμῖν ἐστιν αἴτιον τοῦ μήκους τῶν προοιμίων, ἀλλὰ καὶ ἕτερον οὐκ

ἔλαττον τούτου. τῶν γὰρ πολλῶν τούτων οἱ μὲν παραγίνονται, οἱ δὲ οὐ παραγίνονται πολλάκις.
ἀνάγκη τοίνυν τοὺς μὲν παραγινομένους ἐπαινέσαι, τοὺς δὲ μὴ παραγινομένους μέμψασθαι,
ἵνα ἐκεῖνοι μὲν τοῖς ἐπαίνοις σπουδαιότεροι γένωνται, οὗτοι δὲ διὰ τῶν ἐγκλημάτων τὴν
ῥαθυμίαν ἀποθῶνται. ἔστι καὶ ἑτέρα χρεία προοιμίων ἡμῖν. ὑποθέσεως ἁπτόμεθα μακροτέρας
πολλάκις, ἣν οὐ δυνατὸν ἐν ἡμέρᾳ μιᾷ πρὸς τέλος ἀγαγεῖν, ἀλλὰ καὶ δευτέρας
καὶ τρίτης καὶ τετάρτης ἡμῖν ἐστιν ὅτι ἐξηγήσεως εἰς τὴν αὐτὴν ἐδέησε πραγματείαν.
ἀνάγκη τοίνυν καὶ ταύτῃ τῇ δευτέρᾳ ἡμέρᾳ τὰ τέλη τῆς προτέρας διδασκαλίας
ἀναλαβεῖν, ἵν' οὕτως ἁρμοσθὲν τῇ ἀρχῇ τὸ τέλος, σαφεστέραν ποιῇ τοῖς ἀκούουσι τὴν
ἐξήγησιν, καὶ μὴ τῆς ἀκολουθίας ἀπηρτημένος ὁ λόγος, ἀφανέστερος ᾖ τοῖς ἀκροαταῖς. καὶ ἵνα
μάθῃς ὅτι χωρὶς προοιμίων εἰσαγόμενος λόγος οὐδενὶ γνώριμος ἔσται, ἰδοὺ χωρὶς προοιμίων
Ιωαν. α μγ. αὐτὸν εἰσάγω νῦν πείρας ἕνεκεν. ἐμβλέψας δὲ αὐτῷ ὁ Ἰησοῦς, εἶπε, Σὺ εἶ Σίμων ὑὸς
Ἰωνᾶ· σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος. ὁρᾶτε, μὴ συνίετε τὸ λεχθέν; μὴ ἴστε τὴν
ἀκολουθίαν, τίνος ἕνεκεν εἴρηται, ἐπειδὴ χωρὶς προοιμίου αὐτὸ εἰσήγαγον, ταὐτὸν ποιήσας, ὥσπερ
ἂν εἴ τις ἀνθρώπους πάντοθεν περιβαλὼν εἰς τὸ θέατρον εἰσαγάγοι; φέρε οὖν, αὐτὸν λοιπὸν
ἐκκαλύψωμεν, τὸ προοίμιον ἀποδόντες αὐτῷ. περὶ Παύλου δὲ ὁ λόγος ἦν πρῴην ὑμῖν
ἐν ταὐτῷ, ὅτε περὶ τῶν ὀνομάτων διελεγόμεθα, καὶ ἐζητοῦμεν, διατί ποτε μὲν Σαῦλος, μετὰ δὲ ταῦτα
Παῦλος ἐκλήθη. ἐντεῦθεν ἐξέβημεν εἰς παλαιὰν ἱστορίαν, καὶ τοὺς ἔχοντας ἐπωνυμίας ἐξετάσαμεν
ἅπαντας. εἶτα ἐκεῖθεν καὶ Σίμωνος ἐμνήσθημεν, καὶ τῆς τοῦ Χριστοῦ φωνῆς λεγούσης
πρὸς αὐτόν, Σὺ εἶ Σίμων ὑὸς Ἰωνᾶ, σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος.
εἶδες πῶς τὸ πρὸ μικροῦ δόξαν ἀπορίας γέμειν, γνωριμώτερον ἐγένετο νῦν; ὥσπερ γὰρ
σῶμα κεφαλῆς, καὶ ῥίζης δένδρον, καὶ ποταμὸς δεῖται πηγῆς, οὕτω καὶ προοιμίων λόγος.
ἐπεὶ οὖν ἐστήσαμεν ὑμᾶς ἐπ' αὐτὴν τὴν ἀρχὴν τῆς ὁδοῦ, καὶ τὴν ἀκολουθίαν ἐδείξαμεν,
Πραξ. θ. α. ἁψώμεθα λοιπὸν αὐτῆς τῆς ἱστορίας τοῦ προοιμίου. Σαῦλος δὲ ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόν
εἰς τοὺς μαθητὰς τοῦ Κυρίου. καὶ μὴν ἐν ταῖς ἐπιστολαῖς Παῦλος καλεῖται. τίνος οὖν ἕνεκεν
αὐτοῦ τὴν προσηγορίαν μετέβαλε τὸ πνεῦμα τὸ ἅγιον; καθάπερ δεσπότης οἰκέτην
πριάμενος, εἶτα βουλόμενος αὐτὸν διδάξαι τὴν δεσποτείαν, μετατίθησιν αὐτοῦ τὸ ὄνομα·
οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐποίησε τότε. καὶ γὰρ ἐξ αἰχμαλωσίας τὸν Παῦλον ἔλαβε, κα
προσφάτως ἦν τῇ δεσποτείᾳ ταύτῃ προσελθών. διὰ τοῦτο αὐτοῦ μετέβαλε τὴν προσηγορίαν,
ἵνα μάθῃ κἀντεῦθεν τὴν δεσποτείαν ἐκεῖνος. ὅτι γὰρ ὀνομάτων θέσις δεσποτείας
ἐστὶ σύμβολον, μάλιστα μὲν καὶ ἐξ ὧν ποιοῦμεν, δῆλον· γνωριμώτερον δὲ ἔσται ἐξ ὧν ἐπὶ τοῦ Ἀδὰμ
ἐποίησεν ὁ Θεός. βουλόμενος γὰρ αὐτὸν διδάξαι, ὅτι πάντων ἐστὶν ἄρχων καὶ δεσπότης,
Γεν. β ιθ. Ἤγαγε πρὸς αὐτὸν πάντα τὰ θηρία ἰδεῖν τί καλέσει αὐτά, δεικνὺς ὅτι τῶν ὀνομάτων ἡ θέσις
τὴν δεσποτείαν κυροῖ. εἰ δὲ βούλεσθε καὶ ἐπ' ἀνθρώπων ἰδεῖν τοῦτο γινόμενον, καὶ μαθεῖν,
ὅτι ἔθος πολλάκις τοῖς ἀπὸ αἰχμαλωσίας λαμβάνουσι δούλους μετατιθεῖν αὐτῶν τὰ ὀνόματα,
ἀκούσατε τί πεποίηκεν ὁ τῶν Βαβυλωνίων βασιλεύς. λαβὼν γὰρ τοὺς ἐκ τῆς αἰχμαλωσίας
Δαν. α. τὸν Ἀνανίαν καὶ Ἀζαρίαν καὶ Μισαήλ, οὐκ ἀφῆκεν ἐπὶ τῶν προτέρων ὀνομάτων,
ἀλλὰ Σεδράχ, Μισάχ, Ἀβδεναγὼ αὐτοὺς ἐκάλεσεν.

Ἀλλὰ τίνος ἕνεκεν οὐκ εὐθέως αὐτὸν μετωνόμασεν, ἀλλ' ἀνέμεινε χρόνον γενέσθαι πολύν; ὅτι εὐθέως εἰ αὐτὸν μετωνόμασε μεταστάντα, οὐκ ἂν ἐγένετο φανερὰ ἡ μεταβολὴ τοῦ Παύλου, καὶ ἡ πρὸς τὴν πίστιν μετάστασις. ἀλλ' ὅπερ ἐπὶ τῶν οἰκετῶν συμβαίνει, ὅταν φυγόντες εὐθέως ἀμείβωσιν αὐτῶν τὰ ὀνόματα, ἀφανεῖς γίνονται, τοῦτο καὶ ἐπὶ τοῦ Παύλου γέγονεν ἄν. εἰ εὐθέως ἀφεὶς τοὺς Ἰουδαίους, καὶ πρὸς ἡμᾶς ἐλθὼν μετωνομάσθη, οὐδεὶς ἂν ἔγνω ὅτι ὁ διώκτης αὐτός ἐστιν ὁ εὐαγγελιστής· τὸ δὲ σπουδαζόμενον τοῦτο ἦν, μαθεῖν ὅτι ὁ διώκτης αὐτός ἐστι, καὶ ἀπόστολος γέγονε. τοῦτο γὰρ ἦν ὃ συνεῖχε τοὺς Ἰουδαίους, ὅτι τὸν διδάσκαλον τὸν ὑπὲρ αὐτῶν ἰσάριθμον, ηὕρισκον κατ' αὐτῶν ὄντα. ἵνα οὖν μὴ ἡ τοῦ ὀνόματος ἀθρόα μεταβολὴ ἀποκρύψῃ τὴν μεταβολὴν τῆς προαιρέσεως, ἀφίησιν αὐτὸν μέχρι πολλοῦ τὴν προτέραν ἔχειν προσηγορίαν· ἵν', ὅταν μάθωσι πάντες, ὅτι αὐτός ἐστιν ὁ διώξας τὴν ἐκκλησίαν ἔμπροσθεν, τότε λοιπὸν γνωρίμου γενομένου πᾶσι, μεταθῇ καὶ τὴν προσηγορίαν. καὶ ὅτι τοῦτο αἴτιον, ἄκουσον αὐτοῦ λέγοντος· Ἦλθον εἰς τὰ κλίματα τῆς Συρίας καὶ τῆς Κιλικίας· ἤμην δὲ ἀγνοούμενος τῷ προσώπῳ ταῖς ἐκκλησίαις τῆς Ἰουδαίας ταῖς ἐν Παλαιστίνῃ, φησίν. εἰ δὲ τῇ ἐν Παλαιστίνῃ ἠγνοεῖτο ἔνθα διέτριβε, πολλῷ μᾶλλον ταῖς ἀλλαχοῦ κειμέναις. ἤμην δὲ ἀγνοούμενος τῷ προσώπῳ, φησίν, οὐχὶ τῷ ὀνόματι. διὰ τί ἀγνοούμενος τῷ προσώπῳ; οὐδεὶς γὰρ οὐδὲ ἰδεῖν αὐτὸν ἐτόλμα τῶν πιστῶν, ἡνίκα ἡμῖν ἐπολέμει· τοσούτου φόνου, τοσαύτης ἔγεμε μανίας. διὸ πάντες ἀπεπήδων, πάντες ἔφευγον, εἴ που παραγινόμενον εἶδον, καὶ οὐδὲ ἀντιβλέψαι ἐτόλμων· οὕτως ἦν ἐκτεθηριωμένος κατὰ τῶν πιστῶν. μόνον δὲ ἀκούοντες ἦσαν, ὅτι ὁ διώκων ἡμᾶς ποτε, νῦν εὐαγγελίζεται τὴν πίστιν ἥν ποτε ἐπόρθει. ἐπεὶ οὖν τῷ μὲν προσώπῳ αὐτὸν ἠγνόουν, μόνον δὲ ἀκούοντες ἦσαν, εἰ τὸ ὄνομα αὐτοῦ μετεβλήθη εὐθέως, οὐκ ἂν οὐδὲ οἱ ἀκούοντες ἔγνωσαν, ὅτι ὁ διώκων τὴν πίστιν, οὗτος εὐαγγελίζεται. ἐπειδὴ γὰρ τὸ πρότερον αὐτοῦ ὄνομα ᾔδεισαν, ὅτι Σαῦλος ἐλέγετο, εἰ μεταβληθεὶς εὐθέως Παῦλος ἐκλήθη, εἶτα ἀπήγγειλάν τινες αὐτοῖς, ὅτι Παῦλος εὐαγγελίζεται, ὁ διώκων τὴν ἐκκλησίαν, οὐκ ἂν ἔγνωσαν ὅτι οὗτος ἐκεῖνος ἦν, διὰ τὸ μὴ Παῦλον αὐτὸν καλεῖσθαι, ἀλλὰ Σαῦλον. διὰ τοῦτο ἀφῆκεν αὐτὸν μέχρι πολλοῦ τὴν προτέραν ἔχειν προσηγορίαν, ἵνα πᾶσι γνώριμος γένηται τοῖς πιστοῖς, καὶ τοῖς πόρρωθεν οὖσι καὶ οὐχ ἑωρακόσιν αὐτόν. τίνος μὲν οὖν ἕνεκεν οὐκ εὐθέως μετεκλήθη αὐτῷ τοὔνομα, ἱκανῶς ἀποδέδεικται. ἀνάγκη λοιπὸν ἐπ' αὐτὴν ἐλθεῖν τοῦ λόγου τὴν ἀρχήν. Σαῦλος δὲ ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου. τί ἐστιν, ἔτι; τί γὰρ ἐποίησε πρὸ τούτου, ὅτι λέγεις ἔτι; τὸ γὰρ, ἔτι, περὶ ἀνθρώπου πολλὰ κακὰ πεποιηκότος ἔμπροσθεν λέγεται. τί οὖν ἐποίησε; τί γὰρ οὐκ ἐποίησεν, εἰπέ μοι, κακόν; αἱμάτων ἐνέπλησε τὰ Ἱεροσόλυμα τοὺς πιστοὺς ἀναιρῶν, τὴν ἐκκλησίαν ἐπόρθει, τοὺς ἀποστόλους ἐδίωκε, τὸν Στέφανον ἔσφαξεν, οὐκ ἀνδρῶν, οὐ γυναικῶν ἐφείδετο. ἄκουσον γοῦν τοῦ μαθητοῦ αὐτοῦ λέγοντος· Σαῦλος δὲ ἐλυμαίνετο τὴν ἐκκλησίαν, κατὰ τοὺς οἴκους εἰσπορευόμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας. οὐδὲ γὰρ ἤρκει αὐτῷ ἡ ἀγορὰ, ἀλλὰ καὶ εἰς τὰς οἰκίας ἐπεπήδα. κατὰ τοὺς οἴκους γὰρ εἰσπορευόμενος, φησί. καὶ οὐκ εἶπεν, ἄγων, οὐδὲ, ἕλκων ἄνδρας καὶ γυναῖκας, ἀλλὰ, σύρων ἄνδρας καὶ γυναῖκας· καθάπερ περὶ θηρίου διαλεγόμενος, σύρων ἄνδρας καὶ γυναῖκας· καὶ οὐκ ἄνδρας μόνον, ἀλλὰ καὶ γυναῖκας. οὐδὲ τὴν φύσιν ᾐδεῖτο, οὐδὲ τὸ γένος ἠλέει, οὐδὲ πρὸς τὴν ἀσθένειαν ἀπεκλᾶτο. ζήλῳ γὰρ, οὐχὶ θυμῷ ταῦτα ἐποίει. διὰ τοῦτο οἱ μὲν Ἰουδαῖοι τὰ αὐτὰ ποιοῦντες, ἄξιοι κατηγορίας· οὗτος δὲ τὰ αὐτὰ ποιῶν, ἄξιος συγγνώμης. ἐκ γὰρ αὐτῶν ὧν ἐποίουν δῆλοι ἦσαν, ὅτι ἐκεῖνοι μὲν τιμῆς ἕνεκεν καὶ δόξης τῆς παρὰ τῶν πολλῶν ταῦτα ἔπραττον· οὗτος δὲ οὐχ οὕτως, ἀλλὰ τῷ Θεῷ ζηλῶν, εἰ καὶ μὴ κατ' ἐπίγνωσιν. διὰ τοῦτο ἐκεῖνοι τὰς μὲν γυναῖκας ἠφίεσαν, "τοῖς δὲ ἀνδράσιν ἐπολέμουν, ἐπειδὴ εἰς ἐκείνους ἑώρων τὴν ἑαυτῶν περιελθοῦσαν τιμήν· οὗτος δὲ, ἅτε ζηλοτυπῶν, πρὸς ἅπαντας ἵστατο. ταῦτ' οὖν ἅπαντα ἐννοήσας ὁ Λουκᾶς, καὶ ὁρῶν αὐτὸν οὔπω κορεννύμενον, ἔλεγε· Σαῦλος δὲ ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου. οὐκ ἐκόρεσεν αὐτὸν ὁ φόνος Στεφάνου, οὐκ ἐνέπλησεν αὐτοῦ τὴν ἐπιθυμίαν ἡ δίωξις τῆς ἐκκλησίας, ἀλλὰ "περαιτέρω προῄει, καὶ οὐδαμοῦ ἵστατο τῆς μανίας (ζῆλος γὰρ ἦν) ἀλλ' ἐπανελθὼν ἄρτι ἀπὸ τῆς σφαγῆς Στεφάνου, ἐδίωκε τοὺς ἀποστόλους· καὶ ταὐτὸν ἐποίει, ὥσπερ ἂν εἰ λύκος ἄγριος ἐπιπηδήσας ποίμνῃ προβάτων, καὶ ἀρνίον ἁρπάσας ἐκεῖθεν, καὶ τῷ οἰκείῳ σπαράξας στόματι, θρασύτερος ὑπὸ τῆς ἁρπαγῆς ἐγένετο. οὕτω καὶ Σαῦλος ἐπεπήδησε τῷ χορῷ τῶν ἀποστό-

λων,

Γαλ. α. κα.

Πραξ. η. γ.

λων, ἥρπασεν ἐκεῖθεν τὸ ἀρνίον τοῦ Χριστοῦ τὸν Στέφανον, διεσπάραξεν, ἐγένετο λοιπὸν ὑπὸ τῆς σφαγῆς ταύτης θρασύτερος. διὰ τοῦτό φησιν, ἔτι. καίτοι ἵνα οὐκ ἂν ἐνέπλησεν ὁ φόνος ἐκεῖνος; ἵνα οὐκ ἂν κατήδεσεν ἡ ἐπιείκεια τοῦ σφαττομένου, τὰ ῥήματα ἅπερ Πραξ. ζ. ξ. λιθαζόμενος ὑπὲρ τῶν λιθαζόντων ηὔχετο, Κύριε, λέγων, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην; διὰ τοῦτο ὁ διώκτης εὐαγγελιστὴς γέγονεν. εὐθέως γὰρ μετὰ τὸν φόνον ἐκεῖνον μετεβάλλετο, ἐκείνου τῆς φωνῆς ἤκουσεν ὁ Θεός. καὶ γὰρ ἄξιος ἦν ἀκούεσθαι Στέφανος καὶ διὰ τὴν ἀρετὴν Παύλου τὴν ἐσομένην, καὶ διὰ οἰκείαν ὁμολογίαν, Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. ἀκουέτωσαν ὅσοι ἐχθροὺς ἔχουσιν, ὅσοι ἐπηρεάζονται, ὅσοι πλεονεκτοῦνται. κἂν γὰρ μυρία πάθῃς δεινά, οὐδέπω ἐλιθάσθης, καθάπερ ὁ Στέφανος. καὶ ὅρα τί γίνεται. ἐνεφράττετο μία πηγὴ ἡ τοῦ Στεφάνου, καὶ ἠνοίγετο ἑτέρα μυρίους ἀφιεῖσα ποταμούς. ἐπειδὴ γὰρ ἐσίγησε τὸ στόμα Στεφάνου, ἤχησεν εὐθέως ἡ σάλπιγξ τοῦ Παύλου. οὕτως οὐδέποτε ὁ Θεὸς εἰς τέλος ἐγκαταλιμπάνει τοὺς αὐτῷ προστρέχοντας, ἀλλὰ μείζονα ὧν ἀποστεροῦσιν οἱ ἐχθροί, δίδωσιν αὐτοῖς τὰ δῶρα. οὐ γὰρ τοιοῦτον ἐξέβαλον ἀπὸ τῆς φάλαγγος στρατιώτην ἐκεῖνοι, οἷον ἀντεισήγαγεν ὁ Χριστός. Σαῦλος δὲ ἔτι. καὶ ἄλλο τι δηλοῖ τὸ, ἔτι, τοῦτο· οἷον, ὅτι, ἔτι μαινόμενον, ἔτι ἀγριαίνοντα, ἔτι ἐν ἀκμῇ τοῦ θυμοῦ ὄντα, ἔτι τῷ φόνῳ ζέοντα ἐπεσπάσατο ὁ Χριστός. οὐδὲ γὰρ ἀνέμεινε λῆξαι τὸ νόσημα, καὶ σβεσθῆναι τὸ πάθος, καὶ πρᾳότερον γενέσθαι τὸν ἄγριον, καὶ οὕτως εἵλκυσεν· ἀλλ' ἐν αὐτῇ τῇ ἀκμῇ τῆς μανίας αὐτὸν ἐχειρώσατο, ἵνα δείξῃ τὴν ἑαυτοῦ δύναμιν, ὅτι ἐν μέσῃ τῇ βακχείᾳ τότε ἐκείνῃ ζέοντος ἔτι τοῦ θυμοῦ κρατεῖ, καὶ περιγίνεται τοῦ διώκτου. καὶ γὰρ ἰατρὸν τότε θαυμάζομεν μάλιστα, ὅταν δυνηθῇ τὸν πυρετὸν αἰρόμενον καὶ τὴν φλόγα τοῦ νοσήματος οὖσαν ἐν ἄκρᾳ σφοδρότητι κατασβέσαι καὶ παντελῶς ἀφανίσαι· ὃ καὶ ἐπὶ τοῦ Παύλου γέγονεν. ἐν ἀκμῇ γὰρ αὐτὸν ὄντα τῆς φλογὸς, ὥσπερ τις δρόσος ἄνωθεν κατενεχθεῖσα, ἡ φωνὴ τοῦ Κυρίου τοῦ νοσήματος ἀπήλλαξε παντελῶς. Σαῦλος δὲ ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου. ἀφῆκε τὸ πλῆθος, καὶ τοῖς ἄρχουσι λοιπὸν ἐπεπήδα. ὥσπερ γὰρ ὁ δένδρον βουλόμενος ἐκτεμεῖν, τοὺς κλάδους ἀφεὶς, κάτωθεν ἐκκόπτει τὴν ῥίζαν, οὕτω δὴ καὶ οὗτος ἐπὶ τοὺς μαθητὰς ἦλθε, τὴν ῥίζαν τοῦ κηρύγματος βουλόμενος ἀνελεῖν. ἀλλ' οὐκ ἦσαν ῥίζαι τοῦ κηρύγματος οἱ μαθηταὶ, ἀλλ' ὁ τῶν Ιωαν. ιε. α. μαθητῶν δεσπότης. διὰ τοῦτο καὶ ἔλεγεν· Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα. ἐκείνη δὲ ἀκαταγώνιστος ἡ ῥίζα. διὰ τοῦτο ὅσῳ πλείονα ἐξέτεμνον κλήματα, τοσούτῳ καὶ πλείονα καὶ μείζονα πάλιν ἐβλάστανεν. ἐξετμήθη γοῦν Στέφανος, καὶ ἀνεβλάστησε Παῦλος καὶ οἱ διὰ Παύλου πιστεύσαντες. Ἐγένετο δέ, φησιν, ἐν τῷ ἐγγίζειν αὐτὸν τῇ Δαμασκῷ, ἐξαίφνης περιήστραψεν αὐτὸν φῶς ἐκ τοῦ οὐρανοῦ, καὶ πεσὼν ἐπὶ τῆς γῆς ἤκουσε φωνὴν λέγουσαν αὐτῷ, Σαῦλε, Σαῦλε, τί με διώκεις; τίνος ἕνεκεν οὐχὶ πρότερον ἡ φωνὴ ἠνέχθη, ἀλλὰ πρότερον φῶς αὐτὸν περιήστραψεν; ἵνα μετὰ ἡσυχίας ἀκούσῃ τῆς φωνῆς. ἐπειδὴ γὰρ ὁ πρός τι πρᾶγμα τεταμένος καὶ θυμοῦ πλήρης ὢν, κἂν μυρίοι καλῶσιν, οὐκ ἐπιστρέφεται, ὅλος τῆς προκειμένης ὑποθέσεως ὤν· ἵνα μὴ καὶ ἐπὶ Παύλου τοῦτο γένηται, καὶ μεθύων τῇ μανίᾳ τῶν γινομένων παραπέμψηται τὴν φωνὴν, ἢ μηδὲ ἀκούσῃ τὴν ἀρχὴν, τὴν διάνοιαν ἅπασαν πρὸς τὴν λεηλασίαν ἐκείνην ἔχων, πρότερον διὰ τοῦ φωτὸς πηρώσας αὐτοῦ τοὺς ὀφθαλμοὺς, καὶ τὸν θυμὸν καταστείλας, καὶ σβέσας ἅπαντα τῆς ψυχῆς τὸν θόρυβον, καὶ πολλὴν ἐν τῇ διανοίᾳ γαλήνην ποιήσας, οὕτω τὴν φωνὴν ἀφῆκεν, ἵνα κατενεχθείσης τῆς ἀλαζονείας σώφρονι τῷ λογισμῷ προσέχῃ τοῖς λεγομένοις λοιπόν. Σαῦλε, Σαῦλε, τί με διώκεις; οὐ τοσοῦτον ἐγκαλοῦντός ἐστιν, ὅσον ἀπολογουμένου. τί με διώκεις; τί μικρὸν, ἢ μέγα ἐγκαλεῖν ἔχων ἐμοί; τί παρ' ″ ἐμοὶ ἠδικημένος; ὅτι τοὺς νεκροὺς ὑμῶν ἀνέστησα; ὅτι τοὺς ἴσ. ἐμοῦ λεπροὺς ἐκάθηρα; ὅτι τοὺς δαίμονας ἀπήλασα; ἀλλὰ διὰ ταῦτα προσκυνεῖσθαί με, οὐχὶ διώκεσθαί ἔδει. καὶ ἵνα μάθῃς, ὅτι τὸ, τί με διώκεις, ἀπολογουμένου μᾶλλόν ἐστιν, ἄκουσον πῶς καὶ ὁ πατὴρ αὐτοῦ πρὸς τοὺς Ἰουδαίους τούτῳ κέχρηται τῷ ῥήματι. ὥσπερ γὰρ τοῦτον λέγει, Σαοὺλ, Σαοὺλ, τί με διώκεις, οὕτω κἀκεῖνος πρὸς τοὺς Ἰουδαίους φησί· Λαός μου, τί ἐποίησά σοι, ἢ τί ἐλύπησά σε; Σαοὺλ, Σαοὺλ, τί με διώκεις; ἰδοὺ κεῖσαι πρηνὴς, ἰδοὺ δέδεσαι χωρὶς ἁλύσεως. ὥσπερ οὖν ὅταν δεσπότης οἰκέτην πολλὰ περιφθέγγοντα καὶ μυρία ἐργαζόμενον δεινὰ λαβὼν ὑπὸ χεῖρας, καὶ δήσας λέγοι πρὸς αὐτὸν δεδεμένον, τί σοι βούλει ποιήσω νῦν; ἰδοὺ γέγονας ὑποχείριος· οὕτω καὶ ὁ Χριστὸς τὸν Παῦλον λαβὼν, ῥίψας πρηνῆ, καὶ ὁρῶν τρέμοντα καὶ δεδοικότα καὶ οὐδὲν ἐργάζεσθαι δυνάμενον, φησί Σαοὺλ, Σαοὺλ, τί με διώκεις; ποῦ οὖν ὁ θυμὸς ἐκεῖνος οἴχεται; ποῦ δὲ ἡ μανία; ποῦ δὲ ὁ ζῆλος ὁ ἄκαιρος; ποῦ τὰ δεσμὰ καὶ αἱ περιδρομαί; ποῦ δὲ ἡ ἀγριότης ἐκείνη; ἀκίνητος μένεις νῦν, καὶ οὐδὲ ἰδεῖν τὸν διωκόμενον δύνασαι· καὶ ὁ σπεύδων καὶ πανταχοῦ περιτρέχων, χειραγωγοῦ χρείαν ἔχεις νῦν. διὰ γὰρ τοῦτο καὶ νῦν φησιν αὐτῷ, τί με διώκεις; ἵνα μάθῃ ὅτι καὶ ἐν τῷ πρὸ τούτου χρόνῳ ἑκὼν αὐτῷ συνεχώρει, ὅτι οὔτε ἐκεῖνα ἀσθενείας ἦν, οὔτε ταῦτα ὠμότητος, ἀλλὰ καὶ ἐκεῖνα φιλανθρωπίας, καὶ ταῦτα κηδεμονίας. τί οὖν ὁ Παῦλος; Τίς εἶ, Κύριε; ἐπέγνω τὴν δεσποτείαν ἀπὸ τῆς συγχωρήσεως, ἔμαθε τὴν δύναμιν ἀπὸ τῆς τότε πηρώσεως, ὁμολογεῖ λοιπὸν τὴν ἐξουσίαν. τίς εἶ, Κύριε; εἶδες ψυχὴν εὐγνώμονα; εἶδες διάνοιαν ἐλευθερίας γέμουσαν; εἶδες συνειδὸς ἀδέκαστον; οὐκ ἀντέτεινεν, οὐκ ἐφιλονείκησεν, ἀλλ᾽ ἔγνω τὸν δεσπότην εὐθέως. οὐ καθάπερ Ἰουδαῖοι νεκροὺς ὁρῶντες ἀνισταμένους, πηροὺς ἀναβλέποντας, λεπροὺς καθαιρομένους, οὐ μόνον οὐ προσέτρεχον τῷ ταῦτα ποιοῦντι, ἀλλὰ καὶ πλέον αὐτὸν ἐκάλουν, καὶ πάντα τρόπον ἐπιβουλῆς ἐκίνουν. ἀλλ᾽ οὐχ ὁ Παῦλος οὕτως, ἀλλ᾽ εὐθέως μετετίθετο. τί οὖν ὁ Χριστός; Ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις. καὶ διατί μὴ εἶπεν, ἐγώ εἰμι Ἰησοῦς ὁ ἀναστάς, ἐγώ εἰμι Ἰησοῦς ὁ ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος, ἀλλ᾽, ἐγώ εἰμι Ἰησοῦς ὃν σὺ διώκεις; ἵνα πλήξῃ αὐτοῦ τὴν διάνοιαν, ἵνα κατανύξῃ αὐτοῦ τὴν ψυχήν. ἄκουσον γοῦν Παύλου μετὰ πολλοὺς τοὺς χρόνους καὶ μυρία κατορθώματα τοῦτο θρηνοῦντος· Ἐγὼ γάρ εἰμι, φησιν, ὁ ἐλάχιστος πάντων τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, διότι ἐδίωξα τὴν ἐκκλησίαν. εἰ δὲ μετὰ μυρία κατορθώματα καὶ τοσούτους χρόνους τοῦτο ἔπαθε, τί εἰκὸς ἦν αὐτὸν παθεῖν κατὰ τὸν καιρὸν ἐκεῖνον, κατόρθωμα μὲν οὐδέπω οὐδὲν ἔχοντα, τὴν δὲ δίωξιν ἑαυτῷ συνειδότα, καὶ τῆς φωνῆς ἐκείνης ἀκούοντα;

Πρ. ξ. θ. δ.
Μιχ. ς. γ.
Πρ. ξ. θ. ε.
α. Κορ. ιε. θ.

Ἀλλ᾽ ἐπιφύονται ἡμῖν ἐνταῦθα· ὑμεῖς δὲ μὴ ἀποκάμητε, κἂν ἑσπέρα καταλάβοι. ὑπὲρ γὰρ τοῦ Παύλου πᾶς ἡμῖν ὁ λόγος, Παύλου τοῦ τριετίαν νύκτα καὶ ἡμέραν τοὺς μαθητὰς διδάσκοντος. ἐπιφύονται τοίνυν τινὲς ἐνταῦθα, καὶ λέγουσι, καὶ τί μέγα, εἰ ὁ Παῦλος προσῆλθε; καὶ γὰρ μονονουχὶ ὥσπερ χαλινὸν περιβαλὼν αὐτοῦ τῷ τραχήλῳ ὁ Θεὸς τὴν φωνὴν ἐκείνην, οὕτως αὐτὸν εἵλκυσε πρὸς ἑαυτόν. προσέχετε μετὰ ἀκριβείας. καὶ γὰρ καὶ πρὸς Ἕλληνας κοινὸς ἡμῖν οὗτος ὁ λόγος, καὶ πρὸς Ἰουδαίους, οἳ τῆς οἰκείας ἀπιστίας προκάλυμμα νομίζουσιν εἶναι τὸ τοῦ δικαίου κατηγορεῖν, οὐκ εἰδότες ὅτι διπλῆν ἁμαρτάνουσιν ἁμαρτίαν, τήν τε οἰκείαν οὐκ ἀποτιθέμενοι πλάνην, καὶ τὸν ἅγιον τοῦ Θεοῦ τοιαύταις αἰτίαις ὑποβάλλειν ἐπιχειροῦντες. ἀλλ᾽ ἡμεῖς ὑπὲρ αὐτοῦ τὴν ἀπολογίαν τῇ τοῦ Θεοῦ χάριτι ποιησόμεθα. τίς οὖν ἐστιν ἡ κατηγορία; ἀνάγκη, φησίν, αὐτὸν ἐπεσπάσατο ὁ Θεός. ποία ἀνάγκη, ἄνθρωπε; ἐκάλεσεν αὐτὸν ἄνωθεν. ὅλως πιστεύεις, ὅτι ἐκάλεσεν αὐτὸν ἄνωθεν; οὐκοῦν καὶ σὲ καλεῖ τήμερον δι᾽ ἐκείνης τῆς φωνῆς, ἀλλ᾽ οὐχ ὑπακούεις. ὁρᾷς ὅτι οὐχὶ ἀνάγκης ἦν τὸ πρᾶγμα; εἰ γὰρ ἀνάγκη ἦν, καὶ σὲ ἔδει ὑπακούειν. εἰ δὲ σὺ οὐχ ὑπακούεις, εὔδηλον ὅτι κἀκεῖνος ἐκ προαιρέσεως ὑπήκουσε. καὶ ἵνα μάθητε ὅτι πολὺ μὲν εἰς τὴν Παύλου σωτηρίαν ἡ κλῆσις, καθάπερ καὶ εἰς τὴν τῶν ἄλλων ἁπάντων ἀνθρώπων, οὐ μὴν ἔρημον αὐτὸν ἀφῆκεν εἶναι τῶν οἰκείων κατορθωμάτων καὶ τῶν διὰ τὴν βούλησιν ἐπαίνων, οὐδὲ ἐλυμήνατο αὐτοῦ δὲ αὐτεξούσιοι, ἀλλ' ἑκὼν προσῆλθεν ὅτε καὶ ἐξ οἰκείας εὐγνωμοσύνης, ἐξ ἑτέρου παραδείγματος τοῦτο ποιήσω φανερόν. ἤκουσαν οἱ Ἰουδαῖοι φωνῆς ἄνωθεν φερομένης, οὐχὶ τοῦ υἱοῦ, ἀλλὰ τοῦ πατρὸς, περὶ τοῦ Χριστοῦ λεγούσης περὶ τὰ Ἰορδάνια ῥεῖθρα, Ματθ. γ. ιζ. Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, καὶ λέγουσιν ἐκεῖνοι, οὗτος ἐστὶν ὁ πλάνος. Εἶδες φανερὸν πόλεμον; Εἶδες δήλην μάχην; Εἶδες ὅτι πανταχοῦ εὐγνωμοσύνης χρεία, καὶ ψυχῆς ἀδεκάστου καὶ μὴ προκατειλημμένης πάθει; ἰδοὺ καὶ ἐκεῖ φωνὴ, καὶ ἐνταῦθα φωνή· ἀλλ' ὁ μὲν ἐπείθετο, οἱ δὲ ἀντέλεγον· καὶ οὐχὶ φωνὴ μόνον, ἀλλὰ καὶ τὸ πνεῦμα ἐν εἴδει περιστερᾶς. ἐπειδὴ γὰρ ἐβάπτιζε μὲν Ἰωάννης, ἐβαπτίζετο δὲ ὁ Χριστὸς, ἵνα μὴ τῷ ἀνθρωπίνῳ σχήματι προσέχοντες, τὸν βαπτίζοντα μείζονα τοῦ βαπτιζομένου εἶναι νομίσωσιν, ἦλθεν ἡ φωνὴ, τοῦτον ἀπ' ἐκείνου διαιροῦσα. καὶ ἐπειδὴ ἄδηλον ἦν περὶ τίνος ἔλεγεν ἡ φωνὴ ὅπερ ἔλεγεν, ἦλθε καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐν εἴδει περιστερᾶς, τὴν φωνὴν ἐπὶ τὴν κεφαλὴν ἕλκον τοῦ Χριστοῦ. ἀλλ' ὅμως καὶ διὰ φωνῆς αὐτὸν ἐκήρυξε, καὶ διὰ τοῦ πνεύματος ἔδειξε, καὶ μετὰ τούτων καὶ Ἰωάννης ἐβόα, Μαρκ. α. ζ. ὅτι Οὐκ εἰμὶ ἱκανὸς αὐτοῦ λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος, καὶ μυρία ἕτερα καὶ διὰ ῥημάτων, καὶ διὰ πραγμάτων μαρτύρια ἐγένετο, καὶ πρὸς ἅπαντα ἀπετυφλώθησαν· μᾶλλον δὲ πάντα μὲν συνεώρων, οὐδενὶ δὲ τῶν λεγομένων, οὐδὲ τῶν πραττομένων ἐπείθοντο, τῇ μανίᾳ τῆς παρὰ τῶν πολλῶν δόξης προκατειλημμένοι τὴν διάνοιαν. ὅπερ οὖν Ἰωαν. ιβ. μβ. καὶ ὁ εὐαγγελιστὴς φησιν, ὅτι Πολλοὶ τῶν Ἰουδαίων ἐπίστευσαν εἰς αὐτὸν, διὰ δὲ τοὺς ἄρχοντας οὐχ ὡμολόγουν, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται· Ἰωαν. ε. μδ. καὶ αὐτὸς δὲ ὁ Χριστὸς ἔλεγε, Πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες; ἀλλ' οὐχ ὁ Παῦλος οὕτως, ἀλλὰ μιᾶς μόνης ἀκούσας φωνῆς αὐτοῦ τοῦ διωκομένου, εὐθέως προσέδραμεν, εὐθέως ὑπήκουσε, καὶ πολλὴν ἐπεδείξατο τὴν μεταβολήν. Εἰ δὲ μὴ ἀποκάμνετε τῷ μήκει τῶν εἰρημένων, ἔτι εἰς ἐγγύτερον παράδειγμα ἄγω τὸν λόγον. καὶ γὰρ καὶ τοῦ υἱοῦ ἤκουσαν, καὶ οὕτως ἤκουσαν ὡς Παῦλος ἤκουσε, καὶ ἐν καιρῷ τοιούτῳ ἤκουσαν, οἵῳ Παῦλος ἤκουσε, καὶ οὐδὲ οὕτως ἐπίστευσαν. καθάπερ γὰρ Παῦλος ὅτε ἐμαίνετο, ὅτε ἠγριαίνετο, ὅτε ἐπολέμει τοῖς μαθηταῖς, ἤκουσε τῆς φωνῆς, οὕτω καὶ Ἰουδαῖοι. ποῦ, καὶ πότε; ἐξῆλθον ἐν τῇ νυκτὶ μετὰ φανῶν καὶ λαμπάδων εἰς τὴν σύλληψιν αὐτοῦ. ἐνόμιζον γὰρ ἀνθρώπῳ ψιλῷ ἐπιτίθεσθαι. βουλόμενος τοίνυν αὐτοὺς διδάξαι τὴν δύναμιν τὴν ἑαυτοῦ, Ἰωαν. ιη. ε. καὶ ὅτι Θεός ἐστι, καὶ πρὸς κέντρα λακτίζουσι, λέγει αὐτοῖς, Τίνα ζητεῖτε; ἔμπροσθεν αὐτοῦ καὶ πλησίον εἱστήκεισαν, καὶ οὐχ ἑώρων αὐτόν. ἀλλ' αὐτὸς ὁ ζητούμενος, αὐτοὺς ἐχειραγώγει πρὸς τὴν εὕρεσιν τὴν ἑαυτοῦ, ἵνα μάθωσιν, ὅτι οὐκ ἄκων ἐπὶ τὸ πάθος ἔρχεται, ὅτι, εἰ μὴ ἐβούλετο συγχωρῆσαι, οὐκ ἂν περιεγένοντο. πῶς γὰρ, οἱ μηδὲ εὑρεῖν αὐτὸν δυνηθέντες; τί λέγω εὑρεῖν αὐτὸν μὴ δυνηθέντες; ἀλλ' οὔτε ἰδεῖν αὐτὸν παρόντα ἴσχυσαν· οὐ μόνον δὲ παρόντα οὐκ ἴσχυσαν ἰδεῖν, ἀλλὰ καὶ ἐρωτῶντι ἀποκρινόμενοι, οὐδὲ οὕτως ᾔδεσαν ὅστις ποτὲ ἦν ὁ παρών. οὕτω μὲν ὑπερβολῆς ἁπάσης ἀπετύφλωσεν αὐτῶν τοὺς ὀφθαλμούς. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ὑπτίους ἔρριψεν αὐτοὺς τῇ φωνῇ. Εἰπόντος γὰρ, τίνα ζητεῖτε, ἀπῆλθον πάντες εἰς τὰ ὀπίσω ἀπὸ τῆς φωνῆς ταύτης. ὥσπερ γὰρ τὸν Παῦλον ἡ φωνὴ κατέβαλε, καὶ πηρωθῆναι ἐποίησεν, οὕτω καὶ τούτους ἡ φωνὴ πάντας ἔρριψεν ὑπτίους· καὶ ὥσπερ οὗτος οὐκ ἔβλεπε τὸν διωκόμενον ὑπ' αὐτοῦ, οὕτως ἐκεῖνοι οὐκ ἔβλεπον τὸν ζητούμενον ὑπ' αὐτῶν· ὥσπερ οὗτος ἐν τῷ καιρῷ τῆς μανίας ἀπετυφλώθη, κἀκεῖνοι ἐν αὐτῷ τῷ καιρῷ τῆς μανίας ἀπετυφλώθησαν. καὶ γὰρ ἐκεῖνος, ὅτε ἐπορεύετο δῆσαι τοὺς μαθητὰς, καὶ οὗτοι ὅτε ἐξῆλθον δῆσαι τὸν Χριστὸν, ταῦτα ἔπαθον. καὶ ἐκεῖ δεσμά, καὶ ἐνταῦθα δεσμά· καὶ ἐκεῖ δίωξις, καὶ ἐνταῦθα δίωξις· καὶ ἐκεῖ πήρωσις, καὶ ἐνταῦθα πήρωσις· καὶ ἐκεῖ φωνὴ, καὶ ἐνταῦθα φωνή· καὶ ὁμοία τῆς τοῦ Χριστοῦ δυνάμεως ἡ ἔνδειξις, ὅμοια τὰ φάρμακα, ἀλλ' οὐχ ὁμοία ἡ διόρθωσις. οἱ γὰρ κάμνοντες πολλὴν εἶχον διαφοράν. τί γὰρ ἀναισθητότερον; τί δὲ ἀγνωμονέστερον ἐκείνων; ἔπεσον ὀπίσω, καὶ πάλιν ἀνέστησαν, καὶ πάλιν ἐπέθεντο. ἄρα τῶν λίθων οὐκ ἦσαν ἀναισθητότεροι; καὶ ἵνα μάθωσιν, ὅτι οὗτός ἐστιν ὁ εἰπὼν αὐτοῖς, τίνα ζητεῖτε, καὶ ῥίψας ὀπίσω αὐτούς, λέγει αὐτοῖς πάλιν, ὅτε ἀνέστησαν, τίνα ζητεῖτε; καὶ λέγουσιν, Ἰησοῦν. λέγει αὐτοῖς, εἶπον ὑμῖν, ὅτι ἐγώ εἰμι· μονονουχὶ λέγων, μάθετε ὅτι καὶ ὁ πρὸ τούτου εἰπών, τίνα ζητεῖτε, καὶ ῥίψας ὑμᾶς, ἐγώ εἰμι. ἀλλ' οὐδὲν πλέον ἐκ τούτου ἐγένετο, ἀλλ' ἔμειναν ἐπὶ τῆς αὐτῶν "πωρώσεως.

πηρώσεως.

ταῦτ' οὖν ἅπαντα ἐκ παραλλήλου συγκρίνων μάνθανε ἀκριβῶς, ὅτι οὐκ ἐξ ἀνάγκης προσῆλθε Παῦλος, ἀλλ' ἀπὸ ψυχῆς εὐγνώμονος καὶ ἀδεκάστου συνειδότος. εἰ δὲ καρτερεῖτε καὶ οὐκ ἀποκάμνετε, ἕτερον ἐρῶ ἑτέρου τύπου λέγω πάλιν, αὐτὴν ἄρρητον ἔχον ἀπόδειξιν τοῦ μὴ κατ' ἀνάγκην τὸν Παῦλον προσεληλυθέναι τῷ Κυρίῳ.

Πραξ. ιγ. α.

ἦλθεν εἰς τὴν Σαλαμῖνα τῆς Κύπρου μετὰ ταῦτα ὁ Παῦλος, καὶ εὗρεν ἐκεῖ μάγον τινὰ ἀνθιστάμενον τῷ ἀνθυπάτῳ Σεργίῳ. ὁ δὲ Παῦλος πλησθεὶς πνεύματος ἁγίου, εἶπε πρὸς αὐτόν· Ὦ πλήρης παντὸς δόλου καὶ πάσης ῥᾳδιουργίας, υἱὲ διαβόλου, οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς Κυρίου τὰς εὐθείας; ταῦτα ὁ διώκτης. δοξάσωμεν τοίνυν τὸν Θεὸν μεταβαλόντα αὐτόν. περὶ τούτου ἠκούετε ὅτι ἐλυμαίνετο τὴν ἐκκλησίαν, κατὰ τοὺς οἴκους εἰσπορευόμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας, παρεδίδου εἰς φυλακήν. ὁρᾶτε πῶς παρρησιάζεται νῦν ὑπὲρ τοῦ κηρύγματος. οὐ παύσῃ διαστρέφων, φησί, τὰς ὁδοὺς Κυρίου τὰς εὐθείας; καὶ νῦν ἰδοὺ χεὶρ Κυρίου ἐπὶ σέ, καὶ ἔσῃ τυφλὸς μὴ βλέπων ἕως καιροῦ. τὸ φάρμακον τὸ ποιῆσαν αὐτὸν ἀναβλέψαι, τοῦτο ἐπέθηκε καὶ τῷ μάγῳ, ἀλλ' ἔμεινεν ἐπὶ τῆς πηρώσεως ἐκεῖνος· ἵνα μάθῃς ὅτι οὐχ ἡ κλῆσις μόνον προσήγαγε τὸν Παῦλον, ἀλλὰ καὶ ἡ αὐτοῦ ἐκείνου προαίρεσις. εἰ γὰρ ἡ πήρωσις μόνη τοῦτο ἐποίησεν, ἐχρῆν καὶ ἐπὶ τοῦ μάγου τὸ αὐτὸ γενέσθαι· ἀλλ' οὐκ ἐγένετο. ἀλλ' ἐκεῖνος μὲν ἐπηροῦτο, ὁ δὲ ἀνθύπατος ἰδὼν τὸ γεγενημένον ἐπίστευσεν. ἄλλος ἐδέξατο τὸ φάρμακον, καὶ ἄλλος ἀνέβλεψεν. εἴδετε πόσον ἐστὶν εὐγνωμοσύνη διανοίας, πόσον ἐστὶν ἀπείθεια καὶ σκληροκαρδία. ἐγένετο πηρὸς ὁ μάγος· κἀκεῖνος μὲν οὐδὲν ἀπώνατο (ἀπειθὴς γὰρ ἦν) ἔγνω δὲ τὸν Χριστὸν ὁ ἀνθύπατος. ἀλλ' ὅτι μὲν ἑκὼν καὶ ἐκ προαιρέσεως προσῆλθεν ὁ Παῦλος, ἱκανῶς ἀποδέδεικται. βούλομαι δὲ τοῦτον ὑμᾶς ἀκριβῶς εἰδέναι τὸν λόγον, ὅτι μὴ βουλομένους οὐ βιάζεται ὁ Θεός, ἀλλὰ βουλομένους ἕλκει. διὰ τοῦτο γάρ φησιν, Οὐδεὶς ἔρχεται πρός με, ἂν μὴ ὁ πατήρ μου ἑλκύσῃ αὐτόν· ὁ δὲ ἕλκων, τὸν βουλόμενον ἕλκει, τὸν κάτω κείμενον καὶ χεῖρα ὀρέγοντα.

Ιωαν. ϛ. μδ.

καὶ ἵνα μάθητε ὅτι οὐδένα βιάζεται, ἀλλ' ἐὰν αὐτὸς θέλῃ, ἡμεῖς δὲ μὴ θέλωμεν, διαπίπτει τὰ τῆς σωτηρίας ἡμῖν· οὐκ ἐπειδὴ ἀσθενὲς αὐτοῦ τὸ βούλημα, ἀλλ' ἐπειδὴ ἀναγκάσαι οὐδένα θέλει, ἀναγκαῖον τοῦτον ἐξετάσαι τὸν λόγον, ἐπειδὴ πολλοὶ πολλάκις προφάσει ῥᾳθυμίας, τούτῳ κέχρηνται τῷ προσχήματι τῆς ἀπολογίας, καὶ παρακαλούμενοι πολλάκις ἐπὶ φώτισμα, ἐπὶ πολιτείας ἀρίστης μεταβολήν, ἐφ' ἕτερα τοιαῦτα κατορθώματα, εἶτα καὶ ὡς ὀκνοῦντες καὶ ἀναδυόμενοι τοῦτο ἀποκρίνονται· ὅτι ἐὰν θέλῃ ὁ Θεός, πείσει με, καὶ μεταθήσομαι. καὶ οὐκ ἐγκαλῶ μὲν αὐτοῖς, ἀλλὰ καὶ σφόδρα ἀποδέχομαι, ὅτι καταφεύγουσιν ἐπὶ τὴν βουλὴν τοῦ Θεοῦ· βούλομαι δὲ καὶ τὰ παρ' ἑαυτῶν εἰσφέρειν, καὶ οὕτω λέγειν, ἐὰν θέλῃ ὁ Θεός. ἂν γὰρ σαυτὸν ὕπνῳ καὶ ῥᾳθυμίᾳ παραδούς, μὴ ἐγχειρῇς μὲν ταῖς ἀγαθαῖς πράξεσι, τὸ δὲ τοῦ Θεοῦ θέλημα προβάλλῃ μόνον, οὐδέποτέ σοι οὐδὲν ἔσται τῶν δεόντων. ὅπερ γὰρ ἔφην, ἀνάγκῃ καὶ βίᾳ οὐδένα προσάγεταί ποτε ὁ Θεός· ἀλλὰ θέλει μὲν ἅπαντας σωθῆναι, οὐκ ἀναγκάζει δὲ οὐδένα· καθὼς καὶ Παῦλός φησιν, Ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

α. Τιμ. β. δ.

πῶς οὖν οὐχ ἅπαντες σώζονται, εἰ θέλει πάντας σωθῆναι; ἐπειδὴ οὐχ ἁπάντων τὸ θέλημα τῷ θελήματι αὐτοῦ ἕπεται, αὐτὸς δὲ οὐδένα βιάζεται. οὕτω καὶ πρὸς τὴν Ἱερουσαλήμ φησιν· Ἱερουσαλήμ, Ἱερουσαλήμ, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, καὶ οὐκ ἠθελήσατε; τί οὖν; ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος.

Λουκ. ιγ. λδ.

ὁρᾷς ὅτι κἂν θέλῃ ὁ Θεὸς σῶσαι, ἡμεῖς δὲ ἑαυτοὺς μὴ ἐπιδῶμεν, μένομεν ἐπὶ τῆς ἀπωλείας; οὐ γὰρ ἄκοντας, οὐδὲ μὴ βουλομένους, ὅπερ λέγω πολλάκις, ἀλλ' ἑκόντα καὶ προαιρούμενον παρεσκεύασαι σώζειν ὁ Θεὸς τὸν ἄνθρωπον. ἄνθρωποι μὲν γὰρ καὶ ἑκόντων καὶ ἀκόντων τῶν οἰκετῶν βούλονται εἶναι καὶ δεσπόζειν, οὐ πρὸς ὃ τοῖς οἰκέταις συμφέρει, ἀλλὰ πρὸς τὴν οἰκείαν χρείαν ὁρῶντες αὐτῶν δεσπόζουσιν· ὁ δὲ Θεὸς ἀνενδεὴς ὤν, καὶ βουλόμενός σοι δεῖξαι, ὅτι οὐδενὸς τῶν ἡμετέρων δεόμενος, τῆς δουλείας ἡμῶν ἐφίεται, ἀλλ' εἰς ἓν μόνον σκοπῶν ὃ συμφέρει ἡμῖν, καὶ οὐ τῆς αὐτοῦ χρείας ἕνεκεν, ἀλλὰ τῆς ἡμετέρας ὠφελείας ἅπαντα πράττει, ἂν μὲν ἑκόντες καὶ βουλόμενοι καὶ χάριν αὐτῷ τῆς δουλείας εἰδότες ᾧ προσέλθωμεν· ἄκοντας καὶ ἀποπηδῶντας οὐκ ἀναγκάζει οὐδὲ βιάζεται, αὐτὸ τοῦτο δεικνὺς, ὅτι οὐκ αὐτὸς ἡμῖν χάριν τῆς δουλείας, ἀλλ' ἡμεῖς αὐτῷ χάριν τῆς δεσποτείας ἔχειν ὀφείλομεν. Ταῦτ' οὖν εἰδότες, καὶ τὴν τοῦ δεσπότου φιλανθρωπίαν ἐννοοῦντες, ἀξίαν αὐτοῦ τῆς ἀγαθότητος κατὰ δύναμιν τὴν ἡμετέραν πολιτείαν ἐπιδειξώμεθα, ἵνα καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχωμεν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. μδ. ΕΙΣ ΤΟ ΑΠΟΣΤΟΛΙΚΟΝ ΡΗΤΟΝ ΤΟ ΛΕΓΟΝ, Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν, εἰδότες, ὅτι ἡ θλίψις ὑπομονὴν κατεργάζεται, καὶ τὰ ἑξῆς.

Ρωμ. ε. γ.

Ἐπίπονον μὲν γηπόνῳ τὸ ζεῦξαι βόας, καὶ ἄροτρον ἑλκύσαι, καὶ αὔλακα ἀνατεμεῖν, καὶ σπέρματα καταβαλεῖν, καὶ ἀνασχέσθαι χειμῶνος, καὶ κρυμὸν ἐνεγκεῖν, καὶ περιελάσαι τάφρον, καὶ πλεονεξίαν ὑδάτων ἐπιοῦσαν τοῖς σπέρμασιν ἀποκρούσασθαι, καὶ ὄχθας ποταμῶν ὑψηλοτέρας ἐργάσασθαι, καὶ διὰ μέσης τῆς ἀρούρας βαθυτέρας αὔλακας ἀνατεμεῖν· ἀλλὰ τὰ ἐπίπονα ταῦτα, καὶ μόχθον ἔχοντα, κοῦφα γίνεται καὶ ῥᾷστα, ὅταν ταῖς ἐλπίσιν ὁ γεωργὸς ἴδῃ κομῶντα τὰ λήϊα, καὶ τὴν δρεπάνην ἠκονημένην, καὶ τὴν ἅλωνα τῶν δραγμάτων ἐμπεπλησμένην, καὶ τὸν καρπὸν ὥριμον μετὰ πολλῆς εὐφροσύνης οἴκαδε εἰσκομιζόμενον. οὕτω καὶ κυβερνήτης ἀγρίων κυμάτων κατατολμᾷ, καὶ χειμῶνος, καὶ μαινομένης θαλάττης πολλάκις καταφρονεῖ, καὶ πνευμάτων ἀστάτων, καὶ διαποντίους κλύδωνας καὶ μακρὰς οἶδε φέρειν ἀποδημίας, ὅταν τὰ φορτία ἀναλογίζηται, καὶ τοὺς τῆς ἐμπορείας λιμένας, καὶ τὸν ἐκ τούτων ἄπειρον πλοῦτον ἰκτόμενον ἴδῃ. οὕτω καὶ στρατιώτης τραύματα φέρει, καὶ νέφη βελῶν ἀποδέχεται, καὶ λιμὸν ὑποφέρει, καὶ κρυμὸν, καὶ τὰς μακρὰς ἀποδημίας, καὶ τοὺς ἐπὶ τῆς παρατάξεως κινδύνους, ἐντεῦθεν τὰ τρόπαια καὶ τὰς νίκας καὶ τοὺς στεφάνους ἀναλογιζόμενος. ἀλλὰ τίνος ἕνεκεν τούτων ἐμνήσθην, ἢ τί μοι βούλεται ταῦτα τὰ παραδείγματα; παράκλησιν ὑμῖν ἐντεῦθεν πρὸς τὴν ἀκρόασιν εἰσαγαγεῖν βούλομαι, καὶ παραμυθίαν πρὸς τοὺς ὑπὲρ τῆς ἀρετῆς ἱδρῶτας. εἰ γὰρ τῶν εἰρημένων ἕκαστος τὸ ἐπίπονον κοῦφον ἡγεῖται διὰ τὴν τῶν μελλόντων ἐλπίδα, καὶ ταῦτα, εἰ καί τις αὐτῶν ἐπιτυχεῖν δυνηθείη, τῷ παρόντι συγκαταλυόμενα βίῳ, πολλῷ μᾶλλον ὑμᾶς τὴν ὑπὲρ τῆς πνευματικῆς διδασκαλίας ἀκρόασιν ἀνέχεσθαι χρὴ, καὶ τὴν ὑπὲρ τῆς αἰωνίου ζωῆς παράταξίν τε καὶ τοὺς ἱδρῶτας γενναίως φέρειν. τοῖς μὲν γὰρ ἄδηλα τὰ τῆς προσκαίρου ἐλπίδος ἐστὶ, καὶ ἐν προσδοκίᾳ μόνῃ τῶν χρηστῶν πολλάκις γενόμενοι, τὸν βίον οὕτω κατέλυσαν, ἐντρυφήσαντες μὲν ταῖς ἐλπίσιν, ἐπὶ δὲ τῶν ἔργων αὐτῶν οὐχ ἑστιάσαντες, καὶ δι' αὐτὰ ταῦτα τὰ χαλεπώτερα ὑπομείναντες. οἶδά τι λέγω· μετὰ πολλοὺς ἐκείνους πολλάκις πόνους τε καὶ τοὺς ἱδρῶτας ὁ γηπόνος ἐνίοτε ἐν αὐτῷ τῷ τὴν δρεπάνην ἀκονᾷν, καὶ πρὸς τὸν ἄμητον παρασκευάζεσθαι, ἐρυσίβης κατενεχθείσης, ἢ πλή-

θους

θοις ἀκρίδων, ἢ πέρα τοῦ μέτρου τῆς ἐπομβρίας γινομένης, ἢ ἑτέρας τινὸς πληγῆς ἐπενεχθείσης ἐκ τῆς τῶν ἀέρων ἀνωμαλίας, ἀπῆλθε κεναῖς οἴκαδε χερσὶ, τῶν μὲν πόνων ἅπαντα ὑπομείνας, τοῦ δὲ καρποῦ τῆς ἐλπίδος ἐκπεσών. καὶ ὁ κυβερνήτης δὲ ὁμοίως χαίρων τῷ πλήθει τῶν φορτίων, καὶ μετὰ πολλῆς τῆς ἡδονῆς τὰ ἱστία πετάσας, καὶ περάσας πολὺ πέλαγος, ἐν αὐτῷ πολλάκις τῷ στόματι τοῦ λιμένος, ἢ σπιλάδος ἐμπεσούσης, ἢ ὑφάλῳ καὶ σκοπέλῳ τινὶ προσαράξας, ἢ ἄλλῃ τινὶ τοιαύτῃ ἀδοκήτῳ περιστάσει πληγεὶς, πάντα τὸν φόρτον ἀπώλεσε, καὶ μόλις τὸ ἑαυτοῦ σῶμα γυμνὸν διέσωσε μετὰ τοὺς μυρίους κινδύνους ἐκείνους. οὕτω καὶ ὁ στρατιώτης μυρίοις πολλάκις παραταξάμενος πολέμοις, καὶ ἀποκρουσάμενος τοὺς ἐναντίους, καὶ τῶν ἐχθρῶν περιγενόμενος, καὶ ἐν αὐτῇ ὢν τῇ προσδοκίᾳ τῆς νίκης, τὴν ζωὴν μεταλλάξας ἀπῆλθεν, οὐδενὸς ὅλως ἐκ τῶν ἱδρώτων καὶ τῶν κινδύνων ἀπολαύσας χρηστοῦ. τὰ δὲ ἡμέτερα οὐ τοιαῦτα. τάς τε γὰρ ἐλπίδας αἰωνίους ἔχει ἀκινήτους τε καὶ βεβαίας, καὶ οὐ τῷ προσκαίρῳ τούτῳ συγκαταλυομένας βίῳ, ἀλλὰ πρὸς τὴν ἀκήρατον καὶ μακαρίαν ἐκείνην καὶ διαιωνίζουσαν ζωὴν, καὶ οὐ μόνον ἀνωμαλίᾳ ἀέρων καὶ ἀδοκήτων πραγμάτων περιστάσει οὐκ ἐπιβουλευομένας, ἀλλ' οὐδὲ αὐτῷ τῷ θανάτῳ διαλυομένας. ἀπὸ τῶν ἐλπίδων δὲ αὐτῶν ἴδοι τις ἂν καὶ ἐν αὐτοῖς τοῖς τυχοῦσι λάμποντα αὐτῶν τὸν καρπὸν, καὶ πολλὴν καὶ μεγάλην οὖσαν τὴν ἀμοιβήν. διὰ τοῦτο ὁ μακάριος Παῦλος ἐβόα, λέγων· Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσι. παρακαλῶ μὴ παραδράμωμεν τὸ εἰρημένον ἁπλῶς· ἀλλ' ἐπειδὴ οὐκ οἶδα πῶς πάλιν ἡμᾶς ὁ λόγος εἰς τὸν τοῦ καλοῦ κυβερνήτου Παύλου λιμένα εἰσήγαγεν, ἐντρυφήσωμεν τῇ λέξει, βραχείᾳ μὲν οὔσῃ, πολλῇ δὲ ἡμᾶς παιδευούσῃ φιλοσοφίᾳ. Ρωμ. ε. γ.

Τί ποτ' οὖν ἐστιν ἄρα τὸ εἰρημένον, καὶ τί τοῦτο εἰπὼν ᾐνίξατο ἡμῖν, λέγων, οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσι; μικρὸν, εἰ δοκεῖ, ἀνωτέρω τὸν τῆς διδασκαλίας λόγον ἀναγάγωμεν, καὶ πολλὴν ὀψόμεθα τὴν σαφήνειαν, καὶ τὴν τῶν νοημάτων δύναμιν ἐκεῖθεν τικτομένην ἡμῖν. ἀλλὰ μηδένα τὸ σῶμα καταμαλακιζέτω· ἀλλ' ἀντὶ δρόσου γινέσθω ἡ τῆς πνευματικῆς ἀκροάσεως ἐπιθυμία. καὶ γὰρ περὶ θλίψεως ἡμῖν ὁ λόγος καὶ ἐπιθυμίας ἀγαθῶν αἰωνίων καὶ ὑπομονῆς καὶ τῆς ἐκ τούτων γινομένης ἀμοιβῆς τοῖς οὐκ ἀναπεπτωκόσι. τί ποτ' οὖν ἐστι τὸ, οὐ μόνον; ὁ γὰρ τοῦτο εἰρηκὼς εἰπεῖν ἡμῖν πολλὰ καὶ ἕτερα δείκνυσι προϋπηργμένα ἀγαθά· καὶ μετ' ἐκείνων καὶ τοῦτο προστίθησι, τὸ ἀπὸ τῆς θλίψεως. διὸ καὶ ἔλεγεν ὁ αὐτὸς οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν. ὥστε δὲ σαφέστερον γενέσθαι τὸ εἰρημένον, βραχεῖαν ὥραν ἀνάσχεσθε, μακροτέραν ἡμῶν ποιουμένων τὴν διδασκαλίαν τοῦ λόγου. ἐπειδὴ γὰρ κατηγγέλθη ὑπὸ τῶν ἀποστόλων τὸ θεῖον κήρυγμα, καὶ περιήεσαν πανταχοῦ τῆς οἰκουμένης σπείροντες τὸν τῆς εὐσεβείας λόγον, καὶ πρόρριζον ἀνασπῶντες τὴν πλάνην, καὶ τοὺς πατρῴους τῶν ἀσεβῶν καταλύοντες νόμους, καὶ παρανομίαν ἅπασαν ἐλαύνοντες, καὶ τὴν γῆν ἐκκαθαίροντες, καὶ εἰδώλων μὲν καὶ ναῶν καὶ βωμῶν καὶ πανηγύρεων τῶν ἐκεῖθεν καὶ τελετῶν κελεύοντες ἀποπηδᾶν, ἐπιγινώσκειν δὲ τὸν τῶν ὅλων ἕνα καὶ μόνον Θεὸν, καὶ τὰς μελλούσας ἀναμένειν ἐλπίδας, καὶ περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος διελέγοντο, καὶ περὶ ἀναστάσεως ἐφιλοσόφουν, καὶ περὶ βασιλείας οὐρανῶν διελέγοντο· διὰ ταῦτα πόλεμος ἀνήφθη χαλεπὸς, καὶ πολέμων ἁπάντων ὁ τυραννικώτατος, καὶ πάντα θορύβου καὶ ταραχῆς καὶ στάσεως ἔγεμε, καὶ πόλεις ἅπασαι, καὶ δῆμος ἅπας, καὶ οἰκία, καὶ οἰκουμένη καὶ ἀοίκητος, ἅτε δὴ τῶν παλαιῶν ἐθῶν διασαλευομένων, καὶ τῆς ἐπὶ τοσοῦτον κατασχούσης προλήψεως διασειομένης, καινῶν δὲ εἰσαγομένων δογμάτων, καὶ ὧν μηδεὶς μηδέποτε ἤκουσε, πρὸς ταῦτα βασιλεῖς ἠγρίαινον, καὶ ἄρχοντες ἐδυσχέραινον, καὶ ἰδιῶται ἐταράττοντο, καὶ ἀγοραὶ ἐθορυβοῦντο, καὶ δικαστήρια ἐχαλέπαινε, καὶ ξίφη ἐγυμνοῦτο, καὶ ὅπλα παρεσκευάζετο, καὶ νόμοι ἠγανάκτουν. ἐκεῖθεν τιμωρίαι καὶ κολάσεις καὶ ἀπειλαὶ, καὶ πάντα

Συνεχώρησε τὰ ἐν ἀνθρώποις εἶναι δοκοῦντα δεινά. ὥσπερ θαλάττης μαινομένης καὶ χαλεπὰ ναυάγια ὠδινούσης, οὐδὲν ἄμεινον τὰ τῆς οἰκουμένης διέκειτο, πατρὸς παῖδα διὰ τὴν εὐσέβειαν τότε ἀποκηρύττοντος, καὶ νύμφης πρὸς πενθερὰν διχαζομένης, καὶ ἀδελφῶν διαιρουμένων, καὶ δεσποτῶν κατὰ τῶν οἰκετῶν ἀγανακτούντων, καὶ τῆς φύσεως σχεδὸν πρὸς ἑαυτὴν στασιαζούσης, καὶ οὐκ ἐμφυλίου μόνον, ἀλλὰ καὶ συγγενικοῦ διὰ πάσης οἰκίας διϊόντος πολέμου. ὁ γὰρ λόγος μαχαίρας δίκην εἰσιών, καὶ τὸ νοσοῦν ἀπὸ τοῦ ὑγιαίνοντος τέμνων, πολλὴν ἐποίει πανταχοῦ τὴν στάσιν εἶναι, καὶ τὴν φιλονεικίαν, καὶ πανταχόθεν μυρίας αἴρεσθαι κατὰ τῶν πιστευόντων παρεσκεύασεν ἐπαχθείας καὶ μάχας. ἐντεῦθεν οἱ μὲν εἰς δεσμωτήρια ἀπήγοντο, οἱ δὲ εἰς δικαστήρια, οἱ δὲ τὴν ἐπὶ θάνατον φέρουσαν ὁδόν· καὶ τῶν μὲν αἱ οὐσίαι ἐδημεύοντο, οἱ δὲ καὶ τῆς πατρίδος καὶ τῆς ζωῆς αὐτῆς πολλάκις ἐξέπιπτον, καὶ πανταχόθεν νιφάδων πυκνότερα περιειστήκει τὰ κακά. ἔνδοθεν μάχαι, ἔξωθεν φόβοι· παρὰ τῶν φίλων, παρὰ τῶν ἀλλοτρίων, παρ' αὐτῶν τῶν τῇ φύσει συνδεδεμένων ἀλλήλοις. Ταῦτ' οὖν ὁρῶν ὁ μακάριος Παῦλος, ὁ τῆς οἰκουμένης παιδοτρίβης, ὁ τῶν οὐρανίων δογμάτων διδάσκαλος, ἐπειδὴ τὰ μὲν δεινὰ ἐν χερσὶν ἦν καὶ πρὸ τῶν ὀφθαλμῶν πραττόμενα, τὰ δὲ χρηστὰ ἐν ἐλπίσι μόνον καὶ ἐπαγγελίαις, βασιλεία οὐρανῶν, λέγω, καὶ ἀνάστασις, καὶ τῶν ἀγαθῶν ἐκείνων λῆξις τῶν πάντα νοῦν καὶ λόγον ὑπερβαινόντων· κάμινοι δὲ καὶ τήγανα καὶ ξίφη καὶ τιμωρίαι καὶ παντοδαπαὶ κολάσεις καὶ θάνατοι οὐκ ἐν ἐλπίσιν, ἀλλ' ἐν πείρᾳ· οἱ δὲ πρὸς ταῦτα ἀγωνίζεσθαι μέλλοντες, ἀρτίως ἀπὸ βωμῶν καὶ εἰδώλων καὶ τρυφῆς καὶ ἀκολασίας καὶ μέθης εἰσποιηθέντες ἦσαν τῇ πίστει· οὐδὲν ὑψηλὸν περὶ τῆς ἀϊδίου ζωῆς τέως μεμελετηκότες ἐννοεῖν, ἀλλὰ τῶν παρόντων ἀντεχόμενοι μᾶλλον, καὶ εἰκὸς τούτων πολλοὺς μικροψυχεῖν καὶ ἐκλύεσθαι, καὶ ἀναπίπτειν καθ' ἑκάστην πολιορκουμένους ἡμέραν, ὅρα τί ποιεῖ ὁ τῶν ἀπορρήτων κοινωνός, καὶ πρόσεχε τῇ Παύλου σοφίᾳ. Συνεχῶς περὶ τῶν μελλόντων αὐτοῖς διαλέγεται, καὶ τὰ βραβεῖα ὑπ' ὄψιν ἄγει, καὶ δείκνυσι τοὺς στεφάνους, ἀλείφων αὐτοὺς καὶ παραμυθούμενος ταῖς τῶν αἰωνίων ἀγαθῶν ἐλπίσι· καὶ τί φησι; Ρωμ. η. ιη. Λογίζομαι γὰρ, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. τί γάρ μοι λέγεις, φησί, τραύματα καὶ βωμοὺς καὶ "δήμους καὶ τιμωρίας καὶ λιμοὺς καὶ δημεύσεις καὶ πενίαν καὶ δεσμὰ καὶ ἁλύσεις; πάντα, ὅσα βούλει, τίθει τὰ δοκοῦντα ἐν ἀνθρώποις δεινά, καὶ οὐδὲν ἄξιον λέγεις τῶν ἐπάθλων ἐκείνων καὶ τῶν στεφάνων καὶ τῶν ἀμοιβῶν. τὰ μὲν γὰρ τῷ παρόντι συγκαταλύεται βίῳ, τὰ δὲ ἐν τῷ ἀπείρῳ αἰῶνι τέλος οὐκ ἔχει· καὶ τὰ μὲν παροδεύει πρόσκαιρα ὄντα, τὰ δὲ παραμένει διηνεκῶς ἀγήρατα συνυπάρχοντα· ὅπερ καὶ ἀλλαχοῦ τοῦτο αὐτὸ αἰνιττόμενος ἔλεγε· β. Κορ. δ. ιζ. Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως, τῇ ποσότητι τὴν ποιότητα ὑποτεμνόμενος, καὶ τῷ χρόνῳ τὸ φορτικὸν παραμυθούμενος. ἐπειδὴ γὰρ τῇ φύσει βαρέα καὶ φορτικὰ ἦν τὰ τότε συμβαίνοντα, τῷ προσκαίρῳ τὸ φορτικὸν αὐτῶν ὑποτέμνεται, λέγων· Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. τὰ γὰρ βλεπόμενα, πρόσκαιρα· τὰ δὲ μὴ βλεπόμενα, αἰώνια. καὶ πάλιν ἀνάγων αὐτοὺς εἰς τὴν ἔννοιαν τοῦ μεγέθους τῶν τότε ἀγαθῶν, αὐτὴν εἰσάγει τὴν κτίσιν ὠδίνουσαν καὶ συστενάζουσαν ἐπὶ τοῖς παροῦσι μοχθηροῖς, καὶ σφόδρα ἐπιθυμοῦσαν τὰ μέλλοντα, ὡς πολὺ ὄντα χρηστά, λέγων οὕτω· Ρωμ. η. κβ. Καὶ γὰρ ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν. τίνος ἕνεκεν στενάζει; τίνος ἕνεκεν ὠδίνει; τὰ μέλλοντα ἐκεῖνα προσδοκῶσα ἀγαθά, καὶ ἐπιθυμοῦσα τὴν ἐπὶ τὸ βέλτιον μεταβολήν. καὶ γὰρ καὶ αὐτή, φησιν, ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ. ὅταν δὲ ἀκούσῃς, ὅτι στενάζει καὶ ὠδίνει, μὴ λογικὴν εἶναι νόμιζε, ἀλλὰ μάνθανε τῆς γραφῆς τὸ εἶδος. ὅταν γὰρ βούληται ὁ Θεὸς μέγα καὶ χρηστὸν ἀναγγεῖλαι τοῖς ἀνθρώποις διὰ τῶν προφητῶν, καὶ

γρ. δημίους

αὐτὰ τὰ ἄψυχα αἰσθάνεσθαι ποιεῖ τῶν γινομένων θαυμάτων τὸ μέγεθος· οὐκ ἐπειδὴ αἰσθάνεσθαι τὴν κτίσιν φαμέν, ἀλλ' ἵνα τῶν θαυμάτων τὸ μέγεθος παραστῆσαι δυνηθῇ ἐκ τῶν συμβαινόντων τοῖς ἀνθρώποις. τοῦτο δὴ καὶ ἡμῖν ἔθος λέγειν, ὅταν τι τῶν ἀδοκήτων συμβῇ, καὶ ἐπὶ τῶν φοβερῶν δὲ ἀνθρώπων καὶ θηριώδη θυμὸν ἐχόντων τοῦτο αὐτὸ εἴποι τις ἄν· ὅτι αὐτὰ τὰ θεμέλια διέσεισεν, αὐτοὶ οἱ λίθοι αὐτὸν ἐθαύμαζον· οὐκ ἐπειδὴ ὄντως οἱ λίθοι τοῦτον ἐθαύμαζον, ἀλλ' ἵνα τὴν ὑπερβολὴν τῆς θηριώδους καρδίας αὐτοῦ καὶ τὸν θυμὸν παραστῆσαι δυνηθῶσι. διὰ δὴ τοῦτο καὶ ὁ θαυμάσιος προφήτης Δαβὶδ ἀπαγγέλλων τὰ ἀγαθὰ τὰ Ἰουδαίοις συμβάντα, καὶ τὴν ἡδονὴν τὴν ἐκ τῆς ἐλευθερίας Αἰγύπτου ἐγγινομένην αὐτοῖς, ἔλεγεν· Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου, ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, Ἰσραὴλ ἐξουσία αὐτοῦ· ἡ θάλασσα εἶδε, καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω· τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων, ἀπὸ προσώπου Κυρίου. καὶ τοῦτο οὐδαμοῦ γενόμενον ἤκουσέ τις. ἡ μὲν γὰρ θάλασσα, καὶ ὁ Ἰορδάνης ἀνεστράφη εἰς τὰ ὀπίσω προστάγματι τοῦ Θεοῦ· τὰ δὲ ὄρη καὶ οἱ βουνοὶ οὐκ ἐσκίρτησαν· ἀλλ', ὅπερ ἔφθην εἰπών, τὴν ὑπερβολὴν τῆς ἡδονῆς παραστῆσαι βουλόμενος, καὶ τὴν ἄνεσιν τὴν ἐκ τῆς τῶν Αἰγυπτίων κακώσεως ὑπηργμένην αὐτοῖς, καὶ αὐτὰ ἄψυχα σκιρτᾶν ἔλεγε καὶ πηδᾶν ἐπὶ τοῖς συμβεβηκόσιν αὐτοῖς χρηστοῖς· ὡς ὅταν τι καὶ λυπηρὸν ἀπαγγέλλαι βούληται ἐξ ἡμετέρας ἁμαρτίας τικτόμενον, φησί. Πενθήσει οἶνος, πενθήσει καὶ ἄμπελος· καὶ ἀλλαχοῦ· Ὁδοὶ Σιὼν πενθοῦσιν. ἀλλὰ καὶ δακρύειν τὰ ἀναίσθητα λέγει· Τεῖχος γὰρ θυγατρὸς Σιὼν κατάγαγε δάκρυα, φησί. καὶ αὐτὴν δὲ τὴν γῆν, καὶ Ἰουδαίαν πενθεῖν λέγει καὶ μεθύειν τῇ λύπῃ, οὐχ ὡς τῶν στοιχείων αἰσθανομένων τούτων, ἀλλ', ὅπερ ἔφθην εἰπών, ἕκαστος τῶν προφητῶν τὴν ὑπερβολὴν τῶν ἐκ Θεοῦ χορηγουμένων ἡμῖν ἀγαθῶν, καὶ τῶν τιμωριῶν τῶν ἐκ τῆς ἡμετέρας κακίας ἐπαγομένων ἡμῖν παραστῆσαι θέλων. διὸ δὴ καὶ ὁ μακάριος Παῦλος καὶ αὐτὸς τὴν κτίσιν εἰσάγει στενάζουσαν καὶ ὀδυνωμένην, ἵνα τὸ μέγεθος τῶν δωρεῶν τοῦ Θεοῦ τῶν μετὰ ταῦτα διδαξομένων ἡμᾶς παραστῆσαι δυνηθῇ.

Ψαλμ. ριγ. α. ϛ γ.

Ησ. κδ. ζ.
Θρην. α. δ.
ϛ. ιζ.

Ἀλλὰ ταῦτα πάντα, φησίν, ἐν ἐλπίσιν. ὁ δὲ μικρόψυχος καὶ ταλαίπωρος ἄνθρωπος, καὶ νῦν τῆς εἰδωλολατρείας ἀπαλλαγείς, καὶ οὐκ εἰδὼς περὶ τῶν μελλόντων φιλοσοφεῖν, οὐ σφόδρα τούτοις διορθοῦται τοῖς λόγοις, ἀλλὰ ζητεῖ καὶ ἐν τῷ παρόντι καιρῷ εὑρέσθαι τινὰ παραμυθίαν· διὰ δὴ τοῦτο καὶ ὁ σοφὸς οὗτος διδάσκαλος, καὶ πάντα εἰδώς, οὐκ ἀπὸ μελλόντων μόνον παραμυθεῖται ἀγαθῶν, ἀλλὰ καὶ ἀπὸ τῶν παρόντων ἀλείφει χρηστῶν. καὶ πρότερον μὲν τὰ ὑπηργμένα προλέγει τῇ οἰκουμένῃ ἀγαθά, τὰ οὐκ ἐν ἐλπίσι καὶ προσδοκίᾳ, ἀλλ' ἐν πείρᾳ καὶ ἀπολαύσει γενόμενα (ἅπερ καὶ τῶν μελλόντων καὶ ἐλπιζομένων μεγίστη καὶ σαφεστάτη ἀπόδειξίς ἐστι) καὶ πολλὴν περὶ πίστεως κατατείνας τὸν λόγον, καὶ τοῦ πατριάρχου Ἀβραὰμ μνημονεύσας (καὶ τῆς φύσεως ἀπαγορευούσης τοῦ πατέρα αὐτὸν ἔσεσθαι, ἤλπισε καὶ προσεδόκησε, καὶ ἐπείσθη ἔσεσθαι, διὸ καὶ ἐγένετο) κἀκεῖθεν ἐνάγων εἰς τὸ μηδέποτε εἰς τὴν τῶν λογισμῶν καταπίπτειν ἀσθένειαν, ἀλλὰ τῷ μεγέθει τῆς πίστεως ὀρθοῦσθαι καὶ διανίστασθαι καὶ ὑψηλὰ φρονεῖν μετὰ ταῦτα λέγει καὶ τῶν ὑπηργμένων τὸ μέγεθος. τί δὲ τοῦτ' ἔστιν; ὅτι τὸν υἱόν, φησι, τὸν μονογενῆ, τὸν γνήσιον, τὸν ἀγαπητόν, τοῦτον ὁ Θεὸς ὑπὲρ ἡμῶν τῶν ἀγνωμόνων ἔδωκεν οἰκετῶν, καὶ τοὺς μυρίοις βεβαρημένους ἁμαρτήμασι, καὶ τοσούτοις φορτίοις πιεζομένους πλημμελημάτων, οὐχὶ τῶν ἁμαρτημάτων ἀπήλλαξε μόνον, ἀλλὰ καὶ δικαίους εἰργάσατο· οὐδὲν φορτικόν, οὐδὲ ἐπίπονον ἐπιτάξας, οὐδὲ ἐπαχθές, ἀλλὰ πίστιν ζητήσας παρ' ἡμῶν μόνον, καὶ δικαίους ἐποίησε καὶ ἁγίους κατεσκεύασε, καὶ υἱοὺς Θεοῦ ἀπέφηνε, καὶ βασιλείας κληρονόμους ἀπέδειξε, καὶ τοῦ μονογενοῦς συγκληρονόμους ἀπειργάσατο, καὶ ἀνάστασιν ἐπηγγείλατο, καὶ ἀφθαρσίαν σωμάτων, καὶ λῆξιν μετὰ ἀγγέλων πάντα λόγον καὶ νοῦν ὑπερβαίνουσαν, καὶ τὴν ἐν οὐρανοῖς διατριβήν, καὶ τὴν μετ' αὐτοῦ ὁμιλίαν, καὶ ἁγίου πνεύματος ἐντεῦθεν ἤδη χάριν ἐξέχεε, καὶ τῆς τοῦ διαβόλου κατοχῆς ἡμᾶς ἀπήλλαξε, καὶ τῶν δαιμόνων ἡμᾶς ἐρρύσατο, καὶ τὴν ἁμαρτίαν κατέλυσε, καὶ τὴν κατάραν ἠφάνισε, καὶ ᾅδου πύλας συνέκλασε, καὶ τὸν παράδεισον ἀνέῳξεν, οὐκ ἄγγελον, οὐκ ἀρχάγγελον, ἀλλ' αὐτὸν ἀπέστειλε τὸν μονογενῆ ὑπὲρ τῆς σωτηρίας τῆς ἡμετέρας, ὥς φησι διὰ τοῦ προφήτου· Ἡσ. ξγ. θ. Οὐ πρέσβυς, οὐδὲ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς. Ταῦτα οὐ μυρίων στεφάνων λαμπρότερα; ὅτι ἡγιάσθημεν; ὅτι ἐδικαιώθημεν; ὅτι διὰ πίστεως; ὅτι τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ ἐξ οὐρανῶν κατελθόντος ὑπὲρ ἡμῶν; ὅτι τοῦ πατρὸς τὸν ἀγαπητὸν αὐτοῦ δεδωκότος δι' ἡμᾶς; ὅτι πνεῦμα ἅγιον ἐδεξάμεθα; ὅτι μετ' εὐκολίας ἁπάσης; ὅτι χάριτος ἀφάτου καὶ δωρεᾶς ἀπελαύσαμεν; Ταῦτα τοίνυν εἰπὼν, καὶ διὰ μικρῶν ῥημάτων ἅπαντα δηλώσας, πάλιν εἰς τὴν ἐλπίδα τὸν λόγον κατέλυσεν. Ῥωμ. ε. α. Εἰπὼν γὰρ, Δικαιωθέντες οὖν ἐκ πίστεως, εἰρήνην ἔχομεν πρὸς τὸν Θεὸν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ, καὶ τὴν προσαγωγὴν ἐσχήκαμεν τῇ πίστει εἰς τὴν χάριν ταύτην, ἐν ᾗ ἑστήκαμεν, ἐπήγαγε· καὶ καυχώμεθα ἐπὶ τῇ ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ. ἐπειδὴ γὰρ εἶπε τὰ μὲν γεγενημένα, τὰ δὲ μέλλοντα (τὸ μὲν γὰρ δικαιωθῆναι, καὶ τὸν υἱὸν ὑπὲρ ἡμῶν σφαγῆναι, καὶ τὸ δι' αὐτοῦ τῷ πατρὶ προσαχθῆναι, καὶ τὸ χάριτος ἀπολαῦσαι καὶ δωρεᾶς, καὶ τὸ ἁμαρτημάτων ἀπαλλαγῆναι, καὶ τὸ εἰρήνην ἔχειν πρὸς τὸν Θεὸν, καὶ τὸ ἁγίου πνεύματος μεταλαχεῖν, ταῦτα γεγενημένων ἐστί· τὰ δὲ μέλλοντα ἦν, ἡ δόξα ἐκείνη ἡ ἀπόρρητος· ὃ καὶ αὐτὸ ἐπήγαγε, λέγων· ἐν ᾗ ἑστήκαμεν, καὶ καυχώμεθα ἐπὶ ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ· ἡ δὲ ἐλπὶς, ὥσπερ ἔφθην εἰπὼν, οὐ σφόδρα ἰσχύει τὸν μικρόψυχον ὀρθῶσαι καὶ ἀναστῆσαι ἀκροατήν) ὅρα τί ποιεῖ πάλιν, καὶ θέασαι τὴν εὐτονίαν Παύλου, καὶ τὴν φιλόσοφον γνώμην. ἀπὸ γὰρ αὐτῶν τῶν δοκούντων λυπεῖν καὶ θορυβεῖν καὶ ταράττειν τὸν ἀκροατὴν, ἀπ' αὐτῶν τούτων ἀναπλέκει τῆς παρακλήσεως καὶ τοῦ καυχήματος τοὺς στεφάνους. ἐπειδὴ γὰρ ταῦτα κατέλεξε, λοιπὸν ἐπάγει, λέγων· οὐ μόνον ταῦτα λέγω, ἅπερ εἶπεν, φησὶ, καὶ ἐστὶ τὸ, ὅτι ἡγιάσθημεν, ὅτι ἐδικαιώθημεν, ὅτι διὰ τοῦ μονογενοῦς, ὅτι χάριτος ἀπηλαύσαμεν, ὅτι εἰρήνης, ὅτι δωρεᾶς, ὅτι ἁμαρτημάτων ἀφέσεως, ὅτι πνεύματος ἁγίου κοινωνίας, ὅτι μετ' εὐκολίας ἁπάσης, ὅτι καὶ χωρὶς μόχθων, καὶ χωρὶς ἱδρώτων, ὅτι πίστει μόνῃ, ὅτι τὸν υἱὸν ἔπεμψε τὸν μονογενῆ, ὅτι τὸ μὲν ἔδωκε, τὸ δὲ ἐπηγγείλατο, δόξαν ἄρρητον, ἀφθαρσίαν, σωμάτων ἀνάστασιν, λῆξιν ἀγγελικὴν, τὴν μετὰ Χριστοῦ διαγωγὴν, τὴν ἐν οὐρανοῖς διατριβήν (ταῦτα γὰρ ἅπαντα περιέστησεν, ἐν τῷ εἰπεῖν, καὶ καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ) οὐ τοίνυν ταῦτα λέγει μόνον τὰ γινόμενα καὶ τὰ ἐσόμενα, ἀλλὰ καὶ αὐτὰ τὰ δοκοῦντα εἶναι ἐν ἀνθρώποις λυπηρὰ, τὰ δικαστήρια λέγω, τὰς ἀπαγωγὰς, τοὺς θανάτους, τὰς ἀπειλὰς, τοὺς λιμοὺς, τὰς βασάνους, τὰ τήγανα, τὰς καμίνους, τὴν λεηλασίαν, τοὺς πολέμους, τὰς πολιορκίας, τὰς μάχας, τὰς στάσεις, τὰς φιλονεικίας, καὶ ταῦτα τίθησιν ἐν τάξει δωρεᾶς καὶ κατορθωμάτων. οὐ γὰρ ἔστιν ἐκείνοις μόνοις τοῖς εἰρημένοις χαίρειν δεῖ καὶ γεγηθέναι, ἀλλὰ καὶ ἐν τούτοις καυχᾶσθαι χρὴ, ὡς ὅταν λέγῃ· Κολ. α. κδ. Νῦν χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου. Εἶδες ψυχὴν εὔτονον καὶ γνώμην ὑψηλὴν καὶ φρόνημα ἀπερίτρεπτον, οὐκ ἐπὶ τοῖς στεφάνοις καλλωπιζομένους μόνον, ἀλλὰ καὶ ἐπὶ ἀγωνίσμασιν ἐνηδυνομένους; οὐκ ἐπὶ ταῖς ἀμοιβαῖς χαίροντας, ἀλλὰ καὶ ἐπὶ τοῖς παλαίσμασιν ἐναβρυνομένους; οὐκ ἐπὶ ταῖς ἀντιδόσεσιν εὐφραινομένους, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ παγκρατίῳ καυχωμένους; μὴ γάρ μοι λέγε τὴν βασιλείαν τῶν οὐρανῶν, μηδὲ τοὺς στεφάνους ἐκείνους τοὺς ἀκηράτους, μηδὲ τὰ βραβεῖα, ἀλλ' αὐτὰ τὰ παρόντα, τὰ θλίψιν ἔχοντα καὶ μόχθον καὶ ταλαιπωρίαν πολλὴν, ταῦτα εἰς μέσον ἄγε, καὶ δυνήσομαι δεῖξαι, ὅτι ἐπὶ τούτοις καυχᾶσθαι δεῖ μᾶλλον μειζόνως. ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν ἀγώνων τὰ μὲν παλαίσματα τὸν πόνον ἔχει, ὁ δὲ στέφανος τὴν ἡδονήν· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ καὶ πρὸ τῶν στεφάνων αὐτὰ τὰ παλαίσματα πολὺ φέρει τὸ καύχημα.

Καὶ ἵνα μάθητε ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ἀναλογίσασθε ἕκαστοι τῶν ἁγίων τὸ ἐφ' ἑκάστης γενεᾶς, ὥς φησιν, Ὑπόδειγμα λάβετε, ἀδελφοὶ, τῆς κακοπαθείας καὶ τῆς ὑπομονῆς τοὺς προφήτας, οἳ ἐλάλησαν τὸν λόγον ἐν ὀνόματι Κυρίου. ἀλλὰ γὰρ καὶ τοῦτο αὐτὸς ὁ νῦν ἡμῖν τὸν ἀγῶνα τοῦτον προτείνας, καὶ τὸ παρὸν πνευματικὸν θέατρον συγκροτήσας, Παῦλον λέγω, μετὰ τὸ τὰς μυρίας αὐτὸν ἐκείνας ἑκάστου τῶν ἁγίων καταλέξαι ταλαιπωρίας, ἃς μηδὲ ῥᾴδιον νῦν κατὰ λόγον διεξιέναι, ἐπάγει λέγων· Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος, καὶ ἐπὶ τούτοις πᾶσιν ἀγαλλόμενοι. τοῦτο δὲ αὐτὸ ἴδοι τις ἂν, ὅτε μετὰ τὴν φυλακὴν καὶ τὰς λοιδορίας μαστιχθέντες ἀπηλλάσσοντο, τί φησιν· Οἱ μὲν οὖν ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι. ἀλλὰ γὰρ καὶ ἐπὶ ἡμῶν ταῦτα γέγονε. καὶ, εἰ βούλοιτό τις, ἐνθυμηθήτω ὃ λέγω, ἐν τῷ καιρῷ τῶν διωγμῶν οἷα συνέβαινεν. Εἰσήει παρθένος ἁπαλὴ καὶ ἀπειρόγαμος, κηροῦ μαλακώτερον ἔχουσα σῶμα. Εἶτα τῷ ξύλῳ προσηλωθεῖσα πάντοθεν, διωρύττετο τὰς πλευρὰς καταξεομένη, καὶ κατερρεῖτο τῷ αἵματι, καὶ καθάπερ νυμφευομένη μᾶλλον καὶ ἐν παστάδι καθημένη, οὕτω μετ' εὐνοίας ἔφερε τὰ γινόμενα διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, ἐν αὐτοῖς τοῖς ἀγῶσι στεφανουμένη. ἐννόησον ἡλίκον ἦν ἰδεῖν τύραννον μετὰ στρατοπέδων καὶ ξιφῶν ἠκονημένων καὶ ὅπλων τοσούτων ἀπὸ μιᾶς κόρης νικώμενον. ὁρᾷς ὅτι καὶ αὐτὴ ἡ θλῖψις καύχησιν ἔχει μεγίστην; καὶ μαρτυρεῖτε τοῖς λεγομένοις ὑμεῖς. οὔπω γὰρ τῶν μαρτύρων ἀπολαβόντων τὰς ἀμοιβὰς, οὐδὲ τὰ βραβεῖα καὶ τοὺς στεφάνους, ἀλλ' εἰς κόνιν διαλυθέντων καὶ τέφραν, μετὰ πάσης προθυμίας συντρέχομεν εἰς τὰς ἐκείνων τιμὰς, καὶ θέατρον συγκροτοῦμεν πνευματικὸν, καὶ ἀνακηρύττομεν τούτους, καὶ στεφανοῦμεν αὐτοὺς διά τε τὰ τραύματα καὶ τὸ αἷμα, διὰ τὰς βασάνους καὶ τὰς θλίψεις ἐκείνας, καὶ τὰς στενοχωρίας. οὕτω καὶ αὗται αἱ θλίψεις καύχημα ἔχουσι καὶ πρὸ τῆς ἀμοιβῆς. ἐννόησον ἡλίκος ἦν Παῦλος τότε τὰ δεσμωτήρια οἰκῶν, καὶ εἰς δικαστήρια ἀπαγόμενος, πῶς περίβλεπτος, πῶς λαμπρὸς καὶ περιφανὴς παρὰ πᾶσιν ἐφαίνετο, μάλιστα δὲ παρ' ὧν ἐπολεμεῖτο καὶ ἐπεβουλεύετο. καὶ τί λέγω, ἀνθρώποις περίβλεπτος, ὅπουγε καὶ τοῖς δαίμοσι τότε μᾶλλον ἦν φοβερὸς, ὅτε ἐμαστίζετο; ὅτε δὲ ἐδεσμεῖτο, ὅτε ἐναυάγει, τότε τὰ μέγιστα εἰργάζετο σημεῖα, τότε μειζόνως περιεγίνετο τῶν ἀντικειμένων δυνάμεων. Εἰδὼς οὖν καλῶς τὸ ἀπὸ τῶν θλίψεων τούτων προσγινόμενον τῇ ψυχῇ κέρδος, ἔλεγεν· Ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι. Εἶτα ἐπάγει· διὸ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις, ἐν διωγμοῖς, ἐν παθήμασιν, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ. διὰ τοῦτο καὶ πρός τινας ἐν Κορίνθῳ διατρίβοντας, καὶ πρὸς τούτους ἀποτεινόμενος μεγαλοφρονοῦντας ἐφ' ἑαυτοῖς, τῶν δὲ λοιπῶν καταψηφιζομένους, τὸν χαρακτῆρα τῆς ἐπιστολῆς ἀπογράφων, ἀνάγκην ἔχει ἐντεῦθεν τῶν καθ' ἑαυτὸν κατορθωμάτων συνθεῖναι ἡμῖν τὴν εἰκόνα, καὶ τοῦτο οὐκ ἀπὸ τῶν σημείων, οὐκ ἀπὸ τῶν θαυμάτων, οὐκ ἀπὸ τῆς τιμῆς, οὐκ ἀπὸ τῆς ἀνέσεως, ἀλλ' ἀπὸ τῶν δεσμωτηρίων καὶ τῶν δικαστηρίων καὶ τοῦ λιμοῦ καὶ τοῦ ψύχους καὶ τῶν πολέμων καὶ τῶν ἐπιβουλῶν, οὕτω λέγων αὐτοῖς· Διάκονοι Χριστοῦ εἰσι· παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ. καὶ δεικνὺς τὸ, ὑπὲρ, καὶ τὴν ὑπεροχὴν, φησίν· Ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως, ἐν θανάτοις πολλάκις, καὶ τὰ ἑξῆς· Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι. ὁρᾷς αὐτὸν ἐν τούτοις μᾶλλον μειζόνως καυχώμενον, ἢ ἐπὶ λαμπροῖς στεφάνοις ἐγκαλλωπιζόμενον, καὶ διὰ τοῦτο λέγοντα· οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσι; τί δέ ἐστι τὸ, οὐ μόνον; οὐ μόνον, φησὶν, οὐκ ἐκκακοῦμεν θλιβόμενοι καὶ ταλαιπωροῦντες, ἀλλ' ὡς ἐπὶ μείζονι προκόπτοντες τιμῇ καὶ δόξῃ, καυχώμεθα μᾶλλον ἐπὶ τοῖς συμβαίνουσι θλιβεροῖς. Εἶτα, ἐπειδὴ δόξαν ἔφησεν εἶναι μεγίστην καὶ καύχημα ἀπὸ τῶν θλίψεων καὶ καλλωπισμόν· ἡ δὲ δόξα

ἄδηλον

Ιακ. ε. ι.

Εβ. ια. λζ.

Πραξ. ε. μα.

β. Κορ. ιβ. ι.

β. Κορ. ια. κγ.

εὔδηλον ὅτι καὶ ἡδονὴν ἔχει (ὅπου γὰρ ἡδονή, πάντως ὅτι καὶ δόξα, ὅπου δὲ δόξα τοιαύτη, πάντως καὶ ἡδονή) ἐπεὶ τοίνυν ἔδειξε λαμπρὸν καὶ περιφανὲς τὸ θλίβεσθαι καὶ ποιοῦν καλλωπίζεσθαι, λέγει ἕτερον αὐτοῦ κατόρθωμα μέγιστον καὶ καρπὸν μέγιστόν τινα καὶ παράδοξον. τίς δὲ οὗτός ἐστιν ἴδωμεν. εἰδότες οὖν, φησιν, ὅτι ἡ θλίψις ὑπομονὴν κατεργάζεται. τοῦτο μέγιστον ἔχει τὸν καρπόν, ἰσχυρότερον ποιεῖ τὸν θλιβόμενον τοῦτο. καθάπερ γὰρ τῶν δένδρων τὰ μὲν σκιατροφούμενα καὶ ἐν ἀπηνέμοις ἑστηκότα χωρίοις, εὐθαλοῦντα τῇ ἰδέᾳ, μαλακώτερα γίνεται καὶ χαῦνα, πάσῃ ἀνέμων προσβολῇ ταχέως βλαπτόμενα· τὰ δὲ ἐν κορυφαῖς ὀρέων ὑψηλοτέραις ἑστῶτα, καὶ πολλοῖς καὶ μεγάλοις ῥιπιζόμενα τοῖς ἀνέμοις, καὶ ἀνωμαλίαν ἀέρων συνεχῆ φέροντα, καὶ χαλεπωτάτῃ ζάλῃ κλονούμενα, καὶ χιόνι πολλῇ βαλλόμενα, σιδήρου παντὸς ἰσχυρότερα μᾶλλον καθέστηκε· καὶ σώματα δὲ ὁμοίως τὰ πολλαῖς καὶ ποικίλαις ἡδοναῖς συστρεφόμενα, καὶ μαλακοῖς ἱματίοις κοσμούμενα, καὶ συνεχέσι λουτροῖς καὶ μύροις κεχρημένα, καὶ πολυειδέσι τροφαῖς ὑπὲρ τὴν χρείαν τρυφῶντα, πάντα ἅπασιν ἄχρηστα πρὸς τοὺς ὑπὲρ τῆς εὐσεβείας ἱδρῶτας καὶ πόνους καθίστανται), κολάσεως ὄντα μεγίστης ὑπεύθυνα· οὕτω δὴ καὶ ψυχαί, αἱ μὲν τὸν ἀταλαίπωρον βίον μετιοῦσαι, καὶ ἀνέσεως γέμουσαι, καὶ τὸ ἡδέως διακεῖσθαι πρὸς τὰ παρόντα, καὶ τὸ ἀνάλγητον τοῦ διὰ τὴν βασιλείαν θλίβεσθαι κατὰ τοὺς ἁγίους ἅπαντας προτιμῶσαι βίον, κηροῦ παντὸς μαλακώτεραι μᾶλλον καὶ ἀσθενέστεραι καθιστάμεναι, αἰωνίου πυρὸς κατάβρωμα πρόκεινται· αἱ δὲ κινδύνοις καὶ πόνοις καὶ ταλαιπωρίαις τῆς διὰ τὸν Θεὸν θλίψεως ἐπιδεδομέναι, καὶ ἐν αὐταῖς συστρεφόμεναι, αὐτοῦ τοῦ σιδήρου, ἢ τοῦ ἀδάμαντος στερρότεραι καὶ γενναιότεραι μᾶλλόν εἰσιν ἐκ τοῦ συνεχῶς πάσχειν κακῶς, τοῖς ἐπιοῦσιν ἀχείρωτοι καθιστάμεναι, καὶ ἕξιν τινὰ προσλαβοῦσαι ὑπομονῆς καὶ ἀνδρείας ἀκαταμάχητον. καὶ καθάπερ οἱ μὲν πρώτως νηὸς ἐπιβάντες, ναυτιῶσί τε καὶ ἰλιγγιῶσι, ταραττόμενοι καὶ θορυβούμενοι ἀηδίᾳ καὶ σκοτοδινίᾳ κατεχόμενοι· οἱ δὲ πολλὰ καὶ μακρὰ διαβάντες πελάγη, καὶ μυρίων κυμάτων κατατολμήσαντες, καὶ ναυαγίων συνεχῶν ἀνασχόμενοι, μετὰ τοῦ θαρρεῖν ἅπτονται τῆς τοιαύτης ἀποδημίας· οὕτω δὴ καὶ ἡ ψυχὴ πολλοὺς ὑπομείνασα πειρασμούς, καὶ μεγάλας θλίψεις ἀνασχομένη, ἐν μελέτῃ λοιπὸν πόνων καὶ ἕξει καρτερίας καθίσταται), οὐχ ὑπάρχουσα ψοφοδεής, οὐδὲ εὐπτόητος, οὐδὲ ταραττομένη τοῖς προσπίπτουσι λυπηροῖς· ἀλλ᾽, ἀπὸ τῆς συνεχοῦς γυμνασίας τῶν συμβαινόντων καὶ τῆς πυκνῆς μελέτης τῶν γινομένων, μετὰ πολλῆς εὐκολίας ἅπαντα φέρουσα τὰ ἐπιόντα δεινά. τοῦτο τοίνυν ὁ σοφὸς ἀρχιτέκτων τῆς οὐρανίου πολιτείας δηλῶν, ἔλεγεν· Οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν· ὅτι περὶ τῆς βασιλείας καὶ τῶν οὐρανίων στεφάνων μέγιστον ἐντεῦθεν καρπούμεθα τὸν μισθόν, ἀπὸ τοῦ συνεχῶς θλίβεσθαι καρτερικωτέρας τῆς ψυχῆς ἡμῶν γινομένης, καὶ τῶν λογισμῶν ἰσχυροτέρων κατασκευαζομένων. Ταῦτ᾽ οὖν ἅπαντα εἰδότες, ἀγαπητοί, φέρωμεν γενναίως τὰ προσπίπτοντα λυπηρά, διά τε τὸ τῷ Θεῷ δοκοῦν, καὶ ἐπὶ τῷ ἡμετέρῳ συμφέροντι, καὶ μὴ ἀλύωμεν, μήτε ἀναπίπτωμεν τῇ τῶν πειρασμῶν ἐπαγωγῇ, ἀλλὰ καὶ μετὰ ἀνδρείας ἁπάσης ἱστάμενοι, εὐχαριστῶμεν τῷ Θεῷ διηνεκῶς ὑπὲρ πασῶν τῶν εἰς ἡμᾶς τελουμένων εὐεργεσιῶν· ἵνα καὶ τῶν παρόντων ἀπολαύσωμεν ἀγαθῶν, καὶ τῶν μελλουσῶν ἐπιτύχωμεν δωρεῶν, χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. με. ΕΙΣ ΤΗΝ ΑΠΟΣΤΟΛΙΚΗΝ ΡΗΣΙΝ ΤΗΝ ΛΕγουσαν, Οἴδαμεν ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν, καὶ περὶ ὑπομονῆς, καὶ ὅσον τῶν θλίψεων τὸ κέρδος.

ΩΣ διὰ μακροῦ τοῦ χρόνου πρὸς ὑμᾶς παραγενόμενος, οὕτω διάκειμαι σήμερον. εἰ γὰρ καὶ οἴκοι καθειργμένος ἐτύγχανον διὰ τὴν τοῦ σώματος ἀῤῥωστίαν, ἀλλ' ὡς μακρὰν ὢν ἀπῳκισμένος τῆς ὑμετέρας ἀγάπης, οὕτω διεκείμην. ὁ γὰρ φιλεῖν εἰδὼς ἀκριβῶς, ὅταν μὴ ἐξῇ τῷ φιλουμένῳ συγγίνεσθαι, κἂν τὴν αὐτὴν πόλιν οἰκῇ, τῶν ἐν ἀλλοτρίᾳ διατριβόντων οὐδὲν ἔλαττον διακείσεται. καὶ τοῦτο ἴσασιν ὅσοι φιλεῖν ἴσασι. σύγγνωτε τοίνυν ἡμῖν, παρακαλῶ. οὐ γὰρ ἀπὸ ῥᾳθυμίας ἡμῖν ὁ χωρισμὸς οὗτος γέγονεν, ἀλλ' ἀσθενείας σώματος ἦν ἡ σιγή. καὶ οἶδα μὲν ὅτι χαίρετε νῦν πάντες ὑμεῖς ὅτι ἀπεθέμεθα τὴν ἀῤῥωστίαν· ἐγὼ δὲ χαίρω, οὐχ ὅτι τὴν ἀῤῥωστίαν μόνον ἀπεθέμην, ἀλλ' ὅτι καὶ τὰ ποθούμενα ὑμῶν πρόσωπα πάλιν ὁρᾷν δύναμαι, καὶ ἐντρυφᾷν ὑμῶν τῇ κατὰ Θεὸν ἀγάπῃ. καὶ καθάπερ οἱ πολλοὶ τῶν ἀνθρώπων, μετὰ τὴν ἀπαλλαγὴν τῆς ἀῤῥωστίας, φιάλας καὶ ποτήρια καὶ ψυχρὰ νάματα ἐπιζητοῦσιν· οὕτως ἐμοὶ πάσης εὐφροσύνης ἡδυτέρα καθέστηκεν ἡ συνουσία ἡ ὑμετέρα, καὶ τοῦτό μοι καὶ ὑγιείας ὑπόθεσις, καὶ εὐφροσύνης ἀφορμή. φέρε οὖν, ἐπειδὴ διὰ τὴν τοῦ Θεοῦ χάριν ἀλλήλους ἀπελάβομεν, ἀποδῶμεν ὑμῖν τὸ χρέος τῆς ἀγάπης, εἴγε ἐστὶν ἀποδοθῆναι τοῦτό ποτε. τοῦτο γὰρ μόνον τὸ ὄφλημα τέλος οὐκ ἐπίσταται· ἀλλ' ὅσῳ ἀποδίδοται, τοσούτῳ τὸ ὄφλημα ἐπιτείνεται· καὶ καθάπερ ἐπὶ τῶν χρημάτων τοὺς μηδὲν ὀφείλοντας ἐπαινοῦμεν, οὕτως ἐνταῦθα τοὺς πολλὰ ὀφείλοντας μακαρίζομεν. διὰ τοῦτο καὶ ὁ τῆς οἰκουμένης διδάσκαλος Παῦλος γράφων, ἔλεγε· Ρωμ. ιγ. η. Μηδενὶ μηδὲν ὀφείλετε, ἀλλ' ἢ τὸ ἀγαπᾷν ἀλλήλους, βουλόμενος ἡμᾶς τοῦτο τὸ χρέος καὶ ἀεὶ ἀποδιδόναι, καὶ ἀεὶ ὀφείλειν, καὶ μηδέποτε τὴν ὀφειλὴν ταύτην καταλύειν, μέχρις ἂν τὴν παροῦσαν ζωὴν καταλύσωμεν. ὥσπερ οὖν τὸ χρήματα ὀφείλειν, βαρὺ καὶ ἐπαχθὲς, οὕτω τὴν ὀφειλὴν ταύτην μὴ ἀεὶ ὀφείλειν, κατηγορίας ἄξιον. καὶ ἵνα μάθῃς ὅτι τοῦτο οὕτως ἔχει, ἄκουε τῆς σοφίας τοῦ θαυμαστοῦ τούτου διδασκάλου, ὅπως τὴν παραίνεσιν εἰσήγαγε. πρότερον γὰρ εἰπὼν, Μηδενὶ μηδὲν ὀφείλετε, τότε ἐπήγαγεν, εἰ μὴ τὸ ἀγαπᾷν ἀλλήλους, βουλόμενος πᾶσαν ἡμῶν τὴν ὀφειλὴν ἐνταῦθα κενοῦσθαι, καὶ τοῦτο τὸ χρέος θέλων ἀδιάλυτον μένειν διηνεκῶς. τοῦτο γάρ ἐστι μάλιστα τὸ συγκροτοῦν καὶ συσφίγγον τὴν ζωὴν τὴν ἡμετέραν. ἐπεὶ οὖν ἔγνωμεν ὅσον τῆς ὀφειλῆς ταύτης τὸ κέρδος, καὶ ὅτι ἐν τῷ ἀποδίδοσθαι μᾶλλον αὔξεται, φέρε, καὶ ἡμεῖς τὴν ὀφειλὴν, ἣν ὀφείλομεν ὑμῖν, οὐκ ἀπὸ ῥᾳθυμίας, οὐδὲ ἀπὸ ἀγνωμοσύνης τινὸς, ἀλλ' ἀπὸ τῆς συμβάσης ἀῤῥωστίας, σήμερον, καθ' ὅσον οἷόν τε, ἐκτῖσαι σπουδάσωμεν, μικρά τινα διαλεχθέντες πρὸς τὴν ὑμετέραν ἀγάπην, ὑπόθεσιν τῆς διαλέξεως ποιησάμενοι αὐτὸν τοῦτον τὸν θαυμαστὸν τῆς οἰκουμένης διδάσκαλον· καὶ ἅπερ σήμερον γράφων Ῥωμαίοις διελέγετο, ταῦτα εἰς μέσον ἀγαγόντες ἀναπολήσωμεν, καὶ διὰ μακροῦ τοῦ χρόνου τὴν ἑστίασιν τὴν πνευματικὴν παραθῶμεν ὑμῶν τῇ ἀγάπῃ. τίνα δέ ἐστι τὰ ἀναγνωσθέντα ἀναγκαῖον εἰπεῖν, ἵν' ὑπομνησθέντες τῶν εἰρημένων, μετὰ πλείονος τῆς εὐκολίας δέξησθε τὰ παρ' ἡμῶν λεγόμενα. Ρωμ. η κη. Οἴδαμεν, φησὶν, ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν. τί βούλεται αὐτῷ τοῦτο τὸ προοίμιον; οὐδὲν γὰρ ἁπλῶς, οὐδὲ εἰκῆ φθέγγεται ἡ μακαρία αὕτη ψυχὴ, ἀλλὰ κατάλληλα ἀεὶ τοῖς ὑποκειμένοις πάθεσι προσάγει τὰ φάρμακα τὰ πνευματικά. τί οὖν ἐστιν ὅ φησιν; ἐπειδὴ πολλοὶ πανταχόθεν οἱ πειρασμοὶ περιεστοίχιζον τοὺς τότε τῇ πίστει προσιόντας, καὶ ἐπάλληλα ἦν τὰ παρὰ τοῦ ἐχθροῦ μηχανήματα, καὶ συνεχεῖς αἱ ἐπιβουλαὶ, καὶ οὐκ ἠρέμουν οἱ τῷ κηρύγματι πολεμοῦντες, τοὺς μὲν εἰς δεσμωτήρια ἐμβάλλοντες, τοὺς δὲ εἰς ἀπαγωγὰς, τοὺς δὲ εἰς μυρία ἕτερα βάραθρα καθέλκοντες· διὰ τοῦτο, καθάπερ στρατηγὸς ἄριστος ὁρῶν μετὰ πολλοῦ θυμοῦ πνέοντα τὸν ἀντίπαλον, περιϊὼν τοὺς οἰκείους πανταχόθεν διεγείρει, νευροῖ, ἀλείφει, θαρ-

ῥαλεωτέρους

στερεωτέρους καθίστησι, προθυμοτέρους ποιεῖ πρὸς δὲ τὰς χεῖρας ἀντᾶραι κατὰ τοῦ πολεμίου,
καὶ μὴ δεδοικέναι τὰς ἐκείνου καταδρομάς, ἀλλὰ στερρῷ τῷ φρονήματι ἐξ ἐναντίας ἱσταμένους
καὶ αὐτὴν αὐτοῦ συσκοτίζειν, εἰ οἷόν τε, τὴν ὄψιν, καὶ μὴ καταπλήττεσθαι τὴν πρὸς αὐτὸν
ἀντίστασιν· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ μακάριος οὗτος, ἡ οὐρανομήκης ψυχή, διεγεῖραι βουλόμενος
τῶν πιστῶν τὰ φρονήματα, καὶ καίτοι κειμένους, ὡς εἰπεῖν, αὐτῶν τὸν λογισμὸν ἀνορθῶσαι
Ρωμ. η. κη. ἐπειγόμενος, οὕτως ἤρξατο λέγων· Οἴδαμεν δὲ ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ
εἰς ἀγαθόν. ὁρᾷς τὴν σύνεσιν τὴν ἀποστολικήν; οὐκ εἶπεν, οἶδα, ἀλλ', οἴδαμεν, καὶ αὐτοὺς
εἰς συγκατάθεσιν ἐφελκόμενος τῶν λεγομένων, ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα
συνεργεῖ εἰς ἀγαθόν. σκόπει ἀκρίβειαν ῥημάτων ἀποστολικῶν. οὐκ εἶπεν, ὅτι οἱ ἀγαπῶντες
τὸν Θεὸν διαφεύγουσι τὰ δεινά, ἐλευθεροῦνται τῶν πειρασμῶν· ἀλλ' οἴδαμεν,
φησί, τουτέστι, πεπείσμεθα, πεπληροφορήμεθα, δι' αὐτῆς τῶν πραγμάτων τῆς πείρας
τὰς ἀποδείξεις εἰλήφαμεν· οἴδαμεν ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν.
πόσην οἴεσθε δύναμιν ἔχειν τὴν βραχεῖαν ταύτην λέξιν; πάντα, φησί, συνεργεῖ
εἰς ἀγαθόν. μὴ γάρ μοι τὰ χρηστὰ ἐνταῦθα εἴπῃς, μηδὲ τὴν ἄνεσιν καὶ τὴν ἄδειαν
μόνον λογίσῃ, ἀλλὰ καὶ τὰ ἐναντία, τὰ δεσμωτήρια, τὰς θλίψεις, τὰς ἐπιβουλάς, τὰς καθημερινὰς
ἐφόδους, καὶ τότε ὄψει μετὰ ἀκριβείας τοῦ ῥήματος τὴν δύναμιν. καὶ ἵνα μὴ μακράν
που ἀγάγω τὴν ὑμετέραν ἀγάπην, εἰ βούλεσθε, μικρά τινα τῶν τῷ μακαρίῳ τούτῳ
συμβάντων εἰς μέσον ἀγάγωμεν, καὶ ὄψεσθε τοῦ ῥήματος τὴν ἰσχύν. ἐπειδὴ γὰρ περιϊὼν
πανταχοῦ, σπείρων τὸν τῆς εὐσεβείας λόγον, τὰς ἀκάνθας ἀνασπῶν, καὶ τὴν ἀλήθειαν ἐν τῇ
ἑκάστου ψυχῇ καταφυτεύειν ἐπειγόμενος, γενόμενος κατά τινα πόλιν τῆς Μακεδονίας, καθὼς
Πραξ. ιϛ. ιϛ. ὁ μακάριος Λουκᾶς, ὁ δὲ τῶν πράξεων βιβλίον συνθείς, ἡμῖν διηγήσατο, παιδίσκην τινὰ
πνεῦμα πονηρὸν ἔχουσαν, καὶ σιγᾶν οὐκ ἀνεχομένην, ἀλλὰ περιϊοῦσαν καὶ πανταχοῦ καταδήλους
αὐτοὺς διὰ τοῦ δαίμονος ποιεῖν βουλομένην, μετὰ πολλῆς τῆς ἐξουσίας λόγῳ καὶ ἐπιτάγματι,
καθάπερ τινὰ μαστιγίαν ἀπελάσας, ἠλευθέρωσεν ἐκείνην τοῦ πονηροῦ δαίμονος·
δέον αὐτοὺς τὴν πόλιν ἐκείνην οἰκοῦντας, ὡς εὐεργέτας λοιπὸν καὶ σωτῆρας, βλέπειν αὐτοὺς ἀποστόλους,
καὶ παντὶ θεραπείας τρόπῳ περὶ αὐτοὺς χρησαμένους ἀμείψασθαι τῆς τοσαύτης
Πραξ. ιϛ. ιθ. εὐεργεσίας, οἱ δὲ τοῖς ἐναντίοις ἀμείβονται. καὶ ἄκουε τίσιν αὐτοῖς ἀμείβονται. Ἰδόντες,
φησίν, οἱ κύριοι αὐτῆς, ὅτι ἐξῆλθεν ἡ ἐλπὶς τῆς ἐργασίας αὐτῶν, ἐπιλαβόμενοι τὸν Παῦλον
καὶ τὸν Σίλαν, εἵλκυσαν εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας, καὶ προσήγαγον αὐτοὺς τοῖς
στρατηγοῖς, καὶ πολλὰς ἐπιθέντες ἐκείνοις πληγάς, ἔβαλον εἰς φυλακήν, παραγγείλαντες
τῷ δεσμοφύλακι ἀσφαλῶς τηρεῖν αὐτούς. εἴδετε πονηρίας ὑπερβολὴν τῶν τὴν πόλιν
ἐκείνην οἰκούντων; εἴδετε τῶν ἀποστόλων ὑπομονὴν καὶ καρτερίαν; μικρὸν ἀναμείνατε,
καὶ ὄψεσθε καὶ τοῦ Θεοῦ τὴν φιλανθρωπίαν. σοφὸς γὰρ ὢν καὶ εὐμήχανος, οὐκ ἐν ἀρχῇ καὶ ἐν
προοιμίοις λύει τὰ δεινά, ἀλλ' ὅταν αὐξηθῇ πάντα τὰ παρὰ τῶν ἐναντίων, καὶ δειχθῇ διὰ
τῶν πραγμάτων τῶν αὐτοῦ ἀθλητῶν ἡ ὑπομονή, τότε καὶ τὴν οἰκείαν ῥοπὴν ἐπιδείκνυται·
ἵνα μηδεὶς ἔχῃ λέγειν, ὅτι διὰ τοῦτο ἐπιπηδῶσι τοῖς κινδύνοις, διὰ τὸ θαρρεῖν ὅτι οὐδὲν
ἀηδὲς πείσονται. διά τοι τοῦτο τινὰς μὲν καὶ ἐναφίησι τοῖς δεινοῖς ἀπορρήτῳ τινὶ σοφίᾳ χρώμενος,
τινὰς δὲ καὶ ἐξαρπάζει, ἵνα διὰ πάντων μάθῃς αὐτοῦ τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν,
καὶ ὅτι μείζους αὐτοῖς τὰς ἀμοιβὰς ταμιευόμενος, συγχωρεῖ πολλάκις ἐπιτείνεσθαι τὰ
δεινά. οὕτως οὖν καὶ ἐνταῦθα ποιεῖ. μετὰ γὰρ τὴν τοσαύτην θαυματουργίαν καὶ τὴν εὐεργεσίαν,
ἣν ἐπεδείξαντο ἀπελάσαντες τὸν ἀναίσχυντον ἐκεῖνον δαίμονα, συνεχώρησε καὶ μαστιχθῆναι
καὶ εἰς δεσμωτήριον ἐμβληθῆναι. ἐντεῦθεν γὰρ μάλιστα διεδείκνυτο καὶ ἡ τοῦ Θεοῦ
β. Κορ. ιβ. θ. δύναμις. διὸ καὶ ὁ μακάριος οὗτος ἔλεγεν· Ἥδιστα οὖν καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου, ἵνα
ἐπισκηνώσῃ ἐπ' ἐμοὶ ἡ δύναμις τοῦ Χριστοῦ. καὶ πάλιν· Ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι,

μι, ἀθέτειαν τοὺς πειρασμοὺς λέγων τοὺς ἐπαλλήλους. ἀλλ᾽ ἴσως ἄν τις διαπορήσειεν ἐνταῦθα τίνος ἕνεκεν ἀπήλασε τὸν δαίμονα οὐδὲν ἐναντίον αὐτοῖς λέγοντα, ἀλλὰ μᾶλλον καὶ καταδήλους αὐτοὺς ποιοῦντα. ἐπὶ πολλὰς γὰρ ἡμέρας ἐβόα λέγων, ὅτι Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσὶν, οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας. μὴ ξενισθῇς, ἀγαπητέ. καὶ τοῦτο γὰρ τῆς συνέσεως ἦν τῆς ἀποστολικῆς, καὶ τῆς τοῦ πνεύματος χάριτος. εἰ γὰρ καὶ μηδὲν αὐτοῖς ἐναντίον ἔλεγεν, ἀλλ᾽ ἵνα μὴ ἐντεῦθεν ἀξιόπιστος γενόμενος ὁ δαίμων, καὶ ἐν τοῖς ἄλλοις ὑποσύρειν δυνήσηται τοὺς ἀφελεστέρους, διὰ τοῦτο ἐπιστομίσας αὐτὸν ἀπήλασεν, οὐ συγχωρήσας αὐτῷ τὰ ὑπὲρ τὴν ἀξίαν φθέγγεσθαι. τοῦτο δὲ ἐποίει, ἀκολουθῶν τῷ οἰκείῳ δεσπότῃ· ἐπεὶ καὶ ἐκείνῳ προσιόντες ἔλεγον, Οἴδαμέν σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ, καὶ ὅμως ταῦτα λέγοντας αὐτοὺς ἀπήλαυνεν. ἐγίνετο δὲ τοῦτο εἰς κατηγορίαν τῶν ἀναισχύντων Ἰουδαίων, ὅτι ἐκεῖνοι μὲν καθ᾽ ἑκάστην ἡμέραν θαύματα ὁρῶντες καὶ μυρία παράδοξα γινόμενα, ἠπίστουν, οἱ δὲ δαίμονες ἐπεγίνωσκον, καὶ υἱὸν αὐτὸν τοῦ Θεοῦ ὡμολόγουν. ἀλλ᾽ ἐπὶ τὴν ἀκολουθίαν ἐπανέλθωμεν τοῦ λόγου.

Ἵνα τοίνυν μάθητε ὅπως τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθὸν, ἀναγκαῖον πᾶσαν ὑμῖν ἀναγνῶναι ταύτην τὴν ἱστορίαν, ἵνα καὶ ἐντεῦθεν γνῶτε, ὅπως μετὰ τὰς πληγὰς, μετὰ τὸ δεσμωτήριον εἰς ἀγαθὸν ἅπαντα αὐτοῖς μετέβαλεν ἡ τοῦ Θεοῦ χάρις. ἀλλ᾽ ἴδωμεν πῶς τοῦτο δείκνυσιν ὁ μακάριος Λουκᾶς λέγων· Παραγγελίαν δὲ τοιαύτην εἰληφὼς ὁ δεσμοφύλαξ ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσωτέραν φυλακὴν, καὶ τοὺς πόδας αὐτῶν ἠσφαλίσατο εἰς τὸ ξύλον. σκόπει πῶς ἐπιτείνεται τὰ δεινὰ, ἵνα καὶ ἡ ὑπομονὴ τῶν ἀποστόλων λαμπροτέρα γένηται, καὶ ἡ ἄφατος τοῦ Θεοῦ δύναμις κατάδηλος ἅπασι καταστῇ. ἄκουε δὲ καὶ τὸ ἑξῆς. ἐπάγει γὰρ, Κατὰ δὲ τὸ μεσονύκτιον Παῦλος καὶ Σίλας προσευχόμενοι ὕμνουν τὸν Θεόν. ὅρα ψυχὴν ἐπτερωμένην, ὅρα διάνοιαν νήφουσαν. μὴ ἁπλῶς παραδράμωμεν, ἀγαπητοὶ, τὸ εἰρημένον. οὐ γὰρ εἰκῇ καὶ τὸν καιρὸν ἡμῖν ἐπεσημήνατο, εἰπὼν, κατὰ δὲ τὸ μεσονύκτιον, ἀλλὰ βουλόμενος δεῖξαι, ὅτι, ὅτε τοῖς ἄλλοις ἅπασιν ἡδὺς ὁ ὕπνος ἐφίσταται καὶ κοιμίζει τὰ βλέφαρα, μάλιστα δὲ τοὺς ἐν ὀδύναις πολλαῖς καθεστῶτας εἰκὸς κατὰ τὸν καιρὸν ἐκεῖνον τοῦ ὕπνου καθέλκεσθαι, τότε τοίνυν, φησὶν, ὅτε πάντοθεν περιεγένετο ἡ τοῦ ὕπνου τυραννὶς, τότε ἐκεῖνοι προσευχόμενοι ὕμνουν τὸν Θεὸν, τῆς περὶ αὐτὸν ἀγάπης μέγιστον δεῖγμα τοῦτο ποιούμενοι. καθάπερ γὰρ ἡμεῖς ὑπὸ ἀλγημάτων σωματικῶν ἐνοχλούμενοι, τὴν τῶν γνησίων συνουσίαν ἐπιζητοῦμεν, ἵνα ἐκ τῆς πρὸς ἐκείνους διαλέξεως τὴν ἐπίτασιν τῆς ὀδύνης παραμυθησώμεθα· οὕτω καὶ οἱ ἅγιοι οὗτοι τῷ πόθῳ τῷ περὶ τὸν δεσπότην πυρούμενοι, καὶ τοὺς ἱεροὺς ὕμνους ἀναφέροντες, οὐδὲ αἴσθησιν ἐλάμβανον τῶν ὀδυνῶν ἐκείνων, ἀλλ᾽ ὅλοι τῆς ἱκετηρίας ἐγίνοντο, καὶ τὴν θαυμαστὴν ἐκείνην ὑμνῳδίαν ἀνέφερον, καὶ λοιπὸν ἐκκλησία ἐγίνετο τὸ δεσμωτήριον, καὶ ὁ τόπος ἅπας ἡγιάζετο διὰ τῆς ὑμνῳδίας τῶν ἁγίων ἐκείνων. καὶ ἦν ἰδεῖν θαυμαστὰ καὶ παράδοξα πράγματα, ἀνθρώπους τῷ ξύλῳ προσδεδεμένους, καὶ οὐδὲν ἐμποδιζομένους πρὸς τὴν ὑμνῳδίαν. τὸν γὰρ νήφοντα καὶ ἐγρηγορότα καὶ ζέοντα πόθον ἔχοντα περὶ τὸν Θεὸν οὐδὲν κωλῦσαι δυνήσεταί ποτε τῆς πρὸς τὸν δεσπότην συνουσίας. Θεὸς γὰρ, φησὶν, ἐγγίζων ἐγώ εἰμι, καὶ οὐ Θεὸς πόρρωθεν· καὶ πάλιν ἀλλαχοῦ, Ἔτι λαλοῦντός σου ἐρῶ, ἰδοὺ πάρειμι. ἔνθα γὰρ ἂν ᾖ διάνοια νήφουσα, πτεροῦται ὁ λογισμὸς καὶ ἀπαλλάττεται, ὡς εἰπεῖν, τοῦ συνδέσμου τοῦ σώματος, καὶ πρὸς τὸν ποθούμενον ἀνίπταται, καὶ τῆς γῆς ὑπερορᾷ, καὶ τῶν ὁρωμένων ἀνωτέρω γενόμενος, πρὸς ἐκεῖνον ἐπείγεται· ὃ δὴ καὶ ἐπὶ τῶν ἁγίων τούτων γεγένηται. ὅρα γὰρ τὴν παραχρῆμα τῶν ὕμνων ἐνέργειαν, καὶ ὅπως καὶ ἐν δεσμωτηρίῳ γενόμενοι καὶ τῷ ξύλῳ προσδεδεμένοι καὶ μετὰ γοήτων καὶ δημίων συναναμιγέντες, οὐ μόνον οὐδὲν παρεβλάβησαν, ἀλλὰ καὶ ταύτῃ μᾶλλον ἐξέλαμψαν, καὶ τῷ φωτὶ τῆς οἰκείας ἀρετῆς κατηύγασαν ἅπαντας τοὺς τὸ δεσμωτήριον οἰκοῦντας. ἡ

Πραξ. ις. κδ.

Ἱερ. κγ. κγ.

γὰρ φωνὴ τῶν ἱερῶν ὕμνων ἐκείνων εἰς τὴν ἑκάστου τῶν δεσμωτῶν εἰσιοῦσα ψυχὴν, με-
Πραξ. ις. κς. τέπλαττεν αὐτὴν, ὡς εἰπεῖν, καὶ μετερρύθμιζεν. Ἄφνω γάρ, φησι, σεισμὸς ἐγένετο μέ-
γας, ὥστε σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου, ἀνεῴχθησάν τε παραχρῆμα αἱ θύραι
ἅπασαι, καὶ πάντων τὰ δεσμὰ ἀνέθη. Εἶδες τῶν ὕμνων τῶν εἰς τὸν Θεὸν τὴν δύναμιν;
οὐ μόνον αὐτοὶ παρακλήσεως ἀπέλαυσαν οἱ τοὺς ὕμνους ἀναφέροντες, ἀλλὰ καὶ πάντων τὰ
δεσμὰ λυθῆναι παρεσκεύασαν· ἵνα δειχθῇ διὰ τῶν πραγμάτων αὐτῶν, ὅπως τοῖς ἀ-
γαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν. ἰδοὺ γὰρ καὶ πληγαὶ, καὶ δεσμωτήριον, καὶ
ξύλον, καὶ μετὰ τῶν δημίων διαγωγὴ, καὶ ὅμως ταῦτα πάντα ἀγαθῶν ὑπόθεσις γεγένηται καὶ
εὐδοκιμήσεως ἀφορμὴ, οὐκ αὐτοῖς μόνον, οὐδὲ τοῖς οἰκοῦσι τὸ δεσμωτήριον δημίοις, ἀλλὰ καὶ
Πραξ. ις. κζ. αὐτῷ τῷ δεσμοφύλακι. Ἔξυπνος γάρ, φησι, γενόμενος ὁ δεσμοφύλαξ, καὶ ἰδὼν τὰς θύρας
ἀνεῳγμένας τῆς φυλακῆς, σπασάμενος μάχαιραν, ἔμελλεν ἑαυτὸν ἀναιρεῖν, νομίσας ἐκπε-
φευγέναι τοὺς δεσμίους. ὅρα μοι ἐνταῦθα τοῦ Θεοῦ τὴν φιλανθρωπίαν πάντα λόγον ὑ-
περβαίνουσαν. τίνος γὰρ ἕνεκεν κατὰ τὸ μεσονύκτιον ἅπαντα ταῦτα γίνεται; οὐδενὸς ἑτέ-
ρου χάριν, ἀλλ' ἵνα ἀθόρυβον καὶ ἐν ἡσυχίᾳ τὸ πρᾶγμα οἰκονομηθῇ, καὶ τὴν σωτη-
ρίαν πραγματεύσωνται τοῦ δεσμοφύλακος. τοῦ γὰρ σεισμοῦ γενομένου, καὶ τῶν θυρῶν
ἀνοιχθεισῶν, τὰ δεσμὰ ἀνέθη πάντων τῶν αὐτόθι, καὶ οὐδεὶς αὐτῶν ἐκπηδῆσαι συνεχωρήθη.
σκόπει μοι καὶ ἄλλην ἐνταῦθα Θεοῦ σοφίαν. τὰ μὲν γὰρ ἄλλα πάντα γέγονεν, ὁ σεισμὸς λέ-
γω, καὶ ἡ τῶν θυρῶν ἄνοιξις, ἵνα μάθωσι διὰ τῶν [θυρῶν] ἔργων ἅπαντες, τίνες ἦσαν οἱ τότε
τὸ δεσμωτήριον οἰκοῦντες, καὶ ὅτι οὐχ οἱ τυχόντες εἰσὶν ἄνθρωποι· οὐδενὶ δὲ ἐξελθεῖν ἐγέ-
νετο, ἵνα μὴ κινδύνων ἀφορμὴ γένηται τοῦτο τῷ δεσμοφύλακι. καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, ἄ-
κουσον πῶς, ὅτε μόνον ὑπώπτευσε τοῦτο γεγενῆσθαι ὁ δεσμοφύλαξ, καὶ ἐνόμισέ τινας ἐκ-
πεφευγέναι, καὶ τῆς ζωῆς αὐτῆς κατεφρόνησε. σπασάμενος γάρ, φησι, μάχαιραν, ἔμελ-
λεν ἑαυτὸν ἀναιρεῖν. ἀλλ' ὁ πανταχοῦ νήφων καὶ ἐγρηγορῶν, ὁ μακάριος Παῦλος, τῇ οἰκείᾳ
Πραξ. ις. κζ. φωνῇ διήρπασε τῆς φάρυγγος τοῦ θηρίου τὸ ἀρνίον. Ἐφώνησε γὰρ φωνῇ μεγάλῃ, λέγων,
μηδὲν πράξῃς σεαυτῷ κακόν. ἅπαντες γάρ ἐσμεν ἐνθάδε. ὢ ταπεινοφροσύνης ὑπερ-
βολή. οὐκ ἐφρόνησε μέγα ἐπὶ τοῖς γεγενημένοις, οὐ κατεξανέστη τοῦ δεσμοφύλακος, οὐδὲν
ὑπέρογκον φθέγξασθαι κατεδέξατο· ἀλλὰ μετὰ τῶν δεσμωτῶν, μετὰ τῶν δημίων, μετὰ
τῶν κακούργων ἑαυτὸν κατηρίθμησε, λέγων· ἅπαντές ἐσμεν ἐνθάδε. Εἶδες αὐτὸν πολ-
λῇ τῇ ταπεινοφροσύνῃ χρώμενον, καὶ οὐδὲν πλέον ἑαυτῷ νέμοντα τῶν αὐτόθι κακούργων; ὅ-
ρα καὶ τὸν δεσμοφύλακα λοιπὸν, οὐχ ὡς ἑνὶ τῶν ἄλλων προσιόντα. θαρρήσας γὰρ καὶ αἰτή-
σας φῶτα, εἰσεπήδησε, καὶ ἔντρομος ὑπάρχων, προσέπεσε τῷ Παύλῳ καὶ τῷ Σίλᾳ, καὶ
προαγαγὼν αὐτοὺς ἔξω, ἔφη· κύριοι, τί με δεῖ ποιεῖν, ἵνα σωθῶ; Εἴδετε πῶς τοῖς ἀγαπῶσι
τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν; Εἴδετε τοῦ διαβόλου τὴν μηχανὴν, ὅπως διελύ-
θη; ὅπως ἄκυρα αὐτοῦ γέγονε τὰ μηχανήματα; ἐπειδὴ γὰρ ἀπήλασαν τὸν δαίμονα, παρε-
σκεύασεν εἰς τὸ δεσμωτήριον αὐτοὺς ἐμβληθῆναι, νομίζων ἐμποδίζειν τὸν δρόμον τοῦ κηρύγ-
ματος διὰ τούτου. ἀλλ' ἰδοὺ καὶ τὸ δεσμωτήριον ἐμπορείας αὐτοῖς ὑπόθεσις γέγονε πνευ-
ματικῆς. ἄρα καὶ ἡμεῖς, ἂν νήφωμεν, οὐ μόνον ἐν ἀνέσει ὄντες, ἀλλὰ καὶ ἐν θλίψεσι, κερ-
δαίνειν δυνάμεθα, καὶ τότε μᾶλλον, ἢ ἐν ἀνέσει. ἡ γὰρ ἄνεσις, ὡς ἐπὶ τὸ πλεῖστον, ῥᾳθυμοτέ-
ρους ἐργάζεται· ἡ δὲ θλίψις νήφειν παρασκευάζουσα, ἀξιοῦσθαι ποιεῖ καὶ τῆς ἄνωθεν ῥοπῆς, καὶ
μάλιστα, ὅταν διὰ τὴν εἰς τὸν Θεὸν ἐλπίδα τὴν ὑπομονὴν ἐπιδεικνύμεθα, καὶ τὴν καρ-
τερίαν ἐν πάσαις ταῖς ἐπαγομέναις θλίψεσι. μὴ τοίνυν ἀλγῶμεν, ἐπειδὰν θλιβώμεθα,
ἀλλὰ μᾶλλον χαίρωμεν. τοῦτο γὰρ ἡμῖν ἡ τῆς εὐδοκιμήσεως ὑπόθεσις. διὰ τοῦτο καὶ
Παῦλος ἔλεγεν, οἴδαμεν δὲ ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν. ἀλλ'
ἴδωμεν τὴν ζέουσαν ψυχὴν τῶν ἁγίων τούτων. ἐπεὶ οὖν ἤκουσαν τοῦ δεσμοφύλακος λέγον-

τος, τί με δεῖ ποιεῖν, ἵνα σωθῶ; ἆρα ὑπερέθεντο; ἆρα ἀνεβάλλοντο; ἆρα ἠμέλησαν πρὸς τὴν κατήχησιν; οὐδαμῶς· ἀλλὰ τί πρὸς αὐτὸν ἐκεῖνοι; Πίστευσον ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστὸν, καὶ σωθήσῃ σὺ, καὶ πᾶς ὁ οἶκός σου. ὅρα κηδεμονίαν ἀποστολικήν. οὐκ ἀρκοῦνται τῇ αὐτοῦ σωτηρίᾳ, ἀλλὰ δι' ἐκείνου βούλονται καὶ τοὺς προσήκοντας αὐτῷ πάντας σαγηνεῦσαι εἰς τὸν τῆς εὐσεβείας λόγον, καιρίαν διδόντες τῷ διαβόλῳ τὴν πληγήν. καὶ ἐβαπτίσθη αὐτὸς καὶ οἱ αὐτοῦ πάντες παραχρῆμα, καὶ ἠγαλλιάσατο πανοικὶ πεπιστευκὼς τῷ Θεῷ. ἐντεῦθεν παιδευόμεθα μηδέποτε ἐν τοῖς πνευματικοῖς μηδὲ τὸ τυχὸν ἀναβάλλεσθαι, ἀλλὰ πάντοτε καιρὸν ἐπιτήδειον ἡγεῖσθαι τὸν παραπίπτοντα. εἰ γὰρ, νυκτὸς οὔσης, οἱ ἅγιοι οὗτοι ὑπερθέσθαι οὐκ ἠνέσχοντο, ποίαν ἕξομεν ἀπολογίαν ἡμεῖς, ἐν ἑτέρῳ καιρῷ παρατρέχοντες πνευματικὸν κέρδος; εἶδες ἐκκλησίαν τὸ δεσμωτήριον γινόμενον; εἶδες τὸ καταγώγιον τῶν δημίων εὐκτήριον οἶκον ἐξαίφνης ἀποδειχθέντα, καὶ τὴν μυσταγωγίαν ἐκεῖ τελουμένην; τοσοῦτόν ἐστι τὸ νήφειν, καὶ μηδέποτε παρατρέχειν τὰ πνευματικὰ κέρδη, ἀλλὰ πάντα καιρὸν ἐπιτήδειον ποιεῖσθαι πρὸς τὴν τοιαύτην ἐμπορίαν. καλῶς ἄρα ἔλεγεν ὁ μακάριος οὗτος γράφων, ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν. ταύτην τὴν ῥῆσιν, παρακαλῶ, καὶ ἡμεῖς ἐγκεκολαμμένην ἔχοντες τῇ διανοίᾳ τῇ ἡμετέρᾳ, μηδέποτε ἀσχάλλωμεν, ἐπειδὰν λυπηροῖς τισι κατὰ τὸν βίον τοῦτον περιπέσωμεν, ἢ περιστάσεσιν, ἢ ἀρρωστίαις σωματικαῖς, ἢ ἑτέροις τισὶ λυπηροῖς πράγμασιν· ἀλλὰ πολλῇ κεχρημένοι τῇ φιλοσοφίᾳ, ἀντέχωμεν πρὸς πάντα πειρασμὸν, εἰδότες ὅτι, ἂν νήφωμεν, πανταχόθεν κερδαίνειν δυνάμεθα, καὶ μᾶλλον ἀπὸ τῶν πειρασμῶν, ἢ ἀπὸ τῶν ἀνέσεων· καὶ μηδέποτε ἀλύωμεν, ἐννοοῦντες ὅσον τῆς ὑπομονῆς τὸ κέρδος, ἀλλὰ μηδὲ ἀπεχθῶς ἔχωμεν πρὸς τοὺς ἐπάγοντας ἡμῖν τοὺς πειρασμούς. εἰ γὰρ κἀκεῖνοι τὸν οἰκεῖον σκοπὸν πληροῦντες τοῦτο ποιοῦσιν, ἀλλ' ὁ κοινὸς δεσπότης συγχωρεῖ, βουλόμενος ἡμᾶς καὶ διὰ τούτων ἐμπορεύσασθαι τὴν πνευματικὴν ἐμπορίαν, καὶ τῆς ὑπομονῆς λαβεῖν τὸν μισθόν. ἐὰν οὖν δυνηθῶμεν εὐχαρίστως ἐνεγκεῖν τὰ ἐπαγόμενα, οὐ μικρὸν μέρος τῶν πεπλημμελημένων ἡμῖν διαλύσομεν. εἰ γὰρ τὸν θησαυρὸν τοῦτον, καὶ τῆς οἰκουμένης διδάσκαλον καθ' ἑκάστην ἡμέραν κινδύνοις περιπίπτοντα ὁρῶν ὁ δεσπότης ἠνείχετο, οὐ περιορῶν τὸν οἰκεῖον ἀθλητὴν, ἀλλὰ τὰ σκάμματα αὐτῷ μακρότερα κατασκευάζων, ἵνα τοὺς στεφάνους αὐτῷ λαμπροτέρους ἀπεργάσηται, τί ἂν εἴποιμεν ἡμεῖς, οἱ μυρίων γέμοντες ἁμαρτημάτων, καὶ διὰ ταῦτα πολλάκις τοῖς πειρασμοῖς περιπίπτοντες, ἵνα τὴν ὑπὲρ τούτων δίκην ἐνταῦθα δόντες, μικρᾶς γοῦν φιλανθρωπίας ἀξιωθῶμεν, ἐπὶ τῆς φοβερᾶς ἐκείνης ἡμέρας τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἀπολαύσαντες; τοῦτο γὰρ λογιζόμενοι παρ' ἑαυτοῖς, πρὸς ἅπαντα γενναίως ἀντέχωμεν, ἵνα καὶ τῆς ὑπομονῆς τὸν μισθὸν δεξώμεθα ἀπὸ τοῦ φιλανθρώπου δεσπότου, καὶ τὸ πλῆθος τῶν ἡμῖν ἡμαρτημένων ὑποτεμέσθαι δυνηθῶμεν, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. μϛ.

ΠΡΟΣ ΤΟΥΣ ΜΗ ΑΠΑΝΤΗΣΑΝΤΑΣ ΕΙΣ τὴν σύναξιν, καὶ εἰς τὴν ἀποστολικὴν ῥῆσιν τὴν λέγουσαν, Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτὸν, καὶ περὶ τοῦ μνησικακεῖν.

Ρωμ. ιβ. κ.

Οὐδέν, ὡς ἔοικεν, ὠφελήσαμεν, μακρὸν λόγον πρῴην πρὸς ὑμᾶς ἀποτείναντες ὑπὲρ τῆς περὶ τὰς συνάξεις σπουδῆς. πάλιν γὰρ ἡμῖν ἔρημος ἡ ἐκκλησία τῶν τέκνων. διὸ καὶ πάλιν ἀναγκάζομαι ἐπαχθὴς φανῆναι καὶ βαρύς, ἐπιτιμῶν τοῖς παροῦσιν, ἐγκαλῶν τοῖς ἀπολειφθεῖσιν· ἐκείνοις μὲν, ὅτι τὴν ῥαθυμίαν οὐκ ἀπέθεντο, ὑμῖν δὲ, ὅτι τῆς τῶν ἀδελφῶν οὐκ ἀντελάβεσθε σωτηρίας. ἀναγκάζομαι βαρὺς φανῆναι καὶ ἐπαχθής, οὐχ ὑπὲρ ἐμαυτοῦ καὶ τῶν ἐμῶν κτημάτων, ἀλλ' ὑπὲρ ὑμῶν καὶ τῆς ὑμετέρας σωτηρίας, ἧς οὐδὲν ἐμοὶ προτιμότερον. ὁ βουλόμενος βαρυνέσθω, καὶ φορτικὸν καὶ ἀναίσχυντον καλείτω· ἐγὼ δὲ οὐ παύσομαι συνεχῶς ὑπὲρ τῶν αὐτῶν ἐνοχλῶν. τῆς γὰρ ἀναισχυντίας ταύτης οὐδὲν ἄμεινον ἐμοί. ἴσως γάρ, ἴσως, εἰ καὶ μηδὲν ἕτερον, τοῦτο γοῦν ἐρυθριάσαντες τὸ μὴ συνεχῶς ὀχλεῖσθαι περὶ τῶν αὐτῶν, ἀντιλήψεσθέ ποτε τῆς κηδεμονίας τῶν ἀδελφῶν τῶν ὑμετέρων. γρ. ἐπιλ. τί γάρ μοι τῶν ἐπαίνων ὄφελος, ὅταν ὑμᾶς μὴ θεάσωμαι προκόπτοντας κατ' ἀρετήν; τί δέ μοι βλάβος ἐκ τῆς σιγῆς τῶν ἀκουόντων, ὅταν αὐξομένην ὑμῶν ἴδω τὴν εὐλάβειαν; ἔπαινος γὰρ τοῦ λέγοντος, οὐχ ὁ κρότος, ἀλλ' ὁ περὶ τὴν εὐσέβειαν ζῆλος τῶν ἀκουόντων· οὐχ ὁ θόρυβος κατὰ τὸν καιρὸν τῆς ἀκροάσεως, ἀλλ' ἡ σπουδὴ ἡ διὰ παντὸς τοῦ χρόνου. ὁ κρότος ἐξῆλθεν ὁμοῦ τε τοῦ στόματος, καὶ εἰς ἀέρα διαχυθεὶς ἀπώλετο· τὸ δὲ βελτίονας γενέσθαι τοὺς ἀκούοντας, ἀγήρω καὶ ἀθάνατον φέρει τὸν μισθὸν καὶ τῷ λέγοντι, καὶ τοῖς πειθομένοις. ὁ τῆς βοῆς ὑμῶν ἔπαινος ἐνταῦθα τὸν λέγοντα ποιεῖ λαμπρὸν, ἡ δὲ τῆς ψυχῆς ὑμῶν εὐλάβεια πολλὴν ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ δίδωσι παρρησίαν τῷ διδάξαντι. ὥστε εἴ τις τῶν λεγόντων ἐρᾷ, μὴ τῶν κρότων, ἀλλὰ τῆς ὠφελείας τῶν ἀκουόντων ἐράτω. οὐκ ἔστι τὸ τυχὸν κακὸν ἀδελφῶν ἀμελεῖν, ἀλλ' ἐσχάτη κόλασις, καὶ ἀπαραίτητος τιμωρία· καὶ τοῦτο ὁ τὸ τάλαντον καταχώσας ἐδήλωσεν. οὐδὲν γοῦν ὑπὲρ τῆς οἰκείας ἐνεκαλεῖτο ζωῆς· οὐδὲ γὰρ ἐγένετο κακὸς περὶ τὴν παραθήκην. ὁλόκληρον γὰρ αὐτὴν ἀπέδωκεν. ἀλλ' ὅμως ἐγένετο κακὸς καὶ περὶ τὴν ἐργασίαν τῆς παραθήκης. οὐ γὰρ ἐδιπλασίασε τὸ πιστευθέν· διὸ καὶ ἐκολάζετο. ὅθεν δῆλον, ὅτι κἂν ἡμεῖς σπουδαῖοι ὦμεν καὶ συγκεκροτημένοι, κἂν πολλὴν ἐπιθυμίαν ἔχωμεν περὶ τὴν ἀκρόασιν τῶν θείων γραφῶν, οὐκ ἀρκεῖ πρὸς σωτηρίαν ἡμῶν. διπλασιάσαι γὰρ χρὴ τὴν παρακαταθήκην· διπλῆ δὲ γίνεται, ὅταν μετὰ τῆς ἑαυτῶν σωτηρίας, καὶ τῆς ἑτέρων ἀντιλαμβανώμεθα προνοίας. ἐπεὶ κἀκεῖνος εἶπεν, Ἴδε, ἔχεις τὸ σὸν σῶον· ἀλλ' οὐκ ἤρκεσεν αὐτῷ τοῦτο πρὸς ἀπολογίαν. Ματθ. κε. κε. Ἔδει γάρ, φησι, καταβαλεῖν ἐπὶ τοὺς τραπεζίτας τὸ καταβληθέν. καί μοι σκόπει, πῶς κοῦφα τοῦ δεσπότου τὰ ἐπιτάγματα. ἄνθρωποι μὲν γὰρ τοὺς δανείζοντας χρήματα δεσποτικά, καὶ τῆς ἀπαιτήσεως ὑπευθύνους ποιοῦσι. σὺ κατέβαλες, σύ, φησιν, ἀπαίτησον· ἐμοὶ λόγος οὐδεὶς πρὸς τὸν δεξάμενον. ὁ δὲ Θεὸς οὐχ οὕτως, ἀλλὰ καταβαλεῖν κελεύει μόνον, οὐκέτι δὲ καὶ τῆς ἀπαιτήσεως ὑμᾶς ὑπευθύνους ποιεῖ. τοῦ συμβουλεῦσαι γάρ, οὐ τοῦ πεῖσαι κύριος ὁ λέγων ἐστί. διὸ τῆς καταβολῆς ὑπεύθυνόν σε ποιῶ μόνον, φησί, τῆς δὲ ἀπαιτήσεως οὐκέτι. τί τούτου κουφότερον; ἀλλ' ὅμως σκληρὸν ἐκάλει τὸν οὕτως ἥμερον καὶ φιλάνθρωπον δεσπότην ὁ δοῦλος. τοιαῦται γὰρ τῶν ἀγνωμόνων καὶ ῥαθύμων οἰκετῶν αἱ συνήθειαι· τῶν οἰκείων ἁμαρτημάτων εἰς τοὺς δεσπότας ἀεὶ μετατιθέασι τὰς αἰτίας. διὰ τοῦτο στρεβλούμενος καὶ δεσμούμενος ἐκεῖνος εἰς τὸ σκότος ἐξήγετο τὸ ἐξώτερον. ὅπερ ἵνα μὴ ἡμεῖς πάθωμεν, καταβάλλωμεν τὴν διδασκαλίαν ἐπὶ τοὺς ἀδελφούς, κἂν πείθωνται, κἂν μὴ πείθωνται. πειθόμενοι μὲν γὰρ καὶ ἑαυτοὺς καὶ ἡμᾶς ὠφελήσουσι· μὴ πειθόμενοι δέ, αὐτοῖς μὲν ἀπαραίτητον ἐπισπῶνται κόλασιν, ἡμᾶς δὲ οὐδὲ τὸ τυχὸν παραβλάψαι δύναιντ' ἄν. τὸ γὰρ ἡμέτερον ἐποιήσαμεν, συμβουλεύσαντες· εἰ δὲ μὴ πείθοιντο, οὐδὲν ἡμῖν ἐκ τούτου γένοιτ' ἂν βλάβος. ἔγκλημα γάρ, οὐ τὸ μὴ πεῖσαι, ἀλλὰ τὸ μὴ συμβουλεῦσαι· μετὰ δὲ τὴν παραίνεσιν καὶ τὴν συμβουλὴν τὴν διηνεκῆ καὶ τὴν συνεχῆ, οὐκέτι πρὸς ἡμᾶς, ἀλλὰ πρὸς ἐκείνους ἔσται ὁ λόγος τῷ Θεῷ. ἐβουλόμην γοῦν εἰδέναι σαφῶς, ὅτι παραινοῦντες αὐτοὺς διατελεῖτε, καὶ εἰ διαπαντὸς μένουσιν ἐπὶ τῆς ῥαθυμίας ἐκεῖνοι, καὶ οὐκ ἂν ὑμῖν οὐδέποτε ἠνώχλησα· νῦν δὲ δέδοικα, μήποτε ἐκ τῆς ὑμετέρας ὑπεροψίας καὶ ἀμελείας μένουσιν ἀδιόρθωτοι. καὶ γὰρ ἀμήχανον ἄνθρωπον συνεχῶς ἀπολαύοντα παραινέσεως καὶ διδασκαλίας, μὴ γενέσθαι βελτίω καὶ σπουδαιότερον. καὶ δημώδης μέν ἐστιν ἡ παροιμία, ἣν ἐρεῖν μέλλω· πλὴν ἀλλ' αὐτὸ τοῦτο συνίστησι. Πέτραν γὰρ κοιλαίνει, φησί, ῥανὶς ὑδάτων ἐνδελεχοῦσα. καίτοι τί μαλακώτερον ὕδατος, τί δὲ πέτρας σκληρότερον; ἀλλ' ὅμως ἡ ἐνδελέχεια τὴν φύσιν ἐνίκησεν. εἰ δὲ φύσιν ἐνδελέχεια νικᾷ, πολλῷ μᾶλλον προαιρέσεως δύναιτ' ἂν περιγενέσθαι. οὐκ ἔστι παίγνια ὁ χριστιανισμός, ἀγαπητοί, οὐδὲ πρᾶγμα πάρεργον. συνεχῶς ταῦτα λέγομεν, καὶ οὐδὲν πλέον ποιοῦμεν. πῶς οἴεσθέ με ὀδυνᾶσθαι, ἀναμιμνησκόμενον ὅτι ἐν μὲν ταῖς πανηγύρεσι πελάγη θαλάττης μακρὰ μιμεῖται τῶν συνάξεων τὰ πλήθη, νῦν δὲ οὐδὲ τὸ πολλοστὸν τοῦ πλήθους ἐκείνου μέρος ἐνταῦθα συλλέγεται; ποῦ νῦν εἰσιν οἱ διενοχλοῦντες ἡμᾶς ἐν ταῖς ἑορταῖς; ἐκείνους ἐπιζητῶ, καὶ δι' ἐκείνους ὀδύρομαι, ἐννοῶν ὅσον πλῆθος ἀπόλλυται τῶν σωζομένων, ὅσην ἀδελφῶν ὑπομένω ζημίαν. πῶς εἰς ὀλίγους τὰ τῆς σωτηρίας περιΐσταται, καὶ τὸ πλέον τοῦ σώματος τῆς ἐκκλησίας μέρος νεκρῷ καὶ ἀκινήτῳ προσέοικε σώματι; καὶ τί πρὸς ἡμᾶς, φησί; πρὸς ὑμᾶς μὲν οὖν μάλιστα, τοὺς μὴ θεραπεύοντας, τοὺς μὴ παραινοῦντας καὶ συμβουλεύοντας, πρὸς ὑμᾶς οὐκ ἐπιτιθέντας ἀνάγκην καὶ μετὰ βίας ἕλκοντας καὶ τῆς πολλῆς ἀπάγοντας ῥαθυμίας. ὅτι γὰρ οὐχ ἑαυτῷ χρήσιμον εἶναι χρὴ μόνον, ἀλλὰ καὶ πολλοῖς, ἐδήλωσεν ὁ Χριστός, ἅλας ὑμᾶς καὶ ζύμην καλέσας καὶ φῶς. ταῦτα δὲ ἑτέροις ἐστὶ χρήσιμα καὶ λυσιτελῆ. καὶ γὰρ ὁ λύχνος οὐχ ἑαυτῷ φαίνει, ἀλλὰ τοῖς ἐν σκότῳ καθημένοις· καὶ σὺ λύχνος εἶ, οὐχ ἵνα τοῦ φωτὸς ἀπολαύσῃς μόνος, ἀλλ' ἵνα ἐκεῖνον τὸν πεπλανημένον ἐπαναγάγῃς. τί γὰρ ὄφελος λύχνου, ὅταν μὴ φαίνῃ τῷ ἐν τῷ σκότει καθημένῳ; τί δὲ ὄφελος χριστιανοῦ, ὅταν μηδένα κερδαίνῃ, μηδὲ πρὸς ἀρετὴν ἐπαναγάγῃ; πάλιν τὸ ἅλας οὐχ ἑαυτὸ ἐπισφίγγει μόνον, ἀλλὰ καὶ τὰ σεσηπότα τῶν σωμάτων συστέλλει, καὶ οὐκ ἀφίησι διαρρυέντα ἀπολέσθαι. οὕτω δὴ καὶ σύ· ἐπειδὴ ἅλας σε κατεσκεύασεν ὁ Θεὸς πνευματικόν, τὰ σεσηπότα μέλη, τουτέστι, τοὺς ῥαθύμους ἀδελφοὺς καὶ βαναύσους ἐπίσφιγξον καὶ σύστειλον, καὶ τῆς ῥαθυμίας, ὥσπερ τινὸς σηπεδόνος, ἀπαλλάξας, ἕνωσον τῷ λοιπῷ σώματι τῆς ἐκκλησίας. διὰ τοῦτό σε καὶ ζύμην ἐκάλεσε. καὶ γὰρ καὶ ἡ ζύμη οὐχ ἑαυτὴν ζυμοῖ, ἀλλὰ τὸ λοιπὸν φύραμα, τὸ πολὺ καὶ ἄφατον ἡ μικρὰ καὶ βραχεῖα. οὕτω δὴ καὶ ὑμεῖς· εἰ καὶ ὀλίγοι ἐστὲ κατὰ τὸν ἀριθμόν, ἀλλὰ πολλοὶ καὶ δυνατοὶ τῇ πίστει καὶ τῇ κατὰ Θεὸν γίνεσθε σπουδῇ. ὥσπερ οὖν ἡ ζύμη οὐκ ἀσθενεῖ διὰ τὴν βραχύτητα, ἀλλὰ περιγίνεται διὰ τὴν ἐγκειμένην αὐτῇ θερμότητα καὶ τὴν τῆς ποιότητος δύναμιν· οὕτω δὴ καὶ ὑμεῖς δυνήσεσθε πολλῷ πλείους πρὸς τὴν αὐτὴν ὑμῖν ἐπαναγαγεῖν σπουδήν, ἂν θέλητε. εἰ δὲ τὸ θέρος προβάλλοιντο (καὶ γὰρ καὶ ταῦτα ἀκούω λεγόντων, ὅτι σφοδρὸν τὸ πνῖγος νῦν, τὸ καῦμα ἀφόρητον, οὐκ ἰσχύομεν στενοχωρεῖσθαι καὶ θλίβεσθαι ἐν τῷ πλήθει, ἱδρῶτι πάντοθεν περιρρεόμενοι καὶ ἀχθόμενοι τῇ θέρμῃ καὶ τῇ στενοχωρείᾳ) αἰσχύνομαι μὲν ὑπὲρ αὐτῶν, πιστεύσατε. γυναικώδεις γὰρ αἱ σκήψεις, μᾶλλον δὲ οὐδὲ ἐκείναις πρὸς συγγνώμην ἀρκοῦσαι αἱ προφάσεις, αἷς μαλακώτερα τὰ σώματα, καὶ ἀσθενεστέρα ἡ φύσις. πλὴν εἰ καὶ αἰσχρὸν τὸ ἀποκρίνασθαι πρὸς τὴν τοιαύτην ἀπολογίαν, ἀλλ' ἀναγκαῖον ὅμως. εἰ γὰρ ἐκεῖνοι τοιαῦτα προφασίζονται, καὶ οὐκ ἐρυθριῶσι, πολλῷ μᾶλλον ἡμᾶς οὐκ αἰσχύνεσθαι χρὴ πρὸς ταῦτα ἀντιλέγοντας. τί οὖν εἴποιμι τοῖς ταῦτα προβαλλουμένοις; τῶν τριῶν παίδων ἀναμνῆσαι αὐτοὺς βούλομαι τῶν ἐν τῇ καμίνῳ καὶ ἐν τῇ φλογί, οἳ πάντοθεν αὐτοὺς περιτρέχον τὸ πῦρ ὁρῶντες, καὶ τῷ στόματι καὶ τοῖς ὀφθαλμοῖς, καὶ αὐτῇ περικεχυμένοι τῇ ἀναπνοῇ, οὐκ ἐπαύσαντο τὸν ἱερὸν καὶ μυστικὸν ἐκεῖνον ὕμνον ᾄδοντες τῷ Θεῷ μετὰ τῆς κτίσεως, ἀλλὰ τῶν ἐν λειμῶνι διατριβόντων, ἐν μέσῃ τότε ἑστῶτες τῇ πυρᾷ, προθυμότερον τὴν εὐφημίαν τῷ κοινῷ τῶν ὅλων ἀνέπεμπον δεσπότῃ· καὶ μετὰ τῶν τριῶν παίδων τούτων, τῶν λεόντων αὐτοὺς τῶν ἐν Βαβυλῶνι, καὶ τοῦ Δανιὴλ καὶ τοῦ λάκκου· οὐχὶ δὲ τούτου μόνου, ἀλλὰ καὶ ἑτέρου λάκκου καὶ προφήτου, καὶ βορβόρου μέχρι τραχήλου τὸν Ἱερεμίαν ἀποπνίγοντος ἀναμνησθῆναι πάλιν αὐτοὺς ἀξιῶ. καὶ ἀπὸ τῶν λάκκων ἀναβάς, εἰσαγαγεῖν εἰς τὸ δεσμωτήριον βούλομαι τούτους τοὺς τὸ καῦμα προβαλλομένους, καὶ δεῖξαι τὸν Παῦλον ἐκεῖ καὶ τὸν Σίλαν τῷ ξύλῳ προσδεδεμένους, μωλώπων γέμοντας καὶ τραυμάτων, τῷ πλήθει τῶν πληγῶν ἅπαν καταξανθέντας τὸ σῶμα, ἐν μέσῃ τῇ νυκτὶ τὸν Θεὸν ὑμνοῦντας, καὶ τὴν ἱερὰν ἐκείνην παννυχίδα ἐπιτελοῦντας. πῶς γὰρ οὐκ ἄτοπον τοὺς μὲν ἁγίους ἐκείνους ἐν καμίνῳ καὶ πυρὶ καὶ λάκκῳ καὶ θηρίοις καὶ βορβόρῳ καὶ δεσμωτηρίῳ, καὶ ξύλῳ καὶ πληγαῖς καὶ φυλακαῖς καὶ τοῖς ἀφορήτοις ὄντας δεινοῖς, μηδὲν τούτων αἰτιᾶσθαι πώποτε, ἀλλὰ μετὰ πολλοῦ τοῦ τόνου καὶ προθυμίᾳ ζεούσῃ εὐχαῖς καὶ ὕμνοις ἱεροῖς ἐνδιατρίβειν διηνεκῶς· ἡμᾶς δὲ οὐ μικρόν, οὐ μέγα τῶν ἀπηριθμημένων ὑπομείναντας παθῶν, διὰ καῦμα καὶ θέρμην βραχεῖαν καὶ ἱδρῶτα τῆς οἰκείας αὐτῶν ἀμελεῖν σωτηρίας, καὶ τὰς συνάξεις ἀφέντας ἔξω πλανᾶσθαι, συλλόγοις προσφθειρομένους οὐδὲν ἔχουσιν

Ιωαν. δ. ιδ. ζ. λη. ὑγιές; τοσαύτη δρόσος τῶν θείων λογίων, καὶ καῦμα προβάλλῃ; Τὸ ὕδωρ, ὃ ἐγὼ δώσω αὐτῷ, φησὶν ὁ Χριστός, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. καὶ πάλιν, Ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. πηγὰς ἔχων ἔνδον, εἰπέ μοι, καὶ ποταμοὺς πνευματικούς, καῦμα δέδοικας αἰσθητόν; ἐπὶ δὲ τῆς ἀγορᾶς, εἰπέ μοι, ἔνθα τοσοῦτος θόρυβος καὶ στενοχωρία καὶ πολὺς ὁ καύσων, πῶς οὐ προβάλλῃ πνῖγος καὶ θέρμην; οὐ γὰρ δὴ τοῦτο ἔχεις ἂν εἰπεῖν, ὅτι ἐκεῖ μὲν ψυχροτέρας τῆς τοῦ ἀέρος φύσεώς ἐστιν ἀπολαύειν, ἐνταῦθα δὲ ἅπαν ἡμῖν συνῆκται τὸ πνῖγος· ἀλλὰ πᾶν τοὐναντίον, ἐνταῦθα μὲν καὶ ἀπὸ τῆς ὑποκειμένης πλακός, καὶ ἀπὸ τῆς ἄλλης τοῦ οἴκου κατασκευῆς (καὶ γὰρ εἰς ὕψος ἀνέστηκεν ἄφατον) κουφότερος καὶ ψυχρότερος ὁ ἀήρ· ἐκεῖ δὲ πολὺς μὲν ἥλιος πανταχοῦ, πολλὴ δὲ ἡ στενοχωρία καὶ καπνὸς καὶ κόνις, καὶ ἕτερα πολλῷ πλείονα τούτων ἐπιτείνοντα τὴν ἀηδίαν. ὅθεν δῆλον, ὅτι ῥαθυμίας καὶ ψυχῆς ἀναπεπτωκυίας καὶ τῆς τοῦ πνεύματος φλογὸς ἀπεστερημένης αὗται αἱ προφάσεις αἱ ἄλογοι. ταῦτα οὐχὶ πρὸς ἐκείνους τοσοῦτον ἀποτεινόμενος λέγω νῦν, ὅσον πρὸς ὑμᾶς τοὺς οὐκ ἐπισπωμένους, τοὺς οὐκ ἀνιστῶντας αὐτοὺς ἀπὸ τῆς ῥαθυμίας, καὶ πρὸς τὴν σωτήριον ταύτην ἕλκοντας τράπεζαν. καὶ οἰκέται μὲν κοινὴν μέλλοντες ἐκπληροῦν διακονίαν, τοὺς αὐτῶν συνδούλους καλοῦσιν· ὑμεῖς δὲ ἐπὶ τὴν πνευματικὴν ταύτην μέλλοντες ἀπαντᾶν ὑπηρεσίαν, περιορᾶτε τοὺς ὁμοδούλους τοῦ κέρδους ἀποστερουμένους. τί οὖν, εἰ μὴ βούλοιντο, φησί; ποίησον αὐτοὺς βουληθῆναι τῇ συνεχεῖ προσεδρείᾳ. ἂν γὰρ ἴδωσιν ἐπικειμένους ἡμᾶς, πάντως βουλήσονται. ἀλλὰ γὰρ σκῆψις ταῦτα καὶ πρόφασις. πόσοι γοῦν ἐνταῦθα πατέρες εἰσί, καὶ τοὺς υἱοὺς οὐκ ἔχουσι μεθ' ἑαυτῶν ἑστῶτας; μὴ καὶ τὸ τῶν τέκνων ἐπισπάσασθαί σοι δύσκολον ἦν; ὅθεν δῆλον ὅτι γ. τὸ τῶν
καὶ τοὺς λοιποὺς οὐ παρὰ τὴν οἰκείαν ῥαθυμίαν μόνον, ἀλλὰ καὶ παρὰ τὴν ὑμετέραν ὑπεροψίαν ἔξω μένουσιν. ἀλλ' εἰ καὶ μὴ πρότερον, νῦν γοῦν διαναστῆτε, καὶ μετὰ τοῦ μέρους ἕκαστος εἰς τὴν ἐκκλησίαν εἰσίτω, καὶ πατὴρ υἱόν, καὶ υἱὸς τὸν γεγεννηκότα, καὶ γυναῖκας ἄνδρες, καὶ ἄνδρας γυναῖκες, καὶ δεσπότης δοῦλον, καὶ ἀδελφὸς ἀδελφόν, καὶ φίλος φίλον διεγειρέτωσαν καὶ παρορμάτωσαν πρὸς τὴν ἐνταῦθα σύνοδον· μᾶλλον δὲ μὴ τοὺς φίλους μόνον, ἀλλὰ καὶ τοὺς ἐχθροὺς καλῶμεν ἐπὶ τὸν κοινὸν τοῦτον τῶν ἀγαθῶν θησαυρόν. ἂν ἴδῃ σου τὴν πρόνοιαν ὁ ἐχθρός,

καταλύσει τὴν ἀπέχθειαν πάντως. Εἰπὲ πρὸς αὐτὸν, οὐκ αἰσχύνῃ Ἰουδαίους, οὐδὲ ἐρυθριᾷς, οἳ μετὰ τοσαύτης ἀκριβείας τὸ σάββατον φυλάττουσι, καὶ ἀπὸ τῆς ἑσπέρας αὐτῆς, πάσης ἐργασίας ἀφίστανται; κἂν ἴδωσι τὸν ἥλιον πρὸς δυσμὰς ἐπειγόμενον ἐν τῇ τῆς παρασκευῆς ἡμέρᾳ, καὶ συμβόλαια διακόπτουσι καὶ πράσεις διατέμνουσι. κἂν πριάμενός τις παρ' αὐτῶν πρὸ τῆς ἑσπέρας, ἐν ἑσπέρᾳ τὴν τιμὴν ἔλθῃ κομίζων, οὐκ ἀνέχονται λαβεῖν, οὐδὲ ὑποδέξασθαι τὸ ἀργύριον. καὶ τί λέγω τιμὴν ὠνίων καὶ συμβόλαια; κἂν θησαυρὸν ἐξῇ λαβεῖν, ἕλοιντ' ἂν ἀπολέσαι τὸ κέρδος, ἢ καταπατῆσαι τὸν νόμον. Εἶτα Ἰουδαῖοι μὲν, καὶ ταῦτα ἀκαίρως τηροῦντες τὸν νόμον, οὕτως εἰσὶν ἀκριβεῖς, καὶ φυλακῆς ἀντέχονται οὐδὲν αὐτοὺς ὠφελούσης, ἀλλὰ καὶ καταβλαπτούσης· σὺ δὲ, ὁ τῆς σκιᾶς ἀνώτερος, ὁ τὸν ἥλιον τῆς δικαιοσύνης ἰδεῖν καταξιωθεὶς, ὁ πρὸς τὴν τῶν οὐρανῶν πολιτείαν τελῶν, οὐδὲ τὴν αὐτὴν ἐκείνοις ἐπιδείκνυσαι σπουδὴν τοῖς τῇ κακίᾳ προσεδρεύουσιν ἀκαίρως, ὁ τὴν ἀλήθειαν ἐγχειρισθείς· ἀλλὰ μικρὸν μέρος ἡμέρας ἐνταῦθα καλούμενος, οὐδὲ τοῦτο ὑπομένεις ἀναλῶσαι πρὸς τὴν τῶν θείων ἀκρόασιν λογίων; καὶ ποίας ἂν τύχοις συγγνώμης, εἰπέ μοι; τίνα δὲ ἕξεις ἀπολογίαν εἰπεῖν εὔλογον καὶ δικαίαν; οὐκ ἔστιν, οὐκ ἔστι τὸν οὕτως ἀμελῆ καὶ ῥᾴθυμον συγγνώμης τυχεῖν ποτε, κἂν μυριάκις ἀνάγκας προβάλληται πραγμάτων βιωτικῶν. οὐκ οἶδας, ὅτι ἐὰν ἐλθὼν προσκυνήσῃς τὸν Θεὸν, καὶ μετάσχῃς τῆς ἐνταῦθα διατριβῆς, μᾶλλόν σοι τὰ ἐν χερσὶν εὐμαρίζεται πράγματα; βιωτικὰς ἔχεις φροντίδας; διὰ ταύτας μὲν οὖν ἐνταῦθα ἀπάντησον, ἵνα τὴν εὔνοιαν ἐπισπασάμενος τοῦ Θεοῦ διὰ τῆς ἐνταῦθα διατριβῆς, οὕτω μετ' ἀσφαλείας ἐξέλθῃς· ἵνα ἔχῃς αὐτὸν σύμμαχον, ἵνα ἀκαταγώνιστος γένῃ τοῖς δαίμοσιν ὑπὸ τῆς ἄνωθεν βοηθούμενος χειρός. ἂν ἀπολαύσῃς εὐχῶν "πατρικῶν, ἂν μετάσχῃς κοινῆς εὐχῆς, ἂν ἀκούσῃς θείων λογίων, ἂν ἐπισπάσῃ τοῦ Θεοῦ τὴν βοήθειαν, ἂν "τούτοις τοῖς ὅπλοις φραξάμενος οὕτως ἐξέλθῃς, οὐδὲ αὐτὸς ὁ διάβολος ἀντιβλέψαι δυνήσεταί σοι λοιπὸν, μήτιγε ἂν ἄνθρωποι πονηροὶ, σπουδάζοντες ἐπηρεάζειν καὶ συκοφαντεῖν. ἂν δὲ ἀπὸ τῆς οἰκίας ἐπὶ τὴν ἀγορὰν ἔλθῃς, *γυμνὸς τῶν ὅπλων τούτων" εὑρεθεὶς, εὐχείρωτος ἔσῃ τοῖς ἐπηρεάζουσιν ἅπασι. διὰ τοῦτο πολλὰ καὶ ἐν τοῖς κοινοῖς καὶ ἐν τοῖς ἰδίοις πράγμασι παρὰ γνώμην ἡμῖν ἀπαντᾷ, ὅτι οὐ περὶ τὰ πνευματικὰ πρότερον ἐσπουδάκαμεν, καὶ τότε περὶ τὰ βιωτικὰ, ἀλλ' ἀντεστρέψαμεν τὴν τάξιν. διὰ τοῦτο καὶ ἡ τῶν πραγμάτων ἀκολουθία καὶ εὐθύτης ἀντέστραπται, καὶ πολλῆς ἡμῖν ἅπαντα γέμει ταραχῆς. πῶς οἴεσθέ με ὀδυνᾶσθαι καὶ ἀλγεῖν, ὅταν ἐννοήσω, ὅτι πανηγύρεως μὲν καὶ ἑορτῆς ἐπιστάσης, κἂν μηδεὶς ὁ καλῶν ᾖ, πᾶσα ἡ πόλις συντρέχει· πανηγύρεως δὲ καὶ ἑορτῆς ἀπελθούσης, κἂν ἅπασαν τὴν ἡμέραν διατελέσωμεν διαρρηγνῦντες ἑαυτοὺς καὶ καλοῦντες ὑμᾶς, οὐδεὶς ὁ προσέχων ἐστί. Ταῦτα γὰρ πολλάκις ἐν διανοίᾳ στρέφων, χαλεπῶς ἀνεστέναξα, καὶ πρὸς ἐμαυτὸν εἶπον· τί δεῖ παραινέσεως, ἢ συμβουλῆς, συνηθείᾳ ἁπλῶς ἅπαντα ποιούντων ὑμῶν, καὶ οὐδὲν ἀπὸ τῆς διδασκαλίας προθυμοτέρων γινομένων τῆς ἡμετέρας; ὅταν γὰρ ἐν ἑορταῖς μὲν μηδὲν δεήσητε τῆς παρ' ἡμῶν παραινέσεως, ἀπελθουσῶν δὲ ἐκείνων, μηδὲν ὠφελῆσθε παρὰ τῆς ἡμετέρας διδασκαλίας, οὐχὶ περιττὸν ἡμῶν ἀποφαίνετε τὸν λόγον, πότε εἰς ὑμᾶς ἧκον; Τάχα ἀλγοῦσι πολλοὶ τῶν ταῦτα ἀκουόντων· ἀλλ' οὐχ οὕτως οἱ ῥᾳθυμοῦντες ἴσασιν. Εἰ γὰρ, ἂν ἀπέθεντο τὴν ὀλιγωρίαν, ὡς ἡμεῖς οἱ καθ' ἑκάστην ἡμέραν τὰ ὑμέτερα μεριμνῶντες. τί τοσοῦτον κερδαίνεις ἐκ τῶν ἔξωθεν πραγμάτων, ὅσον ζημιοῖς ἑαυτόν; οὐκ ἔστι δὲ ἑτέρας συνάξεως ἢ συνόδου τοσοῦτον κέρδος λαβόντας ἀπελθεῖν, ὅσον ἀπὸ τῆς ἐνταῦθα διατριβῆς· κἂν δικαστήριον λέγῃς, κἂν βουλευτήριον, κἂν αὐτὰ τὰ βασίλεια. οὐ γὰρ οἰκονομίαν τῶν ἐθνῶν καὶ πόλεων, οὐδὲ στρατοπέδων ἐπιστασίαν τοῖς ἐνταῦθα εἰσιοῦσιν ἐγχειρίζομεν, ἀλλ' ἑτέραν ἀρχὴν καὶ αὐτῆς τῆς βασιλείας σεμνοτέραν· μᾶλλον δὲ οὐχ ἡμεῖς ἐγχειρίζομεν, ἀλλ' ἡ τοῦ πνεύματος χάρις. Τίς οὖν ἐστιν ἡ ἀρχὴ ἡ τῆς βασιλείας σεμνοτέρα, τὴν οἱ ἐνταῦθα εἰσιόντες λαμβάνουσι; παιδεύονται τῶν ἀτόπων * κρατεῖν, βασιλεύειν ἐπιθυμίας πονηρᾶς, ἀρχὴν ὀργῆς, ὑποτάσσειν φθόνον, δουλοῦσθαι κενοδοξίαν. οὐκ ἔστιν οὕτω βασιλεὺς σεμνὸς, ὁ ἐπὶ τοῦ θρόνου καθήμενος τοῦ βασιλικοῦ, καὶ διάδημα περικείμενος, ὡς ἄνθρωπος τὸν ὀρθὸν ἐν ἑαυτῷ λογισμὸν ἐπὶ τὸν θρόνον τῆς ἀρχῆς τῶν δουλοπρεπῶν παθῶν ἀναβιβάσας, καὶ τῇ κατ' ἐκείνων δεσποτείᾳ, καθάπερ τινὶ διαδήματι λαμπρῷ, τὴν κεφαλὴν ἀναδήσας. τί γὰρ ὄφελος ἁλουργίδος, εἰπέ μοι, καὶ χρυσῶν ἱματίων καὶ διαλίθου στεφάνου, ὅταν ἡ ψυχὴ τῶν παθῶν αἰχμάλωτος ᾖ; τί κέρδος ἐκ τῆς ἔξωθεν ἐλευθερίας, ὅταν τὸ κυριώτερον ἐν ἡμῖν δουλαγωγῆται αἰσχρῶς καὶ ἐλεεινῶς; ὥσπερ γὰρ πυρετοῦ πρὸς τὸ βάθος καταδυομένου, καὶ τὰ ἔνδον ἅπαντα καταφλέγοντος, οὐδὲν ὄφελος ἐκ τῆς ἔξωθεν ἐπιφανείας τοῦ σώματος, ἂν μηδὲν πάσχῃ τοιοῦτον· οὕτω, τῆς ψυχῆς ἡμῖν ὑπὸ τῶν ἔνδον παθῶν διασυρομένης, οὐδὲν ὄφελος τῆς ἔξωθεν ἀρχῆς, οὐδὲ τῆς καθέδρας τῆς βασιλικῆς, ὅταν ὁ νοῦς μετὰ πολλῆς τυραννίδος ἀπὸ τοῦ θρόνου τῆς βασιλείας τῶν παθῶν καταστρέφηται, καὶ ὑποκύπτῃ καὶ τρέμῃ τὰς ἐπαναστάσεις αὐτῶν. ὅπερ ἵνα μὴ γένηται, προφῆται καὶ ἀπόστολοι πάντοθεν συντρέχουσι, καταστέλλοντες ἡμῶν τὰ πάθη, καὶ τῆς ἐν ἡμῖν ἀλογίας τὴν θηριωδίαν πᾶσαν ἐκβάλλοντες, καὶ τὴν πολλῷ τῆς βασιλείας σεμνοτέραν ἀρχὴν ἡμῖν ἐγχειρίζοντες. διὰ τοῦτο ἔλεγον, ὅτι οἱ ταύτης ἑαυτοὺς ἀποστεροῦντες τῆς ἐπιμελείας, περὶ τὰ καίρια λαμβάνουσι τὴν πληγὴν, ζημίαν ὑπομένοντες, ὅσην οὐδαμόθεν ἄλλοθεν· ἐπεὶ καὶ κέρδη κερδαίνουσιν ἐνταῦθα ἐρχόμενοι, ὅσα οὐδαμόθεν ἑτέρωθεν κερδᾶναι δύναιντ' Ἐξοδ. κγ. ιε. ἄν· ὥσπερ οὖν καὶ ὁ λόγος ἀπέδειξεν· Οὐκ ὀφθήσῃ ἐνώπιον Κυρίου κενὸς, ὁ νόμος ἔλεγε· τουτέστι, χωρὶς θυσιῶν μὴ εἰσέλθῃς. εἰ δὲ χωρὶς θυσιῶν οὐ δεῖ εἰσιέναι εἰς οἶκον Θεοῦ, πολλῷ μᾶλλον εἰς συνάξεις μετὰ ἀδελφῶν χρή. βελτίων γὰρ ἐκείνης αὕτη ἡ θυσία καὶ ἡ προσφορὰ, ὅταν ψυχὴν μετὰ σαυτοῦ λαβὼν εἰσέλθῃς. οὐχ ὁρᾶτε τὰς περιστερὰς τὰς μεμελετηκυίας, πῶς ἐξιοῦσαι θηρεύουσιν ἑτέρας; τοῦτο καὶ ἡμεῖς ποιῶμεν. ποία γὰρ ἔσται σκῆψις, ὅταν τῶν ἀλόγων τὸ ὁμόφυλον ζῶον δυναμένων θηρεύειν, ἡμεῖς οἱ λόγῳ τιμηθέντες καὶ σοφίᾳ τοσαύτῃ, τῆς τοιαύτης ἄγρας ὑπερορῶμεν; παρῄνεσα τῇ προτέρᾳ διαλέξει, λέγων, ἕκαστος ὑμῶν εἰς τὰς οἰκίας ἀπαντήσατε τῶν πλησίον, ἀναμείνατε ἐξελθόντας, κατάσχετε, καὶ ἐπαναγάγετε πρὸς τὴν κοινὴν μητέρα· καὶ τοὺς τὰ θέατρα μεμηνότας μιμήσασθε, οἱ μετὰ πάσης σπουδῆς ἀλλήλοις συνταξάμενοι, οὕτως ὑπὸ τὴν ἕω πρὸς τὴν παράνομον ἀναμένουσι θέαν ἐκείνην. ἀλλ' οὐδὲν πλέον ἡμῖν γέγονεν ἀπὸ τῆς παραινέσεως ἐκείνης. διὰ τοῦτο πάλιν λέγω, καὶ λέγων οὐ παύσομαι, ἕως ἂν πείσω. οὐδὲν ὠφελεῖ ἀκρόασις, ἐὰν μὴ πρᾶξις αὐτῇ παρῇ. βαρυτέραν οὖν ἡμῖν ποιεῖ τὴν τιμωρίαν, ὅταν συνεχῶς τῶν αὐτῶν ἀκούοντες, μηδὲν τῶν λεγομένων ποιῶμεν. καὶ ὅτι βαρυτέρα ἡ κόλασίς ἐστιν, Ἰωάν. ιε κβ. ἄκουσον τοῦ Χριστοῦ λέγοντος· Εἰ μὴ ἦλθον, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν Ῥωμ. β. ιγ. δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας. καὶ ὁ ἀπόστολος δὲ, Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται. καὶ πρὸς τοὺς μὲν ἀκούοντας φησὶ ταῦτα· βουλόμενος δὲ καὶ τὸν λέγοντα παιδεῦσαι, ὅτι οὐδὲ ἐκείνῳ κέρδος ἔσται τι πλέον ἀπὸ τῆς διδασκαλίας, ὅταν μὴ πολιτείαν ἔχῃ τῇ διδασκαλίᾳ συνεζευγμένην, καὶ συμβαίνοντα τῷ λόγῳ τὸν βίον, ἄκουσον πῶς καὶ ὁ ἀπόστολος πρὸς αὐτὸν ἀποτείνεται, Ψαλ. μθ. ιϛ. καὶ ὁ προφήτης. ὁ μὲν γάρ φησι, Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεὸς, ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου, σὺ δὲ ἐμίσησας παιδείαν; ὁ δὲ ἀπόστολος πρὸς αὐτοὺς τούτους πάλιν ἀποτεινόμενος, τοὺς ἐπὶ τῇ Ῥωμ. β. ιθ. διδασκαλίᾳ μεγαφρονοῦντας, οὕτω πως φησί· Πέποιθας σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν, φῶς τῶν ἐν σκότει, παιδευτὴν ἀφρόνων, διδάσκαλον νηπίων· ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; ἐπεὶ οὖν οὔτε ἐμὲ τὸν λέγοντα τὸ λέγειν, οὔτε ὑμᾶς τοὺς ἀκούοντας τὸ ἀκούειν

δύναται

ἄνευ τοῦ πείθεσθαι τοῖς λεγομένοις ὠφελῆσαι δύναιτ' ἄν, ἀλλὰ καὶ καταδικάζει πλέον, μὴ μέχρι τῆς ἀκροάσεως τὴν σπουδὴν ἐπιδειξώμεθα, ἀλλ' ἐπὶ τῶν ἔργων φυλάττωμεν τὰ λεγόμενα. καλὸν μὲν γὰρ τὸ διηνεκῶς ἐνδιατρίβειν θείων ἀκροάσει λογίων· ἀλλὰ τὸ καλὸν τοῦτο ἄχρηστον γίνεται, ὅταν τὴν ἐκ τῆς ὑπακοῆς ὠφέλειαν μὴ ἔχῃ συνεζευγμένην. ἵνα οὖν μὴ μάτην ἐνταῦθα συλλέγησθε, μετὰ πάσης σπουδῆς, ὃ πολλάκις ὑμῶν ἐδεήθην, καὶ δεόμενος οὐ παύσομαι, τοὺς ἀδελφοὺς ἡμῖν ἐπισπάσασθε, τοὺς πλανωμένους παραινέσατε, συμβουλεύσατε, μὴ λόγῳ μόνον, ἀλλὰ καὶ ἔργῳ. μείζων αὕτη ἡ διδασκαλία ἡ διὰ τῶν τρόπων, ἡ διὰ τῆς πολιτείας. κἂν μηδὲν εἴπῃς, ἐξέλθῃς δὲ ἀπὸ συνάξεως, διὰ τοῦ σχήματος καὶ τοῦ βλέμματος καὶ τῆς φωνῆς καὶ τῆς βαδίσεως καὶ τῆς ἄλλης ἁπάσης καταστολῆς ἐμφαίνων τοῖς ἀπολειφθεῖσιν ἀνθρώποις τὸ κέρδος, ὅπερ ἐντεῦθεν ἐξῆλθες λαβών, ἀρκεῖ τοῦτο εἰς παραίνεσιν καὶ συμβουλήν. οὕτω γὰρ ἡμᾶς ἐντεῦθεν ἐξιέναι δεῖ, ὥσπερ ἐξ ἱερῶν ἀδύτων, ὥσπερ ἐξ αὐτῶν καταβάντας τῶν οὐρανῶν, γενομένους κατεσταλμένους, φιλοσοφοῦντας, ῥυθμῷ πάντα καὶ ποιοῦντας καὶ λέγοντας. καὶ γυνὴ τὸν ἄνδρα ὁρῶσα ἀπὸ συνάξεως ἀναχωροῦντα, καὶ τὸν υἱὸν πατήρ, καὶ τὸν πατέρα ὁ παῖς, καὶ τὸν δεσπότην ὁ δοῦλος, καὶ τὸν φίλον ὁ φίλος, καὶ τὸν ἐχθρὸν ὁ ἐχθρός, λαμβανέτωσαν ἅπαντες αἴσθησιν τῆς ἐνταῦθα γενομένης ἡμῖν ὠφελείας· λήψονται δέ, ἂν πραοτέρων, ἂν φιλοσοφωτέρων, ἂν εὐλαβεστέρων ὑμῶν γεγενημένων αἰσθάνωνται· ἐννόησον οἵας ἀπολαύεις μυσταγωγίας ὁ μεμυημένος σύ, μετὰ τίνων ἀναπέμπεις τὸ μυστικὸν μέλος ἐκεῖνο, μετὰ τίνων βοᾷς τό, τρισάγιος. δίδαξον τοὺς ἔξωθεν, ὅτι μετὰ τῶν σεραφὶμ ἐχόρευσας, ὅτι εἰς τὸν δῆμον τὸν ἄνω τελεῖς, ὅτι εἰς τὸν χορὸν ἐνεγράφης τὸν τῶν ἀγγέλων, ὅτι τῷ δεσπότῃ διελέχθης, ὅτι τῷ Χριστῷ συνεγένου. ἂν οὕτως ἑαυτοὺς ῥυθμίζωμεν, οὐδὲν ἐξελθόντες δεησόμεθα λόγου πρὸς τοὺς ἀπολειφθέντας, ἀλλ' ἀπὸ τῆς ἡμετέρας ὠφελείας, τῆς οἰκείας αἰσθήσονται ζημίας, καὶ δραμοῦνται ταχέως, ὥστε τῶν αὐτῶν ἀπολαῦσαι. τὸ γὰρ κάλλος ὑμῶν τῆς ψυχῆς διὰ τῶν αἰσθήσεων αὐτῶν ἀπολάμπον ὁρῶντες, κἂν ἁπάντων ὦσι νωθρότεροι, εἰς ἔρωτα τῆς εὐπρεπείας ἐμπεσοῦνται τῆς ὑμετέρας. εἰ γὰρ σώματος κάλλος ἀναπτεροῖ τοὺς ὁρῶντας, πολλῷ μᾶλλον εὐμορφία ψυχῆς διεγεῖραι δύναιτ' ἂν τὸν θεατήν, καὶ πρὸς τὸν ἴσον παρακαλέσαι ζῆλον. καλλωπίσωμεν τοίνυν ἡμῶν τὸν ἔσω ἄνθρωπον, καὶ τῶν ἐνταῦθα λεγομένων ἔξω μνημονεύωμεν· ἐκεῖ γὰρ αὐτῶν μάλιστα τῆς μνήμης ὁ καιρός. καὶ καθάπερ ἀθλητής, ἅπερ ἂν ἐπὶ τῆς παλαίστρας μανθάνῃ, ταῦτα ἐπὶ τῶν ἀγώνων ἐπιδείκνυται· οὕτω δὴ καὶ ἡμᾶς, ἅπερ ἂν ἐνταῦθα ἀκούωμεν, ταῦτα ἐπὶ τῶν ἔξωθεν πραγμάτων ἐπιδείκνυσθαι χρή. μνημόνευσον τοίνυν τῶν ἐνταῦθα λεγομένων, ἵν', ὅτε ἐξέλθῃς, καὶ ἐπιλάβηταί σου ὁ διάβολος, ἢ δι' ὀργῆς, ἢ διὰ κενοδοξίας, ἢ δι' ἄλλου τινὸς πάθους, ἀναμνησθεὶς τῆς ἐνταῦθα διδασκαλίας, δυνηθῇς ῥᾳδίως ἀποδύσασθαι τὰ ἄμματα τοῦ πονηροῦ. οὐχ ὁρᾶτε ἐν τοῖς σκάμμασι τοὺς παιδοτρίβας, οἳ μετὰ μυρίους ἄθλους ἀτέλειαν λοιπὸν τῶν παλαισμάτων ἀπὸ τῆς ἡλικίας λαβόντες, ἔξω τῶν σκαμμάτων καθήμενοι παρὰ τὴν κόνιν αὐτήν, τοῖς ἔνδον οὖσι καὶ παλαίουσιν ὑποφωνοῦσιν, ὥστε χεῖρα κατασχεῖν, ὥστε σκέλος ἑλκύσαι, ὥστε λαβεῖν μετὰ τὰ νῶτα· καὶ ἕτερα πολλὰ τοιαῦτα λέγοντες, ὅτι ἂν τόδε, καὶ τόδε ποιήσῃς, ἐκτενεῖς ῥᾳδίως τὸν ἀνταγωνιστήν, τὰ μέγιστα συντελοῦσι τοῖς μαθηταῖς; καὶ σὺ τὸν παιδοτρίβην τὸν σὸν ὅρα, τὸν μακάριον Παῦλον, ὃς μετὰ μυρίους στεφάνους ἔξω τοῦ σκάμματος καθήμενος νῦν, τῆς παρούσης λέγω ζωῆς, τοῖς παλαίουσιν ἡμῖν ὑποφωνεῖ, καὶ [μία] βοᾷ διὰ τῶν ἐπιστολῶν, ὅταν ἴδῃ κατασχεθέντας ὑπὸ ὀργῆς καὶ ὑπὸ μνησικακίας, καὶ ἀποπνιγομένους ὑπὸ τοῦ πάθους, Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν. Ρωμ. ιβ. κ. καὶ καθάπερ ὁ παιδοτρίβης λέγει, ὅτι ἂν τόδε, καὶ τόδε ποιήσῃς, περιέσῃ τοῦ ἀνταγωνιστοῦ, οὕτω καὶ οὗτος προστίθησι· Τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. ἀλλὰ γὰρ μεταξὺ τούτου τοῦ ἀναγινώσκειν με τὸν νόμον, ἐπῆλθε τὸ δοκοῦν φύεσθαι ζήτημα ἐξ αὐτοῦ καὶ πολλοῖς παρέχειν κατὰ τοῦ

Παύλου λαβὼν ″ὅπερ″ προθεῖναι τήμερον εἰς μέσον ″ὑμῖν. Τί ποτ' οὖν ἐστι τὸ ὑφορμοῦν ταῖς διανοίαις τῶν μὴ μετὰ ἀκριβείας ἅπαντα ἐξετάζειν βουλομένων; ἀπάγων ὀργῆς ὁ Παῦλος, φησί, καὶ πείθων ἐπιεικεῖς εἶναι καὶ μετρίους τοῖς πέλας, μᾶλλον αὐτοὺς ἐξεθηρίωσε, καὶ πρὸς θυμὸν ἐπῆρε. Τὸ μὲν γὰρ εἰπεῖν, ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν, ἐὰν διψᾷ, πότιζε αὐτόν, καλὸν ἐπίταγμα καὶ φιλοσοφίας γέμον, καὶ τῷ ποιοῦντι καὶ τῷ πάσχοντι χρήσιμον· τὸ δὲ ἐντεῦθεν λοιπὸν πολλὴν ἔχει τὴν ἀπορίαν, καὶ δοκεῖ μὴ συμβαίνειν τῇ γνώμῃ τοῦ τὰ πρότερα εἰρηκότος. Ποῖον δὲ τοῦτο; Τὸ λέγειν, ὅτι ποιῶν τοῦτο, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. Διὰ γὰρ τούτων τῶν ῥημάτων καὶ τὸν ποιοῦντα, καὶ τὸν πάσχοντα ἠδίκησε· τοῦ μὲν τὴν κεφαλὴν ἀνάψας, καὶ πυρὸς ἄνθρακας ἐπιθείς (τί γὰρ τοσοῦτον ἀπὸ τοῦ ψωμίζεσθαι καὶ ποτίζεσθαι γένοιτ' ἂν ἀγαθόν, ὅσον κακὸν ἀπὸ τῆς τῶν ἀνθράκων ″σωτηρίας;) τὸν μὲν οὖν εὖ πάσχοντα, φησίν, οὕτως ἠδίκησεν, εἰς μείζονα ἐμβαλὼν τιμωρίαν, τὸν δὲ εὖ ποιοῦντα πάλιν ἑτέρως κατέβλαψε. Τί γὰρ καὶ αὐτὸς ἀπὸ τῆς ἐχθρῶν εὐεργεσίας κερδᾶναι δύναται, ὅταν ἐλπίδι τῆς τιμωρίας ″αὐτῷ ποιῇ; ὁ γὰρ διὰ τοῦτο τρέφων καὶ ποτίζων τὸν ἐχθρόν, ἵνα ἄνθρακας σωρεύσῃ πυρὸς ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, οὐχὶ φιλάνθρωπος καὶ χρηστός, ἀλλ' ὠμὸς καὶ ἀπηνὴς γένοιτ' ἄν, διὰ μικρᾶς εὐεργεσίας ἄφατον ἐμβαλὼν κόλασιν. Τί γὰρ ἂν γένοιτο χαλεπώτερον τοῦ διὰ τοῦτο τρέφοντος, ἵνα σωρεύσῃ πυρὸς ἄνθρακας ἐπὶ τὴν τοῦ τρεφομένου κεφαλήν; ἡ μὲν οὖν ἀντίθεσις αὕτη. Δεῖ δὲ λοιπὸν τὴν λύσιν ἐπαγαγεῖν, ἵνα δι' αὐτῶν τούτων τῶν δοκούντων ἐπιλαμβάνεσθαι τῶν τοῦ νόμου γραμμάτων, ἴδῃς ἀκριβῶς τοῦ νομοθέτου τὴν σοφίαν ἅπασαν. Τίς οὖν ἐστιν ἡ λύσις; Συνεῖδε τοῦτο καλῶς ὁ μέγας καὶ γενναῖος ἀνὴρ ἐκεῖνος, ὅτι βαρὺ καὶ χαλεπὸν πρᾶγμα, ἐχθρῷ καταλλαγῆναι ταχέως· βαρὺ δὲ καὶ χαλεπόν, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ῥᾳθυμίαν τὴν ἡμετέραν· αὐτὸς δὲ οὐχὶ καταλλαγῆναι μόνον ἐκέλευσεν, ἀλλὰ καὶ θρέψαι, ὃ πολὺ τοῦ προτέρου βαρύτερόν ἐστιν. Εἰ γὰρ βλέποντες μόνον τοὺς λελυπηκότας τινὲς ἐκθηριοῦνται, πῶς ἂν εἵλοντο θρέψαι πεινῶντας; καὶ τί λέγω, βλέποντες; ἂν μνησθῇ τις αὐτῶν, καὶ τὴν προσηγορίαν εἰς μέσον ἐνέγκῃ μόνον, ἀνανεοῖ τὴν πληγὴν τῆς διανοίας ἡμῖν, καὶ μείζω ποιεῖ τὴν φλεγμονήν. Ταῦτ' οὖν ἅπαντα συνιδὼν ὁ Παῦλος, καὶ βουλόμενος τὸ δυσκατόρθωτον τοῦτο καὶ χαλεπόν, εὔκολον ποιῆσαι καὶ ῥᾴδιον, καὶ πεῖσαι τὸν μηδὲ ἰδεῖν ἀνεχόμενον τὸν ἐχθρόν, εἰς εὐεργεσίαν τὴν ἐκείνου ″γενέσθαι, τοὺς ἄνθρακας ἔθηκε τοῦ πυρός· ἵν' ἐλπίδι τῆς τιμωρίας προτραπείς, ἐπιδράμῃ τῇ τοῦ λελυπηκότος εὐεργεσίᾳ. Καὶ καθάπερ ὁ ἁλιεὺς πανταχόθεν τὸ ἄγκιστρον περιστέλλων τῷ δελέατι, προστίθησι τοῖς ἰχθύσιν, ἵνα προσδραμὼν τῇ συνήθει τροφῇ, δι' ἐκείνης ἁλῷ καὶ καταχθῇ ῥᾳδίως· οὕτω δὴ καὶ ὁ Παῦλος, βουλόμενος εἰς τὴν εὐεργεσίαν ἐμβιβάσαι τοῦ ἠδικηκότος τὸν ἠδικημένον, οὐ γυμνὸν προστίθησι τὸ τῆς φιλοσοφίας ἄγκιστρον, ἀλλ' ὥσπερ τινὶ δελέατι, τοῖς ἄνθραξι τοῦ πυρὸς περιστείλας, καλεῖ μὲν τὸν ἐπηρεασθέντα τῇ τῆς κολάσεως ἐλπίδι πρὸς τὴν εὐεργεσίαν τοῦ λελυπηκότος· ἐλθόντα δὲ αὐτὸν κατέχει λοιπόν, καὶ οὐκ ἀφίησιν ἀποπηδῆσαι, αὐτῆς τοῦ πράγματος τῆς φύσεως προσηλούσης αὐτὸν τῷ ἐχθρῷ· καὶ μονονουχὶ λέγει πρὸς αὐτόν, οὐ βούλει δι' εὐλάβειαν τρέφειν τὸν ἠδικηκότα; διὰ γοῦν τὴν ἐλπίδα τῆς κολάσεως θρέψον. Οἶδε γάρ, ὅτι ἐὰν ἅψηται τῆς εἰς αὐτὸν εὐεργεσίας, ἀρχὴ λοιπὸν αὐτῷ καὶ ὁδὸς γέγονε τῆς καταλλαγῆς. Οὐδεὶς γάρ, οὐδεὶς τὸν ψωμιζόμενον ὑπ' αὐτοῦ καὶ ποτιζόμενον διηνεκῶς ἀνάσχοιτο ἔχειν ἐχθρόν, εἰ καὶ παρὰ τὴν ἀρχὴν ἐλπίδι τιμωρίας τοῦτο ποιεῖ. ὁ γὰρ χρόνος προϊὼν χαλᾷ καὶ τῆς ὀργῆς τὸν τόνον. Ὥσπερ οὖν ὁ ἁλιεύς, εἰ γυμνὸν τὸ θήρατρον προσέθηκεν, οὐκ ἂν ἐπεσπάσατο τὸν ἰχθύν, νυνὶ δὲ περιστείλας αὐτό, λανθανόντως ἐνίησι τῷ στόματι τοῦ προσιόντος ζῴου τὸ ἄγκιστρον· οὕτω καὶ ὁ Παῦλος, εἰ μὴ προέτεινε τὴν προσδοκίαν τῆς κολάσεως, οὐκ ἂν ἔπεισε τοὺς ἠδικημένους ἅψασθαι τῆς τῶν λελυπηκότων εὐεργεσίας. Βουλόμενος οὖν ἀποπηδῶντας αὐτούς, καὶ δυσχεραίνοντας, καὶ ναρκῶντας καὶ πρὸς αὐτὴν

γρ. προθεῖναι
ἴσ. ὑμῖν βούλομαι.

ἴσ. σωρείας

ἴσ. αὐτὸ

ἴσ. γενέσθαι προθύμως

τὴν τῶν ἐχθρῶν ὄψιν, πεῖσαι τὰ μέγιστα αὐτοὺς εὐεργετεῖν, τοὺς ἄνθρακας ἔθηκε τοῦ πυρός, οὐχ ἵνα ἐκείνους ἐμβάλλῃ εἰς ἀπαραίτητον κόλασιν, ἀλλ' ἵνα τοὺς ἠδικημένους πείσας ἐν τῇ προσδοκίᾳ τῆς κολάσεως εὐεργετεῖν τοὺς ἐχθρούς, τῷ χρόνῳ λοιπὸν πείσῃ καὶ πᾶσαν αὐτοῖς ἀφεῖναι τὴν ὀργήν. καὶ τὸν μὲν ἠδικημένον οὕτω παρεμυθήσατο· ὅρα δὲ καὶ τὸν ἠδικηκότα πῶς συνάπτει τῷ παρωργισμένῳ πάλιν. πρῶτον μὲν τῷ τῆς εὐεργεσίας τρόπῳ (οὐδεὶς γάρ ἐστιν οὕτως ἄθλιος καὶ ἀναίσθητος, ὃς ποτιζόμενος καὶ ψωμιζόμενος, μὴ γίνεσθαι βελτίων δοῦλος καὶ φίλος τῷ ταῦτα αὐτῷ ἐργαζομένῳ) δεύτερον δὲ τῷ φόβῳ τῆς τιμωρίας. δοκεῖ μὲν γὰρ πρὸς τὸν ψωμίζοντα ἀποτείνεσθαι λέγων· Τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ· μάλιστα δὲ τοῦ λελυπηκότος καθάπτεται, ἵνα τῷ φόβῳ τῆς κολάσεως ταύτης μὴ μένῃ διαπαντὸς ἐχθρὸς ὤν, ἀλλ' εἰδώς, ὅτι τὰ μέγιστα αὐτὸν καταβλάψαι δύναιτ' ἂν τὸ ψωμίζεσθαι καὶ ποτίζεσθαι, εἰ μένοι διηνεκῶς ἐπὶ τῆς ἀπεχθείας, καταλύσῃ τὴν ὀργήν. οὕτω γὰρ τοὺς ἄνθρακας τοῦ πυρὸς σβέσαι δυνήσεται. ὥστε καὶ ἡ κόλασις καὶ ἡ τιμωρία κειμένη τόν τε ἠδικημένον ἐπισπᾶται εἰς εὐεργεσίαν τοῦ λελυπηκότος, τόν τε παροξύναντα φοβεῖ καὶ διανίστησι, καὶ πρὸς καταλλαγὴν ὠθεῖ τοῦ τρέφοντος καὶ ποτίζοντος. διπλῷ τοίνυν ἀμφοτέρους συνέδησε δεσμῷ πρὸς ἀλλήλους, τῷ τῆς εὐεργεσίας, καὶ τῷ τῆς τιμωρίας. τὸ γὰρ δυσχερές, ἀρχὴν καὶ εἴσοδον εὑρεῖν τῇ καταλλαγῇ· ταύτης δὲ ἀνοιγείσης οἱῳδήποτε τρόπῳ, τὰ μετὰ ταῦτα πάντα ῥᾴδια ἔσται καὶ εὔκολα. κἂν γὰρ παρὰ τὴν ἀρχὴν ἐλπίδι κολάσεως τρέφῃ τὸν ἐχθρὸν ὁ λελυπημένος, ἀλλ' αὐτῷ τῷ τρέφειν γινόμενος φίλος, ἐκβαλεῖν τὴν ἐπιθυμίαν δυνήσεται τῆς τιμωρίας. φίλος γὰρ γινόμενος, οὐκ ἔτι ἂν τοιαύτῃ θρέψαι προσδοκίᾳ τὸν καταλλαγέντα αὐτῷ. πάλιν ὁ παροξύνας, ἰδὼν τὸν ἠδικημένον τρέφειν αὐτὸν καὶ ποτίζειν προαιρούμενον, διά γε τοῦτο αὐτό, καὶ τὸν φόβον τῆς ἀποκειμένης αὐτῷ κολάσεως, πᾶσαν ἐκβάλλει τὴν ἀπέχθειαν, κἂν μυριάκις σιδηροῦς ᾖ, καὶ ἀπηνὴς καὶ ἀδάμας, τήν τε φιλοφροσύνην τοῦ τρέφοντος δυσωπούμενος, καὶ τὴν ἀποκειμένην αὐτῷ κόλασιν δεδοικώς, εἰ μένοι μετὰ τὴν τροφὴν ἐχθρὸς ὤν. διά τοι τοῦτο οὐδὲ ἐνταῦθα ἔστη τῆς παραινέσεως, ἀλλ' ὅτε ἐκένωσεν ἑκατέρου τὴν ὀργήν, τότε καὶ τὴν γνώμην αὐτῶν διορθοῦται λέγων, Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ. ἂν γὰρ μένῃς, φησί, μνησικακῶν καὶ ἀμυνόμενος, δοκεῖς μὲν τὸν ἐχθρὸν νικᾶν, νικᾶσαι δὲ ὑπὸ τοῦ κακοῦ, τουτέστιν, ὑπὸ τῆς ὀργῆς. ὥστε, εἰ βούλει νικῆσαι, καταλλάγηθι, καὶ μὴ ἐπεξέλθῃς· αὕτη γάρ ἐστιν ἡ λαμπροτέρα νίκη, ὅταν [ἐν] τῷ ἀγαθῷ, τουτέστι, τῇ ἀνεξικακίᾳ, νικήσῃς τὸ κακόν, τὴν ὀργὴν καὶ τὴν μνησικακίαν ἐκβαλών. ἀλλὰ τούτων ἐξ ἀρχῆς οὐκ ἂν ἠνέσχετο τῶν ῥημάτων ὁ ἠδικημένος καὶ φλεγμαίνων. διὰ τοῦτο, ὅτε αὐτοῦ τὸν θυμὸν ἐκόρεσε, τότε καὶ ἐπὶ τὴν ἀρίστην αὐτὸν ἤγαγε τῆς καταλλαγῆς αἰτίαν, καὶ οὐκ ἀφῆκεν ἐναπομεῖναι τῇ πονηρᾷ τῆς τιμωρίας ἐλπίδι. εἶδες νομοθέτου σοφίαν; καὶ ἵνα μάθῃς ὅτι διὰ τὴν ἀσθένειαν τῶν οὐκ ἀνεχομένων ἄλλως ἑαυτοῖς συνάπτεσθαι, τοῦτον εἰσήγαγε τὸν νόμον, ἄκουσον πῶς ὁ Χριστὸς τὸ αὐτὸ τοῦτο νομοθετῶν, οὐ τὸ αὐτὸ τέθεικεν ἔπαθλον· ἀλλ' εἰπών, ὅτι Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, ὅπερ ἐστὶ τρέφειν καὶ ποτίζειν, οὐκ ἐπήγαγεν, ὅτι τοῦτο γὰρ ποιοῦντες ἄνθρακας πυρὸς σωρεύσετε ἐπὶ τὰς κεφαλὰς αὐτῶν· ἀλλὰ τί; Ὅπως γένησθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς. εἰκότως. Πέτρῳ γάρ, Ἰακώβῳ καὶ Ἰωάννῃ διελέγετο, καὶ τῷ λοιπῷ τῶν ἀποστόλων χορῷ. διὰ τοῦτο αὐτὸ τέθεικεν ἔπαθλον. εἰ δὲ λέγεις, ὅτι καὶ οὕτω φορτικὸν τὸ ἐπίταγμα, μειζόνως μὲν ὑπὲρ Παύλου πάλιν ἡμῖν ἀπολογῇ, σαυτὸν δὲ πάσης συγγνώμης ἀποστερεῖς. τί δήποτε; ὅτι τοῦτο δοκοῦν εἶναι φορτικόν, ἐν τῇ παλαιᾷ σοι δείκνυμι κατορθούμενον, ὅτε οὔπω τοσαύτης φιλοσοφίας ἐπίδειξις ἦν. διὰ γὰρ τοῦτο καὶ ὁ Παῦλος οὐχὶ οἰκείοις ῥήμασι τὸν νόμον εἰσήγαγεν, ἀλλ' αὐταῖς χρησάμενος ταῖς ῥήσεσιν, αἷς ὁ παρὰ τὴν ἀρχὴν αὐτὸν εἰσαγαγὼν ἔθηκεν, ἵνα μηδεμίαν

Ρωμ. ιϐ κα.

Ματθ. ε. μδ.

συγγνώμην καταλείπῃ τοῖς μὴ τηροῦσιν αὐτήν. τὸ γάρ, Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε
αὐτόν, ἐὰν διψᾷ, πότιζε αὐτόν, οὐχὶ Παύλου ἐστὶ πρῶτον ῥῆμα, ἀλλὰ τοῦ Σολομῶντος.
Παροιμ. κε. κϛ. διὰ τοῦτο τὰ ῥήματα τέθεικεν, ἵνα πείσῃ τὸν ἀκροατήν, ὅτι τῶν αἰσχίστων ἐστί, παλαιὸν νόμον καὶ
ὑπὸ τῶν ἀρχαίων κατορθωθέντα πολλάκις, νῦν εἰς τοσαύτην ἐπιδοθέντα φιλοσοφίαν
φορτικὸν εἶναι νομίζειν καὶ ἐπαχθῆ. καὶ τίς αὐτὸν τῶν ἀρχαίων κατώρθωσε, φησί; πολλοὶ μὲν καὶ
ἄλλοι, μάλιστα δὲ ὁ Δαβὶδ μετὰ πλείονος τῆς περιουσίας. οὐ γὰρ ἐψώμισε τὸν ἐχθρόν,
οὐδὲ ἐπότισε μόνον, ἀλλὰ καὶ κινδυνεύοντα πολλάκις ἐξήρπασε τοῦ θανάτου, καὶ γενόμενος κύριος
αὐτοῦ τῆς σφαγῆς, ἐφείσατο καὶ ἅπαξ, καὶ δίς, καὶ πολλάκις. καὶ ὁ μὲν Σαοὺλ οὕτως αὐτὸν
ἐμίσει καὶ ἀπεστρέφετο μετὰ τὰς μυρίας εὐεργεσίας, μετὰ τὰ λαμπρὰ τρόπαια καὶ τὴν
ἐπὶ τοῦ Γολιὰθ σωτηρίαν, ὡς μηδὲ τῆς προσηγορίας ἀνέχεσθαι τῆς ἐκείνου μνησθῆναι,
ἀλλ' ἀπὸ τοῦ πατρὸς αὐτὸν καλεῖν. ἑορτῆς γάρ ποτε ἐπιστάσης, ἐπειδὴ δόλον αὐτῷ πλέξας
α. Βασ. κ. κζ. τινά, καὶ χαλεπὴν ἐπιβουλὴν ῥάψας, οὐκ εἶδε παραγινόμενον, Ποῦ ἐστί, φησιν, ὁ υἱὸς Ἰεσσαί;
ἐκάλει μὲν αὐτὸν ἀπὸ τοῦ πατρός, ὁμοῦ μὲν διὰ τὴν ἔχθραν οὐχ ὑπομένων ἀναμνησθῆναι
τῆς προσηγορίας, ὁμοῦ δὲ νομίζων ἀπὸ τῆς τοῦ πατρὸς δυσγενείας τῇ τοῦ δικαίου λυμαίνεσθαι
περιφανείᾳ, ἀθλίως καὶ ταλαιπώρως νομίζων. μάλιστα μὲν γάρ, εἰ καὶ κατηγορεῖν εἶχε
τοῦ πατρός, οὐδὲν τοῦτο κατέβλαπτε τὸν Δαβίδ. τῶν γὰρ αὐτῷ πεπραγμένων ὑπεύθυνός
ἐστιν ἕκαστος, καὶ ἀπὸ τούτων ἐπαινεῖσθαι καὶ κατηγορεῖσθαι δύναται. νυνὶ δὲ πονηρίαν οὐδεμίαν
ἔχων εἰπεῖν, τὴν τοῦ γένους δυσγένειαν εἰς μέσον ἔφερε· ταύτῃ προσδοκῶν ἐπισκοτίζειν
αὐτοῦ τὴν λαμπρότητα, ὅπερ καὶ αὐτὸ ἐσχάτης ἀνοίας ἦν. ποῖον γὰρ ἔγκλημα
τὸ ἐξ εὐτελῶν εἶναι καὶ ταπεινῶν; ἀλλ' οὐκ ᾔδει ταῦτα ἐκεῖνος φιλοσοφεῖν. ὁ μὲν οὖν Σαοὺλ
υἱὸν Ἰεσσαὶ ἐκάλει· ὁ δὲ Δαβὶδ εὑρὼν αὐτὸν ἔνδον ἐν τῷ σπηλαίῳ καθεύδοντα, οὐκ ἐκάλεσεν
α. Βασ. κϛ. ι. αὐτὸν υἱὸν Κὶς, ἀλλὰ τῷ τῆς τιμῆς ὀνόματι. Οὐ γὰρ μὴ ἐπαγάγω τὴν χεῖρά
μου, φησιν, ἐπὶ χριστὸν Κυρίου. οὕτω καθαρὸς ἦν ὀργῆς καὶ μνησικακίας ἁπάσης· χριστὸν
Κυρίου καλεῖ τὸν τοσαῦτα ἠδικηκότα, τὸν τοῦ αἵματος αὐτοῦ διψῶντα, τὸν μετὰ μυρίας εὐεργεσίας
πολλάκις αὐτὸν ἐπιχειρήσαντα ἀνελεῖν. οὐ γὰρ ἐσκόπει τί παθεῖν ἐκεῖνος ἄξιος ἦν,
ἀλλ' ἐσκόπει τί καὶ ποιῆσαι καὶ εἰπεῖν αὐτῷ πρέπον ἦν, ὅπερ μέγιστος ὅρος φιλοσοφίας ἐστί.
τί τοῦτο; ὥσπερ ἐν δεσμωτηρίῳ λαβὼν τὸν ἐχθρόν, διπλῷ κατεχόμενον δεσμῷ, μᾶλλον δὲ
τριπλῷ, καὶ τῇ τοῦ τόπου στενοχωρίᾳ, καὶ τῇ τῶν βοηθησάντων ἐρημίᾳ, καὶ τῇ τοῦ ὕπνου ἀνάγκῃ,
οὐκ ἀπαιτεῖς δίκην οὐδὲ τιμωρίαν αὐτόν; οὐχί, φησιν. οὐ γὰρ τί παθεῖν δίκαιος οὗτος
ἐστιν, ὁρῶ νῦν, ἀλλὰ τί ποιῆσαι ἐμοὶ προσήκει. οὐκ εἶδε πρὸς τὴν εὐκολίαν τῆς σφαγῆς,
ἀλλ' εἶδε πρὸς τὴν ἀκρίβειαν τῆς αὐτῷ πρεπούσης φιλοσοφίας. καίτοι τί τῶν
τότε οὐκ ἦν ἱκανὸν διαναστῆσαι αὐτὸν πρὸς τὴν σφαγήν; τὸ δεδεμένον αὐτῷ παραδοθῆναι
τὸν ἐχθρόν; ἴστε γὰρ δήπου τοῦτο, ὡς μειζόνως ἐπιτρέχομεν τοῖς εὐκολίας γέμουσι πράγμασι,
καὶ ἡ τοῦ κατορθῶσαι ἐλπὶς μείζονα τῆς πράξεως ἡμῖν ἐπιθυμίαν ἐντίθησιν, ὥσπερ καὶ
ἐπ' ἐκείνου τότε ἦν. ἀλλ' ὁ στρατηγὸς τότε συμβουλεύων καὶ διεγείρων; ἀλλ' ἡ μνήμη τῶν
παρελθόντων; ἀλλ' οὐδὲν αὐτὸν ἐκίνησε πρὸς τὸν φόνον· αὐτὸ μὲν οὖν αὐτὸν τὸ τῆς σφαγῆς εὔκολον
ἀπέστρεψεν. ἐνενόησε γάρ, ὅτι διὰ τοῦτο παρέδωκεν αὐτὸν ὁ Θεός, ἵνα αὐτῷ πλείονα
φιλοσοφίας ὑπόθεσιν παράσχῃ καὶ ἀφορμήν. ὑμεῖς μὲν οὖν αὐτὸν ἴσως θαυμάζετε, ὅτι
οὐδενὸς ἐμνήσθη τῶν παρελθόντων κακῶν· ἐγὼ δὲ δι' ἕτερον πολλῷ μεῖζον αὐτὸν ἐκπλήττομαι.
ποῖον δὲ τοῦτο; ὅτι οὐδὲ ὁ φόβος αὐτὸν τῶν μελλόντων ὤθησε πρὸς τὸ διαχειρίσασθαι
τὸν ἐχθρόν. ᾔδει γὰρ σαφῶς, ὅτι διαφυγὼν αὐτοῦ τὰς χεῖρας, πάλιν κατ' αὐτοῦ στήσεται· ἀλλ' εἵλετο
μᾶλλον αὐτὸς κινδυνεύειν ἀπολύσας τὸν ἠδικηκότα, ἢ τῆς καθ' ἑαυτὸν ἀσφαλείας προνοῶν
διαχειρίσασθαι τὸν πολέμιον. τί γένοιτ' ἂν οὖν ἴσον τῆς μεγάλης καὶ γενναίας ἐκείνης ψυχῆς, ὅς, τοῦ
νόμου κελεύοντος ἐξορύττειν ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος, καὶ τοῖς ἴσοις ἀμύνεσθαι,

οὐ μόνον τοῦτο οὐκ εἰργάσατο, ἀλλὰ καὶ πολλῷ πλείονα φιλοσοφίαν ἐπεδείξατο, καίτοιγε εἰ ἀνῃρήκει τότε τὸν Σαούλ, καὶ οὕτως αὐτῷ τῆς φιλοσοφίας ἐγκώμιον ἀκέραιον ἔμενεν, οὐ μόνον ὅτι ἠμύνατο, οὐκ αὐτὸς ἄρξας χειρῶν ἀδίκων, ἀλλ' ὅτι καὶ ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, μετὰ πολλῆς ἐνίκα τῆς ἐπιεικείας. οὐ γὰρ ἀντὶ μιᾶς σφαγῆς μίαν ἐπῆρεν, ἀλλ' ὅτι πολλῶν θανάτων, ὧν ἐκεῖνος ἐπήγαγεν, οὐχ ἅπαξ, οὐ δίς, ἀλλὰ πολλάκις αὐτὸν ἐπιχειρήσας ἀνελεῖν, ἕνα ἔμελλεν ἐπαγαγεῖν θάνατον· μᾶλλον δὲ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ δεδοικότα τὸ μέλλον οὕτως ἐπὶ τὴν ἄμυναν ἔρχεσθαι, καὶ τοῦτο μετὰ τῶν εἰρημένων ὁλόκληρον αὐτῷ τὸν τῆς ἀνεξικακίας διεγείρει στέφανον. ὁ μὲν γὰρ ὑπὲρ τῶν γεγενημένων εἰς αὐτὸν ὀργιζόμενος καὶ τιμωρίαν ἀπαιτῶν, οὐκ ἂν δύναιτο τῶν τῆς ἀνεξικακίας ἐπιτυχεῖν ἐγκωμίων· ὁ δὲ τὰ μὲν παρελθόντα πάντα πολλὰ ὄντα καὶ χαλεπὰ ἀφέντα, ὑπὲρ δὲ τοῦ μέλλοντος δεδοικότα καὶ προκατασκευάζοντα ἀσφάλειαν ἑαυτῷ, καὶ διὰ τοῦτο ἀναγκαζόμενον ἐπὶ τὴν ἄμυναν ἀνέρχεσθαι, οὐδεὶς ἂν τῶν τῆς ἐπιεικείας ἀποστερήσειε στεφάνων. ἀλλ' ὅμως ὁ Δαβὶδ οὐδὲ τοῦτο ἐποίησεν, ἀλλὰ καινόν τινα καὶ παράδοξον εὗρε φιλοσοφίας τρόπον· καὶ οὔτε ἡ μνήμη τῶν παρελθόντων, οὐχ ὁ φόβος τῶν μελλόντων, οὐχ ἡ προτροπὴ τοῦ στρατηγοῦ, οὐχ ἡ ἐρημία τοῦ τόπου, οὐ τὸ τῆς σφαγῆς εὔκολον, οὐκ ἄλλο οὐδὲν διήγειρεν αὐτὸν πρὸς τὸν φόνον· ἀλλ' ὥσπερ εὐεργέτου τινός, καὶ τὰ μεγάλα αὐτὸν πεποιηκότος ἀγαθά, οὕτω τοῦ ἐχθροῦ καὶ λελυπηκότος ἐφείσατο. ποίαν οὖν ἕξομεν ἡμεῖς συγγνώμην, ἁμαρτημάτων παρελθόντων μνημονεύοντες, καὶ τοὺς λελυπηκότας ἀμυνόμενοι, ὅταν ὁ ἀναίτιος ἐκεῖνος, τοσαῦτα μὲν πεπονθώς, πλείονα δὲ καὶ χαλεπώτερα προσδοκῶν αὐτῷ συμβήσεσθαι κακὰ ἀπὸ τῆς τοῦ ἐχθροῦ σωτηρίας, φαίνηται φειδόμενος οὕτως, ὡς ἑλέσθαι κινδυνεῦσαι μᾶλλον αὐτός, καὶ μετὰ φόβου καὶ τρόμου ζῆν, ἢ τὸν μέλλοντα μυρία πράγματα αὐτῷ παρέχειν ἀποσφάξαι δικαίως; τὴν μὲν οὖν φιλοσοφίαν ἐκ τούτων ἐστὶν ἰδεῖν, ὅτι οὐ μόνον οὐκ ἔσφαξε, τοσαύτης οὔσης ἀνάγκης, ἀλλ' οὐδὲ ῥῆμα βλάσφημον εἰς αὐτὸν ἐξήνεγκε, καὶ ταῦτα μὴ μέλλοντος αὐτοῦ ἀκούσεσθαι τοῦ ὑβριζομένου. καίτοιγε ἡμεῖς καὶ φίλους λέγομεν πολλάκις κακῶς ἀπόντας, ἐκεῖνος δὲ οὐδὲ τὸν ἐχθρὸν καὶ τοσαῦτα ἠδικηκότα. τὴν μὲν οὖν φιλοσοφίαν ἐκ τούτων ἐστὶν ἰδεῖν· τὴν δὲ φιλανθρωπίαν, καὶ τὴν ἄλλην κηδεμονίαν, ἐξ ὧν μετὰ ταῦτα ἐποίησε. τὸ γὰρ κράσπεδον κόψας τοῦ ἱματίου, καὶ τὸν φακὸν τοῦ ὕδατος ὑφελόμενος, ἀπελθὼν πόρρωθεν, καὶ στὰς ἐβόησε, καὶ τῷ διασωθέντι ταῦτα ὑπέδειξεν, οὐχὶ πρὸς ἐπίδειξιν καὶ φιλοτιμίαν τοῦτο ποιῶν, ἀλλὰ διὰ τῶν ἔργων αὐτὸν πεῖσαι βουλόμενος, ὅτι εἰκῆ καὶ μάτην αὐτὸν ὑπώπτευεν, ὡς ἐχθρόν, καὶ διὰ τοῦτο αὐτὸν πρὸς φιλίαν ἐπισπάσασθαι σπουδάζων. ἀλλ' ὅμως οὐδὲ οὕτως αὐτὸν πείσας, καὶ δυνάμενος διαχειρίσασθαι, πάλιν εἵλετο μᾶλλον ἐκπεσεῖν τῆς πατρίδος καὶ ἐν ἀλλοτρίᾳ διατρίβειν, καὶ καθ' ἑκάστην ταλαιπωρούμενος ἡμέραν, τὴν ἀναγκαίαν αὐτῷ πορίζειν τροφήν, ἢ μένων οἴκοι λυπῆσαι τὸν ἐπίβουλον. τί γένοιτ' ἂν ἡμερώτερον τῆς ἐκείνου ψυχῆς; ὄντως δικαίως ἔλεγε, Μνήσθητι, Κύριε, τοῦ Δαβίδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ. τοῦτον καὶ ἡμεῖς μιμησώμεθα, καὶ μήτε λέγωμεν, μήτε ποιῶμεν κακῶς τοὺς ἐχθρούς, ἀλλὰ καὶ εὐεργετῶμεν κατὰ δύναμιν. ἡμᾶς γὰρ ἑαυτοὺς εὖ ποιήσομεν μᾶλλον, ἢ ἐκείνους. Ἂν γὰρ ἀφῆτε, φησί, τοῖς ἐχθροῖς ὑμῶν, ἀφεθήσεται ὑμῖν. ἄφες δουλικὰ ἁμαρτήματα, ἵνα λάβῃς συγχώρησιν δεσποτικῶν ἁμαρτημάτων. εἰ δὲ μεγάλα ἠδίκησεν, ὅσῳπερ ἂν μείζονα ἀφῇς, τοσούτῳ μείζονα λήψῃ τὴν συγχώρησιν. διὰ γὰρ τοῦτο ἐδιδάχθημεν λέγειν, Ἄφες ἡμῖν, καθὼς ἀφίεμεν· ἵνα μάθωμεν ὅτι τὸ μέτρον τῆς ἀφέσεως παρ' ἡμῶν πρότερον λαμβάνει τὴν ἀρχήν. ὥστε ὅσῳπερ ἂν χαλεπώτερα ὁ ἐχθρὸς ἐργάσηται κακά, τοσούτῳ μειζόνως εὐεργετεῖ. σπουδάζωμεν τοίνυν καὶ ἐπειγώμεθα καταλλάττεσθαι πρὸς τοὺς λελυπηκότας, ἄν τε δικαίως, ἄν τε ἀδίκως ὀργίζωνται. ἂν μὲν γὰρ ἐνταῦθα καταλλαγῇς, ἀπηλλάγης τῆς ἐκεῖ κρίσεως· ἐὰν δὲ μεταξύ, μενούσης τῆς ἔχθρας, θάνατος ἐπιστὰς ἀ-

Ματθ. ϛ. ιδ.

Ματθ. ϛ. ιβ.

ἥμερον ἀ

ἐπῆν

αὐτί

τότε

ἀπαγάγῃ τὴν ἀπέχθειαν μεσολαβήσας, ἐκεῖ λοιπὸν εἰσαχθῆναι τὴν δίκην ἀνάγκη. καθάπερ δὴ πολλοὶ τῶν ἀνθρώπων πρὸς ἀλλήλους ἀμφισβητοῦντες, ἂν μὲν ἔξω φιλικώτερον διαλύσωνται πρὸς ἀλλήλους, καὶ ζημίας καὶ φόβου καὶ κινδύνων πολλῶν ἑαυτοὺς ἀπαλλάττουσι, κατὰ γνώμην ἑκατέροις τοῦ τέλους τῆς δίκης ἐκβαίνοντος, ἂν δὲ τῷ δικαστῇ τὰ καθ' ἑαυτοὺς ἐπιτρέψωσι, καὶ χρημάτων ζημία καὶ τιμωρία πολλάκις, καὶ τὴν ἔχθραν μένειν ἀκίνητον αὐτοῖς περιέστη· οὕτω δὴ καὶ ἐνταῦθα, ἂν μὲν κατὰ τὴν παροῦσαν ζωὴν διαλυσώμεθα, πάσης ἑαυτοὺς κολάσεως ἀπαλλάξομεν· ἂν δὲ ἐχθροὶ μένοντες, εἰς τὸ δικαστήριον ἀπέλθωμεν ἐκεῖνο τὸ φοβερόν, τὴν ἐσχάτην δώσομεν δίκην ἐπὶ τῇ ψήφῳ τοῦ δικαστοῦ πάντως ἐκείνου, καὶ ἀμφότεροι τιμωρίαν ὑποστησόμεθα ἀπαραίτητον, ὁ μὲν ἀδίκως ὀργιζόμενος, διὰ τοῦτο ὅτι ἀδίκως, ὁ δὲ δικαίως, διὰ τοῦτο ὅτι δικαίως ἐμνησικάκησε. κἂν γὰρ ἀδίκως ὦμεν τι πεπονθότες κακῶς, συγχώρησιν δεῖ προσνέμειν τοῖς ἠδικηκόσι. καὶ σκόπει πῶς τοὺς

Ματθ. ε. κδ. ἀδίκως λυπήσαντας ὠθεῖ καὶ κατεπείγει πρὸς τὴν καταλλαγὴν τῶν ἠδικημένων. Ἐὰν προσφέρῃς τὸ δῶρόν σου, φησίν, ἔμπροσθεν τοῦ θυσιαστηρίου, κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ὕπαγε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου. οὐκ εἶπε, συνάγαγε, προσένεγκε τὴν θυσίαν, ἀλλά, διαλλάγηθι, καὶ τότε προσένεγκε· ἄφες αὐτὴν κεῖσθαι, φησίν, ἵνα ἡ ἀνάγκη τῆς προσφορᾶς καὶ ἄκοντα καταναγκάσῃ πρὸς τὴν καταλλαγὴν ἐλθεῖν τὸν δικαίως ὀργιζόμενον. ὅρα πῶς προτρέπει πάλιν πρὸς τὸν παροξύναντα ἐλθεῖν,

Μαρκ. ια. κε. εἰπών, Ἄφετε τοῖς ὀφειλέταις ὑμῶν, ὅπως καὶ ὁ πατὴρ ὑμῶν ἀφήσῃ ὑμῖν τὰ παραπτώματα. οὐ γὰρ μικρὸν τέθεικε μισθόν, ἀλλὰ καὶ σφόδρα ὑπερβαίνοντα τὸ τοῦ κατορθώματος μέγεθος. ταῦτ' οὖν ἅπαντα ἐννοοῦντες, καὶ τὴν ἀμοιβὴν τὴν ἐπὶ τούτῳ γινομένην λογιζόμενοι, καὶ ὡς οὐ πολλοῦ καμάτου καὶ σπουδῆς ἐστιν ἁμαρτήματα ἀπαλεῖψαι, συγχωρῶμεν τοῖς ἡμᾶς ἠδικηκόσιν. ὃ γὰρ διὰ νηστείας καὶ ὀδυρμῶν καὶ εὐχῶν καὶ σάκκου καὶ σποδοῦ καὶ μυρίας ἐξομολογήσεως μόλις ἕτεροι κατορθοῦσι, τὸ τὰ ἁμαρτήματα ἐξαλείφειν λέγω τὰ ἑαυτῶν, τοῦτο ἔξεστιν ἡμῖν ῥᾳδίως ποιεῖν χωρὶς σάκκου καὶ σποδοῦ καὶ νηστείας, ἂν μόνον ἀπὸ τῆς διανοίας ἐξαλείψωμεν τὴν ὀργήν, καὶ μετὰ εἰλικρινείας ἀφῶμεν τοῖς ἠδικηκόσιν ἡμᾶς. ὁ δὲ τῆς εἰρήνης καὶ ἀγάπης Θεὸς πάντα θυμὸν καὶ πικρίαν καὶ ὀργὴν τῆς ψυχῆς ἐξορίσας τῆς ἡμετέρας, καταξιώσαι κατὰ τὴν τῶν μελῶν ἀκολουθίαν μετὰ ἀκριβείας συνδεδεμένους ἀλλήλοις, ὁμοθυμαδὸν ἐν ἑνὶ σώματι καὶ μιᾷ ψυχῇ διηνεκῶς ἀναπέμπειν τοὺς ὀφειλομένους εὐχαριστηρίους ὕμνους αὐτῷ, ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ρωμ. ιϛ. γ.

Λογ. μζ. ΕΙΣ ΤΟ, ΑΣΠΑΣΑΣΘΕ ΠΡΙΣΚΙΛΛΑΝ ΚΑΙ Ἀκύλαν, Λογ. α. καὶ τὰ ἑξῆς.

ΠΟλλοὺς ὑμῶν οἶμαι θαυμάζειν ἐπὶ τὴν περικοπὴν τῆς ἀποστολικῆς ἀναγνώσεως ταύτης, μᾶλλον δὲ πάρεργον ἡγεῖσθαι καὶ περιττὸν τοῦτο τῆς ἐπιστολῆς τὸ μέρος, διὰ τὸ προσρήσεις ἔχειν μόνον συνεχεῖς καὶ ἐπαλλήλους. διὸ δὴ καὶ αὐτὸς ἑτέρωσε τήμερον ὡρμημένος, ἀποστὰς ἐκείνης τῆς ὑποθέσεως, εἰς ταύτην καθεῖναι παρασκευάζομαι, ἵνα μάθητε, ὅτι τῶν θείων γραφῶν οὐδὲν περιττόν, οὐδὲν πάρεργόν ἐστι, κἂν ἰῶτα ἕν, κἂν μία κεραία ᾖ, ἀλλὰ καὶ ψιλὴ πρόσρησις πολὺ πέλαγος ἡμῖν ἀνοίγει νοημάτων. καὶ τί λέγω, ψιλὴ πρόσρησις; πολλάκις καὶ ἑνὸς στοιχείου προσθήκη, ὁλόκληρον νοημάτων εἰσήγαγε δύναμιν. καὶ τοῦτο ἐπὶ τῆς τοῦ Ἀβραὰμ προσηγορίας ἔστιν ἰδεῖν. πῶς γὰρ οὐκ ἄτοποι παρὰ φίλου μὲν ἐπιστολὴν δεχόμενοι, μὴ τὸ σῶμα τῆς ἐπιστολῆς ἀναγινώσκειν μόνον, ἀλλὰ καὶ τὴν κάτω κειμένην πρόσρησιν, κἀκεῖθεν μάλιστα στοχάζεσθαι τὴν τοῦ γεγραφότος διάθεσιν· Παύλου δὲ γράφοντος, μᾶλλον δὲ οὐ τοῦ Παύλου, ἀλλὰ τῆς τοῦ πνεύματος χάριτος τὴν ἐπιστολὴν ὑπαγορευούσης ὁλοκλήρῳ πόλει καὶ δήμῳ τοσούτῳ, καὶ δι᾽ ἐκείνων τῇ οἰκουμένῃ πάσῃ, νομίζειν περιττόν τι εἶναι τῶν ἐγκειμένων, καὶ παρατρέχειν ἁπλῶς, καὶ μὴ ἐννοεῖν, ὅτι ταῦτα, πάντα τὰ ἄνω κάτω πεποίηκε; τοῦτο γάρ ἐστι, τοῦτο, ὃ πολλῆς ῥαθυμίας ἡμᾶς ἐνέπλησε, τὸ μὴ πάσας ἐπιέναι τὰς γραφάς, ἀλλ᾽ ἃ νομίζομεν εἶναι σαφέστερα, ταῦτα ἐκλεγομένους, τῶν ἄλλων μηδένα ποιεῖσθαι λόγον. τοῦτο καὶ τὰς αἱρέσεις εἰσήγαγε, τὸ μὴ βούλεσθαι ἅπαν ἐπιέναι τὸ σῶμα, τὸ νομίζειν εἶναί τι περιττὸν καὶ πάρεργον. διὰ τοῦτο τὰ μὲν ἄλλα ἅπαντα ἡμῖν διεσπούδασται, οὐχὶ τὰ περιττὰ μόνον, ἀλλὰ καὶ τὰ ἀνόητα καὶ βλαβερά· τῶν γραφῶν δὲ ἡ ἐμπειρία ἠμέληται καὶ παρεώραται. καὶ οἱ μὲν περὶ τὴν θεωρίαν τὴν τῶν ἵππων ἁμίλλης ἐπτοημένοι, καὶ ὀνόματα, καὶ ἀγέλην, καὶ γένος, καὶ πατρίδα, καὶ ἀνατροφὴν τῶν ἵππων ἔχουσιν εἰπεῖν μετὰ ἀκριβείας ἁπάσης, καὶ ἐτῶν ζωῆς, καὶ ἐνεργείας δρόμου, καὶ τίς τίνι συνταττόμενος τὴν νίκην ἁρπάσει, καὶ ποῖος ἵππος ἐκ ποίας ἀφεθεὶς βαλβῖδος, καὶ τίνα ἔχων ἡνίοχον, περιέσται τοῦ δρόμου, καὶ τὸν ἀντίτεχνον παραδραμεῖται. καὶ οἱ περὶ τὴν ὀρχήστραν δὲ ἐσχολακότες, οὐκ ἐλάττω τούτων, ἀλλὰ καὶ πλείω μανίαν περὶ τοὺς ἐν τοῖς θεάτροις ἀσχημονοῦντας ἐπιδείκνυνται, μίμους λέγω καὶ ὀρχηστρίας, καὶ γένος αὐτῶν, καὶ πατρίδα, καὶ ἀνατροφήν, καὶ τὰ ἄλλα πάντα καταλέγοντες· ἡμεῖς δὲ ἐρωτώμενοι, ὁπόσαι, καὶ τίνες εἰσὶν αἱ Παύλου ἐπιστολαί, οὐδὲ τὸν ἀριθμὸν ἴσμεν εἰπεῖν. εἰ δέ τινες καὶ εἶεν τὸν ἀριθμὸν ἐπιστάμενοι, ἀλλὰ τὰς πόλεις, αἳ τὰς ἐπιστολὰς ἐδέξαντο, ταύτας ἐρωτώμενοι, διαποροῦσι πρὸς τὴν ἐρώτησιν. καὶ ἄνθρωπος μὲν εὐνοῦχος καὶ βάρβαρος, μυρίαις* φροντίσιν ὑπὸ μυρίων ἑλκόμενος πραγμάτων, οὕτω προσέκειτο βιβλίοις, ὡς μηδὲ κατὰ τὸν καιρὸν τῆς ὁδοιπορίας ἡσυχάζειν, ἀλλ᾽ ἐπ᾽ ὀχήματος καθήμενος, ἐγκεῖσθαι μετὰ πολλῆς τῆς ἀκριβείας τῇ τῶν θείων γραφῶν ἀναγνώσει· ἡμεῖς δὲ οὐδὲ τὸ πολλοστὸν μέρος τῆς ἀσχολίας ἔχοντες τῆς ἐκείνου, καὶ πρὸς τὰ ὀνόματα τῶν ἐπιστολῶν ξενιζόμεθα, καὶ ταῦτα καθ᾽ ἑκάστην κυριακὴν ἐνταῦθα συλλεγόμενοι, καὶ θείας ἀπολαύοντες ἀκροάσεως.

Πραξ. η. κζ.

Ἀλλὰ γὰρ ἵνα μὴ μόνον εἰς ἐπιτίμησιν τὸν λόγον ἀναλώσωμεν, φέρε, τὴν πρόσρησιν αὐτὴν τὴν δοκοῦσαν εἶναι περιττὴν καὶ παρενοχλεῖν, εἰς μέσον ἀγάγωμεν. ἀναπτυσσομένης γὰρ αὐτῆς, καὶ δεικνυμένου τοῦ κέρδους ὅσον παρέχει τοῖς προσέχουσιν αὐτῇ μετὰ ἀκριβείας, τότε μείζων ἔσται κατηγορία τοῖς ἀμελοῦσι τοσούτων θησαυρῶν, καὶ τὸν πνευματικὸν ἀπὸ τῶν χερῶν ῥιπτοῦσι πλοῦτον. τίς οὖν ἐστιν ἡ πρόσρησις; Ἀσπάζεσθε, φησί, Πρίσκιλλαν καὶ Ἀκύλαν τοὺς συνεργούς μου ἐν Κυρίῳ. Ἆρα οὐ δοκεῖ ψιλή τις εἶναι πρόσρησις, καὶ μηδὲν μέγα, μηδὲ γενναῖον ἡμῖν ἐνδείκνυσθαι; φέρε οὖν, εἰς αὐτὴν μόνην ἅπασαν τὴν διάλεξιν ἀναλώσωμεν, μᾶλλον δὲ οὐδὲ ἀρκέσομεν σήμερον τὰ ἐγκείμενα ἅπαντα τοῖς ὀλίγοις τούτοις ῥήμασιν ἀναμήσασθαι σπουδάσαντες ὑμῖν νοήματα, ἀλλ᾽ ἀνάγκη καὶ εἰς ἑτέραν ὑμῖν ἡμέραν ταμιεύσασθαι τὴν τῶν θεωρημάτων περιουσίαν, τῶν τικτομένων ἀπὸ τῆς ὀλίγης ταύτης προσρήσεως. οὐδὲ γὰρ ἅπασαν αὐτὴν ἐπελθεῖν παρασκευαζόμεθα, ἀλλὰ μέρος αὐτῆς καὶ ἀρχὴν καὶ προοίμιον μόνον· Ἀσπάσασθε Πρίσκιλλαν καὶ Ἀκύλαν. πρῶτόν ἐστιν ἐκπλαγῆναι τοῦ Παύλου τὴν ἀρετήν, ὅτι τὴν οἰκουμένην ἅπασαν ἐγκεχειρισμένος, καὶ γῆν καὶ θάλατταν, καὶ τὰς ὑφ᾽ ἡλίῳ πόλεις ἁπάσας, καὶ βαρβάρους, καὶ Ἕλληνας, καὶ δήμους τοσούτους ἐν ἑαυτῷ περιφέρων, ἑνὸς ἀνδρὸς καὶ μιᾶς γυναικὸς τοσαύτην ἐποιεῖτο φροντίδα. καὶ δεύτερον τοῦτο θαυμάσαι, πῶς ἄγρυπνόν τε καὶ μεμεριμνημένην εἶχε ψυχήν, οὐχὶ κοινῇ πάντων μόνον, ἀλλὰ καὶ ἰδίᾳ μεμνημένος ἑκάστου τῶν δοκίμων καὶ γενναίων. νῦν μὲν γὰρ οὐδὲν θαυμαστόν, τοὺς τῶν ἐκκλησιῶν προεστῶτας τοῦτο ποιεῖν, τῷ καὶ τοὺς θορύβους κατεστάλθαι ἐκείνους, καὶ μιᾶς πόλεως ἀναδεδέχθαι πρόνοιαν μόνον. τότε δὲ οὐ τὸ τῶν κινδύνων μέγεθος μόνον,

Ρωμ. ις. γ.

ἀλλὰ καὶ τὸ τῆς ὁδοῦ διάστημα, καὶ τὸ τῶν φροντίδων πλῆθος καὶ τὰ ἐπάλληλα κύματα, καὶ τὸ μὴ συνεχῶς ἅπασιν ἐπιχωριάζειν ἀεί, καὶ πολλὰ ἕτερα πλείονα τούτων, ἱκανὰ τῆς μνήμης ἐκβαλεῖν καὶ τοὺς σφόδρα ἐπιτηδείους. ἀλλ᾽ οὐκ ἐξέβαλε τούτους. πῶς οὖν οὐκ ἐξεβλήθησαν; διὰ τὴν τοῦ Παύλου μεγαλοψυχίαν, καὶ τὴν θερμὴν αὐτοῦ καὶ γνησίαν ἀγάπην. οὕτω γὰρ αὐτοὺς εἶχεν ἐν διανοίᾳ, ὡς καὶ ἐν ἐπιστολαῖς αὐτῶν μεμνῆσθαι πολλάκις. ἀλλ᾽ ἴδωμεν τίνες καὶ ὁποῖοι ἦσαν οὗτοι, οἱ τὸν Παῦλον οὕτω χειρωσάμενοι, καὶ πρὸς τὸν οἰκεῖον ἐπισπασάμενοι πόθον. ἆρα ὕπατοί τινες, καὶ στρατηγοὶ ἦσαν, καὶ ὕπαρχοι, ἢ ἄλλην τινὰ περιφάνειαν κεκτημένοι, ἢ πλοῦτον πολὺν περιβεβλημένοι, καὶ τῶν τὴν πόλιν ἀγόντων; οὐδὲν τούτων ἔστιν εἰπεῖν, ἀλλὰ τοὐναντίον ἅπαν, πτωχοὶ καὶ πένητες, καὶ ἐκ τῆς τῶν χειρῶν ἐργασίας ζῶντες. Ἦσαν γάρ, φησι, σκηνοποιοὶ τῇ τέχνῃ· καὶ οὐκ ᾐσχύνετο ὁ Παῦλος, οὐδὲ ὄνειδος εἶναι ἐνόμιζε βασιλικωτάτῃ πόλει καὶ δήμῳ μέγα φρονοῦντι, κελεύων τοὺς χειροτέχνας ἐκείνους ἀσπάζεσθαι, οὐδὲ καθυβρίζειν αὐτοὺς ἡγεῖτο τῇ πρὸς ἐκείνους φιλίᾳ· οὕτως ἦν ἅπαντας πεπαιδευκὼς τότε φιλοσοφεῖν. καίτοιγε ἡμεῖς πολλάκις συγγενεῖς ἔχοντες πενεστέρους ὀλίγῳ, τῆς πρὸς αὐτοὺς οἰκειότητος ἀλλοτριούμεθα, καὶ ὄνειδος εἶναι νομίζομεν, εἰ φωραθείημέν ποτε ἐκείνοις προσήκοντες. ὁ δὲ Παῦλος οὐχ οὕτως, ἀλλὰ καὶ ἐγκαλλωπίζεται τῷ πράγματι· καὶ οὐ τοῖς τότε μόνον, ἀλλὰ καὶ τοῖς μετὰ ταῦτα πᾶσι δῆλον ἐποίησεν, ὅτι εἰς τοὺς πρώτους αὐτῷ τὴν φιλίαν ἐτέλουν ἐκεῖνοι οἱ σκηνοποιοί. καὶ μή μοι λεγέτω τις, καὶ τί γὰρ μέγα καὶ θαυμαστόν, καὶ αὐτὸν ἀπὸ τῆς αὐτῆς ὄντα τέχνης, μὴ ἐπαισχύνεσθαι τοῖς ὁμοτέχνοις; τί λέγεις; τοῦτο γὰρ αὐτὸ μέγιστόν ἐστι καὶ θαυμαστόν. οὐ γὰρ οὕτως οἱ προγόνων ἔχοντες εἰπεῖν περιφάνειαν, ἐπαισχύνονται τοῖς καταδεεστέροις, ὡς οἱ γενόμενοί ποτε ἐπὶ τῆς αὐτῆς εὐτελείας, εἶτα ἀθρόον εἰς λαμπρότητά τινα καὶ περιφάνειαν ἀναβάντες. ὅτι δὲ Παύλου λαμπρότερος οὐδεὶς ἦν, οὐδὲ περιφανέστερος, ἀλλὰ καὶ αὐτῶν τῶν βασιλέων ἐπισημότερος ἦν, παντί που δῆλόν ἐστιν. ὁ γὰρ δαίμοσιν ἐπιτάττων, καὶ νεκροὺς ἐγείρων, καὶ ἐξ ἐπιτάγματος καὶ πηρῶσαι, καὶ θεραπεῦσαι τοὺς πεπηρωμένους δυνάμενος, οὗ τὰ ἱμάτια καὶ αἱ σκιαὶ ἅπαν νοσημάτων εἶδος ἔλυον, εὔδηλον ὅτι οὐδὲ ἄνθρωπος λοιπὸν εἶναι ἐνομίζετο, ἀλλ᾽ ἄγγελός τις ἐξ οὐρανοῦ καταβάς. ἀλλ᾽ ὅμως τοσαύτης ἀπολαύων δόξης, καὶ πανταχοῦ θαυμαζόμενος, καὶ ὅπουπερ ἂν φανείη πάντας ἐπιστρέφων, οὐκ ἐπῃσχύνετο τὸν σκηνοποιόν, οὐδὲ ἐλαττοῦσθαι ἐνόμιζε τοὺς ἐν τοσούτοις ἀξιώμασιν ὄντας. καὶ γὰρ εἰκὸς ἐν τῇ ἐκκλησίᾳ τῇ Ῥωμαίων πολλοὺς εἶναι περιφανεῖς, οὓς ἠνάγκαζε τοὺς πτωχοὺς ἐκείνους ἀσπάσασθαι. ᾔδει γάρ, ᾔδει σαφῶς, ὅτι εὐγένειαν οὐ πλούτου περιφάνεια, οὐδὲ χρημάτων περιουσία, ἀλλὰ τρόπων ἐπιείκεια ποιεῖν εἴωθεν· ὡς οἵγε ταύτης μὲν ἀπεστερημένοι, ἀπὸ δὲ τῆς τῶν γεγεννηκότων αὐτοὺς δόξης μεγαλοφρονοῦντες, ὀνόματι μόνον εὐγενείας ψιλῷ, ἀλλ᾽ οὐχὶ πράγματι καλλωπίζονται· μᾶλλον δὲ καὶ αὐτὸ τὸ ὄνομα φωρᾶται πολλάκις, εἴ τις ἐπὶ τοὺς ἀνωτέρω προγόνους τῶν εὐγενῶν ἀναβαίη τούτων. οἱ γὰρ περιφανῆ καὶ λαμπρόν, καὶ πατέρα ἔχοντα ἐπίσημον εἰπεῖν καὶ πάππον, ἂν μετὰ ἀκριβείας ἐξετάσῃς, πολλάκις εὑρήσεις ἐπίπαππον εὐτελῆ τινα καὶ ἀνώνυμον ἐσχηκότα· καθάπερ τῶν εὐτελῶν εἶναι δοκούντων μὲν τὸ γένος ἅπαν ἀναβαίνοντες κατὰ μικρὸν διερευνησώμεθα, ὑπάρχους καὶ στρατηγοὺς εὑρήσομεν αὐτῶν πολλάκις τοὺς ἀνωτέρω προγόνους, καὶ εἰς ἱπποφορβοὺς καὶ συοφορβοὺς εὕροι τις ἂν γεγενημένους. ἅπερ οὖν ἅπαντα Παῦλος εἰδώς, τούτων μὲν οὐ πολὺν ἐποιεῖτο λόγον, ψυχῆς δὲ εὐγένειαν ἐζήτει, καὶ τοὺς ἄλλους ταύτην θαυμάζειν ἐπαίδευσεν. οὐ μικρὸν οὖν τοῦτο τέως ἐντεῦθεν καρπούμεθα, τὸ μηδενὶ τῶν εὐτελεστέρων ἐπαισχύνεσθαι, τὸ ψυχῆς ἀρετὴν ἐπιζητεῖν, τὸ πάντα τὰ ἔξωθεν ἡμῖν περικείμενα, περιττὰ εἶναι νομίζειν καὶ ἀνόητα. ἔστι καὶ ἕτερον οὐκ ἔλαττον τούτου καρπώσασθαι κέρδος ἐντεῦθεν, καὶ ὃ μάλιστα συνέχει ἡμῶν τὴν ζωὴν κατορθωθέν. τί δὲ

Πραξ. ιη γ.

τοῦτο ἐστι; τὸ μὴ κατηγορεῖν τοῦ γάμου, μηδὲ νομίζειν ἐμπόδισμα εἶναι καὶ κώλυμα τῆς εἰς ἀρετὴν φερούσης ὁδοῦ, τὸ γυναῖκα ἔχειν, καὶ παῖδας τρέφειν, καὶ οἰκίας προΐστασθαι, καὶ τέχνην μεταχειρίζειν. ἰδοὺ καὶ ἐνταῦθα ἀνὴρ ἦν καὶ γυνή, καὶ ἐργαστηρίου προειστήκεσαν, καὶ τέχνην μετεχειρίζοντο, καὶ τῶν ἐν μοναστηρίοις ζώντων ἀκριβεστέραν ἐπεδείξαντο πολλῷ τὴν φιλοσοφίαν. πόθεν τοῦτο δῆλον; ἀφ' ὧν προσεῖπεν αὐτοὺς ὁ Παῦλος, μᾶλλον δὲ οὐκ ἀφ' ὧν προσεῖπεν, ἀλλὰ καὶ ἀφ' ὧν μετὰ ταῦτα ἐμαρτύρησεν. εἰπὼν γάρ, ἀσπάσασθε Πρίσκιλλαν καὶ Ἀκύλαν, προσέθηκεν αὐτῶν καὶ τὸ ἀξίωμα. ποῖον δὴ τοῦτο; οὐκ εἶπε τοὺς πλουσίους, τοὺς περιφανεῖς, τοὺς εὐπατρίδας· ἀλλὰ τί; τοὺς συνεργούς μου ἐν Κυρίῳ. τούτου δὲ οὐδὲν ἴσον εἰς ἀρετῆς γένοιτ' ἂν λόγον· καὶ οὐκ ἐντεῦθεν μόνον, ἀλλὰ καὶ ἐξ ὧν παρ' αὐτοῖς ἔμεινεν, οὐχὶ ἡμέραν μίαν καὶ δύο καὶ τρεῖς, ἀλλ' ἐνιαυτοὺς ὁλοκλήρους δύο, τὴν αὐτῶν ἐστιν ἀρετὴν ἰδεῖν. ὥσπερ γὰρ οἱ τῶν ἔξωθεν ἄρχοντες οὐκ ἂν ἕλοιντο παρὰ εὐτελέσι καὶ ταπεινοῖς καταχθῆναί ποτε, ἀλλ' ἐπιζητοῦσι λαμπρὰς οἰκίας ἐπισήμων ἀνδρῶν τινων, ὥστε μὴ τὴν τῶν ὑποδεχομένων αὐτοὺς εὐτέλειαν τὰ μεγέθη τῆς ἀξίας λυμήνασθαι, οὕτω καὶ οἱ ἀπόστολοι ἐποίουν· οὐ πρὸς τυχόντας κατήγοντο. ἀλλ', ὥσπερ ἐκεῖνοι οἰκίας λαμπρότητα, οὕτω τῆς ψυχῆς ἀρετὴν ἐπεζήτουν οὗτοι, καὶ μετὰ ἀκριβείας διερευνώμενοι τοὺς ἐπιτηδείους αὐτοῖς, πρὸς ἐκείνους κατήγοντο. καὶ γὰρ καὶ νόμος παρὰ τοῦ Χριστοῦ τοῦτο κελεύων ἔκειτο. Εἰς ἣν γὰρ πόλιν, φησίν, ἢ οἰκίαν εἰσέλθητε, ἐρωτήσατε τίς ἐν αὐτῇ ἄξιός ἐστι, κἀκεῖ μείνατε. ὥστε ἄξιοι Παύλου ἦσαν οὗτοι· εἰ δὲ ἄξιοι Παύλου, τῶν ἀγγέλων ἦσαν ἄξιοι. ἐγὼ δὲ τὸ δωμάτιον ἐκεῖνο, καὶ οὐρανὸν καὶ ἐκκλησίαν θαρρῶν ἂν προσείποιμι. ὅπου γὰρ Παῦλος ἦν, ἐκεῖ καὶ ὁ Χριστὸς ἦν. Εἰ δοκιμὴν ἐπιζητεῖτε, φησί, τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ. ὅπου δὲ Χριστὸς ἦν, ἐκεῖ καὶ ἄγγελοι συνεχῶς ἐφοίτων. οἱ δὲ καὶ πρὸ τούτου παρασχόντες ἑαυτοὺς ἀξίους τῆς τοῦ Παύλου θεραπείας, ἐννόησον τίνες ἐγένοντο, ἔτεσι δύο συνοικοῦντες αὐτῷ, καὶ σχῆμα, καὶ βάδισμα, καὶ βλέμμα, καὶ τρόπον στολῆς, καὶ εἰσόδους καὶ ἐξόδους, καὶ τἆλλα πάντα παρατηροῦντες *. ἐπὶ γὰρ τῶν ἁγίων, οὐχὶ τὰ ῥήματα [ταῦτα] μόνον, οὐδὲ αἱ διδασκαλίαι καὶ αἱ παραινέσεις, ἀλλὰ καὶ ἡ λοιπὴ τοῦ βίου πᾶσα ἀναστροφή, ἀρκοῦσα γένοιτ' ἂν τοῖς προσέχουσι διδασκαλία φιλοσοφίας. ἐννόησον ἡλίκον ἦν ἰδεῖν Παῦλον, καὶ δειπνοποιούμενον, καὶ ἐπιτιμῶντα, καὶ παρακαλοῦντα, καὶ εὐχόμενον, καὶ δακρύοντα, ἐξιόντα καὶ εἰσιόντα. εἰ γὰρ δεκατέσσαρας ἐπιστολὰς ἔχοντες μόνον, πανταχοῦ τῆς οἰκουμένης αὐτὰς περιφέρομεν, οἱ τὴν πηγὴν τῶν ἐπιστολῶν ἔχοντες, οἱ τὴν γλῶτταν τῆς οἰκουμένης, οἱ τὸ φῶς τῶν ἐκκλησιῶν, οἱ τὸν θεμέλιον τῆς πίστεως, οἱ τὸν στῦλον καὶ τὸ ἑδραίωμα τῆς ἀληθείας, τίνες οὐκ ἂν ἐγένοντο ἀγγέλῳ τοιούτῳ συζῶντες; εἰ γὰρ τὰ ἱμάτια αὐτοῦ δαίμοσιν ἦν φοβερά, καὶ τοσαύτην εἶχον ἰσχύν, ἡ συνοίκησις αὐτοῦ πόσην οὐκ ἂν ἐπεσπάσατο * πνεύματος χάριν; τὸ γὰρ τὴν κλίνην ὁρᾶν τὴν Παύλου, τὸ γὰρ τὴν στρωμνήν, τὸ γὰρ τὰ ὑποδήματα, οὐκ ἂν ἤρκεσεν αὐτοῖς εἰς ὑπόθεσιν κατανύξεως διηνεκοῦς; εἰ γὰρ οἱ δαίμονες ὁρῶντες αὐτοῦ τὰ ἱμάτια ἔφριττον, πολλῷ μᾶλλον οἱ πιστοὶ καὶ συζήσαντες αὐτῷ, κατενύσσοντο βλέποντες αὐτά.

Λουκ. θ. δ.

β. Κορ. ιγ. γ.

Ἄξιον δὲ κἀκεῖνο ἐξετάσαι, τίνος ἕνεκεν προσαγορεύων, τὴν Πρίσκιλλαν προτέθεικε τοῦ ἀνδρός. οὐ γὰρ εἶπεν, ἀσπάσασθε Ἀκύλαν καὶ Πρίσκιλλαν, ἀλλά, Πρίσκιλλαν καὶ Ἀκύλαν. οὐδὲ γὰρ τοῦτο ἁπλῶς ἐποίησεν, ἀλλ' ἐμοὶ δοκεῖ πλείονα αὐτῇ συνειδέναι τοῦ ἀνδρὸς εὐλάβειαν. καὶ ὅτι οὐ στοχασμὸς τὸ εἰρημένον, ἔξεστι καὶ ἀπὸ τῶν πράξεων τοῦτο μαθεῖν. τὸν γὰρ Ἀπολλώ, ἄνδρα λόγιον ὄντα καὶ δυνατὸν ἐν ταῖς γραφαῖς, καὶ τὸ βάπτισμα Ἰωάννου μόνον εἰδότα, αὕτη λαβοῦσα κατήχησε τὴν ὁδὸν τοῦ Θεοῦ, καὶ διδάσκαλον ἀπηρτισμένον ἐποίησεν. οὐ γὰρ αἱ ἐπὶ τῶν ἀποστόλων γυναῖκες ταῦτα ἐμερίμνων, ἅπερ αἱ νῦν, ὅπως λαμπρὰ ἱμάτια περιβάλοιντο, καὶ ἐπιτρίμμασι καὶ ὑπογραφαῖς τὴν ὄψιν τὴν ἑαυτῶν καλλωπίσαιεν,

Πραξ. ιη.

καὶ τοὺς ἄνδρας τοὺς ἑαυτῶν ἐνάγουσαι, τῆς γείτονος καὶ τῆς ὁμοτίμου πολυτελεστέραν ἀναγκάζουσαι
πρίασθαι στολήν, καὶ λευκοὺς ἡμιόνους, καὶ χρυσοπάστους χαλινούς, καὶ θεραπείαν
εὐνούχων, καὶ πολὺν θεραπαινίδων ἑσμόν, καὶ τὴν ἄλλην ἅπασαν τὴν καταγέλαστον φαντασίαν·
ἀλλὰ ταῦτα πάντα ἀποσεισάμεναι, καὶ τὸν κοσμικὸν ἀποβαλοῦσαι τῦφον, ἓν μόνον
ἐζήτουν, ὅπως κοινωνοὶ γένωνται τῶν ἀποστόλων, καὶ τῆς θήρας αὐτῶν μετάσχοιεν τῆς αὐτῆς.
διὰ τοῦτο οὐκ αὐτὴ μόνη τοιαύτη, ἀλλὰ καὶ αἱ λοιπαὶ πᾶσαι. καὶ γὰρ περὶ Περσίδος τινός
Ρωμ. ις. ιβ. φησιν, Ἥτις πολλὰ ἐκοπίασεν εἰς ἡμᾶς, καὶ Μαρίαν καὶ Τρύφαιναν ἀπὸ τούτων θαυμάζει
τῶν πόνων, ὅτι ἐκοπίων μετὰ τῶν ἀποστόλων, καὶ πρὸς τοὺς αὐτοὺς ἀγῶνας ἀπεδύσαντο. καὶ
α. Τιμ. β. ιβ. πῶς Τιμοθέῳ γράφων φησί, Γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν τοῦ ἀνδρός;
ὅταν καὶ ὁ ἀνὴρ εὐλαβὴς ᾖ, καὶ τὴν αὐτὴν πίστιν κεκτημένος, καὶ τῆς αὐτῆς σοφίας μετέχων.
ὅταν δὲ ἄπιστος ᾖ καὶ πεπλανημένος, οὐκ ἀποστερεῖ τὴν αὐθεντίαν τῆς διδασκαλίας
α. Κορ. ζ. ιγ. αὐτήν. Κορινθίοις γοῦν ἐπιστέλλων λέγει· Καὶ γυνή, ἥτις ἔχει ἄνδρα ἄπιστον, μὴ ἀφιέτω
αὐτόν. τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; πῶς δὲ ἂν ἔσωσεν ἡ πιστὴ γυνὴ τὸν
ἄνδρα τὸν ἄπιστον; κατηχοῦσα δηλονότι καὶ διδάσκουσα καὶ ἐνάγουσα πρὸς τὴν πίστιν, ὥσπερ
οὖν καὶ αὕτη τὸν Ἀπολλὼ ἡ Πρίσκιλλα. ἄλλως δέ, ὅταν λέγῃ, γυναικὶ διδάσκειν οὐκ
ἐπιτρέπω, περὶ τῆς ἐν τῷ βήματι διδασκαλίας λέγει, περὶ τῆς ἐν * κοινῷ διαλέξεως,
καὶ τῆς κατὰ τὸν ἱερωσύνης λόγον· ἰδίᾳ δὲ παραινεῖν καὶ συμβουλεύειν οὐκ ἐκώλυσεν. οὐ γὰρ
ἄν, εἰ κεκωλυμένον ἦν, ταύτην ἐπῄνεσε τοῦτο ποιοῦσαν. ἀκουέτωσαν ἄνδρες, ἀκουέτωσαν
ταῦτα καὶ γυναῖκες· ἐκεῖναι μέν, ἵνα τὴν ὁμόφυλον καὶ συγγενῆ μιμήσωνται· οὗτοι δέ, ἵνα
μὴ γυναικὸς ἀσθενέστεροι φαίνωνται. ἵνα γὰρ ἕξομεν ἀπολογίαν, τίνα συγγνώμην, ὅταν
γυναικῶν τοσαύτην προθυμίαν ἐπιδεικνυμένων καὶ τοσαύτην φιλοσοφίαν, ἡμεῖς τοῖς τοῦ
κόσμου πράγμασιν ὦμεν συνδεδεμένοι διηνεκῶς; ταῦτα καὶ ἄρχοντες μανθανέτωσαν, καὶ
ἀρχόμενοι, καὶ ἱερεῖς, καὶ οἱ τὴν λαϊκῶν τὴν τάξιν ἔχοντες, ἵν' ἐκεῖνοι μὲν μὴ τοὺς πλουτοῦντας
θαυμάζωσι, μηδὲ τὰς περιφανεῖς διώκωσιν οἰκίας, ἀλλ' ἀρετὴν μετὰ πενίας ζητῶσι, καὶ
τοῖς πτωχοτέροις τῶν ἀδελφῶν μὴ ἐπαισχύνωνται, μηδὲ τὸν σκηνοποιὸν καὶ τὸν βυρσοδέψην
καὶ τὴν πορφυρόπωλιν καὶ τὸν χαλκοτύπον παρατρέχοντες, τοὺς ἐν δυναστείαις θεραπεύουσιν·
οἱ δὲ ἀρχόμενοι, ἵνα μὴ νομίζωσιν εἶναι κώλυμα πρὸς τὴν ὑποδοχὴν τῶν ἁγίων,
ἀλλ' ἐννοοῦντες τὴν χήραν, ἣ τὸν Ἠλίαν ὑπεδέξατο, δράκα ἀλεύρου μόνον ἔχουσα, καὶ
τούτους, οἳ τὸν Παῦλον διετίαν ἐξένισαν, τὰς οἰκίας διανοίγωσι τοῖς δεομένοις, καὶ πάντα τοῖς
ξένοις ὦσι κοινὰ κεκτημένοι. μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι οἰκέτας οὐκ ἔχεις διακονουμένους.
κἂν γὰρ μυρίους ἔχῃς, ὁ Θεός σε κελεύει διὰ σαυτοῦ τῆς φιλοξενίας τὸν καρπὸν τρυγᾶν.
διὰ τοῦτο Παῦλος χήρᾳ γυναικὶ διαλεγόμενος, καὶ κελεύων αὐτὴν ξενοδοχεῖν, οὐ δι'
α. Τιμ. ε. ι. ἑτέρων, ἀλλὰ δι' ἑαυτῆς τοῦτο ἐπέταττεν. εἰπὼν γάρ, Εἰ ἐξενοδόχησεν, ἐπήγαγεν, εἰ ἁγίων πόδας ἔνιψεν.
οὐκ εἶπεν, εἰ χρήματα ἐδαπάνησεν, οὐδέ, εἰ τοῖς οἰκέταις ἐκέλευσε τοῦτο ποιῆσαι,
ἀλλ', εἰ δι' ἑαυτῆς τοῦτο εἰργάσατο. διὰ τοῦτο καὶ ὁ Ἀβραὰμ τριακοσίους ὀκτὼ καὶ
δέκα οἰκογενεῖς ἔχων, αὐτὸς ἐπὶ τὴν ἀγέλην ἔτρεχε, καὶ τὸν μόσχον ἐβάσταζε, καὶ τὰ ἄλλα ἅπαντα
διηκόνει, καὶ τὴν γυναῖκα κοινωνὸν ἐποίει τῶν τῆς φιλοξενίας καρπῶν. διὰ τοῦτο καὶ
ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, καὶ ἐν φάτνῃ τίκτεται, καὶ ἐν οἰκίᾳ τικτόμενος τρέφεται, καὶ αὐξηθεὶς
οὐκ εἶχε ποῦ τὴν κεφαλὴν κλίνῃ, ἵνα σε παιδεύσῃ διὰ πάντων μὴ πρὸς τὰ λαμπρὰ
τοῦ βίου τούτου κεχηνέναι πράγματα, ἀλλ' εὐτελείας εἶναι ἐραστὴν πανταχοῦ, καὶ πτωχείαν
Ψαλμ. μδ. ιδ. διώκειν, καὶ περιουσίαν φεύγειν, καὶ ἔσωθεν καλλωπίζεσθαι. Πᾶσα γὰρ ἡ δόξα τῆς
θυγατρὸς τοῦ βασιλέως, φησίν, ἔσωθεν. ἐὰν ἔχῃς προαίρεσιν φιλόξενον, ἅπασαν τῆς φιλοξενίας
ἔχεις τὴν θήκην, κἂν ὀβολὸν ᾖς κεκτημένος μόνον· ἂν δὲ μισάνθρωπος ᾖς καὶ μισόξενος,
κἂν τὰ πάντα ᾖς περιβεβλημένος πράγματα, ἐστενοχώρηταί σοι τοῖς ξένοις ἡ οἰκία.

οὐκ

* τῷ

οὐκ εἶχεν αὕτη κλίνας ἀργυρενδέτους, ἀλλ' εἶχε σωφροσύνην πολλήν· οὐκ εἶχε στρωμνήν, ἀλλὰ προαίρεσιν ἐκέκτητο προσηνῆ καὶ φιλόξενον· οὐκ εἶχε κίονας ἀπαστράπτοντας, ἀλλ' εἶχε ψυχῆς κάλλος ἀπολάμπον· οὐκ εἶχε τοίχους μαρμάροις περιβεβλημένους, οὐδὲ ἔδαφος ψηφῖσι διηνθισμένον, ἀλλ' ἦν αὐτὴ ναὸς τοῦ πνεύματος. Ταῦτα ἐπῄνεσεν ὁ Παῦλος, τούτων ἠράσθη· διὰ ταῦτα ἔτη δύο μείνας ἐπὶ τῆς οἰκίας οὐκ ἀπηξιώσατο· διὰ ταῦτα αὐτῶν μέμνηται διηνεκῶς, καὶ ἐγκώμιον αὐτοῖς συντίθησι μέγα καὶ θαυμαστὸν, οὐχ ἵνα αὐτοὺς λαμπροτέρους ἐργάσηται, ἀλλ' ἵνα τοὺς λοιποὺς εἰς τὸν αὐτὸν ἀγάγῃ ζῆλον, καὶ πείσῃ μακαρίζειν, οὐχὶ τοὺς πλουτοῦντας, οὐδὲ τοὺς ἐν ἀρχαῖς ὄντας, ἀλλὰ τοὺς φιλοξένους, τοὺς ἐλεήμονας, τοὺς φιλανθρώπους, τοὺς πολλὴν περὶ τοὺς ἁγίους φιλοφροσύνην ἐπιδεικνυμένους.

Ταῦτα δὴ καὶ ἡμεῖς ἀπὸ τῆς προσρήσεως ταύτης μαθόντες, διὰ τῶν ἔργων αὐτῶν ἐπιδειξώμεθα· καὶ μήτε τοὺς πλουτοῦντας ἁπλῶς μακαρίζωμεν, μήτε τοὺς πτωχοὺς ἐξευτελίζωμεν, μηδὲ ἐπαισχυνώμεθα τέχναις, μηδὲ ὄνειδος εἶναι νομίζωμεν ἐργασίαν, ἀλλὰ ἀργίαν, καὶ τὸ μὴ ἔχειν τί ποιεῖν. Εἰ γὰρ ὄνειδος ἦν τὸ ἐργάζεσθαι, οὐκ ἂν αὐτὸ μετῆλθεν ὁ Παῦλος, οὐκ ἂν ἐπ' αὐτῷ μεῖζον ἐφρόνησεν, οὕτω λέγων· Ἐὰν γὰρ εὐαγγελίζωμαι, οὐκ ἔστι μοι καύχημα. τίς οὖν μοί ἐστιν ὁ μισθός; ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. Εἰ δὲ τέχνη ὄνειδος ἦν, οὐκ ἂν τοὺς μὴ ἐργαζομένους ἐκέλευσε μηδὲ ἐσθίειν. ἁμαρτία γὰρ μόνον ἐστὶν ὄνειδος· ταύτην δὲ ἀργία τίκτειν εἴωθε, καὶ οὐ μίαν καὶ δύο καὶ τρεῖς μόνον, ἀλλὰ πᾶσαν ὁμοῦ τὴν πονηρίαν. Διὰ τοῦτο καί τις σοφὸς δεικνὺς, ὅτι πᾶσαν τὴν κακίαν ἐδίδαξεν ἡ ἀργία, καὶ περὶ οἰκετῶν διαλεγόμενός φησιν, Ἔμβαλε αὐτὸν εἰς ἔργον, ἵνα μὴ ἀργῇ. ὅπερ γάρ ἐστιν ὁ χαλινὸς τῷ ἵππῳ, τοῦτο τὸ ἔργον τῇ φύσει τῇ ἡμετέρᾳ. Εἰ καλὸν ἦν ἡ ἀργία, πάντα ἂν ἄσπαρτα καὶ ἀνήροτα ἡ γῆ ἀνεβλάστανεν. ἀλλ' οὐδὲν τοιοῦτον ἐργάζεται. πρότερον μὲν οὖν ἐκέλευσεν ἀνήροτα πάντα ἐκβαλεῖν ὁ Θεός· νυνὶ δὲ οὐκ ἐποίησεν οὕτως, ἀλλὰ καὶ ζεῦξαι βόας, καὶ ἄροτρον ἑλκύσαι, καὶ αὔλακα διατεμεῖν, καὶ σπέρματα καταβάλλειν, καὶ ἑτέροις πολλοῖς τρόποις θεραπεῦσαι· καὶ ἄμπελον καὶ δένδρα καὶ σπέρματα τοῖς ἀνθρώποις ἐνομοθέτησεν, ἵν' ἡ τῆς ἐργασίας ἀσχολία πάσης ἀπάγῃ πονηρίας τὴν τῶν ἐργαζομένων διάνοιαν. ἐξ ἀρχῆς μὲν οὖν, ἵνα τὴν δύναμιν ἐπιδείξηται τὴν ἑαυτοῦ, χωρὶς τῶν πόνων τῶν ἡμετέρων ἅπαντα ἀναδοθῆναι παρεσκεύασε, Βλαστησάτω γὰρ ἡ γῆ βοτάνην χόρτου, φησί· καὶ πάντα ἐκόμα εὐθέως. μετὰ δὲ ταῦτα οὐχ οὕτως· ἀλλὰ καὶ διὰ τῶν ἡμετέρων αὐτὰ πόνων ἐκφέρεσθαι ἐκέλευσεν ἐκ τῆς γῆς, ἵνα μάθῃς ὅτι διὰ τὸ χρήσιμον ἡμῖν καὶ λυσιτελὲς τὸν πόνον εἰσήγαγε. καὶ δοκεῖ μὲν εἶναι κόλασις καὶ τιμωρία τὸ ἀκοῦσαι, Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου· τὸ δὲ ἀληθὲς, νουθεσία τίς ἐστι καὶ σωφρονισμὸς, καὶ τῶν τραυμάτων τῶν ἀπὸ τῆς ἁμαρτίας γινομένων φάρμακον. διὰ ταῦτα καὶ Παῦλος εἰργάζετο διηνεκῶς, οὐκ ἐν ἡμέρᾳ μόνῃ, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ νυκτί. καὶ τοῦτο βοᾷ λέγων· Νυκτὸς γὰρ καὶ ἡμέρας ἐργαζόμενοι, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν. καὶ οὐχ ἁπλῶς τέρψεως ἕνεκεν καὶ ψυχαγωγίας τὸ ἔργον μετῄει, καθάπερ πολλοὶ τῶν ἀδελφῶν, ἀλλὰ τοσοῦτον ἐπεδείκνυτο περὶ αὐτὸ πόνον, ὡς καὶ ἑτέροις δυνηθῆναι ἐπικουρῆσαι. Ταῖς γὰρ χρείαις μου, φησὶ, καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. ἄνθρωπος δαίμοσιν ἐπιτάττων, τῆς οἰκουμένης διδάσκαλος ὢν, τοὺς τὴν γῆν οἰκοῦντας ἅπαντας ἐπιτραπεὶς, καὶ τὰς ὑφ' ἡλίῳ κειμένας ἐκκλησίας ἁπάσας, καὶ δήμους καὶ ἔθνη καὶ πόλεις μετὰ πολλῆς θεραπεύων ἐπιμελείας, νύκτα καὶ ἡμέραν εἰργάζετο, καὶ οὐδὲ μικρὸν ἀνέπνει τῶν πόνων ἐκείνων. ἡμεῖς δὲ οὐδὲ τὸ μυριοστὸν τῆς ἐκείνου φροντίδος μετιόντες, μᾶλλον δὲ οὐδὲ εἰς νοῦν λαβεῖν δυνάμενοι, διατελοῦμεν ἐν ἀργίᾳ ζῶντες διηνεκῶς. καὶ ποίαν ἕξομεν ἀπολογίαν, ἢ τίνα συγγνώμην, εἰπέ μοι; ἐντεῦθεν ἅπαντα εἰς τὸν βίον εἰσενήνεκται τὰ κακὰ, ὅτι πολλοὶ με-

α Κορ. θ. ιη.
Σειρ. λγ. λς.
Γεν. α. ια.
Γεν. γ. ιθ.
α Θεσ. β. θ.
Πραξ. κ. λδ.

γίστην ἀξίαν εἶναι νομίζουσι, τὸ μὴ τὰς ἑαυτῶν μεταχειρίζειν τέχνας, καὶ ἐσχάτην κατηγορίαν, τὸ φανῆναί τι τοιοῦτον εἰδότας. καὶ Παῦλος μὲν οὐκ ᾐσχύνετο ὁμοῦ καὶ σμίλην μεταχειρίζων, καὶ δέρματα ῥάπτων, καὶ τοῖς ἐν ἀξιώμασι διαλεγόμενος, ἀλλὰ καὶ ἐνεκαλλωπίζετο τῷ πράγματι, μυρίων πρὸς αὐτὸν λαμπρῶν καὶ ἐπισήμων ἀφικνουμένων ἀνθρώπων. καὶ οὐ μόνον οὐκ ἐπῃσχύνετο ταῦτα ποιῶν, ἀλλὰ καὶ καθάπερ ἐν στήλῃ χαλκῇ ταῖς ἐπιστολαῖς ἐξεπόμπευσεν ἑαυτοῦ τὸ ἐπιτήδευμα. ὅπερ οὖν ἐξ ἀρχῆς ἔμαθε, καὶ μετὰ ταῦτα αὐτὸ μετεχείριζε, καὶ τότε μετὰ τὸ εἰς οὐρανὸν τρίτον ἁρπαγῆναι, μετὰ τὸ εἰς παράδεισον ἀπενεχθῆναι, μετὰ τὸ κοινωνῆσαι ῥημάτων ἀπορρήτων τῷ Θεῷ· ἡμεῖς δὲ οὐδὲ τῶν ὑποδημάτων ὄντες ἄξιοι τῶν ἐκείνου, αἰσχυνόμεθα τούτοις, ἐφ᾽ οἷς ἐκεῖνος ἐνεβρύνετο. καὶ καθ᾽ ἑκάστην μὲν ἡμέραν πλημμελοῦντες, οὐδὲ ἐπιστρεφόμεθα, οὐδὲ ὄνειδος εἶναι νομίζομεν· τὸ δὲ ἐκ δικαίων πόνων ζῆν, ὡς αἰσχρὸν καὶ καταγέλαστον φεύγομεν. τίνα οὖν ἕξομεν ἐλπίδα σωτηρίας, εἰπέ μοι; τὸν γὰρ αἰσχυνόμενον, ἁμαρτίαν αἰσχύνεσθαι δεῖ, καὶ τὸ τῷ Θεῷ προσκροῦσαι, καὶ τὸ ποιῆσαί τι τῶν οὐ δεόντων· ἐπὶ δὲ τέχναις καὶ ἐργασίαις καὶ ἐναβρύνεσθαι. οὕτω γὰρ καὶ πονηρὰν ἔννοιαν τῇ τῆς ἐργασίας ἀσχολίᾳ τῆς διανοίας ἐκβαλοῦμεν ῥᾳδίως, καὶ τοῖς δεομένοις ἐπικουρήσομεν, καὶ τὰς ἑτέρων οὐκ ἐνοχλήσομεν θύρας, καὶ τὸν νόμον τοῦ Χριστοῦ πληρώσομεν τὸν εἰπόντα· Μακάριόν ἐστι διδόναι μᾶλλον, ἢ λαμβάνειν. διὰ γὰρ τοῦτο χεῖρας ἔχομεν, ἵνα ἑαυτοῖς βοηθῶμεν, καὶ τοῖς τὰ σώματα πεπηρωμένοις ἐκ τῶν ἡμετέρων εἰσφέρωμεν τὰ κατὰ δύναμιν [ἅπαντα]· ὡς ἐάν τις ἀργῶν διατελῇ, κἂν ὑγιαίνῃ, τῶν πυρεττόντων ἐστὶν ἀθλιώτερος. οἱ μὲν γὰρ διὰ τῆς ἀσθενείας ἔχουσι συγνώμην, καὶ τύχοιεν ἂν ἐλέου· οὗτοι δὲ καταισχύνοντες τὴν τοῦ σώματος εὐεξίαν, εἰκότως ἂν παρὰ πάντων μισοῦνται, ὡς καὶ τοὺς τοῦ Θεοῦ παραβαίνοντες νόμους, καὶ τῇ τραπέζῃ τῶν ἀσθενούντων λυμαινόμενοι, καὶ τὴν ψυχὴν τὴν ἑαυτῶν φαυλοτέραν ποιοῦντες. οὐδὲ γὰρ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, ὅτι, δέον οἴκοθεν καὶ παρ᾽ ἑαυτῶν τρέφεσθαι, τὰς ἑτέρων ἐνοχλοῦσιν οἰκίας, ἀλλ᾽ ὅτι καὶ πάντων αὐτοὶ γίνονται χείρους. οὐ γάρ ἐστιν, οὐκ ἔστι τῶν πάντων οὐδέν, ὃ μὴ διὰ τῆς ἀργίας ἀπόλλυται. καὶ γὰρ ὕδωρ, τὸ μὲν ἑστηκὸς σήπεται, τὸ δὲ τρέχον καὶ πανταχοῦ πλανώμενον, τὴν ἀρετὴν διασώζει τὴν ἑαυτοῦ· καὶ σίδηρος, ὁ μὲν ἐν ἀργίᾳ κείμενος, ἁπαλώτερός τε καὶ φαυλότερος, ἰῷ πολλῷ δαπανώμενος, γίνεται, ὁ δὲ ἐν ἐργασίαις ὤν, πολὺ χρησιμώτερος καὶ εὐπρεπέστερος ἀργύρου παντὸς ἀπολάμπων. καὶ γῆν μὲν τὴν ἀργοῦσαν ἴδοι τις ἂν οὐδὲν ὑγιὲς ἐκφέρουσαν, ἀλλὰ πονηρὰς βοτάνας καὶ ἀκάνθας καὶ τριβόλους καὶ ἄκαρπα δένδρα, τὴν δὲ ἐργασίας ἀπολαύουσαν, καρποῖς ἡμέροις κομῶσαν. καὶ ἕκαστον δὲ τῶν ὄντων (ὡς εἰπεῖν ἁπλῶς) ὑπὸ μὲν τῆς ἀργίας φθείρεται, ὑπὸ δὲ τῆς οἰκείας ἐργασίας χρησιμώτερον γίνεται. ταῦτα οὖν εἰδότες ἅπαντα, καὶ πόσον μὲν ἀπὸ τῆς ἀργίας τὸ βλάβος, πόσον δὲ ἀπὸ τῆς ἐργασίας τὸ κέρδος, τὴν μὲν φεύγωμεν, τὴν δὲ διώκωμεν, ἵνα καὶ τὸν παρόντα βίον εὐσχημόνως ζήσωμεν, καὶ δεομένοις ἐκ τῶν ἐνόντων ἐπικουρήσωμεν, καὶ τὴν ψυχὴν τὴν ἑαυτῶν ἀμείνω κατασκευάσαντες, τύχωμεν τῶν αἰωνίων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ μεθ᾽ οὗ τῷ πατρὶ ἡ δόξα, σὺν τῷ ἁγίῳ* πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πραξ. κ. λε.

χ. ἐλέει

χ. [illegible]
τον ἀποστίλ

* καὶ ἀγαθῷ
ζωοποιῷ

Λογ. μη. ΕΙΣ ΑΚΥΛΑΝ ΚΑΙ ΠΡΙΣΚΙΛΛΑΝ Λογ. β. ΚΑΙ εἰς τὸ μὴ κακῶς λέγειν τοὺς ἱερεῖς τοῦ Θεοῦ.

Ρωμ. ιϛ. γ

Ἆρα ἐπαιδεύθητε μηδὲν εἶναι νομίζειν πάρεργον τῶν ἐν τῇ θείᾳ γραφῇ κειμένων; ἆρα ἐμάθετε καὶ ἐπιγραφὰς καὶ ὀνόματα, καὶ ψιλὰς περιεργάζεσθαι προσρήσεις, τὰς ἐν τοῖς θείοις λογίοις γεγραμμένας; ἐγὼ μὲν γὰρ οὐδένα οἶμαι λοιπὸν τῶν φιλοπόνων τὸν ἀνεξόμενον παραδραμεῖν τι τῶν ἐν ταῖς γραφαῖς κειμένων ῥημάτων, κἂν ὀνομάτων ᾖ κατάλογος, κἂν χρόνων ἀριθμός, κἂν ψιλὴ πρός τινας πρόσρησις. πλὴν ἵνα ἀσφαλεστέρα αὕτη ἡ διόρθωσις γένηται, φέρε καὶ τήμερον τὰ λειπόμενα τῆς προσηγορίας τῆς πρὸς Πρίσκιλλαν καὶ Ἀκύλαν ἐπέλθωμεν· καίτοιγε οὐ μικρὰ τὸ προοίμιον αὐτῆς ἡμᾶς ὠφέλησε. καὶ γὰρ ἐδίδαξεν ἡμᾶς, πόσον μὲν ἀγαθὸν, ἔργον, πόσον δὲ κακὸν, ἀργία, καὶ τίς ἡ Παύλου ψυχὴ, πῶς ἄγρυπνος καὶ μεμεριμνημένη, οὐ κατὰ πόλεις καὶ δήμους καὶ ἔθνη, ἀλλὰ καὶ καθ' ἕνα ἕκαστον τῶν πιστῶν πολλὴν ποιουμένη τὴν πρόνοιαν. ἔδειξε πῶς οὐδὲν εἰς φιλοξενίαν ἡ πενία γίνεται κώλυμα, καὶ ὅτι οὐ πλούτου καὶ χρημάτων, ἀλλὰ ἀρετῆς πανταχοῦ χρεία καὶ προαιρέσεως εὐλάβειαν ἐχούσης, καὶ ὅτι πάντων εἰσὶ λαμπρότεροι οἱ τὸν τοῦ Θεοῦ φόβον ἔχοντες, κἂν εἰς πενίαν ἐσχάτην κατενεχθῶσι. τὴν γοῦν Πρίσκιλλαν καὶ Ἀκύλαν, σκηνοποιοὺς ὄντας καὶ χειροτέχνας, καὶ ἐν πενίᾳ ζῶντας, τῶν βασιλέων πάντων μᾶλλον ἐμακαρίζομεν νῦν. καὶ οἱ μὲν ἐν ἀξιώμασι καὶ δυναστείαις σεσίγηνται, ὁ δὲ σκηνοποιὸς μετὰ τῆς γυναικὸς ᾄδονται πανταχοῦ τῆς οἰκουμένης. εἰ δὲ ἐνταῦθα τοσαύτης ἀπολαύουσι δόξης, ἐννόησον ὅσον κατὰ τὴν ἡμέραν ἐκείνην ἀξιωθήσονται τῶν ἀντιδόσεων καὶ τῶν στεφάνων. καὶ πρὸ τῆς ἡμέρας δὲ ἐκείνης, οὐ μικρὰν καὶ ἡδονὴν καὶ ὠφέλειαν καὶ δόξαν ἐκαρπώσαντο νῦν, Παύλῳ τοσοῦτον συζήσαντες χρόνον. καὶ γὰρ, ὅπερ ἔμπροσθεν ἔλεγον, τοῦτο καὶ νῦν λέγω, καὶ λέγων οὐ παύσομαι, ὅτι οὐχὶ ἡ διδασκαλία μόνον, οὐδὲ ἡ παραίνεσις καὶ συμβουλὴ, ἀλλὰ καὶ αὐτὴ ἡ ὄψις τῶν ἁγίων, πολλὴν εἶχεν ἡδονὴν καὶ ὠφέλειαν, καὶ αὐτὸς δὲ τῶν ἱματίων ὁ στολισμὸς, καὶ αὐτὸς τῶν ὑποδημάτων ὁ τρόπος. καὶ γὰρ ἐντεῦθεν πολλή τις εἰς τὸν ἡμέτερον εἰσενήνεκται βίον ὠφέλεια, τὸ μαθεῖν μέχρι τοῦ τοῖς ἀναγκαίοις ἐχρῶντο. οὐδὲ γὰρ μόνον τὸ μέτρον οὐχ ὑπερέβαινον τῆς χρείας, ἀλλ' ἔστιν ὅπου οὔτε τῆς χρείας αὐτῆς ἀπήλαυον ἁπάσης· ἀλλὰ καὶ ἐν λιμῷ καὶ δίψει καὶ γυμνότητι διετέλεσαν. καὶ τοῖς μὲν μαθηταῖς ἐπιστέλλων ὁ Παῦλος, ἔλεγεν· Ἔχοντες τροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. περὶ δὲ ἑαυτοῦ φαίνεται λέγων ὅτι Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα.

α. Τιμ. ς. η.
α. Κορ. δ. ια.

Ἀλλὰ γὰρ, ἃ μεταξὺ ἔλεγον, καὶ μετὰ ταῦτα εἰσῆλθεν, ἀναγκαῖον εἰς μέσον παραθεῖναι πολλὴν ἔχοντα τὴν ζήτησιν. τί δὲ τοῦτό ἐστιν; ἔλεγον, ὅτι καὶ ὁ τῶν ἀποστολικῶν ἱματίων στολισμὸς παρέχει πολλὴν ἡμῖν τὴν ὠφέλειαν. μεταξὺ δέ με ταῦτα λέγοντα εἰσῆλθεν ὁ νόμος τοῦ Χριστοῦ, ὃν ἔθηκεν αὐτοῖς, οὕτω λέγων· Μὴ κτήσησθε χρυσὸν, μηδὲ ἄργυρον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν, μηδὲ ὑποδήματα, μηδὲ ῥάβδον εἰς τὴν ὁδὸν αἴρετε. φαίνεται δὲ Πέτρος σανδάλια ἔχων. ὅτε γοῦν ὁ ἄγγελος καθεύδοντα αὐτὸν ἐξύπνισε, καὶ ἐξήγαγε τοῦ δεσμωτηρίου, φησὶν, Ὑπόδησαι τὰ σανδάλιά σου, καὶ περιβαλοῦ τὸ ἱμάτιόν σου, καὶ ἀκολούθει μοι. καὶ Παῦλος δὲ Τιμοθέῳ γράφων λέγει· Τὸν φελόνην, ὃν ἀπέλιπον ἐν Τρωάδι παρὰ Κάρπῳ, φέρε ἐρχόμενος, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας. τί λέγεις; ὁ Χριστὸς οὐδὲ ὑποδήματα ἐκέλευσεν ἔχειν, καὶ σὺ φελόνην ἔχεις, καὶ ἕτερος σανδάλια πάλιν; καὶ εἰ μὲν τῶν εὐτελῶν τινες ἦσαν, καὶ τῶν οὐ πάντοτε τῷ διδασκάλῳ πειθομένων, οὐκ ἦν ζήτημα τὸ λεγόμενον· ἐπεὶ δὲ οἱ καὶ τὰς ψυχὰς ἑαυτῶν ἐπιδιδόντες, καὶ κορυφαῖοι καὶ πρῶτοι τῶν μαθητῶν εἰσιν οὗτοι, καὶ πάντα ἐπείθοντο τῷ Χριστῷ, ὁ δὲ Παῦλος οὐ μόνον τὰ ἐπιταττόμενα ἐποίει, ἀλλὰ καὶ ὑπὲρ τὰ σκάμματα ἐπεπήδα, κἀκείνου

Ματθ. ι. θ.
Πραξ. ιβ. η.
β. Τιμ. δ. ιγ.

κελεύοντος ἐκ τοῦ εὐαγγελίου ζῆν, οὐδὲ ἐκ τῶν χειρῶν αὐτοῦ ἔζη, πλείονα τῶν ἐπιτεταγμένων ποιήσας, ἄξιον ὄντως ζητῆσαι, τίνος ἕνεκεν πάντα αὐτῷ πειθόμενοι, ἐνταῦθα δοκοῦσι παραβαίνειν αὐτοῦ τὸν νόμον. ἀλλ' οὐ παραβαίνουσιν. οὐδὲ γὰρ εἰς τοῦτο χρήσιμος ἡμῖν οὗτος ἔσται μόνον ὁ λόγος, εἰς τὴν ὑπὲρ τῶν ἁγίων ἐκείνων ζήτησιν, ἀλλὰ καὶ εἰς τὸ τὰ τῶν ἑλλήνων ἐμφράξαι στόματα. καὶ γὰρ πολλοὶ χηρῶν οἰκίας ἀνατρέποντες, ὀρφανοὺς γυμνοῦντες, τὰ πάντων περιβαλλόμενοι, λύκων οὐδὲν ἄμεινον διακείμενοι, ἐκ τῶν ἀλλοτρίων ζῶντες πόνων, ὁρῶντες πολλάκις τινὰς τῶν πιστῶν δι' ἀρρωστίαν σώματος πλείονα περιβεβλημένους ἱμάτια, τὸν νόμον εὐθέως ἡμῖν τοῦ Χριστοῦ προβάλλονται, καὶ ταῦτα λέγουσι τὰ ῥήματα· οὐκ ἐκέλευσεν ὑμῖν ὁ Χριστὸς μὴ ἔχειν δύο χιτῶνας, μηδὲ ὑποδήματα; πῶς οὖν ὑμεῖς παραβαίνετε τὸν νόμον τὸν περὶ τούτων κείμενον; εἶτα δαψιλὲς γελάσαντες καὶ ἀνακαγχάσαντες, καὶ καταισχύναντες τὸν ἀδελφὸν, ἀποπηδῶσιν. ἵν' οὖν μὴ ταῦτα γίνηται, φέρε καὶ τὴν ἐκείνων ἀναισχυντίαν ἐπιστομίσωμεν. ἐχρῆν μὲν οὖν τοῦτο πρὸς αὐτοὺς μόνον εἰπόντας ἀπαλλαγῆναι. ποῖον δὴ τοῦτο; ὅτι εἰ μὲν ἀξιόπιστόν τινα νομίζεις εἶναι τὸν Χριστὸν, εἰκότως ταῦτα προβάλλῃ καὶ ζητεῖς πρὸς ἡμᾶς· εἰ δὲ ἀπιστεῖς αὐτῷ, τίνος ἕνεκεν αὐτοῦ προβάλλῃ τὰς νομοθεσίας; ἀλλ' ὅταν μὲν ἡμῶν κατηγορεῖν ἐθέλῃς, ἀξιόπιστος νομοθέτης ὁ Χριστὸς εἶναί σοι δοκεῖ· ὅταν δὲ αὐτὸν προσκυνεῖν δέῃ καὶ θαυμάζειν, οὐδεὶς οὐκέτι σοι λόγος τοῦ κοινοῦ τῆς οἰκουμένης δεσπότου. πλὴν ἀλλ' ἵνα μὴ δι' ἀπορίαν ἀπολογίας τοῦτο λέγειν ἡμᾶς νομίζωσιν, ἐπ' αὐτὴν ἴωμεν λοιπὸν τῶν ζητουμένων τὴν λύσιν. τίς οὖν ἡ λύσις ἔσται; ἐὰν ἴδωμεν, τίσι, καὶ πότε, καὶ διὰ τί ταῦτα ἐπέταξεν ὁ Χριστός. οὐ γὰρ ἁπλῶς αὐτὰ καθ' ἑαυτὰ τὰ λεγόμενα ἐξετάζειν χρὴ, ἀλλὰ καὶ πρόσωπον, καὶ καιρὸν, καὶ αἰτίαν, καὶ πάντα ταῦτα μετὰ ἀκριβείας διερευνᾶσθαι. εὑρήσομεν γὰρ ἀκριβῶς σκοποῦντες, ὅτι οὐ πᾶσι ταῦτα ἐπιτέτακτο, ἀλλὰ τοῖς ἀποστόλοις μόνοις, καὶ ἐκείνοις δὲ οὐ μέχρι παντὸς, ἀλλὰ μέχρι τινὸς διωρισμένου καιροῦ. πόθεν τοῦτο δῆλον; ἐξ αὐτῶν τῶν εἰρημένων. καλέσας γὰρ τοὺς δώδεκα μαθητὰς, εἶπεν αὐτοῖς· Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ, ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαίρετε, δαιμόνια ἐκβάλλετε, δωρεὰν ἐλάβετε, δωρεὰν δότε, μὴ κτήσησθε χρυσὸν, μηδὲ ἄργυρον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν. ὅρα διδασκάλου σοφίαν, πῶς κοῦφον ἐποίησε τὸ ἐπίταγμα. πρότερον γὰρ εἰπὼν, ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαίρετε, δαιμόνια ἐκβάλλετε, καὶ τὴν παρ' αὐτοῦ χάριν δαψιλῆ δοὺς αὐτοῖς, τότε ταῦτα ἐπέταξε, τῇ τῶν σημείων περιουσίᾳ ῥᾳδίαν καὶ κούφην ποιῶν τὴν πενίαν ἐκείνην. οὐκ ἐντεῦθεν δὲ μόνον δῆλον, ὅτι αὐτοῖς μόνοις ταῦτα ἐπιτέτακτο, ἀλλὰ καὶ ἐξ ἑτέρων πολλῶν. καὶ γὰρ τὰς παρθένους ἐκείνας διὰ τοῦτο ἐκόλασεν, ἐπειδὴ ἔλαιον οὐκ εἶχον ἐν ταῖς λαμπάσιν αὐτῶν, καὶ ἑτέροις ἐγκαλεῖ, ὅτι πεινῶντα αὐτὸν εἶδον, καὶ οὐκ ἔθρεψαν, διψῶντα, καὶ οὐκ ἐπότισαν. τὸν τοίνυν οὐκ ἔχοντα χαλκὸν, οὐδὲ ὑποδήματα, ἀλλ' ἓν ἱμάτιον μόνον, πῶς δυνατὸν ἦν ἕτερον διαθρέψαι, πῶς ἄστεγον εἰς τὴν οἰκίαν εἰσαγαγεῖν; χωρὶς δὲ τούτων, καὶ ἑτέρωθεν αὐτόθεν τοῦτο δῆλον ἔσται καὶ καταφανές. προσελθόντος γάρ τινος καὶ εἰπόντος, Διδάσκαλε, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω, ἐπειδὴ τὰ τοῦ νόμου κατέλεξεν ἅπαντα, ὁ δὲ περιεργαζόμενος ἔλεγε· Ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου, τί ἔτι μοι ὑστερεῖ; λέγει πρὸς αὐτόν· Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι. καίτοι εἰ νόμος καὶ πρόσταγμα ἦν, τοῦτο πρῶτον ἐξ ἀρχῆς εἰπεῖν ἔδει, καὶ νομοθετῆσαι, καὶ ἐν προστάγματος τάξει θεῖναι, ἀλλὰ μὴ ἐν συμβουλῇ καὶ παραινέσει αὐτὸ εἰσηγήσασθαι. ὅταν μὲν γὰρ λέγῃ, μὴ κτήσησθε χρυσὸν, μηδὲ ἄργυρον, ἐπιτάττων λέγει· ὅταν δὲ λέγῃ, εἰ θέλεις τέλειος εἶναι, συμβουλεύων καὶ παραινῶν λέγει. οὐκ ἔστι δὲ ταυτὸν συμβουλεύειν καὶ νομοθετεῖν. ὁ μὲν γὰρ νομοθετῶν, ἐκ παντὸς τρόπου βούλεται τὸ ἐπιταττόμενον δέχεσθαι·

Ματθ. ι. ε.

Ματθ. ιθ. ις.

χ. χειρῶν

χ. ἑτέρους πάντα ἡμ- φεται,

δέχεσθαι· ὁ δὲ συμβουλεύων καὶ παραινῶν καὶ τῇ γνώμῃ τῶν ἀκουόντων ἐπιτρέπων τὴν αἵρεσιν τῶν λεγομένων, κύριον ποιεῖ τοῦ δέξασθαι καὶ μὴ, τὸν ἀκροατήν. διὰ δὴ τοῦτο οὐδὲ ἁπλῶς εἶπεν, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, ἵνα μὴ νόμον εἶναι νομίσῃς τὸ λεγόμενον, ἀλλὰ πῶς; Εἰ ἐθέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα· ἵνα μάθῃς ὅτι ἐν τῇ γνώμῃ τῶν ἀκουόντων τὸ πρᾶγμα κεῖται. ὅτι μὲν οὖν τοῖς ἀποστόλοις ταῦτα ἐπιτέτακτο μόνοις, δῆλον ἐντεῦθεν· ἀλλ' οὐδέπω τὴν λύσιν εὑρήκαμεν. εἰ γὰρ καὶ αὐτοῖς τοῦτο νενομοθέτηται μόνοις, τίνος ἕνεκεν ἐπιτάξαντος μηδὲ ὑποδήματα ἔχειν, μηδὲ διπλοῦν ἱμάτιον, εὑρίσκεται, ὁ μὲν σανδάλια κεκτημένος, ὁ δὲ καὶ φελόνην ἔχων; τί οὖν ἂν εἴποιμεν πρὸς ταῦτα; ὅτι οὔτε αὐτοὺς μέχρι παντὸς ἀφῆκεν ὑπὸ ταύτην εἶναι τῶν νόμων τὴν ἀνάγκην, ἀλλ' ἐπὶ τὸν σωτήριον ἰέναι μέλλων θάνατον, ἀπέλυσεν αὐτοὺς τῆς νομοθεσίας ταύτης. πόθεν τοῦτο δῆλον; ἀπ' αὐτῶν τῶν τοῦ σωτῆρος ῥημάτων. ἐπειδὴ γὰρ ἔμελλεν ἐπὶ τὸ πάθος ὁδεύειν, καλέσας αὐτοὺς, φησίν· Ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου καὶ πήρας, μή τινος ὑστερήσατε; οἱ δὲ ἀποκριθέντες εἶπον, οὐδενός. ὁ δὲ εἶπεν αὐτοῖς· ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον, ἀράτω, καὶ πήραν, καὶ ὁ μὴ ἔχων, πωλησάτω τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγοράσει μάχαιραν. ἀλλ' ἴσως εἴποι τις ἄν, ὅτι τοὺς μὲν ἀποστόλους διὰ τῶν εἰρημένων ἀπήλλαξας τῶν ἐγκλημάτων· τὸ δὲ ζητούμενόν ἐστιν ἕτερον, τίνος ἕνεκεν ἐναντία ὁ Χριστὸς ἐνομοθέτησε, ποτὲ μὲν λέγων, μὴ κτήσησθε πήραν, ποτὲ δὲ λέγων, ὁ ἔχων βαλάντιον, ἀράτω, καὶ πήραν. τίνος οὖν ἕνεκεν ταῦτα πεποίηκεν; ἀξίως τῆς αὐτοῦ σοφίας καὶ προνοίας τῆς ὑπὲρ τῶν μαθητῶν. παρὰ μὲν γὰρ τὴν ἀρχὴν ταῦτα ἐπέταξεν, ἵνα ἔργῳ καὶ πείρᾳ τὴν ἀπόδειξιν τῆς αὐτοῦ δυνάμεως λάβωσι, καὶ λαβόντες θαρρήσωσι λοιπὸν εἰς τὴν οἰκουμένην ἐξελθεῖν ἅπασαν. ἐπειδὴ δὲ λοιπὸν ἱκανῶς ἔγνωσαν αὐτοῦ τὴν δύναμιν, ἐβούλετο καὶ αὐτοὺς οἴκοθεν τὴν αὐτῶν ἀρετὴν ἐπιδείξασθαι, καὶ μὴ μέχρι τέλους αὐτοὺς διαβαστάζεσθαι, ἀλλ' ἐνδιδόναι πολλαχοῦ καὶ συγχωρεῖν καὶ πειρασμοὺς αὐτοὺς ὑπομένειν, ἵνα μὴ διὰ τέλους ἀργοὶ μένωσι. καὶ καθάπερ οἱ νήχεσθαι διδάσκοντες, παρὰ μὲν τὰς ἀρχὰς, τὰς αὐτῶν ὑποτιθέντες χεῖρας, μετὰ πολλῆς τῆς ἀκριβείας τοὺς μαθητὰς τοὺς ἑαυτῶν διαβαστάζουσι, μετὰ δὲ πρώτην καὶ δευτέραν καὶ τρίτην ἡμέραν πολλαχοῦ τὴν δεξιὰν αὐτῶν ὑποσύραντες ἐκείνοις, κελεύουσιν ἑαυτοῖς βοηθεῖν, καί που καὶ μικρὸν βαπτίζεσθαι ἐπιτρέπουσι, καὶ πολλὴν τῷ στόματι δέχεσθαι τὴν ἅλμην· οὕτω δὴ καὶ ὁ Χριστὸς ἐποίησεν ἐπὶ τῶν μαθητῶν, ἐν ἀρχῇ καὶ ἐν προοιμίοις οὐ μικρὸν, οὐ μέγα αὐτοὺς ἀφῆκε παθεῖν, ἀλλὰ πανταχοῦ παρὼν τειχίζων αὐτοὺς, περιφράττων, πάντα μετὰ ἀφθονίας αὐτοῖς ἐπιρρεῖν παρασκευάζων· ἐπειδὴ δὲ ἔδει καὶ τὴν ἀνδρείαν αὐτοὺς ἐπιδείξασθαι τὴν αὐτῶν, συνέστειλεν ὀλίγον τὴν χάριν, ἐγκελευσάμενος αὐτοῖς πολλὰ καὶ δι' ἑαυτῶν ἀνύειν. διά τοι τοῦτο, ὅτε μὲν οὐκ εἶχον ὑποδήματα, οὐδὲ ζώνην, οὐδὲ ῥάβδον, οὐδὲ χαλκὸν, οὐδενὸς ὑστερήθησαν· μή τινος γὰρ, φησὶν, ὑστερήσατε; οἱ δὲ ἀποκριθέντες εἶπον, οὐδενός. ἐπειδὴ δὲ αὐτοὺς ἐκέλευσε καὶ βαλάντιον ἔχειν, καὶ πήραν καὶ ὑποδήματα, εὑρίσκονται καὶ πεινῶντες καὶ διψῶντες καὶ γυμνητεύοντες. ὅθεν δῆλον, ὅτι πολλαχοῦ συνεχώρει καὶ περικινδυνεύειν αὐτοὺς καὶ στενοχωρεῖσθαι, ἵνα τινὰ μισθὸν ἔχωσιν. οὕτω που καὶ οἱ ὄρνιθες τοῖς νεοττοῖς ποιοῦσι τοῖς ἑαυτῶν. καὶ γὰρ ἐκεῖνοι, ἕως μὲν τὰ πτερὰ ἁπαλὰ ἔχουσιν, ἐπὶ τῆς καλιᾶς καθήμενοι θάλπουσιν· ἐπειδὰν δὲ ἴδωσι πτεροφυήσαντας, καὶ δυναμένους τὸν ἀέρα τέμνειν, πρῶτον μὲν περὶ αὐτὴν τὴν καλιὰν ἵπτασθαι παρασκευάζουσιν, ἔπειτα δὲ, καὶ πορρωτέρω προάγουσι, παρὰ μὲν τὴν ἀρχὴν ἑπόμεναι καὶ διαβαστάζουσαι, μετὰ δὲ ταῦτα αὐτοὺς ἑαυτοῖς ἀφιᾶσι βοηθεῖν. οὕτω καὶ ὁ Χριστὸς ἐποίησε, καθάπερ ἐν καλιᾷ, τῇ Παλαιστίνῃ τρέφων τοὺς μαθητάς· ἐπειδὴ δὲ πέτεσθαι ἐδίδαξε παρὼν καὶ διαβαστάζων αὐτοὺς, τέλος ἀφῆκεν εἰς τὴν οἰκουμένην πτῆναι, κελεύσας καὶ ἑαυτοῖς πολλαχοῦ βοηθεῖν. καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, καὶ ἵνα τὴν δύναμιν αὐτοῦ μάθωσι, πρότερον αὐτοὺς ἐγύμνωσε, καὶ μονο-

χίτωνας

Ματθ. ιθ. κα.

Ματθ. κβ. λε.

Ματθ. κβ. λε.

χιτῶνας ἀπέστειλε, καὶ χωρὶς ὑποδημάτων ἐκέλευσε βαδίζειν. αὐτῆς οὖν τῆς ῥήσεως ἀκούσαντες, σαφῶς εἰσόμεθα. οὐ γὰρ ἁπλῶς εἶπεν αὐτοῖς, ἄρατε βαλάντιον καὶ πήραν, ἀλλ᾽ ἀναμιμνήσκει αὐτοὺς τῶν προτέρων, οὕτως εἰπών· Ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου καὶ πήρας, μή τινος ὑστερήσατε; τουτέστιν, οὐ πάντα μετὰ ἀφθονίας ὑμῖν ἐπέρρει, καὶ πολλῆς ἀπελαύσατε δαψιλείας; ἀλλὰ νῦν βούλομαι ὑμᾶς καὶ δι᾽ ἑαυτῶν ἀγωνίζεσθαι, βούλομαι ὑμᾶς καὶ πενίας πεῖραν λαβεῖν. διὰ τοῦτο λοιπὸν ἐπὶ τὴν ἀνάγκην οὐκ ἄγω τοῦ προτέρου νόμου, ἀλλ᾽ ἐπιτρέπω καὶ βαλάντιον ἔχειν καὶ πήραν· ἵνα μή, καθάπερ δι᾽ ἀψύχων ὀργάνων, ἐνεργεῖν τὰ καθ᾽ ὑμᾶς νομισθῆτε, ἀλλὰ καὶ ὑμεῖς τὴν οἰκείαν ἔχητε ἐπιδείκνυσθαι φιλοσοφίαν. καὶ τί, φησιν, οὐκ ἂν μείζων ἐφάνη ἡ χάρις, εἰ διαπαντὸς οὕτως ἐτέλεσαν ὄντες; ἀλλ᾽ αὐτοὶ οὐκ ἐγένοντο οὕτω δόκιμοι. εἰ γὰρ μηδεμιᾶς ἔλαβον θλίψεως πεῖραν, μὴ πενίας, μὴ διωγμοῦ, μὴ στενοχωρίας, ἔμειναν ἂν ἀργοὶ καὶ νωθεῖς. νῦν δὲ οὐχὶ τὴν χάριν διαλάμψαι μόνον, ἀλλὰ καὶ τὴν τῶν ὑπακουόντων δοκιμὴν ἠθέλησεν ἐπιδειχθῆναι, ἵνα μὴ μετὰ ταῦτά τινες ἔχωσι λέγειν, ὅτι οὐδὲν παρ᾽ ἑαυτῶν εἰσήνεγκαν ἐκεῖνοι, ἀλλὰ τὸ πᾶν τῆς τοῦ Θεοῦ ῥοπῆς ἐγένετο. ἠδύνατο μὲν γὰρ αὐτοὺς ὁ Θεὸς μέχρι τέλους ἐν ἀφθονίᾳ καταστῆσαι τοσαύτῃ, ἀλλ᾽ οὐκ ἠθέλησε διὰ πολλὰς καὶ ἀναγκαίας προφάσεις, ἃς πολλάκις πρὸς τὴν ὑμετέραν ἀγάπην εἰρήκαμεν. καὶ νῦν δὲ εἴποιμεν, μίαν μὲν διὰ ταύτην, ἑτέραν δὲ οὐκ ἐλάττονα ταύτης, ἵνα καὶ μετριάζειν εἰδῶσι· τρίτον δέ, ἵνα μὴ μείζονα, ἢ κατὰ ἄνθρωπον, λάβωσι δόξαν. διὰ δὴ ταῦτα, καὶ πολλῷ πλείονα τούτων ἕτερα, ἀφεὶς αὐτοὺς πολλοῖς τῶν ἀδοκήτων περιπίπτειν, οὐκ ἠβουλήθη ὑπὸ τὴν ἀκρίβειαν τῆς νομοθεσίας τῆς προτέρας ἀφεῖναι, ἀλλ᾽ ἐχάλασε καὶ ἀνῆκε τῆς φιλοσοφίας τὸν τόνον ἐκείνης, ὥστε μὴ βαρὺν ἵνα καὶ ἀφόρητον αὐτοῖς γενέσθαι τὸν βίον, πολλαχοῦ ἐγκαταλιμπανομένοις, καὶ τὸν ἀκριβῆ νόμον ἐκεῖνον ἀναγκαζομένοις τηρεῖν. ἐπειδὴ δὲ χρὴ καὶ τὸ προκείμενον ἀσαφὲς
Ματθ. κβ. λϛ. ὂν ποιῆσαι καταφανές, ἀναγκαῖον καὶ τοῦτο εἰπεῖν. εἰπὼν γάρ, Ὁ ἔχων βαλάντιον, ἀράτω, καὶ πήραν, ἐπήγαγε· Καὶ ὁ μὴ ἔχων, πωλήσει τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγοράσει μάχαιραν. τί ποτε
Ματθ. ε. λθ. τοῦτό ἐστι; καθοπλίζει τοὺς μαθητὰς ὁ λέγων, Ἐάν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην, ὁ κελεύων εὐλογεῖν τοὺς λοιδορουμένους, ἀνέχεσθαι τῶν ἐπηρεαζόντων, εὔχεσθαι ὑπὲρ τῶν διωκόντων, εἶτα καθοπλίζει, καὶ διὰ μαχαίρας μόνης; καὶ ποῖον ἂν ἔχοι τοῦτο λόγον; εἰ γὰρ ὅλως ἔδει καθοπλίσαι, οὐ μαχαίρας ἔδει κτήσασθαι μόνον, ἀλλὰ καὶ ἀσπίδα καὶ κράνος καὶ κνημῖδας. ὅλως δὲ εἴτε ἀνθρωπίνως τὰ τοιαῦτα ἔμελλεν οἰκονομεῖν, πόσοις οὐκ ἦν τὸ ἐπίταγμα γέλως; εἰ γὰρ μυρία τοιαῦτα ὅπλα ἐκτήσαντο πρὸς τοσαύτην ἔφοδον καὶ ἐπιβουλὴν δήμων, τυράννων, πόλεων, ἐθνῶν, τίνες ἔμελλον οἱ ἕνδεκα φανεῖσθαι; φωνῆς γὰρ ἀκοῦσαι χρεμετίζοντος ἵππου δυνατὸν ἦν αὐτοῖς, πρὸς δὲ τὴν ὄψιν μόνην οὐκ ἂν κατεπλάγησαν τῶν στρατοπέδων, ἐν λίμναις καὶ ποταμοῖς καὶ ἀκατίοις τραφέντες μικροῖς; τίνος οὖν ἕνεκεν τοῦτο λέγει; τὴν ἔφοδον τῶν Ἰουδαίων ἐνδείξασθαι βουλόμενος, καὶ ὅτι μέλλουσιν αὐτὸν συλλαμβάνειν. καὶ τοῦτο φανερῶς μὲν οὐκ ἠθέλησεν εἰπεῖν, δι᾽ αἰνιγμάτων
Ματθ. ι. κζ. δέ, ὥστε μὴ θορυβῆσαι πάλιν αὐτούς. ὥσπερ οὖν ὅταν ἀκούσῃς αὐτοῦ λέγοντος, ὅτι Ὁ ἠκούσατε εἰς τὸ οὖς, κηρύξατε ἐπὶ τῶν δωμάτων, καὶ ὃ λέγετε ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ φωτί, οὐ τοῦτο ὑποπτεύεις, ὅτι κελεύει τοὺς στενωποὺς καὶ τὴν ἀγορὰν ἀφέντας ἐπὶ τῶν δωμάτων κηρύττειν (οὐδὲ γὰρ φαίνονται τοῦτο ποιήσαντες οἱ μαθηταί), ἀλλὰ τό, ἐπὶ τῶν δωμάτων, καὶ τό, ἐν τῷ φωτί, τὸ μετὰ παρρησίας αἰνίττεται· τὸ δέ, εἰς τὸ οὖς, καὶ τό, ἐν τῇ σκοτίᾳ, τοῦτο δηλοῖ, ὅτι ὅπερ ἐν μικρῷ μέρει τῆς οἰκουμένης, καὶ ἐν ἑνὶ χωρίῳ τῆς Παλαιστίνης ἠκούσατε, τοῦτο πανταχοῦ τῆς γῆς ἐξηχήσατε. οὐ γὰρ δὴ ἐν σκοτίᾳ, οὐδὲ εἰς τὸ οὖς διελέγετο αὐτοῖς, ἀλλ᾽ ἐφ᾽ ὑψηλῶν τῶν ὀρέων, καὶ ἐν ταῖς (συναγωγαῖς πολλάκις) οὕτω καὶ ἐνταῦθα ὑπονοητέον. ὥσπερ οὖν ἐκεῖ δώματα ἀκούοντες, ἑτέρως ἐνοήσαμεν, οὕτω καὶ ἐνταῦθα μαχαίρας ἀκούοντες,

οντες. μὴ τοῦτο νομίσωμεν, ὅτι ἐπέταξε μαχαίρας κεκτῆσθαι, ἀλλ' ὅτι διὰ τῶν μαχαιρῶν τὴν ἐνεστῶσαν αἰνίττεται ἐπιβουλήν, καὶ ὅτι μέλλει πάσχειν παρὰ τῶν Ἰουδαίων, ἅπερ ἔπαθε. καὶ τοῦτο ἐκ τῶν ἑξῆς δῆλον. εἰπὼν γάρ, Ἀγοράσει μάχαιραν, ἐπήγαγε· δεῖ γὰρ τὰ γεγραμμένα περὶ ἐμοῦ τελεσθῆναι, ὅτι ἐν τοῖς ἀνόμοις ἐλογίσθην. εἰπόντων δὲ ἐκείνων, ὅτι εἰσὶν ὧδε δύο μάχαιραι, καὶ τὸ λεχθὲν μὴ συνιέντων, φησὶν, ἱκανόν ἐστι· καίτοιγε οὐκ ἦν ἱκανόν. εἰ μὲν γὰρ ἀνθρωπίνῃ βοηθείᾳ κεχρῆσθαι αὐτοὺς ἐβούλετο, οὐ μόνον δύο καὶ τρεῖς, ἀλλ' οὐδὲ ἑκατὸν ἦσαν ἱκαναὶ μάχαιραι· εἰ δὲ οὐκ ἐβούλετο ἀνθρωπίνῃ βοηθείᾳ αὐτοὺς κεχρῆσθαι, καὶ αἱ δύο περιτταί. ἀλλ' ὅμως οὐκ ἐξεκάλυψε τὸ αἴνιγμα. καὶ γὰρ πολλαχοῦ φαίνεται τοῦτο ποιῶν· ἐπειδὰν μὴ νοήσωσι τὸ λεχθὲν, παρατρέχει καὶ ἀφίησι, τῇ τῶν πραγμάτων ἐκβάσει τὴν μετὰ ταῦτα τὴν κατανόησιν τῶν εἰρημένων ἐπιτρέπων λοιπόν· ὅπερ οὖν καὶ ἀλλαχοῦ ἐποίησε. καὶ γὰρ περὶ τῆς ἀναστάσεως αὐτοῦ διαλεγόμενος, οὕτω πως ἔλεγε· Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. καὶ ὅμως οὐκ ᾔδεσαν οἱ μαθηταὶ τὸ λεγόμενον· καὶ ὅτι οὐκ ᾔδεισαν, ὁ εὐαγγελιστὴς ἐπεσημήνατο, λέγων· Ὅτε δὲ ἀνέστη ὁ Χριστὸς, τότε ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ, καὶ τῇ γραφῇ. καὶ πάλιν ἀλλαχοῦ· Οὐδὲ γὰρ ᾔδεισαν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι. Ιωαν. β. ιθ. καὶ κβ. Ιωαν. κ. θ.

Ἀλλὰ τὸ μὲν ζήτημα ἱκανὴν ἔχει τὴν λύσιν· ἡμεῖς δὲ ἐπὶ τὸ λειπόμενον τῆς προτέρας ζητήσεως μέρος τὸν λόγον ἀνάγωμεν. τί ποτ' οὖν ἐστι τὸ λεγόμενον, καὶ πόθεν εἰς ταῦτα ἐξέβημεν; ἐμακαρίζομεν τὸν Ἀκύλαν καὶ τὴν Πρίσκιλλαν, ὅτι συνῴκουν τῷ Παύλῳ, ὅτι καὶ τὸν τρόπον τῆς στολῆς, καὶ τὸν τρόπον τῆς ὑποδήσεως, καὶ τὰ ἄλλα ἅπαντα μετὰ ἀκριβείας αὐτοῦ κατεμάνθανον. ἐντεῦθεν τὸ ζήτημα ἡμῖν ἐτέχθη τοῦτο. ἐζητοῦμεν γὰρ, τίνος ἕνεκεν, τοῦ Χριστοῦ ἀπαγορεύοντος μηδὲν ὅλως ἔχειν, εἰ μὴ μόνον ἱμάτιον, ἐφαίνοντο καὶ ὑποδήματα καὶ φελόνην ἔχοντες. εἶτα ὁ λόγος ἀπέδειξεν, ὅτι οὐ παραβαίνοντες τὸν νόμον, ἀλλὰ καὶ σφόδρα τηροῦντες τούτοις ἐχρῶντο. ταῦτα δὲ ἐλέγομεν, οὐκ εἰς περιουσίαν χρημάτων ὑμᾶς ἀλείφοντες, οὐδὲ παρακαλοῦντες πλείω τῆς χρείας κεκτῆσθαι, ἀλλ' ἵνα ἔχητε πρὸς τοὺς ἀπίστους ἀντιλέγειν τοὺς διαχλευάζοντας τὰ ἡμέτερα. καὶ γὰρ ὁ Χριστὸς λύσας τὸν πρότερον νόμον, οὐχὶ οἰκίας, οὐδὲ ἀνδράποδα, οὐδὲ κλίνας, οὐδὲ ἀργυρώματα, οὐδὲ ἄλλο τι τοιοῦτον οὐδὲν ἐκέλευσεν ἔχειν, ἀλλὰ τῆς ἀνάγκης ἀπηλλάχθαι τῶν πρότερον εἰρημένων. καὶ ὁ Παῦλος δὲ οὕτω παραινεῖ λέγων· Ἔχοντες τροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. α. Τιμ. ς. η. τὸ γὰρ περιττὸν τῆς χρείας εἰς τοὺς δεομένους ἀναλίσκεσθαι δεῖ, καθάπερ οὖν καὶ οὗτοι ἐποίουν, Πρίσκιλλα καὶ Ἀκύλας. διόπερ αὐτοὺς ἐπαινεῖ καὶ θαυμάζει, καὶ μέγιστον αὐτῶν συντίθησιν ἐγκώμιον. εἰπὼν γάρ, Ἀσπάσασθε Πρίσκιλλαν καὶ Ἀκύλαν τοὺς συνεργούς μου ἐν Κυρίῳ, Ρωμ. ις. γ. δ. καὶ τὴν αἰτίαν τίθησι τῆς τοιαύτης ἀγάπης. ποίαν δὴ ταύτην; Οἵτινες ὑπὲρ τῆς ψυχῆς μου, φησὶ, τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν. οὐκοῦν διὰ τοῦτο αὐτοὺς ἀγαπᾷς καὶ φιλεῖς, ἴσως εἴποι τις; μάλιστα μὲν οὖν, εἰ καὶ τοῦτο μόνον ἦν, ἀρκοῦν ἐγκώμιον ἦν. ὁ γὰρ τὸν στρατηγὸν σώσας, τοὺς στρατιώτας διέσωσεν [ἄν]· ὁ τὸν ἰατρὸν ἀπαλλάξας τῶν κινδύνων, τοὺς κάμνοντας εἰς ὑγείαν ἐπανήγαγεν· ὁ τὸν κυβερνήτην ἐξαρπάσας τοῦ κλύδωνος, τὸ πλοῖον ὅλον τῶν κυμάτων ἀπήλλαξεν. οὕτω καὶ οἱ τὸν διδάσκαλον τῆς οἰκουμένης διασώσαντες, καὶ τὸ αἷμα τὸ ἑαυτῶν ἐκχέαντες ὑπὲρ τῆς ἐκείνου σωτηρίας, κοινοὶ τῆς οἰκουμένης ἦσαν εὐεργέται, ἐν τῇ περὶ τὸν διδάσκαλον προνοίᾳ τοὺς μαθητὰς ἅπαντας διασώσαντες. ἵνα δὲ μάθῃς, ὅτι οὐ περὶ τὸν διδάσκαλον ἦσαν τοιοῦτοι μόνον, ἀλλὰ καὶ περὶ τῶν ἀδελφῶν τὴν αὐτὴν ἐπεδείκνυντο πρόνοιαν, ἄκουσον τῶν ἑξῆς. εἰπὼν γάρ, οἵτινες ὑπὲρ τῆς ψυχῆς μου τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν, ἐπήγαγε λέγων· Οἷς οὐκ ἐγὼ μόνος εὐχαριστῶ, ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλησίαι τῶν ἐθνῶν. τί λέγεις; σκηνοποιοῖς, πτωχοῖς, χειροτέχναις, οὐδὲν πλέον τῆς ἀναγκαίας ἔχουσι τροφῆς πᾶσαι αἱ ἐκκλησίαι τῶν ἐθνῶν εὐχαριστοῦσι; καὶ τί τοσοῦτον οἱ δύο οὗτοι ἐκκλησίας τοσαύτας ὠφελῆσαι ἴσχυσαν; ποίαν χρημάτων εἶχον περιουσίαν; ποῖον δυναστείας μέγεθος; τίνα παρὰ ἀρχόντων παρρησίαν; χρημάτων μὲν περιουσίαν καὶ δυναστείαν παρὰ τοῖς κρατοῦσιν οὐκ ἐκέκτηντο· ὃ δὲ τούτων ἁπάντων μεῖζον ἦν, προθυμίαν γενναίαν καὶ ψυχὴν πρὸς κινδύνους παρατεταγμένην μετὰ πολλῆς τῆς περιουσίας εἶχον. διὰ τοῦτο πολλῶν εὐεργέται ἐγένοντο καὶ σωτῆρες. οὐ γὰρ οὕτως οἱ πλουτοῦντες καὶ ψοφοδεεῖς, ὡς οἱ πενίᾳ συζῶντες καὶ μεγαλόψυχοι τὰς ἐκκλησίας ὠφελεῖν δύναιντ᾽ ἄν. καὶ μηδεὶς παράδοξον εἶναι νομιζέτω τὸ λεγόμενον. ἀληθὲς γάρ ἐστι, καὶ ἀπ᾽ αὐτῶν δείκνυται τῶν πραγμάτων. ὁ μὲν γὰρ πλούσιος πολλὰς ἔχει τοῦ παραβλάπτεσθαι τὰς λαβάς· δέδοικεν ὑπὲρ οἰκίας, ὑπὲρ οἰκετῶν, ὑπὲρ ἀγρῶν, ὑπὲρ χρημάτων, μή τις αὐτῶν τι τούτων ἀφέληται· καὶ τὸ πολλῶν εἶναι κύριον, πολλῶν εἶναι δοῦλον ποιεῖ. ὁ μέντοι πένης εὔζωνός τις ὤν, καὶ πάσας ταύτας ἀποθέμενος τὰς λαβάς, λέων ἐστὶ πῦρ πνέων, καὶ ψυχὴν ἔχει γενναίαν, καὶ πάντων ἐξελυσάμενος, ῥᾳδίως ἅπαντα πράττει τὰ δυνάμενα τὰς ἐκκλησίας ὠφελεῖν, κἂν ἐλέγξαι δέῃ, κἂν ἐπιτιμῆσαι, κἂν μυρίας διὰ τὸν Χριστὸν ἀναδέξασθαι ἐπηρείας· καὶ ἐπειδὴ ἅπαξ τῆς ζωῆς ὑπερεῖδε τῆς παρούσης, πάντα ῥᾳδίως καὶ μετὰ πολλῆς ποιεῖ τῆς εὐκολίας. τί γὰρ καὶ δέδοικεν, εἰπέ μοι; μή τις αὐτοῦ τὰ χρήματα ἀφέληται; ἀλλ᾽ οὐκ ἔστι τοῦτο εἰπεῖν. ἀλλὰ μὴ τῆς πατρίδος ἐκπέσῃ; ἀλλὰ πᾶσα ἡ ὑπ᾽ οὐρανὸν πόλις αὐτῷ ἐστιν. ἀλλὰ μὴ τῆς τρυφῆς αὐτὸν τις περικόψῃ καὶ τῆς δορυφορίας; ἀλλὰ καὶ τούτοις ἅπασι χαίρειν εἰπὼν, ἐν οὐρανῷ πολιτεύεται, καὶ πρὸς τὴν μέλλουσαν ἐπείγεται ζωήν. κἂν αὐτὴν ἐπιδοῦναι δέῃ τὴν ψυχὴν, καὶ τὸ αἷμα εἰσενεγκεῖν, οὐ παραιτήσεται. ἐντεῦθεν ὁ τοιοῦτος καὶ τυράννων καὶ βασιλέων καὶ δήμων καὶ πάντων ἐστὶ δυνατώτερός τε καὶ εὐπορώτερος. καὶ ἵνα μάθῃς ὅτι οὐ κολακεία τὸ λεγόμενον, ἀλλ᾽ ἀληθῶς οἱ μηδὲν κεκτημένοι, οὗτοι μάλιστα πάντων ἐλευθεροστομεῖν δύναιντ᾽ ἄν, πόσοι πλούσιοι κατὰ τὸν καιρὸν ἦσαν Ἡρώδου, πόσοι δυνάσται; τίς παρῆλθεν εἰς μέσον; τίς ἐπετίμησε τῷ τυράννῳ; τίς ἤμυνε τοῖς ἀδικουμένοις τοῖς τοῦ Θεοῦ νόμοις; τῶν μὲν εὐπόρων οὐδείς· ὁ δὲ πένης καὶ πτωχὸς, ὁ μὴ κλίνην μήτε τράπεζαν μήτε στέγην ἔχων, ὁ τῆς ἐρήμου πολίτης Ἰωάννης, οὗτος μόνος καὶ πρῶτος μετὰ παρρησίας ἁπάσης τὸν τύραννον ἤλεγχε, καὶ τοὺς μοιχαλίους ἐξεκάλυπτε γάμους, καὶ παρόντων ἁπάντων καὶ ἀκουόντων, τὴν καταδικάζουσαν αὐτὸν ἐξέφερε ψῆφον. καὶ πρὸ τούτου δὲ πάλιν ὁ μέγας Ἡλίας τῆς μηλωτῆς μηδὲν κεκτημένος πλέον, τὸν ἀσεβῆ καὶ παράνομον Ἀχαὰβ ἐκεῖνον μόνος ἤλεγξε μετὰ πολλῆς ἀνδρείας. οὐδὲν γὰρ οὕτως ἐλευθεροστομεῖν παρασκευάζει, καὶ θαῤῥεῖν ἐν ἅπασι πείθει τοῖς δεινοῖς, καὶ ἀναλώτους ἐργάζεται καὶ ἰσχυρούς, ὡς τὸ μηδὲν κεκτῆσθαι, μηδὲ περιβολήν τινα πραγμάτων ἔχειν. ὥστε εἴ τις βούλοιτο πολλὴν κεκτῆσθαι δύναμιν, ἀσπασάσθω πενίαν, καταφρονείτω τῆς παρούσης ζωῆς, μηδὲν εἶναι νομιζέτω θάνατον. οὗτος οὐχὶ τῶν εὐπόρων μόνον, οὐδὲ τῶν ἀρχόντων, ἀλλὰ καὶ αὐτῶν τῶν βασιλευόντων πλείονα τὰς ἐκκλησίας ὠφελῆσαι δυνήσεται. οἱ μὲν γὰρ βασιλεύοντες καὶ οἱ εὔποροι, ὅσα ἂν ποιήσωσιν, ἀπὸ χρημάτων ποιοῦσιν· ὁ δὲ τοιοῦτος, πολλάκις καὶ ἀπὸ κινδύνων, καὶ ἀπὸ θανάτων πολλὰ καὶ μεγάλα συνετέλεσεν. ὅσῳ δὲ χρυσίου παντὸς τιμιώτερον αἷμα, τοσούτῳ βελτίων ἐκείνης αὕτη ἡ εἰσφορά. τοιοῦτοί τινες ἦσαν καὶ οὗτοι οἱ Παύλου ξενοδόχοι, ἡ Πρίσκιλλα καὶ ὁ Ἀκύλας· οἳ χρημάτων μὲν περιουσίαν οὐκ εἶχον, πλούτου δὲ παντὸς εὐπορωτέραν ἐκέκτηντο γνώμην, καθ᾽ ἑκάστην ἀποθανεῖσθαι προσδοκῶντες ἡμέραν, καὶ ἐν σφαγαῖς καὶ αἵμασι ζῶντες, καὶ διὰ παντὸς μαρτυροῦντες τοῦ χρόνου. διὰ τοῦτο ἤνθει τὰ ἡμέτερα κατὰ τοὺς καιροὺς ἐκείνους, ὅτι οὕτω μὲν οἱ μαθηταὶ τοῖς διδασκάλοις, οὕτω δὲ οἱ διδάσκαλοι συνεδέδεντο τοῖς μαθηταῖς. οὐ γὰρ δὴ περὶ τούτων μόνον φησὶν ὁ Παῦλος, ἀλλὰ καὶ περὶ ἑτέρων πολλῶν. καὶ γὰρ Ἑβραίοις καὶ Θεσσαλονικεῦσι γράφων καὶ Γαλάταις, πολλὴν ἅπασι μαρτυρεῖ πειρασμῶν ἐπαγωγήν, καὶ δείκνυσι δι᾽ ὧν

γρ. ἀλλὰ μ
εἶναι νομίζ
τὴν αὐτ.

ἐπέστελλεν, ὅτι καὶ ἠλαύνοντο, καὶ τῆς πατρίδος ἐξέπιπτον, καὶ τὰς οὐσίας ἀπώλλυον, καὶ μέχρις αὐτοῦ τοῦ αἵματος ἐκινδύνευον· καὶ ἅπας ἐναγώνιος αὐτοῖς ὁ βίος ἦν, καὶ αὐτὰ δὲ ἀκρωτηριασθῆναι τὰ μέλη οὐκ ἂν ὑπὲρ τῶν διδασκάλων παρῃτήσαντο. τοῖς γοῦν Γαλάταις ἐπιστέλλων ἔλεγε· Μαρτυρῶ γὰρ ὑμῖν, ὅτι, εἰ δυνατὸν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες, ἂν ἐδώκατέ μοι. Γαλατ. δ.ιε. καὶ τὸν Ἐπαφρᾶν δὲ τὸν ἐν Κολοσσαῖς ἐπὶ τοῖς αὐτοῖς ἀποδέχεται πάλιν, εἰπὼν, ὅτι Ἠσθένησε παραπλήσιον θανάτου, καὶ ἠλέησεν αὐτὸν ὁ Θεὸς, οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ Φιλιπ. β.κζ. καὶ ἐμὲ, ἵνα μὴ λύπην ἐπὶ λύπῃ σχῶ. οὕτω δὲ εἶπε δεικνὺς, ὅτι δικαίως ἔμελλεν ἀλγεῖν ἐπὶ τῇ τελευτῇ τοῦ μαθητοῦ. καὶ τὴν ἀρετὴν δὲ αὐτοῦ πάλιν ἐκκαλύπτει πᾶσιν, οὑτωσὶ λέγων· ὅτι Ἤγγισε μέχρι θανάτου παραβουλευσάμενος τῇ ψυχῇ, ἵνα ἀναπληρώσῃ τὸ ὑμῶν ὑστέρημα Φιλιπ. β.λ. τῆς πρός με λειτουργίας. Τί γένοιτ' ἂν ἐκείνων μακαριώτερον, εἴπερ ἐκεῖνοι μὲν καὶ τὸ αἷμα, καὶ τὴν ψυχὴν ὑπὲρ τῶν διδασκάλων προΐεντο, ἡμεῖς δὲ οὐδὲ ῥῆμα ψιλὸν πολλάκις προέσθαι τολμῶμεν ὑπὲρ τῶν κοινῶν πατέρων; ἀλλ' ἀκούοντες αὐτοὺς βλασφημουμένους, λοιδορουμένους κακῶς καὶ παρὰ τῶν οἰκείων, καὶ παρὰ τῶν ἀλλοτρίων, οὐκ ἐπιστομίζομεν τοὺς λέγοντας, οὐ κωλύομεν, οὐκ ἐλέγχομεν, εἴθε μὲν οὖν μὴ αὐτοὶ τῆς κακηγορίας ἤρχομεν ταύτης. νυνὶ δὲ οὐ τοσαῦτα παρὰ τῶν ἀπίστων σκώμματα καὶ ὀνείδη, ὅσα παρὰ τῶν δοκούντων εἶναι πιστῶν καὶ μεθ' ἡμῶν τετάχθαι, γινόμενα εἰς τοὺς ἄρχοντας ἴδοι τις ἄν. ἔτι οὖν ζητήσομεν πόθεν ῥᾳθυμία τοσαύτη καὶ εὐλαβείας ὑπεροψία γέγονεν, ὅταν οὕτως ὦμεν ἀπεχθῶς πρὸς τοὺς πατέρας διακείμενοι τοὺς ἡμετέρους; οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν, ὃ καταλῦσαι καὶ διαφθεῖραι ἐκκλησίαν δύναιτ' ἄν· μᾶλλον δὲ οὐκ ἔστιν οὕτω γενέσθαι τοῦτο ἀλλαχόθεν ῥᾳδίως, ἀλλ' ἢ ὅταν οἱ μαθηταὶ τοῖς διδασκάλοις, καὶ τοῖς πατράσιν οἱ παῖδες, καὶ τοῖς ἄρχουσιν οἱ ἀρχόμενοι μὴ μετὰ πολλῆς ὦσι συνδεδεμένοι τῆς ἀκριβείας. εἶτα ἂν μὲν τὸν ἀδελφόν τις εἴποι κακῶς, καὶ τῆς ἀναγνώσεως τῶν θείων ἀπείργεται γραφῶν (Ἵνα Ψαλμ. μθ. ιζ. τί γὰρ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου, φησὶν ὁ Θεός; εἶτα τὴν αἰτίαν τιθεὶς, ἐπήγαγε· Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις) τὸν πνευματικὸν δὲ πατέρα κατηγορῶν, ἄξιον εἶναι νομίζεις σαυτὸν ἐπιβῆναι τῶν ἱερῶν προθύρων; καὶ πῶς ἂν ἔχοι λόγον; εἰ γὰρ οἱ κακολογοῦντες πατέρα ἢ μητέρα θανάτῳ τελευτῶσι, ποίας ἄξιος ἔσται δίκης ὁ τὸν πολλῷ τῶν γονέων ἐκείνων ἀναγκαιότερον ὄντα καὶ βελτίω τολμῶν λέγειν κακῶς; καὶ οὐ δέδοικε, μήποτε διαστᾶσα ἡ γῆ παντελῶς αὐτὸν ἀφανίσῃ, ἢ σκηπτὸς ἄνωθεν κατενεχθεὶς καταφλέξῃ τὴν κατήγορον γλῶτταν; οὐκ ἤκουσας τί πέπονθεν ἡ Μωϋσέως ἀδελφὴ Ἐξοδ. β. δ. καταιποῦσα τοῦ ἄρχοντος; πῶς ἀκάθαρτος γέγονε, καὶ εἰς λέπραν ἐνέπεσε, καὶ τὴν ἐσχάτην ὑπέμεινεν ἀτιμίαν, καὶ τοῦ ἀδελφοῦ παρακαλοῦντος, καὶ τῷ Θεῷ προσπίπτοντος, οὐδεμιᾶς ἔτυχε συγγνώμης, ἀλλὰ καὶ ἐκτεθειμένον τὸν ἅγιον ἐκεῖνον, καὶ πρὸς τὴν ἀνατροφὴν αὐτοῦ συντελέσασα, καὶ ὅπως ἡ μήτηρ γένοιτο τροφὸς, καὶ μὴ ἐν βαρβαρικῇ χειρὶ ταφῇ τὸ παιδίον ἐξ ἀρχῆς συμπράξασα, καὶ μετὰ ταῦτα στρατηγήσασα τοῦ γυναικείου γένους, καθάπερ Μωϋσῆς τοῦ τῶν ἀνδρῶν, καὶ πάντα διενεγκοῦσα τὰ δεινὰ, καὶ ἀδελφὴ Μωϋσέως οὖσα, οὐδὲν ὅμως ἀπὸ τούτων ἁπάντων ἐκέρδανεν εἰς τὸ διαφυγεῖν τὴν ὀργὴν τοῦ Θεοῦ τὴν ἐπὶ τῇ κατηγορίᾳ· ἀλλ' ὁ Μωϋσῆς, ὁ τοσοῦτον λαὸν ἐξαιτησάμενος μετὰ τὴν ἄφατον ἀσέβειαν ἐκείνην, τότε ὑπὲρ τῆς ἀδελφῆς προσπίπτων καὶ συγγνώμην αἰτῶν, οὐκ ἴσχυσεν ἵλεω ποιῆσαι τὸν Θεὸν, ἀλλὰ καὶ ἐπετιμᾶτο σφοδρῶς· ἵνα μάθωμεν ἡμεῖς ὅσον κακόν ἐστι, τὸ τοὺς ἄρχοντας λέγειν κακῶς, καὶ τοὺς ἑτέρων κρίνειν βίους. καὶ γὰρ ἐπὶ τῆς ἡμέρας ἐκείνης, οὐκ ἀφ' ὧν ἁμαρτάνομεν μόνον, ἀλλὰ καὶ ἀφ' ὧν ἑτέροις ἐψηφισάμεθα, κρινεῖ πάντως ἡμῖν ὁ Θεός· καὶ πολλάκις ὃ τῇ φύσει κοῦφόν ἐστιν ἁμάρτημα, τοῦτο χαλεπὸν καὶ ἀσύγγνωστον γίνεται τῇ τοῦ ἁμαρτάνοντος περὶ ἑτέρου κρίσει.

Τάχα ἀσαφὲς τὸ εἰρημένον· οὐκοῦν αὐτὸ σαφὲς ποιῆσαι πειράσομαι. ἥμαρτέ τις· ἕτερον ἁμαρτάνοντα τὴν αὐτὴν ἁμαρτίαν κατεδίκασε σφοδρῶς. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐ

τοσαύτην ἐπισπᾶται κόλασιν, ὅσην ἡ φύσις τῆς ἁμαρτίας ἀπαιτεῖ, ἀλλὰ καὶ διπλασίονα
πολλῷ καὶ τριπλασίονα. οὐ γὰρ ἀφ' ὧν αὐτὸς ἥμαρτεν, ἀλλ' ἀφ' ὧν ἕτεροι ἁμαρτάνοντα
τὰ αὐτὰ χαλεπῶς ἐκόλασε, ψηφίζεται αὐτῷ τὴν τιμωρίαν ὁ Θεός. καὶ ὅτι τοῦτό ἐστιν ἀληθές,
ἀπὸ τῶν γεγενημένων καὶ ἐκβάντων, μειζόνως, ὅπερ ὑπεσχόμην ὑμῖν, αὐτὸ ποιήσω καταφανές.
Λουκ. ιη. ὁ Φαρισαῖος, καίτοιγε αὐτὸς οὐδὲν ἁμαρτών, ἀλλὰ καὶ ἐν δικαιοσύνῃ ζήσας, καὶ
πολλὰ ἔχων κατορθώματα εἰπεῖν, ἐπειδὴ τὸν τελώνην, τὸν ἅρπαγα καὶ πλεονέκτην καὶ
παρανομώτατον κατεδίκασε, τοσαύτην ἔδωκε δίκην, ὡς ἐκείνου μείζονι τηρεῖσθαι κολάσει.
Εἰ δὲ ὁ μηδὲν μὲν ἁμαρτὼν αὐτός, ἁμαρτάνοντα δὲ ἕτερον καὶ περιφανῆ πᾶσιν ἐπὶ παρανομίαις
ὄντα, ῥήματι ψιλῷ καταδικάσας, τοσαύτην * ἐπεσπάσατο κόλασιν, οἱ πολλὰ
μὲν καθ' ἑκάστην ἡμέραν ἁμαρτάνοντες, ἑτέρων δὲ βίους καταδικάζοντες, οὐδὲ ἐμφανεῖς ὄντας
τινὶ οὐδὲ δήλους, ἐννόησον ὅσην ὑποστησόμεθα κόλασιν, πῶς ἐκπεσούμεθα πάσης συγγνώμης.
Ματθ. ζ. β. Ἐν ᾧ γὰρ κρίματι, φησί, κρίνετε, καὶ ὑμεῖς κριθήσεσθε. Διὰ δὴ ταῦτα ἀντιβολῶ
καὶ παρακαλῶ καὶ δέομαι ταύτης ἀποστῆναι τῆς πονηρᾶς συνηθείας. τοὺς μὲν γὰρ ἱερέας
κακῶς ἀκούοντας οὐδὲν παραβλαπτόμεθα, οὐ μόνον ἂν ψευδῆ τὰ λεγόμενα ᾖ, ἀλλὰ
κἂν ἀληθῆ. ἐπεὶ καὶ ὁ Φαρισαῖος τὸν τελώνην οὐδὲν κατέβλαψεν, ἀλλὰ καὶ ὠφέλησε, καίτοιγε
ἀληθῆ περὶ αὐτοῦ λέγων· ἡμεῖς δὲ ἑαυτοὺς τοῖς ἐσχάτοις περιβαλοῦμεν κακοῖς· ἐπεὶ καὶ
ὁ Φαρισαῖος καθ' ἑαυτοῦ τὸ ξίφος ὤθησε, καὶ καιρίαν πληγὴν λαβὼν ἀπῆλθεν. ἵνα οὖν μὴ καὶ
ἡμεῖς τὰ αὐτὰ πάθωμεν, κρατῶμεν ἀκολάστου γλώττης. εἰ γὰρ τὸν τελώνην εἰπὼν κακῶς, οὐ
διέφυγεν ἐκεῖνος, οἱ τοὺς πατέρας ἡμῶν κακῶς λέγοντες, ποίαν ἕξομεν ἀπολογίαν; εἰ τὸν
ἀδελφὸν βλασφημήσασα Μαρία ἅπαξ, τοσαύτην ἔδωκε δίκην, ποίας σωτηρίας ἡμῖν
ἐλπίς, ὅταν μυρίαις καθ' ἑκάστην ἡμέραν τοὺς ἄρχοντας πλύνωμεν λοιδορίαις; μὴ γάρ μοι
τοῦτο λεγέτω τις, ὅτι ἐκεῖνος Μωϋσῆς ἦν. δυνήσομαι γὰρ εἰπεῖν καὶ ἐγώ, ὅτι κἀκείνη Μαρία ἦν. ἄλλως
δέ, ἵνα καὶ τοῦτο αὐτὸ μάθῃς σαφῶς, ὅτι εἰ καὶ ἐγκλήμασιν ὑπεύθυνοι ὦσιν οἱ ἱερεῖς, οὐδὲ
οὕτω σοι θέμις τὸν ἐκείνων βίον κρίνειν, ἄκουσον τί φησι περὶ τῶν ἀρχόντων τῶν Ἰουδαϊκῶν ὁ Θεός·
Ματθ. κγ. β. Ἐπὶ τῆς Μωϋσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι. πάντα οὖν, ὅσα ἂν λέγωσιν
ὑμῖν ποιεῖν, ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε. τί δὲ γένοιτ' ἂν τοῦ βίου χεῖρον ἐκείνων,
ὧν ὁ ζῆλος ἔφθειρε τοὺς μαθητευομένους; ἀλλ' ὅμως οὐδὲ οὕτω κατεβίβασεν αὐτοὺς ἀπὸ τῆς
ἀξίας, οὐδὲ εὐκαταφρονήτους ἐποίησεν εἶναι τοῖς ἀρχομένοις· καὶ μάλα εἰκότως. εἰ γὰρ
ταύτης ἐπιλάβοιντο τῆς ἐξουσίας οἱ ἀρχόμενοι, ὀφθήσονται πάντας ἀποχειροτονοῦντες,
καὶ ἐκ τοῦ βήματος καταβιβάζοντες. διὰ τοῦτο καὶ Παῦλος τὸν ἀρχιερέα τῶν Ἰουδαίων ὑβρίσας,
Πράξ. κδ. γ. καὶ εἰπών, Τύπτειν σε μέλλει ὁ Θεός, τοῖχε κεκονιαμένε· καὶ σὺ κάθῃ κρίνων με; ἐπειδὴ
τινων ἤκουσεν ἐπιστομιζόντων αὐτόν, καὶ λεγόντων, Τὸν ἀρχιερέα τοῦ Θεοῦ λοιδορεῖς; δεῖξαι
βουλόμενος ὅσην ἀπονέμειν δεῖ τοῖς ἄρχουσι τὴν αἰδῶ καὶ τὴν τιμήν, τί φησιν; Οὐκ ᾔδειν
ὅτι ἀρχιερεὺς τοῦ Θεοῦ ἦν. διὰ τοῦτο καὶ Δαβὶδ παρανομοῦντα λαβὼν τὸν Σαούλ, καὶ
φόνου πνέοντα, καὶ μυρίας ὄντα κολάσεως ἄξιον, οὐ μόνον αὐτοῦ τῆς ζωῆς ἐφείσατο, ἀλλ' οὔτε
α. Βασ. κδ. ζ. ῥῆμα φορτικὸν εἰς αὐτὸν ἐκβαλεῖν ὑπέμεινε· καὶ τὴν αἰτίαν τίθησι, λέγων, Ὅτι χριστὸς
Κυρίου ἐστίν. οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθεν ἐκ πολλῆς τῆς περιουσίας ἐστὶν ἰδεῖν,
πῶς πόρρω που τὰ τῶν ἱερέων διορθοῦν τὸν ἀρχόμενον ἑστηκέναι χρή. τῆς γὰρ κιβωτοῦ
β. Βασ. ς. ζ. ποτὲ ἀναγομένης, ἐπειδή τινες τῶν ἀρχομένων περιτρεπομένην καὶ καταπίπτειν μέλλουσαν
ἰδόντες ἀνώρθωσαν, ἐν αὐτῷ τῷ χωρίῳ δίκην ἔδοσαν, ὑπὸ τοῦ Κυρίου πληγέντες καὶ νεκροὶ
μείναντες· καίτοιγε οὐδὲν ἄτοπον ἐποίουν. οὐδὲ γὰρ ἀνέτρεπον τὴν κιβωτόν, ἀλλ' ἀνατρέπεσθαι
μέλλουσαν καὶ καταπίπτειν, ἀνώρθουν. ἀλλ' ἵνα ἐκ πολλῆς περιουσίας μάθῃς
τῶν ἱερέων τὸ ἀξίωμα, καὶ πῶς οὐ θέμις τὸν ὑποτεταγμένον καὶ ἐν τάξει λαϊκῶν ὄντα, τοιαῦτα
ἐπανορθοῦν, ἀπέκτεινεν αὐτοὺς ἐν μέσῳ τῷ πλήθει, τοὺς ἄλλους πάντας ἐκ πολλῆς φοβῶν τῆς

ὑπερβολῆς,

* ὑπέστη ζημίαν, ἢ, τοσαύτην

ὑπερβολῆς, καὶ πείθων μηδέποτε τοῖς τῆς ἱερωσύνης προσιέναι ἀδύτοις. Εἰ γὰρ δὴ μέλλοιεν ἕκαστοι ἐπὶ προφάσει τοῦ τὰ κακῶς γινόμενα διορθοῦν εἰς τὸ τῆς ἱερωσύνης εἰσάγειν ἑαυτοὺς ἀξίωμα, οὔτε πρόφασις ἐπιλείψει διορθώσεως ποτε, οὔτε ἄρχοντα, οὔτε ἀρχόμενον διαγνωσόμεθα, ἀναμεμιγμένων πάντων ἀλλήλοις. καὶ μή με τις νομίσῃ τῶν ἱερέων κατεγνωκότα ταῦτα λέγειν (διὰ γὰρ τὴν τοῦ Θεοῦ χάριν, πολλὴν, ὡς καὶ ὑμεῖς ἴστε, τὴν ἐπιείκειαν ἐν ἅπασιν ἐπιδείκνυνται, καὶ οὐδεμίαν οὐδενί ποτε παρεσχήκασι λαβὴν) ἀλλ᾽ ἵνα ὑμεῖς μάθητε, ὅτι εἰ καὶ μοχθηροὺς εἴχετε πατέρας καὶ φορτικοὺς διδασκάλους, οὐδὲ οὕτως ἀκίνδυνον ὑμῖν ἦν, οὐδὲ ἀσφαλὲς βλασφημεῖν αὐτοὺς καὶ λοιδορεῖσθαι. Εἰ γὰρ ἐπὶ τῶν σωματικῶν γονέων σοφός τις φησι, Κἂν ἀπολίπῃ σύνεσιν, συγγνώμην ἔχε· τί γὰρ αὐτοῖς ἀποδώσεις, καθὼς αὐτοί σοι; πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν τοῦτον φυλάττεσθαι χρὴ τὸν νόμον, καὶ τὸν ἑκάστου βίον ἑαυτοῦ ἕκαστον περιεργάζεσθαι καὶ πολυπραγμονεῖν, ἵνα μὴ ἀκούσωμεν κατ᾽ ἐκείνην τὴν ἡμέραν· Ὑποκριτὰ, τί βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ οὐ κατανοεῖς δοκόν; καὶ γὰρ ὑποκριτῶν ἔργον τὸ δημοσίᾳ μὲν, καὶ πάντων ὁρώντων τὰς χεῖρας φιλεῖν τῶν ἱερέων, καὶ γονάτων ἅπτεσθαι, καὶ παρακαλεῖν ὑπὲρ αὐτῶν εὔχεσθαι, καὶ δεομένους βαπτίσματος ἐπὶ τὰς ἐκείνων τρέχειν θύρας, οἴκοι δὲ καὶ ἐν ἀγοραῖς τοὺς τοσούτων ἀγαθῶν αἰτίους ἡμῖν καὶ διακόνους μυρίοις πλύνειν ὀνείδεσιν, ἢ ἑτέρων ὀνειδιζόντων ἀνέχεσθαι. Εἰ μὲν γὰρ ἀληθῶς κακὸς ὁ πατὴρ, πῶς αὐτὸν ἀξιόπιστον εἶναι νομίζεις διάκονον τῆς τῶν φρικτῶν ἐκείνων μυσταγωγίας; Εἰ δὲ ἀξιόπιστος ἐκείνων εἶναί σοι δοκεῖ διάκονος, τίνος ἕνεκεν ἀνέχῃ κακῶς ἑτέρων λεγόντων αὐτὸν, καὶ οὐκ ἐπιστομίζεις, οὐδὲ ἀγανακτεῖς, οὐδὲ δυσχεραίνεις, ἵνα παρὰ τοῦ Θεοῦ πολὺν τὸν μισθὸν ἀπολάβῃς, καὶ παρ᾽ αὐτῶν ἐκείνων τῶν κατηγορούντων τὸν ἔπαινον; κἂν γὰρ μυριάκις ὦσιν ὑβρισταὶ, πάντως ἐπαινέσονταί σε καὶ ἀποδέξονται τῆς περὶ τοὺς πατέρας κηδεμονίας· ὥσπερ ἂν μὴ τοῦτο ποιῶμεν, ἅπαντες ἡμῶν καταγνώσονται, καὶ αὐτοὶ οἱ κακῶς λέγοντες. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινὸν, ἀλλ᾽ ὅτι καὶ ἐκεῖ τὴν ἐσχάτην δώσομεν δίκην. Οὐδὲν γὰρ οὕτω τὰς ἐκκλησίας λυμαίνεται, ὡς τοῦτο τὸ νόσημα. καὶ καθάπερ σῶμα μὴ μετὰ ἀκριβείας συνδεδεμένον τῇ τῶν νεύρων περιβολῇ, πολλὰς τίκτει τὰς ἀρρωστίας, καὶ ἀβίωτον ποιεῖ τὸν βίον· οὕτω καὶ ἐκκλησία, μὴ σφοδρᾷ καὶ ἀρραγεῖ τῇ τῆς ἀγάπης ἁλύσει περιβεβλημένη, μυρίους τίκτει πολέμους, καὶ τὴν ὀργὴν τοῦ Θεοῦ αὔξει, καὶ πολλῶν πειρασμῶν γίνεται ὑπόθεσις. ἵν᾽ οὖν μὴ ταῦτα συμβαίνῃ, μηδὲ τὸν Θεὸν παροξύνωμεν, καὶ τὰ ἡμέτερα ἐπαυξήσωμεν κακὰ, καὶ τὴν κόλασιν ἀπαραίτητον παρασκευάζωμεν, καὶ πολλῆς ἀηδίας πληρώσωμεν τὴν ζωὴν τὴν ἡμετέραν, μὴ περιεργαζώμεθα βίον ἀλλότριον, ἀλλὰ τὴν ἱερέων ζωὴν τῷ τὰ ἀπόρρητα μετὰ ἀκριβείας εἰδότι κρίνειν ἐπιτρέψαντες, αὐτοὶ τὰ ἑαυτῶν ἁμαρτήματα κρίνωμεν. οὕτω γὰρ καὶ τὸ τῆς γεέννης δυνησόμεθα διαφυγεῖν πῦρ. ὥσπερ γὰρ οἱ τὰ ἀλλότρια πολυπραγμονοῦντες κακὰ, τῶν οἰκείων οὐδένα ποιοῦνται λόγον· οὕτως οἱ δεδοικότες εἰς τὸν ἑτέρων παρακύψαι βίον, πολλὴν ἑαυτοῖς τῶν πεπλημμελημένων ποιήσονται τὴν φροντίδα· οἱ δὲ τὰ ἑαυτῶν μὴ ἀναλογιζόμενοι κακὰ, καὶ τούτοις καθ᾽ ἑκάστην κρίνοντες τὴν ἡμέραν, καὶ δικάσαι ἑαυτοὺς παραιτούμενοι τήμερον, ἕξουσι τότε πικρὸν τὸν δικαστήν. καὶ τοῦτο ὁ Παῦλος δηλῶν ἔλεγεν· Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα ὑπὸ Κυρίου. ἵν᾽ οὖν διαφύγωμεν τὴν ψῆφον ἐκείνην, πάντα τὰ ἄλλα ἀφέντες, περιεργαζώμεθα τὴν ἑαυτῶν ζωὴν, καὶ κολάζωμεν τὸν λογισμὸν τὸν ἁμαρτάνειν ἀναπείθοντα, καὶ κατανύττωμεν τὸ συνειδὸς, καὶ λόγον ἑαυτοὺς ἀπαιτῶμεν τῶν πεπραγμένων ἡμῖν. οὕτω γὰρ δυνησόμεθα κοῦφον τῶν ἁμαρτημάτων ποιήσαντες τὸ φορτίον, συγγνώμης ἀπολαῦσαι πολλῆς, καὶ τὸν παρόντα βίον μεθ᾽ ἡδονῆς διάγειν, καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ μεθ᾽ οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

Σειρ. γ. ιε.

Ματθ. ζ. γ.

α. Κορ. ια. λα.

α. Κορ. ζ. β.

Λογ. μθ. ΕΙΣ ΤΟ ΑΠΟΣΤΟΛΙΚΟΝ ΡΗΤΟΝ, ΔΙΑ ΔΕ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω.

Πρὸς τὰς τοῦ μέλιτος πηγὰς τήμερον ὑμᾶς χειραγωγῆσαι βούλομαι, μέλιτος οὐδέποτε κόρον ἔχοντος. τοιαύτη γὰρ τῶν Παύλου ῥημάτων ἡ φύσις, καὶ πάντες δέ, ὅσοι πληροῦσι τὰς ἑαυτῶν καρδίας ἐκ τῶν πηγῶν τούτων, διὰ τοῦ πνεύματος τοῦ ἁγίου φθέγγονται· μᾶλλον δὲ καὶ μέλιτος ἀρετὴν ἀποκρύπτει πᾶσαν ἡ τῶν θείων ἡδονὴ λογίων. καὶ Ψαλμ. ριη. ργ. τοῦτο δηλῶν ὁ προφήτης ἔλεγεν· Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου; ὑπὲρ μέλι τῷ στόματί μου. οὐ μέλιτος δὲ ἐστιν ἡδίων μόνον, ἀλλὰ καὶ χρυσίου καὶ Ψαλμ. ια. ζ. λίθου παντὸς τιμιωτέρα καὶ ἀργυρίου παντὸς καθαρωτέρα ἡ ἡδονὴ τῶν θείων λογίων. Τὰ λόγια γὰρ Κυρίου, φησί, λόγια ἁγνά, ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως. διὰ τοῦτο καί τις σοφὸς ἔλεγεν· Ἐσθίειν μέλι πολὺ οὐ καλόν, τιμᾶν Παροιμ. κε. κη. δὲ χρὴ λόγους ἐνδόξους. ἐξ ἐκείνου μὲν γὰρ καὶ νόσος οὐκ οὖσα τίκτεται πολλάκις, ἀπὸ δὲ τούτων καὶ τὴν οὖσαν ἀρρωστίαν ἀποθέσθαι δυνάμεθα· καὶ τὸ μὲν μέλι κατὰ πέψιν διαφθείρεται, τὰ δὲ λόγια τὰ θεῖα, ὅταν πεφθῇ, τότε καὶ ἡδίω γίνεται καὶ χρησιμώτερα, αὐτοῖς τε τοῖς ἔχουσι, καὶ ἑτέροις πολλοῖς. καὶ τραπέζης μέν τις αἰσθητῆς μετὰ δαψιλείας ἀπολαύων, εἶτα ἐκεῖθεν ἐρευγόμενος, ἀηδὴς τῷ κοινωνοῦντι γίνεται· ἀπὸ διδασκαλίας δέ τις ἐρευξάμενος πνευματικῆς, πολλῆς τῆς εὐωδίας μεταδίδωσι τῷ πλησίον. ὁ γοῦν Δαβὶδ τοιαύτης συνεχῶς ἀπολαύων ἑστιάσεως, ἔλεγεν, Ψαλμ. μδ. α. Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν. ἔστι γὰρ καὶ πονηρὸν λόγον ἐρεύξασθαι. καὶ καθάπερ ἐπὶ τῆς αἰσθητῆς τραπέζης κατὰ τὴν φύσιν τῶν ἐδεσμάτων καὶ ἡ τῆς ἐρυγῆς ποιότης ἐκδίδοται, οὕτω δὴ καὶ ἐπὶ τῆς τῶν ῥημάτων δυνάμεως, οἷάπερ ἂν σιτῶνται, τοιαῦτα καὶ ἐρεύγονται πολλοὶ τῶν ἀνθρώπων. οἷον, ἐὰν εἰς θέατρον ἀναβῇς καὶ πορνικῶν ἀσμάτων ἀκούσῃς, τοιαῦτα καὶ ἐρεύξῃ πάντως εἰς τὸν πλησίον ῥήματα· ἂν δὲ εἰς τὴν ἐκκλησίαν ἐλθὼν, μετάσχῃς ἀκουσμάτων πνευματικῶν, τοιαύτας ἕξεις καὶ τὰς ἐρυγάς. διὰ τοῦτο καὶ ὁ προφήτης ἔλεγεν. Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν, τῆς τραπέζης, ἧς ἀεὶ μετεῖχε, τὴν βρῶσιν ἡμῖν ἐνδεικνύμενος. τούτῳ καὶ ὁ Παῦλος πειθόμενος, παραινεῖ λέγων· Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω, ἀλλ' εἴ τις ἀγαθός. καὶ τίς ἐστιν ὁ σαπρός, φησιν; ἐὰν μάθῃς τὸν ἀγαθόν, τότε εἴσῃ καὶ τὸν σαπρόν. πρὸς γὰρ τὴν ἀντιδιαστολὴν ἐκείνου τοῦτον τέθεικε. τίς οὖν ἐστιν ὁ ἀγαθός, οὐδὲν δεήσῃ παρ' ἐμοῦ μαθεῖν. αὐτὸς γὰρ ἡμῖν αὐτοῦ τὴν φύσιν ἡρμήνευσεν. εἰπὼν γάρ, εἴ τις ἀγαθός, ἐπήγαγε, πρὸς οἰκοδομὴν τῆς ἐκκλησίας, δεικνὺς ὅτι οὗτος ἐστὶν ἀγαθὸς ὁ τὸν πλησίον οἰκοδομῶν. ὥσπερ οὖν ὁ οἰκοδομῶν, ἀγαθός, οὕτως ὁ καθαιρῶν, σαπρὸς καὶ φαῦλος. καὶ σὺ τοίνυν, ἀγαπητέ, εἰ μὲν ἔχεις τι τοιοῦτον εἰπεῖν, ὃ δύναται βελτίω ποιῆσαι τὸν ἀκούοντα, μὴ κωλύσῃς λόγον εἰς καιρὸν σωτηρίας· εἰ δὲ μηδὲν τοιοῦτον ἔχεις, ἀλλὰ πονηρὰ καὶ διεφθαρμένα ῥήματα, σίγησον, μὴ κατηγορήσῃς τοῦ πλησίον. οὗτος γὰρ ὁ λόγος σαπρός ἐστιν, οὐκ οἰκοδομῶν τὸν ἀκούοντα, ἀλλὰ καὶ καταστρέφων. ἄν τε γὰρ ἀρετῆς ἐπιμνήσηται, πρὸς ἀπόνοιαν αἴρεται πολλάκις· ἄν τε ἠμελημένος ᾖ, ῥαθυμότερος γίνεται. ἂν αἰσχρὸν μέλλῃς φθέγγεσθαι ῥῆμα καὶ γέλωτος γέμον, σίγησον. καὶ γὰρ καὶ οὗτος ὁ λόγος σαπρός ἐστι, τόν τε λέγοντα, τόν τε ἀκούοντα ἀσελγεστέρους ποιῶν, καὶ τὰς ἐν ἑκάστῳ πονηρὰς ἐπιθυμίας ἀνάπτων. ὥσπερ οὖν τῷ πυρὶ τὰ ξύλα τροφὴ γίνεται καὶ ὕλη, οὕτω τοῖς πονηροῖς βουλεύμασι τὰ ῥήματα. διὰ τοῦτο οὐ χρὴ πάντα, ἅπερ ἂν ἔχωμεν ἐν διανοίᾳ, φθέγγεσθαι πάντως· ἀλλὰ σπουδάζειν μὲν καὶ τῆς διανοίας αὐτῆς ἐξορίζειν τὰς πονηρὰς ἐπιθυμίας καὶ πᾶσαν αἰσχρὰν ἔννοιαν· εἰ δέ ποτε λαθόντες παραδεξόμεθα ῥυπαροὺς λογισμούς, μηδέποτε διὰ τῆς γλώττης αὐτοὺς ἐκφέρωμεν, ἀλλ' ἀποπνίγωμεν αὐτοὺς διὰ τῆς σιγῆς. καὶ γὰρ καὶ θηρία καὶ ἑρπετὰ εἰς λάκκον ἐμπίπτοντα, ἂν μὲν εὕρῃ τινὰ διέξοδον ἄνωθεν, ἀναβάντα ἀγριώτερα γίνεται· ἂν δὲ μείνῃ κάτω διηνεκῶς συγκεκλεισμένα, πολλάκις ἀπόλλυται ῥᾳδίως καὶ ἀφανίζεται· οὕτω δὴ καὶ τὰ πονηρὰ ἐνθυμήματα· ἂν μὲν εὕρῃ τινὰ διὰ τοῦ στόματος ἡμῶν καὶ τῶν ῥημάτων ἔξοδον, ἀνάπτει τὴν ἔνδον φλόγα· ἂν δὲ ἀποκλείσῃς αὐτὰ διὰ τῆς σιγῆς, ἀσθενέστερα γίνεται, καὶ καθάπερ λιμῷ τηκόμενα, τῇ σιωπῇ, ταχέως ἐναποθνήσκει τῇ διανοίᾳ. ὥστε κἂν ἐπιθυμήσῃς τινὰ αἰσχρὰν ἐπιθυμίαν, μὴ φθέγξῃ δὲ ῥῆμα αἰσχρὸν, κατέσβεσας καὶ τὴν ἐπιθυμίαν. οὐκ ἔχεις διάνοιαν καθαράν; κἂν στόμα ἔχε καθαρὸν, καὶ μὴ κενώσῃς ἔξω τὸν βόρβορον, ἵνα μὴ καὶ ἕτερον, καὶ σαυτὸν καταβλάψῃς. οὐ γὰρ τοῖς λέγουσι μόνον, ἀλλὰ καὶ τοῖς ἀκούουσιν αἰσχρὰ φθεγγομένων ἑτέρων πολλὴ προσγίνεται κηλίς. διὰ τοῦτο παραινῶ καὶ συμβουλεύω, μὴ μόνον τοῦ λέγειν τὰ τοιαῦτα, ἀλλὰ καὶ λεγόντων ἑτέρων τοῦ ἀκούειν ἀπέχεσθαι, καὶ τῷ θείῳ προσηλῶσθαι νόμῳ διηνεκῶς. Ψαλ. α. α. β. τὸν γὰρ τοιοῦτον καὶ ὁ προφήτης μακαρίζει, λέγων· Μακάριος ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν· ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός. ἐν μὲν οὖν τοῖς ἔξωθεν συλλόγοις, εἰ καί τι λεχθείη ποτὲ χρηστὸν, ἀλλ' ἐν πολλοῖς τοῖς φαύλοις μόλις ἓν ὑγιὲς οἱ πολλοὶ φθέγγονται· ἐπὶ δὲ τῶν θείων γραφῶν τοὐναντίον ἅπαν. πονηρὸν μὲν οὐδένα οὐδέποτε ἀκούσῃ λόγον, πάντα δὲ σωτηρίας καὶ πολλῆς γέμοντα φιλοσοφίας· οἷα δὴ καὶ τὰ σήμερον ἡμῖν ἀναγνωσθέντα. τίνα δὲ ταῦτά ἐστι; α. Κορ. ζ. α. Περὶ δὲ ὧν ἐγράψατέ μοι, φησὶ, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι· διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα. περὶ γάμων ὁ Παῦλος νομοθετεῖ, καὶ οὐκ αἰσχύνεται οὐδὲ ἐρυθριᾷ, καὶ μάλα εἰκότως. εἰ γὰρ ὁ δεσπότης αὐτοῦ γάμον ἐτίμησε, καὶ οὐκ ἐπῃσχύνθη, ἀλλὰ καὶ τῇ παρουσίᾳ καὶ τῷ δώρῳ τὸ πρᾶγμα ἐκόσμησε (καὶ γὰρ καὶ δῶρα τῷ γάμῳ μείζονα ἁπάντων εἰσήνεγκε, τὴν τοῦ ὕδατος φύσιν εἰς οἶνον μεταβαλὼν) Ιωαν. β. πῶς ὁ δοῦλος ἠρυθρίασεν ἂν περὶ γάμου νομοθετῶν; οὐ γὰρ πονηρὸν ὁ γάμος πρᾶγμα, ἀλλὰ πονηρὸν ἡ μοιχεία, πονηρὸν ἡ πορνεία· γάμος δὲ πορνείας ἀναιρετικὸν φάρμακον. μὴ τοίνυν αὐτὸν ἀτιμάζωμεν ταῖς διαβολικαῖς πομπαῖς· ἀλλ', ὅπερ ἐποίησαν οἱ ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ οἱ νῦν γυναῖκας λαμβάνοντες ποιείτωσαν, τὸν Χριστὸν ἐχέτωσαν μέσον. καὶ πῶς δυνατὸν τοῦτο γενέσθαι, φησί; δι' αὐτῶν τῶν ἱερέων. Ματθ. ι. μ. Ὁ δεχόμενος γὰρ, φησιν, ὑμᾶς, ἐμὲ δέχεται. ἂν τοίνυν τὸν διάβολον ἀπελάσῃς, ἂν τὰ πορνικὰ ᾄσματα, καὶ τὰ κεκλασμένα μέλη, καὶ τὰς ἀτάκτους χορείας, καὶ τὰ αἰσχρὰ ῥήματα, καὶ τὴν διαβολικὴν πομπὴν, καὶ τὸν θόρυβον, καὶ τὸν κεχυμένον γέλωτα καὶ τὴν λοιπὴν ἐξελάσῃς ἀσχημοσύνην, εἰσαγάγῃς δὲ τοὺς ἁγίους Χριστοῦ δούλους, καὶ ὁ Χριστὸς δι' αὐτῶν πάρεσται πάντως μετὰ τῆς μητρὸς καὶ τῶν ἀδελφῶν. Ματθ. ιβ. ν. Ὃς γὰρ ἂν ποιήσῃ, φησὶ, τὸ θέλημα τοῦ πατρός μου, οὗτός μου ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ἐστί. καὶ οἶδα ὅτι βαρύς τισιν εἶναι δοκῶ καὶ φορτικὸς, ταῦτα παραινῶν καὶ παλαιὸν ἔθος ἐκκόπτων· πλὴν ἀλλ' οὐδέν μοι τούτου μέλει. οὐ γὰρ τῆς χάριτος τῆς παρ' ὑμῶν, ἀλλὰ τῆς ὠφελείας δέομαι τῆς ὑμετέρας· οὐ τῶν κρότων καὶ τῶν ἐπαίνων, ἀλλὰ τοῦ κέρδους καὶ τῆς φιλοσοφίας. μή μοι λεγέτω τις, ὅτι ἔθος ἐστὶν, ὅπου ἁμαρτία τολμᾶται. ἔθους μὴ μνησθῇς· ἀλλ', εἰ μὲν πονηρὰ τὰ γινόμενα, κἂν παλαιὸν ἔθος ᾖ, κατάλυσον· ἂν δὲ μὴ πονηρὰ, κἂν συνήθεια μὴ ᾖ, εἰσάγαγε καὶ καταφύτευσον. ὅτι δὲ οὐ παλαιὸν ἔθος ἦν τὸ τοιαῦτα ἀσχημονεῖν, ἀλλὰ καινοτομία τίς ἐστι τὰ γινόμενα, ἀναμνήσθητι πῶς ἔγημεν ὁ Ἰσαὰκ τὴν Ῥεβέκκαν, πῶς ὁ Ἰακὼβ τὴν Ῥαχήλ. καὶ γὰρ τῶν γάμων αὐτῶν μέμνηται ἡ γραφὴ, καὶ πῶς εἰς τὰς οἰκίας τῶν νυμφίων ἤχθησαν αὗται αἱ νύμφαι λέγει, καὶ οὐδενὸς τοιούτου μέμνηται· ἀλλὰ συμπόσιον μὲν καὶ δεῖπνον ἐποιήσαντο τοῦ συνήθους φαιδρότερον.

δρόπερον, καὶ τοὺς προσήκοντας ἐκάλεσαν εἰς τοὺς γάμους· αὐλοὶ δὲ καὶ σύριγγες καὶ κύμβαλα καὶ τὰ ἀνώδη σκιρτήματα, καὶ ἡ λοιπὴ ἡ νῦν ἀσχημοσύνη πᾶσα ἐκποδὼν ἦν. οἱ δὲ ἐφ' ἡμῶν, καὶ ὕμνους εἰς τὴν Ἀφροδίτην ᾄδουσι χορεύοντες, καὶ μοιχείας πολλὰς, καὶ γάμων διαφθορὰς, καὶ ἔρωτας παρανόμους, καὶ πολλὰ ἕτερα ἀσεβείας καὶ αἰσχύνης γέμοντα ᾄσματα κατ' ἐκείνην ᾄδουσι τὴν ἡμέραν, καὶ μετὰ μέθην καὶ τοσαύτην ἀσχημοσύνην δι' αἰσχρῶν ῥημάτων δημοσίᾳ τὴν νύμφην πομπεύουσι. πῶς οὖν αὐτὴν ἀπαιτεῖς σωφροσύνην, εἰπέ μοι, εἰς τοσαύτην ἀναίδειαν ἐκ πρώτης αὐτὴν παιδοτριβῶν τῆς ἡμέρας, καὶ παρασκευάζων ἐπ' ὄψεσιν αὐτῆς καὶ γίνεσθαι καὶ λέγεσθαι ταῦτα, ἃ μηδὲ σπουδαίοις ἀνδραπόδοις ἀκοῦσαι θέμις; τοσοῦτον χρόνον ἐπόνεσεν ὁ πατὴρ μετὰ τῆς μητρὸς φυλάττων τὴν παρθένον, ὥστε μήτε εἰπεῖν, μήτε ἑτέρου ἀκοῦσαι λέγοντός τι τῶν τοιούτων ῥημάτων, καὶ θαλάμους, καὶ γυναικωνίτιδας, καὶ φύλακας, καὶ θύρας, καὶ μοχλοὺς, καὶ τὰς ἐν ἑσπέρᾳ προόδους, καὶ τὸ μηδενὶ φαίνεσθαι μηδὲ τῶν ἐπιτηδείων, καὶ πολλὰ ἕτερα πλείονα τούτων πραγματευόμενος, καὶ σὺ πάντα ἐκεῖνα ἐν μιᾷ ἐλθὼν διέχεας ἡμέρᾳ, ἀναίσχυντον αὐτὴν παρασκευάζων γενέσθαι διὰ τῆς ἀτίμου πομπῆς ἐκείνης, καὶ διεφθαρμένα ῥήματα εἰς τὴν ψυχὴν εἰσάγων τῆς νύμφης; οὐκ ἐντεῦθεν τὰ μετὰ ταῦτα κακά; οὐκ ἐντεῦθεν μοιχεῖαι καὶ ζηλοτυπίαι; οὐκ ἐντεῦθεν ἀπαιδίαι καὶ χηρεῖαι καὶ ὀρφανίαι ἄωροι; ὅταν γὰρ τοὺς δαίμονας καλῇς διὰ τῶν ᾀσμάτων, ὅταν τὴν ἐκείνων ἐπιθυμίαν πληροῖς διὰ τῶν αἰσχρῶν ῥημάτων, ὅταν μίμους καὶ μαλακοὺς εἰς τὴν οἰκίαν εἰσάγῃς καὶ τὸ θέατρον ἅπαν, ὅταν πορνῶν ἐμπλήσῃς τὴν οἰκίαν, καὶ τῶν δαιμόνων ὁλόκληρον παρασκευάσῃς ἐκεῖ κωμάσαι τὸν χορὸν, τί προσδοκᾷς λοιπὸν ὑγιές, εἰπέ μοι; τίνος δὲ ἕνεκεν καὶ ἱερέας εἰσάγεις, μέλλων τῇ ὑστεραίᾳ τοιαῦτα τελεῖν; βούλει φιλοτιμίαν ἐπιδείξασθαι κέρδος ἔχουσαν; κάλεσον χοροὺς πενήτων. ἀλλ' αἰσχύνῃ πτωχοὺς, καὶ ἐρυθριᾷς; καὶ τί ταύτης τῆς ἀλογίας χεῖρον, ὅταν τὸν μὲν διάβολον ἕλκων εἰς τὴν οἰκίαν, μηδὲν νομίζῃς αἰσχρὸν ποιεῖν, τὸν δὲ Χριστὸν μέλλων εἰσάγειν, ἐρυθριᾷς; ὥσπερ γὰρ πενήτων εἰσιόντων ὁ Χριστὸς παραγίνεται, οὕτω μαλακῶν καὶ μίμων ἐκεῖ χορευόντων ὁ διάβολος ἐν τῷ μέσῳ κωμάζει. καὶ ἀπὸ μὲν τῆς δαπάνης ἐκείνης κέρδος οὐδὲν, ἀλλὰ καὶ πολλὴ γένοιτ' ἂν ἡ βλάβη· ἀπὸ δὲ τούτων τῶν ἀναλωμάτων πολλὴν ἵνα λήψῃ τὸν μισθὸν ταχέως. ἀλλ' οὐδεὶς ἐπὶ τῆς πόλεως τοῦτο εἰργάσατο. ἀλλὰ σὺ κατάρξαι, σπούδασον καὶ ἀρχηγὸς γενέσθαι τῆς καλῆς ταύτης συνηθείας, ἵνα καὶ οἱ μετὰ ταῦτα εἰς σὲ ἀναφέρωσι. κἂν ζηλώσῃ τις, κἂν μιμήσηται τοῦτο τὸ ἔθος, πρὸς τοὺς ἐξετάζοντας ἕξουσι λέγειν οἱ ἔγγονοι καὶ οἱ τῶν ἐγγόνων, ὅτι ὁ δεῖνα τὸν καλὸν τοῦτον νόμον πρῶτος εἰσήγαγεν. εἰ γὰρ ἐπὶ τῶν ἔξωθεν ἀγώνων ἐν τοῖς συμποσίοις οἱ πρὸς τὸ φιλοτιμότερον τὰς ἀνοήτους ταύτας λειτουργίας ἐξάγοντες, παρὰ πολλῶν ᾄδονται· πολλῷ μᾶλλον ἐπὶ τῆς λειτουργίας τῆς πνευματικῆς ἅπαντες ἐπαινέσονται καὶ χάριν ὁμολογήσουσι τῷ πρώτῳ τὴν θαυμαστὴν ταύτην ἀρχὴν εἰσαγαγόντι, καὶ ἔσται τὸ αὐτὸ καὶ φιλοτιμία καὶ κέρδος. καὶ γὰρ ὑφ' ἑτέρων τοῦτο κατορθούμενον, σοὶ τῷ πρώτῳ φυτευσαμένῳ τῶν καρπῶν ἐκείνων οἴσει τὴν ἀμοιβήν· τοῦτό σε καὶ πατέρα ποιήσει ταχέως, τοῦτο καὶ τῶν τικτομένων προστήσεται, καὶ τὸν νυμφίον τῇ νύμφῃ συγκαταγηρᾶσαι παρασκευάσει. Ἐξοδ. κβ. κδ. ὥσπερ γὰρ τοῖς ἁμαρτάνουσιν ἀπειλεῖ συνεχῶς ὁ Θεὸς, λέγων, ὅτι Ἔσονται οἱ υἱοὶ ὑμῶν ὀρφανοὶ, καὶ αἱ γυναῖκες ὑμῶν χῆραι· οὕτω καὶ τοῖς ἐν ἅπασιν αὐτῷ πειθομένοις καὶ γῆρας λιπαρὸν, καὶ πάντα μετὰ τούτου δώσειν ἐπαγγέλλεται τὰ ἀγαθά. καὶ Παύλου δὲ ἔστιν ἀκοῦσαι τοῦτο α. Κορ. ια. λ. λέγοντος, ὅτι θανάτους ἀώρους πολλάκις ἁμαρτημάτων ἐποίησε πλῆθος. Διὰ τοῦτο γὰρ, φησιν, ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί. ὅτι δὲ πένητες τρεφόμενοι οὐδὲν τοιοῦτον ἀφιᾶσι συμπεσεῖν, ἀλλὰ, κἂν γένηταί τι τῶν ἀδοκήτων, ταχίστην ἐπάγουσιν Πραξ. θ. λϛ. αὐτοῦ τὴν διόρθωσιν, ἀπὸ τῆς κόρης μάνθανε τῆς ἐν Ἰόππῃ. καὶ γὰρ ταύτην ποτὲ νεκρὰν κειμένην περιστάντες οἱ τρεφόμενοι πένητες καὶ δακρύσαντες ἀνέστησαν, καὶ πρὸς ζωὴν ἐπανήγαγον. τοσοῦτον εὐχὴ χηρῶν καὶ πενήτων, γέλωτος πολλοῦ καὶ χορείας ἐστὶ χρησιμωτέρα. ἐνταῦθα πρὸς μίαν ἡμέραν ἡ τέρψις, ἐκεῖ διηνεκὲς τὸ κέρδος. ἐννόησον ἡλίκον ἐστὶ τοσαύτας ἐπὶ τῆς κεφαλῆς εὐλογίας λαβοῦσαν τὴν νύμφην, εἰς τὴν οἰκίαν εἰσιέναι τοῦ νυμφίου. πόσων στεφάνων ταῦτα σεμνότερα; πόσου χρησιμώτερα πλούτου; ὡς τά γε νῦν γινόμενα ἐσχάτης παραπληξίας καὶ παραφροσύνης ἐστίν. εἰ γὰρ μηδὲ κόλασις, μηδὲ τιμωρία τις ἔκειτο τοῖς τὰ τοιαῦτα ἀσχημονοῦσιν, ἐννόησον ὅσης ἐστὶ τιμωρίας, ἀνέχεσθαι τοσαύταις πλυνομένους λοιδορίαις, δημοσίᾳ, πάντων ἀκουόντων, ὑπὸ ἀνθρώπων μεθυόντων καὶ διεφθαρμένων τὸν νοῦν. οἱ μὲν γὰρ πένητες λαμβάνοντες εὐλογοῦσι, μυρία (συνεύχονται) τὰ ἀγαθά· ἐκεῖνοι δὲ μετὰ τὴν μέθην, μετὰ τὴν ἀδηφαγίαν, πάντα βόρβορον σκωμμάτων κατὰ τῆς τῶν γαμούντων καταχέουσι κεφαλῆς, ἅμιλλαν τινα διαβολικὴν πρὸς ἀλλήλους ἔχοντες· καὶ καθάπερ ἐχθρῶν ὄντων τῶν σκωπτόντων, οὕτως οἱ προσήκοντες αὐτοῖς φιλοτιμοῦνται πρὸς ἀλλήλους, ἐν τῷ ῥητὰ καὶ ἄρρητα λέγειν ὀνείδη περὶ τῶν γημάντων, μιμῆσαι τοὺς ἀντιτεταγμένους· καὶ ἡ πρὸς ἀλλήλους τούτων φιλονεικία μεθ' ὑπερβολῆς ἁπάσης τὸν νυμφίον μετὰ τῆς νύμφης καταισχύνεσθαι παρασκευάζει.

Ἆρ' οὖν ἑτέραν ζητήσομεν ἀπόδειξιν, εἰπέ μοι, τῶν δαιμόνων κινούντων τὰς ἐκείνων ψυχὰς ταῦτα καὶ γίνεσθαι καὶ λέγεσθαι παρ' αὐτῶν; τίς οὖν ἀμφισβητήσει λοιπὸν, ὅτι δαιμόνων κινούντων τὰς ἐκείνων ψυχὰς καὶ λέγεται ταῦτα πάντα καὶ γίνεται παρ' ἐκείνων; οὐκ ἔστιν οὐδείς. καὶ γὰρ τοιαῦται τοῦ διαβόλου αἱ ἀντιδόσεις, λοιδορίαι, καὶ μέθαι, καὶ παραφροσύνη ψυχῆς. εἰ δέ τις οἰωνίζοιτο τὸ πένητας ἀντὶ τούτων εἰσάγεσθαι, καὶ συμφορᾶς λέγει εἶναι σύμβολα ταῦτα, μαθέτω καὶ τοῦτο, ὅτι οὐ τὸ πένητας τρέφεσθαι καὶ χήρας, ἀλλὰ τὸ μαλακοὺς καὶ πόρνας, τοῦτο ἁπάσης ἀηδίας καὶ μυρίων ἐστὶ σύμβολον κακῶν. πολλάκις γὰρ ἀπ' αὐτῆς τῆς ἡμέρας ἐκ τῶν φίλων τὸν νυμφίον αἰχμάλωτον λαβοῦσα ἀπῆλθεν ἡ πόρνη, καὶ τὸν ἔρωτα τὸν πρὸς τὴν νύμφην ἔσβεσε, καὶ τὴν εὔνοιαν ὑπέσυρε, καὶ τὴν ἀγάπην, πρὶν ἐξαφθῆναι, κατέλυσε, καὶ μοιχείας ἐγκατέβαλε σπέρματα. ταῦτα δεδοικέναι τοὺς πατέρας ἐχρῆν, εἰ καὶ μηδὲν ἕτερον, καὶ κωλύειν τῶν μίμων καὶ τῶν ὀρχουμένων τὰς εἰς τοὺς γάμους παρουσίας. γάμος γὰρ, οὐχ ἵνα ἀσελγαίνωμεν, εἰσενήνεκται, οὐδ' ἵνα πορνεύωμεν· ἀλλ' ἵνα σωφρονῶμεν. ἄκουσον γοῦν τοῦ Παύλου λέγοντος· Διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω. δύο γὰρ ταῦτά ἐστι, δι' ἅπερ εἰσενήνεκται γάμος, ἵνα τε σωφρονῶμεν, καὶ ἵνα πατέρες γινώμεθα· τῶν δὲ δύο τούτων προηγουμένη ἡ τῆς σωφροσύνης ἐστὶ πρόφασις. ἐπειδὴ γὰρ εἰσῆλθεν ἐπιθυμία, εἰσῆλθε καὶ γάμος τὴν ἀμετρίαν ἐκκόπτων, καὶ πείθων μιᾷ χρῆσθαι γυναικί. τὰς γὰρ παιδοποιίας οὐχ ὁ γάμος ποιεῖ πάντως, ἀλλ' ἐκεῖνο τὸ ῥῆμα τοῦ Θεοῦ τὸ λέγον, Αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν. καὶ μαρτυροῦσιν ὅσοι γάμῳ μὲν ἐχρήσαντο, πατέρες δὲ οὐκ ἐγένοντο. ὥστε προηγουμένη αὕτη ἡ αἰτία, ἡ τῆς σωφροσύνης, καὶ μάλιστα νῦν, ὅτε ἡ οἰκουμένη πᾶσα τοῦ γένους ἡμῶν ἐμπέπλησται. παρὰ μὲν γὰρ τὴν ἀρχὴν ποθεινὸν τὸ τῶν παίδων ἦν, διὰ τὸ μνημόσυνον καὶ λείψανα καταλιμπάνειν ἕκαστον τῆς ἑαυτοῦ ζωῆς. ἐπειδὴ γὰρ ἀναστάσεως οὐδέπω ἦσαν ἐλπίδες, ἀλλ' ὁ θάνατος ἐκράτει, καὶ μετὰ τὴν ἐνταῦθα ζωὴν ἀπόλλυσθαι ἐνόμιζον οἱ τελευτῶντες, ἔδωκεν ὁ Θεὸς τὴν ἐκ τῶν παίδων παραμυθίαν, ὥστε τῶν ἀπελθόντων εἰκόνας ἐμψύχους μένειν, καὶ τὸ γένος ἡμῶν διατηρεῖσθαι, καὶ τοῖς μέλλουσι τελευτᾶν καὶ τοῖς ἐπιτηδείοις τοῖς ἐκείνων μεγίστην εἶναι παράκλησιν τὰ ἐκείνων ἔκγονα. καὶ ἵνα μάθῃς ὅτι διὰ τοῦτο μάλιστα ποθεινὰ τὰ τέκνα ἦν, ἄκουσον τί πρὸς τὸν Ἰὼβ ἀποδύρεται μετὰ τὰς πολλὰς πληγὰς ἡ γυνή. Ἰδοὺ, φησὶν, ἀπόλετο τὸ μνημόσυνόν σου ἀπὸ τῆς γῆς, οἱ υἱοί σου καὶ αἱ θυγατέρες σου. καὶ πάλιν ὁ Σαοὺλ πρὸς τὸν Δαβίδ· Ὀ-

Γεν. α. κη.

Ιωβ. ιη. ιη.
α βασ. κδ. κβ.

μοσύνη μοι, ἵνα μὴ ἀφανίσῃς τὸ σπέρμα μου, καὶ τὸ ὄνομά μου μετ' ἐμέ. ἐπειδὴ δὲ λοιπὸν ἡ ἀνάστασις ἐπὶ θύραις, καὶ θανάτου λόγος οὐδείς, ἀλλὰ πρὸς ἑτέραν ζωὴν ὁδεύομεν βελτίω τῆς οὔσης, περιττὴ ἡ περὶ ταῦτα σπουδή. εἰ γὰρ παίδων ἐπιθυμεῖς, πολλῷ βελτίους καὶ χρησιμωτέρους δυνήσῃ κτήσασθαι νῦν, ὅτε πνευματικαί τινες ὠδῖνες εἰσήχθησαν, καὶ βελτίων τόκος, καὶ γηροκόμοι χρησιμώτεροι. ὥστε μία τίς ἐστι γάμου πρόφασις, τὸ μὴ πορνεύειν, καὶ διὰ τοῦτο τὸ φάρμακον εἰσενήνεκται τοῦτο. εἰ δὲ μέλλοις καὶ μετὰ γάμον κεχρῆσθαι πορνείαις, περιττῶς ἦλθες ἐπὶ τὸν γάμον, καὶ εἰκῆ καὶ μάτην· μᾶλλον δὲ οὐκ εἰκῆ καὶ μάτην μόνον, ἀλλὰ καὶ ἐπὶ βλάβῃ. οὐ γάρ ἐστιν ἴσον οὐκ ἔχοντα γυναῖκα πορνεύειν, καὶ μετὰ γάμον πάλιν τὸ αὐτὸ τοῦτο ποιεῖν. οὐδὲ γὰρ πορνεία τὸ τοιοῦτο λοιπόν ἐστιν, ἀλλὰ μοιχεία. εἰ γὰρ καὶ παράδοξόν ἐστι τὸ εἰρημένον, ἀλλ' ἀληθές. οὐκ ἀγνοοῦμεν γὰρ ὅτι πολλοὶ μοιχείαν νομίζουσιν, ὅταν τις ὕπανδρον φθείρῃ γυναῖκα μόνον· ἐγὼ δὲ κἂν δημοσίᾳ πόρνῃ, κἂν θεραπαινίδι, κἂν ἄλλῃ τινὶ γυναικὶ ἄνδρα οὐκ ἐχούσῃ προσέχῃ κακῶς καὶ ἀκολάστως, ἔχων γυναῖκα, μοιχείαν τὸ τοιοῦτον εἶναί φημι. οὐ γὰρ δὴ μόνον ἀπὸ τῶν ὑβριζομένων, ἀλλὰ καὶ ἀπὸ τῶν ὑβριζόντων τὸ τῆς μοιχείας συνίσταται ἔγκλημα. μὴ γάρ μοι τοὺς ἔξωθεν νόμους εἴπῃς νῦν, οἳ τὰς μὲν γυναῖκας μοιχευομένας εἰς δικαστήριον ἕλκουσι καὶ εὐθύνας ἀπαιτοῦσιν, ἄνδρας δὲ γυναῖκας ἔχοντας καὶ θεραπαινίσι προσφθειρομένους οὐκ ἀπαιτοῦσιν εὐθύνας· ἀλλ' ἐγώ σοι τὸν τοῦ Θεοῦ νόμον ἀναγνώσομαι, ὁμοίως καὶ ἐπὶ τῆς γυναικὸς καὶ ἐπὶ τοῦ ἀνδρὸς ἀγανακτοῦντα, καὶ μοιχείαν εἶναι τὸ πρᾶγμα λέγοντα. εἰπὼν γάρ, Καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω, ἐπήγαγε· Τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν ἀποδιδότω. τί ποτε δηλῶν βουλόμενος τοῦτο εἶπεν; ἆρα ἵνα τὰς προσόδους αὐτῇ τῶν χρημάτων διατηρήσῃ; ἵνα τὴν προῖκα σώαν; ἵνα ἱμάτια παράσχῃ πολυτελῆ; ἵνα τράπεζαν δαψιλεστέραν; ἵνα ἐξόδους λαμπράς; ἵνα οἰκετῶν θεραπείαν πολλήν; τί λέγεις; ποῖον εὐνοίας εἶδος ζητεῖς; καὶ γὰρ ταῦτα πάντα εὐνοίας ἐστίν. οὐδέν τι τοιοῦτο λέγω, φησίν, ἀλλὰ τὴν σωφροσύνην καὶ τὴν σεμνότητα. τὸ σῶμα τοῦ ἀνδρὸς οὐκέτι τοῦ ἀνδρός, ἀλλὰ τῆς γυναικός. τηρείτω τοίνυν αὐτῇ τὸ κτῆμα σῶον, καὶ μὴ μειούτω, μηδὲ διαφθειρέτω. καὶ γὰρ τῶν οἰκετῶν ἐκεῖνος εὔνους λέγεται, ὃς ἂν τὰ δεσποτικὰ δεξάμενος χρήματα, μηδὲν ἐξ αὐτῶν διαφθείρῃ. ἐπειδὴ τοίνυν τῆς γυναικός ἐστι κτῆμα τὸ τοῦ ἀνδρὸς σῶμα, εὔνους ἔστω περὶ τὴν παρακαταθήκην ὁ ἀνήρ. ὅτι γὰρ τοῦτό φησιν εἰπών, τὴν εὔνοιαν ἀποδιδότω, ἐπήγαγεν· Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ· ὁμοίως καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή. ὅταν τοίνυν ἴδῃς πόρνην δελεάζουσαν, ἐπιβουλεύουσαν, ἐρῶσαν τοῦ σώματος, εἰπὲ πρὸς αὐτήν· οὐκ ἔστιν ἐμὸν τὸ σῶμα, τῆς γυναικός ἐστι τῆς ἐμῆς· οὐ τολμῶ καταχρήσασθαι, οὔτε ἑτέρᾳ τοῦτο ἐκδοῦναι γυναικί. τοῦτο καὶ γυνὴ ποιείτω. πολλὴ γὰρ ἐνταῦθα ἡ ἰσοτιμία. καίτοιγε ἐν τοῖς ἄλλοις πολλὴν δίδωσιν ὑπεροχὴν ὁ Παῦλος, οὕτω λέγων· Πλὴν καὶ ὑμεῖς οἱ καθ' ἕνα, ἵνα ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα οὕτως ἀγαπᾷ ὡς ἑαυτόν· ἡ δὲ γυνή, ἵνα φοβῆται τὸν ἄνδρα· καὶ κεφαλὴ γυναικὸς ὁ ἀνήρ, καὶ ὀφείλει ἡ γυνὴ ὑποτάσσεσθαι τῷ ἀνδρί. καὶ πάλιν ἐν τῇ παλαιᾷ, Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. πῶς οὖν ἐνταῦθα ἴσην ἀντίδοσιν δουλείας καὶ δεσποτείας εἰσήγαγε; τὸ γὰρ εἰπεῖν, ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ· ὁμοίως καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή, ἰσότητά τινα πολλήν ἐστιν εἰσάγοντος. καὶ καθάπερ ἐκεῖνος δεσπότης ἐστὶ τοῦ σώματος αὐτῆς, οὕτω καὶ αὕτη δέσποινα τοῦ ἐκείνου σώματος. τίνος οὖν ἕνεκεν τοσαύτην ἰσοτιμίαν εἰσήγαγεν; ὅτι ἐνταῦθα ἀναγκαία ἡ ὑπεροχή. ἔνθα δὲ σωφροσύνης καιρὸς καὶ σεμνότητος, οὐδὲν ἔχει πλέον τῆς γυναικὸς ὁ ἀνήρ, ἀλλ' ὁμοίως ἐκείνῃ κολάζεται τοὺς τοῦ γάμου διαφθείρας νόμους· καὶ μάλα εἰκότως. οὐ γὰρ διὰ τοῦτο ἦλθεν ἡ γυνὴ πρὸς σέ, καὶ πατέρα καὶ μητέρα ἐγκατέλιπε καὶ τὸν οἶκον ἅπαντα, ἵνα καθυβρίζηται, ἵνα θεραπαι-

α. Κορ. ζ. γ.

Ἐφεσ. ε. λγ.

Γεν. γ. ις.

νίδιον εὐτελὲς ἐπεισάγῃς αὐτῇ, ἵνα μυρίους ποιῇς πολέμους. Συνέμπορον ἔλαβες, καὶ κοινωνὸν τοῦ βίου, καὶ ἐλευθέραν, καὶ ὁμότιμον. πῶς γὰρ οὐκ ἄτοπον τὴν μὲν προῖκα αὐτῆς ὑποδεχόμενον, πᾶσαν ἐπιδείκνυσθαι εὔνοιαν, καὶ μηδὲν αὐτῆς ἐλαττοῦν· ὃ δὲ τῆς προικός ἐστιν ἁπάσης τιμιώτερον, τὴν σωφροσύνην καὶ τὴν σεμνότητα καὶ τὸ σῶμα τὸ ἑαυτοῦ, ὅπερ ἐστὶν ἐκείνης κτῆμα, διαφθείρειν τε καὶ μιαίνειν; ἂν τὴν προῖκα μειώσῃς, τῷ κηδεστῇ δίδως λόγον· ἂν τὴν σωφροσύνην μειώσῃς, τῷ Θεῷ τὰς εὐθύνας ὑφέξεις, τῷ τὸν γάμον εἰσαγαγόντι καὶ τὴν γυναῖκα ἐγχειρίσαντι. καὶ ὅτι τοῦτο ἐστὶν ἀληθές, ἄκουσον τί φησιν ὁ Παῦλος περὶ τῶν μοιχευόντων· Ὁ γὰρ ἀθετῶν, οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεὸν τὸν δόντα τὸ πνεῦμα αὐτοῦ τὸ ἅγιον εἰς ὑμᾶς. ὁρᾷς δι᾽ ὅσων ὁ λόγος ἀπέδειξεν ὅτι μοιχεία ἐστὶν, οὐ μόνον τὸ ὕπανδρον γυναῖκα διαφθείρειν, ἀλλὰ καὶ τὸ [illegible] πόρνῃ, ἔχοντα γυναῖκα; ὥσπερ γὰρ μοιχεύεσθαι γυναῖκα λέγομεν, κἂν εἰς οἰκέτην, κἂν εἰς ὀντιναοῦν ἁμάρτῃ, ἄνδρα ἔχουσαν· οὕτω καὶ ἄνδρα μοιχεύειν ἂν εἴποιμεν, κἂν εἰς θεραπαινίδα, κἂν εἰς ἡντιναοῦν δημώδη γυναῖκα ἀσελγαίνῃ, γυναῖκα ἔχων αὐτός. α. Θεσ. δ. η.

Μὴ τοίνυν ἀμελῶμεν τῆς ἑαυτῶν σωτηρίας, μηδὲ τῷ διαβόλῳ περιτείνωμεν ἡμῶν τὴν ψυχὴν διὰ τῆς ἁμαρτίας ταύτης. καὶ γὰρ ἐντεῦθεν αἱ μυρίαι τῶν οἴκων ἀνατροπαί, οἱ μυρίοι πόλεμοι· ἐντεῦθεν τὰ τῆς ἀγάπης ὑπορρεῖ, καὶ τὰ τῆς εὐνοίας ὑποσύρεται. ὥσπερ γὰρ ἀμήχανον σώφρονα ἄνθρωπον ὑπεριδεῖν γυναικὸς καὶ καταφρονῆσαί ποτε· οὕτως ἀμήχανον ἄνθρωπον ἀσελγῆ καὶ ἀκόλαστον φιλεῖν τὴν γυναῖκα τὴν ἑαυτοῦ, κἂν ἁπασῶν εὐμορφοτέρα ᾖ. ἀπὸ γὰρ σωφροσύνης ἀγάπη τίκτεται, ἀπὸ δὲ ἀγάπης τὰ μυρία ἀγαθά. λιθίνας τοίνυν νόμιζε τὰς λοιπὰς γυναῖκας, εἰδὼς ὅτι μετὰ γάμον, κἂν ἀκολάστοις ἴδῃς ὀφθαλμοῖς ἑτέραν γυναῖκα, κἂν δημοσίαν, κἂν ὕπανδρον, τοῖς τῶν μοιχῶν ἐγκλήμασιν ὑπεύθυνος γέγονας. ταῦτα σαυτῷ καθ᾽ ἑκάστην ἔπᾳδε τὰ ῥήματα· κἂν ἴδῃς ἐπιθυμίαν ἄλλης γυναικὸς ἐγειρομένην ἐν σοί, εἶτα ἐκ τούτου σοι τὴν γυναῖκα ἀηδῆ φαινομένην, εἴσελθε εἰς τὸν θάλαμον, καὶ τὸ βιβλίον ἀναπτύξας τοῦτο, καὶ λαβὼν Παῦλον μεσίτην, καὶ συνεχῶς ἐπᾴδων ταῦτα τὰ ῥήματα, κατάσβεσον τὴν φλόγα. καὶ οὕτω καὶ ἡ γυνὴ πάλιν ἔσται σοὶ ποθεινοτέρα, οὐδεμιᾶς ἐπιθυμίας τὴν πρὸς αὐτὴν εὔνοιαν ὑποσυρούσης· οὐχ ἡ γυνὴ δὲ ἔσται ποθεινοτέρα μόνον, ἀλλὰ καὶ σὺ σεμνότερος πολλῷ καὶ ἐλευθεριώτερος δόξεις εἶναι. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν αἰσχρότερον ἀνθρώπου μετὰ γάμον πορνεύοντος. οὐ γὰρ δὴ μόνον τοὺς κηδεμόνας καὶ τοὺς φίλους καὶ τοὺς ἀπαντῶντας, ἀλλὰ καὶ αὐτοὺς ἐρυθριᾷ τοὺς οἰκέτας. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, ἀλλ᾽ ὅτι καὶ τὴν οἰκίαν αὐτὴν δεσμωτηρίου παντὸς ἀηδεστέραν ὄψεται, πρὸς τὴν ἐρωμένην βλέπων, καὶ τὴν πόρνην διηνεκῶς φανταζόμενος. βούλει μαθεῖν ἀκριβῶς ὅσον ἐστὶ τὸ δεινόν; ἐννόησον δὴ οἱ τὰς γυναῖκας ἑαυτῶν ὑποπτεύοντες ζῶσι βίον, πῶς ἀηδῆ τὰ ποτά. δηλητηρίων ἡ τράπεζα δοκεῖ γέμειν φαρμάκων· καὶ ὥσπερ ὄλεθρον, μυρίων γέμουσαν κακῶν, οὕτω φεύγουσι τὴν οἰκίαν. οὐχ ὕπνος ἡδύς ἐστιν, οὐ νὺξ προσηνής, οὐ συνουσία φίλων, οὐκ αὐταὶ αἱ τοῦ ἡλίου ἀκτῖνες· ἀλλὰ καὶ παρ᾽ αὐτοῦ τοῦ φωτὸς ἐνοχλεῖσθαι νομίζουσιν, οὐχ ὅταν ἴδωσι μοιχευομένην τὴν γυναῖκα μόνον, ἀλλὰ κἂν ἁπλῶς ὑποπτεύωσι. ταῦτα νόμιζε καὶ τὴν γυναῖκα πάσχειν, ὅταν ἀκούσῃ παρ᾽ ὁτουοῦν, ἢ καὶ ὑποπτεύσῃ, ὅτι πόρνῃ γυναικὶ σαυτὸν ἐξέδωκας. ταῦτα λογιζόμενος, μὴ τὰς μοιχείας φεῦγε μόνον, ἀλλὰ καὶ τὰς ὑποψίας· κἂν ἀδίκως ὑποπτεύσῃ, θεράπευσον καὶ πεῖσον. οὐ γὰρ ἐξ ἔχθρας ἢ ἀπονοίας, ἀλλ᾽ ἀπὸ κηδεμονίας τοῦτο ποιεῖ, καὶ τοῦ σφόδρα δεδοικέναι περὶ τοῦ κτήματος τοῦ ἰδίου. κτῆμα γὰρ αὐτῆς ἐστιν, ὥσπερ ἔφθην εἰπών, τὸ σῶμα τὸ σόν, καὶ κτῆμα τῶν ὄντων ἁπάντων τιμιώτερον. μὴ τοίνυν αὐτὴν περὶ τὰ μέγιστα ἀδικήσῃς, μηδὲ καιρίαν δῷς τὴν πληγήν. εἰ γὰρ ἐκείνης καταφρονήσεις, ἀλλὰ τὸν Θεὸν φοβήθητι, τὸν ἔκδικον τῶν τοιούτων, τὸν ἀφορήτους κολάσεις τοῖς τοιούτοις ἀπειλήσαντα ἁμαρτήμασι. Μαρκ. θ. μδ. τῶν γὰρ τοιαῦτα τολμώντων, φησὶν, Ὁ σκώληξ οὐ τελευτήσει, καὶ τὸ πῦρ οὐ σβεσθήσεται. Εἰ δὲ οὐ σφόδρα σε δάκνει τὰ μέλλοντα, τὰ γοῦν παρόντα σε φοβείτω. πολλοὶ γοῦν τῶν πόρναις προσεχόντων καὶ ἐνταῦθα κακοὶ κακῶς ἀπώλοντο, περιεργίας ὑπομείναντες ὑπὸ τῶν πορνευομένων γυναικῶν. φιλονεικοῦσαι γὰρ ἐκεῖναι τῆς μετὰ συνοικούσης αὐτῷ καὶ κατεγγυηθείσης ἀποστῆσαι γυναικὸς, τῷ δὲ αὐτῶν ἔρωτι προσδῆσαι τέλεον, μαγγανείας ἐκίνησαν, καὶ φίλτρα κατεσκεύασαν, καὶ πολλὰς γοητείας ἔρραψαν· εἶτα οὕτως εἰς ἀῤῥωστίαν αὐτὸν ἐμβαλοῦσαι χαλεπὴν, καὶ φθορᾷ παραδοῦσαι, καὶ τηκεδόνι μακρᾷ, καὶ μυρίοις περιβαλοῦσαι κακοῖς, ἀπήνεγκαν τῆς παρούσης ζωῆς. Εἰ μὴ φοβῇ τὴν γέενναν, ἄνθρωπε, τὰς γοητείας αὐτῶν φοβήθητι. ὅταν γὰρ σαυτὸν διὰ τῆς ἀσελγείας ταύτης ἔρημον ποιήσῃς τῆς τοῦ Θεοῦ συμμαχίας, καὶ γυμνώσῃς σαυτὸν τῆς ἄνωθεν βοηθείας, λαβοῦσά σε μετὰ ἀδείας ἡ πόρνη, καὶ τοὺς αὐτῆς καλέσασα δαίμονας, καὶ τὰ πέταλα ῥάψασα, καὶ τὰς ἐπιβουλὰς ἐργασαμένη, μετὰ πολλῆς τῆς εὐκολίας περιγίνεταί σου τῆς σωτηρίας, ὄνειδός σε καὶ γέλωτα τῶν τὴν πόλιν οἰκούντων ἁπάντων καταστήσασα, ὥστε μηδὲ Σειρ. ιβ. ιγ. ἐλεεῖσθαι κακῶς πάσχοντα. Τίς γὰρ ἐλεήσει, φησὶν, ἐπαοιδὸν ὀφιόδηκτον, καὶ πάντας τοὺς προσάγοντας θηρίοις; παρίημι τὴν τῶν χρημάτων ζημίαν, τὰς καθημερινὰς ὑποψίας, τὸν τύφον, τὴν ἀπόνοιαν, τὴν ὕβριν τὴν παρὰ τῶν πορνῶν γινομένην εἰς τοὺς ἀνοήτους, ἃ θανάτων μυρίων ἐστὶ πικρότερα. καὶ τὴν μὲν γυναῖκα πολλάκις οὐδὲ βαρὺ ῥῆμα εἰποῦσαν οὐκ ἤνεγκας, τὴν δὲ πόρνην καὶ ῥαπίζουσαν προσκυνεῖς. καὶ οὐκ αἰσχύνῃ, οὐδὲ ἐρυθριᾷς, οὐδὲ εὔχῃ διαστῆναί σοι τὴν γῆν; πῶς δυνήσῃ εἰς ἐκκλησίαν εἰσελθεῖν, καὶ τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνατεῖναι; ποίῳ στόματι καλέσαι τὸν Θεὸν, ᾧ τὴν πόρνην ἐφίλησας; καὶ οὐ δέδοικας, οὐδὲ φρίττεις, εἰπέ μοι, μή ποτε σκηπτὸς ἄνωθεν ἐνεχθεὶς καταφλέξῃ τὴν ἀναίσχυντόν σου κεφαλήν; κἂν γὰρ τὴν γυναῖκα λάθῃς τὴν ἠδικημένην, Σειρ. κγ. κη. ἀλλὰ τὸν ἀκοίμητον ὀφθαλμὸν οὐ λήσῃ ποτέ· ἐπεὶ καὶ τῷ μοιχῷ ἐκείνῳ τῷ λέγοντι, Σκότος κύκλῳ μου καὶ τοῖχοι, τί εὐλαβοῦμαι; ἀντεφθέγξατο ὁ σοφὸς ἐκεῖνος, οὕτω λέγων· Ὅτι ὀφθαλμοὶ Κυρίου μυριοπλασίως ἡλίου φωτεινότεροι, βλέποντες εἰς τὰ ἔργα τῶν ἀνθρώπων. Διὰ ταῦτα δὴ πάντα ὁ Παῦλος ἔλεγεν, Ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω· τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν ἀποδιδότω, ὁμοίως καὶ ἡ γυνὴ τῷ ἀνδρί. Παροιμ. ε. γ. Μέλι ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης, ἣ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα, ὕστερον μέντοι πικρότερον χολῆς εὑρήσεις, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου. ἰὸν ἔχει τῆς πόρνης τὸ φίλημα, ἰὸν λανθάνοντα καὶ ἐγκεκρυμμένον. τί τοίνυν διώκεις ἡδονὴν κατάγνωσιν ἔχουσαν, ὄλεθρον τίκτουσαν, πληγὴν ἐπάγουσαν ἀνίατον, ἐξὸν εὐφραίνεσθαι καὶ μηδὲν πάσχειν δεινόν; ἐπὶ γὰρ τῆς ἐλευθέρας γυναικὸς ὁμοῦ καὶ ἡδονὴ καὶ ἀσφάλεια καὶ ἄνεσις καὶ τιμὴ καὶ κόσμος καὶ συνειδὸς ἀγαθόν· ἐκεῖ δὲ πολλὴ μὲν ἡ πικρία, πολλὴ δὲ ἡ βλάβη, διηνεκὴς δὲ ἡ κατηγορία. κἂν γὰρ μηδεὶς ἀνθρώπων ἴδῃ, τὸ συνειδὸς οὐδέποτε παύσεταί σου κατηγορῶν· ἀλλ' ὅπουπερ ἂν ἀπέλθῃς, ἕψεται κατηγοροῦν καὶ μεγάλα καταβοῶν ὁ κατήγορος οὗτος. ὥστε εἴ τις ἡδονὴν διώκει, οὗτος μάλιστα φευγέτω τὴν πρὸς τὰς πόρνας ὁμιλίαν. οὐδὲν γὰρ ἐκείνης τῆς συνηθείας πικρότερον, οὐδὲν τῆς συνουσίας ἀηδέστερον, οὐδὲν τῶν τρόπων μιαρώτερον. Παροιμ. ε. ιθ. Ἔλαφος φιλίας, καὶ πῶλος σῶν χαρίτων ὁμιλείτω σοι· ἡ πηγὴ τοῦ ὕδατός σου, σοὶ ἔστω πηγή. πηγὴν ὕδατος ἔχων καθαρὰν, τί τρέχεις ἐπὶ λάκκον βορβόρου γέμοντα, γεέννης ὄζοντα, καὶ κολάσεως ἀφάτου; ποίαν ἕξεις ἀπολογίαν; τίνα συγγνώμην; εἰ γὰρ οἱ πρὸ τοῦ γάμου πορνείᾳ προσέχοντες κολάζονται καὶ δίκην διδόασι, καθάπερ ἐκεῖνος ὁ τὰ ῥυπαρὰ ἐνδεδυμένος ἱμάτια, πολλῷ μᾶλλον οἱ μετὰ τὸν γάμον. διπλοῦν γὰρ ἐνταῦθα καὶ τριπλοῦν τὸ ἔγκλημα τούτων, ὅτι τε παραμυθίας ἀπολαύοντες, λαχύοντες, ἀπεσκίρτησαν εἰς τὴν ἀσέλγειαν ἐκείνην, καὶ ὅτι τὸ πρᾶγμα οὐχὶ πορνεία μόνον, ἀλλὰ καὶ μοιχεία λογίζεται, ὃ πάσης ἁμαρτίας ἐστὶ χαλεπώτερον. Ταῦτ᾽ οὖν καὶ ἑαυτοῖς, καὶ ταῖς γυναιξὶν ἐπᾴδοντες οὕτω διατελῶμεν. διὸ δὴ καὶ αὐτὸς εἰς ταῦτα καταλύσω τὰ ῥήματα, Διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω· τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν ἀποδιδότω, ὁμοίως καὶ ἡ γυνὴ τῷ ἀνδρί. ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ᾽ ὁ ἀνήρ· ὁμοίως δὲ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ᾽ ἡ γυνή. μετὰ ἀκριβείας ταῦτα φυλάξαντες τὰ ῥήματα, καὶ ἐν ἀγορᾷ, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἡμέρᾳ, καὶ ἐν ἑσπέρᾳ, καὶ ἐπὶ τῆς τραπέζης, καὶ ἐπὶ τῆς εὐνῆς, καὶ πανταχοῦ καὶ αὐτοὶ μελετῶμεν, καὶ τὰς γυναῖκας παιδεύωμεν καὶ πρὸς ἡμᾶς λέγειν, καὶ παρ᾽ ἡμῶν ἀκούειν, ἵνα σωφρόνως τὸν παρόντα ζήσαντες βίον, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ μεθ᾽ οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

α. Κορ. ζ. λθ.

Λογ. γ. ΕΙΣ ΤΟ, ΓΥΝΗ ΔΕΔΕΤΑΙ ΝΟΜΩ, ΕΦ᾽ ΟΣΟΝ χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ κοιμηθῇ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ. μακαριωτέρα δέ ἐστιν, ἐὰν οὕτω μείνῃ.

α. Κορ. ζ. α.

Περὶ γάμου πρῴην ἡμῖν ὁ μακάριος Παῦλος ἐνομοθέτει, καὶ τῶν τοῦ γάμου δικαιωμάτων, Κορινθίοις οὕτω γράφων καὶ λέγων· Περὶ δὲ ὧν ἐγράψατέ μοι, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι· διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω. Διὰ τοῦτο καὶ ἡμεῖς τὴν διάλεξιν ἅπασαν εἰς ταῦτα τὰ ῥήματα ἀνηλώσαμεν. Οὐκοῦν ἀνάγκη σήμερον περὶ τῆς αὐτῆς ὑμῖν ὑποθέσεως διαλεχθῆναι πάλιν, ἐπειδὴ καὶ σήμερον περὶ τῶν αὐτῶν ὁ αὐτὸς διαλέγεται Παῦλος. καὶ γὰρ ἠκούσατε αὐτοῦ βοῶντος καὶ λέγοντος· Γυνὴ δέδεται νόμῳ, ἐφ᾽ ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ κοιμηθῇ ὁ ἀνὴρ αὐτῆς, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ. μακαριωτέρα δέ ἐστιν, ἐὰν οὕτω μείνῃ κατὰ τὴν ἐμὴν γνώμην· δοκῶ δὲ κἀγὼ πνεῦμα Θεοῦ ἔχειν. ἑψώμεθα τοίνυν αὐτῷ καὶ σήμερον, καὶ περὶ ταύτης διαλεξώμεθα τῆς ὑποθέσεως. ἀκολουθοῦντες γὰρ Παύλῳ, δι᾽ αὐτοῦ πάντως τῷ Χριστῷ ἑψόμεθα· ἐπειδὴ καὶ οὗτος οὐχ ἑαυτῷ, ἀλλ᾽ ἐκείνῳ ἀκολουθῶν, πάντα ἔγραφε. καὶ γὰρ οὐ τὸ τυχὸν πρᾶγμα γάμος εὖ διακείμενος, ὥσπερ οὖν μυρίων συμφορῶν ὑπόθεσις γίνεται τοῖς οὐκ εἰς δέον αὐτῷ χρωμένοις. ὥσπερ γὰρ βοηθός ἐστιν ἡ γυνή, οὕτω πολλάκις καὶ ἐπίβουλος γίνεται· ὥσπερ οὖν λιμήν ἐστιν ὁ γάμος, οὕτω καὶ ναυάγιον, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν γνώμην τῶν κακῶς αὐτῷ χρησαμένων. ὁ μὲν γὰρ κατὰ τοὺς προσήκοντας αὐτὸν ἐπιτελῶν νόμους, τῶν ἀπὸ τῆς ἀγορᾶς καὶ πάντων τῶν πανταχοῦ κακῶν παραμυθίαν τινὰ καὶ ἀπαλλαγὴν εὑρίσκει τὴν οἰκίαν, καὶ τὴν ἑαυτοῦ γυναῖκα· ὁ δὲ ἁπλῶς καὶ ὡς ἔτυχε τὸ πρᾶγμα μεταχειριζόμενος, κἂν πολλῆς ἐπὶ τῆς ἀγορᾶς ἀπολαύσῃ γαλήνης, σκοπέλους καὶ σπιλάδας εἰσελθὼν εἰς τὴν οἰκίαν ὄψεται. ἐπεὶ οὖν οὐ περὶ τῶν τυχόντων ἡμῖν ὁ κίνδυνος, ἀναγκαῖον μετὰ ἀκριβείας τοῖς λεγομένοις προσέχειν, καὶ τὸν μέλλοντα γυναῖκα ἄγεσθαι, μετὰ τῶν τοῦ Παύλου νόμων, μᾶλλον δὲ μετὰ τῶν τοῦ Χριστοῦ νόμων τοῦτο ποιεῖν. οἶδα μὲν οὖν ὅτι πολλοῖς εἶναι δοκεῖ καινὸν καὶ παράδοξον τὸ λεγόμενον, πλὴν οὐ διὰ τοῦτο σιγήσομαι· ἀλλὰ πρότερον τὸν νόμον ὑμῖν ἀναγνοὺς, οὕτω τὴν δοκοῦσαν ἀντινομίαν λῦσαι πειράσομαι. Τίς οὖν ἐστιν ὁ νόμος, ὃν ὁ Παῦλος ἡμῖν ἔθηκε; Γυνή, φησι, δέδεται νόμῳ. Οὐκοῦν οὐ δεῖ ἀποσχίζεσθαι ζῶντος τοῦ ἀνδρὸς, οὐδὲ ἕτερον ἐπεισάγειν νυμφίον, οὐδὲ δευτέροις ὁμιλεῖν γάμοις. καὶ ὅρα πῶς μετὰ ἀκριβείας καὶ αὐτῇ τῇ

α. Κορ. ζ. λθ.

λέξεων τῇ φύσει κέχρηται. οὐ γὰρ εἶπε, Συνοικείτω τῷ ἀνδρὶ, ἐφ' ὅσον χρόνον ζῇ· ἀλλὰ τί; γυνὴ δέδεται νόμῳ, ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς. ὥστε κἂν βιβλίον ἀποστασίου δῷ, καὶ τὴν οἰκίαν ἀφῇ, κἂν πρὸς ἄλλον ἀπέλθοι, τῷ νόμῳ δέδεται, καὶ μοιχαλίς ἐστιν ἡ τοιαύτη. ἐὰν τοίνυν ὁ ἀνὴρ ἐκβαλεῖν βούληται τὴν γυναῖκα, ἢ ἡ γυνὴ τὸν ἄνδρα ἀφεῖναι, ταύτης ἀναμιμνησκέσθω τῆς ῥήσεως, καὶ τὸν Παῦλον νομιζέτω παρεῖναι καὶ καταδιώκειν αὐτὴν βοῶντα καὶ λέγοντα, Γυνὴ δέδεται νόμῳ. καθάπερ γὰρ οἱ δραπετεύοντες οἰκέται κἂν τὴν οἰκίαν ἀφῶσι τὴν δεσποτικὴν, τὴν ἅλυσιν ἔχουσιν ἐπισυρομένην· οὕτω καὶ γυναῖκες, κἂν τοὺς ἄνδρας ἀφῶσι, τὸν νόμον ἔχουσι καταδικάζοντα, ἀντὶ ἁλύσεως κατηγοροῦντα τῶν λαμβανόντων, καὶ λέγοντα, περίεστιν ὁ ἀνὴρ ἔτι, καὶ μοιχεία τὸ γινόμενόν ἐστι. γυνὴ γὰρ δέδεται νόμῳ, Ματθ. ε. λβ. ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς, Καὶ πᾶς ὁ ἀπολελυμένην γαμῶν μοιχᾶται. καὶ πότε, φησὶν, ἐξέσται αὐτῇ δευτέροις ὁμιλῆσαι γάμοις; πότε; ὅταν τῆς ἁλύσεως ἀπαλλαγῇ, ὅταν ὁ ἀνὴρ τελευτήσῃ. τοῦτο γοῦν δηλῶν, οὐ προσέθηκεν, ὅτι ἐὰν τελευτήσῃ ὁ ἀνὴρ αὐτῆς, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, ἀλλ', ἐὰν κοιμηθῇ, μονονουχὶ παραμυθούμενος τὴν ἐν χηρείᾳ, καὶ πείθων μένειν ἐπὶ τῷ προτέρῳ, καὶ μὴ δεύτερον εἰσαγαγεῖν νυμφίον. οὐκ ἐτελεύτησέ σου ὁ ἀνὴρ, ἀλλὰ καθεύδει. τίς καθεύδοντα οὐκ ἀναμένει; διὰ τοῦτό φησιν, ἐὰν δὲ κοιμηθῇ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι. οὐκ εἶπε, γαμείσθω, ἵνα μὴ δόξῃ βιάζεσθαι καὶ ἀναγκάζειν· οὔτε ἐκώλυσε βουλομένην ὁμιλεῖν δευτέρῳ γάμῳ, οὔτε μὴ θέλουσαν προετρέψατο, ἀλλὰ τὸν νόμον ἀνέγνω εἰπὼν, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι. ἐλευθέραν δὲ αὐτὴν μετὰ τὴν τοῦ ἀνδρὸς τελευτὴν γεγενῆσθαι λέγων, ἔδειξεν ὅτι πρὸ τούτου δούλη ἦν, ζῶντος ἐκείνου· δούλη δὲ οὖσα καὶ ὑποκειμένη τῷ νόμῳ. κἂν μυριάκις βιβλίον ἀποστασίου λάβῃ, τῷ τῆς μοιχείας ἁλίσκεται νόμῳ. οἰκέταις μὲν γὰρ ἔξεστι δεσπότας ἀμείβειν ζῶντας, γυναικὶ δὲ οὐκ ἔξεστιν ἄνδρας ἀμείβειν, ζῶντος τοῦ ἀνδρός· ἐπεὶ τὸ πρᾶγμα μοιχεία ἐστί. μὴ γάρ μοι τοὺς παρὰ τοῖς ἔξωθεν κειμένους νόμους ἀναγνῷς, τοὺς κελεύοντας διδόναι βιβλίον ἀποστασίου, καὶ ἀφίστασθαι. οὐ γὰρ δὴ κατὰ τούτους σοι μέλλει κρίνειν τοὺς νόμους ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἀλλὰ καθ' οὓς αὐτὸς ἔθηκε. καὶ οἱ τῶν ἔξωθεν δὲ νόμοι οὐχ ἁπλῶς, οὐδὲ παρημελημένως τοῦτο τεθείκασιν, ἀλλὰ καὶ αὐτοὶ κολάζουσι τὸ πρᾶγμα. ὥστε καὶ αὐτόθεν δείκνυται, ὅτι ἀηδῶς πρὸς ταύτην ἔχουσι τὴν ἁμαρτίαν. τὴν γοῦν αἰτίαν τοῦ ἀποστασίου γενομένην γυμνὴν καὶ ἔρημον χρημάτων ἐκβάλλουσι. καὶ ὅθεν ἂν γένηται τῆς διαλύσεως ἡ πρόφασις, καὶ τῇ ζημίᾳ τῆς οὐσίας τοῦτον κολάζουσιν. οὐκ ἂν δὲ τοῦτο ποιήσαντες ἐπῄνουν τὸ γινόμενον. τί δαὶ καὶ Μωϋσῆς; τοῦτο ἐπέτρεψε κἀκεῖνος διὰ τὴν αὐτὴν αἰτίαν. σὺ δὲ ἄκουε τοῦ Χριστοῦ λέγοντος, ὅτι Ματθ. ε. κ. Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε Ματθ. ι. λβ. εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ἄκουε αὐτοῦ πάλιν λέγοντος, Ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι, καὶ ὁ ἀπολελυμένην γαμῶν μοιχᾶται. διὰ τοῦτο ἦλθεν ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ, διὰ τοῦτο δούλου μορφὴν ἔλαβε, διὰ τοῦτο τὸ αἷμα ἐξέχεε τὸ τίμιον, τὸν θάνατον κατέλυσε, τὴν ἁμαρτίαν ἔσβεσε, δαψιλεστέραν τὴν τοῦ πνεύματος ἔδωκε χάριν, ἵνα πρὸς μείζονά σε ἀγάγῃ φιλοσοφίαν. ἄλλως δὲ οὐδὲ ὁ Μωϋσῆς προηγουμένως τοῦτο ἐνομοθέτησεν· ἀλλ' ἀναγκαζόμενος συγκαταβαίνειν τῇ τῶν νομοθετουμένων ἀσθενείᾳ. ἐπειδὴ γὰρ πρὸς φόνους ἦσαν ἕτοιμοι, καὶ συγγενικῶν αἱμάτων τὰς οἰκίας ἐπλήρουν, καὶ οὔτε τῶν οἰκείων, οὔτε τῶν ἀλλοτρίων ἐφείδοντο· ἵνα μὴ κατασφάττωσι τὰς γυναῖκας ἔνδον, ἃς ἂν ἀηδῶς ἔχωσιν, ἐκέλευσεν ἐκβαλεῖν, μεῖζον ἀναιρῶν κακὸν τὴν περὶ τὰς σφαγὰς εὐκολίαν. ὅτι γὰρ μιαιφόνοι τινὲς ἦσαν, ἄκουε αὐτῶν τῶν προφητῶν λεγόντων· Μιχ. γ. ι. Οἰκοδομοῦντες Σιὼν ἐν αἵματι καὶ Ἱερουσαλὴμ ἐν ἀδικίαις. καὶ πάλιν, Ωσ. δ. β. Αἵματα ἐφ' αἵμασι μίσγουσι. καὶ πάλιν, Ησ. α. ιε. Αἱ χεῖρες ὑμῶν αἵματος πλήρεις. ὅτι δὲ οὐ κατὰ τῶν ἀλλοτρίων μόνον, ἀλλὰ καὶ κατὰ τῶν οἰκείων ἐμαίνοντο, καὶ τοῦτο δηλῶν ὁ προφήτης ἔλεγε·

Καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις. Τῶν δὲ παίδων αὐτῶν μὴ φεισάμενοι, οὐκ ἂν ἐφείσαντο γυναικῶν. ἵν' οὖν μὴ τοῦτο γένηται, τοῦτο ἐπέτρεψε. Διὰ τοῦτο καὶ ὁ Χριστὸς τοῖς Ἰουδαίοις ἐρωτῶσι καὶ λέγουσι, Πῶς Μωϋσῆς ἐπέτρεψε δοῦναι βιβλίον ἀποστασίου; δεικνὺς ὅτι οὐκ ἀντινομοθετῶν αὐτῷ ταῦτα ἔγραφεν, οὕτω πως φησί· Μωϋσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν εἶπεν, ἀπ' ἀρχῆς δὲ οὐ γέγονεν οὕτως· ἀλλ' ὁ ποιήσας ἐξ ἀρχῆς, ἄρρεν καὶ θῆλυ ἐποίησεν αὐτούς. Εἰ καλὸν τοῦτο ἦν, φησιν, οὐκ ἂν ἕνα ἄνδρα ἐποίησε καὶ μίαν γυναῖκα, ἀλλὰ ἕνα ποιήσας τὸν Ἀδάμ, δύο ἂν ἐποίησε τὰς γυναῖκας, εἴπερ ἐβούλετο τὴν μὲν ἐκβαλεῖν, τὴν δὲ εἰσαγαγεῖν· νῦν δὲ διὰ τοῦ τρόπου τῆς δημιουργίας τὸν νόμον εἰσήγαγεν, ὃν ἐγὼ γράφω νῦν. ποῖον δὴ τοῦτον; τὸ τὴν κληρωθεῖσαν ἐξ ἀρχῆς γυναῖκα, ταύτην ἔχειν διαπαντός· οὗτος ἐκείνου παλαιότερος ὁ νόμος, καὶ τοσοῦτον, ὅσον ὁ Ἀδὰμ τοῦ Μωϋσέως. ὥστε οὐ καινοτομῶ νῦν ἐγώ, οὐδὲ ξένα ἐπεισφέρω δόγματα, ἀλλὰ τοῦ Μωϋσέως πρεσβύτερα καὶ ἀρχαιότερα. ἄξιον δὲ καὶ αὐτὸν τὸν νόμον ἀκοῦσαι Μωϋσέως, ὃν περὶ τούτου ἔθηκεν. Ἐὰν τις γυναῖκα λάβῃ, φησί, καὶ συνοικήσῃ αὐτῇ, καὶ ἔσται ἐὰν μὴ εὕρῃ χάριν ἐναντίον αὐτοῦ, ὅτι εὗρεν ἐν αὐτῇ ἀσχημοσύνης πρᾶγμα, γράψει αὐτῇ βιβλίον ἀποστασίου, καὶ δώσει αὐτῇ εἰς τὰς χεῖρας αὐτῆς. ὅρα· οὐκ εἶπε, γραψάτω, καὶ δότω· ἀλλὰ τί; γράψει αὐτῇ βιβλίον ἀποστασίου, καὶ δώσει αὐτῇ εἰς τὰς χεῖρας αὐτῆς. πολὺ δὲ τούτου, κἀκείνου τὸ μέσον. τὸ μὲν γὰρ εἰπεῖν, γραψάτω, καὶ δότω, κελεύοντος καὶ ἐπιτάττοντος· τὸ δὲ εἰπεῖν, γράψει βιβλίον ἀποστασίου, καὶ δώσει εἰς τὰς χεῖρας αὐτῆς, τὸ γενόμενον ἀπαγγέλλοντος, οὐκ οἴκοθεν τὸν νόμον εἰσάγοντος. ἐὰν οὖν τις, φησιν, ἐκβάλῃ τὴν γυναῖκα, καὶ ἀποστείλῃ αὐτὴν ἐκ τῆς οἰκίας αὐτοῦ, καὶ ἀπελθοῦσα γένηται ἀνδρὶ ἑτέρῳ, καὶ μισήσῃ αὐτὴν καὶ ὁ ἀνὴρ ὁ ἔσχατος, καὶ γράψῃ αὐτῇ βιβλίον ἀποστασίου, καὶ δώσῃ εἰς τὰς χεῖρας αὐτῆς, καὶ ἐξαποστείλῃ αὐτὴν ἐκ τῆς οἰκίας αὐτοῦ, ἢ ἀποθάνῃ ὁ ἀνὴρ αὐτῆς, ὃς ἔλαβεν αὐτὴν ἑαυτῷ γυναῖκα, οὐ δυνήσεται ὁ ἀνὴρ ὁ πρότερος ὁ ἐξαποστείλας αὐτὴν ἐπαναστρέψαι καὶ λαβεῖν αὐτὴν ἑαυτῷ γυναῖκα. Εἶτα ἐνδεικνύμενος, ὅτι οὐκ ἐπαινεῖ τὸ γεγενημένον, οὐδὲ γάμον εἶναι νομίζει· ἀλλὰ διὰ τὴν ἀσθένειαν αὐτῶν συγκαταβαίνει, εἰπών, οὐ δυνήσεται ὁ ἀνὴρ ὁ πρότερος λαβεῖν αὐτὴν ἑαυτῷ γυναῖκα, ἐπήγαγε, μετὰ τὸ μιανθῆναι αὐτήν, ἐμφαίνων διὰ τοῦ τρόπου τῆς λέξεως, ὅτι ὁ δεύτερος γάμος, ζῶντος τοῦ προτέρου ἀνδρός, γινόμενος μίασμα μᾶλλόν ἐστιν, ἢ γάμος. διὰ τοῦτο οὐκ εἶπε, μετὰ τὸ γαμηθῆναι αὐτήν. ὁρᾷς ὅτι συνῳδὰ τῷ Χριστῷ φθέγγεται; Εἶτα καὶ τὴν αἰτίαν προσέθηκεν, ὅτι βδέλυγμά ἐστιν ἐναντίον τοῦ Θεοῦ.

Ψαλμ. ρε. λζ.

Ματθ. ιθ. ζ. η

Δευτ. κδ. α

Καὶ Μωϋσῆς μὲν οὕτως· ὁ δὲ προφήτης Μαλαχίας σαφέστερον πολλῷ τοῦ Μωϋσέως αὐτὸ τοῦτο ἐνδείκνυται, μᾶλλον δὲ οὐ Μαλαχίας, ἀλλ' ὁ Θεὸς διὰ τοῦ Μαλαχίου, λέγων οὕτως· Εἰ ἄξιον ἐπιβλέψαι εἰς θυσίαν ὑμῶν, ἢ λαβεῖν δεκτὸν ἐκ τῶν χειρῶν ὑμῶν; Εἶτα εἰπόντος, τίνος ἕνεκεν, φησι, γυναῖκα ἐκ νεότητός σου ἐγκατέλιπες, καὶ δεικνὺς ἡλίκον ἐστὶ κακόν, καὶ ἀποστερῶν πάσης συγγνώμης τὸν τοῦτο ποιήσαντα, διὰ τῶν ἑξῆς τὴν κατηγορίαν αὔξει, ἐπάγων οὕτω καὶ λέγων· Καὶ αὕτη κοινωνός σου, καὶ γυνὴ διαθήκης σου, καὶ ἐγκατάλειμμα πνεύματός σου, καὶ οὐκ ἄλλος ἐποίησεν. ὅρα πόσα τίθησι δικαιώματα· πρῶτον τὸ τῆς ἡλικίας, γυνὴ νεότητός σου· εἶτα τὸ ἀναγκαῖον, καὶ αὕτη κοινωνός σου· εἶτα τὸν τῆς δημιουργίας τρόπον, ἐγκατάλειμμα πνεύματός σου· πρὸς τούτοις ἅπασιν, ὃ πάντων τούτων μεῖζον ἦν, τὸ τοῦ ποιήσαντος ἀξίωμα. τοῦτο γάρ ἐστι τό, οὐκ ἄλλος ἐποίησεν. οὐκ ἔχεις, φησίν, εἰπεῖν, ὅτι σὲ μὲν ὁ Θεὸς ἐποίησεν, ἐκείνην δὲ οὐχ ὁ Θεός, ἀλλ' ἄλλος τις ἐκείνου καταδεέστερος· ἀλλ' εἷς καὶ ὁ αὐτὸς ἀμφοτέρους εἰς τὸ εἶναι παραγαγών. ὥστε εἰ καὶ μηδὲν ἕτερον, τοῦτο γοῦν αἰδεσθείς, φύλαττε τὴν πρὸς αὐτὴν ἀγάπην. εἰ γὰρ δούλοις πολλάκις τοῖς πρὸς ἀλλήλους στασιάζουσιν ὑπόθεσις τοῦτο γένηται, τὸ δὴ λέγω τὸ ἀμφοτέρους ἑνὶ καὶ τῷ αὐτῷ

Μαλαχ. β. ιδ

δουλεύσαι δεσπότῃ, πολλῷ μᾶλλον ἐφ' ἡμῶν τοῦτο γίνεσθαι χρή, ὅταν καὶ δημιουργὸν καὶ δεσπότην τὸν αὐτὸν ἔχωμεν οἱ ἀμφότεροι. Εἶδες πῶς καὶ ἐν τῇ παλαιᾷ ἀρχὰς καὶ προοίμια λοιπὸν ἐλάμβανε τῆς καινῆς φιλοσοφίας τὰ πράγματα; ἐπειδὴ γὰρ πολλὴν ἐνετράφησαν τῷ νόμῳ χρόνον, καὶ πρὸς τὰ τελειότερα παραγγέλματα ὁδεύειν ὤφειλον, καὶ πρὸς τὸ τέλος λοιπὸν ἀπήντα αὐτοῖς τὰ τῆς πολιτείας, μετὰ τοῦ προσήκοντος καιροῦ λοιπὸν ἐπὶ ταύτην ἄγει τὴν φιλοσοφίαν αὐτοὺς ὁ προφήτης. πειθώμεθα τοίνυν τῷ καλῷ τούτῳ νόμῳ, καὶ πάσης αἰσχύνης ἑαυτοὺς ἀπαλλάξωμεν, καὶ μήτε τὰς ἑαυτῶν ἐκβάλωμεν, μήτε τὰς ὑπὸ ἑτέρων ἐκβληθείσας δεχώμεθα. ποίῳ γὰρ ὄψει προσώπῳ τὸν ἄνδρα τῆς γυναικὸς, ποίοις ὀφθαλμοῖς τοὺς φίλους τοὺς ἐκείνου, τοὺς οἰκέτας; εἰ γὰρ τελευτήσαντος τοῦ συνοικοῦντος, τὴν γυναῖκά τις τὴν ἐκείνου λαβὼν, εἶτα τὴν εἰκόνα μόνην ἀνακειμένην ἰδὼν, ἔπαθέ τι καὶ ἐδυσχέρανεν, ὡς ζῶντα τὸν ἄνδρα ὁρῶν τῆς αὐτῷ συνοικούσης, ποῖον βιώσεται βίον, πῶς οἴκαδε εἰσελεύσεται, μετὰ ποίας γνώμης, μετὰ ποίων ὀφθαλμῶν ὄψεται τὴν ἐκείνου γυναῖκα τὴν αὐτοῦ; μᾶλλον δὲ οὐδὲ ἐκείνου, οὔτε αὐτοῦ δικαίως ἄν τις τὴν τοιαύτην προσείποι. ἡ γὰρ μοιχαλὶς οὐδενός ἐστι γυνή. καὶ γὰρ τὰς πρὸς ἐκεῖνον συνθήκας ἐπάτησε, καὶ πρὸς σὲ μετὰ τῶν προσηκόντων νόμων οὐκ ἦλθε. πόσης οὐκ ἂν εἴη παρανοίας, πρᾶγμα τοσούτων γέμον κακῶν εἰς τὴν οἰκίαν εἰσαγαγεῖν; μὴ γὰρ σπάνις ἐστὶ γυναικῶν; τίνος ἕνεκεν πολλῶν οὐσῶν, ἃς μετὰ τῶν προσηκόντων νόμων καὶ μετὰ καθαροῦ συνειδότος λαμβάνειν ἔξεστιν, ἐπὶ τὰς κεκωλυμένας τρέχομεν, τὰς οἰκίας ἀνατρέποντες, καὶ πολέμους ἐμφυλίους εἰσάγοντες, καὶ πανταχόθεν ἔχθρας ἑαυτοῖς παρασκευάζοντες, μυρίων κατηγόρων ἀνοίγοντες στόματα, καὶ τὴν ζωὴν τὴν ἑαυτῶν καταισχύνοντες, καὶ τὸ πάντων χαλεπώτατον, ἀπαραίτητον ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως συνάγοντες ἑαυτοῖς κόλασιν; τί γὰρ ἐροῦμεν τότε τῷ μέλλοντι κρίνειν ἡμᾶς, ὅταν τὸν νόμον παρενεγκὼν εἰς μέσον καὶ ἀναγνοὺς εἴποι, ἐκέλευσα ἀπολελυμένην γυναῖκα μὴ λαμβάνειν, εἰπὼν ὅτι μοιχεία τὸ πρᾶγμά ἐστι; πῶς οὖν ἐτόλμησας ἐπὶ κεκωλυμένον γάμον ἐλθεῖν; τί ἐροῦμεν, καὶ τί ἀποκρινούμεθα; οὐ γὰρ δὴ ἔξεστι τοὺς παρὰ τῶν ἔξωθεν κειμένους νόμους ἐκεῖ προβαλέσθαι, ἀλλ' ἀνάγκη σιγῶντας καὶ δεδεμένους εἰς τὸ τῆς γεέννης ἀπάγεσθαι πῦρ μετὰ τῶν μοιχῶν καὶ τῶν τοὺς ἀλλοτρίους ἀδικησάντων γάμους. ὅ τε γὰρ ἀπολύσας χωρὶς αἰτίας τῆς ἐπὶ πορνείᾳ, ὅ τε ἐκβεβλημένην γαμῶν τοῦ ἀνδρὸς ζῶντος, ὁμοίως μετὰ τῆς ἐκβληθείσης κολάζονται. διὸ παρακαλῶ καὶ δέομαι καὶ ἀντιβολῶ μήτε ἄνδρας ἐκβάλλειν γυναῖκας, μήτε γυναῖκας ἄνδρας ἀφιέναι· ἀλλ' ἀκούειν τοῦ Παύλου λέγοντος, Γυνὴ δέδεται νόμῳ, ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ κοιμηθῇ ὁ ἀνήρ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ. ποίαν γὰρ ἔχοιεν συγγνώμην οἱ, τοῦ Παύλου καὶ δεύτερον ἐπιτρέποντος γάμον μετὰ τὴν τελευτὴν τοῦ συνοικοῦντος, καὶ τοσαύτην παρέχοντος ἄδειαν, πρὸ τῆς τελευτῆς, τολμῶντες τοῦτο ποιεῖν; τίνος ἂν τύχοιεν ἀπολογίας, ἢ οὗτοι οἱ ζώντων τῶν ἀνδρῶν τὰς γυναῖκας λαμβάνοντες, ἢ ἐκεῖνοι οἱ πρὸς τὰς πανδήμους ἀπερχόμενοι πόρνας; καὶ γὰρ καὶ ἐκεῖνο μοιχείας ἕτερον εἶδος, τὸ γυναῖκα ἔχοντα ἔνδον, πόρναις γυναιξὶν ὁμιλεῖν. ὥσπερ γὰρ ἡ τὸν ἄνδρα ἔχουσα γυνὴ, κἂν οἰκέτῃ, κἂν ἐλευθέρῳ τινὶ γυναῖκα μὴ ἔχοντι ἑαυτὴν ἐκδῷ, τοῖς τῆς μοιχείας ἁλίσκεται νόμοις, οὕτω καὶ ὁ ἀνὴρ, κἂν εἰς πάνδημον πόρνην, κἂν εἰς ἑτέραν γυναῖκα ἄνδρα οὐκ ἔχουσαν ἁμάρτοι, γυναῖκα ἔχων, μοιχείας τὸ πρᾶγμα νενόμισται. φεύγωμεν τοίνυν καὶ τοῦτον τὸν τρόπον τῆς μοιχείας. τί γὰρ ἕξομεν εἰπεῖν, τί δὲ προβαλέσθαι τοιαῦτα τολμῶντες; ποίαν δὲ πρόσωπον παρεξόμεθα πρόφασιν; τὴν τῆς φύσεως ἐπιθυμίαν; ἀλλ' ἐφέστηκεν ἡ κληρωθεῖσα γυνὴ, τῆς ἀπολογίας ἡμᾶς ταύτης ἀποστεροῦσα. διὰ τοῦτο γάμος εἰσενήνεκται, ἵνα μὴ πορνεύσῃς· μᾶλλον δὲ οὐχ ἡ γυνὴ μόνον, ἀλλὰ καὶ ἕτεροι πολλοὶ τῆς αὐτῆς ἡμῖν μετέχοντες φύσεως, ταύτης ἡμᾶς ἀποστεροῦσι τῆς συγγνώμης. ὅταν γὰρ ὁ σύνδουλός σου, τὸ αὐτὸ σῶμα ἔχων, τὴν αὐτὴν ἐπιθυμίαν κεκτημένος, ὑπὸ τῆς αὐτῆς ἀνάγκης ὠθούμενος, μηδεμίαν ἑτέραν ἴδῃ γυναῖκα, ἀλλὰ μένῃ τὴν αὐτοῦ στέργων μόνην, ποίαν ἕξεις ἀπολογίαν σὺ τὴν ἐπιθυμίαν προβαλλόμενος; καὶ τί λέγω τοὺς ἔχοντας γυναῖκας; ἐννόησόν μοι τοὺς διαπαντὸς ἐν παρθενίᾳ ζῶντας, καὶ μηδ' ὅλως ὁμιλήσαντας γάμῳ, καὶ πολλὴν ἐπιδειξαμένους σωφροσύνην. ὅταν οὖν ἄλλοι χωρὶς γάμου σωφρονῶσι, ποίας σὺ τεύξῃ συγγνώμης μετὰ γάμον πορνεύων; ταῦτα καὶ ἄνδρες καὶ γυναῖκες ἀκουέτωσαν, καὶ χῆραι, καὶ γεγαμημέναι. πᾶσι γὰρ ὁ Παῦλος διαλέγεται, καὶ ὁ νόμος οὗτος ὁ λέγων· γυνὴ δέδεται νόμῳ, ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ κοιμηθῇ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ. καὶ ταῖς ἐχούσαις ἄνδρας, καὶ ταῖς οὐκ ἐχούσαις, καὶ ταῖς χηρευούσαις, καὶ ταῖς δεύτερον εἰσαγούσαις νυμφίον, καὶ πάσαις ἁπλῶς ὁ λόγος οὗτος χρήσιμος. ἡ μὲν γὰρ ἔχουσα ἄνδρα οὐχ αἱρήσεται, ζῶντος ἐκείνου, ἔσεσθαι ″ἑτέρῳ, ἀκούσασα ὅτι ζῶντος αὐτοῦ δέδεται· ἡ δὲ ἀποβαλοῦσα πάλιν, ἂν μὲν βουληθῇ δευτέροις ὁμιλῆσαι γάμοις, οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχε, τοῦτο ἐργάσεται, ἀλλὰ μετὰ τῶν κειμένων παρὰ τοῦ Παύλου νόμων, εἰπόντος, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ, τουτέστι, μετὰ σωφροσύνης, μετὰ σεμνότητος. ἂν δ' ἄρα ἕληται πρὸς τὸν ἀπελθόντα τὰς συνθήκας φυλάξαι, ἀκούσεται τοὺς ἀποκειμένους αὐτῇ στεφάνους, καὶ μείζονα λήψεται προθυμίαν. μακαριωτέρα γάρ ἐστι, φησιν, ἐὰν οὕτω μείνῃ. ὁρᾷς πῶς ἅπασιν ὁ λόγος χρήσιμος, τῇ τε ἐκείνων ἀσθενείᾳ συγκαταβαίνων, καὶ ταύτας οὐκ ἀποστερῶν τῶν οἰκείων ἐπαίνων; ὅπερ γὰρ ἐπὶ τοῦ γάμου καὶ ἐπὶ τῆς παρθενίας ἐποίησε, τοῦτο καὶ ἐπὶ τοῦ προτέρου γάμου καὶ τοῦ δευτέρου. καθάπερ γὰρ ἐκεῖ οὐκ ἀπέκλεισε τὸν γάμον, ἵνα μὴ βαρήσῃ τοὺς ἀσθενεστέρους, οὔτε ἀνάγκην ἐπέθηκεν, ἵνα μὴ τοὺς βουλομένους παρθενεύειν ἀποστερήσῃ τῶν κειμένων στεφάνων, ἀλλ' ἔδειξε μὲν, ὅτι καλὸς ὁ γάμος, ἐδήλωσε δὲ ὅτι κρείττων ἡ παρθενία· οὕτω δὴ καὶ ἐνταῦθα πάλιν ἡμῖν ἑτέρους τίθησι βαθμοὺς, δεικνὺς ὅτι μεῖζον μὲν καὶ ὑψηλότερον τὸ τῆς χηρείας, δεύτερον δὲ καὶ κατώτερον τὸ τῶν δευτέρων γάμων, τούς τε ἰσχυροτέρους καὶ μὴ μεταπηδᾷν βουλομένους ἀλείφων, καὶ τοὺς ἀσθενεστέρους οὐκ ἀφιεὶς πεσεῖν. εἰπὼν γὰρ, μακαριωτέρα δέ ἐστιν, ἐὰν οὕτω μείνῃ, ἵνα μὴ νομίσῃς ἀνθρώπινον εἶναι τὸν νόμον, ἀκούων, κατὰ τὴν ἐμὴν γνώμην, ἐπήγαγε· δοκῶ δὲ κἀγὼ πνεῦμα Θεοῦ ἔχειν. οὐκ ἔχεις τοίνυν εἰπεῖν, ὅτι ἀνθρωπίνη ἐστὶν ἡ γνώμη, ἀλλὰ τῆς τοῦ πνεύματος χάριτος ἡ ἀπόφασις, καὶ θεῖος ὁ νόμος. μὴ τοίνυν Παύλου νομίζωμεν εἶναι ταῦτα λέγοντος, ἀλλὰ τοῦ παρακλήτου ταῦτα νομοθετοῦντος ἡμῖν. εἰ δὲ λέγει, δοκῶ, οὐχ ὡς οὐκ ἔχων λέγει, ἀλλὰ μετριάζων καὶ συστέλλων ἑαυτόν. ὅτι μὲν οὖν μακαριωτέρα ἐστὶν, εἶπε· πῶς δὲ μακαριωτέρα, οὐκ ἔτι προσέθηκεν, ἀρκοῦσαν ἀπόδειξιν δοὺς τὸ παρὰ τοῦ πνεύματος κομίζειν τὴν ἀπόφασιν. εἰ δὲ βούλει καὶ λογισμοῖς ἐξετάσαι, πολλὴν ἀποδείξεων εὐπορίαν ἐνταῦθα εὑρήσεις· καὶ ὄψει τὴν χήραν μακαριωτέραν οὖσαν, οὐ κατὰ τὸν μέλλοντα αἰῶνα μόνον, ἀλλὰ καὶ κατὰ τὸν παρόντα βίον. καὶ τοῦτο αὐτὸ μάλιστα οἶδεν ὁ Παῦλος, ὃ καὶ περὶ τῶν παρθένων ἠνίξατο λέγων. παραινῶν γὰρ καὶ συμβουλεύων παρθενίαν αἱρεῖσθαι, οὕτω πως ἔλεγε· Νομίζω ὅτι καλὸν ἀνθρώπῳ τὸ οὕτως εἶναι διὰ τὴν α. Κορ. ζ. κϛ. κζ. ἐνεστῶσαν ἀνάγκην. καὶ πάλιν, Καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε, παρθένον ἐνταῦθα λέγων, οὐ τὴν ἀποταξαμένην, ἀλλὰ τὴν ἀπειρόγαμον μόνον, καὶ μὴ ἀφωρισμένην ὑπεύθυνον τῇ τῆς διηνεκοῦς παρθενίας ὑποσχέσει. θλῖψιν δὲ τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι. ἐγὼ δὲ ὑμῶν φείδομαι. ἑνὶ γὰρ καὶ ψιλῷ ῥήματι τούτῳ κατέλιπε τῷ συνειδότι τοῦ ἀκροατοῦ ἅπαντα ἀναλέξασθαι, τὰς ὠδῖνας, τὰς παιδοτροφίας, τὴν φροντίδα, τὰς ἀρρωστίας, τοὺς θανάτους τοὺς ἀώρους, τὰς ἀπεχθείας, τὰς φιλονεικίας, τὸ γνώμαις μυρίαις δουλεύειν, τὸ τῶν ἀλλοτρίων κακῶν ὑπεύθυνον εἶναι, τὸ μυρίας ἀναδέχεσθαι λύπας μίαν ἔχουσαν ψυχήν. ἁπάντων δὲ τούτων ἀπαλλάττεται τῶν κακῶν ἡ τὴν ἐγκράτειαν ἑλομένη, καὶ μετὰ τῆς τῶν ἀνιαρῶν ἀπαλλαγῆς κατὰ τὴν μέλλουσαν ζωὴν πολὺ ἔχει κείμενον τὸν μισθόν.

Ταῦτ' οὖν ἅπαντα εἰδότες, σπουδάζωμεν τοῖς προτέροις ἀρκεῖσθαι γάμοις· ἂν δὲ καὶ ἐπὶ δευτέρους παρασκευαζώμεθα εἰσέρχεσθαι, μετὰ τοῦ προσήκοντος τρόπου καὶ σχήματος, μετὰ τῶν τοῦ Θεοῦ νόμων. διὰ τοῦτο γὰρ εἶπεν, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι· καὶ ἐπήγαγε, μόνον ἐν Κυρίῳ, ὁμοῦ καὶ ἄδειαν διδοὺς, καὶ τειχίζων τὴν ἄδειαν, καὶ ἐξουσίαν παρέχων, καὶ τῇ ἐξουσίᾳ πάλιν ταύτῃ ὅρους καὶ νόμους τιθεὶς πανταχόθεν· οἷον, ἵνα μὴ μιαροὺς καὶ διεφθαρμένους ἄνδρας εἰς τὴν οἰκίαν εἰσαγάγῃ ἡ γυνὴ, ἢ τοὺς ἀπὸ τῆς σκηνῆς, ἢ τοὺς πορνείαις προσέχοντας· ἀλλὰ μετὰ σεμνότητος, μετὰ σωφροσύνης, μετὰ εὐλαβείας, ἵνα πάντα εἰς δόξαν Θεοῦ γίνηται. ἐπειδὴ γὰρ πολλαὶ πολλάκις γυναῖκες, τῶν προτέρων τελευτησάντων ἀνδρῶν, μοιχευθεῖσαι πρότερον, οὕτω τοὺς ὑστέρους εἰσήγαγον, καὶ τρόπους ἑτέρους μιαροὺς ἐπενόησαν, διὰ τοῦτο ἐπήγαγε, μόνον ἐν Κυρίῳ· ἵνα μηδὲν τούτων ὁ δεύτερος ἔχῃ γάμος. οὕτω γὰρ δυνήσεται ἐγκλημάτων ἀπηλλάχθαι. πάντων μὲν γὰρ βέλτιον ἀναμένειν τὸν τετελευτηκότα, καὶ τὰς πρὸς ἐκεῖνον συνθήκας διατηρεῖν, καὶ ἐγκράτειαν αἱρεῖσθαι, καὶ τοῖς καταλειφθεῖσιν ἐπιμένειν παιδίοις, καὶ παρὰ τοῦ Θεοῦ πλείονα τὴν εὔνοιαν ἐπισπάσασθαι· ἂν δὲ ἄρα τις βουληθῇ δεύτερον ἐπεισαγαγεῖν νυμφίον, μετὰ σωφροσύνης, μετὰ σεμνότητος, μετὰ τῶν προσηκόντων νόμων. καὶ γὰρ καὶ τοῦτο ἐφεῖται, πορνεία δὲ κεκώλυται μόνον καὶ μοιχεία. ταύτην τοίνυν φεύγωμεν, καὶ οἱ γυναῖκας ἔχοντες, καὶ οἱ μὴ ἔχοντες· καὶ μὴ καταισχύνωμεν ἡμῶν τὸν βίον, μηδὲ καταγέλαστον ζῶμεν ζωὴν, μηδὲ μολύνωμεν τὸ σῶμα, μηδὲ πονηρὸν συνειδὸς εἰς τὴν διάνοιαν εἰσαγάγωμεν. πῶς γὰρ εἰς ἐκκλησίαν ἐλθεῖν δυνήσῃ μετὰ τὴν πρὸς τὰς πόρνας ὁμιλίαν; πῶς τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνατεῖναι, αἷς τὴν πόρνην περιελάμβανες; πῶς κινῆσαι γλῶτταν, καὶ τῷ στόματι καλέσαι τοῦτον, ᾧ τὴν πόρνην ἐφίλησας; ποίοις ὀφθαλμοῖς ὄψει τῶν φίλων τοὺς σεμνοτέρους; καὶ τί λέγω τοὺς φίλους; κἂν γὰρ μηδεὶς ὁ συνειδὼς ᾖ, σὺ σαυτὸν ἀναγκασθήσῃ πρὸ πάντων ἐρυθριᾷν καὶ αἰσχύνεσθαι, καὶ πάντων μᾶλλον τὸ ἑαυτοῦ βδελύττεσθαι σῶμα. εἰ γὰρ μὴ τοῦτο ἦν, τίνος ἕνεκεν ἐπὶ βαλανεῖον μετὰ τὴν ἁμαρτίαν τρέχεις ἐκείνην; οὐκ ἐπειδὴ βορβόρου παντὸς ἀκαθαρτότερον ἑαυτὸν εἶναι νομίζεις; ποίαν ἑτέραν ζητεῖς μείζονα ἀπόδειξιν τῆς τῶν γεγενημένων ἀκαθαρσίας, ἢ τίνα τὸν Θεὸν προσδοκᾷς ψῆφον οἴσειν, ὅταν ὁ πεπλημμεληκὼς σὺ τοιαύτην περὶ τῶν γεγενημένων γνώμην ἔχῃς; ὅτι μὲν οὖν ἀκαθάρτους ἑαυτοὺς εἶναι νομίζουσι, σφόδρα ἐπαινῶ καὶ ἀποδέχομαι· ὅτι δὲ οὐκ ἐπὶ τὸν προσήκοντα τῶν καθαρσίων ἔρχονται τρόπον, ἐγκαλῶ διὰ τοῦτο καὶ μέμφομαι. εἰ μὲν γὰρ σωματικὸς ὁ ῥύπος ἦν, εἰκότως τοῖς τῶν βαλανείων καθαρμοῖς ἑαυτὸν ἀπέσμηχες· τὴν δὲ ψυχὴν καταῤῥυπάνας καὶ ποιήσας ἀκάθαρτον, τοιοῦτον ζήτει καθάρσιον, ὃ τὴν ἐκείνης κηλῖδα ἀποσμῆξαι δυνήσεται. ποῖον δέ ἐστι τῆς τοιαύτης ἁμαρτίας τὸ βαλανεῖον; θερμαὶ δακρύων πηγαὶ, στεναγμοὶ κάτωθεν ἀπὸ καρδίας ἀνιόντες, κατάνυξις διηνεκὴς, εὐχαὶ ἐκτενεῖς, ἐλεημοσύναι, καὶ ἐλεημοσύναι δαψιλεῖς, τὸ καταγνῶναι τῶν γεγενημένων, τὸ μηκέτι τοῖς αὐτοῖς ἐπιχειρῆσαι πράγμασιν. οὕτως ἁμαρτίας ἀποσμήχεται φύσις, οὕτως ἐκκαθαίρεται τῆς ψυχῆς ὁ ῥύπος· ὥστε ἐὰν μὴ ταῦτα ποιῶμεν, κἂν ἁπάσας τῶν ποταμῶν διέλθωμεν τὰς πηγὰς, οὐδὲ μικρὸν τῆς ἁμαρτίας ταύτης ὑφελέσθαι δυνησόμεθα μέρος. τὸ μὲν οὖν ἄμεινον, μηκέτι πεῖραν λαβεῖν τῆς μυσαρᾶς ταύτης ἁμαρτίας· εἰ δ' ἄρα τις ὑπεσκελίσθη ποτὲ, ταῦτα ἐπιτιθέτω τὰ φάρμακα, πρότερον ὑποσχόμενος μηκέτι τοῖς αὐτοῖς περιπεσεῖν. ὡς ἐὰν ἁμαρτάνοντες καταγινώσκωμεν τῶν ἤδη γεγενημένων, πάλιν δὲ τοῖς αὐτοῖς ἐπιχειρῶμεν, οὐδὲν ἡμῖν ὄφελος ἔσται τῶν καθαρσίων. ὁ γὰρ ἀπολουόμενος, καὶ τῷ αὐτῷ πάλιν ἐγκυλινδούμενος βορβόρῳ, καὶ ὁ καθαιρῶν πάλιν ὅπερ ᾠκοδόμησε, καὶ οἰκοδομῶν πάλιν ἵνα καθέλῃ, οὐδὲν κερδαίνει πλέον, ἢ τὸ περιττὰ ποιεῖσθαι καὶ ταλαιπωρεῖν. καὶ ἡμεῖς τοίνυν, ἵνα μὴ μάτην μηδὲ εἰκῇ τὴν ζωὴν ἀναλώσωμεν, τὰ πρότερα ἁμαρτήματα ἐκκαθαίρωμεν, καὶ τὸν ἐπίλοιπον ἅπαντα βίον ἐν σωφρο-

σύνη

σύνῃ καὶ κοσμιότητι καὶ τῇ λοιπῇ διαγάγωμεν ἀρετῇ· ἵνα καὶ τὸν Θεὸν ἔχοντες ἵλεων, τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ια. ΕΙΣ ΤΟ ΑΠΟΣΤΟΛΙΚΟΝ ΡΗΤΟΝ, ΟΥ ΘΕΛΩ ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, ὅτι οἱ πατέρες "ὑμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον.

α. Κορ. ι. α.

Οἱ ναῦται τοῦτο μάλιστα φιλοῦσι τοῦ πελάγους τὸ μέρος, ὅπερ ἂν λιμέσι πυκνοῖς καὶ νήσοις διειλημμένον ᾖ. τὸ μὲν γὰρ ἀλίμενον πέλαγος, κἂν γαλήνην ἔχῃ, πολὺν παρέχει τοῖς πλέουσι τὸν τρόμον. ἔνθα δὲ ἂν ὦσιν ὅρμοι, καὶ ἀκταὶ, καὶ αἰγιαλοὶ πανταχόθεν ἐκτεταμένοι, μετὰ πολλῆς πλέουσι τῆς ἀσφαλείας. κἂν γὰρ βραχὺ διεγερθεῖσαν τὴν θάλασσαν ἴδωσι, δι᾽ ὀλίγου τὴν καταφυγὴν ἔχοντες, ταχίστην καὶ εὔκολον τῶν ἐπικειμένων κακῶν ἀπαλλαγὴν εὕρασθαι δυναίντ᾽ ἄν. διὰ δὴ ταῦτα, οὐχ ὅταν πλησίον λιμένος ἐλαύνωσι μόνον, ἀλλὰ κἂν πόῤῥωθεν ὦσι, πολλὴν καὶ ἀπὸ τῆς ὄψεως ταύτης παράκλησιν δέχονται. οὐ γὰρ, ὡς ἔτυχεν, αὐτῶν τὰς ψυχὰς ἀνακλᾶσθαι πέφυκε καὶ ὄρους κορυφὴ φαινομένη πόῤῥωθεν, καὶ καπνὸς " ἀναθρώσκων, καὶ προβάτων ποίμνια παρὰ τὴν ὑπώρειαν νεμόμενα. ἐπειδὰν δὲ καὶ εἰς αὐτὸ τοῦ λιμένος τὸ στόμα ἔλθωσιν, ὁλόκληρον καρποῦνται τὴν εὐφροσύνην. τότε * καὶ κώπην ἀποτίθενται, καὶ τὰ σώματα ὑπὸ τῆς ἅλμης τεταριχευμένα ποτίμοις περικλύζουσιν ὕδασι, καὶ εἰς τὸν αἰγιαλὸν ἐξελθόντες, καὶ τῇ γῇ μικρὸν ὁμιλήσαντες γυμνοῖς τοῖς σώμασι, πᾶσαν τὴν ἀπὸ τῆς ναυτιλίας ἀποτίθενται ταλαιπωρίαν. ὥσπερ οὖν ἐκεῖνοι τοῦτο μάλιστα τῆς θαλάσσης ἀσπάζονται τὸ μέρος διὰ τὰς πυκνὰς ταύτας καὶ συνεχεῖς ἀναπαύσεις· οὕτω δὴ καὶ ἐγὼ ταύτην μάλιστα φιλῶ τὴν ὥραν, οὐκ ἐπειδὴ χειμῶνος ἀπηλλάγμεθα, οὐδὲ ἐπειδὴ θέρους ἀπολαύομεν, ζεφύρου λιγυρὰ πνέοντος· ἀλλ᾽ ἐπειδὴ τοὺς πνευματικοὺς λιμένας ἔχομεν συνεχῶς διαδεχομένους ἡμᾶς, τῶν ἁγίων μαρτύρων λέγω τὰς πανηγύρεις. οὐ γὰρ οὕτω οἱ λιμένες πλωτῆρας, ὡς αἱ τῶν ἁγίων τούτων ἑορταὶ τοὺς πιστοὺς ἀνακλᾶσθαι πεφύκασιν. ἐκείνους μὲν γὰρ θαλαττίων κυμάτων ἐμβολῆς, καὶ ἐρεσίας μακρᾶς ἀπαλλάττουσι λιμένες· τοὺς δὲ εἰς πανήγυριν μαρτύρων ἀπαντῶντας, πνευμάτων πονηρῶν καὶ ἀκαθάρτων, λογισμῶν ἀτόπων, πολλῆς τῆς ἐν ψυχῇ γινομένης ζάλης, ἡ τῶν ἁγίων μνήμη τούτων ἐξαρπάζειν εἴωθε, κἂν ἐκ τῶν πολιτικῶν, κἂν ἐκ τῶν οἰκιακῶν πραγμάτων ἀθυμίαν τινὰ ἐπισυρόμενος εἰσέλθῃ, πᾶσαν αὐτὴν ἀποθέμενος, οὕτως ἄπεισι, καὶ ῥᾴων γίνεται καὶ κουφότερος, "οὐχὶ κώπην ἀποτιθέμενος, οὐδὲ οἴακων ἐξανιστάμενος, ἀλλὰ τὸ δυσβάστακτον καὶ ποικίλον τῆς βιωτικῆς λύπης φορτίον διαλύων, καὶ πολλὴν τῇ ψυχῇ δεχόμενος τὴν εὐφροσύνην. καὶ τούτων ἁπάντων μάρτυρες ὑμεῖς, οἱ τοῖς ἄθλοις τοῦ μακαρίου Βαρλαὰμ χθὲς ἐντρυφήσαντες, καὶ μετὰ πολλῆς τῆς ἀδείας εἰς τὸν ἐκείνου σκιρτήσαντες "λειμῶνα, καὶ τὴν ἅλμην τῶν βιωτικῶν φροντίδων ἀπολουσάμενοι, καὶ κοῦφοι οἴκαδε ἀπὸ τῶν ἐκείνου διηγημάτων ἀναχωρήσαντες. ἀλλ᾽ ἰδοὺ καὶ ἑτέρων μαρτύρων προσελαύνει πάλιν πανήγυρις. ἕως ἂν οὖν εἰς τὸν ἐκείνων λιμένα φθάσωμεν, φέρε δὴ μιμησώμεθα τοὺς πλωτῆρας· καὶ καθάπερ ἐκεῖνοι τὸ πέλαγος πλέοντες ᾄδουσι, τῇ ᾠδῇ τὸν πόνον παραμυθούμενοι· οὕτω δὴ καὶ ἡμεῖς, ἕως εἰς τὸν ἐκείνων φθάσωμεν λιμένα, λόγους τινὰς πνευματικοὺς πρὸς ἀλλήλους κινήσωμεν, τὸν μακάριον Παῦλον τῆς καλῆς ταύτης ὁμιλίας ἡγεμόνα ποιησάμενοι, καὶ ἥνπερ ἂν αὐτὸς κελεύει, ταύτην ἑπόμενοι. ποίαν οὖν ἕπεσθαι κελεύει; τὴν διὰ τῆς ἐρήμου, καὶ τῶν ἐκεῖ συμβάντων * ὁδόν.

καὶ γὰρ ἠκούσατε σήμερον αὐτοῦ βοῶντος, καὶ λέγοντος· Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον, καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο, καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον. ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα ἦν ὁ Χριστός. ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ Θεός· κατεστρώθησαν γὰρ ἐν τῇ ἐρήμῳ. ταῦτα δὲ τύποι ἡμῶν ἐγενήθησαν εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν, καθὼς κἀκεῖνοι ἐπεθύμησαν· μηδὲ εἰδωλολάτρας γίνεσθαι, καθώς τινες αὐτῶν, ὥσπερ γέγραπται· Ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν [τοῦ] παίζειν· μηδὲ πορνεύωμεν, καθώς τινες αὐτῶν ἐπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες· μηδὲ ἐκπειράζωμεν τὸν Χριστόν, καθώς τινες αὐτὸν ἐπείρασαν, καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο· μηδὲ γογγύζωμεν, καθώς τινες αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ. καὶ δοκεῖ μὲν εἶναι σαφῆ τὰ λεγόμενα, παρέχει δέ τινα διαπόρησιν οὐ τὴν τυχοῦσαν τοῖς προσέχουσι. καὶ γὰρ ἄξιον ζητῆσαι πρῶτον, τίνος ἕνεκεν τὰς παλαιὰς αὐτὸς ἐμνημόνευσεν ἱστορίας, ἐκ ποίας ἀκολουθίας περὶ εἰδωλοθύτων διαλεγόμενος εἰς ταύτην ἐνέπεσε τὴν διήγησιν, τὰ ἐπὶ τῆς ἐρήμου φέρων εἰς μέσον. οὐ γὰρ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, ὁ μακάριος ἐκεῖνος φθέγγεται, ἀλλὰ μετὰ πολλῆς τῆς ἀκολουθίας, καὶ ἀκριβῆ διατηρῶν πανταχοῦ τῶν ὑπ' αὐτοῦ λεγομένων τὴν συμφωνίαν. τίνος οὖν ἕνεκεν, καὶ πόθεν εἰς ταύτην ἐνέπεσε τὴν ἱστορίαν; ἐπετίμα τοῖς ἁπλῶς καὶ ἀνεξετάστως εἰς τὰ εἴδωλα εἰσιοῦσι, καὶ μιαρᾶς ἀπογευομένοις τραπέζης, καὶ εἰδωλοθύτων ἁπτομένοις· καὶ δείξας, ὅτι διπλῆν ἀπὸ τοῦ πράγματος ὑπομένουσι βλάβην, τούς τε ἀσθενεῖς πλήττοντες, καὶ αὐτοὶ κοινωνοὶ δαιμόνων γινόμενοι, καὶ καταστείλας αὐτῶν ἱκανῶς τὰ φρονήματα διὰ τῶν ἔμπροσθεν εἰρημένων, καὶ παιδεύσας, ὅτι δεῖ τὸν πιστὸν μὴ τὸ ἑαυτοῦ βλέπειν μόνον, ἀλλὰ καὶ τὸ τῶν πολλῶν, βουλόμενος αὐτοῖς ἐπιτεῖναι τὸν φόβον, παλαιῶν αὐτοὺς ἀναμιμνήσκει διηγημάτων. ἐπειδὴ γὰρ ἐκεῖνοι μέγα ἐφρόνουν, ὡς πιστοί, καὶ πλάνης ἀπαλλαγέντες, καὶ γνώσεως καταξιωθέντες, καὶ τῶν ἀπορρήτων κοινωνήσαντες μυστηρίων, καὶ πρὸς βασιλείαν οὐρανῶν κληθέντες, δεῖξαι θέλων, ὅτι τούτων ὄφελος οὐδέν, ἂν μὴ πολιτεία προσῇ συμφωνοῦσα τῇ τοσαύτῃ χάριτι, ἐκ παλαιᾶς αὐτοὺς * παιδεύει ἱστορίας. ἀλλὰ καὶ τοῦτο αὐτὸ πάλιν πολλῆς γέμει ζητήσεως. τίνος ἕνεκεν οὐκ ἀπὸ τῶν τοῦ Χριστοῦ ῥημάτων αὐτοῖς διαλέγεται τῶν ἐν εὐαγγελίῳ κειμένων, οὐδὲ γεέννης αὐτοὺς ἀναμιμνήσκει καὶ σκότους ἐξωτέρου, καὶ σκώληκος ἰοβόλου, καὶ δεσμῶν ἀθανάτων, καὶ πυρὸς τοῦ ἡτοιμασμένου τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, καὶ τοῦ βρυγμοῦ τῶν ὀδόντων, καὶ τῶν ἄλλων τῶν ἀπορρήτων κολάσεων; εἰ γὰρ φοβῆσαι ἐβούλετο, ἀπὸ τῶν μειζόνων τοῦτο ποιῆσαι ἔδει, οὐκ ἀπὸ τῶν ἐν τῇ ἐρήμῳ. ἐκεῖνοι μὲν γὰρ εἰ καὶ ἐκολάσθησαν, ἀλλ' ἡμερώτερον καὶ προσκαίρως, καὶ ἐν ἡμέρᾳ μιᾷ· οὗτοι δὲ ἀθάνατα μέλλουσι τιμωρεῖσθαι καὶ χαλεπώτερα. τίνος οὖν ἕνεκεν οὐκ ἐκεῖθεν αὐτοὺς ἐφόβησεν, οὐδὲ ἀνέμνησε τῶν τοῦ Χριστοῦ ῥημάτων; καὶ γὰρ ἠδύνατο λέγειν πρὸς αὐτούς· Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, οἵους ὁ Χριστὸς ἔθηκε νόμους περὶ τῶν πίστιν μὲν ἐχόντων, βίον δὲ ἄριστον οὐκ ἐπιδεικνυμένων. καὶ γὰρ θαύματα ποιήσαντας ἀνθρώπους, καὶ προφητείας ἐπιδεικνυμένους ἐξέβαλε τῆς βασιλείας τῶν οὐρανῶν, λέγων· Πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ δυνάμεις πολλὰς ἐποιήσαμεν; καὶ τότε ὁμολογήσω αὐτοῖς, ὑπάγετε ἀπ' ἐμοῦ, οὐκ οἶδα ὑμᾶς, οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. καὶ τὰς παρθένους δὲ οὐχ ὑπὲρ πίστεως ἐγκαλῶν καὶ δογμάτων, ἀλλ' ὑπὲρ βίου διεφθαρμένου καὶ ἀπανθρωπίας καὶ ὠμότητος, ἀπέκλεισε τοῦ νυμφῶνος· καὶ τὸν τὰ ῥυπαρὰ ἐνδεδυμένον ἱμάτια διὰ τοῦτο δεδεμένον ἐξέβαλεν, οὐκ ἐπειδὴ δόγματα οὐκ εἶχεν ὀρθά, ἀλλ' ἐπειδὴ βίον ῥυ-

παρὸν ἐν

α. Κορ. ι. α.

Ἐξοδ. λϐ.

Ματθ. ζ. κϐ.

γρ. γίνεσθε

* τοῦτο

γρ. αὐτούς

παρὸν καὶ ἀκάθαρτον· καὶ οὓς ἐκέλευσεν εἰς τὸ πῦρ ἀπενεχθῆναι τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, οὐ διὰ τοῦτο ἔπεμψεν ἐκεῖ, ἐπειδὴ τῆς πίστεως ἦσαν ἐκπεπτωκότες, ἀλλ' ἐπειδὴ οὐδένα οὐδὲν ἠλέησαν. τούτων πάντων, καὶ τῶν τοιούτων αὐτοὺς ἀναμνῆσαι ἠδύνατο, καὶ εἰπεῖν· Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, ὅτι οὗτοι πάντες καὶ βαπτίσματος ἔτυχον, καὶ μυστηρίων ἐκοινώνησαν, καὶ πίστιν πολλὴν ἐπεδείξαντο, καὶ γνῶσιν εἶχον ἀπηρτισμένην· ἀλλ' ἐπειδὴ βίον οὐ παρέχον τῇ πίστει συνᾴδοντα, τῆς βασιλείας ἐξεβλήθησαν, καὶ τῷ πυρὶ παρεδόθησαν. τίνος οὖν ἕνεκεν οὐ ταῦτα εἶπεν, ἀλλὰ ταῦτα πάντα ἀφεὶς, οὕτω πως φησὶν, Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ τὰ Μωϋσέως αὐτοὺς ἀναμιμνήσκων, τὰ ἐπὶ τῆς χάριτος τέως σιγήσας; οὐκ ἁπλῶς, οὐδὲ ἄνευ λόγου τινὸς τοῦτο ποιεῖ· πολλῆς γὰρ σοφίας ἦν πεπληρωμένος. ἀλλὰ τί δήποτε, καὶ διὰ τί; δυοῖν ἕνεκα τούτων ἐμοὶ δοκεῖ αὐτῶν βουλόμενος καθάψασθαι μᾶλλον, καὶ δεῖξαι τῆς παλαιᾶς διαθήκης πρὸς τὴν καινὴν πολλὴν οὖσαν τὴν συγγένειαν. ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀνθρώπων, οἱ μὲν τῇ γεέννῃ διαπιστοῦσι, καὶ οὐδὲ εἶναι κόλασιν νομίζουσιν, ἀλλὰ τὸν Θεὸν ἁπλῶς ἕνεκεν φόβου καὶ σωφρονισμοῦ ταῦτ' ἠπειληκέναι, σκώληκα τὸν ἀτελεύτητον, τὸ πῦρ τὸ ἄσβεστον, τὸ σκότος τὸ ἐξώτερον, τοῖς δὲ παρελθοῦσιν οὐκ ἔχουσιν ἀπιστῆσαι (τὰ γὰρ γεγενημένα πῶς ἄν τις δύναιτο λέγειν μὴ γενέσθαι; τοῖς μὲν γὰρ οὐδέπω φανεῖσιν, οὐδὲ εἰς ἔργον ἐξελθοῦσιν εἰσὶ πολλοὶ οἱ διαπιστοῦντες, τοῖς δὲ γεγενημένοις καὶ τέλος εἰληφόσι, κἂν μυριάκις τις ἀναίσθητος ᾖ καὶ ἀγνώμων, οὔτε, εἰ βουληθείη, δυνήσεταί ποτε ἀπιστεῖν) ἀπὸ τῶν σφόδρα ὡμολογημένων, καὶ τέλος ἐχόντων, καὶ ὧν πολλὰ μένει τὰ λείψανα, βούλεται αὐτοὺς πιστώσασθαι περὶ τῆς τοῦ Θεοῦ δικαιοκρισίας, μονονουχὶ λέγων· εἰ μὴ νομίζεις εἶναι γέενναν, μηδὲ τιμωρίαν καὶ κόλασιν, ἀλλ' ἁπλῶς τὸν Θεὸν ἠπειληκέναι, τὰ παρελθόντα ἀναλογισάμενος, καὶ τοῖς μέλλουσι πίστευε. εἰ γὰρ ὁ αὐτός ἐστι Θεὸς, ὁ καὶ τὰ πρότερα, καὶ τὰ νῦν οἰκονομῶν, καὶ τὰ ἐπὶ τῆς παλαιᾶς, καὶ τὰ ἐπὶ τῆς χάριτος, ὥσπερ οὖν καὶ ἔστιν ὁ αὐτός, ποῖον ἂν ἔχοι λόγον, ἐκείνους μὲν ἁμαρτάνοντας κολάσαι καὶ τιμωρήσασθαι, ἡμᾶς δὲ ταῦτα, καὶ πολλῷ χαλεπώτερα ἐκείνων τολμῶντας ἀτιμωρήτους ἀφεῖναι; ἐρωτῶ τοίνυν· ἐπόρνευσαν οἱ Ἰουδαῖοι, καὶ ἐκολάσθησαν; ἐγόγγυσαν, καὶ ἐτιμωρήθησαν; ἀνάγκη πᾶσα ὁμολογῆσαι. πῶς οὖν ὁ τιμωρησάμενος ἐκείνους, σὲ τὰ αὐτὰ τολμῶντα περιόψεται; οὐκ ἂν ἔχοι λόγον *. ἀλλ' οὐκ ἔδωκας δίκην ἐνταῦθα; διὰ τοῦτο μάλιστα πίστευε γέενναν εἶναι καὶ κόλασιν, ἐπειδὴ δίκην ἐνταῦθα οὐκ ἔδωκας. εἰ γὰρ μὴ ἔμελλέ τις ἀποκεῖσθαι μετὰ ταῦτα τιμωρία, οὐκ ἂν τοιαῦτα τοῖς προτέροις τολμήσας, ἀτιμώρητος ἔμεινας. καὶ σὺ τοίνυν ὅταν λάβῃς τινὰ χαῦνον, καὶ διαλελυμένον, καὶ πολλὴν ἀσέλγειαν ἐπιδεικνύμενον, καὶ λέγῃ πρὸς σὲ, ὅτι μῦθος ταῦτά ἐστιν, οὐκ ἔστι κόλασις, οὔτε γέεννα, ἀλλ' ἁπλῶς ὁ Θεὸς ἠπείλησε φοβῆσαι βουλόμενος, λέγε πρὸς αὐτόν· ἄνθρωπε, τοῖς μέλλουσιν ἀπιστεῖς, ἐπειδὴ μὴ φαίνεται, μηδὲ εἰς μέσον ἦλθε, μηδὲ ὑπὸ τοῖς ὀφθαλμοῖς κεῖται τοῖς ἡμετέροις· μὴ ἐπὶ τοῖς γεγενημένοις καὶ τέλος εἰληφόσι δυνατὸν ἀπιστῆσαί τινα; ἐννόησόν μοι τὰ Σόδομα καὶ τὰ Γόμορρα. ἐκείνη δὲ χώρα δι' οὐδεμίαν ἑτέραν ἁμαρτίαν τοσαύτην ἔδωκε δίκην, ἢ ὅτι παρανόμους εἰσήγαγον μίξεις οἱ τὰς πόλεις οἰκήσαντες ἐκείνας, καὶ ἀθέσμους ἔρωτας, καὶ τοὺς τῆς φύσεως νόμους ἐκ βάθρων ἀνέτρεψαν. πῶς οὖν ἂν ἔχοι λόγον, τὸν Θεὸν, τὸν αὐτὸν ὄντα καὶ τότε καὶ νῦν, ἐκείνους μὲν ἁμαρτόντας κολάσαι χωρὶς συγγνώμης ἁπάσης, σὲ δὲ τὸν μετ' ἐκείνους ἁμαρτόντα, τὸν πολλῷ μείζονος ὄντα τιμωρίας ἄξιον καὶ κολάσεως, ὅσῳ καὶ χάριτος ἀπήλαυσας, καὶ οὐδὲ ταῖς ἐκείνων σωφρονισθεὶς τιμωρίαις, ἀτιμώρητον ἀφεῖναι; διὰ δὴ ταῦτα καὶ Παῦλος οὐδὲν περὶ γεέννης τέως εἰπὼν, ἐπειδὴ πολλοῖς τὰ μέλλοντα ἐστὶν ἄπιστα, ἀπὸ τῶν ἤδη συμβάντων, καὶ ὧν ἱκανὴν εἶχον πίστιν, αὐτοὺς σωφρονίσαι βούλεται, εἰ γὰρ καὶ φοβερώτερα τὰ μέλλοντα, ἀλλὰ τοῖς ἀτελεστέροις τῶν ἀνθρώπων τὰ παρελθόντα πιστότερα, καὶ ταῦτα μᾶλλον αὐτοὺς ἐκείνων φοβεῖν εἰώθει. διὰ ταῦτα ἐντεῦθεν αὐτοῖς διαλέγεται, οἷς οὐδὲ τὸν σφόδρα ἀναισχυντοῦντα ἀπιστῆσαι δυνατὸν ἦν. ὁμοῦ δὲ καὶ Μαρκίωνι καὶ Μανέντι καὶ πᾶσι τοῖς τὰ αὐτὰ ἐκείνοις νοσοῦσι καιρίαν δίδωσι τὴν πληγήν. Εἰ γὰρ μή ἐστιν ὁ αὐτὸς Θεὸς τῆς παλαιᾶς, καὶ τῆς καινῆς, ὁ καὶ ἐκεῖνα νουθετήσας, καὶ ταῦτα μέλλων διατυποῦν, περιττῶς μοι ταῦτα λέγεις, ὦ Παῦλε, καὶ φόβον οὐδένα τοῖς ἀκροαταῖς ἐντίθης. δύναται γὰρ ὁ ἀκούων λέγειν, ὅτι εἰ ἕτερος ἐκεῖνός ἐστι Θεὸς, καὶ ἕτερος οὗτος, οὐ πάντως οὗτος κατὰ τὴν ἐκείνου κρινεῖ γνώμην, οὐδὲ τοῖς αὐτοῖς πείθεται νόμοις. τί γάρ, εἰ τῷ τῆς παλαιᾶς Θεῷ πάντας ἔδοξε κολάσαι καὶ τιμωρήσασθαι; τί μορμολύττεις καὶ ἐκφοβεῖς; ἕτερον ἔχω δεσπότην τὸν μέλλοντά με κρίνειν. ὥστε εἰ ἕτερος ἦν ὁ τῆς παλαιᾶς, καὶ ἕτερος ὁ τῆς καινῆς, τοὐναντίον, ἤπερ ἐβούλετο, ὁ Παῦλος ἐποίησεν. οὐ γὰρ μόνον οὐκ ἐφόβησε τὸν ἀκούοντα, ἀλλὰ καὶ πάσης ἀγωνίας καὶ δέους ἀπήλλαξεν· ὅπερ οὐδὲ τῶν τυχόντων ἀνθρώπων καὶ σφόδρα ἀνοήτων τις ἔπαθεν ἄν, μήτιγε Παῦλος ὁ τοσαύτης γέμων σοφίας. ὅθεν δῆλον, ὅτι εἷς καὶ ὁ αὐτός ἐστι Θεὸς, ὁ καὶ τοὺς Ἰουδαίους ἐπὶ τῆς ἐρήμου καταστρώσας, καὶ ἡμῶν τοὺς ἁμαρτάνοντας κολάζειν μέλλων. οὐ γάρ, εἰ μὴ οὕτως ἦν (πάλιν γὰρ τὸ αὐτὸ ἐρῶ) ἀπὸ τῶν ἤδη γεγενημένων ὑπ' ἐκείνου, καὶ περὶ τῶν μελλόντων ἡμᾶς ἐφόβει· ἐπειδὴ δὲ ὁ αὐτός ἐστιν, ἀναντίρρητον εἰσήγαγεν αὐτοῖς τὴν περὶ τῆς τιμωρίας προσδοκίαν, δεικνὺς ὅτι δεδοικέναι χρὴ καὶ φοβεῖσθαι. οὐ γὰρ ἂν ὁ τοὺς πατέρας ἡμῶν κολάσας ἁμαρτάνοντας, ἡμῶν φείσεται τὰ αὐτὰ πλημμελούντων.

Ἄξιον δὲ ἐπ' αὐτὴν τὴν ἀρχὴν ἐλθεῖν τοῦ διηγήματος, καὶ ἑκάστην διερευνήσασθαι ῥῆσιν μετ' ἀκριβείας ἁπάσης. οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί. τοὺς μαθητὰς ἀδελφοὺς ἐκάλεσεν, οὐκ ἀπὸ τοῦ τῆς ἀξίας, ἀλλ' ἀπὸ τοῦ τῆς ἀγάπης αὐτοὺς προσαγορεύων ὀνόματος. ἤδει γάρ, ἤδει σαφῶς, ὅτι ταύτης ἴσον οὐδέν, καὶ τὸ μέγιστον τῆς ἀξίας εἶδος, τὸ τῆς ἀγάπης εἶδός ἐστι. τοῦτο δὲ πρῶτον καὶ ἡμεῖς ζηλώσωμεν. κἂν σφόδρα καταδεέστεροί τινες ἡμῶν ὄντες, τοῖς τῆς θεραπείας αὐτοὺς καλῶμεν ὀνόμασι, μὴ μόνον ἐλευθέρους, ἀλλὰ καὶ δούλους, μὴ μόνον πλουσίους, ἀλλὰ καὶ πένητας. ἐπεὶ καὶ Παῦλος οὐχὶ τοὺς πλουσίους παρὰ Κορινθίοις, οὐδὲ τοὺς ἐλευθέρους καὶ περιφανεῖς, οὐδὲ τοὺς ἐπισήμους μόνον, ἀλλὰ καὶ ἰδιώτας, καὶ οἰκέτας, καὶ πάντας ἁπλῶς ταύτῃ τετίμηκε τῇ προσηγορίᾳ. ἐν γὰρ Χριστῷ Ἰησοῦ οὐ δοῦλος, οὐκ ἐλεύθερος, οὐ βάρβαρος, οὐ Σκύθης, οὐ σοφὸς, οὐκ ἄσοφος, ἀλλὰ πᾶσα ἀξίας ἀνωμαλία βιωτικῆς ἀνῄρηται. καὶ τί θαυμαστόν, εἰ Παῦλος τοὺς ὁμοδούλους οὕτως ἐκάλεσεν, ὅπουγε καὶ ὁ δεσπότης αὐτοῦ τὴν ἡμετέραν οὕτως ἐκάλεσε φύσιν, οὕτω λέγων· Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε. οὐ μόνον δὲ ἐκάλεσεν ἡμᾶς ἀδελφούς, ἀλλὰ καὶ γενέσθαι ἀδελφὸς ἡμῶν ἠθέλησε, καὶ ἐγένετο τὴν σάρκα ὑποδὺς τὴν ἡμετέραν, καὶ τῆς φύσεως ἡμῶν κοινωνήσας τῆς αὐτῆς· ὅπερ οὖν καὶ αὐτὸ θαυμάζων ὁ Παῦλος ἔλεγεν· Οὐ γὰρ ἀγγέλων ἐπιλαμβάνεται ὁ Θεός, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται, ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι. καὶ πάλιν· Ἐπεὶ οὖν καὶ τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, παραπλησίως καὶ αὐτὸς μετέσχε τῶν αὐτῶν. πάντα δὲ ταῦτα ἀκούοντες, ἀλαζονείαν, καὶ τῦφον, καὶ ἀπόνοιαν ἅπασαν τῆς ψυχῆς ἐξορίσωμεν τῆς ἡμετέρας, καὶ μετὰ πολλῆς τοῦτο κατορθώσωμεν τῆς σπουδῆς, τὸ θεραπευτικοῖς ὀνόμασι καὶ τιμὴν ἔχουσι τοὺς πλησίον καλεῖν. εἰ γὰρ καὶ μικρὸν καὶ ψιλὸν εἶναι δοκεῖ τὸ κατόρθωμα, ἀλλ' ὅμως μεγάλων ἀγαθῶν ἐστιν αἴτιον· ὥσπερ οὖν τὸ ἐναντίον, πολλὰς πολλάκις ἔχθρας καὶ ἔρεις καὶ φιλονεικίας ἐποίησεν. οὐ ταύτην δὲ μόνον τὴν ῥῆσιν, ἀλλὰ καὶ τὴν ἑξῆς μετὰ πολλῆς ἐξεταστέον τῆς ἀκριβείας. οὐδὲ γὰρ ταύτην ἁπλῶς τέθεικεν. εἰπὼν γάρ, οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ἐπήγαγεν, ὅτι οἱ πατέρες ἡμῶν πάντες. οὐκ εἶπεν, ὅτι οἱ Ἰουδαῖοι, οὐδὲ οἱ ἐξ Αἰγύπτου ἐξελθόντες· ἀλλὰ τί; οἱ πατέρες ἡμῶν πάντες, ὁμοῦ καὶ τὴν ταπεινοφροσύνην ἐπιδεικνύμενος τὴν ἑαυτοῦ, ὅτι οὐκ ἀπηξίωσε τὴν πρὸς ἐκείνους συγγένειαν,

Ψαλ. κα. κγ.
Εβ. β. ιγ.

Εβ. β. ιϛ. ιζ.

τοσοῦτον αὐτοὺς ἀναβεβηκότως, κατὰ τὸν τῆς ἀρετῆς λόγον, καὶ τὴν τῶν παλαιὰν διαβαλόντων ἐπιστομίζων τὴν ἀναίσχυντον γλῶτταν. οὐ γὰρ ἂν, εἰ πρὸς ἐκείνην ἀπεχθῶς διέκειτο, ἀπὸ τῶν εὐφημοτέρων ὀνομάτων αὐτῆς ἐμνήσθη, τῶν τότε γινομένων ἁπάντων διαβολὴν ἐχόντων. Πάντες. Οὐδὲ τοῦτο ἁπλῶς τέθεικε τὸ, πάντες, οὐδὲ παρέργως, ἀλλὰ μετὰ πολλῆς τῆς σοφίας. Οὐδὲ γὰρ ἅπαξ εἰπὼν ἐσίγησεν, ἀλλὰ καὶ δὶς καὶ τρὶς καὶ πολλάκις, ἵνα μάθῃς, ὅτι οὐ παρέργως αὐτὸ προσέῤῥιψεν. Εἰπὼν γὰρ, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, ἐπήγαγε, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον, καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο, καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον. Ἤκουσας πῶς πολλάκις τὸ, πάντες, τέθεικεν; οὐκ ἂν δὲ τοῦτο ἐποίησεν, εἰ μὴ μέγα τι καὶ θαυμαστὸν μυστήριον αἰνίξασθαι ἤθελεν. Εἰ γὰρ ἁπλῶς ἐτίθει, ἤρκει ἅπαξ εἰπόντα σιγῆσαι, καὶ εἰπεῖν οὕτως· ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ διὰ τῆς θαλάσσης διῆλθον, καὶ εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο, καὶ τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον· νῦν δὲ οὐχ οὕτως εἶπεν, ἀλλὰ καθ' ἕκαστον τῶν λεγομένων τὸ, πάντες, τιθεὶς, θύραν ἡμῖν τῆς ἑαυτοῦ γνώμης παρανοίγει οὐ μικρὰν, ὥστε κατιδεῖν αὐτοῦ τὴν σοφίαν. Τίνος οὖν ἕνεκεν συνεχῶς τῆς λέξεως ταύτης μέμνηται; βούλεται δεῖξαι πολλὴν οὖσαν τῆς παλαιᾶς πρὸς τὴν καινὴν τὴν συγγένειαν, καὶ ὅτι ταῦτα τύπος ἐκείνων ἦν, καὶ σκιὰ τῶν μελλόντων. καὶ πρῶτον ἀπὸ τούτου τὴν συμφωνίαν δείκνυσι. βουλόμενος γὰρ δεῖξαι, ὅτι ὥσπερ ἐν τῇ ἐκκλησίᾳ, οὐκ ἔστι δούλου καὶ ἐλευθέρου διάκρισις, οὐδὲ ξένου καὶ πολίτου, οὐδὲ γέροντος καὶ νέου, οὐδὲ σοφοῦ καὶ ἀσόφου, οὐδ' ἰδιώτου καὶ ἄρχοντος, οὐδὲ γυναικὸς καὶ ἀνδρὸς, ἀλλὰ πᾶσα ἡλικία, καὶ πᾶσα ἀξία, καὶ ἑκατέρα ἡ φύσις ὁμοίως εἰς τὴν κολυμβήθραν ἐκείνην ἐμβαίνουσι τῶν ὑδάτων, κἂν βασιλεὺς ᾖ τις, κἂν πτωχὸς, τῶν αὐτῶν ἀπολαύουσι καθαρσίων· καὶ τοῦτό ἐστι μάλιστα τὸ μέγιστον τῆς παρ' ἡμῖν εὐγενείας τεκμήριον, ὅτι ὁμοίως καὶ τὸν προσαίτην, καὶ τὸν τὴν ἁλουργίδα ἔχοντα μυσταγωγοῦμεν, καὶ οὐδὲν πλέον οὗτος ἐκείνου κατὰ τὸν τῶν μυστηρίων ἔχει λόγον· οὕτω καὶ ἐν τῇ παλαιᾷ συνεχῶς τὸ, πάντες, τέθεικεν. Οὐδὲ γὰρ ἔχεις εἰπεῖν, ὅτι Μωϋσῆς μὲν διὰ ξηρᾶς, Ἰουδαῖοι δὲ διὰ τῆς θαλάσσης διῆλθον, οὐδὲ ὅτι οἱ μὲν εὔποροι δι' ἑτέρας ὁδοῦ, οἱ δὲ πένητες δι' ἑτέρας, οὐδὲ ὅτι αἱ γυναῖκες μὲν ὑπὸ τὸν ἀέρα, ἄνδρες δὲ ὑπὸ τὴν νεφέλην, ἀλλὰ καὶ διὰ τῆς θαλάσσης πάντες, καὶ ὑπὸ τὴν νεφέλην πάντες, καὶ εἰς τὸν Μωϋσῆν πάντες. Ἐπειδὴ γὰρ ἡ διάβασις ἐκείνη τοῦ μέλλοντος βαπτίσματος ἦν τύπος, ἔδει τοῦτο πρῶτον τῶν ὅλων* διατυπωθῆναι, τὸ πάντας τῶν αὐτῶν ἀπολαῦσαι, ὥσπερ οὖν καὶ ἐνταῦθα πάντες τῶν αὐτῶν ἐξ ἴσης μετέχουσι. καὶ πῶς δύναται, φησὶν, ἐκεῖνο τύπος εἶναι τῶν παρόντων; ἂν μάθῃς πρότερον, τί μέν ἐστι τύπος, τί δὲ ἀλήθεια, τότε σοι καὶ τούτου παρέξομαι τὰς εὐθύνας. τί ποτ' οὖν ἐστι σκιὰ, τί δὲ ἀλήθεια; φέρε, τὸν λόγον ἐπὶ τὰς εἰκόνας ἀγάγωμεν, ἃς οἱ ζωγράφοι γράφουσιν. εἶδες πολλάκις εἰκόνα βασιλικὴν κυανῷ καταχεχρωσμένην χρώματι, εἶτα τὸν ζωγράφον λευκὰς περιάγοντα γραμμὰς, καὶ ποιοῦντα βασιλέα, καὶ θρόνον βασιλικὸν, καὶ ἵππους παρεστῶτας καὶ δορυφόρους, καὶ πολεμίους δεδεμένους καὶ ὑποκειμένους. ἀλλ' ὅμως ὁρῶν ταῦτα σκιαγραφούμενα, οὔτε οἶδας τὸ πᾶν, οὔτε ἀγνοεῖς τὸ πᾶν· ἀλλ' ὅτι μὲν ἄνθρωπος γράφεται καὶ ἵππος, ἀμυδρῶς ἐπίστασαι· ποῖος δέ ἐστιν ὁ βασιλεὺς, καὶ ποῖος ὁ πολέμιος, οὐ σφόδρα ἀκριβῶς οἶδας, ἕως ἂν ἐλθοῦσα τῶν χρωμάτων ἡ ἀλήθεια τρανώσῃ τὴν ὄψιν, καὶ σαφεστέραν ποιήσῃ. ὥσπερ οὖν ἐπὶ τῆς εἰκόνος ἐκείνης οὐκ ἀπαιτεῖς τὸ πᾶν πρὸ τῆς τῶν χρωμάτων ἀληθείας, ἀλλὰ κἂν ἀμυδράν τινα λάβῃς γνῶσιν τῶν γινομένων, ἱκανῶς τὴν σκιαγραφίαν ἀπηρτίσθαι νομίζεις· οὕτω μοι καὶ ἐπὶ τῆς παλαιᾶς, καὶ ἐπὶ τῆς καινῆς λογίζου, καὶ μή με πᾶσαν ἀπαιτήσῃς τῆς ἀληθείας τὴν ἀκρίβειαν ἐπὶ τοῦ τύπου, καὶ δυνησόμεθά σε διδάξαι πῶς εἶχέ τινα συγγένειαν ἡ παλαιὰ πρὸς τὴν χάριν, καὶ ἡ διάβασις ἐκείνη πρὸς τὸ ἡμέτερον βάπτισμα. κἀκεῖ ὕδωρ, κἀνταῦθα ὕδωρ· κολυμβήθρα ἐνταῦθα, καὶ ἐκεῖ πέλαγος· πάντες ἐνταῦθα εἰς τὰ ὕδατα ἐμβαίνουσι, κἀκεῖ πάντες. κατὰ τοῦτο ἡ συγγένεια. λοιπὸν βούλει μαθεῖν τῶν χρωμάτων τὴν ἀλήθειαν; ἐκεῖ μὲν Αἰγύπτου διὰ τῆς θαλάσσης ἀπηλλάττοντο, ἐνταῦθα δὲ εἰδωλολατρείας· κἀκεῖ μὲν ὁ Φαραὼ κατεποντίζετο, ἐνταῦθα δὲ ὁ διάβολος· ἐκεῖ Αἰγύπτιοι ἀπεπνίγοντο, ἐνταῦθα δὲ ὁ παλαιὸς ἄνθρωπος τῶν ἁμαρτημάτων κατορύττεται. καὶ ἴδε συγγένειαν τύπου πρὸς ἀλήθειαν, καὶ ἀληθείας ὑπεροχὴν πρὸς τύπον. οὔτε γὰρ ἀπηλλοτριῶσθαι πάντη χρὴ τὸν τύπον τῆς ἀληθείας, ἐπεὶ οὐκ ἂν εἴη τύπος, οὔτε πάλιν ἐξισάζειν πρὸς τὴν ἀλήθειαν, ἐπεὶ πάλιν καὶ αὐτὸς ἀλήθεια ἔσται· ἀλλὰ δεῖ μένειν ἐπὶ τῆς οἰκείας συμμετρίας, καὶ μήτε τὸ πᾶν ἔχειν τῆς ἀληθείας, μήτε τοῦ παντὸς ἐκπεπτωκέναι. ἂν μὲν γὰρ τὸ πᾶν ἔχῃ, ἀλήθεια πάλιν ἐστὶ καὶ αὐτός· ἂν δὲ τοῦ παντὸς ἐκπέσῃ, τύπος εἶναι λοιπὸν οὐ δύναται, ἀλλὰ δεῖ τὸ μὲν ἔχειν, τὸ δὲ τῇ ἀληθείᾳ τηρεῖν. μὴ τοίνυν τὸ πᾶν με ἀπαιτήσῃς ἐπὶ τῆς παλαιᾶς· ἀλλ' εἰ καὶ μικρά τινα καὶ ἀμυδρὰ λάβῃς αἰνίγματα, ἀγαπητὸν εἶναι νόμιζε τοῦτο. ποῦ οὖν ἐστιν ἡ συγγένεια τοῦ τύπου πρὸς τὴν ἀλήθειαν; ὅτι πάντες ἐκεῖ, καὶ ἐνταῦθα πάντες· ὅτι δι' ὕδατος ἐκεῖ, καὶ ἐνταῦθα δι' ὕδατος· ὅτι δουλείας ἀπηλλάγησαν ἐκεῖνοι, καὶ ἡμεῖς δουλείας, ἀλλ' οὐ τῆς αὐτῆς· ἀλλ' οἱ μὲν τῆς Αἰγυπτίων, ἡμεῖς δὲ τῆς τῶν δαιμόνων· ἐκεῖνοι τῆς τῶν βαρβάρων, ἡμεῖς τῆς κατὰ τὴν ἁμαρτίαν. πρὸς ἐλευθερίαν ″ ἀνήχθησαν ἐκεῖνοι, καὶ ἡμεῖς· ἀλλ' οὐ πρὸς τὴν αὐτὴν, ἀλλὰ πρὸς πολλῷ λαμπροτέραν ἡμεῖς. εἰ δὲ μείζω τὰ ἡμέτερα καὶ ὑπερέχοντα ἐκείνων, μὴ θορυβοῦ. τοῦτο γὰρ μάλιστά ἐστιν ἀληθείας, τὸ πολλὴν ἔχειν πρὸς τὸν τύπον τὴν ὑπεροχὴν, οὐκ ἐναντίωσιν, οὐδὲ μάχην. τί δέ ἐστι, πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο; καὶ τάχα ″ σαφὲς τὸ λεγόμενον· οὐκοῦν σαφέστερον αὐτὸ ποιῆσαι πειρασόμεθα. θάλασσα ἦν πρὸ τῶν ὀφθαλμῶν κεχυμένη τῶν ἐκείνων τότε, καὶ ἐκελεύοντο διαβαίνειν ξένην τινὰ καὶ παράδοξον ὁδὸν, ἣν οὐδεὶς οὐδέποτε ἀνθρώπων διέβη. ὤκνουν καὶ ἀνεδύοντο, καὶ ἐδυσχέραινον. διέβη πρῶτος Μωϋσῆς, καὶ πᾶσι μετ' εὐκολίας ἔδωκεν ἀκολουθῆσαι λοιπόν. τοῦτό ἐστιν, εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο, ἐκείνῳ πιστεύσαντες οὕτως ἐθάρρησαν ἐπιβῆναι τῶν ὑδάτων, ἡγεμόνα ὁδοιπορίας λαβόντες. τοῦτο καὶ ἐπὶ τοῦ Χριστοῦ γέγονεν. ἐξαγαγὼν γὰρ ἡμᾶς τῆς πλάνης, καὶ τῆς εἰδωλολατρείας ἀπαλλάξας, καὶ πρὸς τὴν βασιλείαν χειραγωγῶν, αὐτὸς πρῶτος ταύτης ἡμῖν ἦρξε τῆς ὁδοῦ, πρῶτος εἰς τοὺς οὐρανοὺς ἀναβάς. ὥσπερ οὖν ἐκεῖνοι Μωϋσῇ θαρρήσαντες κατετόλμησαν τῆς ὁδοιπορίας· οὕτως ἡμεῖς ″ Χριστῷ θαρρήσαντες, κατατολμῶμεν τῆς ἀποδημίας ταύτης. καὶ ὅτι τοῦτό ἐστι τὸ, εἰς Μωϋσῆν ἐβαπτίσαντο, δῆλον ἐκ τῆς ἱστορίας. οὐ γὰρ εἰς τὸ ὄνομα Μωϋσέως ἐβαπτίσαντο. εἰ δὲ ἡμεῖς οὐ μόνον ἀρχηγὸν τὸν Ἰησοῦν ἔχομεν, ἀλλὰ καὶ εἰς τὸ ὄνομα αὐτοῦ βαπτιζόμεθα, ἐκείνων μὴ ″ βαπτισθέντων εἰς τὸ ὄνομα Μωϋσέως, μηδὲ ἐνταῦθα ταραττοῦ. εἶπον γὰρ, ὅτι δεῖ τὴν ἀλήθειαν ἔχειν τινὰ ὑπεροχὴν πολλὴν καὶ ἄφατον.

γρ. ἤχθησαν

ἴσ. ἀσαφῆ

γρ. τῷ θεῷ

γρ. βαπτιζομένων

Εἶδες ἐπὶ τοῦ βαπτίσματος, τίς μὲν ὁ τύπος τίς δὲ ἡ ἀλήθεια; φέρε, σοι δείξω καὶ τὴν τράπεζαν, καὶ τὴν τῶν μυστηρίων κοινωνίαν ἐκεῖ σκιαγραφουμένην, ἂν μὴ ″ τοίνυν ἀπαιτήσῃς με πάλιν, ἀλλ' οὕτως ἐξετάσῃς τὰ γινόμενα, ὡς εἰκὸς ἐν σκιαγραφίᾳ καὶ τύποις ἰδεῖν. ἐπειδὴ γὰρ εἶπε περὶ τῆς θαλάσσης καὶ τῆς νεφέλης καὶ τοῦ Μωϋσέως, ἐπήγαγε πάλιν, Καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον. ὥσπερ σὺ, φησὶν, ἀπὸ τῆς κολυμβήθρας τῶν ὑδάτων ἀναβαίνων, ἐπὶ τὴν τράπεζαν τρέχεις, οὕτω κἀκεῖνοι ἀπὸ τῆς θαλάττης ἀναβάντες, ἐπὶ τράπεζαν ἦλθον καινὴν καὶ παράδοξον, τὸ μάννα λέγω. καὶ πάλιν, ὥσπερ σὺ παράδοξον ἔχεις πότον, τὸ αἷμα τὸ σωτήριον, οὕτω κἀκεῖνοι παράδοξον ἔσχον τοῦ πόματος τὴν φύσιν, οὐ πηγὰς εὑρόντες, οὐδὲ ποταμοὺς ῥέοντας, ἀλλ' ἀπὸ πέτρας σκληρᾶς καὶ ἀνύδρου

γρ. τύπον

πολλὴν δεξάμενοι ναμάτων δαψίλειαν. διὰ τοῦτο αὐτὸ καὶ πνευματικὸν ἐκάλεσεν, οὐκ ἐπειδὴ τῇ φύσει τοιοῦτον ἦν, ἀλλ' ἐπειδὴ τῷ τρόπῳ τῆς χορηγίας τοιοῦτον ἐγένετο. οὐ γὰρ κατὰ φύσεως ἀκολουθίαν αὐτοῖς ἐδίδοτο, ἀλλὰ κατὰ τὴν ἐνέργειαν τοῦ στρατηγοῦντος αὐτῶν Θεοῦ· ὅπερ οὖν καὶ αὐτὸ διερμηνευόμενος ἔλεγεν. ἐπειδὴ γὰρ εἶπε, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον, ὕδωρ δὲ ἦν τὸ πινόμενον, βουλόμενος δεῖξαι, ὅτι διὰ τοῦτο πνευματικὸν εἶπεν, οὐ διὰ τὴν φύσιν τοῦ ὕδατος, ἀλλὰ διὰ τὸν τῆς χορηγίας τρόπον, ἐπήγαγεν· ἔπινον γὰρ ἐκ τῆς πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός. οὐχὶ ἡ φύσις τοῦ λίθου, φησὶν, ἀλλ' ἡ δύναμις τοῦ ἐνεργοῦντος Θεοῦ τὰς πηγὰς ἐκείνας ἠφίει. ἐνταῦθα καὶ τὴν Παύλου τοῦ Σαμοσατέως αἵρεσιν ἀνέσπασε πρόῤῥιζον. Εἰ γὰρ ὁ Χριστὸς ἦν ὁ πάντα ἐνεργῶν ἐκεῖνα, πῶς αὐτὸν ἐκ τότε εἶναι λέγουσιν, ἐξ οὗ Μαρία αὐτὸν ἔτεκεν; ὅταν γὰρ πρὸ μὲν τῆς Μαρίας τὰ κατὰ τὴν ἔρημον φαίνηται συμβάντα, ἐκεῖνα δὲ πάντα ὁ Χριστὸς ἦν πεποιηκὼς κατὰ τὴν τοῦ Παύλου φωνὴν, ἀνάγκη καὶ πρὸ τοῦ τόκου τούτου, καὶ πρὸ τῶν ὠδίνων αὐτὸν εἶναι τούτων. οὐ γὰρ δήπου ὁ μὴ ὢν ἐνεργεῖν ἔμελλεν οὕτω θαυμαστὰ καὶ παράδοξα πράγματα. ὥσπερ δὲ εἰπὼν, ὅτι πάντες διὰ τῆς θαλάσσης διῆλθον, τὴν εὐγένειαν τῆς ἐκκλησίας ἐδήλωσεν ἄνωθεν προδιατυπουμένην· οὕτως εἰπὼν, τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, τὸ αὐτὸ τοῦτο πάλιν ἠνίξατο. καθάπερ γὰρ ἐν τῇ ἐκκλησίᾳ, οὐχ ἑτέρου μὲν σώματος ὁ πλούσιος, ἑτέρου δὲ ὁ πένης, οὐδὲ ἑτέρου μὲν οὗτος αἵματος, ἑτέρου δὲ ἐκεῖνος· οὕτω καὶ τότε, οὐχ ἕτερον μὲν ὁ πλούσιος ἐλάμβανε μάννα, ἕτερον δὲ ὁ πένης, οὐδὲ ἑτέρας μὲν ἐκεῖνος μετεῖχε πηγῆς, ἑτέρας δὲ οὗτος καταδεεστέρας· ἀλλ' ὥσπερ νῦν ἡ αὐτὴ τράπεζα, τὸ αὐτὸ ποτήριον, ἡ αὐτὴ τροφὴ ἅπασι πρόκειται τοῖς ἐνταῦθα εἰσιοῦσιν· οὕτω καὶ τότε τὸ αὐτὸ μάννα, ἡ αὐτὴ πηγὴ ἅπασι προὔκειτο. καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον, ἐπιχειρήσαντες ποτέ τινες κατὰ τὸν καιρὸν ἐκεῖνον πλέον συλλέξαι τοῦ δέοντος, καὶ οὐδὲν ἀπώναντο τῆς πλεονεξίας. ἀλλ' ἕως μὲν τὴν ἰσότητα ἐτίμων, ἔμενε τὸ μάννα μάννα ὄν· ἐπειδὴ δὲ πλεονεκτεῖν ἐπεθύμησαν, ἡ πλεονεξία τὸ μάννα σκώληκα ἐποίησε· καίτοιγε οὐ μετὰ τῆς τῶν ἄλλων ζημίας τοῦτο ἐποίουν. οὐ γὰρ δὴ ἐκ τῆς τοῦ πλησίον ἁρπάζοντες τροφῆς, οὕτως αὐτοὶ πλέον συνέλεγον, ἀλλ' ὅμως ἐπειδὴ τοῦ πλείονος ἐπεθύμησαν, κατεγνώσθησαν. Εἰ γὰρ καὶ μηδὲν τὸν πλησίον ἠδίκουν, ἀλλ' ἑαυτοὺς τὰ μέγιστα κατέβλαπτον, πρὸς πλεονεξίαν τῷ τρόπῳ τῆς συλλογῆς ταύτης συνεθιζόμενοι, ὥστε ὁμοῦ τὸ αὐτὸ καὶ τροφὴ ἦν, καὶ θεογνωσίας διδασκαλία· ὁμοῦ καὶ τὰ σώματα ἔτρεφε, καὶ τὴν ψυχὴν ἐπαίδευεν· οὐκ ἔτρεφε δὲ μόνον, ἀλλὰ καὶ πόνων ἀπήλλαττεν. οὐ γὰρ ἔδει ζεῦξαι βοῦς, οὔτε ἄροτρον ἑλκύσαι, οὐδὲ διατεμεῖν αὔλακας, οὐδὲ ἐνιαυτὸν ἀναμεῖναι, ἀλλ' ἐσχεδιασμένην εἶχον τὴν τράπεζαν, πρόσφατον καὶ νεαρὰν καὶ ἐφήμερον· καὶ τὸ εὐαγγελικὸν ἐκεῖνο παράγγελμα διὰ τῶν ἔργων αὐτοὺς ἐπαίδευε, τὸ μὴ μεριμνᾷν εἰς τὴν αὔριον. οὐδὲ γὰρ ὄφελος ἀπὸ τῆς μερίμνης ταύτης ἐγένετο. Εἰ γάρ τις πλέον συνέλεξε, διεφθείρετο καὶ ἀπώλλυτο, καὶ πλεονεξίας ἔλεγχος τὸ γινόμενον μόνον ἦν. εἶτα ἵνα μὴ κατὰ φύσεως ἀκολουθίαν εἶναι νομίζωσιν ἐκεῖνοι τὸν ὄμβρον, ἐν ἡμέρᾳ Σαββάτου οὐδὲν τοιοῦτον ἐγίνετο· τοῦ Θεοῦ ταῦτα ἀμφότερα αὐτοὺς διδάσκοντος, ὅτι ἐν ταῖς προτέραις ἡμέραις αὐτὸς ἐνήργει τὸν θαυμαστὸν τοῦτον καὶ παράδοξον ὑετὸν, καὶ ὅτι κατὰ τὴν ἡμέραν ἐκείνην διὰ τοῦτο ἐπέσχεν, ἵνα καὶ ἄκοντες παιδεύωνται τοῦ Σαββάτου τὴν ἡμέραν ἀργεῖν. οὐκ ἐπὶ τῆς τροφῆς δὲ μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἐνδυμάτων, καὶ ἐπὶ τῶν ὑποδημάτων, καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων, δι' αὐτῶν τῶν ἔργων ἦν ἰδεῖν τὰ τῶν ἀποστόλων παραγγέλματα ἐκτελούμενα. οὐδὲ γὰρ οἰκίαν εἶχον, οὐ τράπεζαν, οὐ κλίνην, οὐχ ἱμάτιον δεύτερον, οὐχ ὑποδήματα, τοῦ Θεοῦ οὕτως οἰκονομήσαντος. ὅρα πόση τῆς παλαιᾶς πρὸς τὴν καινὴν συγγένεια. ὥσπερ γὰρ τοὺς ἀποστόλους ἐσχημάτιζεν ὁ Χριστὸς ὕστερον τῶν ἀναγκαίων ἕνεκεν· οὕτω πως κἀκείνους ὁ τῆς πολιτείας ἐρρύθμιζε τρόπος, καὶ ἡ κτίσις ἅπασα πρὸς τὴν ὑπηρεσίαν ἐκείνων παρεσκευάζετο. καὶ

Ματθ. ς. λδ.

τίνος ἕνεκεν ταῦτα ἐγίνετο, φησί; ἔμελλεν αὐτοὺς εἰς ἕνα συγκλείειν τῆς οἰκουμένης τόπον, καὶ κελεύειν ἐκεῖ διηνεκῶς αὐτὸν θεραπεύειν, καὶ μήτε ναὸν, μήτε βωμὸν ἀλλαχοῦ που τῆς οἰκουμένης ἱδρυνθῆναι, ἀλλὰ καὶ ἀναθήματα, καὶ θυσίας ἐκεῖ φέρειν, καὶ ἑορτὰς ἐπιτελεῖν, καὶ τὸν νόμον ἀναγινώσκειν, καὶ πάντα τὰ ἄλλα τὰ τῆς ἁγιαστίας ἐκπληροῦν ἐκείνης. ἵν' οὖν μὴ τῷ διωρισμένῳ τῆς θεραπείας τόπῳ καὶ τὴν πρόνοιαν αὐτοῦ συγκεκλεῖσθαι ἐκεῖ νομίζωσι, καὶ μερικὸν αὐτὸν εἶναι Θεὸν, προλαβὼν τὴν αὐτοῦ δύναμιν ἐπὶ τῆς ἀλλοτρίας ἐπέδειξεν, ἐπὶ τῆς Αἰγύπτου, ἐπὶ τῆς ἐρήμου, ἔνθα οὐδεὶς ἦν ὁ θεραπεύων, ἔνθα οὐδεὶς ἦν ὁ προσκυνῶν· καὶ πρὸς τὰ ἐναντία ἡ κτίσις ὑπηρετεῖτο, δι' ὧν ἐποίει, τὴν ἐξ ἀρχῆς αὐτοῦ δημιουργίαν καὶ τοὺς ἀγνωμονοῦντας αὐτῷ λογίζεσθαι πείθουσα. καὶ γὰρ ἡ θάλασσα τοὺς μὲν ἀπέπνιγε, τοὺς δὲ διέσωζε· καὶ ὁ ἀὴρ νῦν μὲν κατέφερε χάλαζαν, καὶ τοὺς βαρβάρους ἀπώλλυ, νῦν δὲ κατέφερε μάννα, καὶ τοὺς Ἰουδαίους διέτρεφε. πάλιν ἡ γῆ νῦν μὲν σκνίπας ἐπὶ κολάσει τῶν πολεμίων, νῦν δὲ ὀρτυγομήτραν ἐπὶ σωτηρίᾳ τῶν οἰκείων ἐξέφερε. κἀκείνοις μὲν ἐν ἡμέρᾳ σκότος, τούτοις δὲ ἐν νυκτὶ φῶς ἐγίνετο. καὶ Αἰγύπτιοι μὲν τὸν Νεῖλον ἔχοντες παραρρέοντα, δίψει καὶ αὐχμῷ διεφθείροντο· οὗτοι δὲ ἐν ἐρήμῳ ξηρᾷ καὶ αὐχμώδει στρατοπεδεύοντες πολλῆς ἀπήλαυον ὑδάτων δαψιλείας. καὶ τοὺς μὲν βάτραχοι κατηγωνίζοντο, τούτους δὲ οὐδὲ οἱ Γίγαντες ἐκεῖ χειρώσασθαι ἴσχυον. ἀλλὰ τίνος ἕνεκεν τούτων ὑμᾶς διέμνησεν ὁ μακάριος Παῦλος; διὰ γὰρ τὴν αἰτίαν, ἣν ἐξ ἀρχῆς εἶπον ὑμῖν, ἵνα μάθῃς, ὅτι οὔτε βάπτισμα, οὔτε ἁμαρτημάτων ἄφεσις, οὐ γνῶσις, οὐ μυστηρίων κοινωνία, οὐ τράπεζα ἱερὰ, οὐχὶ ἀπόλαυσις τοῦ σώματος, οὐχὶ κοινωνία τοῦ αἵματος, οὐκ ἄλλο τούτων οὐδὲν ἡμᾶς ὠφελῆσαι δυνήσεται, ἐὰν μὴ βίον ὀρθὸν καὶ θαυμαστὸν, καὶ πάσης ἁμαρτίας ἀπηλλαγμένον ἔχωμεν. ὅτι γὰρ διὰ τοῦτο τούτων ἀνέμνησε, καταλέξας τὸν τύπον τοῦ βαπτίσματος, τὸν διὰ τῆς θαλάσσης καὶ τῆς νεφέλης, τὸν τύπον τῶν μυστηρίων, τὸν διὰ τοῦ μάννα καὶ τῆς πέτρας, [ὃν προδιέγραψεν ἐν τῇ παλαιᾷ] καὶ εἰπὼν, ὅτι πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον, ἐπήγαγε λέγων· Ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ Θεός. μετὰ τοσαῦτα καὶ τηλικαῦτα θαύματα, φησὶν, οὐκ ἠγάπησεν αὐτοὺς ὁ Θεός. ἀλλὰ τί; κατεστρώθησαν ἐν τῇ ἐρήμῳ. τίνος οὖν ἕνεκα ταῦτα λέγεις ἡμῖν, ὦ Παῦλε; ταῦτα δὲ τύποι ἡμῖν ἐγενήθησαν εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν, καθὼς κἀκεῖνοι ἐπεθύμησαν, μηδὲ εἰδωλολάτρας γίνεσθαι, καθώς τινες αὐτῶν, ὥσπερ γέγραπται· Ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν. ὅρα τοῦ Παύλου σύνεσιν. εἶπε τὴν ἁμαρτίαν, εἶπε τὴν αἰτίαν τῆς ἁμαρτίας, εἶπε τὴν κόλασιν τὴν ἐπὶ τῇ ἁμαρτίᾳ, διὰ πάντων ἡμᾶς παιδεύει φεύγειν τὴν ἐκείνων μίμησιν. αἰτία τῆς ἁμαρτίας ἡ ἀδηφαγία. ἐκάθισε γὰρ ὁ λαὸς φαγεῖν καὶ πιεῖν. ἡ ἁμαρτία, αὐτὸ τὸ παίζειν. εἶτα ἡ τιμωρία, ὅτι κατεστρώθησαν ἐν τῇ ἐρήμῳ. πάλιν, μηδὲ πορνεύωμεν, καθώς τινες αὐτῶν ἐπόρνευσαν. ἐνταῦθα τὴν αἰτίαν τῆς πορνείας οὐκ ἔθηκεν, ἀλλὰ τὴν τιμωρίαν. ποίαν δὲ ταύτην; ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες. τίνος δὲ ἕνεκα τὴν πρόφασιν οὐκ εἶπεν, ἀφ' ἧς ἡ πορνεία γέγονε; τοῖς φιλοπόνοις διδοὺς ἐπὶ τὴν ἱστορίαν ἐλθεῖν, καὶ μαθεῖν τοῦ κακοῦ τὴν ῥίζαν. οὗτος γὰρ ἰατρείας τρόπος, τὸ λέγειν ἐξ ὧν τίκτεται τὰ νοσήματα, καὶ φάρμακα ἐπιτιθέναι τοῖς τραύμασι. διὰ τοῦτό φησι· ταῦτα δὲ πάντα συνέβαινον ἐκείνοις, ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν. ὥστε ὁ ποιήσας ἐκεῖνα, καὶ κολάσας τοὺς ἀγνωμονήσαντας, οὗτος ἡμᾶς νουθετεῖ νῦν, οὐ διὰ ῥημάτων μόνον, ἀλλὰ καὶ δι' αὐτῶν τῶν πραγμάτων, ὅσπερ μέγιστός ἐστι νουθεσίας τρόπος. εἶδες πῶς τοῖς ἐν τῇ χάριτι τὸν ἐν τῇ παλαιᾷ ταῦτα ποιήσαντα διδάσκαλον ἐπέστησε, δεικνὺς ὅτι εἷς ἐστι καὶ ὁ αὐτὸς, ὁ καὶ ἐκεῖνα ποιήσας, καὶ ταῦτα δι' αὐτοῦ φθεγγόμενος; εἰ γὰρ ἀλλότριος ἦν, οὐκ ἐκεῖνα τούτων τύπους ἐκάλεσεν, οὐκ ἂν εἰς νουθεσίαν ἡμῶν αὐτὰ γεγράφθαι εἶπεν, οὐκ ἂν διδάσκαλον ἡμῖν ἐπέστησεν, ὃν οὐκ ἐνόμιζεν εἶναι Θεὸν, οὐκ ἂν ἀπὸ τῶν ὑπ' ἐκείνου γινομένων τότε ἡμᾶς ἐφόβησεν, ὡς εἰς τὰς

γρ. συ

γρ. ἁγιστίας

ἴσ. προσ
χαρίεντα

γρ. ἡμῶν

ἐκείνου

ἐκείνῳ πάλιν μέλλονται ἐμπίπλειν χεῖρας· νῦν δὲ δεικνὺς, ὅτι εἰς τὰς ἐκείνου μέλλομεν ἐμπίπτειν πάλιν χεῖρας, καὶ ἑκάτερος ὁ λαὸς, κἀκεῖνος, καὶ οὗτος, τοῖς ἐκείνου διοικοῦνται νόμοις, ἀνέμνησε πάντων ἐκείνων, καὶ εἶπεν, ὅτι πρὸς νουθεσίαν ἡμῶν ἐγράφη. ταῦτα οὖν εἰδότες, τοῖς τε παρελθοῦσι, τοῖς τε μέλλουσι πιστεύωμεν. ἂν δέ τινες ὦσιν τῶν τοῖς μέλλουσιν οὐ πιστεύοντες, ἀπὸ τῶν παρελθόντων αὐτοὺς ἐνάγωμεν εἰς τὴν τῆς ἀρετῆς ἐπιμέλειαν, τὰ κατὰ τοὺς Σοδομίτας διηγούμενοι, τὰ κατὰ τὸν κατακλυσμὸν λέγοντες, τὰ κατὰ τὴν Αἴγυπτον ἀναμιμνήσκοντες, ἵνα ταῖς ἑτέραις σωφρονισθέντες κολάσεσι, καὶ βίον ἄριστον ἐπιδειξάμενοι, καὶ τὸν περὶ τῆς γεέννης καὶ τῆς ἀναστάσεως δέξωνται λόγον. ἐπεὶ καὶ νῦν ὅσοι τῇ κρίσει διαπιστοῦσιν, οὐδαμόθεν ἑτέρωθεν, ἀλλ' ἀπὸ βίου διεφθαρμένου καὶ πονηροῦ συνειδότος τοῦτο πάσχουσιν. ὥστε ἐὰν ἐκκαθάρωμεν ἑαυτῶν τὰς ἁμαρτίας, καὶ τῷ φόβῳ τῶν παρελθόντων παιδεύσωμεν, καὶ τὸν περὶ τῶν μελλόντων πείσομεν δέξασθαι λόγον. ὥσπερ γὰρ δόγματα πονηρὰ βίον ἀκάθαρτον εἰσάγειν εἴωθεν· οὕτω καὶ διεφθαρμένος βίος πονηρίαν δογμάτων πολλάκις ἔτεκεν. ὅπερ ἵνα μὴ γένηται, καὶ ἡμῖν αὐτοῖς, καὶ τοῖς ἄλλοις ταῦτα κατεπᾴδοντες τὰ ῥήματα, τήν τε ὀρθὴν πίστιν διαμένωμεν ἔχοντες, καὶ πολιτείαν ἀρίστην ἐπιδειξώμεθα, ἐπειδὴ πανταχόθεν ἡμῖν ὁ λόγος ἀπέδειξεν, ὅτι ταύτης χωρὶς οὐδὲν ὄφελος ἡμῖν ὀρθῶν δογμάτων. γένοιτο δὲ εὐχαῖς τῶν ἁγίων, καὶ τῶν προέδρων ἁπάντων, τήν τε ὀρθότητα τῶν δογμάτων, ἣν ἄνωθεν καὶ ἐκ προγόνων παρελάβομεν, ἀκέραιον διατηρῆσαι, καὶ βίον αὐτῇ συμβαίνοντα προσθεῖναι, ἵνα τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ις. ΠΕΡΙ ΤΟΥ, ΟΤΙ ΟΥ ΔΕΙ ΜΕΧΡΙ ΤΕΛΟΥΣ ΘΑΡῬΕῖΝ τὸν ἑστῶτα, οὔτε ἀπογινώσκειν ἑαυτοῦ τὸν πεπτωκότα.

Ὁ Ἰούδας, ἀγαπητοὶ, υἱὸς βασιλείας τὸ πρότερον ἦν, καὶ ἤκουσε μετὰ τῶν μαθητῶν, Ἐπὶ δώδεκα θρόνοις καθιεῖσθε· ἀλλὰ γέγονεν ὕστερον υἱὸς γεέννης. ὁ δὲ Αἰθίοψ, βάρβαρος ἄνθρωπος ὢν, καὶ τῶν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἀπολαύσεται τῶν στεφάνων. τοῦτο καὶ ἐφ' ἡμῶν γίνεται νῦν. Πολλοὶ γὰρ ἔσονται, φησὶ, πρῶτοι ἔσχατοι, καὶ ἔσχατοι πρῶτοι. τοῦτο δὲ ἔλεγεν, ἵνα μήτε ἐκεῖνοι ῥαθυμῶσιν, ὡς οὐ δυνάμενοι ἐπανελθεῖν, μήτε οὗτοι θαῤῥῶσιν, ὡς ἑστῶτες. τοῦτο καὶ Ἰωάννης ἄνωθεν προαναφωνῶν ἔλεγε· Δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. ἐπειδὴ γὰρ τοῦτο ἔμελλε γίνεσθαι, προανακηρύττεται πόῤῥωθεν, ὥστε μηδένα τῷ ξένῳ τοῦ πράγματος θορυβηθῆναι. ἀλλ' ἐκεῖνος μὲν, ὡς ἐνδεχόμενον αὐτὸ λέγει (ἄνθρωπος γὰρ ἦν) ὁ δὲ Χριστὸς, ὡς πάντως ἐσόμενον, τὴν ἀπὸ τῶν ἔργων ἀπόδειξιν παρέχων. μὴ τοίνυν θαῤῥῶμεν οἱ ἑστῶτες, ἀλλὰ λέγωμεν ἑαυτοῖς, Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ· μηδὲ ἀπογινώσκωμεν οἱ κείμενοι, ἀλλὰ λέγωμεν ἑαυτοῖς, Μὴ ὁ πίπτων οὐκ ἀνίσταται; καὶ γὰρ πολλοὶ εἰς αὐτὴν τὴν κορυφὴν ἀνελθόντες τοῦ οὐρανοῦ, καὶ πᾶσαν τὴν καρτερίαν ἐπιδειξάμενοι, καὶ τὰς ἐρήμους κατειληφότες, καὶ οὐδὲ γυναῖκα ὄναρ ἰδόντες, ῥαθυμήσαντες μικρὸν ὑπεσκελίσθησαν, καὶ πρὸς αὐτὸ ἦλθον τῆς κακίας τὸ βάραθρον. ἕτεροι δὲ πάλιν ἐκεῖθεν πρὸς τὸν οὐρανὸν ἀνέβησαν, καὶ ἀπὸ τῆς σκηνῆς, καὶ ἀπὸ τῆς ὀρχήστρας πρὸς τὴν ἀγγελικὴν μετετάξαντο πολιτείαν, καὶ τοσαύτην ἐπεδείξαντο ἀρετὴν, ὡς δαίμονας ἀπελάσαι, καὶ πολλὰ ἄλλα σημεῖα τοιαῦτα ἐργάσασθαι. καὶ τούτων μὲν πλήρεις εἰσὶν αἱ γραφαὶ, πλήρης δὲ ὁ βίος τῶν παραδειγμάτων ἡμῖν. καὶ πόρνοι, καὶ μαλακοὶ τὰ Μανιχαίων ἐμφράττουσι

Ματθ. ιθ. κη.
Ματθ. ιθ. λ.
Ματθ. γ. θ.
α. Κορ. ι. ιϐ.
Ψαλμ. μ. θ.

στόματα, οἳ τὴν κακίαν ἀκίνητον εἶναί φασι, τῷ διαβόλῳ πειθόμενοι, καὶ τὰς τῶν σπουδάζειν βουλομένων χεῖρας ἐκλύοντες, καὶ τὴν ζωὴν ἅπασαν ἀνατρέποντες. οἱ γὰρ ταῦτα πείθοντες, οὐ πρὸς τὰ μέλλοντα παραβλάπτουσι μόνον, ἀλλὰ καὶ ἐνταῦθα ἄνω καὶ κάτω πάντα ποιοῦσι, τό γε αὐτῶν μέρος. πότε γὰρ ἐπιμελήσεταί τις ἀρετῆς τῶν ἐν κακίᾳ ζώντων, ὅταν ἀδύνατον τὴν πρὸς ἐκείνην ἐπάνοδον εἶναι νομίζῃ, καὶ τὴν ἐπὶ τὸ βέλτιον μεταβολήν; Εἰ γὰρ νῦν καὶ νόμων ὄντων, καὶ κολάσεων ἠπειλημένων, καὶ δόξης τῆς τοὺς πολλοὺς διεγειρούσης, καὶ γεέννης προσδοκωμένης, καὶ βασιλείας ἐπηγγελμένης, καὶ τῶν κακῶν ὀνειδιζομένων, καὶ τῶν καλῶν ἐγκωμιαζομένων, μόλις αἱροῦνταί τινες τοὺς ὑπὲρ ἀρετῆς ἱδρῶτας, ἂν ταῦτα ἀνέλῃς, τί τὸ κωλῦον πάντα ἀπολέσθαι καὶ διαφθαρῆναι; Συνειδότες οὖν τὴν κακουργίαν τὴν διαβολικὴν, καὶ ὅτι τοῖς ἔξω νομοθέταις, καὶ τοῖς τοῦ Θεοῦ χρησμοῖς, καὶ τοῖς τῆς φύσεως λογισμοῖς, καὶ τῇ κοινῇ πάντων ἀνθρώπων δόξῃ, καὶ βαρβάροις, καὶ Σκύθαις, καὶ Θρᾳξὶ, καὶ πᾶσιν ἁπλῶς ἀπεναντίας οὗτοι, καὶ οἱ τὰ τῆς εἱμαρμένης δόγματα νομοθετεῖν ἐπιχειροῦντες, νήφωμεν, ἀγαπητοὶ, καὶ πᾶσιν ἐκείνοις ἐρρῶσθαι εἰπόντες, ὁδεύωμεν διὰ τῆς στενῆς πύλης, καὶ θαῤῥοῦντες, καὶ δεδοικότες· δεδοικότες μὲν, διὰ τοὺς ἑκατέρωθεν κρημνούς· θαῤῥοῦντες δὲ, διὰ τὸν προηγούμενον ἡμῶν Ἰησοῦν. ὁδεύωμεν νήφοντες καὶ ἐγρηγορότες. κἂν μικρόν τις ἀπονυστάξῃ, κατηνέχθη ταχέως. οὐ γάρ ἐσμεν ἀκριβέστεροι τοῦ Δαβὶδ, ὃς μικρὸν ὀλιγωρήσας, πρὸς αὐτὸ κατεκρημνίσθη τῆς ἁμαρτίας τὸ βάραθρον. ἀλλ᾽ ἀνέστη ταχέως. μὴ τοίνυν ὅτι ἥμαρτεν, ἴδῃς μόνον, ἀλλ᾽ ὅτι καὶ τὴν ἁμαρτίαν ἀπενίψατο. διὰ γὰρ τοῦτο τὴν ἱστορίαν ἐκείνην ἔγραψεν, οὐχ ἵνα πεσόντα θεάσῃ, ἀλλ᾽ ἵνα ἀναστάντα θαυμάσῃς· ἵνα μάθῃς, ἐπειδὰν πέσῃς, πῶς ἀνίστασθαι χρή. καθάπερ γὰρ οἱ ἰατροὶ τῶν νοσημάτων τὰ χαλεπώτατα ἐκλεγόμενοι, ταῖς βίβλοις ἐγγράφουσι, καὶ τῆς τοιαύτης διορθώσεως τὴν μέθοδον διδάσκουσιν, ἵνα ἐν τοῖς μείζοσι γυμναζόμενοι, ῥᾳδίως τῶν ἐλαττόνων περιγίνωνται· οὕτω δὴ καὶ ὁ Θεὸς τὰ μέγιστα τῶν ἁμαρτημάτων εἰς μέσον ἤγαγεν, ἵνα καὶ οἱ τὰ μικρὰ πταίοντες, δι᾽ ἐκείνων ῥᾳδίαν τὴν τούτων διόρθωσιν εὕρωσιν. Εἰ γὰρ ἐκεῖνα ἔσχεν ἴασιν, πολλῷ μᾶλλον τὰ ἐλάττονα. ἴδωμεν τοίνυν πῶς καὶ ἠῤῥώστησε, πῶς καὶ ἀνέστη ταχέως ὁ μακάριος ἐκεῖνος. τίς οὖν τῆς ἀῤῥωστίας ὁ τρόπος ἦν; ἐμοίχευσε καὶ ἐφόνευσεν. οὐδὲ γὰρ ἐγκαλύπτομαι λαμπρᾷ ταῦτα ἀνακηρύττων τῇ φωνῇ. Εἰ γὰρ τὸ πνεῦμα τὸ ἅγιον οὐκ ἐνόμισεν αἰσχύνην, ταύτην ἀνατεθῆναι πᾶσαν τὴν ἱστορίαν, πολλῷ μᾶλλον οὐδὲ ἡμᾶς συσκιάζειν χρή. διόπερ οὐ μόνον αὐτὰ ἀνακηρύττω, ἀλλὰ καὶ ἕτερα προστίθημι. καὶ γὰρ ὅσοι ταῦτα κρύπτουσιν, οὗτοι μάλιστα τὴν ἀρετὴν συσκιάζουσι τὴν ἐκείνου. καὶ ὥσπερ οἱ τὸν πόλεμον σιγῶντες τοῦ Γολιὰθ, οὐ μικρῶν αὐτὸν ἀποστεροῦσι στεφάνων· οὕτω καὶ οἱ ταύτην παρατρέχοντες τὴν ἱστορίαν. ἆρα οὐ δοκεῖ παράδοξον εἶναι τὸ λεγόμενον; οὐκοῦν ἀναμείνατε μικρὸν, καὶ τότε εἴσεσθε ὅτι δικαίως ταῦτα ἡμῖν εἴρηται. διὰ γὰρ τοῦτο αὔξω τὸ ἁμάρτημα, καὶ παραδοξότερον ποιῶ τὸν λόγον, ἵνα ἐκ πλείονος περιουσίας τὰ φάρμακα κατασκευάσω. τί οὖν ἐστιν ὃ προστίθημι; τὴν ἀρετὴν τοῦ ἀνδρὸς, ὃ μεῖζον ποιεῖ τὸ ἔγκλημα. οὐ γὰρ ὁμοίως πάντα ἐπὶ πάντων κρίνεται. Δυνατοὶ γὰρ, φησι, δυνατῶς ἐτασθήσονται· καὶ, Ὁ εἰδὼς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιῶν, δαρήσεται πολλάς. ὥστε ἡ πλείων γνῶσις πλείονος κολάσεώς ἐστιν ὑπόθεσις. διὰ δὴ τοῦτο ὁ ἱερεὺς τὰ αὐτὰ τοῖς ἀρχομένοις ἁμαρτάνων, οὐ τὰ αὐτὰ πείσεται, ἀλλὰ τὰ πολλῷ χαλεπώτερα. τάχα ὁρῶντες τὴν κατηγορίαν αὐξανομένην, τρέμετε καὶ δεδοίκατε, καὶ θαυμάζετέ με, ὡς κατὰ κρημνῶν ἐρχόμενον. ἀλλ᾽ ἐγὼ οὕτω θαῤῥῶ ὑπὲρ τοῦ δικαίου, ὅτι καὶ περαιτέρω πρόειμι. ὅσῳ γὰρ ἂν αὐξήσω τὸ ἔγκλημα, τοσούτῳ μᾶλλον δεῖξαι δυνήσομαι τὸ ἐγκώμιον τοῦ Δαβίδ. καὶ τί τούτων πλεῖόν ἐστι, φησιν, εἰπέ μοι; ἔστι τι πλέον εἰπεῖν. ὥσπερ γὰρ ἐπὶ τοῦ Κάϊν, οὐ φόνος τὸ γινόμενον μόνον ἦν, ἀλλὰ καὶ πολλῶν φόνων χεῖ-

ρον

ἴσ. πάν

ἴσ. δὴ μα-
ζουσι ἀπ-
τίας

χ. ἰδὲ

χ. γυμνα-
μενοι

Σοφ. ς. ς.
Λουκ. ιβ. μη.

ρον (οὐ γὰρ ἀλλότριον, ἀλλὰ ἀδελφὸν, οὐκ ἠδικηκότα, ἀλλ' ἠδικημένον ἐφόνευσεν· οὐ μετὰ πολλοὺς φονέας, ἀλλὰ πρῶτος τὸ μύσος εὑρὼν) οὕτω δὴ καὶ ἐνταῦθα, οὐ φόνος ἦν μόνον τὸ τόλμημα. οὐ γὰρ ὁ τυχὼν ἦν ὁ ἀνὴρ ὁ πεποιηκὼς, ἀλλ' ὁ προφήτης· καὶ οὐ τὸν ἠδικηκότα, ἀλλὰ τὸν ἠδικημένον ἀναιρεῖ. καὶ γὰρ ἠδίκητο ἐν τοῖς καιρίοις τῆς γυναικὸς ἁρπαγείσης. ἀλλ' ὅμως μετ' ἐκεῖνο καὶ τοῦτο προσέθηκεν. Εἴδετε πῶς οὐκ ἐφεισάμην τοῦ δικαίου, πῶς οὐδὲ μετὰ ὑποστολῆς τινος εἶπον τὰ πεπλημμελημένα αὐτῷ. ἀλλ' ὅμως οὕτω περὶ τῆς ἀπολογίας θαρρῶ, ὅτι μετὰ τοσοῦτον ὄγκον τοῦ ἁμαρτήματος ἐβουλόμην παρεῖναι καὶ Μανιχαίους τοὺς μάλιστα ταῦτα κωμῳδοῦντας, ἵνα ἐκ περιουσίας αὐτῶν ἐμφράξω τὰ στόματα. ἐκεῖνοι μὲν γὰρ λέγουσιν, ὅτι ἐφόνευσε καὶ ἐμοίχευσεν· ἐγὼ δὲ οὐ τοῦτο λέγω μόνον, ἀλλὰ καὶ διπλοῦν τὸν φόνον ἀπέφηνα, ἀπό τε τοῦ ἠδικημένου, ἀπό τε τῆς ποιότητος τοῦ προσώπου τοῦ πεπλημμεληκότος. οὐ γάρ ἐστιν ἴσον πνεύματος ἀξιωθέντα, καὶ τοσαῦτα εὐεργετηθέντα, καὶ τηλικαύτην ἐσχηκότα παρρησίαν, καὶ ἐν τοιαύτῃ ἡλικίᾳ τοιαῦτα τολμᾷν, καὶ τούτων χωρὶς τὸ αὐτὸ τοῦτο ποιεῖν. ἀλλ' ὅμως καὶ ταύτῃ μάλιστα θαυμαστός ἐστιν ὁ γενναῖος ἐκεῖνος ἀνήρ· ὅτι εἰς αὐτὸν τὸν πυθμένα τῆς κακίας καταπεσὼν, οὐκ ἀνέπεσεν, οὐδὲ ἀπέγνω, οὐδὲ ἔρριψεν ἑαυτὸν ὕπτιον, οὕτω παρὰ τοῦ διαβόλου καιρίαν λαβὼν πληγήν· ἀλλὰ ταχέως, μᾶλλον δὲ εὐθέως καὶ μετὰ πολλῆς τῆς σφοδρότητος καιριωτέραν ἔδωκεν, ἢ ἔλαβε τὴν πληγήν· καὶ ταυτὸν γέγονεν, οἷον ἂν εἰ ἐν πολέμῳ καὶ παρατάξει βαρβάρου τινὸς εἰς ἀριστέως καρδίαν ἐμπήξαντος δόρυ, ἢ καὶ κατὰ τοῦ ἥπατος ἀφέντος βέλος, καὶ δεύτερον τῷ προτέρῳ τραῦμα προσθέντος ἐκείνου καιριώτερον, πεσὼν καὶ αἵματι πολλῷ περιρρεόμενος πάντοθεν ὁ τὰς χαλεπὰς ταύτας λαβὼν πληγὰς καὶ ἀνασταίη ταχέως, καὶ δόρυ κατὰ τοῦ τοξεύσαντος ἀφεὶς, νεκρὸν ἐπὶ τοῦ πεδίου δείξειεν εὐθέως. οὕτω δὴ καὶ ἐνταῦθα, ὅσῳ ἂν μείζονα εἴπῃς τὴν πληγὴν, τοσούτῳ θαυμαστοτέραν δεικνύεις τοῦ πληγέντος τὴν ψυχὴν, ὅτι ἴσχυσε μετὰ τὸ χαλεπὸν τοῦτο τραῦμα καὶ ἀναστῆναι, καὶ στῆναι ἐν τῷ τῆς φάλαγγος μετώπῳ, καὶ τὸν τρώσαντα κατενεγκεῖν. τοῦτο δὲ ἡλίκον ἐστὶν, ἴσασι μάλιστα ὅσοι χαλεπαῖς περιπίπτουσιν ἁμαρτίαις. οὐ γὰρ οὕτω γενναίας καὶ νεανικῆς ἐστι ψυχῆς ὀρθὰ βαδίζειν καὶ διόλου τρέχειν (ἔχει γὰρ ἡ τοιαύτη συνοδοιπόρον τὴν ἀγαθὴν ἐλπίδα, ἀλείφουσαν, διεγείρουσαν, νευροῦσαν, προθυμότερον ἐργαζομένην) ὡς τὸ μετὰ τοὺς μυρίους στεφάνους καὶ τὰ πολλὰ τρόπαια καὶ τὰς νίκας, τὴν ἐσχάτην ὑπομείναντα ζημίαν δυνηθῆναι πάλιν ἐπιλαβέσθαι τοῦ αὐτοῦ δρόμου.

Καὶ ἵνα σαφέστερον ὃ λέγω γένηται, καὶ ἕτερον τοῦ προτέρου οὐδὲν ἔλαττον παραδείγματος εἰς μέσον ὑμῖν ἀγαγεῖν πειράσομαι. ἐννόησον γάρ μοί τινα κυβερνήτην μυρία διαβάντα πελάγη, μετὰ δὲ τὴν θάλατταν διαπλεῦσαι ἅπασαν, μετὰ τοὺς πολλοὺς χειμῶνας καὶ τοὺς σκοπέλους καὶ τὰ κύματα, πολὺν ἔχοντα φόρτον ἐν αὐτῷ καταποντιζόμενον τῷ στόματι τοῦ λιμένος, καὶ γυμνῷ μόλις τῷ σώματι τὸ χαλεπὸν τοῦτο διαφυγόντα ναυάγιον. πῶς πρὸς τὴν θάλατταν διακεῖσθαι εἰκὸς καὶ τὴν ναυτιλίαν καὶ τοὺς τοιούτους πόνους; ἆρα αἱρήσεταί ποτε ὁ τοιοῦτος, εἰ μὴ γενναίας εἴη ψυχῆς, αἰγιαλὸν ἰδεῖν, ἢ πλοῖον, ἢ λιμένα; οὐκ ἔγωγε οἶμαι. ἀλλ' ἐγκαλυψάμενος κείσεται, νύκτα τὴν ἡμέραν ὁρῶν, καὶ πρὸς πάντα ἀπαγορεύων· καὶ μᾶλλον αἱρήσεται προσαιτῶν ζῆν, ἢ τῶν αὐτῶν ἅψασθαι πόνων. ἀλλ' οὐχ ὁ μακάριος οὗτος τοιοῦτον ναυάγιον ὑπομείνας μετὰ τοὺς μυρίους πόνους καὶ τοὺς ἱδρῶτας ἐκείνους, οὐκ ἔμεινεν ἐγκεκαλυμμένος· ἀλλὰ καὶ τὸ πλοῖον καθείλκυσε, καὶ τὰ ἱστία πετάσας, καὶ τὸ πηδάλιον μεταχειρίσας, τῶν αὐτῶν ἅπτεται πόνων, καὶ πλείονα τὸν πλοῦτον εἰργάσατο πάλιν. εἰ δὲ τὸ στῆναι, θαυμαστὸν οὕτω, καὶ τὸ μὴ κεῖσθαι διόλου πεσόντα· τὸ καὶ ἀναστῆναι, καὶ τοιαῦτα ἐργάσασθαι, πόσων οὐκ ἂν εἴη στεφάνων ἄξιον; καίτοιγε πολλὰ ἦν τὰ εἰς ἀπόγνωσιν αὐτὸν ἐμβάλλοντα. καὶ πρῶτον, τὸ μέγεθος τοῦ ἁἁμαρτήματος διέπεσεν, τὸ μὴ ἐν προοιμίοις τῆς ζωῆς, ὅτε καὶ πλείους αἱ ἐλπίδες, ἀλλὰ πρὸς τῷ τέλει ταῦτα παθεῖν. οὐδὲ γὰρ ὁ ἔμπορος ἀπὸ λιμένος ἐξελθὼν, εὐθέως καὶ ναυάγιον ὑπομείνας, ὁμοίως ἀλγεῖ τῷ μετὰ μυρίας ἐμπορίας προσαράσσοντι σκοπέλῳ. τρίτον, τὸ πολὺν ἤδη συνειληχότα πλοῦτον, τοῦτο παθεῖν. καὶ γὰρ οὐ μικρὰ αὐτῷ ἀπέκειτο φορτία τότε· οἷον, τὰ κατὰ τὴν πρώτην ἡλικίαν, ἡνίκα ἐποίμαινε, τὰ κατὰ τὸν Γολιὰθ, ὅτε τὸ λαμπρὸν τρόπαιον ἔστησε, τὰ κατὰ τὴν φιλοσοφίαν τὴν ἐπὶ τοῦ Σαούλ. καὶ γὰρ τὴν εὐαγγελικὴν ἐπεδείκνυτο μακροθυμίαν, μυριάκις τὸν ἐχθρὸν εἰς χεῖρας ἑλὼν, καὶ φειδόμενος διηνεκῶς, καὶ μᾶλλον ἑλόμενος ἐκπεσεῖν πατρίδος καὶ ἐλευθερίας καὶ αὐτῆς τῆς ζωῆς, ἢ τὸν ἀδίκως ἐπιβουλεύοντα ἀνελεῖν. καὶ μετὰ τὴν βασιλείαν δὲ οὐ μικρὰ ἦν αὐτῷ τὰ κατορθώματα. μετὰ δὲ τῶν εἰρημένων, καὶ ἡ παρὰ τῶν πολλῶν ὑπόληψις, καὶ τὸ λαμπρᾶς οὕτω δόξης ἐκπεσεῖν, οὐ τὸν τυχόντα ἐποίει θόρυβον. οὐδὲ γὰρ οὕτως αὐτὸν ἐκαλλώπιζεν ἡ πορφύρα, ὡς κατῄσχυνεν ἡ τῆς ἁμαρτίας ταύτης κηλίς. ἴστε δὲ πάντως ἡλίκον ἐστὶν ἁμαρτήματα ἐκπομπεύεσθαι, καὶ πῶς μεγάλης δεῖται ψυχῆς ὁ τοιοῦτος, ὥστε μετὰ τὴν τῶν πολλῶν κατηγορίαν, καὶ τὸ μάρτυρας ἔχειν τοσούτους τῶν οἰκείων πλημμελημάτων, μὴ ἀναπεσεῖν. ἀλλ' ὅμως ἅπαντα ὁ γενναῖος ἐκεῖνος τῆς ψυχῆς ἐξελκύσας τὰ βέλη, οὕτως ἔλαμψε μετὰ ταῦτα, οὕτως ἔσμηξε τὴν κηλῖδα, οὕτως ἐγένετο καθαρὸς, ὡς τῶν ἐκγόνων τῶν αὐτοῦ καὶ τελευτήσας τὰ ἁμαρτήματα παραμυθήσασθαι· καὶ ὅπερ ἐλέγετο περὶ τοῦ Ἀβραὰμ, καὶ περὶ τούτου φαίνεται ὁ Θεὸς λέγων, μᾶλλον δὲ πολλῷ πλείω περὶ τούτου. ἐπὶ μὲν γὰρ τοῦ πατριάρχου φησὶν, Ὅτι ἐμνήσθην τῆς διαθήκης τῆς πρὸς Ἀβραάμ· ἐνταῦθα δὲ οὐ τῆς διαθήκης φησὶν, ἀλλὰ πῶς; Διὰ Δαβὶδ τὸν δοῦλόν μου ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης. καὶ τὸν Σολομῶντα δὲ διὰ τὴν πρὸς ἐκεῖνον εὔνοιαν οὐκ ἀφῆκε τηλικαύτην ἁμαρτήσαντα ἁμαρτίαν τῆς βασιλείας ἐκπεσεῖν. καὶ τοσαύτη ἦν δόξα τοῦ ἀνδρὸς, ὡς τὸν Πέτρον μετὰ τοσαῦτα ἔτη δημηγοροῦντα πρὸς Ἰουδαίους λέγειν· Ἐξὸν εἰπεῖν μετὰ παρρησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαβὶδ, ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη. καὶ ὁ Χριστὸς δὲ τοῖς Ἰουδαίοις διαλεγόμενος, δείκνυσιν αὐτὸν μετὰ τὴν ἁμαρτίαν πνεύματος ἠξιωμένον τοσούτου, . ὡς καὶ περὶ τῆς θεότητος αὐτοῦ ἀξιωθῆναι προφητεῦσαι, καὶ πάλιν αὐτοὺς ἐντεῦθεν ἐπιστομίζων, ἔλεγε· Πῶς οὖν Δαβὶδ ἐν πνεύματι Κύριον αὐτὸν καλεῖ, λέγων, Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου; ὅπερ ἐπὶ τοῦ Μωϋσέως γέγονε, τοῦτο καὶ ἐπὶ τοῦ Δαβίδ. καθάπερ γὰρ τὴν Μαρίαν, καὶ ἄκοντος τοῦ Μωϋσέως, ἐκόλασεν ὁ Θεὸς διὰ τὴν εἰς τὸν ἀδελφὸν ὕβριν, ἐπειδὴ σφόδρα ἐφίλει τὸν ἅγιον· οὕτω καὶ τούτῳ παρὰ τοῦ παιδὸς ὑβρισθέντι ταχέως ἤμυνε, καὶ ταῦτα μὴ βουλομένῳ. ἱκανὰ μὲν οὖν καὶ ταῦτα, μᾶλλον δὲ καὶ πρὸ τῶν ἄλλων ταῦτα ἱκανὰ δεῖξαι τὴν ἀρετὴν τοῦ ἀνδρός. ὅταν γὰρ ὁ Θεὸς ψηφίζηται, οὐδὲν δεῖ πλέον περιεργάζεσθαι. εἰ δὲ βούλεσθε κατ' εἶδος αὐτοῦ τὴν φιλοσοφίαν μαθεῖν, ἔξεστιν ὑμῖν ἐπελθοῦσι τὴν ἱστορίαν τὴν μετὰ τὴν ἁμαρτίαν ἰδεῖν αὐτοῦ τὴν παρρησίαν τὴν πρὸς τὸν Θεὸν, τὴν εὔνοιαν, τὴν τῆς ἀρετῆς ἐπίδοσιν, τὴν εἰς ἐσχάτας ἀναπνοὰς ἀκρίβειαν. ταῦτ' οὖν ἔχοντες τὰ παραδείγματα, νήφωμεν καὶ σπουδάζωμεν μὴ καταπίπτειν· εἰ δέ ποτε καὶ πέσοιμεν, μὴ κεῖσθαι. οὐδὲ γὰρ ἵνα εἰς ῥαθυμίαν ὑμᾶς ἐμβάλω, τὰ τοῦ Δαβὶδ ἁμαρτήματα εἶπον· ἀλλ' ἵνα πλείονα φόβον ἐργάσωμαι. εἰ γὰρ ὁ δίκαιος ἐκεῖνος ῥαθυμήσας μικρὸν, τοιαῦτα ἐδέξατο τραύματα, τί πεισόμεθα ἡμεῖς ὀλιγωρήσαντες; μὴ τοίνυν ὅτι ἔπεσεν ἴδῃς, καὶ ῥαθυμήσῃς, ἀλλ' ἐννόησον πόσα καὶ μετὰ ταῦτα εἰργάσατο, πόσους θρήνους ἐπεδείξατο, πόσην μετάνοιαν, τὰς νύκτας ταῖς ἡμέραις προστιθεὶς, πηγὰς δακρύων ἀφιεὶς, τὴν κλίνην λούων τοῖς δάκρυσι τούτοις, σάκκον περιβαλλόμενος. εἰ δὲ ἐκεῖνος τοσαύτης ἐδεήθη τῆς ἐπιστροφῆς, πότε δυνησόμεθα σωθῆναι ἡμεῖς, μετὰ τοσαῦτα ἁμαρτήματα

Ἐξ. β. κδ.

Ἡσ. λζ. λε.

Πραξ. β. κθ.

Ματθ. κβ. μ μδ.

τήματα ἀναλγήτως διακείμενοι; ὁ μὲν γὰρ πολλὰ ἔχων κατορθώματα, ῥᾳδίως ἂν καὶ ἐντεῦθεν τὰ ἁμαρτήματα συσκιάσειεν· ὁ δὲ γυμνὸς, ὅπου ἂν δέξηται βέλος, καιρίαν δέχεται τὴν πληγήν. Ἵν' οὖν μὴ τοῦτο γένηται, ὁπλίσωμεν ἑαυτοὺς ἀγαθοῖς ἔργοις. Κἂν προσγένηταί τι πλημμέλημα, ἀπονιψώμεθα, ἵνα καταξιωθῶμεν, εἰς δόξαν Θεοῦ ζήσαντες τὸν παρόντα βίον, τῆς μελλούσης ἀπολαῦσαι ζωῆς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ιγ. ΕΝ ΤΑΙΣ ΚΑΛΑΝΔΑΙΣ, ΜΗ ΠΡΟΕΛΘΟΝΤΟΣ τοῦ ἐπισκόπου Ἀντιοχείας Φλαβιανοῦ· ἐλέχθη δὲ κατὰ τῶν παρατηρούντων τὰς νουμηνίας, καὶ κατὰ τὴν πόλιν χορείας τελούντων, καὶ εἰς τὸ ῥητὸν τοῦ ἀποστόλου τὸ, Πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε.

α. Κορ. ι. λα.

Καθάπερ χορὸς τὸν κορυφαῖον ἐπιζητεῖ, καὶ ναυτῶν πλήρωμα τὸν κυβερνήτην· οὕτω καὶ τῶν ἱερέων τούτων ὁ σύλλογος τὸν ἀρχιερέα καὶ κοινὸν ἐπιζητεῖ πατέρα τήμερον. Ἀλλ' ἐπὶ μὲν τοῦ χοροῦ καὶ τοῦ πλοίου, πολὺ καὶ τοῦ κόσμου καὶ τῆς ἀσφαλείας ἡ τῶν προεστώτων ἀπουσία παραβλάπτει πολλάκις· ἐνταῦθα δὲ οὐχ οὕτως. Εἰ γὰρ καὶ μὴ τῇ σαρκὶ πάρεστιν, ἀλλὰ τῷ πνεύματι πάρεστι, καὶ νῦν μεθ' ἡμῶν ἐστιν οἴκοι καθήμενος, ὥσπερ καὶ ἡμεῖς μετ' ἐκείνου ἑστῶτες ἐνταῦθα. Τοιαύτη γὰρ ἡ τῆς ἀγάπης δύναμις, τοὺς ἐκ πολλοῦ διαστήματος ὄντας συναγαγεῖν εἴωθε καὶ συνδεῖν. Τὸν γοῦν ἐν ἀλλοτρίᾳ διατρίβοντα, καὶ μακροῖς διειργόμενον ἡμῶν πελάγεσιν ἂν φιλῶμεν, καθ' ἑκάστην φανταζόμεθα τὴν ἡμέραν· ὥσπερ δὴ ὅταν πρός τινα ἀηδῶς ἔχωμεν, οὐδὲ ἐγγὺς ἑστῶτα πολλάκις βλέπειν δοκοῦμεν. Οὕτω παρούσης μὲν ἀγάπης οὐδὲν βλάβος ἐκ τοῦ κατὰ τὸν τόπον διαστήματος· ἀπούσης δὲ οὐδὲν ὄφελος ἐκ τῆς τῶν τόπων ἐγγύτητος. Πρώην γοῦν ἡμῶν ἐγκωμιαζόντων τὸν μακάριον Παῦλον, οὕτως ἐσκιρτήσατε, ὡς αὐτὸν ὁρῶντες παρόντα. Καίτοι τὸ μὲν σῶμα ἐν τῇ βασιλίδι κεῖται Ῥώμῃ, ἡ δὲ ψυχὴ ἐν ταῖς χερσὶ τοῦ Θεοῦ. [Δικαίων γὰρ ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος·] ἀλλ' ὅμως ἡ τῆς ἀγάπης δύναμις πρὸ τῶν ὀφθαλμῶν αὐτὸν ἔστησε τῶν ὑμετέρων. Καὶ ἐβουλόμην μὲν ἐμμεῖναι εἰς τὴν αὐτὴν ὑπόθεσιν καθεῖναι καὶ τήμερον, ἀλλὰ πρὸς ἕτερα κατεπείγοντα ἡμῖν ὁ λόγος ὥρμηται, τὰ σήμερον ὑπὸ τῆς πόλεως ἁπάσης ἁμαρτηθέντα. Τοὺς γὰρ ἀκούοντας τῶν ἐγκωμίων Παύλου, προθυμοτέρους τῆς ἀρετῆς τοῦ Παύλου ζηλωτὰς εἶναι χρὴ, ἢ οὐδὲ τῆς τοιαύτης ἀκροάσεως ἀξίους. Ἐπεὶ οὖν οὐ πάρεστιν ἡμῖν ὁ πατὴρ, φέρε, ταῖς εὐχαῖς ταῖς ἐκείνου θαῤῥήσαντες, τῆς πρὸς ὑμᾶς διδασκαλίας ἁψώμεθα. Καὶ γὰρ Μωϋσῆς οὐ παρὼν τῷ σώματι τοῖς πολεμοῦσιν, οὐδὲν ἔλαττον τῶν πολεμούντων, ἀλλὰ καὶ πολλῷ πλέον εἰς τὴν μάχην συνετέλεσεν ἐκείνων, τῇ τῶν χειρῶν ἐκτάσει τὰ πράγματα τῶν οἰκείων ἐπαίρων, καὶ φοβερὰ τοῖς ἐναντίοις ποιῶν. Ὥσπερ γὰρ ἡ τῆς ἀγάπης δύναμις οὐ διείργεται διαστήματι τόπου, οὕτως οὐδὲ ἡ τῆς εὐχῆς ἐνέργεια· ἀλλ' ὥσπερ ἐκείνη τοὺς ἀλλήλων ἀφεστῶτας συνδεῖ, οὕτω καὶ αὕτη τοὺς πόῤῥωθεν ὄντας τὰ μέγιστα ὠφελεῖν δύναται. Θαῤῥοῦντες τοίνυν ἐπὶ τὴν μάχην χωρῶμεν. Καὶ γὰρ καὶ ἡμῖν πόλεμος συνέστηκε νῦν, οὐκ Ἀμαληκιτῶν ἐπελθόντων, καθάπερ τότε, οὐδὲ ἑτέρων τινῶν βαρβάρων καταδραμόντων, ἀλλὰ δαιμόνων πομπευσάντων ἐπὶ τῆς ἀγορᾶς. Αἱ γὰρ διαβολικαὶ παννυχίδες αἱ γινόμεναι σήμερον, καὶ τὰ σκώμματα, καὶ αἱ λοιδορίαι, καὶ αἱ χορεῖαι αἱ νυκτεριναὶ, καὶ ἡ καταγέλαστος αὕτη κωμῳδία, παντὸς πολεμίου χαλεπώτερον τὴν πόλιν ἡμῖν ἐξηχμαλώτισαν. Καὶ δέον ἐπὶ τούτοις κατεστάλθαι, πενθεῖν,

Σοφ. γ. α.

καταδύεσθαι δὲ τοὺς ἡμαρτηκότας, καὶ τοὺς οὐχ ἡμαρτηκότας· τοὺς μὲν, ὑφ' ὧν ἐπλημμέλησαν, τοὺς δὲ ὑφ' ὧν τοὺς ἀδελφοὺς εἶδον "ἀσχημονήσαντας. περιχαρὴς ἡμῖν ἡ πόλις γέγονε" καὶ φαιδρὰ, καὶ ἐστεφάνωτο. καὶ καθάπερ γυνὴ φιλόκοσμος καὶ πολυτελὴς, οὕτως ἡ ἀγορὰ φιλοτίμως ἐκαλλωπίσατο σήμερον, χρυσία περιθεμένη, καὶ ἱμάτια πολυτελῆ, καὶ ὑποδήματα, καὶ ἕτερα τοιαῦτα, τῶν ἐν τοῖς ἐργαστηρίοις ἑκάστου τῇ τῶν οἰκείων ἔργων ἐπιδείξει τὸν ὁμότεχνον παραδραμεῖν φιλονεικοῦντος. ἀλλ' αὕτη μὲν ἡ φιλοτιμία εἰ καὶ παιδικῆς ἐστι διανοίας, καὶ ψυχῆς οὐδὲν μέγα οὐδὲ ὑψηλὸν φανταζομένης, ἀλλ' ὅμως οὐ τοσαύτην ἐπιφέρεται βλάβην· ἀλλ' ἀνόητός τις ἐστὶ μόνον σπουδὴ γέλωτα καταχέουσα τῶν περὶ ταῦτα ἐσπουδακότων. εἰ γὰρ καλλωπίζειν βούλει, μὴ τὸ ἐργαστήριον, ἀλλὰ τὴν σαυτοῦ ψυχήν· μὴ τὴν ἀγορὰν, ἀλλὰ τὴν διάνοιαν· ἵνα ἄγγελοι θαυμάσωσι, καὶ ἀρχάγγελοι τὸ γινόμενον ἀποδέξωνται, καὶ ὁ τῶν ἀγγέλων δεσπότης ἀμείψηταί σε ταῖς παρ' ἑαυτοῦ δωρεαῖς. ὡς αὕτη γε ἡ ἐπίδειξις ἡ νῦν γινομένη, καὶ γέλωτα καὶ βασκανίαν φέρει· παρὰ μὲν τῶν ὑψηλοτέρων τὴν διάνοιαν, γέλωτα, παρὰ δὲ τῶν τὰ αὐτὰ νοσούντων, βασκανίας καὶ φθόνον πολύν. ἀλλ', ὅπερ ἔφην, οὐ τοσούτων ἐγκλημάτων ἀξία αὕτη ἡ φιλοτιμία· οἱ δὲ ἐν τοῖς καπηλείοις ἀγῶνες γινόμενοι τήμερον, οὗτοί "με μάλιστα ὀδυνῶσι, καὶ ἀσεβείας καὶ ἀσωτίας ἐμπεπλησμένοι πολλῆς· ἀσεβείας μὲν, ὅτι παρατηροῦσιν ἡμέρας οἱ ταῦτα ποιοῦντες, καὶ οἰωνίζονται, καὶ νομίζουσιν, εἰ τὴν νουμηνίαν τοῦ μηνὸς τούτου μεθ' ἡδονῆς καὶ εὐφροσύνης ἐπιτελέσαιεν, καὶ τὸν ἅπαντα τοιοῦτον ἕξειν ἐνιαυτόν· ἀσωτίας δὲ, ὅτι ὑπὸ τὴν ἕω γυναῖκες καὶ ἄνδρες φιάλας καὶ ποτήρια πληρώσαντες, μετὰ πολλῆς τῆς ἀσωτίας τὸν ἄκρατον "σπῶσι. ταῦτα ἀνάξια τῆς "ἡμετέρας φιλοσοφίας, κἂν ὑμεῖς [μὴ] πίνητε, κἂν ἑτέρους ποιοῦντας περιίδητε, κἂν οἰκέτας, κἂν φίλους, κἂν γείτονας. οὐκ ἤκουσας Παύλου λέγοντος; Ἡμέρας παρατηρεῖσθε, καὶ μῆνας, καὶ καιροὺς, καὶ ἐνιαυτούς. φοβοῦμαι, μήπως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς. ἄλλως δὲ, καὶ τῆς ἐσχάτης ἀνοίας ἂν εἴη, ἀπὸ τῆς μιᾶς ἡμέρας, εἰ δεξιὰ γένοιτο, καὶ τοῦ παντὸς τοῦτο προσδοκᾷν ἐνιαυτοῦ· οὐκ ἀνοίας δὲ μόνον, ἀλλὰ καὶ διαβολικῆς ἐνεργείας ἡ κρίσις αὕτη μὴ τῇ οἰκείᾳ σπουδῇ καὶ προθυμίᾳ, ἀλλὰ ταῖς τῶν ἡμερῶν περιόδοις τὰ κατὰ τὸν βίον ἐπιτρέπειν τὸν ἡμέτερον. δεξιὸς ὁ ἐνιαυτὸς ἔσται σοι δι' ὅλου, οὐκ ἐὰν ἐν νουμηνίᾳ μεθύῃς, ἀλλ' ἐὰν καὶ ἐν νουμηνίᾳ, καὶ καθ' ἑκάστην ἡμέραν τὰ τῷ Θεῷ δοκοῦντα ποιῇς. πονηρὰ γὰρ ἡμέρα καὶ ἀγαθὴ γίνεται, οὐ παρὰ τὴν οἰκείαν φύσιν (οὐδὲν γὰρ ἡμέρα διενήνοχεν ἡμέρας) ἀλλὰ παρὰ τὴν ἡμετέραν σπουδὴν καὶ ῥᾳθυμίαν. ἂν δικαιοσύνην ἐργάσῃ, χρηστή σοι γέγονεν ἡ ἡμέρα· ἂν ἁμαρτίαν ἐργάσῃ, πονηρὰ καὶ κολάσεως γέμουσα. ἂν ταῦτα φιλοσοφῇς, καὶ οὕτω διακείμενος ᾖς, ἅπαντα δεξιὸν ἕξεις τὸν ἐνιαυτὸν, εὐχὰς, ἐλεημοσύνας καθ' ἑκάστην ἐργαζόμενος τὴν ἡμέραν· ἂν δὲ τῆς κατὰ σαυτὸν ἀρετῆς ἀμελῇς, ἀρχαῖς δὲ μηνῶν, καὶ ἀριθμοῖς ἡμερῶν ἐμπιστεύσῃς σὺ τῆς ψυχῆς τὴν εὐφροσύνην, πάντων ἔρημος ἔσῃ τῶν* ἀγαθῶν. ὅπερ οὖν καὶ ὁ διάβολος "συνιδὼν, καὶ σπουδάζων "ἡμῖν ἐκλῦσαι τοὺς περὶ τὴν ἀρετὴν πόνους, καὶ τῆς ψυχῆς σβέσαι τὴν προθυμίαν, ταῖς ἡμέραις ἐπιγράφειν ἐπαίδευσε τὰς εὐπραγίας καὶ τὰς κακοπραγίας. ὁ γὰρ πείσας ἑαυτὸν, ὅτι ἡμέρα ἐστὶ κακὴ καὶ ἀγαθὴ, οὔτε ἐν τῇ κακῇ τῶν ἀγαθῶν ἔργων ἐπιμελήσεται, ὡς εἰκῇ πάντα ποιῶν, καὶ οὐδὲν ὠφελῶν διὰ τὴν τῆς ἡμέρας ἀνάγκην, οὔτε ἐν τῇ ἀγαθῇ πάλιν τοῦτο ἐργάσεται, ὡς οὐδὲν ἐκ τῆς οἰκείας παραβλαπτόμενος ῥᾳθυμίας διὰ τὴν τῆς ἡμέρας εὐκληρίαν πάλιν, καὶ οὕτως ἑκατέρωθεν τὴν ἑαυτοῦ προδώσει σωτηρίαν, καὶ ποτὲ μὲν ὡς ἀνόνητα ποιῶν, ποτὲ δὲ ὡς περιττὰ, ἐν ἀργίᾳ καὶ πονηρίᾳ βιώσεται.

Ὅπερ οὖν εἰδότας φεύγειν δεῖ τοῦ διαβόλου τὰς μεθοδείας, καὶ ταύτην "ἐκβάλλειν τῆς διανοίας τὴν ψῆφον, καὶ μὴ παρατηρεῖν ἡμέρας, μηδὲ τὴν μὲν μισεῖν, τὴν δὲ φιλεῖν. οὐ γὰρ ἵνα ἡμᾶς εἰς ῥᾳθυμίαν ἐμβάλῃ μόνον, ἀλλ' ἵνα καὶ τὰ δημιουργήματα τοῦ Θεοῦ διαβάλῃ,

Γαλ. δ. ι.

γρ. ἀσχημονοῦντας,
γρ. καὶ φαιδρὰ κατεστεφανώσατο.
γρ. μὲν
γρ. πίνουσι
γρ. ὑμετέρας
* κατὰ σαυτὸν
γρ. συνιδὼν,
γρ. ἡμῶν
γρ. ἐκβαλεῖν

λη, ταῦτα ὁ πονηρὸς ἐκεῖνος ὑπαιωρεῖ δαίμων, καὶ εἰς ἀσέβειαν ὁμοῦ καὶ εἰς ῥαθυμίαν τὰς ἡμετέρας καθελκύσαι βουλόμενος ψυχάς. ἀλλ' ἡμᾶς ἀποστρέφεσθαι χρὴ, καὶ σαφῶς εἰδέναι, ὅτι οὐδὲν κακὸν, ἀλλ' ἢ ἁμαρτία μόνον, καὶ οὐδὲν ἀγαθὸν, ἀλλ' ἢ ἀρετὴ μόνον, καὶ τὸ διὰ πάντων ἀρέσκειν Θεῷ. οὐ ποιεῖ μέθη εὐφροσύνην, ἀλλ' ἀθυμίαν· οὐχ ὁ οἶνος, ἀλλ' ὁ λόγος διδασκαλικός. ὁ οἶνος χειμῶνα, ὁ δὲ λόγος γαλήνην ἐργάζεται· ἐκεῖνος θόρυβον ἐπεισάγει, οὗτος ταραχὴν ἐκβάλλει· ἐκεῖνος σκοτοῖ τὴν διάνοιαν, οὗτος ἐσκοτισμένην φωτίζει· ἐκεῖνος ἀθυμίας τὰς οὐκ οὔσας ἐπιβάλλει, οὗτος καὶ τὰς οὔσας ἀπελαύνει. οὐδὲν γὰρ οὕτως εὐθυμίαν καὶ εὐφροσύνην ποιεῖν εἴωθεν, ὡς τὰ περὶ φιλοσοφίας δόγματα, τὸ τῶν παρόντων ὑπερορᾷν πραγμάτων, τὸ πρὸς τὰ μέλλοντα κεχηνέναι, τὸ μηδὲν τῶν ἀνθρωπίνων βέβαιον εἶναι νομίζειν, μὴ πλοῦτον, μὴ δυναστείαν, μὴ τιμὰς, μὴ θεραπείας. ἂν ταῦτα εἰδῇς φιλοσοφεῖν, κἂν πλουτοῦντα ἴδῃς τινὰ, οὐ δηχθήσῃ τῷ φθόνῳ· κἂν εἰς πενίαν καταπέσῃς, οὐ ταπεινωθήσῃ τῇ πτωχείᾳ· οὕτω διαπαντὸς ἑορτάζειν δυνήσῃ. τὸν γὰρ χριστιανὸν, οὐχὶ μῆνας, οὐδὲ νουμηνίας, οὐδὲ κυριακὰς ἑορτάζειν χρὴ, ἀλλὰ διὰ παντὸς τοῦ βίου τὴν αὐτῷ πρέπουσαν ἑορτὴν ἄγειν. τίς δὲ αὐτῷ πρέπουσα ἑορτή; ἀκούσωμεν Παύλου λέγοντος· Ὥστε ἑορτάζωμεν μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας. α. Κορ. ε. η. ἂν τοίνυν καθαρὸν ἔχῃς τὸ συνειδὸς, ἑορτὴν ἔχεις διαπαντὸς, χρησταῖς συντρεφόμενος ἐλπίσι, καὶ ἐντρυφῶν τῇ τῶν μελλόντων ἀγαθῶν προσδοκίᾳ· ὥσπερ οὖν ἂν ἀπαρρησίαστον ἔχῃς, καὶ ἁμαρτημάτων πολλῶν ὑπεύθυνος ᾖς, κἂν μυρίαι ὦσιν ἑορταὶ, καὶ πανηγύρεις, τῶν πενθούντων οὐδὲν ἄμεινον διακείσῃ. τί γὰρ ὄφελός μοι λαμπρᾶς ἡμέρας, τῆς ψυχῆς ἐσκοτισμένης μοι τῷ συνειδότι; εἰ δ' ἄρα τι καὶ καρπώσασθαι ἀπὸ νουμηνίας βούλει, ἐκεῖνο ποίησον. ὅταν ἴδῃς ἐνιαυτὸν πληρωθέντα, εὐχαρίστησον τῷ δεσπότῃ, ὅτι σε εἰσήγαγεν εἰς τὴν περίοδον ταύτην τῶν ἐνιαυτῶν, κατάνυξόν σου τὴν καρδίαν, ἀνάμνησόν σου τὸν χρόνον τῆς ζωῆς, εἰπὲ πρὸς ἑαυτόν· αἱ ἡμέραι τρέχουσι καὶ παρέρχονται, τὰ ἐνιαυτοὶ πληροῦνται, πολὺ τῆς ὁδοῦ προεκόψαμεν· ἆρα τί ἡμῖν εἴργασται καλόν; ἆρα μὴ κενοὶ καὶ ἔρημοι δικαιοσύνης ἁπάσης ἐντεῦθεν ἀπελευσόμεθα; τὸ δικαστήριον ἐπὶ θύραις, πρὸς γῆρας ἡμῖν ἐπείγεται λοιπὸν ἡ ζωή. ταῦτα ἀπὸ νουμηνίας φιλοσόφει, ταῦτα ἀπὸ τῆς περιόδου τῶν ἐνιαυτῶν ἀναμιμνήσκου. τῆς μελλούσης ἡμέρας ἀναλογιζώμεθα, μή ποτε καὶ πρὸς ἡμᾶς εἴπῃ τις ἐκεῖνο τὸ πρὸς τοὺς Ἰουδαίους εἰρημένον τῷ προφήτῃ· ὅτι ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν, καὶ τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς. Ψαλμ. οζ. λγ. ταύτην τὴν ἑορτὴν, ἣν εἶπον ἐγὼ, τὴν διηνεκῆ, καὶ περιόδους ἐτῶν οὐκ ἀναμένουσαν, οὐδὲ περιγεγραμμένην ἡμέραις, καὶ πλούσιος καὶ πένης ὁμοίως ἄγειν δυνήσεται. οὐ γὰρ χρημάτων ἐνταῦθα χρεία, οὐδὲ εὐπορίας, ἀλλ' ἀρετῆς μόνης. οὐκ ἔχεις χρήματα; ἀλλ' ἔχεις τοῦ Θεοῦ τὸν φόβον, πάντων χρημάτων εὐπορώτερον θησαυρὸν, οὐκ ἀναλισκόμενον, οὐ μεταβαλλόμενον, οὐ δαπανώμενον. ἴδε εἰς τὸν οὐρανὸν, καὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ, τὴν γῆν, τὴν θάλασσαν, τὸν ἀέρα, τὰ γένη τῶν ζώων, τὰ παντοδαπὰ φυτὰ, τὴν φύσιν τῶν ἀνθρώπων ἅπασαν· ἐννόησον ἀγγέλους, ἀρχαγγέλους, τὰς ἄνω δυνάμεις, ἀναμνήσθητι ὅτι ταῦτα πάντα τοῦ δεσπότου σοῦ ἐστι κτήματα. οὐκ ἔστι δὲ οὕτως εὔπορον δεσπότου δοῦλον, πένητα εἶναι, ἐὰν ἵλεω τὸν ἑαυτοῦ κύριον ἔχῃ. τὸ παρατηρεῖν ἡμέρας, οὐ χριστιανικῆς φιλοσοφίας, ἀλλ' ἑλληνικῆς πλάνης ἐστίν. εἰς τὴν ἄνω πόλιν ἀπεγράψω, εἰς τὴν ἐκεῖ πολιτείαν τελεῖς, ἀγγέλοις σεαυτὸν ἀνέμιξας· οὐκ ἔστι φῶς εἰς σκότος λῆγον, οὐδὲ ἡμέρα εἰς νύκτα τελευτῶσα, ἀλλὰ διαπαντὸς ἡμέρα, διαπαντὸς φῶς. πρὸς ἐκεῖνα τοίνυν βλέπωμεν διαπαντός. Τὰ ἄνω γὰρ, φησὶ, ζητεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος. Κολ. γ α. οὐδὲν ἔχεις κοινὸν πρὸς τὴν γῆν, ἔνθα ἡλίου δρόμοι, καὶ περίοδοι, καὶ ἡμέραι· ἀλλ' ἐὰν ὀρθῶς ζῇς, ἡ νὺξ ἡμέρα σοι γίνεται· ὥσπερ οὖν τοῖς ἐν ἀσελγείᾳ καὶ μέθῃ καὶ ἀκολασίᾳ βιοῦσιν ἡ ἡμέρα αὕτη πρὸς τὸ τῆς νυκτὸς μεταφέρεται σκότος.

σκότος, οὐ τοῦ ἡλίου σβεννυμένου, ἀλλὰ τῆς ἐκείνων διανοίας σκοτιζομένης τῇ μέθῃ. τὸ δὲ πρὸς ἡμέρας ἐπισπᾶσθαι τοιαύτας, καὶ πλείονα ἐν αὐταῖς δέχεσθαι ἡδονήν, καὶ λύχνους ἅπτειν ἐπὶ τῆς ἀγορᾶς, καὶ στεφανώματα πλέκειν, παιδικῆς ἀνοίας ἐστί. σὺ δὲ ταύτης ἀπάλλαξαι τῆς ἀσθενείας, καὶ εἰς ἄνδρας τέλεσον, καὶ εἰς τὴν τῶν οὐρανῶν ἐνεγράφης πολιτείαν. μὴ τοίνυν ἐπὶ τῆς ἀγορᾶς ἀνακαύσῃς πῦρ αἰσθητόν, ἀλλ᾽ ἐπὶ τῆς διανοίας ἄναψον φῶς πνευματικόν. Matth. 5. Λαμψάτω γὰρ τὸ φῶς ὑμῶν, φησίν, ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. τοῦτο τὸ φῶς πολλήν σοι φέρει τὴν ἀμοιβήν. μὴ τὴν θύραν τῆς οἰκίας στεφανώσῃς, ἀλλὰ τοιαύτην ἐπίδειξαι πολιτείαν, ὥστε τὸν τῆς δικαιοσύνης στέφανον τῇ σῇ κεφαλῇ παρὰ τῆς τοῦ Χριστοῦ δέξασθαι χειρός. μηδὲν εἰκῇ, μηδὲ ἁπλῶς γινέσθω. οὕτω Παῦλος ἐπέταξε πάντα εἰς δόξαν Θεοῦ ποιεῖν. α. Κορ. ι. λα. Εἴτε γὰρ ἐσθίετε, φησίν, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε. καὶ πῶς ἐστί, φησί, φαγεῖν καὶ πιεῖν εἰς δόξαν Θεοῦ; κάλεσον πένητα, κοινωνὸν ποίησον τῆς τραπέζης τὸν Χριστόν, καὶ εἰς δόξαν Θεοῦ ἔφαγες καὶ ἔπιες. ἀλλ᾽ οὐ τοῦτο μόνον ἐπέταξεν εἰς δόξαν Θεοῦ ποιεῖν, ἀλλὰ καὶ τὰ λοιπὰ ἅπαντα, οἷόν ἐστιν ἐμβαλεῖν εἰς τὴν ἀγορὰν καὶ οἴκοι μεῖναι. ἀμφότερα *διὰ τὸν Θεὸν γινέσθω. καὶ πῶς ἐστιν ἀμφότερα ταῦτα γίνεσθαι διὰ τὸν Θεόν; ὅταν εἰς ἐκκλησίαν βαδίσῃς, ὅταν εὐχῆς μετέχῃς, ὅταν διδασκαλίας πνευματικῆς, ἡ πρόοδος εἰς δόξαν Θεοῦ γέγονε. πάλιν ἐστὶν οἴκοι διὰ τὸν Θεὸν μεῖναι. πῶς, καὶ τίνι τρόπῳ; ὅταν ἀκούσῃς θορύβους, ἀταξίας, πομπὰς διαβολικάς, πονηρῶν ἀνθρώπων καὶ ἀκολάστων τὴν ἀγορὰν πεπληρωμένην, οἴκοι μένε, καὶ τῆς ταραχῆς ἀπαλλάττου ταύτης, καὶ ἔμεινας εἰς δόξαν Θεοῦ. ὥσπερ δὲ τὰς οἴκοι διατριβὰς καὶ τὰς ἐξόδους ἔξεστι ποιεῖσθαι διὰ τὸν Θεόν, οὕτω καὶ ἐπαίνους καὶ ψόγους. καὶ πῶς ἐστιν εἰς δόξαν Θεοῦ τινα ἐπαινέσαι, φησί, καὶ αἰτιάσασθαι; καθέζεσθε πολλάκις ἐν τοῖς ἐργαστηρίοις, ὁρᾶτε παριόντας ἀνθρώπους πονηροὺς καὶ φαύλους, τὰς ὀφρῦς ἀνασπῶντας, πεφυσημένους, παρασίτους καὶ κόλακας πολλοὺς ἐπισυρομένους, πολυτελῆ φοροῦντας ἱμάτια, πολλὴν περιβεβλημένους τὴν φαντασίαν, τὰ πάντων ἁρπάζοντας, πλεονεκτοῦντας. ἂν ἀκούσῃς τινὸς λέγοντος, οὐχὶ ζηλωτὸς οὗτος; οὐχὶ μακάριος; ἐπιτίμησον, ἐγκάλεσον, ἐπιστόμισον, ταλάνισον, δάκρυσον. τοῦτο ἐστὶ ψέξαι διὰ τὸν Θεόν. ὁ ψόγος διδασκαλία γίνεται τοῖς συγκαθημένοις φιλοσοφίας καὶ ἀρετῆς ὁ τοιοῦτος, μηκέτι περὶ τὰ βιωτικὰ κεχηνέναι. εἰπὲ πρὸς τὸν ταῦτα εἰρηκότα, διατί μακάριός ἐστιν; ἐπειδὴ θαυμαστὸν ἵππον ἔχει καὶ χρυσοχάλινον; ἢ ἐπειδὴ πολλοὺς οἰκέτας κέκτηται, καὶ φαιδρὰν περιβέβληται στολήν, καὶ μέθῃ καὶ τρυφῇ διαρρήγνυται καθ᾽ ἑκάστην ἡμέραν; ἀλλὰ διὰ τοῦτο ἄθλιός ἐστι καὶ ταλαίπωρος, καὶ μυρίων δακρύων ἄξιος. ὁρῶν γοῦν ὑμᾶς οὐδὲν δυναμένους ἐπαινέσαι τῶν αὐτοῦ, ἀλλὰ τὰ ἐκτὸς αὐτοῦ πάντα, τὸν ἵππον, τὸν χαλινόν, τὰ ἱμάτια, ὧν οὐδέν ἐστι πρὸς αὐτόν. τί γένοιτ᾽ ἂν οὕτως ἀθλιώτερον, εἰπέ μοι, τούτου, ὅταν ὁ μὲν ἵππος αὐτοῦ, καὶ ὁ χαλινὸς τοῦ ἵππου, καὶ τῶν ἱματίων τὸ κάλλος, καὶ ἡ σωματικὴ τῶν οἰκετῶν εὐεξία θαυμάζηται, αὐτὸς δὲ ἀνεγκωμίαστος παρατρέχῃ; τί τοίνυν γένοιτ᾽ ἂν τούτου πενέστερον, τοῦ μηδὲν ἔχοντος καλὸν οἰκεῖον, μηδὲ ὃ δυνήσεται ἐντεῦθεν ἀπενεγκεῖν, ἀλλὰ τοῖς ἀλλοτρίοις καλλωπιζομένου πᾶσιν; οἰκεῖος γὰρ ἡμῶν κόσμος καὶ πλοῦτος, οὐκ οἰκέται, καὶ ἱμάτια, καὶ ἵπποι, ἀλλὰ ψυχῆς ἀρετή, καὶ πλοῦτος ἀγαθῶν ἔργων, καὶ ἡ πρὸς *Θεὸν παρρησία. πάλιν ἂν ἴδῃς ἕτερον πτωχόν, ἀπερριμμένον, καταφρονούμενον, ἀρετῇ συζῶντα, καὶ ταλανιζόμενον παρὰ τῶν συγκαθημένων, ἐπαίνεσον τοῦτον· καὶ γέγονεν ὁ ἔπαινος τοῦ παρελθόντος, παραίνεσις καὶ συμβουλὴ χρηστῆς καὶ ἀγαθῆς πολιτείας. κἂν λέγωσιν, ἄθλιος καὶ ταλαίπωρος, εἰπέ, ὅτι πάντων μὲν οὗτος μακαριώτατος, τὸν Θεὸν ἔχων φίλον, ἀρετῇ συζῶν, πλοῦτον κεκτημένος οὐδέποτε ἐπιλείποντα, συνειδὸς ἔχων καθαρόν. τί γὰρ αὐτῷ βλάβος ἐκ τῆς ἐνδείας τῶν ἐν τῇ γῇ χρημάτων, ὅταν τὸν οὐρανὸν καὶ τὰ ἐν τῷ οὐρανῷ

μέλλῃ

* πάντα

γρ. ἐσὶ δια

γρ. περισυ μένους

γρ. χρυσοῦ χαλινο

γρ. αὐτὸ

μέλλῃ κληρονομεῖν ἀγαθά; ἂν οὕτω καὶ αὐτὸς φιλοσοφῇς, καὶ αὐτὸς καὶ ἄλλους παιδεύσῃς, πολὺν λήψῃ καὶ τοῦ πόνου καὶ τῶν ἐπαίνων τὸν μισθὸν, ἀμφότερα εἰς δόξαν Θεοῦ ποιήσας. καὶ ὅτι οὐ μάτην σε ψυχαγωγῶ ταῦτα λέγων, ἀλλὰ μεγάλη τις τοῖς οὕτω τῇ γνώμῃ διακειμένοις κεῖται παρὰ τοῦ Θεοῦ τῶν ὅλων ἀμοιβὴ, καὶ ἀρετή τις τὸ πρᾶγμα νενόμισται, τὸ τὰ τοιαῦτα ψηφίζεσθαι περὶ τῶν οὕτω ζώντων, ἄκουσον τί φησιν ὁ προφήτης, καὶ πῶς ἐν τάξει κατορθωμάτων τίθησι, τὸ τοὺς πονηρευομένους ἐξουθενεῖν, καὶ τοὺς φοβουμένους τὸν Θεὸν δοξάζειν. μετὰ γὰρ τὸ καταλέξαι τὴν ἄλλην ἀρετὴν τοῦ μέλλοντος παρὰ τοῦ Θεοῦ τιμᾶσθαι, καὶ εἰπεῖν οἷόν τινα εἶναι χρὴ τὸν ἐν τῷ ἁγίῳ κατοικοῦντα σκηνώματι, ὅτι ἄμωμον καὶ ἐργαζόμενον δικαιοσύνην, καὶ ἀπόνηρον, καὶ τοῦτο προσέθηκεν. Εἰπὼν γὰρ, Ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ, καὶ οὐκ ἐποίησε τῷ πλησίον αὐτοῦ κακὸν, ἐπήγαγεν· Ἐξουθένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος, τοὺς δὲ φοβουμένους τὸν Κύριον δοξάζει· δεικνὺς ὅτι καὶ τοῦτο ἕν τι τῶν κατορθωμάτων ἐστὶ, τὸ καταφρονεῖν τῶν πονηρῶν, καὶ ἐπαινεῖν καὶ μακαρίζειν τοὺς ἀγαθούς. καὶ πάλιν ἀλλαχοῦ τὸ αὐτὸ τοῦτο δηλῶν, ἔλεγεν· Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου ὁ Θεὸς, λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν. ὃν ὁ Θεὸς ἐπαινεῖ, μὴ μέμψῃ· ἐπαινεῖ δὲ τὸν ἐν δικαιοσύνῃ ζῶντα, κἂν πτωχὸς ᾖ. ὃν ὁ Θεὸς ἀποστρέφεται, μὴ ἐπαινέσῃς· ἀποστρέφεται δὲ τὸν ἐν πονηρίᾳ ζῶντα, κἂν πολὺν ᾖ περιβεβλημένος πλοῦτον. ἀλλ' ἄν τε ἐπαινῇς, ἄν τε ψέγῃς, ἀμφότερα, ὡς ὁ Θεὸς βούλεται, ποίει. ἔστι καὶ ἐγκαλέσαι εἰς δόξαν Θεοῦ, [καὶ θεραπεῦσαι εἰς δόξαν Θεοῦ]. πῶς; ἐπὶ τῶν οἰκετῶν ἁμαρτάνομεν πολλάκις. πῶς οὖν ἐστιν ἐγκαλέσαι διὰ τὸν Θεόν; ἂν μεθύοντα ἴδῃς, ἂν κλέπτοντα ἢ τὸν οἰκέτην, ἢ τὸν φίλον, ἢ ἕτερόν τινα τῶν σοι προσηκόντων, ἂν εἰς θέατρα τρέχοντα, ἂν τῆς ψυχῆς ἀμελοῦντα τῆς ἑαυτοῦ, ἂν ὀμνύοντα, ἂν ἐπιορκοῦντα, ἂν ψευδόμενον· ἀγανάκτησον, κόλασον, ἐπίστρεψον, διόρθωσαι, καὶ ταῦτα πάντα ἐποίησας διὰ τὸν Θεόν. ἂν εἰς σὲ ἁμαρτάνοντα ἴδῃς, καί τι τῆς εἰς σὲ θεραπείας ἐλλείποντα, σύγγνωθι· καὶ συνέγνως διὰ τὸν Θεόν. νυνὶ δὲ πολλοὶ τοὐναντίον ποιοῦσι καὶ ἐπὶ τῶν φίλων, καὶ ἐπὶ τῶν οἰκετῶν. ὅταν μὲν γὰρ εἰς αὐτοὺς ἁμαρτάνωσι, πικροὶ καὶ ἀσύγγνωστοι γίνονται δικασταί· ὅταν δὲ εἰς τὸν Θεὸν ἐνυβρίζωσι, καὶ τὰς ἑαυτῶν ἀπολλῶσι ψυχὰς, οὐδένα ποιοῦνται λόγον. πάλιν φίλους ποιῆσαι χρή; διὰ τὸν Θεὸν ποίησον. ἐχθροὺς ποιῆσαι χρή; διὰ τὸν Θεὸν ποίησον. καὶ πῶς ἐστι φίλους ποιῆσαι διὰ τὸν Θεὸν, καὶ ἐχθρούς; ἂν μὴ τὰς φιλίας ἐκείνας ἐφελκώμεθα, ὅθεν ἐστὶ χρήματα λαβεῖν, ὅθεν κοινωνῆσαι τραπέζης, ὅθεν προστασίας ἀνθρωπίνης τυχεῖν, ἀλλ' ἐκείνους θηρευώμεθα καὶ ποιώμεθα φίλους, τοὺς δυναμένους ἡμῶν ἀεὶ ῥυθμίσαι τὴν ψυχὴν, συμβουλεῦσαι τὰ δέοντα, ἁμαρτάνουσιν ἐπιτιμῆσαι, πλημμελοῦντας ἐλέγξαι, ὑποσκελιζομένους ἀνορθῶσαι, καὶ συμβουλῇ καὶ εὐχαῖς βοηθοῦντας προσαγαγεῖν τῷ Θεῷ. πάλιν ἐχθροὺς ἔξεστι ποιῆσαι διὰ τὸν Θεόν. ἐὰν ἴδῃς τινὰ ἀκόλαστον, μιαρὸν, πονηρίας γέμοντα, δογμάτων ἀκαθάρτων πεπληρωμένον, ὑποσκελίζοντά σε καὶ παραβλάπτοντά σε, ἀπόστηθι, καὶ ἀποπήδησον, καθάπερ καὶ ὁ Χριστὸς ἐκέλευσεν, εἰπών, Ἐὰν ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζῃ σε, ἔξελε αὐτὸν, καὶ βάλε ἀπὸ σοῦ· κελεύων τοὺς φίλους ἐκείνους τοὺς ἐν ὀφθαλμῶν τάξει ποθεινοὺς ὄντας, καὶ ἀναγκαίους ἐν τοῖς βιωτικοῖς πράγμασιν ἀποκόπτειν καὶ ἐκβάλλειν, ἂν παραβλάπτωσιν εἰς τὴν τῆς ψυχῆς σωτηρίαν ἡμᾶς. ἂν συλλόγων κοινωνῇς, καὶ λόγον ἀποτείνῃς μακρὸν, διὰ τὸν Θεὸν καὶ τοῦτο ποίησον· κἂν σιγᾷς, διὰ τὸν Θεὸν σίγησον. καὶ πῶς ἐστι συλλόγου κοινωνεῖν διὰ τὸν Θεόν; ἂν συγκαθήμενός τισι, μηδὲν περὶ βιωτικῶν διαλέγῃ πραγμάτων, μηδὲ τῶν ἁπλῶς καὶ εἰκῆ, καὶ οὐδὲν ἡμῖν προσηκόντων, ἀλλὰ περὶ φιλοσοφίας τῆς ἡμετέρας, περὶ γεέννης, περὶ βασιλείας οὐρανῶν· ἀλλὰ μὴ τὰ περιττὰ καὶ ἀνόητα· οἷον, τίς ἀρχῆς ἐπέβη; τίς παρελύθη τῆς ἀρχῆς; τίνος ἕνεκεν ὁ δεῖνα ἐζημιώθη; πόθεν ὁ δεῖνα ἐκέρδανε καὶ εὐπορώτερος γέγονε; τί κατέλιπεν ὁ δεῖνα τῷ δεῖνι τελευτῶν; πῶς δὲ ὁ δεῖνα ἀπέτυχεν, εἰς τοὺς πρώτους

τὴν

Ψαλ. ιδ. ε.

Ψαλ. ρλη. ιζ.

Ματθ. ε. κθ.

τὴν κληρονομίαν ἐξεραφήσεσθαι προσδικήσας; καὶ πολλὰ ἕτερα τοιαῦτα. μηδὲ τὰ τοιαῦτα διαλεγώμεθα, μηδὲ ἑτέρων λεγόντων ἀνεχώμεθα, ἀλλὰ σκοπῶμεν, τί ποιοῦντες ἢ τί λέγοντες ἔστιν ἀρέσαι Θεῷ. πάλιν ἐὰν ᾖ σιγῆσαι διὰ τὸν Θεόν· ὑβριζόμενος, λοιδορούμενος, μυρία πάσχων κακὰ, ἂν φέρῃς γενναίως, καὶ μηδὲν ῥῆμα βλάσφημον ἐξενέγκῃς εἰς τὸν ταῦτα ποιοῦντα.

Οὐκ ἐπαινέσαι δὲ καὶ ψέξαι μόνον, οὐδὲ ἔνδον μεῖναι καὶ ἐξελθεῖν, οὐδὲ φθέγξασθαι καὶ σιγῆσαι, ἀλλὰ καὶ κλαῦσαι καὶ λυπηθῆναι, καὶ ἡσθῆναι καὶ εὐφρανθῆναί ἐστιν εἰς δόξαν Θεοῦ. ὅταν γὰρ ἴδῃς ἢ ἀδελφὸν ἁμαρτάνοντα, ἢ σαυτὸν παραπτώματι περιπεσόντα, εἶτα στενάξῃς καὶ λυπηθῇς, ἐκέρδανας ἀπὸ τῆς λύπης σωτηρίαν ἀμεταμέλητον, καθάπερ ὁ Παῦλός φησιν· β. Κορ. ζ. ι. Ἡ γὰρ κατὰ Θεὸν λύπη σωτηρίαν ἀμεταμέλητον ἐργάζεται. ἂν ἴδῃς εὐδοκιμοῦντα ἕτερον, εἶτα μὴ βασκήνῃς, ἀλλ' ὡς ἐπὶ οἰκείοις ἀγαθοῖς εὐχαριστήσῃς τῷ Θεῷ τῷ ποιήσαντι λαμπρόν σου τὸν ἀδελφὸν, καὶ τῆς χαρᾶς ταύτης πολλὴν ἔλαβες τὸν μισθόν. τί γένοιτ' ἂν οὖν, εἰπέ μοι, τῶν βασκάνων ἐλεεινότερον, ὅταν ἐξὸν καὶ χαίρειν καὶ κερδαίνειν διὰ τὴν χαρὰν, αὐτοὶ καὶ λυπεῖσθαι αἱροῦνται μᾶλλον ἐπὶ ταῖς τῶν ἑτέρων εὐδοκιμήσεσι, καὶ μετὰ τῆς λύπης ἔτι καὶ κόλασιν ἐπισπᾶσθαι παρὰ τοῦ Θεοῦ καὶ τιμωρίαν ἀφόρητον; καὶ τί χρὴ λέγειν ἐπαίνους καὶ ψόγους, καὶ λύπας καὶ χαράς, ὅπουγε καὶ ἀπὸ τῶν μικροτάτων αὐτῶν καὶ εὐτελεστάτων πραγμάτων τὰ μέγιστά ἐστι καρπώσασθαι, ἂν διὰ τὸν Θεὸν αὐτὰ ποιῶμεν; τί γὰρ τοῦ κείρασθαι εὐτελέστερον; ἀλλ' ἔστι καὶ τοῦτο ποιῆσαι διὰ τὸν Θεόν. ὅταν γὰρ μὴ τὴν κόμην διαθρύψῃς, μηδὲ καλλωπίσῃς τὴν ὄψιν, μηδὲ πρὸς δέλεαρ καὶ ἀπάτην τῶν ὁρώντων σαυτὸν κατακοσμήσῃς, ἀλλ' ἁπλῶς, καὶ ὡς ἔτυχε, καὶ ὅσον ἡ χρεία ἀπαιτεῖ μόνον, διὰ τὸν Θεὸν τοῦτο ἐποίησας, καὶ πάντως ἕξεις τὸν μισθὸν, ὅτι ἐπιθυμίαν ἐκόλασας πονηρὰν, καὶ φιλοτιμίαν ἄκαιρον ἐνέκοψας. Ματθ. ι. μβ. εἰ γὰρ ὁ ποτήριον ψυχροῦ μόνον δοὺς διὰ τὸν Θεὸν, βασιλείαν οὐρανῶν κληρονομήσει, ὁ πάντα ποιῶν διὰ τὸν Θεὸν, ἐννόησον πόσης ἀπολαύσεται τῆς ἀμοιβῆς. ἔστι καὶ βαδίζειν διὰ τὸν Θεὸν, καὶ βλέπειν διὰ τὸν Θεόν. πῶς ἔστι βλέπειν διὰ τὸν Θεὸν καὶ βαδίζειν; ὅταν μὴ πρὸς πορνείαν τρέχῃς, ὅταν μὴ περιεργάζῃ τὰ ἀλλότρια κάλλη, ὅταν ἰδὼν γυναῖκα ἀπαντῶσαν, χαλινώσῃς τὸν ὀφθαλμὸν, τειχίσῃς τὴν ὄψιν τῷ τοῦ Θεοῦ φόβῳ, διὰ τὸν Θεὸν τοῦτο ἐποίησας· ὅταν τὰ μὴ πολυτελῆ καὶ μαλακωτέρους ἡμᾶς ποιοῦντα, ἀλλὰ τὰ δυνάμενα ἡμᾶς σκέπειν, ταῦτα περιβαλλώμεθα μόνον. ἔστι καὶ μέχρις ὑποδημάτων τοῦτον ἐξαγαγεῖν τὸν νόμον. καὶ γὰρ πολλοὶ πρὸς τοῦτο βλακείας καὶ ἀσωτίας ἐξώλισθον, ὡς καὶ τὰ ὑποδήματα καλλωπίζειν καὶ πάντοθεν αὐτὰ ποικίλλειν, οὐχ ἧττον ἢ τὰς ὄψεις ἕτεροι, ὅπερ ψυχῆς ἐστιν ἀκαθάρτου καὶ διεφθαρμένης. εἰ γὰρ καὶ αὐτὸ μικρὸν εἶναι δοκεῖ, ἀλλὰ μεγάλης ἐξωλείας δεῖγμα καὶ ἔλεγχος ἂν εἴη τοῦτο καὶ ἐπ' ἀνδρῶν καὶ ἐπὶ γυναικῶν. ἔξεστι τοίνυν καὶ ὑποδήμασι χρῆσθαι διὰ τὸν Θεόν, ὅταν πανταχοῦ τὴν χρείαν ἐπιζητῶμεν, καὶ τοῦτο μέτρον τῆς ἀπολαύσεως ποιώμεθα. καὶ ὅτι καὶ διὰ βαδίσεως καὶ διὰ στολῆς ἔστι τὸν Θεὸν δοξάσαι, ἄκουσον τί φησι σοφός τις ἀνήρ· Σειρ. ιθ. κε. Στολισμὸς ἀνδρὸς, καὶ γέλως ὀδόντων, καὶ βῆμα ποδὸς ἀπαγγέλλει τὰ περὶ αὐτοῦ. ὅταν γὰρ κατεσταλμένοι καὶ σεμνότητος γέμοντες καὶ πολλὴν πανταχόθεν ἐπιδεικνύμενοι τὴν σωφροσύνην φαινώμεθα, καὶ ἀπὸ ψιλῆς τῆς συντυχίας καὶ ὁ ἄπιστος, καὶ ὁ ἀκόλαστος, καὶ ὁ θορυβώδης τὸν τοιοῦτον ἰδὼν θαυμάσεται, κἂν ἁπάντων ἀναισθητότερος ᾖ. κἂν γυναῖκα ἀγώμεθα, διὰ τὸν Θεὸν τοῦτο ποιῶμεν, ἵνα σωφρονῶμεν, οὐχ ἵνα τὴν οὐσίαν εὐπορωτέραν ἐργασώμεθα. ψυχῆς εὐγένειαν ἐπιζητῶμεν, μὴ χρημάτων περιουσίαν· μηδὲ προγόνων περιφάνειαν, ἀλλὰ τρόπων ἀρετὴν καὶ ἐπιείκειαν συνέμπορον τοῦ βίου λαμβάνωμεν, οὐχὶ καπηλείας κοινωνόν. καὶ τί δεῖ πάντα λέγειν; ἔξεστι γὰρ ὑμῖν λοιπὸν ἐκ τῶν εἰρημένων ἕκαστον ἐφοδεύειν τῶν γινομένων καὶ πραττομένων, καὶ πάντα διὰ τὸν Θεὸν ποιεῖν. καὶ καθάπερ οἱ ἔμποροι περιπλέοντες τὸ πέλαγος, καὶ εἰς πόλεις ὁρμίζοντες, οὐ πρότερον ἀποβαίνουσι τοῦ λιμένος, οὐδὲ εἰς τὴν ἀγορὰν ἀναβαίνουσιν, ἕως ἂν πύθωνται, ὅτι κέρδος ἔχει τι τῶν ἀποκειμένων· οὕτω καὶ σὺ μηδὲν μήτε πράξῃς, μήτε εἴπῃς, ἂν μὴ κέρδος ἔχῃ τὸ κατὰ Θεόν· καὶ μή μοι λέγε, ὅτι οὐ δυνατὸν ἅπαντα διὰ τὸν Θεὸν ποιεῖν. ὅταν γὰρ ὑποδέσεις, καὶ κουρά, καὶ ἱματίων στολή, καὶ βάδισις, καὶ ὄψις, καὶ ῥήματα, καὶ συνέδρια, καὶ εἴσοδοι, καὶ ἔξοδοι, καὶ σκώμματα, καὶ ἔπαινοι, καὶ ψόγοι, καὶ ἐγκώμια, καὶ φιλίαι, καὶ ἔχθραι δύνωνται διὰ τὸν Θεὸν γίνεσθαι, τί ἐστι λοιπὸν, ὃ μὴ δυνατὸν γενέσθαι διὰ τὸν Θεὸν, ἂν θέλωμεν; τί δεσμοφύλακος χεῖρον; οὐ πάντων βίος ὁ πονηρότατος εἶναι δοκεῖ; ἀλλ᾽ ἔξεστι τῷ βουλομένῳ κἀκεῖθεν κερδᾶναι, ὅταν τῶν δεδεμένων φείδηται, ὅταν τοὺς ἀδίκως ἐμβεβλημένους θεραπεύῃ, ὅταν μὴ πραγματεύηται ἀπ᾽ ἀλλοτρίας συμφορᾶς, ὅταν κοινὸς προκέηται λιμὴν τοῖς δεομένοις ἅπασιν. οὕτως ὁ δεσμοφύλαξ ἐκεῖνος ἐσώθη ὁ ἐπὶ Παύλου. ὅθεν δῆλον, ὅτι πανταχόθεν, ἂν θέλωμεν, δυνάμεθα πραγματεύεσθαι. τί φόνου χαλεπώτερον, εἰπέ μοι; ἀλλ᾽ ἐδυνήθη ποτὲ δικαιοσύνην τεκεῖν τῷ ποιήσαντι τοῦτο τὸ τόλμημα. τοσοῦτόν ἐστι τὸ διὰ τὸν Θεόν τι ποιεῖν. καὶ πῶς ἐδυνήθη δικαιοσύνην ἐργάσασθαι φόνος; οἱ Μαδιανῖται ποτὲ βουλόμενοι τὸν Θεὸν ἐκπολεμῶσαι τοῖς Ἰουδαίοις, καὶ ταύτῃ προσδοκῶντες αὐτῶν περιέσεσθαι, εἰ τῆς εὐνοίας αὐτοὺς ἀποστερήσαιεν τοῦ δεσπότου, κόρας καλλωπίσαντες, καὶ τῷ στρατοπέδῳ παραστήσαντες, ἐδελέασαν αὐτοὺς, καὶ εἰς πορνείαν ἤγαγον, εἶτα ἐκεῖθεν εἰς ἀσέβειαν. τοῦτο ἰδὼν ὁ Φινεὲς, μεταχειρισάμενος ξίφος, καὶ πορνεύοντας δύο καταλαβὼν, ἐν αὐτῇ τῇ ἁμαρτίᾳ ἀμφοτέρους διεξεκέντησε, καὶ ἔστησε τοῦ Θεοῦ τὴν ὀργὴν ἀπὸ τῆς γνώμης. καὶ τὸ μὲν γινόμενον, φόνος ἦν· τὸ δὲ κατορθούμενον ἐξ ἐκείνου, σωτηρία τῶν ἀπολλυμένων ἁπάντων. ὅθεν καὶ δικαιοσύνην ἤνεγκε τῷ ποιήσαντι, καὶ οὐ μόνον οὐκ ἐμίανε τὰς χεῖρας, ἀλλὰ καὶ καθαρωτέρας εἰργάσατο ὁ φόνος ἐκεῖνος, καὶ μάλα εἰκότως. οὐ γὰρ τοὺς αἱρεθέντας μισῶν, ἀλλὰ τῶν λοιπῶν φειδόμενος, τοῦτο εἰργάσατο. ἀπέκτεινε δύο, καὶ ἔσωσε μυριάδας ἀπείρους. καθάπερ γὰρ ἰατροὶ ποιοῦσι, τὰ σεσηπότα τῶν μελῶν ἐκτέμνοντες, ὁλόκληρον σώζουσι τὸ σῶμα, οὕτω κἀκεῖνος ἐποίησε. διὰ τοῦτό φησιν ὁ Ψαλμός· Ἔστη Φινεὲς, καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην εἰς γενεὰν καὶ γενεὰν ἕως τοῦ αἰῶνος. ἀθάνατος οὖν ἡ μνήμη μένει τοῦ κατορθώματος. πάλιν ἕτερος ηὔξατο, καὶ προσέκρουσε τῷ Θεῷ (τουτέστι τὸ μὴ ποιεῖν τι διὰ τὸν Θεὸν) ὁ Φαρισαῖος, λέγω. ἀλλ᾽ ὥσπερ ὁ Φινεὲς φόνον ποιήσας εὐδοκίμησεν, οὕτω καὶ οὗτος, οὐ παρὰ τὴν εὐχὴν, ἀλλὰ παρὰ τὴν γνώμην μεθ᾽ ἧς ηὔξατο, προσέκρουσε καὶ κατέπεσεν. οὕτως ὅταν μὴ διὰ τὸν Θεὸν γίνηταί τι, κἂν πνευματικὸν ᾖ τὸ γινόμενον, τὰ μέγιστα βλάπτει τὸν ποιήσαντα· ὥσπερ οὖν ὅταν διὰ τὸν Θεὸν γίνηται, κἂν βιωτικὸν ᾖ τὸ γινόμενον, τὰ μέγιστα ὠφελεῖ τὸν μετὰ φιλοθέου ποιοῦντα γνώμης. τί γὰρ φόνου χεῖρον καὶ χαλεπώτερον; ἀλλ᾽ ὅμως δίκαιον εἰργάσατο τὸν τολμήσαντα. ποίαν οὖν ἕξομεν ἀπολογίαν ἡμεῖς οἱ λέγοντες, ὅτι οὐ δυνατὸν πανταχόθεν κερδαίνειν, καὶ πάντα διὰ τὸν Θεὸν ἐργάζεσθαι, ὅταν εὑρεθῇ τις καὶ ἀπὸ φόνου κερδάνας; ἂν ἐθέλωμεν προσέχειν, διὰ παντὸς τοῦ βίου τὴν πνευματικὴν ταύτην ἐμπορευσόμεθα πραγματείαν, κἂν ὠνεῖσθαί τι, κἂν ἀποδόσθαι δέῃ· οἷον ὅταν μὴ πλέον τῆς νενομισμένης ἀπαιτῶμεν τιμῆς, ὅταν μὴ τοὺς καιροὺς τῆς στενοχωρίας παρατηρῶμεν, καὶ τότε τοῖς δεομένοις μεταδίδομεν. Ὁ γὰρ τιμιουλκῶν σῖτον, φησὶ, δημοκατάρατος. καὶ τί χρὴ καθ᾽ ἕκαστον λέγειν, δέον δι᾽ ἑνὸς ὑποδείγματος τὸ πᾶν συλλαβεῖν; καθάπερ γὰρ οἱ οἰκοδόμοι, ἐπειδὰν μέλλωσι τοῖχον ἐγείρειν, σπαρτίον τείναντες ἀπὸ γωνίας εἰς γωνίαν, οὕτως ὑφαίνουσι τὴν οἰκοδομὴν, ὥστε μὴ ἀνώμαλον αὐτῆς γενέσθαι τὴν ἐπιφάνειαν· οὕτω δὴ καὶ ἡμεῖς, ἀντὶ σπαρτίου τὸ ῥῆμα τοῦτο τείναντες τὸ λέγον, Εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ἕτερον ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε· ἄν τι εὐχώμεθα, ἄν τε νηστεύωμεν, ἄν τι

Πραξ. ις.

Αριθ. κε.

Ψαλμ. ρε. λ.

Λουκ. ιη.

Παροιμ. ια. κς.

α. Κορ. ι.

ἐγκαλῶμεν, ἄν τε συγγινώσκωμεν, ἄν τε ἐπαινῶμεν, ἄν τε ψέγωμεν, ἄν τε εἰσίωμεν, ἄν τε ἐξίωμεν, ἄν τε πωλῶμεν, ἄν τε ἀγοράζωμεν, ἄν τε σιγῶμεν, ἄν τε διαλεγώμεθα, ἄν τε ἄλλο ὁτιοῦν πράττωμεν, εἰς δόξαν Θεοῦ πάντα ποιῶμεν· καὶ μή τι εἰς δόξαν Θεοῦ γίνηται, μήτε γινέσθω, μήτε λεγέσθω παρ' ἡμῶν· ἀλλ' ἀντὶ βακτηρίας μεγάλης, ἀντὶ ὅπλου καὶ ἀσφαλείας, ἀντὶ θησαυρῶν ἀφάτων, ὅπουπερ ἂν ὦμεν, τὸ ῥῆμα τοῦτο μεθ' ἑαυτῶν περιφέρωμεν, ἐγγράψαντες τῇ διανοίᾳ· ἵνα πάντα εἰς δόξαν Θεοῦ καὶ ποιήσαντες καὶ εἰπόντες καὶ πραγματευσάμενοι, τῆς παρ' αὐτοῦ τύχωμεν δόξης καὶ ἐνταῦθα, καὶ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν. Τοὺς γὰρ δοξάζοντάς με δοξάσω, φησί. μὴ τοίνυν ῥήμασιν, ἀλλὰ καὶ διὰ τῶν πραγμάτων αὐτὸν δοξάζωμεν συνεχῶς· ὅτι αὐτῷ πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν. α. Βασ. β. λ.

Λογ. κδ. ΕΙΣ ΤΟ ΑΠΟΣΤΟΛΙΚΟΝ ΡΗΤΟΝ ΤΟ ΛΕΓΟΝ·

Δεῖ δὲ καὶ αἱρέσεις εἶναι ἐν ὑμῖν, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται.

α. Κορ. ια. ιθ.

Ἱκανῶς πρῴην ἡμῖν διεθερμάνθη τὸ πνευματικὸν τοῦτο θέατρον, ὅτε τὴν Ἱερουσαλὴμ εἰσήγαγον ὑμῖν τῷ λόγῳ θρηνοῦσαν, καὶ τὰς οἰκείας ἐξαγγέλλουσαν συμφοράς. καὶ γὰρ εἶδον ὑμῶν τοὺς ὀφθαλμοὺς τότε ὠδίνοντας πηγὰς ἀφιέναι δακρύων· εἶδον δὲ ὧν ἔπασχον, τὴν ἑκάστου διάνοιαν ὀλοφυρμῶν γέμουσαν καὶ συγκεχυμένην. διὸ καὶ ταχέως αἰσθόμενος συνέστειλα τὴν τραγῳδίαν, ἥρπασα ἐκ τοῦ μέσου τὸν λόγον, ὥστε τοὺς θρήνους ἐκείνους τῆς ἑκάστου καρδίας ἐκρήγνυσθαι μέλλοντας παρακατασχεῖν. ψυχὴ γὰρ πένθει καταχωσθεῖσα, οὔτε εἰπεῖν, οὔτε ἀκοῦσαί τι δύναιτ' ἂν ὑγιές. τίνος οὖν ἕνεκεν ἐκείνων ὑμᾶς ἀνεμνήσαμεν νῦν; ὅτι καὶ τὰ σήμερον ῥηθήσεσθαι μέλλοντα συγγενῆ τῶν τότε εἰρημένων ἐστίν. ὥσπερ γὰρ ἐκεῖνα τὴν ἐν τῷ βίῳ ῥᾳθυμίαν ἡμῶν ἀνέστελλε, καὶ τὴν ὀλιγωρίαν τὴν περὶ τὰ πρακτέα διώρθου, οὕτω δὴ τὰ ῥηθησόμενα νῦν περὶ τὴν τῶν δογμάτων ἀκριβῆ παρατήρησιν ἀσφαλεστέρους ἡμᾶς ἐργάσασθαι δύναιτ' ἄν· ὥστε ἐξ ἁπάντων ἀπηρτισμένους εἶναι εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας φθάνοντας κατὰ τὸν θεῖον ἀπόστολον. Ἐφεσ. δ. ιγ. τότε τὸ σῶμα ὑμῖν ἐθεραπεύσαμεν, νῦν τὴν κεφαλὴν ἰατρεύομεν· τότε διὰ τῶν Ἱερεμίου λόγων, νῦν διὰ τῶν τοῦ Παύλου ῥημάτων. τίνα οὖν ἐστι τὰ Παύλου ῥήματα, ἃ σήμερον ἡμῖν ἐξεργάσασθαι πρόκειται; Δεῖ γὰρ καὶ αἱρέσεις εἶναι, φησὶν, ἐν ὑμῖν, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν. α. Κορ. α. ιθ. οὐ μακρὰν δὲ ζητούμενοι. εἰ γὰρ συμβουλεύων τοῦτό φησιν ὁ Παῦλος, τὸ δεῖ αἱρέσεις εἶναι, ἀναίτιοι οἱ τὰς αἱρέσεις εἰσάγοντες. ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν. οὐ γὰρ συμβουλεύοντος τὸ ῥῆμά ἐστιν, ἀλλὰ τὸ μέλλον προλέγοντος. ὥσπερ γὰρ ἰατρὸς, ὁρῶν τὸν κάμνοντα ἀδηφαγίᾳ καὶ μέθῃ προσέχοντα καὶ ἑτέροις κεκωλυμένοις, φησὶν, ὅτι τὴν ἀταξίαν ταύτην δεῖ πυρετὸν τεκεῖν, οὐχὶ νομοθετῶν, οὐδὲ συμβουλεύων, ἀλλ' ἐκ τῶν παρόντων τὸ μέλλον μετὰ σκέψεως προλέγων· καὶ γεωργὸς πάλιν, ἢ κυβερνήτης ὁρῶν νεφῶν συνδρομὰς καὶ βροντὰς καταρρηγνυμένας μετὰ ἀστραπῶν, φησὶν, ὅτι δεῖ τὰ νέφη ταῦτα τεκεῖν ὑετὸν καὶ ὄμβρον σφοδρὸν, οὐδὲ οὗτος προθυμῶν, ἀλλὰ τὸ ἐσόμενον προαναφωνῶν· οὕτω καὶ Παῦλος τὸ, δεῖ, τέθεικε. πολλάκις γοῦν καὶ ἡμεῖς ὁρῶντες ἀνθρώπους ἀλλήλοις συρρηγνυμένους καὶ χαλεπαῖς ἑαυτοὺς πλύνοντας λοιδορίαις, λέγομεν, δεῖ συμπληγάδας γενέσθαι τούτους καὶ φυλακίζεσθαι, οὐ συμβουλεύοντες οὐδὲ ἡμεῖς, οὐδὲ προθυμοῦντες ἐκείνοις· πῶς γάρ; ἀλλ' ἀπὸ τοῦ παρόντος τὸ μέλλον στοχαζόμενοι. οὕτω δὴ καὶ ὁ Παῦλος οὐχὶ συμβουλεύων ταῦτά φησιν, ὅτι δεῖ καὶ αἱρέσεις ἐν ὑμῖν εἶναι, ἀλλὰ προαναφωνῶν καὶ προφητεύων τὸ μέλλον ἔσεσθαι. ὅτι γὰρ οὐ συμβουλεύει αἱρέσεις εἶναι, αὐτός ἐστιν ὁ λέγων, ὅτι Κἂν ἄγγελος ὑμᾶς Γαλ. α. η.

εὐαγγελίζηται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω· αὐτός ἐστιν ὁ τὴν περιτομὴν, ἐπειδὴ παρὰ καιρὸν παρελαμβάνετο, καὶ ἐθόλου τὸ καθαρὸν τοῦ κηρύγματος, ἐκβάλλων καὶ λέγων, Ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. Γαλ. ε. β. πῶς οὖν, φησὶ, καὶ αἰτίαν προσέθηκεν εἰπὼν, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται; τὸ, ἵνα, πολλαχοῦ ἐν ταῖς γραφαῖς οὐκ ἔστιν αἰτιολογίας, ἀλλὰ τῆς τῶν πραγμάτων ἐκβάσεως· οἷον, ἦλθεν ὁ Χριστὸς, καὶ τὸν τυφλὸν ἀναβλέψαι ἐποίησε. κἀκεῖνος μὲν αὐτὸν προσεκύνησεν, οἱ δὲ Ἰουδαῖοι τούτου θεραπευθέντος πάντα ἐποίουν ὥστε συσκιάσαι τὸ θαῦμα, καὶ τὸν Χριστὸν ἤλαυνον. τότε τοίνυν φησίν· Εἰς κρίμα ἐγὼ ἦλθον εἰς τὸν κόσμον τοῦτον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. Ιωαν. θ. λθ. ἆρα οὖν διὰ τοῦτο ἦλθεν, ἵνα ἐκεῖνοι τυφλοὶ γένωνται; οὐ διὰ τοῦτο ἦλθε, τοῦτο δὲ ἐξέβη, καὶ τὴν ἔκβασιν ἐν σχήματι αἰτιολογίας τέθεικε. πάλιν, νόμος ἐδόθη, ἵνα κωλύσῃ τὴν τῶν ἁμαρτημάτων φορὰν, ἵνα ἐπιεικεστέρους ποιήσῃ τοὺς δεχομένους· ἀλλὰ τοὐναντίον ἐξέβη παρὰ τὴν ῥᾳθυμίαν ἐκείνων. ηὔξησαν γὰρ τὰ ἁμαρτήματα. καί φησιν ὁ Παῦλος, Νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα. Ρωμ. ε. κ. καὶ μὴν οὐ διὰ τοῦτο ἐπεισῆλθεν, ἀλλ' ἵνα ἐλαττώσῃ τὸ παράπτωμα· τοῦτο δὲ ἐξέβη παρὰ τὴν ἀγνωμοσύνην τῶν δεξαμένων αὐτόν. οὕτω δὴ καὶ ἐνταῦθα, τὸ, ἵνα, οὐχὶ αἰτιολογίας ἐστὶν, ἀλλὰ ἐκβάσεως. ὅτι γὰρ ἄλλη τίς ἐστιν αἰτία τῶν αἱρέσεων, καὶ οὐ διὰ τοῦτο ἐγένοντο αἱρέσεις, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται, ἀλλ' ἑτέρωθεν ἔλαβον τὰς προφάσεις, ἄκουσον τοῦ Χριστοῦ δῆλον τοῦτο ποιοῦντος ἡμῖν. Ὡμοιώθη, φησὶν, ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ Ματθ. ιγ. κδ. σπείροντι καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ· καὶ ἐν τῷ καθεύδειν τοὺς ἀνθρώπους, ἦλθεν ἐχθρὸς ἄνθρωπος, καὶ ἔσπειρε τὰ ζιζάνια. ὁρᾷς, ὅτι διὰ τοῦτο αἱρέσεις, ἐπειδὴ ἐκαθεύδησαν οἱ ἄνθρωποι; ἐπειδὴ ἐρρᾳθύμησαν; ἐπειδὴ οὐ προσεῖχον μετὰ ἀκριβείας τοῖς λεγομένοις; ἵν' οὖν μὴ λέγῃ τις, τίνος ἕνεκεν συνεχώρησεν ὁ Χριστὸς, φησὶν ὁ Παῦλος, ὅτι οὐδέν σε βλάπτει ἡ συγχώρησις αὕτη. ἐὰν ᾖς δόκιμος, φανερώτερος ἔσῃ μᾶλλον. οὐ γάρ ἐστιν ἴσον, μηδενὸς ὑποσκελίζοντος μηδὲ ἀπατῶντος ἐπὶ τῆς ὀρθῆς ἑστάναι πίστεως, καὶ μυρίων προσρηγνυμένων κυμάτων ἄσειστον καὶ ἀπερίτρεπτον μεῖναι. καθάπερ οὖν τὰ δένδρα αἱ τῶν ἀνέμων προσβολαὶ πάντοθεν ῥιπίζουσαι ἰσχυρότερα ποιοῦσιν, ἂν ᾖ καλῶς ἐρριζωμένα καὶ μετὰ ἀκριβείας· οὕτω δὴ καὶ τὰς ψυχὰς τὰς πεπηγύας ἐν τῷ θεμελίῳ τῆς ὀρθῆς πίστεως, ὅσαι ἂν προσβάλωσιν αἱρέσεις, οὐ περιτρέπουσιν, ἀλλὰ καὶ ἰσχυροτέρας ποιοῦσι. τί οὖν πρὸς τοὺς ἀσθενοῦντας, φησὶ, καὶ περιτρεπομένους καὶ ὑποσκελιζομένους ῥᾳδίως; οὐδὲ ἐκεῖνοι παρὰ τὴν τῆς αἱρέσεως προσβολὴν, ἀλλὰ παρὰ τὴν οἰκείαν ἀσθένειαν τοῦτο πάσχουσιν. ἀσθένειαν δὲ οὐ φυσικὴν λέγω, ἀλλὰ τὴν ἐκ προαιρέσεως, τὴν καὶ ἐγκλημάτων ἀξίαν καὶ ὑπὸ κόλασιν καὶ τιμωρίαν κειμένην, ἣν καὶ ἡμεῖς κύριοι διορθῶσαι. διὸ κατορθοῦντές τε ἐπαινούμεθα, καὶ μὴ κατορθοῦντες κολαζόμεθα. καὶ ἵνα μάθῃς, ὅτι τοὺς νήφοντας οὐδὲν δύναται παραβλάψαι, καὶ ἑτέρωθεν τοῦτο ἀποδεῖξαι πειράσομαι. τί τοῦ διαβόλου γένοιτ' ἂν πονηρότερον, τί δὲ μιαρώτερον; ἀλλ' ὅμως οὗτος ὁ πονηρὸς καὶ κακοῦργος καὶ πολλὴν ἔχων ἰσχὺν, μετὰ πάντων αὐτοῦ τῶν μηχανημάτων προσβαλὼν τῷ Ἰὼβ, καὶ πᾶσαν αὐτοῦ τὴν βελοθήκην εἰς τὴν οἰκίαν καὶ τὸ σῶμα τοῦ δικαίου κενώσας, οὐ μόνον αὐτὸν οὐ περιέτρεψεν, ἀλλὰ καὶ λαμπρότερον ἐποίησε. καὶ οὗτος μὲν οὐδὲ παρὰ τοῦ διαβόλου τότε ἐβλάπτετο· ὁ δὲ Ἰούδας, ἐπειδὴ ἠμελημένος καὶ ῥᾴθυμος ἦν, οὐδὲ παρὰ τῆς τοῦ Χριστοῦ συνουσίας ἐκέρδανεν, ἀλλ' ἔμεινεν ὢν προδότης μετὰ τὰς πολλὰς παραινέσεις ἐκείνας καὶ συμβουλάς. τὸ δὲ αἴτιον, ὅτι μὴ βουλόμενόν τινα οὐκ ἀναγκάζει οὐδὲ βιάζεται ὁ Θεὸς, ὥσπερ οὖν οὐδὲ ἐκεῖνον. οὕτως, ἐὰν νήφωμεν καὶ ἡμεῖς, οὐδὲ ὁ διάβολος ἡμᾶς βλάψαι δυνήσεται· ἂν δὲ μὴ νήφωμεν, ἀλλὰ ῥᾳθυμῶμεν, οὐδὲ παρὰ τῶν ὠφελούντων κερδανούμεθά ποτε, ἀλλὰ καὶ ζημίαν ὑποστησόμεθα τὴν ἐσχάτην· τοσοῦτόν ἐστι ῥᾳθυμία κακόν. οἱ γοῦν Ἰουδαῖοι οὐ μόνον οὐκ ὠφελήθησαν, τοῦ Χριστοῦ παραγενομένου, ἀλλὰ καὶ ἐβλάβησαν· ἀλλ' οὐ παρὰ τὸν Χριστόν, ἀλλὰ παρὰ τὴν οἰκείαν αὐτῶν ῥαθυμίαν καὶ ἀγνωμοσύνην. καὶ τοῦτο Ἰωάν. ιε. κβ. ἀκούσει αὐτοῦ τοῦ Χριστοῦ λέγοντος· Εἰ μὴ ἦλθον, φησί, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. ὁρᾷς, ὅτι ἡ παρουσία αὐτοῦ καὶ συγγνώμης αὐτοὺς ἀπεστέρησε, καὶ τὴν ἀπολογίαν αὐτῶν ἐξέκοψε; τοσοῦτόν ἐστι κακὸν μὴ συγκροτεῖν ἑαυτόν, μηδὲ τὰ καθ' ἑαυτὸν οἰκονομεῖν, ὡς χρή. τοῦτο καὶ ἐπὶ σωμάτων συμβαῖνον ἴδοι τις ἄν. τοὺς μὲν γὰρ νοσοῦντας τὰς ὄψεις καὶ αὐτὸς ὁ ἥλιος σκοτίζειν εἴωθε, τοὺς δὲ ὑγιεῖς οὐδὲ τὸ σκότος παραβλάψαι δύναται. καὶ ταῦτα οὐχ ἁπλῶς μηκύνω τὸν λόγον, ἀλλ' ἐπειδὴ πολλοὶ τὰς ἑαυτῶν ἀφέντες ῥαθυμίας αἰτιᾶσθαι, καὶ τὴν ἀγνωμοσύνην αὐτῶν καὶ τὴν ἀναισθησίαν διορθοῦν, τοῦτο μὲν οὐ ποιοῦσι, περιέρχονται δὲ ζητοῦντες ἑαυτοῖς ψυχρὰς ἀπολογίας, καὶ λέγοντες· Εἰ μὴ ὁ διάβολος ἦν, οὐκ ἂν ἀπωλόμεθα· εἰ μὴ νόμος ἦν, οὐκ ἂν ἡμάρτομεν· εἰ μὴ αἱρέσεις ἦσαν, οὐκ ἂν ὑπεσκελίσθημεν. σκήψεις ταῦτα καὶ προφάσεις, ἄνθρωπε. τὸν γὰρ νήφοντα οὐδὲν βλάπτει ποτέ, ὥσπερ οὖν τὸν καθεύδοντα καὶ ῥαθυμοῦντα καὶ τὴν ἑαυτοῦ προδιδόντα σωτηρίαν οὐδὲν ὠφελεῖ. τοῦτο γοῦν αὐτὸ καὶ ὁ Παῦλος αἰνιττόμενος ἔλεγεν, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν· τουτέστι, μὴ θορυβεῖσθε, μηδὲ ἀλύετε· οὐδὲν ὑμᾶς αἱ αἱρέσεις παραβλάψαι δύνανται).

Ὅτι μὲν οὖν, εἰ καὶ περὶ αἱρέσεων ἦν ὁ λόγος, οὐδὲ οὕτως ἔχει ζήτημα τὸ εἰρημένον, ἐκ τούτων δῆλον. προφητεία γάρ ἐστιν, οὐ συμβουλή· πρόρρησις, οὐ παραίνεσις· καὶ τό, ἵνα, ἐκβάσεως, οὐκ αἰτιολογίας. ὅτι δὲ οὐδὲ περὶ δογμάτων ἐστὶν ὁ λόγος αὐτῷ νῦν, ἀλλὰ περὶ πενήτων καὶ πλουσίων, περὶ τοῦ φαγεῖν καὶ μὴ φαγεῖν, περὶ τῆς τῶν εὐπόρων ἀσωτίας καὶ λαιμαργίας, περὶ τῆς τῶν πενήτων ἐγκαταλείψεως τῆς παρ' αὐτῶν γινομένης, ἀνάγκη δὲ μικρὸν ἄνωθεν διηγησαμένου· οὐδὲ γὰρ ἂν ἄλλως ὑμῖν γένοιτο σαφὲς τὸ λεγόμενον. ἐπειδὴ γὰρ ἤρξαντο σπείρειν τὸν λόγον τῆς εὐσεβείας οἱ ἀπόστολοι, προσῆλθον εὐθέως τρισχίλιοι, καὶ πάλιν πεντακισχίλιοι, καὶ πάντων αὐτῶν ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. τὸ δὲ τῆς ὁμονοίας αἴτιον, καὶ τὸ συνδῆσαν αὐτῶν τὴν ἀγάπην, καὶ τοσαύτας ψυχὰς εἰς ἓν συναγαγόν, ἡ τῶν Πράξ. δ. λβ. χρημάτων ὑπεροψία ἦν. Οὐδεὶς γάρ τι τῶν ὑπαρχόντων, φησίν, ἴδιον ἔλεγεν εἶναι), ἀλλ' ἦν αὐτῶν ἅπαντα κοινά. ἐπειδὴ γὰρ ἀνῃρέθη ἡ ῥίζα τῶν κακῶν, τὴν φιλαργυρίαν λέγω, πάντα ἐπεισῆλθε τὰ ἀγαθά, καὶ λοιπὸν συνεσφίγγοντο πρὸς ἀλλήλους, οὐδενὸς ὄντος τοῦ διαιροῦντος αὐτούς. τὸ γὰρ ἐμόν, καὶ τὸ σόν, τοῦτο τὸ ψυχρὸν ῥῆμα καὶ μυρίους πολέμους εἰς τὴν οἰκουμένην εἰσαγαγόν, ἐκ τῆς ἁγίας ἐκείνης ἐκκλησίας ἐξώριστο, καὶ τὴν γῆν ᾤκουν, καθάπερ οἱ ἄγγελοι τὸν οὐρανόν, καὶ οὔτε ἐφθόνουν οἱ πένητες τοῖς πλουτοῦσιν (οὐδὲ γὰρ ἦσαν πλούσιοι) οὔτε ὑπερεώρων οἱ πλούσιοι τῶν πενήτων (οὐδὲ γὰρ ἦσαν πένητες) ἀλλὰ πάντα ἦν κοινά, καὶ οὐδεὶς τι τῶν ὑπαρχόντων ἴδιον ἔλεγεν εἶναι). οὐ γάρ, καθάπερ νῦν γίνεται, οὕτω καὶ τότε συνέβαινε. νῦν μὲν γὰρ ἔχοντες τὰ ἑαυτῶν, διδόασι τοῖς δεομένοις. τότε δὲ οὐδὲ τοῦτο ἦν, ἀλλ' ἀποστάντες τῆς δεσποτείας τῶν οἰκείων χρημάτων, καὶ εἰς τὸ μέσον αὐτὰ καταθέντες καὶ ἀναμίξαντες, οὐδὲ δῆλοι λοιπὸν ἦσαν οἱ πρότερον ὄντες εὔποροι· ὥστε καὶ εἴ τις ἐκ τῆς ὑπεροψίας τῶν χρημάτων ἐγένετο τῦφος, καὶ οὗτος ἀνῄρητο παντάπασι πάντων ὄντων ἐν ἰσότητι μιᾷ, καὶ τῶν χρημάτων ἀναμιχθέντων ἁπάντων. οὐκ ἐκ τούτου δὲ μόνον, ἀλλὰ καὶ ἐξ αὐτοῦ τοῦ τρόπου τῆς καταβολῆς ἐστιν αὐτῶν ἰδεῖν τὴν εὐλάβειαν. Ὅσοι γὰρ κτήτορες χωρίων ἢ Πράξ. δ. λδ. οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμάς, καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀποστόλων. οὐκ εἶπεν, ὅτι εἰς τὰς χεῖρας αὐτῶν ἐνέβαλλον, ἀλλά, παρὰ τοὺς πόδας αὐτῶν ἐτίθεσαν, τὴν αἰδῶ καὶ τὴν εὐλάβειαν καὶ τὸν φόβον, ὃν περὶ τοὺς ἀποστόλους εἶχον, διὰ τούτου δηλοῦντες. οὐ γὰρ διδόναι μᾶλλον, ἢ λαμβάνειν ἐνόμιζον. καὶ τοῦτο γὰρ μάλιστά ἐστιν ὑπεριδεῖν χρημάτων, τοῦτο θρέψαι γνησίως ἐστὶ Χριστόν, ὅταν μὴ μετὰ ἀπονοίας καὶ τύφου τοῦτο ποιῇς, ὅταν ὡς σαυτὸν μᾶλλον, ἢ τὸν λαμβάνοντα εὐεργετῶν, οὕτω παρέχῃς. εἰ γὰρ μὴ οὕτω διάκεισαι, μηδὲ δῷς· εἰ μὴ νομίζεις λαμβάνειν μᾶλλον ἢ διδόναι, μὴ παράσχῃς. τοῦτο καὶ ἑτέροις λοιπὸν ὁ Παῦλος ἐμαρτύρησεν, οὕτω λέγων· Γνωρίζω δὲ ὑμῖν, ἀδελφοί, τὴν χάριν τοῦ Θεοῦ τὴν δεδομένην ἐν ταῖς ἐκκλησίαις τῆς Μακεδονίας, ὅτι ἡ κατὰ βάθος πτωχεία αὐτῶν ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν, ὅτι κατὰ δύναμιν (μαρτυρῶ) καὶ ὑπὲρ δύναμιν αὐθαίρετοι μετὰ πολλῆς παρακλήσεως δεόμενοι ἡμῶν, τὴν χάριν καὶ τὴν κοινωνίαν τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους ἐπλήρωσαν. ὁρᾷς πῶς αὐτοὺς ἐπὶ τούτῳ μᾶλλον θαυμάζει, ὅτι χάριν εἰδότες, καὶ δεόμενοι, καὶ παρακαλοῦντες, οὕτω τὴν ἐπὶ τῶν χρημάτων δαψίλειαν ἐπεδείκνυντο; διὰ τοῦτο καὶ τὸν Ἀβραὰμ θαυμάζομεν, οὐχ ὅτι μόσχον ἔθυσε μόνον, οὐδὲ ὅτι ἄλευρα ἐφύρασεν, ἀλλ' ὅτι μετὰ πολλῆς ἡδονῆς καὶ ταπεινοφροσύνης τοὺς ξένους ὑπεδέχετο, περιτρέχων, θεραπεύων, κυρίους καλῶν, θησαυρὸν μυρίων ἀγαθῶν εὑρηκέναι νομίζων, εἴ ποτε ἴδοι παριόντα ξένον. οὕτω γὰρ διπλῆ ἐλεημοσύνη γίνεται, ὅταν καὶ διδῶμεν, καὶ διδόντες μετὰ προθυμίας παρέχωμεν. Ἱλαρὸν γὰρ δότην, φησὶν, ἀγαπᾷ ὁ Θεός. ἐπεὶ κἂν μυρία καταβάλῃς τάλαντα μετὰ ἀπονοίας καὶ τύφου καὶ κενοδοξίας, τὰ πάντα ἀπώλεσας· καθάπερ ἐκεῖνος ὁ Φαρισαῖος, ὃς ἀποδεκατῶν αὐτοῦ τὰ ὑπάρχοντα, ἐπειδὴ καὶ μέγα ἐφρόνει καὶ ἐφυσᾶτο, πάντα ἀπολέσας, οὕτω κατῆλθεν ἀπὸ τοῦ ἱεροῦ. οὐκ ἐπὶ τῶν ἀποστόλων δὲ οὕτως· ἀλλὰ χαίροντες, ἀγαλλόμενοι, κερδαίνειν τὰ μέγιστα νομίζοντες, οὕτως ἔφερον τὰ χρήματα, καὶ ἀγαπητὸν εἶναι ἐνόμιζον, εἰ καταξιώσειαν οἱ ἀπόστολοι δέξασθαι. καὶ καθάπερ πρὸς τὰς μεγάλας τινὲς ἀρχὰς καλούμενοι, καὶ τὰς βασιλικωτέρας τῶν πόλεων μέλλοντες οἰκεῖν διαπαντὸς, τὴν οὐσίαν αὐτῶν πᾶσαν ἐξαργυρίσαντες, οὕτω μεθίστανται· οὕτω δὴ καὶ οἱ ἄνθρωποι τότε ἐποίουν ἐκεῖνοι, πρὸς τὸν οὐρανὸν κληθέντες, εἰς τὴν ἄνω μητρόπολιν καὶ τὴν ἐκεῖ βασιλείαν. ἐπειδὴ γὰρ ᾔδεισαν, ὅτι ἐκείνη ὄντως αὐτῶν ἐστιν ἡ πατρὶς, ἐξαργυρίσαντες τὴν ἑαυτῶν οὐσίαν, διὰ τῶν ἀποστολικῶν αὐτὴν χειρῶν ἐκεῖ προέπεμπον. καὶ γὰρ ἐσχάτης ἀνοίας ἐστὶν ἀφεῖναί τι τῶν ἡμετέρων ἐναπομεῖναι ἐνταῦθα, ἡμῶν μικρὸν ὕστερον μελλόντων ἐντεῦθεν ἀποδημεῖν. καὶ γὰρ ὅπερ ἀπολειφθῇ, ζημία γίνεται. πάντα τοίνυν ἐκεῖ προπεμπέσθω, ἔνθα καὶ ἡμεῖς διαπαντὸς διατρίβειν μέλλομεν λοιπόν. ταῦτα γοῦν καὶ αὐτοὶ λογισάμενοι, πᾶσαν ἀπεδύσαντο τὴν οὐσίαν, καὶ διπλοῦν ἐγίνετο τὸ κατόρθωμα. καὶ γὰρ τοῖς δεομένοις τὴν πενίαν διώρθουν, καὶ πλείω καὶ ἀσφαλεστέραν τὴν αὐτῶν οὐσίαν ἐποίουν, εἰς τὸν οὐρανὸν τοὺς ἑαυτῶν μετατιθέντες θησαυρούς. ἐκ τούτου τοίνυν τοῦ νόμου καὶ τοῦ ἔθους ἐγένετό τις συνήθεια θαυμαστὴ τότε ἐν ταῖς ἐκκλησίαις. συνιόντες γὰρ οἱ πιστοὶ πάντες μετὰ τὴν τῆς διδασκαλίας ἀκρόασιν, μετὰ τὰς εὐχὰς, μετὰ τὴν τῶν μυστηρίων κοινωνίαν, τῆς συνάξεως λυθείσης, οὐκ ἀνεχώρουν εὐθέως οἴκαδε, ἀλλ' οἱ πλούσιοι καὶ εὐπορώτεροι φέροντες οἴκοθεν τροφὰς καὶ ἐδέσματα, τοὺς πένητας ἐκάλουν, καὶ κοινὰς ἐποιοῦντο τραπέζας, κοινὰς ἑστιάσεις, κοινὰ συμπόσια ἐν αὐτῇ τῇ ἐκκλησίᾳ· ὥστε καὶ ἀπὸ τῆς κοινωνίας τῆς κατὰ τὴν τράπεζαν, καὶ ἀπὸ τῆς εὐλαβείας τῆς ἀπὸ τοῦ τόπου, καὶ πανταχόθεν τὴν ἀγάπην αὐτοῖς ἐπισφίγγεσθαι, καὶ πολλὴν μὲν τὴν ἡδονὴν, πολλὴν δὲ αὐτοῖς γίνεσθαι τὴν ὠφέλειαν. οἵ τε γὰρ πένητες παραμυθίας ἀπήλαυον οὐ τῆς τυχούσης, καὶ οἱ πλουτοῦντες πολλὴν εὔνοιαν καὶ παρὰ τῶν τρεφομένων, καὶ παρὰ τοῦ Θεοῦ, δι' ὃν ταῦτα ἐποίουν, καρπωσάμενοι πολλὴν τὴν χάριν, οὕτως ἀπῄεσαν οἴκαδε. καὶ μυρία ἐκ τοῦ πράγματος τούτου ἐγίνετο τὰ ἀγαθὰ, καὶ τὸ πάντων κεφάλαιον, ἡ φιλία θερμοτέρα ἦν, καθ' ἑκάστην σύναξιν μετὰ τοσαύτης φιλοφροσύνης ἀλλήλοις συνεστιωμένων αὐτῶν εὐεργετούντων τε αὐτῶν καὶ εὐεργετουμένων. τοῦτο τοίνυν τὸ ἔθος Κορίνθιοι, τοῦ χρόνου προϊόντος, διέφθειρον, καὶ καθ' ἑαυτοὺς ἑστιώμενοι οἱ εὐπορώτεροι, τοὺς πένητας περιεώρων, καὶ οὐκ ἀνέμενον ὑστερίζοντας πολλάκις, καὶ ὑπὸ βιω-

β.Κορ. α.

β.Κορ. θ. ζ.

Λουκ. ιη. ιβ.

τικῶν χρειῶν, οἷα τὰ τῶν πενήτων, καταισχυνομένους καὶ βραδύνοντας. ἐκ δὲ τούτου συνέβαινε παραλιμπανομένους αὐτοὺς ὕστερον μετὰ αἰσχύνης ἀναχωρεῖν, τῆς τραπέζης ἀναιρεθείσης, φθανόντων τούτων, κἀκείνων ὑστεριζόντων. ὁρῶν τοίνυν ὁ Παῦλος ἐκ τοῦ πράγματος τούτου πολλὰ κακὰ, τὰ μὲν γινόμενα, τὰ δὲ μέλλοντα (καὶ γὰρ καταφρόνησις τῶν πενήτων τοῖς πλουσίοις ἐγίνετο καὶ ὑπεροψία πλείων, καὶ τοῖς πένησιν ἀθυμία καὶ ἀπέχθεια πρὸς τοὺς πλουτοῦντας, καὶ ὅσα ἄλλα εἰκὸς ἦν ἀπὸ τούτων τεχθῆναι τῶν κακῶν) διορθοῦται τὴν πονηρὰν ταύτην καὶ πικρὰν συνήθειαν. καὶ ὅρα μεθ' ὅσης συνέσεως καὶ ἐπιεικείας εἰς τὴν διόρθωσιν ἐνέβαλεν. α. Κορ. ια. 15. ἀρχόμενος γὰρ οὕτω φησί· Τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ, ὅτι οὐκ εἰς τὸ κρεῖττον, ἀλλ' εἰς τὸ ἧττον συνέρχεσθε. τί δέ ἐστιν, οὐκ εἰς τὸ κρεῖττον; οἱ πρόγονοί, φησιν, οἱ ὑμέτεροι καὶ οἱ πατέρες καὶ τὰς ἑαυτῶν οὐσίας ἐπώλουν καὶ τὰ κλήματα καὶ τὰς ὑπάρξεις, καὶ κοινὰ πάντα εἶχον, καὶ πολλὴν πρὸς ἀλλήλους τὴν ἀγάπην· ὑμεῖς δὲ ὀφείλοντες ἐκείνους ζηλοῦν, οὐ μόνον οὐδὲν ἐποιήσατε τοιοῦτον, ἀλλὰ καὶ ὅπερ εἴχετε μόνον, καὶ τοῦτο ἀπωλέσατε, τὰ συμπόσια τὰ κατὰ σύναξιν γινόμενα. διὰ τοῦτό φησιν, ὅτι οὐκ εἰς τὸ κρεῖττον, ἀλλ' εἰς τὸ ἧττον συνέρχεσθε. καὶ ἐκεῖνοι μὲν καὶ τῶν κλημάτων ἁπάντων τοῖς πένησι παρεχώρησαν· ὑμεῖς δὲ τραπέζης αὐτοῖς μεταδιδόντες, καὶ ταύτης ἀπεστερήσατε. α. Κορ. ια. 18. Πρῶτον μὲν γὰρ, συνερχομένων ὑμῶν ἐν ἐκκλησίᾳ, ἀκούω σχίσματα ἐν ὑμῖν ὑπάρχειν, καὶ μέρος τι καὶ πιστεύω. ὅρα πῶς πάλιν συνετῶς ποιεῖται τὴν διόρθωσιν. οὐκ εἶπεν, οὔτε ἀπιστῶ, οὔτε πιστεύω· ἀλλὰ μέσον ἀφῆκε τὸ ῥῆμα, ὅτι μέρος τι καὶ πιστεύω· οὐ πιστεύω τέλεον, ἀλλ' οὐδὲ ἀπιστῶ τέλεον. τοῦ δὲ ἢ τοῦτο, ἢ ἐκεῖνο συμβῆναι παντελῶς ὑμεῖς κύριοι. ἂν μὲν γὰρ διορθώσησθε, οὐ πιστεύω· ἂν δὲ ἐπὶ τῶν αὐτῶν μείνητε, πιστεύω. οὔτε οὖν κατηγόρησε, καὶ κατηγόρησεν. οὐ κατηγόρησεν ἀπηρτισμένως, ἵνα αὐτοῖς ἐλπίδα δῷ διορθώσεως καὶ προθεσμίαν μετανοίας· οὐκ ἀφῆκεν ἀνεγκλήτους, ἵνα μὴ ἐπὶ τῆς αὐτῆς μείνωσι ῥᾳθυμίας. οὔπω τέλεον ἐπίστευσά, φησι. τοῦτο γάρ ἐστι τὸ εἰπεῖν, μέρος τι πιστεύω. τοῦτο δὲ ἔλεγε προτρέπων μεταβαλέσθαι καὶ διορθώσασθαι καὶ ἀπαγαγεῖν αὐτὴν τοῦ κἂν ἐκ μέρους πιστεῦσαί τι κατ' αὐτῶν τοιοῦτον. ἴσ. αὐτὸν Δεῖ γὰρ δὲ αἱρέσεις εἶναι, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν. εἶπε οὖν τὰς αἱρέσεις. ἐνταῦθα πρόσεχε, ὅτι οὐ περὶ δογμάτων ἐστὶ τὸ, δεῖ αἱρέσεις ἐν ὑμῖν εἶναι, ἀλλὰ περὶ τῆς διχονοίας τῆς κατὰ τὰς τραπέζας. εἰπὼν γὰρ, δεῖ δὲ καὶ αἱρέσεις εἶναι, ἐπήγαγε καὶ τὸν τρόπον τῶν αἱρέσεων. Συνερχομένων γὰρ ὑμῶν ἐπὶ τὸ αὐτὸ, οὐκ ἔστι κυριακὸν δεῖπνον φαγεῖν. τί ἐστι, κυριακὸν δεῖπνον φαγεῖν; δεσποτικὸν δεῖπνόν, φησιν, οὐκ ἔστι φαγεῖν, ἐκεῖνο λέγων τὸ δεῖπνον, ὃ τῇ ἐσχάτῃ νυκτὶ παρέδωκεν ὁ Χριστὸς, ὅτε οἱ μαθηταὶ μετ' αὐτοῦ πάντες ἦσαν. ἐν ἐκείνῳ γὰρ τῷ δείπνῳ καὶ δεσπότης καὶ δοῦλοι πάντες ὁμοῦ κατέκειντο· ὑμεῖς δὲ σύνδουλοι ὄντες ἀλλήλους διεστήσατε καὶ ἀπεσχίσατε. κἀκεῖνος μὲν οὐδὲ τὸν προδότην ἀπήλασε (καὶ γὰρ ὁ Ἰούδας μετ' αὐτῶν ἦν τότε) σὺ δὲ τὸν ἀδελφὸν διακρούῃ. διὰ τοῦτό φησιν, οὐκ ἔστι κυριακὸν δεῖπνον φαγεῖν, κυριακὸν δεῖπνον καλῶν, τὸ μεθ' ὁμονοίας, τὸ κοινῇ πάντων συγκεκλημένων. Ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει φαγεῖν· καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει. καὶ οὐκ εἶπεν, ὃς μὲν πεινᾷ, ὃς δὲ ἐσθίει, ἀλλὰ τῷ τῆς μέθης ὀνόματι μᾶλλον αὐτῶν καθήψατο. κἀκεῖ, καὶ ἐνταῦθα ἀμετρία, φησί. σὺ μὲν ὑπὸ τῆς ἀδηφαγίας διαῤῥήγνυσαι, ἐκεῖνος δὲ ὑπὸ τοῦ λιμοῦ τήκεται· σὺ καὶ τῶν ὑπὲρ τὴν χρείαν μετέχεις, ἐκεῖνος δὲ οὐδὲ τῶν ἀναγκαίων ἀπέλαυσε. γρ. μετέχεις διπλοῦν τὸ δεινὸν, τῆς ἰσότητος διαφθαρείσης. τοῦτο αἱρέσεις καλεῖ, ἐπειδὴ φιλονείκως πρὸς ἀλλήλους διέκειντο καὶ διεστασίαζον, καὶ ὃς μὲν ἐπείνα, ὃς δὲ ἐμέθυε. καὶ καλῶς εἶπε, συνερχομένων ὑμῶν ἐπὶ τὸ αὐτό. τίνος γὰρ ἕνεκεν συνέρχεσθέ, φησι; τί βούλεται ἡ σύνοδος; τίνος ἕνεκεν ἡ συλλογὴ κοινὴ, ὅταν ἡ τράπεζα μὴ γένηται κοινή; δεσποτικά ἐστι τὰ χρήματα, ἅπερ ἐλάβομεν· γρ. [illegible] κοινὰ προκείσθω τοίνυν τοῖς συνδούλοις τοῖς ἡμετέροις. Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε, φησί, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας; σὺ μὴ νομίζεις, φησί, τὸν ἀδελφὸν ὑβρίζειν μόνον, κοινωνεῖ δὲ καὶ ὁ τόπος τῆς ὕβρεως. ἐκκλησίας γὰρ ὁλοκλήρου καταφρονεῖς. ἐκκλησία γὰρ διὰ τοῦτο λέγεται, ὅτι κοινῇ πάντας ὑποδέχεται. τί τοίνυν τῆς οἰκίας σου τὴν εὐτέλειαν εἰς τὴν ἐκκλησίαν εἰσάγεις; εἰ γὰρ καταφρονεῖς τοῦ ἀδελφοῦ, αἰδέσθητι τὸν τόπον· καὶ γὰρ ἡ ἐκκλησία ὑβρίζεται. καὶ οὐκ εἶπεν, ἀποστερεῖτε τοὺς μὴ ἔχοντας, ἢ, οὐκ ἐλεεῖτε τοὺς μὴ ἔχοντας, ἀλλὰ τί; καταισχύνετε τοὺς μὴ ἔχοντας. ἐντρεπτικώτατα τὴν ἀσωτίαν αὐτῶν ἐπετραγῴδησεν. οὐ γὰρ οὕτω μέλει τῷ πένητι, φησίν, ὑπὲρ τῆς τροφῆς, ὡς ὑπὲρ τῆς ὕβρεως. ὅρα πῶς καὶ ὑπὲρ τούτου τοὺς πένητας ἀπελογήσατο, κἀκείνων σφοδρότερον καθήψατο. τί ὑμῖν εἴπω; ἐπαινέσω ὑμᾶς; ἐν τούτῳ οὐκ ἐπαινῶ. τί τοῦτο; μετὰ τὴν ἀπόδειξιν τῆς ἀτοπίας ὑφειμένη ἡ κατηγορία, καὶ μάλα εἰκότως· ἵνα μὴ ἀναισχυντότεροι γένωνται. πρὶν ἢ μὲν γὰρ ἀποδεῖξαι τὸ πρᾶγμα ἄτοπον, ἀπηρτισμένην ἐξήνεγκε τὴν ἀπόφασιν, εἰπών· τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ. ὅτε δὲ ἀπέδειξεν ἀκριβῶς πολλῶν ὄντας ἐγκλημάτων ἀξίους, ὑφειμένῃ κέχρηται τῇ διαβολῇ, τῇ τῶν εἰρημένων κατασκευῇ καὶ ἀποδείξει τὸ σφοδρότερον τῆς κατηγορίας ἀφεὶς ἐναποκεῖσθαι. εἶτα ἐπὶ τὴν μυστικὴν τράπεζαν ἐξάγει τὸν λόγον, μειζόνως αὐτοὺς φοβῆσαι βουλόμενος. Ἐγὼ γάρ, φησι, παρέλαβον ἀπὸ τοῦ Κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν. ποία ἀκολουθία αὕτη; περὶ ἀρίστου διαλέγῃ κοινοῦ, καὶ μυστηρίων φρικτῶν μέμνησαι; ναί, φησίν. εἰ γὰρ τὰ πνευματικὰ ἐκεῖνα, εἰ γὰρ ἡ τράπεζα ἡ φρικώδης κοινὴ πᾶσι πρόκειται καὶ πλουσίῳ καὶ πένητι, καὶ οὐχὶ δαψιλέστερον ἀπολαύει ταύτης ὁ πλούσιος, οὐδὲ ἔλαττον ὁ πένης, ἀλλὰ μία τιμή, καὶ πρόσοδος μία· καὶ ἕως ἂν πάντες μεταλάβωσι καὶ κοινωνήσωσι τῆς πνευματικῆς καὶ ἱερᾶς ταύτης τραπέζης, οὐ συστέλλεται τὰ προκείμενα, ἀλλ' ἑστήκασιν οἱ ἱερεῖς ἅπαντες, καὶ τὸν πάντων πενέστερον καὶ εὐτελέστερον ἀναμένοντες, πολλῷ μᾶλλον ἐπὶ τῆς αἰσθητῆς τοῦτο χρὴ ποιεῖν. διὰ τοῦτο ἐμνήσθην ἐκείνου τοῦ Κυριακοῦ δείπνου. ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ Κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ Κύριος Ἰησοῦς ἐν τῇ νυκτί, ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε, καὶ εἶπε· τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ πολλῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν. τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων· τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι. εἶτα πολλὰ διαλεχθεὶς περὶ τῶν ἀναξίως κοινωνούντων τοῖς μυστηρίοις, καὶ σφόδρα αὐτῶν καθαψάμενος καὶ διελέγξας, διδάξας τε ὅτι τοῖς τὸν Χριστὸν ἀποκτείνασι τὴν αὐτὴν ὑποστήσονται τιμωρίαν οἱ τὸ αἷμα αὐτοῦ καὶ τὸ σῶμα ἁπλῶς καὶ ὡς ἔτυχε λαμβάνοντες, πάλιν εἰς τὴν προκειμένην ὑπόθεσιν τὸν λόγον ἐξήγαγεν, εἰπών· Ὥστε, ἀδελφοί, συνερχόμενοι εἰς τὸ φαγεῖν, ἀλλήλους ἐκδέχεσθε. εἰ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω, ἵνα μὴ εἰς κρίμα συνέρχησθε. ὅρα πῶς λανθανόντως καὶ λαιμαργίαν αὐτῶν κατέγνω, καὶ οὐκ εἶπεν, εἰ δὲ πεινᾶτε, ἀλλ', εἰ δέ τις πεινᾷ, ἵνα ἕκαστος αἰσχυνόμενος αὐτὸς ὑπεύθυνος φανῆναι τοῖς ἐγκλήμασι, προλαβὼν διορθώσηται. καὶ εἰς κολάσεως δὲ φόβον τὸν λόγον κατέκλεισεν εἰπών· ἵνα μὴ εἰς κρίμα συνέρχησθε, τουτέστιν, εἰς κατάκριμα καὶ εἰς ὀνειδισμόν. οὐ γάρ ἐστι τροφή, φησίν, οὐδὲ τράπεζα ἡ μετὰ αἰσχύνης τοῦ ἀδελφοῦ, ἢ μετὰ καταφρονήσεως τῆς ἐκκλησίας, ἢ μετὰ λαιμαργίας ἢ ἀσωτίας γινομένη. οὐκ ἔστιν εὐφροσύνη ταῦτα, ἀλλὰ κόλασις καὶ τιμωρία. μεγάλην γὰρ ἐπισπᾶσθε καθ' ἑαυτῶν δίκην τοὺς ἀδελφοὺς ὑβρίζοντες, τῆς ἐκκλησίας καταφρονοῦντες, οἰκίαν ἰδιωτικὴν τὸν ἅγιον τόπον ποιοῦντες, διὰ τὸ καθ' ἑαυτοὺς ἐσθίειν. ταῦτα καὶ ὑμεῖς ἀκούσαντες, ἀγαπητοί, ἐπιστομίζετε τοὺς ἁπλῶς τῇ ἀποστολικῇ κεχρημένους ῥήσει καὶ διδασκαλίᾳ, διορθοῦντές τε τοὺς ἐπὶ βλάβῃ τῇ ἑαυτῶν καὶ τῇ ἑτέρων ταῖς γραφαῖς κεχρημένους. ἔγνωτε γὰρ περὶ τίνος φησὶ τό, Δεῖ γὰρ καὶ αἱρέσεις εἶναι ἐν ὑμῖν, περὶ τῆς διχοστασίας τῆς ἐν ταῖς τραπέζαις γινομένης,

α.Κορ.ια.κγ.

α.Κορ.ια.λγ.

νομένης, ἐπειδὰν ὁ μὲν πεινᾷ, ὁ δὲ μεθύει· καὶ μετὰ τῆς ὀρθῆς πίστεως καὶ πολιτείαν συμβαίνουσαν τοῖς δόγμασιν ἐπιδειξώμεθα, πολλὴν περὶ τοὺς πένητας φιλοφροσύνην, πολλὴν ὑπὲρ τῶν δεομένων ποιούμενοι πρόνοιαν. ἐμπορείαν πνευματικὴν ἐμπορευσώμεθα, μηδὲν πλέον τῆς χρείας ἐπιζητῶμεν. τοῦτο πλοῦτος, τοῦτο ἐμπορεία, τοῦτο θησαυρὸς ἀνελλιπὴς, τὸ πάντα τὰ ὄντα εἰς τὸν οὐρανὸν μεταθεῖναι, καὶ θαῤῥεῖν λοιπὸν ὑπὲρ τῆς φυλακῆς τῶν ἀποκειμένων. διπλοῦν γὰρ ὑμῖν ἀπὸ τῆς ἐλεημοσύνης ἔσται τὸ κέρδος, ὅτι τε οὐκέτι δεδοίκαμεν ὑπὲρ τῶν καταβληθέντων χρημάτων, μήποτε λῃσταὶ καὶ τοιχωρύχοι καὶ οἰκετῶν κακουργία αὐτὰ λυμήνηται, καὶ ὅτι κείμενα οὐχ ἁπλῶς κατορώρυκται ἄκαρπα. ἀλλ' ὥσπερ ῥίζα ἐν λιπαρῷ φυτευθεῖσα χωρίῳ, καθ' ἕκαστον ἐνιαυτὸν ὡρίμους * φέρει τοὺς καρποὺς· οὕτω καὶ ἀργύριον ἐν ταῖς τῶν πενήτων χερσὶ φυτευθὲν, οὐ καθ' ἕκαστον ἐνιαυτὸν μόνον, ἀλλὰ καὶ καθ' ἑκάστην ἡμέραν πνευματικοὺς ἡμῖν φέρει τοὺς καρποὺς, παῤῥησίαν πρὸς τὸν Θεὸν, ἁμαρτημάτων συγχώρησιν, ἀγγέλων ἐγγύτητα, συνειδὸς ἀγαθὸν, εὐφροσύνην πνευματικῆς ἀγαλλιάσεως, ἐλπίδα ἀκαταίσχυντον, τὰ θαυμαζόμενα ἀγαθὰ, ἅπερ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν, καὶ τοῖς ἐν θερμῇ καὶ ζεούσῃ ψυχῇ ἐκζητοῦσι τὸ ἔλεος τῆς ἐπιφανείας αὐτοῦ· ἧς γένοιτο πάντας ἡμᾶς τὸν παρόντα βίον εὐαρέστως διανύσαντας ἐπιτυχεῖν, τῆς αἰωνίου τῶν σωζομένων χαρᾶς, χάριτι καὶ οἰκτιρμοῖς τοῦ ἀληθινοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ παναγίῳ αὐτοῦ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* ἡμῖν

Λογ. ιε. ΕΙΣ ΤΗΝ ΑΠΟΣΤΟΛΙΚΗΝ ΡΗΣΙΝ ΤΗΝ ΛΕΓΟΥΣΑΝ, Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως κατὰ τὸ γεγραμμένον· καὶ εἰς τὸ, Ἐπίστευσα, διὸ ἐλάλησα· καὶ περὶ ἐλεημοσύνης. Λογ. α.

β. Κορ. δ. ιγ.

ΟΙ σοφώτατοι τῶν ἰατρῶν ἐπειδὰν ἴδωσιν ἕλκος σιδήρου δεόμενον, ἐπάγουσι μὲν τὴν τομὴν, ἐπάγουσι δὲ οὐκ ἀναλγήτως, οὐδὲ ἀσυμπαθῶς, ἀλλὰ καὶ ἀλγοῦσι καὶ χαίρουσιν αὐτῶν οὐχ ἧττον τῶν τεμνομένων. καὶ ἀλγοῦσι μὲν διὰ τὴν ἐκ τῆς πληγῆς γινομένην ὀδύνην, χαίρουσι δὲ διὰ τὴν ἐξ αὐτῆς τικτομένην ὑγίειαν. τοῦτο καὶ ὁ Παῦλος ἐποίησεν ὁ σοφὸς τῶν ψυχῶν ἰατρός. Κορινθίοις γάρ ποτε δεομένοις ἐπιτιμήσεως σφοδροτέρας ἐπιτιμήσας, καὶ ἥσθη καὶ ἐλυπήθη· καὶ ἐλυπήθη μὲν, ὅτι ὠδύνησεν, ἥσθη δὲ ὅτι ὠφέλησε. καὶ ἀμφότερα ταῦτα δηλῶν, ἔλεγεν· Ὥστε εἰ καὶ ἐλύπησα ὑμᾶς ἐν τῇ προτέρᾳ ἐπιστολῇ, οὐ μεταμέλομαι, εἰ καὶ μετεμελόμην. διὰ τί μετεμέλου; διὰ τί δὲ πάλιν οὐ μεταμέλῃ; μετεμελόμην, ἐπειδὴ σφοδρότερον ἔπληξα· οὐ μεταμέλομαι, ἐπειδὴ διώρθωσα. καὶ ἵνα μάθῃς ὅτι διὰ τοῦτο, ἄκουσον τῶν ἑξῆς. Βλέπω γὰρ, ὅτι ἡ ἐπιστολὴ ἐκείνη, εἰ καὶ πρὸς ὥραν, ἐλύπησεν ὑμᾶς· νῦν χαίρω, οὐχ ὅτι ἐλυπήθητε, ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν. εἰ καὶ πρὸς ὥραν ἐλύπησα ὑμᾶς· τὸ λυπητήριον πρόσκαιρον, φησὶ, τὸ δὲ ὠφέλιμον διηνεκές. δότε δὴ κἀμοὶ ταῦτα τὰ ῥήματα, παρακαλῶ, πρὸς τὴν ἀγάπην τὴν ὑμετέραν εἰπεῖν· ὥστε εἰ καὶ ἐλύπησα ὑμᾶς ἐπὶ τῇ προτέρᾳ παραινέσει, οὐ μεταμέλομαι, εἰ καὶ μετεμελόμην. βλέπω γὰρ, ὅτι ἡ παραίνεσις ἐκείνη καὶ ἡ συμβουλὴ, εἰ καὶ πρὸς ὥραν ὑμᾶς ἐλύπησεν, ἀλλ' ἡμᾶς μειζόνως ηὔφραινεν· οὐχ ὅτι ἐλυπήθητε, ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν. ἰδοὺ γὰρ αὐτὸ τοῦτο τὸ κατὰ Θεὸν λυπηθῆναι ὑμᾶς πόσην κατειργάσατο ἐν ὑμῖν σπουδήν; λαμπρότερος ἡμῖν σήμερον ὁ σύλλογος, φαιδρότερον τὸ θέατρον, πλείων τῶν ἀδελφῶν ὁ χορός. αὕτη ἡ σπουδὴ τῆς λύπης ἐκείνης καρπός. διὰ τοῦτο, ὅσον ὠδυνήθην τότε, τοσοῦτον νῦν χαίρω, ὁρῶν τὴν ἄμπελον

β. Κορ. ζ. η.

χ. ὅτι

ἡμῖν τὴν πνευματικὴν τῷ καρπῷ βριθομένην. εἰ γὰρ ἐπὶ τῶν ἐδεσμάτων τῶν αἰσθητῶν, φέρει τινὰ φιλοτιμίαν καὶ εὐφροσύνην τῷ καλοῦντι τῶν δαιτυμόνων τὸ πλῆθος, πολλῷ μᾶλλον ἐπὶ τῶν ἐδεσμάτων τῶν πνευματικῶν τοῦτο γένοιτ' ἄν. καίτοιγε ἐκεῖ τὸ πλῆθος τῶν κεκλημένων μᾶλλον ἀναλίσκει τὰ παρακείμενα, καὶ δαπάνην ἐργάζεται πλείω· ἐνταῦθα δὲ τοὐναντίον, οὐ μόνον οὐκ ἀναλίσκει τὸ πλῆθος τῶν κεκλημένων, ἀλλὰ καὶ πλεονάζει τὴν τράπεζαν. εἰ δὲ ἐκεῖ ἡ δαπάνη ἡδονὴν ἐργάζεται, πολλῷ μᾶλλον ἐνταῦθα ἡ πρόσοδος τοῦτο ἐργάσεται. καὶ γὰρ τοιαύτη τῶν πνευματικῶν ἡ φύσις, εἰς πολλοὺς διανεμομένη μᾶλλον αὔξεται. ἐπεὶ οὖν πλήρης ἡμῖν ἡ τράπεζα, προσδοκῶ καὶ τὴν τοῦ πνεύματος χάριν ἐνηχῆσαι ἡμῶν τῇ διανοίᾳ. ὅταν γὰρ ἴδῃ πολλοὺς παρόντας, τότε δαψιλεστέραν παρατίθεται τὴν ἑστίασιν· οὐκ ἐπειδὴ τῶν ὀλίγων καταφρονεῖ, ἀλλ' ἐπειδὴ τῆς τῶν πολλῶν ἐφίεται σωτηρίας. διὰ τοῦτο καὶ τὸν Παῦλον παρατρέχοντα τὰς ἄλλας πόλεις, ἐν Κορίνθῳ μένειν ἐκέλευσε φανεὶς ὁ Χριστός, καὶ εἰπών· Μὴ φοβοῦ, ἀλλὰ λάλει, καὶ μὴ σιωπήσῃς· διότι λαὸς πολύς ἐστί μοι ἐν τῇ πόλει ταύτῃ. Πρξ. ιη. θ. εἰ γὰρ ὑπὲρ ἑνὸς προβάτου, ὄρη καὶ νάπας καὶ τὴν ἄβατον ἔπεισι χώραν ὁ ποιμήν, ὅταν πολλὰ πρόβατα μέλλῃ ῥᾳθυμίας καὶ πλάνης ἀπάγειν, πῶς οὐ πολλὴν ἐπιδείξεται σπουδήν; ὅτι γὰρ οὐδὲ τῶν ὀλίγων καταφρονεῖ, ἄκουσον αὐτοῦ λέγοντος· Οὐκ ἔστι θέλημα τοῦ πατρός μου, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων. Ματθ. ιη. ιδ. οὔτε οὖν ἡ ὀλιγότης, φησίν, οὔτε ἡ εὐτέλεια ὑπεριδεῖν αὐτὸν πείθει τῆς σωτηρίας ἡμῶν. ἐπεὶ οὖν τοσαύτη μὲν αὐτῷ τῶν μικρῶν καὶ ἐλαχίστων ἡ πρόνοια, τοσαύτη δὲ τῶν πολλῶν, τὸ πᾶν ἐπὶ τὴν ἐκεῖθεν ῥοπὴν ῥίψαντες, ἐπὶ τὴν Παύλου ῥῆσιν τὴν σήμερον ἀναγνωσθεῖσαν τὸν λόγον ἀγάγωμεν. τίς δὲ ἡ ῥῆσις; Οἴδαμεν γάρ, ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους, φησί, καταλυθῇ· β. Κορ ε. α. μᾶλλον δὲ ἀνωτέρω καὶ ἐπ' αὐτὴν τὴν κεφαλὴν τοῦ νοήματος ἴωμεν. καθάπερ γάρ τινες πηγὴν ἀνιχνεύοντες, εἶτα διάβροχον ἰδόντες χωρίον, οὐκ ἐκεῖ διασκάπτουσι μόνον, ἀλλ' ὑπὸ τῆς νοτίδος αὐτῆς καὶ τῆς φλεβὸς χειραγωγούμενοι ἐνδοτέρω χωροῦσιν, ἕως ἂν ἐπὶ τὴν ῥίζαν καὶ τὴν ἀρχὴν τῶν ναμάτων ἔλθωσιν· οὕτω δὴ καὶ ἡμεῖς ποιήσωμεν· πηγὴν εὑρόντες πνευματικὴν ἐκ τῆς Παύλου σοφίας ἐξιοῦσαν, ὥσπερ ὑπό τινος φλεβὸς τῆς ῥήσεως χειραγωγούμενοι, πρὸς τὴν ῥίζαν αὐτὴν ἀναβῶμεν τοῦ νοήματος. τίς οὖν ἐστιν ἡ κεφαλὴ καὶ ἡ ῥίζα; Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως κατὰ τὸ γεγραμμένον· ἐπίστευσα, διὸ ἐλάλησα· καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν. β. Κορ. δ. ιγ. τί λέγεις; ἂν μὴ πιστεύσῃς, οὐ λαλεῖς, ἀλλὰ ἄφωνος ἕστηκας; ναί, φησιν· οὐδὲ γὰρ τὸ στόμα δύναμαι χωρὶς πίστεως, οὐδὲ κινῆσαι γλῶτταν, οὐδὲ ἀνοῖξαι χείλη. ἄφωνος ὁ λογικὸς ἕστηκα χωρὶς τῆς ἐκεῖθεν διδασκαλίας. καθάπερ γὰρ ῥίζης μὴ πεφυτευμένης, οὐκ ἂν βλαστήσειε καρπός· οὕτω πίστεως μὴ προκαταβεβλημένης, οὐκ ἂν προέλθοι διδασκαλίας λόγος. διὰ τοῦτο καὶ ἀλλαχοῦ φησι· Καρδίᾳ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. τί τοῦ δένδρου τούτου βέλτιον, ἢ ἴσον γένοιτ' ἄν, ὅταν μὴ οἱ κλάδοι μόνον, ἀλλὰ καὶ αὐτὴ ἡ ῥίζα φέρῃ καρπόν, ἡ μὲν δικαιοσύνην, ἡ δὲ σωτηρίαν; διὰ τοῦτό φησι· πιστεύομεν, διὸ καὶ λαλοῦμεν. καθάπερ γὰρ τὰ τοῦ σώματος μέλη καὶ τῷ γήρᾳ παρειμένα βακτηρία μετὰ ἀσφαλείας χειραγωγοῦσα, οὐκ ἀφίησιν ὀλισθῆσαι καὶ καταπεσεῖν· οὕτω δὴ καὶ τὴν ψυχὴν τὴν ἡμετέραν σαλευομένην καὶ περιφερομένην ὑπὸ τῆς τῶν λογισμῶν ἀσθενείας, βακτηρίας ἀσφαλέστερον ἡ πίστις ἕλκουσα, καὶ τῇ τῆς οἰκείας ἰσχύος ἐπαναπαύουσα δυνάμει, στηρίζει μετὰ ἀκριβείας, καὶ οὐκ ἀφίησιν ὑποσκελισθῆναί ποτε, τὸ τῶν λογισμῶν ἀσθενὲς τῇ τῆς οἰκείας ἰσχύος περιουσίᾳ διορθουμένη, καὶ τὸν ἐξ αὐτοῦ ἀπελαύνουσα ζόφον, καὶ τὴν ψυχήν, ὥσπερ ἐν οἴκῳ σκοτεινῷ, τῷ θορύβῳ τῶν λογισμῶν κατεχομένην τῷ οἰκείῳ φωτὶ καταυγάζουσα. διὰ τοῦτο οἱ ταύτης ἀπεστερημένοι, τῶν ἐν σκότει διατελούντων οὐδὲν ἄμεινον διάκεινται. ἀλλ' ὥσπερ ἐκεῖνοι καὶ τοίχοις προσπταίουσι, καὶ τοῖς ἀπαντῶσι προσρήγνυνται, καὶ εἰς βάραθρα ῥαθρα καὶ κρημνοὺς καταφέρεσθαι, καὶ τῶν ὀφθαλμῶν αὐτοῖς ὄφελος οὐδὲν, οὐκ ὄντος τοῦ χειραγωγοῦντος φωτός· οὕτω καὶ οἱ τῆς πίστεως ἀπεστερημένοι καὶ ἀλλήλοις προσερράγησαν καὶ τοίχοις προσέπταισαν, καὶ τέλος εἰς τὸ τῆς ἀπωλείας βάραθρον φέροντες ἑαυτοὺς κατεκρήμνισαν. καὶ μάρτυρες τῶν λόγων τούτων οἱ τὴν ἔξωθεν αὐχοῦντες σοφίαν, οἱ μέγα ἐπὶ τῷ πώγωνι, καὶ τῷ τρίβωνι, καὶ τῇ βακτηρίᾳ φρονοῦντες. μετὰ γὰρ μακροὺς καὶ πολλοὺς διαύλους λόγων, τοὺς παρὰ τῶν ὀφθαλμῶν κειμένους λίθους οὐκ εἶδον. εἰ γὰρ ὡς λίθους αὐτοὺς ἑώρων, οὐκ ἂν αὐτοὺς ἐνόμισαν εἶναι θεούς. καὶ ἀλλήλοις δὲ προσερράγησαν, καὶ εἰς αὐτὸν τῆς ἀσεβείας τὸν βαθύτατον κρημνὸν κατηνέχθησαν, οὐδαμόθεν ἄλλοθεν, ἀλλ' ἢ διὰ τὸ λογισμοῖς ἐπιτρέψαι τὰ καθ' ἑαυτοὺς ἅπαντα. καὶ τοῦτο ὁ Παῦλος δηλῶν ἔλεγεν· (Ῥωμ. α. κα.) Ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία· φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν. Εἶτα λέγων τοῦ σκότους καὶ τῆς μωρίας τὴν ἀπόδειξιν, ἐπήγαγεν· Ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν, καὶ τετραπόδων, καὶ ἑρπετῶν. ἀλλὰ τοῦτο ἅπαν τὸ σκότος ἐπεισελθοῦσα ἡ πίστις διεσκέδασεν ἐκ τῆς ψυχῆς τοῦ ὑποδεξαμένου αὐτήν. καὶ καθάπερ πλοῖον ὑπὸ τῆς τῶν πνευμάτων ἐμβολῆς κλυδωνιζόμενον καὶ ταῖς τῶν κυμάτων ἐπαναστάσεσι περιαντλούμενον ἐξαρτηθεῖσα ἄγκυρα πάντοθεν ἵστησι, καὶ ἐν μέσῳ ῥιζοῖ τῷ πελάγει· οὕτω δὴ καὶ τὸν νοῦν τὸν ἡμέτερον ὅταν οἱ περιπίπτοντες ἔξωθεν λογισμοὶ κλυδωνίζωσιν, ἀγκύρας ἀσφαλέστερον ἐπεισελθοῦσα ἡ πίστις ἀπαλλάττει τοῦ ναυαγίου, ὥσπερ ἐν γαληνῷ λιμένι, τῇ τοῦ συνειδότος πληροφορίᾳ τὸ σκάφος ὁρμίζουσα. καὶ αὐτὸ τοῦτο πάλιν ὁ Παῦλος δηλῶν ἔλεγεν· (Ἐφεσ. δ. ιβ.) ὅτι Διὰ τοῦτο ἔδωκεν ἀποστόλους ὁ Θεὸς πρὸς καταρτισμὸν τῶν ἁγίων, μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως, καὶ τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ Θεοῦ· ἵνα μηκέτι ὦμεν νήπιοι κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ. ὁρᾷς τῆς πίστεως τὸ κατόρθωμα, ὅτι ὡς ἄγκυρά τις ἀσφαλὴς, οὕτως ἐκβάλλει τὸν σάλον; ὅπερ οὖν καὶ αὐτὸς πάλιν Ἑβραίοις ἐπιστέλλει, οὑτωσὶ λέγων περὶ τῆς πίστεως· (Ἑβρ. ς. ιθ.) Ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ, καὶ βεβαίαν, καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος. ἵνα γὰρ ἀκούσας ἄγκυραν, μὴ νομίσῃς κάτω καθέλκεσθαι, δείκνυσιν, ὅτι καινή τις αὕτη τῆς ἀγκύρας ἡ φύσις, οὐ κάτω πιέζουσα, ἀλλ' ἄνω κουφίζουσα τὴν διάνοιαν, καὶ πρὸς τὸν οὐρανὸν μεθιστῶσα, καὶ εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος χειραγωγοῦσα. καταπέτασμα γὰρ ἐνταῦθα τὸν οὐρανὸν ἐκάλεσε. τίνος ἕνεκα, καὶ διὰ τί; ὅτι καθάπερ τὸ καταπέτασμα ἀπὸ τῆς ἔξω σκηνῆς διεῖργε τὰ ἅγια τῶν ἁγίων· οὕτω δὴ καὶ ὁ οὐρανὸς οὗτος, ὥσπερ καταπέτασμα, μέσος τῆς κτίσεως παρεμβεβλημένος ἀπὸ τῆς ἔξω σκηνῆς, τοῦτ' ἔστι, τοῦ κόσμου τούτου τοῦ βλεπομένου, διείργει τὰ ἅγια τῶν ἁγίων, τὰ ἄνω λέγων καὶ τὰ ὑπὲρ αὐτῶν, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθε Χριστός. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐκεῖ μετεωρίζει τὴν ψυχὴν τὴν ἡμετέραν, φησὶν, ἡ πίστις, οὐκ ἀφιεῖσα οὐδενὶ τῶν παρόντων δεινῶν ταπεινωθῆναι, ἀνακουφίζουσα τοὺς πόνους τῇ τῶν μελλόντων ἐλπίδι. ὁ γὰρ πρὸς τὰ μέλλοντα ἀφορῶν, καὶ τὴν ἐκ τῶν οὐρανῶν ἀναμένων ἐλπίδα, καὶ τοὺς ὀφθαλμοὺς τῆς διανοίας ἐκεῖ μετάγων, οὐδὲ αἰσθάνεται τῆς ὀδύνης τῶν ἐν τῷ παρόντι δεινῶν· ὥσπερ οὖν οὐδὲ Παῦλος ᾐσθάνετο. καὶ τὴν αἰτίαν τῆς φιλοσοφίας ἐδίδασκε, λέγων· (β. Κορ. δ. ιζ.) Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης ἡμῖν κατεργάζεται. πῶς, καὶ τίνι τρόπῳ; μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα διὰ τῶν τῆς πίστεως ὀφθαλμῶν. ὥσπερ γὰρ οἱ τοῦ σώματος οὐδὲν βλέπουσι νοητὸν, οὕτως οἱ τῆς πίστεως οὐδὲν βλέπουσιν αἰσθητόν. ἀλλὰ ποίαν πίστιν ἐνταῦθα λέγει ὁ Παῦλος; τὸ γὰρ τῆς πίστεως ὄνομα διπλῆν ἔχει τὴν σημασίαν. καὶ γὰρ πίστις λέγεται, καθ' ἣν τὰ σημεῖα ἐποίουν ποτὲ οἱ ἀπόστολοι, περὶ ἧς ὁ Χριστὸς ἔλεγεν· (Ματθ. ιζ. κ.) Ἐὰν ἔχητε πίστιν, ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, μετάβηθι, καὶ μεταβήσεται· καὶ πάλιν, ὅτε τὸν σεληνιαζόμενον οὐκ ἴσχυσαν ἀπαλλάξαι τοῦ δαίμονος οἱ μαθηταὶ, καὶ τὴν αἰτίαν ἐβούλοντο μαθεῖν, ταύτην αὐτοῖς ᾐνίξατο τὴν ἔλλειψιν τῆς πίστεως, λέγων· Διὰ τὴν ἀπιστίαν ὑμῶν. καὶ ὁ Παῦλος δὲ περὶ αὐτῆς ἔλεγεν, Ἐὰν ἔχω πίστιν, ὥστε ὄρη μεθιστάνειν. καὶ ὅτε δὲ καταποντίζεσθαι ἔμελλε, πεζῇ βαδίζων ἐπὶ τῆς θαλάσσης ὁ Πέτρος, αὐτὸ τοῦτο πάλιν ἐνεκάλεσεν ὁ Χριστὸς, εἰπών· Εἰς τί ἐδίστασας, ὀλιγόπιστε. λέγεται τοίνυν πίστις ἡ τῶν σημείων καὶ τῶν θαυμάτων ποιητική. λέγεται δὲ πίστις καὶ ἡ τῆς εἰς τὸν Θεὸν γνώσεως παρασκευαστική*, καθ' ἣν ἕκαστος ἡμῶν ἐστι πιστός· ὡς ὅταν λέγῃ γράφων Ῥωμαίοις, Εὐχαριστῶ τῷ Θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ, ὅτι ἡ πίστις ὑμῶν ἐν ὅλῳ τῷ κόσμῳ καταγγέλλεται· καὶ Θεσσαλονικεῦσι πάλιν, Ἀφ' ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος τοῦ Θεοῦ, οὐ μόνον ἐν τῇ Μακεδονίᾳ, ἀλλὰ καὶ ἐν τῇ Ἀχαΐᾳ, καὶ ἐν παντὶ τόπῳ ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν ἐξελήλυθε. ποίαν οὖν αἰνίττεται ἐνταῦθα πίστιν; εὔδηλον, ὅτι τὴν τῆς γνώσεως. καὶ δηλοῖ τὰ ἑξῆς. πιστεύομεν γάρ, φησι, διὸ καὶ λαλοῦμεν. τί πιστεύομεν; ὅτι ὁ ἐγείρας Ἰησοῦν, καὶ ἡμᾶς ἐγερεῖ διὰ τῆς δυνάμεως.

α. Κορ. ιγ. β.
Ματθ. ιδ. λ
Ῥωμ. α. η.
α. Θεσ. α. η.

Ἀλλὰ διὰ τί πνεῦμα πίστεως αὐτὴν καλεῖ, καὶ εἰς τὴν τῶν χαρισμάτων καταλέγει τάξιν; εἰ γὰρ χάρισμά ἐστιν ἡ πίστις, καὶ τῆς τοῦ πνεύματος δωρεᾶς μόνον, ἀλλ' οὐχ ἡμέτερον κατόρθωμα, οὔτε οἱ ἀπιστοῦντες κολασθήσονται, οὔτε οἱ πιστεύοντες ἐπαινεθήσονται. τοιαύτη γὰρ τῶν χαρισμάτων ἡ φύσις, οὐκ ἔχει στεφάνους, οὔτε ἀμοιβάς. οὐ γὰρ τῶν δεξαμένων τὸ δῶρόν ἐστι κατόρθωμα, ἀλλὰ τῆς τοῦ παρεσχηκότος φιλοφροσύνης χάρισμα. διὰ τοῦτο καὶ τοῖς μαθηταῖς ἐκέλευσε μὴ χαίρειν ἐπὶ τῷ δαίμονας ἐκβάλλειν, καὶ τοὺς ἐπὶ τῷ ὀνόματι αὐτοῦ προφητεύσαντας καὶ δυνάμεις πολλὰς ποιήσαντας ἐξέβαλε τῆς βασιλείας τῶν οὐρανῶν, ἐπειδὴ ἀπὸ κατορθωμάτων μὲν οἰκείων οὐδεμίαν εἶχον παρρησίαν, ἀπὸ δὲ χαρισμάτων ἐβούλοντο σώζεσθαι μόνον. Εἰ τοίνυν καὶ ἡ πίστις τοιοῦτόν ἐστι, καὶ οὐδὲν ἡμεῖς εἰσηνέγκαμεν, ἀλλὰ τὸ πᾶν τῆς τοῦ πνεύματός ἐστι χάριτος, καὶ ἐκείνη ταῖς ἡμετέραις αὐτὴν ἐγκατέβαλε ψυχαῖς, καὶ οὐδένα διὰ τούτων ληψόμεθα μισθόν, πῶς οὖν ἔλεγε, Καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν; ὅτι καὶ τῆς τοῦ πεπιστευκότος ἀρετῆς ἐστι κατόρθωμα ἡ πίστις. πῶς δὲ ἀλλαχοῦ τοῦτο αὐτὸ πάλιν αἰνίττεται λέγων, Τῷ δὲ μὴ ἐργαζομένῳ, πιστεύοντι δὲ ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ λογίζεται ἡ πίστις εἰς δικαιοσύνην, εἰ τῆς τοῦ πνεύματος χάριτος τὸ πᾶν ἐστι; πῶς δὲ καὶ τὸν πατριάρχην Ἀβραὰμ δι' αὐτῆς μυρίοις ἀνέδησεν ἐγκωμίων στεφάνοις, ὅτι τὰ παρόντα πάντα παραδραμὼν, παρ' ἐλπίδα ἐπ' ἐλπίδι ἐπίστευσε; τίνος οὖν ἕνεκα πνεῦμα πίστεως αὐτὴν καλεῖ; ἐκεῖνο δεῖξαι βουλόμενος, ὅτι τὸ μὲν παρὰ τὴν ἀρχὴν πιστεῦσαι, τῆς ἡμετέρας εὐγνωμοσύνης ἐστὶ, καὶ τὸ ὑπακοῦσαι κληθέντας· μετὰ δὲ τὸ καταβαλέσθαι τὴν πίστιν, τῆς τοῦ πνεύματος δεόμεθα βοηθείας, ὥστε μένειν αὐτὴν διηνεκῶς ἄσειστον καὶ ἀπερίτρεπτον. οὔτε γὰρ ὁ Θεὸς, οὔτε ἡ τοῦ πνεύματος χάρις τὴν ἡμετέραν προφθάνει προαίρεσιν· ἀλλὰ καλεῖ μὲν, ἀναμένει δὲ, ὥστε ἑκόντας καὶ βουληθέντας οἴκοθεν προσελθεῖν· εἶτα, ἐπειδὰν προσέλθωμεν, τότε τὴν παρ' ἑαυτοῦ παρέχει συμμαχίαν ἅπασαν. ἐπειδὴ γὰρ καὶ ὁ διάβολος μετὰ τὸ τῇ πίστει προσελθεῖν ἡμᾶς, εὐθέως ἐπεισέρχεται, τὴν καλὴν ταύτην ῥίζαν ἀνασπάσαι βουλόμενος, καὶ τὰ ζιζάνια σπεῖραι ἐπειγόμενος, καὶ τοῖς γνησίοις καὶ καθαροῖς λυμήνασθαι σπέρμασι, δεόμεθα τῆς τοῦ πνεύματος βοηθείας τότε ἵνα, καθάπερ γεωργὸς φιλόπονος, ἐγκαθεζόμενος ἡμῶν τῇ ψυχῇ, πολλῇ τῇ φειδοῖ καὶ τῇ προνοίᾳ τειχίζῃ πάντοθεν τὸ νεοπαγὲς τῆς πίστεως φυτόν. διὰ τοῦτο καὶ Θεσσαλονικεῦσιν ἐπέστελλε λέγων, Τὸ πνεῦμα μὴ σβέννυτε, δηλῶν ὅτι τῆς τοῦ πνεύματος χάριτος ἐπεισελθούσης, ἀκαταγώνιστοι τῷ πονηρῷ δαίμονι λοιπὸν καὶ ταῖς μεθοδείαις αὐτοῦ πάσαις ἐσόμεθα. Εἰ γὰρ οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ, πολλῷ μᾶλλον τὴν πίστιν ἀσφαλῆ καὶ ἐρριζωμένην οὐ δυνήσεται κατασχεῖν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ. πῶς δὲ δυνησόμεθα τὴν τοῦ πνεύματος

Ῥωμ. ι. ι.
Ῥωμ. δ. α.
α. Θεσ. ε. ιθ.

το

τος ἐπισπάσασθαι βοήθειαν, καὶ πεῖσαι μεῖναι παρ' ἑαυτοῖς; δι' ἔργων ἀγαθῶν καὶ πολιτείας ἀρίστης. καθάπερ γὰρ τὸ λυχνιαῖον φῶς ἐλαίῳ κατέχεται, καὶ ἀναλωθέντος τούτου κἀκεῖνο συναναλωθὲν ἄπεισιν, οὕτω δὴ καὶ ἡ τοῦ πνεύματος χάρις. χ. σβέννυται
παρόντων μὲν ἡμῖν ἔργων ἀγαθῶν, καὶ ἐλεημοσύνης πολλῆς ἐπιχεομένης τῇ ψυχῇ, μένει καθάπερ ἐλαίῳ κατεχομένη ἡ φλὸξ· ταύτης δὲ οὐκ οὔσης, ἄπεισι καὶ ἀναχωρεῖ· ὅπερ καὶ ἐπὶ τῶν πέντε παρθένων ἐγένετο. καὶ γὰρ ἐκεῖναι μετὰ τοὺς πολλοὺς πόνους καὶ τοὺς ἱδρῶτας, ἐπειδὴ τὴν ἀπὸ τῆς φιλανθρωπίας οὐκ εἶχον βοήθειαν, οὐκ ἴσχυσαν παρ' ἑαυταῖς κατασχεῖν τὸ τοῦ πνεύματος χάρισμα. διὸ καὶ τοῦ νυμφῶνος ἐξεβλήθησαν, καὶ τῆς φοβερᾶς ἐκείνης ἤκουσαν φωνῆς, Ὑπάγετε, οὐκ οἶδα ὑμᾶς, ἣ καὶ τῆς γεέννης ἦν χαλεπωτέρα. διὰ τοῦτο καὶ μωρὰς αὐτὰς ὠνόμασεν· εἰκότως· ὅτι τυραννικωτέρας ἐπιθυμίας περιγενόμεναι, ὑπὸ τῆς ἀσθενεστέρας ἑάλωσαν. ὅρα γάρ· φύσεως βίαν ἐνίκησαν, λυττῶσαν μανίαν ἐχαλίνωσαν, τὰ τῆς ἐπιθυμίας ἐστόρεσαν κύματα, ἐν γῇ διατρίβουσαι ἀγγελικὸν ἐπεδείξαντο βίον, σῶμα περικείμεναι πρὸς τὰς ἀσωμάτους ἡμιλλήθησαν δυνάμεις· καὶ μετὰ τοσοῦτον πόνον χρημάτων ἐπιθυμίας οὐκ ἐκράτησαν, ὄντως μωραὶ καὶ ἀνόητοι. διὰ τοῦτο καὶ οὐδὲ συγγνώμης ἠξιώθησαν. ῥᾳθυμίας γὰρ τὸ πταῖσμα γέγονε μόνον. αἱ γὰρ ἐν τοσαύτῃ φλογὶ καμίνου ἐπιθυμίας δυνηθεῖσαι σβέσαι, καὶ ὑπὲρ τὰ σκάμματα πηδήσασαι, καὶ πλείω τῶν προσταχθέντων ἐπιδειξάμεναι (οὐ γάρ ἐστι νόμος ἡ παρθενία, ἀλλὰ τῇ προαιρέσει τῶν ἀκουόντων ἐπιτέτραπται) εἶτα ὑπὸ χρημάτων ἡττηθεῖσαι, τίνος οὐκ ἂν εἶεν ἐλεεινότεραι, δι' ὀλίγων ἀργυρίων τὸν στέφανον ἀπὸ τῆς κεφαλῆς ῥίψασαι; ταῦτα λέγω, οὐχὶ τὰς χεῖρας τῶν παρθένων ἐκλύων, οὐδὲ τὴν παρθενίαν σβέσαι βουλόμενος· ἀλλ' ἵνα μὴ ἀνόητα δράμωσιν, ἵνα μὴ μετὰ μυρίους ἱδρῶτας ἀστεφάνωτοι καὶ αἰσχύνης γέμουσαι ἐκ τῶν σκαμμάτων ἀναχωρήσωσι. καλὸν ἡ παρθενία καὶ ὑπὲρ τὴν φύσιν τὸ κατόρθωμα· ἀλλὰ τὸ καλὸν τοῦτο καὶ μέγα καὶ ὑπὲρ τὴν φύσιν, ἂν μὴ φιλανθρωπίας ἔχῃ (συνεζευγμένην, οὐδὲ ἐπιβαίνειν τῶν τοῦ νυμφῶνος προθύρων δυνήσεται). καὶ σκόπει μοι τῆς φιλανθρωπίας τὴν ἰσχὺν, καὶ τῆς ἐλεημοσύνης τὴν δύναμιν. παρθενία μὲν χωρὶς ἐλεημοσύνης οὐκ ἴσχυσεν οὐδὲ μέχρι τῶν προθύρων τοῦ νυμφῶνος ἀγαγεῖν· ἐλεημοσύνη δὲ χωρὶς παρθενίας, τοὺς ἑαυτῆς τροφίμους μετὰ πολλῶν ἐγκωμίων εἰς τὴν πρὸ καταβολῆς κόσμου βασιλείαν ἡτοιμασμένην ἐχειραγώγησεν. αὗται μὲν γὰρ, ἐπειδὴ ἐλεημοσύνην οὐκ ἐπεδείξαντο δαψιλῆ, ἤκουσαν, Ὑπάγετε, οὐκ οἶδα ὑμᾶς· χ. ἐν
ἐκεῖνοι δὲ τὸν διψῶντα ποτίσαντες, καὶ πεινῶντα θρέψαντες τὸν Χριστὸν, καίτοι παρθενίαν μὴ προβαλλόμενοι, ἤ-
Ματθ. κε. λδ. κουσαν, Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. καὶ μάλα εἰκότως. ὁ μὲν γὰρ παρθενεύων καὶ νηστεύων, ἑαυτῷ χρήσιμος· ὁ δὲ ἐλεῶν, κοινός ἐστι τῶν ναυαγούντων λιμὴν, τὰς τῶν πλησίον διορθούμενος πενίας, καὶ τὰς ἑτέρων λύων ἀνάγκας. τῶν δὲ κατορθωμάτων ἐκεῖνα μάλιστα εὐδοκιμεῖν εἴωθεν, ἅπερ ἂν πρὸς τὸ συμφέρον ἑτέροις γίνηται. καὶ ἵνα μάθῃς, ὅτι αὐταὶ μᾶλλον τῷ Θεῷ περισπούδαστοι τῶν ἄλλων αἱ ἐντολαὶ, περὶ μὲν νηστείας καὶ παρθενίας διαλεγόμενος, βασιλείας οὐρανῶν μέμνηται· ἴσ. ὁ μέμνηται
περὶ δὲ ἐλεημοσύνης καὶ φιλανθρωπίας καὶ τοῦ ποιεῖν ἑαυτοὺς οἰκτίρμονας νομοθετῶν, πολὺ μεῖζον τῆς βασιλείας τῶν οὐ-
Ματθ. ε. μη. ρανῶν τέθεικεν ἔπαθλον, Ὅπως γένησθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, λέγων. ἐκεῖνοι γὰρ μάλιστα τῶν νόμων ὁμοίους ποιοῦσι τοὺς ἀνθρώπους τῷ Θεῷ, ὡς ἀνθρώπους εἰκὸς γενέσθαι ὁμοίους τοῦ Θεοῦ, οἱ πρὸς τὸ κοινῇ συμφέρον ἐκβαίνοντες. καὶ δηλῶν αὐτὸ τοῦτο ὁ Χριστὸς, ἔλεγεν· Ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. οὕτω καὶ ὑμεῖς τοῖς οὖσι κατὰ δύναμιν εἰς τὸ κοινῇ συμφέρον τῶν ἀδελφῶν ἀποκεχρημένοι, μιμήσασθε τὸν τὰ ἀγαθὰ αὐτοῦ προτιθέντα πᾶσιν ὁμοίως. μέγα τὸ τῆς παρθενίας ἀξίωμα, καὶ διὰ τοῦτο μᾶλλον συγκροτηθῆναι αὐτὸ βούλομαι. παρθενίας

γὰρ ἀξίωμα οὐκ ἀπέχεσθαι γάμων μόνον, ἀλλὰ τὸ φιλάνθρωπον εἶναι καὶ φιλάδελφον καὶ συμπαθητικόν. τί γὰρ ὄφελος, παρθενία μετὰ ὠμότητος; τί δὲ κέρδος, σωφροσύνη μετὰ ἀπανθρωπίας; οὐχ ἑάλως σωμάτων ἐπιθυμίᾳ, ἀλλ' ἑάλως χρημάτων ἐπιθυμίᾳ· οὐκ ἐθαύμασας ἀνθρώπου πρόσωπον, ἀλλ' ἐθαύμασας χρυσίου κάλλος· τὸν μείζονα ἐνίκησας ἀνταγωνιστήν, ἀλλ' ὁ ἐλάττων καὶ ἀσθενέστερος ἐκράτησέ σου καὶ περιεγένετο. διὰ τοῦτο αἰσχροτέραν ἐποίησέ σου τὴν ἧτταν· διὰ τοῦτο οὐδὲ συγγνώμης ἔτυχες, τοσαύτης μὲν περιγενομένη βίας, καὶ πρὸς τὴν φύσιν αὐτὴν ἀποδυσαμένη, ὑπὸ δὲ φιλαργυρείας ἁλοῦσα, ἣν καὶ οἰκέται πολλάκις καὶ βάρβαροι ἀπονητὶ νικῆσαι ἠδυνήθησαν.

Ταῦτ' οὖν ἅπαντα εἰδότες, ἀγαπητοί, καὶ οἱ γάμοις ὁμιλοῦντες, καὶ οἱ παρθενίαν ἀσκοῦντες, πολλὴν ἐπιδειξώμεθα περὶ τὴν ἐλεημοσύνην σπουδήν, ἐπειδὴ μηδὲ ἑτέρως ἔστι τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν. εἰ γὰρ παρθενία χωρὶς ἐλεημοσύνης οὐκ ἴσχυσεν εἰς βασιλείαν * εἰσαγαγεῖν, ποῖον ἕτερον κατόρθωμα τοῦτο ἰσχύσει, ἢ δυνήσεται ταύτης χωρίς; οὐκ ἔστιν οὐδέν. πάσῃ τοίνυν ψυχῇ καὶ δυνάμει τὸ ἔλαιον ἐγχέωμεν ταῖς λαμπάσι, καὶ δαψιλὲς ἔστω καὶ διηνεκὲς τοῦτο, ἵνα φαιδρὸν καὶ πλούσιον μείνῃ τὸ φῶς. μὴ γὰρ δὴ τὸν πένητα ἴδῃς τὸν λαμβάνοντα, ἀλλὰ τὸν Θεὸν τὸν ἀποδιδόντα· μὴ τὸν δεχόμενον τὸ ἀργύριον, ἀλλὰ τὸν ὑπεύθυνον γινόμενον τῷ ὀφλήματι. διὰ γὰρ τοῦτο ἕτερος λαμβάνει, καὶ ἕτερος ἀποδίδωσιν, ἵνα ἡ μὲν τοῦ δεχομένου πενία καὶ ἡ συμφορὰ πρὸς ἔλεον ἐπικάμψῃ καὶ συμπάθειαν· ὁ δὲ τοῦ μέλλοντος ἀποδιδόναι πλοῦτος τὴν καταβολὴν ἐγγυώμενος, καὶ τὴν μετὰ πολλῆς προσθήκης ἔκτισιν ἐπομνύμενος, θαρρῆσαι παρασκευάσῃ περὶ τοῦ δανείου καὶ τοῦ τέλους, καὶ μετὰ πλείονος δαψιλείας ἐκκαλέσηται τὴν ἐλεημοσύνην. τίς γάρ, εἰπέ μοι, μέλλων ἑκατονταπλασίονα λαμβάνειν, καὶ θαρρῶν πάντως ὑπὲρ τῆς ἀποδόσεως, οὐχὶ τὰ πάντα προήσεται; μὴ τοίνυν φειδώμεθα χρημάτων, μᾶλλον δὲ φειδώμεθα τῶν χρημάτων. ὁ γὰρ φειδόμενος τῶν ὄντων, εἰς τὰς τῶν πενήτων χεῖρας αὐτὰ ἐναποτίθεται, εἰς τὸν ἀσύλητον θησαυρόν, καὶ λῃσταῖς καὶ οἰκέταις καὶ συκοφάνταις κακούργοις καὶ πάσαις ἐφόδοις ἀνάλωτον. εἰ δὲ καὶ ταῦτα ἀκούων ὀκνεῖς προέσθαι τι τῶν ὄντων, καὶ οὔτε τὸ ἑκατονταπλασίονα ἀπολαβεῖν, οὔτε ἡ τοῦ πένητος συμφορά, οὔτε ἄλλο οὐδὲν ἐπικάμψαι σε δυνήσεται, ἀναλόγισαι τὰ πεπλημμελημένα σοι· εἴσελθε εἰς τὸ συνειδὸς τῶν ἁμαρτημάτων· πᾶσαν ἐξέτασόν σου τὴν ζωήν· κατάμαθέ σου τὰ παραπτώματα μετὰ ἀκριβείας. κἂν ἁπάντων ἀνθρώπων ἀπηνέστερος ᾖς, πάντως ὑπὸ τοῦ φόβου τῶν ἡμαρτημένων σοι παρὰ πάντα τὸν χρόνον ὠθούμενος, καὶ διὰ τῆς ἐλεημοσύνης ἄφεσίν σοι προσδοκῶν γενέσθαι τούτων, καὶ τὸ σῶμα ἐπιδώσεις σαυτοῦ, μήτιγε χρήματα. εἰ γὰρ τραύματα ἔχοντες, καὶ νοσήματα σωματικὰ ἀποκρούσασθαι βουλόμενοι, οὐδενὸς τῶν ὄντων φειδόμεθα, κἂν αὐτὸ τὸ ἱμάτιον ἀποδόσθαι δέοι, ὥστε τῆς ἀρρωστίας ἀπαλλαγῆναι ἐκείνης· πολλῷ μᾶλλον τῆς ψυχῆς ἀρρωστίαν ἀποτίθεσθαι μέλλοντες καὶ τὰ χαλεπὰ τῶν ἁμαρτημάτων τραύματα διὰ τῆς ἐλεημοσύνης, μετὰ πάσης προθυμίας αὐτὴν ἐργασώμεθα. καίτοιγε ἐπὶ μὲν τῶν νοσημάτων οὐκ ἔστιν εὐθέως καταβαλόντα ἀργύριον ἀπαλλαγῆναι τῆς νόσου, ἀλλὰ δεῖ καὶ τομῆς πολλάκις καὶ καύσεως καὶ πικρῶν φαρμάκων καὶ λιμοῦ καὶ ψύχους καὶ ἑτέρων φορτικωτέρων ἐπιταγμάτων· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' ἀρκεῖ καταβαλεῖν τὸ ἀργύριον εἰς τὰς τῶν πενήτων χεῖρας, καὶ πάντα εὐθέως ἀπολούσασθαι τὰ πεπλημμελημένα χωρὶς ὀδύνης καὶ πόνου. ὁ γὰρ τὴν ψυχὴν θεραπεύων ἰατρὸς οὐ δεῖται μεθόδων, καὶ ὀργάνων, καὶ σιδήρου καὶ πυρός· ἀλλ' ἀρκεῖ νεῦσαι μόνον, καὶ πάντα ἐκρεῖ τῆς ἡμετέρας ψυχῆς τὰ πλημμελήματα, καὶ εἰς τὸ μὴ ὂν ἀφανίζεται. οὐχ ὁρᾷς [τοὺς μοναχοὺς] τοὺς τὸν μονήρη βίον ἐπιθυμοῦντας, καὶ εἰς τὰς κορυφὰς τῶν ὀρέων ἀναχωροῦντας, ὅσην ὑπομένουσι σκληραγωγίαν; καὶ γὰρ σποδὸν ὑποστρωννύμενοι, καὶ σάκκον περιβαλλόμενοι, καὶ κλοιὰ πολλὰ τῷ σώματι περιτιθέντες, καὶ ἐν οἴκῳ καθείρξαντες ἑἑαυτοὺς, λιμῷ παλαίουσι διηνεκεῖ, θρήνοις συζῶσι καὶ ἀγρυπνίαις ἀφορήτοις ἵνα δυνηθῶσι μικρὸν γοῦν μέρος τῶν ἡμαρτημένων ἀπορρίψασθαι· σοὶ δὲ ἔξεστι χωρὶς τῆς σκληραγωγίας ἁπάσης ἐκείνης, τὴν εὔκολον ταύτην καὶ ῥᾳδίαν εὐλάβειαν ἐπιδείξασθαι. ποῖος γὰρ πόνος, εἰπέ μοι, τῶν ὄντων ἀπολαύοντας, τὰ περιττὰ τῆς χρείας εἰς τοὺς δεομένους ἀναλῶσαι; εἰ γὰρ μὴ μισθὸς ἔκειτο, εἰ γὰρ μὴ ἀμοιβὴ τοσαύτη ὥριστο, αὐτὴ τοῦ πράγματος ἡ φύσις οὐχ ἱκανὴ καὶ τοὺς σφόδρα ἀνημέρους πεῖσαι, τοῖς περιττεύουσιν εἰς παραμυθίαν τῶν δεομένων ἀποχρήσασθαι; ὅταν δὲ καὶ τοσοῦτοι στέφανοι, καὶ τοσαῦται ἀμοιβαὶ, καὶ τοσαύτη ἁμαρτημάτων ἀμνηστία διὰ τῆς ἐλεημοσύνης γίνηται, ποίαν ἕξουσιν ἀπολογίαν, εἰπέ μοι, οἱ χρημάτων φειδόμενοι, καὶ τὴν ψυχὴν τὴν ἑαυτῶν καταποντίζοντες τοῖς ἁμαρτήμασι; εἰ γὰρ καὶ μηδέν σε ἕτερον κινεῖ καὶ διανίστησι πρὸς συμπάθειαν, πρὸς ἐλεημοσύνην, τῆς τελευτῆς τὴν ἀδηλίαν ἀναλόγισαι· καὶ ἐνθυμηθεὶς, ὅτι κἂν μὴ πένησι δῷς, ἐπελθόντος τοῦ θανάτου καὶ ἄκων ἐκστήσῃ ἑτέροις αὐτῶν, κἂν οὕτω γενοῦ φιλάνθρωπος νῦν. καὶ γὰρ ἐσχάτης ἀνοίας ἂν εἴη, ὧν καὶ ἄκοντες ἐξίστασθαι μέλλομεν ἑτέροις, τούτων μὴ μεταδοῦναι ἑκόντας τοῖς δεομένοις, καὶ ταῦτα μέλλοντας τοσαῦτα ἀπὸ τῆς φιλοφροσύνης ταύτης καρποῦσθαι καλά. Τὸ ὑμῶν περίσσευμα, φησὶ, γενέσθω εἰς τὸ ἐκείνων ὑστέρημα. τί δέ ἐστιν, ὃ λέγει; μείζονα λαμβάνεις, ἢ δίδως. δίδως αἰσθητὰ, καὶ λαμβάνεις νοητὰ καὶ πνευματικά· δίδως ἀργύριον, καὶ λαμβάνεις ἁμαρτημάτων ἄφεσιν· λύεις σὺ τῷ πένητι λιμὸν, ἐκεῖνος δέ σοι λύει τοῦ Θεοῦ τὴν ὀργήν. ἀντίδοσίς τίς ἐστι καὶ πραγματεία πολὺ τῆς δαπάνης μείζω καὶ χρησιμωτέραν τὴν πρόσοδον ἔχουσα. ἡ μὲν γὰρ δαπάνη ἐν χρήμασι γίνεται· ἡ πρόσοδος δὲ οὐκ ἔτι ἐν χρήμασι μόνον, ἀλλὰ καὶ ἐν ἁμαρτημάτων ἀφέσει, καὶ παρρησίᾳ τῇ πρὸς τὸν Θεὸν, καὶ βασιλείᾳ τῶν οὐρανῶν, καὶ τῇ τῶν ἀγαθῶν ἀπολαύσει, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη. πῶς οὖν οὐκ ἄτοπον, τοὺς μὲν ἐμπόρους μηδενὸς φείδεσθαι τῶν ὄντων, καὶ ταῦτα οὐχ ἑτέρας τινὸς καινοτέρας, ἀλλ᾽ ὁμοίας τῇ ἐνθήκῃ τῆς ἐμπορείας αὐτῶν μελλούσης ἔσεσθαι· ἡμᾶς δὲ διὰ φθαρτῶν καὶ ἐπικήρων οὐχὶ φθαρτὰ καὶ ἐπίκηρα, ἀλλ᾽ ἄφθαρτα καὶ ἀθάνατα καρποῦσθαι μέλλοντας ἀγαθὰ, μηδὲ τὴν αὐτὴν ἐκείνοις φιλοτιμίαν περὶ τὰ ὄντα ἐπιδείκνυσθαι; μὴ, ἀδελφοὶ, μὴ οὕτω κακῶς περὶ τῆς ἑαυτῶν βουλευσώμεθα σωτηρίας· ἀλλὰ τὸ παράδειγμα τῶν παρθένων εἰδότες, καὶ τοὺς εἰς τὸ πῦρ ἀπαγομένους τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ἐπειδὴ μὴ ἔθρεψαν, μηδὲ ἐπότισαν τὸν Χριστὸν, κατέχωμεν τοῦ πνεύματος τὸ πῦρ διὰ φιλανθρωπίας δαψιλοῦς καὶ ἐπιτεταμένης ἐλεημοσύνης, ἵνα μὴ περὶ τὴν πίστιν ναυαγήσωμεν. ἡ μὲν γὰρ πίστις τῆς τοῦ πνεύματος δεῖται βοηθείας καὶ τῆς παραμονῆς, ἵνα ἄσειστος μένῃ· ἡ δὲ τοῦ πνεύματος βοήθεια διὰ βίου καθαροῦ καὶ πολιτείας ἀρίστης ἡμῖν εἴωθε παραμένειν. ὥστε εἰ μέλλοιμεν ἐρριζωμένην ἔχειν τὴν πίστιν, πολιτείας ἡμῖν δεῖ καθαρᾶς τῆς τὸ πνεῦμα πειθούσης μένειν καὶ συνέχειν ἐκείνης τὴν δύναμιν. οὐ γάρ ἐστιν, οὐκ ἔστι βίον ἀκάθαρτον ἔχοντα, μὴ καὶ περὶ τὴν πίστιν σαλεύεσθαι. οἱ γοῦν περὶ εἱμαρμένης ληροῦντες, καὶ τῷ σωτηριώδει τῆς ἀναστάσεως διαπιστοῦντες λόγῳ, ἀπὸ συνειδότος πονηροῦ καὶ πράξεων διεφθαρμένων ἐπὶ τὸ βάραθρον τῆς ἀπιστίας ταύτης κατέπεσον. καὶ καθάπερ οἱ πυρέττοντες βουλόμενοι τὸ πνῖγος ἀποτινάξασθαι, κατὰ ψυχρῶν ἑαυτοὺς πολλάκις ἔρριψαν ὑδάτων, καὶ πρὸς βραχὺ παραμυθησάμενοι τὴν νόσον, χαλεπωτέραν ὕστερον ἀνῆψαν τὴν φλόγα· οὕτω δὴ καὶ οἱ πονηρῷ συνεχόμενοι συνειδότι, εἶτα παραμυθίαν ζητοῦντες εὑρεῖν, καὶ μὴ βουλόμενοι μετανοίᾳ τὰ ἁμαρτήματα ἀπονίψασθαι, τὴν τῆς εἱμαρμένης ἐπεισήγαγον τυραννίδα, καὶ τὴν τῆς ἀναστάσεως ἀπιστίαν. διὰ τοῦτο ἐνταῦθα ἑαυτοὺς διὰ τῶν ψυχρῶν λογισμῶν πρὸς βραχὺ παραμυθησάμενοι, μείζονα τῆς γεέννης ἀνάψουσιν ἑαυτοῖς τὴν φλόγα, ὅταν γενόμενοι ῥαθυμότεροι, εἶτα ἀπελθόντες ἐκεῖ θεάσωνται τὴν

β Κορ. η ιδ.

ἑαυτοῖς πεπλημμελημένων ἕκαστον αὐτῶν διδόντα εὐθύνας. Καὶ ἵνα μάθητε, ὅτι τοῦτο ἐστὶν ἀληθές, καὶ πράξεις πονηραὶ τῇ τῆς πίστεως λυμαίνονται στερρότητι, ἄκουσον τί φησιν ὁ Παῦλος τῷ Τιμοθέῳ γράφων· Ἵνα στρατεύσῃ, φησί, τὴν καλὴν στρατείαν, ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν (ἡ δὲ ἀγαθὴ συνείδησις ἀπὸ βίου καὶ πράξεων ὀρθῶν γένοιτ' ἄν) ἥν τινες ἀπωσάμενοι, περὶ τὴν πίστιν, φησίν, ἐναυάγησαν. Καὶ πάλιν ἀλλαχοῦ· Ῥίζα πάντων τῶν κακῶν ἐστὶν ἡ φιλαργυρία, ἧς τινες ὀρεγόμενοι ἀπεπλανήθησαν τῆς πίστεως. Εἶδες ὅτι κἀκεῖνοι ἐναυάγησαν διὰ τοῦτο, καὶ οὗτοι διὰ τοῦτο ἀπεπλανήθησαν, ἐπειδὴ οἱ μὲν τὴν ἀγαθὴν συνείδησιν ἀπώσαντο, οὗτοι δὲ τῆς φιλαργυρίας ἐπελάβοντο; ἅπερ ἅπαντα λογισάμενοι μετ' ἀκριβείας, ἐπιμελώμεθα πολιτείας ἀρίστης, ὥστε γενέσθαι διπλοῦν ἡμῖν τὸν μισθόν, ἕνα μὲν, τὸν ἐκ τῆς τῶν ἔργων ἀμοιβῆς ἡτοιμασμένον, ἕτερον δὲ, τὸν ἐκ τῆς κατὰ πίστιν στερρότητος. ὅπερ γάρ ἐστιν ἡ τροφὴ τῷ σώματι, τοῦτο ἡ πολιτεία τῇ πίστει· καὶ καθάπερ ἡ τῆς σαρκὸς φύσις τῆς ἡμετέρας οὐκ ἂν διακρατηθείη χωρὶς τροφῆς, οὕτως οὐδὲ ἡ πίστις χωρὶς ἔργων ἀγαθῶν. Χωρὶς γὰρ ἔργων ἡ πίστις νεκρά. Ἓν ὑπολέλειπται λοιπὸν εἰπεῖν, τί ποτέ ἐστι, τὸ αὐτό. οὐ γὰρ εἶπεν ἁπλῶς, ἔχοντες τὸ πνεῦμα τῆς πίστεως, ἀλλὰ τί; ἔχοντες τὸ αὐτὸ πνεῦμα τῆς πίστεως. καὶ ἐβουλόμην μὲν ὑπεξελθεῖν καὶ τούτῳ τῷ λόγῳ· ἀλλ' ἐπειδὴ πολλοὺς ποταμοὺς ὁρῶ νοημάτων ἐκ τῆς ψιλῆς ταύτης ῥήσεως ἐξιόντας, δέδοικα μὴ τῷ πλήθει τῶν ῥηθήσεσθαι μελλόντων τὰ εἰρημένα ἐπικλύσας ἅπαντα, ἄχρηστον ὑμῖν ποιήσω τὴν διδασκαλίαν διὰ τῆς ἀμετρίας ὑμῖν λυμηνάμενος. διόπερ ἐνταῦθα στήσας τὸν λόγον, παρακαλῶ καὶ δέομαι τά τε εἰρημένα μετ' ἀκριβείας φυλάττειν, ὅσα περὶ πολιτείας καὶ πίστεως καὶ παρθενίας καὶ φιλανθρωπίας καὶ ἐλεημοσύνης ἠκούσατε, καὶ ταῦτα κατέχοντας ἀσφαλῶς, πρὸς τὴν τῶν μελλόντων ἀκρόασιν ἀπαντῆσαι. οὕτω γὰρ ἡμῖν στερρὰ καὶ ἄσειστος ἔσται ἡ τῶν εἰρημένων οἰκοδομή, ὅταν, τῶν προτέρων καλῶς πεπηγότων ἐν ταῖς ὑμετέραις διανοίαις, τὰ δεύτερα ἐπεμβάλωμεν. ὁ δὲ Θεὸς ὁ καὶ ἡμῖν ταῦτα εἰπεῖν δοὺς, καὶ ὑμῖν μετὰ προθυμίας ἀκοῦσαι, καταξιώσειε καὶ τὸν διὰ τῶν ἔργων ἐπιδείξασθαι καρπὸν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

α. Τιμ. α. ιθ.

α. Τιμ. ϛ. ι.

Ιακ. β. κ.

Λογ. ιϛ.

ΕΙΣ ΤΗΝ ΑΠΟΣΤΟΛΙΚΗΝ ΡΗΣΙΝ ΤΗΝ ΛΕγουσαν, Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως κατὰ τὸ γεγραμμένον, καὶ πρὸς Μανιχαίους, καὶ πάντας τοὺς διαβάλλοντας τὴν παλαιὰν καὶ διαιροῦντας αὐτὴν ἀπὸ τῆς καινῆς, καὶ περὶ ἐλεημοσύνης. Λογ. β.

β. Κορ. δ. ιγ.

Ἀποστολικῆς ὑμῖν ἐξηγήσεως χρέος ὀφείλω παλαιόν· ἀλλὰ τοῦτο τὸ χρέος ὑμεῖς μὲν ἴσως ἐπιλέλησθε διὰ τὸν χρόνον, ἐγὼ δὲ οὐκ ἐπιλέλησμαι διὰ τὸν περὶ ὑμᾶς πόθον. τοιοῦτον γὰρ ἡ ἀγάπη· ἄγρυπνόν τι χρῆμα, καὶ μεμεριμνημένον ἐστί. καὶ οὐχὶ τοὺς φιλουμένους μόνον ἐπὶ τῆς διανοίας περιφέρουσιν οἱ φιλοῦντες, ἀλλὰ καὶ ὅσα ἂν αὐτοῖς ὑπόσχωνται δώσειν, τῶν μελλόντων ἀπολαμβάνειν ἀκριβέστερον τὴν μνήμην ἔχουσιν. οὕτω καὶ μήτηρ φιλόστοργος τοῖς παισὶ τοῖς ἑαυτῆς λείψανα τραπέζης διατηρήσασα, κἂν ἐκεῖνοι τύχωσιν ἐπιλαθόμενοι, αὐτή γε οὐκ ἐπιλήσεται, ἀλλὰ μετὰ σπουδῆς αὐτὰ διαφυλάξασα πάσης, εἰς μέσον φέρει καὶ διατρέφει πεινῶντας. Εἰ δὲ μητέρες οὕτω περὶ τὰ ἔκγονα φιλόστοργοι, πολλῷ μᾶλλον ἡμᾶς περὶ τὴν ὑμετέραν ἀγάπην πλείονα σπουδὴν καὶ ἐπιμέλειαν ἐπιδείκνυσθαι χρή, ὅσῳ τῶν τῆς φύσεως ὠδίνων αἱ τοῦ πνεύματός εἰσι δυνατώτεραι. Τίς οὖν ἡ τράπεζα ἦν, ἧς τὰ λείψανα διετηρήσαμεν ὑμῖν; ῥῆσις ἣν ἀποστολικὴν, πολλὴν ἡμῖν τότε παρέχουσα σοφίαν πνευματικὴν, ἧς μέρος μὲν ἐνεθήκαμεν ὑμῶν τῇ διανοίᾳ, μέρος δὲ εἰς τὴν παροῦσαν ἡμέραν ἀνεβαλόμεθα, ὥστε μὴ τῷ πλήθει τῶν λεγομένων καταχῶσαι τῆς μνήμης τῆς ὑμετέρας τὴν δύναμιν. Τίς οὖν α. Κορ. δ. ιγ. ἐστιν ἡ ῥῆσις; Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον· ἐπίστευσα, διὸ ἐλάλησα· καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν. Περὶ ποίας μὲν οὖν πίστεως εἴρηται, πότερον Ματθ. ιζ. κ. τῆς τῶν σημείων ποιητικῆς (περὶ ἧς ὁ Χριστός φησιν· Ἐὰν ἔχητε πίστιν, ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, μετάβηθι, καὶ μεταβήσεται) ἢ τῆς τὴν γνῶσιν ἐμποιούσης ἡμῖν, καθ' ἣν πάντες ἐσμὲν πιστοί· καὶ τίνος ἕνεκα πνεῦμα πίστεως εἴρηται, καὶ τί ποτέ ἐστιν ἡ πίστις αὕτη, καὶ πάντα δὴ ταῦτα κατὰ δύναμιν τότε πρὸς τὴν ὑμετέραν διελέχθημεν ἀγάπην, ὅτε καὶ περὶ ἐλεημοσύνης ἐκινήσαμεν λόγους. Ἐπεὶ δὲ ἐλείπετο εἰπεῖν καὶ τίνος ἕνεκεν εἴρηται, πνεῦμα πίστεως τὸ αὐτὸ, καὶ τὸ πλῆθος τῶν τότε λεχθέντων οὐκ ἐπέτρεπε καὶ ταύτῃ μετ' ἀκριβείας ἐπεξελθεῖν τῇ ῥήσει· τούτου χάριν εἰς τὴν παροῦσαν ἡμέραν αὐτὴν ἐταμιευσάμεθα, καὶ νῦν τοῦτο ἀνέστημεν ἀποδώσοντες ὑμῖν τὸ χρέος. Τίνος οὖν ἕνεκεν εἴρηκε, τὸ αὐτό; πολλὴν συγγένειαν τῆς καινῆς διαθήκης πρὸς τὴν παλαιὰν ἐπιδεῖξαι βούλεται. Διὰ τοῦτο καὶ προφητικῆς ἡμᾶς ἀνέμνησε ῥήσεως, εἰπὼν, ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα, καὶ ἐπαγαγὼν, Ψαλμ. ριε. α. κατὰ τὸ γεγραμμένον· ἐπίστευσα, διὸ ἐλάλησα· τοῦτο δὲ ἄνωθεν καὶ πρὸ πολλῶν χρόνων ὁ Δαβὶδ ἦν εἰρηκὼς, ὅπερ ὁ Παῦλος προήγαγε νῦν, δηλῶν ὅτι τοῦ πνεύματος ἡ χάρις ἡ αὐτὴ καὶ ἐν ἐκείνῳ τότε, καὶ νῦν ἐν ἡμῖν τὴν τῆς πίστεως ἐρρίζωσε δύναμιν· ὡσεὶ ἔλεγε, τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, τὸ καὶ ἐν ἐκείνῳ λαλῆσαν, καὶ ἐν ἡμῖν ἐνήργησε. Ποῦ νῦν εἰσὶν οἱ τὴν παλαιὰν διαβάλλοντες, οἱ τὸ σῶμα τῆς γραφῆς διασπῶντες, οἱ τῇ καινῇ μὲν ἄλλον, ἕτερον δὲ τῇ παλαιᾷ Θεὸν ἀπονέμοντες; ἀκουέτωσαν Παύλου τὰ στόματα τὰ ἄθεα ἐμφράττοντος, καὶ ἐπιστομίζοντος τὴν θεομάχον γλῶτταν, καὶ διὰ τῆς ῥήσεως ταύτης δεικνύοντος, ὅτι τὸ αὐτὸ πνεῦμα καὶ ἐν τῇ παλαιᾷ, καὶ ἐν τῇ καινῇ. Καὶ γὰρ αὐτὰ τὰ ὀνόματα πολλὴν ἡμῖν τῶν διαθηκῶν δείκνυσι τὴν συμφωνίαν. Ἡ γὰρ καινὴ διὰ τὴν παλαιὰν εἴρηται, καὶ ἡ παλαιὰ Ἑβρ. η. ιγ. διὰ τὴν καινήν. Καθάπερ οὖν καὶ ὁ Παῦλός φησιν, Ἐν τῷ λέγειν καινὴν πεπαλαίωκε τὴν προτέραν. Εἰ δὲ μὴ τοῦ αὐτοῦ εἶεν δεσπότου, οὔτε αὕτη καινὴ, οὔτ' ἐκείνη παλαιὰ δύναιτ' ἂν λέγεσθαι. Ὥστε αὐτὴ ἡ ἐν τοῖς ὀνόμασι διαφορὰ τὴν συγγένειαν ἑκατέρας ἐνδείκνυται, καὶ ἡ διαφορὰ δὲ αὕτη οὐ κατὰ τὴν οὐσίαν, ἀλλὰ κατὰ τὴν τῶν χρόνων ἐναλλαγήν ἐστι (καὶ γὰρ τὸ καινὸν τῷ παλαιῷ κατὰ τοῦτο ἀντιδιαστέλλεται μόνον) ἡ δὲ τῶν χρόνων ἐναλλαγὴ οὐ διαφορὰν Ματθ. ιγ. νβ. δεσποτείας, οὐδὲ μείωσιν εἰσάγει. Καὶ τοῦτο πάλιν ὁ Χριστὸς ἐνέφηνεν, εἰπών· Διὰ τοῦτο λέγω ὑμῖν, πᾶς γραμματεὺς μαθητευθεὶς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά. Ὁρᾷς διάφορα μὲν τὰ κλήματα, μίαν δὲ τὴν δεσποτείαν; ὥσπερ οὖν ἐκεῖνος δύναται ἐκβάλλειν καινὰ καὶ παλαιὰ εἷς ὢν οἰκοδεσπότης, οὕτω δὴ καὶ ἐνταῦθα δυνατὸν ἑνὸς εἶναι Θεοῦ τὴν καινὴν καὶ τὴν παλαιάν. Αὐτὸ γὰρ τοῦτο μάλιστα δείκνυσιν αὐτοῦ τὸν πλοῦτον καὶ τὴν περιουσίαν, τὸ μὴ μόνον καινὰ κεκτῆσθαι, ἀλλὰ καὶ ἐν τοῖς παλαιοῖς τὴν περιουσίαν ἐνδείκνυσθαι. Ὥστε διαφορὰ μόνον ἐστὶν ὀνομάτων ἐν ταῖς διαθήκαις, οὐ μάχη, οὐδὲ ἐναντίωσις. Τὸ γὰρ παλαιὸν ἐκ τοῦ καινοῦ γέγονε παλαιόν· τοῦτο δὲ οὐ μάχης, οὐδὲ ἐναντιώσεως, ἀλλὰ διαφορᾶς ὀνόματος μόνης. Ἐγὼ δὲ τοσαύτην ὑπερβολὴν ποιοῦμαι, ὅτι εἰ καὶ ἐναντίοι ἦσαν οἱ νόμοι τῆς παλαιᾶς τοῖς τῆς καινῆς, σφόδρα ἂν διϊσχυρισάμην, ὡς οὐδὲ οὕτως ἕτερον ἐπεισάγειν Θεὸν ἐχρῆν. Εἰ μὲν γὰρ κατὰ τὸν αὐτὸν καιρὸν, τοῖς αὐτοῖς ἀνθρώποις, περὶ τὰ αὐτὰ διατείνουσιν, ἐν τοῖς αὐτοῖς ὑπὸ πράγμασιν ἐναντίους ἐπέταττε νόμους, εἶχεν ἄν τινα αὐτοῖς λόγον ἴσως τὸ σόφισμα· εἰ δὲ ἑτέροις μὲν ἐκεῖνοι, ἑτέροις δὲ ἔγραψαν οὗτοι, καὶ ἐν ἑτέρῳ μὲν ἐκείνοις καιρῷ, ἐν ἑτέρῳ δὲ τούτοις, ἄλλως ἐκείνοις διακειμένοις, καὶ ἑτέρως τούτοις, ἀνάγκη διὰ τὴν τῶν νόμων διαφορὰν ἐναντίους εἰσάγειν νομοθέτας δύο; ἐγὼ μὲν οὐδεμίαν ὁρῶ. εἰ δὲ αὐτοὶ λέγειν ἔχουσιν, εἰπάτωσαν. ἀλλ' οὐκ ἂν ἔχοιεν. καὶ γὰρ καὶ ἰατρὸς ἐναντία πολλὰ ποιεῖ πολλάκις· ἀλλ' οὐκ ἀπὸ ἐναντίας τῆς γνώμης, ἀλλ' ἀπὸ μιᾶς καὶ συμφώνου. καὶ γὰρ καίει, καὶ οὐ καίει· τέμνει, καὶ οὐ τέμνει τὸ αὐτὸ σῶμα πολλάκις· καὶ νῦν μὲν πικρά, νῦν δὲ γλυκέα δίδωσι πίνειν φάρμακα· καὶ τὰ μὲν γινόμενα ἐναντία, ἡ γνώμη δέ, ἀφ' ἧς ταῦτα γίνεται, σύμφωνος καὶ μία. πρὸς γὰρ ἓν τέλος βλέπει, τὴν τοῦ κάμνοντος ὑγίειαν. πῶς οὖν οὐκ ἄτοπον ἰατρῷ μὲν μὴ ἐγκαλεῖν ἐναντία ποιοῦντι πολλὰ καὶ περὶ σώματος ἑνὸς φύσιν, τῷ Θεῷ δὲ μέμψαι ἐπάγγελει*, εἰ κατὰ διαφόρους καιροὺς διαφόροις ἀνθρώποις διάφορα ἔδωκε τὰ προστάγματα; ὅτι μὲν οὖν, εἰ καὶ ἐναντίοι ἦσαν οἱ νόμοι, οὐδὲ οὕτως ἐγκαλεῖν ἔδει, δῆλον ἐκ τούτων· ὅτι δὲ οὐδέ εἰσιν ἐναντίοι, ἀλλὰ διάφοροι μόνον, φέρε, τοὺς νόμους εἰς μέσον προχειρισώμεθα. Ἠκούσατε, φησίν, ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, οὐ φονεύσεις. οὗτος παλαιὸς ὁ νόμος· ἴδωμεν τὸν τῆς καινῆς. Ἐγὼ δὲ λέγω ὑμῖν, ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἔνοχός ἐστιν εἰς τὴν γέενναν τοῦ πυρός. ταῦτα ἐναντία, εἰπέ μοι, τὰ προστάγματα; καὶ τίς ἂν ἀνθρώπων, κἂν ὁπωσοῦν διανοίας μετέχων, τοῦτο ἂν εἴποι; εἰ μὲν γὰρ τοῦ προτέρου κελεύσαντος μὴ φονεύειν, οὗτος ἐκέλευσεν, ἴσως ἄν τις ἀντινομίαν ἔφησεν εἶναι τὸ λεγόμενον· εἰ δὲ ἐκείνου κελεύοντος μὴ φονεύειν, οὗτος ἐκέλευσε μηδὲ ὀργίζεσθαι, ἐπίτασις, οὐκ ἐναντίωσις ὁ πρότερος τοῦ δευτέρου νόμος ἐστίν. ὁ μὲν γὰρ τοὺς καρποὺς τῆς κακίας ἐξέτεμε, τὸν φόνον, οὗτος δὲ καὶ τὴν ῥίζαν ἀνέσπασε, τὴν ὀργήν· ἐκεῖνος τὸ ῥεῦμα τῆς πονηρίας ἐξέκοψεν, οὗτος καὶ τὴν πηγὴν αὐτὴν ἐξήρανε. πηγὴ γὰρ καὶ ῥίζα τοῦ φόνου, θυμὸς καὶ ὀργή. ἐκεῖνος οὖν τοῦτο προπαρεσκεύασεν ὁ νόμος τὴν φύσιν τὴν ἡμετέραν, οὗτος ἐλθὼν τὸ λοιπὸν ἐπλήρωσε. ποία ἐναντιότης, ὅταν ὁ μὲν τὸ τέλος τῶν κακῶν, ὁ δὲ καὶ τὴν ἀρχὴν ἐκκόπτῃ; ἐκεῖνος τὴν χεῖρα καθαρὰν ἐποίησεν αἵματος, οὗτος καὶ τὴν διάνοιαν αὐτὴν ἀπήλλαξε τῶν πονηρῶν βουλευμάτων. ταῦτα δὲ συμφωνούντων ἀλλήλοις νόμων, οὐχὶ μαχομένων ἐστίν· ὅπερ ἄνω καὶ κάτω σπουδάζουσι κατασκευάζειν οἱ τῆς ἀληθείας ἐχθροί, μὴ συνορῶντες, ὅτι ἐκ τούτου μεγάλῃ ῥαθυμίας καὶ ὑποψίας αἰτίᾳ τὸν τῆς καινῆς Θεὸν ὑποβάλλουσιν. εὑρεθήσεται γὰρ (ἡ δὲ βλασφημία εἰς τὴν τῶν ταῦτα ἀναγκαζόντων ἡμᾶς λέγειν περιτραπείη κεφαλήν) ἀκαίρως τὰ καθ' ἡμᾶς οἰκονομήσας. τὸ δὲ πῶς, ἐγὼ λέγω. γαλακτοτροφίᾳ προσέοικεν ἡ τῆς παλαιᾶς διαθήκης παιδαγωγία, στερεᾷ δὲ τροφῇ τῆς καινῆς διαθήκης ἡ φιλοσοφία. οὐδεὶς δὲ πρὶν ἢ θρέψαι γάλακτι, πρὸς τὴν στερεὰν ἄγει τροφήν· ὅπερ ἔσται πεποιηκὼς ὁ τῆς καινῆς Θεός, ἄνπερ μὴ αὐτὸς ᾖ ὁ τὴν παλαιὰν δεδωκώς. πρὸ γὰρ τοῦ θρέψαι γάλακτι καὶ τῇ διὰ τοῦ νόμου παιδαγωγίᾳ, ἐπὶ τὴν στερεὰν ἡμᾶς ἤγαγε τροφήν. οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἑτέρῳ μείζονι τούτου πάλιν αὐτὸν ὑποβάλλουσιν ἐγκλήματι, εἴγε μετὰ πεντακισχίλια καὶ πλείονα ἔτη τοῦ [illegible] ἧκε προνοήσων τοῦ ἡμετέρου. εἰ γὰρ μὴ αὐτός ἐστιν, ὁ διὰ τῶν προφητῶν καὶ τῶν πατριαρχῶν καὶ τῶν δικαίων ἀνθρώπων τὰ καθ' ἡμᾶς ἅπαντα οἰκονομῶν, ἀλλ' ἕτερός τις παρὰ τοῦτον, ὀψέ ποτε καὶ βραδέως εὑρεθήσεται τῆς ἡμετέρας ἐπειλημμένος προνοίας, ὥσπερ ἔκ τινος μετανοίας ἀνενεγκών· ὅπερ οὐ Θεοῦ μόνον, ἀλλὰ καὶ ἀνθρώπου τοῦ τυχόντος ἀνάξιον ἂν εἴη, τοσούτους ἀφέντος ἀπολέσθαι ἐν τοσούτῳ χρόνῳ, ὀψέ ποτε ἐν ἐσχάτῳ τῶν καιρῶν τῆς τῶν ὀλίγων ἐπιλαβέσθαι προνοίας. ὁρᾷς ὅσαις τὸν Θεὸν ὑποβάλλουσι βλασφημίαις ἐκεῖνοι, ἕτερον μὲν τῆς καινῆς, ἕτερον δὲ τῆς παλαιᾶς λέγοντες εἶναι νομοθέτην; ἅπερ ἅπαντα λύεται, ἂν ἕνα ἑκατέρας τῆς διαθήκης δῶμεν εἶναι Θεόν. εὑρεθήσεται γὰρ κατὰ λόγον τὰ καθ' ἡμᾶς οἰκονομῶν, τότε μὲν διὰ τοῦ νόμου, νῦν δὲ διὰ τῆς χάριτος, καὶ οὐ προσφάτως, οὐδὲ νεωστί, ἀλλ' ἄνωθεν καὶ ἐκ πρώτης ἡμέρας τῆς ἡμετέρας ἐπειλημμένος προνοίας.

Ματθ. ε. κα. κϛ.

Ἵνα δὲ μειζόνως αὐτῶν τὰ στόματα ἀποῤῥάψωμεν, φέρε, καὶ αὐτὰς τὰς ῥήσεις παραγάγωμεν, καὶ προφήτας καὶ ἀποστόλους βοῶντας, ὅτι καινῆς καὶ παλαιᾶς εἷς ἐστιν ὁ νομοθέτης. παρέστω τοίνυν εἰς μέσον ὁ ἐκ κοιλίας ἁγιασθεὶς Ἱερεμίας, καὶ αὐτὸς τοῦτο δεικνύτω σαφῶς ἕνα καὶ τὸν αὐτὸν ἑκατέρας ὄντα τῆς διαθήκης Θεόν. τί οὖν οὗτός φησιν, ἐκ προσώπου τοῦ νομοθέτου κηρύττων; Διαθήσομαι ὑμῖν διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν. ὥστε ὁ τὴν καινὴν αὐτοῖς διαθέμενος, αὐτός ἐστιν ὁ καὶ τὴν παλαιὰν δοὺς Θεός. ἐνταῦθα καὶ τοὺς ἀπὸ Παύλου τοῦ Σαμοσατέως ἐπεστόμισεν ἰσχυρῶς, οἳ τὴν προαιώνιον ὕπαρξιν ἀναιροῦσι τοῦ μονογενοῦς. εἰ γὰρ πρὸ τοῦ τόκου τῆς Μαρίας οὐκ ἦν, οὐδὲ ὑπῆρχε πρὶν ἢ φανῆναι ἐν σαρκὶ, πῶς ἐνομοθέτει ὁ μὴ ὤν; πῶς δὲ ἔλεγε, διαθήσομαι ὑμῖν διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν; πῶς γὰρ διέθετο τοῖς πατράσιν αὐτῶν μὴ ὑπάρχων, μηδὲ ὤν, κατὰ τὸν ἐκείνων λόγον; ἀλλὰ πρὸς Ἰουδαίους μὲν καὶ τοὺς τὰ Ἰουδαίων νοσοῦντας Παυλιανοὺς ἱκανὴ στῆναι ἡ τοῦ προφήτου μαρτυρία· ἵνα δὲ καὶ Μανιχαίους ἐπιστομίσωμεν, ἀπὸ τῆς καινῆς τὴν μαρτυρίαν παραγάγωμεν, ἐπειδὴ τῆς παλαιᾶς οὐδεὶς αὐτοῖς ἐστι λόγος, μᾶλλον δὲ οὐδὲ τῆς καινῆς· ἀλλὰ καὶ ταύτην, ἣν δοκοῦσι τιμᾶν, οὐχ ἧττον ἐκείνης καθυβρίζουσιν· ἑνὶ μὲν τρόπῳ, παρὰ τῆς παλαιᾶς ἐκκόψαι, καὶ τὸ ἀξιόπιστον αὐτῆς λυμήνασθαι. οὐ γὰρ μικρὰ τῶν ἐν αὐτῇ κειμένων τῆς ἀληθείας ἀπόδειξις, τῶν ἐν τῇ παλαιᾷ προφητειῶν ἡ προαναφώνησις ἦν, ἧς ἀποστραφέντες οὗτοι οὐκ αἰσθάνονται τῶν προφητῶν μᾶλλον τοὺς ἀποστόλους ἀτιμάσαντες. ἑνὶ μὲν οὖν τρόπῳ τούτῳ τὴν καινὴν καθυβρίζουσιν, ἑτέρῳ δὲ πάλιν δευτέρῳ, παρὰ τὰ πλείονα αὐτῆς ἐκκόψαι. πλὴν ἀλλὰ καὶ αὐτῇ τῶν ἐν αὐτῇ κειμένων ἡ δύναμις τοσαύτη, ὡς καὶ ἀπ᾽ αὐτῶν τῶν λειψάνων διαφωρατὸν αὐτῶν γενέσθαι ποιεῖ τὴν κακουργίαν. τὰ γὰρ ἀποκοπέντα μέλη κράζει καὶ βοᾷ, τὴν πρὸς τὰ οἰκεῖα μέλη συμφωνίαν ἐπιζητοῦντα. πῶς οὖν ἀποδείξωμεν, ὅτι καινῆς καὶ παλαιᾶς εἷς ἐστιν ὁ νομοθέτης; ἀπὸ τούτων τῶν παρ᾽ αὐτοῖς ὑπολελειμμένων ῥημάτων τῶν ἀποστολικῶν, ἃ δοκεῖ μὲν ἔχειν τοῦ νόμου κατηγορίαν, συνίστησι δὲ αὐτὸν μάλιστα, καὶ δείκνυσι θεῖον ὄντα χρησμὸν καὶ ἄνωθεν ἥκοντα. καὶ τοῦτο δὲ τῆς τοῦ πνεύματος ἐγένετο σοφίας, ὥστε τῇ προχείρῳ ῥήσει δελεασθέντας τοὺς τοῦ νόμου κατηγοροῦντας, ἄκοντας καὶ ἀγνοοῦντας δέξασθαι τὴν ὑπὲρ αὐτοῦ γεγραμμένην ἀπολογίαν· ἵνα, ἂν μὲν θελήσωσι πρὸς τὴν ἀλήθειαν ἰδεῖν, ἔχωσι τὴν ῥῆσιν τὴν χειραγωγοῦσαν αὐτούς· ἂν δὲ ἐπιμένωσι τῇ ἀπιστίᾳ, μηδεμιᾶς συγγνώμης λοιπὸν τύχωσι, καὶ αὐτοῖς, οἷς δοκοῦσι πιστεύειν, ἀπιστοῦντες * κατὰ τῆς ἑαυτῶν σωτηρίας. ποῦ τοίνυν ἡ καινὴ ἑαυτῆς καὶ τῆς παλαιᾶς ἕνα τὸν νομοθέτην εἶναί φησι; πολλαχοῦ μὲν καὶ ἀλλαχοῦ· ἡμεῖς δὲ ἐκείνην τέως σπουδάζομεν περικοπὴν εἰς μέσον ἀγαγεῖν, τὴν καὶ παρὰ τοῖς Μανιχαίοις σωζομένην ἔτι καὶ νῦν. τίς οὖν ἐστιν αὕτη; Λέγετέ μοι οἱ ὑπὸ νόμον θέλοντες εἶναι, φησι, τὸν νόμον οὐκ ἀκούετε, ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας; ἤκουσαν οἱ αἱρετικοὶ, ὅτι ἕνα ἐκ τῆς παιδίσκης, καὶ εὐθέως ἐπεπήδησαν (ἐνόμισαν γὰρ κατηγορίαν εἶναι τοῦ νόμου τὸ λεγόμενον) καὶ ἐκκόψαντες αὐτὴν τῆς λοιπῆς ἀκολουθίας, ὡς συνηγοροῦσαν αὐτοῖς κατέχουσι. φέρε οὖν ἀπ᾽ αὐτοῦ δείξωμεν ἕνα ὄντα τὸν νομοθέτην. Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας· ταῦτα δέ ἐστι, φησιν, ἀλληγορούμενα. τί δέ ἐστιν, ἀλληγορούμενα; τύποι τῶν ἐν τῇ χάριτι γινομένων ἦσαν τὰ ἐν τῇ παλαιᾷ διαθήκῃ γινόμενα. ὥσπερ γὰρ ἐκεῖ δύο γυναῖκες, οὕτως ἐνταῦθα δύο διαθῆκαι. πρῶτον μὲν οὖν τούτῳ δείκνυσι τὴν συγγένειαν τῆς καινῆς πρὸς τὴν παλαιὰν, ὅταν ἐκεῖνα τούτων ᾖ τύπος. ὁ γὰρ τύπος τῆς ἀληθείας οὐκ ἐναντίος, ἀλλὰ συγγενής. εἰ δὲ ἐναντίος ἦν ὁ Θεὸς τῆς παλαιᾶς τῷ Θεῷ τῆς καινῆς, οὐκ ἔμελλε διὰ τῶν γυναικῶν προδιατυποῦν τῆς καινῆς διαθήκης τὴν ὑπεροχήν. εἰ δὲ καὶ ἐκεῖνος προδιετύπωσε, τὸν Παῦλον ἐχρῆν μὴ ἀποχρήσασθαι τῷ τύπῳ.

Γαλ. δ. κα.

ἴσ. ποιεῖ

* καὶ πάντα ποιοῦντες

Εἰ δὲ λέγοιεν, ὅτι Ἰουδαϊκῇ συγκαταβαίνων ἀσθενείᾳ, τοῦτο ἐποίει, ἐχρῆν καὶ Ἕλλησι κηρύττοντα τύποις ἑλληνικοὺς εἰσάγειν, καὶ ἱστορίας μεμνῆσθαι τῶν παρ' Ἕλλησι γεγενημένων πραγμάτων. ἀλλ' οὐκ ἐποίησε τοῦτο καὶ μάλα εἰκότως. ἐκεῖνα μὲν γὰρ οὐδὲν κοινὸν εἶχε πρὸς τὴν ἀλήθειαν, ταῦτα δὲ Θεοῦ χρησμοὶ καὶ νόμοι. διὸ καὶ πολλὴν συγγένειαν ἔχει τὰ παλαιὰ πρὸς τὴν καινὴν διαθήκην. περιττὸν μὲν οὖν τοῦτο δείκνυσιν, ὅτι πολλὴ ἡ συμφωνία τῆς καινῆς πρὸς τὴν παλαιάν· δεύτερον δὲ οὐκ ἔλαττον τούτου καὶ αὐτὴ ἡ ἱστορία. ὥσπερ γὰρ τότε δύο γυναῖκες ἦσαν ἑνὸς ἀνδρός, οὕτω καὶ νῦν δύο διαθῆκαι ἑνὸς νομοθέτου. ἐπεὶ εἰ ἄλλος ἦν τῆς καινῆς, καὶ ἄλλος τῆς παλαιᾶς, περιττῶς τὴν ἱστορίαν εἰσήγαγεν. οὐ γὰρ ἄλλος μὲν ἦν τῆς Σάρρας ἀνήρ, ἄλλος δὲ τῆς Ἄγαρ, ἀλλ' εἷς καὶ αὐτός. ὥστε, ὅταν λέγῃ, αὗται γάρ εἰσι δύο διαθῆκαι, οὐδὲν ἕτερον λέγει, ἀλλ' ἤ, ὅτι ἕνα ἔχουσι νομοθέτην, καθάπερ ἐκεῖναι ἕνα ἄνδρα τὸν Ἀβραάμ. ἀλλ' ἡ μὲν δούλη, φησίν, ἡ δὲ ἐλευθέρα ἦν. καὶ τί τοῦτο; τέως γὰρ ζητούμενον ἦν, εἰ εἷς ἑκατέρων νομοθέτης. καταδεξάσθωσαν τοίνυν τοῦτο πρότερον, καὶ τότε πρὸς ἐκεῖνο αὐτοῖς ἀποκρινούμεθα. ἂν γὰρ τοῦτο καταναγκάζῃς αὐτοὺς δέξασθαι, καὶ πεισθῶσιν, ἅπαν αὐτῶν τὸ ζήτημα οἰχήσεται. ὅταν γὰρ εὑρεθῇ τοῦ αὐτοῦ νομοθέτου καὶ ἡ παλαιὰ οὖσα, καθάπερ οὖν καὶ ἐστι, πᾶσα λέλυται ἡμῖν ἡ πρὸς ἐκείνους ἀμφισβήτησις. ἵνα δὲ μηδὲ τοῦτο ὑμᾶς θορυβῇ, προσέχωμεν ἀκριβῶς τῇ ῥήσει. οὐ γὰρ εἶπε, μία μὲν δούλη, μία δὲ ἐλευθέρα· ἀλλά, μία μὲν εἰς δουλείαν γεννῶσα. οὐ πάντως δὲ ἡ εἰς δουλείαν γεννήσασα, δούλη. καὶ αὐτὸ δὲ τὸ εἰς δουλείαν τεχθῆναι, οὐ τῆς τεκούσης ἔγκλημα, ἀλλὰ τῶν τεχθέντων παιδίων. ἐπειδὴ γὰρ τῆς ἐλευθερίας διὰ τὴν κακίαν ἑαυτοὺς ἀπεστέρησαν, καὶ τῆς εὐγενείας ἐξέπεσον, ὡς δούλους αὐτῶν ἀγνώμονας ἐπαίδευσεν ὁ Θεὸς φόβῳ διηνεκεῖ, κολάζων τιμωρίαις, ἀπειλαῖς. πολλοὶ γοῦν καὶ νῦν πατέρες τοὺς ἑαυτῶν υἱούς, οὐχ ὡς υἱοὺς ἐνάγουσιν, ἀλλὰ μετὰ τοῦ πρέποντος οἰκέταις φόβου· καὶ τὸ ἔγκλημα οὐχὶ τῶν πατέρων ἐστίν, ἀλλὰ τῶν τοὺς πατέρας παρασκευασάντων παίδων ὡς δούλοις κεχρῆσθαι τοῖς ἐλευθέροις. οὕτω καὶ ὁ Θεὸς τὸν λαὸν τότε ἐκεῖνον μετὰ τοσούτου φόβου καὶ τιμωρίας τοσαύτης ἦγε, καθ' ὅσης εἰκὸς ἦν οἰκέτην ἀγνώμονα. ἀλλ' οὐ κατηγορία τοῦ Θεοῦ τὸ γινόμενον, οὐδὲ ἔγκλημα τοῦ νόμου, ἀλλὰ τῶν ἀφηνιαζόντων Ἰουδαίων, σφοδροτέρου δεηθέντων χαλινοῦ. ἐν αὐτῇ γοῦν τῇ παλαιᾷ εὑρεθήσονται πολλοὶ οὐχ οὕτως ἀχθέντες, οἷον ὁ Ἄβελ, ὁ Νῶε, ὁ Ἀβραάμ, ὁ Ἰσαάκ, ὁ Ἰακώβ, ὁ Ἰωσήφ, ὁ Μωϋσῆς, ὁ Ἠλίας, ὁ Ἐλισσαῖος, καὶ οἱ ἄλλοι πάντες, ὅσοι τὴν ἐν τῇ καινῇ φιλοσοφίαν ἐζήλωσαν. οὐ γὰρ φόβῳ καὶ κολάσει, οὐδὲ ἀπειλῇ καὶ τιμωρίᾳ, ἀλλ' ἀγάπῃ θείᾳ καὶ φίλτρῳ ζέοντι τῷ περὶ Θεὸν ἐγένοντο τοιοῦτοι, οἷοι δὴ καὶ ἐγένοντο. οὐ γὰρ ἐδεήθησαν προσταγμάτων, οὐδὲ ἐντολῶν καὶ νόμων, ὥστε ἀρετὴν ἑλέσθαι καὶ φεύγειν κακίαν, ἀλλ' ὥσπερ εὐγενεῖς παῖδες καὶ ἐλεύθεροι, τὴν οἰκείαν ἐπιγνόντες ἀξίαν, χωρὶς φόβου τινὸς καὶ κολάσεως ηὐτομόλησαν πρὸς τὴν ἀρετήν. οἱ δὲ λοιποὶ πάντες Ἰουδαῖοι, ἐπειδὴ πρὸς κακίαν ἀπέκλινον, τοῦ κατὰ τὸν νόμον ἐδεήθησαν χαλινοῦ. ὅτε γοῦν ἐποίησαν τὸν μόσχον, καὶ τὸ γλυπτὸν προσεκύνησαν, τότε ἤκουσαν· Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν· ὅτε ἐφόνευσαν, καὶ τὰς γυναῖκας τῶν πλησίον διέφθειραν, τότε ἤκουσαν, οὐ φονεύσεις, οὐ μοιχεύσεις, καὶ τὰ ἄλλα δὲ πάντα ὁμοίως. ὥστε οὐκ ἔγκλημα τοῦ νόμου τὸ κόλασιν ἐπάγειν καὶ τιμωρίαν, καὶ καθάπερ οἰκέτας ἀγνώμονας παιδεύειν καὶ σωφρονίζειν· ἀλλὰ καὶ ἐγκώμιον μέγιστον, καὶ οὐχ ὁ τυχὼν ἔπαινος, ὅτι τοὺς πρὸς τοσαύτην κατενεχθέντας κακίαν ἠδυνήθη διὰ τῆς οἰκείας σφοδρότητος ἀπαλλάξαι τῆς πονηρίας, μαλάξαι τε καὶ ποιῆσαι καταπαθεῖς τῇ χάριτι, καὶ πρὸς τὴν τῆς καινῆς ὁδηγῆσαι φιλοσοφίαν. τὸ γὰρ αὐτὸ πνεῦμα καὶ τὰ ἐν τῇ παλαιᾷ, καὶ τὰ ἐν τῇ καινῇ πάντα ᾠκονόμει, εἰ καὶ διαφόρως. διὰ τοῦτο καὶ Παῦλος ἔλεγεν· Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως κατὰ τὸ γεγραμμένον· ἐπίστευσα, διὸ ἐλάλησα.

Οὐ διὰ τοῦτο δὲ μόνον ἔλεγε, τὸ αὐτὸ πνεῦμα, ἀλλὰ καὶ δι᾽ ἑτέραν αἰτίαν οὐκ ἐλάττονα τῆς εἰρημένης· ἣν ἐβουλόμην μὲν νῦν εἰπεῖν, δεδοικὼς δὲ μὴ τὰ εἰρημένα ἐκβλύσητε, εἰς ἑτέραν ὑμῖν διάλεξιν ταύτην ταμιεύσομαι, πῶς ταύτης μεμνῆσθαι πάσης παρακαλέσας ὑμᾶς καὶ μετ᾽ ἀκριβείας φυλάττειν αὐτήν, καὶ τὴν ἀπὸ τῆς πολιτείας ἀρετὴν προστιθέναι, καὶ τῇ τῶν δογμάτων συνυφαίνειν αὐτὴν καθαρότητι· ἵνα ἄρτιος ὁ ἄνθρωπος ᾖ τοῦ Θεοῦ, πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος. ἐπεὶ κέρδος οὐδὲν ἔσται ἡμῖν τῶν ὀρθῶν δογμάτων, ὅταν ὁ βίος διεφθαρμένος ᾖ· ὥσπερ οὖν οὐδὲ πολιτείας ἀρίστης ὄφελος, πίστεως οὐκ οὔσης ὑγιοῦς. ἵνα οὖν ἀπηρτισμένην ἔχωμεν τὴν ὠφέλειαν, ἑκατέρωθεν ἑαυτοὺς ἀσφαλιζώμεθα, ἔν τε τοῖς ἄλλοις ἅπασι καρποὺς ἐπιδεικνύμενοι γενναίους, καὶ μετὰ τῶν ἄλλων τὴν ἐλεημοσύνην (περὶ ἧς καὶ πρώην ὑμῖν διελέχθην) μετὰ πολλῆς μὲν τῆς προθυμίας, μετὰ πολλῆς δὲ αὐτὴν ἐπιτελοῦντες τῆς δαψιλείας.

β. Κορ. θ.

Ὁ γὰρ σπείρων φειδομένως, φησί, φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ᾽ εὐλογίαις, ἐπ᾽ εὐλογίαις καὶ θερίσει. τί ἐστιν, ἐπ᾽ εὐλογίαις; μετὰ πολλῆς τῆς ἀφθονίας. ἐνταῦθα μὲν οὖν ἐπὶ τῶν βιωτικῶν πραγμάτων, καὶ ὁ ἀμητὸς καὶ ὁ σπόρος τῶν αὐτῶν ἐστι σπερμάτων. καὶ γὰρ ὁ σπείρων, πυροὺς ἢ κριθὰς καταβάλλει, ἢ καὶ ἄλλο τι τῶν τοιούτων, καὶ ὁ θερίζων τὸ αὐτὸ θερίζει πάλιν· ἐπὶ δὲ τῆς ἐλεημοσύνης οὐχ οὕτως, ἀλλ᾽ ἑτέρως. σὺ μὲν γὰρ καταβάλλεις ἀργύριον, συλλέγεις δὲ παρρησίαν τὴν πρὸς τὸν Θεόν· δίδως χρήματα, καὶ λαμβάνεις ἁμαρτημάτων λύσιν· παρέχεις ἄρτον καὶ ἱμάτιον, καὶ ἀντὶ τούτων σοὶ ἡ τῶν οὐρανῶν εὐτρεπίζεται βασιλεία, καὶ τὰ μυρία ἀγαθά, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη· τὸ δὴ πάντων κεφάλαιον τῶν ἀγαθῶν, ὅμοιος γίνῃ τῷ Θεῷ, κατὰ δύναμιν τὴν ἀνθρωπίνην. περὶ γὰρ ἐλεημοσύνης καὶ φιλανθρωπίας διαλεχθεὶς ὁ Χριστὸς ἐπήγαγεν,

Ματθ. ε. με.

Ὅπως γένησθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. οὐ δυνήσῃ ἀνατεῖλαι ἥλιον, οὐδὲ ὄμβρους ἀφεῖναι σύ, οὐδὲ οἰκουμένην εὐεργετῆσαι τοσαύτην· τοῖς οὖσι χρήμασιν ἀπόχρησαι πρὸς τὴν φιλοφροσύνην, καὶ γέγονας ὅμοιος τῷ τὸν ἥλιον ἀνατέλλοντι, ὡς ἀνθρώπῳ ὅμοιον Θεῷ γενέσθαι δυνατόν. προσέχετε μετ᾽ ἀκριβείας τοῖς εἰρημένοις. ἐπὶ πονηροὺς καὶ ἀγαθούς, φησί. καὶ σὺ τοίνυν, ὅταν ἐλεημοσύνην ποιῇς, μὴ βίον ἐξετάσῃς, μηδὲ τρόπων εὐθύνας ἀπαίτει. ἐλεημοσύνη γὰρ διὰ τοῦτο λέγεται, ἵνα καὶ τοῖς ἀναξίοις παρέχωμεν. ὁ γὰρ ἐλεῶν, οὐ τὸν κατωρθωκότα, ἀλλὰ τὸν ἡμαρτηκότα ἐλεεῖ. ὁ μὲν γὰρ κατορθῶν, ἐπαίνων ἄξιος καὶ στεφάνων ἐστίν· ὁ δὲ ἁμαρτάνων, ἐλέου καὶ συγγνώμης. ὥστε καὶ κατὰ τοῦτο μιμησόμεθα τὸν Θεόν, ἐὰν καὶ πονηροῖς παρέχωμεν. ἐννόησον γὰρ ὅσοι τὴν οἰκουμένην οἰκοῦσι βλάσφημοι, μιαροί, γόητες, πάσης ἐμπεπλησμένοι κακίας. ἀλλὰ καὶ τούτους καθ᾽ ἑκάστην τρέφει τὴν ἡμέραν ὁ Θεός, ἡμᾶς παιδεύων τὴν φιλοφροσύνην ἐπὶ πάντας ἐκτείνειν. ἡμεῖς δὲ ἅπαν τοὐναντίον ποιοῦμεν. οὐ γὰρ πονηρούς, οὐδὲ φαύλους ἀνθρώπους ἀποστρεφόμεθα μόνον, ἀλλὰ κἂν ὑγιαίνων τις ἡμῖν προσέλθῃ, ἢ δι᾽ ἐπιείκειαν, ἢ δι᾽ ἐλευθερίαν, ἢ καὶ δι᾽ ἀργίαν ἴσως (καὶ γὰρ καὶ τοῦτο τίθημι) πενίᾳ συζῶν, λοιδορίας, ὕβρεις, μυρία κατ᾽ αὐτοῦ συνείροντες σκώμματα, κεναῖς αὐτὸν ἀποπέμπομεν χερσί, τὴν ὑγείαν ὀνειδίζοντες, τὴν ἀργίαν προσφέροντες, εὐθύνας ἀπαιτοῦντες. μὴ γὰρ τοῦτο προσετάγης, ἄνθρωπε, ἐγκαλεῖν καὶ ἐπιτιμᾶν ἁπλῶς τοῖς δεομένοις; ἐλεεῖν καὶ διορθοῦσθαι τὴν πενίαν αὐτῶν ὁ Θεὸς ἐκέλευσεν, οὐχὶ εὐθύνας ἀπαιτεῖν καὶ ὑβρίζειν. ἀλλὰ βούλει διορθῶσαι τὸν τρόπον, καὶ τῆς ἀργίας ἀπαγαγεῖν, καὶ εἰς ἔργον ἐμβαλεῖν τὸν ἀργοῦντα; δὸς πρότερον, καὶ τότε ἐπιτίμησον· ἵνα μὴ ὠμότητος ὑποψίαν, ἐγκληθεὶς βαρύτητα, ἀλλὰ κηδεμονίας δόξαν λάβῃς. τὸν μὲν γὰρ μὴ δόντα, ἀλλ᾽ ἐγκαλοῦντα μόνον ἀποστρέφεται καὶ ἀηδίζει, καὶ οὐδ᾽ ἰδεῖν ἀνάσχοιτ᾽ ἂν ὁ πένης· καὶ μάλα εἰκότως. οὐ γὰρ διὰ κηδεμονίαν, ἀλλὰ διὰ τὸ μὴ βούλε-

σθαι

τῷ ἀδικοῦσι νομίζει τὰ ἐγκλήματα γίνεσθαι. ὅταν οὖν καὶ ἔστιν ἀληθές, ὁ δὲ μετὰ τὸ ἀδικεῖσθαι ἐγκαλῶν, εὐπαράδεκτον ποιεῖ τὴν παραίνεσιν. οὐ γὰρ ἐξ ἀπανθρωπίας, ἀλλ' ἐκ κηδεμονίας ποιεῖται τὴν ἐπιτίμησιν. οὕτω καὶ Παῦλος ἐποίησεν. εἰπὼν γάρ, Εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω, ἐπάγει λέγων· ὑμεῖς δὲ τὸ καλὸν ποιοῦντες μὴ ἐκκακήσητε. καίτοι δοκεῖ ταῦτα ἐναντία εἶναι τὰ προστάγματα. εἰ γὰρ οὐ δεῖ τοὺς ἀργοῦντας ἐσθίειν, πῶς τούτοις κελεύεις τὸ καλὸν ποιεῖν; ἀλλ' οὐκ ἔστιν ἐναντίον· μὴ γένοιτο. διὰ γὰρ τοῦτο, φησίν, εἶπον, ὅτι Εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω, οὐχ ἵνα τοὺς μέλλοντας διδόναι ἀπαγάγω τῆς ἐλεημοσύνης, ἀλλ' ἵνα τοὺς ἐν ἀργίᾳ ζῶντας ἀπαγάγω τῆς ἀργίας. τὸ μὲν οὖν εἰπεῖν, μηδὲ ἐσθιέτω, ἐκείνους διανίστησι πρὸς ἐργασίαν τῷ φόβῳ τῆς ἀπειλῆς· τὸ δὲ εἰπεῖν, τὸ καλὸν ποιοῦντες μὴ ἐκκακῆτε, τούτους διεγείρει πρὸς ἐλεημοσύνην τῷ χρησίμῳ τῆς παραινέσεως. ἵνα γὰρ μή, ἀκούσαντες τῆς κατ' ἐκείνων γεγυμνωμένης ἀπειλῆς, συστείλωσι τὰς χεῖράς τινες, ἐκκαλεῖται πρὸς φιλοφροσύνην αὐτούς, λέγων, τὸ καλὸν ποιοῦντες μὴ ἐκκακῆτε· ὥστε καὶ ἀργοῦντι ἐὰν δῷς, καλὸν πεποίηκας. τοῦτο καὶ ἐν τοῖς ἑξῆς δῆλον ἐποίησεν. εἰπὼν γάρ, Εἴ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε, καὶ μὴ συναναμίγνυσθε αὐτῷ· καὶ ἐκκόψας αὐτὸν τῆς ἱερᾶς αὐλῆς, πάλιν αὐτὸν ἑτέρῳ συνάπτει τρόπῳ, τὰς τῶν ἐκτεμόντων διανοίας οἰκειῶν αὐτῷ καὶ συνάγων. ἐπήγαγε γοῦν λέγων· Μὴ ὡς ἐχθρόν, φησίν, ἡγεῖσθε, ἀλλ' ὡς ἀδελφόν. ὥσπερ οὖν εἰπών, Εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω, τοῖς κυρίοις ἐκέλευσε πολλὴν αὐτῶν ποιεῖσθαι πρόνοιαν πάλιν, οὕτω καὶ ἐνταῦθα εἰπών, μὴ συναναμίγνυσθε αὐτῷ, οὐκ ἀπέστησεν αὐτοῦ τῆς ἐπιμελείας τοὺς ἀκούοντας· ἀλλὰ καὶ σφόδρα αὐτοῖς ἀντιλαβέσθαι παρεκελεύσατο, προσθεὶς καὶ εἰπών, καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλ' ὡς ἀδελφόν. ἐχωρίσθης αὐτοῦ τῆς συνουσίας, ἀλλὰ μὴ χωρισθῇς τῆς κηδεμονίας· ἀπέκοψας αὐτὸν τῆς συνόδου, μὴ ἀποκόψῃς αὐτὸν τῆς ἀγάπης. καὶ γὰρ αὐτὸ τοῦτο δι' ἀγάπην ἐκέλευσα γίνεσθαι, ἵνα τῷ χωρισμῷ γενόμενος βελτίων, πρὸς τὸ λοιπὸν ἐπανέλθῃ σῶμα. ἐπεὶ καὶ οἱ πατέρες τῆς οἰκίας τῆς ἑαυτῶν ἐκβάλλουσι τοὺς παῖδας, οὐχ ἵνα ἔξω μένωσι διηνεκῶς, ἀλλ' ἵνα τῷ τῆς οἰκίας ἐκπεσεῖν γενόμενοι σωφρονέστεροι, πρὸς τὴν οἰκίαν ἐπανέλθωσι πάλιν.

Γαλ. ς. θ.

β. Θεσ. γ. ιγ. ιδ.

α. Θεσ. γ. ι.

Πρὸς μὲν οὖν τοὺς ἀργίαν ἐγκαλοῦντας ἱκανὰ τὰ εἰρημένα. ἐπειδὴ δὲ καὶ ἕτερος ἐστὶ πολλοῖς μεμελετημένος λόγος πρὸς ἀπολογίαν ἀπανθρωπίας καὶ ὠμότητος γέμων, ἀνάγκη καὶ τοῦτον διεξελέγξαι πάλιν· οὐχ ἵνα ἀπολογίας αὐτοὺς ἀποστερήσωμεν, ἀλλ' ἵνα πείσωμεν τὴν οὐκ οὖσαν, οὐδὲ ὠφελοῦσαν ἀπολογίαν ἀποθέσθαι, τὴν δὲ οὖσαν καὶ προστῆναι δυναμένην ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ, ταύτην διὰ τῶν ἔργων μελετᾶν διηνεκῶς. τίς οὖν ἐστιν ἡ ψυχρὰ καὶ ἀνόητος τῶν πολλῶν ἀπολογία; παιδοτροφίᾳ συζῶ, φησίν, οἰκίας προΐσταμαι, γυναῖκα τρέφω, πολλὰς ἔχω δαπάνης ἀνάγκας· ὅθεν οὐκ εὐπορῶ τοὺς προσιόντας μοι ἐλεεῖν. τί λέγεις; παιδία τρέφεις, καὶ διὰ τοῦτο τοὺς προσιόντας οὐκ ἐλεεῖς; δι' αὐτὰ μὲν οὖν ταῦτα τοὺς δεομένους ἐλεεῖν δεῖ, διὰ τὰ παιδία, καὶ τὴν αὐτῶν προστασίαν· ἵνα ἀπὸ ὀλίγων χρημάτων ἵλεω τὸν δόντα αὐτὰ Θεὸν ποιήσῃς, ἵνα καταλίπῃς αὐτοῖς προστάτην ἐκεῖνον καὶ μετὰ τὸν θάνατον, ἵνα πολλὴν αὐτοῖς ἄνωθεν εὔνοιαν ἐπισπάσῃ ἀπὸ τῶν ἐκείνων χρημάτων τῷ Θεῷ δαπανῶν. οὐχ ὁρᾷς, ὅτι πολλοὶ ἄνθρωποι πλουτοῦντες καὶ ἐν δυναστείαις ὄντες οὐδαμόθεν αὐτοῖς προσήκοντας, εἰς τὰς διαθήκας πολλάκις εἰσήγαγον τὰς ἑαυτῶν, καὶ τοῖς ἑαυτῶν παισὶ συγκληρονόμους ἐποίησαν, δι' ἄλλο μὲν οὐδέν, ἵνα δὲ ἀσφάλειαν τοῖς ἑαυτῶν κτήσωνται παισὶν ἀπὸ ὀλίγων χρημάτων· καὶ ταῦτα, οὐκ εἰδότες πῶς διακείσονται μετὰ τὴν αὐτῶν τελευτὴν περὶ τοὺς αὐτῶν παῖδας οἱ τοῦ κλήρου γενόμενοι κοινωνοί; σὺ δὲ εἰδὼς τὸ φιλάνθρωπον καὶ χρηστὸν καὶ ἐπιεικὲς τοῦ σοῦ δεσπότου, οὐ ποιήσεις αὐτὸν κοινωνὸν τῆς διαθήκης τῆς σῆς; οὐ ποιήσεις αὐτὸν συγκληρονόμον τῶν παίδων τῶν σῶν; καὶ ποῦ

ταῦτα παθών, εἰπέ μοι, παῖδας φιλοῦντος; εἰ γὰρ κήδῃ τῶν τεχθέντων παίδων, κατάλειπε γραμματεῖον αὐτοῖς, ἐν ᾧ τὸν Θεὸν ἔχεις ὑπεύθυνον. τοῦτο μεγίστη κληρονομία, τοῦτο κόσμος, τοῦτο ἀσφάλεια. εἰσάγαγε αὐτὸν εἰς τὴν κληρονομίαν τὴν ἐνταῦθα, ἵνα σὲ μετὰ τῶν παίδων εἰς τὴν κληρονομίαν ἀντεισαγάγῃ τὴν ἐκεῖ. οὗτος γὰρ ὁ κληρονόμος γενναῖος, φιλάνθρωπος, χρηστός, δυνατός, πλούσιος. ὥστε κατ' οὐδὲ ἕν ἐστιν ὑποπτεῦσαι τὴν κοινωνίαν αὐτοῦ. διὰ τοῦτο καὶ σπόρος ἡ ἐλεημοσύνη καλεῖται, ἐπειδὴ οὐκ ἔστι δαπάνη τὸ πρᾶγμα, ἀλλὰ πρόσοδος. σὺ δέ, ὅταν μὲν σπείρειν δέῃ, οὐ προσέχεις, ὅτι κενοῖς τὰ ταμιεῖα τῶν παλαιῶν γεννημάτων, ἀλλὰ προσέχεις τῷ μηδέπω παρόντι τῶν γεννημάτων ἀμητῷ· καὶ ταῦτα, οὐκ εἰδώς, εἰ πάντως ἐκβήσεται. καὶ γὰρ καὶ ἐρυσίβη, καὶ χάλαζα, καὶ ἀκρίς, καὶ ἀέρων ἀνωμαλία, καὶ πολλὰ τῆς ἐλπίδος ἡμᾶς ἀποκρούει τῆς μελλούσης· εἰς δὲ τὸν οὐρανὸν μέλλων σπείρειν, ὅπου πᾶσα μὲν ἀνωμαλία ἀέρων ἐκβέβληται, πάσης δὲ λύπης καὶ ἐπιβουλῆς ἀνῄρηται πρόφασις, ὀκνεῖς καὶ ἀναδύῃ; καὶ ποίαν εὑρήσεις συγγνώμην, ὅταν εἰς μὲν τὴν γῆν καταβάλλων θαρρῇς, καὶ μετὰ προθυμίας τοῦτο ποιῇς, εἰς δὲ τὴν χεῖρα τοῦ Θεοῦ μέλλων καταβάλλειν, ὀκνεῖς καὶ ἀμελεῖς; εἰ γὰρ ἡ γῆ τὰ καταβληθέντα ἀποδίδωσι, πολλῷ μᾶλλον ἡ τοῦ Θεοῦ χείρ, ἅπερ ἂν δέξηται, μετὰ πάσης ἀποδώσει σοι τῆς περιουσίας. ταῦτ' οὖν εἰδότες, μὴ τῇ δαπάνῃ προσέχωμεν, ὅταν ἐλεημοσύνην ποιῶμεν· ἀλλὰ τῇ προσόδῳ καὶ ταῖς μελλούσαις ἐλπίσι, καὶ τῷ παρόντι δὲ κέρδει. οὐ γὰρ βασιλείαν οὐρανῶν ἐλεημοσύνη προξενεῖ μόνον, ἀλλὰ καὶ τὴν κατὰ τὸν παρόντα βίον ἀσφάλειάν τι καὶ ἀφθονίαν. τίς ταῦτά φησιν; αὐτὸς ὁ ταῦτα δοῦναι κύριος. ὁ γὰρ τὰ αὐτοῦ πένησι, φησί, δούς, ἑκατονταπλασίονα λήψεται ἐν τῷ αἰῶνι τούτῳ, καὶ ζωὴν αἰώνιον κληρονομήσει. ὁρᾷς ἐν ἑκατέρᾳ τῇ ζωῇ τὰς ἀμοιβὰς διδομένας μετὰ πολλῆς τῆς περιουσίας; μὴ τοίνυν ὀκνῶμεν, μηδὲ ἀναβαλλώμεθα, ἀλλὰ καθ' ἑκάστην ἡμέραν τὸν τῆς ἐλεημοσύνης καρπὸν φέρωμεν· ἵνα καὶ τὰ παρόντα ἡμῖν πράγματα κατὰ ῥοῦν φέρηται, καὶ τῆς μελλούσης ἐπιτύχωμεν ζωῆς, ἧς γένοιτο πάντας ἡμᾶς μετασχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, τιμή, κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

2. Κορ. δ. ιγ.

Λογ. ιζ. ΠΑΛΙΝ ΕΙΣ ΤΗΝ ΑΥΤΗΝ ΡΗΣΙΝ, ΕΧΟΝΤΕΣ δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως κατὰ τὸ γεγραμμένον· καὶ διὰ τί κοινῇ πάντες ἀπολαμβάνουσι τὰ ἀγαθά, καὶ περὶ ἐλεημοσύνης. Λογ. γ.

Τῇ προτέρᾳ συνάξει καὶ τῇ πρὸ ἐκείνης μίαν τοῦ ἀποστόλου ῥῆσιν ἀπολαβόντες, εἰς τὴν ἐξήγησιν ταύτης ἅπαντα τὸν λόγον ἀνηλώσαμεν· καὶ τήμερον δὲ τῇ αὐτῇ ταύτῃ πάλιν ἐνδιατρῖψαι σπουδάζομεν. ποιοῦμεν δὲ τοῦτο ἐπιτηδὲς πρὸς ὠφέλειαν τῆς ὑμετέρας ἀγάπης, οὐ πρὸς ἐπίδειξιν τὴν ἡμετέραν. οὐ γὰρ ἵνα γόνιμόν τινα καὶ πολύνουν ἐμαυτὸν ἀποφήνω, ἀλλ' ἵνα καὶ τὴν Παύλου σοφίαν ὑμῖν ἐκκαλύψω, καὶ τὴν ὑμετέραν διεγείρω προθυμίαν, οὕτω μεταχειρίζω τὸν λόγον. τό τε γὰρ βάθος τῆς ἐκείνου (συνέσεως φαίνεται) μειζόνως, ὅταν ἐκ μιᾶς ῥήσεως τοσούτους ἡμῖν ἀφιῇ ποταμοὺς νοημάτων· ὑμεῖς τε μαθόντες, ὅτι καὶ ἀπὸ μιᾶς λέξεως ἀποστολικῆς ἄφατον ἔστι καρπώσασθαι φιλοσοφίας πλοῦτον, οὐ παραδραμεῖσθε τὰς ἐπιστολὰς ἁπλῶς, ἀλλὰ προαχθήσεσθε, ταῖς ἐλπίσι ταύταις τρεφόμενοι, τῶν ἐγκειμένων ῥήσεων ἑκάστην μετὰ πολλῆς περιεργάζεσθαι τῆς σπουδῆς. εἰ γὰρ μία λέξις τριῶν ἡμερῶν διάλεξιν ἡμῖν ἔτεκε, πόσον ἡμῖν ἀναβλύσει θησαυρὸν ὁλόκληρος περικοπὴ μετὰ ἀκριβείας θεωρουμένη; μὴ τοίνυν ἀποκάμωμεν, ἕως ἂν τὸ πᾶν ἀποτρυγήσωμεν. εἰ γὰρ οἱ μέταλλα διορύττοντες χρυσίου, ὅσον ἂν ἐκεῖθεν κενώσωσι πλοῦτον, οὐ πρότερον ἀφίστανται, ἕως ἂν τὸ πᾶν ἀνέλωνται χρυσίον· πολλῷ μᾶλλον ὑμᾶς μείζονι προθυμίᾳ κεχρῆσθαι δεῖ καὶ σπουδῇ περὶ τὴν τῶν θείων λογίων ἔρευναν. καὶ γὰρ καὶ ἡμεῖς χρυσίον ὀρύττομεν, οὐκ αἰσθητόν, ἀλλὰ πνευματικόν. οὐ γὰρ μέταλλα γῆς, ἀλλὰ μέταλλα τοῦ πνεύματος ἐργαζόμεθα. αἱ γὰρ ἐπιστολαὶ τοῦ Παύλου τοῦ πνεύματός εἰσι μέταλλα καὶ πηγαί· μέταλλα μέν, ὅτι χρυσίου παντὸς τιμιώτερον ἡμῖν παρέχουσι πλοῦτον· πηγαὶ δέ, ὅτι οὐδέποτε ἐπιλείπουσιν· ἀλλ' ὅσον ἂν κενώσῃς ἐκεῖθεν, τοσοῦτον, καὶ πολλῷ πλέον ἐπιρρεῖ πάλιν. καὶ τούτου γένοιτ' ἂν ἀπόδειξις σαφὴς ὁ χρόνος ὁ παρελθὼν ἅπας. ἐξ οὗ γὰρ Παῦλος ἐγένετο, πεντακόσια λοιπὸν ἔτη παρῆλθε· καὶ τοῦτον ἅπαντα τὸν χρόνον πολλοὶ μὲν συγγραφεῖς, πολλοὶ δὲ διδάσκαλοι καὶ ἐξηγηταὶ πολλὰ πολλάκις ἐκεῖθεν ἐξήντλησαν, καὶ τὸν ἀποκείμενον οὐκ ἐκένωσαν πλοῦτον. οὐ γὰρ αἰσθητὸς ὁ θησαυρός· διόπερ οὐκ ἀναλίσκεται τῇ τῶν ὀρυττόντων πολυχειρίᾳ, ἀλλ' αὔξεται καὶ πλεονάζει. καὶ τί λέγω τοὺς ἔμπροσθεν; πόσοι μεθ' ἡμᾶς ἐροῦσι, καὶ μετ' ἐκείνους ἕτεροι πάλιν, καὶ οὐ παύσεται πηγάζων ὁ πλοῦτος, οὐδὲ ἐπιλείψει ταύτῃ τὰ μέταλλα; πνευματικὰ γάρ ἐστι, καὶ οὐ πέφυκε δαπανᾶσθαί ποτε. τίς οὖν ἐστιν ἡ ῥῆσις ἡ ἀποστολική, περὶ ἧς καὶ πρῴην πρὸς τὴν ὑμετέραν ἀγάπην διελέχθημεν; Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως κατὰ τὸ γεγραμμένον· ἐπίστευσα, διὸ ἐλάλησα. τότε μὲν οὖν ἐζητοῦμεν, τίνος ἕνεκεν εἴρηκε, πνεῦμα πίστεως τὸ αὐτό. καὶ μίαν αἰτίαν τέως εἰρήκαμεν· αὕτη δὲ ἦν, τὸ δεῖξαι σύμφωνον τῇ καινῇ τὴν παλαιὰν οὖσαν. ὅταν γὰρ φαίνηται τὸ πνεῦμα τῆς πίστεως τὸ αὐτὸ καὶ τὴν τοῦ Δαβὶδ κινῆσαν γλῶτταν τὴν λέγουσαν, Ἐπίστευσα, διὸ ἐλάλησα, καὶ εἰς τὴν τοῦ Παύλου ψυχὴν ἐνεργοῦν, εὔδηλον ὅτι πολλὴ συγγένεια προφητῶν καὶ ἀποστόλων, καὶ ἀνάγκη πολλὴν παλαιᾶς καὶ καινῆς εἶναι τὴν συμφωνίαν. ἀλλ' ἵνα μὴ πάλιν τὰ αὐτὰ ἀνακινοῦντες ἐνοχλῶμεν ὑμῖν, φέρε, καὶ τὴν ἑτέραν αἰτίαν εἴπωμεν, δι' ἣν εἴρηκε, τὸ αὐτό. καὶ γὰρ καὶ τότε ὑμῖν ὑπεσχόμεθα ἑτέραν αἰτίαν ἐρεῖν τῆς ῥήσεως ταύτης. ἀλλὰ διαναστῆτε. βαθὺ γὰρ τὸ νόημα τοῦτό ἐστιν, ὃ μέλλω λέγειν πρὸς τὴν ὑμετέραν ἀγάπην, καὶ διεγηγερμένης δεόμενον διανοίας, καὶ ὀξυτάτης ψυχῆς. διὸ παρακαλῶ μετὰ ἀκριβείας παρακολουθεῖν τοῖς ῥηθήσεσθαι μέλλουσιν. εἰ γὰρ ἡμέτερος ὁ πόνος, ἀλλ' ὑμέτερον τὸ κέρδος· μᾶλλον δὲ οὐδὲ ἡμέτερος ὁ πόνος, ἀλλὰ τῆς τοῦ πνεύματος χάριτος δωρεά. ὅταν δὲ ἀποκαλύψῃ, οὔτε ὁ λέγων, οὔτε οἱ ἀκούοντες κάμνουσι. πολλὴ γὰρ τῆς ἀποκαλύψεως ἡ εὐκολία. προσσχῶμεν τοίνυν μετὰ ἀκριβείας. κἂν γὰρ τοῖς πλείοσι παρακολουθήσητε, περὶ δὲ βραχὺ μέρος ἀπονυστάξητε, τὸ πᾶν ἀγνοήσετε τοῦ κάλλους, διακοπείσης τῆς ἀκολουθίας λοιπόν. καὶ καθάπερ οἱ τὰς ὁδοὺς ἀγνοοῦντες, καὶ ἑτέρων δεόμενοι τῶν ὁδηγούντων, κἂν πολὺ προέλθωσιν ἀκολουθοῦντες αὐτοῖς, μικρὸν δὲ ἀπορραθυμήσαντες ἀπολέσωσι τὸν ἡγούμενον, οὐδὲν αὐτοῖς ὄφελος ἔσται τῆς προτέρας ἀκολουθήσεως, ἀλλ' ἵστανται λοιπόν, οὐκ εἰδότες ὅπου προέλθωσιν· οὕτω καὶ οἱ τῷ λέγοντι παρακολουθοῦντες, ἐὰν παρὰ πᾶσαν τὴν διδασκαλίαν προσέχοντες μικρὸν ῥᾳθυμήσωσιν, ἅπασαν τὴν ἀκολουθίαν ῥίψαντες, οὐκ ἔτι λοιπὸν ἐπιστῆναι τῷ τέλει τῶν νοημάτων δυνήσονται. ἵν' οὖν μὴ τοῦτο πάθητε, διὰ πάντων τῶν μελλόντων ῥηθήσεσθαι τὴν ἴσην μοι παρέχετε σπουδήν, ἕως ἂν εἰς αὐτὸ τὸ τέλος ἔλθωμεν. τίνος οὖν ἕνεκεν εἴρηκεν, ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, καὶ σπουδάζει δεῖξαι καὶ ἐν τῇ παλαιᾷ καὶ ἐν τῇ καινῇ πίστιν οὖσαν τὴν μητέρα τῶν ἀγαθῶν, μικρὸν ἄνωθεν ἀναγκαῖον εἰπεῖν. οὕτω γὰρ ἔσται κατάδηλος ἡμῖν ἡ αἰτία μᾶλλον. τίς οὖν ἐστιν ἡ αἰτία; πολὺς πόλεμος περιειστήκει τοὺς πιστούς, ἡνίκα ταῦτα ἐλέγετο, πόλεμος χαλεπὸς καὶ ἀκήρυκτος. καὶ γὰρ καὶ πόλεις αὐτοῖς ὁλόκληροι, καὶ δῆμοι πάντοθεν ἐπολέμισαντο, καὶ τύραννοι πάντες ἐπεβούλευον, καὶ βασιλεῖς παρεσκευάζοντο, καὶ ὅπλα ἐκινεῖτο, καὶ ξίφη ἠκονᾶτο, καὶ στρατόπεδα ηὐτρεπίζετο, καὶ πᾶν εἶδος κολάσεως καὶ τιμωρίας ἐπε-

β. Κορ. δ. ιγ.

Ψαλ. ριε. α.

νοεῖτο· ὅθεν ὑπαρχόντων ἁρπαγαὶ καὶ δημεύσεις, καὶ ἀπαγωγαί, καὶ θάνατοι καθημερινοί, καὶ στρεβλώσεις, καὶ δεσμωτήρια, καὶ πῦρ, καὶ σίδηρος, καὶ θηρία, καὶ ξύλον, καὶ τροχός, καὶ βάραθρα, καὶ κρημνοί, καὶ πάντα τὰ εἰς ἐπίνοιαν πρὸς τὸν τῶν πιστῶν ὄλεθρον ἐκινεῖτο· καὶ οὐδὲ μέχρι τούτων ὁ πόλεμος εἱστήκει. οὐδὲ γὰρ παρὰ τῶν ἐχθρῶν ἀνερριπίζετο μόνον, ἀλλὰ καὶ αὐτὴ καθ' ἑαυτῆς ἡ φύσις ἐσχίζετο. καὶ γὰρ παισὶν ἐπολέμουν πατέρες, καὶ θυγατέρες ἐμίσουν τὰς κυησάσας, καὶ φίλοι φίλους ἀπεστρέφοντο· καὶ εἰς τὰς συγγενείας, καὶ εἰς τὰς οἰκίας ὁ πόλεμος οὗτος ἕρπων εἰσῄει, καὶ θόρυβος ἦν τότε πολὺς κατὰ τὴν οἰκουμένην. καὶ καθάπερ πλοίου, κυμάτων διανισταμένων, νεφῶν συρρηγνυμένων, βροντῶν καταρρηγνυμένων, ζόφου πάντοθεν κυκλοῦντος τὸ σκάφος, τῆς θαλάσσης μαινομένης, θηρίων ἐπανισταμένων, πειρατῶν προσβαλλόντων, αὐτῶν τῶν ἔνδοθεν στασιαζόντων, οὐκ ἂν διαφύγοι τὸν κίνδυνον, εἰ μὴ ἡ ἄνω χεὶρ ἡ κραταιὰ καὶ μεγάλη ἀποκρούσαιτο τὸν πόλεμον, καὶ λύσασα τὸν χειμῶνα καταστήσειεν ἐν γαλήνῃ τοὺς πλέοντας· οὕτω δὴ καὶ τότε ἐν ἀρχῇ τοῦ κηρύγματος γέγονεν. οὐ γὰρ ἔξωθεν προσέβαλλεν ὁ χειμὼν μόνον, ἀλλὰ καὶ οἱ ἔνδον πολλάκις πρὸς ἀλλήλους ἐστασίαζον. β. Κορ. ζ. ε. τίς τοῦτό φησιν; αὐτὸς ὁ Παῦλος γράφων, Ἔξωθεν μάχαι, ἔσωθεν φόβοι. καὶ ὅτι ταῦτ' ἔστιν ἀληθῆ, καὶ διδασκάλους καὶ μαθητὰς μυρία περιεστοίχιστο κακά, καὶ πάντας ὁ πόλεμος ἐπενέμετο, αὐτοῦ πάλιν τοῦ Παύλου τὴν μαρτυρίαν παράγω. ὑμεῖς δὲ μνημονεύετε τῶν λεγομένων ἁπάντων· ἵν' ὅταν μάθητε τοὺς κινδύνους, τοὺς πειρασμούς, τὰ μυρία κακά, ἅπερ οἱ τότε πιστεύοντες ὑπέμενον, μειζόνως καὶ διὰ τοῦτο εὐχαριστῆτε τῷ Θεῷ τῷ λύσαντι πάντα ἐκεῖνα τὰ δεινά, καὶ εἰρήνην εἰσαγαγόντι βαθεῖαν, καὶ τὸν πόλεμον ἀπελάσαντι, καὶ πολλὴν κατασκευάσαντι τὴν γαλήνην, ἵνα μηδεὶς μήτε ῥᾳθυμῶν νομίζῃ διαφεύγειν τὴν κόλασιν, μήτε κατορθῶν ἐπαίρηται νῦν. οὐ γάρ ἐστιν ἴσον πανταχόθεν πολεμούμενον καὶ μυρίοις περιαντλούμενον κακοῖς δυνηθῆναι στῆναι γενναίως, καὶ καθάπερ ἐν λιμένι καθήμενον νῦν καὶ πάσης ἀπολαύοντα ἀδείας τὴν αὐτὴν ἐπιδείξασθαι προθυμίαν. ἐκεῖνοι μὲν γὰρ τῶν ἐν πελάγει σαλευόντων τότε καὶ κλυδωνιζομένων οὐδὲν ἄμεινον διέκειντο· ἡμεῖς δὲ τῶν ἐν λιμένι καθημένων ἀδεέστερον διαγόμεθα νῦν. μὴ τοίνυν μήτε ἐπὶ τοῖς κατορθώμασι μεγαφρονῶμεν, μήτε ἐπὶ τοῖς συμπίπτουσι πειρασμοῖς καταπίπτωμεν, μήτε εἰς ῥᾳθυμίαν τῇ τῆς εἰρήνης ἀδείᾳ ἀποχρώμεθα· ἀλλὰ νήφωμεν ἀεὶ καὶ γρηγορῶμεν. ἔστι γὰρ καὶ ἡμῖν πάλη πρὸς τὰς ἐπιθυμίας τῆς φύσεως. οὐκ ἐπανίστανται νῦν ἡμῖν ἄνθρωποι, ἀλλ' ἐπανίστανται αἱ τῆς σαρκὸς ἡδοναί· οὐ πολεμοῦσι τύραννοι καὶ βασιλεῖς, ἀλλὰ πολεμεῖ θυμός, κενοδοξίας ἔρως, φθόνος, βασκανίαι, καὶ τὰ μυρία τῆς ψυχῆς πάθη. ἐπεὶ οὖν ἐκείνων τῶν πειρασμῶν ἀπηλλάγμεθα, τούτων περιγενώμεθα. διὰ γὰρ τοῦτο ἀνέμνησα ὑμᾶς τῶν καιρῶν ἐκείνων τὰ προσοχθίσματα, ἵνα καὶ ὁ ἐν θλίψει νῦν ὢν ἱκανὴν ἐκεῖθεν λαμβάνῃ παράκλησιν, καὶ ὁ πολλῆς ἀπολαύων ἀδείας, ἀντὶ τῆς ἀτεχνίας τῶν κινδύνων ἐκείνων πολλὴν εἰσάξῃ προθυμίαν εἰς τὴν τῶν ἀτόπων λογισμῶν μάχην. εἰς γὰρ ἡμετέραν νουθεσίαν καὶ παράκλησιν καὶ ὑπομονὴν πάντα ἐκεῖνα ἐγράφετο· ἅπερ ἀναγκαῖον νῦν πρὸς ὑμᾶς εἰπεῖν, καὶ διδάξαι τὸ μέγεθος τῶν τότε τοὺς πιστοὺς περιεστηκότων δεινῶν, οὐχὶ τοὺς διδασκάλους μόνον, ἀλλὰ καὶ τοὺς μαθητάς. Ἑβρ. ι. λβ. λγ. ἄκουσον γοῦν τί φησιν ὁ Παῦλος γράφων Ἑβραίοις· Ἀναμιμνήσκεσθε τὰς πρότερας ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων. οὐδὲ γὰρ βραχὺς διεγένετο χρόνος, ἀλλ' ἐν αὐτοῖς εὐθὺς τοῖς προοιμίοις τῆς κατηχήσεως καὶ τῆς διδασκαλίας ἐπανέστησαν αὐτοῖς πειρασμοί, καὶ βαπτισθέντες εὐθέως ἐκινδύνευον· τί πάσχοντες, ἄκουε. τοῦτο μὲν ὀνειδισμοῖς καὶ θλίψεσι θεατριζόμενοι. πάντες γὰρ ἐνέπτυον, ὕβριζον, κατεγέλων, ἐχλεύαζον, μωροὺς ἐκάλουν, ἀνοήτους, ὅτι τῆς πατρῴας ἀποστάντες πολιτείας, καινὸν δόγμα κατεδέξαντο. οὐ μικρὸν δὲ τοῦτο πρὸς τὸ περισαλεῦσαι ψυχήν, ἐὰν μὴ ἐρριζωμένη κατὰ βάθους ἡ πίστις ἦ. καὶ γὰρ οὐδὲν οὕτω δάκνει ψυχὴν, ὡς ὄνειδος· οὐδὲν οὕτω τήκει ψυχὴν καὶ διάνοιαν, ὡς σκώμματα καὶ λοιδορίαι. πολλοὶ γὰρ πολλάκις ἄνδρες ὑπεσκελίσθησαν ὀνειδιζόμενοι.

Ταῦτα δὲ λέγω νῦν, ἵνα ἐν παῤῥησίᾳ τὴν πίστιν ἔχωμεν. εἰ γὰρ τότε, ὅτε πᾶσα αὐτοῖς ὠνείδιζεν ἡ οἰκουμένη, οὐχ ὑπεσκελίσθησαν, πολλῷ μᾶλλον νῦν ἐν παῤῥησίᾳ τὸ κήρυγμα τῆς ἀληθείας ἔχειν δεῖ, ὅτε πᾶσα ἡ οἰκουμένη πρὸς ἡμᾶς μετετάξατο. ὅτι δὲ οὐ μέχρι κατηγορίας καὶ ὀνειδισμῶν καὶ λοιδορίας ἵσταντο ἐκεῖνοι, ἀλλὰ καὶ ἔχαιρον οἱ ταῦτα πάσχοντες, ἄκουσον τῶν ἑξῆς. Καὶ γὰρ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν, φησὶ, μετὰ χαρᾶς προσεδέξασθε. ὁρᾷς ὅτι καὶ αἱ οὐσίαι αὐτῶν ἐδημεύοντο τὸ παλαιὸν, καὶ πᾶσιν εἰς ἁρπαγὴν προέκειντο τοῖς βουλομένοις ἐπηρεάζειν; καὶ ταῦτα μὲν Ἑβραίοις ἐπιστέλλων ἔλεγε· Θεσσαλονικεῦσι δὲ ἕτερα τοιαῦτα μαρτυρεῖ πάλιν λέγων· Ὑμεῖς γὰρ μιμηταὶ, φησὶν, ἐγενήθητε τοῦ Κυρίου καὶ ἡμῶν, δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ. ὅρα καὶ τούτους θλιβομένους, καὶ οὐχ ἁπλῶς, ἀλλ' ἐν θλίψει πολλῇ. μετ' ἐπιτάσεως γὰρ ἦν ὁ πειρασμὸς, διηνεκὴς ὁ κίνδυνος, οὐδὲ μικρὸν ἀναπνεῦσαι παρέχων τοῖς ἀγωνιζομένοις τότε. ἀλλ' ὅμως καὶ ταῦτα πάσχοντες οὐκ ἐδυσχέραινον, οὐδὲ ἀπεδυσπέτουν, ἀλλὰ μᾶλλον καὶ ἔχαιρον. πόθεν τοῦτο δῆλον; ἀπ' αὐτῶν τῶν τοῦ Παύλου ῥημάτων. εἰπὼν γὰρ, ἐν θλίψει πολλῇ, προσέθηκε, Μετὰ χαρᾶς πνεύματος ἁγίου, δηλῶν ὅτι οἱ μὲν γὰρ πειρασμοὶ τὴν θλίψιν ἐποίουν, ἡ δὲ τῶν πειρασμῶν ὑπόθεσις τὴν χαρὰν αὐτοῖς ἔτικτεν. ἤρκει γὰρ εἰς παραμυθίαν τὸ συνειδέναι ἑαυτοῖς, ὅτι ταῦτα διὰ τὸν Χριστὸν ἔπασχον. διόπερ οὐχ οὕτω θαυμάζω τούτους τότε, ὅτι ἐθλίβοντο, ὡς θαυμάζω, ὅτι θλιβόμενοι διὰ τὸν Θεὸν ἔχαιρον. τοῦτο γὰρ γενναίας καὶ φιλοθέου ψυχῆς, τὸ θλίβεσθαι καὶ κακῶς πάσχειν· τὸ δὲ γενναίως φέρειν τὸν πειρασμὸν, καὶ τῷ συγχωροῦντι τὰς θλίψεις εὐχαριστεῖν, τοῦτο μεγίστης ἀνδρείας, τοῦτο διεγηγερμένης ψυχῆς καὶ τῶν ἀνθρωπίνων ἀπηλλαγμένης ἁπάντων. οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθι δηλῶν, ὅσα ἔπασχον οἱ πιστεύοντες τότε κακὰ παρὰ τῶν οἰκείων καὶ συγγενῶν (τοῦτο γὰρ ἦν τὸ χαλεπώτατον) οὑτωσί πως φησίν. Ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε, ἀδελφοὶ, τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ. κατὰ τί μιμηταί; ὅτι καὶ ὑμεῖς τὰ αὐτὰ ἐπάθετε ἀπὸ τῶν ἰδίων συμφυλετῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων. ἰδοὺ καὶ πόλεμος, ἀλλὰ καὶ πόλεμος ἐμφύλιος, ὃ μείζω ποιεῖ τὴν ὀδύνην. Εἰ γὰρ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν, φησί· σὺ δὲ ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ μου· ὅπερ τότε συνέβαινε συμβολικῶς. διὸ καὶ πολλῆς ἐδέοντο τῆς παρακλήσεως. ὅπερ οὖν καὶ Παῦλος συνορῶν, καὶ τοὺς ὑπ' αὐτῷ τεταγμένους βλέπων κάμνοντας, καὶ ἱδροῦντας, καὶ βαρυνομένους τῷ μεγέθει τῶν συμφορῶν, καὶ ταῖς ἐπαλλήλοις ὀδυνωμένους πληγαῖς, πολυτρόπως αὐτῶν διανίστησι τὰ φρονήματα, νῦν μὲν λέγων, Εἴπερ δίκαιον παρὰ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλίψιν, καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ' ἡμῶν· νῦν δὲ λέγων, Ὁ Κύριος ἐγγὺς, μηδὲν μεριμνᾶτε· καὶ πάλιν, Μὴ ἀποβάλητε τὴν παῤῥησίαν ὑμῶν. ὑπομονῆς γὰρ ἔχετε χρείαν, ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες, κομίσησθε τὴν ἐπαγγελίαν. εἶτα πρὸς τὴν ὑπομονὴν ἀλείφων αὐτοὺς, ἐπάγει· Ἔτι γὰρ μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. καὶ καθάπερ παιδίον κλαυθμυρίζον, δυσχεραῖνον, καὶ τὴν μητέρα ἐπιζητοῦν παρακαθήμενός τις παραμυθεῖται λέγων, ὅτι ἔτι μικρὸν ἀνάμεινον, καὶ ἀπαντήσεται πάντως ἡ μήτηρ· οὕτω καὶ Παῦλος ὁρῶν δυσαναχετοῦντας, ὀδυρομένους, τὴν παρουσίαν ἐπιζητοῦντας τοῦ Χριστοῦ τοὺς τότε πιστεύοντας διὰ τὴν ἀφόρητον τῶν κακῶν ἐπαγωγὴν, παραμυθούμενος ἔλεγεν· ἔτι μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. ὅτι μὲν οὖν οἱ μαθηταὶ ἐθλίβοντο καὶ μυρία ἔπασχον δεινὰ, καὶ καθάπερ ἐν μέσοις ἐπειλημμένοι λύκοις ἄρνες, οὕτω πάντοθεν ἠλαύνοντο, δῆλον ἐκ τούτων. ἵνα δὲ μάθῃς ὅτι καὶ οἱ διδάσκαλοι οὐκ ἐλάττονα τούτων, ἀλλὰ

Ἑβρ. ι. λδ'.
α. Θεσ. α. ϛ'.
α. Θεσ. β. ιδ'.
Ψαλμ. νδ'. ιγ'.
β. Θεσ. α. ϛ. ζ.
Φιλιπ. δ. ε. ϛ.
Ἑβρ. ι. λε. λϛ. λζ.

καὶ πολλῷ χαλεπώτερα τότε ὑπέμενον (ὅσῳ γὰρ μειζόνως ἐλύπουν τοὺς ἐχθροὺς τῆς ἀληθείας,
τοσούτῳ καὶ παρὰ πλειόνων ἐβάλλοντο) καὶ ταῦτα παρὰ τοῦ τὰ πρότερα εἰρηκότος ἀκούσωμεν.
β.Κορ.ϛ.γ. Κορινθίοις γὰρ γράφων, οὕτως ἔλεγε· Μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπὴν,
ἵνα μὴ μωμηθῇ ἡ διακονία ἡμῶν, ἀλλ' ἐν παντὶ συνιστῶντες ἑαυτοὺς, ὡς Θεοῦ διάκονοι,
ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς,
ἐν ἀκαταστασίαις, ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις. Εἶδες πόσους ἄθλους ἠρίθμησε,
β.Κορ.ια.κγ. πόσας πειρασμῶν νιφάδας; πάλιν τοῖς αὐτοῖς ἐπιστέλλων, Διάκονοι Χριστοῦ εἰσὶ, φησι,
παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ. Εἶτα βουλόμενος ἡμᾶς πεῖσαι, ὅτι τοῦ σημεῖα ποιεῖν
πολλῷ λαμπρότερον τὸ διὰ τὸν Χριστὸν θλίβεσθαι, καὶ ποιούμενος ἀπόδειξιν ἀποστολῆς,
καὶ δεικνὺς ὅτι βελτίων αὐτῶν ἐστιν, οὐχὶ τῶν ἀποστόλων λέγω, ἀλλὰ τῶν ψευδαποστόλων,
οὐκ ἀπὸ θαυμάτων καὶ σημείων, ἀλλ' ἀπὸ κινδύνων ἐπαλλήλων ποιεῖται τοὺς τῆς ὑπεροχῆς ἐλέγχους,
οὑτωσὶ λέγων· Ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς
περισσοτέρως, ἐν θανάτοις πολλάκις· πεντάκις τεσσαράκοντα παρὰ μίαν ὑπὸ Ἰουδαίων
ἔλαβον, τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην· τρὶς ἐναυάγησα, νυχθήμερον ἐν
τῷ βυθῷ πεποίηκα· ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις
ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ,
κινδύνοις ἐν ψευδαδέλφοις· ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις, ἐν λιμῷ
καὶ δίψει, ἐν ψύχει καὶ γυμνότητι, χωρὶς τῶν παρεκτός. οὗτοι τῆς ἀκριβοῦς ἀποστολῆς οἱ
χαρακτῆρες. σημεῖα μὲν γὰρ καὶ ἕτεροι πολλοὶ πολλάκις ἐποίησαν, καὶ οὐδὲν ἀπώναντο τῶν
Ματθ.ζ.κγ. θαυμάτων, ἀλλὰ μετὰ πάντα ἐκεῖνα ἤκουσαν· Ὑπάγετε, οὐκ οἶδα ὑμᾶς, οἱ ἐργαζόμενοι τὴν
ἀνομίαν· τῶν δὲ ταῦτα δυναμένων εἰπεῖν, ἅπερ ὁ Παῦλος ἀπηριθμήσατο νῦν, οὐδεὶς
ἐκείνης ἀκούσεται τῆς φωνῆς· ἀλλὰ μετὰ πολλῆς τῆς παῤῥησίας τῶν οὐρανῶν ἐπιβήσεται, καὶ
τῶν ἐν τοῖς οὐρανοῖς ἀγαθῶν ἀπολαύσεται πάντων.

Τάχα μακρότερος ἡμῖν ὁ λόγος ἐγένετο· ἀλλὰ μὴ δείσητε. οὐκ ἐπιλελήσμεθα τῆς
ὑποθέσεως, ἀλλ' αὐτίκα δὴ πρὸς αὐτὴν πάλιν ἐπανήξομεν. καὶ ταῦτα δὲ οὐ μάτην ἐμηκύναμεν,
ἀλλὰ διὰ πλείονος κατασκευῆς ἀναμφισβήτητον καὶ σαφέστερον βουλόμενοι
ποιήσασθαι τὴν ἀπόδειξιν, ὁμοῦ δὲ τὰς θλιβομένας παρακαλέσαι ψυχάς· ἵν' ἕκαστος τῶν
ἐν πειρασμοῖς ὄντων καὶ κινδύνοις ἰσχυρὰν λαβὼν παραμυθίαν ἀπέλθῃ, μαθὼν ὅτι Παύλου
κοινωνὸς διὰ τῶν παθημάτων γέγονε, μᾶλλον δὲ τοῦ τῶν ἀγγέλων δεσπότου Χριστοῦ· κοινωνῶν
Ρωμ.η.ιζ. δὲ αὐτῷ τῶν παθημάτων ἐνταῦθα, κοινωνήσει τῆς δόξης ἐκεῖ. Εἴπερ γὰρ, φησι, συμπάσχομεν,
β.Τιμ.β.ιβ. ἵνα καὶ συνδοξασθῶμεν. καὶ πάλιν, Εἰ ὑπομένομεν, ἵνα καὶ συμβασιλεύσωμεν.
β.Τιμ.γ.ιβ. ἀνάγκη γὰρ τὸν πιστὸν θλίβεσθαι πάντως. Πάντες γὰρ οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ
Σειρ.β.α. διωχθήσονται. Καὶ πάλιν· Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν
σου εἰς πειρασμὸν, εὔθυνον καὶ καρτέρησον. καλαὶ αἱ ἐπαγγελίαι ἐκ προοιμίων εἰς
πειρασμοὺς ἐμπεσεῖν; μεγάλη προτροπὴ καὶ παράκλησις ἐναργὴς τῆς δουλείας κινδύνων
εὐθέως ἀπογεύσασθαι; μεγίστη μὲν οὖν καὶ θαυμασία καὶ κέρδος ἔχουσα μέγιστον. ποῖον δὴ τοῦτο;
Σειρ.β.ε. ἄκουσον τῶν ἑξῆς. Ὥσπερ γὰρ ἐν πυρὶ δοκιμάζεται χρυσὸς, οὕτως ἄνθρωποι δεκτοὶ ἐν
καμίνῳ ταπεινώσεως. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὥσπερ τὸ χρυσίον τῷ πυρὶ βασανιζόμενον καθαρώτερον
γίνεται, οὕτω καὶ ἡ ψυχὴ θλίψεσιν ὁμιλοῦσα καὶ κινδύνοις, φαιδροτέρα καὶ λαμπροτέρα
ἄνεισι, καὶ πᾶσαν ἁμαρτημάτων ἀποῤῥίπτεται κηλῖδα. ὅθεν καὶ πρὸς τὸν πλούσιον ἔλεγεν
Λουκ.ις.κε. ὁ Ἀβραὰμ, ὅτι Λάζαρος ἀπέλαβε τὰ κακὰ, καὶ ἐνταῦθα παρακαλεῖται. καὶ Παῦλος Κορινθίοις
α.Κορ.ια.λ. ἐπιστέλλων ἔγραφε· Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι. εἰ γὰρ ἑαυτοὺς
ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ
α.Κορ.ε.ε. κόσμῳ κατακριθῶμεν. καὶ τὸν πεπορνευκότα δὲ δι' αὐτὸ τοῦτο παρέδωκεν εἰς ὄλεθρον τῆς

σαρκός

σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ, δεικνὺς ὅτι σωτηρίαν ὁ πρώην ἐργάζεται πειρασμὸς, καὶ οἱ κίνδυνοι τοῖς μετ᾽ εὐχαριστίας αὐτοὺς φέρουσι, καθάρσιον ψυχῆς εἶπε μέγιστον. ὅτι μὲν οὖν ἐθλίβοντο οἱ πιστοὶ, καὶ μυρία ἔπασχον δεινὰ καὶ μαθηταὶ καὶ διδάσκαλοι, καὶ οὐδὲ μικρὸν ἀνέπνεον, ποικίλοις τισὶ καὶ παντοδαποῖς πάντοθεν περιεστοιχισμένοι πολέμοις, ἱκανῶς ὁ λόγος ἀπέδειξε· καὶ πλείω δὲ τῶν εἰρημένων τοῖς φιλοπόνοις ἔξεστιν ἀναλέξασθαι ἐκ τῶν θείων γραφῶν. λοιπὸν δὲ ἐπὶ τὸ προκείμενον τὸν λόγον ἀγάγωμεν. τί δὲ τὸ προκείμενον ἦν εἰπεῖν; τίνος ἕνεκεν εἶπεν ὁ Παῦλος, ἔχοντες πνεῦμα πίστεως τὸ αὐτό. τίνος οὖν ἕνεκεν εἶπεν; ἐθορύβει τοῦτο τοὺς μαθητὰς, ὅτι τὰ μὲν δεινὰ ἐν πείρᾳ, τὰ δὲ χρηστὰ ἐν ἐλπίσι· καὶ τὰ μὲν παρῆν, τὰ δὲ ἀφεστήκει· καὶ τὰ μὲν ἐγίνετο, τὰ δὲ ἠλπίζετο. καὶ τί θαυμαστὸν, εἰ τότε ἐν ἀρχῇ τοῦ κηρύγματος τοῦτο ἔπασχόν τινες, ὅπουγε καὶ νῦν μετὰ τοσοῦτον χρόνον, μετὰ τὸ πανταχοῦ τῆς οἰκουμένης ἐκταθῆναι τὸ κήρυγμα, μετὰ τὸ λαβεῖν ἀποδείξεις τοσαύτας τῶν ὑποσχέσεων, πολλοὶ τοῦ τοῦτο πάσχοντές εἰσιν; οὐ τοῦτο δὲ μόνον αὐτοὺς διετάραττεν, ἀλλὰ καὶ ἕτερον οὐκ ἔλαττον τούτου. ποῖον δὴ τοῦτο; ἐνενόουν πρὸς ἑαυτοὺς, ὅτι ἐν τῇ παλαιᾷ διαθήκῃ οὐχ οὕτω τὰ πράγματα ᾠκονομήθη· ἀλλὰ τῆς ἀρετῆς τοὺς ἄθλους καὶ τοὺς μισθοὺς εὐθέως ἀπελάμβανον οἱ μετ᾽ ἐπιεικείας καὶ σωφροσύνης προῃρημένοι ζῆν. οὐ γὰρ μετὰ τὴν τῶν σωμάτων ἀνάστασιν, οὐδὲ ἐν τῇ μελλούσῃ ζωῇ, ἀλλ᾽ ἐνταῦθα, καὶ κατὰ τὸν παρόντα βίον πᾶσαι αὐτοῖς ἐπληροῦντο αἱ ὑποσχέσεις. Ἐὰν γὰρ ἀγαπήσῃς, φησὶ, Κύριον τὸν Θεόν σου, εὖ σοι ἔσται, καὶ πληθυνεῖ ὁ Θεὸς τὰ βουκόλια τῶν βοῶν σου, καὶ τὰ ποίμνια τῶν προβάτων σου· οὐκ ἔσται ἐν σοὶ ἄγονον, οὐδὲ στεῖρον· οὐκ ἔσται ἐν σοὶ μαλακία, φησὶν, οὐδὲ νόσος. ἐξαποστελεῖ ὁ Θεὸς τὴν εὐλογίαν αὐτοῦ εἰς τὰ ταμιεῖα τῶν ἀποθηκῶν σου, ἀνοίξει τὸν οὐρανὸν καὶ δώσει σοὶ ὑετὸν πρώϊμον καὶ ὄψιμον. καταλήψεται ὁ ἀλοητὸς τὸν τρυγητὸν, καὶ ὁ τρυγητὸς τὸν σπόρον· καὶ πολλὰ ἕτερα τοιαῦτα αὐτοῖς ἐπηγγείλατο, ἅπερ ἅπαντα κατὰ τὴν παροῦσαν ζωὴν αὐτοῖς ἀπεδίδοτο. εἴ τις ὀξύτερος, ἤδη προβλέπει τὴν λύσιν. ἐπεὶ οὖν σώματος ὑγίεια, καὶ γῆς εὐκληρία, καὶ πολυπαιδία καὶ εὐπαιδία, καὶ λιπαρὸν γῆρας, καὶ ὡρῶν κράσις ἀρίστη, καὶ εὐετηρία, καὶ ὄμβρων εὐκαιρία, καὶ πολλὰ ποίμνια καὶ βουκόλια, καὶ πάντα ἁπλῶς τὰ ἀγαθὰ κατὰ τὴν παροῦσαν αὐτοῖς ἐπληροῦτο ζωὴν, καὶ οὐδὲν ἐν ἐλπίσιν ἦν οὐδὲ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν· ἀναλογιζόμενοι οὖν ταῦτα οἱ πιστοὶ, ὅτι τοῖς προγόνοις τοῖς ἑαυτῶν παρὰ πόδας ἅπαντα τὰ ἀγαθὰ ἀπήντα, αὐτοῖς δὲ εἰς τὴν μέλλουσαν ζωὴν τὰ ἔπαθλα καὶ οἱ στέφανοι πάντες εἰσὶ τεταμιευμένοι, καὶ ἐν πίστει τὰ τῶν ἐπαγγελιῶν, ἔκαμνον, ἐξελύοντο τὴν παροῦσαν ζωὴν ἅπασαν διὰ πειρασμῶν ἕλκειν ἀναγκαζόμενοι. ταῦτα οὖν ἐννοῶν ὁ Παῦλος καὶ τὸ μέγεθος τῶν ἐπηρτημένων αὐτοῖς δεινῶν, καὶ ὅτι τούτοις μὲν τὸν μισθὸν τῶν πόνων μετὰ τὴν ἐντεῦθεν αὐτοῖς ἀποδημίαν ὁ Θεὸς ἐπηγγείλατο, τοὺς δὲ προγόνους αὐτῶν ἐντεῦθεν ἠμείψατο, καὶ συνορῶν πολλὴν ἐκ τῶν λογισμῶν τούτων ἀκηδίαν ἐγγινομένην αὐτοῖς, βουλόμενος αὐτοὺς ἀναστῆσαι καὶ διδάξαι, ὅτι καὶ ἐπὶ τῶν πατέρων [τῶν] αὐτῶν οὕτω τὰ πράγματα ᾠκονόμητο, καὶ ἐν πίστει πολλοὶ τὸν μισθὸν ἔλαβον, οὐκ ἐν τῇ πείρᾳ, ἀνέμνησεν αὐτοὺς τῆς προφητικῆς ῥήσεως, εἰπών· Ἔχοντες τὸ αὐτὸ πνεῦμα τῆς πίστεως κατὰ τὸ γεγραμμένον· ἐπίστευσα, διὸ ἐλάλησα· μονονουχὶ λέγων, ὅτι καὶ ὁ μέγας Δαβὶδ, ὁ θαυμαστὸς καὶ γενναῖος προφήτης ἐκεῖνος, πίστει τὴν ἀμοιβὴν ἐκομίσατο, οὐχὶ τῇ πείρᾳ. οὐ γὰρ ἄν, εἰ μὴ τοῦτο ἦν, εἶπεν, Ἐπίστευσα, διὸ καὶ ἐλάλησα. Ἡ γὰρ πίστις ἐλπιζομένων ἐστὶν ὑπόστασις, πραγμάτων οὐ βλεπομένων. ὃ δὲ βλέπει τις, οὐ πάντως καὶ ἐλπίζει. εἰ τοίνυν ἐπίστευσε, τοῖς ἐλπιζομένοις ἐπίστευσεν· εἰ δὲ τοῖς ἐλπιζομένοις ἐπίστευσε, τὰ δὲ ἐλπιζόμενα οὐδέπω βλέπεται, οὔπω ἦν ἀπειληφὼς ταῦτα, εἰς ἅπερ ἐπίστευσε. διὰ τοῦτο φησὶν ἔχοντες τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, τουτέστι, τὴν αὐτὴν πίστιν τὴν ἐν τῇ παλαιᾷ καὶ ἡμεῖς ἔχομεν. διὰ τοῦτο καὶ ἀλλαχοῦ φησι, περὶ τῶν τότε ἁγίων λέγων· Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑ-

Δευτ. ζ. ιγ.

Λευϊτ. κϛ. δ. ε.

Ψαλμ. ριε. α.

Εβρ. ια. α.

Εβρ. ια. λζ.

στερούμενοι, θλιβόμενοι, κακουχούμενοι· ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. εἶτα διδάσκων, ὅτι τὰ δεινὰ μὲν ὑπέμενον, τοὺς δὲ μισθοὺς οὐδέπω καὶ νῦν ἀπέλαβον, ἐπήγαγε λέγων· Κατὰ τὴν πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι. Καὶ πῶς εἶδον, εἰπέ μοι, τὰς μηδέπω παρούσας; τοῖς τῆς πίστεως ὀφθαλμοῖς, τοῖς ὑπερβαίνουσι τὸν οὐρανόν, καὶ τὰ ἐκεῖ κατασκοποῦσιν ἅπαντα. σὺ δέ μοι σκόπει Θεοῦ σοφίαν· πῶς καὶ ἔδειξεν αὐτοῖς τὰ βραβεῖα μὲν πόρρωθεν, καὶ οὐκ ἔδωκε μὲν εὐθέως, ἵνα μείζονα αὐτῶν ἐργάσηται τὴν ὑπομονήν· ἔδειξε δὲ πόρρωθεν, ἵνα ταῖς ἐλπίσι ταύταις τρεφόμενοι, μηδὲ αἴσθησιν τῶν παρόντων λάβωσι πόνων.

Ἀλλὰ τάχα τις τῶν ὀξύτερον προσεχόντων ἑαυτῷ περιπεπλωκέναι τὸν λόγον ἡγήσεται. Εἰ γὰρ οὐδὲ οἱ πρότεροι, φησίν, ἀπελάμβανον παρὰ πόδας τὰ ἀγαθὰ καὶ τὰς ἀμοιβάς, πῶς ἡμῖν μακρὸν ἀπέτεινας λόγον, ἀπαριθμούμενος ὡρῶν εὐκρασίαν, σώματος ὑγίειαν, εὐπαιδίαν, πολυπαιδίαν, εὐετηρίαν, καρπῶν ἀφθονίαν, βουκόλια, ποίμνια, ἅπασαν τὴν βιωτικὴν εὐπραγίαν; τί οὖν ἂν εἴποιμεν πρὸς τοῦτο; ὅτι ἑτέρως μὲν τὸ πλῆθος καὶ τὸν ἀσθενέστερον δῆμον, ἑτέρως δὲ τοὺς γενναίους καὶ τὴν ἐν τῇ καινῇ φιλοσοφίᾳ ἤδη μετιόντας ἦγεν ὁ Θεὸς τότε. τοῖς μὲν γὰρ πολλοῖς καὶ χαμαὶ ἑρπομένοις καὶ οὐδὲν μέγα δυναμένοις ἰδεῖν, οὐδὲ ἐκτεῖναι τὴν τῆς ψυχῆς ἐλπίδα πρὸς τὴν τῶν μελλόντων ἀπόλαυσιν ἀγαθῶν ταῦτα τὰ παρόντα παρεῖχεν ἀγαθά, τὴν ἀσθένειαν τῆς ψυχῆς αὐτῶν παραμυθούμενος, καὶ διὰ τούτων αὐτοὺς ὁδηγῶν ἐπὶ τὴν τῆς ἀρετῆς ἐργασίαν, καὶ εἰς τὴν τῶν καλῶν ἐπιθυμίαν ἐμβάλλων· τὸν δὲ Ηλίαν καὶ τὸν Ελισσαῖον, τὸν Ιερεμίαν, τὸν Ησαΐαν, καὶ πάντας δὴ ἁπλῶς τοὺς προφήτας, καὶ ὅσοι τοῦ χοροῦ γεγόνασι τῶν ἁγίων καὶ μεγάλων ἀνδρῶν, ἐπὶ τοὺς οὐρανίους ἐκάλει καὶ τὰ ἐκεῖ προεσκευασμένα τοῖς εὐδοκιμηκόσιν ἀγαθά. διὸ καὶ ὁ Παῦλος οὐχ ἁπλῶς πάντας ἀπηριθμήσατο, ἀλλὰ τοὺς ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασι, τοὺς ἐν καμίνῳ, τοὺς ἐν δεσμωτηρίῳ, τοὺς ἀποτυμπανισθέντας, τοὺς καταλευσθέντας, τοὺς ἐν λιμῷ, τοὺς ἐν πενίᾳ, τοὺς ἐν ἐρημίαις, τοὺς ἐν σπηλαίοις, τοὺς ἐν ταῖς ὀπαῖς τῆς γῆς, τοὺς τὰ μυρία παθόντας δεινά· καὶ τότε εἶπε κατὰ πίστιν πάντας τετελευτηκέναι, καὶ μηδέπω κεκομίσθαι τὰς ἐπαγγελίας· οὐχὶ τὸ πλῆθος τὸ Ιουδαϊκόν, ἀλλὰ τοὺς κατὰ τὸν Ηλίαν ἡμῖν ἀριθμούμενος. Εἰ δὲ λέγοι τις, αὐτοὶ δὲ οὗτοι τίνος ἕνεκεν οὐδέπω καὶ νῦν ἀπέλαβον τοὺς ὀφειλομένους αὐτοῖς στεφάνους, μανθανέτω καὶ ταύτην παρὰ Παύλου τὴν αἰτίαν. Εἰπὼν γάρ, Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἐπήγαγε· Τοῦ Θεοῦ κρεῖττόν τι προβλεψαμένου περὶ ἡμῶν, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι. Εβρ. ια. ιγ. μ. κοινὴ γάρ ἐστι, φησίν, ἡ πανήγυρις· ἐπειδὴ καὶ μείζων ἡ ἡδονή, ὅταν κοινῇ στεφανώμεθα πάντες. τοῦτο καὶ ἐν τοῖς Ολυμπιακοῖς ἀγῶσι γίνεται· ὁ παλαίσας, ὁ πυκτεύσας, ὁ παγκρατιάσας ἐν διαφόροις μὲν καιροῖς τοὺς ἀγῶνας ὑπομένουσιν, ἐν μιᾷ δὲ καιροῦ ῥοπῇ πάντες ἀνακηρύττονται· οὕτω καὶ ἐν τοῖς ἀρίστοις γίνεται. ὅταν γὰρ τῶν δαιτυμόνων οἱ μὲν φθάσωσι προαπαντήσαντες, οἱ δὲ ἔτι μέλλωσι, τιμῶντες τοὺς ἀπολειφθέντας οἱ ἑστιάτορες, τοὺς φθάσαντας ἤδη καὶ παραγενομένους κελεύουσιν ἀναμένειν τοὺς ὑστερήσαντας· τοῦτο καὶ ὁ Θεὸς πεποίηκεν. ἐπειδὴ γὰρ τοὺς ἐκ τῆς οἰκουμένης ἁπάσης κατὰ διαφόρους καιροὺς εὐδοκιμηκότας ἐπὶ κοινήν τε καὶ πνευματικὴν εὐωχίαν ἐκάλεσε, τοὺς ἤδη φθάσαντας καὶ προαπελθόντας κελεύει τοὺς μετὰ ταῦτα ἀπιέναι μέλλοντας ἀναμένειν· ἵν' οὕτω κοινῇ παραγενομένων ἁπάντων, καὶ ἡ τιμὴ καὶ ἡ ἡδονὴ μία ἅπασι γένηται. ἐννόησον γὰρ ἡλίκον ἐστὶν εἰς τιμῆς λόγον Παῦλον καὶ τοὺς κατ' ἐκεῖνον ἅπαντας, τὸν Αβραάμ, καὶ τοὺς κατ' ἐκεῖνον, καὶ τοὺς πρὸ ἐκείνου πάλιν πρὸ τοσούτων ἐτῶν ἀθλήσαντας καὶ νικήσαντας καθῆσθαι νῦν τὴν ἡμετέραν ἀναμένοντας εὐδοκίμησιν. ὅτι γὰρ οὐδέπω τοὺς στεφάνους Παῦλος ἀπείληφεν, οὐδὲ ἄλλος οὐδεὶς τῶν ἐξ ἀρχῆς εὐηρεστηκότων, ἀλλ' οὐδὲ ἀπολήψονται, ἕως ἂν ἅπαντες οἱ μέχρι τέλους στεφανοῦσθαι μέλλοντες ἀφίκωνται, ἄκουσον αὐτοῦ τοῦ Παύλου λέγοντος, Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ δίκαιος κριτής. πότε; ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· οὐ μόνον δὲ ἐμοὶ, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ. καὶ πάλιν ἀλλαχοῦ δεικνὺς, ὅτι κοινῇ πᾶσιν ἡ τῶν ἀγαθῶν ἀπόλαυσις δίδοται, Θεσσαλονικεῦσι γράφων ἔλεγεν· Εἴπερ δίκαιον παρὰ Θεῷ ἀποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλίψιν, καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ' ἡμῶν. καὶ πάλιν, Οἱ ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας, διὰ πάντων τούτων δηλῶν, ὅτι κοινῇ πάντας καὶ ὁμοῦ παραγενομένους τῶν οὐρανίων ἡμᾶς ἀπολαύειν χρή. τοῦτο καὶ τοῖς φθάσασι πολλὴν φέρει τὴν ἡδονὴν, ὅταν μετὰ τῶν οἰκείων μελῶν τῶν ἀπορρήτων ἐκείνων ἀπολαύσωσιν ἀγαθῶν. καὶ γὰρ πατὴρ τραπέζης μετέχων λαμπρᾶς καὶ πολυτελοῦς, τότε μετὰ πλείονος αὐτῆς ἀπολαύσεται τῆς εὐφροσύνης, ὅταν μετὰ τῶν αὐτοῦ παιδίων μετέχῃ τῆς εὐωχίας καὶ εὐφροσύνης. οὕτω καὶ Παῦλος καὶ οἱ κατ' ἐκεῖνον ἅπαντες μείζονος αἰσθήσονται τῆς θυμηδίας, ὅταν μετὰ τῶν οἰκείων μελῶν ὄντες ἀπολαύσωσιν αὐτῆς. οὐ γὰρ τοσαύτην πατέρες περὶ παῖδας ἐπιδείκνυνται φιλοστοργίαν, ὅσην ἐκεῖνοι περὶ τοὺς τὰ αὐτὰ κατωρθωκότας αὐτοῖς ἔχουσι κηδεμονίαν.

β. Θεσ. α. 5.
α Θεσ. δ. 15.

Ἵν' οὖν καὶ ἡμεῖς τῶν τότε εὐφραινομένων γενώμεθα, σπουδάζωμεν καταλαβεῖν τοὺς ἁγίους ἐκείνους. καὶ πῶς δυνησόμεθα, φησὶν, αὐτοὺς καταλαβεῖν; τίς ἡμῖν δείξει τὴν ἐκεῖ φέρουσαν ὁδόν; αὐτὸς ὁ τῶν ἁγίων ἐκείνων δεσπότης, ὃς οὐχ ὅπως αὐτοὺς καταληψώμεθα μόνον διδάσκει, ἀλλὰ καὶ ὅπως ὁμορρόφιοι καὶ σύσκηνοι γενώμεθα πᾶσιν αὐτοῖς. Ποιήσατε γὰρ ὑμῖν φίλους ἐκ τοῦ μαμμωνᾶ τῆς ἀδικίας, φησίν· ἵν' ὅταν ἐκλίπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους αὐτῶν σκηνάς. καλῶς εἶπεν, αἰωνίους. ἐνταῦθα μὲν γὰρ κἂν λαμπρὰν ἔχῃς οἰκίαν, ἀπόλλυται πάντως φθειρομένη τῷ χρόνῳ· μᾶλλον δὲ καὶ πρὸ τῆς κατὰ τὸν χρόνον φθορᾶς, θάνατος ἐμπεσὼν ἐκβάλλει σε τῆς λαμπρᾶς ταύτης οἰκήσεως. πολλάκις δὲ καὶ πρὸ τοῦ θανάτου πραγμάτων τινῶν δυσκολίαι καὶ συκοφαντῶν ἔφοδοι καὶ ἐπιβουλαὶ ἐκπεσεῖν αὐτῆς παρεσκεύασαν. ἐκεῖ δὲ οὐδὲν τούτων ἐστὶν ὑποπτεῦσαι, οὐ φθορὰν, οὐ θάνατον, οὐ κατάπτωσιν, οὐ συκοφαντῶν ἐπήρειαν, οὐκ ἄλλο οὐδὲν, ἀλλ' ἀκίνητος καὶ ἀθάνατός ἐστιν ἡ οἴκησις. διὰ τοῦτο αἰωνίους αὐτὰς ἐκάλεσε. Ποιήσατε ὑμῖν φίλους, φησὶν, ἐκ τοῦ μαμμωνᾶ τῆς ἀδικίας. ὅρα πόση φιλανθρωπία τοῦ δεσπότου, πόση χρηστότης καὶ ἐπιείκεια. οὐ γὰρ ἁπλῶς ταύτην τέθεικε τὴν παραθήκην· ἀλλ' ἐπειδὴ πολλοῖς πλουσίοις πλοῦτος συνείλεκται ἐξ ἁρπαγῆς καὶ πλεονεξίας. κακῶς μὲν, φησὶ, καὶ οὐκ ἐχρῆν σε οὕτω συλλέξαι τὰ χρήματα. πλὴν ἀλλ' ἐπειδὴ συνέλεξας, στῆθι τῆς ἁρπαγῆς καὶ τῆς πλεονεξίας, καὶ χρῆσαι εἰς δέον τοῖς χρήμασιν. οὐ λέγω, ἵνα ἁρπάζων ἐλεῇς, ἀλλ' ἵνα τῆς πλεονεξίας ἀποστὰς, πρὸς ἐλεημοσύνην καὶ φιλανθρωπίαν ἀποχρήσῃ τῷ πλούτῳ. εἰ γάρ τις μὴ παύσαιτο τῆς ἁρπαγῆς, οὐδὲ ἐλεημοσύνην ἐργάσεται· ἀλλὰ κἂν μυρία καταβάλῃ χρήματα εἰς τὰς τῶν δεομένων χεῖρας, τὰ ἑτέρων ἁρπάζων καὶ πλεονεκτῶν, τοῖς ἀνδροφόνοις ἐξίσης λελόγισται τῷ Θεῷ. διὸ χρὴ πλεονεξίας ἀποστάντα πρότερον, οὕτω τοὺς δεομένους ἐλεεῖν. πολλὴ γὰρ τῆς ἐλεημοσύνης ἡ δύναμις, περὶ ἧς καὶ τῇ προτεραίᾳ συνάξει πρὸς ὑμᾶς διελέχθημεν, καὶ νῦν διαλέξομαι. ἀλλὰ μηδεὶς τὴν συνέχειαν τῆς ὑπομνήσεως κατηγορίαν ἡγείσθω τῶν ἀκουόντων. καὶ γὰρ ἐν τοῖς ἀγῶσιν ἐκείνους τῶν δρομέων διεγείρουσιν οἱ θεαταὶ, οὓς ἂν ἴδωσιν ἐγγὺς τοῦ βραβείου γενομένους, καὶ πολλὰς τῆς νίκης ἐλπίδας ἔχοντας. καὶ ἐγὼ τοίνυν, ἐπειδὴ μετὰ πολλῆς ἀεὶ προθυμίας ὁρῶ τοὺς περὶ ἐλεημοσύνης δεχομένους λόγους ὑμᾶς, διὰ τοῦτο καὶ αὐτὸς συνεχέστερον τὴν ὑπὲρ τούτων κινῶ παραίνεσιν. ἰατροὶ τῶν ψυχῶν ἡμῶν εἰσιν οἱ πένητες, εὐεργέται, καὶ προστάται. οὐ γὰρ τοσοῦτον δίδως, ὅσον λαμβάνεις. δίδως ἀργύριον, καὶ λαμβάνεις βασιλείαν οὐρανῶν· λύεις πενίαν, καὶ καταλλάττεις ἑαυτῷ τὸν δε-

Λυκ. 15. θ.

[illegible]. ὁρᾷς ὅτι οὐκ ἴση ἡ ἀντίδοσις; ταῦτα ἐπὶ γῆς, ἐκεῖνα ἐν οὐρανῷ· ταῦτα ἀπόλλυται, ἐκεῖνα διαμένει· ταῦτα φθείρεται, ἐκεῖνα πάσης ἐστὶν ἀνώτερα ἀπωλείας. διὰ τοῦτο καὶ παρὰ τὴν θύραν τῶν οἴκων τῶν εὐκτηρίων ἔστησαν τοὺς πένητας οἱ πατέρες οἱ ἡμέτεροι, ἵνα καὶ τὸν νωθρότατον καὶ ἀπανθρωπότατον αὐτὴ τῶν πενήτων ἡ ὄψις πρὸς ὑπόμνησιν ἐγείρῃ τῆς ἐλεημοσύνης. ὅταν γὰρ ἑστήκῃ χορὸς γερόντων, συγκεκυφότων, ῥάκια περιβεβλημένων, αὐχμώντων, ῥυπώντων, βακτηρίας ἐχόντων, μόλις στηρίζεσθαι δυναμένων, πολλάκις δὲ καὶ τοὺς ὀφθαλμοὺς ἐκκεκομμένων, καὶ τὸ σῶμα ὅλον ἀναπήρων, τίς οὕτω λίθινος, τίς οὕτως ἀδάμας, ὡς καὶ τῆς ἡλικίας, καὶ τῆς ἀσθενείας, καὶ τῆς πηρώσεως, καὶ τῆς πενίας, καὶ τῆς εὐτελοῦς στολῆς, καὶ πάντων ἁπλῶς πρὸς συμπάθειαν ἐπικλώντων αὐτόν, ἀντιστῆναι καὶ μεῖναι πρὸς ἅπαντα ταῦτα ἀνένδοτος; διὰ ταῦτα πρὸ τῶν θυρῶν ἡμῖν ἑστήκασι παντὸς λόγου δυνατώτεροι, διὰ τῆς ὄψεως ἐπισπώμενοι, πρὸς φιλανθρωπίαν τοὺς εἰσιόντας ἐκκαλούμενοι. καθάπερ γὰρ κρήνας εἶναι ἐν ταῖς αὐλαῖς τῶν εὐκτηρίων οἴκων νενόμισται, ἵνα οἱ μέλλοντες εὔχεσθαι τῷ Θεῷ, πρότερον ἀπονιψάμενοι τὰς χεῖρας, οὕτως αὐτὰς εἰς εὐχὴν ἀνατείνωσιν· οὕτω καὶ τοὺς πένητας ἀντὶ πηγῶν καὶ κρηνῶν ἔστησαν οἱ πατέρες πρὸ τῶν θυρῶν ἵν᾽, ὥσπερ ὕδατι τὰς χεῖρας ἀπονιπτόμεθα, οὕτω φιλανθρωπίᾳ τὴν ψυχὴν ἀποσμήχοντες πρότερον, οὕτως εὐχώμεθα. οὐδὲ γὰρ οὕτως ὕδατος φύσις ἀπονίπτει κηλῖδας σώματος, ὡς ἐλεημοσύνης δύναμις ἀποσμήχει ῥύπον ψυχῆς. ὥσπερ οὖν οὐ τολμᾷς ἀνίπτοις χερσὶν εἰσελθὼν εὔξασθαι, καίτοι ἔλαττον τὸ ἔγκλημα ἐκεῖνο, οὕτω μήτε χωρὶς ἐλεημοσύνης ἐπ᾽ εὐχὴν ἔλθῃς ποτέ· καίτοι καὶ καθαρὰς πολλάκις ἔχοντες τὰς χεῖρας, ἂν μὴ πρότερον αὐτὰς ἀποπλυνώμεθα ὕδατι, οὐκ ἀνατείνομεν εἰς εὐχήν· τοσοῦτόν ἐστιν ἡ συνήθεια. τοῦτο τοίνυν καὶ ἐπὶ τῆς ἐλεημοσύνης ποιῶμεν. κἂν μηδὲν ἑαυτοῖς ὦμεν συνειδότες μέγα ἁμάρτημα, ὅμως ἀποσμήχωμεν τὸ συνειδὸς διὰ τῆς ἐλεημοσύνης. πολλὰ ἀπὸ τῆς ἀγορᾶς ἐπεσπάσω δεινά, ἐχθρὸς παρώξυνε, δικαστὴς ἠνάγκασέ τι ποιῆσαι τῶν οὐ προσηκόντων πραγμάτων, ῥήματα πολλάκις ἐξέβαλες ἄτοπα, φίλος ἐδυσώπησεν ἐργάσασθαί τι τῶν ἁμαρτίαν ἐχόντων, ἕτερα προσετρίψω πολλά, οἷα εἰκὸς ἄνθρωπον ὄντα περιστρίβεσθαι ἐν ἀγορᾷ στρεφόμενον, δικαστηρίοις προσεδρεύοντα, τὰ τῆς πόλεως πράττοντα πράγματα. ὑπὲρ τούτων ἁπάντων εἰσέρχῃ τὸν Θεὸν αἰτήσων συγγνώμην καὶ ἀπολογησόμενος. κατάβαλε τοίνυν ἀργύριον εἰς τὰς τῶν πενήτων χεῖρας, καὶ ἀπόσμηξον τὰς κηλῖδας ἐκείνας, ἵνα μετὰ παρρησίας καλέσῃς αἰτούμενος τὸν δυνάμενόν σοι ταῦτα ἀφεῖναι τὰ ἁμαρτήματα. ἂν ἐν συνηθείᾳ καταστήσῃς σαυτὸν μηδέποτε χωρὶς ἐλεημοσύνης τῶν ἱερῶν τούτων προθύρων ἐπιβαίνειν, οὐδέποτε οὔτε ἑκών, οὔτε ἄκων ὑστερήσεις τῆς καλῆς ταύτης ἐργασίας. τοιοῦτον γὰρ ἡ συνήθεια. καὶ ὥσπερ οὖν, ἀεὶ ὅ,τι οὖν γένοιτο, χερσὶν ἀνίπτοις οὐχ ὑπομένεις εὔξασθαι, ἐπειδὴ κατέστης εἰς συνήθειαν ἅπαξ· οὕτω καὶ ἐπὶ τῆς ἐλεημοσύνης, ἂν τοῦτον σαυτῷ ἐπιθήσῃς τὸν νόμον, καὶ ἑκὼν καὶ ἄκων αὐτὸν καθ᾽ ἑκάστην ἐκπληρώσεις ἡμέραν ὑπὸ τῆς συνηθείας ἑλκόμενος. πῦρ ἐστιν ἡ εὐχή, μάλιστα ὅταν ἀπὸ νηφούσης καὶ διεγηγερμένης ἀναπέμπηται ψυχῆς. ἀλλὰ τὸ πῦρ τοῦτο καὶ ἐλαίου δεῖται, ἵνα αὐτῶν ἅψηται τῶν οὐρανίων ἀψίδων· ἔλαιον δὲ τοῦ πυρὸς τούτου οὐδὲν ἕτερόν ἐστιν, ἀλλ᾽ ἢ ἐλεημοσύνη. ἐπίχεε τοίνυν τὸ ἔλαιον δαψιλές, ἵνα εὐφραινόμενος ἐπὶ τῷ κατορθώματι, μετὰ παρρησίας πλείονος καὶ προθυμίας μείζονος τὰς εὐχὰς σὺ ἐπιτελῇς. ὥσπερ γὰρ οἱ μηδὲν ἑαυτοῖς συνειδότες ἀγαθόν, οὐδὲ εὔξασθαι μετὰ παρρησίας δύνανται, οὕτως οἱ κατορθώσαντές τι, καὶ μετὰ τὴν δικαιοσύνην ἐκείνην ἐπὶ τὴν εὐχὴν ἐρχόμενοι, τῇ μνήμῃ τοῦ κατορθώματος εὐφραινόμενοι, μετὰ πλείονος τῆς προθυμίας ποιοῦνται τὴν ἱκετηρίαν. ἵν᾽ οὖν καὶ κατὰ τοῦτο δυνατωτέρα ἡμῖν ἡ εὐχὴ γένηται, χορηγούσης ἡμῖν τῆς διανοίας ἐν ταῖς δεήσεσιν ἀπὸ τῆς τῶν κατορθωμάτων μνήμης, μετὰ τῆς ἐλεημοσύνης ἐπὶ τὰς εὐχας ἐρχώμεθα, καὶ μνημονεύωμεν μετ' ἀκριβείας ἁπάντων τῶν εἰρημένων· καὶ πρό γε τῶν ἄλλων ἁπάντων ἐκείνην μοι τὴν εἰκόνα διατηρεῖτε διηνεκῶς, καθ' ἣν εἶπον τοὺς πένητας περὶ τῶν θυρῶν ἑστάναι τῶν εὐκτηρίων οἴκων, ταύτην ἐπὶ τῆς ψυχῆς ἀναπληροῦντες τὴν χρείαν, ἣν ἐπὶ τοῦ σώματος ἡ κρήνη. ἂν γὰρ τοῦτο ὦμεν διηνεκῶς μεμνημένοι, συνεχῶς ἀποπλυνόμενοι τὸν λογισμὸν, καθαρὰς μὲν δυνησόμεθα τὰς εὐχὰς ἐπιτελεῖν, πολλὴν δὲ ἐπισπάσασθαι παρὰ τοῦ Θεοῦ τὴν παρρησίαν, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. νη. ΕΙΣ ΤΟ ΑΠΟΣΤΟΛΙΚΟΝ ΡΗΤΟΝ, ΟΦΕΛΟΝ "ἀνείχεσθέ μου μικρὸν" τῇ ἀφροσύνῃ.

Κορ. ια. α.

ΑΠαντας μὲν φιλῶ τοὺς ἁγίους, μάλιστα δὲ τὸν μακάριον Παῦλον, τὸ σκεῦος τῆς ἐκλογῆς, τὴν σάλπιγγα τὴν οὐράνιον, τὸν νυμφαγωγὸν τοῦ Χριστοῦ. τοῦτο δὲ εἶπον, καὶ ὃν περὶ αὐτὸν ἔρωτα ἔχω, εἰς μέσον ἐξήνεγκα, ἵνα καὶ ὑμᾶς κοινωνοὺς ποιήσω τοῦ φίλτρου. οἱ μὲν γὰρ τὸν σωματικὸν ἔρωτα ἐρῶντες εἰκότως αἰσχύνονται ὁμολογεῖν, ἅτε καὶ ἑαυτοὺς καταισχύνοντες, καὶ τοὺς ἀκούοντας βλάπτοντες· οἱ δὲ τὸν πνευματικὸν, μηδέποτε ὁμολογοῦντες παυέσθωσαν. καὶ γὰρ καὶ ἑαυτοὺς καὶ τοὺς ἀκούοντας ὠφελοῦσι διὰ τῆς καλῆς ταύτης ὁμολογίας. ἐκεῖνος μὲν γὰρ ὁ ἔρως, ἔγκλημα· οὗτος δὲ ἐγκώμιον. ἐκεῖνος μὲν πάθος ψυχῆς διαβεβλημένον ἐστὶν, οὗτος δὲ εὐφροσύνη ψυχῆς καὶ ἀγαλλίαμα καὶ κόσμος ἄριστος. ἐκεῖνος εἰσάγει πόλεμον εἰς τὴν τῶν ἐρώντων διάνοιαν, οὗτος καὶ τὸν ὄντα πόλεμον ἐκβάλλει, καὶ ἐν εἰρήνῃ πολλῇ τοὺς ἐρῶντας καθίστησι. κἀκεῖθεν μὲν οὐδὲν ὄφελος γίνεται, ἀλλὰ καὶ πολλὴ ζημία χρημάτων καὶ δαπάνη τις ἀνόητος, καὶ ζωῆς ἀνατροπὴ, καὶ οἰκιῶν ὁλόκληροι διαφθοραί· ἐντεῦθεν δὲ πολὺς ὁ πλοῦτος τῶν κατορθωμάτων, πολλὴ ἡ περιουσία τῆς ἀρετῆς. πρὸς δὲ τοῖς εἰρημένοις, οἱ μὲν σωμάτων εὐμόρφων ἐρῶντες, καὶ πρὸς τὰ λαμπρὰ τῶν ὄψεων κεχηνότες, ἂν ὦσιν αἰσχροὶ καὶ δυσειδεῖς, οὐδὲν ἐκ τῆς ἐκείνων ἐπιθυμίας εἰς ἀπαλλαγὴν τῆς οἰκείας κερδαίνουσιν ἀμορφίας, ἀλλὰ καὶ αἰσχρότεροι κρίνονται καὶ εἰδεχθέστεροι· ἐπὶ δὲ τοῦ ἔρωτος τούτου τοὐναντίον ἅπαν. ὁ γὰρ ψυχῆς ἁγίας ἐρῶν καὶ εὐμόρφου καὶ λαμπρᾶς καὶ περικαλλοῦς, κἂν αὐτὸς αἰσχρὸς ᾖ καὶ δυσειδὴς, κἂν ἁπάντων ἀνθρώπων αἴσχιστος, ἐμμένων τῷ ἔρωτι τῶν ἁγίων, ταχέως ἔσται τοιοῦτος, οἷος ὁ ἐρώμενος. καὶ γὰρ καὶ τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἔργον, τὸ σῶμα μὲν ἄμορφον καὶ πεπηρωμένον μὴ δύνασθαι διορθοῦν, ψυχὴν δὲ αἰσχρὰν καὶ δυσειδῆ δύνασθαι λαμπρὰν καὶ περικαλλῆ ποιεῖν. ἀπὸ γὰρ τῆς εὐμορφίας τῆς ἐκείνου οὐδὲν ἂν γένοιτο κέρδος· ἀπὸ δὲ τοῦ κάλλους τοῦ ταύτης τοσαῦτα ἔξεστι καρπώσασθαι ἀγαθὰ, ὅσα εἰκὸς κεκτῆσθαι τὸν ἐραστὴν ἔχοντα τὸν Θεόν. περὶ ταύτης τῆς εὐμορφίας καὶ ὁ Δαβὶδ ἐν ψαλμοῖς ᾄδων, Ἄκουσον, φησὶ, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου· κάλλος ἐνταῦθα λέγων τὸ κατὰ ψυχὴν, ὅπερ ἐξ ἀρετῆς καὶ εὐλαβείας συνίσταται. ἐπεὶ οὖν τοσοῦτόν ἐστι τὸ κέρδος τοῖς κοινωνοῦσι τῶν ἁγίων, κοινωνήσατέ μοι τοῦ ἔρωτος, καὶ φιλήσωμεν τὸν ἅγιον τοῦτον μετὰ πολλῆς τῆς ὑπερβολῆς. ἂν γὰρ οὗτος εἰς τὴν ψυχὴν τὴν ἡμετέραν ὁ ἔρως εἰσέλθῃ καὶ φλόγα ἀνάψῃ λαμπρὰν, κἂν ἀκανθῶδες, κἂν λιθῶδές τι καὶ σκληρὸν καὶ ἀναίσθητον ἐν τοῖς λογισμοῖς εὕρῃ τοῖς ἡμετέροις, τὸ μὲν ἀναλώσας, τὸ δὲ μαλάξας, βαθεῖάν τινα καὶ λιπαρὰν ἄρουραν τὴν ἡμετέραν ἐργάσεται ψυχὴν, καὶ πρὸς τὴν τῶν θείων σπερμάτων καταβολὴν ἐπιτηδείαν. καὶ μή μοι λεγέτω τις, ὅτι

Ψαλμ. μδ. ιϛ.

νῦν οὐ πάρεστιν, οὐδὲ ὁρᾶται τοῖς ἡμετέροις ὀφθαλμοῖς ὁ Παῦλος· καὶ πῶς δυνατὸν φιλεῖν
τὸν μὴ βλεπόμενον; οὐδὲν γὰρ τῷ ἔρωτι τούτῳ κώλυμα γίνεται. ἔξεστι γὰρ καὶ ἀπελθόντας
φιλεῖν, καὶ μὴ ὁρωμένους ἀγαπᾷν, καὶ μάλιστα ὅταν τοσαῦτα καὶ τοιαῦτα τῆς ἀρετῆς ἐκείνου
καθ' ἑκάστην ἡμέραν ὑπομνήματα βλέπωμεν, τὰς πανταχοῦ τῆς γῆς ἐκκλησίας, τῆς
ἀσεβείας τὴν ἀνατροπὴν, τοῦ πονηροῦ βίου τὴν ἐπὶ τὸ βέλτιον μεταβολὴν, τῆς πλάνης
τὴν ἀπαλλαγὴν, τοὺς ἀνασκαπέντας βωμοὺς, τοὺς ἀποκεκλεισμένους ναοὺς, τὴν τῶν δαιμόνων
σιγήν. πάντα γὰρ ταῦτα καὶ τὰ τοιαῦτα τῆς Παύλου γλώττης ἡ δύναμις ὑπὸ τῆς τοῦ
Θεοῦ χάριτος ἐμπνεομένη κατέβαλε, καὶ λαμπρὰν πανταχοῦ τῆς εὐσεβείας ἀνῆψε τὴν φλόγα.
ἔχομεν μετὰ τῶν κατορθωμάτων τούτων καὶ τὰς ἐπιστολὰς ἐκείνου τὰς ἁγίας, αἳ τὸν χαρακτῆρα
τῆς μακαρίας ἐκείνης ψυχῆς ἀκριβῶς ἡμῖν ὑπογράφουσιν. ὡς οὖν αὐτῷ τῷ
Παύλῳ διαλεγόμενοι παρόντι καὶ συγγινομένῳ, οὕτω μετὰ προθυμίας πειθώμεθα τοῖς γεγραμμένοις,
ἀναπτύξωμεν τὰ ἔνδον εἰρημένα, μάθωμεν τί ποτέ ἐστιν ὅπερ σήμερον ἐβόα λέγων·
β. Κορ. ια. α. Ὄφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ· ἀλλὰ καὶ ἀνέχεσθέ μου. ζηλῶ γὰρ ὑμᾶς
Θεοῦ ζήλῳ. τί λέγεις, ὦ Παῦλε; ὁ κελεύων τοῖς μαθηταῖς ἐν σοφίᾳ περιπατεῖν πρὸς
Κολασ. δ. ϛ. τοὺς ἔξω, ὁ λέγων, Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς
Κολασ. α. θ. ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι· ὁ πᾶσιν ἐπευχόμενος, ἵνα σοφίας πληρωθῶσι πνευματικῆς,
αὐτὸς λέγεις, ὅτι Εἴθε ἀνείχεσθέ μου μικρὸν τῆς ἀνοίας; οὐκ ἤρκει σοι τὸ φθέγξασθαι τὸ ἀφροσύνης
ῥῆμα, ἀλλὰ καὶ εἰς τοὺς μαθητὰς τοῦτο ἐκφέρεις; καὶ οὐκ εἰς τοὺς μαθητὰς ἐκφέρεις
μόνον, ἀλλὰ καὶ τοῖς μετὰ ταῦτα πᾶσι γινομένοις ἀνθρώποις διὰ τῆς ἐπιστολῆς τοῦτο
δῆλον ποιεῖς; ὁρᾶτε πῶς οὐχ ἁπλῶς δεῖ παρατρέχειν τὰ λεγόμενα, ἀλλ' ἕκαστον περισκοπεῖν
ἀκριβῶς; τοῦτο μὲν γὰρ ἁπλῶς μὲν ἀναγινωσκόμενον "προσίσταται τοῖς ἀκροαταῖς, ἑρμηνευθὲν ἴσ. προσί
δὲ πολλὴν δείκνυσι τοῦ Παύλου τὴν σοφίαν, μεγάλην τὴν σύνεσιν, ἄφατον τὴν κηδεμονίαν.
τί ποτ' οὖν ἐστι τὸ λεγόμενον; ψευδαπόστολοι πολλοὶ ἦσαν παρὰ τοῖς Κορινθίοις διαφθείροντες
αὐτοὺς, κατηγοροῦντες τοῦ Παύλου, ὑπορύττοντες αὐτοῦ τὴν δόξαν, ἣν παρὰ τοῖς
μαθηταῖς εἶχεν, εἰς εἰρωνείαν αὐτὸν σκώπτοντες, ὡς ἀλαζόνος κατηγοροῦντες. πρὸς τούτους
β. Κορ. β. ιζ. καὶ διατεινόμενος πολλαχοῦ τῆς ἐπιστολῆς φαίνεται. καὶ γὰρ ὅταν λέγῃ, Οὐκ ἐσμὲν
β. Κορ. ια. θ. ὥσπερ οἱ λοιποὶ, καπηλεύοντες τὸν λόγον τοῦ Θεοῦ· καὶ πάλιν εἰπὼν, Ἀβαρῆ ὑμῖν
ἐμαυτὸν ἐτήρησα, καὶ ὑπισχνούμενος διαπαντὸς τοῦτον ἀκίνητον διατηρῆσαι τὸν νόμον
β. Κορ. ια. ι. (Ἔστι γὰρ, φησὶν, ἀλήθεια Χριστοῦ ἐν ἐμοὶ, ὅτι ἡ καύχησίς μου αὕτη οὐ φραγήσεται
ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας) ἐν τῇ τῆς αἰτίας ἐπαγωγῇ ἠνίξατο τοὺς μιαροὺς ἐκείνους
β. Κορ. ια. ια. οὕτως εἰπών· Διὰ τί; ὅτι οὐκ ἀγαπῶ ὑμᾶς; ὁ Θεὸς οἶδεν. ἀλλ' ὃ ποιῶ, καὶ
ποιήσω, ἵνα ἐκκόψω τὴν ἀφορμὴν τῶν θελόντων ἀφορμήν. καὶ ἀνωτέρω δὲ τούτων
παρακαλεῖ τοὺς μαθητὰς μὴ καταστῆσαι αὐτὸν εἰς ἀνάγκην τοῦ τὴν οἰκείαν ἐπιδεῖξαι
β. Κορ. ι. β. δύναμιν αὐτοῖς, οὑτωσὶ λέγων· Δέομαι δὲ τὸ μὴ παρὼν θαῤῥῆσαι τῇ πεποιθήσει, ᾗ
λογίζομαι τολμῆσαι ἐπί τινας τοὺς λογιζομένους ἡμᾶς ὡς κατὰ σάρκα περιπατοῦντας. αὐτοὶ
γὰρ οὗτοι, περὶ ὧν ταῦτά φησιν, εἰς εἰρωνείαν αὐτὸν διαβάλλοντες, οὕτως ἔλεγον, ὅτι
αἱ μὲν ἐπιστολαὶ Παύλου πολὺν ἔχουσιν ὄγκον καὶ ῥημάτων ἀπόνοιαν, αὐτὸς δὲ οὐδαμινὸς καὶ
εὐτελὴς καὶ ἀπεῤῥιμμένος. ἐπειδὰν γοῦν ἐνταῦθα παραγένηται, οὐδενὸς ἄξιος φαίνεται λόγου·
β. Κορ. ι. θ. ὅπερ οὖν καὶ αὐτὸ πάλιν ἐμφαίνων ἔλεγεν, Ἵνα δὲ μὴ δόξω ὡς ἂν ἐκφοβεῖν ὑμᾶς διὰ
τῶν ἐπιστολῶν. ὅτι αἱ μὲν ἐπιστολαί, φησὶ, βαρεῖαι καὶ ἰσχυραὶ, ἡ δὲ παρουσία τοῦ σώματος
ἀσθενὴς, καὶ ὁ λόγος ἐξουθενημένος. εἶτα αὐτοῖς ἐγκαλῶν τοῖς Κορινθίοις τοῖς ἀναπειθομένοις,
φησίν· Ἢ ἁμαρτίαν ἐποίησα ἐμαυτὸν ταπεινῶν, ἵν' ὑμεῖς ὑψωθῆτε; καὶ ἀποδυόμενος
β. Κορ. ια. ζ. δὲ τὸ ἔγκλημα αὐτὸ ἐκεῖνο, πάλιν λέγει· Οἷοί ἐσμεν δι' ἐπιστολῶν ἀπόντες, τοιοῦτοι
β. Κορ. ι. ια. καὶ παρόντες τῷ ἔργῳ. ἐπεὶ οὖν πολλοὶ παρ' αὐτοῖς ἦσαν ψευδαπόστολοι, οὓς καὶ ἐργάτας δολίους

λίους χειλέων, οὕτω λέγων· Οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ. καὶ οὐ θαυμαστόν· καὶ γὰρ αὐτὸς ὁ Σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός. οὐ μέγα οὖν, εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης. ἐπεὶ οὖν οὗτοι μυρίας εὑρόντες κατ' αὐτοῦ διαβολάς, τοὺς μαθητὰς ἔβλαπτον, οὐ τὴν προσήκουσαν περὶ αὐτοῦ πείθοντες αὐτοὺς ἔχειν δόξαν, ἀναγκάζεται λοιπὸν εἰς διήγησιν τῶν οἰκείων ἐγκωμίων ἐμπεσεῖν· οὐδὲ γὰρ ἦν τὸ σιγᾷν λοιπὸν ἀσφαλές. ἐπεὶ οὖν μέλλει τοὺς οἰκείους ἄθλους ἡμῖν ἐξηγεῖσθαι, καὶ τὰς ἀποκαλύψεις, ἃς εἶδε, καὶ τοὺς μόχθους, οὓς ἐμόχθησε, βουλόμενος δεῖξαι πᾶσιν, ὅτι ἄκων καὶ βιαζόμενος τοῦτο ποιεῖ, καὶ ἀνάγκην οὖσαν ὁρῶν, ὅμως ἀφροσύνης αὐτὸ πρᾶγμα ἐκάλεσεν, οὕτως εἰπών· Ὄφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ. μέλλω, φησί, πρᾶγμα ἀνόητον ποιεῖν, καὶ ἐμαυτὸν ἐγκωμιάζειν καὶ ἐπαινεῖν· ἀλλ' οὐκ ἐγὼ τούτων αἴτιος, ἀλλ' οἱ εἰς τοιαύτην με ἀνάγκην ἐμβαλόντες. διὰ τοῦτο παρακαλῶ ὑμᾶς ἀνασχέσθαι, κἀκείνοις τὴν αἰτίαν λογίσασθαι. καὶ ὅρα τὴν Παύλου σύνεσιν. εἰπών, ὄφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ· ἀλλὰ καὶ ἀνέχεσθέ μου· ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ, οὐκ εὐθέως ἦλθεν ἐπὶ τὴν διήγησιν τῶν ἐγκωμίων, ἀλλὰ μεταξὺ πάλιν ἐνθεὶς ῥήματα, οὕτω πως φησί· Πάλιν λέγω, μή τίς με δόξῃ ἄφρονα εἶναι· εἰ δὲ μήγε, κἂν ὡς ἄφρονα δέξασθέ με. καὶ οὐδὲ οὕτως ἥψατο τῆς διηγήσεως, ἀλλὰ πάλιν ἐπάγει καὶ λέγει· Ὃ λαλῶ, οὐ λαλῶ κατὰ Κύριον, ἀλλ' ὡς ἐν ἀφροσύνῃ, ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως. καὶ οὐδὲ μετὰ ταῦτα τὰ ῥήματα ἐτόλμησε καθεῖναι, ἀλλὰ πάλιν ὁρμήσας ἀνακρούεται καί φησιν, Ἐπειδὴ πολλοὶ καυχῶνται κατὰ τὴν σάρκα, κἀγὼ καυχήσομαι. ἡδέως γὰρ ἀνέχεσθε τῶν ἀφρόνων, φρόνιμοι ὄντες. εἶτα πάλιν ἀναδύεται καὶ ὀκνεῖ, καὶ ἕτερα τινὰ εἰπών, πάλιν ἐπάγει· Ἐν ᾧ δ' ἄν τις τολμᾷ, ἐν ἀφροσύνῃ λέγω, τολμῶ κἀγώ. καὶ τότε μόλις μετὰ τοσαύτας προδιορθώσεις κατετόλμησε τῆς διηγήσεως τῶν ἐγκωμίων. καὶ καθάπερ ἵππος κρημνὸν ἀπότομον ὑπερβαίνειν μέλλων, ὁρμᾷ μὲν ὡς ὑπερβάλλεσθαι μέλλων, τὸ δὲ βάθος ἰδὼν ναρκᾷ καὶ συστέλλεται, εἶτα τὸν ἐπιβάτην ὁρῶν σφοδρότερον ἀναγκάζοντα, πάλιν ἐπιχειρεῖ, καὶ τὸ αὐτὸ τοῦτο πάσχει, καὶ τὴν ἀνάγκην ἐνδεικνύμενος καὶ τὴν βίαν, ἵσταται ἐπὶ πολὺ χρεμετίζων ἐπὶ τοῦ χείλους τῆς φάραγγος, ὅπως παραθαρρύνας ἑαυτὸν κατατολμήσῃ· οὕτω καὶ ὁ μακάριος Παῦλος, καθάπερ ἐπὶ κρημνόν τινα μέλλων ἑαυτὸν ἀφιέναι, τῶν οἰκείων ἐγκωμίων τὴν διήγησιν, καὶ ἅπαξ καὶ δὶς καὶ τρεῖς καὶ πολλάκις ἀναδύεται οὕτω λέγων· ὄφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ. καὶ πάλιν, Μή τίς με δόξῃ ἄφρονα εἶναι· εἰ δὲ μήγε, κἂν ὡς ἄφρονα δέξασθέ με. καί, ὃ λαλῶ, οὐ λαλῶ κατὰ Κύριον, ἀλλ' ὡς ἐν ἀφροσύνῃ, ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως. καὶ πάλιν, Ἐπεὶ πολλοὶ καυχῶνται κατὰ σάρκα, κἀγὼ καυχήσομαι. ἡδέως γὰρ ἀνέχεσθε τῶν ἀφρόνων φρόνιμοι ὄντες. καὶ πάλιν, Ἐν ᾧ δ' ἄν τις τολμᾷ, ἐν ἀφροσύνῃ λέγω, τολμῶ κἀγώ. καὶ μυριάκις ἑαυτὸν ἄφρονα καλέσας καὶ ἀνόητον, τότε μόλις ἐτόλμησεν ἐλθεῖν εἰς τοὺς ἐπαίνους τοὺς ἑαυτοῦ. Ἑβραῖοί εἰσι; κἀγώ· Ἰσραηλῖταί εἰσι; κἀγώ· σπέρμα Ἀβραάμ εἰσι; κἀγώ· διάκονοι Χριστοῦ εἰσι; κἀγώ. καὶ οὐδὲ ἐνταῦθα ἐπελάθετο ἑαυτοῦ, ἀλλὰ πάλιν τίθησι τὴν προδιόρθωσιν οὕτως ἐπάγων· Παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ. καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ μετὰ τὸ διηγήσασθαι πάντα αὐτοῦ τὰ ἐγκώμια, λέγει· Γέγονα ἄφρων καυχώμενος· ὑμεῖς με ἠναγκάσατε. ὡσεὶ ἔλεγεν, ἐκείνων μοι λόγος οὐδεὶς ἦν, εἰ τὰ ὑμέτερα ἦν ἐρρωμένα, εἰ μὴ περιετρέπεσθε μηδὲ ἐσαλεύεσθε. καὶ γὰρ εἰ διαπαντὸς ἡμᾶς ἔλεγον ἐκεῖνοι κακῶς, οὐδεμία μοι βλάβη διὰ τῆς ἐκείνων ἐγίνετο κακηγορίας. ἐπειδὴ δὲ εἶδον τὸ ποίμνιον διαφθειρόμενον, τοὺς μαθητὰς ἀποπηδῶντας, κατεφρόνησα φορτικοῦ πράγματος καὶ ἐπαχθοῦς, καὶ ἠναγκάσθην ἄφρων γενέσθαι, τὰ ἐμαυτοῦ λέγων ἐγκώμια δι' ὑμᾶς καὶ τὴν ὑμετέραν σωτηρίαν.

Τοιοῦτον

β. Κορ. ια. ιγ.
β. Κορ ια ις.
β. Κορ. ια. ιζ.
β. Κορ. ια. ιη. ιθ.
β. Κορ. ια. κα.
β. Κορ ια ις.
β. Κορ. ια ιη. κα.
β. Κορ. ια. κβ.
β. Κορ. ιβ. ια.

Τοιοῦτον γὰρ τῶν ἁγίων τὸ ″ ἦθος. εἰ μέν τι πράξαιεν φαῦλον, ἐκπομπεύουσιν
αὐτό, καὶ καθ' ἑκάστην ἡμέραν θρηνοῦσι καὶ πᾶσι ποιοῦσι κατάδηλον· εἰ δέ τι γενναῖον
καὶ μέγα, ἀποκρύπτουσι καὶ λήθῃ παραπέμπουσιν. αὐτὸς γοῦν οὗτος ὁ ἅγιος τὰ μὲν ἁμαρτήματα
καὶ μηδενὸς βιαζομένου συνεχῶς ἔστρεφε καὶ ″ ἐξεπόμπευε, νῦν μὲν λέγων,
α. Τιμ. α. ιε. ιϛ. Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ· νῦν
δὲ λέγων, χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ, ὅτι πιστόν με ἡγήσατο, θέμενος εἰς
διακονίαν τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν. ἀλλ' ἠλεήθην, ὅτι
α. Κορ. ιε. η. ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ. καὶ πάλιν, Ἔσχατον δὲ πάντων ὡσπερεὶ τῷ ἐκτρώματι ὤφθη
κἀμοί. ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος,
Εφεσ. γ. η. ὅτι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ Θεοῦ. καὶ πάλιν, Ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων
ἐδόθη ἡ χάρις αὕτη. ὁρᾷς πῶς οὐ τῶν ἀποστόλων μόνον, ἀλλὰ καὶ ἁπλῶς τῶν πιστῶν ἁπάντων
ἔσχατον ἑαυτὸν καλεῖ, ἐμοὶ τῷ ἐλαχιστοτέρῳ εἰπὼν πάντων τῶν ἁγίων ἐδόθη ἡ χάρις
α. Τιμ. α. ιε. αὕτη; οὕτως οὐδὲ τῆς σωτηρίας, δι' ἧς ἐσώθη, ἄξιος εἶναι φησίν. εἰπὼν γάρ, ὅτι Χριστὸς Ἰησοῦς
ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ, ἄκουσον καὶ διὰ ποίαν
αἰτίαν τοῦτο λέγει. ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρῶτον ἐνδείξηται Ἰησοῦς
Χριστὸς τὴν πᾶσαν μακροθυμίαν πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ
εἰς ζωὴν αἰώνιον. ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐ διὰ τὴν ἀξίαν μετάθεσιν τοῦ βίου ἠλεήθην,
μὴ τοῦτο νομίσῃς· ἀλλ' ἵνα μηδεὶς ἀπογνῷ τῶν ἐν κακίᾳ βεβιωκότων, μηδὲ τῶν τῷ Χριστῷ
πολεμησάντων, τὸν πάντων ἔσχατον, καὶ μεθ' ὃν οὐδεὶς ἦν ἕτερος οὕτω πολέμιος τῷ Χριστῷ,
Πραξ. θ. ιε. σωθέντα ὁρῶν. καὶ ὁ μὲν Χριστός φησιν, ὅτι Σκεῦος ἐκλογῆς μοί ἐστι τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον
ἐθνῶν καὶ βασιλέων· οὗτος δὲ οὐδὲν ὑπὸ τῶν ἐγκωμίων ἐκείνων φυσηθείς, μένει ταλανίζων
ἑαυτὸν μετὰ τοσαύτην παρρησίαν, πρῶτον τῶν ἁμαρτωλῶν ἑαυτὸν καλῶν, καὶ διὰ τοῦτο
ἠλεῆσθαι λέγων, ἵνα μηδεὶς τῶν πρὸς ἐσχάτην ἐληλακότων κακίαν ἀπογνῷ τῆς οἰκείας
σωτηρίας, πρὸς αὐτὸν καὶ τὴν εἰς αὐτὸν γενομένην φιλανθρωπίαν βλέπων. τὰ μὲν οὖν
ἁμαρτήματα, καὶ μηδεμιᾶς οὔσης ἀνάγκης, ἐκπομπεύει καθ' ἑκάστην ἡμέραν ἐν ταῖς ἐπιστολαῖς
αὐτοῦ πάσαις, στηλιτεύων καὶ δῆλα ποιῶν οὐχὶ τοῖς τότε μόνον ἀνθρώποις, ἀλλὰ καὶ τοῖς
μετὰ ταῦτα ἐσομένοις πᾶσι· τὰ δὲ ἐγκώμια, καὶ ἀνάγκην οὖσαν ὁρῶν, ὅμως ὀκνεῖ καὶ ἀναδύεται
διηγήσασθαι. καὶ τοῦτο δῆλον μὲν, ἐξ ὧν μυριάκις ἀφροσύνην τὸ πρᾶγμα ἐκάλεσε, δῆλον
δὲ καὶ ἀπὸ τοῦ χρόνου παντός, ὃν ἐσίγησε τὴν θαυμαστὴν καὶ θείαν ἀποκάλυψιν ἐκείνην·
οὐ γὰρ δὴ τότε, οὐδὲ πρὸ δύο καὶ τριῶν καὶ δέκα ἐτῶν, ἀλλὰ πολλῷ πλειόνων ἦν
α. Κορ. ιβ. β. αὐτὴν ἑωρακώς. διὰ τοῦτο καὶ τὸν χρόνον αὐτὸν τίθησιν οὕτω λέγων· Οἶδα ἄνθρωπον
πρὸ ἐτῶν δεκατεσσάρων ἁρπαγέντα ἕως τρίτου οὐρανοῦ· ἵνα σὺ μάθῃς, ὅτι οὐκ
ἂν οὐδὲ τότε ἐφθέγξατο, εἰ μὴ πολλὴν εἶδεν ἀνάγκην ἐπικειμένην. εἰ γὰρ
ἐβούλετο τοὺς οἰκείους ἐπαίνους διεξιέναι, εὐθέως ἂν αὐτὴν εἶπεν, ὅτε εἶδεν, ἢ τῷ
πρώτῳ καὶ δευτέρῳ καὶ τρίτῳ ἔτει. νυνὶ δὲ ἔτη δεκατέσσαρα ἐκαρτέρησε καὶ ἐσίγησε
καὶ πρὸς οὐδένα ἐξεῖπεν, ἀλλὰ πρὸς Κορινθίους μόνον. καὶ πότε; ὅτε τοὺς ψευδαποστόλους
εἶδεν ἐπιφυέντας, δεικνὺς ὅτι οὐδ' ἂν τότε ἐφθέγξατο, εἰ μὴ τοσαύτην
ἑώρα διαφθορὰν ἐν τοῖς μαθηταῖς ″ γινομένην. ἀλλ' οὐχ ἡμεῖς οὕτως, ἀλλὰ τοὐναντίον
ἅπαν ποιοῦμεν. τῶν μὲν ἁμαρτημάτων οὐδὲ μίαν μεμνήμεθα ἡμέραν, ἀλλὰ κἂν
ἑτέρων μνησθέντων ἀκούσωμεν, ἀγανακτοῦμεν, δυσχεραίνομεν, ὕβριν τὸ πρᾶγμα λογιζόμεθα,
μυρίαις αὐτοὺς πλύνομεν λοιδορίαις· εἰ δέ τι μικρὸν ἐργασόμεθα ἀγαθόν, τοῦτο
συνεχῶς στρέφομεν, καὶ τοῖς μεμνημένοις ″ αὐτοῦ χάριν ἴσμεν, καὶ φίλους τοὺς τοιούτους εἶναι νομίζομεν.
καίτοιγε ὁ Χριστὸς τὸ ἐναντίον ἐπέταξε, κατορθωμάτων μὲν ἐπιλελῆσθαι, ἁμαρτημάτων
δὲ μεμνῆσθαι. καὶ τοῦτο δῆλον μὲν ἡμῖν ἐποίησε καὶ δι' ὧν τοῖς μαθηταῖς πα-

γρ. ἤδη

γρ. αἱ κείμ

γρ. γινομέ

γρ. αὐτῶν

ναι λέγων· Ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν· καὶ διὰ τῆς τοῦ Φαρισαίου παραβολῆς, τὸν τελώνην αὐτοῦ προθείς. ὥσπερ γὰρ τούτου ἡ μνήμη τῶν ἁμαρτημάτων ἐδικαίωσεν, οὕτως ἐκεῖνον ἡ μνήμη τῶν κατορθωμάτων ἀπώλεσε. καὶ Ἰουδαίοις δὲ ὁ Θεὸς τὰ αὐτὰ δὴ ταῦτα παραινεῖ, λέγων οὕτως· Ἐγώ εἰμι αὐτὸς ὁ ἐξαλείφων τὰς ἁμαρτίας σου, καὶ οὐ μὴ μνησθῶ· σὺ δὲ μνήσθητι. τοιοῦτον τῶν ἀποστόλων τὸ ἦθος ἦν, τοιοῦτον τῶν προφητῶν καὶ τῶν δικαίων ἁπάντων. ὁ γοῦν Δαβὶδ τῆς μὲν ἁμαρτίας τῆς ἑαυτοῦ συνεχῶς ἐμέμνητο, τῶν δὲ κατορθωμάτων οὐδαμοῦ, πλὴν εἴ ποτε κατηναγκάσθη. ὅτε γοῦν ὁ βαρβαρικὸς ἐκεῖνος πόλεμος τὴν Ἰουδαίαν κατέλαβε, καὶ πάντα κινδύνων ἦν μεστά, νέος ὢν ἔτι καὶ πολέμων ἄπειρος, καταλιπὼν τὰ πρόβατα, καὶ εἰς τὴν παράταξιν ἐλθών, πάντας καταπεπληγότας βλέπων καὶ δεδοικότας καὶ τρέμοντας, οὐδὲν ἔπαθεν ἀνθρώπινον, οὐδὲ ἐγένετο δειλότερος τοὺς οἰκείους τεταπεινωμένους ὁρῶν· ἀλλὰ τῇ πίστει πάντα τὰ βλεπόμενα ὑπερβάς, καὶ πρὸς τὸν βασιλέα τῶν οὐρανῶν ἰδών, καὶ πολλῆς ἑαυτὸν ἐμπλήσας προθυμίας, προσῆλθε τοῖς στρατιώταις καὶ τοῖς ἀδελφοῖς, ἐπαγγελλόμενος ἀπαλλάσσειν αὐτοὺς τοῦ κατέχοντος κινδύνου. ὡς δὲ ἐγέλασαν τὸ εἰρημένον οἱ ἀδελφοί (οὐ γὰρ ἑώρων τὸν εἴσω αὐτὸν ἀλείφοντα Θεόν, οὐδὲ τὴν ψυχὴν τὴν γενναίαν ἐκείνην καὶ οὐρανομήκη καὶ πολλῆς γέμουσαν φιλοσοφίας) καταλιπὼν ἐκείνους, πρὸς ἑτέρους ἀπῆλθεν. ὡς δὲ πρὸς τὸν βασιλέα αὐτὸν εἰσήγαγον, καὶ εὗρεν αὐτὸν ἀποτεθνηκότα τῷ δέει, πρῶτον αὐτοῦ διανίστησι τὸ φρόνημα, οὕτω λέγων· Μὴ συμπεσέτω ἡ καρδία τοῦ κυρίου μου ἐπ' αὐτόν, ὅτι ὁ δοῦλός σου πορεύσεται καὶ πολεμήσει μετὰ τοῦ ἀλλοφύλου τούτου. ἐπειδὴ δὲ ἐκεῖνος ἠπίστει λέγων, Οὐ δυνήσῃ πορευθῆναι, σὺ παιδάριον εἶ, αὐτὸς δὲ ἀνὴρ πολεμιστὴς ἐκ νεότητος αὐτοῦ, ἐν ἀπορίᾳ ὢν λοιπὸν ὁ Δαβίδ, ἀναγκάζεται τὰ οἰκεῖα διηγεῖσθαι ἐγκώμια. ὅτι γὰρ οὐκ ἐβούλετο, διὰ τῶν προτέρων ἔδειξεν, οὔτε πρὸς τοὺς ἀδελφοὺς εἰπών τι τῶν αὐτοῦ κατορθωμάτων, οὔτε πρὸς τοὺς στρατιώτας, ἀλλ' οὐδὲ πρὸς αὐτὸν τὸν βασιλέα, ἕως εἶδεν αὐτὸν ἀπιστοῦντα καὶ ἀγωνιῶντα καὶ κωλύοντα τὴν ἔφοδον τὴν κατ' ἐκείνου. τί γὰρ ἔδει πρᾶξαι λοιπόν; σιγῆσαι τὰ ἐγκώμια; ἀλλ' οὐκ ἂν ἐπέτρεψεν ἀπελθεῖν, οὐδὲ ἀπαλλάξαι τῶν κατεχόντων κινδύνων. διὰ τοῦτο σιγήσας ἡνίκα ἔδει, ἐπειδὴ τὸν καιρὸν εἶδε καταναγκάζοντα εἰπεῖν, οὐκ ἔτι σιγᾷ, ἀλλά φησι πρὸς αὐτόν· Ποιμαίνων ἤμην ὁ δοῦλός σου ἐν τῷ ποιμνίῳ τοῦ πατρός μου· καὶ ὅταν ἤρχετο λέων ἢ ἄρκτος, καὶ ἐλάμβανε πρόβατον ἐκ τῆς ἀγέλης, ἐξηρχόμην κατόπισθεν αὐτοῦ, καὶ ἐπάτασσον αὐτόν, καὶ ἐξέσπων ἐκ τοῦ στόματος αὐτοῦ, καὶ ἐκράτουν τοῦ φάρυγγος αὐτοῦ, καὶ ἐθανάτουν αὐτόν, καὶ τὸν λέοντα καὶ τὴν ἄρκτον ἔτυπτεν ὁ δοῦλός σου· καὶ ἔσται ὁ ἀλλόφυλος οὗτος καὶ ἀπερίτμητος, ὡς ἓν τούτων. ὁρᾷς πῶς ἐδήλωσε τίνος ἕνεκεν εἶπε τὰ οἰκεῖα κατορθώματα; τότε δή, τότε θαρρήσας ὁ βασιλεὺς λοιπὸν ἐκέλευσεν ἀπελθεῖν. καὶ ἀπῆλθε, καὶ παρετάξατο, καὶ ἐνίκησεν. εἰ δὲ μὴ τὰ ἐγκώμια εἶπεν, οὐκ ἂν αὐτῷ τὴν μονομαχίαν ἐκείνην ἐπίστευσεν ὁ βασιλεύς· μὴ πιστεύσας δέ, οὐκ ἂν ἀφῆκεν αὐτὸν εἰς τὴν παράταξιν ἀπελθεῖν· μὴ ἀφεὶς δέ, διεκώλυσεν ἂν τὸ κατόρθωμα· τοῦ δὲ κατορθώματος κωλυθέντος, οὔτε ὁ Θεὸς ἂν ἐδοξάσθη τότε, οὔτε ἡ πόλις τῶν ἐπικειμένων ἀπηλλάγη κινδύνων. ἵν' οὖν μὴ τοσαῦτα γένηται ἄτοπα, μηδὲ οἰκονομίας μέγεθος κωλυθῇ τοσοῦτον, ἠναγκάσθη τοὺς οἰκείους ἄθλους εἰπεῖν ὁ Δαβίδ. [ὥσπερ γὰρ σιγᾶν ἴσασιν, οὐδεμιᾶς οὔσης ἀνάγκης, οὕτω καὶ λέγειν ἐπίστανται, ἐπειδὰν πολλὴν ἴδωσι βίαν ἐπικειμένην.]

Λουκ. ιζ. ι.
Λουκ. ιη.
Ησ. μγ. κε.
α. Βασ. ιζ.
α. Βασ. ιζ. λβ.
α. Βασ. ιζ. λδ.

Οὐκ ἐπὶ τούτου δὲ μόνον, ἀλλὰ καὶ ἐπὶ τοῦ Σαμουὴλ τὸ αὐτὸ τοῦτο γεγενημένον ἴδοι τις ἄν. καὶ γὰρ ἐκεῖνος ἔτη τοσαῦτα προστὰς τοῦ δήμου τῶν Ἰουδαίων οὕτως, ὡς ὁ Θεὸς ἤθελε, καὶ μηδὲν μηδέποτε μέγα περὶ ἑαυτοῦ φθεγξάμενος, καίτοι πολλὰ ἔχων, εἴπερ ἐβούλετο λέγειν, τὴν ἐκ πρώτης ἡλικίας ἀνατροφήν, τὴν ἐν τῷ ναῷ διατριβήν, τὴν ἐκ σπαργάνων γεμόνων αὐτοῦ προφητείαν, οὐδὲ μετὰ ταῦτα πολέμους, τὰς νίκας ἃς ἐνίκησεν, οὐχ ὅπλοις χρώμενος, ἀλλὰ μετὰ τῆς εὐνοίας τοῦ Θεοῦ παραταττόμενος, ἐν τοῖς ἔμπροσθεν χρόνοις οὐδὲν τούτων εἶπεν. ἐπειδὴ δὲ ἔμελλεν ἀφίστασθαι τῆς προστασίας, καὶ τὴν ἀρχὴν ἐγχειρίζειν ἑτέρῳ, τότε λοιπὸν ἠναγκάσθη τὰ ἐγκώμια αὐτοῦ διεξελθεῖν, καὶ ταῦτα ὑφειμένως. καὶ καλέσας τὸν δῆμον ἅπαντα, παρόντος καὶ τοῦ Σαοὺλ, οὕτω πως φησίν· Ἰδοὺ ἤκουσα τῆς φωνῆς ὑμῶν, καὶ ἐβασίλευσα ἐφ' ὑμᾶς βασιλέα. καὶ ἐγὼ ἰδοὺ ἀνέστραμμαι ἐνώπιον ὑμῶν ἐκ νεότητός μου, καὶ ἕως τῆς ἡμέρας ταύτης, καὶ γεγήρακα. ἀποκρίθητε κατ' ἐμοῦ ἐνώπιον τοῦ Κυρίου, καὶ ἐνώπιον χριστοῦ αὐτοῦ· μόσχον τίνος ὑμῶν εἴληφα; ἢ ὄνον τίνος εἴληφα; ἢ τίνα ὑμῶν κατεδυνάστευσα; ἢ τίνα ἐξεπίασα ὑμῶν; ἢ ἐκ χειρὸς τίνος ὑμῶν εἴληφα ἐξίλασμα ἢ ὑπόδημα, καὶ ἀπέκρυψα τοὺς ὀφθαλμούς μου ἐν αὐτῷ; εἴπατε κατ' ἐμοῦ, καὶ ἀποδώσω ὑμῖν. καὶ ποία ἦν ἀνάγκη ταῦτα λέγειν, φησί; πολλὴ καὶ μεγάλη. ἐπειδὴ γὰρ ἄρχοντα ἔμελλεν εἰσάγειν αὐτοῖς τὸν Σαοὺλ, ἐν τῇ καθ' ἑαυτὸν ἀπολογίᾳ διδάξαι βουλόμενος ἐκεῖνον πῶς προΐστασθαι δεῖ καὶ κήδεσθαι τῶν ἀρχομένων, αὐτοὺς τοὺς ὑπηκόους μάρτυρας αὐτοῦ τῆς φιλοσοφίας παράγει· καὶ οὐ ποιεῖ τοῦτο ἐν τῷ καιρῷ τῆς ἀρχῆς, ἵνα μή τις εἴπῃ, ὅτι δεδοικότες αὐτὸν καὶ φοβούμενοι, τὰ μὴ ὄντα ἐμαρτύρησαν· ἀλλ' ὅτε παρελύθη τὰ τῆς δημαγωγίας, καὶ εἰς ἕτερον μετέστη τὰ τῆς προστασίας, καὶ κίνδυνος οὐδεὶς ἦν τῷ κατηγοροῦντι λοιπὸν, τότε δικάζεται πρὸς αὐτούς. καίτοιγε εἰ ἕτερός τις ἦν, ἐμνησικάκησεν ἂν τοῖς Ἰουδαίοις, καὶ οὐκ ἂν ἠθέλησε τὸν ἄρχοντα τὸν μετ' αὐτὸν ἐπιεικῆ γενέσθαι καὶ μέτριον, οὐ διὰ μνησικακίαν δὲ μόνον, ἀλλ' ἵνα καὶ αὐτὸς ἐπαινῆται μειζόνως. καὶ γὰρ νόσημα τοῦτο δεινὸν τοῖς ἄρχουσιν ἔνεστι· τοὺς μετ' αὐτοὺς ἐπὶ τὴν ἀρχὴν ἐρχομένους εὔχονται φαύλους εἶναι καὶ πονηρούς. ἄν τε γὰρ γενναῖοι τύχωσιν ὄντες, λαμπροτέρους αὐτοὺς φανεῖσθαι νομίζουσι, τῶν διαδεξαμένων τὴν ἀρχὴν οὐκ ὄντων τοιούτων· ἄν τε σκαιοὶ καὶ διεφθαρμένοι, ἀπολογίαν τῆς οἰκείας ἔσεσθαι πονηρίας τοῦ μετὰ ταῦτα ἄρξαντος τὴν κακίαν. ἀλλ' οὐχ ὁ μακάριος οὗτος τοιοῦτος· ἀλλ' ἐβούλετο καὶ ηὔχετο καὶ ἐπεθύμει πολλῷ βελτίονος αὐτοὺς ἀπολαῦσαι τῆς προστασίας· οὕτω φιλόστοργος ἦν, οὕτω φθόνου καθαρὸς, οὕτω κενοδοξίας ἀπηλλαγμένος. καίγε ἓν μόνον ἐζήτει, τὴν τῶν ἀνθρώπων τὴν σωτηρίαν. διὰ τοῦτο καὶ τὸν ἄρχοντα αὐτοῖς ἐν τῇ καθ' ἑαυτὸν ἐρρύθμιζεν ἀπολογίᾳ. ἐπειδὴ γὰρ τὸ μὲν καλέσαι τὸν βασιλέα καὶ εἰπεῖν, ἐπιεικὴς ἔσο καὶ μέτριος καὶ ἀδωροδόκητος, καὶ μηδένα βίαζε μηδὲ ἀδίκει μηδὲ πλεονέκτει, φορτικὸν ἦν καὶ ἐπαχθὲς τῷ μέλλοντι ταῦτα ἀκούειν, τὸ δὲ σιγῆσαι πάλιν προδοσία τοῦ δήμου ἐγίνετο, ἐν ἀπολογίας προσχήματι ἀμφότερα ταῦτα κατώρθωσε, κἀκεῖνον ἐδίδαξεν ὁποῖον εἶναι χρὴ τὸν βασιλεύοντα, καὶ τὴν ἐκ τοῦ διδάσκειν ἐπάχθειαν ἔφυγε. καὶ δοκεῖ μὲν ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀγωνίζεσθαι, παιδεύει δὲ ἐκεῖνον πῶς, καὶ τίνι τρόπῳ τῶν ἀρχομένων ἐπιμελεῖσθαι χρή. σὺ δέ μοι σκόπει πῶς μετὰ ἀκριβείας ἁπάσης καθαρὸν ἑαυτὸν ἔδειξε λημμάτων. οὐδὲ γὰρ εἶπε, μὴ ἀργύριόν τινος ὑμῶν ἔλαβον; μὴ χρυσίον; ἀλλ', ὃ πάντων εὐτελέστερον ἦν, μὴ ὑπόδημα, φησίν; εἶτα καὶ ἑτέραν ἑαυτοῦ πολλὴν ἡμῖν ἐδήλωσεν ἀρετήν. ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀρχόντων, ὅταν μὲν κλέπτωσιν, ἐπιεικεῖς εἰσι καὶ μέτριοι καὶ προσηνεῖς, οὐκ οἴκοθεν, ἀλλὰ διὰ τὴν ἀνάγκην τοῦ συνειδότος ἐκ τῶν κλεμμάτων περιῃρημένοι τὴν παρρησίαν· οἱ δὲ ἀδωροδόκητοι, φορτικοὶ καὶ ἐπαχθεῖς, οὐδὲ αὐτοὶ πάλιν οἴκοθεν, ἀλλ' ὑπό τινος κενοδοξίας καὶ τοῦ καθαροὶ λημμάτων εἶναι· ἀμφότερα δὲ οὐκ ἄν τις ἴδοι ῥᾳδίως συνελθόντα εἰς ἕνα, δεῖξαι βουλόμενος ὁ ἅγιος οὗτος, ὅτι ἀμφοτέρων περιεγένετο, καὶ λημμάτων ἐκράτει καὶ ὀργῆς, εἰπὼν, μὴ μόσχον τινὸς ὑμῶν εἴληφα; οὐκ ἐσίγησεν, ἀλλ' ἐπήγαγεν, ἢ κατεδυνάστευσά τινα ὑμῶν, ἢ ἐξεπίασα; τουτέστιν, ἐξέθλιψα. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐδεὶς ἂν ἔχοι τοῦτο εἰπεῖν, ὅτι οὐκ ἔλαβον μέν· ἐπειδὴ δὲ οὐκ ἔλαβον, φορτικὸς ἐγενόμην καὶ ἐπαχθὴς καὶ ὠμὸς καὶ ἄγριος. διὰ τοῦτο ἔλεγεν, ἢ κατεδυνάστευσά τινα ὑμῶν; τί οὖν ἐκεῖνοι;

Οὔτε

α. Βασ. ιβ. α.

γρ. τινὸς
γρ. τινὸς
γρ. τινὸς

γρ. κατεπα
ασι

Οὔτε κατεδυνάστευσας ἡμᾶς, οὔτε ἐξεπίεσας, οὐδὲ εἴληφας ἐκ χειρὸς ἡμῶν οὐδέν. καὶ ἵνα μάθῃς, ὅτι καὶ τὸν βασιλέα αὐτὸν παιδεύων ταῦτα ἔλεγεν, ἐπήγαγε· Μάρτυς Κύριος, καὶ μάρτυς ὁ Χριστὸς αὐτοῦ. τοῦτο δὲ ἡμῖν αὐτὸ παραδηλῶν καὶ δεικνύς, ὡς οὐκ ἦν ἡ μαρτυρία κεχαρισμένη, αὐτὸν ἐκάλεσε μάρτυρα τὸν τὰ ἀπόρρητα τῆς διανοίας εἰδότα, ὅπερ ἐστὶ καθαροῦ συνειδότος ἀπόδειξις. οὐδεὶς γάρ, οὐδείς, εἰ μὴ σφόδρα ἦν μεμηνὼς καὶ ἐξεστηκώς, τοῦ συνειδότος τοῦ ἑαυτοῦ καλέσειεν ἄν ποτε μάρτυρα τὸν Θεόν, εἰ μὴ σφόδρα ἑαυτῷ θαρροίη. μαρτυρησάντων τοίνυν ἐκείνων ἐπὶ τοῖς εἰρημένοις αὐτῷ, καὶ ἑτέραν ἑαυτοῦ δείκνυσιν αὐτὸς ἀρετήν· καὶ τῶν παλαιῶν ἀναμνήσας ἁπάντων τῶν κατὰ τὴν Αἴγυπτον, καὶ τῆς τοῦ Θεοῦ προστασίας, καὶ τῶν μετ' ἐκείνους πολέμων, ἀναμιμνήσκει τῆς μάχης τῆς ἐπ' αὐτοῦ γενομένης καὶ τῆς νίκης τῆς παραδόξου. καὶ εἰπὼν πῶς πολλάκις διὰ τὰς οἰκείας ἁμαρτίας τοῖς πολεμίοις παραδοθέντας, ἐκάλεσεν αὐτὸς τὸν Θεόν, καὶ ἀπήλλαξεν αὐτοὺς τῶν πολεμίων, συνάπτων τοῖς παλαιοῖς τὰ νέα, ἐπάγει καὶ λέγει· Ἐξαπέστειλε Κύριος τὸν Ἱεροβάαλ, τὸν Γεδεών, καὶ τὸν Βαράκ, καὶ τὸν Ἰεφθάε, καὶ τὸν Σαμουήλ, καὶ ἐξείλετο ὑμᾶς κυκλόθεν ἐκ χειρὸς τῶν ἐχθρῶν ὑμῶν, καὶ κατοικεῖτε πεποιθότες. ὁρᾷς πῶς ἔθος τοῖς ἁγίοις μὴ τὰ ἑαυτῶν κατορθώματα λέγειν, εἰ μή ποτε καταναγκασθεῖεν; διὰ τοῦτο καὶ ὁ Παῦλος πρὸς τούτοις βλέπων, καὶ παιδευόμενος ἀκριβῶς, ὅτι τὸ αὐτόν τινα περὶ ἑαυτοῦ λέγειν ἐπαχθὲς καὶ φορτικόν, ἔλεγεν· Ὄφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ· οὐ μέγα, ἀλλὰ μικρόν τι. οὐδὲ γὰρ ἀνάγκης οὔσης μετὰ δαψιλείας ἐκχεῖν ἑαυτὸν εἰς τὴν διήγησιν τῶν ἐγκωμίων παρεσκεύασαι, ἀλλὰ διὰ βραχέων αὐτὰ παρατρέχει· καὶ αὐτὸ δὴ τοῦτο δι' ἐκείνους καὶ τὴν ἐκείνων σωτηρίαν. ὥσπερ γάρ, οὐκ οὔσης ἀνάγκης λέγειν τὰ οἰκεῖα κατορθώματα, ἀνοίας ἐστὶν ἐσχάτης· οὕτως, ἀνάγκης ἐπικειμένης καὶ βίας ὠθούσης, πάλιν προδοσία ἐστί, τὸ σιγᾶν τὰ ὑπ' αὐτῶν πεπραγμένα. ἀλλ' ὅμως ὁ Παῦλος καὶ ἀνάγκην οὖσαν ὁρῶν, ἀπώκνει, καὶ τὸ πρᾶγμα ἀφροσύνην ἐκάλει, ἵνα μάθῃς αὐτοῦ τὴν σύνεσιν καὶ τὴν σοφίαν καὶ τὴν πολλὴν ἀσφάλειαν. καὶ γὰρ εἰπών, Ὃ λαλῶ, οὐ λαλῶ κατὰ Κύριον, προσέθηκεν, ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως. μὴ νομίσῃς, φησί, καθόλου με τοῦτο λέγειν. ὥστε διὰ τοῦτο αὐτὸν μάλιστα ἐπαινῶ καὶ θαυμάζω καὶ σοφώτατον καλῶ, ὅτι πρᾶγμα ἀφροσύνης εἶναι ἐνόμισε τὸ ἑαυτὸν ἐγκωμιάζειν καὶ ἐπαινεῖν. εἰ δὲ οὗτος ἀνάγκην οὖσαν ὁρῶν, ἀφροσύνην τοῦτο ἐκάλει, τίνος ἂν εἶεν συγγνώμης ἄξιοι, ποίας ἀπολογίας, οἱ μηδὲ ἀνάγκης οὔσης περὶ ἑαυτῶν λέγοντες μεγάλα, ἢ καὶ ἑτέρους λέγειν καταναγκάζοντες; ταῦτ' οὖν εἰδότες, μὴ ἐπαινῶμεν τὰ λεγόμενα μόνον, ἀλλὰ καὶ μιμησώμεθα καὶ ζηλώσωμεν, καὶ τῶν κατορθωμάτων ἐπιλανθανόμενοι, τῶν ἁμαρτημάτων ἀεὶ μνημονεύωμεν, ἵνα καὶ μετριάζειν δυνώμεθα, καὶ πρὸς τὰ ἔμπροσθεν ἐπεκτεινόμενοι, τὸ βραβεῖον λάβωμεν τῆς ἄνω κλήσεως, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

α. Βασ. ιϐ. δ.

α. Βασ. ιϐ. ια.

β. Κορ. ια. ιζ.

Λογ. ιθ. ΤΗ ΠΡΟΤΕΡΑ ΣΥΝΑΞΕΙ ΕΝ ΤΗ ΕΚΚΛΗσίᾳ τῇ καινῇ συναχθεὶς μετὰ τοῦ ἐπισκόπου, ταύτην ἐν τῇ παλαιᾷ εἶπεν εἰς τὴν περικοπὴν τοῦ ἀποστόλου· Ὅτε δὲ ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην· καὶ δείκνυσιν, ὅτι οὐκ ἀντίστασις ἦν, ἀλλ' οἰκονομία τὰ γινόμενα.

Γαλ. ϐ. ια.

Μίαν ὑμῶν ἀπελείφθην ἡμέραν, καὶ ὡς ἐνιαυτὸν ὁλόκληρον ὑμῶν χωρισθεὶς, οὕτως ἀσχάλλων καὶ ἀλύων διετέλουν. καὶ ὅτι ἀληθῆ ταῦτα, ἴστε ἐξ ὧν ὑμεῖς ἐπάθετε. καθάπερ γὰρ παῖς ὑπομάζιος τῆς μητρικῆς θηλῆς ἀποσπασθεὶς, ὅπουπερ ἂν ἀπενεχθῇ, πυκνὰ περιστρέφεται, περιβλεπόμενος τὴν ἑαυτοῦ μητέρα· οὕτω δὴ κἀγὼ τῶν κόλπων τῶν μητρικῶν ἀπενεχθεὶς πορρωτέρω, πυκνὰ περιεσκόπουν, πανταχοῦ τὴν ἁγίαν ὑμῶν ἐπιζητῶν σύνοδον. πλὴν ἀλλ' εἶχον ἱκανὴν τούτων παραμυθίαν, τῷ πατρὶ φιλοστόργῳ πειθόμενος ταῦτα πάσχειν, καὶ ὁ τῆς ὑπακοῆς μισθὸς τὴν ἀκηδίαν τὴν ἐπὶ τῷ ξενισμῷ γινομένην ἀπεῖργε. τοῦτο γὰρ ἐμοὶ καὶ διαδήματος παντὸς λαμπρότερον, καὶ στεφάνου σεμνότερον, τὸ πανταχοῦ μετὰ τοῦ γεγεννηκότος περιάγεσθαι· τοῦτο ἐμοὶ καὶ κόσμος, καὶ ἀσφάλεια· κόσμος μὲν, ὅτι οὕτως αὐτὸν ἐχειρωσάμην, καὶ πρὸς τὸν ἔρωτα ἐπεσπασάμην τὸν ἐμὸν, ὡς μηδαμοῦ μηδέποτε ἀνέχεσθαι χωρὶς τοῦ παιδὸς φαίνεσθαι· ἀσφάλεια δὲ, ὅτι παρὼν καὶ ἀγωνιζόμενον βλέπων, πάντως καὶ τὴν παρὰ τῶν εὐχῶν συμμαχίαν ἡμῖν παρέξει. καὶ καθάπερ πλοίου κυβερνητῶν χεῖρες, καὶ οἴακες, καὶ ζεφύρου πνοαὶ μετὰ ἀσφαλείας εἰς λιμένα παραπέμπουσιν· οὕτω δὴ καὶ ἡ εὔνοια τούτου, καὶ ἡ ἀγάπη, καὶ ἡ τῶν εὐχῶν βοήθεια, καὶ ζεφύρου καὶ κυβερνήτου κρεῖττον καὶ τῶν οἰάκων κατευθύνει τοὺς λόγους ἡμῶν. ἐμὲ δὲ πρὸς τοῦτο καὶ ἕτερον παρεμυθεῖτο, τὸ λαμπρᾶς ὑμᾶς ἀπολαῦσαι τότε τραπέζης, καὶ φιλότιμον καὶ πολυτελῆ τὸν ἑστιάτορα σχεῖν. ἔγνωμεν δὲ τοῦτο οὐκ ἐξ ἀκοῆς μόνον, ἀλλὰ καὶ ἐξ αὐτῆς τῆς πείρας. καὶ γὰρ ἦσαν τινὲς διακομίζοντες ἡμῖν τὰ εἰρημένα, καὶ ἀπὸ τῶν λειψάνων ὁλόκληρον τὴν εὐωχίαν ἐστοχασάμεθα. ἐπῄνεσα μὲν οὖν τὸν ἑστιάσαντα, καὶ ἐθαύμασα τῆς πολυτελείας καὶ τοῦ πλούτου· ἐμακάρισα δὲ ὑμᾶς τῆς εὐνοίας, καὶ τῆς ἀκριβείας, ὅτι μετὰ τοσαύτης φυλακῆς τὰ εἰρημένα κατέχετε, ὡς καὶ ἑτέρωθι διακομίσαι. διὰ τοῦτο καὶ ἡμεῖς πρὸς τὴν ὑμετέραν ἀγάπην προθύμως διαλεγόμεθα. ὁ γὰρ καταβάλλων ἐνταῦθα τὰ σπέρματα, οὐ ῥίπτει αὐτὰ παρὰ τὴν ὁδὸν, οὐδὲ εἰς τὰς ἀκάνθας ἐκχεῖ, οὐδὲ ἐπὶ τὴν πέτραν σπείρει. οὕτω λιπαρὰ καὶ βαθύγειος ὑμῶν ἐστιν ἡ ἄρουρα, καὶ πάντα εἰς τοὺς οἰκείους δεχομένη κόλπους, πολυπλασιάζει τὰ σπέρματα. ἀλλ' εἴπερ ποτὲ προθυμίαν μοι παρέσχετε καὶ πολλὴν σπουδὴν ἐπὶ τὴν ἀκρόασιν (ὥσπερ οὖν ἀεὶ παρεσχήκατε) ταύτην αἰτῶ καὶ τήμερον ἐμοὶ δοῦναι τὴν χάριν. οὐδὲ γὰρ ὑπὲρ τῶν τυχόντων ἡμῖν ἐστιν ὁ λόγος, ἀλλ' ὑπὲρ μεγάλων πραγμάτων. διόπερ ὀφθαλμῶν δέομαι πανταχόθεν ὀξὺ βλεπόντων, διανοίας διεγηγερμένης, διανεστηκότος φρονήματος, συντεταμένων λογισμῶν, ψυχῆς ἀγρύπνου καὶ ἐγρηγορυίας. καὶ γὰρ ἠκούσατε τοῦ ἀναγνώσματος πάντες τοῦ ἀποστολικοῦ· καὶ εἴ τις ὀξέως προσέσχε τοῖς ἀναγνωσθεῖσιν, οἶδεν ὅτι μεγάλοι ἡμῖν ἀγῶνες καὶ ἱδρῶτες πρόκεινται τήμερον. Γαλ. β. ια. Ὅτε γὰρ ἦλθε Πέτρος, φησὶν, εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην. ἆρα οὐ θορυβεῖ ἕκαστον τῶν ἀκουόντων τοῦτο, ὅτι Παῦλος ἀντέστη τῷ Πέτρῳ; ὅτι οἱ στῦλοι τῆς ἐκκλησίας συγκρούονται καὶ ἀλλήλοις προσαράττουσι; στῦλοι γὰρ ὄντως εἰσὶν οὗτοι, τὴν ὀροφὴν τῆς πίστεως ἀνέχοντες καὶ διαβαστάζοντες, καὶ στῦλοι, καὶ πρόβολοι, καὶ περίβολοι, καὶ ὀφθαλμοὶ τοῦ σώματος τῆς ἐκκλησίας, καὶ πηγαὶ τῶν ἀγαθῶν, καὶ θησαυροὶ, καὶ λιμένες, καὶ πᾶν ὅπερ ἂν εἴποι τις, οὐδέπω τῆς ἀξίας αὐτῶν ἀφίξεται· ἀλλ' ὅσῳπερ ἂν ᾖ μεγάλα αὐτῶν τὰ ἐγκώμια, τοσούτῳ πλείων ὁ ἀγών. διανάστητε τοίνυν. ὑπὲρ πατέρων γὰρ ἡμῖν ἐστιν ὁ λόγος, ὥστε ἀποκρούσασθαι τὰ κατ' ἐκείνων φερόμενα ἐγκλήματα παρὰ τῶν ἔξωθεν, καὶ τῶν τῆς πίστεως ἀλλοτρίων. Ὅτε δὲ ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην, ὅτι κατεγνωσμένος ἦν. εἶτα καὶ ἡ αἰτία τῆς καταγνώσεως· Γαλ. β. ιβ. Πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ Ἰακώβου, μετὰ τῶν ἐθνῶν συνήσθιεν· ὅτε δὲ ἦλθον, ὑπέστελλε καὶ ἀφώριζεν ἑαυτὸν, φοβούμενος τοὺς ἐκ περιτομῆς. Καὶ συνυπεκρίθησαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι· ὥστε καὶ Βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει. Γαλ. β. ιγ. ιδ. Ἀλλ' ὅτε εἶδον, ὅτι οὐκ ὀρθοποδοῦσι πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου, εἶπον τῷ Πέτρῳ ἔμπροσθεν πάντων. καὶ ἄνω λέγει, κατὰ πρόσωπον· καὶ ἐνταῦθα, ἔμπροσθεν πάντων. παρατηρεῖτε τοῦτο, τὸ εἰπεῖν, ἔμπροσθεν πάντων. Εἰ σὺ, Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ζῇς, καὶ οὐχὶ Ἰουδαϊκῶς, τί τὰ ἔθνη ἀναγκάζεις ἰουδαΐζειν; τάχα ἐπῃνέσατε τὸν Παῦλον τῆς παρρησίας, ὅτι οὐκ ᾐδέσθη τὸ ἀξίωμα τοῦ προσώπου, διὰ τὴν ἀλήθειαν τοῦ εὐαγγελίου οὐκ ἠρυθρίασε τοὺς παρόντας. ἀλλ' εἰ καὶ Παύλου ἐγκώμιον τοῦτο, ἡμετέρα δὲ αἰσχύνη γίνεται. τί γὰρ, εἰ Παῦλος καλῶς ἐποίησεν; ἀλλ' ὁ Πέτρος κακῶς, εἴγε οὐκ ὀρθοποδεῖ. τί οὖν ἐμοὶ τὸ ὄφελος, ὅταν τῆς ξυνωρίδος θάτερος ἵππος χωλεύῃ; οὐ γὰρ πρὸς Παῦλον μόνον ὁ λόγος, ἀλλὰ πρὸς τοὺς ἔξωθεν. διὰ τοῦτο καὶ παρακαλῶ προσέχειν. καὶ γὰρ αὔξω τὴν κατηγορίαν, καὶ μείζονα ποιῶ, ἵνα ἐπιτείνω ὑμῶν τὴν σπουδήν. ὁ γὰρ ἀγωνιῶν νήφει, καὶ ὁ δεδοικὼς ὑπὲρ πατρὸς προσέχει· ὁ ἀκούων τῆς κατηγορίας, ἐπιθυμεῖ δέξασθαι τὴν ἀπολογίαν. ἂν τοίνυν ἄρξωμαι αὔξειν τὴν κατηγορίαν, μὴ ἀπὸ γνώμης τῆς ἐμῆς νομίσητε εἶναι τὰ λεγόμενα. βαθύνω γὰρ ὑμῖν τὸν λόγον διὰ πάντων τὸν νοῦν, ἵνα ἐν τῷ βάθει τὰ νοήματα καταθέμενος, ἄσυλον αὐτῶν ἐργάσωμαι τὴν φυλακήν. ἀλλὰ καὶ τῆς πόλεως ὑμῶν ἐγκώμιον τὰ ῥηθησόμενα. αὕτη γὰρ τὸν ἀγῶνα ἐδέξατο, αὕτη τὴν μάχην, μᾶλλον δὲ οὐ τὴν μάχην, ἀλλὰ τὴν δοκοῦσαν μὲν εἶναι μάχην, πάσης δὲ εἰρήνης γινομένην χρησιμωτέραν. οὐ γὰρ οὕτως ἡμῶν τὰ μέλη πρὸς ἄλληλα συνέσφιγκται ταῖς τῶν νεύρων περιβολαῖς, ὡς οἱ ἀπόστολοι πρὸς ἀλλήλους ἦσαν συνδεδεμένοι τοῖς τῆς ἀγάπης δεσμοῖς. ἐπῃνέσατε τὸν Παῦλον; ἀκούσατε τοίνυν πῶς κατηγορία ἐστὶ Παύλου τὰ εἰρημένα, ἂν μὴ τὸν ἐναποκεκρυμμένον τοῖς ῥήμασι θηρεύσωμεν νοῦν. τί λέγεις; ὦ Παῦλε; ἐπετίμησας Πέτρῳ, ὅτε εἶδες οὐκ ὀρθοποδοῦντα πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου; καλῶς. τίνος οὖν ἕνεκεν κατὰ πρόσωπον; τίνος ἕνεκεν ἔμπροσθεν πάντων; οὐκ ἔδει ἀμάρτυρον γίνεσθαι τὸν ἔλεγχον; σὺ δὲ [πῶς] δημοσιεύεις τὸ δικαστήριον; καὶ πολλοὺς τῆς κατηγορίας μάρτυρας ποιεῖς; καὶ τίς οὐκ ἂν εἴποι, ὅτι [οὐκ] ἐξ ἀπεχθείας τοῦτο ποιεῖς, καὶ φθόνου, καὶ φιλονεικίας; οὐ σὺ ἦσθα ὁ λέγων, Ἐγενόμην τοῖς ἀσθενέσιν ὡς ἀσθενής; α. Κορ. θ. κβ. τί δέ ἐστι, τοῖς ἀσθενέσιν ὡς ἀσθενής; συγκαταβαίνων καὶ περιστέλλων αὐτῶν τὰ τραύματα, φησὶ, καὶ οὐκ ἀφιεὶς εἰς ἀναισχυντίαν ἐκπεσεῖν. εἶτα περὶ τοὺς μαθητὰς οὕτω κηδεμὼν καὶ φιλάνθρωπος ὢν, περὶ τὸν συναπόστολον ἀπάνθρωπος ἐγένου; οὐκ ἤκουσας τοῦ Χριστοῦ λέγοντος, Ὅταν ἁμάρτῃ ὁ ἀδελφός σου, ὕπαγε, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου; Ματθ. ιη. ιε. σὺ δὲ καὶ δημοσίᾳ ἐλέγχεις, καὶ μεγαλοφρονεῖς ἐπὶ τῷ πράγματι. ὅτε γὰρ ἦλθε Πέτρος, φησὶν, εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην. καὶ οὐκ ἐλέγχεις δημοσίᾳ μόνον, ἀλλὰ καὶ, καθάπερ ἐν στήλῃ, τοῖς γράμμασι τὴν μάχην ἐγχαράξας, ἀθάνατον ποιεῖς τὴν μνήμην· ἵνα μὴ οἱ τότε παρόντες μόνον, ἀλλὰ καὶ πάντες οἱ τὴν οἰκουμένην οἰκοῦντες ἄνθρωποι μάθωσι διὰ τῆς ἐπιστολῆς τὸ γεγενημένον. οὕτω σοι ἐποίησαν οἱ ἀπόστολοι ἐν Ἱεροσολύμοις, ὅτε ἀνῆλθες διὰ δεκατεσσάρων ἐτῶν ἀναθέσθαι αὐτοῖς τὸ εὐαγγέλιον; Γαλ. β. β. οὐ σὺ λέγεις, ὅτι διὰ δεκατεσσάρων ἐτῶν ἀνέβην, καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον, κατ' ἰδίαν δὲ τοῖς δοκοῦσί τι εἶναι; τί οὖν; βουλόμενόν σε κατ' ἰδίαν ἀναθέσθαι, ἐκώλυσαν καὶ εἰς μέσον ἤγαγον, καὶ δῆλον ἅπασιν ἐποίησαν; οὐκ ἔστιν εἰπεῖν. εἶτα σὺ μὲν κατ' ἰδίαν ἀνατίθης, καὶ οὐδεὶς ἀντιλέγει· τὸν δὲ ἀπόστολον ἐκπομπεύεις; ἆρα οὖν ἐκεῖ μόνον ταύτης ἀπήλαυσας τῆς εὐνοίας; ἀλλὰ μὴν καὶ ὅτε δὲ μυριάδες τοσαῦται ἦσαν, οὐ μετὰ τῆς αὐτῆς ἐχρήσαντό σοι σοφίας; οὐ κατ' ἰδίαν λαβόντες σε ἔλεγον, Πραξ. κα. κ. Θεωρεῖς, ἀδελφὲ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν συνεληλυθότων; καὶ οὗτοι πάντες ζηλωταὶ τοῦ νόμου εἰσί, καὶ κατήχηνται περὶ σοῦ, ὅτι ἀποστασίαν ἀπὸ τοῦ νόμου διδάσκεις. τί οὖν ἐστι; ποίησον, ὅ σοι λέγεμεν. Εἰσὶν ἄνδρες ἐν ἡμῖν ἔχοντες εὐχὴν ἐφ' ἑαυτοῖς· τούτους λαβὼν ξύρησαι σὺν αὐτοῖς, καὶ ἁγνίσθητι μετ' αὐτῶν, ἵνα μάθωσιν, ὅτι ὧν κατήχηνται περὶ σοῦ, οὐδέν ἐστιν. Εἶδες πῶς φείδονταί σου τῆς ὑπολήψεως; πῶς κρύπτουσί σε τῷ προσωπείῳ τῆς οἰκονομίας ἐκείνης, τῇ θυσίᾳ, τοῖς ἁγνισμοῖς σε περιστέλλοντες; διὰ τί μὴ τοσαύτην κηδεμονίαν ἐπεδείξω καὶ σύ; ἀλλ' εἰ ἦν ἀληθῶς μάχη τὰ γινόμενα, καὶ φιλονεικία, εἶχεν ἂν λόγον τὰ κατηγορήματα ταῦτα· νῦν δὲ οὐκ ἔστι μάχη, ἀλλὰ δοκεῖ μὲν εἶναι, μεγάλην δὲ καὶ τοῦ Παύλου καὶ τοῦ Πέτρου σοφίαν καὶ εὔνοιαν πρὸς ἀλλήλους ἐπιδείκνυται. πλὴν τέως αὐτῆς τῆς δοκούσης εἶναι κατηγορίας ἀκούσωμεν.

Ὅτι δὲ ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην. διὰ τί; ὅτι κατεγνωσμένος ἦν. καὶ τίς ὁ τρόπος τῆς καταγνώσεως; πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ Ἰακώβου, μετὰ τῶν ἐθνῶν συνήσθιεν· ὅτε δὲ ἦλθον, ὑπέστελλε καὶ ἀφώριζεν ἑαυτόν, φοβούμενος τοὺς ἐκ περιτομῆς. τί λέγεις; δειλὸς ὁ Πέτρος καὶ ἄνανδρος; οὐ διὰ τοῦτο Πέτρος ἐκλήθη, ἐπειδὴ ἄσειστος ἦν κατὰ τὴν πίστιν; τί ποιεῖς, ἄνθρωπε; αἰδέσθητι τὴν προσηγορίαν τοῦ δεσπότου, ἣν ἔθηκε τῷ μαθητῇ. δειλὸς ὁ Πέτρος καὶ ἄνανδρος; καὶ τίς σου ταῦτα ἀνέξεται λέγοντος; οὐ ταῦτα συνοίδεν αὐτῷ τὰ Ἱεροσόλυμα, καὶ τὸ πρῶτον ἐκεῖνο θέατρον, καὶ ἡ ἐκκλησία, εἰς ἣν πρῶτος ἐπεπήδησε, καὶ τὴν μακρὰν ἐκείνην πρῶτος ἀφῆκε φωνήν, καὶ εἶπε· Τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ Θεός, λύσας τὰς ὠδῖνας τοῦ θανάτου. καὶ πάλιν, Οὐ γὰρ Δαβὶδ ἀνέβη εἰς τοὺς οὐρανούς, αὐτὸς δὲ λέγει, φησίν, Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. οὗτος οὖν, εἰπέ μοι, δειλὸς καὶ ἄνανδρος; ὁ τοσούτου φόβου καὶ τοσούτων κινδύνων ἐπικρεμαμένων, μετὰ τοσαύτης παρρησίας, πρὸς τοὺς αἱμοβόρους κύνας ἐκείνους, καὶ τῷ θυμῷ ζέοντας ἔτι, καὶ φόνον πνέοντας εἰσελθὼν καὶ εἰπών, ὅτι ὁ σταυρωθεὶς ὑπ' αὐτῶν, καὶ ἀνέστη, καὶ ἐν τοῖς οὐρανοῖς ἐστι, καὶ ἐκ δεξιῶν κάθηται τοῦ πατρός, καὶ μυρίοις τοὺς ἐχθροὺς αὐτοῦ περιβάλλει κακοῖς; ὅτι γὰρ διᾶραι στόμα, ὅτι γὰρ ἀνοῖξαι χείλη, ὅτι στῆναι, ὅτι φανῆναι μόνον μεταξὺ τῶν σταυρωσάντων αὐτὸν ἴσχυσεν, οὐ θαυμάζεις αὐτὸν καὶ στεφανοῖς, εἰπέ μοι; ποῖος γὰρ λόγος, τίς διάνοια τὴν παρρησίαν αὐτοῦ τὴν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, καὶ τὴν ἐλευθεροστομίαν παραστῆσαι δυνήσεται; οὐκ ἔστιν οὐδείς. εἰ γὰρ περὶ τοῦ σταυροῦ συνέθεντο οἱ Ἰουδαῖοι, ἐάν τις αὐτὸν ὁμολογήσῃ Χριστόν, ἀποσυνάγωγον ποιεῖν, μετὰ τὸν σταυρὸν καὶ τὴν ταφὴν ἀκούοντες οὐχὶ Χριστὸν ὁμολογοῦντος μόνον, ἀλλὰ καὶ πᾶσαν ὁμοῦ τὴν οἰκονομίαν μετὰ πάσης φιλοσοφίας ἀνακηρύττοντος, πῶς οὐ διεσπάσαντο, καὶ μηδὲν αὐτὸν διείλοντο πάντες, πρῶτον πάντων τῆς μανίας αὐτῶν κατατολμήσαντα; τὸ γὰρ δὴ μέγα τοῦτο ἐστιν, οὐχ ὅτι Χριστὸν ὡμολόγησεν, ἀλλ' ὅτι πρὸ τῶν ἄλλων ἁπάντων, μαινομένων αὐτῶν καὶ οἰδούντων ἀπὸ τοῦ φόνου, ὡμολόγησε μετὰ παρρησίας. ὥσπερ οὖν ἐν πολέμῳ καὶ παρατάξει, φάλαγγος συμπεφραγμένης, ἐκεῖνον μάλιστα θαυμάζομεν τὸν πρὸ τῶν ἄλλων πηδῶντα, καὶ τὸ μέτωπον αὐτῆς διαρρηγνύντα (οὐ γὰρ δὴ τούτου μόνου, ἀλλὰ καὶ τῶν μετὰ ταῦτα ὑφ' ἑτέρων γινομένων κατορθωμάτων οὗτος ἂν εἴη πάντων αἴτιος, ὁ τὴν ἀρχήν, καὶ τὴν εἴσοδον παρασχών) οὕτω δὴ καὶ ἐπὶ τοῦ Πέτρου λογίζεσθαι χρή, ὅτι πρῶτος εἰσελθών, καὶ τὸ μέτωπον τῆς φάλαγγος τῆς Ἰουδαϊκῆς διαρρήξας, καὶ τὴν μακρὰν ἐκείνην δημηγορίαν κατατείνας, οὕτω καὶ τοῖς ἄλλοις ἀποστόλοις ἔδωκεν εἴσοδον. κἂν Ἰωάννης, κἂν Ἰάκωβος, κἂν Παῦλος, κἂν ἄλλος ὁστισοῦν μετὰ ταῦτα μέγα τι ποιῶν φαίνηται, ἁπάντων οὗτος πλεονεκτεῖ, ὁ προοδοποιήσας αὐτῶν τῇ παρρησίᾳ, καὶ διανοίξας τὴν εἴσοδον, καὶ δοὺς αὐτοῖς, καθάπερ ποταμῷ πολλῷ φερομένῳ ῥεύματι, μετὰ πολλῆς ἀδείας ἐπεισελθεῖν, καὶ τοὺς μὲν ἐναντιουμένους παρασύρειν, τῶν δὲ μετ' εὐνοίας ἀκουόντων τὰς ψυχὰς ἄρδειν διηνεκῶς. ἆρ' οὖν μετὰ τὸν σταυρὸν τοιοῦτος; πρὸ δὲ [τοῦ] σταυροῦ οὐ πάντων θερμότερος; οὐχὶ τὸ στόμα τῶν ἀποστόλων ἦν; οὐχὶ πάντων σιγώντων αὐτὸς ἐφθέγγετο;

Πραξ. β. κδ. καὶ λδ.

ἐφθέγγετο; Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου, φησὶν ὁ Χριστός; καὶ οἱ μὲν, Ἠλίαν ἔλεγον· οἱ δὲ, Ἱερεμίαν· οἱ δὲ, ἕνα τῶν προφητῶν. ὑμεῖς δὲ τίνα με λέγετέ, φησιν, εἶναι; εἶτα ἀποκριθεὶς Πέτρος εἶπε· σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. ὑμεῖς, εἶπε, καὶ ἀντὶ πάντων αὐτὸς ἐφθέγξατο. ὥσπερ γὰρ τὸ στόμα ἀντὶ παντὸς τοῦ σώματος φθέγγεται, οὕτως ἡ γλῶττα τῶν ἀποστόλων Πέτρος ἦν, καὶ ἀντὶ πάντων αὐτὸς ἀπεκρίνατο. ἆρ' οὖν ἐνταῦθα μόνον τοιοῦτος, ἀλλαχοῦ δὲ καθυφίησι τῆς σπουδῆς; οὐδαμῶς. ἀλλὰ διὰ πάντων καὶ ἐν πᾶσι τὴν αὐτὴν ἐμφαίνει θερμότητα. καὶ γὰρ εἰπόντος τοῦ Χριστοῦ, Παραδώσουσι τὸν υἱὸν τοῦ ἀνθρώπου, καὶ μαστιγώσουσι, καὶ σταυρώσουσιν, αὐτός φησιν· Ἵλεώς σοι, Κύριε· οὐ μὴ ἔσται σοι τοῦτο. μὴ γὰρ δὴ τοῦτο ἐξετάσωμεν, ὅτι ἀπερίσκεπτος ἡ ἀπόκρισις· ἀλλ' ὅτι γνησίου πόθου ἦν καὶ ζέοντος. πάλιν ἀνέβη εἰς τὸ ὄρος, καὶ μετεμορφώθη· ὤφθη μεταξὺ Ἠλίας ἐκεῖ καὶ Μωϋσῆς διαλεγόμενος. πάλιν κἀκεῖ ὁ Πέτρος· Εἰ θέλεις, ποιήσωμεν ὧδε τρεῖς σκηνάς. ὅρα πῶς ἐφίλει τὸν διδάσκαλον, καὶ σκόπει τὴν ἀκρίβειαν, καὶ τὴν σύνεσιν. ἐπειδὴ γὰρ τότε ἁπλῶς ἀποκριθεὶς, ἐπεστομίσθη, ἐνταῦθα τῇ ἐξουσίᾳ τοῦ διδασκάλου ἐπιτρέπει τὸ πρᾶγμα, εἰ θέλεις, λέγων. συμβαίνει γάρ, φησι, καὶ νῦν ἀπερισκέπτως με πόθῳ κινούμενον εἰπεῖν. ἵν' οὖν μὴ τὴν αὐτὴν ἐπιτίμησιν δέξηται, εἰ θέλεις, φησί. συμπόσιον ἦν ἐκεῖνο πάλιν τὸ ἅγιον καὶ φρικῶδες· καὶ τότε λέγοντος τοῦ Ἰησοῦ, Εἷς ἐξ ὑμῶν παραδώσει με, πάλιν ὁ Πέτρος διὰ μὲν τὴν ἐπιτίμησιν τὴν ἤδη γενομένην ἐρωτῆσαι τὸν διδάσκαλον οὐκ ἐτόλμησε· διὰ δὲ τὸν πόθον, ὃν εἶχε, σιγῆσαι οὐκ ἠνέσχετο· ἀλλ' ἐσπούδασε καὶ μαθεῖν, καὶ μὴ δόξαι προπετὴς εἶναι καὶ ἀπερίσκεπτος. πῶς οὖν καὶ τὴν ἐπιθυμίαν ἐπλήρωσε, καὶ ἀσφάλειαν ἑαυτῷ προῳκονόμησεν; ἵνα τὸ μὲν βουληθῆναι μαθεῖν, τὸν ἀκάθεκτον δείξῃ πόθον, τὸ δὲ μὴ δι' ἑαυτοῦ τοῦτο ποιῆσαι, ἀλλ' ἕτερον παραβαλέσθαι, τὴν εὐλάβειαν ἐμφαίνῃ καὶ τὴν ἐπιείκειαν ἅπασαν. καὶ γὰρ στενά μοι πάντοθέν, φησί· περὶ προδοσίας ἐστὶν ὁ λόγος τοῦ δεσπότου· μέγας ὁ κίνδυνος, ὁ κρημνὸς ἑκατέρωθεν. ἂν σιγήσω, ἡ μέριμνα κατεσθίει μου τὴν ψυχήν· ἂν εἴπω, δέδοικα μή ποτε ἐπιτίμησιν δέξωμαι πάλιν. μέσην οὖν ἦλθεν ὁδὸν, καὶ ὁ πανταχοῦ προπηδῶν, τότε τῆς Ἰωάννου παῤῥησίας ἐδεῖτο, ὥστε μαθεῖν τὸ λεγόμενον. οὐδὲν γὰρ ἕτερον ἀνέπνει, καὶ εἶχεν ἐν τῇ ψυχῇ διηνεκῶς, ἀλλ' ἢ τὸν διδάσκαλον μόνον. διὰ τοῦτο καὶ δεσμωτηρίων, καὶ μυρίων μετὰ ταῦτα κατετόλμα θανάτων, καὶ πάσης τῆς παρούσης κατεγέλα ζωῆς. δι' ἐκεῖνον καὶ μάστιγας λαβὼν, καὶ τοὺς μώλωπας ἔχων ἐπὶ τοῦ νώτου, πρὸς τοὺς μαστίξαντας ἔλεγεν, Οὐ δυνάμεθα ἡμεῖς, ἃ εἴδομεν καὶ ἠκούσαμεν, μὴ λαλεῖν. εἶδες φρόνημα ἀδούλωτον, εἶδες παῤῥησίαν ἀχείρωτον, εἶδες ψυχὴν οὐρανίου πόθου καὶ ἔρωτος γέμουσαν; πῶς οὖν τολμᾷς λέγειν, ὅτι φοβούμενος τοὺς ἐκ περιτομῆς, ὑπέστελλεν ἑαυτὸν, καὶ ἀφώριζε; καὶ πολλὰ δὲ ἕτερα εἶχον εἰπεῖν περὶ Πέτρου, δεικνύντα αὐτοῦ τὴν θερμότητα, καὶ τὴν ἀνδρείαν, καὶ τὸν πόθον, ὃν εἶχε περὶ τὸν Χριστόν· ἀλλ' ἵνα μὴ μηκύνωμεν ἀκαίρως τὸν λόγον, ἀρκεῖ τὰ εἰρημένα. οὐδὲ γὰρ ἐγκώμιον αὐτοῦ τήμερον εἰπεῖν πρόκειται, ἀλλὰ τὴν δοκοῦσαν εἶναι ζήτησιν λῦσαι, καὶ εἰς πέρας ἀγαγεῖν. σὺ δὲ καὶ ἑτέρωθεν σκόπει, πῶς οὐκ ἔστι πιθανὴ ἡ κατηγορία. τότε μὲν γὰρ παρὰ τὴν ἀρχὴν, ὅτε ἔλεγε, Τοῦτον τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε, ἀνέστησεν ὁ Θεὸς, λύσας τὰς ὠδῖνας τοῦ θανάτου, τότε μεταξὺ ἐχθρῶν ἦν, ἔτι φονώντων, ἔτι τῷ θυμῷ ζεόντων, ἔτι βουλομένων διασπάσασθαι τοὺς μαθητάς. ἤκμαζε γὰρ αὐτοῖς ἔτι τὸ πάθος, καὶ ὤδινει ἡ διάνοια τῷ θυμῷ· νυνὶ, ὅτε ταῦτα Παῦλος ἔγραφεν, ἑπτὰ καὶ δέκατον ἔτος εἶχε τὸ κήρυγμα. εἰπὼν γὰρ, Μετὰ τρία ἔτη ἀνέβην εἰς Ἱεροσόλυμα, λέγει πάλιν, ὅτι Μετὰ δεκατέσσαρα ἔτη ἀνέβην εἰς Ἱεροσόλυμα. ὁ τοίνυν τότε ἐν προοιμίοις τοῦ κηρύγματος μὴ φοβηθεὶς, νῦν μετὰ χρόνον τοσοῦτον φοβεῖται; ὁ ἐν Ἱεροσολύμοις μὴ δείσας, ἐν Ἀντιοχείᾳ δέδοικε; ὁ, πολεμίων κυκλωσάντων αὐτὸν, μὴ πτοηθεὶς τότε, νῦν οὐδὲ πολεμίων παρόντων,

Ματθ. ις. ιϛ.
Ματθ. ι. κϛ.
Ματθ. ιζ. δ.
Ματθ. κϛ. κα.
Πραξ. δ. κ.
Πραξ. ϛ. κδ.
Γαλ. α. ιη.
Γαλ. β. α.

ἀλλὰ πιστὸν καὶ μαθητὴν, ἀγωνιᾷ, καὶ δέδοικε, καὶ οὐκ ὀρθοποδεῖ; καὶ πῶς ἂν ἔχοι ταῦτα λόγον,
ἀναπτομένης μὲν τῆς πυρᾶς καὶ εἰς ὕψος ἐγειρομένης κατατολμᾶν, σβεσθεῖσαν δὲ καὶ ξηρομένην
τέφραν δεδοικέναι καὶ τρέμειν; εἰ δειλὸς ἦν καὶ ἄνανδρος ὁ Πέτρος, ἐν ἀρχῇ τοῦ
κηρύγματος, ἐν τῇ μητροπόλει τῶν Ἰουδαίων, ὅπου πάντες ἦσαν αὐτῷ πολέμιοι, τότε ἂν ἔδεισεν,
* οὐ μετὰ χρόνον τοσοῦτον ἐν τῇ χριστιανικωτάτῃ πόλει, οὐδὲ φίλων καὶ γνησίων παρόντων. * καὶ
ὥστε οὔτε ὁ καιρὸς, οὔτε ὁ τόπος, οὔτε ἡ ποιότης τῶν προσώπων ἀφίησιν ἡμᾶς πιστεῦσαι τοῖς
λεγομένοις οὕτως ὡς εἴρηται, καὶ καταγνῶναι τοῦ Πέτρου δειλίαν. ἐπῃνέσατε τὰ εἰρημένα;
καίτοιγε ἐν ἀρχῇ τὸν Παῦλον ἐθαυμάζετε, καὶ τῆς παρρησίας αὐτὸν ἐξεπλήττεσθε· ἀλλ'
ἰδοὺ περιέτρεψε τὴν κατηγορίαν ὁ λόγος. ἀλλ' ὥσπερ ἀρχόμενος ἔλεγον, ὅτι οὐδέν μοι ὄφελος,
ἐὰν Παύλου καλῶς ποιοῦντος, ὁ Πέτρος δειχθῇ μὴ καλῶς ποιῶν (τὰ γὰρ ἐγκλήματα,
καὶ ἡ καθ' ἡμῶν αἰσχύνη μένει, ἄν τε οὗτος, ἄν τε ἐκεῖνος ἡμαρτηκὼς τύχῃ) οὕτω καὶ νῦν
τὸ αὐτὸ λέγω πάλιν· ὡς οὐδέν μοι ὄφελος, ἂν Πέτρου τὴν κατηγορίαν ἀποσκευασάμενος,
ὁ Παῦλος φαίνηται θαρσαλέως καὶ ἀπερισκέπτως τοῦ συναποστόλου κατηγορῶν. φέρε οὖν,
καὶ τοῦτον τῶν ἐγκλημάτων ἀπολύσωμεν. τί οὖν; ὁ μὲν Πέτρος τοιοῦτος, ὁ δὲ Παῦλος οὐ τοιοῦτος;
καὶ "τί Παύλου θερμότερον γένοιτ' ἄν, ὃς καθ' ἑκάστην ἡμέραν ἀπέθνησκε διὰ τὸν Χριστόν; γρ. τοῦ Π. μότερος
ἀλλὰ νῦν οὐ περὶ ἀνδρείας ἡμῖν ὁ λόγος· τί γὰρ πρὸς τὸ προκείμενον τοῦτο; ἀλλ' εἰ
ἀπεχθῶς πρὸς τὸν ἀπόστολον διέκειτο, εἰ κενοδοξίας τινὸς καὶ φιλονεικίας ἦν αὕτη ἡ μάχη.
ἀλλ' οὐδὲ τοῦτό ἐστιν εἰπεῖν· μὴ γένοιτο. οὐδὲ γὰρ Πέτρου τοῦ κορυφαίου τῶν ἁγίων ἐκείνων
μόνον, ἀλλὰ καὶ πάντων δεύτερος ἦν ἁπλῶς τῶν ἀποστόλων ὁ Παῦλος, καὶ ταῦτα πλεονεκτῶν
ἁπάντων κατὰ τοὺς κόπους· ἀλλ' ὅμως πάντων ἑαυτὸν ἔσχατον εἶναι ἐνόμιζεν. Ἐγὼ γάρ
α. Κορ. ιε θ. εἰμι, φησιν, ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος· οὐ μόνον
Εφεσ. γ. η δὲ τῶν ἀποστόλων, ἀλλὰ καὶ τῶν ἁγίων ἁπλῶς ἁπάντων. Ἐμοὶ γάρ, φησι, τῷ "ἐλαχίστῳ γρ. ἐλαχιστοτέρῳ
πάντων τῶν ἁγίων ἐδόθη ἡ χάρις αὕτη. Εἶδες συντετριμμένην ψυχήν; εἶδες
πῶς ἑαυτὸν κατώτερον πάντων ἵστησι τῶν ἁγίων, οὐχὶ τῶν ἀποστόλων μόνον; ὁ δὲ οὕτω περὶ
πάντας διακείμενος, ᾔδει καὶ πόσης τὸν Πέτρον προεδρίας ἀπολαύειν ἐχρῆν, καὶ ᾐδεῖτο
μάλιστα πάντων ἀνθρώπων τοῦτον, καὶ ὡς ἄξιος ἦν, οὕτω περὶ αὐτὸν διέκειτο. καὶ τοῦτο ἐκεῖθεν
δῆλον. ἡ οἰκουμένη πᾶσα πρὸς αὐτὸν ἔβλεπεν, αἱ φροντίδες τῶν πανταχοῦ τῆς γῆς
ἐκκλησιῶν τῆς ἐκείνου ψυχῆς ἦσαν ἐξηρτημέναι, μυρία ἐμερίμνα καθ' ἑκάστην ἡμέραν
πράγματα, πάντοθεν αὐτὸν "ἐκύκλουν κηδεμονίαι, προστασίαι, διορθώσεις, συμβουλαὶ, γρ. ἐκάλουν
παραινέσεις, διδασκαλίαι, μυρίων οἰκονομίαι πραγμάτων· καὶ πάντα ἐκεῖνα ἀφεὶς, ἀπῆλθεν
εἰς Ἱεροσόλυμα, καὶ πρόφασις τῆς "τοσαύτης ὁδοῦ οὐδεμία ἑτέρα ἦν, ἀλλ' ἢ τὸν Πέτρον γρ. [illegible]
Γαλατ. α. ιη ἰδεῖν, καθὼς αὐτός φησιν· Ἀνέβην εἰς Ἱεροσόλυμα ἱστορῆσαι Πέτρον· οὕτως αὐτὸν
ἐτίμα, καὶ πρὸ πάντων "ἦγε. τί οὖν; ἰδὼν αὐτὸν εὐθέως ἀνεχώρησεν; οὐδαμῶς· ἀλλ' ἐπέμεινε γρ. [illegible]
πρὸς αὐτὸν ἡμέρας δεκαπέντε. εἴ τινα οὖν στρατηλάτην ἴδοις, εἰπέ μοι, γενναῖον
καὶ θαυμαστὸν, τοῦ πολέμου συγκεκροτημένου, τῆς παρατάξεως συνεστώσης, τῆς μάχης ζεούσης,
μυρίων αὐτὸν "πάντοθεν καλούντων πραγμάτων, ἀφέντα τὴν παράταξιν, καὶ γρ. πανταχόθεν
πρὸς ἐπίσκεψίν τινος ἀπελθόντα φίλου, ἆρα ἑτέραν μείζονα ταύτης ζητεῖς ἀπόδειξιν, εἰπέ
μοι, τῆς πρὸς τὸν ἄνθρωπον ἐκεῖνον εὐνοίας; οὐκ ἔγωγε οἶμαι. τοῦτο τοίνυν καὶ ἐπὶ Παύλου
καὶ Πέτρου λογίζου. καὶ γὰρ καὶ ἐνταῦθα πόλεμος συνειστήκει χαλεπὸς, καὶ παράταξις
ἦν, καὶ μάχη, οὐ πρὸς ἀνθρώπους μόνον, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας,
πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου· καὶ μάχη περὶ τῆς τῶν ἀνθρώπων
σωτηρίας. ἀλλ' ὅμως οὕτως ᾐδεῖτο τὸν Πέτρον, "ὥστε καὶ τοσαύτης ἀνάγκης ἐπικειμένης γρ. ὡς
καὶ κατεπειγούσης, ἐκδραμεῖν δι' ἐκεῖνον εἰς Ἱεροσόλυμα, καὶ μεῖναι πρὸς αὐτὸν
ἡμέρας δεκαπέντε, καὶ τότε ἐπανήκειν.

Εγωτ

Εγνωτε τὴν ἀνδρείαν τοῦ Πέτρου, ἐμάθετε τὴν φιλοφροσύνην Παύλου, τὴν περὶ τοὺς ἀποστόλους πάντας, τὴν περὶ αὐτὸν τὸν Πέτρον. ἀνάγκη λοιπὸν ἐπὶ τὴν λύσιν ἐλθεῖν τοῦ ζητήματος. εἰ γὰρ καὶ σφόδρα ἐφίλει τὸν Πέτρον, κἀκεῖνος δειλὸς οὐκ ἦν″ καὶ ἄνανδρος, καὶ ἡ φιλονεικία, καὶ ἡ ἀντίστασις οὐκ ἀπὸ ψυχῆς ἐγένετο, τί ποτέ ἐστι τὸ λεγόμενον; καὶ τίνος ἕνεκεν ταῦτα ᾠκονομεῖτο; ἐνταῦθα προσέχετε, καὶ διανάστητέ μοι, καὶ συντείνατε ἑαυτούς, ὥστε δέξασθαι σαφῆ τὴν ἀπολογίαν. καὶ γὰρ ἄτοπον ἐμὲ μὲν τὸν διδάσκαλον τοσοῦτον πόνον ὑπομένειν, ὑμᾶς δὲ τοὺς ἐξ εὐκολίας μέλλοντας τὸ χρυσίον ὁρᾶν, τῇ ῥᾳθυμίᾳ τὸ κέρδος τοῦτο παραδραμεῖν. ἀνάγκη δὲ μικρὸν ἀνωτέρω τὸν λόγον ἀγαγεῖν, ὥστε σαφεστέραν ὑμῖν ποιῆσαι τὴν διδασκαλίαν. ἐπειδὴ γὰρ ἀνῆλθεν εἰς τοὺς οὐρανοὺς ὁ Ἰησοῦς, τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τὸν λόγον τῆς διδασκαλίας κατέλιπε τοῖς ἑαυτοῦ ἀποστόλοις, καθὼς Παῦλός φησι, Θέμενος ἐν ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς. καὶ πάλιν, Ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν, τουτέστιν, ″ἀντὶ Χριστοῦ. τότε τοίνυν, ἡνίκα ἐκήρυττον οὗτοι κατὰ τὴν οἰκουμένην ἅπασαν, αἵρεσις οὐδεμία ἦν· πᾶσα δὲ ἡ φύσις τῶν ἀνθρώπων δύο ταῦτα δόγματα εἶχε, τὸ μὲν ″ὑγιές, τὸ δὲ διεφθαρμένον. ἢ γὰρ Ἕλληνες, ἢ Ἰουδαῖοι τὴν γῆν οἰκοῦντες ἅπαντες ἦσαν· οὔτε δὲ Μανιχαῖος, οὔτε Μαρκίων, οὔτε Οὐαλεντῖνος, οὐκ ἄλλος οὐδεὶς ἁπλῶς· τί γὰρ δεῖ πάσας καταλέγειν τὰς αἱρέσεις; καὶ γὰρ μετὰ τὸν σῖτον τότε τὰ ζιζάνια ἐσπάρη, ἡ παντοδαπὴ τῶν αἱρέσεων διαφορά. τοὺς μὲν οὖν Ἰουδαίους ἐπέτρεψε τῷ Πέτρῳ, τοῖς δὲ Ἕλλησι τὸν Παῦλον ἐπέστησεν ὁ Χριστός. καὶ τοῦτο οὐκ ἀφ' ἑαυτοῦ λέγω, ἀλλ' αὐτοῦ τοῦ Παύλου λέγοντός ἐστιν ἀκοῦσαι. Ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ″ἐνήργησε κἀμοί, φησιν, εἰς τὰ ἔθνη, περιτομὴν ἐνταῦθα αὐτὸ τὸ ἔθνος καλῶν. καὶ πόθεν δῆλον; ἐκ τῆς ἐπαγωγῆς. εἰπὼν γὰρ, ὁ ″ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε κἀμοί, φησιν, εἰς τὰ ἔθνη, δεικνύντος ἐστὶν, ὅτι πρὸς ἀντιδιαστολὴν τῶν ἐθνῶν περιτομὴν εἶπε. πρὸς δὲ ἀντιδιαστολὴν τῶν ἐθνῶν, οὐχὶ περιτομή, ἀλλ' Ἰουδαῖοί εἰσιν, οὓς διὰ τῆς περιτομῆς ἠνίξατο· ὡσανεὶ ἔλεγεν, ὁ ἐγείρας τὸν Πέτρον εἰς ἀποστολὴν τῶν Ἰουδαίων, ἐνήργησε κἀμοὶ εἰς τὰ ἔθνη. καθάπερ γάρ τις βασιλεὺς σοφός, τὸν ἐπιτήδειον μετὰ ἀκριβείας εἰδώς, ἑτέρῳ μὲν τοὺς ἱππέας, ἑτέρῳ δὲ τῶν πεζῶν ἐγχειρίζει τὴν προστασίαν, οὕτω δὴ καὶ ὁ Χριστός, τὸ στρατόπεδον τὸ ἑαυτοῦ διελὼν εἰς δύο ταῦτα μέρη, τοὺς μὲν Ἰουδαίους Πέτρῳ, τοὺς δὲ Ἕλληνας ἐπέτρεψε Παύλῳ. ″εἰ δὲ διάφορα τὰ στρατόπεδα, ἀλλ' εἷς ὁ βασιλεύς. ὥσπερ γὰρ ἐκεῖ ἡ διαφορὰ τῶν στρατοπέδων ἐν τῇ κατασκευῇ τῶν ὅπλων, οὐκ ἐν τῇ φύσει τῶν ἀνθρώπων ἐστίν· οὕτω δὴ καὶ ἐνταῦθα ἡ διαφορὰ * ἐν σχήματι μικρῷ τινι τῆς σαρκὸς, οὐκ ἐν τῇ τῆς ″οὐσίας ἐναλλαγῇ φαίνεται. ″ὥσπερ οὖν ἔλεγον, ἦσαν ἀμφότεροι τὰ στρατόπεδα ταῦτα ἐγκεχειρισμένοι. καὶ ″εἰ μὴ μηκύνω τὸν λόγον, εἰ μὴ ἀπεκάμετε, ἐρῶ καὶ τὴν αἰτίαν ὑμῖν, δι' ἣν οὗτος μὲν τοὺς Ἰουδαίους, ἐκεῖνος δὲ τοὺς ἐξ ἐθνῶν ″ἐπιστεύθησαν. καὶ γὰρ * ἄξιον ζητήσεως, τί δήποτε Παῦλος μὲν, ὁ μετὰ ἀκριβείας τοὺς πατρῴους νόμους παιδευθεὶς, ὁ παρὰ τοὺς πόδας Γαμαλιὴλ διατρίβων, ὁ κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος, οὐκ ἐγχειρίζεται τοὺς Ἰουδαίους, ἀλλὰ τοὺς Ἕλληνας· ὁ δὲ ἁλιεὺς, καὶ ἀγράμματος, καὶ μηδὲν τοσοῦτον εἰδὼς Πέτρος, τὴν τῶν Ἰουδαίων ἐνεπιστεύθη προστασίαν. συντελεῖ γάρ τι καὶ πρὸς τὴν λύσιν ἡμῖν τὸ λεγόμενον, ἂν αὐτὸ δυνηθῶμεν φράσαι καλῶς. οὐ γὰρ δὴ τοῦτο ἔστιν εἰπεῖν, ὅτι ὀκνοῦντα καὶ ἀναδυόμενον ἰδὼν ″τὸν Παῦλον καὶ φεύγοντα τῶν οἰκείων τὴν προστασίαν, οὐκ ἠθέλησε βιάσασθαι καὶ ἀναγκάσαι· τοὐναντίον μὲν οὖν ἅπαν ἐπεδείξατο. οὐ γὰρ δὴ μόνον οὐκ ἔφυγε τῶν Ἰουδαίων τὴν ἐπιστασίαν *, ἀλλὰ καὶ περιττῶς ἐπεπήδησε· καὶ τοῦ Χριστοῦ κελεύοντος ἀπελθεῖν εἰς τὰ ἔθνη, αὐτὸς ἀξιοῖ τὴν ″τῶν Ἰουδαίων οἰκονομίαν ἐγχειρισθῆναι· καὶ μυρία πολλαχοῦ πάσχων παρ' αὐτῶν δεινὰ, καὶ

β. Κορ. ε. ιθ. κ.

Γαλατ. β. η.

τῶν ἐθνῶν τὴν διδασκαλίαν πεπιστευμένος, οὐ παύεται παρακαλῶν ὑπὲρ ἐκείνων, καὶ
Ῥωμ. θ. γ. λέγων, νῦν μέν, Ηὐχόμην ἀνάθεμα εἶναι ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου τῶν
Ῥωμ. ι. α. κατὰ σάρκα· νῦν δέ, Ἀδελφοί μου, ἡ μὲν εὐδοκία μου καὶ ἡ δέησις ἡ πρὸς τὸν Θεὸν ὑπὲρ αὐτῶν ἐστιν γρ. ὑμῶν
εἰς σωτηρίαν. τίνος οὖν ἕνεκεν βουλόμενον αὐτὸν καὶ ἐπιθυμοῦντα διδάσκειν ἐκείνους, οὐκ
εἴασεν αὐτοῖς κηρύσσειν, ἀλλ' ἀντ' ἐκείνων διδάσκαλον αὐτὸν τοῖς ἔθνεσιν ἔπεμπεν; ἀκούσωμεν γρ. αὐτοῖς
Πράξ. κβ. ιζ. αὐτοῦ τοῦ Χριστοῦ λέγοντος, καὶ Παύλου τὸ πᾶν διηγουμένου. Ἐγένετο δέ μοι προσευχομένῳ, γρ. καὶ συγ[illegible] χόλου ὤν,
φησί, γενέσθαι με ἐν ἐκστάσει, καὶ εἰδέναι τὸν Χριστὸν λέγοντά μοι· σπεῦσον καὶ ἔξελθε γρ. αὐτόν
ἐν τάχει, ὅτι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν περὶ ἐμοῦ. καὶ τὴν αἰτίαν εἶπε τῆς ἀποδημίας· γρ. παραδέξ.
μισήσουσί σε, φησί, καὶ ἀποστραφήσονται· διὰ τοῦτό σου διδάσκοντος οὐκ ἀνέξονται.
καὶ μὴν αὐτὸ τοῦτο ἦν ἱκανόν, ἀξιόπιστον αὐτὸν ποιῆσαι διδάσκαλον, καὶ πεῖσαι ἐκείνους,
ὅτι οὐκ ἀνθρωπίνη ἡ μετάθεσις ἐγένετο. οὐ γὰρ ἄν τις οὕτω μαινόμενον, καὶ θυμῷ
ζέοντα, καὶ φόνου πνέοντα, καὶ θαυματουργοῦντι μὴ πεισθέντα τῷ Χριστῷ, μηδὲ τοῖς ἀποστόλοις
τοῖς ἐκείνου νεκροὺς ἐγείρασιν, ἴσχυσεν ἄν ποτε ἄνθρωπος ἐν αὐτῇ μέσῃ τῇ μανίᾳ μεταθέσθαι,
καὶ τὴν ὑπερβολήν, ἣν κατὰ τοῦ κηρύγματος ἐπεδείκνυτο, ταύτην ὁλόκληρον καὶ πολλῷ πλείονα γρ. τῇ μανίᾳ μετ.
πεῖσαι πάλιν ὑπὲρ τῆς εἰς Χριστὸν ὁμολογίας ἐπιδείξασθαι· ἀλλὰ θείας ὄντως δυνάμεως γρ. ποιῆσαι
ἔργον ἦν ἡ μετάστασις αὕτη καὶ ἡ μεταβολή. ἅπερ οὖν καὶ ὁ Παῦλος, ἐπιθυμῶν γρ. ὅπερ
Πράξ. κβ. ιθ. αὐτῶν τὴν προστασίαν λαβεῖν, πρὸς τὸν Ἰησοῦν προεβάλλετο λέγων· Κύριε, αὐτοὶ ἐπίστανται,
ὅτι ἐγὼ ἤμην φυλακίζων, καὶ δέρων τοὺς πιστεύοντας εἰς τὸ ὄνομά σου, καὶ ὅτε ἐξεχεῖτο γρ. ἐξεχεῖτο
τὸ αἷμα Στεφάνου τοῦ μάρτυρός σου, ἐγὼ ἤμην συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ. καὶ
ἡ πολλὴ μανία τὴν ἀθρόον γεγενημένην συνιστᾶται μεταβολήν, ὡς οὐκ ἔστιν ἀνθρωπίνη τις,
ἀλλ' ἄνωθεν, καὶ ἐκ τῶν οὐρανῶν ἔλαβε τὴν ἀρχήν. τί οὖν ὁ Χριστός; Πορεύου, ὅτι εἰς
ἔθνη μακρὰν ἐξαποστελῶ σε. ταῦτ' οὖν οὐχ ἱκανά, φησι, πεῖσαι καὶ τοὺς σφόδρα ἀναισθητοῦντας,
ὅτι οὐκ ἔστιν ἀνθρώπινον τοῦτο τὸ κήρυγμα, ἀλλ' ὑπὲρ φύσιν ἀνθρωπίνην ἅπαντα
τὰ γεγενημένα, καὶ Θεὸς ὄντως ἐστὶν ὁ μεταθεὶς καὶ μεταβαλών; ἱκανὰ μὲν οὖν, ὦ μακάριε
Παῦλε, ἂν αὐτὴν τῶν πραγμάτων ἐξετάσῃς τὴν φύσιν. ἀλλ' Ἰουδαῖοι πάντων
εἰσὶν ἀγνωμονέστεροι· οὐ φύσιν πραγμάτων ἐξετάζοντες, οὐ τὸ εἰκός, καὶ τὸ εὔλογον, καὶ τὸ ἀναγκαῖον
σκοποῦντες, ἀλλ' εἰς ἓν μόνον βλέποντες, ὅπως τὴν φιλονεικίαν τὴν ἑαυτῶν ἐμπλήσωσι.
καὶ σὺ μὲν πρὸς τὴν τῶν πραγμάτων ἀκολουθίαν βλέπεις· ὁ δὲ Θεὸς τὰ ἀπόρρητα
τῆς διανοίας αὐτῶν οἶδε. διὰ τοῦτό φησι, πορεύου, ὅτι εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε, ὥστε
καὶ τῷ διαστήματι παραμυθήσασθαι τὸ μῖσος. διὰ τοῦτο τοῖς μὲν ἄλλοις ἅπασι γράφων, τὸ
ὄνομα αὐτοῦ προστίθησιν ἐν τῷ προοιμίῳ τῶν ἐπιστολῶν· Ἑβραίοις δὲ ἐπιστέλλων, οὐδὲν
τοιοῦτον ἐποίησεν, ἀλλ' ἁπλῶς, οὐκ εἰπών, ἢ τίς, ἢ πρὸς τίνας, ὥσπερ ἔθος εἶχε ποιεῖν, οὕτω
Ἑβρ. α. α. πως ἤρξατο· Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἡμῶν.
καὶ τοῦτο δὴ τῆς Παύλου σοφίας. ἵνα γὰρ μὴ μετασχῇ τοῦ μίσους τὰ γράμματα,
καθάπερ προσωπείῳ τινί, τῇ τοῦ ὀνόματος ἀφαιρέσει κρύψας ἑαυτόν, οὕτως γρ. προσωπ
αὐτοῖς λανθανόντως τὸ τῆς παραινέσεως ἐπιτίθησι φάρμακον. ὅταν γὰρ πρός τινα ἀηδῶς
ἔχωμεν, κἂν ὑγιές τι λέγῃ, οὐ προθύμως, οὐδὲ μεθ' ἡδονῆς δεχόμεθα τὰ λεγόμενα· ὅπερ
οὖν, ἵνα μὴ καὶ τότε συμβῇ, ἀφεῖλε τὴν ἰδίαν προσηγορίαν τῆς ἐπιστολῆς, ὥστε μηδὲ
τοῦτο γενέσθαι κώλυμα τῇ τῆς ἐπιστολῆς ἀκροάσει. οὐδὲ γὰρ οἱ ἄπιστοι μόνον Ἰουδαῖοι,
ἀλλὰ καὶ οἱ πιστεύσαντες αὐτοὶ ἐμίσουν αὐτὸν καὶ ἀπεστρέφοντο. ὅτε γοῦν ἀνῆλθεν εἰς Ἱεροσόλυμα,
Πράξ. κα. κ. ἄκουσον τί φησι πρὸς αὐτὸν Ἰάκωβος, καὶ οἱ λοιποὶ ἅπαντες. Θεωρεῖς, ἀδελφέ,
πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν συνεληλυθότων· καὶ οὗτοι πάντες ζηλωταὶ τοῦ νόμου
ὑπάρχουσι, καὶ κατήχηνται περὶ σοῦ, ὅτι ἀποστασίαν ἀπὸ τοῦ νόμου διδάσκεις. διὰ
τοῦτο αὐτοὶ μάλιστα ἐμίσουν καὶ ἀπεστρέφοντο. ἡ μὲν οὖν αἰτία, δι' ἣν οὐκ ἐπιστεύθη τοὺς Ἰουδαίους,

δαίοις, ἀλλὰ τοῖς ἐξ ἐθνῶν, ἐστὶν αὕτη. πιστευθεὶς δὲ λοιπὸν ἐκείνοις, οὐχ ὁμοίως τῷ Πέτρῳ, οὐδὲ διὰ τῆς αὐτῆς ὁδοῦ πρὸς τὴν πίστιν αὐτοὺς ἐνῆγεν, ἀλλὰ δι' ἑτέρας. ἑτέρας δὲ ὅταν ἀκούσῃς, μὴ διαφορὰν ἐν τῷ κηρύγματι νομίσῃς εἶναι. τὰ γὰρ αὐτὰ ἀμφότεροι καὶ Ἰουδαίοις καὶ Ἕλλησιν ἐκήρυττον· οἷον, ὅτι Θεὸς ὁ Χριστὸς, ὅτι ἐσταυρώθη, καὶ ἐτάφη, καὶ ἀνέστη, καὶ ἐστὶν ἐν δεξιᾷ τοῦ πατρὸς, ὅτι μέλλει κρίνειν ζῶντας καὶ νεκρούς, καὶ ὅσα τοιαῦτα ἦν, ὁμοίως καὶ Παῦλος καὶ Πέτρος ἐκήρυττον. ἐν τίσιν οὖν ἦν ἡ διαφορά; ἐν τῇ παρατηρήσει τῶν βρωμάτων, ἐν τῇ περιτομῇ, ἐν τοῖς ἄλλοις τοῖς Ἰουδαϊκοῖς ἔθεσιν. ὁ μὲν γὰρ Πέτρος οὐκ ἐτόλμα τοῖς ἑαυτοῦ μαθηταῖς φανερῶς λέγειν καὶ διαρρήδην, ὅτι δεῖ τούτων ἀποστῆναι καθάπαξ. ἐδεδοίκει γὰρ, μήποτε πρὸ καιροῦ τὴν συνήθειαν ταύτην ἀνασπάσαι βουλόμενος, καὶ τὴν εἰς τὸν Χριστὸν πίστιν συνανασπάσῃ μετ' ἐκείνων, τῆς ψυχῆς τῶν Ἰουδαίων οὐκ ἀνεχομένης οὐδέπω, διὰ τὴν χρονίαν τινὰ περὶ τὸν νόμον πρόληψιν, τῶν ῥημάτων ἀκούειν τούτων. διὰ τοῦτο ἠνείχετο ὁ μακάριος Πέτρος ἰουδαΐζόντων αὐτῶν. καὶ καθάπερ τις γεωργὸς ἄριστος φυτὸν ἁπαλὸν πλησίον δένδρου γεγηρακότος καταθέμενος, οὐ τολμᾷ, οὐδὲ ἐπιχειρεῖ τὸ γεγηρακὸς ἀνασπάσαι δένδρον, δεδοικὼς μὴ τῶν ῥιζῶν ἐκείνων ἀνελκομένων καὶ τὸ νεόφυτον συνανέλθῃ, ἀλλ' ἀναμένει πρότερον παγῆναι ἐκεῖνο καλῶς, καὶ ἐν αὐτοῖς κάτω ῥιζωθῆναι τοῖς κόλποις τῆς γῆς, καὶ τότε τὸ παλαιωθὲν μετ' ἀδείας ἀνέλκει, οὐδὲν ἔτι δεδοικὼς περὶ τοῦ νεοφύτου· οὕτω δὴ καὶ ὁ μακάριος Πέτρος ἐποίει· τὴν πίστιν νεόφυτον οὖσαν ἔμενε παγῆναι καλῶς ἐν ταῖς τῶν ἀκουόντων ψυχαῖς, ἵνα ῥιζωθείσης ἐκείνης μετ' ἀδείας λοιπὸν τὴν Ἰουδαϊκὴν ἀνέλῃ πρόληψιν ἅπασαν. ἀλλ' οὐχ ὁ Παῦλος οὕτω. πάσης γὰρ ταύτης ἀπηλλαγμένος ἦν τῆς ἀνάγκης, Ἕλλησι κηρύττων, τοῖς οὐδέποτε [λόγου] μετεσχηκόσι νόμου, οὐδὲ Ἰουδαϊκῶν παρατηρήσεων ἀκηκοόσιν. ὅτι γὰρ οὐχ ἀλλήλοις ἐναντιούμενοι ταῦτα ἐποίουν, ἀλλὰ τῇ τῶν μαθητῶν ἀσθενείᾳ συγκαταβαίνοντες, ἔστιν ἰδεῖν καὶ Παῦλον ὁμοίως Πέτρῳ τὰ αὐτὰ συγχωροῦντα, καὶ οὐ συγχωροῦντα μόνον, ἀλλὰ καὶ αὐτὸν συνεργοῦντα, καὶ Πέτρον πάλιν τὴν αὐτὴν ἐλευθερίαν νομοθετοῦντα, ἣν καὶ Παῦλος τοῖς ἔθνεσι πᾶσιν ἐκήρυττε. καὶ ποῦ ταῦτα, φησὶν, ἀμφότερα ἔστιν ἰδεῖν; ἐν αὐτοῖς τοῖς Ἱεροσολύμοις. οὗτος μὲν γὰρ καὶ ἐξυρήσατο, καὶ ἔθυσε, καὶ ἁγνισμὸν ἐπετέλεσεν, ὁ τῶν ἐθνῶν διδάσκαλος. τοῦτο γὰρ [καὶ] ὁ καιρὸς ἀπῄτει, καὶ τὸ περιεστάναι πολλοὺς Ἰουδαίους. Θεωρεῖς γὰρ, φησὶν, ἀδελφὲ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν συνεληλυθότων, καὶ κατήχηνται περὶ σοῦ, ὅτι ἀποστασίαν ἀπὸ τοῦ νόμου διδάσκεις;

Πραξ. κα. κ.

ἐκεῖνος τοίνυν συγκαταβῆναι ἀναγκαζόμενος ἰουδάϊζεν· ἀλλ' οὐχὶ τῆς γνώμης, ἀλλὰ τῆς οἰκονομίας τὸ γινόμενον ἦν. πάλιν ὁ Πέτρος, ὁ τῶν Ἰουδαίων διδάσκαλος, καὶ πανταχοῦ συγχωρῶν περιτομὴν καὶ Ἰουδαϊκὰς παρατηρήσεις, διὰ τὴν ἀσθένειαν τῶν μαθητῶν, ἐπειδὴ καιρὸν εἶδεν ἀπαλλάττοντα αὐτὸν τῆς ἀνάγκης ταύτης, καὶ οὐκ ἦν ἀσφαλὲς μέχρι τοσούτου κεχρῆσθαι τῇ συγκαταβάσει, ἀλλὰ δογμάτων ἦν καιρὸς καὶ νόμων, ἄκουσον τί φησιν. ἐπειδὴ γὰρ ἀνέβησαν ἐξ Ἀντιοχείας οἱ περὶ Παῦλον καὶ Βαρνάβαν, περὶ τούτων αὐτοῦ μαθησόμενοι τὸ σαφὲς, πολλῆς ζητήσεως γενομένης, ἀναστὰς ὁ Πέτρος ἔλεγεν· Ἄνδρες ἀδελφοὶ, ὑμεῖς ἐπίστασθε ἀφ' ἡμερῶν ἀρχαίων, ὡς ἐν ἐμοὶ ἐξελέξατο ὁ Θεὸς ἀκοῦσαι τὰ ἔθνη διὰ τοῦ στόματός μου τὸν λόγον τοῦ εὐαγγελίου, καὶ πιστεῦσαι.

Πραξ. ιε. ζ.

εἶτα ἕτερα τινα εἰπὼν μεταξὺ, ἐπήγαγε λέγων· Τί οὖν πειράζετε τὸν Θεὸν ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν ἐθνῶν, ὃν οὔτε οἱ πατέρες ἡμῶν, οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι; ἀλλὰ διὰ πίστεως Ἰησοῦ Χριστοῦ πιστεύομεν σωθῆναι, ὃν τρόπον κἀκεῖνοι.

Πραξ. ιε. ι.

ὁρᾷς ὅτι ἡνίκα μὲν καιρὸς συγκαταβάσεως ἦν, καὶ Παῦλος ἰουδάϊζεν· ἡνίκα δὲ οὐχὶ συγκαταβάσεως καιρὸς ἦν, ἀλλὰ δογματίζειν ἔδει καὶ νομοθετεῖν, καὶ Πέτρος ἐκείνης τῆς συγκαταβάσεως ἀπαλλαγεὶς, εἰλικρινῆ καὶ καθαρὰ τὰ δόγματα παραδίδωσι. καὶ τούτων λεγομένων ὁ Παῦλος παρῆν, καὶ ἤκουε, καὶ τὴν ἐπιστολὴν αὐτὸς δεξάμενος, πανταχοῦ διεκόμισε, καὶ οὐκ ἔστιν εἰπεῖν, ὡς ἠγνόει τὴν τοῦ ἀποστόλου γνώμην.

τίνος οὖν ἕνεκεν τοιαῦτα ἐγκαλεῖ νῦν, λέγων· ὅτι φοβούμενος τοὺς ἐκ περιτομῆς; ἵνα δὲ καὶ τὴν ἱστορίαν αὐτὴν ἴδητε τῶν λεγομένων, μικρὸν ἄνωθεν ὑμῖν διηγήσομαι. ἀλλὰ προσέχετε, παρακαλῶ. πρὸς γὰρ αὐτὸ τὸ βάθος τῆς λύσεως "κατηντήσαμεν.

Ἰάκωβος ὁ ἀδελφὸς τοῦ Κυρίου" τὴν ἐκκλησίαν τότε" ἐπεσκόπευεν ἐν ἀρχῇ, "τῶν ἐν Ἱεροσολύμοις, καὶ "τῶν ἐξ Ἰουδαίων πιστευσάντων προειστήκει πάντων." συνέβαινε δὲ εἶναι καὶ ἐν Ἀντιοχείᾳ Ἰουδαίους, οἵτινες πιστεύσαντες τῷ Χριστῷ, διὰ τὸ τῶν Ἱεροσολύμων εἶναι πόρρω, καὶ πολλοὺς ὁρᾶν τοὺς ἐξ ἐθνῶν πεπιστευκότας ἀδεῶς, καὶ χωρὶς Ἰουδαϊκῆς παρατηρήσεως βιοῦντας, ἠρέμα καὶ κατὰ μικρὸν ἐνήγοντο καὶ αὐτοὶ τῆς Ἰουδαϊκῆς ἀφίστασθαι συνηθείας, καὶ καθαρὰν" καὶ ἀνόθευτον ἔχειν τὴν τῆς πίστεως διδασκαλίαν. κατελθὼν τοίνυν ὁ Πέτρος, καὶ ἰδὼν οὐκ οὖσαν ἀνάγκην οὐδεμίαν συγκαταβάσεως, ἐθνικῶς ἔζη λοιπόν. τὸ δὲ, ἐθνικῶς ζῆν, τοῦτό φησιν ὁ Παῦλος, τὸ χωρὶς Ἰουδαϊκῆς παρατηρήσεως, τὸ μηδὲν τῶν νομίμων ἐκείνων παραφυλάττειν, οἷον, περιτομὴν, ἢ σάββατον, ἤ τι τῶν τοιούτων. ζῶντος τοίνυν οὕτω" τοῦ Πέτρου, κατῆλθόν τινες Ἰουδαῖοι ἀπὸ Ἰακώβου, τουτέστιν, ἐξ Ἱεροσολύμων, οἳ, διὰ τὸ διαπαντὸς ἐπὶ τῆς μητροπόλεως διατρίβειν, καὶ μηδένα ὁρᾶν ἑτέρως πολιτευόμενον, ἔτι τὴν πρόληψιν εἶχον τὴν Ἰουδαϊκὴν, καὶ πολλὰς τῶν παρατηρήσεων ἐκείνων ἐπεσύροντο. τούτους ἰδὼν ὁ Πέτρος τοὺς ἀπὸ Ἰακώβου, καὶ ἐξ Ἱεροσολύμων κατελθόντας, ἀσθενέστερον διακειμένους ἔτι, καὶ φοβηθεὶς μὴ σκανδαλισθέντες τῆς πίστεως ἀποπηδήσωσι, μετετάξατο πάλιν, καὶ τὸ ζῆν ἐθνικῶς ἀφεὶς, ἐπὶ τὴν προτέραν συγκατάβασιν ἦλθε, βρωμάτων παρατηρήσεις φυλάττων. ἰδόντες οὖν αὐτὸν οἱ Ἰουδαῖοι, οἱ ἐν Ἀντιοχείᾳ διατρίβοντες, τοῦτο ποιοῦντα, καὶ οὐκ εἰδότες αὐτοῦ τὴν γνώμην, μεθ' ἧς ταῦτα ἔπραττε, συναπήχθησαν καὶ αὐτοὶ, καὶ ἠναγκάζοντο ἰουδαΐζειν διὰ τὸν διδάσκαλον. καὶ τοῦτο ἐστιν, ὅπερ ὁ Παῦλος ἐγκαλεῖ. καὶ ἵνα σαφέστερον ὑμῖν γένηται τὸ λεγόμενον, αὐτὰ ὑμῖν λοιπὸν ἀναγνώσομαι τὰ ἀποστολικὰ ῥήματα. Ὅτε δὲ ἦλθε Πέτρος" εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην, ὅτι κατεγνωσμένος ἦν. πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ Ἰακώβου, τουτέστιν, ἐξ Ἱεροσολύμων, μετὰ τῶν ἐθνῶν συνήσθιε, τουτέστι, τῶν ἐν Ἀντιοχείᾳ. ὅτε δὲ ἦλθόν τινες ἐξ Ἱεροσολύμων νομομαθεῖς, ὑπέστελλε, καὶ ἀφώρισεν ἑαυτὸν ὁ Πέτρος, φοβούμενος τοὺς ἐκ περιτομῆς. ποίους; τοὺς ἀπὸ Ἰακώβου κατελθόντας. καὶ συναπήχθησαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι. ποῖοι Ἰουδαῖοι; οἱ πρὶν τοὺς ἐξ Ἱεροσολύμων καταβῆναι ἐν Ἀντιοχείᾳ διατρίβοντες, καὶ μηδεμίαν Ἰουδαϊκὴν παρατήρησιν φυλάττοντες· ὥστε καὶ Βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει. καὶ τὸ μὲν δοκοῦν ἔγκλημα εἶναι, τοῦτο. εἰ δὲ βούλεσθε, καὶ τὰς παρὰ τῶν ἑτέρων ἀπολογίας ἐπινενοημένας πρότερον θεὶς, τότε καὶ τὴν ἐμαυτοῦ λύσιν εἰσαγαγεῖν πειράσομαι, ἐφ' ὑμῖν τῶν λεγομένων τὴν αἵρεσιν ποιησάμενος. πῶς οὖν τινες τὴν ζήτησιν ταύτην ἔλυσαν; οὐκ ἦν οὗτος ὁ Πέτρος, φησὶν, ἐκεῖνος, ὅτι ὁ τῶν ἀποστόλων πρῶτος, ὁ παρὰ τοῦ Κυρίου τὰ πρόβατα πιστευθεὶς, ἀλλ' ἕτερός τις εὐτελὴς καὶ ἀπερριμμένος, καὶ τῶν πολλῶν εἷς. πόθεν τοῦτο δῆλον; εἰπὼν ὁ Παῦλος, ὅτι συναπήχθησαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι, ἐπήγαγε, [φησιν,] "ὥστε καὶ Βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει. τὸ δὲ εἰπεῖν, ὥστε καὶ Βαρνάβας, δηλοῦντός ἐστιν, ὅτι πολὺ τοῦτο θαυμαστότερον" ἦν τοῦ Πέτρον ἀπαχθῆναι. ὡς γὰρ μείζονα αὐτοῦ τιθεὶς, οὕτως εἶπεν, ὅτι οὐ μόνον Πέτρος, ἀλλὰ καὶ Βαρνάβας· Πέτρου δὲ ἐκείνου μείζων Βαρνάβας οὐκ ἦν. ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. οὐ γὰρ, ἐπειδὴ μείζων ἦν ὁ Βαρνάβας, διὰ τοῦτο ἐπὶ τούτῳ θαυμάζει μᾶλλον*, ἀλλὰ τίνος ἕνεκεν; ὅτι ἐκεῖνος μὲν εἰς τὴν περιτομὴν ἀπεστάλη, Βαρνάβας δὲ μετὰ Παύλου τοῖς ἔθνεσιν ἐκήρυττε, καὶ πανταχοῦ τῷ Παύλῳ συνέζευκται. ὥσπερ οὖν ἀλλαχοῦ φησιν, Ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι; (α Κορ. θ. ϛ.) καὶ πάλιν, Ἀνέβην εἰς Ἱεροσόλυμα μετὰ Βαρνάβα, (Γαλ. β. α.) καὶ πανταχοῦ μετὰ τοῦ Παύλου διδάσκοντα αὐτὸν ὁρᾷς. οὐκ ἐπειδὴ μείζων ἦν Πέτρου, διὰ τοῦτο θαυμάζει, ὅτι καὶ αὐτὸς συναπήχθη· ἀλλ' ἐπειδὴ μετ' αὐτοῦ κηρύττων ἀεὶ, καὶ οὐδὲν κοινὸν πρὸς Ἰουδαίους ἔχων, ἀλλ' ἐν τοῖς ἔθνεσι διδάσκων, καὶ αὐτὸς συναπήχθη. ὅτι δὲ Πέτρος ἐστὶ, περὶ οὗ ταῦτα πάντα φησὶ, δῆλον καὶ ἐκ τῶν ἀνωτέρω, καὶ ἐκ τῶν μετὰ ταῦτα. τὸ γὰρ εἰπεῖν, ὅτι κατὰ πρόσωπον αὐτῷ ἀντέστην, καὶ ὡς μέγα θεῖναι τοῦτο, οὐδὲν ἕτερον δηλοῦντος ἦν, ἀλλ' ἢ ὅτι οὐκ ᾐδέσθη τοῦ προσώπου τὸ ἀξίωμα. οὐκ ἂν δὲ περὶ ἑτέρου λέγων, ὅτι κατὰ πρόσωπον αὐτῷ ἀντέστην, ὡς μέγα τι τοῦτο ἀνέθηκε. πάλιν, εἰ ἄλλος ἦν Πέτρος, οὐκ ἂν ἡ μετάστασις αὐτοῦ τοσοῦτον ἴσχυσεν, ὥστε καὶ τοὺς λοιποὺς ἐφελκύσασθαι Ἰουδαίους. οὔτε γὰρ παρῄνεσέ τι, οὔτε συνεβούλευσεν, ἀλλὰ μόνον ὑπέστελλε, καὶ ἀφώριζεν ἑαυτόν· καὶ ἴσχυσεν ἡ ὑποστολὴ καὶ ὁ ἀφορισμὸς πάντας ἐπισπάσασθαι τοὺς μαθητὰς διὰ τὸ τοῦ προσώπου ἀξίωμα. ὅτι μὲν οὖν Πέτρος ἦν, ἐκ τούτων δῆλον. εἰ δὲ βούλεσθε, καὶ τὴν ἑτέραν λύσιν ἐροῦμεν. τίς οὖν ἐστιν ἡ ἑτέρα; καλῶς ἐνεκάλεσε Παῦλος, φησὶ, τῷ Πέτρῳ, ὅτι πέρα τοῦ μέτρου τῇ συγκαταβάσει ἐχρήσατο. καὶ γὰρ ὃν τρόπον αὐτὸς ἐν Ἱεροσολύμοις γενόμενος συγκατέβη τοῖς Ἰουδαίοις, οὕτω κἀκεῖνον ἐχρῆν, φησὶν, εἰς Ἀντιόχειαν ἐλθόντα, μὴ πρὸς Ἰουδαίους ἰδεῖν, ἀλλὰ πρὸς τοὺς ἐξ ἐθνῶν. ὥσπερ γὰρ ἡνίκα πάντες Ἰουδαῖοι ἦσαν, καὶ Παῦλος ἠναγκάσθη ἰουδαΐζειν· οὕτως ἔνθα πλείους ἦσαν οἱ ἐξ ἐθνῶν, καὶ ἡ πόλις οὐδεμίαν ἀνάγκην ″ παρεῖχε συγκαταβάσεως, οὐκ ἐχρῆν διὰ τοὺς ὀλίγους Ἰουδαίους σκανδαλίσαι τοὺς τοσούτους Ἕλληνας. ἀλλὰ τοῦτο οὐκ ἔτι λύσις, ἀλλ' ἐπίτασις τοῦ ζητήματος. ὃ γὰρ ἀρχόμενος εἶπον τοῦ λόγου, οὐ τοῦτό ἐστι τὸ σπουδαζόμενον ἡμῖν, δεῖξαι ὅτι ″ καλῶς ἐνεκάλεσε Παῦλος (ἐπεὶ οὔπω λέλυται τὸ ζήτημα. φανήσεται γὰρ ὑπεύθυνος ὢν ταῖς μέμψεσιν ὁ Πέτρος) τὸ δὲ ζητούμενον, καὶ τοῦτον, κἀκεῖνον ἀπαλλάξαι τῶν ἐγκλημάτων. πῶς οὖν ἔσται τοῦτο; ἂν τὴν γνώμην, μεθ' ἧς ὁ μὲν ἐπετίμησεν, ὁ δὲ ἐπετιμήθη, μάθωμεν, καὶ τὴν διάνοιαν αὐτὴν ἀναπτύξωμεν. τίς οὖν ἐστιν ἡ διάνοια; σφόδρα ὁ Πέτρος ἐπεθύμει καὶ τοὺς ἐξ Ἱεροσολύμων κατελθόντας, τοὺς ἀπὸ Ἰακώβου, ἀπαλλάξαι τῆς παρατηρήσεως τῆς Ἰουδαϊκῆς. ἀλλ' εἰ μὲν αὐτὸς ταύτην εἰσηγήσατο τὴν γνώμην, καὶ ″ παρελθὼν εἶπε, παύσασθε τοῖς Ἰουδαϊκοῖς ἔθεσι χρώμενοι, ὡς ἐναντία ἑαυτῷ δημηγορῶν, καὶ τοῖς ὑπ' αὐτοῦ γεγυμνασμένοις ἅπασι κατὰ τὸν ἔμπροσθεν χρόνον, ἐσκανδάλισεν ἂν τοὺς μαθητάς. πάλιν, εἰ Παῦλος πρὸς αὐτοὺς τοῦτον ἀπέτεινε τὸν λόγον, οὐδ' ἂν προσέσχον, οὐδ' ἂν ἠνέσχοντο τῆς ἀκροάσεως. οἱ γὰρ καὶ χωρὶς τούτου μισοῦντες αὐτὸν καὶ ἀποστρεφόμενοι διὰ τὴν τοιαύτην φήμην, πολλῷ μᾶλλον, εἰ καὶ συμβουλεύοντος ταῦτα ἤκουσαν, ἀπεπήδησαν ἄν. τί οὖν γίνεται; Ἰουδαίοις μὲν οὐδεὶς αὐτῶν ἐπιτιμᾷ τοῖς ἐξ Ἰακώβου, δέχεται δὲ τὴν ἐπιτίμησιν Πέτρος παρὰ τοῦ Παύλου, ἵνα ἐγκαλούμενος ὑπὸ τοῦ συναποστόλου, δικαίαν ἔχοι λοιπὸν τὴν παρρησίαν τοῦ καὶ τοῖς μαθηταῖς ἐπιπλῆξαι. καὶ ἐπιτιμᾶται μὲν ὁ Πέτρος, διορθοῦνται δὲ οἱ μαθηταί. τοῦτο δὲ καὶ ἐπὶ συναλλαγμάτων γίνεται βιωτικῶν. ὅταν γάρ τινες ὀφείλωσί τινα ἐλλείμματα πολιτικῶν εἰσφορῶν, εἶτα οἱ μέλλοντες αὐτοὺς ἀπαιτεῖν, αἰσχύνωνται καὶ ἐρυθριῶσι προσεπεξελθεῖν σφοδρότερον, βουλόμενοι πλείονα λαβεῖν ἀφορμὴν καὶ ἐξουσίαν τῆς κατ' αὐτῶν σφοδρότητος, παρασκευάζουσιν ἑτέρους τῶν στρατιωτῶν ἀποδῦσαι, λοιδορήσασθαι, μυρία ἕτερα αὐτοὺς διαθεῖναι δεινὰ ὁρώντων ἐκείνων, ἵνα τούτων γινομένων, μηκέτι παρ' ἑαυτῶν, μηδὲ οἴκοθεν, ἀλλ' ἐκ τῆς ἑτέρων ἀνάγκης δοκῶσιν ἐκείνοις σφοδρότερον ἐπιτίθεσθαι, καὶ γίνηται ἡ ἑτέρων ὕβρις αὐτοῖς ἀπολογία πρὸς τοὺς ὑπευθύνους τοὺς ἑαυτῶν· τοῦτο καὶ ἐπὶ Παύλου, καὶ ἐπὶ Πέτρου γέγονεν. ὤφειλον γάρ τινα ἐλλείμματα οἱ Ἰουδαῖοι. ποῖα δὴ ταῦτα; τὸ παντελῶς ἀποστῆναι τοῦ Ἰουδαϊσμοῦ. ἀπαιτῆσαι ταῦτα τὰ ἐλλείμματα σφοδρότερον ὁ Πέτρος ἐβούλετο, καὶ καθαρῶς εἰσπράξασθαι παρ' αὐτῶν τὴν πίστιν. βουλόμενος τοίνυν πλείονα λαβεῖν ἐξουσίαν καὶ ἀφορμὴν τῆς τοιαύτης εἰσπράξεως.

πράξεως, παρασκευάζει τὸν Παῦλον ἐπιτιμῆσαι μετὰ ὑπερβολῆς, καὶ ἐπιπλῆξαι· ἵνα ἡ ἐπίπλαστος ἐπιτίμησις αὕτη δικαίαν αὐτῷ παρρησίας κατ' ἐκείνων ἀφορμὴν παρέχῃ καὶ πρόφασιν. διὰ τοῦτο καὶ ἀρχόμενός φησι, κατὰ πρόσωπον αὐτῷ ἀντέστην· καὶ ἐνταῦθα πάλιν, Εἶπον τῷ Πέτρῳ ἔμπροσθεν πάντων. εἰ μὲν γὰρ τὸν ἀπόστολον διορθώσασθαι ἐβούλετο, κατ' ἰδίαν ἂν τοῦτο ἐποίησεν· ἐπειδὴ δὲ οὐ τοῦτο ἦν τὸ σπουδαζόμενον (ᾔδει γὰρ τὴν γνώμην, μεθ' ἧς ἅπαντα ταῦτα ἐποίει) ἀλλ' ἐκείνους μέχρι πολλοῦ χωλεύοντας στηρίξαι ἐσπούδαζε, διὰ τοῦτο ἔμπροσθεν πάντων ποιεῖται τὴν ἐπιτίμησιν. ὁ δὲ Πέτρος ἀνέχεται, καὶ σιγᾷ, καὶ οὐκ ἀντιλέγει. ᾔδει γὰρ τὴν γνώμην, μεθ' ἧς ὁ Παῦλος ἐπετίμα· καὶ τὸ πᾶν ὁ Πέτρος κατώρθωσε σιγήσας. ἡ γὰρ τούτου σιγὴ, διδασκαλία τοῖς Ἰουδαίοις ἐγένετο τοῦ μηκέτι τοῖς νομίμοις ἐνέχεσθαι. οὐ γὰρ ἂν ὁ διδάσκαλος ἐσίγησε, φησὶν, εἰ μὴ συνῄδει δικαίως ἐπιτιμῶντι τῷ Παύλῳ.

χ. [illegible]

χ. [illegible]

Ἀλλ' εἰ δοκεῖ, καὶ αὐτῆς τῆς ἐπιτιμήσεως ἀκούσωμεν. Εἶπον τῷ Πέτρῳ πάντων ἔμπροσθεν, φησίν· Εἰ σὺ, Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ζῇς. σκόπει σύνεσιν· οὐκ εἶπεν, ὅτι κακῶς ποιεῖς Ἰουδαϊκῶς ζῶν· ἀλλ' ἐλέγχει αὐτοῦ τὴν προτέραν ἀναστροφήν· ἵνα μὴ ἐκ τῆς Παύλου γνώμης ἡ παραίνεσις ᾖ καὶ ἡ συμβουλὴ, ἀλλ' ἐκ τῆς Πέτρου κρίσεως τῆς ἤδη γεγενημένης εἰσενηνέχθαι δοκῇ. εἰ μὲν γὰρ εἶπε, κακῶς ποιεῖς τὸν νόμον τηρῶν, ἐπετίμησαν ἂν οἱ μαθηταὶ οἱ Πέτρου· νυνὶ δὲ ἀκούσαντες, ὅτι οὐ τῆς Παύλου γνώμης ἡ παραίνεσις ἦν καὶ ἡ διόρθωσις αὕτη, ἀλλ' αὐτὸς ὁ Πέτρος οὕτως ἔζη, καὶ ταῦτα εἶχεν ἐν τῇ ψυχῇ τὰ δόγματα, καὶ ἑκόντες καὶ ἄκοντες ἡσύχαζον. διὰ τοῦτο οὔτε Πέτρος εἰσηγεῖται τὴν γνώμην, ἀλλ' ἀνέχεται παρ' ἑτέρου, τοῦ Παύλου λέγω, διελέγχεσθαι, καὶ σιγᾷ, ὥστε εὐπαράδεκτον γενέσθαι τὴν διδασκαλίαν. οὐκ ἐντεῦθεν δὲ μόνον τὴν σύνεσιν ἔστιν ἰδεῖν Παύλου, ἀλλὰ καὶ ἐκ τῶν ἑξῆς εἰρημένων. οὐ γὰρ εἶπεν, Εἰ σὺ, Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ἔζης, καὶ οὐχ Ἰουδαϊκῶς, ἀλλ' ὅτι ζῇς· ὥστε καὶ νῦν τὴν αὐτὴν γνώμην ἔχεις. καὶ τὸ πολλῆς γέμον συνέσεως, τὸ ἐπαγόμενόν ἐστιν. εἰπὼν γὰρ, ἐθνικῶς ζῇς Ἰουδαῖος ὢν, οὐκ ἐπήγαγε· τί τοὺς Ἰουδαίους ἀναγκάζεις ἰουδαΐζειν, ἀλλὰ πῶς; τί τὰ ἔθνη, φησὶν, ἀναγκάζεις ἰουδαΐζειν; ἵνα τῷ δοκεῖν τῶν ἰδίων ἀντιποιεῖσθαι μαθητῶν, καὶ προσχήματι τῆς ὑπὲρ τῶν ἐθνῶν κηδεμονίας, πείσῃ τοὺς Ἰουδαίους ἀποστῆναι τῆς παλαιᾶς συνηθείας. ὅτι γὰρ πέπλασται τὰ ἐγκλήματα, ἐξ αὐτῶν τῶν εἰρημένων δῆλον. ἀνωτέρω γὰρ εἰπὼν, Συνυπεκρίθησαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι, ἐνταῦθα λέγει· τί τὰ ἔθνη ἀναγκάζεις ἰουδαΐζειν; οἱ γὰρ συναπαχθέντες, οὐχ οἱ ἐξ ἐθνῶν ἦσαν, ἀλλ' Ἰουδαῖοι. ἀλλ' εἰ μὲν τοῦτο εἶπεν, ἔδοξεν ἂν ὁ λόγος τραχὺς εἶναι, καὶ οὐδὲν αὐτῷ προσήκων (τῶν γὰρ ἐθνῶν διδάσκαλος ἦν) νυνὶ δὲ ἐν προσχήματι κηδεμονίας τῶν ἰδίων μαθητῶν ἀνεύθυνον καὶ ἐλευθέραν ποιεῖται τὴν ἐπιτίμησιν. καὶ ἵνα μάθητε, ὅτι οὐκ ἐπιτίμησις ἦν κατὰ Πέτρου τὰ λεγόμενα, ἀλλὰ παραίνεσις καὶ διδασκαλία τοῖς Ἰουδαίοις ἐν τάξει τῆς ἐπιτιμήσεως τῆς κατὰ Πέτρου, ἄκουσον τῶν ἑξῆς.

Γαλ. β. 15.

Ἡμεῖς φύσει Ἰουδαῖοι, καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί. ταῦτα γὰρ λοιπὸν διδάσκοντός ἐστι, καὶ οὐκ ἔτι εἰς Πέτρον τὸ πᾶν περιίστησιν, ἀλλὰ κοινοῖ τὸν λόγον. εἰ μὲν γὰρ ὡς διδάσκων ἐξ ἀρχῆς εἰσέβαλεν, οὐκ ἂν ἠνέσχοντο Ἰουδαῖοι· νῦν δὲ τὴν ἀρχὴν ἐξ ἐπιτιμήσεως λαβὼν, καὶ δόξας δικαίαν ποιεῖσθαι κατὰ τοῦ Πέτρου τὴν ἐπιτίμησιν, ὡς τοὺς ἐξ ἐθνῶν ἕλκοντος πρὸς τὴν τῶν νομικῶν παρατήρησιν, ἐμβαίνει λοιπὸν ἀδεῶς εἰς παραίνεσιν καὶ συμβουλὴν, ὡς τῆς ἀκολουθίας ἐπὶ τοῦτο ἀγούσης αὐτόν. ἵνα γὰρ μή τις ἀκούσας, ὅτι τὰ ἔθνη ἀναγκάζεις ἰουδαΐζειν, νομίσῃ μόνοις ἐκείνοις ὅτι οὐκ ἔξεστιν ἰουδαΐζειν, τοῖς δὲ Ἰουδαίοις ἐφίεται, εἰς αὐτοὺς τοὺς διδασκάλους τὸν λόγον περιίστησι. τί λέγω, φησὶ, περὶ ἐθνῶν, ἢ τῶν λοιπῶν Ἰουδαίων; ἀλλὰ καὶ ἡμεῖς οἱ ἀπόστολοι. καὶ οὐ τοῦτο λέγει μόνον τὸ δικαίωμα, ὅτι οἱ διδάσκαλοι καὶ οἱ ἀπόστολοι, ἀλλ' ὅτι καὶ οἱ ἐκ προγόνων Ἰουδαῖοι

χ. [illegible]

χ. [illegible]

καθάπαξ ἀπέστησαν τοῦ νόμου. ποίαν οὖν ἔχοιμεν ἀπολογίαν, ἑτέρους εἰς τοῦτο ἕλκοντες; ὁρᾷς πῶς λανθανόντως τῶν Ἰουδαίων καθάπτεται, καὶ τὴν διδασκαλίαν νῦν τίθησιν ἀπηρτισμένην; εἰπὼν γὰρ, ἡμεῖς φύσει Ἰουδαῖοι, καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί· καὶ αἰτίας τίθησιν εὐλόγους, δι' ἣν ἀπέστησαν τοῦ Ἰουδαϊσμοῦ· Εἰδότες ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, εἰ μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ· καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ, καὶ οὐκ ἐξ ἔργων νόμου· διότι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, εἰ μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ. ὁρᾷς πῶς συνεχῶς καὶ τῆς ἀσθενείας τοῦ νόμου μνημονεύει, καὶ τῆς κατὰ τὴν πίστιν δικαιοσύνης; καὶ πυκνῶς στρέφει τὰ ὀνόματα, ὅπερ οὐκ ἔστιν ἐπιτιμῶντος, ἀλλὰ διδάσκοντος, καὶ συμβουλεύοντος. ἀλλ', ὅπερ ἔφην, εἰ μὲν πρὸς Ἰουδαίους ἀποτεινόμενος ταῦτα ἔλεγε, τὸ πᾶν ἂν διεῤῥύη καὶ ἀπώλετο, οὐκ ἀνεχομένων ἐκείνων τῆς τοιαύτης διδασκαλίας. ἐπειδὴ δὲ πρὸς Πέτρον τὸν λόγον ἀπέστρεψε, λανθανόντως ἐκεῖνοι τὴν ὠφέλειαν ἐκαρποῦντο, ἐπιτιμωμένου καὶ σιγῶντος τοῦ Πέτρου, καὶ τῆς γνώμης αὐτοῦ πάσης ἐκκαλυπτομένης, οὐχὶ παρ' ἑαυτοῦ, ἀλλὰ παρὰ τοῦ συναποστόλου, καὶ τῆς ἀναστροφῆς τῆς προτέρας εἰς μέσον ἀγομένης. εἶτα, ἵνα μὴ λέγωσι πρὸς ἑαυτοὺς, τί οὖν εἰ καὶ Πέτρος καὶ Παῦλος κακῶς ἐποίησαν, αἰτίας δικαίας καὶ ἀναμφισβητήτους τίθησι, δι' ἃς οὐ δεῖ τῶν Ἰουδαϊκῶν ἀνέχεσθαι. αὗται δέ εἰσι, τὸ μὴ δύνασθαι τὸν νόμον δικαιοῦν, ἀλλὰ τὴν πίστιν μόνον. καὶ ἐνταῦθα μὲν ἡμερώτερον κέχρηται τῷ λόγῳ· προϊὼν δὲ καὶ φορτικώτερον ποιεῖ καὶ σφοδρότερον. Εἰ δὲ ζητοῦντες δικαιωθῆναι ἐν Χριστῷ, εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοὶ, ἆρα Χριστὸς ἁμαρτίας διάκονος; ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἡ πίστις δικαιοῖ, καὶ κελεύει ἀποστῆναι τῶν Ἰουδαϊκῶν ἐθῶν, ὡς πεπαυμένων λοιπόν· εἰ δὲ ἔτι κρατεῖ ὁ νόμος καὶ κύριός ἐστι, καὶ ὁ ἀφεὶς αὐτὸν παραβάσεως κρίνεται, εὑρεθήσεται ὁ Χριστὸς, ὁ κελεύσας ἡμῖν αὐτὸν ἀφιέναι, τῆς παραβάσεως ἡμῖν αἴτιος γεγενημένος, καὶ οὐ μόνον οὐκ ἀπαλλάξας ἡμᾶς ἁμαρτίας, ἀλλὰ καὶ ἐμβαλὼν εἰς ἁμαρτίαν. εἰ γὰρ διὰ τὴν πίστιν τὸν νόμον ἀφήκαμεν, τὸ δὲ ἀφιέναι τὸν νόμον ἁμαρτία ἐστὶν, ἡ πίστις, δι' ἣν τὸν νόμον ἀφήκαμεν, αὕτη τῆς ἁμαρτίας ἡμῖν αἰτία ἐγένετο. καὶ ἐπειδὴ λοιπὸν εἰς ἄτοπον τὸν λόγον περιέστησεν, οὐδὲ ἐδεήθη κατασκευῆς τινος πρὸς ἀνατροπὴν, ἀλλὰ τῷ μὴ γένοιτο ἠρκέσθη, ὡς αὐτόθεν τῆς ἀτοπίας ὡμολογημένης (εἰ γὰρ, φησὶν, ἃ κατέλυσα, ταῦτα πάλιν οἰκοδομῶ, παραβάτην ἐμαυτὸν συνίστημι) εἰς τὸ ἐναντίον περιέστησε τὸν λόγον, καὶ ἔδειξεν, ὅτι οὐ τὸ παραβῆναι νόμον, ἀλλὰ τὸ μὴ ἀφεῖναι νόμον, τοῦτο ποιεῖ παραβάτην, καὶ ἐν τάξει τοῦ οἰκείου προσώπου πάλιν τὸν Πέτρον αἰνίττεται. τί γὰρ κατέλυσεν ὁ Πέτρος τὴν τῶν βρωμάτων παρατήρησιν ἐθνικῶς ζῆν προῃρημένος; πάλιν οὖν πρὸς Ἰουδαίους ἐπανελθὼν, κἀκείνοις συζῶν, εὑρεθήσεται, ἃ κατέλυσεν, οἰκοδομῶν. ὁρᾷς πῶς πανταχοῦ τῆς κρίσεως ἔχεται τοῦ Πέτρου, καὶ τὴν προτέραν αὐτοῦ ἐκκαλύπτει ἀναστροφήν· ἵνα μὴ παρὰ τῆς τοῦ Παύλου γλώττης, ἀλλὰ παρὰ τῆς τοῦ Πέτρου γνώμης, ἣν διὰ τῶν πραγμάτων ἐπεδείξατο, δοκῶσιν οἱ Ἰουδαῖοι τὴν παραίνεσιν δέχεσθαι; διὰ ταῦτά φησι, φοβούμενος τοὺς ἐκ περιτομῆς, καὶ ὅτι κατεγνωσμένος ἦν, καὶ ὅτι οὐκ ὀρθοποδεῖ πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου, οὐχ οὕτως ἔχων· μὴ γένοιτο (διὰ γὰρ πολλῶν τοῦτο ἀπεδείξαμεν) ἀλλ' ὥσπερ τότε ἐπετίμα Παῦλος, καὶ ταῦτα ἀκούων ὁ Πέτρος ἐσίγα, ὥστε μὴ διατρέψαι τὴν οἰκονομίαν Παύλου, καὶ κατεδέχετο, ὡς οὐκ ὀρθῶς πεποιηκὼς, δέχεσθαι τὴν ἐπίπληξιν, ἵνα ἀπολογία αὐτῷ γένηται τοῦ πρὸς τοὺς μαθητάς· οὕτω δὴ καὶ ἐνταῦθα νῦν μετὰ τῆς αὐτῆς γνώμης, μεθ' ἧς ἐπετίμησε Πέτρῳ, γράφει ταῦτα, ἅπερ ἔγραψε Γαλάταις. εἰ γὰρ τότε τὸ ἐπιτιμηθῆναι Πέτρον, καὶ σιγῆσαι, χρήσιμον ἦν τοῖς Ἰουδαίοις, πολλῷ μᾶλλον ἂν καὶ νῦν τὸ ταῦτα περὶ αὐτοῦ λεχθῆναι χρήσιμον ἦν τῶν Γαλατῶν τοῖς διεφθαρμένοις. ὥσπερ γὰρ οἱ τότε ἐν Ἀντιοχείᾳ διατρίβοντες, ὁρῶντες Πέτρον ἐπιτιμώ-

Γαλ. β. ιϛ.

Γαλ. β. ιζ.

μενοι μεθ' ὑπερβολῆς, καὶ σιγῶντα, διωρθοῦτο τῇ κατὰ τοῦ διδασκάλου κατηγορίᾳ, καὶ τῇ σιγῇ· οὕτω καὶ νῦν Γαλάται περὶ τὰ Ἰουδαϊκὰ νοσοῦντες, καὶ τοῦ Παύλου ταῦτα περὶ αὐτοῦ λέγοντος ἀκούοντες, οἷον, ὅτι κατεγνωσμένος ἦν, καὶ οὐκ ὠρθοπόδησε πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου, καὶ ὅτι ἐπιτιμηθεὶς ἐπὶ τούτοις ἐσίγησε, μεγίστην ἀπὸ τῆς κατηγορίας ταύτης διδασκαλίαν ἐλάμβανον, εἰς τὸ μηκέτι προσέχειν τοῖς Ἰουδαϊκοῖς ἔθεσι. διὰ τοῦτο καὶ Παῦλος καὶ τότε ἐπετίμησε, καὶ νῦν μέμνηται τῆς τότε γενομένης ἐπιπλήξεως· καὶ τούτου οὐκ ἔλαττον τὸν Πέτρον διὰ τοῦτο θαυμάσαι χρή, καταδεξάμενον ἅπαντα τὰ εἰρημένα. ὁ γὰρ τὸ πᾶν κατωρθωκὼς τοῦτός ἐστιν, ὁ δι' ἀχθόμενος κατηγορηθῆναι, καὶ σιγῆσαι. τοῦτο τῆς οἰκονομίας τὸ κέρδος. οὕτως ἡμῖν ἑκάτερος τῶν ἀποστόλων ἐγκλημάτων μὲν ἀπήλλακται, μυρίων δὲ ἐστιν ἐγκωμίων ἄξιος, πρὸς τὴν τῶν λοιπῶν σωτηρίαν ἅπαντα καὶ ἀκούειν καὶ λέγειν σπουδάζων. ἡμεῖς δὲ λοιπὸν τὸν Παύλου καὶ Πέτρου Θεὸν παρακαλέσωμεν, τὸν ἐκείνους ἀλλήλοις συνδήσαντα τοῖς τῆς ὁμονοίας δεσμοῖς, καὶ ἡμᾶς εἰς τὴν πρὸς ἀλλήλους ἀγάπην ἐπισφίγξαι σφοδρότερον· ἵνα τὴν κατὰ Θεὸν ὁμόνοιαν πρὸς ἀλλήλους ἔχοντες, δυνηθῶμεν καταξιωθῆναι σὺν ἁγίοις ἐκείνοις ἰδεῖν, καὶ παρὰ τὰς αἰωνίους αὐτῶν εὑρεθῆναι σκηνάς, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι δόξα, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ξ. ΠΡΟΣ ΤΟΥΣ ΟΥΚ ΕΙΣ ΔΕΟΝ ΧΡΩΜΕΝΟΥΣ ΤΩ ἀποστολικῷ ῥητῷ τῷ λέγοντι, Εἴτε προφάσει, εἴτε ἀληθείᾳ Χριστὸς καταγγέλλεται· καὶ περὶ ταπεινοφροσύνης.

Φιλιπ. α. ιη.

ΤΟῦ Φαρισαίου καὶ τοῦ τελώνου μνημονεύσαντες πρῴην, καὶ ἅρματα δύο τῷ λόγῳ ζεύξαντες ἐξ ἀρετῆς καὶ κακίας, ἑκάτερον ἐδείξαμεν, ὅσον μὲν τῆς ταπεινοφροσύνης τὸ κέρδος, ὅσον δὲ τῆς ἀπονοίας τὸ βλάβος. αὕτη μὲν γὰρ καὶ δικαιοσύνῃ συμβεβλημένη καὶ νηστείαις καὶ δεκάταις ὑστέρησεν· ἐκείνη δὲ καὶ μετὰ ἁμαρτίας ζευχθεῖσα παρέλαβε* τὸ τοῦ Φαρισαίου ζεῦγος, καίτοι καὶ τὸν ἡνίοχον ἔχουσα φαῦλον. τί γὰρ τελώνου χεῖρον; ἀλλ' ὅμως ἐπειδὴ συνέτριψεν αὐτοῦ τὴν ψυχήν, καὶ ἁμαρτωλὸν ἑαυτὸν ἐκάλεσεν, ὅπερ ἦν, ὑπερέβη τὸν Φαρισαῖον καὶ νηστείας ἔχοντα εἰπεῖν καὶ δεκάτας καὶ κακίας πάσης ἀπηλλαγμένον. τίνος ἕνεκεν, καὶ διὰ τί; ὅτι εἰ καὶ πλεονεξίας καὶ ἁρπαγῆς ἀπήλλακτο, τὴν μητέρα τῶν κακῶν πάντων κενοδοξίαν τε καὶ ἀπόνοιαν εἶχεν ἐρριζωμένην ἐπὶ τῆς ψυχῆς. διὰ τοῦτο καὶ ὁ Παῦλος παρακαλεῖ καὶ λέγει· Ἕκαστος τὸ ἑαυτοῦ ἔργον δοκιμαζέτω, καὶ τότε εἰς ἑαυτὸν* τὸ καύχημα ἕξει, καὶ οὐκ εἰς τὸν ἕτερον. ἐκεῖνος δὲ τῆς οἰκουμένης ἁπάσης παρῆλθεν εἰς μέσον κατήγορος, καὶ πάντων τῶν ὄντων ἀνθρώπων ἑαυτὸν ἔφησεν εἶναι βελτίω. καίτοι καὶ εἰ δέκα μόνον, καὶ εἰ πέντε, καὶ εἰ δύο, καὶ εἰ ἑνὸς ἑαυτὸν προὔθηκεν, οὐδὲ τοῦτο ἀνεκτὸν ἦν· νυνὶ δὲ οὐχὶ προὔθηκεν ἑαυτὸν μόνον τῆς οἰκουμένης, ἀλλὰ καὶ κατηγόρησεν ἁπάντων. διὰ τοῦτο ὑστέρησε κατὰ τὸν δρόμον. καὶ καθάπερ ναῦς μυρία διαδραμοῦσα κύματα καὶ πολλοὺς ἐκφυγοῦσα χειμῶνας, εἶτα ἐν αὐτῷ τῷ στόματι τοῦ λιμένος σκοπέλῳ τινὶ προσαράξασα πάντα τὸν ἐναποκείμενον ἀπόλλυσι θησαυρόν· οὕτω δὴ καὶ ὁ Φαρισαῖος οὗτος, τοὺς πόνους τῆς νηστείας ὑπομείνας καὶ τῆς ἄλλης ἀρετῆς ἁπάσης, ἐπειδὴ γλώττης οὐκ ἐκράτησεν, ἐν αὐτῷ τῷ λιμένι τὸ φορτικὸν ναυάγιον ὑπέμεινε. τὸ γὰρ ἐξ εὐχῆς, ὅθεν κερδαίνειν ἔδει, τὸ ταῦτα βλαβέντα μᾶλλον ἀπελθεῖν, οὐδὲν ἕτερόν ἐστιν, ἢ ἐν λιμένι ναυάγιον ὑπομεῖναι. Ταῦτ' οὖν εἰδότες, ἀγαπητοί, κἂν εἰς αὐτὴν τῆς ἀρετῆς

Γαλατ. ϛ. δ.

* καὶ περιέβ

* μόνον

ρετῆς τὴν κορυφὴν ἀνέλθωμεν, πάντων ἑαυτοὺς ἐσχάτους νομίζωμεν, μαθόντες ὅτι καὶ ἐξ αὐτῶν τῶν οὐρανῶν ἀπόνοια δύναται κατενεγκεῖν τοὺς μὴ προσέχοντας, καὶ ἐξ αὐτῆς τῆς ἀβύσσου τῶν ἁμαρτημάτων ἀνενεγκεῖν εἰς ὕψος ταπεινοφροσύνη τοὺς μετριάζειν εἰδότας. αὕτη γὰρ πρὸ τοῦ Φαρισαίου τὸν τελώνην ″ἔστησεν· ἐκείνη δὲ, ἡ ἀπόνοια λέγω, καὶ ἡ ὑπερηφανία, καὶ ἀσωμάτου περιεγένετο δυνάμεως τοῦ διαβόλου· ἡ δὲ ταπεινοφροσύνη καὶ τῶν οἰκείων ἁμαρτημάτων ἐπίγνωσις εἰς παράδεισον τὸν λῃστὴν εἰσήγαγε πρὸ τῶν ἀποστόλων. εἰ δὲ οἱ τὰ οἰκεῖα ὁμολογοῦντες ἁμαρτήματα, τοσαύτην ἑαυτοῖς προξενοῦσι τὴν παῤῥησίαν, οἱ πολλὰ μὲν ἑαυτοῖς συνειδότες ἀγαθὰ, ταπεινοῦντες δὲ ἑαυτῶν τὴν ψυχὴν, πόσων οὐκ ἐπιτεύξονται στεφάνων; ὅταν γὰρ ἁμαρτία συμβεβλημένη ᾖ τῇ ταπεινοφροσύνῃ, οὕτω τρέχει μετ' εὐκολίας, ὡς δικαιοσύνην μετ' ἀπονοίας οὖσαν ὑπερβῆναι καὶ προλαβεῖν. ἂν τοίνυν μετὰ δικαιοσύνης αὐτὴν συνάψῃς, ποῦ οὐκ ἀφίξεται; πόσους οὐ διαβήσεται οὐρανούς; παρ' αὐτὸν πάντως στήσεται τοῦ Θεοῦ τὸν θρόνον ἀνὰ μέσον τῶν ἀγγέλων μετὰ παῤῥησίας πολλῆς. πάλιν εἰ μετὰ δικαιοσύνης ἡ ἀπόνοια ζευχθεῖσα, τῇ τῆς οἰκείας κακίας ὑπερβολῇ καὶ βαρύτητι καθελκύσαι τὴν ἐκείνης παῤῥησίαν ἴσχυσεν, ἂν μετὰ ἁμαρτίας ᾖ συμβεβλημένη, εἰς πόσην οὐ κατακρημνίσαι δυνήσεται τὸν ἔχοντα αὐτὴν γέενναν; ταῦτα λέγω, οὐχ ἵνα ἀμελῶμεν δικαιοσύνης, ἀλλ' ἵνα φύγωμεν ἀπόνοιαν· οὐχ ἵνα ἁμαρτάνωμεν, ἀλλ' ἵνα μετριάζωμεν. θεμέλιος γάρ ἐστι τῆς καθ' ἡμᾶς φιλοσοφίας ἡ ταπεινοφροσύνη. κἂν μυρία ἄνωθεν οἰκοδομήσῃς, κἂν ἐλεημοσύνην, κἂν εὐχὰς, κἂν ″νηστείας, κἂν πᾶσαν ἀρετὴν, ταύτης μὴ προκαταβληθείσης, πάντα εἰκῆ καὶ μάτην ″ἐποικοδομηθήσεται, καὶ καταπεσεῖται ῥᾳδίως, κατὰ τὴν οἰκοδομὴν ἐκείνην τὴν ἐπὶ τῆς ψάμμου τεθεῖσαν. οὐδὲν γάρ ἐστιν, οὐδὲν τῶν ἡμετέρων κατορθωμάτων, ὃ οὐ ταύτης δεῖται· οὐδέν ἐστιν, ὃ χωρὶς ταύτης στῆναι δυνήσεται· ἀλλὰ κἂν σωφροσύνην εἴπῃς, κἂν παρθενίαν, κἂν χρημάτων ὑπεροψίαν, κἂν ὁτιοῦν, πάντα ἀκάθαρτα καὶ ἐναγῆ καὶ βδελυρὰ ταπεινοφροσύνης ἀπούσης. πανταχοῦ τοίνυν αὐτὴν παραλαμβάνωμεν, ἐν ῥήμασιν, ἐν πράγμασιν, ἐν ἐνθυμήμασι, καὶ μετὰ ταύτης ″ταῦτα οἰκοδομῶμεν.

Ἀλλὰ τὰ μὲν περὶ ταπεινοφροσύνης ἱκανῶς εἴρηται, οὐ πρὸς τὴν ἀξίαν τοῦ κατορθώματος (οὐδεὶς γὰρ αὐτὴν κατ' ἀξίαν ὑμνῆσαι δυνήσεται) ἀλλὰ πρὸς τὴν σύνεσιν τῆς ὑμετέρας ἀγάπης. εὖ γὰρ οἶδ' ὅτι καὶ ἀπὸ ὀλίγων τῶν εἰρημένων μετὰ πολλῆς αὐτὴν ἐπισπάσεσθε τῆς σπουδῆς. ἐπεὶ δὲ ἀνάγκη καὶ τὴν ἀποστολικὴν ῥῆσιν τὴν σήμερον ἀναγνωσθεῖσαν, πολλοῖς δοκοῦσαν παρέχειν ῥᾳθυμίας πρόφασιν, ποιῆσαι φανερὰν καὶ δήλην, ὥστε μὴ ψυχράν τινα ἀπολογίαν ἐντεῦθεν τινὰς ποριζομένους τῆς οἰκείας ἀμελεῖν σωτηρίας, φέρε, ἐπὶ ταύτην τὸν λόγον ἀγάγωμεν. τίς οὖν ἐστιν ἡ ῥῆσις; Εἴτε προφάσει, φησὶν, εἴτε ἀληθείᾳ Χριστὸς καταγγέλλεται. Φιλιπ. α. ιη. τοῦτο πολλοὶ περιφέρουσιν ἁπλῶς καὶ ὡς ἔτυχεν, οὐ τὰ πρότερα, οὐ τὰ μετὰ ταῦτα ἀναγινώσκοντες· ἀλλὰ τῆς ἀκολουθίας τῶν λοιπῶν ἀποκόψαντες μελῶν, ἐπ' ὀλέθρῳ τῆς ἑαυτῶν ψυχῆς τοῖς ῥᾳθυμοτέροις προβάλλονται. ἐπιχειροῦντες γὰρ αὐτοὺς τῆς ὑγιοῦς ἀπάγειν πίστεως, εἶτα ὁρῶντες δεδοικότας καὶ τρέμοντας, ὡς οὐκ ἀκίνδυνον ὂν τοῦτο ποιεῖν, καὶ βουλόμενοι τὸν φόβον αὐτῶν ἐκλῦσαι, τὴν ἀποστολικὴν ταύτην προάγουσι ῥῆσιν, λέγοντες· ὁ Παῦλος συνεχώρησε τοῦτο, εἰπών· Εἴτε προφάσει, εἴτε ἀληθείᾳ Χριστὸς καταγγελλέσθω. ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι. πρῶτον μὲν γὰρ οὐκ ″εἴρηκε, καταγγελλέσθω, ἀλλὰ, καταγγέλλεται· πολὺ δὲ τὸ μέσον τούτου κἀκείνου. τὸ μὲν γὰρ εἰπεῖν, καταγγελλέσθω, νομοθετοῦντός ἐστι· τὸ δὲ εἰπεῖν, καταγγέλλεται, τὸ συμβαῖνον ἀπαγγέλλοντος. ὅτι δὲ οὐ νομοθετεῖ Παῦλος αἱρέσεις εἶναι, ἀλλὰ ἀπάγει πάντας αὐτῶν προσέχοντας, ἄκουσον τί φησιν· Εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω, Γαλατ. α. θ. κἂν ἐγὼ, κἂν ἄγγελος ἐξ οὐρανῶν. οὐκ ἂν δὲ ἀνεθεμάτισε καὶ ἑαυτὸν καὶ ἄγγελον, εἰ τὸ πρᾶγβ. Κορ. ια. β. μα ἀκίνδυνον ᾔδει. καὶ πάλιν, Ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ, φησίν. ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν*. φοβοῦμαι δὲ μή πως ὡς ὁ ὄφις Εὔαν ἠπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριστόν. ἰδοὺ καὶ ἁπλότητα τέθεικε, καὶ συγγνώμην οὐκ ἔδωκεν. εἰ γὰρ ἦν συγγνώμη, κίνδυνος οὐκ ἦν· εἰ δὲ κίνδυνος οὐκ ἦν, οὐκ ἂν ἐφοβήθη Παῦλος. καὶ οὐχ ὁ Χριστὸς δὲ τὰ ζιζάνια κἂν ἐκέλευσε κατακαῦσαι, εἰ πρᾶγμα ἀδιάφορον ἦν καὶ τούτῳ, κἀκείνῳ, καὶ ἑτέρῳ προσέχειν, καὶ πᾶσιν ἁπλῶς. τί ποτ' οὖν ἐστι τὸ λεγόμενον; μικρὸν ἄνωθεν ὑμῖν τὴν ἱστορίαν ἅπασαν διηγήσασθαι βούλομαι. δεῖ γὰρ εἰδέναι ἐν ποίοις ὁ Παῦλος ἦν, ἡνίκα ταῦτα ἐπέστελλεν. ἐν τίσι τοίνυν ἦν τότε; ἐν δεσμωτηρίῳ καὶ ἁλύσεσι καὶ κινδύνοις ἀφορήτοις. πόθεν τοῦτο δῆλον; Φιλιπ. α. ιϛ. ἐξ αὐτῆς τῆς ἐπιστολῆς. ἀνωτέρω γὰρ τοῦτό φησι, Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοί, ὅτι τὰ κατ' ἐμὲ μᾶλλον εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθεν, ὥστε τοὺς δεσμούς μου φανεροὺς ἐν Χριστῷ γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ, καὶ τοῖς λοιποῖς ἅπασι· καὶ τοὺς πλείονας δὲ τῶν ἀδελφῶν πεποιθότας τοῖς δεσμοῖς μου περισσοτέρως τολμᾶν ἀφόβως τὸν λόγον λαλεῖν. Νέρων δὲ ἦν αὐτὸν ἐμβεβληκὼς [τότε τῷ δεσμωτηρίῳ.] καθάπερ γάρ τις λῃστὴς τῆς οἰκίας ἐπιβὰς, καθευδόντων ἁπάντων, τὰ πάντα ὑφαιρούμενος, ἐπειδὰν ἴδῃ τινὰ λύχνον ἅπτοντα, καὶ τὸ φῶς σβέννυσι καὶ τὸν λυχνοῦχον ἀναιρεῖ, ἵνα μετ' ἀδείας αὐτῷ τὰ τῶν ἄλλων ὑφαιρεῖσθαι καὶ ἁρπάζειν ἐξῇ· οὕτω δὴ καὶ Νέρων ὁ Καῖσαρ τότε, ὥσπερ τις λῃστὴς καὶ τοιχωρύχος, καθευδόντων ἁπάντων βαθύν τινα καὶ ἀναίσθητον ὕπνον, τὰ πάντων ἁρπάζων, γάμους διορύττων, οἰκίας ἀνατρέπων, ἅπαν κακίας εἶδος ἐπιδεικνύμενος, ἐπειδὴ τὸν Παῦλον εἶδε λύχνον ἅπτοντα κατὰ τὴν οἰκουμένην, τὸν τῆς διδασκαλίας λόγον, καὶ ἐλέγχοντα αὐτοῦ τὴν πονηρίαν, ἐσπούδαζε καὶ τὸ κήρυγμα σβέσαι, καὶ τὸν διδάσκαλον ἀνελεῖν, ἵνα μετ' ἐξουσίας αὐτῷ πάντα ποιεῖν ἐξῇ, καὶ δήσας τὸν ἅγιον ἐκεῖνον ἐνέβαλεν εἰς δεσμωτήριον. τότε τοίνυν ταῦτα ἔγραφεν ὁ μακάριος Παῦλος. τίς οὐκ ἂν ἐκπλαγείη; τίς οὐκ ἂν θαυμάσειε; μᾶλλον δὲ τίς κατ' ἀξίαν ἐκπλαγείη καὶ θαυμάσειεν ἂν τὴν γενναίαν ἐκείνην καὶ οὐρανομήκη ψυχὴν, ὅτι δεδεμένος ἐν Ῥώμῃ καὶ καθειργμένος, ἀπὸ τοσούτου διαστήματος Φιλιππησίοις ἐπέστελλεν; ἴστε γὰρ ὅσον τὸ μέσον Μακεδονίας καὶ Ῥώμης. ἀλλ' οὔτε τῆς ὁδοῦ τὸ μῆκος, οὔτε τοῦ χρόνου τὸ πλῆθος, οὔτε ὁ τῶν πραγμάτων ὄχλος, οὔτε ὁ κίνδυνος καὶ τὰ ἐπάλληλα δεινὰ, οὔτε ἄλλο οὐδὲν τὴν ἀγάπην καὶ τὴν μνήμην ἐξέβαλε τῶν μαθητῶν, ἀλλ' εἶχεν αὐτοὺς ἅπαντας ἐν διανοίᾳ. καὶ οὐχ οὕτως αὐτοῦ ταῖς ἁλύσεσιν αἱ χεῖρες ἐδέδεντο, ὡς τῷ πόθῳ τῶν μαθητῶν ἡ ψυχὴ συνεδέδετο καὶ προσήλωτο. ὅπερ οὖν καὶ αὐτὸ δηλῶν ἐν Φιλιπ. α. ζ. τῷ προοιμίῳ τῆς ἐπιστολῆς ἔλεγε· Διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ μου ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς μου, καὶ ἐν τῇ ἀπολογίᾳ καὶ βεβαιώσει τοῦ εὐαγγελίου. καὶ καθάπερ βασιλεὺς ἐπὶ τὸν θρόνον ἀναβὰς ὑπὸ τὴν ἕω, καὶ καθίσας ἐν ταῖς βασιλικαῖς αὐλαῖς, μυρίας εὐθέως δέχεται πανταχόθεν ἐπιστολάς· οὕτω δὴ κἀκεῖνος, καθάπερ ἐν βασιλικαῖς αὐλαῖς, τῷ δεσμωτηρίῳ καθήμενος, πολλῷ πλείω καὶ ἐδέχετο καὶ ἔπεμπε τὰ γράμματα, τῶν πανταχόθεν ἐθνῶν ἐπὶ τὴν ἐκείνου σοφίαν ὑπὲρ τῶν καθ' ἑαυτοὺς πραγμάτων ἀναφερόντων ἅπαντα· καὶ τοσούτῳ πλείονα πράγματα τοῦ βασιλεύοντος ᾠκονόμει, ὅσῳ καὶ μείζονα ἀρχὴν ἐμπεπίστευτο. οὐ γὰρ δὴ τοὺς τὴν Ῥωμαίων οἰκοῦντας χώραν μόνον, ἀλλὰ καὶ τοὺς βαρβάρους ἅπαντας, καὶ γῆν καὶ θάλατταν φέρων εἰς τὰς ἐκείνου χεῖρας ἐνέθηκεν ὁ Θεός. καὶ τοῦτο Ρωμ. α. ιγ. δηλῶν Ῥωμαίοις ἔλεγεν· Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι πολλάκις ἐλθεῖν προεθέμην πρὸς ὑμᾶς, καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο, ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν. Ἕλλησί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης εἰμί. καθ' ἑκάστην τοίνυν ἐφρόντιζε τὴν ἡμέραν, τοῦτο δὴ Κορινθίοις, τοῦτο δὴ Μακεδόσι, πῶς Φιλιππήσιοι, πῶς Καππαδόκαι, πῶς Γαλάται, πῶς Ἀθηναῖοι, πῶς οἱ τὸν Πόντον οἰ-

κοῦντες,

γρ. λύχνον

γρ. τὸν διδάσκαλον

κοιῶντες, πῶς ἅπαντες ἄνθρωποι. ἀλλ᾽ ὅμως τὴν γῆν ἅπασαν ἐγκεχειρισμένος, οὐχ ὑπὲρ ἐθνῶν ὁλοκλήρων ἐμερίμνα μόνον, ἀλλὰ καὶ ὑπὲρ ἑνὸς ἀνθρώπου· καὶ νῦν μὲν δι᾽ Ὀνήσιμον τὴν ἐπιστολὴν ἔπεμπε, νῦν δὲ διὰ τὸν παρὰ Κορινθίοις πεπορνευκότα. οὐδὲ γὰρ τοῦτο ἐσκόπει, ὅτι εἷς ἦν ὁ ἁμαρτὼν, καὶ δεόμενος προστασίας· ἀλλ᾽ ὅτι ἄνθρωπος ἦν, ἄνθρωπος τὸ τῷ Θεῷ τιμιώτατον ζῶον, καὶ δι᾽ ὃν οὐδὲ τοῦ μονογενοῦς ὁ πατὴρ ἐφείσατο. μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι δραπέτης ὁ δεῖνα καὶ λῃστὴς καὶ κλέπτης καὶ μυρίων γέμων κακῶν, ἢ ὅτι πτωχὸς καὶ ἀπερριμμένος καὶ εὐτελὴς καὶ οὐδενὸς ἄξιος λόγου· ἀλλ᾽ ἐννόησον ὅτι καὶ ὑπὲρ τούτου Χριστὸς ἀπέθανε, καὶ ἀρκεῖ σοι τοῦτο εἰς πάσης προνοίας ὑπόθεσιν. ἐννόησον ὁποῖόν τινα ἐκεῖνον εἶναι χρὴ, ὃν τοσούτου Χριστὸς ἐτιμήσατο, ὡς μηδὲ τοῦ αἵματος φείσασθαι τοῦ ἑαυτοῦ. οὐδὲ γὰρ, εἰ βασιλεὺς ὑπέρ τινος εἵλετο καταθῦσαι ἑαυτὸν, ἐζητήσαμεν ἂν ἑτέραν ἀπόδειξιν τοῦ μέγαν τινὰ εἶναι καὶ περισπούδαστον ἐκεῖνον τῷ βασιλεῖ. οὐκ ἔγωγε οἶμαι. ἤρκει γὰρ ἡ τελευτὴ δεῖξαι τοῦ τετελευτηκότος τὴν περὶ αὐτὸν ἀγάπην. νυνὶ δὲ οὐκ ἄνθρωπος, οὐκ ἄγγελος, οὐκ ἀρχάγγελος, ἀλλ᾽ αὐτὸς ὁ τῶν οὐρανῶν δεσπότης, αὐτὸς ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ σάρκα περιβαλλόμενος ἐπέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν. οὐ πάντα οὖν ποιήσομεν καὶ πραγματευσόμεθα, ὥστε τοὺς οὕτω τιμηθέντας ἀνθρώπους πάσης ἀπολαῦσαι τῆς ἡμῶν προνοίας; καὶ ποίαν ἕξομεν ἀπολογίαν, τίνα συγγνώμην; τοῦτο γοῦν αὐτὸ καὶ ὁ Παῦλος ἐνδεικνύμενος ἔλεγε· Μὴ τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε, δι᾽ ὃν Χριστὸς ἀπέθανε. Ρωμ.ιδ.ιε. τοὺς γὰρ καταφρονοῦντας τῶν ἀδελφῶν, καὶ ὡς ἀσθενούντων ὑπερορῶντας βουλόμενος ἐντρέψαι καὶ εἰς σπουδὴν ἀγαγεῖν καὶ πεῖσαι κήδεσθαι τῶν πλησίον, ἀντὶ πάντων τὸν τοῦ δεσπότου θάνατον τέθεικε. καθήμενος τοίνυν ἐν τῷ δεσμωτηρίῳ τοῖς Φιλιππησίοις ἐπέστελλεν ἐκ τοσούτου τοῦ διαστήματος. τοιαύτη γὰρ ἡ κατὰ Θεὸν ἀγάπη· οὐδενὶ τῶν ἀνθρωπίνων διακόπτεται, ἄνωθεν ἔχουσα τὰς ῥίζας ἐκ τῶν οὐρανῶν καὶ τὰς ἀφορμάς. καὶ τί φησι; Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοί. Φιλιπ.α.ιϛ. εἶδες πρόνοιαν ὑπὲρ μαθητῶν; εἶδες διδασκάλου κηδεμονίαν; ἄκουσον καὶ φιλοστοργίαν μαθητῶν περὶ τὸν διδάσκαλον, ἵνα ἴδῃς ὅτι τοῦτο ἦν τὸ ποιοῦν ἰσχυροὺς ἐκείνους καὶ ἀκαταγωνίστους, τὸ συνδεδέσθαι ἀλλήλοις. Παροιμ.ιη.ιθ. εἰ γὰρ ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρὰ, πολλῷ μᾶλλον τοσοῦτοι συνδεδεμένοι τοῖς τῆς ἀγάπης δεσμοῖς, πᾶσαν ἂν ἀπεκρούσαντο τὴν τοῦ πονηροῦ δαίμονος ἐπιβουλήν. ὅτι μὲν οὖν ὁ Παῦλος συνεδέδετο τοῖς μαθηταῖς, οὐδὲ ἀποδείξεως δεῖ λοιπὸν ἡμῖν, οὐδὲ λόγου, ὅπου γε καὶ δεδεμένος αὐτῶν ἐμερίμνα, καὶ καθ᾽ ἑκάστην ἡμέραν καὶ ὑπὲρ αὐτῶν ἀπέθνησκε [τῷ πόθῳ πυρούμενος]. ὅτι δὲ καὶ οἱ μαθηταὶ τῷ Παύλῳ συνδεδεμένοι μετὰ ἀκριβείας ἦσαν ἁπάσης, καὶ οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ γυναῖκες, ἄκουσον τί φησι περὶ τῆς Φοίβης. Συνίστημι δὲ ὑμῖν Φοίβην τὴν ἀδελφὴν, διάκονον οὖσαν τῆς ἐκκλησίας τῆς ἐν Κεγχρεαῖς, Ρωμ.ις.α. ἵνα προσδέξησθε αὐτὴν ἐν Κυρίῳ ἀξίως τῶν ἁγίων, καὶ παραστῆτε αὐτῇ, ἐν ᾧ ἂν ὑμῶν πράγματι χρήζῃ, ἥτις προστάτις πολλῶν ἐγενήθη, καὶ αὐτοῦ ἐμοῦ. ἀλλ᾽ ἐνταῦθα μὲν μέχρι προστασίας ἐμαρτύρησεν αὐτῇ τὴν σπουδήν· Πρίσκιλλα δὲ καὶ Ἀκύλας καὶ μέχρι θανάτου διὰ τὸν Παῦλον ἐχώρησαν, καὶ περὶ αὐτῶν δὲ οὕτω γράφει λέγων· Ἀσπάζονται ὑμᾶς Ἀκύλας καὶ Πρίσκιλλα, Ρωμ.ις.γ.δ. οἵτινες ὑπὲρ τῆς ψυχῆς μου τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν [εἰς θάνατον δηλονότι]. καὶ περὶ ἑτέρου πάλιν αὐτοῖς τούτοις γράφων, φησὶν ὅτι Ἤγγισεν Φιλ.β.λ. ἕως θανάτου, παραβουλευσάμενος τῇ ψυχῇ, ἵνα τὸ ὑμῶν ὑστέρημα ἀναπληρώσῃ τῆς πρός με λειτουργίας. εἶδες πῶς ἐφίλουν τὸν διδάσκαλον; πῶς πρὸ τῆς ψυχῆς τῆς ἑαυτῶν τὴν ἄνεσιν ἐσκόπουν τὴν ἐκείνου; διὰ τοῦτο οὐδεὶς αὐτῶν περιεγένετο τότε.

Ταῦτα δὲ λέγω, οὐχ ἵνα ἀκούωμεν μόνον, ἀλλ᾽ ἵνα καὶ μιμώμεθα· καὶ οὐ πρὸς τοὺς ἀρχομένους μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἄρχοντας ἡμῖν ὁ λόγος ἀποτείνεται, ἵνα καὶ οἱ μαθηταὶ πολλὴν περὶ τοὺς διδασκάλους κηδεμονίαν ἐπιδεικνύωνται, καὶ οἱ διδάσκαλοι τὴν αὐτὴν τῷ

Παύλῳ φιλοστοργίαν περὶ τοὺς ὑποτεταγμένους ἔχωσιν, οὐχὶ τοὺς παρόντας μόνον, ἀλλὰ καὶ
τοὺς πόῤῥωθεν ὄντας. καὶ γὰρ ὁ Παῦλος καθάπερ μίαν οἰκῶν οἰκίαν τὴν οἰκουμένην ἅπασαν,
οὕτω τῆς πάντων ἐφρόντιζε σωτηρίας, καὶ τὰ αὐτοῦ πάντα ἀφεὶς δεσμὰ καὶ θλίψεις
καὶ στενοχωρίας, ἐπεσκόπει καὶ ἐπυνθάνετο καθ' ἑκάστην ἡμέραν, πῶς τὰ τῶν γρ. ἐπέμπε
μαθητῶν ἔχοι· καὶ πολλάκις δι' αὐτὸ τοῦτο μόνον ἔπεμψε, νῦν μὲν Τιμόθεον, νῦν δὲ Τυχικόν.
Ἐφεσ. ϛ. κβ. καὶ περὶ μὲν ἐκείνου φησίν· Ἵνα γνῷ τὰ περὶ ὑμῶν, καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν·
α. Θεσ. γ. ε. περὶ δὲ Τιμοθέου· Ἔπεμψα αὐτὸν πρὸς ὑμᾶς μηκέτι στέγων, μήπως ἐπείρασεν
ὑμᾶς ὁ πειράζων· καὶ Τίτον πάλιν ἀλλαχοῦ, καὶ ἄλλον ἑτέρωσε. ἐπειδὴ γὰρ αὐτὸς τῇ τῶν δεσμῶν
ἀνάγκῃ πολλάκις ἐν ἑνὶ κατεχόμενος τόπῳ συγγενέσθαι τοῖς αὐτοῦ σπλάγχνοις οὐκ γρ. ἀγγινω
ἠδύνατο, διὰ τῶν μαθητῶν αὐτοῖς συνεγίνετο. καὶ τότε τοίνυν ἐν δεσμοῖς ὢν γράφει τοῖς Φιλιππησίοις
Φιλιπ. α. ιβ. λέγων· Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοί, τοὺς μαθητὰς ἀδελφοὺς καλῶν.
τοιοῦτον γὰρ ἡ ἀγάπη· πᾶσαν ἀνωμαλίαν ἐκβάλλει, καὶ ὑπεροχὴν καὶ ἀξίαν οὐκ οἶδεν,
ἀλλὰ κἂν ἁπάντων ὑψηλότερος ᾖ τις, πρὸς τὸν πάντων κάτεισι ταπεινότερον· ὅπερ καὶ
Παῦλος ἐποίει. ἀλλ' ἀκούσωμεν τί βούλεται γινώσκειν αὐτούς. Ὅτι τὰ κατ' ἐμὲ, φησὶ,
μᾶλλον εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθεν. εἰπέ μοι, πῶς καὶ τίνι τρόπῳ; ἆρα τῶν δεσμῶν
ἀφεθεὶς, ἆρα ἀπέθου τὴν ἅλυσιν, καὶ μετ' ἀδείας κηρύττεις ἐν τῇ πόλει; ἆρα εἰς ἐκκλησίαν
εἰσελθὼν, μακροὺς καὶ πολλοὺς κατέτεινας λόγους περὶ τῆς πίστεως, καὶ πολλοὺς λαβὼν
μαθητὰς ἀπῆλθες; ἆρα νεκροὺς ἤγειρας, καὶ ἐθαυμαστώθης; ἆρα λεπροὺς ἐκάθηρας,
καὶ ἐξεπλάγησαν ἅπαντες; ἆρα δαίμονας ἀπήλασας, καὶ ἀνυψώθης; οὐδὲν τούτων, φησί.
Φιλιπ. α. ιγ. πῶς οὖν ἡ προκοπὴ γέγονε τοῦ εὐαγγελίου εἰπέ; Ὥστε τοὺς δεσμούς μου, φησὶ, φανεροὺς ἐν
Χριστῷ γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ, καὶ τοῖς λοιποῖς πᾶσι. τί λέγεις; τοῦτο ἆρα,
τοῦτο ἡ προκοπή; τοῦτο ἡ ἐπίδοσις; τοῦτο ἡ αὔξησις τοῦ κηρύγματος, ὅτι πάντες ἔμαθον
ὅτι δέδεσαι; ναί, φησιν. ἄκουσον γοῦν τῶν ἑξῆς, ἵνα μάθῃς ὅτι τὰ δεσμὰ οὐ μόνον
Φιλιπ. α. ιδ. οὐκ ἐγίνετο κώλυμα, ἀλλὰ καὶ ὑπόθεσις πλείονος παῤῥησίας. Ὥστε τοὺς πλείονας τῶν ἀδελφῶν
ἐν Κυρίῳ, πεποιθότας τοῖς δεσμοῖς μου, περισσοτέρως τολμᾷν ἀφόβως τὸν λόγον
λαλεῖν. τί λέγεις, ὦ Παῦλε; οὐκ ἀγωνίαν ἐνέβαλεν, ἀλλὰ θάρσος τὰ δεσμά; οὐ φόβον,
ἀλλὰ πόθον; οὐκ ἔχει τὰ λεγόμενα ἀκολουθίαν. οἶδα κἀγώ. οὐδὲ γὰρ κατὰ ἀνθρωπίνων
πραγμάτων ἀκολουθίαν ταῦτα συνέβαινε, φησιν· ἀλλ' ὑπὲρ φύσιν ἦν τὰ γινόμενα, καὶ
θείας χάριτος τὰ κατορθώματα. διὰ τοῦτο ὃ τοῖς ἄλλοις ἀγωνίαν ἐποίει, τοῦτο ἐπ' ἐκείνῳ
θάρσος παρεῖχε. καὶ γὰρ στρατηγὸν ἐὰν λαβών τις καὶ καθείρξας ποιήσῃ φανερὸν τοῦτο, εἰς φυγὴν
ἐμβάλλει τὸ στρατόπεδον ἅπαν· καὶ ποιμένα δὲ ἑλών τις τῆς ποίμνης ἀπαγάγῃ, μετὰ πολλῆς τῆς
ἀδείας ἀπελαύνει τὰ πρόβατα. ἀλλ' οὐκ ἐπὶ Παύλου οὕτως, ἀλλὰ τοὐναντίον ἅπαν.
ὁ στρατηγὸς γὰρ ἐδέδετο, καὶ οἱ στρατιῶται προθυμότεροι πάντες ἐγίνοντο, καὶ μετὰ πλείονος
τῆς παῤῥησίας τοῖς ἐναντίοις ἐπεπήδων. ὁ ποιμὴν κατείρκτο, καὶ τὰ πρόβατα οὐκ ἀνηλοῦντο, γρ. αἰκιλῶν
οὐδὲ ἐσκορπίζετο. τίς εἶδε, τίς ἤκουσεν ἐν τοῖς τῶν διδασκάλων δεινοῖς πλείονα
παράκλησιν λαμβάνοντας τοὺς μαθητάς; πῶς οὐκ ἔδεισαν; πῶς οὐκ ἐφοβήθησαν; πῶς
οὐκ εἶπον πρὸς τὸν Παῦλον, ἰατρὲ, θεράπευσον σεαυτόν; ἀπάλλαξον σεαυτὸν τῶν πολυπλόκων
δεινῶν, καὶ τότε ἡμῖν τὰ μυρία προξενήσεις ἀγαθά. πῶς ταῦτα οὐκ εἶπον; πῶς;
ὅτι πεπαιδευμένοι ἦσαν παρὰ τῆς τοῦ πνεύματος χάριτος, ὅτι ταῦτα οὐκ ἐξ ἀσθενείας γρ. παιδευ-μέναι
ἐγίνετο, ἀλλ' ἐκ τῆς τοῦ Χριστοῦ συγχωρήσεως, ἵνα μειζόνως ἡ ἀλήθεια διαλάμπῃ, διὰ
δεσμῶν καὶ φυλακῶν καὶ θλίψεων καὶ στενοχωριῶν αὐξανομένη καὶ πρὸς μεῖζον αἰρομένη μέγεθος.
β. Κορ. ιβ. θ. οὕτως ἡ δύναμις τοῦ Χριστοῦ ἐν ἀσθενείᾳ τελειοῦται. εἰ μὲν γὰρ ὑπεσκέλισε τὸν
Παῦλον τὰ δεσμά, καὶ δειλότερον ἐποίησεν, ἢ αὐτὸν, ἢ τοὺς ἐκείνῳ προσήκοντας, εἶχε διαπορεῖν·
εἰ δὲ μᾶλλον θαῤῥεῖν παρεσκεύασε καὶ εἰς πλείονα δόξαν ἤγαγεν, ἐκπλήττεσθαι δεῖ καὶ

θαυμάζειν, πῶς διὰ πράγματος ἀτιμίαν ἔχοντος δόξα τοῖς μαθηταῖς προεξενεῖτο, διὰ πράγματος δειλίαν ἐμβάλλοντος θάρσος καὶ παράκλησις πᾶσιν ἐκείνοις ἐγίνετο. τίς γὰρ αὐτὸν οὐκ ἐξεπλήττετο τότε, ὁρῶν ἁλύσεσι περικείμενον; τότε δαίμονες ἐδραπέτευον μᾶλλον, ὅτε ἑώρων αὐτὸν ἐν δεσμωτηρίῳ διατρίβοντα. οὐ γὰρ οὕτω βασιλικὴν κεφαλὴν λαμπροτέραν τὸ διάδημα ποιεῖ, ὡς τὰς ἐκείνου χεῖρας ἡ ἅλυσις, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἐπελθοῦσαν αὐταῖς χάριν. διὰ τοῦτο πολλὴ παράκλησις ἐγίνετο τοῖς μαθηταῖς. καὶ γὰρ ἑώρων τὸ μὲν σῶμα δεδεμένον, τὴν δὲ γλῶτταν οὐ δεδεμένην· τὰς μὲν χεῖρας ἐσφιγμένας, τὸν δὲ λόγον λελυμένον, καὶ τῆς ἀκτῖνος τῆς ἡλιακῆς ταχύτερον τὴν οἰκουμένην ἐπιτρέχοντα πᾶσαν. καὶ τοῦτο αὐτοῖς παράκλησις ἐγίνετο διὰ τῶν ἔργων μανθάνουσιν, ὅτι οὐδὲν τῶν παρόντων δεινόν. καὶ γὰρ ὅταν ὑπὸ θείου πόθου καὶ ἔρωτος ἡ ψυχὴ βαφεῖσα τύχῃ γνησίως, πρὸς οὐδὲν ἐπιστρέφεται τῶν παρόντων· ἀλλ' ὥσπερ οἱ μαινόμενοι καὶ πυρὸς καὶ σιδήρου καὶ θηρίων καὶ πελάγους καὶ πάντων κατατολμῶσιν, οὕτω καὶ οὗτοι μανίαν τινὰ καλλίστην καὶ πνευματικωτάτην μαινόμενοι, μανίαν ἀπὸ σωφροσύνης γινομένην, πάντων καταγελῶσι τῶν ὁρωμένων. διὰ τοῦτο δεδεμένον ὁρῶντες τὸν διδάσκαλον μᾶλλον ἐσκίρτων, μᾶλλον ἠγάλλοντο, διὰ τῶν ἔργων τοῖς ἐναντίοις διδόντες ἀπόδειξιν, ὅτι πάντοθεν εἰσὶν ἀνάλωτοι καὶ ἀχείρωτοι. τότε τοίνυν, ὅτε ἐν τούτοις τὰ πράγματα ἦν, τινὲς τῶν ἐχθρῶν τῶν Παύλου βουλόμενοι τὸν πόλεμον ἀναρριπίσαι χαλεπώτερον, καὶ μείζονα τοῦ τυράννου ποιῆσαι τὴν πρὸς αὐτὸν ἀπέχθειαν, προσεποιοῦντο καὶ αὐτοὶ κηρύττειν, καὶ ἐκήρυττον τὴν ὀρθὴν καὶ ὑγιῆ πίστιν ὑπὲρ τοῦ τὸ δόγμα ἐπιδοῦναι μειζόνως. τοῦτο δὲ ἐποίουν, οὐχὶ τὴν πίστιν σπείρειν βουλόμενοι, ἀλλ' ἵνα μαθὼν ὁ Νέρων, ὅτι τὸ κήρυγμα αὔξεται καὶ τὸ δόγμα ἐπιδίδωσι, ταχύτερον τὸν Παῦλον ἐπὶ τὸ βάραθρον ἀπαγάγῃ. δύο τοίνυν ἦν διδασκαλεῖα, τὸ τῶν Παύλου μαθητῶν, καὶ τὸ τῶν ἐχθρῶν τῶν τοῦ Παύλου· τῶν μὲν ἐξ ἀληθείας κηρυττόντων, τῶν δὲ ἀπὸ φιλονεικίας καὶ τῆς πρὸς τὸν Παῦλον ἀπεχθείας. καὶ ταῦτα δηλῶν ἔλεγε· Τινὲς μὲν διὰ φθόνον καὶ ἔριν τὸν Χριστὸν κηρύττουσιν, ἐκείνους ἐμφαίνων τοὺς ἐχθρούς· τινὲς δὲ καὶ δι' εὐδοκίαν, περὶ τῶν ἑαυτοῦ μαθητῶν τοῦτο λέγων. Εἶτα πάλιν περὶ ἐκείνων, Οἱ μὲν ἐξ ἐριθείας, οἱ ἐχθροί· οὐχ ἁγνῶς, οὐχ ὑγιῶς, ἀλλ' οἰόμενοι θλίψιν ἐπιφέρειν τοῖς δεσμοῖς μου· οἱ δὲ ἐξ ἀγάπης, πάλιν τοῦτο περὶ τῶν ἀδελφῶν τῶν ἑαυτοῦ, εἰδότες, ὅτι εἰς ἀπολογίαν τοῦ εὐαγγελίου κεῖμαι. τί γάρ; Πλὴν παντὶ τρόπῳ, εἴτε προφάσει, εἴτε ἀληθείᾳ Χριστὸς καταγγέλλεται. ὥστε μάτην καὶ εἰκῇ ἐπὶ τῶν αἱρέσεων τοῦτο τὸ ῥῆμα παραλαμβάνεται. οἱ γὰρ τότε κηρύττοντες, οὐχὶ δόγμα διεφθαρμένον ἐκήρυττον, ἀλλὰ πίστιν ὑγιῆ καὶ ὀρθήν. εἰ γὰρ δόγμα διεφθαρμένον ἐκήρυττον, καὶ ἕτερα παρὰ τὸν Παῦλον ἐδίδασκον, οὐκ ἔμελλεν αὐτοῖς προχωρεῖν, ὅπερ ἐβούλοντο. τί δὲ ἐβούλοντο; τῆς πίστεως αὐξηθείσης καὶ πολλῶν γινομένων τῶν Παύλου μαθητῶν, εἰς μείζονα πόλεμον τὸν Νέρωνα διεγεῖραι. εἰ δὲ ἕτερα δόγματα ἐκήρυττον, οὐκ ἂν πολλοὺς ἐποίησαν τοὺς Παύλου μαθητάς· μὴ ποιοῦντες δὲ, οὐκ ἂν παρώξυναν τὸν τύραννον. οὐ τοίνυν τοῦτό φησιν, ὅτι διεφθαρμένα δόγματα εἰσῆγον, ἀλλ' ὅτι ἡ αἰτία, ἀφ' ἧς ἐκήρυττον, αὕτη ἦν διεφθαρμένη. ἑτέρα γάρ ἐστι κατηγορεῖν τὴν πρόφασιν τοῦ κηρύγματος, καὶ ἕτερον αὐτὸ τὸ κήρυγμα μὴ εἶναι ὑγιές. τὸ μὲν γὰρ κήρυγμα οὐκ ἔστιν ὑγιὲς, ὅταν τὰ δόγματα ᾖ πεπλανημένα· ἡ πρόφασις δὲ οὐκ ἔστιν ὑγιὴς, ὅταν τὸ μὲν κήρυγμα ὑγιὲς ᾖ, οἱ δὲ κηρύττοντες μὴ διὰ τὸν Θεὸν κηρύττωσιν, ἀλλ' ἢ πρὸς ἔχθραν, ἢ πρὸς χάριν ἑτέρων. οὐ τοίνυν τοῦτό φησιν, ὅτι αἱρέσεις εἰσῆγον, ἀλλ', ὅτι οὐκ ἀπὸ προφάσεως ὀρθῆς, οὐδὲ δι' εὐλάβειαν ἐκήρυττον, ὅπερ ἐκήρυττον. οὐ γὰρ ἵνα τὸ εὐαγγέλιον αὐξήσωσι, τοῦτο ἐποίουν, ἀλλ' ἵνα αὐτῷ πολεμήσωσι, καὶ εἰς μείζονα αὐτὸν ἐμβάλλωσι κινδύνους. διὰ τοῦτο αὐτοῖς ἐγκαλεῖ. καὶ ὅρα πῶς μετ' ἀκριβείας αὐτὸ τέθεικεν· Οἰόμενοι θλίψιν, φησὶν, ἐπιφέρειν τοῖς δεσμοῖς μου. οὐκ εἶπεν, ἐπιφέροντες, ἀλλ', οἰόμενοι ἐπιφέρειν, τουτέστι, νομίζοντες, δεικνὺς ὅτι εἰ καὶ ἐκεῖνοι νομίζουσιν, ἀλλ'

Φιλιπ. α. ιε.

Φιλιπ. α ις.

Φιλιπ. α ιη.

ἀλλ' οὐκ αὐτὸς οὕτω διάκειται, ἀλλὰ καὶ χαίρει διὰ τὴν τοῦ κηρύγματος ἐπίδοσιν. ἐπήγαγεν οὖν λέγων· Ἀλλὰ καὶ ἐν τούτῳ χαίρω καὶ χαρήσομαι. εἰ δὲ πλατύνειν τὰ δόγματα εἶχε, καὶ αἱρέσεις εἰσάγειν ἐκεῖνοι, οὐκ ἠδύνατο χαίρειν ὁ Παῦλος. ἐπειδὴ δὲ ὑγιὲς καὶ ἀνόθευτον τὸ δόγμα, διὰ τοῦτό φησι, χαίρω καὶ χαρήσομαι. τί γάρ, εἰ ἑαυτοὺς ἀπολλύουσιν ἐκεῖνοι, ἐξ ἀπεχθείας τοῦτο ποιοῦντες; ἀλλὰ τὰ ἐμὰ καὶ ἄκοντες αὔξουσιν. εἶδες πόση τοῦ Παύλου ἡ δύναμις; πῶς οὐδενὶ τῶν τοῦ διαβόλου μηχανημάτων ἁλίσκεται; καὶ οὐ μόνον οὐχ ἁλίσκεται, ἀλλὰ καὶ αὐτοῖς τούτοις αὐτὸν χειροῦται. πολλὴ μὲν γὰρ οὖν καὶ ἡ τοῦ διαβόλου κακουργία, καὶ τῶν ἐκείνῳ διακονουμένων ἡ πονηρία. ἐν προσχήματι γὰρ τοῦ τὰ αὐτὰ φρονεῖν, σβέσαι τὸ κήρυγμα ἐβούλοντο. ἀλλ' ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν,
α. Κορ. γ. ιθ. οὐ συνεχώρει τοῦτο γενέσθαι τότε. τοῦτο γοῦν αὐτὸ ἐμφαίνων ὁ Παῦλος ἔλεγε· Τὸ δὲ ἐ-
Φιλ. α. κδ. κε. πιμένειν τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς, καὶ τοῦτο πεποιθὼς οἶδα, ὅτι μενῶ καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν. ἐκεῖνοι μὲν γὰρ τῆς παρούσης με ζωῆς ἐκβαλεῖν ἐπιθυμοῦσι, καὶ πάντα διὰ τοῦτο ὑπομένουσιν· ὁ δὲ Θεὸς οὐκ ἀφίησι δι' ὑμᾶς.

Ταῦτα τοίνυν μετ' ἀκριβείας ἅπαντα μνημονεύετε, ἵνα μὴ ἁπλῶς καὶ ὡς ἔτυχε ταῖς γραφαῖς κεχρημένοι καὶ ἐπ' ὀλέθρῳ τῶν πλησίον, μετὰ πάσης σοφίας δυνηθῆτε διορθοῦν· δυνησόμεθα δὲ καὶ μεμνῆσθαι τῶν εἰρημένων, καὶ ἑτέρους διορθοῦν, ἂν εἰς εὐχὰς ἀεὶ καταφεύγωμεν, καὶ παρακαλῶμεν τὸν Θεὸν τὸν διδόντα λόγον σοφίας δοῦναι καὶ σύνεσιν ἀκροάσεως, καὶ φυλακὴν τῆς πνευματικῆς ταύτης παρακαταθήκης ἀκριβῆ καὶ ἀχείρωτον. ἃ γὰρ οὐκ ἰσχύομεν πολλάκις ἐξ οἰκείας κατορθῶσαι σπουδῆς, ταῦτα δυνησόμεθα λύσαι εὐμαρῶς δι' εὐχῶν, εὐχῶν δὲ λέγω τῶν διηνεκῶν. ἀεὶ γὰρ καὶ ἀδιαλείπτως εὔχεσθαι χρή, καὶ τὸν ἐν θλίψει, καὶ τὸν ἐν ἀνέσει, καὶ τὸν ἐν δεινοῖς, καὶ τὸν ἐν ἀγαθοῖς ὄντα· τὸν μὲν ἐν ἀνέσει καὶ πολλοῖς ἀγαθοῖς, ἵνα ἀκίνητα καὶ ἀμετάβλητα ταῦτα μένῃ καὶ μηδέποτε μεταπέσῃ· τὸν δὲ ἐν θλίψει καὶ πολλοῖς τοῖς δεινοῖς, ἵνα τινὰ χρηστὴν αὐτῷ ἴδῃ γινομένην μεταβολήν, καὶ εἰς γαλήνην παρηγορίας μεταβληθῇ. οὐκοῦν παρακαλεῖ τὸν Θεὸν βεβαίαν σοι μένειν τὴν γαλήνην ταύτην. χειμῶνα εἶδες ἐπαναστάντα; παρακάλει ἐκτενῶς τὸν Θεὸν παρενέγκαι τὸ κλυδώνιον, καὶ γαλήνην ἀπὸ χειμῶνος ποιῆσαι. ἠκούσθης; ἐπὶ τούτῳ εὐχαρίστησον, ἐπειδὴ ἠκούσθης. οὐκ ἠκούσθης; παράμεινον, ἵνα ἀκουσθῇς. κἂν γὰρ ἀναβάλληταί ποτε τὴν δόσιν ὁ Θεός, οὐχὶ μισῶν οὐδὲ ἀποστρεφόμενος, ἀλλὰ τῇ μελλήσει τῆς δόσεως διηνεκῶς σε παρ' ἑαυτῷ κατέχειν βουλόμενος, καθάπερ καὶ πατέρες φιλόστοργοι ποιοῦσι. καὶ γὰρ ἐκεῖνοι τῶν ῥαθυμοτέρων παίδων τὴν διηνεκῆ προσεδρείαν τῇ τῆς δόσεως ἀναβολῇ σοφίζονται. οὐ χρεία σοι μεσιτῶν ἐπὶ τοῦ Θεοῦ, οὐδὲ πολλῆς τῆς περιδρομῆς, καὶ τοῦ κολακεῦσαι ἑτέρους· ἀλλὰ κἂν ἔρημος ᾖς, κἂν ἀπροστάτευτος, αὐτὸς διὰ σαυτοῦ παρακαλέσας τὸν Θεὸν ἐπιτεύξῃ πάντως. οὐχ οὕτω δι' ἑτέρων ὑπὲρ ἡμῶν παρακαλούμενος ἐπινεύειν εἴωθεν, ὡς δι' ἡμῶν αὐτῶν τῶν δεομένων, κἂν μυρίων ὦμεν γέμοντες κακῶν. εἰ γὰρ ἐπ' ἀνθρώπων κἂν μυρία προσκεκρουκότες ὦμεν, ὅταν καὶ ὑπὸ τὴν ἕω καὶ μέσης ἡμέρας καὶ ἐν ἑσπέρᾳ φαινώμεθα τοῖς πρὸς ἡμᾶς λελυπημένοις, τῇ συνεχείᾳ καὶ τῇ διηνεκεῖ τῆς ὄψεως συντυχίᾳ καταλυόμεθα ῥᾳδίως αὐτῶν τὴν ἔχθραν, πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ τοῦτο γένοιτ' ἄν. ἀλλ' ἀνάξιος εἶ; γενοῦ τῇ προσεδρείᾳ ἄξιος. ὅτι γὰρ καὶ τὸν ἀνάξιον δυνατὸν ἄξιον ἐκ τῆς προσεδρείας γενέσθαι, καὶ δι' ἡμῶν αὐτῶν μᾶλλον ἢ δι' ἑτέρων παρακαλούμενος ὁ Θεὸς ἐπινεύει, καὶ ὅτι τὴν δόσιν ἀναβάλλεται πολλάκις, οὐχ ἡμᾶς ἐξαπορῆσαι βουλόμενος, οὐδὲ κεναῖς ἐκπέμψαι χερσίν, ἀλλ' ἵνα μειζόνων ἡμῖν ἀγαθῶν αἴτιος γένηται, τὰ περὶ ταῦτα διὰ τῆς παραβολῆς τῆς σήμερον ἀναγνωσθείσης ὑμῖν πειράσομαι ποιῆσαι φανερά. προσῆλθε τῷ Χριστῷ ἡ Χαναναία ὑπὲρ θυγατρὸς δεομένη δαιμονιζομένης, καὶ βοῶσα μετὰ πολλῆς ἐκτενείας, φησίν·
Ματθ. ιε. κϛ. Ἐλέησόν με, Κύριε, ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. ἰδοὺ ἀλλόφυλος ἡ γυνὴ καὶ βάρβα-

ρος καὶ τῆς πολιτείας τῆς Ἰουδαϊκῆς ἐκτός· καὶ τί γὰρ ἕτερον ἢ κύων, καὶ ἀνάξιος τοῦ λαβεῖν τὴν αἴτησιν; Οὐ γάρ ἐστι, φησί, καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ δοῦναι τοῖς κυναρίοις. ἀλλ' ὅμως ἀπὸ τῆς προσεδρείας γέγονεν ἀξία. οὐ γὰρ μόνον εἰς τὴν τῶν παίδων αὐτὴν εὐγένειαν εἰσήγαγε κύνα οὖσαν, ἀλλὰ καὶ μετὰ πολλῶν τῶν ἐγκωμίων ἐξέπεμψεν, εἰπών· Ὦ γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις. ὅταν δὲ ὁ Χριστὸς λέγῃ, μεγάλη* ἡ πίστις, μηδεμίαν ἑτέραν ἀπόδειξιν ζήτει τῆς μεγαλοψυχίας τῆς κατὰ τὴν γυναῖκα. Εἶδες πῶς ἐκ τῆς προσεδρείας γέγονεν ἀξία, ἀνάξια οὖσα ἡ γυνή; βούλει μαθεῖν καὶ ὅτι δι' ἡμῶν αὐτῶν μᾶλλον, ἢ δι' ἑτέρων παρακαλοῦντες αὐτὸν ἀνυόμεθα; ἔκραξεν αὕτη, καὶ προσελθόντες οἱ μαθηταὶ λέγουσιν· Ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν. καὶ πρὸς μὲν ἐκείνους φησίν, Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ· ὅτε δὲ αὐτὴ δι' ἑαυτῆς προσῆλθε καὶ ἐπέμενε βοῶσα, καὶ λέγουσα· Ναί, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν, τότε τὴν χάριν ἔδωκε, καί φησι· Γενηθήτω σοι ὡς θέλεις. Εἶδες πῶς, ὅτε μὲν ἐκεῖνοι παρεκάλουν, διεκρούσατο· ὅτε δὲ αὐτὴ ἡ δεομένη τῆς δωρεᾶς ἐβόησεν, ἐπένευσεν; ἐκείνοις μὲν γάρ φησιν, Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ· ταύτῃ δὲ εἶπε, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις. πάλιν παρὰ μὲν τὴν ἀρχὴν καὶ ἐν προοιμίῳ τῆς αἰτήσεως οὐδὲ ἀπεκρίνατο· ἐπειδὴ δὲ καὶ ἅπαξ καὶ δεύτερον καὶ τρὶς προσῆλθε, τότε τὴν χάριν ἔδωκε, διὰ τοῦ τέλους ἡμᾶς πείθων, ὅτι τὴν δόσιν ἀνεβάλετο, οὐχ ἵνα αὐτὴν διακρούσηται, ἀλλ' ἵνα πᾶσιν ἡμῖν δείξῃ τὴν ὑπομονὴν τῆς γυναικός. Εἰ γὰρ ἵνα αὐτὴν διακρούσηται ἀνεβάλετο, οὐδ' ἂν πρὸς τῷ τέλει ἔδωκεν· ἐπειδὴ δὲ ἀνέμενε δεῖξαι πᾶσιν αὐτῆς τὴν φιλοσοφίαν, διὰ τοῦτο ἐσίγα. Εἰ γὰρ εὐθέως ἔδωκε καὶ παρὰ τὴν ἀρχήν, οὐκ ἂν ἔγνωμεν τὴν ἀνδρείαν τῆς γυναικός. ἀπόλυσον αὐτήν, φησίν, ὅτι κράζει ὄπισθεν ἡμῶν. τί δὲ ὁ Χριστός; ὑμεῖς φωνὴν ἀκούετε, ἐγὼ δὲ τὴν διάνοιαν ὁρῶ· οἶδα τί μέλλει λέγειν, οὐ βούλομαι τὸν ἐγκεκρυμμένον αὐτῆς τῇ διανοίᾳ θησαυρὸν ἀφεῖναι λαθεῖν, ἀλλ' ἀναμένω καὶ σιγῶ, ἵνα αὐτὸν ἐκκαλύψας εἰς τὸ μέσον καταθῶμαι, καὶ πᾶσι ποιήσω φανερόν. Ταῦτ' οὖν ἅπαντα μαθόντες, κἂν ἐν ἁμαρτήμασιν ὦμεν, καὶ τοῦ λαβεῖν ἀνάξιοι, μὴ ἀπογινώσκωμεν, εἰδότες ὅτι τῇ προσεδρείᾳ τῆς ψυχῆς δυνησόμεθα γενέσθαι τῆς αἰτήσεως ἄξιοι. κἂν ἀπροστάτευτοι καὶ ἔρημοι ὦμεν, μὴ ἀπαγορεύωμεν, εἰδότες ὅτι μεγάλη προστασία, τὸ αὐτὸν δι' ἑαυτοῦ προσελθεῖν τῷ Θεῷ μετὰ προθυμίας πολλῆς. κἂν μέλλῃ καὶ ἀναβάλληται πρὸς τὴν δόσιν, μὴ ἀναπέσωμεν, μαθόντες, ὅτι ἡ μέλλησις καὶ ἡ ἀναβολὴ κηδεμονίας καὶ φιλανθρωπίας ἐστὶ τεκμήριον. ἂν οὕτως ὦμεν πεπεικότες ἑαυτούς, καὶ μετὰ ψυχῆς ὀδυνωμένης καὶ θερμῆς καὶ διεγηγερμένης προαιρέσεως, καὶ τοιαύτης, οἵας ἡ Χαναναία προσῆλθεν, αὐτῷ προσίωμεν καὶ ἡμεῖς, κἂν κύνες ὦμεν, κἂν ὁτιοῦν εἰργασμένοι δεινόν, καὶ τὰ οἰκεῖα ἀποκρουσόμεθα κακά, καὶ τοσαύτην ληψόμεθα παρρησίαν, ὡς καὶ ἑτέρων προστῆναι· ὃν τρόπον καὶ αὕτη ἡ Χαναναία, οὐ μόνον αὐτὴ παρρησίας ἀπέλαυσε καὶ μυρίων ἐγκωμίων, ἀλλὰ καὶ τὸ θυγάτριον τῶν ἀφορήτων ἴσχυσεν ἐξαρπάσαι δεινῶν. οὐδὲν γάρ, οὐδὲν εὐχῆς δυνατώτερον πεπυρωμένης καὶ γνησίας. αὕτη καὶ τὰ παρόντα διαλύει δεινά, καὶ τῶν κατ' ἐκεῖνον τὸν καιρὸν συμβαινόντων ἐξαρπάζει κολάσεων. ἵν' οὖν καὶ τὸν παρόντα βίον μετ' εὐκολίας διανύσωμεν, κἀκεῖ μετὰ παρρησίας ἀπέλθωμεν, πολλῇ σπουδῇ καὶ προθυμίᾳ ταύτην ἐπιτελέσωμεν διηνεκῶς. οὕτω γὰρ δυνησόμεθα καὶ τῶν ἀποκειμένων τυχεῖν ἀγαθῶν, καὶ τῶν χρηστῶν ἀπολαύειν ἐλπίδων· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ καὶ οἰκτιρμοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, τιμή, κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ματθ. 15. κζ.

α. Θεσ. δ. ιγ.

Λογ. ξα. ΕΙΣ ΤΟ ΡΗΤΟΝ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ· ΠΕΡΙ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ἵνα μὴ λυπῆσθε· καὶ εἰς τὸν Ἰὼβ καὶ τὸν Ἀβραάμ.

ΗΜέρας τέσσαρας ἀνηλώσαμεν τὴν κατὰ τὸν Λάζαρον παραβολὴν ὑμῖν ἐξηγούμενοι, τὸν θησαυρὸν ἐξαντλοῦντες, ὃν εὑρήκαμεν ἐν ἡλκωμένῳ κείμενον σώματι· θησαυρὸν οὐχὶ χρυσίον καὶ ἀργύριον καὶ λίθους ἔχοντα πολυτελεῖς, ἀλλὰ φιλοσοφίαν, καὶ ἀνδρείαν, καὶ ὑπομονὴν, καὶ καρτερίαν πολλήν. καθάπερ γὰρ ἐπὶ τῶν αἰσθητῶν θησαυρῶν τοῦτο συμβαίνει, τὴν μὲν ἐπιφάνειαν ἀκάνθας ἔχειν καὶ τριβόλους ἁπλῶς καὶ γῆν τραχυτέραν, εἰ δέ τις κάτω διασκάψειε, πολὺς ὁ πλοῦτος φαίνεται· οὕτω δὴ καὶ ἐπὶ τοῦ Λαζάρου συνέβαινεν. ἄνωθεν τραύματα, καὶ κάτωθεν πλοῦτος ἄφατος· παρειμένον τὸ σῶμα, ἀλλὰ γενναία καὶ ἐγρηγορυῖα ἡ ψυχή, καὶ τὸ ἀποστολικὸν ἦν ἰδεῖν ἐκεῖνο πληρούμενον ἐπὶ τούτου· β. Κορ. δ. ις. Ὅσον ὁ ἔξω ἄνθρωπος διαφθείρεται, τοσοῦτον ὁ ἐντὸς ἀνακαινοῦται. καὶ ἐνῆν μὲν καὶ τήμερον εἰς τὴν αὐτὴν παραβολὴν εἰπεῖν, καὶ πρὸς τοὺς αἱρετικοὺς μαχέσασθαι τοὺς τὴν παλαιὰν διαβάλλοντας, τοὺς τῶν πατριαρχῶν κατηγοροῦντας, τοὺς κατὰ τοῦ δημιουργοῦ τῶν ὅλων Θεοῦ τὴν γλῶτταν ἠκονηκότας· ἀλλ' ἵνα μὴ προσκορὴς ὑμῖν ὁ λόγος γένηται, τούτους εἰς ἕτερον ταμιευσάμενοι καιρὸν τοὺς ἀγῶνας, φέρε, πρὸς ἄλλην ὑπόθεσιν τὸν λόγον ἀγάγωμεν· ἐπεὶ καὶ τράπεζα μονοειδὴς μὲν οὖσα κόρον ἐντίθησιν, αἱ δὲ ποικίλαι τῇ συνεχείᾳ διεγείρουσι τὴν ὄρεξιν. ἵν' οὖν καὶ ἐπὶ τῆς ἀκροάσεως τοῦτο γένηται, πρὸς τὸν μακάριον Παῦλον διὰ μακροῦ τοῦ χρόνου τήμερον ἐπανέλθωμεν. καὶ γὰρ εἰς εὔκαιρον ἡμῖν τήμερον τὸ χωρίον ἀνεγνώσθη τὸ ἀποστολικὸν, καὶ σύμφωνα ἔσται τοῖς πρῴην λεχθεῖσι τὰ ῥηθησόμενα. ἠκούσατε τοίνυν τοῦ Παύλου α. Θεσ. δ. ιγ. σήμερον βοῶντος καὶ λέγοντος· Περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἵνα μὴ λυπῆσθε, ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. ἐκείνη εὐαγγελικὴ* ἱστορία ἡ τοῦ Λαζάρου, οὗτος ἀποστολικὸς ὁ φθόγγος· ἀλλὰ μία ἡ συμφωνία. καὶ γὰρ καὶ ἐν ἐκείνῃ τῇ παραβολῇ, πολλὰ περὶ ἀναστάσεως καὶ τῶν ἐκεῖ δικαστηρίων ἐφιλοσοφήσαμεν, καὶ νῦν εἰς τὴν αὐτὴν ἡμᾶς ὑπόθεσιν ὁ λόγος ἤγαγε πάλιν. ὥστε εἰ καὶ ἀποστολικὸν ἀνορύττομεν χωρίον, ἀλλὰ τὸν αὐτὸν καὶ ἐνταῦθα θησαυρὸν εὑρήσομεν. καὶ γὰρ καὶ τότε ὁ λόγος ἡμῖν ἅπας τοῦτο παιδεῦσαι τοὺς ἀκροατὰς ἔσπευδε, μηδὲν τοῦ παρόντος βίου τὰ λαμπρὰ νομίζειν εἶναι πράγματα, ἀλλὰ περαιτέρω προϊέναι ταῖς ἐλπίσι, καὶ τὰς ἐκεῖ ψήφους καθ' ἑκάστην ἐννοεῖν τὴν ἡμέραν, καὶ τὸ φοβερὸν κριτήριον, καὶ τὸν ἀπαραλόγιστον δικαστήν. ταῦτα καὶ ὁ Παῦλος διὰ τῶν ἀνεγνωσμένων ἡμῖν συμβουλεύει τήμερον, ἀλλὰ προσέχετε. α. Θεσ. δ. ιγ. Περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ἵνα μὴ λυπῆσθε, ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. Εἰ γὰρ πιστεύομεν, ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ Θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. τοῦτο πρῶτον ἄξιον ἐπιστήσαντας ἐξετάσαι, τί δήποτε, ὅταν μὲν περὶ τοῦ Χριστοῦ διαλέγηται, θάνατον καλεῖ τὸν ἐκείνου θάνατον· ὅταν δὲ περὶ τῆς ἡμετέρας τελευτῆς, κοίμησιν αὐτὴν, καὶ οὐ θάνατον ὀνομάζει. οὐ γὰρ εἶπε, περὶ δὲ τῶν ἀποθανόντων, ἀλλὰ τί; περὶ δὲ τῶν κεκοιμημένων. καὶ πάλιν· οὕτως ὁ Θεὸς καὶ τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ, καὶ οὐκ εἶπε, τοὺς ἀποθανόντας. καὶ πάλιν· α. Θεσ. δ. ιε. Ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας. καὶ οὐδὲ ἐνταῦθα εἶπε τοὺς ἀποθανόντας, ἀλλὰ τρίτον μνημονεύσας, τὸ τρίτον κοίμησιν τὸν θάνατον αὐτῶν ὠνόμασε· περὶ δὲ τοῦ Χριστοῦ οὐχ οὕτως, ἀλλὰ πῶς; Εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανε. καὶ οὐκ εἶπεν, ἐκοιμήθη, ἀλλ' ἀπέθανε. τίνος οὖν ἕνεκεν τὸν μὲν τοῦ Χριστοῦ θάνατον ἐκάλεσε, τὴν δὲ ἡμετέραν κοίμησιν; οὐ γὰρ ἁπλῶς, οὐδὲ παρέργως ταύτῃ κέχρηται τῶν λέξεων τῇ παρατηρήσει, ἀλλὰ σοφόν τι καὶ μέγα κατασκευάζων. ἐπὶ μὲν γὰρ τοῦ Χριστοῦ θάνατον ἐκάλεσεν, ἵνα τὸ πάθος πιστώσηται· ἐπὶ δὲ ἡμῶν κοίμησιν ἐκάλεσεν, ἵνα τὴν ὀδύνην παραμυθήσηται. ἔνθα μὲν γὰρ προεχώρησεν ἡ ἀνάστασις, θαῤῥῶν καλεῖ θάνατον· ἔνθα δὲ ἐν ἐλπίσιν ἐστὶ τὸ πρᾶγμα, κοίμησιν καλεῖ, καὶ δι' αὐτῆς παραμυθούμενος τῆς προσηγορίας ἡμᾶς, καὶ χρηστὰς ὑποτείνων ἐλπίδας. ὁ γὰρ κοιμώμενος ἀναστήσεται πάντως, καὶ οὐδὲν ἕτερόν ἐστι θάνατος, ἀλλ' ἢ ὕπνος μακρός. μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι οὔτε ἀκούει, οὔτε φθέγγεται, οὔτε ὁρᾷ, οὔτε αἰσθάνεται ὁ τετελευτηκώς· οὐδὲ γὰρ ὁ καθεύδων. εἰ δὲ χρή τι καὶ θαυμαστὸν εἰπεῖν, τοῦ μὲν καθεύδοντος καὶ ἡ ψυχή πως καθεύδει· τοῦ δὲ τελευτήσαντος οὐχ οὕτως, ἀλλ' ἐγρήγορεν. ἀλλ' ὁ τελευτήσας σήπεται καὶ διαφθείρεται, φησὶ, καὶ κόνις γίνεται καὶ τέφρα. καὶ τί τοῦτο, ἀγαπητέ; δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα χαίρειν δεῖ. καὶ γὰρ οἰκίαν τις μέλλων οἰκοδομεῖν σαθρωθεῖσαν καὶ παλαιὰν γενομένην, ἐκβαλὼν πρότερον τοὺς οἰκοῦντας, οὕτω καταλύει τὴν οἰκίαν, καὶ ἀνοικοδομεῖ λαμπροτέραν· καὶ τοὺς ἐκβληθέντας οὐ λυπεῖ τὸ γινόμενον, ἀλλὰ καὶ εὐφραίνει πλέον (οὐ γὰρ τῇ καθαιρέσει προσέχουσι τῇ βλεπομένῃ, ἀλλὰ τὴν μέλλουσαν οἰκοδομεῖν φαντάζονται τὴν οὐ βλεπομένην) οὕτω δὴ καὶ ὁ Θεὸς ποιεῖν μέλλων, καταλύει ἡμῶν τὸ σῶμα, καὶ τὴν ἐνοικοῦσαν [ἐν] αὐτῷ ψυχὴν ἐξάγει πρότερον, καθάπερ ἐξ οἰκίας τινὸς, ἵνα λαμπροτέραν αὐτὴν οἰκοδομήσας, μετὰ πλείονος αὐτὴν δόξης εἰσαγάγῃ πάλιν. μὴ τοίνυν τῇ καθαιρέσει προσέχωμεν, ἀλλὰ τῇ μελλούσῃ λαμπρότητι. πάλιν, ἀνδριάντα τις ἔχων ἰῷ καὶ χρόνῳ διεφθαρμένον, καὶ πολλὰ τῶν μερῶν ἀποτεθλασμένον, συντρίψας αὐτὸν εἰς χωνευτήριον ἐμβάλλει, καὶ τήξας αὐτὸν ἀκριβῶς, οὕτω λαμπρότερον ἀποδίδωσιν. ὥσπερ οὖν ἡ ἐν τῷ χωνευτηρίῳ συντριβὴ οὐκ ἀφανισμὸς, ἀλλ' ἀνακαινισμός ἐστι τοῦ ἀνδριάντος ἐκείνου· οὕτω καὶ τῶν ἡμετέρων σωμάτων ὁ θάνατος, οὐκ ἀπώλειά τίς ἐστιν, ἀλλ' ἀνανέωσις. ὅταν τοίνυν ἴδῃς, καθάπερ ἐν χωνευτηρίῳ, καταῤῥέουσαν ἡμῶν τὴν σάρκα καὶ σηπομένην, μὴ στῇς μέχρι τῆς ὄψεως ταύτης, ἀλλὰ τὴν ἀναχώνευσιν ἀνάμενε· καὶ μηδὲ τῷ μέτρῳ τοῦ παραδείγματος ἀρκεσθῇς τούτου, ἀλλ' ἐπὶ τὸ περαιτέρω πρόελθε τῷ λόγῳ. ὁ μὲν γὰρ ἀνδριαντοποιὸς χαλκοῦν ἐμβαλὼν σῶμα, οὐ χρυσοῦν καὶ ἀθάνατόν σοι ἀποδίδωσι τὸν ἀνδριάντα, ἀλλὰ χαλκοῦν ἐργάζεται πάλιν· ὁ δὲ Θεὸς οὐχ οὕτως, ἀλλὰ πήλινον καὶ θνητὸν ἐμβαλὼν σῶμα, χρυσοῦν καὶ ἀθάνατον ἀποδίδωσί σοι τὸν ἀνδριάντα. φθαρτὸν γὰρ ἡ γῆ δεξαμένη τὸ σῶμα καὶ ἐπίκηρον, ἄφθαρτον καὶ ἀκήρατον ἀποδίδωσι τὸ αὐτό. μὴ τοίνυν ἴδῃς ἐκεῖνον τὸν μεμυκότα τοὺς ὀφθαλμοὺς, τὸν ἄφωνον κείμενον, ἀλλὰ τὸν ἀνιστάμενον, τὸν ἀπολαμβάνοντα δόξαν ἄῤῥητον καὶ φρικώδη καὶ θαυμαστὴν, καὶ ἀπὸ τῆς παρούσης ὄψεως πρὸς τὴν μέλλουσαν ἐλπίδα μετάγαγε τοὺς λογισμούς.

Ἀλλὰ συνήθειαν ἐπιζητεῖς, καὶ διὰ τοῦτο ὀδύρῃ καὶ θρηνεῖς; καὶ πῶς οὐκ ἄτοπον, εἰ μὲν νυμφίῳ τὸ θυγάτριον δοίης, εἶτα λαβὼν εἰς μακρὰν ἐκεῖνος ἀπέλθοι χώραν, καὶ καλῶς πράττων διατελοίη, μηδὲν ἡγεῖσθαι δεινὸν τὸ γεγενημένον, τῇ τῆς εὐπραγίας φήμῃ παραμυθεῖσθαι τῆς ἀποδημίας τὴν ἀθυμίαν, ἐνταῦθα δὲ οὐκ ἀνθρώπου, οὐδὲ συνδούλου τινὸς, ἀλλ' αὐτοῦ τοῦ δεσπότου λαβόντος τὸν προσήκοντα, ἀλγεῖν καὶ ὀδύρεσθαι; καὶ πῶς οἷόν τε, φησὶ, μὴ ἀλγεῖν ἄνθρωπον ὄντα; οὐδὲ ἐγὼ τοῦτο λέγω· οὐδὲ τὴν ἀθυμίαν, ἀλλὰ τὴν ἐπίτασιν τῆς ἀθυμίας ἀναιρῶ. τὸ μὲν γὰρ ἀθυμεῖν, τῆς φύσεως· τὸ δὲ πέρα τοῦ μέτρου τοῦτο ποιεῖν, μανίας καὶ παραφροσύνης καὶ γυναικώδους ψυχῆς. ἄλγησον, δάκρυσον, ἀλλὰ μὴ ἀποδυσπετήσῃς, μὴ δυσχεράνῃς, μὴ ἀγανακτήσῃς. εὐχαρίστησον τῷ λαμβάνοντι, ἵνα κοσμήσῃς τὸν ἀπελθόντα, καὶ λαμπρὰ ταῦτα αὐτῷ συμπέμψῃς ἐντάφια. ἂν μὲν γὰρ δυσχεράνῃς, κἀκεῖνον καθύβρισας, καὶ τὸν λαβόντα παρώξυνας, καὶ σαυτὸν κατέβλαψας. ἂν δὲ εὐχαριστήσῃς, κἀκεῖνον ἐκόσμησας, καὶ τὸν λαβόντα ἐδόξασας, καὶ σαυτὸν ὠφέλησας. δάκρυσον, ὡς ὁ δεσπότης σου ἐδάκρυσε τὸν Λάζαρον, μέτρα τιθεὶς ἡμῖν καὶ κανόνας καὶ ὅρους ἀθυμίας, οὓς ὑπερβαίνειν οὐ δεῖ. οὕτω καὶ Παῦλος εἶπε· Περὶ δὲ τῶν κεκοιμημένων, φησὶν, οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἵνα μὴ λυπῆσθε, ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. λυποῦ, φησιν, ἀλλὰ μὴ ὡς Ἕλλην ὁ ἀπογινώσκων ἀναστάσεως, ὁ ἀπελπίζων τὴν μέλλουσαν ζωήν. αἰσχύνομαι, πιστεύσατε, καὶ ἐρυθριῶ, διὰ τῆς ἀγορᾶς χοροὺς γυναικῶν ὁρῶν ἀσχημονούσας, τρίχας τιλλομένας, βραχίονας τεμνομένας, παρειὰς σπαραττομένας, ὑπὸ τοῖς ὀφθαλμοῖς τῶν Ἑλλήνων ταῦτα γινόμενα. τί γὰρ οὐκ ἐροῦσιν ἐκεῖνοι; τί δὲ οὐ φθέγξονται περὶ ἡμῶν; οὗτοί εἰσιν οἱ περὶ ἀναστάσεως φιλοσοφοῦντες; πάνυ γε. οὐ γὰρ συμβαίνει τοῖς δόγμασι τὰ γινόμενα· ἐν ῥήμασι τὰ περὶ ἀναστάσεως φιλοσοφοῦσι, καὶ ἐν τοῖς πράγμασι τὰ τῶν ἀπεγνωκότων ποιοῦσιν. εἰ ἐθάῤῥουν οὗτοι, ὅτι ἀνάστασίς ἐστιν, οὐκ ἂν ταῦτα ἐποίησαν· εἰ πεπεικότες ἦσαν ἑαυτοὺς, ὅτι πρὸς βελτίονα λῆξιν ἀπῆλθεν οὗτος, οὐκ ἂν ἐθρήνησαν. ταῦτα, καὶ πλείονα τούτων λέγουσιν οἱ ἄπιστοι τῶν θρήνων ἐκείνων ἀκούοντες. αἰσχυνώμεθα τοίνυν, καὶ σωφρονῶμεν, καὶ μὴ τοσαύτην καὶ ἑαυτοῖς, καὶ τοῖς ὁρῶσι προξενῶμεν τὴν βλάβην. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, δακρύεις οὕτω τὸν ἀπελθόντα; ὅτι πονηρὸς ἦν; οὐκοῦν διὰ τοῦτο εὐχαριστεῖν δεῖ, ὅτι ἐνεκόπη τὰ τῆς κακίας αὐτῷ. ἀλλὰ χρηστὸς καὶ ἐπιεικής; καὶ διὰ τοῦτο χαίρειν δεῖ, ὅτι ταχέως ἡρπάγη, πρὶν ἢ τῇ κακίᾳ ἀλλάξῃ σύνεσιν, καὶ ἀπῆλθεν εἰς χωρίον, ἔνθα ἐπ' ἀσφαλείας λοιπὸν ἕστηκε, καὶ μεταβολὴν οὐκ ἔστιν ὑποπτεῦσαί τινα. ἀλλὰ νέος ἦν; καὶ διὰ τοῦτο δόξασον τὸν λαβόντα, ὅτι ταχέως αὐτὸν πρὸς τὴν βελτίονα λῆξιν ἐκάλεσεν. ἀλλὰ γεγηρακώς; καὶ διὰ τοῦτο εὐχαρίστησον, καὶ τὸν λαβόντα δόξασον πάλιν. αἰσχύνθητι τὸ σχῆμα τῆς ἐκφορᾶς· ψαλμῳδίαι, καὶ εὐχαὶ, καὶ πατέρων σύλλογος, καὶ πλῆθος ἀδελφῶν τοσοῦτον, οὐχ ἵνα κλαίῃς καὶ ὀδύρῃ καὶ ἀποδυσπετῇς, ἀλλ' ἵνα εὐχαριστῇς τῷ λαβόντι. καθάπερ γὰρ τοὺς εἰς ἀρχὴν καλουμένους πολλοὶ προπέμπουσι ταῖς εὐφημίαις, οὕτω καὶ τῶν ἁγίων τοὺς ἀπιόντας, ἅτε ἐπὶ μείζονα κληθέντας τιμὴν, μετὰ πολλῆς ἅπαντες προπέμπουσι τῆς εὐφημίας. ἀνάπαυσίς ἐστιν ὁ θάνατος, ἱδρώτων καὶ φροντίδων βιωτικῶν ἀπαλλαγή. ὅταν οὖν ἴδῃς τινὰ τῶν προσηκόντων ἀπελθόντα ἐντεῦθεν, μὴ δυσχεράνῃς, ἀλλὰ κατανύγηθι, πρὸς σεαυτὸν ἐπάνελθε, τὸ συνειδὸς ἐξέτασον, σκόπησον ὅτι καὶ σὲ μικρὸν ὕστερον τοῦτο μένει τὸ τέλος. γενοῦ σωφρονέστερος, καὶ δέξαι φόβον ἀπὸ τῆς ἑτέρου τελευτῆς, καὶ ῥαθυμίαν περίκοψον ἅπασαν, ἀναλόγισαι τὰ πεπραγμένα, διόρθωσον τὰ ἡμαρτημένα, ἀρίστην ποίησον μεταβολήν. τούτῳ διεστήκαμεν τῶν ἀπίστων, τῷ κρίσεις ἑτέρας περὶ τῶν πραγμάτων ἔχειν. ὁρᾷ τὸν οὐρανὸν ὁ ἄπιστος, καὶ προσκυνεῖ· Θεὸν γὰρ εἶναι νομίζει· ὁρᾷ τὴν γῆν, καὶ θεραπεύει, καὶ πρὸς τὰ αἰσθητὰ κέχηνεν· ἀλλ' ἡμεῖς οὐχ οὕτως, ἀλλ' ὁρῶμεν τὸν οὐρανὸν, καὶ τὸν πεποιηκότα αὐτὸν θαυμάζομεν. οὐ γὰρ Θεὸν αὐτὸν, ἀλλ' ἔργον εἶναι Θεοῦ πεπιστεύκαμεν. ὁρῶ τὴν κτίσιν ἅπασαν, καὶ δι' αὐτῆς χειραγωγοῦμαι πρὸς τὸν δημιουργόν. ὁρᾷ πλοῦτον ἐκεῖνος, καὶ κέχηνε καὶ ἐκπέπληκται· ὁρῶ πλοῦτον ἐγὼ, καὶ καταγελῶ. ὁρᾷ πενίαν ἐκεῖνος, καὶ ὀδύρεται· ὁρῶ πενίαν ἐγὼ, καὶ ἀγάλλομαι. ἑτέρως ἐγὼ βλέπω τὰ πράγματα, καὶ ἑτέρως ἐκεῖνος. οὕτω καὶ ἐπὶ τοῦ θανάτου ποιοῦμεν· ὁρᾷ νεκρὸν ἐκεῖνος, καὶ νομίζει νεκρὸν εἶναι· ὁρῶ νεκρὸν ἐγὼ, καὶ ὕπνον ἀντὶ θανάτου βλέπω. καὶ καθάπερ ἐπὶ τῶν γραμμάτων, τοῖς μὲν αὐτοῖς ὁρῶμεν αὐτὰ ὀφθαλμοῖς οἵ τε εἰδότες, οἵ τε ἀγνοοῦντες τὰ γράμματα, οὐ τῇ αὐτῇ δὲ διανοίᾳ, ἀλλ' οἱ μὲν οὐκ εἰδότες γράμματα ἁπλῶς εἶναι νομίζουσι τὰ βλεπόμενα, οἱ δὲ ἐπιστάμενοι μετὰ πολλῆς τέχνης τὸν ἐναποκείμενον νοῦν ἀναλέγονται· οὕτω δὲ καὶ ἐπὶ τῶν πραγμάτων τοῖς μὲν αὐτοῖς ὀφθαλμοῖς ὁρῶμεν τὰ συμβαίνοντα, οὐ τῇ αὐτῇ δὲ διανοίᾳ καὶ γνώμῃ. οἱ τοίνυν ἐπὶ τῶν ἄλλων ἁπάντων διεστηκότες αὐτῶν, ἐν ταῖς περὶ τοῦ θανάτου συμπεσώμεθα ψήφοις; ἐννόησον πρὸς

α. Θεσ. δ. ιγ.

τινα ἀπῆλθε, καὶ λάβε παραμυθίαν· ἔνθα Παῦλός ἐστιν, ἔνθα Πέτρος, ἔνθα τῶν ἁγίων ὁ χορὸς ἅπας. ἐννόησον πῶς ἀναστήσεται, μεθ' ὅσης δόξης καὶ λαμπρότητος, ἐννόησον ὅτι πενθῶν καὶ ὀδυρόμενος οὔτε τὸ γεγενημένον δυνήσῃ διορθώσασθαι τοῖς ὀδυρμοῖς, καὶ σαυτὸν καταβλάψεις τὰ ἔσχατα. ἐννόησον τίνας μιμῇ τοῦτο ποιῶν, καὶ φεῦγε τὴν κοινωνίαν τῆς ἁμαρτίας. τίνας οὖν μιμῇ καὶ ζηλοῖς; τοὺς* οὐκ ἔχοντας ἐλπίδα, καθάπερ καὶ ὁ Παῦλος εἶπεν· ἵνα μὴ λυπῆσθε, ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. καὶ πρόσεχε τῇ τοῦ ῥήματος ἀκριβείᾳ. οὐ γὰρ εἶπεν, οἱ μὴ ἔχοντες ἐλπίδα ἀναστάσεως, ἀλλ' ἁπλῶς, οἱ μὴ ἔχοντες ἐλπίδα. ὁ γὰρ ἐλπίδα τῆς ἐκεῖ κρίσεως μὴ ἔχων, οὐδεμίαν ἐλπίδα ἔχει, οὐδὲ ὅτι Θεός ἐστιν οἶδεν, οὐδὲ ὅτι προνοεῖται τῶν παρόντων πραγμάτων, οὐδὲ ὅτι τὰ πάντα θεία τις ἐφορᾷ δίκη. ὁ ταῦτα δὲ οὐκ εἰδὼς οὐδὲ νομίζων, θηρίου παντός ἐστιν ἀλογώτερος, καὶ νόμους καὶ δικαστήρια καὶ θεσμοὺς καὶ πάντα ἁπλῶς τὰ ἀγαθὰ ἀπὸ τῆς οἰκείας ἐξορίσας ψυχῆς. ὁ γὰρ μὴ προσδοκῶν εὐθύνας ὑφέξειν τῶν πεπραγμένων, πάσης μὲν ἀρετῆς ἀφέξεται, πάσης δὲ κακίας ἀνθέξεται. ταῦτ' οὖν ἐννοήσαντες, καὶ τὴν ἄνοιαν καὶ τὴν παραπληξίαν τῶν Ἑλλήνων, οἷς κοινωνοῦμεν διὰ τῶν θρήνων, λογισάμενοι φεύγωμεν τὴν πρὸς αὐτοὺς συμφωνίαν. διὰ γὰρ τοῦτο καὶ Παῦλος αὐτῶν ἀνεμνήσθη, ἵνα τὴν ἀτιμίαν ἐννοήσας πρὸς ἣν καταπίπτεις, ἐκ τῆς πρὸς ἐκείνους συμφωνίας ἀνανήψῃς καὶ πρὸς τὴν οἰκείαν εὐγένειαν ἐπανέλθῃς. καὶ οὐκ ἐνταῦθα μόνον, ἀλλὰ πολλαχοῦ τοῦτο ποιεῖ καὶ συνεχῶς ὁ μακάριος Παῦλος. ὅταν γὰρ ἀπαγαγεῖν τῶν ἁμαρτημάτων βούληται, δείκνυσι τίσι κοινωνοῦμεν διὰ τῶν ἁμαρτημάτων, ἵνα τῇ ποιότητι τοῦ προσώπου δηχθεὶς, τὴν κοινωνίαν φύγῃς. Θεσσαλονικεῦσι γοῦν γράφων, οὕτως ἔλεγεν· Ἕκαστος τὸ ἑαυτοῦ σῶμα κτᾶσθε ἐν ἁγιασμῷ καὶ τιμῇ, μὴ ἐν πάθει ἀτιμίας, καθάπερ ἔθνη τὰ μὴ εἰδότα Θεόν. καὶ πάλιν, Μὴ καθὼς τὰ λοιπὰ ἔθνη περιπατεῖτε ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν. οὕτω δὴ καὶ ἐνταῦθα· Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. οὐ γὰρ ἡ φύσις τῶν πραγμάτων, ἀλλ' ἡ προαίρεσις ἡ ἡμετέρα λυπεῖν ἡμᾶς εἴωθεν· οὐχ ὁ θάνατος τοῦ ἀπελθόντος, ἀλλ' ἡ ἀσθένεια τῶν θρηνούντων. ὁ μὲν γοῦν πιστὸς οὐδὲν τῶν παρόντων λυπῆσαι δυνήσεται, ἀλλὰ περὶ τῶν μελλόντων ἀγαθῶν καὶ ἐν τῷ παρόντι διέστηκε τῶν ἀπίστων, οὐ μικρὰ ἀπολαμβάνων ἐκ τῆς κατὰ Χριστὸν φιλοσοφίας ἀγαθὰ, καὶ μεγίστην ἐκ τούτου καρπούμενος εὐθυμίαν καὶ διηνεκῆ χαράν. διὸ καὶ Παῦλός φησι· Χαίρετε ἐν Κυρίῳ πάντοτε· πάλιν ἐρῶ, χαίρετε. ὥστε καὶ περὶ τῆς ἀναστάσεως οὐ μικρὰν ταύτην ἐλάβομεν ἀμοιβὴν, τῷ μὴ καταπίπτειν ἐπὶ μηδενὶ τῶν συμπιπτόντων δεινῶν, ἀλλὰ τῇ τῶν μελλόντων ἐλπίδι παραμυθίας ἀπολαύειν πολλῆς. ὥσπερ οὖν ἑκατέρωθεν ἡμεῖς κερδαίνομεν, οὕτως ὁ ἄπιστος ἑκατέρωθεν καταβλάπτεται, καὶ τῷ κολάζεσθαι ὕστερον διὰ τὴν τῆς ἀναστάσεως ἀπιστίαν, καὶ τῷ καταπίπτειν ἐπὶ τοῖς παροῦσι πράγμασι, διὰ τὸ μηδὲν προσδοκᾶν μετὰ ταῦτα χρηστόν.

α. Θεσ. δ. ε.
Εφεσ. δ. ιζ.
Φιλιπ. δ. δ.

Οὐ τοίνυν διὰ τὴν ἀνάστασιν μόνον ὀφείλομεν εὐχαριστεῖν τῷ Θεῷ, ἀλλὰ καὶ διὰ τὴν ἐλπίδα τῆς ἀναστάσεως, ἣ καὶ τὴν ὀδυνωμένην δύναται παραμυθήσασθαι ψυχὴν, καὶ πεῖσαι περὶ τῶν ἀπελθόντων θαῤῥεῖν, ὡς ἀναστησομένων πάλιν καὶ συνεσομένων ἡμῖν. εἰ γὰρ ἀλγεῖν χρὴ καὶ πενθεῖν, τοὺς ἐν ἁμαρτίαις ζῶντας πενθεῖν δεῖ καὶ ὀδύρεσθαι, οὐ τοὺς ἀπελθόντας μετ' ἀρετῆς. οὕτω καὶ Παῦλος ποιεῖ. Κορινθίοις γὰρ ἐπιστέλλων φησί· Μή πως ἐλθόντα με πρὸς ὑμᾶς ταπεινώσῃ ὁ Θεὸς, καὶ πενθήσω πολλούς. οὐκ εἶπε τῶν ἀποθανόντων, ἀλλὰ τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀσελγείᾳ καὶ ἀκαθαρσίᾳ ᾗ ἔπραξαν, τούτους δεῖ πενθεῖν. οὕτω καὶ ἄλλος παραινεῖ, λέγων· Κλαῦσον ἐπὶ νεκρῷ, ἐξέλιπε γὰρ φῶς· καὶ ἐπὶ μωρῷ κλαῦσον, ἐξέλιπε γὰρ σύνεσις. ὀλίγον κλαῦσον ἐπὶ νεκρῷ, ὅτι ἀναπέπαυται· τοῦ δὲ μωροῦ ὑπὲρ τὸν θάνατον ἡ ζωὴ πονηρά. Εἰ δὲ ὁ συνέσεως ἀ-

β. Κορ. ιβ. κα.
Σειρ. κβ. ι.

περιῃρημένος διαπαντὸς ἄξιος ἂν εἴη θρηνεῖσθαι, πολλῷ μᾶλλον ὁ δικαιοσύνης ἔρημος, καὶ τῆς κατὰ Θεὸν ἐλπίδος ἐκπεπτωκώς. τούτους οὖν πενθῶμεν ἡμεῖς· τοῦτο μὲν γὰρ ἔχει κέρδος τὸ πένθος. πολλάκις γοῦν τοὺς τοιούτους θρηνοῦντες διωρθωσάμεθα· τὸ δὲ ἐπὶ τοῖς ἀπελθοῦσιν, ἀνόητον ὁμοῦ καὶ βλαβερόν. μὴ τοίνυν ἀντιστρέψωμεν τὴν τάξιν, ἀλλ' ἁμαρτίας θρηνῶμεν μόνον· τὰ δὲ ἄλλα πάντα, κἂν πενία, κἂν νόσος, κἂν θάνατος ἄωρος, κἂν ἐπήρεια, κἂν συκοφαντία, κἂν ὁποιονοῦν προσπίπτῃ τῶν ἀνθρωπίνων κακῶν, πάντα γενναίως φέρωμεν. ὑπόθεσις γὰρ ἡμῖν τὰ δεινὰ ταῦτα στεφάνων εἰσὶ πλειόνων, ἂν νήφωμεν. καὶ πῶς ἐστιν ἄνθρωπον ὄντα, φησί, μὴ ἀλγεῖν; τοὐναντίον μὲν οὖν λέγω· πῶς ἐστιν ἄνθρωπον ὄντα ἀλγεῖν; λόγῳ τιμηθέντα καὶ λογισμῷ, καὶ ταῖς περὶ τῶν μελλόντων ἐλπίσι; καὶ τίς ἐστιν, ὃς οὐχ ἑάλω τῷ πάθει τούτῳ, φησί; πολλοὶ καὶ πολλαχοῦ, καὶ ἐφ' ἡμῶν, καὶ ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων. ὁ γοῦν Ἰὼβ, ὁλοκλήρου τοῦ χοροῦ τῶν παίδων ἀπελθόντος, ἄκουσον τί φησιν. Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο. θαυμαστὰ μὲν οὖν ταῦτα καὶ ἁπλῶς ἀκουόμενα· ἂν δὲ καὶ μετὰ ἀκριβείας ἐξετάσῃς αὐτά, τότε μειζόνως ὄψει τὸ θαῦμα. ἐννόησον γάρ, ὅτι οὐχὶ τοὺς ἡμίσεις ἔλαβεν ὁ διάβολος, καὶ τοὺς ἡμίσεις ἀφῆκεν, οὐδὲ τοὺς πλείονας ἔλαβε, καὶ τοὺς ἐλάττους ἀφῆκεν· ἀλλὰ ὁλόκληρον ἐτρύγησε τὸν καρπόν, καὶ τὸ δένδρον οὐ κατέβαλε· πᾶσαν ἐπήγαγε τὴν θάλατταν μετὰ τῶν κυμάτων, καὶ τὸ σκάφος οὐ κατεπόντισεν· ὅλην τὴν δύναμιν ἐκένωσε, καὶ τὸν πύργον οὐκ ἔσεισεν, ἀλλὰ εἱστήκει πάντοθεν βαλλόμενος, καὶ ἀκλινὴς μένων· καὶ νιφάδες ἐφέροντο βελῶν, καὶ οὐκ ἐπλήττετο· μᾶλλον δὲ ἐπέμποντο μέν, οὐκ ἐτίτρωσκον δέ. ἐννόησον ὅσον ἐστὶ τοσούτους παῖδας ἰδεῖν ἀπολωλότας. τί γὰρ οὐκ ἦν ἱκανὸν δάκνειν; τὸ πάντας ἀναρπασθῆναι; τὸ πάντας ἀθρόον καὶ ἐν ἡμέρᾳ μιᾷ; τὸ ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει; τὸ πολλὴν ἀρετὴν ἐπιδεδειγμένους; τὸ τρόπῳ τοιούτῳ τιμωρίας καταλῦσαι τὸν βίον; τὸ μετὰ τοσαύτας πληγὰς ἐσχάτην ἐπενεχθῆναι ταύτην; τὸ φιλόστοργον εἶναι τὸν γεγεννηκότα; τὸ ποθεινοὺς εἶναι τοὺς ἀπελθόντας; ὅταν γὰρ πονηρούς τις ἀποβάλῃ παῖδας, δάκνεται μὲν ὡς πατήρ, πλὴν ἀλλ' οὐ μετὰ πολλῆς τῆς σφοδρότητος. ἡ γὰρ πονηρία τῶν ἀπελθόντων, δριμυτέραν οὐκ ἀφίησι γενέσθαι τὴν ὀδύνην. ὅταν δὲ καὶ ἐνάρετοι ὦσι, μόνιμον τὸ τραῦμα γίνεται, ἄληστος ἡ μνήμη, ἀπαραμύθητον τὸ κακόν, διπλοῦν τὸ κέντρον, τὸ μὲν ἀπὸ τῆς φύσεως, τὸ δὲ ἀπὸ τῆς ἀρετῆς τῶν ἀπελθόντων. ὅτι δὲ ἦσαν ἐνάρετοι, δῆλον ἐκεῖθεν. πολλὴν αὐτῶν ὁ πατὴρ ἐποιεῖτο τὴν ἐπιμέλειαν, καὶ ἀνιστάμενος θυσίας προσέφερεν ὑπὲρ αὐτῶν, καὶ ὑπὲρ τῶν ἀδήλων ἁμαρτημάτων δεδοικώς, καὶ οὐδὲν αὐτῷ τούτου προτιμότερον ἦν. τοῦτο δὲ οὐ τῶν παίδων τὴν ἀρετὴν δείκνυσι μόνον, ἀλλὰ καὶ τὴν τοῦ πατρὸς φιλοστοργίαν. ὅταν οὖν καὶ πατὴρ ᾖ, καὶ οὕτω φιλόστοργος, μὴ τὸν ἀπὸ τῆς φύσεως πόθον ἐνδεικνύμενος μόνον, ἀλλὰ καὶ τὸν ἀπὸ τῆς εὐλαβείας, ἀλλὰ καὶ οἱ ἀπελθόντες οὕτως ἐνάρετοι, τριπλῆ γίνεται τῆς ἀθυμίας ἡ πυρά. πάλιν, ὅταν κατὰ μέρος ἀναρπάζωνται, ἔχει τινὰ παραμυθίαν τὸ πάθος. οἱ γὰρ ἐπιλειπόμενοι τὴν ἐπὶ τοῖς ἀπελθοῦσι συσκιάζουσιν ἀθυμίαν· ὅταν δὲ ὁλόκληρος ὁ χορὸς ἀπέλθῃ, πρὸς τίνα δυνήσεται ἰδεῖν ὁ πολύπαις ἀθρόον ἄπαις γενόμενος; μετὰ τούτων πάλιν ἐστὶ καὶ πέμπτην εἰπεῖν πληγήν. ποίαν δὴ ταύτην; τὸ ἀθρόον αὐτοὺς ἀναρπασθῆναι πάντας. εἰ γὰρ ἐν τρισὶν, ἢ πέντε ἡμέραις ἀπελθόντων τινῶν, αἱ γυναῖκες καὶ οἱ προσήκοντες ἅπαντες τοῦτο μάλιστα πάντων ὀλοφύρονται, ὅτι ταχέως καὶ ἐξαίφνης ἀνηρπάγη τῆς ἐκείνων ὄψεως ὁ τετελευτηκώς, πολλῷ μᾶλλον οὗτος ἂν ἤλγησεν οὐκ ἐν ἡμέραις τρισὶ καὶ δυσὶ καὶ μιᾷ, ἀλλ' ἐν ὥρᾳ μιᾷ πάντας οὕτως ἀφαιρεθείς. τὸ μὲν γὰρ μελετηθὲν τῷ χρόνῳ δεινόν, κἂν σφόδρα ἀφόρητον ᾖ, τῇ προσδοκίᾳ κοῦφον ἂν γένοιτο ῥᾳδίως· τὸ δὲ παρ' ἐλπίδα συμβὰν καὶ ἐξαίφνης, ἀφόρητον γίνεται. ὅταν οὖν τι καθ' ἑαυτὸ χαλεπὸν ᾖ, καὶ τὴν ἐκ τοῦ παρ' ἐλπίδα συμβῆναι λαμβάνῃ προσθήκην, ἐννόησον πῶς ἀφόρητον γίνεται, καὶ πάντα ὑπερβαίνει λόγον.

Ἰὼβ α. κα.

γρ. διορθούμεθα.

γρ. δεινῶν

λόγον. βούλει καὶ ἕκτην ἀκοῦσαι πληγήν; ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει πάντας ἀπώλεσεν. ἴστε δὲ ὅπως οἱ ἄωροι δάκρυσι θάνατοι, καὶ ποικίλον ποιοῦσι τὸ πένθος· οὗτος δὲ οὐκ ἄωρος μόνον ἦν, ἀλλὰ καὶ βίαιος, ὡς εἶναι καὶ ταύτην ἑβδόμην πληγήν. οὐ γὰρ ἐπὶ κλίνης εἶδεν αὐτοὺς ἀποπνέοντας καὶ ψυχορραγοῦντας, ἀλλὰ τῇ οἰκίᾳ καταχωσθέντας ἅπαντας. ἐννόησον τοίνυν, τίς ἦν ἀνορύττων ἐκεῖνο τὸ χῶμα, καὶ νῦν μὲν λίθον, νῦν δὲ μέλος ἀνέλκων παιδίου, καὶ χεῖρα ὁρῶν ἔτι φιάλην κατέχουσαν, καὶ δεξιὰν ἑτέραν ἐπικειμένην τῷ πίνακι, καὶ αὐτὸν τοῦ σώματος διεφθαρμένον τὸν τύπον, ῥινὸς συντριβείσης, κεφαλῆς διαθλασθείσης, ὀφθαλμῶν ἀφανισθέντων, ἐγκεφάλου διεσπαρμένου, πάσης ἁπλῶς τῆς μορφῆς διεφθαρμένης, καὶ τῆς τῶν τραυμάτων ποικιλίας οὐκ ἀφιείσης τὸν πατέρα τῶν ποθουμένων ὄψεων ἐπιγνῶναι τὸν τύπον. συνεχύθητε ταῦτα ἀκούοντες, καὶ δακρύετε; ἐννοήσατε τοίνυν, τίς ἦν ἐκεῖνος ταῦτα ὁρῶν. εἰ γὰρ ἡμεῖς μετὰ τοσοῦτον χρόνον οὐ δυνάμεθα ἀδακρυτὶ τῆς τραγῳδίας ἐκείνης τὴν ἀκοὴν ἐνεγκεῖν, καὶ ταῦτα ἀλλοτρίας ἀκούοντες συμφοράς, τίς ἦν ὁ ἀδάμας ἐκεῖνος θέᾳ ταῦτα περιλαμβάνων, οὐκ ἐν ἀλλοτρίοις, ἀλλ᾽ ἐν οἰκείοις φιλοσοφῶν κακοῖς; οὐδὲ γὰρ ἀπεδυσπέτησεν*, οὐδὲ τοιοῦτον οὐδὲν εἶπε, τί ποτε τοῦτο ἐστιν; αὕτη μοι τῆς φιλοφροσύνης ἡ ἀμοιβή; διὰ τοῦτο τοῖς ξένοις ἀνέῳξα τὴν οἰκίαν, ἵνα τάφον τῶν παίδων γινομένην αὐτὴν ἐπίδω; διὰ τοῦτο πᾶσαν περὶ αὐτοὺς ἀρετὴν ἐπεδειξάμην, ἵνα τοιοῦτον ὑπομείνωσι θάνατον; οὐδὲν τούτων οὐκ εἶπεν, οὐκ ἐνενόησεν· ἀλλ᾽ ἔφερε πάντα γενναίως καὶ μετὰ τοσαύτην ἐπιμέλειαν αὐτῶν ἀφαιρεθείς. καθάπερ γὰρ * ἄριστος ἀνδριαντοποιὸς χρυσοῦς διαπλάττων ἀνδριάντας, μετὰ πολλῆς καλλωπίζει τῆς ἀκριβείας· οὕτω καὶ αὐτὸς τὰς ἐκείνου ἐρρύθμιζε ψυχὰς διαπλάττων, καὶ κατακοσμῶν. καὶ καθάπερ τις γεωργὸς φιλόπονος στελέχη φοινίκων ἢ ἐλαιῶν ἄρδων, τειχίζων, περιφράττων, παντὶ θεραπεύων τρόπῳ διατελεῖ· οὕτω καὶ οὗτος οὐ διελίμπανε, καθάπερ ἐλαίαν τινὰ κατάκαρπον, τὴν ἑκάστου ψυχὴν εἰς πλείονα ἀρετῆς αὔξων ἐπίδοσιν. ἀλλ᾽ εἶδε τὰ στελέχη τῇ τοῦ πονηροῦ πνεύματος προσβολῇ ἀνασπασθέντα, καὶ ἐπὶ γῆς ἐκταθέντα, καὶ τὸν ἐλεεινὸν τῆς τελευτῆς ὑπομείναντα τρόπον, καὶ οὐδὲν βλάσφημον ἐφθέγξατο*, ἀλλὰ καὶ εὐχαρίστησε, καιρίαν δοὺς τῷ διαβόλῳ τὴν πληγήν. εἰ δὲ λέγοις, ὅτι πολλοὺς εἶχεν οὗτος υἱούς, ἄλλος δὲ πολλάκις ἕνα μονογενῆ ἔχων ἀπώλεσε, καὶ οὐκ ἴσον τὸ πένθος, καλῶς λέγεις. κἀγώ σοί φημι, ὅτι οὐκ ἴσον τὸ πένθος, ἀλλὰ πολλῷ μεῖζον τὸ τοῦ Ἰώβ. τί γὰρ αὐτῷ τῆς πολυπαιδίας ὄφελος; τραχυτέραν αὐτῷ τὴν συμφορὰν ἐποίησε καὶ πικροτέραν τὴν ὀδύνην τὸ ἐν πλείοσι σώμασι τὸ τραῦμα δέξασθαι.

Εἰ δὲ βούλει καὶ ἕτερον ἰδεῖν ἅγιον μονογενῆ παῖδα ἔχοντα, καὶ τὴν αὐτὴν ἢ καὶ πλείονα ἀνδρείαν ἐπιδειξάμενον, ἀναμνήσθητι τοῦ πατριάρχου Ἀβραάμ, ὃς οὐκ εἶδε τὸν Ἰσαὰκ ἀποθανόντα, ἀλλ᾽, ὃ πολλῷ πικρότερον ἦν καὶ ὀδυνηρότερον, αὐτὸς αὐτὸν κατασφάξαι ἐπετάττετο, καὶ οὐκ ἀντεῖπε πρὸς τὸ ἐπίταγμα, οὐδὲ ἐδυσχέρανεν, οὐδὲ ἐφθέγξατό τι τοιοῦτον· διὰ τοῦτό με πατέρα ἐποίησας, ἵνα παιδοκτόνον ἀπεργάσῃ; βέλτιον ἦν μὴ δοῦναι τὴν ἀρχήν, ἢ δόντα τοιούτῳ τρόπῳ αὐτὸν ἀφέλεσθαι. βούλει λαβεῖν; τίνος ἕνεκεν κἀμὲ κατασφάξαι κελεύεις, καὶ τὴν δεξιὰν μιᾶναι τὴν ἐμαυτοῦ; οὐκ ἀπὸ τούτου μοι τοῦ παιδίου τὴν οἰκουμένην ἐμπλῆσαι τῶν ἀπογόνων ὑπέσχου; πῶς οὖν τοὺς καρποὺς δίδως τὴν ῥίζαν ἀναιρῶν; πῶς δὲ ἀπογόνους ἐπαγγέλλῃ τὸν υἱὸν κατασφάττειν κελεύων; τίς ταῦτα εἶδε; τίς τοιαῦτα ἤκουσεν; ἠπάτημαι, παρελογίσθην. οὐδὲν τοιοῦτον οὐκ εἶπεν, οὐκ ἐνενόησεν, οὐκ ἀντεῖπε τῷ κελεύσαντι, οὐκ ἀπῄτησεν εὐθύνας, ἀλλὰ ἀκούσας· Λάβε τὸν υἱόν σου τὸν ἀγαπητόν, ὃν ἠγάπησας, τὸν Ἰσαάκ, καὶ ἀνάγαγε αὐτὸν ἐφ᾽ ἓν τῶν ὀρέων ὧν ἄν σοι εἴπω, μετὰ τοσαύτης προθυμίας τὸ ἐπίταγμα ἐπλήρωσεν, ὡς καὶ πλείονα τῶν ἐπιταχθέντων ποιῆσαι. καὶ γὰρ τὸ γύναιον ἔκρυψε, καὶ τοὺς παῖδας ἔλαθε κάτω μένειν ἀφείς, καὶ μόνον τὸ ἱερεῖον λαβὼν

Γεν κβ. ϐ

ἀνῄει. οὕτως οὐκ ἄκων, ἀλλὰ μετὰ προθυμίας πολλῆς τὸ κελευσθὲν ἐπετέλει. ἐννόησον τοίνυν ἡλίκον ἦν, μόνον μόνῳ διαλέγεσθαι τῷ παιδί, μηδενὸς παρόντος, ὅτε μᾶλλον τὰ σπλάγχνα διαθερμαίνεται, καὶ σφοδρότερον τὸ φίλτρον γίνεται, καὶ τοῦτο οὐκ ἐν μιᾷ ἢ δυσίν, ἀλλὰ καὶ ἐν πλείοσιν ἡμέραις. τὸ μὲν γὰρ ταχέως ποιῆσαι τὸ ἐπιταχθέν, θαυμαστὸν καὶ μέγα, ἀλλ' οὐκ οὕτω θαυμαστόν, ὡς τὸ, διὰ πολλῶν ἡμερῶν βασανιζομένης αὐτοῦ καὶ γυμναζομένης τῆς ψυχῆς, μηδὲν παθεῖν πρὸς τὸ παιδίον ἀνθρώπινον. διὰ γὰρ τοῦτο αὐτῷ καὶ μακρότερα σκάμματα ἐπέθηκεν ὁ Θεός, καὶ τὸ στάδιον ἐξέτεινεν, ἵνα ἀκριβέστερον ἴδῃς τὸν ἀθλητήν. καὶ γὰρ ἦν ἀθλητὴς ὄντως, οὐκ ἀνθρώπῳ παλαίων, ἀλλ' αὐτῇ τῇ τῆς φύσεως τυραννίδι. ποῖος λόγος παραστῆσαι δυνήσεται τὴν ἀνδρείαν; ἀνήγαγε τὸ παιδίον, συνεπόδισε, τοῖς ξύλοις ἐπέθηκε, τὴν μάχαιραν ἥρπασεν, ἐπάγειν τὴν πληγὴν ἔμελλε. πῶς εἴπω, καὶ ποίῳ τρόπῳ, οὐκ ἔχω· μόνος αὐτὸς οἶδεν ὁ ταῦτα ἐργασάμενος· λόγος γὰρ οὐδεὶς παραστῆσαι δυνήσεται. πῶς οὐκ ἐνάρκησεν ἡ χείρ; πῶς οὐκ ἐλύθη τῶν νεύρων ὁ τόνος; πῶς οὐ συνέχεεν αὐτὸν ἡ ποθουμένη τοῦ παιδίου ὄψις; ἄξιον ἐνταῦθα θαυμάσαι καὶ τὸν Ἰσαάκ. ὥσπερ γὰρ ἐκεῖνος τῷ Θεῷ, οὕτω καὶ οὗτος ἐπείθετο τῷ πατρί· καὶ καθάπερ ἐκεῖνος, τοῦ Θεοῦ κελεύοντος θῦσαι, οὐκ ἀπήτησεν εὐθύνας· οὕτω καὶ οὗτος, τοῦ πατρὸς δεσμεύοντος καὶ ἀνάγοντος ἐπὶ τὸν βωμόν, οὐκ εἶπε· τίνος ἕνεκεν ταῦτα ποιεῖς; ἀλλ' ὑπέκειτο τῇ χειρὶ τῇ πατρικῇ. καὶ ἦν ἰδεῖν πατέρα καὶ ἱερέα γινόμενον τὸν αὐτόν, καὶ θυσίαν χωρὶς αἵματος ἀναφερομένην, ὁλοκαύτωμα χωρὶς πυρός, θανάτου καὶ ἀναστάσεως τύπον ἐπὶ τοῦ βωμοῦ γινόμενον. καὶ γὰρ ἔσφαξε τὸν υἱόν, καὶ οὐκ ἔσφαξεν. οὐκ ἔσφαξε χειρί, ἀλλὰ τῇ προθυμίᾳ. ἐπεὶ καὶ ὁ Θεὸς διὰ τοῦτο ἐκέλευσεν, οὐχ αἵματος χύσιν βουλόμενος ἰδεῖν, ἀλλὰ προαίρεσιν σοι δεῖξαι θέλων, καὶ τὸν γενναῖον ἐκεῖνον ἐν μέσῳ τῆς οἰκουμένης ἀνακηρύξαι πάσης, καὶ παιδεῦσαι σε μετὰ ταῦτα πάντας, ὅτι καὶ παίδων, καὶ φύσεως, καὶ τῶν ὄντων ἁπάντων, καὶ αὐτῆς τῆς ψυχῆς τοῦ Θεοῦ τὰ προστάγματα προτιμᾶν χρή. κατῄει τοίνυν [illegible]ζαντα λαβὼν μάρτυρα τὸν Ἰσαάκ. τίνα οὖν ἕξομεν συγγνώμην, εἰπέ μοι, ποίαν δὲ ἀπολογίαν, εἰ τὸν γενναῖον ἐκεῖνον μετὰ τοσαύτης εἴδομεν προθυμίας τῷ Θεῷ πειθόμενον, καὶ πάντων αὐτῷ παραχωροῦντα, καὶ ἡμεῖς δυσχεραίνομεν; μὴ δή μοι τὸ πένθος εἴπῃς, μηδὲ τὸ τῆς συμφορᾶς ἀφόρητον, ἀλλ' ἐκεῖνο σκόπησον, ὅτι καὶ τοῦ πένθους χαλεποῦ ὄντος ἀνώτερος ἦν. ἱκανὸν ἦν τὸ ἐπιταχθὲν θορυβῆσαι αὐτοῦ τὸν λογισμόν, καὶ εἰς ἀπορίαν αὐτὸν ἐμβαλεῖν, καὶ τὴν πίστιν ὑπορύξαι τὴν ἐν τοῖς προελθοῦσι. τίς γὰρ τῶν πολλῶν οὐκ ἂν ἐνόμιζεν ἀπάτην εἶναι τὰ εἰρημένα περὶ τοῦ πλήθους τῶν ἐκγόνων, ὧν αὐτῷ ἐπηγγείλατο; ἀλλ' οὐχ ὁ Ἀβραάμ. καὶ τὸν Ἰὼβ δὲ τῆς ἐπὶ τῇ συμφορᾷ φιλοσοφίας οὐχ ἧττον, καὶ ὑπὲρ τούτου μάλιστα αὐτὸν θαυμάζειν χρή, ὅτι μετὰ τοσαύτην ἀρετήν, μετὰ ἐλεημοσύνας καὶ φιλανθρωπίας, μετὰ τὸ μηδὲν μήτε ἑαυτῷ, μήτε τοῖς παισὶ συνειδέναι πονηρόν, τοσοῦτον πένθος ἰδὼν οὕτω καινὸν καὶ παράδοξον καὶ μηδενὶ τῶν τὰ ἔσχατα τετολμηκότων συμβεβηκός, οὐκ ἔπαθέ τι τῶν πολλῶν, οὐδὲ ἐνόμισεν ἀνόνητον εἶναι τὴν ἀρετήν, οὐδὲ κακῶς βεβουλεῦσθαι τοῖς προελθοῦσιν. ὥστε δι' ἀμφότερα αὐτοῦ ταῦτα οὐ θαυμάζειν χρὴ μόνον, ἀλλὰ καὶ ζηλοῦν καὶ μιμεῖσθαι τὴν ἀρετήν. καὶ μὴ λεγέτω τις, ὅτι ἐκεῖνοι θαυμαστοί τινες ἦσαν. θαυμαστοὶ μὲν γὰρ ἦσαν καὶ μεγάλοι· ἀλλ' ἡμεῖς τὸ νῦν πλείονα ἐκείνων ἀπαιτούμεθα φιλοσοφίαν, καὶ τῶν ἐν τῇ παλαιᾷ βεβιωκότων ἁπάντων. Ἐὰν γὰρ μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων, φησίν, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. πάντοθεν τοίνυν σωφρονισθέντες, καὶ ταῦτα συλλέξαντες, καὶ τὰ περὶ ἀναστάσεως ἡμῖν εἰρημένα, καὶ τὰ περὶ τῶν ἁγίων τούτων, συνεχῶς ἐπᾴδωμεν ταῖς ψυχαῖς, μὴ μόνον κατὰ τὸν καιρὸν τοῦ πένθους, ἀλλὰ καὶ ἡνίκα ἂν καθαρεύωμεν ὀδυνῶν. διὰ γὰρ τοῦτο καὶ ἐγώ, καίτοι μηδενὸς ὄντος ἐν ἀθυμίᾳ, * τούτους ἐκίνησα νῦν τοὺς λόγους, ἵν', ὅταν ἐμπέσωμεν

Ματθ. ε. κ.

πέσωμεν εἰς τὴν τοιαύτην συμφορὰν, μεμνημένοι τῶν εἰρημένων, ἱκανῆς ἀπολαύωμεν παραμυθίας· ἐπεὶ καὶ στρατιῶται, εἰρήνης οὔσης, τὰ τοῦ πολέμου μελετῶσιν, ἵνα τῆς μάχης ἐπιστάσης, καὶ τοῦ καιροῦ τὴν ἐμπειρίαν ἀπαιτοῦντος, εὐκαίρως ἐπιδείξωνται τὴν τέχνην, ἣν ἐν τῇ εἰρήνῃ κατώρθωσαν. καὶ ἡμεῖς τοίνυν καὶ ὅπλα καὶ φάρμακα κατασκευάσωμεν ἑαυτοῖς ἐν τῷ καιρῷ τῆς εἰρήνης, ἵνα, εἴ ποτε πόλεμος ἐπιστῇ παθῶν ἀλόγων, ἢ πένθους, ἢ ὀδύνης, ἢ ἄλλου ὁτουοῦν τοιούτου, καθωπλισμένοι καλῶς καὶ πεφραγμένοι πάντοθεν, τὰς τοῦ πονηροῦ προσβολὰς μετὰ πολλῆς ἀποκρουσώμεθα τῆς ἐμπειρίας, καὶ λογισμοῖς ὀρθοῖς, καὶ ταῖς ἀποφάσεσι τοῦ Θεοῦ, καὶ τοῖς ὑποδείγμασι τῶν ἀγαθῶν ἀνδρῶν, καὶ παντὶ τρόπῳ πάντοθεν ἑαυτοὺς τειχίσωμεν. οὕτω γὰρ δυνησόμεθα καὶ τὴν παροῦσαν ζωὴν μετ' εὐθυμίας διενεγκεῖν, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν, ἐν Χριστῷ Ἰησοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ξβ. ΕΙΣ ΤΟ, ΧΗΡΑ ΚΑΤΑΛΕΓΕΣΘΩ ΜΗ ΕΛΑΤτων ἐτῶν ἑξήκοντα γεγονυῖα, καὶ περὶ παίδων ἀναστροφῆς, καὶ περὶ ἐλεημοσύνης.

α. Τιμ. ε. θ.

Εἰς καιρὸν ἡ τοῦ πνεύματος ᾠκονόμησε χάρις ταύτην τῆς ἀποστολικῆς ἐπιστολῆς ἀναγνωσθῆναι τὴν περικοπὴν, ἣν ἠκούσατε σήμερον. ἔχει γὰρ τινα πρὸς τὰ εἰρημένα συγγένειαν καὶ ἀκολουθίαν πολλὴν, εἰ καὶ μὴ ἐν τοῖς ῥήμασιν, ἀλλ' ἐν τοῖς νοήμασι. τὸ μὲν γὰρ πρότερον ἀναγνωσθὲν τοῦτο ἦν· Περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί· καὶ πολλὰ περὶ ἀναστάσεως ἐλέχθη τότε, τὸ γενναίως τὰ τοιαῦτα φέρειν πάθη, καὶ εὐχαριστεῖν τῷ λαμβάνοντι τὰ προσήκοντα ἡμῖν Θεῷ. σήμερον δὲ τὸ ἀναγνωσθὲν τοῦτό ἐστι· Χήρα καταλεγέσθω μὴ ἐλάττων ἐτῶν ἑξήκοντα γεγονυῖα. ἐπεὶ οὖν ἀπὸ θανάτου χηρεία γίνεται, καὶ τοῦτο μάλιστά ἐστι τὸ τὴν ὀδύνην ἐπιτεῖνον, καὶ διεγεῖρον τὸ πένθος, μεμνημένοι τῶν πρῴην εἰρημένων, ἃ τοὺς πενθοῦντας παρακαλοῦντες εἰρήκαμεν, καὶ ταῦτα μετὰ πάσης ὑποδεξάμενοι τῆς σπουδῆς μετ' ἐκείνων εἰς τὰ ταμιεῖα τῆς διανοίας ἀπόθεσθε. τὸ γὰρ τῆς χηρείας ὄνομα δοκεῖ μὲν εἶναι συμφορᾶς ὄνομα, οὐκ ἔστι δὲ, ἀλλ' ἀξίωμα καὶ τιμὴ καὶ δόξα μεγίστη· οὐκ ὄνειδος, ἀλλὰ στέφανος. εἰ γὰρ καὶ ἄνδρα οὐκ ἔχει συνοικοῦντα ἡ χήρα, ἀλλὰ τὸν Χριστὸν ἔχει συνοικοῦντα, τὸν πάντα ἀποκρουόμενον τὰ ἐπιόντα δεινά. ἀρκεῖ γὰρ ἐν ταῖς ἐπιούσαις ἐπηρείαις τῆς χήρας, εἰσελθεῖν καὶ γόνυ κλῖναι καὶ στενάξαι πικρὸν καὶ δάκρυα προχέειν, καὶ πᾶσαν ἀποκρούσασθαι τῶν ἐπηρεαζόντων τὴν ἐπιβουλήν. τὰ γὰρ ὅπλα τῆς χήρας τοιαῦτα, δάκρυα, καὶ στεναγμοὶ, καὶ εὐχαὶ διηνεκεῖς. διὰ τούτων οὐκ ἀνθρωπίνην ἐπήρειαν μόνον, ἀλλὰ καὶ δαιμονικὰς ἐφόδους ἀποκρούσασθαι δύναται. ἡ χήρα τῶν μὲν βιωτικῶν ἀπήλλακται πραγμάτων, πρὸς δὲ τὸν οὐρανὸν ὁδεύει λοιπόν· καὶ ἣν περὶ τὸν ἄνδρα ἐπεδείκνυτο σπουδὴν καὶ θεραπείαν, ταύτην εἰς τὰ πνευματικὰ πράγματα ἀναλῶσαι δυνήσεται. εἰ δὲ λέγοις, ὅτι τὸ παλαιὸν συμφορὰ ἦν τὸ πρᾶγμα, ἐκεῖνο ἂν εἴποιμι, ὅτι καὶ ὁ θάνατος κατάρα ἦν· ἀλλὰ γέγονε τιμὴ καὶ ἀξίωμα τοῖς γενναίως αὐτὸν φέρουσιν ἐπιόντα. οὕτω γοῦν οἱ μάρτυρες στεφανοῦνται, τὸν αὐτὸν τρόπον καὶ ἡ χήρα πρὸς ἀξίωμα μέτεισι μέγα. βούλει μαθεῖν ὅσον ἐστὶ χήρα; πῶς ἐστι τιμία τῷ Θεῷ, καὶ ἐπέραστος καὶ συνήγορος μεγίστη; καὶ τοὺς καταδικασθέντας, καὶ τοὺς ἀπεγνωσμένους, καὶ τοὺς παρρησίαν οὐκ ἔχοντας, καὶ τοὺς ἐκπεπολεμωμένους τῷ Θεῷ καὶ πάσης ἐστερημένους ἀπολογίας φαίνεται ἐξαρπάζει καὶ καταλλάττει, καὶ οὐχὶ συγγνώμην αὐτοῖς κομίζει μόνον, οὐδὲ ἀπαλλαγὴν τιμωρίας

α. Θεσ. δ. ιγ.

α. Τιμ. ε. θ.

είας· ἀλλὰ καὶ πολλὴν τὴν παῤῥησίαν καὶ τὴν λαμπρότητα, καὶ τῶν ἡλιακῶν ἀκτίνων καθαρωτέρους ἐργάζεται, κἂν ἁπάντων ὦσι κατεῤῥυπωμένοι μᾶλλον ἀνθρώπων; ἄκουσον Ἡσ. α. ιε. αὐτοῦ τοῦ Θεοῦ λέγοντος πρὸς Ἰουδαίους· Ὅταν τὰς χεῖρας ὑμῶν ἐκτείνητε, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· κἂν πληθύνητε τὴν δέησιν*, οὐκ εἰσακούσομαι ὑμῶν. αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις. ἀλλ' ὅμως τούτοις τοῖς μιαροῖς, τοῖς ἀνδροφόνοις, τοῖς ἀπαρρησιάστοις, τοῖς ἠτιμωμένοις ἐπαγγέλλεται καταλλάττεσθαι, εἰ βοηθήσειαν ἀδικουμέναις χήραις. Ἡσ. α. ιζ. μετὰ γὰρ τὸ εἰπεῖν, Ἀποστρέψω τοὺς ὀφθαλμούς μου, καὶ οὐκ εἰσακούσομαι, φησί· Κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν· καὶ δεῦτε, καὶ διαλεχθῶμεν· καὶ ἐὰν ὦσιν ὑμῶν αἱ ἁμαρτίαι ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ. Εἶδες πόσην ἔχει δύναμιν ἡ χήρα; ποῦ τὴν προστασίαν ἐπιδείκνυται τὴν ἑαυτῆς, οὐ παρὰ ἄρχοντι καὶ βασιλεῖ τῶν ἐπὶ τῆς γῆς, ἀλλὰ παρ' αὐτῷ τῷ τῶν οὐρανῶν βασιλεῖ; πόσην δύναται καταλῦσαι ὀργὴν, καταλλάξαι τὸν δεσπότην τοῖς ἀνίατα νενοσηκόσι, ἐξαρπάσαι τιμωρίας ἀφορήτου, ψυχὴν βαφεῖσαν τῷ τῶν ἁμαρτημάτων ῥύπῳ τῆς κηλῖδος ἐκπλῦναι ἐκείνης, καὶ πρὸς τὴν ἄκραν ἀγαγεῖν καθαρότητα; μὴ τοίνυν καταφρονῶμεν χήρας γυναικὸς, ἀλλὰ πᾶσαν περὶ αὐτὴν ἐπιμέλειαν ἐπιδειξώμεθα. Ἡ προστάτης ἡμῶν ἐστὶν ἡ ὄντως χήρα. ἄξιον δὲ ἐπιστάντας ἰδεῖν, περὶ ποίας ἐνταῦθα χήρας φησί. καὶ γὰρ καὶ ἐκεῖναι χῆραι λέγονται, αἱ εἰς εὐτέλειαν ἐσχάτην καταπεσοῦσαι, καὶ ἐγγεγραμμέναι, καὶ ἐκ τῶν ἐκκλησιαστικῶν τρεφόμεναι χρημάτων, καθάπερ οὖν ἐπὶ τῶν ἀποστόλων. Πραξ. ϛ. α. Ἐγένετο γὰρ, φησὶ, γογγυσμὸς μεταξὺ τῶν Ἑλληνιστῶν, ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν. οὐχ αὗται δὲ μόνον χῆραι λέγονται, ἀλλὰ κἀκεῖναι, αἱ μηδενὸς μὲν δεόμεναι, ἀλλ' εὐπορίας ἀπολαύουσαι, καὶ οἰκίας προεστῶσαι, τὸν δὲ ἄνδρα ἀποβαλοῦσαι μόνον. ἴδωμεν οὖν περὶ ποίας χήρας ἐνταῦθά φησι λέγων· Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα· ἆρα περὶ τῆς δεομένης βοηθείας καὶ χρείαν ἐχούσης ἐξ ἐκκλησιαστικῶν τρέφεσθαι χρημάτων, ἢ περὶ τῆς ἀνενδεοῦς καὶ ἐν εὐπορίᾳ ζώσης; εὔδηλον ὅτι περὶ ταύτης. περὶ μὲν γὰρ ἐκείνης ὅταν λέγῃ, τῆς λιμῷ διαφθειρομένης, οὐ χρόνον τίθησιν, οὐκ ἀκρίβειαν ἀπαιτεῖ τρόπων· ἀλλ' ἁπλῶς, α. Τιμ. ε. ιϛ. Εἴ τις πιστὸς ἢ πιστὴ, φησὶ, χήρας ἔχει, ἐπαρκείτω αὐταῖς, καὶ μὴ βαρείσθω ἡ ἐκκλησία. οὐκ εἶπεν, ὅταν ἑξήκοντα ἐτῶν γένηται· α. Τιμ. ε. ι. οὐκ εἶπεν, Εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψε· καὶ μάλα εἰκότως. ἔνθα μὲν γὰρ ἂν πενίαν διορθῶσαι δέοι, οὐκ ἀναμένει χρόνον. τί γὰρ εἰ πεντήκοντα ἐτῶν οὖσα λιμῷ διαφθείροιτο; τί δὲ ἐὰν ἐν νεότητι τὸ σῶμα ἀνάπηρος οὖσα τύχοι; καθεδεῖται ἀναμένουσα τὸ ἑξηκοστὸν ἔτος; ἀλλ' ἀπανθρωπίας τοῦτο ἐσχάτης. διὰ τοῦτο, ὅταν μὲν λιμὸν παραμυθήσασθαι δέοι, οὐδὲν περὶ χρόνων ἢ τῆς κατὰ ψυχὴν ἀρετῆς ἀκριβολογεῖται· ὅταν δὲ μὴ ᾖ διορθώσασθαι πενίαν, ἀλλὰ τιμὴν κατ' ἀξίαν χαρίσασθαι, εἰκότως τοσαύτην ποιεῖται τρόπων ἐξέτασιν. καθάπερ γὰρ εἰσὶ παρθένων χοροὶ, οὕτω καὶ χηρῶν τὸ παλαιὸν ἦσαν χοροὶ, καὶ οὐκ ἐξῆν αὐταῖς ἁπλῶς εἰς τὰς χήρας ἐγγράφεσθαι. οὐ περὶ ἐκείνης οὖν λέγει τῆς ἐν πενίᾳ ζώσης καὶ δεομένης βοηθείας, ἀλλὰ περὶ ταύτης τῆς ἑλομένης χηρείαν.

Τίνος δὲ ἕνεκεν καὶ ἐπὶ ταύτης ἀπαιτεῖ χρόνον; οἶδεν ὅτι πυρά τις ἐστὶν ἡ νεότης, καὶ πέλαγος κυμάτων γέμον καὶ πολλὰς ἔχον ἐπαναστάσεις. ἐπειδὰν οὖν μέλλωσιν ἀπὸ τῆς ἡλικίας ἀτέλειαν ἔχειν, καὶ ὥσπερ ἐν λιμένι διατρίβωσι τῷ γήρᾳ, τῶν ἐπιθυμιῶν αὐταῖς σβεσθεισῶν, μετὰ ἀδείας αὐτὰς εἰς τὸν χορὸν εἰσάγει τοῦτον. τί οὖν; οὐχὶ πολλαὶ, φησὶ, καὶ μετὰ εἰκοστὸν ἔτος ἀρξάμεναι μέχρι τέλους διέλαμψαν, καὶ τὸν ζυγὸν ἤνεγκαν, καὶ ἀποστολικὸν ἐπεδείξαντο βίον; κωλύσωμεν οὖν ἐκείνας, εἰπέ μοι, καὶ βουλομένας ἐν χηρείᾳ ζῆν ἀναγκάσωμεν δευτέροις ὁμιλῆσαι γάμοις; καὶ ποῦ τοῦτο ἄξιον ἀποστολικῆς γνώμης; τί οὖν ἐστι τὸ λεγόμενον; προσέχετε μετὰ ἀκριβείας, ἀγαπητοὶ, αὐτῇ τῇ σημασίᾳ τῆς λέξεως. οὐ γὰρ

εἶπε,

* ὑμῶν

χ. οὐχ αἱ χεῖ-
ρες ὑ. αἱ

χ. [illegible]

χ. ἐπινο-
φισω

εἶπε, χήρα γινέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα, ἀλλά, χήρα καταλεγέσθω. καὶ πάλιν οὐκ εἶπε, χῆραι νεώτεραι μὴ καταλεγέσθωσαν, ἀλλά, Τὰς νεωτέρας δὲ χήρας παραιτοῦ. πρὸς γὰρ τὸν Τιμόθεον ταῦτα διαλέγεται. ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀνθρώπων εὐχείρωτοι περὶ κατηγορίας εἰσί, καὶ τὰς γλώττας κατὰ τῶν τῆς ἐκκλησίας προεστώτων ἠκονήκασι, βουλόμενος ἐξαρπάσαι τὸν ἄρχοντα τῶν ἐγκλημάτων, τούτους τίθησι τοὺς νόμους, καί φησι· σὺ παραιτοῦ, καὶ, σὺ μὴ κατάλεγε. ἂν αὐτὴ βούληται οἴκοθεν καὶ παρ' ἑαυτῆς αἱρεῖσθαι ταῦτα, ποιείτω· σὺ μέντοι μὴ καταδέξῃ μηδέπω, ἵνα μὴ λέγωσιν, ὅτι νεωτέραν οὖσαν, γήμασθαι βουλομένην, οἰκίας προστῆναι, ὁ δεῖνα κατηνάγκασε· διὰ τοῦτο ἔπεσε, καὶ ὑπεσκελίσθη. σὺ μὴ καταλέξῃς αὐτήν, ἵνα, κἂν πέσῃ, τῶν ἐγκλημάτων ᾖς ἀπηλλαγμένος· κἂν μὴ πέσῃ, μετὰ πλείονος ἀσφαλείας τῷ προσήκοντι καιρῷ καταλέξῃς. εἰ δὲ λέγει, Βούλομαι νεωτέρας χήρας γαμεῖν, τεκνογονεῖν, ἄκουσον ποίας φησὶ νεωτέρας· τὰς μετὰ τὸ καταστρηνιᾶσαι τοῦ Χριστοῦ βουλομένας γαμεῖν, τὰς φλυάρους, τὰς περιέργους, τὰς περιερχομένας τὰς οἰκίας, τὰς λαλούσας τὰ μὴ δέοντα, τὰς ἐκτραπείσας ὀπίσω τοῦ Σατανᾶ. οὐ γὰρ εἰπὼν ἁπλῶς, βούλομαι νεωτέρας γαμεῖν, ἐσίγησεν, ἀλλὰ λέγει καὶ ποίας νεωτέρας, καὶ τὰ πτώματα αὐτῶν ἔπειτα. ποῖα πτώματα; Ὅταν καταστρηνιάσωσι, φησι, τοῦ Χριστοῦ, γαμεῖσθαι θέλουσι, καὶ ἀργαὶ μανθάνουσι καὶ περίεργοι, περιερχόμεναι τὰς οἰκίας, λαλῆσαι τὰ μὴ δέοντα, καὶ ἐξετράπησαν. τίνος ὀπίσω; τοῦ Σατανᾶ. ἐπεὶ οὖν μετὰ τὸ χηρείαν ἑλέσθαι, καὶ ταύτην πᾶσαν ὑπομεῖναι τὴν ἀσχημοσύνην, βούλονται γαμῆσαι πάλιν, βέλτιον πρὶν ἔχεσθαι, καὶ τὰς πρὸς τὸν Χριστὸν καταπατῆσαι συνθήκας, ἐπὶ τοῦτο ἐλθεῖν. ὡς εἰ μή τις εἴη τοιαύτη, οὐκ ἐπιτίθησιν ἀνάγκην γάμου δευτέρου. καὶ ὅτι τοῦτο ἔστιν ἀληθές, δῆλον ἐκεῖθεν. εἰ γὰρ ὡς νόμον τοῦτο τέθεικε πάσαις ταῖς γυναιξὶ τοῦ γαμεῖν καὶ οἰκοδεσποτεῖν, περιττῶς ἐκεῖνα ἀπῄτει, εἰ ἐτεκνοτρόφησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησε· περιττῶς καὶ ἐκεῖνό φησι τὸ, ἑνὸς ἀνδρὸς γεγονυῖα. εἰ γὰρ πάσας τὰς νεωτέρας κελεύεις γαμεῖσθαι, πῶς δυνήσεταί τις ἑνὸς ἀνδρὸς εἶναι γυνή; ὥστε πρὸς ἐκείνας ὁ λόγος αὐτῷ. οὕτω καὶ ἐπὶ τῆς συνουσίας τῆς κατὰ τὸν γάμον ποιεῖ. εἰπὼν γάρ, Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρόν, ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχησθε· ἵνα μὴ νομίζῃς τὸ πρᾶγμα νόμου εἶναι, προστίθησι τὴν αἰτίαν ὕστερον λέγων· Ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ Σατανᾶς. τοῦτο δὲ λέγω κατὰ συγγνώμην, οὐκ ἐπιταγήν, διὰ τὴν ἀκρασίαν ὑμῶν. ὥσπερ οὖν οὐ πᾶσιν ἐκεῖ ταῦτα διαλέγεται, ἀλλὰ τοῖς ἀκρατεστέροις τῶν ἀνθρώπων καὶ εὐαλώτοις, οὕτω καὶ ἐνταῦθα ταῖς εὐχειρώτοις τῶν γυναικῶν, καὶ μὴ δυναμέναις ἐνεγκεῖν τὸν μετὰ ἀκριβείας βίον τῆς χηρείας, ταύταις παραινεῖ καὶ συμβουλεύει δεύτερον ἐπεισάγειν νυμφίον. ἡ γὰρ χηρεία διπλοῦν τι πρᾶγμά ἐστι. τί ποτέ ἐστι διπλοῦν; ἔργων ἐπίδειξις ἀγαθῶν, καὶ τιμῆς ὑπεροχὴ μεγίστης. καθάπερ οὖν καὶ ἡ ἀρχὴ διπλοῦν τι πρᾶγμά ἐστιν (ἔχει γὰρ καὶ ἔργα καὶ ἀξίωμα· ἀξίωμα μὲν ἀρχῆς, ἡ ἐξουσία, καὶ ἡ παρὰ τῶν πολλῶν θεραπεία, καὶ αὐτὸ τὸ εἶναι ἄρχοντα· ἔργα δὲ ἀρχῆς, τὸ βοηθεῖν τοῖς ἀδικουμένοις, κωλύειν τοὺς ἀδικοῦντας, προεστάναι τῶν πόλεων, διανυκτερεύειν ἐν ταῖς κοιναῖς τῶν πραγμάτων φροντίσι, καὶ μυρία ἕτερα) οὕτω καὶ ἡ χηρεία καὶ ἀξίωμά ἐστι καὶ ἔργον· ἀξίωμά ἐστιν, αὐτὸ τὸ χήραν εἶναι, μέγιστον ὄν, ὡς ἀπεδείξαμεν ἔμπροσθεν· ἔργον ἐστί, τὸ μὴ δεύτερον ἐπεισάγειν ἄνδρα, ἀλλ' ἀρκεσθῆναι τῷ προτέρῳ, τὸ τεκνοτροφῆσαι, τὸ ξενοδοχῆσαι, τὸ ἁγίων πόδας νίψαι, τὸ θλιβομένοις ἐπαρκέσαι, τὸ παντὶ ἔργῳ ἀγαθῷ ἐπακολουθῆσαι. ὁ τοίνυν Παῦλος περὶ αὐτῶν διαλεγόμενος, τὰ μὲν ἔργα τῆς χήρας ἀφίησιν αὐτῇ πάντα ἐπιτηδεύειν· εἰς δὲ τὸ ἀξίωμα τῆς χήρας, καὶ τὸν χορόν, καὶ τὴν τάξιν οὐκ ἀφίησιν αὐτὴν εἰσελθεῖν, ἕως ἂν ἑξηκοστὸν ἔτος παρέλθῃ, μονονουχὶ λέγων· ποιείτω μὲν τὰ τῆς χήρας ἔργα, τῆς δὲ τιμῆς ἀξιούσθω τότε, ὅταν πάντα ἐπιδει-

ξαμένη

α. Τιμ. ε. ια.

α. Τιμ. ε. ιδ.

α. Τιμ. ε. ια.

α. Κορ. ζ. ε.

ξαμένη καὶ τὴν ἀπὸ τοῦ χρόνου λοιπὸν ἀσφάλειαν ἔχῃ, καὶ τὴν ἀπὸ τῶν ἔργων ἀπόδειξιν, καὶ τὴν ἔξωθεν μαρτυρίαν.

Μηδεὶς γυναιξὶ μόνον τὸν λόγον τοῦτον ἐπιτήδειον εἶναι νομιζέτω. καὶ γὰρ καὶ ἀνδράσιν ἐστὶ χρήσιμος, ἵνα καὶ αὐτοὶ στέργωσι τὰς ἑαυτῶν καὶ ἀπελθούσας, καὶ μὴ λεαίνας συγκατοικίζωσι τοῖς παιδίοις, μητρυιὰς ἐπεισάγοντες, καὶ τὴν ἀσφάλειαν τὴν ἑαυτῶν ἅπασαν ἀνατρέποντες. ταῦτα δὲ λέγομεν οὐχὶ νομοθετοῦντες δεύτερον ἀποστρέφεσθαι γάμον, ἀλλὰ παραινοῦντες καὶ συμβουλεύοντες μετὰ σωφροσύνης ἀρκεῖσθαι τῷ προτέρῳ. ἕτερον ἐστὶ παραινεῖν καὶ συμβουλεύειν, ἕτερον νομοθετεῖν. ὁ μὲν γὰρ παραινῶν καὶ συμβουλεύων, κύριον ἀφίησι τὸν ἀκούοντα τῆς τῶν συμβουλευομένων αἱρέσεως εἶναι· ὁ δὲ νομοθετῶν, ταύτην παραιτεῖται τὴν ἐξουσίαν αὐτῶν. ἀλλ' ἡ ἐκκλησία οὐ νομοθετεῖ ταῦτα, ἀλλὰ παραινεῖ μόνον. καὶ γὰρ καὶ δεύτερον ἐπέτρεψε γάμον ὁ Παῦλος, οὕτως εἰπών· Γυνὴ δέδεται νόμῳ, ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ κοιμηθῇ ὁ ἀνήρ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ· μακαριωτέρα δέ ἐστιν, ἐὰν οὕτω μείνῃ. ὥσπερ οὖν καλὸν μὲν ὁ γάμος, κρείττων δὲ ἡ παρθενία· οὕτω καλὸν μὲν καὶ ὁ δεύτερος γάμος, κρείττων δὲ αὐτοῦ ὁ πρῶτος καὶ μόνος. οὐ τοίνυν ἐκβάλλομεν δεύτερον γάμον, οὐδὲ νομοθετοῦμεν ταῦτα, ἀλλὰ παραινοῦμεν, εἴ τις δύναιτο σωφρονεῖν, ἐπὶ τῷ προτέρῳ μένειν. παραινοῦμεν δὲ καὶ συμβουλεύομεν καὶ δι' αὐτὴν τῆς οἰκίας τὴν ἀσφάλειαν. μάχης γὰρ πολλάκις καὶ πολέμων καθημερινῶν ὁ δεύτερος γάμος ἀρχὴ καὶ πρόφασις γέγονε. πολλάκις γοῦν ἀνὴρ ἐπὶ τραπέζης καθήμενος, τῆς προτέρας γυναικὸς ἀναμνησθεὶς ἐπὶ τῆς δευτέρας, ἐδάκρυσεν ἠρέμα· ἡ δὲ εὐθέως ἠγρίανε, καὶ καθάπερ θηρίον ἐπεπήδησε, τῆς φιλοστοργίας αὐτὸν τῆς πρὸς ἐκείνην ἀπαιτοῦσα δίκην. κἂν ἐπαινέσαι τὴν ἀπελθοῦσαν θελήσῃ, γέγονε πολέμου καὶ μάχης πρόφασις ἡ τῶν ἐγκωμίων ὑπόθεσις. καὶ πρὸς μὲν τοὺς ἐχθροὺς ἀπελθόντας σπενδόμεθα, καὶ μετὰ τῆς ζωῆς αὐτῶν καὶ τὴν πρὸς αὐτοὺς καταλυόμεθα ἔχθραν· ἐπὶ δὲ τῆς γυναικὸς τοὐναντίον ἅπαν. ἣν γὰρ οὐκ εἶδεν, ἧς οὐκ ἤκουσε, παρ' ἧς οὐδὲν ἔπαθε δεινόν, ταύτην μισεῖ καὶ ἀποστρέφεται, καὶ οὐδὲ ὁ θάνατος τὸ μῖσος σβέννυσι. τίς εἶδε, τίς ἤκουσε ζηλοτυπουμένην κόνιν, καὶ πολεμουμένην τέφραν; ἀλλ' οὐ μέχρι τούτου τὸ δεινόν· ἀλλά, κἂν γίνωνται παῖδες ἐκ τῆς δευτέρας, κἂν μὴ γίνωνται, πόλεμος πάλιν καὶ μάχη. μὴ γινομένων μὲν γὰρ ὀδυνᾶται μειζόνως, καὶ διὰ τοῦτο, καθάπερ πολεμίους καὶ τὰ μέγιστα ἠδικηκότας τοὺς τῆς προτέρας ὁρᾷ, διὰ τῆς ἐκείνων ζωῆς τῆς οἰκείας ἀπαιδίας σαφεστέραν λαμβάνουσα αἴσθησιν. ἂν δὲ γίνωνται, πάλιν οὐκ ἔλαττον τὸ δεινόν. ὁ μὲν γὰρ ἀνὴρ πολλάκις φιλόστοργος πρὸς τὴν ἀπελθοῦσαν διακείμενος ἀντέχεται τούτων, φιλῶν τε ὁμοῦ καὶ ἐλεῶν τῆς ὀρφανίας αὐτούς· ἐκείνη δὲ πανταχοῦ τῶν αὐτῆς προτιμᾶσθαι βούλεται, καὶ οὐδὲ ἐν ἀδελφῶν τάξει, ἀλλ' ἐν οἰκετῶν ἀπερριμμένων εἶναι βούλεται τούτους, ἅπερ ἅπαντα οἰκίαν ἀνατρέψαι δύναιτ' ἄν, καὶ τῷ γεγαμηκότι ποιῆσαι τὸν βίον ἀβίωτον. διὰ ταῦτα παραινοῦμεν, εἰ δυνατόν, σωφρονεῖν, στέργειν τῷ προτέρῳ γάμῳ, καὶ μήτε νυμφίους ταῖς γυναῖκας, μήτε γυναῖκας τοὺς ἄνδρας ἐπεισάγειν, ὥστε μὴ τὴν οἰκίαν ἀνατρέπεσθαι πᾶσαν. τίνος δὲ ἕνεκεν περὶ χηρείας διαλεγόμενος, οὐκ ἠρκέσθη τῷ προτέρῳ μόνῳ, τῷ εἰπεῖν, ἑνὸς ἀνδρὸς γυνή; ἵνα μάθῃς, ὅτι χήραν ποιεῖ οὐ τὸ μὴ γαμῆσαι δεύτερον μόνον ἁπλῶς, ἀλλὰ τὸ κομᾶν ἐν ἔργοις ἀγαθοῖς, ἐν ἐλεημοσύνῃ καὶ φιλανθρωπίᾳ καὶ ταῖς τῶν ξένων θεραπείαις. εἰ γὰρ τὰς παρθένους οὐδὲν ὠφέλησεν ἡ παρθενία (καίτοι πολλῷ μείζων χηρείας ἡ παρθενία) ἀλλ' ἀπῆλθον, σβεσθέντος αὐταῖς τοῦ πυρὸς τῶν λαμπάδων, ἠτιμώθησαν, ἐπειδὴ τὸν ἀπὸ τῆς φιλανθρωπίας καὶ ἐλεημοσύνης οὐκ εἶχον ἐπιδεῖξαι καρπόν, πολλῷ μᾶλλον αἱ χῆραι. ἐκείνης γοῦν ἀκούσας τῆς παραβολῆς ὁ Παῦλος, καὶ φοβούμενος ὑπὲρ τούτων, πολλὴν ὑπὲρ τοῦ πράγματος ποιεῖται τὴν ἀκριβολογίαν, ἵνα μὴ τῇ μονογαμίᾳ θαρροῦσαι τῆς λοιπῆς ἀρετῆς καταμελήσωσι. Διὰ

τοῦτο

α. Κορ. ζ. λθ.

Ματθ. κε.

χ. αὐτὴ

χ. οἰκίαν

χ. αὐτῆς

τοῦτό φησιν, Ἐν ἔργοις καλοῖς μαρτυρουμένη. ὥσπερ γὰρ καλὸν ἡ παρθενία, χωρὶς δὲ τῶν λοιπῶν ἄκαρπος γέγονε, καὶ τοῦ νυμφῶνος ἀπέκλεισεν· οὕτω καλὸν ἡ χηρεία, χωρὶς δὲ τῆς λοιπῆς ἀρετῆς μάταιόν ἐστι καὶ περιττόν. διὰ τοῦτο οὐ μέχρι τοῦ μὴ δευτέροις ἐπεισαγαγεῖν ἄνδρα τὴν παραίνεσιν ἔστησεν ὁ Παῦλος, ἀλλὰ καὶ ἕτερα πολλῷ πλείονα καὶ μείζονα ἀπαιτεῖ παρὰ τῆς χήρας. καὶ καθάπερ οἱ τοὺς στρατιώτας καταλέγοντες σώματος ζητοῦσιν εὐεξίαν· οὕτω καὶ οὗτος εἰς τὸ τοῦ Χριστοῦ στρατόπεδον αὐτὴν καταλέγων, ψυχῆς εὐεξίαν ἐζήτησε καὶ εὐτονίαν καὶ τὴν ἐν ἅπασι τοῖς ἀγαθοῖς ἔργοις σπουδὴν, οὕτω λέγων· Εἰ ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησε. τούτων γὰρ ἕκαστον δοκεῖ μὲν εἶναι ῥῆμα ψιλὸν, πολλὴν δὲ ἐν ἑαυτῷ συνέχει τὴν ζωήν. καὶ, εἰ δοκεῖ, πρῶτον ἐξετάσωμεν, ὃ πρῶτον αὐτὸς τέθεικεν. εἰ ἐτεκνοτρόφησε. τεκνοτροφίαν γὰρ ἐνταῦθα λέγει οὐ ταύτην τὴν ψιλὴν καὶ παρὰ τοῖς πολλοῖς νομιζομένην, τὸ μὴ λιμῷ φθειρομένους περιϊδεῖν τοὺς παῖδας (τοῦτο γὰρ οὐδὲ αὐτὴ τῆς φύσεως ἡ ἀνάγκη ἀφίησι παραμεληθῆναί ποτε· ὅθεν οὐδὲ προσταγμάτων ὑπὲρ τούτου χρεία τῶν νόμων, ἵνα τὰ ἔκγονα τρέφωσιν αἱ χῆραι) ἀλλὰ τὴν τῆς δικαιοσύνης ἐπιμέλειαν, τὴν ἀνατροφὴν τὴν μετ' εὐλαβείας ἐνταῦθά φησιν· ὡς αἵ γε μὴ οὕτω τρέφουσαι, παιδοκτόνοι μᾶλλόν εἰσιν ἢ μητέρες. τοῦτο οὐ πρὸς γυναῖκας μόνον λέγω, ἀλλὰ καὶ πρὸς ἄνδρας. καὶ γὰρ πολλοὶ πολλάκις τῶν πατέρων, ὅπως μὲν ἵππος γένοιτο καλὸς τῷ παιδὶ, καὶ ὅπως οἰκία λαμπρὰ, καὶ ὅπως πολυτελὴς ἀγρὸς, πάντα ποιοῦσι καὶ πραγματεύονται· ὅπως δὲ αὐτῷ ψυχὴ γένοιτο καλὴ καὶ προαίρεσις εὐσεβὴς, οὐδένα ἔχουσι λόγον. καὶ τοῦτό ἐστιν, ὃ τὴν οἰκουμένην ἀνατρέπει πᾶσαν, ὅτι τῶν οἰκείων ἀμελοῦμεν παίδων, καὶ τῶν μὲν κτημάτων αὐτῶν ἐπιμελούμεθα, τὴν δὲ ψυχὴν αὐτῶν καταφρονοῦμεν, ἐσχάτης ἀνοίας πρᾶγμα ὑπομένοντες. τὰ μὲν γὰρ κτήματα κἂν πολλὰ ᾖ καὶ πολυτελῆ, τοῦ δυναμένου μετ' ἀρετῆς αὐτὰ οἰκονομεῖν οὐκ ὄντος σπουδαίου, πάντα ἀπόλλυται καὶ οἰχήσεται μετ' αὐτοῦ, καὶ βλάβην ἐσχάτην ἐνέγκοι τῷ κεκτημένῳ· ἂν δὲ ἡ ψυχὴ γενναία γένηται καὶ φιλόσοφος, κἂν μηδὲν ἔνδον ἀποκείμενον ᾖ, τὰ πάντων δυνήσεται μετὰ ἀδείας συλλέγειν. δεῖ τοίνυν σκοπεῖν, οὐχ ὅπως αὐτοὺς πλουσίους ἐν ἀργυρείῳ καὶ χρυσίῳ καὶ τοῖς τοιούτοις ποιήσωμεν, ἀλλ' ὅπως ἐν εὐλαβείᾳ καὶ φιλοσοφίᾳ καὶ κτήσει τῆς ἀρετῆς πάντων γένοιντ' ἂν εὐπορώτεροι· ὅπως μὴ πολλῶν δέοιντο, ὅπως μὴ περὶ τὰ βιωτικὰ καὶ τὰς νεωτερικὰς ἐπιθυμίας ὦσιν ἐπτοημένοι. καὶ τὰς εἰσόδους αὐτῶν, καὶ τὰς ἐξόδους μετ' ἀκριβείας περιεργάζεσθαι χρὴ, τὰς διατριβὰς, τὰς συνουσίας, εἰδότας ὅτι τούτων ἀμελουμένων, οὐδεμίαν ἔχομεν παρὰ τῷ Θεῷ συγγνώμην. Εἰ γὰρ τῆς τῶν ἄλλων προνοίας ἀπαιτούμεθα τὰς εὐθύνας (Ἕκαστος γὰρ μὴ τὸ ἑαυτοῦ ζητείτω, φησὶν, ἀλλὰ τὸ τοῦ πλησίον) πόσῳ μᾶλλον τῆς τῶν παίδων; οὐ κατῴκισά σοι, φησὶν, αὐτὸν ἐξ ἀρχῆς; ἐπέστησα δέ σοι αὐτῷ διδάσκαλον καὶ προστάτην καὶ κηδεμόνα καὶ ἄρχοντα; τὴν ἐξουσίαν αὐτοῦ πᾶσαν φέρων εἰς τὰς σὰς ἐνέθηκα χεῖρας; ἁπαλὸν ὄντα διαπλάττειν ἐκέλευσα, καὶ ῥυθμίζειν· ποίαν ἂν ἔχοις συγγνώμην, εἰ περιΐδοις αὐτὸν ἀποσκιρτήσαντα; τί γὰρ ἂν εἴποις; ὅτι δυσήνιός ἐστι καὶ τραχύς; ἀλλ' ἐξ ἀρχῆς ἔδει ταῦτα προορῶντα, ὅτε εὐήνιος ἦν, καὶ κομιδῇ νέος, χαλινοῦν μετ' ἀκριβείας, ἐθίζειν πρὸς τὰ δέοντα, ῥυθμίζειν, κολάζειν αὐτοῦ τὰ νοσήματα τῆς ψυχῆς. ὅτε εὐκολωτέρα ἡ ἐργασία, τότε τὰς ἀκάνθας ἐκτέμνειν ἔδει, ὅτε ἁπαλωτέρας οὔσης τῆς ἡλικίας εὐκολώτερον ἀνεσπῶντο, καὶ οὐκ ἂν ἀμελούμενα τὰ πάθη καὶ αὐξανόμενα, δυσκατέργαστα γέγονε. διὰ τοῦτό φησι, Κάμψον ἐκ νεότητος τὸν τράχηλον αὐτοῦ, ὅτε εὐκολωτέρα γένοιτ' ἂν ἡ παιδαγωγία. οὐκ ἐπιτάττει δὲ μόνον, ἀλλὰ καὶ αὐτὸς συνεφάπτεταί σοι τοῦ ἔργου. καὶ πῶς, καὶ τίνι τρόπῳ; Ὁ κακολογῶν πατέρα ἢ μητέρα, φησὶ, θανάτῳ τελευτάτω. ὁρᾷς πόσον αὐτοῖς ἐπέστησε φόβον; πόσην ἐπετείχισεν ἀγωνίαν; πῶς δυνατὴν σοι τὴν ἀρχὴν ἐποίησε; τίνα οὖν ἀπολογίαν ἔχοιμεν ἂν εἰπεῖν, ὅταν αὐτὸς μὲν, ἐπειδὰν ἡμεῖς ὑβριζώμεθα, μηδὲ τῆς ζωῆς αὐτῶν φείδηται· ἡμεῖς δὲ ὑβριζομένου τοῦ Θεοῦ

α Τιμ. ε. ι.

α Κορ. ι. κδ.

Σειρ. ζ. κδ.

Ἐξ. κα. ιζ.

παρ

περὶ αὐτὸν μηδὲ ἀγανακτεῖν αὐτοῖς ὑπομένωμεν; ἐγώ, φησιν, οὐδὲ ἀποκτεῖναι παραιτοῦμαι τὸν ὑβρίζοντά σε· σὺ δὲ οὐδὲ ῥήματι λυπεῖν ἀνέχῃ, φησί, τὸν τοὺς ἐμοὺς καταπατοῦντα νόμους. καὶ ποῦ ταῦτα συγγνώμης ἄξια; ὁρᾷς αὐτὸν ὑβρίζοντα εἰς τὸν πεποιηκότα, καὶ οὐ δυσχεραίνεις, εἰπέ μοι, οὐδὲ φοβεῖς καὶ ἐπιτιμᾷς, καὶ ταῦτα εἰδώς, ὅτι καὶ τοῦτο αὐτὸς ὁ Θεὸς ἐκώλυεν, οὐκ ἐπειδὴ βλάβη τις εἰς ὑβριζόμενον ἦν (ἀνώλεθρον γὰρ τὸ θεῖον) ἀλλ' ὑπὲρ τῆς ἐκείνου σωτηρίας; ὁ γὰρ περὶ τὸν Θεὸν ἀγνώμων γενόμενος καὶ ἀναίσθητος, πολλῷ μᾶλλον εἰς τὸν γεγεννηκότα, καὶ εἰς τὴν ἑαυτοῦ ψυχὴν ἐμπαροινῆσαι δυνήσεται. μὴ τοίνυν ἀμελῶμεν, εἰδότες ὅτι τῶν κατὰ Θεὸν αὐτοῖς εὖ διακειμένων, καὶ κατὰ τὸν παρόντα βίον ἔσονται εὐδόκιμοι καὶ λαμπροί. τὸν γὰρ ἀρετῇ συζῶντα καὶ ἐπιεικείᾳ πάντες αἰδοῦνται καὶ τιμῶσι, κἂν ἁπάντων πενέστερος ᾖ, ὥσπερ οὖν τὸν πονηρὸν καὶ διεστραμμένον ἀποστρέφονται καὶ μισοῦσιν ἅπαντες, κἂν εὐπορίαν ᾖ κεκτημένος πολλήν. οὐ τοῖς ἄλλοις δὲ μόνον ἀνθρώποις ἔσται αἰδέσιμος, ἀλλὰ καὶ σοὶ τῷ γεγεννηκότι ποθεινότερος, πλέον τῆς φύσεως οὐκ ἐλάττονα ἑτέραν ὑπόθεσιν ἔχων πρὸς τὸ φιλεῖσθαι, τὴν ἀρετήν· οὐ ποθεινότερος δὲ μόνον, ἀλλὰ καὶ χρησιμώτερος ἔσται σοὶ θεραπεύων, δουλεύων, γηροκομῶν. ὥσπερ γὰρ οἱ περὶ τὸν Θεὸν ἀγνώμονες, καὶ τῶν γεγεννηκότων καταφρονοῦσιν· οὕτως οἱ τὸν πεποιηκότα θεραπεύοντες, ἐν πολλῇ καὶ τοὺς γεγεννηκότας ἔχουσι τιμῇ.

Ἵνα οὖν καὶ παρὰ Θεῷ, καὶ παρὰ ἀνθρώποις εὐδοκιμῇ, καὶ σοὶ τὴν ζωὴν ἡδεῖαν ποιῇ, καὶ τῆς μελλούσης ἀπαλλάττηται κολάσεως, πᾶσαν ἐπιδείκνυσο περὶ αὐτὸν τὴν σπουδήν. γρ. ἰδία ὅτι γὰρ οἱ τῶν παίδων ἀμελοῦντες, κἂν τἄλλα ὦσιν ἐπιεικεῖς καὶ μέτριοι, διὰ ταύτην τὴν ἁμαρτίαν τὴν ἐσχάτην ὑποστήσονται δίκην, ἱστορίαν σοί τινα διηγήσομαι παλαιάν. ἱερεύς τις ἦν α. Βασ. β. ιϛ. παρὰ τοῖς Ἰουδαίοις ἐπιεικὴς τὰ ἄλλα καὶ μέτριος, Ἠλεὶ τῷ ὀνόματι. οὗτος οὖν ὁ Ἠλεὶ δύο παῖδας ἔχων εἰς ἔσχατον πονηρίας ἐληλακότας, οὐ κατεῖχε δέ, οὐδὲ ἐκώλυε· μᾶλλον δὲ κατεῖχε μὲν καὶ ἐκώλυεν, οὐ μετὰ τῆς προσηκούσης δὲ ἀκριβείας καὶ σφοδρότητος. δέον γὰρ μαστιγῶσαι, τῆς πατρῴας ἐκβαλεῖν οἰκίας, πάντα ἐπιδείξασθαι διορθώσεως τρόπον, παρῄνει καὶ α. Βασ. β. κγ. συνεβούλευε μόνον, οὕτω λέγων· Μὴ τέκνα, μὴ ποιεῖτε οὕτως· ὅτι οὐκ ἀγαθὴ ἡ ἀκοή, ἣν ἐγὼ ἀκούω περὶ ὑμῶν. τί λέγεις; τὸν δεσπότην ὕβρισαν, καὶ τέκνα καλεῖς; ἠγνόησαν τὸν πεποιηκότα, καὶ σὺ ἐπιγινώσκεις αὐτῶν τὴν συγγένειαν; διὰ τοῦτό φησιν, ὅτι οὐκ ἐνουθέτει αὐτούς. νουθεσία γάρ ἐστιν, οὐκ ἐὰν ἁπλῶς συμβουλεύσωμεν, ἀλλ' ἐὰν σφοδρότερον καὶ τομώτερον, καὶ ἴσην ἡ τοῦ τραύματος ἀπαιτεῖ σηπεδών, τοσαύτην ἐπαγάγωμεν τὴν πληγήν. οὐ τοίνυν ἀρκεῖ τὸ εἰπεῖν, οὐδὲ τὸ παραινέσαι μόνον, ἀλλὰ καὶ πολὺν ἐπιτειχίσαι δεῖ τὸν φόβον, ὥστε τὴν τῆς νεότητος περικόψαι ῥᾳθυμίαν. ἐπεὶ οὖν παρῄνει μέν, οὐ παρῄνει δὲ ὡς ἔδει, τοῖς πολεμίοις αὐτοὺς ἐξέδωκε, καὶ μάχης γενομένης ἔπεσαν ἐπὶ τῆς παρατάξεως, καὶ τὴν ἀγγελίαν οὐκ ἐνεγκών, πεσὼν συνετρίβη καὶ αὐτὸς καὶ ἀπέθανεν. ὁρᾷς ὅτι δικαίως εἶπον, ὅτι καὶ παιδοκτόνοι οἱ πατέρες εἰσίν, οἱ μὴ σφοδρῶς τοῖς αὐτῶν κεχρημένοι παισὶ ῥᾳθυμοῦσι, μηδὲ τὴν κατὰ Θεὸν ἀπαιτοῦντες αὐτοὺς εὐλάβειαν; οὕτω γοῦν ὁ Ἠλεὶ παιδοκτόνος ἐγένετο. εἰ γὰρ οἱ πολέμιοι κατέσφαξαν αὐτοῦ τοὺς υἱούς, ἀλλὰ τῆς σφαγῆς οὗτος αἴτιος ἐγένετο, διὰ τῆς περὶ αὐτοὺς ῥᾳθυμίας ἀποστήσας τὴν τοῦ Θεοῦ τὴν βοήθειαν, καὶ γυμνοὺς καὶ ἐρήμους δείξας τοῖς βουλομένοις αὐτοὺς ἀνελεῖν. οὐκ ἐκείνους δὲ μόνον, ἀλλὰ καὶ ἑαυτὸν προσαπώλεσε. τοῦτο δὴ πολλοὶ καὶ τῶν νῦν πατέρων πάσχουσιν· οὐ βουλόμενοι μαστίξαι, οὐδὲ ἐπιτιμῆσαι ῥήμασιν, οὐδὲ λυπῆσαι τοὺς ἑαυτῶν υἱοὺς ἀτάκτως ζῶντας καὶ παρανόμως, πολλάκις εἶδον ἐπὶ τοῖς ἐσχάτοις ἁλόντας, εἰς δικαστήριον ἁρπαγέντας, ὑπὸ δημίων ἀποτμηθέντας. ὅταν γὰρ σὺ μὴ παιδεύσῃς, ὅταν σὺ μὴ σωφρονίσῃς, μιαροῖς ἀνθρώποις καὶ διεφθαρμένοις σαυτὸν ἀναμίξας καὶ κοινωνήσας τῆς πονηρίας αὐτοῖς, ὑπὸ τοὺς κοινοὺς ἄγονται νόμους καὶ κολάζονται πάντων ὁρώντων· καὶ μετὰ τῆς συμφορᾶς μείζων ἡ αἰσχύνη γίνεται, δακτυλοδεικτουμένων ἁπάντων τὸν πατέρα μετὰ τὴν

ἐκείνου τελευτὴν, καὶ ἄβατοι αὐτῷ ποιούντων τὴν ἀγοράν. ποίοις γὰρ ὀφθαλμοῖς ἀντιβλέψαι
δυνήσεται τοῖς ἀπαντῶσιν αὐτῷ μετὰ τὴν τοιαύτην τοῦ παιδὸς ἀσχημοσύνην καὶ
συμφοράν; διὸ δέομαι καὶ ἀντιβολῶ πολλὴν τῶν οἰκείων παίδων ποιεῖσθαι τὴν πρόνοιαν, καὶ
πανταχοῦ τὴν σωτηρίαν ζητεῖν αὐτῶν τῆς ψυχῆς. διδάσκαλος εἶ τῆς οἰκίας ἁπάσης, καὶ
τὴν γυναῖκα καὶ τοὺς υἱούς σοι παραπέμπει συνεχῶς ὁ Θεός. καὶ νῦν μὲν φησιν ὁ Παῦλος
περὶ τῶν γυναικῶν, Εἰ δέ τι μανθάνειν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν· α.Κορ. ιδ. λε.
νῦν δὲ περὶ τῶν παίδων, Ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου. νόμισον ἀγάλματα Εφεσ. ϛ. δ.
χρυσᾶ ἔχειν ἐπὶ τῆς οἰκίας, τὰ παιδία· καθ' ἑκάστην ἡμέραν αὐτὰ ῥύθμιζε καὶ περισκόπει
μετὰ ἀκριβείας, καὶ παντὶ τρόπῳ τὴν ψυχὴν αὐτῶν κατακόσμει καὶ διάπλαττε. μίμησαι
τὸν μακάριον Ἰώβ, ὃς καὶ ὑπὲρ τῶν κατὰ διάνοιαν αὐτοῖς πλημμελουμένων δεδοικώς, Ιωβ α.
προσέφερεν ὑπὲρ αὐτῶν θυσίας, καὶ πολλὴν αὐτῶν ἐποιεῖτο τὴν πρόνοιαν. μίμησαι τὸν
Ἀβραάμ. καὶ γὰρ ἐκεῖνος οὐχ ὑπὲρ χρημάτων καὶ κτημάτων ἐσπούδαζεν, ἀλλ' ὑπὲρ τῶν θείων
νόμων, ὅπως αὐτῶν τὴν φυλακὴν τοῖς ἐκγόνοις μετὰ ἀκριβείας παρακατάθοιτο. καὶ μαρτυρεῖ
ταύτην αὐτοῦ τὴν ἀρετὴν ὁ Θεὸς οὕτω λέγων· Ἤδειν γὰρ, ὅτι συντάξει Ἀβραὰμ τοῖς Γεν ιη. ιθ.
παισὶν αὐτοῦ τὰ κρίματα καὶ τὰ δικαιώματα. καὶ ὁ Δαβὶδ δὲ, ἡνίκα ἐτελεύτα, ἀντὶ μεγάλης γ.Βασ. κγ.
κληρονομίας καλέσας τὸν υἱὸν τὸν ἑαυτοῦ, ταῦτα παρῄνεσε καὶ συνεχῶς ἔλεγεν· ὅτι εἰ
βουληθείης παιδίον κατὰ τοὺς τοῦ Θεοῦ νόμους ζῆν, οὐδὲν ἐμπεσεῖται τῶν ἀδοκήτων, ἀλλὰ πάντα
σοι κατὰ ῥοῦν ἥξει τὰ πράγματα, καὶ πολλῆς ἀπολαύσῃ τῆς ἀσφαλείας· ἂν δὲ ἐκείνης ἐκπέσῃς
τῆς βοηθείας, οὐδὲν ὄφελός σοι τῆς βασιλείας καὶ τῆς πολλῆς ταύτης δυνάμεως. ταῦτα
καὶ τοιαῦτα ἔλεγεν, εἰ καὶ μὴ τοῖς ῥήμασι τούτοις. ταῦτα καὶ ἡμεῖς καὶ ζῶντες καὶ μέλλοντες
τελευτᾶν πρὸς τοὺς παῖδας τοὺς ἑαυτῶν διαλεγώμεθα, καὶ πείθωμεν αὐτοὺς, ὅτι μέγας
πλοῦτος, καὶ κληρονομία ἀδιάπτωτος, καὶ θησαυρὸς ἀνεπηρέαστος, ὁ τοῦ Θεοῦ φόβος ἐστί· καὶ
σπουδάζωμεν μὴ χρήματα αὐτοῖς καταλιμπάνειν τὰ ἀπολλύμενα, ἀλλὰ εὐσέβειαν τὴν
μένουσαν καὶ μὴ δαπανωμένην. εὐσεβείας μὲν γὰρ οὐκ οὔσης καὶ τὰ ὄντα ἀπόλλυται χρήματα
μετὰ κινδύνων καὶ τῆς ἐσχάτης αἰσχύνης· ταύτης δὲ παρούσης καὶ τὰ οὐκ ὄντα προσγίνεται.
ἐὰν ἀναθρέψῃς σὺ καλῶς τὸ παιδίον, οὕτω κἀκεῖνος τὸν υἱὸν τὸν ἑαυτοῦ, καὶ ἐκεῖνος τὸν υἱὸν· καὶ καθάπερ
σειρά τις καὶ ἀκολουθία πολιτείας ἀρίστης μέχρι παντὸς βαδιεῖται, παρὰ σοῦ λαβοῦσα
τὴν ἀρχὴν καὶ τὴν ῥίζαν, καὶ τῆς τῶν ἐγγόνων ἐπιμελείας σοι φέρουσα τοὺς καρπούς. εἰ μετὰ
ἀκριβείας οἱ πατέρες τοὺς ἑαυτῶν ἐπαίδευον παῖδας, οὐ νόμων, οὐ δικαστηρίων ἔδει, οὐ τιμωριῶν
καὶ κολάσεων καὶ τῶν δημοσίων φόνων. Δικαίῳ γὰρ, φησὶ, νόμος οὐ κεῖται. ἐπειδὴ δὲ α.Τιμ. α. θ.
καταμελοῦμεν αὐτῶν, διὰ τοῦτο μείζοσιν αὐτοὺς περιβάλλομεν κακοῖς, καὶ ταῖς τῶν δημίων
ἐκδίδομεν χερσὶ, καὶ εἰς τὰ βάραθρα συνεχῶς ὠθοῦμεν. Ὁ γὰρ περιψύχων τὸν υἱὸν τὸν ἑαυτοῦ, Σειρ. λ. ζ.
καταδεσμεύσει τὰ τραύματα αὐτοῦ, φησί. τί ἐστιν, ὁ περιψύχων; ὁ ἐλεῶν, ὁ κολακεύων,
ὁ θεραπεύων ὑπὲρ τὸ μέτρον. σφοδρότητος γὰρ αὐτοῖς καὶ ἐπιμελείας δεῖται καὶ φόβου.
ταῦτα λέγω οὐχ ἵνα λίαν τραχεῖς ὦμεν τοῖς παισὶν, ἀλλ' ἵνα μὴ εὐκαταφρόνητοι πρὸς αὐτοὺς
φαινώμεθα. Εἰ γὰρ γυνὴ τὸν ἄνδρα φοβεῖσθαι ὀφείλει, πολλῷ μᾶλλον τὸ παιδίον τὸν
πατέρα. καὶ μή μοι λέγε, ὅτι ἀδύνατον περιγενέσθαι τῆς νεότητος. εἰ γὰρ χήραν γυναῖκα
ἀπαιτεῖ τὴν πρόνοιαν ταύτην ὁ Παῦλος, πολλῷ μᾶλλον τοὺς ἄνδρας. εἰ ἀδύνατον
ἦν, οὐκ ἂν ἐπέταξεν. ἀλλ' ἡ πᾶσα πονηρία παρὰ τὴν ἡμετέραν γίνεται ῥαθυμίαν, καὶ τὸ μὴ
ἐξ ἀρχῆς, μηδὲ ἐκ πρώτης ἡλικίας εἰς εὐλάβειαν ἐνάγειν αὐτούς. ἀλλ' ὅπως μὲν τῆς
ἔξωθεν μετάσχοιεν παιδεύσεως, καὶ εἰς στρατείαν τελέσαιεν, σπουδάζομεν, καὶ χρήματα καταβάλλομεν,
καὶ φίλους ἀξιοῦμεν, καὶ πολλαῖς κεχρήμεθα ταῖς περιδρομαῖς· ὅπως δὲ εὐδοκιμήσαιεν
παρὰ τῷ βασιλεῖ τῶν ἀγγέλων, οὐδένα ποιούμεθα λόγον. καὶ εἰς θεάματα μὲν συνεχῶς
συγχωροῦμεν ἀναβαίνειν, εἰς ἐκκλησίαν δὲ οὐκ ἀναγκάζομεν οὐδέποτε· ἀλλὰ κἂν
ἅπαξ.

ἅπαξ, ἢ δεύτερον παραγένηται τὸ παιδίον, ἁπλῶς καὶ εἰκῇ καὶ μάτην καὶ ψυχαγωγίας ἕνεκεν ἐνταῦθα παραγίνεται. οὐκ ἐχρῆν δὲ οὕτως· ἀλλ' ὥσπερ εἰς διδασκαλεῖον πέμποντες τὰ μαθήματα, ἀπαιτοῦμεν τὰς εὐθύνας, οὕτω καὶ εἰς ἐκκλησίαν πέμποντες, μᾶλλον δὲ ἄγοντες. οὐ γὰρ ἑτέροις αὐτοὺς ἐπιτρέπειν, ἀλλ' αὐτοὺς κατέχοντας ἐνταῦθα εἰσιέναι ἐχρῆν, καὶ τῆς ἐνταῦθα ἀκροάσεως καὶ διδασκαλίας τὴν μνήμην ἀπαιτεῖν ἔδει. οὕτω γάρ, οὕτω ῥᾴων ἐγίνετο καὶ εὔκολος ἡμῖν ἡ τῶν παίδων διόρθωσις. εἰ γὰρ καὶ ἐν τῇ οἰκίᾳ διηνεκῶς ἤκουον ὑμῶν διαλεγομένων περὶ φιλοσοφίας, καὶ συμβουλευόντων αὐτοῖς τὰ δέοντα, καὶ τὰ ἐνταῦθα αὐτοῖς προσετίθετο μετ' ἐκείνων, καὶ ταχέως ἂν τῶν καλῶν τούτων σπερμάτων γνήσιον ἡμῖν ἐπεδείξαντο καρπόν. ἀλλ' οὐδὲν τούτων ποιοῦμεν, ἀλλὰ πάρεργα ἡμῖν τὰ ἀναγκαῖα· κἂν παραινέσῃ τις περὶ τούτων, γέλως εὐθέως· καὶ διὰ τοῦτο τὰ ἄνω, κάτω γεγένηται· καὶ οὓς οὐ παιδεύουσιν οἱ γονεῖς, οἱ ἔξωθεν παιδεύουσι νόμοι. οὐκ αἰσχύνῃ καὶ ἐρυθριᾷς, εἰπέ μοι, ὅταν τὸν υἱὸν τὸν σὸν ὁ δικαστὴς κολάσῃ καὶ σωφρονέστερον ποιήσῃ, καὶ τῆς ἔξωθεν ἐκεῖνος δέηται διορθώσεως, τοσοῦτον ἐξ ἀρχῆς σοι συνοικήσας χρόνον; οὐκ ἐγκαλύπτῃ καὶ καταδύῃ; τολμᾷς δὲ ὅλως, εἰπέ μοι, πατὴρ ἔτι καλεῖσθαι, οὕτω προδοὺς τὸν υἱόν, καὶ τὴν ἀναγκαίαν οὐκ εἰσενεγκὼν αὐτῷ φοράν, ἀλλὰ περιϊδὼν ὑπὸ πάσης διαφθαρέντα κακίας; κἂν μὲν δραπέτην τινὰ εἴδῃς ῥαπίζοντα τὸ παιδίον, ἀγανακτεῖς καὶ ὀργίζῃ καὶ δυσχεραίνεις, θηρίου χαλεπώτερον ἐπιπηδήσας τῇ τοῦ τυπτήσαντος ὄψει· τὸν δὲ διάβολον καθ' ἑκάστην ἡμέραν ὁρῶν αὐτὸν ῥαπίζοντα, δαίμονας εἰς ἁμαρτήματα ἐνάγοντας, καθεύδεις καὶ οὐκ ἀγανακτεῖς, οὐδὲ ἐξαρπάζεις τοῦ χαλεπωτάτου θηρίου τὸν υἱόν; πάλιν ἂν μὲν ὑπὸ δαίμονος ἐνεργῆται, πρὸς πάντας τοὺς ἁγίους τρέχεις, καὶ τοῖς ἐν ταῖς κορυφαῖς τῶν ὀρέων ἐνοχλεῖς, ὥστε αὐτὸν τῆς μανίας ἀπαλλάξαι ἐκείνης· ἁμαρτίας δέ, ἣ παντὸς δαίμονός ἐστι χαλεπωτέρα, συνεχῶς ἐνοχλούσης, οὐδὲν πλέον ποιεῖς; καὶ τὸ μὲν παρὰ δαίμονος ἐνοχλεῖσθαι, χαλεπὸν οὐδέν. οὐ γὰρ εἰς γέενναν ἐμβαλεῖν τὸ δαιμόνιον δύναται πάντως, ἀλλ' ἐὰν νήφωμεν, καὶ στεφάνους ἡμῖν ὁ πειρασμὸς οὗτος οἴσει λαμπροὺς καὶ περιφανεῖς, ὅταν εὐχαρίστως φέρωμεν τὰς τοιαύτας ἐπηρείας. τὸν δὲ ἁμαρτίᾳ συζῶντα ἀμήχανον σωθῆναί ποτε, ἀλλ' ἀνάγκη πάντως καὶ ἐνταῦθα ἐπονείδιστον εἶναι, καὶ ἀπελθόντα ἐκεῖ ἀθάνατα πάλιν κολάζεσθαι. ἀλλ' ὅμως ταῦτα εἰδότες, ὑπὲρ μὲν τῶν ἐλαττόνων πολλὴν ποιούμεθα σπουδήν, ὑπὲρ δὲ τῶν μειζόνων οὐδὲ διαναστῆναι βουλόμεθα· καὶ δαιμονῶντα μὲν ὁρῶντες θρηνοῦμεν, ἁμαρτάνοντα δὲ ὁρῶντες οὐδὲ αἰσθανόμεθα· δέον τότε κατακόπτεσθαι καὶ ὀδύρεσθαι, μᾶλλον δὲ οὐκ ὀδύρεσθαι μόνον, ἀλλὰ καὶ κατέχειν καὶ χαλινοῦν, συμβουλεύειν, παραινεῖν, φοβεῖν, ἐπιτιμᾶν, παντὶ τρόπῳ θεραπείας τὴν ἀρρωστίαν ἀπελαύνειν ἐκείνην, καὶ τὴν χήραν μιμεῖσθαι ταύτην, περὶ ἧς ὁ Παῦλός φησιν, Εἰ ἐτεκνοτρόφησεν. οὐ γὰρ πρὸς ἐκείνην μόνον, ἀλλὰ καὶ πρὸς ἅπαντας τοῦτον ἀποτείνει τὸν λόγον, καὶ πᾶσι παραινεῖ λέγων, Ἐκτρέφετε τὰ παιδία ἐν νουθεσίᾳ Κυρίου. πρῶτον γὰρ τοῦτο καὶ μέγιστόν ἐστι τῶν ἀγαθῶν· ὅπερ οὖν καὶ παρὰ τῆς χήρας πρῶτον ἐπήτησεν. εἶτα μετὰ τοῦτό φησιν, Εἰ ἐξενοδόχησε. τί λέγεις, εἰπέ μοι; χήραν γυναῖκα ξενοδοχίαν ἀπαιτεῖς; οὐ γὰρ ἀρκεῖ τὸ θρέψαι παιδία; οὐχί, φησιν· ἀλλὰ δεῖ καὶ τοῦτο προσεῖναι, καὶ μετὰ τὴν τῶν οἰκείων προστασίαν καὶ τῶν ἀλλοτρίων ἔχειν πρόνοιαν χρή, καὶ τὴν οἰκίαν ἀνοῖξαι τοῖς ξένοις. ἀπῆλθεν ὁ ἀνήρ· πᾶσαν τὴν περὶ ἐκεῖνον σπουδὴν περὶ τοὺς ξένους ἀνάλωσον. τί οὖν, φησιν, εἰ πένης εἴη; οὐκ ἔστιν ἐκείνης τῆς χήρας πενεστέρα τῆς ἐν ἀλεύρῳ μικρῷ καὶ ἐλαίου κυάθῳ τὸν μέγαν προφήτην ὑποδεξαμένης τὸν Ἠλίαν. καὶ γὰρ ἐκεῖ παιδία παρῆν· ἀλλ' οὔτε ἡ σπάνις τῶν ὄντων, οὔτε ἡ τοῦ λιμοῦ τυραννίς, οὔτε ὁ προσδοκώμενος θάνατος, οὐχ ἡ τῶν παιδίων φροντίς, οὐχ ἡ χηρεία, οὐκ ἄλλο οὐδὲν ἐγένετο κώλυμα τῇ φιλοξένῳ γυναικί. οὕτω πανταχοῦ οὐ μέτρα οὐσίας, ἀλλὰ μέτρα διανοίας ζητεῖται.

ἴσ. φερνήν

Ἐφεσ. ϛ. δ.

ἴσ. ἀπῄτησεν

γ. Βασ. ιζ.

ζητεῖται. ὁ μεγαλόψυχος καὶ τῇ διανοίᾳ πλούσιος, κἂν ἁπάντων ἀνθρώπων πενέστερος ἐν χρήμασιν ᾖ, πάντας ὑπερβαλεῖν δυνήσεται καὶ φιλοξενίᾳ καὶ ἐλεημοσύνῃ καὶ τῇ λοιπῇ πάσῃ φιλοφροσύνῃ· ὁ μικρολόγος καὶ πτωχὸς τὴν διάνοιαν καὶ χαμαὶ ἕρπων, κἂν ἁπάντων εὐπορώτερος ᾖ, πάντων ἐστὶ πτωχότερος καὶ ἀπορώτερος. διὰ τοῦτο πρὸς τὰ τοιαῦτα ἅπαντα ὀκνεῖ καὶ ἀναδύεται. καὶ ὥσπερ οὐδὲν ἐπὶ τοῦ πένητος ἡ πενία γένοιτ' ἂν κώλυμα πρὸς ἐλεημοσύνην διὰ τὸν τῆς διανοίας πλοῦτον· οὕτως οὐδὲν ἐπὶ τοῦ πλουτοῦντος ἡ εὐπορία συμπρᾶξαι δυνήσεται πρὸς τὴν φιλοφροσύνην διὰ τὴν τῆς διανοίας πενίαν. καὶ τὰ παραδείγματα ἐντεῦθεν. ἡ μὲν γὰρ χήρα καὶ ἐν ἀλεύρῳ μικρῷ τὸν προφήτην ἐδέξατο· ὁ δ' Ἀχαὰβ τοσοῦτον κεκτημένος πλοῦτον, καὶ τῶν ἀλλοτρίων ἐπεθύμησεν. οὕτως οὐκ ἔστι χρημάτων πλοῦτος, ἀλλὰ πλοῦτος διανοίας ὁ παρέχων ἡμῖν εὐκολίαν περὶ τὴν ἐλεημοσύνην· ἐπεὶ καὶ ἡ χήρα ἐκείνη διὰ δύο μόνων ὀβολῶν μυρίους πλουσίους Λουκ. κα. β. παρηκόντισε, καὶ οὐκ ἐγένετο κώλυμα ἡ πενία. αὕτη μὲν οὖν ἡ πενία μείζονα τὴν ἐλεημοσύνην εἰργάσατο. ὅπερ οὖν καὶ ὁ Παῦλός φησιν, Ἡ κατὰ βάθους πτωχεία ἐπερίσ- β. Κορ. η. β. σευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν. οὐ γὰρ τοῦτο χρὴ σκοπεῖν, ὅτι δύο κατέβαλεν ὀβολούς, ἀλλ' ὅτι μόνους ἔχουσα τούτους, οὐκ ἐφείσατο, ἀλλ' ὁλόκληρον τὴν οὐσίαν εἰσήνεγκε, θαυμάζειν αὐτὴν χρὴ καὶ στεφανοῦν. οὐ τοίνυν περιουσίας, ἀλλὰ προθυμίας ἡμῖν δεῖ, ὅταν ὑποδεχώμεθα ξένους. ὥσπερ γὰρ ταύτης παρούσης οὐδὲν βλάβος γένοιτ' ἂν ἀπὸ πενίας, οὕτως ἀπούσης οὐδὲν ὄφελος γένοιτ' ἂν ἐξ εὐπορίας. τί λέγεις; παιδίων ἐπιμελεῖται ἡ χήρα, καὶ διὰ τοῦτο οὐκ ἂν δύναιτο θεραπεύειν ξένους; δι' αὐτὸ μὲν οὖν τοῦτο εὐκολώτερον τοῦτο ἐργάσεται, κοινωνοὺς ἔχουσα τῆς θεραπείας τοὺς υἱούς, συναντιλαμβανομένους καὶ συνεφαπτομένους αὐτῇ τῆς καλῆς ταύτης πραγματείας. ὥστε οὐ κώλυμα, ἀλλὰ βοήθεια τῆς φιλοξενίας ἔσται τῶν παίδων τὸ πλῆθος, καὶ ἡ πολυχειρία πολλὴν τῇ διακονίᾳ παρέξει τὴν εὐκολίαν. μὴ γάρ μοι πολυτελῆ τράπεζαν εἴπῃς. ἂν εἰς τὴν οἰκίαν δέξηται τὸν ξένον, ἂν τὰ ὄντα παραθῇ, ἂν πολλὴν ἐπιδείξηται τὴν φιλοφροσύνην, ἀπήρτισται τῆς ξενοδοχίας ὁ καρπὸς ἅπας. εἰ γὰρ ποτήριον ψυχροῦ μόνον βασιλεί- Ματθ. ι. μβ. αν οὐρανῶν προξενεῖ, τὸ καὶ ὁμορρόφιον ποιῆσαι, καὶ τραπέζης κοινωνόν, καὶ ἀναπαῦσαι, πόσον οἴσει τὸν καρπόν, εἰπέ μοι; σκόπει δή μοι Παύλου τὴν ἀκρίβειαν. οὐ γὰρ ἁπλῶς ξενοδοχίαν ἐνταῦθα ἀπαιτεῖ, ἀλλὰ τὴν μετὰ προθυμίας καὶ ζεούσης ψυχῆς καὶ διανοίας θερμῆς. εἰπὼν γάρ, εἰ ἐξενοδόχησεν, ἐπήγαγεν· εἰ ἁγίων πόδας ἔνιψεν. οὐ θεραπαίνῃ ἐπιτρέπειν χρὴ αὐτὴν μετὰ τύφου καθημένην τοῦ ξένου τὴν θεραπείαν, ἀλλ' αὐτουργὸν γενέσθαι, καὶ τὸν καρπὸν ἁρπάζειν, καὶ μηδενὶ παραχωρεῖν τοῦ καλοῦ τούτου θησαυροῦ. καὶ πῶς τοῦτο γένοιτ' ἄν, φησίν; εἰ γὰρ εὐγενὴς εἴη καὶ περιφανὴς καὶ λαμπρὰ καὶ ἐπίσημος ἐκ προγόνων, αὐτὴ τοῦ ξένου νίψει τοὺς πόδας; καὶ πῶς οὐκ αἰσχρόν; αἰσχρὸν μὲν οὖν τὸ μὴ νίπτειν, ἄνθρωπε. κἂν γὰρ μυριάκις αὐτῆς τὴν εὐγένειαν εἴπῃς καὶ τὴν περιφάνειαν, καὶ τὴν λαμπρότητα, τῆς αὐτῆς μετέχει τῷ νιπτομένῳ φύσεως, καὶ σύνδουλός ἐστι τοῦ θε- Ιωαν. ιγ. ε. ραπευομένου καὶ ὁμότιμος. ἐννόησον τίς τῶν μαθητῶν τοὺς πόδας ἔνιψε, καὶ παῦσαί μοι περὶ εὐγενείας διαλεγόμενος. ὁ κοινὸς τῆς οἰκουμένης δεσπότης, ὁ τῶν ἀγγέλων βασιλεὺς καὶ ἔνιψε καὶ λέντιον περιεζώσατο, καὶ οὐχὶ τῶν μαθητῶν μόνον, ἀλλὰ καὶ αὐτοῦ τοῦ προδότου. εἶδες πόσον τὸ μέσον τοῦ νίπτοντος καὶ τοῦ νιπτομένου; ἀλλ' ὅμως τὸ μέσον ἅπαν τοῦτο κατεῖδε, καὶ ὁ δεσπότης τὸν δοῦλον ἔνιψεν, ἵνα ἡ δούλη τὸν σύνδουλον μὴ ἐπαισχύνηται. διὰ τοῦτο καὶ τοῦ προδότου, ἵνα μὴ μέλλῃς λέγειν, ὅτι εὐτελὴς καὶ εὐκαταφρόνητος ὁ μέλλων ἀπολαύειν τῆς θεραπείας. εἰ γὰρ καὶ εὐτελὴς καὶ εὐκαταφρόνητος, ἀλλ' οὔπω κατὰ τὸν Ἰούδαν ἐστίν, οὐδὲ τοιαῦτά σε διέθηκεν, οἷα τὸν δεσπότην ἐκεῖνος, μετὰ τὰς μυρίας εὐεργεσίας ἐπὶ προδοσίαν ἐλθών. ἀλλ' ὅμως ἅπαντα ταῦτα προειδὼς ἔνιψεν, ἡμῖν νόμους τιθείς, ἵνα κἂν ἁπάντων ὦμεν ὑψηλότεροι, κἂν ἁπάντων λαμπρότεροι καὶ περιφανέστεροι, κἂν ἁπάντων χεῖρας τὰς μέλλοντες πρὸς ἡμᾶς κατάγεσθαι, μὴ διὰ τοῦτο αὐτῶν φεύγωμεν τὴν θεραπείαν, μηδὲ τὴν εὐτέλειαν ἐπαισχυνώμεθα. σὺ δέ, ὦ γύναι, ἐὰν μέν τινα εἴδῃς ἐν τοῖς βιωτικοῖς σοι βοηθοῦντα πράγμασιν, ἢ ἐν δικαστηρίῳ συμπράττοντα, ἢ ἐν ἄλλῳ τινὶ τοιούτῳ, καὶ ἁπάντας, καὶ μετὰ πολλῆς δέχῃ τῆς εὐνοίας, καὶ χεῖρας καταφιλεῖς, καὶ ἀργύριον καταβάλλεις, καὶ τὰ τῶν θεραπαινίδων ποιεῖς· ἂν δὲ τὸν Χριστὸν εἰσελθόντα ἴδοις, ὀκνεῖς καὶ καταδύῃ πρὸς τὴν αὐτοῦ θεραπείαν; εἰ μὴ ὡς τὸν Χριστὸν δέχῃ τὸν ξένον, μὴ δέξῃ· εἰ δὲ ὡς τὸν Χριστὸν δέχῃ, μὴ ἐπαισχυνθῇς τοῦ Χριστοῦ νίψαι τοὺς πόδας. οὐχ ὁρᾷς πόσοι τῶν ἐπηρεαζομένων εἰς ἀνδριάντων κατέφυγον πόδας; καίτοιγε ἀναίσθητος ἡ ὕλη, καὶ ἄψυχος ὁ χαλκός· ἀλλ' ὅμως ἐπειδὴ βασιλέων εἰσὶν εἰκόνες, προσεδόκησαν ἵνα καρπώσασθαι παρὰ τῶν ποδῶν ἐκείνων ὠφέλειαν. σὺ δὲ οὐκ ἀναισθήτους πόδας, οὐδὲ ἄψυχον ὕλην, ἀλλ' εἰκόνα εἶδον ἔχουσαν τὸν βασιλέα θεωροῦσα πρὸς σὲ εἰσιοῦσαν, οὐ προστρέχεις, εἰπέ μοι, καὶ τοὺς πόδας κατέχεις, καὶ παντὶ θεραπεύῃ τρόπῳ; καὶ πῶς ταῦτα συγγνώμης ἄξια; πόσης δὲ οὐκ ἂν εἴη τοῦτο αἰσχύνης; ἐννόησον τίνι κοινωνεῖς φυσωμένη, καὶ πρὸς ἀλαζονείαν ἐπαιρομένη, καὶ τοῦ ξένου τὴν θεραπείαν αἰσχυνομένη. τῷ διαβόλῳ δηλονότι. ἐκείνου γὰρ ἡ ὑπερηφάνεια νόσημα. ἂν δὲ προσδράμῃς, ἐννόησον τίνα μιμῇ. τὸν δεσπότην τὸν σόν, καὶ τὸ τοῦ Χριστοῦ ποιεῖς ἔργον. ποία τοίνυν αἰσχύνη, ἢ ποῖον ὄνειδος τῷ δεσπότῃ κοινωνεῖν, εἰπέ μοι; αἰσχύνη μὲν οὖν τὸ ταῦτα ἐπαισχύνεσθαι, καὶ νομίζειν ὄνειδος εἶναι, ὅπερ ἐποίησεν ὁ Χριστός. μεγάλα δύνανται πόδες ἁγίων εἰς οἰκίαν εἰσιόντες. αὐτὸ τὸ ἔδαφος ἁγιάζουσι, θησαυροὺς μυρίων εἰσάγουσιν ἀγαθῶν, φύσιν πεπηρωμένην διορθοῦνται, λιμὸν λύουσι, πολλὴν εἰσάγουσι τὴν εὐπορίαν. οὕτω καὶ οἱ πόδες τοῦ Ἠλίου εἰς τὴν οἰκίαν τῆς χήρας εἰσελθόντες καινόν τινα καὶ παράδοξον εὐετηρίας ἐπεδείξαντο τρόπον. ἄρουραν τὴν οἰκίαν τῆς χήρας ἐποίησε, καὶ τὴν ὑδρίαν ἅλωνα. καινός τις τρόπος σπόρου καὶ ἀμητοῦ ἐγίνετο τότε. ἔσπειρεν εἰς τὸ τοῦ δικαίου στόμα, καὶ καταβληθέντα μετὰ πολλῆς τῆς ἀφθονίας ἐκ τῆς ὑδρίας ἐθέριζεν· ἔσπειρεν ἄλευρον, καὶ ἐθέριζεν ἄλευρον· οὐκ ἐδεήθη βοῶν καὶ ζεύγους καὶ ἀρότρου καὶ αὔλακος, οὐδὲ ὑετοῦ καὶ ἀέρος καὶ δρεπάνης, οὐδὲ ἅλωνος καὶ δραγμάτων, οὐδὲ ἀνέμων διακρινόντων ἀπὸ τοῦ καρποῦ τὰ ἄχυρα, οὐδὲ μύλης τριβούσης· ἀλλ' ἐν μιᾷ καιροῦ ῥοπῇ τούτων ἁπάντων τὸ τέλος εὗρεν ἐπὶ τῆς ὑδρίας· καὶ δύο πηγάς, τὴν μὲν ἀλεύρου, τὴν δὲ ἐλαίου διηνεκῶς ἀνῆκεν ἡ τοῦ προφήτου φωνή. τοιαῦτα τῶν ἁγίων τὰ δῶρα, καὶ δαψίλειαν καὶ εὐκολίαν ἔχει πολλήν. τὰ μὲν γὰρ ἀπὸ τῆς γῆς δρεπόμενα δαπανᾶται, ἐκεῖναι δὲ αἱ πηγαὶ ἀντλούμεναι καθημέραν οὐκ ἐκενώθησαν, ἀλλ' ἦν ἰσοστάσιος πρὸς τὴν ἐκκένωσιν τῆς ἐπιρροῆς ἡ μάχη. τοιαῦτα χαρίζονται πόδες ἁγίων, μᾶλλον δὲ καὶ πολλῷ πλείονα τούτων. καὶ εἰ μὴ μακρὸν ἐποίουν τὸν λόγον, πολλὰς ἂν ἀπηριθμησάμην τοιαύτας δωρεάς.

Ἀλλ' ὥσπερ τιμώμενοι τοιαῦτα φέρουσι δῶρα, οὕτως ἀτιμαζόμενοι μεγάλην ἐπάγουσι κόλασιν καὶ πῦρ ἀπαραίτητον. πόθεν τοῦτο δῆλον; ἄκουσον αὐτοῦ τοῦ Χριστοῦ λέγοντος τοῖς μαθηταῖς, Εἰς ἣν ἂν πόλιν ἢ οἰκίαν εἰσέλθητε, ἐρωτήσατε τίς ἄξιός ἐστιν ἐν αὐτῇ, κἀκεῖ μείνατε. καὶ εἰσερχόμενοι λέγετε, εἰρήνη τῇ οἰκίᾳ ταύτῃ. ἵνα γὰρ μὴ λέγῃς, δαπανῶ τὰ χρήματα, ἀναλίσκω τὴν οὐσίαν, τράπεζαν παραθεῖσα τοῖς ξένοις, αὐτὸν πρότερον τὸν εἰσιόντα παρασκευάζει σοι κομίσαι ξένια καὶ δῶρα πᾶσαν ὑπερβαίνοντα περιουσίαν. ποῖα δὴ ταῦτα; τῆς εἰρήνης τὴν χορηγίαν. ταύτης γὰρ ἴσον οὐδέν. ὁρᾷς μεθ' ὅσης εὐπορίας ὁ ἅγιος εἰσέρχεται εἰς τὴν οἰκίαν; τὸ ῥῆμα τοῦτο ψιλὸν μέν ἐστι, μυρίων δὲ ἀγαθῶν ὑπόθεσις. τί γὰρ ἀσφαλέστερον οἰκίας γένοιτ' ἂν εἰρήνης ἀπολαυούσης; εἰρήνην δὲ ἐπεύχονται οἱ ἅγιοι τοῖς ὑποδεχομένοις, οὐ τὴν πρὸς ἀλλήλους μόνον, ἀλλὰ καὶ τὴν πρὸς ἡμᾶς αὐτούς. πολλάκις γοῦν πόλεμον ἐν τοῖς λογισμοῖς ἔχομεν, καὶ μηδενὸς ἐνοχλοῦντος παρατεινόμεθα, καὶ

Ματθ. ι. ια.

ἐπιθυμίαι πονηραὶ συνεχῶς ἡμῖν ἐπανίστανται. καὶ ταύτην οὖν καταστέλλει τὴν μάχην ἐκεῖνο τῶν ἁγίων τὸ ῥῆμα, καὶ πολλὴν ἐνδίδωσι γαλήνην. ὁμοῦ τε γὰρ ἐκεῖνος ἐφθέγξατο, καὶ πᾶσα ἐνθύμησις διαβολικὴ καὶ λογισμὸς ἄτοπος ἐδραπέτευσεν ἐκ τῆς ἡμετέρας ψυχῆς· ὥστε μείζονα λαμβάνεις ἢ δίδως. Κἂν μὴ δέξωνταί, φησιν, ὑμᾶς, ἐλθέτω εἰρήνη ἐπ' αὐτοῖς· Ματθ. ι. ιγ. ἐὰν δὲ μὴ δέξωνταί, ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν. ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρας ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἢ τῇ πόλει ἐκείνῃ. ὁρᾷς ὅτι ἀτιμαζόμενοι πόδες ἁγίων πόσον ἐπάγουσι πῦρ; διὰ τοῦτο κελεύει νίπτειν αὐτούς· ἵνα θεραπευόμενοι πολλὴν ἡμῖν προξενήσωσι παρὰ τῷ Θεῷ τὴν παρρησίαν, ὁμοῦ δὲ καὶ ἐκεῖνο διὰ ταύτης ἡμᾶς παιδεύει τῆς παραινέσεως, τὰ τῆς φιλοξενίας ἔργα δι' ἑαυτῶν ἅπαντα ἐπιτελεῖν. μίμησαι τὸν Ἀβραάμ, γενοῦ θυγάτηρ ἐκείνου, ὃς τριακοσίους δέκα καὶ ὀκτὼ ἔχων οἰκογενεῖς, αὐτὸς μετὰ τῆς γυναικὸς διενείματο τῆς φιλοξενίας τὸν καρπόν· καὶ ὁ μὲν δάμαλιν ἔφερεν, ἡ δὲ ἔφυρασεν ἄλευρον. τούτους καὶ σὺ ζήλωσον. οὐ γὰρ τὸ δοῦναι χρήματα μόνον, ἀλλὰ καὶ τὸ διακονῆσαι τοῖς δεομένοις πολὺν ἔχει τὸν μισθόν. διὰ τοῦτο καὶ οἱ ἀπόστολοι τοὺς ἑπτὰ ἐκείνους τοὺς περὶ Στέφανον ἐπέστησαν τῇ τοιαύτῃ διακονίᾳ. Πραξ. ϛ. καίτοιγε οὐδὲν οἴκοθεν ἐκεῖνοι παρεῖχον τοῖς πένησιν, ἀλλὰ τὰ παρ' ἑτέρων διδόμενα ᾠκονόμουν καλῶς· ἀλλ' ὅμως μέγαν ἀπηνέγκαντο τὸν μισθόν, ὅτι τὰ παρ' ἑτέρων διδόμενα καλῶς καὶ μετ' ἀκριβείας ᾠκονόμουν ἁπάσης. γενοῦ τοίνυν καὶ σὺ τῶν σαυτοῦ καλὸς οἰκονόμος, ἵνα διπλοῦν λάβῃς τὸν καρπόν, καὶ τοῦ δοῦναι, καὶ τοῦ καλῶς οἰκονομῆσαι. μὴ ἐπαισχυνθῇς διὰ τῆς σαυτοῦ χειρὸς θεραπεῦσαι τὸν πένητα. ὁ Χριστὸς οὐκ ἐπαισχύνεται χεῖρα ἐκτεῖναι καὶ λαβεῖν διὰ τοῦ πένητος, καὶ σὺ χεῖρα ἐκτεῖναι καὶ δοῦναι ἀργύριον ἐπαισχύνῃ; καὶ πῶς τοῦτο οὐκ ἐσχάτης ἀνοίας; ἓν μόνον ἐστὶν αἰσχύνη, πονηρία καὶ ὠμότης καὶ ἀπανθρωπία· φιλοφροσύνη δὲ καὶ ἐλεημοσύνη καὶ φιλανθρωπία καὶ τὸ διακονεῖσθαι τοῖς δεομένοις λαμπροτέρους ἡμᾶς ἐργάζεται. ὅσον γὰρ ἂν ἧς πλουσία καὶ εὔπορος*, τοσοῦτον ἐπαινέσονταί σε πάντες, ὅταν πρὸς τοὺς πτωχοὺς καὶ εὐτελεῖς καταβαίνῃς, οὐκ ἄνθρωποι δὲ μόνον, ἀλλὰ καὶ ἄγγελοι, καὶ ὁ τῶν ἀγγέλων δεσπότης· οὐκ ἐπαινέσεται δὲ μόνον, ἀλλὰ καὶ ἀμείψεται διπλαῖς δωρεαῖς. οὐ γὰρ τῆς ἐλεημοσύνης μόνον, ἀλλὰ καὶ τῆς ταπεινοφροσύνης πολλούς σοι παρασκευάσει τοὺς μισθούς. μὴ τοίνυν ἐπαισχυνώμεθα ταῖς τῶν πενήτων θεραπείαις, μηδὲ παραιτώμεθα νίπτειν τῶν ξένων τοὺς πόδας. ἁγιάζονται γὰρ ἡμῶν αἱ χεῖρες διὰ τῆς τοιαύτης διακονίας. κἂν εἰς εὐχὴν αὐτὰς ἀνατείνῃς ἀπὸ τῆς θεραπείας ἐκείνης, ὁρῶν αὐτὰς ὁ Θεὸς δυσωπεῖται μᾶλλον, καὶ τὴν αἴτησιν δίδωσι. τὸ μὲν γὰρ χρήματα δοῦναι, πολλῶν ἂν εἴη· τὸ δὲ δι' ἑαυτῶν θεραπεῦσαι τοὺς δεομένους καὶ μετὰ προθυμίας τοῦτο ποιῆσαι καὶ ἀγάπης καὶ φιλαδελφίας, πολλῆς καὶ μεγάλης δεῖται ψυχῆς καὶ φιλοσόφου. καὶ τοῦτό ἐστιν, ὃ μάλιστα πάντων ὁ Παῦλος ἐπιζητεῖ, τοῖς ἐν θλίψει καὶ πενίᾳ καὶ περιστάσεσιν οὕτω κελεύων συναλγεῖν, ὡς ἐν τοῖς αὐτοῖς ὄντας δεινοῖς. Τοῖς γὰρ δεσμίοις, φησὶν, ὡς συνδεδεμένοι. Ἑβρ. ιγ. γ. διόπερ οὐδὲ ἐνταῦθα τὸν λόγον ἔστησε μόνον, ἀλλὰ καὶ ἕτερον ἐπήγαγεν· Εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησε. τί ἐστιν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησεν; ὥστε καὶ εἰς δεσμωτήριον εἰσιέναι, καὶ τοὺς δεδεμένους ἐπισκέπτεσθαι, καὶ ἀρρωστοῦντας ἐπισκοπεῖν, καὶ θλιβομένους παραμυθεῖσθαι, καὶ ὀδυνωμένους παρακαλεῖν, καὶ πάντα τρόπον τὰ κατὰ δύναμιν εἰσφέρειν ἅπαντα, καὶ μηδὲν ὅλως παραιτεῖσθαι τῶν εἰς σωτηρίαν καὶ ἀνάπαυσιν τῶν ἀδελφῶν γινομένων τῶν ἡμετέρων. εἰ δὲ χήραν γυναῖκα τοσαῦτα ἀπαιτεῖ κατορθώματα, τίνος ἂν εἴημεν ἀπολογίας ἄξιοι οἱ ἄνδρες ἡμεῖς ταῦτα μὴ ποιοῦντες, ἃ γυναῖκας χήρας ποιεῖν ἐνομοθέτησεν ὁ Παῦλος; ἀλλ' ἴσως ἂν εἴποι τις· καὶ πῶς χήραν γυναῖκα τοσαύτην ἀπαιτεῖ ἀκρίβειαν· ὅτε δὲ περὶ παρθενίας ἐπέστελλεν, οὐδὲν διελέχθη τοιοῦτον; πλείονα μὲν τούτων φιλοσοφίαν αὐτὰς ἀπήτησεν. ὅταν γὰρ εἴπῃ, Μεμέρισται ἡ γυνὴ α. Κορ. ζ. λδ.

ἢ ἐπίδοξοι

καὶ ἡ παρθένος· καί, Ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, πῶς ἀρέσει τῷ Κυρίῳ· καὶ πάλιν, Τοῦτο δὲ λέγω πρὸς τὸ εὔσχημον καὶ εὐπρόσεδρον τῷ Κυρίῳ ἀπερισπάστως, οὐδὲν ἄλλο διὰ τούτων αἰνίττεται τῶν ῥημάτων, ἀλλ' ἢ ὅτι τῶν βιωτικῶν ἁπάντων πραγμάτων καθάπαξ ἑαυτὴν ἀπορρήξασαν τὴν παρθένον ὁλόκληρον ἀναθεῖναι δεῖ τῷ Θεῷ τὴν ψυχήν, καὶ μηδὲν πρὸς τὴν γῆν ἔχειν κοινόν, μηδέ ποτε μὲν τούτοις, ποτὲ δὲ ἐκείνοις σχολάζειν, ἀλλὰ καθόλου τούτοις ἀποταξαμένην ὅλην εἰς τὰ πνευματικὰ πράγματα ἀναλίσκειν τὴν σχολήν. καὶ ἡ παραβολὴ δὲ τῶν δέκα παρθένων αὐτὸ τοῦτο ἐδήλωσεν ἡμῖν. διὰ τοῦτο γοῦν ἀπεκλείσθησαν τοῦ νυμφῶνος, Ματθ. κε. ὅτι ἔλαιον οὐκ εἶχον· ἔλαιον δὲ οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἡ φιλανθρωπία καὶ ἐλεημοσύνη καὶ φιλοφροσύνη καὶ προστασία τῶν ἀδικουμένων καὶ παράκλησις τῶν ὀδυνωμένων· ὅπερ οὐκ ἔχουσαι ἀπῆλθον ἐκεῖναι, καὶ τοῦ νυμφῶνος ἐξέπεσον.

Ταῦτ' οὖν εἰδότες ἅπαντα καὶ γυναῖκες, καὶ ἄνδρες, καὶ παρθένοι, καὶ γεγαμημέναι, καὶ χῆραι, πολλὴν τῆς ἐλεημοσύνης ποιώμεθα σπουδήν· καὶ μὴ λέγωμεν, ὅτι ὁ δεῖνα πονηρὸς καὶ οὐκ ἄξιος εὖ παθεῖν, ὁ δεῖνα εὐτελής, ὁ δεῖνα ἀπερριμμένος. μὴ πρὸς τὴν ἀξίαν ἴδῃς τοῦ δεομένου τῆς θεραπείας, ἀλλὰ πρὸς τὴν χρείαν μόνον. κἂν γὰρ εὐτελὴς ᾖ καὶ ἀπερριμμένος, κἂν εὐκαταφρόνητος, ὁ Χριστὸς οὕτω σοι λογίζεται τὸν μισθόν, ὡς αὐτὸς εὖ παθὼν δι' ἐκείνου. ἵνα γὰρ μὴ Ματθ. κε. λε. πρὸς τὴν ἀξίαν βλέπωμεν τῶν εὐεργετουμένων, ἄκουσον τί φησι· Πεινῶντά με εἴδετε, καὶ ἐθρέψατε. Εἶτα ἐκείνων λεγόντων, Πότε σε εἴδομεν πεινῶντα, καὶ ἐθρέψαμεν, ἐπήγαγε λέγων, Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τῶν μικρῶν τούτων, ἐμοὶ ἐποιήσατε· ὥστε οὐδεμία ἡμῖν καταλέλειπται πρόφασις. ἵνα γὰρ μὴ λέγωμεν, ὅτι ποῦ νῦν κατὰ τὸν Ἠλίαν εὕρω; ποῦ δὲ κατὰ τὸν Ἐλισσαῖον; καί, δός μοι τοιούτους ἄνδρας, καὶ μετὰ πάσης αὐτοὺς ὑποδέξομαι τῆς προθυμίας, καὶ οὐ παραιτήσομαι νίψαι αὐτῶν πόδας, καὶ παντὶ θεραπεῦσαι τρόπῳ· ἵνα μὴ ταῦτα λέγωμεν, ὃ πολλῷ μεῖζόν ἐστιν, αὐτὸς ὁ τοῦ Ἠλίου καὶ τοῦ Ἐλισσαίου καὶ τῶν προφητῶν δεσπότης ἁπάντων διὰ τῶν πενήτων ὑπέσχετο πρὸς ἡμᾶς εἰσιέναι λέγων· Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν μικρῶν, ἐμοὶ ἐποιήσατε. ἀλλὰ μὴ παραδράμῃς τὸ εἰρημένον. τὸ γάρ, πεινῶντά με εἴδετε καὶ ἐθρέψατε, τέσσαρας ἀνάγκας ἐφίστησιν ἐλεημοσύνης· τὸ ἀξιόπιστον τοῦ αἰτοῦντος, ὅτι δεσπότης ἐστὶν ὁ αἰτῶν· τὸ ἀναγκαῖον τῆς χρείας, ὅτι πεινᾷ· τὸ εὔκολον τῆς δόσεως, ὅτι τροφὴν ζητεῖ καὶ ἄρτον αἰτεῖ μόνον, οὐχὶ τρυφήν· τὸ μέγεθος τῆς δωρεᾶς, ὅτι βασιλείαν ἀντὶ τούτων τῶν μικρῶν ἐπαγγέλλεται. ἀπάνθρωπος εἶ καὶ ὠμὸς καὶ ἀνηλεής; αἰδέσθητι, φησι, τὸ ἀξίωμα τοῦ αἰτοῦντος. ἀλλ' οὐ δυσωπεῖ σε τὸ ἀξίωμα; πρὸς τὴν συμφορὰν ἐπικάμφθητι. ἀλλ' οὔτε τὰ τῆς συμφορᾶς εἰς ἔλεόν σε ἐπικάμπτει; διὰ τὸ τῆς αἰτήσεως εὔκολον δός. οὔτε τὸ ἀξίωμα, οὔτε τὸ ἀναγκαῖον τῆς χρείας, οὔτε τὸ εὔκολον τῆς δόσεως δύναταί σε πεῖσαι; οὐκοῦν διὰ τὸ μέγεθος τῶν ἐπηγγελμένων ἀγαθῶν πάρασχες τῷ δεομένῳ. ὁρᾷς τέσσαρας αἰτίας δυναμένας καὶ τὸν λίθον αὐτόν, καὶ τὸν μικρολόγον, καὶ τὸν τετυφωμένον, καὶ τὸν ἀνηλεῆ, καὶ τὸν νωθρότατον ἁπάντων ἀνθρώπων διαναστῆσαι; τίς οὖν ἔσται συγγνώμη τοῖς μετὰ τοσαύτην παραίνεσιν καὶ συμβουλὴν τῶν δεομένων ὑπερορῶσιν; εἴπω δὴ καὶ ἕτερον πρὸς τούτοις. ἀκουέτωσαν οἱ μεμυημένοι. αὐτὸς ὅταν δέῃ σε θρέψαι, οὐδὲ τῆς σαρκὸς φείδεται τῆς ἑαυτοῦ· ὅταν δέῃ σε ποτίσαι, οὐδὲ τοῦ αἵματος φείδεται, οὐδὲ φθονεῖ· σὺ δὲ οὐδὲ ἄρτου μεταδίδως, οὐδὲ ποτηρίου; καὶ ποίαν ἕξεις συγγνώμην τοιαῦτα λαμβάνων, οὕτω τίμια, καὶ τῶν εὐτελῶν φειδόμενος; ὅρα μὴ πολλάκις φειδόμενος τῷ Χριστῷ δοῦναι ἐπὶ κέρδει, δῷς ἐπὶ βλάβῃ τῷ διαβόλῳ. ὅταν γὰρ πένησι μὴ δῶμεν, συκοφάνταις δίδομεν· κλέπται πολλάκις, ἢ καὶ οἰκέται κακοῦργοι λαμβάνοντες ἀπῆλθον, ἢ καὶ ἕτεραι πραγμάτων περιστάσεις. καὶ ταῦτα δὲ ὅταν διαφύγωμεν ἅπαντα, θάνατος ἐπελθὼν γυμνοὺς ἐπήγαγεν. ἵν' οὖν μὴ ταῦτα γίνηται, προλαβόντες δῶμεν αἰτοῦντι τῷ Χριστῷ, καὶ εἰς τὸν ἄσυλον ἀποθώμεθα θησαυρόν, ἵνα καὶ ὑπὲρ τῆς φυλακῆς λογικῆς καὶ ὑπὲρ τῆς προσόδου θαρροῦμεν. οὐ γὰρ διατηρεῖ μόνον, ἅπερ ἔλαβε, μετὰ ἀκριβείας· ἀλλὰ μετὰ πλείονος αὐτὰ ἀποδίδωσί σοι τῆς παραθήκης πάλιν. μὴ τοίνυν νομίζωμεν ἡμῖν ἐλαττοῦσθαι τὴν οὐσίαν, ὅταν ἐλεημοσύνην παρέχωμεν. οὐ γὰρ ἐλαττοῦται, ἀλλ᾽ αὔξεται· οὐ δαπανᾶται, ἀλλὰ πλεονάζει, καὶ πραγματεία τίς ἐστι καὶ σπόρος τὸ γινόμενον· μᾶλλον δὲ ἀμφοτέρων τούτων κερδαλεώτερον καὶ ἀσφαλέστερον. ἡ μὲν γὰρ ἐμπορεία καὶ πνεύμασι καὶ κύμασι θαλάσσης ὑπόκειται καὶ ναυαγίοις πολλοῖς, καὶ τὰ σπέρματα καὶ αὐχμοῖς καὶ ἐπομβρίαις καὶ ἑτέραις ἀέρων ἀνωμαλίαις· τὰ δὲ εἰς τὴν χεῖρα τοῦ Χριστοῦ καταβαλλόμενα χρήματα ἀνώτερα πάσης ἐστὶν ἐπιβουλῆς. οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ λαβόντος τὰ δοθέντα ἅπαξ· ἀλλὰ μένει πολὺν ἡμῖν καὶ ἄφατον ἐργαζόμενα τὸν καρπόν, καὶ τὸν ἄμητον ἐν καιρῷ φέροντα πλούσιον. Ὁ σπείρων γὰρ φειδομένως, φησί, φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ᾽ εὐλογίαις, ἐπ᾽ εὐλογίαις καὶ θερίσει. σπείρωμεν τοίνυν μετὰ δαψιλείας, ἵνα καὶ οὕτω θερίσωμεν, καὶ τῆς αἰωνίου ζωῆς ἀπολαύσωμεν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ σὺν τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

β.Κορ.θ.ς.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ
ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ
ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου πανηγυρικοὶ ἤτοι ἑορταστικοὶ
λόγοι γνήσιοι.

Λογ. ξγ. ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ ΒΑΒΥΛΑΝ

μηνὶ Σε-πτεμ. δ.

Λογ. α.

Ἐγὼ μὲν ἐβουλόμην ἀποδοῦναι τὸ χρέος τήμερον, ὃ πέρυσιν ἐνταῦθα γενόμενος ὑπεσχόμην ὑμῖν. ἀλλὰ τί πάθω; μεταξὺ φανεὶς ὁ μακάριος Βαβύλας πρὸς ἑαυτὸν ἡμᾶς ἐκάλεσεν, οὐ φωνὴν ἀφιείς, ἀλλὰ τῇ λαμπηδόνι τῆς ὄψεως ἐπιστρέψας ἡμᾶς. μὴ τοίνυν δυσχεράνητε πρὸς τὴν ὑπέρθεσιν τῆς ἀποδόσεως. πάντως ὅσῳ πλείων γένηται ὁ χρόνος, τοσούτῳ καὶ ὁ τόκος" ὑμῖν αὔξεται. μετὰ γὰρ τόκου τὸ ἀργύριον τοῦτο καταβαλούμεθα· ἐπεὶ καὶ ὁ παρακαταθέμενος αὐτὸ δεσπότης οὕτως ἐκέλευσε. θαῤῥοῦντες οὖν ὑπὲρ τῶν δεδανεισμένων, ὡς καὶ τοῦ κεφαλαίου, καὶ τῆς ἐργασίας μενόντων" ὑμῖν, τὸ παρεμπεσὸν σήμερον κέρδος μὴ παραδράμωμεν, ἀλλὰ κατατρυφήσωμεν τῶν τοῦ μακαρίου Βαβύλα κατορθωμάτων. ὅπως μὲν οὖν τῆς ἐκκλησίας προέστη τῆς παρ' ἡμῖν, καὶ τὴν ἱερὰν ταύτην διέσωσε ναῦν ἐν χειμῶνι καὶ κλύδωνι καὶ κύμασι, καὶ ὅσην πρὸς βασιλέα παῤῥησίαν ἐπεδείξατο, καὶ πῶς τὴν ψυχὴν ἔθηκεν ὑπὲρ τῶν προβάτων, καὶ τὴν μακαρίαν ἐκείνην ἐδέξατο σφαγήν, ταῦτα καὶ τὰ τοιαῦτα τοῖς πρεσβυτέροις τῶν διδασκάλων, καὶ τῷ κοινῷ πατρὶ ἡμῶν ἀφήσωμεν εἰπεῖν (τὰ γὰρ ἀρχαιότερα τῶν πραγμάτων οἱ γεγηρακότες" ὑμῖν δυνήσονται διηγήσασθαι καλῶς) ὅσα δὲ νεωστὶ γέγονε καὶ ἐπὶ τῆς ἡλικίας τῆς ἡμετέρας, ταῦτα ὁ νέος ἐγὼ πρὸς ὑμᾶς διηγήσομαι· τὰ μετὰ τὴν τελευτὴν λέγω, τὰ μετὰ τὴν ταφὴν τοῦ μάρτυρος, τὰ ἡνίκα ἐν τῷ προαστείῳ διέτριβε. καὶ οἶδα μὲν ὅτι γελάσσονται τὴν ὑπόσχεσιν ἡμῶν Ἕλληνες, εἰ μετὰ τελευτὴν καὶ ταφὴν τὰ τοῦ ταφέντος καὶ διαλυθέντος εἰς κόνιν ὑπισχνούμεθα λέγειν ἀνδραγαθήματα. οὐ μὴν διὰ τοῦτο σιγήσομεν, ἀλλὰ καὶ δι' αὐτὸ τοῦτο μάλιστα ἐροῦμεν· ἵνα τὸ παράδοξον τοῦτο δείξαντες" ἀληθῶς, τὸν γέλωτα εἰς τὴν ἐκείνων περιτρέψωμεν κεφαλήν. ἀνθρώπου μὲν γὰρ ἁπλῶς οὐκ ἂν γένοιτο κατορθώματα μετὰ τελευτήν, μάρτυρος δὲ γένοιτ' ἂν πολλὰ καὶ μεγάλα· οὐχ ἵνα ἐκεῖνος λαμπρότερος γένηται (οὐδὲν γὰρ αὐτῷ δεῖ τῆς παρὰ τῶν πολλῶν δόξης) ἀλλ' ἵνα σὺ μάθῃς ὁ ἄπιστος, ὅτι θάνατος μαρτύρων οὐκ ἔστι θάνατος

χ. ὑμῖν

χ. ὑμῖν

χ. ὑμῖν

ἴσ. ἀλη

θάνατος, ἀλλὰ ζωῆς βελτίονος ἀρχή, καὶ πολιτείας πνευματικωτέρας προοίμια, καὶ μετάστασις ἀπὸ τῶν ἐλαττόνων πρὸς τὰ βελτίω. μὴ γὰρ δὴ τοῦτο ἴδῃς, ὅτι γυμνὸν τοῦ μάρτυρος τὸ σῶμα πρόκειται, τῆς ψυχικῆς ἐνεργείας ἔρημον· ἀλλ᾽ ἐκεῖνο σκόπει, ὅτι τῆς ψυχῆς αὐτοῦ ἑτέρα παρακάθηται μείζων αὐτῆς δύναμις, ἡ τοῦ ἁγίου πνεύματος χάρις, πᾶσιν ὑπὲρ τῆς ἀναστάσεως ἀπολογουμένη, δι᾽ ὧν θαυματοποιεῖ. εἰ γὰρ νεκροῖς σώμασι καὶ διαλυθεῖσιν εἰς κόνιν μείζονα τῶν ζώντων ἁπάντων δύναμιν ὁ Θεὸς ἐχαρίσατο, πολλῷ μᾶλλον αὐτοῖς ζωὴν χαριεῖται βελτίω τῆς προτέρας καὶ μακαριωτέραν, κατὰ τὸν τῶν στεφάνων καιρόν. τίνα οὖν ἐστὶν αὐτοῦ τὰ κατορθώματα; ἀλλὰ μὴ θορυβηθῆτε, ἂν μικρὸν ἀνωτέρω τὸν λόγον ἀγάγωμεν. καὶ γὰρ οἱ τὰς εἰκόνας ἐπιδεῖξαι βουλόμενοι καλῶς, μικρὸν τοῦ πινακίσκου τοὺς θεωμένους ἀποστήσαντες, οὕτως αὐτὰς ἐκκαλύπτουσι, σαφεστέραν τῷ διαστήματι ποιοῦντες τὴν ὄψιν αὐτοῖς. ἀνάσχεσθε τοίνυν καὶ ὑμεῖς εἰς τοὐπίσω τὸν λόγον ἀνελκόντων ἡμῶν. ἐπειδὴ γὰρ ὁ πάντας ἀσεβείᾳ νικήσας Ἰουλιανὸς ἀνέβη ἐπὶ τὸν θρόνον τὸν βασιλικόν, καὶ τῶν σκήπτρων ἐπελάβετο τῶν δεσποτικῶν, εὐθέως καὶ κατὰ τοῦ πεποιηκότος αὐτὸν τὰς χεῖρας ἀντῆρε Θεοῦ, καὶ τὸν εὐεργέτην ἠγνόησε, καὶ κάτωθεν ἀπὸ τῆς γῆς πρὸς τὸν οὐρανὸν βλέπων, ὑλάκτει κατὰ τοὺς μαινομένους τῶν κυνῶν, οἳ καὶ τῶν μὴ τρεφόντων, καὶ τῶν τρεφόντων ὁμοίως καταβοῶσι· μᾶλλον δὲ καὶ ἐκείνων ἀγριωτέραν ἐμάνη μανίαν. οἱ μὲν γὰρ καὶ τοὺς οἰκείους, καὶ τοὺς ἀλλοτρίους ὁμοίως ἀποστρέφονται καὶ μισοῦσιν· οὗτος δὲ, τοὺς μὲν ἀλλοτρίους τῆς αὐτοῦ σωτηρίας δαίμονας ἔσαινε, καὶ πολυτελοῦς θεραπείας ἐθεράπευε τούτους· τὸν δὲ εὐεργέτην, καὶ σωτῆρα, καὶ μηδὲ τοῦ μονογενοῦς φεισάμενον δι᾽ αὐτόν, ἀπεστράφη, καὶ ἐμίσει, καὶ τὸν σταυρὸν διέσυρε, πρᾶγμα, ὃ τὴν οἰκουμένην ἐπ᾽ ὄψιν κειμένην ἀνέστησε, καὶ τὸ σκότος πανταχόθεν ἀπήλασε, καὶ τῶν ἀκτίνων ἡμῖν λαμπρότερον εἰσήγαγε φῶς. καὶ οὐδὲ ἐνταῦθα τῆς μανίας ἵστατο· ἀλλ᾽ ἐκ μέσου ἀναρπάσασθαι τῆς οἰκουμένης τὸ τῶν Γαλιλαίων ἔθνος ἐπηγγέλλετο· τοῦτο γὰρ οὕτως ἡμᾶς εἰώθει καλεῖν. καίτοι εἰ τὸ ὄνομα τῶν χριστιανῶν μῦσος εἶναι ἐνόμιζε, καὶ πολλῆς τὸ πρᾶγμα γέμειν αἰσχύνης, τίνος ἕνεκεν οὐκ ἐντεῦθεν ἡμᾶς ὠνόμαζεν, εἰ καταισχύνειν ἐπεθύμει; ἀλλὰ γὰρ ᾔδει σαφῶς, ὅτι τὸ καλεῖσθαι ἀπὸ τῆς πρὸς τὸν Χριστὸν οἰκειώσεως, οὐκ ἀνθρώποις μόνον, ἀλλὰ καὶ ἀγγέλοις, καὶ ταῖς ἀνωτέρω δυνάμεσι μέγας κόσμος ἐστί. διὰ τοῦτο πάντα ἐκίνει, ὥστε τοῦτον ἡμᾶς ἀποσυλῆσαι τὸν κόσμον, καὶ καταλῦσαι τὸ κήρυγμα. ἀλλὰ τοῦτο ἀμήχανον ἦν, ἄθλιε καὶ ταλαίπωρε, ὥσπερ ἀμήχανον ἦν κατασκάψαι τὸν οὐρανόν, καὶ σβέσαι τὸν ἥλιον, καὶ τὰ θεμέλια τῆς γῆς διασεῖσαι καὶ καταβαλεῖν. καὶ ταῦτα προανεφώνησεν ὁ Χριστός, οὕτως εἰπών· Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν. ἀλλ᾽ οὐκ ἀνέχῃ τοῦ Χριστοῦ λέγοντος· οὐκοῦν δέχου τὴν ἀπὸ τῶν πραγμάτων φωνήν. ἐγὼ μὲν γὰρ καταξιωθεὶς εἰδέναι τί ποτέ ἐστιν ἀπόφασις Θεοῦ, πῶς ἰσχυρὸν καὶ ἄμαχον πρᾶγμα, καὶ τῆς φυσικῆς ἀκολουθίας καὶ τῆς τῶν πραγμάτων πείρας πάντων ἀξιοπιστοτέραν ταύτην εἶναι πεπίστευκα· σὺ δὲ ὁ χαμαὶ συρόμενος ἔτι, καὶ πρὸς λογισμῶν ἐπτοημένος ἐξέτασιν ἀνθρωπίνων, δέχου τὴν ἀπὸ τῶν πραγμάτων μαρτυρίαν· οὐδὲν ἀντιλέγω, οὐδὲ φιλονεικῶ. τί οὖν λέγει τὰ πράγματα; εἶπεν ὁ Χριστός, ὅτι τὸν οὐρανὸν καὶ τὴν γῆν ἀπολέσθαι εὐκολώτερον, ἢ τῶν αὐτοῦ διαπεσεῖν ἕνα λόγον· ἀντεφθέγξατο τούτοις ὁ βασιλεύς, καὶ ἠπείλησεν ἀναιρήσειν τὰ δόγματα. ποῦ οὖν ὁ βασιλεὺς ὁ ταῦτα ἀπειλήσας; ἀπόλωλε καὶ διέφθαρται, καὶ νῦν ἐστιν εἰς ᾅδου τὴν ἀπαραίτητον ἀναμένων κόλασιν. ποῦ δὲ ὁ Χριστός, ὁ ἐκεῖνα ἀποφηνάμενος; ἐν οὐρανοῖς, ἐν δεξιᾷ τοῦ πατρὸς τὸν ὑψηλότατον τῆς δόξης κατέχων θρόνον. ποῦ τοῦ βασιλέως τὰ βλάσφημα ῥήματα, καὶ ἡ ἀκόλαστος γλῶττα; τέφρα γέγονε καὶ κόνις καὶ σκωλήκων τροφή. ποῦ τοῦ Χριστοῦ ἡ ἀπόφασις; ἀπ᾽ αὐτῆς τῶν πραγμάτων λάμπει τῆς ἀληθείας, ὥσπερ ἀπὸ στήλης χρυσῆς, τῆς τῶν ἔργων ἐκβάσεως, ἀπαστράπτουσα· καίτοι οὐδὲν τότε παρέλιπεν ὁ βασιλεύς, τῶν

Ματθ. κδ. λε.

πρὸς

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ
ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ
ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου πανηγυρικοὶ ἤτοι ἑορταστικοὶ
λόγοι γνήσιοι.

μόνος Σο-
ϖῶμ. δ.

Λογ. ξγ. ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ ΒΑΒΥΛΑΝ

Λογ. α.

Ἐγὼ μὲν ἐβουλόμην ἀποδοῦναι τὸ χρέος τήμερον, ὃ πρώην ἐνταῦθα γενόμενος ὑπεσχόμην ὑμῖν. ἀλλὰ τί πάθω; μεταξὺ φανεὶς ὁ μακάριος Βαβύλας πρὸς ἑαυτὸν ἡμᾶς ἐκάλεσεν, οὐ φωνὴν ἀφιείς, ἀλλὰ τῇ λαμπηδόνι τῆς ὄψεως ἐπιστρέψας ἡμᾶς. μὴ τοίνυν δυσχεράνητε πρὸς τὴν ὑπέρθεσιν τῆς ἀποδόσεως. πάντως ὅσῳ πλείων γένηται ὁ χρόνος, τοσούτῳ καὶ ὁ τόκος ὑμῖν αὔξεται. μετὰ γὰρ τόκου τὸ ἀργύριον τοῦτο καταβαλούμεθα· ἐπεὶ καὶ ὁ παρακαταθέμενος αὐτὸ δεσπότης οὕτως ἐκέλευσε. θαρροῦντες οὖν ὑπὲρ τῶν δεδανεισμένων, ὡς καὶ τοῦ κεφαλαίου, καὶ τῆς ἐργασίας μενόντων ὑμῖν, τὸ παρεμπεσὸν σήμερον κέρδος μὴ παραδράμωμεν, ἀλλὰ κατατρυφήσωμεν τῶν τοῦ μακαρίου Βαβύλα κατορθωμάτων. ὅπως μὲν οὖν τῆς ἐκκλησίας προέστη τῆς παρ' ἡμῖν, καὶ τὴν ἱερὰν ταύτην διέσωσε ναῦν ἐν χειμῶνι καὶ κλύδωνι καὶ κύμασι, καὶ ὅσην πρὸς βασιλέα παρρησίαν ἐπεδείξατο, καὶ πῶς τὴν ψυχὴν ἔθηκεν ὑπὲρ τῶν προβάτων, καὶ τὴν μακαρίαν ἐκείνην ἐδέξατο σφαγήν, ταῦτα καὶ τὰ τοιαῦτα τοῖς πρεσβυτέροις τῶν διδασκάλων, καὶ τῷ κοινῷ πατρὶ ἡμῶν ἀφήσωμεν εἰπεῖν (τὰ γὰρ ἀρχαιότερα τῶν πραγμάτων οἱ γεγηρακότες ὑμῖν δυνήσονται διηγήσασθαι καλῶς) ὅσα δὲ νεωστὶ γέγονε καὶ ἐπὶ τῆς ἡλικίας τῆς ἡμετέρας, ταῦτα ὁ νέος ἐγὼ πρὸς ὑμᾶς διηγήσομαι· τὰ μετὰ τὴν τελευτὴν λέγω, τὰ μετὰ τὴν ταφὴν τοῦ μάρτυρος, τὰ ἡνίκα ἐν τῷ προαστείῳ διέτριβε. καὶ οἶδα μὲν ὅτι γελάσονται τὴν ὑπόσχεσιν ἡμῶν Ἕλληνες, εἰ μετὰ τελευτὴν καὶ ταφὴν τὰ τοῦ ταφέντος καὶ διαλυθέντος εἰς κόνιν ὑπισχνούμεθα λέγειν ἀνδραγαθήματα. οὐ μὴν διὰ τοῦτο σιγήσομεν, ἀλλὰ καὶ δι' αὐτὸ τοῦτο μάλιστα ἐροῦμεν· ἵνα τὸ παράδοξον τοῦτο δείξαντες ἀληθῶς, τὸν γέλωτα εἰς τὴν ἐκείνων περιτρέψωμεν κεφαλήν. ἀνθρώπου μὲν γὰρ ἁπλῶς οὐκ ἂν γένοιτο κατορθώματα μετὰ τελευτήν, μάρτυρος δὲ γένοιτ' ἂν πολλὰ καὶ μεγάλα· οὐχ ἵνα ἐκεῖνος λαμπρότερος γένηται (οὐδὲν γὰρ αὐτῷ δεῖ τῆς παρὰ τῶν πολλῶν δόξης) ἀλλ' ἵνα σὺ μάθῃς ὁ ἄπιστος, ὅτι θάνατος μαρτύρων οὐκ ἔστι θάνατος

γρ. ὑμῶν

γρ. ὑμῶν

γρ. ὑμῶν

γρ. ἀληθεῖς

θάνατος, ἀλλὰ ζωῆς βελτίονος ἀρχὴ, καὶ πολιτείας πνευματικωτέρας προοίμια, καὶ μετάστασις ἀπὸ τῶν ἐλαττόνων πρὸς τὰ βελτίω. μὴ γὰρ δὴ τοῦτο ἴδῃς, ὅτι γυμνὸν τοῦ μάρτυρος τὸ σῶμα πρόκειται, τῆς ψυχικῆς ἐνεργείας ἔρημον· ἀλλ' ἐκεῖνο σκόπει, ὅτι τῆς ψυχῆς αὐτοῦ ἑτέρα παρακάθηται μείζων αὐτῆς δύναμις, ἡ τοῦ ἁγίου πνεύματος χάρις, πᾶσιν ὑπὲρ τῆς ἀναστάσεως ἀπολογουμένη, δι' ὧν θαυματοποιεῖ. εἰ γὰρ νεκροῖς σώμασι καὶ διαλυθεῖσιν εἰς κόνιν μείζονα τῶν ζώντων ἁπάντων δύναμιν ὁ Θεὸς ἐχαρίσατο, πολλῷ μᾶλλον αὐτοῖς ζωὴν χαριεῖται βελτίω τῆς προτέρας καὶ μακαριωτέραν, κατὰ τὸν τῶν στεφάνων καιρόν. τίνα οὖν ἐστὶν αὐτοῦ τὰ κατορθώματα; ἀλλὰ μὴ θορυβηθῆτε, ἂν μικρὸν ἀνωτέρω τὸν λόγον ἀναγάγωμεν. καὶ γὰρ οἱ τὰς εἰκόνας ἐπιδεῖξαι βουλόμενοι καλῶς, μικρὸν τοῦ πινακίσκου τοὺς θεωμένους ἀποστήσαντες, οὕτως αὐτὰς ἐκκαλύπτουσι, σαφεστέραν τῷ διαστήματι ποιοῦντες τὴν ὄψιν αὐτοῖς. ἀνάσχεσθε τοίνυν καὶ ὑμεῖς εἰς τοὐπίσω τὸν λόγον ἀνελκόντων ἡμῶν. ἐπειδὴ γὰρ ὁ πάντας ἀσεβείᾳ νικήσας Ἰουλιανὸς ἀνέβη ἐπὶ τὸν θρόνον τὸν βασιλικὸν, καὶ τῶν σκήπτρων ἐπελάβετο τῶν δεσποτικῶν, εὐθέως καὶ κατὰ τοῦ πεποιηκότος αὐτὸν τὰς χεῖρας ἐπῆρε Θεοῦ, καὶ τὸν εὐεργέτην ἠγνόησε, καὶ κάτωθεν ἀπὸ τῆς γῆς πρὸς τὸν οὐρανὸν βλέπων, ὑλάκτει κατὰ τοὺς μαινομένους τῶν κυνῶν, οἳ καὶ τῶν μὴ τρεφόντων, καὶ τῶν τρεφόντων ὁμοίως καταβοῶσι· μᾶλλον δὲ καὶ ἐκείνων ἀγριωτέραν ἐμάνη μανίαν. ἐκεῖνοι μὲν γὰρ καὶ τοὺς οἰκείους, καὶ τοὺς ἀλλοτρίους ὁμοίως ἀποστρέφονται καὶ μισοῦσιν· οὗτος δὲ, τοὺς μὲν ἀλλοτρίους τῆς αὐτοῦ σωτηρίας δαίμονας ἔσαινε, καὶ παντὶ θεραπείας ἐθεράπευε τρόπῳ· τὸν δὲ εὐεργέτην, καὶ σωτῆρα, καὶ μηδὲ τοῦ μονογενοῦς φεισάμενον δι' αὐτὸν, ἀπεστράφη, καὶ ἐμίσει, καὶ τὸν σταυρὸν διέσυρε, πρᾶγμα, ὃ τὴν οἰκουμένην ἐπ' ὄψιν κειμένην ἀνέστησε, καὶ τὸ σκότος πανταχόθεν ἀπήλασε, καὶ τῶν ἀκτίνων ἡμῖν λαμπρότερον εἰσήγαγε φῶς. καὶ οὐδὲ ἐνταῦθα τῆς μανίας ἵστατο· ἀλλ' ἐκ μέσης ἀναρπάσασθαι τῆς οἰκουμένης τὸ τῶν Γαλιλαίων ἔθνος ἐπηγγέλλετο· καὶ γὰρ οὕτως ἡμᾶς εἴωθε καλεῖν. καίτοι εἰ τὸ ὄνομα τῶν Χριστιανῶν μύσος εἶναι ἐνόμιζε, καὶ πολλῆς τὸ πρᾶγμα γέμειν αἰσχύνης, τίνος ἕνεκεν οὐκ ἐντεῦθεν ἡμᾶς ὠνόμαζεν, εἰ καταισχύνειν ἐπεθύμει; ἀλλὰ γὰρ ᾔδει σαφῶς, ὅτι τὸ καλεῖσθαι ἀπὸ τῆς πρὸς τὸν Χριστὸν οἰκειώσεως, οὐκ ἀνθρώποις μόνον, ἀλλὰ καὶ ἀγγέλοις, καὶ ταῖς ἀνωτέρω δυνάμεσι μέγας κόσμος ἐστί. διὰ τοῦτο πάντα ἐκίνει, ὥστε τοῦτον ἡμᾶς ἀποσυλῆσαι τὸν κόσμον, καὶ καταλῦσαι τὸ κήρυγμα. ἀλλὰ τοῦτο ἀμήχανον ἦν, ἄθλιε καὶ ταλαίπωρε, ὥσπερ ἀμήχανον ἦν κατασκάψαι τὸν οὐρανὸν, καὶ σβέσαι τὸν ἥλιον, καὶ τὰ θεμέλια τῆς γῆς διασεῖσαι καὶ καταβαλεῖν. καὶ ταῦτα προανεφώνησεν ὁ Χριστὸς, οὕτως εἰπών· Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν. ἀλλ' οὐκ ἀνέχῃ τοῦ Χριστοῦ λέγοντος· οὐκοῦν δέχου τὴν ἀπὸ τῶν πραγμάτων φωνήν. ἐγὼ μὲν γὰρ καταξιωθεὶς εἰδέναι τί ποτέ ἐστιν ἀπόφασις Θεοῦ, πῶς ἰσχυρὸν καὶ ἄμαχον πρᾶγμα, καὶ τῆς φυσικῆς ἀκολουθίας καὶ τῆς τῶν πραγμάτων πείρας πάντων ἀξιοπιστοτέραν ταύτην εἶναι πεπίστευκα· σὺ δὲ ὁ χαμαὶ συρόμενος ἔτι, καὶ πρὸς λογισμῶν ἐπτοημένος ἐξέτασιν ἀνθρωπίνων, δέχου τὴν ἀπὸ τῶν πραγμάτων μαρτυρίαν· οὐδὲν ἀντιλέγω, οὐδὲ φιλονεικῶ. τί οὖν λέγει τὰ πράγματα; εἶπεν ὁ Χριστὸς, ὅτι τὸν οὐρανὸν καὶ τὴν γῆν ἀπολέσθαι εὐκολώτερον, ἢ τῶν αὐτοῦ διαπεσεῖν ἕνα λόγον· ἀντεφθέγξατο τούτοις ὁ βασιλεὺς, καὶ ἠπείλησεν ἀναιρήσειν τὰ δόγματα. ποῦ οὖν ὁ βασιλεὺς ὁ ταῦτα ἀπειλήσας; ἀπόλωλε καὶ διέφθαρται, καὶ νῦν ἐστιν εἰς ᾅδου τὴν ἀπαραίτητον ἀναμένων κόλασιν. ποῦ δὲ ὁ Χριστὸς, ὁ ἐκεῖνα ἀποφηνάμενος; ἐν οὐρανοῖς, ἐν δεξιᾷ τοῦ πατρὸς τὸν ὑψηλότατον τῆς δόξης κατέχων θρόνον. ποῦ τοῦ βασιλέως τὰ βλάσφημα ῥήματα, καὶ ἡ ἀκόλαστος γλῶττα; τέφρα γέγονε καὶ κόνις καὶ σκωλήκων τροφή. ποῦ τοῦ Χριστοῦ ἡ ἀπόφασις; ἀπ' αὐτῆς τῶν πραγμάτων λάμπει τῆς ἀληθείας, ὥσπερ ἀπὸ στήλης χρυσῆς, τῆς τῶν ἔργων ἐκβάσεως, ἀπαστράπτουσα· καίτοι οὐδὲν τότε παρέλιπεν ὁ βασιλεὺς, τὸν

Ματθ. κδ. λε.

πρὸς ἡμᾶς μέλλων αἴρεσθαι πόλεμον, ἀλλὰ καὶ μάντεις ἐκάλει, καὶ γόητας συνεκρότει, καὶ πάντα ἦν δαιμόνων μεστὰ καὶ πνευμάτων πονηρῶν. Τίνες οὖν αἱ τῆς θεραπείας ταύτης ἀμοιβαί; πόλεων ἀνατροπαὶ, καὶ λιμὸς ἁπάντων λιμῶν ὁ πικρότατος. Ἴστε γὰρ δήπου καὶ μέμνησθε, πῶς κενὴ μὲν ἦν ὠνίων ἡ ἀγορὰ, μεστὰ δὲ θορύβων τὰ ἐργαστήρια, ἑκάστου φιλονεικοῦντος τὸ φθάνειν προαρπάσαι, καὶ ἀπελθεῖν. Καὶ τί λέγω λιμὸν, ὅπουγε καὶ αὐταὶ τῶν ὑδάτων ἐπιλειπόμεναι αἱ πηγαὶ, πηγαὶ ποταμοὺς τῇ δαψιλείᾳ τοῦ ῥεύματος ἀποκρύπτουσαι;

Ἀλλ' ἐπειδὴ πηγῶν ἐμνήσθην, δεῦρο λοιπὸν ἐπὶ τὴν Δάφνην ἀνέλθωμεν, καὶ τὸν λόγον πρὸς τὰ τοῦ μάρτυρος κατορθώματα συνελάσωμεν. Καίτοιγε ἐπιθυμεῖ τὸ ταῖς ἑλληνικαῖς ἐκπομπεύειν ἀσχημοσύναις ἔτι· ἀλλ' ὅμως, καὶ οὕτως αὐτῆς ὢν, ἀπάγομεν. Πάντως γὰρ ὅπου μαρτύρων μνήμη, ἐκεῖ καὶ ἑλλήνων αἰσχύνη. Ἐλθὼν τοίνυν ὁ βασιλεὺς αὐτὸς εἰς τὴν Δάφνην, συνεχῶς ἠνώχλει τὸν Ἀπόλλωνα, δεόμενος, ἱκετεύων, ἀντιβολῶν ὥστε μαντεύσασθαι ὑπὲρ τῶν μελλόντων αὐτῷ. Τί οὖν ὁ μάντις, ὁ μέγας τῶν ἑλλήνων Θεός; Νεκροί με κωλύουσι φθέγγεσθαι, φησίν. Ἀλλὰ ἀνάρρηξον τὰς θήκας, ἀνόρυξον τὰ ὀστᾶ, μετάστησον τοὺς νεκρούς. Τί τούτων ἀνοσιώτερον γένοιτ' ἂν τῶν ἐπιταγμάτων; ξένους ὁ δαίμων τυμβωρυχίας εἰσάγει νόμους, καὶ καινοὺς ξενηλασίας ἐπινοεῖ τρόπους. Τίς ἤκουσε νεκροὺς ἐλαυνομένους ποτέ; τίς εἶδε σώματα ἄψυχα κελευόμενα μετοικίσασθαι, καθάπερ νῦν ἐπέταττε, χ. ὐδ τοὺς κοινοὺς τῆς φύσεως ἐκ βάθρων ἀνατρέπων νόμους; κοινοὶ γάρ εἰσι τῆς φύσεως νόμοι παρὰ πᾶσιν ἀνθρώποις, τὸν ἀπελθόντα τῇ γῇ κρύπτεσθαι, καὶ ταφῇ παραδίδοσθαι, καὶ τοῖς κόλποις τῆς πάντων μητρὸς περιστέλλεσθαι γῆς. Καὶ τούτους, οὐχ Ἕλλην, οὐ βάρβαρος, οὐ Σκύθης, οὐκ εἴ τις ἐκείνων ἀγριώτερος, ἐκίνησε τοὺς νόμους ποτέ· ἀλλ' αἰδοῦνται καὶ φυλάττουσιν ἅπαντες, καὶ οὕτως εἰσὶν ἱεροὶ καὶ πᾶσιν αἰδέσιμοι. Ἀλλ' ὁ δαίμων ἅπαξ ἐπάρας τὸ πρόσωπον, ἴσ. ἀπερ γυμνῇ τῇ κεφαλῇ πρὸς τὰ κοινὰ τῆς φύσεως ἵσταται δόγματα. Μίασμα γάρ φησιν, εἰσὶν οἱ νεκροί. Οὐχ οἱ νεκροὶ μίασμα, πονηρότατε δαῖμον, ἀλλὰ προαίρεσις πονηρὰ μυσός ἐστιν. Εἰ δὲ χρή τι καὶ θαυμαστὸν εἰπεῖν, τὰ τῶν ζώντων μᾶλλον μεστὰ κακίας, ἢ τὰ τῶν τετελευτηκότων εἰσὶ σώματα μιαρά. Τὰ μὲν γὰρ διακονεῖται τοῖς τῆς ψυχῆς ἐπιτάγμασι, τὰ δὲ κεῖται ἀκίνητα. Τὸ δὲ ἀκίνητον καὶ πάσης αἰσθήσεως ἔρημον, καὶ κατηγορίας ἂν εἴη πάσης ἐλεύθερον. Πλὴν ἀλλ' οὐδὲ τὰ τῶν ζώντων εἴποιμι ἂν ἔγωγε σώματα εἶναι τῇ φύσει μιαρὰ, ἀλλὰ πανταχοῦ τὴν πονηρὰν καὶ διεστραμμένην προαίρεσιν ταῖς παρὰ πάντων κατηγορίαις εἶναι ὑπεύθυνον. Οὐκ ἔστι σῶμα νεκροῦ μίασμα, Ἄπολλον, ἀλλὰ τὸ κόρην διώκειν σωφρονεῖν βουλομένην, καὶ σεμνότητα διαθρύπτειν παρθένου, καὶ τῆς ἀναισχύντου πράξεως ἀποτυχόντα θρηνεῖν. Τοῦτο καὶ κατηγορίας, καὶ κολάσεως ἄξιον. Πολλοὶ γοῦν πρὸ ἡμῶν ἐγένοντο προφῆται θαυμαστοὶ καὶ μεγάλοι, καὶ πολλοὶ περὶ τῶν μελλόντων προειπόντες, καὶ οὐδαμοῦ τοὺς ἐρωτῶντας ἐκέλευον τῶν ἀπελθόντων ἀνορύττειν ὀστᾶ. Ἀλλ' ὁ μὲν Ἰε- Ἰεζεκ. λζ. ζεκιὴλ αὐτῶν τῶν ὀστῶν πλησίον ἑστὼς, οὐ μόνον οὐδὲν ἐνεποδίζετο παρ' ἐκείνων, ἀλλὰ καὶ σάρκας αὐτοῖς καὶ νεῦρα καὶ δέρματα περιθεὶς, εἰς ζωὴν ἐπανήγαγεν αὐτὰ πάλιν. Ὁ δὲ μέ- Ἐξοδ. ιγ. ιθ. γας Μωϋσῆς οὐ πλησίον ὀστῶν εἱστήκει νεκρῶν, ἀλλ' αὐτὸν ὅλον νεκρὸν ἐπιφερόμενος τὸν Ἰωσὴφ, οὕτω τὰ μέλλοντα προὔλεγε, καὶ μάλα εἰκότως. Τὰ μὲν γὰρ ἐκείνων ῥήματα πνεύματος ἁγίου χάρις ἦν· τὰ δὲ τούτων, ἀπάτη καὶ ψεῦδος οὐδαμόθεν συσκιασθῆναι δυνάμενον. Ὅτι γὰρ σκῆψις ταῦτα καὶ πρόφασις ἦν, καὶ τὸν μακάριον ἐδεδοίκει Βαβύλαν, δῆλον ἐξ ὧν ὁ βασιλεὺς ἔπραξε. Τοὺς γὰρ ἄλλους ἅπαντας νεκροὺς ἀφεὶς, ἐκεῖνον τὸν μάρτυρα μόνον ἐκίνει. Καίτοιγε εἰ βδελυττόμενος αὐτὸν, ἀλλὰ μὴ φοβούμενος ταῦτα ἔπραττεν, ἐχρῆν κελεῦσαι συντριβῆναι τὴν λάρνακα, καταποντισθῆναι, εἰς ἐρημίαν ἀπενεχθῆναι, ἑτέρῳ τινὶ ἀπωλείας ἀφανισθῆναι τρόπῳ. Τοῦτο γὰρ ἦν βδελυττομένου. Οὕτως ὁ

Θεὸς ἐποίησεν ὅτε περὶ τῶν βδελυγμάτων τῶν ἐθνῶν τοῖς Ἑβραίοις διελέγετο, συντρίψαι τὰς στήλας αὐτῶν ἐκέλευσεν, οὐκ ἀπὸ τῶν προαστείων ἐπὶ τὰς πόλεις ἄγειν τὰ μιάσματα. ὁ μὲν οὖν μάρτυς ἐκινεῖτο, ὁ δὲ δαίμων οὐδὲ οὕτως ἀδείας ἀπέλαυεν· ἀλλ' εὐθέως ἐμάνθανεν ὅτι ὀστᾶ μὲν μάρτυρος μετακινῆσαι δυνατόν ἐστι, χεῖρας δὲ μάρτυρος διαφυγεῖν ἀδύνατον. ὁμοῦ τε γὰρ ἡ λάρναξ ἐπὶ τὴν πόλιν εἵλκετο, καὶ κεραυνὸς ἄνωθεν ἐπὶ τὴν κεφαλὴν ἤρχετο τοῦ ξοάνου, καὶ τὰ πάντα κατέφλεγε. καίτοι εἰ καὶ μὴ πρότερον, τότε γοῦν εἰκὸς ἦν ὀργισθῆναι τὸν ἀσεβῆ βασιλέα, καὶ τὴν ὀργὴν ἀφεῖναι εἰς τὸ μαρτύριον τοῦ μάρτυρος, ἀλλ' οὐδὲ τότε ἐτόλμησε· τοσοῦτος αὐτὸν κατεῖχε φόβος. ἀλλὰ καίτοι τὸν ἐμπρησμὸν ὁρῶν ἀφόρητον ὄντα, καὶ τὴν αἰτίαν εἰδὼς ἀκριβῶς, ἡσύχαζε. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστὸν, ὅτι τὸ μαρτύριον οὐ κατέσκαψεν, ἀλλ' ὅτι μηδὲ τὴν στέγην ἐπιθεῖναι πάλιν τῷ ναῷ ἐτόλμησεν. ᾔδει γὰρ, ᾔδει θεήλατον οὖσαν τὴν πληγὴν, καὶ ἐδεδοίκει, μὴ περαιτέρω τι διανοηθεὶς, ἐπὶ τὴν οἰκείαν ἐκεῖνο καλέσῃ τὸ πῦρ κεφαλήν. διὰ τοῦτο ἠνείχετο εἰς τοσαύτην ἐρημίαν κατενεχθέντα τὸν ναὸν τοῦ Ἀπόλλωνος ὁρῶν. οὐδὲ γὰρ ἄλλη τις ἦν αἰτία, δι' ἣν οὐ διώρθωσε τὸ γεγυμνωμένον, ἀλλ' ἢ φόβος μόνον, δι' ὃν ἄκων ἡσύχαζε, καὶ ταῦτα εἰδὼς ὅσον μὲν ὄνειδος "καταλείψει τῷ δαίμονι, ὅσον δὲ κόσμον τῷ μάρτυρι. καὶ γὰρ ἑστήκασιν οἱ τοῖχοι νῦν ἀντὶ τροπαίων, σάλπιγγος λαμπροτέραν ἀφιέντες φωνὴν, τοῖς ἐν τῇ Δάφνῃ, τοῖς ἐν τῇ πόλει, τοῖς πόρρωθεν ἀφικνουμένοις, τοῖς συνοῦσι, τοῖς αὖθις ἐσομένοις ἀνθρώποις ἅπαντα διηγούμενοι διὰ τῆς ὄψεως, τὴν πάλην, τὴν συμπλοκὴν, τὴν νίκην τοῦ μάρτυρος. τὸν γὰρ πόρρωθεν ἀφιστάμενον τοῦ προαστείου, καὶ τὸ μὲν μαρτύριον τοῦ ἁγίου τῆς λάρνακος ἔρημον, τὸν δὲ ναὸν τοῦ Ἀπόλλωνος τὴν στέγην ἀφῃρημένον ὁρῶντα, εἰκὸς τὴν αἰτίαν τούτων ἑκατέρων ζητεῖν· εἶτα πᾶσαν μαθόντα τὴν ἱστορίαν, οὕτως ἀπελθεῖν ἐκεῖθεν. τοιαῦτα τοῦ μάρτυρος τὰ κατορθώματα, τὰ μετὰ τὴν τελευτήν.

ἀπολείπει

Διὸ καὶ τὴν ὑμετέραν μακαρίζω πόλιν, ὅτι πολλὴν περὶ τὸν ἅγιον τοῦτον ἐπεδείξασθε τὴν σπουδήν. καὶ γὰρ τότε, ἡνίκα ἀπὸ τῆς Δάφνης ἐπανῄει, πᾶσα μὲν ἡμῖν ἡ πόλις εἰς τὴν ὁδὸν ἐξεχύθη. καὶ κεναὶ μὲν αἱ ἀγοραὶ ἀνδρῶν, κεναὶ δὲ γυναικῶν ἦσαν αἱ οἰκίαι, ἔρημοι δὲ παρθένων οἱ θάλαμοι· οὕτω καὶ ἡλικία πᾶσα, καὶ φύσις ἑκατέρα τῆς πόλεως ἐξεπήδησαν, ὥσπερ πατέρα ἀποληψόμενοι χρόνιον ἐκ μακρᾶς ἐπανιόντα τῆς ἀποδημίας. καὶ ὑμεῖς μὲν αὐτὸν τῷ τῶν ὁμοζήλων ἀπεδώκατε χορῷ· ἡ δὲ τοῦ Θεοῦ χάρις οὐκ εἴασεν ἐκεῖ διηνεκῶς μεῖναι, ἀλλὰ πάλιν αὐτὸν τοῦ ποταμοῦ πέραν μετέστησεν, ὥστε πολλὰ τῶν χωρίων τῆς εὐωδίας ἐμπλησθῆναι τοῦ μάρτυρος. καὶ οὐδὲ ἐνταῦθα ἐλθὼν, μόνος ἔμελλεν ἔσεσθαι, ἀλλὰ ταχέως γείτονα καὶ ὁμόσκηνον τὸν ὁμότροπον ἔλαβε. καὶ γὰρ τῆς ἀρχῆς ἐκοινώνησεν αὐτῷ τῆς αὐτῆς, καὶ παρρησίαν ἴσην ἐπεδείξατο τῆς εὐσεβείας ἕνεκεν. διὸ καὶ τὴν σκηνὴν ἔλαχεν αὐτῷ τὴν αὐτὴν, οὐ μάτην, ὡς ἔοικεν, ὁ θαυμαστὸς οὗτος τοῦ μάρτυρος ζηλωτής. τοσοῦτον γὰρ ἐπόνει τὸν χρόνον ἐκεῖνον, βασιλεῖ συνεχῶς ἐπιστέλλων, ἄρχοντας ἐνοχλῶν, καὶ τὴν ἀπὸ τοῦ σώματος λειτουργίαν εἰσφέρων τῷ μάρτυρι. ἴστε γὰρ δήπου καὶ μέμνησθε, ὅτι μὲν θέρους τῆς ἀκτῖνος μέσης κατεχούσης τὸν οὐρανὸν, μετὰ τῶν προσεδρευόντων αὐτῷ καθ' ἑκάστην ἐβάδισεν ἐκεῖ τὴν ἡμέραν, οὐχ ὡς θεατὴς μόνον, ἀλλὰ καὶ ὡς κοινωνὸς τῶν γινομένων ἐσόμενος. καὶ γὰρ λίθου συνεφήψατο πολλάκις, καὶ σχοῖνον εἵλκυσε, καὶ οἰκοδόμῳ δεομένῳ τινὸς παρὰ τῶν ὑπουργούντων ὑπήκουσεν. ᾔδει γὰρ, ᾔδει πόσοι τούτων αὐτῷ κείσονται οἱ μισθοί· καὶ διὰ τοῦτο διετέλει θεραπεύων τοὺς μάρτυρας, οὐκ οἰκοδομαῖς μόνον λαμπραῖς, οὐδὲ ἐπαλλήλοις ἑορταῖς, ἀλλὰ τῷ βελτίονι τούτων τρόπῳ. τίς δέ ἐστιν οὗτος; μιμεῖται τὸν βίον αὐτῶν, ζηλοῖ τὴν ἀνδρείαν, διὰ πάντων κατὰ δύναμιν τὴν εἰκόνα διασώζει τῶν μαρτύρων ἐν ἑαυτῷ. ὅρα γὰρ, ἐπέδωκαν ἐκεῖνοι τὰ σώματα τῇ σφαγῇ· ἐνέκρωσεν οὗτος τὰ μέλη τῆς σαρκὸς τὰ ἐπὶ τῆς γῆς. ἔστησαν ἐκεῖνοι πρὸς φλόγα πυρός· ἔσβεσεν οὗτος τῆς ἐπιθυμίας τὴν φλόγα. ἐμαχέσαντο

πρὸς ὀδόντας θηρίων ἐκεῖνοι· ἀλλὰ καὶ τοῦτο, τὸ χαλεπώτατον τῶν ἐν ἡμῖν παθῶν, τὴν ὀργὴν ἐκοίμισεν. Ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ Θεῷ, ὅτι καὶ μάρτυρας οὕτω γενναίους ἡμῖν ἐχαρίσατο, καὶ ποιμένας μαρτύρων ἀξίους, εἰς καταρτισμὸν τῶν ἁγίων, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ· μεθ' οὗ τῷ πατρὶ δόξα, τιμή, κράτος σὺν τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ξδ. ΕΙΣ ΤΟΝ ΜΑΚΑΡΙΟΝ ΒΑΒΥΛΑΝ Λογ. β. ΚΑΙ κατὰ Ἰουλιανοῦ, καὶ πρὸς Ἕλληνας.

Ο Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς μέλλων πρὸς τὸ πάθος ἤδη χωρεῖν, καὶ τὸν θάνατον ἀποθνήσκειν τὸν ζωοποιόν, αὐτῇ τῇ τελευταίᾳ νυκτὶ καλέσας ἰδίᾳ τοὺς ἑαυτοῦ μαθητάς, ἄλλα τε διελέχθη πολλὰ καὶ παρῄνεσε, καὶ μετὰ τῶν ἄλλων εἶπέ τι καὶ τοιοῦτον αὐτοῖς· Ἀμήν, ἀμήν, λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει. Καίτοι πολλοὶ ἕτεροι διδάσκαλοί τε ἐγένοντο, καὶ μαθητὰς ἔσχον, καὶ θαύματα ἐπεδείξαντο, καθὼς Ἑλλήνων παῖδες κομπάζουσιν, ἀλλ' ὅμως οὐδεὶς οὐδέποτε ἐκείνων τοιοῦτον οὐδὲν οὔτε εἰς νοῦν ἐβάλετο, οὔτε εἰπεῖν ἐτόλμησεν. Οὐδ' ἂν ἔχοιεν Ἑλλήνων παῖδες, κἂν πάντα ἀναισχυντοῖεν, ἐπιδεῖξαι παρρησίαν ἢ λόγον τοιοῦτον κείμενον παρ' αὐτοῖς. Ἀλλὰ φάσματα μὲν τῶν κατοιχομένων, καὶ νεκρῶν τινων εἴδωλα δεῖξαι πολλοὶ πολλοὺς παρ' αὐτοῖς θαυματοποιούς φασι, καὶ φωνάς δέ τινας ἀπὸ μνημείων ποιῆσαι ἐνεχθῆναι λέγουσιν. Ὅτι δέ τις τῶν ζησάντων ἀνθρώπων καὶ θαυμασθέντων παρ' αὐτοῖς, ἢ οὓς μετὰ τελευτὴν ἐνόμισαν εἶναι θεούς, εἶπέ τι τοιοῦτον τοῖς ἑαυτοῦ μαθηταῖς, οὐδὲ εἷς ἂν αὐτῶν ἰσχυρίσαιτό ποτε. Καὶ τὴν αἰτίαν δέ, εἰ βούλεσθε, ἐρῶ, διατί τὰ ἄλλα πάντα ἀπηρυθριασμένως καὶ γυμνῇ ψευδόμενοι τῇ κεφαλῇ, τοιοῦτον οὐδέποτε οὐδὲν πλάσασθαι ἐτόλμησαν. Οὐ γὰρ ἁπλῶς, οὐδὲ ἄνευ τινὸς λόγου ταύτης ἀπέσχοντο τῆς μηχανῆς· ἀλλ' ᾔδεσαν τοῦτο κακοῦργοι καὶ λυμεῶνες ἐκεῖνοι, ὅτι τοὺς μέλλοντας ἀπατᾶν, πιθανά τινα καὶ πολλῆς γέμοντα κομψείας καὶ πρὸς τὸ * φωραθῆναι δυσδιάγνωστα συντιθέναι χρή. Καὶ γὰρ οἱ δεινοὶ τῶν τε ἰχθύων, τῶν τε ὀρνίθων θηρευταὶ [ἔθος] οὐ γυμνὰ προτιθέναι τὰ θήρατρα, ἀλλὰ τῷ δελέατι πάντοθεν αὐτὰ περιστείλαντες ἀκριβῶς, οὕτω τῆς ἄγρας περιγίνεσθαι ἑκατέρας ἑκάτεροι. Εἰ δὲ ἐκκαλύψαντες αὐτά, τοῖς ἁλίσκεσθαι μέλλουσιν οὕτω παρέχον ὁρᾶν, οὔτε ἰχθύς, οὔτε ὄρνις τῶν ἀρκύων ἐκείνων ἐντὸς ἂν ἐγένετό ποτε· μᾶλλον δὲ οὐδ' ἂν τὴν ἀρχὴν προσῆλθεν αὐτοῖς, ἀλλὰ κεναῖς ἂν ἕκαστος οἴκαδε ἀπῆλθε χερσίν, ὅ τε θαλάττιος, ὅ τε χερσαῖος θηρατής. Ἐπεὶ οὖν καὶ τούτοις σαγηνεύειν οἱ ἀνθρώπους προὔκειτο, οὐκ ἔρριψαν γυμνὴν τὴν ἀπάτην εἰς τὸ τοῦ βίου πέλαγος· ἀλλὰ πλασάμενοι καὶ συνθέντες τὰ δυνάμενα τοὺς ἀλογωτέρους ἑλεῖν, περαιτέρω προελθεῖν ἐφείσαντο τῷ ψεύδει, δεδοικότες τὴν ὑπερβολήν, καὶ φοβούμενοι μὴ τῇ τῶν δευτέρων ἀμετρίᾳ καὶ τὰ πρότερα διαλύσωσιν. Εἰ γὰρ εἶποι, ὅτι τοιοῦτόν τι παρ' αὐτοῖς ἐπηγγείλατό τις, οἷον ὁ ἡμέτερος σωτὴρ τοῖς μαθηταῖς εἶπε τοῖς ἑαυτοῦ, καὶ οἱ παρ' αὐτῶν ἠπατημένοι κατεγέλασαν ἂν αὐτῶν, ὡς οὐδὲ πιθανὰ ψεύσασθαι δυνηθέντων. Τὸ γὰρ τοιαῦτα καὶ προλέγειν καὶ πληροῦν μετὰ ἀληθείας, τῆς μακαρίας ἐκείνης δυνάμεως μόνης ἐστί. Εἰ δέ τι καὶ δαίμονες ἴσχυσάν ποτε φαντάσαι τοὺς ἠπατημένους μικρόν, ἀλλ' ὅτε οὔπω τοῦ φωτὸς ἡ πηγὴ γνώριμος ἦν τοῖς πολλοῖς, καὶ τότε δὲ αὐτόθεν ἐδείκνυτο, ὅτι δαιμόνων ἦν ἔργα τὰ τελούμενα, τῇ τε ἄλλῃ ἀπάτῃ, καὶ ταῖς θυσίαις αὐταῖς. Τὸ γὰρ ἀνθρωπίνοις αἵμασι τοὺς ἑαυτῶν προστάττειν φοινίσσεσθαι βωμούς, καὶ παρὰ τῶν προσιόντων τὰ τοιαῦτα αὐτοῖς κελεύειν ἱερεῖα καταβάλλεσθαι, τίνα οὐκ ἂν ἀποκρύψειε μανίας ὑπερβολήν;

Ιωαν. ιδ. ιϛ.

γρ. τινὲς

* μὴ

γρ. θηρατὰς

γρ. ἐγίνοντο

βαλεῖν; οἱ γὰρ μηδέποτε ἐκ τῶν ἡμετέρων κορεννύμενοι συμφορῶν, μηδὲ εἰδότες ὅρον τινὰ καὶ πέρας τῆς μάχης τῆς πρὸς ἡμᾶς, ἀλλ᾽ ἀθάνατα λυττῶντες ἀεί, καθάπερ οὐκ ἀρκοῦν αὐτῶν ἐμπλῆσαι τὸν θυμὸν τὸ γυναῖκας καὶ παῖδας ἀντὶ προβάτων καὶ βοῶν εἰς τοὺς αὐτῶν κατασφάττεσθαι βωμούς, ἐπενόησαν ξένην ἀνδροφονίας παρανομίαν, καὶ καινοτέραν ἐπεισήγαγον τῶν πρὶν συμφορῶν. οἷς γὰρ ἐδόκει πείθειν ταῖς τῶν ἀνῃρημένων σφαγαῖς, τούτοις ἔπεισαν εἰς τὴν ἀθλίαν ἐκείνην μιαιφονίαν προσάγειν αὐτούς. καὶ ἵνα μὴ μόνοι οἱ παρὰ τῶν ἀνθρώπων τεθέντες ἀτιμάζωνται νόμοι, καὶ τοὺς τῆς φύσεως αὐτοὺς θεσμοὺς ἐκβαλεῖν ἀνέπεισαν, αὐτὴν καθ᾽ ἑαυτῆς ἐκβακχεύσαντες, καὶ τὸν ἀπάντων ἐναγέστερον φόνον εἰς τὸν τῶν ἀνθρώπων εἰσάγοντες βίον. οὐδένας γὰρ ἐχθροὺς οὕτω λοιπόν, ὡς τοὺς γεγεννηκότας, ἅπαντες ἔδεισαν· καὶ οἷς ἐχρῆν μάλιστα πάντων θαρρεῖν, τούτους μάλιστα πάντων δι᾽ ὑποψίας εἶχον καὶ ἀπεστρέφοντο. οἱ γὰρ ἀλάστορες ἐκεῖνοι, δι᾽ ὧν ὁ Θεὸς αὐτοὺς ἐπὶ τὴν θεωρίαν τοῦδε τοῦ κόσμου παρήγαγε, διὰ τούτων αὐτοὺς ταύτης ἐκβαλεῖν ἐφιλονείκησαν τῆς δωρεᾶς, τοὺς πρὸς τὸ ζῆν ὑπηρετησαμένους, τούτους καὶ τοῦ θανάτου καταστήσαντες αἰτίους· ὥσπερ ἐπιδεῖξαι βουλόμενοι, ὅτι πλέον αὐτοῖς οὐδὲν γέγονεν ἐκ τῆς ἀγαθότητος τοῦ Θεοῦ. οὐ γὰρ ἑτέρων δεήσονται σφαγέων, ἀλλὰ τῶν φυσαμένων αὐτῶν. ταῦτα, εἰ καὶ θαῦμά τι παρηκολούθησε μέγα, μὴ ὅτι εἴ πού τι καὶ ἐδείχθη μικρὸν καὶ οὐδενὸς ἄξιον λόγου, καὶ πολλῆς γέμον ἀπάτης ἦν· ἀλλ᾽ εἰ καὶ μεγάλα ἦν τὰ γινόμενα, ταῦτα, ἅπερ εἶπον, τοῖς μὴ λίαν ἐξεστηκόσιν ἱκανὰ δεῖξαι, τίνες ἦσαν οἱ καὶ ἐκεῖνα ἐργαζόμενοι, πῶς μιαροί, καὶ παμμίαροι, καὶ πάντα ἐπ᾽ ἀνατροπῇ καὶ τῆς ζωῆς καὶ τῆς καταστάσεως τεκταίνοντες τῆς ἡμετέρας. ἀλλ᾽ οὐχ ὁ Κύριος ἡμῶν Ἰησοῦς τοιοῦτον οὐδὲν ἐπέταξεν ἡμῖν· ἀλλὰ θαυμαστὸς ὢν διὰ τὰ τεράστια, διὰ τὰ προστάγματα, τῶν θαυμάτων οὐχ ἧττον, παρὰ πάντων ἂν προσκυνοῖτο δικαίως, καὶ πιστεύοιτο εἶναι Θεός. τὴν γὰρ παρανομίαν ταύτην αὐτὸς ἐλθὼν ἔλυσε. καὶ τὸ θαυμαστότερον, ὅτι τῆς ἀγρίας καὶ ἀπηνοῦς τυραννίδος οὐ τοὺς προσκυνοῦντας αὐτῷ μόνον ἡμᾶς, ἀλλὰ καὶ τοὺς βλασφημοῦντας αὐτὸν ἐκείνους ἀπήλλαξεν. οὐδὲ γὰρ Ἑλλήνων τις ἔτι τοιαύτας θυσίας τοῖς ἑαυτοῦ δαίμοσι προσάγειν ἠνάγκασται. τοσαύτῃ πρὸς τὸ ἡμέτερον ἀεὶ φιλανθρωπίᾳ κέχρηται γένος· καὶ ὧν οἱ δαίμονες τοὺς ἑαυτῶν φίλους εἰργάσαντο κακῶν, μείζονα ὁ Θεὸς τοὺς ἐχθροὺς ἐποίησεν ἀγαθά. οἱ μὲν γὰρ δαίμονες τοὺς θεραπεύοντας αὐτοὺς καὶ τιμῶντας, τῶν οἰκείων παίδων γενέσθαι σφαγέας ἠνάγκασαν· ὁ δὲ Χριστὸς τοὺς ἀποστρεφομένους αὐτὸν τούτων τῶν ἐπιταγμάτων ἀπήλλαξε, καὶ τῆς θηριώδους λειτουργίας τὴν ἀτέλειαν καὶ τὴν θαυμαστὴν ταύτην εἰρήνην οὐκ εἰς τοὺς οἰκείους μόνους συνέκλεισεν, ἀλλὰ καὶ εἰς τοὺς ἀλλοτρίους ἐξήγαγε· δεικνὺς ὅτι ἐκεῖνοι μὲν τύραννοί τινες, καὶ τοῦ γένους ἡμῶν ἐχθροὶ καὶ λυμεῶνές εἰσι (διὸ καὶ τοῖς ᾠκειωμένοις, ὡς ἀλλοτρίοις ἐκέχρηντο· καὶ γὰρ ἦσαν ἀλλότριοι) ὁ δὲ βασιλεὺς καὶ δημιουργὸς καὶ σωτὴρ τοῦ παντὸς γένους ἀνθρώπων, αὐτὸς ἦν. διὸ καὶ τῶν ἠλλοτριωμένων, ὡς ἰδίων, ἐφείδετο. καὶ γὰρ ἦν ἴδιον ἔργον αὐτοῦ, πᾶσα ἡ τῶν ἀνθρώπων φύσις, καθὼς καὶ ὁ μαθητὴς αὐτοῦ φησιν· Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐκ ἐδέξαντο. ἀλλὰ πᾶσαν μὲν αὐτοῦ καταλέγειν τὴν φιλανθρωπίαν, οὐ τοῦ παρόντος καιροῦ· ἀλλὰ κἂν πάντας τοὺς αἰῶνας περὶ αὐτῆς φθέγγηταί τις, κἂν τοσαύτην ἔχῃ δύναμιν, ὅσην τὰς ἀσωμάτους δυνάμεις εἰκός, οὐδὲ οὕτως ἐφάψεται τῆς ἀξίας ποτέ. ὅσον γάρ ἐστιν ἀγαθός, μόνος οἶδεν αὐτός· ἐπειδὴ καὶ μόνος ἐστὶν οὕτως ἀγαθός. Ioan. α. ια.

Ὅρα γοῦν οἷα τοῖς μαθηταῖς φησιν· Ἀμὴν, ἀμὴν, λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει. οὐδὲ γὰρ ἂν τοσαύτης αὐτοῖς μετέδωκε τῆς τιμῆς, μὴ λίαν καὶ ἀπείρως ὢν ἀγαθός. εἰ δέ τις ἡμῖν ἀμφισβητοίη, ποῦ τέλος ἔσχεν οὗτος ὁ χρησμός, τὸ βιβλίον μετὰ χεῖρας λαβών, ὃ καλεῖται μὲν Ἀποστόλων Πράξεις, Ioan ιδ. ιβ.

ξεις (ἔχει δὲ αὐτὰς οὐ πάσας, ἀλλ' οὐδὲ πάντων αὐτῶν, ἀλλ' ἑνὸς ἢ δύο, καὶ ταύτας εὐαριθμήτους)
ὄψεται τοὺς μὲν ἀρρωστοῦντας ἐπὶ τῶν κλινιδίων κατακειμένους, τὰς δὲ σκιὰς μόνον
Πραξ. ε. τῶν μακαρίων ἐκείνων ἐφαπτομένας τι αὐτῶν ἅμα, καὶ τὴν ὑγίειαν ἐργαζομένας· πολλοῖς
δὲ τῶν μαινομένων, τῶν ἱματίων Παύλου οὐδὲν πλέον ἔδει πρὸς τὴν τοῦ κατοικοῦντος αὐτοὺς
δαίμονος ἀπαλλαγήν. Εἰ δέ τις ταῦτα τύφον εἶναι λέγοι καὶ τερατείαν πλασμάτων ἀπίθανοι,
ἀλλὰ τά γε νῦν ὁρώμενα ἱκανὰ τὸ βλάσφημον ἐμφράξαι στόμα καὶ καταισχῦναι, καὶ
τὴν ἀχαλίνωτον γλῶτταν ἐπισχεῖν. οὐ γάρ ἐστιν ἐν τῇ καθ' ἡμᾶς οἰκουμένῃ, οὐ χώρα, οὐκ
ἔθνος, οὐ πόλις, ἔνθα ταῦτα οὐκ ᾄδεται τὰ παράδοξα, οὐ θαυμασθέντα ποτὲ, εἰ πλάσματα
ἦν. καὶ τοῦ λόγου τὴν μαρτυρίαν ὑμεῖς ἂν παράσχοιτε ταύτην ἡμῖν. οὐ γὰρ δεησόμεθα
παρ' ἑτέρων τὴν πίστιν τῶν λεγομένων λαβεῖν, ὑμῶν τῶν ἐχθρῶν ταύτην παρεχομένων ἡμῖν.
Εἰπὲ γάρ μοι, διὰ τί τὸν Ζωροάστρην ἐκεῖνον καὶ τὸν Ζάμολξιν οὐδὲ ἐξ ὀνόματος ἴσασιν
οἱ πολλοί, μᾶλλον δὲ οὐδέ τινες, πλὴν ὀλίγων τινῶν; ἆρ' οὐχ ὅτι πλάσματα ἦν τὰ περὶ γ. ἴδυες
ἐκείνων λεγόμενα ἅπαντα; καίτοι κἀκεῖνοι καὶ οἱ τὰ ἐκείνων συνθέντες, δεινοὶ ψεύσασθαι λέγονται,
οἱ μὲν γοητείαν εὑρεῖν καὶ ἐργάσασθαι, οἱ δὲ συσκιάσαι ψεῦδος τῇ τῶν λόγων πιθανότητι.
ἀλλὰ πάντα μάτην γέγονε καὶ εἰκῇ, ὅταν ἡ τῶν λεγομένων ὑπόθεσις σαθρὰ καὶ
ψευδὴς οὖσα τύχῃ· ὥσπερ οὖν ὅταν ἰσχυρὰ καὶ ἀληθὴς, ἅπαντα πάλιν μάτην γέγονε καὶ εἰκῇ
τὰ πρὸς ἀνατροπὴν ἐπινοούμενα παρὰ τῶν ἐχθρῶν. οὐδεμιᾶς γὰρ δεῖται βοηθείας
ἡ τῆς ἀληθείας ἰσχύς· ἀλλὰ κἂν μυρίους ἔχῃ τοὺς σβεννύντας αὐτὴν, οὐ μόνον οὐκ ἀφανίζεται,
ἀλλὰ καὶ δι' αὐτῶν τῶν ἐπηρεάζειν ἐπιχειρούντων φαιδροτέρα καὶ ὑψηλοτέρα " ἄνεισι, γ. γίνεται
τῶν εἰκῇ κοπιόντων ἑαυτοὺς καὶ μαινομένων καταγελῶσα. τὰ μὲν γὰρ παρ' ἡμῖν, ἅ φατε πλάσματα
εἶναι, καὶ τύραννοι καὶ βασιλεῖς, καὶ λόγων ἄμαχοι σοφισταὶ, ἤδη δὲ καὶ φιλόσοφοι καὶ γόητες καὶ
μάγοι καὶ δαίμονες καθελεῖν ἐσπούδασαν, καὶ * ἐξηθένησεν ἐπ' αὐτοὺς ἡ γλῶσσα αὐτῶν κατὰ * ὅμως
Ψαλμ. ξγ. η. τὸν προφητικὸν λόγον, Καὶ " βέλη νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν. οἱ μὲν γὰρ βασιλεῖς γ. βέλος
τοσοῦτον ἐκέρδανον ἐκ τῆς καθ' ἡμῶν ἐπιβουλῆς, ὅσον θηριωδίας δόξαν παρὰ πᾶσι " λαβεῖν. γ. ἔλαβον
διὰ γὰρ τὸν κατὰ τῶν μαρτύρων θυμὸν εἰς τὴν τῆς κοινῆς φύσεως ἐξενεχθέντες ἀπήνειαν, μυρίοις
ἑαυτοὺς τοῖς συνειδόσι περιβαλόντες ὀνείδεσιν. οἱ δὲ φιλόσοφοι καὶ δεινοὶ ῥήτορες δόξαν πολλὴν,
οἱ μὲν ἐπὶ σεμνότητι, οἱ δὲ ἐπὶ λόγων δυνάμει παρὰ τοῖς πολλοῖς ἔχοντες, μετὰ
τὴν πρὸς ἡμᾶς μάχην καταγέλαστοι γεγόνασι, καὶ παίδων ληρούντων ἁπλῶς οὐδὲν
διαφέρειν ἔδοξαν. ἀπὸ γὰρ ἐθνῶν καὶ δήμων τοσούτων οὐ σοφόν τινα, οὐκ ἄσοφον, οὐκ ἄνδρα, οὐ
γυναῖκα, ἀλλ' οὐδὲ παιδίον μικρὸν μεταπεῖσαι ἴσχυσαν· ἀλλὰ τοσοῦτός ἐστι τῶν ὑπ' αὐτῶν
γεγραμμένων ὁ γέλως, ὥστε ἀφανισθῆναι καὶ τὰ βιβλία πάλαι, καὶ ἅμα τῷ δειχθῆναι
καὶ ἀπολέσθαι τὰ πολλά. Εἰ δέ πού τι καὶ εὑρεθείη διασωθὲν, παρὰ χριστιανοῖς τοῦτο
σωζόμενον εὕροι τις ἄν. τοσοῦτον ἀπέχομεν βλάβην τινὰ παρὰ τῆς ἐκείνων ὑποπτεύειν
ἐπιβουλῆς· οὕτω καταγελῶμεν τῆς πολλῆς τῶν μηχανημάτων αὐτῶν περιεργίας. οὔτε
γὰρ εἰ τὰ σώματα ἀδαμάντινα καὶ ἄφθαρτα ἦν ἡμῖν, σκορπίους καὶ ὄφεις καὶ πῦρ ταῖς
χερσὶν ἐπισφίγγοντες ἐδείσαμεν ἄν, ἀλλὰ καὶ ἐπεδεξάμεθα· οὔτε ἐπειδὴ τὰς ψυχὰς ἡμῶν
καὶ τὴν πίστιν τοιαύτην κατεσκεύασεν ὁ Χριστὸς, τὰ φάρμακα τῶν ἐχθρῶν ἔχοντες δεδοίκαμεν.
Λυκ. ι. ιθ. Εἰ γὰρ ἐπάνω ὄφεων καὶ σκορπίων καὶ πάσης τῆς τοῦ διαβόλου τυραννίδος πατεῖν ἡμῖν
ἐπιτέτακται, πολλῷ μᾶλλον ἐπάνω σκωλήκων καὶ κανθάρων. τοσοῦτον γὰρ τὸ μέσον τῆς τούτων
βλάβης πρὸς τὴν ἐκείνου τοῦ πονηροῦ δαίμονος ἐπιβουλήν. καὶ τὰ μὲν ἡμέτερα, τοιαῦτα·
τὰ δὲ ὑμέτερα, ἐπολέμησε μὲν αὐτοῖς οὐδεὶς οὐδέποτε. οὐδὲ γὰρ θέμις χριστιανοῖς
ἀνάγκῃ καὶ βίᾳ καταστρέφειν τὴν πλάνην, ἀλλὰ καὶ πειθοῖ καὶ λόγῳ καὶ προσηνείᾳ τὴν
τῶν ἀνθρώπων ἐργάζεσθαι σωτηρίαν· ὅθεν οὐδεὶς τῶν τὰ * Χριστοῦ φρονούντων βασι- * τοῦ
λεὺς δόγματα καθ' ὑμῶν ἔθηκε τοιαῦτα, οἷα καθ' ἡμῶν οἱ τὰ τῶν δαιμόνων " θεραπεύσαν- γ. θεραπ οντες

τες

τις ἐπενόησαν. Ἀλλ' ὅμως τοσαύτης ἀπολαύσασα ἡσυχίας καὶ ὑπ' οὐδενὸς ἐνοχληθεῖσά ποτε τῆς ἑλληνικῆς δεισιδαιμονίας ἡ πλάνη, ἀφ' ἑαυτῆς ἐσβέσθη, καὶ παρ' ἑαυτὴν διέπεσε· καθάπερ τῶν σωμάτων τὰ τηκεδόνι παραδοθέντα μακρᾷ, καὶ μηδενὸς αὐτὰ βλάπτοντος, αὐτόματα φθείρεται, καὶ διαλυθέντα κατὰ μικρὸν ἀφανίζεται. Ὥστε εἰ καὶ μὴ τέλεον ὁ Σατανικὸς οὗτος ἐξήλειπται γέλως ἀπὸ τῆς γῆς, ἀλλ' ἱκανά γε τὰ ἤδη γενόμενα πιστώσασθαι καὶ ὑπὲρ τῶν μελλόντων ὑμᾶς. Τοῦ γὰρ πλείονος καθαιρεθέντος ἐν οὕτω χρόνῳ βραχεῖ, περὶ τοῦ λειπομένου οὐδεὶς φιλονεικήσει λοιπόν. Οὐδὲ γὰρ πόλεως ἁλούσης, καὶ τειχῶν κατενεχθέντων, καὶ βουλευτηρίων καὶ θεάτρων καὶ περιπάτων κατακαυθέντων, καὶ τῶν ἐν ἡλικίᾳ πάντων ἀνῃρημένων, στάς τις ἰδὼν ἡμικαύστους καὶ οἰκιῶν ὀλίγων ἑστῶτα μέρη, καὶ γραΐδια μετὰ παιδίων μικρῶν, ἀμφισβητήσειε τῷ νικήσαντι καὶ περιγενομένῳ τοῦ πλείονος, ὡς οὐ δυναμένῳ κατεργάσασθαι τὸ περιλειφθέν. Ἀλλ' οὐ τά γε τῶν ἁλιέων τοιαῦτα· ἀλλὰ καθ' ἑκάστην αὔξει τὴν ἡμέραν, καὶ ταῦτα οὐ δι' εὐρυχωρίας τινὸς καὶ ἀνέσεως εἰς τὸν ἡμέτερον εἰσαχθέντα βίον, ἀλλὰ διὰ θλίψεων καὶ πολέμων καὶ μάχης. Ὁ μὲν γὰρ ἑλληνισμὸς πανταχοῦ τῆς γῆς ἐκταθεὶς, καὶ τὰς ἁπάντων ἀνθρώπων ψυχὰς κατασχὼν, οὕτως ὕστερον μετὰ τὴν τοσαύτην ἰσχὺν καὶ τὴν ἐπίδοσιν ὑπὸ τῆς τοῦ Χριστοῦ κατελύθη δυνάμεως· τὸ δὲ κήρυγμα τὸ ἡμέτερον, οὐ μετὰ τὸ διαδοθῆναι πανταχοῦ καὶ στῆναι βεβαίως, ἔσχε τοὺς πολεμοῦντας, ἀλλὰ πρὶν ἢ παγῆναι καὶ φυτευθῆναι ἐν ταῖς τῶν ἀκουόντων ψυχαῖς ἐξ αὐτῶν τῶν προοιμίων πρὸς ἅπασαν ἠναγκάζετο παρατάττεσθαι τὴν οἰκουμένην, πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας. Οὔπω γὰρ τοῦ σπινθῆρος τῆς πίστεως ἀφθέντος καλῶς, ποταμοὶ καὶ ἄβυσσοι πάντοθεν ἐπέρρεον. Ἴστε δὲ δήπου, ὡς οὐκ ἔστιν ἴσον τὸ μυρίοις ἔτεσι ῥιζωθὲν ἀνασπάσαι φυτὸν, καὶ τὸ ἐπὶ τῆς γῆς ἄρτι τεθέν. Ἀλλὰ καὶ τούτων οὕτως ἐχόντων, ἐπέκλυζε μὲν ἔτι μικρὸν ὄντα τὸν σπινθῆρα, ″ὡς ἔφην, τῆς εὐσεβείας, τὸ τῶν ἐναντίων πέλαγος. Ὁ δὲ οὐ μόνον οὐκ ἐσβέννυτο τούτῳ, ἀλλὰ καὶ μείζων γινόμενος καὶ ″φαιδρότερος πάντα ἐπῄει ταχέως, τὰ μὲν τῶν ἐχθρῶν καταλύων καὶ ἀναλίσκων εὐκόλως, τὰ δὲ τῶν οἰκείων ἀνιστῶν καὶ πρὸς ὕψος ἄφατον αἴρων, καίτοι ἀνδρῶν εὐτελῶν καὶ ἀσήμων ὑπηρετησαμένων αὐτῷ. Τὸ δὲ αἴτιον οὐκ ἦν τῶν ἁλιέων ἐκείνων οὔτε τὰ ῥήματα, οὔτε τὰ θαύματα, ἀλλὰ τῆς εἰς αὐτοὺς ἐνεργούσης δυνάμεως τοῦ Χριστοῦ. Τῶν γὰρ ταῦτα ἐργασαμένων ὁ μὲν ἦν σκηνοποιὸς ὁ Παῦλος, ὁ Πέτρος δὲ ἁλιεύς. Καὶ οὐκ ἂν οὕτως εὐτελέσι καὶ ταπεινοῖς πλάσαι τι τοιοῦτον ἐπῆλθέ ποτε, πλὴν εἰ μαίνεσθαί τις αὐτοὺς φαίη καὶ παραπαίειν. Ὅτι δὲ οὐκ ἐμαίνοντο, δηλοῖ ἐξ ὧν εἰπόντες κατώρθωσαν, καὶ ἐκ τῶν ἔτι καὶ νῦν πειθομένων αὐτοῖς. Οὐκ ἂν οὖν ποτε τοιαῦτα ἐψεύσαντο, οὐδὲ ἐκόμπασαν ἁπλῶς. Καὶ γὰρ, ὅπερ ἀρχόμενος ἔφην, ὁ μέλλων ἐξαπατᾷν, ψεύδεται μὲν, ψεύδεται δὲ οὐχ οὕτως, ὡς πᾶσι γενέσθαι καταφανής. Εἰ γὰρ καὶ τῶν πραγμάτων ἐκβεβηκότων, καὶ τοσούτων μαρτυρούντων τῷ τέλει, τῶν τε ἐν ἐκείνοις πιστευσάντων τοῖς χρόνοις, καὶ τῶν ἐξ ἐκείνου πανταχοῦ ταῦτα ᾀδόντων, οὐ παρ' ἡμῖν μόνον, ἀλλὰ καὶ παρὰ βαρβάροις, καὶ τοῖς ἐκείνων μᾶλλον ἐκτεθηριωμένοις, ὅμως εἰσί τινες μετὰ τοσαῦτα τεκμήρια καὶ τῆς οἰκουμένης, ὡς εἰπεῖν, ἁπάσης τὴν μαρτυρίαν, οἳ διαπιστοῦσι τοῖς γεγενημένοις, καὶ πολλοὶ οὕτως ἀβασανίστως καὶ ἀνεξετάστως, τίς ἂν παρὰ τὴν ἀρχὴν μήτε πράγματα θεασάμενος, μήτε μαρτυρίας ἀξιοπίστους τούτων ἔχων, ταύτην ἂν τὴν πίστιν ἐδέξατο τῇ ψυχῇ; τί δὲ ὅλως καὶ ″ἐπῆρε πλάσαι καὶ συνθεῖναί τι τοιοῦτον αὐτούς; οὔτε γὰρ λόγων ἰσχύϊ (πῶς γὰρ, ὧν θάτερος οὔτε γράμματα ὅλως ἠπίστατο;) οὔτε χρημάτων ἐθάῤῥουν περιουσίᾳ (καὶ γὰρ τῆς ἀναγκαίας μόλις εὐπόρουν τροφῆς, ἀπὸ τῆς τῶν χειρῶν τέχνης διαζῶντες ἀμφότεροι) ἀλλ' οὐδὲ ἐπὶ γένους λαμπρότητι πατέρων αὐτοῖς ″μεγαλοφρονεῖν. Τοῦ μὲν γὰρ οὐδὲ τὸν πατέρα ἴσμεν ὅστις ἦν (οὕτως ἦν ἄσημος καὶ ἀφανής) τοῦ Πέτρου δὲ ἄδηλος μέν ἐστιν ὁ πατήρ· τοσοῦτον δὲ ἔχει θατέρου πλέον, ὅσον τὴν προσηγορίαν αὐτοῦ γνώριμον ἡμῖν ἐποίησαν αἱ γραφαὶ μόνον, καὶ τοῦτο διὰ τὸν υἱόν. Εἰ δὲ καὶ χώραν τις καὶ ἔθνος ἐξετάζειν βούλοιτο, τὸν μὲν Κίλικα εὑρήσει, τὸν δὲ πόλεως ἀσήμου πολίτην, μᾶλλον δὲ οὐδὲ πόλεως, ἀλλὰ κώμης τῆς ἐσχάτης. ἀπὸ Βηθσαϊδὰ γὰρ τῆς Γαλιλαίας δέ ἐστι χωρίον οὕτω καλούμενον, ἐξ ἧς ὁ μακάριος ἐκεῖνος ἦν. καὶ τὰς τέχνας δέ τις αὐτῶν ἀκούσας, ὄψεται οὐδὲν μέγα ἐχούσας καὶ σεμνόν. τοῦ μὲν γὰρ ἁλιέως ὁ σκηνοποιὸς τιμιώτερος· τῶν δὲ ἄλλων χειροτεχνῶν εὐτελέστερος. πόθεν οὖν, εἰπέ μοι, πόθεν πρᾶγμα τοσοῦτον ὑποκρίνασθαι ἐτόλμησαν; ποίαις ἐπαρθέντες ἐλπίσι; τίνι θαρρήσαντες; ἆρα τῷ καλάμῳ καὶ τῷ ἀγκίστρῳ; ἢ τῇ σμίλῃ καὶ τῷ τρυπάνῳ; οὐκ ἀπελθόντες ἀπάγξεσθέ που, ἢ καὶ κατακρημνίσετε ἑαυτούς, τοσαύτην ὀφλισκάνοντες ἄνοιαν; θῶμεν δέ, εἰ βούλεσθε, καθ' ὑμᾶς καὶ τὸ ἀδύνατον τοῦτο γενέσθαι δυνατόν, καὶ τὸν μὲν ἀπὸ τῆς λίμνης ἀνελθόντα λέγειν, ὅτι ἡ σκιὰ τοῦ σώματος τοῦ ἐμοῦ νεκροὺς ἀνέστησε, τὸν δὲ ἐκπηδήσαντα τοῦ σκηνορραφείου δέρρεων τὰ αὐτὰ δὴ ταῦτα κομπάζειν ἐκεῖνο περὶ τῶν ἱματίων αὐτοῦ. τίς οὕτως ἐμεμήνει τῶν ταῦτα ἀκουόντων, ὡς ψιλοῖς ῥήμασι πιστεῦσαι περὶ πραγμάτων τοιούτων; διατί δὲ μηδεὶς τῶν κατ' ἐκεῖνον τὸν χρόνον χειροτέχνης ἀνὴρ εἶπέ τι περὶ ἑαυτοῦ τοιοῦτόν ποτε, ἢ ἕτερός τις περὶ αὐτοῦ; καίτοι εἰ τὰ ἡμέτερα πλάσματα ἦν, τοὺς μετ' ἐκείνους εὐκολώτερον τὰ τοιαῦτα ψεύδεσθαι εἰκὸς ἦν. ἐκεῖνοι μὲν γὰρ οὐκ εἶχον εἰς ἑτέρους ἀνενεγκόντες τὸν τύπον, ἐλπίσαι τοῦ″ πλάσματος περιέσεσθαι· οἱ δὲ μετ' ἐκείνους, εἰς ἐκείνους ὁρῶντες, προχειρότερον ἂν τοῦ πλάσματος κατετόλμησαν, τοῦ παραδείγματος τῶν προτέρων τοῖς δευτέροις παρακαλουμένου θαρρεῖν, ὡς οὐδενὸς ἐν τῇ γῇ νοῦν ἔχοντος, ἀλλὰ πάντων ἐξεστηκότων καὶ μεμηνότων, καὶ τοῖς βουλομένοις ἐξὸν ἅπασιν, ἅπερ ἂν ἐθέλωσι, περὶ ἑαυτῶν λέγειν τε καὶ πιστεύεσθαι. λῆρος ταῦτα καὶ γέλως καὶ μωρίας ἑλληνικῆς ῥήματα. καθάπερ γὰρ ἂν εἴ τις προσαχθείη τοξεύειν τὸν οὐρανόν, ὡς διαρρήξειν αὐτὸν τοῖς αὐτοῦ βέλεσιν, ἢ τὸν ὠκεανὸν ἐξαντλεῖν, ὡς κενώσειν αὐτὸν ταῖς ἑαυτοῦ χερσίν, οὐδεὶς ὅστις οὐ γελάσεται τῶν ἀστειοτέρων αὐτόν, οἱ δὲ σεμνότεροι καὶ δακρύσονται δάκρυσι πολλοῖς· οὕτως ὅταν ἡμῖν Ἕλληνες ἀντιλέγωσι, γελᾶν αὐτοὺς καὶ δακρύειν καλόν. πολλῷ γὰρ τοῦ τὸν οὐρανὸν τρώσειν καὶ τὴν ἄβυσσον κενώσειν ἐλπίζοντος ἀπορωτέροις ἐπιχειροῦσι πράγμασιν. οὔτε γὰρ τὸ φῶς ἔσται σκότος ποτέ, ἕως ἂν ᾖ φῶς, οὔτε ἡ τῶν παρ' ἡμῖν πραγμάτων ἀλήθεια διελεγχθήσεται. ἀλήθεια γάρ ἐστι· ταύτης δὲ ἰσχυρότερον οὐδέν.

Ὅτι μὲν οὖν καὶ τὰ ἀρχαῖα, ἃ ἀκοῇ ἴσμεν, τῶν παρόντων καὶ ὁρωμένων οὐχ ἧττόν ἐστι πιστά, πᾶς ὅστις οὖν μὴ παραπαίων καὶ ἐξεστηκὼς ὁμολογήσειεν ἄν. ἵνα δὲ καὶ ἐκ περιουσίας τὴν νίκην ἀρώμεθα, βούλομαι καὶ ἐπὶ τῆς ἡμετέρας γενεᾶς γενόμενόν τι παράδοξον εἰπεῖν. ἀλλὰ μὴ θορυβηθῆτε, εἰ θαῦμα ὑποσχόμενος ἐρεῖν ἐφ' ἡμῶν γεγονός, εἶτα ἐκ παλαιᾶς ἱστορίας ἄρχομαι τοῦ διηγήματος ὑφαίνειν τὴν ἀρχήν. οὔτε γὰρ μέχρις ἐκείνων στήσομαι μόνον, οὔτε ἀλλότρια τῆς νέας ὑποθέσεως ἐρῶ τὰ παλαιά. ἀλλήλων γὰρ ἑκάτερα ἔχεται, καὶ διασπασθῆναι τὴν ἀκολουθίαν αὐτῶν οὐκ ἔνι. εἴσεσθε δὲ καλῶς, αὐτῶν τῶν πραγμάτων ἀκούσαντες. ἐγένετό τις βασιλεὺς ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων. καὶ τὰ μὲν ἄλλα ὁποῖός τις ἦν οὗτος ὁ βασιλεύς, οὐκ ἔχω λέγειν· τὸ δὲ ἄγος, ὅπερ ἐτόλμησεν, ἀκούσαντες, εἴσεσθε καὶ περὶ τῆς λοιπῆς τῶν τρόπων ὠμότητος. τί οὖν τὸ ἄγος ἦν; ἔδοξεν ἔθνει τινὶ τῶν ἐκείνῳ πολεμούντων τῷ βασιλεῖ καταλῦσαι τὸν πόλεμον, καὶ μήτε ἑτέρους κόπτειν, μήτε αὐτοὺς ὑπὸ ἑτέρων κόπτεσθαι τοῦ λοιποῦ· ἀλλὰ πραγμάτων μὲν ἀπηλλάχθαι καὶ κινδύνων καὶ φόβων, στέργειν δὲ τοῖς ὑπάρχουσι, καὶ μηδὲν πλέον ἐπιζητεῖν τῶν ὄντων· κρεῖττον γὰρ εἶναι μετ″ ἀφοβίας ἀπολαύειν μετρίων, ἢ τοῦ πλείονος ἐφιεμένους δεδοικέναι καὶ τρέμειν ἀεί, καὶ κακὰ″ αὐτοῖς τε καὶ ἑτέροις διδόντας καὶ παρ' ἑτέρων λαμβάνοντας ζῆν. δόξαι δὲ

καταθέσθαι

χ. περὶ

χ. ἀσφαλ

χ. αὐτὰ π

καταθέσθαι τὸν πόλεμον, καὶ τὸν ἀπράγμονα βίον ζῆν, ἔδοξεν ἰσχυρῷ τινι δεσμῷ καὶ ὅροις ἀσφαλέσι τοῦτο καταδῆσαι τὸ καλόν. καὶ ποιησάμενοι συνθήκας, καὶ λαβόντες ὅρκους καὶ δόντες, ἐκ περιουσίας ἐπεχείρουν πείθειν τὸν βασιλέα τὸν αὐτῶν, τὸν υἱὸν τὸν αὐτοῦ (παιδίον δὲ ἦν κομιδῆ) τῆς εἰρήνης ἐνέχυρον καταθέντα ἀσφαλές, τοῖς τε πρότερον πολεμίοις οὖσι παρέχειν θαρρεῖν, τῆς τε οἰκείας γνώμης μαρτύριον ἐξενεγκεῖν, ὡς ἀδόλως τὴν εἰρήνην πεποιημένου πρὸς αὐτούς. καὶ ταῦτα λέγοντες ἔπεισαν. καὶ ἐξέδωκε τὸν υἱὸν ὁ βασιλεύς, ὡς μὲν αὐτὸς ᾤετο, τοῖς φίλοις καὶ συμμάχοις· ὡς δὲ τὸ τέλος ἔδειξε, τῷ πάντων ἀπηνεστάτῳ θηρίῳ. λαβὼν γὰρ νόμῳ φιλίας καὶ συνθήκης τὸ παιδίον ἐκεῖνο τὸ βασιλικόν, πάντα ὁμοῦ κατεπάτησε καὶ ἀνέτρεψε, τοὺς ὅρκους, τὰς συνθήκας, τὴν πρὸς ἀνθρώπους αἰδῶ, τὴν πρὸς τὸν θεὸν εὐλάβειαν, τὸν ἀπὸ τῆς ἡλικίας ἔλεον. καὶ οὔτε ἡ νεότης τὸ θηρίον ἐπέκαμψεν, οὔτε ἡ παρεπομένη τοῖς τοιούτοις μιάσμασι δίκη τὸν ἄγριον ἐκεῖνον ἐφόβησεν, οὔτε τὰ τοῦ παρακαταθεμένου πατρὸς αὐτὸν εἰσῄει ῥήματα, ἅπερ ἐκεῖνος τὸν υἱὸν ἐγχειρίζων ἴσως ἐπέσκηψεν, ἐν ἐπιμελείᾳ τε αὐτὸν ἔχειν ἀξιῶν πολλῇ, καὶ πατέρα αὐτὸν ἐπιφημίζων τῷ παιδί, καὶ ὡς αὐτὸν γεγεννηκότα, οὕτω τρέφειν καὶ παιδεύειν παρακαλῶν, καὶ τῆς τῶν οἰκείων προγόνων εὐγενείας ἄξιον ἀποφαίνειν, καὶ μετὰ τούτων τῶν ῥημάτων τὴν δεξιὰν τοῦ παιδὸς τῇ δεξιᾷ τοῦ φονέως ἐντιθείς, καὶ μετὰ δακρύων διαλυόμενος. τούτων οὐδὲν εἰς νοῦν ὁ μιαρὸς ἐκεῖνος ἐβάλετο, ἀλλὰ πάντα ῥίψας ἀθέως ἀπὸ τῆς ψυχῆς, τὸν φόνον ἐκεῖνον τὸν πάντων ἐναγέστατον τῶν φόνων ἐργάζεται. τούτου γὰρ καὶ παιδοκτονίας χεῖρον τὸ μίασμα, καὶ μάρτυρες ὑμεῖς, " οἱ οὐκ ἂν οὕτως ἠλγήσατε, εἴπερ τοῖς ἐμοῖς πάθεσι καὶ τὰ ὑμέτερα στοχάζεσθαι χρή, εἰ τὸν υἱὸν ὅτι κατέσφαξεν ἠκούσατε τὸν ἑαυτοῦ. τότε μὲν γὰρ μετὰ τῶν κοινῶν νόμων καὶ οἱ τῆς φύσεως ἐδόκουν ἀνατετράφθαι θεσμοί· ἐνταῦθα δὲ πολλὰ ὁμοῦ συνδεδράμηκεν, ἃ καὶ τῆς φυσικῆς ἀνάγκης ἰσχυρότερα τῷ πλήθει γέγονεν. ὅταν γὰρ ἐννοήσω τὸ μειράκιον, τὸ μηδὲν ἠδικηκός, τὸ παρὰ τοῦ πατρὸς ἐκδοθέν, τὸ τῶν προγονικῶν βασιλείων ἀποσπασθέν, καὶ " τῆς ἐν οἰκίᾳ τρυφῆς καὶ δόξης καὶ τιμῆς ἀλλαξάμενον τὴν ἐν ἀλλοτρίᾳ διαγωγήν, ἵνα δόξῃ τῷ μιαρῷ θαρρεῖν ἐκείνῳ περὶ τὴν συνθήκην, εἶτα ὑπ' αὐτοῦ κατεργασθέν, καὶ τῶν οἴκοι λαμπρῶν δι' αὐτὸν ἀποστερηθέν, καὶ ὑπ' αὐτοῦ πάλιν " ἀποσφαχθέν, ἐναντίον ὑπέχω πάθος, τηκόμενός τε ὁμοῦ τὴν ψυχήν, καὶ ἐξοιδῶν, τὸ μὲν τοῦ θυμοῦ, τὸ δὲ τῆς ἀθυμίας ἐργαζομένης. ὅταν μὲν γὰρ ἐννοήσω τὸν μιαρὸν ἐκεῖνον ὁπλιζόμενον, καὶ τὸ ξίφος ἀνατείνοντα, καὶ τὴν δειρὴν κατέχοντα τοῦ παιδός, καὶ τὴν δεξιάν, ᾗ τὴν παρακαταθήκην ἐδέξατο, ταύτῃ κατ' αὐτῆς ὠθοῦντα τὸ ξίφος, διαρρήγνυμαι καὶ ἀποπνίγομαι τῷ θυμῷ. ὅταν δὲ πάλιν ἴδω τὸν νέον δεδοικότα καὶ τρέμοντα, καὶ " οἰμώττοντα τὰς ἐσχάτας οἰμωγάς, καὶ τὸν πατέρα ἀνακαλοῦντα, καὶ τούτων αἴτιον αὐτὸν γεγενῆσθαι λέγοντα, καὶ τὴν σφαγὴν οὐ τῷ βαπτίζοντι τὸ ξίφος εἰς τὸν λαιμόν, ἀλλὰ τῷ γεγεννηκότι λογιζόμενον, καὶ μὴ δυνάμενον ἐκφυγεῖν μήτε ἐπαμύναι ἑαυτῷ, ἀλλ' ἀνιῶντα λοιπὸν τῷ φυσαμένῳ μεμφόμενον, καὶ δεχόμενον τὴν πληγήν, καὶ " σπαίροντα καὶ λακτίζοντα τοὔδαφος, καὶ τὴν γῆν τοῖς τῶν αἱμάτων μολύνοντα κρουνοῖς, διακόπτομαι τὰ σπλάγχνα, καὶ σκοτοῦμαι τὸν λογισμόν, καὶ μου τις ἀχλὺς ἀθυμίας καταχεῖται τοῖς ὀφθαλμοῖς. ~~ἀλλ' οὐχ ὁ θὴρ ἐκεῖνος~~ ἔπαθέ τι τοιοῦτον οὐδέν· ἀλλ' ὥσπερ " τι ὀρνίον καταθύειν μέλλων ἢ μόσχον, οὕτω διετέθη πρὸς τὴν μιαρὰν ἐκείνην σφαγήν. καὶ ὁ μὲν παῖς ἔκειτο νεκρὸς δεξάμενος τὴν πληγήν, ὁ δὲ σφαγεὺς ἐπηγωνίζετο τῷ μιάσματι, τοῖς δευτέροις τὰ πρότερα ἀποκρύψαι φιλονεικῶν. τάχα μέν τις οἴεταί τι περὶ τῆς ταφῆς ἐρεῖν, καὶ ὅτι μετὰ τὴν σφαγὴν οὔτε βραχείας τῷ φονευθέντι μετέδωκε γῆς. ἐγὼ δέ τι τούτου τολμηρότερον ἕτερον ἐρῶ. τὰς γὰρ ἀνόμους χεῖρας ἐκείνας τοιούτῳ μολύνας αἵματι, καὶ τὴν καινὴν ἐργασάμενος τραγῳδίαν, ὡς οὐδὲν ὅλως τετολμηκὼς ὁ ἀναιδὴς καὶ πετρῶν αὐτὴν σκληρότερος, πρὸς τὴν ἐκκλησίαν ἠπείγετο τοῦ Θεοῦ. καὶ ἴσως τινὲς θαυμάζουσι, πῶς οὐκ ἐπλήγη θεηλάτῳ πληγῇ τοιαῦτα τολμῶν, ἢ πῶς οὐκ ἐπαφῆκεν αὐτῷ σκηπτὸν ἄνωθεν ὁ Θεός, καὶ πρὸ τῆς εἰσόδου τὴν ἀναίσχυντον ὄψιν κατέφλεξε τοῦ κα[illegible]. ἐγὼ δέ, εἴ τινες ἔλαβον τοῦτον τὸν λογισμόν, ἐπαινῶ μὲν αὐτούς, καὶ θαυμάζω τῆς πυρώσεως· λείπειν δὲ αὐτὴν οὐ μικρὸν τῷ θαύματι τούτῳ καὶ τοῖς ἐπαίνοις φημί. δικαίαν μὲν γὰρ τὴν ἀγανάκτησιν ἔχοι ὑπέρ τε τοῦ οὐκ ἐν δίκῃ κατακοπέντος παιδός, ὑπέρ τε τῶν τοῦ Θεοῦ νόμων οὕτως ὑβρισθέντων ἰταμῶς· ἀλλὰ [τῷ] θυμῷ ζέοντες οὐ συνεῖδον, ὃ συνιδεῖν ἐχρῆν. τοῦ γὰρ δικαίου τούτου νόμος ἕτερος ἀνώτερος πολλῷ κεῖται ἐν τοῖς οὐρανοῖς. τίς οὖν ἐστιν ὁ νόμος; τοῖς ἡμαρτηκόσι μὴ κατὰ πόδας τὴν τιμωρίαν ἐπάγειν, ἀλλ' ἐνδιδόναι τῷ πεπλημμεληκότι χρόνους καὶ προθεσμίαν, ὥστε τὸ πλημμεληθὲν ἀποδύσασθαι, καὶ διὰ τῆς μετανοίας ἐξισωθῆναι τοῖς οὐδὲν εἰργασμένοις δεινόν· ὅπερ καὶ τότε ἐπεδείξατο εἰς τὸν δείλαιον ἐκεῖνον ὁ Θεός. ἐγένετο δὲ πλέον οὐδέν, ἀλλ' ἔμενεν ἀδιόρθωτος. ὁ δὲ φιλάνθρωπος καὶ τοῦτο προειδὼς οὐδ' οὕτως ὑπερεῖδεν αὐτόν, οὐδὲ ἐνέλιπε τὰ παρ' ἑαυτοῦ ποιῶν· ἀλλ' αὐτὸς μὲν καὶ ἐπισκόπησε κάμνοντα, καὶ τὰ πρὸς ὑγίειαν ἔπραξεν· ἐκεῖνος δὲ οὐκ ἠθέλησε τὸ φάρμακον δέξασθαι, ἀλλὰ καὶ τὸν ἐπὶ τούτῳ πεμφθέντα συνέκοψεν ἰατρόν. τὸ δὲ φάρμακον, καὶ ὁ τῆς ἰατρείας τρόπος τοιοῦτος ἦν. ἔτυχε κατὰ τὸν καιρὸν ἐκεῖνον, καθ' ὃν τὸ ἀπηνὲς τοῦτο δρᾶμα ἐτολμᾶτο καὶ ἐλεεινόν, ἄνδρα τινὰ μέγαν καὶ θαυμαστὸν (εἴπερ δεῖ αὐτὸν ἄνδρα καλεῖν) τῆς ποίμνης ἐπιμελεῖσθαι τῆς παρ' ἡμῖν. Βαβύλας ἦν ὄνομα αὐτῷ. οὗτος τοίνυν τότε τοῦ Χριστοῦ τὴν ἐκκλησίαν τὴν ἐνταῦθα ὑπὸ τῆς τοῦ πνεύματος χάριτος ἐγχειρισθείς, τὸν Ἠλίαν καὶ τὸν ἐκείνου ζηλωτὴν τὸν Ἰωάννην ὅτι παρήλασε μέν, οὐκ ἂν εἴποιμι, μὴ καὶ λίαν φορτικὸν τὸ λεγόμενον ᾖ· ἔφθασε δὲ οὕτως, ὡς μηδὲ τὸ τυχὸν ἀπολειφθῆναι τῆς ἐλευθερίας τῶν γενναίων ἐκείνων ἀνδρῶν. οὐ γὰρ τετράρχην πόλεων ὀλίγων, οὐδὲ ἑνὸς ἔθνους βασιλέα, ἀλλὰ τὸν τὸ πλεῖστον μέρος τῆς οἰκουμένης ἁπάσης κατέχοντα, αὐτὸν δὴ τοῦτον τὸν ἀνδροφόνον, καὶ πολλὰ μὲν ἔθνη, πολλὰς δὲ πόλεις καὶ στρατιὰν ἄπειρον κεκτημένον, καὶ πάντοθεν ὄντα φοβερόν, ἀπό τε τοῦ μεγέθους τῆς ἀρχῆς, ἀπό τε τῆς τῶν τρόπων θρασύτητος, ὡς ἀνδράποδον εὐτελὲς καὶ οὐδενὸς ἄξιον λόγου, οὕτω τῆς ἐκκλησίας ἐξέβαλε, μετὰ τοσαύτης ἀταραξίας καὶ ἀφοβίας, μεθ' ὅσης ἂν ποιμὴν πρόβατον ψώρας ἐμπεπλησμένον καὶ νενοσηκὸς τῆς ποίμνης ἀπείρξε, κωλύων εἰς τὰ λοιπὰ διαβῆναι τὴν νόσον τοῦ κάμνοντος. καὶ ταῦτα ἔπραττεν, ἔργῳ τὸν τοῦ Θεοῦ λόγον βεβαιῶν, ὅτι μόνος δοῦλός ἐστιν ὁ τὴν ἁμαρτίαν ποιῶν, κἂν μυρίους ἐπὶ τῆς κεφαλῆς ἔχῃ στεφάνους, κἂν ἁπάντων δοκῇ τῶν ἐπὶ τῆς γῆς ἀνθρώπων κρατεῖν· ὁ δὲ οὐδὲν ἑαυτῷ συνειδὼς πονηρόν, κἂν ἐν τῇ τῶν ὑπηκόων καταλέγηται τάξει, πάντων ἐστὶ βασιλέων βασιλικώτερος. αὐτίκα γοῦν τὸν ἄρχοντα διέταττεν ὁ ἀρχόμενος, καὶ τῷ κρατοῦντι πάντων ἐκείνει ὁ ὑπήκοος, καὶ τὴν καταδικάζουσαν αὐτὸν ψῆφον ἔφερε.

Σὺ δὲ ταῦτα ἀκούων, μὴ παρέλθῃς ἁπλῶς τὸ λεχθέν. ἱκανὸν μὲν γὰρ καὶ αὐτὸ καθ' ἑαυτὸ τοῦτο ἐπαγγελθέν, ὅτι τὸν βασιλέα τῶν τῆς ἐκκλησίας προθύρων ἐξήλασε τῶν ὑπὸ τὴν ἀρχὴν ὄντων τις τὴν αὐτοῦ, διαναστῆσαι καὶ ἐκπλῆξαι τὰς τῶν ἀκουόντων ψυχάς. εἰ δὲ βούλει τὸ θαῦμα ἅπαν καταμαθεῖν ἀκριβῶς, μὴ ψιλῷ τῷ ῥήματι πρόσεχε, ἀλλ' ὑπόγραψον τοὺς δορυφόρους, τοὺς ὑπασπιστάς, τοὺς στρατηγούς, τοὺς ἄρχοντας τοὺς ἐν ταῖς βασιλικαῖς αὐλαῖς στρεφομένους, τοὺς ἐπὶ τῶν πόλεων τεταγμένους, τὸν τῦφον τῶν προηγουμένων, τῶν ἑπομένων, τῶν σοβούντων τὸ πλῆθος, τὴν ἄλλην θεραπείαν ἅπασαν. εἶτα αὐτὸν ἐν τῷ μέσῳ μετὰ πολλοῦ μὲν ἐπιβαίνοντα τοῦ φρονήματος, σεμνότερον δὲ ἀπὸ τῶν ἱματίων φαινόμενον καὶ τῆς ἁλουργίδος καὶ τῶν λίθων τῶν πανταχοῦ διεσπαρμένων, κατὰ τὴν δεξιάν, κατὰ τὴν συμβολὴν τῆς χλαμύδος, τῶν ἀπὸ τοῦ διαδήματος ἐξ αὐτῆς ἀστραπτόντων τῆς κεφαλῆς.

γ. αἱ πολ

γ. ἐκεῖ.

γ. τότε

γ. τὸ πλεῖ
μέρος

γ. κατέχον-
τα,

γ. συνῆκε

γ. τὸ πρᾶ-
γμα τοῦτο

γ. ἀπὸ

λῆς. καὶ μηδὲ μέχρι τούτου στήσῃς τὴν εἰκόνα, ἀλλ' ἔκτεινον αὐτὴν καὶ ἐπὶ τὸν τοῦ Θεοῦ δοῦλον τὸν μακάριον Βαβύλαν, καὶ τὸ σχῆμα τὸ ταπεινόν, καὶ ἐπὶ τὴν στολὴν τὴν ἰδιωτικήν, καὶ τὴν συντετριμμένην ψυχήν, καὶ τὸ θράσους ἀπηλλαγμένον φρόνημα· καὶ οὕτως ἀμφοτέρους διαγράψας καὶ ἀντιθείς, τότε γνώσῃ τὸ θαῦμα καλῶς· μᾶλλον δὲ οὐδὲ οὕτως ἐπιλήψῃ τῆς ἀκριβείας αὐτοῦ. τὴν γὰρ παρρησίαν ἐκείνην λόγος μὲν οὐδείς, οὐδὲ ὄψις παραστῆσαι δύναιτ' ἄν, ἡ πεῖρα δὲ μόνη καὶ ἡ χρῆσις αὐτῆς· καὶ τὸ παράστημα δὲ τῆς τοῦ γενναίου ψυχῆς μόνος ἐκεῖνος δύναιτ' ἂν εἰδέναι καλῶς, ὁ δυνηθεὶς εἰς τὴν αὐτὴν αὐτῷ τῆς παρρησίας φθάσαι κορυφήν. πῶς γὰρ προσῆλθεν ὁ γέρων; πῶς τοὺς δορυφόρους διέκοψε; πῶς τὸ στόμα διῆρε; πῶς ἐφθέγξατο; πῶς ἐπετίμησε; πῶς τὴν δεξιὰν εἰς τὸ στῆθος ἀπήρεισε τὸ φλεγμαῖνον ἔτι τῷ θυμῷ καὶ ζέον τῷ φόνῳ; πῶς ἀπώσατο τὸν ἀνδροφόνον; οὐδὲν αὐτὸν τῶν δρωμένων κατέπληξε καὶ τῆς προθέσεως ἐξέκρουσεν. ὢ ψυχῆς ἀκαταπλήκτου, καὶ διανοίας ὑψηλῆς· ὢ φρενῶν οὐρανίων, καὶ παραστήματος ἀγγελικοῦ. ὥσπερ γὰρ ἐν τοίχῳ γεγραμμένην ἅπασαν τὴν φαντασίαν ἐκείνην ὁρῶν, οὕτως ἀταράχως ἅπαντα ἔπραττεν ὁ γενναῖος ἀνήρ. καὶ γὰρ ἦν πεπαιδευμένος ἀπὸ τῶν θείων δογμάτων, ὅτι σκιὰ καὶ ὄναρ καὶ τούτων οὐδαμινώτερα ἅπαντα τὰ τοῦ κόσμου πράγματα. διὰ τοῦτο οὐδὲν αὐτὸν τούτων καταπλῆξαι ἐποίησεν, ἀλλὰ καὶ μᾶλλον ἐθάρρυνεν. ἡ γὰρ ὄψις ἐκείνη τῶν ὁρωμένων τὴν διάνοιαν παρέπεμπεν ἐπὶ τὸν ἄνω βασιλέα τὸν καθήμενον ἐπὶ τῶν χερουβὶμ καὶ βλέποντα ἀβύσσους, ἐπὶ τὸν θρόνον τὸν ἔνδοξον καὶ ὑψηλόν, ἐπὶ τὴν στρατιὰν τὴν οὐράνιον, ἐπὶ τὰς μυριάδας τῶν ἀγγέλων, ἐπὶ τὰς χιλιάδας τῶν ἀρχαγγέλων, ἐπὶ τὸ βῆμα τὸ φοβερόν, ἐπὶ τὸ κριτήριον τὸ ἀδέκαστον, ἐπὶ τὸν τοῦ πυρὸς ποταμόν, ἐπὶ τὸν κριτὴν αὐτόν. διά τοι τοῦτο ὅλον ἑαυτὸν μεταστήσας ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανόν, ὡς ἐκείνῳ τῷ δικαστῇ παρεστώς, καὶ αὐτοῦ κελεύοντος ἀκούων τὸν ἐναγῆ καὶ μιαρὸν τῆς ἱερᾶς ἀγέλης ἐξωθεῖν, οὕτως ἐξέβαλλε, καὶ τῶν λοιπῶν προβάτων ἀφώριζε, καὶ πρὸς οὐδὲν ἐπεστρέφετο τῶν ὁρωμένων καὶ δοκούντων εἶναι φοβερῶν, ἀλλ' ἀνδρείως αὐτὸν μάλα καὶ γενναίως ἀπωσάμενος, παρέστη τυραννουμένοις τοῖς τοῦ Θεοῦ νόμοις. καίτοι πόσῃ περὶ τοὺς λοιποὺς αὐτὸν παρρησίᾳ κεχρῆσθαι εἰκός; ὁ γὰρ τῷ κρατοῦντι μετὰ τοσαύτης ἐξουσίας προσενεχθείς, τίνα τῶν λοιπῶν ἔδεισεν ἄν; ἐγὼ τὸν ἄνδρα ἐκεῖνον στοχάζομαι, μᾶλλον δὲ οὐ στοχάζομαι, ἀλλὰ πιστεύω, μὴ πρὸς χάριν, μὴ πρὸς ἀπέχθειαν μήτε πρᾶξαι μήτε εἰπεῖν τί ποτε· ἀλλὰ καὶ πρὸς φόβον καὶ πρὸς τὴν τούτου δυνατωτέραν κολακείαν καὶ πρὸς τὰ ἄλλα τὰ τοιαῦτα (πολλὰ δὲ τὰ ἀνθρώπινα) γενναίως στῆναι καὶ ἀνδρείως, καὶ μηδὲ μικρόν τι τῆς ὀρθῆς διαφθεῖραι κρίσεως. εἰ γὰρ στολισμὸς ἀνδρός, καὶ γέλως ὀδόντων, καὶ βῆμα ποδὸς Σειρ 19. κς. ἀπαγγέλλει τὰ περὶ αὐτοῦ, πολλῷ μᾶλλον τὰ τοσαῦτα κατορθώματα πᾶσαν ἡμῖν ἱκανὰ τοῦ λοιποῦ βίου παραδεῖξαι τὴν ἀρετήν. οὐδὲ γὰρ ἐπὶ τῇ παρρησίᾳ μόνον αὐτὸν θαυμάζειν χρή, ἀλλὰ καὶ ἐπὶ τῷ μέχρι τοσούτου τὴν παρρησίαν ἐκτεῖναι, καὶ ἐπὶ τῷ πάλιν μηδὲν προσθεῖναι πλέον αὐτῇ. τοιαύτη γὰρ ἡ τοῦ Θεοῦ σοφία, μήτε ἐλλιπῶς, μήτε περιττῶς ἀγωνίζεσθαι συγχωροῦσα, ἀλλὰ πανταχοῦ τὴν συμμετρίαν φυλάττουσα. καίτοιγε ἐνῆν, εἴπερ ἐβούλετο, καὶ περαιτέρω προελθεῖν. τῷ γὰρ ἀπαγορεύσαντι τὸ ζῆν (οὐδὲ ἂν τὴν ἀρχὴν προσελθεῖν ἐπῆλθεν, εἰ μὴ τοιούτοις ἑαυτὸν ὥπλισε λογισμοῖς* μετ' ἐξουσίας ἅπαντα πράττειν) ἐξῆν καὶ ὕβρεσι πλῦναι τὸν βασιλέα, καὶ τὸ διάδημα καθελεῖν [ἐκ] τῆς κεφαλῆς, καὶ πληγὰς εἰς τὸ πρόσωπον ἐντεῖναι, ὅτε τὴν δεξιὰν εἰς τὸ στῆθος ἀπήρεισεν. ἀλλ' οὐδὲν τούτων ἐποίησε. τῷ γὰρ ἅλατι τῷ πνευματικῷ τὴν ψυχὴν ἠρτυμένος ἦν· διόπερ οὐδὲν ἔπραττεν εἰκῇ καὶ μάτην, ἀλλὰ πάντα κρίσει λογισμῶν ὀρθῇ καὶ μετὰ καταστάσεως ὑγιοῦς. οὐ καθάπερ οἱ παρ' Ἕλλησι σοφοί, οἳ συμμέτρως μὲν οὐδέποτε, πανταχοῦ δέ, ὡς εἰπεῖν, ἢ πλέον ἢ ἔλαττον τοῦ δέοντος παρρησιάζονται, ἵνα ἀνδρείας μὲν οὐδαμοῦ, παθῶν δὲ ἀλογίστων [ἀλόγιστον] δόξαν λάβωσι πανταχοῦ, ἐν οἷς μὲν ὑστέρησαν, δειλίας, ἐν οἷς δὲ ὑπερέβησαν, ἀλαζονείας καὶ φιλοδοξίας παραπᾶσιν ἁλισκόμενοι. ἀλλ' οὐχ ὁ μακάριος ἐκεῖνος. οὐ γὰρ ἁπλῶς τὸ ἐπελθὸν ἔπραττεν, ἀλλὰ πάντα βασανίζων ἀκριβῶς, καὶ πρὸς τοὺς θείους νόμους τοὺς λογισμοὺς ἁρμόζων τοὺς ἑαυτοῦ, οὕτως ἐπὶ τὸ πράττειν ἐξήγαγεν αὐτούς. διὰ τοῦτο καὶ τὴν τομὴν οὔτε ἐπιπόλαιον ἔδωκεν, ὥστε μὴ τὸ πλέον τοῦ νενοσηκότος ἐναπομεῖναι μέρος, οὔτε βαθυτέραν τοῦ δέοντος, ὥστε μὴ τῷ περιττῷ τῆς πληγῆς λυμήνασθαι τὴν ὑγίειαν πάλιν· ἀλλὰ συμμετρήσας τῷ νοσήματι τὴν πληγὴν, οὕτω τὴν ἀρίστην ἰατρείαν εἰργάσατο. ἐπειδὴ ἦν αὐτὸς καὶ θυμοῦ, καὶ δειλίας, καὶ ἀλαζονείας, καὶ δοξομανίας, καὶ ἀπεχθείας, καὶ φθόνου, καὶ κολακείας θαρρούντως ἀποψηφισαμένην εἶναι καθαράν. εἰ δὲ δεῖ τι καὶ παράδοξον εἰπεῖν, οὐχ οὕτω θαυμάζω τοῦ μακαρίου τὸ κατατολμῆσαι τῆς τοῦ κρατοῦντος μανίας, ὡς τὸ συνιδεῖν μέχρι τίνος τοῦτο ποιῆσαι ἐχρῆν, καὶ μηδὲν περαιτέρω μήτε πρᾶξαι, μήτε εἰπεῖν. καὶ ὅτι τοῦτο ἐκείνου θαυμασιώτερον, πολλοὺς ἂν εὕροι τις τούτου μὲν περιγεγονότας, ἐπ' ἐκείνου δὲ ἡττηθέντας. τὸ μὲν γὰρ ἁπλῶς παρρησιάσασθαι, καὶ τῶν τυχόντων πολλάκις ἐστί· τὸ δὲ εἰς δέον καὶ καιρῷ τῷ προσήκοντι καὶ μετὰ τῆς ἁρμοζούσης συμμετρίας καὶ συνέσεως τῷ πράγματι χρήσασθαι, μεγάλης λίαν καὶ θαυμαστῆς δεῖται ψυχῆς. ἐπεὶ καὶ τὸν μακάριον Δαβὶδ μετὰ πολλῆς τῆς ἐξουσίας ὕβρισεν ὁ Σεμεεὶ, καὶ ἄνδρα αἱμάτων ἐκάλεσεν. ἀλλ' οὐκ ἂν εἴποιμι τοῦτο παρρησίαν ἔγωγε, ἀλλὰ γλώττης ἀκολασίαν καὶ θρασύτητα διανοίας καὶ ἀναγωγίαν καὶ ἀπόνοιαν, καὶ πάντα μᾶλλον, ἢ παρρησίαν. δεῖ γὰρ οἶμαι τὸν μέλλοντα εἶναι ἐλεγκτικὸν, θρασύτητος μάλιστα καὶ ἀπονοίας ὡς πορρωτάτω τὴν ἑαυτοῦ ψυχὴν ἀπαγαγεῖν, καὶ τὸ δραστήριον ἐν τῇ φύσει τῶν ῥημάτων καὶ τῶν πραγμάτων ἐπιδείκνυσθαι μόνον. καὶ γὰρ ἰατρῶν παῖδες, ὅταν τέμνειν τὰ νενοσηκότα δέῃ τῶν μελῶν, ἢ τὰ φλεγμαίνοντα καταστέλλειν, οὐκ ὀργῆς πρότερον γεμίσαντες ἑαυτοὺς, οὕτως ἐπὶ τὴν ἰατρείαν ἔρχονται, ἀλλὰ τότε μάλιστα ἐν καταστάσει τῇ προσηκούσῃ σπουδάζουσι φυλάττειν τὸν λογισμὸν, ὥστε μὴ τῇ τέχνῃ λυμήνασθαι τὴν ἐκείνου ταραχήν. εἰ δὲ σῶμά τις θεραπεύειν μέλλων τοσαύτης δεῖται γαλήνης, τὸν ψυχὰς ἰατρεύοντα ποῦ τάξομεν, εἰπέ μοι, καὶ πόσην ἀπαιτήσομεν φιλοσοφίαν; πολλῷ μείζονα δηλονότι, καὶ τοσαύτην, ὅσην ὁ ἀγαθὸς ἐκεῖνος ἐπεδείξατο μάρτυς. καθάπερ γὰρ τινὰς ὅρους καὶ κανόνας ἡμῖν τιθεὶς, ἵν' ἐξ ἐκείνων τὰ μέτρα καὶ ἐπὶ τῶν λοιπῶν κατὰ τὴν ἀναλογίαν λαμβάνωμεν· οὕτω τὸν δείλαιον ἐκεῖνον ἀπὸ τῶν ἱερῶν περιβόλων ἀπώσατο. καὶ δοκεῖ μὲν ἓν κατόρθωμα εἶναι τὸ γεγονός· εἰ δέ τις αὐτὸ διασκέψαιτο, καὶ ἀναπτύξας πάντοθεν κατοπτεύσειεν ἀκριβῶς, καὶ δεύτερον καὶ τρίτον συμπεφυκὸς εὑρήσει καλὸν, καὶ πολὺν τῆς ὠφελείας τὸν θησαυρόν. ὁ μὲν γὰρ ἀπελαυνόμενος τότε εἷς μόνος ἦν, οἱ δὲ δι' ἐκείνου κερδαίνοντες πολλοί. τῆς γὰρ ἀρχῆς τῆς ὑπὸ τῷ τυράννῳ κειμένης (αὕτη δὲ ἦν τὸ πλεῖστον τῆς οἰκουμένης μέρος) ὅσοιπερ ἂν ἦσαν ἄπιστοι, κατεπλάγησαν καὶ ἐθαύμασαν, μαθόντες ὅσης τοῖς ἑαυτοῦ δούλοις ὁ Χριστὸς τῆς παρρησίας μεταδέδωκε, κατεγέλασαν τῆς παρ' αὐτοῖς δουλοπρεπείας καὶ ἀνελευθερίας καὶ ταπεινότητος, εἶδον ὅσον τῆς χριστιανῶν εὐγενείας πρὸς τὴν Ἑλλήνων αἰσχύνην τὸ μέσον. οἱ μὲν γὰρ παρ' αὐτοῖς τὴν τῶν ἱερῶν ἐπιμέλειαν ἐγκεχειρισμένοι, μᾶλλον δεσποτῶν, καὶ τῶν εἰδώλων δι' αὐτῶν, τοὺς βασιλεῖς θεραπεύουσι, καὶ διὰ τὸν ἐκείνων φόβον καὶ τοῖς ξοάνοις αὐτοῖς προσεδρεύουσιν, ὡς τοὺς πονηροὺς δαίμονας τοῖς βασιλεῦσι χάριν ἔχειν τῆς εἰς αὐτοὺς τιμῆς. αὐτίκα γοῦν, ὅταν τινὰ συμβῇ μὴ τὰ ἐκείνων φρονοῦντα ἐπὶ ταύτην ἐλθεῖν τὴν ἀρχὴν, εἰσιών τις εἰς τοὺς τῶν εἰδώλων ναοὺς, πανταχοῦ τῶν τοίχων ὄψεται διαπεπταμένα τὰ τῶν ἀραχνίων ὑφάσματα, καὶ τοσαύτην ἐπικειμένην τῷ ξοάνῳ τὴν κόνιν, ὡς μήτε ῥῖνα, μήτε ὀφθαλμὸν, μήτε ἄλλο τι τοῦ προσώπου φαίνεσθαι μέρος. τῶν δὲ βωμῶν τῶν μὲν τὰ λείψανα μόνον ἕστηκε, τοῦ πλείονος ἀποθραυσθέντος μέρους· τοὺς δὲ οὕτω βαθεῖα περιβάλλει πάντοθεν πόα, ὡς τὸν ἀγνοοῦντα, κοπρίας τινὸς σωρείαν εἶναι νομίζειν τὸ φαινόμενον. τὸ δὲ αἴτιον, ὅτι πάλαι μὲν αὐτοῖς κλέπτειν ἐξῆν, ὅσα ἐβούλοντο, καὶ γαστρίζεσθαι διὰ

γ. ἐπιπολαί

γ. θέλων

τῆς τῶν ξοάνων θεραπείας· νῦν δὲ ὑπὸ τίνος ἑαυτοὺς κόψουσι; προσεδρεύοντες γὰρ καὶ ταλαιπωρούμενοι, παρ' ἐκείνων μὲν οὐδεμίαν προσδοκῶσιν ἀμοιβήν (καὶ γάρ εἰσι ξύλα καὶ λίθοι) ὃ δὲ πρότερον αὐτοὺς ὑποκλίνεσθαι τὴν θεραπείαν, ἡ παρὰ τῶν κρατούντων τιμή, καὶ αὕτη ἀνῄρηται, τῶν βασιλευόντων γνησίων ζηλωτῶν, καὶ τὸν τοῦ Θεοῦ προσκεκυνηκότων υἱόν. ἀλλ' οὐ τά γε ἡμέτερα τοιαῦτα, ἀλλὰ πᾶν τοὐναντίον. ὅταν μὲν γάρ τις ὁμολογῶν ἡμῖν ἐν τῇ περὶ τοῦ θείου δόξῃ, ἐπὶ τὸν βασιλικὸν ἀναβῆναι θρόνον τύχοι, ῥᾳθυμότερα γίνεται τὰ χριστιανῶν (τοσοῦτον ἀπέχει ταῖς ἀνθρωπίναις ὀρθοῦσθαι τιμαῖς) ὅταν δέ τις κρατήσῃ δυσσεβὴς καὶ πάντοθεν ἡμᾶς ἐλαύνων καὶ μυρίοις περιβάλλων κακοῖς, τότε εὐδοκιμεῖ καὶ λαμπρότερα γίνεται τὰ καθ' ἡμᾶς, τότε ἀριστείων καὶ τροπαίων καιρός, τότε στεφάνων καὶ ἀναρρήσεων καὶ πάσης ἀνδραγαθίας ἀφορμή. εἰ δὲ λέγοι τις, ὅτι καὶ νῦν εἰσι πόλεις τὴν ἴσην δεισιδαιμονίαν περὶ τὴν τῶν εἰδώλων μανίαν ἐπιδεικνύμεναι, πρῶτον μὲν εὐαριθμήτους καὶ ὀλίγας ἐρῶ· πλὴν ἀλλ' οὐδὲ οὕτω τὸν ἡμέτερον βλάψει λόγον. ἡ γὰρ ὑπόθεσις ἡ αὐτή· καὶ ἀντὶ τοῦ κρατοῦντος, τοὺς τὴν πόλιν οἰκοῦντας ἔχουσι τὴν ἴσην αὐτοῖς παρεχομένους τιμήν. καὶ τοῦτο αἴτιον τῆς θεραπείας, αἱ κραιπάλαι, καὶ οἱ κῶμοι, οἱ μεθ' ἡμέραν, οἱ διὰ πάσης νυκτός, οἱ αὐλοὶ καὶ τὰ τύμπανα, ὃ μετὰ πάσης ἀναισχυντίας αἰσχρὰ μὲν εἰπεῖν, πρᾶξαι δὲ αἰσχρότερα, ὃ διαρραγῆναι μὲν ὑπὸ τῆς ἀδηφαγίας, ἐκβακχευθῆναι δὲ ὑπὸ τῆς μέθης, καὶ εἰς τὴν αἰσχίστην μανίαν ἐκπεσεῖν. αὗται αἱ ἀσχήμονες δαπάναι συνέχουσιν ἔτι καὶ διακρατοῦσι διαπίπτουσαν τὴν πλάνην. οἱ γὰρ εὐπορώτεροι τοὺς διὰ τὴν ἀργίαν ὑπὸ τοῦ λιμοῦ φθειρομένους ἐκλέγοντες, ἐν τάξει παρασίτων καὶ τῶν περὶ τὰς τραπέζας στρεφομένων ἔχουσι κυνῶν, τοῖς λειψάνοις τοῖς ἀπὸ τῶν παρανόμων δείπνων διασπῶντες τὰς γαστέρας τὰς ἀναιδεῖς, καὶ πρὸς ὅπερ ἂν θέλωσιν, αὐταῖς χρώμενοι. ἡμεῖς δὲ καθάπαξ τὴν ὑμετέραν ἀλογίαν καὶ παρανομίαν μισήσαντες, τοὺς μὲν ἀργοῦντας καὶ διὰ τοῦτο πενίῃ ἀναγκαζομένους οὐ τρέφομεν, ἀλλ' ἐργαζομένους καὶ ἑαυτοῖς καὶ ἑτέροις ἐπαρκεῖν πειθόμεθα· τοὺς δὲ ἀναπήρους τῷ σώματι γενομένους, παρὰ τῶν ἐχόντων τῆς ἀναγκαίας μόνον συγχωροῦμεν ἀπολαύειν τροφῆς. κῶμοι δὲ καὶ μέθαι καὶ πᾶσα ἡ λοιπὴ μανία καὶ αἰσχρότης ἐκβέβληται)· ἀντεισῆκται δὲ ἀντὶ τούτων, ὅσα σεμνά, ὅσα δίκαια, ὅσα ἁγνά, ὅσα εὔφημα, εἴ τις ἀρετή, καὶ εἴ τις ἔπαινος. καὶ τὰ ἄλλα δέ, ἃ ὑπὸ τῶν παρ' αὐτοῖς φιλοσοφησάντων κομπάζουσιν, ἀπέδειξε κενοδοξίαν καὶ θρασύτητα καὶ παιδικῆς ἔργα διανοίας. οὐ γὰρ πίθον ἐκεῖ λαβὼν κατέκλεισεν ἑαυτόν, οὐδὲ ῥάκη περιβαλλόμενος, οὕτω περιῄει κατὰ τὴν ἀγοράν. ταῦτα γὰρ δοκεῖ μέν τισιν εἶναι θαυμαστὰ καὶ πόνον ἔχειν πολὺν καὶ τὴν ἐσχάτην ταλαιπωρίαν; ἐπαίνου δὲ παντὸς ἀπεστέρηται. καὶ τοῦτο δὲ τῆς τοῦ διαβόλου κακουργίας, τοὺς δουλεύοντας αὐτῷ τοιούτοις παραδιδόναι πόνοις, οἳ καὶ διαπαίξονται τοὺς ἠπατημένους, καὶ μάλιστα πάντων καταγελάστους ἀποφανοῦσιν αὐτούς. πόνος γὰρ οὐδὲν κέρδος ἔχων, ἐγκωμίου παντὸς ἀπεστέρηται. καὶ γὰρ ἔτι καὶ νῦν εἰσιν ἄνθρωποι φθορεῖς καὶ μυρίων γέμοντες κακῶν τοῦ φιλοσόφου πολλῷ μείζονα ἐπιδεικνύμενοι. οἱ μὲν γὰρ ἥλους ὀξεῖς καὶ ἠκονημένους ἔφαγον, οἱ δὲ ὑποδήματα διεμασήσαντο καὶ κατέπιον, οἱ δὲ πρὸς ἕτερα πολλῷ τούτων παρεβουλεύσαντο μοχθηρότερα. καίτοι τὰ τοιαῦτα πολλῷ τοῦ πίθου καὶ τῶν ῥακίων θαυμαστότερα. ἀλλ' οὐκ ἀποδεχόμεθα αὐτά, ὥσπερ οὖν οὐδὲ ἐκεῖνα· ἀλλ' ἐξ ἴσης τῷ φιλοσόφῳ κακίζομεν καὶ δακρύομεν καὶ τούτους καὶ πάντας ὁμοίως τοὺς τὰ τοιαῦτα τερατευομένους εἰκῆ.

Ἀλλὰ καὶ παρρησίαν ἐπεδείξατο, φησί, πρὸς βασιλέα πολλήν. ἴδωμεν οὖν καὶ τὴν πολλὴν παρρησίαν, μήποτε καὶ αὕτη τῆς τοῦ πίθου τερατείας ματαιοτέρα οὖσα τύχοι. τίς οὖν ἡ παρρησία; ἐλαύνοντι τῷ Μακεδόνι ποτὲ ἐπὶ τὴν Πέρσην, ἐπιστάντι τε αὐτῷ καὶ ἀπαγγείλαντι προστρέψειν τι εἴ τινος δέοιτο, οὐδενὸς ἔφη, πλὴν τοῦ μὴ ἐπισκοτεῖν αὐτῷ τὸν βασιλέα. καὶ γὰρ ἔτυχε τότε ἡλίῳ θερόμενος ὁ φιλόσοφος. οὐ καταδύσεσθε; οὐκ ἐγκαλύψεσθε; οὐκ ἀπάξοντες ἑαυτοὺς που κατορύξετε ἐπὶ τούτοις μεγαλοφρονοῦντες, ἐφ' οἷς αἰσχύνεσθαι ἐχρῆν; πόσῳ γὰρ βέλτιον ἦν ἱμάτιον ἐνδύντα ἄνδρα ἐνεργὸν εἶναι, καί τι τῶν χρησίμων τὸν βασιλεύοντα τότε αἰτεῖν, ἢ καθῆσθαι μετὰ τῶν ῥακίων θερμαινόμενον κατὰ τὰ μικρὰ καὶ ὑπομάζια τῶν παιδίων, ἅπερ αἱ τιτθαὶ μετὰ τὸ λοῦσαι καὶ ἀλεῖψαι περιτιθέασιν εἰς τοῦτο, εἰς ὅπερ ὁ φιλόσοφος τότε ἐκεῖνος ἐκάθητο, παιδίου δυστήνου χρείαν αὐτῶν; ἀλλ' ἡ παρρησία ἴσως θαυμαστή; ἀλλὰ ταύτης οὐδὲν περιττωδέστερον. τὸν γὰρ ἀγαθὸν ἄνδρα πρὸς τὸ κοινωφελὲς ἅπαντα πράττειν χρή, καὶ τὸν τῶν ἄλλων βίον κατορθοῦν. τὸ δὲ ἀξιῶσαι μὴ ἐπισκοτεῖν, ποίαν πόλιν, ποίαν οἰκίαν, ποῖον ἄνδρα, ποίαν γυναῖκα διέσωσεν; εἰπὲ τῆς παρρησίας τὸ κέρδος. τὸ γὰρ τοῦ μάρτυρος ἡμεῖς ἐπεδείξαμεν, καὶ προϊόντες δὲ αὐτὸ σαφέστερον ἐκκαλύψομεν. τέως δὲ τὸν ὑβριστὴν ἐκόλασε, καὶ ταύτῃ, ᾗ τὸν ἱερέα κολάζειν θέμις ἐστί, τὰ τῶν ἀρχόντων κατέστελλε φρονήματα, τοῖς τοῦ Θεοῦ νόμοις κινουμένοις ἐπήμυνε, τιμωρίαν ὑπὲρ τοῦ κακῶς σφαγέντος ἀπῄτησε τὴν πασῶν τιμωριῶν χαλεπωτέραν τοῖς γε νοῦν ἔχουσι. μέμνησθε δήπου πάντως, ὅτε περὶ τοῦ φόνου διελεγόμην, πῶς ἕκαστος διεθερμαίνετο τῶν ἀκροατῶν, καὶ τὸν αὐθέντην λαβεῖν εἰς χεῖρας ἐπεθύμει, καὶ φανῆναί ποθεν τὸν ἐκδικήσοντα τὸν φόνον ηὔχετο. τοῦτο τοίνυν ὁ μακάριος ἐκεῖνος ἐποίησε, καὶ δίκην ἐπέθηκεν αὐτῷ τὴν πρέπουσαν, κἀκεῖνον ἐπιστρέψαι ἱκανήν, εἰ μὴ λίαν ἀναίσθητος ἔτυχεν ὤν, οὐχ ἡλίῳ θερομένῳ αὐτῷ τὸν βασιλέα ἐπισκοτοῦντα ἀποστῆναι ἀξιῶν, ἀλλ' ἀναιδῶς τοῖς ἱεροῖς ἐπιπηδῶντα περιβόλοις καὶ πάντα συγχέοντα, καθάπερ τινὰ κύνα καὶ οἰκέτην ἀγνώμονα, τῶν δεσποτικῶν ἀπείργων αὐλῶν. ὁρᾷς ὡς οὐ κομπάζων ἔλεγον, ὅτι παιδικῆς ἔργα διανοίας τὰ τῶν παρ' ὑμῖν φιλοσόφων ἀπέδειξε θαύματα; ἀλλὰ καὶ ἐσωφρόνησεν ὁ Σινωπεὺς ἐκεῖνος καὶ ἐν ἐγκρατείᾳ διήγαγε, τὸν κατὰ νόμον οὐκ ἀνεχόμενος γάμον; ἀλλὰ πῶς καὶ τίνι τρόπῳ πρόσθες; ἀλλ' οὐ προσθήσεις, ἀλλ' ἥδιον τῶν τῆς σωφροσύνης ἐγκωμίων ἀποστερήσεις αὐτόν, ἢ τὸν τρόπον τῆς σωφροσύνης ἐρεῖς. οὕτως αἰσχρός, καὶ πολλῆς γέμων αἰσχύνης ἦν. ἐπῆλθον δ' ἂν καὶ τὸν τῶν ἄλλων λῆρον, καὶ τὴν ματαιοπονίαν, καὶ τὴν αἰσχρότητα. ποῦ γάρ, εἰπέ μοι, χρήσιμον γονῆς ἀπογεύεσθαι ἀνθρωπίνης, ὅπερ ὁ Σταγειρίτης ἐποίει; ποῖον δὲ ὄφελος μίγνυσθαι μητράσι καὶ ἀδελφαῖς, ὅπερ ὁ τῆς Στοᾶς προεστὼς φιλόσοφος ἐνομοθέτει· καὶ τὸν τῆς ἀκαδημίας δὲ ἄρξαντα, καὶ τὸν ἐκείνου διδάσκαλον, καὶ τοὺς ἐπὶ τούτων μᾶλλον θαυμαζομένους, τούτων αἰσχροτέρους ἀπέδειξα ἄν, καὶ τὴν παιδεραστίαν, ἣν σεμνὸν εἶναι τίθενται καὶ φιλοσοφίας μέρος, ἐξεκάλυψα, πάσης ἀπαμφιάσας τῆς ἀλληγορίας, εἰ μὴ εἰς μακρὸν ὁ λόγος ἡμῖν ἐξετείνετο μῆκος, καὶ πρὸς ἕτερον ἐπείγετο μέρος, καὶ ἱκανῶς καὶ διὰ τοῦ ἑνὸς τὸν γέλωτα πάντων διήλεγξεν. ὅταν γὰρ ὁ κρατῶν κατὰ τὸ δοκοῦν αὐστηρότερον εἶναι τῆς φιλοσοφίας μέρος, καὶ παρρησίας καὶ ἐγκρατείας ἕνεκεν οὕτως αἰσχρὸς καὶ ἄτοπος καὶ περιττὸς ἀποφαίνηται (καὶ γὰρ καὶ τὸ ἀνθρώπων ἀπογεύεσθαι ἔλεγεν ἀδιάφορον εἶναι) τίς ἡμῖν πρὸς τοὺς ἄλλους ἔσται λόγος λοιπόν, τοῦ κατὰ τὴν κορυφὴν τοῦ ἐπιτηδεύματος ὑπὲρ τοὺς ἄλλους λάμψαντος οὕτω καταγελάστου καὶ μειρακιώδους καὶ ἀνοήτου δειχθέντος ἅπασι; διόπερ ἐπανίωμεν, ὅθεν ταῦτα εἰπεῖν ἐξέβημεν.

γρ. θερμαινόμενος

γρ. αὐτῷ

γρ. αὐτοί

Τοὺς μὲν οὖν ἀπίστους οὕτω συνέστελλεν ὁ μακάριος, τοὺς δὲ πιστοὺς εὐλαβεστέρους κατέστησεν, οὐκ ἰδιώτας μόνον, ἀλλὰ καὶ στρατιώτας καὶ στρατηγοὺς καὶ ὑπάρχους, δείξας ὅτι ὁ βασιλεὺς καὶ ὁ πάντων ἔσχατος παρὰ χριστιανοῖς ὀνόματα μόνον ἐστί, καὶ τῶν ἐλαχίστων ὁ τὸ διάδημα ἔχων οὐδὲν ἔσται σεμνότερος, ὅταν κολάζεσθαι καὶ ἐπιτιμᾶσθαι δέῃ. πρὸς δὲ τούτοις τοὺς βουλομένους ἀναισχυντεῖν καὶ κόμπον τινὰ πεπλασμένον τὰ παρ' ἡμῖν εἶναι λέγοντας ἐπεστόμισε, τὴν τῶν ἀποστόλων παρρησίαν διὰ τῶν ἔργων ἐπιδείξας, καὶ διδάξας ὅτι καὶ πάλαι τοιούτους ἄνδρας γενέσθαι εἰκὸς ἦν, ὅτε καὶ πλείονα ἡ τῶν σημείων ἐπίδειξις παρεῖχε τὴν ἐξουσίαν αὐτοῖς. ἔστι τι καὶ τέταρτον κατόρθωμα οὐ τὸ τυχόν. τὴν γὰρ μετὰ ταῦτα ἱερωσύνην καὶ βασιλείαν ἀλαζόντων τὰ φρονήματα, τὴν μὲν κατέστελλε, τὴν δὲ ἐπῆρεν, ἀποφήνας ὅτι τῆς γῆς καὶ τῶν ἐν τῇ γῇ περιπολουμένων κυριωτέρας ἐπάξιος ὁ τὴν ἱερωσύνην λαχὼν τοῦ τὴν ἁλουργίδα ἔχοντός ἐστι· καὶ χρὴ τῆς ἐξουσίας ταύτης τὸ μέγεθος μὴ ἐλαττοῦν, ἀλλὰ τῆς ψυχῆς ἐξίστασθαι πρότερον, ἢ τῆς αὐθεντίας, ἣν ὁ Θεὸς ἄνωθεν ταύτῃ κατεκλήρωσε τῇ ἀρχῇ. ὁ μὲν γὰρ οὕτως ἀποθανών, καὶ μετὰ τὴν τελευτὴν διαμένει τοὺς ἀεὶ ἀπολαύοντας ὠφελῶν· ὁ δὲ ταύτην τὴν τάξιν λιπών, οὐ μόνον μετὰ τὸν θάνατον οὐδένα ὤνησεν, ἀλλὰ καὶ ζῶν τῶν περὶ αὐτὸν πολιτευομένων πολὺ πλείονας μαλακωτέρους εἰργάσατο, καὶ παρὰ τοῖς ἔξωθεν ἐπονείδιστος καὶ καταγέλαστος γέγονε· καὶ ἀπελθὼν δὲ ἐντεῦθεν, μετὰ πολλῆς αἰσχύνης καὶ κατηφείας παραστήσεται τῷ βήματι τοῦ Χριστοῦ, ἐκεῖθέν τε αὐτὸν πάλιν εἰς τὴν κάμινον ἀπάξουσιν ἕλκουσαι αἱ πρὸς τοῦτο τεταγμέναι δυνάμεις. διὰ τοῦτο σοφός τις παραινεῖ λέγων, Μὴ λάβῃς πρόσωπον κατὰ τῆς ψυχῆς σου. εἰ δὲ ἀνδρὸς ἀδικουμένου οὐκ ἀσφαλὲς ὑποκρίνεσθαι, τῶν θείων νόμων ὑβριζομένων ὁ σιγήσας καὶ περιιδών, τίνος οὐκ ἔσται κολάσεως ἄξιος; μετὰ δὲ τούτων, καὶ ἕτερόν τι τούτων οὐχ ἧττον ἐδίδαξε καλόν. ὅτι τὰ αὐτοῦ ποιεῖν ἕκαστον χρή, κἂν μηδεὶς ὁ δεξάμενος ᾖ τῶν γινομένων τὸ κέρδος. οὐδὲ γὰρ αὐτός τι τότε τῆς παῤῥησίας εἰς τὴν ὠφέλειαν ἀπώνατο τοῦ βασιλέως, ἀλλ' ὅμως τὸ αὐτοῦ πᾶν ἐπλήρωσε καὶ ἐνέλιπεν οὐδέν. ὁ δὲ κάμνων, διὰ τῆς οἰκείας ἀπονοίας ἐλυμήνατο τοῦ τεχνίτου τὴν ἐπιμέλειαν, μετὰ πολλοῦ τοῦ θυμοῦ τὸ φάρμακον ἀπὸ τοῦ τραύματος ἀφελών. ὥσπερ γὰρ οὐκ ἀρκοῦν εἰς ἀσέβειαν τὸ φονεῦσαι καὶ ἀναισχύντως ἐπιπηδῆσαι τῷ ναῷ τοῦ Θεοῦ, προσέθηκε φόνῳ φόνον ἕτερον. καὶ καθάπερ φιλονεικῶν ὁμοῦ καὶ νικῆσαι τοῖς δευτέροις τὰ πρότερα, καὶ τὰ τῶν φθασάντων πάθη μὴ ἀμαυρῶσαι τῇ τῶν ὑστέρων ὑπερβολῇ (τοιαύτη γὰρ ἡ τοῦ διαβόλου μανία, τὰ ἐναντία κατασκευάζειν ἅμα) οὕτως ἀμφοτέραις ταῖς σφαγαῖς ἔχειν τι κατάλληλον ἐξαίρετον ἔδωκε. καὶ ἦν ἡ μὲν προτέρα ἐλεεινοτέρα τῆς δευτέρας, ἡ τοῦ παιδός· ἡ δὲ δευτέρα, ἐναγεστέρα τῆς προτέρας, ἡ τοῦ μακαρίου Βαβύλα. ψυχὴ γὰρ* ἅπαξ ἁμαρτίας γευσαμένη καὶ ἀναλγήτως διατεθεῖσα, πολλὴν ἀεὶ ἔχει τῷ νοσήματι τὴν προσθήκην. καὶ οἷον εἰς ὕλην ἄφατον σπινθὴρ ἐμπεσὼν κάρφη μὲν εὐθέως τὸ προστυγχάνον, οὐχ ἵσταται δὲ μέχρις ἐκείνου μόνον, ἀλλ' ἅπαν ἐπινέμεται τὸ λοιπόν, καὶ ὅσῳπερ ἂν πλείονα λάβῃ τῇ φλογί, τοσούτῳ πλείονα προσλαμβάνει τὴν ἰσχὺν πρὸς τὴν τῶν λοιπῶν ἀπώλειαν, καὶ γίνεται τῶν ἁλόντων ξύλων τὸ πλῆθος τοῖς ἁλίσκεσθαι μέλλουσιν ἐπιβουλή, τοῖς ληφθεῖσι κατὰ τῶν μενόντων ὁπλιζομένης ἀεὶ τῆς φλογός· οὕτω καὶ ἡ τῆς ἁμαρτίας φύσις, ἐπειδὰν τινος λάβηται τῶν τῆς ψυχῆς λογισμῶν, καὶ μηδεὶς ὁ σβεννύων ᾖ τὸ κακόν, προϊοῦσα περαιτέρω, χαλεπωτέρα γίνεται καὶ δυσχείρωτος. καὶ διὰ τοῦτο τὰ μετὰ ταῦτα πολλάκις τῶν προτέρων ἰταμώτερα γίνεται ἁμαρτήματα, τῆς ψυχῆς ἀεὶ τῇ τῶν δευτέρων προσθήκῃ πρὸς μείζονα ἀπόνοιαν καὶ καταφρόνησιν αἰρομένης, καὶ διὰ τοῦτο τὴν μὲν οἰκείαν διαλύσεως δύναμιν, τὴν δὲ τῆς ἁμαρτίας τρεφούσης. οὕτω γοῦν πολλοὶ εἰς πᾶν εἶδος ἁμαρτημάτων ἐλθόντες ἔλαθον, ἐπειδὴ τὴν φλόγα ἀρχομένην οὐκ ἔσβεσαν· οὕτω καὶ ὁ δείλαιος ἐκεῖνος, χαλεπώτερα τοῖς προτέροις προσετίθει τὰ δεύτερα. ἐπειδὴ γὰρ τὸν νέον ἐκεῖνον ἀπώλεσεν, ἀπὸ τοῦ φόνου πρὸς τὴν ὕβριν τὴν εἰς τὸν νεὼν ὥρμησε· καὶ πάλιν ἐκ ταύτης ὁδῷ προβαίνων, εἰς τὴν κατὰ τῆς ἱερωσύνης ἀπόνοιαν ἐπαπεδύσατο, καὶ τὸν ἅγιον σιδήρῳ δήσας, καὶ εἰς δεσμωτήριον ἐμβαλών, οὕτω πως ἐκόλαζε, δίκην αὐτὸν τῆς εὐεργεσίας ἀπαιτῶν. καὶ ὑπὲρ ὧν θαυμάζειν ἔδει καὶ στεφανοῦν καὶ τῶν γεγεννηκότων μᾶλλον τιμᾶν, ὑπὲρ τούτων τὰ τῶν κακούργων ὑπομένειν ἠνάγκαζε δεσμά, καὶ τὴν ἀπὸ τῶν δεσμῶν ταλαιπωρίαν προσθείς. οὕτως, ὅπερ ἔφην, ἀρχὴν ἁμαρτία λαβοῦσα, καὶ μηδένα τὸν εἰς τὸ πρόσω προβαίνειν κωλύοντα ἔχουσα, δυσκατάσχετος καὶ ἀκάθεκτος γίνεται, καὶ οὐ μεμηνότι τῷ ἵππῳ,

ἢ

μελλόντων

αὐθεντίας

Ἐκκλη. δ. κε.

ῥιφθεῖσα εἰς κακίαν

μελλόντων

οἳ ἐπειδὰν τὸν χαλινὸν ἀπὸ τοῦ στόματος" ἐκβαλόντες καὶ τὸν ἐπιβάτην" ῥίψαντες ἀπὸ τῶν νώτων ὕπτιον, τοῖς ἀπαντῶσιν ἀφόρητοι" γίνωνται, μηδενὸς αὐτοὺς κωλύοντος, ὑπὸ τῆς ἀτάκτου ῥύμης φέροντες ἑαυτοὺς κατεκρήμνισαν. διά τοι τοῦτο εἰς μανίαν τὰς τοιαύτας ἐκφέρει ψυχὰς ὁ τῆς σωτηρίας ἡμῶν ἐχθρὸς, ἵνα αὐτὰς ἐν ἐρημίᾳ τῶν" θεραπευσόντων ἀπολαβὼν, κατακόψῃ καὶ μυρίοις περιβάλῃ κακοῖς. καὶ γὰρ οἱ τὰ σώματα ἀρρωστοῦντες, ἕως μὲν ἂν περιστοίωνται τοὺς θεραπεύοντας, πολλὴν τὴν ἐλπίδα τῆς ὑγιείας ἔχουσιν· ἐπειδὰν δὲ εἰς φρενῖτιν ἐκπεσόντες λακτίζωσι καὶ δάκνωσι τοὺς βουλομένους ἀπαλλάξαι τῆς ἀρρωστίας αὐτοὺς, τότε νοσοῦσιν ἀνίατα, οὐ διὰ τὴν τῆς νόσου φύσιν, ἀλλὰ διὰ τὴν ἐρημίαν τῶν ἀπαλλάξαι δυναμένων τῆς μανίας αὐτούς· εἰς ἣν καὶ τοὺς ἑαυτοῦ κατέστησε. λαβὼν γὰρ τὸν ἰατρὸν τέμνοντα ἐπὶ τὸ τραῦμα, ἀπήλασεν εὐθέως, καὶ ὡς πορρωτάτω τῆς οἰκίας ἀπήγαγε. καὶ ἦν τὸ Ἡρώδου δρᾶμα μηκέτι μόνον ἀκοῇ μανθάνειν, ἀλλὰ καὶ ὄψει μετὰ πλείονος τῆς περιπετείας θεωρεῖν· ἐπειδὴ καὶ μετὰ πλείονος αὐτὸ τῆς ἐπιδείξεως καὶ παρασκευῆς ὁ διάβολος πάλιν εἰς τὸ τοῦ βίου θέατρον εἰσήγαγεν, ἀντὶ τετράρχου βασιλέα" κατασκευάσας, καὶ ἀντὶ μιᾶς αἰτίας διπλῆν ὑπόθεσιν τῷ παραγγέλματι δοὺς, καὶ πολὺ τῆς προτέρας μιαρωτέραν· ὡς μὴ τῷ ἀριθμῷ μόνον, ἀλλὰ καὶ αὐτῇ τῇ τῶν πραγμάτων φύσει λαμπροτέραν ταύτην γενέσθαι τὴν τραγῳδίαν. οὐ γὰρ γάμος ἐνταῦθα ὑβρίζετο, καθάπερ ἐκεῖ· οὐδὲ ἀπὸ παρανόμου μίξεως, ἀλλ' ἀπὸ μολυσμοῦ παιδοκτονίας ἐναγεστέρου, καὶ τυραννίδος ἀπηνεστάτης, καὶ παρανομίας οὐκ εἰς γυναῖκα γενομένης, ἀλλ' εἰς αὐτὴν τὴν ἁγιστείαν, ταύτην τὴν ἱστορίαν ἔπλεξεν ὁ πονηρός. ἐμβληθεὶς τοίνυν" εἰς τὸ δεσμωτήριον ὁ μακάριος, ἔχαιρε μὲν ἐπὶ τοῖς δεσμοῖς, ἤλγει δὲ ἐπὶ τῇ τοῦ δήσαντος ἀπωλείᾳ. οὔτε γὰρ πατὴρ, οὐδὲ παιδοτρίβης, ὅταν ὁ μὲν ἐκ τῆς τοῦ παιδὸς, ὁ δὲ ἐκ τῆς τοῦ μαθητοῦ μοχθηρίας καὶ δυσπραγίας λαμπρότεροι γίνωνται, καθαρὰν ἀθυμίας τὴν ἐκ τῆς εὐδοκιμήσεως ἔχουσιν ἡδονήν. διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος Κορινθίοις ἔλεγεν· Εὐχόμεθα δὲ μηδὲν κακὸν ποιῆσαι ὑμᾶς, οὐχ ἵνα ἡμεῖς δόκιμοι φανῶμεν, ἀλλ' ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε, ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν. οὕτω γοῦν καὶ ἐκείνῳ τῷ θαυμαστῷ τότε ποθεινότερον ἦν τῶν ἀπὸ τοῦ δεσμωτηρίου μισθῶν ἡ τοῦ μαθητοῦ σωτηρία, καὶ τὸ σωφρονήσαντα τοῦτον ἀποστερῆσαι τούτων τῶν ἐπαίνων αὐτὸν, μᾶλλον δὲ τὸ μηδὲ τὴν ἀρχὴν εἰς ταύτην αὐτὸν τὴν διαστροφὴν ἐμπεσεῖν. οἱ γὰρ ἅγιοι τοὺς στεφάνους αὐτοῖς οὐκ ἀπὸ τῶν ἀλλοτρίων βούλονται πλέκεσθαι συμφορῶν. εἰ δὲ ἀπὸ τῶν ἀλλοτρίων οὐ βούλονται, πολλῷ μᾶλλον ἀπὸ τῶν τοῖς οἰκείοις συμβαινόντων κακῶν. τούτου χάριν καὶ ὁ μακάριος Δαβὶδ μετὰ τὰ τρόπαια καὶ τὴν νίκην ἐπένθει καὶ ἐδάκρυεν, ἐπειδὴ μετὰ τῆς τοῦ παιδὸς συμφορᾶς αὕτη γέγονε· καὶ τοῖς τε ἐξιοῦσι στρατηγοῖς ἐπέσκηπτεν ὑπὲρ τοῦ τυράννου πολλὰ, καὶ ἀνελεῖν αὐτὸν ἐπειγομένοις ἐπεῖχε λέγων· Φείσασθε τοῦ παιδαρίου Ἀβεσσαλώμ· καὶ πεσόντα ἐπένθει, καὶ ἀνεκαλεῖτο τὸν ἐχθρὸν μετ' οἰμωγῶν καὶ δακρύων πικρῶν. εἰ δὲ ὁ φυσικὸς πατὴρ οὕτω φιλόστοργος, πολλῷ μᾶλλον ὁ πνευματικός. ὅτι γὰρ τῶν κατὰ σάρκα οἱ κατὰ πνεῦμα γονεῖς κηδεμονικώτεροι, τοῦ Παύλου λέγοντος ἄκουε· Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; ἀλλὰ τοῦτο μὲν τὴν ἰσότητα παρίστησιν ἡμῖν· καίτοιγε μόλις ἂν πατέρες ταύτην ἀφήσαιεν τὴν φωνήν· ἀλλ' ὅμως συγχωρείσθω καὶ μέχρι" τοσούτου" φθάσαι αὐτούς. δεῖ δὲ τὸ πλέον ἐπιδεῖξαι λοιπόν. πόθεν οὖν τοῦτο ἐπιδείξομεν; ἀπὸ τῶν αὐτῶν σπλάγχνων πάλιν καὶ ἀπὸ τῶν τοῦ νομοθέτου ῥημάτων. τί δὲ ἐκεῖνός φησιν; Εἰ μὲν ἀφίης αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου ἧς ἔγραψας. οὐδεὶς δὲ ἂν ἕλοιτο πατὴρ, πρὸ μυρίων ἀπολαῦσαι ἀγαθῶν, μετὰ τῶν τέκνων κολάζεσθαι. ὁ δὲ ἀπόστολος, ἅτε ἐν τῇ χάριτι πολιτευσάμενος, καὶ ταύτης ἐπίτασιν πεποίηται τῆς φιλοστοργίας διὰ τῶν

Χεισοί.

β. Κορ. ιγ. ιζ.

β. Βασ. ιη. ε.

β. Κορ. ια. κθ.

Ἐξοδ. λβ. λβ.

γρ. ἐκβαλόντα

γρ. ῥίψαντα

γρ. γίνονται

καὶ μηδ.

γρ. διαρπαζόντων

γρ. παρασίσ

γρ. ἐν τῷ δεσμωτηρίῳ

γρ. τούτου

γρ. φθάνειν

Χριστόν. οὐ γὰρ μετ' ἐκείνων κολάζεσθαι εἵλετο, καθάπερ ἐκεῖνος, ἀλλ' ἵνα ἑτέροις σωθῆναι ἐκγένηται, αὐτὸς ἀπολέσθαι ηὔχετο, λέγων· Ηὐχόμην ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ Ρωμ. θ. γ. ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου τῶν κατὰ σάρκα. τοσαύτη εὐσπλαγχνία καὶ φειδὼ παρὰ ταῖς τῶν ἁγίων ψυχαῖς. ὅθεν καὶ οὗτος μειζόνως διεκόπτετο τὰ σπλάγχνα, τὴν ἀπώλειαν τοῦ βασιλέως περαιτέρω προϊοῦσαν ὁρῶν. οὐδὲ γὰρ μόνον ὑπὲρ τοῦ νέου δακρυόμενος ἐπέσταλκεν ἅπερ ἐπέσταλκεν, ἀλλὰ καὶ ὑπὲρ τῆς πρὸς ἐκεῖνον εὐνοίας ἐπικαμπτόμενος. ὁ μὲν γὰρ εἰς τὴν τοῦ Θεοῦ λειτουργίαν ὑβρίζων, ἐκείνην μὲν ἔβλαψεν οὐδέν, ἑαυτὸν δὲ μυρίοις περιέπειρε κακοῖς. διόπερ ὁ φιλόπαις πατὴρ θεωρῶν κατὰ κρημνῶν ὠθούμενον τῷ θυμῷ τὸν ὑβριστήν, ἀνέχειν τὴν ἄλογον φορὰν ἐσπούδαζεν, ὥσπερ τινὰ δυσήνιον ἵππον, εἰς τοὐπίσω διὰ τῆς ἐπιπλήξεως ἀνακρούσασθαι σπεύδων αὐτόν. ἀλλ' οὐκ εἴασεν ἐκεῖνος ὁ δείλαιος, ἀλλὰ τὸν χαλινὸν ἐνδακὼν καὶ ἀνατείνας, καὶ θυμῷ καὶ μανίᾳ ἀντὶ τοῦ ὀρθοῦ λογισμοῦ ἑαυτὸν ἐκδοὺς εἰς τὰ βάραθρα τῆς ἐσχάτης ἀπωλείας ἐνέβαλε, καὶ τὸν ἅγιον τοῦ δεσμωτηρίου ἐξαγαγὼν, τὸν ἐπὶ θανάτῳ ἀπαχθῆναι δεδεμένον ἐκέλευσε. καὶ ἦν ἐναντία τῶν ὁρωμένων τὰ δρώμενα. ὁ μὲν δεδεμένος πάντων ὁμοῦ τῶν δεσμῶν ἐλύετο, καὶ τῶν ἀπὸ τοῦ σιδήρου, καὶ τῶν ἔτι σφοδροτέρων, φροντίδων λέγω καὶ πόνων καὶ τῶν ἄλλων ἁπάντων τῶν διὰ τὸν ἐπίκηρον βίον περιϊσταμένων ἡμᾶς· ὁ δὲ λελύσθαι δοκῶν, καὶ σιδήρου καὶ ἀδάμαντος ἑτέροις χαλεπωτέροις περιεβάλλετο δεσμοῖς, ταῖς σειραῖς τῶν ἁμαρτιῶν περισφιγγόμενος. μέλλων τοίνυν ὁ μακάριος ἀποσφάττεσθαι ἐκεῖνος, μετὰ τοῦ σιδήρου τὸ σῶμα ταφῆναι ἐπέσκηψε, δεικνὺς ὅτι τὰ δοκοῦντα ἐπονείδιστα εἶναι, ταῦτα, ὅταν διὰ τὸν Χριστὸν γίνηται, σεμνά τέ ἐστι καὶ λαμπρά· καὶ οὐ μόνον οὐκ ἐγκαλύπτεσθαι, ἀλλὰ καὶ σεμνύνεσθαι ἐπ' αὐτοῖς χρὴ τὸν πάσχοντα, κἂν τούτῳ τὸν μακάριον Παῦλον μιμούμενος, ὃς ἄνω καὶ κάτω τὰ στίγματα, τὰ δεσμά, τὴν ἅλυσιν ἔστρεφε, καυχώμενος καὶ μεγαλοφρονῶν, ἐφ' οἷς ᾐσχύνοντο ἕτεροι. ὅτι γὰρ ᾐσχύνοντο, δῆλον ἡμῖν αὐτὸς ἐποίησε διὰ τῆς πρὸς τὸν Ἀγρίππαν γενομένης ἀπολογίας αὐτῷ. λέγοντος γὰρ ἐκείνου, Ἐν ὀλίγῳ με Πράξ. κϛ. κη. πείθεις Χριστιανὸν γενέσθαι, ὁ Παῦλος εἶπεν· Εὐξαίμην ἂν τῷ Θεῷ, φησί, καὶ ἐν ὀλίγῳ καὶ ἐν πολλῷ οὐ μόνον σε, ἀλλὰ καὶ τοὺς παρεστῶτας πάντας γενέσθαι Χριστιανούς, χωρὶς τῶν δεσμῶν τούτων, οὐκ ἂν τοῦτο προσθείς, εἰ μὴ τὸ πρᾶγμα ἐπονείδιστον εἶναι ἐδόκει τοῖς πολλοῖς. φιλοδέσποτοι γὰρ ὄντες οἱ ἅγιοι, τὰ ὑπὲρ τοῦ δεσπότου πάθη μετὰ πολλῆς ἐδέχοντο τῆς προθυμίας, καὶ φαιδρότεροι τούτοις ἐγίνοντο. καὶ ὁ μὲν φησι· Χαίρω ἐν τοῖς παθήμασί μου. Κολασ. α. κδ. ὁ δὲ Λουκᾶς περὶ τοῦ λοιποῦ τῶν ἀποστόλων χοροῦ τὰ αὐτὰ δὴ ταῦτα φθέγγεται. μετὰ Πράξ. ε. μα. γὰρ τὰς πολλὰς μάστιγας ἀνεχώρουν, φησί, χαίροντες, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι. ἵν' οὖν μή τις τῶν ἀπίστων ἀνάγκης εἶναι νομίσῃ τοὺς ἄθλους καὶ κατηφείας, αὐτὰ τῶν ἄθλων τὰ σύμβολα συνταφῆναι κελεύει τῷ σώματι, δεικνὺς ὅτι λίαν αὐτὰ ἠσπάζετο καὶ ἐφίλει, διὰ τὸ σφόδρα ἐκκρέμασθαι τῆς ἀγάπης τοῦ Χριστοῦ. καὶ κεῖνται νῦν μετὰ τῆς τέφρας αἱ πέδαι πᾶσι παραινοῦσαι τοῖς τῶν ἐκκλησιῶν προεστῶσι, κἂν δεθῆναι δέοι, κἂν σφαγῆναι, κἂν ὁτιοῦν παθεῖν, πάντα προθύμως καὶ μετὰ πολλῆς ὑπομένειν τῆς ἡδονῆς, ὥστε τῆς ἐμπιστευθείσης ἡμῖν ἐλευθερίας μηδὲ τὸ τυχὸν προέσθαι καὶ καταισχῦναι ἱερεῖς. καὶ ὁ μὲν μακάριος ἐκεῖνος οὕτω λαμπρῶς τὸν βίον κατέλυσε. τάχα δέ τις καὶ ἡμᾶς οἴεται ἐνταῦθα καταλύσειν τὸν λόγον· μετὰ γὰρ τὴν τοῦ βίου τελευτὴν οὐκ εἶναι λοιπὸν κατορθωμάτων οὐδὲ ἀνδραγαθίας ἀφορμάς, ὥσπερ οὐδὲ τοῖς ἀθληταῖς μετὰ τὸ διελθεῖν τοὺς ἀγῶνας στεφάνους πλέκεσθαι δυνατόν. ἀλλ' Ἕλληνες μὲν ταῦτα εἰκότως νομίζουσιν, ἐπεὶ καὶ μέχρι τοῦ παρόντος βίου τὴν ἐλπίδα συνέκλεισαν τὴν αὐτῶν· ἡμεῖς δέ, οἷς ἑτέρας ζωῆς φαιδροτέρας ἀρχὴ ἡ ἐνταῦθα γίνεται τελευτή, ταύτης ἀφεστήκαμεν τῆς ἀπονοίας καὶ δόξης. καὶ ὅτι δικαίως, σαφέστερον μὲν καὶ ἐν ἑτέρῳ δείξομεν λόγῳ· τέως δὲ καὶ τὰ μετὰ τὴν τελευτὴν τῷ γενναίῳ κατορθωθέντα Βαβύλᾳ, ἱκανὰ πίστιν μεγίστην τῷ λόγῳ παραδραμεῖν. ἐπειδὴ γὰρ ἕως θανάτου περὶ τῆς ἀληθείας ἠγωνίσατο, καὶ μέχρις αἵματος ἀντικατέστη πρὸς τὴν ἁμαρτίαν μαχόμενος, καὶ ὥστε μὴ ἀφεῖναι τὴν τάξιν, ἣν ἔταξεν αὐτὸν ὁ μέγας βασιλεὺς, ἀφῆκε τὴν ψυχὴν, καὶ παντὸς ἀριστέως λαμπρότερον ἐτελεύτησεν, αὐτὸν μὲν εἶχε λοιπὸν ὁ οὐρανὸς, τὸ δὲ σῶμα τὸ πρὸς τὴν ἀριστείαν διακονησάμενον ἡ γῆ· καὶ διενείματο ἡ κτίσις τὸν ἀθλητήν. καίτοιγε ἐνῆν καὶ μεταθεῖναι αὐτὸν κατὰ τὸν Ἐνὼχ, καὶ ἁρπάσαι κατὰ τὸν Ἠλίαν, οὓς ἐζήλωσεν· ἀλλ' ὁ Θεὸς φιλάνθρωπος ὢν, καὶ μυρίας ἡμῖν τοῦ σώζεσθαι προφάσεις διδοὺς, καὶ ταύτην μετὰ τῶν ἄλλων διέτεινεν ἡμῖν τὴν ὁδὸν ἱκανὴν παρακαλέσαι πρὸς ἀρετὴν, τὰ τῶν ἁγίων λείψανα παρ' ἡμῖν τέως ἀφείς. μετὰ γὰρ τὴν διὰ τοῦ λόγου δύναμιν, δευτέραν ἔχουσι τάξιν οἱ τῶν ἁγίων τάφοι πρὸς τὸ διεγείρειν εἰς τὸν ″τῶν ἴσων ζῆλον τὰς τῶν θεωμένων αὐτοὺς ψυχάς. καὶ εἴ που τις ἐπιστῇ θήκῃ τοιαύτῃ, καὶ τῆς ἐνεργείας εὐθέως ταύτης σαφῆ λαμβάνει τὴν αἴσθησιν. ἡ γὰρ ὄψις τῆς λάρνακος εἰς τὴν ψυχὴν ἐμπίπτουσα καταπλήττει τε αὐτὴν καὶ διανίστησι, καὶ ὡς αὐτοῦ τοῦ κειμένου συνευχομένου καὶ παρεστῶτος καὶ ὁρωμένου, οὕτως αὐτὴν διακεῖσθαι ποιεῖ· εἶτα προθυμίας πολλῆς ὁ τοῦτο παθὼν πληρωθεὶς, καὶ ἕτερος ἀνθ' ἑτέρου γενόμενος, οὕτως ἐκεῖθεν ἀπέρχεται. μάθοι δ' ἄν τις καλῶς, ὡς ἡ φαντασία τῶν ἀπελθόντων ἀπὸ τῶν τόπων ἐγγίνεται ταῖς τῶν ζώντων ψυχαῖς, εἰς νοῦν τοὺς πενθοῦντας λαβὼν, οἳ ἅμα τε τοῖς τῶν τεθνηκότων τάφοις ἐφίστανται, καὶ ὥσπερ ἀντὶ τῆς θήκης τοὺς ἐν τῇ θήκῃ κειμένους ἑστῶτας ἰδόντες, οὕτως αὐτοὺς ἀπὸ τῶν προθύρων εὐθέως ἀνακαλοῦσι. πολλοὶ δὲ τῶν ἀφορήτως πρὸς τὰ πάθη διατεθέντων παρὰ τοῖς μνήμασι τῶν ἀπελθόντων τὸν ἅπαντα κατῴκισαν ἑαυτοὺς χρόνον, οὐκ ἂν τοῦτο ποιήσαντες, εἰ μή τινα παραμυθίαν ἀπὸ τῆς τῶν τόπων ἐλάμβανον ὄψεως. καὶ τί λέγω τόπον καὶ τάφον; καὶ γὰρ ἱμάτιον μόνον πολλάκις τῶν ἀπελθόντων ὀφθὲν, καὶ ῥῆμα εἰς διάνοιαν ἐλθὸν, ἀνήγειρε τὴν ψυχὴν καὶ τὴν μνήμην διανίστησι διαπίπτουσαν. διὰ ταῦτα ἡμῖν τὰ λείψανα τῶν ἁγίων ἀφῆκεν ὁ Θεός.

γρ. ἴσον

Καὶ ὅτι οὐχ ἁπλῶς κομπάζων ταῦτα λέγω νῦν, ἀλλὰ πρὸς ὠφέλειαν τὴν ἡμετέραν τοῦτο γέγονεν, ἱκανὰ μὲν τὸν λόγον πιστώσασθαι καὶ τὰ καθ' ἑκάστην ἡμέραν ὑπὸ τῶν μαρτύρων γινόμενα θαύματα, καὶ τὸ πλῆθος τῶν οὕτως ″ἐπιτρεχόντων ἀνδρῶν· οὐχ ἧττον δὲ ἐκείνων, καὶ τὰ τοῦ μακαρίου τούτου κατορθώματα μετὰ τὴν τελευτήν. ἐπειδὴ γὰρ ἐτάφη, καθὼς ἐπέσκηψε, καὶ χρόνος παρῆλθε μακρὸς μετὰ τὴν ταφὴν, ὡς ὀστᾶ λείπεσθαι μόνον καὶ κόνιν ἐν τῇ σορῷ, ἔδοξέ τινι τῶν μετὰ ταῦτα βασιλευσάντων εἰς τὸ προάστειον τουτὶ, τὴν Δάφνην, ἀπενεγκεῖν τὴν λάρνακα· ἔδοξε δὲ, τοῦ Θεοῦ πρὸς τοῦτο κινήσαντος τὴν τοῦ βασιλέως ψυχήν. ὡς γὰρ εἶδε τὸ χωρίον ὑπὸ τῆς τῶν νέων ἀσελγείας τυραννούμενον, καὶ κινδυνεῦον ἄβατον εἶναι τοῖς σεμνοτέροις καὶ ἐπιεικῶς βουλομένοις βιοῦν, ἐλεήσας αὐτὸ τῆς ἐπηρείας, ἔπεμψε τὸν ἀμυνοῦντα τὴν ὕβριν. ὁ μὲν γὰρ Θεὸς αὐτὸ καλόν τε καὶ ἐπέραστον εἰργάσατο καὶ τῇ τῶν ὑδάτων ἀφθονίᾳ καὶ ὥρᾳ, καὶ τῇ φύσει τῆς γῆς, καὶ τῇ τῶν ὡρῶν εὐμοιρίᾳ, οὐχ ἵνα ἁπλῶς ἀναπαυώμεθα, ἀλλ' ἵνα καὶ ὑπὲρ τούτου τὸν ἀριστοτέχνην δοξάζωμεν. ὁ δὲ τῆς σωτηρίας ἡμῶν ἐχθρὸς, καὶ εἰς τοὐναντίον ἀεὶ ταῖς τοῦ Θεοῦ καταχρώμενος δωρεαῖς, τῷ πλήθει τῶν διεφθαρμένων νέων καὶ ταῖς τῶν δαιμόνων οἰκήσεσι τὸ χωρίον προκαταλαβὼν, ἐπεφήμισεν αὐτῷ ἵνα καὶ μῦθον αἰσχρὸν, ὥστε ἀναθεῖναι διὰ τούτου τῷ δαίμονι τοῦ προαστείου τὴν χάριν. ὁ δὲ μῦθος τοιοῦτός ἐστι. τὴν Δάφνην κόρην οὖσάν φησι καὶ θυγατέρα τοῦ Λάδωνος ποταμοῦ (καὶ γὰρ ποταμοὺς γυναῖκας εἰσάγειν, καὶ τὰ γινόμενα εἰς ἀναίσθητα μεταβάλλειν, καὶ πολλὰ τοιαῦτα τερατεύεσθαι ἔθος ἀεὶ τοῖς πλανωμένοις) ταύτην οὖν τὴν κόρην εὔμορφον οὖσαν ἰδεῖν ποτε τὸν Ἀπόλλωνα ″φησι, καὶ ἰδόντα παθεῖν τι πρὸς αὐτὴν, καὶ παθόντα διώκειν ὥστε ἑλεῖν· τὴν δὲ φεύγειν, καὶ φεύγουσαν ἐπιστῆναί τε τῷ προαστείῳ, καὶ τὴν

γρ. ἐπιφερόντων

γρ. φασ

μητέρα τὴν ὕβριν ἀμύνασθαι ταύτην αὐτῇ· διαστῆναί τε γὰρ εὐθέως, καὶ δέξασθαι τὴν παρθένον, καὶ αὐτὴν τῆς παιδὸς ἀναδοῦναι φυτὸν ἐπώνυμον τῇ παιδί· τὸν δὲ ἀκόλαστον ἐραστὴν ἀποτυχόντα τῶν παιδικῶν περιπλακῆναί τε τῷ δένδρῳ, καὶ οἰκειώσασθαι καὶ τὸ φυτὸν καὶ τὸν τόπον, καὶ προσεδρεύειν τῷ χωρίῳ λοιπόν, καὶ τοῦτο πάσης τῆς γῆς μάλιστα ἀσπάζεσθαι καὶ φιλεῖν· κελεῦσαί τε τὸν βασιλεύοντα τότε, νεὼν αὐτῷ δείμασθαι καὶ βωμόν, ἵν᾽ ἔχῃ παραμυθεῖσθαι διὰ τοῦ τόπου τὴν μανίαν ὁ δαίμων. καὶ ὁ μὲν μῦθος, οὗτος· ἡ δὲ ἀπὸ τοῦ μύθου γινομένη βλάβη, οὐκ ἔτι μῦθος ἦν. ἐπειδὴ γὰρ οἱ τῶν νέων ἀκόλαστοι φθάσαντες, ὅπερ ἔφην, ἐξύβριζον εἰς τὸ τοῦ προαστείου κάλλος, ἐπὶ κώμοις καὶ μέθαις τὰς ἐκεῖ ποιούμενοι διατριβάς, βουλόμενος τοῦτο ἐπιδοθῆναι τὸ κακὸν ὁ διάβολος, τόν τε μῦθον ἔπλασε καὶ τὸν δαίμονα κατῴκισεν, ὡς καὶ ἀσεβείας καὶ ἀσελγείας ὑπέκκαυμα γίνεσθαι μεῖζον τὴν ἱστορίαν ταύτην αὐτοῖς. πρὸς δὲ τὴν λύσιν τῶν τοσούτων κακῶν εὗρε ταύτην τὴν σοφωτάτην μηχανὴν ὁ βασιλεύς, τὸ μετοικίσαι τε τὸν ἅγιον, καὶ πέμψαι τὸν ἰατρὸν πρὸς τοὺς κάμνοντας. διατάξει μὲν οὖν καὶ αὐθεντίᾳ βασιλικῇ τὴν εἰς τὸ προάστειον ἐγκόπτειν ὁδὸν τοῖς τὴν πόλιν οἰκοῦσιν, ἐδόκει τυραννίδος ἔργον εἶναι μᾶλλον καὶ ὠμότητος καὶ ἀγροικίας πολλῆς. εἰ δὲ προσέθηκεν, ὅτι οἱ μὲν ἐπιεικέστεροι καὶ μετριώτεροι ἀναβαινέτωσαν, οἱ δὲ ἀσελγεῖς καὶ ἀκόλαστοι κωλυέσθωσαν, ἄπορον ἦν τὸ ἐπίταγμα, καὶ δίκας ἔδει καθ᾽ ἑκάστην γίνεσθαι τὴν ἡμέραν τῆς ἑκάστου κρινομένης ζωῆς· μόνην δὲ τῶν τοσούτων δεινῶν διέξοδον εὑρίσκει, τὴν τοῦ μακαρίου γενέσθαι παρουσίαν· τήν τε γὰρ τοῦ δαίμονος διαλῦσαι δύναμιν, καὶ τὴν τῶν νέων ἐπιστρέψαι διάχυσιν, ἱκανὸν εἶναι τὸν μάρτυρα. καὶ οὐκ ἐσφάλη τῆς ἐλπίδος. ἅμα τε γὰρ ἐφίσταταί τις τῇ Δάφνῃ, καὶ τὸ μαρτύριον εὐθέως ἀπὸ τῶν τοῦ προαστείου προθύρων ἰδών, συστέλλεται, καθάπερ τις νέος ἐν συμποσίῳ παιδαγωγὸν θεασάμενος ἐφεστῶτα, καὶ παρακελευόμενον διὰ τῆς ὄψεως ἐν τάξει τῇ προσηκούσῃ πίνειν τε καὶ ἐσθίειν καὶ φθέγγεσθαι καὶ γελᾶν, "φυλαττόμενος μή που τὸ μέτρον ὑπερβάς, τὴν δόξαν αἰσχύνῃ τὴν ἑαυτοῦ. γενόμενος δὲ ὑπὸ τῆς ὄψεως εὐλαβέστερος, καὶ τὸν μακάριον φαντασθείς, πρὸς τὴν λάρνακα εὐθέως ἐπείγεται, καὶ ἐλθὼν ἐκεῖ μείζονά τε προσλαμβάνει φόβον, καὶ πᾶσαν ὀλιγωρίαν ἐκβαλών, καὶ γενόμενος "πτηνός, οὕτως ἄπεισι. καὶ τοὺς μὲν ἐκ τῆς πόλεως ἀνιόντας δεχόμενος, ἀπὸ τῆς ὁδοῦ μετὰ τοιαύτης σωφροσύνης παραπέμπει πρὸς τὴν τῆς Δάφνης ἀνάπαυσιν, μονονοὺχ ἐκείνην αὐτοῖς ἐπιβοῶν τὴν φωνήν· Ἀγαλλιᾶσθε τῷ Κυρίῳ ἐν τρόμῳ, καὶ τὸ ἀποστολικὸν προστιθείς, Εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε. τοὺς δὲ εἰς τὴν πόλιν κατιόντας μετὰ τὴν "τρυφὴν (εἰ συμβαίη ῥαθυμότερον διατεθέντας ἀπορρῖψαι τὸν χαλινόν, καὶ εἰς κραιπάλην καὶ εἰς ἄτοπον ἐξενεχθῆναι τρυφήν) δεξάμενος πάλιν ἐπανιόντας εἰς τὸ αὐτοῦ καταγώγιον, οὐκ ἀφίησι τὴν ἀπὸ τῆς μέθης βλάβην ἔχοντας οἴκαδε ἀπελθεῖν, ἀλλὰ σωφρονίσας τῷ φόβῳ πρὸς τὴν αὐτὴν ἐπανάγει νῆψιν, ἣν καὶ πρὸ τοῦ τῇ μέθῃ βαπτισθῆναι ἐφύλαττον. καὶ γὰρ ὥσπερ τις αὔρα λεπτὴ τοὺς ἐν τῷ μαρτυρίῳ γινομένους περιπνεῖ πάντοθεν, αὔρα οὐκ αἰσθητή τις, οὐδὲ σωμάτων αὐξητική, ἀλλ᾽ εἰς αὐτὴν ἱκανὴ διαδῦναι τὴν ψυχήν· καὶ καταστέλλουσα πάντοθεν αὐτὴν εὐσχημόνως, καὶ πᾶν γήϊνον περικόπτουσα βάρος, ἀναπαύει τε καὶ κουφοτέραν ἐργάζεται τὴν βεβαρημένην καὶ καταπίπτουσαν. καὶ τὸ μὲν τῆς Δάφνης κάλλος [καὶ] τοὺς ῥαθυμοτέρους ἐκκαλεῖται πρὸς ἑαυτήν· ὁ δὲ μάρτυς, καθάπερ ἐν "ἁλιείᾳ τινὶ καθήμενος, καὶ λοχῶν τοὺς εἰσιόντας, κατέχει τε αὐτούς, καὶ ῥυθμίσας πρότερον οὕτως ἀφίησιν, οὐχ ὑβριστικῶς, ἀλλὰ σεμνῶς τῇ ἐρωμένῃ χρησομένους λοιπόν. ἐπειδὴ γὰρ τῶν ἀνθρώπων οἱ μὲν διὰ ῥᾳθυμίαν, οἱ δὲ διὰ φροντίδας βιωτικὰς οὐκ ἐθέλουσιν εἰς τὰς τῶν μαρτύρων θήκας ἀπαντᾶν, ᾠκονόμησεν ὁ Θεὸς τούτῳ σαγηνεύεσθαι τῷ τρόπῳ, καὶ τῆς θεραπείας αὐτοὺς ἀπολαύειν τῆς ἐν τῇ ψυχῇ. καὶ γίνεται παρόμοιον, ὥσπερ ἂν εἴ τις τὸν κάμνοντα ὠφέλιμα

Ψαλμ. β ια.
α. Κορ. ι. λα.

φάρμακα προσίεσθαι μὴ καταδεχόμενοι, μεθοδεύσειεν ἡδύσματι τὸ φάρμακον ἐγκαταχρύψας τινί. τῷ γοῦν χρόνῳ θεραπευόμενοι εἰς τοῦτο κατέστησαν, ὡς μηκέτι τὴν τρυφὴν μόνον, ἀλλὰ καὶ τὴν ἐπιθυμίαν τοῦ ἁγίου τῆς ἐπὶ τὸ προάστειον ἀνόδου πρόφασιν γίνεσθαι τοῖς πολλοῖς· μᾶλλον δὲ οἱ μὲν ἐπιεικέστεροι διὰ τοῦτο μόνον ἐκεῖσε ἔρχονται, οἱ δὲ ἐκείνων ἐλάττους, δι᾽ ἀμφότερα· οἱ δὲ ἔτι τούτων ἀτελέστερον διακείμενοι, διὰ μόνην μὲν ἀναβαίνουσι τὴν τρυφήν· ἐπειδὰν δὲ παραγένωνται, καλέσας αὐτοὺς ὁ μάρτυς, καὶ ἑστιάσας τοῖς αὐτοῦ, καὶ καθοπλίσας καλῶς, οὐδὲν ἀφίησι δεινὸν παθεῖν. καὶ ἔστιν ὁμοίως θαυμαστὸν, τὸ γινόμενον ἐκεῖ σωφρονῆσαί τινα τὸν ἁβρὸν καὶ ῥάθυμον, οἷον ἐκ μέσης μανίας ἀνενεγκεῖν, ἢ εἰς τὴν κάμινον ἐμπεσόντα μηδὲν ὑπὸ τοῦ πυρὸς παθεῖν. τῆς τε γὰρ νεότητος καὶ τῆς τόλμης τῆς ἀλόγου καὶ τοῦ οἴνου καὶ τῆς πλησμονῆς φλογὸς χαλεπώτερον περιϊσταμένων τοὺς λογισμοὺς, ἡ παρὰ τοῦ μακαρίου δρόσος διὰ τῶν ὄψεων εἰς τὴν τῶν ὁρώντων καταβαίνουσα ψυχὴν, τήν τε φλόγα ἐκοίμισε, καὶ τὸν ἐμπρησμὸν ἔσβεσε, καὶ πολλὴν τῆς διανοίας κατέσταξε τὴν εὐλάβειαν.

Καὶ τῆς μὲν ἀσελγείας τὴν τυραννίδα οὕτως ὁ μακάριος κατέλυσε. πῶς δὲ καὶ τοῦ δαίμονος τὴν δύναμιν ἔσβεσε; πρῶτον μὲν τούτοις αὐτοῖς ἄπρακτον αὐτὸν καὶ τὴν προσεδρείαν καὶ τὴν ἀπὸ τοῦ μύθου βλάβην ἐργασάμενος, ὕστερον δὲ καὶ αὐτὸν ἀπελάσας τὸν δαίμονα. πρὶν ἢ δὲ τὸν τρόπον τῆς διώξεως εἰπεῖν, ἐκεῖνο ὑμᾶς ἐπισημήνασθαι ἀξιῶ, ὅτι οὐκ εὐθέως αὐτὸν αἰτηθεὶς ἐξέβαλεν, ἀλλὰ μένοντα εἰργάσατο ἄπρακτον, καὶ ἐπεστόμισε, καὶ τῶν λίθων ἀπέφηνεν ἀφωνότερον. τοῦ δὲ ἀπελάσαι τὸ μένοντος παρειλημμένου οὐκ ἔλαττον ἦν, καὶ ὁ πάντας πανταχοῦ περιέπειρεν ἀπατῶν, οὐδὲ πρὸς τὴν κόνιν ἀντιβλέψαι ἐτόλμησε τοῦ μακαρίου Βαβύλα. τοσαύτη τῶν ἁγίων ἡ δύναμις, ὧν ζώντων μὲν οὐδὲ τὰς σκιὰς φέρουσιν, οὐδὲ τὰ ἱμάτια· τελευτησάντων δὲ καὶ τὰς λάρνακας τρέμουσιν. ὥστε εἴ τις ἀπιστεῖ τοῖς ὑπὸ τῶν ἀποστόλων γεγενημένοις, τὰ παρόντα θεωρῶν παυέσθω τῆς ἀναισχυντίας ποτέ. ὁ γὰρ πάντα τὰ τῶν Ἑλλήνων πάλαι "κυκῶν, καθάπερ ὑπὸ δεσπότου, τοῦ μάρτυρος ἐπιτιμηθεὶς, ἐπαύσατο τῆς ὑλακῆς, καὶ οὐδὲν ἐφθέγγετο. καὶ τὸ μὲν πρῶτον ἐδόκει διὰ τὸ μὴ μετέχειν θυσιῶν καὶ τῆς ἄλλης θεραπείας τοῦτο ποιεῖν. τοιοῦτος γὰρ ὁ τῶν δαιμόνων τρόπος. ὅταν μὲν τῇ κνίσσῃ καὶ τῷ καπνῷ καὶ τοῖς αἵμασιν αὐτοὺς θεραπεύωσι, καθάπερ κύνες αἱμοβόροι καὶ λίχνοι παραγίνονται λάπτοντες· ὅταν δὲ μηδεὶς ὁ ταῦτα παρέχων ᾖ, καθάπερ τινὶ λιμῷ διαφθείρονται. καὶ τῶν μὲν θυσιῶν, καὶ τῶν αἰσχρῶν ἐπιτελουμένων τελετῶν (οὐδὲν γὰρ αὐτῶν ἕτερον τὰ μυστήρια, ἀλλ᾽ ἢ ἔρωτες ἄτοποι, καὶ παίδων ὕβρεις, καὶ γάμων διαφθοραὶ, καὶ οἰκιῶν ἀνατροπαί. τῶν γὰρ φόνων τοὺς "καινοὺς τρόπους, καὶ τὰ τῶν φόνων ἀνοσιώτερα δεῖπνα ἀφίημι νῦν) ἀλλ᾽ ὅμως τούτων μὲν τελουμένων, χαίρουσι καὶ εὐφραίνονται, κἂν κακοῦργοι, κἂν γόητες, κἂν λοιμοὶ οἱ ταῦτα τελοῦντες ὦσι· μᾶλλον δὲ, οὐδὲ εἰσὶν ἕτεροί τινες οἱ ταῦτα διακονούμενοι. σώφρων γὰρ ἀνὴρ καὶ ἐπιεικὴς καὶ σεμνὸς οὐκ ἂν ἀνάσχοιτο κώμου καὶ μέθης, οὐδὲ ῥῆμα αἰσχρὸν οὔτε αὐτὸς ἐκβαλεῖν, οὔτε ἑτέρου τινὸς τοιαῦτα ἀσχημονοῦντος ἀκοῦσαι. καίτοιγε ἐχρῆν, εἴ τις ἀρετῆς ἐπεμελεῖτο τῆς ἀνθρωπίνης, καὶ τῆς εὐζωίας τῶν προσκειμένων αὐτῷ λόγον εἶχε βραχὺν, μηδὲν πλέον βίου ζητεῖν ἀρίστου καὶ τρόπων ὀρθότητος, καὶ τὴν ἀσχήμονα πᾶσαν ἐκείνην ἀφεῖναι θοίνην. ἀλλ᾽ ἐπειδὴ τῆς τῶν ἀνθρώπων ἀπωλείας αὐτοῖς οὐδὲν προτιμότερον, τούτοις καὶ τέρπονται, καὶ τιμᾶσθαι λέγουσιν, ἃ τὸν βίον ἀνατρέπειν εἴωθε τὸν ἡμέτερον, καὶ πάντα ἐκ βάθρων ἀνασπᾷν τὰ καλά. τὸ μὲν οὖν πρῶτον ἐδόκει καὶ οὗτος διὰ τοῦτο σιγᾷν· ἠλέγχετο δὲ ὕστερον ἰσχυρᾷ πεπεδημένος ἀνάγκῃ. ὁ γὰρ ἀναγκάζων φόβος αὐτὸν ἀντὶ χαλινοῦ τινος ἐπικείμενος, ἐκώλυε τῇ συνήθει χρῆσθαι κατὰ τῶν ἀνθρώπων ἀπάτῃ. πόθεν τοῦτο δῆλον; ἀλλὰ μὴ "θορυβηθῆτε. πρὸς γὰρ αὐτὴν βαδιοῦμαι τὴν ἀπόδειξιν, μὲν ἣν οὐδὲ τοῖς μεμελετηκόσιν ἀναισχυντεῖν ἐξέσται τοῦτο ποιεῖν, οὐ περὶ τῶν παλαιῶν ἐκείνων, οὐ περὶ τῆς

γρ. νικῶν,
γρ. σκαιοὺς
γρ. θορυβήσητε

τοῦ μάρτυρος δυνάμεως, οὐ περὶ τῆς τοῦ δαίμονος ἀσθενείας. οὐδὲ γὰρ δεόμεθα στοχασμοῖς τισι καὶ δι' εἰκότων τοῦτο ποιῆσαι φανερόν, ἀλλ' αὐτὴν τοῦ δαίμονος τὴν ὑπὲρ τούτων παρεξόμεθα μαρτυρίαν. αὐτὸς γὰρ ὑμῖν χρείαν ἔδωκε τὴν πληγὴν, καὶ τὴν παρρησίαν ὑμῶν πᾶσαν ἐξέκοψεν. ἀλλὰ μὴ ὀργίζεσθε αὐτῷ. οὐ γὰρ ἑκὼν ταῦτα κατεβόησεν, ἀλλ' ἀναγκαζόμενος ὑπὸ μείζονος δυνάμεως τοῦτο ἔπραττε. πῶς δὲ τοῦτο γέγονε, καὶ τίς ὁ τρόπος; τοῦ βασιλέως τελευτήσαντος τοῦ τὸν μάρτυρα μεταθέντος, τὸν ἀδελφὸν τὸν ἐκείνου παρήγαγεν εἰς μέσον διαδεξόμενον τὴν ἀρχὴν ὁ καὶ ἐκείνῳ πρότερον δοὺς τὴν τιμήν. καὶ δέχεται χωρὶς τοῦ διαδήματος τὴν βασιλείαν οὗτος (τοσοῦτον γὰρ καὶ τῆς ἀδελφοῦ τοῦ τετελευτηκότος ἐξουσίας τὸ μέγεθος ἦν) γόης δὲ ὢν καὶ μιαρός, τὸ μὲν πρότερον τὰ τοῦ Χριστοῦ φρονεῖν ὑπεκρίνετο διὰ τὸν τὴν ἀρχὴν αὐτῷ δεδωκότα· ὡς δὲ καὶ οὗτος τὸν βίον μετήλλαξε, ῥίψας τὸ προσωπεῖον λοιπὸν, γυμνῇ τῇ κεφαλῇ, ἣν πάλαι ἔχων δεισιδαιμονίαν ἔκρυπτε, ταύτην εἰς μέσον ἐξήγαγε, καὶ πᾶσιν ἐποίησε φανερὰν, καὶ προστάγματα πανταχοῦ τῆς οἰκουμένης κατέπεμπε τοὺς ναοὺς ἐπισκευάζεσθαι τῶν εἰδώλων, τοὺς βωμοὺς ἀνίστασθαι, τὰς παλαιὰς τοῖς δαίμοσιν ἀποδίδοσθαι τιμὰς, προσόδους αὐτοῖς γίνεσθαι πολλὰς πολλαχόθεν. ἐντεῦθεν μάγοι καὶ γόητες καὶ μάντεις καὶ οἰωνοσκόποι καὶ μηναγύρται, καὶ πάσης ἐργαστήρια μαγγανείας, πανταχόθεν ἀπὸ τῆς οἰκουμένης συνέτρεχον. καὶ ἦν ἰδεῖν τὰ βασίλεια ἀνδρῶν ἀτίμων καὶ φυγάδων πληρούμενα. οἱ μὲν γὰρ ὑπὸ τοῦ λιμοῦ πάλαι διαφθειρόμενοι, οἱ δὲ ἐπὶ ταῖς φαρμακείαις καὶ ταῖς κακουργίαις ἁλόντες, δεσμωτήριά τε οἰκοῦντες καὶ μέταλλα ἐργαζόμενοι, ἄλλοι δὲ ἐξ ἐπιτηδευμάτων αἰσχρῶν μόλις δυνάμενοι διαζῆν, ἱερεῖς καὶ ἱεροφάνται ἀναφανέντες ἀθρόως, ἐν πολλῇ ἦσαν τῇ τιμῇ. καὶ ὁ βασιλεὺς στρατηγοὺς μὲν καὶ ἄρχοντας ἀπεπέμπετο, καὶ οὐδενὸς ἠξίου λόγου· ἄνδρας δὲ ἡταιρηκότας, καὶ τὰς ἀπὸ τοῦ τέγους γυναῖκας ἀναστήσας ἀπὸ τῶν οἰκημάτων ἐν οἷς προεστήκεσαν, μεθ' ἑαυτοῦ τὴν πόλιν ἅπασαν περιῆγε καὶ τοὺς στενωπούς. καὶ ὁ μὲν ἵππος ὁ βασιλικὸς καὶ οἱ δορυφόροι πάντες ὄπισθεν ἐκ πολλοῦ τοῦ διαστήματος εἵποντο· πορνοβόσκοι δὲ ἄνδρες, καὶ γυναῖκες προαγωγοὶ, καὶ πᾶς ὁ τῶν ἡταιρηκότων χορὸς τὸν βασιλέα κυκλώσαντες, εἶχον ἐν μέσῳ, διὰ τῆς ἀγορᾶς βαδίζοντες, καὶ τοιαῦτα φθεγγόμενοι, καὶ οὕτως ἀνακαγχάζοντες, ὡς τοὺς ἐκ τῆς ἐργασίας ἐκείνης εἰκὸς ἦν. ταῦτα δὲ οἴδαμεν, ὅτι τοῖς μεθ' ἡμᾶς γενησομένοις ἄπιστα εἶναι δόξει διὰ τὴν τῆς ἀτοπίας ὑπερβολήν. οὐδὲ γὰρ ἂν ἰδιώτην τῶν εὐτελῶς καὶ αἰσχρῶς βεβιωκότων ἑλέσθαι τοιαῦτα δημοσίᾳ ἀσχημονεῖν· ἀλλὰ πρὸς μὲν τοὺς ἔτι ζῶντας οὐδενὸς δεόμεθα λόγου. οἱ γὰρ παρόντες καὶ θεασάμενοι ταῦτα γινόμενα, οὗτοι καὶ λεγόμενα ἀκούουσι νῦν. διὰ γάρ τοι τοῦτο τῶν μαρτύρων ἔτι περιόντων γράφω, ἵνα μή τις με τὰ παλαιὰ διηγούμενον ἐν οὐκ εἰδόσι μετὰ πολλῆς ψεύδεσθαι τῆς ἐξουσίας νομίζῃ. τῶν γὰρ ταῦτα θεασαμένων ἔτι καὶ γέροντες καὶ νέοι περίεισιν, οὓς ἀξιῶ πάντας, εἴ τι παρ' ἐμοῦ προστέθειται, προσιέναι καὶ διελέγχειν. ἀλλὰ προστεθέντα μὲν οὐκ ἂν ἐλέγξαιεν, ἐλλείποντα δὲ μόνον. οὐδὲ γὰρ οἷόν τε πᾶσαν αὐτοῦ τῷ λόγῳ παραστῆσαι τῆς ἀσχημοσύνης τὴν ὑπερβολήν. πρὸς δὲ τοὺς μετὰ ταῦτα ἀπιστήσοντας ἐκεῖνο ἂν εἴποιμι, ὅτι ὁ δαίμων ὁ παρ' ὑμῖν, ὃν Ἀφροδίτην καλεῖτε, οὐκ αἰσχύνεται τοιούτους ἔχων θεραπευτάς. οὐδὲν οὖν θαυμαστὸν καὶ τὸν δείλαιον ἐκεῖνον, τὸν ἅπαξ ἑαυτὸν ἐκδεδωκότα τῷ τῶν δαιμόνων γέλωτι, μὴ ἐγκαλύπτεσθαι, ἐφ' οἷς οἱ παρ' αὐτῷ θεραπευόμενοι σεμνύνονται θεοί. τί ἄν τις εἴποι τὰς νεκυομαντείας; τὰς τῶν παίδων σφαγάς; αἱ γὰρ θυσίαι ἐκεῖναι, αἱ πρὸ τῆς Χριστοῦ παρουσίας τολμώμεναι, μετὰ δὲ τὴν ἐπιφάνειαν αὐτοῦ κατασταλεῖσαι, ἐτολμῶντο πάλιν, φανερῶς μὲν οὐκέτι (εἰ γὰρ καὶ βασιλεὺς ἦν, καὶ μετ' ἐξουσίας ἅπαντα ἔπραττεν, ἀλλ' ὅμως ἡ τῆς τῶν δρωμένων ἀνοσιότητος ὑπερβολὴ, τῆς ἐξουσίας τὸ μέγεθος ἤλεγχεν) ἐτολμῶντο δ' οὖν ὅμως.

Οὗτος δὴ οὖν ὁ βασιλεὺς εἰς τὴν Δάφνην συνεχῶς ἀνιὼν, μετὰ πολλῶν μὲν ἀναθημάτων, μετὰ πολλῶν δὲ θυσιῶν, καὶ χειμάρρους αἱμάτων ἐργαζόμενος ἀπὸ τῆς τῶν θρεμμάτων σφαγῆς, ἐπέκειτο σφοδρῶς τῷ δαίμονι χρησμὸν ἀπαιτῶν, καὶ ἀξιῶν ἀναιρεῖν ὑπὲρ τῶν κατὰ γνώμην αὐτῷ. ὁ δὲ γρυναῖος ἐκεῖνος,

Καὶ ψάμμου τ' ἀριθμὸν εἰδὼς, καὶ μέτρα θαλάσσης,

Καὶ κωφοῦ ξυνιεὶς, καὶ οὐ λαλέοντος ἀκούων,

Ὥς φησι, τὸ μὲν εἰπεῖν διαρρήδην καὶ σαφῶς, ὅτι διὰ τὸν ἅγιον Βαβύλαν καὶ τὴν ἐκ γειτόνων δύναμιν ἐπιστομισθεὶς οὐ δύναμαι φθέγγεσθαι, παρῃτήσατο, δεδοικὼς μὴ γέλωτα παρὰ τοῖς θεραπευταῖς ὄφλῃ τοῖς ἑαυτοῦ· βουλόμενος δὲ συσκιάσαι τὴν ἧτταν, εὗρε πρόφασιν τῆς σιγῆς, ἢ μᾶλλον αὐτὸν καταγελαστότερον ἀπέφηνε τῆς σιγῆς. ἐκεῖνος μὲν γὰρ ἂν τὴν ἀσθένειαν μόνον ἀπεκάλυψε τὴν αὐτοῦ, νυνὶ δὲ καὶ τὴν ἀσθένειαν καὶ τὴν ἀσχημοσύνην καὶ τὴν ἀναισχυντίαν ἔδειξε, τὰ ἀσυσκίαστα συσκιάζειν ἐπιχειρῶν. τίς γὰρ ἡ πρόφασις; νεκρῶν, φησὶν, ἐστὶ τὸ χωρίον ἡ Δάφνη μεστὸν, καὶ τοῦτο κωλύει τὸν χρησμόν. καὶ πόσῳ βέλτιον ἦν, ὦ δείλαιε, τοῦ μάρτυρος ὁμολογῆσαι τὴν δύναμιν, ἢ οὕτως ἀναίσχυντα προφασίζεσθαι; καὶ ὁ μὲν δαίμων, ταῦτα· ὁ δὲ ἀνόητος βασιλεὺς, καθάπερ ἐν σκηνῇ παίζων καὶ δρᾶμα ὑποκρινόμενος, ἐπὶ τὸν μακάριον εὐθέως ἦλθε Βαβύλαν. καίτοι, ὦ μιαροὶ καὶ παμμίαροι, εἰ μὴ ἀλλήλους ἐξηπατᾶτε ἑκόντες, καὶ συνυπεκρίνεσθε πρὸς τὴν τῶν λοιπῶν ἀπώλειαν, τί δήποτε σὺ μὲν λέγεις ἀνωνύμως καὶ ἀδιορίστως τοὺς νεκροὺς, σὺ δὲ ὡς ὀνόματι καὶ μετὰ διορισμοῦ τινος ἀκούσας, τῶν ἄλλων ἀφέμενος, τὸν ἅγιον μόνον'' κινεῖς; ἐχρῆν γὰρ κατὰ τὴν τοῦ δαίμονος ἀπόφασιν πάσας ἀνορύττειν τὰς ἐν τῇ Δάφνῃ θήκας, καὶ τὸ μορμολυκεῖον τῆς τῶν θεῶν ὄψεως ἀπάγειν ὡς πορρωτάτω. ἀλλ' οὐ περὶ πάντων εἶπε τῶν νεκρῶν. τί οὖν τοῦτο οὐ διαρρήδην ὡμολόγησεν; ἢ σοὶ τὸ δρᾶμα ὑποκρινομένῳ τῆς πλάνης τοῦτο ἀφῆκε τὸ αἴνιγμα. ἐγὼ μὲν γὰρ λέγω τοὺς νεκροὺς, φησὶν, ὥστε μὴ δήλην ποιῆσαι τὴν ἧτταν· καὶ ἄλλως γὰρ δέδοικα ὀνόματι τὸν ἅγιον εἰπεῖν· σὺ δὲ νόει τὸ λεχθὲν, καὶ ἀντὶ πάντων κίνει τὸν μάρτυρα. ἐκεῖνος γὰρ ἡμᾶς ἐπεστόμισε. τοσαύτην κατέγνω παραπληξίαν τῶν θεραπευόντων αὐτὸν, ὡς οὕτω φανερὰν ἀπάτην μὴ δυνηθῆναι συνιδεῖν. εἰ γὰρ ἐξεστήκεσαν ἅπαντες, εἰ γὰρ ἐμεμήνεσαν, οὐδ' ἂν οὕτω διέφυγεν τὴν τῆς ἥττης κατάγνωσιν· οὕτω φανερὰ πᾶσίν ἐστι καὶ σαφής. εἰ γὰρ μίασμά τι καὶ μύσος ἐστὶν, ὥς φῄς, τὰ νεκρὰ τῶν ἀνθρώπων σώματα, πολλῷ μᾶλλον τὰ τῶν ἀλόγων, ὅσῳ καὶ τὸ γένος ἀτιμότερον τοῦ γένους. πολλῶν δὲ καὶ κυνῶν καὶ πιθήκων καὶ ὄνων ὀστᾶ πλησίον τοῦ ναοῦ κατορώρυκται· καὶ ταῦτα μᾶλλον ἐχρῆν μετακινεῖν, εἰ μὴ πιθήκων ἀτιμοτέρους ἀνθρώπους ἡγῇ. ποῦ νῦν εἰσιν οἱ τὸ καλὸν τοῦ Θεοῦ δημιούργημα καὶ πρὸς ὑπηρεσίαν ἡμετέραν γεγονὸς, τὸν ἥλιον, ἐνυβρίζοντες, καὶ τῷ δαίμονι τὸ ἄστρον ἐπιφημίζοντες, καὶ τοῦτο ἐκείνου εἶναι λέγοντες; ὁ μὲν γὰρ ἥλιος, μυρίων ἐν τῇ γῇ κειμένων νεκρῶν, ἐκχεῖται κατὰ τῆς οἰκουμένης, καὶ οὐδαμοῦ συστέλλει τὰς ἀκτῖνας, οὐδὲ τὴν ἐκ τούτων ἐνέργειαν διὰ τὸν μολυσμόν· ὁ δὲ Θεὸς ὁ ὑμέτερος βίους μὲν αἰσχροὺς καὶ μαγγανείας καὶ φόνους οὐκ ἀποστρέφεται οὐδὲ μισεῖ, ἀλλὰ καὶ ἀγαπᾷ καὶ ἀσπάζεται καὶ φιλεῖ· σώματα δὲ ἐκτρέπεται τὰ ἡμέτερα. καίτοι τὸ μὲν τῆς κακίας εἶδος καὶ παρ' αὐτοῖς τοῖς δρῶσιν αὐτὸ μυρίας καταγνώσεως ἄξιον εἶναι δοκεῖ· τὸ δὲ σῶμα τὸ νεκρὸν καὶ ἀκίνητον οὐδεμιᾶς μετέχει μέμψεως καὶ αἰτίας. ἀλλ' αὕτη τῶν δαιμόνων ὑμῶν ἡ προαίρεσις, βδελύττεσθαι μὲν τὰ μὴ βδελυκτὰ, τιμᾶν δὲ καὶ ἀποδέχεσθαι τὰ πάντως ἄξια μίσους καὶ ἀποστροφῆς. καὶ ἀνὴρ μὲν ἀγαθὸς, οὐδὲ βουλεύσασθαί τι χρήσιμον, οὔτε πρᾶξαί τι τῶν δεόντων ὑπὸ σώματος κωλυθήσεται νεκροῦ· ἀλλὰ ἂν ὑγιαίνῃ τὴν ψυχὴν, καὶ παρ' αὐτοῖς οἰκῶν τοῖς τάφοις, καὶ σωφροσύνην καὶ δικαιοσύνην καὶ πᾶσαν ἐπιδείξεται τὴν ἀρετήν. καὶ χειροτέχνης δὲ ἕκαστος ἀνεμποδίστως τὰ τῆς οἰκείας ἐπιστήμης πάντα ἐργάσεται καὶ'' παρέξει τοῖς δεομένοις αὐτοῦ.

γ. δαίμονος

γ. δείξει

οὐ πλησίον νεκρῶν καθήμενος μόνον, ἀλλὰ καὶ αὐτὰ τὰ μνήματα τῶν κατοιχομένων "οἰκοδομῆσαι δέῃ. καὶ ὁ ζωγράφος, καὶ ὁ λιθοξόος, καὶ ὁ τέκτων, καὶ ὁ χαλκοτύπος, καὶ πάντες τὰ αὐτῶν συνεισφέρουσι· μόνος δὲ πάντων ὁ Ἀπόλλων ὑπὸ τῶν νεκρῶν κωλύεσθαί φησι τὰ μέλλοντα προορᾶν. καὶ μὴν καὶ παρ' ἡμῖν ἄνδρες γεγόνασι μεγάλοι καὶ θαυμαστοὶ, καὶ τὰ πρὸ τετρακοσίων καὶ χιλίων περίπου ἐτῶν· καὶ προλέγοντες, οὐδὲν τούτων οὔτε ἐζήτησαν, οὔτε ἐμέμψαντο, οὔτε τοὺς τάφους τῶν ἀπελθόντων ἀναρρήγνυσθαι ἐκέλευσαν, καὶ τοὺς κειμένους ῥίπτεσθαι, καὶ τυμβωρυχίας ξένον καὶ ἀναίσχυντον ἐπινοεῖν τρόπον· ἀλλ' οἱ μὲν αὐτῶν ἔθνεσι παροικοῦντες ἀθέοις καὶ μιαροῖς, "οἱ δὲ ἐν μέσοις τοῖς βαρβάροις ὄντες, ἔνθα τὰ ἀληθῶς μολυσμοῦ ἄξια καὶ μιασμοῦ πάντα ἐδρᾶτο, μετ' ἀληθείας ἅπαντα προὔλεγον, καὶ οὐδὲν αὐτοὺς ὁ τῶν ἄλλων μιασμὸς ἐκώλυεν εἰς τὴν πρόρρησιν. τί δήποτε; ὅτι ἐκεῖνοι μὲν ἀληθῶς ὑπὸ θείας ἐνεργούμενοι δυνάμεως ἔλεγον, ἅπερ ἔλεγον· ὁ δὲ δαίμων κενὸς τῆς ἐνεργείας ἐκείνης καὶ ἔρημος ὤν, εἶχε μὲν οὐδὲν προειπεῖν· ὑπὸ δὲ τοῦ μὴ δόξαι ἀπορεῖν, "πιθανὰ ἁπλῶς καὶ καταγέλαστα προφασίζεσθαι ἠναγκάζετο). διὰ τί γάρ, εἰπέ μοι, κατὰ τὸν ἔμπροσθεν χρόνον οὐδέποτε τι τοιοῦτον εἶπεν, οὐδὲ ἐφθέγξατο; ὅτι τότε μὲν εἶχε τοῦ μὴ θεραπεύεσθαι πρόφασιν· ταύτης δὲ αὐτῷ τῆς ἀπολογίας περιαιρεθείσης, ἐπὶ τοὺς νεκροὺς "καταφεύγει, στενοχωρηθεὶς [μὴ] τι πάθοι. οὐ γὰρ ἐβούλετο ἀσχημονεῖν, ἀλλ' ὑμεῖς αὐτὸν ἠναγκάσατε, διὰ τῆς πολλῆς θεραπείας τὴν ἀπολογίαν ἐκκόψαντες, καὶ οὐκ ἀφέντες εἰς τὴν τῶν θυσιῶν σπάνιν καταφυγεῖν. ἀκούσας δὴ ταῦτα ὁ ὑποκριτής, ἐκέλευσε κατενεχθῆναι τὴν λάρνακα, ἵνα πᾶσιν ἡ ἧττα δήλη γένηται) καὶ καταφανής. εἰ μὲν γὰρ εἶπεν, ὅτι διὰ τὸν ἅγιον οὐ δύναμαι φθέγγεσθαι, ἀλλὰ "μηδὲ κινεῖτε, μηδὲ ἐνοχλεῖτε περαιτέρω, τοῖς αὐτοῦ μόνοις ἂν ἐγένετο φανερὸν (οὐ γὰρ ἂν εἰς ἑτέρους τοῦτο ἐξήνεγκαν αἰσχυνόμενοι) νῦν δὲ ὥσπερ ἐκπομπεῦσαι σπουδάζων τὴν ἀσθένειαν αὐτοῦ, οὕτως ἅπαντα πράττειν ἠνάγκαζε, " δι' ὧν οὐδὲ " βουλομένῳ ἐκείνῳ συσκιάσαι τὸ γεγονός. οὐδὲ γὰρ ἔτι δυνατὸν διασωθῆναι τὴν ὑπόκρισιν ἦν, διὰ τὸ μηδένα τῶν ἄλλων νεκρῶν, ἀλλὰ μόνον τὸν μάρτυρα μετακινηθῆναι ἐκεῖθεν. καὶ οὐχ οἱ τὴν πόλιν οἰκοῦντες μόνον καὶ τὸ προάστειον καὶ τοὺς ἀγρούς, ἀλλὰ καὶ οἱ πόρρωθεν ἀφιστάμενοι τῶν χωρίων, καὶ τὴν λάρνακα οὐχ ὁρῶντες κειμένην, εἶτα τὴν αἰτίαν ἐξετάζοντες, εὐθέως ἐμάνθανον, ὡς ὁ δαίμων παρὰ τοῦ βασιλέως ἀξιούμενος μαντεύεσθαι, εἶπε τοῦτο μὴ δύνασθαι ποιεῖν, ἕως ἂν αὐτοῦ τὸν μακάριον ἀποστήσῃ τις Βαβύλαν. καίτοιγε, ὦ καταγέλαστε, ἐνῆν σοι καὶ εἰς ἑτέρας προφάσεις καταφυγεῖν, οἷα πολλάκις ποιεῖς, μυρία τεχνάζων ἐν ταῖς ἀπορίαις ἀεί· πρὸς μὲν τὸν Λυδὸν εἰπὼν, ὅτι Αλυν * ποταμὸν διαβὰς μεγάλην ἀρχὴν καταλύσει, καὶ δείξας αὐτὸν ἐπὶ τῆς πυρᾶς· ἐπὶ δὲ τῆς Σαλαμῖνος, αὐτῷ τε τῷ σοφῷ τούτῳ χρησάμενος, καὶ τὸν καταγέλαστον σύνδεσμον προσθείς. τὸ μὲν γὰρ εἰπεῖν,

Απολεῖς δὲ σὺ τέκνα γυναικῶν,

Ομοιον ἦν τῷ τοῦ Λυδοῦ· τὸ δὲ προσθεῖναι,

Ητοι σκιδναμένης Δημήτερος, ἢ συνιούσης,

Πλείονος γέλωτος, καὶ τοῖς ἐν ταῖς τριόδοις ὑπὸ τῶν ἀγυρτῶν λεγομένοις προσεοικός. ἀλλ' οὐδὲ τοῦτο ἤθελες. καὶ ἐξῆν ἀσαφείᾳ κρύψαι τὸν λόγον (καὶ γὰρ καὶ τοῦτο τῆς τέχνης ἀεὶ τῆς σῆς) ἀλλ' ἐπέκειντο [πάντες] πάλιν ἀγνοοῦντες, καὶ λύσιν ἐπιζητοῦντες. καὶ ἐνῆν σοι καταφυγεῖν ἐπὶ τοὺς ἀστέρας. καὶ γὰρ καὶ τοῦτο ποιεῖς πολλάκις, καὶ οὐκ αἰσχύνῃ οὐδὲ ἐρυθριᾷς. οὐ γὰρ πρὸς ἄνδρας νοῦν ἔχοντας ὁ λόγος ἐστί σοι, ἀλλὰ πρὸς θρέμματα καὶ θρεμμάτων ἀλογωτέρους. οὐκ ἦσαν τῶν ἑλλήνων σοφώτεροι τῶν ταῦτα ἀκουόντων, καὶ οὐκ ἀφισταμένων τῆς ἀπάτης. ἀλλὰ συνεώρων τὸ ψεῦδος; οὐκοῦν ἐχρῆν τἀληθῆ πρὸς τὸν ἱερέα μόνον εἰπεῖν, καὶ

αὐτὸς ἂν εὗρες μᾶλλον συσκιάσαι τὴν ἧτταν. νῦν δὲ τίς σε ἔπεισεν, ἄθλιε, εἰς οὕτω φανερὰν σαυτὸν ἀναισχυντίαν ἐμβαλεῖν; ἀλλὰ τάχα σὺ μὲν οὐδὲν ἥμαρτες· ὁ δὲ βασιλεὺς κακῶς ὑπεκρίνατο, ἀδιακρίτως μὲν περὶ τῶν νεκρῶν ἀκούσας, ἐπὶ δὲ τῶν ἁγίων μόνον ἐλθὼν ἐκεῖνός σε διήλεγξε, καὶ τὴν ἀπάτην ἐγύμνωσεν. ἀλλ᾽ οὐδὲ ἐκεῖνος ἑκών. οὐ γὰρ ἦν τοῦ αὐτοῦ τοσούτοις τοῖς ἀναθήμασι τιμᾷν, καὶ πάλιν ὑβρίζειν τὸν αὐτόν. ἀλλὰ πάντας ὁμοῦ τοῦ μάρτυρος ἐσκότωσεν ἡ δύναμις, καὶ οὐκ ἀφῆκε συνιδεῖν τὰ γινόμενα· ἀλλ᾽ ἐπετέλετο μὲν ἅπαντα, ὡς κατὰ χριστιανῶν· περιετρέπετο δὲ οὐκ εἰς τοὺς πάσχοντας, ἀλλ᾽ εἰς τοὺς δρῶντας ὁ γέλως. οὕτω που καὶ οἱ μαινόμενοι δοκοῦσι μὲν ἀεὶ τοὺς πλησίον ἀμύνεσθαι, τοὺς τοίχους λακτίζοντες, καὶ ῥητὰ καὶ ἄρρητα τοὺς παριόντας λέγοντες κακά· αἰσχύνουσι δὲ, δι᾽ ὧν ποιοῦσιν, οὐκ ἐκείνους, ἀλλ᾽ ἑαυτούς, ὃ δὴ καὶ τότε ἐγίνετο. εἵλκετο μὲν γὰρ ἡ λάρναξ διὰ τῆς ὁδοῦ πάσης· ἐπανῄει δὲ ὁ μάρτυς, καθάπερ τις ἀθλητὴς εἰς τὴν ἑαυτοῦ πόλιν, δεύτερον φέρων στέφανον, ἐν ᾗ καὶ τὸν πρότερον ἀνεδήσατο. ὥστε εἴ τις μὴ καταδέχοιτο τὴν ἀνάστασιν, λαμπρότερα τοῦ μάρτυρος μετὰ τὴν τελευτὴν ἔργα θεώμενος, αἰσχυνέσθω λοιπόν. οἷα γάρ τις ἀριστεύς, τροπαίοις συνῆπτε τρόπαια, μεγάλοις μείζονα, καὶ θαυμαστοῖς θαυμαστότερα. τότε μὲν γὰρ πρὸς βασιλέα μόνον ἠγωνίσατο, νῦν δὲ καὶ πρὸς βασιλέα καὶ δαίμονα. καὶ τότε μὲν τῶν ἱερῶν περιβόλων τὸν κρατοῦντα ἀπήλασε· νῦν δὲ τοῦ χωρίου παντὸς τῆς Δάφνης τὸν λυμεῶνα ἀπήγαγεν, οὐ χειρὶ χρώμενος, καθάπερ καὶ πρότερον, ἀλλ᾽ ἀοράτῳ δυνάμει [τινὶ] "τὴν ἀόρατον καταγωνιζόμενος. καὶ ζῶντος μὲν οὐκ ἤνεγκε τὴν παρρησίαν ὁ ἀνδροφόνος· τελευτήσαντος δὲ οὐχ ὑπέμενε τὴν κόνιν οὔτε ὁ βασιλεὺς, οὔτε ὁ δαίμων ὁ ταῦτα κινῶν τὸν βασιλέα ποιεῖν. ὅτι γὰρ μείζονα τοῦ προτέρου φόβον τούτοις τοῖς δευτέροις εἰργάσατο, δῆλον ἐκεῖθεν. ἐκεῖνος μὲν γὰρ αὐτὸν λαβὼν, καὶ ἔδησε καὶ ἀνεῖλεν· οὗτοι δὲ μόνον μετέθηκαν. διὰ τί γὰρ μὴ καταποντίσαι τὴν λάρνακα μήτε ἐκεῖνος ἐκέλευσε, μήτε οὗτοι ἠθέλησαν; διὰ τί μὴ συνέτριψε καὶ κατέκαυσε; διὰ τί μὴ εἰς ἔρημον καὶ ἀοίκητον αὐτὴν ἀπενεχθῆναι προσέταξεν; εἰ γὰρ ἄγος ἦν καὶ μίασμα, καὶ βδελυττόμενος, ἀλλὰ μὴ δεδοικὼς ἐκεῖθεν αὐτὴν ἐκίνησεν, οὐκ εἰς τὴν πόλιν ἐχρῆν τὸ ἄγος εἰσάγειν, ἀλλ᾽ ἀποικίζειν εἰς ὄρη καὶ νάπας. ἀλλ᾽ ᾔδει καὶ αὐτὸς τοῦ Ἀπόλλωνος οὐχ ἧττον ὁ δείλαιος τοῦ μακαρίου τὴν ἰσχὺν καὶ τὴν παρρησίαν τὴν πρὸς τὸν Θεόν· καὶ ἔδεισε μὴ τοῦτο ἐργασάμενος, σκηπτόν τινα ἢ νόσον ἑτέραν ἐφ᾽ ἑαυτὸν προσκαλέσηται. καὶ γὰρ εἶχε πολλὰ τῆς τοῦ Χριστοῦ δυνάμεως τὰ τεκμήρια, ἔν τε τοῖς πρὸ αὐτοῦ βεβασιλευκόσιν ἐπιδειχθείσης, καὶ ἐν τοῖς συνοῦσιν αὐτῷ τότε τὴν "ὑπ᾽ αὐτῷ διέπουσιν ἀρχήν. τῶν μὲν γὰρ πάλαι βασιλευσάντων οἱ τὰ τοιαῦτα τολμήσαντες μετὰ πολλὰς καὶ ἀφορήτους συμφορὰς αἰσχρῶς καὶ ἐλεεινῶς τὸν βίον κατέλυσαν, ὡς τοῦ μὲν τὰς κόρας ἔτι ζῶντος αὐτομάτως ἐκπηδῆσαι τῶν ὀφθαλμῶν (Μαξιμῖνος οὗτος ἦν) τὸν δὲ μανέντα, τὸν δὲ ἄλλῃ τοιαύτῃ χρησάμενοι συμφορᾷ, οὕτως ἐντεῦθεν ἀπελθεῖν. τῶν δὲ συνόντων αὐτῷ τότε ὄντων ὁ μὲν θεῖος ὁ πρὸς πατρὸς νεανικώτερον τῇ καθ᾽ ἡμῶν μανίᾳ χρησάμενος, καὶ τῶν ἱερῶν σκευῶν ταῖς μιαραῖς τολμήσας ἅψασθαι χερσί, καὶ οὐδὲ τούτοις ἀρκεσθείς, ἀλλὰ περαιτέρω τῇ ὕβρει προελθὼν (περιτρέψας γὰρ αὐτὰ καὶ θεὶς ἐπὶ τοῦ ἐδάφους καὶ ἁπλώσας, οὕτως ἐκάθισεν ἐπ᾽ αὐτῶν) παραχρῆμα ταύτης τῆς παρανόμου καθέδρας τὴν δίκην ἔδωκε. διαφθαρὲν γὰρ αὐτοῦ τὸ αἰδοῖον σκώληκας ἔτεκε. καὶ ὥστε δειχθῆναι ὅτι ἡ νόσος θεήλατος ἦν, πίονας "ὄρνις καὶ ξενικὰς καταθύοντες οἱ ἰατροί, καὶ πλησίον τῶν διεφθορότων μερῶν τιθέντες, ἐξεκαλοῦντο τοὺς σκώληκας. οἱ δὲ [οὐ μόνον] οὐκ ἀφίσταντο, ἀλλὰ ἀπρὶξ τῶν σεσηπότων εἴχοντο μερῶν· καὶ οὕτως αὐτὸν ἐπὶ πολλαῖς δαπανήσαντες ἡμέραις, κακῶς ἀπώλεσαν. ἕτερος δέ τις ἐπὶ τῇ φυλακῇ τῶν ταμιείων τεταγμένος τῶν βασιλικῶν, πρὶν ἢ τῶν οὐδῶν ὑπερβῆναι τῶν βασιλείων, ἐλάκησεν ἄφνω μέσος καὶ αὐτὸς, ἑτέρας τινὸς τοιαύτης παρανομίας δίκην δούς.

γρ. ἣ

γρ. ἐπ᾽ αὐτῷ

γρ. ὄρνεις

Ταῦτα δὴ καὶ τὰ τούτων πλείονα (οὐ γὰρ ἅπαντα καταλέγειν καιρὸς νῦν) εἰς νοῦν λαβὼν ὁ μιαρὸς, ἐδεδοίκει τὴν τόλμαν περαιτέρω προαγαγεῖν. καὶ ὅτι οὐκ ἀπ' ἐμαυτοῦ ταῦτα λέγω νῦν, ἐκ τῶν μετὰ ταῦτα ὑπ' αὐτοῦ γινομένων ἔσται δῆλον ἡμῖν. τέως δὲ τῆς ἀκολουθίας τῶν γεγενημένων ἐχώμεθα. τί δὴ τὸ ἐντεῦθεν ἦν; τοῦτο γάρ ἐστι τὸ θαυμαστὸν, οὐ τὴν δύναμιν μόνον, ἀλλὰ καὶ τὴν ἄφατον φιλανθρωπίαν ἐπιδεικνύον τοῦ Θεοῦ. ὁ μὲν γὰρ ἅγιος μάρτυς τῶν ἱερῶν εἴσω περιβόλων ἦν, ἐν οἷς καὶ πρότερον ἐτύγχανεν ὢν, πρὶν εἰς τὴν Δάφνην ἐλθεῖν· ὁ δὲ πονηρὸς δαίμων ἐκεῖνος ἐμάνθανεν εὐθέως, ὅτι μάτην αὐτῷ τὰ τῆς ἀπάτης μεμηχάνηται, καὶ ὅτι οὐ πρὸς νεκρὸν τὸν ἀγῶνα εἶχεν, ἀλλὰ πρὸς ζῶντα καὶ ἐνεργοῦντα, καὶ οὐκ αὐτοῦ μόνον, ἀλλὰ καὶ πάντων δαιμόνων ἰσχυρότερον. παρακαλέσας γὰρ τὸν Θεὸν ἀφεῖναι πῦρ εἰς τὸν νεὼν, τήν τε ὀροφὴν κατέφλεξεν ἅπασαν, καὶ τὸ εἴδωλον μέχρις ἐσχάτων ἀφανίσας ποδῶν, τέφραν τε ἀποφήνας καὶ κόνιν, ἀφῆκεν ἑστάναι τοὺς τοίχους ἅπαντας. καὶ εἴ τις ἐπισταίη τῷ τόπῳ νῦν, οὐκ ἂν εἴποι πυρὸς ἔργον εἶναι τὸ γεγονός. οὐδὲ γὰρ ἄπακτος, οὐδὲ ὡς ἐξ ὕλης ἀψύχου γέγονεν ἡ πυρπόλησις· ἀλλ' ὥσπερ τινὸς χειρὸς περιαγούσης τὸ πῦρ, καὶ δεικνυούσης, τίνων μὲν φείσασθαι, τίνα δὲ ἀναλῶσαι ἐχρῆν, οὕτως εὐρύθμως καὶ τεχνικῶς ὁ ναὸς ἐκκέκαυται. καὶ οὐ τοῖς ἐμπεπρησμένοις ἁπλῶς, ἀλλὰ τοῖς ὑγιεῖς μὲν ἔχουσι τοὺς περιβόλους, στέγης δὲ δεομένοις μόνης προσέοικε. τά τε γὰρ ἄλλα, καὶ οἱ κίονες, οἵ τε τὸν ὄροφον ἀνέχοντες, οἵ τε τὰ πρόπυλαια, ἅπαντες ἑστήκασι, πλὴν τῶν περὶ τὸν ὀπισθόδομον ἑνός. καὶ οὗτος δὲ οὐχ ἁπλῶς ἀφέθη διακλασθῆναι τότε, ἀλλὰ δι' αἰτίαν, ἣν μετὰ ταῦτα ἐροῦμεν. τούτου δὴ συμβάντος, ἄγεται μὲν εἰς δικαστήριον εὐθέως ὁ τοῦ δαίμονος ἱερεὺς, καὶ τὸν αἴτιον ἠναγκάζετο λέγειν. ὡς δὲ οὐκ εἶχεν, ἐξαγκωνίσαντες αὐτὸν, καὶ πολλὰς ἐπιθέντες πληγὰς, εἶτα μετεωρίσαντες, καὶ τὰς πλευρὰς διαξαίνοντες, ἐμάνθανον πλέον οὐδέν. ἀλλ' ἐγίνετο παρόμοιον τῷ ἐπὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ. καὶ γὰρ τότε ἐτάγησαν μὲν οἱ στρατιῶται τὸ σῶμα φυλάττειν τοῦ Ἰησοῦ, ἵνα μὴ ἐκκλέπτηται, φησὶ, κακουργῆσαι περὶ τὴν κλοπὴν τοῖς μαθηταῖς. τὸ δὲ πρᾶγμα εἰς τοῦτο ἐξέβαινεν, ὥστε μηδὲ ἀναισχυντοῖ πρόφασιν ὑπολειφθῆναι τοῖς βουλομένοις περὶ τὴν πίστιν τῆς ἀναστάσεως κακουργεῖν. καὶ ἐνταῦθα, εἵλκετο μὲν ὁ ἱερεὺς, ἵνα μὴ θείας ὀργῆς, ἀλλ' ἀνθρωπίνης κακουργίας ἔργον εἶναι μαρτυρήσῃ τὸ γεγονός. στρεβλούμενος δὲ καὶ αἰκιζόμενος, καὶ οὐδένα ἔχων ἐκδοῦναι, ἐμαρτύρει θεόπεμπτον εἶναι τὸ πῦρ· ὡς μηδὲ τοῖς ἀναισχυντεῖν βουλομένοις εἶναί τινα λόγον λοιπόν. ἀλλ' ὅπερ πρὸ μικροῦ θέλων εἰπεῖν ἀνεβαλόμην, τοῦτο νῦν εὐκαίρως ἐρῶ. τί δὲ τοῦτό ἐστιν; ὅτι τῷ φόβῳ διέσεισεν αὐτοῦ τὴν ψυχὴν ὁ μάρτυς, ὡς μὴ περαιτέρω τῆς τόλμης προελθεῖν. οὐ γὰρ δήπου τὸν μὲν ἱερέα, καὶ ὃν ἐν τοσαύτῃ πρότερον ἦγε τιμῇ, τοσούτοις ὑπὲρ τῆς ὀροφῆς περιέβαλε κακοῖς, καὶ θηρίου μᾶλλον αἱμοβόρου διεσπάραττε, τάχα δ' ἂν καὶ ἀπεγεύσατο τῶν σαρκῶν, εἰ μὴ πᾶσι τὸ πρᾶγμα ἐδόκει εἶναι μυσαρόν· τὸν δὲ ἅγιον αὐτοῦ τοῦ δαίμονος τὸ στόμα ἐμφράξαντα πάλιν εἰς τὴν πόλιν ἦγεν, ὥστε ἐν πλείονι εἶναι τιμῇ. εἰ γὰρ καὶ μὴ πρότερον, ὅτε τὴν ἧτταν ὁ δαίμων ὡμολόγησεν, ἀλλὰ μετὰ τὸν ἐμπρησμὸν πάντα ἀνέτρεψεν ἂν καὶ ἀπώλεσε καὶ κατέφλεξε, τὴν λάρνακα, τὸ μαρτύριον ἑκάτερον, τό τε ἐν τῇ Δάφνῃ, τό τε ἐν τῇ πόλει, εἰ μὴ τοῦ θυμοῦ ὁ φόβος ἦν μείζων, καὶ τῆς ἀθυμίας ἐκράτει τὸ δέος. ἔθος γὰρ τοῖς πολλοῖς τῶν ἀνθρώπων, ὅταν ὑπὸ ὀργῆς καταχεθῶσι καὶ λύπης, κἂν μὴ τοὺς αἰτίους λάβωσι τῶν παθῶν, εἰς τοὺς ἐμπίπτοντας ἁπλῶς καὶ ὑπόπτους ἀφιέναι τὴν ὀργήν. οὐ πόρρω δὲ τῆς ὑποψίας ταύτης ὁ μάρτυς ἦν. ἅμα τε γὰρ αὐτὸς εἰς τὴν πόλιν ἀφίκετο, καὶ τὸ πῦρ ἦλθεν εἰς τὸν ναόν. ἀλλ', ὅπερ ἔφην, πάθος ἐμάχετο πάθει, καὶ ὀργῆς ἐκράτει δειλία. ἐννόησον γάρ μοι, τίς ἦν ὁ χρηστὸς ἐκεῖνος εἰς τὸ προάστειον ἀνιὼν, καὶ τὸ μὲν μαρτύριον ὁρῶν ἑστηκὸς, τὸν δὲ νεὼν ἐμπεπρησμένον, καὶ τὸ εἴδωλον ἠφανισμέ-

γ. ἀτάκτως,

γ. ἐκκεκάλυπται.

γ. τῇ τόλμῃ

γ. ὠμοβόρ.

γ. αὐτὸ

νον, καὶ τὰ ἀναθήματα ἀνηλωμένα, καὶ τῆς τε ἑαυτοῦ φιλοτιμίας, καὶ τῆς Σατανικῆς πομπῆς πᾶσαν ἐξῃρημένην ὑπόμνησιν. Εἰ γὰρ μήτε θυμὸς αὐτὸν, μήτε ἀθυμία ταῦτα ὁρῶντα εἰσῄει, τὴν γοῦν αἰσχύνην οὐκ ἂν ἤνεγκε καὶ τὸν πολὺν γέλωτα· ἀλλ' ἐξέτεινεν ἂν τὰς ἀνόμους χεῖρας, καὶ ἐπὶ τὸ τοῦ μακαρίου μαρτύριον, εἰ μὴ τοῦτο, ὅπερ εἶπον, κατεῖχεν αὐτόν. Οὐδὲ γὰρ μικρὸν ἦν τὸ γεγονός, ἀλλὰ πᾶσαν μὲν τῶν ἑλλήνων τὴν παῤῥησίαν ἐξέκοψεν, ἅπασαν δὲ τὴν εὐφροσύνην ἔσβεσε, τοσαύτην δὲ τῆς ἀθυμίας τὴν ἀχλὺν αὐτοῖς κατεσκέδασεν, ὅσην ἂν εἰ πάντες ἀπωλώλεσαν οἱ ναοί. Καὶ ὅτι οὐ κομπάζων λέγω ταῦτα, αὐτὰ παραθήσομαι τὰ ῥήματα τῶν ὀδυρμῶν καὶ τῆς μονῳδίας, ἣν εἰς τὸν δαίμονα τοῦτον ὁ τῆς πόλεως τότε εἰργάσατο σοφιστής. ἔχει δὲ οὕτως ἡ τῶν θρήνων ἀρχή.

χ. ἀπαρχή

Ἄνδρες, ὧν τοῖς ὀφθαλμοῖς ἀχλὺς κατακέχυται, ὥσπερ οὖν καὶ τοῖς ἐμοῖς, μήτε καλὴν, μήτε μεγάλην ἔτι καλῶμεν τήνδε τὴν πόλιν.

Εἶτα εἰπὼν τινὰ περὶ τοῦ μύθου τῆς Δάφνης, καὶ διαλεχθεὶς (οὐ γὰρ ἅπαντα ἐκθεῖναι τὸν λόγον ἐνταῦθα καιρὸς ὑπὲρ τοῦ μὴ μῆκος ἐπεισαγαγεῖν περιττόν) λέγει, ὅτι ὁ Περσῶν βασιλεύς ποτε ὁ τὴν πόλιν ἑλὼν, ἐφείσατο τοῦ νεώ. τὰ δὲ ῥήματά ἐστι ταῦτα.

Ὁ μὲν στρατὸν ἐφ' ἡμᾶς ἀγαγὼν, ᾤετο αὐτῷ βέλτιον εἶναι σεσῶσθαι τὸν νεὼν, καὶ τὸ κάλλος τοῦ ἀγάλματος ἐκράτει θυμοῦ βαρβαρικοῦ. νῦν δὲ, ἥλιε καὶ γῆ, τίς, ἢ πόθεν ὁ πολέμιος οὗτος, ὃς οὐδὲ ὁπλιτῶν, οὐδὲ ἱππέων, οὔτε ψιλῶν [τινων] δεηθεὶς, μικρῷ σπινθῆρι πάντα ἀνάλωσεν;

Εἶτα δεικνὺς, ὅτι αὐτοῦ τότε ἐκράτησεν ὁ μακάριος, ὅτε μάλιστα ἤνθει τὰ τῶν ἑλλήνων θυσίαις καὶ τελεταῖς, φησί·

Καὶ δὴ καὶ ἡμῖν τὸν νεὼν ὁ μὲν πολὺς ἐκεῖνος κατακλυσμὸς οὐ περιέσυρεν, ἐν αἰθρίᾳ δὲ καὶ τῆς νεφέλης παρελθούσης κατενήνεκται·

Νεφέλην καὶ κατακλυσμὸν τὸν τοῦ προτέρου βασιλέως καιρὸν καλεῖ. καὶ πάλιν μικρὸν προελθὼν, αὐτὸ δὴ τοῦτο πικροτέρως ἀποδύρεται, λέγων·

Εἶτα διψώντων μὲν σοι τῶν βωμῶν αἵματος, ἔμενες, Ἄπολλον, φρουρὸς ἀκριβὴς τῆς Δάφνης καὶ ῥᾳθυμούμενος, ἔστι δὲ ὅτε καὶ προπηλακιζόμενος, περικοπτόμενός τε τὸν ἔξω κόσμον, ἠνείχου· νῦν δὲ μετὰ πολλὰ μὲν πρόβατα, πολλοὺς δὲ βοῦς, στόμα βασιλέως ὅσιον τοῖς ποσὶ δεξάμενος, ἰδὼν ὃν προὔλεγες, ὀφθεὶς ὑπὸ τοῦ μεμιασμένου, πονηροῦ γειτονήματος ἀπαλλαγεὶς, νεκροῦ τινος ἐνοχλοῦντος ἐσύθεν, ἐκ μέσης τῆς θεραπείας ἀποπεπήδηκας. πόθεν ἔτι φιλοτιμησόμεθα πρὸς ἄνδρας ἱερῶν μεμνημένους καὶ ἀγαλμάτων;

χ. σου

χ. πολλὰς

Τί λέγεις, ὦ θρηνῳδέ; ἀτιμαζόμενος μὲν καὶ προπηλακιζόμενος τῆς Δάφνης ἔμενε φρουρὸς ἀσφαλής· τιμώμενος δὲ καὶ θεραπευόμενος οὐδὲ τὸν ναὸν ἴσχυσε φυλάξαι τὸν αὐτοῦ, καὶ ταῦτα εἰδὼς, ὅτι ἐκείνου πεσόντος, εἰς μείζονα ἀτιμίαν καταστήσεται τῆς προτέρας; [τίς δὲ καὶ ὁ νεκρὸς, ὦ σοφιστὰ, ὁ τὸν σὸν Θεὸν ἐνοχλῶν; ποῖον δὲ πονηρὸν γειτόνημα; ἐνταῦθα γὰρ εἰς τὰς τοῦ μακαρίου Βαβύλα ἀνδραγαθίας ἐμπεσὼν, καὶ διαῤῥήξασθαι τὴν αἰσχύνην οὐκ ἔχων, ἐγκαλυψάμενος ἁπλῶς παρέδραμεν, ὅτι μὲν ὑπὸ τοῦ μάρτυρος ἠνωχλεῖτο καὶ ἐθλίβετο ὁ δαίμων, εἰπὼν, οὐκέτι δὲ προσθεὶς, πῶς, [καὶ] τὴν ἧτταν συσκιάσαι σπουδάσας ὁ δαίμων, μᾶλλον αὐτὴν ἐξεκάλυψεν. ἁπλῶς γάρ φησι, πονηροῦ γειτονήματος ἀπαλλαγείς. διὰ τί γὰρ οὐ λέγεις, ὦ ληρόσοφε, τὸν νεκρὸν, τίς ἦν, καὶ διὰ τί μόνος ἠνώχλει σου τὸν Θεὸν, καὶ διὰ τί μετεκινεῖτο μόνος; διὰ τί δὲ καὶ πονηρὸν αὐτὸν γειτόνημα καλεῖς, εἰπέ μοι; ὅτι τοῦ δαίμονος τὴν ἀπάτην ἤλεγξε; καὶ μὴν τοῦτο οὐ πονηροῦ τινος [γειτονήματος] ἔργον ἦν, ὥσπερ οὐδὲ νεκροῦ, ἀλλὰ καὶ ζῶντος καὶ ἐνεργοῦντος καὶ χρηστοῦ καὶ προστάτου καὶ κηδεμόνος, καὶ πάντα ὑπὲρ τῆς ὑμετέρας πραγματευομένου σωτηρίας, εἴγε ἐβούλεσθε. ἵνα γὰρ ὑμῖν μὴ ἐξῇ ἐπιπλέον ἀπατᾷν ἑαυτοὺς, καὶ λέγειν, ὅτι ὀργιζόμενος

χ. γείτονα

ὀργιζόμενος, καὶ ὑπὲρ θυσιῶν ἐγκαλῶν, καὶ ὑπὲρ τῆς ἄλλης θεραπείας μεμφόμενος. ἀνεχώρησεν ἑκών, διὰ τὸ τὸν αὐτὸν καὶ ἐκ τῆς χρείας ταύτης πάντως ἀπήλαυσεν, ὃ μάλιστα πάντων φίλον ἦν αὐτῷ, καὶ ὃ τῶν ἄλλων οὗτος προετίμησεν, ὡς καὶ ἀτιμαζόμενος προσεδρεύειν αὐτῷ. οὐ γὰρ δὴ τὸ προσλαβὼν ἅπας καὶ ἐν τούτῳ δὲ τῷ καιρῷ, ἐν ᾧ πολλὰ μὲν πρόβατα, πολλοὺς δὲ βοῦς αὐτῷ κατέσφαττεν ὁ βασιλεύς· ὥστε πανταχόθεν ἐλέγχεσθαι, ὅτι ἀναγκαζόμενος καὶ ὑπὸ μείζονος ὠθούμενος δυνάμεως τὴν Δάφνην ἀπέλιπεν. ἐνῆν μὲν γάρ, καὶ τοῦ ξοάνου μένοντος, διώκειν αὐτόν· ἀλλ᾽ ὑμεῖς οὐκ ἂν ἐπιστεύσατε, ὥσπερ οὖν οὐδὲ πάλαι, ὅτι ὑπ᾽ αὐτοῦ πεπέδητο, ἀλλ᾽ ἐνέκεισθε θεραπεύοντες. διὸ πρότερον ἀφεὶς ἑστάναι τὸ ξόανον, ὅτε μάλιστα ἤρθη τῆς ἀσεβείας ἡ φλόξ, τότε αὐτὸ κατήνεγκε, δεικνὺς ὅτι τὸν νικῶντα οὕτω χρὴ νικᾶν, οὐ τεταπεινωμένων, ἀλλ᾽ αἰρομένων καὶ λαμπροτέρων ὄντων περιγινόμενοι τῶν ἐχθρῶν. διὰ τί γὰρ αὐτὸς τότε οὐκ ἐκέλευσε τῷ εἰς τὴν Δάφνην αὐτὸν ἀνάγοντι βασιλεῖ κατασκάψαι τὸν νεών, μεταθεῖναι τὸ ξόανον, ὥσπερ οὖν ὁ δαίμων τὴν λάρνακα; ὅτι οὔτε ἐβλάπτετο παρ᾽ αὐτοῦ, οὔτε βασιλικῆς ἐχρῄζε συμμαχίας· ἀλλὰ καὶ τότε καὶ νῦν χωρὶς ἀνθρωπίνης αὐτὸν κατέβαλε χειρός. καὶ τὴν μὲν προτέραν ἡμῖν οὐκ ἐδήλωσε νίκην, ἀλλ᾽ ἐπιστομίσας αὐτὸν μόνον ἡσύχασε. τοιοῦτοι γὰρ οἱ ἅγιοι· κατορθοῦσθαι βούλονται τὰ πρὸς τὴν τῶν ἀνθρώπων σωτηρίαν μόνον, οὐκ ἔτι δὲ καὶ ἐπιδείκνυσθαι τοῖς πολλοῖς, ὅτι αὐτῶν τὰ κατορθώματα· πλὴν εἴ πού τις χρεία ἀναγκάσειε. χρείαν δέ, τὴν τῶν σωζομένων κηδεμονίαν λέγω πάλιν, ὅπερ τότε ἐγένετο. ἐπειδὴ γὰρ τὰ τῆς ἀπάτης ηὔξετο κακά, ἐκεκαλύπτετο μὲν * ἡ νίκη λοιπόν, ἐκεκαλύπτετο δὲ οὐχ ὑπὸ τοῦ νικήσαντος, ἀλλ᾽ ὑπὸ τοῦ νικηθέντος αὐτοῦ. οὕτω γὰρ ἥ τε μαρτυρία καὶ παρὰ τοῖς ἐχθροῖς ἀνύποπτος ἦν, ὅ τε ἅγιος τὰ περὶ αὐτοῦ λέγειν καὶ ἀνάγκης οὔσης διέφυγεν. ἐπειδὴ δὲ οὐδὲ οὕτω τὰ τῆς πλάνης ἔληγεν, ἀλλ᾽ ἐνέκειντο πάλιν οἱ τῶν λίθων ἀναισθητότεροι τὸν ἠπατημένον παρακαλοῦντες, καὶ πρὸς οὕτω φανερὰν ἀλήθειαν τυφλώττοντες, τηνικαῦτα ἐπαφεῖναι ἠναγκάσθη τῷ ξοάνῳ τὸ πῦρ, ὥστε διὰ τούτου τοῦ ἐμπρησμοῦ ἕτερον τὸν τῆς εἰδωλολατρείας σβέσαι ἐμπρησμόν. τί οὖν μέμφῃ τῷ δαίμονι λέγων, ὅτι ἐκ μέσης τῆς θεραπείας ἀποπεπήδηκας; οὐκ ἀποπεπήδηκεν ἑκών, ἀλλ᾽ ἀπηλάθη καὶ ἐξεβλήθη ἄκων καὶ ἀναγκαζόμενος τότε, ὅτε μάλιστα μένειν ἤθελε, καὶ διὰ τὴν κνῖσαν, καὶ διὰ τὰ θύματα. ὥσπερ γὰρ εἰς τοῦτο βασιλεύσας ὁ τότε κρατῶν, ἵνα τὰ θρέμματα τῆς οἰκουμένης ἀναλώσῃ πάσης, οὕτως ἀφειδῶς κατέκοπτεν ἐπὶ τῶν βωμῶν πρόβατα καὶ βοῦς, καὶ εἰς τοῦτο μανίας ἤλασεν, ὥστε καὶ τῶν παρ᾽ αὐτοῖς δοκούντων ἔτι φιλοσοφεῖν πολλοὺς μάγειρον αὐτὸν καὶ κρεῶν κάπηλον καὶ πάντα τὰ τοιαῦτα ἀποκαλεῖν. οὐκ ἂν οὖν οὕτω δαψιλοῦς τραπέζης καὶ κνίσης καὶ καπνοῦ καὶ χειμάρρων αἱμάτων ἀνεχώρησεν ὁ δαίμων ἑκών, ὁ καὶ χωρὶς τούτων μένων, ὡς ἔφης, διὰ τὴν πρὸς τὴν ἐρωμένην μανίαν. ἀλλὰ γὰρ τὸν περὶ ἡμῶν λόγον στήσαντες τέως, πάλιν ἐπακούσωμεν τῶν ὀδυρμῶν τοῦ σοφιστοῦ. ἀφεὶς γὰρ τὸν Ἀπόλλωνα, πρὸς τὸν Δία ὀλοφύρεται, λέγων·

Οἵαν, ὦ Ζεῦ, γνώμης καμνούσης ἀφῃρέθημεν ἀνάπαυλαν; ὡς καθαρὸν μὲν θορύβων ἡ Δάφνη χωρίον, καθαρώτερος δὲ ὁ νεώς, οἷα λιμένος ἐπὶ λιμένι παρ᾽ αὐτῆς πεποιημένου τῆς φύσεως, ἀκυμάντοιν μὲν ἀμφοῖν, πλείω δὲ τὴν ἡσυχίαν παρεχομένου τοῦ δευτέρου; τίς μὲν οὐκ ἂν αὐτόθι νόσον ἀπέδυ; τίς δὲ οὐκ ἂν φόβον; τίς δὲ οὐκ ἂν πένθος; τίς δὲ ἂν ἐπόθησε τὰς μακάρων νήσους;

Ποίαν ἀνάπαυλαν ἀφῃρέθημεν, ὦ μιαρέ; πῶς δὲ καθαρώτερος θορύβων ὁ νεώς, καὶ λιμὴν ἀκύμαντος, ἔνθα αὐλοὶ καὶ τύμπανα καὶ κραιπάλαι καὶ κῶμοι καὶ μέθαι; τίς οὐκ ἂν αὐτόθι, φησί, νόσον ἀπέδυ; τίς μὲν οὖν τῶν προσκειμένων σοι οὐκ ἂν ἐδέξατο νόσον αὐτόθι, εἰ καὶ πρότερον ὑγιαίνων ἐτύγχανε, καὶ νόσον τὴν πασῶν χαλεπωτάτην; ὁ γὰρ τὸν δαίμονα προσκυνῶν, καὶ τῆς Δάφνης τὴν ὑπόθεσιν ἀκούων, καὶ τοῦ Θεοῦ τὴν μανίαν τοσαύτην ὁρῶν, ὡς καὶ καταποθείσης τῆς ἐρωμένης ἔτι προσεδρεύειν τῷ τόπῳ καὶ τῷ φυτῷ, πόσην οὐκ ἂν ἐκεῖθεν ἐδέξατο φλόγα μανίας, πόσον χειμῶνα, πόσον θόρυβον, πόσην νόσον, πόσον πάθος; τὸ τοιοῦτον ἀνάπαυλαν καλεῖς ψυχῆς, καὶ λιμένα ἀκύμαντον; τῶν νόσων ἀπαλλαγήν; καὶ τί θαυμαστὸν, εἰ τὰ ἐναντία τοῖς ἐναντίοις τίθεσαι; καὶ γὰρ οἱ μαινόμενοι τῶν πραγμάτων οὐδενὸς, ὡς ἔχει φύσεως, αἰσθάνονται, ἀλλ' ἐναντίας τοῖς οὖσι τὰς ψήφους '' φέρουσιν.

γρ. ἐκφέρ.

Ὀλύμπια μὲν οὐ μάλα πόῤῥω

(Πάλιν γὰρ ἐπὶ τὸν θρῆνον ἐλεύσομαι, δεικνὺς ὅσην ἅπαντες οἱ τότε τὴν πόλιν οἰκοῦντες Ἕλληνες ἐδέξαντο τὴν πληγὴν, καὶ ὡς οὐκ ἂν ταῦτα πράως ἤνεγκεν ὁ βασιλεὺς, ἀλλὰ πάντα θυμὸν εἰς τὴν τοῦ μάρτυρος λάρνακα ἀφῆκεν ἂν, εἰ μὴ φόβῳ κατείχετο μείζονι. τί οὖν φησιν;)

Ὀλύμπια μὲν οὐ μάλα πόῤῥω· συγκαλέσει δὲ ἡ πανήγυρις τὰς πόλεις· αἱ δὲ ἥξουσι, βοῦς ἄγουσαι τῷ Ἀπόλλωνι θυσίαν. τί δράσομεν; ποῖ καταδυσόμεθα; τίς ἡμῖν θεῶν διαῤῥήξει τὴν γῆν; ποῖος κῆρυξ, ποία σάλπιγξ οὐχ ὑποκινήσει δάκρυον; τίς ἑορτὴν ἐρεῖ τὰ Ὀλύμπια, τοῦ πτώματος '' ἐκεῖθεν ἐπεμβάλλοντος ὀδυρμόν; δὸς τόξα μοι '' καὶ χοίνικα, φησὶν ἡ τραγῳδία. ἐγὼ δὲ λέγω καὶ μαντικῆς τι μικρὸν, ὅπως τῇ μὲν ἕλω, τῇ δὲ τοξεύσω τὸν δράσαντα. ὢ τόλμης ἀσεβοῦς· ὢ ψυχῆς μιαρᾶς· ὢ θρασείας χειρός. Τιτυός τις οὗτος ἕτερος, ἢ Ἴδας ὁ ἀδελφὸς Λυγκέως, οὐ μέγας μὲν ὥσπερ ἐκεῖνος, οὐδὲ τοξότης ὥσπερ οὗτος· ἀλλ' ἐν τῷ εἰδέναι, τὸ κατὰ θεῶν μαίνεσθαι. σὺ μὲν Ἀλωέως ἔτι διανοουμένους τὰς τῶν θεῶν ἐπιβουλὰς θανάτῳ κατέπαυσας, Ἄπολλον· τούτῳ δὲ πόῤῥωθεν φέροντι τὸ πῦρ, οὐκ ἀπήντησεν οἰστὸς ἐπ' αὐτὴν '' πετόμενος τὴν καρδίαν. ὢ δεξιᾶς τελχῖνος· ὢ πυρὸς ἀδίκου. ποῦ ποτε ἄρα τὸ πρῶτον ἔπεσε; τί τοῦ κακοῦ τὸ προοίμιον; ἆρα ἐξ ὀροφῆς ἀρξάμενον ἐπὶ τἄλλα προὔβη; τὴν κεφαλὴν ἐκείνην; τὸ πρόσωπον; τὴν φιάλην; τὴν κίδαριν; τὸν ποδήρη χιτῶνα; Ἥφαιστος δὲ ὁ δὴ πυρὸς ταμίας, οὐκ ἠπείλησε τῷ πυρὶ λυμαινομένῳ, τὴν χάριν ὀφείλων τῷ θεῷ '' μηνύματος ἀρχαίου. ἀλλ' οὐδὲ ὁ Ζεὺς ὄμβρων κυρίας ἔχων, ὕδωρ ἀφῆκεν ἐπὶ τὴν φλόγα, καὶ ταῦτα Λυδῶν ποτε βασιλεῖ δυστυχήσαντι σβέσας πυράν. τί πρῶτον ἄρα πρὸς αὐτὸν εἶπεν ὁ τὸν πόλεμον ἀράμενος; πόθεν ποτὲ τὸ θράσος; πῶς δὲ ἐφύλαξε τὴν ὁρμὴν, πῶς δὲ οὐκ ἔλυσε τὸ δόγμα, τοῦ Θεοῦ τὸ κάλλος αἰδεσθείς;

γρ. ἐγγύθεν

γρ. κερουλκά

γρ. φερόμενο

γρ. μηνίμα

Μέχρι τίνος οὐ διαβλέψεις, ἄθλιε καὶ ταλαίπωρε, ταῦτα μὲν θεσπίνης εἶναι λέγων χρεὼς, καὶ, ὥσπερ οἱ παραπαίοντες, ἐναντιολογῶν καὶ σαυτῷ μαχόμενος; εἰ γὰρ τὸν Περσῶν βασιλέα καὶ τοσαύτην ἄγοντα στρατιὰν, καὶ τὴν πόλιν ἑλόντα, καὶ τὰ λοιπὰ τῶν ἱερῶν ἐμπρήσαντα, καὶ τὴν δᾷδα μετὰ χεῖρας ἔχοντα, καὶ προσάγειν αὐτὴν ἤδη τούτῳ μέλλοντα τῷ ναῷ μετέβαλεν ὁ δαίμων (καὶ γὰρ καὶ ταῦτα ἐν ἀρχῇ τῆς μονῳδίας ἔλεγες θρηνῶν, οὕτως εἰπών·

Τόν τοι βασιλέα Περσῶν, τοῦ νῦν τουτουὶ πολεμοῦντος πρόγονον, προδοσίᾳ τὸ ἄστυ λαβόντα καὶ ἐμπρήσαντα, χωρήσαντα ἐπὶ Δάφνην ὡς τὸ αὐτὸ δράσοντα, μετέβαλεν ὁ Θεὸς, καὶ τὴν δᾷδα ῥίψας προσεκύνησε τῷ Ἀπόλλωνι. οὕτως αὐτὸν κατεπράϋνέ τε καὶ διήλλαξε φανείς)

Ὁ δὴ θυμοῦ βαρβαρικοῦ, καὶ τοσαύτης περιγινόμενος στρατιᾶς, ὡς ἔφης, καὶ δυνηθεὶς τότε τὸν κίνδυνον διαφυγεῖν (λέγεις δὲ ὅτι καὶ οὗτος Ἀλωέως παῖδας διανοουμένους τὰς τῶν θεῶν ἐπιβουλὰς, θανάτῳ κατέπαυσε) πῶς οὖν ὁ τοσαῦτα δυνηθεὶς, οὐδὲν τοιοῦτον εἰργάσατο νῦν; καίτοι εἰ μηδὲν ἕτερον, τὸν γοῦν ἱερέα παρατιλλόμενον ἀδίκως ἐλεῆσαι ἐχρῆν, φανερὸν καταστήσαντα τὸν ἐπίβουλον. καὶ εἰ τότε παρὰ τὸν ἐμπρησμὸν διέφυγεν, ὅτε γοῦν ὁ δείλαιος ἐκεῖνος κρεμάμενος διωρύττετο τὰς πλευράς, καὶ τὸν ἐργασάμενον ἀπαιτούμενος, εἰπεῖν οὐκ εἶχε, τότε παραστῆναι ἐχρῆν καὶ ἐκδοῦναι τὸν δράσαντα, ἢ καὶ καταμηνῦσαι μόνον, εἴγε ἐκδοῦναι οὐκ ἴσχυσε. νῦν δὲ περιορᾷ μὲν ὁ ἀχάριστος καὶ ἀγνώμων τὸν αὐτοῦ θεραπευτὴν καταξαινόμενον ἀλόγως· περιορᾷ δὲ τὸν βασιλέα μετὰ τοσαύτας θυσίας καταγελώμενον. καὶ γὰρ ὡς μαινόμενον καὶ παραπαίοντα, πάντες ἐγέλων αὐτόν, ὅτι εἰς τὸν ἄθλιον ἐκεῖνον ἠφίει τὴν ὀργήν. πῶς δὲ ὁ τοῦ βασιλέως τὴν προαίρεσιν ἔτι μακρὰν ὄντος προλέγων (καὶ γὰρ καὶ τοῦτο ἀνωτέρω τέως ἐθρύλεις) τὸν πλησίον ἑστῶτα καὶ κατακαίοντα αὐτὸν οὐκ εἶδε; καίτοιγε καὶ μαντικὸν αὐτὸν εἶναι φατε, καὶ ἄλλοις ἄλλας διανέμοντες τέχνας, καθάπερ ἐν ἀνθρώποις, τοῖς ὑμετέροις θεοῖς, τούτῳ τὴν μαντικὴν ἀνεθήκατε· καὶ οὐδὲ μεταδοῦναι αὐτόν σοι τῆς τέχνης ἀξιοῖς. πῶς οὖν τὰς οἰκείας οὐκ ἔγνω συμφοράς; καίτοι τοῦτο οὐδ᾽ ἂν ἄνδρα διέλαθεν. ἀλλ᾽ ἆρα μὴ ἐκάθευδεν ἀπτομένου τοῦ πυρός; ἀλλ᾽ οὐδὲ οὕτως ἀναίσθητός τίς ἐστιν, ὡς αὐτῷ τῆς φλογὸς προσφερομένης μὴ διαναστῆναι εὐθέως, καὶ τὸν προσάγοντα κατασχεῖν. Ἀληθῶς Ἕλληνες ἀεὶ παῖδες· γέρων δὲ Ἕλλην οὐδείς. δέον γὰρ τὴν οἰκείαν ἄνοιαν θρηνεῖν, ὅτι τῶν πραγμάτων βοώντων τὴν τῶν δαιμόνων ἀπάτην, οὐδὲ οὕτως ἀφίστασθε, ἀλλ᾽ ἐκδόντες ἑαυτοὺς εἰς ἀπώλειαν, καὶ τὴν ὑμετέραν ἀποδόμενοι σωτηρίαν, ἄγεσθε δίκην θρεμμάτων, ἧπερ ἂν κελεύωσιν ἕπεσθαι, καὶ κάθησθε ξοάνων πενθοῦντες ἀπώλειαν. σὺ δὲ καὶ τόξα ἀπαιτεῖς, οὐδὲν ἐκείνου τοῦ ταῦτα ἐν τῇ τραγῳδίᾳ λέγοντος διεστηκώς. πῶς γὰρ οὐ μανία πρόδηλος καὶ σαφής, προσδοκᾶν τι τοῖς ὅπλοις τούτοις ἀνύειν, ἃ τὸν κεκτημένον οὐδὲν ὤνησεν; εἰ μὲν γὰρ αὐτὸς μείζονα καὶ τὴν τέχνην καὶ τὴν ἐμπειρίαν τοῦ δαίμονος ἔχειν φής, οὐκ ἐχρῆν αὐτὸν τιμᾶν ἀμαθέστερόν τε ὄντα καὶ ἀσθενέστερον, ἐν οἷς αὐτὸν φατε πάντων κρατεῖν. εἰ δὲ τῶν πρωτείων ἐκείνῳ παραχωρεῖς, ἄν τε τοξεύειν, ἄν τε μαντεύεσθαι δέῃ, πῶς ἐν τῷ μέρει τῆς τέχνης ταῦτα προσεδόκησας δράσειν, ἅπερ ὁ τὴν ὅλην ἔχων οὐκ ἴσχυσε; γέλως ταῦτα, καὶ λῆρος. οὔτε γὰρ εἶχέ τι μαντικῆς, οὔτε, κἂν εἶχεν, ἤνυεν ἄν. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ὁ ταῦτα ἐργασάμενος ἀνήρ, ἀλλὰ θεία τις δύναμις. καὶ τὴν αἰτίαν δὲ μετὰ ταῦτα ἐρῶ· τέως δὲ ἄξιον μαθεῖν παρ᾽ ὧν ἀγνωμοσύνην ἐγκαλεῖς τῷ Ἡφαίστῳ οὑτωσί πως λέγων· Ἥφαιστος δὲ πυρὸς ταμίας οὐκ ἠπείλησε τῷ πυρὶ λυμαινομένῳ, τὴν χάριν ὀφείλων τῷ θεῷ μηνύματος ἀρχαίου. ποίαν χάριν; ποίου μηνύματος ἀρχαίου, εἰπέ; διατί κρύπτεις σου τὰ σεμνὰ τῶν θεῶν κατορθώματα; εἰ γὰρ καὶ τὴν χάριν εἶπας αὐτήν, μᾶλλον ἂν ἀγνώμονα τὸν Ἥφαιστον ἔδειξας. ἀλλ᾽ αἰσχύνῃ καὶ ἐρυθριᾷς. οὐκοῦν ἡμεῖς μετὰ παρρησίας ἐροῦμεν τὰ σά. τίς οὖν ἡ χάρις; ἐρασθέντα ποτὲ τὸν Ἄρην τῆς Ἀφροδίτης, καὶ τὸν Ἥφαιστον (ἄνδρα γὰρ αὐτῆς εἶναι) δεδοικότα, τὴν ἀπουσίαν ἐπιτηρήσαντα τὴν ἐκείνου πρὸς αὐτὴν εἰσελθεῖν φασι· τὸν δὲ Ἀπόλλωνα θεασάμενον μιγνυμένους αὐτούς, ἀπελθόντα πρὸς τὸν Ἥφαιστον τὴν μοιχείαν κατειπεῖν· ἐλθόντα δὲ ἐκεῖνον καὶ ἀμφοτέρους ἐπὶ τῆς κλίνης εὑρόντα, δεσμὰ αὐτοῖς οὕτως ὡς εἶχον περιβαλόντα καλέσαι τε τοὺς θεοὺς ἐπὶ τὴν ἀσχήμονα θεωρίαν, καὶ ταύτην τῆς μοιχείας εἰσπράξασθαι δίκην αὐτούς. ταύτης οὖν τῆς χάριτος ὀφειλέτην ὄντα τὸν Ἥφαιστον καιροῦ καλοῦντος ἀγνωμονῆσαι περὶ τὴν ἀντίδοσιν φησί. τί οὖν καὶ ὁ Ζεύς, ὦ βέλτιστε; καὶ γὰρ καὶ τούτῳ πάλιν ἀπιστίαν ἐγκαλεῖς· ἀλλ᾽ οὐδὲ ὁ Ζεύς, λέγων, ὄμβρων ἐξουσίας ἔχων, ὕδωρ ἀφῆκεν ἐπὶ τὴν φλόγα, καὶ ταῦτα Λυδῶν ποτε βασιλεῖ δυστυχήσαντι σβέσας πυράν. ἀλλὰ γὰρ καλῶς ποιῶν ἀνέμνησας ἡμᾶς καὶ τοῦ Λυδοῦ. καὶ γὰρ κἀκεῖνον ὁ μιαρὸς οὗτος δαίμων ἠπάτησεν, ἐλπίσι φυσήσας κεναῖς, καὶ εἰς προὖπτον κακὸν ἐμβαλών. καὶ εἰ μὴ φιλάνθρωπος ὢν ὁ Κῦρος ἀφῆκεν, οὐδὲν ἂν αὐτὸν ὤνησεν ὁ Ζεύς. ὥστε μάτην ἐγκαλεῖς τῷ Διΐ, ὡς προτιμήσαντι τοῦ παιδὸς τὸν Λυδόν. οὐδὲ γὰρ ἑαυτῷ, ἔνθα μάλιστα πασῶν ἐτιμᾶτο πόλεων

Πλάτων ἐν Τιμαίῳ

λέοντα (τὸν Ῥωμύλου λέγω) κεραυνωθεὶς ἤμυνεν. ἐπακούσωμεν δὲ καὶ τῶν λοιπῶν τοῦ θρηνοῦ ῥημάτων. οὕτω γὰρ τὸ πένθος εἰσόμεθα καλῶς, ὃ κατέχει αὐτῶν τὰς ψυχάς.

Ἄνδρες, ἕλκομαι τὴν ψυχὴν πρὸς τὸ εἶδος τοῦ Θεοῦ· καί μοι πρὸ τῶν ὀμμάτων ἵστησιν ὁ λογισμὸς τὸν τύπον, ἡμερότητα μορφῆς, ἁπαλότητα δέρρης ἐν λίθῳ, καὶ ταῦτα ζωστῆρα περὶ τὰ στήθη συνάγοντα χιτῶνα χρυσοῦν, ὡς ″αὐτῷ τὰ μὲν ἐνιζάνειν, τὰ δὲ ὑπανίστασθαι. τὸ δὲ ὅλον σχῆμα τίνος οὐκ ἂν ζέοντα ἐκοίμισε θυμόν; ἐῴκει γὰρ ᾄδοντι μέλος· καί που τις καὶ ἤκουσεν, ὥς φασιν, ἐν μεσημβρίᾳ κιθαρίζοντος. ὦ τὰ εὐδαίμονα ὦτα. τὸ δὲ ᾆσμα ἄρα ἦν ἔπαινος τῆς γῆς, ἥ μοι φαίνεται καὶ σπένδειν ἀπὸ τῆς χρυσῆς κυάθου, ὅτι τὴν κόρην ἔκρυψε ῥαγεῖσά τε καὶ συνελθοῦσα.

γ. αὐτῷ

Εἶτα μικρὰ πρὸς τὸν ἐμπρησμὸν ὀλοφυρόμενος,

Ἐβόα μέν, φησιν, ὁδοιπόρος ἀνιούσης τῆς αὐγῆς· ἐκυκᾶτο δ' ἐφ' ὕλῃ Δάφνης ἔνοικος ἱερεία τοῦ Θεοῦ· πληγαὶ δὲ στέρνων, καὶ οἰμωγή τις ὀξεῖα διὰ χωρίου πολυδένδρου δραμοῦσα πίπτει μὲν εἰς τὸ ἄστυ δεινή τε καὶ φρικώδης, ὄμμα δὲ ἄρχοντος ἄρτι γευόμενον ὕπνου πικρῷ ῥήματι τῆς εὐνῆς ἐξανέστησεν. ὁ δὲ ἐμμανὴς ἤλαινε, πτερὰ τὰ Ἑρμοῦ ζητῶν. εἶτα αὐτὸς μὲν ἐπὶ ζήτησιν ᾔει τῆς τοῦ κακοῦ ῥίζης, φλεγόμενος ἔνδον, οὐχ ἧττον ἢ ὁ νεώς. δοκοὶ δὲ ἐφέροντο κάτω φέρουσαι πῦρ, ὅπῃ πελάσειαν φθείρουσαι, τὸν Ἀπόλλω μὲν εὐθύς, ἅτε καὶ μικρὸν διέχοντα τοῦ στέγους· ἔπειτα δὲ τὰ ἄλλα κάλλη, Μουσῶν οἰκιστῶν εἰκόνας, λίθων ἀστραπάς, κιόνων ὥρας. ὁ δὲ ὅμιλος ὁμοῦ περιεστήκεσαν ὀλοφυρόμενοι, βοηθεῖν δὲ ἀποροῦντες· ὃ καταλαμβάνει τοὺς ἀπὸ γῆς ναυάγιον ὁρῶντας, ὧν ἡ βοήθεια δακρῦσαι τὸ γινόμενον. ἦ που μέγαν μὲν ἤγειραν γόον ἐκπηδήσασαι τῶν πηγῶν αἱ νύμφαι· μέγαν δὲ ὁ Ζεὺς ἐγγύς που καθήμενος, ὁποῖον εἰκὸς ἐπὶ τιμαῖς νέως συγκεχυμέναις· μέγαν δὲ δαιμόνων μυρίος ὅμιλος ἐν τῷ ἄλσει διαιτωμένων· οὐδὲν ἐλάττω θρηνοῦν ἐκ μέσης τῆς πόλεως ἡ Καλλιόπη, τοῦ ″χοροποιοῦ τῶν Μουσῶν ἠδικημένου τῷ πυρί.

γ. ἤλαυνε. πτερὰ γὰρ ἐ ζητῶν, αἰτι

γ. χορηγ

Εἶτα πρὸς τῷ τέλει φησί·

Ὁμηρ. Ἰλιάδ. α.

Γενοῦ μοι καὶ νῦν, Ἄπολλον, οἷόν σε ἐποίησεν ὁ Χρύσης καταρώμενος τοῖς Ἀχαιοῖς, θυμοῦ τε πλήρη καὶ νυκτὶ ἐοικότα· ὅτι δή σοι τὰς ″θεσίας ἡμῶν ἀποδιδόντων, καὶ ἴσοι ἣν ἀπενεχθὲν ἀντικαθισάντων, περιῃρπάσθη τὸ τιμώμενον, οἷον νυμφίου τινὸς πλεκομένων ἤδη στεφάνων ἀπελθόντος.

γ. στολὰς

Ὁ μὲν θρῆνος οὗτος, μᾶλλον δὲ ὀλίγα τοῦ θρήνου μέρη. ἐμοὶ δὲ θαυμάζειν ″ἔπεισι, πῶς ἐφ' οἷς ἐγκαλύπτεσθαι ἐχρῆν, ἐπὶ τούτοις αὐτὸν σεμνύνειν οἴεται, οὐδὲν ἄμεινον ἀκολάστου νέου καὶ αἰσχροῦ, κατὰ μεσημβρίαν ποιῶν αὐτὸν κιθαρίζοντα, καὶ τοῦ ᾄσματος ὑπόθεσιν εἶναι λέγων τὴν ἐρωμένην, καὶ ὦτα εὐδαίμονα καλῶν τὰ τῆς ᾠδῆς ἐπακούσαντα τῆς αἰσχρᾶς. καὶ τὸ μέν τινας τῶν τὴν Δάφνην οἰκούντων δακρύειν, καὶ τοὺς προσκειμένους αὐτοῖς, καὶ τὸν τῆς πόλεως ἄρχοντα φλέγεσθαι, καὶ πλέον τῶν θρήνων μηδὲν ″ποιεῖν, οὐδὲν θαυμαστόν· τὸ δὲ καὶ αὐτοὺς τοὺς θεοὺς ἐπὶ τῆς αὐτῆς ἀμηχανίας εἶναι, καὶ δακρύειν μόνον [οὐ] κατ' αὐτούς, καὶ μήτε τὸν Δία, μήτε τὴν Καλλιόπην, μήτε τὸν πολὺν τῶν δαιμόνων ὅμιλον, ἀλλὰ μηδὲ τὰς νύμφας αὐτὰς ἀρκέσαι πρὸς τὴν πυράν, ἀλλὰ πάντας κωκυτοὺς καὶ οἰμωγὰς ἐγείρειν μόνον, τοῦτο ἐστὶ τὸ πολλοῦ γέλωτος γέμον. ὅτι μὲν οὖν μεγάλην εἶχον πληγήν, ἱκανῶς ἐκ τῶν εἰρημένων ἀποδέδεικται. καὶ γὰρ καὶ ἐν μέσῳ που τῆς μονῳδίας ῥητῶς οὗτος περὶ τὰ καίρια πεπλῆχθαι αὐτοὺς ὡμολόγησεν. οὐκ ἂν οὖν τοῦτο πρᾴως ἤνεγκεν ὁ βασιλεύς, μὴ δέει καὶ τρόμῳ μείζονι κατεχόμενος. ὥρα δὴ λοιπὸν ἐπιδεῖξαι καὶ τὴν αἰτίαν, δι' ἣν ὁ Θεὸς οὐκ εἰς τὸν ″βασιλέα τὴν ὀργὴν ἀφῆκεν, ἀλλ' εἰς τὸν δαίμονα, καὶ διὰ τί μὴ πάντα ἀπόλε-

γ. ἔπεισι

γ. ἐμποιεῖν

γ. βασιλ
τα

στε τὸ πῦρ τὸν ναὸν, ἀλλὰ τὴν στέγην ἀφανίσαι ἅμα καὶ τὸ εἴδωλον, ἔληξεν. οὐδὲ γὰρ ἁπλῶς, οὐδὲ ἄνευ αἰτίας τινὸς ταῦτα ἐγίνετο, ἀλλ' ἀπὸ τῆς τοῦ Θεοῦ φιλανθρωπίας τῆς ὑπὲρ τῶν πλανωμένων πάντα ἐδρᾶτο. ὁ γὰρ τὰ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν, μετὰ τῶν ἄλλων ᾔδει καὶ τοῦτο, ὅτι κατὰ μὲν τοῦ βασιλέως ἐνεχθέντος τοῦ κεραυνοῦ οἱ μὲν παρόντες καὶ θεασάμενοι τὴν πληγὴν, ἐφοβήθησαν ἂν πρὸς καιρόν· δευτέρου δὲ καὶ τρίτου παρελθόντος ἔτους ἥ τε μνήμη τοῦ γεγονότος ἀπώλλυτο, καὶ πολλοὶ οἱ διαπιστήσοντες ἦσαν τῷ θαύματι. εἰ δὲ ὁ ναὸς δέξοιτο τὴν φλόγα, παντὸς κήρυκος σαφέστερον οὐ τοῖς τότε μόνον, ἀλλὰ καὶ τοῖς μετέπειτα πᾶσιν ἀπαγγελεῖ τοῦ Θεοῦ τὴν ὀργὴν, ὡς καὶ τοῖς βουλομένοις ἀναισχυντεῖν καὶ συγκαλύπτειν τὸ γεγονὸς πᾶσαν ἀνῃρῆσθαι πρόφασιν. ἕκαστος γὰρ ἐφιστάμενος τῷ τόπῳ, ὥσπερ ἄρτι συμβεβηκότος τοῦ ἐμπρησμοῦ, οὕτω διατίθεται τὴν ψυχὴν, καὶ φρίκη τις αὐτὸν εἴσεισι, καὶ πρὸς τὸν οὐρανὸν ἀπιδὼν, εὐθέως δοξάζει τοῦ ταῦτα ἐργασαμένου τὴν δύναμιν. ὥσπερ γὰρ ἂν εἴ τις λῃστάρχου τινὸς σπήλαιον καὶ κατάδυσιν διαρρήξας, ἄνωθεν ἐξαγάγοι τὸν ἐνοικοῦντα δέσμιον, καὶ τὰ αὐτοῦ πάντα λαβὼν, καταλίποι τὸν τόπον θηρίων καὶ κολοιῶν εἶναι καταφυγὴν, εἶτα ἕκαστος τῶν πρὶν τὴν κατάδυσιν ἐρχομένων ἐκείνην ἅμα τὸν τόπον ὁρῶν, τὰς καταδρομὰς καὶ τὰς κλοπὰς καὶ τὴν ἰδέαν φαντάζεται καὶ ὑπογράφει τοῦ πρότερον κατοικοῦντος αὐτὴν, οὕτω καὶ ἐνταῦθα γίνεται. πόρρωθεν γάρ τις τοὺς κίονας ἰδὼν, εἶτα ἐλθὼν καὶ τὸν οὐδὸν ὑπερβὰς ὑπογράφει ἑαυτῷ τὸ τοῦ δαίμονος ἀποτρόπαιον, τὴν ἀπάτην, τὰς ἐπιβουλὰς, καὶ καταπλαγεὶς τοῦ Θεοῦ τήν τε ὀργὴν καὶ τὴν ἰσχὺν ἄπεισι· καὶ τὸ πρότερον πλάνης οἰκοδόμημα καὶ βλασφημίας, νῦν δοξολογίας ὑπόθεσις γίνεται. οὕτως εὐμήχανός ἐστιν ἡμῶν ὁ Θεὸς, καὶ τὰ παράδοξα ταῦτα οὐ νῦν πρῶτον, ἀλλ' ἄνωθεν καὶ ἐκ τῶν προτέρων θαυματουργεῖ γενεῶν. καὶ πάντα μὲν καταλέγειν οὐ τοῦ παρόντος καιροῦ· ἐπιμνησθήσομαι δὲ, ὃ τούτῳ παρόμοιον εἶναι δοκεῖ. πολέμου γὰρ συγκροτηθέντος ἐν τῇ Παλαιστίνῃ ποτὲ τοῖς Ἰουδαίοις πρὸς ἀλλοφύλους τινὰς, νικήσαντες οἱ πολέμιοι καὶ τοῦ Θεοῦ τὴν κιβωτὸν λαβόντες, ὡς δὴ λάφυρόν τι καὶ ἀκροθίνιον ἀνέθηκαν αὐτὴν τινὶ τῶν ἐπιχωρίων εἰδώλῳ (Δαγὼν δὲ ἦν ὄνομα αὐτῷ) καὶ τὸ πρῶτον εἰσενεχθείσης τῆς κιβωτοῦ κατέπεσε τὸ ξόανον, καὶ ἔκειτο πρηνές. α. Βασ. ε. ϛ. ὡς δὲ οὐ συνίεσαν τῆς τοῦ Θεοῦ δυνάμεως τὴν ἰσχὺν ἀπὸ ταύτης τῆς πτώσεως, ἀλλ' ὀρθώσαντες αὐτὸ πάλιν ἐπὶ τῆς οἰκείας ἔστησαν ἕδρας, τῇ ὑστεραίᾳ ὑπὸ τὴν ἕω παραγενόμενοι θεωροῦσιν οὐκ ἔτι μόνον πεπτωκὸς, ἀλλὰ καὶ διακεκλασμένον πάντοθεν. αἵ τε γὰρ χεῖρες ἀποσπασθεῖσαι τῶν ὤμων εἰς τὸν οὐδὸν ἐξηκοντίσθησαν τοῦ ναοῦ μετὰ τῶν ποδῶν, τό τε λοιπὸν τοῦ ξοάνου μέρος εἰς ἕτερον διέσπαρτο τόπον διασπασθέν. καὶ τῶν Σοδόμων δὲ, ὡς ἄν τις μεγάλῳ παραβάλοι μικρὸν, διὰ τοῦτο Γεν. ιθ. μετὰ τῶν οἰκητόρων καὶ ἡ γῆ καταφλεχθεῖσα ἀπώλετο καὶ γέγονεν ἄκαρπος, ἵνα μὴ μόνον οἱ τότε, ἀλλὰ καὶ οἱ μετ' ἐκείνους ἅπαντες ἀπὸ τῶν τόπων σωφρονίζωνται. εἰ γὰρ ἔστη μέχρι τῶν ἀνδρῶν ἡ κόλασις, κἂν ἠπιστήθη μετὰ ταῦτα τὸ γεγονός. διὰ τοῦτο ὁ τόπος δέχεται τὴν πληγὴν ὁ τῷ χρόνῳ παρεκταθῆναι δυνάμενος, καὶ ἑκάστην τῶν ἐπιγινομένων ὑπομιμνήσκει γενεῶν, ὅτι τοὺς τὰ τοιαῦτα δρῶντας τοιαῦτα παθεῖν νενομοθέτηται, κἂν μὴ παρ' αὐτὰ τὴν τιμωρίαν τίσωσιν· ὅπερ καὶ ἐπὶ τοῦ ναοῦ γέγονε τούτου. ἰδοὺ γὰρ εἰκοστὸν ἔτος ἐστὶν ἐξ ἐκείνου λοιπὸν, καὶ τῆς ὑπὸ τοῦ πυρὸς καταλειφθείσης οὐδὲν παραπόλωλεν οἰκοδομῆς· ἀλλ' ἕστηκε παγίως καὶ βεβαίως τὰ διαφυγόντα μέρη τὸ πῦρ, καὶ οὕτως ἐστὶν ἰσχυρὰ, ὡς καὶ πρὸς ἑκατὸν ἔτη, καὶ πρὸς ἕτερα δὶς τοσαῦτα, καὶ τούτων πάλιν πολλῷ πλείονα ἀρκέσαι χρόνον. καὶ τί θαυμαστὸν, εἰ τῶν τοίχων οὐδεὶς ἀποσχισθεὶς θατέρου κατηνέχθη πρὸς τοὔδαφος; τῶν γὰρ κιόνων τῶν περὶ τὸν ὀπισθόδομον εἷς τότε μόνος διακλασθεὶς, οὐδὲ οὗτος κατέπεσεν· ἀλλὰ διαλυθεὶς ἀπὸ τῆς οἰκείας ἕδρας, καὶ πρὸς τὸν τοῖχον ἀναπεσὼν, οὕτως ἔμεινε. καὶ αὐτοῦ τὸ μὲν ἀπὸ τῆς κρηπῖδος ἐπὶ τὴν τομὴν πλάγιον πρὸς τὸν τοῖχον ἐρήρεισται, τὸ δὲ ἀπὸ τῆς τομῆς ἐπὶ τὴν κεφαλίδα ἕστηκεν ὕπτιον ὑπὸ τοῦ κατωτέρου βασταζόμενον μέρους. καίτοι καὶ ἀνέμων σφοδρῶς τῷ τόπῳ προσπεσόντων πολλάκις, καὶ σεισμῶν γινομένων, καὶ τῆς γῆς τιναχθείσης ″ οὐκ ἐτινάχθη τὰ λείψανα τῆς φλογὸς, ἀλλ' ἕστηκε βεβαίως, μονονουχὶ βοῶντα, ὅτι διὰ τὸν τῶν ἐσομένων τετήρηνται σωφρονισμόν. καὶ τοῦ μὲν μὴ πάντα ἁλῶναι τῷ πυρὶ τὸν νεὼν, ταύτην ἄν εἴποι τις εἶναι πρόφασιν· τοῦ δὲ μὴ ἐλθεῖν ἐπὶ τὸν βασιλέα τὸν σκηπτὸν, καὶ ἑτέραν εὕροι τις ἂν αἰτίαν ζητῶν ἀπὸ τῆς αὐτῆς ὁρμωμένην πηγῆς, τῆς χρηστότητος λέγω καὶ φιλανθρωπίας τοῦ Χριστοῦ. διὰ γὰρ τοῦτο τῆς μὲν τοῦ βασιλέως κεφαλῆς ἀνέσχε τὸ πῦρ, ἔρριψε δὲ αὐτὸ κατὰ τῆς ὀροφῆς, ἵνα ἐν ταῖς ἑτέρων συμφοραῖς παιδευθεὶς ἐκφύγῃ τὴν ἀποκειμένην αὐτῷ κόλασιν, μεταβαλὼν καὶ τῆς πλάνης ἀπαλλαγείς. οὐδὲ γὰρ τοῦτο μόνον οὐδὲ πρῶτον αὐτῷ τῆς οἰκείας δυνάμεως σημεῖον ἔδωκεν ὁ Χριστὸς, ἀλλὰ καὶ ἕτερα πρὸς τούτοις πολλὰ τούτου οὐχ ἥττονα. ὅ τε γὰρ θεῖος αὐτοῦ, ὅ τε ταμίας οὕτως ἄμφω καταλύσαντες τὸν βίον, καὶ λιμὸς εἰς τὴν πόλιν ἀθρόως ἐμπεσὼν μετ' αὐτοῦ, καὶ ἡ τῶν ὑδάτων ἀπανία οὐδέποτε συμβᾶσα πρότερον, ἀλλ' ἡ μετὰ τὰς ἐπὶ τῶν πηγῶν γινομένας θυσίας ὑπ' αὐτοῦ, καὶ πολλὰ πρὸς τούτοις ἕτερα, τά τε ἐν τῷ στρατοπέδῳ, τά τε ἐν ταῖς πόλεσι συμβαίνοντα, καὶ λιθίνην ἱκανὰ κάμψαι ψυχὴν, οὐ τῷ πλήθει μόνον, οὐδὲ τῷ πάντα ὁμοῦ γίνεσθαι καὶ ἐφεξῆς καὶ κατὰ πόδας τῶν τολμημάτων, ὡς ἐπὶ τοῦ βασιλέως τῶν Αἰγυπτίων ποτὲ, ἀλλὰ καὶ τῷ καθ' ἑαυτὰ τοιαῦτα εἶναι τὰ δεικνύμενα τέρατα, ὡς μὴ δεῖσθαι ἕτερον ἑτέρου πρὸς τὴν τῶν ὁρώντων ἐπιστροφὴν, ἀλλ' ἀρκεῖν ἕκαστον αὐτῶν καὶ καθ' ἑαυτὸ τοῦτο ἐργάσασθαι.

γρ. ἰδ'

Ἵνα γὰρ τὰ ἄλλα παραλίπω, τίνα οὐκ ἂν ἐξέπληξε τῶν μὴ σφόδρα ἀναισθήτων τὸ περὶ τὰ θεμέλια τοῦ παλαιοῦ τῶν Ἱεροσολύμων ναοῦ σημεῖον ἐπιδειχθέν; τί δὲ τοῦτο ἦν; ὁρῶν ὁ τύραννος εἰς τὴν ἀρχὴν ἅπασαν τὴν ὑπ' αὐτῷ κειμένην τοῦ Χριστοῦ τὴν πίστιν ἐκκεχυμένην, ἤδη δὲ καὶ ″ γῆς Περσῶν ἁψαμένην καὶ βαρβάρων ἑτέρων μετ' ἐκείνους, καὶ πάλιν ἐνδοτέρω τούτων προελθοῦσαν, καὶ πᾶσαν, ὡς εἰπεῖν, τὴν ″ ὑφήλιον κατέχουσαν, ἐδάκνετο μὲν καὶ ἤλγει, καὶ πρὸς τὸν τῶν ἐκκλησιῶν παρεσκευάζετο πόλεμον· ἠγνόει δὲ πρὸς κέντρα λακτίζων ὁ δείλαιος. καὶ πρῶτον μὲν τὸν ἐν Ἱεροσολύμοις ναὸν, ὃν εἰς ἔδαφος ἡ τοῦ Χριστοῦ κατήνεγκε δύναμις, ἀνορθοῦν ἐπειρᾶτο, καὶ τὰ τῶν Ἰουδαίων ὁ ἕλλην ἐθεράπευεν, ἀπόπειραν διὰ τούτου τῆς τοῦ Χριστοῦ δυνάμεως βουλόμενος λαβεῖν. καὶ καλέσας Ἰουδαίων τινὰς, καὶ θύειν κελεύσας (καὶ γὰρ οὐδὲ τοῖς προγόνοις τοῖς ἐκείνων τοῦτον τῆς θρησκείας θρησκεύειν τὸν τρόπον ἔλεγον) ἐπειδὴ εἰς ταύτην ἐκεῖνοι κατέφυγον τὴν ἀπολογίαν, ὡς οὐ θέμις αὐτοῖς τοῦ ναοῦ πεπτωκότος ἔξω τῆς παλαιᾶς μητροπόλεως τοῦτο ποιεῖν, κελεύει χρήματα ἀπὸ τῶν ταμιείων λαβόντας τῶν βασιλικῶν, καὶ τὰ ἄλλα πάντα, ἃ πρὸς τὴν οἰκοδομὴν παρέχειν ἐχρῆν, ἀπιέναι καὶ ἀνορθοῦν τὸν ναὸν, καὶ ἐπὶ τὴν παλαιὰν ἐπανιέναι συνήθειαν τῶν θυσιῶν. οἱ δὲ ἀνόητοι, πλανώμενοι ἐκ κοιλίας, καὶ παιδευόμενοι ἕως γήρως, ἀπήεσαν ὡς συμπράξοντες τῷ βασιλεῖ. καὶ αὐτόν τε τὸν χοῦν ὁμοῦ ἤρξαντο κενοῦν, καὶ πῦρ τῶν θεμελίων ἐκπηδῆσαν ἀθρόον, ἅπαντας αὐτοὺς κατηνάλωσεν. ὡς δὲ ἀπηγγέλθη ταῦτα τῷ βασιλεῖ, οὔτε περαιτέρω προάγειν τὴν τόλμαν ἐπεχείρει λοιπὸν (κατείχετο γὰρ τῷ δέει) οὔτε τῆς πλάνης τῶν δαιμόνων ἤθελεν ἀπαλλάττεσθαι, καθάπαξ τυραννηθεὶς ὑπ' αὐτῶν· ἀλλὰ τέως μὲν ἡσυχίαν ἦγε, χρόνου δὲ παρελθόντος μικροῦ τῆς αὐτῆς εἴχετο ματαιοπονίας, τὸν μὲν νεὼν οὐκέτι τολμῶν οἰκοδομεῖν, ἑτέρωθεν δὲ ἀκροβολιζόμενος πρὸς ἡμᾶς. εἰς πόλεμον γὰρ καθεῖναι ″ φανερῶς ἀνεβάλετο τέως, ἑνὸς μὲν μάλιστα καὶ πρώτου, τοῦ πεπεῖσθαι σαφῶς, ἀδυνάτοις ἐπιχειρεῖν· δευτέρου δὲ, τοῦ μηδεμίαν ἡμῖν ἀφορμὴν παρασχεῖν μαρτυρίου στέφανον ἀναδήσασθαι. καὶ γὰρ ἀφόρητον ἦν αὐτῷ καὶ πάσης συμφορᾶς χεῖρον τὸ παραχθέντα τινὰ εἰς μέσον μέχρι τελευτῆς ἐγκαρτερῆσαι ταῖς ὑπὲρ τῆς ἀληθείας βασάνοις. οὕτως ἐκ ψυχῆς τὴν πρὸς ἡμᾶς ἀπέχθειαν ″ ἐπεδείκνυτο. ᾔδει γὰρ, ᾔδει σαφῶς, ὅτι τοῦτο

γρ. τῆς

γρ. ὑφ' ἡλίῳ

γρ. φανερ

γρ. ἀπεδ.

τολμήσαντος αὐτοῦ, πάντες μὲν ὑπὲρ τοῦ Χριστοῦ τὰς ἑαυτῶν προὔδωκαν ψυχάς. κακοῦργος δὲ ὢν καὶ δεινός, τοὺς ὑπὸ τῶν ἀρχόντων τῆς ἐκκλησίας κεκολασμένους διὰ ἁμαρτίας τινὰς καὶ τῆς ἀρχῆς ἐκβεβλημένους πάντας πάντοθεν ἠφίει, τούτῳ τῷ τρόπῳ τοῖς τε πονηροτάτοις ἐξουσίαν διδούς, καὶ τοὺς τῆς ἐκκλησίας ἀνατρέπων θεσμούς, καὶ πρὸς ἀλλήλους συγκρούων ἅπαντας. εὐχερῶς γὰρ αὐτῷ λοιπὸν ἔσεσθαι*, πρότερον ὑπὸ τοῦ πρὸς ἀλλήλους καταλυμηνθέντας πολέμου. καὶ τινα καὶ τῆς τοῦ δόγματος ἕνεκεν διαστροφῆς καὶ τῆς τοῦ βίου μοχθηρίας τῆς ἀρχῆς τῆς ἐκκλησιαστικῆς ἐκβεβλημένον (Στέφανος ὄνομα ἦν αὐτῷ) κελεύει πάλιν τὸν διδασκαλικὸν θρόνον ἀναλαβεῖν· καὶ τὸ κυριακὸν δὲ ὄνομα τέως σβεσθῆναι, τό γε εἰς αὐτὸν ἧκον, ἐσπούδαζε, Γαλιλαίους ἀντὶ χριστιανῶν αὐτός τε ἐν τοῖς προστάγμασι καλῶν, καὶ τοὺς ἄρχοντας τοῦτο προτρέπων ποιεῖν. μεταξὺ δὲ τῶν σημείων τούτων, ὧν εἶπον, γινομένων τῶν κατὰ τὸν λιμὸν καὶ τὸν αὐχμόν, ἔμενεν ἐπὶ τῆς αὐτῆς ἀναιδείας τε καὶ σκληρότητος. καὶ μέλλων ἐπιστρατεύειν τῷ Πέρσῃ, καὶ μετὰ τοσούτου τύφου κατιών, ὡς ἅπαν τὸ τῶν βαρβάρων ἀναρπασόμενος ἔθνος, ἠπείλει μυρίας ἡμῖν ἀπειλάς, λέγων μετὰ τὴν ἐκεῖθεν ἐπάνοδον πάντας ἄρδην ἀπολεῖν. πόλεμον γὰρ αὐτῷ τοῦτον εἶναι ἐδόκει τοῦ Περσικοῦ χαλεπώτερον, καὶ δεῖν πρότερον κατορθώσαντα ἐκεῖνον τὸν ἐλάττω, τότε ἐπὶ τὸν μείζονα τοῦτον ἐλθεῖν. καὶ ταῦτα ἡμῖν οἱ τῆς γνώμης αὐτῷ κοινωνοῦντες ἀπήγγελλον. ζέων δὲ τῷ καθ' ἡμῶν θυμῷ, καὶ καθ' ἑκάστην ἡμέραν πρὸς μείζονα μανίαν αἰρόμενος, οὐδέποτε ἐπὶ τῆς αὐτῆς ἵστατο γνώμης· ἀλλὰ τὴν προτέραν βουλὴν ἀναθέμενος, πάλιν ἠπείλει τὸν διωγμὸν ἡμῖν. βουλόμενος δὲ αὐτὸν ὁ Θεὸς ἀνακρούσασθαι καὶ καταστεῖλαι φλεγμαίνοντα, ἐπήγαγε πάλιν τουτὶ τὸ σημεῖον, ἐν τῇ Δάφνῃ τὸ πῦρ ἐπὶ τὸν νεὼν ἀφείς. ὁ δὲ οὐδὲ οὕτω καθύφηκε τοῦ θυμοῦ, ἀλλὰ τῇ τῆς ἡμετέρας λεηλασίας ἐπιθυμίᾳ διαρρηγνύμενος, οὐδὲ τὸν καιρόν, ὃν ἠπείλησεν, ἔμενεν· ἀλλὰ τὸν Εὐφράτην διαβαίνειν μέλλων, ἀπόπειραν ἐποιεῖτο τῶν στρατιωτῶν, καὶ τινας εὐαριθμήτους κολακείᾳ διαφθείρας, τοὺς ἀντιστάντας οὐ παρέλυσε τῆς στρατείας, δεδοικὼς μὴ διαστήσας αὐτούς, ἀσθενέστερον ἐργάσηται τῷ Πέρσῃ τὸν στρατόν. τίς ἡμῖν λοιπὸν τὰ ἐντεῦθεν διηγήσαιτο, καὶ τὴν κατὰ τὴν ἔρημον, καὶ τὴν κατὰ τὴν θάλατταν, καὶ τὴν κατὰ τὴν Αἴγυπτον, ὅτε ὁ ἀναίσθητος ἐκεῖνος ἐκολάζετο Φαραὼ καὶ πάντες κατεποντίζοντο, ὄντα πολλῷ φοβερώτερα; καθάπερ γὰρ τότε, ἐπεὶ μηδενὶ τῶν τοιούτων εἶξαι συμφορῶν καὶ γενέσθαι βελτίων ἠθέλησεν ὁ Αἰγύπτιος, τέλος αὐτὸν αὐτῷ τῷ στρατοπέδῳ κατέδυσεν· οὕτω καὶ νῦν, ἐπειδὴ πρὸς πάντα ἀναιδῶς ἔστη τοῦ Θεοῦ τὰ τεράστια, καὶ οὐδὲν ἀπ' αὐτῶν κερδᾶναι ἠθέλησεν, ἀλλ' ἔμεινεν ἀδιόρθωτος, τοῖς ἐσχάτοις αὐτὸν λοιπὸν περιέβαλε κακοῖς· ἵν' ἐπειδὴ τοῖς ἑτέρων αὐτὸς σωφρονισθῆναι οὐκ ἠνέσχετο, τοῖς αὐτοῦ παθήμασι γένωνται βελτίους ἕτεροι. ὁ γὰρ τοσαύτας μυριάδας στρατιωτῶν καταγαγών, ὅσας οὐδεὶς τῶν βασιλευσάντων ποτέ, καὶ πᾶσαν τὴν Περσῶν ἐξ ἐπιδρομῆς καὶ ἀπονητὶ προσδοκήσας ἑλεῖν, οὕτως ἀθλίως καὶ ἐλεεινῶς ἔπραξεν, ὡς γυναικῶν μᾶλλον καὶ παιδίων μικρῶν, ἢ ἀνδρῶν στρατόπεδον ἔχων μεθ' ἑαυτοῦ. πρῶτον μὲν γὰρ εἰς τοσαύτην αὐτοὺς ἀνάγκην ὑπὸ τῆς οἰκείας ἀβουλίας κατέστησεν, ὥστε ἱππείων ἀπογεύσασθαι κρεῶν, καὶ τοὺς μὲν τῷ λιμῷ, τοὺς δὲ τῇ δίψῃ διαφθαρέντας ἀποθανεῖν. καθάπερ γὰρ [καὶ] τοῖς Πέρσαις στρατηγῶν, καὶ οὐκ ἐκείνους ἑλεῖν, ἀλλὰ τοὺς οἰκείους αὐτοῖς προδοῦναι σπουδάζων, οὕτως αὐτοὺς εἰς χωρία συνέκλεισεν ἄπορα, καὶ μονονουχὶ δήσας παρέδωκεν. ἀλλὰ πάσας μὲν τὰς ἐκεῖ γινομένας συμφορὰς οὔτε τῶν ἰδόντων τις καὶ πεῖραν εἰληφότων δυνήσεται διεξελθεῖν· οὔπω πᾶσαν ἀπέκρυψεν ὑπερβολήν. ὡς δὲ ἐν κεφαλαίῳ εἰπεῖν, πεσόντος αὐτοῦ αἰσχρῶς καὶ ἐλεεινῶς (οἱ μὲν γὰρ ὑπό τινος τῶν σκευοφόρων τοῖς παροῦσι δυσανασχετοῦντος βληθέντα ἀποθανεῖν αὐτόν φασιν, οἱ δὲ οὐδὲ εἰδέναι τὸν σφαγέα τὸν ἐκείνου λέγουσιν, ἀλλ' ὅτι μόνον ἐπλήγη, καὶ παρεκάλεσεν εἰς τὴν Κιλίκων ταφῆναι γῆν, ἔνθα καὶ κεῖται νῦν) πεσόντος δὴ οὖν οὕτως αἰσχρῶς, ὁρῶντες ἐν τοῖς ἐσχάτοις αὐτοὺς ὄντας οἱ στρατιῶται προσέπεσον τοῖς ἐχθροῖς, καὶ δόντες ὅρκους ἀποστήσεσθαι τοῦ πάντων ἀσφαλεστάτου φρουρίου, καὶ ὃ τῆς καθ' ἡμᾶς οἰκουμένης ὥσπερ τεῖχος ἦν ἀρραγές, φιλανθρώπων τε τυχόντες τῶν βαρβάρων οὕτω διέφυγον, καὶ ἐπανῆλθον ἐκ πολλῶν ὀλίγοι, καὶ αὐτοὶ πεπονηκότες τὰ σώματα, αἰσχυνόμενοι μὲν ἐφ' οἷς συνέθεντο, ἀναγκαζόμενοι δὲ διὰ τοὺς ὅρκους ἀποστῆναι τῶν πατρικῶν κλημάτων αὐτοῖς. καὶ ἦν ἰδεῖν πάσης αἰχμαλωσίας ἐλεεινότερον θέαμα. οἱ γὰρ τὴν πόλιν οἰκοῦντες ἐκείνην, παρ' ὧν χάριτας προσεδόκησαν λήψεσθαι, ὅτι δίκην προβόλου πάντας τοὺς ἔνδον ἐν λιμένι κατέστησαν, ἀντὶ πάντων πρὸς πάντας αὐτοὶ προβεβλημένοι τοὺς κινδύνους ἀεί, παρὰ τούτων τὰ τῶν πολεμίων ἔπαθον, εἰς ἀλλοτρίαν μετοικισάμενοι γῆν, καὶ οἰκίας ἀφέντες καὶ ἀγρούς, καὶ πάντων τῶν κτημάτων ἀποσπώμενοι τῶν προγονικῶν· καὶ ταῦτα ὑπὸ τῶν οἰκείων ὑπομείναντες. τοιαῦτα τοῦ γενναίου βασιλέως ἀπολελαύκαμεν.

Ταῦτα δὲ οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ὥστε λῦσαι τὴν ἀπορίαν τῶν ζητούντων, τί δήποτε μὴ τὸν βασιλέα ἐκόλασεν ἐξ ἀρχῆς ὁ Θεός. ἐβουλήθη μὲν γὰρ αὐτὸν λυττῶντα πολλάκις ἀναστεῖλαι τῆς εἰς τὸ πρόσω φορᾶς, καὶ τοῖς ἑτέρων διορθῶσαι κακοῖς· ἐπειδὴ δὲ ἀντέτεινε, παρέδωκεν αὐτὸν τοῖς ἐσχάτοις κακοῖς, τὴν μὲν ἀληθῆ τῶν αὐτοῦ τολμημάτων ἀντίδοσιν κατὰ τὴν μεγάλην ταμιευόμενος ἡμέραν, καὶ διὰ τῆς παρούσης δὲ κολάσεως τοὺς ὑπτιωτέρους διανιστὰς καὶ σωφρονεστέρους ποιῶν. τοιαύτη γὰρ ἡ τοῦ Θεοῦ μακροθυμία. τοῖς οὐκ εἰς δέον χρωμένοις αὐτῇ πικροτέραν πρὸς τὸ τέλος ἐπάγει τὴν δίκην· καὶ καθάπερ τοῖς μετανοοῦσιν ὠφέλιμος, οὕτω καὶ τοῖς ἀνενδότοις καὶ σκληροῖς μειζόνων γίνεται κολάσεων πρόφασις. εἰ δὲ λέγοι τις, τί οὖν; οὐ προῄδει τὸν τύραννον ἀδιόρθωτον ἐσόμενον ὁ Θεός; ἐροῦμεν, ὅτι προῄδει μέν, ἀλλ' οὐδέποτε παύεται διὰ τὴν πρόγνωσιν τῆς ἡμετέρας κακίας τὰ αὐτοῦ ποιῶν· ἀλλὰ κἂν ἡμεῖς μὴ δεχώμεθα τὴν νουθεσίαν, αὐτὸς τὴν φιλανθρωπίαν ἐπιδείκνυται τὴν αὐτοῦ. εἰ δὲ εἰς μείζονα ἑαυτοὺς ὠθοῦμεν κακά, οὐκέτι τοῦτο παρὰ τὸν οὐ διὰ τοῦτο μακροθυμήσαντα, ἵνα ἀπολώμεθα, ἀλλ' ἵνα σωθῶμεν, ἀλλὰ παρ' ἡμᾶς τοὺς ἐξυβρίσαντας εἰς τὴν ἄφατον ἀνεξικακίαν αὐτοῦ. καὶ οὕτω δὲ τῆς φιλανθρωπίας τὸ ἄπειρον δείκνυται. ὅταν γὰρ μὴ θελήσωμεν αὐτοὶ τῆς πολλῆς αὐτοῦ μακροθυμίας ἀπόνασθαι, τότε εἰς τὸ [ὑπὲρ] ἑτέρων αὐτὴν τρέπει κέρδος, πανταχοῦ τό τε φιλάνθρωπον ὁμοῦ καὶ τὸ εὐμήχανον ἐπιδεικνύς, ὅπερ καὶ τότε γέγονε. καὶ ὁ μὲν τύραννος οὕτω τὸν βίον κατέλυσε· τῆς δὲ μανίας αὐτοῦ, καὶ τῆς δυνάμεως τοῦ μακαρίου Βαβύλα ἕστηκεν ὑπομνήματα ὅ τε νεώς, καὶ τὸ μαρτύριον, ὁ μὲν ἔρημος ὤν, τὸ δὲ τὴν αὐτὴν ἔχον ἐνέργειαν, ἥνπερ καὶ πρότερον. ἡ δὲ λάρναξ οὐκέτι πάλιν ἀνάγεται, τοῦ Θεοῦ καὶ τοῦτο οἰκονομήσαντος, ἵνα τρανωτέρα τοῖς ἐπιγινομένοις γίνηται τῶν τοῦ ἁγίου κατορθωμάτων ἡ γνῶσις. ἕκαστος γὰρ τῶν ἐξ ἀλλοτρίας ἡκόντων, ἐφιστάμενος τῷ τόπῳ, καὶ τὸν μάρτυρα ζητῶν, εἶτα οὐχ ὁρῶν ἐκεῖ, εὐθέως ἐπὶ τὸ ζητῆσαι τὴν αἰτίαν ἔρχεται· καὶ οὕτω πᾶσαν τὴν ἱστορίαν ἀκούσας ἄπεισι, πλέον κερδάνας ἢ πρότερον. οὕτω καὶ παραγενόμενος τῇ Δάφνῃ, καὶ πάλιν αὐτὴν ἐγκαταλιπών, τὰ μέγιστα ὀνίνησι. τοιαύτη ἡ τῶν μαρτύρων ἰσχὺς καὶ ζώντων καὶ τελευτώντων, καὶ τόποις ἐφισταμένων, καὶ πάλιν αὐτοὺς καταλιμπανόντων. καὶ γὰρ ἐξ ἀρχῆς μέχρι τέλους συνῆπται τὰ κατορθώματα συνεχῆ. ὅρα γάρ. ἤμυνε τοῖς τοῦ Θεοῦ νόμοις ὑβριζομένοις· ἔλαβεν ὑπὲρ τοῦ τετελευτηκότος δίκην, ἣν ἔδει· ἔδειξεν ὅσον ἱερωσύνης καὶ βασιλείας τὸ μέσον· κατέλυσε πάντα τὸν τοῦ κόσμου τῦφον· κατεπάτησε τοῦ βίου τὴν φαντασίαν· ἐπαίδευσε τοὺς βασιλεῖς μὴ πέρα τοῦ δοθέντος αὐτοῖς παρὰ τοῦ Θεοῦ μέτρου τὴν ἐξουσίαν προάγειν· ἔδειξε τοῖς ἱερωμένοις, πῶς ταύτης προΐστασθαι τῆς ἀρχῆς δεῖ. καὶ ταῦτα μέν, καὶ τούτων πλείονα, ἡνίκα ἦν ἐν σαρκί. ἐπειδὴ δὲ μετέστη καὶ ἀπεδήμησε, κατέλυσε τοῦ δαίμονος τὴν ἰσχύν, διήλεγξε τὴν τῶν Ἑλλήνων ἀπάτην, ἀπεκάλυψε τῆς μαντείας τὸν λῆρον, συνέτριψε τὸ προσωπεῖον αὐτῆς, καὶ πᾶσαν αὐτῆς τὴν ὑπόκρισιν γυμνώσας ἐπέδειξε, καὶ τὸν ἐν αὐτῇ δοκοῦντα κρατεῖν ἐπιστομίσας καὶ καταβαλὼν μετὰ πολλῆς τῆς σφοδρότητος. καὶ νῦν ἑστᾶσιν οἱ τοῖχοι τοῦ νεὼ πᾶσι κηρύττοντες τοῦ δαίμονος τὴν αἰσχύνην, καὶ τὸν γέλωτα, τὴν ἀσθένειαν· τῶν μαρτύρων τοὺς στεφάνους, τὴν νίκην, τὴν δύναμιν. τοσαύτη ἡ τῶν ἁγίων ἰσχύς· οὕτως ἄμαχος καὶ φοβερὰ καὶ βασιλεῦσι καὶ δαίμοσι καὶ αὐτῷ τῷ τῶν δαιμόνων ἀρχηγῷ. τοῦ γὰρ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μόνου ἡ βασιλεία καὶ ἡ ἰσχύς, καὶ αὐτῷ πρέπει σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ συνανάρχῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ξε. ΕΙΣ ΤΑΣ ΑΓΙΑΣ ΜΑΡΤΥΡΑΣ ΒΕΡΝΙΚΗΝ καὶ Προσδόκην παρθένους, καὶ Δομνίνην τὴν μητέρα αὐτῶν.

Μηνὸς Ὀκτωβρ. δ.

Οὔπω εἴκοσι ἡμέρας ἔχομεν σταυροῦ μνείαν ἐπιτελέσαντες, καὶ ἰδοὺ μαρτύρων μνείαν ἐπιτελοῦμεν. εἶδες πῶς ταχὺς ὁ καρπὸς τοῦ θανάτου τοῦ Χριστοῦ; δι᾽ ἐκεῖνο τὸ πρόβατον αὗται αἱ δαμάλεις ἐσφάγησαν· δι᾽ ἐκεῖνον τὸν ἀμνὸν ταῦτα τὰ θύματα· δι᾽ ἐκείνην τὴν θυσίαν αὗται αἱ προσφοραί. οὔπω εἴκοσι ἡμέρας ἔχομεν, καὶ εὐθέως τὸ ξύλον ἐβλάστησε τοῦ σταυροῦ τὰ καλὰ τῶν μαρτύρων βλαστήματα. ταῦτα γὰρ ἐκείνου τοῦ θανάτου τὰ κατορθώματα. ἴδε τοίνυν τὴν ἀπόδειξιν τῶν τότε εἰρημένων δι᾽ αὐτῶν σήμερον ἐκβεβηκυῖαν τῶν ἔργων. τότε ἔλεγον, ὅτι συνέκλασε τὰς πύλας χαλκᾶς καὶ μοχλοὺς σιδηροῦς συνέθλασε. σήμερον ταῦτα δείκνυται διὰ τῶν ἔργων. εἰ γὰρ μὴ συνέκλασε τὰς πύλας τὰς χαλκᾶς, οὐκ ἂν κεκλεισμένων αὐτῶν ἐτόλμησαν αἱ γυναῖκες οὕτω ῥᾳδίως εἰσελθεῖν· εἰ μὴ συνέθλασε τὸν μοχλὸν τὸν σιδηροῦν, οὐκ ἂν αἱ παρθένοι ἴσχυσαν αὐτὸν ἀφελέσθαι· εἰ μὴ τὸ δεσμωτήριον ἄχρηστον ἐποίησεν, οὐκ ἂν μετὰ τοσαύτης ἀδείας εἰσῆλθον αἱ μάρτυρες. εὐλογητὸς ὁ Θεός, γυνὴ θανάτου κατατολμᾷ· γυνή, ἡ θάνατον εἰς τὴν ζωὴν εἰσαγαγοῦσα τὴν ἡμετέραν, τὸ παλαιὸν ὅπλον τοῦτο τοῦ διαβόλου, τοῦτο τοῦ διαβόλου κατήνεγκε τὴν ἰσχύν· τὸ σκεῦος τὸ ἀσθενές, καὶ εὐεπηρέαστον τοῦτο γέγονεν ὅπλον ἀκαταγώνιστον. γυναῖκες θανάτου κατατολμῶσι· τίς οὐκ ἂν ἐκπλαγείη; αἰσχυνέσθωσαν Ἕλληνες, ἐγκαλυπτέσθωσαν Ἰουδαῖοι οἱ διαπιστοῦντες τῇ ἀναστάσει τοῦ Χριστοῦ. τί γὰρ μεῖζον, εἰπέ μοι, ζητεῖς σημεῖον τῆς ἀναστάσεως ἐκείνης, ὅταν ἴδῃς τοσαύτην μετάστασιν πραγμάτων γεγενημένην; γυναῖκες θανάτου κατατολμῶσι, πράγματος τοῖς καὶ ἀνδράσιν ἁγίοις πρὸ τούτου φοβεροῦ καὶ φρικώδους ὄντος. μάθε τοίνυν αὐτοῦ τὸν ἔμπροσθεν φόβον, ἵνα ἰδὼν αὐτοῦ τὴν νῦν καταφρόνησιν, θαυμάσῃς τὸν τῆς μεταβολῆς αἴτιον Θεόν. μάθε αὐτοῦ τὴν προτέραν ἰσχύν, ἵνα μαθὼν αὐτοῦ τὴν νῦν ἀσθένειαν, εὐχαριστήσῃς τῷ τέλεον αὐτὸν ἐκνευρίσαντι Χριστῷ. οὐδὲν ἰσχυρότερον ἐκείνου τὸ πρότερον, ἀγαπητέ, καὶ οὐδὲν ἀσθενέστερον ἡμῶν· ἀλλὰ νῦν οὐδέν ἐστιν ἀσθενέστερον ἐκείνου, καὶ οὐδὲν ἰσχυρότερον ἡμῶν. εἶδες πῶς ἀρίστη ἡ μετάστασις γέγονε; πῶς τὰ ἰσχυρὰ ἀσθενῆ ἐποίησε, καὶ τὰ ἀσθενῆ ἰσχυρὰ κατεσκεύασεν ὁ Θεός, ἑκατέρωθεν ἡμῖν δεικνὺς αὐτοῦ τὴν δύναμιν; ἀλλ᾽ ἵνα μὴ μόνον ἀπόφασις ᾖ τὰ λεγόμενα, καὶ τὴν ἀπόδειξιν ἐπάγω. καί, εἰ δοκεῖ, πρῶτον ἐκεῖνο δείξωμεν, πῶς ἐφοβοῦντο αὐτὸν ἔμπροσθεν οὐχ ἁμαρτωλοὶ μόνοι, ἀλλὰ καὶ ἅγιοι ἄνθρωποι, πολλὴν παρρησίαν πρὸς τὸν Θεὸν ἔχοντες, ἀπὸ κατορθωμάτων κομῶντες, καὶ πᾶσαν ἐπελθόντες ἀρετήν. ταῦτα δὲ δείκνυμι, οὐχ ἵνα καταγνῶμεν τῶν ἁγίων, ἀλλ᾽ ἵνα θαυμάσωμεν τοῦ Θεοῦ τὴν δύναμιν. πόθεν οὖν δῆλον, ὅτι φοβερὸν τοῦ θανάτου τὸ πρόσωπον ἦν πρὸ τούτου, καὶ πάντες αὐτὸν ἐπεφρίκεισαν καὶ ἔτρεμον; ἀπὸ τοῦ πατριάρχου

συνέθλασε

προφήτου. ὁ γὰρ Ἀβραάμ, ὁ πατριάρχης, ὁ δίκαιος, ὁ τοῦ Θεοῦ φίλος, ὁ πατρίδα ἀφεὶς καὶ οἰκίαν καὶ συγγενεῖς καὶ φίλους, καὶ πάντων ὑπεριδὼν τῶν παρόντων διὰ τὸ πρόσταγμα τοῦ Θεοῦ, οὕτως ἐδεδοίκει καὶ ἐφοβεῖτο τὸν θάνατον, ὡς εἰς τὴν Αἴγυπτον εἰσιέναι μέλλων εἰπεῖν πρὸς τὴν γυναῖκα τὴν ἑαυτοῦ ταῦτα· Γινώσκω ὅτι γυνὴ εὐπρόσωπος εἶ σύ· ἔσται οὖν, ὡς ἂν ἴδωσί σε οἱ Αἰγύπτιοι, σὲ μὲν περιποιήσονται, ἐμὲ δὲ ἀποκτενοῦσι. τί οὖν, εἰπὲ ὅτι ἀδελφὴ αὐτοῦ εἰμι, ἵνα εὖ μοι γένηται διὰ σέ, καὶ ζήσεται ἡ ψυχή μου*. τί τοῦτο, ὦ ἅγιε, καὶ πατριάρχα; περιορᾷς τὸ γύναιον ὑβριζόμενον, καὶ τὴν εὐνὴν ἀδικουμένην, καὶ τὸν γάμον διορυττόμενον; οὕτω δέδοικας, εἰπέ μοι, τὸν θάνατον; οὐ περιορᾷς δὲ μόνον, ἀλλὰ καὶ πλέκεις δόλον μετὰ τῆς γυναικός, καὶ συνυποκρίνῃ τὸ δρᾶμα τῆς ὕβρεως. καὶ πῶς, μὴ γένηται κατάδηλος ὁ βασιλεὺς τῶν Αἰγυπτίων ἐπιχειρῶν τῇ μοιχείᾳ, πάντα παρέπλεκες, καὶ περιελὼν αὐτῆς τὸ ὄνομα τῆς γυναικός, περιέθηκας αὐτῇ τὸ προσωπεῖον τῆς ἀδελφῆς; ἀλλὰ γὰρ δέδοικα μὴ θανάτου σπουδάζοντες παραλῦσαι δύναμιν, φανῶμεν τοῦ δικαίου κατηγοροῦντες. διόπερ ἀμφότερα ποιῆσαι πειρασόμεθα, καὶ τοῦ θανάτου δεῖξαι τὴν ἀσθένειαν, καὶ τοῦτον τῆς κατηγορίας ἐξαρπάσαι ταύτης. πρότερον δὲ αὐτὸν ἀναγκαῖον δεῖξαι δεδοικότα τὸν θάνατον, καὶ τότε ἀπαλλάξαι τῶν ἐγκλημάτων. ἴδωμεν τοίνυν ὅσον πρᾶγμα ὑπέμεινεν ἀφόρητον καὶ δεινόν. τὸ γὰρ γυναῖκα ὑβριζομένην καὶ μοιχευομένην θεάσασθαι μυρίων θανάτων ἀφορητότερόν ἐστι. καὶ τί λέγω μοιχευομένην; κἂν ψιλὴν τινὰ ἔννοιαν ὑποψίας περὶ αὐτῆς ἐν τῇ ψυχῇ "λάβοι τις, ἀβίωτος ὁ βίος αὐτῷ ἅπας "γίνεται. πῦρ γάρ τι καὶ φλόξ ἐστιν "ἀκαταγώνιστος, τὸ τῆς ζηλοτυπίας πάθος. καὶ τὸ τυραννικὸν αὐτοῦ καὶ ἀπαραίτητον δηλῶν τις ἔλεγε· Μεστὸς γὰρ ζήλου θυμὸς ἀνδρὸς αὐτῆς. οὐκ ἀνταλλάξεται οὐδενὸς λύτρου τὴν ἔχθραν, οὐδὲ μὴ φείσηται ἐν ἡμέρᾳ κρίσεως, οὐδὲ οὐ μὴ διαλυθῇ πολλῶν δώρων. καὶ πάλιν ἀλλαχοῦ· Σκληρὸς ὡς ᾅδης ζῆλος. ὥσπερ γὰρ οὐκ ἔστι, φησί, τὸν ᾅδην χρήμασι πεῖσαι, οὕτως οὐδὲ τὸν ζηλοτυποῦντα παραμυθήσασθαι καὶ καταλλάξαι. πολλοὶ γοῦν πολλάκις καὶ τὴν ψυχὴν προήκαντο τὴν ἑαυτῶν, ὥστε τὸν μοιχὸν εὑρεῖν· καὶ τοῦ αἵματος δὲ αὐτοῦ ἡδέως ἂν ἀπογεύσαιντο τοῦ τὴν γυναῖκα ὑβρικότος ἀνδρός, καὶ πάντα ἂν ἕλοιντο καὶ ποιῆσαι καὶ παθεῖν διὰ τοῦτο· ἀλλ' ὅμως τοῦτο τὸ ἀφόρητον πάθος, τοῦτο τὸ τυραννικὸν καὶ ἀπαραίτητον ὑπέμεινεν ὁ δίκαιος μετὰ πλείονος ὑπερβολῆς, καὶ "περιορᾷ τὴν γυναῖκα ὑβριζομένην διὰ τὸν φόβον τοῦ θανάτου καὶ τῆς τελευτῆς. ὅτι μὲν οὖν ἐδεδοίκει τὸν θάνατον, ἐκ τούτου δῆλον. ὥρα δὲ λοιπὸν αὐτὸν ἀπαλλάξαι τῶν ἐγκλημάτων καὶ τῆς κατηγορίας τῆς ἐπὶ τούτῳ, πρότερον αὐτὴν εἰπόντα τὴν κατηγορίαν. τίς οὖν ἐστιν ἡ κατηγορία; ἔδει, φησίν, αὐτὸν ἀποθανεῖν μᾶλλον, ἢ περιιδεῖν τὴν γυναῖκα ὑβριζομένην. καὶ τοῦτό ἐστιν ὃ κατηγοροῦσί τινες, ὅτι εἵλετο μᾶλλον τὴν ἑαυτοῦ διασῶσαι ζωήν, ἢ τὴν σωφροσύνην τῆς γυναικός. τί λέγεις; ἔδει μᾶλλον αὐτὸν ἀποθανεῖν, ἢ τὴν γυναῖκα περιιδεῖν ὑβριζομένην; καὶ τί πλέον ἐγίγνετο; εἰ μὲν γὰρ ἔμελλεν ἀποθνήσκων ἐξαρπάζειν τὴν γυναῖκα τῆς ὕβρεως, καλῶς ταῦτα φατέ· εἰ δὲ ἀποθανὼν οὐδὲν ὠφέλει τὴν γυναῖκα πρὸς τὴν τῆς ὕβρεως ἀπαλλαγήν, τίνος ἕνεκεν εἰκῇ καὶ ἁπλῶς τὴν ἑαυτοῦ προδίδωσι σωτηρίαν; ἵνα γὰρ μάθῃς, ὅτι οὐδὲ ἀποθανὼν ἔμελλεν ἐξαρπάζειν αὐτὴν τῆς μοιχείας, ἄκουσον τί φησι· Καὶ ἔσται, ὡς ἂν σε ἴδωσιν οἱ Αἰγύπτιοι, σὲ μὲν περιποιήσονται, ἐμὲ δὲ ἀποκτενοῦσι. δύο τοίνυν ἔμελλε "τίκτεσθαι ἄτοπα, μοιχεία καὶ φόνος. οὐ τῆς τυχούσης δὲ ἦν συνέσεως ἐκ τῶν δύο τούτων ἓν γοῦν κερδᾶναι. εἰ μὲν γὰρ ἔμελλε (πάλιν γὰρ τὸ αὐτὸ ἐρῶ) τὴν ψυχὴν ἐπιδοὺς τὴν ἑαυτοῦ, ἀπαλλάττειν ἐκείνην τῆς ὕβρεως, καὶ ἀποκτείναντες ἐκεῖνοι τὸν δίκαιον τῆς Σάρρας οὐχ ἥπτοντο, καλῶς ἐνεκάλεις· εἰ δὲ καὶ ἀποθανόντος αὐτοῦ ὁμοίως ἔμελλεν ὑβρίζεσθαι ἡ γυνή, τίνος ἕνεκεν τοῦ δικαίου κατηγορεῖς, ὅς γε δύο μελλόντων συμβαίνειν δεινῶν, μοιχείας καὶ φόνου, θάτερον διὰ τῆς αὐτοῦ σοφίας ἐκώλυσε, τὸ

τῆς

Γεν. ιβ. ια.

Παροιμ. ϛ. λδ. λε.

Ασμ. η. ϛ.

* ἕνεκέν σ

χ. κἄν ποτε

χ. γίνεται

χ. ἀκατάσβε-
στος

ἴσ. ἀπολ

χ. γίνεσθαι

τῆς ἀνδροφονίας λέγω; ὑπὲρ γὰρ τούτου καὶ ἐπαινεῖσθαι αὐτὸν ἔδει, ὅτι καθαρὰν ἐτήρησεν αἵματος τὴν τοῦ μοιχοῦ χεῖρα. οὐδὲ γὰρ ἐκεῖνο ἂν ἔχοις εἰπεῖν, ὅτι "παρὰ τὸ εἰπεῖν αὐτὴν, ὅτι ἀδελφὴ αὐτοῦ εἰμι," τοῦτο ἐπεσπάσατο τὸν Αἰγύπτιον πρὸς τὴν ὕβριν. καὶ γὰρ εἰ εἶπεν, ὅτι γυνὴ αὐτοῦ εἰμι, οὐδὲ οὕτως ἔμελλεν ἀποστήσεσθαι. καὶ τοῦτο ἐδήλωσεν αὐτὸς εἰπών· ὡς ἐὰν ἴδωσί σε, ἐροῦσιν, ὅτι γυνὴ αὐτοῦ αὕτη, καὶ ἀποκτενοῦσί με· σὲ δὲ περιποιήσονται. ὥστε εἰπούσης μὲν, ὅτι γυνὴ αὐτοῦ ἦν, καὶ μοιχεία καὶ φόνος ἐγίνετο· εἰπούσης δὲ, ὅτι ἀδελφὴ, τὸ τοῦ φόνου διεκωλύετο. ὁρᾷς πῶς δύο μελλόντων συμβαίνειν δεινῶν θάτερον διὰ τῆς αὐτοῦ σοφίας ἀνεῖλε; βούλει μαθεῖν, πῶς καὶ τῆς μοιχείας τὸ ἔγκλημα κατὰ δύναμιν τὴν ἑαυτοῦ πάλιν ὑποτέμνεται, ὥστε μηδὲ μοιχὸν αὐτὸν ἀπηρτισμένον ἀφεῖναι γενέσθαι; ἄκουσον αὐτῶν πάλιν ἀκριβῶς τῶν ῥημάτων. Εἰπὲ, φησιν, ὅτι ἀδελφὴ αὐτοῦ εἰμι. ὥστε ὁ ἀδελφὴν λαμβάνων οὐκ "ἔτι μοιχός. ὁ γὰρ μοιχὸς ἀπὸ τῆς προαιρέσεως κρίνεται). ἐπεὶ καὶ ὁ Ἰούδας πρὸς τὴν νύμφην τὴν ἑαυτοῦ εἰσελθὼν τὴν Θάμαρ, οὐκ ἐκρίνετο μοιχός. οὐ γὰρ ὡς πρὸς νύμφην, ἀλλ' ὡς πρὸς πόρνην εἰσῆλθε γυναῖκα. οὕτω καὶ ἐνταῦθα ὁ Αἰγύπτιος μέλλων αὐτὴν λαμβάνειν οὐχ ὡς γυναῖκα τοῦ Ἀβραάμ, ἀλλ' ὡς ἀδελφὴν, οὐκ ἔμελλε μοιχὸς κρίνεσθαι. τί οὖν τοῦτο πρὸς τὸν Ἀβραάμ, φησι, τὸν εἰδότα, ὅτι γυναῖκα τὴν ἑαυτοῦ ἐξεδίδου, καὶ οὐκ ἀδελφήν; ἀλλ' οὐδὲ τοῦτο ἔγκλημα τούτου. εἰ μὲν γὰρ ἔμελλεν ἀκούσας, ὅτι γυνὴ αὐτοῦ ἐστιν, ἀφέξεσθαι τῆς ὕβρεως, καλῶς ἐνεκάλεις τῷ δικαίῳ· εἰ δὲ οὐδὲν ἔμελλε τὸ ὄνομα τῆς γυναικὸς "προστήσεσθαι τῆς Σάρρας εἰς τὸ τὴν ὕβριν ἀποκρούσασθαι, καθὼς καὶ αὐτός φησιν, ὅτι ἐροῦσιν ὅτι γυνὴ αὐτοῦ ἐστιν αὕτη, καὶ περιποιήσονταί σε, πολλῷ μᾶλλον θαυμάζειν τὸν δίκαιον χρὴ ἐν τοσαύτῃ πράγματος δυσκολίᾳ δυνηθέντα καὶ αἵματος καθαρὸν τηρῆσαι τὸν Αἰγύπτιον, καὶ εἰς δύναμιν τὴν ἑαυτοῦ τὸ ἔγκλημα τῆς ὕβρεως παραμυθήσασθαι.

Γε. λη. ιε.

Ἄγωμεν δὴ λοιπὸν τὸν λόγον καὶ ἐπὶ τὸν ἔκγονον αὐτοῦ τὸν Ἰακώβ· καὶ ὄψει κἀκεῖνον δεδοικότα καὶ τρέμοντα τὴν τελευτὴν, ἄνθρωπον ἐκ πρώτης ἡλικίας ἀποστολικὴν ἐπιδειξάμενον φιλοσοφίαν. ὁ γὰρ Παῦλος τοῖς μαθηταῖς ἐνομοθέτει λέγων, Ἔχοντες τροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα, τοῦτο καὶ οὗτος ᾔτησε παρὰ τοῦ Θεοῦ εἰπών· Ἂν δῷ μοι Κύριος ἄρτον φαγεῖν, καὶ ἱμάτιον περιβαλέσθαι, ἀρκεῖ ἡμῖν. ἀλλ' ὅμως καὶ οὗτος, ὁ μηδὲν πλέον τῆς χρείας ζητῶν, ὁ τῆς οἰκίας ὑπεριδὼν, ὁ "τὰς εὐλογίας λαβὼν, ὁ τῇ μητρὶ πεισθεὶς, ὁ τῷ Θεῷ φίλος, ὁ διὰ τῆς σοφίας βιασάμενος τὴν φύσιν (δεύτερος γὰρ ὢν τῇ φύσει, πρότερος γέγονε ταῖς εὐλογίαις) ὁ τοσαῦτα δυνηθεὶς, ὁ τοσαῦτα φιλοσοφήσας, ὁ τοσαύτην εὐσέβειαν ἐπιδειξάμενος, μετὰ τοὺς μυρίους ἄθλους, μετὰ τὰ μυρία σκάμματα, μετὰ τὰ μυρία παλαίσματα καὶ τοὺς πολλοὺς στεφάνους ἐκείνους, ἐπὶ τὴν πατρίδα ἐπιδημῶν, καὶ μέλλων ἐντεύξεσθαι τῷ ἀδελφῷ, καθάπερ θηρίον ὄψεσθαι" μέλλων, καὶ φοβούμενος αὐτοῦ τὴν μνησικακίαν, παραιτεῖται τῷ Θεῷ, καὶ παρακαλεῖ, Ἐξελοῦ με ἐκ χειρὸς Ἡσαῦ τοῦ ἀδελφοῦ μου λέγων, ὅτι φοβοῦμαι ἐγὼ αὐτὸν, μή ποτε ἐλθὼν πατάξῃ με, καὶ μητέρα ἐπὶ τέκνοις. Εἶδες πῶς καὶ οὗτος ἐδεδοίκει τὸν θάνατον; πῶς τρέμει, καὶ τὸν Θεὸν παρακαλεῖ περὶ τούτου; βούλει σοι δείξω καὶ ἕτερον μέγαν ἄνθρωπον τὸ αὐτὸ τοῦτο πεπονθότα πάλιν; ἐννόησον τὸν Ἠλίαν, τὴν οὐρανομήκη ψυχὴν καὶ θείαν. ἐκεῖνος γὰρ ὁ τὸν οὐρανὸν κλείσας, καὶ πάλιν ἀνοίξας, ὁ τὸ πῦρ ἄνωθεν κατενεγκὼν, ὁ τὴν θαυμαστὴν θυσίαν προσενεγκὼν, ὁ ζηλώσας ὑπὲρ τοῦ Θεοῦ, ἐκεῖνος ὁ ἐν σώματι ἀνθρωπίνῳ ἀγγελικὸν ἐπιδειξάμενος βίον, ὁ τῆς μηλωτῆς πλέον ἔχων οὐδὲν, ὁ πάντων ἀνωτέρω γενόμενος τῶν ἀνθρωπίνων, οὕτω τὸν θάνατον τρέμει καὶ δέδοικεν, ὡς μετὰ πάντα ἐκεῖνα, μετὰ τὸν οὐρανὸν καὶ τὴν θυσίαν, μετὰ τὴν μηλωτὴν καὶ τὴν ἐρημίαν καὶ τὴν φιλοσοφίαν καὶ τὴν παρρησίαν τὴν τοσαύτην, γύναιον εὐτελὲς φοβηθῆναι, καὶ φυγεῖν διὰ τοῦτο. ἐπειδὴ γὰρ εἶπεν Ἰεζάβελ· Τάδε ποιήσαισάν μοι

α. Τιμ. ϛ. η.
Γεν. κη. κ.
Γεν λϐ. ια.
γ. Βασ. ιθ. ϐ.

οἱ θεοί, καὶ τάδε προσθείησαν, εἰ μὴ αὔριον τὴν ψυχήν σου θήσομαι, ὡς τὴν ψυχὴν ἑνὸς τῶν τεθνηκότων· ἐφοβήθη Ἠλίας, φησί, καὶ ἔφυγεν ὁδὸν ἡμερῶν τεσσαράκοντα. Εἶδες, πῶς φοβερὸς ὁ θάνατος; θαυμάσωμεν τοίνυν τὸν δεσπότην, ὅτι τὸ φοβερὸν οὕτω τοῖς προφήταις, εὐκαταφρόνητον ἐποίησε γυναιξίν. ὁ Ἠλίας ἔφυγε θάνατον· γυναῖκες κατέφυγον εἰς θάνατον.* Εἶδες πόσην γέγονεν ἀθρόον ἡ μεταβολή; οἱ περὶ τὸν Ἀβραὰμ καὶ τὸν Ἠλίαν ἀγωνιῶσι τὴν τελευτήν· γυναῖκες δὲ καθάπερ πηλὸν τοῖς ποσὶν ἑαυτῶν κατεπάτησαν θάνατον. ἀλλὰ μηδὲ ἐκείνων τῶν ἁγίων κατηγορήσωμεν· οὐκ ἔστιν αὐτῶν τὸ ἔγκλημα· τῆς φύσεως ἦν ἡ ἀσθένεια, οὐ τῆς προαιρέσεως ἡ κατηγορία. ὁ Θεὸς τότε ἐβούλετο φοβερὸν εἶναι τὸν θάνατον, ἵνα δειχθῇ μετὰ ταῦτα τῆς χάριτος τὸ μέγεθος. φοβερὸν αὐτὸν εἶναι ἐβούλετο· καταδίκη γὰρ ἦν· διὰ τοῦτο οὐκ ἤθελε λυθῆναι τῆς καταδίκης τὴν ἀπειλήν, ἵνα μὴ ῥαθυμότεροι μετὰ ταῦτα γένωνται οἱ ἄνθρωποι. μενέτω, φησίν, ἡ ἀπόφασις φοβοῦσα αὐτοὺς καὶ σωφρονίζουσα. ἔσται γάρ, ἔσται καιρός, καθ' ὃν καὶ τῆς ἀγωνίας ἀπαλλαγήσονται ταύτης· ὃ δὴ καὶ συνέβη. ὅτι γὰρ ἡμᾶς ἀπήλλαξε τῆς ἀγωνίας ταύτης, δηλοῦσι μὲν οἱ μάρτυρες, δηλοῖ δὲ πρὸ τῶν μαρτύρων ὁ Παῦλος. ἤκουσας ἐν τῇ παλαιᾷ τοῦ Ἀβραὰμ λέγοντος, ὅτι Σὲ μὲν περιποιήσονται, ἐμὲ δὲ ἀποκτενοῦσιν; ἤκουσας τοῦ Ἰακὼβ λέγοντος· Ἐξελοῦ με, Κύριε, ἐκ χειρὸς Ἡσαῦ τοῦ ἀδελφοῦ μου, ὅτι φοβοῦμαι ἐγὼ αὐτόν; Εἶδες τὸν Ἠλίαν φεύγοντα γυναικὸς ἀπειλὴν διὰ τὸν θάνατον; ἄκουσον πῶς ὁ Παῦλος περὶ τοῦ πράγματος τούτου διάκειται· εἰ φοβερὸν αὐτὸ εἶναι νομίζει, καθάπερ ἐκεῖνοι· εἰ λυπεῖται ἐπιόντος αὐτοῦ, καὶ δέδοικε. τοὐναντίον μὲν οὖν, καὶ ποθεινὸν εἶναι νομίζει τὸ πρᾶγμα. διὰ τοῦτό φησι, Τὸ ἀναλῦσαί με, καὶ σὺν Χριστῷ εἶναι πολλῷ μᾶλλον κρεῖσσον. ἐκείνοις φοβερόν, τούτῳ κρεῖττον· ἐκείνοις ἀηδές, τούτῳ ἡδύ· καὶ μάλα εἰκότως. τὸ μὲν γὰρ πρότερον ὁ θάνατος εἰς τὸν ᾅδην κατῆγε· νυνὶ δὲ ὁ θάνατος πρὸς τὸν Χριστὸν παραπέμπει. διὰ τοῦτο ὁ μὲν Ἰακὼβ φησι· Κατάξετε τὸ γῆράς μου μετὰ λύπης εἰς ᾅδην· ὁ δὲ Παῦλος ἔλεγε, Τὸ ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναί με πολλῷ μᾶλλον κρεῖσσον. ταῦτα δὲ ἔλεγεν οὐ καταγινώσκων τῆς παρούσης ζωῆς (μὴ γένοιτο· *φυλαττώμεθα γὰρ καὶ τὰς τῶν αἱρετικῶν λαβάς) οὐδὲ ὡς πονηρὰν φεύγων αὐτήν, ἀλλ' ὡς κρείττονος τῆς μελλούσης ἐπιθυμῶν. οὐ γὰρ εἶπε, τὸ ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι καλὸν ἁπλῶς, ἀλλὰ κρεῖσσον· τὸ δὲ κρεῖσσον καλοῦ τινος *ἔσται κρεῖσσον. ὥσπερ γὰρ ὅταν λέγῃ, ὅτι ὁ ἐκγαμίζων καλῶς ποιεῖ, ὁ δὲ μὴ ἐκγαμίζων κρεῖσσον ποιεῖ, καλὸν μὲν δείκνυσιν ὄντα τὸν γάμον, κρείσσω δὲ τὴν παρθενίαν· οὕτω δὴ καὶ ἐνταῦθα· καλὴ μὲν ἡ παροῦσα ζωή, φησι, πολὺ δὲ βελτίων ἡ μέλλουσα. πάλιν ἀλλαχοῦ τὰ αὐτὰ δὴ ταῦτα φιλοσοφῶν ἔλεγεν· Εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν, χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν· τὸ δὲ αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετε. τί φής; ἀποθνήσκεις, Παῦλε, καὶ κοινωνοὺς καλεῖς τῆς ἡδονῆς τοὺς ἀνθρώπους; τί γέγονεν, εἰπέ μοι; οὐκ ἀποθνήσκω, φησίν, ἀλλ' ἐπὶ τὴν μείζονα ἀναβαίνω ζωήν. καθάπερ οὖν οἱ ἄνθρωποι ἀρχὴν λαμβάνοντες, πολλοὺς καλοῦσι τοὺς κοινωνήσοντας αὐτοῖς τῆς εὐφροσύνης, οὕτω καὶ Παῦλος ἐπὶ τὸν θάνατον ἰών, ἐκάλει τοὺς συνησθησομένους αὐτῷ. ἀνάπαυσις γάρ ἐστιν ὁ θάνατος, καὶ πόνων ἀπαλλαγή, καὶ ἱδρώτων ἀντίδοσις, καὶ ἀμοιβὴ παλαισμάτων καὶ στέφανος. διὰ τοῦτο παρὰ μὲν τὴν ἀρχὴν ἐπὶ τοῖς νεκροῖς κοπετοί τινες ἐγίγνοντο καὶ θρῆνοι· νυνὶ δὲ ψαλμοὶ καὶ ὑμνῳδίαι. ἔκλαυσαν γοῦν τὸν Ἰακὼβ τεσσαράκοντα ἡμέρας· ἔκλαυσαν καὶ τὸν Μωϋσῆν ἑτέρας τοσαύτας οἱ Ἰουδαῖοι, καὶ ἐκόψαντο, ἐπειδὴ θάνατος τότε ὁ θάνατος ἦν. νυνὶ δὲ οὐχ οὕτως· ἀλλὰ ὑμνῳδίαι καὶ εὐχαὶ καὶ ψαλμοί, δηλούντων ἁπάντων, ὅτι ἡδονὴν ἔχει τὸ πρᾶγμα. οἱ γὰρ ψαλμοὶ εὐθυμίας σύμβολον. Εὐθυμεῖ γάρ τις, φησιν, ἐν ὑμῖν; ψαλλέτω. ἐπεὶ οὖν εὐθυμίας ἐσμὲν πεπληρωμένοι, διὰ τοῦτο ψάλλομεν ἐπὶ τοῖς νεκροῖς ψαλμοὺς θαρρεῖν ὑπὲρ τῆς τελευτῆς παρακελευομένους. Ἐπίστρε-

ψον

Γεν. ιϐ. ια.
Γεν. λϐ. ια.
Φιλιπ. α. κγ.
Γεν. μϐ. λη.
Φιλιπ. α. κγ.
Φιλιπ. ϐ. ιζ.
Ιακ. ε. ιγ.
Ψαλ. ριϛ. ζ.

* ἐκεῖνοι ἐπτοήθησαν θάνατον, αὗται ἐδίωξαν θάνατον.

χ. μὴ δῶμεν χώραν ταῖς τῶν αἱρετικῶν λαβαῖς

ἴσ. ἐπὶ

ψον γάρ, φησι, ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐεργέτησέ σε. ὁρᾷς εὐεργεσίαν ὄντα τὸν θάνατον καὶ ἀνάπαυσιν; ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν ἐκείνην κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός.

Καὶ περὶ μὲν τοῦ θανάτου τοσαῦτα. φέρε δὴ λοιπὸν ἐπὶ τὸ ἐγκώμιον τῶν μαρτύρων ἴωμεν, εἰ μὴ ἀπεκάμετε πρὸς τὴν ἀκρόασιν. καὶ γὰρ καὶ ταῦτα ἀπὸ τοῦ τῶν μαρτύρων ἐγκωμίου τὴν ὑπόθεσιν ἔλαβε· μικρὸν δὲ ἀνωτέρω τὸν λόγον ἀγαγεῖν ἀναγκαῖον. πόλεμος ἀνερριπίσθη ποτὲ κατὰ τῆς ἐκκλησίας χαλεπὸς, πολέμων ἁπάντων" πικρότατος. διπλοῦς γὰρ οὗτος ὁ πόλεμος ἦν, ὁ μὲν ἔσωθεν, ὁ δὲ ἔξωθεν· ὁ μὲν παρὰ τῶν οἰκείων, ὁ δὲ παρὰ τῶν πολεμίων· ὁ μὲν παρὰ τῶν ἀλλοτρίων, ὁ δὲ παρὰ τῶν γνωρίμων. καίτοι εἰ καὶ ἁπλοῦς ὁ πόλεμος ἦν, ἀφόρητον ὑπῆρχε τὸ κακόν· καὶ εἰ ἔξωθεν προσέβαλλε μόνον, μέγα τῶν δεινῶν τὸ μέγεθος ἦν. νυνὶ δὲ διπλοῦς ἦν οὗτος, καὶ τοῦ παρὰ τῶν ἔξωθεν ὁ παρὰ τῶν οἰκείων χαλεπώτερος. τὸν μὲν γὰρ ὡμολογημένον ἐχθρὸν ῥᾳδίως φυλάττεσθαι δυνατόν· ὁ δὲ φίλου μὲν ἔχων πρόσωπον, τὰ δὲ ἐχθρῶν διατιθεὶς, δυσάλωτος τοῖς ἐπιβουλευομένοις ἐστί. διπλοῦς τοίνυν τότε ὁ πόλεμος ἦν, ὁ μὲν ἐμφύλιος, ὁ δὲ παρὰ τῶν ἔξωθεν ἐπιών· μᾶλλον δὲ, εἰ χρὴ "τἀληθὲς εἰπεῖν, ἑκάτερος ὁ πόλεμος ἐμφύλιος ἦν. καὶ γὰρ οἱ ἔξωθεν προσβάλλοντες δικασταὶ καὶ ἄρχοντες καὶ στρατιῶται, οὐκ ἀλλόφυλοί τινες ἦσαν καὶ βάρβαροι καὶ ἄλλης ἀρχῆς καὶ βασιλείας, ἀλλὰ τοῖς αὐτοῖς διοικούμενοι νόμοις, τὴν αὐτὴν πατρίδα οἰκοῦντες, τῆς αὐτῆς μετέχοντες πολιτείας. ὁ μὲν οὖν ἐμφύλιος ἦν ὁ παρὰ τῶν δικαστῶν· ὁ δὲ χαλεπώτερος ὁ παρὰ τῶν συγγενῶν, ὁ καινὸς καὶ παράλογος καὶ πολλῆς γέμων ὠμότητος. καὶ γὰρ ἀδελφοὺς ἀδελφοὶ προεδίδοσαν, καὶ πατέρες τέκνα, καὶ ἄνδρες γυναῖκας, καὶ πάντα τὰ τῆς συγγενείας ἐπατεῖτο δίκαια, καὶ πᾶσα ἡ οἰκουμένη ἀνάστατος ἦν, καὶ οὐδεὶς οὐδένα τότε ἐπεγίνωσκεν. ἐκράτει γὰρ ὁ διάβολος μετὰ πολλῆς τῆς ὑπερβολῆς. ἐν ἐκείνῳ τοίνυν τῷ θορύβῳ καὶ τῷ πολέμῳ αἱ γυναῖκες αὗται (εἴ γε γυναῖκας αὐτὰς χρὴ καλεῖν. καὶ γὰρ ἐν γυναικείῳ σώματι ἀνδρῶν ἐπεδείξαντο φρόνημα· μᾶλλον δὲ οὐκ ἀνδρῶν ἐπεδείξαντο φρόνημα μόνον, ἀλλὰ καὶ αὐτὴν ὑπερέβησαν τὴν φύσιν, καὶ πρὸς τὰς ἀσωμάτους δυνάμεις τὴν ἅμιλλαν ἔθεντο) αὗται τοίνυν αἱ γυναῖκες ἀφεῖσαι πόλιν καὶ "οἰκίαν καὶ συγγενεῖς, πρὸς τὴν ἀλλοτρίαν μετετάξαντο. ὅταν γὰρ, φησιν, ὁ Χριστὸς ἀτιμάζηται, μηδὲν ἡμῖν ἔστω τίμιον μηδὲ ἀναγκαῖον. διὰ τοῦτο πάντα ἀφεῖσαι ἐξῆλθον. καὶ καθάπερ οἰκίας ἐν μέσῃ νυκτὶ πυρπολουμένης, οἱ καθεύδοντες ἔνδον, ἐπειδὰν αἴσθωνται τοῦ θορύβου, ταχέως ἐξαλλόμενοι τῆς κλίνης, ἐκπηδῶσι τῶν προθύρων, * οὐδὲν τῶν ἔνδον λαβόντες (ἓν γὰρ μόνον σπουδάζουσιν, ὅπως τὸ σῶμα τὸ ἑαυτῶν προεξαρπάσωσι τῆς φλογὸς, καὶ τὸν τοῦ πυρὸς φθάσωσι δρόμον μετὰ πολλῆς ἐπιόντα τῆς ταχύτητος) οὕτω δὴ καὶ αὗται ἐποίησαν. ἰδοῦσαι γὰρ τὴν οἰκουμένην ἅπασαν ἐμπυριζομένην, εὐθέως ἐξεπήδησαν καὶ ἐξήλαντο τῶν προθύρων τῆς πόλεως, ἓν μόνον ζητοῦσαι, τὴν σωτηρίαν τῆς ἑαυτῶν ψυχῆς παντὶ τρόπῳ διαφυλάξαι. καὶ γὰρ ἐμπρησμὸς τότε χαλεπὸς ἦν, καὶ σκότος ἐκράτει βαθὺ, σκότος τοῦ νυκτερινοῦ τούτου ζοφωδέστερον. καὶ διὰ τοῦτο καθάπερ ἐν σκότῳ τοὺς φίλους ἠγνόουν οἱ φίλοι, καὶ ἄνδρες προεδίδοσαν γυναῖκας· διὰ τοῦτο τοὺς μὲν ἐχθροὺς παρέτρεχον, τοῖς δὲ φίλοις καὶ τοῖς οἰκείοις προσερρήγνυντο, καὶ νυκτομαχία τις ἦν χαλεπὴ, καὶ πολλοῦ θορύβου τὰ πράγματα ἔγεμε. τότε τοίνυν ἐξῆλθον αὗται τὴν πατρίδα ἀφεῖσαι, καὶ τὸν πατριάρχην ζηλώσασαι τὸν Ἀβραὰμ, πρὸς ὃν εἴρητο· Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου. καὶ γὰρ καὶ ταύταις ὁ τοῦ διωγμοῦ καιρὸς ταῦτα παρῄνει, ἐξελθεῖν ἐκ τῆς γῆς καὶ ἐκ τῆς συγγενείας, ὥστε κληρονομῆσαι τὸν οὐρανόν. ἐξῄει τοίνυν ἐκ τῆς οἰκίας ἡ γυνὴ δύο μεθ' ἑαυτῆς ἔχουσα θυγατέρας. σὺ δὲ μὴ παραδράμῃς ἁπλῶς ἀκούων, ὅτι ἐξῆλθον γυναῖκες ἐλευθερίως ἀνατραφεῖσαι, μηδέ ποτε πεῖραν λαβοῦσαι τῶν δεινῶν τούτων· ἀλλ' ἀναλόγισαι τῇ διανοίᾳ ὅσον ἦν τὸ κακὸν, ὅσην ἔχει τὸ πρᾶγμα δυσκολίαν. εἰ γὰρ ἄν-

γρ. βαρύτατος.

γρ. ἐπιὼν χρὴ,

γρ. τὸ θαυμασί

γρ. οἰκίας

* τῆς οἰκίας,

γρ. ἐξήλλοντο

Γεν. ιβ α.

θεράποντες σύμμετρον ἀποδημίαν στελλόμενοι, ὑποζυγίων εὐποροῦντες, διακόνους ἔχοντες, μετὰ ἀδείας ὁδεύοντες, κύριοι τῆς ἐπανόδου ὄντες, πολλῶν αἰσθάνονται τῶν μοχθηρῶν, πολλὴν ὑπομένουσι ταλαιπωρίαν· ὅπου γυνή, καὶ παρθένοι, καὶ διακόνων ἐρημία, καὶ φίλων προδοσία, καὶ θόρυβος, καὶ ταραχή, καὶ φόβος ἀφόρητος, καὶ κίνδυνος [ἐν αὐταῖς] ποικίλος, καὶ περὶ ψυχῆς ὁ δρόμος, καὶ πανταχόθεν οἱ πολέμιοι, ποῖος λόγος τὰ ἀγωνίσματα τῶν γυναικῶν παραστῆσαι δυνήσεται, τὴν ἀνδρείαν, τὴν μεγαλοψυχίαν, τὴν πίστιν; Εἰ γὰρ μόνη ἐξῆλθεν ἡ μήτηρ, οὐκ ἦν καὶ οὕτως ἀφόρητος ὁ ἀγών· νυνὶ δὲ καὶ τὰς θυγατέρας ἐπήγετο, καὶ ταύτας παρθένους. διπλῆ ἡ ἀγωνία καὶ πολλὴ τῆς φροντίδος ἡ προσθήκη. ὅσῳ γὰρ μέγα τὸ κλῆμα, τοσούτῳ δυσκολωτέρα ἡ φυλακή. ἐξῄει τοίνυν παρθένους ἔχουσα, καὶ οὐκ ἔχουσα κατακρύψαι αὐτὰς ἐν θαλάμοις. καίτοι ἴστε, ὅτι καὶ θάλαμοι καὶ γυναικωνίτιδες καὶ θύραι καὶ μοχλοὶ καὶ φύλακες καὶ προφύλακες καὶ θεραπαινίδες καὶ τιθηνοὶ καὶ μητρὸς προσεδρία καὶ πατρὸς πρόνοια καὶ πολλὴ παρὰ τῶν γονέων ἐπιμέλεια γίνεται, ὥστε διατηρηθῆναι τὸ τῆς παρθενίας ἄνθος, καὶ μόλις οὕτω διασώζεται. ἐκείνη δὲ πάσης ταύτης τῆς φυλακῆς ἔρημος ἦν. πῶς οὖν αὐτὰς διασώσαι εἶχεν; ἐκ τῆς τῶν θείων νόμων φυλακῆς. οὐκ εἶχε στέγην περιβάλλουσαν, ἀλλ' εἶχε τὴν κραταιὰν χεῖρα ἄνωθεν σκέπουσαν· οὐκ εἶχε θύραν οὐδὲ μοχλόν, ἀλλ' εἶχε τὴν ἀληθινὴν θύραν ἀποτειχίζουσαν τὴν ἐπιβουλήν. καὶ καθάπερ ἐν μέσοις τοῖς Σοδόμοις ἐπολιορκεῖτο μὲν ἡ τοῦ Λὼτ οἰκία, οὐδὲν δὲ ἔπασχε δεινόν (ἀγγέλους γὰρ εἶχεν ἔνδον) οὕτω δὴ καὶ αἱ μάρτυρες αὗται μεταξὺ Σοδόμων καὶ πάντων τῶν πολεμίων οὖσαι, καὶ πολιορκούμεναι πανταχόθεν, οὐδὲν ἔπασχον δεινόν (τὸν γὰρ τῶν ἀγγέλων δεσπότην εἶχον ἐν ταῖς ἑαυτῶν οἰκοῦντα ψυχαῖς) καὶ εἰς τὴν ὁδὸν ἐλθοῦσαι τὴν ἔρημον οὐδὲν ἔπαθον. εἶχον γὰρ τὴν ἀληθινὴν ὁδὸν τὴν πρὸς οὐρανὸν αὐτὰς ἄγουσαν. διὰ τοῦτο ἐν τοσούτῳ πολέμῳ καὶ θορύβῳ καὶ κύμασιν ἀπειλημμέναι μετὰ ἀσφαλείας ἐβάδιζον. * διὰ τῶν λύκων τὰ πρόβατα ἤιετο, διὰ τῶν λεόντων αἱ ἀμνάδες ἐχώρουν, καὶ οὐδεὶς αὐτὰς εἶδεν ἀκολάστοις ὀφθαλμοῖς· ἀλλ' ὥσπερ τοὺς Σοδομίτας ἐγγὺς τῆς θύρας ἑστηκότας οὐκ ἠφίει τὴν εἴσοδον ὁρᾶν ὁ Θεός, οὕτω καὶ τότε τὰς πάντων ἐτύφλωσεν ὄψεις, ὥστε μὴ προδοθῆναι τὰ παρθενικὰ σώματα. πορεύονται τοίνυν εἰς πόλιν Ἐδέσσην λεγομένην, πόλιν ἀγροικοτέραν μὲν τῶν πολλῶν, εὐσεβεστέραν δέ. τί γὰρ ἐκείνης τῆς πόλεως ἴσον εἶναι ἐνόμισαν ἐν τοσούτῳ κλυδωνίῳ καταφυγὴν εὑρεῖν, ἐν τοιούτῳ χειμῶνι λιμένα ἔχειν; δέχεται οὖν ἡ πόλις τὰς ξένας, ξένας μὲν τῆς γῆς, πολίτιδας δὲ τῶν οὐρανῶν· καὶ δεξαμένη τὴν παρακαταθήκην ἐφύλαττεν. ἀλλὰ μηδεὶς τῶν γυναικῶν ἀσθένειαν καταγινωσκέτω, ὅτι ἔφυγον. πρόσταγμα γὰρ ἐπλήρουν δεσποτικὸν τὸ λέγον· Ὅταν γὰρ διώκωσιν ὑμᾶς, φησίν, ἐκ τῆς πόλεως ταύτης, φεύγετε εἰς τὴν ἑτέραν· ὅπερ καὶ αὗται ἀκούσασαι ἔφυγον. καὶ πῶς εἰς αὐτὰς ἐπλέκετο στέφανος. ποῖος δὴ οὗτος; ὁ τῆς τῶν παρόντων ἁπάντων ὑπεροψίας. Ὅστις γὰρ ἀφῆκεν ἀδελφοὺς καὶ ἀδελφάς, ἢ πατρίδα, ἢ οἰκίαν, ἢ φίλους, ἢ συγγενεῖς, ἑκατονταπλασίονα λήψεται, φησί, καὶ ζωὴν αἰώνιον κληρονομήσει. καὶ ἦσαν οὖν ἐκεῖ τὸν Χριστὸν ἔχουσαι σύνοικον. Εἰ γὰρ ὅπου δύο ἢ τρεῖς εἰσι συνηγμένοι, ἐν μέσῳ αὐτῶν ἐστιν· ὅπου οὐχὶ συνηγμέναι ἦσαν μόνον, ἀλλὰ καὶ διὰ τὸ ὄνομα αὐτοῦ φεύγουσαι, πῶς οὐ μᾶλλον αὐτοῦ τὴν βοήθειαν ἐπεσπῶντο; ἐκεῖ τοίνυν διατριβουσῶν τῶν γυναικῶν, ἐξαίφνης ἐπιτάγματα πονηρὰ πανταχοῦ κατεπέμπετο πολλῆς γέμοντα τυραννίδος καὶ ὠμότητος βαρβαρικῆς. οἱ γὰρ οἰκεῖοι τοὺς οἰκείους παρεδίδοσαν, φησίν, ἄνδρες τὰς γυναῖκας, πατέρες τὰ τέκνα, τέκνα τοὺς πατέρας, ἀδελφοὶ τοὺς ἀδελφούς, φίλοι τοὺς φίλους. σὺ δέ μοι τῶν ῥημάτων ἐνταῦθα ἀναμνήσθητι τοῦ Χριστοῦ, καὶ θαύμασον αὐτοῦ τὴν πρόρρησιν. ταῦτα γὰρ πάντα ἄνωθεν προὔλεγε. Φησὶ γάρ, Ἀδελφὸς ἀδελφὸν παραδώσει, καὶ πατὴρ τέκνον· καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς. προὔλεγε δὲ αὐτὰ τότε

Ματθ. ι. κγ.

Ματθ. ιθ. κθ.

Ματθ. ιη. κ.

Ματθ. ι. κα.

* ἢ, τὸ θαυμαστὸν ὅτι

γ. ὅπερ δὴ αὐταὶ ἀκούσασαι τότε ἔφυγον.

διὰ τρία ταῦτα· δι᾽ ἓν μὲν, ἵνα μάθωμεν αὐτοῦ τὴν δύναμιν, καὶ ὅτι ἀληθής ἐστι Θεὸς τὰ μηδέπω συμβάντα προορῶν πόρρωθεν. ὅτι γὰρ διὰ τοῦτο προέλεγε τὰ ἐσόμενα, ἄκουσον αὐτοῦ λέγοντος, Διὰ ταῦτα ὑμῖν εἶπον πρὶν ἢ γενέσθαι, ἵν᾽, ὅταν γένηται, πιστεύσητε, ὅτι ἐγώ εἰμι. Ιωαν.ιδ.κθ. δεύτερον δὲ, ἵνα μηδεὶς τῶν ἐχθρῶν λέγῃ, ὅτι ἀγνοοῦντος αὐτοῦ ἢ ἀσθενοῦντος ταῦτα γέγονεν. ὁ γὰρ ἄνωθεν προειδὼς, ἠδύνατο καὶ κωλῦσαι· οὐκ ἐκώλυσε δὲ, ἵνα λαμπρότεροι γένωνται οἱ στέφανοι. διὰ τοῦτο ταῦτα προὔλεγε· καὶ δι᾽ ἕτερον δὲ τρίτον προεῖπε. ποῖον δὴ τοῦτο; ἵνα κουφότερον ποιήσῃ τὸν ἀγῶνα τοῖς ἐν τοῖς σκάμμασι. τὰ μὲν γὰρ ἀπροσδόκητα δεινὰ, ὁποῖα ἂν ᾖ, χαλεπὰ καὶ ἀφόρητα φαίνεται· τὰ δὲ ἐλπισθέντα καὶ προμελετηθέντα κοῦφα καὶ ῥᾴδια γέγονε. τότε τοίνυν ταῦτα ἐπιτάττοντες οἱ ἐχθροὶ καὶ τὴν ὠμότητα ἐπεδείκνυντο τὴν ἑαυτῶν, καὶ ἄκοντες ἐμαρτύρουν τῇ τοῦ Χριστοῦ προφητείᾳ, καὶ ἀδελφοὶ παρεδίδοσαν ἀδελφοὺς, καὶ πατέρες τέκνα, καὶ αὐτὴ ἑαυτὴν ἐπολέμει ἡ φύσις, καὶ ἐσχίζετο καθ᾽ ἑαυτῆς ἡ συγγένεια, καὶ πάντες ἐκ βάθρων ἀνετρέποντο οἱ νόμοι, καὶ πάντα θορύβου τινὸς ἔγεμε καὶ ταραχῆς, καὶ αἱμάτων τὰς οἰκίας ἐνέπλησαν συγγενικῶν οἱ δαίμονες τότε. ὁ γὰρ παραδοὺς πατὴρ τὸν υἱὸν πάντως καὶ ἔσφαξε. κἂν γὰρ μὴ τὸ ξίφος ὠθήσῃ, μηδὲ τῇ δεξιᾷ τὴν σφαγὴν ἐργάσηται· ἀλλὰ τῇ γνώμῃ τὸ πᾶν ἀπήρτισε. καὶ ὁ τῷ φονεύοντι παραδοὺς τὸν φονεύεσθαι μέλλοντα, αὐτὸς τὸν φόνον εἰργάσατο. ποιήσωμεν οὖν αὐτοὺς, φησὶ, παιδοκτόνους, οἱ δαίμονες ἔλεγον, ποιήσωμεν τοὺς παῖδας πατραλοίας διὰ τῆς προδοσίας. καὶ γὰρ ἐθύοντο αὐτοῖς θυσίαι τοιαῦται τὸ παλαιὸν, καὶ πατέρες ἔσφαττον τέκνα. καὶ ταῦτα ὁ προφήτης ἐβόα λέγων· Ἔθυσαν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις, Ψαλμ.ρε.λζ. καὶ τοιούτων ἐδίψων αἱμάτων. ἐπεὶ οὖν ἔπαυσε τὰς ἐναγεῖς ταύτας καὶ μυσαρὰς θυσίας ὁ Χριστὸς, ἀνανεώσασθαι πάλιν αὐτὰς ἐφιλονείκουν. ἀλλὰ ἀναισχύντως μὲν εἰπεῖν καὶ φανερῶς, ὅτι σφάξατε τοὺς υἱοὺς ὑμῶν, οὐκ ἐτόλμων (οὐδεὶς γὰρ ἔμελλεν ὑπακούσασθαι) μεθοδεύουσι δὲ ἑτέρως τὸ πρόσταγμα, καὶ σοφίζονται τὸν νόμον διὰ τῶν δικαστῶν κελεύσαντες πατέρας παραδιδόναι παῖδας. οὐδὲν γὰρ ἡμῖν διαφέρει, φησὶν, ἄν τε σφάξῃ τις, ἄν τε παραδῷ πρὸς σφαγὴν τὸν υἱόν. καὶ γὰρ οὗτος κἀκεῖνος παιδοκτόνος ἐστίν. ἦν τοίνυν ἰδεῖν πατραλοίας, παιδοκτόνους, ἀδελφοκτόνους, θορύβου καὶ ταραχῆς πάντα ἐμπεπλησμένα· ἀλλ᾽ αἱ γυναῖκες γαλήνης βαθείας ἀπέλαυον. ἐτείχιζε γὰρ αὐτὰς πάντοθεν ἡ τῶν μελλόντων ἐλπίς· ἐπεὶ καὶ ἐν ξένῃ οὖσαι οὐκ ἦσαν ἐν ξένῃ. εἶχον γὰρ ἀληθινὴν πατρίδα τὴν πίστιν· εἶχον οἰκείαν πόλιν τὴν ὁμολογίαν, καὶ ἐλπίσι συντρεφόμεναι χρησταῖς, οὐδενὸς ᾐσθάνοντο τῶν παρόντων. τὰ γὰρ μέλλοντα μόνον ἑώρων.

Τῶν δὴ πραγμάτων ἐν τούτοις ὄντων ἐφίσταται ὁ πατὴρ ἐν ἐκείνῃ τῇ πόλει στρατιώτας ἔχων πρὸς τὴν σύλληψιν τῆς θήρας· ἐφίσταται ὁ πατὴρ καὶ ἀνήρ· πατὴρ μὲν τῶν θυγατέρων, ἀνὴρ δὲ τῆς γυναικός· εἴγε πατέρα ἢ ἄνδρα τὸν τὰ τοιαῦτα διακονούμενον χρὴ καλεῖν· μᾶλλον δὲ φεισώμεθα αὐτοῦ, καθόσον οἷόν τε. καὶ γὰρ πατὴρ ἐγένετο μαρτύρων, καὶ ἀνὴρ μάρτυρος· μὴ δὴ χαλεπώτερον αὐτοῦ ποιήσωμεν τὸ πρᾶγμα ταῖς παρ᾽ ἑαυτῶν κατηγορίαις. σὺ δέ μοι σκόπει τὴν σύνεσιν τῶν γυναικῶν. καὶ γὰρ ὅτε φυγεῖν ἔδει, ἔφυγον· καὶ ὅτε εἰς τοὺς ἀγῶνας ἐμβῆναι ἐχρῆν, ἔστησαν, καὶ ἠκολούθουν δεδεμέναι τῷ τοῦ Χριστοῦ πόθῳ. ὥσπερ γὰρ οὐ δεῖ πειρασμοὺς ἐπισπᾶσθαι, οὕτως ὅταν ἐπιστῇ ἡ πεῖρα, ἀγωνίζεσθαι χρή· ἵνα καὶ ἐκεῖθεν τὴν ἐπιείκειαν, καὶ ἐντεῦθεν τὴν ἀνδρείαν ἐπιδειξώμεθα· ὃ δὴ καὶ ἐκεῖναι τότε ἐποίουν· καὶ ἐπεδήμησαν, καὶ ἠγωνίζοντο. καὶ γὰρ ἠνέῳκτο τὸ στάδιον, καὶ ὁ καιρὸς ἐκάλει πρὸς τὰ παλαίσματα. ὁ δὲ τῶν ἀγώνων τρόπος τοιόσδε ἐγένετο. ἦλθον εἰς πόλιν Ἱεράπολιν καλουμένην, κἀκεῖθεν ἀληθῶς εἰς τὴν ἱερὰν πόλιν ἀνέδραμον διὰ τοιαύτης μηχανῆς. ποταμὸς παρέρρει τὴν ὁδὸν ἐκείνην, καθ᾽ ἣν ἐπεδήμησαν, καὶ λαθοῦσαι τοὺς στρατιώτας ἀριστοποιουμένους καὶ μεθύοντας (τινὲς δέ φασιν ὅτι καὶ τὸν πατέρα λαβοῦσαι συνεργὸν

πρὸς τὸ τοὺς στρατιώτας ἀπατῆσαι, καὶ πείθομαι. τάχα γὰρ διὰ τοῦτο ταῦτα ἐπεπράξει,
ἵνα τινὰ ἀπολογίαν μικρὰν γοῦν διὰ τῆς προδοσίας ταύτης δυνηθῇ προσαποθέσθαι ἑ-
αυτῷ εἰς τὴν ἡμέραν τῆς κρίσεως," τὸ συμπρᾶξαι, καὶ βοηθῆσαι, καὶ εὐκολωτέρους ποιῆσαι σ. τῇ
τὸν ἐπὶ τὸ μαρτύριον δρόμον) λαβοῦσαι τοίνυν αὐτὸν συνεργὸν, καὶ δι' ἐκείνου δυνηθεῖσαι
παρακρούσασθαι τοὺς στρατιώτας, εἰσῆλθον εἰς τὸν ποταμὸν μέσον, καὶ ἀφῆκαν ἑαυτὰς
κατὰ τῶν ῥευμάτων ἐκείνων. εἰσῆλθε μήτηρ μετὰ δύο θυγατέρων. ἀκουέτωσαν καὶ μητέρες καὶ
παρθένοι· καὶ αἱ μὲν οὕτω πειθέσθωσαν μητράσιν, αἱ δὲ οὕτω παιδευέτωσαν θυγατέρας, οὕτω
φιλείτωσαν τὰ παιδία. εἰσῆλθε τοίνυν μέση ἡ μήτηρ, ἑκατέρωθεν" κατέχουσα τὰς θυγα- γρ. ἔχουσα
τέρας, ἡ τὸν ἄνδρα ἔχουσα μέσον τῶν ἀπειρογάμων· καὶ ἦν τῆς παρθενίας μέσος ὁ γάμος,
καὶ μέσος αὐτῶν ὁ Χριστός. καθάπερ οὖν ῥίζα δένδρου δύο βλαστοὺς ἔχουσα ἑκατέρωθεν ἑ-
στῶτας· οὕτω καὶ ἡ μακαρία τότε ἐκείνη ἑκατέρωθεν αὐτῆς ἔχουσα τὰς παρθένους εἰσῄει, καὶ
κατὰ τῶν ὑδάτων αὐτὰς ἠφίει· καὶ ἀπεπνίγοντο οὕτω, μᾶλλον δὲ οὐκ ἀπεπνίγοντο, ἀλλ' ἐβα-
πτίζοντο βάπτισμα καινὸν καὶ παράδοξον. καὶ εἰ βούλει μαθεῖν, ὅτι βάπτισμα ἦν σαφὲς τὸ
τότε γενόμενον, ἄκουσον πῶς ὁ Χριστὸς τὸν θάνατον τὸν ἑαυτοῦ βάπτισμα καλεῖ. τοῖς γὰρ τοῦ
Ματθ. ιθ. λθ. Ζεβεδαίου παισὶ διαλεγόμενος, Τὸ μὲν ποτήριόν μου πίεσθε, φησὶ, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ
βαπτίζομαι, βαπτισθήσεσθε. ποῖον δὲ βάπτισμα ἐβαπτίσθη ὁ Χριστὸς μετὰ τὸ Ἰωάννου βά-
πτισμα, ἀλλ' ἢ τὸν θάνατον καὶ τὸν σταυρόν; ὥσπερ οὖν Ἰάκωβος οὐχὶ σταυρωθεὶς, ἀλλὰ μαχαίρᾳ τὴν
κεφαλὴν ἀποτεμνόμενος, τὸ βάπτισμα ἐβαπτίσθη τοῦ Χριστοῦ, οὕτω καὶ αὗται εἰ καὶ μὴ ἐσταυρώθησαν,
ἀλλὰ δι' ὕδατος τελεωθεῖσαι τὸ βάπτισμα ἐβαπτίσθησαν τοῦ Χριστοῦ. ἐβάπτισε δὲ αὐτὰς ἡ μήτηρ.
τί λέγεις; γυνὴ βαπτίζει; ναὶ, τὰ τοιαῦτα βαπτίσματα καὶ γυναῖκες βαπτίζουσι, καθάπερ οὖν
καὶ ἐκείνη τότε καὶ ἐβάπτισε, καὶ ἱέρεια γέγονε. καὶ γὰρ θύματα προσήγαγε λογικὰ, καὶ χειροτονία
αὐτῇ ἡ προαίρεσις γέγονε. καὶ τὸ δὴ θαυμαστὸν, ὅτι οὐκ ἐδεήθη θυσιαστηρίου θύουσα, οὐδὲ ξύλων,
οὐδὲ πυρὸς, οὐδὲ μαχαίρας. πάντα γὰρ ἐγένετο ὁ ποταμὸς, καὶ θυσιαστήριον, καὶ ξύλα, καὶ
μάχαιρα, καὶ πῦρ, καὶ θυσία, καὶ βάπτισμα, βάπτισμα πολλῷ τούτου τοῦ βαπτίσματος σαφέστε-
Ρωμ. ϛ. ε. ρον. περὶ μὲν γὰρ τούτου φησὶ Παῦλος· Σύμφυτοι ἐγενόμεθα τῷ ὁμοιώματι τοῦ θανάτου
αὐτοῦ· περὶ δὲ τοῦ βαπτίσματος τῶν μαρτύρων οὐκ ἔτι τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ λέγει,
Φιλιπ. γ. ι. ἀλλ' ὅτι Συμμορφούμεθα τῷ θανάτῳ αὐτοῦ. εἰσῆγε τοίνυν τὰς θυγατέρας ἡ μήτηρ, οὐχ ὡς
εἰς ποταμὸν μέλλουσα εἰσάγειν, ἀλλ' ὥσπερ εἰς τὰς ἱερὰς αὐτὰς παστάδας χειραγωγοῦσα
Ησ. η. ιη. εἰσῆγεν ἑκατέρωθεν κατέχουσα καὶ λέγουσα· Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ ἐμοὶ ἔδωκεν ὁ Θεός. σύ μοι
αὐτὰ ἔδωκας, σοὶ αὐτὰ παρακατατίθεμαι, τὰ ἐμαυτῆς, καὶ ἐμαυτήν· καὶ οὕτω διπλοῦν ἐγένετο
τὸ τῆς γυναικὸς μαρτύριον, μᾶλλον δὲ τριπλοῦν. διὰ μὲν γὰρ ἑαυτῆς ἅπαξ· διὰ δὲ τῶν
δύο θυγατέρων δὶς ἐμαρτύρησε. καὶ γὰρ ὥσπερ ἡνίκα ἑαυτὴν ἀφιέναι ἔμελλε, πολλῆς αὐτῇ τῆς
ὑπομονῆς ἔδει· οὕτω καὶ ὅτε τὰ παιδία μεθ' ἑαυτῆς εἷλκεν, ἑτέρας τοσαύτης ἐχρῆζεν ὑπο-
μονῆς· μᾶλλον δὲ πολλῷ πλείονος. οὐ γὰρ οὕτως αἱ γυναῖκες ἀλγεῖν εἰώθασιν, ἐπειδὰν
αὐταὶ μέλλωσι τελευτᾶν, ὡς ὅταν αἱ θυγατέρες αὐτῶν τοῦτο πάσχωσιν. ὥστε μειζόνως διὰ τῶν
θυγατέρων ἐμαρτύρησεν αὕτη, καὶ πρὸς αὐτὴν ἀπεδύσατο τῆς φύσεως τὴν τυραννίδα, καὶ πρὸς
τὴν φλόγα τῶν ὠδίνων ἔστη, καὶ πρὸς τὴν ἀφόρητον τῶν σπλάγχνων ταραχὴν, καὶ πρὸς τὸν
τῆς μήτρας θόρυβον. εἰ γὰρ θυγατέρα μίαν τις ἀποθνήσκουσαν ὁρῶσα ἀβίωτον ἡγεῖται
τὸν βίον· αὕτη τὰς δύο θυγατέρας ἀθρόον οὐχ ὁρῶσα ἀποθνησκούσας, ἀλλὰ διὰ τῆς οἰκείας
χειρὸς πρὸς τὸν θάνατον ἕλκουσα, ἐννόησον ὅσα ἐπεδείκνυτο τὰ μαρτύρια, ἃ μηδὲ ἀκοῦσαι
ἑτέροις φορητὸν, διὰ τῶν πραγμάτων ὑπομείνασα ἐκείνη. οἱ μὲν οὖν στρατιῶται τούτων
οὐδὲν εἰδότες, ἔμενον ὡς ληψόμενοι πάλιν αὐτάς· ἐκεῖναι δὲ ἦσαν μετὰ τῶν τοῦ Χριστοῦ στρα-
τιωτῶν λοιπὸν, τῶν οὐρανίων ἀγγέλων· οἱ δὲ τυραννοῦντες οὐκ εἶδον. οὐ γὰρ εἶχον τοὺς τῆς
α. Τιμ. β. ιε. πίστεως ὀφθαλμούς. ὁ μὲν οὖν Παῦλός φησι περὶ τῆς μητρὸς, ὅτι Σωθήσεται διὰ τῆς τεκ-

ιογονίας· ἐνταῦθα δὲ αἱ θυγατέρες διὰ τῆς μητρὸς διεσώθησαν. οὕτως ὠδίνειν χρὴ τὰς μητέρας (καὶ γὰρ αὗται αἱ ὠδῖνες τῶν προτέρων βελτίους) πικροτέραν μὲν ὀδύνην, μεῖζον δὲ ἔχουσαι κέρδος. ἐκεῖναι ἴσασι τῶν ὠδίνων, ὅσαι μητέρες ἐγένοντο, οἷαι αἱ ὠδῖνες θυγατέρας ἰδεῖν ἀποθανούσας· ὃ δὲ καὶ αὐτὴν αὐτόχειρα γενέσθαι τῆς σφαγῆς, ἄφατον ἔχει τὴν ὑπερβολήν. ἀλλὰ τίνος ἕνεκεν οὐκ ἦλθεν εἰς τὸ δικαστήριον ἡ γυνή; περὶ τῆς μάχης ἐβουλήθη τὸ τρόπαιον λαβεῖν, περὶ τῶν ἀγώνων τὸν στέφανον ἁρπάσαι, περὶ τῶν παλαισμάτων δέξασθαι τὰ βραβεῖα, οὐ βασάνους δεδοικυῖα, ἀλλὰ τοὺς ἀκολάστους τῶν ἀπίστων ὀφθαλμούς. οὐκ ἐφοβεῖτο, μή τις αὐτῇ διορύξῃ τὰς πλευράς· ἀλλ' ἐδεδοίκει, μή τις τῶν θυγατέρων διαφθείρῃ τὴν παρθενίαν. καὶ ὅτι τοῦτον ἐδεδοίκει τὸν φόβον, οὐκ ἐκεῖνον, καὶ διὰ τοῦτο οὐκ ἦλθεν εἰς τὸ δικαστήριον, δῆλον ἐκεῖθεν. πολλῷ μείζους βασάνους ὑπέμεινεν ἐν τῷ ποταμῷ. καὶ γὰρ τὴν σάρκα καταξαινομένην ὁρᾶν πολλῷ χαλεπώτερον καὶ ὀδυνηρότερον, καθάπερ ἔφθην εἰπὼν, τὰ οἰκεῖα σπλάγχνα, τὰς θυγατέρας λέγω, διὰ τῆς οἰκείας καταδῦσαι χειρὸς, καὶ ἀποπνιγομένας ἰδεῖν, καὶ οὐ τὰς βασάνους ἐνεγκεῖν πολλῷ μείζονος ἔδει τῆς φιλοσοφίας αὐτῇ, ὥστε δυνηθῆναι κατασχεῖν τὰς δεξιὰς τῶν παιδίων, καὶ συνεφελκύσασθαι μεθ' ἑαυτῆς πρὸς τὰ ῥεύματα τοῦ ποταμοῦ. οὐδὲ γάρ ἴσον εἰς ὀδύνης λόγον ὑφ' ἑτέρων κακῶς πασχούσας ὁρᾶν, καὶ αὐτὴν διακονεῖσθαι τῷ θανάτῳ, αὐτὴν ὑπουργὸν γενέσθαι τῆς τελευτῆς, αὐτὴν ἀντὶ δημίου καταστῆναι ταῖς θυγατράσιν· ἀλλὰ πολλῷ τοῦτο ἐκείνου χαλεπώτερον καὶ ἀφορητότερον. καὶ μαρτυρήσετέ μου τῷ λόγῳ πᾶσαι, ὅσαι μητέρες ἐγένεσθε, καὶ πεῖραν ὠδίνων ἐλάβετε, καὶ θυγατέρας ἐσχήκατε. πῶς ἥψατο τῆς δεξιᾶς τῶν παιδίων; πῶς οὐκ ἐνάρκησεν ἡ χείρ; πῶς οὐκ ἐλύθη τὰ νεῦρα; πῶς οὐκ ἐξέστησαν αἱ φρένες; πῶς ἴσχυσεν ὁ λογισμὸς ὑπηρετήσασθαι τοῖς γινομένοις; καὶ γὰρ μυρίων βασάνων πικρότερα ἦν τὰ γινόμενα, ἀντὶ τοῦ σώματος τῆς ψυχῆς αὐτῇ διαξαινομένης. ἀλλὰ μέχρι τίνος φιλονεικοῦμεν διώκειν ἀκίχητα; οὐδεὶς γὰρ παραστῆσαι δυνήσεται λόγος τοῦ πάθους τὸ μέγεθος, ἀλλὰ μόνη ἡ πεῖραν λαβοῦσα καὶ ἀγωνισαμένη γυνὴ οἶδεν, ὁποῖα ταῦτά ἐστι τὰ παλαίσματα. ταῦτα ἀκουέτωσαν μητέρες, ἀκουέτωσαν παρθένοι· μητέρες μὲν, ἵνα οὕτω παιδεύωσι τὰς θυγατέρας, παρθένοι δὲ, ἵνα οὕτω πείθωνται ταῖς μητράσιν. οὐ γὰρ δὴ μόνον τὴν μητέρα ἐπαινεῖν χρὴ τὴν τοιαῦτα ἐπιτάξασαν, ἀλλὰ καὶ τὰς θυγατέρας θαυμάζειν, αἳ τὰ τοιαῦτα ὑπήκουσαν. οὔτε γὰρ ἡ μήτηρ ἐδεήθη δεσμῶν πρὸς τὰ ἱερεῖα καὶ τὰ θύματα, οὔτε αἱ δαμάλεις ἐσκίρτησαν, ἀλλ' ἴση ἡ προθυμία καὶ ψυχὴ τὸν ζυγὸν ἕλκουσα τοῦ μαρτυρίου. οὕτως εἰσῄεσαν εἰς τὸν ποταμὸν, τὰ ὑποδήματα ἔξω τῆς ὄχθης ἀφεῖσαι· τοῦτο δὲ ἐποίουν φειδόμεναι τῶν φυλάκων. τοσαύτη ἡ πρόνοια τῶν ἁγίων ἐκείνων ἦν. καταλιπεῖν γὰρ αὐτοῖς ἀπολογίαν ἐσπούδαζον εἰς τὸ δικαστήριον, ἵνα μὴ ὁ ὠμὸς καὶ ἀπηνὴς δικαστὴς ἐκεῖνος ἐγκαλεῖν ἔχῃ προδοσίαν, καὶ ὅτι λαβόντες ἀργύριον τὰς γυναῖκας ἀφῆκαν· διὰ τοῦτο κατέλιπον τὰ ὑποδήματα τῇ γνώμῃ μαρτυροῦντα τῶν στρατιωτῶν, ὅτι οὐκ εἰδότων αὐτῶν, ἀλλ' ἀγνοούντων πρὸς τὸν ποταμὸν ηὐτομόλησαν. τάχα πολὺς ὑμῖν ἐγένετο πόθος τῶν ἁγίων ἐκείνων. μετὰ τούτου τοίνυν τοῦ πόθου προσπέσωμεν αὐτῶν τοῖς λειψάνοις, συμπλακῶμεν αὐτῶν ταῖς θήκαις. δύνανται γὰρ καὶ θῆκαι μαρτύρων πολλὴν ἔχειν δύναμιν, ὥσπερ οὖν καὶ τὰ ὀστᾶ τῶν μαρτύρων πολλὴν ἔχει τὴν ἰσχύν· καὶ μὴ μόνον ἐν τῇ ἡμέρᾳ τῆς ἑορτῆς ταύτης, ἀλλὰ καὶ ἐν ἑτέραις ἡμέραις προσεδρεύωμεν αὐταῖς, παρακαλῶμεν αὐτὰς, ἀξιῶμεν γενέσθαι προστάτιδας ἡμῶν. πολλὴν γὰρ ἔχουσι παρρησίαν οὐχὶ ζῶσαι μόνον, ἀλλὰ καὶ τελευτήσασαι· καὶ πολλῷ μᾶλλον τελευτήσασαι. νῦν γὰρ τὰ στίγματα φέρουσι τοῦ Χριστοῦ· τὰ δὲ στίγματα ἐπιδεικνύμεναι ταῦτα, πάντα δύνανται πεῖσαι τὸν βασιλέα. ἐπεὶ οὖν τοσαύτη ἡ δύναμις αὐταῖς καὶ ἡ φιλία πρὸς τὸν Θεὸν, τῇ συνεχεῖ προσεδρίᾳ καὶ τῇ διηνεκεῖ πρὸς αὐτὰς ἀφίξει καταστήσαντες ἑαυτοὺς οἰκείους αὐτῶν, ἐπισπασώμεθα δι' αὐτῶν τὴν παρὰ τοῦ Θεοῦ φιλανθρωπίαν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι τοῦ Κυρίου ἡμῶν Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ σὺν τῷ ἁγίῳ πνεύματι δόξα καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ξϛ. ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΜΑΡΤΥΡΑ ΠΕΛΑΓΙΑΝ.

Μηνὸς Ὀκτωβ. η.

Εὐλογητὸς ὁ Θεός, καὶ γυναῖκες θανάτου λοιπὸν καταπαίζουσι, καὶ κόραι καταγελῶσι τελευτῆς, καὶ παρθένοι κομιδῆ νέαι καὶ ἀπειρόγαμοι εἰς αὐτὰ ἐπιπηδῶσι τοῦ ᾅδου τὰ κέντρα, καὶ οὐδὲν πάσχουσι δεινόν. ταῦτα δὴ πάντα διὰ τὸν ἐκ παρθένου Χριστὸν γέγονεν ἡμῖν τὰ ἀγαθά. μετὰ γὰρ τὰς μακαρίας ὠδῖνας ἐκείνας καὶ τὸν φρικωδέστατον τόκον ἐξελύθη τοῦ θανάτου τὰ νεῦρα, παρελύθη ἡ τοῦ διαβόλου δύναμις· καὶ λοιπὸν οὐκ ἀνδράσι μόνον, ἀλλὰ καὶ γυναιξὶν εὐκαταφρόνητος γέγονε, καὶ οὐ γυναιξὶ μόνον, ἀλλὰ καὶ κόραις. καθάπερ γάρ τις ποιμὴν ἄριστος λέοντα ἐκφοβοῦντα τὰ θρέμματα καὶ τῇ ποίμνῃ πάσῃ λυμαινόμενον λαβὼν καὶ τοὺς ὀδόντας ἐκκόψας καὶ τοὺς ὄνυχας ἐκτεμὼν καὶ τὴν κόμην ἀποκείρας, εὐκαταφρόνητον καὶ καταγέλαστον ποιεῖ, καὶ παιδίοις ποιμενικοῖς καὶ κόραις παραδίδωσι καταπαίζειν λοιπόν· οὕτω δὴ καὶ ὁ Χριστὸς τὸν θάνατον, τὸν φοβερὸν ὄντα τῇ φύσει τῇ ἡμετέρᾳ καὶ φοβοῦντα τὸ γένος ἡμῶν ἅπαν λαβών, καὶ τὸν φόβον αὐτοῦ διαλύσας ἅπαντα, παρέδωκεν, ὥστε καὶ παρθένους καταπαίζειν αὐτοῦ. διὰ τοῦτο καὶ ἡ μακαρία Πελαγία μετὰ τοσαύτης ἐπ' αὐτὸν ἔδραμεν ἡδονῆς, ὡς μηδὲ ἀναμεῖναι δημίων χεῖρας, μηδὲ εἰς δικαστήριον εἰσελθεῖν, ἀλλὰ τῇ τῆς οἰκείας προθυμίας ὑπερβολῇ φθάσαι τὴν ἐκείνων ὠμότητα. παρεσκεύαστο μὲν γὰρ καὶ πρὸς βασάνους καὶ κολαστήρια καὶ ἅπαν τιμωριῶν εἶδος· ἀλλ' ἐδεδοίκει μὴ τὸν τῆς παρθενίας ἀπολέσῃ στέφανον. καὶ ἵνα μάθῃς, ὅτι τὴν τῶν ἀσελγῶν ἀσέλγειαν ἐδεδοίκει, προλαμβάνει, καὶ τῆς ἀσχήμονος ὕβρεως ἑαυτὴν προεξαρπάζει, ὃ ἀνθρώπων οὐδεὶς οὐδέποτε τοιοῦτον οὐδὲν ἐπεχείρησεν· ἀλλ' ἠκολούθησαν ἅπαντες εἰς τὸ δικαστήριον, κἀκεῖ τὴν ἀνδρείαν ἐπεδείξαντο· γυναῖκες δὲ διὰ τὸ τῆς φύσεως εὐεπηρέαστον, τοῦτον ἐπενόησαν ἑαυταῖς τὸν τρόπον τῆς τελευτῆς. εἰ μὲν γὰρ ἦν καὶ τὴν παρθενίαν διασώσασθαι, καὶ τῶν τοῦ μαρτυρίου στεφάνων ἐπιτυχεῖν, οὐκ ἂν παρῃτήσαντο τὴν εἰς τὸ δικαστήριον εἴσοδον· ἐπειδὴ δὲ ἀνάγκη θατέρου πάντως ἦν ἐκπεσεῖν, ἐσχάτης ἐνόμισεν εἶναι ἀνοίας, παρὸν ἑκατέρας αὐτῇ τῆς νίκης ἐπιτυχεῖν, ἐξ ἡμισείας στεφανωθεῖσαν ἀπελθεῖν. διὰ τοῦτο οὐκ ἠθέλησεν εἰς τὸ δικαστήριον ἀπαχθῆναι, οὐδὲ γενέσθαι θέατρον ἀκολάστοις ὀφθαλμοῖς, οὐδὲ παρασχεῖν ἀσελγέσιν ὄμμασιν ἐντρυφῆσαι τῇ τῆς οἰκείας ὄψεως θεωρίᾳ, καὶ τὸ ἅγιον ἐκεῖνο καθυβρίσαι σῶμα· ἀλλ' ἀπὸ τοῦ θαλάμου καὶ τῆς γυναικωνίτιδος ἐφ' ἕτερον ἦλθε θάλαμον, τὸν οὐρανόν. μέγα μὲν γὰρ καὶ τὸ δημίους ἰδεῖν παρεστῶτας καὶ τὰς πλευρὰς διορύττοντας· οὐκ ἔλαττον δὲ οὐδὲ τοῦτο ἐκείνου. τοῖς μὲν γὰρ τῆς αἰσθήσεως ἤδη προαναλωθείσης τῇ ποικιλίᾳ τῶν βασάνων οὐδὲ φοβερὸς ὁ θάνατος ἔτι φαίνεται, ἀλλ' ἀπαλλαγή τις καὶ λύσις τῶν ἐπικειμένων δεινῶν· ἡ δὲ μηδὲν μηδέπω παθοῦσα τοιοῦτον, ἀλλ' ἀκέραιον ἔτι τὸ σῶμα ἔχουσα καὶ μηδεμιᾶς ὀδύνης αἰσθομένη μηδέπω, μεγάλου τινὸς καὶ γενναίου φρονήματος δεῖται, εἰ μέλλοι βιαίῳ θανάτῳ τῆς παρούσης ἑαυτὴν ἐξαγαγεῖν ζωῆς. ὥστε, ὅταν θαυμάζῃς ἐκείνους τῆς καρτερίας, θαύμασον ταύτην τῆς ἀνδρείας· ὅταν ἐκπλαγῇς ἐκείνους ὑπὲρ τῆς ὑπομονῆς, ἐκπλάγηθι καὶ ταύτην ὑπὲρ τοῦ γενναίου φρονήματος, ὅτι κατετόλμησε τελευτῆς τοιαύτης. καὶ μὴ παραδράμῃς ἁπλῶς τὸ συμβάν, ἀλλ' ἐννόησον, πῶς ἦν εἰκὸς κόρην διατεθεῖσθαι ἁπαλήν, τοῦ θαλάμου πλέον εἰδυῖαν οὐδέν, στρατιωτῶν ἀθρόως ἐπιστάντων, πρὸ τῆς θύρας ἑστώτων, καλούντων εἰς δικαστήριον, εἰς ἀγορὰν ἑλκόντων ὑπὲρ τοιούτων καὶ τηλικούτων πραγμάτων. οὐ πατὴρ ἔνδον, οὐ μήτηρ παρῆν, οὐ τροφὸς, οὐ θεραπαινὶς, οὐ γείτων, οὐ"φίλη, ἀλλὰ μόνη μεταξὺ τῶν δημίων ἐκείνων" ἀπείληπτο. ὅτι γὰρ ἐξελθεῖν καὶ ἀποκείρασθαι τοῖς * στρατιώταις ἴσχυσεν, ὅτι διᾶραι στόμα καὶ φωνὴν ἀφεῖναι, ὅτι γὰρ ἰδεῖν, ὅτι στῆναι καὶ ἀναπνεῦσαι, πῶς οὐκ ἄξιοι ἐκπλήττεσθαι καὶ θαυμάζειν; οὐκ ἦν ταῦτα ἀνθρωπίνης φύσεως. τὸ μὲν γὰρ πλέον εἰσήνεγκεν ἡ τοῦ Θεοῦ ῥοπή. οὐ μὴν οὐδὲ αὕτη τότε ἀργοῦσα εἱστήκει, ἀλλὰ τὰ παρ᾽ ἑαυτῆς πάντα ἐπεδείκνυτο, τὴν προθυμίαν, τὸ φρόνημα τὸ γενναῖον, τὸ βουληθῆναι, τὸ προελέσθαι, τὸ σπεῦσαι, τὸ ἐπειχθῆναι. τὸ δὲ εἰς πέρας ἅπαντα ταῦτα ἐλθεῖν, τῆς τοῦ Θεοῦ βοηθείας ἐγίνετο καὶ τῆς ἄνωθεν εὐνοίας. ὥστε καὶ θαυμάζειν αὐτὴν καὶ μακαρίζειν ἄξιον· μακαρίζειν μὲν, ὑπὲρ τῆς τοῦ Θεοῦ συμμαχίας· θαυμάζειν δὲ, ὑπὲρ τῆς οἰκείας προθυμίας. τίς γὰρ οὐκ ἂν ἐκπλαγείη δικαίως, ἀκούσας ὅτι ἐν μιᾷ καιροῦ ῥοπῇ γνώμην τοσαύτην καὶ ἐβουλεύσατο καὶ ἐκύρωσε καὶ εἰς ἔργον ἐξήγαγεν; ἴστε γὰρ δήπου πάντες, ὅτι τὰ πολλάκις ἡμῖν ἐν μακρῷ μελετηθέντα χρόνῳ, παρόντος τοῦ καιροῦ τοῦ τὴν πρᾶξιν ἀπαιτοῦντος ἡμᾶς, καὶ φόβου μικροῦ τὴν διάνοιαν καταλαβόντος, ἅπαντα ἐξεχέαμεν τὰ βουλεύματα, ὑπὸ τῆς ἀγωνίας ἀθρόον πτοηθέντες· αὕτη δὲ βουλὴν οὕτω φρικτὴν καὶ φοβερὰν ἐν μιᾷ καιροῦ ῥοπῇ καὶ ὑποδέξασθαι καὶ ψηφίσασθαι καὶ τοῖς ἔργοις πληρῶσαι ἴσχυσε. καὶ οὔτε τὸ φοβερὸν τῶν παρόντων, οὐχ ἡ ὀξύτης τοῦ καιροῦ, οὐχ ἡ ἐρημία τῆς ἐπιβουλευομένης, οὐ τὸ μόνην ἔνδον ἀπειλῆφθαι, οὐκ ἄλλο οὐδὲν τοιοῦτον ἐθορύβησε τὴν μακαρίαν ἐκείνην, ἀλλ᾽ ὥσπερ φίλων τινῶν παρόντων καὶ γνωρίμων, οὕτω μετ᾽ ἀδείας ἅπαντα ἔπραττε. καὶ μάλα εἰκότως. οὐ γὰρ ἦν ἔνδον μόνη, ἀλλ᾽ εἶχε σύμβουλον Ἰησοῦν. ἐκεῖνος αὐτῇ παρῆν, ἐκεῖνος τῆς καρδίας αὐτῆς ἥπτετο, ἐκεῖνος τὴν ψυχὴν παρεθάρρυνεν, ἐκεῖνος * τὸν φόβον ἐξέβαλε. ταῦτα δὲ οὐχ ἁπλῶς ἐποίει, ἀλλ᾽ ἐπειδὴ πρότερον ἑαυτὴν ἀξίαν παρεσκεύασε τῆς ἐκείνου βοηθείας ἡ μάρτυς. ἐξελθοῦσα τοίνυν χάριν ᾔτησε τοὺς στρατιώτας, ὥστε εἰσελθεῖν καὶ μεταμφιάσασθαι. καὶ εἰσελθοῦσα μετημφιάσατο, ἀφθαρσίαν ἀντὶ φθορᾶς, ἀθανασίαν ἀντὶ θανάτου, ζωὴν ἀτελεύτητον ἀντὶ προσκαίρου περιβαλλομένη ζωῆς.

Ἐγὼ δὲ πρὸς τοῖς εἰρημένοις καὶ τοῦτο θαυμάζω, πῶς ἔδωκαν τὴν χάριν οἱ στρατιῶται, πῶς ἠπάτησε τοὺς ἄνδρας ἡ γυνὴ, πῶς οὐδὲν τῶν μελλόντων συμβήσεσθαι ὑπείδοντο ἐκεῖνοι, πῶς οὐ συνῆκαν τὸν δόλον. οὐδὲ γὰρ ἔστι τοῦτο εἰπεῖν, ὅτι οὐδεὶς οὐδὲν τοιοῦτον εἰργάσατο. πολλαὶ γὰρ ἴσως καὶ εἰς κρημνὸν ἑαυτὰς ἀφῆκαν, καὶ εἰς πέλαγος ἔρριψαν, καὶ ξίφος διὰ τοῦ στήθους ἤλασαν, καὶ βρόχοι ἀνῆψαν, καὶ πολλῶν τοιούτων δραμάτων ὁ καιρὸς ἔγεμεν ἐκεῖνος. ἀλλ᾽ ὁ Θεὸς τὴν καρδίαν αὐτῶν ἐτύφλωσεν, ὥστε μὴ συνιδεῖν τὸν δόλον. διὰ τοῦτο ἐκ μέσου τῶν δικτύων ἀνέπτη. καὶ καθάπερ ἔλαφος εἰς αὐτὰς τῶν θηρατῶν ἐμπεσοῦσα τὰς χεῖρας, εἶτα ἐκεῖθεν διαφυγοῦσα πρὸς κορυφὴν ὄρους δύσβατον καὶ ποσὶ θηρατῶν καὶ ἀφέσει βελῶν ἀνέφικτον, ἵσταται τοῦ δρόμου λοιπὸν, καθορῶσα μετ᾽ ἀδείας τοὺς ἐπιβουλεύσαντας αὐτῇ πρότερον· οὕτω δὴ καὶ αὕτη, εἰς αὐτὰς τῶν θηρατῶν ἐμπεσοῦσα τὰς χεῖρας, καὶ καθάπερ δικτύοις τοῖς τοίχοις ἔνδον ἐναπειλημμένη, ἀνέδραμεν οὐκ εἰς ὄρους κορυφὴν, ἀλλ᾽ εἰς αὐτὴν τοῦ οὐρανοῦ τὴν κορυφὴν, ἔνθα λοιπὸν οὐκ "αὐτοῖς ἔτι προσελθεῖν δυνατὸν ἦν· εἶτα ἐκεῖθεν αὐτοὺς ὁρῶσα κεναῖς ἀναχωροῦντας χερσὶν, ἔχαιρε, πολλὴν τὴν τῶν ἀπίστων θεωμένη κατασκευαζομένην αἰσχύνην. ἐννόησον γὰρ ἡλίκον ἦν τοῦ δικαστοῦ καθημένου, τῶν δημίων παρεστώτων, τῶν κολαστηρίων εὐτρεπισμένων, τοῦ πλήθους παντὸς συνειλεγμένου, τῶν στρατιωτῶν προσδοκωμένων, ὑπὸ τῆς ἡδονῆς μεθυόντων ἁπάντων, ἐλπιζόντων ἔχειν τὸ θέαμα, τοὺς ἐπὶ "τούτῳ ἀπελθόντας ἐπανιέναι κάτω κύπτοντας, τὸ γεγενημένον δρᾶμα διηγουμένους. πόσην μὲν αἰσχύνην, πόσην δὲ ὀδύνην καὶ ὄνειδος τῶν ἀπίστων κατασκεδασθῆναι εἰκὸς ἁπάντων ἦν; πῶς ἀναχωρεῖν κάτω κύπτοντας, Γεν. λθ. ιβ.

ἐγκαλυπτομένους, διὰ τῶν ἔργων μανθάνοντας, ὅτι οὐ πρὸς ἀνθρώπους, ἀλλὰ πρὸς τὸν Θεὸν ὁ πόλεμος αὐτοῖς ἦν; ὁ μὲν οὖν Ἰωσὴφ, ἡνίκα ὑπὸ τῆς αὐτοῦ δεσποίνης ἐπεβουλεύετο, τὸ ἱμάτιον τὸ κατασχεθὲν ὑπὸ τῶν μιαρῶν χειρῶν παρὰ τῇ βαρβάρῳ γυναικὶ τότε ἀφεὶς, ἐξῄει γυμνός· αὕτη δὲ οὐδὲ κατασχεθῆναι τὸ σῶμα ὑπὸ τῶν ἀκολάστων ἀφῆκε χειρῶν, ἀλλ' ἀναβᾶσα γυμνῇ τῇ ψυχῇ, καὶ τὴν ἁγίαν σάρκα ἀφεῖσα παρὰ τοῖς πολεμίοις, εἰς πολλὴν αὐτοὺς ἀμηχανίαν ἐνέβαλεν· οὐδὲ γὰρ εἶχον ὅτι χρήσονται τῷ λειψάνῳ λοιπόν. τοιαῦτα τοῦ Θεοῦ τὰ κατορθώματα, τοὺς μὲν ἑαυτοῦ δούλους ἐξ ἀπόρων πραγμάτων εἰς πολλὴν ἄγει εὐκολίαν· τοὺς δὲ ἐναντίους αὐτῷ καὶ πολεμίους κἂν ἐκ τῶν εὐμηχάνων εἶναι δοκούντων εἰς τὴν ἐσχάτην ἐμβάλλει ἀμηχανίαν. τί γὰρ τῆς ἀμηχανίας ἐκείνης ἦν χαλεπώτερον, εἰς ἣν ἡ κόρη τότε ἐνεπεπτώκει; τί δὲ τῆς εὐκολίας εὐπορώτερον, ἐν ᾗ τότε οἱ στρατιῶται ἦσαν; μόνην εἶχον αὐτὴν ἔνδον ἀπειλημμένην, ὥσπερ ἐν δεσμωτηρίῳ, τῇ οἰκίᾳ "ἐγκεκλεισμένην, καὶ ὅμως ἀπῆλθον ἀποτυχόντες τῆς θήρας. πάλιν ἡ κόρη ἔρημος οὖσα συμμάχων καὶ βοηθῶν, καὶ οὐδεμίαν οὐδαμόθεν ὁρῶσα διέξοδον τῶν δεινῶν, καὶ τῶν στομάτων ἐντὸς οὖσα τῶν θηρίων ἐκείνων, ἐξ αὐτῆς, ὡς ἂν εἴποι τις, τῆς φάρυγγος αὐτῶν διαρπαγεῖσα διέφυγε τὰς ἐπιβουλὰς, καὶ περιεγένετο στρατιωτῶν, δικαστῶν, ἀρχόντων. καὶ ἡνίκα μὲν ἔζη, προσεδόκων αὐτῆς περιέσεσθαι οὗτοι πάντες· ἐπειδὴ δὲ ἐτελεύτησε, τότε εἰς πλείονα ἀμηχανίαν ἐνέπεσον, ἵνα μάθωσιν ὅτι θάνατος μαρτύρων, νίκη μαρτύρων. καὶ ταὐτὸν συνέβαινεν, οἷον ἂν εἰ κύματός τινος ἐμβολὴν πρὸς αὐτῷ τῷ στόματι τοῦ λιμένος ὁλκὰς μυριοφόρος καὶ μαργαριτῶν γέμουσα πολυτίμων μέλλοντος αὐτὴν καταβαπτίζειν καὶ ποιεῖν ὑποβρύχιον διαφυγοῦσα, ὑπ' αὐτῆς τῆς ῥύμης τῶν ὑδάτων συνωθηθεῖσα πρὸς τὸν λιμένα μετὰ πλείονος παραπεμφθείη τοῦ τάχους, οὕτω δὴ καὶ ἡ μακαρία Πελαγία. καὶ γὰρ ἡ τῶν στρατιωτῶν ἔφοδος, καὶ ὁ φόβος τῶν προσδοκωμένων κολαστηρίων, καὶ ἡ ἀπειλὴ τοῦ δικαστοῦ παντὸς κύματος σφοδρότερον προσπεσόντα ἤπειξεν αὐτὴν μετὰ πλείονος τάχους πρὸς τὸν οὐρανὸν ἀναπτῆναι· καὶ τὸ μέλλον καταποντίζειν κῦμα τὴν ναῦν, τοῦτο παρέπεμψεν αὐτὴν πρὸς τὸν λιμένα τὸν εὔδιον. καὶ κατεφέρετο τὸ σῶμα λοιπὸν πάσης ἀστραπῆς φωτεινότερον πλῆττον τοῦ διαβόλου τὰς ὄψεις· οὐχ οὕτω γὰρ ἡμῖν κεραυνὸς ἐκ τῶν οὐρανῶν ἀφιέμενος ἐστὶ φοβερὸς, ὡς τὸ σῶμα τῆς μάρτυρος κεραυνοῦ παντὸς χαλεπώτερον ἐφόβει τῶν δαιμόνων τὰς φάλαγγας. καὶ ἵνα μάθῃς ὅτι οὐκ ἀθεεὶ ταῦτα ἐγίνετο, μάλιστα μὲν καὶ ἐξ αὐτοῦ τοῦ παραστήματος τῆς προθυμίας δῆλον, καὶ τοῦ μὴ συνιδεῖν τοὺς στρατιώτας τὸν δόλον, καὶ τοῦ δοῦναι τὴν χάριν, καὶ τοῦ πρὸς τέλος τὸ ἔργον ἐλθεῖν· οὐκ ἔλαττον δὲ τῶν εἰρημένων, καὶ ἐξ αὐτοῦ τοῦ τρόπου τῆς τελευτῆς τοῦτό ἐστι συνιδεῖν. πολλοὶ γοῦν ἐξ ὑψηλοῦ κατενεχθέντες στέγους οὐδὲν ἔπαθον δεινόν· καὶ ἕτεροι δὲ πάλιν μέλη τινὰ τοῦ σώματος πηρωθέντες, πολὺν μετὰ τὸ πτῶμα ἐπέζησαν χρόνον. ἐπὶ δὲ τῆς μακαρίας ἐκείνης, οὐδὲν τούτων ἀφῆκεν ὁ Θεὸς συμβῆναι· ἀλλ' εὐθέως ἐκέλευσεν ἀφεῖναι τὸ σῶμα τὴν ψυχὴν, ὡς ἀρκούντως ἀγωνιζομένην δεξάμενος, καὶ τὸ πᾶν πληρώσασαν. οὐ γὰρ τῆς φύσεως τοῦ πτώματος ὁ θάνατος ἦν, ἀλλὰ τῆς τοῦ Θεοῦ προσταγῆς. ἔκειτο δὴ τὸ σῶμα λοιπὸν οὐκ ἐπὶ κλίνης, ἀλλ' ἐπὶ ἐδάφους. ἀλλ' οὐκ ἦν ἄτιμον, "ἐπειδὴ ἐπὶ ἐδάφους ἔκειτο· ἀλλ' αὐτὸ τὸ ἔδαφος ἦν τίμιον, ἐπειδὴ σῶμα τοσαύτῃ δόξῃ ἠμφιεσμένον ἐδέξατο. δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα τὸ κεῖσθαι ἐπὶ ἐδάφους, τιμιώτερον ἦν ἐκεῖνο τὸ σῶμα. αἱ γὰρ διὰ τὸν Χριστὸν ὕβρεις πλεονασμὸν ἡμῖν παρέχουσι τιμῆς. ἔκειτο τοίνυν ἐπ' ἐδάφους, ἐπὶ τοῦ στενωποῦ τὸ παρθενικὸν ἐκεῖνο καὶ παντὸς χρυσίου καθαρώτερον σῶμα. καὶ ἄγγελοι μὲν περιέστελλον, ἀρχάγγελοι δὲ πάντες ἐτίμων, καὶ ὁ Χριστὸς παρῆν. εἰ γὰρ δεσπόται τοὺς ἐπιεικεστέρους τῶν οἰκετῶν τελευτῶντας προπέμπουσι καὶ οὐκ ἐπαισχύνονται, πολλῷ μᾶλλον ὁ Χριστὸς τὴν δι' αὐτὸν ἀφεῖσαν τὴν ψυχὴν καὶ τοσοῦτον ἀναδεξαμένην κίνδυνον οὐκ ἂν ἐπῃσχύνθη τιμῆσαι τῇ αὐτοῦ παρουσίᾳ. ἔκειτο τοίνυν

γ. συγκεκλεισμένην

γ. ἐπὶ ἐδά
κείμενον

μέγα ἐντάφιον ἔχουσα τὸ μαρτύριον, τῷ κόσμῳ τῆς ὁμολογίας καλλωπιζομένη, πάσης βασιλικῆς ἀλουργίδος, πάσης πορφύρας τιμίας τιμιωτέραν περιβεβλημένη στολὴν, καὶ διπλῆν ταύτην, τὴν τῆς παρθενίας, καὶ τὴν τοῦ μαρτυρίου. μετὰ τούτων τῶν ἐνταφίων παρίσταται τῷ βήματι τοῦ Χριστοῦ.

Τοιαύτην * καὶ ἡμεῖς σπουδάζωμεν καὶ ζῶντες καὶ τελευτήσαντες περιβάλλεσθαι στολὴν, εἰδότες ὅτι χρυσοῖς μὲν ἱματίοις τὸ σῶμά τις καλλωπίσας οὐδὲν ὤνησεν, ἀλλὰ καὶ πολλοὺς ἐπεσπάσατο κατηγόρους, ὡς οὐδὲ ἐν τελευτῇ κενοδοξίας ἀφιστάμενος· ἀρετὴν δὲ περιθέμενος, πολλοὺς ἕξει καὶ μετὰ τὴν τελευτὴν ἐπαινέτας. καὶ γὰρ αὐτῆς τῆς βασιλικῆς αὐλῆς λαμπρότερος παρὰ πᾶσιν ὁ τάφος ἐστὶν ἐκεῖνος, ἔνθα ἂν ᾖ σῶμα κείμενον ἀρετῇ καὶ εὐσεβείᾳ συζῆσαν. καὶ τούτου μάρτυρες ὑμεῖς, οἱ τὰς μὲν θήκας τῶν πλουσίων καίτοι χρυσᾶ ἐχούσας ἱμάτια, καθάπερ σπήλαια, παρατρέχοντες, πρὸς δὲ τὴν ἁγίαν ταύτην μετὰ πολλῆς "δραμόντες τῆς προθυμίας· ἐπειδὴ μαρτυρίῳ καὶ ὁμολογίᾳ καὶ παρθενίᾳ ἀντὶ ἱματίων χρυσῶν ἑαυτὴν" ἐνταφιάσασα ἀπῆλθεν ἡ μάρτυς. μιμησώμεθα τοίνυν αὐτὴν κατὰ δύναμιν τὴν ἡμετέραν. κατεφρόνησεν ἐκείνη ζωῆς, καταφρονήσωμεν ἡμεῖς τρυφῆς· καταγελάσωμεν πολυτελείας, ἀποστῶμεν μέθης, ἀδδηφαγίαν φύγωμεν. οὐχ ἁπλῶς ταῦτα λέγω νῦν· ἀλλ' ἐπειδὴ πολλοὺς ὁρῶ μετὰ τὸ λυθῆναι τὸ πνευματικὸν τοῦτο θέατρον ἐπὶ μέθην καὶ καπηλείαν καὶ τὰς ἐν πανδοχείοις τραπέζας καὶ τὴν ἄλλην ἀσχημοσύνην τρέχοντας. διὰ τοῦτο δέομαι καὶ παρακαλῶ διαπαντὸς ἐν μνήμῃ καὶ διανοίᾳ τὴν ἁγίαν ταύτην ἔχειν, καὶ μὴ καταισχῦναι τὴν πανήγυριν, μηδὲ τὴν ἐκ τῆς ἑορτῆς ταύτης ἐγγινομένην ἡμῖν παρρησίαν ἀφελέσθαι. καὶ γὰρ, οὐχ ὡς ἔτυχε, πρὸς Ἕλληνας διαλεγόμενοι καλλωπιζόμεθα τῷ πλήθει τῆς ἑορτῆς καταισχύνοντες αὐτοὺς καὶ λέγοντες, ὅτι πόλιν ὁλόκληρον καὶ δῆμον τοσοῦτον κόρη μία τελευτήσασα πρὸς ἑαυτὴν ἐπισπᾶται καθ' ἕκαστον ἐνιαυτὸν, καὶ μετὰ τοσαῦτα ἔτη, καὶ χρόνος οὐδεὶς τὴν ἀκολουθίαν τῆς τιμῆς διέκοψε ταύτης. ἀλλ' ἐὰν αἰσθῶνται τῶν ἐν τῇ πανηγύρει γινομένων, τὸ πλέον ἀφῃρήμεθα τῶν ἐγκωμίων. τὸ γὰρ πλῆθος τοῦτο τὸ παραγινόμενον νῦν, ἂν μὲν μετ' εὐταξίας παραγένηται, κόσμος ἡμῖν μέγιστος· ἂν δὲ μετὰ ῥαθυμίας καὶ ὀλιγωρίας πολλῆς, ὄνειδος καὶ κατηγορία. ἵνα οὖν ἐναβρυνώμεθα τῷ πλήθει τῆς ὑμετέρας ἀγάπης, μετὰ τῆς αὐτῆς οἴκαδε εὐταξίας ἀναχωρῶμεν, μεθ' ὅσης εἰκὸς μάρτυρι τοιαύτῃ συγγινομένους ἀπιέναι. εἰ γάρ τις μὴ οὕτως οἴκαδε ἀπέλθοι, οὐ μόνον οὐδὲν ὤνησεν, ἀλλὰ καὶ κίνδυνον "καθ' ἑαυτοῦ μέγιστον ἐπεσπάσατο. οἶδα ὅτι καθαροὶ τῶν νοσημάτων τούτων ὑμεῖς. ἀλλ' οὐκ ἀρκεῖ τοῦτο εἰς ἀπολογίαν ὑμῖν, ἀλλὰ δεῖ καὶ τοὺς ἀδελφοὺς ἀκοσμοῦντας, εἰς εὐταξίαν μεγίστην ἄγειν καὶ καθιστᾶν ἐν τῷ πρέποντι σχήματι. ἐτίμησας τὴν μάρτυρα τῇ παρουσίᾳ; τίμησον αὐτὴν καὶ τῇ διορθώσει τῶν οἰκείων μελῶν. ἂν ἴδῃς γέλωτα ἄτακτον καὶ δρόμον ἀσχήμονα καὶ βάδισιν ἀνελεύθερον, καὶ σχῆμα ἀπρεπές, πρόσελθε, καὶ βλέψον εἰς τοὺς ταῦτα ποιοῦντας δριμὺ καὶ φοβερόν. ἀλλὰ καταφρονοῦσι καὶ καταγελῶσι μειζόνως; λάβε μετὰ σοῦ δύο καὶ τρεῖς ἀδελφοὺς, ἢ καὶ πλείους, ὥστε καὶ ἀπὸ τοῦ πλήθους γενέσθαι "αἰδεσιμωτέρους. εἰ δὲ μηδὲ οὕτω "καθίκοιτο τῆς ἀνοίας ἐκείνων, τοῖς ἱερεῦσι τούτους ποίησον φανερούς. μᾶλλον δὲ ἀμήχανον εἰς τοσαύτην ἐλθεῖν ἀναισχυντίαν αὐτοὺς, ὥστε ἐπιτιμωμένους, παρακαλουμένους μὴ εἶξαι καὶ ἐντραπῆναι καὶ καθυφεῖναι τῆς ἀτάκτου καὶ παιδικῆς χορείας. κἂν δέκα, κἂν τρεῖς, κἂν δύο, κἂν ἕνα κερδάνῃς μόνον, πολλὴν λαβὼν εἰσελεύσῃ τὴν ἐμπειρίαν. πολὺ τῆς ὁδοῦ τὸ μῆκος. τῷ μήκει τοίνυν τούτῳ πρὸς συλλογὴν τῶν εἰρημένων ἀποχρησώμεθα· θυμιαμάτων ἐμπλήσωμεν τὴν λεωφόρον. οὐδὲ γὰρ οὕτω σεμνὴ φανεῖται ἡ ὁδὸς, εἰ διὰ πάσης αὐτῆς θυμιατήριά τις θεὶς τῆς εὐωδίας ἀναχρώσειε τὸν ἀέρα, ὡς σεμνὴ φανεῖται νῦν, εἰ πάντες οἱ τήμερον αὐτὴν ὁδεύοντες, τοὺς ἄθλους τῆς μάρτυρος πρὸς ἑαυτοὺς διηγούμενοι βαδίζοιεν οἴκαδε, θυμιατήριον τὴν ἑαυτοῦ γλῶτταν ἕκαστος ποιῶν.

* πα

γρ. ὁρμῶντες

γρ. ἀμφιάσασα

γρ. αὐτ

γρ. αἰδεσιμώτερος.

ἂν καθίκοιο

ων. οὐχ ὁρᾶτε, βασιλέως εἰσιόντος εἰς πόλιν, μεθ' ὅσης εὐταξίας οἱ στρατιῶται στοιχηδὸν ἑκατέρωθεν καθωπλισμένοι βαδίζουσιν, ἀλλήλους παρακελευόμενοι ἠρέμα καὶ μετὰ φόβου πολλοῦ χωρεῖν, ὥστε τοῖς θεωροῦσιν αὐτοὺς ἀξιοθέατοι φαίνεσθαι; ἐκείνους γοῦν μιμησώμεθα. καὶ γὰρ καὶ ἡμεῖς βασιλέως προηγούμεθα, βασιλέως οὐκ αἰσθητοῦ, οὐκ ἐπιγείου, ἀλλὰ τοῦ τῶν ἀγγέλων δεσπότου. οὕτω τοίνυν εἰσέλθωμεν καὶ ἡμεῖς μετ' εὐταξίας ἀλλήλους παρακελευόμενοι ῥυθμῷ καὶ τάξει προβαίνειν, ἵνα μὴ τῷ πλήθει μόνον, ἀλλὰ καὶ τῷ κόσμῳ τοὺς θεωμένους ἐκπλήξωμεν. μάλιστα μὲν γὰρ εἰ καὶ μηδεὶς ἄλλος παρῆν, ἀλλὰ μόνοι καθ' ἑαυτοὺς τὴν ὁδὸν ἐβαδίζομεν, οὐδὲ οὕτως ἀσχημονεῖν ἐχρῆν διὰ τὸν ἀκοίμητον ὀφθαλμὸν τὸν πανταχοῦ παρόντα καὶ πάντα βλέποντα· νῦν δὲ ἐννοήσατε, ὅτι πολλοὶ τῶν αἱρετικῶν εἰσὶν ἡμῖν ἀναμεμιγμένοι. κἂν ἴδωσιν ἡμᾶς οὕτω χορεύοντας, γελῶντας, βοῶντας, μεθύοντας, τὰ ἔσχατα καταγνόντες ἡμῶν ἀπελεύσονται. εἰ δὲ ἕνα τις σκανδαλίζων ἀπαραίτητον ὑπομένει κόλασιν, οἱ τοσούτους σκανδαλίζοντες ποίαν δώσομεν δίκην; ἀλλὰ μὴ γένοιτο μετὰ τοὺς λόγους τούτους καὶ τὴν παραίνεσιν ταύτην εὑρεθῆναί τινα ὑπεύθυνον ὄντα τοῖς εἰρημένοις. εἰ γὰρ καὶ πρὸ τούτου ταῦτα τολμώμενα ἀσύγγνωστα ἦν, μετὰ τὴν συμβουλὴν ταύτην καὶ τὴν ἐπίπληξιν πολλῷ πλέον ἀπαραίτητον ποιεῖ τὴν τιμωρίαν καὶ τοῖς αὐτὰ ποιοῦσι, καὶ τοῖς περιορῶσι γιγνόμενα. ἵν' οὖν κἀκείνους τῆς κολάσεως ἀπαλλάξητε, καὶ ὑμῖν πλείονα προξενήσητε τὸν μισθόν, ἀντιλάβεσθε τῆς τῶν ἀδελφῶν τῶν ἡμετέρων κηδεμονίας, εἰς τὴν συλλογὴν αὐτοὺς καὶ τὴν διήγησιν τῶν εἰρημένων ἐμβάλλετε· ἵνα διὰ τῆς ὁδοῦ πάσης μελετήσαντες ταῦτα, καὶ τοῖς οἴκοι μείνασι καὶ ἀπολειφθεῖσι λείψανα τῆς τραπέζης ταύτης ἀπενεγκόντες, λαμπρὰν κἀκεῖ ποιήσητε τὴν εὐωχίαν. οὕτω γὰρ καὶ τῆς ἑορτῆς ταύτης μεγίστην αἴσθησιν ληψόμεθα, καὶ τὴν μάρτυρα τὴν ἁγίαν εἰς πλείονα ἐπισπασόμεθα εὔνοιαν, τιμὴν τὴν ἀληθῆ τιμῶντες αὐτήν. τοῦ γὰρ ἐνταῦθα παραγενέσθαι καὶ θορυβῆσαι πολλῷ μείζω αὐτῇ τὴν ἡδονὴν οἴσει τὸ καρπωσαμένους καὶ ὠφεληθέντας πνευματικήν τινα ὠφέλειαν ἀπελθεῖν. γένοιτο δὲ εὐχαῖς τῆς ἁγίας ταύτης, καὶ τῶν τὰ αὐτὰ ἠθληκότων αὐτῇ, καὶ τούτων καὶ τῶν ἄλλων τῶν εἰρημένων ἀκριβῆ τὴν μνήμην ὑμᾶς κατασχεῖν, καὶ διὰ τῶν ἔργων ἅπαντα ἐπιδειξαμένους, ἐν πᾶσιν εὐαρεστοῦντας διατελεῖν τῷ Θεῷ, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γ. ὑμᾶς

γ. ἡμῖν

γ. τιμὴ τῇ ἀληθεῖ

Μηνὸς Οκτωβ. ε.

Λογ. ξζ. ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΘΩΜΑΝ ΤΟΝ ΑΠΟΣΤΟλον, καὶ κατὰ Ἀρειανῶν, καὶ εἰς τὸν ἐν τῇ Θρᾴκῃ τυραννήσαντα καὶ ἀναιρεθέντα, καὶ αὐτὸν Ἀρειανόν.

ΤΩι μὲν νόμῳ τῆς ἐκκλησίας πειθόμενος ἡψάμην, ὡς οἷόν τε, τοῦ βήματος· τῷ δὲ μεγέθει τῆς ὑποθέσεως ἐκνικώμενος ἰλιγγιῶ, καὶ πανταχόθεν συνέχομαι, πῶς ἀπαντήσω τῷ πράγματι· ποίαν εὕρω τῷ λόγῳ διέξοδον. ὡς ζῶντα κηρύξω τὸν Θωμᾶν; ἀλλ' ὁ τάφος ἀνακηρύττει τὸν θάνατον· ὡς νεκρὸν διηγήσομαι; ἀλλ' ὑπὸ τῶν πραγμάτων ἐλέγχομαι. καὶ νεκρός ἐστι, καὶ ἀθάνατος· καὶ τέθνηκεν ὡς ἄνθρωπος, καὶ διατρέχει τὸν κόσμον ὡς ἄγγελος· καὶ πάθος ἐδέξατο, καὶ πάθεσι μάχεται· καὶ κάτω κεῖται, καὶ ἄνω εὐφραίνεται. οὐδεὶ γὰρ αὐτὸν ἴσχυσεν ἀποκρύψαι· οὐδεὶς αὐτὸν ἠφάνισε τόπος· ὅλην τὴν οἰκουμένην ἐφώτισεν. ἔλαβε τάφον, ἀλλὰ πανταχόθεν ὡς ἥλιος ἀνατέλλει. ἐνίκησε τὴν γῆν τὰ λείψανα τοῦ δικαίου, καὶ πλατύτερος ἐφάνη τῆς κτίσεως ὅλης· ἔσπειρεν αὐτὸν ἡ χάρις εἰς ὅλον τὸν κόσμον· πᾶσα γωνία μέρος ἔχει τοῦ Θωμᾶ· πάντα τὸν κόσ-

γ. περιφαίνεται.

γ. καὶ

σμον ἐπλήρωσε, καὶ μένει κατὰ τόπον ὁλόκληρος· εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ἡ δόξα αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ τρόπαια αὐτοῦ. πῶς οὖν αὐτὸν ὀνομάσω; ἥλιον; ἀλλ' ὑπὸ νυκτὸς οὐκ ἐλέγχεται· ἀστέρα; ἀλλ' ἡμέρα τοῦτον οὐ κρύπτει. ἐν παντὶ καιρῷ καταυγάζει τὴν κτίσιν· πάντα ζόφον ἀπελαύνει τῆς οἰκουμένης. οὐκ ἔτι νὺξ μετ' αὐτοῦ· σκότος αὐτὸν οὐκ ἀμβλύνει· ποταμὸς οὐ κωλύει· θάλασσα κατέχειν οὐ δύναται· ὠκεανὸς ἐπιγινώσκει τὸν ἄνδρα· βάρβαροι τιμῶσι τὸν Θωμᾶν· πάντα τὰ ἔθνη σήμερον ἑορτάζει, καὶ τὴν τούτου φωνὴν, καθάπερ τι δῶρον, τῷ δεσπότῃ προσφέρει, ὁ Κύριός μου καὶ ὁ Θεός μου, ὁ συγγενής μου καὶ ποιητής μου, ὁ λυτρωτής μου καὶ ὁ βασιλεύς μου. ταῦτα γὰρ ἐδίδαξεν ὁ Θωμᾶς· τοῦτον ἡμῖν ὡς τέκνοις ἀφῆκε τὸν κλῆρον· ὡς θησαυρὸν ἡ φύσις κατέχει τὸν λόγον· ὅλον τὸ γένος διὰ ταύτης τῆς φωνῆς ὀχυροῦται· μέχρι τῶν ἀγγέλων ἐξετάθη τὸ ῥῆμα· ἄγγελοι ταύτην ὡς ἄγκυραν τὴν ὁμολογίαν κρατοῦσι· πᾶσα ἡ κτίσις ὡς διάδημα περιφέρει τὸ δόγμα. μόνος ὁ Ἄρειος ἀποστερεῖται τοῦ λόγου· μόνος ἐκεῖνος ἐκπίπτει τοῦ κλήρου· μόνος οὐχ ὁμολογεῖ Κύριον τὸν Χριστὸν μετὰ Θωμᾶ· οὐ γνωρίζει αὐτὸν Θεὸν μετ' αὐτοῦ. δοῦλον ἀποκαλεῖ τὸν δεσπότην, κτίσμα τὸ ἀπαύγασμα, νόθον τὸν γνήσιον, πλάσμα τὸν πλάστην. οὐ λέγει Κύριον καὶ Θεὸν τὸν δεσπότην· οὐκ ἀνέχεται τῆς ἀληθείας· οὐ συντίθεται τῷ Θωμᾷ· οὐκ ἀκολουθεῖ τῷ δικαίῳ, καὶ ταῦτα τιμῶν αὐτοῦ τὴν ἡμέραν, καὶ πανηγυρίζων μετὰ πάσης τῆς οἰκουμένης, καὶ συντάττων ἑαυτὸν τοῖς φίλοις τοῦ Θωμᾶ. ἀλλ' οὐ κλέπτει τὴν ἀρετὴν ἡ κακία· οὐ συναρμόζει τῷ ὁδηγῷ τῆς ἀληθείας ὁ πλάνος. οἶδεν ὁ ποιμὴν τὸ θηρίον· οἶδεν ὁ σφενδονίτης τὸν λύκον· οἶδεν ὁ κυβερνήτης τὸ κῦμα· οἶδεν ὁ λιμὴν τὸν χειμῶνα· οἶδεν ὁ στρατηγὸς τὸν πολέμιον· οἶδεν ὁ Θωμᾶς τὸν Ἄρειον, οἶδε καὶ διώκει αὐτόν. οὐ δέχεται τὴν τιμὴν τοῦ βλασφήμου· οὐκ εἰσέρχεται παρὰ τὸ σπήλαιον τῶν φονέων· οὐ συναυλίζεται μετ' ἐκείνων. ἀποστρέφεται συνόδους ἀθεωτάτων· βδελύσσεται φωνὴν αὐτῷ μαχομένην· μισεῖ στόμα κατὰ τοῦ Θεοῦ λαλοῦν ἀδικίαν· ἐκτρέπεται γλῶτταν Κύριον καὶ Θεὸν τὸν Χριστὸν μὴ καλοῦσαν· καὶ βοᾷ πρὸς ἐκεῖνον ἀπὸ πάσης τῆς οἰκουμένης, Ἄρειε τί με καθέλκεις; τί λιπαίνεις ἐλαίῳ τὴν κεφαλήν μου; τί μου τὴν ἡμέραν ἑορτάζεις, παράνομε; οὐ δέχομαί σου τὸν βλάσφημον ὕμνον· οὐ συμφωνῶ τῇ ματαίᾳ σου πίστει· οὐ γνωρίζω σου τὸ παράνομον δόγμα. μή με τιμήσῃς ἀτιμάζων τὸν πλάστην· οὐ δέχομαι τιμὴν ἀτιμίας μητέρα. εἰ τὸν δεσπότην ὑβρίζεις, ἐμὲ τὸν δοῦλον πῶς θεραπεύσεις; εἰ μὴ κρατεῖς μου τὴν πίστιν, πῶς ἑορτάσεις τὴν μνήμην; εἰ μὴ συμφωνεῖς μοι, πῶς κοινωνεῖς μου τῷ τάφῳ; ἐγὼ Χριστὸν Κύριον καὶ Θεὸν ἐδιδάχθην· ἐψηλάφησα τῇ χειρί, καὶ τὴν ἀλήθειαν εὗρον· οἰκείοις ἐπιστώθην δακτύλοις· οὐκ ἄλλος ὑπέθετό μου τὸ δόγμα· οὐκ ἐξ ἀκοῆς ἔχω τὸ θαῦμα· οὐκ ἐπίστευσα τοῖς εἰποῦσί μοι, ἑωράκαμεν τὸν Κύριον· ἐμαχεσάμην τοῖς ἀποστόλοις· ἀντέκρουσα Πέτρῳ διδάσκειν με πειρωμένῳ· εἶπον πρὸς αὐτόν, ἄνθρωπε, τί με ταράττεις; τί μοι λόγους ἀντὶ πραγμάτων χαρίζῃ; τί μοι κηρύττεις ἀπὸ ῥημάτων πιστεύειν; ἐὰν μὴ ἴδω, οὐ μὴ πιστεύσω. ὡς εἶδες καὶ σύ, ἴδω κἀγώ· ὡς ἐδιδάχθης, διδαχθῶ· ὡς ἔμαθες, μάθω. ὁ κηρύττειν μέλλων, θεάσωμαι, καὶ κηρύττω. οὐδεὶς ἀκούων ἀπαγγέλλει· οὐδεὶς ἀπὸ φήμης δόγμα προσφέρει· οὐδεὶς ἀποδέχεταί με τὰ σὰ διαγγέλλοντα. ἂν ἐρωτηθῶ, πῶς ἀνέστη ὁ Χριστός, οὐκ οἶδα τί λέξω. ἐὰν εἴπω, Πέτρος μοι εἶπε, τίς ὡς ἀξιοπίστῳ προσέξει; ἴδω, καὶ κηρύττω· μάθω, καὶ διδάσκω· πιστωθῶ, καὶ πιστοῦμαι. εἶπον κἀγώ, Θωμᾶς ἀπόστολος οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπων· ταῦτά μου λέγοντος ὁ Κύριος ἐπεφάνη, καὶ τὴν μάχην ἔλυσε παραχρῆμα, καί φησι πρὸς μέ· τί σοι γέγονε, Θωμᾶ; τί μάχῃ τῷ Πέτρῳ; τί φιλονεικεῖς τοῖς ἑταίροις; δεῦρο λάβε τὸ θαῦμα τῇ πείρᾳ· μάθε τὴν ἀνάστασιν ἔργῳ· φέρε τὴν χεῖρα, καὶ βλέπε τὸ σῶμα. εἰ χωρεῖς, κράτει· εἰ καθαροὺς ἔχεις δακτύλους, ἅψαι τῶν τύπων· εἰ πιστεύεις, καὶ φθάσεις· εἰ δὲ φιλονεικεῖς, οὐχ εὑρίσκεις· εἰ ἀπιστεῖς, οὐ γνωρίζεις· εἰ ἀμφιβάλλεις,

Ιωαν. κ. κη.

Ψαλμ. ρμ. ε.

λεις, τὸ παθητὸν οὐ κατέχεις· εἰ πάθος οὐκ ἔχεις, τὸ ἀπαθὲς οὐ μανθάνεις. Ταῦτα ἀκούσας ἐθάρρησα τὴν ψυχὴν ἀπιστίας ἀπεδυσάμην τὴν ἀμφίβολον γνώμην· ἀνέλαβον τὸν νοῦν πεπεισμένον· ἡψάμην τοῦ σώματος χαίρων, καὶ τρέμων· ἐξήπλωσα μετὰ τῶν δακτύλων καὶ τὸ τῆς ψυχῆς ὄμμα, καὶ δύο λοιπὸν ἐνεργειῶν ᾐσθόμην. ἐκράτουν, καὶ ἑώρων· καὶ τῇ μὲν χειρὶ σῶμα κατεῖχον, τῇ δὲ ψυχῇ Θεὸν κατενόουν· καὶ τὸ ἔξωθεν ηὕρισκον θαυμαστὸν, καὶ τὸ ἔσωθεν φοβερόν· καὶ τὸ φαινόμενον μέγα, καὶ τὸ κρατούμενον θαῦμα. ἐβόησα τοίνυν ἐκπλαγεὶς ὃ κατέλαβον· ὁ Κύριός μου, καὶ ὁ Θεός μου. οὐδαμοῦ γὰρ ἔβλεπον δοῦλον, οὐδαμοῦ ταπεινὸν ἐφαίνετο σχῆμα· καὶ τὸ συγγενὲς ἐξέλαμπε, καὶ τὸ θεῖον ἐξήστραπτε· καὶ τὸ φορούμενον ὑψοῦτο, καὶ τὸ φοροῦν ἐδεδόξαστο· καὶ δύο νοουμένων πραγμάτων ἓν ἦν τὸ προσκυνούμενον πρόσωπον. Ταῦτα ἐγὼ πείρᾳ παρέλαβον, ταῦτα δακτύλῳ ἐκράτησα, ταῦτα ψυχῇ κατενόησα. σὺ δὲ, Αρειε, πόθεν τὸ βλάσφημον ἐδιδάχθης; πόθεν ἔμαθες, ἃ κηρύττεις; Χριστὸν ἐψηλάφησας ὡς ἐγώ; τὴν χεῖρα προσήνεγκας; τοὺς τύπους ἠρεύνησας; οἱ δάκτυλοι μαρτυροῦσί σοι; κατέχεις τὸν Κύριον σύ; εἰς ποίαν χεῖρα; εἰς ἣν ἥρπασας τὰ κειμήλια; εἰς ἣν τοὺς ἀποστόλους ἐσύλησας; εἰς ἣν ὑπεδέξω τοῦ βαρβάρου τὰ λάφυρα; εἰς ἣν ἐκράτεις τὸν μισθὸν τῆς ἀσεβείας; εἰς ἣν ἐχώνευσας τὰ σκεύη τοῦ αἵματος; εἰς ταύτην Χριστὸν ἐψηλάφησας; μὴ γένοιτο. οὐχ οὕτως ἄδικος ὁ δεσπότης, οὐχ οὕτως ἐπισφαλὴς ὁ Χριστὸς, ἵνα σοι τὴν ἰδίαν ἐμπιστεύσῃ σάρκα. οὐκ ἐκράτησας, ὃν ἠθέτησας· οὐκ ἐψηλάφησας, ὃν ἐμίσησας· οὐκ ἠρεύνησας, ὃν ἐσμίκρυνας. εἰ γὰρ ἠρεύνησας, οὐκ ἂν ἐταπείνωσας· εἰ καλῶς ἐξεζήτησας, οὐκ ἂν οὕτω κακῶς παρηρμήνευσας. ἄπαγε, ἀπόλαυε τῆς κακίας, πίπτε μετὰ τῶν οἰκείων συμμάχων. πρὸς ἕνα σου κατέβαλον πύργον· πρὸς τὴν Θρᾴκην ἠλευθέρωσα τῆς σῆς τυραννίδος. ἔτι μικρὸν καὶ πάντοθεν σε καταλύω· ἔτι μικρὸν καὶ διώκω σε τῆς οἰκουμένης. ἄρτι σου τὴν κεφαλὴν ἀφαιροῦμαι· ἄρτι καὶ τὴν δύσιν ἀπαλλάττω τῆς σῆς ἀπονοίας. ναὶ, μακάριε Θωμᾶ, πλήρωσον ἔργῳ τὸν λόγον· ἀκολούθησον τῇ φωνῇ σου· καλὴν τὴν ἀρχὴν βεβαίωσον καὶ τῷ τέλει. ὡς τὴν Θρᾴκην ἠλευθέρωσας, ἐλευθέρωσον καὶ τὴν δύσιν. ἀκουσάτω καὶ τὸν λῃστὴν ὡς τὸν τύραννον ἐκκόπτοντα· στεφάνωσον τὸν βασιλέα τῇ νίκῃ· βράβευσον εἰρήνην τῷ κόσμῳ· δέξαι τοὺς ἱδρῶτας τῶν συνελθόντων· δέξαι τὴν πόλιν ἱκετεύουσάν σοι, τὴν κοινὴν πᾶσαν ἡλικίαν ἀπέστειλέ σοι πρεσβείαν. γέροντες καὶ νέοι προσαπτόμεθά σου τῷ τάφῳ· παρθένοι καὶ νεανίσκοι περιπλεκόμεθά σου τῷ σώματι· νήπια στρουθίων δίκην ἀτενίζουσι πρὸς σὲ κεχηνότα. μὴ παρίδῃς σχῆμα τοιοῦτον· μὴ κενοὺς ἡμῶν ἀποπέμψῃς τοὺς πόνους· δὸς ἡμῖν ἄξιον μισθὸν τῶν ἱδρώτων. οὐδὲν ἀπαιτοῦμέν σε μέγα· ἅπερ ἔχεις, αἰτούμεθα· ἃ δίδως, ζητοῦμεν· ἃ θέλεις ἰδεῖν, ἐπιθυμοῦμεν· τὸν βάρβαρον ἡττηθέντα, τὸν Αρειον ἐλαθέντα, τὸν βασιλέα στεφανωθέντα, τὸν κόσμον ἐπιστραφέντα, τὸν Χριστὸν ὑψωθέντα, καὶ παρὰ πάσης ὁμοῦ τῆς κτίσεως ἀκούοντα, ὁ Κύριός μου, καὶ ὁ Θεός μου· ᾧ ἡ δόξα, τιμὴ, καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Αμήν.

ἴσ. ἐκ τῆς.

γρ. ἐψηλάφησα καὶ ἐθεώρουν

γρ. ὑποβάλῃς

γρ. οἰκουμένη

γρ. μάρτυρες

Λογ. ξθ. ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΡΩμανόν.

Μηνὸς Νοεμβ. ιη.

ΠΑλιν μαρτύρων μνήμη, καὶ πάλιν πανήγυρις καὶ ἑορτὴ πνευματική. ἔκαμον ἐκεῖνοι, καὶ χαίρομεν ἡμεῖς· ἐπάλαισαν ἐκεῖνοι, καὶ ἡμεῖς ἀγαλλόμεθα· ἐκείνων ὁ στέφανος, καὶ ἡμῶν τὸ κλέος, μᾶλλον δὲ τῆς ἐκκλησίας ἁπάσης ἡ δόξα. καὶ πῶς ἂν τοῦτο γένοιτο, φησί; ὅτι μέρη καὶ μέλη ἡμῶν εἰσιν οἱ μάρτυρες. Εἴτε δὲ πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάν-

α. Κορ. ιβ. κϛ.

τα τὰ μέλη, ἡ κεφαλὴ στεφανοῦται, καὶ τὸ λοιπὸν σῶμα ἀγάλλεται. Εἰ ὁ Ὀλυμπιονίκης γίνεται, καὶ ὁλόκληρος δῆμος εὐφραίνεται, καὶ μετὰ πολλῆς αὐτὸν δέχεται τῆς εὐφημίας. Εἰ δὲ ἐπὶ τῶν Ὀλυμπιακῶν ἀγώνων τὸν μηδὲν εἰς τοὺς ἱδρῶτας ἐκείνους εἰσενεγκόντες τοσαύτην καρποῦνται τὴν ἡδονήν, πολλῷ μᾶλλον ἐπὶ τῶν τῆς εὐσεβείας ἀθλητῶν τοῦτο γένοιτ' ἄν. πόδες ἐσμὲν ἡμεῖς, οἱ μάρτυρες, κεφαλή. ἀλλ' οὐ δύναται εἰπεῖν ἡ κεφαλὴ τοῖς ποσί, χρείαν ὑμῶν οὐκ ἔχω. ἔνδοξα τὰ μέλη, ἀλλ' ἡ ὑπεροχὴ τῆς δόξης οὐ ποιεῖ τῆς πρὸς τὰ λοιπὰ μέρη συναφείας ἀλλοτρίωσιν. ταύτῃ γὰρ μάλιστα ἔνδοξα γίνεται, ὅταν τὴν πρὸς ἡμᾶς συνάφειαν μὴ διακρούσηται. ἐπεὶ καὶ ὀφθαλμὸς τοῦ λοιποῦ παντὸς σώματος λαμπρότερος ὤν, τότε τὴν οἰκείαν διατηρεῖ δόξαν, ὅταν μὴ τοῦ λοιποῦ σώματος ἀποσχίζηται. καὶ τί λέγω περὶ μαρτύρων; εἰ γὰρ ὁ δεσπότης αὐτῶν οὐκ ἐπῃσχύνθη γενέσθαι ἡμῶν κεφαλή, πολλῷ μᾶλλον αὐτοὶ μέλη ἡμῶν εἶναι οὐκ ἐπαισχύνονται. ἀγάπην γὰρ ἔχουσιν ἐρριζωμένην· ἡ δὲ ἀγάπη τὰ διεστηκότα συνάπτειν καὶ συνδεῖν εἴωθε, καὶ περὶ τῆς ἀξίας οὐκ ἀκριβολογεῖται. ὥσπερ οὖν αὐτοὶ συναλγοῦσιν ἡμῶν τοῖς ἁμαρτήμασιν, οὕτως ἡμεῖς συγχαίρωμεν αὐτῶν τοῖς κατορθώμασιν. οὕτω καὶ Παῦλος ἐκέλευσε χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων. ἀλλὰ τὸ μὲν κλαίειν μετὰ κλαιόντων, εὔκολον· τὸ δὲ χαίρειν μετὰ χαιρόντων, οὐ σφόδρα ῥᾴδιον. ῥᾷον γὰρ τοῖς ἐν συμφοραῖς οὖσι συναλγοῦμεν, ἢ τοῖς εὐδοκιμοῦσι συνηδόμεθα. ἐκεῖ μὲν γὰρ αὐτὴ τῆς συμφορᾶς ἡ φύσις καὶ τὸν λίθινον ἱκανὴ πρὸς συμπάθειαν ἐπικάμψαι· ἐνταῦθα δὲ ἐπὶ τῆς εὐπραγίας ὁ φθόνος καὶ ἡ βασκανία τῶν μὴ σφόδρα φιλοσοφούντων οὐκ ἀφίησι γενέσθαι κοινωνὸν τῆς ἡδονῆς. ὥσπερ γὰρ ἡ ἀγάπη τὰ διῃρημένα συνάγει καὶ συνδεῖ, οὕτως ἡ βασκανία τὰ ἡνωμένα διαιρεῖ. διὸ παρακαλῶ, μελετήσωμεν συγχαίρειν τοῖς εὐδοκιμοῦσιν, ἵνα καὶ φθόνου καὶ βασκανίας τὴν ψυχὴν ἐκκαθάρωμεν. οὐδὲν γὰρ οὕτως ἀπελαύνει τὸ νόσημα τοῦτο τὸ χαλεπὸν καὶ δυσίατον, ὡς τὸ συνήδεσθαι τοῖς ἐν ἀρετῇ βιοῦσιν. ἄκουσον γοῦν πῶς ὁ Παῦλος ἐν ἑκατέροις τούτοις ἐστὶν ἄκρος. Τίς, φησιν, ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; οὐκ εἶπε, καὶ οὐκ ἐγὼ λυποῦμαι, ἀλλ', οὐκ ἐγὼ πυροῦμαι, τῇ προσηγορίᾳ τῆς πυρώσεως τὴν ἐπίτασιν τῆς ὀδύνης ἡμῖν παραστῆσαι βουλόμενος. καὶ πάλιν ἑτέροις γράφων, Χωρὶς ἡμῶν ἐβασιλεύσατε, φησί· καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν. καὶ πάλιν, Νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκητε ἐν Κυρίῳ. ὅρα πῶς περισπούδαστος ἦν αὐτῷ τῶν ἀδελφῶν ἡ εὐδοκίμησις, ὃς οὔτε ζῆν ἐνόμιζεν, ἐκείνων μὴ σωζομένων. ἄνθρωπος εἰς τρίτον ἁρπαγεὶς οὐρανόν, καὶ εἰς παράδεισον ἀπενεχθείς, καὶ μυστηρίων κοινωνήσας ἀπορρήτων, καὶ τοσαύτης πρὸς τὸν Θεὸν ἀπολαύσας παρρησίας, οὐ σφόδρα αἴσθησιν ἐκείνων ἐλάμβανε τῶν ἀγαθῶν, εἰ μὴ καὶ τοὺς ἀδελφοὺς εἶδε σὺν αὐτῷ διασωζομένους. οἶδε γάρ, οἶδε σαφῶς, ὅτι ἀγάπης οὐδὲν οὔτε μεῖζον οὔτε ἴσον ἐστίν, οὐδὲ αὐτὸ τὸ μαρτύριον, ὃ πάντων ἐστὶ κεφάλαιον τῶν ἀγαθῶν. καὶ πῶς, ἄκουσον. ἀγάπη μὲν καὶ χωρὶς μαρτυρίου ποιεῖ μαθητὰς τοῦ Χριστοῦ· μαρτύριον δὲ χωρὶς ἀγάπης οὐκ ἂν ἰσχύσειε τοῦτο ἐργάσασθαι. πόθεν τοῦτο δῆλον; ἀπ' αὐτῶν τῶν τοῦ Χριστοῦ ῥημάτων. πρὸς γὰρ τοὺς μαθητὰς ἔλεγεν· Ἐν τούτῳ γνώσονται πάντες ὅτι μαθηταί μου ἐστέ, ἐὰν ἀγαπᾶτε ἀλλήλους. ἰδοὺ ἀγάπη χωρὶς μαρτυρίου μαθητὰς ἐποίησεν. ὅτι δὲ μαρτύριον χωρὶς ἀγάπης οὐ μόνον μαθητὰς οὐ ποιεῖ, ἀλλ' οὐδὲ ὠφελεῖ τι τὸν ὑπομένοντα, ἄκουσον Παύλου λέγοντος· Ἐὰν παραδῶ τὸ σῶμά μου, ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. διὰ τοῦτο μάλιστα τὸν ἅγιον τοῦτον φιλῶ τὸν σήμερον ἡμᾶς συναγαγόντα, τὸν μακάριον Ῥωμανόν, ὅτι μετὰ τοῦ μαρτυρίου πολλὴν τὴν ἀγάπην ἐπεδείξατο. διὸ καὶ τὴν γλῶτταν ἐξεκόπτετο τὴν ἁγίαν. καὶ γὰρ καὶ τοῦτο ἄξιον ἐξετάσαι, τί δήποτε οὐκ ἐπὶ βασάνους καὶ κολάσεις καὶ τιμωρίας ἤγαγεν αὐτὸν ὁ διάβολος, ἀλλὰ τὴν γλῶτταν ἀπέτεμεν. οὐ γὰρ εἰκῇ τοῦτο ἐποίησεν, ἀλλὰ μετὰ πολλῆς τῆς πονηρίας. καὶ γὰρ κακοῦργόν ἐστι

τὸ

α. Κορ ιβ. κα.

Ρωμ. ιβ. ιε.

β. Κορ. ια κθ.

α. Κορ. δ. η.

α. Θεσ. γ. η.

Ιωαν. ιγ. λε.

α. Κορ. ιγ. γ.

τὸ θηρίον, καὶ πάντα κατὰ τῆς ἡμετέρας σωτηρίας πραγματεύεται καὶ κινεῖ. Φέρε οὖν, ἐξετάσωμεν, τί δήποτε ἐπὶ τὴν ἐκκοπὴν τῆς γλώττης ἐχώρησε. μικρὸν γοῦν ἀνωτέρω τὸν λόγον ἀναγαγόντες, γυμνάσωμεν. οὕτω γὰρ εἰσόμεθα καὶ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, καὶ τὴν τοῦ μάρτυρος ὑπομονὴν, καὶ τὴν τοῦ διαβόλου κακουργίαν. καὶ τὴν μὲν τοῦ Θεοῦ φιλανθρωπίαν μαθόντες, εὐχαριστήσωμεν τῷ δεσπότῃ· τὴν δὲ τοῦ μάρτυρος ὑπομονὴν γνόντες, μιμησώμεθα τὸν σύνδουλον· τὴν δὲ τοῦ διαβόλου κακουργίαν καταμαθόντες, ἀποστραφησώμεθα τὸν ἐχθρόν. διὰ γὰρ τοῦτο ἡμῖν ἔδωκεν ὁ Θεὸς εἰδέναι αὐτοῦ τὰς μηχανὰς, ἵνα μειζόνως αὐτὸν μισήσαντες, εὐκολώτερον αὐτοῦ περιγινώμεθα. ὅτι γὰρ δυνατὸν εἰδέναι αὐτοῦ τὰ νοήματα, ἄκουσον τί φησιν ὁ Παῦλος περὶ τοῦ πεπορνευκότος. Κορινθίοις γὰρ ἐπιστέλλων οὕτω πως φησί· Κυρώσατε εἰς αὐτὸν ἀγάπην, ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ. οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. Τίς οὖν ἡ αἰτία, δι' ἣν τὴν γλῶτταν ἐξέκοψε; μικρὸν ἄνωθεν ἀνάσχεσθέ μου διηγουμένου.

β. Κορ. β. ια.

Πόλεμος ἀνερριπίσθη ποτὲ κατὰ τῶν ἐκκλησιῶν χαλεπὸς, οὐχὶ βαρβάρων ἐπιδραμόντων τὰς πόλεις, οὐδὲ ἀλλογλώσσων τινῶν, ἀλλ' αὐτῶν τῶν δοκούντων προεστάναι τῆς καθ' ἡμᾶς οἰκουμένης καὶ βαρβάρων καὶ πολεμίων καὶ τυράννων ἁπάντων ἀπηνέστερον καὶ ὠμότερον κεχρημένων τοῖς ὑπηκόοις. οὐ γὰρ ὑπὲρ ἐλευθερίας καὶ πατρίδος καὶ χρημάτων καὶ τῆς παρούσης ζωῆς ὁ κίνδυνος ἦν τότε, ἀλλ' ὑπὲρ βασιλείας οὐρανῶν καὶ τῶν ἀποκειμένων ἀγαθῶν, ὑπὲρ ἀθανάτου ζωῆς, ὑπὲρ ὁμολογίας τῆς εἰς τὸν Χριστόν. καὶ καινός τις αἰχμαλωσίας ἐπενοεῖτο τρόπος. οὐ γὰρ τῆς ἐνταῦθα πόλεως ἐξέβαλλον, ἀλλὰ τῆς ἄνω Ἱερουσαλὴμ τῆς ἐλευθέρας ἐπεχείρουν ἀποστερεῖν, καὶ τὴν ψυχὴν ἕκαστον καταθύειν ἠνάγκαζον ἐπὶ τῶν βωμῶν, καὶ τὸν οἰκεῖον δεσπότην ἐξόμνυσθαι, καὶ τῇ τῶν δαιμόνων ὑποκύπτειν τυραννίδι, καὶ τοὺς λυμεῶνας καὶ ἐχθροὺς τῆς σωτηρίας τῆς ἡμετέρας θεραπεύειν δαίμονας· ὃ μυρίων θανάτων καὶ πάσης γεέννης χαλεπώτερον ἦν καὶ ἀφορητότερον ταῖς φιλοχρίστοις ψυχαῖς. τότε δὴ πολλῶν ὑποβρυχίων γινομένων, καὶ τοῦ χειμῶνος αἰρομένου, καὶ πολλῶν ναυαγούντων, ὁ μακάριος οὗτος Ῥωμανὸς παρελθὼν εἰς μέσους, οὐκ ἐσκόπησεν εὐθέως ὅπως ἑαυτὸν ἐπιδῷ τοῖς κινδύνοις, ἀλλὰ πρότερον τοὺς πεφοβημένους, τοὺς ἀναπεπτωκότας, τοὺς τὴν οἰκείαν προδόντας σωτηρίαν συνῆγε, παρεθάρρυνεν, ἀναμαχέσασθαι παρεσκεύαζε, τοὺς μὲν καταπεσόντας ἀνορθῶν, τοὺς δὲ ἑστῶτας ἀσφαλιζόμενος εὐχαῖς καὶ παραινέσεσι καὶ συμβουλαῖς, περὶ τῶν μελλόντων, περὶ τῶν παρόντων πραγμάτων πολλὰ φιλοσοφῶν, δεικνὺς τὸ πρόσκαιρον τούτων, τὸ διηνεκὲς ἐκείνων, ἀντιτιθεὶς τοῖς πόνοις τὰ ἔπαθλα, ταῖς βασάνοις τοὺς στεφάνους, ταῖς ἀλγηδόσι τὰ βραβεῖα· διδάσκων τίς μὲν ἡ παροῦσα ζωὴ, τίς δὲ ἡ μέλλουσα, καὶ πόσον ἑκατέρας τὸ μέσον, καὶ ὅτι πάντως ἀποθανεῖν ἀνάγκη. κἂν γὰρ μὴ τούτῳ τῷ τρόπῳ καταλύσωμεν τὴν ζωὴν, τῷ νόμῳ τῆς φύσεως πάντως ἀναγκαζόμενοι μικρὸν γοῦν ὕστερον τῶν σωμάτων ἀποστησόμεθα τούτων. ταῦτα δὴ, καὶ τὰ τούτοις ″ἐοικότα παραινῶν, ἀνώρθωσε τὰς παρειμένας χεῖρας, ἐστήριξε τὰ παραλελυμένα γόνατα, τοὺς φυγάδας ἐπανήγαγε, τὴν δειλίαν ἐξέβαλε, τὴν ἀγωνίαν ἀπήλασε, θάρσος ἐνέθηκεν· ἀντὶ δειλῶν προθύμους ἐποίησεν, ἀντὶ δορκάδων καὶ ἐλάφων λέοντας ἀπειργάσατο πολλῆς πνέοντας τῆς ἰσχύος. συνεκρότησε τοῦ Χριστοῦ τὸ στρατόπεδον, τὴν αἰχμὴν τὴν παρ' ἡμῖν εἰς τὰς τῶν πολεμίων μετήνεγκε ″κεφαλάς. ἰδὼν τοίνυν ὁ διάβολος ″ἀθρόαν μεταβολὴν γεγενημένην, καὶ τοὺς χθὲς καὶ πρώην δεδοικότας αὐτὸν καὶ τρέμοντας νῦν καταγελῶντας αὐτοῦ καὶ κατατολμῶντας, ἐναποδυομένους τοῖς κινδύνοις, ἐπιπηδῶντας τοῖς κολαστηρίοις, καὶ γνοὺς τὸν αἴτιον, πάντας ἀφεὶς κατ' ἐκείνου λοιπὸν ἔπνευσεν ὅλος, πᾶσαν τὴν δύναμιν αὐτοῦ καὶ τὴν μανίαν κατὰ τῆς μακαρίας ταύτης κινῶν κεφαλῆς. καὶ τί ποιεῖ; σκοπεῖτε τὴν κακουργίαν. οὐκ ἤγαγεν αὐτὸν ἐπὶ βασάνους, οὐκ ἀπέτεμεν αὐτοῦ τὴν κεφαλήν. ἐδίδαξε

γρ. ὅμοια

γρ. φάλαγγ

γρ. ἀθρόν

γὰρ αὐτὸν ὁ παρελθὼν χρόνος, ὅτι ταῦτα πάντα εἰκῆ καὶ μάτην ἐγίνετο. οὐ γὰρ μόνον οὐκ ἐνέκοψε τῶν πεπιστευκότων τὴν προθυμίαν, ἀλλὰ καὶ ἐπέτεινε πλέον, καὶ μείζω καὶ θερμοτέραν αὐτὴν ἐποίησεν. ἀνθρακιὰς ὑπεστόρεσα, φησίν, οἱ δὲ ὡς ἐπὶ ῥόδα ἐπέτρεχον· πῦρ ἀνῆψα, οἱ δὲ ὡς εἰς πηγὰς ὑδάτων ψυχρῶν ἑαυτοὺς ἔρριψαν. κατέξανα τὰς πλευράς, καὶ βαθείας ἀνέτεμον αὔλακας, καὶ κατήγαγον ῥύακας αἱμάτων· οἱ δὲ ὡς χρυσίῳ πάντοθεν περιρρεόμενοι, οὕτως ἐκαλλωπίζοντο. τοῖς κρημνοῖς ἔρριψα, καὶ εἰς πέλαγος κατεπόντισα· οἱ δὲ οὐχ ὡς εἰς βυθὸν καταβαίνοντες, ἀλλ' ὡς εἰς αὐτὸν ἀναβαίνοντες τὸν οὐρανόν, οὕτω διέκειντο σκιρτῶντες καὶ ἀγαλλόμενοι. καὶ ὥσπερ ἐν ἱερᾷ πομπῇ χορεύοντες, καὶ ἐν λειμῶνι παίζοντες χλοερῷ, οὕτω τὰς τιμωρίας ἕκαστος ἥρπαζον, οὐχ ὡς τιμωρίας, ἀλλ' ὡς ἄνθη λαμβάνοντες ἐαρινά, καὶ στεφανούμενοι, καὶ τῇ τῆς οἰκείας προθυμίας ὑπερβολῇ τὰς ἐμὰς προέφθανον τιμωρίας. τί τοίνυν ἂν εἴη πρακτέον, φησίν; ἀποτέμω τούτου τὴν κεφαλήν; ἀλλ' ὅπερ εὔχεται, τοῦτο γίνεται, καὶ μείζονα οἱ μαθηταὶ λαμβάνουσι τὴν διὰ τῶν ἔργων παραίνεσιν. καὶ γὰρ παρῄνεσεν, ὅτι μαρτύρων θάνατος οὐκ ἔστι θάνατος, ἀλλὰ ζωὴ πέρας οὐκ ἔχουσα, καὶ μάλιστά γε ὑπὲρ ταύτης πάντα ὑπομένειν χρή. ἂν τοίνυν ἀποτέμω τὴν κεφαλήν, καὶ γενναίως ἐνέγκῃ τὸ συμβάν, διὰ τῶν ἔργων αὐτοὺς παιδεύσει σαφέστερον, ὅτι οὕτω θανάτου δεῖ καταφρονεῖν, καὶ μᾶλλον αὐτῶν ἀνορθώσει τὰ φρονήματα, καὶ πλείονα αὐτοῖς ἐμπνεύσει τελευτήσας τὴν προθυμίαν. διὰ τοῦτο τὴν γλῶτταν ἀπέτεμεν, ἵνα ἀποστερηθέντες τῆς φωνῆς, ἧς ἀπήλαυον οἱ τοῦ μάρτυρος μαθηταί, καὶ τῆς συμβουλῆς ἐκπεσόντες, καὶ τῆς παραινέσεως ἐρημωθέντες, δειλότεροι γένωνται, καὶ πρὸς τὴν προτέραν ἀγωνίαν ἐπανέλθωσιν οὐκ ἔχοντες τὸν ἐπαλείφοντα, οὐδὲ τὸν διεγείροντα καὶ καθοπλίζοντα. καὶ σκόπει μοι τὴν κακουργίαν. Ἡρώδης μὲν ἀπέτεμε τὴν κεφαλὴν Ἰωάννου· οὗτος δὲ οὐχὶ τὴν κεφαλήν, ἀλλὰ τὴν γλῶτταν μόνην. τί δήποτε; διὰ πολλὴν κακουργίαν καὶ σκαιότητα. ἂν ἀποτέμω τὴν κεφαλήν, φησί, καὶ ἀποθάνῃ, ἀπελεύσεται οὐχ ὁρῶν τὴν ἀπώλειαν τῶν ἀδελφῶν τῶν ἑαυτοῦ. ἐγὼ δὲ αὐτὸν βούλομαι στῆσαι μάρτυρα τῶν πτωμάτων καὶ τῆς συμφορᾶς τῶν οἰκείων στρατιωτῶν· ἵν' ὑπὸ τῆς ὀδύνης ἄγχηται, καταπίπτοντας μὲν ὁρῶν, χεῖρα δὲ ὀρέγειν μὴ δυνάμενος, καὶ τὸ συμβουλεῦσαι ταῦτα, ἅπερ καὶ πρότερον, οὐκ ἔχων, τῆς φωνῆς μετὰ τῆς γλώττης ἐκκοπείσης. ἀλλ' Ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν τὸ σόφισμα τοῦτο εἰς τὴν ἐκείνου περιέτρεψε κεφαλήν. καὶ οὐ μόνον συμβουλῆς οὐκ ἀπεστέρησεν, ἀλλὰ καὶ πλείονος αὐτοὺς ἐποίησεν ἀπολαῦσαι παραινέσεως καὶ πνευματικωτέρας μεταλαχεῖν διδασκαλίας. ἐπειδὴ γὰρ τοῦτο ἐκράτησε, καλεῖται λοιπὸν ἐπὶ τὴν τομὴν ἰατρός, καὶ δήμιος ἀντὶ ἰατροῦ γίνεται, οὐχὶ τὸ νενοσηκὸς διορθούμενος μέλος, ἀλλὰ τὸ ὑγιαῖνον διαφθείρων. καὶ τὴν γλῶτταν ἐξελών, οὐκ ἴσχυσεν αὐτῇ συνεξελεῖν καὶ τὴν φωνήν· ἀλλ' ἡ μὲν τῆς σαρκὸς ἐξεκόπτετο γλῶττα, ἡ δὲ τῆς χάριτος ἐφίπτατο τῷ στόματι τοῦ μακαρίου. καὶ ἡ μὲν φύσις τὸ οἰκεῖον ἠφίει μέλος τοῦ σιδήρου τοῦτο καταναγκάζοντος, ἡ δὲ χάρις συνεκπεσεῖν αὐτῇ τὴν φωνὴν οὐκ εἴασεν. ὅθεν λοιπὸν πνευματικωτέρας ἀπέλαυον οἱ μαθηταὶ διδασκαλίας, οὐκ ἀνθρωπίνῃ φωνῇ, καθάπερ τὰ πρότερα ἀκούοντες, ἀλλὰ θείᾳ τινὶ καὶ πνευματικῇ καὶ μείζονι τῆς φύσεως τῆς ἡμετέρας. καὶ πάντες συνέτρεχον, ἄνωθεν ἄγγελοι, κάτωθεν ἄνθρωποι, ἕκαστος χωρὶς γλώττης στόμα ἰδεῖν ἐπιθυμοῦντες, καὶ ἀκοῦσαι φθεγγόμενον οὕτω. καὶ γὰρ ἦν ὄντως θαυμαστὸν καὶ παράδοξον, στόμα* ἄνευ γλώττης φθεγγόμενον, πολλὴν μὲν τῷ διαβόλῳ φέρον αἰσχύνην, πολλὴν δὲ τῷ μάρτυρι δόξαν, μεγάλην δὲ τοῖς μαθηταῖς παράκλησιν καὶ ὑπομονῆς ὑπόθεσιν. καὶ γὰρ ἔθος τῷ Θεῷ τοιοῦτον ἄνωθεν καὶ ἐξ ἀρχῆς, ἅπερ ἂν καθ' ἡμῶν ὁ διάβολος ῥάψῃ, ταῦτα εἰς τὴν ἐκείνου τρέπειν κεφαλήν, καὶ ὑπὲρ τῆς ἡμετέρας κατασκευάζειν σωτηρίας. σκόπει δέ· ἐξέβαλεν ἐκεῖνος τοῦ παραδείσου τὸν ἄνθρωπον, καὶ ἀνέῳξεν αὐτῷ τὸν οὐρανὸν ὁ Θεός. ἀπήλασεν αὐτὸν

ἐκεῖνος

α. Κορ. γ. 19.

ἐκεῖνος τῆς ἀρχῆς τῆς ἐν τῇ γῇ, καὶ ἔδωκεν αὐτῷ τὴν βασιλείαν τῶν οὐρανῶν ὁ Θεός, καὶ ἐν τῷ θρόνῳ τῷ βασιλικῷ τὴν φύσιν ἀνίδρυσε τὴν ἡμετέραν. οὕτως ἀεὶ μείζονα δίδωσιν ἀγαθά, ὧν ὁ διάβολος ἀποστερεῖν ἐπιχειρεῖ. ποιεῖ δὲ τοῦτο, ἐκεῖνόν τε ὀκνηρότερον ἐν ταῖς καθ' ἡμῶν κατασκευάζων ἐπιβουλαῖς, ἡμᾶς δὲ παιδεύων μηδέποτε αὐτοῦ δεδοικέναι τὰ μηχανήματα· ὃ δὴ καὶ ἐνταῦθα γέγονεν ἐπὶ τοῦ μάρτυρος. ἧς γὰρ προσεδόκησε φωνῆς ἀποστερήσειν αὐτόν, πολλῷ μείζονα καὶ σεμνοτέραν αὐτῷ ἐχαρίσατο ὁ Θεός. οὐ γὰρ ἦν ἴσον μετὰ γλώττης φθέγγεσθαι, καὶ χωρὶς γλώττης. τὸ μὲν γὰρ ἀκόλουθον ἦν καὶ κοινὸν ἅπασι, τὸ δὲ ὑπὲρ τὴν φύσιν καὶ αὐτοῦ ἰδίαν ἐγένετο μόνου. καίτοι καὶ εἰ ἄφωνος ἔστη μετὰ τὴν τῆς γλώττης ἐκκοπὴν ὁ μάρτυς, καὶ οὕτως αὐτῷ τὰ τῶν ἀγώνων πεπλήρωτο, καὶ ὁ στέφανος ἀπήρτιστο. ἧττα γὰρ μεγίστη καὶ σαφὴς ἀπόδειξις ἦν, τὸ τὴν γλῶτταν τεμεῖν. εἰ γὰρ μὴ ἐφοβοῦ τὴν γλῶτταν, ὦ μιαρὲ καὶ παμμίαρε, τίνος ἕνεκεν αὐτὴν ἀπέτεμες; τίνος ἕνεκεν οὐκ ἀφῆκες τῶν παλαισμάτων τὴν ὑπόθεσιν, ἀλλ' ἀπέκλεισας τὸ στάδιον; ὥσπερ ἂν εἴ τις παγκρατιάζειν μέλλων, εἶτα πληγὰς ἀφάτους λαβών, καὶ μὴ δυνάμενος ἀντιστῆναι λοιπόν, κελεύσειεν ἐκκοπῆναι τοῦ ἀνταγωνιστοῦ τὰς χεῖρας, καὶ οὕτως αὐτὸν παίοι, οὐ χρεία λοιπὸν ἑτέρας ἀποδείξεως πρὸς τὸ τὴν νίκην τῷ τὰς χεῖρας ἐκκοπέντι ψηφίσασθαι· οὕτω δὴ καὶ ἐπὶ τοῦ μάρτυρος σαφεστέρα πάντων ἀπόδειξις ἡ τῆς γλώττης ἐκκοπὴ γέγονε τῆς κατὰ τοῦ διαβόλου νίκης. εἰ γὰρ καὶ θνητὴ ἦν ἡ γλῶττα, ἀλλ' ἐπειδὴ ἀθάνατα τραύματα δέδωκε τῷ διαβόλῳ, διὰ τοῦτο κατ' ἐκείνης ἐπέθυσεν ὅλος, ἑαυτὸν μὲν εἰς μείζονα καθιστῶν αἰσχύνην, τῷ δὲ μάρτυρι λαμπρότερον ποιῶν τὸν στέφανον. ὥσπερ γὰρ θαυμαστὸν χωρὶς ῥίζης δένδρον ἰδεῖν, καὶ χωρὶς πηγῆς ποταμόν, οὕτω καὶ χωρὶς γλώττης φωνήν.

Ποῦ νῦν εἰσιν οἱ τῇ τῶν σωμάτων ἀναστάσει διαπιστοῦντες; ἰδοὺ ἡ φωνὴ καὶ ἀπέθανε, καὶ ἀνέστη, καὶ ἐν μιᾷ καιροῦ ῥοπῇ ταῦτα ἀμφότερα γέγονε. καίτοι τοῦτο τῆς τῶν σωμάτων ἀναστάσεως πολλῷ μεῖζόν ἐστιν. ἐκεῖ μὲν γὰρ ἡ φύσις τῶν σωμάτων ὑπόκειται, ἡ σύνθεσις δὲ διαλέλυται μόνον· ἐνταῦθα δὲ αὐτὴ ἡ ὑπόθεσις τῆς φωνῆς ἀνῄρητο, ἀλλ' ὅμως λαμπροτέρα πάλιν ἐγίγνετο. καίτοιγε αὐλοῦ τὰς γλωττίδας ἂν ἀφέλῃς, ἄχρηστον λοιπὸν κεῖται τὸ ὄργανον. ἀλλ' οὐχ οὕτως ὁ αὐλὸς ὁ πνευματικός· ἀλλὰ καὶ γλῶτταν ἀφαιρεθεὶς οὐ μόνον οὐκ ἦν ἄφωνος, ἀλλὰ καὶ ἐμμελέστερον καὶ μουσικώτερον ἠφίει μέλος, καὶ μετὰ πλείονος τῆς ἐκπλήξεως. καὶ ἐπὶ κιθάρας δὲ πάλιν, ἂν τὸ πλῆκτρον τις ἐξαρπάσῃ μόνον, ἀργὸς ὁ τεχνίτης, ἄχρηστος ἡ τέχνη, μάταιον τὸ ὄργανον γίγνεται· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, ἀλλὰ τοὐναντίον ἅπαν. καὶ γὰρ ἦν κιθάρα τὸ στόμα, πλῆκτρον ἡ γλῶττα, τεχνίτης δὲ ἡ ψυχή, καὶ τέχνη ἡ ὁμολογία. ἀλλ' ὅμως ἀφαιρεθέντος τοῦ πλήκτρου, τῆς γλώττης λέγω, οὔτε ὁ τεχνίτης, οὔτε ἡ τέχνη, οὔτε τὸ ὄργανον ἄχρηστον γέγονεν, ἀλλὰ πάντα τὴν οἰκείαν δύναμιν ἐπεδείκνυτο. τίς ταῦτα ἐποίησε; τίς ταῦτα ἐπέδειξε τὰ θαυμαστὰ καὶ παράδοξα; ὁ Θεὸς ὁ ποιῶν θαυμάσια μόνος· περὶ οὗ φησιν ὁ Δαβίδ· Κύριε, ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ; Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν· Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. τότε μὲν οὖν ἐκ στόματος νηπίων καὶ θηλαζόντων, νῦν δὲ ἐκ στόματος ἀγλώττων· τότε φύσις ἄωρος, νῦν δὲ στόμα ἔρημον. ἁπαλὴ τότε ἡ ῥίζα ἐπὶ τῶν παίδων ἦν, ἀλλ' ὁ καρπὸς ἀπηρτισμένος· ἐνταῦθα δὲ καὶ αὐτὴ ἡ ῥίζα ἀνῄρητο, καὶ ἡ τοῦ καρποῦ γένεσις οὐκ ἐκωλύετο. καρπὸς γὰρ γλώττης, φωνή. θαυμαστότερα τὰ ὕστερα τῶν προτέρων. καὶ γὰρ ἵνα ταῦτα μὴ ἀπιστῆται, διὰ τοῦτο ἐκεῖνα προέδραμεν, ἵνα ἐν τούτοις μὴ θορυβώμεθα, τῆς διανοίας ἡμῶν ἐν ἐκείνοις προεθισθείσης. διὰ τοῦτο ταῦτα ἀπήντησεν, ἵνα ἐκεῖνα τὰ ἀφανῆ καὶ παλαιὰ ἀπὸ τῶν φανερῶν καὶ νεωστὶ γινομένων πιστωθῇ). οὕτω ποτὲ καὶ ἡ ῥάβδος Ἀαρὼν ἐβλάστησεν, ὥσπερ ἐβλάστησε τὸ στόμα τοῦ μάρτυρος νῦν. ἀλλὰ τίνος ἕνεκεν ἐβλάστησεν ἡ ῥάβδος Ἀαρὼν

ποτέ;

κ. ἐκεῖν

κ. ἐν

Ψαλμ. η. α. β.

τότε; ἐπειδὴ ὁ ἱερεὺς ἠτιμάζετο. τίνος δὲ ἕνεκεν ἐβλάστησε νῦν τὸ σῶμα τοῦ μάρτυρος; ἐπειδὴ ὁ μέγας ἀρχιερεὺς ἐβλασφημεῖτο Ἰησοῦς ὁ Χριστός. ὅρα πόση τοῦ θαύματος καὶ συγγένεια καὶ ὑπεροχή. καθάπερ γὰρ ἐκείνη ἡ ῥάβδος οὐχ ἡνωμένη ῥίζῃ, οὐδὲ ἕλκουσα τὰς ἀπὸ τῆς γῆς νοτίδας, ἀλλ' ἔρημος τῆς χορηγίας οὖσα τῆς ἔξωθεν, καὶ τὴν καρποφόρον ἀπολέσασα δύναμιν ἐξαίφνης καρπὸν ἔδειξεν· οὕτω δὴ καὶ ἐνταῦθα ἡ φωνὴ τῆς ῥίζης ἀποστερηθεῖσα, καὶ τὴν ἐκ τοῦ ὀργάνου δύναμιν οὐκ ἔχουσα, ἐν ξηρῷ καὶ ἀψύχῳ σώματι ἐξαίφνης ἐβλάστησεν. ἐν τούτῳ μὲν ἡ συγγένεια· ἐν ἑτέρῳ δὲ ἡ ὑπεροχή. πολὺ γὰρ ἑκατέρου τοῦ καρποῦ τὸ μέσον. ὁ μὲν γὰρ αἰσθητὸς ἦν, ὁ δὲ πνευματικὸς καὶ τοὺς οὐρανοὺς ἀνοίγων αὐτοὺς τῷ τὴν φωνὴν ταύτην ἀποτεκόντι τότε. ὑπὲρ δὴ τούτων ἁπάντων συγχαίρωμεν τῷ μάρτυρι, δοξάζωμεν τὸν ταῦτα θαυματουργοῦντα Θεόν, μιμησώμεθα τὴν ὑπομονὴν τοῦ συνδούλου, εὐχαριστήσωμεν ὑπὲρ τῆς χάριτος τῷ δεσπότῃ, λάβωμεν ἐκ τῶν εἰρημένων ἰσχὺν ἐν τοῖς πειρασμοῖς παράκλησιν· καὶ τὴν δύναμιν τοῦ πεποιηκότος ἡμᾶς Θεοῦ, καὶ τὴν κηδεμονίαν καταπλαγέντες, τὰ παρ' ἑαυτῶν πάντα εἰσφέρωμεν, καὶ τὰ παρ' αὐτοῦ πάντως ἕψεται. κἂν ἄνθρωποι, κἂν δαίμονες, κἂν αὐτὸς ὁ διάβολος ἡμῖν πυκτεύῃ, πλέον οὐδὲν ἔσται τοῖς πολεμοῦσιν ἡμῖν· μόνον ἂν τὴν οἰκείαν ἐπιδειξώμεθα προθυμίαν, καὶ ὅσα παρ' ἡμῶν εἰσενεχθῆναι χρὴ, πάντα εἰσενέγκωμεν. οὕτω γὰρ καὶ τὴν παρὰ τοῦ Θεοῦ ῥοπὴν ἐπισπασόμεθα ἐνταῦθα, καὶ κατὰ τὴν μέλλουσαν ζωὴν πολλῆς ἀπολαύσομεν δόξης καὶ σωτηρίας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, τιμὴ, κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ξθ. ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΑΡΤΥΡΑ ΒΑΡΛΑΑΜ.

Μηνὸς Νοεμβ. ιθ.

Συνεκάλεσεν ἡμᾶς εἰς τὴν ἱερὰν ταύτην ἑορτὴν καὶ πανήγυριν ὁ μακάριος Βαρλαάμ· οὐχ ἵνα αὐτὸν ἐπαινέσωμεν, ἀλλ' ἵνα αὐτὸν ζηλώσωμεν· οὐχ ἵνα ἀκροαταὶ γενώμεθα τῶν ἐγκωμίων, ἀλλ' ἵνα μιμηταὶ γενώμεθα τῶν αὐτοῦ κατορθωμάτων. ἐπὶ μὲν οὖν τῶν βιωτικῶν πραγμάτων οὐκ ἂν ἕλοιντό ποτε οἱ πρὸς τὰς μεγάλας ἀναβαίνοντες ἀρχὰς ἑτέρους κοινωνοὺς τῆς αὐτῆς προεδρίας ἰδεῖν (φθόνος γὰρ ἐκεῖ καὶ βασκανία διακόπτουσι τὴν ἀγάπην) ἐπὶ δὲ τῶν πνευματικῶν οὐχ οὕτως, ἀλλὰ τοὐναντίον ἅπαν. τότε γὰρ μάλιστα τῆς οἰκείας τιμῆς αἴσθησιν λαμβάνουσιν οἱ μάρτυρες, ὅταν τοὺς συνδούλους τοὺς ἑαυτῶν πρὸς τὴν τῶν ἰδίων ἀγαθῶν κοινωνίαν φθάσαντας ἴδωσιν. ὥστε εἴ τις βούλοιτο ἐπαινεῖν μάρτυρας, μιμείσθω μάρτυρας· εἴ τις βούλεται ἐγκωμιάζειν τοὺς ἀθλητὰς τῆς εὐσεβείας, ζηλούτω τὸν ἐκείνων πόνον. τοῦτο τοῖς μάρτυσιν οὐκ ἔλαττον τῶν οἰκείων κατορθωμάτων οἴσει τὴν ἡδονήν. καὶ ἵνα μάθῃς ὅτι τότε μάλιστα αἰσθάνονται τῶν οἰκείων ἀγαθῶν, ὅταν ἡμᾶς ἴδωσιν ἐν ἀσφαλείᾳ ὄντας, καὶ μεγίστην τιμὴν τὸ πρᾶγμα ἡγοῦνται, ἄκουσον τοῦ Παύλου λέγοντος· Νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκητε ἐν Κυρίῳ. καὶ ὁ Μωϋσῆς δὲ περὶ τούτου πρὸς τὸν Θεὸν ἔλεγεν· Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου, ἧς ἔγραψας. οὐκ αἰσθάνομαι τῆς ἄνω τιμῆς διὰ τὴν τούτων δυσπραγίαν, φησί. σώματος γάρ ἐστιν ἀκολουθία τῶν πιστῶν τὸ πλήρωμα. τί τοίνυν ὄφελος τὴν κεφαλὴν στεφανοῦσθαι τῶν ποδῶν κολαζομένων; καὶ πῶς δυνατόν, φησι, μιμήσασθαι μάρτυρας; οὐδὲ γάρ ἐστι διωγμοῦ καιρός. οἶδα κἀγώ. διωγμοῦ μὲν* καιρὸς οὐκ ἔστιν, ἀλλὰ μαρτυρίου καιρός ἐστι· παλαισμάτων τοιούτων οὐκ ἔστι καιρός, ἀλλὰ στεφάνων καιρός ἐστιν. οὐ διώκουσιν ἄνθρωποι, ἀλλὰ διώκουσι δαί-

α Θεσ. γ. η.
Ἐξ. λβ. λβ.

ἐκεῖνος τῆς ἀρχῆς τῆς ἐν τῇ γῇ, καὶ ἔδωκεν αὐτῷ τὴν βασιλείαν τῶν οὐρανῶν ὁ Θεός, καὶ ἐν τῷ θρόνῳ τῷ βασιλικῷ τὴν φύσιν ἀνίδρυσε τὴν ἡμετέραν. οὕτως ἀεὶ μείζονα δίδωσιν ἀγαθά, ὧν ὁ διάβολος ἀποστερεῖν ἐπιχειρεῖ. (χ. ἐκεῖν) ποιεῖ δὲ τοῦτο, ἐκεῖνόν τε ὀκνηρότερον ἐν ταῖς καθ' ἡμῶν κατασκευάζων ἐπιβουλαῖς, ἡμᾶς δὲ παιδεύων μηδέποτε αὐτοῦ δεδοικέναι τὰ μηχανήματα· ὃ δὴ καὶ ἐνταῦθα γέγονεν ἐπὶ τοῦ μάρτυρος. ἧς γὰρ προσεδόκησε φωνῆς ἀποστερήσειν αὐτόν, πολλῷ μείζονα καὶ σεμνοτέραν αὐτῷ ἐχαρίσατο ὁ Θεός. οὐ γὰρ ἦν ἴσον μετὰ γλώττης φθέγγεσθαι, καὶ χωρὶς γλώττης. τὸ μὲν γὰρ ἀκόλουθον ἦν καὶ κοινὸν ἅπασι, τὸ δὲ ὑπὲρ τὴν φύσιν καὶ αὐτοῦ ἴδιον ἐγένετο μόνου. καίτοι καὶ εἰ ἄφωνος ἔστη μετὰ τὴν τῆς γλώττης ἐκκοπὴν ὁ μάρτυς, καὶ οὕτως αὐτῷ τὰ τῶν ἀγώνων πεπλήρωτο, καὶ ὁ στέφανος ἀπήρτιστο. ἦν γὰρ μεγίστη καὶ σαφὴς ἀπόδειξις αὕτη, τὸ τὴν γλῶτταν τεμεῖν. εἰ γὰρ μὴ ἐφοβοῦ τὴν γλῶτταν, ὦ μιαρὲ καὶ παμμίαρε, τίνος ἕνεκεν αὐτὴν ἀπέτεμες; τίνος ἕνεκεν οὐκ ἀφῆκες τῶν παλαισμάτων τὴν ὑπόθεσιν, ἀλλ' ἀπέκλεισας τὸ στάδιον; ὥσπερ ἂν εἴ τις παγκρατιάζειν μέλλων, εἶτα πληγὰς ἀφάτους λαβών, καὶ μὴ δυνάμενος ἀντιστῆναι λοιπόν, κελεύσειεν ἐκκοπῆναι τοῦ ἀνταγωνιστοῦ τὰς χεῖρας, καὶ οὕτως αὐτὸν παίοι, οὐ χρεία λοιπὸν ἑτέρας ἀποδείξεως πρὸς τὸ τὴν νίκην τῷ τὰς χεῖρας ἐκκοπέντι ψηφίσασθαι· οὕτω δὴ καὶ ἐπὶ τοῦ μάρτυρος σαφεστέρα πάντων ἀπόδειξις ἡ τῆς γλώττης ἐκκοπὴ γέγονε τῆς κατὰ τοῦ διαβόλου νίκης. εἰ γὰρ καὶ θνητὴ ἦν ἡ γλῶττα, ἀλλ' ἐπειδὴ ἀθάνατα τραύματα δέδωκε τῷ διαβόλῳ, διὰ τοῦτο κατ' ἐκείνης ἐπιθύσει ὅλος, ἑαυτὸν μὲν εἰς μείζονα καθιστῶν αἰσχύνην, τῷ δὲ μάρτυρι λαμπρότερον ποιῶν τὸν στέφανον. ὥσπερ γὰρ θαυμαστὸν χωρὶς ῥίζης δένδρον ἰδεῖν, καὶ χωρὶς πηγῆς ποταμόν, οὕτω καὶ χωρὶς γλώττης φωνήν.

Ποῦ νῦν εἰσιν οἱ τῇ τῶν σωμάτων ἀναστάσει διαπιστοῦντες; (χ. οἱ) ἰδοὺ ἡ φωνὴ καὶ ἀπέθανε, καὶ ἀνέστη, καὶ ἐν μιᾷ καιροῦ ῥοπῇ ταῦτα ἀμφότερα γέγονε. καίτοι τοῦτο τῆς τῶν σωμάτων ἀναστάσεως πολλῷ μεῖζόν ἐστιν. ἐκεῖ μὲν γὰρ ἡ φύσις τῶν σωμάτων ὑπόκειται, ἡ σύνθεσις δὲ διαλέλυται μόνον· ἐνταῦθα δὲ αὐτὴ ἡ ὑπόθεσις τῆς φωνῆς ἀνῄρητο, ἀλλ' ὅμως λαμπροτέρα πάλιν ἐγίγνετο. καίτοιγε αὐλῶν τὰς γλωττίδας ἂν ἀφέλῃς, ἄχρηστον λοιπὸν κεῖται τὸ ὄργανον. ἀλλ' οὐχ οὕτως ὁ αὐλὸς ὁ πνευματικός· ἀλλὰ καὶ γλῶτταν ἀφαιρεθεὶς οὐ μόνον οὐκ ἦν ἄφωνος, ἀλλὰ καὶ ἐμμελέστερον καὶ μουσικώτερον ἠφίει μέλος, καὶ μετὰ πλείονος τῆς ἐκπλήξεως. καὶ ἐπὶ κιθάρας δὲ πάλιν, ἂν τὸ πλῆκτρόν τις ἐξαρπάσῃ μόνον, ἀργὸς ὁ τεχνίτης, ἄχρηστος ἡ τέχνη, μάταιον τὸ ὄργανον γίγνεται· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, ἀλλὰ τοὐναντίον ἅπαν. καὶ γὰρ ἦν κιθάρα τὸ στόμα, πλῆκτρον ἡ γλῶττα, τεχνίτης δὲ ἡ ψυχή, καὶ τέχνη ἡ ὁμολογία. ἀλλ' ὅμως ἀφαιρεθέντος τοῦ πλήκτρου, τῆς γλώττης λέγω, οὔτε ὁ τεχνίτης, οὔτε ἡ τέχνη, οὔτε τὸ ὄργανον ἄχρηστον γέγονεν, ἀλλὰ πάντα τὴν οἰκείαν δύναμιν ἐπεδείκνυτο. Τίς ταῦτα ἐποίησε; τίς ταῦτα ἐπέδειξε τὰ θαυμαστὰ καὶ παράδοξα; ὁ Θεὸς ὁ ποιῶν θαυμάσια μόνος· περὶ οὗ φησιν ὁ Δαβίδ· Κύριε, ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ; Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν· Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. (Ψαλμ. η. α. β.) τότε μὲν οὖν ἐκ στόματος νηπίων καὶ θηλαζόντων, νῦν δὲ ἐκ στόματος ἀγλώττων· τότε φύσις ἄωρος, νῦν δὲ στόμα ἔρημον. ἁπαλὴ τότε ἡ ῥίζα ἐπὶ τῶν παίδων ἦν, ἀλλ' ὁ καρπὸς ἀπηρτισμένος· ἐνταῦθα δὲ καὶ αὐτὴ ἡ ῥίζα ἀνῄρητο, καὶ ἡ τοῦ καρποῦ γένεσις οὐκ ἐκωλύετο. καρπὸς γὰρ γλώττης, φωνή. θαυμαστότερα τὰ ὕστερα τῶν προτέρων. καὶ γὰρ ἵνα ταῦτα μὴ ἀπιστῆται, διὰ τοῦτο ἐκεῖνα προέδραμεν, ἵνα ἐν τούτοις μὴ θορυβώμεθα, τῆς διανοίας ἡμῶν ἐν ἐκείνοις προεθισθείσης. διὰ τοῦτο ταῦτα ἀπεσιώπησεν, ἵνα ἐκεῖνα τὰ ἀφανῆ καὶ παλαιὰ ἀπὸ τῶν φανερῶν καὶ νεωστὶ γινομένων πιστεύηται. οὕτω ποτὲ καὶ ἡ ῥάβδος Ἀαρὼν ἐβλάστησεν, ὥσπερ ἐβλάστησε τὸ στόμα τοῦ μάρτυρος νῦν. ἀλλὰ τίνος ἕνεκεν ἐβλάστησεν ἡ ῥάβδος Ἀαρὼν τότε; ἐπειδὴ ὁ ἱερεὺς ἠτιμάζετο. τίνος δὲ ἕνεκεν ἐβλάστησε νῦν τὸ στόμα τοῦ μάρτυρος; ἐπειδὴ ὁ μέγας ἀρχιερεὺς ἐβλασφημεῖτο Ἰησοῦς ὁ Χριστός. ὅρα πόση τοῦ θαύματος ἡ συγγένεια καὶ ὑπεροχή. καθάπερ γὰρ ἐκείνη ἡ ῥάβδος οὐχ ἡνωμένη ῥίζῃ, οὐδὲ ἕλκουσα τὰς ἀπὸ τῆς γῆς νοτίδας, ἀλλ' ἔρημος τῆς χορηγίας οὖσα τῆς ἐκεῖθεν, καὶ τὴν καρπογόνον ἀπολέσασα δύναμιν ἐξαίφνης καρπὸν ἔδειξεν· οὕτω δὴ καὶ ἐνταῦθα ἡ φωνὴ τῆς ῥίζης ἀποστερηθεῖσα, καὶ τὴν ἐκ τοῦ ὀργάνου δύναμιν οὐκ ἔχουσα, ἐν ξηρῷ καὶ ἀγόνῳ στόματι ἐξαίφνης ἐβλάστησεν. ἐν τούτῳ μὲν ἡ συγγένεια· ἐν ἑτέρῳ δὲ ἡ ὑπεροχή. πολὺ γὰρ ἑκατέρου τοῦ καρποῦ τὸ μέσον. ὁ μὲν γὰρ αἰσθητὸς ἦν, ὁ δὲ πνευματικὸς καὶ τοὺς οὐρανοὺς ἀνοίγων αὐτοὺς τῷ τὴν φωνὴν ταύτην ἀποτεκόντι τότε. ὑπὲρ δὴ τούτων ἁπάντων συγχαίρωμεν τῷ μάρτυρι, δοξάζωμεν τὸν ταῦτα θαυματουργήσαντα Θεόν, μιμησώμεθα τὴν ὑπομονὴν τοῦ συνδούλου, εὐχαριστήσωμεν ὑπὲρ τῆς χάριτος τῷ δεσπότῃ, λάβωμεν ἐκ τῶν εἰρημένων ἰσχυρὰν ἐν τοῖς πειρασμοῖς παράκλησιν· καὶ τὴν δύναμιν τοῦ πεποιηκότος ἡμᾶς Θεοῦ, καὶ τὴν κηδεμονίαν καταπλαγέντες, τὰ παρ' ἑαυτῶν πάντα εἰσφέρωμεν, καὶ τὰ παρ' αὐτοῦ πάντως ἕψεται. κἂν ἄνθρωποι, κἂν δαίμονες, κἂν αὐτὸς ὁ διάβολος ἡμῖν πυκτεύῃ, πλέον οὐδὲν ἔσται τοῖς πολεμοῦσιν ἡμῖν· μόνον ἂν τὴν οἰκείαν ἐπιδειξώμεθα προθυμίαν, καὶ ὅσα παρ' ἡμῶν εἰσενεχθῆναι χρή, πάντα εἰσενέγκωμεν. οὕτω γὰρ καὶ τὴν παρὰ τοῦ Θεοῦ ῥοπὴν ἐπισπασόμεθα ἐνταῦθα, καὶ κατὰ τὴν μέλλουσαν ζωὴν πολλῆς ἀπολαύσομεν δόξης καὶ σωτηρίας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, τιμή, κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ξθ. ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΑΡΤΥΡΑ ΒΑΡΛΑΑΜ.

Μηνὸς Νοεμβ. ιθ.

Συνεκάλεσεν ἡμᾶς εἰς τὴν ἱερὰν ταύτην ἑορτὴν καὶ πανήγυριν ὁ μακάριος Βαρλαάμ· οὐχ ἵνα αὐτὸν ἐπαινέσωμεν, ἀλλ' ἵνα αὐτὸν ζηλώσωμεν· οὐχ ἵνα ἀκροαταὶ γενώμεθα τῶν ἐγκωμίων, ἀλλ' ἵνα μιμηταὶ γενώμεθα τῶν αὐτοῦ κατορθωμάτων. ἐπὶ μὲν οὖν τῶν βιωτικῶν πραγμάτων οὐκ ἂν ἕλοιντό ποτε οἱ πρὸς τὰς μεγάλας ἀναβαίνοντες ἀρχὰς ἑτέρους κοινωνοὺς τῆς αὐτῆς προεδρίας ἰδεῖν (φθόνος γὰρ ἐκεῖ καὶ βασκανία διακόπτουσι τὴν ἀγάπην) ἐπὶ δὲ τῶν πνευματικῶν οὐχ οὕτως, ἀλλὰ τοὐναντίον ἅπαν. τότε γὰρ μάλιστα τῆς οἰκείας τιμῆς αἴσθησιν λαμβάνουσιν οἱ μάρτυρες, ὅταν τοὺς συνδούλους τοὺς ἑαυτῶν πρὸς τὴν τῶν ἰδίων ἀγαθῶν κοινωνίαν φθάσαντας ἴδωσιν. ὥστε εἴ τις βούλοιτο ἐπαινεῖν μάρτυρας, μιμείσθω μάρτυρας· εἴ τις βούλεται ἐγκωμιάζειν τοὺς ἀθλητὰς τῆς εὐσεβείας, ζηλούτω τὸν ἐκείνων πόνον. τοῦτο τοῖς μάρτυσιν οὐκ ἔλαττον τῶν οἰκείων κατορθωμάτων οἴσει τὴν ἡδονήν. καὶ ἵνα μάθῃς ὅτι τότε μάλιστα αἰσθάνονται τῶν οἰκείων ἀγαθῶν, ὅταν ἡμᾶς ἴδωσιν ἐν ἀσφαλείᾳ ὄντας, καὶ μεγίστην τιμὴν τὸ πρᾶγμα ἡγοῦνται, ἄκουσον τοῦ Παύλου λέγοντος· Νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκητε ἐν Κυρίῳ. καὶ ὁ Μωϋσῆς δὲ περὶ τούτου πρὸς τὸν Θεὸν ἔλεγεν· Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου, ἧς ἔγραψας. οὐκ αἰσθάνομαι τῆς ἄλλης τιμῆς διὰ τὴν τούτων δυσπραγίαν, φησί. σώματος γάρ ἐστιν ἀκολουθία τῶν πιστῶν τὸ πλήρωμα. τί τοίνυν ὄφελος τὴν κεφαλὴν στεφανοῦσθαι τῶν ποδῶν κολαζομένων; καὶ πῶς δυνατόν, φησί, μιμήσασθαι μάρτυρας; οὐδὲ γάρ ἐστι διωγμοῦ καιρός. οἶδα κἀγώ. διωγμοῦ μὲν* καιρὸς οὐκ ἔστιν, ἀλλὰ μαρτυρίου καιρός ἐστι· παλαισμάτων τοιούτων οὐκ ἔστι καιρός, ἀλλὰ στεφάνων καιρός ἐστιν. οὐ διώκουσιν ἄνθρωποι, ἀλλὰ διώκουσι δαί-

a Θεσσ. γ. η.
Ἐξ. λβ. λβ.

μοτες· οὐκ ἐλαύνει τύραννος, ἀλλ' ἐλαύνει διάβολος τυράννων πάντων χαλεπώτερος. οὐχ ὁρᾷς ἄνθρακας προκειμένους, ἀλλ' ὁρᾷς φλόγα ἐπιθυμίας ἀναπτομένην. κατεπάτησαν ἐκεῖνοι τοὺς ἄνθρακας, καταπάτησον σὺ τῆς φύσεως τὴν πυράν· ἐπύκτευσαν ἐκεῖνοι πρὸς θηρία, χαλίνωσον σὺ τὸν θυμόν, τὸ ἀνήμερον καὶ ἀτίθασσον θηρίον· ἔστησαν ἐκεῖνοι πρὸς ὀδύνας ἀφορήτους, περιγενοῦ σὺ τῶν ἀτόπων καὶ πονηρῶν λογισμῶν τῶν βρυόντων ἐν τῇ καρδίᾳ σου· οὕτω μιμήσῃ μάρτυρας. Νῦν γὰρ οὐκ ἔστιν ἡμῖν ἡ πάλη, φησὶν ὁ Παῦλος, πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας. πῦρ ἐστιν ἡ ἐπιθυμία τῆς φύσεως, πῦρ ἄσβεστον καὶ διηνεκές· κύων ἐστὶ λυττῶν καὶ μεμηνώς· κἂν μυριάκις αὐτὸν διακρούσῃ, μυριάκις ἐπιπηδᾷ, καὶ οὐκ ἀφίσταται. χαλεπωτέρα μὲν ἡ τῶν ἀνθράκων φλόξ· ἀλλὰ αὕτη δεινοτέρα, ἡ τῆς ἐπιθυμίας. οὐδέποτε ἔχομεν ἐκεχειρίαν τοῦ πολέμου τούτου, οὐδέποτε ἔχομεν ἀνακωχὴν κατὰ τὸν παρόντα βίον, ἀλλὰ διηνεκὴς ὁ ἀγών, ἵνα καὶ λαμπρὸς ὁ στέφανος γένηται. διὰ τοῦτο ἡμᾶς ἀεὶ Παῦλος καθοπλίζει, ἐπειδὴ ἀεὶ πολέμου καιρός, ἐπειδὴ ἀεὶ γρηγορῶν ὁ ἐχθρός. βούλει μαθεῖν, ὅτι πυρὸς οὐκ ἔλαττον ἡ ἐπιθυμία καίει; ἄκουσον τοῦ Σολομῶντος λέγοντος, Περιπατήσει τις ἐπ' ἀνθράκων πυρός, τοὺς δὲ πόδας οὐ κατακαύσει; οὕτως ὁ εἰσπορευόμενος εἰς τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ, καὶ ὁ ἁπτόμενος αὐτῆς, οὐκ ἀθῳωθήσεται. ὁρᾷς, ὅτι φύσις ἐπιθυμίας ἁμιλλᾶται φύσει πυρός; ὥσπερ γὰρ ἀδύνατον πυρὸς ἁπτόμενον μὴ δέξασθαι ἐμπρησμόν, οὕτω πυρὸς ὀξύτερον τῶν εὐμόρφων ὄψεων ἡ θεωρία τῆς ἀκολάστως βλεπούσης ἐπιλαμβάνεται ψυχῆς· καὶ καθάπερ ὕλη τις εὔπρηστος, οὕτω τὰ λαμπρὰ τῶν σωμάτων τοῖς τῶν ἀσελγῶν ὑπόκειται ὀφθαλμοῖς. διὸ χρὴ μὴ παρέχειν τῷ πυρὶ τῆς ἐπιθυμίας τροφὴν τὴν ἔξωθεν θεωρίαν, ἀλλὰ περιστέλλειν αὐτὸ πανταχόθεν καὶ κατασβεννύναι λογισμοῖς εὐσεβέσι, χαλινοῦντας πρόσω φερόμενον τὸν ἐμπρησμόν, καὶ μὴ συγχωροῦντας* περιτρέπειν τὸ στερρὸν τῆς διανοίας τῆς ἡμετέρας. καὶ πᾶσα δὲ ἡδονὴ ἡ ἐν τῷ καιρῷ τῆς ἐπικρατήσεως τῶν παθῶν πυρὸς σφοδρότερον καίειν εἴωθε τὴν διάνοιαν, εἰ μή τις γενναίως μετὰ ὑπομονῆς καὶ πίστεως ἀνταγωνίζοιτο πρὸς ἕκαστον τῶν παθῶν· ὃν τρόπον ὁ μακάριος καὶ γενναῖος ἀθλητὴς τοῦ Χριστοῦ Βαρλαὰμ ἐποίησεν, ἐπὶ τῆς ἑαυτοῦ χειρὸς ὁλόκληρον ἐν τῇ δεξιᾷ πυρὰν βαστάζων, καὶ πρὸς τὴν ὀδύνην οὐκ ἐνδιδούς, ἀλλὰ τῶν ἀνδριάντων ἀπαθέστερον διακείμενος. μᾶλλον δὲ ἤλγει μέν, καὶ ἔπασχε (σῶμα γὰρ ἦν τὸ ὑποκείμενον, καὶ οὐ σίδηρος) ἀλγῶν δὲ καὶ πάσχων, τὴν τῆς ἀσωμάτου δυνάμεως ἐν σώματι θνητῷ φιλοσοφίαν ἐπεδείκνυτο.

Ἐφ. ς. ιβ.

Παροιμ. ς. κη.

γρ. χαλεπή

γρ. φύσει

γρ. εὐάρπαστος

* αὐτῇ

γρ. ἐνεδ-

Ἀλλὰ γὰρ ἄνωθεν αὐτοῦ τὸ μαρτύριον διηγήσομαι, ὥστε σαφεστέραν γενέσθαι τὴν ἱστορίαν. σὺ δέ μοι σκόπει τοῦ διαβόλου τὴν κακουργίαν, καὶ πῶς πολύτροπον τὸν θάνατον τῶν ἁγίων κατασκευάζων, τοὺς μὲν αὐτῶν ἤγαγεν ἐπὶ τήγανα, τοὺς δὲ εἰς λέβητας ἐνέβαλε τοῦ πυρὸς σφοδρότερον ζέοντας· καὶ τῶν μὲν τὰς πλευρὰς κατέξαινε, τοὺς δὲ εἰς πελάγη κατεπόντισεν· ἄλλους θηρίοις παρέδωκεν, ἑτέρους εἰς κάμινον εἰσήγαγε· καὶ τῶν μὲν ἐξεμόχλευσε τὰ ἄρθρα, τῶν δὲ τὰς δορὰς ἔτι ζώντων ἐπέσυρεν· ἑτέροις, τῶν σωμάτων ἡμαγμένων, ὑπέθηκεν ἄνθρακας, καὶ οἱ σπινθῆρες ἐπεπήδων τοῖς ἕλκεσι παντὸς θηρίου δριμύτερον τὰ τραύματα δάκνοντες· ἄλλοις ἄλλας ἐπενόει χαλεπωτέρας τιμωρίας. ἐπεὶ οὖν εἶδεν ἅπαντα ταῦτα καταγελασθέντα, καὶ τοὺς ταῦτα παθόντας μετὰ πολλῆς τῆς περιουσίας κρατήσαντας, *τοῖς μεθ' αὐτοὺς ἐρχομένοις ἐπὶ τὰ αὐτὰ παλαίσματα μεγίστην τοῦ θαρρεῖν ὑπόθεσιν γινομένους, τί ποιεῖ; καινὸν ἐπινοεῖ τρόπον ἐπιβουλῆς, ἵνα τὸ ἀμελέτητον καὶ ἀηθὲς τῆς τιμωρίας καταβάλῃ τὸ φρόνημα τοῦ μάρτυρος. τὸ μὲν γὰρ ἀκουσθὲν καὶ νοηθέν, κἂν ἀφόρητον ᾖ, τῇ προσδοκίᾳ μελετηθὲν εὐκαταφρόνητον γίνεται· τὸ δὲ ἀμελέτητον, κἂν κοῦφον ᾖ, πάντων ἐστὶν ἀφορητότερον. ἔστω τοίνυν καινὸς ὁ ἀγών, ἔστω ξένον τὸ μηχάνημα, ἵνα τὸ καινὸν καὶ παράδοξον θορυβῆσαν τὸν ἀθλητὴν ὑποσκελίσῃ ῥᾳδίως. τί οὖν ποιεῖ; ἐξάγει τὸν ἅγιον ἀπὸ τοῦ δεσμωτηρίου δεδεμένον. καὶ γὰρ καὶ τοῦτο τῆς

γρ. ἀπέσυρεν

γρ. πρὸ τὰ ἀνήκεστα

* μᾶλλον δὲ

γρ. ἐλπισθὲν,

ἐκείνου κακουργίας ἦν, τὸ μὴ εὐθέως ἐκ προοιμίων χαλεπὰ προσαγαγεῖν τὰ μηχανήματα, μηδὲ τὰς φρικτὰς ἐπαγαγεῖν τιμωρίας, ἀλλ' ἀπὸ τῶν ἐλαττόνων ἀκροβολίζεσθαι. τί δήποτε; ἵνα ἂν μὲν ἡττηθῶσιν οἱ ἀγωνιζόμενοι, αἰσχρὰ αὐτῶν ἡ ἧττα γένηται, ὅτι μηδὲ πρὸς τὰ μικρὰ ἀντέστησαν· ἂν δὲ περιγένωνται καὶ νικήσωσιν, ἐν τοῖς ἐλάττοσι προκαταβληθείσης αὐτοῖς τῆς δυνάμεως εὐχείρωτοι γένωνται πρὸς τὰ μείζονα. διὰ τοῦτο προσήγαγε τὰ ἐλάττονα πρότερον, ἵνα κἂν ἕλῃ, κἂν μὴ ἕλῃ, μὴ ἀποτύχῃ. ἂν μὲν γὰρ ἕλω, φησί, κατεγέλασα, ἂν δὲ μὴ ἕλω, ἀσθενέστερον ἐποίησα πρὸς τὰ μέλλοντα. ἐξάγει τοίνυν αὐτὸν ἀπὸ τοῦ δεσμωτηρίου. ὁ δὲ ἐξῄει, καθάπερ ἀθλητὴς γενναῖος ἐν παλαίστρᾳ πολὺν γυμνασάμενος χρόνον. παλαίστρα γὰρ τῷ μάρτυρι τὸ δεσμωτήριον ἦν, κἀκεῖ κατ' ἰδίαν τῷ Θεῷ διαλεγόμενος, παρ' ἐκείνου τὰ παλαίσματα ἐμάνθανεν ἅπαντα. ὅπου γὰρ δεσμὰ τοιαῦτα, ἐκεῖ καὶ ὁ Χριστὸς πάρεστιν. ἐξῄει τοίνυν ἰσχυρότερος γενόμενος τῇ μακροτέρᾳ τοῦ δεσμωτηρίου διατριβῇ. ἐξελθόντα δὲ αὐτὸν εἰς μέσον ἀγαγὼν ὁ διάβολος διὰ τῶν ὑπηρετουμένων αὐτοῦ τῇ παρανομίᾳ, οὐ προσέδησε τῷ ξύλῳ, οὔτε περιέστησε δημίους (ἑώρα γὰρ αὐτὸν τούτων ἐπιθυμοῦντα, καὶ πάλαι αὐτὰ προμελετήσαντα) ἀλλὰ ξένον τι καὶ καινὸν καὶ μηδέποτε ἐλπισθὲν μηχάνημα προσάγει τῷ πύργῳ ῥᾳδίως ἐμποιεῖν δυνάμενον τὴν κατάπτωσιν. τοῦτο γάρ ἐστιν αὐτοῦ τὸ σπουδαζόμενον ἐπὶ πάντων, ὑποσκελίζειν μᾶλλον ἢ ὀδυνᾶν τοὺς ἁγίους. τί τοίνυν ἐστὶ τὸ μηχάνημα; τὴν χεῖρα κελεύσαντες ὑπτίαν ἐκτεῖναι ὑπεραίω τοῦ βωμοῦ, ἐπέθηκαν ἄνθρακας καὶ λιβανωτὸν τῇ χειρί, ἵν', ἐὰν ἀλγήσῃ, καὶ περιστρέψῃ τὴν χεῖρα, θυσίαν αὐτῷ καὶ παράβασιν τὸ πρᾶγμα λογίσωνται. εἶδες πῶς κακοῦργος ὁ διάβολος; ἀλλ' ὅρα πῶς ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν ἄχρηστα αὐτῷ ἐποίησε τὰ μηχανήματα, καὶ τὸ τῆς ἐπιβουλῆς ἐπιτετεχνημένον, καὶ τὸ τῆς κακουργίας ποικίλον προσθήκην καὶ πλεονασμὸν πλείονος δόξης παρεσκεύασε γενέσθαι τῷ μάρτυρι. ὅταν γὰρ μυρία κακουργήσας ὁ ἀνταγωνιστής, εἶτα ἡττηθεὶς ἀπέλθῃ, τότε λαμπρότερος γίνεται τῆς εὐσεβείας ὁ ἀθλητής· ὅπερ καὶ ἐνταῦθα συνέβαινεν. ἔμενε γὰρ ὁ μακάριος Βαρλαὰμ ἀκλινῆ καὶ ἀπερίτρεπτον τηρῶν τὴν χεῖρα, καθάπερ ἀπὸ σιδήρου συγκειμένην ἔχων. καίτοι εἰ περιεστράφη ἡ χείρ, οὐδ' οὕτως ἦν ἔγκλημα τοῦ μάρτυρος. ἐνταῦθά μοι μετὰ ἀκριβείας προσέχετε πάντες, ἵνα μάθητε, ὅτι εἰ καὶ περιεστράφη ἡ δεξιά, οὐκ ἦν ἧττα τὸ γινόμενον. τί δήποτε; ὅτι καθάπερ ἐπὶ τῶν τὰς πλευρὰς καταξαινομένων, ἢ καὶ ἑτέρως πως βασανιζομένων κρίνομεν, οὕτω καὶ ἐνταῦθα δικάζειν χρή. ἂν μὲν γὰρ ἐνδῶσι, καὶ θύσωσι, τὸ ἔγκλημα τῆς ἀσθενείας αὐτῶν γίνεται, ὅτι τὰς ὀδύνας οὐκ ἐνεγκόντες ἔθυσαν· ἂν δὲ ἐγκαρτερήσαντες ταῖς βασάνοις ἀλγήσωσι μὲν ἐφ' οἷς πάσχουσι, μὴ προδῶσι δὲ τὴν εὐσέβειαν, οὐδεὶς αὐτοῖς ὑπὲρ τῶν ἀλγηδόνων αἰτιᾶται τούτων, ἀλλὰ διὰ τοῦτο μειζόνως αὐτοὺς ἀποδεχόμεθα καὶ θαυμάζομεν, ὅτι καὶ ὀδυνηθέντες ὑπέμειναν, καὶ οὐκ ἠρνήσαντο. καὶ ἐνταῦθα τοίνυν, εἰ μὲν οὐκ ἐνεγκὼν ὁ μακάριος Βαρλαὰμ τὸ καίεσθαι ὑπέσχετο θύειν, ἡττήθη· εἰ δὲ αὐτοῦ μὴ ἐνδιδόντος περιεστράφη ἡ χείρ, οὐκ ἔστιν ἔγκλημα τοῦτο τῆς γνώμης τοῦ μάρτυρος. οὐ γὰρ τῆς προαιρέσεως ἀσθενούσης, ἀλλὰ τῆς τῶν νεύρων φύσεως κατὰ τὸν ἴδιον τόνον, καὶ ἄκοντος τῆς χειρὸς τοῦ ἁγίου καμπτομένης ὑπὸ τοῦ πυρὸς τοῦτο συνέβαινεν. ὥσπερ γὰρ τοῖς ξαινομένοις τὰς πλευρὰς οὐκ ἐγκαλοῦμεν, ὅτι διασχίζεται αὐτῶν ἡ σάρξ· μᾶλλον δέ, ἵνα ἐγγύτερον ἀγάγω τὸ παράδειγμα, ὥσπερ τοῖς πυρέττουσι καὶ σπωμένοις οὐδεὶς ἂν μέμψοιτο καμπτομένων αὐτοῖς τῶν χειρῶν (οὐ γὰρ τῆς ἐκείνων βλακείας ἐστὶ τὸ γινόμενον, ἀλλὰ τῆς φλογὸς τοῦ νοσήματος, τὴν νοτίδα ἀναλισκούσης, καὶ συνελκούσης παρὰ φύσιν λοιπὸν τῶν νεύρων τὴν ἀκολουθίαν) οὕτως οὐδὲ τὸν ἅγιον τοῦτον ἄν τις ἐμέμψατο τῆς χειρὸς περιστραφείσης. εἰ γὰρ πυρετὸς καὶ ἄκοντος τοῦ κάμνοντος συνέλκειν τὰ μέλη πέφυκε καὶ διαστρέφειν, πολλῷ μᾶλλον ἄνθρακες ἐπικείμενοι *, καὶ μὴ ἐνδόντος τοῦ μάρτυρος, τοῦτο ἂν εἰργάσαντο. ἀλλ' ὅμως οὐκ εἰργάσαντο, ἵνα ἐκ περιοσίας μάθῃς, ὅτι* χάρις ἦν ἡ συμπαροῦσα καὶ ἀλείφουσα τὸν ἀθλητὴν, καὶ τὸ τῆς φύσεως ἐλάττωμα διορθουμένη. οὐδὲν γὰρ ἦν τῶν ἑαυτοῦ κατὰ τοῦτο ἐδείκνυ· ἀλλ' ὡς ἐξ ἀδάμαντος πεπηγυῖα ἡ χεὶρ ἐκείνη, οὕτως ἀπερίτρεπτος ἔμενε. τίς τότε ὁρῶν οὐκ ἂν ἐθαύμασε; τίς οὐκ ἂν ἔφριξε; διέκυπτον ἄνωθεν ἄγγελοι, ἐθεώρουν ἀρχάγγελοι, λαμπρὸν ἦν τὸ θέατρον καὶ ὑπερβαῖνον ὄντως τὴν ἀνθρωπίνην φύσιν. τίς γὰρ οὐκ ἂν ἐπεθύμησεν ἰδεῖν ἄνθρωπον ἀγωνιζόμενον, καὶ οὐ πάσχοντα τὰ τῶν ἀνθρώπων; τὸν αὐτὸν θυσιαστήριον, καὶ ἱερεῖον, καὶ ἱερέα γινόμενον; διὸ καὶ διπλοῦς ὁ καπνὸς ἀνῄει, ὁ μὲν τοῦ λιβανωτοῦ "ἁπλομένου, ὁ δὲ τῆς σαρκὸς τηκομένης. καὶ ἦν ὁ καπνὸς οὗτος ἐκείνου θυμηρέστερος, καὶ αὕτη ἡ εὐωδία ἐκείνης βελτίων. καὶ ταὐτὸ συνέβαινεν, ὅπερ καὶ ἐπὶ τῆς βάτου. καθάπερ γὰρ τότε ἡ βάτος ἐκαίετο, καὶ οὐ κατεκαίετο*, οὕτω καὶ ἐνταῦθα, ἐκαίετο μὲν ἡ δεξιά, οὐ κατεφλέγετο δὲ ἡ ψυχή· ἐδαπανᾶτο τὸ σῶμα, καὶ οὐκ ἀνηλοῦτο ἡ πίστις· ἀπηγόρευσεν ἡ σάρξ, καὶ οὐκ ἀπηγόρευσεν ἡ προθυμία. καὶ οἱ μὲν ἄνθρακες τὸ μέσον τῆς χειρὸς διατρήσαντες ἐξέπιπτον κάτω, ἡ δὲ ἀνδρεία τῆς ψυχῆς οὐ διέπιπτεν. ἀλλ' ἡ μὲν χεὶρ ἀνήλωτο καὶ ἐρρύη (σὰρξ γὰρ ἦν, καὶ οὐκ ἀδάμας) ἡ δὲ ψυχὴ ἑτέραν ἐπεζήτει χεῖρα πάλιν, ὥστε καὶ ἐν ἐκείνῃ τὴν καρτερίαν ἐπιδείξασθαι. καὶ καθάπερ στρατιώτης γενναῖος εἰς πολεμίους εἰσελθὼν, καὶ κατακόψας τὴν φάλαγγα τῶν ἀνταγωνιζομένων αὐτῷ, διακλάσας τὸ ξίφος τῇ πυκνότητι τῶν ἐπαλλήλων πληγῶν, εἶτα ἐπιστραφεὶς ἕτερον ἐπιζητεῖ, διὰ τὸ μηδέπω κόρον εἰληφέναι τῆς τῶν πολεμίων σφαγῆς· οὕτω δὴ καὶ ἡ ψυχὴ τοῦ μακαρίου Βαρλαὰμ τὴν χεῖρα ἀναλώσασα ἐν τῷ κατακόπτειν τὰς φάλαγγας τῶν δαιμόνων, ἑτέραν ἐπεζήτει δεξιὰν πάλιν, ὥστε καὶ ἐν ἐκείνῃ τὴν προθυμίαν ἐπιδείξασθαι. μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι μίαν ἐξέδωκε χεῖρα μόνον· ἀλλὰ τοῦτο περὶ ἐκείνου ἐννόει, ὅτι ὁ τὴν χεῖρα προδοὺς, οὗτος καὶ τὴν κεφαλὴν ἐξέδωκε*, καὶ τὰς πλευρὰς "περιέθηκε καὶ πυρὶ, καὶ θηρίοις, καὶ πελάγει, καὶ κρημνῷ, καὶ σταυρῷ, καὶ τροχῷ, καὶ πρὸς πάσας τὰς ἀκουσθείσας ποτὲ τιμωρίας παρετάξατο, καὶ πάντα ἔπαθεν, εἰ καὶ μὴ τῇ πείρᾳ, ἀλλὰ τῇ προθέσει. οὐ γὰρ πρὸς ὡρισμένας κολάσεις ἀπήντησαν οἱ μάρτυρες, ἀλλὰ πρὸς ἀορίστους ἀπεδύοντο τιμωρίας. οὐ γάρ εἰσι κύριοι τῆς γνώμης τῶν τυράννων, οὐδὲ ὅρους αὐτοῖς καὶ μέτρα τιμωριῶν τιθέασιν· ἀλλ' ὅσα ἂν αὐτοῖς ἡ ἀπάνθρωπος καὶ θηριώδης ἐκείνων γνώμη διατεῖναι ἐπιθυμήσῃ κακά, τοσαῦτα εἰσέρχονται πεισόμενοι· πλὴν ἂν μὴ μεταξὺ τὸ σῶμα ἀπαγορεῦσαν ἀπλήρωτον ἐν τῷ μέσῳ" καταλίπῃ τὴν τῶν τυράννων ἐπιθυμίαν. ἐμαραίνετο τοίνυν ἡ σάρξ, καὶ ἡ προαίρεσις προθυμοτέρα ἐγίνετο, αὐτοὺς τοὺς ἄνθρακας παρερχομένη τῇ λαμπρότητι, καὶ μᾶλλον αὐτῶν ἀποστίλβουσα. πνευματικὸν γὰρ ἔνδον ἀνεκαίετο πῦρ, πολὺ τοῦ πυρὸς τούτου φλογωδέστερον. διὰ τοῦτο ἐκεῖνος τῆς ἔξωθεν οὐκ ᾐσθάνετο φλογός, ἐπειδὴ τὸ ἔνδον αὐτοῦ" ἔκαιε πῦρ, τὸ διάπυρον καὶ διακαὲς τῆς ἀγάπης τοῦ Χριστοῦ.

Ταῦτα μὴ μόνον ἀκούωμεν, ἀγαπητοί*. ὅπερ γὰρ ἐξ ἀρχῆς ἔλεγον, καὶ νῦν λέγω· μὴ μέχρι τῆς παρούσης ὥρας θαυμαζέσθω ὁ μάρτυς μόνον· ἀλλὰ καὶ οἴκαδε ἀπιὼν ἕκαστος ἐπαγέσθω τὸν ἅγιον, καὶ εἰς τὴν οἰκίαν εἰσαγέτω τὴν ἑαυτοῦ, μᾶλλον δὲ εἰς τὴν ἑαυτοῦ καρδίαν διὰ τῆς τῶν εἰρημένων μνήμης. ὑπόδεξαι αὐτὸν, ὡς προείρηται), καὶ στῆσον ἐπὶ τῆς καρδίας τῆς σῆς τὴν χεῖρα ἔχοντα ἐκτεταμένην· ὑπόδεξαι τὸν στεφανίτην, καὶ μηδέποτε ἀφῇς ἐξελθεῖν τῆς διανοίας τῆς σῆς. διὰ τοῦτο ὑμᾶς καὶ παρὰ τὰς θήκας τῶν ἁγίων μαρτύρων ἠγάγομεν, ἵνα καὶ ἀπὸ τῆς ὄψεως λάβητέ τινα παράκλησιν*, καὶ πρὸς τὸν αὐτὸν ἐπαποδύσησθε ζῆλον. καὶ γὰρ στρατιώτην διεγείρει μὲν καὶ ἀκοὴ ἀριστέως, πολλῷ δὲ πλέον ὄψις καὶ θεωρία, καὶ μάλιστα, ὅταν εἰς αὐτὴν τοῦ ἀριστέως τὴν σκηνὴν εἰσελθὼν ἴδῃ τὸ ξίφος ᾑμαγμένον, τὴν κεφαλὴν τοῦ πολεμίου κειμένην, τὰ λάφυρα ἄνω κρεμάμενα, τὸ αἷμα νεαρὸν τῶν χειρῶν ἀποστάζον παρὰ τοῦ τὸ τρόπαιον στήσαντος, πανταχοῦ δόρατα καὶ ἀσπίδας καὶ τόξα καὶ τὴν ἄλλην ἅπασαν παντευχίαν κειμένην. διὰ τοῦτο καὶ ἡμεῖς ἐνταῦθα συνεληλύθαμεν

* Θεοῦ

γρ. καιομένου

* τὸ ξύλον

* αὖ,
γρ. περιέθηκε

γρ. καταλύσ

γρ. ἀνέκαιε
* ἀλλὰ καὶ μι
μώμεθα

* ἀρετῆς

ληλύθαμεν. σκηνὴ γάρ ἐστι στρατιωτικὴ τῶν μαρτύρων ὁ τάφος. κἂν διοίξῃς τοὺς τῆς
πίστεως ὀφθαλμούς, ὄψει τὸν θώρακα τῆς δικαιοσύνης ἐνταῦθα κείμενον, τὸν θυρεὸν τῆς πίστεως, Ἐφ. ϛ. ιϛ.
τὴν περικεφαλαίαν τοῦ σωτηρίου, τὴν κνημῖδα τοῦ εὐαγγελίου, τὴν μάχαιραν τοῦ
πνεύματος, αὐτὴν τοῦ διαβόλου τὴν κεφαλὴν ἀπερριμμένην χαμαί. ὅταν γὰρ ἴδῃς
δαιμονῶντα ἄνθρωπον παρὰ τὸν τάφον τοῦ μάρτυρος κείμενον ὕπτιον, καὶ σπαράττοντα
ἑαυτὸν πολλάκις, οὐδὲν ἕτερον, ἀλλ' ἢ τὴν κεφαλὴν τοῦ πονηροῦ τετμημένην ὁρᾷς. ἔτι γὰρ
καὶ νῦν παράκειται ταῦτα τὰ ὅπλα τοῖς τοῦ Χριστοῦ στρατιώταις, καὶ καθάπερ τοὺς ἀριστέας
μετὰ τῶν ὅπλων θάπτουσιν οἱ βασιλεῖς, οὕτω καὶ ὁ Χριστὸς ἐποίησε, καὶ μετὰ τῶν ὅπλων αὐτοὺς
ἔθαψεν· ἵνα καὶ παρὰ τῆς ἀναστάσεως δείξῃ πᾶσαν τὴν δόξαν καὶ τὴν δύναμιν τῶν ἁγίων. μάθε
τοίνυν τὴν πανευτυχίαν αὐτῶν τὴν πνευματικήν, καὶ τὰ μέγιστα κερδάνας ἀναχωρήσεις ἐντεῦθεν.
πολὺς καί σοι πόλεμος πρὸς τὸν διάβολον, ἀγαπητέ, πολὺς, καὶ μέγας, καὶ διηνεκής.
μάθε τοίνυν τὰ παλαίσματα, ἵνα μιμήσῃ τὰς νίκας. καταγέλασον πλούτου, καὶ χρημάτων,
καὶ τῆς ἄλλης ἁπάσης τοῦ βίου φαντασίας· μὴ μακαρίσῃς τοὺς πλουτοῦντας, ἀλλὰ μακάρισον
τοὺς μαρτυροῦντας· μὴ τοὺς ἐν τρυφῇ, ἀλλὰ τοὺς ἐν τηγάνοις· μὴ τοὺς ἐν τραπέζῃ
πολυτελεῖ, ἀλλὰ τοὺς ἐν λέβητι ζέοντι· μὴ τοὺς ἐν βαλανείοις καθημερινοῖς, ἀλλὰ τοὺς
ἐν καμίνοις χαλεπαῖς· μὴ τοὺς μύρων ὄζοντας, ἀλλὰ τοὺς καπνὸν καὶ κνίσσαν ἀπὸ τῆς σαρκὸς
ὀπτωμένης ἀφιέντας. αὕτη ἡ εὐωδία ἐκείνης βελτίων καὶ λυσιτελεστέρα. ἐκείνη μὲν
γὰρ ἐπὶ κόλασιν ἀπάγει τοὺς κεχρημένους αὐτῇ, αὕτη δὲ ἐπὶ βραβεῖα καὶ στεφάνους τοὺς ἄνω. καὶ
ἵνα μάθῃς, ὅτι πονηρὸν ἡ τρυφή, καὶ μύρων ἀλοιφή, καὶ μέθη, καὶ οἶνος ἀμετρίαν ἔχων, καὶ πολυτελὴς
τράπεζα, ἄκουσον τί φησιν ὁ προφήτης· Οὐαὶ οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων, Ἀμ. ϛ. δ.
καὶ κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν· οἱ ἐσθίοντες ἐρίφους ἐκ ποιμνίων, καὶ μοσχάρια
ἐκ βουκολίων γαλαθηνά· οἱ πίνοντες τὸν διϋλισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι.
εἰ δὲ ἐπὶ τῆς παλαιᾶς διαθήκης ταῦτα ἀπηγορεύετο, πολλῷ μᾶλλον ἐπὶ τῆς χάριτος, ἔνθα
πλείων ἡ φιλοσοφία. ταῦτά μοι καὶ πρὸς ἄνδρας, καὶ πρὸς γυναῖκας εἴρηται· κοινὸν γὰρ
τὸ στάδιον. οὐ διῄρηται τὸ στρατόπεδον τοῦ Χριστοῦ διὰ τὴν φύσιν, ἀλλ' εἷς ἐστιν ὁ σύλλογος.
δύνανται καὶ γυναῖκες ἐνδύσασθαι θώρακα, καὶ ἀσπίδα περιβαλέσθαι, καὶ βέλος ἀφιέναι.
καὶ ἐν μαρτυρίου καιρῷ, καὶ ἐν ἑτέρῳ δὲ τοιούτῳ πολλὴν ἀπαιτοῦντι παρρησίαν. καὶ καθάπερ
τοξότης ἄριστος εὐστόχως τὸ βέλος ἀπὸ τῆς νευρᾶς ἀφιεὶς, ἅπασαν συνταράττει τῶν πολεμίων
τὴν τάξιν, οὕτω καὶ οἱ ἅγιοι μάρτυρες, καὶ πάντες δὲ οἱ τῆς ἀληθείας ἀγωνισταὶ, οἱ ἀνταγωνιζόμενοι
πρὸς τὰς μεθοδείας τοῦ διαβόλου, ὥσπερ ἀπό τινος νευρᾶς, τῆς γλώττης, τὰ
ῥήματα ἀφιᾶσιν εὐστόχως· καὶ ταῦτα ὥσπερ βέλη πετόμενα διὰ τοῦ ἀέρος εἰς τὰς ἀοράτους
τῶν δαιμόνων ἐμπίπτοντα φάλαγγας, πᾶσαν αὐτῶν συνταράττει τὴν παράταξιν. ὥσπερ οὖν
καὶ ἐπὶ τοῦ μακαρίου Βαρλαὰμ τοῦτο γέγονεν. ἀπὸ ψιλῶν γὰρ ῥημάτων, ὥσπερ ἀπὸ
βελῶν πετομένων, συνέχεε τὸ τοῦ διαβόλου στρατόπεδον. ταύτην καὶ ἡμεῖς μιμησώμεθα
τὴν εὐστοχίαν. οὐχ ὁρᾶτε τοὺς ἀπὸ τῶν θεάτρων καταβαίνοντας μαλακωτέρους γινομένους;
τὸ δὲ αἴτιον, ὅτι μετὰ σπουδῆς τοῖς ἐκεῖ γινομένοις προσέχουσι. καὶ γὰρ ὀφθαλμῶν περιστροφὰς,
καὶ χειρῶν περιδονήσεις, καὶ ποδῶν κύκλους, καὶ πάντων τῶν ἐν τῇ διαστροφῇ τοῦ λυγισθέντος σώματος
φανέντων εἰδώλων τοὺς τύπους ἐναποθέμενοι ταῖς ψυχαῖς οὕτως ἀπέρχονται. πῶς
οὖν οὐκ ἄτοπον ἐκείνους μὲν ἐπὶ λύμῃ τῆς ἑαυτῶν ψυχῆς τοσαύτην ἐπιδείκνυσθαι πρόνοιαν,
καὶ μνήμην ἀδιάθετον ἔχειν τῶν ἐκεῖ γινομένων· ἡμᾶς δὲ ἀπὸ τῆς ἐνταῦθα μιμήσεως
μέλλοντας τοῖς ἀγγέλοις παρίστασθαι, μηδὲ τὴν ἴσην ἐκείνοις εἰσάγειν σπουδὴν περὶ
τὴν τῶν εἰρημένων φυλακήν; μὴ, δέομαι καὶ ἀντιβολῶ, μὴ οὕτω τῆς οἰκείας καταμελῶμεν
σωτηρίας, ἀλλ' ἐναποθώμεθα τοὺς μάρτυρας ἅπαντες ταῖς ἑαυτῶν διανοίαις, μετὰ
τῶν τηγάνων, μετὰ τῶν λεβήτων, μετὰ τῶν ἄλλων τιμωριῶν. καὶ καθάπερ οἱ ζωγράφοι τὴν

εἰκόνα πολλάκις καπνῷ καὶ αἰθάλῃ καὶ χρόνῳ μακρῷ γενομένην ἀμαυροτέραν ἀποσμήχουσιν· οὕτω καὶ σὺ ποίησον, ἀγαπητέ, τὴν μνήμην τῶν ἁγίων μαρτύρων· ἐπειδὰν εἰσιοῦσαι βιωτικαὶ φροντίδες ἀμαυρώσωσι τὴν διάνοιάν σου, ἀπόσμηξον διὰ τῆς τῶν μαρτύρων μνήμης. ἂν γὰρ ταύτην ἔχῃς ἐν τῇ ψυχῇ σου τὴν μνήμην, οὐ θαυμάσεις πλοῦτον, οὐ πενίαν δακρύσεις, οὐκ ἐπαινέσεις δόξαν καὶ δυναστείαν, οὐδὲν ὅλως τῶν ἀνθρωπίνων, οὐ τῶν φαιδρῶν μέγα τι ὑπολάβῃς εἶναι, οὐ τῶν λυπηρῶν ἀφόρητον· ἀλλὰ πάντων ἐκείνων ἀνώτερος γενόμενος ἕξεις διδασκαλίαν ἀρετῆς διηνεκῆ τῆς εἰκόνος ταύτης τὴν θεωρίαν. ὁ γὰρ στρατιώτας ὁρῶν καθ' ἑκάστην ἡμέραν ἐν πολέμοις καὶ μάχαις ἀνδραγαθιζομένους, οὐκ ἐπιθυμήσει τρυφῆς ποτε, οὐ θαυμάσεται τὸν ὑγρὸν καὶ διαλελυμένον βίον, ἀλλὰ τὸν σκληρὸν, καὶ εὔτονον, καὶ ἐναγώνιον. ποία γὰρ κοινωνία μέθῃ καὶ μάχῃ; γαστρίζεσθαι καὶ ἀνδρίζεσθαι; μύροις καὶ ὅπλοις; "πολέμῳ καὶ κώμοις; στρατιώτης εἶ τοῦ Χριστοῦ, ἀγαπητέ; ὁπλίζου, μὴ καλλωπίζου. ἀθλητὴς εἶ γενναῖος; ἀνδρίζου, μὴ ὡραΐζου. οὕτω μιμησώμεθα τοὺς ἁγίους τούτους, οὕτω τιμήσωμεν τοὺς ἀριστέας, τοὺς στεφανίτας, τοὺς Θεοῦ φίλους· καὶ βαδίσαντες τὴν αὐτὴν αὐτοῖς ὁδὸν, τῶν αὐτῶν αὐτοῖς στεφάνων ἐπιτευξόμεθα· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. ἀνδριζομ

γρ. πολέμῳ καὶ κώμοις;

Λογ. ο. ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ ΙΓΝΑΤΙΟΝ

[τὸν θεοφόρον] ἀρχιεπίσκοπον Ἀντιοχείας τῆς μεγάλης, εἰς Ῥώμην ἀπενεχθέντα καὶ αὐτόθι μαρτυρήσαντα, κἀκεῖθεν αὖθις εἰς Ἀντιόχειαν κομισθέντα.

Μηνὸς Δεκεμβ. κ.

Οἱ πολυτελεῖς καὶ φιλότιμοι τῶν ἑστιατόρων πυκνὰς καὶ ἐπαλλήλους ποιοῦνται τὰς ἑστιάσεις, ὁμοῦ μὲν τὴν οἰκείαν περιουσίαν ἐπιδεικνύμενοι, ὁμοῦ δὲ τὴν περὶ τοὺς ἐπιτηδείους φιλοφροσύνην ἐμφαίνοντες. οὕτω καὶ ἡ τοῦ πνεύματος χάρις τῆς οἰκείας δυνάμεως τὴν ἀπόδειξιν ἡμῖν παρεχομένη, καὶ πολλὴν τὴν φιλοφροσύνην περὶ τοὺς τοῦ Θεοῦ φίλους ἐπιδεικνυμένη, συνεχεῖς ἡμῖν καὶ ἐπαλλήλους τὰς τῶν μαρτύρων παρατίθεται τραπέζας. πρώην γοῦν ἡμᾶς κόρη κομιδῇ νέα καὶ ἀπειρόγαμος ἡ μακαρία μάρτυς Πελαγία μετὰ πολλῆς τῆς εὐφροσύνης εἱστίασε· σήμερον πάλιν τὴν ἐκείνης ἑορτὴν ὁ μακάριος οὗτος καὶ γενναῖος μάρτυς Ἰγνάτιος διεδέξατο. διάφορα τὰ πρόσωπα, ἀλλὰ μία ἡ τράπεζα· ἐνηλλαγμένα τὰ παλαίσματα, ἀλλ' εἷς ὁ στέφανος· ποικίλα τὰ ἀγωνίσματα, ἀλλὰ τὸ αὐτὸ βραβεῖον. ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν ἀγώνων, ἐπειδὴ σωμάτων εἰσὶν οἱ πόνοι, εἰκότως ἄνδρες ἐγκρίνονται μόνοι· ἐνταῦθα δὲ, ἐπειδὴ τῆς ψυχῆς ὁ ἀγὼν ἅπας ἐστὶν, ἑκατέρᾳ τῇ φύσει τὸ στάδιον ἀνέῳγεν, ἑκατέρῳ τῷ γένει τὸ θέατρον κάθηται. καὶ οὔτε ἄνδρες ἀπεδύσαντο μόνον, ἵνα μὴ πρὸς τὴν τῆς φύσεως ἀσθένειαν αἱ γυναῖκες καταφυγοῦσαι δόξωσιν ἔχειν εὐπρόσωπον ἀπολογίαν, οὔτε γυναῖκες ἠνδρίσαντο μόναι, ἵνα μὴ τὸ τῶν ἀνδρῶν "καταισχύνηται γένος. ἀλλὰ καὶ ἐντεῦθεν, κἀκεῖθεν πολλοὶ οἱ ἀνακηρυττόμενοι καὶ στεφανούμενοι, ἵνα μάθῃς διὰ τῶν ἔργων αὐτῶν, ὅτι ἐν Χριστῷ Ἰησοῦ οὐκ ἄρσεν, οὐ θῆλυ· ὅτι οὔτε φύσις, οὔτε σώματος ἀσθένεια, οὔτε ἡλικία, οὔτε ἄλλο οὐδὲν τῶν τοιούτων ἐμποδίσαι δύναιτ' ἂν τοῖς τὸν τῆς εὐσεβείας τρέχουσι δρόμον, ἐὰν προθυμία γενναία καὶ φρόνημα διεγηγερμένον καὶ φόβος Θεοῦ θερμὸς καὶ διάπυρος ἐρριζωμένος ἡμῶν ἐν ταῖς ψυχαῖς ᾖ. διὰ τοῦτο καὶ κόραι καὶ γυναῖκες καὶ ἄνδρες, καὶ νέοι καὶ γέροντες, καὶ δοῦλοι καὶ ἐλεύθεροι, καὶ πᾶσα ἀξία καὶ ἡλικία ἅπασα, καὶ φύσις ἑκατέρα πρὸς τοὺς ἀγῶνας ἀπεδύσαντο τούτους. καὶ οὐδαμόθεν οὐδὲν παρεβλάβησαν, ἐπεὶ προαίρεσιν γενναίαν εἰσήνεγκαν εἰς τὰ παλαίσματα ταῦτα. ὁ μὲν οὖν καιρὸς ἡμᾶς ἤδη πρὸς τὴν διήγησιν

γρ. πανταχόθεν

Γαλατ. γ. κη.

τῶν τοῦ μακαρίου τούτου κατορθωμάτων κάλλος· ὁ λογισμὸς δὲ ταράττεται καὶ θορυβεῖται, οὐκ ἔχων τί πρῶτον, τί δεύτερον εἴπῃ, τί τρίτον. τοσοῦτον περιρρεῖ πάντοθεν ἡμᾶς ἐγκωμίων πλῆθος. καὶ ταὐτὸν πάσχομεν, οἷον ἂν εἴ τις εἰς λειμῶνα εἰσελθὼν, καὶ πολλὴν μὲν τὴν ῥοδωνιὰν ἰδὼν, πολὺ δὲ τὸ ἴον, καὶ τὸ κρίνον τοσοῦτον, καὶ ἕτερα δὲ ἠρινὰ ἄνθη ποικίλα τε καὶ διάφορα, ἀπορήσειε τί πρῶτον ἴδῃ, τί δεύτερον, ἑκάστου τῶν ὁρωμένων πρὸς ἑαυτὸ καλοῦντος τὰς ὄψεις. καὶ γὰρ καὶ ἡμεῖς εἰς τὸν πνευματικὸν τοῦτον λειμῶνα τῶν Ἰγνατίου κατορθωμάτων εἰσελθόντες, καὶ οὐχὶ ἄνθη ἠρινὰ, ἀλλ' αὐτὸν τοῦ πνεύματος τὸν καρπὸν ποικίλον τε καὶ διάφορον ἐν τῇ τούτου ψυχῇ θεώμενοι, θορυβούμεθα καὶ διαπορούμεθα, οὐκ ἔχοντες, ποῦ πρῶτον τὸν λογισμὸν ἀπερείσομεν, ἑκάστου τῶν ὁρωμένων ἀπὸ τοῦ πλησίον ἀνθέλκοντος, καὶ πρὸς τὴν τῆς οἰκείας εὐπρεπείας θεωρίαν ἐπισπωμένου τὴν τῆς ψυχῆς ὄψιν. σκοπεῖτε γάρ. προέστη τῆς παρ' ἡμῖν ἐκκλησίας γενναίως καὶ μετὰ τοσαύτης ἀκριβείας, μεθ' ὅσης ὁ Χριστὸς βούλεται. ὃν γὰρ μέγιστον ὅρον καὶ κανόνα τῆς ἐπισκοπῆς ἔφησεν εἶναι ἐκεῖνος, τοῦτον οὗτος διὰ τῶν ἔργων ἐπεδείξατο· καὶ τοῦ Χριστοῦ λέγοντος ἀκούσας, ὅτι Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων, μετὰ πάσης ἀνδρείας αὐτὴν ἐπέδωκεν ὑπὲρ τῶν προβάτων. Συνεγένετο τοῖς ἀποστόλοις γνησίως, καὶ τῶν πνευματικῶν ναμάτων ἀπήλαυσεν. ὁποῖον οὖν εἶναι εἰκὸς τὸν συντραφέντα ἐκείνοις, καὶ πανταχοῦ συγγενόμενον, καὶ ῥητῶν καὶ ἀπορρήτων αὐτοῖς κοινωνήσαντα, καὶ τοσαύτης εἶναι δόξαντα αὐτοῖς ἀρχῆς ἄξιον; ἐπέστη πάλιν καιρὸς ἀνδρείαν ἐπιζητῶν, καὶ ψυχὴν τῶν παρόντων ὑπερορῶσαν ἁπάντων, καὶ τῷ θείῳ ζέουσαν ἔρωτι, καὶ τὰ μὴ βλεπόμενα τῶν ὁρωμένων προτιμῶσαν. καὶ μετὰ τοσαύτης εὐκολίας τὴν σάρκα ἀπέθετο, μεθ' ὅσης ἄν τις ἱμάτιον ἀποδύσαιτο. Τί οὖν πρότερον εἴπωμεν; τῶν ἀποστόλων τὴν διδασκαλίαν, ἣν ἐπεδείξατο διὰ πάντων; ἢ τῆς παρούσης ζωῆς τὴν ὑπεροψίαν; ἢ τὴν ἀκρίβειαν τῆς ἀρετῆς, μεθ' ἧς τὴν προστασίαν τῆς ἐκκλησίας ᾠκονόμησε; τίνα πρότερον ἀνυμνήσομεν; τὸν μάρτυρα; ἢ τὸν ἐπίσκοπον; ἢ τὸν ἀπόστολον; τριπλοῦν γὰρ στέφανον ἡ τοῦ πνεύματος πλέξασα χάρις, οὕτω τὴν ἁγίαν ἐκείνην ἀνέδησε κεφαλὴν, μᾶλλον δὲ, πολλαπλοῦν. τῶν γὰρ στεφάνων ἕκαστον εἴ τις μετὰ ἀκριβείας ἀναπτύξειεν, εὑρήσει καὶ ἑτέρους ἡμῖν βλαστάνοντας στεφάνους.

Ιωαν.ια.ιδ.

Καὶ, εἰ βούλεσθε, πρότερον ἐπὶ τὸν τῆς ἐπισκοπῆς ἔπαινον ἔλθωμεν. οὐ δοκεῖ εἷς οὗτος εἶναι στέφανος μόνος. φέρε οὖν αὐτὸν ἀναπτύξωμεν τῷ λόγῳ, καὶ ὄψεσθε καὶ δύο καὶ τρεῖς καὶ πλείους ἐξ αὐτοῦ τικτομένους ἡμῖν. οὐ γὰρ μόνον, ὅτι τοσαύτης ἀρχῆς ἄξιος εἶναι ἔδοξε, θαυμάζω τὸν ἄνδρα ἐγὼ, ἀλλ' ὅτι καὶ παρὰ τῶν ἁγίων ἐκείνων τὴν ἀρχὴν ταύτην ἐνεχειρίσθη, καὶ αἱ τῶν μακαρίων ἀποστόλων χεῖρες τῆς ἱερᾶς ἐκείνης ἥψαντο κεφαλῆς. οὐδὲ γὰρ μικρὸν τοῦτο εἰς ἐγκωμίου λόγον· οὐκ ἐπειδὴ πλείω τὴν ἄνωθεν ἐπεσπάσατο χάριν, οὐδ' ὅτι δαψιλεστέραν ἐπ' αὐτὸν ἐποίησαν ἐλθεῖν τὴν τοῦ πνεύματος ἐνέργειαν μόνον, ἀλλ' ὅτι καὶ πᾶσαν αὐτῷ τὴν ἐν ἀνθρώποις ἐμαρτύρησαν ἀρετήν. τὸ δὲ πῶς, ἐγὼ λέγω. Τίτῳ γράφων ὁ Παῦλός ποτε (ὅταν δὲ Παῦλον εἴπω, οὐ τοῦτον μόνον λέγω, ἀλλὰ καὶ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, καὶ πάντα αὐτῶν τὸν χορόν. καθάπερ γὰρ ἐν λύρᾳ μιᾷ διάφοροι μὲν αἱ νευραὶ, μία δὲ ἡ συμφωνία· οὕτω καὶ ἐν τῷ χορῷ τῶν ἀποστόλων διάφορα μὲν τὰ πρόσωπα, μία δὲ ἡ διδασκαλία, ἐπειδὴ καὶ εἷς ὁ τεχνίτης ἦν, τὸ πνεῦμα τὸ ἅγιον τὸ κινοῦν τὰς ἐκείνων ψυχάς. καὶ τοῦτο ἐμφαίνων ὁ Παῦλος ἔλεγεν· Εἴτε οὖν ἐκεῖνοι, εἴτε ἐγὼ, οὕτω κηρύσσομεν) γράφων τοίνυν οὗτος τῷ Τίτῳ, καὶ δεικνὺς ὁποῖόν τινα τὸν ἐπίσκοπον εἶναι χρὴ, φησί· Δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι, ὡς Θεοῦ οἰκονόμον, μὴ αὐθάδη, μὴ ὀργίλον, μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ· ἀλλὰ φιλόξενον, φιλάγαθον, σώφρονα, δίκαιον, ὅσιον, ἐγκρατῆ, ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς

α Κορ. ιε. ια.

Τιτ. α. ζ.

τὸς ᾖ καὶ ἑτέρους παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν. α. Τιμ. γ. α. Καὶ Τιμοθέῳ πάλιν περὶ τῆς ὑποθέσεως ταύτης ἐπιστέλλων, οὕτω πως φησίν· Εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ. δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, μιᾶς γυναικὸς ἄνδρα, νηφάλιον, σώφρονα, κόσμιον, φιλόξενον, διδακτικόν. Εἶδες πόσην ἀκρίβειαν ἀρετῆς ἀπαιτεῖ τὸν ἐπίσκοπον; καθάπερ γάρ τις ζωγράφος ἄριστος ποικίλα κεράσας χρώματα, ἐὰν μέλλῃ βασιλικῆς μορφῆς πρωτότυπον κατασκευάζειν εἰκόνα, μετὰ πάσης ἐργάζεται τῆς ἀκριβείας, ὥστε τοὺς μιμουμένους αὐτὴν ἅπαντας καὶ γράφοντας ἐξ αὐτῆς διηκριβωμένην ἔχειν εἰκόνα· οὕτω δὴ καὶ ὁ μακάριος Παῦλος, καθάπερ τινὰ εἰκόνα βασιλικὴν γράφων, καὶ τὸ ἀρχέτυπον αὐτῆς κατασκευάζων, τὰ ποικίλα τῆς ἀρετῆς κεράσας χρώματα, ἀπηρτισμένους ἡμῖν τοὺς χαρακτῆρας ὑπέγραψε τῆς ἐπισκοπῆς· ἵν' ἕκαστος τῶν εἰς τὴν ἀρχὴν ταύτην ἀναβαινόντων εἰς ἐκείνην ὁρῶν μετὰ τοσαύτης ἀκριβείας τὰ καθ' ἑαυτὸν ἅπαντα οἰκονομῇ. Θαῤῥῶν τοίνυν εἴποιμι ἄν, ὅτι πᾶσαν αὐτὴν μετὰ ἀκριβείας ὁ μακάριος Ἰγνάτιος ἀπεμάξατο ἐν τῇ ἑαυτοῦ ψυχῇ. καὶ ἀνεπίληπτος ἦν, καὶ ἀνέγκλητος, καὶ οὔτε αὐθάδης, οὔτε ὀργίλος, οὔτε πάροινος, οὔτε πλήκτης, ἀλλ' ἄμαχος, ἀφιλάργυρος, δίκαιος, ὅσιος, ἐγκρατής, ἀντεχόμενος τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, νηφάλιος, σώφρων, κόσμιος, καὶ τὰ ἄλλα ἅπερ ὁ Παῦλος ἀπῄτησε. Καὶ τίς τούτων ἀπόδειξις, φησιν; αὐτοὶ οἱ ταῦτα εἰρηκότες αὐτὸν ἐχειροτόνησαν. καὶ οὐκ ἂν οἱ μετὰ τοσαύτης ἀκριβείας παραινοῦντες ἑτέροις τὴν δοκιμασίαν ποιεῖσθαι τῶν μελλόντων ἐπὶ τὸν θρόνον τῆς ἀρχῆς ἀναβαίνειν ταύτης, αὐτοὶ παρέργως τοῦτο ἐποίησαν ἄν. ἀλλ' εἰ μὴ πᾶσαν εἶδον τὴν ἀρετὴν ταύτην ἐν τῇ ψυχῇ τοῦ μάρτυρος τούτου πεφυτευμένην, οὐκ ἂν αὐτῷ ταύτην ἐνεχείρισαν τὴν ἀρχήν. καὶ γὰρ ᾔδεισαν ἀκριβῶς, ὅσος κίνδυνος κεῖται τοῖς ἁπλῶς καὶ ὡς ἔτυχε τὰς τοιαύτας ποιουμένοις χειροτονίας. καὶ τοῦτο αὐτὸ πάλιν ἐμφαίνων ὁ Παῦλος, τῷ α. Τιμ. ε. κβ. αὐτῷ Τιμοθέῳ γράφων ἔλεγε· Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις. τί λέγεις; ἄλλος ἥμαρτε, κἀγὼ κοινωνῶ τῶν ἐγκλημάτων καὶ τῆς τιμωρίας; ναί, φησιν, ὁ τῇ πονηρίᾳ τὴν ἐξουσίαν παρέχων. καὶ καθάπερ τις μαινομένῳ καὶ παραπαίοντι ξίφος ἐγχειρίσας ἠκονημένον, ὃν ἂν ἐργάσηται φόνον ὁ μεμηνώς, ἐκεῖνος ὑφίσταται τὴν αἰτίαν ὁ τὸ ξίφος δεδωκώς· οὕτω καὶ ἀνθρώπῳ τις πονηρίᾳ συζῶντι τὴν ἀπὸ τῆς ἀρχῆς ταύτης ἐξουσίαν παρέχων, τὸ πῦρ ἅπαν τῶν ἁμαρτημάτων ἐκείνου καὶ τῶν τολμημάτων ἐπὶ τὴν οἰκείαν ἕλκει κεφαλήν. ὁ γὰρ τὴν ῥίζαν παρέχων, πανταχοῦ τῶν ἐξ αὐτῆς φυομένων ἐστὶν αἴτιος. Εἶδες πῶς διπλοῦς ἡμῖν ὁ στέφανος ἐφάνη τῆς ἐπισκοπῆς τέως, καὶ λαμπροτέραν ἐποίησε τὴν ἀρχὴν τὸ τῶν χειροτονησάντων αὐτὸν ἀξίωμα, πᾶσαν ἀπόδειξιν ἀρετῆς αὐτῷ μαρτυρῆσαν; βούλεσθε καὶ ἕτερον ὑμῖν ἐκκαλύψω στέφανον ἀπ' αὐτοῦ τούτου βλαστάνοντα; ἀναλογισώμεθα τὸν καιρὸν καθ' ὃν τὴν ἀρχὴν ἐνεχειρίσθη ταύτην. οὐ γάρ ἐστιν ἴσον ἐκκλησίαν οἰκονομῆσαι νῦν, καὶ τότε· ὥσπερ οὐκ ἔστιν ἴσον τετριμμένην ὁδὸν καὶ κατεσκευασμένην καλῶς μετὰ πολλοὺς ὁδοιπόρους ὁδεύειν, καὶ νῦν πρώτως τέμνεσθαι μέλλουσαν, καὶ φάραγγας καὶ λίθους ἔχουσαν, καὶ θηρίων γέμουσαν, καὶ μηδέπω μηδένα δεξαμένην ὁδοιπόρον. νῦν μὲν γὰρ τῇ τοῦ Θεοῦ χάριτι κίνδυνος οὐδεὶς τοῖς ἐπισκόποις, ἀλλ' εἰρήνη πανταχόθεν βαθεῖα, καὶ γαλήνης ἀπολαύομεν ἅπαντες, τοῦ λόγου τῆς εὐσεβείας ἐκτεταμένου πρὸς τὰ πέρατα τῆς οἰκουμένης, καὶ τῶν βασιλευόντων ἡμῖν τὴν πίστιν συντηρούντων μετὰ ἀκριβείας. τότε δὲ οὐδὲν τούτων ἦν· ἀλλ' ὅπουπερ ἄν τις εἶδε, κρημνοί, καὶ βάραθρα, καὶ πόλεμοι, καὶ μάχαι, καὶ κίνδυνοι· καὶ ἄρχοντες καὶ βασιλεῖς, καὶ δῆμοι καὶ πόλεις, καὶ ἔθνη, καὶ οἶκοι καὶ ἀλλότριοι τοῖς πιστεύουσιν ἐπεβούλευον. καὶ οὐ τοῦτο μόνον ἦν τὸ δεινόν, ἀλλ' ὅτι καὶ αὐτῶν τῶν πιστευσάντων πολλοί, ἅτε νῦν πρώτως δογμάτων γευσάμενοι ξένων, πολλῆς ἐδέοντο τῆς συγκαταβάσεως. καὶ γὰρ ἀσθενέστεροι ἔτι διέκειντο, καὶ πολλάκις ὑπεσκελίζοντο.

γρ. αὐτῆς [illegible]

ὑποσκελίζοντος. καὶ τοῦτο γοῦν, ὃ τῶν ἔξωθεν πολέμων οὐκ ἔλαττον ἐλύπει τοὺς διδασκάλους, μᾶλλον δὲ καὶ πολλῷ πλέον. αἱ μὲν γὰρ ἔξωθεν μάχαι καὶ ἐπιβουλαὶ καὶ ἡδονὴν παρεῖχον αὐτοῖς πολλὴν διὰ τὴν ἐλπίδα τῶν ἀποκειμένων μισθῶν. διὰ τοῦτο καὶ οἱ ἀπόστολοι ὑπέστρεφον ἀπὸ προσώπου τοῦ συνεδρίου χαίροντες, ὅτι ἐμαστιγώθησαν. (Πράξ. ε μα.) καὶ Παῦλος βοᾷ λέγων, Χαίρω ἐν τοῖς παθήμασί μου, καὶ καυχᾶται ἐν ταῖς θλίψεσι πανταχοῦ. (Κολασ. α κδ.) τὰ δὲ τῶν οἰκείων τραύματα, καὶ τὰ τῶν ἀδελφῶν πτώματα οὐδὲ ἀναπνεῖν αὐτοὺς ἠφίει· ἀλλ' ὥσπερ τις κύφων βαρύτατος τὸν αὐχένα τῆς ψυχῆς αὐτῶν ἐπίεζε καὶ κατέασσε διηνεκῶς. ἄκουσον γοῦν, ὁ Παῦλος ὁ οὕτω χαίρων ἐν τοῖς παθήμασι, πῶς ὑπὲρ τούτων πικρῶς ὀδυνᾶται καὶ τήκεται. Τίς γάρ, φησιν, ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; (β. Κορ. ια κθ.) καὶ πάλιν, Φοβοῦμαι μήπως ἐλθὼν, οὐχ οἵους θέλω εὕρω ὑμᾶς, κἀγὼ εὑρεθῶ ὑμῖν οἷον οὐ θέλετε. (καὶ ιβ. κ. κα.) καὶ μετ' ὀλίγα, Μὴ πάλιν ἐλθόντα με πρὸς ὑμᾶς ταπεινώσῃ ὁ Θεὸς, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀκαθαρσίᾳ καὶ ἀσελγείᾳ καὶ πορνείᾳ, ᾗ ἔπραξαν. καὶ διὰ παντὸς ὁρᾷς ἐν δάκρυσιν αὐτὸν ὄντα καὶ θρήνοις διὰ τοὺς οἰκείους, καὶ δεδοικότα καὶ τρέμοντα ὑπὲρ τῶν πεπιστευκότων ἀεί. ὥσπερ οὖν κυβερνήτην θαυμάζομεν, οὐχ ὅταν ἡσυχαζούσης τῆς θαλάττης καὶ ἐξ οὐρίων τῆς νηὸς φερομένης δυνηθῇ τοὺς ἐμπλέοντας διασῶσαι, ἀλλ' ὅταν μαινομένου τοῦ πελάγους, διανισταμένων τῶν κυμάτων, αὐτῶν τῶν ἔνδον ἐπιβατῶν στασιαζόντων, πολλοῦ χειμῶνος ἔσωθεν καὶ ἔξωθεν τοὺς ἐμπλέοντας πολιορκοῦντος δυνηθῇ κατευθῦναι τὸ σκάφος μετ' ἀσφαλείας ἁπάσης· οὕτω καὶ τοὺς τότε τὴν ἐκκλησίαν ἐγχειρισθέντας ἐκπλήττεσθαι χρὴ καὶ θαυμάζειν πολλῷ πλέον τῶν νῦν οἰκονομούντων αὐτήν, ὅτε πολὺς ὁ πόλεμος ἔξωθεν, ἔσωθεν, ὅτε ἁπαλώτερον ἔτι τὸ φυτὸν τῆς πίστεως ἦν καὶ πολλῆς δεόμενον ἐπιμελείας, ὅτε, καθάπερ ἀρτίτοκον βρέφος, τὸ τῆς ἐκκλησίας πλῆθος πολλῆς ἔχρῃζε τῆς προνοίας, καὶ σοφωτάτης τινὸς τῆς μαιευούσης αὐτὸ τιθηνήσασθαι ψυχῆς. καὶ ἵνα σαφέστερον μάθητε, ὅσων ἦσαν ἄξιοι στεφάνων οἱ τότε τὴν ἐκκλησίαν ἐμπιστευθέντες, καὶ ὅσος πόνος καὶ κίνδυνος ἐν προοιμίοις καὶ ἀρχῇ πράγματα ἀναδέξασθαι, καὶ ″πρῶτος ἐλθεῖν ἐπ'″ αὐτῷ, (πρώτως ἐπ' αὐτὸ) τὸν Χριστοῦ παράγω μαρτυρίαν ὑμῖν ψηφιζομένου ταῦτα, καὶ τὴν ὑφ' ἡμῶν εἰρημένην κυροῦντος γνώμην. ἰδὼν γὰρ πολλοὺς πρὸς αὐτὸν ἐρχομένους, καὶ βουλόμενος δεῖξαι τοῖς ἀποστόλοις, ὅτι πλέον αὐτῶν ἔκαμον οἱ προφῆται, φησιν· Ἄλλοι κεκοπιάκασι, καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε. (Ιωαν. δ. λη.) καίτοι πολλῷ πλείονα τῶν προφητῶν ἔκαμνον οἱ ἀπόστολοι· ἀλλ' ἐπειδὴ πρότεροι ἐκεῖνοι τὸν λόγον τῆς εὐσεβείας κατέβαλον, καὶ τὰς ψυχὰς τῶν ἀνθρώπων ἀδιδάκτους οὔσας πρὸς τὴν ἀλήθειαν ἐπεσπάσαντο, ἐκείνοις τὸ πλέον τοῦ πόνου ψηφίζεται. οὐ γάρ ἐστιν ἴσον, οὐκ ἔστι μετὰ πολλοὺς ἑτέρους διδασκάλους ἐλθόντα διδάσκειν, καὶ πρῶτον αὐτὸν καταβάλλειν τὰ σπέρματα. τὸ μὲν γὰρ ἤδη μελετηθὲν καὶ ἐν συνηθείᾳ γενόμενον, εὐπαράδεκτον ἂν ῥᾳδίως γένοιτο· τὸ δὲ νῦν πρῶτον ἀκουόμενον θορυβεῖ τὴν διάνοιαν τῶν ἀκροατῶν, καὶ πολλὰ τοῖς διδάσκουσι παρέχει πράγματα. τοῦτο γοῦν καὶ ἐν Ἀθήναις ἐθορύβει τοὺς ἀκούοντας· καὶ διὰ τοῦτο ἀπεστρέφοντο τὸν Παῦλον, ἐγκαλοῦντες καὶ λέγοντες· ὅτι Ξενίζοντά τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν. (Πράξ. ιζ κ.) Εἰ γὰρ νῦν κάματον καὶ πόνον πολὺν ἐκκλησίας προστασία παρέχει τοῖς κυβερνῶσιν αὐτήν, ἐννόησον πῶς διπλοῦς καὶ τριπλοῦς καὶ πολλαπλασίων ἦν τότε ὁ πόνος, ὅτε κίνδυνοι καὶ μάχαι καὶ ἐπιβουλαὶ καὶ φόβος διηνεκής. οὐκ ἔστιν, οὐκ ἔστι παραστῆσαι τῷ λόγῳ τὴν δυσκολίαν, ἣν ὑπέμενον οἱ ἅγιοι τότε ἐκεῖνοι· ἀλλ' οὗτος αὐτὴν εἴσεται μόνος, ὁ διὰ τῆς πείρας αὐτῆς ἐλθών. εἴπω καὶ τέταρτον στέφανον ἐκ τῆς ἐπισκοπῆς ἡμῖν ἀνίσχοντα ταύτης. τίς οὖν ἐστιν οὗτος; τὸ τὴν πατρίδα αὐτὸν ἐπιτραπῆναι τὴν ἡμετέραν. ἐπίπονον μὲν γὰρ καὶ ἑκατὸν ἀνδρῶν καὶ πεντήκοντα προστῆναι μόνον, τὸ δὲ πόλιν ἐγχειρισθῆναι τοσαύτην, καὶ δῆμον εἰς εἴκοσι ἐκτεινόμενον μυριάδας, πόσης ἀρετῆς οἴει καὶ σοφίας ἀπόδειξιν εἶναι;

καὶ γὰρ ὥσπερ ἐπὶ τῶν στρατοπέδων τὰς βασιλικωτέρας φάλαγγας καὶ πληθυούσας μᾶλλον τοῖς ἐμπειροτέροις τῶν στρατηγῶν ἐγχειρίζονται· οὕτω δὴ καὶ ἐπὶ τῶν πόλεων, τὰς μείζους καὶ πολυανθρώπους τοῖς δοκιμωτέροις τῶν ἀρχόντων ἐμπιστεύονται. καὶ ἄλλως δὲ, πολὺς τῆς πόλεως ταύτης τῷ Θεῷ λόγος, ὡς καὶ διὰ τῶν ἔργων αὐτῶν ἐδήλωσε. τὸν γοῦν τῆς οἰκουμένης ἐπιστάτην ἁπάσης Πέτρον, ᾧ τὰς κλεῖς ἐνεχείρισε τῶν οὐρανῶν, ᾧ πάντα ἄγειν καὶ φέρειν ἐπέτρεψε, πολὺν ἐνταῦθα χρόνον ἐνδιατρῖψαι ἐκέλευσεν. οὕτως αὐτῷ τῆς οἰκουμένης ἁπάσης ἡ πόλις ἀντίρροπος ἡ ἡμετέρα. ἐπειδὴ δὲ ἐμνήσθην Πέτρου, καὶ πέμπτον ἐξ αὐτοῦ στέφανον εἶδον πλεκόμενον. οὗτος δέ ἐστι, τὸ μετ' ἐκεῖνον τοῦτον διαδέξασθαι τὴν ἀρχήν. ὥσπερ γάρ τις λίθον ἐξαίρων μέγαν ἐκ θεμελίων, ἕτερον ἀντίρροπον ἐκείνου σπουδάζει πάντως ἀντεισαγαγεῖν, εἰ μὴ μέλλοι πᾶσαν σαλεύειν τὴν οἰκοδομὴν καὶ σαθροτέραν ποιεῖν· οὕτω δὴ καὶ Πέτρου μέλλοντος ἐντεῦθεν ἀποδημεῖν, ἕτερον ἀντίρροπον Πέτρου διδάσκαλον ἡ τοῦ πνεύματος ἀντεισήγαγε χάρις, ὥστε μὴ τὴν ἤδη γενομένην οἰκοδομὴν τῇ τοῦ διαδεξομένου εὐτελείᾳ σαθροτέραν γενέσθαι. πέντε μὲν οὖν στεφάνους ἀπηριθμησάμεθα, ἀπὸ τοῦ μεγέθους τῆς ἀρχῆς, ἀπὸ τῆς ἀξίας τῶν κεχειροτονηκότων, ἀπὸ τῆς τοῦ καιροῦ δυσκολίας, ἀπὸ τοῦ μεγέθους τῆς πόλεως, ἀπὸ τῆς ἀρετῆς τοῦ παραδόντος αὐτῷ τὴν ἐπισκοπήν. τούτους ἅπαντας πλέξαντας ἐνῆν καὶ ἕκτον εἰπεῖν καὶ ἕβδομον καὶ πλείους τούτων. ἀλλ' ἵνα μὴ τὸν ἅπαντα χρόνον εἰς τοὺς περὶ τῆς ἐπισκοπῆς ἀναλώσαντες λόγους, ἐκπέσωμεν τῶν περὶ τοῦ μάρτυρος διηγημάτων, φέρε λοιπὸν ἐπὶ τὸν ἆθλον ἐκεῖνον ἴωμεν.

Πόλεμος ἀνεῤῥιπίσθη ποτὲ χαλεπὸς κατὰ τῶν ἐκκλησιῶν· καὶ καθάπερ τυραννίδος χαλεπωτάτης τὴν γῆν καταλαβούσης, ἐκ μέσης ἀνηρπάζοντο τῆς ἀγορᾶς ἅπαντες, ἄτοπον μὲν οὐδὲν ἐγκαλούμενοι, ὅτι δὲ τῆς πλάνης ἀπαλλαγέντες πρὸς τὴν εὐσέβειαν ἔδραμον, ὅτι τῆς τῶν δαιμόνων θρησκείας ἀπέστησαν, ὅτι τὸν ἀληθινὸν Θεὸν ἐπέγνωσαν, καὶ τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ προσεκύνησαν· καὶ ὑπὲρ ὧν στεφανοῦσθαι αὐτοὺς ἐχρῆν καὶ θαυμάζεσθαι καὶ τιμᾶσθαι, ὑπὲρ τούτων ἐκολάζοντο καὶ μυρίοις περιηντλοῦντο δεινοῖς πάντες οἱ τὴν πίστιν παραδεξάμενοι, πολλῷ δὲ πλέον οἱ τῶν ἐκκλησιῶν προεστῶτες. ὁ γὰρ διάβολος κακοῦργος ὢν καὶ δεινὸς τὰς τοιαύτας ῥάπτειν ἐπιβουλὰς, προσεδόκησεν ὅτι, τοὺς ποιμένας ἐὰν ἀφέλῃ, τὰ ποίμνια ῥᾳδίως διασπάσαι δυνήσεται. ἀλλ' ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν, βουλόμενος αὐτῷ δεῖξαι, ὅτι οὐκ ἄνθρωποι τὰς αὐτοῦ κυβερνῶσιν ἐκκλησίας, ἀλλ' αὐτός ἐστιν ὁ πανταχοῦ ποιμαίνων τοὺς πιστεύοντας εἰς αὐτὸν, συνεχώρησε τοῦτο γενέσθαι· ἵν' ὅταν ἀφαιρεθέντων ἐκείνων ἴδῃ τὰ τῆς εὐσεβείας οὐκ ἐλαττούμενα, οὐδὲ σβεννύμενον τοῦ κηρύγματος τὸν λόγον, ἀλλ' αὐξόμενον μᾶλλον, μάθῃ διὰ τῶν ἔργων αὐτῶν καὶ αὐτὸς, καὶ οἱ ταῦτα αὐτῷ διακονούμενοι πάντες, ὅτι οὐκ ἀνθρώπινα τὰ καθ' ἡμᾶς, ἀλλ' ἄνωθεν ἐκ τῶν οὐρανῶν ἔχει τὴν ῥίζαν ἡμῖν ἡ τῆς διδασκαλίας ὑπόθεσις, καὶ Θεός ἐστιν ὁ πανταχοῦ τὰς ἐκκλησίας ἄγων, καὶ ὅτι τὸν Θεὸν πολεμοῦντα οὐκ ἔνι περιγενέσθαι ποτέ. οὐ τοῦτο δὲ ἐκακούργησεν ὁ διάβολος μόνον, ἀλλὰ καὶ ἕτερον οὐκ ἔλαττον τούτου. οὐ γὰρ ἐν ταῖς πόλεσιν, ὧν προεστήκεισαν, ἠφίει σφάττεσθαι τοὺς ἐπισκόπους, ἀλλ' εἰς τὴν ἀλλοτρίαν ἄγων ἀνῄρει. ἐποίει δὲ τοῦτο, ὁμοῦ μὲν ἐρήμους τῶν ἐπιτηδείων λαβεῖν σπουδάζων, ὁμοῦ δὲ ἀσθενεστέρους ἐργάσασθαι τῷ μόχθῳ τῆς ὁδοιπορίας ἐλπίζων, ὃ δὴ καὶ ἐπὶ τοῦ μακαρίου τούτου πεποίηκεν. ἀπὸ γὰρ τῆς ἡμετέρας πόλεως εἰς τὴν Ῥώμην αὐτὸν ἐκάλεσε, μακροτέρους αὐτῷ τιθεὶς τοὺς διαύλους τοῦ δρόμου, καὶ τῷ μήκει τῆς ὁδοῦ καὶ τῷ πλήθει τῶν ἡμερῶν τὸ φρόνημα καταβάλλειν αὐτοῦ προσδοκῶν· οὐκ εἰδὼς, ὅτι συνέμπορον ἔχων Ἰησοῦν καὶ συναπόδημον τῆς τοσαύτης ὁδοιπορίας, ἰσχυρότερος μᾶλλον ἐγίνετο, καὶ τῆς μετ' αὐτοῦ δυνάμεως οὔσης πλείονα παρεῖχε τὴν ἀπόδειξιν, καὶ τὰς ἐκκλησίας συνεκρότει μειζόνως. αἱ γὰρ κατὰ τὴν ὁδὸν πόλεις συντρέχουσαι πανταχόθεν ἤλειφον τὸν ἀθλητὴν, καὶ μετὰ πολλῶν ἐξέπεμπον

γρ. [illegible]

γρ. διδάσκαλον

γρ. τοῦ ἄθλου ἐκείνου

γρ. δεικνὺς

γρ. Θεοῦ

πεμπον τῶν ἐφοδίων, εὐχαῖς καὶ πρεσβείαις αὐτῷ συναγωνιζόμεναι. καὶ αὐταὶ δὲ οὐ τὴν τυχοῦσαν παράκλησιν ἐλάμβανον μετὰ προθυμίας τοσαύτης ἐπὶ θάνατον τρέχοντα ὁρῶσαι τὸν μάρτυρα, μεθ' ὅσης εἰκὸς ἦν τὸν ἐπὶ βασίλεια καλούμενον τὰ ἐν οὐρανῷ. καὶ διὰ τῶν ἔργων ἐμάνθανον αὐτῶν, διὰ τῆς τοῦ γενναίου προθυμίας ἐκείνου καὶ φαιδρότητος, ὅτι οὐ θάνατος ἦν ἐφ' ὃν ἔτρεχεν, ἀλλ' ἀποδημία τις καὶ μετάστασις καὶ πρὸς τὸν οὐρανὸν ἀνάβασις. καὶ ταῦτα διδάσκων κατὰ πᾶσαν πόλιν ἀπῄει διὰ τῶν λόγων, διὰ τῶν πραγμάτων αὐτῶν. καὶ ὅπερ ἐπὶ τῶν Ἰουδαίων συνέβη, ὅτε τὸν Παῦλον δήσαντες καὶ εἰς τὴν Ῥώμην ἀποστείλαντες ἐνόμιζον μὲν ἐπὶ θάνατον πέμπειν, ἔπεμπον δὲ τοῖς ἐκεῖ κατοικοῦσιν Ἰουδαίοις διδάσκαλον, τοῦτο δὲ καὶ ἐπὶ Ἰγνατίου γέγονε μετὰ περιουσίας τινός. οὐδὲ γὰρ τοῖς τὴν Ῥώμην οἰκοῦσι μόνοις, ἀλλὰ καὶ ταῖς ἐν τῷ μέσῳ κειμέναις πόλεσιν ἁπάσαις διδάσκαλος ἀπῄει θαυμάσιος, πείθων καταφρονεῖν τῆς παρούσης ζωῆς, καὶ μηδὲν ἡγεῖσθαι τὰ βλεπόμενα, καὶ τῶν μελλόντων ἐρᾶν, καὶ πρὸς τὸν οὐρανὸν βλέπειν, καὶ πρὸς μηδὲν τῶν ἐν τῷ παρόντι βίῳ δεινῶν ἐπιστρέφεσθαι. ταῦτα γὰρ, καὶ τὰ τούτων πλείονα διὰ τῶν ἔργων αὐτοὺς παιδεύων ὥδευε, καθάπερ ἥλιός τις ἐξ ἀνατολῆς ἀνίσχων καὶ πρὸς τὴν δύσιν τρέχων, μᾶλλον δὲ καὶ τούτου φαιδρότερος. οὗτος μὲν γὰρ ἄνωθεν ἔτρεχεν, αἰσθητὸν ἄγων φῶς· Ἰγνάτιος δὲ κάτωθεν ἀνέλαμπε, νοητὸν φῶς διδασκαλίας ταῖς ψυχαῖς ἐνιείς. κἀκεῖνος μὲν εἰς τὰ τῆς δύσεως ἀπιὼν μέρη, κρύπτεται καὶ νύκτα εὐθέως ἐπάγει· οὗτος δὲ εἰς τὰ τῆς δύσεως "ἀπελθὼν μέρη, φαιδρότερον ἐκεῖθεν ἀνέτειλε· καὶ τοὺς κατὰ τὴν ὁδὸν ἅπαντας εὐεργετήσας τὰ μέγιστα, ἐπειδὴ τῆς πόλεως ἐπέβη, κἀκείνην φιλοσοφεῖν ἐπαίδευσε. διὰ γὰρ τοῦτο καὶ ὁ Θεὸς συνεχώρησεν ἐκεῖ τὸν βίον αὐτὸν καταλῦσαι, ὥστε τὴν τούτου τελευτὴν διδασκάλιον γενέσθαι εὐσεβείας τοῖς τὴν Ῥώμην οἰκοῦσιν ἅπασιν. ὑμεῖς μὲν γὰρ τῇ τοῦ Θεοῦ χάριτι οὐδεμιᾶς ἐδέεσθε λοιπὸν ἀποδείξεως, ἐρριζωμένοι κατὰ τὴν πίστιν· οἱ δὲ τὴν Ῥώμην οἰκοῦντες, ἅτε πολλῆς τότε ἀσεβείας οὔσης ἐκεῖ, πλείονος ἔχρῃζον βοηθείας. διὰ τοῦτο καὶ Πέτρος καὶ Παῦλος καὶ μετ' ἐκείνους οὗτος ἐκεῖ πάντες ἐτύθησαν· τοῦτο μὲν, ἵνα μολυνθεῖσαν τὴν πόλιν τοῖς τῶν εἰδώλων αἵμασι τοῖς οἰκείοις αἵμασιν ἐκκαθάρωσι, τοῦτο δὲ, ἵνα τῆς ἀναστάσεως τοῦ σταυρωθέντος Χριστοῦ διὰ τῶν ἔργων παράσχωνται τὴν ἀπόδειξιν, πείσαντες τοὺς τὴν Ῥώμην οἰκοῦντας, ὡς οὐκ ἂν μετὰ τοσαύτης ἡδονῆς τῆς παρούσης κατεφρόνησαν ζωῆς, εἰ μὴ σφόδρα ἦσαν πεπεικότες ἑαυτοὺς, ὅτι πρὸς τὸν ἐσταυρωμένον ἔμελλον ἀναβαίνειν Ἰησοῦν καὶ ἐν τοῖς οὐρανοῖς αὐτὸν ὄψεσθαι. μεγίστη γὰρ ὄντως ἀναστάσεως ἀπόδειξις, τὸ τὸν σφαγέντα Χριστὸν τοσαύτην μετὰ θάνατον ἐπιδείξασθαι δύναμιν, ὡς τοὺς ζῶντας ἀνθρώπους πεῖσαι καὶ πατρίδος καὶ οἰκίας καὶ φίλων καὶ συγγενῶν καὶ αὐτῆς ὑπεριδεῖν τῆς ζωῆς ὑπὲρ τῆς εἰς αὐτὸν ὁμολογίας, καὶ μάστιγας καὶ κινδύνους καὶ θάνατον ἀντὶ τῶν παρόντων ἡδέων ἑλέσθαι. ταῦτα γὰρ οὐχὶ νεκροῦ τινος, οὐδὲ ἐπὶ τῷ τάφῳ μείναντος, ἀλλ' ἀναστάντος καὶ ζῶντος ἦν τὰ κατορθώματα. ἐπεὶ πῶς ἂν ἔχοι λόγον, ἡνίκα μὲν ἔζη, τοὺς συνόντας αὐτῷ πάντας ἀποστόλους ἀπὸ τοῦ φόβου γενομένους ἀσθενεστέρους προδοῦναι τὸν διδάσκαλον καὶ "φεύγοντας ἀπελθεῖν· ἐπειδὴ δὲ ἐτελεύτησε, μὴ μόνον Πέτρον καὶ Παῦλον, ἀλλὰ καὶ Ἰγνάτιον, τὸν οὐδὲ ἑωρακότα αὐτὸν, οὐδὲ ἀπολελαυκότα αὐτοῦ τῆς συνουσίας, τοσαύτην ὑπὲρ αὐτοῦ προθυμίαν ἐπιδείξασθαι, ὡς καὶ αὐτὴν δι' αὐτὸν ἐπιδοῦναι τὴν ψυχήν; ἵνα οὖν ταῦτα ἔργῳ μάθωσιν οἱ τὴν Ῥώμην οἰκοῦντες ἅπαντες, συνεχώρησεν ὁ Θεὸς ἐκεῖ τελειωθῆναι τὸν ἅγιον. καὶ ὅτι αὕτη ἐστὶν ἡ αἰτία, ἐξ αὐτοῦ τοῦ τρόπου τῆς τελευτῆς τοῦτο "πιστώσομαι. οὐ γὰρ ἔξω τειχῶν ἐν βαράθρῳ, οὐδὲ ἐν δικαστηρίῳ, οὐδὲ ἐν γωνίᾳ τινὶ τὴν καταδικάζουσαν ἐδέξατο ψῆφον, ἀλλ' ἐν μέσῳ τῷ θεάτρῳ, τῆς πόλεως ἄνω καθεζομένης ἁπάσης, τὸν τοῦ μαρτυρίου τρόπον ὑπέμεινε, θηρίων ἐπ' αὐτὸν ἀφεθέντων· ἵν' ὑπὸ ταῖς ἁπάντων ὄψεσι τὸ τρόπαιον στήσας κατὰ τοῦ διαβόλου, τοὺς θεατὰς ἅπαντας ζηλωτὰς ποιήσῃ τῶν ἀγωνισμάτων τῶν ἑαυτοῦ.

ἐπελθὼν

ευγόντας

ξαι πι-
σομαι.

ἑαυτόν, οὐκ ἀποθνήσκων μόνον οὕτω γενναίως, ἀλλὰ καὶ μεθ' ἡδονῆς ἀποθνήσκων. οὐ γὰρ ὡς ζωῆς ἀπορρήγνυσθαι μέλλων, ἀλλ' ὡς ἐπὶ ζωὴν καλούμενος βελτίω καὶ πνευματικωτέραν, οὕτως ἀσμένως ἑώρα τὰ θηρία. πόθεν τοῦτο δῆλον; ἀπὸ τῶν ῥημάτων, ὧν ἀποθνήσκειν μέλλων ἐφθέγξατο. ἀκούσας γὰρ, ὅτι τοῦτον αὐτὸν τῆς τιμωρίας ὁ τρόπος μένει, ἐγὼ τῶν θηρίων ἐκείνων ὀναίμην ἔλεγε. τοιοῦτοι γὰρ οἱ ἐρῶντες. ὅπερ ἂν πάσχωσιν ὑπὲρ τῶν ἐρωμένων, μεθ' ἡδονῆς δέχονται, καὶ τότε δοκοῦσιν ἐμφορεῖσθαι τῆς ἐπιθυμίας, ὅταν πολλῷ χαλεπώτερα ᾖ τὰ γινόμενα. ὅπερ οὖν καὶ ἐπὶ τούτου συνέβαινεν. οὐ γὰρ τῷ θανάτῳ μόνον, ἀλλὰ καὶ τῇ προθυμίᾳ ζηλῶσαι τοὺς ἀποστόλους ἔσπευδε· καὶ ἀκούων ὅτι μαστιχθέντες ἐκεῖνοι μετὰ χαρᾶς ἀνεχώρησαν, ἐβουλήθη καὶ αὐτὸς μὴ τῇ τελευτῇ μόνον, ἀλλὰ καὶ τῇ χαρᾷ μιμήσασθαι τοὺς διδασκάλους. διὰ τοῦτο τῶν θηρίων ἔλεγεν ὀναίμην· καὶ πολλῷ τούτων ἡμερώτερα τὰ στόματα ἐνόμιζεν εἶναι τῆς τοῦ τυράννου γλώττης. καὶ μάλα εἰκότως. ἐκείνη μὲν γὰρ πρὸς τὴν γέενναν ἐκάλει, τὰ δὲ τούτων στόματα πρὸς βασιλείαν παρέπεμπεν. ἐπεὶ τοίνυν κατέλυσεν ἐκεῖ τὴν ζωήν, μᾶλλον δὲ ἐπειδὴ πρὸς τὸν οὐρανὸν ἀνέβη, ἐπανῄει στεφανίτης λοιπόν. καὶ γὰρ καὶ τοῦτο τῆς τοῦ Θεοῦ γέγονεν οἰκονομίας, τὸ πάλιν αὐτὸν πρὸς ἡμᾶς ἐπαναγαγεῖν, καὶ ταῖς πόλεσι διανεῖμαι τὸν μάρτυρα. ἐκεῖνοι μὲν γὰρ αὐτοῦ στάζον τὸ αἷμα ἐδέξαντο, ὑμεῖς δὲ τὰ λείψανα ἐτιμήθητε· ἀπηλαύσατε τῆς ἐπισκοπῆς ὑμεῖς, ἀπήλαυσαν ἐκεῖνοι τοῦ μαρτυρίου· εἶδον ἀγωνιζόμενον καὶ νικῶντα καὶ στεφανούμενον ἐκεῖνοι, ἔχετε διηνεκῶς αὐτὸν ὑμεῖς· ὀλίγον ὑμῶν αὐτὸν χρόνον ἀπέστησεν ὁ Θεός, καὶ μετὰ πλείονος ὑμῖν δόξης αὐτὸν ἐχαρίσατο. καὶ καθάπερ οἱ δανειζόμενοι χρήματα μετὰ τόκων ἀποδιδόασιν, ἅπερ ἂν λάβωσιν, οὕτω καὶ ὁ Θεὸς τὸν τίμιον τοῦτον θησαυρὸν παρ' ὑμῶν ὀλίγον χρησάμενος χρόνον, καὶ τῇ πόλει δείξας ἐκείνῃ, μετὰ πλείονος ὑμῖν αὐτὸν ἀποδέδωκε τῆς λαμπρότητος. ἐξεπέμψατε γὰρ ἐπίσκοπον, καὶ ἐδέξασθε μάρτυρα· ἐξεπέμψατε μετ' εὐχῶν, καὶ ἐδέξασθε μετὰ στεφάνων· καὶ οὐχ ὑμεῖς δὲ μόνον, ἀλλὰ καὶ πᾶσαι αἱ ἐν μέσῳ πόλεις. πῶς γὰρ αὐτὰς οἴεσθε διακεῖσθαι, ὁρώσας ἐπαναγόμενον τὸ λείψανον; πόσην καρποῦσθαι ἡδονήν; πόσον ἀγάλλεσθαι; πόσαις εὐφημίαις πανταχόθεν βάλλειν τὸν στεφανίτην; καθάπερ γὰρ ἀθλητὴν γενναῖον τοὺς ἀνταγωνιστὰς καταπαλαίσαντα ἅπαντας, καὶ μετὰ λαμπρᾶς ἐξελθόντα δόξης ἀπὸ τοῦ σκάμματος, εὐθέως δεξάμενοι οἱ θεαταὶ, οὐδὲ ἐπιβῆναι τῆς γῆς ἀφιᾶσι, φοράδην ἀπάγοντες οἴκαδε, καὶ μυρίοις βάλλοντες ἐγκωμίοις· οὕτω δὴ καὶ τὸν ἅγιον τότε ἐκεῖνον ἀπὸ τῆς Ῥώμης αἱ πόλεις ἐξῆς διαδεχόμεναι καὶ ἐπ' ὤμων φέρουσαι μέχρι τῆς πόλεως ταύτης παρέπεμπον, ἐγκωμιάζουσαι τὸν στεφανίτην, ἀνυμνοῦσαι τὸν ἀγωνοθέτην, καταγελῶσαι τοῦ διαβόλου, ὅτι εἰς τὸ ἐναντίον αὐτῷ περιετράπη τὸ σόφισμα, καὶ ὅπερ ἐνόμισε κατὰ τοῦ μάρτυρος ποιεῖν, τοῦτο ὑπὲρ αὐτοῦ γέγονε. καὶ τότε μὲν τὰς πόλεις ἁπάσας ἐκείνας ὤνησε καὶ ἀνώρθωσεν, ἐξ ἐκείνου δὲ μέχρι τῆς παρούσης τὴν ὑμετέραν πλουτίζει πόλιν. καὶ καθάπερ θησαυρὸς διηνεκὴς καθ' ἑκάστην ἀντλούμενος τὴν ἡμέραν, καὶ οὐκ ἐπιλείπων, ἅπαντας τοὺς μετέχοντας εὐπορωτέρους ποιεῖ· οὕτω δὴ καὶ ὁ μακάριος οὗτος Ἰγνάτιος τοὺς πρὸς αὐτὸν ἐρχομένους εὐλογιῶν, παρρησίας, γενναίου φρονήματος, καὶ πολλῆς ἀνδρείας πληρῶν, οἴκαδε ἀποπέμπει. μὴ τοίνυν σήμερον μόνον, ἀλλὰ καὶ καθ' ἑκάστην ἡμέραν πρὸς αὐτὸν βαδίζωμεν, πνευματικοὺς ἐξ αὐτοῦ δρεπόμενοι καρπούς. ἔστι γὰρ, ἔστι τὸν μετὰ πίστεως ἐνταῦθα παραγινόμενον, μεγάλα καρπώσασθαι ἀγαθά. οὐδὲ γὰρ τὰ σώματα μόνον, ἀλλὰ καὶ αὐταὶ αἱ θῆκαι τῶν ἁγίων πνευματικῆς εἰσι πεπληρωμέναι χάριτος. εἰ γὰρ ἐπὶ Ἐλισσαίου τοῦτο συνέβαινε, καὶ θήκης νεκρὸς ἁψάμενος, τοῦ θανάτου τὰ δεσμὰ διέρρηξε καὶ πρὸς ζωὴν ἐπανῆλθε πάλιν, πολλῷ μᾶλλον νῦν, ὅτε δαψιλεστέρα ἡ χάρις, ὅτε πλείων ἡ τοῦ πνεύματος ἐνέργεια, ἔστι καὶ θήκης μετὰ πίστεως ἁψάμενον πολλὴν ἐκεῖθεν ἐπισπάσασθαι δύναμιν. διὰ τοῦτο καὶ τὰ λείψανα τῶν ἁγίων εἴασεν

ἡμῖν

χ. ὁ δὲ

χ. αἱ ἑξῆς πόλεις

ἡμῖν ὁ Θεός, βουλόμενος ἡμᾶς πρὸς τὸν αὐτὸν ἐκείνοις χειραγωγῆσαι ζῆλον, καὶ λιμένα τινὰ παρασχεῖν καὶ παραμύθιον ″ἀσφαλὲς τῶν ἀεὶ καταλαμβανόντων ἡμᾶς κακῶν. διὸ παρακαλῶ πάντας ὑμᾶς, εἴτε ἐν ἀθυμίᾳ τίς ἐστιν, εἴτε ἐν νόσοις, εἴτε ἐν ἐπηρείαις, εἴτε ἐν ἄλλῃ τινὶ βιωτικῇ περιστάσει, εἴτε ἐν ἁμαρτιῶν βάθει, μετὰ πίστεως ἐνταῦθα παραγινέσθω, καὶ πάντα ἐκεῖνα ἀποθήσεται, καὶ μετὰ πολλῆς ἐπανήξει τῆς ἡδονῆς, κουφότερον τὸ συνειδὸς ἐργασάμενος ἀπὸ τῆς θεωρίας μόνης. μᾶλλον δὲ οὐ τοὺς ἐν δεινοῖς ὄντας μόνον ἀναγκαῖον ἐνταῦθα παραγίνεσθαι, ἀλλὰ κἂν ἐν εὐθυμίᾳ τις ᾖ, κἂν ἐν δόξῃ, κἂν ἐν δυναστείᾳ, κἂν ἐν παρρησίᾳ πολλῇ τῇ πρὸς τὸν Θεόν, μηδὲ οὗτος καταφρονείτω τῆς ὠφελείας. ἐλθὼν γὰρ ἐνταῦθα, καὶ τὸν ἅγιον ἰδὼν τοῦτον, ἀκίνητα ἕξει τὰ καλά, τῇ μνήμῃ τῶν τούτου κατορθωμάτων μετριάζειν τὴν αὐτοῦ ψυχὴν ἀναπείσας, καὶ οὐκ ἀφιεὶς τὸ συνειδὸς ὑπὸ τῶν κατορθωμάτων πρὸς ὄγκον ἐπαρθῆναί τινα. οὐ μικρὸν δὲ τοῖς ἐν εὐπραγίαις τὸ μὴ φυσᾶσθαι ἐπὶ ταῖς εὐημερίαις, ἀλλ' εἰδέναι μετρίως φέρειν τὰς εὐπραγίας. ὥστε ἅπασι χρήσιμος ὁ θησαυρός, ἐπιτήδειον τὸ καταγώγιον· τοῖς μὲν ἐπταικόσιν, ἵνα ἀπαλλαγῶσι τῶν πειρασμῶν, τοῖς δὲ εὐημεροῦσιν, ἵνα βέβαια αὐτοῖς μείνῃ τὰ καλά· τοῖς μὲν ἐν ἀρρωστίᾳ, ἵνα πρὸς ὑγείαν ἐπανέλθωσι, τοῖς δὲ ὑγιαίνουσιν, ἵνα μὴ πρὸς ἀρρωστίαν καταπέσωσιν. ἅπερ ἅπαντα λογιζόμενοι, πάσης τέρψεως, πάσης ἡδονῆς τὴν ἐνταῦθα προτιμῶμεν διατριβήν· ἵν' ὁμοῦ καὶ εὐφραινόμενοι καὶ κερδαίνοντες, καὶ ἐκεῖ σύσκηνοι τοῖς ἁγίοις τούτοις καὶ ὁμοδίαιτοι γενέσθαι δυνηθῶμεν εὐχαῖς αὐτῶν τῶν ἁγίων, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. οα. ΕΙΣ ΤΟΝ ΜΑΚΑΡΙΟΝ ΦΙΛΟΓΟΝΙΟΝ [ΓΕΝΟΜΕΝΟΝ] ἀπὸ δικολόγου ἐπίσκοπον, καὶ ὅτι τοῦ προνοεῖν τῶν κοινῇ συμφερόντων οὐδὲν ἴσον εἰς εὐδοκίμησιν παρὰ τῷ Θεῷ, καὶ ὅτι τὸ ῥαθύμως προσιέναι τοῖς θείοις [τοῦ Χριστοῦ] μυστηρίοις, κόλασιν ἀφόρητον ἔχει, κἂν ἅπαξ τοῦ ἐνιαυτοῦ τοῦτο τολμήσωμεν. ἐλέχθη δὲ πρὸ πέντε ἡμερῶν τῆς Χριστοῦ [τοῦ Θεοῦ ἡμῶν] γεννήσεως.

Μηνὸς Δεκεμβ. κ.

ΕΓὼ μὲν καὶ σήμερον πρὸς τὰ τῶν αἱρετικῶν παρεσκευαζόμην παλαίσματα ἀποδύεσθαι, καὶ τὸ λειπόμενον ὑμῖν ἀποδοῦναι τοῦ χρέους· ἀλλ' ἡ τοῦ μακαρίου Φιλογονίου ἡμέρα, οὗ τὴν ἑορτὴν ἄγομεν νῦν, πρὸς τὴν τῶν ἐκείνου κατορθωμάτων διήγησιν τὴν γλῶτταν ἡμῶν ἐκάλεσε· καὶ δεῖ πείθεσθαι πάντως. Εἰ γὰρ ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτᾷ,″ εὔδηλον ὅτι ὁ εὐλογῶν ζωῆς ἀπολαύσεται πάντως. καὶ εἰ τοὺς φυσικοὺς γονεῖς τοσαύτης παρ' ἡμῶν ἀπολαύειν εὐνοίας χρή, πολλῷ μᾶλλον τοὺς πνευματικούς· καὶ μάλιστα, ὅταν τοὺς μὲν καρπουμένους ὁ ἔπαινος μηδὲν ποιῇ λαμπροτέρους, τοὺς δὲ συνιόντας ἡμᾶς, καὶ τοὺς λέγοντας, καὶ τοὺς ἀκούοντας βελτίους ἐργάζηται. ὁ μὲν γὰρ εἰς τὸν οὐρανὸν ἀναβὰς″ οὐδὲν ἂν δέοιτο τῆς ἀνθρωπίνης εὐφημίας, πρὸς μείζονα καὶ μακαριωτέραν λῆξιν ἀπελθών· ἡμεῖς δὲ οἱ τέως ἐνταῦθα στρεφόμενοι, καὶ πολλῆς πανταχόθεν παρακλήσεως χρήζοντες, τῶν ἐγκωμίων δεόμεθα τῶν ἐκείνου, ἵνα εἰς τὸν″ αὐτὸν ζῆλον διαναστῶμεν. διὰ τοῦτο καί τις σοφὸς παραινεῖ λέγων· Μνήμη δικαίου μετ'″ ἐγκωμίου· οὐχ ὡς τῶν ἀπελθόντων, ἀλλ' ὡς τῶν ἐγκωμιαζόντων ταύτῃ τὰ μέγιστα ″ὠφελουμένων. ἐπεὶ οὖν τοσοῦτον τὸ κέρδος ἡμῖν ἐκ τοῦ πράγματος, πειθώμεθα, καὶ μὴ ἀντιλέγωμεν. καὶ γὰρ ὁ καιρὸς πρὸς τὴν τοιαύτην διήγησιν ἐπιτήδειος. σήμερον

Λευϊτ. κ. θ.

Παροιμ. ι. ζ.

γὰρ ὁ μακάριος πρὸς τὴν ἀτάραχον μετετάξατο ζωὴν, καὶ τὸ σκάφος ὥρμισεν ἔνθα ναυάγιον
ὑποπτεῦσαι οὐκ ἔνι λοιπὸν, οὐδὲ ἀθυμίαν τινὰ καὶ ὀδύνην. καὶ τί θαυμαστὸν, εἰ καθαρὸν
ἐκεῖνο τὸ χωρίον ἀθυμίας ἐστὶν, ὅπου γε ἀνθρώποις τοῖς ἔτι ζῶσι διαλεγόμενος ὁ
α. Θεσ. ε. Παῦλός φησι· Πάντοτε χαίρετε, ἀδιαλείπτως προσεύχεσθε. εἰ δὲ ἐνταῦθα, ὅπου νόσοι,
καὶ ἐπήρειαι, καὶ ἄωροι θάνατοι, καὶ συκοφαντίαι, καὶ φθόνοι, καὶ ἀθυμίαι, καὶ ὀργαὶ, καὶ ἐπιθυμίαι
πονηραὶ, καὶ μυρίαι ἐπιβουλαὶ, καὶ καθημεριναὶ φροντίδες, καὶ συνεχῆ καὶ ἐπάλληλα τὰ
κακὰ μυρίας "πάντοθεν ἐπάγονται λύπας, ἔφησεν ὁ Παῦλος δυνατὸν εἶναι πάντοτε χαίρειν, χ. πανταχόθεν
εἴ τις μικρὸν ἐκ τοῦ κλυδωνίου τῶν βιωτικῶν πραγμάτων ἀνακύψας, τὸν ἑαυτοῦ καλῶς ῥυθμίσειε
βίον, πολλῷ μᾶλλον μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν τούτου ῥᾴδιον ἐπιτυχεῖν τοῦ καλοῦ,
"ὅτε ταῦτα πάντα ἀνῄρηται, καὶ ἀρρωστίαι, καὶ πάθη, καὶ ἁμαρτημάτων ὑποθέσεις·" ὅτε τὸ ἐμὸν χ. ὅπου
καὶ τὸ σὸν οὐκ ἔστι, τὸ ψυχρὸν τοῦτο ῥῆμα, καὶ πάντα εἰς τὴν ζωὴν ἡμῶν εἰσάγον τὰ δεινὰ, χ. ὅπου
καὶ τοὺς μυρίους γεννῆσαν πολέμους. διὸ μάλιστα μακαρίζω τὸν ἅγιον τοῦτον, ὅτι εἰ καὶ μετετάξατο,
καὶ πόλιν ἀφεὶς τὴν παρ' ἡμῖν, εἰς ἑτέραν ἀνέβη πόλιν, τὴν τοῦ Θεοῦ, καὶ καταλιπὼν
τὴν ἐκκλησίαν ταύτην, εἰς ἐκείνην ἦλθε τὴν τῶν πρωτοτόκων, τῶν ἀπογεγραμμένων
ἐν τοῖς οὐρανοῖς, καὶ τὰς ἑορτὰς ταύτας ἀφεὶς, πρὸς τὴν τῶν ἀγγέλων μετέστη
πανήγυριν. ὅτι γὰρ καὶ πόλις ἄνω, καὶ ἐκκλησία, καὶ πανήγυρίς ἐστιν, ἄκουσον τοῦ Παύλου
Ἑβρ. ιβ. κβ. λέγοντος· Προσεληλύθατε πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ ἐκκλησίᾳ πρωτοτόκων,
ἀπογεγραμμένων ἐν τοῖς οὐρανοῖς, καὶ μυριάσιν ἀγγέλων πανηγύρει. οὐ διὰ τὸ πλῆθος
δὲ τῶν ἄνω δυνάμεων μόνον, ἀλλὰ καὶ διὰ τὴν τῶν ἀγαθῶν ἀφθονίαν, καὶ τὴν
διηνεκῆ χαρὰν καὶ εὐφροσύνην, πανήγυριν τὰ ἐκεῖ πάντα καλεῖ. πανήγυριν γὰρ
οὐδὲν ἕτερον ποιεῖν εἴωθεν, ἀλλ' ἢ τὸ πλῆθος τῶν συνειλεγμένων, καὶ ἡ δαψίλεια τῶν
ὠνίων, ὅταν πυροὶ καὶ κριθαὶ, καὶ παντοδαπὰ γεννημάτων εἴδη, καὶ προβάτων ποίμνια,
καὶ βοῶν ἀγέλαι, καὶ ἱμάτια, καὶ ἕτερα τοιαῦτα εἰσάγηται, τῶν μὲν πωλούντων,
τῶν δὲ ἀγοραζόντων. καὶ τί τούτων ἐστὶν ἐν τοῖς οὐρανοῖς, φησί; τούτων μὲν οὐδὲν, τὰ δὲ
πολλῷ τούτων σεμνότερα. οὐ γὰρ πυροὶ καὶ κριθαὶ, καὶ γεννημάτων εἴδη, ἀλλ' ὁ καρπὸς ἐκεῖ
πανταχοῦ τοῦ πνεύματος, ἀγάπη, καὶ χαρὰ, καὶ εὐφροσύνη, καὶ εἰρήνη, καὶ ἀγαθωσύνη, καὶ
πρᾳότης μετὰ πολλῆς τῆς δαψιλείας· οὐ προβάτων ποίμνια καὶ βοῶν ἀγέλαι, ἀλλὰ πνεύματα
δικαίων τετελειωμένων, καὶ ψυχῶν ἀρεταὶ, καὶ τρόπων κατορθώματα πανταχοῦ τῶν
οὐρανῶν ἐστὶν ἰδεῖν· οὐχ ἱμάτια καὶ ἐπιβλήματα, ἀλλὰ στεφάνους χρυσοῦ παντὸς τιμιωτέρους,
καὶ βραβεῖα, καὶ ἔπαθλα, καὶ τὰ μυρία τοῖς κατορθοῦσιν ἀποκείμενα ἀγαθὰ, καὶ τὸ πλῆθος
τῶν συνιόντων, πολλῷ σεμνότερόν τε καὶ πλέον. οὐ γὰρ ἐξ ἀστικῶν τε καὶ ἐπιχωρίων ἐστὶν
ἀνθρώπων, ἀλλ' ἔνθα μυριάδες ἀγγέλων, [ἐκεῖ χιλιάδες ἀρχαγγέλων·] ἀλλαχοῦ συμμορία
προφητῶν· ἑτέρωθι μαρτύρων χοροὶ, ἀποστόλων τάγματα, σύλλογοι δικαίων, τῶν εὐηρεστηκότων
ἁπάντων δῆμοι διάφοροι. ὄντως θαυμαστή τίς ἐστιν ἡ πανήγυρις· καὶ τὸ δὲ πάντων
μεῖζον, ὅτι ἐν μέσῃ τῇ πανηγύρει στρέφεται τούτων ἁπάντων ὁ βασιλεύς. εἰπὼν γὰρ, μυριάσιν
ἀγγέλων "πανηγύρει, ἐπήγαγε, καὶ κριτῇ πάντων Θεῷ. τίς ποτε εἶδεν ἐν πανηγύρει χ. πανήγυρε
βασιλέα παραγινόμενον; ἐνταῦθα μὲν οὐδεὶς εἶδέ ποτε· ἐκεῖ δὲ διηνεκῶς οἱ παρόντες
ὁρῶσιν, ὡς "αὐτοῖς ἰδεῖν δυνατὸν, καὶ παρόντα, καὶ τῇ τῆς ἰδίας δόξης λαμπρότητι κοσμοῦντα χ. αὐτὸν
τοὺς "συνιόντας ἅπαντας. καὶ αὗται μὲν αἱ πανηγύρεις τῆς ἡμέρας μεσούσης πολλάκις καταλύονται· χ. συνόντ
ἐκείνη δὲ οὐχ οὕτως. οὐ γὰρ περιόδοις μηνῶν, οὐδὲ κύκλοις ἐνιαυτῶν, οὐδὲ ἡμερῶν
ἀριθμὸν ἀναμένει, ἀλλ' ἕστηκε διηνεκῶς, καὶ τὰ ἐν αὐτῇ πάντα ἀγαθὰ πέρας οὐκ ἔχει,
τέλος οὐκ οἶδεν, οὐ γηρᾷ, οὐδὲ μαραίνεσθαι δύναται, ἀλλ' ἔστιν ἀγήρω καὶ ἀθάνατα.
οὐδεὶς ἐκεῖ θόρυβος, καθάπερ ἐνταῦθα, οὐδεμία ταραχὴ, ἀλλὰ πολὺς ὁ κόσμος, ἁπάντων
μετὰ τῆς προσηκούσης εὐταξίας, ὥσπερ ἐν κιθάρᾳ τινὶ, μετὰ ῥυθμοῦ τὴν παναρμόνιον μελῳδίαν.

λῳδίαν, καὶ πάσης ἡδίω μουσικῆς, τῷ δεσπότῃ τῆς κτίσεως ἑκατέρας ἀναπεμπόντων, καὶ τῆς ψυχῆς ἐκεῖ, καθάπερ ἐν ἱεροῖς ἀδύτοις καὶ θείοις τισὶ μυστηρίοις, τὴν θείαν τελουμένης μυσταγωγίαν. πρὸς ταύτην οὖν τὴν μακαρίαν καὶ ἀγήρω λῆξιν μετέστη σήμερον καὶ ὁ μακάριος Φιλογόνιος. τίς οὖν ἂν γένοιτο λόγος ἐφάμιλλος" ἀνθρώπῳ τῷ τοσαύτης εὐκληρείας ἀξιωθέντι; οὐκ ἔστιν οὐδείς. τί οὖν, εἰπέ μοι, σιγήσωμεν διὰ τοῦτο; καὶ τίνος ἕνεκεν συνεληλύθαμεν; ἀλλ' ἐροῦμεν, ὅτι οὐ δυνησόμεθα τοῦ μεγέθους ἐφικέσθαι τῶν ἔργων; δεῖ αὐτὸ μὲν οὖν τοῦτο ἀναγκαῖον εἰπεῖν, ἐπεὶ καὶ τοῦτο μέγιστον ἐγκωμίου μέρος, ὅταν μὴ δυνηθῇ τοῖς ἔργοις ἐξισωθῆναι τὰ ῥήματα. ὧν γὰρ ὑπὲρ φύσιν θνητὴν τὰ κατορθώματα, εὔδηλον ὅτι καὶ ὑπὲρ ἀνθρωπίνην γλῶτταν τὰ ἐγκώμια. οὐ μὴν διὰ τοῦτο" διακρούσονται τὰ ἡμέτερα, ἀλλὰ τὸν" αὐτῶν μιμήσονται δεσπότην. καὶ γὰρ ἐκεῖνος τῇ χήρᾳ δύο μόνους ὀβολοὺς καταβαλούσῃ, οὐ δύο μόνων ὀβολῶν μισθὸν ἔδωκε *. τί δήποτε; ὅτι οὐ τῇ ποσότητι τῶν χρημάτων, ἀλλὰ τῷ πλούτῳ τῆς διανοίας προσεῖχεν. ἂν μὲν γὰρ τὰ χρήματα ἐξετάσῃς, πολλὴ ἡ πενία· ἂν δὲ τὴν προαίρεσιν ἀναπτύξῃς, ἄφατον τῆς μεγαλοψυχίας ὄψει τὸν θησαυρόν. ὥστε εἰ καὶ μικρὰ τὰ ἡμέτερα καὶ εὐτελῆ, ἀλλ' ἅπερ ἔχομεν, καὶ εἰ τῆς μεγαλοψυχίας" ἀποδέῃ τοῦ γενναίου καὶ μακαρίου Φιλογονίου, ἀλλ' ὅμως καὶ τοῦτο τῆς μεγαλοψυχίας αὐτοῦ μέγιστον δεῖγμα ἂν εἴη, τὸ μηδὲ τὰ μικρὰ διωθεῖσθαι, ἀλλὰ ταὐτὸ τοῖς πλουτοῦσι ποιεῖν. καὶ γὰρ ἐκεῖνοι παρὰ τῶν πενήτων μικρὰ λαβόντες, ὧν οὐδὲν δέονται, τὰ παρ' ἑαυτῶν προστιθέασιν, ἀντιδωρούμενοι τοὺς, ἅπερ εἶχον, εἰσενεγκόντας· οὕτω δὴ καὶ οὗτος λαβὼν παρ' ἡμῶν εὐφημίας ῥημάτων, ἧς οὐδὲν δεῖται, ἀντιδώσει τὴν διὰ τῶν ἔργων εὐλογίαν ἡμῖν, ἧς ἀεὶ χρήζομεν. πόθεν οὖν ἡμῖν ἀρκτέον τῶν ἐγκωμίων; πόθεν ἄλλοθεν, ἢ ἀπὸ τῆς ἀρχῆς, ἣν ἡ τοῦ πνεύματος ἐνεχείρισεν αὐτῷ χάρις; αἱ μὲν γὰρ ἔξωθεν ἀρχαὶ οὐκ ἂν γένοιντο πάντως τῆς τῶν πιστευθέντων αὐτὰς ἀρετῆς ἀπόδειξις, ἀλλὰ πολλάκις καὶ κακίας εἰσὶ κατήγοροι. τίνος ἕνεκεν; ὅτι καὶ προστασίαι φίλων, καὶ περιδρομαί, καὶ κολακεῖαι, καὶ πολλὰ ἕτερα τούτων αἰσχρότερα, τὰς τοιαύτας ἀρχὰς προξενεῖν εἴωθεν. ὅταν δὲ ὁ Θεὸς χειροτονῇ καὶ ψηφίζηται, καὶ ἡ χεὶρ ἐκείνη τῆς ἁγίας ἅπτηται κεφαλῆς, ἀδέκαστος ἡ ψῆφος, ἀνύποπτος ἡ κρίσις, ἀναμφισβήτητος τοῦ χειροτονουμένου γένοιτ' ἂν ἀπόδειξις [διὰ] τὸ τοῦ χειροτονοῦντος ἀξίωμα. ὅτι δὲ ἐκεῖνον ὁ Θεὸς ἐχειροτόνησε, καὶ ἀπ' αὐτοῦ τοῦ τρόπου δῆλον. ἐκ μέσης γὰρ τῆς ἀγορᾶς ἁρπασθείς, ἐπὶ τὸν θρόνον ἤγετο τοῦτον. οὕτω σεμνὸν καὶ λαμπρὸν τὸν πρότερον ἐπεδείξατο βίον· καὶ γυναῖκα ἔχων καὶ θυγατέρα, καὶ ἐν δικαστηρίῳ στρεφόμενος, οὕτως ὑπὲρ τὸν ἥλιον ἔλαμψεν, ὡς εὐθέως ἐκεῖθεν ταύτης ἄξιος φανῆναι τῆς ἀρχῆς, καὶ ἀπὸ βήματος ἐπὶ βῆμα ἤγετο. καὶ τότε μὲν ἀνθρώποις συνηγόρει κατὰ ἀνθρώπων ἐπιβουλευόντων, τοὺς ἀδικουμένους τῶν ἀδικούντων ἰσχυροτέρους ποιῶν· ἐνταῦθα δὲ ἐλθών, ἀνθρώποις συνηγόρει κατὰ δαιμόνων τῶν ἐπηρεαζόντων. ἡλίκον δὲ ἐστὶ δεῖγμα ἀρετῆς, τὸ παρὰ τῆς τοῦ Θεοῦ χάριτος τοσαύτης ἀξιωθῆναι τῆς ἀρχῆς, ἄκουσον. ἀναστὰς ὁ Χριστός, τῷ Πέτρῳ τί φησιν; ἐπειδὴ γὰρ αὐτὸν ἠρώτησε, Πέτρε, φιλεῖς με; εἰπόντος δὲ ἐκείνου, Σύ, Κύριε, οἶδας, ὅτι φιλῶ σε, οὐκ εἶπεν ὁ Χριστός, ῥίψον τὰ χρήματα, νηστείαν ἄσκησον, σκληραγωγίαν, νεκροὺς ἀνάστησον, δαίμονας ἀπέλασον· οὐδὲν οὔτε τούτων, οὔτε τῶν σημείων τῶν ἄλλων, οὔτε τῶν κατορθωμάτων εἰς μέσον ἤγαγεν, ἀλλὰ πάντα ἐκεῖνα παραδραμών, εἰ φιλεῖς με, φησί, ποίμαινε τὰ πρόβατά μου. τοῦτο δὲ ἔλεγεν, οὐ μόνον τῆς εἰς αὐτὸν ἀγάπης τὸ μέγιστον ἡμῖν σημεῖον ἐπιδεῖξαι βουλόμενος, ἀλλὰ καὶ τῆς φιλίας, ἣν περὶ τὰ πρόβατα ἐπιδείκνυται, ἤδη τοῦτο τῆς εἰς αὐτὸν εὐνοίας μέγιστον δεῖγμα πεποίηται, μονονουχὶ λέγων, ὁ τὰ πρόβατά μου φιλῶν, ἐμὲ φιλεῖ. ἴδε γοῦν," ὅσα ὑπέμεινε διὰ τὴν ποίμνην ταύτην ὁ Χριστός. ἄνθρωπος ἐγένετο, δούλου μορφὴν ἀνέλαβεν, ἐνεπτύσθη, ἐρραπίσθη, τελευταῖον οὐδὲ θάνατον παρῃτήσατο, καὶ θάνατον τὸν ἐπονείδιστον," ἀλλὰ καὶ αὐτὸ τὸ αἷμα ἐξέχεεν. ὥστε εἴ τις εὐδοκιμεῖν βούλοιτο παρ' αὐτῷ, τούτων ἐπιμελείσθω

Ιωαν. κα 15.

τῶν προβάτων, τὸ κοινῇ συμφέρον ζητείτω, τῶν ἀδελφῶν κηδέσθω τῶν ἑαυτοῦ. οὐδὲν γὰρ τούτου
Λουκ. κβ. λα. τῷ Θεῷ προτιμότερον κατόρθωμα. διὰ τοῦτο καὶ ἀλλαχοῦ φησι· Σίμων, Σίμων,
ἠτήσατο ὁ Σατανᾶς σινιάσαι σε, ὡς τὸν σῖτον· κἀγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις
σου. τίνα οὖν ταύτης τῆς κηδεμονίας καὶ τῆς προνοίας ἀποδίδως μοι τὴν ἀμοιβήν;
ἆρα ποίαν ἀμοιβὴν ζητεῖ; τὴν αὐτὴν ταύτην πάλιν. Καὶ σὺ γάρ, φησι, ποτὲ ἐπιστρέψας,
α. Κορ. ια. α στήριξον τοὺς ἀδελφούς σου. οὕτω καὶ ὁ Παῦλός φησι· Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ
Χριστοῦ. πῶς ἐγένετο Χριστοῦ μιμητής; πάντα πᾶσιν ἀρέσκων, καὶ μὴ ζητῶν τὸ ἑαυτοῦ
συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι πάντες. καὶ ἀλλαχοῦ φησι· Καὶ γὰρ ὁ Χριστὸς
Ρωμ. ιε γ. οὐχ ἑαυτῷ ″ἤρεσκεν, ἀλλὰ τοῖς πολλοῖς. καὶ οὐδὲν οὕτω γνώρισμα καὶ χαρακτὴρ γένοιτ' ἂν γρ. ἤρεσεν
τοῦ πιστοῦ καὶ ″ τὸν Χριστὸν φιλοῦντος, ὡς τὸ τῶν ἀδελφῶν κήδεσθαι, καὶ τῆς σωτηρίας ἐπιμε- γρ. τοῦ
λεῖσθαι τῆς ἐκείνων. ταῦτα καὶ μοναχοὶ πάντες ἀκουέτωσαν, καὶ οἱ τὰς τῶν ὀρῶν κατειληφότες
κορυφάς, καὶ οἱ διὰ πάντων σταυρώσαντες ἑαυτοὺς τῷ κόσμῳ, ἵνα κατὰ δύναμιν
τὴν ἑαυτῶν τοὺς τῶν ἐκκλησιῶν προεστῶτας συγκροτῶσιν, ἀλείφωσιν εὐχαῖς, ὁμονοίᾳ,
ἀγάπῃ, εἰδότες ὡς εἰ μὴ τοὺς προβεβλημένους παρὰ τῆς τοῦ Θεοῦ χάριτος, καὶ τοσούτων
φροντίδας ἀναδεδεγμένους συγκροτοῖεν παντὶ τρόπῳ καὶ πόρρωθεν καθήμενοι, τὸ κεφάλαιον
αὐτοῖς ἀπόλωλε τοῦ βίου, καὶ ἡ πᾶσα ἠκρωτηριάσθη σοφία. ἀλλ' ὅτι μὲν τῆς περὶ τὸν Χριστὸν
φιλίας μέγιστον τοῦτο δεῖγμα, ἐντεῦθεν δῆλον· ἴδωμεν δὲ καὶ πῶς τὴν ἐπισκοπὴν ταύτην
διῴκησε· μᾶλλον δὲ οὐδὲ λόγου λοιπὸν ἐνταῦθα, οὐδὲ τῆς ἡμετέρας φωνῆς, τῆς ὑμετέρας
σπουδῆς αὐτὸ τοῦτο δηλούσης. ὥσπερ γὰρ εἰς ἀμπελῶνά τις εἰσελθών, καὶ τὰς ἀμπέλους
ἰδὼν κομώσας τοῖς φύλλοις, τῷ καρπῷ βριθομένας, θριγκοῖς καὶ φραγμοῖς
πάντοθεν τετειχισμένας, οὐδὲν δεήσεται λόγου τινὸς καὶ ἀποδείξεως ἑτέρας, ὥστε μαθεῖν τοῦ
ἀμπελουργοῦ καὶ τοῦ γηπόνου τὴν ἀρετήν· οὕτω δὴ καὶ ἐνταῦθα εἰσελθών τις, καὶ τὰς
πνευματικὰς ταύτας ἀμπέλους ἰδών, καὶ τὸν καρπὸν τὸν ὑμέτερον, οὐδενὸς δεήσεται λόγου
β. Κορ. γ. β. καὶ διδασκαλίας, ὥστε μαθεῖν τὸν ὑμῶν προεστῶτα· καθάπερ οὖν καὶ ὁ Παῦλός φησιν, Ἡ ἐπιστολὴ
ἡμῶν ὑμεῖς ἐστε, ἐγγεγραμμένη καὶ ἀναγινωσκομένη. δείκνυσι [δὲ] τὴν πηγὴν ὁ ποταμός,
καὶ ὁ καρπὸς τὴν ῥίζαν. ἐχρῆν μὲν οὖν εἰπεῖν καὶ τὸν καιρόν, καθ' ὅνπερ τὴν ἀρχὴν
ἐνεχειρίσθη ταύτην. οὐδὲ γὰρ τοῦτο μικρὸν εἰς ἐγκωμίου μέρος, ἀλλὰ καὶ σφόδρα
ἱκανὸν δεῖξαι τοῦ ἀνδρὸς τὴν ἀρετήν. πολλὴ γὰρ ἡ δυσκολία τότε ἦν, ἄρτι τοῦ διωγμοῦ
παυσαμένου, καὶ τῶν λειψάνων ἔτι μενόντων τῆς χαλεπωτάτης ζάλης ἐκείνης, καὶ πολλῆς
τῶν πραγμάτων διορθώσεως δεομένων. καὶ τούτοις ἐχρῆν προσθεῖναι πάλιν τὰς τῶν αἱρετικῶν
αἱρέσεις, αἳ τότε τὴν ἀρχὴν λαβοῦσαι ἐνεκόπτοντο ὑπ' αὐτοῦ, τῆς ἐκείνου σοφίας
πάντα περιορώσης.

Ἀλλ' * ἐφ' ἑτέραν ἀναγκαίαν ὑπόθεσιν ὁ λόγος ἡμῖν ἐπείγεται. διὰ τοῦτο τῷ κοινῷ * ὅμως.
πατρὶ καὶ ζηλωτῇ τοῦ μακαρίου Φιλογονίου ταῦτα καταλιπόντες εἰπεῖν, ἅτε ἀκριβέστερον
ἡμῶν εἰδότι τὰ ἀρχαῖα πάντα, πρὸς ἑτέραν δημηγορίας ὁδὸν βαδιούμεθα. καὶ γὰρ ἑορτὴ
μέλλει προσελαύνειν, ἡ πασῶν τῶν ἑορτῶν σεμνοτάτη καὶ φρικωδεστάτη, ἣν οὐκ ἄν τις
ἁμάρτοι μητρόπολιν πασῶν τῶν ἑορτῶν προειπών. τίς δέ ἐστιν αὕτη; ἡ κατὰ σάρκα τοῦ
Χριστοῦ γέννησις. ἀπὸ γὰρ ταύτης τὰ θεοφάνια, καὶ τὸ πάσχα τὸ ἱερόν, καὶ ἡ ἀνάληψις καὶ ἡ
πεντηκοστὴ τὴν ἀρχὴν καὶ τὴν ὑπόθεσιν ἔλαβον. εἰ γὰρ μὴ ἐτέχθη κατὰ σάρκα ὁ
Χριστός, οὐκ ἂν ἐβαπτίσθη (ὅπερ ἐστὶ τὰ θεοφάνια) οὐκ ἂν ἐσταυρώθη (ὅπερ ἐστὶ τὸ πάσχα)
οὐκ ἂν τὸ πνεῦμα κατέπεμψεν, ὅπερ ἐστὶν ἡ πεντηκοστή. ὥστε ἐντεῦθεν, ὥσπερ ἀπό τινος
πηγῆς ποταμοὶ διάφοροι ″ῥέοντες, αὗται ἐτέχθησαν ἡμῖν αἱ ἑορταί. οὐ κατὰ τοῦτο δὲ μόνον δι- γρ. ῥυέντες
καία ταύτης ἂν εἴη τῆς προεδρίας ἀπολαύειν ἡ ἡμέρα, ἀλλ' ὅτι καὶ τὸ ἐν αὐτῇ γινόμενον
τῶν ἄλλων ἁπάντων πολὺ φρικωδέστερόν ἐστι. τὸ μὲν γὰρ ἄνθρωπον γενόμενον τὸν Χριστὸν

σὶν ἀποθανεῖν, τῆς ἀκολουθίας λοιπὸν ἦν. Εἰ γὰρ καὶ ἁμαρτίαν οὐκ ἐποίησεν, ἀλλὰ θνητὸν σῶμα ἀνέλαβε. καὶ ἦν μὲν καὶ τοῦτο θαυμαστόν. τὸ δὲ Θεὸν ὄντα, ἄνθρωπον θελῆσαι γενέσθαι, καὶ ἀνασχέσθαι καταβῆναι τοσοῦτον, ὅσον οὐδὲ διάνοια δέξασθαι δύναται, τοῦτο δή ἐστι τὸ φρικωδέστατον, καὶ ἐκπλήξεως γέμον. ὃ δὴ καὶ Παῦλος θαυμάζων ἔλεγε· Καὶ ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον. ποῖον μέγα; Θεὸς ἐφανερώθη ἐν σαρκί. καὶ πάλιν ἀλλαχοῦ· Οὐ γὰρ ἀγγέλων ἐπιλαμβάνεται ὁ Θεὸς, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται, ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι. Διὰ τοῦτο μάλιστα ἀσπάζομαι τὴν ἡμέραν ταύτην καὶ φιλῶ, καὶ τὸν ἔρωτα εἰς μέσον προτίθημι, ἵνα κοινωνοὺς ὑμᾶς ποιήσω τοῦ φίλτρου. διὰ τοῦτο δέομαι πάντων ὑμῶν καὶ ἀντιβολῶ μετὰ πάσης σπουδῆς καὶ προθυμίας παραγενέσθαι, τὴν οἰκίαν ἕκαστον κενώσαντα τὴν ἑαυτοῦ, ἵνα ἴδωμεν τὸν δεσπότην ἡμῶν ἐπὶ τῆς φάτνης κείμενον ἐσπαργανωμένον, τὸ φρικτὸν ἐκεῖνο καὶ παράδοξον θέαμα. ποία γὰρ ἡμῖν ἀπολογία, ποία δὲ συγγνώμη, ὅταν αὐτὸς μὲν ἐκ τῶν οὐρανῶν δι' ἡμᾶς καταβαίνῃ, ἡμεῖς δὲ μηδὲ ἐκ τῆς οἰκίας πρὸς αὐτὸν ἐρχώμεθα; ὅταν μάγοι μὲν, ἄνθρωποι βάρβαροι καὶ ἀλλόφυλοι, ἐκ Περσίδος τρέχωσιν, ὥστε αὐτὸν ἰδεῖν ἐπὶ τῆς φάτνης κείμενον, σὺ δὲ * μηδὲ μικρὸν διάστημα ὑπομένῃς, ὥστε τῆς μακαρίας ταύτης ἀπολαῦσαι θεωρίας; καὶ γὰρ ἂν μετὰ πίστεως παραγενώμεθα, πάντως αὐτὸν ὀψόμεθα ἐπὶ τῆς φάτνης κείμενον. ἡ γὰρ τράπεζα αὕτη τάξιν τῆς φάτνης πληροῖ. καὶ γὰρ καὶ ἐνταῦθα κείσεται τὸ σῶμα τὸ δεσποτικὸν, οὐχὶ ἐσπαργανωμένον, καθάπερ τότε, ἀλλὰ πνεύματι πανταχόθεν ἁγίῳ περιστελλόμενον. ἴσασιν οἱ μεμυημένοι τὰ λεγόμενα. οἱ μὲν οὖν μάγοι προσεκύνησαν μόνον· σὺ δὲ, ἂν μετὰ καθαροῦ προσέλθῃς συνειδότος, καὶ λαβεῖν σοι αὐτὸ συγχωρήσομεν, καὶ ἀπελθεῖν οἴκαδε. πρόσιθι τοίνυν καὶ σὺ, δῶρα προσάγων, μὴ τοιαῦτα οἷα ἐκεῖνοι, ἀλλὰ πολλῷ σεμνότερα. προσήνεγκαν ἐκεῖνοι χρυσὸν, προσένεγκε σὺ σωφροσύνην καὶ ἀρετήν· προσήνεγκαν ἐκεῖνοι λιβανωτὸν, προσένεγκε σὺ εὐχὰς καθαρὰς, τὰ θυμιάματα τὰ πνευματικά· προσήνεγκαν ἐκεῖνοι σμύρναν, προσένεγκε σὺ ταπεινοφροσύνην καὶ τεταπεινωμένην καρδίαν καὶ ἐλεημοσύνην. ἂν μετὰ τούτων προσέλθῃς τῶν δώρων, μετὰ ἀδείας ″ἀπολαύσῃς πολλῆς τῆς ἱερᾶς ταύτης τραπέζης. καὶ γὰρ ἐγὼ διὰ τοῦτο κινῶ τούτους τοὺς λόγους νῦν, ἐπειδὴ οἶδα, ὅτι πάντως πολλοὶ κατ' ἐκείνην προσελεύσονται τὴν ἡμέραν, καὶ ἐπιπεσοῦνται τῇ πνευματικῇ ταύτῃ θυσίᾳ. ἵνα οὖν μὴ ἐπὶ κακῷ, μηδὲ ἐπὶ κρίματι τῆς ἡμετέρας ψυχῆς τοῦτο ποιῶμεν, ἀλλ' ἐπὶ σωτηρίᾳ, ἐντεῦθεν ἤδη προδιαμαρτύρομαι καὶ παρακαλῶ παντὶ τρόπῳ καθάραντας ἑαυτοὺς, οὕτω προσιέναι τοῖς ἱεροῖς μυστηρίοις. καὶ μή μοι λεγέτω τις, ″αἰσχύνης γέμω, ἁμαρτημάτων ἔχω τὸ συνειδὸς πεπληρωμένον, φορτίον ἐπιφέρομαι βαρύτατον. ἱκανὴ γὰρ τῶν πέντε ἡμερῶν τούτων ἡ προθεσμία, ἐὰν νήφῃς, καὶ προσεύχῃς, καὶ ἀγρυπνῇς, τὸ πολὺ τῶν ἁμαρτημάτων ὑποτέμνεσθαι*. μὴ γὰρ, ὅτι βραχὺς ὁ χρόνος ἴδῃς, ἀλλ' ἐκεῖνο σκόπησον, ὅτι φιλάνθρωπος ὁ δεσπότης· ἐπεὶ καὶ οἱ Νινευῖται ἐν τρισὶν ἡμέραις τοσαύτην ὀργὴν ἀπεκρούσαντο, καὶ οὐδὲν ἐνεπόδισεν ἡ τοῦ καιροῦ στενοχωρία, ἀλλ' ἴσχυσεν ἡ τῆς ψυχῆς προθυμία, τῆς φιλανθρωπίας ἐπιλαβομένη τοῦ δεσπότου, τὸ πᾶν ἐργάσασθαι. καὶ ἡ πόρνη δὲ ἐν βραχείᾳ καιροῦ ῥοπῇ προσελθοῦσα τῷ Χριστῷ, τὰ ὀνείδη πάντα ἀπενίψατο. καὶ τῶν Ἰουδαίων ἐγκαλούντων, ὅτι προσήκατο, καὶ μετέδωκεν αὐτῇ παρρησίας τοσαύτης, ὁ Χριστὸς τοὺς μὲν ἐπεστόμισεν, ἐκείνην δὲ πάντων ἀπαλλάξας τῶν κακῶν, καὶ τῆς σπουδῆς ἀποδεξάμενος, οὕτως ἀπέπεμψε. τί δήποτε; ὅτι μετὰ θερμῆς διανοίας, καὶ πεπυρωμένης ψυχῆς, καὶ ζεούσης προσῆλθε πίστεως, καὶ τῶν ἁγίων καὶ ἱερῶν ἐκείνων ἥψατο ποδῶν, τοὺς βοστρύχους λύσασα, πηγὰς δακρύων ἐκ τῶν ὀφθαλμῶν ἀφεῖσα, τὸ μύρον κενώσασα. δι' ὧν γὰρ ἐγοήτευσε τοὺς ἀνθρώπους, διὰ τούτων τὰ φάρμακα τῆς μετανοίας κατεσκεύασε· δι' ὧν ἀνεπτέρωσε τὰς τῶν ἀκολάστων ὄψεις, διὰ τούτων ἐδάκρυσε. διὰ τῶν

α. Τιμ. γ. ιϛ.

Εβρ. β. ιϛ.

* ὁ χριστιανὸς

γ. θύματα

γ. ἀπολαύσῃ

γ. αἰσχύνομαι

* πείσῃς.

Ιων. γ.

Λουκ. ζ.

πλοκάμοις, δι' ὧν ὑπεσκέλισεν εἰς ἁμαρτίαν πολλούς, διὰ τούτων τοὺς πόδας ἀπέμαξε τοῦ Χριστοῦ· διὰ τοῦ μύρου, δι' οὗ πολλοὺς ἐδελέασε, διὰ τούτου τοὺς πόδας ἐκείνου ἤλειψε. καὶ σὺ τοίνυν δι' ὧν παρώξυνας τὸν Θεόν, διὰ τούτων ἵλεων ποίησον πάλιν. παρώξυνας αὐτὸν διὰ χρημάτων ἁρπαγῆς; διὰ τούτων αὐτὸν καὶ κατάλλαξον, καὶ τὰ ἁρπαγέντα ἀποδοὺς τοῖς ἠδικημένοις, καὶ ἕτερα τούτοις προσεπιδούς. Λουκ. ιθ. η. Εἰπὲ κατὰ τὸν Ζακχαῖον, Ἀποδώσω τετραπλασίονα, ὧν ἥρπασα πάντων. παρώξυνας διὰ γλώττης καὶ λοιδορίας ὑβρίσας πολλούς; ἐξιλέωσαι διὰ γλώττης πάλιν, εὐχὰς καθαρὰς ἀναπέμπων, εὐλογῶν τοὺς λοιδοροῦντας, ἐγκωμιάζων τοὺς κακῶς λέγοντας, χάριν ὁμολογῶν τοῖς ἀδικοῦσι. Ταῦτα οὐχ ἡμερῶν δεῖται, οὐδὲ ἐνιαυτῶν πολλῶν, ἀλλὰ προαιρέσεως μόνης, καὶ ἐν μιᾷ κατορθοῦται ἡμέρᾳ. ἀπόστηθι τῆς πονηρίας, ἐπιλαβοῦ τῆς ἀρετῆς, παῦσαι τῆς κακίας, καὶ ὑπόσχου μηκέτι ταῦτα ποιεῖν, καὶ ἀρκεῖ σοι τοῦτο εἰς ἀπολογίαν. ἐγὼ διαμαρτύρομαι καὶ ἐγγυῶμαι, ὅτι τῶν ἁμαρτανόντων ἡμῶν ἕκαστος ἂν ἀποστὰς τῶν προτέρων κακῶν ὑπόσχηται τῷ Θεῷ μετ' ἀληθείας μηκέτι αὐτῶν ἅψασθαι, οὐδὲν ἕτερον ὁ Θεὸς ζητήσει πρὸς ἀπολογίαν μείζονα. φιλάνθρωπος γάρ ἐστι καὶ ἐλεήμων, καὶ καθάπερ ἡ ὠδίνουσα ἐπιθυμεῖ τεκεῖν, οὕτω καὶ αὐτὸς ἐπιθυμεῖ τὸν ἔλεον ἐκχεῖν τὸν ἑαυτοῦ. ἀλλ' αἱ ἁμαρτίαι αἱ ἡμέτεραι τοῦτον διακωλύουσιν; ἀνέλωμεν τοίνυν τὸ τειχίον, καὶ ἐντεῦθεν ἤδη τῆς ἑορτῆς ἀρξώμεθα, τὰς πέντε ἡμέρας ταύτας πᾶσιν ἀποταξάμενοι. ἐρρέτω δικαστήρια, ἐρρέτω βουλευτήρια, οἰμωζέτω βιωτικὰ πράγματα καὶ συμβόλαια καὶ συναλλάγματα· τὴν ψυχήν μου βούλομαι σῶσαι. Ματθ. ις. κς. Τί ὠφελεῖται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἐξῆλθον ἀπὸ Περσίδος οἱ μάγοι, ἔξελθε σὺ ἀπὸ τῶν βιωτικῶν πραγμάτων, καὶ πρὸς τὸν Ἰησοῦν ὅδευσον. οὐκ ἔστι πολὺ τὸ μέσον, ἂν ἐθέλωμεν. οὐ γὰρ πέλαγος ἀνάγκη διαπερᾶσαι, οὐδὲ ὀρῶν ὑπερβῆναι κορυφάς, ἀλλ' οἴκοι καθήμενοι, εὐλάβειαν ἐπιδεικνύμενοι καὶ πολλὴν τὴν κατάνυξιν ἔστιν ἰδεῖν ἅπαν καταλῦσαι τὸ τειχίον, ἀνελεῖν τὸ κώλυμα, συστεῖλαι τῆς ὁδοῦ τὸ μῆκος. Ιερ. κγ. Θεὸς γὰρ ἐγγίζων ἐγώ εἰμι, φησί, καὶ οὐ Θεὸς πόρρωθεν. καί, Ψαλμ. ρμδ. Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ. νῦν δὲ εἰς τοσοῦτον ἀνοίας καὶ καταφρονήσεως * πολλοὶ τῶν πιστῶν ἐληλάκασιν, ὡς καὶ μυρίων γέμοντες κακῶν, καὶ μηδεμίαν ὅλως ἑαυτῶν ἐπιμέλειαν ποιούμενοι, ἁπλῶς καὶ ὡς ἔτυχεν ἐν ταῖς ἑορταῖς τῇ τραπέζῃ ταύτῃ προσέρχονται, οὐκ εἰδότες ὅτι καιρὸς κοινωνίας, οὐχ ἑορτὴ καὶ πανήγυρις, ἀλλὰ συνειδὸς καθαρόν, καὶ βίος ἐγκλημάτων ἀπηλλαγμένος. καὶ καθάπερ τὸν οὐδὲν ἑαυτῷ συνειδότα φαῦλον καθ' ἑκάστην δεῖ προσιέναι τὴν ἡμέραν, οὕτω τὸν ἐν ἁμαρτήμασι προκατειλημμένον, καὶ μὴ μετανοοῦντα, οὐδὲ ἐν ἑορτῇ προσιέναι ἀσφαλές. οὐ γὰρ δὴ τὸ ἅπαξ τοῦ ἐνιαυτοῦ προσελθεῖν, ἀπαλλάττει τῶν ἐγκλημάτων ἡμᾶς, ἂν ἀναξίως προσίωμεν· ἀλλ' αὐτὸ δὴ τοῦτο μειζόνως καταδικάζει, ὅτι ἅπαξ προσιόντες, οὐδὲ τότε καθαρῶς προσίεμεν. διὰ τοῦτο παρακαλῶ πάντας ὑμᾶς μὴ ἁπλῶς διὰ τὴν τῆς ἑορτῆς ἀνάγκην τῶν θείων ἅπτεσθαι μυστηρίων, ἀλλ' εἴ ποτε μέλλοιτε τῆς ἁγίας ταύτης μεθέξειν προσφορᾶς, πρὸ πολλῶν ἡμερῶν διακαθαίρειν ἑαυτοὺς διὰ μετανοίας καὶ εὐχῆς καὶ ἐλεημοσύνης καὶ τῆς περὶ τὰ πνευματικὰ σχολῆς, καὶ μὴ πάλιν ἐπιστρέφεσθαι, καθάπερ κύων ἐπὶ τὸν ἴδιον ἔμετον. πῶς γὰρ οὐκ ἄτοπον, τῶν μὲν σωματικῶν τοσαύτην ποιεῖσθαι τὴν ἐπιμέλειαν, ὥστε ἑορτῆς προσαγούσης, πρὸ πολλῶν ἡμερῶν καὶ ἱμάτιον ἐκ τῶν κιβωτίων τὸ κάλλιστον ἀνελομένους προευτρεπίζειν, καὶ ὑποδήματα ὠνεῖσθαι, καὶ τραπέζῃ δαψιλεστέρᾳ κεχρῆσθαι, καὶ πολλοὺς πανταχόθεν προεπινοεῖν πόρους, καὶ παντὶ τρόπῳ φαιδρύνειν ἑαυτὸν καὶ καλλωπίζειν· τῆς δὲ ψυχῆς ἠμελημένης, ῥυπώσης, αὐχμώσης, λιμῷ διαφθειρομένης, ἀκαθαρτουμένης μηδένα ποιεῖσθαι λόγον· ἀλλὰ τὸ μὲν σῶμα καλλωπίζοντα ἀνάγειν ἐνταῦθα, ἐκείνην δὲ γυμνὴν καὶ ἀσχημονοῦσαν περιορᾶν; καίτοι τοῦτο μὲν [τὸ σῶμα] ὁ σύνδουλος ὁρᾷ, καὶ βλάβος οὐδέν, κἂν ὁπωσοῦν διακείμενον ᾖ· ἐκείνην δὲ ὁ δεσπότης, καὶ μεγίστην ἐπάγει κό-

λασιν

χ. ἀποδίδωμι
χ. λοιδορουμένους
χ. καθημένους
χ. ἐπιδεικνυμένους
* οἱ
χ. ἑορταῖς
χ. ἑαυτοῦ
χ. καλλωπίζοντας

λασι τῆς ἀμελείας. Οὐκ ἴστε ὅτι πυρὸς αὕτη γέμει ἡ τράπεζα πνευματικοῦ; καὶ καθάπερ αἱ πηγαὶ ″φύσει ὕδατος ἀναβλύζουσιν, οὕτω καὶ αὕτη φλόγα τινὰ ἔχει ἄρρητον. μὴ τοίνυν προσέλθῃς καλάμην ἔχων, μὴ ξύλα ″καὶ χόρτον, ἵνα μὴ πλείονα τὸν ἐμπρησμὸν ἐργάσῃ, καὶ κατακαύσῃς τὴν μεταλαμβάνουσαν ψυχήν· ἀλλ' ἔχων λίθους τιμίους, χρυσὸν, ἄργυρον, ἵνα καθαρωτέραν ποιήσῃς τὴν ὕλην, ἵνα πολλὴν λαβὼν τὴν ″εὐπορίαν ἀπέλθῃς. Εἴ τι πονηρὸν, ἐξόρισον, φυγάδευσον ἀπὸ τῆς ψυχῆς*. ἔχει τις ἐχθρὸν, καὶ τὰ ″μεγάλα ἠδίκηται; καταλυέτω τὴν ἔχθραν, καταστελλέτω τὴν διάνοιαν φλεγμαίνουσαν, οἰδοῦσαν, ἵνα μηδεὶς ἔνδον θόρυβος ᾖ, μηδὲ ταραχή. Βασιλέα γὰρ ὑποδέχεσθαι μέλλεις διὰ τῆς κοινωνίας. Βασιλέως δὲ ἐπιβαίνοντος τῇ ψυχῇ, πολλὴν εἶναι δεῖ τὴν γαλήνην, πολλὴν τὴν ἡσυχίαν, βαθεῖαν τῶν λογισμῶν τὴν εἰρήνην. ἀλλὰ μεγάλα ἠδίκησαι, καὶ οὐ φέρεις ἀφεῖναι τὴν ὀργήν; τί τοίνυν σαυτὸν πολλῷ μείζονα ἀδικεῖς καὶ χαλεπώτερα; οὐ γὰρ τοιαῦτά σε διαθήσεται ὁ ἐχθρὸς, ὅσαπερ ἂν ποιῇ, οἷα σὺ σαυτὸν, μὴ καταλλαττόμενος πρὸς ἐκεῖνον, ἀλλὰ τοὺς τοῦ Θεοῦ καταπατῶν νόμους. ὕβρισέ σε ἐκεῖνος; διὰ τοῦτο οὖν σὺ τὸν Θεὸν ὑβρίζεις, εἰπέ μοι; τὸ γὰρ μὴ καταλλάττεσθαι τῷ λελυπηκότι, οὐκ ἐκεῖνόν ἐστιν ἀμυνομένου τοσοῦτον, ὅσον τὸν Θεὸν ὑβρίζοντος τὸν ταῦτα νομοθετήσαντα. μὴ τοίνυν πρὸς τὸν σύνδουλον ἴδῃς, μηδὲ πρὸς τὸ μέγεθος τῶν ἀδικημάτων ἐκείνου, ἀλλὰ τὸν Θεὸν καὶ τὸν ἐκείνου φόβον εἰς νοῦν ″βαλλόμενος, ἐκεῖνο σκόπησον, ὅτι ὅσῳ ἂν ″μείζονα πάσχῃς βίαν κατὰ ψυχὴν, μετὰ μυρία κακὰ ἀναγκαζόμενος καταλλάττεσθαι τῷ λελυπηκότι, τοσούτῳ πλείονος ἀπολαύσῃ τῆς τιμῆς παρὰ τοῦ ταῦτα κελεύσαντος Θεοῦ· καὶ καθάπερ αὐτὸν μετὰ πολλῆς ὑποδέχῃ τῆς τιμῆς ἐνταῦθα, οὕτω καὶ αὐτὸς μετὰ πολλῆς ὑποδέξεταί σε τῆς δόξης ἐκεῖ, μυριοπλασίους σοι ἀποδιδοὺς τῆς ὑπακοῆς ταύτης τὰς ἀμοιβάς· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. οϛ. ΕΙΣ ΤΗΝ ΓΕΝΕΘΛΙΟΝ ΗΜΕΡΑΝ ΤΟΥ ΣΩτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἄδηλον μὲν ἔτι οὖσαν τότε, πρὸ δὲ ὀλίγων ἐτῶν γνωρισθεῖσαν παρά τινων τῶν ἀπὸ τῆς δύσεως ἐλθόντων καὶ ἀναγγειλάντων.

Μηνὸς Δεκεμβ. κε.

Α πάλαι πατριάρχαι μὲν ὤδινον, προφῆται δὲ προὔλεγον, δίκαιοι δὲ ἰδεῖν ἐπεθύμουν· ταῦτα ἐξέβη, καὶ τέλος ἔλαβε σήμερον· καὶ Θεὸς ἐπὶ γῆς ὤφθη διὰ σαρκὸς, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. χαίρωμεν τοίνυν καὶ ἀγαλλιώμεθα, ἀγαπητοί. Εἰ γὰρ ὁ Ἰωάννης ἐν τῇ νηδύϊ τῆς μητρὸς ὢν, τῆς Μαρίας ″εἰσελθούσης πρὸς τὴν Ἐλισάβετ, ἐσκίρτησε· πολλῷ μᾶλλον ἡμᾶς, οὐχὶ [τὴν] Μαρίαν, ἀλλ' αὐτὸν τὸν σωτῆρα ἡμῶν σήμερον τεχθέντα θεασαμένους, σκιρτᾶν καὶ ″ἀγάλλεσθαι χρὴ, καὶ θαυμάζειν, καὶ ἐκπλήττεσθαι τῆς οἰκονομίας τὸ μέγεθος πᾶσαν ὑπερβαῖνον διάνοιαν. ἐννόησον γὰρ ἡλίκον ἐστὶν, ἥλιον ἐκ τοῦ οὐρανοῦ καταβάντα, ἐπὶ γῆς τρέχοντα ὁρᾶν, καὶ τὰς ἀκτῖνας πᾶσιν ἀφιέντα ἐντεῦθεν. εἰ δὲ ἐπὶ τοῦ αἰσθητοῦ φωστῆρος τοῦτο συμβὰν πάντας ἐξέπληξεν ἂν τοὺς θεωμένους, σκόπει μοι, καὶ λογίζου νῦν, ἡλίκον ἐστὶ τὸν τῆς δικαιοσύνης ἥλιον ἐκ τῆς ἡμετέρας σαρκὸς ἀφιέντα τὰς ἀκτῖνας ὁρᾶν, καὶ τὰς ψυχὰς ἡμῶν καταυγάζοντα. πάλαι ταύτην ἐπεθύμουν ἐγὼ τὴν ἡμέραν ἰδεῖν· καὶ οὐχ ἁπλῶς ἰδεῖν, ἀλλὰ μετὰ πλήθους τοσούτου· καὶ διηνεκῶς ηὐχόμην οὕτως ἡμῖν πληρωθῆναι τὸ θέατρον, ὥσπερ ἐστὶ νῦν ὁρᾶν [πεπληρωμένον]. τοῦτο τοίνυν ἐξέβη καὶ [″τέλος ἔλαβε.] καίτοιγε οὔπω δέκατόν ἐστιν ἔτος, ἐξ οὗ δήλη καὶ ″γνώριμος ἡμῖν αὕτη ἡ ἡμέρα ″γεγένηται· ἀλλ' ὅμως, ὡς ἄνωθεν καὶ πρὸ πολλῶν ἡμῖν παραδοθεῖσα ἐτῶν, οὕτως ἤνθησε

Ματθ. ιγ. ιζ.
Βαρυχ. γ. λη.

διὰ τῆς ″ὑμετέρας σπουδῆς. ὅθεν οὐκ ἄν τις ἁμάρτοι καὶ νέαν αὐτὴν ὁμοῦ καὶ ἀρχαίαν ″προσειπών· νέαν μὲν, διὰ τὸ προσφάτως ἡμῖν γνωρισθῆναι· παλαιὰν δὲ καὶ ἀρχαίαν, διὰ τὸ ταῖς πρεσβυτέραις ταχέως ὁμήλικα γενέσθαι, καὶ πρὸς ″τὸ αὐτὸ τῆς ἡλικίας αὐταῖς φθάσαι μέτρον. καθάπερ [γὰρ] τὰ γενναῖα καὶ εὐγενῆ τῶν φυτῶν (καὶ γὰρ ἐκεῖνα ὁμοῦ τε εἰς τὴν γῆν κατατίθεται, καὶ πρὸς ὕψος ″εὐθὺς ἀνατρέχει μέγα, καὶ τῷ καρπῷ βρίθεται) οὕτω καὶ αὕτη, παρὰ μὲν τοῖς τὴν ″ἑσπέραν οἰκοῦσιν ἄνωθεν γνωριζομένη, πρὸς ἡμᾶς δὲ κομισθεῖσα νῦν, καὶ οὐ πρὸ πολλῶν ἐτῶν, ἀθρόον οὕτως ″ἀνέδραμε, καὶ τοσοῦτον ἤνεγκε τὸν καρπὸν, ὅσονπερ ἐστὶ νῦν ὁρᾶν, τῶν περιβόλων ἡμῖν πεπληρωμένων, καὶ τῆς ἐκκλησίας ἁπάσης στενοχωρουμένης τῷ πλήθει τῶν ″συνδραμόντων. τὴν μὲν οὖν ἀξίαν ἀμοιβὴν τῆς τοσαύτης σπουδῆς, παρὰ τοῦ σήμερον τεχθέντος κατὰ σάρκα προσδοκήσατε Χριστοῦ. ἐκεῖνος ἡμᾶς ἀμείψεται πάντως τῆς προθυμίας ταύτης. ἡ γὰρ περὶ τὴν ἡμέραν φιλία καὶ σπουδὴ, τῆς περὶ τὸν τεχθέντα ἀγάπης μέγιστόν ἐστι σημεῖον. εἰ δὲ χρή τινα καὶ παρ' ἡμῶν τῶν συνδούλων εἰσενεχθῆναι, καὶ ἡμεῖς ″κατὰ δύναμιν εἰσοίσομεν· μᾶλλον δὲ, ἅπερ ἂν ἡ τοῦ Θεοῦ χάρις δῷ λεχθῆναι, διὰ τὴν ὠφέλειαν τὴν ὑμετέραν. τί οὖν ἐπιθυμεῖτε ἀκοῦσαι σήμερον; τί δὲ ἄλλο, ἢ περὶ τῆς ἡμέρας ταύτης; οἶδα γὰρ οἶδα, ὅτι πολλοὶ ἔτι καὶ νῦν πρὸς ἀλλήλους ἀμφισβητοῦσι, τῶν μὲν ἐγκαλοῦντες, τῶν δὲ ἀπολογούμενοι. καὶ πολὺς περὶ τῆς ἡμέρας ταύτης πανταχοῦ γίνεται λόγος· τῶν μὲν αἰτιωμένων, ὅτι νέα τίς ἐστι καὶ πρόσφατος, καὶ νῦν εἰσενήνεκται· τῶν δὲ ἀπολογουμένων, ὅτι παλαιὰ καὶ ἀρχαία ἐστί (τῶν προφητῶν ἤδη προειπόντων περὶ τῆς γεννήσεως αὐτοῦ) καὶ ἄνωθεν τοῖς ἀπὸ Θρᾴκης μέχρι Γαδείρων οἰκοῦσι κατάδηλος καὶ ἐπίσημος γέγονε. φέρε οὖν, τὸν περὶ τούτων κινήσωμεν λόγον. εἰ γὰρ ἀμφισβητουμένη τοσαύτης ἀπολαύει παρ' ἡμῶν εὐνοίας· εἰ γένοιτο γνωριμωτέρα, εὔδηλον ὅτι πολλῷ πλείονος σπουδῆς ἀπολαύσεται, τῆς κατὰ τὴν διδασκαλίαν ″σαφηνείας πλείονα τὴν περὶ αὐτὴν διάθεσιν ἐργαζομένης [ὑμῖν]. ″ἔχω τοίνυν τρεῖς ἀποδείξεις εἰπεῖν, δι' ὧν εἰσόμεθα πάντως, ὅτι οὗτος ἐστὶν ὁ καιρὸς, καθ' ὃν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ Θεὸς Λόγος ἐτέχθη. καὶ τῶν τριῶν τούτων μία μέν ἐστιν ἀπόδειξις, τὸ ταχέως οὕτω πανταχοῦ περιαγγελθῆναι, καὶ πρὸς ὕψος ἐπιδοῦναι τοσοῦτον, καὶ ἀνθῆσαι τὴν ἑορτήν. καὶ ὅπερ ὁ Γαμαλιὴλ ἔλεγε περὶ τοῦ κηρύγματος· Ὅτι εἰ ἔστιν ἐξ ἀνθρώπων, καταλυθήσεται· εἰ δὲ ἐκ Θεοῦ ἐστιν, οὐ ″δύνασθε καταλῦσαι αὐτὸ, μήποτε καὶ θεομάχοι ″εὑρεθῆτε· τοῦτο κἀγὼ περὶ τῆς ἡμέρας ταύτης εἴποιμι ἂν θαρρῶν· ὅτι, ἐπειδὴ ἐκ Θεοῦ ἐστι, διὰ τοῦτο οὐ μόνον οὐ κατελύθη, ἀλλὰ καὶ καθ' ἕκαστον ἔτος ἐπιδίδωσι, καὶ λαμπροτέρα γίνεται. ἐπεὶ καὶ τὸ κήρυγμα ἐν ὀλίγοις ἔτεσι τὴν πᾶσαν κατέλαβεν οἰκουμένην, καίτοι σκηνοποιῶν, ἁλιέων, ἀγραμμάτων, ″ἰδιωτῶν πανταχοῦ διακομιζόντων αὐτό. ἀλλ' οὐδὲν ἔβλαπτεν ἡ τῶν ″διακονούντων εὐτέλεια, τῆς τοῦ κηρυττομένου δυνάμεως πάντα προκαταλαμβανούσης, καὶ τὰ κωλύματα ἀναιρούσης, καὶ τὴν οἰκείαν ἐπιδεικνυμένης ἰσχύν. εἰ δέ τις τῶν φιλονείκων οὐκ ἀνέχοιτο τῶν εἰρημένων, ἔστι καὶ δευτέραν εἰπεῖν. ποίαν δὴ ταύτην; τὴν ἀπὸ τῆς ἀπογραφῆς τῆς ἐν τοῖς εὐαγγελίοις κειμένης. Ἐγένετο γὰρ, φησὶν ὁ εὐαγγελιστὴς, ἐν ταῖς ἡμέραις ἐκείναις, ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγούστου, ″ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην. αὕτη ἡ ἀπογραφὴ πρώτη ἐγένετο ἡγεμονεύοντος τῆς Συρίας Κυρηνίου. καὶ ἐπορεύοντο πάντες ἀπογράφεσθαι, ἕκαστος εἰς τὴν ἰδίαν πόλιν. ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας, ἐκ πόλεως Ναζαρὲθ, εἰς τὴν Ἰουδαίαν, εἰς πόλιν Δαβὶδ, ἥτις καλεῖται Βηθλεέμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαβὶδ, ἀπογράφεσθαι σὺν Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ γυναικὶ οὔσῃ ἐγκύῳ. ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ, ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν· καὶ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐσπαργάνωσεν αὐτὸν, καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ φάτνῃ, διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι. ὅθεν δῆλον, ὅτι κατὰ τὴν πρώτην ἀπογρα-

φὴν

Πράξ. ε. λη.

Λουκ. β. α.

γρ. ἡμετέρας

γρ. εἰπών·

γρ. αὐτὴ τὸ μέτρον τῶν ἡλικιῶν αὐταῖς φθάσαι.

γρ. εὐθέως

γρ. ἑῴαν

γρ. ἐξέλαμψε

γρ. συντρεχόντων.

γρ. κατὰ τὴν δύναμιν εἰσοίσομεν.

γρ. ἀσφαλείας

γρ. ἔχομεν ἐν

γρ. δυνάμεθα

γρ. εὑρεθῶμεν.

γρ. ἰδιωτῶν ἦν ἡ διδασκαλία, τῶν καὶ πανταχοῦ διακομιζόντων αὐτήν.

γρ. διακονουμένων

γρ. τοῦ ἀπογράφεσθαι

φὴν ἐτέχθη. καὶ τοῖς ἀρχαίοις τοῖς δημοσίᾳ κειμένοις κώδιξιν ἐπὶ τῆς Ῥώμης ἔξεστιν ἐντυχόντα, καὶ τὸν καιρὸν τῆς ἀπογραφῆς μαθόντα ἀκριβῶς, εἰδέναι τὸν βουλόμενον. τί οὖν πρὸς ἡμᾶς, φησί, τοῦτο οὐκ οὖσιν ἐκεῖ, οὔτε παραγινομένοις; ἀλλ' ἄκουε, καὶ μὴ ἀπίστει, ὅτι παρὰ τῶν ἀκριβῶς ταῦτα εἰδότων, καὶ τὴν πόλιν ἐκείνην οἰκούντων παρειλήφαμεν τὴν ἡμέραν. οἱ γὰρ ἐκεῖ διατρίβοντες, ἄνωθεν καὶ ἐκ παλαιᾶς παραδόσεως αὐτὴν ἐπιτελοῦντες, αὐτοὶ νῦν αὐτῆς ἡμῖν τὴν γνῶσιν διεπέμψαντο. οὐδὲ γὰρ ὁ εὐαγγελιστὴς ἁπλῶς τὸν καιρὸν ἐπεσημήνατο τοῦτον· ἀλλ' ὥστε καὶ τὴν ἡμέραν ἡμῖν δήλην ποιῆσαι καὶ γνώριμον, καὶ τοῦ Θεοῦ τὴν οἰκονομίαν ἐνδείξασθαι. οὐ γὰρ οἴκοθεν, οὐδὲ παρ' ἑαυτοῦ τότε ὁ Αὔγουστος τὸ δόγμα τοῦτο ἐξέπεμψεν· ἀλλὰ τοῦ Θεοῦ κινοῦντος αὐτοῦ τὴν ψυχήν, ἵνα καὶ ἄκων ὑπηρετήσηται τῇ τοῦ μονογενοῦς παρουσίᾳ. καὶ τί τοῦτο συντελεῖ πρὸς τὴν οἰκονομίαν ταύτην, φησίν; οὐ μικρόν, οὐδὲ τὸ τυχόν, ἀγαπητέ, ἀλλὰ καὶ σφόδρα μέγα, καὶ τῶν ἀναγκαίων καὶ σπουδαζομένων * ἕν. ποῖον δὴ τοῦτο; ἡ Γαλιλαία χώρα τίς ἐστιν ἐν Παλαιστίνῃ, ἡ δὲ Ναζαρὲθ πόλις τῆς Γαλιλαίας. πάλιν, ἡ Ἰουδαία χώρα τίς ἐστι, παρὰ τῶν ἐγχωρίων οὕτω καλουμένη· ἡ δὲ Βηθλεὲμ, πόλις τῆς Ἰουδαίας. τὸν δὲ Χριστὸν οἱ προφῆται προὔλεγον ἅπαντες, οὐκ ἀπὸ τῆς Ναζαρὲθ, ἀλλ' ἀπὸ τῆς Βηθλεὲμ ἥξειν, καὶ ἐκεῖ τεχθήσεσθαι. οὕτω γὰρ γέγραπται· Καὶ σὺ Βηθλεὲμ, γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα. ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ. καὶ οἱ Ἰουδαῖοι οἱ τότε παρὰ τοῦ Ἡρώδου ἐρωτώμενοι, ποῦ ὁ Χριστὸς γεννᾶται, ταύτην εἶπον αὐτῷ τὴν μαρτυρίαν. διὰ τοῦτο καὶ τοῦ Ναθαναὴλ εἰπόντος πρὸς τὸν Φίλιππον (ἐπειδὴ ἐκεῖνος ἔλεγεν, Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲθ εὑρήκαμεν) Ἐκ Ναζαρὲθ δύναταί τι ἀγαθὸν εἶναι; ὁ Χριστὸς περὶ αὐτοῦ φησιν· Ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι. καὶ τίνος, φησίν, ἕνεκεν αὐτὸν ἐπῄνεσεν; ἐπειδὴ οὐ συνηρπάγη τῇ ἀπαγγελίᾳ τοῦ Φιλίππου· ἀλλ' ᾔδει σαφῶς καὶ ἀκριβῶς, ὅτι οὐκ ἐν Ναζαρὲθ, οὔτε ἐν τῇ Γαλιλαίᾳ ἔδει τὸν Χριστὸν τεχθῆναι· ἀλλ' ἐν τῇ Ἰουδαίᾳ, καὶ ἐν τῇ Βηθλεέμ· ὅπερ οὖν καὶ ἐγένετο. ἐπεὶ οὖν ὁ μὲν Φίλιππος τοῦτο ἠγνόησεν, ὁ δὲ Ναθαναὴλ, ἅτε νομομαθὴς ὤν, ἀπεκρίνατο τὰ κατὰ τὴν ἄνωθεν προφητείαν εἰρημένα, εἰδώς, ὅτι οὐκ ἐκ Ναζαρὲθ ἥξει ὁ Χριστός· διὰ τοῦτο καὶ ὁ Χριστός, Ἴδε ἀληθῶς Ἰσραηλίτης, φησίν, ἐν ᾧ δόλος οὐκ ἔστι. διὰ τοῦτο καὶ τινὲς τῶν Ἰουδαίων ἔλεγον πρὸς τὸν Νικόδημον· Ἐρεύνησον, καὶ ἴδε, ὅτι προφήτης ἐκ τῆς Γαλιλαίας οὐκ ἐγήγερται. καὶ πάλιν ἀλλαχοῦ· Οὐκ ἀπὸ Βηθλεὲμ τῆς κώμης, ὅπου ἦν Δαβίδ, ὁ Χριστὸς ἔρχεται; καὶ κοινὴ πάντων ψῆφος ἦν, ὅτι πάντως ἐκεῖθεν αὐτὸν δεῖ παραγενέσθαι, οὐκ ἀπὸ τῆς Γαλιλαίας. ἐπεὶ οὖν ὁ Ἰωσὴφ καὶ ἡ Μαρία τῆς Βηθλεὲμ ὄντες πολῖται, ἐκείνην ἀφέντες, ἐν τῇ Ναζαρὲθ τὸν βίον αὐτῶν κατεστήσαντο, κἀκεῖ διέτριβον (οἷα δὴ πολλὰ συμβαίνειν εἰκὸς ἐπὶ πολλῶν ἀνθρώπων, τὰς μὲν πόλεις, ὅθεν ἐγένοντο, καταλιμπανόντων· ἐν ἄλλαις δέ, ἐν αἷς οὐκ ἔφυσαν παρὰ τὴν ἀρχήν, διατριβόντων) ἔδει δὲ τὸν Χριστὸν ἐν Βηθλεὲμ τεχθῆναι· ἐξῆλθε τὸ δόγμα, καὶ ἄκοντας αὐτοὺς συνωθοῦν εἰς τὴν πόλιν ἐκείνην, τοῦ Θεοῦ οὕτως οἰκονομοῦντος. ὁ γὰρ νόμος [ὁ] κελεύων ἕκαστον εἰς τὴν ἰδίαν ἀπογράψασθαι πατρίδα, ἠνάγκαζεν ἐκεῖθεν αὐτοὺς λύσασθαι, [ἀπὸ τῆς Ναζαρὲθ λέγω,] καὶ ἔρχεσθαι εἰς τὴν Βηθλεέμ, ὥστε ἀπογράφεσθαι. τοῦτο γοῦν αὐτὸ αἰνιττόμενος καὶ ὁ εὐαγγελιστής, ἔλεγεν· Ἀνέβη [δὲ] καὶ ὁ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας, ἐκ πόλεως Ναζαρέθ, εἰς τὴν Ἰουδαίαν, εἰς πόλιν Δαβίδ, ἥτις καλεῖται Βηθλεέμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ, ἀπογράφεσθαι σὺν Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ γυναικὶ οὔσῃ ἐγκύῳ. καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ, ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν, καὶ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον. εἶδες, ἀγαπητέ, οἰκονομίαν Θεοῦ καὶ διὰ τῶν ἀπίστων, καὶ τῶν πιστῶν τὰ καθ' ἑαυτὸν οἰκονομοῦντος· ἵνα μάθωσιν οἱ ἀλλότριοι τῆς εὐσεβείας

γ. χαρτίοις τοῖς δημοσίοις κειμένοις ἐπὶ
γ. ἐντυγχάνοντα,
γ. οὐδὲ παραγενομένοις;
γ. ἐπὶ
γ. ταύτην
γ. δείξασθαι.
γ. Θεοῦ
γ. ἀγαπητοί,
* ἐπιδημαπῶν
γ. ὅτι ἐκ σοῦ ἐξελ.
γ. εὑρήκαμεν.
γ. πρὸς αὐτὸν
γ. ἀγγελίᾳ
γ. ἐξάπινον
γ. δηλαδὴ ἀμέ.
γ. παρ'
γ. συνωθεῖ
γ. φθάσαι
γ. ἐγίνετο δὲ
γ. καὶ διὰ τῆς ἀσεβείας οἰκονομῶν τὰ καθ'.

Ματθ. β. ε.
Μιχ. ε. β.
Ἰωαν. α. με. μϛ.
Ἰωαν. ζ. νβ. μβ.
Λουκ. β. δ.

σεβείας τὴν ἰσχὺν καὶ τὴν δύναμιν αὐτοῦ. καὶ ὁ μὲν ἀστὴρ τοὺς Μάγους ἤγαγεν ἀπὸ τῆς ἀνατολῆς· ὁ δὲ νόμος τὴν Μαριὰμ εἷλκεν ἐπὶ τὴν πατρίδα τὴν ὑπὸ τῶν προφητῶν εἰρημένην. ἐντεῦθεν ἡμῖν δηλόν ἐστιν, ὅτι καὶ ἡ παρθένος ἐκ γένους ἐστὶ Δαβιτικοῦ. ἐπειδὴ γὰρ ἐκ τῆς Βηθλεὲμ ἦν, εὔδηλον ὅτι καὶ ἐκ τοῦ οἴκου καὶ τῆς πατριᾶς ἦν τοῦ Δαβίδ. τοῦτο καὶ ἀνωτέρω ἐδήλωσεν ὁ εὐαγγελιστὴς, ἐν οἷς ἔλεγεν· Ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας σὺν Μαριὰμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ. ἐπειδὴ γὰρ ὁ μὲν Ἰωσὴφ ἐγενεαλογήθη, τοὺς δὲ ταύτης προγόνους οὐδεὶς ἡμῖν ἠρίθμησεν οὕτως, ὡς τοὺς ἐκείνου· ἵνα μὴ ἀμφιβάλλῃς, καὶ λέγῃς, πόθεν οὖν δῆλον, ὅτι ἐκ τοῦ Δαβίδ ἐστι καὶ αὐτή; ἄκουσον. Ἐν τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ Θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας, ᾗ ὄνομα Ναζαρὲθ, πρὸς παρθένον μεμνηστευμένην ἀνδρὶ, ᾧ ὄνομα Ἰωσὴφ, ἐξ οἴκου Δαβίδ. τὸ, ἐξ οἴκου Δαβίδ, περὶ τῆς παρθένου ὑποληπτέον εἰρῆσθαι· ὅπερ οὖν καὶ ἐνταῦθα δεδήλωται. διὰ τοῦτο καὶ τὸ πρόσταγμα καὶ ὁ νόμος οὗτος ἐφοίτα, ἀνάγων ἐπὶ τὴν Βηθλεὲμ αὐτούς. ὁμοῦ τε γὰρ τῆς πόλεως ἐπέβησαν, καὶ Ἰησοῦς εὐθέως ἐτίκτετο. διὸ καὶ ἐν φάτνῃ κατεκλίνετο πολλῶν πανταχόθεν τότε συντρεχόντων, καὶ τοὺς τόπους προκαταλαμβανόντων, καὶ πολλὴν ποιούντων τὴν στενοχωρίαν. ὅθεν ἐκεῖ αὐτὸν καὶ οἱ Μάγοι προσεκύνησαν.

Λουκ. β. δ.

Λουκ. α. κϛ.

Ἵνα δὲ σαφεστέραν καὶ γνωριμωτέραν ὑμῖν ἀπόδειξιν παράσχωμαι, διαναστῆτέ μοι, παρακαλῶ, νῦν. καὶ γὰρ μακρὰν ἱστορίαν ἀνακινῆσαι βούλομαι, καὶ παλαιοὺς ἀναγνῶναι νόμους, ὥστε πάντοθεν ὑμῖν γενέσθαι τὸν λόγον σαφέστερον. νόμος ἦν παλαιὸς τοῖς Ἰουδαίοις. μᾶλλον δὲ ἀνωτέρω τὸν λόγον ἀγάγωμεν. ὅτε τῶν Αἰγυπτιακῶν θορύβων, καὶ τῆς τοῦ βαρβάρου τυραννίδος τὸν τῶν Ἑβραίων δῆμον ἀπήλλαξεν ὁ Θεὸς, ὁρῶν αὐτοὺς ἔτι λείψανα ἀσεβείας ἔχοντας καὶ περὶ τὰ αἰσθητὰ ἐπτοημένους, καὶ μεγέθη καὶ κάλλη ναῶν θαυμάζοντας, ἐκέλευσεν αὐτοῖς οἰκοδομηθῆναι ναὸν, οὐχὶ τῇ πολυτελείᾳ τῆς ὕλης μόνον, οὐδὲ τῇ ποικιλίᾳ τῆς τέχνης, ἀλλὰ καὶ τῷ σχήματι τῆς οἰκοδομῆς πάντας τοὺς ἐν τῇ γῇ ναοὺς ἀποκρύπτοντα. καὶ καθάπερ πατὴρ φιλόστοργος διὰ πολλοῦ χρόνου τὸν υἱὸν τὸν ἑαυτοῦ, μιαροῖς ἀνθρώποις καὶ φθορεῦσι καὶ ἀσώτοις συναναστραφέντα καὶ πολλῆς ἀπολαύσαντα τρυφῆς λαβὼν, μετὰ ἀσφαλείας καὶ σεμνότητος ἐπὶ πλείονι καθίστησιν αὐτὸν ἀφθονίᾳ, ὥστε μήτε στενοχωρηθέντα τῶν προτέρων μνήμην λαβεῖν, μήτε εἰς ἐπιθυμίαν ἐκείνων ἐλθεῖν· οὕτω καὶ ὁ Θεὸς λαβὼν τοὺς Ἰουδαίους περὶ τὰ αἰσθητὰ ἐπτοημένους, καὶ ἐν τούτοις πολλὴν ποιεῖται τὴν ὑπερβολὴν, ὥστε αὐτοὺς μηδέποτε εἰς ἐπιθυμίαν τῶν Αἰγυπτίων, ἢ τῶν παρὰ Αἰγυπτίοις ἐλθεῖν. καὶ ποιεῖται τὸν ναὸν πρὸς τὴν εἰκόνα τοῦ κόσμου παντὸς, τοῦ τε αἰσθητοῦ, καὶ νοητοῦ. καθάπερ γάρ ἐστι γῆ καὶ οὐρανὸς, καὶ μέσον διάφραγμα τὸ στερέωμα τοῦτο· οὕτω κἀκεῖνον ἐκέλευσε γενέσθαι. καὶ εἰς δύο διατεμὼν τὸν ναὸν τοῦτον, καὶ καταπέτασμα ἀφεὶς μέσον, τὸ μὲν ἔξω τοῦ καταπετάσματος, πᾶσι συνεχώρησεν εἶναι βατόν· τὸ δὲ ἔνδον, ἄβατον καὶ ἀθέατον πᾶσι, πλὴν τοῦ ἀρχιερέως μόνου. καὶ ὅτι οὐχ ἡμέτερος ταῦτα στοχασμὸς, ἀλλ' ἐν τύπῳ τοῦ κόσμου παντὸς ὁ ναὸς κατεσκεύαστο, ἄκουσον τί φησιν ὁ Παῦλος, περὶ τοῦ Χριστοῦ [λέγων] εἰς τὸν οὐρανὸν ἀναβάντος. Οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστὸς, ἀντίτυπα τῶν ἀληθινῶν· δεικνὺς ὅτι τὰ ἐνταῦθα ἀντίτυπα ἦν τῶν ἀληθινῶν. ὅτι δὲ καὶ τὸ καταπέτασμα διεῖργε τὰ ἅγια τῶν ἁγίων ἀπὸ τῶν [ἁγίων τῶν] ἔξω, καθάπερ οὗτος ὁ οὐρανὸς τὰ ὑπὲρ αὐτὸν ἀποτειχίζει τούτων τῶν καθ' ἡμᾶς ἁπάντων, ἄκουσον πῶς καὶ τοῦτο ἠνίξατο, τὸν οὐρανὸν καταπέτασμα καλέσας. περὶ γὰρ τῆς ἐλπίδος λέγων, ὅτι ὡς ἄγκυραν αὐτὴν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ τε καὶ βεβαίαν, ἐπήγαγε· Καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς, ὑπὲρ τὸν οὐρανὸν ἄνω. ὁρᾷς πῶς καταπέτασμα τὸν οὐρανὸν ἐκάλεσεν; ἔξω μὲν οὖν τοῦ καταπετάσματος ἦν ἡ λυχνία, καὶ ἡ τράπεζα, καὶ βωμὸς χαλκοῦς τὰς θυσίας

Ἑβ. θ. ϛ.

Ἑβ. ϛ. ιθ.

γρ. μητέρα

γρ. ἀμφιβάλλῃς, ὅτι, ἡ Μαριάμ. πόθεν

γρ. γῆν

γρ. δεῖ

γρ. ὥστε πανταχόθεν ὑμῖν σαφέστερον ποιῆσαι τὸν λόγον.

γρ. φθορευτικοῖς

γρ. βλέπων

γρ. τοῦτο

γρ. ὡς τύπος

γρ. ἐγένετο ναός

γρ. διατ.

γρ. καὶ τὸν οὐρ. καταπέτ. καλεῖ.

γρ. Χριστὸς

γρ. ὑπὲρ τὸν οὐρανόν.

σίας δεχόμενος, καὶ τὰ ὁλοκαυτώματα. ἔσω δὲ τοῦ καταπετάσματος ἡ κιβωτὸς, περικεκαλυμμένη πάντοθεν χρυσίῳ, τὰς πλάκας ἔχουσα τῆς διαθήκης, καὶ τὴν στάμνον τὴν χρυσῆν, καὶ τὴν ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν, καὶ βωμὸν χρυσοῦν, οὐχὶ θυσιῶν, οὐδὲ ὁλοκαυτωμάτων, ἀλλὰ θυμιάματος μόνου. καὶ τὰ μὲν ἔξω πατεῖν πᾶσιν ἐφεῖτο· τὸ δὲ ἔνδον, μόνῳ τῷ ἀρχιερεῖ. καὶ τούτων δὲ αὐτὸν μάρτυρα παρεξόμεθα πάλιν, τοῦ Παύλου οὕτω πως λέγοντος: Εἶχε μὲν οὖν ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας, τό τε ἅγιον κοσμικόν. ἅγιον δὲ κοσμικὸν καλεῖ, τὴν ἔξω σκηνὴν, ἐπειδὴ τῷ κόσμῳ παντὶ εἰσιέναι θέμις ἦν· ἐν ᾗ ἥ τε λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων. μετὰ δὲ τὸ δεύτερον καταπέτασμα, σκηνὴ ἡ λεγομένη ἅγια ἁγίων, χρυσοῦν ἔχουσα θυμιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ· ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης· ὑπεράνω δὲ αὐτῆς χερουβὶμ δόξης, κατασκιάζοντα τὸ ἱλαστήριον. τούτων δὲ οὕτω κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν διαπαντὸς εἰσίασιν οἱ ἱερεῖς, τὰς λατρείας * ἐπιτελοῦντες· εἰς δὲ τὴν δευτέραν, ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεὺς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. ὁρᾷς ὅτι καὶ μόνος εἰσέρχεται ὁ ἀρχιερεὺς, καὶ ἅπαξ τοῦ ἐνιαυτοῦ παντός; τί οὖν ταῦτα, φησὶ, πρὸς τὴν προκειμένην ἡμέραν; ἀναμείνατε μικρὸν, καὶ μὴ θορυβεῖσθε. ἄνωθεν γὰρ τὴν πηγὴν διορύττομεν, καὶ ἐπ' αὐτὴν σπεύδομεν τὴν κορυφὴν ἐλθεῖν, ὥστε μετ' εὐκολίας ὑμῖν ἅπαντα γενέσθαι δῆλα· μᾶλλον δὲ, ἵνα μὴ μέχρι πολλοῦ ὁ λόγος συνεσκιασμένος ᾖ, μηδὲ ἀσαφέστερος ὢν ἀπαγορεύειν ὑμᾶς ποιήσῃ πρὸς τὸ μῆκος τῶν λεγομένων, ἤδη τὴν αἰτίαν ὑμῖν ἐρῶ, δι' ἣν ταῦτα πάντα ἀνεκίνησα. τίς οὖν ἐστιν ἡ αἰτία; ἓξ μῆνας ἐν γαστρὶ ἐχούσης τῆς Ἐλισάβετ τὸν Ἰωάννην, ἡ Μαρία ἤρξατο συλλαμβάνειν. ἂν τοίνυν μάθωμεν, ποῖος ἐκεῖνος ὁ μὴν ὁ ἕκτος ἦν, εἰσόμεθα καὶ πότε ἤρξατο συλλαμβάνειν ἡ Μαρία. εἶτα μαθόντες, πότε ἤρξατο συλλαμβάνειν, εἰσόμεθα καὶ πότε ἔτεκεν, ἐννέα μῆνας ἀριθμήσαντες ἐκ τῆς συλλήψεως. πόθεν οὖν εἰσόμεθα, ποῖος ἦν ὁ ἕκτος μὴν τῆς κυήσεως τῆς Ἐλισάβετ; ἂν μάθωμεν, ποῖος ἦν ὁ μὴν, καθ' ὃν ἤρξατο συλλαμβάνειν. πόθεν δὲ εἰσόμεθα, ποῖος ἦν ὁ μὴν, καθ' ὃν συνέλαβεν; ἂν μάθωμεν, κατὰ ποῖον καιρὸν εὐηγγελίσθη Ζαχαρίας ὁ ταύτης ἀνήρ. αὐτὸ δὲ τοῦτο πόθεν ἡμῖν ἔσται γνώριμον; ἀπὸ τῶν θείων γραφῶν· καθὼς τὸ ἅγιον εὐαγγέλιον λέγει, ὅτι εἰς τὰ ἅγια τῶν ἁγίων ἔνδον ὄντα τὸν Ζαχαρίαν ὁ ἄγγελος εὐηγγελίσατο, καὶ εἶπεν αὐτῷ περὶ τοῦ τοκετοῦ Ἰωάννου. ἂν τοίνυν ἀποδειχθῇ σαφῶς ἀπὸ τῶν γραφῶν, ὅτι καὶ ἅπαξ εἰσήρχετο εἰς τὰ ἅγια τῶν ἁγίων ὁ ἀρχιερεὺς, καὶ μόνος, καὶ πότε, καὶ ποίῳ μηνὶ τοῦ ἐνιαυτοῦ [τὸ ἅπαξ τοῦτο εἰσέρχεται,] εὔδηλος ἔσται ὁ καιρὸς, καθ' ὃν εὐηγγελίσθη. τούτου δὲ γενομένου δήλου, καὶ ἡ ἀρχὴ τῆς συλλήψεως ἔσται τοῖς πᾶσι γνώριμος.

Ὅτι μὲν οὖν ἅπαξ τοῦ ἐνιαυτοῦ εἰσήρχετο, καὶ ὁ Παῦλος ἐδήλωσε. καὶ ὁ Μωϋσῆς δὲ τοῦτο αὐτὸ δῆλον ποιεῖ, οὕτω λέγων· Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων, λάλησον πρὸς Ἀαρὼν τὸν ἀδελφόν σου, καὶ μὴ εἰσπορευέσθω πᾶσαν ὥραν εἰς τὸ ἅγιον τὸ ἐσώτερον τοῦ καταπετάσματος εἰς τὸ πρόσωπον τοῦ ἱλαστηρίου, ὅ ἐστιν ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου, καὶ οὐκ ἀποθανεῖται. καὶ πάλιν· καὶ πᾶς ἄνθρωπος οὐκ ἔσται ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, εἰσπορευομένου αὐτοῦ ἐξιλάσασθαι εἰς τὰ ἅγια, ἕως ἂν ἐξέλθῃ, καὶ ἐξιλάσηται περὶ ἑαυτοῦ, καὶ τοῦ οἴκου αὐτοῦ, καὶ πάσης τῆς συναγωγῆς τῶν υἱῶν Ἰσραήλ· καὶ ἐξιλάσεται ἐπὶ τὸ θυσιαστήριον τὸ ἔναντι Κυρίου. ὅτι μὲν οὖν οὐ διὰ παντὸς εἰσῄει εἰς τὰ ἅγια τῶν ἁγίων, οὔτε ἔνδον ὄντος αὐτοῦ θέμις ἦν ἔξω τινὰ ἑστάναι παρὰ τὸ καταπέτασμα, δῆλον ἀπὸ τούτων. ἀλλὰ κατέχετε δὴ ταῦτα μετὰ ἀκριβείας. ὑπόλοιπον γάρ ἐστι δεῖξαι, ποῖος ἦν ὁ καιρὸς, καθ' ὃν εἰσῄει εἰς τὰ ἅγια τῶν ἁγίων, καὶ ὅτι ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος τοῦτο ἔπραττε. πόθεν οὖν τοῦτο δῆλον; ἀπ' αὐτοῦ τοῦ βιβλίου τούτου. οὕτω γάρ πως φησίν· Ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ,

Ἑβρ. θ. α.

Λευϊτ. ις. β.
καὶ ιζ.

Λευϊτ. ις. κθ.

γρ. κατακεκα-

γρ. ἐφοίτα·

γρ. τοῦ Π. οὕ π. εἴρηται.

γρ. ἐφοίτα·

γρ. τὰ ἅγια τῶν

* ὅπου τὸ θυσι-ας

γρ. τὸ δεύτε-ρον καταπέ-τασμα

γρ. ἡμῖν

γρ. περισκιά-σῃ

γρ. ἀνεκινή-σαμεν.

γρ. ἀποδείξω-μεν

γρ. εἰσέρχεται

γρ. γνωριμώ-τερα

γρ. εἰσέρχεται

γρ. ἱλαστήριον

γρ. ἅγια ... ἦν τι-να, ἀλλ' ἔξω παρὰ τὸ κατα-πέτασμα ἑστά-ναι δεκάτῃ τοῦ μηνὸς, ταπεινώσετε τὰς ψυχὰς ὑμῶν, καὶ πᾶν ἔργον οὐ ποιήσετε ἐν αὐτῇ, ὁ αὐτόχθων, καὶ ὁ προσήλυτος ὁ προσκείμενος ἐν ὑμῖν. ἐν γὰρ τῇ ἡμέρᾳ ταύτῃ ἐξιλάσεται περὶ ὑμῶν, καθαρίσαι ὑμᾶς περὶ πασῶν τῶν ἁμαρτιῶν ὑμῶν· ἐναντίον Κυρίου καθαρισθήσεσθε. σάββατα σαββάτων, ἀνάπαυσις αὕτη ἔσται ὑμῖν· καὶ ταπεινώσετε τὰς ψυχὰς ὑμῶν. νόμιμον αἰώνιον ἔσται ὑμῖν. καὶ ἐξιλάσεται ὁ ἱερεὺς, ὃν ἂν χρίσωσιν αὐτὸν, καὶ ὃν ἂν τελειώσωσι τὰς χεῖρας αὐτοῦ ἱερατεύειν μετὰ τὸν πατέρα αὐτοῦ. καὶ ἐνδύσεται τὴν στολὴν αὐτοῦ τὴν ἁγίαν, καὶ ἐξιλάσεται τὸ ἅγιον τοῦ ἁγίου, καὶ τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ τὸ θυσιαστήριον ἐξιλάσεται, καὶ ἐξιλάσεται περὶ τῶν ἁμαρτιῶν τῶν ἱερέων, καὶ περὶ πάσης τῆς συναγωγῆς ἐξιλάσεται. καὶ ἔσται τοῦτο ὑμῖν νόμιμον αἰώνιον, ἐξιλάσκεσθαι περὶ τῶν υἱῶν Ἰσραὴλ ἀπὸ πασῶν τῶν ἁμαρτιῶν αὐτῶν. ἅπαξ τοῦ ἐνιαυτοῦ ποιηθήσεται, καθάπερ συνέταξε Κύριος τῷ Μωϋσῇ. περὶ τῆς σκηνοπηγίας ἐνταῦθα διαλέγεται. τότε γὰρ ἅπαξ τοῦ ἐνιαυτοῦ ὁ ἀρχιερεὺς εἰσῄει· ὅπερ οὖν καὶ αὐτὸς ἐδήλωσεν, εἰπὼν ὅτι ἅπαξ τοῦ ἐνιαυτοῦ τοῦτο ποιηθήσεται. εἰ τοίνυν ἐν τῷ καιρῷ τῆς σκηνοπηγίας εἰσέρχεται εἰς τὰ ἅγια τῶν ἁγίων ὁ ἀρχιερεὺς μόνος, φέρε λοιπὸν ἀποδείξωμεν, ὅτι τότε ὤφθη ὁ ἄγγελος τῷ Ζαχαρίᾳ, ἡνίκα εἰς τὰ ἅγια τῶν ἁγίων ἦν. μόνῳ γὰρ αὐτῷ ὤφθη θυμιῶντι. μόνος δὲ ὁ ἀρχιερεὺς οὐδέποτε εἰσέρχεται, ἀλλ' ἢ τότε μόνον. οὐδὲν δὲ κωλύει καὶ αὐτῶν ἀκοῦσαι τῶν ῥημάτων. (Λουκ. α. ε.) Ἐγένετο ἐν ταῖς ἡμέραις Ἡρώδου, τοῦ βασιλέως τῆς Ἰουδαίας, ἱερεύς τις ὀνόματι Ζαχαρίας, καὶ ἡ γυνὴ αὐτοῦ ἐκ τῶν θυγατέρων Ἀαρὼν, καὶ τὸ ὄνομα αὐτῆς Ἐλισάβετ. ἐγένετο δὲ ἐν τῷ ἱερατεύειν αὐτὸν ἐν τῇ τάξει τῆς ἐφημερίας αὐτοῦ ἐναντίον τοῦ Θεοῦ, κατὰ τὸ ἔθος τῆς ἱερατείας, ἔλαχε τοῦ θυμιᾶσαι, εἰσελθὼν εἰς τὸν ναὸν τοῦ Κυρίου. καὶ πᾶν τὸ πλῆθος τοῦ λαοῦ ἦν προσευχόμενον ἔξω, τῇ ὥρᾳ τοῦ θυμιάματος. ἀναμνήσθητί μοι, ἀγαπητὲ, τῆς μαρτυρίας ἐκείνης, τῆς λεγούσης· (Λευϊτ. ιϛ. ιζ.) Καὶ πᾶς ἄνθρωπος οὐκ ἔσται ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, εἰσπορευομένου αὐτοῦ ἐξιλάσασθαι εἰς τὰ ἅγια τῶν ἁγίων, ἕως ἂν ἐξέλθῃ. (Λουκ. α. ια.) Ὤφθη δὲ αὐτῷ ἄγγελος Κυρίου, ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος. οὐκ εἶπε, τοῦ θυσιαστηρίου τῶν θυσιῶν, ἀλλὰ, τοῦ θυσιαστηρίου τοῦ θυμιάματος. τὸ γὰρ θυσιαστήριον τὸ ἔξω, θυσιῶν ἦν καὶ ὁλοκαυτωμάτων· τὸ δὲ ἔσω, θυμιάματος. ὥστε καὶ ἀπὸ τούτου, καὶ ἀπὸ τοῦ ὀφθῆναι αὐτῷ μόνῳ, καὶ ἀπὸ τοῦ λέγεσθαι, ὅτι ἔξω ἦν ὁ λαὸς προσδεχόμενος αὐτὸν, εὔδηλον ὅτι εἰς τὰ ἅγια τῶν ἁγίων εἰσῆλθε. (Λουκ. α. ιβ.) καὶ ἐταράχθη Ζαχαρίας ἰδὼν, καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτόν. εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγγελος· Μὴ φοβοῦ Ζαχαρία, διότι εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην. καὶ ἦν ὁ λαὸς προσδοκῶν τὸν Ζαχαρίαν, καὶ ἐθαύμαζον ἐν τῷ χρονίζειν αὐτόν. ἐξελθὼν δὲ διένευεν αὐτοῖς, καὶ οὐκ ἠδύνατο λαλῆσαι. ὁρᾷς ὅτι ἐσωτέρω τοῦ καταπετάσματος ἦν; τότε τοίνυν εὐηγγελίσθη. ὁ δὲ καιρὸς τοῦ εὐαγγελισμοῦ, ὁ τῆς σκηνοπηγίας ἦν, καὶ τῆς νηστείας· τοῦτο γάρ ἐστι τὸ, Ταπεινώσετε τὰς ψυχὰς ὑμῶν. τελεῖται δὲ ἡ ἑορτὴ αὕτη τοῖς Ἰουδαίοις περὶ τὰ ἔσχατα τοῦ Γορπιαίου μηνὸς, καθὼς καὶ ὑμεῖς μαρτυρεῖτε. τότε γὰρ οὖν πολλοὺς καὶ μακροὺς πρὸς Ἰουδαίους ἀνηλώσαμεν λόγους, τῆς ἀκαίρου αὐτῶν νηστείας κατηγοροῦντες*. τότε τοίνυν καὶ ἡ Ἐλισάβετ συνέλαβεν, ἡ γυνὴ Ζαχαρίου· καὶ περιέκρυβεν ἑαυτὴν μῆνας πέντε, λέγουσα ὅτι, οὕτω μοι πεποίηκεν ὁ Κύριος ἐν ἡμέραις, αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις. εὔκαιρον οὖν δεῖξαι λοιπὸν, ὅτι τὸν ἕκτον μῆνα ταύτης ἐχούσης ἐν τῇ κυήσει τοῦ Ἰωάννου, ἡ Μαρία λαμβάνει τῆς συλλήψεως τὰ εὐαγγέλια. ἐπειδὴ γὰρ ἦλθε πρὸς αὐτὴν Γαβριὴλ, (Λουκ. α. λ.) καὶ ἔλεγε· Μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ· καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· θορυβουμένης δὲ ἐκείνης, καὶ τὸν τρόπον ἐπιζητούσης μαθεῖν, ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῇ· Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἐκ σοῦ ἅγιον, κληθήσεται υἱὸς Θεοῦ.

γρ. ποιήσει

γρ. ποιήσει

γρ. εἰσερχομένου

γρ. προσδεχόμενος

* καὶ τὴν σύλληψιν τῆς Ἐλισάβετ δηλ ποιοῦντες.

γρ. τοῦ Ἰωά

Θεοῦ. καὶ ἰδοὺ Ἐλισάβετ ἡ συγγενής σου, καὶ αὐτὴ συνειληφυῖα υἱὸν ἐν γήρει αὐτῆς, καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ· ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα. Εἰ τοίνυν μετὰ τὸν γορπιαῖον μῆνα ἀρχὴν ἔλαβε συλλαμβάνειν ἡ Ἐλισάβετ, καθὼς ἀποδέδεικται, ἀριθμῆσαι δὲ ἐξ ἐκείνου δεῖ τοὺς μεταξὺ μῆνας ἕξ. εἰσὶ τοίνυν οὗτοι οἱ μῆνες, ὑπερβερεταῖος, δῖος, ἀπελλαῖος, αὐδυναῖος, περίτιος, δύστρος. μετὰ τοῦτον οὖν τὸν ἕκτον μῆνα ἀρχὴν ἡ Μαρία τῆς συλλήψεως ἔλαβεν. ὅθεν καὶ ἐννέα μῆνας ἀριθμοῦντες, εἰς τὸν παρόντα τοῦτον ἀπαντήσομεθα μῆνα. ἔστιν οὖν ὁ πρῶτος μὴν τῆς συλλήψεως τοῦ δεσπότου, ἀπρίλλιος, ὅς ἐστι ξανθικός· μεθ' ὃν ἀρτεμίσιος, δέσιος, πάνεμος, λῷος, γορπιαῖος, ὑπερβερεταῖος, δῖος, ἀπελλαῖος. καὶ οὗτός ἐστιν ὁ μὴν ὁ ἐνεστὼς, καθ' ὃν τὴν ἡμέραν ἐπιτελοῦμεν. ἵνα δὲ καὶ σαφέστερον ὑμῖν πάλιν γένηται τὸ λεγόμενον, ἐν συντόμῳ τὰ αὐτὰ πάλιν ἀναλαβὼν, ἐρῶ πρὸς τὴν ὑμετέραν ἀγάπην. ἅπαξ τοῦ ἐνιαυτοῦ εἰσήρχετο μόνος ὁ ἀρχιερεὺς εἰς τὰ ἅγια τῶν ἁγίων. πότε δὲ τοῦτο ἐγίνετο; ἐν τῷ μηνὶ τῷ γορπιαίῳ. τότε οὖν εἰσῆλθεν ὁ Ζαχαρίας εἰς τὰ ἅγια τῶν ἁγίων· τότε καὶ εὐηγγελίσθη περὶ τοῦ Ἰωάννου. ἀνεχώρησεν οὖν ἐκεῖθεν, καὶ ἤρξατο συλλαμβάνειν ἡ γυνὴ αὐτοῦ. μετὰ δὲ τὸν γορπιαῖον, ἕκτον μῆνα ἐχούσης τῆς Ἐλισάβετ, ὅσπερ ἐστὶν ὁ δύστρος, ἤρξατο συλλαμβάνειν λοιπὸν ἡ Μαρία. ἀπὸ ξανθικοῦ τοίνυν ἐννέα ἀριθμοῦντες μῆνας, εἰς τὸν παρόντα ἥξομεν μῆνα, καθ' ὃν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐτέχθη. ἀλλὰ τὰ μὲν περὶ τῆς ἡμέρας πάντα ὑμῖν δῆλα ἐποιήσαμεν· ἓν δὲ λοιπὸν εἰπὼν, καταπαύσω τὸν λόγον, τῷ κοινῷ διδασκάλῳ τῶν μειζόνων παραχωρήσας. ἐπειδὴ γὰρ πολλοὶ τῶν ἑλλήνων ἀκούοντες, ὅτι Θεὸς ἐτέχθη ἐν σαρκὶ, καταγελῶσι διασύροντες, καὶ πολλοὺς τῶν ἀφελεστέρων θορυβοῦσι καὶ ταράττουσιν· ἀναγκαῖον καὶ πρὸς ἐκείνους, καὶ πρὸς τοὺς ταραττομένους εἰπεῖν· ὥστε μὴ θορυβεῖσθαί ποτε, ὑπὸ ἀφρόνων ἀνθρώπων ἀναπειθομένους, μήτε ταράττεσθαι ἐκ τοῦ τῶν ἀπίστων γέλωτος. καὶ γὰρ τὰ παιδία τὰ μικρὰ πολλάκις γελᾷ, σπουδαιολογουμένων ἡμῶν, καὶ περὶ τῶν ἀναγκαίων ἀσχολουμένων· ἀλλ' οὐ τῆς τῶν γελωμένων παράδειγμα εὐτελείας, ἀλλὰ τῆς τῶν γελώντων ἀνοίας τεκμήριον ὁ γέλως ἐστίν. ὅπερ οὖν καὶ ἐπὶ τῶν ἑλλήνων ἐστὶν εἰπεῖν, ὅτι παίδων ἀνοητότερον σχεδὸν διακείμενοι, τὰ φρίκης ἄξια καὶ πολλοῦ θαύματος γέμοντα διασύρουσι· τὰ δὲ ἀληθῶς καταγέλαστα σεμνύνουσι καὶ περιστέλλουσιν. ἀλλ' ὅμως καὶ τὰ ἡμέτερα παρ' ἐκείνοις γελώμενα ἐπὶ τῆς οἰκείας σεμνότητος μένει, οὐδὲν ἀπὸ τοῦ γέλωτος ἐκείνων εἰς τὴν ἑαυτῶν παραβλαπτόμενα δόξαν· καὶ τὰ αὐτῶν πάντα γοῦν περιστελλόμενα τὴν οἰκείαν ἀσχημοσύνην ἐνδείκνυται. πῶς γὰρ οὐκ ἐσχάτης παραπληξίας, αὐτοὺς μὲν [διολίαθους ὑπάρχοντας] εἰς λίθους καὶ ξύλα καὶ εὐτελῆ ξόανα τοὺς ἑαυτῶν εἰσάγοντας θεοὺς, καὶ καθάπερ ἐν δεσμωτηρίῳ τινὶ ἀποκλείοντας, μηδὲν αἰσχρὸν ἡγεῖσθαι μήτε ποιεῖν, μήτε λέγειν· ἡμῖν δὲ ἐγκαλεῖν λέγουσιν, ὅτι ναὸν ἑαυτῷ κατασκευάσας ὁ Θεὸς ζῶντα ἐκ πνεύματος ἁγίου, δι' αὐτοῦ τὴν οἰκουμένην ὠφέλησε; καὶ ποῖον ἔγκλημα τοῦτο; εἰ γὰρ αἰσχρὸν, ἐν ἀνθρωπίνῳ σώματι Θεὸν οἰκῆσαι, πολλῷ μᾶλλον ἐν λίθῳ καὶ ξύλῳ· καὶ τοσοῦτον, ὅσον λίθος καὶ ξύλον ἀτιμότερον ἀνθρώπου· εἰ μὴ ἄρα καὶ τῶν ἀναισθήτων τούτων ὑλῶν εὐτελέστερον τὸ γένος ἡμῶν αὐτοῖς εἶναι δοκεῖ. αὐτοὶ γὰρ καὶ εἰς αἰλούρους, καὶ κύνας, πολλοὶ δὲ τῶν αἱρετικῶν καὶ εἰς ἔτι τούτων ἀτιμότερα τοῦ Θεοῦ κατάγειν τολμῶσι τὴν οὐσίαν. ἡμεῖς δὲ τούτων μὲν οὐδὲν οὔτε λέγομεν, οὔτε ἀκοῦσαί ποτε ἂν ἀνασχοίμεθα· ἐκεῖνο δὲ φαμὲν, ὅτι καθαρὰν σάρκα, καὶ ἁγίαν, καὶ ἄμωμον, καὶ ἁμαρτίᾳ ἁπάσῃ γεγυμνωμένην, ἄβατον ἐκ παρθενικῆς μήτρας ἀνέλαβεν ὁ Χριστὸς, καὶ τὸ οἰκεῖον διωρθώσατο πλάσμα. κἀκεῖνοι μὲν, καὶ οἱ τὰ αὐτὰ ἀσεβοῦντες αὐτοῖς Μανιχαῖοι, εἰς κύνας, καὶ πιθήκους, καὶ θηρία παντοδαπὰ τὴν οὐσίαν εἰσάγοντες τοῦ Θεοῦ (τὴν γὰρ ψυχὴν τούτοις ἅπασιν ἐκ τῆς οὐσίας ἐκείνης εἶναι φασιν) οὐ φρίττουσιν, οὐδὲ καταδύονται· ἡμᾶς δὲ ἀνάξια τοῦ Θεοῦ λέγειν φασὶν, ὅτι τούτων μὲν οὐδὲν οὔτε εἰς νοῦν λαβεῖν ἀνεχόμεθα· ὃ δὲ αὐτῷ πρέπον ἦν καὶ προσῆκον, λέγομεν, ὅτι τὸ οἰκεῖον ἔργον ἐλθὼν διωρθώσατο τῷ τῆς γεννήσεως ταύτης τρόπῳ. τί λέγεις, εἰπέ μοι, ὦ ἄνθρωπε; τὴν τῶν

γρ. ἐκεῖθεν
...ται ἐν.
γρ. ἀριθμή-
σαντες.
γρ. πα
γρ. πότε ἐ-
γίνετο.
γρ. εἰσήρχετο
γρ. καταπαύ-
σω
γρ. τὰ μείζονα
γρ. εἰπεῖν
γρ. καὶ διασύ-
ρουσι.
γρ. φρονεστέρων
γρ. ἐπεὶ καὶ
τὰ παιδ.
γρ. τῶν γονέων
γρ. ἀτιμότερος

ἀνδροφόνον ψυχὴν, καὶ τὴν τῶν γοήτων, τῆς ὁσίας εἶναι λέγων τοῦ Θεοῦ, ἡμῖν τολμᾷς ἐγκαλεῖν, ὅτι τούτων μὲν οὐδὲν ἀνεχόμεθα, οὔτε ὑπομένομεν ἀκοῦσαι λεγόμενον, ἀλλὰ καὶ τοὺς λέγοντας ἀσεβείας κρίνομεν μετόχους· ἐκεῖνο δὲ φαμὲν, ὅτι ναὸν ἅγιον ἑαυτοῦ κατασκευάσας ὁ Θεὸς, δι᾿ ἐκείνου τὴν τῶν οὐρανῶν πολιτείαν εἰς τὸν βίον εἰσήγαγε τὸν ἡμέτερον; καὶ πῶς οὐκ ἂν εἶεν μυρίων θανάτων ἄξιοι, καὶ ὑπὲρ τῶν ἐγκλημάτων, ὧν ἡμῖν ἐγκαλεῖτε, καὶ ὑπὲρ τῶν ἀσεβημάτων, ὧν ἀσεβοῦντες οὐ παύεσθε; εἰ γὰρ ἀπρεπὲς Θεῷ, σῶμα οἰκῆσαι καθαρὸν καὶ ἄμωμον, ὡς ὑμεῖς λέγετε· πολὺ μᾶλλον ἀπρεπέστερον, τὸ τοῦ γόητος, τὸ τοῦ τυμβωρύχου, τὸ τοῦ λῃστοῦ, τὸ τοῦ πιθήκου, τὸ τοῦ κυνὸς αὐτὸ τὸ ἅγιον καὶ ἄμωμον, καὶ ἐν δεξιᾷ τοῦ πατρὸς νῦν καθεζόμενον. ποία γὰρ ἂν βλάβη τῷ Θεῷ γένοιτ᾿ ἂν ἀπὸ τῆς οἰκονομίας ταύτης, ἢ ποία κηλίς; οὐχ ὁρᾶτε τουτονὶ τὸν ἥλιον, ὃς καὶ σῶμά ἐστιν αἰσθητὸν, καὶ φθαρτὸν, καὶ ἐπίκηρον, κἂν μυριάκις ἀποπνίγησθε Ἕλληνες καὶ Μανιχαῖοι ταῦτα ἀκούοντες; οὐχ οὗτος δὲ μόνον, ἀλλὰ καὶ γῆ, καὶ θάλασσα, καὶ πᾶσα ἁπλῶς ἡ ὁρωμένη κτίσις, τῇ ματαιότητι ὑποτέτακται. καὶ ἄκουε Παύλου τοῦτο δηλοῦντος, ἐν οἷς φησι· Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ᾿ ἐλπίδι. εἶτα δηλῶν, τί ποτέ ἐστι, ματαιότητι ὑποταγῆναι, ἐπήγαγε, λέγων· Ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς, εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ. ὥστε νῦν ἐπίκηρός ἐστι, καὶ φθαρτή ἐστι. τὸ γὰρ τῇ φθορᾷ δουλεύειν, οὐδὲν ἕτερόν ἐστιν, ἢ φθαρτὸν εἶναι. εἰ τοίνυν ὁ ἥλιος, σῶμα φθαρτὸν ὢν, πολλαχοῦ τὰς ἀκτῖνας ἀφίησι, καὶ βορβόροις, καὶ μολυσμοῖς, καὶ πολλοῖς ἄλλοις τοιούτοις ὁμιλῶν πράγμασιν, οὐδὲν ἀπὸ τῆς ὁμιλίας τῶν σωμάτων εἰς τὴν οἰκείαν καθαρότητα παραβλάπτεται· ἀλλὰ καθαρὰς συστέλλει τὰς ἀκτῖνας πάλιν, τῆς οἰκείας ἀρετῆς πολλοῖς τῶν ὑποδεξαμένων αὐτὸν σωμάτων μεταδιδοὺς, τῆς δὲ δυσωδίας, καὶ τοῦ μολυσμοῦ οὐδὲ τὸ τυχὸν αὐτὸς προσλαμβάνων· πολλῷ μᾶλλον ὁ τῆς δικαιοσύνης ἥλιος, ὁ τῶν ἀσωμάτων δυνάμεων δεσπότης, εἰς καθαρὰν σάρκα ἐλθὼν, οὐ μόνον οὐκ ἐμολύνθη, ἀλλὰ καὶ αὐτὴν ταύτην καθαρωτέραν καὶ ἁγιωτέραν εἰργάσατο. ταῦτα οὖν ἅπαντα ἐννοοῦντες, καὶ μνημονεύοντες τῆς φωνῆς τῆς λεγούσης, Ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω· καὶ πάλιν, Ὑμεῖς ναὸς Θεοῦ ἐστε, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ ἐνοικεῖ ἐν ὑμῖν, καὶ ἡμεῖς πρὸς ἐκείνους λέγωμεν, καὶ τὰ ἀναίσχυντα τῶν ἀσεβῶν ἀποφράττωμεν στόματα, καὶ ἐπὶ τοῖς ἡμετέροις ἀγαθοῖς εὐφραινώμεθα, καὶ τὸν σαρκωθέντα Θεὸν δοξάζωμεν ὑπὲρ τῆς τοσαύτης συγκαταβάσεως, καὶ κατὰ δύναμιν τὴν ἡμετέραν, ἀξίαν ἀποδῶμεν αὐτῷ καὶ τὴν τιμὴν καὶ τὴν ἀμοιβήν. Θεῷ δὲ ἀμοιβὴ οὐδεμία παρ᾿ ἡμῶν γένοιτ᾿ ἂν, ἀλλ᾿ ἢ μόνον ἡ σωτηρία ἡμῶν καὶ τῶν ἡμετέρων ψυχῶν, καὶ ἡ περὶ τὴν ἀρετὴν ἐπιμέλεια. μὴ τοίνυν γενώμεθα ἀγνώμονες περὶ τὸν εὐεργέτην· ἀλλὰ τὰ κατὰ δύναμιν ἅπαντες [ἅπαντα) εἰσενέγκωμεν, πίστιν, ἐλπίδα, ἀγάπην, σωφροσύνην, ἐλεημοσύνην, φιλοξενίαν. καὶ ὃ πρώην ὑμᾶς παρεκάλεσα, τοῦτο καὶ νῦν, καὶ ἀεὶ παρακαλῶν οὐ παύσομαι. τί δὲ τοῦτό ἐστι; μέλλοντες προσιέναι τῇ φρικτῇ καὶ θείᾳ ταύτῃ τραπέζῃ, καὶ ἱερᾷ μυσταγωγίᾳ, μετὰ φόβου καὶ τρόμου τοῦτο ποιεῖτε, μετὰ καθαροῦ συνειδότος, μετὰ νηστείας καὶ προσευχῆς, μὴ θορυβοῦντες, μηδὲ λακτίζοντες, μηδὲ ὠθοῦντες τοὺς πλησίον. ἐσχάτης γὰρ τοῦτο παρανοίας, καὶ καταφρονήσεως οὐ τῆς τυχούσης. διὸ καὶ πολλὴν ἐπάγει τοῖς τὰ τοιαῦτα ποιοῦσι τὴν κόλασιν καὶ τὴν τιμωρίαν. ἐννόησον, ὦ ἄνθρωπε, ποίας μέλλεις ἅπτεσθαι θυσίας, ποίᾳ προσέρχεσθαι τραπέζῃ· ἐνθυμήθητι καὶ ὅτι γῆ ὢν, καὶ σποδὸς, αἷμα καὶ σῶμα Χριστοῦ μεταλαμβάνεις. καὶ βασιλέως μὲν εἰς εὐωχίαν καλοῦντος ὑμᾶς, μετὰ φόβου ἀνακλίνεσθε, καὶ τῶν προκειμένων μετὰ αἰδοῦς καὶ ἡσυχίας μεταλαμβάνετε ἐδεσμάτων· τοῦ Θεοῦ δὲ καλοῦντος ἐπὶ τὴν ἑαυτοῦ τράπεζαν, καὶ τὸν ἑαυτοῦ παρατιθέντος υἱὸν, ἀγγελικῶν δυνάμεων παρισταμένων μετὰ φόβου καὶ τρόμου, καὶ τῶν χερουβὶμ κατακαλυπτόντων τὰ πρόσωπα, τῶν σεραφὶμ κραζόντων τρόμῳ, Ἅγιος, ἅγιος, ἅγιος Κύριος· σὺ κράζεις, εἰπέ μοι, καὶ θορυβῇ πρὸς τὴν

πνευματικὴν

Ρωμ. η. κ.

Λευϊτ. κϛ. ιβ.
β. Κορ. ϛ. ιϛ.
α. Κορ. γ. ιϛ.

γρ. τὸν τοῦ ἀ- μαπαιδ.
γρ. μόνος,
γρ. τοῦ μολυσμοῦ τῶν σωματικῶν ῥύπων οὐ
γρ. βλάπτεται
γρ. ὁμιλίας
γρ. αὐτῷ
γρ. ἐμφράττ.
γρ. παρανομίας,
γρ. καὶ πολλὴν φέρει τοῖς
γρ. ἅπτεσθαι
γρ. ἐννόησον ὅτι πάντων ἀτοπώτατον, βασιλ.
γρ. κατακλίνεσθαι
γρ. ἄδεσθαι
γρ. οὐχὶ οἶδα

πνευματικὴν ταύτην ἑστίασιν; οὐκ οἶδας, ὅτι γαλήνης δεῖ γέμειν τὴν ψυχὴν κατ' ἐκεῖνον τὸν καιρόν; εἰρήνης πολλῆς καὶ ἡσυχίας χρεία, οὐχὶ θορύβου καὶ θυμοῦ καὶ ταραχῆς. ταῦτα γὰρ ἀκάθαρτον ποιεῖ τὴν προσιοῦσαν ψυχήν. πῶς οὖν ἂν γένοιτο ἡμῖν συγγνώμη, εἰ μετὰ τοσαῦτα ἁμαρτήματα, μηδὲ τὸν καιρὸν τῆς προσελεύσεως καθαρεύοιμεν τῶν ἀλόγων παθῶν ἐκείνων; τί δὲ ὅλως ἀναγκαιότερον τῶν προκειμένων; ἢ τί ἡμᾶς θορυβεῖ, ἵνα σπουδάσωμεν τοῦτο καταλιπόντες ἐκεῖ τρέχειν; μή, δέομαι καὶ ἀντιβολῶ, μὴ κινήσωμεν τὴν ὀργὴν τοῦ Θεοῦ καθ' ἑαυτῶν. φάρμακόν ἐστι σωτήριον τῶν ἡμετέρων τραυμάτων τὸ προκείμενον, πλοῦτός ἐστιν ἀνελλιπής, βασιλείας οὐρανῶν πρόξενος. φρίξωμεν τοίνυν προσιόντες, εὐχαριστήσωμεν, προσπέσωμεν ἐξομολογούμενοι τὰ πταίσματα ἡμῶν, δακρύσωμεν τὰ οἰκεῖα πενθοῦντες κακά, ἐκτενεῖς εὐχὰς ἀποδῶμεν τῷ Θεῷ· καὶ οὕτω διακαθάραντες ἑαυτοὺς ἠρέμα, καὶ μετὰ τῆς προσηκούσης εὐταξίας, ὡς τῷ βασιλεῖ προσιόντες τῷ οὐρανίῳ οὕτω προσέλθωμεν· καὶ δεξάμενοι τὴν ἄμωμον καὶ ἁγίαν θυσίαν καταφιλήσωμεν, τοῖς ὀφθαλμοῖς περιπτυξώμεθα, διαθερμάνωμεν ἑαυτῶν τὴν διάνοιαν. ἵνα μὴ εἰς κρίμα ἢ εἰς κατάκριμα συνερχώμεθα, ἀλλ' εἰς σωφροσύνην ψυχῆς, εἰς ἀγάπην, εἰς ἀρετήν, καὶ καταλλαγὴν τὴν πρὸς τὸν Θεόν, εἰς εἰρήνην βεβαίαν, καὶ μυρίων ἀγαθῶν ὑπόθεσιν, ἵνα καὶ ἑαυτοὺς ἁγιάσωμεν, καὶ τοὺς πλησίον οἰκοδομήσωμεν. ταῦτα συνεχῶς λέγω, καὶ λέγων οὐ παύσομαι. τί γὰρ ὄφελος, ἁπλῶς καὶ εἰκῇ τρέχειν ἐνταῦθα, μηδὲν τῶν χρησίμων μανθάνοντας; ποῖον δὲ κέρδος, ἀεὶ τὰ πρὸς χάριν ὁμιλεῖν; βραχὺς ὁ παρὼν καιρός, ἀγαπητοί· νήψωμεν, γρηγορήσωμεν, συγκροτήσωμεν ἑαυτούς, πᾶσαν σπουδὴν περὶ πάντας γνησίαν ἐπιδειξώμεθα, περὶ πάντα γενώμεθα εὐλαβεῖς. κἂν ἀκροᾶσθαι δέοι τῶν θείων λογίων, κἂν εὔχεσθαι, κἂν προσιέναι, κἂν ἕτερόν τι ποιεῖν, μετὰ φόβου καὶ τρόμου τοῦτο γινέσθω, ἵνα μὴ κατάραν ἐπισπασώμεθα διὰ τῆς ῥαθυμίας. Ἐπικατάρατος γάρ, φησι, πᾶς ὁ ποιῶν τὸ ἔργον τοῦ Κυρίου ἀμελῶς. ὁ θόρυβος καὶ ἡ κραυγή, ὕβρις εἰς τὴν προκειμένην θυσίαν ἐστί. καταφρόνησις ἐσχάτη, μεμολυσμένον ἑαυτὸν προσενέγκαι τῷ Θεῷ. ἄκουσον τί περὶ τῶν τοιούτων φησὶν ὁ ἀπόστολος· Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός. μὴ τοίνυν αἰτίᾳ καταλλαγῆς παροξύνωμεν τὸν Θεόν· ἀλλὰ πᾶσαν ἐπιμέλειαν, καὶ πάντα κόσμον ἐπιδεικνύμενοι, καὶ ἀταραξίαν ψυχῆς, μετ' εὐχῆς καὶ συντετριμμένης καρδίας προσίωμεν· ἵνα καὶ αὐτῷ τούτῳ τὸν δεσπότην ἡμῶν Ἰησοῦν Χριστὸν ἐξιλεωσάμενοι, δυνηθῶμεν ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ιερεμ. μη. ι.

α. Κορ. γ. ιζ.

Λογ. ογ. ΕΙΣ ΜΑΡΤΥΡΑΣ ΑΙΓΥΠΤΙΟΥΣ.

Εὐλογητὸς ὁ Θεός, καὶ ἐξ Αἰγύπτου μάρτυρες, Αἰγύπτου τῆς θεομάχου καὶ μανικωτάτης· καὶ ὅθεν τὰ ἄθεα στόματα, ὅθεν αἱ βλάσφημοι γλῶσσαι, ἐξ Αἰγύπτου μάρτυρες· οὐκ ἐν Αἰγύπτῳ δὲ μόνον, οὐδὲ ἐν τῇ προσοίκῳ καὶ γείτονι χώρᾳ, ἀλλὰ καὶ πανταχοῦ τῆς οἰκουμένης. καὶ καθάπερ ἐπὶ τῆς τῶν ὠνίων εὐετηρίας, ὅταν ἴδωσιν οἱ τὰς πόλεις οἰκοῦντες πλείω τῆς χρείας τῶν οἰκούντων γενομένην τὴν φοράν, καὶ πρὸς τὰς ἔξω διαπέμπουσι πόλεις, ὁμοῦ τε τὴν παρ' ἑαυτῶν ἐπιδεικνύμενοι φιλοφροσύνην, καὶ πρὸς τὴν τούτων περιουσίαν μετ' εὐκολίας, ὧν ἂν δέωνται), πάλιν ἀντωνούμενοι παρ' ἐκείνων· οὕτω καὶ οἱ Αἰγύπτιοι πεποιήκασιν ἐπὶ τῶν τῆς εὐσεβείας ἀθλητῶν· ἰδόντες τῇ τοῦ Θεοῦ χάριτι πολλὴν παρ' ἑαυτοῖς γενομένην τὴν φοράν, οὐ κατέκλεισαν ἐν τῇ πόλει τὸ μέγα τοῦτο τοῦ Θεοῦ δῶρον· ἀλλὰ πανταχοῦ τῆς γῆς ἐξέπεμψαν τοὺς τῶν ἀγαθῶν θη-

Μηνὸς Ιανου-αρ. ε.

σαυρούς, τήν τε αὐτῶν φιλαδελφίαν ἐπιδεικνύμενοι, καὶ τὸν κοινὸν πάντων δεσπότην δοξάζοντες, καὶ τὴν αὐτῶν παρὰ πᾶσι κοσμοῦντες πόλιν, καὶ μητρόπολιν τῆς οἰκουμένης ἁπάσης ἀποφαίνοντες. Εἰ γὰρ ψυχραὶ καὶ εὐτελεῖς ἀφορμαὶ, καὶ πρὸς τὸν παρόντα βίον ἡμῖν συντελοῦσαι χάριτες μόνον ἴσχυσαν τοῦτο τὸ γέρας πολλαῖς τῶν πόλεων παρασχεῖν· τὴν οὐδὲ πούτων τῶν ἐπικήρων καὶ φθαρτῶν χαριζομένην, ἀλλ' ἄνδρας πολλὴν ταῖς κληρωθείσαις αὐτοῖς πόλεσι καὶ μετὰ τελευτὴν κεκτημένους ἀσφάλειαν, πῶς οὐ δίκαιον μάλιστα πασῶν ταύτης παρ' αὐτῶν τῆς προεδρίας τυχεῖν; τὰ γὰρ τῶν ἁγίων σώματα τούτων τείχους παντὸς ἀδάμαντος καὶ ἀρραγοῦς ἀσφαλέστερον ἡμῖν τειχίζει τὴν πόλιν· καὶ καθάπερ σκόπελοί τινες ὑψηλοὶ προβεβλημένοι πανταχόθεν, οὐχὶ τὰς τῶν αἰσθητῶν τούτων καὶ ὁρωμένων ἐχθρῶν προσβολὰς ἀποκρούονται μόνον, ἀλλὰ καὶ τὰς τῶν ἀοράτων δαιμόνων ἐπιβουλὰς, καὶ πᾶσαν τοῦ διαβόλου μεθοδείαν ἀνατρέπουσί τε καὶ διαλύουσιν, οὕτως εὐκόλως, ὡς εἴ τις γενναῖος ἀνὴρ παίδων ἀθύρματα ἀνατρέψειε καὶ καταβάλοι. καὶ τὰ μὲν ἄλλα τὰ παρὰ τῶν ἀνθρώπων γινόμενα μηχανήματα, οἷον τείχη, καὶ τάφροι, καὶ ὅπλα, καὶ στρατιωτῶν πλήθη, καὶ ὅσα πρὸς ἀσφάλειαν τῶν οἰκούντων ἐπινενόηται, δυνατὸν τοῖς ἐχθροῖς ἀποκρούεσθαι ἑτέραις πλείοσι καὶ μείζοσι μηχανῶν ὑπερβολαῖς ταῖς παρ' αὐτῶν· ὅταν δὲ ἁγίων σώμασι πόλις τειχίζηται, κἂν μυρία ἐκεῖνοι δαπανῶσι χρήματα, τοιοῦτόν τι ἀντιστῆσαι μηχάνημα ταῖς ἐχούσαις αὐτοὺς πόλεσιν οὐ δυνήσονται. οὐ πρὸς ἀνθρώπων δὲ ἐπιβουλὰς μόνον, οὐδὲ πρὸς κακουργίας δαιμόνων τοῦτο ἡμῖν χρήσιμον τὸ κτῆμα, ἀγαπητέ· ἀλλὰ, κἂν ὁ κοινὸς ἡμῖν ὀργίζηται δεσπότης διὰ τὸ πλῆθος τῶν ἁμαρτημάτων, δυνησόμεθα ταῦτα προβαλλόμενοι τὰ σώματα, ταχέως αὐτὸν ἵλεω ποιῆσαι τῇ πόλει. εἰ γὰρ οἱ τὰ μεγάλα κατωρθωκότες ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων ὀνόματα προβαλλόμενοι ἁγίων ἀνδρῶν, καὶ ἐπὶ τὴν προσηγορίαν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καταφυγόντες ἐτύγχανόν τινος παραμυθίας, καὶ μεγάλην ἀπὸ τῆς μνήμης τῶν ὀνομάτων τούτων ἐκαρποῦντο τὴν ὠφέλειαν· πολλῷ μᾶλλον ἡμεῖς, ὅταν μὴ ὀνόματα μόνον προβαλλόμενοι, ἀλλὰ καὶ αὐτὰ τὰ ἀθλήσαντα σώματα, δυνησόμεθα τὸν Θεὸν ἵλεω ἔχειν καὶ ἥμερον καὶ προσηνῆ. καὶ ὅτι οὐ κόμπος τὰ παρ' ἡμῶν λεγόμενα, ἴσασι πολλοὶ καὶ τῶν ἐγχωρίων, καὶ τῶν ἑτέρωθεν ἐληλυθότων, ὅση τῶν ἁγίων τούτων ἡ δύναμις· οἳ καὶ μαρτυροῦσι τοῖς λεγομένοις, διὰ τῆς πείρας αὐτῆς μαθόντες αὐτῶν τὴν πρὸς τὸν Θεὸν παρρησίαν. καὶ μάλα εἰκότως. οὐ γὰρ ὡς ἔτυχεν ὑπὲρ τῆς ἀληθείας ἠγωνίσαντο, ἀλλ' οὕτω καρτερῶς καὶ ʹεὐτόνως ἀνέστησαν πρὸς τὴν ῥαγδαίαν καὶ ἀφόρητον τοῦ διαβόλου βίαν, ὡς ἐν λιθίνοις καὶ σιδηροῖς, ἀλλ' οὐκ ἐν φθαρτοῖς καὶ θνητοῖς ἀγωνιζόμενοι σώμασιν· ὡς ἤδη πρὸς τὴν ἀπαθῆ καὶ ἀθάνατον μεταστάντες φύσιν τὴν οὐκ εἴκουσαν ταῖς πικραῖς καὶ ὀδυνηραῖς τοῦ σώματος ἀνάγκαις. καθάπερ γάρ τινες ἄγριοι θῆρες ὠμοὶ καὶ ἀνήμεροι, τὰ σώματα κυκλώσαντες πανταχόθεν οἱ δήμιοι διώρυττον τὰς πλευρὰς, κατέξαινον τὰς σάρκας, ἐξεκάλυπτον ὀστᾶ, καὶ περιελεγχόμενοι· καὶ οὐδὲν αὐτοὺς τῆς ὠμότητος ἵστησι, τῆς ἀπανθρωπίας ἐκείνης· ἀλλὰ καὶ ʺνώτων ἁψάμενοι καὶ σπλάγχνων, καὶ εἰς τὰ ἔνδον αὐτὰ εἰσελθόντες, τὸν ἐναποκείμενον αὐτοῖς τῆς πίστεως οὐχ εὗρον ʹσυλῆσαι θησαυρόν· ἀλλὰ ταὐτὸν ἔπαθον, οἷον εἴ τινες πόλιν βασιλικωτάτην καὶ πολλοῦ γέμουσαν πλούτου καὶ ἱκανοὺς ἔχουσαν θησαυροὺς πολιορκοῦντες, καὶ καθελόντες αὐτῆς τὰ τείχη, καὶ πρὸς αὐτὰ τὰ ταμιεῖα τῶν χρημάτων ἐλθόντες, ἀνατρέψαιεν θύρας, καθέλοιεν μοχλοὺς, ἀνορύξαιεν ἔδαφος, καὶ πάντα διερευνησάμενοι μὴ δυνηθεῖεν τὸν πλοῦτον αὐτῆς ἀφαρπάσαντες ἀπελθεῖν. τοιαῦτα γάρ ἐστι τῆς ψυχῆς τὰ ʺκτήματα. οὐ προδίδοται τοῖς τοῦ σώματος πάθεσιν, ὅταν αὐτὰ κατέχῃ * μετὰ ἀσφαλείας· ἀλλὰ κἂν μέσα τις ἀναρρήξῃ τὰ στέρνα, καὶ κατὰ μικρὸν τὴν καρδίαν διέλοι λαβὼν, οὐ προήσεται τὸν ἅπαξ αὐτῇ παρὰ τῆς πίστεως ἐμπιστευθέντα θησαυρόν. τοῦτο δὲ τῆς τοῦ Θεοῦ χάριτος γέγονε τῆς πάντα οἰκονομούσης, καὶ ἐν ἀσθενοῦσι σώμασι δυναμένης παράδοξα ἐπιτελεῖν. καὶ τὸ δὴ θαυ-

μαστότερον,

γρ. γλυκ.

γρ. ἐπιτεχνικινοίαις παρ' αὐτῶν ἐπιμηχανωμέναις

γρ. δαπανήσωσι

γρ. ἵλεων

γρ. γενναίως

γρ. ἐγκάτων

γρ. σκυλεῦσαι

γρ. προσβλάπ.

* πίστεως

μαστότερον· οὐ γὰρ μόνον οὐδὲν ὑφείλοντο τοσαῦτα μανέντες τῶν ἐναποκειμένων αὐτοῖς θησαυρῶν, ἀλλὰ καὶ μετὰ πλείονος αὐτοὺς τῆς ἀσφαλείας φυλάττεσθαι "ἐποίησαν, λαμπροτέρους τε αὐτοὺς καὶ εὐπορωτέρους εἰργάσαντο. οὐκ ἔτι γὰρ ἡ ψυχὴ μόνη, ἀλλὰ καὶ αὐτὸ τὸ σῶμα πλείονος μετέλαβε τῆς χάριτος. καὶ οὐ μόνον οὐκ ἀπέβαλεν, ἣν εἶχε, μετὰ τὸ διατμηθῆναι καὶ κατακοπῆναι πολλάκις· ἀλλὰ καὶ ἐπεσπάσατο πλείονα καὶ μείζω τὴν ῥοπήν.

γρ. ποιοῦσι

Τί ταύτης γένοιτ' ἂν τῆς νίκης θαυμαστότερον, ὅτι οὓς κατεῖχον καὶ εἶχον ὑποχειρίους, καὶ δήσαντες ἔξαινον μετὰ ἐξουσίας, τούτους νικῆσαι οὐκ ἴσχυσαν, ἀλλ' ὑπὸ τούτων ἡττῶντο ἐλεεινῶς καὶ ἀθλίως; οὐ γὰρ πρὸς αὐτοὺς ἐπολέμουν, ἀλλὰ πρὸς τὸν ἐνοικοῦντα αὐτῶν Θεόν. τὸν δὲ Θεῷ πολεμοῦντα ὅτι πᾶσα ἀνάγκη μετὰ πολλῆς ἡττᾶσθαι τῆς περιουσίας, δίκην διδόντα τῆς ἐπιχειρήσεως μόνης, παντί που δῆλόν ἐστι. τοιαῦται τῶν ἁγίων αἱ νίκαι. εἰ δὲ τὰ ἀγωνίσματα καὶ τὰ παλαίσματα οὕτω θαυμαστὰ καὶ παράδοξα, τί ἂν εἴποιμεν περὶ τῶν ἐπάθλων καὶ στεφάνων τῶν ὑπὲρ τῆς αὐτῶν καρτερίας ἀποκειμένων αὐτοῖς; οὐ γὰρ δὴ μέχρι τῶν βασάνων τούτων ἔστησαν, οὐδὲ ἐνταῦθα τὸν δρόμον κατέλυσαν· ἀλλὰ περαιτέρω τὰ σκάμματα αὐτοῖς ἐξετείνετο, τοῦ μὲν πονηροῦ δαίμονος τῇ προσθήκῃ τῶν τιμωριῶν προσδοκῶντος ὑποσκελίζειν τοὺς ἀθλητάς, τοῦ δὲ φιλανθρώπου Θεοῦ συγχωροῦντος καὶ οὐ κωλύοντος· ὥστε καὶ τὴν τῶν ἀπίστων μανίαν σαφεστέραν πᾶσιν ἐπιδειχθῆναι, καὶ τούτοις λαμπροτέρους καὶ πλείους πλακῆναι τοὺς στεφάνους. καὶ καθάπερ ἐπὶ τοῦ Ἰὼβ γέγονε καὶ τοῦ διαβόλου, ὁ μὲν πλείους ᾔτει κατ' αὐτοῦ παρὰ τοῦ Θεοῦ τιμωρίας, προσδοκῶν περιέσεσθαι τῇ προσθήκῃ τῶν δεινῶν τοῦ γενναίου τῆς εὐσεβείας ἀθλητοῦ· ὁ δὲ συνεχώρει καὶ ἐχαρίζετο ταῖς πονηραῖς αἰτήσεσι τοῦ πονηροῦ δαίμονος, ἐπιφανέστερον τὸν αὐτοῦ ποιῶν ἀθλητήν· οὕτω δὴ καὶ ἐνταῦθα ἐγένετο. ἐπειδὴ γὰρ θηρίου παντὸς χαλεπώτερον τὸ σῶμα αὐτῶν πανταχόθεν διεμασήσαντο, καὶ τὴν γλῶτταν καὶ τὸ στόμα ᾕμαξεν, εἰ καὶ μὴ τοῖς αἵμασι τῶν ἁγίων, ἀλλὰ ταῖς ἀπανθρώποις καὶ ὠμαῖς ψήφοις ἐκείναις, ἡττηθεὶς ὑπὸ τῆς καρτερίας αὐτῶν, καὶ ἐμφορηθεὶς ἱκανῶς τῆς ἀπανθρώπου θοίνης ἐκείνης, καὶ κόρον λαβὼν ἀπῆλθεν. ὅρα γὰρ πόση τῶν ἁγίων ἡ ὑπομονή, ἣ τοσαύτην μανίαν τοῖς οἰκείοις ἐκόρεσε πάθεσιν. ἐπήει πάλιν ἐπαγωνιζόμενος τῇ μανίᾳ, καὶ "αὐτὰ τὰ θηρία δι' ἄλλης ὠμότητος ἐκνικῆσαι φιλονεικῶν. ἐκεῖνα γὰρ ἀνάγκῃ φύσεως πρὸς τὴν θοίνην ἔρχεται ταύτην, καὶ κορεσθέντα ἄπεισι, κἂν μυρία ἴδῃ σώματα, οὐδενὸς λοιπὸν ἐφάπτεται· οὗτος δὲ καὶ πονηρίᾳ προαιρέσεως ἐπὶ τὴν βορὰν ᾔει ταύτην, καὶ τῶν σαρκῶν αὐτῶν ἐμπλησθείς, ἑτέραν πλέκει κατ' αὐτῶν μηχανήν, μακροτάτῳ καὶ χαλεπωτάτῳ θανάτῳ τοὺς ἁγίους παραδούς. προσέταξε γὰρ ἐν τοῖς μετάλλοις αὐτοὺς ἐργάζεσθαι διηνεκῶς. ὢ τῆς ἀπονοίας· πεῖραν οὕτως ἀφῆ λαβὼν τῆς ἀνδρείας αὐτῶν καὶ τῆς ὑπομονῆς, ταύτῃ προσεδόκησε περιέσεσθαι. καὶ δὴ θηρίοις συνῴκησαν * οἱ τῶν ἀγγέλων σύνοικοι καὶ τῶν οὐρανῶν πολῖται καὶ εἰς τὴν ἄνω [λοιπὸν] γραφέντες Ἱερουσαλήμ· καὶ ἦν πάσης πόλεως λοιπὸν ἡ ἔρημος ἁγιωτέρα. ἐν μὲν γὰρ ταῖς πόλεσι τὰ παράνομα ταῦτα καὶ τυραννικὰ ἐτολμᾶτο καθ' ἑκάστην ἡμέραν ἐπιτάγματα· ἡ δὲ ἔρημος ἀτέλειαν εἶχε τῆς ἀπανθρώπου λειτουργίας. καὶ τὰ μὲν δικαστήρια [πλήρη] ἀνοσίας πράξεως ἔγεμε, καὶ ἀθέσμων ἐπιταγμάτων· αἱ δὲ ἐρημίαι τοὺς πάντων ἀνθρώπων εὐνομωτέρους εἶχον πολίτας, τοὺς ἐξ ἀνθρώπων ἀγγέλους γεγενημένους, καὶ πρὸς τὸν οὐρανὸν ἡ ἔρημος ἡμιλλᾶτο, τόγε ἐκ τῆς ἀρετῆς τῶν οἰκούντων πολιτῶν. καὶ φύσει μὲν ἦν ἡ τιμωρία χαλεπωτάτη, τῇ δὲ προθυμίᾳ τῶν ἀγωνιζομένων ἐγένετο" κούφη καὶ φορητή. πολλαπλάσιον τότε ἐνόμιζον ὁρᾶν τὸ φῶς· καὶ τὸ εἰρημένον παρὰ τῷ προφήτῃ, ὅτι Ἡ σελήνη ἔσται ὡς ὁ ἥλιος, ὁ δὲ ἥλιος ἑπταπλασίων, τοῦτο ἀπειληφέναι τὸ φῶς ἤδη ἐνόμιζον. οὐ γάρ ἐστιν, οὐκ ἔστι ψυχῆς "εὐθυμότερον καταξιουμένης ὑπὲρ Χριστοῦ παθεῖν τι τῶν δεινῶν καὶ ἀφορήτων εἶναι δοκούντων ἡμῖν. ἤδη πρὸς τὸν οὐρανὸν μεθεστάναι καὶ μετ' ἀγγέλων χορεύειν ἐνόμιζον. τί γὰρ μᾶλλον

γρ. ταῦτα

* οἱ ἅγιοι

ᾳδία καὶ
ἄπορος.

εὐθυμό-
τερόν τι

Ησ. λ. κϛ.

Ματθ. ιη. κ.

Εβ. ια. λζ.

αὐτοῖς οὐρανοῦ καὶ ἀγγέλων ἔδει, τοῦ τῶν ἀγγέλων δεσπότου μετ' αὐτῶν ὄντος Ἰησοῦ ἐπὶ τῆς ἐρήμου; εἰ γάρ, ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ αὐτοῦ ὄνομα, ἐκεῖ ἐστιν ἐν μέσῳ αὐτῶν· πολλῷ μᾶλλον ἐν μέσῳ ἐκείνων ἦν, οἵ γε συνειλεγμένοι, οὐχ ὡς εἰς τὸ ὄνομα, ἀλλ' ὑπὲρ τοῦ ὀνόματος κολαζόμενοι διηνεκῶς. ἴστε γάρ, ἴστε σαφῶς, ὅτι τῆς τιμωρίας ταύτης οὐκ ἔστιν ἑτέρα χαλεπωτέρα, καὶ ὅτι μυρίους θανάτους ἄλλους ἂν εἵλοντο ὑπομεῖναι οἱ ταύτῃ τῇ ψήφῳ καταδικαζόμενοι, ἢ τὸ τῆς ὀδύνης ἀνέχεσθαι τῆς ἐκεῖθεν γινομένης. παρεδόθησαν μετάλλοις, ἔνθα χαλκὸν ἀνορύττειν ἔδει, αὐτοὶ μετάλλου χρυσίου ὄντες τιμιώτεροι, καὶ ἀσύλου χρυσίου, οὐ καταδίκων ἀνορυττομένου χερσίν, ἀλλὰ πιστῶν ἀνδρῶν προθυμίᾳ εὑρεθέντος. εἰργάζοντο μέταλλα οἱ μυρίων γέμοντες θησαυρῶν. τί τῆς ζωῆς ἐκείνης πικρότερον καὶ ἡδύτερον; ἑώρων καὶ εἰς ἑαυτοὺς ἐκβαίνοντα τὰ περὶ τῶν μεγάλων ἐκείνων ἀνδρῶν διηγήματα. ἃ γὰρ περὶ τῶν ἁγίων διέξεισι λέγων ὁ Παῦλος, Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος, ἐν ἐρημίαις πλανώμενοι, καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς, ταῦτα καὶ ἐπὶ τῆς γενεᾶς ἐγένετο τῆς ἡμετέρας. ταῦτ' οὖν εἰδότες καὶ ἡμεῖς, ἀγαπητοί, ὅτι καὶ νῦν, καὶ πάλαι, ἐξ οὗ γεγόνασιν ἄνθρωποι, ἅπαντες οἱ τῷ Θεῷ φίλοι τῷ στενῷ καὶ ἐπιμόχθῳ καὶ μυρίων γέμοντι δεινῶν ἐκληρώθησαν βίῳ· μὴ τὸν ὑγρὸν καὶ διαλελυμένον καὶ τὸν ἀνέσεως γέμοντα διώκωμεν βίον, ἀλλὰ τὸν ἐπίμοχθον, τὸν ἐπίπονον, τὸν θλίψεις ἔχοντα καὶ ταλαιπωρίας. ὥσπερ γὰρ οὐκ ἔστι τὸν ἀγωνιζόμενον δι' ὕπνου καὶ ῥᾳθυμίας καὶ τρυφῆς τῶν στεφάνων ἐπιτυχεῖν, οὐδὲ τὸν στρατιώτην τῶν τροπαίων, οὐδὲ τὸν κυβερνήτην τοῦ λιμένος, οὐδὲ τὸν γηπόνον τῆς ἅλω πεπληρωμένης· οὕτως οὐδὲ τὸν πιστὸν διὰ ῥᾳθυμίας τὸν ἑαυτοῦ βίον διαγαγόντα τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν. πῶς οὖν οὐκ ἄτοπον ἐν μὲν τοῖς βιωτικοῖς ἅπασι τοὺς πόνους προκεῖσθαι περὶ τῆς ἡδονῆς, καὶ τοὺς κινδύνους περὶ τῆς ἀσφαλείας, καὶ ταῦτα εὐτελοῦς καὶ μικρᾶς τῆς ἀπὸ τῶν πόνων ἐκείνων προσδοκίας μενούσης· ἔνθα δὲ οὐρανὸς προκείμενος ᾖ, καὶ ἀγγέλων τιμή, καὶ ζωὴ πέρας οὐκ ἔχουσα, καὶ ἡ μετ' ἀγγέλων διατριβή, καὶ τὰ ἀγαθά, ἃ μηδὲ ἐννοῆσαι ἢ εἰπεῖν δυνατόν, προσδοκᾶν διὰ ῥᾳθυμίας καὶ ῥᾳστώνης καὶ διαλελυμένης ψυχῆς αὐτῶν ἐπιτεύξεσθαι, καὶ μηδὲ τῆς αὐτῆς αὐτὰ τοῖς βιωτικοῖς σπουδῆς ἀξιοῦν; μή, παρακαλῶ, μὴ οὕτω κακῶς περὶ ἑαυτῶν καὶ τῆς ἑαυτῶν βουλευώμεθα σωτηρίας· ἀλλ' εἰς τοὺς ἁγίους τούτους ὁρῶντες, τοὺς γενναίους καὶ καρτερικοὺς ἀθλητάς, τοὺς ἀντὶ φωστήρων δεδομένους ἡμῖν, πρὸς τὴν τούτων καρτερίαν καὶ τὴν ὑπομονὴν τὸν ἑαυτῶν διευθύνωμεν βίον· ἵνα ταῖς εὐχαῖς αὐτῶν δυνηθῶμεν μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἰδεῖν τε αὐτοὺς καὶ ἀσπάσασθαι, καὶ πρὸς τὰς οὐρανίους αὐτῶν καταχθῆναι σκηνάς· ὧν γένοιτο πάντας ἡμᾶς τυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χ. ἐκεῖ γινομένη.

Λογ. οδ.

ΕἸΣ ΤΟ ΑΓΙΟΝ ΚΑΙ ΣΩΤΗΡΙΟΝ ΒΑΠΤΙΣμα τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ πρὸς τοὺς ἀπολιμπανομένους τῶν θείων συνάξεων, καὶ περὶ τῶν ἀναξίως κοινωνούντων, καὶ ὅτι οἱ ἀτέλεστον καταλιμπάνοντες τὴν θείαν λειτουργίαν, καὶ πρὸ τῆς τελευταίας εὐχῆς ἐξερχόμενοι, τὸν Ἰούδαν μιμοῦνται.

Πάντ

Μηνὸς Ἰαννουαρ. ς.

ΠΑντες ὑμεῖς ἐν εὐθυμίᾳ σήμερον, ἐγὼ δὲ ἐν ὀδύνῃ μόνος. ὅταν γὰρ εἰς τὸ πέλαγος ἀπίδω τοῦτο τὸ πνευματικὸν, καὶ τὸν ἄπειρον τῆς ἐκκλησίας θεάσωμαι πλοῦτον, εἶτα λογίσωμαι ὅτι τῆς ἑορτῆς παρελθούσης καὶ τὸ πλῆθος ἡμῖν τοῦτο πάλιν ″ἀποπτῆσαν οἰχήσεται, δάκνομαι καὶ ὀδυνῶμαι τὴν ψυχήν· ὅτι τοσαῦτα ″τεκοῦσα τέκνα ἡ ἐκκλησία, οὐ καθ᾽ ἑκάστην σύναξιν ἀπολαύειν αὐτῶν δύναται, ἀλλ᾽ ἐν ἑορτῇ μόνον. πόσον ἦν ἀγαλλίαμα πνευματικὸν, πόση χαρὰ, πόση δόξα Θεοῦ, πόση ψυχῶν ὠφέλεια, εἰ καθ᾽ ἑκάστην σύναξιν οὕτω πεπληρωμένους ἑωρῶμεν τοὺς περιβόλους τῆς ἐκκλησίας; νῦν δὲ ναῦται μὲν καὶ κυβερνῆται πάντα ποιοῦσιν ὅπως τὸ πέλαγος ″διαδράμοιεν, καὶ πρὸς τὸν λιμένα καταντήσωσιν· ἡμεῖς δὲ διαπαντὸς πελάγιοι σαλεύειν φιλονεικοῦμεν, ἐν ταῖς τῶν βιωτικῶν πραγμάτων τρικυμίαις συνεχῶς [ποντούμενοι,] καὶ ἐν ταῖς ἀγοραῖς καὶ ἐν τοῖς δικαστηρίοις ″στρεφόμενοι· ἐνταῦθα δὲ ἅπαξ, ἢ δεύτερον μόλις τοῦ παντὸς ἀπαντῶντες ἐνιαυτοῦ. ἢ ἀγνοεῖτε, ὅτι καθάπερ λιμένας ἐν πελάγει, οὕτω τὰς ἐκκλησίας ἐν ταῖς πόλεσιν ἔπηξεν ὁ Θεός· ἵνα ″ἐκ τῆς ζάλης τῶν βιωτικῶν ″φροντίδων ἐνταῦθα καταφεύγοντες, γαλήνης μεγίστης ἀπολαύωμεν; οὐδὲ γὰρ κυμάτων ἐστὶν ἐνταῦθα δεῖσαι τρικυμίαν, οὐ λῃστῶν ἐπιδρομὰς, οὐ κακούργων ἐφόδους, οὐ πνευμάτων βίας, οὐ θηρίων ἐπιβουλάς. λιμὴν γάρ ἐστιν ἁπάντων τούτων ἀπηλλαγμένος, λιμήν ἐστι ψυχῶν πνευματικός. καὶ τῶν λεγομένων μάρτυρες ὑμεῖς. εἰ γάρ τις ὑμῶν τὸ συνειδὸς ἀναπτύξειε νῦν, πολλὴν ἔνδον εὑρήσει τὴν ἡσυχίαν. οὐ θυμὸς ″παρενοχλεῖ, οὐκ ἐπιθυμία φλέγει, οὐ βασκανία τήκει, οὐκ ἀπόνοια ″φυσᾷ, οὐ κενοδοξίας ἔρως διαφθείρει· ἀλλὰ πάντα ταῦτα κατέσταλται τὰ θηρία· καθάπερ θείας τινὸς ἐπῳδῆς τῆς τῶν θείων γραφῶν ἀκροάσεως διὰ τῆς ἑκάστου ἀκοῆς πρὸς τὴν ψυχὴν εἰσιούσης, καὶ κοιμιζούσης τὰ ἄλογα ταῦτα πάθη. πόσης οὖν ἀθλιότητος οὐκ ἂν εἴη, τοσαύτης μέλλοντας ἀπολαύσεσθαι φιλοσοφίας, μὴ συνεχῶς ἐπιχωριάζειν καὶ φοιτᾶν ″παρὰ τὴν κοινὴν ἁπάντων ἡμῶν μητέρα, τὴν ἐκκλησίαν λέγω; ποίαν γὰρ ἂν ἔχεις, εἰπέ μοι ταύτης ἀναγκαιοτέραν διατριβήν; τίνα δὲ χρησιμωτέραν συνουσίαν; τί δὲ ἐμπόδιον τῆς ἐνταῦθα διατριβῆς; πάντως μοι τὴν πενίαν ἐρεῖς κώλυμά σοι γίνεσθαι τοῦ καλοῦ τοῦδε συλλόγου· ἀλλ᾽ οὐκ εὔλογος ἡ πρόφασις. ἑπτὰ ἡμέρας ἡ ἑβδομὰς ἔχει. τὰς ἑπτὰ ταύτας ἐμερίσατο πρὸς ἡμᾶς ὁ Θεός· καὶ οὐχ ἑαυτῷ μὲν τὸ πλέον, ἡμῖν δὲ τὸ ἔλαττον ἔδωκε, μᾶλλον δὲ οὐδὲ ἐξ ἡμισείας αὐτὰς διενείματο. οὐκ ἔλαβε τρεῖς, καὶ ἔδωκε τρεῖς, ἀλλά σοι μὲν ἀπένειμεν ἕξ, ἑαυτῷ δὲ κατέλιπε μίαν· καὶ οὐδὲ ἐν ταύτῃ τῇ ὅλῃ ἀνέχῃ τῶν βιωτικῶν ἀπηλλάχθαι ″πραγμάτων, ἀλλ᾽ ὅπερ οἱ τὰ ἱερὰ συλῶντες χρήματα ποιοῦσι, τοῦτο καὶ σὺ ἐπὶ τῆς ἡμέρας ταύτης τολμᾷς, αὐτὴν οὖσαν ἱερὰν καὶ ἀνακειμένην τῇ τῶν πνευματικῶν ἀκροάσει λογίων ἁρπάζων καὶ καταχρώμενος εἰς βιωτικὰς φροντίδας; τί δὲ λέγω περὶ ἡμέρας ὁλοκλήρου; ὅπερ ἐπὶ τῆς ἐλεημοσύνης ἐποίησεν ἡ χήρα, τοῦτο ποίησον καὶ σὺ ἐπὶ τοῦ καιροῦ τῆς ἡμέρας· καὶ καθάπερ ἐκείνη δύο κατέβαλεν ὀβολοὺς, καὶ πολλὴν παρὰ τοῦ Θεοῦ ἐπεσπάσατο τὴν εὔνοιαν, οὕτω καὶ σὺ δύο δάνεισον ὥρας τῷ Θεῷ, καὶ μυρίων ἡμερῶν κέρδος εἰς τὴν οἰκίαν εἰσάξεις τὴν σήν. εἰ δὲ οὐκ ἀνέχῃ, σκόπει μήποτε μικρὸν ἡμέρας μέρος οὐ βουλόμενος ἑαυτὸν ἀποστῆσαι τῶν γηΐνων κερδῶν, ὁλοκλήρων ἐνιαυτῶν ″ἀπολέσῃς πόνους. οἶδε γὰρ ὁ Θεὸς καταφρονούμενος καὶ τὰ συλλεγέντα κενοῦν χρήματα, ὥσπερ οὖν καὶ Ἰουδαίοις ἀπειλῶν ἔλεγεν, ἐπειδὴ τῆς περὶ τὸν ναὸν κατεφρόνουν ἐπιμελείας· Εἰσηνέγκατε αὐτὰ εἰς τοὺς οἴκους ὑμῶν, καὶ ἐξεφύσησα αὐτὰ, λέγει Κύριος. τί γὰρ, εἰπέ μοι, διαλέξαι σοι τῶν ἀναγκαίων δυνησόμεθα ἅπαξ τοῦ ἐνιαυτοῦ ἢ δεύτερον παρ᾽ ἡμῖν φοιτῶντα περὶ ψυχῆς, περὶ σώματος, περὶ ἀθανασίας, περὶ

βασιλείας

Ἀγγ. α. θ.

γρ. ἀποδημοῦν-
ω
γρ. ἔχουσα
γρ. διαδράμωσι,
γρ. συμφερόμενοι·
γρ. ὑπὸ
γρ. θορύβων
γρ. ἐνοχλεῖ
γρ. φυσιοῖ,
γρ. περὶ
γρ. φροντίδων,
γρ. ἀπολέσεις

βασιλείας τῶν οὐρανῶν, περὶ κολάσεως, περὶ γεέννης, περὶ μακροθυμίας Θεοῦ, περὶ συγγνώμης, περὶ μετανοίας, περὶ βαπτίσματος, περὶ ἁμαρτημάτων ἀφέσεως, περὶ τῆς κτίσεως ταύτης τῆς ἄνω, τῆς κάτω, περὶ ἀνθρώπων φύσεως, περὶ ἀγγέλων, * περὶ τῆς τῶν δαιμόνων κακουργίας, περὶ τῶν μεθοδειῶν τοῦ διαβόλου, περὶ πολιτείας, περὶ δογμάτων, περὶ τῆς ὀρθῆς πίστεως, περὶ τῶν διεφθαρμένων" αἱρέσεων; ταῦτα γὰρ, καὶ πολλῷ πλείονα τούτων τὸν Χριστιανὸν εἰδέναι χρὴ, καὶ τούτων ἁπάντων ἀποδιδόναι λόγον τοῖς ἐρωτῶσιν ὑμᾶς; ὑμεῖς δὲ οὐδὲ τὸ πολλοστὸν τούτων εἰδέναι δυνήσεσθε μέρος, ἅπαξ ἐνταῦθα, καὶ τοῦτο παρέργως," συναγόμενοι, καὶ διὰ συνήθειαν ἑορτῆς, οὐ δι' εὐλάβειαν ψυχῆς. ἀγαπητὸν γὰρ, εἰ καθ' ἑκάστην σύναξιν ἐνταῦθά τις ἀπαντῶν δυνηθείη μετ' ἀκριβείας ἅπαντα ταῦτα κατασχεῖν. οἰκέτας ἔχετε πολλοὶ τῶν ἐνταῦθα παρόντων καὶ υἱοὺς, καὶ μέλλοντες αὐτοὺς παραδιδόναι τοῖς τῶν τεχνῶν ἐπιστάταις, ὧν ἂν" ἕλοισθε, τὴν οἰκίαν αὐτοῖς τὴν ὑμετέραν ἄβατον ποιεῖτε καθάπαξ, καὶ στρώματα καὶ τροφὰς καὶ τὴν ἄλλην ἅπασαν αὐτοῖς παρασκευάσαντες διακονίαν, τῷ διδασκάλῳ συγκατοικίζετε, ἀπείργοντες αὐτοὺς τῆς οἰκίας ἐπιβαίνειν τῆς ὑμετέρας, ἵνα ἡ συνεχὴς ἐκεῖ διατριβὴ τὴν διδασκαλίαν ἀκριβεστέραν ἐργάσηται, μηδεμιᾶς φροντίδος τὴν σχολὴν διακοπτούσης· νυνὶ δὲ οὐ τέχνην τὴν τυχοῦσαν, ἀλλὰ τὴν πασῶν μείζονα μανθάνειν μέλλοντες, πῶς ἀρέσαι Θεῷ δεῖ, καὶ τῶν οὐρανίων ἐπιτυχεῖν, παρέργως ἡγεῖσθε δύνασθαι τοῦτο κατορθοῦν; καὶ πόσης τοῦτο ἀνοίας; ὅτι γὰρ μάθησις τὸ πρᾶγμά ἐστι πολλῆς" δεομένη τῆς προσοχῆς, ἄκουσον τί φησι· Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ. καὶ πάλιν ὁ προφήτης· Δεῦτε τέκνα, ἀκούσατέ μου· φόβον Κυρίου διδάξω ὑμᾶς. καὶ πάλιν, Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι Θεός· ὥστε σχολῆς πολλῆς χρεία τῷ μέλλοντι ταύτης ἀπολαύσεσθαι τῆς φιλοσοφίας.

* περὶ ἀρχαγγέλων,
γρ. δογμάτων,
γρ. συλλεγόμ.
γρ. ἐθέλετε,
γρ. δεόμενον
Ματθ. κζ. κζ.
Ψαλ. λγ. ιβ.
Ψαλ. με. ι.

Ἀλλὰ γὰρ ἵνα μὴ τὸν χρόνον ἅπαντα εἰς" ἔγκλημα τῶν ἀπολιμπανομένων ἀναλώσωμεν, ἀρκεσθέντες τοῖς εἰρημένοις εἰς τὴν τῆς ἐκείνων ῥᾳθυμίας διόρθωσιν, φέρε τι περὶ τῆς παρούσης ἑορτῆς φιλοσοφήσωμεν. πολλοὶ γὰρ τὰς μὲν ἑορτὰς ἄγουσι, καὶ τὰ ὀνόματα αὐτῶν ἴσασι, τὰς δὲ ὑποθέσεις ὅθεν ἐτέχθησαν ἀγνοοῦσιν. ὅτι μὲν οὖν ἐπιφάνεια ἡ παροῦσα λέγεται ἑορτὴ, δῆλόν ἐστι πᾶσι· τίς δέ ἐστιν ἡ ἐπιφάνεια αὕτη, καὶ πότερον μία τίς ἐστιν, ἢ δύο, τοῦτο οὐκέτι ἴσασιν· ὅπερ ἐσχάτης αἰσχύνης ἂν εἴη καὶ πολλοῦ τοῦ καταγέλωτος, καθ' ἕκαστον ἐνιαυτὸν τὴν ἑορτὴν ταύτην ἄγοντας, τὴν ὑπόθεσιν αὐτῆς ἀγνοεῖν. πρῶτον μὲν οὖν ἀναγκαῖον εἰπεῖν πρὸς τὴν ὑμετέραν ἀγάπην, ὅτι οὐ μία τίς ἐστιν ἐπιφάνεια, ἀλλὰ δύο. μία μὲν ἡ παροῦσα αὕτη καὶ γενομένη, δευτέρα δὲ ἡ μέλλουσα, καὶ κατὰ τὴν συντέλειαν ἐνδόξως γενησομένη. καὶ περὶ ἑκατέρας αὐτῶν ἠκούσατε σήμερον Παύλου Τίτῳ διαλεγομένου καὶ λέγοντος οὕτω· περὶ μὲν τῆς παρούσης, Ἐπεφάνη ἡ τοῦ Θεοῦ χάρις ἡ σωτήριος πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν, καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι· περὶ δὲ τῆς μελλούσης, "Προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ ὁ προφήτης δὲ περὶ αὐτῆς ἐκείνης ἔλεγεν οὕτως· Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ. ἀλλὰ τίνος ἕνεκεν οὐχὶ ἡ ἡμέρα, καθ' ἣν ἐτέχθη, ἀλλ' ἡ ἡμέρα, καθ' ἣν ἐβαπτίσθη, ἐπιφάνεια λέγεται; αὕτη γάρ ἐστιν ἡ ἡμέρα, καθ' ἣν ἐβαπτίσατο, καὶ τὴν τῶν ὑδάτων ἡγίασε φύσιν. διά τοι τοῦτο καὶ ἐν μεσονυκτίῳ κατὰ τὴν ἑορτὴν ταύτην ἅπαντες" ὑδρεύονται καὶ οἴκαδε τὰ νάματα ἀποτίθενται, καὶ [εἰς] ἐνιαυτὸν ὁλόκληρον φυλάττουσιν, ἅτε δὴ σήμερον ἁγιασθέντων τῶν ὑδάτων· καὶ τὸ σημεῖον γίνεται ἐναργές, οὐ διαφθειρομένης τῆς τῶν ὑδάτων ἐκείνων φύσεως τῷ μήκει τοῦ χρόνου, ἀλλ' εἰς ἐνιαυτὸν" ὁλόκληρον καὶ δύο

γρ. τὰ ἐγκλήματα
Τιτ. β. ια. ιγ.
γρ. ἀπεκδεχ.
Ιωήλ β. λα.
γρ. ὑδρευσάμενοι οἴκαδε
γρ. ὅλον

καὶ τρία πολλάκις ἔτη τοῦ σήμερον ἀντληθέντος ὕδατος ἀκεραίου καὶ νεαροῦ μένοντος, καὶ μετὰ τοσοῦτον χρόνον τοῖς ἄρτι τῶν πηγῶν ἐξαρπασθεῖσιν ὕδασιν ἁμιλλωμένου. τίνος οὖν ἕνεκεν αὕτη ἐπιφάνεια λέγεται; ἐπειδὴ οὐχ ὅτε ἐτέχθη, τότε πᾶσιν ἐγένετο κατάδηλος· ἀλλ' ὅτε ἐβαπτίζετο. μέχρι γὰρ ταύτης ἠγνοεῖτο τῆς ἡμέρας τοῖς πολλοῖς. καὶ ὅτι ἠγνόουν αὐτὸν οἱ πολλοὶ, καὶ οὐκ ᾔδεισαν ὅστις ποτὲ ἦν, ἄκουσον τοῦ Ἰωάννου λέγοντος· Μέσος ὑμῶν ἕστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε. καὶ τί θαυμαστὸν, εἰ οἱ ἄλλοι ''ἠγνόουν, ὅπουγε καὶ αὐτὸς αὐτὸν ἠγνόει ὁ βαπτιστὴς ἕως τῆς ἡμέρας ἐκείνης. Καὶ γὰρ ἐγὼ, φησιν, οὐκ ᾔδειν αὐτὸν, ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν, ἐφ' ὃν ἂν ἴδῃς πνεῦμα καταβαῖνον*, καὶ μένον ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ. ὅτι μὲν οὖν ἐπιφάνειαι δύο, δῆλον ἐκ τούτων· τίνος δὲ ἕνεκεν ἐπὶ τὸ βάπτισμα ἔρχεται ὁ Χριστὸς, ἀναγκαῖον εἰπεῖν, καὶ ἐπὶ ποῖον ἔρχεται βάπτισμα. καὶ γὰρ καὶ τοῦτο ἀναγκαῖον εἰδέναι, ὥσπερ οὖν κἀκεῖνο. καὶ τοῦτο πρότερον διδάξαι χρὴ τὴν ὑμετέραν ἀγάπην. ἀπὸ γὰρ τούτου κἀκεῖνο εἰσόμεθα. βάπτισμα ἦν τὸ Ἰουδαϊκὸν τὸ ῥύπων σωματικῶν ἀπαλλάττον· οὐ τῶν κατὰ τὸ συνειδὸς ἁμαρτημάτων. οὐ γὰρ, εἴ τις μοιχείαν εἰργάσατο, οὐδ' εἴ τις κλοπὴν ἐτόλμησεν, οὐδ' εἴ τις ἄλλο τι τοιοῦτον παρωνόμησεν, ἀπήλλαττεν αὐτὸν τῶν ἐγκλημάτων· ἀλλ' εἴ τις ὀστῶν ἥψατο νεκρῶν, εἴ τις μὴ νενομισμένης ἐγεύσατο τροφῆς, εἴ τις ἐκ φθορᾶς παρεγένετο, εἴ τις λεπροῖς συνεγίνετο*. Λούσεται γὰρ τὸ σῶμα αὐτοῦ ὕδατι καθαρῷ, φησιν, καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας, καὶ καθαρισθήσεται. οὐ γὰρ ἀληθῶς ἁμαρτία ταῦτα ἦν, οὐδὲ ἀκαθαρσία· ἀλλ' ἀτελεστέρους ὄντας διὰ τῶν τοιούτων ποιῶν εὐλαβεστέρους ὁ Θεὸς, πρὸς τὴν τῶν μειζόνων παρατήρησιν ἀκριβεστέρους ἄνωθεν παρεσκεύασε. τὸ μὲν οὖν Ἰουδαϊκὸν καθάρσιον ἁμαρτημάτων μὲν οὐκ ἀπήλλαττε, ῥύπων δὲ σωματικῶν μόνον· τὸ δὲ ἡμέτερον οὐ τοιοῦτον, ἀλλὰ πολλῷ μεῖζον καὶ πολλῆς γέμον χάριτος. καὶ γὰρ ἁμαρτημάτων ἀπαλλάττει, καὶ ψυχὴν ἀποσμήχει, καὶ πνεύματος δίδωσι χορηγίαν. τὸ δὲ τοῦ Ἰωάννου τοῦ μὲν Ἰουδαϊκοῦ σφόδρα ὑψηλότερον ἦν, τοῦ δὲ ἡμετέρου ''ταπεινότερον, καθάπερ γέφυρά τις ὂν ἑκατέρων τῶν βαπτισμάτων, ἀπ' ἐκείνου πρὸς τοῦτο χειραγωγοῦν. οὐ γὰρ δὴ εἰς παρατήρησιν καθαρμῶν σωματικῶν αὐτοὺς ἐνῆγεν, ἀλλ' ἀποστῆσαν ἐκείνων παρῄνει, καὶ συνεβούλευε μεταβαλεῖν ἀπὸ κακίας εἰς ἀρετὴν, καὶ ἐν τοῖς τῶν ἔργων κατορθώμασι τὰς ἐλπίδας τῆς σωτηρίας ἔχειν, οὐκ ἐν βαπτισμοῖς διαφόροις καὶ καθαρμοῖς ὑδάτων. οὐ γὰρ ἔλεγε, πλῦνον τὰ ἱμάτιά σου, καὶ λοῦσον τὸ σῶμά σου, καὶ ἔσῃ καθαρός· ἀλλὰ τί; Ποιήσατε καρπὸν ἄξιον τῆς μετανοίας. καὶ κατὰ τοῦτο ὑψηλότερον ἦν τοῦ Ἰουδαϊκοῦ, τοῦ δὲ ἡμετέρου ταπεινότερον· ἐπειδὴ μήτε πνεῦμα ἅγιον ἐδίδου τὸ βάπτισμα Ἰωάννου, μήτε τὴν διὰ τῆς χάριτος παρεῖχε συγχώρησιν. μετανοεῖν γὰρ ἐκέλευεν, οὐκ ἀφιέναι κύριος ἦν. διὸ καὶ ἔλεγεν· Ἐγὼ μὲν ὑμᾶς βαπτίζω ἐν ὕδατι*· ἐκεῖνος δὲ ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί. ἀναμνήσθητί μοι τῆς ἡμέρας ἐκείνης, καθ' ἣν ὤφθησαν τοῖς ἀποστόλοις διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρὸς, καὶ ἐκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν. καὶ ὅτι τὸ βάπτισμα Ἰωάννου ἀτελὲς ἦν, οὔτε πνεύματος χορηγίαν ἔχον, οὔτε ἁμαρτημάτων ἄφεσιν, δῆλον ἐκεῖθεν. εὑρὼν γὰρ τινὰς μαθητὰς ὁ Παῦλος ''φησι πρὸς αὐτοὺς, Εἰ πνεῦμα ἅγιον ἐλάβετε πιστεύσαντες; οἱ δὲ εἶπον [πρὸς αὐτὸν,] ἀλλ' οὐδὲ, εἰ πνεῦμα ἅγιόν ἐστιν, ἠκούσαμεν. λέγει οὖν αὐτοῖς· Εἰς τί οὖν ἐβαπτίσθητε; οἱ δὲ εἶπον, Εἰς τὸ Ἰωάννου βάπτισμα. εἶπε δὲ Παῦλος, Ἰωάννης μὲν ἐβάπτισε βάπτισμα μετανοίας· μετανοίας, οὐκ ἀφέσεως. καὶ τίνος ἕνεκεν ἐβάπτισε; τῷ λαῷ λέγων, Εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν ἵνα πιστεύσωσι, τουτέστιν, εἰς τὸν Κύριον Ἰησοῦν. καὶ ἀκούσαντες ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ· καὶ ἐπιθέντος αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας, ἦλθε τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτούς. εἶδες πῶς ἀτελὲς ἦν τὸ Ἰωάννου βάπτισμα; εἰ γὰρ μὴ ἦν ἀτελὲς, οὐκ ἂν αὐτοὺς πάλιν ἐβάπτισεν ὁ Παῦλος· οὐκ ἂν αὐτοῖς τὰς χεῖ-

ρας

γρ. οὐκ ᾔδεισαν αὐτόν

* ὡς περιστεράν

γρ. ἐποίησεν

* ἐλούετο, καὶ μέχρι τῆς ἑσπέρας ἀκάθαρτος ἦν· εἶτα ἐκαθαίρετο.

γρ. ὑποδεέστερον

* εἰς μετάνοιαν

γρ. εἶπεν αὐτοῖς

Ιωαν. α. κϛ.

Ιωαν. α. κα.

Λευϊτ. ιε. ζ.

Ματθ. γ. η.

Ματθ. γ. ια.

Πραξ. ιθ. β.]

ρας ἐπέθηκε· νυνὶ δὲ ἀμφότερα ταῦτα ποιήσας, ἐδήλωσε τὴν ὑπεροχὴν τοῦ βαπτίσματος τοῦ ἀποστολικοῦ, καὶ ὅτι ἐκεῖνο τούτου πολὺ κατώτερον ἦν. ἀλλὰ τὴν μὲν τῶν "βαπτισμάτων διαφορὰν ἐκ τούτων ἐμάθομεν· τίνος δὲ ἕνεκεν ὁ Χριστὸς βαπτίζεται, καὶ ποῖον βάπτισμα βαπτίζεται, λοιπὸν ἀναγκαῖον εἰπεῖν. οὔτε τὸ Ἰουδαϊκὸν τὸ πρότερον, οὔτε τὸ ἡμέτερον τὸ μετὰ ταῦτα. οὔτε γὰρ ἁμαρτημάτων συγχωρήσεως ἐδεῖτο. πῶς γάρ, ὁ μηδεμίαν ἁμαρτίαν ἔχων; Ἁμαρτίαν γάρ, φησιν, οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. καὶ πάλιν· Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; (Ιωαν. η μς.) οὔτε πνεύματος ἄμοιρος ἦν ἐκείνη ἡ σάρξ. πῶς γὰρ ἄν, ἡ ἐκ πνεύματος ἁγίου κατασκευασθεῖσα τὴν ἀρχήν; εἰ τοίνυν μήτε πνεύματος ἁγίου ἄμοιρος ἦν ἡ σὰρξ ἐκείνη, μήτε "ἁμαρτήμασιν ὑπεύθυνος, τίνος ἕνεκεν ἐβαπτίζετο; ἀλλὰ πρότερον ἀναγκαῖον "μαθεῖν ποῖον ἐβαπτίσατο βάπτισμα, καὶ τότε καὶ τοῦτο σαφέστερον ἡμῖν γενήσεται. ποῖον οὖν ἐβαπτίσατο*; οὔτε τὸ Ἰουδαϊκόν, οὔτε τὸ ἡμέτερον, ἀλλὰ τὸ Ἰωάννου. διὰ τί; ἵνα* δι' αὐτῆς τῆς τοῦ βαπτίσματος φύσεως μάθῃς, ὅτι οὐ δι' ἁμαρτίας ἐβαπτίσατο, οὐδὲ ὡς τῆς τοῦ πνεύματος δεόμενος "χορηγίας. ἑκατέρων γὰρ τούτων ἔρημον* ἐκεῖνο τὸ βάπτισμα, καθάπερ οὖν καὶ ἀπεδείξαμεν. καὶ ὅτι μὲν οὔτε δι' ἄφεσιν "ἁμαρτημάτων, οὔτε διὰ πνεύματος χορηγίαν ἦλθεν ἐπὶ τὸν Ἰορδάνην, δῆλον ἐκ τούτων. ἵνα δὲ μὴ νομίσῃ τις τῶν τότε παρόντων, ὅτι ἐπὶ μετανοίᾳ, καθάπερ οἱ λοιποί, παραγίνεται, ἄκουσον καὶ τοῦτο πῶς ὁ Ἰωάννης προδιωρθώσατο. ὁ γὰρ τοῖς ἄλλοις λέγων, Ποιήσατε καρπὸν ἄξιον τῆς μετανοίας, (Ματθ. γ. η. ιδ.) ἄκουσον τί τούτῳ φησίν· Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι· καὶ σὺ ἔρχῃ πρός με; τοῦτο δὲ ἔλεγε, δηλῶν ὅτι οὐ διὰ τὴν αὐτὴν τοῖς πολλοῖς χρείαν παρεγένετο πρὸς αὐτόν· καὶ ὅτι τοσοῦτον ἀπεῖχε διὰ τοῦτο βαπτίζεσθαι, ὅτι καὶ αὐτοῦ τοῦ βαπτιστοῦ πολλῷ μείζων ἦν, καὶ ἀσυγκρίτως καθαρώτερος. τίνος οὖν ἕνεκεν ἐβαπτίζετο, εἰ μήτε ἐπὶ μετανοίᾳ, μήτε ἐπὶ ἀφέσει ἁμαρτημάτων, μήτε ἐπὶ πνεύματος χορηγίᾳ [τοῦτο ἐποίει]; ἑτέρων δυοῖν ἕνεκεν αἰτιῶν· μιᾶς μέν, ἧς φησιν ὁ μαθητής, ἑτέρας δέ, ἧς αὐτὸς πρὸς τὸν Ἰωάννην εἶπε. τίνα οὖν φησιν ὁ Ἰωάννης αἰτίαν τοῦ βαπτίσματος εἶναι τούτου; (Πραξ. ιθ. δ.) ἵνα γνωσθῇ τοῖς πολλοῖς, καθὼς καὶ ὁ Παῦλος ἔλεγεν, ὅτι Ἰωάννης μὲν ἐβάπτισε βάπτισμα μετανοίας εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν ἵνα πιστεύσωσι. τοῦτο ἦν τὸ κατόρθωμα τοῦ βαπτίσματος. τὸ μὲν γὰρ εἰς τὴν ἑκάστου περιιέναι οἰκίαν, καὶ ταῖς θύραις προσιόντα καλεῖν ἔξω, καὶ λέγειν κατέχοντα τὸν Χριστόν· ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ, ὕποπτον ἐποίει τὴν μαρτυρίαν, [καὶ σφόδρα ἐργῶδες ἦν·] τὸ δὲ λαβόντα εἰς τὴν συναγωγὴν "εἰσελθεῖν καὶ δεικνύειν, καὶ τοῦτο αὐτὸ ὁμοίως ὕποπτον ἐποίει τὴν μαρτυρίαν πάλιν· τὸ δὲ τῶν δήμων ἁπάντων ἐξ ἑκάστης πόλεως ἐκχυθέντων ἐπὶ τὸν Ἰορδάνην καὶ περὶ τὰς ὄχθας διατριβόντων τοῦ ποταμοῦ, ἐλθόντα καὶ αὐτὸν ἐπὶ τὸ "βαπτισθῆναι, δέξασθαι τὴν ἄνωθεν σύστασιν τὴν διὰ τῆς φωνῆς τοῦ πατρός, τὴν διὰ τῆς ἐπιφοιτήσεως τοῦ πνεύματος ἐν εἴδει περιστερᾶς, ἀνύποπτον ἐποίει γενέσθαι τοῦ Ἰωάννου τὴν ἐπ' αὐτῷ μαρτυρίαν. (Ιωαν. α. λα.) διὰ τοῦτο κἀγώ, φησιν, οὐκ ᾔδειν αὐτόν, ἀξιόπιστον τὴν ἑαυτοῦ "καθιστῶν μαρτυρίαν. ἐπειδὴ γὰρ συγγενεῖς ἦσαν ἀλλήλων κατὰ σάρκα (Ἰδοὺ γάρ, φησιν, Ἐλισάβετ συγγενής σου καὶ αὐτὴ συνειληφυῖα υἱόν, (Λουκ. α. λς.) τῇ Μαριὰμ φησιν ὁ ἄγγελος περὶ τῆς μητρὸς Ἰωάννου· εἰ δὲ αἱ μητέρες "συγγενίδες ἦσαν, εὔδηλον ὅτι καὶ τὰ παιδία) ἐπεὶ οὖν συγγενεῖς ἦσαν, ἵνα μὴ διὰ τὴν συγγένειαν δόξῃ μαρτυρεῖν τῷ Χριστῷ, ᾠκονόμησεν ἡ τοῦ πνεύματος χάρις πᾶσαν τὴν πρώτην ἡλικίαν ἐν ἐρήμῳ τὸν Ἰωάννην διαγαγεῖν· ἵνα μὴ διὰ φιλίαν ἢ ἐκ κατασκευῆς τινος τοιαύτης ἡ μαρτυρία γίνεσθαι δόξῃ· ἀλλ' ὡς παρὰ τοῦ Θεοῦ μαθών, οὕτως αὐτὸν καταγγείλῃ. διὰ τοῦτό φησι· Κἀγὼ οὐκ ᾔδειν αὐτόν. (Ιωαν. α. λγ.) πόθεν οὖν ἔμαθες; Ὁ πέμψας, φησί, με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπε. τί σοι εἶπεν; Ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστεράν, καὶ μένον ἐπ' αὐτόν, "αὐτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ καὶ πυρί. ὁρᾷς ὅτι διὰ τοῦτο ἦλθε τὸ πνεῦ-

γ. βαπτισμάτων

γ. ἁμαρτήμασιν

γ. ἐπὶ τῶν

* βαπτίσματος;

* καὶ

γ. ἐνεργείας

* ἦν

γ. πλημμελημάτων

γ. ἐλθεῖν

γ. βαπτισθέντα

γ. καθιστάς

γ. συγγενεῖς

γ. αὐτὸν

μα τὸ ἅγιον, οὐχ ὡς τότε πρῶτον ἐπιφοιτῆσαν, ἀλλ' ἵνα δείξῃ τὸν κηρυττόμενον, ὥσπερ δακτύλῳ τινὶ τῇ ἐπιστάσει πᾶσιν αὐτὸν γνώριμον ποιοῦν· διὰ τοῦτο τοίνυν ἦλθεν ἐπὶ τὸ βάπτισμα· καὶ δι' ἑτέραν δὲ αἰτίαν, ἣν αὐτός φησι. ποίαν δὴ ταύτην; τοῦ Ἰωάννου εἰπόντος, Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; αὐτὸς ἀπεκρίνατο λέγων· Ἄφες ἄρτι. οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. εἶδες εὐγνωμοσύνην οἰκέτου; εἶδες ταπεινοφροσύνην δεσπότου; τί ποτέ ἐστι τὸ, πληρῶσαι πᾶσαν δικαιοσύνην; δικαιοσύνη λέγεται τῶν ἐντολῶν πασῶν ἡ πλήρωσις· ὥσπερ ὅταν λέγῃ· Ἦσαν ἀμφότεροι δίκαιοι, πορευόμενοι ἐν ταῖς ἐντολαῖς τοῦ Κυρίου ἄμεμπτοι. ἐπεὶ οὖν ἔδει πληρῶσαι τὴν δικαιοσύνην ταύτην τοὺς ἀνθρώπους ἅπαντας, οὐδεὶς δὲ αὐτὴν ἀπήρτισεν, οὐδὲ ἐπλήρωσεν, ἐλθὼν ὁ Χριστὸς πληροῖ τὴν δικαιοσύνην ταύτην. καὶ ποία δικαιοσύνη, φησὶ, τὸ βαπτισθῆναι; τὸ τῷ προφήτῃ πεισθῆναι, δικαιοσύνη ἦν. ὥσπερ οὖν περιετέμνετο, καὶ θυσίαν ἀνήνεγκε, καὶ σάββατα ἐτήρησε, καὶ ἑορτὰς ἐπλήρωσεν Ἰουδαϊκὰς, οὕτω καὶ τοῦτο τὸ λειπόμενον προσέθηκε, τὸ πεισθῆναι προφήτῃ βαπτίζοντι. ὅτι γὰρ Θεοῦ βούλημα ἦν τὸ βαπτίζεσθαι πάντας τότε, ἄκουσον τί φησιν ὁ Ἰωάννης· Ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι. καὶ πάλιν ὁ Χριστός· Οἱ τελῶναι καὶ ὁ ὄχλος ἐδικαίωσαν τὸν Θεὸν βαπτισθέντες τὸ βάπτισμα Ἰωάννου· οἱ δὲ Φαρισαῖοι καὶ οἱ γραμματεῖς ἠθέτησαν τὴν βουλὴν τοῦ Θεοῦ μὴ βαπτισθέντες ὑπ' αὐτοῦ. εἰ τοίνυν τὸ Θεῷ πείθεσθαι δικαιοσύνη, ὁ δὲ Θεὸς ἔπεμψε τὸν Ἰωάννην ὥστε βαπτίσαι τὸν λαὸν, μετὰ τῶν ἄλλων ἁπάντων τῶν νομικῶν καὶ τοῦτο ἐπλήρωσεν ὁ Χριστός. ὑπόθου τοίνυν διακόσια δηνάρια τοῦ νόμου τὰς ἐντολὰς εἶναι. τοῦτο τὸ χρέος ἔδει τὸ γένος τὸ ἡμέτερον καταβαλεῖν. οὐ κατεβάλομεν. κατεῖχεν ἡμᾶς ὁ θάνατος ὑπευθύνους ὄντας τοῖς ἐγκλήμασι τούτοις. ἐλθὼν ὁ Χριστὸς, καὶ εὑρὼν ἡμᾶς κατεχομένους, κατέβαλε τὸ χρέος, ἐπλήρωσε τὸ ὄφλημα, ἐξήρπασε τοὺς οὐκ ἔχοντας δοῦναι. διὰ τοῦτο οὐκ εἶπε, πρέπον ἐστὶν ἡμῖν ποιῆσαι τὸ καὶ τὸ, ἀλλὰ, πληρῶσαι πᾶσαν δικαιοσύνην. ἐμοὶ τῷ δεσπότῃ πρέπον ἐστὶ, φησὶ, τῷ ἔχοντι καταβαλεῖν ὑπὲρ τῶν οὐκ ἐχόντων. αὕτη ἡ αἰτία τοῦ βαπτίσματος, ἵνα δείξῃ τὸν νόμον ἅπαντα πληροῦν, καὶ αὕτη, καὶ ἡ περὶ ταύτης εἰρημένη. διὸ καὶ τὸ πνεῦμα ἐν εἴδει περιστερᾶς κάτεισιν. ὅπου γὰρ καταλλαγὴ Θεοῦ, περιστερά. καὶ γὰρ καὶ ἐπὶ τῆς κιβωτοῦ τῆς [ἐπὶ] Νῶε φέρουσα κλάδον ἐλαίας ἦλθεν ἡ περιστερὰ, σύμβολον τῆς τοῦ Θεοῦ φιλανθρωπίας, καὶ τῆς τοῦ χειμῶνος ἀπαλλαγῆς. καὶ νῦν ἐν εἴδει περιστερᾶς, οὐκ ἐν σώματι (δεῖ γὰρ ἀσφαλῶς ταῦτα εἰδέναι) τὸ πνεῦμα ἔρχεται τὸν ἔλεον τοῦ Θεοῦ καταγγέλλον τῇ οἰκουμένῃ, ἅμα δὲ καὶ δηλοῦν ὅτι τὸν πνευματικὸν ἄνδρα ἀπόνηρόν τινα εἶναι χρὴ καὶ ἁπλοῦν καὶ ἄκακον, καθάπερ καὶ ὁ Χριστός φησιν· Ἐὰν μὴ στραφῆτε, καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ἐκείνη μὲν οὖν ἡ κιβωτὸς, τοῦ χειμῶνος λυθέντος, ἔμεινεν ἐπὶ τῆς γῆς· αὕτη δὲ ἡ κιβωτὸς, τῆς ὀργῆς λυθείσης, εἰς τὸν οὐρανὸν ἡρπάζετο, καὶ νῦν ἐστιν ἐν δεξιᾷ τοῦ πατρὸς τὸ ἄμωμον ἐκεῖνο καὶ ἀκήρατον σῶμα.

Ματθ. γ ιδ.

Λουκ. α. ς.

Ιωαν. α λγ.

Λουκ. ζ. κθ.

Ματθ. ιη. γ.

Ἀλλ' ἐπειδὴ τοῦ σώματος ἐμνήσθην δεσποτικοῦ, ἀναγκαῖον πρὸς ὑμᾶς μικρὰ περὶ τούτου διαλεχθέντα καταπαῦσαι τὸν λόγον. οἶδα ὅτι πολλοὶ πάλιν * διὰ τὴν τῆς ἑορτῆς συνήθειαν τῇ ἱερᾷ ταύτῃ προσδραμοῦνται τραπέζῃ. ἔδει μὲν οὖν, ὡς καὶ πολλάκις ἔφθην εἰπὼν, μὴ ἑορτὰς ~~παρατηρεῖν, ἡνίκα ἂν δέοι κοινωνεῖν,~~ ἀλλὰ τὸ συνειδὸς καθαίρειν, καὶ τότε τῆς ἱερᾶς ἅπτεσθαι θυσίας. ὁ μὲν γὰρ ἐναγὴς καὶ ἀκάθαρτος οὐδὲ ἐν ἑορτῇ δίκαιος ἂν εἴη μετέχειν τῆς ἁγίας ἐκείνης καὶ φρικώδους σαρκός· ὁ δὲ καθαρὸς καὶ διὰ μετανοίας ἀκριβοῦς ἀποσμηξάμενος τὰ πλημμελήματα, καὶ ἐν ἑορτῇ καὶ ἀεὶ δίκαιος ἂν εἴη μετέχειν τῶν θείων μυστηρίων, καὶ ἀπολαύειν [ἂν εἴη ἄξιος] τῶν τοῦ Θεοῦ δωρεῶν. ἀλλ' ἐπειδὴ τοῦτο οὐκ οἶδα πῶς παρῶπται τισι, καὶ μυρίων πολλοὶ γέμοντες κακῶν, ὅτι τὴν ἑορτὴν ἴδωσι παραγινομένην, ὡς ὑπ' αὐτῆς ἀγόμενοι τῆς ἡμέρας, ἅπτονται τῶν ἱερῶν μυστηρίων, ἃ μηδὲ ἰδεῖν οὕτω διακειμένους θέμις·

μις· τοὺς μὲν δήλους ἡμῖν αὐτοὶ πάντως ἀπείρξομεν, τοὺς δὲ ἀγνώστους ἡμῖν τῷ Θεῷ καταλείψωμεν, τῷ τὰ ἀπόρρητα τῆς ἑκάστου διανοίας εἰδότι. Ὃ γοῦν φανερῶς ἁμαρτανόμενον, παρὰ πάντων πειρασόμεθα διορθῶσαι τήμερον. τί οὖν ἐστι τοῦτο τὸ ἁμάρτημα; τὸ μὴ μετὰ φρίκης προσιέναι, ἀλλὰ λακτίζοντας, τύπτοντας, θυμοῦ γέμοντας, βοῶντας, λοιδοροῦντας, τοὺς πλησίον ὠθοῦντας, ταραχῆς ἐμπεπλησμένους. Ταῦτα καὶ πολλάκις εἶπον, καὶ λέγων οὐ παύσομαι. οὐχ ὁρᾶτε ἐπὶ τῶν Ὀλυμπίων ὅταν ἀγωνοθέτης διὰ τῆς ἀγορᾶς βαδίζῃ στέφανον ἐπὶ τῆς κεφαλῆς ἔχων, στολὴν ἀναβεβλημένος, ῥάβδον ἐν τῇ χειρὶ κατέχων, ὅση ἡ εὐταξία, τοῦ κήρυκος βοῶντος ἡσυχίαν εἶναι μετ' εὐκοσμίας; πῶς οὖν οὐκ ἄτοπον, ἔνθα μὲν ὁ διάβολος πομπεύει, τοσαύτην εἶναι τὴν ἡσυχίαν· ἔνθα δὲ ὁ Χριστὸς πρὸς ἑαυτὸν καλεῖ, πολὺν εἶναι τὸν θόρυβον; ἐν ἀγορᾷ ἡσυχία, καὶ ἐν ἐκκλησίᾳ κραυγή; ἐν πελάγει γαλήνη, καὶ ἐν λιμένι κύματα; τί θορυβῇ, εἰπέ μοι, ἄνθρωπε; τί δὲ ἐπείγῃ; πραγμάτων ἀνάγκη σε καλεῖ πάντως; ὅλως γὰρ οἶδας ὅτι πράγματα ἔχεις κατὰ τὴν ὥραν ἐκείνην; μέμνησαι γὰρ ὅλως ὅτι ἐπὶ τῆς γῆς εἶ; νομίζεις δὲ μετὰ ἀνθρώπων εἶναι; καὶ πῶς οὐχὶ λιθίνης ταῦτα διανοίας, τὸ νομίζειν κατὰ τὸν καιρὸν ἐκεῖνον″ ἐπὶ γῆς ἑστάναι, ἀλλ' οὐ μετὰ ἀγγέλων χορεύειν, μεθ' ὧν καὶ τὸ μυστικὸν ἐκεῖνο μέλος ἀνέπεμψας· μεθ' ὧν καὶ τὴν ἐπινίκιον ἐκείνην ἀνήνεγκας ᾠδὴν τῷ Θεῷ; διὰ τοῦτο ἀετοὺς ἡμᾶς ὁ Χριστὸς ἐκάλεσεν εἰπών, Ὅπου τὸ πτῶμα, ἐκεῖ καὶ οἱ ἀετοί* ἵνα οὐρανοβατῶμεν, ἵνα ὑψηλὰ πετώμεθα τοῖς πτεροῖς τοῦ πνεύματος κουφιζόμενοι· ἡμεῖς δὲ κατὰ τοὺς ὄφεις χαμαὶ συρόμεθα, καὶ * γῆν ἐσθίομεν. Βούλεσθε εἴπω πόθεν ὁ θόρυβος καὶ ἡ κραυγὴ γίνεται; ὅτι οὐ διαπαντὸς ὑμῖν τὰς θύρας ἀποκλείομεν, ἀλλὰ συγχωροῦμεν πρὸ τῆς ἐσχάτης εὐχαριστίας ἀποπηδᾶν καὶ ἀναχωρεῖν οἴκαδε· ὃ καὶ αὐτὸ πολλῆς ἂν εἴη καταφρονήσεως. τί ποιεῖς, ἄνθρωπε; τοῦ Χριστοῦ παρόντος, τῶν ἀγγέλων παρεστώτων, τῆς φρικτῆς ταύτης τραπέζης προκειμένης, τῶν ἀδελφῶν σου μυσταγωγουμένων ἔτι, αὐτὸς καταλιπὼν ἀποπηδᾷς; καὶ ἐπὶ δεῖπνον μὲν κληθείς, κἂν πρότερος κορεσθῇς, οὐ τολμᾷς τῶν ἄλλων ἀνακειμένων ἀναχωρῆσαι πρὸ τῶν φίλων αὐτός· ἐνταῦθα δὲ τῶν φρικτῶν τοῦ Χριστοῦ μυστηρίων ἐπιτελουμένων, τῆς ἱερᾶς τελετῆς συνεστώσης ἔτι, καταλιμπάνεις ἐν μέσῳ πάντα καὶ ἀναχωρεῖς; καὶ ποῦ ταῦτα συγγνώμης ἄξια; ποίας δὲ ἀπολογίας; βούλεσθε εἴπω τίνος ἔργον ποιοῦσιν οἱ πρὸ τῆς συμπληρώσεως ἀναχωροῦντες, καὶ τὰς εὐχαριστηρίους ᾠδὰς οὐκ ἐπιφέροντες τῷ τέλει τῆς τραπέζης; τάχα φορτικὸν ἐστὶ τὸ μέλλον ῥηθήσεσθαι· ἀλλ' ὅμως ἀναγκαῖον λεχθῆναι διὰ τὴν τῶν πολλῶν ῥᾳθυμίαν. ὅτε ἐκοινώνησε τὸ ἔσχατον δεῖπνον ὁ Ἰούδας τὸ κατὰ τὴν τελευταίαν νύκτα ἐκείνην, τῶν ἄλλων ἁπάντων ἀνακειμένων, αὐτὸς προπηδήσας ἐξέβη. ἐκεῖνον τοίνυν μιμοῦνται καὶ οὗτοι οἱ πρὸ τῆς ἐσχάτης ἀποπηδῶντες εὐχαριστίας. ἐκεῖνος γὰρ εἰ μὴ ἐξῆλθεν, οὐκ ἂν ἐγένετο προδότης· εἰ μὴ κατέλιπε τοὺς συμμαθητάς, οὐκ ἂν ἀπώλετο· εἰ μὴ τῆς ἀγέλης ἑαυτὸν″ ἀπέρρηξεν ἐκείνης τῆς ἱερᾶς, οὐκ ἂν αὐτὸν εὗρεν ὁ λύκος μόνον, καὶ κατέφαγεν· εἰ μὴ τοῦ ποιμένος ἑαυτὸν ἐχώρισεν, οὐκ ἂν″ θηριάλωτος″ γέγονε. διὰ δὴ τοῦτο ἐκεῖνος μὲν μετὰ Ἰουδαίων· οὗτοι δὲ μετὰ τοῦ δεσπότου ὑμνήσαντες ἐξῆλθον*. ὁρᾷς, ὅτι ἡ ἐσχάτη μετὰ τὴν θυσίαν εὐχὴ κατ' ἐκεῖνον γίνεται τὸν τύπον; καὶ νῦν ταῦτα ἐννοῶμεν, ταῦτα λογιζώμεθα, φοβούμενοι τὸ κείμενον ἐπὶ″ τοῦτο κρίμα. αὐτός σοι τῆς σαρκὸς μεταδίδωσι· σὺ δὲ οὐδὲ λόγοις αὐτὸν ἀμείβῃ; οὐδὲ εὐχαριστεῖς ὑπὲρ ὧν ἔλαβες; ἀλλὰ σωματικῆς μὲν τροφῆς ἀπολαύων μετὰ τὴν τράπεζαν ἐπὶ εὐχὴν τρέπῃ, πνευματικῆς δὲ καὶ ὑπερβαινούσης τὴν κτίσιν ἅπασαν τήν τε ὁρατὴν καὶ τὴν ἀόρατον μετέχων, ἄνθρωπος ὢν καὶ τῆς εὐτελοῦς φύσεως, οὐ μένεις εὐχαριστῶν καὶ ῥήμασι καὶ πράγμασι; καὶ πῶς οὐκ ἐσχάτης ταῦτα κολάσεως ἄξια; Ταῦτα λέγω οὐχ ἵνα ἐπαινῆτε μόνον, οὐδ' ἵνα θορυβῆτε καὶ κράζητε, ἀλλ' ἵνα ἐπὶ τοῦ καιροῦ τούτων μεμνημένοι τῶν ῥημάτων, τὴν προσήκουσαν εὐταξίαν ἐπιδείξησθε. μυστήρια καὶ λέγεται, καὶ

ἔστι

Ματθ. κδ. κη.

γρ. ἐπὶ τῆς γῆς εἶναι.

* συναχθήσονται

* ἐκ τῆς γῆς

γρ. ἀπέρρηψεν

γρ. ἐγένετο

* εἰς τὸ ὄρος τῶν ἐλαιῶν.

γρ. τούτῳ

ἐστιν· ἔνθα δὲ μυστήρια, πολλὴ σιγή· μετὰ πολλῆς τοίνυν τῆς σιγῆς, μετὰ πολλῆς τῆς εὐταξίας, μετὰ τῆς προσηκούσης εὐλαβείας, τῆς ἱερᾶς ταύτης ἀπολαυώμεθα θυσίας, ἵνα εἰς πλείονα εὔνοιαν τὸν Θεὸν ἐπισπασώμεθα, καὶ τὴν ψυχὴν ἐκκαθαρῶμεν, καὶ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ προσκύνησις τῷ πατρὶ σὺν τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. οε. ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΑΡΤΥΡΑ ΛΟΥΚΙΑΝΟΝ.

ἐλέχθη τῇ ἐπαύριον τῶν φώτων.

Μηνὸς Ἰανουαρ. ζ.

ΟΠερ χθὲς ἐδεδοίκειν, ἐξέβη καὶ τέλος ἔλαβε νῦν· καὶ τῆς ἑορτῆς παρελθούσης, καὶ τὸ πλῆθος συναπεδήμησε, καὶ ἐλάττων ἡμῖν ὁ σύλλογος γέγονε. καὶ ᾔδειν μὲν τοῦτο συμβησόμενον πάντως· οὐ μὴν δὲ διὰ τοῦτο τῆς παραινέσεως ἀπέστην. εἰ γὰρ καὶ μὴ πάντες ἐπείσθησαν τὸ χθὲς ἀκούσαντες, ἀλλ' οὐδὲ πάντες ἠπείθησαν. οὐ μικρὸν δὲ τοῦτο εἰς παραμυθίας λόγον ἡμῖν. διόπερ οὐδὲ σήμερον ἀποστήσομαι ταύτης τῆς συμβουλῆς. εἰ γὰρ καὶ μὴ δι' ἡμῶν, ἀλλά γε δι' ὑμῶν πάντες ἀκούσονται τὰ λεγόμενα. τίς γὰρ δυνηθείη σιγῇ τὴν τοσαύτην αὐτῶν ῥαθυμίαν ἐνεγκεῖν, ἢ μεταδοῦναι συγγνώμης καὶ ἀπολογίας αὐτοῖς, οἳ διὰ τοσούτου χρόνου τὴν μητέρα ἰδόντες, καὶ τῶν ἐν αὐτῇ καλῶν ἀπολαύσαντες ἀπέστησαν, καὶ οὐκ ἠνέσχοντο τὸ δεύτερον ὑποστρέψαι πάλιν, οὐδὲ τὴν τοῦ Νῶε περιστεράν, ἀλλὰ τὸν κόρακα ἐμιμήσαντο, καὶ ταῦτα τοῦ κλυδωνίου μένοντος ἔτι καὶ τοῦ χειμῶνος ἐκείνου, καὶ χαλεπωτέρας καθ' ἑκάστην ἡμέραν ἐγειρομένης ζάλης, καὶ τῆς ἁγίας ταύτης κιβωτοῦ προκειμένης ἐν μέσῳ καὶ πάντας καλούσης καὶ πρὸς ἑαυτὴν ἐπισπωμένης, καὶ πολλὴν τοῖς καταφεύγουσι παρεχούσης τὴν ἀσφάλειαν; οὐ γὰρ ὑδάτων, οὐδὲ κυμάτων ἐμβολάς, ἀλλὰ τῶν ἀλογωτάτων παθῶν τὰς συνεχεῖς ἀποκρούεται ἐπαναστάσεις, καὶ φθόνον ἀμαυροῖ, καὶ ἀπόνοιαν καταστέλλει. καὶ λοιπὸν οὔτε ὁ πλούσιος ἐνταῦθα τοῦ πένητος ὑπεριδεῖν δυνήσεται, ἀκούων παρὰ τῶν θείων γραφῶν, ὅτι Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· οὔτε ὁ πένης πλουτοῦντα ἕτερον ἰδὼν βασκανίᾳ ἁλώσεται, ἀκούων καὶ αὐτὸς ἑτέρου προφήτου λέγοντος, Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ· ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα, οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ. τοιαύτη γὰρ τῆς εὐπορίας ταύτης ἡ φύσις· οὐ συμμεθίσταται τοῖς ἔχουσιν, οὐ συναποδημεῖ τοῖς κεκτημένοις, οὐ παρίσταται κρινομένοις ἐκεῖ καὶ εὐθύνας ὑπέχουσιν, ἀλλ' ὑπὸ τοῦ θανάτου διακόπτεται πάντως· πολλοὺς δὲ καὶ πρὸ τοῦ θανάτου κατέλιπεν. * ἄπιστος ἡ χρῆσις, ἀβέβαιος ἡ ἀπόλαυσις, ἐπικίνδυνος ἡ κλῆσις. ἀλλ' οὐ τὰ τῆς ἀρετῆς τοιαῦτα, καὶ τὰ τῆς ἐλεημοσύνης· ἀλλ' ἔστιν ἄσυλος ἐκεῖνος ὁ θησαυρός. πόθεν τοῦτο δῆλον; ὁ περὶ τοῦ πλούτου τούτου φιλοσοφήσας καὶ εἰπών, ὅτι οὐ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ [ὀπίσω αὐτοῦ], οὗτος καὶ περὶ τοῦ τῆς ἐλεημοσύνης θησαυροῦ τοῦ ἀεὶ μένοντος καὶ μηδέποτε συλωμένου ἐπαίδευσεν ἡμᾶς οὕτως εἰπών· Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. τί τούτου παραδοξότερον γένοιτ' ἄν; τὰ συλλεγόμενα ἀπόλλυται, καὶ τὰ σκορπιζόμενα μένει. καὶ μάλα εἰκότως. τὰ μὲν γὰρ ὁ Θεὸς ὑποδέχεται, ἐκ δὲ τῆς τοῦ Θεοῦ χειρὸς οὐδεὶς ἁρπάζειν δύναται· τὰ δὲ ἐν ἀνθρωπίνοις ἀποτίθεται θησαυροῖς, ἔνθα πολλαὶ αἱ ἐπιβουλαί, ἔνθα πολὺς ὁ φθόνος καὶ ἡ βασκανία. μὴ τοίνυν ἀμελῇς, ἀγαπητέ, συνεχῶς παραγίνεσθαι. ἀπὸ μὲν γὰρ τῆς ἐνταῦθα διατριβῆς, κἄν τις ἀθυμία ἐνοχλῇ, ἐνταῦθα φυγαδεύεται· κἂν φροντίδες βιωτικαί, δραπετεύουσι· κἂν ἄλογα πάθη,

Ἡσ. μ. ϛ.

Ψαλμ. μη. ις.

Ψαλμ. ρια. θ.

σβέννυται. ἀπὸ δὲ τῆς ἀγορᾶς καὶ τῶν δικαστηρίων καὶ τῶν ἄλλων συλλόγων τῶν ἔξωθεν πολλὰς ἐπισυρόμενοι φροντίδας καὶ ἀθυμίας καὶ ψυχῆς νόσους οἴκαδε ἀναχωροῦμεν. ἂν ἐνταῦθα διατρίβῃς συνεχῶς, καὶ ἅπερ ἔλαβες ἔξωθεν κακὰ ἀποθήσῃ πάντως· ἂν δὲ ἀποπηδᾷς καὶ φεύγῃς, καὶ ἅπερ ἐκλήσω παρὰ τῶν θείων γραφῶν ἀγαθὰ ἀπολέσῃς πάντως, κατὰ μικρὸν ἐκ τῶν ἔξω συνεδρίων καὶ διαλέξεων ὑποσυρόμενος σὺ τῆς ἀπορίας. καὶ ὅτι ταῦτά ἐστιν ἀληθῆ, ἀναχωροῦντες ἐντεῦθεν σπουδάσατέ τινι σήμερον ἀπολειφθέντας ἰδεῖν, καὶ ὄψεσθε πόσον τὸ μέσον τῆς ὑμετέρας εὐθυμίας, καὶ τῆς ἐκείνων ῥᾳθυμίας. οὐχ οὕτως ἐστὶ νύμφη καλὴ καὶ ἐπίχαρις ἐν παστάδι καθημένη, ὡς ἐστὶ ψυχὴ θαυμαστὴ καὶ ἔνδοξος ἐν ἐκκλησίᾳ φαινομένη, μύρων πνέουσα πνευματικῶν. ὁ γὰρ ἐνταῦθα μετὰ πίστεως καὶ σπουδῆς παραγινόμενος, μυρίους λαβὼν ἄπεισι θησαυρούς· κἂν ἀνοίξῃ τὸ στόμα μόνον, πάσης εὐωδίας εὐθέως καὶ πλούτου πνευματικοῦ τοὺς συγγινομένους ἐνέπλησε· κἂν μυρία περιστῇ δεινά, πάντα οἴσει ῥᾳδίως, ἱκανὴν ἀφορμὴν ἀπὸ τῶν θείων γραφῶν ὑπομονῆς καὶ φιλοσοφίας ἐντεῦθεν λαβών. καὶ καθάπερ ὁ διηνεκῶς ἐπὶ τῆς πέτρας ἑστὼς τῶν κυμάτων καταγελᾷ, οὕτως ὁ συνάξεως ἀπολαύων διηνεκοῦς, καὶ τοῖς θείοις ἀρδευόμενος λόγοις, καθάπερ ἐπὶ πέτρας, τῆς ὀρθῆς τῶν πραγμάτων κρίσεως στήσας ἑαυτόν, οὐδενὶ τῶν ἀνθρωπίνων ἁλώσεται, ἀνώτερον τῆς τῶν βιωτικῶν πραγμάτων καταστήσας ἑαυτὸν ἐπιδρομῆς. οὐκ ἀπὸ συμβουλῆς δὲ μόνον, ἀλλὰ καὶ ἀπὸ εὐχῆς, καὶ ἀπὸ πατρικῆς εὐλογίας, καὶ ἀπὸ κοινῆς συνόδου, καὶ ἀπὸ τῆς τῶν ἀδελφῶν ἀγάπης, καὶ ἐξ ἑτέρων μυρίων πολλὴν ὠφέλειαν καὶ ψυχαγωγίαν καρπωσάμενος, οὕτως ἀνεχώρησε, μυρία οἴκαδε φέρων ἀγαθά. ὅρα οὖν σήμερον πόσης μὲν ὑμεῖς ἀπολαύσεσθε τῆς εὐλογίας, πόσην δὲ ὑποστήσονται ἐκεῖνοι τὴν ζημίαν. ὑμεῖς μὲν γὰρ μαρτύρων μισθὸν λαμβάνοντες ἀπελεύσεσθε· ἐκεῖνοι δὲ πρὸς τῷ τοῦ κέρδους ἀποστερηθῆναι τούτου, καὶ ἑτέραν ὑποστήσονται ζημίαν, ἐκ τῶν ἀνοήτων διατριβῶν πολλὴν φροντίδων ἐπισυρόμενοι φορτίον. ὥσπερ γὰρ ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου μισθὸν προφήτου λήψεται, καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου μισθὸν δικαίου λήψεται· οὕτως ὁ δεχόμενος μάρτυρα εἰς ὄνομα μάρτυρος μισθὸν μάρτυρος λήψεται. ὑποδοχὴ δὲ μάρτυρος, τὸ συνελθεῖν εἰς τὴν ἐκείνου μνήμην, τὸ κοινωνῆσαι τῆς διηγήσεως τῶν ἄθλων, τὸ θαυμάσαι τὰ γεγενημένα, τὸ ζηλῶσαι τὴν ἀρετήν, τὸ εἰς ἑτέρους ἐξενεγκεῖν τὰς ἀνδραγαθίας τὰς ἐκείνου. ταῦτα τῶν μαρτύρων τὰ ξένια· οὕτω τοὺς ἁγίους τούτους τις ὑποδέχεται, καθάπερ οὖν καὶ ὑμεῖς τήμερον πεποιήκατε.

Ματθ ι μα.

Χθὲς μὲν οὖν ὁ δεσπότης ἡμῶν ὕδατι ἐβαπτίσατο, σήμερον δὲ ὁ δοῦλος αἵματι βαπτίζεται. χθὲς ἠνεῴχθησαν οὐρανοῦ πύλαι, καὶ σήμερον κατεπατήθησαν ᾅδου πύλαι. καὶ μὴ θαυμάσῃ τις, εἰ βάπτισμα τὸ μαρτύριον ἐκάλεσα. καὶ γὰρ καὶ ἐνταῦθα τὸ πνεῦμα μετὰ πολλῆς ἐφίπταται τῆς δαψιλείας, καὶ ἁμαρτημάτων ἀναίρεσις, καὶ ψυχῆς γίνεται καθαρμὸς θαυμαστός τις καὶ παράδοξος· καὶ ὥσπερ οἱ βαπτιζόμενοι τοῖς ὕδασιν, οὕτως οἱ μαρτυροῦντες τῷ ἰδίῳ λούονται αἵματι· ὃ δὴ καὶ ἐπὶ τούτου γεγένηται. ἀλλὰ γὰρ πρὸ τῆς σφαγῆς ἀναγκαῖον εἰπεῖν τοῦ διαβόλου τὴν πανουργίαν. συνιδὼν γὰρ ἐκεῖνος, ὅτι πᾶσα τιμωρία καὶ κολάσεως εἶδος κατηγελάσθη, καὶ οὐδὲ κάμινον ἀνάψας, οὔτε βάραθρον ὀρύξας, οὔτε τροχὸν δείξας, οὔτε εἰς ξύλον ἀναγαγών, οὔτε εἰς κρημνοὺς ῥίψας, οὔτε εἰς θηρίων ὀδόντας ἐμβαλὼν ἴσχυσε περιγενέσθαι τῆς τοῦ ἁγίου φιλοσοφίας, ἕτερον ἐπενόησε χαλεπώτερον τρόπον, καὶ περιῄει ζητῶν τιμωρίαν εὑρεῖν, ὥστε τὴν αὐτὴν ὁμοῦ καὶ δριμυτάτην γενέσθαι καὶ μακροτάτην. ἐπειδὴ γὰρ τῶν κολάσεων αἱ μὲν ἀφόρητοι ταχεῖαν παρέχουσι τὴν ἀπαλλαγήν, αἱ δὲ ἐπιμηκέστεραι ὑποτέμνονται τὴν ὀδύνην, ἐσπούδασεν εὑρεῖν κόλασιν ὁμοῦ [τι] τὰ ἀμφότερα ἔχουσαν, καὶ μῆκος καὶ ὑπερβολὴν ὀδύνης ἀνήκεστον, ἵνα καὶ τῇ σφοδρότητι καὶ τῷ πλήθει τοῦ χρόνου τὸ στερρὸν καταβάλῃ τῆς αὐτοῦ διανοίας. καὶ τί ποιεῖ; λιμῷ τὸν ἅγιον παραδίδωσι τοῦτον. σὺ δὲ λιμὸν ἀκούσας μὴ παρέλθῃς ἁπλῶς τὸ λεγόμενον. ἁπάντων γὰρ θανάτων οὗτος ἐστὶ χαλεπώτατος. καὶ μάρτυρες οἱ πεῖραν εἰληφότες. μὴ γὰρ δὴ ἡμεῖς πεῖραν* λάβοιμεν. Εὔχεσθε γάρ, φησι, μὴ εἰσελθεῖν εἰς πειρασμόν· καθάπερ γάρ δήμιός τις τοῖς σπλάγχνοις ἔνδον καθήμενος ἅπαντα καταξαίνει τὰ μέλη, πυρὸς παντὸς καὶ θείου σφοδρότερον καταιθίων πάντοθεν τὸ σῶμα, διηνεκῆ τινα καὶ ἄρρητον παρέχων ὀδύνην. καὶ ἵνα μάθῃς ὅσον ἐστὶ λιμός, καὶ τέκνων ἀπεγεύσαντ μητέρες πολλάκις τὴν τοῦ κακοῦ τούτου βίαν οὐκ ἐνεγκοῦσαι· καὶ ταύτην τὴν συμφορὰν τραγῳδῶν ὁ προφήτης ἔλεγε, Χεῖρες γυναικῶν οἰκτιρμόνων ἥψησαν τὰ τέκνα αὐτῶν. οὕτως οὓς ἔτεκον μητέρες κατήσθιον, καὶ τῶν γεννηθέντων παιδίων ἡ τεκοῦσα γαστὴρ ἐγίνετο τάφος, καὶ φύσεως ἐκράτησεν ὁ λιμός, μᾶλλον δὲ οὐ φύσεως μόνον, ἀλλὰ καὶ τῆς προαιρέσεως· τῆς δὲ τοῦ ἁγίου τούτου γενναιότητος οὐκ ἐκράτησε. τίς οὐκ ἂν ἐκπλαγείη ταῦτα ἀκούσας; καίτοι τί φύσεως δυνατώτερον; τί δὲ προαιρέσεως ὀξυρρεπέστερον; ἀλλ' ἵνα μάθῃς ὅτι τοῦ Θεοῦ οὐδὲν ἰσχυρότερον, προαίρεσις φύσεως εὐτονωτέρα ἐφάνη, καὶ μητέρας μὲν ἤλεγξε, καὶ ὠδίνων ἐπιλαθέσθαι ἐποίησε, τὸν δὲ ἅγιον τοῦτον ὑποσκελίσαι οὐκ ἴσχυσεν· οὐδὲ περιεγένετο τῆς φιλοσοφίας ἡ κόλασις, οὐδὲ τῆς ἀνδρείας ἐκράτησεν ἡ τιμωρία· ἀλλ' ἔμενεν ἀδάμαντος παντὸς ἰσχυρότερος, ταῖς ἀγαθαῖς ἐντρυφῶν ἐλπίσι, καὶ τῇ τῶν ἀγώνων ἐγκαλλωπιζόμενος ὑποθέσει, ἱκανὴν παραμυθίαν ἔχων τῶν ἄθλων τὴν ἀφορμήν, μάλιστα καθ' ἑκάστην ἀκούων Παύλου λέγοντος, Ἐν λιμῷ καὶ δίψῃ, ἐν ψύχει καὶ γυμνότητι· καὶ, Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα. ᾔδει γάρ, ᾔδει σαφῶς, ὅτι οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. ὡς δὲ εἶδεν ὁ μιαρὸς δαίμων οὐκ ἐνδιδόντα τῇ τοσαύτῃ τοῦ πράγματος ἀνάγκῃ, ἔτι χαλεπωτέραν ἐποίει τὴν βάσανον. καὶ γὰρ εἰδωλόθυτα λαβών, καὶ τὴν τράπεζαν τούτων ἐμπλήσας, πρὸ τῶν ὀφθαλμῶν αὐτοῦ τεθῆναι παρεσκεύασεν, ἵνα τὸ τῆς ἐξουσίας ἕτοιμον ἐκλύσῃ τῆς προθυμίας τὴν εὐτονίαν. οὐ γὰρ οὕτως ἁλισκόμεθα, μὴ φαινομένων τῶν δελεαζόντων πραγμάτων, ὡς πρὸ τῶν ὀφθαλμῶν κειμένων· ἐπεὶ καὶ τῆς γυναικῶν ἐπιθυμίας εὐκολώτερον ἄν τις κρατήσειε μὴ βλέπων γυναῖκα εὔμορφον, ἢ συνεχῶς εἰς αὐτὴν ἀτενίζων. ἀλλ' ὅμως καὶ ταύτης ἐκράτησε τῆς ἐνέδρας ὁ δίκαιος, καὶ ὅπερ ἐνόμιζεν ὁ διάβολος ἐκλύσειν αὐτοῦ τὴν ἀνδρείαν, τοῦτο μάλιστα αὐτὸν ἤλειψε πρὸς τοὺς ἀγῶνας. οὐ γὰρ μόνον οὐδὲν ἔπαθεν ἀπὸ τῆς ὄψεως τῶν εἰδωλοθύτων, ἀλλὰ καὶ μᾶλλον αὐτὰ ἀπεστρέφετο καὶ ἐμίσει· καὶ ὅπερ ἐπὶ τῶν ἐχθρῶν πάσχομεν, ὅσωπερ ἂν αὐτοὺς ἐμβλέψωμεν, τοσούτῳ μᾶλλον αὐτοὺς μισοῦμεν καὶ ἀποστρεφόμεθα, τοῦτο καὶ ἐκεῖνος ἐπὶ τῆς μιαρᾶς ἐκείνης ἔπασχε θυσίας τότε. μᾶλλον γὰρ αὐτὴν ὁρῶν ἐβδελύττετο καὶ ἀπεπήδα, καὶ ἡ συνεχὴς ὄψις μᾶλλον αὐτὸν εἰς μῖσος καὶ ἀποστροφὴν τῶν προκειμένων ἐνέβαλε*· καὶ τοῦ λιμοῦ μέγα ἔνδοθεν ἐνηχοῦντος, καὶ τῶν προκειμένων κελευόντων ἐφάπτεσθαι, ὁ τοῦ Θεοῦ φόβος τὰς χεῖρας ἀνέστελλε, καὶ τῆς φύσεως αὐτῆς ἐπιλαθέσθαι παρεσκεύαζε. καὶ τράπεζαν ὁρῶν μιαρὰν καὶ ἐναγῆ, τραπέζης ἐμνήσθη ἑτέρας τῆς φρικώδους καὶ πνεύματος γεμούσης, καὶ οὕτως ἐπυροῦτο, ὡς ἕλεσθαι πάντα ὑποστῆναι καὶ παθεῖν, ἢ τῶν μιαρῶν ἐκείνων ἀπογεύσασθαι ἐδεσμάτων. ἀνεμνήσθη καὶ τῆς τραπέζης ἐκείνης τῶν τριῶν παίδων, οἳ νέοι λειφθέντες, καὶ πάσης ἔρημοι προστασίας ὄντες, ἐν ἀλλοτρίᾳ γῇ καὶ βαρβάρῳ χώρᾳ τοσαύτην ἐπεδείξαντο φιλοσοφίαν, ὡς μέχρι νῦν ᾄδεσθαι τὴν ἀνδρείαν αὐτῶν. καὶ οἱ μὲν Ἰουδαῖοι καὶ τὴν οἰκείαν ἔχοντες γῆν ἠσέβησαν, καὶ ἐν τῷ ναῷ διατελοῦντες εἰδωλολάτρουν· οἱ δὲ νέοι ἐκεῖνοι εἰς τὴν βαρβαρικὴν ἀπενεχθέντες γῆν, ἔνθα εἴδωλα καὶ πάσης ἀσεβείας ὑπόθεσις, τὴν πατρῴαν διετέλεσαν φυλάττοντες πολιτείαν. εἰ τοίνυν οἱ αἰχμάλωτοι καὶ δοῦλοι καὶ νέοι πρὸ τῆς χάριτος τοσαύτην ἐπεδείξαντο φιλοσοφίαν, φησί, ποίας ἂν εἴημεν ἡμεῖς συγγνώμης ἄξιοι, μηδὲ πρὸς τὴν αὐτὴν ἐκείνοις ἀρετὴν φθάσαι δυνηθέντες; ταῦτα δὴ πάντα λογιζόμενος κατεγέλα τῆς τοῦ διαβόλου πονηρίας, καταφρονεῖ τῆς κακουργίας, καὶ πρὸς οὐ-

*τοῦ κακοῦ [illegible]

τοῦ φόβου τοῦ Θεοῦ

*πλείονα

Ματθ. κϛ. μα

Θρήν. δ. ι.

β Κορ. ια. κζ.

α. Κορ. δ. ια.

Ματθ. δ. δ.

Δαν. α. η.

δὲν ἐνεδίδου τῶν ὁρωμένων. ὡς δ' οὖν εἶδεν οὐδὲν αὐτῷ τι πλέον γινόμενον ὁ μιαρὸς ἐκεῖνος, ἀγαγὼν πάλιν αὐτὸν εἰς τὸ δικαστήριον· καὶ βασανίζων συνεχεῖς ἐπῆγε πεύσεις. ὁ δὲ πρὸς ἑκάστην [πεῦσιν] ἀπεκρίνατο, ὅτι χριστιανός εἰμι μόνον. καὶ τοῦ δημίου λέγοντος, ποίας εἶ πατρίδος; τί ἐπιτήδευμα; τίνας ἔχεις προγόνους; ὁ δὲ πρὸς ἅπαντα ἔλεγεν, ὅτι χριστιανός εἰμι· ἐνὶ τούτῳ καὶ ψιλῷ τῷ ῥήματι τοῦ διαβόλου πλήττων τὴν κεφαλὴν, καὶ συνεχῆ καὶ ἐπάλληλα τὰ τραύματα αὐτῷ παρέχων. καίτοιγε καὶ τῆς ἔξωθεν παιδεύσεως μετεῖχεν· ἀλλ' ᾔδει σαφῶς ὅτι ἐν τοῖς τοιούτοις ἀγῶσιν οὐ ῥητορείας χρεία, ἀλλὰ πίστεως· οὐ δεινότητος λόγου, ἀλλὰ φιλοθέου ψυχῆς. ἤρκεσε ῥῆμα ἓν, φησιν, ἅπασαν τοῦ διαβόλου τρέψαι τὴν φάλαγγα. καὶ δοκεῖ μὲν τοῖς οὐκ ἀκριβῶς ἐξετάζουσιν ἀνακόλουθος εἶναι ἡ ἀπόκρισις· εἰ δέ τις τὸν νοῦν ἐπιστήσειε, καὶ ἐκ ταύτης ὄψεται τοῦ μάρτυρος τὴν σοφίαν. ὁ γὰρ εἰπὼν, ὅτι χριστιανός εἰμι, καὶ πατρίδα καὶ γένος καὶ ἐπιτήδευμα καὶ πάντα ἐδήλωσε. πῶς; ἐγὼ λέγω. ὁ χριστιανὸς οὐκ ἔχει πόλιν ἐπὶ τῆς γῆς, ἀλλὰ τὴν ἄνω Ἱερουσαλήμ. Ἡ γὰρ ἄνω Ἱερουσαλὴμ, φησιν, ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν. ὁ χριστιανὸς οὐκ ἔχει γήϊνον ἐπιτήδευμα, ἀλλ' εἰς τὴν ἄνω πολιτείαν τελεῖ. Ἡμῶν γὰρ, φησὶ, τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει. ὁ χριστιανὸς συγγενεῖς ἔχει τοὺς ἁγίους ἅπαντας, καὶ συμπολίτας. Συμπολῖται γάρ ἐσμεν τῶν ἁγίων, φησὶ, καὶ οἰκεῖοι τοῦ Θεοῦ. ὥστε ἑνὶ ῥήματι καὶ τίς εἴη, καὶ πόθεν, καὶ τίνων, καὶ τί πράττων διατελοίη, μετ' ἀκριβείας ἐδίδαξε. καὶ μετὰ ταύτης τῆς φωνῆς τὸν βίον κατέλυσε, καὶ ἀπῆλθε σῶαν τῷ Χριστῷ τὴν παρακαταθήκην κομίζων, καὶ τοῖς μετὰ ταῦτα δι' ὧν ἔπαθε παραινῶν ἐνίστασθαι, καὶ μηδὲν δεδοικέναι, ἀλλ' ἢ ἁμαρτίαν καὶ ἄρνησιν μόνον.

Γαλ. δ. κϛ.
Φιλιπ. γ. κ.
Εφεσ. β ιθ.

Ταῦτ' οὖν καὶ ἡμεῖς εἰδότες, ἐν καιρῷ τῆς εἰρήνης τὰ τοῦ πολέμου μελετῶμεν, ἵν' ἐπιστάντος τοῦ πολέμου λαμπρὸν καὶ ἡμεῖς στήσωμεν τρόπαιον. κατεφρόνησεν ἐκεῖνος λιμοῦ· καταφρονήσωμεν καὶ ἡμεῖς τρυφῆς, καὶ τῆς γαστρὸς τὴν τυραννίδα καθέλωμεν, ἵνα ἂν καιρὸς ἐπιστῇ τοσαύτην παρ' ἡμῶν τὴν ἀνδρείαν ἐπιζητῶν, προγυμνασθέντες ἐν τοῖς ἐλάττοσι λαμπροὶ φανῶμεν ἐπὶ τῶν σκαμμάτων. ἐπὶ ἀρχόντων καὶ βασιλέων ἐπαρρησιάσατο ἐκεῖνος· τοῦτο καὶ ἡμεῖς ποιῶμεν νῦν. κἂν ἐν συλλόγοις Ἑλλήνων πλουτούντων καὶ περιφανῶν συνεδρεύωμεν, μετὰ παρρησίας τὴν πίστιν ὁμολογῶμεν, καταγελῶμεν τῆς ἐκείνων πλάνης. κἂν ἐπιχειρῶσι τὰ μὲν αὐτῶν σεμνύνειν, τὰ δὲ ἡμέτερα καθαιρεῖν, μὴ σιγῶμεν, μηδὲ πράως φέρωμεν, ἀλλ' ἐκκαλύπτοντες αὐτῶν τὴν ἀσχημοσύνην, ἅπαντα μετὰ πολλῆς τῆς σοφίας καὶ τῆς παρρησίας τὰ τῶν χριστιανῶν ἀνυμνῶμεν· καὶ καθάπερ ὁ βασιλεὺς τὸ διάδημα ἐπὶ τῆς κεφαλῆς, οὕτω καὶ ἡμεῖς τὴν ὁμολογίαν πανταχοῦ τῆς πίστεως περιφέρωμεν. οὐ γὰρ οὕτως ἐκεῖνον ὁ στέφανος, ὡς ἡμᾶς ἡ πίστις καὶ ἡ ταύτης ὁμολογία καλλωπίζειν εἴωθε. μὴ διὰ ῥημάτων δὲ μόνον, ἀλλὰ καὶ διὰ τῶν πραγμάτων αὐτῶν τοῦτο ποιῶμεν, καὶ βίον ἄξιον τῆς ὁμολογίας διαπαντὸς ἐπιδεικνύναι σπουδάζωμεν, ἵνα μὴ καταισχύνωμεν τὰ δόγματα ἐν τῇ τῶν ἔργων φαυλότητι, ἀλλὰ διὰ πάντων τὸν δεσπότην ἡμῶν δοξάζοντες ἀπολαύσωμεν καὶ τῆς ἐνταῦθα, καὶ τῆς ἐκεῖ τιμῆς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, κράτος, τιμὴ σὺν τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ος. ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΜΑΡΤΥΡΑΣ ΙΟΥΒΕΝΤΙΝΟΝ καὶ Μαξιμῖνον τοὺς μαρτυρήσαντας ἐπὶ Ἰουλιανοῦ τοῦ ἀποστάτου.

Ο μακάριος

Μηνὸς Ἰανου- αρ. κε.

Ο Μακάριος Βαβύλας πρώην ἡμᾶς ἐνταῦθα μετὰ παίδων τριῶν συνήγαγε· σήμερον στρατιωτῶν ξυνωρὶς ἁγίων τὸ τοῦ Χριστοῦ στρατόπεδον ἐπὶ τῆς παρατάξεως ἔστησε. Τότε ἅρμα μαρτύρων, νῦν ξυνωρὶς μαρτύρων. διάφορος ἡ ἡλικία, ἀλλὰ μία ἡ πίστις· ποικίλα τὰ παλαίσματα, ἀλλ' ἡ αὐτὴ ἀνδρεία. ἐκεῖνοι παλαιοὶ κατὰ τὸν χρόνον, οὗτοι νέοι καὶ πρόσφατοι. τοιοῦτος τῆς ἐκκλησίας ὁ θησαυρὸς νέους καὶ παλαιοὺς ἔχων μαργαρίτας, ἀλλ' ἓν ἁπάντων τὸ κάλλος. οὐκ ἀμαυροῦται τὸ ἄνθος αὐτῶν, οὐ καταρρεῖ τῷ χρόνῳ· οὐ δέχεται παλαιότητος ἰὸν τῆς λαμπρότητος ταύτης ἡ φύσις. ἡ μὲν γὰρ σωματικὴ περιουσία εἴκει καὶ παραχωρεῖ τῷ μήκει τοῦ χρόνου. καὶ γὰρ ἱμάτια δαπανᾶται, καὶ οἰκίαι καταλύονται, καὶ χρυσίον ἰοῦται, καὶ πᾶσα τῆς αἰσθητῆς ταύτης περιουσίας ἡ φύσις διαπίπτει τῷ χρόνῳ καὶ ἀφανίζεται. ἐπὶ δὲ τῶν πνευματικῶν θησαυρῶν οὐχ οὕτως· ἀλλ' ἀεὶ καὶ διαπαντὸς ἐν ἴσῃ μένουσιν ἀκμῇ καὶ νεότητι λάμποντες καὶ ἀποστίλβοντες τὴν τῆς οἰκείας λαμπρότητος δόξαν οἱ μάρτυρες. ὃ δὴ καὶ ὑμεῖς εἰδότες, οὐχ ἑτέρως μὲν τοὺς παλαιοὺς, ἑτέρως δὲ τοὺς νέους τιμᾶτε· ἀλλὰ μετὰ τῆς αὐτῆς προθυμίας, μετὰ τοῦ αὐτοῦ φίλτρου, μετὰ τῆς αὐτῆς διαθέσεως ἅπαντας τιμᾶτε καὶ ἀποδέχεσθε. οὐ γὰρ χρόνον ἐξετάζετε, ἀλλ' ἀνδρείαν ἐπιζητεῖτε καὶ ψυχῆς εὐλάβειαν καὶ πίστιν ἀκλινῆ καὶ ζῆλον" πεπυρωμένον καὶ θερμὸν, καὶ τοιοῦτον, οἷον οἱ σήμερον ἡμᾶς συναγαγόντες ἐπεδείξαντο. οὕτω γὰρ ἔζεον τῷ κατὰ Θεὸν πόθῳ, ὡς δυνηθῆναι χωρὶς διωγμοῦ μαρτυρίου στέφανον ἀναδήσασθαι, χωρὶς μάχης στῆσαι τρόπαιον, χωρὶς πολέμου νίκην ἀράσθαι, χωρὶς συμβολῆς τὸ βραβεῖον ἁρπάσαι. τὸ δὲ πῶς, ἐγὼ λέγω. ἀλλὰ ἀνάσχεσθε μικρὸν ἄνωθεν διηγουμένῳ μοι. ἐγένετό τις βασιλεὺς ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας ἀσεβείᾳ νικήσας τοὺς ἔμπροσθεν ἅπαντας, περὶ οὗ καὶ πρώην διελέχθην ὑμῖν. οὗτος ὁ βασιλεὺς ὁρῶν λαμπρὰ τὰ ἡμέτερα καὶ ἀπὸ τούτου γινόμενα, τοῦ τῶν μαρτύρων θανάτου λέγω, καὶ οὐκ ἄνδρας μόνον, ἀλλὰ καὶ παῖδας ἁπαλοὺς καὶ παρθένους ἀπειρογάμους καὶ πᾶσαν ἡλικίαν ἁπλῶς καὶ φύσιν ἑκατέραν πηδῶσαν ἐπὶ τὰς ὑπὲρ τῆς εὐσεβείας σφαγὰς, ἐδάκνετο καὶ ὠδυνᾶτο· καὶ φανερῶς σαλπίσαι τὸν πόλεμον, οὐκ ἐβούλετο. πάντες γὰρ, φησιν, ὡς ἐπὶ κηρίον μέλιτται ἥξουσιν ἐπὶ τὸ μαρτύριον πετόμενοι. καὶ ταῦτα οὐκ ἐξ ἑτέρου, ἀλλὰ παρὰ τῶν προγόνων ἐμάνθανε τῶν ἑαυτοῦ. καὶ γὰρ καὶ τύραννοι τὴν ἐκκλησίαν ἐπολέμησαν, καὶ δῆμοι" διηνεκῶς ἐπανέστησαν, ὅτε ἔτι βραχὺς ἦν ὁ τῆς εὐσεβείας σπινθήρ· ἀλλ' ὅμως οὐκ ἔσβεσαν, οὐ κατέδυσαν· ἀλλ' αὐτοὶ μὲν κατελύοντο, ὁ δὲ σπινθὴρ ἐκεῖνος αὐξόμενος πρὸς ὕψος ἤρετο, καὶ τὴν οἰκουμένην κατέλαβεν ἅπασαν, σφαττομένων, καιομένων, κρημνιζομένων, καταποντιζομένων, θηρίοις παραδιδομένων τῶν πιστῶν ἁπάντων. καὶ γὰρ τοὺς ἄνθρακας ὡς πηλὸν κατεπάτησαν, καὶ τὰ πελάγη καὶ τὰ κύματα καθάπερ λειμῶνας ἑώρων, καὶ ἐπὶ τὸ ξίφος ὡς ἐπὶ διάδημα καὶ στέφανον ἔτρεχον· καὶ πᾶν εἶδος τιμωρίας ἤλεγξαν, οὐ τῷ γενναίως φέρειν μόνον, ἀλλὰ καὶ τῷ μεθ' ἡδονῆς καὶ προθυμίας πολλῆς. καθάπερ γὰρ τὰ φυτὰ ἀρδευόμενα αὔξεσθαι πέφυκεν, οὕτω καὶ ἡ πίστις ἡ ἡμετέρα πολεμουμένη μᾶλλον ἀνθεῖ, καὶ ἐνοχλουμένη πλεονάζει. καὶ οὐχ οὕτω τοὺς κήπους εὐθαλεῖς ἡ τῶν ὑδάτων ἀρδεία ποιεῖν εἴωθεν, ὡς τὰς ἐκκλησίας τῶν μαρτύρων τὸ αἷμα ποτίζειν πέφυκε. ταῦτ' οὖν ἅπαντα, καὶ πλείονα τούτων εἰδὼς ἐκεῖνος ἐδεδοίκει φανερῶς τὸν πρὸς ἡμᾶς κινῆσαι πόλεμον· μὴ τρόπαια, φησιν, ἀλλεπάλληλα στῆσαι, καὶ νίκας ἐργάσασθαι συνεχεῖς, καὶ στεφάνους ἀναδήσασθαι παρασκευάσωμεν. καὶ τί ποιεῖ; σκοπεῖτε τὴν κακουργίαν. ἰατροὺς καὶ στρατιώτας καὶ σοφιστὰς καὶ ῥήτορας ἅπαντας ἀφίστασθαι τῶν ἐπιτηδευμάτων, ἢ τὴν πίστιν ἐξόμνυσθαι ἐκέλευσεν, οὕτω πρὸς ἡμᾶς τὸν πόλεμον ἀκροβολιζόμενος, ἵνα ἂν μὲν εἴξωσι, κα-

γρ. ἐπτερωμ.

γρ. θηριωδῶς

παντέλεστος ἡ ἧττα γένηται, ὅτι χρημάτων τὴν εὐσέβειαν οὐ προετίμησαν· ἂν δὲ στῶσι γενναίως καὶ περιγένωνται, μὴ πολὺ λαμπρὰ ἡ νίκη, μηδὲ περιφανὲς τὸ τρόπαιον γένηται. οὐδὲν γὰρ μέγα τέχνης καὶ ἐπιτηδεύματος ὑπὲρ εὐσεβείας καταφρονῆσαι. καὶ οὐδὲ ἐνταῦθα ἵσταται μόνον, ἀλλὰ καὶ εἴ τις ἦν ἐν τοῖς ἔμπροσθεν χρόνοις, ἡνίκα βασιλεῖς ἦσαν εὐσεβεῖς, ἢ βωμοὺς καταλύσας, ἢ ναοὺς κατασκάψας, ἢ ἀναθήματα λαβὼν, ἢ ἄλλ' ὁτιοῦν τοιοῦτον ἐργασάμενος, εἰς δικαστήριον εἵλκετο καὶ ἐσφάζετο, οὐχ ὁ πεποιηκώς τι τοιοῦτον μόνον, ἀλλὰ καὶ ὁ κατηγορηθεὶς ἁπλῶς. καὶ ἑτέρας δὲ μυρίας καὶ πολυτρόπους προφάσεις ἔπλαττεν, ὥστε κατακόψαι τοὺς ἐν εὐσεβείᾳ ζῶντας ἅπαντας. καὶ ταῦτα ἐποίει πάντα, τὸν τοῦ μαρτυρίου στέφανον ἀμαυρῶσαι βουλόμενος· ἵν' ὁ μὲν φόνος αὐτῷ προχωρῇ καὶ σφαγαὶ γίνωνται, μὴ φαίνηται δὲ λαμπρὰ τὰ τῶν μαρτύρων βραβεῖα. ἀλλ' οὐδὲν αὐτῷ πλέον ἐγίνετο. οὐ γὰρ ἀπὸ τῆς ἐκείνου ψήφου, οὐδὲ ἀπὸ τῆς κακουργίας πάντως οἱ ταῦτα παθόντες, ἀλλ' ἀπὸ τῆς ἀδεκάστου κρίσεως, τῆς ἄνωθεν λέγω, τὸν στέφανον δέχεσθαι μέλλουσι. τοιγαροῦν τῶν πραγμάτων ἐν τούτοις ὄντων, καὶ ὠδίνοντος ἐκείνου τὸν πόλεμον ἐξενεγκεῖν, καὶ δεδοικότος τὴν ἧτταν, συνέβη γενέσθαι συμπόσιον στρατιωτικὸν, οὗ μετεῖχον οἱ σήμερον ἡμᾶς συναγαγόντες μάρτυρες. καὶ οἷα εἰκὸς ἐν συμποσίῳ προτεινομένων λόγων πολλῶν, καὶ ἑτέρων ἕτερά τινα διαλεγομένων, οὗτοι τὰ παρόντα ἐθρήνουν κακὰ, καὶ τὸν ἔμπροσθεν ἐμακάριζον χρόνον· καὶ πρὸς ἑαυτοὺς, καὶ πρὸς τοὺς παρόντας ἔλεγον· ζῆν δὲ λοιπὸν ὅλως ἄξιοι; ἀναπνεῖν δὲ, ἢ τὸν ἥλιον τοῦτον ὁρᾷν, τῶν ἱερῶν καταπατουμένων νόμων, τῆς εὐσεβείας ὑβριζομένης, τοῦ κοινοῦ τῆς κτίσεως ἀτιμαζομένου δεσπότου; πάντα κνίσσης γέμει καὶ καπνοῦ, πάντα θυσιῶν ἀκαθάρτων. οὐδὲ ἀέρα καθαρὸν ἀναπνεῦσαι δυνάμεθα. σὺ δέ μοι μὴ ἁπλῶς παραδράμῃς τὰ εἰρημένα· ἀλλ' ἐννόησον τὸν καιρὸν, καθ' ὃν ταῦτα ἐλέγετο, καὶ σκόπει τὴν ἀλήθειαν τῶν λεγόντων. εἰ γὰρ ἐν συμποσίῳ στρατιωτικῷ, ἔνθα ἄκρατος οἶνος καὶ μέθη καὶ ἅμιλλα ἀσωτίας ἐσχάτης, καὶ παροινίας ἀγὼν καὶ παραπληξίας, οὕτως ἔστενον, οὕτως ἐθρήνουν, τίνες ἦσαν ἐπὶ τῆς οἰκίας ὄντες καὶ ἀλλήλοις συγγινόμενοι μόνοις; τίνες ἦσαν ἐν ταῖς εὐχαῖς, οἱ παρ' αὐτὸν τὸν καιρὸν τῆς τρυφῆς οὕτω συνεσταλμένοι καὶ ἀποστολικὰ σπλάγχνα ἐπιδεικνύμενοι; ἄλλοι ἐπίστευον, καὶ οὗτοι ἐθρήνουν· ἕτεροι ἠσέβουν, καὶ οὗτοι ἐπύρεσσον, οὐδὲ ᾐσθάνοντο τῆς οἰκείας ὑγιείας διὰ τὴν τῶν ἀδελφῶν ἀρρωστίαν, ἀλλ' ὥσπερ κοινοὶ προστάται τῆς οἰκουμένης δοθέντες, οὕτως ἤλγουν καὶ ἐδάκρυον ἐπὶ τοῖς γινομένοις κακοῖς. ταῦτα εἰπόντες οὐκ ἔλαθον· ἀλλ' εἷς τις τῶν τῆς τραπέζης κοινωνούντων ἐκείνης, εἴρων καὶ κόλαξ, θεραπεῦσαι τὸν βασιλέα βουλόμενος, πάντα τὰ εἰρημένα τούτῳ κατεῖπεν. ὁ δὲ ὅπερ ἐζήτει πάλαι εὑρὼν, καὶ προφάσεως ἐπιλαβόμενος δυναμένης αὐτοὺς ἀποστερῆσαι τῶν τοῦ μαρτυρίου μισθῶν, κελεύει δημευθῆναι τὴν οὐσίαν αὐτῶν ἅπασαν, τυραννίδα ἐγκαλῶν ὑπὲρ τῶν ῥημάτων τούτων, καὶ γυμνοὺς εἰς τὸ δεσμωτήριον εἰσαχθῆναι προσέταξεν. οἱ δὲ ἔχαιρον καὶ ἠγάλλοντο. τί γὰρ ἡμῖν δεῖ περιουσίας, φασὶ, καὶ στολῆς πολυτελοῦς; κἂν γὰρ αὐτὸ τὸ ἔσχατον ἱμάτιον τὴν σάρκα ἀποδύσασθαι δέῃ διὰ τὸν Χριστὸν, οὐδὲ ταύτης ἀνθεξόμεθα, ἀλλὰ καὶ αὐτῆς παραχωρήσομεν. καὶ σήμαντρα λοιπὸν ἦν ἐν ταῖς οἰκίαις, καὶ πάντα ἀνήρπαζετο τὰ ἐκείνων. καὶ καθάπερ ἄνθρωποι μέλλοντες ἀποδημεῖν εἰς πατρίδα μακρὰν ἀφεστηκυῖαν, τὴν οἰκίαν ἐξαργυρίσαντες πολλάκις προπέμπουσιν, οὕτω δὴ καὶ ἐπ' ἐκείνων συνέβαινεν. ἐπειδὴ πρὸς τὸν οὐρανὸν ἔμελλον ἀποδημεῖν, προεπέμπετο αὐτῶν ἡ οὐσία, αὐτῶν τῶν ἐχθρῶν πρὸς τὴν παραπομπὴν διακονουμένων. οὐδὲ γὰρ μόνον τὰ κατὰ λόγον ἐλεημοσύνης διδόμενα χρήματα πρὸς οὐρανὸν μετατίθενται, ἀλλὰ καὶ ἅπερ ἂν ἁρπάσωσιν οἱ τὴν πίστιν πολεμοῦντες, καὶ διώκοντες τοὺς ἐν εὐσεβείᾳ ζῶντας, καὶ ταῦτα ἐκεῖ θησαυρίζεται. ὅτι γὰρ τοῦτο οὐκ ἔλαττον ἐκείνου, ἄκουσον τί φησιν ὁ Παῦλος· Καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, προσδοκῶντες ἔχειν κρείττονα ὕπαρξιν ἐν οὐρανοῖς καὶ μένουσαν.

γρ. αὐτῷ

Ἑβρ. ι. λδ.

Ἡ

Ἦσαν τοίνυν οἱ μάρτυρες ἐν τῷ δεσμωτηρίῳ, καὶ πᾶσα ἡ πόλις ἐκεῖ συνέῤῥει, καίτοιγε φόβων καὶ ἀπειλῶν καὶ κινδύνων ἐπικρεμαμένων μεγάλων, εἴ τις προσέλθῃ καὶ διαλεχθείη καὶ κοινωνήσειεν αὐτοῖς λόγων. ἀλλ' ὁ τοῦ Θεοῦ φόβος πάντα ἐκεῖνα παρεώσατο. καὶ δι' ἐκείνους πολλοὶ τότε ἐγίγνοντο μάρτυρες, ὑπὲρ τῆς πρὸς αὐτοὺς συνουσίας τῆς παρούσης καταφρονοῦντες ζωῆς. καὶ συντρεχόντων πολλῶν ψαλμῳδίαι συνεχεῖς ἐτελοῦντο, παννυχίδες ἱεραί, συνουσίαι διδασκαλίας γέμουσαι πνευματικῆς. καὶ τῆς ἐκκλησίας ἀποκλεισθείσης, τὸ δεσμωτήριον ἐκκλησία λοιπὸν ἐγίνετο. οὐ γὰρ δὴ μόνον οἱ ἔξωθεν εἰσιόντες, ἀλλὰ καὶ οἱ ἔνδον διατρίβοντες μεγίστην διδασκαλίαν ἀρετῆς καὶ σωφροσύνης παρὰ τῆς ὑπομονῆς καὶ τῆς πίστεως τῶν ἁγίων τούτων ἐδέχοντο. Ταῦτα ἀκούων ὁ βασιλεὺς ὠδυνᾶτο πλέον. καὶ βουλόμενος αὐτοὺς ὑποσκελίσαι, καὶ τῆς προθυμίας ἐκλύσαι ἐκείνης, καθίησιν ἀνθρώπους μιαρούς τινας καὶ γόητας πρὸς τὴν ἐπιβουλήν. οἳ συγκαθήμενοι πολλάκις, εἴποτε αὐτῶν ἐπιλάβοντο μόνων, ὡς οἴκοθεν συμβουλεύοντες, ἀλλ' οὐχ ὡς παρὰ τοῦ βασιλέως πεμφθέντες, παρῄνουν ἀποστῆναι μὲν τῆς εὐσεβείας, αὐτομολῆσαι δὲ πρὸς τὴν ἀσέβειαν. οὐ γὰρ δὴ μόνον τὸν ἐπικείμενον οὕτω διακρούσεσθε κίνδυνον, ἀλλὰ καὶ τιμῆς πλείονος καὶ κρείττονος ἐπιλήψεσθε τῆς ἀρχῆς, τοῦ βασιλέως τὴν ὀργὴν οὕτω καταλύσαντες. οὐχ ὁρᾶτε καὶ ἑτέρους τῶν συντεταγμένων ὑμῖν τὸ αὐτὸ τοῦτο πεποιηκότας; οἱ δὲ, καὶ δι' αὐτὸ μὲν τοῦτο ἡμεῖς, φασι, στησόμεθα γενναίως, ἵν' ὥσπερ θύματα ἑαυτοὺς ὑπὲρ τῶν πεπτωκότων ἐκείνων προσαγάγωμεν. φιλάνθρωπον ἔχομεν δεσπότην· οἶδε καὶ μίαν θυσίαν δεξάμενος, πάσῃ καταλλαγῆναι τῇ οἰκουμένῃ. καὶ καθάπερ οἱ τρεῖς παῖδες ἔλεγον, ὅτι Οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης καὶ ἡγούμενος, οὔτε ὁλοκαύτωσις, οὔτε θυσία, οὔτε τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου καὶ εὑρεῖν ἔλεος, ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν· οὕτω δὴ καὶ οἱ μάρτυρες τὰ θυσιαστήρια κατεσκαμμένα βλέποντες, τὰς ἐκκλησίας ἀποκλειομένας, τοὺς ἱερεῖς ἐλαυνομένους, πάντας τοὺς πιστοὺς φυγαδευομένους, ἐσπούδαζον ἑαυτοὺς ἀντὶ πάντων τῷ δεσπότῃ προσαγαγεῖν, καὶ καταλιπόντες τάγματα στρατιωτικά, ἔσπευδον ἑαυτοὺς ἀναμίξαι χοροῖς ἀγγελικοῖς. κἂν γὰρ μὴ νῦν ἀποθάνωμεν, φησιν, ἀποθανούμεθα πάντως χρόνον μικρὸν ὕστερον, καὶ τοῦτο αὐτὸ πεισόμεθα. βέλτιον ὑπὲρ τοῦ βασιλέως τῶν ἀγγέλων ἀποθανεῖν, ἢ ὑπὲρ ἀνθρώπου τοιαῦτα ἀσεβοῦντος· βέλτιον ὑπὲρ τῆς ἄνω πατρίδος θέσθαι τὰ ὅπλα, ἢ ὑπὲρ τῆς κάτω καὶ πατουμένης. ἐνταῦθα κἂν ἀποθάνῃ τις, οὐδὲν παρὰ βασιλέως λήψεται τῆς προθυμίας ἐπάξιον. τί γὰρ τῷ τελευτήσαντι χαρίσεται λοιπὸν ἄνθρωπος; πολλάκις μὲν οὐδὲ ταφῆς ἀξιωθεὶς, τοῖς τῶν κυνῶν προκείσεται στόμασιν. ἂν δὲ ὑπὲρ τοῦ βασιλέως ἀποθάνωμεν τῶν ἀγγέλων, μετὰ πλείονος τῆς δόξης τὰ σώματα ἀποληψόμεθα, μετὰ πολλῆς τῆς λαμπρότητος ἐπανήξομεν, καὶ πολλῷ μείζονας τῶν πόνων τὰς ἀμοιβὰς καὶ τοὺς στεφάνους κομιούμεθα. λάβωμεν τοίνυν ὅπλα πνευματικά. οὐ χρεία βελῶν καὶ τόξων, οὐ χρεία ἄλλου τινὸς αἰσθητοῦ ὅπλου. ἀρκεῖ πρὸς πάντα ἡμῖν ἡ γλῶττα, φησί. καὶ γὰρ ὄντως βελοθήκη τῶν ἁγίων τὰ στόματα, συνεχεῖς καὶ ἐπαλλήλους φέροντα τῇ τοῦ διαβόλου κεφαλῇ τὰς πληγάς. ταῦτα, καὶ τὰ τούτοις ἐοικότα ἀπήγγελλε τῷ βασιλεῖ· ὁ δὲ οὐκ ἀφίστατο, ἀλλ' ἐπεχείρει πάλιν τὰ δελέατα δι' ἐκείνων τιθείς. Ταῦτα γοῦν κατεσκεύαζεν ὁ ὕπουλος καὶ πανοῦργος καὶ σοφὸς εἰς τὸ κακοποιῆσαι, ἵν' ἂν μὲν καταμαλακισθέντες ἐνδῶσιν, ὑπὸ τοῖς ἁπάντων ὀφθαλμοῖς αὐτοὺς ἐξαγάγῃ, καὶ οὕτω λοιπὸν παρασκευάσῃ θῦσαι· ἂν δ' ἐπιμείνωσι σφοδρὰν τὴν ἀνδρείαν ἐπιδεικνύμενοι, καὶ πρὸς τὴν πάλην γενναίως ἱστάμενοι, μὴ φανερὰ γένηται τὰ τῆς νίκης αὐτοῖς, ἀλλ' ὡς ἐπὶ προσχήματι τυραννίδος αὐτοὺς ἀπαγαγὼν ἀποτέμῃ. ἀλλ' ὁ ἀποκαλύπτων βαθέα καὶ ἀπόκρυφα, οὐκ ἀφῆκε λαθεῖν τὴν ἐνέδραν, οὐδὲ τὴν ἐπιβουλὴν ἀφανῆ γενέσθαι. ἀλλ' ὥσπερ ἡ Αἰγυπτία τότε γυνὴ, τοῦ Ἰωσὴφ ἐπιλαβομένη ἐν θαλάμῳ καὶ ἐρημίᾳ πολλῇ, προσεδόκησε λήσεσθαι

γρ. ἐγίνετο.

γρ. ἐλκύσαι

Δαν. γ.

Γεν. λθ. ια.

σθαι πάντας ἀνθρώπους, οὐκ ἔλαθε δὲ τὸν ἀκοίμητον ὀφθαλμόν, καὶ οὐ μόνον ἐκεῖνον, ἀλλ' οὐδὲ ἀνθρώπους τοὺς μετὰ ταῦτα (καὶ γὰρ, ὅπερ ἐκείνη πρὸς τὸν Ἰωσὴφ εἶπεν, οὐδενὸς παρόντος, τοῦτο πανταχοῦ τῆς οἰκουμένης ᾄδεται) οὕτω δὴ καὶ οὗτοι ἤλπισαν μὲν λήσειν ἐν δεσμωτηρίῳ διαλεγόμενοι διὰ τῶν ἐρρηματισμένων συμβόλων ἐκείνων, οὐκ ἔλαθον δέ, ἀλλ' ἅπαντες μετὰ ταῦτα ἔμαθον τὴν ἐνέδραν, τὴν ἐπιβουλήν, τὴν νίκην, τὸ τρόπαιον. ὡς γὰρ χρόνος ἐπεγίνετο καὶ παρέρρει πολύς, καὶ τὸ πλῆθος τῶν ἡμερῶν οὐκ ἐξέλυε τὴν προθυμίαν, ἀλλ' ἐπέτεινεν αὐτῶν μᾶλλον τὴν σπουδὴν καὶ πλείονας κατεσκεύαζε ζηλωτάς, κελεύει λοιπὸν μέσων νυκτῶν ἐπὶ τὸ βάραθρον αὐτοὺς ἀπαχθῆναι. καὶ ἐν μέσῳ σκότει οἱ φωστῆρες ἐξήγοντο καὶ ἀπετέμνοντο. τότε καὶ φοβερώτεραι λοιπὸν ἦσαν αἱ κεφαλαὶ τῷ διαβόλῳ μᾶλλον, ἢ ὅτε φωνὴν ἠφίεσαν· ἐπεὶ καὶ ἡ Ἰωάννου κεφαλὴ οὐχ οὕτω φοβερὰ ἦν φθεγγομένη, ὡς ἄφωνος ἐπὶ τοῦ πίνακος κειμένη. ἔχει γὰρ καὶ φωνὴν τῶν ἁγίων τὸ αἷμα, οὐ δι' ὤτων ἀκουομένην, ἀλλὰ τοῦ συνειδότος τῶν ἀναιρούντων ἐπιλαμβανομένην *. μετὰ δὲ τὴν μακαρίαν ἐκείνην σφαγὴν οἱ τὰ τοιαῦτα θηρεύοντες λείψανα, τὴν ἑαυτῶν ὑποθέντες ψυχὴν ἀνείλοντο τοὺς ἀριστέας τούτους. καὶ ἦσαν κἀκεῖνοι μάρτυρες ζῶντες. καὶ γὰρ εἰ καὶ μὴ ἀπετμήθησαν, ἀλλ' ἑλόμενοι πρότερον τοῦτο παθεῖν, οὕτως ἐπὶ τὴν ἄγραν τῶν σωμάτων ὥρμησαν. λέγουσι τοίνυν οἱ τότε παραγενόμενοι, καὶ ταῦτα τὰ σώματα νεοσφαγῆ καταξιωθέντες ἰδεῖν, ὅτι κειμένων αὐτῶν παρ' ἀλλήλων πρὸ τῆς ταφῆς τοσαύτη τις ἐπήνθησεν αὐτῶν ταῖς ὄψεσι χάρις, οἵαν ἐπὶ Στεφάνου φησὶν ὁ Λουκᾶς γεγενῆσθαι, μέλλοντος ἀπολογεῖσθαι τοῖς Ἰουδαίοις. καὶ οὐκ ἔστιν οὐδείς, ὃς χωρὶς φρίκης αὐτοῖς παρέστη τότε. οὕτω καὶ αὐτὴ ἡ ὄψις πάντας τοὺς ὁρῶντας ἐξέπληττε, καὶ πάντες ἐπεβόων ἐκεῖνο τὸ παρὰ τοῦ Δαβὶδ εἰρημένον, Ἐν τῇ ζωῇ αὐτῶν οὐ κεχωρισμένοι, καὶ ἐν τῷ θανάτῳ αὐτῶν οὐ διεχωρίσθησαν. κοινῇ γὰρ καὶ ὡμολόγησαν, καὶ τὸ δεσμωτήριον ᾤκησαν, καὶ εἰς τὸ βάραθρον ἀπηνέχθησαν, καὶ τὰς κεφαλὰς ἀπέθεντο, καὶ μία λάρναξ ἀμφοτέρων ἔχει τὰ σώματα, ὥσπερ οὖν καὶ μία σκηνὴ δέξεται αὐτὰ πάλιν ἐν τοῖς οὐρανοῖς, ὅταν αὐτὰ μετὰ πλείονος δόξης ἀνελέσθαι μέλλωσι. τούτους ἄξιον καὶ στύλους καὶ σκοπέλους καὶ πύργους καὶ φωστῆρας καὶ ταύρους ὁμοῦ προσειπεῖν. καὶ γὰρ ὡς στῦλοι, τὴν ἐκκλησίαν ἀνέχουσι· καὶ ὡς πύργοι, τειχίζουσι· καὶ ὡς σκόπελοι πᾶσαν ἐπιβουλὴν ἀποκρουόμενοι, πολλὴν τοῖς ἔνδον ποιοῦσι γαλήνην· καὶ ὡς φωστῆρες, τὸ σκότος ἀπήλασαν τῆς ἀσεβείας· καὶ ὡς ταῦροι, ψυχῇ καὶ σώματι ἴσῃ τῇ προθυμίᾳ τὸν χρηστὸν εἵλκυσαν τοῦ Χριστοῦ ζυγόν. Συνεχῶς τοίνυν αὐτοῖς ἐπιχωριάζωμεν, καὶ τῆς λάρνακος ἁπτώμεθα, καὶ μετὰ πίστεως τοῖς λειψάνοις αὐτῶν περιπλεκώμεθα, ἵνα εὐλογίαν τινὰ ἐπισπασώμεθα ἐκεῖθεν. καθάπερ γὰρ οἱ στρατιῶται τὰ τραύματα ″ ἐπιδεικνύντες ἅπερ ἐκ τῶν πολεμίων ἔλαβον, μετὰ παρρησίας τῷ βασιλεῖ διαλέγονται, οὕτω καὶ οὗτοι τὰς κεφαλάς, ἃς ἀπετμήθησαν, ἐπὶ τῶν χειρῶν βαστάζοντες καὶ εἰς μέσον παράγοντες, εὐκόλως ἅπαντα, ὅσα ἂν θέλωσι, παρὰ τῷ βασιλεῖ τῶν οὐρανῶν ἀνύειν δύνανται. μετὰ πολλῆς τοίνυν τῆς πίστεως, μετὰ πολλῆς τῆς προθυμίας ἐκεῖ βαδίζωμεν· ἵνα καὶ ἀπὸ τῆς ὄψεως τῶν ἁγίων τούτων μνημάτων, καὶ ἀπὸ τῆς ἐννοίας τῶν ἄθλων, καὶ πανταχόθεν πολλοὺς καὶ μεγάλους λαβόντες θησαυρούς, καὶ τὸν παρόντα βίον δυνηθῶμεν κατὰ τὸ τῷ Θεῷ δοκοῦν διανύσαι, καὶ μετὰ πολλῆς τῆς ἐμπορείας εἰς ἐκεῖνον καταπλεῦσαι τὸν λιμένα, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πραξ. ς. 15.

β. Βασ. α. κγ.

* ὁποίαν εὐχ. καὶ τὸ τοῦ διαμ. ἀλλ' ἢ τὸ φιλ. γρ. σωτηρίαν

″ γρ. ἐπιδείξαντες.

Λογ. οζ. ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ ΜΕΛΕΤΙΟΝ, ἀρχιεπίσκοπον Ἀντιοχείας τῆς μεγάλης, καὶ εἰς τὴν σπουδὴν τῶν συνελθόντων.

Πάντα

Μηνὸς φεβρυαρ. ιβ.

Πανταχοῦ τῆς ἱερᾶς ταύτης ἀγέλης περιφέρων τοὺς ὀφθαλμούς, καὶ τὴν πόλιν ἅπασαν ἐνταῦθα παροῦσαν βλέπων, οὐκ ἔχω τίνα μακαρίσω πρότερον, τὸν ἅγιον Μελέτιον, ὅτι τοσαύτης καὶ μετὰ θάνατον ἀπολαύει τιμῆς, ἢ τὴν ὑμετέραν ἀγάπην, ὅτι τοιαύτην καὶ μετὰ τελευτὴν περὶ τοὺς ποιμένας τοὺς ὑμετέρους εὔνοιαν ἐπιδείκνυσθε. μακάριος μὲν γὰρ ἐκεῖνος, ὅτι τοιοῦτον ἴσχυσεν ἀφεῖναι φίλτρον πᾶσιν ὑμῖν· μακάριοι δὲ καὶ ὑμεῖς, ὅτι τῆς ἀγάπης δεξάμενοι τὴν παρακαταθήκην, ἀκέραιον αὐτὴν τῷ παρακαταθεμένῳ μέχρι τοῦ νῦν φυλάττοντες διεμείνατε. καὶ γὰρ πέμπτον ἔτος ἤδη παρέδραμεν, ἐξ οὗ πρὸς τὸν ποθούμενον ἀπεδήμησεν Ἰησοῦν ἐκεῖνος· καὶ καθάπερ χθὲς καὶ πρώην αὐτὸν ἑωρακότες, οὕτω μετὰ ζέοντος τοῦ φίλτρου πρὸς αὐτὸν ἀπηντήκατε τήμερον. διὰ ταῦτα ζηλωτὸς ἐκεῖνος, ὅτι τοιούτους ἐγέννησεν υἱούς· ζηλωτοὶ δὲ καὶ ὑμεῖς, ὅτι τοιούτου ἐκληρώθητε πατρός· γενναία ἡ ῥίζα καὶ θαυμασία, ἀλλὰ καὶ οἱ καρποὶ τῆς ῥίζης ἄξιοι ταύτης. καὶ γὰρ καθάπερ ῥίζα τις θαυμαστὴ τοῖς κόλποις κρυπτομένη τῆς γῆς, αὐτὴ μὲν οὐ φαίνεται, διὰ δὲ τῶν καρπῶν τῆς οἰκείας ἀρετῆς τὴν ἰσχὺν ἐπιδείκνυται· οὕτω δὴ καὶ ὁ μακάριος Μελέτιος, ἐν τῇ λάρνακι ταύτῃ κρυπτόμενος, αὐτὸς μὲν ἡμῖν τοῖς τοῦ σώματος ὀφθαλμοῖς οὐκ ἔστι καταφανής, διὰ δὲ ὑμῶν τῶν καρπῶν τῆς οἰκείας χάριτος τὴν ἰσχὺν ἐπιδείκνυται. κἂν ἡμεῖς σιγήσωμεν, ἀρκεῖ μόνη ἡ ἑορτὴ καὶ τῆς ὑμετέρας σπουδῆς ἡ θερμότης σάλπιγγος λαμπρότερον ἀναβοῆσαι τοῦ ἁγίου Μελετίου τὸ φιλότεκνον. οὕτω γὰρ ὑμῶν τὴν διάνοιαν ἐξέκαυσε πρὸς τὸν ἔρωτα τὸν αὐτοῦ, ὡς καὶ πρὸς ψιλὸν τὸ ὄνομα διαθερμαίνεσθαι, καὶ πρὸς αὐτὴν διανίστασθαι τὴν προσηγορίαν. διὰ τοῦτο καὶ ἐγὼ νῦν οὐχ ἁπλῶς, ἀλλ᾽ ἐπιτήδες καὶ ἀπὸ σπουδῆς συνεχῶς αὐτοῦ τὸ ὄνομα τοῖς ἐμαυτοῦ λόγοις ἐνείρω. καὶ καθάπερ τις στέφανον πλέκων χρυσοῦν, εἶτα μαργαρίταις ἐνθείς, τῇ πυκνότητι τῶν λίθων λαμπρότερον ἐργάζεται τὸ διάδημα· οὕτω δὴ κἀγὼ τὸν τῶν ἐγκωμίων στέφανον τῇ μακαρίᾳ πλέκων κεφαλῇ τήμερον, ὥσπερ τινῶν μαργαριτῶν πυκνότητα, τῆς προσηγορίας αὐτοῦ τὴν συνέχειαν ἐνυφαίνω τῷ λόγῳ, ποθεινότερον ταύτῃ καὶ λαμπρότερον κατασκευάζειν αὐτὸν προσδοκῶν. ἔστι γὰρ φιλούντων ὁ νόμος καὶ τοιοῦτον τὸ ἔθος, ὡς καὶ ψιλὰ τὰ ὀνόματα περιπτύσσεσθαι τῶν ἐρωμένων, καὶ πρὸς αὐτὰς διαθερμαίνεσθαι τὰς προσηγορίας· ὃ δὴ καὶ ὑμεῖς πεπόνθατε ἐπὶ τοῦ μακαρίου τούτου. παρὰ γὰρ τὴν ἀρχὴν αὐτὸν εἰς τὴν πόλιν εἰσελθόντα δεξάμενοι, τὸ παιδίον ἕκαστος τὸ ἑαυτοῦ ἀπὸ τῆς προσηγορίας ἐκάλεσε τῆς ἐκείνου, διὰ τῆς προσηγορίας εἰς τὴν οἰκίαν ἕκαστος τὴν ἑαυτοῦ τὸν ἅγιον ἐκεῖνον εἰσάγειν νομίζοντες· καὶ πατέρας καὶ πάππους καὶ προγόνους παρατρέχουσαι αἱ μητέρες, τὸ ὄνομα τοῦ μακαρίου Μελετίου τοῖς τεχθεῖσι παιδίοις ἐπετίθεσαν. ἐνίκα γὰρ τὴν φύσιν ὁ τῆς εὐλαβείας πόθος· καὶ τὰ τικτόμενα λοιπὸν οὐκ ἀπὸ τῆς κατὰ φύσιν φιλοστοργίας μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς πρὸς τὴν προσηγορίαν ἐκείνην διαθέσεως ποθεινὰ τοῖς φυσαμένοις ἦν. τὸ γὰρ ὄνομα αὐτοῦ, καὶ συγγενείας κόσμον, καὶ οἰκίας ἀσφάλειαν, καὶ τοῖς καλουμένοις σωτηρίαν, καὶ τοῦ πόθου παραμυθίαν εἶναι ἐνόμιζον. καὶ καθάπερ ἐν σκότῳ καθήμενοί τινες, μιᾶς λαμπάδος ἀφθείσης πολλοὺς ἀνάψαντες λύχνους, εἰς τὴν οἰκίαν ἕκαστος εἰσάγει τὴν ἑαυτοῦ· οὕτω δὴ καὶ τῆς προσηγορίας ἐκείνης, ὥσπερ φωτός, εἰς τὴν πόλιν ἐμπεσούσης, ἕκαστος οἱ λύχνον ἀνάπτων εἰς τὴν οἰκίαν εἰσῆγε τὴν ἑαυτοῦ τὸ τοῦ μακαρίου τότε ἐκείνου ὄνομα, ὥσπερ τινὰ μυρίων ἀγαθῶν θησαυρὸν διὰ τῆς ἐπωνυμίας ἐπισπώμενος. καὶ ἦν εὐλαβείας διδασκαλία, τὸ γινόμενον. συνεχῶς γὰρ ἀναγκαζόμενοι τῆς προσηγορίας ἐκείνης μεμνῆσθαι καὶ τὸν ἅγιον ἐκεῖνον ἔχειν ἐπὶ τῆς ψυχῆς, παντὸς ἀλόγου πάθους καὶ λογισμοῦ φυγαδευτήριον εἶχον τὸ ὄνομα. καὶ οὕτω πολὺ γέγονε τοῦτο, ὡς πανταχοῦ καὶ ἐν ἀμφόδοις, καὶ ἐν ἀγορᾷ, καὶ ἐν ἀγροῖς, καὶ ἐν ὁδοῖς τούτῳ πάντοθεν περιηχεῖσθαι τῷ ὀνόματι. οὐ πρὸς τὸ ὄνομα δὲ τοσοῦτον ἐπάθετε μόνον, ἀλλὰ καὶ πρὸς αὐτὸν τοῦ σώματος τὸν τύπον. ὅπερ γοῦν ἐν ὀνόμασιν ἐποιήσατε, τοῦτο καὶ ἐπὶ τῆς εἰκόνος ἐπράξατε τῆς ἐκείνου. καὶ γὰρ καὶ ἐν δακτυλίων σφενδόναις, καὶ ἐν "ἐκτυπώμασι, καὶ ἐν φιάλαις, καὶ ἐν θαλάμων τοίχοις καὶ πανταχοῦ τὴν εἰκόνα τὴν ἁγίαν ἐκείνην διεχάραξαν πολλοὶ, ὡς μὴ μόνον ἀκούειν τῆς ἁγίας προσηγορίας ἐκείνης, ἀλλὰ καὶ ὁρᾷν αὐτοῦ πανταχοῦ τοῦ σώματος τὸν τύπον, καὶ διπλῆν τινα τῆς ἀποδημίας ἔχειν παραμυθίαν. καὶ γὰρ εὐθέως εἰσελθὼν, τῆς πόλεως ἐξεβάλλετο, τῶν τῆς ἀληθείας ἐχθρῶν ἀπελαυνόντων αὐτόν. ὁ δὲ Θεὸς συνεχώρησεν, ὁμοῦ καὶ τὴν ἀρετὴν τὴν ἐκείνου, καὶ τὴν ἀνδρείαν τὴν ὑμετέραν δεῖξαι βουλόμενος. ἐπειδὴ γὰρ εἰσελθὼν, καθάπερ Μωϋσῆς εἰς Αἴγυπτον, αἱρετικῆς τὴν πόλιν ἀπήλλαξε πλάνης, καὶ τὰ σεσηπότα μέλη καὶ ἀνιάτως ἔχοντα τοῦ λοιποῦ σώματος ἀποκόψας ἀκέραιον τὴν ὑγείαν ἐπανήγαγε τῷ πλήθει τῆς ἐκκλησίας, οἱ τῆς ἀληθείας ἐχθροὶ τὴν διόρθωσιν οὐκ ἐνεγκόντες, τὸν βασιλεύοντα τότε κινήσαντες, τῆς πόλεως αὐτὸν ἐξέβαλον, ταύτῃ προσδοκῶντες περιέσεσθαι τῆς ἀληθείας, καὶ τὴν τῶν γεγενημένων ἀνατρέψειν διόρθωσιν. ἐγένετο δὲ τοὐναντίον, ἢ προσεδόκησαν· καὶ μᾶλλον καὶ ὑμῶν ὁ ζῆλος ἐδείκνυτο, καὶ ἐκείνου διέλαμπεν ἡ τῆς διδασκαλικῆς ἐπιστήμης ἀπόδειξις· ἐκείνου μὲν, ὅτι ἐν τριάκοντα ἡμέραις οὐδὲ ὅλαις ἴσχυσεν οὕτως ὑμᾶς θεμελιῶσαι ἐν τῷ ζήλῳ τῆς πίστεως, ὡς μυρίων μετὰ ταῦτα προσβαλόντων πνευμάτων ἄσειστον μεῖναι τὴν διδασκαλίαν ἐκείνην· ὑμῶν δὲ ἡ θερμότης [ἐδείκνυτο], ὅτι "ἐν τριάκοντα οὐδὲ ὅλαις ἡμέραις οὕτω μετὰ ἀκριβείας τὰ παρ' ἐκείνου καταβληθέντα ἐδέξασθε σπέρματα, ὡς πρὸς τὸ βάθος τῆς διανοίας παραπέμψαι τὰς ῥίζας, καὶ μηδενὶ τῶν προσενεχθέντων ἐνδοῦναι λοιπὸν πειρασμῶν.

γρ. ἐκπώμα

γρ. ἐν τοσούτ
πάλιν ἡμερῶ
ἀριθμῷ

Ἄξιον δὲ μηδὲ ἐκεῖνο παραδραμεῖν, ὃ περὶ τὴν δίωξιν αὐτὴν συνέβαινεν. ἐπειδὴ γὰρ ὁ τῆς πόλεως ἄρχων τὸ ὄχημα ἐλαύνων διὰ μέσης ἐξῄει τῆς ἀγορᾶς, πλησίον αὐτοῦ τὸν ἅγιον καθίσας ἐκεῖνον, νιφάδες λίθων πανταχόθεν ἐφέροντο ἐπὶ τὴν τοῦ ἄρχοντος κεφαλὴν, οὐ φερούσης τῆς πόλεως τὸν χωρισμὸν, ἀλλ' αἱρουμένης καὶ τῆς παρούσης ἐκπεσεῖν ζωῆς, ἢ τὸν ἅγιον ἐκεῖνον ἀποσπώμενον ἰδεῖν. τί οὖν ὁ μακάριος ἐκεῖνος τότε ἐποίησεν; ἰδὼν τὰς τῶν λίθων βολὰς, τοῖς ἱματίοις τοῖς ἑαυτοῦ περιβαλὼν ἀπέκρυψε τοῦ ἄρχοντος τὴν κεφαλὴν, ὁμοῦ τε τοὺς ἐχθροὺς τῇ τῆς ἐπιεικείας ἐντρέπων ὑπερβολῇ, καὶ τοὺς αὐτοῦ μαθητὰς παιδεύων, ὅσην περὶ τοὺς ἀδικοῦντας ἀνεξικακίαν ἐπιδείκνυσθαι χρή· καὶ ὡς οὐ μόνον οὐδὲν αὐτοὺς ἐργάζεσθαι δεινὸν προσῆκεν, ἀλλ' εἰ καὶ παρ' ἑτέρων αὐτοῖς ἐπῄει κίνδυνος, καὶ τοῦτον μετὰ πάσης ἀποκρύπτεσθαι τῆς σπουδῆς. τίς οὐκ ἔφριξε τότε καὶ τῆς πόλεως τὸν μανικὸν ὁρῶν ἔρωτα, καὶ τοῦ διδασκάλου τὴν ἄκραν φιλοσοφίαν καὶ τὴν ἐπιείκειαν καὶ τὴν πραότητα καταπληττόμενος; καὶ γὰρ ἦν παράδοξα τὰ τότε συμβαίνοντα. ὁ ποιμὴν ἀπηλαύνετο, καὶ τὰ πρόβατα οὐκ ἐσκορπίζετο· ὁ κυβερνήτης ἐξεβάλλετο, καὶ τὸ σκάφος οὐκ ἐβαπτίζετο· ὁ γεωργὸς ἐδιώκετο, καὶ ἡ ἄμπελος ἐκαρποφόρει πλέον. ἐπειδὴ γὰρ τῷ συνδέσμῳ τῆς ἀγάπης πρὸς ἀλλήλους ἦτε συνδεδεμένοι, οὐ πειρασμῶν ἐπαγωγαὶ, οὐ κινδύνων ἐπαναστάσεις, οὐχ ὁδοῦ μῆκος, οὐ χρόνου πλῆθος, οὐκ ἄλλο οὐδὲν ἴσχυσεν ὑμᾶς διαστῆσαι τῆς συνουσίας τοῦ μακαρίου ποιμένος. ἀλλ' ἐξεβάλλετο μὲν, ὥστε μακρὰν γενέσθαι τῶν τέκνων· συνέβαινε δὲ τοὐναντίον. μᾶλλον γὰρ ὑμῖν συνεσφίγγετο τοῖς τῆς ἀγάπης δεσμοῖς, καὶ πᾶσαν τὴν πόλιν μεθ' ἑαυτοῦ λαβὼν, εἰς Ἀρμενίαν ἀπῄει. τὸ μὲν γὰρ σῶμα ἐπὶ τῆς πατρίδος ἵδρυτο· ὁ λογισμὸς δὲ καὶ ὁ νοῦς, ὥσπερ ὑπό τινων πτερῶν κουφιζόμενος, "τῆς τοῦ πνεύματος χάριτος, καὶ διὰ παντὸς ὑμῖν ἐπιχωριάζων, ἅπαντα τοῦτον τὸν δῆμον ἐν τοῖς ἑαυτοῦ περιέφερε σπλάγχνοις· ὃ δὴ καὶ ὑμεῖς ἐπάσχετε. καθήμενοι γὰρ ἐνταῦθα, καὶ τῇ πόλει περιγραφόμενοι, τῷ πνεύματι τῆς ἀγάπης εἰς Ἀρμενίαν καθ' ἑκάστην ἐστελλόμενοι τὴν ἡμέραν, καὶ τὴν ἁγίαν ὄψιν ὁρῶντες,

γρ. τῇ τοῦ
πνεύματος
χάριτι

καὶ τῆς ἡδίστης καὶ μακαρίας φωνῆς ἀκούοντας, οὕτως ἐπανήκεντι πάλιν. καὶ διὰ ταύτην συνεχώρησεν ὁ Θεὸς τὴν αἰτίαν εὐθέως αὐτὸν ἀπελαθῆναι τῆς πόλεως, ἵνα καὶ ὑμῶν, ὥσπερ ἔφθην εἰπών, τὸ στερρὸν τῆς πίστεως ἐπιδείξῃ τοῖς ὑμᾶς πολεμοῦσιν ἐχθροῖς, κἀκείνου τὸ περὶ τὴν διδασκαλίαν ἐμπειρίαν. καὶ δῆλον ἐκεῖθεν. μετὰ γὰρ τὴν πρὸ τὴν δίωξιν ἐπιμεληθεὶν, οὐχὶ τριάκοντα ἡμέρας μόνον, ἀλλὰ καὶ μῆνας καὶ ἐνιαυτὸν καὶ ἕνα καὶ δύο καὶ πλείους ἐνταῦθα διέτριψεν. ἐπειδὴ γὰρ ἱκανὴν ἐδώκατε τῆς περὶ τὴν πίστιν στερρότητος ἀπόδειξιν, ἔδωκεν ὑμῖν μετὰ ἀδείας ἐντρυφῆσαι τῷ πατρὶ πάλιν. καὶ γὰρ τρυφὴ ἦν μεγίστη, τὸ τῆς ἁγίας ὄψεως ἀπολαύειν ἐκείνης. οὐ γὰρ δὴ διδάσκων μόνον, οὐδὲ φθεγγόμενος, ἀλλὰ καὶ ὁρώμενος ἁπλῶς, ἱκανὸς ἦν ἅπασαν ἀρετῆς διδασκαλίαν εἰς τὴν τῶν ὁρώντων ψυχὴν εἰσαγαγεῖν. ὅτε γοῦν πρὸς ἡμᾶς εἰσήλαυνε, καὶ πᾶσα ἡ πόλις πρὸς τὴν ὁδὸν μεθωρμίζετο, οἱ μὲν πλησίον ἤρχοντο καὶ ποδῶν ἥπτοντο καὶ χεῖρας κατεφίλουν καὶ φωνῆς ἤκουον· οἱ δὲ ὑπὸ τοῦ πλήθους κωλυόμενοι καὶ πόρρωθεν αὐτὸν ὁρῶντες μόνον, ὥσπερ ἱκανὴν ἀπὸ τῆς ὄψεως δεξάμενοι τὴν εὐλογίαν, καὶ οὐδὲν ἔλαττον τῶν ἐγγὺς γενομένων ἐσχηκότες, οὕτω μετὰ πληροφορίας ἁπάσης ἀπῄεσαν. καὶ ὅπερ ἐπὶ τῶν ἀποστόλων ἐγίνετο, τοῦτο καὶ ἐπὶ τούτου συνέβαινε. καθάπερ γὰρ ἐπὶ τῶν ἀποστόλων, ὅσοι προσελθεῖν καὶ ἐγγὺς γενέσθαι οὐκ ἴσχυον, τῆς σκιᾶς αὐτῶν ἐκτεινομένης καὶ τῶν πόρρωθεν ἁπτομένης, τὴν αὐτὴν ἐπεσπῶντο χάριν, καὶ ὁμοίως ὑγιαίνοντες ἀπῄεσαν, οὕτω δὴ καὶ νῦν. ὅσοι προσελθεῖν οὐκ ἴσχυον, ὥσπερ τινὸς δόξης πνευματικῆς ἀπὸ τῆς ἁγίας ἐκείνης κεφαλῆς ἐκπεμπομένης καὶ πρὸς τοὺς πορρωτάτω διικνουμένης αἰσθανόμενοι, πάσης εὐλογίας ἀπὸ τῆς θεωρίας μόνης πληρούμενοι πάντες ἀπῄεσαν. ἐπεὶ δὲ ἔδοξε τῷ κοινῷ τῶν ὅλων Θεῷ καλέσαι λοιπὸν αὐτὸν ἐκ τῆς παρούσης ζωῆς, καὶ εἰς τὸν τῶν ἀγγέλων κατατάξαι χορόν, οὐδὲ τοῦτο ἁπλῶς ἐγίνετο· ἀλλὰ καλεῖ μὲν αὐτὸν βασιλέως γράμματα, τοῦ Θεοῦ τὸν βασιλέα κινήσαντος· καλεῖ δὲ αὐτὸν οὐκ ἐγγύς που οὐδὲ πλησίον, ἀλλ' εἰς τὴν Θρᾴκην αὐτήν, ἵνα καὶ Γαλάται καὶ Βιθυνοί, καὶ Κίλικες, καὶ Καππαδόκαι, καὶ οἱ τὴν Θρᾴκην προσοικοῦντες ἅπαντες τὰ ἡμέτερα μάθωσιν ἀγαθά· ἵνα οἱ πανταχοῦ τῆς γῆς ἐπίσκοποι, ὥσπερ εἰς ἀρχέτυπον εἰκόνα, τὴν, ἁγιωσύνην ἰδόντες τὴν ἐκείνου, καὶ παράδειγμα σαφὲς τῆς κατὰ τὴν ἀρχὴν ταύτην διακονίας παρ' ἐκείνου λαβόντες, κανόνα τινά, καθ' ὃν δεῖ τὰς ἐκκλησίας οἰκονομεῖν καὶ κυβερνᾶν, ἔχωσιν ἀσφαλῆ καὶ σαφέστατον. καὶ γὰρ διά τε τὸ τῆς πόλεως μέγεθος, καὶ διὰ τὴν τοῦ βασιλέως προεδρίαν πολλοὶ πολλαχόθεν τῆς οἰκουμένης ἐκεῖ συνέρρεον τότε. οἱ δὲ τῶν ἐκκλησιῶν ἐπίσκοποι, διὰ τὸ τὰς ἐκκλησίας ἐκ μακροῦ πολέμου καὶ χειμῶνος διενεγκούσας ἀρχὴν εἰρήνης καὶ γαλήνης λαμβάνειν, βασιλικοῖς ἐκεῖ γράμμασιν ἐκαλοῦντο πάντες. τότε τοίνυν καὶ οὗτος ἐκεῖ παραγίνεται. καὶ καθάπερ ἐπὶ τῶν τριῶν παίδων, ἡνίκα ἀνακηρύττεσθαι ἔμελλον καὶ στεφανοῦσθαι σβέσαντες τὴν τοῦ πυρὸς δύναμιν, καταπατήσαντες τοῦ τυράννου τὸν τῦφον, ἅπαν ἀσεβείας εἶδος ἐλέγξαντες, ἐκ τῆς οἰκουμένης αὐτοῖς τὸ θέατρον ἐκάθητο πάσης (οἱ γὰρ πανταχοῦ γῆς σατράπαι καὶ ὕπατοι καὶ τοπάρχαι ἐκαλοῦντο μὲν δι' ἑτέραν αἰτίαν, ἐγίνοντο δὲ θεαταὶ τῶν ἀθλητῶν ἐκείνων) οὕτω δὴ καὶ τότε συνέβαινεν. ὥστε γὰρ γενέσθαι λαμπρὸν τῷ μακαρίῳ τὸ θέατρον, ἐπ' ἄλλῃ κληθέντες αἰτίᾳ οἱ τὰς πανταχοῦ γῆς οἰκονομοῦντες ἐκκλησίας ἐπίσκοποι παρεγένοντο, καὶ τὸν ἅγιον ἐθεώρουν ἐκεῖνον. καὶ ἐπειδὴ ἐθεάσαντο καὶ κατέμαθον αὐτοῦ ἀκριβῶς τὴν εὐλάβειαν, τὴν σοφίαν, τὸν ζῆλον τῆς πίστεως, πᾶσαν ἀπηρτισμένην ἐν αὐτῷ τὴν ἱερεῖ πρέπουσαν ἀρετήν, τότε αὐτὸν πρὸς ἑαυτὸν ἐκάλεσεν ὁ Θεός. ἐγίνετο δὲ τοῦτο καὶ διὰ φειδὼ τῆς πόλεως τῆς ἡμετέρας. εἰ γὰρ ἐνταῦθα τὴν ψυχὴν ἀφῆκεν, ἀφόρητος ἔμελλεν ὁ τῆς συμφορᾶς ὄγκος ἔσεσθαι. τίς γὰρ ἂν ἠνέσχετο τὸν μακάριον ἐκεῖνον ἰδεῖν τὰς ἐσχάτας διαπνέοντα ἀναπνοάς; τίς δ' ἂν ἠνέσχετο ἰδεῖν τὰ βλέφαρα ἐκεῖνα τῶν ὀφθαλμῶν καθαιρούμενα, καὶ στόμα συγκλειόμενον τὰ ἱ-

ερὰ

ἡ ὑμᾶς

προεδρίαν

ζατα ῥήματα ἐπισκήπτοι; τίς βλέπων ταῦτα οὐκ ἂν ἐξέστη τῷ μεγέθει τῆς συμφορᾶς; ἵνα δὲ οὖν μὴ τοῦτο γένηται, ᾠκονόμησεν ὁ Θεὸς ἐπ' ἀλλοτρίας αὐτὸν ἀφεῖναι τὴν ψυχήν· ἵν' ἐν τῷ μεταξὺ χρόνῳ προμελετήσαντες τὴν συμφορὰν, ὅταν ἴδωμεν εἰσελθόντα τὸν νεκρὸν, μὴ καταπλαγῶμεν τὴν ψυχὴν, ἐνεθισθείσης τῷ χρόνῳ τῆς διανοίας. ὃ δὴ καὶ ἐγένετο. ἐπεὶ γὰρ τὸ ἅγιον ἐκεῖνο σῶμα ἡ πόλις ἐδέξατο, ἐπένθησε μὲν καὶ οὕτω καὶ ἀνωλόλυξε μέγα· ἀλλὰ ταχέως κατέλυσε τὸ πένθος ἀπό τε τῆς εἰρημένης αἰτίας, καὶ ἀπὸ τῆς μελλούσης ῥηθήσεσθαι. ὁ γὰρ φιλάνθρωπος Θεὸς κατελεήσας ἡμᾶς τῆς ὀδύνης, ταχέως ἡμῖν ἕτερον ποιμένα ἀνέδειξε μετὰ πολλῆς ἀκριβείας τὸν ἐκείνου διατηροῦντα χαρακτῆρα, καὶ τὴν εἰκόνα τῆς ἀρετῆς διασώζοντα πάσης· ὃς καὶ ἐπὶ τὸν θρόνον ἀναβὰς, εὐθέως τὴν πενθήρη στολὴν ἡμᾶς ἀπέδυσε, καὶ τὴν ὀδύνην ἔσβεσε, τὴν δὲ τοῦ μακαρίου μνήμην ἀνενέωσε μᾶλλον. καὶ τὸ μὲν ἄλγος ἐμαραίνετο, ὁ δὲ ἔρως σφοδρότερον ἀνήπτετο, καὶ ἡ ἀθυμία πλέον ἀνῄρητο. καίτοιγε ἐν ταῖς ἀποβολαῖς τῶν φιλτάτων οὐχ οὕτω συμβαίνειν εἴωθεν. ἀλλ' ὅταν τις υἱὸν ποθεινὸν, ἢ καὶ ἄνδρα αἰδέσιμον ἀποβάλῃ γυνὴ, ἕως μὲν ἂν αὐτοῦ διατηρῇ τὴν μνήμην ζέουσαν, καὶ τὸ πένθος σφοδρότερον ἐντρέφεται τῇ ψυχῇ· ὅταν δὲ χρόνος ἐπεισελθὼν καταμαλάξῃ τὸ πένθος, συναπεσβέσθη τῇ σφοδρότητι τῆς ὀδύνης καὶ τὸ τῆς μνήμης ἀκμάζον. ἐπὶ δὲ τοῦ μακαρίου τούτου τοὐναντίον ἐγίνετο. ἡ μὲν ἀθυμία πολυτελῶς ἐξεβάλλετο, ἡ δὲ μνήμη οὐ συναπῄει τῇ λύπῃ, ἀλλὰ σφοδρότερον ηὔξετο. καὶ μάρτυρες ὑμεῖς, οἱ μετὰ τοσοῦτον χρόνον, καθάπερ μέλιτται κηρίῳ, περιιπτάμενοι τῷ σώματι τοῦ μακαρίου Μελετίου. τὸ δὲ αἴτιον, οὐ φύσεως ἦν τὸ πρὸς ἐκεῖνον φίλτρον, ἀλλὰ κρίσεως ″ὀρθῆς λογισμός. διὰ τοῦτο οὐκ ἐσβέσθη θανάτῳ, οὐκ ἠμαυρώθη χρόνῳ, ἀλλ' αὔξεται καὶ πρὸς τὸ μεῖζον ἐπιδίδωσιν, οὐχὶ τῶν ἑωρακότων μόνον ὑμῶν αὐτὸν, ἀλλὰ καὶ τῶν οὐκ εἰδότων. τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι καὶ ὅσοι νεώτεροι τῆς ἐκείνου ζωῆς γεγόνασι, καὶ οὗτοι αὐτοὶ πρὸς τὸν αὐτὸν ἐκεῖνον ἔχουσι πόθον. ὑμεῖς μὲν οὖν οἱ πρεσβῦται πλεονεκτεῖτε τῶν οὐχ ἑωρακότων αὐτὸν″ αὐτοὶ δὴ τοῦτο τὸ συγγενέσθαι καὶ τῆς ἁγίας ἀπολαῦσαι συνουσίας· οἱ δὲ οὐχ ἑωρακότες, πλεονεκτοῦσιν ὑμῶν, ὅτι μὴ τεθεαμένοι τὸν ἄνδρα, ὑμῶν τῶν ἑωρακότων οὐκ ἐλάττονα περὶ αὐτὸν ἐπιδείκνυνται πόθον. εὐξώμεθα δὴ κοινῇ πάντες, ἄρχοντες καὶ ἀρχόμενοι, γυναῖκες καὶ ἄνδρες, πρεσβῦται καὶ νέοι, δοῦλοι καὶ ἐλεύθεροι, αὐτὸν τὸν μακάριον Μελέτιον κοινωνὸν τῆς εὐχῆς ταύτης λαβόντες (καὶ γὰρ πλείων αὐτῷ παῤῥησία νῦν, καὶ θερμότερον πρὸς ἡμᾶς τὸ φίλτρον) αὐξηθῆναι ταύτην ἡμῖν τὴν ἀγάπην, καὶ καταξιωθῆναι πάντας ἡμᾶς, καθάπερ ἐνταῦθα πλησίον τῆς λάρνακος ταύτης ἐσμὲν, οὕτω κἀκεῖ δυνηθῆναι γενέσθαι πλησίον τῆς αἰωνίας αὐτοῦ σκηνῆς, καὶ τῶν ἀποκειμένων τυχεῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα καὶ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. ὀρθῶς

ἴσ. αὐτῷ δὲ τούτῳ τῷ

Λογ. οη. ῬΗΘΕΙΣ ΕΙΣ ΤΗΝ ΜΕΓΑΛΗΝ ΕΒΔΟΜΑΔΑ,

ἐν ᾧ καὶ διδασκαλία, τίνος χάριν καλεῖται μεγάλη ἑβδομάς.

γρ. περὶ νηστείας, καὶ εἰς τὸ, αἰνεῖ ἡ ψυχή μου τὸν κύριον, καὶ εἰς τὸν δεσμοφύλακα τὸν ἐν ταῖς πράξεσιν εἰρημένον· ἐλέχθη δὲ τῇ ἁγίᾳ καὶ μεγάλῃ ἑβδομάδι ἄλλῃ δευτέρᾳ.

Διηνύσαμεν τῆς νηστείας τὸν πλοῦν, πρὸς τὸν λιμένα τῇ τοῦ Θεοῦ χάριτι λοιπὸν″ ἀπηντήσαμεν. ἀλλὰ μὴ διὰ τοῦτο ῥᾳθυμῶμεν, ἐπειδὴ πρὸς τὸν λιμένα″ ἀπηντήκαμεν· ἀλλὰ διὰ τοῦτο″ σπουδάσωμεν μᾶλλον. ἐπεὶ καὶ κυβερνῆται, ἐπειδὰν μυριοφόρον ὁλκάδα, ″πεπληρωμένων τῶν ἱστίων, τῶν φορτίων συγκειμένων, εἰς στόμα λιμένος εἰσάγειν μέλλωσιν, ἐναγώνιοι καὶ περιδεεῖς εἰσι, μήποτε μετὰ τὰ μακρὰ ἐκεῖνα πελάγη πέτρᾳ τινὶ προσρήξαντες τὸ πλοῖον ἐκεῖ τὴν

ἐμπορείαν

γρ. κατηντήσαμεν.

γρ. κατηντήκαμεν.

γρ. σπουδάζωμεν μᾶλλον ἐπειδὴ πρὸς τὸ τέλος ἐφθάσαμεν ἔτι γὰρ καὶ κυβερνῆται ποιοῦσιν.

γρ. πεπληρωμένην αὐτὴν καὶ τῶν φορτίων εἰς ὕψος συγκειμένων.

ἐμπορείαν καταδύσῃ πᾶσαν. οὕτω δὴ καὶ ἡμᾶς δεδοικέναι χρὴ καὶ ἐναγωνίους εἶναι, μὴ πρὸς τῷ τέλει τῆς ἀμοιβῆς τῶν πόνων ἐκπέσωμεν. διὸ καὶ ἐπιτεῖναι χρὴ τὴν σπουδήν. οὕτω καὶ οἱ δρομεῖς ποιοῦσιν· ὅταν ἴδωσιν ἑαυτοὺς ἐγγὺς τῶν βραβείων γινομένους, τότε μᾶλλον ἐπιτείνουσι τὸν δρόμον. οὕτω καὶ ἀθληταὶ, μετὰ μυρία παλαίσματα*, ὅταν" περὶ τοὺς στεφάνους πλησιάσωσι, τότε μᾶλλον διανίστανται καὶ συντείνουσιν αὐτῶν τὴν προθυμίαν. οὕτω δὴ καὶ ἡμεῖς ποιήσωμεν νῦν. ὥσπερ γὰρ κυβερνήταις λιμένα, καὶ δρομεῦσι βραβεῖα, καὶ ἀθληταῖς στεφάνους, οὕτως ἡμῖν τὴν παροῦσαν ἑβδομάδα κεχάρισται ὁ Θεός. αὕτη δὲ κεφάλαιον ἡμῖν τῶν ἀγαθῶν, καὶ τὰ περὶ τοὺς στεφάνους παλαίσματα. διὸ καὶ μεγάλην καλοῦμεν αὐτήν· οὐκ ἐπειδὴ μεῖζον ἔχουσι μῆκος τῶν ἄλλων ἁπασῶν αἱ ταύτης ἡμέραι (καὶ γάρ εἰσιν ἕτεραι μείζους) οὐδὲ ἐπειδὴ πλείους τὸν ἀριθμόν (καὶ γὰρ ἴσαι ταῖς ἄλλαις εἰσίν) ἀλλ' ἐπειδὴ μεγάλα ἡμῖν γέγονεν ἐν αὐτῇ παρὰ τοῦ δεσπότου κατορθώματα. καὶ γὰρ ἐν ταύτῃ τῇ ἑβδομάδι τῇ μεγάλῃ ἡ χρονία τοῦ διαβόλου κατελύθη τυραννίς, ὁ θάνατος ἐσβέσθη, ὁ ἰσχυρὸς ἐδέθη, τὰ σκεύη αὐτοῦ διηρπάγη, ἁμαρτία ἀνῃρέθη, ἡ κατάρα κατελύθη, ὁ παράδεισος ἀνεῴχθη, ὁ οὐρανὸς βάσιμος γέγονεν· ἄνθρωποι* ἀγγέλοις ἀνεμίγησαν, τὸ μεσότοιχον τοῦ φραγμοῦ" ἤρθη, τὸ θριγκίον περιῃρέθη, ὁ τῆς εἰρήνης Θεὸς εἰρηνοποίησε τὰ ἄνω καὶ τὰ ἐπὶ τῆς γῆς. διὰ τοῦτο μεγάλη καλεῖται ἑβδομάς. καὶ ὥσπερ αὕτη κεφάλαιον τῶν λοιπῶν ἑβδομάδων, οὕτω ταύτης κεφαλὴ τὸ σάββατον τὸ μέγα*. διὰ τοῦτο ἐν αὐτῇ πολλοὶ τὴν σπουδὴν ἐπιτείνουσι. καὶ οἱ μὲν τὴν νηστείαν αὔξουσιν, οἱ δὲ τὰς ἀγρυπνίας τὰς ἱεράς, οἱ δὲ ἐλεημοσύνην δαψιλεστέραν" ἐργάζονται, τῇ περὶ τὰς ἀγαθὰς πράξεις σπουδῇ καὶ τῇ συντεταμένῃ" περὶ τὸν βίον εὐλαβείᾳ τὸ μέγεθος τῆς εὐεργεσίας τῆς εἰς ἡμᾶς γεγενημένης παρὰ τοῦ Θεοῦ μαρτυροῦντες. καθάπερ γὰρ, ὅτε τὸν Λάζαρον ἀνέστησεν ὁ Κύριος, ἀπηντῶν αὐτῷ* οἱ ἐν Ἱεροσολύμοις, καὶ τῷ πλήθει ἐμαρτύρουν, ὅτι ἀνέστησε τὸν νεκρόν (ἡ γὰρ σπουδὴ τῶν ἐξελθόντων, τοῦ θαύματος ἦν ἀπόδειξις) οὕτω δὴ καὶ ἡ νῦν σπουδὴ ἡ περὶ τὴν μεγάλην ἑβδομάδα ταύτην, τοῦ μεγέθους τῶν" κατορθωμάτων τῶν ἐν αὐτῇ τεκμήριόν ἐστι καὶ ἀπόδειξις. οὐδὲ γὰρ ἐκ μιᾶς πόλεως ἐξερχόμεθα ἀπαντῶντες τῷ Χριστῷ σήμερον· οὐδὲ ἐξ Ἱεροσολύμων μόνον, ἀλλ'" ἀπὸ τῆς οἰκουμένης ἁπάσης μυρίανδροι πανταχόθεν ἐκκλησίαι ἐξέρχονται ἀπαντῶσαι τῷ Ἰησοῦ, οὐ βαΐα φοινίκων κατέχουσαι καὶ ἐπισείουσαι, ἀλλ' ἐλεημοσύνην καὶ φιλανθρωπίαν καὶ ἀρετὴν καὶ νηστείαν καὶ δάκρυα καὶ εὐχὰς καὶ ἀγρυπνίας καὶ πᾶσαν εὐλάβειαν προσφέρουσαι τῷ δεσπότῃ Χριστῷ. οὐχ ἡμεῖς δὲ μόνον ταύτην τιμῶμεν τὴν ἑβδομάδα, ἀλλὰ καὶ οἱ βασιλεῖς τῆς καθ' ἡμᾶς οἰκουμένης, οὐχ ὡς ἔτυχεν, αὐτὴν τετιμήκασιν, ἐκεχειρίαν πᾶσι δόντες τοῖς τὰ κοινὰ τῶν πόλεων πράττουσι πράγματα, ἵνα τῆς ἐκεῖθεν ἀπολαύσαντες σχολῆς, τὰς ἡμέρας ταύτας ἁπάσας τῇ πνευματικῇ προσέχωσι" θεραπείᾳ. διὰ τοῦτο καὶ τῶν δικαστηρίων τὰς θύρας ἀπέκλεισαν. ἀργείτω, φησὶ, πᾶσα ἀμφισβήτησις καὶ μάχης εἶδος καὶ τιμωρίας, ἀναπαυσάσθωσαν μικρὸν τῶν δημίων αἱ χεῖρες. κοινὰ τὰ κατορθώματα τοῦ δεσπότου γέγονε· γινέσθω δή τι καὶ παρ' ἡμῶν τῶν δούλων ἀγαθόν. οὐ ταύτῃ δὲ μόνον αὐτὴν τετιμήκασι τῇ σπουδῇ καὶ τιμῇ, ἀλλὰ καὶ ἑτέρᾳ οὐκ ἐλάττονι ταύτης. βασιλικὰ καταπέμπονται γράμματα λέγοντα, τοὺς τὸ δεσμωτήριον οἰκοῦντας ἀφίεσθαι τῶν δεσμῶν. καθάπερ γὰρ ὁ δεσπότης ἡμῶν ἐν ᾅδου γενόμενος, τοὺς κατεχομένους ὑπὸ τοῦ θανάτου πάντας ἀπέλυσεν· οὕτω δὴ καὶ οἱ δοῦλοι κατὰ δύναμιν εἰσφέροντες, καὶ τὴν δεσποτικὴν μιμούμενοι φιλανθρωπίαν, δεσμῶν ἀπολύουσι τῶν αἰσθητῶν, ἐπειδὴ τῶν νοητῶν οὐκ ἰσχύουσι. ταύτην καὶ ἡμεῖς τιμῶμεν τὴν ἑβδομάδα, καὶ ἀντὶ φοινίκων ἐξῆλθον κἀγὼ μεθ' ὑμῶν διδασκαλίας λόγον προτεινόμενος, τὰ δύο καταβάλλων λεπτὰ, καθάπερ ἡ χήρα. ἐξῆλθον τότε ἐκεῖνοι βαΐα φοινίκων ἔχοντες, καὶ ἐπεβόων καὶ ἔλεγον· Ὡσάννα ἐν τοῖς ὑψίστοις, εὐλο-

* καὶ μυρίας νίκας,
γ. τὴν τοῦ στεφάνου παλαίωσι πάλιν, τότε μᾶλλον διεγείρουσιν αὐτῶν

* πῶς
γ. αἰρέθη,

* καὶ καθάπερ ἐν σώματι κεφαλή, οὕτως ἐν τῇ ἑβδομάδι τὸ σάββατον.
γ. ἐπιδείκνυνται
γ. ἐς
* πάντες
γ. κατορθωμάτων εἰς αὐτήν
γ. ἐκ

γ. διδασκαλίᾳ.

Μαρκ. ια

γημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· ἐξέλθωμεν καὶ ἡμεῖς, καὶ ἀντὶ τῶν φοινίκων βαΐων τὰς αἱρέσεις θαλλούσας ἐπιδεικνύμενοι βοήσωμεν, καθάπερ σήμερον ὑπεψάλλομεν· Αἴνει ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν ζωῇ μου. κἀκεῖνο τὸ ῥῆμα Δαβιδικὸν, καὶ τοῦτο· μᾶλλον δὲ οὐδὲ ἐκεῖνο Δαβιδικὸν, οὐδὲ τοῦτο· ἀλλ' ἀμφότερα τῆς τοῦ πνεύματος χάριτος. ἐφθέγξατο μὲν γὰρ ὁ προφήτης, ἐκίνησε δὲ τὴν τοῦ προφήτου γλῶσσαν ὁ παράκλητος. διὰ τοῦτό φησιν, Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. καθάπερ ὁ κάλαμος οὐκ ἀφ' ἑαυτοῦ γράφει, ἀλλ' ἀπὸ τῆς ἐξουσίας τῆς κινούσης αὐτὸν χειρὸς, οὕτω δὴ καὶ ἡ γλῶττα τῶν προφητῶν οὐκ ἀφ' ἑαυτῆς ἐφθέγγετο, ἀλλ' ἀπὸ τῆς τοῦ Θεοῦ χάριτος. ἀλλὰ τίνος ἕνεκεν οὐκ εἶπεν, ἡ γλῶσσά μου κάλαμος γραμματέως ἁπλῶς, ἀλλὰ, κάλαμος γραμματέως ὀξυγράφου; ἵνα μάθῃς, ὅτι πνευματικὴ ἡ σοφία. διὸ καὶ πολλὴ ἡ εὐκολία, καὶ πολὺς ὁ δρόμος. οἱ θεσποιοὶ μὲν γὰρ ἀφ' ἑαυτῶν φθεγγόμενοι, σιωπιῶσι, βουλεύονται, βραδύνουσι, πολὺν παρέλκουσι χρόνον. ἐκεῖνος δὲ, ἐπειδὴ καθάπερ ἀπὸ πηγῆς ἀνέβλυζε τὰ ῥήματα καὶ οὐδὲν ἐμπόδιον ἦν, ἀλλὰ τὸν δρόμον τῆς γλώττης ἐνίκα τῶν νοημάτων ἡ ἐπιῤῥοὴ, διὰ τοῦτο ἔλεγεν, ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. ἀναβλύζει κάτω τὰ νάματα μετὰ πολλῆς δαψιλείας, φησί· διὸ πολλὴ ἡ ὀξύτης. οὐ δεῖ σκέψεως ἡμῖν, οὐδὲ μελέτης καὶ πόνου.

Ἀλλ' ἴδωμεν τί φησιν. Αἴνει ἡ ψυχή μου τὸν Κύριον. ταῦτα καὶ ἡμεῖς μετὰ τοῦ Δαβὶδ ψάλλωμεν σήμερον. εἰ γὰρ καὶ μὴ τῷ σώματι πάρεστι, ἀλλὰ τῷ πνεύματι πάρεστι. καὶ ὅτι πάρεισιν ἡμῖν οἱ δίκαιοι, καὶ μεθ' ἡμῶν ψάλλουσιν, ἄκουσον τί φησιν ὁ Ἀβραὰμ πρὸς τὸν πλούσιον. λέγοντος γὰρ ἐκείνου, Πέμψον Λάζαρον, ἵνα οἱ ἀδελφοί μου μαθόντες τὰ ἐν ᾅδου, διορθώσωνται τὰ καθ' ἑαυτοὺς, λέγει πρὸς αὐτόν· Ἔχουσι Μωϋσέα καὶ τοὺς προφήτας. καὶ μὴν Μωϋσῆς καὶ οἱ προφῆται πάντες πάλαι τεθνήκεσαν τῷ σώματι, διὰ τῶν γραμμάτων δὲ εἶχον αὐτούς. εἰ γὰρ εἰκόνα τις ἄψυχον ἀναθεὶς παιδὸς ἢ φίλου, νομίζει παρεῖναι ἐκεῖνον τὸν ἀπελθόντα, καὶ διὰ τῆς εἰκόνος αὐτὸν φαντάζεται τῆς ἀψύχου· πολλῷ μᾶλλον ἡμεῖς διὰ τῶν θείων γραφῶν τῆς τῶν ἁγίων ἀπολαύομεν συνουσίας, οὐχὶ τῶν σωμάτων αὐτῶν, ἀλλὰ τῶν ψυχῶν τὰς εἰκόνας ἔχοντες. τὰ γὰρ παρ' αὐτῶν εἰρημένα, τῶν ψυχῶν αὐτῶν εἰκόνες εἰσί. βούλει μαθεῖν, ὅτι ζῶσιν οἱ δίκαιοι καὶ πάρεισιν; οὐδεὶς τοὺς τεθνεῶτας μάρτυρας καλεῖ· ὁ δὲ Θεὸς μάρτυρας αὐτοὺς ἐκάλεσε τῆς οἰκείας θεότητος, καὶ πρὸ τούτων αὐτὸν τὸν Δαβὶδ, ἵνα σε διδάξῃ ὅτι ζῇ. τῶν γὰρ Ἰουδαίων ἀμφισβητούντων περὶ αὐτοῦ, λέγει πρὸς αὐτούς· Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος ἐστὶν υἱός; λέγουσιν αὐτῷ, τοῦ Δαβίδ. λέγει αὐτοῖς· πῶς οὖν Δαβὶδ ἐν πνεύματι Κύριον αὐτὸν καλεῖ λέγων· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου; εἶδες πῶς ζῇ ὁ Δαβίδ; εἰ γὰρ μὴ ἔζη, οὐκ ἂν ἐκάλεσεν αὐτὸν μάρτυρα τῆς θεότητος αὐτοῦ. καὶ οὐκ εἶπε, πῶς οὖν ὁ Δαβὶδ ἐν πνεύματι Κύριον αὐτὸν ἐκάλεσεν; ἀλλὰ, Κύριον αὐτὸν καλεῖ; ἵνα δείξῃ ὅτι πάρεστιν ἔτι, καὶ διὰ τῶν γραμμάτων φθέγγεται. ἔψαλλέ ποτε ὁ Δαβὶδ ἐν ψαλμοῖς, καὶ ἡμεῖς μετὰ τοῦ Δαβὶδ σήμερον· ἐκεῖνος κιθάραν εἶχεν ἀπὸ νευρῶν ἀψύχων, ἡ ἐκκλησία κιθάραν ἔχει ἀπὸ νευρῶν ἐμψύχων συντεταμένην. αἱ γλῶτται ἡμῶν νευραὶ τῆς κιθάρας εἰσὶ, διάφορον μὲν ἀφιεῖσαι τὸν φθόγγον, σύμφωνον δὲ τὴν εὐσέβειαν. καὶ γὰρ καὶ γυναῖκες καὶ ἄνδρες, καὶ πρεσβῦται καὶ νέοι διῄρηνται μὲν κατὰ τὴν ἡλικίαν, οὐ διῄρηνται δὲ κατὰ τὸν τῆς ὑμνῳδίας λόγον. τὴν γὰρ ἑκάστου φωνὴν τὸ πνεῦμα κεράσαν, μίαν ἐν ἅπασιν ἐργάζεται τὴν μελῳδίαν· καθὼς καὶ αὐτὸς ἐδήλωσεν ὁ Δαβὶδ, πᾶσαν μὲν ἡλικίαν, ἑκατέραν δὲ φύσιν πρὸς τὴν συμφωνίαν ταύτην καλῶν καὶ λέγων, Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἴνει ἡ ψυχή μου τὸν Κύριον. τίνος ἕνεκεν τὴν σάρκα κατέλιπε; τίνος ἕνεκεν πρὸς τὸ σῶμα οὐδὲν διαλέγεται; ἆρα ἔσχισεν εἰς δύο τὸ ζῶον; οὐδαμῶς· ἀλλὰ τὸν τεχνίτην πρῶτον διεγείρει.

Ψαλ. ρμε. α.
Ψαλ. μδ. β.
Λουκ. ις. κζ.
Ματθ. κβ. μβ.
Ψαλ. ρθ. α.
Ψαλ. ρν. ϛ.

χ. τὸ ἐμὸν μᾶλλον γράμμα.
χ. ψυχῶν.
χ. τῆς ἐξουσίας τῆς χάριτος τοῦ πνεύματος.
τὸ ψάλλωμεν.
χ. συγγενῶν.
χ. πάντες.
χ. ψυχῶν.

ρει *. ὅτι δὲ οὐκ ἀπέχεσι τὴν σάρκα ἀπὸ τῆς ψυχῆς, ἄκουσον ἀλλαχοῦ πῶς φησιν· Ὁ Θεὸς, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω, ἐδίψησέ σοι ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου, ἐν γῇ. ἀλλ' ἐν ὕμνοις δεῖξόν μοι καὶ τὴν σάρκα καλουμένην, φησίν. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. Εἶδες καὶ τὴν σάρκα κοινωνοῦσαν τῆς συμφωνίας; τί ποτέ ἐστι, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ; τὰ νεῦρά φησι, τὰ ὀστᾶ, τὰς φλέβας, τὰς ʺ ἀρτηρίας, καὶ πάντα τὰ ἔνδον μόρια. καὶ πῶς δύναται τὰ ἐντὸς ἡμῶν τὸν Θεὸν εὐλογεῖν; φωνὴν οὐκ ἔχει, γλῶτταν οὐκ ἔχει. ἡ μὲν γὰρ ψυχὴ δύναται· τὰ δὲ ἐντὸς πῶς δύναται, μήτε φωνὴν, μήτε γλῶτταν, μήτε στόμα ἔχοντα, εὐλογεῖν τὸν Θεόν; ὥσπερ οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. καθάπερ γὰρ οἱ οὐρανοὶ οὐ γλῶτταν, οὐ χείλη ἔχουσιν, ἀλλὰ τῷ κάλλει τῆς ὄψεως ἐκπλήττοντες τοὺς θεατὰς παραπέμπουσι τῷ θαύματι πρὸς τὴν εὐφημίαν τοῦ πεποιηκότος αὐτούς· οὕτω δὴ καὶ τὰ ἐντὸς ἡμῶν ἐὰν ἐπέλθῃς ἅπαντα τῷ λογισμῷ, ἐὰν ἴδῃς τὴν διαφορὰν τῆς ʺ ποιότητος, τῆς ἐνεργείας, τῆς δυνάμεως, τῆς συμφωνίας, τῆς διαπλάσεως, τῆς θέσεως, τοῦ ἀριθμοῦ, τῆς ἁρμονίας, ἐκεῖνο τὸ προφητικὸν ἀναφθέγξῃ ῥῆμα, Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας. Εἶδες πῶς εὐλογεῖ τὰ ἔγκατα τὸν Θεὸν χωρὶς φωνῆς καὶ στόματος καὶ γλώττης; τίνος οὖν ἕνεκεν πρὸς τὴν ψυχὴν διαλέγεται; ἵνα μὴ τῆς γλώττης φθεγγομένης ἐκείνη ῥέμβηται, ὃ πολλάκις καὶ ἐν ταῖς εὐχαῖς πάσχομεν καὶ ἐν ταῖς ὑμνῳδίαις· ἵν' ἑκατέρωθεν ἡ συμφωνία ᾖ. ὅταν γὰρ εὐχόμενος μὴ ἀκούσῃς τῶν ῥημάτων τοῦ Θεοῦ, πῶς ὁ Θεὸς ἀκούσεταί σου τῆς ἐντεύξεως; ὅταν οὖν λέγῃ, αἴνει ἡ ψυχή μου τὸν Κύριον, τοῦτο λέγει, ἔνδον ἐκ βάθους τῆς καρδίας ἀναφερέσθωσαν αἱ ἱκετηρίαι. Καὶ γὰρ ὁ Παῦλός φησι· Ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ μου. ʺ μουσικός τις ἄριστός ἐστιν ἡ ψυχὴ, τεχνίτης ἐστίν· ὄργανόν ἐστι τὸ σῶμα, κιθάρας καὶ αὐλοῦ καὶ λύρας χώραν ἐπέχον. οἱ μὲν οὖν ἄλλοι μουσικοὶ οὐ διὰ παντὸς μετὰ πάντων τῶν ὀργάνων εἰσὶν, ἀλλὰ ποτὲ μὲν ἀναλαμβάνουσιν αὐτὰ, ποτὲ δὲ ἀποτίθενται. οὐ γὰρ διηνεκὴς ὁ καιρὸς αὐτοῖς τῆς μελῳδίας ἐστί· διόπερ οὐδὲ διηνεκῶς τὰ ὄργανα μεταχειρίζουσι. σὲ δὲ βουλόμενος ὁ Θεὸς διδάξαι ὅτι διὰ παντὸς ὀφείλεις αὐτὸν ὑμνεῖν τε καὶ εὐλογεῖν, ἥνωσε τῷ τεχνίτῃ τὸ ὄργανον διηνεκῶς. ὅτι γὰρ διὰ παντὸς αἰνεῖν δεῖ, ἄκουσον τί φησιν ὁ ἀπόστολος· Ἀδιαλείπτως προσεύχεσθε, ἐν παντὶ εὐχάρεις ἔστε. ἐπεὶ οὖν ἀδιαλείπτως προσεύχεσθαι δεῖ, ἀδιαλείπτως ἐστὶ τὸ ὄργανον μετὰ τοῦ τεχνίτου. αἴνει ἡ ψυχή μου τὸν Κύριον. τὸ πρότερον μιᾷ γλώττῃ ἔλεγε ταῦτα ὁ Δαβίδ· νυνὶ δὲ, ἐπειδὴ ἐτελεύτησε, μυρίαις γλώσσαις ταῦτα φθέγγεται, οὐ ταῖς παρ' ἡμῖν μόνον, ἀλλὰ καὶ ταῖς πανταχοῦ τῆς οἰκουμένης. Εἶδες ὅτι οὐ τέθνηκεν, ἀλλὰ ζῇ; πῶς γὰρ τέθνηκεν ὁ τοσαύτας ἔχων γλώττας, καὶ διὰ τοσούτων στομάτων φθεγγόμενος; μέγα ἀληθῶς αἶνος. ἐκκαθαίρει γὰρ τὴν ἡμετέραν ψυχὴν, καὶ πολλὴν ἡμῖν ἐντίθησι τὴν εὐλάβειαν. βούλει μαθεῖν, πόση τῶν εἰς Θεὸν ὕμνων ἡ δύναμις; ὑμνοῦντες οἱ τρεῖς παῖδες οὕτω τὴν κάμινον ἔσβεσαν τὴν Βαβυλωνίαν· μᾶλλον δὲ οὐκ ἔσβεσαν, ἀλλ' ὃ πολλῷ θαυμαστότερον ἦν, κειμένην τὴν φλόγα, ὥσπερ πηλὸν, κατεπάτησαν τοῖς ποσίν. οὕτως ὁ ὕμνος εἰς δεσμωτήριον εἰσελθὼν ἐπὶ τοῦ Παύλου τὰ δεσμὰ ἔλυσε, τὰς θύρας ἀνέῳξε τοῦ δεσμωτηρίου, τὰ θεμέλια διέσεισε, καταπλήξει πολλῇ τὸν δεσμοφύλακα ἐφόβησε. Κατὰ γὰρ τὸ μεσονύκτιον ὕμνουν, φησὶν, ὁ Παῦλος καὶ ὁ Σίλας. Εἶτα τί γέγονε; τί; τὸ καινὸν καὶ παράδοξον πάντων· τὰ δεσμὰ ἐλύθη, οἱ δεδεμένοι τοὺς λελυμένους ʺ ἔδησαν. καὶ μὴν δεσμῶν φύσις ἐστὶ, τὸν δεδεμένον ἐν ἀκριβείᾳ πολλῇ κατέχειν καὶ ὑποχείριον ποιεῖν. νυνὶ δὲ ὁ δεσμοφύλαξ λελυμένος πρὸς τοὺς πόδας ἦλθε τοῦ δεδεμένου Παύλου. δεσμῶν μὲν γὰρ τῶν αἰσθητῶν φύσις ἐστὶ κατέχειν τὸν δεδεμένον· δεσμῶν δὲ τῶν διὰ Χριστὸν τοσαύτη ἡ δύναμις, ὥστε τοὺς λελυμένους τοῖς δεδεμένοις ὑποχειρίους ποιεῖν. Εἰς τὴν ἐσωτέραν αὐτοὺς ἔβαλε φυλακὴν, καὶ ἔνδον ὄντος τὰς ἔξω θύρας ἀνέῳξαν.

* τοῦ ὀργάνου

γρ. ἁρμονίας,

γρ. οὐσίας,

γρ. εἰκών τις ἀρρήτου

γρ. λύουσι,

Ψαλμ. ξβ. α.

Ψαλμ. ρβ. α.

Ψαλμ. ιη. α.

Ψαλμ. ργ. κδ.

α. Κορ. ιδ. ιε.

α. Θεσ. ε. ιζ.

Πραξ. ιϛ. κε.

νέῳξεν. τοὺς πόδας αὐτῶν ἠσφαλίσατο τῷ ξύλῳ, καὶ οἱ πόδες αὐτῶν οἱ ἠσφαλισμένοι τῶν ἄλλων τὰς χεῖρας ἔλυσαν. Εἶτα προσέπεσεν αὐτῷ, φησιν, ὁ δεσμοφύλαξ, δεδοικώς, τρέμων, στένων, ἀγωνιῶν, δακρύων. τί ποτε γέγονεν; οὐ σὺ ἔδησας; οὐ σὺ ἐν ἀσφαλείᾳ κατέσχες; καὶ τί θαυμάζεις, ἄνθρωπε, εἰ τὸ δεσμωτήριον ἀνέῳξεν, ὅπου γε καὶ τοὺς οὐρανοὺς ἀνοίγειν ἔλαβεν ἐξουσίαν. Ματθ. ιη. ιη. Ὅσα ἂν δήσητε, φησί, ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς· καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς οὐρανοῖς. ἁμαρτημάτων ἔλυσε δεσμά· τί θαυμάζεις, εἰ σιδήρου λύει δεσμά; δαιμόνων ἔλυσε δεσμά, ψυχὰς δεδεμένας ὑπ' αὐτοῖς ἀπήλλαξε· καὶ τί θαυμάζεις, εἰ τὰς τῶν δεσμωτῶν ἀλύσεις ἀνῆκε; καὶ ὅρα διπλοῦν τὸ θαῦμα. ἔλυσε πάλιν, καὶ ἔδησεν. ἔλυσε μὲν γὰρ τὰ δεσμά, ἔδησε δὲ αὐτῶν τὴν καρδίαν. ὅτι γὰρ λελυμένοι ἦσαν, οὐκ ᾔδεσαν. ἀνέῳξε καὶ ἔκλεισεν. ἀνέῳξε μὲν γὰρ τὰς τοῦ δεσμωτηρίου θύρας, ἔκλεισε δὲ τοὺς ὀφθαλμοὺς τῆς καρδίας τῶν δεσμωτῶν, ὥστε μὴ αἰσθάνεσθαι τῶν θυρῶν ἐκείνων ἀνεῳγμένων, ἵνα μὴ καὶ τῇ ἀδείᾳ ἀποχρησάμενοι εἰς φυγὴν ἀποπηδήσωσιν. Εἶδες καὶ δεσμοῦντα καὶ λύοντα, καὶ ἀνοίγοντα καὶ κλείοντα; διὰ τοῦτο ἐν νυκτὶ ταῦτα ἐγίνετο, ἵνα ἀθορύβως τὸ πρᾶγμα γένηται καὶ χωρὶς ταραχῆς πάσης. οὐδὲν γὰρ πρὸς ἐπίδειξιν, οὐδὲ φιλοτιμίαν ἐποίουν οἱ ἀπόστολοι. προσέπεσεν αὐτῷ ὁ ἀρχιδεσμοφύλαξ. τί οὖν ὁ Παῦλος; Εἶδες αὐτοῦ τὸ θαῦμα; Εἶδες αὐτοῦ τὰ παράδοξα ἔργα; Πραξ. ις. κη. θέασαι αὐτοῦ καὶ τὴν κηδεμονίαν, θέασαι αὐτοῦ τὴν φιλανθρωπίαν. Ἀνεβόησε, φησι, καὶ εἶπε, μηδὲν ποιήσῃς σεαυτῷ κακόν. ἅπαντες γάρ ἐσμεν ἐνθάδε. τὸν δήσαντα πικρῶς οὐκ ἀφῆκεν ἀποθανεῖν πικρῶς, οὐκ ἐμνησικάκησε. πάντες γάρ ἐσμεν ἐνθάδε, φησίν. ὅρα τὸ ἄτυφον. οὐκ εἶπε, ταῦτα τὰ παράδοξα ἐγὼ ἐποίησα, ἀλλὰ τί; πάντες γάρ ἐσμεν ἐνθάδε. μετὰ τῶν δεσμωτῶν ἑαυτὸν ἠρίθμησεν ὁ Παῦλος. ἰδὼν δὲ ἐκεῖνος ἐθαύμασε τὸ γεγονός, ἐξεπλάγη ἐπὶ τῷ θαύματι, ηὐχαρίστησε τῷ Θεῷ. ἄξιος ὄντως πολλῆς κηδεμονίας καὶ φιλανθρωπίας ὁ δεσμοφύλαξ. οὐκ ἐνόμισεν εἶναι γοητείαν τὰ γεγενημένα. τίνος οὖν ἕνεκα οὐκ ἐνόμισεν εἶναι γοητείαν τὰ γινόμενα; ἤκουσεν αὐτῶν ὑμνούντων τὸν Θεόν· γόης δὲ οὐδέποτε ὑμνεῖ τὸν Θεόν. πολλοὺς γόητας ἐδέξατο, ἐπεὶ δεσμοφύλαξ ἦν· ἀλλ' οὐδέποτε ἐκείνων οὐδεὶς τοιοῦτον ἐπεδείξατο ἔργον, οὐκ ἔλυσε δεσμά, οὐκ ἐπεδείξατο κηδεμονίαν τοιαύτην. καὶ γὰρ εἵλετο δεδέσθαι ὁ Παῦλος καὶ μὴ φυγεῖν, ὥστε ἐκεῖνον ἀπαλλάξαι τῆς τελευτῆς· εἰσεπήδησε γὰρ ξίφος ἔχων ἐν ταῖς χερσὶ καὶ λαμπάδα. καὶ γὰρ ἐβούλετο ὁ διάβολος διὰ τῆς σφαγῆς προεξαρπάσαι αὐτὸν τῆς μετανοίας, ἀλλ' εὐτονωτέρᾳ φωνῇ τὴν σωτηρίαν αὐτοῦ τῆς ψυχῆς ὀξύτερον ἐκέρδανεν ὁ Παῦλος. οὐ γὰρ ἁπλῶς ἐβόησεν, ἀλλὰ μεγάλῃ φωνῇ, λέγων· πάντες ἐσμὲν ἐνθάδε. ″ἐθαύμασε τὴν κηδεμονίαν ὁ δεσμοφύλαξ, προσέπεσε τῷ δεδεμένῳ ὁ λελυμένος, καὶ τί φησιν; κύριοι, τί με δεῖ ποιεῖν, ἵνα σωθῶ; σὺ ἔδησας, καὶ σὺ ἐν ἀπορίᾳ εἶ; σὺ ἠσφαλίσω τῷ ξύλῳ, καὶ σὺ ζητεῖς ″τρόπους μετανοίας καὶ σωτηρίας; Εἶδες θερμότητα; Εἶδες σπουδήν; οὐκ ἀνεβάλετο, ἀλλ' ἐπειδὴ ἀπελύθη τοῦ φόβου, οὐκ ἀπελύθη τῆς εὐεργεσίας, ἀλλ' εὐθέως ἐπὶ τὴν σωτηρίαν τῆς ψυχῆς ὁρμᾷ τῆς ἑαυτοῦ. νὺξ ἦν, καὶ μέση νύξ. οὐκ εἶπε, σκεψώμεθα, ἡμέρα γενέσθω· ἀλλ' εὐθέως ἐπὶ τὴν σωτηρίαν ἔδραμε. μέγας τίς ἐστιν οὗτος ὁ ἀνήρ, φησιν· ὑπερβαίνει τὴν φύσιν τὴν ἀνθρωπίνην. Εἶδον αὐτοῦ τὸ θαῦμα, ἐθαύμασα τὴν φιλανθρωπίαν. μυρία κακὰ ὑπ' ἐμοῦ παθών, ἐν τοῖς ἐσχάτοις ὢν ἐμὲ τὸν δήσαντα εἰς χεῖρας λαβών, δυνάμενος διαχειρίσασθαι, οὐ μόνον οὐδὲν ἐποίησεν, ἀλλὰ καὶ μέλλοντα σφάττειν ἑαυτὸν καὶ τὸ ξίφος ὠθεῖν διὰ τοῦ λαιμοῦ, ἐκώλυσεν. Εἰκότως φησί, κύριοι, τί με δεῖ ποιεῖν ἵνα σωθῶ. οὐ γὰρ δὴ τὰ θαύματα μόνον ἐπὶ τῶν ἀποστόλων ἐπεσπάσατο τοὺς πιστεύοντας, Ματθ. ε. ις. ἀλλὰ πρὸ τῶν θαυμάτων ὁ βίος. διὰ τοῦτό φησι, Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν

γρ. ἐθαυμάσαν.

γρ. τρόπον

τοῖς οὐρανοῖς; Εἶδες θερμότητα τοῦ δεσμοφύλακος· βλέπε καὶ τοῦ Παύλου θερμότητα. οὐκ ἀνέβαλλεν, οὐχ ὑπερέθετο· ἀλλ' ἐν τοῖς δεσμοῖς ὤν, ἐν τῷ ξύλῳ ὤν, ἐν ταῖς πληγαῖς, εὐθέως αὐτὸν ἐμυσταγώγησε, καὶ μετ' ἐκείνου τὴν οἰκίαν ἅπασαν· καὶ μετὰ τὸ πνευματικὸν λουτρὸν καὶ μετὰ τὴν τράπεζαν τὴν πνευματικὴν, παρέθηκεν αὐτῷ καὶ τὴν σωματικήν. ἀλλὰ τίνος ἕνεκεν ἔσεισε τὸ δεσμωτήριον; διεγεῖραι τὸν δεσμοφύλακα ἐβούλετο πρὸς τὴν θέαν τῶν γινομένων· ἔλυσε τὰ αἰσθητὰ δεσμὰ τῶν συνδεσμωτῶν, ἵνα λύσῃ τὰ νοητὰ δεσμὰ τοῦ δεσμοφύλακος.

γρ. ὑπερέθετο

Ἀπεναντίας τοῦτο ἐποίησεν ὁ Χριστός. προσῆλθεν αὐτῷ παραλελυμένος ἄνθρωπος διπλῆν τινα πάρεσιν ἔχων, τὴν μὲν ἀπὸ τῶν ἁμαρτημάτων, τὴν δὲ ἀπὸ τοῦ σώματος. προτέραν τὴν ἀπὸ τῶν ἁμαρτημάτων πάρεσιν ἔλυσεν, οὕτως εἰπών· Τέκνον, ἀφέωνταί σου αἱ ἁμαρτίαι. Εἶτα ἐπειδὴ ἀμφέβαλλον ἐκεῖνοι καὶ ἐβλασφήμουν καὶ ἔλεγον, Οὐδεὶς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ Θεός, βουλόμενος αὐτοὺς δεῖξαι ὅτι Θεός ἐστιν ἀληθῶς, βουλόμενος αὐτοὺς κρῖναι ἐκ τοῦ στόματος αὐτῶν, ἵνα μέλλῃ λέγειν, ἐκ τοῦ στόματός σου κρινῶ σε· σὺ εἶπας, ὅτι οὐδεὶς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ Θεός, ἰδοὺ ἀφίημι, φησὶν, ἁμαρτίας, καὶ ὁμολόγησόν μου τὴν θεότητα. ἀπὸ τῆς σῆς κρίσεως ἐκφέρω τὴν ψῆφον. ἀλλ' ἐκεῖ μὲν προτέρα ἡ νοητὴ, ὑστέρα δὲ ἡ αἰσθητή· ἐνταῦθα δὲ τὸ ἐναντίον, πρότερον τὰ αἰσθητὰ δεσμὰ, καὶ τότε τὰ νοητὰ διῄρητο. Εἶδες πόση τῶν ὕμνων ἡ δύναμις; πόσον ἰσχύει αἶνος; πόσον ἰσχύει εὐχή; ἀεὶ μὲν οὖν μεγάλη τῆς εὐχῆς ἡ δύναμις· τὸ δὲ μετὰ νηστείας εἶναι τὴν εὐχὴν, δυνατωτέραν ποιεῖ τὴν ψυχήν. νῦν σωφροσύνη λογισμῶν, παρ' ἡμῖν πολλὴ νῦν διεγείρεται διάνοια, καὶ τὰ ἄνω περιβλέπει πάντα ἡ ψυχή. διὰ τοῦτο ἀεὶ τῇ νηστείᾳ τὴν προσευχὴν συνέζευξεν ἡ γραφή. πῶς καὶ πότε; Μὴ ἀποστερεῖτε ἀλλήλους, φησὶν, εἰ μήτι ἂν ἐκ συμφώνου, ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ. καὶ πάλιν ἀλλαχοῦ, Τὸ γένος τοῦτο οὐκ ἐξέρχεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ. πάλιν δὲ ἀλλαχοῦ, Προσευξάμενοι, φησὶ, καὶ νηστεύσαντες ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας. ὁρᾷς πανταχοῦ μετὰ τῆς νηστείας τὴν προσευχήν; τότε γὰρ καὶ τερπνοτέρα καὶ δοκιμωτέρα ἀπὸ τῆς λύρας ἀναπέμπεται ἡ μελῳδία. οὐκ εἰσὶ διάβροχοι αἱ νευραὶ τῇ πλεονεξίᾳ τῆς μέθης διαλυθεῖσαι, ἀλλ' εὔτονος ὁ λογισμὸς, διεγηγερμένος ὁ νοῦς, νήφουσα ἡ ψυχή. οὕτω προσιέναι τῷ Θεῷ καὶ διαλέγεσθαι χρὴ μόνον πρὸς μόνον. εἰ γὰρ πρὸς φίλους ἔχοντές τι τῶν ἀναγκαίων εἰπεῖν, καταμόνας αὐτοὺς λαμβάνοντες, οὕτω διαλεγόμεθα, πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ τοῦτο ποιεῖν χρὴ, εἰσελθόντας εἰς τὸ ταμιεῖον μεθ' ἡσυχίας πολλῆς, καὶ πάντως ἐπιτευξόμεθα πάντων, ἂν συμφερόντως τὴν αἴτησιν ποιησώμεθα. καὶ γὰρ μέγα ἀγαθὸν εὐχὴ, ὅταν μετὰ διανοίας εὐχαρίστου γίνηται καὶ νηφούσης. πῶς δὲ καὶ εὐχάριστος ἔσται; ἂν παιδεύσωμεν ἑαυτοὺς, μὴ μόνον λαμβάνοντας, ἀλλὰ καὶ ἀποτυγχάνοντας εὐχαριστεῖν τῷ Θεῷ. καὶ γὰρ ποτὲ μὲν δίδωσιν ὁ Θεὸς, ποτὲ δ' οὐ δίδωσιν· ἀμφότερα δὲ χρησίμως ποιεῖ. ὥστε, κἂν λάβῃς, κἂν μὴ λάβῃς, ἔλαβες τῷ μὴ λαβεῖν. κἂν ἐπιτύχῃς, κἂν μὴ ἐπιτύχῃς, ἐπέτυχες ἐν τῷ μὴ ἐπιτυχεῖν. ἔστι γὰρ ὅτε τὸ μὴ λαβεῖν ὅπερ αἰτοῦμεν, τοῦ λαβεῖν λυσιτελέστερον γίνεται. εἰ γὰρ μὴ συμφέρον ἡμῖν πολλάκις ἦν τὸ μὴ λαβεῖν, πάντως ἂν ἔδωκεν ἀεί. τὸ δὲ συμφερόντως ἀποτυχεῖν, ἐπιτυχεῖν ἐστι. διὰ τοῦτο καὶ ἀναβάλλεται τὴν αἴτησιν ἡμῶν πολλάκις, οὐ βουλόμενος ἡμᾶς παρελκύσαι, ἀλλὰ τῇ μελλήσει τῆς δόσεως τὴν διηνεκῆ προσεδρείαν σοφιζόμενος. ἐπειδὴ γὰρ λαβόντες πολλάκις ὅπερ αἰτοῦμεν, μετὰ τὸ λαβεῖν τὴν περὶ τὰς εὐχὰς καταλύομεν σπουδὴν, βουλόμενος ἐπιτεῖναι τὴν ἐν ταῖς ἱκετηρίαις ἡμῶν ἀγρυπνίαν, παρέλκει τὴν δόσιν. οὕτω καὶ φιλόστοργοι πατέρες ποιοῦσι· τὰ ῥάθυμα τῶν παίδων, καὶ πρὸς τὰ παιδικὰ παίγνια κατατρέχοντα πολλάκις ὑποσχέσει δώρου μεγίστου κατέχουσι παρ' ἑαυτοῖς· διὰ τοῦτο ποτὲ μὲν ἀναβάλλονται, ποτὲ δὲ οὐ διδόασιν. ἔστι γὰρ ὅτε βλαβερὰν αἰτούμεθα αἴτησιν· ὁ δὲ τὰ συμφέροντα ἡμῖν μᾶλλον εἰδὼς ὁ

Μαρκ. β. ε.

α. Κορ. ζ. ε.

Ματθ. ιζ. κα.

Πραξ. ιγ. γ.

ἴσ. -λῳδία, ὅτι οὐκ

γρ. παρακαλοῦμεν,

γρ. πρὸς αὐτούς·

Θεὸς οὐκ ἐπινεύει ταῖς ἡμετέραις ″εὐχαῖς, τὸ λυσιτελὲς ἡμῖν καὶ ἀγνοούντων ἡμῶν οἰκονομῶν. χ. αἰτία καὶ τί θαυμαστόν, εἰ ἡμεῖς οὐκ ἀκουόμεθα, ὅπου γε καὶ ἐπὶ Παύλου τοῦτο γέγονε; καὶ γὰρ ἐκεῖνος πολλάκις αἰτήσας ἀπέτυχε· καὶ οὐ μόνον οὐκ ἤλγησεν, ἀλλὰ καὶ εὐχαριστεῖ τῷ Θεῷ. β. Κορ. ιβ. η. Ὑπὲρ τούτου γάρ, φησι, τὸν Κύριον τρὶς παρεκάλεσα· τὸ δὲ τρίς, τὸ πολλάκις σημαίνει. πολλῷ οὖν μᾶλλον ἡμᾶς ἐπιμένειν χρή. ἀλλ' ἴδωμεν πῶς, ἐπειδὴ πολλάκις αἰτήσας οὐκ ἔλαβε, διετέθη πρὸς τὸ μὴ λαβεῖν. οὐ γὰρ μόνον οὐκ ἤλγησεν, ἀλλὰ καὶ καυχᾶται, ἐπειδὴ μὴ ἔλαβεν. Εἰπὼν γάρ, ὅτι ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, καί, Εἶπέ μοι, Ἀρκεῖ σοι ἡ χάρις μου, ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται, ἐπήγαγεν· Ἥδιστα οὖν καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου.

Εἶδες εὐγνωμοσύνην οἰκέτου; ᾔτησε τῆς ἀσθενείας ἀπαλλαγῆναι, καὶ οὐκ ἐπένευσεν ὁ Θεός· καὶ οὐ μόνον οὐκ ἤλγησεν ὁ Παῦλος, ἀλλὰ καὶ καυχᾶται ἐπὶ τῇ ἀσθενείᾳ. οὕτω καὶ ἡμεῖς παρασκευάσωμεν τὰς ἑαυτῶν ψυχάς, κἂν δῷ ὁ Θεός, κἂν μὴ δῷ ταῦτα ἅπερ αἰτοῦμεν, ἡμεῖς ὑπὲρ ἀμφοτέρων εὐχαριστήσωμεν τῷ Θεῷ. ἀμφότερα γὰρ ἡμῖν συμφερόντως ποιεῖ. εἰ τοῦ δοῦναι κύριός ἐστι,* καὶ τοῦ πότε δοῦναι, καὶ τοῦ τί δοῦναι, καὶ τοῦ μὴ δοῦναι. * ἐκεῖ οὐκ οἶδας σὺ τὰ συμφέροντα, ὡς αὐτὸς οἶδε σαφῶς. πολλάκις αἰτεῖς ἐπιβλαβῆ καὶ σφαλερά· ὁ δὲ μᾶλλον κηδόμενός σου τῆς σωτηρίας, οὐ τῇ αἰτήσει προσέχει, ἀλλὰ παρὰ ταύτης τὸ συμφέρον σοι πανταχοῦ ″σκοπεῖ. χ. αἰτοῦσι Εἰ γὰρ οἱ κατὰ σάρκα πατέρες οὐ πάντα αἰτοῦσι τοῖς παιδίοις παρέχουσιν, οὐκ ἐπειδὴ καταφρονοῦσιν αὐτῶν, ἀλλ' ἐπειδὴ μάλιστα κήδονται αὐτῶν· πολλῷ μᾶλλον ὁ Θεὸς καὶ μᾶλλον φιλῶν, καὶ πλέον ἁπάντων [καὶ] τὸ συμφέρον εἰδώς, τοῦτο ποιεῖ. σχολάσωμεν οὖν ταῖς εὐχαῖς διηνεκῶς, μὴ μόνον δι' ἡμέρας, ἀλλὰ καὶ διὰ νυκτός. ἄκουσον γὰρ τί φησιν αὐτὸς ὁ προφήτης· Ψαλμ. ριη. ξβ. Μεσονύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. ἄνθρωπος βασιλεὺς ἐν φροντίσι τοσαύταις ὤν, δήμων καὶ πόλεων καὶ ἐθνῶν ἀρχὴν ἐγκεχειρισμένος, εἰρήνης φροντίζων, πολέμους καταλύων, πραγμάτων ἄφατον ὄχλον ὁρῶν περὶ αὐτὸν ἀεὶ περιεστῶτα, οὐδὲ μικρὸν ἀναπνεῦσαι ἔχων, οὐ μόνον τὰς ἡμέρας, ἀλλὰ καὶ τὰς νύκτας προσετίθει ταῖς εὐχαῖς. Εἰ δὲ ὁ βασιλεὺς ὁ ἐν τοσαύτῃ τρυφῇ ζῶν, ὁ τοσαύτας ἔχων φροντίδας, ὁ τοσούτοις πράγμασι περικυκλούμενος, οὐδὲ τὴν νύκτα ἠρέμει, ἀλλὰ τῶν ἐν ὄρεσι καθημένων μοναχῶν ἀκριβέστερον τὰς ″εὐχὰς χ. ἱκετείας ποιούμενος διετέλει, ποίας, εἰπέ μοι, τευξόμεθα συγγνώμης ἡμεῖς, ἐν ἀδείᾳ μὲν ζῶντες πολλῇ, καὶ τὸν ἰδιωτικὸν καὶ ἀπράγμονα ″ἐπανῃρημένοι βίον, χ. ἀπράγμονα οὐ μόνον δὲ τὰς νύκτας καθεύδοντες ἁπάσας, ἀλλ' οὐδὲ ἐν τῇ ἡμέρᾳ μετὰ τῆς προσηκούσης ἀγρυπνίας τὰς νενομισμένας ἐπιτελοῦντες εὐχάς; μέγα ὅπλον προσευχή, μέγας κόσμος εὐχή, καὶ ἀσφάλεια καὶ λιμὴν καὶ θησαυρὸς ἀγαθῶν, καὶ ἄσυλος πλοῦτος. ἀνθρώπων μὲν οὖν δεόμενοι, καὶ δαπάνης χρημάτων δεόμεθα, καὶ κολακείας δουλοπρεποῦς, καὶ πολλῆς περιόδου καὶ πραγματείας. οὐ γὰρ ἐξ εὐθείας αὐτοῖς τοῖς κυρίοις δοῦναι τὴν χάριν ἔνι διαλεχθῆναι πολλάκις, ἀλλ' ἀνάγκη πρότερον διακόνοις καὶ οἰκονόμοις αὐτῶν καὶ ἐπιτρόποις καὶ χρήμασι καὶ ῥήμασι καὶ παντὶ θεραπεῦσαι τρόπῳ, καὶ τότε δι' ἐκείνων δυνηθῆναι τὴν αἴτησιν λαβεῖν· ἐπὶ δὲ τοῦ Θεοῦ οὐκ ἔστιν οὕτως. οὐ γὰρ ″δέεται μεσιτῶν ἐπὶ τῶν ἀξιούντων, χ. δεῖται οὐδὲ οὕτω δι' ἑτέρων παρακαλούμενος, ὡς δι' ἡμῶν αὐτῶν δεομένων ἐπινεύει τῇ χάριτι. καὶ ἐνταῦθα μὲν καὶ λαμβάνοντα, καὶ μὴ λαμβάνοντα ἔστι κερδαίνειν, ἐπὶ δὲ τῶν ἀνθρώπων ἐν ἑκατέρῳ πολλάκις ἐβλάβημεν. ἐπεὶ οὖν μεῖζον τὸ κέρδος, καὶ ″πλείων ἡ εὐκολία τοῖς τῷ Θεῷ προσιοῦσι, μὴ καταφρονῶμεν εὐχῆς. χ. μεῖζον τότε γάρ σοι ″μᾶλλον καταλλαγήσεται, τότε σοι μᾶλλον δίδωσιν ὅπερ αἰτεῖς, ὅταν σὺ διὰ σεαυτοῦ ″παρακαλῇς, ὅταν καθαρὰν παρέχῃς διάνοιαν, ὅταν νήφοντα λογισμόν, ὅταν μὴ παρέργως αἰτῇς, ὅπερ ποιοῦσι πολλοί, καὶ ἡ γλῶττα μὲν αὐτοῖς λέγει τὰ ῥήματα τῆς εὐχῆς, ἡ δὲ ψυχὴ πολλαχοῦ τῆς οἰκίας, τῆς ἀγορᾶς, τὴν ὁδὸν περιέρχεται. τοῦτο ὅλον τοῦ διαβόλου

χ. μᾶλλον τι
πολλάκις
χ. αἰτῇς.

ἐπ

γρ. καταπείσματα.
° διαλεχθῆναι πρὸς τὸν Θεόν
° καὶ
γρ. σκέψαι
γρ. παρέστης

τὸ ἐνθύμημα. ἐπεὶ γὰρ οἶδεν, ὅτι κατ' ἐκεῖνον τὸν καιρὸν * δυνάμεθα * ἀφέσεως τυχεῖν ἁμαρτιῶν, βουλόμενος ἡμᾶς τὸν τῆς εὐχῆς παρελκύσαι λιμένα, κατ' αὐτὸν μάλιστα τὸν ἐκφέρει ἡμῶν τὴν διάνοιαν τῶν λεγομένων, ὥστε ζημιωθέντας μᾶλλον, ἢ κερδήσαντας ἀπελθεῖν. Ταῦτα τοίνυν εἰδώς, ἀγαπητέ, ὅταν παρεστήκῃς τῷ Θεῷ, ἐννόησον τίνι παρέστηκας, καὶ ἀρκεῖ σοι εἰς πίστιν τὸ ἀξιόπιστον τοῦ μέλλοντος σοι διδόναι τὴν χάριν. ἀνάβλεψον εἰς τὸν οὐρανόν, καὶ διανοοῦ πρὸς τίνα σοι ὁ λόγος ἐστίν. Εἰ γὰρ ἀνθρώπῳ τις διαλεγόμενος ὀλίγον ἀναβεβηκότι ταῖς ἀνθρωπίναις πράξεσι, κἂν ἁπάντων ῥᾳθυμότερος ᾖ, πάντως ἑαυτὸν διανίστησι καὶ νήφειν παρακελεύεται τῇ ψυχῇ· πολλῷ μᾶλλον ἂν ποιήσωμεν ἡμεῖς, διὰ τὸ τῷ τῶν ἀγγέλων δεσπότῃ διαλέγεσθαι, ἱκανὴν εἰς τὸ προσέχειν ἑαυτοῖς ὑπόθεσιν ἐκ τούτου λαμβάνοντες. Εἰ δὲ δεῖ τινα καὶ ἑτέραν μέθοδον εἰπεῖν, δι' ἧς δυνησόμεθα τὴν ῥᾳθυμίαν ἐκφυγεῖν ταύτην, ἐκεῖνο ἂν εἴποιμι. πολλάκις πληρώσαντες τὴν εὐχήν, μηδὲν ἀκούσαντες ὧν εἰρήκαμεν, ἀπερχόμεθα. ἂν οὖν ἐννοήσωμεν τοῦτο, εὐθέως πάλιν αὐτὴν ἀναλαμβάνομεν· κἂν τὸ αὐτὸ πάθωμεν πάλιν, καὶ τρίτον καὶ τέταρτον αὐτὴν εἴπωμεν, καὶ μὴ πρότερον ἀποστῶμεν εὐχόμενοι, ἕως ἂν ἅπαξ αὐτὴν μετὰ διανοίας νηφούσης εἴπωμεν. ἂν αἴσθηται ὁ διάβολος, ὅτι οὐ πρότερον ἀφιστάμεθα, ἕως ἂν μετὰ σπουδῆς αὐτὴν καὶ διανοίας νηφούσης εἴπωμεν, ἀποστήσεται λοιπὸν ὁ ἐπιβουλεύων, εἰδὼς ὅτι οὐδὲν ἔσται πλέον αὐτῷ τῆς ἐπιβουλῆς, ἢ τὸ πολλάκις ἀναγκάζειν τὴν αὐτὴν ἡμᾶς ἀναλαμβάνειν εὐχήν. πολλὰ μὲν ἡμέραι, ἀγαπητοί, λαμβάνομεν τραύματα ἐκ τῶν οἰκείων, ἐκ τῶν ἀλλοτρίων, ἐν ἀγορᾷ, ἐν οἰκίᾳ, ἀπὸ τῶν δημοσίων πραγμάτων, ἀπὸ τῶν ἰδιωτικῶν, ἀπὸ τῶν γειτόνων, ἀπὸ τῶν φίλων· πάντων ἐκείνων τῶν τραυμάτων φάρμακα ἐπιθῶμεν τῷ καιρῷ τῆς εὐχῆς. δυνατὸς γὰρ ὁ Θεός, εἰ μετὰ νηφούσης διανοίας καὶ πεπυρωμένης ψυχῆς καὶ θερμοῦ συνειδότος αὐτῷ προσέλθωμεν, καὶ συντεινόμενοι αἰτήσαιμεν, πάντων ἡμῖν δοῦναι τῶν πεπλημμελημένων ἄφεσιν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα σὺν τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. πραγμάτων

Λογ. οθ. ΕΙΣ ΤΗΝ ΠΡΟΔΟΣΙΑΝ τοῦ Ἰούδα, καὶ εἰς τὸ πάσχα, καὶ εἰς τὴν παράδοσιν τῶν μυστηρίων, καὶ περὶ τοῦ μὴ μνησικακεῖν. τῇ ἁγίᾳ καὶ μεγάλῃ πεντάδι.

ΟΛίγα ἀνάγκη σήμερον πρὸς τὴν ὑμετέραν ἀγάπην εἰπεῖν. ὀλίγα δὲ ἀνάγκη εἰπεῖν, οὐκ ἐπειδὴ τῷ πλήθει τῶν λεγομένων ὑμᾶς βαρύνεσθαι· οὐδὲ γάρ ἐστιν ἑτέραν πόλιν εὑρεῖν οὕτως ἐρωτικῶς πρὸς τὴν ἀκρόασιν τῶν πνευματικῶν λογίων διακειμένην. οὐ τοίνυν διὰ τοῦτο ὀλίγα λέγομεν, ἐπειδὴ ἀποκναίομεν ὑμᾶς τῷ πλήθει, ἀλλ' ἐπειδὴ ἀναγκαία τῆς βραχυλογίας σήμερον ἡ αἰτία· καὶ γὰρ ὁρῶ πολλοὺς τῶν πιστῶν ἐπειγομένους πρὸς τὴν τῶν φρικτῶν μυστηρίων κοινωνίαν. ἵν' οὖν μήτ' ἐκείνης τῆς τραπέζης ἀποτύχωσι, μήτε ταύτης ἐκπέσωσιν, ἀνάγκη σύμμετρον ποιήσασθαι τὴν ἑστίασιν,

γρ. τὸ πλῆθος
γρ. -χωμεν
γρ. -σωμεν

Λογ. π. ΕΙΣ ΤΟ ΘΕΙΟΝ ΚΑΙ μυστικὸν δεῖπνον τοῦ σωτῆρος, καὶ περὶ τῆς τοῦ Ἰούδα προδοσίας, καὶ εἰς τὸ πάσχα, καὶ εἰς τὴν παράδοσιν τῶν θείων μυστηρίων, καὶ περὶ τοῦ μὴ μνησικακεῖν. λεχθεὶς τῇ ἁγίᾳ καὶ μεγάλῃ ε.

ἘΒουλόμην, ἀγαπητοί, τῆς κατὰ τὸν πατριάρχην πάλιν ὑποθέσεως ἅψασθαι, καὶ ἐντεῦθεν ὑμῖν τὴν ἑστίασιν παραθεῖναι τὴν πνευματικήν· ἀλλ' ἡ τοῦ προδότου ἀγνωμοσύνη πρὸς τὴν κατ' αὐτὸν ὑπόθεσιν τὴν ἡμετέραν ἕλκει γλῶτταν, καὶ τῆς ἡμέρας ὁ καιρὸς προτρέπεται τῆς τόλμης αὐτοῦ τὴν μανίαν εἰπεῖν.

σήμερον

ἵν' ἑκατέρωθεν ὑμῖν τὸ κέρδος γένηται, καὶ ἀπὸ ταύτης ἐφοδιασθέντες καὶ τῶν περὶ ἡμῶν λογίων, οὕτως ἀπέλθητε, καὶ μετὰ φόβου καὶ τρόμου καὶ τῆς προσηκούσης εὐλαβείας τῇ φοβερᾷ καὶ φρικτῇ προσέλθητε κοινωνίᾳ. Σήμερον, ἀγαπητοί, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς παρεδόθη. τῇ γὰρ ἐπιούσῃ ἑσπέρᾳ ταύτῃ, λαβόντες αὐτόν, ἀπῆλθον οἱ Ἰουδαῖοι. ἀλλὰ μὴ γένῃ κατηφής, ἀκούσας, ὅτι Ἰησοῦς παρεδόθη· μᾶλλον δὲ γενοῦ κατηφής, καὶ κλαῦσον πικρῶς, ἀλλὰ μὴ ὑπὲρ τοῦ παραδοθέντος Ἰησοῦ, ἀλλ' ὑπὲρ τοῦ προδότου Ἰούδα. ὁ μὲν γὰρ παραδοθείς, τὴν οἰκουμένην ἔσωσεν· ὁ δὲ προδούς, τὴν ἑαυτοῦ ψυχὴν ἀπώλεσε. καὶ ὁ μὲν προδοθείς, ἐν δεξιᾷ κάθηται τοῦ Πατρὸς ἐν τοῖς οὐρανοῖς· ὁ δὲ παραδούς, ἐν ᾅδου νῦν ἐστι, τὴν ἀπαραίτητον ἀναμένων κόλασιν. διὰ τοῦτον οὖν κλαῦσον καὶ στέναξον, διὰ τοῦτον πένθησον· ἐπεὶ καὶ ὁ δεσπότης ἡμῶν διὰ τοῦτον ἐδάκρυσεν. Ἰδὼν γὰρ αὐτόν, φησιν, ἐταράχθη, καὶ εἶπεν· εἷς ἐξ ὑμῶν παραδώσει με.

γρ. λόγων

γρ. [illegible]

Ἰωαν. ιγ. κα

Σήμερον γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς παρεδόθη ταῖς τῶν Ἰουδαίων χερσὶν ὑπὸ τοῦ οἰκείου μαθητοῦ. ἀλλὰ σὺ τοῦτο ἀκούων, ἀγαπητέ, μὴ γένῃ κατηφής, μηδὲ στυγνάσῃς ἀκούων, ὅτι παρεδόθη ὁ δεσπότης· μᾶλλον δὲ στέναξον, καὶ δάκρυσον, μὴ διὰ τὸν παραδοθέντα Ἰησοῦν, ἀλλὰ διὰ τὸν παραδόντα αὐτὸν Ἰούδαν. ὁ μὲν γὰρ παραδοθεὶς Ἰησοῦς τὴν οἰκουμένην ἔσωσεν, ὁ δὲ παραδοὺς Ἰούδας τὴν ἑαυτοῦ ψυχὴν ἀπώλεσε· καὶ ὁ μὲν προδοθεὶς Ἰησοῦς ἐν δεξιᾷ τοῦ Πατρὸς ἐν οὐρανοῖς κάθηται, ὁ δὲ προδοὺς Ἰούδας ἐν ᾅδου νῦν ἐστι, τὴν ἀπαραίτητον καὶ αἰώνιον ἀναμένων κόλασιν. διὰ τοῦτο στέναξον, διὰ τοῦτο δάκρυσον· ἐπεὶ καὶ αὐτὸς ὁ δεσπότης ἡμῶν Ἰησοῦς Χριστὸς ἰδὼν τὸν Ἰούδαν ἐταράχθη καὶ ἐδάκρυσεν.

Ἰωαν. ιγ. κα

Ἰδὼν γὰρ αὐτόν, φησιν, ἐταράχθη καὶ εἶπεν· εἷς ἐξ ὑμῶν παραδώσει με. καὶ τίνος ἕνεκεν ἐταράχθη; ἐννοῶν, ὅτι μετὰ τὴν τοσαύτην διδασκαλίαν, μετὰ τὰς τοσαύτας παραινέσεις, εἰς οἷον κρημνὸν ἑαυτὸν ὠθῶν οὐκ ᾐσθάνετο. θεωρῶν τοίνυν ὁ δεσπότης τοῦ μαθητοῦ τὴν μανίαν, καὶ ἐπελεῶν αὐτὸν ἐταράχθη καὶ ἐδάκρυσε. τοῦτο γὰρ ἄνω καὶ κάτω τεθέασιν οἱ εὐαγγελισταί, ἵνα πιστώσωνται τῆς οἰκονομίας τὴν ἀλήθειαν. ἐταράχθη τοίνυν ὁ δεσπότης, ἰδὼν τοῦ μαθητοῦ τὴν ὑπερβάλλουσαν ἀγνωμοσύνην, καὶ διδάσκων ἡμᾶς ἐκείνους μάλιστα θρηνεῖν, τοὺς κακῶς ποιοῦντας, οὐ τοὺς κακῶς πάσχοντας. οἱ γὰρ κακῶς καὶ ἀδίκως πάσχοντες, οὗτοι μᾶλλον μακαρισμοῦ ἄξιοί εἰσι.

Ματθ. ε. ι.

διὸ καὶ ἔλεγεν ὁ Χριστός· Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. Εἶδες πόσον τὸ κέρδος ἔδειξε τῶν κακῶς πασχόντων; βλέπε πάλιν ἀλλαχοῦ τῶν κακῶς ποιούντων τὴν ἀπαραίτητον τιμωρίαν.

α. Θεσ. β. ιδ

ἄκουε τοῦ μακαρίου Παύλου λέγοντος· Ὑμεῖς δέ, ἀδελφοί, μιμηταὶ ἐγενήθητε τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ, ὅτι τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων, τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων Ἰησοῦν, καὶ τοὺς ἰδίους προφήτας, καὶ κωλυόντων ἡμᾶς, φησι, τοῖς ἔθνεσι λαλῆσαι, ἵνα σωθῶσιν, εἰς τὸ ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας. ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργὴ τοῦ Θεοῦ εἰς τέλος. Εἶδες, ὅτι ἐκείνους μάλιστα δίκαιον θρηνεῖν καὶ κόπτεσθαι, τοὺς κακοποιοῦντας; διὰ τοῦτο καὶ ὁ φιλάνθρωπος δεσπότης ὁρῶν τοῦ μαθητοῦ τὴν τόλμαν, ἐταράττετο καὶ ἐδάκρυε, τὴν πρὸς τὸν μαθητὴν συμπάθειαν ἐπιδεικνύμενος, καὶ δεικνὺς αὐτῷ τῆς φιλανθρωπίας τὸ μέγεθος, ὅτι καὶ μέχρις αὐτῆς τῆς προδοσίας οὐκ ἐπαύετο τῆς τοῦ μαθητοῦ διορθώσεως προνοούμενος. διὰ τοῦτον οὖν δάκρυσον πικρῶς καὶ στέναξον μᾶλλον, ἐπεὶ καὶ ὁ δεσπότης δι' ἐκεῖνον ἠθύμησεν. Ἐταράχθη γάρ, φησιν, ὁ Ἰησοῦς καὶ εἶπεν· εἷς ἐξ ὑμῶν παραδώσει με. Ὢ πόση εὐσπλαγχνία; πόση ἀγαθότης δεσπότου; ὁ προδοθεὶς ὑπὲρ τοῦ προδότου ἀλγεῖ. ὁρῶν γὰρ αὐτὸν ἐπιμένοντα τῇ πονηρίᾳ, ἐταράχθη καὶ εἶπεν· Εἷς ἐξ ὑμῶν παραδώσει με.

Ὢ πόση εὐσπλαγχνία τοῦ δεσπότου; ὁ προδοθεὶς ὑπὲρ τοῦ προδόντος ἀλγεῖ. ἰδὼν γὰρ αὐτὸν ἐταράχθη, φησί, καὶ εἶπεν· Εἷς ἐξ ὑμῶν παραδώσει με. Τίνος σκόπει, πόση μακροθυμία; πόση φιλανθρωπία; πῶς φείδεται τοῦ ἀγνώμονος; καὶ οὐ βούλεται αὐτὸν ἀναίσχυντον ἐργάσασθαι· ἀλλὰ ταῦτα εἰς δειλίαν ἐνάγει τοὺς μαθητὰς καὶ ἐναγωνίους ποιεῖ, παρέχει δὲ ἀφορμήν τινα ἐκείνῳ παρέχειν τοῦ μεταγνῶναι τῆς μανίας; ἀλλ' ὅταν ἀναίσθητος γένηται ἡ ψυχὴ καὶ διχοίη τὸν ἀπόρρητον θυσίας, οὐ παραίνεσιν δέχεται, οὐ συμβουλήν· ἀλλὰ σκοτωθεῖσα ὑπὸ τοῦ πάθους κατὰ κρημνῶν ἄπεισιν· ὥσπερ οὖν τι ἐκεῖνος ἐκέρδανέ τι ἐκ τῆς τοσαύτης μακροθυμίας. Εἷς δὲ ἐξ ὑμῶν παραδώσει με, φησί.

Τίνος ἕνεκεν ἠθύμησεν; ὁμοῦ καὶ τὴν φιλοστοργίαν τὴν ἑαυτοῦ ἐπιδεικνύμενος, καὶ διδάσκων ἡμᾶς, ὅτι οὐ τὸν πάσχοντα κακῶς; ἀλλὰ τὸν ποιοῦντα κακῶς τοῦτον θρηνεῖν πανταχοῦ δίκαιον. τοῦτο γὰρ ἐκείνου χεῖρον, μᾶλλον δὲ ἐκεῖνο μὲν οὐ κακόν, τὸ κακῶς παθεῖν, κακὸν δὲ τὸ ποιῆσαι κακῶς. τὸ μὲν γὰρ κακῶς παθεῖν, τὴν βασιλείαν τῶν οὐρανῶν προξενεῖ· τὸ δὲ κακῶς ποιῆσαι, αἴτιον ἡμῖν τῆς γεέννης καὶ τῆς κολάσεως γίνεται. Μακάριοι γάρ, φησίν, οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. ὁρᾷς πῶς τὸ κακῶς παθεῖν, ἔχει μισθὸν καὶ ἔπαθλον, τὴν βασιλείαν τῶν οὐρανῶν; ἄκουσον πῶς τὸ κακῶς ποιῆσαι, κόλασιν φέρει καὶ τιμωρίαν. Εἰπὼν γὰρ ὁ Παῦλος περὶ τῶν Ἰουδαίων, ὅτι τὸν Κύριον ἀπέκτειναν, καὶ τοὺς προφήτας ἐδίωξαν, ἐπήγαγεν· ὧν τὸ τέλος ἔσται κατὰ τὰ ἔργα αὐτῶν. Εἶδες πῶς οἱ μὲν διωκόμενοι τὴν βασιλείαν λαμβάνουσιν· οἱ δὲ διώκοντες, τὴν ὀργὴν κληρονομοῦσι; ταῦτα δέ μοι οὐχ ἁπλῶς νῦν εἴρηται· ἀλλ' ἵνα μὴ τοῖς ἐχθροῖς ὀργιζώμεθα, ἀλλ' ἐλεῶμεν αὐτούς, καὶ θρηνῶμεν, καὶ συναλγῶμεν αὐτοῖς. ἐκεῖνοι γάρ εἰσιν οἱ κακῶς πάσχοντες, οἱ ἐχθραίνοντες ἡμῖν. ἂν οὕτω παρασκευάσωμεν τὴν ψυχὴν τὴν ἡμετέραν, δυνησόμεθα αὐτῶν καὶ ὑπερεύχεσθαι. διὰ γὰρ τοῦτο τετάρτην ἡμέραν ταύτην ἔχω διαλεγόμενος ὑμῖν περὶ εὐχῆς ὑπὲρ τῶν ἐχθρῶν, ἵνα μόνιμος γένηται τῆς διδασκαλίας ὁ λόγος, τῇ συνεχείᾳ τῆς παραινέσεως ῥιζωθείς. Διὰ τοῦτο συνεχῶς ἀποπλύνομεν τοῖς ῥήμασιν, ὥστε τὸ οἴδημα τῆς ὀργῆς ὑπονοστῆσαι, καὶ καταστεῖλαι τὴν φλεγμονήν, ὥστε καθαροὺς ὀργῆς εἶναι τὴν εὐχὴν προσιόντας. οὐδὲ γὰρ ὁ Χριστὸς ὑπὲρ τῶν ἐχθρῶν ταῦτα παρῄνεσε μόνον, ἀλλὰ καὶ ὑπὲρ ἡμῶν τῶν ἀφιέντων ἐκείνοις τὰ ἁμαρτήματα. μείζονα γὰρ λαμβάνεις

ν. ἢ δακρύωμεν ὑπὲρ αὐτῶν

γ. καὶ ὑπὲρ αὐτῶν ἄχθεσθαι

ξ. ἵνα πλωμεν ὑμᾶς

[Οὐχὶ δὲ τοὺς πάσχοντας κακῶς, ἀλλὰ τοὺς ποιοῦντας κακὰ τούτους θρηνεῖν πανταχοῦ δίκαιον. τὸ μὲν γὰρ κακῶς παθεῖν, τὴν βασιλείαν ἡμῖν τῶν οὐρανῶν προξενεῖ· τὸ δὲ κακῶς ποιῆσαί τινι, αἴτιον ἡμῖν τῆς γεέννης καὶ τῆς κολάσεως γίνεται. Μακάριοι γάρ, φησίν, οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης. ὁρᾷς, πῶς τὸ κακῶς παθεῖν ἔχει μισθὸν καὶ ἔπαθλον, τὴν τῶν οὐρανῶν βασιλείαν; ἄκουσον πῶς καὶ τὸ κακῶς ποιῆσαι κόλασιν φέρει καὶ τιμωρίαν. Εἰπὼν γὰρ ὁ Παῦλος περὶ τῶν Ἰουδαίων, ὅτι τὸν Κύριον ἀπέκτειναν, καὶ τοὺς προφήτας ἐδίωξαν, ἐπήγαγεν· ὧν τὸ τέλος ἔσται κατὰ τὰ ἔργα αὐτῶν. Εἶδες πῶς οἱ μὲν διωκόμενοι τὴν βασιλείαν τῶν οὐρανῶν λαμβάνουσιν· οἱ δὲ διώκοντες τὴν τοῦ Θεοῦ ὀργὴν κληρονομοῦσι;]

Ματθ. ε. ι.

α. Θεσ. β. ιδ.

Ταῦτα δὲ οὐχ ἁπλῶς κινοῦμεν ἐπὶ τῆς ὑμετέρας ἀγάπης, ἀλλ' ἵνα παιδευώμεθα πρὸς τοὺς ἐχθροὺς ἡμῶν μὴ ὀργίζεσθαι· ἀλλ' ἵνα μᾶλλον ἐλεῶμεν αὐτούς, καὶ δακρύωμεν καὶ ἀλγῶμεν ὑπὲρ αὐτῶν. ἐκεῖνοι γάρ εἰσιν οἱ κακῶς πάσχοντες, οἱ ἐχθραίνοντες ἡμῖν μάτην. ἂν οὕτω παρασκευάσωμεν ἡμῶν τὴν ψυχήν, ὡς μὴ ὀργίζεσθαι, ἀλλὰ καὶ ἀλγεῖν ὑπὲρ αὐτῶν, δυνησόμεθα κατὰ τὴν τοῦ Κυρίου φωνὴν καὶ ὑπερεύχεσθαι αὐτῶν, καὶ πολλὴν διὰ τούτου τὴν ἄνωθεν ἐπισπάσασθαι ῥοπήν.

[Διὰ γὰρ τοῦτο τετάρτην ἡμέραν ἔχω διαλεγόμενος ὑμῖν περὶ εὐχῆς τῆς ὑπὲρ τῶν ἐχθρῶν, ἵνα μόνιμος γένηται τῆς διδασκαλίας ὁ λόγος τῇ συνεχείᾳ τῆς παραινέσεως, ἵνα ῥιζωθῇ χρίμασι

α. Βασ. β. κε.

Ματθ. ιη.

ῥιζωθῇ ὑμῶν ταῖς διανοίαις. διὰ τοῦτο συνεχῶς ἐπαντλοῦμεν ὑμῖν τοῖς ῥήμασιν, ὥστε τὸ οἴδημα τῆς ὀργῆς ὑπονοστῆσαι, καὶ καταστεῖλαι τὴν φλεγμονήν, καὶ καθαρὸν ὀργῆς εἶναι τὸν εὐχῇ προσιόντα. οὐδὲ γὰρ ὁ Χριστὸς ὑπὲρ τῶν ἐχθρῶν ταῦτα παρῄνεσε μόνον, ἀλλὰ καὶ ὑπὲρ ἡμῶν τῶν ἀφιέντων ἐκείνοις τὰ ἁμαρτήματα. μείζονα γὰρ λαμβάνεις, ἢ δίδως, ἀφιεὶς τὴν ὀργὴν τῷ ἐχθρῷ. καὶ πῶς μείζονα λαμβάνω, φησί; πρόσεχε ἀκριβῶς. ἀφίης τοίνυν τὰ εἰς τὸν ἐχθρὸν ἁμαρτήματα, συγχωρεῖταί σοι τὰ εἰς τὸν δεσπότην πλημμελήματα. ἐκεῖνα ἀνίατά ἐστι καὶ ἀσύγγνωστα, ταῦτα δὲ πολλὴν ἔχει παραμυθίαν καὶ συγγνώμην. ἄκουσον γοῦν τοῦ Ἠλὶ λέγοντος πρὸς τοὺς υἱοὺς αὐτοῦ· Ἐὰν ἁμαρτάνων ἁμάρτῃ ἄνθρωπος εἰς ἄνθρωπον, ὁ ἱερεὺς προσεύξεται περὶ αὐτοῦ· ἐὰν δὲ εἰς τὸν Θεὸν ἁμάρτῃ, τίς προσεύξεται περὶ αὐτοῦ; ὥστε ἐκεῖνο μέγα τραῦμα, οὐδὲ εὐχῇ ῥᾳδίως λύεται. καὶ εὐχῇ μὲν οὐ λύεται τὸ τοιοῦτον παράπτωμα, συγχωρήσει δὲ τῶν ἁμαρτημάτων τῶν εἰς τὸν ἐχθρὸν λύεται παραυτίκα. διὸ ἐκεῖνα μὲν μυρία τάλαντα ἐκάλεσεν ὁ Θεός, τὰ εἰς τὸν δεσπότην ἁμαρτήματα· ταῦτα δὲ, ἑκατὸν δηνάρια· ἃ ἐὰν ἀφῇς, ἀφεθήσεταί σοι τὰ μυρία τάλαντα. ἀλλὰ περὶ μὲν τῆς εὐχῆς ἱκανῶς εἴρηται.]

α. Βασ. β. κε.

Ματθ. ιη.

νεις ἢ δίδως, ἀφιεὶς τὴν ὀργὴν τῷ ἐχθρῷ. καὶ πῶς μείζονα λαμβάνω, φησίν; ἐὰν ἀφήσῃς τὰ εἰς τὸν ἐχθρὸν ἁμαρτήματα, συγχωρεῖταί σοι τὰ εἰς τὸν δεσπότην πλημμελήματα. ἐκεῖνα ἀνίατά εἰσι καὶ ἀσύγγνωστα, ταῦτα πολλὴν ἔχει παραμυθίαν καὶ συγγνώμην. ἄκουσον γοῦν τοῦ Ἠλὶ λέγοντος πρὸς τοὺς υἱοὺς αὐτοῦ· Ἐὰν ἁμαρτάνων ἁμάρτῃ ἄνθρωπος εἰς ἄνθρωπον, καὶ προσεύξονται περὶ αὐτοῦ· ἐὰν δὲ εἰς Θεὸν ἁμάρτῃ, τίς προσεύξεται περὶ αὐτοῦ; ὥστε ἐκεῖνο τὸ τραῦμα οὔτε εὐχῇ ῥᾳδίως λύεται. εὐχῇ μὲν οὐ λύεται· συγχωρήσει δὲ τῶν ἁμαρτημάτων τῶν εἰς τὸν πλησίον λέλυται. διὸ ἐκεῖνα μὲν μυρία τάλαντα ἐκάλεσεν ὁ Χριστός, τὰ εἰς τὸν δεσπότην ἁμαρτήματα· ταῦτα δὲ, ἑκατὸν δηνάρια. ἄφες οὖν ἑκατὸν δηνάρια, ἵνα ἀφεθῇ σοι μυρία τάλαντα. ἀλλὰ τὰ μὲν τῆς εὐχῆς τῆς ὑπὲρ τῶν ἐχθρῶν ἱκανῶς εἴρηται. ἐπὶ δὲ τὸν τῆς προδοσίας, εἰ δοκεῖ, ἐπανέλθωμεν λόγον, καὶ ἴδωμεν πῶς παρεδόθη ἡμῖν ὁ δεσπότης.

γρ. ἀγαγόντες τὴν τοῦ προδ. τὴν μανίαν ἅπαξ καταμάθωμεν, ἵνα καὶ τὴν μαθητοῦ τ. ἀ. ξ.κ. τ.δ. τ. ἀ. φιλανθρωπίαν. ἀκούσωμεν τοίνυν τοῦ εὐαγγ.

Εἰ δὲ δοκεῖ, μικρὸν ἀνωτέρω τὸν λόγον ἀναγαγόντες, ἐπὶ τὸν τῆς προδοσίας ἐπανέλθωμεν λόγον, καὶ ἴδωμεν πῶς παρεδόθη ἡμῖν ὁ δεσπότης· ἵνα δὲ καὶ τοῦ προδότου τὴν μανίαν ἅπαξ καταμάθωμεν, καὶ τοῦ μαθητοῦ τὴν ἀγνωμοσύνην γνῶμεν καὶ τοῦ δεσπότου τὴν ἄφατον φιλανθρωπίαν, ἀκούσωμεν τοῦ εὐαγγελιστοῦ, πῶς ἡμῖν αὐτοῦ διηγεῖται τὴν τόλμαν.

Ματθ. κϛ. ιδ.

Τότε, φησί, πορευθεὶς εἷς τῶν δώδεκα, Ἰούδας ὁ λεγόμενος Ἰσκαριώτης πρὸς τοὺς ἀρχιερεῖς, εἶπεν αὐτοῖς· τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν;

[δοκεῖ μὲν γὰρ σαφὲς εἶναι τὸ λεγόμενον, καὶ μηδὲν πλέον αἰνίττεσθαι· εἰ δέ τις ἀκριβῶς ἐξετάσειεν ἕκαστον τῶν εἰρημένων, πολλὴν ἔχει θεωρίαν καὶ πολὺ τὸ βάθος τῶν νοημάτων. καὶ πρῶτον, ὁ καιρός. οὐ γὰρ ἁπλῶς αὐτὸν ἐπισημαίνεται ὁ εὐαγγελιστής. οὐ γὰρ εἶπε, πορευθεὶς, ἁπλῶς· ἀλλὰ προσέθηκε, τότε πορευθείς. τότε, πότε; καὶ τίνος ἕνεκεν ἐπισημαίνει τὸν χρόνον; οὐχ ἁπλῶς ἡμῖν ἐπισημαίνεται τὸν καιρὸν ὁ εὐαγγελιστὴς πνεύματι ἁγίῳ φθεγγόμενος. ὁ γὰρ πνεύματι φθεγγόμενος, οὐδὲν ἁπλῶς,

Ματθ. κϛ. ιδ.

Τότε πορευθεὶς εἷς τῶν δώδεκα, Ἰούδας ὁ λεγόμενος Ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς, εἶπε· τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; καὶ δοκεῖ μὲν σαφὲς εἶναι τὸ λεγόμενον, καὶ μηδὲν πλέον αἰνίττεσθαι· εἰ δέ τις ἀκριβῶς ἐξετάσῃ ἓν ἕκαστον τῶν λεγομένων, πολλὴν ἔχει τὴν θεωρίαν, καὶ πολὺ τὸ βάθος τῶν νοημάτων. καὶ πρῶτον, ὁ καιρός. οὐ γὰρ ἁπλῶς αὐτὸν ἐπισημαίνεται ὁ εὐαγγελιστής. οὐ γὰρ εἶπε, πορευθεὶς, ἁπλῶς, ἀλλὰ προσέθηκε τό, τότε πορευθείς. τότε; εἰπέ μοι, πότε; καὶ τίνος ἕνεκεν ἐπισημαίνει τὸν χρόνον; τί με βούλεται διδάξαι; οὐ γὰρ ἁπλῶς εἴρηται τὸ, τότε· καὶ γὰρ πνεύματι φθεγγόμενος οὐδὲν ἁπλῶς οὐδὲ εἰκῇ φθέγγεται. τί οὖν ἐστι τὸ, τότε;

πρὸ

περὶ αὐτοῦ τοῦ χρόνου, περὶ αὐτῆς τῆς ὥρας προσῆλθε πόρνη, ἀλάβαστρον μύρου ἔχουσα, καὶ κατέχεε τὸ ἔλαιον ἐκεῖνο ἐπὶ τὴν κεφαλὴν τοῦ Κυρίου· ἐπεδείξατο πολλὴν θεραπείαν, ἐπεδείξατο πολλὴν πίστιν, πολλὴν ὑπακοὴν καὶ εὐλάβειαν· μετεβλήθη ἀπὸ τοῦ προτέρου βίου, ἐγένετο βελτίων καὶ σωφρονεστέρα. καὶ ὅτε ἡ πόρνη "μετενόησεν, ὅτε τὸν δεσπότην "ἐπεσπάσατο, τότε ὁ μαθητὴς τὸν διδάσκαλον προέδωκε. Διὰ τοῦτο εἶπε, τότε· ἵνα μὴ κατηγορήσῃς τοῦ διδασκάλου ἀσθένειαν, ὅταν ἴδῃς τὸν μαθητὴν προδιδόντα τὸν διδάσκαλον.

γρ. ἐπωθεῖν.
γρ. ἐπέγνω

πλῶς, οὐδὲ εἰκῇ φθέγγεται. τί οὖν ἐστι τὸ, τότε; περὶ αὐτοῦ τοῦ χρόνου, περὶ αὐτῆς τῆς ὥρας προσῆλθε κόρη ἀλάβαστρον μύρου ἔχουσα, καὶ κατέχεε τὸ ἔλαιον ἐκεῖνο ἐπὶ τὴν κεφαλὴν τοῦ Κυρίου. ἐπεδείξατο πολλὴν πίστιν ἡ γυνὴ, ἐπεδείξατο πολλὴν θεραπείαν, ἐπεδείξατο πολλὴν ὑπακοὴν καὶ εὐλάβειαν. μετεβάλλετο ἀπὸ τοῦ βίου τοῦ προτέρου, καὶ ἐγένετο βελτίων καὶ σωφρονεστέρα. καὶ ὅτε ἡ πόρνη μετενόησεν, ὅτε τὸν δεσπότην ἐπέγνω, τότε ὁ μαθητὴς τὸν διδάσκαλον παρέδωκε.] τότε· πότε; ὅτε πόρνη προσελθοῦσα, τὸ ἀλάβαστρον τοῦ μύρου καταχέασα κατὰ τῶν ποδῶν τοῦ Ἰησοῦ ταῖς οἰκείαις θριξὶν ἐξέμαξε, καὶ πολλὴν τὴν θεραπείαν ἐπεδείκνυτο, τὰ ἐν πολλῷ τῷ χρόνῳ ἁμαρτήματα ἐξαλείφουσα διὰ τῆς ἐξομολογήσεως αὐτῆς. τότε οὖν, ὅτε ἐκείνην ἐθεάσατο τοσαύτην θεραπείαν τῷ διδασκάλῳ ἐπιδειξαμένην, τότε αὐτὸς ἐπὶ τὴν παράνομον προδοσίαν ἔσπευσε. κἀκείνη μὲν ἀπ' αὐτοῦ τοῦ πυθμένος τῆς κακίας εἰς αὐτὸν τὸν οὐρανὸν ἀνῆλθεν·* οὗτος δὲ μετὰ μυρία θαύματα καὶ σημεῖα, μετὰ τὴν τοσαύτην διδασκαλίαν, μετὰ τὴν ἄφατον συγκατάβασιν εἰς αὐτὸν τὸν πυθμένα τῶν ταρτάρων κατέπεσε. τοσοῦτόν ἐστι ῥαθυμία κακὸν καὶ προαίρεσις διεφθαρμένη. διὸ καὶ Παῦλος ἔλεγεν· Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ. καὶ ὁ προφήτης πάλαι ἐβόα· Μὴ ὁ πίπτων οὐκ ἀνίσταται; ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει; ἵνα μήτε ὁ ἑστὼς θαῤῥῇ, ἀλλ' ἐναγώνιος ᾖ διηνεκῶς, μήτε ὁ καταπεσὼν ἀπογνῷ ἑαυτοῦ.

* ἐπειδὴ γὰρ ἠθέλησεν ἀνελθεῖν, ἠδυνήθη.

α Κορ. ι. ιβ.
Ιερ. η. δ.

Τοσαύτη γάρ ἐστιν ἡ δύναμις τοῦ διδασκάλου, ὡς καὶ πόρνας ἐπισπᾶσθαι εἰς τὴν οἰκείαν ὑπακοήν. τί οὖν φησιν; ὁ πόρνας ἐπισπώμενος, μαθητὴν οὐκ ἴσχυσεν ἐπισπάσασθαι; ἴσχυεν ἐπισπάσασθαι τὸν μαθητὴν, ἀλλ' οὐκ ἠβούλετο ἀνάγκῃ ποιῆσαι καλὸν, οὐδὲ βίᾳ ἑλκῦσαι πρὸς ἑαυτόν. Τότε πορευθείς. ἔχει τι καὶ τοῦτο οὐ μικρὸν θεώρημα, τὸ, πορευθείς. οὐ γὰρ μετακληθεὶς ὑπὸ τῶν ἀρχιερέων, οὐκ ἀναγκασθεὶς, οὐδὲ βιασθεὶς, ἀλλ' αὐτὸς ἀφ' ἑαυτοῦ καὶ οἴκοθεν ἔτεκε τὸν δόλον, καὶ τὴν γνώμην ἐξήγαγε ταύτην, οὐδένα ἔχων σύμβουλον τῆς πονηρίας ταύτης. Τότε πορευθεὶς εἷς τῶν δώδεκα. τί ἐστιν, εἷς τῶν δώδεκα; καὶ τοῦτο μεγίστην αὐτῷ δείκνυσιν οὖσαν τὴν κατηγορίαν τὸ εἰπεῖν, εἷς τῶν δώδεκα. καὶ γὰρ ἦσαν ἕτεροι μαθηταὶ τοῦ Ἰησοῦ ἑβδομήκοντα τὸν ἀριθμόν. ἀλλ' ἐκεῖνοι τὰ δεύτερα εἶχον, ἐκεῖνοι οὐ τοσαύτης ἀπέλαυον τῆς τιμῆς,

οὐδὲ

[Τοσαύτη γὰρ ἡ δύναμις τοῦ διδασκάλου, ὡς καὶ πόρνας καὶ τελώνας ἐπισπάσασθαι πρὸς τὴν οἰκείαν ὑποταγήν. τί οὖν φησιν; ὁ πόρνας ἐπισπασάμενος, μαθητὴν οὐκ ἴσχυσεν ἐπισπάσασθαι; ναί, ἴσχυεν ἐπισπάσασθαι καὶ τὸν μαθητήν· ἀλλ' οὐκ ἐβούλετο αὐτὸν ἀνάγκῃ ποιῆσαι καλὸν, οὐδὲ βίᾳ ἑλκῦσαι αὐτὸν πρὸς ἑαυτόν.] διὰ τοῦτο ὁ εὐαγγελιστὴς διηγούμενος ἡμῖν τὰ κατὰ τὸν μαθητὴν τὸν ἀγνώμονα ἔλεγε· Τότε πορευθεὶς, τουτέστιν, οὐχ ὑφ' ἑτέρων κληθεὶς, οὔτε βιασθεὶς παρ' ἄλλου, οὐδὲ παρ' ἑτέρου δεξάμενος τὴν προτροπήν· ἀλλ' οἴκοθεν κινούμενος ἐπὶ τοῦτο ἐτράπη, δεικνὺς ὅτι αὐτομάτως, καὶ ἐξ οἰκείας γνώμης ἐπὶ τὸ παράνομον τοῦτο τόλμημα ὥρμησεν, ἐξ οὐδεμιᾶς αἰτίας κινούμενος, ἀλλ' ὑπὸ τῆς πηγαζούσης ἔνδοθεν κακίας ἐπὶ τὴν προδοσίαν τοῦ δεσπότου ἑαυτὸν ὠθήσας*. τότε πορευθεὶς εἷς τῶν δώδεκα. καὶ τοῦτο οὐ μικρὸν ἔγκλημα τὸ εἰπεῖν, εἷς τῶν δώδεκα. ἐπεὶ γὰρ ἦσαν καὶ ἕτεροι ἑβδομήκοντα μαθηταί,

* οὐδένα σύμβουλον ἔχων.

διὰ

οὐδὲ τοσαύτης μετεῖχον τῆς παῤῥησίας, οὐκ ἐκοινώνησαν ἀποῤῥήτων τοσοῦτον, ὡς οἱ δώδεκα. οὗτοι μάλιστα ἦσαν δόκιμοι, καὶ ὁ περὶ τὸν βασιλέα χορός, οὗτος ἦν· αὕτη ἡ συμμοιρία ἡ περὶ τὸν διδάσκαλον, καὶ ἀπὸ ταύτης ἐξεπήδησεν ὁ Ἰούδας. ἵν' οὖν μάθῃς, ὅτι

οὐ μαθητὴς ἁπλῶς αὐτὸν προὔδωκεν, ἀλλὰ

διὰ τοῦτο εἶπεν, Εἷς τῶν δώδεκα, τουτέστι, τῶν ἐγκρίτων, τῶν καὶ καθ' ἑκάστην αὐτῷ συναναστρεφομένων, τῶν πολλῆς ἀπολαυόντων τῆς παῤῥησίας. ἵνα οὖν μάθῃς ὅτι μαθητὴς ἦν τῶν δοκίμων, φησίν, Εἷς τῶν δώδεκα. καὶ οὐ παρασιωπᾷ ταῦτα γράφων ὁ εὐαγγελιστής, ἵνα σὺ πεισθῇς ὅτι ταῦτα τὰ δοκοῦντα ἐπονείδιστα εἶναι δείκνυσι τοῦ δεσπότου τὴν πρὸς ἡμᾶς κηδεμονίαν, ὅτι τὸν προδότην, τὸν κλέπτην τοσούτων ἠξίωσεν ἀγαθῶν, καὶ μέχρι τῆς ἐσχάτης ἑσπέρας παρῄνει. εἶδες πῶς ἡ πόρνη μὲν ἐσώθη, ἐπειδὴ ἔνιψεν· ὁ μαθητὴς δὲ ῥαθυμήσας κατέπεσε; μὴ τοίνυν ἀπογνῷς ἑαυτοῦ πρὸς τὴν πόρνην ἀφορῶν, μηδὲ θαρσήσῃς πάλιν πρὸς τὴν τοῦ μαθητοῦ τόλμαν ἀπιδών. ἀμφότερα γὰρ ὀλέθρια.

ἴσ. ἐνῆψε

τῆς δοκιμωτάτης τάξεως εἷς, διὰ τοῦτό φησιν· Εἷς τῶν δώδεκα. καὶ οὐκ αἰσχύνεται ὁ ταῦτα γράψας Ματθαῖος. τίνος ἕνεκεν οὐκ αἰσχύνεται; ἵνα μάθῃς, ὅτι πανταχοῦ μετὰ ἀληθείας πάντα φθέγγονται, καὶ οὐδὲν ἀποκρύπτονται, οὐδὲ τὰ δοκοῦντα εἶναι ἐπονείδιστα. ταῦτα γὰρ τὰ δοκοῦντα εἶναι ἐπονείδιστα, ταῦτα δείκνυσι τοῦ δεσπότου τὴν φιλανθρωπίαν· ὅτι τὸν προδότην, τὸν λῃστήν, τὸν κλέπτην τοσούτων ἠξίωσεν ἀγαθῶν, καὶ μέχρι τῆς ἐσχάτης διαβαστάζων αὐτὸν διετέλει τῆς ὥρας. καὶ γὰρ ἐνουθέτει, καὶ παρῄνει, καὶ πάντα τρόπον ἐπεμελεῖτο. εἰ δὲ μὴ προσεῖχεν ἐκεῖνος, οὐχ ὁ Κύριος αἴτιος. Ἐπεὶ μάρτυς ἡ πόρνη· αὕτη γὰρ προσέχουσα ἑαυτῇ ἐσώθη. μὴ τοίνυν ἀπογνῷς σεαυτοῦ, πρὸς τὴν πόρνην ἀπιδών· μηδὲ θαῤῥήσῃς σεαυτῷ, πρὸς τὸν Ἰούδαν ἰδών. ἀμφότερα γὰρ ταῦτα ὀλέθρια, καὶ τὸ θαῤῥεῖν, καὶ τὸ ἀπογινώσκειν. τὸ μὲν γὰρ θαῤῥεῖν, τὸν ἑστηκότα ποιεῖ πεσεῖν· τὸ δὲ ἀπογινώσκειν, τὸν κείμενον οὐκ ἀφίησιν ἀναστῆναι. διὰ τοῦτο ὁ Παῦλος παρῄνει, λέγων· Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ. ἔχεις ἀμφοτέρων τὰ παραδείγματα· πῶς ὁ μαθητής, δοκῶν ἑστάναι, ἔπεσε· καὶ πῶς ἡ πόρνη κειμένη, ἀνέστη. Εὐόλισθον ἡμῶν ἡ γνώμη, εὐπερίτρεπτοι ἡ προαίρεσις· διὰ τοῦτο ἑαυτοὺς πανταχόθεν ἀσφαλίζεσθαι καὶ τειχίζεσθαι χρή. τότε πορευθεὶς Εἷς τῶν δώδεκα, Ἰούδας Ἰσκαριώτης. ὁρᾷς ἀπὸ ποίου χοροῦ ἐξέπεσεν; ὁρᾷς ποίας διδασκαλίας κατεφρόνησεν; ὁρᾷς ὅσον κακόν ἐστιν ἡ ῥαθυμία καὶ ἡ ὀλιγωρία; Ἰούδας ὁ λεγόμενος Ἰσκαριώτης. τί μοι λέγεις αὐτοῦ τὴν πόλιν; εἴθε μὴ τοῦτον ἐγίνωσκον. Ἰούδας ὁ λεγόμενος Ἰσκαριώτης. τίνος ἕνεκεν τὴν πόλιν αὐτοῦ λέγει; ἦν ἕτερος Ἰούδας μαθητής, Ζηλωτὴς ἐπικαλούμενος. ἵν' οὖν διὰ τῆς ὁμωνυμίας μὴ γένηταί τις πλάνη, διεῖλε τοῦτον ἀπ' ἐκείνου. καὶ ἐκεῖνον μὲν ἀπὸ τῆς ἀρετῆς ὠνόμασεν, Ἰούδας ὁ Ζηλωτής· τοῦτον δὲ οὐκ ὠνόμασεν ἀπὸ τῆς κακίας. οὐ γὰρ εἶπεν, Ἰούδας ὁ προδότης. καίτοι ἐχρῆν, ὥσπερ ἐκεῖνον ἀπὸ τῆς ἀρετῆς ἐκάλεσεν, οὕτω καὶ τοῦτον ἀπὸ τῆς κακίας προσαγορεῦσαι, καὶ εἰπεῖν,

χ. ποιεῖ τὸν

χ. γράφων

χ. τὰ δοκοῦντα εἶναι ἐπονείδιστα

χ. προσελθοῦσα αὐτῷ διεσώθη

α. Κορ. ι.

χ. πεσεῖν

χ. πόσον

χ. καὶ αὐτὸ ἠγνόουν

Εὐόλισθος γὰρ ἡμῶν ἡ γνώμη, εὐπερίτρεπτος ἡ προαίρεσις· διὸ πανταχόθεν ἀσφαλίζεσθαι χρή. τότε πορευθεὶς Εἷς τῶν δώδεκα, Ἰούδας ὁ Ἰσκαριώτης. ὁρᾷς ποίου χοροῦ ἐξέπεσεν; ὁρᾷς ποίας διδασκαλίας ἑαυτὸν ἐστέρησεν; ὁρᾷς πόσον κακὸν ἡ ῥαθυμία; Ἰούδας, φησίν, ὁ Ἰσκαριώτης· ἐπειδὴ ἕτερος ἦν τούτῳ ὁμώνυμος ὁ λεγόμενος Ἰακώβου. ὁρᾷς τοῦ εὐαγγελιστοῦ τὴν σοφίαν, ὅτι οὐκ ἀπὸ τοῦ τολμήματος, ἀλλ' ἀπὸ τοῦ τόπου δῆλον ἡμῖν αὐτὸν ποιεῖ, ἐκεῖνον οὐκ ἀπὸ τοῦ τόπου, ἀλλ' ἀπὸ τῆς πατρωνυμίας γνώριμον ποιῶν; καίτοιγε ἀκόλουθον ἦν εἰπεῖν, Ἰούδαν τὸν προδότην. ἀλλ' ἵνα ἡμᾶς παιδεύσῃ καθαρὰν ἔχειν κατηγορίας τὴν γλῶτταν, καὶ αὐτὸ δὲ εἰπεῖν προδότου φείδεται.

ἴσ. κακηγο.

Παιδευώμεθα τοίνυν μηδένα τῶν ἐχθρῶν κακῶς μεμνῆσθαι. εἰ γὰρ ὁ μακάριος οὗτος τοῦ προδότου οὐκ ἠνέσχετο κατηγορῆσαι, ὃ

παραινόμεν

πεῖ, Ἰούδας ὁ προδότης. ἀλλ' ἵνα σε παιδεύσῃ καθαρὰν ἔχειν κατηγορίας τὴν γλῶτταν, καὶ αὐτοῦ τοῦ προδότου φείδεται).

παράνομον τοῦτο τόλμημα διηγούμενος (τοῦτο μὲν ἀπεσιώπησεν· ἀπὸ δὲ τοῦ τόπου, ὅθεν ὥρμητο, δῆλον αὐτὸν ποιεῖ) ποίας ἂν εἴημεν ἡμεῖς ἄξιοι συγγνώμης τῶν πλησίον κακηγοροῦντες; καὶ πολλάκις οὐ μόνον τῶν ἐχθρῶν μεμνήμεθα μεθ' ὕβρεως, ἀλλὰ καὶ τῶν δοκούντων πρὸς ἡμᾶς ἔχειν διάθεσιν. μή, παρακαλῶ. τοῦτο καὶ Παῦλος παραινεῖ λέγων· Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω. Διὰ τοῦτο πάντος τοιούτου πάθους καθαρεύων ὁ μακάριος Ματθαῖος ἔλεγε· τότε πορευθεὶς εἷς τῶν δώδεκα, ὁ λεγόμενος Ἰούδας ὁ Ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς εἶπε, τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; ὢ μιαρᾶς φωνῆς· ὢ τόλμης ἄνοια. ἐνθυμούμενος τρέμω, ἀγαπητοί, πῶς ἐξεπήδησε τοῦ στόματος ἡ φωνή, πῶς τὴν γλῶτταν ἐκίνησε, πῶς οὐκ ″ἀπέστη τοῦ σώματος ἡ ψυχή, πῶς οὐκ ἐνάρκησε τὰ χείλη, πῶς οὐκ ἐξέστη τῇ διανοίᾳ. τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; εἰπέ μοι, Ἰούδα, ταῦτά σοι ἐπαίδευσεν ὁ διδάσκαλος ἐν τοσούτῳ χρόνῳ; οὕτω λήθην ἐποιήσω τῶν συνεχῶν παραινέσεων; οὐ διὰ τοῦτο ἔλεγε, Μὴ κτήσασθε χρυσόν, μήτε ἄργυρον, ἄνωθεν προαναστέλλων σου τῆς περὶ τὰ χρήματα μανίας τὴν ὑπερβολήν; οὐ παρῄνει λέγων, Ἐάν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην; τίνος ἕνεκεν, εἰπέ μοι, παραδίδως τὸν διδάσκαλον; ὅτι τὴν κατὰ τῶν δαιμόνων ἐξουσίαν σοι παρέδωκεν, ὡς καὶ νοσήματα θεραπεύειν, καὶ λεπροὺς καθαίρειν, καὶ ἕτερα πολλὰ τοιαῦτα θαύματα ἐπιδείκνυσθαι; ἀντὶ οὖν τῶν εὐεργεσιῶν τούτων ταύτας αὐτῷ ἀποδίδως τὰς ἀμοιβάς; ὢ τῆς μανίας, μᾶλλον δὲ τῆς φιλαργυρίας. πάντα γὰρ ταῦτα τὰ κακὰ ἡ φιλαργυρία πεποίηκεν, ἡ ῥίζα τῶν κακῶν, ἥτις τὰς ψυχὰς ἡμῶν σκοτοῖ, καὶ αὐτοὺς τοὺς τῆς φύσεως νόμους, καὶ αὐτῶν ἡμᾶς ἐκβάλλει τῶν φρενῶν, καὶ οὐκ ἀφίησιν οὔτε φιλίας οὔτε συγγενείας οὔτε ἄλλου τινὸς μεμνῆσθαι· ἀλλὰ καθάπαξ πηρώσασα ἡμῶν τὰ ὄμματα τῆς διανοίας, οὕτως ἐν σκότει ποιεῖ βαδίζειν. καὶ ἵνα μάθῃς τοῦτο σαφῶς, ὅρα τότε πόσα ἐξέβαλεν ἐκ τῆς τοῦ Ἰούδα ψυχῆς. αὕτη ἐπεισελθοῦσα τὴν ὁμιλίαν, τὴν συνήθειαν, τὴν κοινωνίαν, τὴν θαυ-

ἰσ. ἀπέπτη

Ματθ. ι. θ.

Ματθ. ε. λθ.

Πορευθεὶς γάρ, φησιν, εἷς τῶν δώδεκα, Ἰούδας Ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς, εἶπεν αὐτοῖς· τί μοι θέλετε δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; ὢ τῆς μιαρᾶς ἐκείνης φωνῆς. καὶ πῶς ″ἐξεπήδησε τοῦ στόματος; πῶς ἐκίνησε τὴν γλῶτταν; πῶς οὐκ ἐνάρκησεν ἅπαν τὸ σῶμα; πῶς οὐκ ἐξέστη ἡ διάνοια; τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; ταῦτά σε ἐπαίδευσεν ὁ Χριστός, εἰπέ μοι, οὐ διὰ τοῦτο ἔλεγε, Μὴ κτήσασθε χρυσόν, μηδὲ ἄργυρον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν· ἄνωθεν προαναστέλλων ″σου τῆς φιλαργυρίας τὴν ὑπόθεσιν; οὐ ταῦτα παρῄνει διηνεκῶς, καὶ μετὰ ″τούτων ἔλεγεν· Ἐάν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην; τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; ὢ τῆς ἀπονοίας. ἀντὶ τίνος, εἰπέ μοι; τί μικρόν, ἢ μέγα ἐγκαλεῖν ἔχων, παραδίδως τὸν διδάσκαλον; ὅτι σοι παρέδωκε τὴν δαιμόνων τὴν ἐξουσίαν; ὅτι νοσήματα λύειν ἐποίησεν; ὅτι ″λέπρας καθαίρειν; ὅτι νεκροὺς ἀνιστᾶν; ὅτι τῇ τυραννίδι ἐπέστησε τοῦ θανάτου; ἀντὶ τούτων τῶν εὐεργεσιῶν ταύτας δίδως τὰς ἀμοιβάς; τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; ὢ τῆς ἀπονοίας, μᾶλλον δέ, ὢ τῆς φιλαργυρίας· πάντα γὰρ ἐκείνη ἔτεκε τὰ κακά. ἐκείνης αὐτὸς ἐπιθυμήσας, προὔδωκε τὸν διδάσκαλον. τοιοῦτον γάρ ἐστιν ἡ πονηρὰ ῥίζα ἐκείνη, δαίμονος χαλεπώτερον τὰς ἁλούσας ἐκβακχεύει ψυχάς, καὶ ποιεῖ πάντας ἀγνοεῖν, καὶ ἑαυτὸν καὶ τὸν πλησίον, καὶ τοὺς τῆς φύσεως νόμους, καὶ αὐτῶν ἐκβάλλει τῶν φρενῶν, καὶ παραπλῆγας ἐργάζεται). ὅρα γοῦν πόσα ἐξέβαλεν ἐκ τῆς τοῦ Ἰούδα ψυχῆς· τὴν ὁμιλίαν, τὴν συνήθειαν, τὴν κοινωνίαν τὴν ἐν τραπέζῃ, τὰ θαύματα, τὴν διδασκαλίαν,

γ. ἐξεδήμησε

Ματθ. ι. θ.

γ. σοι

γ. ταῦτα

Ματθ. ε. λθ.

γ. λεπροὺς

Ματθ. κϛ. ιε.

α. Τιμ. ϛ. ι.

Ἰωαν. ιη. δ.

μας τὴν διδασκαλίαν, πάντα ταῦτα εἰς λήθην ἐνέβαλεν ἡ φιλαργυρία. καλῶς ἔλεγε Παῦλος, ὅτι ῥίζα πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία. τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; παραδίδως, Ἰούδα, τὸν τὰ πάντα συνέχοντα λόγῳ; πωλεῖς τὸν ἀκατάληπτον, τὸν κτίστην οὐρανοῦ τε καὶ γῆς; τὸν δημιουργὸν τῆς ἡμετέρας φύσεως; τὸν λόγῳ καὶ νεύματι τὰ πάντα συστησάμενον; ἵνα οὖν δείξῃ ὅτι ἑκὼν παρεδόθη, ἄκουσον τί ποιεῖ. κατ' αὐτὸν τὸν καιρὸν τῆς προδοσίας, ὅτε ἐπῆλθον αὐτῷ μετὰ μαχαιρῶν καὶ ξύλων λαμπάδας καὶ φανοὺς ἔχοντες, λέγει αὐτοῖς, Τίνα ζητεῖτε; καὶ ἠγνόησαν ὃν ἤμελλον συλλαμβάνειν. τοσοῦτον ἀπεῖχεν ἐκεῖνος τοῦ δυνηθῆναι παραδοῦναι αὐτόν, ὅτι οὐδὲ ὁρᾶν αὐτὸν ἠδύνατο παρόντα, ὃν ἤμελλε παραδιδόναι, καὶ ταῦτα λαμπάδων οὐσῶν καὶ φωτὸς τοσούτου. ὅτι γὰρ τοῦτο αἰνιττόμενος εἶπεν, ὅτι λαμπάδας καὶ φανοὺς εἶχον, καὶ οὐδὲ οὕτως αὐτὸν ηὕρισκον, φησί, [γὰρ] καὶ Ἰούδας εἱστήκει μετ' αὐτῶν· ἐκεῖνος εἰπών, ἐγὼ ὑμῖν παραδώσω αὐτόν.

α. Τιμ. ϛ. ι.

χ. ἁπάσης

χ. διδάξῃ

Ἰωαν. ιη. δ.

χ. συνεχῶν ἐλέγχων

χ. [illegible]

* [illegible]

τὴν παραίνεσιν, τὴν νουθεσίαν· ταῦτα πάντα εἰς λήθην ἐνέβαλεν ἡ φιλαργυρία τότε. διὰ τοῦτο εἰκότως ὁ Παῦλος ἔλεγεν· ὅτι ῥίζα πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία. τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; πολλὴ ἡ ἀπόνοια τοῦ ῥήματος. παραδίδως, εἰπέ μοι, τὸν πάντα κρατοῦντα, τὸν δαιμόνων ἐξουσιάζοντα, τῇ θαλάττῃ ἐπιτάττοντα, τὸν τῆς φύσεως ἁπάντων δεσπότην; ἵν' οὖν αὐτοῦ καταστείλῃ τὴν ἀπόνοιαν, καὶ δείξῃ, ὅτι εἰ μὴ ἐβούλετο, οὐκ ἂν παρεδόθη, ἄκουσον τί ποιεῖ. κατ' αὐτὸν τὸν καιρὸν τῆς προδοσίας, ὅτε ἐπῆλθον αὐτῷ, ξύλα ἔχοντες καὶ λαμπάδας καὶ φῶς, λέγει αὐτοῖς· τίνα ζητεῖτε; καὶ ἠγνόουν ὃν ἤμελλον συλλαμβάνειν. τοσοῦτον ἀπεῖχε τοῦ δυνηθῆναι παραδοῦναι αὐτὸν ὁ Ἰούδας, ὅτι οὐδὲ ἑώρα παρόντα, ὃν ἤμελλε παραδώσειν, καὶ ταῦτα λαμπάδων οὐσῶν καὶ φωτὸς τοσούτου. ὅτι γὰρ τοῦτο ᾐνίξατο ὁ εὐαγγελιστής, φησί· λαμπάδας εἶχον καὶ φῶς, καὶ οὐχ ἑώρων αὐτόν. καὶ καθ' ἑκάστην δὲ αὐτὸν ὑπεμίμνησκεν ἡμέραν, καὶ δι' ἔργων, καὶ διὰ ῥημάτων, δεικνὺς ὅτι οὐ λήσεται προδιδούς. καὶ οὔτε φανερῶς αὐτὸν ἤλεγχεν ἐπὶ πάντων, ὥστε μὴ ἀναισχυντότερον αὐτὸν ἐργάσασθαι, οὔτε παρεσιώπα, ἵνα μὴ νομίζων λανθάνειν, ἀδεῶς ἐπιχειρῇ τὴν προδοσίαν· ἀλλὰ συνεχῶς ἔλεγεν, εἷς ἐξ ὑμῶν παραδώσει με· οὐ μέντοι φανερὸν αὐτὸν καθίστη. πολλοὺς δὲ καὶ περὶ γεέννης διῆλθε λόγους, πολλοὺς καὶ περὶ βασιλείας, καὶ τὴν ἐφ' ἑκάτερα δύναμιν ἐπεδείξατο, τὴν ἐν τῷ κολάζειν τοὺς ἁμαρτάνοντας, καὶ τὴν ἐν τῷ τιμᾶν τοὺς κατορθοῦντας. ἀλλὰ ταῦτα πάντα ἐκεῖνος παρεκρούσατο, ὁ δὲ Θεὸς βίᾳ οὐχ εἵλκυσεν. ἐπειδὴ γὰρ κυρίους ἡμᾶς ἐποίησε καὶ τῆς τῶν φαύλων, καὶ τῆς τῶν ἀγαθῶν πράξεων αἱρέσεως, καὶ ἑκόντας εἶναι βούλεται καλούς· διὰ τοῦτο, ἂν μὴ βουλώμεθα, οὐ βιάζεται, οὐδὲ ἀναγκάζει. τὸ γὰρ βιασθέντα εἶναι χρηστόν, οὐκ ἔστιν εἶναι χρηστόν. ἐπεὶ οὖν κἀκεῖνος γνώμης κύριος ἦν, καὶ ἐν ἐξουσίᾳ τοῦ μὴ πεισθῆναι, καὶ πρὸς φιλαργυρίαν μὴ ἀποκλῖναι, διὰ τοῦτο ἀπετυφλώθη τὴν διάνοιαν, καὶ τὴν σωτηρίαν τὴν ἑαυτοῦ προέδωκε· καί φησι, τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν. ἐλέγχων τοίνυν τοῦ νοὸς αὐτοῦ τὴν τύφλωσιν καὶ τὴν ἀπόνοιαν ὁ εὐαγγελιστής φησιν, ἐν αὐτῷ τῷ καιρῷ τῆς ἐφόδου ὁ Ἰούδας εἱστήκει ἐγγὺς αὐτῶν, ἐκεῖνος ὁ εἰπών· τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν. οὐκ ἐντεῦθεν δὲ μόνον ἔστι θεάσασθαι τὴν δύναμιν τοῦ Χριστοῦ· ἀλλ' ὅτι καὶ φωνὴν ἀφέντος ψιλήν, ἀπῆλθον καὶ * ἔπεσον χαμαί. ἐπειδὴ δὲ οὐδὲ οὕτως ἀφίσταντο τῆς ἀναισχυντίας, λοιπὸν ἑαυτὸν παραδίδωσι, μονονουχὶ λέγων· ἐγὼ δὲ ἐμαυτὸν

Ἐπήρωσε γὰρ αὐτῶν τὴν διάνοιαν, βουλόμενος δεῖξαι τὴν οἰκείαν δύναμιν, καὶ ἵνα μάθωσιν ὅτι ἀδυνάτοις ἐπιχειροῦσιν. εἶτα ἀκούσαντες τὴν φωνὴν αὐτοῦ ἀπῆλθον ὕπτιοι, καὶ ἔπεσον χαμαί. εἶδες πῶς οὔτε τὴν φωνὴν ἐνεγκεῖν ἠδυνήθησαν, ἀλλὰ διὰ τῆς καταπτώσεως τὴν ἑαυτῶν ἀσθένειαν ἐναργῶς ἀπέδειξαν· ὅρα δεσπότου φιλανθρωπίαν. ἐπειδὴ οὐδὲ οὕτω καθίκετο τῆς ἀναισχυντίας τοῦ προδότου, οὔτε τῆς τῶν Ἰουδαίων ἀγνωμοσύνης, ἑαυτὸν ἐκδίδωσι, καί φησιν ὁ Κύριος· ὅτι ἔδειξα μαυτοῦ ὅλον ἐποίησα, τὴν δύναμιν ἐξεκάλυψα τὴν ἐμαυτοῦ, ἔδειξα, ὅτι ἀδυνάτοις ἐπιχειρεῖτε πράγμασιν. ἠβουλήθην καταστεῖλαι ὑμῶν τὴν πονηρίαν· ἐπειδὴ δὲ ὑμεῖς οὐκ ἠβουλήθητε, ἀλλ' ἐπιμένετε παραπαίοντες, ἰδοὺ παραδίδωμι ἐμαυτόν. Ταῦτα δέ μοι εἴρηται, ἵνα μὴ κατηγορῶσί τινες τοῦ Χριστοῦ, λέγοντες, διὰ τί οὐ μετέβαλε τὸν Ἰούδαν; διὰ τί οὐκ ἐποίησεν αὐτὸν σώφρονα καὶ ἐπιεικῆ; πῶς ἔδει ἐπιεικῆ ποιῆσαι αὐτόν; ἀνάγκῃ, ἢ γνώμῃ; εἰ μὲν ἀνάγκῃ, οὐδ' οὕτως ἔμελλεν ἔσεσθαι βελτίων· οὐδεὶς γὰρ ἀνάγκῃ γένοιτ' ἂν ἀγαθός· εἰ δὲ γνώμῃ καὶ προαιρέσει, πάντα τὰ δυνάμενα διορθῶσαι προαίρεσιν καὶ γνώμην, εἰσήνεγκεν. Εἰ δὲ μὴ ἐβουλήθη δέξασθαι τὸ φάρμακον, οὐ τοῦ ἰατροῦ τὸ ἔγκλημα, ἀλλὰ τοῦ τὴν θεραπείαν διακρουσαμένου. ὅρα γοῦν ὅσα ἐποίησεν, ὥστε αὐτὸν ἀνακλίσασθαι καὶ διασῶσαι. ἐδίδασκεν αὐτὸν πᾶσαν φιλοσοφίαν διὰ πραγμάτων, διὰ ῥημάτων, ἀνώτερον αὐτὸν τῶν δαιμόνων ἐποίησε, θαύματα ἐργάζεσθαι πολλὰ παρεσκεύασεν, ἐφόβησε τῇ τῆς γεέννης ἀπειλῇ, προετρέψατο τῇ τῆς βασιλείας ἐπαγγελίᾳ· ἤλεγξε διηνεκῶς τὰ ἀπόρρητα αὐτοῦ βουλεύματα· ἐλέγχων δὲ, οὐκ ἐδημοσίευσε, τοὺς πόδας αὐτοῦ μετὰ τῶν ἄλλων ἔνιψεν, ἁλῶν αὐτῷ καὶ τραπέζης ἐκοινώνησεν· οὐδὲν, οὐ μικρὸν, ἢ μέγα ἐνέλιπεν. ὁ δὲ ἑκὼν ἔμεινεν ἀδιόρθωτος.

γρ. ἅπαν

γρ. γνῶ πόσα

Καὶ ἵνα μάθῃς, ὅτι δυνατὸς ὢν μεταβαλέσθαι οὐκ ἠθέλησε, ἀλλὰ τῆς αὐτοῦ ῥαθυμίας τὸ πᾶν ἐγένετο, ἄκουσον. ἐπειδὴ γὰρ παρέδωκεν αὐτὸν, ἔρριψε τὰ τριάκοντα ἀργύρια, καί φησιν, Ἥμαρτον παραδοὺς αἷμα δίκαιον. τί γέγονεν; ὅτε θαυματουργοῦντα εἶδες, οὐκ ἔλεγες, ἥμαρτον παραδοὺς αἷμα ἀθῷον· ἀλλά, τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν· ἐπειδὴ δὲ τὸ κακὸν προεχώρησε, καὶ ἡ προδοσία τέλος ἔσχε, καὶ ἡ ἁμαρτία ἀπήρτιστο, τότε ἐπέγνως τὴν ἁμαρτίαν. τί οὖν ἐντεῦθεν μανθάνομεν; ὅτι ὅταν μὲν ῥαθυμῶμεν, οὐδὲ παραίνεσις ἡμᾶς ὠφελεῖ· ὅταν δὲ σπουδάζωμεν, καὶ αὐτοὶ ἀφ' ἑαυτῶν διαναστῆναι δυνάμεθα. καὶ γὰρ καὶ οὗτος, ὅτε παρῄνει μὲν ὁ διδάσκαλος, οὐκ ἤκουεν· ὅτε δὲ οὐδεὶς ἦν ὁ παραινῶν, τὸ οἰκεῖον συνειδὸς ἐπανέστη, καὶ μηδενὸς ὄντος διδασκάλου μετεβάλετο, καὶ κατέγνω τῶν τετολμημένων, καὶ ἔρριψε τὰ

τριάκοντα

Ματθ. κζ. δ.

χ. σῶσαι

[illegible]

δειξα ὡς ἀδυνάτοις ἐπιχειροῦσιν, ἠβουλήθην αὐτῶν ἀναστεῖλαι τὴν μανίαν. οὐ βούλονται, ἀλλ' ἔτι ἐπιμένουσι τῇ πονηρίᾳ. ἰδοὺ ἐμαυτὸν παραδίδωμι. Ταῦτα λέγω ὑμῖν, ἵνα μὴ κατηγορήσωσί τινες τοῦ Χριστοῦ, λέγοντες, διὰ τί οὐ μετέβαλε τὸν Ἰούδαν; διὰ τί οὐκ ἐποίησεν αὐτὸν βελτίονα; καὶ πῶς ἔδει ποιῆσαι τὸν Ἰούδαν σώφρονα καὶ ἐπιεικῆ; ἀνάγκῃ, ἢ γνώμῃ; εἰ μὲν γὰρ ἀνάγκῃ, οὐδ' οὕτως ἔμελλεν ἔσεσθαι βελτίων· οὐδεὶς γὰρ ἀνάγκῃ γίνεται βελτίων· εἰ δὲ γνώμῃ καὶ προαιρέσει, πάντα εἰσήγαγε τὰ δυνάμενα αὐτὸν ἀναγαγεῖν. Εἰ δὲ μὴ ἠβουλήθη δέξασθαι ἐκεῖνος τὰ φάρμακα, οὐ τοῦ ἰατροῦ τὸ ἔγκλημα, ἀλλὰ τοῦ τὴν θεραπείαν διακρουομένου ἡ κατηγορία. θέλεις μαθεῖν πόσα ἐποίησεν, ὥστε αὐτὸν ἀνακτήσασθαι; ἐδωρήσατο αὐτῷ πολλὰ θαύματα, προεῖπεν αὐτῷ περὶ τῆς προδοσίας, οὐδὲν ἐνέλειπεν ὧν ἐχρῆν εἰς μαθητὴν ἐπιδείξασθαι.

Καὶ ἵνα μάθῃς, ὅτι δυνατὸς ὢν μεταβαλέσθαι οὐκ ἠθέλησεν, ἀλλὰ τῆς αὐτοῦ ῥαθυμίας τὸ πᾶν ἐγένετο, ἐπειδὴ παρέδωκεν αὐτὸν, καὶ τὴν μανίαν αὐτοῦ εἰς τέλος ἤγαγεν, Ἔρριψε τὰ τριάκοντα ἀργύρια, λέγων, ἥμαρτον παραδοὺς αἷμα ἀθῷον. πρὸ τούτου ἔλεγες, τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; ἐπειδὴ ἐτελέσθη ἡ ἁμαρτία, τότε ἔγνω τὴν ἁμαρτίαν. ἐντεῦθεν μανθάνομεν ὅτι, ὅταν ῥαθυμῶμεν, οὔτε παραίνεσις ἡμᾶς ὠφελεῖ, οὔτε νουθεσία· ὅταν δὲ σπουδάζωμεν, καὶ αὐτοὶ ἀφ' ἑαυτῶν δυνάμεθα διαναστῆναι. ἐννόησον γάρ. ὅτε παρῄνει αὐτὸν, καὶ ἀνέστελλεν αὐτὸν τῆς κακῆς ἐπιχειρήσεως, οὐκ ἤκουσεν οὔτε κατεδέξατο τὴν νουθεσίαν· ὅτε δὲ οὐδεὶς ἦν ὁ παραινῶν, τὸ οἰκεῖον συνειδὸς ἐπανέστη, καὶ οὐδενὸς ὄντος τοῦ διδάσκοντος μετεβάλετο, καὶ ἔρριψε τὰ τριάκοντα ἀργύρια. Ἔστησαν γὰρ αὐτῷ, φησί, τριάκοντα ἀργύρια. τιμὴν κατέβαλεν αἵμα-

Ματθ. κζ. δ.

τος τιμὴν οὐκ ἔχοντος. τί λαμβάνεις τριάκοντα ἀργύρια, ὦ Ἰούδα; δωρεὰν ἦλθεν ὑπὲρ τῆς οἰκουμένης ὁ Χριστὸς ἐκχέαι τὸ αἷμα, ὑπὲρ οὗ σύμφωνα νῦν ποιεῖς. τί γὰρ ἂν ἀναιδέστερον γένοιτο τοῦ συναλλάγματος τούτου; τίς εἶδε, τίς ἤκουσέ ποτε; ἀλλ' ἵνα μάθωμεν τὴν διαφορὰν τοῦ προδότου καὶ τῶν μαθητῶν, ἀκούσωμεν. ἅπαντα γὰρ μετὰ ἀκριβείας ἡμῖν διηγεῖται ὁ εὐαγγελιστής. ὅτε ταῦτα, φησὶν, ἐγένετο, ὅτε ἡ προδοσία προεχώρησεν, ὅτε ἀπώλεσεν ἑαυτὸν ὁ Ἰούδας, ὅτε τὰς παρανόμους ἐκείνας συνθήκας ἐποιήσατο, καὶ ἐζήτει, φησὶν, εὐκαιρίαν, ἵνα αὐτὸν παραδῷ· τότε προσῆλθον αὐτῷ οἱ μαθηταὶ λέγοντες, ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα; εἶδες μαθητάς, εἶδες μαθητήν; ἐκεῖνος περὶ τὴν προδοσίαν ἠσχολεῖτο, οὗτοι περὶ τὴν διακονίαν· ἐκεῖνος σύμφωνα ἐποίει, καὶ τοῦ αἵματος τοῦ δεσποτικοῦ τὴν τιμὴν λαμβάνειν ἐπεχείρει, οὗτοι περὶ τὴν ὑπηρεσίαν παρασκευάζονται. τῶν αὐτῶν θαυμάτων ἀπήλαυσαν καὶ οὗτοι κἀκεῖνοι, τῶν αὐτῶν διδαγμάτων. πόθεν οὖν ἡ διαφορά; ἀπὸ τῆς προαιρέσεως. αὕτη αἰτία τῶν κακῶν καὶ τῶν ἀγαθῶν γίνεται. ἡ ἑσπέρα αὕτη ἦν, καθ' ἣν οἱ μαθηταὶ ταῦτα ἔλεγον. τί ἐστι, ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα; διδασκόμεθα ἐντεῦθεν, ὅτι οὐκ εἶχεν οἰκίαν ἀφωρισμένην ὁ Χριστός. ἀκουέτωσαν οἱ τὰς λαμπρὰς οἰκίας οἰκοδομοῦντες καὶ τοὺς μακροὺς περιβόλους, ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλῖναι. διά τοι τοῦτο λέγουσιν αὐτῷ οἱ μαθηταί, Ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα; ποῖον πάσχα; τὸ Ἰουδαϊκὸν, τὸ ἀπ' Αἰγύπτου τὴν ἀρχὴν ἐσχηκός. ἐκεῖ γὰρ τὴν ἀρχὴν ἐπετέλεσαν. καὶ τίνος ἕνεκεν ἐπιτελεῖ αὐτὸ ὁ Χριστός; ὥσπερ πάντα τὰ ἄλλα νόμιμα ἐπλήρωσεν, οὕτω καὶ τοῦτο. διὰ τοῦτο καὶ πρὸς τὸν Ἰωάννην ἔλεγεν· Οὕτω γὰρ πρέπον ἡμῖν ἐστι πληρῶσαι πᾶσαν δικαιοσύνην. οὐ τοίνυν τὸ ἡμέτερον πάσχα, ἀλλὰ τὸ Ἰουδαϊκὸν ἑτοιμάσαι ἐβούλοντο οἱ μαθηταί. τοῦτο μὲν γὰρ αὐτοὶ ἡτοίμασαν, τὸ δὲ ἡμέτερον αὐτὸς παρεσκεύασεν, ἀλλὰ καὶ αὐτὸς πάσχα ἐγένετο διὰ

τῆ

Ματθ. γ. ιε.

τριάκοντα ἀργύρια. τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; καὶ ἔστησαν, φησὶν, αὐτῷ τριάκοντα ἀργύρια. τιμὴν κατέβαλον αἵματος τιμὴν "οὐκ ἔχοντος. τί λαμβάνεις τριάκοντα ἀργύρια, ὦ Ἰούδα; δωρεὰν ἦλθεν ὁ Χριστὸς ἐκχέαι τὸ αἷμα τοῦτο ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ οὗ σύμφωνα σὺ ποιεῖς καὶ συναλλάγματα ἀναιδῆ. τί γὰρ ἀναιδέστερον τοῦ συναλλάγματος τούτου; τότε προσῆλθον οἱ μαθηταί. τότε· πότε; ὅτε ταῦτα ἐγένετο, ὅτε ἡ προδοσία προεχώρησεν, ὅτε "ἑαυτὸν ἀπώλεσεν ὁ Ἰούδας, προσῆλθον αὐτῷ οἱ μαθηταὶ λέγοντες· Ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα; εἶδες μαθητήν, εἶδες μαθητάς; ἐκεῖνος προδίδωσι τὸν δεσπότην, οὗτοι περὶ "τὸ πάσχα μεριμνῶσιν· ἐκεῖνος σύμφωνα ποιεῖ, οὗτοι πρὸς ὑπηρεσίαν παρεσκεύαζον. τῶν αὐτῶν ἀπέλαυσαν κἀκεῖνος καὶ οὗτοι θαυμάτων, τῶν αὐτῶν διδαγμάτων, τῆς αὐτῆς "ἐξουσίας. πόθεν οὖν ἡ μεταβολή; ἀπὸ τῆς προαιρέσεως. αὕτη πάντων αἰτία πανταχοῦ καὶ τῶν ἀγαθῶν καὶ τῶν κακῶν. Ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα; ἡ ἑσπέρα αὕτη ἦν τότε· ἐπεὶ οὖν οἰκίαν οὐκ εἶχεν ὁ δεσπότης, διὰ τοῦτο αὐτῷ λέγουσι· ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα; οὐκ ἔχομεν καταγώγιον ὡρισμένον, οὐκ ἔχομεν σκηνήν, οὐδὲ οἰκίαν. μανθανέτωσαν οἱ τὰς λαμπρὰς οἰκοδομοῦντες οἰκίας, καὶ τὰς "εὐρείας στοάς, καὶ τοὺς μακροὺς περιβόλους· ὅτι οὐκ εἶχεν ὁ Χριστὸς ποῦ τὴν κεφαλὴν κατακλῖναι. διὸ ἐρωτῶσιν "οὗτοι, ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα; ποῖον πάσχα; οὐχὶ τοῦτο τὸ ἡμέτερον, ἀλλὰ τὸ Ἰουδαϊκὸν τέως. ἐκεῖνο μὲν γὰρ οἱ μαθηταὶ παρεσκεύασαν· τοῦτο δὲ τὸ ἡμέτερον αὐτὸς κατεσκεύασεν. οὐ μόνον δὲ αὐτὸς αὐτὸ κατεσκεύαζεν, ἀλλὰ καὶ αὐτὸς πάσχα ἐγένετο. Ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα; ἐκεῖνο Ἰουδαϊκὸν ἦν τὸ πάσχα, ἐκεῖνο ἐν Αἰγύπτῳ τὴν ἀρχὴν ἔλαβε. τίνος οὖν ἕνεκεν πεποίηκεν αὐτὸ ὁ Χριστός; ὅτι πάντα τὰ νομικὰ "ἐπλήρωσε. καὶ γὰρ ὅτε ἐβαπτίζετο, ἔλεγεν· Οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. ἦλθεν ἐκ τῆς τοῦ νόμου κατάρας

ἐξαγοράσαι

γρ. ὃ δικαίως

γρ. αὐτὸν ἀπώλεσεν

Ματθ. κϛ. ιζ.

γρ. διακονίας

γρ. γνησίας

γρ. εὐρυχώρους

Ματθ. η. κ.

γρ. αὐτῷ

γρ. ἐπὶ ὑπ

Ματθ. γ. ιε.

Γαλ. γ. ιγ.

ἐξαγοράσαι″ τῶν ἀνθρώπων. ὁ γὰρ Θεὸς τὸν ἑαυτοῦ υἱὸν ″ἔπεμψε γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, καὶ αὐτὸν ἀναπαύσῃ τὸν νόμον. ἵνα οὖν μή τις λέγῃ, ὅτι διὰ τοῦτο αὐτὸν κατήργησεν, ἐπειδὴ πληρῶσαι αὐτὸν οὐκ ἠδύνατο, ὡς φορτικὸν καὶ″ ἐπαχθῆ καὶ δυσκατόρθωτον ὄντα, πρῶτον αὐτὸν πληρώσας ἅπαντα, τότε κατέλυσε. διὰ τοῦτο καὶ τὸ πάσχα ἐποίησε· νόμου γὰρ ἦν ἐπίταγμα τὸ πάσχα. καὶ τίνος ἕνεκεν ὁ νόμος ἐπέταξε″ πάσχα ἐσθίειν; ἀγνώμονες ἦσαν περὶ τὸν εὐεργέτην οἱ Ἰουδαῖοι, καὶ″ παραυτὰ τὰς εὐεργεσίας ἐπελανθάνοντο τοῦ″ προστάγματος τοῦ Θεοῦ. καὶ γὰρ ὅτε ἐξῆλθον ἐξ Αἰγύπτου, ἰδόντες θάλασσαν σχιζομένην καὶ συνιοῦσαν πάλιν, καὶ ἄλλα μυρία θαύματα, ἔλεγον· Ποιήσωμεν ἑαυτοῖς θεούς, οἳ προπορεύσονται ἡμῶν. τί λέγεις; τὰ θαύματα ἐν χερσὶν ἔτι, καὶ ἐπελάθου τοῦ εὐεργέτου; ἐπεὶ οὖν οὕτως ἦσαν ἀναίσθητοι καὶ ἀγνώμονες, τῇ ὑποθέσει τῆς ἑορτῆς ἐγκατέδησε τῶν δωρεῶν τὰ ὑπομνήματα ὁ Θεός, καὶ διὰ τοῦτο καὶ τὸ πάσχα θύειν ἐκέλευσεν, ἵνα ἐάν σε ἐρωτήσῃ, φησίν, ὁ υἱός σου, τί ἐστι τὸ πάσχα τοῦτο; εἴπῃς, ὅτι τοῦ προβάτου τὸ αἷμα ἐπέχρισαν ταῖς θύραις ποτὲ ἡμῶν οἱ πρόγονοι ἐν Αἰγύπτῳ, ἵνα μὴ ὁ ″ὀλοθρεύων ἐλθὼν καὶ ἰδὼν τολμήσῃ εἰσπηδῆσαι, καὶ ἐπαγάγῃ πληγήν. καὶ ἦν ἡ ἑορτὴ λοιπὸν ὑπόμνησις σωτηρίας διηνεκής. μᾶλλον δὲ οὐ τοῦτο μόνον ἐκέρδαινον, ὅτι τῶν παλαιῶν αὐτοὺς ἀνεμίμνησκεν εὐεργετημάτων, ἀλλὰ καὶ ἕτερον μεῖζον, ὅτι τὰ μέλλοντα προδιετύπου. καὶ γὰρ τύπος ἦν ἐκεῖνος ὁ ἀμνὸς ἑτέρου ἀμνοῦ πνευματικοῦ, καὶ πρόβατον προβάτου· καὶ τὸ μὲν ἦν σκιά, τὸ δὲ ἀλήθεια. ἐπειδὴ δὲ ἐπέφανεν ὁ τῆς δικαιοσύνης ἥλιος, ἡ σκιὰ λοιπὸν ἐπαύσατο. ἡλίου γὰρ ἀνίσχοντος, κρύπτεται ἡ σκιά. διὰ τοῦτο γὰρ ἐν αὐτῇ τῇ τραπέζῃ ἑκάτερον γίνεται πάσχα, καὶ τὸ τοῦ τύπου, καὶ τὸ τῆς ἀληθείας. καθάπερ γὰρ οἱ ζωγράφοι ἐν αὐτῷ τῷ πίνακι καὶ τὰς γραμμὰς περιάγουσι καὶ τὴν σκιὰν γράφουσι, καὶ τότε τὴν ἀλήθειαν τῶν χρωμάτων αὐτῷ ἐπιτιθέασιν· οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν. ἐπ' αὐτῆς τῆς τραπέζης καὶ τὸ τυπικὸν πάσχα ὑπέγραψε, καὶ τὸ ἀληθινὸν προσέθηκε. Ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα; ἦν τὸ Ἰουδαϊκὸν πάσχα τότε.

γρ. τοῖς ἀνθρώποις.
γρ. δυσαχθῆ
γρ. τὸ πάσχα ποιῆσαι;
γρ. παρ' αὐτὰ
γρ. προστάτου
Ἐξοδ. λβ. α.
Ἐξ. ιβ. κζ.
γρ. ὀλοθρευτὴς

τοῦ τιμίου πάθους. τίνος οὖν ἕνεκεν ἐπὶ τὸ πάθος ἔρχεται; ἵνα ἡμᾶς λυτρώσηται ἐκ τῆς κατάρας τοῦ νόμου. διὸ καὶ Παῦλος ἐβόα· Ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ. ἵνα οὖν μή τις λέγῃ, ὅτι διὰ τοῦτο ἔπαυσεν, ἐπειδὴ πληρῶσαι αὐτὸν οὐκ ἠδύνατο, ὡς φορτικὸν καὶ ἐπαχθῆ καὶ δυσκατόρθωτον, διὰ τοῦτο αὐτὸν πληρώσας ἅπαντα, τότε αὐτὸν ἔλυσε. διὰ τοῦτο καὶ πάσχα ἐποίησε· νόμου γὰρ ἐπίταγμα αὐτοῖς ἦν ἡ τοῦ πάσχα ἑορτή. ἄκουσον· ἀγνώμονες ἦσαν περὶ τὸν εὐεργέτην οἱ Ἰουδαῖοι, καὶ παραυτὰ ἐπελανθάνοντο τοῦ εὐεργέτου. καὶ ἵνα μάθῃς ἀκριβῶς, ἐξῆλθον ἐξ Αἰγύπτου, διέβησαν τὴν ἐρυθρὰν θάλασσαν, εἶδον αὐτὴν διαιρεθεῖσαν, καὶ πάλιν συναπτομένην· καὶ μετ' οὐ πολὺ λέγουσι τῷ Ἀαρών, Ποίησον ἡμῖν θεούς, οἳ προπορεύσονται ἡμῶν. τί λέγεις, ὦ ἀγνῶμον Ἰουδαῖε; εἶδες τοιαῦτα θαύματα, καὶ ἐπελάθου Θεοῦ τοῦ τρέφοντός σε, καὶ οὔτε μνήμην ποιεῖς τοῦ εὐεργέτου; ἐπεὶ οὖν ἐπελανθάνοντο τῶν εὐεργεσιῶν αὐτοῦ, τῇ ὑποθέσει τῆς ἑορτῆς ἐγκατέδησε τῶν δωρεῶν τὰ ὑπομνήματα ὁ Θεός, ἵνα καὶ ἑκόντες καὶ ἄκοντες ἔναυλον ἔχωσι τὴν μνήμην. καὶ ἐκεῖνοι μὲν οὕτω. διὰ τί; Ἵν', ὅταν ἐπερωτήσῃ σε ὁ υἱός σου, τί ἐστι τοῦτο, εἴπῃς, ὅτι τούτου τοῦ προβάτου τὸ αἷμα ἐπέχρισαν ταῖς φλιαῖς τῶν θυρῶν, καὶ διέφυγον τὸν θάνατον, ὃν ὁ ὀλοθρεύων ἐπήγαγε τοῖς κατὰ τὴν Αἴγυπτον ἅπασι· καὶ διὰ τὸ αἷμα τοῦτο οὐκ ἴσχυσεν εἰσπηδῆσαι καὶ τὴν πληγὴν ἐπαγαγεῖν. ἐκεῖνοι οὖν ἄκοντες, ὧδε δὲ ἑκὼν θύεται Χριστός. διὰ τί; ἐπειδὴ τύπος ἦν ἐκεῖνο τοῦ πνευματικοῦ. καὶ ἵνα μάθῃς, ὅρα ὅση ἡ συγγένεια. ἀμνός, καὶ ἀμνός. ἀλλ' ὁ μὲν ἄλογος, ὁ δὲ λογικός. πρόβατον καὶ πρόβατον, σκιὰ καὶ ἀλήθεια. ἀλλ' ἐπέφανεν ὁ τῆς δικαιοσύνης ἥλιος, καὶ ἡ σκιὰ πέπαυται. ἡλίου γὰρ ὄντος κρύπτεται ἡ σκιά. διὰ τοῦτο ἀμνὸς καὶ ἐν τῇ τραπέζῃ τῇ μυστικῇ, ἵνα τῷ αἵματι αὐτοῦ ἁγιαζώμεθα.

Δια

Γαλ. δ. δ.
Ἐξ. λβ. α.
Ἐξ. ιβ. κζ.

Διὰ τοῦ ἡλίου ἐλθόντος λύχνος μηκέτι φαινέσθω. τύποι γὰρ ἦσαν τῶν μελλόντων τὰ γεγονότα. Ταῦτα πρὸς Ἰουδαίους λέγω, ἵνα μὴ ἀπατῶντες ἑαυτοὺς, δοκῶσι πάσχα ἐπιτελεῖν, ἐπεὶ γνώμῃ ἀναισχυντοτάτῃ τὰ ἄζυμα προσλαμβάνουσι, καὶ προσβάλλονται ἑορτὴν, οἱ ἀεὶ ἀπερίτμητοι τῇ καρδίᾳ, καὶ τοῖς ὠσὶ βαρέως ἀκούοντες. πῶς, εἰπέ μοι, πάσχα ἐπιτελεῖς, ὦ Ἰουδαῖε; ὁ ναὸς κατέσκαπται, ὁ βωμὸς ἀνήρηται, τὰ ἅγια τῶν ἁγίων πεπάτηται, πᾶσα θυσία καταλέλυται· τίνος οὖν ἕνεκεν τολμᾷς παρανομεῖν; ἀπῆλθές ποτε εἰς Βαβυλῶνα· ἤκουσας τῶν αἰχμαλωτευσάντων ὑμᾶς λεγόντων, Ἄσατε τὴν ᾠδὴν ἡμῖν τοῦ Κυρίου· καὶ οὐκ ἠνέσχου. καὶ διὰ τί ἔξωθεν Ἱεροσολύμων ποιεῖς τὸ πάσχα; σὺ εἶπας, Πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; καὶ ταῦτα δηλῶν ὁ μακάριος Δαβὶδ ἔλεγεν· Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος, ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν, ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν, τουτέστι, τὸ ψαλτήριον, τὴν κιθάραν, τὴν λύραν. τούτοις γὰρ τὸ παλαιὸν ἐκέχρηντο, καὶ διὰ τούτων τοὺς ψαλμοὺς ᾖδον. Ἐκεῖ γὰρ, φησὶν, ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν· καὶ εἴπαμεν, Πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; τί λέγεις, εἰπέ μοι; τὴν ᾠδὴν Κυρίου οὐκ ᾄδεις ἐπὶ γῆς ἀλλοτρίας, καὶ τὸ πάσχα ἐπιτελεῖς ἐπὶ γῆς ἀλλοτρίας; εἶδες ἀναισθησίαν Ἰουδαίων; ὅτε πολέμιοι ἦσαν οἱ καταναγκάζοντες, οὔτε ψαλμὸν εἵλοντο εἰπεῖν ἐπὶ γῆς ἀλλοτρίας· καὶ νῦν ἀφ᾽ ἑαυτῶν, οὐδενὸς ἀναγκάζοντος, πόλεμον εἰσάγουσι πρὸς τὸν Θεόν. διὸ καὶ ὁ μακάριος Στέφανος ἔλεγε πρὸς αὐτούς· Ὑμεῖς ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε. ὁρᾷς ὡς ἀκάθαρτα τὰ ἄζυμα; πῶς παράνομος ἡ ἑορτὴ ἡ Ἰουδαϊκή; ἦν πάσχα Ἰουδαϊκόν ποτε, ἀλλ᾽ ἐλύθη. τότε, φησὶν, ὁ Ἰησοῦς, ἐσθιόντων αὐτῶν καὶ πινόντων, λαβὼν ἄρτον ἐπὶ τῶν ἁγίων καὶ ἀχράντων αὐτοῦ χειρῶν, εὐχαριστήσας καὶ κλάσας εἶπε τοῖς ἑαυτοῦ μαθηταῖς· λάβετε, φάγετε· τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν. καὶ τὸ ποτήριον πάλιν

ἴσ. τοῦτο

χ. αἰχμαλωτισάντων

Ψαλμ. ρλϛ. α.

ἴσ. ἔξω τῶν

Πραξ. ζ. να.

Ματθ. κϛ. κϛ.

Ἀλλὰ τοῦ ἡλίου ἐλθόντος, μηκέτι λύχνος φαινέσθω· τῆς ἀληθείας παραγενομένης, ὑποχωρείτω λοιπὸν ἡ σκιά. Ταῦτα πρὸς Ἰουδαίους λέγω, [ἐπεὶ δοκοῦσι πάσχα ποιεῖν], ἐπεὶ γνώμῃ ἀναισχυντοτάτῃ τὰ ἄζυμα προσβάλλουσιν οἱ ἀπερίτμητοι ταῖς καρδίαις. πῶς, εἰπέ μοι, τὸ πάσχα ἐπιτελεῖς, ὦ Ἰουδαῖε; ὁ ναὸς κατέσκαπται, ὁ βωμὸς ἀνήρηται, τὰ ἅγια τῶν ἁγίων πεπάτηται, πάσης θυσίας εἶδος λέλυται. τίνος οὖν ἕνεκεν ταῦτα τολμᾷς τὰ παράνομα πράττειν πράγματα; ἀπῆλθες εἰς Βαβυλῶνά ποτε, κἀκεῖ ἔλεγον οἱ αἰχμαλωτεύσαντές σε, Ἄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών· καὶ οὐκ ἠνέσχου. καὶ ταῦτα δεικνὺς ὁ Δαβὶδ, ἔλεγεν· Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος, ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν· ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν· τουτέστι, ψαλτήριον, κιθάραν, λύραν, καὶ τὰ λοιπά. τούτοις γὰρ ἐκέχρηντο τὸ παλαιὸν, καὶ διὰ τούτων τοὺς ψαλμοὺς ᾖδον. καὶ ταῦτα ἀπελθόντες εἰς τὴν αἰχμαλωσίαν, ἔλαβον, ἵν᾽ ἔχωσι τὴν ὑπόμνησιν τῆς πολιτείας τῆς ἐν τῇ πατρίδι, οὐχ ἵνα χρήσωνται. Ἐκεῖ γὰρ, φησὶν, ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν· καὶ εἴπομεν, Πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; τί λέγεις; τὴν ᾠδὴν Κυρίου οὐκ ᾄδεις ἐπὶ γῆς ἀλλοτρίας, καὶ τὸ πάσχα Κυρίου ἐπιτελεῖς ἐπὶ γῆς ἀλλοτρίας; εἶδες τὴν ἀγνωμοσύνην, εἶδες τὴν παρανομίαν; ὅτε πολέμιοι ἦσαν οἱ καταναγκάζοντες, οὐδὲ ψαλμὸν εἰπεῖν ἐτόλμων ἐπὶ γῆς ἀλλοτρίας. νῦν δὲ ἀφ᾽ ἑαυτῶν, μηδενὸς ἀναγκάζοντος, μηδὲ βιαζομένου, πόλεμον εἰσάγουσι πρὸς τὸν Θεόν. ὁρᾷς πῶς ἀκάθαρτα τὰ ἄζυμα; πῶς παράνομος ἡ ἑορτή; πῶς πάσχα οὐκ ἔστιν Ἰουδαϊκόν; ἦν πάσχα Ἰουδαϊκόν ποτε, ἀλλ᾽ ἐλύθη νῦν, καὶ ἐπῆλθε τὸ πνευματικὸν πάσχα, ὃ παρεδίδου τότε ὁ Χριστός. Ἐσθιόντων γὰρ αὐτῶν καὶ πινόντων, φησὶ, λαβὼν ἄρτον, ἔκλασε καὶ εἶπε· τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν. ἴσασιν οἱ μεμυημένοι τὰ λεγόμενα. καὶ πάλιν τὸ ποτήριον, λέγων· τοῦτό ἐστι τὸ

Ψαλμ. ρλϛ. α.

χ. τῶν ποταμῶν

χ. ὑπομνήματα

Ματθ. κϛ. κϛ.

τὸ αἷμά μου, τὸ ὑπὲρ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. καὶ παρῆν ὁ Ἰούδας, τοῦ Χριστοῦ ταῦτα λέγοντος. τοῦτό ἐστι τὸ σῶμα, ὃ ἐπώλησας, Ἰούδα, τριάκοντα ἀργυρίων· τοῦτό ἐστι τὸ αἷμα, ὑπὲρ οὗ πρὸ μικροῦ τὰ ἀναιδῆ σύμφωνα ἐποίου πρὸς τοὺς ἀγνώμονας Φαρισαίους. ὢ τῆς τοῦ Χριστοῦ φιλανθρωπίας, ὢ τῆς τοῦ Ἰούδα παραπληξίας, ὢ τῆς μανίας. ὁ μὲν γὰρ ἐπώλησεν αὐτὸν τριάκοντα δηναρίων· ὁ Χριστὸς δὲ καὶ μετὰ τοῦτο οὐ παρῃτήσατο αὐτὸ τὸ αἷμα πραθὲν δοῦναι εἰς ἄφεσιν ἁμαρτιῶν τῷ πεπρακότι, εἴγε ἠθέλησε. καὶ γὰρ παρῆν Ἰούδας, καὶ μετεῖχε τῆς ἱερᾶς τραπέζης. ὥσπερ γὰρ τοὺς πόδας αὐτοῦ μετὰ τῶν ἄλλων ἔνιψε μαθητῶν, οὕτω καὶ τῆς ἱερᾶς μετέσχε τραπέζης, ἵνα μηδεμίαν ἀπολογίας ἔχῃ πρόφασιν, ἐὰν ἐπιμείνῃ τῇ πονηρίᾳ. πάντα γὰρ τὰ παρ' ἑαυτοῦ ἐπεδείξατο, καὶ εἰσήνεγκεν· ὁ δὲ ἔμεινε τὴν πονηρὰν διατηρῶν γνώμην.

γ. αἷμα, ὅπερ
γ. δηναρίων
γ. μετέδωκε θυσίας

Ἀλλὰ καιρὸς λοιπὸν τῇ φρικτῇ ταύτῃ προσελθεῖν τραπέζῃ. πάντες τοίνυν προσέλθωμεν μετὰ τῆς προσηκούσης σωφροσύνης καὶ νήψεως· καὶ μηδεὶς ἔστω Ἰούδας ἔτι, μηδεὶς ἔστω πονηρός, μηδεὶς ἔχων ἰόν· μὴ ἄλλα μὲν ἐπὶ τοῦ στόματος φέρων, ἄλλα δὲ ἐπὶ τῆς διανοίας. πάρεστιν ὁ Χριστός, καὶ νῦν ἐκεῖνος ὁ τὴν τράπεζαν διακοσμήσας ἐκείνην, οὗτος καὶ ταύτην διακοσμεῖ νῦν. οὐδὲ γὰρ ἄνθρωπός ἐστιν ὁ ποιῶν τὰ προκείμενα γενέσθαι σῶμα καὶ αἷμα Χριστοῦ· ἀλλ' αὐτὸς ὁ σταυρωθεὶς ὑπὲρ ἡμῶν Χριστός. σχῆμα πληρῶν ἕστηκεν ὁ ἱερεύς, τὰ ῥήματα φθεγγόμενος ἐκεῖνα· ἡ δὲ δύναμις, καὶ ἡ χάρις τοῦ Θεοῦ ἐστι. τοῦτό μού ἐστι τὸ σῶμα, φησί. τοῦτο τὸ ῥῆμα μεταρρυθμίζει τὰ προκείμενα. καὶ καθάπερ ἡ φωνὴ ἐκείνη ἡ λέγουσα· Αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, ἐρρέθη μὲν ἅπαξ, διὰ παντὸς δὲ τοῦ χρόνου γίνεται ἔργῳ ἐνδυναμοῦσα τὴν φύσιν τὴν ἡμετέραν πρὸς παιδοποιΐαν·

γ. ὁ σταυρωθεὶς
γ. πάρεστι
Γεν. α. κη.

λαβών, ἐδίδου αὐτοῖς λέγων· τοῦτό ἐστι τὸ αἷμά μου τὸ ὑπὲρ ὑμῶν ἐκχεόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. καὶ παρῆν καὶ Ἰούδας τοῦτο λέγοντος τοῦ Κυρίου. τοῦτό ἐστι τὸ αἷμα, ὦ Ἰούδα, ὅπερ ἐπώλησας τριάκοντα ἀργυρίων· τοῦτό ἐστι τὸ αἷμα, ὑπὲρ οὗ πρὸ μικροῦ τὰ ἀναιδῆ σύμφωνα ἐποίου πρὸς τοὺς ἀγνώμονας Φαρισαίους. ὢ πόση ἡ τοῦ Χριστοῦ φιλανθρωπία· ὢ τῆς τοῦ Ἰούδα ἀγνωμοσύνης. ὁ δεσπότης ἔτρεφε, καὶ ὁ δοῦλος ἐπίπρασκεν. ὁ μὲν γὰρ ἐπώλησεν αὐτὸν λαβὼν τριάκοντα ἀργύρια· ὁ δὲ Χριστὸς λυτρῶν ὑπὲρ ἡμῶν τὸ ἴδιον αἷμα ἐξέχεε, καὶ τῷ πεπρακότι δέδωκεν, εἴπερ ἠθέλησε. καὶ γὰρ παρῆν καὶ Ἰούδας πρὸ τῆς προδοσίας, καὶ τῆς ἱερᾶς τραπέζης μετέσχε, καὶ τοῦ μυστικοῦ δείπνου ἀπήλαυσεν. ὥσπερ γὰρ τοὺς πόδας τῶν μαθητῶν ἔνιψεν, οὕτω καὶ τῆς ἱερᾶς τραπέζης μετέσχεν Ἰούδας· ἵνα μηδεμίαν ἔχῃ ἀπολογίαν, ἀλλὰ κρίμα λήψηται. ἐπέμενε γὰρ τῇ πονηρᾷ γνώμῃ, καὶ ἐξελθὼν ἀντὶ φιλήματος προδοσίαν εἰργάσατο, μὴ μνησθεὶς τῶν εὐεργεσιῶν αὐτοῦ, καὶ μετὰ τὴν προδοσίαν ἔρριψε τὰ τριάκοντα ἀργύρια, λέγων· Ἥμαρτον παραδοὺς αἷμα ἀθῷον. ὢ τύφλωσις· τοῦ δείπνου μετέσχες, καὶ τὸν εὐεργέτην προέδωκας; καὶ ὁ μὲν Κύριος ἑκὼν τὸ γεγραμμένον ἐπλήρου· Οὐαὶ δὲ δι' οὗ τὸ σκάνδαλον ἦλθεν. Ἀλλὰ καιρὸς λοιπὸν τῇ φρικτῇ ταύτῃ καὶ φοβερᾷ τραπέζῃ προσιέναι. πάντες τοίνυν μετὰ καθαροῦ συνειδότος προσέλθωμεν· μηδεὶς ἔστω Ἰούδας ἐνταῦθα δολιευόμενος τὸν πλησίον αὐτοῦ, μηδεὶς πονηρός, μηδεὶς ἰὸν ἔχων ἐγκεκρυμμένον ἐν τῇ καρδίᾳ αὐτοῦ. πάρεστι καὶ νῦν ὁ Χριστὸς τὴν τράπεζαν κοσμῶν. οὐ γὰρ ἄνθρωπός ἐστιν ὁ ποιῶν τὰ προκείμενα γενέσθαι σῶμα καὶ αἷμα τοῦ Χριστοῦ. σχῆμα πληρῶν μόνον ἕστηκεν ὁ ἱερεύς, καὶ δέησιν προσφέρει· ἡ δὲ χάρις καὶ ἡ δύναμίς ἐστιν ἡ τοῦ Θεοῦ ἡ πάντα ἐργαζομένη. τοῦτό μού ἐστι τὸ σῶμα, φησί. τοῦτο τὸ ῥῆμα τὰ προκείμενα μεταρρυθμίζει. καὶ καθάπερ ἐκείνη ἡ φωνή, ἡ λέγουσα, Αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, ῥῆμα ἦν, καὶ ἐγένετο ἔργον, ἐνδυναμοῦσα τὴν ἀνθρωπίνην φύσιν πρὸς παιδοποιΐαν· οὕτω καὶ αὕτη ἡ φωνή, ἡ λέγουσα, διὰ παντὸς αὔξει τῇ χάριτι τοὺς ἀξίως μετέχοντας. μηδεὶς τοίνυν ὕπουλος ἔστω, μηδεὶς πονηρός, μηδεὶς ἅρπαξ, μηδεὶς

Ματθ. ιη. ζ.
Γεν. α. κη.
γ. ἡ λεγομένη

μηδεὶς λοίδορος, μηδεὶς μισάδελφος, μηδεὶς φιλάργυρος, μηδεὶς μέθυσος, μηδεὶς πλεονέκτης, μηδεὶς ἀρσενοκοίτης, μηδεὶς φθονερός, μηδεὶς πορνείᾳ δουλευέτω, μηδεὶς κλέπτης, μηδεὶς ἐπίβουλος, ἵνα μὴ κρίμα ἑαυτῷ λήψηται. καὶ γὰρ τότε ὁ Ἰούδας ἀναξίως μετέσχε τοῦ μυστικοῦ δείπνου, καὶ ἐξελθὼν προέδωκε τὸν Κύριον· ἵνα μάθῃς, ὅτι τοῖς ἀναξίως μετέχουσι τῶν μυστηρίων, τούτοις μάλιστα συνεχῶς ἐπιπηδᾷ ὁ διάβολος, καὶ εἰς μείζω τιμωρίαν ἑαυτοὺς ἐμβάλλουσι. ταῦτα λέγω οὐχ ἵνα φοβήσω μόνον, ἀλλ' ἵνα καὶ ἀσφαλεστέρους ποιήσω. καθάπερ γὰρ σωματικὴ τροφὴ, ὅταν εἰς γαστέρα χυμοὺς ἔχουσαν πονηροὺς ἐμπέσῃ, πλεῖον ἐπιτείνει τὴν νόσον· οὕτω καὶ ἡ πνευματικὴ τροφὴ ὅταν ἀναξίως μετέχηται, πλέον κρίμα ἑαυτῷ σωρεύει. μηδεὶς τοίνυν πονηροὺς ἔνδον ἐχέτω λογισμοὺς, παρακαλῶ, ἀλλ' ἐκκαθάρωμεν ἡμῶν τὴν καρδίαν. καὶ γὰρ ναοὶ Θεοῦ ἐσμεν, ἐὰν καθαρεύωμεν. ἁγνὴν ἡμῶν ποιήσωμεν τὴν ψυχήν· καὶ γὰρ δυνατόν ἐστι τοῦτο ποιῆσαι ἐν μιᾷ ἡμέρᾳ. πῶς καὶ τίνι τρόπῳ; ἐὰν ἔχῃς τι κατὰ τοῦ ἐχθροῦ, ἔξελε τὴν ὀργὴν, λῦσον τὴν ἔχθραν, ἵνα λάβῃς θεραπείαν ἀφέσεως ἀπὸ τῆς τραπέζης. θυσίᾳ προσέρχῃ φρικτῇ καὶ ἁγίᾳ· ἐσφαγμένος πρόκειται ὁ Χριστός. ἐννόησον τίνος ἕνεκεν ἐσφάγη. ὢ ποίων μυστηρίων ἐστερήθης, Ἰούδα; Χριστὸς ἑκὼν ἔπαθεν, ἵνα λύσῃ τὸ μεσότοιχον τοῦ φραγμοῦ, καὶ ἑνώσῃ τὰ κάτω τοῖς ἄνω, ἵνα ἀγγέλων ποιήσῃ κοινωνὸν ἐχθρὸν ὄντα σε καὶ πολέμιον. καὶ ὁ μὲν Χριστὸς τὴν ψυχὴν αὐτοῦ ἐξέδωκεν ὑπὲρ σοῦ· σὺ δὲ τῷ συνδούλῳ μένεις ἐχθραίνων; καὶ πῶς δυνήσῃ βαδίζειν ἐπὶ τὴν τῆς εἰρήνης τράπεζαν; ὁ δεσπότης σου οὐ παρῃτήσατο πάντα ὑπομεῖναι διὰ σὲ, σὺ δὲ οὐδὲ ὀργὴν ἀφιέναι ἀνέχῃ; τίνος ἕνεκεν, εἰπέ μοι; ἡ ἀγάπη ῥίζα καὶ πηγὴ καὶ μήτηρ ἐστὶ πάντων τῶν ἀγαθῶν. ἐπηρέασέ μοι, φησὶ, τὰ μέγιστα, μυρία ἠδίκησέ ″μοι, τὸν περὶ τοῦ ζῆν ἐπεκρέμασέ μοι κίνδυνον. καὶ τί τοῦτο; ἀλλ' οὐδέπω σε ἐσταύρωσε, καθάπερ τὸν Κύριον οἱ Ἰουδαῖοι. ἐὰν μὴ ἀφῇς τῷ πλησίον σου τὸ ἀδίκημα, οὐδὲ ὁ πατήρ

ἴσ. με,

ποιεῖν· οὕτω καὶ ἡ φωνὴ αὕτη ἅπαξ λεχθεῖσα καθ' ἑκάστην τράπεζαν ἐν ταῖς ἐκκλησίαις, ἐξ ἐκείνου μέχρι σήμερον, καὶ μέχρι τῆς αὐτοῦ παρουσίας, τὴν θυσίαν ἀπηρτισμένην ἐργάζεται. μηδεὶς τοίνυν ὕπουλος ἔστω, μηδεὶς πονηρίας γέμων, μηδεὶς ἰὸν ἔχων ἐν τῇ διανοίᾳ, ἵνα μὴ εἰς κατάκριμα μεταλαμβάνῃ. καὶ γὰρ τότε, μετὰ τὸ λαβεῖν τὴν προσφορὰν, ἐπεπήδησε τῷ Ἰούδᾳ ὁ διάβολος, οὐ τοῦ σώματος καταφρονήσας τοῦ δεσποτικοῦ, ἀλλὰ διὰ τὴν ἀναισχυντίαν καταφρονῶν τοῦ Ἰούδα· ἵνα μάθῃς, ὅτι τοῖς ἀναξίως μετέχουσι τῶν θείων μυστηρίων, τούτοις μάλιστα ἐπιπηδᾷ καὶ ἐπιβαίνει συνεχῶς ὁ διάβολος, ὥσπερ καὶ τῷ Ἰούδᾳ τότε. αἱ γὰρ τιμαὶ τοὺς μὲν ἀξίους ὠφελοῦσι, τοὺς δὲ παρὰ τὴν ἀξίαν ἀπολαύοντας, εἰς μείζονα τιμωρίαν ἐμβάλλουσι. καὶ ταῦτα, οὐχ ἵνα φοβήσω, λέγω, ἀλλ' ἵνα ἀσφαλίσωμαι. μηδεὶς τοίνυν ἔστω Ἰούδας, μηδεὶς εἰσιὼν ἰὸν ἐχέτω πονηρίας. τροφὴ γάρ ἐστι πνευματικὴ ἡ θυσία. καὶ καθάπερ ἡ σωματικὴ τροφὴ, ὅταν εἰς γαστέρα χυμοὺς ἔχουσαν πονηροὺς ἐμπέσῃ, πλέον ἐπιτείνει τὴν ἀρρωστίαν, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἀσθένειαν τῆς γαστρός· οὕτω δὴ καὶ ἐπὶ τῶν μυστηρίων τῶν πνευματικῶν συμβαίνειν εἴωθε. καὶ γὰρ καὶ αὐτὰ, ἐπειδὰν εἰς ψυχὴν ἐμπέσῃ πονηρίας γέμουσαν, μᾶλλον αὐτὴν διαφθείρει καὶ ἀπόλλυσιν, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἀσθένειαν τῆς δεξαμένης ψυχῆς. μηδεὶς τοίνυν ἐχέτω [ἔνδον] πονηροὺς λογισμοὺς, ἀλλὰ καθάρωμεν τὴν ″διάνοιαν· καὶ γὰρ καθαρᾷ προσερχόμεθα θυσίᾳ. ἁγίαν ποιήσωμεν τὴν ψυχήν· δυνατὸν γὰρ καὶ ἐν μιᾷ ἡμέρᾳ τοῦτο γενέσθαι. πῶς καὶ τίνι τρόπῳ; ἐὰν ἔχῃς τι κατὰ τοῦ ἐχθροῦ, ἔξελε τὴν ὀργὴν, θεράπευσον τὴν πληγὴν, λῦσον τὴν ἔχθραν, ἵνα λάβῃς θεραπείαν ἀπὸ τῆς τραπέζης. θυσίᾳ γὰρ προσέρχῃ φρικτῇ καὶ ἁγίᾳ. αἰδέσθητι τὴν ὑπόθεσιν αὐτῆς τῆς προσφορᾶς. ἐσφαγμένος πρόκειται ὁ Χριστός. καὶ τίνος ἕνεκεν ἐσφάγη, καὶ διὰ τί; ἵνα εἰρηνοποιήσῃ τὰ ἐν τῷ οὐρανῷ καὶ τὰ ἐπὶ τῆς γῆς· ἵνα τῶν ἀγγέλων φίλον σε ποιήσῃ, ἵνα σε τῷ Θεῷ τῶν ὅλων καταλλάξῃ. ἐχθρὸν ὄντα σε καὶ πολέμιον

ἢ. καρδίαν

πολέμιον, ἵνα ποιήσῃ φίλον, ἐκεῖνος τὴν ψυχὴν
γ. ἐπιδ. αὐτοῦ ἔδωκεν ὑπὲρ τῶν μισούντων. σὺ δὲ
γ. τῷ συνδούλῳ τὸν σύνδουλον ἀθρόως ἐχθραίνων, καὶ πῶς δύνῃ
βαδίσαι ἐπὶ τὴν τῆς εἰρήνης τράπεζαν; κακεῖνος
μὲν οὐδὲ ἀποθανεῖν ὑπὲρ σοῦ παρῃτήσατο·
γ. ἀφιέναι σὺ δὲ ὀργὴν ἀφεῖναι τῷ συνδούλῳ σου διὰ
ἄξια; ἐπηρέασε, φησί, καὶ τὰ μέγιστα ἐπλεονέκτησε
οὐδέπω γὰρ ἐσταύρωσε, καθάπερ τὸν Χριστὸν ὁ Ἰούδας.
Ἀλλ' ὅμως καὶ αὐτὸ τὸ αἷμα, ὅπερ ἐξέχεεν,
εἰς σωτηρίαν αὐτοῖς τοῖς ἐκχέασιν ἔδωκε.
γ. εἰπὲ μοι; τί τούτου ἴσον ἔχεις εἰπεῖν; ἐὰν μὴ ἀφῇς τῷ
ἐχθρῷ, οὐκ ἐκεῖνον ἠδίκησας, ἀλλὰ σαυτόν. ἐκεῖνον
μὲν γὰρ πολλάκις εἰς τὸν παρόντα βίον
γ. παρ' ἑξ. ἔβλαψας· σαυτὸν δὲ ἀσύγγνωστον ἐποίησας
πρὸς τὴν ἀπολογίαν εἰς τὴν μέλλουσαν
ἡμέραν. οὐδὲν γὰρ οὕτω μισεῖ ὁ Θεός, ὡς μνησίκακον
ἄνθρωπον, ὡς οἰδαίνουσαν καρδίαν καὶ
φλεγμαίνουσαν ψυχήν. ἄκουσον γοῦν τί φησιν·
Ματθ. ε. κγ. Ὅταν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον,
κἀκεῖ μνησθῇς ἄνω παρεστὼς ἐπὶ τῷ
θυσιαστηρίῳ, ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ·
ἄφες τὸ δῶρόν σου ἐπὶ τοῦ θυσιαστηρίου, καὶ ἀπελθὼν
διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε
πρόσφερε τὸ δῶρόν σου. τί λέγεις, ἀφήσω; ναί,
φησι· διὰ γὰρ τὴν εἰρήνην τὴν εἰς τὸν ἀδελφόν
[σου] καὶ αὕτη ἡ θυσία γέγονεν. εἰ τοίνυν
γ. πρὸς διὰ τὴν εἰρήνην τὴν εἰς τὸν ἀδελφὸν γέγονεν
ἡ θυσία, σὺ δὲ οὐ κατορθοῖς τὴν εἰρήνην,
εἰκῆ μετέχεις τῆς θυσίας. ἀνόνητον γάρ σοι τὸ
κατόρθωμα γέγονε. ποίησον τοίνυν ἐκεῖνο
πρότερον, δι' ὅπερ ἡ θυσία προσενήνεκται, καὶ
τότε αὐτῆς ἀπολαύσεις καλῶς. διὰ τοῦτο κατῆλθεν
ὁ υἱὸς τοῦ Θεοῦ, ἵνα καταλλάξῃ ἡμῶν
τὴν φύσιν τῷ δεσπότῃ·

τὴρ σου ὁ οὐράνιος ἀφήσει σοι τὰ ἁμαρτήματά
σου. ποίῳ δὲ συνειδότι ἐρεῖς, Πάτερ ἡμῶν ὁ ἐν
τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, καὶ
τὰ ἑξῆς;

σαυτὸν οὐκ ἀνέχῃ; καὶ ποίας ταῦτα συγγνώμης
καὶ τί τοῦτο; εἰς χρήματα πάντως ἡ ζημία;

Ὁμοίως ὁ Χριστὸς καὶ τὸ αἷμα, ὃ ἐξέχεαν
ἐκεῖνοι, εἰς σωτηρίαν τῶν ἐκχεόντων δέδωκε.
τί τούτου ἴσον ἔχεις ποιῆσαι; ἐὰν μὴ ἀφῇς τῷ
ἐχθρῷ, οὐκ ἐκεῖνον ἠδίκησας, ἀλλὰ σαυτόν.
ἐκεῖνον μὲν γὰρ πολλάκις εἰς τὸν παρόντα βίον
ἔβλαψας· σαυτὸν δὲ ἀσύγγνωστον ἐποίησας τὴν
τιμωρίαν εἰς τὴν μέλλουσαν ἡμέραν. οὐδένα γ. οὐδὲν γ. ὅ.
γὰρ οὕτω μισεῖ καὶ ἀποστρέφεται ὁ Θεός, ὡς μ. κ. ἀ. ὁ. θ.
μνησίκακον ἄνθρωπον, ὡς οἰδαίνουσαν καρδίαν ὡς τὸ τῆς μνησικακίας πάθος.
καὶ φλεγμαίνουσαν ψυχήν. ἄκουσον ἄκουσον γοῦν
γοῦν τί φησιν ὁ Κύριος· Ἐὰν προσφέρῃς τὸ Ματθ. ε. κγ.
δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς,
ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες ἐκεῖ
τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ἄπελθε
πρῶτον καὶ διαλλάγηθι τῷ ἀδελφῷ
σου· καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου. τί
λέγεις; ἀφήσω ἐκεῖ τὸ δῶρον, ἤγουν τὴν θυσίαν;
ναί, φησι. διὰ γὰρ τὴν εἰρήνην τὴν
πρὸς τὸν ἀδελφόν σου καὶ αὕτη ἡ θυσία ἐγένετο.
εἰ τοίνυν διὰ τὴν εἰρήνην τὴν εἰς τὸν πλησίον
ἡ θυσία ἐστί, σὺ δὲ οὐ κατορθοῖς τὴν εἰρήνην,
εἰ καὶ μετέχεις τῆς θυσίας, ἀνωφελής σοι
ἡ μετάληψις γέγονεν ἄνευ τοῦ κατορθώματος
τῆς εἰρήνης. ποίησον τοίνυν ἐκεῖνο πρῶτον,
λέγω δὲ τὴν εἰρήνην, δι' ὅπερ καὶ ἡ θυσία
προσενήνεκται, καὶ τότε αὐτῆς ἀπολαύσεις καλῶς.
Διὰ γὰρ τοῦτο ἦλθεν εἰς τὸν κόσμον

γ. διαπίτη ὁ υἱὸς τοῦ Θεοῦ, ἵνα καταλλάξῃ ἡμῶν τὴν φύσιν τῷ πατρί, ὥς που καὶ Παῦλός φησι· Νυνὶ Ἐφ. β. ις.
δὲ ἀποκατήλλαξεν ἑαυτῷ τὰ πάντα, διὰ τοῦ σταυροῦ ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ.

γ. οὐχὶ Διὰ τοῦτο οὐκ αὐτὸς μόνον ἦλθεν, ἀλλ'
ἵνα καὶ ἡμᾶς τοὺς τὰ τοιαῦτα ποιοῦντας ποιήσῃ
τῆς ἑαυτοῦ προσηγορίας κοινωνούς. Μακάριοι
γάρ, φησιν, οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ
Ματθ. ε. θ. Θεοῦ κληθήσονται. ὅπερ γὰρ ἐποίησεν ὁ μονογενὴς
υἱὸς τοῦ Θεοῦ, τοῦτο καὶ σὺ ποίησον κατὰ δύναμιν

Διὰ τοῦτο οὐχὶ αὐτὸς μόνον ἦλθε ποιῶν εἰρήνην,
ἀλλὰ καὶ ἡμᾶς μακαρίζει τοὺς τὰ τοιαῦτα
ποιοῦντας, καὶ ποιεῖ τῆς αὐτοῦ προσηγορίας Ματθ. ε. θ.
κοινωνούς. Μακάριοι γὰρ οἱ εἰρηνοποιοί,
ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται. ὅπερ οὖν ἐποίησεν
ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, τοῦτο καὶ σὺ
ποίησον κατὰ δύναμιν ἀνθρωπίνην, εἰρήνης
γινόμενος

γενόμενος πρόξενος καὶ σαυτῷ, καὶ τῷ πλησίον σου. διὰ τοῦτο καὶ υἱὸν Θεοῦ καλεῖ τὸν εἰρηνοποιόν· διὰ τοῦτο ἐν τῷ καιρῷ τῆς θυσίας, οὐδεμιᾶς ἑτέρας ἐμνημόνευσε δικαιοσύνης, ἀλλ᾽ ἢ τῆς πρὸς τὸν ἀδελφὸν καταλλαγῆς, δεικνὺς, ὅτι πασῶν ἀρετῶν μείζων ἡ ἀγάπη ἐστίν. ἐβουλόμην μὲν οὖν, ἀγαπητοὶ, ἐπὶ πλεῖστον παρατεῖναι τὸν λόγον· ἀλλ᾽ ἀρκεῖ καὶ τὰ εἰρημένα τοῖς μετὰ προσοχῆς καὶ συνέσεως δεχομένοις τὸν σπόρον τῆς εὐσεβείας, καὶ προσέχειν ἐθέλουσι τοῖς λεγομένοις. μνημονεύωμεν τοίνυν, παρακαλῶ, διαπαντὸς τούτων τῶν ῥημάτων*, καὶ τοῦ φρικωδεστάτου ἀσπασμοῦ τοῦ πρὸς ἀλλήλους. οὗτος γὰρ ὁ ἀσπασμὸς συμπλέκει τὰς διανοίας ἡμῶν, καὶ ποιεῖ γενέσθαι σῶμα ἓν ἅπαντας, καὶ μέλη Χριστοῦ· ἐπειδὴ καὶ ἑνὸς σώματος μετέχομεν ἅπαντες. γενώμεθα οὖν καὶ ἀληθῶς σῶμα ἓν, οὐ τὰ σώματα ἀλλήλοις ἀναφύροντες, ἀλλὰ τὰς ψυχὰς ἀλλήλαις τῷ τῆς ἀγάπης συνδέσμῳ συνάπτοντες. οὕτω γὰρ ποιοῦντες, δυνησόμεθα μετὰ παρρησίας ἀπολαῦσαι τῆς προκειμένης τραπέζης [καὶ τῆς ὑπὸ τοῦ Χριστοῦ πρὸς τῷ τέλει βραβευθείσης εἰρήνης δίχα γενέσθαι.] κἂν γὰρ

* ἢ τῶν ἁγίων φιλημάτων,

μὲν ἂν θεραπίνην, εἰρήνης γενόμενος πρόξενος καὶ σεαυτῷ καὶ τοῖς ἄλλοις. διὰ τοῦτό σε καὶ υἱὸν Θεοῦ καλεῖ τὸν εἰρηνοποιόν· διὰ τοῦτο καὶ ἐν τῷ καιρῷ τῆς θυσίας οὐδεμιᾶς ἄλλης ἐμνημόνευσεν ″ἐντολῆς, ἀλλ᾽ ἢ τῆς πρὸς τὸν ἀδελφὸν καταλλαγῆς, δεικνὺς, ὅτι πάντων μεῖζον ἐστὶ τοῦτο. ἐβουλόμην μὲν παρεκτεῖναι τὸν λόγον· ἀλλ᾽ ἀρκεῖ καὶ τὰ εἰρημένα τοῖς προσέχουσιν, ἐὰν μνημονεύωσι. μνημονεύωμεν οὖν διαπαντὸς τούτων τῶν ῥημάτων, ἀγαπητοὶ, καὶ τῶν ἁγίων φιλημάτων, καὶ τοῦ φρικωδεστάτου ἀσπασμοῦ τοῦ πρὸς ἀλλήλους. τοῦτο γὰρ συμπλέκει τὰς διανοίας ἡμῶν, καὶ ποιεῖ σῶμα γενέσθαι ἓν ἅπαντας, ἐπειδὴ καὶ ἑνὸς σώματος μετέχομεν [οἱ] πάντες. κεράσωμεν οὖν ἑαυτοὺς εἰς σῶμα ἕν· οὐ τὰ σώματα ἀλλήλοις ἀναφύροντες, ἀλλὰ τὰς ψυχὰς ἀλλήλαις τῷ τῆς ἀγάπης συνδέσμῳ συνάπτοντες· οὕτω δυνησόμεθα μετὰ παρρησίας ἀπολαῦσαι τῆς προκειμένης τραπέζης. κἂν γὰρ μυρία ἔχωμεν δικαιώματα, μνησίκακοι δὲ ὦμεν, πάντα εἰκῆ, καὶ μάτην, καὶ οὐδὲν ἐξ αὐτῶν εἰς σωτηρίας λόγον καρπώσασθαι δυνησόμεθα.

″δικαιοσύνης

μυρία ἔχωμεν κατορθώματα, μνησίκακοι δὲ ὦμεν, πάντα εἰκῆ καὶ μάτην εἰργασάμεθα,

Ἰωάννου ιδ΄ κζ΄.

ἴσ. Ζαχαρίας

Ζαχ. η΄ ιϛ΄.

[καὶ οὐδὲν ἐκ τούτων εἰς σωτηρίας λόγον καρπώσασθαι δυνησόμεθα. μέλλων γὰρ ὁ σωτὴρ ἀνελθεῖν πρὸς τὸν πατέρα, ἀντὶ δόξης προσκαίρου καὶ πλούτου μεγάλου ταύτην τοῖς μαθηταῖς κληρονομίαν ἀφίησιν, εἰπών· Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν. ποῖος γὰρ πλοῦτος, ἢ πόση χρημάτων περιουσία γένοιτ᾽ ἂν τιμιωτέρα τῆς εἰρήνης τοῦ Χριστοῦ, τῆς πάντα λόγον καὶ νοῦν ὑπερεχούσης; τοῦτο οὖν καὶ ὁ προφήτης ″Μαλαχίας εἰδὼς χαλεπὸν εἶναι καὶ ὑπέρογκον τὸ παράπτωμα, ἔλεγεν ὡς ἐκ προσώπου τοῦ Θεοῦ· Λαός μου, λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ, καὶ ἕκαστος κακίαν ἐν τῇ καρδίᾳ τοῦ πλησίον αὐτοῦ μὴ μνησικακείτω, καὶ ὅρκον ψευδῆ μὴ ἀγαπᾶτε καὶ οὐ μὴ ἀποθάνητε, οἶκος τοῦ Ἰσραὴλ, λέγει Κύριος. ὡς ἂν εἰ μέλλοιτε εἶναι ψεῦσται, μνησίκακοι, ἐπίορκοι ἐπιλαθόμενοι τῶν ἐντολῶν μου, θανάτῳ ἀποθανεῖσθε.]

Ταῦτα οὖν ἅπαντα εἰδότες, ἀγαπητοὶ, [πᾶσαν καταλύσωμεν ὀργὴν, καὶ] πρὸς ἀλλήλους εἰρηνεύσωμεν, καὶ τὴν ῥίζαν τῆς κακίας ἐκτίλαντες, καὶ καθάραντες ἡμῶν τὸ συνειδὸς, μετὰ πραότητος καὶ ἐπιεικείας καὶ πολλῆς τῆς εὐλαβείας προσίωμεν τῇ μεταλήψει τῶν φρικτῶν τούτων καὶ φοβερῶν μυστηρίων, μὴ ὠθοῦντες καὶ λακτίζοντες, μήτε κτύποις καὶ κραυγαῖς ἐκβοῶντες, ἀλλὰ φόβῳ πολλῷ καὶ τρόμῳ μετὰ κατανύξεως καὶ δακρύων προσερχόμενοι,

Ταῦτα οὖν συνειδότες, πᾶσαν καταλύσωμεν ὀργὴν, καὶ καθαίροντες ἑαυτῶν τὸ συνειδὸς, μετὰ πραότητος καὶ ἐπιεικείας πάσης προσέλθωμεν τῇ τραπέζῃ τοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ δόξα, τιμὴ, κράτος, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

μενοι, ἵνα καὶ ὁ φιλάνθρωπος δεσπότης, ἐπιτελέσας ἡμῖν ἄνωθεν τὴν εἰρηνικὴν κατάστασιν, καὶ τὴν ἀνυπόκριτον ἀγάπην, καὶ τὴν φιλάδελφον κοινωνίαν, καὶ τύχοι τῶν ἀγαθῶν καὶ τῶν ἐπηγγελμένων πάντας ἡμᾶς ἀξιώσῃ, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. πα. ΕΙΣ ΤΟ ΟΝΟΜΑ ΤΟΥ ΚΟΙΜΗΤΗΡΙΟΥ, ΚΑΙ Εἰς τὸν σταυρὸν τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Πολλάκις ἐζήτησα πρὸς ἐμαυτόν, τίνος ἕνεκεν οἱ πατέρες ἡμῶν τοὺς οἴκους τοὺς εὐκτηρίους τοὺς ἐν ταῖς πόλεσι παραδραμόντες, ἔξω τῆς πόλεως ἡμᾶς σήμερον, καὶ ἐνταῦθα ἐκκλησιάζειν ἐνομοθέτησαν. οὐ γὰρ ἁπλῶς, οὐδὲ εἰκῆ μοι δοκοῦσι τοῦτο πεποιηκέναι· διὸ καὶ τὴν αἰτίαν ἐζήτησα, καὶ εὗρον τῇ τοῦ Θεοῦ χάριτι δικαίαν οὖσαν καὶ εὔλογον, καὶ τῇ παρούσῃ πρέπουσαν ἑορτῇ. τίς οὖν ἐστιν ἡ αἰτία; σταυροῦ μνήμην ἐπιτελοῦμεν· ὁ δὲ σταυρωθεὶς ἔξω τῆς πόλεως ἐσταυρώθη. διὰ τοῦτο ἔξω τῆς πόλεως ἡμᾶς ἤγαγεν. τῷ γὰρ ποιμένι, φησίν, ἀκολουθεῖ τὰ πρόβατα· ἔνθα ὁ βασιλεύς, ἐκεῖ καὶ οἱ στρατιῶται· καὶ ὅπου τὸ πτῶμα, ἐκεῖ καὶ οἱ ἀετοί. ἀλλ' ἔξω μὲν τῆς πόλεως διὰ τοῦτο· μᾶλλον δὲ πρότερον δείξωμεν, ὅτι διὰ τοῦτο, καὶ ἀπὸ τῶν θείων γραφῶν. ἵνα γὰρ μὴ νομίσητε ἡμέτερον εἶναι στοχασμόν, Παῦλον ὑμῖν παράγω μάρτυρα. τί οὖν ἐκεῖνός φησι περὶ τῶν θυσιῶν; Ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα ἔξω τῆς παρεμβολῆς κατακαίεται. διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαόν, ἔξω τῆς πύλης ἔπαθε. τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες. Εἶπεν, ἐκέλευσε Παῦλος· ὑπηκούσαμεν, ἐξήλθομεν. ἔξωθεν οὖν διὰ τοῦτο συναγόμεθα. τίνος δὲ ἕνεκεν ἐν τῷ μαρτυρίῳ τούτῳ, καὶ οὐχὶ ἐν ἑτέρῳ; καὶ γὰρ τῇ τοῦ Θεοῦ χάριτι ἐξ ἑκάστης πλευρᾶς ἡ πόλις ἡμῖν τοῖς λειψάνοις τῶν ἁγίων τειχίζεται. τίνος οὖν ἕνεκεν ἐνταῦθα, καὶ οὐκ ἐν ἄλλῳ μαρτυρίῳ συνάγεσθαι ἡμᾶς ἐκέλευσαν οἱ πατέρες; ὅτι ἐνταῦθα τῶν νεκρῶν κεῖται πλῆθος. ἐπεὶ οὖν σήμερον Ἰησοῦς πρὸς τοὺς νεκροὺς κατέβη, διὰ τοῦτο ἐνταῦθα συλλεγόμεθα. διὰ τοῦτο καὶ αὐτὸς ὁ τόπος κοιμητήριον ὠνόμασται· ἵνα μάθῃς ὅτι οἱ τετελευτηκότες καὶ ἐνταῦθα κείμενοι οὐ τεθνήκασιν, ἀλλὰ κοιμῶνται καὶ καθεύδουσι. πρὸ μὲν γὰρ τῆς παρουσίας Χριστοῦ ὁ θάνατος, θάνατος ἐκαλεῖτο. Ἧ δ' ἂν ἡμέρᾳ φάγητε ἀπὸ τοῦ ξύλου, φησί, θανάτῳ ἀποθανεῖσθε. καὶ πάλιν, Ψυχὴ ἡ ἁμαρτάνουσα, αὐτὴ καὶ ἀποθανεῖται. καὶ ὁ Δαβίδ, Θάνατος ἁμαρτωλῶν πονηρός. καὶ πάλιν, Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. καὶ ὁ Ἰώβ, Θάνατος ἀνδρὶ ἀνάπαυσις. οὐχὶ θάνατος δὲ μόνον, ἀλλὰ καὶ ᾅδης ἐκαλεῖτο. καὶ ἄκουε τοῦ Δαβὶδ λέγοντος· Πλὴν ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με. καὶ ὁ Ἰακώβ, Κατάξετε τὸ γῆράς μου μετὰ λύπης εἰς ᾅδην. ταῦτα εἶχε τὰ ὀνόματα [ἡμῶν] ἡ τελευτὴ πρὸ τούτου. ἐπειδὴ δὲ ἦλθεν ὁ Χριστός, καὶ ὑπὲρ ζωῆς τοῦ κόσμου ἀπέθανεν, οὐκέτι θάνατος καλεῖται λοιπὸν ὁ θάνατος, ἀλλὰ ὕπνος καὶ κοίμησις. καὶ ὅτι κοίμησις καλεῖται, δῆλον ἐξ ὧν φησιν ὁ Χριστός· Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται. οὐ γὰρ εἶπεν, ἀπέθανε, καίτοιγε τεθνηκὼς ἦν. ἵνα δὲ μάθῃς ὅτι τὸ ὄνομα ξένον ἦν τὸ τῆς κοιμήσεως, ὅρα πῶς ἀκούσαντες τοῦτο οἱ μαθηταὶ θορυβοῦνται καὶ λέγουσι· Κύριε, εἰ κεκοίμηται, σωθήσεται· οὕτως οὐκ ᾔδεσαν τί ποτε ἦν τὸ λεγόμενον. καὶ πάλιν ὁ Παῦλος, Ἄρα οἱ κοιμηθέντες ἀπώλοντο, πρός τινας λέγων. καὶ πάλιν ἀλλαχοῦ, Ἡμεῖς οἱ ζῶντες οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας, περὶ τῶν νεκρῶν λέγων

χ. εἰς τὸν τίμιον σταυρὸν λεχθεὶς ἐν κοιμητηρίῳ.
χ. ταῦτα
χ. ἀκολουθεῖ τῷ

Ἑβρ. ιγ. ια.
Γεν. β. ιζ.
Ιεζ. ιη. κ.
Ψαλ. λγ.
Ψαλ. μη. ιϛ.
Γεν. μβ. λη.
Ιωαν. ια. ια.
α. Κορ. ιε. ιη.
α. Θεσ. δ. ιε.

Ἐφ. ε. ιδ. καὶ πάλιν ἀλλαχοῦ, Ἔγειρε, ὁ καθεύδων. καὶ ἵνα ″ δείξῃ ὅτι περὶ νεκροῦ τοῦτο λέγει, ἐπήγαγε, καὶ ἀνάστα χ. δείξῃ ὅτι π. τ. λέγει,
ἐκ τῶν νεκρῶν. ὁρᾷς πανταχοῦ ὕπνον καλούμενον τὸν θάνατον. διὰ τοῦτο καὶ ὁ τόπος κοιμη-
τήριον ὠνόμασται. χρήσιμον γὰρ ἡμῖν καὶ τὸ ὄνομα, καὶ φιλοσοφίας γέμον πολλῆς. ὅταν
τοίνυν ἄγῃς ἐνταῦθα νεκρὸν, μὴ κατακόπτε σαυτόν· οὐ γὰρ πρὸς θάνατον, ἀλλὰ πρὸς
ὕπνον αὐτὸν ἄγεις. ἀρκεῖ σοι τοῦτο τὸ ὄνομα εἰς παραμυθίαν συμφορᾶς. μάθε ποῦ ἄ-
γεις. εἰς κοιμητήριον. καὶ πότε ἄγεις. μετὰ τὸν τοῦ Χριστοῦ θάνατον, ὅτε τὰ νεῦρα ἐξεκόπη
τοῦ θανάτου. ὥστε καὶ ἀπὸ τοῦ τόπου, καὶ ἀπὸ τοῦ καιροῦ πολλὴν δύνασθε καρπώσασθαι τὴν
παραμυθίαν. μάλιστα πρὸς γυναῖκας ἡμῖν ἐστὶν ὁ λόγος ἁρμόζει, ἐπειδὴ συμπαθέστεραί
πως τὸ γένος τοῦτο, καὶ πρὸς ἀθυμίαν εὐέμπτωτόν ἐστιν. ἀλλ' ἀρκοῦν ἔχεις φάρμακον τῆς
ἀθυμίας, τοῦ τόπου τὸ ὄνομα. διὰ τοῦτο ἐνταῦθα συναγόμεθα. σήμερον γὰρ τὰ ἐν ᾅδου
Ψαλμ. ρς. περιεπόλευσε πάντα ὁ δεσπότης ἡμῶν*· σήμερον τὰς χαλκᾶς πύλας ″ συνέκλασε· σήμερον * τῇ ἀναλήψει τοῦ σταυροῦ
Ἡσ. με. τοὺς μοχλοὺς τοὺς σιδηροῦς συνέθλασεν. ὅρα τὴν ἀκρίβειαν τῆς λέξεως. οὐκ εἶπεν,
ἀνέῳξε πύλας χαλκᾶς, ἀλλὰ, ″ συνέθλασε πύλας χαλκᾶς, ἵνα ἄχρηστον γένηται τὸ δεσμω- χ. συνέθλασε·
τήριον. οὐκ ἀφεῖλε τοὺς μοχλοὺς, ἀλλὰ ‴ συνέθλασεν ἵνα ἀσθενὴς γένηται ἡ φυλακή. ὅ- χ. -κλασε
που γε οὔτε θύρα, οὔτε μοχλὸς, κἂν εἰσέλθῃ τις, οὐ κατέχεται. ὅταν ″ οὖν ὁ Χριστὸς συν- χ. γ
θλάσῃ, τίς ἕτερος διορθῶσαι δυνήσεται; ὃ γὰρ * Θεὸς διαστρέψει, φησὶ, τίς διορθώσει λοι- * Χριστὸς ὁ
πόν; οἱ βασιλεῖς ὅταν μέλλωσιν ἀφιέναι τοὺς δεσμώτας, πέμποντες ἐπιστολὰς, οὐχ οὕτω
ποιοῦσιν, ἀλλ' ἀφιᾶσι καὶ τὰς θύρας καὶ τοὺς φύλακας, δηλοῦντες ὅτι εἰσελθεῖν πάλιν ἀ-
νάγκη ἐκεῖ ἢ καὶ τοὺς ἀφεθέντας, ἢ ἑτέρους ἀντ' ἐκείνων τινάς. ὁ δὲ Χριστὸς οὐχ οὕτως· ἀλλὰ
δεῖξαι βουλόμενος, ὅτι τέλος ὁ θάνατος ἔχει, συνέθλασεν αὐτοῦ τὰς πύλας τὰς χαλκᾶς.
χαλκᾶς δὲ ὠνόμασεν, οὐκ ἐπειδὴ ἀπὸ χαλκοῦ ἦσαν αἱ πύλαι, ἀλλὰ τὸ ″ ἀπηνὲς καὶ ἀπα- χ. ἀπηνὲς καὶ ἀδάμαστον τοῦ θανάτου καὶ τοῦ διαβόλου δηλῶν.
ραίτητον τοῦ θανάτου δηλῶν. καὶ ἵνα μάθῃς, ὅτι καὶ ὁ χαλκὸς καὶ ὁ σίδηρος τὸ ἀτενὲς καὶ ἀνένδοτον
Ἡσ. μη. δηλοῖ, ἄκουσον τί φησι πρός τινα ἰταμόν. Τὸ νεῦρόν σου σιδηροῦν, ὁ τράχηλός σου καὶ τὸ μέ-
τωπόν σου χαλκοῦν. τοῦτο δὲ οὕτως εἶπεν, οὐκ ἐπειδὴ νεῦρον εἶχε σιδηροῦν, οὐδ' ἐπειδὴ μέ-
τωπον εἶχε χαλκοῦν, ἀλλ' ἐπειδὴ ἀμείλικτον ὄψιν καὶ ἀναίσχυντον εἶχε καὶ ἀπηνῆ. βούλει
μαθεῖν πῶς ἦν ἀμείλικτος καὶ ἀνένδοτος καὶ αὐταδάμας; ἐν τοσούτῳ χρόνῳ οὐδεὶς αὐτὸν ἔπει-
σεν ″ ἀφεῖναι οὐδένα τῶν κατεχομένων, ἕως αὐτὸν ὁ τῶν ἀγγέλων δεσπότης κατελθὼν ἠνάγ- χ. ἀφιέναι
κασε. πρῶτον μὲν γὰρ ἔδησε τὸν ἰσχυρὸν, καὶ τότε τὰ σκεύη αὐτοῦ διήρπασε. διὸ καὶ ἐπάγει,
Ἡσ. με. Θησαυροὺς σκοτεινοὺς, ἀοράτους. εἰ καὶ τὸ λεγόμενον ἓν, ἀλλὰ διπλοῦν τὸ νοούμενον. ἔστι
γὰρ σκοτεινὰ χωρία, ἀλλ' ὁραθῆναι πολλάκις δυνάμενα), λύχνου καὶ φωτὸς εἰσαχθέντος·
ἐκεῖνο δὲ τοῦ ᾅδου τὸ χωρίον, ζοφῶδές τε ἦν καὶ ἀτερπὲς, καὶ οὐδέποτε φωτὸς ἐδέξατο φύσιν.
διὰ τοῦτο σκοτεινοὺς, ἀοράτους εἶπεν αὐτούς. καὶ γὰρ ὄντως σκοτεινοὶ ἦσαν, ἕως οὗ κατῆλθεν
ὁ τῆς δικαιοσύνης ἥλιος, καὶ κατέλαμψε, καὶ τὸν ᾅδην ἐποίησεν οὐρανόν. ὅπου γὰρ ὁ Χριστὸς,
ἐκεῖ καὶ ὁ οὐρανός. θησαυροὺς δὲ σκοτεινοὺς καλεῖ τὸν ᾅδην· εἰκότως· διότι πολὺς
πλοῦτος ἀπέκειτο ἐκεῖ. καὶ γὰρ τῶν ἀνθρώπων πᾶσα ἡ φύσις πλοῦτος ὑπάρχουσα τοῦ
Θεοῦ, ὑπὸ τοῦ ἀπατήσαντος τὸν πρῶτον ἄνθρωπον διαβόλου ἀπεσυλήθη, καὶ τῷ θανάτῳ
καθυπεβλήθη. ὅτι δὲ πλοῦτος ἦν τοῦ Θεοῦ πᾶσα τῶν ἀνθρώπων ἡ φύσις, δείκνυσι Παῦ-
Ῥωμ. ι. ιϐ. λος λέγων· Πλουτῶν εἰς πάντας, καὶ ἐπὶ πάντας τοὺς ἐπικαλουμένους αὐτόν. ὥσπερ οὖν
βασιλεύς τις λῄσταρχον εὑρὼν κατατρέχοντα τὰς πόλεις, ἁρπάζοντα πανταχόθεν, καὶ εἰς τὰ
σπήλαια καταδυόμενον, καὶ ἀποτιθέμενον ἐκεῖ τὸν πλοῦτον, δήσας τὸν λῄσταρχον, ἐκεῖνον μὲν
κολάσει παραδίδωσι, τὸν δὲ θησαυρὸν αὐτοῦ μεταφέρει εἰς τὰ ταμιεῖα τὰ βασιλικά· οὕτω
καὶ ὁ Χριστὸς ἐποίησε, τὸν λῄσταρχον καὶ τὸν δεσμοφύλακα, τὸν διάβολον ὁμοῦ, καὶ τὸν θάνατον,
διὰ τοῦ θανάτου αὐτοῦ δήσας, καὶ τὸν πλοῦτον πάντα, τῶν ἀνθρώπων λέγω τὸ γένος, μετήγαγεν
Κολασ. α. εἰς τὰ ταμιεῖα τὰ ″ βασιλικά. τοῦτο καὶ Παῦλος δηλοῖ λέγων· Ἐλυτρώσατο ἡμᾶς ἐκ χ. λυτρω

τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστησεν εἰς τὴν βασιλείαν αὐτοῦ τῆς ἀγάπης. καὶ τὸ δὴ θαυμαστὸν, αὐτὸς ὁ βασιλεὺς ἐπέστη. καίτοιγε βασιλεὺς οὐδεὶς ἂν καταξιώσειε τοῦτο ποιῆσαί ποτε, ἀλλὰ διὰ τῶν ὑπηρετῶν ″ἀφιᾶσι τοὺς δεδεμένους. ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ αὐτὸς ἦλθε πρὸς τοὺς δεσμώτας ὁ βασιλεὺς, καὶ οὐκ ἐπῃσχύνθη τὸ δεσμωτήριον, οὐδὲ τοὺς δεδεμένους (οὐ γὰρ ἔπλασεν, ″ἐπαισχύνεσθαι οὐκ ἔμελλε) καὶ συνέκλασε τὰς θύρας, συνέτριψε τοὺς μοχλοὺς, ἐπέστη τῷ ᾅδῃ, ἔρημον αὐτοῦ τὴν φυλακὴν ἐποίησεν ἅπασαν, καὶ τὸν δεσμοφύλακα λαβὼν δεδεμένον, οὕτως ἡμῖν ἐπανῆλθεν. ὁ τύραννος αἰχμάλωτος ἤγετο, ὁ ἰσχυρὸς δεδεμένος· ὁ θάνατος αὐτὸς ῥίψας τὰ ὅπλα, γυμνὸς πρὸς τοὺς πόδας τοῦ βασιλέως ἔδραμεν. εἶδες νίκην θαυμαστήν; εἶδες σταυροῦ κατορθώματα; εἴπω σοι καὶ ἄλλο θαυμαστότερον. μάθε τὸν τρόπον τῆς νίκης, καὶ τότε ἐκπλαγήσῃ πλέον. δι᾽ ὧν γὰρ ἐνίκησεν ὁ διάβολος, διὰ τούτων αὐτοῦ περιεγένετο ὁ Χριστός· καὶ αὐτὰ τὰ ἐκείνου λαβὼν ὅπλα, τούτοις αὐτὸν κατηγωνίσατο. καὶ πῶς, ἄκουσον. παρθένος, καὶ ξύλον, καὶ θάνατος, τῆς ἥττης ἡμῶν ἦν τὰ σύμβολα. παρθένος ἦν ἡ Εὔα (οὔπω γὰρ ἄνδρα ἐγίνωσκε) ξύλον ἦν τὸ δένδρον· καὶ θάνατος ἦν τὸ ἐπιτίμιον τοῦ Ἀδάμ. ἀλλ᾽ ἰδοὺ πάλιν παρθένος καὶ ξύλον καὶ θάνατος τὰ τῆς ἥττης σύμβολα ταῦτα, καὶ τῆς νίκης ἐγένετο σύμβολα. ἀντὶ γὰρ τῆς Εὔας ἡ Μαριάμ· ἀντὶ τοῦ ξύλου τοῦ εἰδέναι ″γνωστὸν καλοῦ καὶ πονηροῦ, τὸ ξύλον τοῦ σταυροῦ· ἀντὶ τοῦ θανάτου τοῦ Ἀδὰμ ὁ θάνατος τοῦ Χριστοῦ. εἶδες, δι᾽ ὧν ἐνίκησε, διὰ τούτων αὐτὸν ἡττώμενον; περὶ τὸ δένδρον κατηγωνίσατο ″τὸν Ἀδὰμ ὁ διάβολος· περὶ τὸν σταυρὸν κατεπάλαισε τὸν διάβολον ὁ Χριστός. καὶ ξύλον, τὸ μὲν ἔπεμπεν εἰς ᾅδην, τὸ δὲ καὶ τοὺς ἀπελθόντας ἐκεῖθεν ἀνεκαλεῖτο. πάλιν ξύλον, τὸ μὲν τὸν αἰχμάλωτον γυμνὸν ἔκρυψε, τὸ δὲ τὸν νικητὴν γυμνὸν ἐφ᾽ ὑψηλοῦ πᾶσιν ἐδείκνυ. καὶ θάνατος, ὁ μὲν τοὺς μετ᾽ ″αὐτὸν κατέκρινεν, ὁ δὲ καὶ τοὺς πρὸ αὐτοῦ γενομένους ἀνέστησε. Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου; ἀπὸ θανάτου γεγόναμεν ἀθάνατοι· ταῦτα τοῦ σταυροῦ τὰ κατορθώματα. ἔμαθες τὴν νίκην; ἔμαθες τὸν τρόπον τῆς νίκης; μάθε καὶ πῶς ἀπονητὶ γέγονε τὸ κατόρθωμα. οὐχ ᾑμάξαμεν ἡμεῖς τὰ ὅπλα, οὐκ ἔστημεν ἐπὶ τῆς παρατάξεως, οὐκ ἐδεξάμεθα τραύματα· οὐδὲ εἴδομεν τὸν πόλεμον, καὶ τὴν νίκην ἐλάβομεν. ὁ ἀγὼν τοῦ δεσπότου, καὶ ὁ στέφανος ἡμέτερος. ἐπεὶ οὖν καὶ ἡμετέρα ἡ νίκη, ἀλαλάξωμεν, καθάπερ στρατιῶται, τὴν ἐπινίκιον ᾠδὴν πάντες σήμερον· εἴπωμεν ὑμνοῦντες τὸν δεσπότην, Κατεπόθη ὁ θάνατος εἰς νῖκος· ποῦ σου, θάνατε, τὸ νῖκος; ποῦ σου, ᾅδη, τὸ κέντρον; ταῦτα ὁ σταυρὸς ἡμῖν κατώρθωσε· σταυρὸς, τὸ κατὰ τῶν δαιμόνων τρόπαιον· ἡ κατὰ τῆς ἁμαρτίας μάχαιρα· τὸ ξίφος, ᾧ τὸν ὄφιν ἐκέντησεν ὁ Χριστός· σταυρὸς τὸ τοῦ πατρὸς θέλημα, ἡ τοῦ μονογενοῦς δόξα, τὸ τοῦ πνεύματος ἀγαλλίαμα, ὁ τῶν ἀγγέλων κόσμος, τῆς ἐκκλησίας ἡ ἀσφάλεια, τὸ καύχημα Παύλου, τὸ τῶν ἁγίων τεῖχος, τὸ φῶς τῆς οἰκουμένης ἁπάσης. καθάπερ γὰρ σκότῳ ″κατεχόμενοι οἶκον, λαμπάδα τις ἀνάψας, καὶ ὀρθὴν ἀναστήσας, ἀπελαύνει τὸ σκότος· οὕτω τῆς οἰκουμένης ὑπὸ ζόφου κατεχομένης, καθάπερ λαμπάδα τινὰ, τὸν σταυρὸν ἀνάψας, καὶ ὀρθὸν ἀναστήσας ὁ Χριστὸς, τῆς γῆς ἅπαντα τὸν ζόφον ἔλυσε. καὶ καθάπερ ἡ λαμπὰς ἐπὶ τῇ κεφαλῇ ἄνω τὸ φῶς ἔχει, οὕτω καὶ ὁ σταυρὸς ἄνω ἐν τῇ κεφαλῇ τὸν ἥλιον τῆς δικαιοσύνης εἶχεν ἐκλάμποντα. τοῦτον ἰδὼν προσηπλωμένον ὁ κόσμος ἔφριξεν, ἐκλονήθη ἡ γῆ, διερράγησαν αἱ πέτραι· ἀλλ᾽ εἰ καὶ διερράγησαν αἱ πέτραι, ἡ ἀναισθησία τῶν Ἰουδαίων οὐ διερράγη. ἐσχίσθη τὸ καταπέτασμα, καὶ οὐκ ἐσχίσθη ἡ πονηρὰ συμφωνία ἐκείνων. διὰ τί ἐσχίσθη τὸ καταπέτασμα; ὅτι οὐκ ἠδύνατο τὸν δεσπότην ὁρᾶν σταυρούμενον ὁ ναός. δι᾽ ὧν δὲ εἰς τὸ αὐτοῦ καταπέτασμα γέγονε, μονονουχὶ τοῦτο προτρέπων φησὶν· ὁ βουλόμενος πατείτω τὰ ἅγια τῶν ἁγίων λοιπόν. τί γάρ μοι τὸ ὄφελος τούτων, ἔξω τοιαύτης θυσίας προσενεχθείσης; τί μοι τὸ ὄφελος τῆς διαθήκης; τί μοι τὸ ὄφελος τοῦ νόμου; ″εἰ γὰρ καὶ μόνοι ″τούτοις ἐπαίδευσαν

γρ. ἀφίησι

γρ. αἰσχύνεσθαι

γρ. τὸ καλὸν καὶ τὸ πονηρόν

γρ. τῷ

γρ. αὐτῷ

ἴσ. κατεχόμενον οἶκον

γρ. εἰκῆ καὶ μόνον τούτοις

γρ. τούτης

Ψαλ. β. α. Ησ. νγ. τοσοῦτον χρόνον; τοῦτο γὰρ ὁ προφήτης ἐβόα, λέγων· Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; ἤκουσαν, Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος· καὶ μελετῶντες ἐν τοσούτῳ χρόνῳ τὴν προφητείαν, τοῦ πράγματος παραγενομένου * ἐπίστησαν. Εἶδες πῶς ἐμελέτησαν κενά; Διὰ τοῦτο περιεσχίσατο ὁ ναός, τὴν ἐρήμωσιν προδηλῶν τὴν μετὰ ταῦτα ἐσομένην διηνεκῶς. ἐπεὶ οὖν τὸν ἐν τῷ σταυρῷ προσηλωθέντα μέλλομεν καὶ ἡμεῖς κατὰ τὴν ἑσπέραν ταύτην ἰδεῖν, ὡς ἀμνὸν ἐσφαγμένον καὶ τεθυμένον, μετὰ φρίκης προσίωμεν, παρακαλῶ, καὶ αἰδοῦς πολλῆς καὶ εὐλαβείας. οὐκ ἐννοεῖτε τοὺς ἀγγέλους, πῶς παρειστήκεισαν τῷ τάφῳ οὐκ ἔχοντι σῶμα; τάφῳ κενῷ, ἀλλ᾽ ὅμως ἐπειδὴ ὅλως ἐδέξατο τὸ σῶμα τὸ δεσποτικόν, πολλὴν ἀπονέμουσι καὶ τῷ τόπῳ τὴν τιμήν. οἱ ἄγγελοι ὑπερβαίνοντες τὴν ἡμετέραν φύσιν μετὰ τοσαύτης αἰδοῦς καὶ εὐλαβείας παρειστήκεισαν τῷ τάφῳ· ἡμεῖς οὐ τάφῳ μέλλοντες παρίστασθαι κενῷ, ἀλλ᾽ αὐτῇ τῇ τραπέζῃ τῇ τὸν ἀμνὸν ἐχούσῃ, μετὰ θορύβου καὶ ταραχῆς προσίωμεν; καὶ τίς ἡμῖν ἔσται συγγνώμη λοιπόν; οὐχ ἁπλῶς ταῦτα λέγω, ἀλλ᾽ ἐπειδὴ πολλοὺς ὁρῶ κατὰ τὴν ἑσπέραν ταύτην θορυβοῦντας, βοῶντας, ἐπικειμένους ἀλλήλοις, πηδῶντας, λοιδορουμένους, καὶ μᾶλλον ἑαυτοῖς κόλασιν, ἢ σωτηρίαν προξενοῦντας. τούτου χάριν τὴν ὑπὲρ " τούτων ποιοῦμαι παραίνεσιν. τί ποιεῖς, ἄνθρωπε; ὅταν ἑστήκῃ πρὸ τῆς τραπέζης ὁ ἱερεύς, τὰς χεῖρας ἀνατείνων εἰς τὸν οὐρανόν, καλῶν τὸ πνεῦμα τὸ ἅγιον, τοῦ παραγενέσθαι καὶ ἅψασθαι τῶν προκειμένων, πολλὴ ἡσυχία, πολλὴ σιγή. ὅταν διδῷ τὴν χάριν τὸ πνεῦμα, ὅταν κατέλθῃ, ὅταν ἅψηται τῶν προκειμένων, ὅταν ἴδῃς τὸ πρόβατον ἐσφαγιασμένον καὶ ἀπηρτισμένον, τότε θόρυβον, τότε ταραχήν, τότε φιλονεικίαν, τότε λοιδορίαν ἐπεισάγεις; καὶ πῶς δυνήσῃ τῆς θυσίας ἀπολαῦσαι ταύτης, μετὰ τοσαύτης ταραχῆς τῇ τραπέζῃ προσιὼν ταύτῃ; οὐκ ἀρκεῖ ἡμῖν ὅτι μετὰ ἁμαρτημάτων προσερχόμεθα, ἀλλὰ καὶ αὐτὸν τὸν καιρὸν τῆς προσόδου ἐκτὸς γενέσθαι πλημμελημάτων οὐκ ἀνεχόμεθα; ὅταν γὰρ φιλονεικῶμεν, ὅταν θορυβῶμεν, ὅταν ἀλλήλους δάκνωμεν, πῶς ἔξω ἁμαρτημάτων ἐσόμεθα; τί σπεύδεις, εἰπέ μοι; τίνος ἕνεκεν ἐπείγῃ τὸ πρόβατον ὁρῶν ἐσφαγιασμένον; εἰ γὰρ διὰ πάσης τῆς νυκτὸς ἦν πρὸς τὴν θυσίαν αὐτὴν ὁρᾶν, εἶχε κόρον, εἰπέ μοι, τὸ πρᾶγμα; ὅλην τὴν ἡμέραν ἐκαρτέρησας, τὸ πλέον τῆς νυκτὸς διήγαγες, καὶ τοσοῦτον κάματον ἐν βραχείᾳ καιροῦ ῥοπῇ προδίδως καὶ ἀπολλύεις; ἐννόησον τί ποτέ ἐστι τὸ προκείμενον, καὶ πόθεν ἔλαβε τὴν αἰτίαν. ἐσφάγη διὰ σέ, καὶ σὺ ἐγκαταλιμπάνεις αὐτὸν ἐσφαγιασμένον ὁρῶν. Ματθ. κδ. κη. Ὅπου τὸ πτῶμα, φησίν, ἐκεῖ καὶ οἱ ἀετοί. ἡμεῖς δὲ οὐχ ὡς ἀετοί, ἀλλ᾽ ὡς κύνες προσερχόμεθα· τοσαύτη ἡμῶν ἡ ἀναισχυντία. ἐννόησον τί ποτέ ἐστι τὸ κεχυμένον. αἷμά ἐστιν, αἷμα, ὃ τὸ χειρόγραφον τῶν ἁμαρτιῶν ἀπήλειψεν· αἷμα, ὃ τὴν ψυχήν σου ἐκάθηρεν, ὃ τὴν κηλῖδα ἀπέπλυνεν, ὃ τὰς Κολασ. β. ιε. ἀρχὰς καὶ τὰς ἐξουσίας ἐθριάμβευσεν. Ἀπεκδυσάμενος γάρ, φησι, τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἐδειγμάτισεν ἐν παρρησίᾳ θριαμβεύσας ἐν τῷ σταυρῷ. πολλά, φησι, τὸ τρόπαιον ἔχει τῆς νίκης τὰ σύμβολα· τὰ λάφυρα κρέμανται ἄνω ἐφ᾽ ὑψηλοῦ ἐπὶ τοῦ σταυροῦ. καθάπερ γὰρ βασιλεὺς γενναῖος πόλεμον νικήσας χαλεπώτατον, τὸν θώρακά τε τὴν ἀσπίδα καὶ τὰ ὅπλα τοῦ τυράννου καὶ τῶν στρατιωτῶν τῶν ἡττηθέντων ἐφ᾽ ὑψηλοῦ τοῦ τροπαίου τίθησιν· οὕτω καὶ ὁ Χριστὸς τὸν πόλεμον νικήσας τὸν πρὸς τὸν διάβολον, τὰ ὅπλα αὐτοῦ πάντα, τὸν θάνατον, τὴν κατάραν ἐκρέμασεν ἐφ᾽ ὑψηλοῦ τοῦ σταυροῦ, καθάπερ ἐπὶ τροπαίου τινός, ἵνα πάντες τὸ τρόπαιον βλέπωσιν αἱ ἄνω δυνάμεις, αἱ ἐν τοῖς οὐρανοῖς, οἱ κάτω ἄνθρωποι οἱ ἐπὶ τῆς γῆς, αὐτοὶ οἱ πονηροὶ δαίμονες οἱ ἡττηθέντες. ἐπεὶ οὖν τοσαύτης ἀπελαύσαμεν δωρεᾶς, ἑαυτοὺς κατὰ δύναμιν ἀξίους ἐπιδείξωμεν τῶν ὑπηργμένων ἡμῖν ἀγαθῶν· ἵνα καὶ τῆς βασιλείας τῶν οὐρανῶν τύχωμεν. χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ μεθ᾽ οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, τιμή, κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* ἠπί

" γρ. τούτου

Λογ.

Λογ. πβ'. ΕΙΣ ΤΟΝ ΣΤΑΥΡΟΝ, καὶ εἰς τὸν λῃστήν, καὶ περὶ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας, καὶ περὶ τοῦ συνεχῶς εὔχεσθαι ὑπὲρ τῶν ἐχθρῶν*.

* ἐρρέθη τῇ ἁγίᾳ καὶ μεγάλῃ παρασκευῇ.

Λογ. πγ'. ΕΙΣ ΤΟΝ ΣΤΑΥΡΟΝ (ἐλέχθη εἰς τὴν ἁγίαν καὶ μεγάλην παρασκευήν) καὶ εἰς τὴν ἐξομολόγησιν τοῦ λῃστοῦ, καὶ ὅτι χρὴ ἡμᾶς* ὑπὲρ τῶν ἐχθρῶν εὔχεσθαι.

γρ. εἰς τὸ ἅγιον καὶ ἄχραντον πάθος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ

* συνεχῶς

Σήμερον ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐν σταυρῷ, καὶ ἡμεῖς ἑορτὴν ἄγομεν, ἵνα μάθῃς ὅτι ὁ σταυρὸς ἑορτὴ καὶ πανήγυρις πνευματική. πρότερον μὲν γὰρ ὁ σταυρὸς ὄνομα καταδίκης ἦν, νυνὶ δὲ πρᾶγμα τιμῆς γέγονε· πρότερον σύμβολον κατακρίσεως, νυνὶ δὲ ὑπόθεσις σωτηρίας. οὗτος γὰρ μυρίων ἡμῖν ἀγαθῶν αἴτιος γέγονεν,

Ἑορτὴν ἄγομεν σήμερον καὶ πανήγυριν, ἀγαπητοί. ὁ γὰρ δεσπότης ὁ ἡμέτερος ἐπὶ τοῦ σταυροῦ τυγχάνει τοῖς ἥλοις περιπεπαρμένος. καὶ μὴ ξενισθῇς, εἰ τοῦ πράγματος σκυθρωποῦ τυγχάνοντος ἡμεῖς ἑορτάζομεν. τοιαῦτα γὰρ ἅπαντα τὰ πνευματικά, ἀπεναντίας τῇ συνηθείᾳ τῇ ἀνθρωπίνῃ ἐστί. καὶ ἵνα μάθῃς τοῦτο ἀκριβῶς, ὁ σταυρὸς πρότερον καταδίκης ὄνομα καὶ τιμωρίας ἦν, νῦν δὲ πρᾶγμα γέγονε τίμιον καὶ ποθεινόν· ὁ σταυρὸς πρότερον αἰσχύνης ἦν καὶ κολάσεως ὑπόθεσις, νῦν δὲ γέγονε δόξης καὶ τιμῆς ἀφορμή. καὶ ὅτι δόξα ὁ σταυρός, ἄκουσον τοῦ Χριστοῦ λέγοντος· Πάτερ, δόξασόν με τῇ δόξῃ, ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί, δόξαν τὸν σταυρὸν καλῶν. σταυρὸς δὲ κεφάλαιον τῆς σωτηρίας τῆς ἡμετέρας, σταυρὸς ἡ τῶν μυρίων ἀγαθῶν ὑπόθεσις. διὰ τοῦτον οἱ πρότερον ἠτιμωμένοι καὶ ἔκπτωτοι, νῦν εἰς τὴν τῶν υἱῶν τάξιν ἐδέχθημεν· διὰ τοῦτον οὐκέτι πλανώμεθα, ἀλλὰ τὴν ἀλήθειαν ἐπέγνωμεν· διὰ τοῦτον οἱ ξύλα καὶ λίθους προσκυνοῦντες πρότερον, νῦν ἐπέγνωμεν τὸν τῶν ἁπάντων δημιουργόν· διὰ τοῦτον οἱ δοῦλοι τῆς ἁμαρτίας εἰς τὴν ἐλευθερίαν τῆς δικαιοσύνης ἀνήχθημεν· διὰ τοῦτον ἡ γῆ οὐρανὸς λοιπὸν γέγονεν.

γρ. ἄγομεν

γρ. ἐπὶ τοῦ ξύλου.

γρ. προσπεπηγμένος.

γρ. φύσει

Ἰωάν. ιζ. ε.

γρ. κατηχμαλωμένοι,

γρ. ὁ στήχθημεν·

γρ. κοινωνίαν

Οὗτος ἡμᾶς τῆς πλάνης ἀπήλλαξεν,

Οὗτος ἡμᾶς τῆς πλάνης ἠλευθέρωσεν, οὗτος πρὸς τὴν ἀλήθειαν ἐχειραγώγησεν, οὗτος καταλλαγὰς Θεοῦ πρὸς ἀνθρώπους ἐποιήσατο, οὗτος ἀπὸ τοῦ βυθοῦ τῆς κακίας ἡμᾶς ἀνασπάσας, εἰς αὐτὴν τῆς ἀρετῆς τὴν κορυφὴν ἀνήγαγεν, οὗτος τῶν δαιμόνων τὴν πλάνην ἔσβεσεν, οὗτος τὴν ἀπάτην καθεῖλε. διὰ τοῦτον οὐκέτι καπνὸς καὶ κνίσσα καὶ αἱμάτων ἀλόγων ἔκχυσις, ἀλλὰ πανταχοῦ λατρεῖαι πνευματικαί, ὕμνοι καὶ εὐχαί. διὰ τοῦτον δαίμονες δραπετεύουσι, διὰ τοῦτον ὁ διάβολος φυγαδεύεται, διὰ τοῦτον ἡ ἀνθρωπίνη φύσις πρὸς τὴν ἀγγελικὴν πολιτείαν ἁμιλλᾶται, διὰ τοῦτον παρθενία ἐπὶ γῆς πολιτεύεται. ἀφ' οὗ γὰρ ὁ ἐκ παρθένου προῆλθε, τῆς ἀρετῆς ταύτης τὴν ὁδὸν ἐπέγνω ἡ τῶν ἀνθρώπων φύσις.

γρ. ἀνεκόμισεν

γρ. ἐκχύσεις,

Οὗτος ἐν σκότει καθημένους ἐφώτισεν, οὗτος ἐκπεπολεμωμένους ἡμᾶς τῷ Θεῷ κατήλλαξεν, ἀπηλλοτριωμένους ᾠκείωσε, μακρὰν ὄντας ἐγγὺς εἶναι ἐποίησεν*. οὗτος ἔχθρας ἀναίρεσις, οὗτος εἰρήνης ἀσφάλεια, μυρίων ἡμῖν ἀγαθῶν θησαυρὸς γέγονε. διὰ τοῦτον οὐκέτι πλανώμεθα ἐν ἐρημίαις· τὴν γὰρ ἀληθινὴν

* οὗτος ξένους ὄντας πολίτας κατεσκεύασεν·

Οὗτος ἡμᾶς ἐν σκότει καθημένους ἐφώτισεν, οὗτος ἡμᾶς ἐκπεπολεμωμένους κατήλλαξεν, οὗτος μακρὰν ὄντας ἐγγὺς εἶναι πεποίηκεν, οὗτος ἀπηλλοτριωμένους ὄντας ᾠκείωσεν, οὗτος ξένους γενομένους, οὐρανοῦ πολίτας κατεσκεύασεν, οὗτος ἡμῖν πολέμων ἀναίρεσις γέγονεν, οὗτος ἡμῖν εἰρήνης ἀσφάλεια κατέστη. διὰ τοῦτο οὐκέτι φοβούμεθα τὰ πεπυρωμένα βέλη

γρ. ὄντας

γρ. ἐχθροῦ βέλη τοῦ διαβόλου. τὴν γὰρ πηγὴν τῆς ζωῆς
εὕρομεν. διὰ τοῦτον οὐκ ἐσμὲν ἐν χρείᾳ· τὸν
γὰρ νυμφίον ἀπελάβομεν. διὰ τοῦτον οὐκέτι
δεδοίκαμεν τὸν λύκον· τὸν γὰρ ποιμένα τὸν καλὸν
ἐπέγνωμεν. Ἐγὼ γάρ εἰμι, φησιν, ὁ ποιμὴν
Ἰωάν. ι. ια. ὁ καλός. διὰ τοῦτον οὐκέτι φρίττομεν τὸν
τύραννον· τῷ γὰρ βασιλεῖ προσεδράμομεν. ὁρᾷς
* γέγονεν πόσων ἡμῖν ἀγαθῶν ὑπόθεσις* ὁ σταυρός;
Εἰκότως οὖν ἑορτὴν ἄγομεν. οὕτω καὶ Παῦλος
α. Κορ. ε. η. ἑορτάζειν παραινεῖ λέγων· Ὥστε ἑορτάζωμεν μὴ
ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ
πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ
ἀληθείας. καὶ τίνος ἕνεκεν ἑορτάζειν ἡμᾶς κελεύεις,
ὦ μακάριε Παῦλε; εἰπὲ τὴν αἰτίαν.
Ὅτι τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν, φησιν, ἐτύθη
Χριστὸς ὁ Θεός. ὁρᾷς πῶς ἑορτὴ ὁ σταυρός;
γρ. εἶδες ἔμαθες ὅτι διὰ τὸν σταυρὸν κελεύει ἑορτάζειν.
ἐν γὰρ τῷ σταυρῷ ἐτύθη· ὅπου δὲ θυσία,
ἐκεῖ ἁμαρτημάτων ἀναίρεσις, ἐκεῖ καταλλαγὴ
α. Κορ. ε. ζ. δεσπότου, ἐκεῖ ἑορτὴ καὶ χαρά. Τὸ πάσχα ἡμῶν,
φησιν, ὑπὲρ ἡμῶν ἐτύθη Χριστός. ποῦ ἐτύθη,
γρ. τοῦ ἰκρίου. εἰπέ; ἐφ' ὑψηλοῦ σταυροῦ. καινὸν καὶ ξένον τὸ
θυσιαστήριον, ἐπειδὴ ξένη καὶ παρηλλαγμένη ἡ θυσία.
ὁ αὐτὸς γὰρ καὶ θυσία καὶ ἱερεὺς ἦν· θυσία
μὲν, κατὰ σάρκα, ἱερεὺς δὲ, κατὰ πνεῦμα. ὁ αὐτὸς καὶ
προσῆγε καὶ προσήγετο. ἄκουε πάλιν τοῦ Παύλου
γρ. διδασκάλου τῆς οἰκουμένης λέγοντος· Πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων
Ἑβρ. ε. α. λαμβανόμενος, ὑπὲρ ἀνθρώπων
καὶ η. γ. καθίσταται τὰ πρὸς τὸν Θεόν. ὅθεν ἀνάγκη
ἔχειν τι καὶ τοῦτον, ὃ προσενέγκῃ. ἰδοὺ τέως
Ἑβρ. θ. κη. προσφέρει. ἀλλαχοῦ δὲ πάλιν φησίν, Οὕτω καὶ
ὁ Χριστὸς ἅπαξ προσενεχθεὶς εἰς τὸ πολλῶν
ἀνενεγκεῖν ἁμαρτίας. ἰδοὺ ἐνταῦθα προσηνέχθη,
ἐκεῖ ἑαυτὸν προσήνεγκεν. Εἶδες
πῶς καὶ θυσία καὶ ἱερεὺς ἐγένετο, καὶ θυσιαστήριον
ἦν ὁ σταυρός. ἀλλ' ἀναγκαῖον μαθεῖν, τίνος
ἕνεκεν οὐκ ἐν τῷ ναῷ ἡ θυσία προσφέρεται,
ἐν τῷ ναῷ λέγω τῷ Ἰουδαϊκῷ, ἀλλ' ἔξω τῆς
πόλεως, ἔξω τῶν τειχῶν. ἔξω γὰρ τῆς πόλεως
ἐσταυρώθη, καθάπερ τις κατάδικος, ἵνα πληρωθῇ
Ἡσ. νγ. ιβ. τὸ ῥηθὲν ὑπὸ τοῦ προφήτου, Ὅτι καὶ ἐν
τοῖς ἀνόμοις ἐλογίσθη. τίνος οὖν ἕνεκεν, ἔξω τῆς
* ἐσταυρώθη πόλεως*, ἐφ' ὑψηλοῦ, καὶ οὐχ ὑπὸ στέγην τινά;
οὐχ ἁπλῶς οὐδὲ τοῦτο, ἀλλ' ἵνα τοῦ ἀέρος
καθάρῃ

τὴν ὁδὸν ἐπέγνωμεν. οὐκ ἔτι τῶν βασιλείων
ἔξω διάγομεν· τὴν γὰρ θύραν εὕρομεν. οὐ
φοβούμεθα τὰ πεπυρωμένα βέλη τοῦ διαβόλου·
τὴν γὰρ πηγὴν εἴδομεν. διὰ τοῦτο
γρ. πηγὴν οὐκ ἔτι ἐσμὲν ἐν χρείᾳ· τὸν γὰρ νυμφίον ἀπειλήφαμεν.
οὐ δεδοίκαμεν τὸν λύκον· τὸν
γὰρ ποιμένα τὸν καλὸν ἔχομεν. Ἐγὼ γάρ εἰμι,
Ἰωάν. ι. ια. φησιν, ὁ ποιμὴν ὁ καλός. διὰ τοῦτο οὐ
φρίττομεν τὸν τύραννον· προσεδράμομεν γὰρ
τῷ βασιλεῖ, καὶ διὰ ταῦτα ἑορτὴν ἄγομεν,
σταυροῦ μνήμην τελοῦντες. οὕτω καὶ Παῦλος
ἐκέλευσε διὰ τὸν σταυρὸν ἑορτὴν ἄγειν.
α. Κορ. ε. η. Ἑορτάζωμεν γάρ, φησι, μὴ ἐν ζύμῃ παλαιᾷ,
ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας.
Εἶτα τὴν αἰτίαν προσθείς, ἐπήγαγεν·
Ὅτι τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη
Χριστός. ὁρᾷς πῶς διὰ τὸν σταυρὸν ἑορτάζειν
κελεύει; ἐν γὰρ τῷ σταυρῷ ἐτύθη ὁ Χριστός.
ὅπου δὲ θυσία, ἐκεῖ ἀναίρεσις ἁμαρτημάτων,
ἐκεῖ καταλλαγὴ δεσπότου, ἐκεῖ ἑορτὴ καὶ χαρά.
α. Κορ. ε. ζ. Τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός. καὶ
ποῦ ἐτύθη, εἰπέ; ἐφ' ὑψηλοῦ τοῦ ἰκρίου.
καινὸν τὸ θυσιαστήριον τῆς θυσίας ταύτης, ἐπειδὴ
καὶ ἡ θυσία καινὴ καὶ παράδοξος. ὁ αὐτὸς γὰρ καὶ
θυσία, καὶ ἱερεὺς ἦν· θυσία μὲν, κατὰ σάρκα, ἱερεὺς
δὲ, κατὰ πνεῦμα. ὁ αὐτὸς καὶ προσῆγε καὶ
γρ. οὖν προσήγετο [δὲ] κατὰ σάρκα. ἄκουσον γοῦν
πῶς ἀμφότερα ταῦτα ὁ Παῦλος ἐδήλωσε.
Ἑβρ. ε. α. Πᾶς ἀρχιερεύς, φησιν, ἐξ ἀνθρώπων λαμβανόμενος,
καὶ η. γ. ὑπὸ ἀνθρώπων καθίσταται.
γρ. ὑπὲρ ὅθεν ἀναγκαῖον ἔχειν τι καὶ τοῦτον ὃ προσενέγκοι.
γρ. καὶ τοῦτον προσενεγκεῖν ἰδοὺ αὐτὸς προσφέρει ἑαυτόν. ἀλλαχοῦ
Ἑβρ. θ. κη. δέ φησιν, ὅτι Χριστὸς ἅπαξ προσενεχθεὶς εἰς
τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας, ὀφθήσεται τοῖς
αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν. ἰδοὺ
ἐνταῦθα προσηνέχθη· ἐκεῖ δὲ ἑαυτὸν προσενήνεγκεν.
Εἶδες πῶς καὶ θυσία καὶ ἱερεὺς ἐγένετο, καὶ
θυσιαστήριον ὁ σταυρὸς ἦν; καὶ τίνος ἕνεκεν οὐκ
ἐν τῷ ναῷ, φησιν, ἡ θυσία προσφέρεται, ἀλλ'
ἔξω τῆς πόλεως καὶ τῶν τειχῶν; ἵνα ἐκεῖνο πληρωθῇ,
Ἡσ. νγ. ιβ. ὅτι Ἐν τοῖς ἀνόμοις ἐλογίσθη. τίνος δὲ
ἕνεκεν ἐφ' ὑψηλοῦ τοῦ ἰκρίου σφάττεται, καὶ οὐχ
ὑπὸ στέγην; ἵνα τοῦ ἀέρος τὴν φύσιν ἐκκαθάρῃ,
διὰ τοῦτο ἐφ' ὑψηλοῦ, οὐκ ἐπικειμένης
στέγης,

στέγης, ἀλλ' ἐπικειμένου οὐρανοῦ. ἐκαθαίρετο μὲν γὰρ ὁ ἀὴρ ἐφ' ὑψηλοῦ θυομένου τοῦ προβάτου· ἐκαθαίρετο δὲ καὶ ἡ γῆ. ἔσταζε γὰρ τὸ αἷμα ἀπὸ τῆς πλευρᾶς ἐπ' αὐτήν. διὰ τοῦτο οὐχ ὑπὸ στέγην, διὰ τοῦτο οὐκ ἐν τῷ ναῷ τῷ Ἰουδαϊκῷ, ἵνα μὴ νοσφίσωνται τὴν θυσίαν Ἰουδαῖοι, μηδὲ νομίσῃς ὑπὲρ τοῦ ἔθνους ἐκείνου μόνου ταύτην προσάγεσθαι· διὰ τοῦτο ἔξω πόλεως καὶ τειχῶν, ἵνα μάθῃς ὅτι καθολικὴ ἡ θυσία, ὅτι ὑπὲρ τῆς γῆς ἁπάσης ἡ προσφορά, ἵνα μάθῃς ὅτι κοινὸς ὁ καθαρισμός ἐστιν, οὐ μερικός, καθάπερ ἐπὶ τῶν Ἰουδαίων. Ἰουδαίοις μὲν γὰρ διὰ τοῦτο ἐκέλευσεν ὁ Θεὸς πᾶσαν ἀφιέναι τὴν γῆν, καὶ εἰς ἕνα τόπον προσφέρειν τὰς θυσίας καὶ εὔχεσθαι, ἐπειδὴ πᾶσα ἡ γῆ ἀκάθαρτος ἦν, καπνοῦ καὶ κνίσσης καὶ πάντων τῶν ἄλλων μολυσμάτων τῶν ἐκ τῶν θυσιῶν τῶν ἑλληνικῶν ἐπ' αὐτὴν φερομένων· ἡμῖν δὲ ἐπειδὴ λοιπὸν ὁ Χριστὸς ἐλθὼν πᾶσαν τὴν οἰκουμένην ἐξεκάθαρεν, ἅπας τόπος εὐκτήριον γέγονε. διὰ τοῦτο καὶ Παῦλος θαῤῥῶν παρῄνει λοιπὸν ἀδεῶς προσεύχεσθαι πανταχοῦ, λέγων οὕτω· Βούλομαι προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ ἐπαίροντας ὁσίας χεῖρας. Εἶδες πῶς ἐκαθάρθη ἡ οἰκουμένη; διὰ γὰρ τοῦ τόπου πανταχοῦ ἐπαίρειν χεῖρας ὁσίας δυνάμεθα, ἐπειδὴ πᾶσα ἡ γῆ ἁγία γέγονεν ἁγιωτέρα τῶν ἁγίων τῶν ἔνδον. ἐκεῖ μὲν γὰρ προσηνέχθη πρόβατον ἄλογον, ἐνταῦθα δὲ πνευματικόν. ὅσῳ δὲ μείζων ἡ θυσία, τοσούτῳ πλείων καὶ ὁ ἁγιασμός. διὰ τοῦτο ἑορτὴ ὁ σταυρός. Βούλει μαθεῖν αὐτοῦ καὶ ἕτερον κατόρθωμα; τὸν παράδεισον πεντακισχίλια ἔτη καὶ πλείω κεκλεισμένον σήμερον ἡμῖν ἠνέῳξεν. ἐν ταύτῃ γὰρ τῇ ἡμέρᾳ, ἐν ταύτῃ τῇ ὥρᾳ τὸν λῃστὴν εἰσήγαγεν ὁ Θεός, δύο κατορθώματα ἐργασάμενος· ἓν μὲν, ὅτι παράδεισον ἠνέῳξεν, ἕτερον δὲ, ὅτι λῃστὴν εἰσήγαγε. σήμερον ἀπέδωκεν ἡμῖν τὴν ἀρχαίαν πατρίδα, σήμερον ἐπανήγαγεν ἡμᾶς ἐπὶ τὴν πατρῴαν πόλιν, καὶ τὴν οἰκίαν ἐχαρίσατο τῇ κοινῇ τῶν ἀνθρώπων φύσει. Σήμερον γάρ, φησι, μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. τί λέγεις; ἐσταύρωσαι καὶ προσήλωσαι, καὶ παράδεισον ἐπαγγέλλῃ; ναί, φησιν, ἵνα ἐν τῷ σταυ-

γρ. ἔσταζε

α. Τιμ. β. η.

Λουκ. κγ. μγ.

καθάρῃ τὴν φύσιν. διὰ τοῦτο καὶ ἐφ' ὑψηλοῦ, καὶ οὐκ ἐπικειμένης στέγης, ἀλλ' ἀντὶ στέγης ἐπικειμένου τοῦ οὐρανοῦ, ἵνα καθαρθῇ ὁ οὐρανὸς ἅπας, ἐφ' ὑψηλοῦ θυομένου τοῦ προβάτου. ἐκαθάρθη μὲν οὐρανός, ἐκαθάρθη δὲ καὶ ἡ γῆ. ἔσταζε γὰρ τὸ αἷμα ἀπὸ τῆς πλευρᾶς ἐπὶ τὴν γῆν, καὶ τὸν μολυσμὸν αὐτῆς ἅπαντα ἐξεκάθηρεν. ἀλλ' ὑπὸ στέγην μὲν ταύτης ἕνεκεν τῆς αἰτίας οὐ προσεφέρετο ἡ θυσία. τίνος δὲ ἕνεκεν οὐχὶ ἐν αὐτῷ τῷ ναῷ τῷ Ἰουδαϊκῷ; καὶ τοῦτο πάλιν οὐχ ἁπλῶς· ἀλλ' ἵνα μὴ ἰδιοποιήσωνται τὴν θυσίαν οἱ Ἰουδαῖοι. ἵνα μὴ νομίσῃς ὑπὲρ τοῦ ἔθνους ἐκείνου μόνου τὴν θυσίαν προσφέρεσθαι, διὰ τοῦτο ἔξω τῆς πόλεως, ἔξω τῶν τειχῶν· ἵνα μάθῃς ὅτι καθολική ἐστιν ἡ θυσία, ἵνα μάθῃς ὅτι ὑπὲρ τῆς γῆς ἁπάσης ἐστὶν ἡ προσφορά, καὶ ὅτι κοινὸς τῆς φύσεως ἡμῶν ἁπάσης ἐστὶν ὁ καθαρισμός. τοῖς μὲν γὰρ Ἰουδαίοις διὰ τοῦτο ἐκέλευσεν ὁ Θεὸς πᾶσαν τὴν γῆν ἀφιέναι, καὶ εἰς ἕνα τόπον προσφέρειν, εἰς ἕνα τόπον εὔχεσθαι, ἐπειδὴ πᾶσα ἡ γῆ τότε ἀκάθαρτος ἦν ἀπὸ τοῦ καπνοῦ, καὶ τῆς κνίσσης, καὶ τῶν εἰδωλικῶν αἱμάτων, καὶ τῶν ἄλλων μολυσμάτων τῶν ἑλληνικῶν. διὰ τοῦτο αὐτοῖς ἕνα τόπον ἐπέταξεν. ἀλλ' ἐλθὼν ὁ Χριστός, καὶ τῆς πόλεως ἔξω παθών, πᾶσαν τὴν γῆν ἐκάθηρε, πάντα τόπον εὐκτήριον εἰργάσατο. Βούλει μαθεῖν πῶς πᾶσα ἡ γῆ λοιπὸν ναὸς ἐγένετο, καὶ πῶς πᾶς τόπος εὐκτήριος κατέστη; ἄκουσον πάλιν τοῦ μακαρίου Παύλου λέγοντος· Ἐν παντὶ τόπῳ ἐπαίροντας ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ. Εἶδες πῶς ἐκάθηρε τὴν οἰκουμένην, εἶδες πῶς πανταχοῦ ἐπαίρειν ὁσίους χεῖρας δυνάμεθα; πᾶσα γὰρ ἡ γῆ γέγονεν ἁγία λοιπόν, μᾶλλον δὲ καὶ τῶν παρὰ Ἰουδαίοις ἁγίων ἁγιωτέρα. πῶς; ὅτι ἐκεῖ μὲν ἄλογον, ἐνταῦθα δὲ λογικὸν προσηνέχθη πρόβατον. ὅσῳ τοίνυν κρεῖττον τὸ λογικὸν τοῦ ἀλόγου, τοσούτῳ πλείων ἐνταῦθα καὶ ὁ ἁγιασμός. οὐκοῦν ἀληθῶς ἑορτὴ ὁ σταυρός. Βούλει μαθεῖν αὐτοῦ καὶ ἕτερον κατόρθωμα μέγιστον, πᾶσαν ὑπερβαῖνον ἀνθρωπίνην διάνοιαν; τὸν παράδεισον* ἀποκεκλεισμένον σήμερον ἀνέῳξε. σήμερον γὰρ τὸν λῃστὴν εἰσήγαγεν

γρ. νοσφίσωνται

γρ. εἰδωλικῶν.

α. Τιμ. β. η.

γρ. διαλογισμῶν.

* πεντακισχίλια καὶ πλείω

ἐν αὐτῷ. δύο τὰ μέγιστα κατορθώματα, καὶ τὸν παράδεισον ἀνέῳξε, καὶ τὸν ληστὴν εἰσήγαγεν· ἀπέδωκεν αὐτῷ τὴν ἀρχαίαν πατρίδα, ἐπανήγαγεν αὐτὸν ἐπὶ τὴν πατρῴαν πόλιν. Σήμερον μετ' ἐμοῦ ἔσῃ, φησὶν, ἐν τῷ παραδείσῳ. τί λέγεις; ἐσταύρωσαι καὶ προσήλωσαι ἐν τῷ σταυρῷ ἥλοις, καὶ παράδεισον ἐπαγγέλλῃ; πῶς οὖν τοιαῦτα χαρίζῃ; καὶ μὴν ὁ Παῦλος λέγει, ὅτι Ἐσταυρώθη ἐξ ἀσθενείας. ἀλλ' ἄκουε τῶν ἐπαγομένων. ἀλλὰ ζῇ, φησιν, ἐκ δυνάμεως Θεοῦ. καὶ πάλιν ἀλλαχοῦ· Ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. διὰ τοῦτο ἐν τῷ σταυρῷ νῦν, φησιν, ἐπαγγέλλομαι, ἵνα καὶ διὰ τούτου τὴν ἐμὴν καταμάθῃς δύναμιν. ἐπειδὴ γὰρ τὸ πρᾶγμα σκυθρωπόν ἐστιν, ἵνα μὴ κατηφὴς γένῃ τῇ φύσει τοῦ σταυροῦ προσέχων, ἀλλὰ πρὸς τὴν τοῦ σταυρουμένου δύναμιν ἀποβλέψας, φαιδρὸς ᾖς καὶ γεγανωμένος, διὰ τοῦτο ἐκεῖ ἐπιδείκνυσί σοι τὴν ἰσχὺν τὴν ἑαυτοῦ. οὐ γὰρ νεκρὸν ἀναστήσας, οὐ θαλάττῃ ἐπιτάξας, οὐ δαίμοσιν ἐπιτιμήσας, ἀλλ' ἐσταυρωμένος, προσηλωμένος, ὑβριζόμενος, ἐμπτυόμενος, λοιδορούμενος, χλευαζόμενος, παρὰ πάντων διασυρόμενος ἴσχυσε τὴν πονηρὰν τοῦ λῃστοῦ διάνοιαν ἐφ' ἑαυτὸν ἐπισπάσασθαι. ὅρα ἑκατέρωθεν αὐτοῦ τὴν δύναμιν διαλάμπουσαν. τὴν κτίσιν ἐκλόνησε, τὰς πέτρας διέῤῥηξε, τὴν πέτρας ἀναισθητοτέραν τοῦ λῃστοῦ ψυχὴν κηροῦ μαλακωτέραν εἰργάσατο. Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. τί λέγεις; τὰ χερουβὶμ τηρεῖ τὸν παράδεισον καὶ ἡ φλογίνη ῥομφαία, καὶ σὺ τῷ λῃστῇ τὴν ἐκεῖ εἴσοδον ἐπαγγέλλῃ; ναὶ, φησιν. ἐγὼ γὰρ καὶ τῶν χερουβὶμ εἰμὶ δεσπότης, καὶ φλογὸς καὶ γεέννης καὶ ζωῆς καὶ θανάτου τὴν ἐξουσίαν ἔχω. διὸ καὶ λέγει, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. ἂν ἴδωσι τὸν δεσπότην αἱ δυνάμεις ἐκεῖναι, εὐθέως παραχωροῦσι καὶ ὑπεξίστανται. καίτοιγε βασιλεὺς οὐδεὶς ἄν ποτε ἀνάσχοιτο λῃστὴν ἄνθρωπον, ἢ ἕτερόν τινα τῶν ὁμοδούλων μεθ' ἑαυτοῦ εἰσκαθίσας, οὕτως εἰς τὴν πόλιν εἰσελαύνειν· ὁ δὲ φιλάνθρωπος δεσπότης τοῦτο ἐποίησεν. εἰς τὴν ἱερὰν γὰρ εἰσιὼν πατρίδα, τὸν λῃστὴν μεθ' ἑαυτοῦ εἰσφέρει, οὐχὶ ἀτιμάζων

Λουκ. κγ. μγ.

β. Κορ. ιγ. δ.

β Κορ. ιβ. θ.

γρ. μάθῃς

γρ. ἀναβλέψ.

γρ. ὑποχωρ.

γρ. καθίσας. ἀλλ εἰσκαθίσαντα

ρῷ τὴν δύναμιν τὴν ἐμὴν καταμάθῃς. ἐπειδὴ γὰρ τὸ πρᾶγμα σκυθρωπὸν ἦν, ἵνα μὴ τῇ φύσει τοῦ σταυροῦ προσέχῃς, ἀλλὰ τὴν δύναμιν τοῦ σταυρουμένου μάθῃς, ἐν σταυρῷ τὸ θαῦμα ἐργάζεται τοῦτο, ὃ μάλιστα δείκνυσιν αὐτοῦ τὴν ἰσχύν. οὐ γὰρ νεκρὸν ἀναστήσας, οὐ θαλάττῃ καὶ πνεύμασιν ἐπιτιμήσας, οὐ δαίμονας ἀπελάσας, ἀλλὰ σταυρούμενος, προσηλούμενος, ὑβριζόμενος, ἐμπτυόμενος, λοιδορούμενος, διασυρόμενος ἴσχυσε τὴν πονηρὰν τοῦ λῃστοῦ διάνοιαν μεταθεῖναι· ἵνα ἑκατέρωθεν τὴν δύναμιν αὐτοῦ ἴδῃς. τήν τε γὰρ κτίσιν ἐκλόνησεν ἅπασαν, καὶ τὰς πέτρας διέῤῥηξε, καὶ τῆς πέτρας τε ἀναισθητοτέραν τοῦ λῃστοῦ ψυχὴν ἐπεσπάσατο καὶ ἐτίμησε. Σήμερον γὰρ μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ, φησί. καίτοι τὰ Χερουβὶμ ἐτήρει τὸν παράδεισον. ἀλλ' οὗτος καὶ τῶν Χερουβὶμ δεσπότης. φλογίνη ῥομφαία ἐκεῖ στρέφεται. ἀλλ' αὐτὸς καὶ φλογὸς καὶ γεέννης καὶ ζωῆς καὶ θανάτου ἐξουσίαν ἔχει. καίτοιγε βασιλεὺς οὐδεὶς ἄν ποτε ἀνάσχοιτο λῃστὴν ἄνθρωπον, ἢ ἕτερόν τινα τῶν ὁμοδούλων μεθ' ἑαυτοῦ καθίσας, οὕτως εἰς πόλιν εἰσαγαγεῖν. ἀλλ' ὁ Χριστὸς τοῦτο ἐποίησε· καὶ εἰς τὴν ἱερὰν εἰσερχόμενος πατρίδα, μεθ' ἑαυτοῦ τὸν λῃστὴν εἰσάγει, οὐ καταπατῶν τὸν παράδεισον, οὐδὲ καταισχύνων τοῖς ποσὶ τοῦ λῃστοῦ, ἀλλὰ μᾶλλον τιμῶν τὸν παράδεισον. τιμὴ γὰρ παραδείσου, τὸ τοιοῦτον ἔχειν δεσπότην, ὡς καὶ λῃστὴν ἄξιον ποιῆσαι τῆς τρυφῆς τῆς ἐν τῷ παραδείσῳ. καὶ γὰρ ὅτε τελώνας καὶ πόρνας εἰσήγαγεν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, οὐκ ἀτιμάζων τοῦτο ἐποίει, ἀλλὰ μᾶλλον ἐτίμα, δεικνὺς ὅτι τοιοῦτός ἐστιν ὁ Κύριος τῆς βασιλείας τῶν οὐρανῶν, ὡς καὶ πόρνας καὶ τελώνας οὕτως ἐργάσασθαι δοκίμους, ὡς ἀξίους φανῆναι τῆς ἐκεῖσε τιμῆς καὶ δωρεᾶς. καθάπερ γὰρ ἰατρὸν τότε μάλιστα θαυμάζομεν, ὅταν ἴδωμεν ἀνθρώπους ἀνίατα παθήματα ἔχοντας ἀπαλλάττοντα τῆς ἀῤῥωστίας καὶ πρὸς ὑγείαν ἐπανάγοντα· οὕτω καὶ τὸν Χριστὸν θαυμάζειν δίκαιον, ὅταν τραύματα ἀνίατα θεραπεύῃ, ὅταν τελώνην καὶ πόρνην εἰς

ος τὴν

[illegible] καταγαγεῖν

εἰς τοσαύτην ὑγείαν ἐπανηγάγη, ὡς ἀξί-
ους ἀποφῆναι τῶν οὐρανῶν. καὶ τί τοιοῦτον ὁ
λῃστὴς ἐπεδείξατο, φησὶν, ἵνα παραδείσου τύ-
χῃ μετὰ σταυρόν; βούλει συντόμως εἴπω τὴν
ἀνδρείαν αὐτοῦ; ὅτε Πέτρος ἠρνήσατο κάτω,
τότε ἐκεῖνος ὡμολόγησεν ἄνω. καὶ ταῦτα, οὐ τὸν
Πέτρου κατηγορῶν λέγω (μὴ γένοιτο) ἀλλὰ
τοῦ λῃστοῦ τὴν μεγαλοψυχίαν δεῖξαι βουλό-
μενος. ὁ μαθητὴς ἀπειλὴν οὐκ ἤνεγκεν εὐ-
τελοῦς κορασίου, ὁ δὲ λῃστὴς ὁρῶν δῆμον ὁλό-
κληρον περιεστῶτα, βοῶντα, μαινόμενον, βλα-
σφημίας καὶ σκώμματα ἐξακοντίζοντα, οὐ
προσέσχεν ἐκείνοις, οὐκ ἐνενόησε τὴν φαινο-
μένην εὐτέλειαν τοῦ σταυρουμένου, ἀλλὰ τοῖς
τῆς πίστεως ὀφθαλμοῖς ἅπαντα ταῦτα πα-
ραδραμὼν, καὶ τὰ ταπεινὰ κωλύματα ἀφεὶς,
ἐπέγνω τὸν τῶν οὐρανῶν δεσπότην, καὶ αὐτῷ
Λουκ. κγ. μβ. προσπεσὼν ἔλεγε, Μνήσθητί μου, Κύριε, ὅ-
ταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. μὴ δὴ πα-
ραδράμωμεν ἁπλῶς τὸν λῃστὴν τοῦτον, μηδὲ
ἐπαισχυνθῶμεν διδάσκαλον λαβεῖν, ὃν οὐκ
ἐπῃσχύνθη ὁ δεσπότης ὁ ἡμέτερος πρῶτον
εἰσαγαγεῖν εἰς τὸν παράδεισον. μὴ ἐπαισχυν-
θῶμεν διδάσκαλον λαβεῖν ἄνθρωπον πρὸ τῆς
φύσεως ἁπάσης ἄξιον φανέντα τῆς πολιτεί-
ας τῆς ἐν τοῖς οὐρανοῖς, ἀλλὰ τὸ καθ᾽ ἕκαστον
ἀκριβῶς ἐξετάσωμεν, ἵνα μάθωμεν τὴν σταυ-
ροῦ τὴν δύναμιν. οὐκ εἶπε πρὸς αὐτὸν,
Ματθ. δ. ιθ. καθάπερ πρὸς τὸν Πέτρον, Δεῦρο ὀπίσω μου,
καὶ ποιήσω σε ἁλιέα ἀνθρώπων· οὐδὲ εἶπε
πρὸς αὐτὸν, καθάπερ πρὸς τοὺς δώδεκα, ὅτι
Ματθ. ιθ. κη. Καθίσεσθε ἐπὶ δώδεκα θρόνους κρίνοντες τὰς
δώδεκα φυλὰς τοῦ Ἰσραήλ· μᾶλλον δὲ οὐδὲ
ῥήματος αὐτὸν ὅλως ἠξίωσεν. οὐ θαῦμα ἔ-
δειξεν, οὐ νεκρὸν ἀνιστάμενον ἐθεάσατο, οὐ
δαίμονας ἀπελαυνομένους· οὐ θάλατταν εἶ-
δεν ὑπακούσασαν, οὐ περὶ βασιλείας αὐτῷ
τι εἶπεν, οὐ περὶ γεέννης, καὶ περὶ πάντων
αὐτὸν ὡμολόγησε· καὶ ταῦτα, τοῦ ἑτέρου λοιδο-
ροῦντος. ἐλοιδόρει γὰρ αὐτὸν ὁ ἄλλος λῃστής.
καὶ γὰρ καὶ ἄλλος λῃστὴς ἦν ἐσταυρωμένος μετ᾽ αὐ-
Ησ. νγ. ιβ. τοῦ, ἵνα πληρωθῇ ἐκεῖνο, ὅτι Ἐν τοῖς ἀνόμοις
ἐλογίσθη. ἐβούλοντο γὰρ καὶ τὴν δόξαν αὐτοῦ
διαβαλεῖν οἱ Ἰουδαῖοι, καὶ πανταχόθεν ἐπηρε-
άζειν

τιμάζων τὸν παράδεισον (μὴ γένοιτο) τοῖς πο-
σὶ τοῦ λῃστοῦ, ἀλλὰ ταύτῃ μᾶλλον τιμῶν. τι-
μὴ γὰρ παραδείσου, τὸ τοιοῦτον ἔχειν δεσπότην,
οὕτω δυνατὸν καὶ φιλάνθρωπον, ὡς καὶ λῃστὴν
δυνηθῆναι ποιῆσαι ἄξιον τῆς τρυφῆς τῆς ἐν τῷ πα-
ραδείσῳ. καὶ γὰρ ὅτε τελώνας καὶ πόρνας εἰς τὴν
βασιλείαν ἐκάλει, οὐ καταισχύνων τὴν βασι-
λείαν τοῦτο ἐποίει, ἀλλὰ τιμῶν ″ μάλιστα, καὶ γ. μᾶλλον,
δεικνὺς ὅτι τοιοῦτός ἐστιν ὁ Κύριος τῆς τῶν οὐρα-
νῶν βασιλείας, ὡς καὶ πόρνας καὶ τελώνας οὕτως
ἐργάσασθαι δοκίμους, ὡς ἀξίους φανῆναι τῆς
ἐκεῖ τιμῆς καὶ δωρεᾶς. καθάπερ οὖν ἰατρὸν
τότε θαυμάζομεν, ὅταν ἴδωμεν ὅτι ἀνθρώ-
πους ἀνίατα νοσήματα ἔχοντας ἀπαλλάξας τῆς
ἀρρωστίας, πρὸς καθαρὰν ὑγείαν ἐπανήγαγεν·
οὕτω καὶ τὸν Χριστὸν θαύμασον, ἀγάπησον, καὶ ἐκ-
πλάγηθι, ὅτι λαβὼν ἀνίατα νοσήματα ψυ-
χῆς ἔχοντας ἀνθρώπους, ἴσχυσε καὶ τῆς κακίας ἀ-
παλλάξαι, καὶ τῆς τῶν οὐρανῶν ″ βασιλείας ἀξίους γ. πολιτείας
ἀποφῆναι τοὺς πρὸς τὴν ἐσχάτην πονηρί-
αν ἐληλακότας. σήμερον μετ᾽ ἐμοῦ ἔσῃ ἐν τῷ
παραδείσῳ. μεγάλη τιμὴ, πολὺ τῆς φιλαν-
θρωπίας τὸ μέγεθος, ἄφατος ἡ ὑπερβολὴ τῆς
ἀγαθότητος. τοῦ γὰρ εἰς τὸν παράδεισον εἰσελθεῖν
μείζων τιμὴ τὸ μετὰ τοῦ δεσπότου εἰσελθεῖν.
τί γέγονε, εἰπέ μοι; τί τοιοῦτον ὁ λῃστὴς ἐπε-
δείξατο, ἵνα ἀθρόον παραδείσου ἄξιος φανῇ ἀ-
πὸ τοῦ σταυροῦ; βούλει συντόμως εἴπω, καὶ δεί-
ξω τοῦ λῃστοῦ τὴν εὐγνωμοσύνην; ὅτε Πέτρος
ἠρνεῖτο κάτω ὁ τῶν μαθητῶν κορυφαῖος, τότε
ἐκεῖνος ἄνω ἐπὶ τοῦ σταυροῦ τυγχάνων ὡμολό-
γησε. καὶ τοῦτο οὐ τοῦ Πέτρου κατηγορῶν εἶ-
πον (μὴ γένοιτο) ἀλλὰ τοῦ λῃστοῦ τὴν μεγα-
λοψυχίαν δεῖξαι βουλόμενος, καὶ τὴν ὑπερ-
βάλλουσαν φιλοσοφίαν. ἐκεῖνος οὐκ ἤνεγκε
κόρης ἀπειλὴν εὐτελοῦς· οὗτος δὲ ὁρῶν δῆμον ὁ-
λόκληρον μεμηνότα καὶ περιεστῶτα καὶ βοῶντα
καὶ μυρία εἰς τὸν ἐσταυρωμένον λοιδορούμενον,
οὐκ εἶδε πρὸς τὴν ὕβριν τοῦ ἐσταυρωμένου,
ἀλλὰ τοῖς τῆς πίστεως ὀφθαλμοῖς ἅπαντα
ταῦτα παραδραμὼν, καὶ τὰ ταπεινὰ, καὶ τὰ κω-
λύματα κάτω ἀφεὶς, ἐπέγνω τὸν τῶν ″ οὐ- γ. ἀνθρώπων
ρανῶν δεσπότην, εἰπὼν τὰ βραχέα ἐκεῖνα
ῥήματα καὶ τοῦ παραδείσου ἄξιον αὐτὸν ἀποφή-
ναντα.

νάματα, Μνήσθητί μου ἐν τῇ βασιλείᾳ σου. μὴ παραδράμωμεν ἁπλῶς τὸ εἰρημένον, μηδὲ ἐπαισχυνθῶμεν διδάσκαλον λαβεῖν τὸν λῃστήν, ὃν οὐκ ἐπῃσχύνθη ὁ δεσπότης ἡμέτερος πρῶτον εἰς τὸν παράδεισον εἰσαγαγεῖν. μὴ ἐπαισχυνθῶμεν διδάσκαλον λαβεῖν ἄνθρωπον, πρὸ παντὸς τοῦ τῶν ἀνθρώπων γένους ἄξιον φανέντα τῆς πολιτείας τῆς ἐν τῷ παραδείσῳ. καθ' ἕκαστον τοίνυν τῶν ῥημάτων ἐξετάσωμεν, ἵνα μάθωμεν καὶ ἐντεῦθεν τοῦ σταυροῦ τὴν δύναμιν. οὐδὲ γὰρ εἶπε πρὸς αὐτόν, καθάπερ πρὸς Πέτρον καὶ Ἀνδρέαν, Δεῦτε*, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων· οὐδὲ εἶπε πρὸς αὐτόν, καθάπερ πρὸς τοὺς δώδεκα μαθητάς, ὅτι Καθίσεσθε ἐπὶ δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. ὅλως δὲ οὐδὲ ῥήματος αὐτὸν ἠξίωσεν, οὐδὲ θαύματα εἶδεν, οὐ νεκρὸν ἀνιστάμενον, οὐ δαίμονας ἐλαυνομένους, οὐ θάλατταν εἴκουσαν αὐτοῦ τῷ ἐπιτάγματι, οὐ περὶ βασιλείας αὐτῷ διελέχθη. πόθεν δὲ ᾔδει καὶ τῆς βασιλείας τὸ ὄνομα; ἴδωμεν αὐτοῦ τὴν σύνεσιν τὴν πολλήν. ἐλοιδόρει αὐτόν, φησίν, ὁ ἕτερος λῃστής. καὶ γὰρ καὶ ἕτερος ἦν λῃστὴς συνεσταυρωμένος, ἵνα πληρωθῇ τὸ παρὰ τοῦ προφήτου εἰρημένον, ὅτι καὶ μετὰ ἀνόμων ἐλογίσθη. ἐβούλοντο γὰρ καὶ τὴν δόξαν αὐτοῦ διαβαλεῖν οἱ ἀγνώμονες Ἰουδαῖοι, καὶ πανταχόθεν ἐπηρέαζον τοῖς γινομένοις. ἀλλὰ διὰ πάντων ἡ ἀλήθεια ηὔξανε, καὶ δι' αὐτῶν τῶν κωλυμάτων λαμπροτέρα ἐγίνετο. ἐλοιδόρει τοίνυν αὐτὸν ὁ ἕτερος λῃστής. εἷς δέ τις τῶν εὐαγγελιστῶν φησιν, ὅτι ἀμφότεροι ἐλοιδόρουν τὸν Ἰησοῦν. καὶ τοῦτο δὲ ἀληθές, ὃ καὶ μάλιστα ἐπιτείνει τούτου τὴν εὐγνωμοσύνην. εἰκὸς γὰρ αὐτὸν λοιδορῆσαι μὲν κατὰ τὴν ἀρχήν, ἀθρόον δὲ τοσαύτην τὴν μεταβολὴν ἐπιδείξασθαι. ἐλοιδόρει τοίνυν αὐτόν, φησίν, ὁ ἕτερος λῃστής. εἶδες λῃστήν, καὶ λῃστήν; ἀμφότεροι ἐν τῷ σταυρῷ, ἀμφότεροι ἀπὸ πονηρίας, ἀμφότεροι ἀπὸ βίου λῃστρικοῦ· ἀλλ' οὐκ ἀμφότεροι ἐν τοῖς αὐτοῖς· ἀλλ' ὁ μὲν βασιλείαν ἐκληρονόμησεν, ὁ δὲ εἰς γέενναν παρεπέμπετο. οὕτω καὶ χθὲς μαθητής, καὶ μαθηταί· ἀλλ' ὁ μὲν πρὸς προδοσίαν

Λουκ. κγ. μϐ.
Ματθ. δ. ιθ.
* ὀπίσω μου
Ματθ. ιθ. κη.
Ησ. νγ. ιϐ.
Μαρκ. ιε. λϐ.

αζον τοῖς γινομένοις· ἀλλὰ πανταχόθεν διέλαμπεν ἡ ἀλήθεια, καὶ ηὔξετο διὰ τῶν κωλυμάτων αὐτῶν. ἐλοιδόρει τοίνυν αὐτὸν ὁ ἄλλος λῃστής. εἶδες λῃστήν, καὶ λῃστήν; ἀμφότεροι ἐν σταυρῷ, ἀμφότεροι ἀπὸ βίου λῃστρικοῦ, ἀμφότεροι ἀπὸ πονηρίας· ἀλλ' οὐκ ἀμφότεροι ἐν τοῖς αὐτοῖς· ἀλλ' ὁ μὲν βασιλείαν ἐκληρονόμησεν, ὁ δὲ εἰς γέενναν ἐπέμπετο. οὕτω καὶ χθές· μαθηταί, καὶ μαθητής, Ἰούδας, καὶ οἱ ἕνδεκα. ἀλλ' ἐκεῖνοι μὲν ἔλεγον, Ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα; οὗτος δὲ προδοσίαν παρεσκευάζετο καὶ ἔλεγε· τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; κἀκεῖνοι μὲν πρὸς διακονίαν ηὐτρεπίζοντο καὶ τὴν θείαν μυσταγωγίαν, οὗτος δὲ πρὸς τὸ προδοῦναι ἔσπευδεν. οὕτω καὶ ἐνταῦθα λῃστής, καὶ λῃστής. ἀλλ' ὁ μὲν λοιδορεῖ, ὁ δὲ προσκυνεῖ· καὶ ὁ μὲν βλασφημεῖ, ὁ δὲ εὐφημεῖ, καὶ τὸν βλασφημοῦντα ἐπιστομίζει λέγων· Οὐδὲ φοβῇ σὺ τὸν Θεόν; ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν. εἶδες παρρησίαν λῃστοῦ; εἶδες παρρησίαν ἐν σταυρῷ; εἶδες φιλοσοφίαν ἐν τιμωρίᾳ, καὶ εὐλάβειαν ἐν κολάσει; ὅτι γὰρ ἐν ἑαυτῷ ἦν, ὅτι φρένας εἶχε τῶν ἥλων αὐτῷ ἐμπεπαρμένων, τίς οὐκ ἂν ἐκπλαγείη; ὁ δὲ οὐ μόνον ἐν ἑαυτῷ ἦν, ἀλλὰ καὶ τὰ καθ' ἑαυτὸν ἀφείς, τὰ τῶν ἄλλων ἐφρόντιζε, διδάσκαλος ἐν σταυρῷ γινόμενος, καὶ ἐπιτιμῶν καὶ λέγων, Οὐδὲ φοβῇ σὺ τὸν Θεόν; μὴ πρόσεχε, φησί, τῷ κάτω δικαστηρίῳ· ἔστιν ἕτερος κριτὴς ἀόρατος, ἔστιν ἀδέκαστον δικαστήριον. μὴ τοίνυν ἴδῃς, ὅτι κατεκρίθη κάτω. τὰ γὰρ ἄνω οὐ τοιαῦτα. ἐνταῦθα μὲν γὰρ ἐν τῷ κάτω δικαστηρίῳ καὶ δίκαιοι κατακρίνονται, καὶ ἄδικοι διαφεύγουσι· καὶ ὑπεύθυνοι ἀφίενται, καὶ ἀνεύθυνοι κολάζονται. καὶ γὰρ ἑκόντες καὶ ἄκοντες πολλὰ ἁμαρτάνουσιν οἱ δικάζοντες. ἢ γὰρ ἀγνοοῦντες τὸ δίκαιον καὶ ἀπατώμενοι, ἢ εἰδότες μέν, ὑπὸ χρημάτων δὲ διαφθαρέντες προέδωκαν πολλάκις τὴν ψῆφον. ἄνω δὲ οὐδὲν τοιοῦτόν ἐστιν. ὁ γὰρ Θεὸς κριτὴς δίκαιος, καὶ τὸ κρίμα αὐτοῦ ὡς φῶς ἐξελεύσεται οὐκ ἔχον σκότος οὐδὲ ἄγνοιαν. ἵνα γὰρ μὴ λέγῃ, ὅτι κατεδικάσθη κάτω καὶ κατεκρίθη·

Ματθ. κϛ. ιζ.
Λουκ. κγ. μ.

κατεκρίθη, ἀνήγαγεν αὐτὸν πρὸς τὸ ἄνω δικαστήριον· ἀνέμνησεν ἐκείνου τοῦ φοβεροῦ βήματος, μονονουχὶ λέγων· ἐκεῖ βλέπε, καὶ οὐκ οἴσεις τὴν κατακρίνουσαν ψῆφον, οὐδὲ στήσῃ μετὰ τῶν κάτω διεφθαρμένων κριτῶν· ἀλλ' ἀποδέξῃ τὴν ἄνω γνομένην κρίσιν. Εἶδες φιλοσοφίαν λῃστοῦ; Εἶδες σύνεσιν καὶ διδασκαλίαν; ἀθρόον ἀπὸ τοῦ σταυροῦ εἰς τὸν οὐρανὸν ἀνεπήδησεν. Εἶτα καὶ ἐκ περιουσίας αὐτὸν ἐπιστομίζων, οὐ δέδοικας, φησὶν, ὅτι ἐν τῷ αὐτῷ κρίματί ἐσμεν; τί ἐστιν, ὅτι ἐν τῷ αὐτῷ κρίματί ἐσμεν; ἐν τῇ αὐτῇ κολάσει. μὴ γὰρ οὐχὶ καὶ σὺ ἐν τῷ σταυρῷ εἶ; ἐκεῖνον τοίνυν ὀνειδίζων, ἑαυτὸν πρὸ ἐκείνου περιβάλλῃ. ὥσπερ γὰρ ὁ ἐν ἁμαρτήμασιν ὢν, ἕτερον κατηγορῶν, ἑαυτοῦ πρὸ ἐκείνου κατηγορεῖ, οὕτω καὶ ὁ ἐν συμφορᾷ ὢν καὶ ὀνειδίζων ἑτέρῳ συμφορὰν, ἑαυτὸν πρὸ ἐκείνου ὀνειδίζει. ὅτι ἐν τῷ αὐτῷ κρίματί ἐσμεν. ἀποστολικὸν αὐτῷ νόμον ἀναγινώσκει, εὐαγγελικὰ ῥήματα λέγοντα, Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. ὅτι ἐν τῷ αὐτῷ κρίματί ἐσμεν. τί ποιεῖς, ὦ λῃστά; ἀπολογήσασθαι ὑπὲρ αὐτοῦ ἐπιχειρῶν, κοινωνὸν σαυτὸν ἐποίησας τοῦ λῃστοῦ; οὐχὶ, φησί. διορθοῦμαι τὴν ὑπόνοιαν ταύτην διὰ τῶν ἑξῆς. ἵνα γὰρ μὴ διὰ τὴν κοινωνίαν τῆς τιμωρίας νομίσῃς ὅτι κοινωνὸν αὐτὸν ἐποίησε τῆς ἁμαρτίας, ἐπήγαγε τὴν διόρθωσιν, λέγων· Καὶ ἡμεῖς μὲν δικαίως. ἄξια γὰρ ὧν ἐπράξαμεν πεπόνθαμεν. Εἶδες ἐξομολόγησιν ἀπηρτισμένην; Εἶδες πῶς ἐν τῷ σταυρῷ τὰ ἁμαρτήματα ἀπεδύσατο; Λέγε γὰρ, φησὶ, σὺ τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς. οὐδεὶς ἠνάγκασεν, οὐδεὶς ἐβιάσατο, ἀλλ' αὐτὸς ἑαυτὸν ἐξεπόμπευσεν, εἰπών· καὶ ἡμεῖς μὲν δικαίως. ἄξια γὰρ ὧν ἐποιήσαμεν πεπόνθαμεν· οὗτος δὲ οὐδὲν πονηρὸν ἐποίησε. καὶ μετὰ ταῦτά φησι, Μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου. οὐκ ἐτόλμησε πρότερον εἰπεῖν, μνήσθητί μου ἐν τῇ βασιλείᾳ σου, ἕως ὅτε διὰ τῆς ἐξομολογήσεως ἀπέθετο τῶν ἁμαρτιῶν τὸ φορτίον. ὁρᾷς πόσον ἐστὶν ἐξομολόγησις; ἐξωμολογήσατο, καὶ τὸν παράδεισον ἠνέῳξεν· ἐξομολογήσατο, καὶ παρρησίαν ἔλαβε τοσαύτην, ὡς ἀπὸ λῃ-

στείας

χ. γινομένην

Ματθ. ζ. α.

Λουκ. κγ. μα.

χ. ἀπολαμβανόμενον.

Ησ. μγ. κς.

Λουκ. κγ. μβ.

χ. ἁμαρτημάτων.

δοσίαν προεσκευάζετο, οἱ δὲ πρὸς διακονίαν εὐτρεπίζοντο. καὶ ἐκεῖνος μὲν ἔλεγε τοῖς Φαρισαίοις, Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν· οὗτοι δὲ προσῆλθον τῷ Ἰησοῦ λέγοντες, Ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα; οὕτω καὶ ἐνταῦθα, λῃστὴς, καὶ λῃστής. ἀλλ' ὁ μὲν ἐλοιδορεῖτο, ὁ δὲ ἐπιστομίζει· ὁ μὲν βλασφημεῖ, ὁ δὲ ἐγκαλεῖ, καὶ ταῦτα, ὁρῶν ἐσταυρωμένον αὐτὸν, κατακεκριμένον, τὸν δῆμον κάτωθεν λοιδορούμενον, ἐπιβοῶντα μεγάλα· ἀλλ' ὅμως οὐδὲν τούτων αὐτὸν παρέτρεψεν, οὐδὲ τῆς περισχούσης δόξης ἀπήγαγεν, ἀλλὰ καὶ τῷ ἑτέρῳ λῃστῇ σφοδρῶς ἐπιτίθεται, καί φησι πρὸς αὐτόν· Οὐδὲ φοβῇ τὸν Θεὸν σύ; Εἶδες παρρησίαν λῃστοῦ; Εἶδες πῶς οὐδὲ ἐν σταυρῷ τῆς οἰκείας τέχνης ἐπιλανθάνεται, ἀλλὰ διὰ τῆς ὁμολογίας αὐτῆς λῃστεύει τὴν βασιλείαν; οὐδὲ φοβῇ τὸν Θεὸν σὺ, φησίν; Εἶδες παρρησίαν ἐν σταυρῷ, εἶδες φιλοσοφίαν, εἶδες εὐλάβειαν. ὅτι γὰρ ἐν ἑαυτῷ ἦν, ὅτι τὰς φρένας ὅλως εἶχε τοῖς ἥλοις ἐμπεπαρμένος, καὶ τὰς ἐκ τῶν ἥλων ὀδύνας ὑπομένων τὰς ἀφορήτους, οὐχὶ θαυμάζεσθαι ἄξιος τοῦ γενναίου φρονήματος ἕνεκα; ἐγὼ μὲν οὐ θαυμάζεσθαι μόνον ἄξιον, ἀλλὰ καὶ μακαρίζεσθαι αὐτὸν δικαίως ἂν εἴποιμι. καὶ γὰρ οὐ μόνον οὐκ ἐπεστρέφετο πρὸς τὰς ἀλγηδίνας, ἀλλ' ἀφεὶς τὰ καθ' ἑαυτὸν, τὰ ἑτέρου ἐφρόντιζε, καὶ ὅπως ἐκεῖνον ἐξαρπάσῃ τῆς πλάνης, καὶ διδάσκαλος γίνηται ἐν σταυρῷ, ἐσπούδαζεν. οὐδὲ φοβῇ τὸν Θεὸν, φησὶ, σύ; μονονουχὶ λέγει πρὸς αὐτὸν, μὴ τῷ κάτω δικαστηρίῳ πρόσεχε, μὴ ἀπὸ τῶν ὁρωμένων ψηφίζου, μὴ τὰ γινόμενα μόνον ὅρα. ἔστιν ἕτερος κριτὴς ἀόρατος, ἀδέκαστόν ἐστιν ἐκεῖνο τὸ δικαστήριον παραλογισθῆναι μὴ δυνάμενον. μὴ τοίνυν ἴδῃς, ὅτι κατεκρίθη κάτω· ἀλλὰ τὰ ἄνω οὐ τοιαῦτα. ἐνταῦθα μὲν γὰρ ἐν τῷ κάτω δικαστηρίῳ καὶ ἀνεύθυνοι πολλάκις καταδικάζονται, καὶ ὑπεύθυνοι ἀφίενται, καὶ δίκαιοι κατακρίνονται, καὶ ἄδικοι διαφεύγουσι. τὰ μὲν γὰρ ἑκόντες τῶν κρινομένων, τὰ δὲ ἄκοντες διαφθείρουσιν οἱ πολλοὶ τῶν ἀνθρώπων. ἢ γὰρ ἀγνοοῦντες τὸ δίκαιον καὶ ἀπατηθέντες, ἢ ἰδόντες μὲν, ὑπὸ χρημάτων δὲ διαφθαρέντες προ-

ἔδωκαν

Ματθ. κς. ιε. καὶ ιζ.

χ. λοιδοροῦντα,

Λουκ. κγ. μ

χ. ταύτης

ἐδίωξαν τὴν ἀλήθειαν, καὶ κατεψηφίσαντο τῶν ἀθῴων. ἄνω δὲ οὐδὲν τοιοῦτόν ἐστιν. ὁ Θεὸς γὰρ κριτὴς δίκαιος, καὶ τὸ κρίμα αὐτοῦ ὡς φῶς ἐξελεύσεται. οὐκ ἔχει σκότος, οὐκ ἔχει ἀποκρυβήν, οὐδεμίαν δέχεται παραγραφήν. ἵνα γὰρ μὴ λέγῃ ἐκεῖνος, ὅτι κατεδικάσθη κάτω, τί αὐτῷ συνηγορεῖς; ἀνήγαγεν αὐτὸν ἐπὶ τὸ ἄνω δικαστήριον, ἐπὶ τὸ βῆμα τὸ φοβερόν, ἐπὶ τὸ κριτήριον τὸ ἀδέκαστον, ἐπὶ τὸν ἀπαραλόγιστον δικαστήν· ἀνέμνησεν αὐτὸν ἐκείνου τοῦ φοβεροῦ κριτηρίου. ἐκεῖ βλέπε, φησί, καὶ οὐκ οἴσεις τὴν καταδικάζουσαν ψῆφον· οὐδὲ στήσῃ μετὰ τῶν κάτω ἀνθρώπων, ἀλλὰ θαυμάσεις, καὶ ἀποδέξῃ τὴν ἄνωθεν κρίσιν. Οὐδὲ φοβῇ, φησί, τὸν Θεόν σύ; Εἶδες φιλοσοφίαν λῃστοῦ, εἶδες σύνεσιν, εἶδες διδασκαλίαν. ἀθρόον ἀπὸ τοῦ σταυροῦ πρὸς τὸν οὐρανὸν ἀνέπτη, καὶ ὅρα αὐτὸν τὸν ἀποστολικὸν νόμον ἤδη πληροῦντα, καὶ οὐ τὰ ἑαυτοῦ μόνον σκοποῦντα, ἀλλὰ καὶ πάντα ποιοῦντα καὶ πραγματευόμενον, ὥστε καὶ ἐκεῖνον τῆς πλάνης ἀπαλλάξαι, καὶ πρὸς τὴν ἀλήθειαν ἐπαναγαγεῖν. Εἰπὼν γάρ, Οὐδὲ φοβῇ τὸν Θεόν σύ, ἐπήγαγεν, Ὅτι ἐν τῷ αὐτῷ κρίματί ἐσμεν. σκόπει ἐξομολόγησιν ἀπηρτισμένην. τί ἐστιν, ἐν τῷ αὐτῷ κρίματί ἐσμεν; ἐν τῇ αὐτῇ, φησί, κολάσει. καὶ ἡμεῖς γὰρ ἐν σταυρῷ ἐσμεν. ἐκεῖνον τοίνυν ὀνειδίζων, σαυτὸν πρὸ ἐκείνου βάλλεις ταῖς λοιδορίαις. ὥσπερ οὖν ὁ ἐν ἁμαρτήμασιν ὤν, καὶ ἕτερον καταδικάζων, ἑαυτὸν πρὸ ἐκείνου καταδικάζει, οὕτω καὶ ὁ ἐν συμφορᾷ ὤν, καὶ ὀνειδίζων ἑτέρου συμφοράν, ἑαυτὸν πρὸ ἐκείνου ὀνειδίζει. ἐν τῷ αὐτῷ κρίματι, φησίν, ἐσμέν. ἀποστολικὸν αὐτῷ νόμον ἀναγινώσκει, εὐαγγελικὰ ῥήματα λέγοντα· Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. ὅτι ἐν τῷ αὐτῷ κρίματί ἐσμεν. τί ποιεῖς, ὦ λῃστά; κοινωνὸν ὑμῶν αὐτὸν ποιεῖς λέγων, ἐν τῷ αὐτῷ κρίματί ἐσμεν; οὐχί, φησίν. ἐπάγει τὴν διόρθωσιν διὰ τῶν ἑξῆς· Καὶ ἡμεῖς μέν, φησί, δικαίως. ἄξια γὰρ ὧν ἐποιήσαμεν ἀπολαμβάνομεν. ἵνα γὰρ μὴ ἀκούσας ὅτι εἶπεν, ἐν τῷ αὐτῷ κρίματί ἐσμεν, νομίσῃς ὅτι κοινωνὸν αὐτὸν τῆς ἁμαρτίας ἐποίησε, διὰ τοῦτο ἐπήγαγε τὴν διόρθωσιν, καί φησιν· ἡμεῖς μὲν

δικαίως.

γρ. διεφθαρμένων κριτῶν

γρ. αἰτεῖ

Ματθ. ζ. α.

Λουκ. κγ. μα.

στείας βασιλείαν αἰτῆσαι. ὁρᾷς πόσων ἀγαθῶν ἡμῖν αἴτιος ὁ σταυρός; βασιλείας μέμνησαι; τί γὰρ ὁρᾷς τοιοῦτον, εἰπέ μοι; ἧλοι καὶ σταυρὸς τὰ ὁρώμενα. ἀλλ' αὐτὸς οὗτος ὁ σταυρός, φησί, τῆς βασιλείας ἐστὶ σύμβολον. διὰ τοῦτο δὲ αὐτὸν βασιλέα καλῶ, ἐπειδὴ βλέπω αὐτὸν σταυρούμενον. βασιλέως γάρ ἐστι τὸ ὑπὲρ τῶν ἀρχομένων ἀποθνήσκειν. αὐτὸς δὲ ἑαυτοῦ εἶπεν· Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. οὐκοῦν καὶ ὁ βασιλεὺς ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν ἀρχομένων. ἐπεὶ οὖν τὴν ψυχὴν αὐτοῦ ἔθηκεν, διὰ τοῦτο αὐτὸν βασιλέα καλῶ. μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου. Εἶδες πῶς καὶ βασιλείας ὁ σταυρὸς σύμβολον; βούλει καὶ ἑτέρωθεν τοῦτο μαθεῖν; οὐκ ἀφῆκεν αὐτὸν εἶναι ἐπὶ τῆς γῆς, ἀλλ' ἀνέσπασεν αὐτόν, καὶ εἰς τὸν οὐρανὸν ἀνήγαγε. πόθεν τοῦτο δῆλον; ἐπειδὴ μετ' αὐτοῦ μέλλει ἔρχεσθαι ἐν τῇ δευτέρᾳ καὶ ἐνδόξῳ αὐτοῦ παρουσίᾳ. ἵνα μάθῃς πῶς σεμνὸν πρᾶγμα ὁ σταυρός, διὸ καὶ δόξαν αὐτὸν ἐκάλεσεν. ἀλλ' ἴδωμεν πῶς μετὰ τοῦ σταυροῦ ἔρχεται. ἀναγκαῖον γὰρ ἐπαναγαγεῖν τὴν ἀπόδειξιν. Ἐὰν εἴπωσι, φησίν, ἰδοὺ ἐν τοῖς ταμείοις ἐστὶν ὁ Χριστός, ἰδοὺ ἐν τῇ ἐρήμῳ ἐστί, μὴ ἀπέλθητε, περὶ τῆς δευτέρας αὐτοῦ παρουσίας λέγων τῆς ἐνδόξου διὰ τοὺς ψευδοχρίστους, διὰ τοὺς ψευδοπροφήτας, διὰ τὸν ἀντίχριστον· ἵνα μή τις πλανηθεὶς ἐκείνῳ περιπέσῃ. ἐπειδὴ γὰρ πρὸ τοῦ Χριστοῦ ὁ ἀντίχριστος ἔρχεται, ἵνα μὴ ζητῶν τις τὸν ποιμένα τῷ λύκῳ περιπέσῃ, διὰ τοῦτό σοι λέγω γνώρισμα τῆς τοῦ ποιμένος παρουσίας. ἐπειδὴ γὰρ ἡ πρώτη αὐτοῦ παρουσία λανθάνουσα γέγονεν, ἵνα μὴ νομίσῃς ὅτι καὶ ἡ δευτέρα τοιαύτη γίνεται, τοῦτο δέδωκε τὸ σημεῖον. αὕτη μὲν γὰρ λανθάνουσα εἰκότως γέγονεν (ἦλθε γὰρ ζητῆσαι τὸ ἀπολωλός) ἐκείνη δὲ οὐχ οὕτως· ἀλλὰ πῶς, εἰπέ; Ὥσπερ γὰρ ἐξέρχεται ἡ ἀστραπὴ ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. ἀθρόον ἅπασι φανήσεται, καὶ οὐ δεήσεται οὐδεὶς ἐρωτῆσαι, εἴτε ἐνταῦθα, εἴτε ἐκεῖ ὁ Χριστός. ὥσπερ γὰρ ἀστραπῆς φαινομένης οὐ δεόμεθα ἐξε-

τάζειν

Ιωαν. ι. ια.

Ματθ. κδ. κς.

Ματθ. κδ. κζ.

τάζειν εἰ ἐγένετο· οὕτω τῆς παρουσίας γενομένης τοῦ Χριστοῦ, οὐ δεόμεθα ἐξετάζειν, εἰ παραγέγονεν ὁ Χριστός. ἀλλὰ τὸ ζητούμενον, εἰ μετὰ σταυροῦ ἔρχεται. μὴ γὰρ δὴ ἐπιλαθώμεθα τῆς ὑποσχέσεως. ἀκούσωμεν τοίνυν τῶν ἑξῆς. Τότε, φησί. πότε, πότε; ὅταν ἔρχεται ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς. τοσαύτη γὰρ ἔσται τοῦ φωτὸς τότε ἡ ὑπερβολή, ὡς καὶ τὰ φαιδρότατα ἄστρα ἀποκρυβῆναι. τότε καὶ οἱ ἀστέρες πεσοῦνται, τότε τὸ σημεῖον φανήσεται τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ. Εἶδες πόση ἀρετὸ τοῦ σημείου* τοῦ σταυροῦ; ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ ″φανήσεται· ἐκεῖνο δὲ λάμπει καὶ φαίνει, ἵνα μάθῃς ὅτι καὶ ″ἡλίου καὶ σελήνης φαιδρότερον. καὶ καθάπερ βασιλέως εἰς πόλιν εἰσιόντος οἱ στρατιῶται προλαμβάνοντες τὰ λεγόμενα, σίγνα βαστάζοντες ἐπὶ τῶν ὤμων αὐτῶν, προαγγέλλοντες τὴν εἴσοδον αὐτοῦ, οὕτω καὶ τοῦ Κυρίου κατιόντος ἐκ τῶν οὐρανῶν προέρχεται τὰ στρατόπεδα τῶν ἀγγέλων καὶ ἀρχαγγέλων, τὸ σημεῖον ἐκεῖνο φέροντες ἐπὶ τῶν ὤμων, καὶ τὴν βασιλικὴν αὐτοῦ εἴσοδον ἀπαγγέλλοντες ἡμῖν.

Ματθ. κδ. λ

* τιμία

γρ. δώσει τὸ φέγγος αὐτῆς·

Τότε

δικαίως. ἄξια γὰρ ὧν ἐποιήσαμεν ἀπολαμβάνομεν. Εἶδες ἐξομολόγησιν τελείαν ἐν σταυρῷ. εἶδες πῶς ἀπενίψατο διὰ τοῦ ῥήματος τὰ ἁμαρτήματα, εἶδες πῶς ἐπλήρωσεν ἐκεῖνο τὸ προφητικὸν παράγγελμα· Λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς. οὐδεὶς αὐτὸν ἠνάγκασεν, οὐδεὶς κατηγόρησεν, οὐδεὶς ἐπέθετο· αὐτὸς ἑαυτοῦ κατήγορος γίνεται· διὰ τοῦτο οὐδένα λοιπὸν εἶχεν ἕτερον κατήγορον. προλαβὼν γὰρ ἥρπασε τὴν τάξιν τοῦ κατηγόρου, καὶ ἑαυτὸν ἐστηλίτευσε λέγων· ἡμεῖς δικαίως (ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν) οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξεν. Εἶδες εὐσέβειαν ἐπιτεταμένην. ὅτε δὴ κατηγόρησεν ἑαυτοῦ, ὅτε ἐξεπόμπευσε τὰ καθ' ἑαυτόν, ὅτε ἀπελογήσατο ὑπὲρ τοῦ δεσπότου εἰπών, ὅτι ἡμεῖς μὲν δικαίως, οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε, τότε καὶ τὴν ἱκεσίαν προσαγαγεῖν ἐθάρρησε, λέγων· Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. οὐκ ἐτόλμησε πρότερον εἰπεῖν, μνήσθητί μου, ἕως ὅτε διὰ τῆς ἐξομολογήσεως ἐκάθηρεν ἑαυτὸν τοῦ ῥύπου τῶν ἁμαρτημάτων, ἕως ὅτε καταδικάσας ἑαυτὸν ἀνεύθυνον εἰργάσατο, ἕως ὅτε διὰ τῆς κατηγορίας ἀπέθετο ″τὰ πλημμελήματα. ὁρᾷς πόσην ἰσχὺν ἐξομολόγησις καὶ ἐν αὐτῷ τῷ σταυρῷ; Ταῦτα ἀκούων, ἀγαπητέ, μηδέποτε ἀπογνῷς σαυτοῦ, ἀλλ' ἐννοῶν τὸ ἄφατον μέγεθος τῆς τοῦ Θεοῦ φιλανθρωπίας, ἐπείγου πρὸς τὴν τῶν ἡμαρτημένων διόρθωσιν. Εἰ γὰρ ἐν σταυρῷ ὄντα τὸν λῃστὴν τοσαύτης ἠξίωσε τῆς φιλοτιμίας, πολλῷ μᾶλλον ἡμᾶς τῆς οἰκείας ἀξιώσει φιλανθρωπίας, εἰ βουληθείημεν τῶν πεπλημμελημένων τὴν ἐξομολόγησιν ποιήσασθαι. ἵνα τοίνυν καὶ ἡμεῖς τῆς παρ' αὐτοῦ φιλανθρωπίας ἀπολαύσωμεν, ἐξομολογεῖσθαι τὰ ἑαυτῶν ἁμαρτήματα μὴ ἐπαισχυνώμεθα. μεγάλη γὰρ τῆς ἐξομολογήσεως ἡ ἰσχύς, καὶ πολλὴ ταύτης ἡ δύναμις. ἰδοὺ γὰρ καὶ οὗτος ἐξωμολογήσατο, καὶ τὸν παράδεισον εὗρεν ἀνεῳγμένον· ἐξωμολογήσατο, καὶ παρρησίαν ἔλαβεν, ὁ ἐν λῃστείᾳ ὤν, βασιλείαν αἰτῆσαι. μέχρις ἐκείνου τοῦ καιροῦ τὴν βασιλείαν τῶν οὐρανῶν οὐκ ᾔτησε. πόθεν, εἰπέ μοι, βασιλείας, ὦ λῃστά, μέμνησαι; τί γὰρ εἶδες τοιοῦτον νῦν; ἧλοι καὶ σταυρὸς τὰ ὁρώμενα, καὶ κατηγορία, καὶ σκώμματα, καὶ λοιδορίαι. ναί, φησιν· αὐτὸς γὰρ ὁ σταυρός, βασιλείας ἐστί μοι δοκεῖ σύμβολον. διὰ τοῦτο δὲ αὐτὸν βασιλέα καλῶ, ἐπειδὴ βλέπω αὐτὸν σταυρούμενον. βασιλέως γάρ ἐστιν ὑπὲρ τῶν ἀρχομένων ἀποθνήσκειν. αὐτὸς εἶπεν, Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· οὐκοῦν καὶ ὁ βασιλεὺς ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν ἀρχομένων. ἐπεὶ οὖν τὴν ψυχὴν αὐτοῦ τέθηκε, διὰ τοῦτο αὐτὸν βασιλέα καλῶ. μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. βούλει μαθεῖν, πῶς καὶ βασιλείας σύμβολον ὁ σταυρός, καὶ πῶς σεμνὸν τὸ πρᾶγμά ἐστιν; οὐκ ἀφῆκεν αὐτὸν εἶναι ἐπὶ τῆς γῆς, ἀλλ' ″ἀνέσπασεν αὐτὸν καὶ εἰς τὸν οὐρανὸν ἀνήγαγε. πόθεν δῆλον τοῦτο; μετ' αὐτοῦ μέλλει ἔρχεσθαι ἐν τῇ δευτέρᾳ* παρουσίᾳ. ἀλλ' ἴδωμεν καὶ πῶς μέλλει μετ' αὐτοῦ ἔρχεσθαι*. ἀκούσωμεν αὐτοῦ λέγοντος τοῦ Χριστοῦ· Ἐὰν εἴπωσιν ὑμῖν,

ἰδοὺ

Ησ. μδ. κϛ.

Λουκ. κγ. μβ.

γρ. τὸ ἁμαρτίας τὸ φορτίον.

Ιωάν. ι. ια.

γρ. ἀνήγαγεν αὐτὸν εἰς τὸν οὐρανόν.

* αὐτοῦ καὶ δόξης

* ἀναγκαῖον γὰρ ἐπαγαγεῖν τὴν ἀπόδειξιν.

Ματθ. κδ. κϛ.

ἰδοὺ ἐν τοῖς ταμιείοις ἐστὶν ὁ Χριστός, ἰδοὺ ἐν τῇ ἐρήμῳ, μὴ ἐξέλθητε, περὶ τῆς δευτέρας αὐτοῦ
παρουσίας λέγων, διὰ τοὺς ψευδοχρίστους, διὰ τοὺς ψευδοπροφήτας, διὰ τὸν ἀντίχριστον, ἵνα
μή τις πλανηθεὶς ἐκείνῳ περιπέσῃ. ἐπειδὴ γὰρ πρὸ τοῦ Χριστοῦ ὁ ἀντίχριστος ἔρχεται, ἵνα χ. σταυροῦ
μὴ ζητοῦντές, φησι, τὸν ποιμένα τῷ λύκῳ περιπέσητε, διὰ τοῦτο ὑμῖν λέγω γνωρίσματα τῆς
τοῦ ποιμένος παρουσίας. ἐπειδὴ γὰρ ἡ πρώτη αὐτοῦ παρουσία λανθάνουσα ἐγένετο, μὴ νομίσητε, φησιν,
ὅτι καὶ ἡ δευτέρα τοιαύτη ἔσται. ἐκείνη γὰρ εἰκότως λανθάνουσα ἐγένετο (ἦλθε γὰρ ζητῆσαι
Ματθ. κδ. κζ. τὸ ἀπολωλός) αὕτη δὲ οὐχ οὕτως· ἀλλὰ πῶς, εἰπὲ καὶ δίδαξον. Ὥσπερ ἐξέρχεται, φησιν, ἡ ἀστραπὴ
ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. ἀθρόον
πᾶσι φανεῖται· οὐ δεήσεται οὐδεὶς ἐρωτῆσαι. ὥσπερ γὰρ ἀστραπῆς φαινομένης, οὐ δεόμεθα ἐξετάζειν, εἰ
ἐγένετο ἀστραπή· οὕτω τῆς παρουσίας αὐτοῦ γινομένης, οὐ δεησόμεθα ἐξετάζειν, εἰ παρεγένετο ὁ Χριστός.
Ματθ. κδ. κθ. ἀλλὰ τὸ ζητούμενον οὐδέπω καὶ νῦν εἰρήκαμεν, εἰ μετὰ τοῦ σταυροῦ ἔρχεται. ἄκουε τοίνυν καὶ τοῦτο σαφῶς
αὐτοῦ δηλοῦντος. Τότε, φησί, τουτέστιν, ὅταν ἔρχωμαι, ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ
φέγγος αὐτῆς. τοσαύτη γὰρ ἔσται τοῦ φωτὸς τότε ἡ ὑπερβολή, ὡς καὶ τὰ φανώτατα ἄστρα ἀποκρύπτεσθαι. χ. φαιδρότατα
Καὶ οἱ ἀστέρες γάρ, φησι, πεσοῦνται, καὶ οὕτω τὸ σημεῖον φανήσεται τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ.
Εἶδες πόση ἡ ὑπερβολὴ τοῦ σημείου, πόση φαιδρότης, πόση λαμπηδών; ὁ ἥλιος σκοτίζεται, ἡ
σελήνη οὐ φαίνει, τὰ ἄστρα πίπτει· ἐκεῖνο δὲ μόνον φαίνεται, ἵνα μάθῃς ὅτι καὶ σελήνης φανώτερον,
καὶ ἡλίου φαιδρότερόν ἐστι. καθάπερ γὰρ βασιλέως εἰσιόντος, τὰ στρατόπεδα προλαμβάνοντα, τὰ σημεῖα φέρει ἐπὶ τῶν ὤμων, καὶ προαγγέλλει τοῦ βασιλέως τὴν εἴσοδον· οὕτω τοῦ χ. τὰ λεγόμενα σίγνα
τῆς κτίσεως δεσπότου καταβαίνοντος ἐκ τῶν οὐρανῶν, προλαμβάνει τὰ στρατόπεδα τῶν ἀγγέλων
καὶ τῶν ἀρχαγγέλων τὸ σημεῖον ἐκεῖνο βαστάζοντα, καὶ τὴν βασιλικὴν εἴσοδον ἡμῖν ἀπαγγέλλοντα.
Ματθ. κδ. κθ. Τότε, φησί, καὶ αἱ δυνάμεις τῶν οὐρανῶν

σαλευθήσονται, περὶ τῶν ἀγγέλων καὶ τῶν ἀρχαγγέλων λέγων, καὶ πασῶν τῶν ἀοράτων δυνάμεων. τρόμος γὰρ αὐτοὺς λήψεται, καὶ φόβος πολὺς καὶ ἀγωνία. τίνος δὲ ἕνεκεν, εἰπέ μοι, καὶ αἱ δυνάμεις ἐκεῖναι ἐν φόβῳ καθεστήκασιν; εἰκότως φοβερὸν ἔσται τότε τὸ δικαστήριον. ἅπασα ἡ τῶν ἀνθρώπων φύσις μέλλει κρίνεσθαι καὶ εὐθύνας ὑπέχειν καὶ παρίστασθαι βήματι φοβερῷ. τί δήποτε δὲ καὶ οἱ ἄγγελοι τότε τρέμουσι, καὶ αἱ ἀσώματοι δυνάμεις ἐκεῖναι δεδοίκασιν; οὐδὲ γὰρ ἐκεῖνοι μέλλουσι κρίνεσθαι. καθάπερ δικαστοῦ τοὺς ὑπευθύνους καταδικάζοντος, καὶ ἐφ' ὑψηλοῦ τοῦ βήματος καθεζομένου, οὐχὶ οἱ ὑπεύθυνοι μόνον, ἀλλὰ καὶ οἱ τῆς τάξεως αὐτῆς παρεστῶτες, οἱ μηδὲν ἑαυτοῖς συνειδότες, ὅμως δεδοίκασι καὶ φρίττουσι διὰ τὸν φόβον τοῦ δικαστοῦ· οὕτω καὶ τότε, τῆς φύσεως τῆς ἡμετέρας κρινομένης καὶ τῶν πλημμελημάτων τὰς εὐθύνας ἀπαιτουμένης, καὶ οἱ μηδὲν συνειδότες ἑαυτοῖς ἄγγελοι καὶ αἱ λοιπαὶ δυνάμεις δεδοίκασι καὶ τρέμουσι διὰ τὴν ἀπειλὴν τοῦ δικαστοῦ. χ. ὑπερβολὴν τοῦ φόβου ἀλλὰ τοῦτο μὲν ἔγνωμεν· τίνος δὲ ἕνεκεν καὶ διὰ τί ἔχων τὸν σταυρὸν ἔρχεται;

μανθάνεις

Ματθ. κδ. κθ. Τότε σαλευθήσονται αἱ δυνάμεις τῶν οὐρανῶν. περὶ τῶν ἀγγέλων φησί, τρόμος λήψεται αὐτοὺς τότε καὶ φόβος πολύς. καὶ τίνος ἕνεκεν, εἰπέ μοι, φοβερὸν ἔσται τὸ δικαστήριον ἐκεῖνο; πᾶσα γὰρ ἡμῶν ἡ φύσις μέλλει κρίνεσθαι καὶ παρίστασθαι τῷ φοβερῷ δικαστῇ. τίνος οὖν ἕνεκεν οἱ ἄγγελοι δεδοίκασι καὶ φρίττουσιν; οὐ γὰρ ἐκεῖνοι μέλλουσι κρίνεσθαι. καθάπερ γὰρ ἄρχοντος δικάζοντος, οὐχὶ οἱ ὑπεύθυνοι μόνον, ἀλλὰ καὶ οἱ τῆς τάξεως, οἱ μηδὲν * ἑαυτοῖς συνειδότες δεδοίκασι καὶ φρίττουσι διὰ τὸν φόβον τοῦ δικαστοῦ· οὕτω καὶ τότε, τῆς φύσεως τῆς ἡμετέρας κρινομένης, καὶ οἱ μηδὲν ἑαυτοῖς συνειδότες ἄγγελοι δεδοίκασι διὰ τὴν ὑπερβολὴν τοῦ φόβου τοῦ δικαστοῦ. ἀλλὰ διὰ τί ὁ σταυρὸς φαίνεται τότε, καὶ διὰ τί ἔχων αὐτὸν ἔρχεται; ἵνα μάθωσι τὴν οἰκείαν αὐτῶν ἀγνωμοσύνην οἱ σταυρώσαντες αὐτόν, διὰ τοῦτο αὐτὸ τὸ σύμβολον τῆς ἀναισχυντίας αὐτῶν δείκνυσι. καὶ ὅτι διὰ τοῦτο αὐτὸν φέρει, ἄκουσον τοῦ || προφήτου λέγοντος· Ἰω. εὐαγγελιστοῦ Ματθ. κδ. λ. Τότε κόψονται αἱ φυλαὶ τῆς γῆς, βλέπουσαι τὸν κατήγορον, καὶ ἐπιγινώσκουσαι τὸ ἁμάρτημα. καὶ τί θαυμάζεις;

* καὶ

ζεις, εἰ τὸν σταυρὸν φέρων ἔρχεται, ὅπουγε καὶ αὐτὰ τὰ τραύματα τότε δείκνυσιν; Ὄψονται γάρ, φησιν, εἰς ὃν ἐξεκέντησαν. καθάπερ γὰρ ἐπὶ τοῦ Θωμᾶ ἐποίησε, βουλόμενος ἀπιστίαν διορθῶσαι τοῦ μαθητοῦ, καὶ λύσας ἔδειξεν αὐτῷ τὸν τύπον τῶν ἥλων, καὶ τὰ τραύματα, εἰπών, Βάλε τὴν χεῖρά σου, καὶ βλέπε, ὅτι πνεῦμα σάρκα καὶ ὀστᾶ οὐκ ἔχει· οὕτω καὶ τότε δείξει τὰ τραύματα καὶ τὸν σταυρόν, ἵνα δείξῃ ὅτι οὗτός ἐστιν ἐκεῖνος ὁ σταυρωθείς. οὐκ ἀπὸ τοῦ σταυροῦ δὲ μόνον, ἀλλὰ καὶ ἀπὸ αὐτῶν τῶν ῥημάτων τῶν ἐν τῷ σταυρῷ τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν ἐστὶν ἰδεῖν. ἔτι γὰρ προσηλωμένος καὶ κωμῳδούμενος καὶ καταγελώμενος τότε καὶ ἐμπτυόμενος, ἔλεγε· Πάτερ, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν*· οὐ γὰρ οἴδασι τί ποιοῦσι. καὶ σταυρούμενος ὑπὲρ τῶν σταυρούντων εὔχεται. καίτοι ἐκεῖνοι τὸ ἐναντίον ἔλεγον, Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσομέν σοι, φησί. καὶ μὴν διὰ τοῦτο οὐ καταβαίνει ἀπὸ τοῦ σταυροῦ, ἐπειδὴ υἱός ἐστι τοῦ Θεοῦ, καὶ διὰ τοῦτο ἦλθεν, ἵνα σταυρωθῇ ὑπὲρ ἡμῶν. κατάβηθι ἀπὸ τοῦ σταυροῦ, φησί, καὶ πιστεύσομέν σοι. ῥήματα ταῦτα, καὶ πρόφασις ἀπιστίας. τοῦ γὰρ καταβῆναι ἀπὸ τοῦ σταυροῦ πολλῷ μεῖζον ἦν τὸ ἀναστῆναι τοῦ λίθου ἐπικειμένου τῷ τάφῳ· τοῦ καταβῆναι ἀπὸ τοῦ σταυροῦ πολλῷ μεῖζον ἦν τὸ νεκρὸν διεφθαρμένον καὶ τετραήμερον ὄντα τὸν Λάζαρον μετὰ τῶν κειριῶν ἐξαγαγεῖν τοῦ μνήματος. ἐκεῖνοι μὲν οὖν ἔλεγον, Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, σῶσον σεαυτόν· αὐτὸς δὲ πάντα ἔπραττεν, ὅπως ἐκείνους σώσῃ τοὺς ὀνειδίζοντας αὐτόν, λέγων, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν· οὐ γὰρ οἴδασι τί ποιοῦσι. τί οὖν; ἀφῆκεν αὐτοῖς τὴν ἁμαρτίαν; ἀφῆκεν, εἰ ἐβούλοντο μετανοῆσαι. εἰ γὰρ μὴ ἀφῆκεν αὐτοῖς τὴν ἁμαρτίαν, οὐκ ἂν Παῦλος ἀπόστολος ἐγένετο· εἰ μὴ ἀφῆκεν αὐτοῖς τὴν ἁμαρτίαν, οὐκ ἂν εὐθέως τρισχίλιοι ἐπίστευσαν καὶ πεντακισχίλιοι καὶ πολλαὶ μυριάδες. ὅτι γὰρ πολλαὶ μυριάδες Ἰουδαίων ἐπίστευσαν, ἄκουσον τί λέγουσιν οἱ ἀπόστολοι τῷ Παύλῳ. Θεωρεῖς, ἀδελφέ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων. μιμησώμεθα τοίνυν τὸν δεσπότην, καὶ ὑπὲρ τῶν

ἐχθρῶν

Ζαχ. ιβ. ι.

χ. καὶ τύπους

Ιωαν. κα. κζ.

Λουκ. κγ. κδ.

*ταύτην

Ματθ. κζ. μ.

Πραξ. κα. κ.

μάνθανε καὶ τούτου τὴν αἰτίαν. ἵνα γὰρ δι' αὐτῶν τῶν ἔργων μάθωσιν οἱ σταυρώσαντες τὴν οἰκείαν ἀγνωμοσύνην, διὰ τοῦτο αὐτὸν τὸν ἔλεγχον τῆς μανίας αὐτοῖς δείκνυσι. καὶ ἵνα μάθῃς ὅτι διὰ τοῦτο αὐτὸν φέρει, ἵνα αὐτῶν καθάψηται, ἄκουε πάλιν αὐτοῦ τοῦ εὐαγγελιστοῦ λέγοντος· Τότε φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς βλέπουσαι τὸν κατήγορον καὶ ἐπιγινώσκουσαι τὸ ἁμάρτημα. καὶ τί θαυμάζεις, εἰ τὸν σταυρὸν φέρων ἔρχεται; αὐτὰ τὰ τραύματα μεθ' ἑαυτοῦ φέρων ἔρχεται. πόθεν δῆλον, ὅτι αὐτὰ τὰ τραύματα φέρει μεθ' ἑαυτοῦ; ἄκουε τοῦ προφήτου λέγοντος, Ὄψονται εἰς ὃν ἐξεκέντησαν· καθάπερ γὰρ ἐπὶ τοῦ Θωμᾶ ἐποίησε, βουλόμενος τὴν ἀπιστίαν διορθῶσαι τοῦ μαθητοῦ, καὶ ἔδειξεν αὐτῷ τοὺς τύπους τῶν ἥλων, καὶ αὐτὰ τὰ τραύματα, καὶ λέγει, Βάλε τὸν δάκτυλόν σου, καὶ φέρε τὴν χεῖρά σου, καὶ ἴδε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, ἵνα δείξῃ αὐτῷ, ὅτι ἀληθῶς ἀνέστη· οὕτω καὶ τότε φέρει τὰ τραύματα καὶ τὸν σταυρόν, ἵνα αὐτοῖς δείξῃ, ὅτι αὐτός ἐστιν ἐκεῖνος ὁ σταυρωθείς. μέγα ἄρα ἀγαθὸν καὶ σωτήριον, καὶ τεκμήριον ἐναργὲς τῆς τοῦ Θεοῦ φιλανθρωπίας. μᾶλλον δὲ οὐχ ὁ σταυρὸς μόνον, ἀλλὰ καὶ αὐτὰ τὰ ῥήματα τὰ ἐπὶ τοῦ σταυροῦ δείκνυσιν αὐτοῦ τὴν ἄφατον φιλανθρωπίαν. καὶ ἄκουε αὐτῶν τῶν ῥημάτων. παρεστώτων γὰρ αὐτῷ τῶν σταυρωσάντων καὶ τῷ θυμῷ ζεόντων, Πάτερ, φησίν, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· οὐ γὰρ οἴδασι τί ποιοῦσιν. εἶδες φιλανθρωπίαν δεσπότου; σταυρούμενος ὑπὲρ τῶν σταυρούντων παρεκάλει. καίτοι ἐκεῖνοι ἐχλεύαζον, διέσυρον αὐτὸν λέγοντες, Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ. καὶ μὴν διὰ τοῦτο οὐ καταβαίνει ἀπὸ τοῦ σταυροῦ, ἐπειδὴ υἱός ἐστι τοῦ Θεοῦ. διὰ τοῦτο γὰρ ἦλθεν, ἵνα σταυρωθῇ ὑπὲρ ἡμῶν. καταβάτω, φησίν, ἀπὸ τοῦ σταυροῦ, ἵνα ἴδωμεν, καὶ πιστεύσωμεν εἰς αὐτόν. ὅρα ἀναισχυντίας ῥήματα καὶ προφάσεις ἀπιστίας. τοῦ καταβῆναι ἀπὸ τοῦ σταυροῦ μεῖζον ἐποίησε, καὶ οὐκ ἐπίστευσαν, καὶ νῦν λέγουσι, κατάβα ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσομέν σοι. τοῦ γὰρ καταβῆναι ἀπὸ τοῦ σταυροῦ πολὺ μεῖζον ἦν τὸ νεκρὸν ἀναστῆναι τοῦ λίθου ἐπικειμένου τῷ τά-

φῳ,

χ. αὐτὸ τὸ σύμβολον τῆς ἀναισχυντίας αὐτῶν

χ. τοῦ προφή

Ματθ. κδ. λ.

Ζαχ. ιβ. ι.

Ιωαν. κα. κζ.

Λουκ. κγ. κδ.

χ. λ χτι.

Ματθ. κζ. μ.

φῳ, τοῦ καταβῆναι ἀπὸ τοῦ σταυροῦ πολὺ μεῖζον ἦν τὸ τετραήμερον ὄντα τὸν Λάζαρον κειρίαις ἐνειλημμένον, μετὰ τούτων ἐξαγαγεῖν ἐκ τοῦ μνημείου. Εἶδες ἀνοίας ῥήματα, εἶδες μανίας ὑπερβολήν. ἀλλὰ προσέχετε μετὰ ἀκριβείας, παρακαλῶ, ἵνα εἰδῆτε Θεοῦ φιλανθρωπίαν ὑπερβάλλουσαν, καὶ πῶς αὐτῇ τῇ ἀνοίᾳ αὐτῶν ἀφορμῇ κέχρηται εἰς συγγνώμην ὁ Χριστός. Πάτερ, φησὶν, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν· οὐ γὰρ οἴδασι τί ποιοῦσι. μονονουχὶ γὰρ τοῦτο δηλοῖ, δι' ὧν φησιν· Ἀνόητοί εἰσι, καὶ ἀγνοοῦσιν ὃ πράττουσι. κἀκεῖνοι μὲν ἔλεγον, Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, σῶσον σεαυτόν· αὐτὸς δὲ ″ ἐσπούδαζεν, ὅπως ἐκείνους σώσῃ τοὺς ὀνειδίζοντας αὐτῷ καὶ κωμῳδοῦντας καὶ λοιδορουμένους. ἄφες αὐτοῖς, φησὶ, τὴν ἁμαρτίαν ταύτην· οὐ γὰρ οἴδασι τί ποιοῦσι. τί οὖν; ἀφῆκεν αὐτοῖς τὴν ἁμαρτίαν; ἀφῆκε τοῖς βουληθεῖσι τὴν μετάνοιαν ἐπιδείξασθαι. καὶ εἰ μὴ ἀφῆκεν αὐτοῖς τὴν ἁμαρτίαν, οὐκ ἂν Παῦλος ἀπόστολος ἐγένετο· εἰ μὴ ἀφῆκεν αὐτοῖς τὴν ἁμαρτίαν, οὐκ ἂν εὐθέως τρισχίλιοι καὶ πεντακισχίλιοι, οὐκ ἂν αἱ πολλαὶ μυριάδες τῶν Ἰουδαίων ἐπίστευσαν ὕστερον. ἄκουσον γὰρ τί φησι πρὸς τὸν Παῦλον Ἰάκωβος ἐν Ἱεροσολύμοις· Θεωρεῖς, ἀδελφὲ, πόσαι μυριάδες εἰσὶ τῶν πεπιστευκότων Ἰουδαίων. μιμησώμεθα τοίνυν, παρακαλῶ, καὶ ἡμεῖς τὸν δεσπότην, καὶ ὑπὲρ τῶν ἐχθρῶν εὐχώμεθα. ἅπερ χθὲς παρῄνεσα, ταῦτα καὶ νῦν πάλιν παραινῶ, εἰδὼς τοῦ κατορθώματος τὸ μέγεθος. μίμησαί σου τὸν δεσπότην. ἐκεῖνος ἐσταυροῦτο, καὶ ὑπὲρ τῶν σταυρούντων ″ παρεκάλει. καὶ πῶς δύναμαι, φησὶ, τὸν δεσπότην μιμήσασθαι; ἂν ἐθέλῃς, δύνασαι. εἰ μὴ ἦν δυνατὸν, οὐκ ἂν ἔλεγε, Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ. εἰ μὴ δυνατὸν ἦν ἀνθρώπῳ μιμήσασθαι, οὐκ ἂν ὁ Παῦλος εἶπε, Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ. πλὴν ἀλλ' οὐ βούλει μιμήσασθαι τὸν δεσπότην; μίμησαί σου τὸν σύνδουλον, τὸν Στέφανον λέγω τὸν πρῶτον ἀνοίξαντα τὰς τοῦ μαρτυρίου θύρας. ἐκεῖνος τὸν δεσπότην ἐμιμήσατο. καθάπερ γὰρ ὁ δεσπότης μεταξὺ

τῶν

γρ. πάντα ἔπραττεν,

Πραξ. κα. κ.

γρ. τῷ πατρὶ διελέγετο

Ματθ. ια κθ.

α. Κορ. ια. α.

ἐχθρῶν εὐχώμεθα. πάλιν γὰρ αὐτῆς ἐπιλαμβανόμεθα τῆς παραινέσεως. πέμπτην ἔχω σήμερον ἡμέραν ὑπὲρ ταύτης ὑμῖν τῆς ὑποθέσεως διαλεγόμενος, οὐχὶ καταγινώσκων ὑμῶν παρακοὴν (μὴ γένοιτο) ἀλλὰ μάλιστα ἐλπίζων ὅτι πεισθήσεσθε. εἰ δέ τινές εἰσι σκληροὶ καὶ ὀργίλοι καὶ δυσανάγωγοι, ὥστε παρακοῦσαι τῶν περὶ τῆς εὐχῆς ῥηθέντων, κἂν τὸν ἀριθμὸν τῶν ἡμερῶν αἰδεσθέντες ἀποθῶνταί ποτε τὴν ἔχθραν καὶ τὴν μικροψυχίαν. μίμησαί σου τὸν δεσπότην. ἐσταυροῦτο, καὶ ὑπὲρ τῶν σταυρούντων τῷ πατρὶ διελέγετο. καὶ πῶς δύναμαι, φησὶ, τὸν δεσπότην μιμήσασθαι; ἐὰν θέλῃς, δύνασαι. εἰ μὴ γὰρ οἷόστε ἦς μιμήσασθαι, πῶς ἔλεγε, Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ; εἰ μὴ δυνατὸν ἦν μιμήσασθαι, οὐκ ἂν ἔλεγεν ὁ Παῦλος, Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ. πλὴν ἀλλ' οὐ βούλει τὸν δεσπότην μιμήσασθαι; μίμησαι τὸν σύνδουλον, Στέφανον λέγω τὸν ἀπόστολον. καὶ γὰρ ἐκεῖνος τὸν δεσπότην ἐμιμήσατο. καὶ καθάπερ ὁ Χριστὸς μεταξὺ τῶν σταυρούντων, ἀφεὶς τὸν σταυρὸν, ἀφεὶς τὰ καθ' ἑαυτὸν, ὑπὲρ τῶν σταυρούντων παρεκάλει τὸν πατέρα· οὕτω καὶ ὁ δοῦλος μεταξὺ τῶν λιθαζόντων, βαλλόμενος ὑπὸ πάντων, δεχόμενος τὰς βολὰς τῶν λίθων, καὶ τὰς ὀδύνας τὰς ἐκ τούτων γινομένας ἀφεὶς, ἔλεγε· Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. Εἶδες πῶς διαλέγεται ὁ υἱός; εἶδες πῶς δέεται ὁ δοῦλος; ἐκεῖνός φησι, Πάτερ, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· οὐ γὰρ οἴδασι τί ποιοῦσιν· οὗτος δέ φησι, Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. καὶ ἵνα μάθῃς ὅτι μετὰ σπουδῆς εὔχεται, οὐχ ἁπλῶς εὔχεται ἑστὼς καὶ καταλευόμενος, ἀλλὰ θεὶς τὰ γόνατα εἶπε μετὰ κατανύξεως, μετὰ πολλῆς συμπαθείας. βούλεσθε δείξω καὶ ἄλλον σύνδουλον πολλῷ μείζονα ἐκείνου παθόντα; ὁ Παῦλός φησιν, Ὑπὸ Ἰουδαίων τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα. τί οὖν μετὰ ταῦτα; Ηὐχόμην, φησὶν, αὐτὸς ἀνάθεμα εἶναι ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα. θέλεις καὶ ἄλλον ἰδεῖν,

[illegible]

Ματθ. ια

α. Κορ. ια α.

Πραξ. ζ.

Κορ. ια κγ

Ρωμ. θ γ.

οὐκ ἀπὸ τῆς καινῆς, ἀλλ᾽ ἀπὸ τῆς παλαιᾶς; τοῦτο γάρ ἐστι μάλιστα τὸ θαυμαστόν, ὅτι ὅπου οὐκ ἐκελεύοντο τοὺς ἐχθροὺς φιλεῖν, ἀλλ᾽ ὀφθαλμὸν ἐκκόπτειν ἀντ᾽ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος, καὶ τοῖς ἴσοις ἀμείψασθαι κακοῖς, πρὸς ἀποστολικὴν ἔφθασαν φιλοσοφίαν. ἄκουσον τί φησιν ὁ Μωϋσῆς, ὁ λιθασθεὶς ὑπὸ τῶν Ἰουδαίων πολλάκις, καὶ καταφρονηθεὶς ὑπ᾽ αὐτῶν; Εἰ μὲν ἀφίης αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου, ἧς ἔγραψας. ὁρᾷς ἕκαστον τὴν τῶν ἄλλων ἀσφάλειαν περὶ τῆς οἰκείας σωτηρίας τιθέμενον; οὐδὲν ἥμαρτες· καὶ τί βούλει κοινωνῆσαι αὐτοῖς τῆς τιμωρίας; ὅτι οὐ σφόδρα αἰσθάνομαι, φησί, τῆς εὐπραγίας, ἑτέρων πασχόντων κακῶς. ἤρκει μὲν οὖν καὶ ταῦτα ἡμῖν τὰ παραδείγματα. ἵνα δὲ ἐκ περιουσίας διορθώσωμεν ἑαυτούς, καὶ ἑτέρους τὰ αὐτὰ φιλοσοφοῦντας ″πειράσομαι. καὶ γὰρ ὁ Δαβὶδ ὁ μακάριος ἐκεῖνος καὶ πρᾶος, τοῦ στρατοπέδου παντὸς κατεξαναστάντος αὐτοῦ, καὶ τὸν υἱὸν καθοπλίσαντος τὸν Ἀβεσαλώμ, καὶ ἐπιθεμένου τῇ τυραννίδι, καὶ βουληθέντος αὐτὸν σφάξαι, εἶτα τοῦ Θεοῦ διὰ τοῦτο παροξυνθέντος (τί γὰρ εἰ καὶ πρόφασιν ἑτέραν ἐπέθηκε τῇ σφαγῇ) καὶ τὸν ἄγγελον πέμψαντος ῥομφαίαν ἐσπασμένον, καὶ τὴν πληγὴν ἐπιφέροντα ἄνωθεν, ὁρῶν ἀπολλυμένους ἅπαντας, τί φησιν; Ἐγὼ ὁ ποιμὴν ἥμαρτον, κἀγὼ ὁ ποιμὴν ἐκακοποίησα· γενέσθω ἐπ᾽ ἐμὲ ἡ χείρ σου, καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός μου. ὁρᾷς πάλιν συγγενῆ τὰ κατορθώματα; βούλει σοι δείξω καὶ ἄλλον; οὐδὲ γὰρ ἑτέρου τὰ αὐτὰ φιλοσοφοῦντος ἀπορήσομεν. Σαμουὴλ ὁ προφήτης ἐκεῖνος ὑβρίσθη παρὰ τῶν Ἰουδαίων, ἀπεχειροτονήθη, ἠτιμάσθη οὕτως, ὡς τὸν Θεὸν θελῆσαι αὐτὸν παραμυθήσασθαι καὶ εἰπεῖν· Οὐ σὲ ἐξουδενήκασιν, ἀλλ᾽ ἐμέ. τί οὖν ἐκεῖνος ὁ ἐξουδενηθείς, ὁ καταφρονηθείς, ὁ ὑβρισθείς; Ἐμοὶ δὲ μὴ γένοιτο, φησίν, ἁμαρτεῖν οὕτως, ὡς διαλιπεῖν προσευχόμενον ὑπὲρ ὑμῶν πρὸς Κύριον. ἁμαρτίαν ἐνόμισεν εἶναι, τὸ μὴ προσεύχεσθαι ὑπὲρ τῶν ἐχθρῶν. μὴ γένοιτο γάρ μοι ἁμαρτεῖν οὕτως, ὡς μὴ

Ἐξοδ. λϐ. λϐ.

ἴσ. πειράσομαι δεῖξαι.

β. Βασ. κδ. ιζ.

α. Βασ. η. ζ.

α. Βασ. ιβ. κγ.

τῶν σταυρούντων αὐτὸν κρεμάμενος ὑπὲρ τῶν σταυρούντων παρεκάλει, οὕτω καὶ ὁ δοῦλος μεταξὺ τῶν λιθαζόντων ὤν, βαλλόμενος ὑπὸ πάντων, καὶ τὰς νιφάδας τῶν λίθων δεχόμενος, τὰς ὀδύνας τὰς ἐκ τούτων γινομένας ἀφεὶς ἔλεγε, Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. Εἶδες πῶς υἱὸς διαλέγεται, καὶ πῶς δοῦλος εὔχεται. ἐκεῖνος λέγει, πάτερ, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· οὐ γὰρ οἴδασι τί ποιοῦσιν· οὗτος λέγει, Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. καὶ ἵνα μάθῃς ὅτι ἐσπουδασμένως τοῦτο ποιεῖ, οὐχ ἁπλῶς ηὔξατο, οὐδὲ ἀφοσιούμενος, οὐδὲ ἑστώς, ἀλλὰ θεὶς τὰ γόνατα, μετὰ κατανύξεως, μετὰ πολλῆς τῆς συμπαθείας. βούλει σοι δείξω καὶ ἄλλον δοῦλον μείζονα εὐχόμενον εὐχὴν ὑπὲρ τῶν ἐχθρῶν; ἄκουε τοῦ μακαρίου Παύλου λέγοντος. μετὰ γὰρ τὸ εἰπεῖν ὅσα πέπονθεν, ὅτι Πεντάκις τεσσαράκοντα παρὰ μίαν παρὰ Ἰουδαίων ἔλαβον, τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα, καὶ ἀπαριθμήσασθαι τὸν ὁρμαθὸν καὶ τὰς ἐπιβουλάς, ἃς παρ᾽ αὐτῶν καθ᾽ ἑκάστην ὑπέμεινε, φησὶ καὶ αὐτός· Ηὐχόμην ἀνάθεμα εἶναι αὐτὸς ἐγὼ ἀπὸ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα, οἵτινές εἰσιν Ἰσραηλῖται. θέλεις καὶ ἑτέρους ἰδεῖν οὐχὶ ἀπὸ τῆς καινῆς, ἀλλὰ καὶ ἀπὸ τῆς παλαιᾶς τὸ αὐτὸ τοῦτο ποιοῦντας; τοῦτο γὰρ μάλιστά ἐστι τὸ θαυμαστόν, ὅταν οἱ μὴ κελευσθέντες τοὺς ἐχθροὺς φιλεῖν, ἀλλ᾽ ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος ἐκβάλλειν, καὶ τοῖς ἴσοις ″ἀμύνεσθαι, οὗτοι πρὸς τὴν ἀποστολικὴν φθάσωσι κορυφήν. ἄκουσον γοῦν τί φησι Μωϋσῆς ὁ καταλευσθεὶς πολλάκις ὑπὸ τῶν Ἰουδαίων· Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου, ἧς ἔγραψας. ὁρᾷς ἕκαστον τῶν δικαίων τὴν τῶν ἄλλων ἀσφάλειαν περὶ τῆς οἰκείας σωτηρίας τιθέμενον; οὐδὲν ἥμαρτες· τίνος ἕνεκεν κοινωνῆσαι βούλει αὐτῶν τῆς τιμωρίας; οὐκ αἰσθάνομαι, φησί, τῆς εὐπραγίας, ἑτέρων πασχόντων κακῶς. ἔστι δὲ καὶ ἑτέρους ἰδεῖν τοιαύτην ποιουμένους εὐχήν. πολλὰ γὰρ ἐπίτηδες παράγω τὰ παραδείγματα, ἵνα κἂν οὕτως ἑαυ-

Πραξ. ζ. ξ.

β. Κορ. ια. κγ.

Ρωμ. θ. γ.

γρ. ἀμείψασθ.

Ἐξοδ. λϐ. λϐ.

τοὺς διορθώσωμεν, καὶ τὸ χαλεπὸν τοῦτο νόσημα τῆς αὐτῶν ψυχῆς ἐξορίσωμεν, τὸ κατεύχεσθαι λέγω τῶν ἐχθρῶν. ἄκουε καὶ τοῦ μακαρίου Δαβίδ, ἡνίκα τοῦ Θεοῦ παροξυνθέντος καὶ ἄγγελον ἀποστείλαντος τὸν τιμωρησόμενον τὸ πλῆθος, τί φησιν, ὁρῶν λοιπὸν γυμνὴν τὴν ῥομφαίαν δεικνῦντα τὸν ἄγγελον καὶ τὴν πληγὴν ἐπιφέρειν μέλλοντα· Ἐγὼ ὁ ποιμὴν ἐκακοποίησα, καὶ οὗτοι τὸ ποίμνιον τί ἐποίησαν; γενέσθω ἡ χείρ σου ἐπ' ἐμὲ, καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός μου. ὁρᾷς πάλιν συγγενῆ τὰ κατορθώματα; βούλει σοι δείξω καὶ ἕτερον τοῦτο ποιοῦντα; Σαμουὴλ ὁ προφήτης ὑβρίσθη παρὰ τῶν Ἰουδαίων, ἐξουθενήθη, ἠτιμάσθη οὕτως, ὡς τὸν Θεὸν θελῆσαι αὐτὸν παραμυθήσασθαι. προσέχετε, παρακαλῶ, μετὰ ἀκριβείας. εἶπε γὰρ πρὸς αὐτὸν ὁ Θεός· Οὐ σὲ ἐξουθενήκασιν, ἀλλ' ἐμέ. τί οὖν ἐκεῖνος ὁ ἐξουθενηθεὶς, ὁ ἀτιμασθεὶς, ὁ καταφρονηθεὶς, ὁ ὑβρισθείς; ἄκουε τί φησιν. Ἐμοὶ δὲ μὴ γένοιτο ἁμαρτεῖν τῷ Κυρίῳ τοῦ διαλιπεῖν προσευχόμενον ὑπὲρ ὑμῶν. ἁμαρτίαν ἐνόμισεν εἶναι τὸ μὴ προσεύχεσθαι ὑπὲρ τῶν ἐχθρῶν. μὴ γένοιτό μοι, φησιν, ἁμαρτεῖν οὕτως, ὡς μὴ προσεύξασθαι ὑπὲρ ὑμῶν. εἶδες ἕκαστον τῶν δικαίων, πόσην τούτου τοῦ κατορθώματος ἐποιήσατο τὴν ἐπιμέλειαν, τῷ δεσπότῃ κατακολουθῶν; ἴδωμεν τοίνυν ἄνωθεν τὰ εἰρημένα. ὁ δεσπότης λέγει, Πάτερ, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν· Οὐ γὰρ οἴδασι τί ποιοῦσιν. ὁ Στέφανος εἶπε, Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. ὁ Παῦλος λέγει, Ηὐχόμην ἀνάθεμα εἶναι αὐτὸς ἐγὼ ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα. ὁ Μωϋσῆς ″ ὁμοίως, Εἰ μὲν ἀφῆς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου ἧς ἔγραψας. ὁ Δαβὶδ λέγει, Γενέσθω ἡ χείρ σου ἐπ' ἐμὲ, καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός μου. ὁ Σαμουὴλ ″ ὡσαύτως, Ἐμοὶ δὲ μὴ γένοιτο ἁμαρτεῖν τοῦ διαλιπεῖν προσευχόμενον ὑπὲρ ὑμῶν. ποίας οὖν τύχοιμεν ἡμεῖς συγγνώμης λοιπὸν, τῶν ἀπὸ τῆς χάριτος, τῶν ἀπὸ τῆς παλαιᾶς, [ὥσπερ] πάντων ἡμᾶς ὠθούντων εἰς τὴν ὑπὲρ τῶν ἐχθρῶν εὐχὴν, εἰ μὴ μετὰ πάσης σπουδῆς τοῦτο κατορθοῦν σπουδάσομεν. μὴ τοίνυν ῥᾳθυμῶμεν, παρακαλῶ. ὅσῳ γὰρ πλείονα τὰ παραδείγματα, τοσούτῳ, ἂν μὴ μιμησώμεθα, μείζων ἡ κόλασις. πολὺ γὰρ μεῖζόν ἐστι τὸ ὑπὲρ τῶν ἐχθρῶν εὔχεσθαι, ἢ ὑπὲρ τῶν φίλων. οὐχ οὕτως ἡμᾶς ὠφελεῖ τὸ ὑπὲρ τῶν φίλων

β. Βασ. κδ. ιζ.
α. Βασ. η. ζ.
α. Βασ. ιβ. κγ.
Λουκ. κγ. λδ.
Πραξ. ζ. ξ.
Ρωμ. θ. γ.
χ. λέγει
Ἐξοδ. λβ. λβ.
β. Βασ. κδ. ιζ.
χ. λέγει

προσεύχεσθαι ὑπὲρ ὑμῶν. ὁ Χριστὸς λέγει, Πάτερ, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν· οὐ γὰρ οἴδασι τί ποιοῦσιν. ὁ Στέφανος λέγει, Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. ὁ Παῦλος λέγει, Ηὐχόμην ἀνάθεμα εἶναι ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν κατὰ σάρκα. ὁ Μωϋσῆς λέγει, Εἰ μὲν ἀφίης αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου, ἧς ἔγραψας. ὁ Δαβὶδ λέγει, Γενέσθω ἡ χείρ σου ἐπ' ἐμὲ, καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός μου. ὁ Σαμουὴλ λέγει, Ἐμοὶ δὲ μὴ γένοιτο ἁμαρτεῖν τοῦ διαλιπεῖν προσευχόμενον ὑπὲρ ὑμῶν τῷ Κυρίῳ. ποίας οὖν τευξόμεθα συγγνώμης, εἰπέ μοι, τοῦ δεσπότου, τῶν δούλων, τῶν ἀπὸ τῆς καινῆς, τῶν ἀπὸ τῆς παλαιᾶς, πάντων ἡμᾶς ὠθούντων εἰς τὴν ὑπὲρ τῶν ἐχθρῶν εὐχὴν, αὐτοὶ δὲ ἐναντίον ποιοῦντες, καὶ κατὰ τῶν ἐχθρῶν εὐχόμενοι; μὴ, παρακαλῶ, μὴ ἀδελφοί. καὶ γὰρ ὅσῳ πλείονα τὰ παραδείγματα, τοσούτῳ, ἐὰν μὴ μιμησώμεθα, μείζων ἡ κόλασις. μεῖζον δὲ ὑπὲρ τῶν ἐχθρῶν εὔχεσθαι τοῦ ὑπὲρ τῶν φίλων. οὐδὲ γὰρ οὕτως ὑμᾶς ὠφελεῖ ἐκεῖνο, ὡς τοῦτο. Ἐὰν γὰρ φιλῆτε τοὺς φιλοῦντας ὑμᾶς, οὐδὲν μέγα ποιεῖτε, φησί. καὶ γὰρ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσιν. ὥστε ἐὰν ὑπὲρ τῶν φίλων εὐχώμεθα, οὐδέπω τῶν ἐθνικῶν ἢ τελωνῶν ἐγενόμεθα βελτίους. ὅταν δὲ τοὺς ἐχθροὺς φιλήσωμεν, τοῦ Θεοῦ κατὰ δύναμιν ἀνθρωπίνην ὅμοιοι γεγόναμεν, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. γενώμεθα τοίνυν ὅμοιοι τοῦ πατρός. γίνεσθε γάρ, φησιν, ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς· ἵνα καὶ τῆς βασιλείας τῶν οὐρανῶν καταξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λουκ. κγ. λδ.
Πραξ. ζ. ξ.
Ρωμ. θ. γ.
Ἐξοδ. λβ. λβ.
β. Βασ. κδ. ιζ.
α. Βασ. ιβ. κγ.
Ματθ. ε. μς.
Ματθ. ε. με.

λων εὔχεσθαι, ὡς τὸ ὑπὲρ τῶν ἐχθρῶν. ἄκουε τοῦ Χριστοῦ λέγοντος, Ἐὰν ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστίν; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσιν; ὅταν τοίνυν ὑπὲρ τῶν φίλων εὐχώμεθα, οὐδέπω τῶν τελωνῶν γινόμεθα βελτίους· ἐὰν δὲ τοὺς ἐχθροὺς φιλήσωμεν, καὶ ὑπὲρ τῶν ἐχθρῶν εὐχώμεθα, ὅμοιοι γινόμεθα τῷ Θεῷ κατὰ δύναμιν ἀνθρωπίνην. Ἔσεσθε γάρ, φησιν, ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. ὅταν οὖν καὶ ἀπὸ τοῦ δεσπότου, καὶ ἀπὸ τῶν δούλων ἔχωμεν τὰ παραδείγματα, ζηλώσωμεν, κατορθώσωμεν τὴν ἀρετήν· ἵνα καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν καταξιωθῶμεν, καὶ τῇ φρικτῇ ταύτῃ τραπέζῃ μετὰ πλείονος τῆς * παρρησίας τὸ συνειδὸς ἑαυτῶν ἐκκαθάραντες, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. ε. μϛ.

* ἴσ. παῤῥησίας προσέλθωμεν

Λογ. πε. ΚΑΤΑ ΜΕΘΥΟΝΤΩΝ, ΚΑΙ ΕΙΣ ΤΗΝ ΑΝΑΣΤΑΣΙΝ λόγος α. λεχθεὶς τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ τοῦ πάσχα.

Ἀπεθέμεθα τῆς νηστείας τὸ φορτίον, ἀλλὰ μὴ ἀποθώμεθα τῆς νηστείας τὸν καρπόν. ἔστι γὰρ φορτίον ἀποθέσθαι νηστείας, καὶ καρπὸν δρέψασθαι νηστείας. παρῆλθεν ὁ πόνος τῶν ἀγώνων, ἀλλὰ μὴ παρέλθῃ ἡ σπουδὴ τῶν κατορθωμάτων· ἀπῆλθεν ἡ * νηστεία, ἀλλὰ μενέτω ἡ * εὐλάβεια. μᾶλλον δὲ οὐδὲ ἡ νηστεία ἀπῆλθεν· ἀλλὰ μὴ φοβηθῆτε. οὐ γὰρ εἶπον, οὐχὶ ἑτέραν ὑμῖν κηρύσσων τεσσαρακοστήν, ἀλλὰ τὴν αὐτὴν ὑμῖν ἀρετὴν καταγγέλλων. παρῆλθεν ἡ νηστεία ἡ σωματική, ἀλλ' οὐ παρῆλθεν ἡ νηστεία ἡ πνευματική. αὕτη βελτίων ἐκείνης, κἀκείνη διὰ ταύτην ἐγένετο. ὥσπερ, ὅτε ἐνηστεύετε, ἔλεγον ὑμῖν, ὅτι ἔστι νηστεύοντα μὴ νηστεύειν· οὕτω καὶ νῦν λέγω, ὅτι ἔστι μὴ νηστεύοντα νηστεύειν. τάχα αἴνιγμα εἶναι δοκεῖ τὸ λεγόμενον, ἀλλ' ἐγὼ τὴν λύσιν ἐπάγω τῷ ζητήματι. πῶς ἔστι νηστεύοντα μὴ νηστεύειν; ὅταν τις βρωμάτων μὲν ἀπέχηται, ἁμαρτημάτων δὲ μὴ ἀπέχηται. πῶς ἔστι μὴ νηστεύοντα νηστεύειν; ὅταν τις τροφῆς μὲν ἀπολαύῃ, ἁμαρτίας δὲ μὴ γεύηται. αὕτη βελτίων ἐκείνης ἡ νηστεία· οὐ βελτίων δὲ μόνον, ἀλλὰ καὶ κουφοτέρα. ἐπ' ἐκείνης τῆς νηστείας ἀσθένειαν προεβάλλοντο πολλοὶ σωματικήν, κνησμὸν χαλεπόν. ψώρας ἐμπέπλησμαι, φησιν, ἀλγεσίδην οὐχ ὑπομένω, ἡ ὑδροποσία με διαφθείρει, λαχάνων ἀπογεύεσθαι οὐ δύναμαι. πολλὰ τοιαῦτα ἤκουον τότε λεγόντων πολλῶν. ἐπὶ τῆς νηστείας ταύτης * οὐδὲν τοιοῦτόν ἐστιν εἰπεῖν. ἀπόλαυε λουτρῶν, μέτεχε τραπέζης, οἰνοποσίᾳ κέχρησο συμμέτρῳ. κἂν κρεῶν ἀπογεύεσθαι μέλλῃς, ὁ κωλύων οὐδείς· πάντων ἀπόλαυσον, μόνον ἁμαρτίας ἀπόστηθι. εἶδες πῶς πᾶσιν αὕτη ῥᾳδία ἡ νηστεία; οὐκ ἔστι * σώματος ἀσθένειαν προβαλέσθαι· τῆς ψυχῆς καθαρόν ἐστι τὸ κατόρθωμα. ἔστι καὶ μὴ πίνοντα οἶνον μεθύειν, καὶ πίνοντα οἶνον σωφρονεῖν. καὶ ὅτι ἔστιν ἄνευ οἴνου μέθη, ἄκουσον τοῦ προφήτου λέγοντος· Οὐαὶ οἱ μεθύοντες ἄνευ οἴνου. καὶ πῶς ἐστιν ἄνευ οἴνου μεθύειν; ὅταν τὸν ἄκρατον τῶν παθῶν μὴ κεράσῃς εὐσεβεῖ λογισμῷ. ἔστι καὶ πίνοντα οἶνον μὴ μεθύειν. καὶ ἐὰν μὴ τοῦτο ᾖ, οὐκ ἂν τοῦτο ἐπέταξεν ὁ Παῦλος τῷ Τιμοθέῳ γράφων οὕτως· Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας. μέθη γὰρ οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ ἔκστασις τῶν κατὰ φύσιν φρενῶν, παρατροπὴ λογισμῶν, ἐρημία διανοίας, πενία συνέσεως. ταῦτα δὲ οὐχ ἡ μέθη ποιεῖ μόνον ἡ ἐξ οἴνου, ἀλλὰ καὶ μέθη ἡ διὰ ὀργῆς καὶ ἐπιθυμίας ἀτόπου. καθάπερ γὰρ πυρετὸν μὲν ποιεῖ ἀγρυπνία, ποιεῖ δὲ κόπος, ποιεῖ δὲ ἀθυμία, ποιεῖ δὲ χυμὸς διεφθαρμένος· καὶ διάφορος μὲν ἡ ὑπόθεσις, ἓν δὲ τὸ πάθος καὶ τὸ νόσημα· οὕτω καὶ ἐπὶ τούτων. ποιεῖ μὲν οἶνος μέθην, ποιεῖ δὲ ἐπιθυμία

* πάρεστι
* τιμία
* πνευματικῆς
* ἐνταῦθα

Ησ. να. κα.
α. Τιμ. ε. κγ.

ποιεῖ δὲ χυμὸς διεφθαρμένος· καὶ διάφορος μὲν ἡ ὑπόθεσις, ἓν δὲ τὸ πάθος καὶ τὸ νόσημα. ἀπεχώμεθα τοίνυν μέθης. οὐ λέγω, ἀπεχώμεθα οἴνου, ἀλλ᾽, ἀπεχώμεθα μέθης. οὐκ οἶνος ποιεῖ μέθην (κτίσμα γάρ ἐστι Θεοῦ· Θεοῦ δὲ κτίσμα οὐδὲν ποιεῖ πονηρόν) ἀλλὰ προαίρεσις πονηρὰ ποιεῖ μέθην. καὶ ὅτι ἐστὶ καὶ ἄλλως μεθύειν, οὐχὶ οἴνῳ μόνῳ, ἄκουσον τί φησιν ὁ Παῦλος· Μὴ μεθύσκεσθε οἴνῳ, δεικνὺς, ὅτι ἐστὶ καὶ ἄλλως μεθύσκεσθαι· μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία. θαυμασίως ἐν βραχεῖ ῥήματι πᾶσαν τῆς μέθης τὴν κατηγορίαν εἶπε. τί ἐστι, μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία; ἀσώτους τῶν νέων ἐκείνους καλοῦμεν τοὺς πατρῷον διαδεξαμένους κλῆρον, καὶ πάντα ἀθρόον* ἐκφορήσαντας, καὶ μὴ λογιζομένους, τίνι χρὴ δοῦναι, καὶ πότε δοῦναι, ἀλλ᾽ ἁπλῶς, καὶ ἱμάτια, καὶ χρυσίον, καὶ ἀργύριον, καὶ πάντα τὸν πατρῷον πλοῦτον διανέμοντας εἰς πόρνας καὶ λάγνους. τοιοῦτόν ἐστιν ἡ μέθη· ὥσπερ ἄσωτον λαβοῦσα νέον τὴν διάνοιαν τῶν μεθυόντων, καὶ αἰχμαλωτίσασα τοὺς λογισμοὺς, ἅπασαν ἡμῶν τὴν οὐσίαν τῶν νοημάτων ἀπερισκέπτως καὶ χωρίς τινος ἀκριβείας ἐκχέειν καταναγκάζει. ὁ μεθύων οὐκ οἶδε τί μὲν εἰπεῖν χρὴ, τί δὲ σιγῆσαι, ἀλλ᾽ ἀθύρωτον αὐτοῦ* τὸ στόμα διηνεκῶς· μοχλὸς οὐκ ἐπίκειται, οὐδὲ θύρα τοῖς χείλεσιν. ὁ μεθύων οὐκ οἶδεν οἰκονομῆσαι τοὺς λόγους αὐτοῦ ἐν κρίσει, οὐκ οἶδε διαθεῖναι τὸν πλοῦτον τῆς διανοίας*· οὐκ οἶδε τὰ μὲν ἀποθέσθαι, τὰ δὲ ἀναλῶσαι· ἀλλὰ πάντα ἐκεῖ δαπάνη καὶ ἔξοδος*. μέθη ἑκούσιος μανία, μέθη προδοσία λογισμῶν, μέθη συμφορὰ καταγελωμένη, νόσημα χλευαζόμενον, δαίμων αὐθαίρετος, καὶ παραφροσύνης χαλεπωτέρα. βούλει μαθεῖν πῶς ὁ μεθύων τοῦ δαιμονῶντός ἐστι χείρων; τοὺς δαιμονῶντας πάντες ἐλεοῦμεν, τοῦτον δὲ μισοῦμεν· ἐκείνῳ συναλγοῦμεν, τούτῳ δὲ ὀργιζόμεθα καὶ ἀγανακτοῦμεν. τί δήποτε; ἐκείνῳ μὲν ἐπήρεια, τούτῳ δὲ ῥαθυμία τὸ πάθος· ἐκείνῳ ἐπιβουλὴ ἐχθρῶν, τούτῳ δὲ ἐπιβουλὴ λογισμῶν. καὶ τοιαῦτα πάσχει τῷ δαιμονῶντι ὁ μεθύων. ὁμοίως περιφέρεται*, ὁμοίως ἐξέστηκεν, ὁμοίως καταπίπτει, ὁμοίως διαστρέφει τὰς κόρας, ὁμοίως σπαίρει κείμενος ἐπὶ τῆς γῆς. ἀφρὸν ἐκεῖνος ἐκ τοῦ στόματος προΐεται, καὶ οὗτος ἐκχεῖ σίελον σεσηπότα, καὶ δυσωδίας ἐμπέπλησται τὸ στόμα ἀφορήτου. φίλοις ἀηδὴς τοιοῦτος, ἐχθροῖς καταγέλαστος, οἰκέταις εὐκαταφρόνητος, γυναικὶ ἀτερπὴς, πᾶσι φορτικὸς, τῶν ἀλόγων αὐτῶν ἀτερπέστερος*. τὰ ἄλογα μέχρι τότε πίνει, ἕως ἂν διψῇ, καὶ τῇ χρείᾳ τὴν ἐπιθυμίαν ἵστησιν· οὗτος δὲ τῇ ἀκολασίᾳ παρέρχεται τὴν ἐπιθυμίαν, καὶ γίνεται τῶν ἀλόγων ἀλογώτερος· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι νόσημα τοσούτων γέμον κακῶν καὶ τοσαύτας ἔχον συμφορὰς οὐδὲ ἔγκλημα εἶναι νομίζεται*· ἀλλ᾽ ἐν ταῖς τῶν πλουτούντων τραπέζαις ἅμιλλα καὶ ἀγὼν ὑπὲρ τῆς ἀσχημοσύνης γίνεται ταύτης· καὶ φιλονεικοῦσι μειζόνως πρὸς ἀλλήλους, τίς ἑαυτὸν παραδειγματίσει, τίς πλείονα παράσχῃ γέλωτα, τίς μᾶλλον διαλύσει τὰ νεῦρα, τίς μᾶλλον καταλύσει τὴν δύναμιν, τίς τὸν κοινὸν δεσπότην παροξυνεῖ πλέον· καὶ ἔστιν ἰδεῖν* στάδιον καὶ ἅμιλλαν διαβολικήν. ὁ μεθύων, ἀγαπητοὶ, καὶ τῶν νεκρῶν ἀθλιώτερος. ἐκεῖνος μὲν γὰρ ἀναίσθητος κεῖται, καὶ πρὸς τὰ καλὰ καὶ πρὸς τὰ κακὰ ἀνενέργητος· οὗτος δὲ πρὸς μόνην τὴν τῶν κακῶν ἐργασίαν ἐστὶν ἐπιτήδειος· καὶ καθάπερ ἐν μνήματι, τῷ σώματι τὴν ψυχὴν κατορύξας, νεκρὸν* περιφέρει τὸ σῶμα. εἶδες πῶς τοῦ δαιμονῶντός ἐστιν ἀθλιώτερος,* πῶς τῶν νεκρῶν ἀναισθητότερος; βούλει δὲ πάντων τούτων μεῖζον εἴπω καὶ χαλεπώτερον; μεθύων ἄνθρωπος εἰς βασιλείαν οὐρανῶν εἰσελθεῖν οὐ δύναται. τίς ταῦτά φησι; Παῦλος. Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὐ κλέπται, οὔτε πλεονέκται, οὐ μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ κληρονομήσουσιν. ἤκουσας εἰς ποῖον αὐτὸν ἔταξε χορόν; μετὰ τῶν ἡταιρηκότων, μετὰ τῶν πορνευσάντων, μετὰ τῶν εἰδωλολατρῶν, μετὰ τῶν μοιχῶν, μετὰ τῶν λοιδόρων, μετὰ τῶν πλεονεκτῶν, μετὰ τῶν ἁρπάγων. τί οὖν, φησιν; ὁ μεθύων, καὶ ὁ ἡταιρηκὼς τὸ αὐτό; ὁ μεθύων, καὶ ὁ εἰδωλολάτρης τὸ αὐτό; μή μοι λέγε ταῦτα, ἄνθρωπε. νόμους ἀνέγνων θείους· ἐμὲ τὰς εὐθύ-

Ἐφεσ. ε. ιη.

α. Κορ. ϛ. θ.

* δαπανίζοντας καὶ

καὶ ἀσελγεῖς καὶ μαλακούς.

* ὑπάρχει

* καλῶς·

* καὶ ἀφρισμός.

ἴσ. τὰ αὐτὰ

* [illegible]

* καὶ καταγελαστότερος.

* τοῖς πολλοῖς

* ἐν αὐτῇ

γ. [illegible]

* [illegible]

* πῶς τῶν ἀλόγων ἀτιμότερος.

γ. ὁ μέγας Παῦλος, ὁ κήρυξ τῆς οἰκουμένης, ὁ τῶν ἐθνῶν διδάσκαλος, τὸ στόμα τοῦ Θεοῦ.

γ. [illegible]

γ. [illegible]

γ. [illegible]

ιας μὴ ἀπαίτει· Παῦλον ἐρώτησον*, καὶ αὐτὸς ἀποκρίνεται*. εἰ μὲν γὰρ σὺν αὐτοῖς, ἢ μὴ μετ' αὐτῶν κατατάττεται τῇ κολάσει, οὐκ ἔχω λέγειν· ὅτι δὲ καὶ ὁμοίως τῷ εἰδωλολάτρῃ τῆς βασιλείας τῶν οὐρανῶν ἐκπίπτει, τοῦτο σφόδρα ἂν διισχυρισαίμην. τούτου δὲ ὁμολογουμένου, τί λοιπὸν ἐμὲ εὐθύνας ἀπαιτεῖς τοῦ μέτρου τῆς ἁμαρτίας; ὅταν γὰρ ἔξω μείνῃ τῶν θυρῶν, ὅταν ἐκπέσῃ τῆς βασιλείας, ὅταν ἔρημος γένηται τῆς σωτηρίας, ὅταν εἰς τὴν κόλασιν αἰώνιον παραπεμφθῇ· τί μοι μέτρα ἁμαρτημάτων καὶ ζυγὰ καὶ σταθμία προτείνεις; οὕτως, ἀγαπητοί, δεινὸν ἡ μέθη, καὶ χαλεπὸν πάνυ.

* τὸν μέγαν
* σοί.

Οὐ πρὸς ὑμᾶς λέγω (μὴ γένοιτο) πάνυ γὰρ πέπεισμαι, ὅτι* καθαρὰ ὑμῶν ἡ ψυχὴ τοῦ νοσήματος καὶ τοῦ πάθους τούτου. καὶ τεκμήριον τῆς ὑγιείας ἡ ἐνταῦθα διατριβή, ἡ μετὰ σπουδῆς σύνοδος, ἡ νήφουσα ἀκρόασις. οὐδεὶς γὰρ οἴνῳ μεθύων ἐπιθυμεῖ θείων λογίων δύναται. Μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία· ἀλλὰ πληροῦσθε ἐν * πνεύματι. αὕτη ἡ καλὴ μέθη· κάρωσόν σου τὴν ψυχὴν τῷ πνεύματι, ἵνα μὴ καρώσῃς * τῇ μέθῃ· προκατάλαβέ σου τὴν διάνοιαν καὶ τοὺς λογισμούς, ἵνα μὴ εὕρῃ χώραν ἐκεῖνο τὸ πάθος τὸ αἴσχιστον. διὰ τοῦτο οὐκ εἶπε, μετέχετε πνεύματος, ἀλλά, πληροῦσθε πνεύματος*. ἕως ἄνω τὴν διάνοιαν, καθάπερ ποτήριον, τοῦ πνεύματος πλήρωσον, ἵνα μηδὲν ἐμβαλεῖν δυνηθῇ λοιπὸν ὁ διάβολος. οὐ γὰρ ἁπλῶς δεῖ μετέχειν λοιπὸν τοῦ πνεύματος, ἀλλὰ πληροῦσθαι πνεύματος, ψαλμοῖς, ὕμνοις, ᾠδαῖς πνευματικαῖς, ὧν ἐπληρώθητε σήμερον. διὰ τοῦτο θαρρῶ περὶ τῆς σωφροσύνης ὑμῶν. ἔστιν ἡμῖν ποτήριον μέθης καλόν· ἔστι ποτήριον μέθης σωφροσύνην ποιοῦν, οὐ παράλυσιν. ποῖον δὲ τοῦτο; τὸ ποτήριον τὸ πνευματικόν, τὸ ποτήριον τὸ σωτήριον, τὸ ποτήριον τὸ ἄχραντον τοῦ αἵματος τοῦ δεσποτικοῦ. ἐκεῖνο οὐ ποιεῖ μέθην, ἐκεῖνο οὐ ποιεῖ παράλυσιν. οὐ γὰρ παραλύει δύναμιν, ἀλλ' ἐγείρει δύναμιν. ἐκεῖνο οὐ καταλύει τὰ νεῦρα. ἐκεῖνο γὰρ νῆψιν ποιεῖ· ἐκεῖνο αἰδέσιμον ἀγγέλοις, φοβερὸν δαίμοσι, τίμιον τοῖς ἀνθρώποις, ἐπέραστον τῷ δεσπότῃ. ὁρᾷς πῶς φησιν ὁ * Δαβὶδ περὶ τοῦ ποτηρίου τούτου τοῦ πνευματικοῦ τοῦ ἐν τῇ θείᾳ τραπέζῃ ταύτῃ κειμένου; Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, ἐξ ἐναντίας τῶν θλιβόντων με· ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριόν σου μεθύσκον * ὡσεὶ κράτιστον. ἵνα γὰρ μὴ ἀκούσας μέθης ὄνομα φοβηθῇς εὐθέως, καὶ νομίσῃς ἀσθενείας εἶναι ποιητικόν, ἐπήγαγεν, ὅτι κράτιστόν ἐστι καὶ ἰσχυρόν. καινὸς ὁ τρόπος μέθης· ἰσχὺν ἐντίθησιν*, ἐγκρατῆ ποιεῖ καὶ δυνατόν. ἀπὸ γὰρ τῆς πέτρας ἔρρευσε τῆς πνευματικῆς. οὐκ ἔστιν ἐνταῦθα παρατροπὴ λογισμῶν, ἀλλὰ προσθήκη λογισμῶν πνευματικῶν. ταύτην μεθύωμεν τὴν μέθην· ἐκείνης δὲ ἀπεχώμεθα, ἵνα μὴ καταισχύνωμεν τὴν παροῦσαν ἑορτήν. ἑορτὴ γὰρ ἡ παροῦσα οὐχὶ τῆς γῆς μόνον, ἀλλὰ καὶ τοῦ οὐρανοῦ. σήμερον ἐν γῇ χαρά, σήμερον ἐν οὐρανῷ χαρά. εἰ γάρ, ἑνὸς ἁμαρτωλοῦ ἐπιστρέφοντος, χαρὰ ἐπὶ γῆς καὶ οὐρανοῦ, πολλῷ μᾶλλον, τῆς οἰκουμένης ἁπάσης ἐξαρπασθείσης τῶν χειρῶν τοῦ διαβόλου, χαρὰ* ἔσται ἐν οὐρανῷ. νῦν σκιρτῶσιν ἄγγελοι· νῦν χαίρουσιν ἀρχάγγελοι· νῦν τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ μεθ' ἡμῶν ἑορτάζει τὴν παροῦσαν ἑορτήν. οὐκ ἐπαισχύνονται τοὺς * συνδούλους, ἀλλὰ συγχαίρουσι τοῖς ἡμετέροις ἀγαθοῖς. εἰ γὰρ ἡμετέρα ἡ χάρις ἡ παρὰ τοῦ δεσπότου, ἀλλὰ κοινὴ καὶ ἐκείνων ἡ ἡδονή. καὶ τί λέγω τοὺς συνδούλους; αὐτὸς ὁ δεσπότης αὐτῶν τε καὶ ἡμῶν οὐκ ἐπαισχύνεται* συνεορτάζειν· καὶ τί χρὴ λέγειν, ὅτι οὐκ ἐπαισχύνεται; Ἐπιθυμίᾳ, φησίν, ἐπεθύμησα τὸ πάσχα τοῦτο μεθ' ὑμῶν φαγεῖν. εἰ δὲ τὸ πάσχα ἐπεθύμησεν ἡμῖν συνεορτάσαι, δῆλον ὅτι καὶ τὴν ἀνάστασιν. ὅταν οὖν ἄγγελοι χαίρωσι καὶ ἀρχάγγελοι, καὶ πᾶσαι τῶν οὐρανίων δυνάμεων ὁ δεσπότης ἡμῶν συνεορτάζῃ, τίς λείπεται λοιπὸν εἰς ἀθυμίαν λόγος; μηδεὶς πένης ἔστω κατηφὴς διὰ τὴν πενίαν· ἑορτὴ γὰρ αὕτη πνευματική· μηδεὶς πλούσιος ἐπαιρέσθω διὰ τὸν πλοῦτον. οὐδὲν γὰρ ἀπὸ τῶν χρημάτων εἰς τὴν ἡδονὴν τῆς ἑορτῆς εἰσενεγκεῖν δύναται ταύτης. ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν ἑορτῶν τῶν βιωτικῶν, ἔνθα πολὺς ἄ-

* γ. καθαρεύει
* θείῳ
* αὐτὴν
* ποτίσον,
* μακάριος
* με
* τοῖς μεταλαμβάνουσι
* μεγάλη καὶ λαμπρά
* ἑαυτῶν
* ἡμῖν

Ἐφεσ. ε. ιη.
Ψαλμ. κγ. ε.
Λουκ. κβ. ιε.

κρατος, ἔνθα τράπεζα πλήθουσα καὶ ἀδηφαγία, ἔνθα ἀσχημοσύνη καὶ γέλως, ἔνθα πᾶσα πομπὴ Σατανική, εἰκότως ὁ μὲν πένης κατηφής, ὁ δὲ πλούσιος ἐν φαιδρότητι. τί δήποτε; ὅτι ὁ μὲν πλούσιος δαψιλῆ παρατίθεται τράπεζαν, καὶ μᾶλλον ἀπολαύει τρυφῆς· ὁ δὲ πένης ἀπὸ τῆς πενίας κωλύεται τὴν αὐτὴν φιλοτιμίαν ἐπιδείξασθαι. ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον. μία τράπεζα καὶ τῷ πλουσίῳ, καὶ τῷ πένητι. κἂν πλούσιός τις ᾖ, οὐδὲν τῇ τραπέζῃ προσθεῖναι δύναται· κἂν πένης, οὐδὲν ἔλαττον * παρὰ τῆς πενίας τῆς κοινωνίας διακείσεται. θεία γάρ ἐστιν ἡ χάρις. καὶ τί θαυμάζεις, εἰ πλουσίῳ καὶ πένητι; αὐτῷ γὰρ τῷ βασιλεῖ τῷ τὸ διάδημα περικειμένῳ, τῷ τὴν ἁλουργίδα ἔχοντι, τῷ τὴν ἐξουσίαν ἐγκεχειρισμένῳ τῆς γῆς, ἐκείνῳ τῷ βασιλεῖ, καὶ τῷ πτωχῷ τῷ πρὸς τὴν ἐλεημοσύνην καθεζομένῳ μία τράπεζα πρόκειται *. τοιαῦτα τὰ δῶρα τὰ δεσποτικά. οὐ τοῖς ἀξιώμασι διαιρεῖ τὴν κοινωνίαν, ἀλλὰ τῇ προαιρέσει καὶ τῇ διανοίᾳ. μετὰ τῆς αὐτῆς παρρησίας καὶ ὁ βασιλεὺς καὶ ὁ πένης πρὸς τὴν τράπεζαν ἔρχονται ταύτην, μετὰ τῆς αὐτῆς τιμῆς· πολλάκις δὲ ὁ πένης καὶ μετὰ πλείονος * τιμῆς. τί δήποτε; ὅτι ὁ μὲν βασιλεὺς μυρίοις ἐμπεπλησμένος πράγμασιν, ὥσπερ ναῦς, πάντοθεν περιῤῥαντίζεται, καὶ πολλὰ περιστρίβεται ἁμαρτήματα· ὁ δὲ πένης ὑπὲρ τῆς ἀναγκαίας φροντίζων μόνον τροφῆς, καὶ τὸν ἀπράγμονα καὶ ἡσύχιον ἐπανῃρημένος βίον, ἠρεμῶν, ὥσπερ ἐν λιμένι καθήμενος, μετὰ πολλῆς τῆς ἀσφαλείας * τῇ τραπέζῃ προσέρχεται. πάλιν ἐν ταῖς ἑορταῖς ταῖς ἔξωθεν ὁ μὲν πένης ἐν κατηφείᾳ, ὁ δὲ πλούσιος ἐν φαιδρότητι, οὐ διὰ τὴν τράπεζαν μόνον, ἀλλὰ καὶ διὰ τὰ ἱμάτια. ὅπερ γὰρ ἐπὶ τῆς τραπέζης πάσχουσι, τοῦτο καὶ ἐπὶ τῶν ἱματίων ὑπομένουσιν. ὅταν γὰρ ἴδῃ ὁ πένης τὸν εὔπορον πολυτελεστέραν περιβεβλημένον στολὴν, πλήττεται * καὶ ταλανίζει παρὰ πάντας ἑαυτόν. ἐνταῦθα δὲ καὶ αὕτη ἡ ἔνδεια ἀνῄρηται. ἓν γὰρ παρὰ πᾶσίν ἐστιν ἱμάτιον, τὸ λουτρὸν τὸ σωτήριον. Ὅσοι γάρ, φησιν, εἰς Χριστὸν ἐβαπτίζεσθε, Χριστὸν ἐνεδύσασθε. μὴ τοίνυν * καταισχύνωμεν τὴν ἑορτὴν ταύτην τῇ μέθῃ (καὶ γὰρ ὁ δεσπότης ἡμῶν καὶ πλουσίους καὶ πένητας ὁμοίως ἐτίμησε, καὶ δούλους καὶ δεσπότας) ἀλλ' ἀμειψώμεθα τὸν δεσπότην τῆς περὶ ἡμᾶς εὐνοίας· ἀμοιβὴ δὲ ἀρίστη πολιτεία καθαρά, καὶ ψυχὴ νήφουσα. αὕτη ἡ ἑορτὴ καὶ πανήγυρις οὐ χρημάτων δεῖται, οὐδὲ δαπάνης, * ἀλλὰ προαιρέσεως ἀγαθῆς καὶ διανοίας ἀρίστης. τοιαῦτα γὰρ ἐνταῦθα τὰ ὤνια. οὐδὲν σωματικὸν ἐνταῦθα πωλεῖται, ἀλλὰ ἀκρόασις θείων λογίων, εὐχαὶ πατέρων, εὐλογίαι ἱερέων, ὁμόνοια καὶ εἰρήνη καὶ συμφωνία· πνευματικὰ τὰ δῶρα, πνευματικὸς ὁ μισθός. ἑορτάσωμεν τὴν ἑορτὴν ταύτην τὴν μεγίστην καὶ λαμπράν, ἐν ᾗ ἀνέστη ὁ Κύριος. ἀνέστη γὰρ ὁ Κύριος, καὶ τὴν οἰκουμένην ἑαυτῷ συνανέστησεν· αὐτὸς μὲν ἀνέστη, τοῦ θανάτου τὰ δεσμὰ διαῤῥήξας· ἡμᾶς δὲ πάντας ἀνέστησε, τῶν ἁμαρτιῶν τὰς σειρὰς διαλύσας. ἥμαρτεν ὁ Ἀδάμ, καὶ ἀπέθανεν· ἀλλ' οὐχ ἥμαρτεν ὁ Χριστός, καὶ ἀπέθανε. καινὸν καὶ παράδοξον τοῦτο· ἐκεῖνος ἥμαρτε, καὶ ἀπέθανεν, οὗτος οὐχ ἥμαρτε, καὶ ἀπέθανε. διατί; ἵνα ὁ ἁμαρτὼν καὶ ἀποθανὼν διὰ τοῦ μὴ ἁμαρτόντος μὲν, ἀποθανόντος δέ, δυνηθῇ τοῦ θανάτου τὰς λαβὰς ἀποδύσασθαι. οὕτω καὶ ἐπὶ χρημάτων γίνεται. ὀφείλει τις πολλάκις, καὶ οὐκ ἔχων καταβαλεῖν, κατέχεται ἐν δεσμοῖς· ἄλλος οὐκ ὀφείλων, δυνάμενος δὲ καταβαλεῖν, καταθεὶς ἀπέλυσε τὸν ὑπεύθυνον. οὕτω καὶ ἐπὶ τοῦ Ἀδὰμ γέγονεν· ὤφειλεν ὁ Ἀδάμ, κατείχετο ὑπὸ τοῦ διαβόλου, ἀλλ' οὐκ εἶχε καταβαλεῖν· οὐκ ὤφειλεν ὁ Χριστός, οὐδὲ κατείχετο ὑπὸ τοῦ διαβόλου, ἀλλ' ἠδύνατο καταθεῖναι τὸ χρέος. ἦλθε, κατέβαλε θάνατον ὑπὲρ τοῦ κατεχομένου ὑπὸ τοῦ διαβόλου, ἵνα ἐκεῖνον ἀπολύσῃ *. εἶδες τῆς ἀναστάσεως τὰ κατορθώματα; διπλοῦν ἀπεθάνομεν ἡμεῖς θάνατον· οὐκοῦν διπλῆν προσδοκήσωμεν τὴν ἀνάστασιν. αὐτὸς ἁπλοῦν ἀπέθανε θάνατον· διὰ τοῦτο καὶ ἁπλῆν ἀνέστη ἀνάστασιν. πῶς, ἐγὼ λέγω. ἀπέθανεν ὁ Ἀδὰμ καὶ τῷ σώματι, καὶ τῇ ψυχῇ· ἀπέθανε τῇ ἁμαρτίᾳ, καὶ τῇ φύσει· Ἧ ἂν ἡμέρᾳ φάγητε ἀπὸ τοῦ ξύλου, θανάτῳ ἀποθανεῖσθε.

Γαλ. γ. κζ.

Γεν. β. ιζ.

γρ. πολυτελ

γρ. πλούσιος

* σοι

γρ. τῇ πενίᾳ

* καὶ μία βρῶσις.

* παρρησίας καὶ

* καὶ πεποιθήσεως τῇ ἱερᾷ καὶ φρικτῇ

* τῇ διανοίᾳ

* ἀγαπητοί

* οὐδὲ κωμασμοῦ σώματος καὶ λαμπρότητι ἱματίων περιβολῆς

γρ. χρηματικῶν ὀφλημάτων

* τῶν δεσμῶν τοῦ ᾅδου.

νῆσθε. καὶ μὴν οὐκ αὐτῇ τῇ ἡμέρᾳ ἀπέθανε τῇ φύσει, ἀλλὰ τῇ ἁμαρτίᾳ ἀπέθανεν· * ἐκεῖνος ὁ θάνατος τῆς ψυχῆς· οὗτος ὁ θάνατος τοῦ σώματος. ὅταν δὲ ἀκούσῃς ὅτι θάνατος ψυχῆς*, μὴ νομίσῃς ψυχὴν ἀποθνήσκειν, ἀθάνατος γάρ ἐστι· θάνατος δὲ ψυχῆς, ἁμαρτία καὶ κόλασις αἰωνία. Διὰ τοῦτο ὁ Χριστός φησι, Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ. τὸ δὲ ἀπολλύμενον ὑφέστηκε μέν, ἔξω δὲ τῆς ὄψεως τοῦ ἀπολέσαντός ἐστιν. ἀλλ' ὅπερ ἔλεγον, ἐφ' ἡμῶν διπλοῦς ὁ θάνατος· οὐκοῦν καὶ τὴν ἀνάστασιν διπλῆν γενέσθαι δεῖ. ἐπὶ τοῦ Χριστοῦ ἁπλοῦς ὁ θάνατος· οὐ γὰρ ἥμαρτεν ὁ Χριστός· ἀλλὰ καὶ αὐτὸς ὁ ἁπλοῦς θάνατος δι' ἡμᾶς. οὐ γὰρ ὤφειλε τὸν θάνατον ἐκεῖνος. οὐ γὰρ ἦν ὑπεύθυνος ἁμαρτίᾳ, διὸ οὐδὲ θανάτῳ. Διὰ τοῦτο ἐκεῖνος μὲν ἀνέστη τὴν ἀνάστασιν τὴν ἀπὸ τοῦ ἁπλοῦ θανάτου· ἡμεῖς δὲ διπλοῦν ἀποθανόντες θάνατον, διπλῆν καὶ τὴν ἀνάστασιν ἀνιστάμεθα· μίαν μὲν ἀνέστημεν τέως τὴν ἀπὸ τῆς ἁμαρτίας. Συνετάφημεν γὰρ αὐτῷ ἐν τῷ βαπτίσματι, καὶ συνηγέρθημεν αὐτῷ διὰ τοῦ βαπτίσματος. μία αὕτη ἀνάστασις, ἀπαλλαγὴ ἁμαρτημάτων· δευτέρα δὲ ἀνάστασις, ἡ τοῦ σώματος. ἔδωκε τὴν μείζονα, προσδόκα καὶ τὴν ἐλάττονα. αὕτη γὰρ πολὺ μείζων ἐκείνης. πολὺ γὰρ μεῖζον ἁμαρτιῶν ἀπαλλαγῆναι, ἢ σῶμα ἰδεῖν ἀνιστάμενον. Διὰ τοῦτο ἔπεσε τὸ σῶμα, ἐπειδὴ ἥμαρτεν· οὐκοῦν εἰ ἀρχὴ τοῦ πεσεῖν ἡ ἁμαρτία, ἀρχὴ τοῦ ἀναστῆναι τὸ ἀπαλλαγῆναι τῆς ἁμαρτίας. ἀνέστημεν λοιπὸν τὴν μείζονα ἀνάστασιν, τὸν * χαλεπὸν θάνατον τῆς ἁμαρτίας ῥίψαντες, καὶ ἀποδυσάμενοι τὸ παλαιὸν ἱμάτιον· μὴ τοίνυν ὑπὲρ τῆς ἐλάττονος ἀπαγορεύσωμεν.

Ταύτην καὶ ἡμεῖς πάλαι τὴν ἀνάστασιν ἀνέστημεν, ὅτε ἐβαπτίσθημεν," καὶ οἱ τὴν τοῦ βαπτίσματος δὲ νῦν ἑσπέραν καταξιωθέντες, τὰ καλὰ ταῦτα ἀρνία. πρὸ τῆς χθὲς ὁ Χριστὸς ἐσταυρώθη, ἀλλ' ἀνέστη τῇ παρελθούσῃ νυκτί· καὶ οὗτοι πρὸ τῆς χθὲς ὑπὸ τῆς ἁμαρτίας κατείχοντο, ἀλλὰ συνανέστησαν. ἐκεῖνος σώματι ἀπέθανε, καὶ σώματι ἀνέστη· οὗτοι ἁμαρτίᾳ ἦσαν τεθνηκότες, καὶ ἀπὸ ἁμαρτιῶν ἀνέστησαν ἐλευθερωθέντες. ἡ μὲν οὖν γῆ κατὰ τὸν καιρὸν τοῦτον τοῦ ἔαρος ῥόδα καὶ ἴα καὶ τὰ ἄλλα ἡμῖν ἐκδίδωσιν ἄνθη· τὰ δὲ ὕδατα τῆς γῆς ἡμῖν τερπνότερον λειμῶνα ἔδειξε. μὴ θαυμάσῃς, εἰ ἀπὸ τῶν ὑδάτων ἐβλάστησαν ἄνθη. οὐδὲ ἡ γῆ " κατὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ" κατὰ τὸ ἐπίταγμα τοῦ δεσπότου τὴν βλάστην ἐκδίδωσιν. ἐξέδωκε καὶ ἐν ἀρχῇ τῶν ὑδάτων ἡ φύσις ζῶα κινούμενα· Ἐξαγαγέτω γάρ, φησι, τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν· καὶ τὸ ἐπίταγμα ἔργον ἐγένετο, καὶ ἡ ἄψυχος ἐκείνη οὐσία ἔμψυχα ζῶα ἐξέφερεν. οὕτω καὶ νῦν· ἐξαγαγέτω τὰ ὕδατα, οὐχὶ ἑρπετὰ ψυχῶν ζωσῶν, ἀλλὰ * πνευματικὰ χαρίσματα. ἐξήγαγε τότε τὰ ὕδατα ἰχθύας ἀλόγους καὶ ἀφώνους, ἐξέβαλε νῦν * ἰχθύας λογικοὺς καὶ πνευματικούς, ἰχθύας ὑπὸ τῶν ἀποστόλων ἁλιευθέντας. Δεῦτε γάρ, φησι, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. ταύτην ἔλεγε τὴν ἁλιείαν τότε. καινὸς ὄντως τῆς ἁλιείας ὁ τρόπος. οἱ ἁλιεύοντες ἐκ τῶν ὑδάτων ἐκβάλλουσιν· ἡμεῖς εἰς τὰ ὕδατα ἐμβάλλομεν, καὶ οὕτως ἡλιευσάμεθα. ἦν ποτε καὶ ἐπὶ τῶν Ἰουδαίων κολυμβήθρα. μάθε τί ἴσχυσεν ἡ κολυμβήθρα ἐκείνη, ἵνα μάθῃς τὴν πτωχείαν τὴν Ἰουδαϊκήν, ἵνα μάθῃς τὸν πλοῦτον τῆς ἐκκλησίας. κολυμβήθρα ὑδάτων ἦν, καὶ κατήρχετο ἄγγελος ἐκεῖ, καὶ ἐτάραττε τὰ ὕδατα· εἶτα μετὰ τὴν ταραχὴν τοῦ ὕδατος ἐπέβαινεν εἷς ἀσθενῶν, καὶ ἐθεραπεύετο. εἷς μόνος τοῦ ἐνιαυτοῦ ἐθεραπεύετο, καὶ εὐθέως ἀνηλοῦτο ἡ χάρις, οὐ διὰ τὴν πτωχείαν τοῦ διδόντος, ἀλλὰ διὰ τὴν ἀσθένειαν τῶν λαμβανόντων. κατέβαινεν ἄγγελος τοίνυν * εἰς τὴν κολυμβήθραν, καὶ ἐτάραττε τὸ ὕδωρ, καὶ εἷς ἐθεραπεύετο· κατῆλθεν ὁ τῶν ἀγγέλων δεσπότης εἰς τὸν Ἰορδάνην, καὶ ἐτάραξε τὸ ὕδωρ, καὶ τὴν οἰκουμένην ἅπασαν ἐθεράπευσε. διὰ τοῦτο ἐκεῖ μὲν μετὰ τὸν πρῶτον ὁ δεύτερος κατ-

ελθὼν

* ἐκείνη δὲ ὑστέρα χαλεπωτέρα ἢ τὸ ἁμαρτίᾳ ἀποθανεῖν ἢ φύσει.
* ἐστὶ

Ματθ. ι. κη.

* πικρὸν καὶ

γ. ὁμοίως καὶ οἱ νῦν τοῦ βαπτ. καταξ.

γ. [illegible]
γ. [illegible]

Γεν. α. κ.

* θεῖα καὶ
* ἡ ἁγία κολυμβήθρα

Ματθ. δ. ιθ.

Ιωαν. ε.

* ἅπαξ τοῦ ἐνιαυτοῦ

ἐλθὼν οὐκ ἐθεραπεύετο (Ἰουδαίοις γὰρ ἐδίδοτο ἡ χάρις τοῖς ἀσθενέσι, τοῖς πτωχοῖς) ἐνταῦθα δὲ μετὰ τὸν πρῶτον ὁ δεύτερος, μετὰ τὸν δεύτερον ὁ τρίτος, μετὰ τὸν τρίτον ὁ τέταρτος, κἂν δέκα, κἂν εἴκοσι, κἂν ἑκατὸν, κἂν μυρίους, κἂν τὴν οἰκουμένην ἅπασαν ἐμβάλῃς εἰς τὴν κολυμβήθραν, οὐκ ἀναλίσκεται ἡ χάρις, οὐ δαπανᾶται ἡ δωρεὰ, οὐ ῥυποῦται τὰ νάματα. καινὸς καθάρσεως τρόπος· οὐ γάρ ἐστι σωματικός. ἐπὶ μὲν γὰρ τῶν σωμάτων ὅταν πλείονας ἀποπλύνῃ τὰ νάματα, πλείονα καὶ τὴν κηλίδα δέχεται· ἐνταῦθα δὲ ὅσῳ πλύνει πλείονας, τοσούτῳ καθαρώτερα γίνεται. Εἶδες μέγεθος δωρεᾶς; διατήρησον τὸ μέγεθος τῆς δωρεᾶς ταύτης, ὦ ἄνθρωπε. οὐκ ἔξεστί σοι ἀδιαφόρως ζῆν· νόμον σαυτῷ θὲς μετὰ ἀκριβείας ἁπάσης. ἀγών ἐστι καὶ παλαίσματα· ὁ δὲ ἀγωνιζόμενος, πάντα ἐγκρατεύεται. Εἴπω σοι τρόπον ἕνα ἄριστον καὶ ἀσφαλῆ κατορθωμάτων. τὰ ἀδιάφορα μὲν εἶναι δοκοῦντα, τίκτοντα δὲ ἁμαρτίας, ἐκβάλωμεν τῆς διανοίας. ἔστι γὰρ τῶν πραγμάτων τὰ μὲν ἁμαρτήματα· τὰ δὲ οὐχ ἁμαρτήματα, ἁμαρτημάτων δὲ αἰτία*· οἷον, γέλως μὲν ἁμάρτημα οὐκ ἔστι φύσει, γίνεται δὲ ἁμάρτημα προενεχθεὶς ἐπὶ πλέον. ἀπὸ γὰρ γέλωτος εὐτραπελία, ἀπὸ εὐτραπελίας αἰσχρολογία, ἀπὸ αἰσχρολογίας αἰσχρὰ πράγματα, ἀπὸ πραγμάτων αἰσχρῶν κολάσεις καὶ τιμωρίαι. ἄνελε οὖν τὴν ῥίζαν ἄνωθεν, ἵνα ἀνέλῃς ὅλον τὸ νόσημα. ἐὰν γὰρ τὰ ἀδιάφορα φυλαττώμεθα, οὐδέποτε εἰς τὰ κεκωλυμένα ἐμπεσούμεθα. οὕτω τὸ γυναῖκας ἰδεῖν, ἀδιάφορον εἶναι δοκεῖ πολλοῖς· ἀλλ' ἀπὸ τούτου ἐπιθυμία ἀκόλαστος τίκτεται, ἐκ τῆς ἐπιθυμίας πορνεία, ἀπὸ πορνείας πάλιν κόλασις καὶ τιμωρία. οὕτω τὸ τρυφᾷν οὐδὲν δεινὸν εἶναι δοκεῖ, ἀλλ' ἐντεῦθεν μέθη, καὶ τὰ ἐκ τῆς μέθης μυρία κακά. ἀνέλωμεν τοίνυν πανταχοῦ τὰς ἀρχὰς τῶν ἁμαρτημάτων. διὰ τοῦτο συνεχοῦς ἀπολαύετε διδασκαλίας καθ' *ἡμέραν· διὰ τοῦτο ἑπτὰ ἡμέρας ἐφεξῆς σύναξιν ἐπιτελοῦμεν, τὴν πνευματικὴν ὑμῖν παρατιθέμενοι τράπεζαν, ποιοῦντες ὑμᾶς ἀπολαύειν θείων λογίων, ἀλείφοντες ὑμᾶς καθ' ἑκάστην ἡμέραν, καθοπλίζοντες ὑμᾶς κατὰ τοῦ διαβόλου. ἀγριώτερον γὰρ νῦν ἐπιτίθεται. ὅσῳ μείζων ἡ δωρεὰ, καὶ τοσούτῳ μείζων ὁ πόλεμος. Εἰ γὰρ ἐν τῷ παραδείσῳ ἕνα ὁ διάβολος ἰδὼν οὐκ ἤνεγκεν, ἐν τῷ οὐρανῷ τοσούτους ὁρῶν πῶς οἴσει, εἰπέ μοι; διήγειρας τὸ θηρίον, ἀλλὰ μὴ φοβηθῇς· μείζονα δύναμιν ἔλαβες, μάχαιραν ἠκονημένην· ἐκείνῃ κέντησον τὸν ὄφιν. διὰ τοῦτο ὁ Θεὸς ἀφῆκεν αὐτὸν ἀγριωθῆναι κατὰ σοῦ, ἵνα διὰ τῆς πείρας αὐτῆς μάθῃς τῆς ἰσχύος τῆς σῆς δύναμιν. καὶ καθάπερ παιδοτρίβης ἄριστός τινα ῥυπῶντα, ἐκνενευρισμένον ἀθλητὴν, ἠμελημένον λαβὼν, ἀλείψας, γυμνάσας, εἰς εὐσαρκίαν ἀγαγὼν οὐκ ἀφίησιν ἡσυχάζειν λοιπὸν, ἀλλ' εἰς τοὺς ἀγῶνας κατιέναι κελεύει, ἵνα αὐτὸν διδάξῃ διὰ τῆς πείρας ὅσην ἐνέθηκεν αὐτῷ δύναμιν· οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν. ἠδύνατο μὲν γὰρ ἐχθρὸν ἐκ τοῦ μέσου λαβεῖν· ἀλλ' ἵνα σὺ μάθῃς τῆς χάριτος τὴν ὑπερβολὴν, τῆς πνευματικῆς δυνάμεως τὸ μέγεθος, ἣν ἔλαβες ″ ἐκ τοῦ βαπτίσματος, ἀφίησιν αὐτὸν συμπλέκεσθαι, πολλάς σοι τῶν στεφάνων παρέχων τὰς ὑποθέσεις. διὰ τοῦτο ἑπτὰ ἡμέρας ἐφεξῆς ἀπολαύετε διδασκαλίας*, ὥστε ἀκριβῶς μαθεῖν τὰ παλαίσματα*. ἄλλως δὲ, καὶ γάμος ἐστὶ πνευματικὸς τὰ γινόμενα· ἐπὶ δὲ γάμων ἕως ἑπτὰ ἡμερῶν αἱ παστάδες ἑστήκασι· διὰ τοῦτο καὶ ἡμεῖς ἑπτὰ ἡμέρας ὑμῖν ἐνομοθετήσαμεν ἐνταῦθα πρὸς τὰς ἱερὰς ἑστάναι παστάδας. ἀλλ' ἐκεῖ μὲν μετὰ τὰς ἑπτὰ ἡμέρας λύονται· ἐνταῦθα δὲ, ἂν θέλῃς, διαπαντὸς ἐπὶ τῆς ἱερᾶς ἵστασαι παστάδος. καὶ ἐπὶ μὲν τῶν ἔξωθεν γάμων ἡ νύμφη μετὰ προτέραν μίαν ἢ καὶ δευτέραν οὐκ ἔστιν οὕτως ἐπέραστος τῷ νυμφίῳ· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' ὅσῳ ὁ χρόνος πρόεισι, τοσούτῳ θερμότεροι οἱ ἔρωτες τοῦ νυμφίου, τοσούτῳ γνησιώτεραι αἱ περιπλοκαὶ, τοσούτῳ πνευματικωτέρα ἡ συνουσία, ἐὰν νήφωμεν. πάλιν ἐπὶ τῶν σωμάτων μετὰ νεότητα γῆρας· ἐνταῦθα μετὰ γῆρας νεότης, καὶ νεότης οὐδέποτε τέλος ἔχουσα, ἐὰν θέλωμεν. μεγάλη ἡ χάρις, ἀλλ' ἔσται μείζων,

*καὶ ὑπόθεσις

*ἑκάστην

γ. διὰ τοῦ ἁγίου βαπτ.

*πνευματικῆς

*τοῦ ἐχθροῦ

μείζων, ἐὰν θέλωμεν. καὶ ὁ Παῦλος μέγας ἦν, ὅτε ἐβαπτίζετο, ἀλλὰ πολλῷ μᾶλλον ἐγένετο μετὰ ταῦτα, ὅτε ἐκήρυσσε, συνέχεε τοὺς Ἰουδαίους· μετὰ ταῦτα εἰς παράδεισον ἡρπάγη, εἰς τρίτον ἀνῆλθεν οὐρανόν. ὥστε ἔξεστι καὶ ἡμῖν, ἐὰν θέλωμεν, αὐξῆσαι, καὶ τὴν δοθεῖσαν ἡμῖν χάριν μεγαλειοτέραν ἀπὸ τοῦ βαπτίσματος· αὔξεται δὲ δι' ἔργων ἀγαθῶν καὶ λαμπροτέρα γίνεται, καὶ φαιδρότερον ἡμῖν παρέχει τὸ φῶς. κἂν τοῦτο γένηται, μετὰ πολλῆς τῆς παῤῥησίας εἰς τὸν νυμφῶνα συνελευσόμεθα τῷ νυμφίῳ, καὶ τῶν ἀγαθῶν ἀπολαυσόμεθα τῶν ἀποκειμένων τοῖς ἀγαπῶσιν αὐτόν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι δόξα καὶ προσκύνησις, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. πε. ″ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ. β.

Εὔκαιρον σήμερον ἅπαντας ἡμᾶς ἀναβοῆσαι τὸ παρὰ τοῦ μακαρίου Δαβὶδ εἰρημένον· Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; ἰδοὺ γὰρ ἡμῖν παραγέγονεν ἡ ποθεινὴ καὶ σωτήριος ἑορτή, ἡ ἀναστάσιμος ἡμέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἡ τῆς εἰρήνης ὑπόθεσις, ἡ τῆς καταλλαγῆς ἀφορμή, ἡ τῶν πολέμων ἀναίρεσις, ἡ τοῦ θανάτου κατάλυσις, ἡ τοῦ διαβόλου ἧττα. σήμερον οἱ ἄνθρωποι τοῖς ἀγγέλοις ἀνεμίγησαν, καὶ οἱ σῶμα περικείμενοι μετὰ τῶν ἀσωμάτων δυνάμεων λοιπὸν τὰς ″ὑμνῳδίας ἀναφέρουσι· σήμερον ″καταλύεται τοῦ διαβόλου ἡ τυραννίς· σήμερον τὰ δεσμὰ τοῦ θανάτου ″ἐλύθη, τοῦ ᾅδου τὸ νῖκος ἠφάνισται· σήμερον εὔκαιρον πάλιν εἰπεῖν* τὴν προφητικὴν ἐκείνην φωνήν· Ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος; σήμερον τὰς χαλκᾶς πύλας* συνέθλασεν ὁ δεσπότης ἡμῶν Χριστός, καὶ αὐτὸ τοῦ θανάτου τὸ πρόσωπον ἠφάνισε. τί δὲ λέγω τὸ πρόσωπον; αὐτὴν αὐτοῦ τὴν προσηγορίαν μετέβαλεν. οὐκέτι γὰρ ὁ θάνατος θάνατος λέγεται, ἀλλὰ κοίμησις καὶ ὕπνος. πρὸ μὲν γὰρ τῆς Χριστοῦ παρουσίας καὶ τῆς τοῦ σταυροῦ οἰκονομίας καὶ αὐτὸ τοῦ θανάτου τὸ ὄνομα φοβερὸν ἐτύγχανε. καὶ γὰρ ὁ πρῶτος ἄνθρωπος γενόμενος ἀντὶ μεγάλου ἐπιτιμίου τοῦτο κατεδικάζετο, ἀκούων, Ἣ δ' ἂν ἡμέρᾳ φάγῃ, θανάτῳ ἀποθανῇ. καὶ ὁ μακάριος δὲ Ἰὼβ τούτῳ τῷ ὀνόματι αὐτὸν προσηγόρευσε λέγων· Θάνατος ἀνδρὶ ἀνάπαυσις. καὶ ὁ προφήτης Δαβὶδ* ἔλεγε, Θάνατος ἁμαρτωλῶν πονηρός. οὐ μόνον δὲ θάνατος ἐκαλεῖτο ἡ διάλυσις τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, ἀλλὰ καὶ ᾅδης. ἄκουε γὰρ τοῦ μὲν πατριάρχου Ἰακὼβ λέγοντος, Κατάξετε τὸ γῆράς μου μετὰ λύπης εἰς ᾅδου· τοῦ δὲ προφήτου πάλιν, Ἔχανεν ὁ ᾅδης τὸ στόμα αὐτοῦ· καὶ πάλιν ἑτέρου προφήτου λέγοντος, Ῥύσεταί με ἐξ ᾅδου κατωτάτου. καὶ πολλαχοῦ εὑρήσεις ἐπὶ τῆς παλαιᾶς θάνατον καὶ ᾅδην καλουμένην τὴν ἐντεῦθεν μετάστασιν. ″ἐπεὶ δὲ Χριστὸς ὁ Θεὸς ἡμῶν θυσία προσηνέχθη, καὶ τὰ τῆς ἀναστάσεως προεχώρησε, περιεῖλε τὰς προσηγορίας αὐτὰς ὁ φιλάνθρωπος δεσπότης, καὶ καινὴν καὶ ξένην πολιτείαν εἰς τὸν βίον εἰσήγαγε τὸν ἡμέτερον. αὐτὴ γὰρ θανάτου λοιπὸν κοίμησις καὶ ὕπνος λέγεται ἡ ἐντεῦθεν μετάστασις. καὶ πόθεν τοῦτο δῆλον; ἄκουε αὐτοῦ τοῦ Χριστοῦ λέγοντος· Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται, ἀλλὰ πορεύομαι ἐξυπνίσαι αὐτόν. ὥσπερ γὰρ ἡμῖν εὔκολον τοὺς καθεύδοντας διυπνίσαι καὶ διεγεῖραι, οὕτω καὶ τῷ κοινῷ πάντων ἡμῶν δεσπότῃ ″τὸ ἀναστῆσαι. καὶ ἐπειδὴ καινὸν ἦν καὶ ξένον τὸ παρ' αὐτοῦ εἰρημένον,* οὐδὲ οἱ μαθηταὶ συνῆκαν τὸ λεχθέν, μέχρις ὅτου συγκαταβαίνων αὐτῶν τῇ ἀσθενείᾳ, φανερώτερον αὐτὸ εἴρηκε. καὶ ὁ τῆς οἰκουμένης [δὲ] διδάσκαλος ὁ μακάριος Παῦλος γράφων Θεσσαλονικεῦσι, φησιν· Οὐ θέλω ὑμᾶς ἀγνοεῖν περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, ὡς

καὶ

γρ. εἰς τὴν ἀναστάσιμον καὶ λαμπρὰν ἡμέραν τοῦ ἁγίου πάσχα.

Ψαλ. ρε. β.

γρ. ὑμνολογίας

γρ. καταλέλυται

γρ. διελύθη,

* καὶ

* τοῦ ᾅδου

Ωσ. ιγ. ιδ.

α. Κορ. ιε. νε.

Γεν. β. ιζ.

Ἰὼβ γ. κγ.

* ὁμοίως φάσκων

Ψαλ. λγ. κα.

Γεν. μβ. λη.

Ψαλ. πε. ιβ.

γρ. ἐπειδὴ δὲ τῆς οἰκονομίας τέλος ἔλαβε, καὶ ἡ ὑπὲρ ἁπάντων ἡμῶν θυσία προσηνέχθη, καὶ τὰ τῆς ἀναστάσεως μυστήρια εἰς ἔργον προεχώρησε,

Ἰωάν. ια. ια.

γρ. τοῦ πάντας τῇ φωνῇ μόνῃ ἀναστῆσαι.

* διὰ τοῦτο

α. Θεσ. δ. ιγ.

καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. καὶ πάλιν ἀλλαχοῦ· Ἄρα οἱ κοιμηθέντες ἐν Χριστῷ ἀπώλοντο; καὶ πάλιν· Ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας. καὶ ἑτέρωθι πάλιν· Εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ Θεὸς τοὺς κοιμηθέντας * ἄξει σὺν αὐτῷ. Εἶδες πανταχοῦ λοιπὸν κοίμησιν καὶ ὕπνον τὸν θάνατον καλούμενον; καὶ τὸν πρὸ τούτου φοβερὸν ἔχοντα τὸ πρόσωπον, νῦν εὐκαταφρόνητον μετὰ τὴν ἀνάστασιν γινόμενον; Εἶδες λαμπρὸν τῆς ἀναστάσεως τὸ τρόπαιον; διὰ ταύτην ἡμῖν τὰ μυρία ἀγαθὰ εἰσενήνεκται· διὰ ταύτην ἡ τῶν δαιμόνων ἀπάτη κατελύθη· διὰ ταύτην καταγελῶμεν θανάτου· διὰ ταύτην ὑπερορῶμεν τῆς παρούσης ζωῆς· διὰ ταύτην πρὸς τὴν τῶν μελλόντων ἐπιθυμίαν ἐπειγόμεθα· διὰ ταύτην σῶμα περικείμενοι, οὐδὲν ἔλαττον τῶν ἀσωμάτων δυνάμεων ἔχομεν, ἐὰν βουλώμεθα. σήμερον ἡμῖν τὰ λαμπρὰ νικητήρια γέγονε· σήμερον ἡμῶν ὁ δεσπότης τὸ κατὰ τοῦ θανάτου τρόπαιον στήσας, καὶ τοῦ διαβόλου τὴν τυραννίδα καταλύσας, τὴν διὰ τῆς ἀναστάσεως ὁδὸν ἡμῖν εἰς σωτηρίαν ἐχαρίσατο. πάντες τοίνυν χαίρωμεν, σκιρτῶμεν, ἀγαλλώμεθα. εἰ γὰρ καὶ ὁ δεσπότης ἡμῶν ἐνίκησε καὶ τὸ τρόπαιον ἔστησεν, ἀλλὰ κοινὴ καὶ ἡμῶν* ἡ εὐφροσύνη καὶ ἡ χαρά. διὰ γὰρ τὴν ἡμετέραν σωτηρίαν ἅπαντα εἰργάσατο· καὶ δι' ὧν ἡμᾶς κατεπάλαισεν ὁ διάβολος, διὰ τούτων αὐτοῦ περιεγένετο ὁ Χριστός. αὐτὰ τὰ ὅπλα ἔλαβε, καὶ τούτοις αὐτὸν κατηγωνίσατο. καὶ πῶς, ἄκουε. παρθένος καὶ ξύλον καὶ θάνατος τῆς ἡμετέρας ἥττης γέγονε τὰ σύμβολα. καὶ γὰρ παρθένος ἦν ἡ Εὔα (οὐδέπω γὰρ ἄνδρα ἐγίνωσκεν, ὅτε τὴν ἀπάτην ὑπέμεινε) ξύλον ἦν τὸ δένδρον· θάνατος τὸ ἐπιτίμιον τὸ κατὰ τοῦ Ἀδάμ. Εἶδες πῶς παρθένος καὶ ξύλον καὶ θάνατος γέγονεν ἡμῖν τῆς ἥττης τὰ σύμβολα; ὅρα τοίνυν πῶς καὶ τῆς νίκης αὐτὰ πάλιν γέγονε σύμβολα. ἀντὶ γὰρ τῆς Εὔας, ἡ Μαρία· ἀντὶ τοῦ ξύλου τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ, τὸ ξύλον τοῦ σταυροῦ· ἀντὶ τοῦ θανάτου τοῦ Ἀδάμ, ὁ δεσποτικὸς θάνατος. Εἶδες δι' ὧν ἐνίκησε, διὰ τούτων αὐτὸν ἡττώμενον; περὶ τὸ δένδρον κατηγωνίσατο τὸν Ἀδὰμ ὁ διάβολος· περὶ τὸν σταυρὸν κατεπάλαισε τὸν διάβολον ὁ Χριστός. κἀκεῖνο μὲν τὸ ξύλον εἰς ᾅδην ἔπεμπε· τοῦτο δὲ τὸ ξύλον τὸ τοῦ σταυροῦ, καὶ τοὺς ἐν ᾅδῃ κατελθόντας ἐκ τοῦ ᾅδου πάλιν ἀνεκαλεῖτο. κἀκεῖνο μὲν καθάπερ αἰχμάλωτον καὶ γυμνὸν ἔκρυπτε τὸν ἡττηθέντα· τοῦτο δὲ τὸν νικητὴν γυμνὸν, προσηλωμένον ἐφ' ὑψηλοῦ πᾶσιν ἐδείκνυ· καὶ θάνατος, ὁ μὲν καὶ τοὺς μετ' αὐτὸν κατέκρινεν· ὁ δὲ καὶ τοὺς πρὸ αὐτοῦ ἀνέστησεν. ἀληθῶς, Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; ἀπὸ θανάτου γεγόναμεν ἀθάνατοι, ἀπὸ πτώσεως ἀνέστημεν, ἀπὸ ἡττήματος κατέστημεν νικηταί. ταῦτα τοῦ σταυροῦ τὰ κατορθώματα, ταῦτα τῆς ἀναστάσεως μεγίστη ἀπόδειξις. σήμερον ἄγγελοι σκιρτῶσι, καὶ πᾶσαι αἱ οὐράνιαι δυνάμεις ἀγάλλονται, συνηδόμεναι ἐπὶ τῇ σωτηρίᾳ τοῦ κοινοῦ γένους τῶν ἀνθρώπων. εἰ γὰρ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαρὰ γίνεται ἐν οὐρανῷ, [καὶ ἐπὶ γῆς,] πολλῷ μᾶλλον ἐπὶ τῇ σωτηρίᾳ τῆς οἰκουμένης. σήμερον τὴν ἀνθρωπείαν φύσιν τῆς τοῦ διαβόλου τυραννίδος ἐλευθερώσας, πρὸς τὴν προτέραν εὐγένειαν ἐπανήγαγεν. ὅταν γὰρ ἴδω τὴν ἀπαρχὴν τὴν ἐμὴν οὕτω τοῦ θανάτου περιγενομένην, οὐκ ἔτι δέδοικα, οὐκέτι φρίττω τὸν πόλεμον· οὐδὲ πρὸς τὴν ἀσθένειαν ὁρῶ τὴν ἐμαυτοῦ, ἀλλ' ἐννοῶ τοῦ μέλλοντός μοι συμμαχεῖν τὴν ἄφατον δύναμιν. ὁ γὰρ τῆς τοῦ θανάτου τυραννίδος περιγενόμενος, καὶ πᾶσαν αὐτοῦ τὴν ἰσχὺν ἀφελόμενος, τί λοιπὸν οὐκ ἐργάσεται περὶ τὸ ὁμογενὲς, καὶ οὗ τὴν μορφὴν ἀναλαβεῖν διὰ πολλὴν φιλανθρωπίαν κατηξίωσε, καὶ διὰ ταύτης τὴν πρὸς τὸν διάβολον πάλην ποιήσασθαι; σήμερον χαρὰ πανταχοῦ τῆς οἰκουμένης καὶ εὐφροσύνη πνευματική· σήμερον καὶ τῶν ἀγγέλων ὁ δῆμος καὶ πασῶν τῶν ἄνω δυνάμεων ὁ χορὸς διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν ἀγάλλονται. ἐννόησον τοίνυν, ἀγαπητὲ, χαρᾶς μέγεθος, ὅτι καὶ αἱ ἄνω δυνάμεις ἡμῖν συνεορτάζουσι. συγχαίρουσι γὰρ τοῖς ἡμετέροις ἀγαθοῖς. καὶ γὰρ εἰ καὶ ἡμετέρα ἡ

χάρις

α. Κορ. ιε. ιη.
α. Θεσ. δ. ιγ. ιδ.
Ψαλμ. ρε. β.
Λουκ. ιε. ζ.

* διὰ τοῦ Ἰησ
χ. γινόμενον
χ. μικρὰ
* τῶν δούλων
χ. αὐτὰ
χ. [illegible]
χ. λοιπὸν
χ. αὐτὰ
χ. καλὸν καὶ πονηρόν,
χ. ἄνω

χάρις ἡ παρὰ τοῦ δεσπότου, ἀλλὰ καὶ ἐκείνων ἡ ἡδονή. διὰ τοῦτο οὐκ ἐπαισχύνονται ἡμῖν συνεορτάσαι. καὶ τί λέγω, ὅτι οἱ σύνδουλοι ἡμῖν οὐκ ἐπαισχύνονται συνεορτάσαι; αὐτὸς ὁ δεσπότης αὐτῶν τε καὶ ἡμῶν οὐκ ἐπαισχύνεται ἡμῖν συνεορτάσαι. τί δὲ εἶπον, οὐκ ἐπαισχύνεται; καὶ ἐπιθυμεῖ συνεορτάσαι ἡμῖν. πόθεν τοῦτο δῆλον; ἄκουε αὐτοῦ λέγοντος· Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν. εἰ δὲ τὸ πάσχα ἐπεθύμησε φαγεῖν, καὶ συνεορτάσαι δῆλον ὅτι. ὅταν οὖν ἴδῃς μὴ μόνον ἀγγέλους καὶ πάντων τῶν οὐρανίων δυνάμεων τὸν δῆμον, ἀλλὰ καὶ αὐτὸν τὸν δεσπότην τῶν ἀγγέλων ἡμῖν συνεορτάζοντα, τί σοι λείπει λοιπὸν εἰς εὐφροσύνης λόγον;

Λουκ. κβ. ιε.

Μηδεὶς τοίνυν ἔστω κατηφὴς σήμερον διὰ τὴν πενίαν (ἑορτὴ γάρ ἐστι πνευματική) μηδεὶς πλούσιος ἐπαιρέσθω διὰ τὸν πλοῦτον. οὐδὲν γὰρ ἀπὸ τῶν χρημάτων εἰσενεγκεῖν εἰς τὴν ἑορτὴν ταύτην δύναται. ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν ἑορτῶν, τῶν βιωτικῶν λέγω, ἔνθα πολλὴ ἡ φαντασία καὶ τῆς ἔξωθεν περιβολῆς καὶ τῆς ἐν τῇ τραπέζῃ πολυτελείας, εἰκότως ἐκεῖ ὁ μὲν πένης ἐν ἀθυμίᾳ καὶ κατηφείᾳ ἔσται, ὁ δὲ πλούσιος ἐν ἡδονῇ καὶ φαιδρότητι. τί δήποτε; ὅτι ὁ μὲν λαμπρὰν ἐσθῆτα περιβάλλεται καὶ πλουσιωτέραν παρατίθεται τὴν τράπεζαν, ὁ δὲ πένης ὑπὸ τῆς πενίας κωλύεται τὴν αὐτὴν φιλοτιμίαν ἐπιδείξασθαι· ἐνταῦθα δὲ οὐδέν τι τοιοῦτον, ἀλλὰ πᾶσα αὕτη ἡ ἀνωμαλία ἐκποδών· μία δὲ τράπεζα καὶ πλουσίῳ καὶ πένητι, καὶ δούλῳ καὶ ἐλευθέρῳ. κἂν πλούσιος ᾖς, οὐδὲν πλεονάζεις τοῦ πένητος· κἂν πένης ᾖς, οὐδὲν ἔλαττον ἕξεις τοῦ πλουσίου, οὐδὲ διὰ τὴν πενίαν ἐλαττοῦταί "σοι τὰ τῆς εὐωχίας* τῆς πνευματικῆς. θεία γάρ ἐστιν ἡ χάρις, καὶ οὐκ οἶδε προσώπων διαφοράν. καὶ τί λέγω πλουσίῳ καὶ πένητι; ἡ αὐτὴ τράπεζα πρόκειται καὶ αὐτῷ τῷ τὸ διάδημα περικειμένῳ καὶ τὴν ἁλουργίδα ἔχοντι, τῷ τὴν ἐξουσίαν τῆς οἰκουμένης ἀνῃρημένῳ, καὶ τῷ πτωχῷ τῷ πρὸς τὴν ἐλεημοσύνην καθημένῳ. τοιαῦτα γὰρ τὰ δῶρα τὰ πνευματικά. οὐ τοῖς ἀξιώμασι διαιρεῖ τὴν κοινωνίαν, ἀλλὰ τῇ προαιρέσει καὶ τῇ γνώμῃ. μετὰ τῆς αὐτῆς παρρησίας καὶ τιμῆς καὶ ὁ βασιλεὺς καὶ ὁ πτωχὸς πρὸς τὴν ἀπόλαυσιν καὶ κοινωνίαν τῶν θείων τούτων μυστηρίων ὁρμῶσι. καὶ τί λέγω μετὰ τῆς αὐτῆς τιμῆς; πολλάκις ὁ πένης μετὰ πλείονος τῆς παρρησίας. τί δήποτε; ὅτι ὁ μὲν βασιλεὺς κυκλούμενος πραγμάτων φροντίσι, καὶ ὑπὸ πολλῶν περιστάσεων περιστοιχιζόμενος, ὥσπερ ἐν πελάγει τυγχάνων, οὕτω πανταχόθεν ὑπὸ τῶν ἐπαλλήλων κυμάτων "περιρραντίζεται, καὶ πολλὰ προστρίβεται τὰ ἁμαρτήματα· ὁ δὲ πένης, πάντων τούτων ἀπηλλαγμένος, καὶ ὑπὲρ τῆς ἀναγκαίας μόνης φροντίζων τροφῆς, καὶ τὸν ἀπράγμονα καὶ ἡσύχιον βίον μετιών, ὥσπερ ἐν λιμένι καὶ γαλήνῃ καθήμενος, μετὰ πολλῆς τῆς εὐλαβείας τῇ τραπέζῃ προσίασι. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐξ ἑτέρων πολλῶν ἀθυμίαι διάφοροι τίκτονται τοῖς περὶ τὰς βιωτικὰς ἑορτὰς ἠσχολημένοις. πάλιν γὰρ ἐκεῖ ὁ μὲν πένης ἐν κατηφείᾳ, ὁ δὲ πλούσιος ἐν φαιδρότητι, οὐ διὰ τὴν τράπεζαν μόνην καὶ τὴν πολυτέλειαν, ἀλλὰ καὶ διὰ τὰ ἱμάτια τὰ φαιδρὰ καὶ τῆς ἐσθῆτος τὴν φαντασίαν. ὅπερ "γοῦν ἐπὶ τῆς τραπέζης πάσχουσι, τοῦτο καὶ ἐπὶ τῶν ἱματίων ὑπομένουσιν. ὅταν γοῦν ἴδῃ τὸν πλούσιον ὁ πένης πολυτελεστέραν περιβεβλημένον στολήν, ἐπλήγη τῇ ὀδύνῃ, ἐταλάνισεν ἑαυτόν, μυρία ἐπηράσατο ἑαυτῷ· ἐνταῦθα δὲ καὶ αὕτη ἡ ἀθυμία ἀνῄρηται. ἓν γὰρ ἅπασίν ἐστιν ἱμάτιον, τὸ ἔνδυμα τὸ σωτήριον. καὶ βοᾷ Παῦλος λέγων· Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. μὴ τοίνυν καταισχύνωμεν τὴν τοιαύτην ἑορτήν· παρακαλῶ, ἀλλὰ ἄξιον φρόνημα τῶν δεδωρημένων ἡμῖν παρὰ τῆς τοῦ" Χριστοῦ χάριτος ἀναλάβωμεν. μὴ μέθῃ καὶ ἀδηφαγίᾳ ἑαυτοὺς ἐκδώσωμεν· ἀλλ' ἐννοήσαντες τοῦ ἡμετέρου δεσπότου τὴν φιλοτιμίαν, καὶ ὅτι καὶ πλουσίους καὶ πένητας ὁμοίως ἐτίμησε, καὶ δούλους καὶ ἐλευθέρους, καὶ εἰς πάντας κοινὴν τὴν δωρεὰν ἐξέχεεν, ἀμειψώμεθα τὸν εὐεργέτην τῆς περὶ ἡμᾶς εὐνοίας. ἀμοιβὴ δὲ ἀρκοῦσα, πολιτεία "ἀρέσκουσα, καὶ ψυχὴ νήφουσα καὶ διεγηγερμένη. αὕτη ἡ ἑορτὴ

γρ. σου

* ταύτης

γρ. περιρρίπτεται

γρ. γὰρ

Γαλατ. γ. κζ.

γρ. πνεύματος

γρ. ἐρίσα

καὶ πανήγυρις οὐ χρημάτων δεῖται, οὐ δαπάνης, ἀλλὰ προαιρέσεως μόνης καὶ διανοίας καθαρᾶς. οὐδὲν σωματικόν ἐστιν ἐντεῦθεν ὠνήσασθαι, ἀλλὰ πάντα πνευματικά· ἀκρόασιν θείων λογίων, εὐχὰς πατέρων, εὐλογίας ἱερέων, τὴν θείαν καὶ ἀπόρρητον μυστηρίων τὴν κοινωνίαν, εἰρήνην καὶ ὁμόνοιαν, καὶ πνευματικὰ δῶρα, καὶ ἄξια τῆς τοῦ δωρουμένου φιλοτιμίας. ἑορτάσωμεν τοίνυν τὴν ἑορτὴν ταύτην, ἐν ᾗ ἀνέστη ὁ Κύριος. ἀνέστη γὰρ, καὶ τὴν οἰκουμένην ἑαυτῷ συνανέστησε. καὶ αὐτὸς μὲν ἀνέστη τὰ δεσμὰ τοῦ θανάτου διαρρήξας, ἡμᾶς δὲ ἀνέστησε τὰς σειρὰς τῶν ἡμετέρων ἁμαρτιῶν διαλύσας. ἥμαρτεν ὁ Ἀδὰμ, καὶ ἀπέθανεν· οὐχ ἥμαρτεν ὁ Χριστὸς, καὶ ἀπέθανεν. "ὢ καινῶν καὶ παραδόξων πραγμάτων. ἐκεῖνος ἥμαρτε, καὶ ἀπέθανεν· οὗτος οὐχ ἥμαρτε, καὶ ἀπέθανε. τίνος ἕνεκεν, καὶ διὰ τί; ἵνα ὁ ἁμαρτὼν καὶ ἀποθανὼν διὰ τοῦ μὴ ἁμαρτόντος καὶ ἀποθανόντος δυνηθῇ τῶν τοῦ θανάτου δεσμῶν ἐλευθερωθῆναι. οὕτω πολλάκις καὶ ἐπὶ τῶν τὰ χρήματα ὀφειλόντων γίνεται. ὀφείλει τις τινὶ ἀργύριον, καὶ οὐκ ἔχει καταβαλεῖν, καὶ διὰ τοῦτο κατέχεται. ἄλλος οὐκ ὀφείλων, δυνάμενος δὲ καταβαλεῖν, καταθεὶς ἀπέλυσε τὸν ὑπεύθυνον. οὕτω καὶ ἐπὶ τοῦ Ἀδὰμ γέγονε, καὶ ἐπὶ τοῦ Χριστοῦ. ὤφειλεν ὁ Ἀδὰμ τὸν θάνατον, καὶ κατείχετο ὑπὸ τοῦ διαβόλου. οὐκ ὤφειλεν ὁ Χριστὸς, οὐδὲ κατείχετο· ἦλθε δὲ καὶ κατέβαλε τὸν θάνατον ὑπὲρ τοῦ κατεχομένου, ἵνα ἐκεῖνον ἀπολύσῃ τῶν τοῦ θανάτου δεσμῶν. εἶδες τῆς ἀναστάσεως τὰ κατορθώματα; εἶδες τοῦ δεσπότου τὴν φιλανθρωπίαν; εἶδες μέγεθος κηδεμονίας; μὴ τοίνυν ἀγνώμονες γινώμεθα περὶ τὸν οὕτως εὐεργέτην· μηδὲ ἐπειδὴ ἡ νηστεία παρῆλθε, ῥαθυμότεροι καταστῶμεν, ἀλλὰ νῦν μᾶλλον ἢ πρότερον πλείονα τῆς ψυχῆς ποιώμεθα τὴν ἐπιμέλειαν· ἵνα μὴ, τῆς σαρκὸς πιαινομένης, αὕτη ἀσθενεστέρα γένηται, ἵνα μὴ τῆς δούλης φροντίζοντες, τῆς δεσποίνης καταμελήσωμεν. τί γὰρ ὄφελος, εἰπέ μοι, ὑπὲρ τὴν χρείαν διαρρήγνυσθαι καὶ τὴν συμμετρίαν ὑπερβαίνειν; τοῦτο καὶ τὸ σῶμα λυμαίνεται, καὶ τῆς ψυχῆς τὴν εὐγένειαν προδίδωσιν. ἀλλὰ τῆς αὐταρκείας καὶ τῆς χρείας γλιχώμεθα, ἵνα καὶ ψυχῇ καὶ σώματι τὸ πρέπον ἀποπληρώσωμεν, ἵνα μὴ τὰ ἀπὸ τῆς νηστείας συλλεγέντα ἀθρόον ἅπαντα ἐκχέωμεν. μὴ γὰρ κωλύω ἀπολαύειν τροφῆς καὶ ἀνίεσθαι; οὐ κωλύω τοῦτο, ἀλλὰ παραινῶ τῆς χρείας γίνεσθαι, καὶ τὴν πολλὴν τρυφὴν ἐκκόπτειν, καὶ μὴ τὸ μέτρον ὑπερβαίνοντας λυμαίνεσθαι τὴν τῆς ψυχῆς τὴν ὑγείαν. οὐδὲ γὰρ ἡδονῆς λοιπὸν ἀπολαύσεται ὁ τοιοῦτος ὑπερβὰς τῆς χρείας τὸν ὅρον. καὶ τοῦτο μάλιστα ἴσασιν ἀκριβῶς οἱ διὰ τῆς πείρας "αὐτῆς ἐλθόντες, καὶ μυρία ἐντεῦθεν ἑαυτοῖς τεκόντες νοσημάτων εἴδη, καὶ πολλὴν τὴν "ἀηδίαν ὑπομείναντες.

χ. καινῶν καὶ παραδόξων.

χ. πάντως

χ. ἀηδίας

Ἀλλ' ὅτι μὲν πεισθήσεσθε ταῖς ἡμετέραις παραινέσεσιν οὐκ ἀμφιβάλλω (οἶδα γὰρ ὑμῶν τὸ πειθήνιον) καὶ διὰ τοῦτο ἐνταῦθα τὴν περὶ τούτου στήσας παραίνεσιν, πρὸς τοὺς κατὰ τὴν νύκτα [τὴν φωσφόρον] ταύτην καταξιωθέντας τῆς τοῦ θείου βαπτίσματος δωρεᾶς τρέψαι βούλομαι τὸν λόγον, τὰ καλὰ ταῦτα τῆς ἐκκλησίας φυτὰ, τὰ ἄνθη τὰ πνευματικὰ, τοὺς νέους τοῦ Χριστοῦ στρατιώτας. πρὸ τῆς χθὲς ὁ δεσπότης ἐν σταυρῷ ἐτύγχανεν· ἀλλ' ἀνέστη νῦν. οὕτω καὶ οὗτοι, πρὸ τῆς χθὲς ὑπὸ τῆς ἁμαρτίας κατείχοντο, ἀλλὰ νῦν συνανέστησαν τῷ Χριστῷ. ἐκεῖνος σώματι ἀπέθανε, καὶ ἀνέστη· οὗτοι ἁμαρτίᾳ ἦσαν τεθνηκότες, καὶ ἀπὸ "ἁμαρτίας ἀνέστησαν. ἡ μὲν οὖν γῆ κατὰ τὸν καιρὸν τοῦτον τοῦ ἔαρος ῥόδα καὶ ἴα καὶ ἄλλα ἐκδίδωσιν ἄνθη· τὰ μέντοι ὕδατα σήμερον τῆς γῆς τερπνότερον ἡμῖν λειμῶνα ἀνέδειξε. καὶ μὴ θαυμάσῃς, ἀγαπητὲ, εἰ ἀπὸ τῶν ὑδάτων λειμῶνες ἀνθῶν "ἀνεβλάστησαν. οὐδὲ γὰρ ἐξ ἀρχῆς ἡ γῆ κατὰ τὴν οἰκείαν φύσιν τὴν βλάστην ἐξέδωκε τῶν βοτανῶν, ἀλλὰ τῷ ἐπιτάγματι εἴκουσα τοῦ δεσπότου· καὶ τὰ ὕδατα δὲ τότε ζῶα ἐξέδωκε κινούμενα, ἐπειδὴ ἤκουσεν, Ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν· καὶ τὸ ἐπίταγμα ἔργον ἐγένετο· ἡ ἄψυχος οὐσία ἔμψυχα ζῶα ἐξέβαλεν. οὕτω καὶ νῦν, τὸ αὐτὸ ἐπίταγμα πάντα εἰργάσατο. τότε εἶπεν, ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν· νῦν δὲ οὐχὶ ἑρπετὰ, ἀλλὰ πνευματικὰ

χ. ἁμαρτιῶν

χ. ἐφύησαν.

Γεν. α κ.

χαρίσματα ἀνέδωκε. τότε ἰχθύας ἀλόγους ἐξήγαγε τὰ ὕδατα, νῦν δὲ ἰχθύας λογικοὺς καὶ πνευματικοὺς ἡμῖν ἀποτέτοκεν ὑπὸ τῶν ἀποστόλων ἁλιευθέντας. Δεῦτε γάρ, φησιν, ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων*. καινὸς ὄντως τῆς ἁλιείας ταύτης ὁ τρόπος. οἱ γὰρ ἁλιεύοντες ἀεὶ ἐκ τῶν ὑδάτων ἐκβάλλουσι τοὺς ἰχθύας, καὶ νεκροῦσι τὰ ἁλιευόμενα· ἡμεῖς εἰς τὰ ὕδατα ἐμβαλλόμεθα, καὶ ζωογονοῦνται οἱ ἁλιευόμενοι. ἦν μέν ποτε καὶ ἐπὶ τῶν Ιουδαίων κολυμβήθρα ὕδατος. ἀλλὰ μάθε τί ἴσχυσεν, ἵνα γνοὺς ἀκριβῶς τὴν πτωχείαν τὴν Ἰουδαϊκήν, [καὶ] εἰδέναι ἔχοις τὸν πλοῦτον τὸν ἡμέτερον. Κατήρχετο ἐκεῖ, φησιν, ἄγγελος, καὶ ἐτάρασσε τὸ ὕδωρ· καὶ ὁ πρῶτος καταβαίνων μετὰ τὴν ταραχήν, ἀπήλαυε τῆς θεραπείας. κατῆλθεν ὁ τῶν ἀγγέλων δεσπότης εἰς τὰ Ἰορδάνεια ῥεῖθρα, καὶ ἁγιάσας τῶν ὑδάτων τὴν φύσιν, πᾶσαν τὴν οἰκουμένην ἐθεράπευσε. διὰ τοῦτο ἐκεῖ μὲν μετὰ τὸν πρῶτον ὁ καταβὰς οὐκέτι ἐθεραπεύετο (Ἰουδαίοις γὰρ ἐδίδοτο ἡ χάρις τοῖς ἀσθενοῦσι, τοῖς χαμαὶ συρομένοις) ἐνταῦθα δὲ μετὰ τὸν πρῶτον ὁ δεύτερος κάτεισι, μετὰ τὸν δεύτερον ὁ τρίτος καὶ τέταρτος. κἂν μυρίους εἴπῃς, κἂν τὴν οἰκουμένην ἅπασαν ἐμβάλῃς εἰς τὰ νάματα ταῦτα τὰ πνευματικά, οὐκ ἀναλίσκεται ἡ χάρις, οὐ δαπανᾶται ἡ δωρεά, οὐ ῥυποῦται τὰ νάματα, οὐκ ἐλαττοῦται ἡ φιλοτιμία. Εἶδες μέγεθος δωρεᾶς; ἀκούετε οἱ σήμερον καὶ κατὰ τὴν νύκτα ταύτην εἰς τὴν ἄνω Ἱερουσαλὴμ πολιτογραφηθέντες· καὶ ἀξίαν τοῦ μεγέθους τῶν δωρεῶν τὴν φυλακὴν ἐπιδείξασθε, ἵνα καὶ δαψιλεστέραν τὴν χάριν ἐπισπάσησθε. ἡ γὰρ ἐπὶ τοῖς ἤδη ὑπηργμένοις εὐγνωμοσύνη, τὴν φιλοτιμίαν ἐκκαλεῖται τοῦ δεσπότου. οὐκ ἔξεστί σοι, ἀγαπητέ, λοιπὸν ἀδιαφόρως ζῆν· ἀλλὰ θὲς σαυτῷ νόμους καὶ κανόνας, ὥστε μετὰ ἀκριβείας ἅπαντα διαπράττεσθαι, καὶ πολλὴν τὴν φυλακὴν καὶ περὶ τὰ ἀδιάφορα νομιζόμενα εἶναι ἐπιδείκνυσθαι. ἀγὼν γάρ ἐστι καὶ πάλη πᾶς ὁ παρὼν βίος, καὶ τοὺς ἐν τῷ σταδίῳ τούτῳ τῆς ἀρετῆς ἅπαξ εἰσελθόντας προσήκει πάντα ἐγκρατεύεσθαι. Πᾶς γὰρ ὁ ἀγωνιζόμενος, φησι, πάντα ἐγκρατεύεται. οὐχ ὁρᾷς ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ὅπως πολλὴν ποιοῦνται τὴν ἑαυτῶν ἐπιμέλειαν οἱ πρὸς ἀνθρώπους τὴν πάλην ἀναδεχόμενοι, καὶ μετὰ πόσης ἐγκρατείας τὴν τοῦ σώματος ἄσκησιν ἐπιδείκνυνται; οὕτω δὴ καὶ ἐνταῦθα· ἐπειδὴ οὐ πρὸς ἀνθρώπους ἡμῖν ἐστιν ἡ πάλη, ἀλλὰ πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, καὶ ἡ ἄσκησις ἡμῶν ἡ ἐγκράτεια πνευματικὴ ἔστω· ἐπειδὴ καὶ τὰ ὅπλα ἡμῶν, ἅπερ ἡμᾶς ἐνέδυσεν ὁ δεσπότης, πνευματικὰ τυγχάνει. ἐχέτω τοίνυν καὶ ὁ ὀφθαλμὸς ὅρους καὶ κανόνας, ὥστε μὴ ἁπλῶς ἐπιπηδᾷν πᾶσι τοῖς προσπίπτουσι· καὶ ἡ γλῶσσα τειχίον ἐχέτω, ὥστε μὴ προτρέχειν τῆς διανοίας. διὰ γὰρ τοῦτο καὶ οἱ ὀδόντες καὶ τὰ χείλη πρὸς τὴν τῆς γλώττης ἀσφάλειαν δεδημιούργηνται, ἵνα μηδέποτε ἁπλῶς ἀναπετάσασα τὰς θύρας ἡ γλῶσσα ἐξίῃ, ἀλλ' ἐπειδὰν καλῶς τὰ καθ' ἑαυτὴν διαθῇ, τότε μετὰ πάσης εὐκοσμίας προΐῃ, καὶ τοιαῦτα προφέρῃ ῥήματα, ἵνα δῷ χάριν τοῖς ἀκούουσι, κἀκεῖνα φθέγγηται, ἃ πρὸς οἰκοδομὴν συντείνει τῶν ἀκουόντων. καὶ τὸν ἄτακτον δὲ γέλωτα πάντη ἐκκλίνειν δεῖ, καὶ τὸ βάδισμα ἤρεμον ἔχειν καὶ ἡσύχιον, καὶ τὴν στολὴν κατεσταλμένην· καὶ διὰ πάντων ἁπαξαπλῶς ῥυθμίζεσθαι προσήκει τὸν ἀπογραψάμενον εἰς τὸ τῆς ἀρετῆς στάδιον. ἡ γὰρ τῶν μελῶν τῶν ἔξωθεν εὐταξία, εἰκών τίς ἐστι τῆς ἐν τῇ ψυχῇ καταστάσεως. ἐὰν εἰς τοιαύτην συνήθειαν ἐκ προοιμίων ἑαυτοὺς καταστήσωμεν, ὁδῷ βαδίζοντες λοιπὸν μετ' εὐκολίας τὴν ἀρετὴν ἅπασαν διανύσομεν, καὶ οὐδὲ πολλοῦ πόνου δεησόμεθα, καὶ πολλὴν ἐπισπασόμεθα τὴν ἄνωθεν ῥοπήν. οὕτω γὰρ δυνησόμεθα καὶ τὰ κύματα τοῦ παρόντος βίου μετ' ἀσφαλείας διαδραμεῖν, καὶ τῶν τοῦ διαβόλου παγίδων ἀνώτεροι καταστάντες τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ταύτην λέ-
ται τὴν ἁλείαν
διὰ τὴν φι-
ανθρωπίας τῆς
δεσποτικῆς
οικουμένην.
πνευμα-
τικῶν.

νάματα,

ἐξίῃ.

Ματθ. δ. 19.

Ιωαν. ε. δ.

α. Κορ. θ. κε.

Λογ. πϛ. ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ. γ.

Χαίρετε ἐν Κυρίῳ πάντοτε, ἀγαπητοὶ ἀδελφοί, πάλιν ἐρῶ χαίρετε,
ὁ Κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε· ὁ Κύριος ἐκ νεκρῶν ἐγήγερται, καὶ
μετ' αὐτοῦ πολὺς ὄχλος ἁγίων. ἑορτάσωμεν οὖν ἡδέως τε καὶ σωφρόνως.
Ψαλ. ριζ. κδ. αὕτη γὰρ ἀληθῶς ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα
καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. κηρύξωμεν τὴν τοῦ σωτῆρος ἀνάστασιν,
μᾶλλον δὲ τὴν ἡμετέραν βοήσωμεν σωτηρίαν· κηρύξωμεν
τῆς σωτηρίου ἡμέρας τὴν ὑπόμνησιν, κηρύξωμεν τὴν νέκρωσιν τοῦ διαβόλου, τὴν τῶν
ἀκαθάρτων δαιμόνων αἰχμαλωσίαν, τὴν τῶν χριστιανῶν σωτηρίαν, τὴν τῶν νεκρῶν ἀνάστασιν.
διὰ γὰρ τῆς ἀναστάσεως τοῦ ″Χριστοῦ σβέννυται μὲν γέεννα πυρός, σκώληξ δὲ ἀκοίμητος γρ. Κυρίου
τελευτᾷ, ᾅδης ταράττεται, πενθεῖ διάβολος, ἁμαρτία νεκροῦται, πνεύματα πονηρὰ
διώκεται, οἱ ἀπὸ γῆς εἰς οὐρανὸν ἀνατρέχουσιν, οἱ ἐν τῷ ᾅδῃ ἐλευθεροῦνται τῶν
α. Κορ. ιε. νε. δεσμῶν τοῦ διαβόλου, καὶ Θεῷ προσφεύγοντες λέγουσι τῷ διαβόλῳ· Ποῦ σου, θάνατε, τὸ κέντρον;
ποῦ σου, ᾅδη, τὸ νῖκος; αἴτιος δὲ ἡμῖν τῆς ἁγίας ταύτης ἑορτῆς τε καὶ πανηγύρεως ὁ Χριστός, ὁ καὶ
πάντων ἡμῖν τῶν καλῶν πρόξενος. οὗτος μὲν γὰρ ἡμᾶς ἐξ ἀρχῆς ἐποίησε, καὶ ἐκ τοῦ μὴ ὄντος εἰς
τὸ εἶναι παρήγαγεν· οὗτος καὶ νῦν ἀπολλυμένους ἔσωσε, νενεκρωμένους ἐζωοποίησεν· οὗτος καὶ νῦν ἡμᾶς
″ἀφείλατο τῆς τυραννίδος τοῦ διαβόλου· οὗτος δούλους ὄντας ἡμᾶς ″τῆς ἁμαρτίας ἐλευθέρους ἴσ. ἀφείλετο γρ. τῇ ἁμαρτίᾳ
″ἀπέδειξεν, ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον. Χριστὸς ἡμᾶς ἐξηγόρασεν γρ. ἐποίησε
Κολασσ. β. ιδ. ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. ἐφ' οἷς ἄξιον καὶ ἡμᾶς εἰπεῖν·
Γαλ. γ. ιγ. Ψαλ. ιε. ιβ. Φιλιπ. β. η. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν; Θεὸς ὢν μονογενής, ἄνθρωπος δι' ἡμᾶς γενέσθαι ηὐδόκησε, καὶ γέγονεν ὑπήκοος μέχρι θανάτου, ἵνα ἡμᾶς αἰωνίου ″θανάτου ῥύσηται. δούλου μορφὴν ἐφόρεσεν ὁ τῶν ἀγγέλων δεσπότης. σάρκα προσέλαβεν ὁ Θεὸς Λόγος, καὶ ἄνθρωπος ἐφαίνετο ὁ σύμμορφος καὶ ὁμοούσιος τῷ πατρί. καὶ ταῦτα γρ. πυρός
ὑπέμεινεν ἵνα ἡμᾶς καὶ τῆς ἀδίκου δουλείας ἐξέληται, καὶ τῆς ἀτιμίας λυτρώσηται·
διὰ τοῦτο παθεῖν ἠνέσχετο σαρκὶ ὁ τῆς ζωῆς ἡμῶν χορηγός· διὰ τοῦτο καὶ ἐτάφη τῆς ἀθανασίας ἡ πηγή, ἵνα τοῖς θνητοῖς ἀΐδιον χαρίσηται ζωήν. καὶ παρῆν μὲν ἐπὶ τῆς γῆς εὐεργετῶν
Πραξ. ι. λη. καὶ ἰώμενος τὰ τῶν ἀνθρώπων πάθη, ἀνάξια δὲ ὑπὸ τῶν θεομάχων Ἰουδαίων ἀπελάμβανε τὰς ἀμοιβάς. ὁ μὲν γὰρ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς διὰ πολλὴν ἀγαθότητα λεπροὺς ἐκαθάριζε, τυφλοῖς δὲ βλέπειν ἐχαρίσατο, χωλοὺς ἐθεράπευσε, δαίμονας ″ἤλαυνε, τὸν Λάζαρον τετραήμερον ἐκ νεκρῶν ἤγειρεν, ἐκ πέντε ἄρτων πεντακισχιλίους ἐχόρτασεν, γρ. ἀπήλ.
ἐπὶ θαλάσσης περιεπάτησε, τὸ ὕδωρ εἰς οἶνον μετέβαλε, τὴν αἱμορροοῦσαν ἰάσατο, τὴν θυγατέρα τοῦ ἀρχισυναγώγου θανοῦσαν ″ἀνεζωοποίησε, καὶ ἄλλα πολλὰ μυστήρια γρ. ἐζωοποίησεν
θαύματος ἄξια πεποίηκεν. Ἰουδαῖοι δὲ ὑπὸ φθόνου καὶ βασκανίας κινηθέντες, ποτὲ μὲν
ἐλίθαζον τὸν Κύριον, ποτὲ δὲ κατακρημνίζειν ἐπειρῶντο, τελευταῖον δὲ καὶ ἐπὶ τὸν σταυρὸν
″ἀνήγαγον. ἀλλ' ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς οὐκ ἐμιμήσατο τὴν κακίαν τῶν βλασφήμων γρ. ἤγαγον
Ησ. ν. ϛ. Ἰουδαίων, ἀλλὰ καὶ τὸν νῶτον αὐτοῦ ἐδίδου εἰς μάστιγας, κατὰ τὸν προφήτην, καὶ τὰς σιαγόνας
Ησ. νγ. ζ. αὐτοῦ εἰς ῥαπίσματα, καὶ οὐκ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπὸ αἰσχύνης ἐμπτυσμάτων,
καὶ τὸ τελευταῖον ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν
α. Πετ. β. κγ. ἄφωνος, οὐκ ἀντιπαιόμενος, οὐκ ἀντιλέγων. Βλασφημούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ
ἠπείλει, παρεδίδου δὲ ἑαυτὸν τῷ κρίνοντι δικαίως. οὐ γὰρ ἦλθεν ἐπὶ τῇ πρώτῃ παρουσίᾳ κολάσαι
καὶ τιμωρήσασθαι τοὺς ἀπίστους, ἀλλ' ἠθέλησε διὰ μακροθυμίας καὶ ὑπομονῆς ὁδηγῆσαι
τοὺς πεπλανημένους ἐπὶ τὴν ἀλήθειαν. καὶ μάθε τοῦ Κυρίου τὴν ἀγαθότητα καὶ τὴν χρηστότητα τῆς

μεγάλου

μεγάλην. ἐβλασφήμουν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ ἔλεγον πρὸς αὐτόν, Δαιμόνιον ἔχεις· ὁ δὲ Κύριος μακρόθυμος ὤν, τοὺς δαίμονας ἐκ τῶν ἀνθρώπων ἤλαυνεν. Ἰουδαῖοι εἰς τὸ πρόσωπον ἐνέπτυον τοῦ σωτῆρος, αὐτὸς δὲ τοὺς τυφλοὺς αὐτῶν ἐθεράπευεν. Ἰουδαῖοι τὸν Χριστὸν ἐλίθαζον, ὁ δὲ Χριστὸς τοῖς χωλοῖς αὐτῶν τὸ τρέχειν ἐχαρίζετο, καὶ δι᾽ ὅλου διετέλεσεν εὐεργετῶν τοὺς ὑβρίζοντας, καὶ ἀντὶ κακῶν ἀγαθὰ δωρούμενος τοῖς ἀχαρίστοις ἐκείνοις καὶ μιαροῖς ἀνθρώποις. ἀνεξικάκως δὲ φέρων τὰς λοιδορίας, ἴσως καὶ ἀσθενὴς ἐνομίζετο ὁ ὑπὸ ἀγγέλων δορυφορούμενος. καὶ ἵνα μὴ πολλὰ λέγοντες δόξωμεν μηκύνειν τὸν λόγον, ἔλθωμεν εἰς τὰ αὐτὰ κεφάλαια τῶν πραγμάτων. τέλος γοῦν ἤγετο καὶ ἐπὶ τὸν σταυρὸν καὶ θάνατον ὁ τῆς δόξης βασιλεύς, καὶ προσηλοῦτο τῷ ξύλῳ ὁ ὑπὸ τῶν χερουβὶμ καὶ σεραφὶμ δοξολογούμενος, καὶ ὑπὸ πασῶν δυνάμεών τε καὶ ἀγγέλων προσκυνούμενος. ταῦτα δὲ πράως ὑπέμενέ τε καὶ ἔπασχεν, ἡμῖν ὑπογραμμὸν παρέχων, καὶ διδάσκαλος ἐπιεικείας γινόμενος. διὰ τοῦτο οὖν καὶ ἡμεῖς ὀφείλομεν γενναίως τὰς τῶν πονηρῶν ἀνθρώπων ἀπειλὰς φέρειν. ἀλλὰ γὰρ καὶ ἐπὶ σταυροῦ κρεμασθεὶς μείζονα ἔργα καὶ πλείονα θαύματα ἐπεδείξατο, ἵνα κἂν οὕτω παύσῃ τὴν θεοστυγῆ τούτων μανίαν· ὥστε μὴ ἔχειν αὐτοὺς πρόφασιν τῆς ἀπιστίας, μήτε λέγειν, ὅτι ψιλὸν ἄνθρωπον ἐσταυρώσαμεν. πρῶτον μὲν οὖν ἠνέσχετο ὁ Χριστὸς σταυρωθῆναι, καὶ εἰς τὸν ἀέρα κρεμασθῆναι, ἵνα τοὺς ἐν τῷ ἀέρι δαίμονας φυγαδεύσῃ· ἐκρεμάσθη ἐπὶ ξύλου, ἵνα τὴν πάλαι διὰ ξύλου προσγινομένην τοῖς ἀνθρώποις ἁμαρτίαν ἰάσηται. ἐνύγη δὲ καὶ λόγχῃ τὴν πλευρὰν διὰ τὴν ἐκ τῆς πλευρᾶς τοῦ Ἀδὰμ ληφθεῖσαν γυναῖκα. ἐπειδὴ γὰρ ὁ ὄφις τὴν Εὔαν ἠπάτησεν, ἡ δὲ Εὔα τὸν Ἀδὰμ παραβῆναι παρεσκεύασεν (ἐξῆλθε δὲ ἀπόφασις κατ᾽ αὐτῶν ἀμφοτέρων, καὶ ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως καὶ ἐπὶ τοὺς [μὴ] ἁμαρτήσαντας) διὰ τοῦτο τιτρώσκεται) ἡ πλευρά, ἵνα μάθωμεν ὅτι οὐ μόνον ἀνδράσιν ἤνεγκε σωτηρίαν τὸ πάθος τοῦ Χριστοῦ, ἀλλὰ καὶ γυναιξίν. Ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη, εἶτα Εὔα· καὶ Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἐξαπατηθεῖσα ἐν παραβάσει γέγονε. Σωθήσεται δὲ διὰ τῆς τεκνογονίας. ποίας τεκνογονίας, εἰ μὴ διὰ τῆς τεκνογονίας Μαρίας; αὕτη γὰρ τὸν σωτῆρα Χριστὸν ἐτεκνώσατο, οὐκ ἀνδρὶ συνελθοῦσα, ὡς Ἡσαΐας μαρτυρεῖ, ἀλλὰ πνεύματος ἁγίου ἐπισκιάσαντος αὐτῇ, καθὼς Γαβριὴλ ὁ ἀρχάγγελος εὐηγγελίσατο. διὰ ταύτην οὖν τὴν πρόφασιν καὶ ἡ πλευρὰ πλήττεται) τοῦ Χριστοῦ, ἵνα καὶ τὰ προειρημένα οἰκονομηθῇ, καὶ τὸ μυστήριον τοῦ βαπτίσματος κηρυχθῇ, καὶ ἡ χάρις ἡ μέλλουσα λάμψῃ. πηγάζει γὰρ αἷμα καὶ ὕδωρ ἐκ τῆς πλευρᾶς τοῦ Χριστοῦ, ἵνα καὶ τὸ καθ᾽ ἡμῶν χειρόγραφον τῆς ἁμαρτίας ἀπαλείψῃ, καὶ τῷ αἵματι αὐτοῦ καθαρισθῶμεν, καὶ τὸν παράδεισον ἀπολάβωμεν. ὢ μεγάλου μυστηρίου. μετενόησεν ὁ λῃστής, χρεία ἦν ὕδατος ἵνα βαπτισθῇ. ἐπὶ σταυροῦ ἐκρέματο, οὐκ ἦν ἕτερος τρόπος βαπτίσματος, οὐ πηγή, οὐ λίμνη, οὐκ ὄμβρος, οὐχ ὁ τὴν μυσταγωγίαν ἐπιτελῶν. πάντες γὰρ διὰ τὸν φόβον τῶν Ἰουδαίων ἔφυγον οἱ μαθηταί. ἀλλ᾽ οὐκ ἠπόρησεν ὁ Ἰησοῦς τῶν ναμάτων, ἀλλὰ καὶ ἐπὶ σταυροῦ κρεμάμενος, δημιουργὸς ὑδάτων γέγονεν. ἐπειδὴ γὰρ οὐχ οἷόν τε ἦν εἰσελθεῖν εἰς τὴν βασιλείαν τὸν λῃστὴν δίχα βαπτίσματος, ἐχρῆν δὲ τοῦτον μετανοήσαντα μὴ ἀμοιρῆσαι τοῦ βαπτίσματος, ὕδωρ καὶ αἷμα προήκατο τῆς νυγείσης αὐτοῦ πλευρᾶς ὁ σωτήρ, ἵνα καὶ τὸν λῃστὴν ἐλευθερώσῃ τῶν ἐπηρτημένων κακῶν, καὶ τὸ αἷμα αὐτοῦ λύτρον ἀποδείξῃ γινόμενον τῶν εἰς αὐτὸν τὰς ἐλπίδας ἐχόντων. εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων, καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς κάθαρσιν, πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν καθάρσιον γέγονε πάντων ὁμοῦ τῶν Χριστιανῶν; ἐὰν οὖν εἴπῃ σοί τις τῶν ἀπίστων, διὰ τί ἐσταυρώθη ὁ Χριστός; εἰπὲ αὐτῷ, ἵνα σταυρώσῃ τὸν διάβολον. ἐὰν εἴπῃ σοι, διὰ τί ἐκρεμάσθη ἐπὶ ξύλου; εἰπὲ αὐτῷ, ἵνα τὴν διὰ ξύλου γενομένην ἁμαρτίαν ἐν τῷ παραδείσῳ ἀνακαλέσηται). ἐὰν εἴπῃ σοι, διὰ τί δὲ καὶ ἀκάνθας

Ἰωάν. ζ. κ.
Ῥωμ. ε. ιδ.
α. Τιμ. β. ιδ.
Ἡσ. ζ. ιδ.
Λουκ. α. λε.
Ἑβ. θ. ιγ.

γρ. εἰς αὐτὰ τὰ κεφάλαια
γρ. τὴν θεοστυγῆ τὴν μανίαν
γρ. ἐσταυρώσαμεν.
γρ. ἐπαρθῆναι
γρ. προσγενομ.
γρ. αὐτήν
γρ. τόπος
γρ. ἐκτελ-
γρ. θριγ.

ἐφόρεσεν;

Γεν. γ. ιζ. ἐφόρεσεν; εἰπὲ αὐτῷ, ἵνα τὰς ἀκάνθας καὶ τοὺς τριβόλους τοῦ Ἀδὰμ ἐκριζώσῃ. ἐκεῖνος γὰρ
στένειν καὶ τρέμειν κατεδικάσθη, καὶ ἀκάνθας καὶ τριβόλους γεωργεῖν. Ἰησοῦς οὖν φιλάνθρωπος
ὤν, τοῦ ἰδίου ποιήματος θέλων προνοήσασθαι, πάντα δι' ἡμᾶς ὑπέστη, ἵνα ἡμεῖς γρ. ἡμᾶς
τῆς καταδίκης ἐλευθερωθῶμεν. ὥσπερ γὰρ ἐγυμνώθη διὰ γυναικός, ἵνα τὴν ἐκ γυναικὸς γρ. ἐλευθερωθῶμεν
προσγενομένην ἁμαρτίαν τοῖς ἀνθρώποις ἀπαλείψῃ, οὕτω καὶ ταῖς ἀκάνθαις ἐστεφανοῦτο,
ἵνα τὴν κακῶς γεωργηθεῖσαν ὑπὸ τῆς παρακοῆς γῆν διὰ τῆς ἰδίας ὑπακοῆς ἡμερωτέραν
ἐργάσηται). ἐὰν δὲ εἴπῃ σοι, χολὴν καὶ ὄξος διὰ τί ἔπιεν; εἰπὲ αὐτῷ, ἵνα ἡμεῖς τὸν θανατηφόρον
ἰὸν ἐξεμέσωμεν τοῦ δράκοντος. ἡ γὰρ χολὴ ἐκείνη ἐμοὶ γέγονε γλύκασμα, καὶ τὸ
ὄξος ἐκεῖνο ἐμοὶ γέγονεν ἴαμα. ἐὰν δέ σοι εἴπῃ πάλιν ὁ ἄπιστος, διὰ τί καὶ κοκκίνην ἐνεδύσατο
χλαμύδα, καὶ διὰ τί ἐγονυπέτουν προσιόντες αὐτῷ; εἰπὲ αὐτῷ, ἵνα καὶ μὴ θέλοντες αὐτῷ
προσκυνῶσιν οἱ Ἰουδαῖοι, καὶ τὴν βασιλείαν αὐτοῦ καὶ ἄκοντες ἐπὶ γῆς ὁμολογήσωσι. νῦν
μὲν χλευάζοντες προσεκύνουν, οὐκ εἰδότες ἅπερ ἔπραττον, ἐν δὲ τῇ μελλούσῃ ἀναστάσει
πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται),
Φιλιπ. β. ι. ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ ἐστι πατρὸς ἡμῶν. Ἀμήν. Ἔχει δὲ καὶ ἡ χλαμὺς γρ. χλανὶς
ἐκείνη ἕτερον αἴνιγμα. οὐ μόνον γὰρ τὴν βασιλείαν ὑπετύπου, ἀλλὰ γὰρ καὶ τὸ αἱμοβόρον
καὶ φονῶδες τῶν Ἰουδαίων ἐπεδείκνυτο. ἐδέξατο δὲ καὶ κάλαμον ἐν τῇ χειρὶ αὐτοῦ, ἵνα γραφῶσιν
αὐτῶν αἱ ἁμαρτίαι. Ταῦτα μὲν οὖν οἱ θεομάχοι ἐποίουν, ἀγνοοῦντες τὸν σταυρούμενον,
μᾶλλον δὲ ἑκουσίως ἀποτυφλωθέντες· ἡ δὲ κτίσις οὐκ ἠγνόησε τὸν ἑαυτῆς δεσπότην τε καὶ δημιουργόν.
ἐπὶ γὰρ τοῦ σταυροῦ κρεμάμενον θεωρήσας ὁ ἥλιος ὁ αἰσθητὸς τὸν ἥλιον τῆς δικαιοσύνης γρ. ἐπὶ γὰρ τοῦ σταυροῦ κρεμάμενον θεω-
Χριστόν, ὑπὸ τῶν ἀνόμων ὑβριζόμενον, μὴ φέρων τὸ τόλμημα, φθὰς ἐσκίασε τὴν γῆν,
καὶ ἄτοπον ἡγησάμενος συνεργεῖν, καὶ φωτίζειν ὀφθαλμοὺς τοὺς τὴν μεγίστην ἀσεβοῦντας ἀσέβειαν. γρ. [illegible]
οὐ μόνον δὲ ὁ ἥλιος ἔφυγεν, ἀλλὰ καὶ ἡ γῆ ἐκινεῖτο, μὴ φέρουσα τὴν ἀνομίαν τῶν γρ. ἐκλονεῖτο
δρωμένων, ἐνδεικνυμένη δὲ καὶ διδάσκουσα ὅτι Θεὸς ἦν ὁ σταυρούμενος. καὶ οὐκ ἠνέσχετο, ἀλλ'
ἐχαλέπαινε, μὴ θέλουσα φέρειν ἐφ' ἑαυτῆς τοὺς θεοστυγεῖς Ἰουδαίους. οὐχ οὕτω γὰρ ἀδελφοκτονήσας
ἔχρανεν ὁ Κάϊν τὴν γῆν, οὐδὲ οὕτως αὐτὴν ἐβάρησεν ἡ γιγάντων πυργοποιΐα, οὐδ' οὕτως αὐτὴν
ἐμόλυναν ἀθεμιτουργήσαντες Σοδομῖται, οὐδ' αὐτοὶ οἱ τὰ εἴδωλα πλάσαντες ἐπ'
αὐτῆς, οὐ τὸ αἷμα Ζαχαρίου καὶ Ἄβελ ἐκχυθὲν ἐβάρησεν αὐτὴν οὕτως, ὅσον Ἰουδαῖοι τὸ μέγα
τοῦτο τολμήσαντες ἀσέβημα. διὰ γὰρ τοῦτο καὶ αἱ σκληραὶ πέτραι ἐσχίζοντο, ἵνα μάθωσιν
α Κορ. ι. δ. ὅτι αὐτός ἐστιν ἡ πνευματικὴ καὶ ζῶσα πέτρα. Ἔπινον γάρ, φησιν, ἐκ πνευματικῆς ἀκολουθούσης
πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός. ὢ τῆς Ἰουδαίων ἀγνωμοσύνης. αἱ πέτραι
ἐσχίσθησαν, καὶ οὗτοι ἀναισθητοῦσι· τὰ ἄψυχα κλονεῖται, καὶ οἱ ἔμψυχοι ἀπιστοῦσι· τὸ καταπέτασμα
τοῦ ναοῦ ῥήγνυται), ἵνα λοιπὸν ἡ ἐρήμωσις αὐτῶν δειχθῇ. ἐσχίσθη γὰρ τὸ τοῦ ναοῦ
Ματθ. κγ. λη. καταπέτασμα, ἐγυμνώθη τὰ ἐν τῷ ναῷ διὰ τὸν εἰπόντα Χριστόν· Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν
ἔρημος. καὶ γὰρ ἠρήμωται μετὰ τὴν χριστοκτονίαν πάντα τὰ τῶν Ἰουδαίων σεμνά·
καὶ οἱ παραμένοντες τῇ πόλει καὶ τῷ ἱερῷ ἄγγελοι μετέβησαν ἐκεῖθεν, καὶ ἦλθον
εἰς τὴν ἐκκλησίαν. πολλὰ δὲ σώματα τῶν κεκοιμημένων ἁγίων συνανέστη Χριστῷ, γρ. συνηγέρθη
ἵνα μάθωμεν ἡμεῖς, ὅτι Χριστὸς ἀποθανὼν μόνος οὐκ ἀνίσταται, ἀλλὰ πάντας
τοὺς εἰς αὐτὸν πιστεύσαντας ἐκ νεκρῶν ἀναστήσει. αὕτη ὡς ἐν κεφαλαίῳ ἐστὶν ἡ σεμνὴ
τοῦ πάσχα ἑορτή, καὶ ταῦτα Χριστιανῶν τὰ μυστήρια περὶ ἀναστάσεως νεκρῶν καὶ ζωῆς αἰωνίου
α Κορ. ε. η. πανηγυρίζομεν. τοιγαροῦν ἑορτάσωμεν μὴ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις
εἰλικρινείας καὶ ἀληθείας, πιστεύοντες εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, εἰς τριάδα
ὁμοούσιον, ἄκτιστον, πιστεύοντες τῇ ἀναστάσει, προσδοκῶντες τὸν Κύριον πάλιν ἐρχόμενον,
οὐκέτι μὲν ταπεινῶς, ἀλλ' ἐνδόξως μετὰ λαμπρότητος οὐρανίου, μετὰ φωτεινῶν ἀγγέλων,
μετὰ σάλπιγγος καὶ φόβου καὶ χαρᾶς· χαρᾶς μὲν τῶν ἁγίων καὶ δικαίων, φόβου δὲ τῶν ἀδίκων

καὶ ἁμαρτωλῶν. ὁ δὲ Θεὸς τῆς εἰρήνης πάντας ἡμᾶς καταξιώσειε τῆς μετὰ τῶν ἁγίων ἀναστάσεως, ἐν ἔργοις καλοῖς εὑρεθέντας, καὶ πίστει ὀρθοδόξῳ· ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. πζ. ΕΙΣ ΤΗΝ ΑΝΑΛΗΨΙΝ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ Ἰησοῦ Χριστοῦ.

ἐλέχθη δὲ ἐν τῷ μαρτυρίῳ τῆς Ρωμανησίας, ἔνθα μαρτύρων σώματα ὑπὸ τὸ ἔδαφος κείμενα ἐγγὺς λειψάνων αἱρετικῶν, διεκρίθησαν καὶ ἰδίᾳ κατ' ἰδίαν ἐτάφησαν.

ΚΑὶ ὅτε σταυροῦ μνείαν ἐπετελοῦμεν, ἔξω τῆς πόλεως τὴν ἑορτὴν ἐπετελέσαμεν, καὶ νῦν ὅτε τοῦ σταυρωθέντος τὴν ἀνάληψιν ἄγομεν τὴν φαιδρὰν ταύτην καὶ ἐξαστράπτουσαν ἡμέραν, ἔξω τῆς πόλεως πάλιν τὴν ἑορτὴν ἐπιτελοῦμεν. ποιοῦμεν δὲ τοῦτο, οὐχὶ τὴν πόλιν ἀτιμάσαι βουλόμενοι, ἀλλὰ τιμῆσαι τοὺς μάρτυρας σπουδάζοντες. ἵνα γὰρ μὴ ἐγκαλῶσιν ἡμῖν οἱ ἅγιοι οὗτοι, καὶ λέγωσιν ἡμεῖς οὐκ ἦμεν ἄξιοι μίαν ἡμέραν τοῦ δεσπότου ἡμῶν ἐν ταῖς ἡμετέραις σκηναῖς ἐπιτελουμένην ἰδεῖν· ἵνα μὴ ἐγκαλέσωσιν ἡμῖν οἱ ἅγιοι οὗτοι καὶ λέγωσιν· ὅτι τὸ μὲν αἷμα ἡμῶν ὑπὲρ αὐτοῦ ἐξεχέαμεν, καὶ τὰς κεφαλὰς ἡμῶν ἀποτμηθῆναι κατηξιώθημεν· τὴν δὲ ἡμέραν τῆς ἑορτῆς αὐτοῦ οὐ κατηξιώθημεν ἰδεῖν ἐν τοῖς ἡμετέροις καταγωγίοις τελουμένην· διὰ ταῦτα τὴν πόλιν ἀφέντες, πρὸς τοὺς πόδας τῶν ἁγίων τούτων ἐδράμομεν, διὰ τῆς παρούσης ἡμέρας καὶ ὑπὲρ τοῦ χρόνου τοῦ παρελθόντος ἀπολογούμενοι πρὸς αὐτούς. Εἰ γὰρ καὶ πρὸ τούτου ἔδει πρὸς τοὺς γενναίους τούτους τῆς εὐσεβείας ἀθλητὰς τρέχειν, ὅτε ὑπὸ τὸ ἔδαφος ἔκειντο· πολλῷ μᾶλλον νῦν τοῦτο ποιεῖν χρή, ὅτε καθ' ἑαυτοὺς οἱ μαργαρεῖται, ὅτε ἀπηλλάγη τῶν λύκων τὰ πρόβατα, ὅτε ἀπέστησαν τῶν νεκρῶν οἱ ζῶντες. αὐτοὺς μὲν γὰρ οὐδὲ πρὸ τούτου βλάβη τις ἦν ἀπὸ τῆς κοινωνίας τῆς μετὰ τὴν ταφήν. ὧν γὰρ τὰ πνεύματα ἐν τοῖς οὐρανοῖς, οὐδὲ τὰ σώματα ἐβλάπτετο ἀπὸ τῆς γειτνιάσεως· ὧν ἡ ψυχὴ ἐν τῇ χειρὶ τοῦ Θεοῦ, οὐδὲν τὰ λείψανα ἀπὸ τῆς θέσεως ἔπασχεν. αὐτοῖς μὲν οὖν οὐδεμία βλάβη ἦν, οὐδὲ πρὸ τούτου· ὁ δὲ λαὸς ἡμῶν οὐ τὴν τυχοῦσαν ζημίαν ὑπέμενεν, ἀπὸ τῶν τόπων τρέχων πρὸς τὰ λείψανα τῶν μαρτύρων, μετὰ δὲ ἀμφιβολίας καὶ διακρίσεως ποιούμενος τὰς εὐχάς, διὰ τὸ ἀγνοεῖσθαι τὰς θήκας τῶν ἁγίων, καὶ ποῦ κεῖνται οἱ θησαυροὶ οἱ ἀληθινοί. καὶ ταυτὸν ἐγίνετο, ὥσπερ ἂν εἴ τι ποίμνια προβάτων καθαρῶν ἀπολαῦσαι ῥείθρων ἐπειγόμενα ἔρχοιτο μὲν ἐπὶ τὰς πηγὰς τὰς καθαράς, βορβόρου δὲ ποθὲν ἐγγύθεν καὶ δυσωδίας ἐμπεσούσης ἀναχαιτίζοιτο πάλιν· οὕτω καὶ ἐπὶ τῆς ποίμνης ταύτης συνέβαινεν. ἐβάδιζε μὲν ὁ λαὸς πρὸς τὰς καθαρὰς τῶν μαρτύρων πηγάς· αἰσθανόμενος δὲ δυσωδίας αἱρετικῆς ἐγγύθεν ἀνιούσης, ἀνεχαιτίζετο πάλιν. ὅπερ οὖν συνειδὼς ὁ σοφὸς οὗτος ποιμὴν καὶ κοινὸς διδάσκαλος, ὁ πάντα πρὸς οἰκοδομὴν τῆς ἐκκλησίας οἰκονομῶν, οὐκ ἠνέσχετο μέχρι πολλοῦ ταύτην τὴν ζημίαν περιιδεῖν, οὗτος ὁ θερμὸς ἐραστὴς καὶ ζηλωτὴς τῶν μαρτύρων· ἀλλὰ τί ποιεῖ; θεάσασθε τὴν σοφίαν. τὰ μὲν θολερὰ καὶ δυσώδη ῥεύματα κατέχωσε, τὰς δὲ καθαρὰς τῶν μαρτύρων πηγὰς ἐν καθαρῷ χωρίῳ κατέστησε. καὶ σκοπεῖτε ἴσην καὶ περὶ τοὺς κατοιχομένους τὴν φιλανθρωπίαν ἐπεδείξατο, καὶ περὶ τοὺς μάρτυρας τὴν τιμήν, καὶ περὶ τὸν λαὸν τὴν κηδεμονίαν. περὶ μὲν τοὺς κατοιχομένους φιλανθρωπίαν ἐπεδείξατο, μὴ κινήσας αὐτῶν τὰ ὀστᾶ, ἀλλ' ἀφεὶς ἐπὶ τοῦ τόπου μένειν· περὶ δὲ τοὺς μάρτυρας τιμήν, ἀπαλλάξας αὐτοὺς τοῦ πονηροῦ γειτονήματος· περὶ δὲ τὸν λαὸν κηδεμονίαν, οὐκ ἀφεὶς αὐτοὺς μετὰ διακρίσεως ποιεῖσθαι τὰς εὐχάς. διὰ ταῦτα ὑμᾶς ἐνταῦθα ἤγαγεν, ἵνα φαιδρότερος ὁ σύλλογος γένηται, ἵνα λαμπροτέρον τὸ θέατρον, οὐχὶ ἀνθρώπων μόνον, ἀλλὰ καὶ τῶν μαρτύρων συλλεγομένων· οὐχὶ μαρτύρων μόνον, ἀλλὰ καὶ ἀγγέλων. καὶ γὰρ ἄγγελοι πάρεισιν, ἀγγέλων καὶ μαρτύρων ἡ σύνοδος γέγονε σήμερον. καὶ εἰ βούλει ἰδεῖν καὶ μάρτυρας καὶ ἀγγέλους, διάνοιξον τῆς πίστεως τοὺς ὀφθαλμοὺς, καὶ ὄψει τὸ θέατρον ἐκεῖνο. εἰ γὰρ πᾶς ὁ ἀὴρ ἀγγέλων ἐμπέπλησται, πολλῷ μᾶλλον * ἡ παροῦσα ἡμέρα, "ὅτι ὁ δεσπότης αὐτῶν ἀναλαμβάνεται). ὅτι γὰρ ἅπας ὁ ἀὴρ ἀγγέλων ἐμπέπλησται, ἄκουσον τί φησιν ὁ ἀπόστολος, ἐντρέπων τὰς γυναῖκας ὥστε ἔχειν κάλυμμα ἐπὶ τῆς κεφαλῆς. Ὀφείλουσιν αἱ γυναῖκες ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς διὰ τοὺς ἀγγέλους. καὶ πάλιν ὁ Ἰακὼβ, Ὁ ἄγγελος, φησὶν, ὁ ῥυόμενός με ἐκ νεότητός μου. καὶ οἱ ἐν τῇ οἰκίᾳ δὲ μετὰ τῶν ἀποστόλων ὄντες πρὸς τὴν Ῥόδην ἔλεγον, Ὁ ἄγγελος αὐτοῦ ἐστι. καὶ πάλιν ὁ Ἰακὼβ, Εἶδον, φησὶ, παρεμβολὴν ἀγγέλων. καὶ τίνος ἕνεκεν παρεμβολὴν ἀγγέλων εἶδεν ἐπὶ τῆς γῆς καὶ στρατιάν; καθάπερ βασιλεὺς κελεύει τὰ στρατόπεδα ἐν ἑκάσταις καθέζεσθαι πόλεσι, μήποτε βαρβαρικὸς πόλεμος ἐπιστὰς καταδράμῃ τὰς πόλεις· οὕτω δὴ καὶ ὁ Θεὸς, ἐπειδὴ καὶ δαίμονές εἰσιν ἐν τῷ ἀέρι τούτῳ βάρβαροι καὶ ἄγριοι, καὶ πολέμους ἐγείροντες ἀεὶ καὶ τῆς εἰρήνης ἐχθροὶ, ἀντικατέστησεν αὐτοῖς τὰ στρατόπεδα τῶν ἀγγέλων· ἵνα φαινόμενοι μόνον αὐτοὺς καταστέλλωσιν· ἵνα τὴν εἰρήνην ἡμῖν ἀεὶ πρυτανεύσωσι. καὶ ἵνα μάθῃς ὅτι ἄγγελοι εἰρήνης εἰσὶν, ἄκουσον ἐν ταῖς προσευχαῖς ἀεὶ λεγόντων τῶν διακόνων, Τὸν ἄγγελον τῆς εἰρήνης αἰτήσατε. ὁρᾷς ὅτι ἄγγελοι πάρεισι καὶ μάρτυρες; τί οὖν ἀθλιώτερον τῶν ἀπολειφθέντων σήμερον; τί μακαριώτερον ἡμῶν τῶν παραγενομένων καὶ ἀπολαυόντων τῆς πανηγύρεως ταύτης;

α Κορ. ια. ι.
Γεν. μη. ις.
Πραξ. ιβ. ιε.
Γεν. λβ. β.

* ἡ ἐκκλησία, πολλῷ μᾶλλον
γρ. ὅτι

Ἀλλ' οἱ μὲν περὶ τῶν ἀγγέλων λόγοι ἐν ἑτέροις ἡμᾶς ἀναμενέτωσαν καιροῖς, ἡμεῖς δὲ ἐπὶ τὴν ὑπόθεσιν τῆς παρούσης ἑορτῆς τὸν λόγον ἀγάγωμεν. τίς οὖν ἐστιν ἡ παροῦσα ἑορτή; σεμνὴ καὶ μεγάλη, ἀγαπητὲ, καὶ τὴν τῶν ἀνθρώπων ὑπερβαίνουσα νοῦν, καὶ τῆς μεγαλοδωρεᾶς ἀξία τοῦ ποιήσαντος αὐτὴν Θεοῦ. σήμερον γὰρ καταλλαγαὶ τῷ Θεῷ πρὸς τὸ τῶν ἀνθρώπων γεγόνασι γένος· σήμερον ἡ χρονία ἔχθρα κατελύθη, καὶ ὁ μακρὸς πόλεμος· σήμερον εἰρήνη θαυμασία τις ἐπανῆλθεν οὐδέποτε προσδοκηθεῖσα πρότερον. τίς γὰρ ἂν ἤλπισεν ὅτι Θεὸς ἀνθρώπῳ καταλλάττεσθαι ἔμελλεν; οὐχ ὅτι ἀπάνθρωπος ὁ δεσπότης, ἀλλ' ὅτι ῥᾴθυμος ὁ οἰκέτης· οὐχ ὅτι ὠμὸς ὁ Κύριος, ἀλλ' ὅτι ἀγνώμων ὁ δοῦλος. βούλει μαθεῖν πῶς παρωξύναμεν τὸν φιλάνθρωπον τοῦτον, τὸν ἥμερον ἡμῶν δεσπότην; καὶ γὰρ δίκαιον μαθεῖν τῆς προτέρας ἡμῶν ἔχθρας τὴν ὑπόθεσιν· ἵν', ὅταν ἴδῃς τιμηθέντας ἡμᾶς, τοὺς ἐχθροὺς καὶ πολεμίους, θαυμάσῃς τοῦ τιμήσαντος τὴν φιλανθρωπίαν· ἵνα μὴ νομίσῃς ἐξ οἰκείων κατορθωμάτων γεγενῆσθαι τὴν μεταβολήν· ἵνα μαθὼν αὐτοῦ τῆς χάριτος τὴν ὑπερβολὴν, μὴ παύσῃ διαπαντὸς εὐχαριστῶν αὐτῷ ὑπὲρ τοῦ μεγέθους τῶν δωρεῶν. βούλει τοίνυν μαθεῖν, πῶς παρωξύναμεν ἡμῶν τὸν δεσπότην, τὸν φιλάνθρωπον, τὸν ἥμερον, τὸν ἀγαθὸν, τὸν πάντα ὑπὲρ τῆς ἡμετέρας σωτηρίας οἰκονομοῦντα; ἐβουλεύσατό ποτε περὶ παντελοῦς ἀφανισμοῦ τοῦ γένους ἡμῶν, καὶ οὕτως ἡμῖν ὠργίσθη, ὡς ἀπολέσαι ἡμᾶς μετὰ γυναικῶν καὶ παίδων καὶ θηρίων καὶ κτηνῶν καὶ τῆς γῆς ἁπάσης. καὶ εἰ βούλει, ἐγώ σε ποιήσω καὶ τῆς ἀποφάσεως αὐτῆς ἀκοῦσαι. Ἐξαλείψω γάρ, φησι, τὸν ἄνθρωπον, ὃν ἐποίησα, ἀπὸ προσώπου πάσης τῆς γῆς, καὶ τὰ θηρία, καὶ τὰ κτήνη· ὅτι ἐνεθυμήθην, ὅτι ἐποίησα τὸν ἄνθρωπον. καὶ ἵνα μάθῃς ὅτι οὐ τὴν φύσιν ἡμῶν ἐμίσει, ἀλλὰ τὴν "κακίαν ἀπεστρέφετο ὁ εἰπὼν, ὅτι ἐξαλείψω τὸν ἄνθρωπον, ὃν ἐποίησα, ἀπὸ προσώπου τῆς γῆς, λέγει τῷ ἀνθρώπῳ, Καιρὸς παντὸς ἀνθρώπου ἥκει πρὸς μέ. εἰ δὲ τὸν ἄνθρωπον ἐμίσει, οὐκ ἂν ἀνθρώπῳ διελέχθη. νῦν δὲ ὁρᾷς αὐτὸν οὔτε βουλόμενον ποιῆσαι, "ὅπερ ἠπείλησε ποιῆσαι, ἀλλὰ καὶ ἀπολογούμενον τῷ δούλῳ τὸν Κύριον, καὶ ὡς ὁμοτίμῳ φίλῳ διαλεγόμενον καὶ λέγοντα τὰς αἰτίας τῆς μελλούσης ἀπωλείας ἔσεσθαι· οὐχ ἵνα μάθῃ τὰς αἰτίας ὁ ἄνθρωπος, ἀλλ' ἵνα τοῖς ἄλλοις εἴπῃ, σω-

Γεν. ς. ζ.
Γεν. ς. ιγ.

γρ. ἁμαρτίαν
γρ. ὥσπερ

φρονεστέρους

Φρενετίζοντες αὐτῶν ἐργάσηται. ἀλλ' ὅπερ ἔλεγον, οὕτω κακῶς ἡμῖν ἐπέπραττε τὸ γένος ἐμπαρῴνηθεν, ὡς κινδυνεῦσαι καὶ τῆς γῆς αὐτῆς ἐκπεσεῖν. ἀλλ' ἡμεῖς οἱ τῆς γῆς ἀνάξιοι φανέντες, τήμερον εἰς οὐρανοὺς ἀνήχθημεν· οἱ μηδὲ τῆς κάτω ἀρχῆς ὄντες ἄξιοι, πρὸς τὴν βασιλείαν ἀνέβημεν τὴν ἄνω, ὑπερέβημεν τοὺς οὐρανούς, ἐπελαβόμεθα τοῦ θρόνου τοῦ βασιλικοῦ· καὶ ἡ φύσις, δι' ἣν ἐφύλαττε τὸν παράδεισον τὰ χερουβίμ, αὕτη ἐπάνω τῶν χερουβὶμ κάθηται σήμερον. ἀλλὰ πῶς τοῦτο γέγονε τὸ θαυμαστὸν καὶ μέγα; πῶς ἡμεῖς οἱ προσκεκρουκότες, οἱ τῆς γῆς ἀνάξιοι φανέντες, καὶ τῆς ἀρχῆς τῆς κάτωθεν ἐκπεσόντες πρὸς τοσοῦτον ὕψος ἀνήχθημεν; πῶς ὁ πόλεμος κατελύθη; πῶς ἡ ὀργὴ ἀνῃρέθη; πῶς; τοῦτο γάρ ἐστι τὸ θαυμαστόν, ὅτι οὐχὶ τῶν ἀδίκως ὀργιζομένων τῷ Θεῷ, ἀλλ' αὐτοῦ τοῦ δικαίως ἀγανακτοῦντος παρακαλέσαντος ἡμᾶς, οὕτως εἰρήνη γέγονεν. Ὑπὲρ Χριστοῦ γὰρ πρεσβεύομεν, β. Κορ. ε. κ. ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν. τί τοῦτο; αὐτὸς ὕβρισται, καὶ αὐτὸς παρακαλεῖ; ναί· Θεὸς γάρ ἐστι, καὶ διὰ τοῦτο ὡς φιλάνθρωπος πατὴρ παρακαλεῖ. καὶ ὅρα τί γίνεται. μεσίτης ὁ τοῦ παρακαλοῦντος υἱός· οὐκ ἄνθρωπος, οὐδὲ ἄγγελος, οὐδὲ ἀρχάγγελος, οὐδὲ τῶν οἰκετῶν οὐδείς. καὶ τί ποιεῖ ὁ μεσίτης; ἔργον μεσίτου. καθάπερ γὰρ δύο τινῶν ἀποστρεφομένων ἀλλήλους καὶ οὐ βουλομένων διαλεχθῆναι, ἕτερός τις ἐλθὼν, καὶ μέσον ἑαυτὸν ἐμβαλὼν ἑκατέρων λύει τὴν ἔχθραν· οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν. ὠργίζετο ἡμῖν ὁ Θεός· ἀπεστρεφόμεθα ἡμεῖς τὸν Θεόν, τὸν φιλάνθρωπον δεσπότην. μέσον ἑαυτὸν ἐμβαλὼν ὁ Χριστὸς, ἑκατέρων τὴν φύσιν κατήλλαξε. καὶ πῶς μέσον ἑαυτὸν ἐνέβαλε; τὴν τιμωρίαν τὴν ὀφειλομένην ἡμῖν παρὰ τοῦ πατρὸς αὐτὸς ἀνεδέξατο, καὶ τὴν ἐκεῖθεν τιμωρίαν καὶ τὰ ἐνταῦθα ὀνείδη ὑπέμεινε. βούλει μαθεῖν, πῶς ἑκάτερα αὐτὸς ἐδέξατο; Χριστὸς ἡμᾶς, φησιν, ἐξηγόρασεν ἐκ Γαλ. γ. ιγ. τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. εἶδες πῶς ἄνωθεν τὴν φερομένην τιμωρίαν ἐδέξατο· ὅρα πῶς καὶ τὰ κάτωθεν φερόμενα ὀνείδη ὑπέμεινεν. Οἱ ὀνειδισμοὶ Ψαλ. ξη. ι. τῶν ὀνειδιζόντων σε, φησιν, ἐπέπεσον ἐπ' ἐμέ. εἶδες πῶς διέλυσε τὴν ἔχθραν, πῶς οὐ πρότερον ἀπέστη πάντα ποιῶν καὶ πάσχων καὶ πραγματευόμενος, ἕως τὸν πολέμιον καὶ ἐχθρὸν ἀνήγαγεν αὐτῷ τῷ Θεῷ καὶ φίλον ἐποίησε. καὶ τούτων τῶν ἀγαθῶν ὑπόθεσις, ἡ σήμερον ἡμέρα. καθάπερ γὰρ ἀπαρχὴν τῆς φύσεως ἡμῶν λαβὼν, οὕτως ἀνήγαγε τῷ δεσπότῃ. καὶ ὅπερ γίνεται ἐπὶ τῶν πεδίων τῶν σταχυηφόρων, ὀλίγους τις στάχυας λαβὼν, καὶ μικρὸν δράγμα ποιήσας, καὶ προσενεγκὼν τῷ Θεῷ, διὰ τοῦ μικροῦ πᾶσαν τὴν ἄρουραν εὐλογεῖ· τοῦτο καὶ ὁ Χριστὸς ἐποίησε. δι' ἐκείνης τῆς μιᾶς σαρκὸς καὶ τῆς ἀπαρχῆς τὸ γένος τὸ ἡμέτερον εὐλογηθῆναι ἐποίησεν. ἀλλὰ διατί οὐ πᾶσαν τὴν φύσιν ἀνήνεγκεν; ὅτι οὐκ ἔστι τοῦτο ἀπαρχῆς, ἐὰν τὸ ὅλον τις προσενέγκοι, ἀλλ' ἐάν τις μικρὸν προσενεγκὼν, διὰ τοῦ μικροῦ τὸ ὅλον εὐλογηθῆναι παρασκευάσῃ. καὶ μὴν εἰ ἀπαρχή, φησιν, ἦν, ἐχρῆν τὸν πρῶτον ἄνθρωπον γενόμενον αὐτὸν ἐνεχθῆναι. ἀπαρχὴ γάρ ἐστι τὸ πρῶτον ἐκφερόμενον, τὸ πρῶτον βλαστάνον. οὐκ ἔστι τοῦτο ἀπαρχή, ἀγαπητέ, ἐὰν τὸν πρῶτον προσενέγκωμεν καρπὸν ἐξίτηλον ὄντα καὶ ἀσθενῆ, ἀλλ' ἐὰν τὸν δόκιμον προσενέγκωμεν. ἐπειδὴ οὖν ἐκεῖνος ὁ καρπὸς ὑπεύθυνος ἁμαρτίας ἦν, διὰ τοῦτο οὐκ ἀνηνέχθη, εἰ καὶ πρῶτος ἐγένετο. τοῦτο γὰρ ἀπαρχή. καὶ ἵνα μάθῃς, ὅτι οὐχὶ ὁ πρῶτος βλαστάνων καρπὸς, τοῦτο ἀπαρχή, ἀλλ' ὁ δόκιμος καὶ γενναῖος καὶ εἰς ἀκμὴν ἥκων τὴν προσήκουσαν, ἀπὸ τῶν γραφῶν σοι παρέξω τὴν μαρτυρίαν. Ἐὰν εἰσέλθῃς, φησὶν ὁ Μωϋσῆς, πρὸς τὸν λαὸν, εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ἣν Λευϊτ. ιθ. κγ. Κύριος ὁ Θεός σου δίδωσί σοι, καὶ φυτεύσῃς ἐν αὐτῇ πᾶν ξύλον ποιοῦν καρπὸν βρώσιμον, τρία ἔτη οὐ περικαθαριεῖς τὸν καρπὸν αὐτοῦ· τῷ δὲ τετάρτῳ ἔτει ὁ καρπὸς αὐτοῦ ἅγιος ἔσται τῷ Κυρίῳ. καὶ μὴν εἰ ἀπαρχὴ ἦν τὸ πρῶτον ἐκφερόμενον, τὸν ἐν τῷ πρώτῳ ἐνιαυτῷ καρπὸν, αὐτὸν ἔδει δοθῆναι τῷ Κυρίῳ· νυνὶ δέ φησι, τρία ἔτη οὐ περικαθαριεῖς τὸν καρπὸν αὐτοῦ, ἀλλὰ ἀφήσεις αὐτὸν, διότι ἐξίτηλον τὸ δένδρον ἐστί, διότι ἀσθενὴς, διότι ἄωρος ἡ γενεά· ὁ δὲ τέταρτος, φησίν, ἅγιος ἔσται τῷ Κυρίῳ. καὶ σκόπει σοφίαν νομοθέτου. οὔτε φαγεῖν αὐτὸν εἴασεν, ἵνα μὴ πρὸ τοῦ Θεοῦ αὐτὸς λάβῃ τὸν καρπόν· οὔτε προσενεχθῆναι αὐτὸν ἐπέτρεψεν, ἵνα μὴ ἄωρον προσενεχθῇ τῷ Κυρίῳ. ἀλλὰ ἄφες μέν, φησι, ἐπειδὴ πρόωρόν ἐστι· μὴ προσενέγκῃς δέ, ἐπειδὴ ἀνάξιόν ἐστι τῆς τιμῆς τοῦ λαμβάνοντος. ὁρᾷς ὅτι οὐ τὸ πρόωρον ἐκφερόμενον, ἀλλὰ τὸ δόκιμον, τοῦτό ἐστιν ἀπαρχή.

Καὶ ταῦτα ἡμῖν διὰ τὴν σάρκα ἣν προσήνεγκεν εἴρηται. ἀνήνεγκε τοίνυν τὴν ἀπαρχὴν τῆς φύσεως τῆς ἡμετέρας τῷ πατρί· καὶ οὕτως ἐθαύμασε τὸ δῶρον ὁ πατὴρ καὶ διὰ τὴν ἀξίαν τοῦ προσενέγκαντος, καὶ διὰ τὸ ἄμωμον τοῦ προσενεχθέντος, ὡς οἰκείαις αὐτὸ δέξασθαι χερσί, καὶ θεῖναι πλησίον τὸ δῶρον, καὶ εἰπεῖν· κάθου ἐκ δεξιῶν μου. πρὸς ποίαν φύσιν εἶπεν ὁ Θεός, κάθου ἐκ δεξιῶν μου; πρὸς ἐκείνην τὴν ἀκούσασαν, Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. (Γεν. γ. ιθ.) οὐ γὰρ ἤρκει ὑπερβῆναι τοὺς οὐρανούς· οὐ γὰρ ἤρκει μετὰ ἀγγέλων στῆναι· οὐκ ἦν ἄφατος καὶ αὕτη ἡ τιμή· ἀλλ' ὑπερέβη ἀγγέλους, παρῆλθεν ἀρχαγγέλους, ὑπερέβη τὰ Χερουβίμ, ἀνέβη ἀνώτερον τῶν σεραφείμ, παρέδραμε τὰς ἀρχάς, οὐ πρότερον ἔστη, ἕως οὗ τοῦ θρόνου ἐπελάβετο τοῦ δεσποτικοῦ. οὐχ ὁρᾷς τουτὶ τὸ μέσον τοῦ οὐρανοῦ πρὸς τὴν γῆν; μᾶλλον δὲ κάτωθεν ἀρξώμεθα. οὐχ ὁρᾷς, ἀπὸ τοῦ ᾅδου πρὸς τὴν γῆν τὸ διάστημα ὅσον; ἀπὸ τῆς γῆς πάλιν πρὸς τὸν οὐρανόν; ἀπὸ τοῦ οὐρανοῦ πάλιν πρὸς τὸν οὐρανὸν τὸν ἀνώτερον; ἀπ' ἐκείνου πρὸς τοὺς ἀγγέλους, πρὸς τοὺς ἀρχαγγέλους, πρὸς τὰς ἄνω δυνάμεις, πρὸς αὐτὸν τὸν θρόνον τὸν βασιλικόν; τοῦτο ὅλον τὸ διάστημα καὶ τὸ ὕψος τὴν φύσιν τὴν ἡμετέραν ἀνήγαγε. βλέπε ποῦ κάτω ἔκειτο, καὶ ποῦ ἀνέβη. οὔτε καταβῆναι ἦν κατωτέρω, οὗ κατέβη ὁ ἄνθρωπος, οὔτε ἀναβῆναι ἀνωτέρω, οὗ ἀνήγαγεν αὐτὸν πάλιν. καὶ ταῦτα δηλῶν ὁ Παῦλος ἔλεγεν· Ὁ καταβὰς αὐτός ἐστι καὶ ὁ ἀναβάς. (Εφεσ. δ. ι.) καὶ ποῦ κατέβη; εἰς τὰ κατώτερα μέρη τῆς γῆς, καὶ ἀνέβη ὑπεράνω πάντων τῶν οὐρανῶν. μάθε τίς ἀνέβη, ἢ ποία φύσις, ἢ πῶς πρὸ τούτου διακειμένη. ἡδέως γὰρ ἐνδιατρίβω τῇ εὐτελείᾳ τοῦ γένους τοῦ ἡμετέρου, ἵνα μεθ' ὑπερβολῆς μάθῃς τὴν τιμὴν τὴν ἀπὸ τῆς φιλανθρωπίας τοῦ δεσπότου. γῆ καὶ σποδὸς ἦμεν ἡμεῖς. ἀλλ' οὔπω τοῦτο ἔγκλημα. τῆς φύσεως γὰρ ἦν ἡ ἀσθένεια. ἀλόγων γεγενήμεθα ἀνοητότεροι. Παρασυνεβλήθη γὰρ ὁ ἄνθρωπος τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. (Ψαλμ. μη. κα.) τοῦτο δέ ἐστιν, ἀλόγων χείρονα, γενέσθαι ὅμοιον τοῖς ἀλόγοις. τὸ μὲν γὰρ εἶναι ἀλόγῳ φύσει, καὶ μένειν ἐπὶ τῆς ἀλογίας, τῆς φύσεώς ἐστι· τὸ δὲ λόγῳ τιμηθέντας πρὸς ἐκείνην τὴν ἄνοιαν καταπεσεῖν, τῆς προαιρέσεώς ἐστιν ἔγκλημα. ὥστε ὅταν ἀκούσῃς, ὅτι ὡμοιώθη τοῖς ἀλόγοις, μὴ νομίσῃς, ὅτι τῶν ἀλόγων ἴσους δεῖξαι τοὺς ἀνθρώπους, ἀλλ' ὅτι κἀκείνων χείρους ἀποφῆναι βουλόμενος, τοῦτο εἴρηκε. καὶ γὰρ τῶν ἀλόγων ἐγενόμεθα χείρους καὶ ἀναισθητότεροι, οὐχ ὅτι ἄνθρωποι ὄντες ἐκεῖ κατεπέσομεν, ἀλλ' ὅτι καὶ πρὸς μείζονα ἠλάσαμεν ἀγνωμοσύνην. καὶ τοῦτο δηλῶν Ἡσαΐας ἔλεγεν· Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ ἔγνω. (Ησ. α. γ.) ἀλλὰ μὴ ἀθυμῶμεν ἐπὶ τοῖς προτέροις. οὗ γὰρ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις. (Ρωμ. ε. κ.) Εἶδες πῶς τῶν κτηνῶν ἀλογώτεροι ἦμεν· βούλει καὶ τῶν πετεινῶν ἀλογωτέρους ἡμᾶς ἰδεῖν; Τρυγὼν καὶ χελιδών, στρουθία ἀγροῦ ἔγνωσαν καιροὺς εἰσόδου αὐτῶν· ὁ δὲ λαός μου οὐκ ἔγνωσαν τὰ κρίματά μου. (Ιερ. η. ζ.) ἰδοὺ καὶ τῶν ὄνων καὶ τῶν βοῶν, ἰδοὺ καὶ τῶν πετεινῶν, τῆς τρυγόνος, καὶ τῆς χελιδόνος ἡμεῖς ἀλογώτεροι. βούλει μαθεῖν ἄλλην ἀναισθησίαν ἡμῶν; τῶν μυρμήκων ἡμᾶς ποιεῖ μαθητάς. οὕτως ἀπωλέσαμεν τὰς κατὰ φύσιν φρένας. Πορεύθητι γάρ, φησι, πρὸς τὸν μύρμηκα, καὶ ζήλωσον τὰς ὁδοὺς αὐτοῦ. (Παροιμ. ς. ς.) μυρμήκων ἐγενόμεθα μαθηταί, οἱ κατ' εἰκόνα Θεοῦ γενόμενοι. ἀλλ' οὐχ ὁ ποιήσας αἴτιος· ἀλλ' ἡμεῖς μὴ μείναντες ἐπὶ τῆς εἰκόνος. καὶ τί λέγω μυρμήκων; λίθων ἐγενόμεθα ἀναισθητότεροι. βούλει καὶ τούτων παράγω τὴν μαρτυρίαν; Ἀκούσατε φάραγγες καὶ τὰ θεμέλια τῆς γῆς, ὅτι κρίσις τῷ Κυρίῳ (Μιχ. ς. β.)

ῥίψῃ πρὸς τὸν λαὸν αὐτοῦ. Πρὸς ἀνθρώπους δικάζῃ, καὶ τὰ θεμέλια τῆς γῆς καλέσει·
ναί, φησι. Τῶν γὰρ θεμελίων τῆς γῆς ἀναισθητότεροί εἰσιν οἱ ἄνθρωποι. Ποίαν
οὖν ἔτι ζητεῖς ὑπερβολὴν κακίας, ὅταν καὶ ὄνων ἀναισθητότεροι, καὶ βοῶν ἀλογώτεροι,
καὶ χελιδόνος καὶ τρυγόνος ἀγνωμονέστεροι, καὶ μυρμήκων ἀσυνετώτεροι, καὶ λίθων
ἀναισθητότεροι, καὶ ὄφεων ἴσοι φαινώμεθα. Θυμὸς γὰρ αὐτοῖς, φησι, κατὰ τὴν ὁμοίωσιν τοῦ Ψαλ. νζ. δ.
ὄφεως· Ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. Καὶ τί χρὴ λέγειν τῶν ἀλόγων τὴν ἀναισθησίαν, ρλθ. γ.
ὅταν καὶ αὐτοῦ τοῦ διαβόλου φαινώμεθα τέκνα καλούμενοι; Ὑμεῖς γάρ, φησιν, υἱοὶ τοῦ διαβόλου Ἰωαν. η. μδ.
ἐστέ. Ἀλλ' ὅμως ἡμεῖς οἱ ἀναίσθητοι καὶ ἀγνώμονες, οἱ ἀνόητοι, οἱ τῶν λίθων ἀναισθητότεροι,
οἱ πάντων κατώτεροι, οἱ ἄτιμοι, οἱ εὐτελέστατοι· πῶς εἴπω; τί λαλήσω; πῶς
ἐξενέγκω τὸ ῥῆμα τοῦτο; ἡ φύσις ἡ εὐτελὴς, ἡ πάντων ἀσυνετωτέρα, πάντων ἀνωτέρα γέγονε
ἴσ. ὁ πάλαιον σήμερον. Σήμερον ἀπέλαβον ἄγγελοι, ὃ πάλαι ἐπόθουν· σήμερον εἶδον ἀρχάγγελοι, ὃ
πάλαι ἐπεθύμουν· τὴν φύσιν τὴν ἡμετέραν ἀπὸ τοῦ θρόνου ἀστράπτουσαν τοῦ βασιλικοῦ,
δόξῃ καὶ κάλλει στίλβουσαν ἀθανάτῳ. Τοῦτο γὰρ πάλαι ἐπόθουν ἄγγελοι· τοῦτο γὰρ πάλαι
ἐπεθύμουν ἀρχάγγελοι. Εἰ γὰρ καὶ ὑπερέβαινεν αὐτῶν ἡ τιμή, ἀλλ' ὅμως ἔχαιρον καὶ ἐπὶ
τοῖς ἡμετέροις ἀγαθοῖς. Καὶ γὰρ ὅτε ἐκολαζόμεθα, ἤλγουν. Εἰ γὰρ καὶ ἐφύλαττε τὰ Χερουβὶμ
τὸν παράδεισον, ἀλλ' ὅμως ἤλγουν. Καὶ καθάπερ οἰκέτης σύνδουλον λαβὼν εἰς φυλακήν,
διὰ τὸ πρόσταγμα τοῦ δεσπότου φυλάττει μὲν τὸν σύνδουλον, ἀλγεῖ δὲ ἐπὶ τῷ γινομένῳ διὰ
τὴν συμπάθειαν τὴν περὶ τὸν ὁμόδουλον· οὕτω καὶ τὰ Χερουβὶμ ἔλαβε μὲν φυλάττειν τὸν παράδεισον,
ἤλγει δὲ ὅμως ἐπὶ τῇ φυλακῇ. Καὶ ἵνα μάθῃς ὅτι ἤλγει, ἀπὸ τῶν ἀνθρώπων σοι τοῦτο
ποιῶ φανερόν. Ὅταν γὰρ ἴδῃς τοὺς ἀνθρώπους συμπαθοῦντας τοῖς ὁμοδούλοις, μηκέτι
λοιπὸν ἀμφιβάλλῃς περὶ τῶν Χερουβίμ. Πολὺ γὰρ τῶν ἀνθρώπων φιλοστοργότεραι αἱ δυνάμεις
ἐκεῖναι. Τίς οὖν τῶν δικαίων ἤλγησε κολαζομένων ἀνθρώπων δικαίως, καὶ μετὰ ἁμαρτήματα
μυρία; Τοῦτο γάρ ἐστι τὸ θαυμαστόν, ὅτι τὰς ἁμαρτίας αὐτῶν μαθόντες, καὶ ἰδόντες ὅτι
προσέκρουσαν τῷ δεσπότῃ, ἤλγησαν. Ὁ μὲν Μωϋσῆς μετὰ τὴν εἰδωλολατρείαν· διὸ καὶ ἔλεγεν·
* ταύτης Εἰ μὲν ἀφίης αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου*, Γεν λβ λβ.
ἧς ἔγραψας. Τί τοῦτο; ὁρᾷς τὴν ἀσθένειαν, καὶ ἀλγοῦς ὑπὲρ τῶν κολαζομένων; διὰ τοῦτο
γάρ, φησιν, ἀλγῶ, ὅτι καὶ κολάζονται καὶ δικαίας κολάσεως παρέσχον τὰς αἰτίας. Ὁ δὲ Ἰεζεκιὴλ
ἰδὼν τὸν ἄγγελον κατακόπτοντα τὸν λαόν, ἀνεβόησε μέγα καὶ ὠλόλυξε, καί φησιν· Οἴμοι, Κύριε, Ἰεζ. θ. η.
ὅτι ἐξαλείφεις σὺ τὸ κατάλειμμα τοῦ Ἰσραήλ. Καὶ ὁ Ἱερεμίας· Παίδευσον ἡμᾶς, Κύριε, Ἱερ. ι. κγ.
φησι, πλὴν ἐν κρίσει, καὶ μὴ ἐν θυμῷ, ἵνα μὴ ὀλιγοστοὺς ἡμᾶς ποιήσῃς. Εἶτα Μωϋσῆς μὲν καὶ
Ἰεζεκιὴλ καὶ Ἱερεμίας ἤλγησαν, αἱ δὲ δυνάμεις ἐκεῖναι οὐδὲν ἔπαθον ἐπὶ τοῖς ἡμετέροις κακοῖς;
καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; Ὅτι γὰρ οἰκειοῦνται τὰ ἡμέτερα, μάθε ὅσην χαρὰν ἐπεδείξαντο, ὅτε
εἶδον ἡμῖν καταλλαγέντα τὸν δεσπότην. Εἰ δὲ μὴ περὶ τούτου ἤλγουν, οὐκ ἂν οὐδὲ μετὰ
γίνεται ταῦτα ἥσθησαν. Ὅτι δὲ ἔχαιρον, δῆλον ἐξ ὧν φησιν ὁ Χριστός, ὅτι Χαρὰ ἔσται ἐν οὐρανῷ καὶ Λουκ. ιε. ζ.
ἐπὶ γῆς ἐπὶ ἑνὶ ἁμαρτωλῷ ἐπιστρέφοντι. Εἰ δὲ ἕνα ἁμαρτωλὸν ἐπιστρέφοντα ὁρῶντες ἄγγελοι
χαίρουσι, διὰ τῆς ἀπαρχῆς σήμερον ὁρῶντες τὴν φύσιν ἅπασαν εἰσενεχθεῖσαν εἰς
οὐρανόν, πῶς οὐκ ἂν μεγάλην ἐδέξαντο ἡδονήν; ἄκουσον γοῦν καὶ ἑτέρωθεν τῶν ἄνω δήμων
τὴν εὐφροσύνην τὴν ἐπὶ τῇ ἡμετέρᾳ καταλλαγῇ. Ὅτε γὰρ ἐτέχθη ὁ Κύριος ἡμῶν ὁ κατὰ
σάρκα, ἰδόντες ὅτι κατηλλάγη λοιπὸν τοῖς ἀνθρώποις (οὐ γὰρ ἄν, εἰ μὴ κατηλλάγη, τοσοῦτον
κατέβη) ἰδόντες οὖν τοῦτο, χοροὶ στησάμενοι ἐπὶ τῆς γῆς ᾖδον καὶ ἔλεγον· Δόξα ἐν ὑψίστοις Λουκ. β. ιδ.
Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. Καὶ ἵνα μάθῃς, ὅτι διὰ τοῦτο δοξάζουσι
τὸν Θεόν, ἐπειδὴ ἀπέλαβεν ἡ γῆ τὰ ἀγαθά, ἐπήγαγον καὶ τὴν αἰτίαν, ἐπὶ γῆς εἰρήνη,
λέγοντες, ἐν ἀνθρώποις εὐδοκία, τοῖς ἐκπεπολεμωμένοις, τοῖς ἀγνώμοσιν.

Εἶδες πῶς δοξάζουσι τὸν Θεὸν ἐπὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς, μᾶλλον δὲ ἐπὶ τοῖς ἰδίοις; τὰ γὰρ
ἡμέτερα

ἡμέτερα ἀγαθὰ, ἑαυτῶν νομίζουσιν εἶναι. βούλει μαθεῖν, ὅτι καὶ μέλλοντες ὁρᾷν αὐτὸν ἀναβαίνοντα,
ἔχαιρον καὶ ἐσκίρτων; ἄκουσον τοῦ Χριστοῦ λέγοντος, ὅτι ἀνέβαινον καὶ κατέβαινον συνεχῶς.
τοῦτο δὲ ἐπιθυμούντων ἐστὶν ἰδεῖν τὸ παράδοξον θέαμα. καὶ πόθεν δῆλον, ὅτι ἀνέβαινον καὶ
Ιωαν. α. νβ. κατέβαινον; αὐτοῦ ἄκουσον λέγοντος· Ἀπάρτι ὄψεσθε τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τοὺς
ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου. τοιοῦτον γὰρ
τῶν ἐρώντων τὸ ἔθος· οὐδὲ τὸν καιρὸν ἀναμένουσιν, ἀλλὰ προλαμβάνουσι τὴν προθεσμίαν
τῇ ἡδονῇ. διὰ τοῦτο καταβαίνουσιν,* ἐπειγόμενοι τὸ καινὸν καὶ παράδοξον ἐκεῖνο ἰδεῖν θέαμα, * ἀναβαίνουσιν.
ἄνθρωπον ἐν οὐρανῷ φανέντα. διὰ τοῦτο πανταχοῦ ἄγγελοι, καὶ ὅτε ἐτίκτετο, καὶ ὅτε ἀνίστατο,
Πραξ. α. ι. καὶ σήμερον ὅτε ἀνέβη. Ἰδοὺ γὰρ δύο, φησὶν, ἐν ἐσθῆτι λαμπρᾷ, ἀπὸ τοῦ σχήματος τὴν ἡδονὴν
δηλοῦντες· καὶ εἶπον πρὸς τοὺς μαθητάς· Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε; οὗτος ὁ
Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν
πορευόμενον εἰς τὸν οὐρανόν. ἐνταῦθά μοι μετὰ ἀκριβείας προσέχετε. τί δήποτε ταῦτα
λέγουσι; μὴ γὰρ οὐκ εἶχον ὀφθαλμοὺς οἱ μαθηταί; μὴ γὰρ οὐχ ἑώρων τὸ γινόμενον;
οὐκ εἶπεν ὁ εὐαγγελιστὴς, ὅτι βλεπόντων αὐτῶν ἐπήρθη; τίνος οὖν ἕνεκεν παρεστήκασιν οἱ
ἄγγελοι; διδάσκοντες αὐτοὺς, ὅτι εἰς τὸν οὐρανὸν ἀνέβη; διὰ δύο ταύτας αἰτίας, μίαν μὲν, ἐπεὶ
ἤλγουν ἀεὶ ἐπὶ τῇ ἀναχωρήσει τοῦ Χριστοῦ. ὅτι γὰρ ἤλγουν, ἄκουσον τί πρὸς αὐτούς φησιν·
Ιωαν. ις ε. Οὐδεὶς με ἐρωτᾷ ἐξ ὑμῶν, ποῦ ὑπάγεις· ἀλλ' ὅτι ταῦτα εἶπον, ἡ λύπη πεπλήρωκεν ὑμῶν
καρδίαν. εἰ γὰρ φίλους ἔχοντες καὶ συγγενεῖς, χωριζόμενοι τούτων οὐ φέρομεν, πῶς οἱ μαθηταὶ
τὸν σωτῆρα, τὸν διδάσκαλον, τὸν κηδεμόνα, τὸν φιλάνθρωπον, τὸν ἥμερον, τὸν ἀγαθὸν
ὁρῶντες χωριζόμενον αὐτῶν, πῶς οὐκ ἂν ἤλγησαν; πῶς οὐκ ἂν ὠδυνήθησαν; διὰ
τοῦτο ἑστήκει ὁ ἄγγελος τὴν ἀπὸ τῆς ἀνόδου γινομένην λύπην διὰ τῆς ἐπανόδου πάλιν γρ. ἐπιδημίας
Πραξ. α. ια. παραμυθούμενος. Οὗτος γὰρ, φησιν, ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται.
ἠλγήσατέ, φησιν, ὅτι ἀνελήφθη; ἀλλὰ μηκέτι ἀλγεῖτε. καὶ γὰρ ἐλεύσεται
πάλιν. ἵνα γὰρ μὴ ποιήσωσιν, ὅπερ ἐποίησεν ὁ Ἐλισσαῖος ἰδὼν τὸν διδάσκαλον ἀναλαμβανόμενον,
καὶ διαρρήξας τὸν χιτωνίσκον (οὐδὲ γὰρ εἶχέ τινα παρεστῶτα καὶ λέγοντα, ὅτι πάλιν
ἥξει Ἠλίας) ἵνα οὖν μὴ τοῦτο ποιήσωσιν οὗτοι, διὰ τοῦτο οἱ ἄγγελοι παρεστήκεισαν παραμυθούμενοι
τὴν ἀθυμίαν. καὶ μία μὲν αὕτη αἰτία τῆς τῶν ἀγγέλων παρουσίας· ἡ δευτέρα δὲ
ταύτης οὐκ ἐλάττων, δι' ἣν αἰτίαν καὶ προσέθηκεν, ὁ ἀναληφθείς. τίς οὖν ἐστιν αὕτη; εἰς τὸν
οὐρανὸν ἀνελαμβάνετο. πολὺ δὲ τὸ διάστημα ἦν, καὶ οὐκ ἤρκει ἡ δύναμις τῆς ἡμετέρας
ὄψεως σῶμα ἀναλαμβανόμενον ἰδεῖν μέχρι τῶν οὐρανῶν. ἀλλὰ καθάπερ πετεινὸν εἰς
ὕψος ἱπτάμενον, ὅσῳπερ ἂν εἰς ὕψος ἀνέλθῃ, τοσούτῳ μᾶλλον ἀποκρύπτεται ἀπὸ τῆς ἡμετέρας
ὄψεως· οὕτω δὴ καὶ τὸ σῶμα ἐκεῖνο ὅσῳπερ ἂν εἰς ὕψος ἀνῄει, τοσούτῳ μᾶλλον ἐκρύπτετο,
οὐκ ἀρκούσης τῆς ἀσθενείας τῶν ὀφθαλμῶν παρακολουθῆσαι τῷ μήκει τοῦ
διαστήματος. διὰ τοῦτο παρεστήκεισαν οἱ ἄγγελοι, διδάσκοντες τὴν εἰς τὸν οὐρανὸν ἄνοδον,
ἵνα μὴ νομίσωσιν ὅτι, ὡς εἰς τὸν οὐρανὸν ἀνέβη, ὡς Ἠλίας, ἀλλ' ὅτι εἰς τὸν οὐρανὸν ἀνέβη.
διὰ τοῦτό φησιν, ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανόν. οὐδὲ γὰρ ἂν ἁπλῶς τοῦτο προσέθηκαν. γρ. προσέθηκεν
Ἠλίας μὲν οὖν ὡς εἰς τὸν οὐρανὸν ἀνελήφθη (δοῦλος γὰρ ἦν) ὁ δὲ Ἰησοῦς εἰς
τὸν οὐρανόν· δεσπότης γὰρ ἦν. ἐκεῖνος ἐν ἅρματι πυρίνῳ, οὗτος ἐν νεφέλῃ. ὅτε μὲν γὰρ
τὸν δοῦλον ἔδει κληθῆναι, ἅρμα ἐπέμπετο· ὅτε δὲ τὸν υἱὸν, θρόνος βασιλικὸς· καὶ οὐχὶ ἁπλῶς
βασιλικὸς θρόνος, ἀλλ' αὐτὸς ὁ πατρικός. καὶ γὰρ περὶ τοῦ πατρός φησιν ὁ Ἠσαΐας,
Ησ. ιθ. α. Ἰδοὺ Κύριος κάθηται ἐπὶ νεφέλης κούφης. ἐπεὶ οὖν ὁ πατὴρ ἐπὶ νεφέλης κάθηται, διὰ
τοῦτο καὶ τῷ υἱῷ τὴν νεφέλην ἔπεμψε. καὶ ὁ μὲν Ἠλίας ἀνελθὼν ἀφῆκε μηλωτὴν ἐπὶ τὸν
Ἐλισσαῖον· ὁ δὲ Ἰησοῦς ἀναβὰς ἀφῆκε χαρίσματα ἐπὶ τοὺς μαθητὰς, οὐχ ἕνα προφήτην
ποιοῦντα, ἀλλὰ μυρίους Ἐλισσαίους· μᾶλλον δὲ ἐκείνου πολλῷ μείζους καὶ λαμπροτέρους.

διαναστῶμεν

γρ. βλέπωμεν
α. Θεσσ. δ. ιε.
Ματθ. κδ. μα.

Διαναστῶμεν τοίνυν, ἀγαπητοί, καὶ πρὸς τὴν ἐπάνοδον ἐκείνην βλέψωμεν. καὶ γὰρ ὁ Παῦλός φησιν, Αὐτὸς καταβήσεται ἀπ' οὐρανοῦ ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου· καὶ ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, ἀλλ' οὐ πάντες. ὅτι γὰρ οὐ πάντες ἁρπαγησόμεθα, ἀλλ' οἱ μὲν μένουσιν, οἱ δὲ ἁρπαγήσονται, ἄκουσον τί φησιν ὁ Χριστός· Τότε εὑρεθήσονται δύο ἐν τῷ μύλωνι ἀλήθουσαι· μία παραλαμβάνεται, καὶ μία ἀφίεται· καὶ δύο ἔσονται ἐπὶ κλίνης μιᾶς· εἷς παραλαμβάνεται, καὶ εἷς ἀφίεται. τί βούλεται τὸ αἴνιγμα τοῦτο; τί βούλεται τὸ μυστήριον τοῦτο τὸ ἀπόρρητον; διὰ τοῦ μύλου, τοὺς ἐν πενίᾳ ζῶντας καὶ ταλαιπωρίᾳ πάντας ἡμῖν ἐδήλωσε· διὰ δὲ τῆς κλίνης καὶ τῆς ἀναπαύσεως, τοὺς ἐν πλούτῳ καὶ τιμῇ πάντας ᾐνίξατο. καὶ βουλόμενος δεῖξαι ὅτι καὶ ἀπὸ πενήτων σώζονται καὶ ἀπόλλυνται, εἶπεν, ὅτι καὶ τῶν ἐν τῷ μύλωνι μία παραλαμβάνεται, καὶ μία ἀφίεται· καὶ τῶν ἐν τῇ κλίνῃ εἷς παραλαμβάνεται, καὶ εἷς ἀφίεται, δηλῶν ὅτι οἱ μὲν ἁμαρτωλοὶ ἀφίενται ἐνταῦθα καὶ μένουσι τὴν τιμωρίαν· οἱ δὲ δίκαιοι ἁρπάζονται εἰς τὰς νεφέλας. καθάπερ γὰρ βασιλέως εἰς πόλιν εἰσελαύνοντος οἱ μὲν ἐν ἀξιώμασι καὶ ἀρχαῖς, καὶ πολλὴν πρὸς αὐτὸν παρρησίαν ἔχοντες, πρὸ τῆς πόλεως ἐξελθόντες ἀπαντῶσιν, οἱ δὲ κατάδικοι καὶ οἱ κατακεκριμένοι ἔνδον φυλάττονται τὴν ψῆφον τὴν παρὰ τοῦ βασιλέως ἀναμένοντες· οὕτω καὶ ὅταν ὁ Κύριος παραγίνηται, οἱ μὲν παρρησίαν ἔχοντες εἰς μέσον αὐτῷ ἀπαντῶσι τὸν ἀέρα, οἱ δὲ κατάδικοι καὶ πολλὰ ἑαυτοῖς συνειδότες ἁμαρτήματα ἐνταῦθα ἀναμένουσι τὸν δικαστήν. τότε καὶ ἡμεῖς ἁρπαγησόμεθα. οὐκ ἐμαυτὸν ἀριθμῶν εἰς τὴν ψῆφον τῶν ἁρπαζομένων εἶπον, ἡμεῖς· οὐχ οὕτως ἀναίσθητός εἰμι καὶ ἀγνώμων, ὡς ἀγνοεῖν τὰ οἰκεῖα ἁμαρτήματα. εἰ γὰρ μὴ συνταράξαι ἐφοβούμην τὴν ἡδονὴν τῆς παρούσης ἑορτῆς, κἂν ἐδάκρυσα μικρὸν ταύτης ἀναμνησθεὶς τῆς φωνῆς, ἐπειδὴ καὶ τῶν οἰκείων ἁμαρτιῶν ἐμνήσθην. ἐπειδὴ δὲ οὐ βούλομαι συγχεῖν τῆς παρούσης ἑορτῆς τὴν εὐφροσύνην, ἐνταῦθα καταλύσω τὸν λόγον, ἀκμάζουσαν ἡμῖν τῆς ἡμέρας ἐκείνης τὴν μνήμην ἐπαφείς· ἵνα μήτε ὁ πλούσιος ἐπὶ τῷ πλούτῳ χαίρῃ, μήτε ὁ πένης ἐπὶ τῇ πενίᾳ ταλανίζῃ ἑαυτόν· ἀλλ' ἕκαστος, ἀφ' ὧν ἑαυτῷ σύνοιδεν, ἢ τοῦτο ἢ ἐκεῖνο ποιῇ. οὔτε γὰρ ὁ πλούσιος μακάριος, οὔτε ὁ πένης ἐλεεινός· ἀλλ' ὃς ἐὰν τῆς ἁρπαγῆς ἐκείνης καταξιωθῇ τῆς ἐν νεφέλαις, μακάριος καὶ τρισμακάριος, κἂν ἁπάντων πενέστατος ᾖ· ὥσπερ οὖν ὁ ἐκπεσὼν, ἐλεεινὸς καὶ τρισάθλιος, κἂν ἁπάντων εὐπορώτατος ᾖ. διὰ τοῦτο λέγω, ἵνα οἱ μὲν ἐν ἁμαρτήμασιν ὄντες, θρηνῶμεν ἑαυτούς· οἱ δὲ ἐν κατορθώμασι ζῶντες, θαῤῥείτωσαν ἅπαντες· μᾶλλον δὲ, μὴ θαῤῥείτωσαν μόνον, ἀλλὰ καὶ ἀσφαλιζέσθωσαν· μήτε ἐκεῖνοι θρηνείτωσαν μόνον, ἀλλὰ καὶ μεταβαλέσθωσαν. ἔξεστι γὰρ καὶ τὸν ἐν κακίᾳ, μεταστάντα τῆς πονηρίας, πρὸς ἀρετὴν ἐπανελθεῖν, καὶ δυνηθῆναι γενέσθαι τῶν ἐξ ἀρχῆς εὖ βεβιωκότων ἴσος. ὅπερ καὶ ἡμεῖς σπουδάσωμεν· καὶ οἱ μὲν ἀρετὴν ἑαυτοῖς συνειδότες, μενέτωσαν ἐπὶ τῆς εὐσεβείας, αὔξοντες ἀεὶ τοῦτο τὸ καλὸν κτῆμα, καὶ τῇ παῤῥησίᾳ προστιθέντες τῇ προτέρᾳ· οἱ δὲ ἀπαῤῥησίαστοι, καὶ συνειδότες ἑαυτοῖς ἁμαρτήματα πολλὰ, μεταβαλλώμεθα· ἵνα καὶ πρὸς τὴν ἐκείνων παῤῥησίαν φθάσαντες, κοινῇ πάντες καὶ ὁμοθυμαδὸν μετὰ τῆς ὀφειλομένης δόξης τὸν τῶν ἀγγέλων ὑποδεξώμεθα βασιλέα, καὶ τῆς μακαρίας εὐφροσύνης ἀπολαύσωμεν ἐκείνης ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. καταπαύσω
γρ. ἐναριθμ…
γρ. δοξάσωμεν

Λογ. πη. ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΠΕΝΤΗΚΟΣΤΗΝ, Λογ. α.

καὶ διὰ τί σημεῖα νῦν οὐ γίνεται, καὶ ὅτι τὰ πραττόμενα καὶ λεγόμενα παρ' ἡμῶν ἀναγράφεται.

Πάλιν ἑορτὴ, καὶ πάλιν πανήγυρις, καὶ πάλιν ἡ ἐκκλησία τῷ πλήθει
τῶν τέκνων κομᾷ, ἡ πολύτεκνος αὕτη καὶ φιλότεκνος. ἀλλὰ τί τῆς
φιλοτεκνίας ὄφελος, ὅταν ἑορταῖς μόνον, ἀλλὰ μὴ διηνεκῶς βλέπῃ
τὰ ποθούμενα πρόσωπα τῶν παιδίων· ὥσπερ ἂν εἴ τις ἱμάτιον
ἔχων καλὸν, μὴ συγχωροῖτο αὐτῷ χρῆσθαι διηνεκῶς;
ἱμάτιον γὰρ τῆς ἐκκλησίας τῶν συναγομένων τὸ πλῆθός
Ησ. μθ. ιη. ἐστι· καθάπερ καὶ ὁ προφήτης φησὶν, ἄνωθεν πρὸς τὴν ἐκκλησίαν λέγων· Πάντας αὐτοὺς
περιθήσει ὡς κόσμον νυμφίου, καὶ ὡς στολὴν νύμφης. καθάπερ οὖν γυνή τις σώφρων καὶ ἐλευθέρα
κατεσταλμένον μέχρι τῶν σφυρῶν ἔχουσα τὸν χιτωνίσκον εὐπρεπεστέρα φαίνεται
καὶ βελτίων, οὕτω καὶ ἡ ἐκκλησία φαιδροτέρα σήμερον δείκνυται, τὰ πλήθη τῶν ὑμετέρων
σωμάτων περιβεβλημένη, καὶ κατεσταλμένον ἔχουσα τὸ ἱμάτιον. οὐδὲν γὰρ αὐτῆς σήμερον μέρος
γυμνὸν ἐστὶν ἰδεῖν, καθάπερ ἐν ταῖς ἔμπροσθεν ἡμέραις· ἀλλὰ τῆς γυμνώσεως ἐκείνης αἴτιοι
οἱ συναγόμενοι σήμερον μόνον, οἱ μὴ ἀεὶ τὴν μητέρα περιστέλλοντες. ὅτι δὲ οὐ μικρὸς
κίνδυνος γυμνὴν τὴν μητέρα περιορᾶν, ἀναμνησθῶμεν παλαιᾶς ἱστορίας· ἀναμνησθῶμεν
τοῦ γυμνὸν ἰδόντος τὸν πατέρα, καὶ δόντος κόλασιν τῆς ὄψεως ἐκείνης. καίτοιγε ἐκεῖνος οὐκ ἐποίησε
γυμνὸν τὸν πατέρα, ἀλλ' εἶδε μόνον γυμνὸν ὄντα τὸν πατέρα, καὶ οὐδὲ οὕτως ἀπηλλάγη
τιμωρίας, ἐπειδὴ εἶδε μόνον· οἱ δὲ σήμερον συναγόμενοι οὐχ ὁρῶσι γυμνὴν τὴν
μητέρα, ἀλλὰ γυμνὴν ποιοῦσιν αὐτήν. εἰ δὲ ὁ γύμνωσιν ἰδὼν οὐκ ἐξέφυγε τιμωρίαν,
οἱ γύμνωσιν ποιοῦντες ποίας ἂν εἶεν συγγνώμης ἄξιοι; ταῦτα οὐχὶ πλῆξαι βουλόμενος
Γεν. θ. κα. λέγω, ἀλλ' ἵνα φύγωμεν τὴν τιμωρίαν· ἵνα φύγωμεν τὴν κατάραν τοῦ Χάμ· ἵνα μιμησώμεθα
τὴν εὔνοιαν τοῦ Σὴμ, καὶ τοῦ Ἰάφεθ, καὶ περιστέλλωμεν καὶ ἡμεῖς ἀεὶ τὴν μητέρα τὴν ἡμετέραν.
Ἰουδαϊκοῦ φρονήματός ἐστι τρεῖς τοῦ ἐνιαυτοῦ φαίνεσθαι μόνον τῷ Θεῷ· πρὸς ἐκείνους
Ἐξοδ. κγ. ιζ. εἴρηται· Τρεῖς τοῦ ἐνιαυτοῦ ὀφθήσῃ Κυρίῳ τῷ Θεῷ σου· ἡμᾶς δὲ διαπαντὸς βούλεται
ὁ Θεὸς φαίνεσθαι αὐτῷ. κἀκείνοις δὲ τῶν τόπων τὰ διαστήματα ταύτας ἐποίησε μόνας
γίνεσθαι τὰς συνόδους. εἰς γὰρ τόπον ἕνα συνεκέκλειστο ἡ λατρεία τότε· διὰ τοῦτο καὶ
τῆς συλλογῆς καὶ τῆς παρουσίας αὐτῶν εὐαρίθμητοι ἦσαν οἱ καιροί. εἰς γὰρ τὰ Ἱεροσόλυμα
ἀνάγκη προσκυνεῖν ἦν, ἀλλαχοῦ δὲ οὐδαμοῦ. διὰ τοῦτο ἐκέλευσε τρεῖς τοῦ ἐνιαυτοῦ φαίνεσθαι
τῷ Θεῷ, καὶ ἀπελογεῖτο ὑπὲρ αὐτῶν τῆς ὁδοῦ τὸ διάστημα· ὑπὲρ δὲ ἡμῶν οὐδεὶς
Πραξ. β. ε. ἀπολογήσεται τρόπος. καὶ ἐκεῖνοι μὲν πανταχοῦ τῆς γῆς διεσπαρμένοι ἦσαν (Ἦσαν
γὰρ, φησὶν, ἐν Ἱεροσολύμοις κατοικοῦντες Ἰουδαῖοι, ἄνδρες εὐλαβεῖς, ἀπὸ παντὸς ἔθνους τῶν
ὑπὸ τὸν οὐρανόν) ἡμεῖς δὲ μίαν πόλιν οἰκοῦμεν ἅπαντες, ὑπὸ τοῖς αὐτοῖς τείχεσι καθήμεθα,
καὶ πολλάκις οὐδὲ ἑνὶ στενωπῷ διειργόμεθα τῆς ἐκκλησίας, καὶ καθάπερ οἱ μακροῖς πελάγεσι
διεστῶτες, οὕτως ὀλιγάκις πρὸς τὴν ἱερὰν ταύτην ἀπαντῶμεν σύνοδον. καὶ ἐκείνοις
μὲν τρεῖς μόνους ἐκέλευσε καιροὺς ἑορτάζειν· ἡμᾶς δὲ ἀεὶ τοῦτο ποιεῖν ἐκέλευσεν. ἀεὶ γὰρ
ἡμῖν ἐστιν ἑορτή. καὶ ἵνα μάθητε ὅτι ἀεὶ ἑορτὴ, λέγω τῆς ἑορτῆς τὰς ὑποθέσεις, καὶ εἴσεσθε,
ὅτι καθ' ἑκάστην ἡμέραν ἑορτή ἐστι. τοίνυν παρ' ἡμῖν ἑορτὴ πρώτη τὰ ἐπιφάνια. τίς οὖν
ὑπόθεσις τῆς ἑορτῆς; ἐπειδὴ Θεὸς ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, ἐπειδὴ
Ματθ. κη. κ. ὁ Θεὸς ὁ μονογενὴς τοῦ Θεοῦ παῖς μεθ' ἡμῶν ἦν. ἀλλὰ τοῦτο ἀεὶ ἐστίν. Ἰδοὺ γὰρ, φησὶ, μεθ'
ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. διὸ πάσας τὰς ἡμέρας τὰ
ἐπιφάνια δυνατὸν τελεῖν. τοῦ πάσχα ἑορτὴ τί βούλεται; τίς ἡ ὑπόθεσις αὐτῆς; τὸν θάνατον
τοῦ Κυρίου καταγγέλλομεν τότε, καὶ τοῦτό ἐστι τὸ πάσχα. ἀλλ' οὐδὲ τοῦτο καιρῷ ὡρισμένῳ
ποιοῦμεν. βουλόμενος γὰρ ἡμᾶς ἀπαλλάξαι ὁ Παῦλος τῆς τῶν καιρῶν ἀνάγκης, καὶ δεικνὺς
α Κορ. ια. κϛ. ὅτι δυνατὸν ἀεὶ πάσχα ἐπιτελεῖν, Ὁσάκις γὰρ ἂν ἐσθίητε, φησὶ, τοῦτον τὸν ἄρτον, καὶ τὸ ποτήριον

ριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε. ἐπεὶ οὖν ἀεὶ δυνάμεθα τὸν θάνατον τοῦ Κυρίου καταγγέλλειν, ἀεὶ πάσχα δυνάμεθα ἐπιτελεῖν. βούλεσθε μαθεῖν, ὅτι καὶ αὕτη ἡ σήμερον ἑορτὴ δύναται καθ' ἑκάστην πληροῦσθαι, μᾶλλον δὲ καθ' ἑκάστην ἐστί; ἴδωμεν τίς ἡ ὑπόθεσις τῆς παρούσης ἑορτῆς, καὶ τίνος ἕνεκεν αὐτὴν ἄγομεν. ὅτι τὸ πνεῦμα πρὸς ἡμᾶς ἦλθε. καθάπερ γὰρ ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ μετὰ τῶν ἀνθρώπων ἐστὶ τῶν πιστῶν, οὕτω καὶ τὸ πνεῦμα τοῦ Θεοῦ. πόθεν δῆλον; Ὁ ἀγαπῶν με, φησὶ, τὰς ἐντολάς μου τηρήσει, καὶ ἐγὼ ἐρωτήσω τὸν πατέρα μου, καὶ ἄλλον παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα τὸ πνεῦμα τῆς ἀληθείας. ὥσπερ οὖν ὁ Χριστὸς εἶπε περὶ ἑαυτοῦ, ὅτι ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος, καὶ δυνάμεθα ἀεὶ τὰ ἐπιφάνια ἐπιτελεῖν, οὕτω καὶ περὶ τοῦ πνεύματος εἶπεν, ὅτι εἰς τὸν αἰῶνα μεθ' ὑμῶν ἐστι, καὶ δυνάμεθα ἀεὶ πεντηκοστὴν ἐπιτελεῖν. καὶ ἵνα μάθητε, ὅτι ἔξεστιν ἡμῖν ἀεὶ ἑορτάζειν, καὶ οὐκ ἔστι καιρὸς ὡρισμένος, οὐδὲ ἀνάγκῃ χρόνου συγκεκλείσμεθα, ἀκούσατε τοῦ Παύλου τί φησιν· Ὥστε ἑορτάζωμεν. καίτοι οὐκ ἦν τότε ἑορτὴ, ὅτε ταῦτα ἔγραφεν, οὐκ ἦν πάσχα, οὐκ ἦν πεντηκοστή· ἀλλὰ δεικνὺς, ὅτι οὐ καιρὸς ποιεῖ ἑορτὴν, ἀλλὰ συνειδὸς καθαρὸν (ἑορτὴ γὰρ οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ εὐφροσύνη· εὐφροσύνην δὲ πνευματικὴν καὶ νοερὰν οὐδὲν ἄλλο ποιεῖ, ἀλλ' ἢ συνειδὸς πράξεων ἀγαθῶν· ὁ δὲ συνειδὸς ἔχων ἀγαθὸν καὶ πράξεις τοιαύτας, ἀεὶ ἑορτάζειν δύναται) τοῦτο οὖν αὐτὸ δεικνὺς ὁ Παῦλος ἔλεγεν· Ὥστε ἑορτάζωμεν, μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας. ὁρᾷς πῶς οὐ καιρῶν σε κατέδησεν ἀνάγκῃ, ἀλλὰ συνειδὸς καθαρὸν ἔχειν παρεκελεύσατο; ἐβουλόμην πᾶσαν τὴν διάλεξιν εἰς τοῦτο καταναλῶσαι. τοὺς γὰρ διὰ χρόνου τινὰς λαβόντες εἰς τὰς χεῖρας τὰς ἑαυτῶν, οὐκ εὐκόλως αὐτοὺς ἀφιᾶσιν. ἐπεὶ οὖν καὶ ὑμᾶς ἡμεῖς οὐ δι' ἐνιαυτοῦ παραγινομένους εἴσω τῶν δικτύων ἐλάβομεν τῶν ἡμετέρων, οὐ βουλόμεθα ἀφεῖναι σήμερον· ἀλλ' ἵνα μὴ κενοὶ τῶν περὶ τῆς ἑορτῆς ἀναχωρήσητε λόγων, ἀπὸ τῆς παραινέσεως ταύτης ἐπὶ τὴν ὑπόθεσιν τῆς ἑορτῆς ἀγαγεῖν χρὴ τὴν διάλεξιν.

Ιωαν. ιδ. ις.

α. Κορ. ε. η.

Πολλὰ μὲν οὖν πολλάκις ἐξ οὐρανοῦ κατῆλθεν εἰς τὴν γῆν ἀγαθὰ πρὸς κοινὴν τῶν ἀνθρώπων χρείαν· οἷα δὲ σήμερον, οὐδέποτε κατηνέχθη πρὸ τούτου. μάθετε γοῦν οἷα τὰ πρότερα, οἷα τὰ σήμερον, ἵνα καὶ ἑκατέρων ἴδητε τὴν διαφοράν. ἔβρεξεν ὁ Θεὸς μάννα ἐπὶ τὴν γῆν, καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς. Ἄρτον γὰρ ἀγγέλων ἔφαγεν ἄνθρωπος. μέγα ὄντως καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἄξιον. μετ' ἐκεῖνο κατηνέχθη πῦρ, καὶ πλανώμενον τὸν Ἰουδαϊκὸν δῆμον διώρθωσε, καὶ ἥρπασε τὴν θυσίαν ἀπὸ τοῦ βωμοῦ. κατηνέχθη πάλιν ὑετὸς λιμῷ τηκομένων ἁπάντων, καὶ πολλὴν τὴν εὐετηρίαν εἰργάσατο. μεγάλα ταῦτα καὶ θαυμαστά· ἀλλὰ τὰ παρόντα πολλῷ μείζονα. οὐ γὰρ μάννα καὶ πῦρ καὶ ὑετὸς κατηνέχθη σήμερον, ἀλλ' ὄμβρος χαρισμάτων πνευματικῶν· νιφάδες κατηνέχθησαν ἄνωθεν, οὐχὶ τὴν γῆν πρὸς καρποφορίαν ἐγείρουσαι, ἀλλὰ τὴν ἀνθρωπίνην πείθουσαι φύσιν τὸν καρπὸν τῆς ἀρετῆς τῷ τῶν ἀνθρώπων ἀποδιδόναι γεωργῷ. καὶ τὴν ῥανίδα ἐκεῖθεν δεξάμενοι, ἀθρόως τῆς φύσεως ἐπελανθάνοντο τῆς ἑαυτῶν, καὶ ἐξαίφνης ἀγγέλων ἐπληροῦτο πᾶσα ἡ γῆ· ἀγγέλων οὐχὶ ἐπουρανίων, ἀλλ' ἐν ἀνθρωπίνῳ σώματι τῶν ἀσωμάτων δυνάμεων τὴν ἀρετὴν ἐπιδεικνυμένων. οὐ γὰρ ἐκεῖνοι κάτω κατέβησαν, ἀλλ', ὃ θαυμαστότερόν ἐστι, τοὺς κάτω πρὸς τὴν ἀρετὴν ἀνήγαγον τὴν ἐκείνων. οὐ γὰρ τὴν σάρκα ῥίψαντες, γυμναῖς ταῖς ψυχαῖς περιήεσαν, ἀλλὰ μένοντες ἐν τῇ φύσει, τῇ προαιρέσει ἄγγελοι ἐγίνοντο. καὶ ἵνα μάθῃς, ὅτι οὐδὲ ἡ προτέρα τιμωρία ἦν, ὅτε εἶπεν, ὅτι Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ, διὰ τοῦτό σε ἀφῆκε μένειν ἐν τῇ γῇ, ἵνα μειζόνως ἡ τοῦ πνεύματος δειχθῇ δύναμις, διὰ χοϊκοῦ σώματος τοιαῦτα ἐργαζομένη. εἶδες γλῶτταν πηλίνην δαίμοσιν ἐπιτάττουσαν· εἶδες

Ψαλμ. οζ. κε.

γ. Βασ. ιη. λη.

Γεν. γ. ιθ.

χεῖρα πηλίνην ἰωμένην νοσήματα· μᾶλλον δὲ οὐ χεῖρα πηλίνην μόνον ἦν ἰδεῖν, ἀλλ', ὃ πολλῷ
θαυμαστότερον ἦν, πηλίνων σωμάτων σκιὰς καὶ θανάτου καὶ δυνάμεων ἀσωμάτων περιγινομένας,
τῶν δαιμόνων λέγω. καθάπερ γὰρ ἡλίου φανέντος ἐλαύνεται τὸ σκότος, καὶ καταδύεται
θηρία πρὸς τοὺς οἰκείους φωλεούς, ἀνδροφόνοι καὶ λῃσταὶ καὶ τυμβωρύχοι πρὸς τὰς
κορυφὰς τῶν ὀρέων ἀνατρέχουσιν· οὕτω Πέτρου φανέντος καὶ φωνὴν ἀφιέντος, ἠλαύνετο τὸ
σκότος τῆς πλάνης, ἀνεχώρει διάβολος, ἐδραπέτευον δαίμονες, ἀνῄρητο παθήματα σωμάτων,
ἐθεραπεύετο νοσήματα ψυχῶν, ἠλαύνετο κακία πᾶσα, ἀρετὴ πρὸς τὴν γῆν ἐπανήγετο.
καὶ καθάπερ ἐκ ταμιείων βασιλικῶν ἐχόντων χρυσίον καὶ λίθους τιμίους κἂν μικρόν τις
δυνηθῇ ἐξενεγκεῖν τῶν ἀποκειμένων ἐνδόξως, κἂν ἕνα λίθον μόνον, πολὺν ἐργάζεται τὸν
πλοῦτον τῷ κατεχομένῳ· οὕτω καὶ ἀπὸ τῶν στομάτων τῶν ἀποστολικῶν. ταμιεῖα γὰρ βασιλικὰ
ἦν τὰ στόματα ἐκείνων, θησαυροὺς ἰαμάτων ἔχοντα ἀποκείμενον, καὶ ἕκαστον ῥῆμα ἐξιὸν πολὺν
εἰργάζετο πλοῦτον πνευματικόν. ἦν τότε ἀληθῶς ἰδεῖν, ὅτι τὰ λόγια Κυρίου ἐπιθυμητὰ
Ψαλμ. ριη. ια. ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν. ὅπερ γὰρ οὐκ ἠδύνατο χρυσός, οὐδὲ λίθος τίμιος,
τοῦτο ἐποίει τὰ ῥήματα Πέτρου. πόσα γὰρ τάλαντα χρυσίου τὸν χωλὸν ἐκ γενετῆς διορθώσασθαι
ἴσχυον; ἀλλὰ τὸ ῥῆμα Πέτρου ἴσχυσε τῆς φύσεως ἀνελεῖν ταύτην τὴν πήρωσιν. εἶπεν,
Πράξ. γ. ϛ. Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἔγειραι καὶ περιπάτει, καὶ ὁ λόγος ἔργον ἐγένετο. εἶδες πῶς
ἐπιθυμητὰ ὑπὲρ χρυσίον, καὶ λίθον τίμιον πολύν; εἶδες πῶς ταμιεῖα βασιλικὰ ἦν ἐκείνων τὰ
στόματα; ὄντως ἰατροὶ τῆς οἰκουμένης ἐκεῖνοι, καὶ γεωργοί, καὶ κυβερνῆται· ἰατροὶ μέν, ἐπειδὴ νοσήματα
ἐθεράπευον· γεωργοὶ δέ, ἐπειδὴ τὸν λόγον τῆς εὐσεβείας κατέσπειρον· κυβερνῆται δέ,
Ματθ. ι. η. ἐπειδὴ τὸν κλυδώνιον τῆς πλάνης ἔπαυσαν. διὰ τοῦτό ποτε μέν φησι· Πορευθέντες ἀσθενοῦντας
θεραπεύετε, ὡς πρὸς ἰατροὺς διαλεγόμενος· ποτὲ δέ, Ἰδοὺ ἀποστέλλω ὑμᾶς θερίζειν,
ὃ οὐχ ὑμεῖς κεκοπιάκατε, ὡς πρὸς γεωργοὺς διαλεγόμενος. καὶ πάλιν ἀλλαχοῦ·
Ιωαν. δ. λη. Ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων· καὶ τῷ Πέτρῳ, Μὴ φοβοῦ, φησιν, ἀπὸ τοῦ νῦν ἀνθρώπους
ἔσῃ ζωγρῶν, ὡς πρὸς κυβερνήτας καὶ ἁλιεῖς ὁμιλῶν. καὶ ἦν ἰδεῖν θαύματα ἐπὶ θαύμασι.
καὶ γὰρ ἡ φύσις ἡ ἡμετέρα πρὸ δέκα ἡμερῶν εἰς τὸν θρόνον ἀνέβη τὸν βασιλικόν, καὶ τὸ
πνεῦμα τὸ ἅγιον κατέβη σήμερον πρὸς τὴν φύσιν τὴν ἡμετέραν· ἀνήνεγκεν ὁ Κύριος τὴν
ἀπαρχὴν τὴν ἡμετέραν, καὶ κατήνεγκε τὸ πνεῦμα τὸ ἅγιον. ἕτερος Κύριος διανέμων τὰ
δῶρα ταῦτα. καὶ γὰρ τὸ πνεῦμα Κύριός ἐστι· καὶ διενείμαντο τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πατὴρ
καὶ υἱὸς καὶ ἅγιον πνεῦμα. οὔπω δέκα ἡμέρας εἶχεν ἀνελθὼν ὁ Χριστός, καὶ χαρίσματα ἡμῖν
ἔπεμψε πνευματικά, δῶρα τῆς καταλλαγῆς ἐκείνης. ἵνα γὰρ μηδεὶς ἀμφιβάλλῃ,
καὶ διαπορῇ τί ποτε ἄρα ἂν ἀνελθὼν ὁ Χριστὸς ἐποίησεν· ἆρα κατήλλαξε τὸν πατέρα; ἆρα
ἵλεων αὐτὸν εἰργάσατο; βουλόμενος ἡμῖν δηλῶσαι, ὅτι κατήλλαξεν αὐτὸν τῇ φύσει τῇ ἡμετέρᾳ,
τὰ δῶρα τῆς καταλλαγῆς ἔπεμψεν ἡμῖν εὐθέως. τῶν γὰρ ἐχθρῶν ἑνουμένων καὶ
καταλλαττομένων ἀλλήλοις μετὰ τὴν καταλλαγὴν εὐθὺς ἐφέπονται αἵ τε φιλοτησίαι καὶ δεξιώσεις
καὶ τὰ χαρίσματα. ἐπέμψαμεν τοίνυν ἡμεῖς πίστιν, καὶ ἐλάβομεν ἐκεῖθεν χαρίσματα·
ἐπέμψαμεν ὑπακοήν, καὶ ἐλάβομεν δικαιοσύνην. καὶ ἵνα μάθητε, ὅτι τῆς καταλλαγῆς τοῦ
Θεοῦ φανερόν ἐστι τὸ δοθῆναι τὸ πνεῦμα τὸ ἅγιον, ἀπὸ τῶν γραφῶν ὑμᾶς πεῖσαι πειράσομαι,
πρότερον ἀπὸ τοῦ ἐναντίου φανερὸν ποιῶν τὸν λόγον, καὶ δεικνὺς ὅτι ἀναστέλλει τοῦ
πνεύματος τὴν χάριν, ἐπειδὰν ἡμῖν ὀργίζηται· ἵν' ὅταν πεισθῇς, ὅτι τῆς ὀργῆς αὐτοῦ τεκμήριον
τὸ μὴ εἶναι πνεῦμα ἅγιον, καὶ ἴδῃς πάλιν πνεῦμα καταπεμπόμενον, μάθῃς ὅτι εἰ μὴ
κατηλλάγη, οὐκ ἂν ἔπεμψε πνεῦμα ἅγιον. πόθεν οὖν εἰσόμεθα τοῦτο; ὁ Ἠλὶ πρεσβύτης
ἄνθρωπος ἦν, τὰ μὲν ἄλλα ἐπιεικὴς καὶ σώφρων, παίδων δὲ πονηρίαν οὐκ εἰδὼς διορθώσασθαι,
ἀλλὰ πέρα τοῦ μέτρου φιλῶν τὰ ἔκγονα. ἀκούετε ὅσοι παῖδας ἔχετε, ὥστε μεμετρημένην
ποιεῖσθαι τὴν φιλίαν καὶ τὴν αἰδῶ. ὁ γὰρ Ἠλὶ ἐντεῦθεν παροξύνας τὸν Θεόν, εἰς ὀργὴν αὐ-

τὸν

τ' ἔρριψε τοσαύτην, ὡς ἅπαν αὐτῆς ἀποστραφῆναι τὸ ἔθνος. δεικνὺς τοίνυν ὁ ταῦτα γράψας, ὅτι σφόδρα αὐτῶν ἀπεστράφη ὁ Θεὸς ἔλεγε, Ῥῆμα τίμιον ἦν, καὶ οὐκ ἦν ὅρασις διαστέλλουσα· α. Βασ. γ. α. τίμιον ἐνταῦθα τὸ σπάνιον λέγων. διὰ γὰρ τούτων ἐδήλωσεν, ὅτι τὰ τῆς προφητείας ἐσπάνιζε τότε. πάλιν θρηνῶν ἄλλος καὶ ἀποδυρόμενος ἐπὶ τῇ ὀργῇ τοῦ Θεοῦ ἔλεγεν· Οὐκ ἔστιν ἄρχων, οὐδὲ προφήτης ἐν τῷ καιρῷ τούτῳ. καὶ πάλιν ὁ εὐαγγελιστής φησιν· Δαν. γ. λη. Οὐδέπω γὰρ ἦν πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη. ἐπειδὴ γὰρ οὐδέπω ἐσταυρώθη, Ιωαν. ζ. λθ. φησίν, οὐκ ἦν πνεῦμα ἅγιον ἐν τοῖς ἀνθρώποις δοθέν. τὸ γὰρ ἐσταυρώθη, ἐστὶν, ἐδοξάσθη. εἰ γὰρ καὶ φύσει τὸ πρᾶγμα ἐπονείδιστον, ἀλλ' ἐπειδὴ ὑπὲρ τῶν φιλουμένων ἐγίνετο, δόξαν αὐτὸ καλεῖ ὁ Χριστός. καὶ τίνος ἕνεκεν, εἰπέ μοι, πρὸ τοῦ σταυροῦ οὐκ ἐδόθη τὸ πνεῦμα; ὅτι ἐν ἁμαρτίαις ἦν ἡ οἰκουμένη, ἐν προσκρούσμασι καὶ ἔχθρᾳ καὶ ἀτιμίᾳ, οὐδέπω τοῦ ἀμνοῦ προσενεχθέντος τοῦ τὴν ἁμαρτίαν αἴροντος τοῦ κόσμου. ἐπεὶ οὖν οὐδέπω ἦν ὁ Χριστὸς σταυρωθεὶς, οὐδέπω ἦν καταλλαγὴ γενομένη· τῆς δὲ καταλλαγῆς μηδέπω γενομένης, εἰκότως οὐδὲ τὸ πνεῦμα ἐπέμπετο· ὥστε καταλλαγῆς τεκμήριον τὸ τὸ πνεῦμα ἀποσταλῆναι. διὰ τοῦτο Ιωαν. ις. ζ. καὶ ὁ Χριστός φησι· Συμφέρει ὑμῖν, ἵνα ἀπέλθω. ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ἐκεῖνος οὐ μὴ ἔλθῃ· ἐὰν μὴ ἀπέλθω, καὶ καταλλάξω τὸν πατέρα, φησὶν, οὐ πέμπω ὑμῖν τὸν παράκλητον. Εἴδετε διὰ πόσων ἀπεδείξαμεν ὑμῖν, ὅτι τῆς ὀργῆς τοῦ Θεοῦ σημεῖόν ἐστι τὸ μὴ εἶναι πνεῦμα ἅγιον ἐν ἀνθρώποις; ῥῆμα τίμιον ἦν, καὶ οὐκ ἦν ὅρασις διαστέλλουσα· οὐκ ἔστι γὰρ ἄρχων οὐδὲ προφήτης ἐν τῷ καιρῷ τούτῳ· οὔπω γὰρ ἦν πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη· συμφέρει ὑμῖν, ἵνα ἐγὼ ἀπέλθω. ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ἐκεῖνος οὐ μὴ ἔλθῃ. οὐκοῦν σημεῖόν ἐστι τῆς ὀργῆς τοῦ Θεοῦ τὸ μὴ εἶναι πνεῦμα ἅγιον. ὅταν ἴδῃς πνεῦμα ἅγιον καταπεμπόμενον δαψιλῶς, μηδὲν λοιπὸν ἀμφιβάλλῃς περὶ τῆς καταλλαγῆς.

Καὶ ποῦ, φησίν, ἐστι πνεῦμα ἅγιον νῦν; τότε μὲν γὰρ καλῶς λέγεις, ὅτε σημεῖα ἐγίνετο, καὶ νεκροὶ ἠγείροντο, καὶ λεπροὶ πάντες ἐκαθαίροντο· νῦν δὲ πόθεν δείξομεν, ὅτι πάρεστι τὸ πνεῦμα τὸ ἅγιον ἡμῖν; μὴ δείσητε· ἀποδείκνυμι γὰρ, ὅτι καὶ νῦν πνεῦμα ἅγιόν ἐστιν ἐν ἡμῖν. πῶς, καὶ τίνι τρόπῳ; ἐ γὰρ εἰ μὴ πνεῦμα ἅγιόν ἐστιν ἐν ἡμῖν, πῶς ἂν οὗτοι οἱ κατὰ τὴν ἱερὰν νύκτα ταύτην φωτισθέντες, τῶν ἁμαρτιῶν ἀπηλλάγησαν; οὐδὲ γάρ ἐστιν ἁμαρτημάτων ἀπαλλαγῆναι ἄνευ τῆς τοῦ πνεύματος ἐνεργείας. ἀκούσατε γοῦν τοῦ Παύλου λέγοντος· Ἦμεν γάρ ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις ποικίλαις· Τιτ. γ. γ. ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν Θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινώσεως πνεύματος ἁγίου. καὶ πάλιν ἀλλαχοῦ, Μὴ πλανᾶσθε· οὔτε α. Κορ. ς. θ. πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὐ κλέπται, οὐ πλεονέκται, οὐ μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν. Εἶδες ἅπαντα τὰ εἴδη τῆς κακίας; Καὶ ταῦτά τινες ἦτε, ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε. πῶς; τοῦτο γὰρ τὸ ζητούμενον, εἰ διὰ τοῦ ἁγίου πνεύματος τὴν κακίαν ἀπεθέμεθα. οὐκοῦν ἄκουσον· ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ, καὶ ἐν τῷ πνεύματι τοῦ Θεοῦ ἡμῶν. Εἶδες ὅτι τὸ πνεῦμα τὸ ἅγιον τὴν κακίαν ἅπασαν ἐκείνην ἀπήλειψε; ποῦ νῦν εἰσιν οἱ βλασφημοῦντες τοῦ πνεύματος τὴν ἀξίαν; εἰ μὲν γὰρ ἀφίησιν ἁμαρτήματα, εἰκῇ βλασφημεῖται ὑπὸ τῶν αἱρετικῶν. εἰ μὴ πνεῦμα ἦν ἅγιον, Κύριον Ἰησοῦν εἰπεῖν οὐκ ἠδυνάμεθα. Οὐδεὶς γὰρ δύναται εἰπεῖν Κύριον α. Κορ. ιβ. γ. Ἰησοῦν, εἰ μὴ ἐν τῷ πνεύματι ἁγίῳ. εἰ μὴ πνεῦμα ἦν ἅγιον, τὸν Θεὸν παρακαλέσαι οὐκ ἠδυνάμεθα οἱ πιστοί. λέγομεν γὰρ, Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς. ὥσπερ οὖν Κύριον καλέσαι οὐκ ἠδυνάμεθα, οὕτως οὐδὲ πατέρα τὸν Θεὸν καλέσαι ἠδυνάμεθα. πόθεν δῆλον; ἐκ τοῦ αὐτοῦ ἀποστόλου λέγοντος· Ὅτι δέ ἐστε υἱοὶ, ἐξαπέστειλεν ὁ Θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ Γαλ. δ. ς.

Εἰς τὰς καρδίας ἡμῶν κρᾶζον ἀββᾶ ὁ πατήρ. ὥστε, ὅταν καλέσῃς τὸν πατέρα, ἀναμνήσθητι,
ὅτι τοῦ πνεύματος τὴν ψυχὴν κινοῦντος ἠξιώθης τῆς προσηγορίας ἐκείνης. Εἰ μὴ πνεῦμα
α. Κορ. ιβ. η. ἦν, λόγος σοφίας καὶ γνώσεως ἐν τῇ ἐκκλησίᾳ οὐκ ἦν. Ὧ μὲν γὰρ δίδοται διὰ τοῦ πνεύματος
λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως. εἰ μὴ πνεῦμα ἅγιον ἦν, ποιμένες καὶ διδάσκαλοι
ἐν τῇ ἐκκλησίᾳ οὐκ ἦσαν. καὶ γὰρ οὗτοι διὰ τοῦ πνεύματος γίνονται, καθὼς καὶ ὁ Παῦλός φησι·
Πραξ. κ. κη. Ἐν ᾧ ἔθετο ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ποιμένας καὶ ἐπισκόπους. ὁρᾷς ὅτι καὶ τοῦτο διὰ τοῦ
πνεύματος; Εἰ μὴ πνεῦμα ἅγιον ἦν ἐν τῷ κοινῷ τούτῳ πατρὶ καὶ διδασκάλῳ, οὐκ ἄν, ὅτε
πρὸ μικροῦ ἀνέβη ἐπὶ τὸ ἱερὸν βῆμα τοῦτο καὶ πᾶσιν ὑμῖν ἔδωκεν εἰρήνην, καὶ ἐπεφθέγξασθε
αὐτῷ κοινῇ πάντες, καὶ τῷ πνεύματί σου. διὰ τοῦτο οὐκ ἀναβαίνοντι μόνον, οὐδὲ διαλεγομένῳ
πρὸς ὑμᾶς, οὐδὲ εὐχομένῳ ὑπὲρ ὑμῶν ταύτην ἐπιφθέγγεσθε τὴν ῥῆσιν, ἀλλ᾽ ὅταν
παρὰ τὴν ἱερὰν ταύτην ἑστήκῃ τράπεζαν, ὅταν τὴν φρικτὴν ἐκείνην θυσίαν ἀναφέρειν
μέλλῃ (ἴσασι γὰρ οἱ μεμυημένοι τὸ λεγόμενον) οὐ πρότερον ἅπτεται τῶν προκειμένων, ἕως
ἂν ὑμῖν αὐτὸς ἐπεύξηται τὴν παρὰ τοῦ Κυρίου χάριν, καὶ ὑμεῖς ἐπιφθέγξησθε αὐτῷ, καὶ
τῷ πνεύματί σου, διὰ τῆς ἀποκρίσεως αὐτῆς ἀναμιμνήσκοντες αὐτόν, ὅτι οὐδὲν αὐτὸς ὁ παρὼν
πράττει, οὐδὲ ἀνθρωπίνης ἐστὶ φύσεως κατορθώματα τὰ προκείμενα δῶρα, ἀλλ᾽ ἡ τοῦ
πνεύματος χάρις παροῦσα καὶ πᾶσιν ἐφιπταμένη τὴν μυστικὴν ἐκείνην κατασκευάζει θυσίαν.
Εἰ γὰρ καὶ ἄνθρωπός ἐστιν ὁ παρών, ἀλλ᾽ ὁ Θεός ἐστιν ὁ ἐνεργῶν δι᾽ αὐτοῦ. μὴ τοίνυν πρόσεχε
τῇ φύσει τοῦ ὁρωμένου, ἀλλ᾽ ἐννόει τὴν χάριν τὴν ἀόρατον. οὐδὲν ἀνθρώπινον τῶν
γινομένων ἐν τῷ ἱερῷ τούτῳ βήματι. Εἰ μὴ πνεῦμα παρῆν, οὐκ ἂν συνέστη ἡ ἐκκλησία·
Εἰ δὲ συνίσταται ἡ ἐκκλησία, εὔδηλον ὅτι τὸ πνεῦμα πάρεστι. Τίνος οὖν ἕνεκεν, φησι, σημεῖα οὐ
γίνεται νῦν; ἐνταῦθά μοι μετὰ ἀκριβείας προσέχετε. παρὰ πολλῶν γὰρ ἀκούω τοῦτο καὶ συνεχῶς
καὶ ἀεὶ ζητούμενον. διὰ τί τότε γλώσσαις ἐλάλουν πάντες οἱ βαπτιζόμενοι, νῦν δὲ
οὐκέτι; μάθωμεν πρότερον τί τὸ λαλεῖν γλώσσαις, καὶ τότε ἐροῦμεν καὶ τὴν αἰτίαν. τί
οὖν ἐστι γλώσσαις λαλεῖν; ὁ βαπτιζόμενος εὐθέως ἐφθέγγετο τῇ τῶν Ἰνδῶν φωνῇ, τῇ τῶν Αἰγυπτίων,
τῇ τῶν Περσῶν, τῇ τῶν Σκυθῶν, τῇ τῶν Θρᾳκῶν, καὶ εἷς ἄνθρωπος πολλὰς ἐλάμβανε
γλώσσας· καὶ οὗτοι οἱ νῦν, εἰ ἦσαν τότε βαπτισθέντες, εὐθέως ἂν ἤκουσας αὐτῶν
διαφόροις φθεγγομένων φωναῖς. καὶ γὰρ ὁ Παῦλός, φησιν, εὗρέ τινας βαπτισθέντας ἐν τῷ
Πραξ. ιθ. ϛ. βαπτίσματι Ἰωάννου, καὶ λέγει αὐτοῖς· Εἰ πνεῦμα ἅγιον ἐλάβετε πιστεύσαντες; λέγουσιν αὐτῷ·
ἀλλ᾽ οὐδέ, εἰ ἔστι πνεῦμα ἅγιον, ἠκούσαμεν. καὶ εὐθέως ἐκέλευσεν αὐτοὺς βαπτισθῆναι· καὶ
ἐπιθέντος αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας, ἦλθεν ἐπ᾽ αὐτοὺς τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἐλάλουν
ἅπαντες γλώσσαις. Τίνος οὖν χάριν συνεστάλη, καὶ ἀνῃρέθη ἐξ ἀνθρώπων ἡ χάρις αὕτη
νῦν; οὐχὶ ἀτιμάζοντος ἡμᾶς τοῦ Θεοῦ, ἀλλὰ καὶ σφόδρα τιμῶντος. πῶς, ἐγὼ λέγω. ἀνοητότεροι
οἱ ἄνθρωποι διέκειντο τότε, τῶν Εἰδώλων προσφάτως ἀπηλλαγμένοι, καὶ παχυτέρα
καὶ ἀναισθητοτέρα αὐτῶν ἡ διάνοια ἔτι ἦν, καὶ πρὸς τὰ σωματικὰ πάντα ἐπτόηντο
καὶ ἐκεχήνεσαν, καὶ οὐδεμία αὐτοῖς οὐδέπω ἔννοια δωρεῶν ἀσωμάτων ἦν, οὐδὲ εἴδεσαν, τί ποτέ
ἐστι νοητὴ χάρις, καὶ πίστει μόνῃ θεωρουμένη· διὰ τοῦτο σημεῖα ἐγίνετο. τῶν γὰρ χαρισμάτων
τῶν πνευματικῶν τὰ μὲν ἀόρατά ἐστι, καὶ πίστει καταλαμβάνεται μόνῃ· τὰ δὲ καὶ αἰσθητὸν ἐνδείκνυται
σημεῖον πρὸς τὴν τῶν ἀπίστων πληροφορίαν. οἷόν τι λέγω· ἁμαρτιῶν ἄφεσις
νοητόν ἐστι πρᾶγμα, ἀόρατόν ἐστι χάρισμα. πῶς γὰρ καθαίρονται ἡμῶν αἱ ἁμαρτίαι, οὐχ
ὁρῶμεν τοῖς τῆς σαρκὸς ὀφθαλμοῖς. τί δήποτε; ὅτι ψυχή ἐστιν ἡ καθαιρομένη· ψυχὴ δὲ ὀφθαλμοῖς
σώματος οὐχ ὁρᾶται. ἡ μὲν οὖν κάθαρσις τῶν ἁμαρτημάτων νοητὴ δωρεά τίς ἐστιν
ὀφθαλμοῖς οὐ δυναμένη σώματος γενέσθαι φανερά· τὸ δὲ γλώσσαις διαφόροις λαλεῖν, ἔστι
μὲν καὶ αὐτὸ νοητῆς ἐνεργείας τοῦ πνεύματος· αἰσθητὸν μέντοι παρέχεται τὸ σημεῖον, καὶ τοῖς ἀπίστοις
εὐσύνοπτον. τῆς γὰρ ἔνδον ἐν τῇ ψυχῇ γινομένης ἐνεργείας, τῆς ἀοράτου λέγω, ἡ ἔξω

γλῶττα

γλῶτταν αἰσχυνομένην φανέρωσις τίς ἐστι καὶ ἔλεγχος. διὰ τοῦτο καὶ ὁ Παῦλος λέγει· Ἑκάστῳ α. Κορ. ιβ. ζ.
δὲ ἡ φανέρωσις τοῦ πνεύματος δίδοται πρὸς τὸ συμφέρον. ἐγὼ μὲν οὖν νῦν χρείαν οὐκ ἔχω
σημείων. τίνος ἕνεκεν; ὅτι καὶ χωρὶς σημείου δόσεως πιστεύειν μεμάθηκα τῷ δεσπότῃ. ὁ
γὰρ ἀπιστῶν ἐνεχύρου δεῖται· ἐγὼ δὲ πιστεύων οὐ δέομαι ἐνεχύρου οὐδὲ σημείου· ἀλλὰ κἂν μὴ
λαλήσω γλώσσῃ, οἶδα ὅτι ἐκαθάρθην ἐκ τῶν ἁμαρτιῶν. ἐκεῖνοι δὲ τότε οὐκ ἐπίστευον,
εἰ μὴ ἔλαβον σημεῖον· διὰ τοῦτο αὐτοῖς ἐδίδοτο σημεῖα, ὥσπερ ἐνέχυρα τῆς πίστεως, ἧς ἐπίστευον.
ὥστε οὐχ ὡς πιστοῖς, ἀλλ' ὡς ἀπίστοις ἐδίδοτο τὰ σημεῖα, ἵνα γένωνται πιστοί. οὕτω
καὶ Παῦλός φησι, Τὰ σημεῖα οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις. ὁρᾶτε, ὅτι οὐχὶ ἀτιμάζοντος α. Κορ. ιδ. β.
ἡμᾶς τοῦ Θεοῦ, ἀλλὰ τιμῶντός ἐστι τὸ συστεῖλαι τὴν τῶν σημείων ἐπίδειξιν; βουλόμενος
γὰρ δεῖξαι τὴν πίστιν ἡμῶν, ὅτι χωρὶς ἐνεχύρων καὶ σημείων αὐτῷ πιστεύομεν, τοῦτο πεποίηκεν.
ἐκεῖνοι μὲν γὰρ εἰ μὴ ἔλαβον πρότερον σημεῖον καὶ ἐνέχυρον, οὐκ ἂν αὐτῷ ἐπίστευον
περὶ τῶν ἀφανῶν· ἐγὼ δὲ καὶ χωρὶς τούτων πᾶσαν ἐπιδείκνυμι πίστιν. τοῦτο οὖν αἴτιον τοῦ μὴ
γίνεσθαι σημεῖα νῦν.

Ἐβουλόμην περὶ τῆς ὑποθέσεως τῆς ἑορτῆς εἰπεῖν, καὶ δεῖξαι τί ποτέ ἐστι πεντηκοστή,
καὶ διὰ τί ἐν τῇ ἑορτῇ ταύτῃ τὸ χάρισμα δίδοται, καὶ διὰ τί ἐν γλώσσαις πυρίναις, καὶ διὰ τί
μετὰ δέκα ἡμέρας· ἀλλ' ὁρῶ πρὸς μῆκος τὴν διδασκαλίαν ἐκτεινομένην, διὸ ὀλίγα προσθεὶς
καταπαύσω τὸν λόγον. ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς ὤφθησαν Πραξ. β. γ.
αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός· οὐχὶ πυρός, ἀλλ' ὡσεὶ πυρός, ἵνα μηδὲν αἰσθητὸν
ὑποπτεύσῃς περὶ τοῦ πνεύματος. καθάπερ γὰρ ἐπὶ τῶν Ἰορδανείων ῥείθρων οὐχὶ
περιστερὰ κατέβη, ἀλλ' ἐν εἴδει περιστερᾶς· οὕτω καὶ ἐνταῦθα, οὐχὶ πῦρ, ἀλλ' ἐν εἴδει πυρός.
καὶ πάλιν ἀνωτέρω φησίν· ὡσεὶ φερομένης πνοῆς βιαίας· οὐχὶ πνοῆς βιαίας, ἀλλ' ὡς
φερομένης πνοῆς βιαίας. τίνος δὲ ἕνεκεν ὁ μὲν Ἰεζεκιὴλ οὐ δι' ὁμοιώσεως πυρὸς λαμβάνει τὸ χάρισμα Ιεζ. β. ι.
τῆς προφητείας, ἀλλὰ διὰ βιβλίου· οἱ δὲ ἀπόστολοι διὰ πυρὸς λαμβάνουσι τὰ
χαρίσματα; περὶ μὲν γὰρ ἐκείνου φησίν, ὅτι ἔδωκεν εἰς τὸ στόμα αὐτοῦ κεφαλίδα βιβλίου, καὶ
ἐπέγραπται κατάλεγμα καὶ μέλος καὶ οὐαί, καὶ ἦν τὰ ὀπίσω καὶ τὰ ἔμπροσθεν γεγραμμένα·
καὶ ἔφαγεν αὐτό, καὶ ἐγένετο ἐν τῷ στόματι ὡς μέλι γλυκάζον. περὶ δὲ τῶν ἀποστόλων οὐχ οὕτως·
ἀλλ' ὤφθησαν αὐτοῖς γλῶσσαι ὡσεὶ πυρός. τίνος οὖν ἕνεκεν ἐκεῖ βιβλίον καὶ γράμματα·
ἐνταῦθα δὲ γλῶσσα καὶ πῦρ; ὅτι ἐκεῖνος μὲν ἀπῄει κατηγορήσων ἁμαρτημάτων, καὶ θρηνήσων
συμφορὰς Ἰουδαϊκάς· οὗτοι δὲ ἐξῄεσαν τὰ τῆς οἰκουμένης ἁμαρτήματα δαπανήσοντες.
διὰ τοῦτο ἐκεῖνος μὲν γραμματεῖον ἐλάμβανε, τῶν μελλουσῶν συμφορῶν ὑπόμνησιν· οὗτοι
δὲ πῦρ ἐλάμβανον, ὥστε κατακαῦσαι τὰ τῆς οἰκουμένης ἁμαρτήματα, καὶ ἀφανίσαι πάντα.
καθάπερ γὰρ πῦρ εἰς ἀκάνθας ἐμπίπτον, πάσας αὐτὰς ἀφανίζει ῥᾳδίως· οὕτω καὶ τοῦ πνεύματος
ἡ χάρις ἐδαπάνα τῶν ἀνθρώπων τὰς ἁμαρτίας. ἀλλ' οἱ ἀναίσθητοι Ἰουδαῖοι, τούτων
χ γινομ. γινομένων δέον καταπεπλῆχθαι καὶ τρέμειν καὶ προσκυνεῖν τὸν διδόντα τὴν δωρεάν, πάλιν
χ. αἰτίαν τὴν οἰκείαν ἄγνοιαν ἐπιδείκνυνται, μέθην κατηγοροῦντες τῶν πεπληρωμένων τοῦ
πνεύματος ἀποστόλων. Οὗτοι γάρ, φησιν, γλεύκους μεμεστωμένοι εἰσίν. ἐννόησον ἀγνωμοσύνην Πραξ. β. ιγ.
ἀνθρώπων, καὶ σκόπησον εὐγνωμοσύνην ἀγγέλων. οἱ μὲν γὰρ ἄγγελοι, ὅτι εἶδον
τὴν ἀπαρχὴν ἀναγομένην τὴν ἡμετέραν, ἔχαιρον καὶ ἔλεγον· Ἄρατε πύλας οἱ ἄρχοντες Ψαλμ. κγ. ζ.
ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης· οἱ δὲ ἄνθρωποι ἰδόντες
τὴν τοῦ πνεύματος χάριν καταβᾶσαν πρὸς ἡμᾶς λέγουσιν, ὅτι μεθύουσιν οἱ δεξάμενοι
τὴν χάριν· καίτοι οὐδὲ ἡ ὥρα ἔτους αὐτοὺς ἐδυσώπησε. γλεῦκος γὰρ ἐν ἔαρος ὥρᾳ οὐκ ἂν εὑρεθείη
ποτέ· τότε δὲ ἔαρ ἦν. ἀλλ' ἐκεῖνοι μὲν ἀφείσθωσαν· ἡμεῖς δὲ σκοπῶμεν τὴν ἀντίδοσιν
τοῦ φιλανθρώπου. ἔλαβε τὴν ἀπαρχὴν τῆς φύσεως τῆς ἡμετέρας ὁ Χριστός, καὶ ἀντέδωκεν
ἡμῖν τοῦ πνεύματος τὴν χάριν, καὶ καθάπερ ἐν μακρῷ πολέμῳ γενομένου, ὅταν μάχη
λυθῇ

λυθῇ, καὶ εἰρήνη γένηται), οἱ πρὸς ἀλλήλους ἀπεχθῶς ἔχοντες ἐνέχυρα καὶ ὅμηρα ἀλλήλοις ἀντιδιδόασιν, οὕτω καὶ ἐπὶ τοῦ Θεοῦ, καὶ ἐπὶ τῆς ἀνθρωπίνης ἐγένετο φύσεως. ἔπεμψεν αὐτῷ ἐνέχυρα καὶ ὅμηρα, τὴν ἀπαρχὴν, ἣν ἀνήνεγκεν ὁ Χριστός· ἀντέπεμψεν ἡμῖν αὐτὸς ἐνέχυρα καὶ ὅμηρα τὸ πνεῦμα τὸ ἅγιον. ὅτι δὲ ἐνέχυρα καὶ ὅμηρα ἔχομεν, δῆλον ἐντεῦθεν. τὰ γὰρ ἐνέχυρα καὶ ὅμηρα βασιλικοῦ γένους εἶναι χρή. διὰ τοῦτο καὶ πνεῦμα ἅγιον ἡμῖν κατεπέμφθη, ὡς τῆς βασιλικωτάτης οὐσίας ὄν· καὶ ὁ παρ' ἡμῶν δὲ ἀνενεχθεὶς ἐκ γένους ἦν βασιλικοῦ. ἀπὸ γὰρ τοῦ σπέρματος ἦν Δαβίδ. διὰ τοῦτο οὐκ ἔτι δέδοικα, ὅτι ἡ ἀπαρχὴ ἡμῶν ἄνω κάθηται· διὰ τοῦτο κἂν σκώληκά μοί τις εἴπῃ ἀτελεύτητον, κἂν πῦρ ἄσβεστον, κἂν ἑτέρας κολάσεις καὶ τιμωρίας, οὐ φοβοῦμαι λοιπόν· μᾶλλον δὲ φοβοῦμαι μὲν, οὐ καταγινώσκω δὲ τῆς σωτηρίας τῆς ἐμαυτοῦ. εἰ γὰρ μὴ μεγάλα ἀγαθὰ ὁ Θεὸς περὶ τὸ γένος ἡμῶν ἐβουλεύετο, οὐκ ἂν τὴν ἀπαρχὴν ἡμῶν ἔλαβεν ἄνω. πρὸ τούτου μὲν εἰς τὸν οὐρανὸν βλέποντες, καὶ τὰς ἀσωμάτους ἐννοοῦντες δυνάμεις, σαφέστερον τὴν εὐτέλειαν ἑωρῶμεν τὴν ἡμετέραν ἀπὸ τῆς συγκρίσεως τῶν ἄνω δυνάμεων· νῦν δὲ ὅταν βουληθῶμεν τὴν εὐγένειαν ἡμῶν ἰδεῖν, εἰς τὸν οὐρανὸν ἄνω βλέπομεν, εἰς τὸν θρόνον αὐτὸν τὸν βασιλικόν. ἐκεῖ γὰρ ἡ ἐξ ἡμῶν ἀπαρχὴ κάθηται. οὕτω καὶ ἐλεύσεται ὁ υἱὸς τοῦ Θεοῦ ἐκ τοῦ οὐρανοῦ κρίνων ἡμᾶς. παρασκευαζώμεθα τοίνυν, ὥστε μὴ τῆς δόξης ἐκείνης ἐκπεσεῖν. Ἥξει γὰρ πάντως, καὶ οὐ χρονιεῖ ὁ κοινὸς ἡμῶν δεσπότης· ἥξει στρατόπεδα ἐπαγόμενος, ἀγγέλων τάγματα, ἀρχαγγέλων συμμορίας, μαρτύρων φρατρίας, δικαίων χορούς, προφητῶν καὶ ἀποστόλων δήμους, καὶ ἐν μέσῳ τῶν στρατοπέδων ἀΰλων ἐκείνων ὁ βασιλεὺς φαινόμενος ἀρρήτῳ τινὶ καὶ ἀφράστῳ δόξῃ. πάντα τοίνυν ποιῶμεν, ὥστε μὴ τῆς δόξης ἐκείνης ἐκπεσεῖν. Βούλεσθε εἴπω καὶ τὰ φοβερά; οὐχ ἵνα λυπήσω, ἀλλ' ἵνα διορθώσωμαι. Τότε πυρὸς ποταμὸς πρὸ τοῦ βήματος ἐκείνου σύρεται, τότε βίβλοι ἀνοίγονται, δικαστήριον ἔστι φοβερὸν καὶ φρικῶδες. διὰ τοῦτο, καθάπερ ἐν δικαστηρίῳ, τὰ ὑπομνήματα τῆς ἡμετέρας ζωῆς ἀναγινώσκεται· καὶ πολλὰ περὶ τῶν βιβλίων τούτων φασὶν οἱ προφῆται. Ἐξοδ. λβ. λβ. καὶ ὁ μὲν Μωϋσῆς φησιν· Εἰ μὲν ἀφῆς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου, ἧς ἔγραψας. ὁ δὲ Χριστὸς πάλιν πρὸς τοὺς μαθητὰς ἔλεγεν· Λουκ. ι. κ. Ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται· χαίρετε δὲ ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς. καὶ πάλιν ὁ προφήτης Δαβίδ, Ψαλμ. ρλη. ις. Ἐν τῷ βιβλίῳ σου πάντες γραφήσονται· ἡμέραι πλασθήσονται, καὶ οὐθεὶς ἐν αὐτοῖς· καὶ πάλιν, Ψαλμ. ξη. ιθ. Ἐξαλειφθήτωσαν ἐκ βιβλίου ζώντων, καὶ μετὰ δικαίων μὴ γραφήτωσαν. ὁρᾷς ὅτι οἱ μὲν ἐξαλείφονται, οἱ δὲ ἐγγράφονται; βούλει μαθεῖν, ὅτι οὐχ οἱ δίκαιοι ἐγγράφονται ἐν ταῖς βίβλοις ἐκείναις μόνον, ἀλλὰ καὶ τὰ ἁμαρτήματα ἡμῶν ἐκεῖ ἐγγέγραπται; ἑορτῆς καιρός, μάθωμεν περὶ πραγμάτων δυναμένων ἀπαλλάξαι ἡμᾶς τῆς κολάσεως. φοβερὸς ὁ λόγος, ἀλλὰ καὶ χρήσιμος καὶ λυσιτελής· ἀπαλλάττει γὰρ τῆς πείρας τῆς διὰ τῶν πραγμάτων. μάθωμεν τοίνυν. τὰ ἁμαρτήματα ἐγγράφεται, καὶ ὅπερ ἂν ἐνταῦθα φθεγξώμεθα, ἀναφέρεται εὐθέως ἐκεῖ καὶ ἐγγράφεται. καὶ πόθεν δῆλον τοῦτο; οὐ γὰρ δεῖ ὑπὲρ τῶν τοιούτων ἁπλῶς ἀποφαίνεσθαι. ὁ Μιχαίας φησὶ πρὸς Ἰουδαίους· Μαλ. β. ιζ. Μαλ. γ. ιδ. Οὐαὶ οἱ παροξύνοντες τὸν Κύριον. καὶ πῶς, φησί, παρωξύναμεν αὐτόν; ἐν τῷ λέγειν ὑμᾶς, πᾶς ποιῶν πονηρόν, καλὸς ἐνώπιον Κυρίου (οἰκετῶν ἀγνωμόνων ῥήματα) καὶ ἐν αὐτοῖς αὐτὸς εὐδόκησεν· ἐν τοῖς διεφθαρμένοις, φησίν, ἐν τοῖς μὴ δεδουλευκόσιν αὐτῷ. Ἰδοὺ ἡμεῖς ἐφυλάξαμεν τὰ φυλάγματα αὐτοῦ, καὶ μακαρίζομεν ἀλλοτρίους. ἡμεῖς γάρ, φησι, καθ' ἑκάστην δουλεύομεν, καὶ ἕτεροι τῶν ἀγαθῶν ἀπολαύουσι. τοιαῦτα δὲ δοῦλοι πολλάκις περὶ τῶν δεσποτῶν λέγουσιν. ἀλλ' ἄνθρωπον μὲν περὶ ἀνθρώπου λέγειν ταῦτα οὐχ οὕτω δεινόν, καίπερ ὂν δεινόν· τὸ δὲ περὶ τοῦ κοινοῦ τῆς οἰκουμένης δεσπότου ταῦτα φθέγγεσθαι, δεσπότου τοῦ ἐλεήμονος καὶ φιλανθρώπου, πάσης ἂν εἴη μείζονος καταδίκης, καὶ τῆς ἐσχάτης ἄξιον τιμωρίας. ἀλλ' ἵνα μάθῃς, ὅτι ἐγγράφεται τὰ τοιαῦτα ῥήματα, ἄκουσον τί φησιν ὁ προφήτης· Ἰδοὺ ταῦτα ἐγγέγραπται ἐν βιβλίῳ ζώντων εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ. ἐγγράφεται δὲ, οὐκ ἐπειδὰν ὁ Θεὸς ἀναμνήσῃ τὴν ἡμέραν, ὥσπερ ἔλεγχόν τινα καὶ κατηγορίαν εἰς μέσον παράγων τὸ βιβλίον. τάχα κατέσεισα ὑμῶν τὴν διάνοιαν τῷ φόβῳ, οὐχὶ τὴν ὑμετέραν, ἀλλὰ τὴν ἐμαυτοῦ πρότερον. φέρε οὖν ἐκλύσω τὸν λόγον· μᾶλλον δὲ τὸν φόβον· μᾶλλον δὲ οὐκ ἐκλύσω, ἀλλὰ παραμυθήσομαι. μηδέπω γὰρ καθαίρων τὴν διάνοιαν ὑμῶν· τὸ δὲ ἀφόρητον αὐτοῦ περιέλωμεν. πῶς οὖν αὐτὸ δυνησόμεθα περιελεῖν; ἂν δείξωμεν, ὅτι οὐκ ἐγγράφεται μόνον, ἀλλὰ καὶ ἐξαλείφεται ἁμαρτήματα. ἐν δικαστηρίῳ γὰρ ἅπερ ἂν ἐπὶ ὑπομνημάτων ὁ δικαζόμενος φθέγξηται, πάντως ἐγγράφεται διηνεκῶς, καὶ ἐξαλειφθῆναι οὐκ ἔνι λοιπόν· ἐν ἐκείνῳ δὲ τῷ βιβλίῳ, κἂν φθέγξῃ τινὰ πονηρὰ, ἂν καὶ βουληθῇς, πάλιν ἐξαλείφεται. πόθεν δῆλον; ἀπὸ τῆς γραφῆς· Ἀπόστρεψον γάρ, φησι, τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. οὐδεὶς δὲ ἐξαλείψει τὸ μὴ γεγραμμένον. ὥστε ἐπειδὴ ἐγγεγραμμένα ἦσαν, παρακαλεῖ ἐξαλειφθῆναι. διδάσκει δὲ καὶ πῶς ἐξαλείφονται ἕτερός τις λέγων· Ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρονται αἱ ἁμαρτίαι. οὐχὶ ἐξαλείφονται μόνον, ἀλλὰ καὶ ἀποκαθαίρονται, ὥστε μηδὲ λείψανον μένειν τῆς ἀλειφῆς. οὐ τὰ μετὰ τὸ βάπτισμα δὲ ἐξαλείφεται μόνον, ἀλλὰ καὶ ἃ πρὸ τοῦ λουτροῦ ἐγγέγραπτο, ἐξηλείφθη πάντα ἐκεῖνα τῷ τοῦ βαπτίσματος ὕδατι, καὶ τῷ σταυρῷ τοῦ Χριστοῦ, καθάπερ Παῦλός φησιν, ὅτι ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον, ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ ἦρεν ἐκ μέσου, προσηλώσας αὐτὸ τῷ σταυρῷ. εἶδες πῶς ἐξηλείφθη τὸ χειρόγραφον ἐκεῖνο; καὶ οὐκ ἐξηλείφθη μόνον, ἀλλὰ καὶ διερράγη τῶν ἥλων τοῦ σταυροῦ διασπάντων αὐτὸ, ὥστε γενέσθαι ἄχρηστον. ἀλλ' ἐκεῖνα μὲν χάριτι καὶ φιλανθρωπίᾳ τῆς τοῦ σταυρωθέντος Χριστοῦ ἰσχύος πάντα ἐξήλειπται· τὰ δὲ μετὰ τὸ βάπτισμα πολλῆς χρείαν ἔχει σπουδῆς, ὥστε ἐξαλειφθῆναι πάλιν· ἐπειδὴ μηδ' ἔστι δεύτερον λουτρὸν, ἀλλὰ τῶν δακρύων δεῖται τῶν ἡμετέρων, μετανοίας, ἐξομολογήσεως, ἐλεημοσύνης, εὐχῆς, καὶ τῆς ἄλλης ἁπάσης εὐλαβείας. οὕτω καὶ μετὰ τὸ βάπτισμα ἐκκαθαίρεται ἁμαρτήματα, μετὰ πόνου πολλοῦ καὶ καμάτου. πᾶσαν τοίνυν ἐπιδειξώμεθα σπουδὴν, ὥστε αὐτὰ ἐξαλεῖψαι ἐντεῦθεν, καὶ αἰσχύνης καὶ τῆς κολάσεως ἀπαλλαγῆναι τῆς ἐκεῖ. κἂν γὰρ μυρία ὦμεν ἡμαρτηκότες, ἂν ἐθέλωμεν, δυνησόμεθα ἅπαντα ταῦτα ἀποθέσθαι τῶν ἁμαρτημάτων τὰ φορτία. βουληθῶμεν τοίνυν. πολλῷ γὰρ βέλτιον μικρὸν ἐνταῦθα πονήσαντας, ἀπαραιτήτου κολάσεως ἀπαλλαγῆναι, ἢ τὸν βραχὺν τοῦτον ῥαθυμήσαντας χρόνον, εἰς τὰς ἀθανάτους ἐκείνας ἐμπεσεῖν τιμωρίας. ὥρα δὲ λοιπὸν ἀναλογίσασθαι τὰ εἰρημένα· ἐπετιμήσαμεν τοῖς δι' ἐνιαυτοῦ μόνον παραγινομένοις, ὅτι τὴν μητέρα περιορῶσι γυμνουμένην· ἀνεμνήσαμεν αὐτῶν παλαιᾶς ἱστορίας καὶ κατάρας καὶ εὐλογίας· διελέχθημεν περὶ ἑορτῶν Ἰουδαϊκῶν, καὶ τίνος ἕνεκεν τρεῖς τοῦ ἐνιαυτοῦ κελεύει τοὺς Ἰουδαίους φαίνεσθαι αὐτῷ ὁ Θεός· εἴπομεν ὅτι ἑορτὴ διαπαντός ἐστι καὶ πεντηκοστὴ, καὶ πάσχα, καὶ ἐπιφάνεια· εἴπομεν ὅτι ἑορτὴν συνειδὸς ποιεῖ καθαρὸν, οὐχ ἡμερῶν καὶ χρόνων περίοδος· μετ' ἐκεῖνο ἐξέβημεν ἐπὶ τὰ δῶρα τὰ ἄνωθεν κατενεχθέντα· εἴπομεν ὅτι καταλλαγῆς ἐστι τοῦτο σημεῖον· ἐδείξαμεν ὅτι πάρεστι πνεῦμα ἅγιον διὰ τῆς ἀφέσεως τῶν ἁμαρτημάτων, διὰ τῆς ἀποκρίσεως τῆς πρὸς τὸν ποιμένα, διὰ τοῦ λόγου τῆς σοφίας καὶ τῆς γνώσεως, διὰ τῶν χειροτονιῶν, διὰ τῆς θυσίας τῆς μυστικῆς· εἴπομεν ὅτι ὁμηρεία ἀλλήλων καὶ ἐνέχυρα κατέχομεν· προσεθήκαμεν τὴν αἰτίαν, δι' ἣν τὰ σημεῖα ἀνήρηνται νῦν ἐκ τοῦ μέσου· μετὰ ταῦτα ἀνεμνήσαμεν τοῦ φοβεροῦ δικαστηρίου, καὶ τῶν τότε ἀνοιγομένων βιβλίων, καὶ ὅτι πάντα ἡμῶν ἐγγράφεται τὰ ἁμαρτήματα· ἀπεδείξαμεν ὅτι ἐξαλείφεται πάλιν, κἂν θέλωμεν. ταῦτα πάντα μέμνησθε· εἰ δὲ μὴ δυνατὸν πάντα, ἀντὶ πάντων τοῦ περὶ τῶν βιβλίων μέμνησθε λόγου· καὶ πάντα, ὅσα ἂν ἀποκρίνεσθε, ὡς ἔχοντες τοὺς παρεστῶτας καὶ γράφοντα, οὕτω φθέγγεσθε μετὰ ἀσφαλείας, καὶ κατέχετε διαπαντὸς ἐνακμάζοντα τῇ μνήμῃ

Μαλ. γ. ιϛ.

ἴσ. ἐὰν

Ψαλ. ν. ια.

Παροι. ιε. κζ.

γρ. ἀλοιφῆς.

Κολ. β. ιδ.

τὸν λόγον τοῦτον· ἵνα οἱ μὲν ἐν τῇ βίβλῳ τῶν δικαίων ἐγγεγραμμένοι προσθῆτε τοῖς κατορθώμασιν· οἱ δὲ πολλὰ ἔχοντες ἐγγεγραμμένα ἁμαρτήματα, ἀπαλείψαντες αὐτὰ ἐνταῦθα οὐδενὸς εἰδότος, ἀπαλλαγῶμεν τῆς δημοσιεύσεως ἐκείνης. καὶ γὰρ δυνατὸν, καθὼς ἀπεδείξαμεν, διὰ σπουδῆς καὶ προσευχῆς καὶ εὐλαβείας ἐπιτεταμένης ἀπαλεῖψαι τὰ ἐγγεγραμμένα ἁμαρτήματα ἅπαντα. τοῦτο τοίνυν διὰ παντὸς σπουδάζωμεν τοῦ χρόνου, ἵνα ἀπελθόντες ἐκεῖ, δυνηθῶμέν τινος συγγνώμης τυχεῖν, καὶ πάντες ἀπαραιτήτους φυγεῖν κολάσεις· ὧν γένοιτο πάντας ἡμᾶς ἀπαλλαγέντας καταξιωθῆναι τῆς βασιλείας τῶν οὐρανῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Λογ. πθ. ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΠΕΝΤΗΚΟΣΤΗΝ. Λογ. β.

Μεγάλα, ἀγαπητοὶ, καὶ πάντα λόγον ἀνθρώπινον ὑπερβαίνοντα τὰ σήμερον ἡμῖν δωρηθέντα παρὰ τοῦ φιλανθρώπου Θεοῦ χαρίσματα. διά τοι τοῦτο κοινῇ πάντες χαίρωμεν, καὶ σκιρτῶντες ἀνυμνήσωμεν τὸν ἡμέτερον δεσπότην. ἑορτὴ γὰρ ἡμῖν καὶ πανήγυρις ἡ σήμερον ἡμέρα. ὥσπερ γὰρ ἐπὶ τῆς τῶν ὡρῶν καὶ τῶν τροπῶν ἐναλλαγῆς ἑτέρα τὴν ἑτέραν διαδέχεται· οὕτω δὴ καὶ ἐπὶ τῆς ἐκκλησίας ἑορτὴ ἑορτὴν διαδεχομένη, οὕτως ἡμᾶς εἰς ἀλλήλας παραπέμπουσι. πρῶτον μὲν οὖν ἑορτάσαμεν τὸν σταυρὸν, τὸ πάθος, τὴν ἀνάστασιν, μετὰ ταῦτα τὴν εἰς οὐρανὸν ἄνοδον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· σήμερον δὲ λοιπὸν εἰς αὐτὸ τὸ τέλος ἀπηντήσαμεν τῶν ἀγαθῶν, εἰς αὐτὴν τὴν μητρόπολιν ἐφθάσαμεν τῶν ἑορτῶν, εἰς αὐτὸν τὸν καρπὸν παρεγενόμεθα τῆς τοῦ Κυρίου ἐπαγγελίας. Ἐὰν γὰρ ἀπέλθω, φησὶν, ἐγὼ, ἄλλον παράκλητον πέμψω ὑμῖν, καὶ οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς. Εἴδετε κηδεμονίαν; εἴδετε φιλανθρωπίαν ἄφατον; πρὸ τούτων τῶν ἡμερῶν ἀνῆλθεν εἰς οὐρανὸν, τὸν βασιλικὸν ἀνέλαβε θρόνον, τὴν ἐν δεξιᾷ τοῦ πατρὸς καθέδραν ἀπείληφε, καὶ σήμερον ἡμῖν τὴν ἐπιδημίαν τοῦ πνεύματος τοῦ ἁγίου χαρίζεται, καὶ δι' αὐτοῦ τὰ μυρία ἡμῖν ἀπὸ τῶν οὐρανῶν ἀγαθὰ χορηγεῖ. τί γὰρ, εἰπέ μοι, τῶν συνεχόντων τὴν σωτηρίαν τὴν ἡμετέραν οὐχὶ διὰ τοῦ πνεύματος ἡμῖν ᾠκονόμηται; διὰ τούτου δουλείας ἀπαλλαττόμεθα, εἰς ἐλευθερίαν καλούμεθα, εἰς υἱοθεσίαν ἀναγόμεθα, καὶ ἄνωθεν, ὡς εἰπεῖν, ἀναπλαττόμεθα, τὸ βαρὺ καὶ δυσῶδες τῶν ἁμαρτημάτων φορτίον ἀποτιθέμεθα. διὰ τοῦ πνεύματος τοῦ ἁγίου ἱερέων βλέπομεν χορούς, διδασκάλων ἔχομεν τάγματα· ἀπὸ τῆς ἐντεῦθεν πηγῆς καὶ ἀποκαλύψεων δωρεαὶ, καὶ ἰαμάτων χαρίσματα, καὶ τὰ λοιπὰ πάντα, ὅσα τὴν ἐκκλησίαν τοῦ Θεοῦ κοσμεῖν εἴωθεν, ἐντεῦθεν ἔχει τὴν χορηγίαν. καὶ βοᾷ Παῦλος λέγων· Ταῦτα πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται. καθὼς βούλεται, φησὶν, οὐ καθὼς προστάττεται· διαιροῦν, οὐ διαιρούμενον· αὐθεντοῦν, οὐκ αὐθεντίᾳ ὑποκείμενον. τὴν γὰρ αὐτὴν ἐξουσίαν, ἥνπερ ἐμαρτύρησε τῷ πατρὶ, ταύτην καὶ τῷ ἁγίῳ πνεύματι ἀνατίθησιν ὁ Παῦλος. καὶ ὥσπερ ἐπὶ τοῦ πατρός φησιν· Ὁ δὲ Θεός ἐστιν, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν, οὕτω καὶ ἐπὶ τοῦ ἁγίου πνεύματος· Ταῦτα δὲ πάντα, φησὶν, ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται. Εἶδες ἀπηρτισμένην ἐξουσίαν; ὧν γὰρ ἡ οὐσία μία, δῆλον ὅτι καὶ ἡ αὐθεντία μία· καὶ ὧν ἰσότιμος ἡ ἀξία, τούτων καὶ ἡ δύναμις καὶ ἡ ἐξουσία μία. διὰ τούτου τὴν ἀπαλλαγὴν τῶν ἁμαρτημάτων εὑράμεθα· διὰ τούτου πᾶσαν κηλίδα ἀπενιψάμεθα· διὰ τῆς τούτου δωρεᾶς ἐξ ἀνθρώπων ἄγγελοι γεγόναμεν οἱ τῇ χάριτι προσδραμόντες, οὐ τὴν φύσιν μεταβληθέντες, ἀλλ', ὃ πολλῷ θαυμαστότερόν ἐστι, μένοντες ἐν τῇ φύσει τῇ ἀνθρωπίνῃ τὴν τῶν ἀγγέλων πολιτείαν ἐπιδεικνύμεθα. τοιαύτη γὰρ ἡ

Ἰωάν. ις. ζ.

α. Κορ. ιβ. ια.

τοῦ ἁγίου πνεύματος δύναμις. Καὶ καθάπερ τὸ πῦρ τοῦτο τὸ αἰσθητὸν, ὅταν ἐπιλάβηται τὸν πηλὸν τὸν διαλελυμένον, ὄστρακον ἰσχυρὸν αὐτὸν ἀποδείκνυσιν· οὕτω δὴ καὶ τὸ πῦρ τοῦ πνεύματος, ἐπειδὰν λάβῃ ψυχὴν εὐγνώμονα, κἂν εὕρῃ πηλοῦ μᾶλλον διαλελυμένην, σιδήρου στερροτέραν αὐτὴν ἀπεργάζεται, καὶ τὸν πρὸ μικροῦ τῷ βορβόρῳ τῶν ἁμαρτημάτων μεμολυσμένον, ἀθρόον ἡλίου λαμπρότερον ἀναδείκνυσι. καὶ τοῦτο διδάσκων ἡμᾶς ὁ μακάριος Παῦλος ἐβόα λέγων· Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὔτε πλεονέκται, οὔτε κλέπται, οὔτε μέθυσοι, οὔτε λοίδοροι, οὔτε ἅρπαγες βασιλείαν Θεοῦ κληρονομήσουσι. Καὶ ἀπαριθμησάμενος ἅπαντα, ὡς εἰπεῖν, τῆς κακίας τὰ εἴδη, καὶ διδάξας, ὅτι οἱ τούτοις ὑπεύθυνοι ἁμαρτήμασιν, ἀλλότριοι τῆς βασιλείας γίνονται, εὐθέως ἐπήγαγε· καὶ ταῦτά τινες ἦτε, ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε. πῶς καὶ τίνι τρόπῳ, εἰπέ. τοῦτο γάρ ἐστι τὸ ζητούμενον. ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, φησι, καὶ ἐν τῷ πνεύματι τοῦ Θεοῦ ἡμῶν. Εἶδες τοῦ ἁγίου πνεύματος τὴν δύναμιν, ἀγαπητέ; Εἶδες ὅτι τὸ πνεῦμα τὸ ἅγιον πᾶσαν τὴν κακίαν ταύτην ἠφάνισε, καὶ τοὺς πρότερον παραδεδομένους ὑπὸ τῶν οἰκείων ἁμαρτημάτων, ἀθρόον εἰς τὴν ἀνωτάτω τιμὴν ἀνήγαγε; τίς οὖν ἂν κατ' ἀξίαν ὀδύραιτο καὶ θρηνήσειε τοὺς βλασφημεῖν ἐπιχειροῦντας τοῦ πνεύματος τὴν ἀξίαν, οἳ, καθάπερ τινὲς μεμηνότες, οὐδὲ πρὸς μεγέθει τῶν εὐεργεσιῶν τῆς οἰκείας ἀγνωμοσύνης ἀποσχέσθαι ἀνέχονται) ἀλλὰ κατὰ τῆς ἑαυτῶν σωτηρίας ἅπαντα περιστρέφειν τολμῶσιν, ἀλλοτριοῦντες αὐτὸ, τόγε εἰς αὐτοὺς ἧκον, τῆς δεσποτικῆς ἀξίας, καὶ εἰς τὴν τῶν κτισμάτων τάξιν κατάγειν ἐπιχειροῦσιν; οὓς ἐβουλόμην ἐρέσθαι· τίνος ἕνεκεν, ὦ οὗτοι, τοσοῦτον πόλεμον κατὰ τῆς τοῦ πνεύματος ἀξίας ἐπιδείκνυσθε· μᾶλλον δὲ κατὰ τῆς ἑαυτῶν σωτηρίας, καὶ οὐδὲ εἰς ἔννοιαν λαβεῖν βούλεσθε τὰ παρὰ τοῦ σωτῆρος τοῖς μαθηταῖς εἰρημένα; Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Εἶδες ὁμότιμον τὴν ἀξίαν; Εἶδες συμφωνίαν ἀπηκριβωμένην; Εἶδες τῆς τριάδος τὸ ἀδιαίρετον; μή που διαφορὰ, ἢ ἐναλλαγὴ, ἢ ὑφαίρεσις; τί τοῖς τοῦ δεσπότου ῥήμασιν ὑμεῖς ἐπιδιατάσσεσθαι τολμᾶτε; ἢ οὐκ ἴστε, ὅτι καὶ ἐπὶ τῶν ἀνθρωπίνων πραγμάτων, εἴ τις ποτε ἐπιχειρήσειεν, ἢ εἰς τοσαύτην ἐξέλθοι τόλμαν, ὥστε προσθεῖναί τι τοῖς παρὰ τοῦ βασιλέως γράμμασιν, ἢ ἀφελεῖν, τοῦ ὁμογενοῦς ἡμῖν καὶ τῆς αὐτῆς φύσεως κοινωνοῦντος, τὴν ἐσχάτην ὑφίσταται δίκην, καὶ οὐδὲν αὐτὸν τῆς τιμωρίας ἐξελέσθαι δύναται; Εἰ τοίνυν ἐπ' ἀνθρώπου τοσοῦτος ὁ κίνδυνος, ποία γένοιτ' ἂν ποτε συγγνώμη τοῖς τοσαύτην ἀπόνοιαν ἐπιδεικνυμένοις, καὶ τὰ παρὰ τοῦ κοινοῦ σωτῆρος ἡμῶν εἰρημένα διαφθείρειν ἐπιχειροῦσι, καὶ οὐδὲ Παύλου τοῦ Χριστὸν ἔχοντος ἐν ἑαυτῷ λαλοῦντα ἀκούειν βουλομένοις, λαμπρᾷ τῇ φωνῇ βοῶντος καὶ λέγοντος· Ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν; Εἰ τοίνυν οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε καρδία δέξασθαι ἠδυνήθη τὴν γνῶσιν τῶν ἡτοιμασμένων τοῖς ἀγαπῶσιν αὐτὸν, πόθεν ἡμεῖς, ὦ μακάριε Παῦλε, τούτων τὴν γνῶσιν ἔχειν δυνάμεθα; μικρὸν ἀνάμεινον, καὶ ἄκουσον αὐτοῦ καὶ τοῦτο δηλοῦντος. ἐπήγαγε γοῦν λέγων· Ἡμῖν δὲ ὁ Θεὸς ἀπεκάλυψε διὰ τοῦ πνεύματος αὐτοῦ. καὶ οὐδὲ μέχρι τούτου ἔστη· ἀλλ' ἵνα δείξῃ καὶ τῆς δυνάμεως τὸ μέγεθος, καὶ ὡς τῆς αὐτῆς ἐστιν οὐσίας τῷ πατρὶ καὶ τῷ υἱῷ, φησι· Τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ. εἶτα βουλόμενος ἐξ ἀνθρωπίνων παραδειγμάτων ἀκριβεστέραν ἡμῖν ἐνθεῖναι τὴν διδασκαλίαν, ἐπήγαγε· Τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ. Εἶδες διδασκαλίαν ἀπηρτισμένην; ὥσπερ, φησὶ, τὰ ἐν τῇ διανοίᾳ τοῦ ἀνθρώπου οὐχ οἷόν τε ἕτερόν τινα εἰδέναι, ἀλλ' αὐτὸς μόνος οἶδε τὰ ἑαυτοῦ· οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ· ὃ μέγιστον καὶ σφόδρα ἱκανὸν δεῖξαι τοῦ πνεύματος τὴν ἀξίαν. παράδειγμα

γὰρ

α. Κορ. ϛ θ.

Ματθ. κη ιθ.

γρ. δυνήσεται

α. Κορ. β. θ.

γὰρ περιήγαγε, μενοῦνγε λέγων, μὴ οἴεσθε ἵνα τὰ τῶν ἀνθρώπων τὰ ἐν διανοίᾳ αὐτοῦ ἀγνοῆσαί ποτε; ὥσπερ οὖν τοῦτο οὐ δυνατόν, οὕτω καὶ τὰ τοῦ Θεοῦ μετὰ τοσαύτης ἀκριβείας, φησίν, ἐπίσταται πνεῦμα τὸ ἅγιον. ἀλλ' οὐκ οἶδα πῶς οὐδὲ ταῦτα λέγων ὁ μακάριος οὗτος καθικνεῖται τῶν διὰ τὴν οἰκείαν πρόληψιν κατὰ τῆς ἑαυτῶν σωτηρίας τοσοῦτον ἐπιδεικνυμένων πόλεμον κατὰ τῆς τοῦ πνεύματος ἀξίας, καὶ τὸ ἧκον εἰς αὐτούς, ἀλλοτριοῦσιν αὐτὸ τῆς δεσποτικῆς ἀξίας, καὶ κατασπώντων εἰς τὴν τῶν δημιουργημάτων εὐτέλειαν. ἀλλ' εἰ καὶ ἐκεῖνοι φιλονείκως διάκεινται, ἀπεναντίας ἱστάμενοι τοῖς παρὰ τῆς θείας γραφῆς εἰρημένοις, ἡμεῖς τὰ θεῖα διδάγματα ὡς χρησμοὺς ἄνωθεν κατενεχθέντας δεχόμενοι, τὴν προσήκουσαν δοξολογίαν ἀναπέμψωμεν, μετὰ τῆς ὀρθῆς πίστεως καὶ τῆς ἀληθείας τὴν ἀκρίβειαν ἐπιδεικνύμενοι.

Πρὸς μὲν οὖν τούτους ἐπιχειροῦντας ἐναντία τοῖς παρὰ τοῦ πνεύματος εἰρημένοις διδάσκειν, ἱκανὰ τὰ εἰρημένα. ἀναγκαῖον δὲ εἰπεῖν πρὸς τὴν ὑμετέραν ἀγάπην, τίνος ἕνεκεν ἡμῖν τὸ αἴτιον τῶν τοσούτων ἀγαθῶν οὐκ εὐθέως μετὰ τὴν αὐτοῦ ἄνοδον κεχάρισται ὁ Κύριος· ἀλλ' ἀφῆκεν ὀλίγας πρότερον ἐνδιατρῖψαι ἡμέρας καὶ καθ' ἑαυτοὺς γενέσθαι τοὺς μαθητάς, καὶ τότε τὴν τοῦ πνεύματος χάριν κατέπεμψεν. οὐχ ἁπλῶς, οὐδὲ εἰκῇ οὐδὲ τοῦτο γεγένηται. ἐπειδὴ γὰρ ᾔδει τῶν ἀνθρώπων τὸ γένος οὐχ ὁμοίως τὰ ἐν χερσὶ θαυμάζοντας ἀγαθά, οὐδὲ κατ' ἀξίαν τιμῶντας ἐκεῖνα, ἅπερ ἂν ἡδέα καὶ μεγάλα καταφανῇ, ἂν μὴ καὶ τῶν ἐναντίων εἴσοδος προεισέλθῃ· οἷον τι λέγω (δεῖ γὰρ αὐτὸ σαφέστερον εἰπεῖν) ὁ ὑγιαίνων καὶ εὐεκτῶν τὸ σῶμα οὐκ αἰσθάνεται, οὐδὲ ἀκριβῶς εἰδέναι δύναται, ὅσα αὐτῷ ἀγαθὰ ἡ ὑγεία ἐχαρίζετο, εἰ μὴ καὶ τῆς νόσου πεῖραν λάβῃ, τῆς ἀσθενείας προεισελθούσης· καὶ ὁ τὴν ἡμέραν πάλιν βλέπων οὐχ ὁμοίως θαυμάζει τὸ φῶς, ἐὰν μὴ καὶ τὸ τῆς νυκτὸς σκότος διαδέξηται. καὶ γὰρ ἡ τῶν ἐναντίων πεῖρα διδάσκαλος ἀεὶ γίνεται σαφὴς ἐκείνων, ὧν πρότερον ἐν ἀπολαύσει τυγχάνοντες ἦμεν. διά τοι τοῦτο καὶ τότε, ἐπειδὴ μυρίων ἦσαν ἀγαθῶν οἱ μαθηταὶ κατὰ τὴν αὐτοῦ παρουσίαν ἀπολαύσαντες, καὶ ἀπὸ τοῦ συνδιατρίβειν αὐτῷ ἐν πολλῇ ἦσαν εὐημερίᾳ (καὶ γὰρ οἱ τὴν Παλαιστίνην ἅπαντες οἰκοῦντες, ὥσπερ εἰς φωστῆράς τινας, οὕτως εἰς τὰ τούτων ἀνέβλεπον πρόσωπα, ἐπειδὴ καὶ νεκροὺς ἀνίστων καὶ λεπροὺς ἐκάθαιρον, δαίμονας ἤλαυνον, καὶ νοσήματα ἐθεράπευον, καὶ ἕτερα πολλὰ ἐπεδείκνυντο θαύματα) ἐπεὶ οὖν οὕτως ἦσαν περίβλεπτοι καὶ περιφανεῖς, διὰ τοῦτο συνεχώρησεν αὐτοὺς πρὸς ὀλίγον χωρισθῆναι τῆς συμμαχούσης δυνάμεως· ἵν' ὅταν ἐν ἐρημίᾳ γένωνται, μάθωσιν ἡλίκον αὐτοῖς ἐχαρίζετο ἡ τῆς αὐτοῦ ἀγαθότητος παρουσία, καὶ εἰς αἴσθησιν ἐλθόντες τῶν παρελθόντων ἀγαθῶν, μετὰ μείζονος τῆς προθυμίας ὑποδέξωνται καὶ τὴν τοῦ παρακλήτου δωρεάν. καὶ γὰρ ἀθυμοῦντας αὐτοὺς παρεκάλεσε, καὶ διὰ τὸν τοῦ διδασκάλου χωρισμὸν στυγνάζοντας καὶ κατηφείας πεπληρωμένους διὰ τοῦ οἰκείου φωτὸς κατηύγασε, καὶ κειμένους σχεδὸν ἀνέστησε, καὶ τῆς ἀθυμίας τὸ νέφος διεσκέδασε, καὶ τὴν ἀπορίαν ἔλυσεν. Ματθ. κη. ιθ. ἐπειδὴ γὰρ ἦσαν ἀκούσαντες τῆς δεσποτικῆς φωνῆς, Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη· ἠπόρουν δὲ λοιπὸν καὶ ἠγνόουν, ὅποι δεῖ ἕκαστον τραπῆναι, καὶ πρὸς ποῖον δεῖ κλίμα τῆς οἰκουμένης κηρύξαι τὸν λόγον· ἔρχεται τὸ πνεῦμα τὸ ἅγιον ἐν εἴδει γλωσσῶν, ἑκάστῳ μερίζον τῆς κατὰ τὴν οἰκουμένην διδασκαλίας τὰ κλίματα, καὶ διὰ τῆς δοθείσης γλώττης, καθάπερ δέλτῳ τινί, γνωρίζον ἑκάστῳ τῆς ἐμπιστευθείσης ἀρχῆς τε καὶ διδασκαλίας τὸν ὅρον. διὰ τοῦτο ἐν εἴδει γλωσσῶν τὸ πνεῦμα παρεγένετο. καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλ' ἵνα καὶ παλαιᾶς ἡμᾶς ὑπομνήσῃ ὑποθέσεως. ἐπειδὴ γὰρ τὸ παλαιὸν εἰς ἀπόνοιαν ἐξοκείλαντες οἱ ἄνθρωποι, πύργον ἠβουλήθησαν κατασκευάσαι ἕως τοῦ οὐρανοῦ φθάνοντα, καὶ διὰ τῆς τῶν γλωσσῶν διαιρέσεως διεῖλεν αὐτῶν τὴν κακὴν συμφωνίαν· διὰ τοῦτο καὶ νῦν ἐν εἴδει γλωσσῶν πυρίνων ἐφίπταται αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον, ἵνα διαιρεθεῖσαν τὴν οἰκουμένην διὰ τούτου συνάψῃ. καὶ ἐγένετο πρᾶγμα καινὸν καὶ παράδοξον·

ὥσπερ γὰρ τότε τὸ παλαιὸν αἱ γλῶσσαι τὴν οἰκουμένην κατέτεμον, καὶ τὴν κακὴν συμφωνίαν εἰς διαίρεσιν ἤγαγον· οὕτω καὶ νῦν γλῶσσαι τὴν οἰκουμένην συνῆψαν, καὶ τὰ διεστῶτα εἰς ὁμόνοιαν συνήγαγον. ἐν εἴδει μὲν οὖν γλωσσῶν διὰ τοῦτο· ὡσεὶ πυρὸς δὲ γλῶσσαι, διὰ τὴν ἐν ἡμῖν ὑλομανήσασαν τῆς ἁμαρτίας ἄκανθαν. καθάπερ γὰρ γῆ, ὅταν λιπαρὰ καὶ πίων οὖσα τυγχάνῃ, μὴ γεωργῆται δὲ, πολλὴν ἐπιδείκνυται τῶν ἀκανθῶν τὴν φοράν· οὕτω δὴ καὶ ἡ φύσις ἡ ἡμετέρα, καλὴ οὖσα διὰ τὸν παραγαγόντα, καὶ πρὸς τὸν τῆς ἀρετῆς καρποὺς ἐπιτηδείως ἔχουσα, διὰ τὸ μὴ δέξασθαι τὸ τῆς εὐσεβείας ἄροτρον, μηδὲ τὸν τῆς θεογνωσίας σπόρον, καθάπερ ἀκάνθας τινὰς καὶ ἑτέραν ἄχρηστον ὕλην τὴν ἀσέβειαν ἀπεβλάστησε. καὶ ὃν τρόπον τῆς γῆς τὸ πρόσωπον ἀπὸ τοῦ πλήθους τῶν ἀκανθῶν καὶ τῶν πονηρῶν βοτανῶν πολλάκις οὐ φαίνεται· οὕτω καὶ τὸ εὐγενὲς καὶ τὸ καθαρὸν τῆς ψυχῆς τῆς ἡμετέρας οὐ διεδείκνυτο, ἕως ὅτε παραγενόμενος ὁ γεωργὸς τῆς φύσεως τῆς ἀνθρωπίνης, καὶ τὸ πῦρ ἐπαφεὶς τοῦ πνεύματος, ἐκάθηρέ τε αὐτὴν, καὶ πρὸς τὸ δέξασθαι τὸν σπόρον τὸν οὐράνιον ἐπιτηδείαν γενέσθαι παρεσκεύασε. τοσαῦτα ἡμῖν καὶ τούτων πλείονα διὰ τὴν παροῦσαν ἡμέραν ὑπῆρξε τὰ ἀγαθά. διὸ παρακαλῶ, πρὸς ἀξίαν τῶν δεδωρημένων ἡμῖν ἀγαθῶν καὶ ἡμεῖς ἑορτάσωμεν, οὐ τὴν πύλην στεφανοῦντες, ἀλλὰ τὰς ψυχὰς καλλωπίζοντες· οὐ κοσμοῦντες τὴν ἀγορὰν παραπετάσμασιν, ἀλλὰ φαιδρύνοντες τὴν ψυχὴν τοῖς τῆς ἀρετῆς περιβολαίοις· ἵν' οὕτω δυνηθῶμεν καὶ τοῦ πνεύματος τὴν χάριν ὑποδέξασθαι, καὶ τοὺς ἐντεῦθεν καρποὺς ἀποδέξασθαι. τίς δέ ἐστιν ὁ καρπὸς τοῦ πνεύματος; ἀκούσωμεν Παύλου λέγοντος· Ὁ (Γαλ. ε. κϐ.) δὲ καρπὸς τοῦ πνεύματός, φησιν, ἀγάπη, χαρὰ, εἰρήνη. ὅρα λέξεως ἀκρίβειαν, διδασκαλίας ἀκολουθίαν. προέταξε τὴν ἀγάπην, καὶ τότε τῶν ἑξῆς ἐμνημόνευσεν· ἔθηκε τὴν ῥίζαν, καὶ τότε τὸν καρπὸν ὑπέδειξε· κατέβαλε τὸν θεμέλιον, καὶ τότε τὴν οἰκοδομὴν ἐπήγαγεν· ἀπὸ τῆς πηγῆς ἤρξατο, καὶ τότε ἦλθεν ἐπὶ τοὺς ποταμούς. οὐδὲ γὰρ πρότερον ἡ τῆς χαρᾶς ἐπεισελθεῖν ὑπόθεσις δύναται, ἂν μὴ πρότερον ἑαυτῶν εἶναι νομίσωμεν τὴν ἑτέρων εὐημερίαν, καὶ οἰκεῖα τὰ τοῦ πλησίον ἀγαθὰ λογισώμεθα. ταῦτα δὲ οὐκ ἄν ποτε ἐξ ἑτέρου φανείη τινὸς, ἂν μὴ τῆς ἀγάπης ὑπερβάλῃ ἡ τυραννίς. ἡ ἀγάπη ῥίζα καὶ πηγὴ καὶ μήτηρ ἐστὶν ἁπάντων τῶν ἀγαθῶν. καὶ γὰρ ὡς ῥίζα μυρίους τοὺς κλάδους τῆς ἀρετῆς ἀναδίδωσι, καὶ ὡς πηγὴ πολλὰ τίκτει τὰ νάματα, καὶ ὡς μήτηρ εἴσω τῶν ἑαυτῆς κόλπων περισφίγγει τοὺς εἰς αὐτὴν καταφεύγοντας. ὃ δὴ καὶ ὁ μακάριος Παῦλος συνιδὼν, καρπὸν αὐτὴν (Γαλ. ε. κϐ.) τοῦ πνεύματος ἐκάλεσεν. ἀλλαχοῦ δὲ τοσοῦτον αὐτῇ τὸ προτέρημα ἐχαρίσατο, ὡς καὶ πλήρωμα αὐτὴν τοῦ νόμου προσειπεῖν. Πλήρωμα γὰρ νόμου, φησὶν, ἡ ἀγάπη. (Ρωμ ιγ. κι.) ὁ μέντοι τῶν ἁπάντων δεσπότης καὶ ὅρον ἀρκοῦντα καὶ χαρακτῆρα ἀξιόπιστον εἰς τὸ φανῆναι τοὺς ἑαυτοῦ μαθητὰς, οὐχ ἕτερόν τινα, ἢ τὸν ἀπὸ τῆς ἀγάπης ἡμῖν παρέβαλεν, εἰπών· Ἐν τούτῳ γνώσονται (Ιωαν ιγ. κε.) πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις. διὸ παρακαλῶ, ἐπ' αὐτὴν καταφύγωμεν ἅπαντες, καὶ ταύτῃ περιπλακῶμεν, καὶ μετ' αὐτῆς τὴν ἑορτὴν ταύτην ὑποδεξώμεθα. ὅπου γὰρ ἀγάπη, ἀργεῖ τῆς ψυχῆς τὰ ἐλαττώματα· ὅπου ἀγάπη, τὰ ἄλογα τῆς διανοίας σκιρτήματα πέπαυται. Η ἀγάπη, φησὶν, οὐ περπερεύεται, (α. Κορ ιγ. δ.) οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ. ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται. ὅπου ἀγάπη πολιτεύεται, οὐδαμοῦ Κάϊν φονεύων τὸν ἀδελφόν. ἄνελε τοῦ φθόνου τὴν πηγὴν, καὶ ἀνεῖλες τῶν κακῶν ἁπάντων τὸν ποταμόν· ἀπότεμε τὴν ῥίζαν, καὶ συνανεῖλες τὸν καρπόν. ταῦτα δὲ λέγω, τῶν φθονούντων κηδόμενος μᾶλλον, ἢ τῶν φθονουμένων. καὶ γὰρ ἐκεῖνοι μάλιστά εἰσιν οἱ τὰ μέγιστα ζημιούμενοι, καὶ πολὺν ἑαυτοῖς τὸν ὄλεθρον ἐπάγοντες. ἐπεί γε ὅτι τοῖς φθονουμένοις καὶ στεφάνων ὑπόθεσίς ἐστιν, εἰ βούλοιντο, τὸ φθονεῖσθαι· καὶ ὅρα μοι πῶς Ἄβελ ὁ δίκαιος ᾄδεται, καὶ καθ' ἑκάστην ἀνακηρύττεται τὴν ἡμέραν, καὶ ἡ τῆς σφαγῆς ὑπόθεσις εὐδοξίας αὐτῷ γέγονεν ἀφορμή. καὶ ὁ μὲν καὶ μετὰ τὴν τελευτὴν διὰ τοῦ αἵματος παρρησιάζεται,

καὶ λαμπρᾷ τῇ φωνῇ κατηγορεῖ τοῦ μιαιφόνου· ὁ δὲ ἐντεῦθεν περιγενόμενος τοὺς καρποὺς τῶν ἔρ-
γων διὰ τῆς ἀντιδόσεως τῶν ἔργων ἀπέλαβε, καὶ στένων καὶ τρέμων ἀπῆλθεν ἐπὶ τῆς γῆς. ὁ δὲ ἀνῃ-
ρημένος καὶ ἐπὶ τῆς γῆς κείμενος μετὰ τὴν τελευτὴν πλείονα τὴν παρρησίαν ἐπεδείκνυτο. καὶ
καθάπερ ἐκεῖνον ἡ ἁμαρτία καὶ ζῶντα τῶν νεκρῶν ἀθλιώτερον διάγειν παρεσκεύασεν· οὕτω
τοῦτον ἡ ἀρετὴ καὶ μετὰ τὴν τελευτὴν πλέον διαλάμπειν ἐποίησε. διά τοι τοῦτο καὶ ἡμεῖς,
ἵνα μείζονα καὶ ἐνταῦθα κἀκεῖ τὴν παρρησίαν κτησώμεθα, ἵνα πλείονα τὴν εὐφροσύνην τὴν
ἀπὸ τῆς ἑορτῆς καρπωσώμεθα, πάντα μὲν τὰ ῥυπαρὰ τῆς ψυχῆς περιελώμεθα ἐνδύματα,
μάλιστα τοῦ φθόνου τὸ περιβόλαιον ἀποδυσώμεθα. κἂν γὰρ μυρία κατορθοῦν δόξωμεν,
πάντων ἐκπεσούμεθα, τῆς πικρᾶς ἡμῖν καὶ ὠμῆς ταύτης ἐνοχλούσης λύμης· ἣν πάντας
ἡμᾶς διαφυγεῖν γένοιτο, καὶ μάλιστα τοὺς τήμερον διὰ τῆς τοῦ λουτροῦ χάριτος τὸ παλαιὸν
τῶν ἁμαρτημάτων ἔνδυμα ἀποθεμένους, καὶ πρὸς τὰς ἡλιακὰς ἀκτῖνας ἀντιλάμπειν δυνα-
μένους. ὑμᾶς μὲν οὖν παρακαλῶ, οἱ σήμερον εἰς τὴν υἱοθεσίαν ἐγγραφέντες, οἱ τὸ λαμ-
πρὸν τοῦτο περιβόλαιον ἐνδυσάμενοι, πάσῃ φυλακῇ τὴν φαιδρότητα, ἐν ᾗ νῦν ἐστε, διατη-
ρήσατε, πάντοθεν ἀποτειχίσαντες τῷ διαβόλῳ τὴν εἴσοδον, ἵνα δαψιλεστέρας ἀπο-
λαύσαντες τῆς τοῦ πνεύματος χάριτος, καρποφορῆσαι δυνηθῆτε ἐν τριάκοντα, καὶ ἐν ἑξή-
κοντα, καὶ ἐν ἑκατόν, καὶ μετὰ παρρησίας ἀπαντῆσαι ἀξιωθείητε τῷ βασιλεῖ τῶν οὐρανῶν, ὅταν
παραγίνεσθαι μέλλῃ καὶ τὰ ἀπόρρητα ἀγαθὰ διανέμειν τοῖς μετ' ἀρετῆς τὸν παρόντα βίον
διανύσασιν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. 4. ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΠΑΝΤΑΣ ΤΟΥΣ ΕΝ ΟΛΩ τῷ κόσμῳ μαρτυρήσαντας. Λογ. α.

Ἐξ οὗ τὴν ἱερὰν πανήγυριν τῆς πεντηκοστῆς ἐπετελέσαμεν, οὔπω πα-
ρῆλθεν ἡμερῶν ἑπτὰ ἀριθμός, καὶ πάλιν κατέλαβεν ἡμᾶς μαρτύρων
χορός, μᾶλλον δὲ μαρτύρων παρεμβολὴ καὶ παράταξις, τῆς παρεμ-
Γεν. λβ. β. βολῆς τῶν ἀγγέλων, ἣν ὁ πατριάρχης εἶδεν Ἰακώβ, κατ' οὐδὲν οὖσα
χείρων, ἀλλ' ἐφάμιλλος αὐτῆς καὶ ἴση. μάρτυρες γὰρ καὶ ἄγγελοι τοῖς ὀνό- χ. αὐτοῖς
μασι διεστήκασι μόνον, τοῖς δὲ ἔργοις (συνάπτονται). τὸν οὐρανὸν οἰκοῦσιν ἄγ-
γελοι, ἀλλὰ καὶ οἱ μάρτυρες· ἀγήρατοι καὶ ἀθάνατοί εἰσιν ἐκεῖνοι, τοῦτο καὶ οἱ μάρτυρες ἕξουσιν.
ἀλλὰ [καὶ] ἀσώματον ἔλαχον ἐκεῖνοι φύσιν· καὶ τί τοῦτο; οἱ γὰρ μάρτυρες, εἰ καὶ σῶμα περί-
κεινται, ἀλλ' ἀθάνατον· μᾶλλον δὲ καὶ πρὸ τῆς ἀθανασίας ὁ τοῦ Χριστοῦ θάνατος "τῆς ἀθανασίας χ. τῆς ἀθανα-
μᾶλλον καλλωπίζει τὰ σώματα. οὐχ οὕτως ἐστὶ λαμπρὸς ὁ οὐρανὸς τῷ χορῷ τῶν ἄστρων κοσμού- σίας αὐτῆς
μενος, ὡς τὰ σώματα τῶν μαρτύρων λαμπρῷ τῷ χορῷ τῶν τραυμάτων κοσμούμενα. ὥστε ἐπειδὴ καλλωπίζει τὸ
ἀπέθανον, διὰ τοῦτο μάλιστα πλεονεκτοῦσι, καὶ πρὸ τῆς ἀθανασίας ἔλαβον τὰ βραβεῖα σῶμα. χ. ἐστέφον
Ψαλ. η. ε. ἀπὸ τοῦ θανάτου στεφανωθέντες. Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐ-
στεφάνωσας αὐτόν, περὶ τῆς κοινῆς φύσεως τῶν ἀνθρώπων φησὶν ὁ Δαβίδ. ἀλλὰ καὶ τὸ
βραχὺ τοῦτο * παραγενόμενος ὁ Χριστὸς ἀπέδωκε, θανάτῳ θάνατον καταδικάσας. ἐγὼ δὲ * πάλιν
οὐκ ἐντεῦθεν διϊσχυρίζομαι, ἀλλ' ὅτι καὶ τὸ ἐλάττωμα τοῦτο τοῦ θανάτου πλεονέκτημα γέγο-
νεν. εἰ γὰρ μὴ ἦσαν θνητοί, οὐκ ἂν ἀπέθανον, οὐκ ἂν ἐγένοντο μάρτυρες. ὥστε εἰ μὴ χ. ἦσαν
θάνατος ἦν, οὐδὲ στέφανος ἦν· εἰ μὴ τελευτὴ ἦν, οὐκ ἦν μαρτύριον· εἰ μὴ θάνατος
α. Κορ. ιε. λα. ἦν, οὐκ ἠδύνατο Παῦλος λέγειν, Καθ' ἡμέραν ἀποθνήσκω νὴ τὴν ὑμετέραν καύχησιν, ἣν
Κολασ. α. κδ. ἔχω ἐν Χριστῷ Ἰησοῦ· εἰ μὴ θάνατος καὶ φθορὰ ἦν, οὐκ ἠδύνατο λέγειν ὁ αὐτός, Χαίρω ἐν
τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ

ἐν τῇ σαρκί μου. ὥστε μὴ ἀλγῶμεν, ὅτι ἐγενόμεθα θνητοί, ἀλλ' εὐχαριστῶμεν, ὅτι * ἀπὸ τοῦ θανάτου ἀνεῴχθη ἡμῖν τὸ στάδιον τοῦ μαρτυρίου· ἀπὸ τῆς φθορᾶς ἐλάβομεν ὑπόθεσιν τῶν βραβείων· ἐντεῦθεν ἔχομεν ἀφορμὴν τῶν παλαισμάτων. ὁρᾷς σοφίαν Θεοῦ, πῶς τὸ μέγιστον τῶν κακῶν, τὸ κεφάλαιον τῆς ἡμετέρας συμφορᾶς, ὅπερ εἰσήγαγεν ὁ διάβολος, τὸν θάνατον λέγω, τοῦτον εἰς τιμὴν καὶ δόξαν ἡμετέραν μετέβαλε, δι' αὐτοῦ πρὸς τὰ τοῦ μαρτυρίου βραβεῖα τοὺς ἀθλητὰς ἄγων; τί οὖν; εὐχαριστήσομεν τῷ διαβόλῳ διὰ τὸν θάνατον; μὴ γένοιτο. οὐ γὰρ τῆς ἐκείνου γνώμης τὸ κατόρθωμα, ἀλλὰ τῆς τοῦ Θεοῦ σοφίας τὸ χάρισμα. ἐκεῖνος εἰσήγαγεν ἵνα ἀπολέσῃ, καὶ πρὸς τὴν γῆν ἐπαναγαγὼν, πᾶσαν ἐκκόψῃ σωτηρίας ἐλπίδα· ὁ Χριστὸς δὲ αὐτὸ λαβὼν μετέστρεψε, καὶ εἰς τὸν οὐρανὸν ἡμᾶς δι' αὐτοῦ πάλιν ἀνήγαγε. μηδεὶς οὖν ἡμῶν καταγινωσκέτω, εἰ χορὸν καὶ παράταξιν ἐκάλεσα τῶν μαρτύρων τὸ πλήρωμα, δύο ἐναντία ὀνόματα ἑνὶ πράγματι τιθείς. χορὸς γὰρ καὶ παράταξις ἐναντία· ἀλλ' ἐνταῦθα συνῆλθον ἀμφότερα. καὶ γὰρ ὥσπερ χορεύοντες ἐπὶ τὰς βασάνους ᾔεσαν μεθ' ἡδονῆς, καὶ ὡς πολεμοῦντες, οὕτως ἀνδρείαν πᾶσαν καὶ καρτερίαν ἐπεδείξαντο, καὶ τῶν ἐναντίων ἐκράτησαν. κἂν μὲν τῶν γινομένων τὴν φύσιν ἴδῃς, μάχη καὶ πόλεμος καὶ παράταξις τὰ γινόμενα· ἂν δὲ τὴν γνώμην τῶν ἀγωνιζομένων ἐξετάσῃς, χοροὶ καὶ θαλίαι καὶ πανηγύρεις καὶ μεγίστη ἡδονὴ τὰ τελούμενα. βούλει μαθεῖν ὡς πολέμου ταῦτα φρικωδέστερα, τὰ τῶν μαρτύρων λέγω; τί ποτέ ἐστιν ἐν τῷ πολέμῳ τὸ φρικτόν; στρατόπεδα ἕστηκεν ἑκατέρωθεν περιπεφραγμένα, ἀπολάμποντα τοῖς ὅπλοις, καὶ τὴν γῆν καταυγάζοντα, νέφη βελῶν ἀφίεται πανταχόθεν ἀποκρύπτοντα τὸν ἀέρα τῷ πλήθει, ῥύακες αἱμάτων ἐπὶ τῆς γῆς φέρονται, καὶ πολλὰ πανταχοῦ τὰ πτώματα, καθάπερ ἐν ἀμητῷ ἀσταχύων, οὕτω τῶν στρατιωτῶν ἐπαλλήλων καταφερομένων. φέρε οὖν, ἀπ' ἐκείνων ἐπὶ ταύτην ἀγάγω σε τὴν μάχην. καὶ ἐνταῦθα δύο παρατάξεις, ἡ μὲν τῶν μαρτύρων, ἡ δὲ τῶν τυράννων· ἀλλ' οἱ μὲν εἰσὶ καθωπλισμένοι οἱ τύραννοι· οἱ δὲ γυμνῷ τῷ σώματι μάχονται οἱ μάρτυρες· καὶ ἡ νίκη τῶν γυμνῶν, οὐ τῶν καθωπλισμένων γέγονε. τίς οὐκ ἂν ἐκπλαγείη, ὅτι ὁ μαστιζόμενος περιγίνεται τοῦ μαστίζοντος, ὁ δεδεμένος τοῦ λελυμένου, ὁ κατακαιόμενος τοῦ καίοντος, ὁ ἀποθνήσκων τοῦ ἀναιροῦντος; εἶδες πῶς ταῦτα ἐκείνων φρικωδέστερα; ἐκεῖνα μὲν εἰ καὶ φοβερά, ἀλλὰ κατὰ φύσιν γέγονε· ταῦτα δὲ πᾶσαν ὑπερβαίνει φύσιν καὶ πᾶσαν πραγμάτων ἀκολουθίαν· ἵνα μάθῃς, ὅτι τῆς τοῦ Θεοῦ χάριτός ἐστι τὰ κατορθούμενα. καίτοι τί τῆς μάχης ταύτης ἀδικώτερον; ἢ τῶν παλαισμάτων παρανομώτερον; ἐν μὲν γὰρ τοῖς πολέμοις ἀμφότεροι φράττονται οἱ μαχόμενοι, ἐνταῦθα δὲ οὐχ οὕτως· ἀλλ' ὁ μὲν γυμνός, ὁ δὲ καθώπλισται. ἐν τοῖς ἀγῶσι πάλιν ἀμφοτέροις ἔξεστι τὰς χεῖρας ἀνταίρειν· ἐνταῦθα δὲ ὁ μὲν δέδεται, ὁ δὲ μετ' ἐξουσίας ἐπάγει τὰς πληγάς, καὶ καθάπερ ἐκ τυραννίδος τινὸς ἑαυτοῖς μὲν τὸ κακῶς ποιεῖν ἀποκληρώσαντες οἱ δικάζοντες, τοῖς δικαίοις δὲ μάρτυσι τὸ πάσχειν κακῶς ἀπονείμαντες, οὕτω συμπλέκονται τοῖς ἁγίοις, καὶ οὐδὲ οὕτως αὐτῶν περιγίνονται· ἀλλὰ μετὰ τὴν ἀνώμαλον ταύτην μάχην ἡττηθέντες ἀναχωροῦσι. καὶ ταὐτὸν γέγονεν, οἷον ἂν εἴ τις πολεμιστὴν ἄνθρωπον εἰς πόλεμον εἰσαγαγών, καὶ τοῦ δόρατος τὴν αἰχμὴν ἀποκόψας, καὶ τὸν θώρακα ἀποδύσας, οὕτω κελεύῃ γυμνῷ τῷ σώματι μάχεσθαι· ὁ δὲ καὶ πληττόμενος καὶ παιόμενος καὶ πανταχόθεν μυρία δεχόμενος τραύματα, τρόπαιον στήσειε. καὶ γὰρ τοὺς μάρτυρας γυμνοὺς ἄγοντες, καὶ τὰς χεῖρας ὀπίσω δήσαντες, καὶ πάντοθεν παίοντες καὶ καταξαίνοντες, οὕτως ἡττῶντο· οἱ δὲ τὰ τραύματα δεχόμενοι τὸ κατὰ τοῦ διαβόλου τρόπαιον ἔστησαν. καὶ καθάπερ ἀδάμας πληττόμενος, αὐτὸς μὲν οὐκ ἐνδίδωσιν, οὐδὲ μαλάττεται, τὸν δὲ παίοντα διαλύει σίδηρον, οὕτω δὴ καὶ αἱ ψυχαὶ τῶν ἁγίων, τοσούτων ἐπαγομένων βασάνων, αὐταὶ μὲν οὐδὲν ἔπασχον δεινόν, τῶν δὲ παιόντων τὴν δύναμιν καταλύουσαι, αἰσχρῶς καὶ καταγελάστως ἡττηθέντας ἐκ τῶν ἀγώνων ἐξέπεμπον μετὰ πολλὰς καὶ ἀφορήτους πληγάς. καὶ

ἐγινόμεθα ἀθάνατοι.

γρ. αὐτὸν

γρ. γινομένων

γρ. περ.

γρ. ὑπ' ἀλλήλων

γρ. Χριστοῦ

γρ. ἑκάτεροι

γρ. εἰσάγοντες

γὰρ προσέδησαν αὐτοὺς τῷ ξύλῳ, καὶ τὰς πλευρὰς διώρυττον, ἐμβαθύνοντες ἐν αὐτοῖς, ὡς εἰπεῖν, αὔλακας, καθάπερ οἱ γῆν ἀροτριῶντες, ἀλλ᾽ οὐ σώματα ξέοντες. καὶ ἦν ἰδεῖν λαγόνας″ ἀναπεπετασμένας, πλευρὰ διεῤῥωγότα, στήθη διεῤῥηγμένα· καὶ οὐδὲ ἐνταῦθα τῆς μανίας ἔστησαν οἱ αἱμοβόροι θῆρες ἐκεῖνοι, ἀλλὰ ἀπὸ τοῦ ξύλου καθελόντες, ὑπὲρ τῶν ἀνθράκων ἐπὶ σιδηρᾶς κλίμακος ἔτεινον. καὶ ἦν ἰδεῖν πάλιν πικρότερα τῶν προτέρων θεάματα, διπλᾶς καταφερομένας σταγόνας ἐκ τῶν σωμάτων, τὰς μὲν τοῦ αἵματος ῥέοντος, τὰς δὲ τῶν σαρκῶν τηκομένων. οἱ δὲ ἅγιοι, καθάπερ ἐπὶ ῥόδων κείμενοι τῶν ἀνθράκων, οὕτω μεθ᾽ ἡδονῆς τὰ γινόμενα ἐθεώρουν.

γ. ἀναπεπταμένας

Σὺ δὲ ἀκούσας″ κλίμακα σιδηρᾶν, ἀναμνήσθητι κλίμακος νοητῆς, ἣν εἶδεν ὁ πατριάρχης Ἰακὼβ ἀπὸ γῆς εἰς οὐρανὸν τεταμένην. δι᾽ ἐκείνης κατέβαινον ἄγγελοι, διὰ ταύτης δὲ ἀναβαίνουσι μάρτυρες· ἑκατέρᾳ δὲ ὁ Κύριος ἐπεστήρικτο.″ οὐκ ἂν ἤνεγκαν τὰς ὀδύνας οἱ ἅγιοι οὗτοι, εἰ μὴ ταύτῃ ἐπηρείδοντο. ἀλλὰ δι᾽ ἐκείνης μὲν [ἀναβαίνουσι καὶ] καταβαίνουσιν ἄγγελοι, διὰ ταύτης δὲ ὅτι ἀναβαίνουσι καὶ μάρτυρες, παντί που δῆλον. τί δήποτε; ὅτι ἐκεῖνοι μὲν πρὸς διακονίαν ἀποστέλλονται τῶν μελλόντων κληρονομεῖν σωτηρίαν· οὗτοι δὲ, καθάπερ ἀθληταὶ καὶ στεφανῖται, ἀπαλλαγέντες τῶν ἀγώνων, ἀπῆλθον λοιπὸν πρὸς τὸν ἀγωνοθέτην. ἀλλὰ γὰρ μὴ ἁπλῶς ἀκούωμεν τὰ λεγόμενα, ἀκούοντες ὅτι ἄνθρακες ὑπέκειντο καταξανθεῖσι τοῖς σώμασιν· ἀλλ᾽ ἐννοήσωμεν τίνες ἐσμὲν πυρετοῦ κατασκήψαντος. ἀβίωτον τὸν βίον εἶναι νομίζομεν, ἀλύομεν, δυσανασχετοῦμεν, καθάπερ παιδία μικρὰ δυσχεραίνομεν, τῆς γεέννης οὐδὲν ἔλαττον νομίζοντες ἐκεῖνο τὸ πῦρ. οὗτοι δὲ οὐ πυρετοῦ ἐπικειμένου, ἀλλὰ φλογὸς πάντοθεν αὐτοὺς πολιορκούσης, καὶ τῶν σπινθήρων τοῖς ἕλκεσιν ἐπιπηδώντων, καὶ θείου παντὸς δριμύτερον δακνόντων τὰ τραύματα, καθάπερ ἀδαμάντινοί τινες, καὶ ἐν ἀλλοτρίοις ὁρῶντες ταῦτα γινόμενα σώμασιν, οὕτω γενναίως καὶ μετὰ τῆς προσηκούσης αὐτοῖς ἀνδρείας ἐπὶ τῶν τῆς ὁμολογίας εἱστήκεισαν ῥημάτων, ἀπερίτρεπτοι διὰ πάντων τῶν δεινῶν μένοντες, καὶ τὴν ἑαυτῶν ἀνδρείαν καὶ τὴν τοῦ Θεοῦ χάριν λαμπρῶς ἐπιδεικνύμενοι. εἴδετε πολλάκις ὑπὸ τὴν ἕω τὸν ἥλιον ἀνίσχοντα, καὶ κροκοειδεῖς ἀφιέντα ἀκτῖνας; τοιαῦτα ἦν τῶν ἁγίων τὰ σώματα, ὥσπερ τινῶν ἀκτίνων κροκοειδῶν, τῶν ῥυάκων τοῦ αἵματος πανταχόθεν αὐτοῖς περιῤῥεόντων, καὶ τὸ σῶμα αὐτῶν καταυγαζόντων πολλῷ μᾶλλον, ἢ τὸν οὐρανὸν ἥλιος. τοῦτο τὸ αἷμα ἄγγελοι μὲν ὁρῶντες ἐτέρποντο, δαίμονες ἔφριττον, καὶ αὐτὸς ὁ διάβολος ἔτρεμεν. οὐ γὰρ αἷμα ἦν ἁπλῶς τὸ ὁρώμενον, ἀλλ᾽ αἷμα σωτήριον, αἷμα ἅγιον, αἷμα τῶν οὐρανῶν ἄξιον, αἷμα διηνεκῶς τὰ καλὰ τῆς ἐκκλησίας ἄρδον φυτά. εἶδε τὸ αἷμα, καὶ ἔφριξεν ὁ διάβολος. ἀνεμνήσθη γὰρ ἑτέρου αἵματος δεσποτικοῦ. δι″ ἐκεῖνο τὸ αἷμα τοῦτο ἔῤῥευσεν. ἐξ οὗ γὰρ ἐνύγη ἡ πλευρὰ τοῦ δεσπότου, μυρίας ὁρᾷς λοιπὸν πλευρὰς νυττομένας. τίς γὰρ οὐ μεθ᾽ ἡδονῆς ἀποδύσαιτο πολλῆς πρὸς τοὺς ἀγῶνας τούτους, μέλλων κοινωνεῖν δεσποτικῶν παθημάτων, καὶ συμμορφοῦσθαι τῷ θανάτῳ Χριστοῦ; ἀρκοῦσα γὰρ αὕτη ἡ ″ἀντίδοσις, καὶ τῶν πόνων πολὺ πλείων ἡ τιμὴ, καὶ ὑπερβαίνουσα τοὺς ἄθλους ἡ ἀμοιβὴ καὶ πρὸ τῆς βασιλείας τῶν οὐρανῶν. μὴ τοίνυν φρίττωμεν ἀκούοντες, ὅτι ὁ δεῖνα ἐμαρτύρησεν, ἀλλὰ φρίττωμεν ἀκούοντες, ὅτι ὁ δεῖνα κατεμαλακίσθη καὶ ἔπεσε, τοιούτων προκειμένων ἐπάθλων. εἰ δὲ βούλει καὶ τὰ μετὰ ταῦτα ἀκοῦσαι, λόγος μὲν οὐδεὶς παραστῆσαι δύναται. Οὔτε γὰρ ὀφθαλμὸς εἶδε, φησὶν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. οὐδεὶς δὲ ἀνθρώπων οὕτως αὐτὸν ἠγάπησεν, ὡς οἱ μάρτυρες. οὐ μὴν ἐπειδὴ καὶ λόγον καὶ διάνοιαν ὑπερβαίνει τῶν ἀποκειμένων ἀγαθῶν τὸ μέγεθος, διὰ τοῦτο″ σιγήσομεν, ἀλλ᾽ ὡς οἷόν τε καὶ εἰπεῖν ἡμῖν καὶ ὑμῖν ἀκοῦσαι,″ πειρασόμεθα ὑμῖν ἀμυδρῶς ἐνδείξασθαι τὴν ἐκεῖ διαδεξαμένην αὐτοὺς μακαριότητα. σαφῶς μὲν γὰρ αὐτοὶ μόνοι εἴσονται οἱ διὰ τῆς πείρας ταύτης ἀπολαύοντες. τὰ μὲν γὰρ δεινὰ ταῦ-

γ. κλίμακος σιδηρᾶς

γ. εἰ γὰρ μὴ τοῦτο ἦν, οὐκ ἂν τὰς ὀδ. ὑπήνεγκαν οἱ ἅγ.

Ἑβρ. α. ιδ.

γ. ἐκείνου

γ. ἀντίδοσις

α. Κορ. β. θ.

γ. -- σιγῶμεν,

γ. -- σιγήσομεν

Λογ. ϛ

τα καὶ ἀφόρητα ἐν βραχείᾳ καιροῦ ῥοπῇ πάσχουσιν οἱ μάρτυρες· μετὰ δὲ τὴν ἐντεῦθεν ἀπαλλαγὴν εἰς οὐρανοὺς ἀναβαίνουσιν, ἀγγέλων αὐτοῖς προηγουμένων, καὶ ἀρχαγγέλων δορυφορούντων. οὐ γὰρ αἰσχύνονται τοὺς συνδούλους, ἀλλὰ πάντα ἂν ἕλοιντο δι᾽ αὐτοὺς ποιῆσαι· ἐπειδὴ κἀκεῖνοι πάντα εἵλοντο παθεῖν διὰ τὸν αὐτῶν δεσπότην Χριστόν. ἐπειδὰν δὲ ἀναβῶσιν εἰς τὸν οὐρανόν, πᾶσαι ἐκεῖναι αἱ ἅγιαι δυνάμεις συντρέχουσιν. εἰ γὰρ ἀθλητῶν ξένων ἐπιδημούντων τῇ πόλει, πᾶς ὁ δῆμος περιρρεῖ πανταχόθεν, καὶ κυκλώσαντες αὐτοὺς καταμανθάνουσι τῶν μελῶν τὴν εὐεξίαν· πολλῷ μᾶλλον τῶν ἀθλητῶν τῆς εὐσεβείας εἰς οὐρανοὺς ἀναβάντων συντρέχουσιν οἱ ἄγγελοι, καὶ πᾶσαι αἱ ἄνω δυνάμεις πανταχόθεν περιρρέουσι, καταμανθάνουσαι τούτων τὰ τραύματα, καὶ καθάπερ τινὰς ἀριστέας ἐκ πολέμου καὶ μάχης ἐπανελθόντας μετὰ πολλὰ τρόπαια καὶ νίκας, οὕτω μεθ᾽ ἡδονῆς δεξιοῦνται πάντας αὐτούς, καὶ ἀσπάζονται· εἶτα ἄγουσιν αὐτοὺς μετὰ πολλῆς δορυφορίας πρὸς τὸν τῶν οὐρανῶν βασιλέα, ἐπὶ τὸν θρόνον ἐκεῖνον τὸν πολλῆς δόξης γέμοντα, ἔνθα τὰ χερουβίμ, ἔνθα τὰ σεραφίμ· ἐλθόντες δὲ ἐκεῖ καὶ προσκυνήσαντες τὸν ἐπὶ θρόνου καθήμενον, πλείονος παρὰ τοῦ δεσπότου μᾶλλον ἢ τῶν ὁμοδούλων ἀπολαύουσι φιλοφροσύνης. οὐ γὰρ ὡς δούλους αὐτοὺς δέχεται (καίτοι καὶ τοῦτο μεγίστη τιμή, καὶ ἧς ἴσον οὐκ ἔστιν εὑρεῖν) ἀλλ᾽ ὡς φίλους αὐτούς. Ὑμεῖς γάρ, φησι, φίλοι μού ἐστε· καὶ μάλα εἰκότως. αὐτὸς γὰρ εἶπεν, ὅτι Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις θῇ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν φίλων αὐτοῦ. ἐπεὶ οὖν τὴν μεγίστην ἀγάπην ἐπεδείξαντο, δεξιοῦται τούτους ὡς φιλτάτους, καὶ ἀπολαύουσι τῆς ἀπορρήτου δόξης ἐκείνης, κοινωνοῦσι τῶν χορῶν, καὶ μετέχουσι τῶν μελῳδιῶν τῶν μυστικῶν. εἰ γὰρ ἐν σώματι ὄντες, κατὰ τὴν τῶν μυστηρίων κοινωνίαν εἰς ἐκεῖνον ἐτέλουν τὸν χορόν, μετὰ τῶν χερουβὶμ τὸν τρισάγιον ὕμνον ψάλλοντες, καθάπερ ὑμεῖς ἴστε οἱ μυηθέντες, πολλῷ μᾶλλον νῦν τοὺς συγχορευτὰς ἀπολαβόντες, μετὰ πολλῆς τῆς παρρησίας κοινωνοῦσι τῆς εὐφημίας ἐκείνης. ἆρα οὐκ ἐφείλετε περὶ τούτου τὸ μαρτύριον; ἆρα οὐκ ἐπιθυμεῖτε νῦν τοῦ μαρτυρίου; ἆρα οὐκ ἀλγεῖτε νῦν, ὅτι οὐ πάρεστι καιρὸς μαρτυρίου; ἀλλὰ καὶ γυμναζώμεθα εἰς καιρὸν μαρτυρίου. κατεφρόνησαν ἐκεῖνοι ζωῆς· καταφρόνησον σὺ τρυφῆς. ἔρριψαν ἐκεῖνοι τὰ σώματα πυρί· ῥίψον σὺ χρήματα νῦν ἐν ταῖς χερσὶ τῶν πενήτων. κατεπάτησαν ἐκεῖνοι τοὺς ἄνθρακας· σβέσον σὺ τῆς ἐπιθυμίας τὴν φλόγα. φορτικὰ ταῦτα; ἀλλὰ καὶ ἐπικερδῆ. μὴ τὰ παρόντα ὅρα ἐπαχθῆ, ἀλλὰ τὰ μέλλοντα χρηστά· μὴ τὰ ἐν χερσὶ δεινά, ἀλλὰ τὰ ἐν ἐλπίσιν ἀγαθά· μὴ τὰ παθήματα, ἀλλὰ τὰ βραβεῖα· μὴ τοὺς πόνους, ἀλλὰ τοὺς στεφάνους· μὴ τοὺς ἱδρῶτας, ἀλλὰ τὰς ἀμοιβάς· μὴ τὰς ἀλγηδόνας, ἀλλὰ τὰς ἀντιδόσεις· μὴ τὸ καιόμενον πῦρ, ἀλλὰ τὴν προκειμένην βασιλείαν· μὴ τοὺς περιεστῶτας δημίους, ἀλλὰ τὸν στεφανοῦντα Χριστόν. αὕτη μεγίστη μέθοδος, καὶ εὐκολωτάτη πρὸς ἀρετὴν ὁδός, μὴ τοὺς πόνους μόνον ὁρᾶν, ἀλλὰ καὶ τὰ ἔπαθλα μετὰ τῶν πόνων· ἀλλ᾽ οὐκ αὐτὰ καθ᾽ ἑαυτὰ μόνον. ὅταν οὖν μέλλῃς ἐλεημοσύνην διδόναι, μὴ πρόσεχε τῇ δαπάνῃ τῶν χρημάτων, ἀλλὰ τῇ συλλογῇ τῆς δικαιοσύνης. Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. μὴ βλέπε τὸν κενούμενον πλοῦτον, ἀλλ᾽ ὅρα τὸν αὐξανόμενον θησαυρόν. ἂν νηστεύσῃς, μὴ τὴν κάκωσιν τὴν ἀπὸ τῆς νηστείας λογίζου, ἀλλὰ τὴν ἄνεσιν τὴν ἀπὸ τῆς κακώσεως. ἂν ἀγρυπνήσῃς εὐχόμενος, μὴ τὴν ταλαιπωρίαν τὴν ἀπὸ τῆς ἀγρυπνίας, ἀλλὰ τὴν παρρησίαν τὴν ἀπὸ τῆς εὐχῆς ἐννόει. οὕτω καὶ στρατιῶται ποιοῦσιν· οὐ τὰ τραύματα, ἀλλὰ τὰς ἀμοιβὰς βλέπουσιν· οὐ τὰς σφαγάς, ἀλλὰ τὰς νίκας· οὐ τοὺς πίπτοντας νεκρούς, ἀλλὰ τοὺς στεφανουμένους ἀριστέας. οὕτω καὶ κυβερνῆται πρὸ τῶν κυμάτων τοὺς λιμένας ὁρῶσι, πρὸ τῶν ναυαγίων τὰς ἐμπορίας, πρὸ τῶν ἐν τῇ θαλάσσῃ δεινῶν τὰ μετὰ τὴν θάλασσαν ἀγαθά. οὕτω καὶ σὺ ποίησον· ἐννόησον ἡλίκον ἐστὶν ἐν νυκτὶ βαθείᾳ τῶν ἀνθρώπων καθευδόντων ἁπάντων καὶ θηρίων καὶ κτηνῶν καὶ ἰχθύων, βαθυτάτης ἡσυχίας οὔ-

γ. αὐτοὺ

γ. ἀνταξίαν·

γ. πάντες

γ. πάλιν

γ. ἀναπέμποντες τῷ δεσπότῃ.

γ. παρέστη

γ. παρεστῶτας

γ. οὐχὶ.

γ. τὰ τρόπαια

Ιωαν. ιε. ιδ.

ιγ.

Ψαλ. ρια. θ.

σης, μόνον σε ἐγερθέντα μετὰ παρρησίας διαλέγεσθαι τῷ κοινῷ πάντων δεσπότῃ. ἀλλὰ γλυκὺς ὁ ὕπνος. ἀλλ' οὐδὲν γλυκύτερον προσευχῆς παρρησίαν ἐχούσης. ἂν κατ' ἰδίαν αὐτῷ διαλεχθῇς, πολλὰ ἀνύσαι δυνήσῃ, μηδενὸς ἐνοχλοῦντος, μηδὲ ἐκκρούοντός σε τῆς δεήσεως. ἔχεις καὶ τὸν καιρὸν σύμμαχον πρὸς τὸ ἐπιτυχεῖν ὧν θέλεις. ἀλλὰ περιστρέφῃ κείμενος ἐπὶ μαλακῆς στρωμνῆς, καὶ ὀκνεῖς διαναστῆναι; ἐννόησον τοὺς ἐπὶ τῆς σιδηρᾶς κλίμακος κειμένους σήμερον μάρτυρας, οὐχὶ στρωμνῆς ὑποκειμένης, ἀλλ' ἀνθράκων ὑπεστρωμένων. ἐνταῦθα βούλομαι καταλῦσαι τὸν λόγον, ὥστε τῆς κλίμακος τὴν μνήμην ἀκμάζουσαν καὶ νεαρὰν ἔχοντας ὑμᾶς ἀπελθεῖν, καὶ ταύτης ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ μεμνῆσθαι. κἂν γὰρ μυρία κατέχῃ δεσμὰ, δυνησόμεθα πάντα ἀπορρῆξαι ῥᾳδίως, καὶ πρὸς τὴν εὐχὴν ἀναστῆναι, τὴν κλίμακα ταύτην ἐννοοῦντες διαπυρωμένην. μὴ τὴν κλίμακα δὲ μόνον ἐκείνην, ἀλλὰ καὶ τὰς ἄλλας τῶν μαρτύρων τιμωρίας διαγράφωμεν ἁπάσας ἐπὶ τὸ πλάτος τῆς καρδίας τῆς ἡμετέρας. καὶ καθάπερ οἱ τὰς οἰκίας τὰς ἑαυτῶν ποιοῦντες λαμπρὰς, δι' ἀνθηρᾷ γραφῇ πολυτελεστάτῃ αὐτὰς κατακοσμοῦσιν· οὕτω καὶ ἡμεῖς ἐν τοῖς τοίχοις τῆς ἡμετέρας διανοίας ζωγραφήσωμεν τῶν μαρτύρων τὰς τιμωρίας. ἐκείνη μὲν γὰρ ἡ ζωγραφία ἀνόνητος, αὕτη δὲ κέρδος ἔχουσα. οὐ δεῖται γὰρ χρημάτων, οὐδὲ δαπάνης, οὐδὲ τέχνης τινὸς αὕτη ἡ γραφή· ἀλλ' ἀντὶ πάντων ἀρκεῖ προθυμίᾳ χρήσασθαι καὶ λογισμῷ γενναίῳ καὶ νήφοντι, καὶ διὰ τούτου, καθάπερ διά τινος χειρὸς ἀρίστης, ὑπογράψασθαι τὰς τιμωρίας αὐτῶν. ζωγραφῶμεν τοίνυν ἐν τῇ ψυχῇ τοὺς μὲν ἐπὶ τηγάνων κειμένους, τοὺς δὲ ὑπὲρ ἀνθράκων τεταμένους, τοὺς δὲ εἰς λέβητας κυβιστῶντας, τοὺς δὲ εἰς θάλασσαν καταποντιζομένους, ἑτέρους ξεομένους, ἄλλους ἐπὶ τροχῷ καμπτομένους, ἄλλους εἰς κρημνὸν ῥιπτομένους· καὶ τοὺς μὲν θηρίοις πυκτεύοντας, τοὺς δὲ ἐπὶ τὸ βάραθρον ἀγομένους, τοὺς δὲ, ὡς ἕκαστος ἔτυχε καταλύσαντας τὸν βίον· ἵνα τῇ ποικιλίᾳ τῆς γραφῆς ταύτης λαμπρὰν τὴν ἡμετέραν κατασκευάσαντες οἰκίαν, ἐπιτήδειον τῷ βασιλεῖ τῶν οὐρανῶν ποιήσωμεν καταγώγιον. ἂν γὰρ ἴδῃ τοιαύτας ἐν τῇ διανοίᾳ τὰς γραφὰς, ἥξει μετὰ τοῦ πατρὸς, καὶ μονὴν ποιήσει παρ' ἡμῖν σὺν τῷ πνεύματι τῷ ἁγίῳ· καὶ βασιλικὸς ἔσται λοιπὸν οἶκος ἡ διάνοια ἡμῶν, καὶ οὐδεὶς ἄτοπος λογισμὸς ἐπιβῆναι δυνήσεται, τῆς τῶν μαρτύρων μνήμης, ὥσπερ τινὸς δι' ἀνθηρᾶς ζωγραφίας διὰ παντὸς ἡμῖν ἐναποκειμένης, καὶ πολλὴν ἐναφιείσης τὴν μαρμαρυγὴν, καὶ τοῦ βασιλέως τῶν ὅλων Θεοῦ συνεχῶς ἡμῖν ἐνδιαιτωμένου. οὕτω δὲ ἐνταῦθα Χριστὸν ὑποδεξάμενοι, δυνησόμεθα μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν εἰς τὰς σκηνὰς ὑποδεχθῆναι τὰς αἰωνίους· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γ. ἰδέ
γ. ἐπὶ
γ. κυβιστῶντα
γ. καταξεο.
γ. ζωγραφία
γ. ἀεί.

Λογ. μα. ΕΙΣ ΑΓΙΟΥΣ ΠΑΝΤΑΣ. Λογ. β.

ΑΙ τῶν μαρτύρων ἑορταὶ οὐκ ἐν τῇ περιόδῳ τῶν ἡμερῶν μόνον, ἀλλὰ καὶ ἐν τῇ γνώμῃ τῶν ἐπιτελούντων κρίνονται. οἷόν τι λέγω. ἐμιμήσω μάρτυρα; ἐζήλωσας αὐτοῦ τὴν ἀρετήν; κατ' ἴχνος αὐτοῦ τῆς φιλοσοφίας ἔδραμες; καὶ οὐκ οὔσης ἡμέρας μάρτυρος, ἑορτὴν μάρτυρος ἐπιτέλεσας. τιμὴ γὰρ μάρτυρος, μίμησις μάρτυρος. ὥσπερ γὰρ οἱ τὰ φαῦλα πράττοντες, καὶ ἐν ἑορταῖς ἀνέορτοί εἰσιν, οὕτω καὶ οἱ τὴν ἀρετὴν μετιόντες, καὶ πανηγύρεως οὐκ οὔσης, ἑορτὴν ἐπιτελοῦσιν. ἐν γὰρ τῷ καθαρῷ τοῦ συνειδότος ἡ ἑορτὴ χαρακτηρίζεται. τοῦτο καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν· Ὥστε ἑορτάζωμεν μὴ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας. ἔστι τοίνυν ἄζυμα παρὰ Ἰουδαίοις, ἔστι καὶ παρ' ἡμῖν· ἀλλὰ παρ' ἐκείνοις μὲν ἄζυμα ἐξ ἀλεύρων, παρ' ἡμῖν δὲ καθαρότης βίου, καὶ ζωὴ κακίας ἁπάσης ἀπηλλαγμένη.

α. Κορ. ε. η.

ὥστε ὁ ῥύπου καὶ κηλῖδος καθαρεύων τὴν ἑαυτοῦ διατηρῶν ζωήν, καθ' ἡμέραν ἑορτάζει, πανηγυρίζων ἀεί, κἂν μὴ ἐν ἡμέρᾳ, μηδὲ ἐν σηκοῖς μαρτύρων, ἀλλὰ καὶ οἴκοι καθήμενος. ἔστι γὰρ καὶ καθ' ἑαυτὸν ἑορτὴν μαρτύρων ἐπιτελεῖν, καὶ ταῦτα λέγω, οὐχ ἵνα μὴ παραγινώμεθα πρὸς τοὺς τάφους τῶν μαρτύρων ἀλλ' ἵνα παραγινόμενοι, μετὰ τῆς προσηκούσης ἀπαντῶμεν προθυμίας, καὶ μὴ μόνον ταῖς ἡμέραις αὐτῶν, ἀλλὰ καὶ τούτων χωρίς, τὴν αὐτὴν εὐλάβειαν παρεχώμεθα. τίς γὰρ οὐκ ἂν ἀγάσαιτο σήμερον ἡμῶν τὸν σύλλογον, τὸ λαμπρὸν τοῦτο θέατρον, τὴν ζέουσαν ἀγάπην, τὴν θερμὴν διάθεσιν, τὸν ἀκατάσχετον ἔρωτα; ὡς πᾶσα μὲν σχεδὸν ἡ πόλις ἐνταῦθα μεθώρμισται, καὶ οὔτε οἰκέτην δεσπότου φόβος κατέχει, οὔτε πένητα ἡ τῆς πτωχείας ἀνάγκη, οὔτε γηραιὸν τῆς ἡλικίας ἡ ἀσθένεια, οὐ γυναῖκα δὲ τῆς φύσεως ἁπαλόν, οὔτε πλούσιον τῆς περιουσίας ὁ τῦφος, οὐ τὸν ἄρχοντα τῆς ἐξουσίας ἡ ἀπόνοια. ἀλλ' ὁ τῶν μαρτύρων πόθος πᾶσαν ταύτην τὴν ἀνωμαλίαν ἐκβαλών, καὶ φύσεως ἀσθένειαν καὶ πενίας ἀνάγκην, μιᾷ ἁλύσει πλῆθος τοσοῦτον ἐνταῦθα εἵλκυσε, καὶ τῷ πόθῳ τῶν μαρτύρων ἐπτέρωσεν, ὡς ἐν οὐρανῷ νῦν πολιτευομένους διατελεῖν. πᾶσαν γὰρ ἀκολασίας καὶ ἀσελγείας πατήσαντες παρεσκευάσθαι, τῷ τῶν μαρτύρων καταφλέγεσθε πόθῳ. καθάπερ γὰρ τῆς ἀκτῖνος ἀνασχούσης δραπετεύει τὰ θηρία, καὶ πρὸς τοὺς οἰκείους καταδύεται χηραμούς, οὕτω τοῦ φωτὸς τῶν μαρτύρων εἰς τὰς ὑμετέρας καταλάμποντος διανοίας, ἅπαντα κατορύττεται τὰ νοσήματα, καὶ ἡ λαμπρὰ τῆς φιλοσοφίας ἀνάπτεται φλόξ. ἀλλ' ὅπως μὴ νῦν μόνον, ἀλλὰ καὶ διηνεκῶς, καὶ τοῦ θεάτρου λυθέντος τοῦ πνευματικοῦ τούτου, ταύτην διατηρῶμεν τὴν φλόγα, καὶ μετὰ τῆς αὐτῆς εὐλαβείας οἴκαδε ἀναχωρῶμεν, μὴ εἰς καπηλεῖα καὶ πορνεῖα, καὶ μέθην, καὶ κώμοις ἑαυτοὺς ἀφιέντες. ἐποιήσατε τὴν νύκτα ἡμέραν διὰ τῆς παννυχίδος τῆς ἱερᾶς· μὴ ποιήσατε πάλιν τὴν ἡμέραν νύκτα διὰ τῆς μέθης καὶ τῆς κραιπάλης, καὶ τῶν ᾀσμάτων τῶν πορνικῶν. ἐτιμήσατε τοὺς μάρτυρας τῇ παρουσίᾳ, τῇ ἀκροάσει, τῇ σπουδῇ· τιμήσατε αὐτοὺς καὶ τῇ κοσμίῳ ἀναχωρήσει. μή τις ἰδών σε ἀσχημονοῦντα ἐν καπηλείῳ εἴπῃ, ὅτι οὐ διὰ τοὺς μάρτυρας παρεγίνου, ἀλλ' ἵνα τὸ πάθος αὐξήσῃς, ἵνα τῇ πονηρᾷ ἐπιθυμίᾳ χαρίσῃ. ταῦτα λέγω, οὐ κωλύων τρυφᾶν, ἀλλὰ κωλύων ἁμαρτάνειν, οὐ κωλύων πίνειν, ἀλλὰ κωλύων μεθύειν. οὐ γὰρ ὁ οἶνος φαῦλον, ἀλλ' ἡ ἀμετρία πονηρόν. ὁ μὲν γὰρ οἶνος τοῦ Θεοῦ δωρεά, ἡ δὲ ἀμετρία τοῦ διαβόλου εὕρημα. Δουλεύσατε τοίνυν τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ. βούλει τρυφῆς ἀπολαύειν; ἀπόλαυε ἐν οἰκίᾳ, ὅπου κἂν μέθη γένηται, πολλοὶ οἱ περιστέλλοντες· μὴ ἐν καπηλείῳ, ἵνα μὴ κοινὸν ᾖς θέατρον τοῖς παροῦσι, καὶ σκάνδαλον ἑτέροις. καὶ ταῦτα λέγω, οὐ κελεύων οἴκοι μεθύειν, ἀλλ' ἐν καπηλείῳ μὴ διατελεῖν. ἐννόησον ἡλίκος γέλως, μετὰ τοιαύτην σύνοδον, μετὰ παννυχίδας, μετὰ γραφῶν ἁγίων ἀκρόασιν, μετὰ μυστηρίων θείων κοινωνίαν, καὶ μετὰ πνευματικὴν χορηγίαν, ἄνδρα ἢ γυναῖκα ἐν καπηλείῳ φαίνεσθαι διημερεύοντας. οὐκ οἴδατε ἡλίκη κεῖται κόλασις τοῖς μεθύουσι; τῆς γὰρ βασιλείας τοῦ Θεοῦ ἐκβάλλονται, καὶ τῶν ἀπορρήτων ἐκπίπτουσιν ἀγαθῶν, καὶ εἰς τὸ αἰώνιον πῦρ ἐκπέμπονται. τίς ταῦτά φησιν; ὁ μακάριος Παῦλος· Οὐ πλεονέκται, φησίν, οὐ μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι. τί γένοιτ' ἂν ἀθλιώτερον τοῦ μεθύοντος, ὅταν διὰ μικρὰν ἡδονὴν τοσαύτην ἀπολέσῃ βασιλείας ἀπόλαυσιν; μᾶλλον δὲ οὐδὲ τὴν ἡδονὴν ὁ μεθύων καρποῦσθαι δύναται. ἐν γὰρ τῇ συμμετρίᾳ τὰ τῆς ἡδονῆς· ἐν δὲ τῇ ἀμετρίᾳ τὰ τῆς ἀναισθησίας. ὁ δὲ οὐκ αἰσθανόμενος ποῦ κάθηται, ἢ κατάκειται, πῶς ἂν αἴσθοιτο τῆς τοῦ πόματος ἡδονῆς, μηδὲ τὸν ἥλιον αὐτὸν δυνάμενος ὁρᾶν διὰ τὴν πυκνὴν τῆς μέθης νεφέλην; τοσοῦτον γὰρ αὐτοῦ τὸ σκότος, ὡς μὴ ἀφιέναι αὐτῷ τὰς ἀκτῖνας εἰς τὸ λῦσαι τὸν ζόφον ἐκεῖνον. ἀεὶ μέν, ἀγαπητοί, κακὸν ἡ μέθη, μάλιστα δὲ ἐν ἡμέρᾳ μαρτύρων. μετὰ γὰρ τῆς ἁμαρτίας, καὶ ὕβρις ἐστὶ μεγίστη, καὶ παραφροσύνη, καὶ ἐξουδένωσις θείων λογίων· ὅθεν διπλῆ γένοιτ' ἂν καὶ ἡ κόλασις. Εἰ μέλλεις τοίνυν, εἰς μάρτυρας παραγινόμενος, μετὰ τὴν ἐνθέ-

θεν

Ψαλμ. β ια.

α. Κορ. ς. ι

θεν ἀναχώρησιν μεθύειν, βέλτιον οἴκοι μένειν, καὶ μὴ ἀσχημονεῖν, μηδὲ ὑβρίζειν τῶν μαρτύρων τὴν ἑορτὴν, μηδὲ σκανδαλίζειν τὸν πλησίον, μηδὲ πολιορκεῖν τὴν διάνοιαν, μηδὲ ἁμαρτήματα προστιθέναι. ἦλθες ἰδεῖν ἀνθρώπους ξεομένους, αἵματι περιρρεομένους, τραυμάτων χορῷ καλλωπιζομένους, τὴν παροῦσαν ἀποδυσαμένους ζωὴν, πρὸς τὴν μέλλουσαν ἱπταμένους· γενοῦ τῶν ἀγωνιστῶν ἄξιος. κατεφρόνησαν ἐκεῖνοι ζωῆς, καταφρόνησον σὺ τρυφῆς· ἀπεδύσαντο ἐκεῖνοι τὸν παρόντα βίον, ἀπόδυσαι σὺ τὸν μέθης τὸν πόθον. ἀλλὰ βούλει τρυφᾶν; παράμενε τῷ τάφῳ τοῦ μάρτυρος, ἔκχεε πηγὰς δακρύων ἐκεῖ, σύντριψον τὴν διάνοιαν, ἆρον εὐλογίαν ἀπὸ τοῦ τάφου· λαβὼν αὐτὴν συνήγορον ἐν ταῖς εὐχαῖς, ἐνδιάτριβε ἀεὶ τοῖς διηγήμασι τῶν παλαισμάτων ἐκείνου· περιπλάκηθι τὴν σορὸν, προσηλώθητι τῇ λάρνακι, οὐχὶ τὰ ὀστᾶ μόνον τῶν μαρτύρων, ἀλλὰ καὶ οἱ τάφοι αὐτῶν, καὶ αἱ λάρνακες πολλὴν βρύουσιν εὐλογίαν. λάβε ἔλαιον ἅγιον, καὶ κατάχρισόν σου ὅλον τὸ σῶμα, τὴν γλῶτταν, τὰ χείλη, τὸν τράχηλον, τοὺς ὀφθαλμοὺς, καὶ οὐδέποτε ἐμπεσεῖς εἰς τὸ ναυάγιον τῆς μέθης. τὸ γὰρ ἔλαιον διὰ τῆς εὐωδίας ἀναμιμνήσκει σε τῶν ἄθλων τῶν μαρτύρων, καὶ πᾶσαν ἀκολασίαν χαλινοῖ, καὶ κατέχει ἐν πολλῇ καρτερίᾳ, καὶ περιγίνεται τῶν τῆς ψυχῆς νοσημάτων. ἀλλὰ κήποις ἐνδιατρῖψαι βούλει, καὶ λειμῶσι καὶ παραδείσοις; μὴ νῦν, ὅτε δῆμος τοσοῦτος, ἀλλ᾽ ἐν ἑτέρᾳ ἡμέρᾳ. σήμερον γὰρ παλαισμάτων καιρὸς, σήμερον θεωρία ἀγωνισμάτων, οὐ τρυφῆς, οὐδὲ ἀνέσεως. ἦλθες ἐνταῦθα, οὐχ ἵνα εἰς ῥᾳστώνην δώσῃς σεαυτὸν, ἀλλ᾽ ἵνα μάθῃς ἀγωνίζεσθαι, παγκρατιάζειν, ἄνθρωπος ὢν τῶν ἀοράτων δαιμόνων συγκόπτειν τὴν ἰσχύν. οὐδεὶς γὰρ εἰς παλαίστραν ἐλθὼν τρυφᾷ, οὐδὲ εἰς καιρὸν παλαισμάτων παραγινόμενος ὡραΐζεται, οὐδὲ ἐν καιρῷ παρατάξεως τραπέζας ἐπιζητεῖ. μὴ τοίνυν καὶ σὺ ψυχῆς ἀνδρείαν, καὶ γνώμης εὐτονίαν ἐλθὼν θεάσασθαι, καὶ τρόπαιον καινὸν καὶ παράδοξον, καὶ μάχην τινὰ ἐξηλλαγμένην, καὶ τραύματα καὶ πολέμους, καὶ παγκράτιον ἀνθρώπου, πράξεως δαιμονικῆς εἰσαγωγῆς, μετὰ τὴν ξένην καὶ φρικτὴν ταύτην θεωρίαν μέθῃ καὶ τρυφῇ ἑαυτὸν ἐκδοὺς, ἀλλὰ τὰ κέρδη τῆς ψυχῆς συναγαγὼν, οὕτως οἴκαδε ἄπιθι, διὰ τῆς ὄψεως πᾶσιν ἐνδεικνύμενος, ὅτι μάρτυρας θεωρήσας, ἀνεχώρησας. ὥσπερ γὰρ οἱ ἀπὸ τῶν θεάτρων κατιόντες, δῆλοι πᾶσίν εἰσι, συντεταραγμένοι, συγκεχυμένοι, μαλακιζόμενοι, τὰ εἴδωλα πάντων τῶν ἐκεῖ γεγενημένων φέροντες· οὕτω καὶ τὸν ἀπὸ θεωρίας μαρτύρων ἐπανιόντα, πᾶσι γνώριμον εἶναι χρὴ, τῷ βλέμματι, τῷ σχήματι, τῇ βαδίσει, τῇ κατανύξει, τῇ συναγωγῇ τῆς διανοίας· πῦρ πνέοντα, συνεσταλμένον, συντετριμμένον, νήφοντα, ἐγρηγορότα, διὰ τῶν σχημάτων τοῦ σώματος τὴν ἔνδοθεν ἀνακηρύττοντα φιλοσοφίαν. οὕτω τοίνυν εἰς τὴν πόλιν ἐπανίωμεν, μετὰ τῆς προσηκούσης εὐταξίας, μετὰ εὐτάκτου βαδίσεως, μετὰ συνέσεως καὶ σωφροσύνης, μετὰ ἡμέρου καὶ γαληνοῦ βλέμματος. Στολισμὸς γὰρ ἀνδρὸς, καὶ γέλως ὀδόντων, καὶ βῆμα ποδὸς ἀπαγγέλλει τὰ περὶ αὐτοῦ. οὕτως ἀεὶ ἀπὸ μαρτύρων ἐπανίωμεν, ἀπὸ μύρων πνευματικῶν, ἀπὸ λειμώνων οὐρανίων, ἀπὸ θεαμάτων καινῶν καὶ παραδόξων, ἵνα καὶ αὐτοὶ πολλὴν καρπωσώμεθα τὴν εὐκολίαν, καὶ ἑτέροις ἐλευθερίας πρόξενοι γενησώμεθα, καὶ τῶν μελλόντων ἐπιτευξώμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Σειρ. ιθ. κε.

Λογ. μβ. ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΑΡΤΥΡΑ ΙΟΥΛΙΑΝΟΝ.

Εἰ ἐν τῇ γῇ τοιαῦται τοῖς μάρτυσιν αἱ τιμαὶ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν, ποταποὶ πλέκονται ἐν οὐρανοῖς οἱ στέφανοι ταῖς ἁγίαις αὐτῶν κεφαλαῖς; Εἰ πρὸ τῆς ἀναστάσεως [τοσαύτης] τοσαύτη ἡ δόξα, πόση μετὰ τὴν ἀνάστασιν ἡ λαμπρότης; Εἰ παρὰ τῶν συνδούλων τοσαύτης θεραπείας ἀπολαύουσι, πόσης τεύξονται παρὰ τοῦ δεσπότου τῆς εὐνοίας; εἰ ἡμεῖς οἱ πονηροὶ οἴδαμεν τοὺς κατορθοῦντας τῶν συνδούλων οὕτω τιμᾷν καὶ ἐκπλήττεσθαι, ἐπειδὴ ὑπὲρ Χριστοῦ ἠγωνίσαντο· πόσῳ μᾶλλον ὁ πατὴρ ἡμῶν ὁ οὐράνιος δώσει μυρία ἀγαθὰ τοῖς ὑπὲρ αὐτοῦ πεπονηκόσι; καὶ γὰρ μεγαλόδωρός ἐστι καὶ φιλάνθρωπος. ἀλλ' οὐ διὰ τοῦτο μόνον ἔσονται αὐτοῖς μεγάλαι αἱ τιμαί, ἀλλ' ὅτι καὶ ὀφειλέτης ἐστὶν αὐτῶν. οὐκ ἐσφάγησαν ὑπὲρ ἡμῶν οἱ μάρτυρες, καὶ ὅμως συντρέχομεν εἰς τὴν ἐκείνων τιμήν. εἰ δὲ ἡμεῖς, ὑπὲρ ὧν οὐκ ἐσφάγησαν, συντρέχομεν, ὁ Χριστός, ὑπὲρ οὗ τὰς κεφαλὰς ἀπετέμνοντο, τί οὐ ποιήσει; εἰ οἷς μηδὲν ὤφειλε, τοσαῦτα ἔδωκεν ἀγαθά, τούτοις, οἷς ὀφειλέτης ἐστί, πόσαις οὐκ ἀμείψεται δωρεαῖς; οὐδὲν ὤφειλε περὶ τούτου τῇ οἰκουμένῃ (Πάντες γὰρ ἥμαρτον, φησὶ Παῦλος, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ) μᾶλλον δὲ ὤφειλε κόλασιν καὶ τιμωρίαν· ἀλλ' ὅμως κόλασιν ἡμῖν ὀφείλων καὶ τιμωρίαν, ζωὴν αἰώνιον ἐχαρίσατο. εἰ τοίνυν οἷς κόλασιν ὤφειλε, τούτοις βασιλείαν ἔδωκεν· οἷς ζωὴν αἰώνιον ὀφείλει, τί οὐ δώσει; καὶ πόσαις αὐτοὺς οὐ τιμήσει τιμαῖς; εἰ ὑπὲρ τῶν μισούντων αὐτὸν ἐσταυρώθη καὶ τὸ αἷμα ἐξέχεεν, ὑπὲρ τῶν τὸ αἷμα ἐκχεόντων διὰ τὴν εἰς αὐτὸν ὁμολογίαν τί οὐκ ἐργάσεται; Εἰ τοὺς ἀποστρεφομένους καὶ ἀποπηδῶντας οὕτως ἠγάπησεν, ὡς καὶ ἀποθανεῖν ὑπὲρ αὐτῶν· διὸ καί φησι· Μείζονα γὰρ ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ· τοὺς ἀγαπήσαντας αὐτὸν μέτρῳ τῷ ἴσῳ, καὶ ἐκδόντας ἑαυτοὺς ὑπὲρ αὐτοῦ πόσῃ δέξεται εὐνοίᾳ καὶ θεραπείᾳ; οἱ μὲν οὖν ἀθληταὶ τῶν ἔξωθεν ἀγώνων ἐν τῷ αὐτῷ σκάμματι καὶ παλαίουσι, καὶ νικῶσι, καὶ ἀνακηρύττονται, καὶ στεφανοῦνται· οὗτοι δὲ οἱ ἀθληταὶ τῆς εὐσεβείας οὐχ οὕτως· ἀλλ' ἐπάλαισαν μὲν ἐν τῷ παρόντι αἰῶνι, στεφανοῦνται δὲ ἐν ἐκείνῳ τῷ μέλλοντι. ἐπύκτευσαν ἐνταῦθα τῷ διαβόλῳ καὶ περιεγένοντο, ἀνακηρύττονται δὲ ἐκεῖ. καὶ ἵνα μάθητε, ὅτι τοῦτό ἐστιν ἀληθές, καὶ οὐκ ἐνταῦθα αὐτοῖς οἱ στέφανοι*, ἀλλ' ἐκεῖ πᾶσαι αὐτοὺς ἀναμένουσιν αἱ δωρεαί, ἀκούσατε τοῦ Παύλου λέγοντος· Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι· τὸν δρόμον τετέλεκα· τὴν πίστιν τετήρηκα. λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος. ποῦ, καὶ πότε; ὃν ἀποδώσει μοι Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὁ δίκαιος κριτής. ἐνταῦθα ἔδραμεν, ἐκεῖ στεφανοῦται· ἐνταῦθα ἐνίκησε, κἀκεῖ ἀναγορεύεται. ἠκούσατε αὐτοῦ καὶ σήμερον βοῶντος καὶ λέγοντος, Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι. τίνος οὖν ἕνεκεν τοῖς μὲν ἀθληταῖς τοῖς ἔξωθεν ὁμοῦ καὶ αἱ νῖκαι καὶ οἱ στέφανοι· τοῖς δὲ ἀθληταῖς τῆς εὐσεβείας οὐχ ὁμοῦ καὶ αἱ νῖκαι καὶ οἱ στέφανοι· ἀλλὰ* τοσοῦτον τὸ διάστημα τοῦ χρόνου; ἵδρωσαν, ἐπόνεσαν ἐνταῦθα, μυρία ὑπέμειναν τραύματα, καὶ οὐκ εὐθέως αὐτοῖς στέφανοι; οὐχί, φησιν. οὐ γὰρ δέχεται ἡ φύσις τοῦ παρόντος βίου τὸ μέγεθος ἐκείνης τῆς τιμῆς. ἐπίκηρος ὁ παρὼν αἰών ἐστι καὶ βραχύς· ἄπειρος ἐκεῖνος καὶ ἀθάνατος καὶ ἀτελεύτητος. διὰ τοῦτο τοὺς μὲν πόνους συνεκλήρωσε τῷ βραχεῖ καὶ προσκαίρῳ αἰῶνι, τοὺς δὲ στεφάνους ἐταμιεύσατο τῷ ἀγήρῳ καὶ ἀθανάτῳ· ἵνα καὶ τῶν πόνων τὸ φορτικὸν ὑποτέμνηται τῇ ὀλιγότητι τοῦ χρόνου συγκαταλυόμενον, καὶ τῶν στεφάνων ἡ ἀπόλαυσις μένῃ διαρκὴς καὶ ἀτελεύτητος τῇ τῶν ἀπείρων αἰώνων ἐκείνων ἀθανασίᾳ συμπαρεκτεινομένη. μειζόνως τοίνυν αὐτοὺς τιμῆσαι βουλόμενος, ἀνεβάλετο τὴν δωρεάν. οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ἵνα καὶ καθαρὰν λοιπὸν ἔχωσι τὴν ἡδονήν. ὥσπερ γὰρ ὁ περιττῆς τρυφῆς καὶ ἀνέσεως ἀπολαύων, μετὰ δὲ ταῦτα θλιβόμενος, οὐκ

αἰσθάνεται

Μηνὸς Ἰαν. κα.

Ῥωμ. γ. κγ.

Ἰωαν. ιε. ιγ.

γρ. μεγίστῳ

* δίδονται

β. Τιμ. δ. ζ.

Ἑβρ. ια. ιγ.

* μετὰ

ἀναισθάνεται τῆς παρούσης τρυφῆς τῇ προσδοκίᾳ τῶν μελλόντων δεινῶν· οὕτως ὁ πρότερ πυκτεύων, καὶ ἀθλῶν, καὶ μυρία ὑπομένων κακά, μετὰ δὲ ταῦτα στεφανούμενος, οὐκ αἰσθάνεται τῶν παρόντων δεινῶν τῇ ἐλπίδι τῶν μελλόντων ἀγαθῶν ἀνανεούμενος. οὐ τοῦ παρόντος δὲ μόνον ἐκούφισεν αὐτοὺς πόνου τῇ μελλούσῃ ἐλπίδι· ἀλλὰ καὶ τῇ τάξει προτέραν τῆς ἀνέσεως κατασκευάσας γίνεσθαι τὴν θλῖψιν· ἵνα μὴ σφόδρα ὑπὸ τῶν παρόντων δεινῶν κατατείνωνται, πρὸς ἐκεῖνα βλέποντες. οὕτω καὶ οἱ πυκτεύοντες δέχονται τὰ τραύματα προθύμως, οὐ πρὸς τὰς ἀλγηδόνας, ἀλλὰ πρὸς τὸν στέφανον βλέποντες· οὕτω καὶ ναῦται μυρίους ὑπομένοντες κινδύνους, χειμῶνας καὶ πόλεμόν τινα χαλεπόν, καὶ πρὸς θηρία*, καὶ πρὸς τοὺς ἐν τῇ θαλάττῃ κακούργους ἀεὶ παραταττόμενοι οὐδὲν τούτων λογίζονται, ἀλλὰ πρὸς τοὺς λιμένας, καὶ τὸν ἀπὸ τῆς ἐμπορείας πλοῦτον ὁρῶσιν· οὕτω καὶ οἱ μάρτυρες μυρία πάσχοντες δεινά, καὶ τὸ σῶμα διαφόροις βασάνοις κατατεμνόμενοι, πρὸς οὐδὲν τούτων ἑώρων, ἀλλὰ πρὸς τὸν οὐρανὸν καὶ τὰ ἐκεῖθεν κεχήνασιν ἀγαθά. καὶ ἵνα μάθητε, ὅτι τὰ φύσει φορτικὰ καὶ ἀφόρητα, ταῦτα τῇ ἐλπίδι τῶν μελλόντων κοῦφα καὶ ῥᾷστα γίνεται, ἀκούσατε τοῦ προστάτου τῶν τοιούτων ἀγαθῶν λέγοντος· Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν. πῶς, εἰπέ μοι; μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. ταῦτα δέ μοι οὐχ ἁπλῶς εἴρηται, ἀλλὰ δι' ὑμᾶς· ἵν', ὅταν ἴδητέ τινα τρυφῶντα καὶ ἀνέσεως ἀπολαύοντα ἐν τῷ βίῳ τούτῳ, μέλλοντα δὲ ἐκεῖ κολάζεσθαι, μὴ μακαρίζητε αὐτὸν διὰ τὴν παροῦσαν τρυφήν, ἀλλὰ ταλανίζητε διὰ τὴν μέλλουσαν κόλασιν· καὶ πάλιν, ὅταν ἴδητέ τινα τῶν μελλόντων ἐκεῖ πολλῆς ἀπολαύειν τιμῆς ἐν θλίψει καὶ στενοχωρίᾳ καὶ μυρίοις ὄντα κακοῖς ἐν τῇ προσκαίρῳ ταύτῃ ζωῇ, μὴ δακρύητε διὰ τὰ παρόντα δεινά, ἀλλὰ μακαρίζητε, καὶ ζηλωτὸν εἶναι νομίζητε διὰ τοὺς ἀποκειμένους αὐτῷ στεφάνους ἐν τοῖς ἀπείροις αἰῶσιν ἐκείνοις.

β. Κορ. δ. ιζ.

* ἄγρια

Ἤνεγκε μὲν οὖν τὸν ἅγιον τοῦτον τὸ τῶν Κιλίκων ἔθνος, ὃ καὶ τὸν Παῦλον ἤνεγκε (συμπολίτης γὰρ ἦν ἐκείνου) καὶ ἀμφότεροι ὑπουργοὶ τῆς ἐκκλησίας ἐκεῖθεν ἡμῖν προεβλήθησαν. ἐπειδὴ δὲ τὸ στάδιον″ ἀνέῳξε τῆς εὐσεβείας, καὶ πρὸς τοὺς ἄθλους αὐτὸν ὁ καιρὸς ἐκάλει, περιπίπτει χαλεπῷ θηρίῳ τῷ τότε δικάζοντι. καὶ σκοπεῖτε τὴν μηχανήν. ἰδὼν γὰρ αὐτοῦ τὸ φρόνημα στερρόν, καὶ ὡς οὐ δυνατὸν τῇ σφοδρότητι τῆς τιμωρίας ὑπεκλῦσαι τὸ εὔτονον τῆς προθυμίας, εἰς μελλήσεις αὐτὸν ἐμβάλλει καὶ ἀναβολάς, εἰσάγων καὶ ἐξάγων συνεχῶς. οὐ γὰρ ἐν μιᾷ ἡμέρᾳ ἀκούσας ἀπέτεμεν αὐτοῦ τὴν κεφαλήν, ἵνα μὴ τὸ σύντομον τῆς τιμωρίας εὐκολώτερον αὐτῷ ποιήσῃ τὸν δρόμον· ἀλλὰ καθ' ἑκάστην ἡμέραν εἰσῆγεν, ἐξῆγεν, πεύσεις προσῆγε, βασάνους μυρίας ἠπείλει, λόγοις κολακευτικοῖς ἐδελέαζε, πᾶσαν ἐκίνει μηχανήν, τὸν ἄσειστον θεμέλιον ἐπιχειρῶν διασαλεύειν. καὶ περιῆγεν αὐτὸν ἐνιαυτὸν ὁλόκληρον πανταχοῦ τῆς Κιλικίας καταισχύνων, μᾶλλον δέ, ὡς οὐκ ᾤετο, λαμπρότερον ἀποφαίνων. ὁ δὲ μάρτυς περιαγόμενος ἐβόα καὶ αὐτὸς συνῳδὰ τῷ Παύλῳ· Χάρις τῷ Θεῷ τῷ θριαμβεύοντι ἡμᾶς ἐν Χριστῷ Ἰησοῦ, καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμῶν ἐν παντὶ τόπῳ. καθάπερ γὰρ μύρον, ἕως μὲν ἐν ἑνὶ τόπῳ″ κέηται, ἐκεῖνον μόνον ἀναχρώννυσι τὸν ἀέρα τῆς εὐωδίας· ἐπειδὰν δὲ εἰς πολλὰ περιενεχθῇ χωρία, πάντα ἐμπίμπλησι τῆς οἰκείας″ ἀρετῆς, οὕτω δὴ καὶ ἐπὶ τοῦ μάρτυρος συνέβαινε τότε. περιήγετο μὲν ὡς μέλλων καταισχύνεσθαι· τὸ δὲ ἐναντίον ἐξέβαινε. λαμπρότερος * ὁ ἀθλητὴς διὰ τῆς πομπῆς ἐκείνης ἐγίγνετο, καὶ πάντας τοὺς τὴν Κιλίκων χώραν οἰκοῦντας τῆς οἰκείας ἐποίει ζηλωτὰς ἀρετῆς. περιήγετο πανταχοῦ, ἵνα μὴ μόνον ἐξ ἀκοῆς μάθωσι τὰ παλαίσματα, ἀλλὰ καὶ αὐτοὶ βλέπωσι τὸν στεφανίτην οἱ θεαταί· καὶ ὅσῳ μακροτέρους αὐτῷ ἐποίει τοὺς διαύλους, τοσούτῳ λαμπρότεροι οἱ δρόμοι πάντες ἐγίνοντο· ὅσῳ μείζονα ἐπὶ τῆς τὰ σκάμ-

ματα

ἴσ. ἀνέῳγε

β. Κορ. β. ιδ.

χ. κεῖται

χ. εὐωδίας

* δ

ματα, τοσούτῳ θαυμαστότερα ἀπέφαινε τὰ παλαίσματα· ὅσῳ τὴν θλῖψιν ἐπέτεινεν εἰς χρόνου μῆκος, τοσούτῳ τὴν ὑπομονὴν αὐτοῦ δοκιμωτέραν εἰργάζετο. καὶ γὰρ χρυσίον πλείονα χρόνον τῇ τοῦ πυρὸς ὁμιλοῦν φύσει καθαρώτερον γίνεται· καθάπερ τότε καὶ ἡ τοῦ ἁγίου ψυχὴ βασανιζομένη τοῦ χρυσίου μᾶλλον ἀπέλαμπε, καὶ οὐδὲν ἔπασχεν, ἀλλ' ἢ τρόπαιον καθ' ἑαυτοῦ καὶ τοῦ διαβόλου τὸν μάρτυρα περιέφερεν, ἔλεγχον τῆς τῶν Ἑλλήνων ὠμότητος, ἀπόδειξιν τῆς τῶν Χριστιανῶν εὐσεβείας, μέγιστον τεκμήριον τῆς τοῦ Χριστοῦ δυνάμεως, παραίνεσιν καὶ συμβουλὴν τοῖς πιστοῖς, ὥστε προθύμως τοῖς αὐτοῖς ἐγκαρτερεῖν ἀγῶσι, κήρυκα τῆς τοῦ Θεοῦ δόξης, διδάσκαλον τῆς τῶν τοιούτων παλαισμάτων ἐπιστήμης. παρεκάλει γὰρ ἅπαντας πρὸς τὸν οἰκεῖον ζῆλον μεταστῆναι, οὐχὶ διὰ τῆς φωνῆς μόνον συμβουλεύων, ἀλλὰ καὶ δι' αὐτῶν τῶν πραγμάτων σάλπιγγος λαμπροτέραν ἀφιεὶς φωνήν. καὶ καθάπερ οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, οὐχὶ φωνὴν ἀφιέντες, ἀλλὰ τῇ λαμπρότητι τῆς ὄψεως τὸν θεατὴν πρὸς τὸ θαῦμα τοῦ δημιουργοῦ παραπέμποντες· οὕτω δὴ καὶ ὁ μάρτυς ἐκεῖνος διηγεῖτο τότε τὴν δόξαν Θεοῦ, οὐρανὸς ὢν καὶ αὐτὸς, καὶ πολὺ τοῦ φαινομένου τούτου φαιδρότερος. οὐ γὰρ οὕτω τὸν οὐρανὸν λαμπρὸν ἀποφαίνουσιν οἱ τῶν ἄστρων χοροὶ, ὡς τὸ τοῦ μάρτυρος σῶμα λαμπρότερον ἀπέφαινον οἱ τῶν τραυμάτων ἰχῶρες. καὶ ἵνα μάθητε ὅτι τὰ τραύματα τοῦ μάρτυρος τῶν ἐν οὐρανῷ πεπηγότων ἄστρων λαμπρότερα, σκοπεῖτε. πρὸς ἐκείνους μὲν τοὺς οὐρανοὺς καὶ τοὺς ἀστέρας καὶ ἄνθρωποι καὶ δαίμονες βλέπουσι· πρὸς δὲ τὰ τραύματα τούτου ἄνθρωποι μὲν βλέπουσιν οἱ πιστοὶ, δαίμονες δὲ ἀντιβλέψαι οὐ τολμῶσιν, ἀλλὰ κἂν ἐπιχειρήσωσιν ἰδεῖν, εὐθέως ἀποτυφλοῦνται τὰς ὄψεις, τὴν ἐκεῖθεν ἐκπηδῶσαν μαρμαρυγὴν οὐ δυνάμενοι φέρειν. καὶ τοῦτο οὐκ ἀπὸ τῶν πάλαι συμβεβηκότων πιστώσομαι μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ἐπὶ καινῷ γινομένων. λαβὼν γάρ τινα δαιμονῶντα καὶ μαινόμενον, εἰσάγαγε πρὸς τὸν ἅγιον τάφον ἐκεῖνον, ἔνθα τοῦ μάρτυρος τὰ λείψανα, καὶ ὄψει πάντως ἀποπηδῶντα καὶ φεύγοντα. καθάπερ γὰρ ἀνθράκων μέλλων ἐπιβαίνειν, οὕτως ἐξ αὐτῶν εὐθέως ἐξάλλεται τῶν προθύρων, οὐδὲ πρὸς τὴν θήκην αὐτὴν ἀντιβλέψαι τολμῶν. εἰ δὲ νῦν μετὰ τοσοῦτον χρόνον, ὅτε κόνις ἐγένετο καὶ τέφρα, οὐ τολμῶσιν ἀναβλέψαι πρὸς τὸ μνῆμα, οὐδὲ πρὸς τὰ γυμνὰ ὀστᾶ τοῦ ἁγίου, εὔδηλον ὅτι καὶ τότε, ὅτε ἐθεώρουν αὐτὸν αἵματι φοινισσόμενον, πάντοθεν τραύμασιν ἀποστίλβοντα μᾶλλον ἢ τὸν ἥλιον ταῖς ἀκτῖσι, κατεπλάγησαν, καὶ πληγέντες τὰς ὄψεις ἀνεχώρησαν. εἶδες πῶς τῶν οὐρανίων ἀστέρων τὰ τῶν μαρτύρων τραύματα φαιδρότερα καὶ θαυμαστότερα, καὶ μείζονα ἔχει τὴν ἰσχύν; ἤγετο τοίνυν εἰς μέσον ὁ ἅγιος, καὶ πικραὶ πανταχόθεν περιειστήκεισαν κολάσεις, φόβος τῶν μελλόντων, πόνος τῶν παρόντων, ὀδύνη τῶν ἐπελθόντων, ἀγωνία τῶν προσδοκωμένων. καθάπερ γάρ τινες θῆρες ἄγριοι, οἱ δήμιοι περιστάντες αὐτοῦ τὸ σῶμα, διώρυττον τὰς πλευράς, κατέξαινον τὰς σάρκας, ἀπεγύμνουν ὀστᾶ, πρὸς αὐτὰ τὰ εἴσω τῶν σπλάγχνων ἐβάδιζον. ἀλλ' ὅμως καὶ πάντα διερευνώμενοι, τὸν θησαυρὸν τῆς πίστεως ἀποσυλῆσαι οὐκ ἴσχυσαν. ἐπὶ μὲν οὖν τῶν ταμιείων τῶν βασιλικῶν, ἔνθα χρυσίον ἀπόκειται καὶ πλοῦτος ἕτερος ἄφατος, ἂν τοὺς τοίχους διέλῃς μόνον, ἂν τὰς θύρας ἀνοίξῃς, εὐθέως ὁρᾷς τὸν θησαυρὸν προκείμενον· ἐνταῦθα δὲ ἐπὶ τοῦ ἁγίου καὶ χριστοφόρου τούτου ναοῦ τὸ ἐναντίον ἐγίνετο. διεῖλον τοὺς τοίχους οἱ δήμιοι, καὶ τὰ στέρνα ἀνέρρηξαν, καὶ τὸν πλοῦτον τὸν ἐναποκείμενον οὔτε ἔβλεπον, οὔτε λαβεῖν ἠδύναντο· ἀλλ' ὅπερ ἔπαθον οἱ ἐν Σοδόμοις, παρ' αὐτῇ μὲν τῇ θύρᾳ ἑστῶτες τῆς τοῦ Λὼτ οἰκίας, τὴν δὲ εἴσοδον οὐχ εὑρίσκοντες· οὕτω δὴ καὶ οὗτοι διερευνῶντες πανταχόθεν τὸ σῶμα τοῦ μάρτυρος, ἐπιλαβέσθαι δὲ τοῦ θησαυροῦ καὶ κενῶσαι τὸν πλοῦτον τῆς πίστεως οὐκ ἴσχυον. τοιαῦτα τῆς ψυχῆς τῶν ἁγίων τὰ κατορθώματα, ἀναφαίρετα καὶ ἀκαταγώνιστα, καθάπερ ἐν ἀσύλῳ τινὶ χωρίῳ, τῇ τῆς ψυχῆς ἀνδρείᾳ ἐναποκείμενα· καὶ οὔτε τυράννων αὐτὰ βλέπουσιν ὀφθαλμοί, οὔτε δημίων ἁρπάσαι δύνανται χεῖρες. ἀλλὰ κἂν αὐτὴν διέλωσι τὴν καρδίαν, ἢ

μάλιστα

Ψαλ. ιη. α.

γρ. ἀλέπατε.

γρ. ἀστραπὴν

γρ. φλέγοντα.

ἴσ. ἀντιβλ.

γρ. εὑρὼν

Γεν. ιθ ιγ.

γρ. διαπρ..νων

μάλιστα τῆς ψυχῆς τὴν ἀνδρείαν πεπίστευται, κἂν εἰς μικρὰ κατατέμωσι μέρη, οὐδὲ οὕτω κενοῦσι τὸν πλοῦτον, ἀλλὰ καὶ πλείω τοῦτον ἐργάζονται. τὸ δὲ αἴτιον Θεός ἐστιν ὁ ταῖς τοιαύταις ἐνοικῶν ψυχαῖς· τὸν δὲ Θεῷ πολεμοῦντα ἀμήχανον νικῆσαί ποτε· ἀλλ' ἀνάγκη καταγελασθέντα, καὶ αἰσχρῶς ἡττηθέντα ἀπελθεῖν.

Διὰ τοῦτο καὶ τότε τὰ ἐναντία τῶν εἰωθότων ἐγίγνετο. πανταχοῦ μὲν γὰρ τὰ πράγματα ῥημάτων κρατεῖ· τότε δὲ λόγοι πράξεων ἐκράτησαν. πῶς; προσέκειντο αὐτῷ πῦρ, καὶ σίδηρον, καὶ βασάνους· προσέκειντο κολάσεις, τιμωρίας, μάστιγας· διώρυττον πάντοθεν τὰς πλευράς· καὶ ὁ πάσχων ἀνάλωτος ἔμενεν. ἐκεῖνος ἐφθέγγετο μόνον, καὶ ψιλὴν ἠφίει φωνὴν τῶν βασάνων ὑποφορῶν, καὶ τῶν μαστιζόντων περιεγίνετο. οὕτω λόγος ἔργων ἐκράτησεν. ἐξήλλετο γὰρ ἡ ἁγία φωνὴ τοῦ μαρτυρικοῦ στόματος, καὶ ἐφείλκετο μεθ' ἑαυτῆς φῶς φαιδρότερον τῆς ἡλιακῆς ἀκτῖνος. ταύτης τοσοῦτον τὸ φῶς ἐστιν, ὅσον τὸ διάστημα ἀπὸ τοῦ οὐρανοῦ πρὸς τὴν γῆν. μᾶλλον δὲ οὐδὲ τοῦτο ὅλον δύναται διαβῆναι, ὅταν ἢ στέγη, ἢ τοῖχος, ἢ νέφος, ἢ ἄλλο τι σῶμα μεταξὺ παρεμπέσῃ· ἀλλὰ ἀποφράττεται καὶ διατειχίζεται τοῖς τοιούτοις καλύμμασιν ἡ εἰς τὸ πρόσω φορά· ἡ δὲ τοῦ μάρτυρος φωνὴ ἐκπηδήσασα ἀπὸ τῆς ἁγίας γλώττης ἐκείνης ἀνεπήδησεν εἰς τὸν οὐρανόν, παρῆλθε τὸν οὐρανὸν τοῦ οὐρανοῦ. εἶδον αὐτὴν ἄγγελοι, καὶ παρεχώρησαν· ἀρχάγγελοι, καὶ ὑπεξέστησαν· τὰ χερουβὶμ καὶ αἱ ἄλλαι δυνάμεις αὐτὴν ὡδήγησαν ἄνω, καὶ οὐ πρότερον ἀπέστησαν, ἕως οὗ πρὸς αὐτὸν ἤγαγον τὸν θρόνον τὸν βασιλικόν. μετὰ δὲ τὴν φωνὴν ταύτην, ἐπειδὴ εἶδεν ὁ τότε δικάζων, ὅτι πάντα εἰκῆ καὶ μάτην μεμηχάνηται, καὶ πρὸς κέντρα λακτίζει, καὶ ἀδάμαντα παίει, τί ποιεῖ; πρὸς τὴν ὡμολογημένην ἧτταν βαδίζει λοιπόν, καὶ τοῦ παρόντος ὑπεξάγει τὸν μάρτυρα βίου. θάνατος γὰρ μαρτύρων τῶν μὲν ἀποκτιννύντων ἧττα σαφής· τῶν δὲ ἀναιρουμένων νίκη λαμπρά. σὺ δέ μοι σκόπει, πῶς αὐτοῦ τῆς τελευτῆς τὸν τρόπον χαλεπόν τινα καὶ πικρὸν ἐπενόησεν, ἱκανὸν ἐνδείξασθαι κἀκείνου τὴν ὠμότητα, καὶ τοῦ μάρτυρος τὴν ἀνδρείαν. τίς οὖν ὁ τρόπος τῆς τιμωρίας; σάκκον κομίσας, καὶ ἐμπλήσας ἄμμου, καὶ σκορπίους καὶ ἔχεις καὶ δράκοντας ἐμβαλών, ἐνέβαλε μετ' ἐκείνων τὸν ἅγιον, καὶ ῥίπτει εἰς τὸ πέλαγος. καὶ ἦν μετὰ θηρίων ὁ μάρτυς, καὶ συναπεκλείετο θηρίοις πάλιν δίκαιος ἄνθρωπος. πάλιν δὲ εἶπον, ἵνα ἀναμνήσθητέ μοι παλαιοῦ διηγήματος τοῦ κατὰ τὸν Δανιήλ. ἐκεῖνον μὲν εἰς λάκκον ἀπέκλεισαν, τοῦτον δὲ εἰς σάκκον ἐνέβαλον. ἐκεῖνοι λίθον ἐπέθηκαν τότε, οὗτος τὸν σάκκον ἔρραψε, στενώτερον ποιῶν τῷ δικαίῳ τὸ δεσμωτήριον. ἀλλὰ πανταχοῦ αἰδοῦνται τὰ σώματα τῶν ἁγίων οἱ θῆρες, εἰς αἰσχύνην καὶ κατηγορίαν τῶν λόγῳ τετιμημένων, καὶ ἀνθρώπων μὲν εἶναι καταξιωθέντων, τὴν δὲ ἐκείνων ἀγριότητα τῇ τῆς οἰκείας ὑπερβολῇ θηριωδίας ἀποκρυπτόντων· οἷον εἰκὸς εἶναι καὶ τοῦτον τὸν τύραννον. καὶ ἦν ἰδεῖν θαῦμα παράδοξον, οὐκ ἔλαττον ἢ ἐπὶ τοῦ Δανιήλ. καθάπερ γὰρ ἐκεῖνον τότε μεθ' ἡμέρας πολλὰς ἀπὸ τοῦ λάκκου τῶν λεόντων ἀναβάντα ἐθαύμασαν ἰδόντες οἱ Βαβυλώνιοι, οὕτω καὶ τὴν Ἰουλιανοῦ ψυχὴν ἀπὸ τοῦ σάκκου καὶ τῶν κυμάτων ἀναβαίνουσαν εἰς τὸν οὐρανὸν ἐθαύμασαν ὁρῶντες οἱ ἄγγελοι. ὁ Δανιὴλ κατηγωνίσατο καὶ ἐνίκησε δύο λέοντας, ἀλλ' αἰσθητούς· οὗτος κατηγωνίσατο καὶ ἐνίκησεν ἕνα λέοντα, ἀλλὰ νοητόν. Ὁ γὰρ ἐχθρὸς ἡμῶν, φησί, διάβολος περιέρχεται, ὡς λέων ὠρυόμενος, ζητῶν τίνα καταπίῃ· ἀλλ' ἡττήθη τῇ ἀνδρείᾳ τοῦ μάρτυρος. ἀπέθετο γὰρ τὸν ἰὸν τῆς ἁμαρτίας. διόπερ οὐ κατέπιε τοῦτον. διὰ τοῦτο οὐκ ἔδεισεν οὔτε τὸν λέοντα, οὔτε τὸν θυμὸν τῶν θηρίων. βούλεσθε καὶ ἄλλο τι εἴπω παλαιὸν διήγημα, ἔνθα δίκαιος καὶ θηρία; ἀναμνήσθητε τοῦ κατακλυσμοῦ τοῦ ἐπὶ Νῶε καὶ τῆς κιβωτοῦ· καὶ γὰρ καὶ τότε δίκαιος ὁμοῦ καὶ θηρία. ἀλλ' ὁ μὲν Νῶε εἰσῆλθεν ἄνθρωπος, καὶ ἐξῆλθεν ἄνθρωπος· Ἰουλιανὸς δὲ εἰσῆλθε μὲν ἄνθρωπος, ἐξῆλθε δὲ ἄγγελος. ἐκεῖνος εἰσῆλθεν ἀπὸ τῆς γῆς, καὶ ἐξῆλθεν εἰς τὴν γῆν πάλιν· οὗτος εἰσῆλθεν ἀπὸ τῆς γῆς εἰς σάκκον, καὶ ἀπὸ τοῦ σάκκου εἰς τὸν οὐρανὸν ἀπῄει.

Δαν. ς.

α. Πετ. ε. η.

ἀπηνῆ. ἔλαβεν αὐτὸν τὸ πέλαγος, οὐχ ἵνα ἀποκτείνῃ, ἀλλ᾽ ἵνα στεφανώσῃ, καὶ μετὰ τὸν στέφανον ἀπέδωκεν ἡμῖν τὴν ἁγίαν ταύτην κιβωτὸν, τὸ σῶμα τοῦ μάρτυρος. ταύτην κατέχομεν μέχρι τῆς παρούσης ἡμέρας, μυρίων οὖσαν ἀγαθῶν θησαυρόν. καὶ γὰρ ἐμερίσατο ὁ Θεὸς πρὸς ἡμᾶς τοὺς μάρτυρας· τὰς ψυχὰς λαβὼν αὐτὸς, τὰ σώματα ἡμῖν ἔδωκεν, ἵνα ἔχωμεν ὑπόμνησιν ἀρετῆς διηνεκοῦς τὰ ἅγια τούτων ὀστᾶ. εἰ γὰρ ὅπλα τις ἀγωνιστοῦ βλέπων ᾑμαγμένα, ἀσπίδα, καὶ δόρυ, καὶ θώρακα, κἂν ἁπάντων νωθρότατος ᾖ, εὐθέως ἐξάλλεται, καὶ θερμότερος γίνεται, καὶ πρὸς τὸν πόλεμον ἐκπηδᾷ, ἀπὸ τῆς ὄψεως τῶν ὅπλων λαβὼν παράκλησιν πρὸς τὸ τοῖς αὐτοῖς ἐπιχειρῆσαι πράγμασιν· ἡμεῖς οὐχ ὅπλα ὁρῶντες, ἀλλ᾽ αὐτὸ τὸ σῶμα τοῦ ἁγίου τὸ καταξιωθὲν αἱμαχθῆναι διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν, κἂν ἁπάντων ὦμεν δειλότεροι, πῶς οὐ πολλὴν ἕξομεν προθυμίαν, ὥσπερ τινὸς πυρὸς τῆς ὄψεως ταύτης εἰς τὴν διάνοιαν ἡμῶν ἐμπιπτούσης, καὶ πρὸς τὸν αὐτὸν ἀγῶνα καλούσης ἡμᾶς; διὰ τοῦτο παρακατέθετο ἡμῖν τὰ σώματα τῶν ἁγίων ὁ Θεὸς, ἕως τοῦ καιροῦ τῆς ἀναστάσεως, ἵν᾽ ἔχωμεν ὑπόθεσιν φιλοσοφίας μεγίστης. ἀλλ᾽ οἱ μὲν τοῦ μάρτυρος ἔπαινοι μὴ ἐλαττούσθωσαν τῇ ἀσθενείᾳ τῆς ἡμετέρας γλώττης, ἀλλὰ μενέτωσαν τὸν ἀγωνοθέτην Θεόν. γρ. στεφανώσων ὁ στεφανῶν αὐτοὺς, ἐκεῖνος καὶ ἐπαινέσει. ὁ γὰρ ἔπαινος αὐτῶν οὐκ ἐξ ἀνθρώπων, ἀλλ᾽ ἐκ τοῦ Θεοῦ. καὶ γὰρ καὶ ταῦτα, ἅπερ εἰρήκαμεν, οὐχ ἵνα τὸν μάρτυρα λαμπρότερον δείξωμεν, εἴπομεν· ἀλλ᾽ ἵνα ὑμᾶς προθυμοτέρους ἐργασώμεθα. ἡμεῖς δὲ ἀφέντες τὰ ἐγκώμια πρὸς ὑμᾶς τὸν λόγον τρέψωμεν ἅπαντα· μᾶλλον δὲ οὐκ ἔνι ἀφεῖναι ἐγκώμια μαρτύρων, ὅταν ἐν ἐκκλησίᾳ τις διαλέγηται περὶ τῶν συμφερόντων. ἀλλὰ προσέχετε. καὶ γὰρ πονηρὸν ἔθος καὶ παλαιὸν βούλομαι ἐκκόψαι σήμερον· ἵνα μὴ μόνον παραγινώμεθα πρὸς τοὺς μάρτυρας, ἀλλὰ καὶ μιμώμεθα μάρτυρας. τιμὴ γὰρ μαρτύρων οὐ τὸ παραγίνεσθαι πρὸς αὐτοὺς μόνον, ἀλλὰ καὶ πρὸ τούτου τὸ ζηλῶσαι τὴν ἀνδρείαν αὐτῶν. διὸ δεῖ πρότερον εἰπεῖν τὸ πονηρὸν ἔθος. τοῦ γὰρ νοσήματος ἀγνοουμένου, οὐδὲ ἰατρείαν προσάγειν ῥᾴδιον. διὰ τοῦτο ἀποκαλύπτω τὸ τραῦμα πρότερον, καὶ τότε τὸ φάρμακον ἐπιτίθημι. τί οὖν ἐστι τὸ πονηρὸν ἔθος; τινὲς τῶν ἐνταῦθα συλλεγομένων σήμερον (μὴ γάρ μοι γένοιτο πάσης καταγνῶναι τῆς ἐκκλησίας τοιαύτην κατάγνωσιν) ὑπὸ ῥᾳθυμίας τινὸς καὶ ἀφελείας τὴν αὔριον ἡμᾶς ἐγκαταλιμπάνοντες, πρὸς τὴν Δάφνην ἀποπηδῶσιν, ἅπερ συνελέξαμεν σήμερον, αὔριον ἐκχέοντες, καὶ ἅπερ ᾠκοδομήσαμεν καθαιροῦντες. ἵν᾽ οὖν γρ. σπουδῆ μὴ ἄκαρπος αὐτοῖς γένηται ἡ ἐνταῦθα παρουσία, ὀλίγα περὶ τούτων διαλεχθέντες καταπαύσομεν τὸν λόγον. Τί σπεύδεις ἐπὶ τὸ προάστειον τῆς πόλεως, εἰπέ μοι; ἰδοὺ τὸ προάστειον τῆς ἄνω Ἱερουσαλήμ· ἰδοὺ Δάφνη πνευματική. ἐκεῖ πηγαὶ ὑδάτων, ἐνταῦθα πηγαὶ μαρτύρων· ἐκεῖ κυπάρισσοι δένδρα ἄκαρπα, ἐνταῦθα λείψανα ἁγίων καὶ ῥίζαι κάτω πεφυτευμέναι, καὶ τοὺς κλάδους εἰς τὸν οὐρανὸν ἀνατείνουσαι. βούλει καὶ τῶν κλάδων τούτων τὸν καρπὸν ἰδεῖν; ἄνοιξον ἡμῖν τοὺς τῆς πίστεως ὀφθαλμοὺς, καὶ εὐθέως ἐπιδείξω σοι φύσιν καρπῶν θαυμαστῶν. οὐ γὰρ ὀπώρα καὶ ἀκρόδρυα, οὐδὲ ἄλλο τι τῶν φθειρομένων καὶ ἀπολλυμένων τούτων τῶν κλάδων ὁ καρπὸς, ἀλλὰ σωμάτων πεπηρωμένων ἴασις, καὶ ἁμαρτημάτων συγχώρησις, κακίας ἀναίρεσις, νοσημάτων ψυχῆς θεραπεία, εὐχὴ ἐκτενὴς, παρρησία πρὸς Θεὸν, πάντα πνευματικὰ, καὶ οὐρανίων γέμοντα ἀγαθῶν. οὗτοι οἱ καρποὶ ἀεὶ τρυγώμενοι ἀεὶ βρύουσι, καὶ οὐδέποτε ἀπολιμπάνουσι τοὺς οἰκείους αὐτῶν γεωργούς. καὶ τὰ μὲν ἐπὶ γῆς φυόμενα δένδρα ἅπαξ τοῦ ἐνιαυτοῦ δίδωσι τὴν φοράν· κἂν μὴ τρυγήσῃς, ἐπιστάσης τῆς ὥρας τοῦ χειμῶνος, ἀπόλλυσι τὴν οἰκείαν εὐπρέπειαν, φθειρομένου τοῦ καρποῦ καὶ καταρρέοντος· ταῦτα δὲ οὐ χειμῶνα οἶδεν, οὐ θέρος, οὐκ ἀνάγκῃ καιρῶν ὑπόκειται, οὐδέ ἐστι γυμνὰ τῶν καρπῶν αὐτὰ τῶν οἰκείων ἰδεῖν, ἀλλὰ διαπαντὸς ἐπὶ τῆς αὐτῆς ἕστηκεν εὐπρεπείας. οὐχ ἅπτεται αὐτῶν φθορὰ, οὐδὲ μεταβολὴ καιρῶν. πόσοι γοῦν, ἐξ οὗ τὸ σῶμα ἐφυτεύθη τοῦτο ἐν τῇ γῇ, μυρίας ἐπιτύγηται ἴασις ἀπὸ τῆς ἁγίας ταύτης θήκης, καὶ οὐκ ἐπέλιπεν ὁ καρπός· ἐθέρισαν τὰ λήϊα, καὶ οὐκ ἐδαπανήθησαν οἱ στάχυες· ἤντλησαν τὰς πηγάς, καὶ οὐκ ἐκενώθη τὰ νάματα· ἀλλὰ συνεχής τις ἐστὶν ἐπιῤῥοή, οὐδέποτε ἐπιλιμπάνουσα, ἀλλὰ τοῦ κενουμένου πλέον ἀεὶ παρέχουσα τὸ ἀναβλύζον θαῦμα. οὐ θαύματα δὲ μόνον ἐργάζεται, ἀλλὰ καὶ φιλοσοφεῖν πείθει. ἄν τε γὰρ πλούσιος ᾖς, καὶ μεγαλοφρονῇς, καὶ φλεγμαίνουσαν ἔχῃς τὴν ψυχήν, ἐλθὼν ἐνταῦθα, καὶ ἰδὼν τὸν μάρτυρα, καὶ τὸ μέσον λογισάμενος τοῦ σοῦ πλούτου καὶ τῆς τούτου περιουσίας, καταστελεῖς εὐθέως τὸ φύσημα, καὶ τὴν φλεγμονὴν ἀποθέμενος, ἀπελεύσῃ πολλὴν ἔχων ὑγίειαν ἐν τῇ ψυχῇ. ἄν τε πένης καὶ εὐκαταφρόνητος εἶναι νομίσῃς, ἐλθὼν καὶ ἰδὼν τὸν πλοῦτον τοῦ μάρτυρος, καὶ καταγελάσας τῶν χρημάτων τῶν ἔξωθεν, οὕτως ἀναχωρήσεις πολλῆς σαυτὸν ἐμπλήσας φιλοσοφίας. κἂν ἐπήρειαν, κἂν ζημίαν, κἂν μάστιγας ἐπενεχθῶσι, ἰδὼν ὅτι οὐδέπω τοσαῦτα ἔπαθες, ὅσα ὁ μάρτυς οὗτος ὁ ἅγιος, ἱκανὴν πάλιν λήψῃ παραμυθίαν ἐντεῦθεν. Εἶδες οἷοι οἱ καρποὶ τῶν ῥιζῶν τούτων; πῶς ἀνάλωτοι; πῶς πνευματικοί; πῶς αὐτῆς ἅπτονται τῆς ψυχῆς; οὐ κωλύω ἀπελθεῖν εἰς τὸ προάστειον, ἀλλ' αὔριον κωλύω. τίνος ἕνεκεν; ἵνα ἡ τέρψις μὴ ἔχῃ κατάγνωσιν, ἵνα καθαρὰ ᾖ ἡ ἡδονή, μὴ ὑπεισέλθῃ δὲ ἡ κατάγνωσις. καὶ γὰρ ἔξεστιν ἐν ἄλλῃ ἡμέρᾳ καὶ τῇ τέρψει χαρίσασθαι, γρ. ἐπιν. καὶ τῆς ἁμαρτίας ἀπαλλαγῆναι. Εἰ δὲ βούλει καὶ νῦν τέρψεως ἀπολαῦσαι, τί τερπνότερον τοῦ συλλόγου τούτου; ἢ χαριέστερον τοῦ θεάτρου τοῦ πνευματικοῦ; τῶν μελῶν τῶν σῶν; τῆς τῶν ἀδελφῶν συνουσίας; ἀλλὰ καὶ σωματικῆς θέλεις τραπέζης μεταλαβεῖν; ἐνταῦθα ἔξεστι μετὰ τὸ λυθῆναι τὸν σύλλογον, τοῦ μαρτυρίου πλησίον ὑπὸ συκῆν ἢ ἄμπελον καταλύσαντι, καὶ τῷ σώματι χαρίσασθαι τὴν ἄνεσιν, καὶ τὸ συνειδὸς ἀπαλλάξαι καταγνώσεως. ὁ γὰρ μάρτυς ἐγγύθεν ὁρώμενος καὶ πλησίον ὢν καὶ παρεστηκὼς αὐτῇ τῇ τραπέζῃ, οὐκ ἀφίησι τὴν ἡδονὴν εἰς ἁμαρτίαν ἐκχυθῆναι· ἀλλ' ὥσπερ τις παιδαγωγὸς, ἢ πατὴρ ἄριστος, τοῖς τῆς πίστεως ὁρώμενος ὀφθαλμοῖς καταστέλλει τὸν γέλωτα, περικόπτει τὰς ἡδονὰς τὰς ἀτόπους, τὰ σκιρτήματα τῆς σαρκὸς ἅπαντα ἀναιρεῖ, ἅπερ ἐκεῖ οὐκ ἔστι διαφυγεῖν. τίνος ἕνεκεν; ὅτι χοροὶ ἀνδρῶν αὔριον τὸ προάστειον καταλαμβάνουσιν· ἡ δὲ τῶν γρ. χορ τοιούτων ὄψις καὶ τοὺς βουλομένους σωφρονεῖν ἄκοντας ὑπεξάγει πολλάκις πρὸς τὴν τῆς αὐτῆς ἀσχημοσύνης μίμησιν· καὶ μάλιστα ὅταν καὶ ὁ διάβολος μέσος ἐκείνοις παρῇ. καὶ γὰρ πάρεστιν ὑπὸ τῶν πορνικῶν ᾀσμάτων, ὑπὸ τῶν αἰσχρῶν ῥημάτων, ὑπὸ τῆς δαιμονικῆς πομπῆς καλούμενος. σὺ δὲ ἀπετάξω πάσῃ ταύτῃ τῇ πομπῇ, καὶ τῇ τοῦ Χριστοῦ λατρείᾳ συνετάξω κατὰ τὴν ἡμέραν ἐκείνην, καθ' ἣν τῶν ἱερῶν κατηξιώθης μυστηρίων. ἀναμνήσθητι τοίνυν τῶν ῥημάτων ἐκείνων τῆς συνθήκης, καὶ φύγε τὴν παράβασιν.

Βούλομαι δὲ καὶ πρὸς τοὺς παρόντας καὶ μὴ ἀπιόντας διαλεχθῆναι, καὶ τούτοις ἐγχειρίσαι τὴν ἐκείνων σωτηρίαν. καὶ γὰρ ἰατρὸς πρὸς τὸν κάμνοντα εἰσελθὼν ὀλίγα τῷ κειμένῳ διαλέγεται· τὰ δὲ περὶ φαρμάκων καὶ σιτίων καὶ τῆς ἄλλης θεραπείας, καλέσας τοὺς αὐτῷ προσήκοντας, ἐκείνοις ἅπαντα ἐπισκήπτει. τί δήποτε; ὅτι ὁ μὲν κάμνων οὐ δέχεται εὐθέως τὴν παραίνεσιν, ὁ δὲ ὑγιαίνων μετὰ πολλῆς προθυμίας προσέχει τοῖς λεγομένοις. διὰ τοῦτο μετὰ τούτων καὶ ὑμῖν βούλομαι διαλεχθῆναι. προκαταλάβωμεν αὔριον τὰς πύλας, ἐφεδρεύσωμεν ταῖς ὁδοῖς· ἄνδρες τοὺς ἄνδρας, γυναῖκες τὰς γυναῖκας κατασπάσωμεν ἀπὸ τῶν ὑποζυγίων· ἐπαναγάγωμεν ἐνταῦθα, μὴ ἐπαισχυνθῶμεν. ἔνθα σωτηρία ἀδελφοῦ, οὐκ ἔστιν αἰσχύνη. Εἰ ἐκεῖνοι οὐκ αἰσχύνονται πρὸς τὴν παράνομον πομπὴν ἀπιόντες, πολλῷ μᾶλλον ἡμᾶς αἰσχύνεσθαι οὐ χρὴ πρὸς τὴν ἱερὰν ταύτην πανήγυριν μέλλοντας αὐτοὺς ἐπαναγαγεῖν. ὅταν ἀδελφοῦ σωτηρία προκέηται, μηδὲν παραιτώμεθα. Εἰ γὰρ ὁ Χριστὸς ἀπέθανε δι' ἡμᾶς, ἅπαντα ὑπομένειν δι' αὐτοὺς ἡμᾶς χρή. κἂν πληγὰς ἐντείνωνται, κἂν λοιδορήσωνται, κάτεχε, καὶ μὴ πρότερον ἀποστῇς, ἕως ἂν αὐτοὺς ἐπαναγάγῃς πρὸς τὸν ἅγιον μάρτυρα, κἂν δικαστήριον δέῃ καθίσαι ἐκ τῶν παριόντων, οἱ βουλόμενοι ἀκουέτωσαν. ἀδελφόν, εἰπέ, βούλομαι σῶσαι· ὁρῶ ψυχὴν ἀπολλυμένην, καὶ οὐκ ἀνέχομαι παριδεῖν τὴν συγγένειαν. ὁ βουλόμενος ἐγκαλείτω· ὁ βουλόμενος κατηγορείτω· μᾶλλον δὲ οὐδεὶς ἐγκαλέσει, ἀλλὰ καὶ πάντες ἐπαινέσονται· οὐ γὰρ ὑπὲρ χρημάτων, οὐδὲ δι' οἰκείαν ἀπέχθειαν ἀμυνόμενος, οὐδὲ ὑπὲρ ἄλλου τινὸς τῶν βιωτικῶν φιλονεικῶ καὶ μάχομαι· ἀλλ' ὑπὲρ ἀδελφοῦ σωτηρίας ταῦτα. τίς οὐκ ἀποδέξεται; τίς οὐ θαυμάσεται; οὐδὲν ἡμᾶς προσήκοντας ἀλλήλοις κατὰ συγγένειαν σαρκικὴν ἡ πνευματικὴ συγγένεια πατέρων φιλοστοργοτέρους ἐποίησεν. εἰ βούλεσθε, καὶ τὸν μάρτυρα λάβωμεν μεθ' ἑαυτῶν. οὐκ ἐπαισχύνεται γὰρ ἐλθεῖν, καὶ σῶσαι τοὺς ἀδελφούς. ἐπιστήσωμεν αὐτὸν τοῖς ἐκείνων ὀφθαλμοῖς· φοβηθῶσι παρόντα· αἰδεσθῶσι παρακαλοῦντα καὶ δεόμενον. οὐ γὰρ αἰσχύνεται καὶ παρακαλέσαι. εἰ γὰρ ὁ δεσπότης αὐτοῦ παρακαλεῖ τὴν ἡμετέραν φύσιν (ὑπὲρ Χριστοῦ πρεσβεύομεν, φησὶν ὁ Παῦλος, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν· καταλλαγῆναι τῷ Θεῷ) πολλῷ μᾶλλον ὁ δοῦλος τοῦτο ποιήσει. εἰ αὐτὸν λυπεῖ μόνον, ἡ ἀπώλεια ἡ ἡμετέρα· εὐφραίνει, ἡ σωτηρία ἡ ἡμετέρα, καὶ διὰ τοῦτο οὐ παραιτήσεται οὐδὲν ὑπὲρ αὐτῆς ποιῆσαι. μὴ τοίνυν μηδὲ ἡμεῖς ἐπαισχυνθῶμεν, μηδὲ περιττὸν εἶναι νομίσωμεν. εἰ γὰρ ἄνθρωποι θηρευταὶ κρημνούς, καὶ ὄρη, καὶ βάραθρα, καὶ πολὺ ἄβατον ἐπέρχονται χωρίον, εἴτε λαγωόν, ἢ δορκάδα, ἢ ἄλλο τι τῶν τοιούτων, ἢ καὶ ὄρνιθας πολλάκις ταύτας τὰς ἀγρίας θηρεῦσαι βουλόμενοι· σὺ μέλλων οὐκ ἄλογον ἀτελές, ἀλλ' ἀδελφὸν πνευματικόν, δι' ὃν ὁ Χριστὸς ἀπέθανεν, ἐπαναγαγεῖν ἐξ ἀπωλείας, καὶ οὐκ ὄρη καὶ νάπας, ἀλλὰ τὴν πόλιν ἐξελθεῖν μόνον, ἀναδύῃ καὶ ἐρυθριᾷς; καὶ ποίαν ἕξεις, εἰπέ μοι, συγγνώμην; οὐκ ἀκούεις σοφοῦ τινος παραινοῦντος καὶ λέγοντος· Ἔστιν αἰσχύνη ἐπάγουσα ἁμαρτίαν; ἀλλὰ δέδοικας μή τις ἐγκαλέσῃ; μετάγαγε τὴν αἰτίαν ἐπ' ἐμὲ τὸν εἰρηκότα· εἰπέ, ὅτι ὁ διδάσκαλος οὕτως ἐκέλευσεν. ἕτοιμος ἐγὼ δικάζεσθαι τοῖς ἐγκαλοῦσι καὶ παρέχειν εὐθύνας. μᾶλλον δὲ οὔτε ὑμῖν, οὔτε ἡμῖν ἐγκαλέσει τις, κἂν σφόδρα δυσαίσχυντος ᾖ· ἀλλ' ἀποδέξονται πάντες, καὶ θαυμάσονται τῆς κηδεμονίας ἡμᾶς, οὐχὶ οἱ ἐν τῇ πατρίδι τῇ ἡμετέρᾳ μόνον, ἀλλὰ καὶ οἱ τὰς γείτονας πόλεις οἰκοῦντες, ὅτι τοσαύτη παρ' ἡμῖν ἀγάπης τυραννίς, τοσοῦτος φιλοστοργίας ζῆλος. ἀλλὰ τί λέγω τοὺς ἀνθρώπους; αὐτὸς ὁ τῶν ἀγγέλων ἡμᾶς ἀποδέξεται δεσπότης. εἰδότες οὖν τὸν μισθόν, μὴ καταφρονήσωμεν τῆς θήρας· μηδὲ ἐπανέλθωμεν μόνοι αὔριον, ἀλλ' ἕκαστος τὴν ἄγραν ἔχων μεθ' ἑαυτοῦ, οὕτω παραγινέσθω. ἂν τὴν ὥραν ἐκείνην παραγένῃ μόνον, καθ' ἣν τῆς οἰκίας ἐξιὼν ἄρχεται τῆς ὁδοῦ, καὶ μεταστήσῃς αὐτὸν πρὸς τὴν ἐνταῦθα ἄφιξιν, οὐδεμία λοιπὸν ἔσται δυσκολία· ἀλλὰ τοῦ καιροῦ παρελθόντος πολλὴν εἴσεταί σοι κἀκεῖνος τὴν χάριν, καὶ οἱ ἄλλοι πάντες ἐπαινέσουσιν ὑμᾶς καὶ θαυμάσουσι· καὶ ὃ πάντων μεῖζόν ἐστιν, ὁ τῶν οὐρανῶν δεσπότης πολλοὺς ὑμῖν ὑπὲρ τούτων παρέξει τοὺς μισθούς, καὶ ἐμπορείαν ταύτην καὶ τὸν ἔπαινον πλεονάσει. ἐννοοῦντες τοίνυν τὸ κέρδος τὸ ἐκεῖθεν ἡμῖν προσγινόμενον, πρὸ τῆς πόλεως ἐκχυθέντες ἅπαντες, καὶ συλλαβόντες τοὺς ἡμετέρους ἀδελφούς, ἐπαναγάγωμεν ἐνταῦθα· ἵνα καὶ αὔριον ἡμῖν πλῆρες τὸ θέατρον γένηται οὕτω, καὶ ἀπηρτισμένη ἡ πανήγυρις· ἵν' ὑπὲρ τῆς ἐνταῦθα σπουδῆς εἰς τὰς αἰωνίους ἡμᾶς δέξηται σκηνὰς ὁ ἅγιος μάρτυς μετὰ παρρησίας πολλῆς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γ. ἐπαινέσον)

β. Κορ. ε. κ.

γ. καταλλά-
γητε
γ. ποιεῖ.

Σειρ. δ. κα.

Λογ. μγ. ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ ΕΥΣΤΑΘΙΟΝ ἀρχιεπίσκοπον Ἀντιοχείας τῆς μεγάλης, καὶ εἰς τὴν σπουδὴν τῶν εἰσελθόντων.

Μηνὸς Ἰουλ. ιε.

Σοφός τις ἀνὴρ καὶ φιλοσοφεῖν εἰδὼς, τὴν ἀνθρωπίνων πραγμάτων τὴν φύσιν μετὰ ἀκριβείας καταμαθὼν, καὶ ἐπιγνοὺς αὐτῶν τὴν σαθρότητα, καὶ ὡς οὐδὲν ἔχει πιστὸν, οὐδὲ βέβαιον, παρῄνει κοινῇ πᾶσιν ἀνθρώποις πρὸ τελευτῆς μὴ μακαρίζειν μηδένα. (γρ. [illegible]) Οὐκοῦν ἐπειδὴ τετελεύτηκεν ὁ μακάριος Εὐστάθιος, (Σειρ. ια. λ.) μετὰ ἀδείας αὐτὸν ἁπάσης; ἐγκωμιάσαι λοιπὸν δυνάμεθα. Εἰ γὰρ πρὸ τελευτῆς οὐ δεῖ μακαρίζειν οὐδένα, μετὰ τελευτὴν ἀνεύθυνος ἐπὶ τῶν ἀξίων ὁ μακαρισμὸς γένοιτ' ἄν. καὶ γὰρ παρῆλθε τὸν εὔριπον τῶν βιωτικῶν πραγμάτων· ἀπηλλάγη τῆς ταραχῆς τῶν κυμάτων· πρὸς τὸν εὔδιον καὶ ἀτάραχον κατέπλευσε λιμένα· οὐχ ὑπόκειται τῇ τοῦ μέλλοντος ἀδηλίᾳ· οὐδὲ ἔστιν ὑπεύθυνος καταπλώσει, ἀλλὰ καθάπερ ἐπὶ πέτρας τινὸς καὶ ὑψηλοῦ σκοπέλου νῦν ἑστὼς, καταγελᾷ τῶν κυμάτων ἁπάντων. Οὐκοῦν ἀσφαλὴς ὁ μακαρισμὸς, ἀνεπίληπτον τὸ ἐγκώμιον. οὐ γὰρ δέδοικε μεταβολὴν, οὐχ ὑποπτεύει μετάπτωσιν. ἡμεῖς μὲν γὰρ οἱ ἔτι ζῶντες, καθάπερ οἱ ἐν μέσῳ πελάγει σαλεύοντες, πολλαῖς ὑποκείμεθα ταῖς μεταβολαῖς· καὶ καθάπερ ἐκεῖνοι νῦν μὲν εἰς ὕψος αἴρονται τῶν κυμάτων κορυφουμένων, νῦν δὲ πρὸς αὐτὸν καταφέρονται τὸν βυθόν· ἀλλ' οὔτε τὸ ὕψος ἀσφαλὲς, οὔτε ἡ ταπείνωσις μόνιμος (ὑδάτων γάρ ἐστι ῥεόντων, καὶ οὐχ ἱσταμένων ταῦτα ἀμφότερα) οὕτω δὴ καὶ ἐπὶ τῶν ἀνθρωπίνων πραγμάτων οὐδὲν βέβαιον καὶ ἑστὼς, ἀλλὰ πυκναὶ αἱ μεταβολαὶ καὶ ὀξύρροποι. ὁ μὲν ὑπὸ τῆς εὐημερίας πρὸς τὸ ὕψος ἐπήρθη· ὁ δὲ ὑπὸ δυσπραγίας εἰς πολὺ κατηνέχθη βάθος. ἀλλὰ μήτε ἐκεῖνος φυσάσθω, μήτε οὗτος ταπεινούσθω. ταχεῖαν γὰρ ἑκάτερος δέξεται τὴν μεταβολήν. Ἀλλ' οὐκ ἐκεῖνος ὁ πρὸς τὸν οὐρανὸν μεταστὰς, ὁ πρὸς τὸν ποθούμενον ἀπελθὼν Ἰησοῦν, ὁ πρὸς χωρίον ἐλθὼν καθαρὸν θορύβων, ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός. Οὐκ ἔστιν ἐκεῖ μεταβολῆς εἰκὼν, οὐκ ἔστι τροπῆς ἀποσκίασμα· πάντα δὲ πεπηγότα καὶ ἀκίνητα, πάντα βέβαια καὶ ἱδρυμένα, πάντα ἄφθαρτα καὶ ἀθάνατα, πάντα ἀκήρατα καὶ εἰς ἀεὶ διαμένοντα. Διὰ τοῦτό φησι, πρὸ τελευτῆς μὴ μακάριζε μηδένα. Διὰ τί; ἄδηλον γὰρ τὸ μέλλον, καὶ ἡ φύσις ἀσθενὴς, ἡ προαίρεσις ῥάθυμος, ἡ ἁμαρτία εὐπερίστατος· πολλαὶ αἱ παγίδες (Ἐπίγνωθι γὰρ, φησιν, ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις) ἐπάλληλοι οἱ πειρασμοὶ, πολὺς ὁ τῶν πραγμάτων ὄχλος, καὶ διηνεκὴς τῶν δαιμόνων ὁ πόλεμος, καὶ συνεχεῖς αἱ τῶν παθῶν ἐπαναστάσεις. Διὰ ταῦτα πρὸ τελευτῆς μὴ μακάριζε μηδένα, φησίν. Οὐκοῦν μετὰ τελευτὴν μακαρίζειν ἀσφαλὲς τὸν ἄξιον· μᾶλλον δὲ οὐχ ἁπλῶς μετὰ τελευτὴν, ἀλλὰ τελευτὴν τοιαύτην, ὅταν μετὰ στεφάνου τὸν βίον ἢ καταλύσαι τις, ὅταν μετὰ ὁμολογίας καὶ πίστεως ἀνυποκρίτου. Εἰ γὰρ τοὺς ἁπλῶς τελευτήσαντας ἐμακάρισέ τις, πόσῳ μᾶλλον τοὺς οὕτω τελευτήσαντας; καὶ τίς ἐμακάρισε, φησι, τοὺς ἁπλῶς τελευτήσαντας; ὁ Σολομῶν, Σολομῶν ἐκεῖνος ὁ πάνσοφος. μὴ γὰρ ἁπλῶς παραδράμῃς τὸν ἄνθρωπον· ἀλλ' ἐννόησον τίς ἦν, καὶ πῶς βεβιωκὼς, καὶ μετὰ πόσης ἀδείας τὸν ἄνετον τοῦτον καὶ ὑγρὸν ἔζησε βίον. (γρ. καὶ ἄνετον τὸν ὑγρὸν καὶ ἁπαλὸν τὸν βίον ἔζη.) ἅπαν γὰρ εἶδος ἐπῆλθε τρυφῆς, καὶ ψυχαγωγίας παντοδαποὺς ἐπενόησε τρόπους, καὶ ποικίλας καὶ πολυτρόπους τέρψεων εὗρεν ἰδέας. καὶ ταύτας (Ἐκκλησ. β. δ.) διηγούμενος ἔλεγεν· Ὠκοδόμησά μοι οἴκους, ἐφύτευσά μοι ἀμπελῶνας, ἐποίησά μοι κήπους καὶ παραδείσους, ἐποίησά μοι κολυμβήθρας ὑδάτων, ἐκτησάμην δούλους καὶ παιδίσκας, καὶ οἰκογενεῖς ἐγένοντό μοι, κτῆσις βουκολίων καὶ ποιμνίων ἐγένοντό μοι, (γρ. κτήσεις) συνήγαγον ἀργύ-

ριον

ερον καὶ χρυσίον ἴσα ψάμμῳ, ἐποίησά μοι ᾄδοντας καὶ ᾀδούσας, οἰνοχόους καὶ οἰνοχοούσας. τί οὖν ὁ αὐτὸς οὗτος μετὰ τοσαύτην περιουσίαν τῶν χρημάτων, τῶν κτημάτων, τῆς τρυφῆς, τῆς ἀνέσεως; Ἐμακάρισα, φησι, τοὺς ἀποθανόντας ὑπὲρ τοὺς ζῶντας· καὶ ἀγαθὸς ὑπὲρ τούτους ὅστις οὔπω ἐγένετο. οὕτως ἀξιόπιστος οὗτος κατήγορος τρυφῆς*. εἰ μὲν γάρ τις τῶν ἐν πενίᾳ καὶ πτωχείᾳ βεβιωκότων ταύτην ἐξέφερε τὴν ψῆφον κατὰ τῆς τρυφῆς, ἔδοξεν ἂν οὐκ ἀληθείᾳ, ἀλλ' ἀπειρίᾳ ταῦτα κατηγορεῖν· ὅταν δὲ ὁ πᾶσαν αὐτὴν ἐπελθὼν, καὶ διερευνησάμενος αὐτῆς ἑκάστην ὁδὸν, οὗτος αὐτὴν ἀτιμάζῃ, ἀνύποπτος ἡ κατηγορία λοιπόν. τάχα νομίζετε τῆς παρούσης ὑποθέσεως ἡμῖν ἐκπεπτωκέναι τὸν λόγον· αὐτῆς μὲν οὖν ταύτης μάλιστα ἔχεται τὰ εἰρημένα. ἐν γὰρ μαρτύρων μνείαις ἀναγκαῖον καὶ σφόδρα ἀκόλουθον καὶ τοὺς περὶ φιλοσοφίας κινεῖν λόγους. καὶ ταῦτα λέγομεν, οὐ τῆς παρούσης ζωῆς κατηγοροῦντες (μὴ γένοιτο) ἀλλὰ τὴν τρυφὴν διαβάλλοντες. οὐ γὰρ τὸ ζῆν, κακὸν, ἀλλὰ τὸ εἰκῇ καὶ ἁπλῶς ζῆν. ὡς ἐάν τις ἐπὶ κατορθώμασι καὶ τῇ τῶν μελλόντων ἀγαθῶν ἐλπίδι τὸν παρόντα ζήσῃ βίον, δυνήσεται κατὰ Παῦλον λέγειν, ὅτι Τὸ ζῆν ἐν σαρκὶ πολλῷ κρεῖσσον (τοῦτο γάρ καρπὸς ἔργου) καθάπερ οὖν καὶ ἐπὶ τοῦ μακαρίου γέγονεν Εὐσταθίου, ὃς καὶ τῇ ζωῇ καὶ τῇ τελευτῇ πρὸς τὸ δέον ἐχρήσατο. οὐ γὰρ ἐπὶ τῆς οἰκείας γῆς, ἀλλ' ἐπὶ ἀλλοτρίας ταύτην ὑπέμεινε διὰ τὸν Χριστόν. τοῦτο τῶν ἐχθρῶν τὸ κατόρθωμα. ἐκεῖνοι μὲν γὰρ τῆς πατρίδος αὐτὸν ἐξήλασαν ὡς ἀτιμάζοντες· ὁ δὲ λαμπρότερος ἐγίνετο μᾶλλον καὶ περιφανέστερος τῇ πρὸς τὴν ὑπερορίαν μεταστάσει, ὡς καὶ τῶν πραγμάτων τὸ τέλος ἀπέδειξε. τοσαύτη γὰρ ἡ περιφάνεια γέγονεν, ὡς τοῦ σώματος αὐτοῦ ταφέντος ἐν Θρᾴκῃ, τὴν μνήμην αὐτοῦ καθ' ἑκάστην ἡμέραν παρ' ἡμῖν ἀνθεῖν· καὶ τὸν μὲν τάφον εἶναι ἐν ἐκείνῳ τῷ βαρβαρικῷ χωρίῳ, τὸν δὲ πόθον παρ' ἡμῖν τοῖς ἐκ τοσούτου ἀπειργομένοις διαστήματος μετὰ χρόνον τοσοῦτον καθ' ἑκάστην αὔξεσθαι τὴν ἡμέραν· μᾶλλον δὲ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, καὶ ὁ τάφος αὐτοῦ παρ' ἡμῖν, οὐκ ἐν Θρᾴκῃ μόνον. μνήματα γὰρ ἁγίων οὐ σοροὶ, καὶ λάρνακες, καὶ στῆλαι, καὶ γράμματα, ἀλλ' ἔργων κατορθώματα, καὶ πίστεως ζῆλος, καὶ συνειδὸς πρὸς Θεὸν ὑγιές. καὶ γὰρ πάσης στήλης λαμπροτέρα ἀνέστηκεν αὕτη ἡ ἐκκλησία τῷ μάρτυρι, γράμματα ἔχουσα οὐκ ἄφωνα, ἀλλὰ διὰ τῶν πραγμάτων αὐτῶν λαμπρότερον σάλπιγγος βοῶντα τὴν ἐκείνου μνήμην καὶ τὴν λαμπρότητα· καὶ ἕκαστος ἡμῶν τῶν παρόντων τοῦ ἁγίου τάφος ἐστὶν ἐκείνου, τάφος ἔμψυχος καὶ πνευματικός. ἂν γὰρ ἀναπτύξω τὸ συνειδὸς ἑκάστου τῶν παρόντων ὑμῶν, εὑρίσκω τὸν ἅγιον τοῦτον ἔνδον τῆς διανοίας ὑμῶν ἐνδιαιτώμενον. ὁρᾶτε πῶς οὐδὲν πλέον ἐγένετο τοῖς ἐχθροῖς; πῶς οὐκ ἔσβεσαν τὴν δόξαν, ἀλλ' ἐπῆραν ταύτην μᾶλλον καὶ λαμπροτέραν εἰργάσαντο, τοσούτους ποιήσαντες τάφους ἀνθ' ἑνὸς, τάφους ἐμψύχους, τάφους φωνὴν ἀφιέντας, τάφους πρὸς τὸν αὐτὸν ζῆλον παρασκευαζομένους; διὰ τοῦτο τὰ τῶν ἁγίων σώματα καὶ πηγὰς, καὶ ῥίζας, καὶ μύρα καλῶ πνευματικά. τίνος οὖν ἕνεκεν; ὅτι ἕκαστον τούτων τῶν εἰρημένων τὴν οἰκείαν ἀρετὴν οὐ παρ' ἑαυτῷ κατέχει μόνον, ἀλλὰ καὶ μέχρι πολλοῦ διαπέμπεται μήκους. οἷόν τι λέγω· αἱ πηγαὶ ἀναβλύζουσι μὲν πολλὰ νάματα, οὐ μὴν εἴσω τῶν οἰκείων κόλπων ταῦτα κατέχουσιν, ἀλλὰ μακροὺς τίκτουσαι ποταμοὺς συγγίνονται τῷ πελάγει, καὶ καθάπερ χειρός τινος ἐκτάσει, τῷ μήκει τούτων ἐπιλαμβάνονται τῶν θαλαττίων ὑδάτων. πάλιν ἡ ῥίζα τῶν φυτῶν κάτω κέκρυπται ἐν τοῖς κόλποις τῆς γῆς· ἀλλ' οὐ κάτω κατέχει τὴν ἀρετὴν αὐτῆς ἅπασαν, καὶ μάλιστα τῶν ἀμπέλων τῶν ἀναδενδράδων αὕτη ἡ φύσις. ὅταν γὰρ ἐφ' ὑψηλῶν τῶν καλάμων τοὺς αὐτῶν ἐκτείνωσι κλάδους, τὰ κλήματα διὰ τῶν δονάκων ἐκείνων ἕρποντα μέχρι πολλοῦ πρόεισι διαστήματος, μακράν τινα ὀροφὴν τῇ τῶν φύλλων ποιοῦντα πυκνότητι. τοιαύτη καὶ τῶν μύρων ἡ φύσις. αὐτὰ μὲν γὰρ κεῖται ἐν οἰκίσκῳ πολλάκις· διὰ δὲ τῶν θυρίδων ὑπερεκπίπτουσα αὐτῶν ἡ εὐωδία εἰς ἄμφοδα καὶ στενωποὺς καὶ ἀγορὰν, καὶ τοὺς ἔξω βαδίζοντας διδάσκει τὴν ἔνδον κειμένην τῶν ἀρωμάτων ἀρετήν.

ιαῦτα
ὶ αὐτῆς
οιζόμενος.

Φιλιπ α. κβ.

χ. ὑμῶν

χ. ἐν

τήν. Εἰ δὲ πηγὴ καὶ ῥίζα, καὶ φυτῶν καὶ ἀρωμάτων φύσις τοσαύτην ἔχουσι τὴν ἰσχύν, πολλῷ μᾶλλον τῶν ἁγίων τὰ σώματα. Καὶ ὅτι οὐ ψευδῆ τὰ λεγόμενα, μάρτυρες ὑμεῖς. Τὸ μὲν γὰρ σῶμα τοῦ μάρτυρος κεῖται ἐν Θρᾴκῃ· ὑμεῖς δὲ οὐκ ἐν Θρᾴκῃ διατρίβοντες, ἀλλὰ πολὺ τῆς χώρας ἐκείνης ἀφεστηκότες ἀπολαμβάνεσθε τῆς εὐωδίας ἐκ τοσούτου διαστήματος, καὶ διὰ τοῦτο συνεληλύθατε· καὶ οὐ διεκώλυσε τῆς ὁδοῦ τὸ μῆκος, οὐκ ἔσβεσε τοῦ χρόνου τὸ πλῆθος. Τοιαύτη γὰρ τῶν πνευματικῶν κατορθωμάτων ἡ φύσις. Οὐδενὶ σωματικῷ διακόπτεται*, ἀλλ᾽ ἀνθεῖ καὶ αὔξεται καθ᾽ ἑκάστην ἡμέραν, καὶ οὔτε χρόνου μαραίνει τὸ πλῆθος αὐτήν, οὔχ ὁδοῦ διατειχίζει μῆκος.

ἰε. 3

* κωλύεται

Μὴ θαυμάσητε δέ, εἰ τοῦ λόγου καὶ τῶν ἐγκωμίων ἀρξάμενος, μάρτυρα τὸν ἅγιον ἐκάλεσα. Καὶ γὰρ οἰκείῳ τέλει τὴν ζωὴν κατέλυσε. Πῶς οὖν ἐστι μάρτυς*; Εἶπον πολλάκις πρὸς τὴν ὑμετέραν ἀγάπην, ὅτι μάρτυρα οὐχὶ ὁ θάνατος ποιεῖ μόνον, ἀλλὰ καὶ ἡ πρόθεσις. Οὐ γὰρ ἀπὸ τῆς ἐκβάσεως μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς γνώμης πλέκεται πολλάκις ὁ τοῦ μαρτυρίου στέφανος. Καὶ τοῦτον οὐκ ἐγώ, ἀλλὰ Παῦλος δίδωσι τοῦ μαρτυρίου τὸν ὅρον, οὑτωσὶ λέγων· Καθ᾽ ἡμέραν ἀποθνήσκω. Πῶς ἀποθνήσκεις καθ᾽ ἡμέραν; πῶς δὲ δυνατὸν ἐν σώματι θνητῷ μυρίους δέξασθαι θανάτους; Τῇ προθέσει, φησί, καὶ τῷ παρεσκευάσθαι πρὸς τελευτήν. Οὕτω καὶ ὁ Θεὸς ἀποφαίνεται. Καὶ γὰρ ὁ Ἀβραὰμ οὐχ ᾕμαξε τὴν μάχαιραν, οὐκ ἐφοίνιξε τὸν βωμόν, οὐκ ἔθυσε τὸν Ἰσαάκ, ἀλλ᾽ ὅμως ἀπήρτισε τὴν θυσίαν. Τίς ταῦτά φησιν; αὐτὸς ὁ τὴν θυσίαν δεξάμενος. Οὐκ ἐφείσω γάρ, φησι, τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι᾽ ἐμέ. Καὶ μὴν ζῶντα ἔλαβε, καὶ ὑγιῆ κατήγαγε. Πῶς οὖν οὐκ ἐφείσατο; ὅτι οὐκ ἀπὸ τοῦ τέλους τῶν πραγμάτων, ἀλλ᾽ ἀπὸ τῆς προθέσεως τῶν προελομένων τὰς τοιαύτας κρίνω θυσίας ἐγώ, φησιν. Οὐκ ἔσφαξεν ἡ χείρ, ἀλλ᾽ ἔσφαξεν ἡ προαίρεσις· οὐκ ἐβάπτισε τὸ ξίφος εἰς τὸν λαιμὸν τοῦ παιδός, οὐ διέτεμε τὴν δέρρην, ἀλλ᾽ ἔστι θυσία καὶ χωρὶς αἵματος. Ἴσασιν οἱ μεμυημένοι τὸ λεγόμενον. Διὰ τοῦτο δὲ κἀκείνη ἡ θυσία χωρὶς αἵματος ἐγένετο, ἐπειδὴ ταύτης ἔμελλεν ἔσεσθαι τύπος. Ὁρᾷς ἐν τῇ παλαιᾷ προδιαγραφομένην τὴν εἰκόνα; μὴ ἀπιστήσῃς τῇ ἀληθείᾳ. Οὗτος τοίνυν ὁ μάρτυς (μάρτυρα γὰρ ἡμῖν αὐτὸν ὁ λόγος ἀπέδειξε) πρὸς μυρίους παρεσκευάζετο θανάτους, καὶ πάντας αὐτοὺς ὑπέμεινε τῇ γνώμῃ καὶ τῇ προθυμίᾳ· τῶν δὲ ἐπενεχθέντων κινδύνων πολλοὺς καὶ δι᾽ αὐτῆς τῆς πείρας ἠνέχετο. Καὶ γὰρ καὶ τῆς πατρίδος αὐτὸν ἐξήλασαν, καὶ πρὸς τὴν ὑπερορίαν μετέστησαν, καὶ πολλὰ ἕτερα κατὰ τοῦ μακαρίου ἐκίνησαν τότε ἐκείνου· δίκαιον μὲν οὐδὲν ἔχοντες ἐγκαλεῖν· ὅτι δὲ ἀκούσας τοῦ Παύλου λέγοντος, Ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, ἔφυγε τὸ ἀσέβημα καὶ τὴν παρανομίαν. Ἀλλὰ τοῦτο μὲν στεφάνων, οὐ κατηγορίας ἄξιον. Σὺ δέ μοι σκόπει τοῦ διαβόλου τὴν πονηρίαν. Ἐπειδὴ γὰρ προσφάτως ἦν ὁ ἑλληνικὸς πόλεμος καταλυθείς, καὶ ἄρτι τῶν χαλεπῶν καὶ ἐπαλλήλων διωγμῶν ἀνεπεπνεύκεισαν αἱ ἐκκλησίαι πᾶσαι, καὶ οὐκ ἦν πολὺς ὁ χρόνος, ἐξ οὗ ναοὶ μὲν ἀπεκλείσθησαν ἅπαντες, βωμοὶ δὲ ἐσβέσθησαν, πᾶσα δὲ τῶν δαιμόνων ἡ μανία καταλέλυτο· καὶ ταῦτα ἐλύπει τὸν πονηρὸν δαίμονα, καὶ οὐκ ἠδύνατο πράως φέρειν τὴν τῆς ἐκκλησίας εἰρήνην· τί οὖν ποιεῖ; ἕτερον ἐπεισάγει πόλεμον χαλεπόν. Ὁ μὲν γὰρ ἐξωτικός, οὗτος δὲ ἐμφύλιος ἦν. Οἱ δὲ τοιοῦτοι δυσφύλακτοι μᾶλλόν εἰσι, καὶ ῥᾳδίως χειροῦνται τοὺς ἐμπίπτοντας. Κατὰ τὸν καιρὸν τοίνυν ἐκεῖνον ὁ μακάριος οὗτος ἐστρατήγει τῆς παρ᾽ ἡμῖν ἐκκλησίας. Καὶ αἴρεται μὲν ἡ νόσος, ὥσπερ τις λοιμὸς χαλεπός, ἀπὸ τῶν Αἰγύπτου χωρίων· εἶτα διὰ τῶν μεταξὺ πόλεων βαδίζων, εἰς τὴν πόλιν ἔσπευδεν ἐμβαλεῖν τὴν ἡμετέραν. Ἀλλ᾽ ἐκεῖνος ἐγρηγορώς, καὶ νήφων, καὶ πάντα τὰ μέλλοντα προορῶν πόρρωθεν, προσιόντα τὸν πόλεμον ἀπεκρούετο· καὶ καθάπερ σοφός τις ἰατρός, πρὶν ἢ τὴν νόσον ἐμβαλεῖν εἰς τὴν πόλιν, ἐνταῦθα καθήμενος τὰ φάρμακα κατεσκεύασε, καὶ τὴν ἱερὰν ταύτην ναῦν μετὰ πολλῆς ἐκυβέρνα τῆς ἀσφαλείας, πανταχοῦ περιτρέχων, ναύτας, ἐπιβάτας, τοὺς πλέοντας ἅπαντας συγκροτῶν,

* δι᾽ οἰκείου τέλους τὸν βίον ἐπεξελθών;

α. Κορ. ιε λα.

Γεν. κβ ιϛ.

Ρωμ α. κε.

Λογ. ζγ.

συγκροτῶν, νήφειν, ἐγρηγορέναι παρασκευάζων, ὡς πειρατῶν ἐπιθεμένων καὶ τῆς πίστεως τὸν θησαυρὸν ἀποσυλῆσαι ἐπιχειρούντων. Οὐκ ἐνταῦθα δὲ μόνον ἐνέκειτο τῇ προνοίᾳ ταύτῃ, ἀλλὰ καὶ πανταχοῦ διεπέμπετο τοὺς διδάξοντας, παρακαλέσοντας, διαλεξομένους, προαποτειχίσοντας τοῖς πολεμίοις τὴν ἔφοδον. Καὶ γὰρ ἦν πεπαιδευμένος καλῶς παρὰ τῆς τοῦ πνεύματος χάριτος, ὅτι τὸν ἐκκλησίας προεστῶτα οὐκ ἐκείνης μόνης κήδεσθαι δεῖ τῆς παρὰ τοῦ πνεύματος ἐγχειρισθείσης αὐτῷ, ἀλλὰ καὶ πάσης τῆς κατὰ τὴν οἰκουμένην κειμένης· καὶ ταῦτα ἀπὸ τῶν ἱερῶν ἐμάνθανεν εὐχῶν. Εἰ γὰρ τὰς εὐχὰς ποιεῖσθαι δεῖ, φησίν, ὑπὲρ τῆς καθολικῆς ἐκκλησίας τῆς ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης, πολλῷ μᾶλλον καὶ τὴν πρόνοιαν ὑπὲρ ἁπάσης αὐτῆς ἐπιδείκνυσθαι δεῖ, καὶ ὁμοίως ἁπασῶν κήδεσθαι, καὶ μεριμνᾷν πάσας. Καὶ ὅπερ ἐπὶ τοῦ Στεφάνου γέγονε, τοῦτο καὶ ἐπ' ἐκείνου συνέβαινεν. Ὥσπερ γὰρ οὐκ ἰσχύοντες ἀντιστῆναι τῇ σοφίᾳ τῇ τοῦ Στεφάνου οἱ Ἰουδαῖοι ἐλίθαζον τὸν ἅγιον ἐκεῖνον· οὕτω καὶ οὗτοι οὐκ ἰσχύοντες ἀντιστῆναι τῇ σοφίᾳ τῇ τούτου, καὶ ὁρῶντες ἠσφαλισμένα τὰ ὀχυρώματα, ἐκβάλλουσι τῆς πόλεως λοιπὸν τὸν κήρυκα. Ἀλλ' ἡ φωνὴ οὐκ ἐσίγα· ἀλλ' ἐξεβάλλετο μὲν ὁ ἄνθρωπος, ὁ δὲ λόγος τῆς διδασκαλίας οὐκ ἐξεβάλλετο. Καὶ γὰρ Παῦλος ἐδέδετο, καὶ ὁ λόγος τοῦ Θεοῦ οὐκ ἐδέδετο· καὶ οὗτος ἐν ἀλλοτρίᾳ, καὶ ἡ διδασκαλία αὐτοῦ παρ' ἡμῖν. Ἐκβάλλοντες τοίνυν ἐπεισήεσαν συμφραξάμενοι, καθάπερ χείμαῤῥος σφοδρός· ἀλλ' οὔτε τὰ φυτὰ παρέσυραν, οὔτε τὰ σπέρματα κατέχωσαν, οὔτε τὴν γεωργίαν ἐλυμήναντο. Οὕτω καλῶς καὶ μετ' ἐπιστήμης ὑπὸ τῆς ἐκείνου γεωργηθέντα σοφίας ἐῤῥίζωτο.

β. Τιμ. β. θ.

Ἀλλὰ γὰρ ἄξιον εἰπεῖν, τίνος ἕνεκεν συνεχώρησεν αὐτὸν ὁ Θεὸς ἀπελαθῆναι ἐντεῦθεν. Προσφάτως ἦν ἀναπνεύσασα ἡ ἐκκλησία· εἶχε παραμυθίαν οὐ τὴν τυχοῦσαν τὴν ἐπιστασίαν τὴν ἐκείνου. Πανταχόθεν αὐτὴν ἐτείχιζε, καὶ τῶν πολεμίων τὰς προσβολὰς ἀπεκρούετο. Τίνος οὖν ἕνεκεν ἐξεβάλλετο, καὶ συνεχώρει τοῖς ἀπάγουσιν αὐτὸν ὁ Θεός; τίνος ἕνεκεν; Καὶ μή τοι νομίσητε ταύτης τῆς ἀπορίας λύσιν εἶναι τὸ λεγόμενον μόνης· ἀλλὰ κἂν πρὸς Ἕλληνας, κἂν πρὸς αἱρετικοὺς ἄλλους ὑμῖν ὑπὲρ τῶν τοιούτων γίνηται λόγος, ἱκανὸν τὸ ῥηθησόμενον ἅπασαν λῦσαι τὴν ἀπορίαν. Ὁ Θεὸς τὴν μὲν πίστιν αὐτοῦ τὴν ἀληθῆ καὶ ἀποστολικὴν ἐν πολλοῖς συγχωρεῖ πολεμεῖσθαι· τὰς δὲ αἱρέσεις καὶ τὸν ἑλληνισμὸν ἀφίησιν ἀδείας ἀπολαύειν. Τί δήποτε; ἵνα ἐκείνων μὲν τὴν ἀσθένειαν μάθῃς οὐκ ἐνοχλουμένων, καὶ αὐτομάτως καταλυομένων, τῆς δὲ πίστεως τὴν ἰσχὺν γνωρίσῃς πολεμουμένης, καὶ διὰ τῶν κωλυόντων αὐξανομένης. Καὶ ὅτι οὐκ ἐμός ἐστιν οὗτος ὁ στοχασμός, ἀλλὰ θεῖος χρησμὸς ἄνωθεν ἐνεχθείς, ἀκούσωμεν Παύλου τί περὶ τούτων φησί. Καὶ γὰρ ἔπαθέ τι ποτὲ ἀνθρώπινον καὶ οὗτος. Εἰ γὰρ καὶ Παῦλος ἦν, ἀλλὰ τῆς ἡμετέρας μετεῖχε φύσεως. Τί δέ ἐστιν, ὅπερ ἔπαθεν; ἠλαύνετο, ἐπολεμεῖτο, ἐμαστίζετο, μυρίοις ἐπεβουλεύετο τρόποις, ἔξωθεν, ἔσωθεν, ὑπὸ τῶν δοκούντων οἰκείων εἶναι, ὑπὸ τῶν ἀλλοτρίων. Καὶ τί δεῖ λέγειν, ὅσας ὑπέμενε θλίψεις; κάμνων τοίνυν, καὶ μηκέτι φέρων τὰς προσβολὰς τῶν πολεμίων ἀεὶ διακοπτόντων αὐτοῦ τὴν διδασκαλίαν καὶ ἐναντιουμένων αὐτοῦ τῷ λόγῳ, πρόσεισι τῷ δεσπότῃ, καὶ παρακαλεῖ αὐτόν, καὶ λέγει· Ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ. Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, καὶ εἴρηκέ μοι· Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. Καὶ οἶδα μὲν ὅτι τινὲς ἀσθένειαν εἶναι νομίζουσι σωματικήν· οὐκ ἔστι δὲ τοῦτο, οὐκ ἔστιν· ἀλλ' ἄγγελον Σατᾶν τοὺς ἀντικειμένους ἀνθρώπους καλεῖ. Τὸ γὰρ Σατᾶν τοῦτο Ἑβραϊκὴ λέξις ἐστί· Σατᾶν δὲ ὁ ἀντικείμενος λέγεται. Τὰ οὖν σκεύη τοῦ διαβόλου καὶ τοὺς ἐκείνῳ διακονουμένους ἀνθρώπους ἀγγέλους αὐτοῦ καλεῖ. Διατί οὖν φησι, πρόσκειται, τῇ σαρκί; ὅτι ἡ σὰρξ ἐμαστίζετο, ἡ δὲ ψυχὴ ἐκουφίζετο τῇ ἐλπίδι τῶν μελλόντων ἐπαιρομένη. Οὐδὲ γὰρ ἥπτετο τῆς ψυχῆς, οὐδὲ ὑπεσκέλιζε τοὺς ἔνδον λογισμούς·

β. Κορ. ιβ. ζ.

ιε. ζ

τήν. εἰ δὲ πηγὴ καὶ ῥίζα, καὶ φυτῶν καὶ σπερμάτων φύσις τοσαύτην ἔχουσι τὴν ἰσχὺν, πολλῷ μᾶλλον τῶν ἁγίων τὰ σώματα. καὶ ὅτι οὐ ψευδῆ τὰ λεγόμενα, μάρτυρες ὑμεῖς. τὸ μὲν γὰρ σῶμα τοῦ μάρτυρος κεῖται ἐν Θρᾴκῃ· ὑμεῖς δὲ οὐκ ἐν Θρᾴκῃ διατρίβοντες, ἀλλὰ πολὺ τῆς χώρας ἐκείνης ἀφεστηκότες ἀπελαμβάνεσθε τῆς εὐωδίας ἐκ τοσούτου διαστήματος, καὶ διὰ τοῦτο συνεληλύθατε· καὶ οὐ διεκώλυσε τῆς ὁδοῦ τὸ μῆκος, οὐκ ἔσβεσε τοῦ χρόνου τὸ πλῆθος. τοιαύτη γὰρ τῶν πνευματικῶν κατορθωμάτων ἡ φύσις. οὐδενὶ σωματικῷ διακόπτεται*, ἀλλ' ἀνθεῖ καὶ αὔξεται καθ' ἑκάστην ἡμέραν, καὶ οὔτε χρόνου μαραίνει τὸ πλῆθος αὐτὴν, οὐχ ὁδοῦ διατειχίζει μῆκος.

* κωλύματι

Μὴ θαυμάσητε δὲ, εἰ τοῦ λόγου καὶ τῶν ἐγκωμίων ἀρχόμενος, μάρτυρα τὸν ἅγιον ἐκάλεσα. καὶ γὰρ οἰκείῳ τέλει τὴν ζωὴν κατέλυσε. πῶς οὖν ἐστι μάρτυς*; εἶπον πολλάκις πρὸς τὴν ὑμετέραν ἀγάπην, ὅτι μάρτυρα οὐχὶ ὁ θάνατος ποιεῖ μόνον, ἀλλὰ καὶ ἡ πρόθεσις. οὐ γὰρ ἀπὸ τῆς ἐκβάσεως μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς γνώμης πλέκεται πολλάκις ὁ τοῦ μαρτυρίου στέφανος. καὶ τοῦτον οὐκ ἐγὼ, ἀλλὰ Παῦλος δίδωσι τοῦ μαρτυρίου τὸν ὅρον, οὑτωσὶ
α Κορ. ιε λα. λέγων· Καθ' ἡμέραν ἀποθνήσκω. πῶς ἀποθνήσκεις καθ' ἡμέραν; πῶς δὲ δυνατὸν ἐν σώματι θνητῷ μυρίους δέξασθαι θανάτους; τῇ προθέσει, φησὶ, καὶ τῷ παρεσκευάσθαι πρὸς τελευτήν. οὕτω καὶ ὁ Θεὸς ἀποφαίνεται. καὶ γὰρ ὁ Ἀβραὰμ οὐχ ἥμαξε τὴν μάχαιραν, οὐκ ἐφοίνιξε τὸν βωμὸν, οὐκ ἔθυσε τὸν Ἰσαὰκ, ἀλλ' ὅμως ἀπήρτισε τὴν θυσίαν. τίς ταῦτά
Γεν. κβ ιϛ. φησιν; αὐτὸς ὁ τὴν θυσίαν δεξάμενος. Οὐκ ἐφείσω γὰρ, φησὶ, τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ. καὶ μὴν ζῶντα ἔλαβε, καὶ ὑγιῆ κατήγαγε. πῶς οὖν οὐκ ἐφείσατο; ὅτι οὐκ ἀπὸ τοῦ τέλους τῶν πραγμάτων, ἀλλ' ἀπὸ τῆς προθέσεως τῶν προελομένων τὰς τοιαύτας κρίνω θυσίας ἐγὼ, φησίν. οὐκ ἔσφαξεν ἡ χεὶρ, ἀλλ' ἔσφαξεν ἡ προαίρεσις· οὐκ ἐβάπτισε τὸ ξίφος εἰς τὸν λαιμὸν τοῦ παιδὸς, οὐ διέτεμε τὴν δέρρην, ἀλλ' ἔστι θυσία καὶ χωρὶς αἵματος. ἴσασιν οἱ μεμυημένοι τὸ λεγόμενον. διὰ τοῦτο δὲ κἀκείνη ἡ θυσία χωρὶς αἵματος ἐγένετο, ἐπειδὴ ταύτης ἔμελλεν ἔσεσθαι τύπος. ὁρᾷς ἐν τῇ παλαιᾷ προδιαγραφομένην τὴν εἰκόνα; μὴ ἀπιστήσῃς τῇ ἀληθείᾳ. οὗτος τοίνυν ὁ μάρτυς (μάρτυρα γὰρ ἡμῖν αὐτὸν ὁ λόγος ἀπέδειξε) πρὸς μυρίους παρεσκευάζετο θανάτους, καὶ πάντας αὐτοὺς ὑπέμεινε τῇ γνώμῃ καὶ τῇ προθυμίᾳ· τῶν δὲ ἐπενεχθέντων κινδύνων πολλοὺς καὶ δι' αὐτῆς τῆς πείρας ὑπεδέχετο. καὶ γὰρ καὶ τῆς πατρίδος αὐτὸν ἐξήλασαν, καὶ πρὸς τὴν ὑπερορίαν μετέστησαν, καὶ πολλὰ ἕτερα κατὰ τοῦ μακαρίου ἐκίνησαν τότε ἐκείνου· δίκαιον μὲν οὐδὲν ἔχοντες ἐγκαλεῖν· ὅτι δὲ ἀκούσας τοῦ
Ρωμ. α. κε. Παύλου λέγοντος, Ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, ἔφυγε τὸ ἀσέβημα καὶ τὴν παρανομίαν. ἀλλὰ τοῦτο μὲν στεφάνων, οὐ κατηγορίας ἄξιον. σὺ δέ μοι σκόπει τοῦ διαβόλου τὴν πονηρίαν. ἐπειδὴ γὰρ προσφάτως ἦν ὁ ἑλληνικὸς πόλεμος καταλυθεὶς, καὶ ἄρτι τῶν χαλεπῶν καὶ ἐπαλλήλων διωγμῶν ἀνεπεπνεύκεισαν αἱ ἐκκλησίαι πᾶσαι, καὶ οὐκ ἦν πολὺς ὁ χρόνος, ἐξ οὗ ναοὶ μὲν ἀπεκλείσθησαν ἅπαντες, βωμοὶ δὲ ἐσβέσθησαν, πᾶσα δὲ τῶν δαιμόνων ἡ μανία καταλέλυτο· καὶ ταῦτα ἐλύπει τὸν πονηρὸν δαίμονα, καὶ οὐκ ἠδύνατο πρᾴως φέρειν τὴν τῆς ἐκκλησίας εἰρήνην· τί οὖν ποιεῖ; ἕτερον ἐπεισάγει πόλεμον χαλεπόν. ὁ μὲν γὰρ ἐξωτικὸς, οὗτος δὲ ἐμφύλιος ἦν. οἱ δὲ τοιοῦτοι δυσφύλακτοι μᾶλλόν εἰσι, καὶ ῥᾳδίως χειροῦνται τοὺς ἐμπίπτοντας. κατὰ τὸν καιρὸν τοίνυν ἐκεῖνον ὁ μακάριος οὗτος ἐστρατήγει τῆς παρ' ἡμῖν ἐκκλησίας. καὶ αἴρεται μὲν ἡ νόσος, ὥσπερ τις λοιμὸς χαλεπὸς, ἀπὸ τῶν Αἰγύπτου χωρίων· εἶτα διὰ τῶν μεταξὺ πόλεων βαδίζων, εἰς τὴν πόλιν ἔσπευδεν ἐμβαλεῖν τὴν ἡμετέραν. ἀλλ' ἐκεῖνος ἐγρηγορὼς, καὶ νήφων, καὶ πάντα τὰ μέλλοντα προορῶν πόῤῥωθεν, προσιόντα τὸν πόλεμον ἀπεκρούετο· καὶ καθάπερ σοφός τις ἰατρὸς, πρὶν ἢ τὴν νόσον ἐμβαλεῖν εἰς τὴν πόλιν, ἐνταῦθα καθήμενος τὰ φάρμακα κατεσκεύασε, καὶ τὴν ἱερὰν ταύτην ναῦν μετὰ πολλῆς ἐκυβέρνα τῆς ἀσφαλείας, πανταχοῦ περιτρέχων, ναύτας, ἐπιβάτας, τοὺς πλέοντας ἅπαντας

συγκροτῶν,

* δι' οἰκείου τέλους τοῦ βίου ἐπεξελθών;

συγκροτεῖν, νήφειν, ἐγρηγορέναι παρεσκεύαζεν, ὡς πλειόνων ἐπιθεμένων καὶ τῆς πίστεως τὸν θησαυρὸν ἀποσυλῆσαι ἐπιχειρούντων. οὐκ ἐνταῦθα δὲ μόνον ἐκέχρητο τῇ προνοίᾳ ταύτῃ, ἀλλὰ καὶ πανταχοῦ διεπέμπετο τοὺς διδάξοντας, παρακαλέσοντας, διαλεξομένους, προαποτειχίσοντας τοῖς πολεμίοις τὴν ἔφοδον. καὶ γὰρ ἦν πεπαιδευμένος καλῶς παρὰ τῆς τοῦ πνεύματος χάριτος, ὅτι τὸν ἐκκλησίας προεστῶτα οὐκ ἐκείνης μόνης κήδεσθαι δεῖ τῆς παρὰ τοῦ πνεύματος ἐγχειρισθείσης αὐτῷ, ἀλλὰ καὶ πάσης τῆς κατὰ τὴν οἰκουμένην κειμένης· καὶ ταῦτα ἀπὸ τῶν ἱερῶν ἐμάνθανεν εὐχῶν. Εἰ γὰρ τὰς εὐχὰς ποιεῖσθαι δεῖ, φησίν, ὑπὲρ τῆς καθολικῆς ἐκκλησίας τῆς ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης, πολλῷ μᾶλλον καὶ τὴν πρόνοιαν ὑπὲρ ἁπάσης αὐτῆς ἐπιδείκνυσθαι δεῖ, καὶ ὁμοίως ἁπασῶν κήδεσθαι, καὶ μεριμνᾷν πάσας. καὶ ὅπερ ἐπὶ τοῦ Στεφάνου γέγονε, τοῦτο καὶ ἐπ' ἐκείνου συνέβαινεν. ὥσπερ γὰρ οὐκ ἰσχύοντες ἀντιστῆναι τῇ σοφίᾳ τῇ τοῦ Στεφάνου οἱ Ἰουδαῖοι ἐλίθαζον τὸν ἅγιον ἐκεῖνον· οὕτω καὶ οὗτοι οὐκ ἰσχύοντες ἀντιστῆναι τῇ σοφίᾳ τῇ τούτου, καὶ ὁρῶντες ἠσφαλισμένα τὰ ὀχυρώματα, ἐκβάλλουσι τῆς πόλεως λοιπὸν τὸν κήρυκα. ἀλλ' ἡ φωνὴ οὐκ ἐσίγα· ἀλλ' ἐξεβάλλετο μὲν ὁ ἄνθρωπος, ὁ δὲ λόγος τῆς διδασκαλίας οὐκ ἐξεβάλλετο. καὶ γὰρ Παῦλος ἐδέδετο, καὶ ὁ λόγος τοῦ Θεοῦ οὐκ ἐδέδετο· καὶ οὗτος ἐν ἀλλοτρίᾳ, καὶ ἡ διδασκαλία αὐτοῦ παρ' ἡμῖν. ἐκβάλλοντες τοίνυν ἐπεισήεσαν συμφραξάμενοι, καθάπερ χείμαρρος σφοδρός· ἀλλ' οὔτε τὰ φυτὰ παρέσυραν, οὔτε τὰ σπέρματα κατέχωσαν, οὔτε τὴν γεωργίαν ἐλυμήναντο. οὕτω καλῶς καὶ μετ' ἐπιστήμης ὑπὸ τῆς ἐκείνου γεωργηθέντα σοφίας ἐρρίζωτο.

β. Τιμ. β. θ.

Ἀλλὰ γὰρ ἄξιον εἰπεῖν, τίνος ἕνεκεν συνεχώρησεν αὐτὸν ὁ Θεὸς ἀπελαθῆναι ἐντεῦθεν. προσφάτως ἦν ἀναπνεύσασα ἡ ἐκκλησία· εἶχε παραμυθίαν οὐ τὴν τυχοῦσαν τὴν ἐπιστασίαν τὴν ἐκείνου. πανταχόθεν αὐτὴν ἐτείχιζε, καὶ τῶν πολεμίων τὰς προσβολὰς ἀπεκρούετο. τίνος οὖν ἕνεκεν ἐξεβάλλετο, καὶ συνεχώρει τοῖς ἀπάγουσιν αὐτὸν ὁ Θεός; τίνος ἕνεκεν; καὶ μήτοι νομίσητε ταύτης τῆς ἀπορίας λύσιν εἶναι τὸ λεγόμενον μόνης· ἀλλὰ κἂν πρὸς Ἕλληνας, κἂν πρὸς αἱρετικοὺς ἄλλους ὑμῖν ὑπὲρ τῶν τοιούτων γίνηται λόγος, ἱκανὸν τὸ ῥηθησόμενον ἅπασαν λῦσαι τὴν ἀπορίαν. ὁ Θεὸς τὴν μὲν πίστιν αὐτοῦ τὴν ἀληθῆ καὶ ἀποστολικὴν ἐν πολλοῖς συγχωρεῖ πολεμεῖσθαι· τὰς δὲ αἱρέσεις καὶ τὸν ἑλληνισμὸν ἀφίησιν ἀδείας ἀπολαύειν. τί δήποτε; ἵνα ἐκείνων μὲν τὴν ἀσθένειαν μάθῃς οὐκ ἐνοχλουμένων, καὶ αὐτομάτως καταλυομένων, τῆς δὲ πίστεως τὴν ἰσχὺν γνωρίσῃς πολεμουμένης, καὶ διὰ τῶν κωλυόντων αὐξανομένης. καὶ ὅτι οὐκ ἐμός ἐστιν οὗτος ὁ στοχασμός, ἀλλὰ θεῖος χρησμὸς ἄνωθεν ἐνεχθείς, ἀκούσωμεν Παύλου τί περὶ τούτων φησί. καὶ γὰρ ἔπαθέ τι ποτε ἀνθρώπινον καὶ οὗτος. Εἰ γὰρ καὶ Παῦλος ἦν, ἀλλὰ τῆς ἡμετέρας μετεῖχε φύσεως. τί δέ ἐστιν, ὅπερ ἔπαθεν; ἠλαύνετο, ἐπολεμεῖτο, ἐμαστίζετο, μυρίοις ἐπεβουλεύετο τρόποις, ἔξωθεν, ἔσωθεν, ὑπὸ τῶν δοκούντων οἰκείων εἶναι, ὑπὸ τῶν ἀλλοτρίων. καὶ τί δεῖ λέγειν, ὅσας ὑπέμεινε θλίψεις; κάμνων τοίνυν, καὶ μηκέτι φέρων τὰς προσβολὰς τῶν πολεμίων ἀεὶ διακοπτόντων αὐτοῦ τὴν διδασκαλίαν καὶ ἐναντιουμένων αὐτοῦ τῷ λόγῳ, προσαιτεῖ τῷ δεσπότῃ, καὶ παρακαλεῖ αὐτόν, καὶ λέγει· Ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ. ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, καὶ εἴρηκέ μοι· ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. καὶ οἶδα μὲν ὅτι τινὲς ἀσθένειαν εἶναι νομίζουσι στομαχικήν· οὐκ ἔστι δὲ τοῦτο, οὐκ ἔστιν· ἀλλ' ἄγγελον Σατᾶν τοὺς ἀντικειμένους ἀνθρώπους καλεῖ. τὸ γὰρ Σατᾶν τοῦτο Ἑβραϊκὴ λέξις ἐστί· Σατᾶν δὲ ὁ ἀντικείμενος λέγεται. τὰ οὖν σκεύη τοῦ διαβόλου καὶ τοὺς ἐκείνῳ διακονουμένους ἀνθρώπους ἀγγέλους αὐτοῦ καλεῖ. διὰ τί οὖν φησι, προσκεῖται, τῇ σαρκί; ὅτι ἡ σὰρξ ἐμαστίζετο, ἡ δὲ ψυχὴ ἐκουφίζετο τῇ ἐλπίδι τῶν μελλόντων ἐπαιρομένη. οὐδὲ γὰρ ἥπτετο τῆς ψυχῆς, οὐδὲ ὑπεσκέλιζε τοὺς ἔνδον λογισμούς.

β. Κορ. ιβ. ζ.

σμούς· ἀλλὰ μέχρι τῆς σαρκὸς εἱστήκει τὰ μὲν χαλυπήματα, καὶ ὁ πόλεμος εἴσω διαβῆναι μὴ δυνάμενος. ἐπεὶ οὖν αὕτη ἐτέμνετο, αὕτη ἐμαστίζετο, αὕτη ἐδεσμεῖτο (ψυχὴν γὰρ δῆσαι ἀδύνατον ἦν) διὰ τοῦτο λέγει, Ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ, τοὺς πειρασμούς, τὰς θλίψεις, τοὺς διωγμοὺς αἰνιττόμενος. εἶτα τί; ὑπὲρ τούτου τρεῖς, φησὶ, τὸν Κύριον παρεκάλεσα· τουτέστι, πολλάκις ἐδεήθην, φησὶν, ὥστε ἀναπνεῦσαι μικρὸν ἐκ τῶν πειρασμῶν. ὑμεῖς δὲ μέμνησθε τῆς αἰτίας, ἧς εἶπον, ὅτι διὰ τοῦτο συγχωρεῖ ὁ Θεὸς τοὺς ἑαυτοῦ δούλους μαστίζεσθαι, ἐλαύνεσθαι, μυρία πάσχειν δεινὰ, ἵνα τὴν ἑαυτοῦ δείξῃ δύναμιν. ἰδοὺ γὰρ καὶ ἐνταῦθα δεηθεὶς, ὥστε ἀποστῆναι αὐτοῦ τὰ μυρία δεινὰ καὶ τοὺς ἀντικειμένους, οὐκ ἐπέτυχε τῆς αἰτήσεως· καὶ τὴν αἰτίαν τίθησι, δι' ἣν οὐκ ἐπέτυχε*. τίς οὖν ἐστιν ἡ αἰτία; οὐδὲν γὰρ κωλύει πάλιν αὐτῆς ἐπιμνησθῆναι. Ἀρκεῖ σοι, φησὶν, ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. ὁρᾷς ὅτι διὰ τοῦτο συγχωρεῖ ὁ Θεὸς τοὺς ἀγγέλους τοῦ Σατανᾶ τοῖς αὐτοῦ δούλοις ἐπικεῖσθαι, καὶ μυρία παρέχειν πράγματα, ἵνα ἡ δύναμις αὐτοῦ διαφαίνηται; οὕτως γὰρ, κἂν πρὸς Ἕλληνας, κἂν πρὸς τοὺς ἀθλίους Ἰουδαίους διαλεγώμεθα, ἀρκεῖ τοῦτο ἡμῖν εἰς ἀπόδειξιν τῆς θείας δυνάμεως, ὅτι διὰ μυρίων πολέμων τὴν πίστιν εἰσενεχθεῖσαν κρατῆσαι, καὶ τῆς οἰκουμένης ἁπάσης ἀντιπαραταττούσης, καὶ μετὰ πολλῆς σφοδρότητος ἀπωθουμένων ἁπάντων τοὺς δώδεκα ἀνθρώπους ἐκείνους, τοὺς ἀποστόλους λέγω, δυνηθῆναι ἐν βραχεῖ καιρῷ μαστιζομένους, ἐλαυνομένους, μυρία πάσχοντας δεινὰ, τῶν ταῦτα ποιούντων κρατῆσαι μεθ' ὑπερβολῆς ἁπάσης. διὰ ταῦτα καὶ τὸν μακάριον Εὐστάθιον ἀφῆκε πρὸς τὴν ὑπερορίαν ὁ Θεὸς ἀπενεχθῆναι, ἵνα μειζόνως ἡμῖν δείξῃ καὶ τὴν δύναμιν τῆς ἀληθείας, καὶ τῶν αἱρετικῶν τὴν ἀσθένειαν. μέλλων τοίνυν πρὸς τὴν ἀποδημίαν ἀπιέναι, τὴν μὲν πόλιν ἠφίει, τὴν δὲ ἀγάπην ὑμῶν οὐκ ἠφίει, οὐδὲ ἐπὶ τῆς ἐκκλησίας ἐξέβαλλεν, καὶ τῆς προστασίας καὶ τῆς ὑπὲρ ὑμῶν κηδεμονίας ἀλλότριον ἑαυτὸν εἶναι ἐνόμιζεν, ἀλλὰ μειζόνως τότε ἐκήδετο καὶ ἐφρόντιζε· καὶ καλέσας ἅπαντας παρεκάλεσε μὴ παραχωρῆσαι, μηδὲ ἐνδοῦναι τοῖς λύκοις, μηδὲ προδοῦναι τὴν ποίμνην αὐτοῖς· ἀλλὰ μένειν ἔνδον ἐπιστομίζοντας μὲν αὐτοὺς καὶ διελέγχοντας, τοὺς ἀκεραιοτέρους δὲ τῶν ἀδελφῶν ἀσφαλιζομένους. καὶ ὅτι καλῶς ἐκέλευσε, τὸ τέλος ἔδειξεν. εἰ γὰρ μὴ ἐμείνατε ἐν τῇ ἐκκλησίᾳ τότε, τὸ πλέον τῆς πόλεως ἦν διεφθαρμένον, ἐπ' ἐρημίας τῶν λύκων τὰ πρόβατα ἐσθιόντων. ἀλλ' ἐκείνου τὸ ῥῆμα ἐκώλυσε μετὰ ἀδείας αὐτοὺς τὴν οἰκείαν ἐνδείξασθαι πονηρίαν. οὐ τὸ τέλος δὲ ἔδειξε μόνον, ἀλλὰ καὶ τὰ Παύλου ῥήματα. καὶ γὰρ οὗτος παρ' ἐκείνου παιδευθεὶς ταῦτα παρῄνει. τί οὖν ὁ Παῦλός φησι; μέλλων ἀπαίρεσθαί ποτε εἰς τὴν Ῥώμην τὴν ἐσχάτην ἀποδημίαν, μεθ' ἣν οὐκ ἔτι ἔμελλεν ὄψεσθαι τοὺς μαθητὰς (Οὐκ ἔτι γὰρ ὑμᾶς ὄψομαι, φησί· τοῦτο δὲ ἔλεγεν, οὐχὶ λυπῆσαι, ἀλλ' ἀσφαλίσασθαι βουλόμενος) μέλλων τοίνυν ἀποδημεῖν ἐκεῖθεν, οὕτω πως αὐτοὺς ἠσφαλίσατο λέγων· Οἶδα ὅτι μετὰ τὴν ἄφιξίν μου εἰσελεύσονται λύκοι βαρεῖς· καὶ πάλιν, ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦντες διεστραμμένα. τριπλοῦς ὁ πόλεμος, ἡ φύσις τῶν θηρίων, ἡ χαλεπότης τοῦ πολέμου, τὸ μὴ ἀλλοτρίους, ἀλλὰ καὶ οἰκείους εἶναι τοὺς πολεμοῦντας. *ἂν μὲν γὰρ ἔξωθέν μέ τις βάλλῃ καὶ πολεμῇ, ῥᾳδίως αὐτοῦ περιγενέσθαι δυνήσομαι· ἂν δὲ ἔνδοθεν ἀπὸ τοῦ σώματος φύῃ τὸ ἕλκος, δυσίατον γίνεται τὸ κακόν· ὃ δὴ καὶ τότε ἐγένετο. διὸ καὶ παρῄνει λέγων, Προσέχετε ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ· οὐκ εἶπε, καταλιπόντες τὰ πρόβατα φεύγετε ἔξω. ταῦτα καὶ ὁ μακάριος Εὐστάθιος πεπαιδευμένος παρῄνει τοῖς ἑαυτοῦ μαθηταῖς· μᾶλλον δὲ ἅπερ ἦν ὁ σοφὸς οὗτος καὶ γενναῖος διδάσκαλος ἀκούσας, ἔργῳ τὸν λόγον ἐπλήρωσεν. εἰσιόντων γοῦν ἐκείνων, οὐκ ἀφῆκε τὰ πρόβατα· καίτοιγε οὐκ ἦν ἐπὶ τῶν θρόνων τῆς ἀρχῆς ἀνελθών. ἀλλ' οὐδὲν τοῦτο πρὸς τὴν γενναίαν ἐκείνην καὶ φιλόσοφον ψυχήν. τὰς μὲν γὰρ τιμὰς τῶν ἀρχόντων ἑτέροις ἠφίει, τοὺς δὲ πόνους τῶν ἀρχόντων αὐτὸς ὑπέμενεν, ἔνδον μεταξὺ τῶν λύκων στρεφόμενος. οὐδὲν γὰρ αὐτὸν τῶν

θηρίων

γρ. αὐτῷ

*τῆς αἰτήσεως

γρ. ἐπιδ.

Πράξ. κ. κε. κθ.

*διὰ τοῦτο χαλεπώτερος· οἰκείους.

Πράξ. κ. κη.

θηρίων ὀδόντες ἔβλαπτον. οὕτως ἰσχυροτέραν πίστιν εἶχε τῶν ἐκείνων δηγμάτων. εἶδον τοίνυν στρεφόμενος, καὶ τῇ γινομένῃ πρὸς αὐτὸν μάχῃ πάντας αὐτοὺς ἀσχολῶν, πολλὴν ἄδειαν τοῖς προβάτοις παρεσκεύαζεν. οὐ τοῦτο δὲ μόνον ἐποίει, ἐμφράττων αὐτῶν τὰ στόματα, ἀνακρουόμενος τὰς βλασφημίας· ἀλλὰ καὶ αὐτὰ τὰ θρέμματα περιιὼν κατεμάνθανε, μήπου βέλος ἐδέξατό τις, μήπου τραῦμα χαλεπὸν ἔλαβε, καὶ εὐθέως τὸ φάρμακον ἐπετίθει. καὶ ταῦτα ποιῶν ἐζύμωσεν ἅπαντας εἰς τὴν ἀληθῆ πίστιν· καὶ οὐ πρότερον ἀπέστη, ἕως ὁ Θεὸς τὸν μακάριον Μελέτιον παρεσκεύασεν ἐλθόντα τὸ φύραμα ἅπαν λαβεῖν. οὗτος ἔσπειρεν, ἐκεῖνος ἐθέρισεν. οὕτω καὶ ἐπὶ Μωϋσέως καὶ Ἀαρὼν ἐγένετο. καὶ γὰρ κἀκεῖνοι ζύμης δίκην ἐν μέσοις τοῖς Αἰγυπτίοις στρεφόμενοι, πολλοὺς τῆς οἰκείας εὐσεβείας ἐποίησαν ζηλωτάς. καὶ μαρτυρεῖ τοῦτο Μωϋσῆς λέγων, ὅτι πολὺς ἐπίμικτος λαὸς συνανέβη μετὰ τῶν Ἰσραηλιτῶν. Ἐξοδ. ιβ. λη. τοῦτον δὴ τὸν Μωϋσέα μιμούμενος οὗτος, καὶ περὶ τῆς ἀρχῆς τὰ τῆς ἀρχῆς ἐπέραττε. καὶ γὰρ ἐκεῖνος πρότερον τοῦ λαοῦ τὴν προστασίαν ἐγχειρισθεὶς, ἐῤῥωμένως μάλα καὶ γενναίως τοὺς ἀδικοῦντας ἐκόλαζε, τοῖς ἀδικουμένοις ἤμυνε, καὶ βασιλικὴν τράπεζαν ἀφεὶς καὶ τιμὰς καὶ προεδρίας, πρὸς τὸν πηλὸν καὶ τὴν πλινθείαν ἔδραμε, πάσης τρυφῆς καὶ ἀνέσεως καὶ τιμῆς προτιμοτέραν εἶναι νομίζων τὴν τῶν οἰκείων κηδεμονίαν. πρὸς ὃν καὶ αὐτὸς βλέπων τότε, πάντας ἄρχοντας τῇ περὶ τὸν λαὸν ″παρῄνει κηδεμονίᾳ, καὶ ἀνέσεως προετίθει πόνους καὶ τὸ πάντοθεν ἐλαύνεσθαι, διηνεκεῖς καθ' ἑκάστην ἡμέραν ἀναδεχόμενος ἀπεχθείας. ἀλλὰ πάντα ἦν αὐτῷ κοῦφα. ἡ γὰρ τῶν γινομένων ὑπόθεσις ἱκανὴν αὐτῷ παρεῖχε τῶν συμβαινόντων παραμυθίαν. διὰ δὴ ταῦτα πάντα εὐχαριστήσαντες τῷ Θεῷ, ζηλώσωμεν τῶν ἁγίων τούτων τὰς ἀρετὰς, ἵνα καὶ τῶν στεφάνων αὐτοῖς κοινωνήσωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

γρ. παρῄνει

Λογ. μδ. ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΜΑΚΚΑΒΑΙΟΥΣ, ΚΑΙ ΕΙΣ τὴν μητέρα αὐτῶν. Λογ. α.

ΩΣ φαιδρὰ καὶ ″περιχαρὴς ἡμῖν ἡ πόλις, καὶ τοῦ παντὸς ἐνιαυτοῦ λαμπροτέρα ἡ σήμερον ἡμέρα· οὐ τοῦ ἡλίου ″φανοτέραν ἀκτῖνα τῆς εἰωθυίας πρὸς τὴν γῆν ἀφιέντος σήμερον, ἀλλὰ τοῦ φωτὸς τῶν ἁγίων μαρτύρων ὑπὲρ ἀστραπὴν ἅπασαν τὴν πόλιν ἡμῖν καταυγάσαντος. β. Μακκαβ. ζ. μυρίων γὰρ ἡλίων οὗτοι λαμπρότεροι, καὶ τῶν μεγάλων φωστήρων φανότεροι. διὰ τοῦτο σεμνοτέρα τοῦ οὐρανοῦ σήμερον ἡ γῆ. μὴ γάρ μοι τὴν κόνιν ″εἴπῃς, μήτε τὴν τέφραν λογίζου, μηδὲ τὰ χρόνῳ δαπανηθέντα ὀστᾶ· ἀλλ' ἄνοιξον ″τῆς πίστεως τοὺς ὀφθαλμοὺς, καὶ βλέπε ″παρακαθημένην αὐτοῖς τοῦ Θεοῦ τὴν δύναμιν, ″περικειμένην αὐτοῖς τοῦ πνεύματος τὴν χάριν, ″περιλάμπουσαν αὐτοὺς τοῦ οὐρανίου φωτὸς τὴν δόξαν. οὐ τοιαύτας ἐξ ἡλιακοῦ κύκλου πρὸς τὴν γῆν ἀκτῖνας ἀφίεται, οἵας μαρμαρυγαὶ καὶ λαμπηδόνες ἐκ τῶν σωμάτων ἐξαλλόμεναι τούτων αὐτὰς ἀποτυφλοῦσι τοῦ διαβόλου τὰς ὄψεις. καθάπερ γὰρ ″λῄσταρχοι καὶ τυμβωρύχοι, ἐπειδὰν ἴδωσιν ὅπλα που κείμενα βασιλικὰ, θώρακα, καὶ ἀσπίδα, καὶ κράνος, χρυσῷ πάντα καταλαμπόμενα, ἀποπηδῶσιν εὐθέως, καὶ οὐδὲ προσελθεῖν οὐδὲ ἅψασθαι τολμῶσι, μέγαν ὑφορώμενοι κίνδυνον, εἴ τι τοιοῦτον τολμήσαιεν· οὕτω δὴ καὶ οἱ δαίμονες, οἱ ἀληθινοὶ ″λῄσταρχοι, ὅπουπερ ἂν ἴδωσι μαρτύρων σώματα κείμενα, δραπετεύουσι καὶ ἀποπηδῶσιν εὐθέως. οὐ πρὸς τὴν φύσιν αὐτῶν βλέπουσι τὴν τέως θνητὴν, ἀλλὰ πρὸς τὴν ἀπόρρητον ἀξίαν τοῦ φορέσαντος αὐτὰ Χριστοῦ. ταῦτα γὰρ τὰ ὅπλα, οὐκ ἄγγελος, οὐκ ἀρχάγγελος, οὐκ

γρ. περιλαμπὴς ἡ παροῦσα ἡμέρα μᾶλλον ἢ τοῦ παντὸς ἐνιαυτοῦ λαμπροτέρα. γέγονε ἡ λαμπροτέρα, ἢ τοῦ
γρ. φαιδροτέραν
γρ. ἴδῃς, τῇ πίστει τοὺς τῆς ψυχῆς ὀφθ.
γρ. παρεδρεύουσαν
γρ. περιβεβλημένην
γρ. περιστέλλουσαν
γρ. λῃσταί τινες καὶ λωποδύται
γρ. λῃσταί

ἄλλη τις κλιστὴ ἐνεδύσατο δύναμις· ἀλλ' αὐτὸς ὁ τῶν ἀγγέλων δεσπότης. καὶ καθάπερ ὁ Παῦλος ἐβόα λέγων, Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ· οὕτω καὶ οὗτοι δύνανται βοᾶν καὶ λέγειν, Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἡμῖν ἀγωνισαμένου Χριστοῦ. τίμια γὰρ τὰ σώματα, ἐπεὶ πληγὰς ἐδέξαντο ὑπὲρ τοῦ ἰδίου δεσπότου, ἐπεὶ στίγματα βαστάζουσι διὰ τὸν Χριστόν. καὶ καθάπερ στέφανος βασιλικὸς λίθοις ποικίλοις πάντοθεν καλλωπιζόμενος μαρμαρυγὰς διαφόρους ἀφίησιν· οὕτω δὴ καὶ τὰ σώματα τῶν ἁγίων μαρτύρων, ὥσπερ λίθοις τιμίοις, τοῖς ὑπὲρ τοῦ Χριστοῦ τραύμασι κατεστιγμένα, παντὸς διαδήματος βασιλικοῦ τιμιώτερα καὶ σεμνότερα φαίνεται. οἱ μὲν οὖν ἔξωθεν ἀγωνοθέται ἀγῶνας τιθέντες, μεγίστην φιλοτιμίαν εἶναι νομίζουσιν, ὅταν νέους ἀθλητὰς καὶ σφριγῶντας εἰς τὰ σκάμματα καὶ τοὺς ἀγῶνας εἰσάγωσιν, ὥστε παρὰ τῆς ἐν τοῖς παλαίσμασιν ἐπιδείξεως ἀπὸ τῆς τῶν μελῶν εὐεξίας θαῦμα παρασχεῖν τοῖς θεαταῖς· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ πᾶν τοὐναντίον. ἀγῶνα γὰρ τιθεὶς ὁ Χριστὸς, οὐ τοιοῦτον, οἷοι ἐκεῖνοι, ἀλλὰ φρικτὸν καὶ φόβου γέμοντα (οὐ γὰρ ἀνθρώπων πρὸς ἀνθρώπους ἡ πάλη, ἀλλ' ἀνθρώπων πρὸς δαίμονας ἡ μάχη) τοιοῦτον τοίνυν ἀγῶνα τιθεὶς ἡμῖν, οὐ νέους ἀθλητὰς καὶ σφριγῶντας πρὸς τὰ παλαίσματα ἤγαγεν, ἀλλὰ μειράκια κομιδῇ, καὶ μετ' ἐκείνων γέροντα τὸν Ἐλεάζαρον, καὶ πρὸς τούτοις γυναῖκα γεγηρακυῖαν, τὴν μητέρα τῶν μειρακίων. τί ποτε τοῦτο ἄρα ἐστὶ, δέσποτα; τὴν ἄχρηστον ἡλικίαν πρὸς τὰ ἀγωνίσματα εἰς τὰ σκάμματα ἄγεις; τίς ἤκουσε γυναῖκα ἀγωνιζομένην ποτὲ ἐν γήρᾳ τοσούτῳ; οὐδεὶς ἤκουσεν. ἀλλ' ἐγὼ δὲ παράδοξον τοῦτο, φησὶ, καὶ καινὸν, καὶ οὔτε ἀκοῇ ποτε παραδεχθὲν, διὰ τῶν ἔργων αὐτῶν πιστώσομαι. οὐ γὰρ τοιοῦτος ἀγωνοθέτης ἐγὼ, ὡς τῇ τῶν ἀγωνιζομένων δυνάμει δὲ πᾶν ἐπιτρέπειν· ἀλλὰ παρίσταμαι καὶ βοηθῶ καὶ χεῖρα ὀρέγω τοῖς ἐμοῖς ἀθληταῖς, καὶ τῶν κατορθουμένων δὲ πλέον αὐτοῖς ἐκ τῆς ἐμῆς γίνεται προστασίας. ὅταν οὖν ἴδῃς γυναῖκα ὑπότρομον, γεγηρακυῖαν, βακτηρίας δεομένην εἰς ἀγῶνα εἰσιοῦσαν καὶ καταλύουσαν τυράννου μανίαν, περιγινομένην ἀσωμάτων δυνάμεων, κρατοῦσαν τοῦ διαβόλου ῥᾳδίως, συγκόπτουσαν αὐτοῦ τὴν ὄψιν μετ' ἐξουσίας πολλῆς, θαύμασον τοῦ ἀγωνοθέτου τὴν χάριν, ἐκπλάγηθι τοῦ Χριστοῦ τὴν δύναμιν. οὐ σφριγῶσι κατὰ τὴν σάρκα οἱ ἀθληταὶ, ἀλλὰ σφριγῶσι κατὰ τὴν πίστιν. ἀσθενὴς αὐτῶν ἡ φύσις, ἀλλὰ δυνατὴ ἡ ἀλείψασα αὐτοὺς χάρις. παραλέλυνται τὰ σώματα τῷ γήρᾳ, ἀλλὰ συγκεκρότηται τὰ φρονήματα τῷ πόθῳ τῆς εὐσεβείας. οὐκ ἔστιν αἰσθητὸς ὁ ἀγών. μὴ τοίνυν ἔξωθεν καταμάθῃς τοὺς ἀθλητὰς, ἀλλ' εἴσελθε τῷ λογισμῷ πρὸς τὴν τῆς ψυχῆς αὐτῶν εὐεξίαν· κατάμαθε τῆς πίστεως αὐτῶν τὴν ἰσχὺν, ἵνα μάθῃς, ὅτι ὁ δαίμοσι πυκτεύων οὐ σώματος ἰσχυρᾶς δεῖται περιβολῆς, οὐδὲ ἡλικίας ἀκμαζούσης, ἀλλὰ κἂν κομιδῇ νέος ᾖ, κἂν εἰς ἔσχατον γῆρας ἐληλακὼς, ψυχὴν δὲ ἔχῃ γενναίαν καὶ ἐρρωμένην, οὐδὲν ἀπὸ τῆς ἡλικίας εἰς τὰ ἀγωνίσματα παραβλάπτεται. καὶ τί λέγω γέροντα καὶ νέον, ὅπου γε καὶ γυναῖκες πρὸς ταῦτα ἀπεδύσαντο τὰ παλαίσματα, καὶ λαμπροὺς ἀνεδήσαντο τοὺς στεφάνους; οἱ μὲν γὰρ ἔξωθεν ἀγῶνες καὶ ἡλικίαν καὶ φύσιν καὶ ἀξίαν ἐξετάζοντες, καὶ δούλοις καὶ γυναιξὶ καὶ πρεσβύταις καὶ μειρακίοις τὴν πρὸς αὐτοὺς εἴσοδον ἀποκλείουσιν· ἐνταῦθα δὲ πάσῃ μὲν ἀξίᾳ, πάσῃ δὲ ἡλικίᾳ, ἑκατέρᾳ δὲ τῇ φύσει τὸ θέατρον μετὰ πάσης ἀδείας ἀνέῳκται· ἵνα καὶ τὴν ἀφθονίαν καὶ τὴν ἄφατον δύναμιν τοῦ τὸν ἀγῶνα τιθέντος καταμάθῃς, καὶ τὸ ἀποστολικὸν ἐκεῖνο διὰ τῶν ἔργων βεβαιούμενον ἴδῃς, ὅτι ἡ δύναμις αὐτοῦ ἐν ἀσθενείᾳ τελειοῦται. ὅταν γὰρ παιδία καὶ γέροντες τὰ ὑπὲρ τὴν φύσιν ἰσχύωσι, διὰ πάντων λαμπρῶς ἡ τοῦ δι' αὐτῶν ἐνεργοῦντος Θεοῦ διαφαίνεται χάρις.

β. Κορ. ιγ. γ.

γρ. ὑπερλάμπουσιν

γρ. ἐπιμένειν

γρ. πρεσβυτέροις

β. Κορ. ιβ. θ.

Καὶ ἵνα μάθῃς ὅτι ἡ ἀσθένεια τῶν ἀθλητῶν, αὕτη ἡ ἔξωθεν, λαμπροτέρους ποιεῖ γενέσθαι τοὺς στεφανίτας, φέρε δὴ τὸν γέροντα καὶ τὰ παιδία ἀφέντες, τὴν ἀσθενεστέραν αὐτῶν παραγάγωμεν εἰς μέσον, τὴν γυναῖκα, τὴν γεγηρακυῖαν, τὴν ἑπτὰ παίδων μητέρα. καὶ γὰρ αἱ ὠδῖνες οὐ μικρὸν κώλυμα τῶν παλαισμάτων τούτων εἰσί. τί οὖν αὐτῆς πρότερον θαυμάσαι ἄξιον, τὸ τῆς φύσεως ἀσθενὲς, ἢ τὸ τῆς ἡλικίας ἔρημον, ἢ τὸ τῆς συμπαθείας εὐεπηρέαστον; μεγάλα μὲν γὰρ καὶ ταῦτα κωλύματα πρὸς τὸν τοσαύτης καρτερίας δεόμενον δρόμον· ἐγὼ δὲ καὶ ἕτερον ἔχω τούτων μεῖζον εἰπεῖν, δι' οὗ καὶ τὴν ἀνδρείαν τῆς γυναικὸς, καὶ τὴν τοῦ διαβόλου κακουργίαν ἅπασαν κατοψόμεθα. τί δὲ τοῦτ' ἔστι; σκόπει μιαροῦ δαίμονος πονηρίαν. οὐ πρώτην αὐτὴν εἵλκυσεν εἰς τὰ σκάμματα, ἀλλὰ μετὰ τοὺς παῖδας ἤγαγε πρὸς τὰ παλαίσματα. τί δήποτε; ἵνα ταῖς τῶν ἑπτὰ παίδων βασάνοις προκαταβαλὼν αὐτῆς τὸ φρόνημα, καὶ τὸ στερρὸν τῆς διανοίας μαλάξας, διὰ τῆς τῶν γινομένων θέας προδαπανηθείσης αὐτῇ τῆς ἰσχύος ἐν ταῖς τῶν '' ἐγγόνων κολάσεσιν, ἀσθενεστέρα λοιπὸν γενομένη ῥᾳδίως ἐπιθῆται. μὴ γὰρ δὴ τοῦτο ἴδῃς, ὅτι ἐκεῖνοι τὰς βασάνους ἐδέχοντο, ἀλλ' ἐκεῖνο σκόπει, ὅτι αὐτὴ καθ' ἕκαστον αὐτῶν χαλεπωτέρας ὑπέμεινε τὰς ὀδύνας, καὶ καθ' ἕκαστον αὐτῶν ἀπεσφάττετο. καὶ τὸ λεγόμενον τοῦτο ἴσασι καλῶς, ὅσαι πεῖραν ὠδίνων ἔλαβον γυναῖκες καὶ μητέρες ἐγένοντο. πολλάκις γοῦν ὁρῶσα μήτηρ παιδίον πυρετῷ φλεγόμενον, πάντα ἂν εἵλετο παθεῖν, ὥστε ἀπὸ τοῦ σώματος ἐκείνου πρὸς ἑαυτὴν μεταγαγεῖν τὸ πῦρ τοῦ νοσήματος· οὕτω τῶν οἰκείων κακῶν τὰς τῶν παίδων συμφορὰς ἀφορητοτέρας αἱ μητέρες εἶναι νομίζουσιν. Εἰ δὲ τοῦτο ἀληθὲς, ὥσπερ οὖν ἀληθὲς, χαλεπώτερον τῶν παιδίων ἐν ταῖς τῶν παιδίων βασάνοις ἐκολάζετο ἡ μήτηρ, καὶ μεῖζον τὸ μαρτύριον ἐν τῇ μητρὶ, ἢ ἐν τοῖς παιδίοις '' ἐγίνετο. Εἰ γὰρ ἑνὸς παιδίου νόσος ἀκουομένη μόνον διαταράττει τὰ σπλάγχνα τῆς τικτούσης, οὐχ ἑνὸς παιδίου, ἀλλὰ τοσούτου χοροῦ παίδων ἀναιρουμένου, οὐκ ἀκοῇ δεχομένη τὰ παθήματα, ἀλλ' ὄψει παραλαμβάνουσα τὰ γινόμενα, τί οὐκ ἂν ἔπαθε; πῶς οὐκ ἐξέστη τῇ διανοίᾳ, ἕκαστον αὐτῶν ὁρῶσα διαφόροις τισὶ καὶ φρικταῖς τιμωρίαις κατὰ μικρὸν ἀναιρούμενον; πῶς οὐκ ἀπερράγη τοῦ σώματος ἡ ψυχή; πῶς οὐκ ἀπὸ τῆς πρώτης ὄψεως ἐπὶ τὴν πυρὰν ἐπεπήδησεν, ἀπαλλάττουσα ἑαυτὴν τῆς λοιπῆς θεωρίας; εἰ γὰρ καὶ φιλόσοφος ἦν, ἀλλὰ μήτηρ· εἰ καὶ θεοφιλὴς, ἀλλὰ καὶ σάρκα περιέκειτο· εἰ καὶ πρόθυμος ἦν, ἀλλὰ καὶ γυναικείας μετεῖχε φύσεως· εἰ καὶ τῷ ζήλῳ τῆς εὐσεβείας ἔζεεν, ἀλλὰ καὶ τῷ δεσμῷ τῶν ὠδίνων κατείχετο. Εἰ γὰρ ἡμεῖς, ἄνδρες ὄντες, κατάδικον πολλάκις ὁρῶντες διὰ τῆς ἀγορᾶς ἀγόμενον, τὸ σπαρτίον ἐπὶ τοῦ στόματος ἔχοντα ἐπὶ τὸ βάραθρον ἑλκόμενον, οὐδὲν δικαίωμα φιλίας πρὸς αὐτὸν ἔχοντες, ἀπὸ τῆς θέας μόνης κατακλώμεθα, καίτοι ἱκανὴν ἔχοντες παραμυθίαν πρὸς τὸ μηδὲν τοιοῦτο παθεῖν τοῦ καταδεδικασμένου τὴν πονηρίαν, τί παθεῖν ταύτην εἰκὸς οὐχὶ κατάδικον ἕνα ὁρῶσαν ἀπαγόμενον, ἀλλ' ἑπτὰ παιδία ἀθρόον ἐν ἡμέρᾳ μιᾷ, οὐχὶ συντόμῳ τελευτῇ, ἀλλὰ ποικίλαις κατακοπτόμενα σφαγαῖς; εἰ γὰρ λιθίνη τις ἦν, εἰ γὰρ ἐξ ἀδάμαντος αὐτῇ τὰ σπλάγχνα ἐπεπήγει, οὐκ ἂν διεταράχθη, οὐκ ἂν ἔπαθέ τι τοιοῦτον, οἷον καὶ γυναῖκα καὶ μητέρα παθεῖν εἰκὸς ἦν; ἐννόησον πῶς θαυμάζομεν τὸν πατριάρχην Ἀβραὰμ, ὅτι τὸν υἱὸν αὐτοῦ ἀνενεγκὼν συνεπόδισε καὶ ἐπὶ τὸ θυσιαστήριον ἀνεβίβασε, καὶ τότε ὄψει καλῶς ὅση τῆς γυναικὸς ἡ ἀνδρεία. ὢ πικροτάτης θέας καὶ ἡδίστης ἐκείνης· πικροτάτης μὲν διὰ τὴν φύσιν τῶν γινομένων· ἡδίστης δὲ, διὰ τὴν διάθεσιν τῆς ὁρώσης. οὐ γὰρ ἑώρα τὸ καταρρέον αἷμα, ἀλλ' ἑώρα τοὺς στεφάνους τῆς δικαιοσύνης πλεκομένους· οὐκ ἔβλεπε διαθρυπτομένας πλευρὰς, ἀλλ' ἔβλεπεν οἰκοδομουμένας σκηνὰς αἰωνίους· οὐχ ἑώρα περιεστῶτας δημίους, ἀλλ' ἑώρα κυκλοῦντας ἀγγέλους. ἐπελάθετο τῶν ὠδίνων, κατεφρόνησε τῆς φύσεως, ὑπερεῖδε τῆς ἡλικίας, κατεφρόνησε φύσεως, πράγματος τυραννικοῦ, φύσεως, ἣ καὶ τῶν θηρίων κρατεῖν εἴωθε. πολλὰ γοῦν τῶν δυσαλώτων θηρίων οὕτως ἁλίσκεται, διὰ τῆς πρὸς τὰ παιδία συμπαθείας τῆς οἰκείας ἀλογοῦντα σωτηρίας, καὶ ἀφυλάκτως εἰς τὰς τῶν θηρατῶν ἐμπίπτοντα χεῖρας. καὶ οὐδέν ἐστι ζῶον οὕτως ἀσθενὲς, ὃ μὴ ὑπερασπίζῃ τῶν ἐγγόνων, οὐδὲν οὕτως ἥμερον, ὃ μὴ τῶν παιδίων ἀφαιρουμένων παροξύνεται. ἀλλ' αὕτη καὶ τὴν διὰ τῶν λογικῶν ἀνθρώπων, καὶ τὴν διὰ τῶν ἀλόγων ζώων πεπαμέ-

γρ. ἐκγόνων

γρ. ἐγένετο.

νην

τὴν τῆς φύσεως τυραννίδα κατέλυσε. καὶ οὐ μόνον οὐκ ἐπεπήδησε τῇ κεφαλῇ τοῦ τυράννου, οὐδὲ διεσπάραξεν αὐτοῦ τὴν ὄψιν ὁρῶσα τοὺς σκύμνους διασπαρασσομένους, ἀλλὰ τοσαύτην ἐπεδείξατο φιλοσοφίας ὑπερβολὴν, ὡς καὶ παρασκευάζειν αὐτῷ τὴν ἀπάνθρωπον θοίνην, καὶ τῶν προτέρων ἐπικολαζομένων τοὺς ὑπολειπομένους πρὸς τὴν τῶν αὐτῶν πεῖραν ἀλείφειν δεινῶν.

[illegible]

Ἀκουέτωσαν μητέρες ταῦτα, ζηλούτωσαν τὴν ἀνδρείαν τῆς γυναικὸς, τὴν περὶ τὰ ἔκγονα φιλοστοργίαν· οὕτω τρεφέτωσαν τὰ παιδία. οὐ γὰρ τὸ τεκεῖν, μητρὸς (τοῦτο γὰρ τῆς φύσεως) ἀλλὰ τὸ θρέψαι, μητρός. τοῦτο γὰρ τῆς προαιρέσεως. καὶ ἵνα μάθῃς, ὅτι οὐ τὸ τεκεῖν ποιεῖ μητέρα, ἀλλὰ τὸ θρέψαι καλῶς, ἄκουσον τοῦ Παύλου στεφανοῦντος τὴν χήραν, οὐ διὰ τὸν τόκον, ἀλλὰ διὰ τὴν τροφὴν τῶν παιδίων. Εἰπὼν γὰρ, Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα, ἐν ἔργοις καλοῖς μαρτυρουμένη, τὸ κεφάλαιον τῶν ἀγαθῶν ἔργων ἐπήγαγε. τί δὲ τοῦτό ἐστιν; Εἰ ἐτεκνοτρόφησε, φησίν. οὐκ εἶπεν, Εἰ ἐτεκνοποίησεν, ἀλλ', Εἰ ἐτεκνοτρόφησεν. ἐννοήσωμεν τοίνυν τί πάσχειν εἰκὸς τὴν γυναῖκα (εἴγε γυναῖκα δεῖ αὐτὴν καλεῖν) ὁρῶσαν δακτύλους σπαίροντας ἐπὶ τῶν ἀνθράκων, κεφαλὴν ἐξαλλομένην, σιδηρᾶν χεῖρα ἐπιβαλλομένην ἑτέρου παιδίου κεφαλῇ καὶ τὴν δορὰν ἀποσύρουσαν, καὶ τὸν ταῦτα πάσχοντα ἑστῶτα ἔτι καὶ διαλεγόμενον; πῶς διῆρε στόμα, πῶς ἐκίνησε γλῶτταν, πῶς οὐκ ἀπέπτη τῆς σαρκὸς ἡ ψυχή; πῶς, ἐγὼ λέγω. οὐχ ἑώρα πρὸς τὴν γῆν, ἀλλὰ πρὸς τὰ μέλλοντα παρεσκευάζετο πάντα. εἰ ἐδεδοίκει μόνον, μὴ φείσηται καὶ προκαταλύσῃ τὸν ἀγῶνα ὁ τύραννος, μὴ διασχίσῃ τὸν χορὸν τῶν παιδίων, μὴ μείνωσί τινες ἀστεφάνωτοι. καὶ ὅτι τοῦτο ἐδεδοίκει, τὸν ἔσχατον μονοιουχὶ ταῖς χερσὶ λαβοῦσα, οὕτως εἰς τὸν λέβητα ἐνέθηκεν, διότι χηρῶν τῇ τῶν λόγων πρὸς αὐτὸν χρησαμένη παρακλήσει καὶ συμβουλῇ. ἡμεῖς οὐκ ἀκούομεν χωρὶς ἀλγηδόνος τὰ ἀλλότρια κακά· κἀκείνη ἔβλεπε χωρὶς ἀλγηδόνος τὰ οἰκεῖα. ταῦτα μὴ ἁπλῶς ἀκούωμεν, ἀλλ' ἕκαστος τῶν ἀκροατῶν ἐπὶ τῶν οἰκείων ἀναλαμβανέτω παιδίων ἅπασαν ταύτην τὴν τραγῳδίαν· ὑποτυπούτω τὴν ὄψιν τὴν ποθουμένην, καὶ τὰ φίλτατα ὑπογραφέτω ἑαυτῷ, εἶτ' αὐτῶν ἀναζωγραφείτω πάντα τὰ πάθη, καὶ τότε εἴσεται καλῶς τῶν λεγομένων τὴν δύναμιν· μᾶλλον δὲ οὐδὲ οὕτω. τὰ γὰρ τῆς φύσεως πάθη λόγος μὲν οὐδεὶς παραστῆσαι δυνήσεται, πεῖρα δὲ διδάσκει μόνη. εὔκαιρον πρὸς ἐκείνην εἰπεῖν τὸ προφητικὸν ἐκεῖνο μετὰ τῶν στεφάνων τῶν ἑπτὰ παίδων· Σὺ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. ἐπὶ μὲν οὖν τῶν Ὀλυμπιακῶν ἀγώνων, χιλίων πολλάκις εἰσελθόντων ἀθλητῶν, εἰς ἕνα περιίσταται μόνον ὁ στέφανος· ἐνταῦθα δὲ ἀπὸ ἑπτὰ ἀθλητῶν ἑπτὰ στέφανοι γεγόνασι. ποίαν ἔχεις μοι δεῖξαι χώραν οὕτως εὔφορον; ποίαν νηδὺν οὕτως εὔτοκον; ποίας τοιαύτας ὠδῖνας; ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου ἀποστόλων ἐγένετο μήτηρ, ἀλλὰ δύο μόνων. ἑπτὰ δὲ μάρτυρας οὐκ οἶδα μίαν ἐξενεγκοῦσαν γαστέρα, καὶ αὐτὴν πάλιν προστεθεῖσαν αὐτοῖς, οὐκ ἐν προσθήκῃ μιᾶς μάρτυρος μόνον, ἀλλ' ἐν πολλῷ πλειόνων. Οἱ μὲν γὰρ παῖδες ἑπτὰ μάρτυρες ἦσαν μόνον, τὸ δὲ σῶμα τῆς μητρὸς αὐτῶν προστεθὲν, σῶμα μὲν ἦν ἕν, μαρτύρων δὲ δὶς ἑπτὰ χώραν ἐπλήρου, ὅτι τε καθ' ἕκαστον αὐτῶν ἐμαρτύρησε, καὶ ὅτι κἀκείνους τοιούτους εἰργάσατο, ἐκκλησίαν ὁλόκληρον μαρτύρων ἡμῖν ἀποκυήσασα. ἑπτὰ παῖδας ὤδινε, καὶ οὐδένα ὤδινε τῇ γῇ, ἀλλὰ πάντας τῷ οὐρανῷ, μᾶλλον δὲ τῷ βασιλεῖ τῶν οὐρανῶν, εἰς τὴν μέλλουσαν αὐτοὺς ἅπαντας ἀποκυήσασα ζωήν. ὁ μὲν οὖν διάβολος ἐσχάτην αὐτὴν ἦγε πρὸς τὰ παλαίσματα διὰ τὴν αἰτίαν, ἣν ἔφθην εἰπὼν, ἵνα τῆς δυνάμεως αὐτῇ προαναλωθείσης ἐν τῇ θεωρίᾳ τῶν βασάνων εὐχείρωτος γένηται, ἐσχάτη δεχομένη τὸν ἀντίπαλον. εἰ γὰρ αἷμα πολλάκις ὁρῶντες καταρρέον οἱ ἄνθρωποι κατέπεσαν ὀλιγοψυχήσαντες, καὶ πολλῆς ἐδεήθησαν πραγματείας, ὥστε τὴν ζωὴν ἐκλείπουσαν αὐτοῖς, καὶ τοῦ σώματος ἀφισταμένην τὴν ψυ-

α. Τιμ. ε. θ.

Ψαλμ. να. ι.

χὴν ἐπισυναγαγεῖν, τοσούτους ἐκείνη αἵματος βλέπουσα ῥύακας, οὐκ ἐξ ἀλλοτρίας, ἀλλ' ἐκ τῆς τῶν παιδίων σαρκὸς καταῤῥέοντας, τί οὐκ ἂν ὑπέμεινε; πόσον οὐκ ἂν ἐδέξατο θόρυβον τῇ ψυχῇ; ὁ μὲν οὖν διάβολος, ὅπερ ἔφθην εἰπὼν, διὰ τοῦτο μετὰ τοὺς παῖδας αὐτὴν ἐπὶ τοὺς ἀγῶνας εἵλκυσεν, ὥστε ἀσθενεστέραν ἐργάσασθαι. ἐξέβη δὲ τοὐναντίον. μᾶλλον γὰρ θαῤῥοῦσα πρὸς τοὺς ἀγῶνας ἤρχετο. τίνος ἕνεκεν καὶ διὰ τί; ὅτι οὐκ ἐδεδοίκει λοιπὸν, οὐδὲ ἐφρόντιζεν ὑπέρ τινων ἐνταῦθα καταλιμπανομένων αὐτῇ παιδίων, μήποτε καταμαλακισθέντες ἀποστερηθῶσι τῶν στεφάνων· ἀλλὰ πάντας αὐτοὺς ὥσπερ εἰς ἄσυλον ἀποθεμένη ταμεῖον τὸν οὐρανὸν, καὶ πρὸς τοὺς ἄνω ἀποπέμψασα στεφάνους καὶ τὰ ἀκήρατα ἀγαθὰ, θαῤῥοῦσα ἐπαπεδύετο μετὰ πολλῆς τῆς ἡδονῆς, καὶ καθάπερ στεφάνῳ τινὶ τὸν τιμαλφέστατον λίθον, αὐτὴ τὴν σάρκα τὴν ἑαυτῆς τῷ χορῷ τῶν παιδίων ἐναρμόσασα πρὸς τὸν ποθούμενον Ἰησοῦν ἀπεδήμησε, μεγίστην ἡμῖν καταλιποῦσα παράκλησιν καὶ συμβουλὴν, τὴν διὰ τῶν ἔργων παραίνεσιν, ὥστε ἐῤῥωμένῃ ψυχῇ καὶ ὑψηλῷ τῷ φρονήματι πάντων καταταλμᾶν τῶν δεινῶν. τίς γὰρ ἀνὴρ, ποία γυνὴ, τίς πρεσβύτης, ποῖος νέος συγγνώμης τεύξεται λοιπὸν ἢ ἀπολογίαν ἕξει, δεδοικὼς διὰ τὸν Χριστὸν ἐπαγομένους αὐτῷ κινδύνους, ὅταν γυνὴ καὶ γεγηρακυῖα καὶ τοσούτων παίδων μήτηρ καὶ πρὸ τῆς χάριτος ἀγωνισαμένη, κεκλεισμένων ἔτι τῶν τοῦ θανάτου πυλῶν, οὔπω τῆς ἁμαρτίας σβεσθείσης, οὐδὲ τοῦ θανάτου καταγωνισθέντος, μετὰ τοσαύτης προθυμίας τε καὶ ἀνδρείας τοσαύτας φαίνηται διὰ τὸν Θεὸν ὑπομένουσα τιμωρίας; ταῦτα δὲ πάντα λογισάμενοι καὶ γυναῖκες καὶ ἄνδρες, καὶ νέοι καὶ γέροντες, τοὺς ἀγῶνας καὶ τὰ παλαίσματα ὥσπερ ἐπὶ πίνακός τινος τῆς καρδίας ἡμῶν ἀπογράψαντες, διηνεκῆ συμβουλὴν πρὸς τὴν τῶν δεινῶν ὑπομονὴν τὴν ἐκείνης καρτερίαν ἔχωμεν ἐναποκειμένην ἡμῶν τῇ ψυχῇ· ἵνα ἐνταῦθα μιμησάμενοι τὴν ἀρετὴν τῶν ἁγίων τούτων, κἀκεῖ τῶν στεφάνων δυνηθῶμεν αὐτοῖς κοινωνῆσαι, ὅσην ἐν τοῖς κινδύνοις φιλοσοφίαν ἐπεδείξαντο, τοσαύτην ἐν τοῖς ἀλόγοις πάθεσιν ἡμεῖς καρτερίαν ἐπιδεικνύμενοι, θυμῷ, καὶ ἐπιθυμίᾳ χρημάτων, σωμάτων, δόξης κενῆς, καὶ τῶν ἄλλων τῶν τοιούτων ἁπάντων. Εἰ γὰρ τῆς τούτων περιγενοίμεθα φλογὸς, καθάπερ ἐκεῖνοι τοῦ πυρὸς, δυνησόμεθα στῆναι πλησίον αὐτῶν, καὶ τῆς αὐτῆς μεταλαχεῖν παῤῥησίας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ δόξα ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ϟε. ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΜΑΚΚΑΒΑΙΟΥΣ. Λογ. β.

Μηνὸς Αὐγουσ. β.

ΑΠάντας μὲν οὖν ἐγκωμιάσαι τοὺς ἁγίους μάρτυρας οὐ δυνατὸν μιᾷ γλώττῃ· ἀλλὰ κἂν μυρία στόματα ἔχωμεν καὶ γλώττας τοσαύτας, λειπόμεθα τῶν ἐγκωμίων. καὶ ταὐτὸν πάσχω πρὸς τὰ κατορθώματα τῶν ἑπτὰ μαρτύρων ὁρῶν, οἷον ἂν εἰ φιλοχρήματος ἄνθρωπος ἐπιστὰς πηγῇ ῥεούσῃ χρυσὸν ἑπτὰ στόματα ἐχούσῃ, πᾶσαν μὲν αὐτὴν ἐξαντλῆσαι ἐπιχειροίη· μετὰ δὲ τὸν πολὺν καὶ ἄφατον πόνον τὸ πλέον ἀφεὶς ἀπέλθοι. πηγῆς γὰρ ὅσον ἂν ἐξαντλήσῃς, τὸ πλέον ἀπολείπεται. τί οὖν, ἐπειδὴ τὰ κατ' ἀξίαν εἰσενεγκεῖν οὐ δυνάμεθα, σιγήσομεν; οὐδαμῶς. μάρτυρες γάρ εἰσι τὰ δῶρα δεχόμενοι, καὶ τὸν ἑαυτῶν δεσπότην μιμοῦνται ἐν τῇ κρίσει τῆς τοιαύτης φιλοτιμίας. πῶς δὲ ἐκεῖνος ποιεῖ; ὅταν τις προσενέγκῃ δῶρα, οὐ τῷ μεγέθει τοῦ προσενεχθέντος, ἀλλὰ τῇ προθυμίᾳ τοῦ προσενέγκαντος προσέχων μετρεῖ τὴν ἀντίδοσιν· οὕτως ἐποίησεν ἐπὶ τῆς χήρας ἐκείνης· δύο κατέβαλεν ὀβολοὺς ἡ γυνὴ, καὶ προετιμήθη τῶν πολλὰ καταβεβληκότων. οὐ γὰρ τὴν ὀλιγότητα τῶν χρημάτων, ἀλλὰ τὴν πολυτέλειαν τῆς γνώμης εἶδεν ὁ Θεός.

Λουκ. κα. β.

ός. δύο ὀβολοὶ τὰ χρήματα, ἀλλὰ μυρίων χρυσοῦ ταλάντων τιμιωτέρα ἡ γνώμη. ἁψώμεθα δὴ τῶν ἐγκωμίων θαρροῦντες, καὶ ὅπερ χθὲς ἐποιήσαμεν, τοῦτο, εἰ δοκεῖ, γενέσθω καὶ νῦν. καὶ γὰρ χθὲς τὴν μητέρα ἀπολαβόντες μόνην, εἰς αὐτὴν τὸν λόγον ἀνηλώσαμεν· ἐποιοῦμεν δὲ τοῦτο, οὐκ ἀποσχίσαι βουλόμενοι τοῦ χοροῦ τῶν παίδων αὐτὴν, ἀλλ' ἀσφαλέστερον ἡμῖν κατασκευάσαι τὸν πλοῦτον. τοῦτο δὴ καὶ νῦν ποιήσωμεν, ἕνα τῶν παίδων ἀποσπάσαντες, εἰς αὐτὸν ὀλίγα εἴπωμεν. δέος γὰρ μήποτε, καθάπερ ἑπτὰ ποταμοὶ, οἱ τῶν ἑπτὰ μαρτύρων ἔπαινοι συνελθόντες, ἀθρόον τὸν λόγον ἡμῖν ἐπικλύσωσιν. οὐκοῦν ἕνα τῶν νεανίσκων ἀπολάβωμεν· οὐδὲ τοῦτον ἀποσχίζοντες τοῦ χοροῦ τῶν ἀδελφῶν, ἀλλὰ κοῦφον ἡμῖν ποιοῦντες τὸ φορτίον. καὶ γὰρ ἑνὸς ἐπαινουμένου, κοινὸς καὶ τῶν ἄλλων ὁ στέφανος ἔσται· ἐπεὶ καὶ τῶν ἄθλων τῶν αὐτῶν ἐκοινώνησαν ἅπαντες. πάντως δὲ ἐπεισελεύσεται ἡμῖν ἡ μήτηρ καὶ σήμερον, κἂν μὴ αὐτῆς ἁπτώμεθα. ἡ γὰρ ἀκολουθία αὐτὴν τῶν λόγων ἐπισπάσεται πάντως, καὶ οὐκ ἀνέξεται ἀφεῖναι τὰ παιδία. εἰ γὰρ ἐν τοῖς ἀγῶσιν οὐκ ἀπέστη τῶν ἐκγόνων, οὐδὲ ἐν τοῖς ἐγκωμίοις αὐτῶν ἀφέξεται. τίνα οὖν βούλεσθε τῶν ἑπτὰ ἀπολάβωμεν ἀθλητῶν; ἆρα τὸν πρῶτον, ἢ τὸν δεύτερον, ἢ τὸν τρίτον, ἢ τὸν ἔσχατον; μᾶλλον δὲ οὐδεὶς ἐν αὐτοῖς ἔσχατος (χορὸς γάρ ἐστι) χοροῦ δὲ οὔτε ἀρχὴ, οὔτε τέλος φαίνεται. ἀλλ' ἵνα γνωριμώτερον ποιήσωμεν τὸν ἐπαινούμενον, τὸν ἔσχατον τῇ ἡλικίᾳ λέγομεν. ἀδελφὰ γὰρ τὰ παλαίσματα, καὶ συγγενῆ τὰ κατορθώματα. ἔνθα δὲ ἡ συγγένεια κατορθωμάτων, οὐκ ἔστι πρῶτος καὶ δεύτερος. ἀπολάβωμεν οὖν τὸν ἔσχατον τῇ ἡλικίᾳ, καὶ ὁμήλικα τῷ φρονήματι, οὐ τοῖς ἀδελφοῖς ὁμήλικα μόνον, ἀλλὰ καὶ αὐτῷ τῷ γέροντι. οὗτος μόνος τῶν ἀδελφῶν λελυμένος ἤγετο πρὸς τὰ βασανιστήρια. οὐ γὰρ ἀνέμεινε τὰς τῶν δημίων χεῖρας· ἀλλὰ προέλαβε τῇ οἰκείᾳ προθυμίᾳ τὴν ἐκείνων ὠμότητα, καὶ λελυμένος ἤγετο. καὶ τῶν μὲν ἀδελφῶν οὐδένα εἶχε θεατὴν (πάντες γὰρ ἦσαν τελειωθέντες) εἶχε δὲ σεμνότερον τῶν ἀδελφῶν θέατρον, τοὺς τῆς μητρὸς ὀφθαλμούς. οὐκ ἔλεγον ὑμῖν, ὅτι καὶ μὴ σπουδαζόντων ἡμῶν ἐπεισελεύσεται καὶ ἡ μήτηρ πάντως; ἰδοὺ τοίνυν εἰσήγαγεν αὐτὴν ἡ ἀκολουθία τοῦ λόγου. τοῦτο δὲ τὸ θέατρον οὕτω σεμνὸν ἦν καὶ μέγα, ὥστε καὶ αὐτῶν τῶν ἀγγέλων τὸν δῆμον, μᾶλλον δὲ καὶ τοὺς ἀδελφοὺς εἶχεν αὐτὸν θεωμένους, οὐκ ἔτι ἀπὸ τῆς γῆς, ἀλλ' ἐκ τῶν οὐρανῶν. ἐστεφανωμένοι γὰρ ἐκάθηντο, καθάπερ ἐν τοῖς Ὀλυμπιακοῖς ἀγῶσιν οἱ δικασταὶ, οὐχὶ κρίνοντες τοῖς παλαίσμασιν, ἀλλὰ τὸν στεφανίτην ἐπειγόμενοι λαβεῖν. εἱστήκει τοίνυν λελυμένος, καὶ φθεγγόμενος ῥήματα φιλοσοφίας γέμοντα. ἐβούλετο μὲν γὰρ μεταστῆσαι τὸν τύραννον πρὸς τὴν οἰκείαν εὐσέβειαν· ὡς δὲ οὐκ ἴσχυσε, τὸ ἑαυτοῦ λοιπὸν ἐποίησεν· ἐξέδωκεν ἑαυτὸν τῇ τιμωρίᾳ. κἀκεῖνος μὲν ᾤκτειρεν αὐτὸν τῆς ἡλικίας, οὗτος δὲ ἐδάκρυσεν αὐτὸν τῆς ἀσεβείας. οὐ γὰρ τὰ αὐτὰ βλέπει ὁ τύραννος, καὶ ὁ μάρτυς. ἀμφοτέροις μὲν γὰρ οἱ αὐτοὶ ὀφθαλμοὶ, ἀλλὰ τῆς σαρκός· οἱ δὲ τῆς πίστεως οὐκ ἔτι οἱ αὐτοί. ἀλλ' ἐκεῖνος μὲν ἔβλεπε τὴν παροῦσαν ζωὴν, οὗτος δὲ ἔβλεπε τὴν μέλλουσαν, πρὸς ἣν ἔμελλεν ἀναπτήσεσθαι. καὶ ὁ μὲν τύραννος ἑώρα τὸ τήγανον· ὁ δὲ μάρτυς ἑώρα τὴν γέενναν, εἰς ἣν ἔμελλεν ἑαυτὸν ἐμβαλεῖν ὁ τύραννος. εἰ δὲ τὸν Ἰσαὰκ θαυμάζομεν, ὅτι δεθεὶς ὑπὸ τοῦ πατρὸς καὶ συμποδισθεὶς οὐκ ἐξήλατο τοῦ βωμοῦ, οὐδὲ ἐσκίρτησεν ὁρῶν μάχαιραν ἐπαγομένην, πολλῷ μᾶλλον τοῦτον θαυμάζειν χρὴ, ὅτι οὐκ ἐδέθη, οὐδὲ τῆς ἀπὸ τῶν δεσμῶν ἀνάγκης χρείαν ἔσχεν, οὐδὲ ἀνέμεινε τὰς χεῖρας τῶν δημίων, ἀλλ' αὐτὸς ἑαυτῷ καὶ θῦμα καὶ ἱερεὺς καὶ θυσιαστήριον γέγονε. περισκοπήσας γὰρ κύκλῳ, καὶ ἰδὼν οὐδένα τῶν ἀδελφῶν περιόντα, ἐθορυβήθη, ἠπείχθη σπεῦσαι καὶ καταλαβεῖν, ὥστε μὴ ἀποσχισθῆναι τοῦ καλοῦ τούτου χοροῦ. διὰ τοῦτο οὐκ ἀνέμεινε τὰς τῶν δημίων χεῖρας. ἐφοβεῖτο γὰρ τὴν φειδὼ τοῦ τυράννου, μήποτε αὐτὸν κατελεήσας ἐξαρπάσῃ τῆς κοινωνίας τῶν ἀδελφῶν. διὰ τοῦτο προλαβὼν ἑαυτὸν ἐξήρπασε τῆς φιλανθρωπίας τῆς ἀνημέρου. καὶ γὰρ πολλὰ ἦν ἱκανὰ ἐπικάμψαι τὸν τύραννον, τῆς ἡλικίας τὸ νέον, τῶν ἀδελφῶν τῶν τοσούτων ἡ τιμωρία, ἣ καὶ θηρίον ἱκανὴ κορέ-

σαι

χ. καλλιμαχεῖν

σαι (ἀλλ' ἐκεῖνος οὐκ ἐκορέννυτο) ἡ πολιὰ τῆς μητρὸς, τὸ μηδὲν αὐτοῦ γενέσθαι πλέον ἀπὸ τῆς κολάσεως τῶν προλαβόντων.

Ταῦτα πάντα ἐννοήσας ὁ νεανίας ἐνέβαλεν ἑαυτὸν εἰς τιμωρίαν, ἀφ' ἧς διαφυγεῖν οὐκ ἦν, καὶ ὡς εἰς πηγὴν ναμάτων ψυχρῶν, οὕτως εἰς τοὺς λέβητας ἐκυβίστα, λουτρὸν θεῖον ἐκεῖνο τὸ βάπτισμα νομίζων· καὶ καθάπερ ἄνθρωπος φλεγόμενος, εἰς εὔριπον ψυχρῶν ὑδάτων ἑαυτὸν ἀφίησιν, οὕτως ἐκεῖνος ἐκκαιόμενος τῇ τῶν ἀδελφῶν ἐπιθυμίᾳ, πρὸς τὴν τιμωρίαν ἐκείνην ἀφῆκεν ἑαυτόν. προσήγαγε δὲ καὶ ἡ μήτηρ παράκλησιν, οὐκ ἐπειδὴ παρακλήσεως ἐκεῖνος ἐδεῖτο· ἀλλ' ἵνα μάθῃς πάλιν τὸ στεῤῥὸν τῆς γυναικός. ἐπ' οὐδενὶ γὰρ τῶν ἑπτὰ παίδων ἔπαθε τὰ μητέρων· μᾶλλον δὲ ἐφ' ἑκάστῳ τὰ μητέρων ἔπαθεν. οὐ γὰρ εἶπε πρὸς ἑαυτήν· τί ποτε τοῦτό ἐστιν; ἀνήρπασταί μοι τῶν παίδων ὁ χορός· οὗτος ὑπολέλειπται μόνος· ἐν τούτῳ μοι κινδυνεύει τὰ τῆς ἀπαιδίας· τίς με γηροκομήσει λοιπὸν, ἂν οὗτος ἀπέλθῃ; οὐ γὰρ ἤρκει μοι τοὺς ἡμίσεις παραστῆσαι; εἰ δὲ μὴ τοὺς ἡμίσεις, τὰς δύο μοίρας; ἀλλὰ καὶ τὸν ὑπολελειμμένον μοι μόνον εἰς παραμυθίαν τοῦ γήρως, καὶ αὐτὸν ἐπιδώσω πάλιν; οὐδὲν τούτων οὐκ εἶπεν, οὐκ ἐνενόησεν, ἀλλὰ καθάπερ χερσὶ, τῇ παρακλήσει τὸν λόγαν ἐπαίρουσα, ἐνέβαλεν εἰς τὸν λέβητα τὸν υἱὸν, δοξάζουσα τὸν Θεὸν, ὅτι ὅλον αὐτῆς τὸν καρπὸν τῆς γαστρὸς ἐδέξατο, καὶ οὐδένα ἀπεδοκίμασεν, ἀλλ' ὁλόκληρον τὸ δένδρον ἐτρύγησεν. ὥστε θαῤῥῶν ἂν εἴποιμι, ὅτι μείζονα αὕτη τῶν παίδων ἔπαθεν. ἐκείνοις μὲν γὰρ τὸ πολὺ τῆς ὀδύνης καὶ ἡ λιποψυχία λοιπὸν ὑπετέμνετο· αὕτη δὲ ἀκεραίῳ διανοίᾳ καὶ ἀκραιφνεῖ γνώμῃ τρανωτέραν ἐλάμβανε τῶν γινομένων τὴν αἴσθησιν διὰ τὴν φύσιν. καὶ ἦν ἰδεῖν τριπλοῦν πῦρ· ὅπερ ἔκαυσεν ὁ τύραννος ἐκεῖνος, ὅπερ ἀνέφλεξεν ἡ φύσις, ὅπερ ὑφῆψε τὸ πνεῦμα τὸ ἅγιον. οὐ τοιαύτην ἀνῆψε κάμινον ὁ Βαβυλώνιος τύραννος ἐκεῖνος, οἵαν ἀνῆψε τῇ μητρὶ κάμινον ὁ τύραννος οὗτος. ἐκεῖ μὲν γὰρ ἡ τροφὴ τοῦ πυρὸς νάφθα, καὶ πίσσα, καὶ στύππιον, καὶ κληματίδες ἦν· ἐνταῦθα δὲ φύσις, ὠδῖνες, φιλοστοργία, παίδων συμφωνία. οὐχ οὕτως ἐτηγανίζοντο ἐκεῖνοι ἐπὶ τοῦ πυρὸς κείμενοι, ὡς ἐτηγανίζετο αὕτη διὰ τὴν φιλοστοργίαν· ἀλλ' ἐκράτει διὰ τὴν εὐσέβειαν, καὶ φύσις ἐμάχετο χάριτι, καὶ ἡ νίκη τῆς χάριτος ἦν. εὐσέβεια ὠδίνων περιεγένετο, καὶ πῦρ ἐκράτει πυρὸς, τὸ πνευματικὸν τοῦ φυσικοῦ καὶ τοῦ παρὰ τῆς ὠμότητος τοῦ τυράννου καυθέντος. καὶ καθάπερ θαλαττία πέτρα δεχομένη κυμάτων προσβολὰς, αὐτὴ μὲν ἀκίνητος μένει, ἐκεῖνα δὲ εἰς ἀφρὸν διαλύουσα ἀφανίζει ῥᾳδίως· οὕτω δὴ καὶ ἡ καρδία τῆς γυναικὸς ἐκείνης, ὥσπερ τις θαλαττία πέτρα κύματα, δεχομένη τὰς προσβολὰς τῶν ὀδυνῶν, αὐτὴ μὲν ἀκίνητος ἔμενε, τὰς δὲ προσβολὰς ἐκείνας στεῤῥῷ καὶ φιλοσοφίας γέμοντι διέλυε λογισμῷ. ἐφιλοτιμεῖτο δεῖξαι τῷ τυράννῳ, ὅτι ὄντως μήτηρ αὐτῶν ἐστιν, ὄντως ἐκεῖνοι γνήσιοι παῖδες αὐτῆς, οὐ διὰ τὴν συγγένειαν τῆς φύσεως, ἀλλὰ διὰ τὴν κοινωνίαν τῆς ἀρετῆς. οὐκ ἐνόμιζεν ὁρᾷν κολαστικὸν πῦρ, ἀλλὰ γαμήλιον λαμπάδα. οὐχ οὕτω μήτηρ κοσμοῦσα παῖδας εἰς γάμον εὐφραίνεται, ὡς ἐκείνη κολαζομένους βλέπουσα ἔχαιρε· καὶ καθάπερ τὸν μὲν στολὴν περιβάλλουσα νυμφικὴν, τῷ δὲ στεφάνους πλέκουσα, τῷ δὲ παστάδας ἱστᾶσα γαμηλίους· οὕτω τὸν μὲν ἐπὶ τοὺς λέβητας, τὸν δὲ ἐπὶ τὰ τήγανα τρέχοντα, τὸν δὲ τὴν κεφαλὴν ἀποτεμνόμενον ὁρῶσα ἠγάλλετο. καὶ ἦν πάντα καπνοῦ καὶ κνίσσης μεστὰ, καὶ διὰ τῶν αἰσθητηρίων ἁπάντων τὴν πεῖραν ἐδέχετο τῶν παίδων, διὰ τῶν ὀφθαλμῶν ὁρῶσα, διὰ τῆς ἀκοῆς τῶν φιλτάτων ἀκούουσα ῥημάτων, αὐτῇ τῇ ῥινὶ τὸν καπνὸν δεχομένη τῶν σαρκῶν τὸν ἡδὺν ἐκεῖνον καὶ ἀηδῆ· ἀηδῆ μὲν τοῖς ἀπίστοις, τῷ Θεῷ δὲ καὶ αὐτῇ πάντων ἥδιον· τὸν καπνὸν ἐκεῖνον, ὃς τὸν μὲν ἀέρα ἐθόλωσε, τὴν δὲ διάνοιαν τῆς γυναικὸς οὐκ ἐθόλωσεν. εἱστήκει γὰρ ἀκλινὴς καὶ ἀπερίτρεπτος ἐγκαρτεροῦσα πᾶσι τοῖς γινομένοις. ἀλλ' ὥρα λοιπὸν καταπαῦσαι τὸν λόγον, ὥστε πλειόνων αὖθις ἀπολαῦσαι τῶν ἐγκωμίων παρὰ τῷ κοινῷ διδασκάλῳ. ταύτην μιμείσθωσαν πατέρες, ζηλούτωσαν μητέρες, καὶ γυναῖκες καὶ ἄν-

Δαν γ.

δρες ἐν παρθενίᾳ ζῶντες, καὶ σάκκους περιβεβλημένοι, καὶ κλοιὰ περικείμενοι. εἰς ὅσον γὰρ ἂν ἀφικώμεθα σκληραγωγίας τε καὶ φιλοσοφίας, προφθάνει τὴν καρτερίαν ἡμῶν τῆς γυναικὸς ἡ φιλοσοφία. μηδεὶς τοίνυν τῶν εἰς ἄκρον ἐληλακότων ἀνδρείας καὶ καρτερίας ἀνάξιον εἶναι νομιζέτω τὴν γυναῖκα τὴν γεγηρακυῖαν διδάσκαλον ἔχειν· ἀλλ' εὐξώμεθα κοινῇ πάντες, καὶ οἱ τὰς πόλεις οἰκοῦντες, καὶ οἱ ταῖς ἐρημίαις ἐνδιαιτώμενοι, καὶ οἱ παρθενίαν ἀσκοῦντες, καὶ οἱ ἐν γάμῳ σεμνῷ διαλάμποντες, καὶ οἱ τῶν παρόντων ὑπερορῶντες ἁπάντων καὶ τὸ σῶμα σταυρώσαντες, δυνηθῆναι, τὸν αὐτὸν αὐτῇ δρόμον δραμόμενοι, τῆς αὐτῆς καταξιωθῆναι παρρησίας, καὶ ἐγγὺς αὐτῆς στῆναι κατὰ τὴν ἡμέραν ἐκείνην, εὐχαῖς αὐτῆς τῆς ἁγίας, καὶ τῶν αὐτῆς παίδων, καὶ τοῦ τὸν χορὸν αὐτῶν συμπληρώσαντος Ἐλεαζάρου τοῦ μεγάλου καὶ γενναίου γέροντος, καὶ ψυχὴν ἀδαμάντινον ἐν τοῖς δεινοῖς ἐνδειξαμένου. δυνησόμεθα δέ, ἂν μετὰ τῶν ἁγίων εὐχῶν καὶ τὰ παρ' ἑαυτῶν πάντα εἰσφέρωμεν, πρὸ τῶν πολέμων καὶ τῶν δεινῶν ἐν τῷ καιρῷ τῆς εἰρήνης τῶν ἐν ἡμῖν κρατοῦντες παθῶν, τὰ ἄτακτα τῆς σαρκὸς περικόπτοντες σκιρτήματα, ὑπωπιάζοντες καὶ δουλαγωγοῦντες τὸ σῶμα. οὕτω γάρ, ἄν τε ἐν εἰρήνῃ διάγωμεν, λαμπροὺς ἕξομεν τῶν γυμνασίων τοὺς στεφάνους· ἄν τε τὸν αὐτὸν ἡμῖν ἀγῶνα ἀνοῖσαι δοκῇ τῷ φιλανθρώπῳ Θεῷ, παρεσκευασμένοι πρὸς τὰ παλαίσματα ἥξομεν, καὶ τῶν οὐρανίων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. μϛ. ΕΙΣ ΤΟΥΣ ΑΥΤΟΥΣ ΑΓΙΟΥΣ ΜΑΚΚΑΒΑΙΟΥΣ. Λογ. γ.

Καὶ τοῖς μάρτυσιν ὁρῶν τὴν τῶν ἔργων εὐφημίαν ὀφειλομένην, καὶ τὸ πλῆθος στενοχωρούμενον βλέπων, ὀκνῶ. οὐκοῦν, εἰ δοκεῖ, τὴν διδασκαλίαν πρὸς τὸ παρὸν ὑπερθώμεθα, μιμεῖσθαι δὲ σπουδάζωμεν τῶν μαρτύρων τὸν τόνον. οὐκοῦν πρῶτος ἡμῖν Ἐλεάζαρος ὁ πρεσβύτης εἰς μέσον ἡκέτω, ἡ τῶν ἀγώνων ἀρχή, ὁ τῆς μαρτυρίας θεμέλιος, τῶν σκαμμάτων ἡ θύρα, τῆς ἀνδρείας ὁ ἀρχηγός, τῆς καρτερίας ὁ πρόδρομος, ἡ νεάζουσα πολιά, ὁ τῆς παλαιᾶς πρωτομάρτυς, ἡ Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων εἰκών. ἔκαμνε κολακεύων καὶ μαστιγῶν ὁ πολέμιος, καὶ οὐκ ἐπαύσατο ῥητορεύων ὁ κολαζόμενος· εἱστήκει τρέμων ὁ πρεσβύτης ὑπὸ τοῦ γήρως, ἐκάθητο δὲ ἀπειλῆς καὶ φόνου πνέων ὁ τύραννος. καὶ ὁ μὲν τρέμων ἀπῆλθεν ἀκμάζων, ὁ δὲ σφριγῶν ἀπῆλθε νενικημένος. εἱστήκει πολιὰ καταξαινομένη· ἐδίκαζε δὲ νεότης μετὰ αὐθεντίας ἀγερουμένη, καὶ τῇ πολιᾷ τὰ τῆς νίκης ἐγίνετο. ὢ τρόπου νικητηρίων καινοῦ· ὅλην ὁμοῦ τοξεύουσαν στρατιὰν τυπτόμενος εἷς ἐτρέψατο γέρων. οὐκ ἐᾷ με πρὸς τὴν τῶν νέων ἀνδρείαν τῶν τοῦ γέροντος ἄθλων μεταβαίνειν τὸ θαῦμα· πορευτέον δ' οὖν ὅμως ἡμῖν ἐπ' αὐτοὺς τοῦτον βιασαμένους. λαμπρὰ γὰρ καὶ παρ' ἐκείνοις κατὰ τοῦ τυράννου τὰ τρόπαια. οὐ γὰρ ἔμελλε πολιᾶς νεότης ἀτολμηροτέρα φανεῖσθαι. ἑπτὰ γοῦν ἐφεξῆς ἀριστεύοντες ἐστεφανοῦντο νέοι, ἐκ μιᾶς γαστρὸς εἰς μίαν δραμόντες παράταξιν. εἰ δοκεῖ, καταπαύω τὸν λόγον. ἰσχυρῶν μαρτύρων ἰσχυροὶ χορευταί. ἀλλ', ὅπερ ἔλεγον, ἑπτὰ ἐφεξῆς ἀριστεύοντες ἐστεφανοῦντο νέοι, ἐκ μιᾶς γαστρὸς εἰς μίαν δραμόντες παράταξιν· μιᾷ γόνων ἀδελφότητι καὶ τρόπῳ κεκοσμημένοι, ἄλλος ἐπ' ἄλλῳ τοῖς ἀγῶσιν ἐμβάλλων. νῦν μοι τῆς εὐαγγελικῆς ἐκείνης ἐφ' ὑμῖν, ὦ γενναῖοι, μνημονευτέον φωνῆς· Μακαρία, φησίν, ἡ κοιλία ἡ βαστάσασα ὑμᾶς, καὶ μαστοί, οὓς ἐθηλάσατε. ἐπεὶ δὲ μαστῶν καὶ κοιλίας ἐμνήσθην, ὥρα μοι καὶ πρὸς τὴν τῶν ἀριστέ-

Λουκ. ια. κζ.

ων διαβαίνειν μητέρα, τὴν ἐν ἑνὶ σώματι πολλάκις ἀποθανοῦσαν· μᾶλλον δὲ τὴν πολλάκις σφαγεῖσαν, καὶ μηδὲ ἅπαξ ἀλγήσασαν· τὴν ἄτρωτον ὁμοῦ, καὶ πολύτρωτον. οὐκ ἐτάραττεν αὐτὴν ὁ πρῶτος ἑλκόμενος εἰς θάνατον τῶν παίδων, ὡς ὁ δεύτερος μηδέπω τῶν ἀγώνων ἁψάμενος ἐπτόει· οὐκ ἐλύπει τοῦ δευτέρου πάλιν ἡ τελευτὴ, ὡς ἡ τοῦ τρίτου παιδὸς ἐφόβει ζωὴ τὸ πέρας ἀγνοούμενον ἔχουσα. μικρὸς ἦν αὐτῇ ὁ τρίτος καὶ τέταρτος ἀποσφαττόμενος παῖς τοῦ πέμπτου μήπω πεφονευμένου· οὐδὲ τοῦ ἕκτου τὸ πτῶμα τὴν φιλοσοφίαν ἐνίκησεν. ἔμενε λοιπὸν τελευταῖος πρὸς τοὺς ἀγῶνας ὁ ἕβδομος, ὁ τὴν ἑπτάφθογγον τῶν μαρτύρων συμπληρώσας κιθάραν. τί οὖν; ἐπεκάμφθη τῷ τῆς ἡλικίας ἀώρῳ; συνήλγησε κἂν τῷ λειψάνῳ τῆς φύσεως; αὐτὴ μὲν οὖν τὸ παιδίον πρὸς τὸν θάνατον ὤθει, εἰ καὶ μὴ ταῖς χερσὶν, ἀλλὰ ταῖς συμβουλαῖς. μὴ διακόψῃς, φησὶ, τῶν στεφάνων, ὦ τέκνον, τὸν ἀριθμόν· γενοῦ μετὰ τῶν ὠδίνων, καὶ τῶν κατορθωμάτων τοῖς ἀδελφοῖς κοινωνός· μίμνησαι τὴν κοινωνίαν τῆς φύσεως τῇ κοινωνίᾳ τῆς πράξεως· δεῖξον σαυτὸν τῶν ἀνηρημένων καὶ ἐν τοῖς σκάμμασιν ἀδελφόν. ἕβδομός μοι παῖς ἐτέχθης παρὰ τῆς φύσεως, ἕβδομός μοι μάρτυς γενοῦ παρὰ τῆς προαιρέσεως. μή με δείξῃς, ὦ τέκνον, παίδων μὲν ἑπτὰ, μαρτύρων δὲ ἓξ καλουμένην μητέρα. ποῦ μοι νῦν εἰσιν οἱ μηδὲ τὰ ἐκ χρημάτων τῷ Θεῷ προσφορὰς προσκομίζοντες; ἑπτὰ τῷ δεσπότῃ σήμερον παῖδας ἁπαλοὺς προσήγαγε μήτηρ, καὶ οὐκ ἐνάρκησεν ἐκ τῶν σπλάγχνων θυσίαν προσφέρουσα· πολλοὶ δὲ ἡμῖν καὶ περὶ ὀβολὸν ἐν καιρῷ μικρολογοῦνται προσκομιδῆς. ἀλλ' ἡμεῖς τῷ Θεῷ καὶ ψυχῶν καὶ χρημάτων καὶ σωμάτων προσκομιδὴν προσαγάγωμεν, ἐπὶ πᾶσι δοξάζοντες Χριστὸν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ
ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ
ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου εἰς διαφόρους τῶν ἁγίων γραφῶν
περικοπὰς λόγοι ἀμφιβαλλόμενοι.

Γεν. α. λα.

Λογ. μζ. ΕΙΣ ΤΟ, ΕΙΔΕΝ Ο ΘΕΟΣ ΠΑΝΤΑ, ΟΣΑ ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν· καὶ ὅτι τὰ θεῖα λόγια τιμιώτερα πάντων ἡδέων.

Καλοὶ τῆς εὐσεβείας οἱ λειμῶνες, οὐ προσκαίροις χροιαῖς κομῶντες, ἀλλ' οὐρανίοις ἄνθεσι βρύοντες· αὗται δέ εἰσι τῆς εὐσεβείας, οἱ καρποὶ τῆς ἐνθέου πολιτείας. αἱ γὰρ ἀρεταὶ ἀνάγουσιν ἡμᾶς εἰς τὸ θαυμαστὸν καὶ πρωτότυπον ἐκεῖνο κάλλος, τὸ κατ' εἰκόνα Θεοῦ γεγλυμμένον καὶ καθ' ὁμοίωσιν. αὕτη τοίνυν ἡ κατ' ἀρετὴν ὁμοίωσις, ἵππον αὐτὴν ἀνθρώπου οὐκ ἐᾷ λέγεσθαι. ταύτην οὖν ὅταν μεταδιώκωμεν, οὐκ ἔτι λύκος καὶ δράκων καὶ ὄφις καὶ σκορπίος ὀνομαζόμεθα, πρὸς τὴν τῶν ἀλόγων ὕβριν καταφερόμενοι· ἀλλ' εἰκὼν Θεοῦ θαυμαστὴ καὶ τιμία, τὸ πρωτότυπον κάλλος τοῦ χαρακτῆρος σώζουσα, καί ἐσμεν, καὶ λεγόμεθα, καὶ πιστευόμεθα. δεσπότης ἐγένου τῶν ἀλόγων, μὴ μιμοῦ τῶν οἰκετῶν τὰ ἤθη· οὐκ ἐπειδὴ φαῦλα τὰ ἄλογα. οὐδὲν γὰρ παρὰ τοῦ ἀγαθοῦ κακὸν ἐκτίσθη. μὴ γάρ τις νομιζέτω ἐν χώρᾳ κακίας τὰ ἄλογα τάττεσθαι, διὰ τὸ εἰκόνα κακίας παρῆχθαι τῶν μὴ κατ' ἀρετὴν βιούντων. Εἰ γὰρ τοῦτο, πῶς εἶπεν ἡ γραφή, Καὶ εἶδεν ὁ Θεὸς πάντα, ὅσα ἐποίησε, καὶ ἰδοὺ καλά, καὶ οὐχ ἁπλῶς καλά, ἀλλὰ καὶ καλὰ λίαν; ὁπότε οὖν τὰ γενόμενα εἰς εἰκόνα κακίας παρήχθησαν (ὁ γὰρ λέων εἰκὼν τοῦ τυράννου, καὶ ὁ ὄφις τοῦ σκολιοῦ καὶ τοῦ πονηροτάτου τὸν τρόπον, καὶ ὁ σκορπίος τοῦ πλήκτου, καὶ ὁ λύκος τοῦ ἁρπακτικοῦ) ποῦ ἂν εἴη καλὰ τὰ γενόμενα, φησιν, οὕτω περιφανῶς εἰς εἰκόνα κακίας παραλαμβανόμενα; δεῖ δὲ εἰδέναι τοὺς φιλομαθεῖς, ὅτι ταῦτα τῇ οἰκείᾳ φύσει κακὰ οὔτ' ἐστίν, οὔτε λέγεται· ἀλλὰ τοῖς ἀλόγοις πρέπουσα κατάστασις. ἐπειδὰν δὲ ἔλθῃ εἰς τὴν λογικὴν φύσιν, ὑβρίζει τὴν θέαν, καὶ ἀμβλύνει τὴν λογικὴν ἐλευθερίαν. ἔλαβες, ἄνθρωπε, τὴν δεσποτικὴν ἀξίαν, μὴ τὴν ἄτιμον καὶ δουλοπρεπῆ τῶν ἀλόγων μεταδίωκε τάξιν. ὑβρίζεις γὰρ σαυτόν, μιμούμενος τῶν ἀλόγων τὴν θηριωδίαν, οὐχ ὡς τῶν ἀλόγων κακῶν ὄντων, ἢ λεγομένων, ἀλλ' ὡς τῆς ἀτίμου καὶ δουλοπρεποῦς εἰκόνος οὐ πρεπούσης τοῖς ἐλευθέροις. ὥσπερ

Γεν. α. λα.

γὰρ

γάρ τις ἀνὴρ ἐπίσημος καὶ ἐπίδοξος, ἐὰν ἐνδύσηται, ἢ περιβάληται δούλου στολήν, ὑβρίζεται καὶ καταισχύνεται, οὐχ ὡς τῆς ἐσθῆτος οὔσης φαύλης καὶ ῥυπαρᾶς, ἀλλ' ὡς δούλῳ μὲν πρεπούσης, ἐλευθέρῳ δὲ μὴ ἁρμοττούσης· οὕτως ἐὰν ἦθος σκορπίου καὶ λύκου ἀναλάβῃς, οὐχ ἡ φύσις τῶν ἀλόγων διαβάλλεται, ἀλλ' ἡ σὴ κατάστασις ὑβρίζεται, ἡ δεσποτείαν λαχοῦσα, καὶ τὰ δούλου μεταδιώκουσα. Ταῦτα δέ μοι ἀναγκαίως προείρηται, ἵνα μηδεὶς εἰς ὕβριν τῆς δημιουργίας ἐκλάβῃ τὰ εἰρημένα, ὡς τοῦ Θεοῦ φαῦλόν τι πεποιηκότος. πάντα γὰρ ἀληθῶς καλά, καὶ καλὰ λίαν, ἐὰν τὴν οἰκείαν φυλάττῃ τάξιν, καὶ τὸν οἰκεῖον μεταδιώκῃ νόμον. ἵνα δὲ μάθῃς, ἀγαπητέ, ὅτι οὐδὲν φαῦλον γεγένηται παρὰ τοῦ Θεοῦ κατὰ φύσιν, ἐδίδαξεν ἡμᾶς ὁ Θεὸς καὶ τῶν ἀλόγων τύπον εἰκόνα λαμβάνειν. ὑπέθηκε γάρ τινα μιμεῖσθαι τῶν ἀλόγων πλεονεκτήματα, ἵνα μὴ διαβάλλωμεν εἰς κακίαν τὰ γεγονότα, οὐ καθόλου τὴν φύσιν, ἀλλ' ὅσα ἁρμόζει λογικῇ καταστάσει. ἢ οὐκ ἤκουσας σήμερον τοῦ παροιμιαστοῦ λέγοντος, Πορεύθητι πρὸς τὸν μύρμηκα, ὀκνηρέ, καὶ ζήλωσον τὰς ὁδοὺς αὐτοῦ; οὐ συνεῖχες πῶς τὴν τοῦ μύρμηκος φιλοπονίαν ὑποτιθέμενος, εἰς ἄοκνον ἡμῶν προθυμίαν ἐπαιδαγωγήσει; οὐκ ἐδιδάξαμεν ἀπὸ μὲν τοῦ μύρμηκος τὸ ἄοκνον, ἀπὸ δὲ τῆς μελίττης τὸ φιλότεχνον; ἔστι γάρ, ἔστιν, ὡς ἔφθην εἰπών, ἀπομιμήσασθαί τινα καὶ τῶν ἀλόγων πλεονεκτήματα, ἁρμόζοντα λογικῇ καταστάσει. πλὴν ὅτι ταῦτα πρὸς ἡμετέραν λέγονται αἰσχύνην καὶ ὄνειδος. ἐπειδὴ γὰρ Θεὸν οὐκ ἐμιμήσω, μίμησαι, φησί, τὸν μύρμηκα. οὐκ εἶδές ποτε πατέρα γνήσιον ἐπιτιμῶντα τὰ τέκνα, καὶ μετὰ πολλὴν παιδείαν εἰς μίμησιν αὐτὰ οἰκετῶν ἀνάγοντα, καὶ ταῦτα προφανῶς λέγοντα· μίμησαι κἂν τὸν οἰκέτην, ὑποδεέστερον μὲν τῇ ἀξίᾳ, ὑπερέχοντα δὲ τῇ ἐπιστήμῃ; ὅθεν ὁ φιλάνθρωπος Θεὸς εἰς ἔνδειξιν τῆς ἡμετέρας ἀγνωμοσύνης προσφέρει τὸν μύρμηκα ἐλέγχοντα ἡμῶν τὸν ὄκνον, καὶ τὴν μέλιτταν ἐλέγχουσαν ἡμῶν τὴν ῥᾳθυμίαν. καὶ δῆλον ἐκ τούτων, ὅτι οὐδὲν κακὸν ἐγένετο παρὰ τοῦ Θεοῦ· ἀλλ' ἔδωκέ σοι αἴσθησιν καὶ νοῦν διακριτικόν, φεύγειν μὲν τῶν ἀλόγων τὰ ἤθη, ἁρπάζειν δὲ αὐτῶν τὰ πλεονεκτήματα. δύναται γὰρ καὶ ὁ λέων εἰκὼν εἶναι ἀρετῆς, ὅταν μὴ εἰς τυραννίδα τὴν εἰκόνα, ἀλλ' εἰς ἀνδρείαν ἐκλάβῃς. ἄλλο γάρ ἐστι τυραννίς, καὶ ἕτερον ἀνδρεία. διὰ τοῦτο καὶ ἡ γραφὴ τὴν ἐκ τοῦ Ἰούδα μέλλοντα ἀνατέλλειν εὐαγγελιζομένη σωτηρίαν, φησί· Σκύμνος λέοντος Ἰούδα, ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης· ἀναπεσὼν ἐκοιμήθης ὡς λέων, καὶ ὡς σκύμνος. ὅρα πηλίκην ὁ θεῖος λόγος ὁμοιότητα κατασκευάζει ἐκ τῶν τοῖς ἀλόγοις προσόντων πλεονεκτημάτων. ἔστι τοίνυν μιμεῖσθαι λέοντα μετὰ συνέσεως· ἔστι δὲ μιμεῖσθαι καὶ ὄφιν, οὐκ ἐν τῷ ἰοβολεῖν, ἀλλ' ἐν τῷ τὴν σύνεσιν ἀναλαμβάνειν· καθὼς καὶ ὁ σωτὴρ τοῖς ἀποστόλοις φησί, Γίνεσθε φρόνιμοι, ὡς ὄφεις. ὅθεν, εἰ φαῦλον ἦν τὸ κτίσμα, οὐκ ἂν εἰς μίμησιν τοῦ φαύλου προσεκαλεῖτο τὴν ἑαυτοῦ εἰκόνα, γίνεσθε λέγων φρόνιμοι ὡς ὄφεις· μίμησαι τοῦ ὄφεως, μὴ τὸν ἰόν, μὴ τὸν θυμόν, ἀλλὰ τὴν σύνεσιν. ἐὰν γὰρ τὸν ἰὸν μιμήσῃ, καταβοᾷ σου Δαβὶδ κατηγορῶν καὶ λέγων, Θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως. ἐὰν δὲ τὴν σύνεσιν αὐτοῦ μιμήσῃ, μαθητὴς γίνῃ Χριστοῦ τοῦ εἰπόντος, Γίνεσθε φρόνιμοι ὡς ὁ ὄφις. ἐπειδὴ γὰρ ὁ ὄφις φρονιμώτερός ἐστι πάντων τῶν θηρίων, ὡς ἀρτίως ὑπεμνήσθη, ἀντέθηκε τῇ φρονήσει φρόνησιν· οὐχ ἵνα μάθῃς δόλον ποιεῖν, ἀλλ' ἵνα μάθῃς δόλον ἐκκλίνειν. βούλεται γὰρ ἡμᾶς ὁ φιλάνθρωπος Θεὸς οὐχὶ κακούργους εἶναι, ἀλλὰ πανούργους. ἕτερον δέ ἐστι τὸ πανοῦργον, καὶ ἕτερον τὸ κακοῦργον. πανοῦργος τοίνυν ἐστὶν οὐκ εἰς τὸ μελετᾶν κακίαν, ἀλλ' εἰς τὸ φεύγειν κακίαν, καὶ κέχρηται τῇ πανουργίᾳ οὐκ εἰς τὸ μηχανορραφεῖν καθ' ἑτέρων, ἀλλ' εἰς τὸ τὰ ὑφ' ἑτέρων πλεκόμενα διαφεύγειν· κακοῦργος δέ ἐστιν ὁ φονεύς, ὁ δόλιος, ὁ ἑτέροις κακὰ τεκταινόμενος. τοιοῦτος φρόνιμος ὁ Ἰακώβ, φρόνιμος ὡς ὁ ὄφις, οὐκ ἰοβόλος ὡς ὁ ὄφις. ὅτε γὰρ ἔμελλε συμβάλλειν τῷ ἀδελφῷ αὐτοῦ Ἡσαῦ κακίας γέμοντι, καὶ φονοκτονίας, παρεκάλει τὸν Θεόν, λέγων· Κύριε, ῥῦσαί με ἀπὸ τοῦ ἀδελφοῦ μου Ἡσαῦ, ὅτι

φοβοῦμαι

Ἴσ. ἐδιδάχθημεν

Ἴσ. οἱ ὄφεις

Παροιμ. ϛ. ϛ.

Γεν. μθ. θ.

Ματθ. ι. ιϛ.

Ψαλμ. νζ. ε.

Γεν. γ. α.

Γεν. λβ. ι.

φοβούμενος αὐτὸν πλέον· καὶ ἱκέτευε τὸν Θεὸν, ὡς κατὰ πονηροῦ τὴν εὐχὴν τιθέμενος. ὅτι δὲ
συνήντησε τῷ ἀδελφῷ, ἠθικότητι καὶ κολακείᾳ τὸν θυμὸν ἡμέρωσε, καὶ τὴν πονηρίαν ἔσβεσε.
τί γάρ φησι πρὸς τὸν Ἠσαῦ; Εἶδόν σου τὸ πρόσωπον, ὡς εἴ τις ἴδοι πρόσωπον Θεοῦ. καὶ
εἰ μὲν ἔλεγεν ὁ Ἰακὼβ ταῦτα, ἵνα διὰ τῆς ἀπάτης νικήσῃ τὸν ἀδελφὸν, κακῶς ἐλάλει· εἰ
δὲ εἶπεν, ἵνα τὸν φόβον ἐκφύγῃ, καλῶς ἐχρήσατο τῇ δημιουργίᾳ. γίνεσθε οὖν φρόνιμοι ὡς
ὁ ὄφις, μὴ θυμώδεις, μὴ ἰοβόλοι, ἀλλὰ φρόνιμοι· καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. ἔστι δὲ τὴν
περιστερὰν καὶ εἰς κακίαν καὶ εἰς ἀρετὴν ἐκλαβεῖν· καὶ ὅπως, ἄκουε. ἐὰν ἧς ἀλόγιστος καὶ
Ωσ. ζ ια. ἀδιάκριτος, καὶ κακίας ἔμπειρος μόνον, διαβάλλει σε ἡ γραφὴ ὡς ἀσύνετον. Ἐφραὶμ γάρ,
φησιν, ὡς περιστερὰ ἄνους, οὐκ ἔχουσα καρδίαν. ἐὰν οὖν τὸ αἴσιον φυγὼν, τὸ ἀκέραιον κατορθώσῃς,
ἔχεις τὴν σύνεσιν τελείαν, οὐ συμμιγεῖς αὐτῇ τῇ κακίᾳ, καὶ ἀκούεις παρὰ τοῦ ἴσ. ἐν τῇ τὴν κακίαν
Κυρίου, γίνεσθε φρόνιμοι ὡς ὁ ὄφις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. μὴ τοίνυν ἁπλῶς, ἀδελφέ,
τὰς γραφὰς ἀναγίνωσκε, καὶ τὰς εἰκόνας εἰς κακίας ἐκλάμβανε περὶ αὐτῆς, μερίζουσα ἴσ. μερίζουσι
τούτῳ μὲν τοῦτο, τούτῳ δὲ ἕτερον. θέλεις οὖν μαθεῖν; πρόσεχε ἀκριβῶς τοῖς λεγομένοις.
Γεν. μθ. θ. καλεῖ λέοντα ἡ γραφή· Σκύμνος γάρ, φησι, λέοντος Ἰούδα, ἐκ βλαστοῦ, υἱέ
μου, ἀνέβης· ἀναπεσὼν ἐκοιμήθης ὡς λέων. ὧδε τὸ, ὡς λέων, τὸ ἀνδρεῖον σημαίνει.
Παροιμ. κη. α καὶ γὰρ καὶ περὶ τοῦ δικαίου τὴν αὐτὴν τίθησιν εἰκόνα. Δίκαιος γάρ, φησιν, ὡς λέων πέποιθεν.
ἀνδρεῖος τοίνυν ὁ δίκαιος, οὐκ ἐν τῷ δρᾷν κακῶς, ἀλλ' ἐν τῷ διαλύειν τὰ παρὰ τῶν
πονηρῶν ἐπαγόμενα. καλεῖ καὶ τὸν σωτῆρα λέοντα, καὶ τὸ ἐκ βασιλικῆς εἶναι φυλῆς. ὥσπερ γ. διὰ
γὰρ τῶν τετραπόδων ὑπάρχει βασιλεὺς ὁ λέων, οὕτω καὶ τῶν Ἰουδαίων ἐβασίλευσεν ἡ Ἰούδα
φυλή, ἐξ ἧς ὁ σωτὴρ ἀνέτειλε. καὶ μὴ νομίσῃς, ἀγαπητέ, ἀνάξιον εἶναι τοῦ Χριστοῦ τὸ εἰκόνι
λέοντος ἀπεικάζεσθαι· σχηματίζει γὰρ ἡ γραφὴ τὴν εἰκόνα ταύτην καὶ ἐπ' αὐτῆς τῆς θεότητος.
Αμ γ. η. ἄκουε γοῦν οἷα ὁ προφήτης φησί· Λέων ἐρεύξεται, καὶ τίς οὐ φοβηθήσεται; Κύριος ὁ
Θεὸς ἐλάλησε, καὶ τίς οὐ προφητεύει; κατὰ τὸ δυνατὸν τοίνυν καὶ τὸ φοβερὸν καὶ τὸ βασιλικὸν,
λέοντι ἀπεικάζεται ὁ Χριστός. καλεῖται δὲ καὶ ὁ διάβολος λέων, οὐχ ὡς δυνατὸς, οὐδ' ὡς
φοβερὸς, ἀλλ' ὡς πλήκτης, ὡς τύραννος, ὡς ἀφανιστικός. λέγει δὲ περὶ τούτου ὁ μακάριος
α. Πετ ε. η. Πέτρος ὁ ἀπόστολος, Ἰδοὺ ὁ ἐχθρὸς ὑμῶν διάβολος περιέρχεται, ὡς λέων, ζητῶν καταπιεῖν ψυχήν.
μέριζε τοίνυν τῶν ἀναγνωσμάτων τὰς θεωρίας, μήποτε ἐναντία δοκοῦντα τῇ λέξει
συγχέῃς σου τὴν διάνοιαν. εἶπεν ἡ γραφὴ λέοντα καὶ λέοντα· ἀλλὰ τὸν μὲν κατὰ τὸ βασιλικὸν
καὶ δυνατὸν, τὸν δὲ κατὰ τὸ ἀφανιστικὸν καὶ δηλητήριον· οὕτω καὶ τὸν δίκαιον καὶ τὸν ἀσεβῆ διὰ
Ψαλ. ϟα. ιγ. μιᾶς εἰκόνος σχηματίζει ἡ γραφή. Δίκαιος, φησιν, ὡς φοίνιξ ἀνθήσει, ὡς ἡ κέδρος ἡ ἐν τῷ
Λιβάνῳ πληθυνθήσεται. ἐποίησε πρότερον τὴν εἰκόνα τοῦ δικαίου· εἶθ' οὕτω καὶ τοῦ ἀσεβοῦς.
Ψαλ. λς. λζ. Εἶδον γάρ, φησι, τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον, ὡς τὰς κέδρους τοῦ
Λιβάνου. ὅρα τοίνυν πῶς τὴν μὲν αὐτὴν εἰκόνα παρήγαγε, ταῖς δὲ λέξεσι τὰς ἐννοίας ἐμέρισεν.
ἐπὶ μὲν γὰρ τοῦ ἀσεβοῦς λέγει, Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον,
ὡς τὰς κέδρους· ἐπὶ δὲ τοῦ δικαίου οὐκ εἶπεν, ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ ἐπαρθήσεται, ἀλλά,
πληθυνθήσεται. οὕτως οὖν καὶ τὴν μέλιτταν μίμησαι, ὦ ἄνθρωπε, ἣν καὶ ἡ γραφὴ
Παροιμ. ς. ς. διδάσκει μιμεῖσθαι πρὸς φιλοπονίαν· Πορεύθητι πρὸς τὴν μέλιτταν, καὶ μάθε ὡς ἐργάτις
ἐστί· μὴ μάθῃς, ὅτι κέντρον ἔχει, ἀλλ' ὅτι μέλι ἐργάζεται. ἐὰν γὰρ μιμήσῃ τῆς μελίττης
Ψαλ. ριζ. ιβ. τὸ κέντρον, κατηγορεῖ σου Δαβίδ, λέγων· Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, ὡσεὶ μέλιτται
κηρίον, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. ὁρᾷς πῶς τοὺς πλήττοντας
Παροιμ. ις. κδ ἀπεικάζει μελίττῃ πληττούσῃ, τοὺς δὲ δικαίους ἀπεικάζει τῇ τὸ μέλι ἀποσταζούσῃ; Χείλη
γάρ, φησιν, ἀνδρῶν δικαίων ἀποστάζουσι σοφίαν, καὶ κηρίον μέλιτος λόγοι καλοί· γλύκασμα
δὲ αὐτῶν ἴασις ψυχῆς. τοῦτο τοίνυν, ἀγαπητοί, τὸ γλύκασμα, τῶν ψυχῶν
λέγω, ποθήσωμεν ἐξ ὅλης ψυχῆς, καὶ τὸ κηρίον ἐργασώμεθα τὸ νοερὸν ἐν τῷ κρυπτῷ τῆς ψυχῆς

χῆς ἐργαστηρίῳ· καὶ τὰ θεῖα λόγια λάβωμεν ὑπὲρ μέλι καὶ κηρίον. μέλι γὰρ πολὺ ἐσθιόμενον πολλάκις μεταβάλλει τὸ γλύκασμα εἰς τὴν πικρίαν, καὶ διαστρέφει τοῦ στομάχου τὴν ὄρεξιν, καὶ πᾶσαν διασκευάζει τοῦ ἀνθρώπου τὴν κατάστασιν· λόγος δὲ Θεοῦ λαμβανόμενος πολὺς οὐ θολοῖ τὴν ψυχήν, ἀλλὰ θεραπεύει. γλύκασμα γὰρ αὐτοῦ, ἴασις ψυχῆς. διὰ τοῦτο βουλόμενος ὁ σοφὸς ἐκεῖνος ἀντιθεῖναι διαφορὰν μέλιτος καὶ λόγου, φησίν, Ἐσθίειν μέλι πολὺ οὐ καλόν, τιμᾶν δὲ χρὴ λόγους ἐνδόξους. ἔχωμεν οὖν, ἀγαπητοί, τὸ κηρίον τὸ ποικίλον, τὰ θεῖα καὶ ἱερὰ λόγια, διαπαντός. καὶ ὥσπερ τὸ κηρίον ἐκεῖνο, ἐκ πολλῶν μὲν καὶ διαφόρων σχημάτων ἀπαρτίζεται, ἓν δὲ ἔχει καλόν· οὕτω καὶ ἡμῖν ἔστω κηρίον ἡ θεία γραφή, ἐκ πολλῶν μὲν καὶ διαφόρων συγκειμένη προφητῶν, ἓν δὲ μέλι διδασκαλίας ἀποστάζουσα. τοιοῦτον ἡμῖν καὶ τὸ τῶν πατέρων κηρίον, ἐκ διαφόρων μὲν ἡλικιῶν συνηρμοσμένον, μίαν δὲ χάριν καὶ μίαν πνευματικὴν διδασκαλίαν ἀποστάζον. ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον. γένοιτο δὲ ἡμᾶς εὐχαῖς καὶ πρεσβείαις τοῦ κοινοῦ πατρὸς τῇ φιλοπονίᾳ τῶν λόγων αὔξοντας, τὸν θεῖον ἀπεργάζεσθαι νόμον ἐν τῇ διανοίᾳ πάντοτε, καὶ πληροῦν ἐκεῖνο τὸ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον, Τὸ ἔχειν τὸν νόμον τοῦ Θεοῦ πάντοτε ἐν μέσῳ τῆς κοιλίας ἡμῶν ἤγουν τὰ θεῖα νοήματα, ὥστε νομίζειν φύσεως ὅρους ἐπιγινώσκειν, τιμᾶν τε τὴν ἀλήθειαν, καταφρονεῖν κόσμου καὶ Θεῷ δόξαν ἀναπέμπειν, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παροι. κε. κζ.

Ψαλμ. λθ. θ.

Λογ. ξη. ΑΠΟΔΕΙΞΙΣ, ΟΤΙ ΤΗΝ ΕΙΚΟΝΑ ΤΗΝ ΚΑΘ' ὁμοίωσιν Θεοῦ γενομένην ἔρριψεν ὁ ἄνθρωπος ὁ πρῶτος διὰ τῆς παρακοῆς, διὰ δὲ τοῦ νέου Ἀδὰμ πάλιν αὐτὴν ἀπέλαβε.

Κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν γεγενῆσθαι τὸν ἄνθρωπον, καὶ ἡ θεία γραφὴ παραδέδωκε, καὶ ὁ τῆς διδασκαλίας λόγος ἠρέμα πως τοῖς φιλομαθέσιν ὑπέδειξε. καὶ μέμνησθε πάντως, οἵγε φιλόπονοι τῶν ἀκροατῶν, ὅπως ἡμῖν ὁ περὶ τούτων διηνύσθη λόγος· ὅτι τὸ κατ' εἰκόνα προηγουμένως εἰς τὴν τοῦ ἀνθρώπου δεσποτείαν καὶ εἰς τὴν πάντων ἀρχὴν ὑπαγορεύεται, ἡ δὲ ὁμοίωσις ταύτης τῆς εἰκόνος εἰς τὴν τῶν ἀρετῶν τελείωσιν ἐκλαμβάνεται. ἀναγκαῖον δὲ δεῖξαι, ἀδελφοί, καὶ σαφῶς παραστῆσαι πῶς ὁ παρὰ πάντα τὰ ποιήματα τοῦ Θεοῦ μειζόνως τιμηθεὶς ὁ ἄνθρωπος, ἐκ τοῦ τιμίου καὶ πρωτοτύπου κάλλους τοῦ θείου χαρακτῆρος, εἰς τὴν τῶν ἀλόγων φύσιν, καὶ ὁμοιότητα κατηνέχθη. εἰκὼν γὰρ ὢν Θεοῦ τοῦ φιλανθρώπου, ἑαυτὸν ἠμαύρωσε ταῖς κακίαις, καὶ ταῖς παρανομίαις ἤμβλυνε, καὶ ἀληθῶς παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς. ὅπως δὲ καὶ τοῖς ἀνοήτοις κτήνεσι παρωμοιώθη ὁ ἄνθρωπος, ἀναγκαῖον ἐξ αὐτῶν ἰδεῖν τῶν ἔργων, οὐχ ἵνα τὰ προλαβόντα μεμψώμεθα, ἀλλ' ἵνα τὰ παρόντα διορθωσώμεθα. καὶ γὰρ τὰ κατὰ τὸν Ἀδὰμ ἀναγινώσκεται, καὶ πᾶσα ἡ τῶν προλαβόντων ἱστορία, οὐχ ἵνα τοὺς προλαβόντας ἐπαινέσωμεν, ἢ μεμψώμεθα, ἀλλ' ἵνα τὴν ἀρετὴν μιμησώμεθα, καὶ τὴν κακίαν ἐκκλίνωμεν. Ταῦτα δέ, φησιν ὁ θαυμάσιος Παῦλος, ἐγράφη πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε. τὴν εἰκόνα τοίνυν τὴν καθ' ὁμοίωσιν Θεοῦ γενομένην ἔρριψεν ὁ ἄνθρωπος ὁ πρῶτος διὰ τῆς παρακοῆς, καὶ πάτημα ἐποίησε δαιμόνων, καὶ ταῖς τῶν ἀλόγων ὁμοιώσεσιν ὕβρισε, καὶ τὸν μὲν διὰ τὸ ὠμὸν καὶ τυραννικὸν τῶν τρόπων λέοντα μᾶλλον, ἢ ἄνθρωπον ἐποίησε· τὸν δὲ λύκον διὰ τὸ ἁρπακτικὸν εἰργάσατο. καὶ μαρτυρεῖ ἡ γραφὴ λέγουσα οὕτως, Οἱ ἄρχοντες ὑμῶν ὡς λέοντες ὠρυόμενοι, καὶ οἱ κριταὶ ὑμῶν ὡς λύκοι τῆς Ἀραβίας· λέοντας καλέσασα τοὺς ὠμοὺς καὶ τυραννικούς, λύκους δὲ τοὺς ἁρπακ-

Γεν. α. κζ.

Ψαλμ. μη. ιθ.

α. Κορ. ι. ια.

Σοφον. γ. δ.

πικοὺς καὶ πρὸς πλεονεξίαν βλέποντας. ὁρᾷς πῶς ὁ κατ' εἰκόνα Θεοῦ γενόμενος ἄνθρωπος
εἰς τὴν τῶν ἀλόγων τάξιν κατηνέχθη; ὅταν οὖν τυραννῇ ἄνθρωπος, προσαγορεύεται
λέων· ὅταν ἁρπάζῃ, δέχεται τοῦ λύκου τὴν προσηγορίαν· ὅταν ταῖς ἀκολάστοις ἐπιθυμίαις
ἐμφύρηται, καὶ δίκην ἀλόγων ἐπὶ τὰς παρανόμους πράξεις ἐκφέρηται, εὑρίσκεται πάλιν
Ἱερ. ε. η. ἵππος ὁ ἄνθρωπος. Ἵπποι γάρ, φησι, θηλυμανεῖς ἐγενήθησαν· ἕκαστος ἐπὶ τὴν γυναῖκα
τοῦ πλησίον αὐτοῦ ἐχρεμέτιζεν. ἄλλους πάλιν ἡ κακία ἀπὸ ἀνθρώπων κύνας ἐποίησε.
κύνας, διὰ τί; διὰ τὸ ὑλακτικόν, διὰ τὸ πάντοτε θορύβοις καὶ ταραχαῖς χαίρειν· περὶ
Ψαλμ. κα. ιζ. ὧν καὶ ὁ μακάριος Δαβὶδ ἐκ προσώπου τοῦ σωτῆρος βοᾷ διὰ τῆς προφητείας· Περιεκύκλωσάν
με κύνες. καὶ τίνες εἰσὶ κύνες; συναγωγὴ πονηρευομένων περιέσχον με. ἄλλους
πάλιν ἡ γραφὴ καλεῖ χοίρους, τοὺς ἐν "βόθρῳ τῶν ἀτόπων πράξεων ἐμφυρομένους· περὶ Ἴσ. βορβόρῳ
Ματθ. ζ. ς. ὧν φησιν ὁ Κύριος διὰ τοῦ εὐαγγελίου· Μὴ ῥίπτετε τὰ ἅγια τοῖς κυσί, καὶ τοὺς μαργαρίτας ἔμπροσθεν
τῶν χοίρων. ὁρᾷς πῶς ποικίλος ὁ ἄνθρωπος, καὶ πῶς ἡ εἰκὼν ἐκείνη ἡ καθ' ὁμοίωσιν
Θεοῦ γενομένη κατηνέχθη πρὸς τὴν τῶν ἀλόγων ὁμοιότητα, οὐκ ἄλλου τινὸς βιασαμένου,
ἀλλὰ τοῦ ἀνθρώπου ἑαυτὸν ῥίψαντος; ἡ γὰρ γραφὴ οὐ τῇ ἀνάγκῃ τὴν παράβασιν
Ψαλμ. μη. ιγ. ἐπέγραψεν, ἀλλὰ τῇ προαιρέσει τοῦ τιμηθέντος, καὶ τὴν τιμὴν ἀγνοήσαντος. Ἄνθρωπος
γάρ, φησιν, ἐν τιμῇ ὤν, οὐ συνῆκε. Φέρε πάλιν, εἰ δοκεῖ, σκοπήσωμεν, ὡς αὖθις ἑτέρους
τινὰς ἡ γραφὴ διὰ τὸ ποικίλον καὶ πανοῦργον καὶ ὑποκρίσεως γέμον τῆς γνώμης ἐπάγγελμα,
ἀλώπεκας ὀνομάζει. διὰ τοῦτο γοῦν τὸν Ἡρώδην ποικίλον ὄντα ταῖς γνώμαις,
καὶ πανουργοῦντα ταῖς ἐνθυμήσεσι, καὶ ἀσεβείᾳ συζῶντα, εὐσεβείᾳ συσχηματιζόμενον, ὁ σωτὴρ
ἀλώπεκα προσαγορεύει. ἐλθόντων γάρ τινων, καὶ ἀπαγγελλόντων αὐτῷ, ὅτι βούλεταί σε ἰδεῖν
Λουκ. ιγ. λβ. Ἡρώδης, ἡ ἁγία καὶ μεγάλη φωνὴ ἀποκριθεῖσά φησιν, Εἴπατε τῇ ἀλώπεκι ταύτῃ, σήμερον
καὶ αὔριον ποιῶ σημεῖα, καὶ τῇ τρίτῃ τελειοῦμαι. Εἴπατε τῇ ἀλώπεκι ταύτῃ, ἀντὶ
τοῦ, τῇ πεπανουργευμένῃ ψυχῇ, τῇ γεμούσῃ δόλου καὶ πάσης πονηρίας καὶ ῥᾳδιουργίας. ἔγνως,
ἀδελφέ, πῶς καλεῖ τοὺς πανούργους ἡ γραφὴ ἀλώπεκας. ὅταν τοίνυν λέγῃ μετὰ τοῦ
Ψαλμ. ξβ. ια. ψαλμῳδοῦ, Εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς, μερίδες ἀλωπέκων ἔσονται, νόησον
τὸ αἴνιγμα, καὶ μὴ ὑπολάβῃς τὸ αἴνιγμα, "εἰ μὴ θεωρίαν ἐκλαμβάνεσθαι. καὶ πάλιν γ. εἰς
ἀλλαχοῦ ἔφη, Μερίδες ὑποκριτῶν ἔσονται. εἰσὶ γὰρ τὴν ἀλήθειαν ἀγνοοῦντες οὐ μετὰ τῶν
πιστῶν, ἀλλὰ μετὰ τῶν ὑποκριτῶν τὸ μέρος λαμβάνουσιν. ὅθεν καὶ ὁ σωτὴρ τὴν ἔννοιαν ταύτην
Ματθ. κδ. να. ἐπισφραγίζων φησὶ περὶ τοῦ κακῶς οἰκονομήσαντος, Εἰσελεύσεται ὁ δεσπότης τοῦ οἰκέτου
ἐκείνου, καὶ διχοτομήσει αὐτόν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν θήσει. τοὺς τοίνυν
ὑποκριτὰς ἀλώπεκας ἐκάλεσεν ἡ γραφή. Εἰς τοσαύτας οὖν, ἀδελφοί, ἀπρεπεῖς κατηνέχθη
μορφὰς καὶ ὁμοιώσεις ἡ εἰκὼν τοῦ Θεοῦ· ὥστε οὐδὲν ἕτερον ὀνομάζει ἡ γραφὴ τὴν
οἰκουμένην ἅπασαν, πρὶν ἐπιλάμψῃ αὐτῇ ἡ γνῶσις τῆς εὐσεβείας, ἢ ἄλογα καὶ κτήνη καὶ ἑρπετὰ
καὶ θηρία ἄγρια. ἀμέλει γοῦν καὶ τὸν κορυφαῖον τῶν ἀποστόλων Πέτρον βουληθεὶς
ὁ φιλάνθρωπος Θεὸς δυσωπῆσαι, ὥστε πάντας δέχεσθαι τοὺς ἐκ τῶν ἀλλοφύλων προσιόντας,
τὴν θαυμασίαν ἐκείνην καὶ ξένην ἔδειξε σινδόνα καθιεμένην ἐκ τοῦ οὐρανοῦ ἐν τέσσασιν
ἀρχαῖς, ἐν ᾗ ὑπῆρχε πάντα τὰ τετράποδα τῆς γῆς, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τὰ θηρία καὶ
Πραξ. ι. ια. ἑρπετά. καί φησι πρὸς αὐτόν, Ἀναστάς, Πέτρε, θῦσον καὶ φάγε. ὁ δὲ ἀπόστολος ἔφη, Μηδαμῶς,
Κύριε· οὐδέποτε γὰρ ἔφαγον πᾶν κοινὸν καὶ ἀκάθαρτον. ἀγνοήσας γὰρ τῆς εἰκόνος τὸ αἴνιγμα
ὁ Πέτρος, καὶ νομίσας αἰσθητὰ εἶναι τὰ ὁρώμενα, ἀπαγορεύει τὴν βρῶσιν, τὴν Ἰουδαϊκὴν φυλάττων
συνήθειαν, καί φησι, μηδαμῶς, Κύριε· οὐδέποτε γὰρ ἔφαγον πᾶν κοινὸν ἢ ἀκάθαρτον.
ὁ δὲ Κύριος ἔφη πρὸς αὐτόν, ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου. ταῦτα τοίνυν διελέγετο ὁ σωτὴρ
τῷ ἀποστόλῳ περὶ τῶν τετραπόδων τῶν φαινομένων καὶ τῶν θηρίων καὶ τῶν πετεινῶν· ὁ δὲ
ἀπόστολος τοῦ Χριστοῦ Πέτρος ἐνόησε μετὰ ταῦτα, ὅτι οὐ τὰ πετεινὰ καὶ τὰ θηρία ᾐνίξατο ὁ σω-

τὴρ διὰ τῆς ὀθόνης, ἀλλὰ τὰ ἔθνη πάντα· καί φησι τῷ Κορνηλίῳ, διαλεγόμενος αὐτῷ, Ὑμεῖς ἐπίστασθε, ὅτι ἀθέμιτόν ἐστιν ἀνδρὶ Ἰουδαίῳ κολλᾶσθαί τινι ἀλλοφύλῳ· ὁ δὲ Θεὸς ἔδειξέ μοι μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον. ἔμαθες, ἀδελφέ, ὅπως διαφόρως τὰ τῶν ἀλόγων προσωποποιείαις ὑπεδείχθημεν; ὅταν πάλιν ἀναγνῷς ἐν τῷ προφήτῃ Ἠσαΐᾳ, Τότε συμβοσκηθήσεται λύκος μετὰ ἀρνοῦ, καὶ πάρδαλις συναναπαύσονται ἐρίφῳ· καὶ, Λέων καὶ βοῦς ἅμα βοσκηθήσονται, καὶ ἅμα ἄχυρα φάγονται· νόησον τὸ αἴνιγμα, καὶ ἔκλαβε σαφῶς τὴν θεωρίαν· ὅτι οὐ τὴν ἀλόγων θηρίων σύνοδον μηνύει, ἀλλὰ τὴν τῶν ἀνθρώπων κοινωνίαν, καὶ ἑρμηνεύει σαφῶς τῆς εὐσεβείας τὴν κοινωνίαν, καὶ τὴν διὰ τῆς χάριτος ἐπιλάμψασαν σωτηρίαν πᾶσιν ἀνθρώποις. ὅταν γὰρ ἴδῃς ἐν ἐκκλησίᾳ πένητα πλουσίῳ συμπαρεστῶτα, ἰδιώτην ἄρχοντι, εὐτελῆ τῷ ὑπερέχοντι, τὸν ἔξω τρέμοντα τὴν δυναστείαν, νόησον τί ἐστι τὸ, συμβοσκηθήσεται λύκος μετὰ ἀρνοῦ. λύκον τοίνυν καλεῖ τὸν πλούσιον, ἀρνίον δὲ τὸν πτωχόν. καὶ πόθεν τοῦτο; ὅτι κοινωνήσει λύκος ἀρνίῳ, ὃν τρόπον πλούσιος μετὰ πτωχοῦ. καὶ πρόσεχε ἀκριβῶς. ἕστηκε πολλάκις πλούσιος καὶ πένης ἐν ἐκκλησίᾳ, κατέλαβέ σε ὥρα τῶν μυστηρίων, ἐξωθεῖται ὁ πλούσιος ὡς ἀμύητος, ἵσταται δὲ ὁ πένης ἐντὸς τῶν οὐρανίων σκηνῶν· καὶ οὐκ ἀγανακτεῖ ὁ πλούσιος· οἶδε γὰρ ἑαυτὸν ἀλλότριον τῶν θείων μυστηρίων. ἀλλ' ὢ τῆς θείας χάριτος. οὐ μόνον ὁμοτιμία ὑπάρχει ἐν τῇ ἐκκλησίᾳ διὰ τὴν τοῦ Θεοῦ χάριν, ἀλλὰ καὶ ἡνίκα ἵστανται, πολλάκις ὁ πένης τὸν πλούσιον πρωτεύει ἐν τῇ εὐσεβείᾳ, καὶ οὐδὲν ὁ πλοῦτος ὤνησε τὸν ἔχοντα ἐκ τῆς εὐσεβείας, οὐδὲ πενία τὸν πιστὸν ἐζημίωσε, περιστῶσα αὐτὸν μετὰ θάρσους τῷ ἁγίῳ θυσιαστηρίῳ. ταῦτα δὲ λέγω, ἀγαπητοί, περὶ τῶν κατηχουμένων, καὶ οὐ περὶ τῶν ἁπλῶς πλουσίων. ἐννόησον, ἀδελφέ, πῶς ὑποχωρεῖ τῆς ἐκκλησίας πολλάκις δεσπότης, καὶ προσεδρεύει τοῖς μυστηρίοις πιστὸς οἰκέτης· ἀναχωρεῖ ἡ δέσποινα, καὶ μένει ἡ θεράπαινα. Πρόσωπον γὰρ ἀνθρώπου Θεὸς οὐ λαμβάνει. οὐκ ἔστι τοίνυν ἐν τῇ ἐκκλησίᾳ δοῦλος καὶ ἐλεύθερος, ἀλλ' ἐκεῖνον οἶδεν ἡ γραφὴ δοῦλον, τὸν τῇ ἁμαρτίᾳ δεδουλωμένον. Ὁ γὰρ ποιῶν, φησι, τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας. καὶ ἐκεῖνον οἶδεν ἐλεύθερον, τὸν ὑπὸ τῆς θείας χάριτος ἠλευθερωμένον. Ὁ γὰρ νόμος, φησὶ, τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας. ἐπεὶ οὖν ἡ εἰκὼν αὕτη διαφόρως, ὡς ἔφθημεν εἰπόντες, ἐφθάρη καὶ διαλέλυτο, ἦλθεν ὁ σωτὴρ, καὶ τὴν ἰδίαν εἰκόνα πάλιν ἀνέστησε, καὶ ἣν κατέσπασεν ὁ διάβολος, ταύτην ἐφόρεσεν ὁ δημιουργὸς ἄνθρωπος γενόμενος, ὁ φιλάνθρωπος, οὐ τὴν ἀξίαν ὑβρίζων, ἀλλὰ τὴν φιλανθρωπίαν ἐρίζων. ὅθεν τοῦτο τὸ θεῖον καὶ ξένον ἔνδυμα ὁ μακάριος Δαβὶδ προαναφωνῶν ἔλεγεν, Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. οὐ τῇ ἀνάρχῳ καὶ ἀσωμάτῳ θεότητι ἔνδυμα δίδοται (οὐδὲν γὰρ εὐπρεπέστερον Θεοῦ, ἵνα Θεὸς εὐπρέπειαν ἐνδύσηται) ἀλλὰ τῇ ἀνθρωπίνῃ φύσει. ἡμεῖς γὰρ οἱ ἄνθρωποι τὰ ἀσχήμονα τῶν μελῶν τῇ εὐπρεπείᾳ τῶν ἐνδυμάτων καλύπτομεν· ὁ δὲ Θεὸς ἁπλοῦς ὢν, καὶ ἀσχημάτιστος, καὶ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, ποίας εὐπρεπείας δέεται, ἢ ποῖον ἔνδυμα περιβάλλεται; ἢ δῆλον ὅτι τοῦ σώματος ἀνάληψιν ὁ προφήτης ὠνόμασεν εὐπρέπειαν. καλεῖ δὲ καὶ τὴν οἰκείαν σάρκα εὐπρέπειαν, οὐ διὰ τὴν τοῦ σώματος φύσιν, ἀλλὰ διὰ τὴν τῶν ἀρετῶν κατόρθωσιν. διὰ τοῦτο εὐπρεπὲς τὸ σῶμα τοῦ Κυρίου, οὐκ ἐπειδὴ σῶμα ἦν μόνον, ἀλλ' ἐπειδὴ ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ. ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. οὕτω καὶ Ἠσαΐας φησὶν, ὅτι Πάντας ἀνθρώπους ἐνδύσει, καὶ περιθήσει ὡς κόσμον νύμφης· Ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο· καὶ, Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατὲ, καὶ τὰ ἑξῆς. καὶ ταῦτα ὥσπερ ὁπλίτην τινὰ δείκνυσι τὸν βασιλέα Χριστὸν, ὅπλα τινὰ γηΐνου σώματος ἐνδυόμενον καὶ εἰκόνος γηΐνου. οὐ γὰρ ὁμοίως τοῖς ἀνθρώποις ὁπλίζεται. καὶ ὅπως ἄκουε· ἡμεῖς ἄνθρωποι, ὅτι πολλάκις ὁπλιζόμεθα, τὸ ἀσθενὲς φυλάττομεν ὑπὸ τοῦ ἰσχυροῦ· ὁ

Πράξ. ι. κη.

Ησ. ια. ς.

Ησ. ξε. κε.

Γαλατ. β. ς.

Ιωαν. η. λδ.

Ρωμ. η. β.

Ψαλ. ϟβ. α.

α. Πετ. β. κβ.

Ησ. μθ. ιη.

Ψαλ. ϟβ. α.

μδ. δ.

Θεὸς ὢν ἰσχυρὸς καὶ κραταιὸς καὶ δυνατὸς, τὸ γήϊνον καὶ ἀσθενὲς περιβάλλεται σῶμα, οὐχ ὑβρίζων
τὴν ἀξίαν, ἀλλὰ διὰ τοῦ ἀσθενοῦς τὸ ὑπερβάλλον τῆς δυνάμεως ἐνδεικνύμενος,
β. Κορ. ιβ. θ. ὡς ἔλεγον, ἱκετεύοντος αὐτὸν τοῦ Παύλου, Ἀρκεῖ σοι ἡ χάρις μου ἡ γὰρ δύναμίς μου ἐν
ἀσθενείᾳ τελειοῦται. ὅθεν καὶ ὁ γενναῖος οὗτος ἀπόστολος καλῶς νοήσας τὰ περὶ αὐτὸν εἰρημένα
α. Κορ. α. κε. φησί που Κορινθίοις ἐπιστέλλων, ὅτι Τὸ ἀσθενὲς τοῦ Θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστίν.
ἐνεδύσατο Κύριος δύναμιν, τουτέστι, διὰ τῆς σαρκὸς ἀναλάμψασαν οἰκονομίαν. τί
γὰρ ἐκείνης τῆς τιμίας καὶ ἁγίας σαρκὸς δυνατώτερον; τί δὲ ἰσχυρότερον; διὰ γὰρ σώματος
τοὺς ἀσωμάτους καὶ πονηροὺς δαίμονας κατηγωνίσατο, καὶ διὰ σταυροῦ τὰς ἀντικειμένας
δυνάμεις ἐθριάμβευσε. πρόσεχε ἀκριβῶς. τὸ περιζωσθῆναι, περιγραφῆναι σημαίνει.
ἐπεὶ οὖν ἡ ἁγία καὶ ἀπερίγραπτος φύσις ἔδοξεν ἐν τῷ σώματι περιγράφεσθαι, οὐ περιγραφεῖσα
μὲν κατὰ τὴν ἰδίαν φύσιν, περιγεγράφθαι δὲ νομισθεῖσα κατὰ τὴν φαινομένην ὄψιν,
εἰκότως ἔλεγον, ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο. καὶ τί τὸ ἐπαγόμενον; Καὶ
γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. ἐπεὶ οὖν τὰ πρῶτα ἐσάλευσε τὴν
Ματθ. ις. ιη. οἰκουμένην ἡ ἁμαρτία, ἐλθὼν ὁ σωτὴρ ἔπηξε τὸν σταυρὸν, καὶ ἐστερέωσε τὴν οἰκουμένην. Σὺ
εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν
β Τιμ. β. ιθ. αὐτῆς. καὶ ὁ Παῦλος, Ὁ μέντοι στερεὸς θεμέλιος ἕστηκεν ἔχων τὴν σφραγῖδα ταύτην.
δύο μόνα ῥήματα ἐξήνεγκεν ὁ δεσπότης, ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν
ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. οὐκ ἐχρήσατο πολλῇ περιόδῳ λόγων·
οὐκ εἶπε, στερεῶ τὴν ἐκκλησίαν, καὶ οὔτε βασιλεῖς, οὔτε ἄρχοντες, οὔτε τύραννοι, οὔτε δήμιοι,
οὔτε σοφοὶ, οὔτε ἀγροῖκοι, οὔτε ῥήτορες περιγενήσονται τῆς ἐκκλησίας (ἄμαχος γὰρ καὶ
ἀκαταγώνιστος ἡ βασιλεία Χριστοῦ) ἀλλὰ τῷ ῥήματι τὴν δύναμιν ἐσήμανε, καὶ ψιλῇ λέξει
τὴν ἐπαγγελίαν ὠχύρωσεν· ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ
πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. δύο ῥήματα, οὐ ψιλὰ ῥήματα· ἀλλὰ Θεοῦ ῥήματα.
ὁ γὰρ ῥήματι τὸν οὐρανὸν στερεώσας καὶ τὴν γῆν θεμελιώσας, ῥήματι καὶ τὴν ἐκκλησίαν ᾠκοδόμησε,
καὶ ἐτείχισε καὶ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. παρακαλέσωμεν
τοίνυν, ἀγαπητοὶ, τὸν τὴν οἰκουμένην στερεώσαντα, καὶ κλαύσωμεν, καὶ ἐκδυσωπήσωμεν· ἵνα
διὰ τῆς αὐτοῦ φιλανθρωπίας καὶ ἀφάτου δυνάμεως ἑδραῖοι καὶ ἀμετακίνητοι ἐπὶ τὸν ἄσειστον
καὶ ἀρραγῆ θεμέλιον μείναντες, αὐτῷ τὴν δόξαν ἀναπέμπωμεν καὶ τὴν εὐχαριστίαν
πάντοτε, ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

Λογ. μθ. ΕΙΣ ΤΟ, ΠΩΣ Ο ΑΔΑΜ ΕΛΑΒΕ ΤΗΝ ΨΥΧΗΝ, καὶ περὶ τοῦ πάθους τοῦ Χριστοῦ.

E M S. Regio Lut. emendato ex alio M S.

ΚΑλοὶ τῆς ὑπομονῆς οἱ πόνοι, καὶ κάλλιστος ὁ καρπὸς ὁ τοῖς πόνοις ἑπόμενος. ἀγαθῶν γὰρ πόνων καρπὸς εὐκλεής. πόνοι γεννῶσιν ἀρετὰς, πόνοις ἁρμόζεται τὸ τῆς νηστείας εὐάγγελμα, πόνοις κατορθοῦται τὸ λαμπρὸν τοῦ μαρτυρίου στρατήγημα, πόνων ἔπαθλον ἡ βασιλεία τῶν οὐρανῶν. διήνυσται ἡμῖν μετὰ τῶν ἱερῶν τούτων πόνων ἡ πολυάρετος ἑβδομὰς, καὶ εἰς τέλος ἔδραμε τὸ πρῶτον γυμνάσιον, καὶ λάμπει τὸ τῆς εὐσεβείας ἔπαθλον. σήμερον, ἀδελφοί, ἐστὶν ἡ ἡμέρα, καθ' ἣν ὁ Ἀδὰμ ἐπλάσθη, καθ' ἣν κατ' εἰκόνα Θεοῦ γέγονε. καὶ ἐπειδὴ χθὲς ἡμῖν τὸ τῆς φωνῆς ὄργανον οὐχ ὑπήκουσεν, ἀνάγκη σήμερον ἐν αὐτῇ τῇ ἡμέρᾳ, καθ' ἣν ὁ Ἀδὰμ ἐπλάσθη, τοὺς περὶ τῆς πλάσεως ἀναλαβεῖν λόγους. ἔπλασεν αὐτὸν ὁ Θεὸς τῇδε τῇ ἡμέρᾳ· πάλιν αὐτὸν ἀναπλάτ-

τῇ* κατὰ τήνδε τὴν ἡμέραν. Τί οὖν, ἵνα τῆς προκειμένης ἐπαγγελίας ἁψώμεθα; ὅτε ὁ Θεὸς ἐποίησε τὴν οἰκουμένην, καὶ διεκόσμησεν οὐρανὸν ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις, καὶ τὴν γῆν ὁμοίως διεποίκιλε ποταμοῖς καὶ πηγαῖς διεζωσμένην, ἄνθεσι τε φυτοῖς ἐστεφανωμένην, καὶ θάλασσαν μὲν ἀπετείχισε, σύμπασαν δὲ τὴν εὐπρέπειαν ὅσην ἔδει τῷ κόσμῳ περιέθηκεν, ὡς πολλάκις ἔφθην εἰπών, ἐδημιούργησε καὶ ἔπλασε τοῦ κόσμου τούτου χειροποίητον δεσπότην· πλάττει δὲ αὐτὸν οὐχ ὁμοίως τοῖς ἄλλοις. τὰ μὲν γὰρ τετράποδα καὶ τὰ θηρία καὶ τὰ κτήνη λόγῳ μόνῳ κελεύσας, ἀπὸ γῆς ″ προέφερεν. Ἐξαγαγέτω ἡ γῆ τετράποδα ἑρπετὰ καὶ θηρία. τὰ δοῦλα λόγῳ καλεῖται· τὸ δὲ πλάσμα τῆς θείας εἰκόνος χειρὶ διαπλάττεται, οὐχ ὅτι Θεοῦ χείρ ἐστι καὶ μέλος τοιοῦτον· ἀλλὰ βουληθεὶς τὸ τίμιον παραστῆσαι τῶν ″ πλαττομένων, εἰσάγει Θεοῦ χεῖρα δημιουργοῦσαν. τὰ μὲν γὰρ οἰκτρὰ τῶν ἔργων ἐπιτάττοντες ποιοῦμεν, τὰ δὲ ποθεινὰ δι᾽ αὐτῶν τῶν χειρῶν ἀναλαμβανόμεθα. διὰ τοῦτό φησιν ἡ γραφή· Καὶ ἔλαβεν ὁ Θεὸς χοῦν ἀπὸ τῆς γῆς. ἔλαβε χοῦν, οὐ βῶλον, οὐ παχυτάτην γῆν, ἀλλὰ λεπτότατον χοῦν. ὅρα πῶς ἐξ αὐτῶν τῶν προοιμίων ἡ ἐλπὶς ἐπάγει τῆς ἀναστάσεως. ἐπειδὴ γὰρ ἔμελλεν εἰς χοῦν ἀναλύεσθαι κατὰ τὸ εἰρημένον, Καὶ εἰς χοῦν θανάτου κατήγαγές με· ἵνα μή τις τὸν ἐν τοῖς τάφοις χοῦν θεασάμενος, ἀπαγορεύσῃ τὴν ἐλπίδα τῶν ἀνθρώπων, ἐν αὐτῇ τῇ δημιουργίᾳ ἔπηξε τὴν ἐλπίδα τῆς ἀναστάσεως. διό φησιν, ἔλαβεν ὁ Θεὸς χοῦν ἀπὸ τῆς γῆς. ἐκεῖ χοῦς, καὶ ὧδε χοῦς· ἐκεῖνος τῇ δυνάμει τοῦ τεχνίτου μετεποιήθη, καὶ οὗτος τῇ σοφίᾳ τοῦ δημιουργοῦ ″ μετέβαλλεν. ἔλαβε χοῦν, καὶ ἔπλασε. τὸ μὲν πόθεν ἔλαβε, καὶ τί ἔπλασεν, ἔμαθες· τὸ δὲ πῶς μετεποίησεν, οὐ παρέλαβες ″ τὸν λόγον. τὴν πλάσιν εἶπε, τὸν δὲ τρόπον ἀπέκρυψεν· ἵνα μάθῃς μὴ περιεργάζεσθαι Θεοῦ δημιουργίαν. εἰ δὲ Θεοῦ δημιουργίαν οὐκ ἐπετράπης περιεργάζεσθαι, πολλῷ μᾶλλον Θεοῦ γέννησιν πολυπραγμονεῖν οὐκ ὀφείλεις. ἔπειτα μὲν τετράποδα ποιῶν ὁ Θεός, * μετὰ τῶν σωμάτων καὶ τὰς ψυχὰς ἐπήγαγε· τὸν δὲ ἄνθρωπον πλάττων, πρῶτον κατασκευάζει τὸ τοῦ σώματος ὄργανον, καὶ τότε τὴν ψυχὴν δημιουργήσας ἐνέθηκε. διὰ τί; ἵνα καὶ ἐν τούτῳ δείξῃ τὴν ὑπεροχὴν τοῦ ἀνθρώπου. ἐπειδὴ γὰρ τὰ μὲν ″ ἄλλα ζῶα καὶ τὰ κτήνη λυόμενα θανάτῳ, συναφανίζει τῷ σώματι καὶ τὴν ψυχήν, ἐκεῖθεν αὐτῶν λέγει τὴν γένεσιν, ὅπου πάλιν τὸ πέρας ἔμελλεν ἀφανίζεσθαι. τὸ μὲν οὖν σῶμα ἀπὸ γῆς λαμβάνει τὸν ἄνθρωπον πλάσας Θεός, τὴν δὲ ψυχὴν ἐμφυσᾷ. καὶ μικρὸν ἀνάμεινον, ἵνα σοὶ τὸν λόγον τοῦ ἐμφυσήματος κατὰ τὸ ἐγχωροῦν παραστήσω. ἐκ προοιμίων γὰρ καὶ τούτῳ τὴν ἐλπίδα τῆς ἀναστάσεως ὑπογράφει. πλάττει τὸ σῶμα πρῶτον· καὶ πρῶτον ὁ ἄνθρωπος ἔλαβεν εἰκόνα νεκράν, καὶ τότε ζῶσαν τὴν ἐνέργειαν τῆς ψυχῆς ἐδέξατο· πρῶτον ἐδείχθη νεκρός, εἶτα ζῶν· πρῶτον ἔπλασε σῶμα νεκρόν, εἰς ὃ ἔμελλε καταλήγειν ὁ ἄνθρωπος· εἶτα ὅτε ἀπετέλεσε τὸ νεκρὸν σῶμα, τότε ἀπέδωκε τὸν χαρακτῆρα. καὶ οὐ ποιεῖ τὴν ψυχὴν ″ πρῶτον, ἵνα μὴ γένηται αὐτόπτης τῶν ″ γινομένων. οὐ ποιεῖ τὴν ψυχὴν ″ παρεῖναι τῇ δημιουργίᾳ, ἵνα μὴ καυχήσηται, ὡς συνεργὸς οὖσα τοῦ Θεοῦ· καὶ οὐ μόνον ἵνα μὴ καυχήσηται, ἀλλ᾽ ἵνα μηδὲ τὸν τρόπον ἴδῃ τοῦ γινομένου. τοῦτο καὶ νῦν ποιεῖ ὁ Θεός. καὶ γὰρ ἕκαστον ἡμῶν πλάττει ἐν κοιλίᾳ· καὶ πῶς πλάττει, οὐδενὶ βλέπειν συνεχώρησε. φερόμεθα δὲ καὶ πλαττόμεθα, καὶ ἡ μὲν φύσις τὸν δρόμον ″ διανύει· τὸν δὲ τρόπον τῆς πλάσεως οὐδεὶς καταλαμβάνει. ὢ τοῦ θαύματος· κτίζεται ναὸς ἐν ναῷ, οἶκος ἐν οἴκῳ κατασκευάζεται· καὶ ὁ ἔξωθεν οἶκος οὐκ αἰσθάνεται. ποιεῖ τοίνυν τὸν ἄνθρωπον κατὰ τὴν νεκρὰν εἰκόνα. εἶτά φησιν· Ἐνεφύσησεν ὁ Θεὸς εἰς τὸ πρόσωπον τοῦ Ἀδὰμ πνοὴν ζωῆς, καὶ ἐγένετο ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. πολλοὶ ἐνόμισαν ὅτι τὸ ἐμφύσημα αὐτοῦ ἦν ἡ ψυχή· καὶ ὅτι ἐκ τῆς οὐσίας τοῦ Θεοῦ μετεδόθη τῷ σώματι ἡ ψυχή. ἔστι δὲ πολλῆς οὐ μόνον ἀνοίας, ἀλλὰ καὶ ἀτοπίας μεστὸς ὁ λόγος. εἰ γὰρ ἐκ τῆς οὐσίας τοῦ Θεοῦ ἡ ψυχή, οὐκ ἐχρῆν ἐν τῷ μὲν εἶναι σοφήν, ἐν ἄλλῳ δὲ μωρὰν καὶ ἀσύνετον, οὐδὲ ἐν τούτῳ μὲν εἶναι ψυχὴν δικαίαν, ἐν ἑτέρῳ δὲ ἀδι-

* ὁ τοῦ Θεοῦ λόγος

χ. προσέφερεν.

χ. πραττομένων,

ἴσ. μεταβάλλεται.
[illegible] τὸν λόγον
ἐδίδαξε, τὸν δὲ

* ὁμοῦ

χ. ἄλογα

χ. πρὸ τοῦ σώματος

χ. γενομένων.

χ. προσεῖναι

χ. αἰεί·

Γεν. α κ.

Γεν. β ζ.

Ψαλμ. κα ιϛ.

Γεν. β. ζ.

κην. ἡ γὰρ τοῦ Θεοῦ οὐσία οὐ μερίζεται, οὐδὲ ἀλλοιοῦται, ἀλλ' ἔστιν ἀναλλοίωτος. Ἐγὼ γὰρ
εἰμί, φησι, καὶ οὐκ ἠλλοίωμαι. ἔπειτα, ἀδελφοί, οὐ μόνον εὑρίσκομεν διαμαρτανούσας
ψυχὰς, καὶ ἐκ τούτου ἐλεγχομένας, ὡς οὐκ εἰσὶν ἐκ τῆς θείας οὐσίας, ἀλλ' εὑρίσκομεν
Ματθ. ι. κη. αὐτὰς καὶ κρίσει ὑποβαλλομένας. λέγει γὰρ ὁ σωτὴρ, Μὴ "φοβεῖσθε ἀπὸ τῶν
ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον
τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ. εἰ οὖν ἐξ αὐτοῦ ἡ ψυχὴ, ἑαυτὴν κρίνει
ὁ Θεός. τί οὖν βούλεται τὸ ἐμφύσημα, ἀναγκαῖον ἰδεῖν. τὸ ἐμφύσημα "ἐπὶ Θεοῦ ἢ
τοῦ ἁγίου πνεύματος ἐστὶν ἐνέργεια. ὥσπερ γὰρ ὁ σωτὴρ ἐνεφύσησεν εἰς τὰ πρόσωπα τῶν
Ἰωαν. κ. κϐ. ἀποστόλων, καὶ εἶπε, Λάβετε πνεῦμα ἅγιον· οὕτω τὸ ἐμφύσημα τὸ θεῖον οἱ ἀνθρωπίνως ἀκουόμενοι,
πνεῦμά ἐστι τὸ προσκυνητὸν καὶ ἅγιον. τοῦτο τὸ πνεῦμα προσελθὸν οὐκ αὐτὸ γέγονε
ψυχὴ, ἀλλὰ ψυχὴν ἔκτισεν· οὐκ αὐτὸ εἰς ψυχὴν μετεβλήθη, ἀλλὰ ψυχὴν ἐδημιούργησε.
δημιουργὸν γὰρ τὸ πνεῦμα τὸ ἅγιον· κοινωνεῖ τῇ δημιουργίᾳ τοῦ σώματος, καὶ τῇ
δημιουργίᾳ τῆς ψυχῆς. πατὴρ γὰρ καὶ υἱὸς καὶ πνεῦμα ἅγιον τῇ θείᾳ δυνάμει δημιουργεῖ τὸ
πλάσμα. καὶ μὴ νομίσῃς ὅτι μέρος μὲν ὁ πατὴρ συνεβάλετο, μέρος δὲ ὁ υἱὸς, μέρος δὲ τὸ
πνεῦμα τὸ ἅγιον. ἀλλ' ἐκεῖνο λέγω, ὅτι κἂν ὁ πατὴρ ποιήσῃ, υἱοῦ τὸ ἔργον, καὶ τοῦ πνεύματος
τὸ κατόρθωμα. κἂν ὁ υἱὸς δημιουργήσῃ, πατρὸς ἡ δημιουργία, καὶ τοῦ ἁγίου πνεύματος ἡ "δημιουργία.
εἰ δέ τις ἀπιστεῖ ὅτι τὸ πνεῦμα τὸ ἅγιον οὐκ ἐκοινώνησε τῇ ἡμετέρᾳ δημιουργίᾳ,
ἐλεγχέσθω ἐκ τῶν μυστηρίων. εἰ μὴ ἀπὸ τῆς τριάδος "ἐκτίσθημεν, πῶς καὶ τῷ ἁγίῳ
πνεύματι ἐπιγράφεται ἡ μυσταγωγία; πῶς ἐν ὀνόματι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος
ἀνακαινίζεται ἡ δημιουργία; ἀλλ' ὅτε μὲν ἐκτίσθημεν, οὐ χρεία γέγονε τοῦ πνεύματος·
ὅτε δὲ ἀνακαινιζόμεθα, προσλαμβάνεται τὸ πνεῦμα. οὐκοῦν δημιουργὸν τὸ πνεῦμα
τὸ ἅγιον, κἂν θέλωσιν οἱ ἐχθροὶ, κἂν μὴ θέλωσι. καὶ μαρτυρεῖ Δαβὶδ "τῇ δημιουργικῇ
δυνάμει τοῦ πνεύματος. περὶ γὰρ τῆς ἀνθρωπίνης διαλεγόμενος κατασκευῆς, φησί·
Ψαλ. ργ. κη. Πάντα πρὸς σὲ προσδοκῶσι, Κύριε, δοῦναι τὴν τροφὴν αὐτοῖς εἰς εὔκαιρον. δόντος σου
αὐτοῖς συλλέξουσιν, ἀνοίξαντος δέ σου τὴν χεῖρα τὰ σύμπαντα πλησθήσονται χρηστότητος.
ταύτην τὴν ἄφθονον χορηγίαν ἐνδείκνυται. εἶτα τί τὸ ἐπαγόμενον; Ἀποστρέψαντος δέ σου τὸ
πρόσωπον ταραχθήσονται. ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι καὶ εἰς τὸν χοῦν
αὐτῶν ἐπιστρέψουσιν· ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται. οὐκοῦν κτιστὴς καὶ δημιουργὸς
τὸ πνεῦμα τὸ ἅγιον. καὶ βλέπε ῥημάτων ἀκρίβειαν. ὅτε μὲν περὶ ψυχῆς τῆς ἡμετέρας
λέγει, ἀντανελεῖς, φησι, τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν·
ὅτε δὲ περὶ τοῦ * πνεύματος διαλέγεται, ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται.
εἰ δὲ πρὸς "ταύτην ἀντιβλέψαι τολμήσωσι τὴν ἀλήθειαν οἱ αἱρετικοὶ, ἑτέρα μαρτυρία
πάλιν αὐτοὺς ἀποστρέψει, τὴν τοῦ ἁγίου πνεύματος δημιουργικὴν δύναμιν κηρύττουσα. τὸ γὰρ
κράτιστον πάσης δημιουργίας καὶ οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης ἔργον τοῦ ἁγίου πνεύματος εὑρίσκεται.
τὸ γὰρ τοῦ Χριστοῦ τὸ πανάγιον καὶ προσκυνητὸν "σῶμα, δι' οὗ καὶ οὐρανὸς καὶ ἡ γῆ καὶ ὁ κόσμος ὅλος
ἀνακαινίζεται καὶ οἰκουμένη σώζεται, ἔργον ἐστὶ τοῦ ἁγίου πνεύματος. τῆς γοῦν παρθένου τῆς ἁγίας
Λουκ. α. λδ. ἀπορούσης περὶ τὴν εὐαγγελισθεῖσαν ξένην ὠδῖνα καὶ λεγούσης· Πῶς ἔσται μοι τοῦτο, ἐπεὶ
ἄνδρα οὐ γινώσκω; ὁ ἄγγελός φησι πρὸς αὐτήν· πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ
δύναμις ὑψίστου ἐπισκιάσει σοι. τινὲς ἐνόμισαν πνεῦμα μὲν ἅγιον εἰρῆσθαι αὐτὸ τὸ πνεῦμα, δύναμιν
δὲ ὑψίστου τὸν υἱόν. δεῖ δὲ εἰδέναι, ὅτι τὸ αὐτὸ ἐκάλεσε καὶ πνεῦμα ἅγιον καὶ δύναμιν ὑψίστου.
ὥσπερ γὰρ ὁ υἱὸς δύναμις ὑψίστου λέγεται (Χριστὸς γὰρ Θεοῦ δύναμις) οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον
δύναμις ὀνομάζεται. λέγει γοῦν τοῖς ἀποστόλοις ὁ Κύριος· Μείνατε "εἰς Ἱερουσαλὴμ, ἕως "ἂν
Λουκ. κδ. μθ. ἐνδύσησθε δύναμιν ἐξ ὕψους." καὶ περὶ τούτου δὲ, ἀδελφοί, ὁ ἄγγελος τῷ Ἰωσὴφ διαλεγόμενος
Ματθ. α. κ. φησίν· Ἰωσὴφ υἱὸς Δαβὶδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰν τὴν γυναῖκά σου. τὸ γὰρ ἐν

αὐτῇ γεννηθὲν (οὐ γεννηθὲν, ἵνα μὴ νομίσῃς κτίσιν τὴν θείαν καὶ ἄχραντον φύσιν) ἐκ πνεύματός ἐστιν ἁγίου. Εἰ τοίνυν τὸ σῶμα τοῦ Χριστοῦ ἔκτισε τὸ πνεῦμα τὸ ἅγιον, δεῖξόν διαφορὰν δημιουργίας πρὸς δημιουργίαν. ἀλλ' ὅρα μὴ αἰσχυνθῇς, πατρὶ μὲν ἐπιγράφων τὴν γηΐνην εἰκόνα, τῷ πνεύματι δὲ τὴν οὐράνιον. Εἰ γὰρ κατὰ τὸν σὸν λόγον, ὅτε ὁ Ἀδὰμ ἐκτίσθη, κοινωνίαν οὐκ εἶχεν εἰς δημιουργίαν τὸ πνεῦμα, εὑρεθήσεται ὁ μὲν πατὴρ καὶ υἱὸς κτίζων τὸν γήϊνον ἄνθρωπον, τὸ δὲ πνεῦμα τὸν οὐράνιον. ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. καὶ πρόσεχε ἀκριβῶς. ὅτε ἐπλάσθη ὁ Ἀδὰμ, ὅτε ἐδημιουργήθη, ὅτε τὸν οἰκεῖον ἀπέλαβε χαρακτῆρα, ἡ γυνὴ οὐδέπω ἐπέπλαστο. ἀλλὰ τί ποιεῖ ὁ Θεός; ὥσπερ οὐκ ἠθέλησε τὴν ψυχὴν τοῦ Ἀδὰμ παρεῖναι τῇ δημιουργίᾳ τοῦ σώματος, οὕτως οὐδένα συνεχώρησε θνητὸν ὀφθαλμὸν παρεῖναι τῇ τῆς γυναικὸς δημιουργίᾳ. διὰ τοῦτο μέλλων πλάττειν τὴν γυναῖκα, ἐπιβάλλει ὕπνον τῷ Ἀδὰμ, ἵνα μὴ παρῇ καὶ περιεργάζηται Θεοῦ δημιουργίαν. καὶ ἐπέβαλεν ἐπ' αὐτὸν ἔκστασιν (τουτέστιν, ὕπνον) καὶ ὕπνωσε· καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ. ὁ δήσας καὶ ἔλυσεν· ἐξ ὧν ἐργάζεται, δανείζεται· ἐξ ὧν ποιεῖ, λαμβάνει. ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ, καὶ ἐπλήρωσε σάρκα ἀντ' αὐτῆς. πόθεν ἀντεπλήρωσεν, ἀπορεῖ ὁ λόγος· ἡ δύναμις δὲ οὐκ ἀπορεῖ. καὶ ᾠκοδόμησε τὴν πλευρὰν, ἣν ἔλαβεν, εἰς γυναῖκα. πῶς πάλιν ᾠκοδόμησεν; ὀστοῦν πλευρᾶς πῶς εἰς ὀφθαλμὸν μετεποιήθη; πῶς εἰς χεῖρας διεπλάσθη; πῶς εἰς νεῦρα διετάθη; πῶς εἰς ἧπαρ μετεχρώσθη; πῶς εἰς τὴν τῶν ἐγκάτων ποικιλίαν μετεσχηματίσθη; πῶς ἐπάγη γλῶττα; πῶς ἀπετορνεύθη χείλη; πῶς διεγλύφησαν ῥίνες; πῶς ἐπετάσθη τὰ ὦτα; πῶς ἐνώθησαν τρίχες; πόθεν ἐφύησαν ὄνυχες; πῶς διατρέχει τὸ αἷμα; ἑρμήνευσον τὴν σὴν δημιουργίαν. Εἰ δὲ μὴ ἰσχύεις εἰπεῖν, ἐπιστόμισόν σου τὴν κατὰ τοῦ μονογενοῦς συκοφαντίαν. ἐπέβαλεν ἐπὶ τὸν Ἀδὰμ ἔκστασιν ὁ Θεὸς, καὶ ὕπνωσε· καὶ λαμβάνει πλευρὰν, καὶ δημιουργεῖ γυναῖκα. καὶ βλέπε τὴν πάνσοφον σοφίαν. ἀπὸ ἑνὸς πλάττει δύο, ἵνα ἀπὸ τῶν δύο τὸν ἕνα πάλιν ἀποτελέσῃ διὰ τῆς συμφυΐας. ἀπὸ τοῦ Ἀδὰμ ἐποίησε τὴν γυναῖκα· ἀπὸ τοῦ ἑνὸς ἐποίησε δύο. πάλιν ὁ αὐτὸς ἀπὸ τῶν δύο ποιεῖ τὸν ἕνα. τὸ γὰρ ἀπὸ γυναικὸς καὶ ἀνδρὸς τικτόμενον, εἰς ἓν ἀποτελεῖ σῶμα. τὸ ῥῆμα ἀνθρώπινον, τὸ δὲ νόημα θεῖον. ἑρμήνευσον πῶς ᾠκοδόμηται, καὶ οὐχ εὑρήσεις, πῶς ἡ πλευρὰ ᾠκοδόμηται· πῶς τὸ μὲν ἔπλασε, τὸ δὲ ᾠκοδόμησε. μὴ ταυτόν ἐστι πλάττειν ἀπὸ γῆς, καὶ οἰκοδομεῖν ἀπὸ πλευρᾶς; ἔπλασεν ὁ Θεὸς τὸν Ἀδὰμ ἀπὸ γῆς· ἐδημιούργησε τὴν Εὔαν ἀπὸ [τῆς] πλευρᾶς· κατασκευάζει τὸν Κάϊν καὶ τὸν Ἄβελ καὶ τοὺς λοιποὺς ἀνθρώπους ἀπὸ συναφείας. καὶ εἰσὶν οἱ μὲν γεννητοί, ὁ δὲ πλαστὸς, ἡ δὲ οἰκοδομητή. τὰ ὀνόματα οὐκ ἴσα. ἐμερίσθη ἡ οὐσία; οὐδαμῶς.

Ταῦτά μοι εὐκαίρως εἰρήσθω, ἐπειδὴ λέγουσιν οἱ αἱρετικοὶ, ὅτι τὸ γεννητὸν καὶ τὸ ἀγέννητον οὐχ ὅμοια, ἀλλ' ὅσην ἔχει τὰ ὀνόματα διαφορὰν, τοσαύτην ἔχει καὶ τὰ πράγματα τὴν διάστασιν. δὸς οὖν διαφορὰν τοῦ Ἀδὰμ πρὸς τοὺς ἐξ αὐτοῦ. ὁ γὰρ Ἀδὰμ καὶ γεννητός ἐστι καὶ ἀγέννητος· γεννητὸς, καθὼς ἐγένετο· ἀγέννητος, καθὼς οὐκ ἐγεννήθη. καὶ ἐγένετο καὶ ἐπλάσθη, ἀλλ' οὐκ ἐγεννήθη· ἡ δὲ γυνὴ οὔτε ἐγεννήθη, οὔτε ἐπλάσθη. ἐπανάλαβε πάλιν τὸ ῥῆμα, καὶ στῆσον τὸ νόημα. ὁ Ἀδὰμ ἐπλάσθη, καὶ οὐκ ἐγεννήθη· ἡ γυνὴ ᾠκοδομήθη, καὶ οὔτε ἀπὸ γῆς ἐπλάσθη, οὔτε ἀπὸ κοιλίας ἐγεννήθη, ὥσπερ ὁ Κάϊν· οἱ δὲ λοιποὶ οὔτε ἐπλάσθησαν, οὔτε ᾠκοδομήθησαν, ἀλλ' ἐγεννήθησαν. ἐπεὶ οὖν πολλὴν ἔχει διαφορὰν ἡ ἔννοια τῶν νοημάτων (ἄλλο γὰρ τὸ πλασθῆναι, καὶ ἄλλο τὸ οἰκοδομηθῆναι, καὶ ἄλλο τὸ γεννηθῆναι) δεῖξόν μοι οὐσίας διαφορὰν τοῦ Ἀδὰμ πρὸς τὴν Εὔαν, καὶ τοὺς ἐξ αὐτῶν. Εἰ δὲ τέμνονται ταῖς προσηγορίαις, καὶ οὐ τέμνονται τῇ οὐσίᾳ, τί θαυμαστόν; εἰ τὰ ὀνόματα συνεχῶς περιστρέφεις, ἐναλλάττει μὲν πρὸς τὴν ἐκφώνησιν, συμφωνεῖ δὲ πρὸς τὴν ἀλήθειαν. πόθεν δέ σοι τὸ γεννητὸν πρὸς τὸ ἀγέννητον; ἠρνήσω πατρὸς καὶ υἱοῦ τὴν προσηγορίαν; σοφώτερος ἐγένου τῆς

γρ. κοίμησιν

γρ. ἀνεπλήρωσε

γρ. μετερρυθμίσθη;

γρ. ἀπετορνώθη

γρ. μίαν τῶν πλευρῶν αὐτοῦ

γρ. συναφείας

γρ. ἐποίησε

γρ. τοῦ ἑξῆς

ἴσ. γεννητὸς

ἴσ. γεννητός

ἴσ. τοῦ

γρ. περιστρέφοντα

ἁγίου πνεύματος τῇ προφητείᾳ. οὐκ ἦν σου ἀξιοπιστότερος ὁ Θεός; οὐκ ἠδύνατο χ. τῷ προφη-τείᾳ
τὸ σοφὸν τοῦτο αὐτὸς περὶ τῆς σῆς ἐπινοίας εὑρεῖν; οὐκ ἠδύνατο εἰπεῖν, βαπτίζετε
αὐτοὺς ἐν ὀνόματι ἀγεννήτου καὶ γεννητοῦ. ἀλλ' ἡ μὲν πρὸς τοὺς αἱρετικοὺς μάχη, καὶ ὁ
ὑπὲρ εὐσεβείας ἀγὼν ἑτέρῳ καιρῷ ταμιευέσθω· εἰς δὲ τὸ προκείμενον ἐπανέλθω-
μεν. ἐπέβαλε τῷ Ἀδὰμ τὸν ὕπνον, καὶ τότε τὴν πλευρὰν ἔλαβεν. ἐπεὶ οὖν ἐκ τῆς
πλευρᾶς ταύτης ἔμελλε προέρχεσθαι ἡ ἀφορμὴ τῆς παραβάσεως (γυνὴ γὰρ εἰσή-
γαγε τὸν θάνατον τῷ Ἀδὰμ) ὁ σωτὴρ βουλόμενος τὴν πληγὴν θεραπεῦσαι, ἀντιτίθησι πλευ-
ρὰν πλευρᾷ· καὶ ἐν τῷ σταυρῷ τῇ λόγχῃ παρέδωκε τὴν πλευράν, ἵνα ὅθεν ἐπήγασε τὸ τραῦ- ἴσ. -χοι
μα, ἐκεῖθεν ἀνθήσῃ ἡ σωτηρία. ἐξῆλθεν αἷμα καὶ ὕδωρ. νόει τὸ μυστήριον, καὶ τίμησον τὸν οἰ-
Ιωαν. ιθ. λδ. κονομήσαντα, καὶ βλέπε τὸ θαυμαστόν. ἐπειδὴ γὰρ ὁ Ἀδὰμ μετὰ τὸν ὕπνον ἀφῃρέθη τῆς πλευ- χ. περὶ
ρᾶς (οὐ γὰρ ἐγρηγορότος τοῦ Ἀδὰμ ἡ πλευρὰ ἀφῃρέθη) ὁ σωτὴρ οὐκ ἐγρηγορὼς τῷ σώ- ἴσ. χρῆ
ματι τὴν πλευρὰν διενύγη, ἀλλὰ μετὰ τὴν κοίμησιν τοῦ σώματος ἔδωκε τὴν πλευρὰν τῷ χ. διηνοίγη
στρατιώτῃ. καὶ πρόσεχε ἀκριβῶς. ὅτε ὁ σωτὴρ ἐπὶ τοῦ σταυροῦ τὴν ἔνθεον οἰκονομίαν ἐπλή-
ρου, τὰ μὲν ἄλλα ὑπέμεινεν ἔτι ὢν ἐν σαρκὶ καὶ φαινόμενος, * κατὰ τὴν ἀνθρωπίνην κατά- * καὶ πάντα
στασιν. Θεοῦ γὰρ πάθος οὐχ ἅπτεται· Θεὸν πάθος οὐχ ὑβρίζει· Θεὸν πάθος οὐ μειοῖ, εἰ μή
πω καὶ τῶν ἡμετέρων ψυχῶν ἐστι κατώτερος. εἰ γὰρ καὶ ταῖς ψυχαῖς ταῖς ἡμετέραις αὐτὸς ἐπαγ-
Ματθ. ι. κη. γέλλεται λέγων, Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυνα-
μένων ἀποκτεῖναι, πῶς αὐτὸς τῶν παθῶν μετέχει τοῦ σώματος; ψυχὴ οὐκ ἀποθνήσκει, καὶ ὁ κτί-
σας τὰς ψυχὰς ἀποθνήσκει; πάντα οὖν ὑπομείνας κατὰ τὴν ἀνθρωπίνην οἰκονομίαν, ἐπὶ
τέλει τῆς οἰκονομίας, ἵνα δείξῃ τῆς οἰκονομίας τὴν αὐθεντίαν καὶ τὴν ἐξουσίαν αὐθεντοῦσαν,
Λουκ. κγ. μς. καὶ οὐχ ὑποκύπτουσαν νόμοις φύσεως, φησὶν ἐπὶ τοῦ σταυροῦ, Τετέλεσται. Πάτερ, εἰς
χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου. φωνῇ τὴν φύσιν διέλυσε, λόγῳ τὴν πῆξιν ἐφήρ-
Ιωαν. ι. ιη. μοσε. αὐτὸς γάρ ἐστιν ὁ λέγων, Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω * λα- * πάλιν
βεῖν αὐτήν. ὅτε οὖν παρέδωκε τὸ πνεῦμα κατὰ τὸ ἀνθρώπινον σχῆμα, νεκρωθέντος αὐτοῦ,
μᾶλλον δὲ νεκρώσαντος τὸν θάνατον διὰ τῆς νεκρώσεως, οἱ στρατιῶται ἀπιστήσαντες διὰ τὸ
ταχὺ τῆς ἀπαλλαγῆς, καὶ νοήσαντες ὅτι ὑπερβαίνει φύσιν ἀνθρώπου τὸ ψιλῷ ῥήματι τὴν
ψυχὴν παραδοῦναι, προσῆλθον πειράζοντες εἰ ζῇ· καὶ εὗρον νεκρὸν μὲν ἀληθῶς τῷ σώ- χ. νομί-σαντες
ματι, ζῶντα δὲ τῇ ἐνεργείᾳ· καὶ ὃν ἀπέκτειναν ὡς ἄνθρωπον, μετὰ τὸν σταυρὸν ὡμολόγουν υἱὸν ἴσ. τὸ
τοῦ Θεοῦ. ὅτε γὰρ ὁ στρατιώτης λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἤνοιξεν, ἐξῆλθεν αἷμα καὶ ὕδωρ,
ὅπερ ἐστὶ νεκροῦ ἀλλότριον. οὐδέποτε γὰρ ἀπὸ νεκροῦ αἷμα πηγάζει. ὅτε δὲ ἐπήγασε τὸ αἷ-
μα τὸ μυστικόν, τότε ἡ πλευρὰ πηγὴν ἤνοιξε σωτηρίας διὰ τὴν πλευρὰν τὴν ἀνοίξασαν
Λουκ. κγ. μζ. τὴν παρανομίαν. τότε λέγει ὁ ἑκατόνταρχος ὁ παρεστηκὼς τῷ σταυρῷ· Ἀληθῶς Θεοῦ υἱὸς ἦν
οὗτος. ζῶντα ἠρνήσω, καὶ ἀποθανόντα κηρύττεις; ἀκριβῶς οὖν πρόσεχε τοῖς λεγομένοις. ὥ-
σπερ τῷ Ἀδὰμ ὕπνον ἐνέβαλεν ὁ Θεός, καὶ τότε τὴν πλευρὰν ἀπέσπασεν· οὕτω τοῦ σω- χ. ὑπέβαλεν χ. ὑπέσπασεν
τῆρος τὴν κοινὴν κοίμησιν ὑποστάντος κατὰ τὸ σῶμα, τότε ἡ πλευρὰ ἐνύγη. καὶ γὰρ τότε χ. ἠνοίγη.
μετὰ τὸν ὕπνον, καὶ νῦν μετὰ τὴν κοίμησιν οἱ στρατιῶται αἷμα ἰδόντες υἱὸν Θεοῦ ἐκήρυξαν.
οἱ δὲ αἱρετικοὶ καὶ θαῦμα βλέποντες, κτίσμα λέγουσι. διὰ τί δέ, ἀδελφοί, τῇ λόγχῃ ὑ- χ. θαύματα
πήντησεν ἡ πλευρά; ἔδει ἐν τῷ σχήματι τοῦ σταυροῦ πάντα λυθῆναι τὰ κατὰ τοῦ Ἀδάμ. ἐ-
πειδὴ γὰρ ἐκβαλὼν ὁ Θεὸς τὸν Ἀδὰμ ἀπὸ τοῦ παραδείσου τὴν φλογίνην ῥομφαίαν τὴν
κωλύουσαν αὐτὸν παρέθηκεν εἰσέρχεσθαι εἰς τὸν παράδεισον, ἡ δὲ ῥομφαία ἦν στρεφομέ-
νη, πᾶν δὲ τὸ στρεφόμενον ἕως ἂν συγκρούσῃ τινὶ τῶν ἀντιπιπτόντων οὐχ ἵσταται (ἴστε δὲ ἀπὸ
τῆς πείρας, ἀδελφοί, τὸ λεγόμενον, ὅτι πᾶν τὸ στρεφόμενον, ἐὰν μή τινι συγκρούσῃ, οὐχ ἵ-
σταται τοῦ οἰκείου δρόμου) ἐπεὶ οὖν οὐδεὶς ἠδύνατο ἀντιστῆναι τῇ πυρίνῃ ῥομφαίᾳ, ἐν τῇ οἰ-
κονομίᾳ τοῦ σταυροῦ τῷ σχήματι τῆς ῥομφαίας ἀντέθηκε τὴν πλευράν· ἵνα διὰ τῆς αἰ-

σθητῆς λόγχης ἡ νοητὴ ῥομφαία συγκρούσασα τῇ πλευρᾷ, παύσηται λοιπὸν τῆς ἀπειλῆς, καὶ μηκέτι τοῖς ἀνθρώποις τὴν εἴσοδον ἀποκλείσῃ τοῦ παραδείσου. ἐδέξατο τοίνυν ὁ Κύριος τὴν ῥομφαίαν διὰ τῆς πλευρᾶς, καὶ εὐθέως ἠνοίγη ἡ θύρα τοῦ παραδείσου. ἐπήγασεν ἀπὸ πλευρᾶς ἡ θεραπεία τῷ πληγέντι διὰ πλευρᾶς. ἐξήγαγεν αὐτὸν τὰ πρῶτα τοῦ παραδείσου, καὶ ἐπὶ τέλει τῶν αὐτῶν εἰσήγαγεν εἰς τὴν βασιλείαν. ἐπαίδευσεν, ἀλλ' ἠλέησεν· ἐξέβαλεν, ἀλλ' οὐκ ἠφάνισεν· ἀπέστρεψεν, ἀλλ' οὐκ ἐξέωσεν. ἀλλ' οἶδα ὅτι καιρὸς τῇ λειτουργίᾳ παραχωρεῖν. πάντα γὰρ δυνατὰ τῷ Θεῷ· ὥστε καὶ ἡμῖν ἐμβαλεῖν τῶν λειπομένων τὴν ἔννοιαν, καὶ τοῖς ἀκροαταῖς ἐκ μέρους περιιστᾶν τοῦ παντὸς λόγου τὴν δύναμιν. Δίδου γὰρ σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται. εὐχαριστήσωμεν οὖν τῷ Θεῷ, ὅτι παράδεισον ἕνα ἀπωλέσαμεν, καὶ μυρίους παραδείσους ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐφύτευσεν· εὐχαριστήσωμεν τῷ Θεῷ, ὅτι παράδεισον διὰ τὴν παράβασιν ἀπολέσαντες, εἰς βασιλείαν οὐρανῶν ἐκλήθημεν, διὰ τῆς χάριτος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παροιμ. θ. θ.

Λογ. ρ. ΕΙΣ ΤΟΝ ΜΑΚΑΡΙΟΝ ΑΒΡΑΑΜ.

Ex edit. Front. Duc. Burdeg.

** λείπει ** Εἴδετε πολιὰν σφριγῶσαν, καὶ γῆρας ἀκμάζον; εἴδετε ἀθλητὴν γενναῖον πρὸς φύσιν καὶ σπλάγχνα παραλαξάμενον; εἴδετε ἄνδρα ἐν ἐσχάτῃ πολιᾷ ἀδάμαντος στερρότερον; κεχάλαστο μὲν αὐτοῦ ὁ τόνος τῶν σαρκῶν, νενεύρωτο δὲ αὐτοῦ ὁ τόνος τῆς πίστεως. τοιαῦτα γὰρ τῆς ἐκκλησίας τὰ κατορθώματα· ὅτι ἡ ἀτονία τοῦ σώματος οὐδὲν λυμαίνεται τὴν προθυμίαν τῆς πίστεως. κόσμος γὰρ ἐκκλησίας πολιὰ κατεσταλμένη, καὶ πίστις ἐρρωμένη· καὶ ἐν τούτῳ χαίρει ἡ ἐκκλησία μᾶλλον. ἐπὶ μὲν γὰρ τῶν ἔξω πραγμάτων ὁ γέρων ἄχρηστος, εἰς οὐδὲν ἐπιτήδειος· ἀλλὰ πανταχοῦ συγγνώμης ἀπολαύει, διὰ ἀτονίαν μὴ δυνάμενος χρησιμεῦσαι τοῖς ἀναγκαίοις. οἷόν τι λέγω· οὐ δύναται ὁ γέρων εἰς πόλεμον παρατάξασθαι, οὐχ ἵππῳ ἀναβῆναι, οὐ δόρυ κινῆσαι, οὐκ ἀσπίδα σεῖσαι, οὐχ ἡλίου θερμότητα ὑπενεγκεῖν, οὐχ ὁδοιπορίας μέγεθος βαστάσαι, οὐ λιμοῦ δεινότητα ὑπομεῖναι, οὐ θορύβων ὄγκον· ἀλλ' ἐν ἡσύχῳ τόπῳ καθέζεται, συνήγορον ἔχων τὴν πολιάν. τοῦτο δὲ καὶ ἐπὶ τῶν πλοίων ἴδῃ τις ἄν. οὐ δύναται ὁ γέρων ἐπὶ τῶν οἰάκων καθεσθῆναι, οὐ πελάγη τεμεῖν, οὐ κώπην ἐλάσαι, οὐκ ἱστίον κρεμάσαι, οὐκ ἐναντίοις ἀνέμοις παρατάξασθαι, οὐ κρύους δριμύτητα ὑπομεῖναι, οὐκ ἄλλο τι τῶν τοιούτων δύναται ποιῆσαι· ἀλλὰ καθέζεται ἐν τῇ νηῒ τὴν ἐκ τῆς ἡλικίας ἔχων συγγνώμην. τοῦτο δὲ καὶ ἐπὶ τῶν γεωπόνων ἐστὶν ἰδεῖν. οὔτε γὰρ ἄροτρον ἑλκῦσαι, οὔτε αὔλακα ἀνατεμεῖν, οὔτε πωλοδάμνης γενέσθαι, οὔτε βοῶν ἰσχυρῶν ὑπενέγκαι ἰσχύν, οὔτε καύματος πόλεμον, οὔτε θερμότητος ὄγκον, οὔτε σκαπάνης βάρος, οὔτε ἄλλο τι τῶν πρὸς τὴν γῆν χρησιμευόντων· ἀλλὰ καθέζεται ἐν τῷ οἴκῳ συνήγορον ἔχων τὴν πολιάν. ἀλλ' οὐ τὰ τῆς ἐκκλησίας τοιαῦτα· ἀλλ' ὅταν γηράσωσι τῶν ἐν ἀρετῇ διάγοντες, τότε μᾶλλον χρήσιμοι καθίστανται. οὐ γὰρ σαρκῶν εὐτονία, ἀλλὰ πίστεως ἐπίτασις ζητεῖται. τοιοῦτος ἦν Ἀβραάμ, κεχαλασμένος μὲν τῷ τόνῳ τῶν σαρκῶν, νενευρωμένος δὲ τῷ τόνῳ τῆς πίστεως. γέρων ἦν, ἀλλ' ἐν ἐσχάτῃ πολιᾷ πρὸς φύσιν ἐμάχετο, τρόπαια νίκης μεγάλα στήσας· γέρων ἦν, ἀλλὰ σιδήρου εὐτονώτερος, καὶ ἀδάμαντος στερρότερος. καὶ ὅτε μὲν ἐν νεότητι ἦν, οὐδὲν τούτων κατόρθωσεν· ὅτε δὲ παρέδραμεν ὁ χρόνος τῆς ἡλικίας, τότε δὲ τρόπαιον τῆς νίκης ἔστησεν ἐν ἐσχάτῃ πολιᾷ· ἀλλ' ἐμπόδιον ἡ πολιὰ οὐκ ἐγένετο. διὸ καὶ ὁ Θεὸς εἰδὼς τὴν εὐτονίαν αὐτοῦ, ἐπιφαίνεται αὐτῷ, καί φησιν· Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου, καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω. ὑπήκουσεν Ἀβραὰμ τῷ λόγῳ, καίτοι γέρων ὢν λοιπὸν καὶ ἄτονος τῷ σώματι· καὶ οὐκ εἶπε πρὸς ἑαυτόν, ποῦ

Γεν. ιβ. α.

ἀπέρχομαι ἐν ἐσχάτῃ πολιᾷ; καταλίπω τὸν οἶκον τοῦ πατρός μου, καὶ τὴν γῆν, ἐν ᾗ ἐγεννήθην; ὅπου περιουσία χρημάτων, καὶ περιφάνεια γονέων; ὅπου κτῆσις πολυτελής, καὶ φίλων εὐημερία; ἀλλ᾽ ἐλυπεῖτο μὲν πρὸς τὸ παρόν, οὐ παρήκουε δέ. ὡς φιλότοπος γὰρ ἠγωνία τὸ καταλιπεῖν· ὡς φιλόθεος δὲ ἐπείθετο καὶ ὑπήκουε. καὶ τὸ θαυμαστὸν, οὔτε εἶπεν αὐτῷ ὁ Θεὸς εἰς ποῖον τόπον· ἀλλὰ τῷ ἀδιορίστῳ τοῦ ὀνόματος ἐγύμνασεν αὐτοῦ τὴν προαίρεσιν. Εἰ γὰρ εἶπεν αὐτῷ, ὅτι εἰς γῆν σε ἔχω ἀπαγαγεῖν ῥέουσαν γάλα καὶ μέλι, εὑρίσκετο ὁ Ἀβραὰμ οὐ φωνῇ Θεοῦ ὑπακούσας, ἀλλὰ γῆν γῆς προκρίνας. ἐξῆλθεν οὖν Ἀβραὰμ, μὴ ἐπιστάμενος ποῦ ἀπέρχεται. εἶδες πολιὰν σεμνυνομένην ἐν κατορθώμασι; τοιαῦτα γὰρ, ὡς προεῖπον, τὰ ἡμέτερα· οὐκ ἀτονία γήρως αὐτὰ καταβάλλει, οὐ χρόνος αὐτὰ μαραίνει. οὐ γὰρ ἐν σώμασίν ἐστιν ἡ πολιὰ, ἀλλ᾽ ἐν ψυχῇ· διὸ καὶ ἀγήρατά ἐστιν. ἐξῆλθεν οὖν Ἀβραὰμ μηδὲν εἰληφὼς, ἀλλ᾽ ἔτι ἐν σκηναῖς κατοικῶν· καὶ οὐκ ἠπίστησεν, οὐδὲ ἠγωνίασεν. Εἶχε γὰρ ἐνέχυρον ἀξιόπιστον, τοῦ καλέσαντος τὴν φωνήν. ἦν δὲ αὐτὸς ἄγονος, καὶ οὐκ ἐτέκνου, ἀλλ᾽ οὔτε Σάρρα ἡ τούτου γυνή· ἔλαβε δὲ ἐξ ἐπαγγελίας υἱὸν τὸν Ἰσαάκ. ὅτε δὲ ἡ φύσις ἀπηγόρευσε, τότε ἡ χάρις ἐδωρήσατο. ἔλαβεν ἀξιόπιστον μισθὸν ὑπακοῆς, ἀλλὰ τοῦτο μὴ εἰδώς. Εἰ γὰρ ᾔδει, οὐδὲν ἀξιόπιστον ἦν ποιήσας. καὶ ἵνα μάθῃς, ὅτι οὐ διὰ τοῦτο ὑπήκουσε, βλέπε πῶς καὶ αὐτὸν κελευόμενος ἀνελεῖν οὐ παρακούει· ἀλλὰ τὴν φύσιν ῥίπτει, καὶ τὴν φιλοθείαν ἀσπάζεται· τὰ σπλάγχνα καταπατεῖ, καὶ τοῦ καλέσαντος οὐκ ἀφίσταται. τί οὖν πρὸς αὐτὸν ὁ Θεός; Ἀβραάμ· ὁ δὲ εἶπεν, ἰδοὺ ἐγώ. καὶ εἶπε, λάβε τὸν υἱόν σου τὸν ἀγαπητὸν, ὃν ἠγάπησας, τὸν Ἰσαὰκ, καὶ ἀνένεγκε αὐτὸν ἐφ᾽ ἓν τῶν ὀρέων, ὧν ἄν σοι εἴπω. οὔτε τὸ ὄρος αὐτῷ ἐδήλωσεν, ἀλλὰ τῷ ἀδιορίστῳ τοῦ ὄρους εἰς πλείονα αὐτὸν ἀθυμίαν ἐνέβαλεν. ἀλλ᾽ ὅμως τούτων οὐδὲν τὸν Ἀβραὰμ ἐθορύβησε· μᾶλλον δὲ καὶ ἐθορύβησεν. ἔπασχε μὲν γὰρ τὰ τοῦ ἀνθρώπου, οὐκ ἔπασχε δὲ τὰ τῆς ἁμαρτίας· ἐκλυδωνίζετο μὲν ὡς πατὴρ, οὐ κατεποντίζετο δὲ ὡς φιλόθεος· τὰ σπλάγχνα ἀνήπτετο, ἀλλ᾽ ἡ πίστις ἐνίκα. μὴ γὰρ εἴπῃς, ὅτι οὐδὲν ἔπασχεν ὁ Ἀβραάμ. ἐννόησον πῶς ἐπυρπολεῖτο ὑπὸ τῶν σπλάγχνων ἐλαυνόμενος, καὶ βλέπε τὴν φιλοσοφίαν αὐτοῦ· οὐδὲ τῇ Σάρρᾳ λέγει. ἐδεδοίκει γὰρ, μήποτε ἐμποδίσῃ τῷ μυστηρίῳ ἐπιτελουμένῳ. εἰ γὰρ εἶπεν, εἰκὸς αὐτὴν ἐπιστομίζειν, καὶ λέγειν· πῶς ἀναιρεῖς τὸν υἱόν σου, ὃν παρ᾽ ἐλπίδας ἔλαβον; ὃν ἐν ἐσχάτῳ γήρᾳ ἐχαρίσατό μοι ὁ Θεός; ποῦ αὐτὸν ἀναιρεῖς; ποῦ αὐτὸν λαμβάνεις; οὐδείς σοι ὤφθη. πῶς γὰρ Θεός σοι εἶχεν ὀφθῆναι, καὶ ζητεῖν τὸν υἱόν, ὃν παρ᾽ ἐλπίδα μοι ἔδωκεν; αὐτὸς ἐχαρίσατο, καὶ αὐτὸς λαμβάνει; Εἰ διὰ τὸ λαβεῖν αὐτὸν ἔδωκε, βέλτιον, εἰ μὴ ἔδωκεν. οὐ γάρ ἐστι τοσοῦτος πόνος τὸ μὴ ἔχειν, ὅσον τὸ λαβεῖν καὶ ἀπολέσαι. ἐννόησον τὴν Σάρραν διασπωμένην καὶ πυρπολουμένην, καὶ ὑπὸ τῆς φύσεως ἐλαυνομένην, καὶ τὴν μήτραν αὐτῆς διαστρεφομένην, καὶ τὰ σπλάγχνα αὐτῆς ἀλλοιούμενα. συμπαθεῖς γὰρ αἱ γυναῖκες περὶ τὰ τοιαῦτα. ὅσον γὰρ μαλακώτεραι καὶ συμπαθέστεραι, τοσοῦτον ἔμελλε διαγωνίζεσθαι πρὸς τὸν Ἀβραὰμ, καὶ ἐνεποδίζετο ἡ θυσία, καὶ τὸ μυστήριον κατηργεῖτο. τί γὰρ οὐκ ἐποίησεν ἡ Σάρρα πρὸς τὸ ἀποσπάσαι τὸν υἱὸν αὐτῆς; οὐ γὰρ ἠδύνατο βαστάσαι τὸ γινόμενον, τὸν παρ᾽ ἐλπίδας υἱὸν μέλλοντα ἀναιρεῖσθαι, καὶ ἐν αὐτῷ τῷ γήρᾳ δεδωρημένον αὐτῇ μέλλοντα σφάζεσθαι, πατρὸς χεῖρας τεκνοφονίαν μελλούσας ἐργάζεσθαι. οὐκ ἂν ἐβάσταζε τοιαῦτα ἡ Σάρρα· ἀλλὰ πολλὴν ἂν εἰργάσατο μάχην μετὰ τοῦ Ἀβραάμ· τῆς δὲ μάχης γινομένης ἀνάγκη ἐνέδραν τινὰ παρακολουθῆσαι· ἐνέδρας δὲ παρακολουθούσης ἐνεποδίζετο τὸ μυστήριον. οὐκ εἶπεν οὖν Ἀβραὰμ τῇ γυναικὶ, ἵνα μὴ φιλονεικία γένηται· ἵνα μὴ γινομένης τῆς φιλονεικίας εἰς μάχην προέλθῃ τὸ πρᾶγμα· ἵνα μὴ εἰς μάχην προελθόντος τοῦ πράγματος εἰς μερισμὸν περὶ τοῦ υἱοῦ προχωρήσῃ· ἵνα μὴ εἰς μερισμὸν προχωροῦντος τοῦ υἱοῦ χρονίσῃ ἡ ἐπαγγελία· ἵνα μὴ χρονισάσης τῆς ἐπαγγελίας τὸ πρᾶγμα ἐνεδρευθῇ· ἵνα μὴ τοῦ πράγματος ἐνεδρευθέντος ἀτέλεστον μένῃ τὸ μυστήριον. ἀλλ᾽ ὁ φιλόσοφος Ἀβραὰμ, ὁ ἀθλητής,

Γεν. κϐ. α.

θλητὴς, καὶ πρὸς φύσιν ἀγωνιζόμενος, καὶ πρὸς σπλάγχνα πυκτεύων, καὶ κατὰ τῆς φύσεως ὁπλιζόμενος οὐ παρήκουσεν, ἀλλ' ἐπιτάγματι τοῦ Θεοῦ εἴκων, ἤκουσε τῆς ἀγγελίας καὶ εὐθὺς λαμβάνει τὸν υἱόν.

Ἡδέως ἐνδιατρίβω τοῖς ῥήμασι τούτοις· λάβε τὸν υἱόν σου τὸν ἀγαπητὸν, ὃν ἠγάπησας, τὸν Ἰσαὰκ, καὶ ἀνένεγκέ μοι αὐτὸν εἰς ὁλοκάρπωσιν ἐφ' ἓν τῶν ὀρέων, ὧν ἄν σοι εἴπω. καὶ λαβὼν ὁ Ἀβραὰμ τὸν Ἰσαὰκ, καὶ τὴν ὄνον, καὶ τοὺς δύο παῖδας ἀπῄει. εἶτα φθασάντων αὐτῶν ἔν τινι τόπῳ λέγει τοῖς παισί· καθίσατε, φησιν, ὑμεῖς ὧδε· ἐγὼ δὲ καὶ τὸ παιδάριον διελευσόμεθα ἕως ὧδε, καὶ προσκυνήσαντες πάλιν ἀναστρέψομεν πρὸς ὑμᾶς. ἄκων προεφήτευσεν ὁ Ἀβραὰμ, τῆς θείας χάριτος αὐτῷ συνεργούσης. σφάξαι ἀνέρχῃ τὸν υἱόν σου, καὶ λέγεις ἀναστρέψομεν; ὡς ζητῶν κρύψαι τοὺς παῖδας, προφήτης καθίσταται. καὶ ἔθηκε τὰ ξύλα ἐπὶ τοὺς ὤμους τοῦ Ἰσαὰκ, καὶ λαβὼν πῦρ καὶ μάχαιραν ἀνέβη ἐπὶ τὸ ὄρος, καὶ τί φησιν ὁ Ἰσαὰκ πρὸς τὸν πατέρα; πάτερ· ὁ δὲ, τί ἐστι, τέκνον; καί φησιν· ἰδοὺ τὸ πῦρ καὶ τὰ ξύλα· ποῦ ἐστι τὸ πρόβατον τὸ εἰς ὁλοκάρπωσιν; ὁ δὲ πρὸς αὐτόν· ὁ Θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον. ἰδοὺ καὶ δευτέρα προφητεία. οὐ στέγω οὔτε τὰ ῥήματα παρελθεῖν, οὔτε παραδραμεῖν τὰ γεγυμνωμένα. ἐννόησον ὀνόματα μέλλοντα πραγμάτων ἐρημοῦσθαι. οὕτως ἐκεῖνος τὸν πατέρα καλεῖ, κἀκεῖνος πάλιν τὸν υἱόν· καὶ πρὸς ὥραν μὲν ἦν τὰ ὀνόματα, ἔμελλον δὲ γυμνοῦσθαι. ἐννόησον γὰρ, τί ἔπασχεν Ἀβραὰμ καλούμενος ὑπὸ τοῦ Ἰσαὰκ, ὃν ἔμελλε σφάττειν, πάτερ· πῶς οὐ διεθρύβη τὰ γόνατα; πῶς οὐ συνεκλάσθη τὰ μέλη; πῶς τὴν διάνοιαν οὐκ ἔπαθε, ταῦτα ἀκούσας παρὰ τοῦ υἱοῦ Ἰσαάκ; ὅμως διήνεγκε, καὶ συνεπόδισε τὸν Ἰσαὰκ, καὶ ἔλαβε τὴν μάχαιραν τῇ δεξιᾷ χειρὶ, ἵνα σφάξῃ τὸν υἱὸν αὐτοῦ. ὢ τῆς δεξιᾶς ἐκείνης τῆς κατὰ τοῦ υἱοῦ ὁπλιζομένης (οὐκ ἔχω πῶς παραστήσω τῷ λόγῳ τὰ γεγυμνωμένα) πῶς οὐκ ἐνάρκησεν ἡ χείρ; πῶς οὐκ ἔπεσε τὸ ξίφος ἀπὸ τῆς χειρός; πῶς οὐ διελύθη ὅλος, καὶ διεθρύβη; πῶς δὲ ἤρκεσε στῆναι καὶ ἰδεῖν τὸν Ἰσαὰκ δεδεμένον; πῶς δὲ οὐκ ἔμεινε νεκρὸς ἄφνω; πῶς δὲ τὰ νεῦρα αὐτοῦ ὑπηρέτησαν; πῶς δὲ ἡ γνώμη ἤρκεσεν; οὐκ ἔχω, πῶς παραστήσω τῷ λόγῳ τὸ γεγυμνωμένον. ὅσοι πατέρες ἢ μητέρες συνέλθετε, χεῖρα ὀρέξατε, βοηθήσατε τῷ λόγῳ. ἄτονος γὰρ πρὸς τὰ πράγματα. σύγνωτε, ἀλλ' ὑμεῖς συμμαχήσατε. πολλάκις πέντε ἢ καὶ ἓξ υἱοὺς ἔχει τις καὶ θυγατέρας· καὶ ἐπὰν εἷς ἐξ αὐτῶν ἀρρωστήσῃ, περιέρχεται ὅλην τὴν κλίνην ὁ πατὴρ φιλῶν τοῦ παιδὸς τοὺς ὀφθαλμοὺς, τὰς χεῖρας περιπτυσσόμενος, τὴν ἡμέραν νύκτα λογιζόμενος, καὶ τὸ φῶς σκότος, οὐ τὰ στοιχεῖα μεταβάλλων, ἀλλὰ τῇ ἀηδίᾳ τῆς λύπης οὐκ εὐφραινόμενος ἐπ' αὐτοῖς. κλίναι ἐστρωμέναι ἁπαλαὶ, ἰατροὶ παρακαθεζόμενοι, πολλὴ ἡ δορυφορία τοῦ ἀνωμαλοῦντος, τήκεται ὅλος δι' ὅλου ὁ πατήρ. κἂν περιουσίαν ἔχῃ χρημάτων, ἀπευκτέα αὐτῷ ἐστι· κἂν μυρίας ἔχῃ φροντίδας, πάσας διώκει, οὐ δυνάμενος ἀναπνεῦσαι ἐκ τῆς λύπης μεθύων· καὶ ὁ πᾶς αὐτῷ κόσμος ἀνίαλος τοῦ κακοῦ. ὁμοίως καὶ ἡ μήτηρ περιέρχεται διακοπτομένη, ἐμπυριζομένη, καὶ ἀναπτομένη ὅλη, ζητοῦσα δύναμιν, ἵνα συμμερίσηται τὸν πόνον, μᾶλλον δὲ ἵνα καὶ ὅλον ἀναδέξηται, ἵνα τὸ κακούμενον τέκνον ἀπαλλαγῇ τῆς νόσου. οὐδὲν αὐτῇ ὁ παρὼν βίος, οὐδὲν αὐτῇ ὁ μέλλων· ἀλλὰ πάντων τούτων τιμιώτερον ἡγεῖται τὸ πᾶσαν ἀναδέξασθαι τὴν νόσον τοῦ τέκνου. οὐκ ἔχω πῶς παραστήσω τὸ πάθος τοῦτο. ἐννόησον καὶ τὸν Ἀβραὰμ τὰ αὐτὰ πάσχοντα μὲν, φιλοσοφοῦντα δὲ, καὶ τῷ προστάγματι πειθόμενον. καταπατεῖ τὴν φύσιν, καὶ ἡ ἐντολὴ τῶν σπλάγχνων ἐγίνετο μᾶλλον δυνατωτέρα. ἔπασχε μὲν γὰρ ταῦτα, ὡς προεῖπον, ὡς ἄνθρωπος, ἐφιλοσόφει δὲ ὡς φιλόθεος· καὶ ἦν ἰδεῖν τὸν Ἰσαὰκ μάρτυρα ζῶντα, ἀποθνήσκοντα καὶ οὐκ ἀποθανόντα. ὅσον μὲν γὰρ τῇ προθέσει τοῦ πατρὸς, ἀπέθανεν· ὅσον δὲ τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ, οὐκ ἀπέθανε. τύπος γὰρ ἦν τοῦ δεσπότου καὶ εἰκών. ἐχρησίμευσε δὲ ὁ τύπος, καὶ ἐκδέχεται τὴν ἀλήθειαν. Εἶτα συμποδίζεται ὁ Ἰσαὰκ, καὶ οὐ σφαγιάζεται· ἦλθε γὰρ ἄνωθεν φωνή. * * ἀτελής * *

Λογ. ρα.

Λογ. ρα. ΕΙΣ ΤΟΝ ΙΩΣΗΦ, ΚΑΙ ΠΕΡΙ ΣΩΦΡΟΣΥΝΗΣ.

Ex edit. Front. Duc. Burdeg. emendat. ex manuscrip. Cæsareo.

ΟΙ ἐκ πελάγους μεγάλου σαλεύοντες κυβερνῆται, οἷς οὐκ ἤπειρος, οὐκ ὄρος, οὐ βουνὸς, οὐ σκόπελοί τινες τὴν χώραν σημαίνουσι, πρός τινας ἀστέρας ἀποβλέποντες, καὶ πρὸς ἐκείνους τὸ σκάφος ῥυθμίζοντες ἀναυάγητοι διαμένουσιν· οἱ δέ γε τῆς ἐκκλησίας μαθηταὶ, οἱ ἐν τῷ πελάγει τοῦ βίου τούτου τυγχάνοντες, οὐ πρὸς ἀστέρας τινὰς ἀποβλέποντες, ἀλλὰ πρὸς τοὺς πατέρας τὸ ὄμμα τῆς διανοίας τείνοντες, καὶ τοῖς ἐκείνων ἴχνεσι πόθῳ ψυχῆς ἀκολουθοῦντες, εἰς τὸν αὐτὸν λιμένα τῆς βασιλείας ἐλαύνουσι. διὰ τοῦτο γάρ τοι καὶ ὁ Κύριος ἡμῶν ἐν ταῖς ἱεραῖς βίβλοις τὸν βίον αὐτῶν ἀνεκήρυξεν, ἵνα μὴ μόνον ἀκούοντες ἐπαινῶμεν, ἀλλ' ἵνα καὶ ποθήσαντες τὴν αὐτῶν πολιτείαν ζηλώσωμεν. φύσει γὰρ φιλόκαλον οὖσαν τὴν φύσιν τῶν ἀνθρώπων εἰδὼς ὁ Κύριος, καὶ ἀεὶ τῶν κρειττόνων διὰ φιλοτιμίαν ἐφιεμένην, ὥσπερ κόσμιά τινα προτέθηκε τοὺς τῶν πατέρων ἄθλους, ἵνα ἕκαστος ἡμῶν πρὸς ἣν ἂν βούληται ἄθλησιν ἑαυτὸν μεταῤῥυθμίζῃ. ὑπομονῆς μὲν διδάσκαλος ἄριστος ὁ τοῦ μακαρίου Ἰὼβ βίος, ἀνεξικακίας ὁ τοῦ Μωϋσέως, πραότητος ὁ τοῦ Δαβὶδ, νηστείας καὶ προσευχῆς ὁ τοῦ Δανιὴλ, σωφροσύνης ὁ τοῦ Ἰωσὴφ καὶ τῆς μακαρίας Σουσάννης. πρέπον δὲ καὶ ἐπέραστον τοῖς νέοις ὁ τοῦ Ἰωσὴφ βίος, καὶ ταῖς νέαις, μάλιστα ταῖς ἐν γάμῳ βιούσαις, ἡ τῆς μακαρίας Σουσάννης ἐνάρετος ἄθλησις. ἰσοστάσιος γὰρ ἀμφοτέροις ὁ ἀγών. ὁ μὲν γὰρ δεσποίνης φόβον διὰ σωφροσύνην ἐπάτησεν· ἡ δὲ ἀρχόντων ἀπειλὰς θανατηφόρους διὰ σωφροσύνην παρελογίσατο. ἀλλὰ πρότερον ἡμῖν ὁ τοῦ μακαρίου Ἰωσὴφ βίος διαγεγράφθω, ἐπειδὴ καὶ ἀρχαιότερος ὁ πατήρ· εἶθ' οὕτως ὁ τῆς μακαρίας Σωσάννης. ὁ μακάριος τοίνυν Ἰωσὴφ ἐξ εὐγενῶν γονέων ὁρμώμενος, νέος ἔτι ὑπάρχων, ἄρτι τῶν ἰούλων τῶν τριχῶν ἐν ταῖς παρειαῖς ἀναθαλλόντων, ῥόδου δίκην ἀνθηροῦ ἀνὰ μέσον τῆς ξανθῆς γενειάδος τὸ τῆς μορφῆς ἄνθος ποικάζων, ἴου ἐαρινοῦ πορφυρίζοντος ἐν ταῖς κόραις τῶν ὀφθαλμῶν ἀποσώζων τὴν ὄψιν, λευκοὺς ἔχων ὀδόντας ὡς γάλα, πυρρίζων τοῖς χείλεσιν, ὀφρύας ἔχων ἡπλωμένας ὑπὸ κρινοχρόων μετώπων, δασύτητι τῶν τριχῶν ἀλλήλαις συνεζευγμένας. καὶ τί πέφραδμαι τὸν νέον * τῷ κάλλει διαγράφειν, ὃν ἡ γραφὴ ὑπεράγαν ἐπῄνησεν εἰρηκυῖα, Καλὸς τῷ εἴδει, καὶ ὡραῖος τῇ ὄψει σφόδρα; οὗτος πιπράσκεται διὰ βασκανίαν τῶν ἀδελφῶν· ὡς μὲν αὐτοῖς ἐδόκει, πρὸς δουλείαν· ὡς δὲ τῷ Θεῷ προεώριστο, πρὸς βασιλείαν. καὶ ἤγετο εἰς Αἴγυπτον τὸ παιδάριον ὡς μειράκιον εὐτελές. οὔπω γὰρ ἑώρων αὐτοῦ οἱ πριάμενοι τὸν πλοῦτον τῆς ἀρετῆς, καὶ ἠγνόουν αὐτὸν μέλλειν διὰ σωφροσύνης κοσμιότητα ὅλης Αἰγύπτου δεσπόζειν, καὶ ὅλην αὐτὴν ὀλλυμένην λιμῷ διασώζειν. ἄγεται μὲν εἰς Αἴγυπτον, καὶ πιπράσκεται δεύτερον, καὶ οὐδ' ἅπαξ δουλεύεται. ὁ γὰρ τῇ γνώμῃ ἐλεύθερος, κἂν μυριάκις πραθῇ, οὐδ' ἅπαξ δουλεύεται· ὥσπερ πάλιν ὁ δοῦλος τοῖς τρόποις, κἂν μυριάκις ἐλευθερωθῇ, οὐδ' ἅπαξ ἐλευθεροῦται. ὃν γὰρ ὁ ἴδιος τρόπος οὐκ ἐλευθεροῖ, τοῦτον μυρίοι χάρται καὶ μέλανα γράμματα ἐλευθερῶσαι οὐ δύνανται. ἄγεται μὲν εἰς Αἴγυπτον· πιπράσκεται εἰς οἶκον Αἰγύπτιον· φιλεῖται ὑπὸ δεσπότου· φιλεῖται ὑπὸ δεσποίνης. ἀλλ' ὁ μὲν τοῦ δεσπότου πόθος ἀγαθὸς, ὁ δὲ τῆς δεσποίνης ἔρως πονηρός. ὁ μὲν γὰρ αὐτὸν ἐφίλει δι' εὐλάβειαν, ἡ δὲ δι' οἶστρον ἀκολασίας. καὶ ὅσον ἐμηκύνετο ὁ χρόνος καὶ τὸ τῆς μορφῆς κάλλος ἐπήνθει, τοσοῦτον ἐκείνης ὁ περὶ αὐτὸν δεινὸς ἔρως ἐπήυξανε, καὶ τὸ ἔμφυτον πῦρ τοῦ φίλτρου τὴν καρδίαν αὐτῆς διενέμετο. καὶ δὴ ἀπατῆσαι τὸν νέον σκεπτομένη, διὰ πάντων τῶν ἀπατώντων τὰς ὄψεις τῶν νέων ἐχώρει, τὴν μὲν ὄψιν ὥσπερ λειμῶνα διανθίζουσα, φύκει τὰς παρειὰς ἐρυθραίνουσα, ψιμμυθίῳ δὲ τὸ μέτωπον λευκαίνουσα, καὶ μέ-

λαν

Γεν. λθ. ς.

ἴσ. Ἐν πελάγ. μεγάλῳ
γρ. χέρσον
γρ. ἀθλητ
γρ. πρέπον
γρ. ἐπίφορον
γρ. ἐναργής
γρ. αἰεγ.
γρ. τὸν ἴουλον
γρ. ἀναθαλλ
ἴσ. κρινοχρόου μέτωπον
* ἐν
γρ. πολλ
γρ. ὑπολαβοῦσα

λαινι τοὺς ὀφθαλμοὺς ὑπογράφουσα, χρυσέοις δὲ κόσμοις τὸν τράχηλον αὐτῆς καὶ τὰς χεῖρας καλλωπίζουσα, καὶ τὴν μαλακὴν αὐτῆς ἐσθῆτα μυρίσμασι διαφόροις καπνίζουσα. καὶ ἦν ἁπλῶς παγὶς θανατηφόρος διὰ πασῶν τῶν αἰσθήσεων, ὡς ἐνόμιζεν ἀπατῆσαι τὸν νέον, τὴν μὲν ὄψιν ἐκ τοῦ φαινομένου καλλωπισμοῦ, τὴν δὲ ἀκοὴν ταῖς κολακείαις μαγεύουσα, τὴν δὲ ὄσφρησιν τοῖς μυρίσμασι γοητεύουσα. ἀλλ' ὅρα μοι γενναίου ἀθλητοῦ τὴν ἀνδρείαν. οἶμαι γὰρ ὅτι ὁ Θεὸς συνεχώρει κατὰ τοῦ παιδὸς φέρεσθαι τὸν πειρασμόν, ἵνα ὁμοῦ τε κρυπτομένην ἀρετὴν ἐν νέῳ φανερώσῃ, καὶ τῇ ἐκκλησίᾳ παιδευτήριον μέγιστον τὸν ἐκείνου βίον καταλείψῃ. οὐδὲν γάρ ἐστιν ὑπὸ τῶν πατέρων γεγονὸς ἀγαθόν, ὃ μὴ ἐν τῇ ἐκκλησίᾳ ὥσπερ στήλην ὑπόμνημα φέρουσαν τοῦ βίου καθίδρυσεν ὁ Θεός. ὅρα οὖν μοι γενναίου ἀθλητοῦ τὴν ἀνδρείαν, ὅσα ἦν αὐτῷ τὰ μαχόμενα, ἡ ἰδία νεότης αὐτῷ ἐπολέμει· ἡ ἡδονὴ ἔσωθεν ἐγαργάλιζε· καὶ ἡ γυνὴ ἔξωθεν προσεπάλαιε τῇ ἐπαγγελίᾳ θωπεύουσα, καὶ τῇ θωπείᾳ κολακεύουσα. τὰ ἐπιπεμπόμενα γύναια ἐμόχλευε, καὶ ἡ κολακεία τὴν ἀκοὴν αὐτοῦ καὶ τὴν αἴσθησιν ἔκνιζεν. ἀλλ' οὐδὲν τούτων κατισχῦσαι αὐτοῦ ἐδυνήθη. οὔτε γὰρ ταῖς κολακείαις χαυνούμενος τὰς ἡνίας ἐνεδίδου, οὔτε ταῖς ἐπαγγελίαις φυσώμενος κατεφρόνει τῆς σωφροσύνης, οὔτε ταῖς ἀπειλαῖς ταπεινούμενος προεδίδου τὸν πλοῦτον τῶν ἀρετῶν· ἀλλὰ πάντα τὰ τοῦ σώματος αὐτοῦ μόρια τῷ σώφρονι λογισμῷ ἐχαλίνου. καὶ ἐπεὶ οὐκ ἠδυνήθη τὸν νέον διὰ τοσούτων ὀργάνων ἀπολέσαι, αὐτὴ δι' ἑαυτῆς ἐν οἰκίσκῳ τινὶ λαθραίως καὶ βιαίως κατεῖχεν αὐτὸν πρὸς ἄτακτον εὐνήν. ἦν οὖν ἰδεῖν θέατρον μέγιστον οὐκ ἐπίγειον, ἀλλ' οὐράνιον. ἦν γὰρ ὁ Ἰωσὴφ ἐν τῷ σκάμματι τοῦ πειρασμοῦ μαχόμενος. τὸ στάδιον ἡπλοῦτο, οἱ ἀγῶνες ἐπεπληροῦτο *, ὁ ἀγωνοθέτης ἄνωθεν ἐπεῖχε τῇ πάλῃ, καὶ ὁ δῆμος τῶν ἀγγέλων ἐπικεκυφὼς ἐθεώρει. οἱ δαίμονες κάτω τὰ βραβεῖα προσετίθουν τῇ Αἰγυπτίᾳ, καὶ οἱ ἄγγελοι ἄνω ἔπλεκον τῷ Ἰωσὴφ τοὺς στεφάνους. τῇ γὰρ Αἰγυπτίᾳ συνέτρεχον δαίμονες, καὶ τῷ Ἰωσὴφ συνέπνεον ἄγγελοι. πολὺς ἦν ὁ ἀγών, τίς ἄρα νικήσει. φροντὶς ἦν τοῖς ἀγγέλοις πολλὴ περὶ τοῦ Ἰωσήφ, μήποτε ἄρα τὰ μυρίσματα τοῦ γυναίου χαυνώσῃ τὸν νέον, μὴ τὰ μαλακὰ ἱμάτια, μὴ τὸ βλέμμα, μὴ τὸ σχῆμα, μὴ τὸ βῆμα, μὴ ἡ ἀκοή, μὴ ἡ θωπεία, μὴ ἡ κολακεία ἐκνευρώσῃ τὸν νέον. πολλὴ ἦν φροντὶς τοῖς ἀγγέλοις, πολλὴ ἡ ἐλπὶς τῶν δαιμόνων. ὁ Ἰωσὴφ περὶ στεφάνου ἠγωνίζετο, ἡ Αἰγυπτία περὶ αἰσχύνης ἐμάχετο· ὁ μὲν περὶ ζωῆς, ἡ δὲ περὶ θανάτου. καὶ οἷα ἦν τὰ ὑπὸ τῆς Αἰγυπτίας λεγόμενα; ταῖς μὲν ἀπειλαῖς πτοοῦσα τὸν νέον, ταῖς δὲ κολακείαις μαγεύουσα, καὶ ταῖς μὲν ἀπειλαῖς λέγουσα, δέσποινά σου εἰμί, ἀργυρώνητός μου γέγονας· ταύτης ἕνεκα τῆς χρείας μοι πέπρασαι· κἂν ἀντείπῃς, δεσμὰ καὶ φυλακαί σε μένουσι, καὶ μετὰ ταῦτα ἀπαραίτητος θάνατος. ἐὰν δὲ πεισθῇς, τιμαί, καὶ δορυφορίαι, καὶ παντὸς τοῦ οἴκου μου ἡ ἐξουσία ἐν τῇ χειρί σου δοθήσεται. ἀλλὰ φοβῇ τὸν ἔλεγχον; δυνατὸν λαθεῖν τόν τε ἄνδρα τὸν ἐμόν, καὶ τοὺς ἐν τῷ οἴκῳ· μόνον πείσθητι, μόνον σύνθου τῇ πράξει, καὶ πάντων ἔσῃ δεσπότης.

γρ. ἀπατῆσαι,

* ἡ σάλπιγξ ἤχει

γρ. συνήθλουν

Ταῦτα ἀκούσας ὁ Ἰωσὴφ τῇ Αἰγυπτίᾳ εἶπεν· ὦ γύναι, δοῦλος μὲν γέγονα οὐδεπώποτε (εὐγενῶν γὰρ γονέων εἰμὶ ἀπόγονος) Ἀβραὰμ γὰρ καὶ Ἰσαάκ, οἱ τῷ Θεῷ ὁμιλήσαντες, ἐμοῦ πάπποι γεγόνασιν· Ἰακὼβ δὲ ὁ μετὰ ἀγγέλου παλαίσας, ἐμὸς πατήρ· διὸ καὶ θαρρῶν σοι παλαίω. πέπραμαι δέ σοι διὰ βασκανίαν ἀδελφῶν, ἀλλ' οὐδὲν βλάψει τὴν τῆς ψυχῆς μου εὐγένειαν τὸ ὄνομα τῆς δουλείας. καὶ γὰρ ἀχλὺς πολλάκις βάσκανος ἐπελθοῦσα τὰς τοῦ ἡλίου φαιδρὰς ἀκτῖνας πρὸς ὀλίγον ἀμαυροῖ, ἀλλ' οὐκ εἰς τέλος σκοτίζει. τῇ γὰρ ῥύμῃ τοῦ ἡλιακοῦ φωτὸς εὐθὺς ἐξελαύνεται. ὡσαύτως καὶ τὸ ὄνομα τῆς δουλείας οὐ σβέσει τὴν τῆς εὐγενείας μου αἴγλην. μετ' οὐ πολὺ γὰρ ὑπὸ τῆς ἀκτῖνος τῶν τρόπων μου διαχυθήσεται, καὶ ἀνὰ πᾶσαν τὴν Αἴγυπτον ἐκλάμψει τὸ τῆς εὐγενείας μου κάλλος. πέπραμαί σοι, σύμφημι κἀγώ· οὐκ ἀρνοῦμαι. δουλείας τὴν πρέπουσάν σοι ὑπηρεσί-

αν

ἣν ἐξεπλήρωσα. ἀψευδής σοι γέγονα, ἀβλαβής, ἄμεμπτος, ἄδολος, ἀπρόσκοπος, ἀκατήγορος· οὐδεμία σοι κατ' ἐμοῦ ἀταξίας κατηγορία γεγένηται· καὶ νῦν συμβουλεύεις μοι ποιῆσαι πρᾶγμα ἀνόσιον, καὶ λαθραίως μοι, ὡς ὄφις, ὑποψιθυρίζεις οἰομένη με δελεάζειν, καὶ ἀπειλαῖς θανατηφόροις κατακάμπτειν πρὸς τὸ ποθούμενόν σοι τῆς ἀκολασίας δρᾶμα; μὴ ἀπατῶ, γύναι· μὴ πρόσεχέ μου τῇ νεότητι. δύναται καὶ νέος ἀσκὸς οἶνον φέρειν παλαιὸν, καὶ βαλάντιον καινὸν μαργαρίτας ἀρχαίους βαστάζειν. νεαρὰν ὁρᾷς μου τὴν χλόην· ἀλλὰ πολιὸν περιβλέπου τὸ ἦθος. νεωτέραν μου τὴν ὄψιν ἡ φύσις παρέσχετο· πολιὰν δὲ τὴν καρδίαν ὁ νόμος εἰργάσατο. μὴ ἀπατῶ, γύναι, οὐ νικήσεις μου τὴν ἀρετήν· οὐ νικήσεις Ἰωσὴφ τὸν τοῦ Ἰακὼβ υἱόν, Ἰακὼβ ἐκείνου τοῦ ἔτι ἐν κοιλίᾳ ὄντος, καὶ πτερνίσαντος*, καὶ μετὰ ταῦτα μετὰ ἀγγέλου ἰσχύσαντος παλαῖσαι. μὴ ἀπατῶ, τὰ αὐτὰ τῷ πατρί μου παλαίω. ἀλλὰ καὶ ἐπαγγελίαις θωπεύειν με νομίζεις. τί τοιοῦτον εἰπέ μοι, δύνασαί μοι ἐπαγγείλασθαι, οἷόν ἐστιν ἡ σωφροσύνη; ποία βασιλεία ἰσόρροπος αὐτῇ ἐστι; ποῖος θησαυρὸς ἰσοστάσιος αὐτῇ ἐστιν; ἀγνοεῖς, ὅτι ἡ σωφροσύνη οὐράνιόν ἐστι κτῆμα, ἀγγελικὸν πρᾶγμα, Θεοῦ χάρισμα; ἔχε σὺ τὰς τιμὰς, ἔχε σὺ τὰς ἐπαγγελίας. αἱ σαὶ τιμαὶ ἀτιμίας εἰσὶ πρόξενοι· αἱ σαὶ τιμαὶ, ἃς ἐπαγγέλλῃ, αἰσχύνης εἰσὶν ἀπαρχαί· ὁ σὸς χρυσὸς γῆς ἐστι γέννημα καὶ ἰοῦ δαπάνη· ὁ ἐμὸς δὲ χρυσὸς Θεοῦ ἐστι γέννημα, ἀΐδιον βλάστημα. ἀλλὰ λανθάνειν οἴει τὸ πρᾶγμα; ἀγνοεῖς τὸν τοῦ Θεοῦ ἀκοίμητον ὀφθαλμὸν, τὸν πάντα τὰ ἐν τῷ σκότει γινόμενα ἐφορῶντα πράγματα; πόσους δὲ οἴει νῦν ἐνταῦθα ἑστάναι ἀγγέλους; ὑπὸ πόσοις δὲ μάρτυσι γίνεσθαι τὰ πραττόμενα; ἐννόησον, γύναι, τὸν ἄνδρα σου, τοὺς ἀδελφούς σου, τοὺς φίλους, τοὺς γείτονας, τοὺς συγγενεῖς, τοὺς ἐπὶ τῇ σεμνότητί σου καυχωμένους· ἐννόησον τοὺς παρόντας ἀγγέλους, καὶ ἢ αὐτοὺς αἰσχύνθητι, ἢ τοὺς ἀπόντας ἀνθρώπους αἰδέσθητι. ποίοις δὲ ὄμμασιν ἐπὶ τὸν ἄνδρα σου ἔλθῃς, ᾧ ἐπιβουλεῦσαι προείλου; ποίας δὲ ἀγκάλας ἁπλώσεις αὐτῷ, ὃν θανατῶσαι ἠθέλησας; ποίοις ῥήμασιν αὐτὸν κολακεύσεις, οὗ τὴν εὐνὴν, τὸ ὅσον ἐπὶ σοὶ, ἐμίανας; μνήσθητι, ὅσα αὐτῷ ὑπέσχου, πῶς τῆς σωφροσύνης τὴν πίστιν φυλάττειν αὐτῷ, πῶς πλέον ἑαυτῆς ἐκεῖνον μεθ' ὅρκων ἀγαπᾶν διεβεβαιοῦ. μίμησαι, γύναι, τὴν τρυγόνα. ἐκείνη γὰρ ἑνὶ ἀνδρὶ μιγεῖσα, ἑτέρῳ οὐκ ἐπιμίγνυται. κἂν συμβῇ τὸν ταύτης ἄρρενα ὑπὸ ἰξευτοῦ θηραθῆναι, ἢ ὑπὸ ἀετοῦ ἀγρευθῆναι, ἑτέρῳ ἄρρενι οὐκ ἐπιμίγνυται, ἀλλὰ μένει ἐκδεχομένη ἀεὶ τὸν ποθούμενον, καὶ τῇ ἐκείνου μνήμῃ ἐναποθνήσκει. παιδευσάτω σε, γύναι, ἢ ὁ τοῦ Θεοῦ φόβος, ἢ ὁ τῶν Ἑβραίων νόμος, ἢ ἡ τῶν ἀρχαίων σεμνὴ πολιτεία. Ταῦτα εἰρηκὼς ὁ Ἰωσὴφ, καὶ ἰδὼν αὐτὴν ἔτι ἀναιδῶς κατέχουσαν αὐτοῦ τῶν ἱματίων, καὶ ἐκκαιομένην πλεῖον πρὸς τὸν οἶστρον (οἱ γὰρ ἔρωτες τότε πλεῖον πρὸς τὸ ποθούμενον ἐξάπτονται, ὅταν αὐτοῦ ἐφικέσθαι μὴ δυνηθῶσιν) ὥσπερ γενναῖος ἀθλητὴς ἀποδυσάμενος τὰ ἱμάτια, καὶ ὅλην αὐτὴν σὺν τοῖς ἱματίοις εἰς τὸ χαμαὶ κενώσας, γυμνὸς τοῦ μύσους ἐκ τοῦ σκάμματος ἐξήλατο, τῆς σωφροσύνης τὴν νίκην βαστάζων. καὶ ἡ μὲν Αἰγυπτία κατεῖχε τὰ φύλλα τῆς ἀταξίας, ὁ δὲ Ἰωσὴφ τὸν καρπὸν τῆς δικαιοσύνης ἐβάσταζε. χαρὰ ἦν ἐν τῷ οὐρανῷ ἐπὶ τῇ νίκῃ τοῦ Ἰωσήφ· ἔχαιρον ἄγγελοι· ἔκλαιον δαίμονες. ἐστεφανοῦτο Ἰωσήφ· ᾐσχύνετο ἡ Αἰγυπτία. ἥψατο αὐτῆς ἡ νίκη· τρέπεται πρὸς συκοφαντίαν, καὶ διαβάλλει τὸν Ἰωσὴφ πρὸς τὸν ἄνδρα τὸν ἴδιον, αἶσχος αὐτῷ ἐπιφημίσασα. τί δὲ λέγουσα; Εἰσήγαγες ὧδε παῖδα Ἑβραῖον ἐμπαίζειν ἡμῖν. ἀγανακτεῖ ὁ ἀνήρ, καὶ ἐμβάλλει αὐτὸν εἰς φυλακήν. ἀναγκαῖος γὰρ ἦν ὁ λύχνος τοῖς ἐν τῷ σκότει, ὁ σιτοδότης πρὸς τοὺς πεινῶντας, ὁ λιμὴν πρὸς τοὺς χειμαζομένους, ὁ ἰατρὸς πρὸς τοὺς ἀσθενοῦντας. ἐμβάλλονται καὶ δύο εὐνοῦχοι τοῦ Φαραὼ εἰς τὴν φυλακήν· ὁρῶσιν ἐνύπνια· οὐδεὶς ἦν ὁ συγκρίνων. ἀναφέρουσι τῷ Ἰωσήφ· σαφηνίζει τὸ ἐγκεκαλυμμένον. ἐκβάλλονται οἱ εὐνοῦχοι τῆς φυλακῆς· ἀποβαίνει αὐτοῖς καθὰ συνέκρινεν ὁ Ἰωσήφ. ὁρᾷ ὁ βασιλεὺς Φαραὼ ἐνύπνιον· οὐδεὶς ἦν ὁ σαφηνίζων· ἀναγγέλ-

γρ. ἐξετέλεσα

γρ. ἀκατηγόρητος

* τοῦ Ἡσαῦ,

γρ. δέξαι

γρ. ἐμμανεῖσα

Γεν. λθ. ιζ.

λει ὁ εὐνοῦχος περὶ τοῦ Ἰωσήφ· ἐκβάλλεται ἐκ τῆς φυλακῆς διὰ τὸ ἐνύπνιον. καὶ ὅρα μοι μυστήριον· δι' ἐνύπνιον ἐπράθη· δι' ἐνύπνιον ἠλευθερώθη. τί γάρ; συγκρίνει τοῦ Φαραὼ τὸ ἐνύπνιον*. ὁρᾷ αὐτοῦ ἀγχίνοιαν ὁ βασιλεὺς, καὶ ἠλευθέρωσεν αὐτὸν [βασιλεύειν,] πᾶσαν ἐξουσίαν αὐτῷ τῆς Αἰγύπτου ἐμπιστεύσας. λαβὼν τὴν ἐξουσίαν ὁ Ἰωσήφ, ἐν τῷ καιρῷ τοῦ λιμοῦ πάντας εὐεργέτει, ἀποδήμους, ἐνδήμους, φίλους, ἐχθρούς, ξένους. ἔρχεται ὁ πατὴρ αὐτοῦ εἰς Αἴγυπτον· προσκυνεῖ αὐτῷ καὶ ἡ μήτηρ "σὺν τῷ πατρί. εἰ γὰρ καὶ κατὰ τὴν ὁδὸν ἐτελεύτησεν ἐρχομένη, ἀλλ' οὖν γε ἐν τῷ ἀνδρὶ προσεκύνησεν. ἀνὴρ γὰρ καὶ γυνὴ σὰρξ μία εἰσίν. ἔρχονται καὶ οἱ ἀδελφοὶ αὐτοῦ οἱ ἕνδεκα· προσκυνοῦσιν αὐτῷ· καὶ ἐπληρώθη τὸ ὅραμα, ὃ εἶδεν Ἰωσήφ. Ὤμην γάρ, φησιν, ὅτι ὁ ἥλιος καὶ σελήνη καὶ ἕνδεκα ἀστέρες προσεκύνουν μοι. διὰ τί ἕνδεκα; ἐπεὶ ὁ Ἰούδας ἀπήγξατο. σύμβολον γὰρ ἦν ὁ πραθεὶς Ἰωσὴφ τοῦ πραθέντος ὑπὸ Ἰούδα Χριστοῦ. ὁρᾷς πῶς διὰ σωφροσύνην ἐδικαιώθη; διὰ σωφροσύνην ἐν οὐρανοῖς βασιλεύει; ταῦτα δὲ ἡμῖν εἴρηται, ἵνα καὶ ὑμεῖς τὴν αὐτὴν πολιτείαν ζηλώσαντες, τὴν αὐτὴν δόξαν παρὰ Θεοῦ κομίσησθε. ἀλλ' ἔδει ἡμᾶς καὶ περὶ τῆς μακαρίας Σουσάννης εἰπεῖν, μάλιστα ἐπαγγειλαμένους. ἀλλ' ἐπειδὴ βέλτιόν ἐστι μᾶλλον διψῶντας ἀναχωρῆσαι, καὶ μὴ κορεσθέντας καὶ ἃ ἐδέξαντο ἐκπλύσαι, ἐν ἄλλῃ τηρήσαντες ἡμέρᾳ τὴν διήγησιν, Θεοῦ βουλήσει νῦν ἐπὶ τὸν κρατῆρα "τῆς μυσταγωγίας ἐκδράμωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* φωτίζει αὐτοῦ τὸ [illegible]

γρ. ἐν

Γεν. λζ. θ.

γρ. τῶν μυστηρίων

Λογ. ρβ΄. ΛΟΓΟΣ ΠΕΡΙ ΤΟΥ ΚΑΤΑ "ΜΩΥΣΕΩΣ ΟΦΕΩΣ, ὃν ἐσταύρωσεν ἐν τῇ ἐρήμῳ, καὶ περὶ τῆς * Τριάδος.

ἴσ. Μωϋσῆν

* ἀχράντου καὶ παναγίας

Χθὲς ἡμῖν ὁ λόγος πρός τε τὴν αἱρετικὴν πάλην, καὶ πρὸς τοὺς ὑπὲρ τῆς δόξης τοῦ μονογενοῦς ἀγῶνας ἑαυτὸν ἐπιδέδωκεν· οὐχ ἵνα τὰ κεκρυμμένα γνωρίσῃ, ἀλλ' ἵνα τὴν χάριν εὐγνωμόνως ὁμολογήσῃ. οὐ γὰρ ἐξ ὧν φθεγγόμεθα, Χριστὸς μεγαλύνεται, ἀλλ' ἐξ ὧν ἐμεγαλύνθημεν, εὐγνωμόνως τὴν εὐεργεσίαν κηρύττομεν. καὶ γὰρ ἂν εἴη τῶν ἀτοπωτάτων, ἔργοις εὖ παθόντας, ἀφωνίᾳ τὴν εὐεργεσίαν ἀμείψασθαι· καὶ μάλιστα τοῦ προφήτου Δαβὶδ παρακελευομένου καὶ λέγοντος, ὡς ἀρτίως ἀκηκόατε, Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ ψαλάτωσάν σοι. ὑμνοῦμεν τὸν Θεόν, οὐ τιμὴν αὐτῷ περιτιθέντες, ἀλλὰ τιμὴν ἑαυτοῖς περιποιούμενοι· δοξάζομεν τὸν Θεόν, οὐκ ἐκείνῳ δόξαν χαριζόμενοι, ἀλλ' "ἑαυτοὺς τὴν ἀθάνατον δόξαν ἐνδύοντες. Τοὺς γὰρ δοξάζοντάς με, φησί, δοξάσω· καὶ οἱ ἐξουθενοῦντές με ἐξουδενωθήσονται. ἐδίδαξεν ὁ λόγος δι' ὧν ἠγωνίσατο κατὰ δύναμιν, ὅτι τοὺς ὅρους τῆς δόξης τοῦ Θεοῦ ὑπερβαίνειν οὐκ ἔξεστιν, οὐκ ἀνθρώποις τοῖς ἐπὶ γῆς, οὐκ ἀγγέλοις τοῖς ἐν οὐρανοῖς, οὐκ ἀρχαγγέλοις, οὐκ ἀρχαῖς, οὐ τοῖς χερουβίμ, οὐ τοῖς σεραφίμ. καὶ "μέμνησθε, εὖ οἶδ' ὅτι, οἱ φιλομαθεῖς τῶν ἀκροατῶν, ὅπως ἡμῖν ὁ περὶ τούτων διηνύσθη λόγος. ἀλλ' ἐπειδὴ σήμερον, ἀδελφοί, αὐτός τε ὁ βασιλεὺς τῆς δόξης τὸν ἑαυτοῦ σταυρὸν προανεφώνησε, καὶ ὁ ἀπόστολος τῇ βασιλικῇ φωνῇ τοῦ σωτῆρος ἀκολουθήσας, τὸν περὶ τοῦ σταυροῦ λόγον ἐφιλοσόφησεν (ὁ μὲν γὰρ Κύριος ἔλεγε τοῖς μαθηταῖς, Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας "ἐχθρῶν· ὁ δὲ Παῦλος Γαλάταις ἐπιτιμῶν "ἔγραφε, Τίς ὑμᾶς ἐβάσκανεν*, οἷς κατ' ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη ἐν ὑμῖν ἐσταυρωμένος) ἐπεὶ οὖν καὶ ἡ βασιλικὴ τοῦ Κυρίου φωνή, καὶ ἡ τοῦ πιστοῦ θεράποντος διδασκαλία τοῖς βασιλικοῖς ἴχνεσιν ἠκολούθησεν· ἀναγκαῖον οἶμαι τὴν σωτήριον καὶ ἡμᾶς κατὰ δύναμιν περὶ τοῦ Κυριακοῦ σταυροῦ τὰ εἰκότα φθέγξασθαι,

Ex edit. Rom. emendat. ex m/s.

Ψαλ. ξε γ.

α. Βασ. β. λ.

γρ. ἑαυτοῖς

γρ. μέμνησθε,

Ματθ. κ. ιη.

Γαλ. γ. α.

γρ. ἀνθρώπων

γρ. ἔλεγε,

* τῇ ἀληθείᾳ μὴ πείθεσθαι,

φθέγξασθαι, οὐχ ἵνα τῆς ἀξίας ἐφικώμεθα, ἀλλ' ἵνα τὴν κατὰ δύναμιν ὀφειλὴν ἀποτίσωμεν.
τί οὖν φησιν ὁ σωτήρ; Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται.
προαγορεύει τὸ πάθος ὁ νικητὴς τοῦ θανάτου· προαναφωνεῖ τὸν σταυρὸν ὁ σταυρῷ τὸν
θάνατον διαλύων· προαναφωνεῖ τὴν πάλην, ἵνα κηρύξῃ τὴν νίκην. ἐνταῦθα πάλιν
σαυτὸν ἔνθες εἰς κατανόησιν τῆς δεσποτικῆς φωνῆς. ὅρα μεθ' ὅσης αὐθεντίας φησίν, ἰδοὺ
ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι. ὁ
ταῦτα προαναφωνῶν, ἐν αὐτῷ γινόμενος τῷ ἀγῶνι μεταβάλλει τὴν ἀξίαν τῆς αὐθεντίας,
Ματθ. κϛ. λθ. καὶ ἀποκρύπτεται τὸ ἀξίωμα τῆς θεότητος αὐτοῦ λέγων· Πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ
τὸ ποτήριον. οὐχ ὁρᾷς τὴν διαφωνίαν; ἔννοει τὴν οἰκονομίαν. ἀλλ' εἰς τὸ προκείμενον
ἐπανέλθωμεν. λέγει τοῖς μαθηταῖς, ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ
ἀνθρώπου παραδίδοται. ὅρα πῶς ἠσφαλισμένῃ κέχρηται τῇ φωνῇ. ὅπου πάθος κηρύττει,
τὴν ἀνθρωπίνην ἐνδείκνυται φύσιν, ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται. πάσχει γὰρ τὸ φαινόμενον
σῶμα, ζωοποιεῖ δὲ τὸ νοούμενον τῆς θεότητος ἀξίωμα. καὶ λύεται μέν, ἀδελφοί, θανάτῳ
τὸ σχῆμα τοῦ σώματος· ἐγείρει δὲ τὸ λυόμενον ἡ τοῦ ἐνοικοῦντος δύναμις. αὐτὸς ἦν ὁ λυόμενος
Ιωαν. β. ιθ. κατὰ τὸ σῶμα, αὐτὸς ὁ ἐγείρων τὸ λυόμενον κατὰ τὸ πνεῦμα. Λύσατε γάρ, φησι, τὸν ναὸν γρ. ἐγείρων
τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα. Χριστῷ ἀκολουθοῦντας
οὐκ ἔστιν οὐδαμοῦ κατελθεῖν, ἀλλ' ἀνιέναι διαπαντός· ἄλλως τε, καὶ αἰσθητῶς ἡ
ὁδὸς ἀπὸ Ἱεριχὼ εἰς Ἱεροσόλυμα ἄνοδον εἶχε, καὶ νοητῶς τὸ πάθος ἐπὶ τὴν ἄνοδον τῆς ἀναστάσεως
ἔφερεν. Ἀδὰμ γὰρ τὸν εἰς ᾅδου πεσόντα, εἰς οὐρανὸν ἀνεκαλεῖτο, καὶ τὴν χαμαὶ
κεκλιμένην εἰκόνα εἰς ὕψος ἀνήγαγεν. ἀναβαίνομεν εἰς Ἱεροσόλυμα. ὅπου Θεός, ἐκεῖ
ἀρετῆς ἀνάβασις· ὅπου κακία, ἐκεῖ παρανομίας κατάβασις. διὰ τοῦτο περὶ μὲν τῶν κατ'
Ψαλ. πγ. ε. ἀρετὴν πολιτευομένων φησὶν ὁ Δαβίδ· Μακάριοι πάντες οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ
σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε. μακάριος ἀνήρ, οὗ ἐστιν ἀντίληψις αὐτῷ παρὰ σοῦ,
αἱ ἀναβάσεις σου ἐν τῇ καρδίᾳ αὐτοῦ. αἱ ἀναβάσεις σου, τουτέστιν, οἱ εὐσεβεῖς καὶ ἀνηγμένοι
λογισμοί, οἱ εἰς ὕψος ἀνάγοντες τοὺς καλῶς περὶ Θεοῦ διανοουμένους. ἔστιν οὖν ὁδὸς σωφροσύνης
εἰς ὕψος ἀνάγουσα, ὁδὸς δικαιοσύνης εἰς ὕψος φέρουσα· καὶ πᾶσα, ὡς εἰπεῖν, ὁδὸς
εὐσεβείας εἰς τὸ ὕψος ἐκεῖσε χειραγωγεῖ τὸν φιλόθεον, περὶ οὗ ἔλεγον οἱ ἀπὸ ἐθνῶν·
Μιχ. δ. β. Δεῦτε πορευθῶμεν εἰς τὸ ὄρος τοῦ Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ. ὅπου μὲν εὐσεβείας
λόγος, ἐκεῖ καὶ ἄνοδος· ὅπου δὲ κακία, κατάβασις ὁμολογουμένη. καὶ μαρτυρεῖ Δαβὶδ
Ψαλ. κθ. γ. ὁ προφήτης λέγων, Ρῦσαί με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον· καὶ πάλιν, Ο ὑψῶν με
Ψαλ. θ. ιδ. ἐκ τῶν πυλῶν τοῦ θανάτου. ὥστε οὐδὲ τό, ἀναβαίνομεν, περιττόν. ἰδοὺ ἀναβαίνομεν· καίτοι
μόνος αὐτὸς ἐπὶ τὸ πάθος ἔρχεται. διὰ τί οὖν κοινῶς, ἀναβαίνομεν; ὅτι τὸ μὲν πάθος ἐμόν,
κοινὴ δὲ πάντων ἀνθρώπων ἡ σωτηρία. διὰ τοῦτο ὁ θεῖος ἀπόστολος τὴν γενναίαν ἐκείνην
Γαλ. β. κ. καὶ θαύματος μεστὴν ἔρρηξε φωνήν, ὡς ἀρτίως ἀκηκόατε· Τῷ Χριστῷ συνεσταύρωμαι· ζῶ
δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. ἄλλως τε, βουληθεὶς ἐνδείξασθαι καὶ τὸν καρπὸν τοῦ
Γαλ. γ. ιγ. σταυροῦ, ἐπήγαγεν εὐθέως διὰ τῶν ἐφεξῆς· Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ
νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. γέγραπται γάρ, Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος
ἐπὶ ξύλου.

Ἐνταῦθά μοι πρόσεχε ἀκριβῶς τὸν νοῦν, μή σε διαφύγῃ τῆς ἀληθείας τὸ θήραμα.
Φιλιπ. γ. ιθ. ἀντιλέξουσι γὰρ εὐθέως Ἰουδαῖοι, περὶ ὧν φησιν ὁ Παῦλος, Οἱ ἐχθροὶ τοῦ σταυροῦ τοῦ Χριστοῦ,
ὧν τὸ τέλος ἀπώλεια, καὶ ἐροῦσιν ἔτι ὅτι πρὸς τοὺς ἀκεραίους· εἰ ἐπικατάρατος ὁ κρεμάμενος,
πῶς ἀπὸ τοῦ ἐπικαταράτου εὐλογίαν σοι δοθήσεσθαι προσδοκᾷς; πῶς δὲ ἀπὸ τοῦ
θανάτῳ ὑποπεσόντος ζωὴν ἀναμένεις; τὸ φαινόμενον, ὡς καὶ αὐτός φησιν, ὁ διδάσκαλος
ὑμῶν Παῦλος ὡμολόγησε, κατάρα ἐστί. γέγραπται γάρ, Ἐπικατάρατος ὁ κρεμάμενος

ἐπὶ ξύλου. Εἰ τοίνυν γέγραπται καὶ μεμαρτύρηται, πῶς ἀπὸ τοῦ ἐπικαταράτου εὐλογία δίδοται τοῖς τὸν σταυρὸν περιέπουσι; ταῦτα ἀεὶ καὶ προτείνει καὶ λέγει Ἰουδαῖος, ὁ ἐχθρὸς τοῦ σταυροῦ τοῦ Χριστοῦ. οὐκοῦν ἐὰν εἴπῃ πρὸς σέ, πῶς ὁ ἐπικατάρατος εὐλογίαν δίδωσιν; εἰπὲ αὐτῷ, πῶς ἐν τῇ ἐρήμῳ οἱ ὄφεις ἐδάκνον σου τοὺς προγόνους, εἰκόνα γὰρ ὄφεως χαλκῆν ποιήσας Μωϋσῆς ἀνεσταύρωσε, καὶ εἶπε, Πᾶς ὁ δηχθεὶς ὑπὸ τοῦ ὄφεως προσεχέτω τῷ ὄφει, καὶ σωθήσεται; καὶ τί, φησι, τοῦτο πρὸς τὸ προκείμενον; ἀλλὰ καὶ σφόδρα οἰκειότατον. ἢ οὐκ ἤκουσας τοῦ Θεοῦ λέγοντος, Ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς; πῶς οὖν ἡ εἰκὼν τοῦ ἐπικαταράτου ζωὴν ἤνεγκε τοῖς ὑμετέροις προγόνοις; ἀναλαμβάνω τὸ ῥῆμα, ἵνα στήσω τὸ νόημα. Εἰ ἄπορον σοι νομίζεται τοῦ ἐπικαταράτου εὐλογίαν πηγάσαι (ἐπικατάρατος γὰρ πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου) πῶς ἡ εἰκὼν τοῦ ὄφεως τοῦ ἐπικαταράτου, ὃς ἤκουσεν, Ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν θηρίων, ἤνεγκε τῷ λαῷ ἐν συμφορᾷ κειμένῳ τὴν σωτηρίαν; ἆρα οὐκ ἦν ἀξιοπιστότερον εἰπεῖν, ἐάν τις ὑμῶν δηχθῇ, ἀναβλέψῃ εἰς τὸν οὐρανὸν ἄνω ἐπὶ τὸν Θεόν, καὶ σωθήσεται; ἵνα δὲ καὶ τὸ προσέχειν εὐρημένῳ παραλείπῃ, οὐκ ἠδύνατο εἰπεῖν, ἐάν τις δηχθῇ, ἀποβλέψῃ εἰς τὴν λυχνίαν τοῦ φωτός, καὶ σωθήσεται; ἢ ἀποβλέψῃ εἰς τὴν τράπεζαν τῆς προθέσεως τῶν ἁγίων ἄρτων, καὶ σωθήσεται; ἢ εἰς τὸ θυσιαστήριον; ἢ εἰς τὸ καταπέτασμα; ἢ εἰς τὴν κιβωτόν; ἢ εἰς τὴν εἰκόνα τῶν χερουβίμ; ἢ εἰς τὸ ἱλαστήριον; ἀλλ' οὐδὲν τούτων εἰσήγαγεν ὁ νομοθέτης ὁ μέγας· ἀλλὰ μόνην ἔπηξε τοῦ σταυροῦ τὴν εἰκόνα, καὶ ταύτην διὰ τοῦ ἐπικαταράτου ὄφεως. Διὰ τί οὖν, ὦ Ἰουδαῖε, ταῦτα ποιεῖ Μωϋσῆς; διὰ τί χωνεύει ὄφιν ὁ λέγων διὰ τοῦ νόμου, Οὐ ποιήσεις γλυπτόν, οὐδὲ χωνευτόν; ἀλλὰ τί ταῦτα πρὸς τὸν ἀγνώμονα φθεγγόμεθα; αὐτὸν ἐρωτῶ τὸν νομοθέτην· εἰπέ μοι, ὦ πιστότατε τοῦ Θεοῦ θεράπων· ὃ ἀπαγορεύεις, ποιεῖς; ὃ ἀνατρέπεις, παρασκευάζεις; ὁ λέγων, Οὐ ποιήσεις γλυπτόν, οὐδὲ χωνευτόν, σὺ χωνεύεις καὶ γλύφεις ὄφιν; ἀλλ' ἐκεῖνα μὲν ἐνομοθέτησα, φησίν, ἵνα τὰς ὕλας ἐκκόψω τῆς ἀσεβείας, καὶ τὸν λαὸν τοῦτον ἀπαγάγω πάσης εἰδωλολατρείας· νυνὶ δὲ χωνεύω τὸν ὄφιν, ἵνα προτυπώσω τὴν εἰκόνα τῆς τοῦ σταυροῦ οἰκονομίας· προομαλίζω τὸν δρόμον τοῖς ἀποστόλοις· προγυμνάζω τὸ μέγα καὶ ξένον ἐκεῖνο τὸ τοῦ σταυροῦ σύμβολον. ὅτι δὲ οὐ βεβιασμένος ὁ λόγος, ἄκουε τοῦ Κυρίου τὴν εἰκόνα τὴν ἀρχαίαν ἐκείνην βεβαιοῦντος, καὶ εἰς ἑαυτὸν ἀναλαμβάνοντος. Νικοδήμῳ γάρ τινι Ἰουδαίων ἄρχοντι διαλεγόμενος, ὡς διδασκάλῳ τοῦ λαοῦ καὶ συνιέναι δυναμένῳ τῆς οἰκονομίας τὴν θεωρίαν φησί· Καὶ καθὼς Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτω δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. εἰπὲ οὖν, ὦ ἀμαθέστατε Ἰουδαῖε, οὐ χαλκὸς ἐκεῖνο ἦν; νεκρὰ ὕλη νικῆσαι θάνατον ἴσχυσε, τύπον ἔχουσα σταυροῦ, καὶ αὐτὴ ἡ ἀλήθεια τοῦ σταυροῦ οὐ πιστεύεται, καὶ ταῦτα μετὰ τὴν ἐπιστροφὴν τῆς οἰκουμένης, μετὰ τὴν λάμψασαν ἐν παντὶ τῷ κόσμῳ τῆς εὐσεβείας κατάστασιν, μετὰ τὴν πίστιν τῶν ἐθνῶν, μετὰ τὴν ἔγερσιν τῶν ἐκκλησιῶν, μετὰ τοσοῦτον ἀγωνισμόν, μετὰ τοσαύτην ἄσκησιν, μετὰ τοσαύτην ἀγγελικῆς πολιτείας ἐπίδοσιν; ἀλλὰ γὰρ ἀποδέδεικται σαφῶς, ὅπως ἀποκέκλεισται τοῖς ἐχθροῖς τοῦ σταυροῦ τὸ ὀνειδίζειν ἡμῖν τὸ σχῆμα τοῦ ἐπικαταράτου. καὶ πρὸς μὲν ἐκείνους ταῦτα. ἡμεῖς δὲ οἱ πιστοὶ παρ' ἑαυτοῖς ἐξετάσωμεν, καὶ βασανίσωμεν τῶν ῥημάτων τὴν ἀκρίβειαν. τί δήποτε ὁ Κύριος τὴν εἰκόνα τῆς οἰκονομίας ἐκείνης, οὐ δι' ἑτέρου τινός, ἀλλὰ δι' ὄφεως ἐποίησε; πρὸς μὲν γὰρ τοὺς ἀγῶνας τῶν ἐναντίων, ἱκανὸν τὸ ὑπόδειγμα τοῦ ἐπικαταράτου ὄφεως· πρὸς δὲ τὸ πεῖσαι τοὺς υἱοὺς τῆς εὐσεβείας, τί δήποτε τὸ σχῆμα τοῦ ἐπικαταράτου ὄφεως εἰκὼν ἐγένετο τοῦ προσκυνουμένου Χριστοῦ; διὸ δεῖ καὶ ἡμᾶς εἰπεῖν μετὰ σπουδῆς, καὶ ὑμᾶς ἀκοῦσαι μετὰ προθυμίας. Εἰκὼν ἦν, ἀδελφοί, τῆς τοῦ σταυροῦ οἰκονομίας ὁ τύπος τοῦ ὄφεως. κατὰ δὲ τὸν τρόπον, ὥσπερ ἐκεῖνος ὁ τύπος τοῦ

Ἀριθ. κα. η.
Γεν. γ. ιδ.
Λευϊτ. κϛ. α.
Ιωαν. γ. ιδ.

ὄφεως εἰκόνα μὲν καὶ ὄψιν εἶχεν ὄφεως, ἰὸν δὲ καὶ πονηρίαν οὐκ εἶχεν ὄφεως· οὕτω καὶ ὁ σωτὴρ, κατὰ τὸν θεῖον ἀπόστολον, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας ἐπιφανεὶς, ἔξω γέγονε πάσης ἁμαρτίας· Ησ. νγ. θ. α. Πετ. β. κβ. καθὼς καὶ ὁ μακάριος Ἡσαΐας συνῳδὰ τῷ μακαρίῳ Παύλῳ φθεγγόμενός φησιν· Ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. κατὰ τὸν Ἡσαΐαν ἔχεις μίαν εἰκόνα· ἐλθέ μοι καὶ ἐφ' ἑτέραν εἰκόνα· βλέπε διὰ τῶν τύπων λάμπουσαν τὴν ἀλήθειαν. οἱ ὄφεις ἔδακνον τοὺς υἱοὺς Ἰσραὴλ, ὅτε λαὸς ὀλέθρῳ περιέπεσε. φάρμακον εἰς σωτηρίαν Μωϋσῆς ἱκετεύει δοθῆναι τὸν Θεόν. ὁ Θεὸς ὑποδείκνυσι τῷ θεράποντι φαρμάκου εὐεργεσίας, καί φησι· Ποίησον ὄφιν χαλκοῦν, καὶ πῆξον αὐτὸν περὶ τῆς σκηνῆς τοῦ μαρτυρίου. τί βούλεται τὸ ὑπόδειγμα; ἄλλοι οἱ δάκνοντες ὄφεις, καὶ ἄλλος ὑπὲρ αὐτῶν σταυρούμενος. τί βούλεται τὸ αἴνιγμα; τί ἐπαγγέλλεται ἡ σκιὰ τοῦ μυστηρίου; ὥσπερ ἐκεῖ, φησὶν ὁ τύπος, ἄλλων δακνόντων ὄφεων ὁ μὴ δάκνων μηδὲ πλήξας προσήλωται τῷ ξύλῳ, οὕτω καὶ τῶν ἄλλων ἀνθρώπων ἁμαρτανόντων, ὑπὲρ πάντων μέλλει πάσχειν ὁ Ἰησοῦς ὁ ἀναμάρτητος. ὑπὲρ τῶν δακνόντων ὄφεων, ὄφις ὁ ἀναμάρτητος σταυροῦται· ὑπὲρ ἡμῶν τῶν ὑποκειμένων θανάτῳ, ὁ ἁμαρτίᾳ μὴ ὑποκείμενος προσηλοῦται. ὅπερ μετὰ τῶν ἄλλων καλῶς προανεφώνησεν ὧδέ πως Ἡσαΐας λέγων· Ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ λαοῦ ἦλθεν Ησ. νγ. ε. εἰς θάνατον· καὶ, Ὁ Κύριος παρέδωκεν ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν. ἐπιτηρῆσαι χρὴ πάλιν τοῦ μυστηρίου τὸν λόγον. ὥσπερ ἐκεῖ ἄλλοι οἱ δάκνοντες, καὶ ἄλλος ὁ πηγνύμενος, οὕτω καὶ ἐνταῦθα πάντες οἱ ἁμαρτήσαντες, καὶ εἷς ὁ ὑπὲρ πάντων σταυρούμενος. ἔχεις δευτέραν εἰκόνα· σκόπησόν μοι καὶ ἑτέραν εἰκόνα τρίτην. Ἐπὶ στόματος δύο καὶ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα. διὰ τί σταυροῦται χαλκοῦς ὄφις; ἵνα καταργηθῇ τὰ δήγματα τῶν ὄφεων. ἄλλο οὖν τὸ σταυρούμενον, καὶ ἄλλα τὰ καταργούμενα. οὐχ ὁρᾷς τὴν ἔμφασιν τῆς ἀληθείας; οὐ βλέπεις ὡς ἐν κρυπτῷ τῷ γράμματι τὴν δύναμιν τῆς οἰκονομίας; ἐσταυρώθη, φησὶν, ὄφις, ἵνα καταργηθῇ τῶν δρακόντων τὰ δήγματα· ἐσταυρώθη Χριστὸς, ἵνα καταργηθῶσι τῶν δαιμόνων αἱ ἐνέργειαι. ἄλλος ὁ ὄφις ὁ πηγνύμενος, καὶ ἄλλοι οἱ καταργούμενοι δράκοντες· ἄλλος ὁ ἐπὶ σταυροῦ Χριστὸς, καὶ ἄλλοι οἱ καταργούμενοι δαίμονες. καὶ ὥσπερ ἐκεῖ ἡ εἰκὼν τοῦ ὄφεως τοῦ φαινομένου κατήργησε τὰ δήγματα τῶν ὄφεων, οὕτω καὶ ἐνταῦθα ἡ τοῦ Χριστοῦ νέκρωσις, τοῦ θανάτου γέγονε νέκρωσις, καὶ τῶν δαιμόνων καθαίρεσις. Ιωαν. γ. ιδ. Εἰκότως οὖν ὁ σωτὴρ τὴν εἰκόνα πρὸς ἑαυτὸν ἁρμόζων ἔλεγε· Καὶ καθὼς Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτω δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. ἔχεις, ἀδελφὲ, τὸν μακάριον Μωϋσῆν καὶ ἐν ἑτέρῳ σχήματι τὸν σταυρὸν ὑπογράφοντα· καὶ ὅπως, ἄκουε. δεῖ γὰρ περὶ σταυροῦ λέγοντας, πολλὰς παραστῆσαι τοῦ μυστηρίου τὰς θεωρίας. ἐπέθεντό ποτε τοῖς Ἰσραηλίταις ἀλλόφυλοι Εξοδ. ιζ. ια. κατὰ τὴν ἔρημον· Ἀμαλὴκ δὲ ὄνομα τοῖς ἀλλοφύλοις. ἀποστέλλει Μωϋσῆς Ἰησοῦν τὸν τοῦ Ναυῆ στρατηγήσοντα τοῖς ὁμοφύλοις. καὶ ὁπλίζει μὲν τὸν διάδοχον ἑαυτοῦ, μένει δὲ αὐτὸς ἐν τῷ ὄρει τὰς χεῖρας ἐκτείνων. Μωϋσῆς γὰρ, φησὶν, ἀνέβη εἰς τὸ ὄρος, καὶ ἥπλωσε τὰς χεῖρας αὐτοῦ· καὶ ἐγένετο ἡνίκα ἂν ἐξέτεινε Μωϋσῆς τὰς χεῖρας, ἐνίκα ὁ Ἰσραήλ· καὶ ἡνίκα ἂν κατετίθει τὰς χεῖρας ὑπὸ τοῦ σωματικοῦ βάρους νικώμενος, ἐνίκα ὁ Ἀμαλήκ. τί βούλεται τὸ σχῆμα; ὁ Ἰουδαῖος εὐθέως φοβούμενος, μὴ λάμψῃ διὰ τῆς εἰκόνος ἡ δόξα τοῦ σταυροῦ τοῦ Χριστοῦ, οὐδὲν, φησὶν, ὁ τύπος ἔχει τῶν παρὰ σοὶ μυθευομένων. προσευχῆς ἦν ἐκεῖνο τὸ σχῆμα τύπος, οὐκ εἰκόνος, ὡς σὺ ὑπονοεῖς. καὶ τί δήποτε, εἴπερ ἀληθῶς, ὅτι καρπὸς ἦν τῆς προσευχῆς ἡ νίκη, οὐ τῇ προσευχῇ τὴν νίκην ὑπέγραψεν ὁ λόγος (οὐ γὰρ εἶπεν ἡ γραφή· ἡνίκα ηὔχετο Μωϋσῆς· τοῦτο γὰρ ἦν γνωρίζοντος ἀληθῶς, ὅτι καρπὸς οὐκ ἦν τῆς προσευχῆς ἡ νίκη) ἀλλ' ἢ τῇ εἰκόνι καὶ τῷ σχήματι τῶν χειρῶν; ἡνίκα γὰρ καθῆκε Μωϋσῆς τὰς χεῖρας, ἡττᾶτο ὁ Ἰσραήλ· ἡνίκα δὲ ἥπλου, ἡττᾶτο ὁ Ἀμαλήκ. εἰ γὰρ τῆς προσευχῆς ἦν

τὸ ἔργον, ἐχρῆν εἰπεῖν· καὶ ἡνίκα ηὔχετο Μωϋσῆς, ἐνίκα. ἀλλ', ὡς ἔφθην εἰπών, τὴν προσευχὴν παρενθέμενος, οὐχ ὡς ἄχρηστον, ἀλλ' ὡς ὀφείλουσαν παραχωρῆσαι τῇ εἰκόνι τοῦ σταυροῦ, τῷ τύπῳ καὶ τῷ σημείῳ τὴν νίκην ὑπογράφει. ἡνίκα γὰρ ἥπλωσε Μωϋσῆς τὰς χεῖρας, ἐνίκα ὁ Ἰσραήλ. τί βούλεται ἁπλουμένη χείρ; ἀναζωγράφησον παρ' ἑαυτῷ χεῖρας ἡπλωμένας, ἵνα εἴδῃς τοῦ προσκυνητοῦ σταυροῦ λάμπουσαν τὴν εἰκόνα. ἀλλ' ἔκαμε, φησι, Μωϋσῆς. οὐ γὰρ ὑπούργησαν αἱ χεῖρες πρὸς τὴν εἰκόνα τῷ σωματικῷ βάρει νικώμεναι. τί οὖν; ἵνα μή, λυθείσης τῆς εἰκόνος, λυθῇ καὶ ἡ νίκη, ἵστανται Ἀαρὼν καὶ Ὢρ, καὶ ἐκούφιζον αὐτοῦ τὰς χεῖρας, ἵνα μὴ ἡ εἰκὼν τοῦ σταυροῦ παρελθοῦσα καὶ παυσαμένη, σβέσῃ τὴν νίκην. διὰ τί δὲ ὅλως Ἀαρὼν καὶ Ὢρ τὰς χεῖρας ὑποστηρίζουσιν; Ἀαρὼν, ἀδελφοί, τὴν ἱερατικὴν ἐπεῖχεν ἀξίαν· ὁ δὲ Ὢρ τῆς βασιλικῆς φυλῆς εἶχε τὴν συγγένειαν. δορυφορεῖ τοίνυν τὴν εἰκόνα τοῦ σταυροῦ ἱερωσύνη καὶ βασιλεία. καὶ ὥσπερ μεταμορφωθέντος τοῦ Κυρίου ἐν τῷ ὄρει, ὤφθη Μωϋσῆς καὶ Ἠλίας ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων, ἵνα δορυφορήσωσι τοῦ Χριστοῦ τὴν βασιλικὴν εἰκόνα· οὕτω καὶ ἐνταῦθα Ἀαρὼν τῆς ἱερατείας τάξιν ἐπέχων, δορυφορεῖ τὸν σταυρόν, καὶ Ὢρ ὁμοίως τῆς βασιλικῆς ἔχων τὸ πρόσωπον αὐτός, δορυφορεῖ τὸν σταυρόν. ταῦτά μοι εἴρηται, ἵνα δείξω, ὅπως τοῖς πατράσι τοῖς ἀρχαίοις ἐκείνοις τῆς εὐσεβείας εἰσήγετο ἡ εἰκών, καὶ ἐτιμήθη καὶ ὁ τύπος τῆς οἰκονομίας. εἰ δὲ οἱ προαναφωνοῦντες οὕτως ἐκήρυξαν ἐνδόξως, οὕτω προετύπωσαν ἐντίμως, ποίοις καὶ πόσοις* ἡμεῖς καὶ πηλίκοις στόμασι τοῦ Κυρίου τὸν σταυρὸν καὶ τὴν ἔνθεον οἰκονομίαν κηρύξωμεν; οἶδα ὅτι πολὺς ὑμᾶς ἔχει πόθος τῶν δογματικῶν λόγων, καὶ τῶν τῆς θεολογίας κηρυγμάτων. ἀλλ' ἔστιν ἐκείνων ἀδελφὰ καὶ τὰ νῦν εἰρημένα. τῆς γὰρ αὐτῆς ἐννοίας καὶ σταυρὸν κηρύξαι, καὶ τὸν μονογενῆ Θεὸν λόγον ὑψῶσαι. τοιγαροῦν κἂν τὴν θεότητα τοῦ μονογενοῦς ὑμνήσῃς, κἂν τὴν οἰκονομίαν τιμήσῃς, μίαν καὶ τὴν αὐτὴν ἔχει ἀπόδειξιν τῆς εὐσεβείας. πλὴν ὅταν ἀκούσῃς σταυρόν, ὅταν ἀκούσῃς σώματος οἰκονομίαν, ἀνάγαγέ σου τὴν διάνοιαν πρὸς τὸ ὕψος τῆς τοῦ μονογενοῦς ἐξουσίας· μὴ τὸ σχῆμα τὸ διὰ σὲ γενόμενον ταπεινούτω σου τὸ φρόνημα, ἀλλ' ἡ φιλανθρωπία τοῦ σώσαντος ἀναγέτω σου τὴν διάνοιαν. σταυρὸς μὲν γὰρ διὰ σέ, ἀξία δὲ Θεοῦ δι' ἑαυτόν. ἀξία δὲ Θεοῦ οὐχ ὑψοῦται λόγοις, οὐ καθαιρεῖται λόγοις· ἀλλ' οἱ καθαιροῦντες, ἑαυτῶν ἐργάζονται τὴν καθαίρεσιν· οἱ δὲ ὑψοῦντες, ἑαυτῶν τὴν εὐτέλειαν εἰς ὕψος ἀνάγουσιν· ὥσπερ οὖν ἔφθημεν εἰπόντες, ὅτι καὶ ὁ τὴν οἰκονομίαν, καὶ ὁ τὴν θεολογίαν ἀνυμνήσας, τῆς αὐτῆς ἔχεται διανοίας. ἀλλ' ἐπειδὴ τοῖς χθὲς ἡμῖν γεγυμνασμένοις ἔλειπέ τι, πρὸς τό, Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν, καὶ Κύριον Ἰησοῦν Χριστόν· καὶ πρὸς μὲν τὸν μόνον ἀληθινὸν Θεὸν ἀπεδείχθησαν αἱ προφητεῖαι καὶ αἱ μαρτυρίαι τῷ υἱῷ, ὅτι καὶ μόνος ἀληθινός· ἀναγκαῖον δὲ οἶμαι κἀκείνην ἐξετάσαι τῆς λέξεως τὴν θεωρίαν. καίτοι φησὶν ὁ αἱρετικός· τί δὴ πάλιν ἔχεις καὶ πρὸς τὸ ἀπεσταλμένον εἰπεῖν; ῥητῶς γὰρ ἀναγέγραπται, Καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. μὴ ἀποστείλας τῷ ἀποσταλέντι ὁμότιμον ἔχει τὴν ἀξίαν; ταῦτα ἐὰν μὲν τῇ λέξει δουλεύων ἀναγινώσκῃς, πολλάκις, ὡς προειρήκαμεν, πολλὴν εὑρήσεις ὡς ἀληθῶς πρὸς ἡμᾶς ἐναντιότητα, καὶ οὐ συμφωνοῦντα τοῖς αὐτοῖς λογισμοῖς τὰ καλῶς μὲν γεγραμμένα, κακῶς δὲ νενοημένα. ἐὰν δὲ πρὸς αὐτὴν τὴν ἀλήθειαν ἀναλάβῃς τὴν ἔννοιαν, οὐδαμοῦ σοι πρὸς ἐναντιότητα περιτραπήσεται τὸ τῆς διανοίας ὄμμα, ὑπ' αὐτοῦ τοῦ ἁγίου πνεύματος ὁδηγούμενον πρὸς ἀκριβῆ κατανόησιν. τὸ γάρ, ἀπεστάλη, καὶ ἀπέστειλεν, ἀνθρώπινα μὲν φέρει ῥήματα, θεῖα δὲ κρύπτει νοήματα. οὔτε γὰρ ὁ ἀποστείλας ἀπὸ τόπων εἰς τόπους ἀπέστειλεν, οὔτε ὁ ἀποσταλεὶς ἀπὸ τόπων εἰς τόπους ἦλθεν. ἀλλ' ἀπέστειλε, φησιν, ὁ πατὴρ τὸν υἱὸν εἰς τὸν κόσμον, ὡς μὴ παρόντα τῷ κόσμῳ, πρὸς ὃν ἐπέμπετο. πῶς ἡ γραφή φησι περὶ αὐτοῦ τοῦ Κυρίου, Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο; πῶς οὖν ἦλθεν ὁ παρών, ἐφάνη ὁ λανθάνων; εἰ δὲ ἀληθῶς, ὡς ἀκούεις, νοεῖς τό, ἀπέστειλε, πᾶσα ἀνάγκη καὶ τὸν ἀποσταλέντα τό-

ἐπιγ.

* σινίοις
χ. δοξάσωμεν

χ. σώματος

Ἰωαν. ιζ. γ.

Ἰωαν. α. ι.

τοῖς ἐπιστῆναι τοῖς τόποις, οἷς μηδέπω παρῆν, καὶ τὸν ἀποστέλλοντα ἐκεῖ πέμπειν, ὅπου μὴ πάρεστι. Ιωαν. α. γ. πῶς οὖν ὁ εὐαγγελιστὴς ἔλεγε, Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν; ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο. Εἰ τοίνυν ἦν ἐν τῷ κόσμῳ, πῶς ἀποστέλλεται ἐν τῷ κόσμῳ; Ιερ. κγ. κδ. οὐκ ἤκουσας αὐτοῦ λέγοντος· Τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος; τί οὖν βούλεται τὸ, ἀπεστάλη; ἀντὶ τοῦ, ὤφθη, ἀντὶ τοῦ, διὰ σαρκὸς ἔλαμψεν. ἡ γὰρ ἀποστολὴ οὐ τὴν ἀπὸ τόπων εἰς τόπον μετάβασιν σημαίνει, ἀλλὰ τὴν ἐκ τῆς ἀοράτου θεότητος εἰς ἐμφανῆ παρουσίαν. γρ. τόπους. οὔτε γὰρ ἐπιδημήσας τῇ γῇ κατὰ τὴν ἀνθρωπίνην οἰκονομίαν, τοὺς οὐρανοὺς ἐκένωσε τῆς ἑαυτοῦ ἀξίας, οὔτε νῦν ἀναληφθεὶς κατὰ τὴν τῆς σαρκὸς ἀνάληψιν, τὴν γῆν ἔρημον κατέλιπε τῆς ἰδίας ἐπιστασίας.

Πάλιν ἑτέρως τὸν λόγον γυμνάσωμεν. Εἰ κατὰ τὴν λέξιν, ἀδελφοί, ὁ πατὴρ ἀπέστειλε τὸν υἱὸν εἰς τὸν κόσμον, δῆλον ὅτι ὁ ἀποστείλας τοῦ ἀπεσταλμένου χωρίζεται κατὰ τὴν ἰδίαν στάσιν. Εἰ μὲν γὰρ σὺν αὐτῷ ἐστι, περιττὸν τὸ, ἀπέστειλεν· εἰ δὲ ἀπέστειλεν, ἀνάγκη κεχωρίσθαι κατὰ τὴν τῆς λέξεως ἔμφασιν. ἀλλ' οὐ δεῖ τῇ λέξει δουλεύειν, ἀλλὰ τῇ πίστει στοιχεῖν. καὶ τίς ἡμῖν μαρτυρήσει λόγος, ὅτι ἐπὶ γῆς φανεὶς ἐν οὐρανοῖς ἦν; τίς δὲ μαρτυρήσει λόγος, ὅτι παρὰ πατρὸς ἀπεσταλμένος οὐκ ἐχωρίσθη τοῦ πατρός; Εἰ ἀπεστάλη εἰς τὸν κόσμον κατὰ τὴν λέξιν, εἰ ὁ πέμψας τοῦ ἀπεσταλμένου χωρίζεται, Ιωαν. ιδ. ια. πῶς ἔλεγεν, Ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί; Ιωαν. η. ιϛ. πῶς δὲ πάλιν ἔλεγε, Καὶ ὁ πέμψας με πατὴρ μετ' ἐμοῦ ἐστιν; ὁρᾷς ὅτι ἡ φύσις οὐ χωρίζεται· ἡ δὲ οἰκονομία τὸ σχῆμα τῆς ἀποστολῆς ἐνδείκνυται. τί οὖν βούλεται Ιωαν. κ. ιζ. τὸ, Ἀναβαίνω πρὸς τὸν πατέρα μου; Εἰ γὰρ σὺν αὐτῷ ὁ πατὴρ, διὰ τί ἀναβαίνει; ἡ ἀνάβασις τὴν οἰκονομίαν ἑρμηνεύει, τοῦ σώματος τὴν ἀνάληψιν, οὐ τῆς θεότητος τὴν διάστασιν. θέλεις δὲ μαθεῖν, ὅτι ὥσπερ ἐπιδημήσας τῇ γῇ τοὺς οὐρανοὺς οὐ κατέλιπεν, οὔτε τοῦ πατρὸς ἐχωρίσθη, οὕτω καὶ εἰς οὐρανοὺς ἀναληφθεὶς τὴν γῆν οὐ κατέλιπεν ἔρημον; ὁ εἰπὼν Ματθ. κη. κ. πρὸς τοὺς ἑαυτοῦ μαθητὰς, Καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι, ἀλλὰ ἀνέρχομαι, ὅθεν κατῆλθον πρὸς τὸν πατέρα μου· ὁ αὐτὸς πάλιν πρὸς ἐκείνους λέγει, Καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. Τὸ οὖν, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστὸν, διπλῆν ἔννοιαν ἔχει, καὶ μάχαιραν διπλῆν· τὴν μὲν κατὰ τῆς εἰδωλολατρείας ὁπλιζομένην, τὴν δὲ κατὰ τῆς Ἰουδαϊκῆς ἀπειθείας παραταττομένην. μόνον μὲν γὰρ ἀληθινὸν Θεὸν λέγει, ἵνα τὰ νεκρὰ εἴδωλα στηλιτεύσῃ· ἀπεσταλμένον δὲ Ἰησοῦν Χριστὸν, ἵνα τοὺς τὴν οἰκονομίαν ἀρνουμένους ἐπιστομίσῃ. ἐκλάμβανε τοίνυν τὰ ῥήματα πρὸς τὴν ἔννοιαν, καὶ μὴ ὕβριζε τὴν ἀξίαν διὰ τὴν λέξιν. ἵνα δὲ μάθῃς ἀκριβῶς, ὅτι τὸ ἀπεστάλθαι παρὰ τοῦ Θεοῦ, οὐ τὴν ἀπὸ τόπων εἰς τόπους μετάστασιν σημαίνει, ἀλλὰ τῆς οἰκονομίας τὴν φανέρωσιν, περὶ Ἰωάννου τοῦ βαπτιστοῦ λέγει τὸ εὐαγγέλιον, Ιωαν. α. ϛ. τοῦ ἀπὸ γῆς ὄντος, καὶ ἀπὸ γῆς φανερωθέντος, Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ. γρ. ἀπὸ. ἆρα ἀπ' οὐρανῶν ἀπεστάλη Ἰωάννης; ἆρα ἄνωθεν ἐλήλυθε; πῶς οὖν ἐλήλυθεν; εἶτα ἄνθρωπος μὲν ἀποστελλόμενος οὐκ ἀπὸ τόπων εἰς τόπους μετέστη, ἀλλὰ τὴν οἰκονομίαν ἐνεχειρίσθη· ὁ δὲ Θεὸς Λόγος, ὁ πάντα πληρῶν, ἐὰν εἴπῃ ἑαυτὸν ἀπεσταλμένον, τὴν φύσιν ὕβρισε, καὶ οὐ τὴν οἰκονομίαν ἐμήνυσεν; ὅρα αὐτὸν, ἀδελφὲ, καὶ πληροῦντα τῆς σαρκὸς τὴν οἰκονομίαν, καὶ μὴ καθαιροῦντα τῆς θεϊκῆς δυνάμεως τὴν ἀξίαν· καὶ τὸ ἱερατικὸν σχῆμα, Ἀναβαίνω πρὸς τὸν πατέρα μου, καὶ παρακαλέσω αὐτὸν, καὶ παράκλητον πέμψει ὑμῖν τὸ πνεῦμα τῆς ἀληθείας. εἰ ἀναβαίνεις ἄνω, καὶ παρακαλεῖς, καὶ παρακαλῶν δυσωπεῖς, καὶ μετὰ τὴν παράκλησιν ἀποστέλλεις τὸ πνεῦμα (παρακαλῶ γὰρ ἔφης, καὶ πέμπω) τίνος ἕνεκεν περὶ τῆς ἀναβάσεως λύεις τὴν τοῦ πατρὸς αὐθεντίαν, εἰ μὴ αὐθεντεῖς κατὰ τὴν θείαν ἀξίαν, ἀλλ' ἀναμένεις ἀνελθεῖν πρὸς τὸν πατέρα εἰς τὸν οὐρανὸν, καὶ παράκλησιν καὶ ἱκεσίαν προσάγειν, καὶ οὕτω λαβεῖν τοῦ πνεύματος τὴν χάριν, καὶ εἰς πᾶσαν ἐκπέμψαι τὴν οἰκουμένην; τίνος ἕνεκεν πρὶν ἀναβῇς, πρὶν παρακαλέσῃς, οἰκείαν ἐνδείκνυσαι τὴν αὐθεντίαν; διὰ τί πρὸ τῆς ἀναλήψεως, ἀναστὰς ἐκ νεκρῶν, ἐνεφύσησας εἰς τὰ πρόσωπα τῶν ἀποστόλων, καὶ λέγεις, Λάβετε πνεῦμα ἅγιον; ὃ αἰτεῖς παρὰ πατρὸς, πρὶν ἱκετεύσῃς πατέρα, δίδως. οὐκοῦν εἰρωνεύῃ τὴν αἴτησιν. οὐκ εἰρωνευόμενος, φησὶν (οὐκ ἔστι γὰρ εἰρωνεία παρὰ τῇ ἀληθείᾳ) ἀλλὰ τὸ μὲν ἥρμοσται τῇ ἀξίᾳ, τὸ δὲ πρέπει τῇ οἰκονομίᾳ. διὰ τί οὕτως ἐνεφύσησας εἰς τὰ πρόσωπα τῶν ἀποστόλων; ἔδει με, φησὶν ὁ σωτὴρ, ἀναστάντα ἐκ τῶν νεκρῶν, τὴν ἀπαρχὴν τῆς ζωῆς τῷ κόσμῳ χαρίσασθαι. ἐπειδὴ γὰρ Ἀδὰμ πλασθεὶς ἔλαβεν ἐμφύσημα ζωῆς (Ἐνεφύσησε γὰρ ὁ Θεὸς εἰς τὸ πρόσωπον τοῦ Ἀδὰμ, καὶ ἐγένετο εἰς ψυχὴν ζῶσαν) ὃ λαβὼν ἐκεῖνος ἀπώλεσε, τοῦτο πάλιν ἀνακαλοῦμαι. ἐγείρω τὸν πεσόντα, ἀνακαινίζω τὸν φθαρέντα, ζωοποιῶ τὸν νεκρωθέντα. μαρτυρεῖ μου τῇ οἰκονομίᾳ καὶ ὁ προφήτης βοήσας μου τὴν ἐμφύσησιν. καὶ τίς ὁ ἀναβοῶν προφήτης προαναφωνεῖ τὴν ἁγίαν ταύτην ἐμφύσησιν; ἄκουε, φησὶ, τοῦ προφήτου λέγοντος ἐν τοῖς δυοκαίδεκα· Ναοὺμ δὲ τούτου ὄνομα. Ἑόρταζε, Ἰούδα, τὰς ἑορτάς σου, ἀπόδος τῷ Θεῷ τὰς εὐχάς σου. οὐκέτι μὴ προσθῶσι ἐλθεῖν πρὸς παλαίωσιν· συντετέλεσται τὰ πρῶτα, φησίν. οὐκέτι οὐ μὴ προσθῶσιν ἐλθεῖν '' πρὸς παλαίωσιν. τὴν καινὴν χάριν εὐαγγελίζεται, ὅτι τὰ παλαιὰ πέπαυται, τὰ νέα ἀνθοῦσιν. ἑόρταζε τὰς ἑορτάς σου. διὰ τί, ἑόρτασον, ὀνομάζει; ἐπειδὴ ἐν τῇ ἑορτῇ τοῦ πάσχα ἀνάστασις ἤμελλεν ἀνθῆσαι. ἑόρταζε, φησὶν, Ἰούδα, τὰς ἑορτάς σου, ἀπόδος τῷ Θεῷ τὰς εὐχάς σου. οὐκέτι μὴ προσθῶσιν ἐλθεῖν εἰς παλαίωσιν. συντετέλεσται, ἐξῆρται· τουτέστι, τὰ πρῶτα τέλος ἔχει. καὶ διὰ τί τέλος ἔχει τὰ πρῶτα; ἀνέβη γὰρ ἐκ τῆς γῆς ὁ ἐμφυσῶν εἰς τὸ πρόσωπόν σου, καὶ ἐξαιρούμενός σε ἐκ θλίψεως.

Ἰωαν. κ. κβ.
Γεν. α.
Ναὺμ α.
Ναὺμ β α.
χ. εἰς

Ἀλλὰ πάλιν ἐπαναλάβωμεν. ἑόρταζε, Ἰούδα, τὰς ἑορτάς σου, ἀπόδος τῷ Θεῷ τὰς εὐχάς σου. οὐκέτι μὴ προσθῶσιν ἐλθεῖν εἰς παλαίωσιν. τίνες αἱ ἑορταί; ἦσαν γὰρ ἐκεῖναι πᾶσαι αἱ παλαιαὶ τῶν νέων φέρουσαι τὴν εἰκόνα· πρώτη τῶν ἀζύμων ἡμέρα, εἰκὼν οὖσα τοῦ πάθους τοῖς ἀκριβῶς ἐξετάζουσι· μετὰ ταύτην ἡμέρα τῆς πεντηκοστῆς, εἰκὼν οὖσα καὶ αὐτὴ τῆς τοῦ ἁγίου καὶ προσκυνητοῦ πνεύματος ἐπιφοιτήσεως. ἡ δὲ τῶν σκηνοπηγιῶν, εἰκὼν καὶ αὐτὴ ἦν τῶν σκηνῶν τῶν οὐρανίων. τούτοις καὶ ὁ Κύριος ἐνδεικνύμενος, ἐπειδήπερ ἐκεῖναι ἦσαν πρόσκαιροι, βουλόμενος δεῖξαι, ὅτι αἱ σκηναὶ ἐκεῖναι τύπος εἰσὶ τῶν μελλουσῶν σκηνῶν, ἔλεγε πρὸς τοὺς ἐν τῷ κόσμῳ πλουτοῦντας· Ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ μαμμωνᾶ τῆς ἀδικίας, ἵν', ὅταν ἐκλείπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς· αἱ οὕτω πρόσκαιροι σκηναὶ τύποι ἦσαν τῶν αἰωνίων σκηνῶν. ἐπεὶ οὖν ἡ τοῦ Χριστοῦ οἰκονομία τοὺς μὲν παλαιοὺς τύπους ἐπλήρου, τὴν δὲ νέαν χάριν ἐξηνώθη, καλῶς ὁ προφήτης προαναφωνεῖ λέγων· ἑόρταζε, Ἰούδα, τὰς ἑορτάς σου, ἀπόδος τῷ Θεῷ τὰς εὐχάς σου. '' σημαίνει δὲ, οὐκέτι γὰρ μὴ προσθῶσιν ἐλθεῖν εἰς παλαίωσιν. ἀνακεκαίνισται γὰρ τὰ παλαιὰ διὰ τῆς χάριτος, συντετέλεσται, ἐξῆρται. ἀνέβη γὰρ ἐκ τῆς γῆς ὁ ἐμφυσῶν εἰς τὸ πρόσωπόν σου, καὶ ἐξαιρούμενός σε ἐκ θλίψεως. ἀλλ' ὁ μὲν προφήτης Ναοὺμ γυμνῶς σοι παρέστησε τὴν ἁγίαν χάριν ἐμπνεύσαντα Κύριον· Ἡσαΐας δὲ καὶ αὐτὸς ἐν ἑτέρῳ τόπῳ τὸν ἐκ νεκρῶν ἀναστάντα, καὶ πνεῦμα ἅγιον τοῖς ἑαυτοῦ χαριζόμενον προαναφωνεῖ λέγων· Ἐμνήσθη ἡμερῶν αἰωνίων ὁ ἀναβιβάσας ἐκ γῆς τὸν ποιμένα τῶν προβάτων. καὶ ἀντὶ τοῦ, ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτῶν, εὐθέως ἐπήγαγεν· ὁ θεὶς ἐν αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον. ἡ θεϊκὴ ἀξία, ἡ θεϊκὴ προσηγορία, τὸ βασιλικὸν ἀξίωμα, ἡ ἄχραντος δόξα, καὶ ἡ ἀκατάληπτος δύναμις· τὸ τῷ πατρὶ συνδοξαζόμενον, καὶ υἱῷ συμβασιλεῦον, καὶ ἐνεργοῦν τὰ πάντα, καὶ διαιροῦν τὰ θεῖα χαρίσματα ἑκάστῳ, καθὼς βούλεται. ταῦτα εὖ οἶδα ὅτι στηρίζει μὲν τοὺς ἰδίους τῆς ἐκκλησίας, δάκνει δὲ τοὺς ἐχθροὺς καὶ διαρρήγνυσι, μάλιστα τοὺς ἐχθροὺς τῆς εὐσεβείας, τοὺς παραιτουμένους πατρὶ καὶ υἱῷ συνδοξάζειν τὸ πνεῦμα τὸ ἅγιον. ὢ τῆς ἀθλιότητος· οὐδὲ ὧν ἔτυχον, καταξιοῦν ἐθέλουσι τὸ πνεῦμα τὸ ἅγιον. ὁ δὲ ἀπόστολος περὶ

Λυκ. ιϛ. θ.
ἴσ. σημαίνει
Ησ. ξγ. ια.

Ρωμ. η' ιζ'.
β. Τιμ. β. ιβ.
ἴσ. εἰς τοσοῦτον
χ. δόξαν,

ἑαυτοῦ, καὶ τὴν κατ' αὐτὸν ἔλεγχον, Εἰ συμπάσχομεν, καὶ συνδοξασθησόμεθα. Παῦλος συνδοξάζεται Θεῷ, καὶ τὸ πνεῦμα οὐ συνδοξάζεται; ἡ θνητὴ φύσις ''τοσοῦτον ἀνάγεται, ὡς Χριστῷ συνδοξάζεσθαι, καὶ τὸ προσκυνητὸν πνεῦμα οὐδὲ τῆς αὐτῆς ἡμῖν κοινωνήσει πλεονεκτημάτων; καὶ περὶ μὲν ἀνθρώπων φησὶν ὁ αὐτὸς ἀπόστολος, Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν· τὸ δὲ πνεῦμα τὸ ἅγιον οὐ συμβασιλεύει Χριστῷ; ὢ τῆς πολλῆς ἀγνωμοσύνης, ὢ τῆς πολλῆς καὶ ἀφορήτου μανίας, ὢ γνώμης ἀθέου, καὶ βλασφημίας ἀμέτρου, καὶ πληγῆς ἀνιάτου. ἡμεῖς προσδοκῶμεν συμβασιλεῦσαι, καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐν δούλου τάξει καταττόμεν; ταῦτα δὲ φαμέν, ἀδελφοί, οὐχ ὡς παραπλησίως ἡμῖν ὀφείλοντος τοῦ ἁγίου πνεύματος τῷ Χριστῷ συνδοξάζεσθαι, ἀλλὰ τὴν ἀσέβειαν ἐλέγχοντες τῶν μηδὲ τοσοῦτον ἀπονέμειν ἀνεχομένων. ἵλεως δὲ ἡμῖν, Κύριε, ἐπὶ τοῖς λαλουμένοις εἴης· ὅτι κἂν μέχρι ψιλῆς καὶ ἐπιπολαίου λέξεως διατηροῦμεν τὰ τῶν ἀσεβῶν ῥήματα, ἀλλ' ὅμως μηδείς, ἀδελφοί, νομισάτω ὕβριν εἶναι τοῦ ἁγίου πνεύματος τὸ διατηρεῖσθαι τὰς παρ' ἐκείνων ὕβρεις. ἄγομεν γὰρ αὐτὰς εἰς μέσον, καὶ λέγομεν, οὐ συνδιατιθέμενοι τῇ ἀσεβείᾳ, ἀλλὰ τὴν πλάνην στηλιτεύοντες, καὶ τοὺς συντρόφους τῆς εὐσεβείας τῶν πονηρῶν δογμάτων ἀποτειχίζοντες. καὶ γὰρ οἱ ἀπόστολοι ἀγαπῶντες τὸν Κύριον, καὶ ἰδόντες αὐτοῦ τὴν ''ἀξίαν, οὐκ ὤκνησαν ἐντάξαι τοῖς ἁγίοις εὐαγγελίοις τὰς παρὰ τῶν Ἰουδαίων ὕβρεις. γέγραπται γοῦν, ὅσα εἰπεῖν ἐτόλμησαν περὶ Χριστοῦ, καὶ ὅτι ἁμαρτωλός ἐστι, καὶ ὅτι τοῦ Θεοῦ οὐκ ἔστι, καὶ εἰς πρόσωπον αὐτοῦ λέγειν οὐκ ὤκνησαν, Σαμαρείτης εἶ σύ, καὶ δαιμόνιον ἔχεις. ἀλλὰ τὸ γράμμα οὐ τῶν γραψάντων κατηγορεῖ, ἀλλὰ τῶν βλασφημησάντων. ἄκουε τοῦ πνεύματος τὴν ἐνέργειαν, ἄκουε τῶν ἀποστόλων τὴν δοξολογίαν· στοίχει ταῖς ἐκείνων διδασκαλίαις, ἕπου τοῖς βήμασι τῶν ἁγίων· μὴ πλάνα σαυτὸν τοῖς ἴχνεσι τῶν βεβήλων· τριάδα προσκύνει, τριάδα δόξαζε, τριάδα κήρυττε. οὕτω φρονοῦσι προφῆται, οὕτω κηρύττουσιν ἀπόστολοι, οὕτω πιστεύουσι μάρτυρες.

α. Κορ. ιβ. δ.
χ. μετὰ τοῦτον
ἴσ. φησι

ἄκουε Παύλου τὴν τριάδα κηρύττοντος· Διαιρέσεις χαρισμάτων, τὸ δὲ αὐτὸ πνεῦμα· διαιρέσεις διακονιῶν, ὁ δὲ αὐτὸς Κύριος· διαιρέσεις ἐνεργημάτων, ὁ δὲ αὐτὸς Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι. τίνος ἕνεκεν οὐκ ἀπὸ πατρὸς ἄρχεται; οὐ πρῶτον ἐκεῖνον κηρύττει, καὶ τότε τὸν υἱόν, καὶ ''μετ' αὐτὸν τὸ ἅγιον πνεῦμα; μεταβάλλεις τὴν τάξιν, ὦ Παῦλε; μεταρρυθμίζεις τὴν ἀκολουθίαν; τοῦ σωτῆρος παραδεδωκότος, ἐν ὀνόματι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, σὺ λύεις τὸν θεσμὸν τῆς θεολογίας; ἀλλὰ γὰρ μὴ γένοιτο ἡμᾶς ποτε ταῦτα περὶ Παύλου νοῆσαι. ὁ γὰρ ἅγιος ἐκεῖνος καὶ θαυμαστὸς κῆρυξ οἶδεν ἀκριβῶς, ὅτι κἂν πνεύματος πρῶτον μνησθῇ, ἄτρωτον φυλάττει τὴν θεολογίαν, καὶ οὐχ ὑβρίζει τὴν ἀσύγχυτον φύσιν, οὐκ ἐμμερίζει τὴν ἀμέριστον ἀξίαν. πνεύματος μέμνηται πρῶτον, ἵνα δείξῃ, ὅτι τὸ τελευταῖον γράφεσθαι τὸ πνεῦμα, οὐ τελευταῖον αὐτὸ ποιεῖ καὶ ἔσχατον. ἐπειδὴ γὰρ ἐκεῖνοι παρερμηνεύουσι κακῶς, οὐ συναριθμοῦντες, ἀλλ' ὑπαριθμοῦντες τῷ πατρὶ τὸν υἱόν, καὶ τῷ υἱῷ τὸ πνεῦμα τὸ ἅγιον (πρῶτος γάρ, ''φησιν, ὁ πατήρ, δεύτερος ὁ υἱός, τρίτον τὸ πνεῦμα τὸ ἅγιον· οὐ τὴν εὔτακτον τῆς γνώσεως ἀκολουθίαν νοοῦντες τῆς προσκυνητῆς τριάδος, ἀλλὰ ψυχῇ διαστρόφῳ ὑβρίζειν ἐπιχειροῦντες τὴν τῆς θεολογίας καθαρότητα) εἰκότως ὁ Παῦλος ἀντιστρέφει τῶν ὀνομάτων τὴν τάξιν, ἵνα δείξῃ τῆς ἀληθείας τὴν δύναμιν, καὶ λύσῃ τῶν πονηρῶν τὴν ὑπόληψιν.

α. Κορ. ιβ. ζ.
κ. θ.

Ἀλλ' οἶδα, φησιν, ὅτι τοῦ μὲν υἱοῦ καὶ τοῦ πνεύματος ἐπιπολαίως ἐμνημόνευσεν, ἐπὶ δὲ τὸν πατέρα ἐλθών, εἰς ὕψος τὴν θεολογίαν ἤγαγεν. ἐπὶ μὲν γὰρ τοῦ πνεύματος εἶπε, τὸ δὲ αὐτὸ πνεῦμα· ἐπὶ δὲ τοῦ υἱοῦ, ὁ δὲ αὐτὸς Κύριος· εἰς δὲ τὸν πατέρα ἐλθών, εἶπεν, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι. τί οὖν, αὐτῷ τὸ ῥῆμα τό, ἐνεργεῖν τὰ πάντα ἐν πᾶσιν, αὐθεντίαν μηνύει; ναί, φησι· καὶ ὑπεροχὴν ὑπερβάλλουσαν κηρύττει; ναί, φησι. δέχομαί σου τὰς ὁμολογίας, ἐὰν ἐμμένῃς ταῖς συνθήκαις. ἴδωμεν τοίνυν τί σαφέστερον, τὸ σκεῦος τῆς ἐκλογῆς, ὁ πνεύματι κυβερνώμενος ἁγίῳ, περὶ αὐτῆς ὑποτίθεται τῆς ζητήσεως. Ἑκάστῳ δίδοται ἡ φανέρωσις τοῦ πνεύματος πρὸς τὸ

συμφέρον. ᾧ μὲν γὰρ δίδοται λόγος σοφίας κατὰ τὸ αὐτὸ πνεῦμα, ἑτέρῳ δὲ λόγος γνώσεως ἐν αὐτῷ τῷ πνεύματι, ἑτέρῳ δὲ χαρίσματα ἰαμάτων κατὰ τὸ αὐτὸ πνεῦμα, ἑτέρῳ προφητεία, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν, ἄλλῳ πίστις, ἄλλῳ χαρίσματα. ταῦτα δὲ πάντα· πρόσεχε ἀκριβῶς. βλέπε λέξεως συμφωνίαν καὶ δυνάμεως· ὁ διὰ τῶν προτέρων εἰρηκώς, ὁ δὲ αὐτὸς Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν, ἐλθὼν εἰς τὸ πνεῦμα, ταύτην ἐπιμαρτυρεῖ τῷ πνεύματι τὴν δύναμιν· ταῦτα δὲ πάντα, φησὶν, ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται. (α. Κορ. ιβ. ια.) οὕτως οὐ λύεται ἡ ἁρμονία τῆς δοξολογίας, ὅταν τι τῶν ὀνομάτων τῆς ἁγίας τριάδος, ἢ πρῶτον, ἢ δεύτερον, ἢ τρίτον τίθηται. τὸ γὰρ πρῶτον, καὶ δεύτερον, καὶ τρίτον, οὐ φύσεως ἐμφαίνει διαφορὰν, ἀλλὰ θεολογίας ὁδὸν ἀσύγχυτον. πάλιν ὁ αὐτὸς ἀπόστολος, ἵνα δείξῃ πανταχοῦ ἀδιαφόρως ἑαυτὸν κεχρημένον ταῖς τῶν ὀνομάτων τάξεσιν, εὐτάκτως δὲ καὶ ἀσφαλῶς προσιόντα τῷ θείῳ κηρύγματι, λέγει Θεσσαλονικεῦσι γράφων· Αὐτὸς δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς, καὶ Θεὸς ὁ πατὴρ ἡμῶν. (β. Θεσ. β. ιϛ.) πρῶτον, Παῦλε, τὸν υἱὸν, καὶ τότε τὸν πατέρα κηρύττεις; τὸ γὰρ πρῶτον, φησιν, εἰς τάξιν ἐξέβαλες· ἐγὼ πρῶτον καὶ δεύτερον ἐὰν εἴπω, τὴν φύσιν ἀμέριστον ὑπολαμβάνω· μᾶλλον δὲ οὐχ ὑπολαμβάνω, ἀλλ' ἀσφαλῶς κηρύττω. μὴ τοίνυν ὕβριζε τὰ θεῖα λόγια, μηδὲ συκοφάντει τὰ οὐράνια δόγματα. εὑρίσκεις εἰκόνα τοιαύτην καὶ ἐν τῇ παλαιᾷ. ὥσπερ γὰρ ἐνταῦθα Παῦλος ἀρξάμενος ἀπὸ τοῦ πνεύματος ἦλθεν εἰς τὸν υἱὸν, καὶ ἀπὸ τοῦ υἱοῦ πάλιν εἰς τὸν πατέρα, καὶ τὸ τρίτον τῇ τάξει τῶν ὀνομάτων ἐποίησε πρῶτον, οὐ τὴν τοῦ κηρύγματος τάξιν μεταβαλὼν, ἀλλὰ τὴν ἀδιάφορον τῆς θεολογίας γνῶσιν ἐμφαίνων· οὕτω καὶ ἐν τῇ παλαιᾷ τὸν αὐτὸν τύπον εὑρήσεις, ὥσπερ ἐν εἰκόνι, προλάμποντα. τίς οὐκ οἶδεν ἡμῶν, ἀδελφοὶ, ὅτι τὸν Ἀβραὰμ πρῶτον τάττει ἡ γραφὴ, δεύτερον δὲ τὸν Ἰσαὰκ, καὶ τρίτον τὸν Ἰακώβ; Ἐγὼ γὰρ ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ. (Ἐξοδ. γ. ϛ.) καὶ εἰκότως ἡ γραφὴ κηρύττει πρῶτον τὸν γεννήσαντα, εἶτα τὸν γεννηθέντα, ἔπειτα τὸν ἐξ ἐκείνου. ἀλλ' ἐπειδὴ ἡ φύσις ἦν ἀμέριστος, εἰ καὶ τοῖς χρόνοις διετέμνετο διὰ τὴν ἀκολουθίαν, οὐκ ὤκνησεν ὁ Θεὸς μεταβαλεῖν τὴν τάξιν, ἵνα τὴν ὁμολογίαν ἀναδείξῃ. λέγει γὰρ ἐν τῷ Λευϊτικῷ (λέγω γὰρ καὶ τὸν τόπον, ἵνα μὴ συκοφαντήσῃς τὰ λεγόμενα) Ἐὰν δὲ ἁμάρτωσιν οἱ υἱοὶ Ἰσραὴλ, παραδώσω αὐτοὺς εἰς ἔθνος ἀλλότριον, καὶ πορεύσονται ἐκεῖ, καὶ λατρεύσουσι θεοῖς ἑτέροις. (Λευϊτ. κϛ. μ.) προμηνύων τὴν εἰς Βαβυλῶνα αἰχμαλωσίαν φησὶ, καὶ πορεύσονται ἐκεῖ, καὶ λατρεύσουσι θεοῖς ἑτέροις. τότε αἰσχυνθήσεται ἡ καρδία αὐτῶν ἡ ἀπερίτμητος· καὶ μετὰ βραχέα, καὶ μνησθήσομαι τῆς διαθήκης Ἰακὼβ, καὶ τῆς διαθήκης Ἰσαὰκ, καὶ τῆς διαθήκης Ἀβραάμ. ἐπαναλήψομαι τὸ ῥῆμα. ὁ γὰρ πρῶτος ἐκάλυψε τὴν ὑπόθεσιν. ἐκεῖ, φησιν, αἰσχυνθήσεται ἡ καρδία αὐτῶν ἡ ἀπερίτμητος, καὶ ἐπιστρέψουσι πρὸς μὲ, καὶ ἰάσομαι αὐτοὺς (οὐδέπω ἀπειλὴ, καὶ τὴν καταγωγὴν ἐπαγγέλλεται) καὶ ἀνάξω αὐτοὺς εἰς τὴν γῆν τῶν πατέρων αὐτῶν, καὶ μνησθήσομαι τῆς διαθήκης Ἰακὼβ, καὶ τῆς διαθήκης Ἰσαὰκ, καὶ τῆς διαθήκης Ἀβραάμ. ὁρᾷς πῶς μεταβάλλει τὴν τάξιν, ἵνα δείξῃ τὴν ὁμοτιμίαν; οὐ γὰρ πρῶτον ἐποίησε τὸν Ἰακὼβ τοῖς χρόνοις, ἀλλὰ τῇ ἀδιαφορίᾳ κατεχρήσατο, ἵνα δείξῃ τὴν ὁμοτιμίαν. ἀλλ' ἐπὶ μὲν τῶν πατριαρχῶν, χρόνος μερίζει τοὺς καρποὺς ἀπὸ τῆς ῥίζης (θνητὴ γὰρ ἡ φύσις καὶ τῶν φυτῶν καὶ τῶν γεγεννηκότων) τῆς δὲ ἁγίας καὶ ἀθανάτου προσκυνητῆς τριάδος τὴν φύσιν οὐ τέμνει λόγος, οὐ μερίζει χρόνος, οὐ διϊστῶσιν αἰῶνες. οὐδὲν γὰρ μεταξὺ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. ποιητὴς τῶν αἰώνων ὁ μονογενής. ἄκουε τοῦ θείου καὶ γενναίου κήρυκος ὧδέ τι περὶ τοῦ πατρὸς εἰρηκότος· Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν. (Ἑβρ. α. α.) οὐδὲν τοίνυν μεταξὺ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, οὐδεὶς χρόνος ἢ διάστημα χρόνου. πρὸ τῶν αἰώνων πατὴρ, πρὸ τῶν αἰώνων υἱός (αὐτὸς γὰρ ἐποίησε τοὺς αἰῶνας) πρὸ τῶν αἰώνων τὸ ἅγιον πνεῦμα. οὐδαμοῦ ἐλάττεται ἡ φύσις, οὐδαμοῦ μερίζεται ἡ δύναμις. πρόσεχε ἀκριβῶς. βασιλεύει ὁ πατήρ, βασιλεύει ὁ υἱός, βασιλεύει τὸ πνεῦμα τὸ ἅγιον. οἶδα" ταύτῃ χρησάμενος τῇ χ. ποτὲ ἀποδείξει· ἀλλὰ τὰ αὐτὰ λέγειν ἐμοὶ μὲν οὐκ ὀκνηρόν, ὑμῖν δὲ ἀσφαλές. βασιλεύει πατήρ, κατὰ τὸ, Ὁ Θεὸς ἡμῶν βασιλεὺς εἰς τὸν αἰῶνα. βασιλεύει υἱός· Δώσει γὰρ αὐτῷ Κύριος Λυκ. α. λϐ. τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας. Ησ. ϛ. θ. βασιλεύει τὸ πνεῦμα τὸ ἅγιον. ὁ μὲν γὰρ Ἡσαΐας εἶπε*· Καὶ τὸν βασιλέα Κύριον σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ εἶπε πρός με· πορεύθητι εἰπὸν τῷ λαῷ τούτῳ, ἀκοῇ ἀκούσητε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε, καὶ τὰ ἑξῆς. ὁ δὲ ἀπόστολος εἰς τὸ πνεῦμα τὸ ἅγιον ἐκλαμβάνει τὴν τοῦ προφήτου θεολογίαν. ἐκείνου εἰρηκότος, εἶδον τὸν βασιλέα Κύριον σαβαώθ, καὶ εἶπέ μοι, πορεύθητι, καὶ εἰπὲ τῷ λαῷ τούτῳ, ὁ Παῦλος βασιλέα Κύριον σαβαὼθ εἰς τὸ πνεῦμα τὸ Πραξ. κη. κϛ. ἅγιον ἐκλαμβάνων ἐν τῇ Ῥώμῃ τοῖς Ἰουδαίοις διαλεγόμενός φησι· Καλῶς τὸ πνεῦμα τὸ ἅγιον εἶπε πρὸς τοὺς πατέρας" ἡμῶν διὰ τοῦ προφήτου Ἡσαΐου λέγον· πορεύθητι εἰπὸν τῷ λαῷ χ. ὑμῶν τούτῳ· ἀκοῇ ἀκούσητε, καὶ οὐ μὴ συνῆτε, καὶ τὰ ἑξῆς. Ἡσαΐας ἔλεγε, τὸν βασιλέα σαβαὼθ εἶδον, καὶ εἶπε πρός με, εἰπὸν τῷ λαῷ τούτῳ· καὶ ὁ Παῦλος λέγων, τῷ ἁγίῳ πνεύματι ἀνέθηκε τὴν αὐθεντίαν. οὐκοῦν βασιλεὺς καὶ Κύριος σαβαώθ, τὸ πνεῦμα τὸ ἅγιον τὸ εἰρηκὸς τῷ Ἡσαΐᾳ, πορεύθητι εἰπὸν τῷ λαῷ τούτῳ, ἀκοῇ ἀκούσητε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε, καὶ τὰ ἑξῆς. καὶ, Ἤκουσα γὰρ φωνῆς Κυρίου λέγοντος, πορεύθητι εἰπὸν τῷ λαῷ Ψαλ. ρια. τούτῳ. Κύριος ὁ πατήρ, Κύριος ὁ υἱός (Εἶπε γὰρ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου) β. Κορ. γ. ιζ. Κύριον τὸ πνεῦμα τὸ ἅγιον. ὁ γὰρ Κύριος τὸ πνεῦμά ἐστιν. Ὅπου δὲ τὸ πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία. μή τις νομίζῃ, ὅτι μεῖζόν ἐστιν ὄνομα τὸ" πρῶτος, Θεός, δεύτερον δὲ ὄνομα τὸ, ἰσ. πρῶτον Κύριος. ἐπὶ γὰρ τῆς ἀθανάτου φύσεως, καὶ Κύριος καὶ Θεός, κἂν μὴ τὴν αὐτὴν δύναμιν ἔχῃ ἡ λέξις, ἀλλὰ τὴν αὐτὴν ἀξίαν κηρύττει. τί γάρ; ὁ Θεὸς ὄνομα πρῶτον; εἰ δεύτερον δὲ Δευτ. ϛ. δ. τὸ Κύριος, οὐκ ἂν τῷ δευτέρῳ ὡς πρώτῳ ὁ Μωϋσῆς ἐχρήσατο λέγων, Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν. ἐχρῆν γάρ, εἰ ἄρα, τοῦ πρώτου πρῶτον ἐπιμνησθέντα εἰπεῖν, ὁ Θεός σου Κύριος εἷς ἐστιν. ἀλλ' ἵνα δείξῃ τὸ ἀδιάφορον τῶν ὀνομάτων, Κύριος εἶπε πρῶτον, εἶτα Θεός.

Ἀλλ' εἰς τὸ προκείμενον ἐπανέλθωμεν. ὁ δὲ Κύριος τὸ πνεῦμά ἐστι. Κύριος τοίνυν ὁ πατήρ, Κύριος ὁ υἱός, Κύριος τὸ πνεῦμα τὸ ἅγιον. ἀλλ' ὁ Παῦλος λέγει, Εἷς Κύριος. εἷς Κύριος, καὶ Κύριος. πῶς εἷς Κύριος, καὶ Κύριος; δηλονότι μία ἡ κυριότης. οὕτω καὶ εἷς Θεός φησιν ὁ α. Κορ. η ϛ. Παῦλος· Ἡμῖν δὲ εἷς Θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα. ἄρα οὖν, φησί, τὸν μὲν πατέρα Θεὸν εἶπε, τὸν δὲ υἱὸν Κύριον. εἴδωμεν οὖν, εἴδωμεν, ἀδελφοί, εἴδωμεν, παρακαλῶ, εἰ τὸ Κύριος," δεύτερον ὄνομά ἐστι τῆς θεϊκῆς ἀξίας, καὶ οὐκ ἀληθῶς χ. ὄνομά ἐστι καὶ πρῶτον καὶ ἁρμόζον ἐστί, καὶ ὑπὸ τῆς ἁγίας γραφῆς μεμαρτυρημένον. ἀναγκαῖον γὰρ ὄντως καὶ ἡμᾶς εἰπεῖν μετὰ σπουδῆς, καὶ ὑμᾶς ἀκοῦσαι μετὰ προθυμίας, καὶ ἐκείνους παιδευθῆναι μετὰ ἀληθείας. τίς οὖν ἡμῖν μαρτυρήσει λόγος, ὅτι τὸ, Κύριος, ὄνομα καὶ πρῶτόν ἐστι, καὶ τῆς μεγαλοπρεποῦς δόξης ἴδιον; ἄκουε τοῦ προφήτου Δαβίδ· Αἰσχυνθήτωσαν, καὶ ταραχθήτωσαν χ. ἀπολέσθωσαν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· καὶ ἐντραπήτωσαν, καὶ" γνώτωσαν ὅτι ὄνομά σοι Κύριος. ἐνδέ- Ψαλ. πϐ. ιζ. χεται τὸν ἐχθρὸν εἰπεῖν περὶ τοῦ σωτῆρος λόγου· ὄνομα γὰρ τοῦ Χριστοῦ Κύριος, ὄνομα τοῦ πατρὸς Θεός. πάλιν ὅρον ἀπαιτῶ τῶν προκειμένων. τῶν αἱρετικῶν στοιχεῖς τῷ λόγῳ; ἐμμένεις ταῖς συνθήκαις; φοβοῦμαι γάρ σου τὸ παλίμβολον. ὅταν ἐλεγχθῇς, καὶ ἐκ ταύτης τῆς ἀληθείας προσφύγῃς ἑτέρᾳ θεωρίᾳ, κἂν ἐκεῖ συλληφθῇς, φεύγεις εἰς ἕτερον ἀγνωμοσύνης στοιχεῖον, δέον μὴ φεύγειν ἀλήθειαν λάμπουσαν, φωτίζουσαν. οὐκ ἐλάμψε γὰρ φωτίζουσα;

* καὶ τὸ πνεῦμα τὸ ἅγιον

σα. ἀλλὰ γὰρ φεύγει ὁ ἀσεβὴς μηδενὸς διώκοντος. ἡμεῖς δὲ εἰς τὸ προκείμενον ἐπανέλθωμεν. Γνώτωσαν ὅτι ὄνομά σοι Κύριος. εἰ τοῦ πατρὸς μέμνηται, οὐκοῦν μάθε ὅτι ὄνομα τοῦ πατρὸς Κύριος· καὶ εἰ τοῦ πατρὸς ὄνομα Κύριός ἐστι, φησὶν ὁ Παῦλος, Εἷς Κύριος Ἰησοῦς Χριστός. ἀλλὰ Κύριος ὁ πατὴρ, Κύριος ὁ υἱός. οὐκοῦν ὡς κοινωνὸς τοῦ ὀνόματος, κοινωνὸς καὶ τῆς ἀξίας. ἀλλ' ὁ Ἰουδαῖος παραιτεῖται εἰπεῖν, ὅτι οὐ περὶ τοῦ πατρὸς εἶπεν· ἵνα τὸ, Κύριος, τῷ υἱῷ ἁρμόσας, τηρήσῃ τῷ πατρὶ τὸ Θεός. δέχομαι τὴν ὀργὴν καὶ τὴν συνθήκην· οὐ μερίζω τὴν ἀξίαν τῶν ὀνομάτων, ὡς πολλάκις ἔφθην εἰπὼν, τῆς προσκυνητῆς τριάδος, ὅτι ἡ ἐκκλησία ἀμέριστον ἔχει τὴν δόξαν· τῇ δὲ σῇ ταλαιπωρίᾳ συγκαταβαίνω, καὶ λέγω, δεδόσθω, γνώτωσαν ὅτι ὄνομά σοι Κύριος. τί οὖν ποιεῖς τῷ ἐπαγομένῳ ῥήματι; Σὺ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν. ἆρα κατὰ τὴν σὴν ἀσέβειαν καὶ κατὰ τὴν διδασκαλίαν, οὐκ ἔτι πατὴρ ὁ ὕψιστος, διότι μόνος ὕψιστος ὁ υἱός. ἐνταῦθα, ἀδελφοὶ, οὐ κύματα θαλάσσης ἐστὶν, ἵνα συμπνίξῃ, ἀλλ' ἀγάπης κύματα, ἵνα ἁγιάσῃ. πλὴν Χριστοῦ φθεγγομένου καὶ κηρυττομένου, ἡσυχίαν τὸ σκάφος τοῦτο τὸ θεοφιλὲς ἀγέτω. ἄτοπον γὰρ τὴν μὲν θάλασσαν θεασαμένην τὰ ἴχνη τοῦ δεσπότου, καὶ ἀκούσασαν, Σιώπα, πεφίμωσο, αἰδεσθῆναι τὴν αὐθεντίαν, τὴν δὲ ἐκκλησίαν μὴ πεισθῆναι τῷ ἑαυτῆς νυμφίῳ τὰ ῥήματα τῆς ζωῆς φθεγγομένῳ, καὶ θείαν ὡς ἀληθῶς χάριν ἐπὶ τῶν χειλέων ἔχοντι. Ἐξεχύθη γὰρ χάρις ἐν χείλεσί σου.

Μαρκ. δ λθ.

Ψαλ. μδ. γ.

Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. γνώτωσαν ὅτι ὄνομά σοι Κύριος. ὃ θέλεις, ἐπίλεξαι· οὐχ ὡς ἐν τῇ σῇ ἐξουσίᾳ τῆς ἐκλογῆς κειμένης. οὐδὲ γὰρ, ὅτε Ἰησοῦς ὁ τοῦ Ναυῆ εἶπε πρὸς τὸν λαόν, Ἐκλέξασθε ὑμῖν πρὸς τὴν σήμερον τίνι λατρεύσητε, ἢ τοῖς θεοῖς, οἷς ἐλάτρευσαν οἱ πατέρες ὑμῶν, ἢ Κυρίῳ τῷ Θεῷ ἡμῶν, οὐ πάντως ἐν τῇ ἐξουσίᾳ τῶν ἀνθρώπων ἔδωκε τὴν ἐκλογήν· ἀλλ' ἵνα δείξῃ, ὅτι τῇ προαιρέσει τῶν ἀγαπώντων τὸν Θεὸν ἀκολουθεῖ ἡ εὐσέβεια. καὶ ἀλλαχοῦ ὁ αὐτός· Μάρτυρες ὑμεῖς καθ' ἑαυτῶν, ὅτι ὑμεῖς ἐξελέξασθε τὸν Κύριον, λατρεύειν αὐτῷ. ὥσπερ ἐκεῖ ἡ ἐκλογὴ τοῦ Θεοῦ τὴν ἀξίαν οὐχ ὕβρισεν, ἀλλὰ τὴν προαίρεσιν τῶν εὐσεβούντων ἔδειξεν, οὕτω κἀγὼ νῦν, ἐὰν δῶ τῇ προαιρέσει τὴν ἐκλογὴν, οὐ τὴν ἀξίαν ὑβρίζω, ἀλλὰ τὴν προαίρεσιν δοκιμάζω. τὸ, γνώτωσαν, ὅτι ὄνομά σοι Κύριος, ἆρα περὶ πατρὸς εἴρηται, ἢ περὶ υἱοῦ; εἰ μὲν γὰρ περὶ πατρὸς, καὶ ὄνομα τοῦ πατρὸς, Κύριος· ὄνομα καὶ τοῦ υἱοῦ, Κύριος (Εἷς γὰρ Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα) ἄρα τὸ ἀξίωμα, ὥσπερ κοινὸν καὶ τὸ ὄνομα. ἀλλὰ τοῦ υἱοῦ ὄνομα τὸ, Κύριος. αὐτὸς οὖν μόνος Κύριος ὁ υἱός. σὺ γὰρ εἶ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν. ἆρα οὖν ὅτι εἷς καὶ μόνος Κύριος ὁ υἱός, ἀλλότριος τῆς κυριότητος ὁ πατήρ; μὴ γένοιτο. οὐδὲ γὰρ ὁ πατὴρ ὅτε κηρύττεται μόνος εἷς ὁ Θεὸς, ἐκβάλλεται ὁ υἱὸς τῆς θεότητος. Ἐν ἀρχῇ γὰρ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος. οὔτε οὖν τὸ, Θεὸς ὁ πατὴρ, ἀφορίζει τὸν υἱὸν τῆς θεότητος (καὶ γὰρ Θεὸς ὁ λόγος) οὔτε μὴν ὁ υἱὸς, ὅταν λέγηται, Εἷς Κύριος, ἀλλότριον δείκνυσι τὸν πατέρα τῆς κυριότητος. Εἶπε γὰρ ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου. Κύριος οὖν ὁ πατὴρ, Κύριος ὁ υἱὸς, Κύριος τὸ πνεῦμα τὸ ἅγιον. ὁ γὰρ Κύριος τὸ πνεῦμά ἐστιν. ἀλλὰ πάλιν ὁ αἱρετικὸς παροξύνεται διανακύψας, τὸν Κύριον ἀκούσας τὸ πνεῦμα τὸ ἅγιον, διαρρήγνυται. καὶ πῶς, φησι, τὸ πνεῦμα Κύριος, ὁπότε διὰ τοῦ προφήτου Δαβὶδ φθεγγόμενον διϋμνεῖ τὸν υἱὸν λέγον· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου; ὁρᾷς, φησὶ, τὸ πνεῦμα τὸ λαλοῦν διὰ τοῦ προφήτου ὁμολογεῖν Κύριον ἑαυτοῦ καὶ τὸν πατέρα καὶ τὸν υἱόν; τί οὖν, ἀδελφοί; ἵνα μὴ πλεῖον ἡ λέξις προσενεχθεῖσα ἀμφίβολος γένηται τοῖς ἀκροαταῖς, ἐπ' αὐτὴν ἥξω τὴν ἐξέτασιν τοῦ λόγου, πᾶσαν ὑμῖν διαπτύξω τῆς λέξεως τὴν θεωρίαν. ὁ σωτήρ ποτε τῇ Ἰουδαίων συναγωγῇ προσδιαλεγόμενος, καὶ δοκιμάζων, ἣν ἔχουσι περὶ αὐτοῦ δόξαν καὶ ὑπόληψιν οἱ πολλοί, λέγει πρὸς αὐτούς· Τίνα λέγετε εἶναι τὸν Χριστόν; τίνος ἐστὶν ὁ υἱός; λέγουσιν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι, τοῦ Δαβίδ.

Ἰησ. κδ. ιε.
κβ.

α. Κορ. η ϛ.

Ἰωαν. α. α.

Ψαλ ρι. α.

Ματθ. κϐ. μϐ.

βίδ. Εἶτα ὁ Κύριος ἀντιθεὶς αὐτῶν τῇ ὑπονοίᾳ πάλιν ἐπήγαγε· Καὶ πῶς Δαβὶδ ἐν πνεύματι ἁγίῳ καλεῖ αὐτὸν Κύριον; Εἶπε γὰρ ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου. τὸ δὲ, ἐν πνεύματι ἁγίῳ, προσέθηκεν, οὐχ ἵνα τὸ πνεῦμα δοῦλον ἀποδείξῃ τοῦ κηρυττομένου Χριστοῦ, γρ. ἐστὶ. ἀλλ' ἵνα σαφῶς παραστήσῃ, ὅτι ὁ προφήτης ἐν πνεύματι ἁγίῳ τὰ μέλλοντα προορῶν, ὃν ἤμελλε Κύριον καλεῖν, Κύριον ὁμολογεῖ κατὰ ἀλήθειαν. γρ. ὃ ἤμελλεν, υἱὸν κατὰ σάρκα Κύριον ὁμολογεῖ. οὐ γὰρ περὶ τοῦ ἁγίου πνεύματος προέκειτο τῷ Κυρίῳ ἐξεταζομένῳ, ἀλλὰ περὶ αὐτοῦ, Δαβὶδ υἱὸν ἔχει τὸν Κύριον, ἢ δεσπότην; ἀμέλει γοῦν αὐτὸς ὁ Κύριος προαναιρῶν τὴν τῶν αἱρετικῶν συκοφαντίαν, καὶ φυλάττων ἀκέραιον τοῦ ἁγίου πνεύματος τὸ ἀξίωμα, τῇ ἐπαγωγῇ λύει τὴν ἀμφισβήτησιν. τί οὖν φησιν; Εἰ οὖν Δαβὶδ καλεῖ αὐτὸν Κύριον, πῶς υἱὸς αὐτοῦ ἐστιν; οὐκ εἶπεν, εἰ οὖν τὸ πνεῦμα τὸ ἅγιον καλεῖ αὐτὸν Κύριον, ἀλλ', εἰ ὁ Δαβὶδ καλεῖ αὐτὸν Κύριον. διὰ τί οὖν προσέθηκε τὸ, ἐν πνεύματι ἁγίῳ καλεῖ αὐτὸν Κύριον; ἐπειδὴ τὸ εἰπεῖν περὶ Χριστοῦ περὶ τῆς Χριστοῦ παρουσίας, οὐκ ἦν σώματος βλέποντος, ἀλλὰ πνεύματος ἁγίου προδεικνύοντος. οὐδὲ γὰρ ἃ ἔβλεπε Δαβὶδ, ἐκήρυττεν· ἀλλ' ἃ τὸ πνεῦμα τὸ ἅγιον ὑπέβαλλε, ταῦτα διὰ τῆς πνευματικῆς ἐκρούετο λύρας. διὰ τοῦτο τὸ Κύριος προσέθηκε, γρ. ὁ. πῶς οὖν Δαβὶδ ἐν πνεύματι ἁγίῳ καλεῖ αὐτὸν Κύριον; ἵνα δὲ μὴ τὴν βλασφημίαν ὁ αἱρετικὸς εἰς τὸ ἅγιον πνεῦμα ἑλκύσῃ, ἐπήγαγε πάλιν, ὡς ἔφθημεν εἰπόντες, εἰ οὖν Δαβὶδ αὐτὸν καλεῖ Κύριον, πῶς υἱὸς αὐτοῦ ἐστιν; οὐκοῦν ὁ Δαβὶδ αὐτὸν ἐν πνεύματι ἁγίῳ καλεῖ τὸν Χριστὸν Κύριον. ἐκεῖνο δὲ προηγουμένως σκοπήσωμεν, ὅτι πᾶς προφήτης ἐκ πνεύματος ἁγίου λαλεῖ τὰ εἰκότα. πάντες γὰρ ὁμολογοῦμεν ὡς ἐν πνεύματι ἁγίῳ ἐλάλησαν οἱ προφῆται, Πραξ. κη. κε. ὡς καὶ ὁ ἀπόστολος μαρτυρεῖ λέγων· Καλῶς τὸ πνεῦμα τὸ ἅγιον ἐλάλησε πρὸς τοὺς πατέρας ὑμῶν διὰ τοῦ προφήτου. Ιωηλ β. κη. καὶ πάλιν καθολικῶς ὁ Θεός· Ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσι· Αριθμ. ια. κθ. καὶ Μωϋσῆς, Τίς δώσει πάντα τὸν λαὸν Κυρίου προφήτας εἶναι ἐν τῷ δοῦναι Κύριον τὸ πνεῦμα αὐτοῦ ἐπ' αὐτούς; γρ. δώη. ἐνταῦθα προσέχωμεν ἀκριβῶς, πῶς ἡ θεότης δείκνυται τοῦ πνεύματος τοῦ ἁγίου, οὐχ ὑφ' ἡμῶν ὑψουμένη, ἀλλ' ὑπὸ τῆς οἰκείας ἀξίας κηρυττομένη.

Καί μοι μικρὸν ἐπιτρέψατε διὰ πεύσεως καὶ ἀποκρίσεως σχηματίσαι τὸ προκείμενον. ταῖς γὰρ τοιαύταις ἀντιθέσεσιν εὐπρεπεστέρα καθίσταται τῶν ἀπορουμένων ἡ λύσις. ἐρωτήσωμεν τοίνυν· ὁμολογοῦσιν, ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ τῶν προφητῶν, ἢ ἀπειθοῦσιν ἔτι καὶ ἀμφιβάλλουσιν; Εἰ μὲν ἀμφιβάλλουσι· τὸ προειρημένον ὑπομνήσωμεν, πῶς αὐτὸς μαρτυρεῖ λέγων ὁ Θεός, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσι. τὸ πνεῦμα γάρ ἐστι τὸ ἐνεργοῦν τὴν προφητικὴν δύναμιν. ὡς καὶ ὁ Μωϋσῆς πάλιν ὁ θαυμάσιος βουλόμενος δεῖξαι, ὅτι ἐκ πνεύματος ἁγίου προφητεία συνίσταται, τὴν μεγάλην ἐκείνην καὶ θαυμασίαν ἔρρηξε φωνήν· καὶ τίς δώσει πάντα τὸν λαὸν Κυρίου προφήτας εἶναι ἐν τῷ δοῦναι Κύριον τὸ πνεῦμα αὐτοῦ τὸ ἅγιον ἐπ' αὐτούς; Εἰ δὲ ὁμολογοῦσιν ἀληθῶς, ὥσπερ καὶ ἔστιν ἀληθῶς, ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἐλάλησεν ἐν τοῖς προφήταις, ἄκουε ὡς ὁ μακάριος καὶ θαυμάσιος Ζαχαρίας, ὁ τοῦ προδρόμου πατήρ, Θεὸν λέγει τὸ πνεῦμα τὸ ἅγιον τὸ διὰ τῶν προφητῶν λαλῆσαν. Λουκ. α. ξη. Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο, καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ, καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν ἐν οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ, καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ. Εἰ τοίνυν ὁ λαλήσας διὰ στόματος τῶν προφητῶν Θεός, ἐλάλησε δὲ τὸ πνεῦμα τὸ ἅγιον ἐν τοῖς προφήταις, ὥς φησιν ὁ Δαβὶδ ἐν τῇ βίβλῳ τῶν βασιλειῶν, Πνεῦμα γὰρ Κυρίου ἐλάλησεν ἐν ἐμοί· Θεὸς ἄρα καὶ Κύριος τὸ πνεῦμα τὸ ἅγιον τὸ διὰ τῶν προφητῶν φθεγξάμενον. λάβε δέ μοι σαφῆ τῶν λεγομένων ἀπόδειξιν. ὁ θεῖος ἀπόστολος βουλόμενος τῇ προφητικῇ φωνῇ δεῖξαι τὸ πνεῦμα τὸ ἅγιον, φησὶν ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ· α. Κορ. ιδ. κδ. Ἐὰν πάντες προφητεύ-

ντο, εἰσέλθῃ δέ τις ἰδιώτης, ἢ ἄπιστος, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων·
τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται· καὶ οὕτω πεσὼν ἐπὶ πρόσωπον αὐτοῦ προσκυνή-
σει, ἀπαγγέλλων, ὅτι ὄντως ὁ Θεὸς ἐν ὑμῖν ἐστιν. ὁρᾷς ὅτι τὸ ἐν τοῖς προφητεύουσι πνεῦμα
Θεὸν διαρρήδην ἀνηγόρευσεν ὁ τῆς εὐσεβείας διδάσκαλος; τί τοίνυν σκανδαλίζῃ περὶ τὴν
εὐσέβειαν, αἱρετικέ; τί συκοφαντεῖς τοῦ πνεύματος τὴν ἀξίαν; τί παραβαίνεις τῆς πίστεως
τὴν ὁμολογίαν; ἀνάγνωθί σου τὰς συνθήκας τὰς ἐπὶ τῶν μυστηρίων, πῶς εἶπας, πιστεύω
εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα. ὃ ἐπίστευσας, ἀνεσκεύασας; ὃ ὡμολόγησας, ἀνέτρε-
ψας; ὃ καθαρῶς διεσάφησας, τοῦτο πάλιν ἀσεβῶς ἐθόλωσας; πολεμεῖς τῇ εἰρήνῃ; μάχῃ σὺ
γ. εἰσήγαγες ταῖς συνθήκαις; ἀπηρνήσω τὴν πίστιν; καὶ "εἰσάγεις ζητήσεις; πιστεύοντι, ὁμολογοῦντί σοι
παρεδόθη τὸ δῶρον· καὶ μετὰ τὸ δῶρον ἐξορίζεται πίστις, καὶ εἰσάγεται διάλεξις; μὴ ὕβριζε τὴν
ἀξίαν τῆς χάριτος· μὴ παραχάραττε τὰς συνθήκας τῆς φοβερᾶς ἐκείνης καὶ φρικώδους
μυσταγωγίας. ἐν ὀνόματι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ὡμολόγησας πιστεύειν· ἐβα-
πτίσθης ὁμοίως εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα· ἡ εὐλογία ὁμοίως ἐν ὀνόματι πατρὸς καὶ
υἱοῦ καὶ ἁγίου πνεύματος. ἡμῖν τὰ δῶρα παρὰ τῆς χάριτος· καὶ παρ' ὑμῶν ἡ βλασφημία
τῇ χάριτι; παρὰ τοῦ ἁγίου πνεύματος ἡμῖν ἐλευθερία· καὶ παρ' ὑμῶν δουλεία τῷ πνεύμα-
τι; ὢ τῆς ἀπονοίας, ὢ τῆς ἀγνωμοσύνης. ἢ τὴν νέαν ἀπαρνήσαι χάριν, ἢ τὴν παλαιὰν αἰ-
δέσθητι διαθήκην, ἣ πανταχοῦ παρίστα τῆς ἁγίας τριάδος τὴν ὁμοτιμίαν, ὡς πολλάκις
διὰ πολλῶν ὑμῖν ἐκ γραφῶν μαρτυριῶν ἀπεδείξαμεν· αἷς καὶ ἑτέραν βούλομαι προσθεῖναι
πάλιν ἀπόδειξιν. προαναπεφώνηται γάρ, ὡς πολλάκις ἔφθην εἰπών, ἐν τῇ παλαιᾷ
τὰ νέα. τί οὖν; προστάττει ὁ Θεὸς τῷ Μωϋσῇ, λέγων· Λάλησον τῷ Ἀαρὼν καὶ τοῖς υἱοῖς
αὐτοῦ, οὕτως εὐλογήσατε τοὺς υἱοὺς Ἰσραήλ. πρόσεχε ἀκριβῶς. ἵνα μή τις ἁπλῶς ὑπολα-
βὼν νομίζῃ καλῶς ἔχειν, προσέταξε δὲ οὕτως, ἵνα μηδεὶς κατὰ τὴν ἰδίαν ἐξουσίαν τὰς εὐλογίας
φέρῃ, ἀλλὰ κατὰ τὸν κανόνα τῆς γραφῆς τὰ πάντα ποιῇ. [λέγοντες,] οὕτω, φησίν, εὐλογήσατε. οὕτω, πῶς; εὐ-
λογήσει σε Κύριος, καὶ φυλάξει σε. καὶ πρόσεχε, πῶς πανταχοῦ τὴν τριάδα μυστικῶς εἰσάγει, δι' Ἀριθ. ς. κγ.
ἧς καὶ εὐλογίαι τριπλασιάζονται). εὐλογήσει σε Κύριος, καὶ φυλάξει σε· ἐπιφάναι Κύριος τὸ πρό-
γ. ἐλεήσει σωπον αὐτοῦ ἐπὶ σέ, καὶ "εὐλογήσει σε· ἐπάραι Κύριος τὸ πρόσωπον αὐτοῦ ἐπὶ σέ, καὶ δῴη σοι εἰρήνην.
ὅρα τὴν ἁγίαν τριάδα διαρρήδην ἀνυμνουμένην. ποία χάρις οὐκ ἀπὸ πνεύματος ἁ-
γίου; ποῖον δῶρον οὐκ ἐξ ἐκείνου; ποῖον ἀγαθὸν οὐ δι' ἐκείνου; τί δύναται καὶ ὑπερκόσμιον
ἐπιφαίνεσθαι τοῖς ἀνθρώποις ἄνευ πνεύματος ἁγίου; ἐρευνᾶτε τὰς γραφάς, καὶ σκοπήσατε,
ὡς, ὅταν ἡ γραφὴ θέλῃ μηνῦσαί τι ἢ δεῖξαι τῶν ὑπὲρ φύσιν ἀποτελουμένων, τῇ τοῦ
πνεύματος αὐθεντίᾳ τὸ πᾶν ἐπιγράφει· οἷον Σαμψὼν τὸν γενναῖον ἐκεῖνον ἀριστέα, ὅτε τὰ
μεγάλα ἐκεῖνα καὶ παράδοξα τῆς ἀνδρείας ἐνεδείκνυτο στρατηγήματα, ἡ γραφὴ πανταχοῦ
δεικνύουσα, τὸ πνεῦμα τὸ ἅγιον τῶν στρατηγημάτων προέταττεν, ἦλθον, φησίν, ἀλλόφυλοι ἐπὶ
τὸν Σαμψὼν πολλοί, καὶ ἀναρίθμητοι· καὶ μόνος ἦν ἐκεῖνος· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ δεδεμένος·
τίς οὖν λύσις τῷ δεδεμένῳ; τίς σωτηρία τῷ ἀπειλημμένῳ; πῶς εἷς περιγίνεται τῶν πολλῶν;
γ. κατῆλθεν πνεῦμα Κυρίου "κατηύθυνεν ἐπὶ Σαμψών, καὶ ἐφήλατο ἐπὶ τοὺς ἀλλοφύλους· καὶ εὑρὼν ὄνου
σιαγόνα, χιλίους ἄνδρας διεχειρίσατο. καὶ ὅρα τῆς θείας γραφῆς τὸ σοφόν. ἐπειδὴ τοῖς ἀπεί-
ροις τοῦ ἀνδρὸς ἄπιστον ἦν τὸ ῥῆμα, ὅτι ὁ δεδεμένος ἐνίκησε τοὺς λελυμένους, καὶ ὁ μόνος τῶν πολ-
γ. προσέταξε λῶν περιεγένετο, διὰ τοῦτο "προσέταξε καλῶς, καὶ πνεῦμα Κυρίου ἐπῆλθεν ἐπὶ Σαμψών, καὶ ἔ-
λαβε σιαγόνα ὄνου, καὶ ἀνεῖλε χιλίους· ἵν', ὅταν ἀπιστηθῇ διὰ τὴν ἀνθρωπίνην φύσιν, πιστευθῇ
διὰ τὴν τοῦ πνεύματος δύναμιν. οὐκοῦν καλῶς ἔλεγε Μωϋσῆς· Πῶς διώξεται εἷς χιλί- Δευτ. β. λ.
ους, καὶ δύο μετακινήσουσι μυριάδας, εἰ μὴ ὅτι Κύριος παρέδωκεν αὐτούς, καὶ ὁ Θεὸς ἀπέδοτο
αὐτούς; ἀνάγνωθι τὰς γραφάς, καὶ εὑρήσεις ἐφ' ἑκάστου στρατηγήματος προτεταγμένην τοῦ
πνεύματος τὴν αὐθεντίαν. ἦλθον οἱ ἀλλόφυλοι, καὶ πνεῦμα Κυρίου κατῆλθεν ἐπὶ Σαμ-
ψών.

ψών. ἐπήδα λέων, καὶ διεσπάραξε τὸν λέοντα ὡς ἔριφον. ἐδέθη σιδηραῖς ἁλύσεσι, καὶ ἡ γυνὴ πρὸς αὐτόν· Ἀλλόφυλοι ἐπὶ Σαμψών. ἀλλὰ πάλιν ἡ γραφή, Καὶ πνεῦμα Κυρίου ἦλθεν ἐπὶ Σαμψών, καὶ διελύθη τὰ δεσμά, ὡς στυππεῖον ὀσφρανθὲν πυρός. (Κριτ. ιε.) οὐδαμοῦ οὐδεμίαν εἰσάγει ἀριστείαν, μὴ προστάξας τοῦ πνεύματος τὴν ἐνέργειαν. Εἶτα ἐπειδὴ λοιπὸν ἐγυμνώθη τῆς δυνάμεως, πρόσεχε ἀκριβῶς, ἵνα παραδέδωκεν ἡ θεία γραφή, πανταχοῦ λέγουσα, ὅτε ἐστρατήγει καὶ ἐνίκα, ὅτι πνεῦμα Κυρίου ἦλθεν ἐπὶ Σαμψών. ὅτε ἐξυρᾶτο τὴν κεφαλήν, προδιδοὺς τῆς χάριτος τὸ ἐνέχυρον, εὐθέως ἔγραφε, καὶ Κύριος ἀπέστη ἀπὸ Σαμψών. ὅτε καὶ ἀλλόφυλοι, καὶ πνεῦμα Κυρίου κατῆλθεν ἐπ᾽ αὐτόν· ὅτε ἀνεχώρει λέγει, καὶ Κύριος ἀπέστη ἀπ᾽ αὐτοῦ καὶ εἰκότως. ὁ γὰρ Κύριος τὸ πνεῦμά ἐστιν. οὐ μόνον δὲ ἐν τῇ παλαιᾷ ταύτην εὑρήσεις τὴν θεωρίαν, ἀλλὰ καὶ ἐν τοῖς ἀποστόλοις, ὅταν τινὰ μεγάλην καὶ ὑπερβάλλουσαν δύναμιν κηρύττῃ τὰ θεῖα λόγια, πανταχοῦ τοῦ πνεύματος τὴν αὐθεντίαν προτάττει. Εἰσάγει τὸν Παῦλον ἐν τῇ Κύπρῳ λόγῳ τιμωρούμενον τὸν ἐπάρατον ἐκεῖνον Ἐλύμαν τὸν μάγον, τὸν κατὰ τῆς ἀληθείας στρατευόμενον. καὶ ἐπειδὴ ἔμελλε πρᾶγμα διηγεῖσθαι ξένον, [ὅρα] ὀφθαλμοὺς λόγῳ σβεννυμένους, Ἰδοὺ γάρ, φησι, χεὶρ Κυρίου ἐπὶ σέ, καὶ ἔσῃ τυφλὸς μὴ βλέπων τὸν ἥλιον. (Πραξ. ιγ. ια.) τοῦτο δὲ ὑπερέβαινε τὴν Παύλου, καὶ πάντων ἀνθρώπων φύσιν, λέγω δή, τὸ ἀφανίσαι ὀφθαλμοὺς λόγῳ ἀνθρώπου. λόγος οὖν ἀνθρώπου οὐ μεταβάλλει φύσιν, οὔτε τυφλοῖ τὴν ὄψιν. ἵνα οὖν μή τις ἀποβλέψας εἰς τὰ ἀνθρώπινα ῥήματα, ξενισθῇ περὶ τὰ πράγματα, καὶ νομίσας πεπλανημένον εἶναι τὸ ῥῆμα, προστάττει πάλιν ἡ γραφὴ τοῦ πνεύματος τὴν αὐθεντίαν. τότε δή, φησιν, ὁ Παῦλος πνεύματος ἁγίου πλησθεὶς εἶπε πρὸς αὐτόν. ἔχεις καὶ ἑτέραν ἀπόδειξιν πνεύματος. ἐὰν ὑπὲρ δύναμιν ἰδιώτης λαλήσῃ, ἀλλὰ πάλιν ἡ γραφὴ τῷ πνεύματι τὴν ἐνέργειαν ἐπιγράφει. ὅτε δημηγορεῖ Πέτρος καὶ Ἰωάννης ἐν τῷ πλήθει τῶν Ἰουδαίων. καὶ τότε, φησιν, ὁ Πέτρος πλησθεὶς πνεύματος ἁγίου εἶπε πρὸς τὸν λαόν· εἰ ἀρεστόν ἐστιν ἐνώπιον τοῦ Θεοῦ, ὑμῶν ἀκούειν μᾶλλον, ἢ τοῦ Θεοῦ, κρίνατε. (Πραξ. δ. ιθ.) διὰ τί οὖν πλησθεὶς πνεύματος ἁγίου; ἐπειδὴ ἰδιώτην ὑπερέβαινεν ἡ παῤῥησία, ἵνα μή τις εἰς τὸν ἁλιέα ἀποβλέψας, ἀπιστήσῃ τῇ παῤῥησίᾳ τοῦ λόγου τοῦ ἁγίου, προσέταξε τοῦ ἁγίου πνεύματος τὴν σοφίαν, ἵνα μὴ θαυμάσῃς τὴν χορηγίαν. σκοπήσωμεν, εἰ δοκεῖ, καὶ ἕτερον, ἵνα ἐπὶ πλεῖον ἡ βεβαίωσις ἐπιλάμψῃ τοῖς εἰρημένοις. ἀνοίγεται οὐρανὸς ἁγίοις· ἀλλὰ ἄνευ πνεύματος τοῦ ἁγίου οὐκ ἀνοίγεται. οὐ γὰρ ὀφθαλμοῖς σαρκὸς ὁρᾶται οὐρανὸς ἀνοιγόμενος, ἀλλ᾽ ὑπὸ τῆς τοῦ ἁγίου πνεύματος ἐνεργείας. εἶδε Στέφανος τοὺς οὐρανοὺς ἀνεῳγμένους. ἀλλ᾽, ὡς ἡ γραφή φησιν, ὑπάρχων πλήρης πνεύματος ἁγίου, εἶδεν. (Πραξ. ζ. νε.) οὐδαμοῦ τοίνυν, ἀδελφοί, οὐρανόν ἐστιν ἰδεῖν ἄνευ πνεύματος ἀνοιγόμενον, οὔτε αὐθεντίαν διδασκαλίας ἐνδύσασθαι, οὐ δύναμιν θαυμάτων ἐνδείξασθαι ἄνευ τοῦ ἁγίου καὶ προσκυνητοῦ πνεύματος. Πάντα γὰρ ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται· (α. Κορ. ιβ. ια.) ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ργ. ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΗΛΙΑΝ.

Ex edit. Basil.

Πρότερον μὲν τῶν Ἰουδαίων ὁ δῆμος τῇ τῶν προφητῶν ἐκαλλωπίζετο κτήσει, καὶ προφητικὸν ὑπῆρχε γεώργιον· νῦν δὲ καὶ ταύτην αὐτὴν παρὰ τῆς ἐκκλησίας ἀφῄρηται τὴν καύχησιν. ἰδοὺ γὰρ τῶν προφητῶν παρ᾽ ἡμῖν καὶ τὰ σώματα. οὐ γὰρ ἔπρεπον ἀκάρπῳ λαῷ προφητικοὶ γεωργοί, οὐχ ἥρμοσε παρακατέχειν προφήτας τοῖς τὸν δι᾽ αὐτῶν προφητευθέντα σταυρώσασιν, ἀντὶ νεκρῶν οὓς παρ᾽

ἐκείνοις ἀνέστησεν, ἀντὶ τυφλῶν δὲ παρ' αὐτοῖς ὠμμάτωσεν, ἀντὶ πεινώντων δὲ παρ' ἐκείνοις διέθρεψεν, ἀντὶ τῆς βίας, ἣν δι' αὐτοὺς ὁ τῶν ὅλων δεσπότης Θεὸς τῷ μακαρίῳ προσήγαγεν Ἠλίᾳ, λῦσαι τὴν κατ' αὐτῶν ἀπόφασιν τὸν προφήτην βιαζόμενος. ἄγει γάρ με πρὸς Ἠλίαν ὁ προλαβὼν παιδευτής. ὁ μακάριος Ἠλίας ἰδὼν τὸν τῶν Ἰουδαίων λαὸν τῆς τοῦ Θεοῦ καταστρηνιῶντα φιλανθρωπίας, καὶ τὸν μὲν Θεὸν τῆς ἐκείνων θεομαχίας ἀνεχόμενον διηνεκῶς, ἐκείνους δὲ τῇ μακροθυμίᾳ πρὸς ῥαθυμίαν παιδοτριβουμένους ἀεί, ἐπινοεῖ τι τοιοῦτον κατὰ τῆς τοῦ Θεοῦ περὶ αὐτοὺς ἀγαθότητος, ἀποφαίνεται κατ' αὐτῶν. Εἶτα εἰδὼς ὅτι τὸν τῶν δικαίων ζῆλον δυσωπεῖται Θεός, βουλόμενος τοὺς Ἰουδαίους κολάσαι, καὶ φοβούμενος τὴν θείαν χρηστότητα μικροῖς δάκρυσιν εὐθὺς θεραπευομένην, ἀποφαίνεται κατ' αὐτῶν τιμωρίαν, καὶ ὅρκῳ τὴν τιμωρίαν δεσμεῖ, ἵνα τὸν ὅρκον Θεὸς δυσωπούμενος, μὴ λύσῃ τὴν κατ' ἐκείνων ἀπόφασιν. ἀγαθός, φησι, περὶ αὐτοὺς ὁ Θεός, καὶ μικροῖς παρ' αὐτῶν θεραπεύεται δάκρυσι, ταῦτα δὲ τούτους εἰς εἰδωλολατρείαν παιδοτριβεῖ. Ζῇ Κύριος, φησιν, οὐκ ἔσται ταῖς ἔτη ταῦτα δρόσος καὶ ὑετός. Εἶτα, ὡς τοῦ Θεοῦ πρὸς αὐτὸν ἀντιφθεγγομένου, τί οὖν, ἂν κολακευθῶ παρ' ἐκείνων διὰ μετανοίας, Ἠλία; ἂν δάκρυα προσφέροντας ἐκείνους θεάσωμαι; ἂν ἐπὶ ταῖς πλημμελείαις μετανοοῦντας, εὐθὺς μὴ δώσω τὸν ὑετόν; οὐ, ζῇ Κύριος, εἰ μὴ διὰ στόματός μου. οὐ, ζῇ Κύριος. ἐκεῖνοί, φησιν, εἰδώλοις προσηλῶνται, ἐγὼ δὲ κατὰ τῆς σῆς ὀμνύω θεότητος. δεῖξόν μου τὸν ὅρκον τὸν κατὰ σοῦ δυνατόν, ἵνα καὶ διὰ τούτου μάθωσι τὴν τῶν εἰδώλων ἀσθένειαν. οὐ, ζῇ Κύριος, οὐκ ἔσται, φησί, ταῖς ἔτη ταῦτα δρόσος καὶ ὑετός, εἰ μὴ διὰ λόγου στόματός μου. οὐχ ὅταν, φησί, σοὶ δόξῃ, λύσεις τὴν τιμωρίαν (σοὶ γὰρ ἀεὶ δοκεῖ τὸ φιλανθρωπεύεσθαι) ἀλλ' ὅταν ἐγὼ περὶ αὐτῶν ἱκετεύω, ὅταν ἐμοῦ κρίναντος, ὅταν ἀρκοῦσαν ἐπιδείξωνται τὴν τῆς ψυχῆς μεταμέλειαν. ᾐδέσθη τὴν προφητικὴν ἀπόφασιν ὁ Θεός, ἐτίμησεν ὅρκον τὸν εἰς αὐτόν. συνείχετο τοίνυν ὁ τῶν ὅλων δεσπότης, καὶ τὸν προφήτην αἰδούμενος, καὶ τὸν λαὸν τῷ λιμῷ κολαζόμενον ἐλεῶν. τί οὖν ποιεῖ; συγκολάζει τῷ λαῷ τὸν προφήτην, ἵνα τῇ τοῦ λιμοῦ καὶ αὐτὸς συνεχόμενος τιμωρίᾳ, βουλεύσηταί τι περὶ τῆς ἀποφάσεως τῆς ἐνόρκου φιλάνθρωπον. καὶ συγκολάζει μὲν τῷ λαῷ τὸν προφήτην, ἐπικουφίζει δὲ τῷ προφήτῃ τὴν τιμωρίαν, οὐδὲ αὐτὴν τὴν τῆς φιλανθρωπίας ὁδὸν ἄνευ σοφίας ποιούμενος. τρέφει γὰρ τὸν προφήτην διὰ πετεινῶν μισοτέκνων. μισότεκνος γὰρ ὁ κόραξ γονεύς, καὶ ἃ τίκτει μὴ τρέφων. τοῦτο γοῦν ὁ προφήτης Δαβὶδ αἰνιττόμενος ἔλεγε, Καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν. ἐπειδὴ γὰρ οἱ νεοσσοὶ τῶν κοράκων, μᾶλλον δὲ πάντες νεοσσοί, πρὸς τὴν τῆς τροφῆς τῆς οἰκείας συλλογὴν ἀσθενοῦσιν, ἔχουσι δὲ τοὺς γονέας παιδοτροφοῦντας, ἀπεστέρηνται δὲ τούτου οἱ νεοσσοὶ τῶν κοράκων, ὅμως δὲ διαμένει τῶν κοράκων τὸ γένος παρὰ τῶν γονέων μὴ διατρεφόμενον, δεικνὺς τὴν τοῦ Θεοῦ φιλανθρωπίαν ὁ Δαβίδ, ἀνατίθησι τὴν ἐκείνων διατροφὴν τῷ Θεῷ. κεχηνότες γὰρ εἰς ἀέρα τῶν κοράκων οἱ νεοσσοί, καὶ παρὰ τῶν γονέων μὴ τρεφόμενοι, ἔχουσιν αὐτοὶ ζῷα μικρά τινα τὴν θείαν ἐπιπέμπουσαν πρόνοιαν διακονούμενα, καὶ οὕτως ἐκ τοῦ ἀέρος ἐκεῖνα δεχόμενοι, πρὸς αὔξησιν τρέφονται. διὰ τοῦτό φησι, Τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν. ἐπειδὴ τοίνυν μισοτεκνίαν ὁ Ἠλίας κατὰ Ἰουδαίων ὡς τέκνων ἀχρήστων ἀνέλαβε, διὰ μισοτέκνων πατέρων πρεσβεύεται πρὸς αὐτὸν ὁ Θεός, μονονουχὶ τοῦτο πρὸς τὸν Ἠλίαν σεσιγημένως βοῶν· μὴ τοσαύτη παρὰ σοὶ κατὰ Ἰουδαίων μισοτεκνία, ὅση τοῖς κόραξι κατὰ τῶν νεοσσῶν τῶν οἰκείων; ἀλλ' ὅρα νῦν μεταβεβλημένους τοὺς κόρακας, ὅρα τὴν ἐκείνων, ὦ Ἠλία, φιλανθρωπίαν. οἱ περὶ τοὺς οἰκείους ἀπάνθρωποι νεοσσούς, σοῦ γίνονται ξενοδόχοι φιλότιμοι. ἄτοπόν ἐστιν, ὦ Ἠλία, τοὺς μὲν κόρακας μεσίτας γίνεσθαι πρὸς σὲ τῆς παρ' ἐμοῦ φιλανθρωπίας, σὲ δὲ μεσίτην τοῖς Ἰουδαίοις μὴ γίνεσθαι τῆς παρ' ἐμοῦ κατ' αὐτῶν τιμωρίας. αἰδέσθητι τὴν τῶν κοράκων μεταβολήν, καὶ γενοῦ τι-

γ. Βασ. ιζ. α.

εἰ καὶ τοὺς Ἰουδαίους χρηστός. ἐγὼ γὰρ τιμωρῶ σου μὲν τὴν ἀπόφασιν, κἀκείνους δὲ κολαζομένους οἰκτείρω. ὡς οὖν εἶδεν ὁ Θεὸς τὸν Ἠλίαν οὐκ ἐνδιδόντα, συστέλλει πάλιν τὴν διὰ τῶν κοράκων τροφὴν, πρὸς καταλλαγὰς αὐτὸν βιαζόμενος, ἵνα τῷ λιμῷ βιασθεὶς, τὴν ἀπόφασιν παρ' ἑαυτοῦ λύσῃ. ὁ δὲ καὶ τῶν κοράκων συσταλέντων, ὑπείχετο· λιμώξω, φησὶ, μόνον τοὺς δυσσεβοῦντας ἴδω κολαζομένους, ἀπόλοιτό μου τὸ σῶμα μετὰ τούτων λιμῷ κολαζόμενον. ἐκλειπούσης τοίνυν τῆς διὰ τῶν κοράκων τροφῆς, καὶ χρόνου διελθόντος πολλοῦ, πάλιν συσχεθεὶς ὁ Ἠλίας, ἐφ' ἕτερον μεθίσταται τόπον, καὶ τῷ λιμῷ συνθλιβόμενος, ἄπεισι, καὶ γίνεται ἱκέτης ἐθνικῆς καὶ ταύτης χήρας καὶ πενομένης. καὶ βουλόμενος δὲ αὐτὸν ὁ Θεὸς γενέσθαι φιλανθρωπότερον, ἐπειδὴ τότε τοῖς Ἰουδαίοις ἀπείρητο ἡ μετὰ ἐθνῶν συνουσία, προλαμβάνων προκαταγγέλλει τὸ γενησόμενον. γ. Βασ. ιζ. θ. Ἀνάστηθι, φησὶν, ἐντεῦθεν καὶ ἄπελθε εἰς Σαρεφθὰ τῆς Σιδωνίας, καὶ ἐντελοῦμαι ἐκεῖ χήρᾳ γυναικὶ ἐθνικῇ τοῦ διατρέφειν σε· ἵνα ἀκούσας τὸ, ἐθνικὴ, μυσάζηται τὴν τροφὴν, καὶ παρακαλέσῃ τὸν Θεὸν εἰς χορηγίαν τῶν ὄμβρων. ὁ δὲ οὐδὲ πρὸς ταύτην τὴν φωνὴν ἐχαυνοῦτο, ἀλλ' ἔτρεχε πρὸς τὴν τῆς ἐθνικῆς διατροφήν. καὶ τὸ δὴ μεῖζον, παρασκευάζει τὴν χήραν ὁ Θεὸς εὐθὺς αὐτῷ πεινῶντι λαλῆσαι ῥήματα σκληρὰ, πανταχόθεν αὐτὸν εἰς χρηστότητα συνελαύνων. τί οὖν ἡ ἐθνικὴ πρὸς αὐτόν; Ζῇ Κύριος ὁ Θεός σου. καὶ πόθεν τῇ ἐθνικῇ τὸ εἰπεῖν, Ζῇ Κύριος ὁ Θεός σου; προλαβὼν ὁ Θεὸς δείκνυσι τὸν προφήτην τῇ χήρᾳ κατ' ὀπτασίαν. τοῦτο γάρ ἐστιν, ὃ τῷ προφήτῃ ὁ Θεὸς ἐπεβόα, ἐντελοῦμαι ἐκεῖ χήρᾳ γυναικὶ τοῦ διαθρέψαι σε. ἔδειξεν ὁ Θεὸς προλαβὼν τῇ γυναικὶ τοῦ προφήτου τὸ σχῆμα, τὴν μορφὴν, τὴν ἡλικίαν, τὴν μέλλουσαν αἴτησιν, ὅθεν μετὰ τὸ παραστῆναι τὸν προφήτην, ὑπεμνήσθη τῆς ὀπτασίας ἡ χήρα, εἶδεν αὐτὸν τοιοῦτον, οἷος αὐτῇ κατ' ὀπτασίαν ἐφάνη. ἐντεῦθεν οὖν γνοῦσα θείαν εἶναι τὴν ἀποκάλυψιν, εὐθὺς ἐπιστάντι τῷ προφήτῃ ἐβόα, γ. Βασ. ιζ. ιβ. καὶ αἰτήσαντι τροφὴν, ἐβόα, Ζῇ Κύριος ὁ Θεός σου, οὐκ ἔστι μοι ἐγκρυφίας, ἀλλ' ἢ δρὰξ ἀλεύρου ἐν τῇ ὑδρίᾳ, καὶ ὀλίγον ἔλαιον ἐν τῷ καμψάκῃ, καὶ εἰσελθοῦσα ποιήσω ταύτην ἐμαυτῇ καὶ τοῖς τέκνοις μου, καὶ φαγούμεθα καὶ ἀποθανούμεθα. εὐθὺς ἀπογνώσεως ἢ δόσεως ῥήματα. οὐκ ἔστι μοι ἐγκρυφίας, ἀλλ' ἢ δρὰξ ἀλεύρου· ταύτην εἰσελθοῦσα ποιήσω ἐμαυτῇ καὶ τοῖς τέκνοις μου, καὶ φαγούμεθα καὶ ἀποθανούμεθα. οὐδὲν ἡμῖν, φησι, τὸ περιλειπόμενον ἕτερον, τῆς δρακὸς δαπανηθείσης, ἢ θάνατος. ἤρξατό τι πάσχειν πρὸς τὴν φωνὴν ὁ Ἠλίας. ἐμοῦ, φησι, πλείονι αὕτη παγκρατιάζει λιμῷ· ἐγὼ κἂν μόνος πεινῶ, αὕτη δὲ μετὰ τῶν τέκνων λιμώττει· μὴ γένωμαι πρόξενος τῇ ξενοδόχῳ θανάτου; τί οὖν; ὅπερ εἶπον, χαυνοῦται πρὸς τὴν φωνὴν, ἄρχεται λοιπὸν φιλανθρωπίας ἐν ἑαυτῷ περιφέρειν μελέτην. Οὐκ ἐκλείψει, φησὶν, ὁ καμψάκης τοῦ ἐλαίου, οὐδὲ ἡ ὑδρία τοῦ ἀλεύρου, ἕως τοῦ δοῦναι Κύριον ὑετὸν ἐπὶ τῆς γῆς. ἤδη μικρὸν τὴν τῶν ὄμβρων ὑποφθέγγεται δόσιν. πρὶν τῷ λιμῷ δαμασθῆναι, οὐκ ἐπέτρεπε Θεῷ τὴν περὶ τοὺς ὄμβρους φιλανθρωπίαν, ἀλλ' ἔλεγεν, οὐκ ἔσται τὰ ἔτη ταῦτα δρόσος, ἢ ὑετὸς ἐπὶ τῆς γῆς, εἰ μὴ διὰ λόγου στόματός μου· νῦν δὲ ἐπιτρέπει, καὶ ἤδη τὸ τῆς λύσεως ὑπαγορεύει προοίμιον. ἀλλ' ὑπηγόρευσε μὲν, οὔπω δὲ προσῆγε τὴν αἴτησιν. τί οὖν ἡ τῆς φιλανθρωπίας πηγή; πάλιν αὐτῷ τρίτην μηχανὴν φιλανθρωπίας προσάγει. κελεύει γὰρ τὴν ψυχὴν τοῦ τῆς χήρας παιδίου μεταστῆναι τοῦ σώματος (τιμῶν μὲν γὰρ τὸν προφήτην, τὴν εὐλογίαν οὐκ ἔλυεν, οὐδὲ ἐπιλεῖψαι τὸν καμψάκην ἐποίει) ὥστε πρὸς ἀνάγκην αὐτὸν συνελαθῆναι φιλανθρωπίας. ἵνα γὰρ ὕβρις τῷ προφήτῃ, εἰ τὰ τῆς εὐλογίας ἀνετράπη τῆς παρ' αὐτοῦ, καὶ τῆς ἐθνικῆς δὲ χήρας τοῦτο τὴν πίστιν κατέβλαπτεν, ὡς ἀπὸ συντυχίας τῆς εὐλογίας ἐπιτυχούσης μικρόν. διὰ τοῦτο ὁ Θεὸς τὴν μὲν εὐλογίαν οὐκ ἀνατρέπει, τρίτην δὲ προσάγει μηχανὴν τῷ προφήτῃ. ποιεῖ γὰρ τὸ τῆς χήρας ἀποθανεῖν παιδίον, τὸν προφήτην εἰς ἀνάγκην ὠθῶν τῆς πρὸς αὐτὸν ἀξιώσεως. ἡ γὰρ χήρα, τεθνηκότος τοῦ τέκνου, περιέσχε τὸν προφήτην σὺν δάκρυσιν· Ἦλθες, φησὶ, λιμῷ προσα-

πωλώλῃ.

πωλώλειν, ὃ πρὸ τῆς σῆς εὐλογίας ἀποτεθνήκειν, ἢ τοῦ υἱοῦ ἐγεγόνειν θεατὴς τεθνεῶτος. ἠσχύνετο τὸ συμβὰν ὁ προφήτης· οὗτοι, φησὶ, τῇ χήρᾳ τῆς εἰς ἐμὲ ξενοδοχίας οἱ μισθοί; παρὰ τῆς ἐμῆς δεξιώσεως εὔτεκνος, μετὰ τὴν δεξίωσιν τὴν ἐμὴν περὶ τέκνον δὲ φιλούμενον παρ' αὐτῇ θρηνῳδία. αἰσχυνόμενος δὲ τὸ συμβὰν ὁ Ἠλίας, καὶ καθ' ἑαυτὸν περιστρέφων δὲ τὸ πρᾶγμα, ᾔσθετο τέχνην οὖσαν τοῦ πάντων δεσπότου τὸ γεγενημένον, ᾔσθετο τὴν τέχνην τὴν θείαν, καὶ τί φησιν; οἴμοι, Κύριε, ὁ μάρτυς τῆς χήρας, μεθ' ἧς ἐγὼ κατοικῶ μετ' αὐτῆς. τί δέ ἐστιν ὃ βούλεται λέγειν; παρὰ σοῦ, φησιν, ἡ περὶ τῆς γυναικὸς πρός με μαρτυρία. σύ, φησιν, εἶπας, ἐντέλλομαι γυναικὶ χήρᾳ τοῦ διαθρέψαι σε, πάντως τῇ τῆς γυναικὸς μαρτυρῶν, ὡς εὐσεβεῖ προαιρέσει. πρὸς ταύτην ἐξ ἐκείνων με τῶν τόπων μετέστησας, καὶ ἣν τετίμηκας τῇ παρὰ σοῦ μαρτυρίᾳ, ταύτην νῦν τῷ τοῦ τέκνου τιμωρῇ θανάτῳ; οἴμοι, Κύριε, ὁ μάρτυς τῆς χήρας, μεθ' ἧς ἐγὼ κατοικῶ μετ' αὐτῆς, σὺ ἐθανάτωσας τὸν υἱὸν αὐτῆς. οὐκ ἔστι, φησὶ, τὸ συμβὰν τῆς φύσεως θάνατος, τῆς τέχνης τῆς σῆς τὸ γεγενημένον, μηχανᾶσαι καθ' ἐμοῦ φιλανθρωπίας ἀνάγκην, ἵν', ὅτ' εἴπω πρὸς σὲ Κύριε, τὸν υἱὸν τῆς χήρας τὸν νενεκρωμένον ἐλέησον, ἀντιφθέγξῃ καὶ σὺ πρός με, τὸν υἱόν μου τὸν Ἰσραὴλ ἐλέησον. πρὸς φιλανθρωπίαν ὠθεῖς με· αἰσθάνομαί σου τῶν τεχνασμάτων, ὦ δέσποτα, ἵν', ὅταν εἴπω σοι, τὸν υἱὸν τῆς χήρας τὸν τεθνεῶτα διάσωσον, ἀντιφθέγξῃ καὶ αὐτὸς πρός με, τὸν υἱόν μου τὸν Ἰσραὴλ σὺ τῷ λιμῷ νενεκρωμένον κατοίκτειρον. αἰτεῖς με χάριν, ἀντιτίθητι χάριν. λῦσον τοῦ λιμοῦ τὴν ἀπόφασιν, καὶ λύω τοῦ θανάτου τὴν ψῆφον. ὡς οὖν εἶδεν ὁ Θεὸς Ἠλίαν πολλοῖς ἐκδαμαθέντα, καὶ γεγενημένον φιλανθρωπότερον, τότε λοιπὸν προσάγει φανερωτέρους πρὸς αὐτὸν τῆς φιλανθρωπίας τοὺς λόγους, ὡς οὐκέτι λοιπὸν τὴν τῆς τιμωρίας λύσιν λογιζόμενον ὕβριν. πορεύθητι, φησί· πρεσβείας τοῦ Θεοῦ πρὸς τὸν δοῦλον ῥήματα. αὐτὸς δι' ἑαυτοῦ ὁ Θεὸς περὶ φιλανθρωπίας πρὸς τὸν δοῦλον πρεσβεύει. πορεύθητι, φησιν. ἐπειδὴ ἐγένου, φησί, φιλανθρωπότερος, δέξαι μου καὶ τῆς φιλανθρωπίας τοὺς λόγους. ἐπειδή με ταῖς τῆς φιλανθρωπίας ὠδῖσι συνεχόμενον ἔγνως, ἄκουέ μου λοιπὸν φανερώτερον. ὠδίνω τῆς τιμωρίας τὴν λύσιν, ἐπείγομαι πρὸς χορηγίαν καταλλαγῶν, αἰσχύνομαι τῶν κολαζομένων τὰ δάκρυα. πάντες ἁμαρτωλοί, ὦ προφῆτα, κρατοῦσί μου φιλανθρωπίας χειρόγραφον, μή με ποιήσῃς παρ' αὐτοῖς ψευδολόγον φανῆναι. ἄκουε δὲ καὶ τῶν τοῦ γραμματείου φωνῶν, ἅσπερ οἶδας καὶ αὐτός· Οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. ὑπέταξεν ὁ Ἠλίας τὰ ὦτα, ὑπέθηκε τὴν ψυχὴν τοῖς παρὰ τοῦ Θεοῦ λαλουμένοις. πορεύθητι, φησι, καὶ ὄφθητι τῷ Ἀχαάβ. οὐ καταλλασσόμενος χωρὶς σοῦ καταλλάσσομαι. σὺ παραδέχου τοῖς κολαζομένοις τὴν χάριν· ἐγὼ λάθρα πρὸς σὲ ὑπὲρ ἐκείνων πρεσβεύομαι, σὺ δὲ γενοῦ τῶν καταλλαγῶν χορηγὸς φανερός. πορεύθητι καὶ ὄφθητι τῷ Ἀχαάβ, καὶ δώσω ὑετὸν ἐπὶ τῆς γῆς. σὺ τὰς καταλλαγὰς καταμήνυσον, σὺ τὴν τῶν ὄμβρων χορηγίαν ἀπόφηναι, ἐγὼ δὲ ταῖς σαῖς ἀποφάσεσιν ὑπογράφω. ἔτρεχεν οὖν καὶ ἄκων καὶ ἑκὼν ὁ Ἠλίας, καὶ τοὺς ὄμβρους εὐηγγελίζετο. ἀλλὰ πάλιν αὐτῶν ἀσέβειαν θεασάμενος, ἐμελέτα τινὰ τιμωρίας κατ' αὐτῶν ἀπόφασιν λυπηράν. τί οὖν ὁ Θεός; ὁρῶν αὐτὸν μὴ χωροῦντα πρὸς φιλανθρωπίαν τὴν τῶν πταιόντων, χωρίζει τὸν Ἠλίαν τῆς μετὰ τῶν ἁμαρτωλῶν κατοικήσεως. ἐγώ, φησιν, ὦ Ἠλία, οἶδά σου τὸν ζῆλον, δυσωποῦμαί σου τὴν πολιτείαν. ἐλεῶ δὲ καὶ τοὺς ἁμαρτωλούς, ἡνίκα ἂν ὑπὲρ τὸ μέτρον κολάζονται· σὺ δὲ μόνος εἶ ἔκδικος τῆς εὐσεβείας· τὸ δὲ τῶν ἀνθρώπων γένος συνεχῶς πλημμελοῦν. χωρίζω τοίνυν ὑμᾶς τῆς μετ' ἀλλήλων κατοικήσεως· ἀνάβηθι ὡς εἰς οὐρανὸν, φέρειν ἁμαρτωλοὺς μὴ δυνάμενος, ἐγὼ δὲ ἐπιδημήσω τῇ γῇ. ἂν ἐπὶ πολύ, φησι, συμμένῃς ἁμαρτωλοῖς, ἐκτριβήσεται ἐκεῖνο τῶν ἀνθρώπων τὸ γένος, παρὰ σοῦ συνεχῶς κολαζόμενον. τί οὖν; μετάστηθι ὡς εἰς οὐρανούς, ὦ Ἠλία· οὐ δύναται γὰρ πῦρ συνοικεῖν καλάμῃ. δίδωμί σοι συνοικοῦντας ἀναμαρτήτους,

Ιεζεκ. λγ. ια.

τοῖς τῶν ἀγγέλων σε συγκατοικίζω χοροῖς, μετάστηθι σὺ πρὸς τῶν οὐρανῶν, ἐγὼ δὲ ἀμφιπόλοις
ἐνδημήσω, ὁ φέρειν ἐπὶ τῶν ὤμων τὸ πεπλανημένον δυνάμενος πρόβατον, ὁ λέγων πρὸς
Ματθ. ια κη. πάντας τοὺς ἀμφιπολεῖς, Δεῦτε πρός με πάντες οἱ κοπιῶντες, ἐγὼ οὐ κολάζω ὑμᾶς,
ἀλλ' ἀναπαύσω ὑμᾶς· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ρδ. ΠΡΟΘΕΩΡΙΑ ΕΙΣ ΤΟΥΣ ΨΑΛΜΟΥΣ.

Ex ms. Caſareo. Πᾶσαι μὲν ἅγιαι αἱ θεῖαι γραφαί· ἔχουσι δέ τι πλέον οἱ ψαλμοί· οἷον
περὶ σωφροσύνης εὐθέως, μᾶλλον δὲ περὶ πάντων, περὶ τοῦ μὴ συνεῖναι
πονηροῖς, ἀπ' αὐτῆς εὐθὺς τῆς ἀρχῆς τοῦ βιβλίου. διὰ γὰρ
Ψαλ. α. α. τοῦτο καὶ ἐντεῦθεν ἤρξατο ὁ μακάριος Δαβὶδ λέγων· Μακάριος ἀνήρ,
ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν. μακαριότητα δὲ ὅταν εἴπῃ,
τὴν κορυφὴν λέγει τῶν ἀγαθῶν ἁπάντων. περὶ δὲ τοῦ συνεῖναι
ἀγαθοῖς, περὶ τοῦ γαστρὸς κρατεῖν, περὶ τοῦ χεῖρας κατέχειν, περὶ ἀκολασίας, περὶ
τοῦ μὴ πλεονεκτεῖν, ὅτι οὐδὲν τὰ χρήματα, οὐδὲ δόξα, καὶ ὅσα τοιαῦτα. καὶ περὶ μὲν τοῦ
σωφρονεῖν ἀκούσῃ αὐτοῦ λέγοντος, Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμῶν· καὶ πάλιν, Ἐξωλόθρευσας
Ψαλ. λζ. ζ. πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ. περὶ δὲ τοῦ δεῖν γαστρὸς κατέχειν· Καὶ ἀπέκτεινε,
Ψαλ. ος. κε. φησιν, ἐν τοῖς πλείοσιν αὐτῶν, ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν. καὶ ὅτι
Ψαλ. οζ. λα. δεῖ δώρων ἀπέχεσθαι· Πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν. καὶ δόξης μὴ ἐπιθυμεῖν·
Ψαλ. ξα. ι. Οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ ὀπίσω αὐτοῦ. τοὺς πονηροὺς μὴ ζηλοῦν· Μὴ παραζήλου
Ψαλ. μη ιη. ἐν πονηρευομένοις. τὰς δυναστείας ἡγεῖσθαι οὐδέν· Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον
Ψαλ. λς. α. καὶ λζ. καὶ ἐπαιρόμενον, ὡς τὰς κέδρους τοῦ Λιβάνου· καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν. μηδὲν τὰ παρόντα
ἡγεῖσθαι· Ἐμακάρισαν τὸν λαόν, ᾧ ταῦτά ἐστι· μακάριος ὁ λαὸς οὗ Κύριος ὁ Θεὸς αὐτοῦ. ὅτι οὐχ ἁπλῶς
Ψαλ. ρμγ. ιε. ἀπολλύμεθα, ἀλλ' ἔστιν ἀνταπόδοσις, φησιν, Ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα
Ψαλ. ξα. ια. αὐτοῦ. διὰ τί δὲ οὐ καθ' ἡμέραν ἀνταποδίδωσιν; Ὁ Θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος.
Ψαλ. ζ. ια. ὅτι ἡ ταπεινοφροσύνη καλόν· Κύριε, οὐχ ὑψώθη, φησίν, ἡ καρδία μου. καὶ ὅτι ἡ ὑπερηφανία κακόν·
Ψαλ. ρλ. α. Διὰ τοῦτο ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία εἰς τέλος. καὶ πάλιν, Κύριος ὑπερηφάνοις ἀντιτάσσεται.
Ψαλ. ος. ς. ὅτι ἡ ἐλεημοσύνη καλόν· Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς
Ψαλ. γ. λδ. τὸν αἰῶνα τοῦ αἰῶνος. ὅτι τὸ ἐλεεῖν ἐπαινετόν· Χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν. ὅτι κακῶς λέγειν
Ψαλ. ρια. θ. καὶ ε. οὐ δεῖ· Τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον· καὶ πολλὰ τούτων
Ψαλ. ρ. ε. πλείονα εὑρήσεις ἐντεῦθεν ἐμφιλόσοφα δόγματα. καὶ γὰρ οὐ περὶ τῶν παρόντων μόνον, ἀλλὰ
καὶ περὶ τῶν μελλόντων διαλέγεται, καὶ περὶ τῶν ὁρωμένων, καὶ περὶ τῆς ἀοράτου κτίσεως.
καὶ περὶ οὐρανοῦ θέλεις μαθεῖν, πότερον μένει τοιοῦτος, ἢ μεταβάλλεται; σαφῶς ἀποκρίνεταί
Ψαλ. ρα. κζ. σοι καὶ ἐρεῖ, ὅτι Οἱ οὐρανοὶ ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς ὁ
Ψαλ. ργ ια. Θεός, καὶ ἀλλαγήσονται. καὶ περὶ τοῦ σχήματος ἐὰν θέλῃς ἀκοῦσαι, ἀκούσῃ πάλιν, Ὁ ἐκτείνων
ργ. β. καὶ γ. τὸν οὐρανὸν ὡσεὶ δέρριν. ἐὰν περὶ τῶν νώτων αὐτοῦ βουληθῇς τι πλέον εἰδέναι, ἐρεῖ σοι
πάλιν, Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ. καὶ οὐδ' ἐνταῦθα ἵσταται, ἀλλὰ καὶ περὶ τοῦ
πλάτους καὶ ὕψους σοι διαλέγεται, δεικνὺς ταῦτα ἰσόμετρα ὄντα. Καθόσον γάρ, φησιν, ἀπέχουσιν
ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν. κατὰ τὸ ὕψος τοῦ
οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοῖς φοβουμένοις αὐτόν. κἂν τῆς
Ψαλ. κγ. β. γῆς τὰ θεμέλια περιεργάσῃ, οὐδὲ ταῦτά σοι ἀποκρύψει, ἀλλ' ἀκούσῃ λέγοντος, ὅτι Ἐπὶ
θαλασσῶν ἐθεμελίωσεν αὐτήν. κἂν περὶ τῶν σεισμῶν θέλῃς μαθεῖν πόθεν γίνονται, ἀπαλλάξει
Ψαλ. ργ. λβ. σε πάσης ἀπορίας οὕτω λέγων· Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν.
Ψαλ. ργ. κ. ἂν τῆς νυκτὸς ζητῇς τὴν χρῆσιν, καὶ ταῦτα εἴσῃ παρ' αὐτοῦ μαθεῖν· Ὅτι ἐν αὐτῇ
διελεύσονται

σ. ἀπάντων
περὶ τοῦ

ἀποκρίνε(ται)

διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ. καὶ τὰ ὄρη ποῦ χρήσιμα, ἐρεῖ σοι· Ὄρη τὰ — Ψαλ ργ. ιη.
ὑψηλὰ ταῖς ἐλάφοις. καὶ διὰ τί αἱ πέτραι, λέγει σοι· Πέτρα καταφυγὴ τοῖς λαγωοῖς. — καὶ ιζ.
διὰ τί τὰ ἄκαρπα δένδρα, μάθε· Ἐκεῖ στρουθία ἐννοσσεύσουσι. διὰ τί ἐν ἐρήμοις — Ψαλ ργ. ιζ.
αἱ πηγαί; Ἐπ' αὐτὰς τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, καὶ τὰ θηρία τοῦ ἀγροῦ. — Ψαλ ργ. ιβ.
διὰ τί οἶνος; οὐχ ἵνα πίνῃς μόνον, ἐπεὶ ἤρκει καὶ ἡ τοῦ ὕδατος φύσις, ἀλλ' ἵνα
εὐφρανθῇς καὶ ἡσθῇς. Οἶνος γὰρ εὐφραίνει καρδίαν ἀνθρώπου. τοῦτο δὲ μαθὼν, εἴσῃ — Ψαλ ργ. ιε.
καὶ μέχρι ποῦ τῷ οἴνῳ χρῆσθαι δεῖ. πόθεν τρέφεται τὰ πετεινὰ καὶ τὰ ἄγρια θηρία,
ἀκούσῃ λέγοντος· Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. — Ψαλ ογ. κζ.
κἂν εἴπῃς, διὰ τί τὰ κτήνη; ἀποκρίνεταί σοι, ὅτι καὶ ταῦτα διὰ σέ. Ὁ ἐξανατέλλων γάρ, — Ψαλ ργ. ιδ.
φησι, χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. τί τῆς σελήνης ἡ χρεία, ἄκουσον
λέγοντος· Ἐποίησε σελήνην εἰς καιρούς. ὅτι γενητὰ πάντα τὰ ὁρώμενα καὶ τὰ μὴ — Ψαλ ρμη. ε.
ὁρώμενα, καὶ τοῦτο σαφῶς ἐδίδαξεν· Αὐτὸς, φησιν, εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, — Ψαλ ιιη. ιε.
καὶ ἐκτίσθησαν. καὶ ὅτι θανάτου λύσις ἔσται, διδάσκει λέγων· Ὁ Θεὸς μου λυτρώσεται — Ψαλ μη. ιϛ.
τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με. πόθεν δὲ τὸ σῶμα ἡμῶν γέγονε, καὶ ποῦ
πάλιν ἀπέρχεται, λέγει· Ἐμνήσθη ὅτι χοῦς ἐσμεν, καὶ ἐπιστρέψει εἰς τὸν χοῦν αὐτοῦ. διὰ — Ψαλ ργ. κθ.
τί ταῦτα πάντα; διὰ σέ. Δόξῃ γὰρ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν, καὶ κατέστησας αὐτὸν ἐπὶ — Ψαλ η ϛ.
τὰ ἔργα τῶν χειρῶν σου. ἔχομέν τι κοινὸν πρὸς τοὺς ἀγγέλους οἱ ἄνθρωποι, καὶ τοῦτο λέγει·
Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους. καὶ περὶ τῆς ἀγάπης τοῦ Θεοῦ λέγει· Καθὼς οἰκτείρει — Ψαλ η. ϛ.
πατὴρ υἱοὺς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν. περὶ τῶν μετὰ ταῦτα διαδεξομένων — Ψαλ ρβ. ιγ.
ἡμᾶς, καὶ τῆς ἀταράχου λήξεως ἐκείνης· Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν — Ψαλ ριε ζ.
σου. διὰ τί οὕτω μέγας ὁ οὐρανὸς, ἐρεῖ· Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. διὰ τί — Ψαλ ιη α. καὶ
νὺξ καὶ ἡμέρα; οὐχ ἵνα φαίνωσι καὶ ἀναπαύωσι μόνον, ἀλλ' ἵνα καὶ παιδεύωσιν. Οὐ γάρ εἰσι
λαλιαὶ, οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. πῶς ἡ θάλασσα περίκειται τῇ γῇ·
Ἄβυσσος, ὡς ἱμάτιον, τὸ περιβόλαιον αὐτῆς. οὕτω γὰρ τὸ Ἑβραϊκὸν ἔχει. ἀπὸ δὲ τῶν εἰρημένων — Ψαλ ργ. ϛ.
ἀρχὴν λαβόντες, καὶ τὰ ἄλλα πάντα εἴσεσθε· τὰ περὶ Χριστοῦ, τὰ περὶ ἀναστάσεως,
τὰ περὶ τῆς μελλούσης ζωῆς, τὰ περὶ ἀναπαύσεως, τὰ περὶ κολάσεως, τὰ κατὰ τὸν ἠθικὸν
λόγον, τὰ περὶ τῶν δογμάτων ἅπαντα, καὶ μυρίων ἀγαθῶν ἐμπεπλησμένον τὸ βιβλίον εὑρήσετε·
κἂν εἰς πειρασμοὺς ἐμπέσῃς, πολλὴν ἐντεῦθεν λήψῃ παραμυθίαν· κἂν εἰς ἁμαρτίαν,
μυρία φάρμακα κείμενα ἐνταῦθα εὑρήσεις. ἂν εἰς πενίαν, ἂν εἰς θλίψιν, πολλοὺς
τοὺς λιμένας ὄψει· κἂν δίκαιος ᾖς, πολλὴν ὠφέλειαν ἐκεῖθεν καρπώσῃ· κἂν ἁμαρτωλὸς,
πολλὴν τὴν παραμυθίαν. ἄν τε γὰρ δίκαιος ᾖς καὶ πάσχῃς δεινὰ, ἀκούσῃ, ὅτι Ἕνεκά σου θανατούμεθα — Ψαλ μγ. κγ. καὶ ιη.
ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. Ταῦτα πάντα ἦλθεν
ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου. ἂν ἐπαίρῃ σε τὰ κατορθώματα, λέγει σοι· Μὴ εἰσέλθῃς — Ψαλ ρμβ β.
εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν, καὶ εὐθέως ταπεινωθήσῃ.
ἂν ἁμαρτωλὸς ᾖς καὶ ἀπεγνωκὼς ἑαυτοῦ, ἀκούσῃ συνεχῶς ἐπᾴδοντος· Σήμερον ἐὰν — Ψαλ ϟδ η.
τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, καὶ
ἀναστήσῃ ταχέως. κἂν διάδημα ἔχῃς ἐπὶ τῆς κεφαλῆς, μαθήσῃ, ὅτι Οὐ σώζεται βασιλεὺς — Ψαλ λβ ιϛ.
διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ, καὶ δυνήσῃ μετριάζειν.
ἐὰν πλούσιος ᾖς καὶ ἐπίδοξος, πάλιν ἀκούσῃ, οὐαὶ οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν,
καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι· καὶ ὅτι Ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι — Ψαλ μη.
αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει, καὶ οὐδὲν ἡγήσῃ μέγα εἶναι τῶν ἐπὶ τῆς γῆς. — Ψαλ ρβ ιε.
τὸ γὰρ πάντων λαμπρότερον, ἡ δόξα καὶ ἡ δυναστεία ὅταν οὕτως εὐτελὴς ᾖ, τί ἕτερον ἄξιον ἂν εἴη
λόγου τῶν ἐπὶ τῆς γῆς; ἀλλ' ἐν ἀθυμίᾳ κατέστης; εἰπέ· Ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου, καὶ ἵνα τί — Ψαλ μα. ιϛ.
συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν Θεὸν, ὅτι ἐξομολογήσομαι αὐτῷ. ἀλλ' ὁρᾷς εὐδοκιμοῦντας

…τῶν

…τὰ κατὰ τὸν ἠθικὸν λόγον

…ἀσφάλεια

Ψαλμ. λς. β. πρὸς ἀξίαν; ἄκουσον λέγοντος ὅτι Ὡσεὶ χόρτος, ταχὺ ξηρανθήσονται, καὶ ὡσεὶ λάχανα χλόης, ταχὺ ἀποπεσοῦνται. βλέπεις δικαίους καὶ ἁμαρτωλοὺς κολαζομένους; ἴδε ὅτι οὐχ ἡ αὐτὴ αἰτία. Ψαλμ. λα. ι. Πολλαὶ γάρ, φησιν, αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ· ἐπὶ δὲ τῶν δικαίων οὐχ οὕτως, ἀλλὰ Ψαλμ. λγ. κ. Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος. καὶ πάλιν, Ψαλμ. λγ. κβ. Θάνατος ἁμαρτωλῶν πονηρός· καὶ, Ψαλμ. ριε. ϛ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. Ταῦτα λέγει συνεχῶς, ἐντεῦθεν παιδεύων. τούτων γὰρ ἕκαστον τῶν ῥημάτων πέλαγος ἀχανὲς ἔχει νοημάτων. ἡμεῖς γὰρ ἁπλῶς ταῦτα παρεδράμομεν· εἰ δὲ βουληθείητε μετὰ ἀκριβείας διερευνᾶσθαι τὰ εἰρημένα, πολὺν ὄψεσθε τὸν πλοῦτον καὶ ἀπ' αὐτῶν, καὶ ἀπὸ τῶν ἄλλων γραφῶν ὁμοίως.

Ἀλλ' ἐπειδὴ ἡ ἀνάγνωσις ἔχει πόνον καὶ πολὺ τὸ φορτικόν, τοῖς εἰρημένοις τέως ἐμφιλοχωρῶμεν· ἵνα ὁμοῦ καὶ τέρπῃς τὴν ψυχὴν ᾄδων, καὶ ὑποκλέπτῃ τὸν πόνον. ψαλλέτω τοίνυν τὸ στόμα, καὶ παιδευέσθω ὁ νοῦς. οὐκ ἔστιν οὐδὲ αὐτὸ τοῦτο μικρόν. ὅταν γὰρ μὴ φθονεῖν ἐᾷ, μὴ λυπεῖσθαι καὶ ἀθυμεῖν ἀκαίρως, μήτε ἡγεῖσθαί τι πλοῦτον, μὴ θλῖψιν, μὴ πενίαν, μηδὲ αὐτὴν τὴν ζωὴν νομίζειν τι εἶναι, πάντων σε ἀπαλλάττει τῶν παθῶν. ἄλλως τε δέ, ἐὰν παιδεύσωμεν τὴν γλῶτταν ψάλλειν, αἰσχυνθήσεται ἡ ψυχὴ ταύτης ψαλλούσης τἀναντία βουλομένη. δεῖ οὖν ἡμῖν τῆς κιθάρας τοῦ Δαβίδ, ἵνα ἐπᾴδωμεν τῇ ψυχῇ τὰς θείας ἐπῳδάς, καὶ τὰς ἐντεῦθεν, καὶ τὰς τῶν ἀγαθῶν πράξεων· ὡς ἂν θάτερον μόνον ποιῶμεν, καὶ τῆς ᾠδῆς ἀκούοντες, τῷ ταῦτα ἐπᾴδοντι πολεμῶμεν διὰ τῶν ἔργων, καὶ εἰς κρίμα ἡμῖν ἔσται τὸ φάρμακον, καὶ ἀγριωτέρα ἡ μανία τοῦ διαβόλου γίνηται. περὶ μὲν γὰρ τοῦ ἀκοῦσαι, δέδοικεν ὁ πονηρὸς δαίμων, μήποτε ἀκούσαντες κατορθώσωμεν· ὅταν δὲ ἀκούσαντες οἱ αὐτοὶ μένωμεν, καὶ τοῦτο ἐξαίρεται. ψάλλωμεν τοίνυν τὴν ἀπὸ τῶν πράξεων ᾠδήν, ἵνα τὴν δαίμονος χαλεπωτέραν ἐκβάλλωμεν ἁμαρτίαν, καὶ τὴν τοῦ πνεύματος ἐπισπασώμεθα χάριν. οὐδὲν γάρ, οὐδὲν οὕτως ἀνίστησι ψυχήν, καὶ πτεροῖ, καὶ τῆς γῆς ἀπαλλάττει, καὶ τῶν τοῦ σώματος ἀπολύει δεσμῶν, καὶ φιλοσοφεῖν ποιεῖ, καὶ πάντων καταγελᾶν τῶν βιωτικῶν, ὡς ἡ ἀπὸ τῶν ψαλμῶν ἐμμέλεια καὶ ῥυθμῷ συγκείμενον ᾆσμα. ἐπειδὴ γὰρ εἶδεν ὁ Θεὸς τοὺς πολλοὺς τῶν ἀνθρώπων ῥᾳθυμοτέρους ὑπάρχοντας, καὶ τὸν ἐκεῖθεν οὐχ ἡδέως ὑπομένοντας κάματον, ποθεινότερον ποιῆσαι τὸν πόνον βουλόμενος, καὶ τοῦ καμάτου τὴν αἴσθησιν ὑποτέμνεσθαι, τὴν τοῦ μακαρίου Δαβὶδ ἐκίνησε γλῶτταν τοὺς ψαλμοὺς διευκρινῆσαι τούτους, καὶ μελῳδίαν ἀναμίξαι τῇ προφητείᾳ, ἵνα τῷ ῥυθμῷ τοῦ μέλους ψυχαγωγούμενοι πάντες, μετὰ πολλῆς τῆς προθυμίας τοὺς ἱεροὺς ἀναπέμπωσιν αὐτῷ ὕμνους. οὕτω γὰρ ἡμῶν ἡ φύσις πρὸς τὰ ᾄσματα καὶ τὰ μέλη οἰκείως ἔχει καὶ ἡδέως, ὡς καὶ τὰ ὑπομάζια παιδία κλαυθμυριζόμενα καὶ δυσχεραίνοντα, οὕτω κατακοιμίζεσθαι. αἱ γοῦν τίτθαι ἐν ταῖς ἀγκάλαις αὐτὰ βαστάζουσαι πολλάκις ἀπιοῦσαι, καί τινα αὐτοῖς κατεπᾴδουσαι ᾄσματα παιδικά, οὕτως αὐτοῖς τὰ βλέφαρα κατακοιμίζουσι. διὰ τοῦτο καὶ ὁδοιπόροι πολλάκις κατὰ μεσημβρίαν ἐλαύνοντες ὑποζύγια, ᾄδοντες τοῦτο ποιοῦσι, τὴν ἐκ τῆς ὁδοιπορίας ταλαιπωρίαν ταῖς ᾠδαῖς ἐκείναις παραμυθούμενοι. οὐχ ὁδοιπόροι δὲ μόνον, ἀλλὰ καὶ γηπόνοι ληνοβατοῦντες, καὶ τρυγῶντες, καὶ ἀμπέλους θεραπεύοντες, καὶ ἄλλο τι ἐργαζόμενοι, πολλάκις ᾄδουσι· καὶ ναῦται κωπηλατοῦντες τοῦτο ποιοῦσιν. ἤδη δὲ καὶ γυναῖκες ἱστουργοῦσαι καὶ τῇ κερκίδι τοὺς στήμονας συγκεχυμένους διακρίνουσαι, πολλάκις μὲν καὶ καθ' ἑαυτὰς ἑκάστη, πολλάκις δὲ καὶ συμφώνως ἅπασαι μίαν τινὰ μελῳδίαν ᾄδουσαι. ποιοῦσι δὲ τοῦτο καὶ γυναῖκες, καὶ γηπόνοι, καὶ ναῦται, τῷ ᾄσματι τὸν ἐκ τῶν ἔργων πόνον παραμυθήσασθαι σπουδάζοντες· ὡς τῆς ψυχῆς, εἰ μέλους ἀκούσειε καὶ ᾠδῆς, ῥᾷον ἅπαντα ἐνεγκεῖν δυναμένης τὰ ὀχληρὰ καὶ ἐπίπονα. ἐπεὶ οὖν οἰκείως ἡμῖν πρὸς τοῦτο ἔχει τὸ εἶδος τῆς τέρψεως ἡ ψυχή, ἵνα μὴ πορνικὰ ᾄσματα οἱ δαίμονες εἰσάγοντες ἅπαντα ἀνατρέπωσι, τοὺς ψαλμοὺς αὐτοῖς ἐπετείχισεν ὁ Θεός, ὥστε ὁμοῦ τὸ πρᾶγμα καὶ ἡδονὴν

καὶ ὠφέλιμον ἦν. ἀπὸ μὲν γὰρ τῶν ἔξωθεν ᾀσμάτων βλάβη καὶ ὄλεθρος, καὶ πολλὰ ἂν εἰσαχθείη δεινά, ἀσελγεστέρας καὶ παρανομωτέρας τοῖς ᾄσμασι τούτοις τῆς ψυχῆς γινομένης, μαλακωτέρας τε καὶ ἀσθενεστέρας· ἐπὶ δὲ τῶν πνευματικῶν, πολὺ μὲν τὸ κέρδος, πολλὴ δὲ ἡ ὠφέλεια, πολὺς δὲ ὁ ἁγιασμός, καὶ πάσης φιλοσοφίας ὑπόθεσις γένοιτ' ἄν, τῶν τε ῥημάτων τὴν ψυχὴν ἐκκαθαιρόντων, τοῦ τε ἁγίου πνεύματος τῇ τὰ τοιαῦτα ψαλλούσῃ ἐφιπταμένου ψυχῇ. ἐπᾴδωμεν τοίνυν τῇ ψυχῇ τοὺς φιλοσοφίας γέμοντας ψαλμούς, ἵνα κατὰ μικρὸν καὶ ἐπὶ τὰ ὑψηλότερα ἀναχθῶμεν. ὅταν γὰρ ἐν τοῖς ψαλμοῖς μάθῃς, τότε καὶ ὕμνους εἴσῃ, ἅτε θειότερον πρᾶγμα. οἱ μὲν γὰρ ψαλμοὶ πάντα ἔχουσιν, οἱ δὲ ὕμνοι πάλιν οὐδὲν ἀνθρώπινον. αἱ γὰρ ἄνω δυνάμεις ὑμνοῦσιν, οὐ ψάλλουσιν. Οὐ γὰρ ὡραῖος ὕμνος ἐν στόματι, φησίν, ἁμαρτωλοῦ· διὸ καὶ ὁ Παῦλος παραινεῖ λέγων· Ἄδοντες ἐν ταῖς καρδίαις ἡμῶν τῷ Κυρίῳ, μὴ ἁπλῶς τῷ στόματι, ἀλλὰ μετὰ προσοχῆς. τοῦτο γάρ ἐστι τῷ Θεῷ ᾄδειν, ἐκεῖνο δὲ τῷ ἀέρι. διαχεῖται γὰρ ἁπλῶς ἡ φωνή. οὐ χρεία τόπου, οὐ χρεία χρόνου, ἀλλὰ καὶ ἐν παντὶ τόπῳ, καὶ ἐν παντὶ καιρῷ ἔξεστι ψάλλειν κατὰ διάνοιαν. κἂν ἐν ἀγορᾷ βαδίζῃς, κἂν ἐν ὁδοῖς ᾖς, κἂν φίλοις συνεδρεύῃς, ἔξεστι διεγεῖραι τὴν ψυχήν, ἔξεστι σιγῶντα βοᾶν. οὕτω καὶ ὁ Μωϋσῆς ἐβόα, καὶ ὁ Θεὸς ἤκουε. κἂν χειροτέχνης ᾖς, ἐν ἐργαστηρίῳ καθήμενος καὶ ἐργαζόμενος, δυνήσῃ ψάλλειν· κἂν στρατιώτης ᾖς, ἐν δικαστηρίῳ προσεδρεύων, δυνήσῃ τὸ αὐτὸ τοῦτο ποιεῖν. ἔξεστι γὰρ καὶ χωρὶς φωνῆς ψάλλειν, τῆς διανοίας ἔνδον ἠχούσης. οὐ γὰρ ἀνθρώποις ψάλλομεν, ἀλλὰ Θεῷ τῷ δυναμένῳ καὶ καρδίας ἀκοῦσαι, καὶ εἰς τὰ ἀπόρρητα τῆς διανοίας ἡμῶν εἰσελθεῖν. ἀλλ' ἐπειδὴ οἱ μὲν πνευματικοὶ ἄνδρες, οἱ τὰ χαρίσματα τοῦ πνεύματος ἔχοντες ὑπὲρ τῶν πλησίον εὔχονται ἀεί, καὶ τὰς ἱκετηρίας ἀναφέρουσι μετὰ κατανύξεως καὶ στεναγμῶν τῷ Θεῷ, τοῦτο καὶ ἡμεῖς ποιῶμεν, καὶ καθ' ἑκάστην ἡμέραν ἐντυγχάνωμεν τῷ Θεῷ, ὑπέρ τε ἑαυτῶν, ὑπέρ τε τῶν ἀδελφῶν τῶν ἡμετέρων. πῶς δέ ἐστιν ἐντυγχάνειν τῷ Θεῷ; ἀπὸ τοῦ βίον ἔχειν ὀρθόν, καὶ συνειδὸς κεκαθαρμένον. ταῦτα δὲ οὐδαμόθεν ἄλλοθεν ἔξεστι κατορθοῦν, ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου μελετᾶν ἡμέρας καὶ νυκτός. καὶ μή μοι λεγέτω τις, ὅτι περὶ τῆς ἑρμηνείας οὐκ ᾔδειν τῶν ψαλμῶν τὴν δύναμιν. καὶ γὰρ περὶ τῆς ἑρμηνείας, παντὶ τῷ ὁπωσοῦν βουλομένῳ προσέχειν ἀρκεῖ καὶ εἷς στίχος πολλὴν ἐνθεῖναι φιλοσοφίαν, καὶ εἰς δόγμα διορθῶσαι, καὶ εἰς βίον ὠφελῆσαι τὰ μέγιστα. καὶ γὰρ ὅταν εἴπῃς, Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, καὶ δυνηθεὶς εἰδέναι τί ποτέ ἐστιν ὃ λέγεις, οὐ τὸν ἐν δυναστείᾳ ὄντα, οὐ τὸν πλουτοῦντα, οὐ τὸν οἰκίας ἔχοντα λαμπράς, οὐ τὸν ἐν βασιλείοις στρεφόμενον, οὐκ αὐτὸν τὸν τὸ διάδημα ἐπὶ τῆς κεφαλῆς περικείμενον, οὐκ ἄλλον οὐδένα, ἀλλ' ἢ τὸν ἐν εὐλαβείᾳ, τὸν ἐν φιλοσοφίᾳ, τὸν ἐν φόβῳ Θεοῦ ὄντα ζηλώσεις, οὐ μόνον διὰ τὰ μέλλοντα, ἀλλὰ καὶ δι' αὐτὰ τὰ παρόντα. καὶ γὰρ καὶ ἐνταῦθα οὗτος ἐκείνου δυνατώτερος. μελετήσωμεν τοίνυν καὶ ἡμεῖς ἐντυγχάνειν Θεῷ· μάθωμεν πῶς δεῖ ποιεῖσθαι τὴν ἐντυχίαν. οὐ γὰρ κάλλος ζητεῖ γλώττης ὁ Θεός, οὐδὲ ῥημάτων συνθήκην, ἀλλὰ ψυχῆς ὥραν. κἂν ἐκείνη φθέγγηται τὰ αὐτῷ δοκοῦντα, τὸ πᾶν ἀνύσασα ἄπεισιν. εἰ γὰρ ἄνθρωπός τις συγγινόμενος θαυμαστῷ πολλὰ καρποῦται ἐκ τῆς συνουσίας, πολλῷ μᾶλλον ὁ Θεῷ διηνεκῶς δι' εὐχῆς ἐκτενοῦς. κἂν γὰρ ἁμαρτωλός τις ὢν μετὰ ταπεινοφροσύνης εὔξηται, ὅπερ ἐστὶ μέρος ἀρετῆς, μεγάλα ἀνύσαι δυνήσεται. ὥσπερ οὖν καὶ ὁ τελώνης (καὶ γὰρ ἀπὸ ψιλοῦ ῥήματος τὸ πᾶν ἤνυσεν) ἐπειδὴ ἡ διάνοια αὐτοῦ καλῶς παρεσκευασμένη ἦν. πῶς δὲ ἦν παρεσκευασμένη; ἐταλάνιζεν ἑαυτόν, τὸ στῆθος ἔτυπτεν, οὐδὲ ἀναβλέψαι εἰς τὸν οὐρανὸν ἠνείχετο. ἂν οὕτω καὶ σὺ εὔχῃ, πτεροῦ κουφοτέραν ἐργάσῃ τὴν ψυχήν. ἔστω τοίνυν ἡ εὐχὴ ἥμερος, γαληνή, χαρίεν ἔχουσα τὸ πρόσωπον καὶ ἁπαλὸν μετὰ πραότητος, καὶ μὴ κατ' ἐχθρῶν γινομένη. αὕτη τῶν οὐρανῶν ἀξία ἡ εὐχή, αὕτη τῶν ἀγγέλων ἀξία ἡ γλῶττα. οὕτω γὰρ καὶ ὑπὲρ ἡμῶν αὐτῶν ἀκουσθησόμεθα, ὅταν ὑπὲρ τῶν ἀδικησάντων καὶ ἐπηρεαζόντων τὴν ἱκετηρίαν τῷ Θεῷ προσφέ-

ἢ αὐθ

Σηρ. ιε. θ.

Κολασ. γ. 15

ρωμεν. ἂν οὕτω ῥυθμίσωμεν τὴν ψυχὴν, δυνησόμεθα μετὰ παῤῥησίας λέγειν καὶ ἡμεῖς τῷ Θεῷ, οἰκτείρησόν με, καὶ εἰσακούσῃ τῆς προσευχῆς μου, καὶ ῥαδίως ἐπινεύσει, καὶ τὴν τῶν οὐρανῶν βασιλείαν παρέξει ἡμῖν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ϟϛ. α.

α. Κορ. ιε. κδ.

Λογ. ρϛ. ΕΙΣ ΤΟ, Ο ΚΥΡΙΟΣ ΕΒΑΣΙΛΕΥΣΕΝ, ΑΓΑΛΛΙΑσθω ἡ γῆ· καὶ εἰς τὸ, Ὅταν παραδιδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ πατρί· καὶ εἰς τὸ μυστήριον τοῦ βαπτίσματος.

Ex mſ. Reg. Lut. emend. ex alijs mſs.

ΠΑλιν ἡμῖν ἡ τοῦ μακαρίου Δαβὶδ πνευματικὴ κιθάρα παρὰ τοῦ ἁγίου πνεύματος ἀνακρουσθεῖσα, τοὺς οὐρανίους ἡμῖν ἀπέδωκε φθόγγους, οὐκ ἀκοὰς θέλγοντας, ἀλλὰ ″ψυχὰς ἐκπαιδεύοντας. τῆς γὰρ ἁγίας ταύτης κιθάρας ἔργον τὸ ψυχὰς ἁγιάζειν. καὶ ἔστιν ἡ ψαλμῳδία διὰ πάντος, καὶ εὐθυμούντων πανηγύρεις, καὶ ἀθυμούντων παραμυθία, καὶ ἐπῳδή τίς ἐστιν ἁγία, οὐχ ὑπὸ μύθων προφερομένη· ἀλλ' ὥσπερ θηρία πονηρὰ, τὰς ἐπιθυμίας κοιμίζει, ἀκολασίαν ″ἐξορίζει, σβέννυσιν ἀδικίαν, ἐξάπτει δικαιοσύνην, βλασφήμους ὑπονοίας ἀνατρέπει, λογισμοὺς αἱρετικοὺς ἀναιρεῖ, θεῖον ὑπαγορεύει νόμον, Θεὸν κηρύττει, πίστιν ἑρμηνεύει, αἱρετικοὺς ἐπιστομίζει, ἐκκλησίαν οἰκοδομεῖ. πολλὰ μὲν οὖν καὶ διάφορα τὰ διὰ τῆς ἁγίας ταύτης κιθάρας ὑμνούμενα· σήμερον δὲ ὁ μακάριος Δαβὶδ τὴν βασιλείαν κηρύττει τοῦ Θεοῦ λέγων, Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ· εὐφρανθήτωσαν νῆσοι πολλαί. τοῦτο γὰρ ἡμῖν ἡ προφητικὴ ψαλμῳδία διὰ τῆς παραλαβούσης διδασκαλίας ἑρμηνεύσει. διδασκαλίαν γὰρ ἡγεῖσθαι δεῖ τὰ θεῖα ἀναγνώσματα· τὰ δὲ παρ' ἡμῶν, οὐ διδασκαλίαν, ἀλλὰ διδασκαλίας ἑρμηνείαν. ὅτι δὲ καὶ ἡ ψαλμῳδία διδασκαλία ἐστὶν, ἄκουε αὐτοῦ τοῦ προφήτου λέγοντος· Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. πρότερον διδάσκεται, εἶτα διδάσκει. ὥσπερ γὰρ δεξαμενὴ ὑδάτων, ἐὰν μὴ δέξηται πλούσιον τὸ ῥεῦμα, οὐ δύναται ἐπὶ πρασιὰν καὶ κῆποι καταπέμπειν τὰ νάματα, οὕτω καὶ ὁ προφήτης καὶ ὁ ἀπόστολος, ἐὰν μὴ παρὰ τῆς οὐρανίου χάριτος δανείσηται τὰ θεῖα ῥεῖθρα, οὔτε αὐτὸς ἔχει, οὔτε ἑτέροις μεταδιδόναι δύναται. ὅτι δὲ διδάσκεται ὁ προφήτης, αὐτοῦ ἄκουε μαθητοῦ τάξιν ἀναλαμβάνοντος, δι' ὧν φησι· Τὰς ὁδούς σου, Κύριε, γνώρισόν μοι, καὶ τὰς τρίβους σου δίδαξόν με. εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου. ὁρᾷς πῶς διδάσκεται, καὶ διδάσκει; πᾶσα γὰρ ψυχὴ φιλόθεος, ἐὰν μὴ Θεὸν ἔχῃ διδάσκοντα, διδασκαλίαν πιστεύεσθαι οὐ δύναται. οὐδὲν γὰρ ἀπὸ λογισμῶν ἀνθρωπίνων τικτόμενον ἀσφαλές· πᾶν δὲ τὸ παρὰ τῆς θείας γραφῆς κηρυττόμενον, ἀσφαλὲς καὶ ἀληθές. λογισμὸς οἶδε καὶ κατασκευάζειν καὶ ἀνασκευάζειν, πᾶς ὁ ἀνθρώπινος λογισμὸς καὶ συγκατάθεσιν ἔχει καὶ ἀνάνευσιν· θεία δὲ φωνὴ, πάντως πράγματος ″ἐνεργεστέραν ἔχει τὴν ὄψιν. διὰ τοῦτο Θεὸς φθέγγεται, καὶ τὰ πράγματα συντρέχει, καὶ τὸ τοῦ Θεοῦ ῥῆμα νεῦμά ἐστιν οὐράνιον. καὶ οὐδὲν θαυμαστὸν, εἰ κελεύει Θεὸς, καὶ γίνεταί τινα ἐν τοῖς οὖσιν, ὅπου γε λέγει, καὶ τὰ μὴ ὄντα ἐν τοῖς οὖσι (συνίσταται). σήμερον τοίνυν διδάσκει ὁ μακάριος Δαβὶδ καὶ κηρύττει τοῦ Θεοῦ τὴν βασιλείαν λέγων· ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ. ἀναγκαῖον δὲ ζητῆσαι αὐτὸ τὸ ῥῆμα. τί βούλεται τὸ, ὁ Κύριος ἐβασίλευσεν; ἆρα μὴ περὶ προσφάτως ἀναλαβόντος τὴν βασιλείαν λέγεται; οὐδεὶς γὰρ ἂν εἴποι περὶ βασιλέως ἐκ πολλοῦ χρόνου βασιλεύοντος, ὅτι ὁ βασιλεὺς ἐβασίλευσεν. ὃ γὰρ ἔχει ἐκ παλαιοῦ χρόνου, τοῦτο ὡς πρόσφατον κτῆμα κηρύττειν οὐ δυνάμεθα. τί

* *

Ψαλμ. ϟϛ. α.

Ψαλμ. ν. ιε.

Ψαλμ. κδ. δ.
ρ. ιη. ιϛ.

γρ. ψυχὴν

γρ. χωρίζει

ἴσ. ἐναργ.

τοίνυν ὁ Δαβὶδ βούλεται λέγειν, ὁ Κύριος ἐβασίλευσεν; εἰ γὰρ ἀεὶ βασιλεύει, περιττὸν τὸ, ἐβασίλευσε· δῆλον, εἰ ἄρα βασιλείαν ὑμνεῖν ἤθελε, καλῶς ἔφη, ὁ Κύριος ἐβασίλευσεν, ὡς ἀρχὴν λαβούσης τῆς βασιλείας; εἶτα πότε ἀρχὴν λαμβάνει βασιλεία Θεοῦ; πρόσφατον; καὶ ἦν ποτε Θεὸς, ὅτε μὴ ἦν βασιλεύς; καὶ πῶς; οὐδὲν ἐπὶ Θεοῦ πρόσφατον. οὐ προσλαμβάνει ἐξουσίαν, οὐκ ἐνδύεται βασιλείαν, ἀλλ' ἐξ αἰῶνος βασιλεὺς, ἐξ αἰῶνος δεσπότης, ἐξ αἰῶνος δημιουργὸς, ὥς φησιν ὁ μακάριος Μωϋσῆς· Κύριος βασιλεύων τὸν αἰῶνα, καὶ ἐπ' αἰῶνα, καὶ ἔτι. εἰ τοίνυν ὁ μακάριος Μωϋσῆς πρὸ πολλῶν γενεῶν γενόμενος τοῦ Δαβὶδ, τὴν βασιλείαν ἐκήρυξε τοῦ Θεοῦ, τί βουλόμενος ὁ μακάριος Δαβὶδ, ὡς πρόσφατον τὴν ἀρχαίαν κηρύττει λέγων· ὁ Κύριος ἐβασίλευσεν; ἢ δῆλον ὅτι τὴν τοῦ σωτῆρος ἑρμηνεύει οἰκονομίαν. διπλῆ γὰρ ἡ τοῦ σωτῆρος βασιλεία· ἡ μὲν προαιώνιος καὶ ἀρχὴν οὐκ ἔχουσα, ἡ δὲ μετὰ τοὺς αἰῶνας, ἀρχὴν ἀπὸ τῆς οἰκονομίας λαμβάνουσα. καὶ μὴν βασιλεὺς ἀεὶ ὢν, γέγονε καὶ κατὰ σάρκα βασιλεὺς, τὸ μὲν ἔχων κατὰ φύσιν, τὸ δὲ λαμβάνων κατὰ τὴν πλάσιν τὴν ἀνθρωπίνην. ἐβασίλευσε τοίνυν ὁ σωτὴρ ἡμῶν. οὐκ ἀργῶς δὲ λέγει, ὁ Κύριος ἐβασίλευσεν, ἀλλ' ἐπειδὴ πρὸ τῆς τοῦ Χριστοῦ βασιλείας ἄλλα ἦν τὰ βασιλεύοντα ἐν κόσμῳ· καὶ ὥσπερ τυράννων τις ἦν ἐνδοθεῖν βασιλεία, οὐκ ἐκ φύσεως κρατοῦσα, ἀλλὰ βεβιασμένη παρανομία τῇ κτίσει ἐπελθοῦσα· καὶ ἐβασίλευον οἱ δαίμονες τοῦ κόσμου, οὐ βασιλείαν ἔχοντες, ἀλλὰ τυραννίδα εἰς βασιλείαν μετασχηματίσαντες. τὴν καθαίρεσιν οὖν μηνύων τῆς τυραννίδος τῶν δαιμόνων, καὶ τὴν διὰ τῆς παρουσίας τοῦ σωτῆρος λάμπουσαν οἰκονομίαν, λέγει τὸ, ὁ Κύριος ἐβασίλευσε· τουτέστιν, ἀπελάσας τῶν δαιμόνων βασιλείαν, εἰσαγαγὼν δὲ τὴν ἑαυτοῦ ἔνσαρκον καὶ θείαν οἰκονομίαν. δεῖ δὲ ἐξ αὐτῶν τῶν γραφῶν δεῖξαι, τίνα ἦν τὰ πρὸ Χριστοῦ βασιλεύοντα. ἄκουε Παύλου λέγοντος· Ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως, καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας. ἰδοὺ βασιλεία θανάτου ἐβασίλευε· καὶ ἄλλοτε, ἡ ἁμαρτία, ὥς φησιν ὁ αὐτός· Καὶ Μὴ βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι. ὥσπερ γὰρ ἡ ἁμαρτία ἐβασίλευσε διὰ τοῦ ἑνὸς, οὕτω καὶ ἡ χάρις βασιλεύει διὰ τοῦ ἑνός. ἔδειξεν οὖν πρὸ Χριστοῦ καὶ ἁμαρτίαν βασιλεύσασαν, καὶ θάνατον· καὶ ἦσαν ἀλλήλων διάδοχοι, ὥσπερ πικροὶ βασιλεῖς καὶ τύραννοι. καὶ ἡ μὲν ἁμαρτία ἐβασίλευσεν ἐν τῷ κόσμῳ· εἶτα μετὰ τὸ ἐκπληρῶσαι τὸν ἄνθρωπον τὸν ἑαυτοῦ δρόμον τῆς ζωῆς, παρεδίδοτο τῇ βασιλείᾳ τοῦ θανάτου, καὶ παρεπέμπετο διὰ τῆς βασιλείας τοῦ θανάτου τῇ βασιλείᾳ τῆς ἁμαρτίας ὁ ἄνθρωπος· ἀπὸ τυραννίδος εἰς τυραννίδα, ἀπὸ πολεμίων εἰς πολεμίους ἐληλατεῖτο τὸ γένος τῶν ἀνθρώπων. ἡ ἁμαρτία ἐβασίλευεν, ὁ θάνατος μετὰ τὴν ἁμαρτίαν διαδεξάμενος ἐβασίλευσε (Κέντρον γάρ, φησι, τοῦ θανάτου ἡ ἁμαρτία) καὶ ἐτυραννεῖτο τὸ γένος τῶν ἀνθρώπων. ὁ τοίνυν μακάριος Δαβὶδ τυραννουμένοις εὐαγγελίζεται τοῦ βασιλέως τὴν παρουσίαν. ὥσπερ γὰρ τοῖς κατεχομένοις ὑπὸ τυράννου ἀπαγγελθεῖσα βασιλέως ἐπιδημία λύει τὴν κατήφειαν, λύει τὴν λύπην, ἐλπίδας ἀγαθὰς ἐνσπείρει, οὕτω καὶ ὁ Δαβὶδ τὴν κατώδυνον γῆν, τὴν πεπατημένην, τὴν τυραννουμένην, τὴν ὑπὸ δαιμόνων κατεχομένην, εὐαγγελίζεται λέγων· ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ. καὶ πότε ἐβασίλευσε; πότε τῆς βασιλείας ἤρξατο; κατὰ τὴν σάρκα ἤρξατο βασιλείας τῆς κατὰ ἄνθρωπον αὐτῷ δοθείσης· ἡ δὲ βασιλεία ἡ προαιώνιος οὐκ ἀρχὴν ἔχει, οὐ τέλος ἕξει. ἐντεῦθεν καὶ πρότερον ἡμῖν διείληπται περὶ τούτου τοῦ ῥήματος· ἀλλ' ἀναγκαῖον καὶ πάλιν εἰς ἀνάμνησιν ἐλθεῖν. οὐδὲ γὰρ δεῖ σκοπεῖν τὸν λέγοντα τὸ ἅπαξ μόνον κεχρῆσθαι τῇ ῥήσει, ἀλλ' εἰ ἀναγκαία ἡ συνεχῶς παρεγγυηθεῖν θεραπεύειν τὸ τραῦμα τῆς ἁμαρτίας, καὶ αὖθις λέγειν. ἐπειδὴ τοίνυν προφέρουσιν αἱρετικῶν παῖδες, ὅτι καὶ αὐτὴν τὴν βασιλείαν, ἣν ἔχει ὁ σωτὴρ, παρὰ τοῦ πατρὸς αὐτὴν ἔλαβε, καὶ οὐδὲν ἔχει ἐκ φύσεως, ἀλλ' ἐκ χάριτος, ἀναγκαῖον δεῖξαι, τίς ἡ κατὰ χάριν δοθεῖσα διὰ τῆς σαρκὸς οἰκονομία, τίς ἡ ἐκ φύσεως αὐτῷ συνυπάρξασα διὰ τὴν προαιω-

νιο

* *

Ἐξοδ. ιε ιη.

* *

Ῥωμ. ε. ιδ.

Ῥωμ. ς. ιβ.

α. Κορ. ιε νς.

νιον ἀξίαν. κατεστάθη βασιλεὺς ὑπ' αὐτοῦ ὁ σωτήρ, οὐκ οὐρανοῦ καὶ γῆς (ἐκείνην γὰρ οὐ
κατὰ χειροτονίαν ἔλαβε τὴν βασιλείαν) ἀλλ' ἐχειροτονήθη κατὰ τὴν ἔνσαρκον οἰκονομίαν βασιλεὺς
Ψαλμ. β. ς. ὑπὸ τοῦ λαοῦ. Ἐγὼ γάρ, φησι, κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ, ἐπὶ Σιὼν ὄρος Ιω. θ.
τὸ ἅγιον αὐτοῦ. ὅτε ἐπέβη τῇ Ἰουδαίᾳ, ὅτε τὴν ἔνσαρκον οἰκονομίαν ἐδέξατο, ὅτι Θεὸς ὢν αἰώνιος
ἐπὶ γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, ἐδέξατο πρόσφατον βασιλείαν τὴν ἐκ διαδοχῆς
τοῦ Δαβίδ. ἄλλην γὰρ οὐκ ἐκτήσατο βασιλείαν δι' ἑαυτοῦ, ἀλλ' ἣν ἀπώλεσεν ὁ οἶκος
Λουκ. α. λα. Δαβίδ. διὰ τοῦτο ὁ ἄγγελος Γαβριὴλ λέγει πρὸς τὴν παρθένον Μαριάμ· Ἰδοὺ συλλήψῃ
ἐν γαστρί, καὶ τέξῃ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν
αὐτοῦ. πρόσεχε ἀκριβῶς. οὐδέπω ἐκήρυξεν, οὐδέπω ἐπαίδευσε, καὶ λέγει, τὸν λαὸν
αὐτοῦ· ἵνα μάθῃς, ὅτι οὐ μετὰ τὸ πάθος λαὸς ὁ λαός· ἵνα μάθῃς, ὅτι οὐ μετὰ τὸ πάθος ἐκληρονόμησε
λαόν· ἀλλ' εἶχε μὲν τὸν λαόν, ὡς δεσπότης τοῦ λαοῦ, καὶ πρὸ τοῦ πάθους, ἀνεκτήσατο
δὲ τῷ πάθει τὴν οἰκουμενικὴν ἐκκλησίαν. αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν
Λουκ. α. λγ. αὐτῶν. καὶ δώσει αὐτῷ Κύριος. τίνι; τῷ ὑπὸ σοῦ τικτομένῳ τῇ ἐνσάρκῳ οἰκονομίᾳ. καὶ δώσει αὐτῷ
Κύριος ὁ Θεὸς τὸν θρόνον. ποῖον; Δαβὶδ τοῦ πατρὸς αὐτοῦ. οὐ γὰρ τὴν ἐπουράνιον λαμβάνει βασιλείαν,
ἣν εἶχεν, ἀλλ' ἀνακτᾶται ταύτην τὴν βασιλείαν τὴν ὑπὸ τῶν δαιμόνων ἁρπαχθεῖσαν ἀπὸ τοῦ
οἴκου Δαβίδ. καὶ δώσει αὐτῷ Κύριος τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον
Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. εἰ αἰώνιος βασιλεία ἐστί, καὶ
α. Κορ. ιε. κδ. τέλος οὐκ ἔχει, ποίαν ἔχει χώραν τὸ κακῶς ἑρμηνευόμενον, Ὅταν παραδιδῷ τὴν βασιλείαν
τῷ Θεῷ καὶ πατρί; ἀλλ', ὡς ἔφθην εἰπών, βασιλείαν πολλάκις ἡ γραφὴ καλεῖ οὐ μόνον τὸ
ἀξίωμα τῶν βασιλευόντων, ἀλλὰ καὶ αὐτὰ τὰ ἔθνη τὰ βασιλευόμενα. πῶς γὰρ ἂν εἴη βασιλεύς,
τῶν βασιλευομένων οὐκ ὄντων; βασιλείαν οὖν καλεῖ τὸ ἔθνος, τὸν λαόν, τὴν οἰκουμένην τὴν ὑπὸ
τὸν βασιλέα. ὥσπερ ἂν εἴποι τις, ἡ βασιλεία Περσῶν, τουτέστι, τὸ κλίμα Περσῶν, ἡ βασιλεία
Ῥωμαίων, οὕτω κἀκεῖ βασιλείαν καλεῖ τὰ βασιλευόμενα, τὸ βασιλευόμενον γένος τῶν ἀνθρώπων.
καὶ ὅτι τοῦτο ἀληθές, ἄκουε πῶς βασιλείαν καλεῖ τὸ βασιλευόμενον ἔθνος ἡ
γραφή, ὅτε τὸν μακάριον Ἠλίαν τὸν προφήτην Ἀχαὰβ ἐζήτει ὁ βασιλεύς, λέγει ὁ οἰκονόμος
γ. Βασ. ιη. ι. αὐτοῦ· Ζῇ Κύριος, οὐκ ἔστι τόπος, οὐκ ἔθνος, ἐν ᾧ οὐκ ἀπέστειλεν ὁ Κύριός μου ὁ βασιλεὺς
ζητῆσαί σε· καὶ σχεδὸν ἐνέπρησε τὴν βασιλείαν αὐτοῦ, καὶ οὐχ εὗρεν, ἀντὶ τοῦ, πάντας τοὺς
βασιλευομένους ὑπ' αὐτοῦ ἐνέπρησεν, ὅταν σὲ μὴ εὗρεν. ὁρᾷς ὅτι βασιλείαν οὐ μόνον τὸ ἀξίωμα
λέγει, ἀλλὰ καὶ τὰ ἔθνη τὰ βασιλευόμενα; παραδίδωσιν οὖν ὁ σωτὴρ τὴν βασιλείαν,
ἤγουν τὴν ἀνθρωπότητα τὴν ποτὲ βασιλευθεῖσαν τῇ ἁμαρτίᾳ, τὴν ποτὲ βασιλευθεῖσαν
τῷ θανάτῳ· ἵν' ἀπὸ τῆς αἰχμαλωσίας ῥυσάμενος, ἀνακτήσηται), καὶ παραστήσῃ αὐτὴν τῷ Θεῷ
καὶ πατρί. ὅτι μὲν οὖν κατέστη βασιλεὺς ἐπὶ Σιών, ὅτι ἔδωκεν αὐτῷ ὁ Θεὸς τὸν θρόνον Δαβὶδ
τοῦ πατρὸς αὐτοῦ, ὅτι βασιλεύει καὶ ἐπὶ τῇ προσφάτῳ βασιλείᾳ ἐπὶ τὸν οἶκον Ἰακὼβ
εἰς τοὺς αἰῶνας, δέδεικται ἀναντιρρήτως ἐκ τῶν θείων γραφῶν. ὅτι δὲ βασιλεὺς ἦν καὶ πρὸ
τῆς ἐνσάρκου οἰκονομίας, καὶ πρὸ τοῦ πάθους, καὶ πρὶν λαβεῖν τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς
Ησ. ς. α. αὐτοῦ κατὰ σάρκα ἔχει τὸν προαιώνιον θρόνον, μαρτυρήσει Ἡσαΐας λέγων· Καὶ εἶδον τὸν Κύριον
καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ. καὶ μετὰ
ταῦτα ὑποβάς, φησιν· Οἴμοι ὁ τάλας ἐγώ, ὅτι ἄνθρωπος ὤν, καὶ ἀκάθαρτα χείλη ἔχων,
ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος οἰκῶ, καὶ τὸν βασιλέα Κύριον σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς
μου. πρόσεχε ἀκριβῶς τῇ μαρτυρίᾳ. ὅτε Ἡσαΐας εἶδε τὸν Θεόν, ὡς βασιλέα, ἐπὶ θρόνου
καθήμενον, λέγει· καὶ τὸν βασιλέα Κύριον σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου. τίνα
εἶδε; περὶ τίνος ἐλάλησεν; ἐρώτησον Ἰωάννην τὸν εὐαγγελιστήν, ἵνα μηδὲν βεβιασμένον ᾖ,
ἀλλὰ πάντα μεμαρτυρημένα τῇ ἀληθείᾳ. τὰ μὲν γὰρ ἀπὸ λογισμῶν ἀνθρωπίνων κατεσκευασμένα,
λογισμοῖς ἄλλοις ἀνατρέπεται· τὰ δὲ ὑπὸ ἁγίου πνεύματος διὰ στόματος

προφητῶν καὶ ἀποστόλων κηρυττόμενα, οὐκ ἔχει τοὺς ἀντιλέγοντας· κἂν ἔχῃ τοὺς ἀντιλέγοντας, τῇ πείρᾳ δείκνυσι τὴν νίκην. τίνα οὖν εἶδεν Ἡσαΐας; καὶ τὸν βασιλέα Κύριον σαβαὼθ, φησὶν, εἶδον τοῖς ὀφθαλμοῖς μου. πῶς εἶδε; καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. καὶ τί αὐτῷ διελέχθη; καὶ εἶπε Κύριος πρός με, πορεύθητι καὶ εἰπὸν τῷ λαῷ τούτῳ, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τὰ ἑξῆς. τί τοίνυν λέγει Ἰωάννης ὁ εὐαγγελιστὴς, τὸ πτερὸν τὸ μέγα τῆς θεολογίας, ὁ ἀληθῶς υἱὸς βροντῆς, ὁ εἰς τὴν οἰκονομίαν ἀστράψας, καὶ εἰς τὴν θεολογίαν βροντήσας; λέγει περὶ τοῦ σωτῆρος· μνημόνευε δὴ τοῦ ῥήματος, ἵνα μὴ ἁπλῶς παρέλθῃ τὸ πλῆθος τοῦ ῥήματος, μᾶλλον δὲ τὸ πλῆθος τῶν λέξεων μὴ ἀπατήσῃ σου τὴν διάνοιαν. τὸν βασιλέα Κύριον, φησὶν Ἡσαΐας, εἶδον τοῖς ὀφθαλμοῖς μου, καὶ εἶπε πρός με· πορεύθητι καὶ εἰπὸν τῷ λαῷ τούτῳ· ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε. λέγει τοίνυν Ἰωάννης· τοσαῦτα δὲ σημεῖα ποιήσαντος τοῦ Ἰησοῦ, οὐκ ἐπίστευσαν εἰς αὐτὸν οἱ Ἰουδαῖοι, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου· πορεύθητι καὶ εἰπὸν τῷ λαῷ τούτῳ, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ τὰ ἑξῆς. καὶ ἵνα μή τις νομίσῃ ὅτι τὰ ῥήματα ἐξέλαβεν ὡς ἁρμόζοντα, καὶ " τὸ μὲν ῥῆμα ἁρμόζει, εἰ δὲ εἶδεν ἐπὶ τοῦ θρόνου καθήμενον, οὐκ ἦν ὁ υἱὸς, ἐπάγει ὁ εὐαγγελιστής· ταῦτα δὲ εἶπεν Ἡσαΐας, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ, καὶ ἐλάλησε περὶ αὐτοῦ. ποίαν δόξαν; εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ. * τίνα εἶδε; καὶ τὸν βασιλέα Κύριον σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου. βασιλέα ποῖον; ὃν ἀνεβόησε Ναθαναὴλ λέγων· Ῥαββὶ, σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ· σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ. τοῦτο γάρ ἐστι τὸ θαυμαστὸν, ὅτι τὴν φωνὴν τοῦ Ναθαναὴλ, ὡς μέμνησθε) οἱ φιλοπόνως καὶ φιλομαθῶς ἀκούοντες, παρεστήσαμεν σύμφωνον τῇ τοῦ Ἡσαΐου προφητείᾳ τῇ λεγούσῃ· τάδε λέγει Κύριος, ὁ βασιλεὺς τοῦ Ἰσραήλ. λέγει δὲ ὁ αὐτὸς προφήτης πάλιν ἀλλαχοῦ· τάδε λέγει Κύριος ὁ Θεὸς, ὁ βασιλεὺς τοῦ Ἰσραὴλ, ὁ λυτρωσάμενος αὐτὸν, Θεὸς ὁ αἰώνιος. μέμνησθε δὲ καὶ τίς ὁ λυτρωσάμενος, καὶ τί τὸ λύτρον, καὶ πῶς ἐδόθη· καὶ ὅτι λύτρον τὸ σῶμα, καὶ ὅτι λύτρον τὸ αἷμα. ὁ λυτρωσάμενος αὐτόν. ἐπειδὴ ἐδόκει πρόσφατος φαίνεσθαι διὰ τὴν οἰκονομίαν, ἵνα μὴ πρὸς τὴν σάρκα βλέποντες οἱ ἄνθρωποι, ἀγνοήσωσι τὸ ἀξίωμα τῆς θεότητος, λέγει· ὁ λυτρωσάμενος αὐτὸν, ὁ Θεὸς ὁ αἰώνιος. αἰώνιος τοίνυν ὁ πατήρ· αἰώνιος ὁ υἱός· αἰώνιον τὸ πνεῦμα τὸ ἅγιον. μὴ σκευάται πάλιν αἱρετικὸς εἰπεῖν τρεῖς αἰωνίους; αἰώνιος, εἶπεν, ὁ πατήρ· αἰώνιος ὁ υἱός· αἰώνιον τὸ πνεῦμα, οὐ τρεῖς φύσεις αἰώνιοι· ἀλλὰ μία φύσις αἰώνιος, ἐν τριάδι μιᾷ φανερουμένη. ἄκουε τί φησιν ὁ μακάριος Ἡσαΐας· Ὁ Θεὸς, ὁ μέγας, ὁ αἰώνιος, ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς. τίς ὁ κατασκευάσας; ἐὰν θέλῃ ἐκφυγεῖν τὴν θεολογίαν τοῦ υἱοῦ ὁ αἱρετικὸς, λέγει, περὶ τοῦ πατρὸς εἴρηται, καὶ ἐπιλανθάνεται τῶν οἰκείων ῥημάτων. λέγει γὰρ, τὸν υἱὸν μόνον ἐποίησεν ὁ πατὴρ, τὰ δὲ ἄλλα ὁ υἱός. εἰ πάντων ποιητὴς ὁ υἱὸς, καὶ τὰ ἄκρα τῆς γῆς αὐτὸς ἐποίησεν· ὁ γὰρ κατασκευάσας τὰ ἄκρα τῆς γῆς, ὁ Θεὸς ὁ μέγας, ὁ αἰώνιος. ἀλλ' ἵνα λαμπροτέραν αὐτῶν τὴν ἀμαθίαν ὁ λόγος ἐλέγξῃ, μάρτυρα παράξω τὸν μακάριον Παῦλον, ὅτι μέγαν Θεὸν τὸν υἱὸν καλεῖ· μέγαν δὲ Θεὸν, ἐπειδὴ μεγάλου πατρὸς υἱός. οἷος γὰρ ὁ γεννήσας, τοιοῦτος καὶ ὁ γεγεννημένος. εἰ μικρὸς ὁ γεννήσας, μικρὸς καὶ ὁ καρπὸς τῆς ῥίζης· εἰ δὲ μέγας ὁ πατὴρ, μέγας καὶ ὁ υἱός. μεγάλου γὰρ πατρὸς μικρὸς υἱὸς οὐκ ἔστιν. ὁ Θεὸς ὁ αἰώνιος, ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς. ἄκουε Παύλου λέγοντος· Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, ἀπεκδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. [ἐπεφάνη γὰρ ἡ σωτήριος χάρις παιδεύουσα ἡμᾶς (ταῦτα ἐν τῇ πρὸς Τίτον ἐπιστολῇ) ἵνα

ἀρνησάμενοι

γ. τὸ μὲν ῥήματα

* ὅτε εἶδε τὴν ξαν αὐτοῦ, ἐλάλησε περὶ αὐτοῦ.

Ησ. ς. θ.

Ιωαν. α. μθ.

Ησ. μδ. κδ.

Τιτ. β. ια.

ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, ἀπεκδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.] ἰδοὺ μέγας Θεὸς αἰώνιος, ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς· καὶ μέγας Θεὸς αἰώνιος, ὁ παραγενόμενος εἰς τὸν κόσμον. διὰ τοῦτο καὶ ὁ Δαβὶδ φησί· Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ· ἐπειδὴ Χριστὸς Θεοῦ δύναμις, τὸ αὐτὸ δὲ παρ' Ἑβραίοις καὶ ἰσχὺς καὶ δύναμις· ἐπειδὴ μέγας ὁ Θεός, καὶ μέγας ὁ Χριστός, κατὰ τό, ὁ Θεὸς ὁ μέγας, ὁ αἰώνιος, καὶ τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, οὕτως αὐτὸ ἑτέρῳ λόγῳ μελῳδεῖ· μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ· μέγας ὁ Κύριος ἡμῶν. ἄλλος γὰρ ὁ Κύριος ἡμῶν, καὶ ἄλλη ἡ ἰσχὺς αὐτοῦ; οὐχί. ἀλλ' ἐπειδὴ ἡ ἰσχὺς ἣν ἡ δύναμις, Χριστὸς δὲ Θεοῦ δύναμις, μέγας ὁ Κύριος ἡμῶν, καὶ μέγας ὁ Χριστός. ἰδοὺ οὖν, ἔχεις μέγαν Θεὸν αἰώνιον, Θεὸν Θεοῦ μεγάλου αἰωνίου υἱόν. οὗτος δὲ ὁ Θεὸς ὁ μέγας καὶ αἰώνιος ἐπιφανεὶς τοῖς ἀνθρώποις, ἀναλαμβάνει σάρκα ἐκ πνεύματος ἁγίου κατασκευασθεῖσαν. Τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ πνεύματός ἐστιν ἁγίου. πῶς οὖν πνεύματος δημιουργήσαντος; ἔπλασε γὰρ τὸν ναὸν τοῦ Θεοῦ λόγου τὸ πνεῦμα τὸ ἅγιον ἐν τῇ ἁγίᾳ ἐκείνῃ καὶ μεγάλῃ παρθένῳ, καὶ προῆλθε σῶμα ἔχων ἐκ παρθένου κατασκευασθὲν ὑπὸ τοῦ ἁγίου πνεύματος θείᾳ δυνάμει "ἀοράτως καὶ ἀφράστως. ποῦ οὖν δείκνυται ὅτι τὸ πνεῦμα αἰώνιον; ἄκουε τοῦ μακαρίου Παύλου λέγοντος· Εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων καὶ σποδὸς δαμάλεως ῥαντίζουσα, τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα· τουτέστι, τὰ θύματα τὰ διὰ Μωϋσέως προσφερόμενα. ἐπειδή ποτε ἐρραντίζετο τὸ αἷμα ἐκεῖνο, καὶ μυσταγωγία τις ἦν, ἄλλως μὲν φαινομένη, ἄλλως δὲ μυστικῶς νοουμένη, βουλόμενος παραθεῖναι τοῖς αἰσθητοῖς τὰ νοητά, καὶ τῇ εὐχῇ τῇ ἀληθινῇ, φησίν· Εἰ γὰρ αἷμα ταύρων καὶ τράγων καὶ σποδὸς δαμάλεως ῥαντίζουσα, τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα, πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς διὰ πνεύματος αἰωνίου προσήνεγκεν ἑαυτὸν τῷ Θεῷ. τί ἐστι, διὰ πνεύματος αἰωνίου; ἡ σὰρξ ἡ τοῦ σωτῆρος, ὥσπερ διδάσκαλον εἶχε τὸ πνεῦμα τὸ ἅγιον· οὐχ ὡς τοῦ Θεοῦ λόγου ἀτονοῦντος πρὸς τὴν παιδαγωγίαν τῆς σαρκός, ἀλλ' ὅπερ ἂν ἐποίει ὁ Θεὸς λόγος, τῷ πνεύματι τῷ ἁγίῳ ἐπεγράφετο. τίς ἀπήλαυνε δαίμονας; οὐχ ὁ Θεὸς λόγος; ἀλλ' ὅμως ὁ Θεὸς λόγος φησίν, Εἰ δὲ ἐγὼ ἐν πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια. τὰ ἑαυτοῦ ἔργα ἐπιγράφει τῷ πνεύματι, ἐπειδὴ μία φύσις, καὶ ἀμέριστος ἡ ἐνέργεια. ὅτι δὲ τὸ σῶμα ἐκεῖνο τὸ ἅγιον" ὥσπερ ἤγετο καὶ ἐπαιδαγωγεῖτο ὑπὸ τῆς ἐνεργείας τοῦ ἁγίου πνεύματος, μαρτυρεῖ ἡ γραφὴ λέγουσα· Καὶ ἐγένετο, ὅτε ὁ Ἰησοῦς ἀνέβη ἀπὸ τοῦ ὕδατος τοῦ Ἰορδάνου, ἤγετο ὑπὸ τοῦ πνεύματος. τί ἐστι τό, ἤγετο; τουτέστιν, ἐπαιδαγωγεῖτο ἡ σάρξ, ἤγετο ὑπὸ τοῦ πνεύματος εἰς τὴν ἔρημον. διὰ τοῦτο κατὰ μίμησιν τοῦ σωτῆρος καὶ ἡμεῖς ἀγόμεθα. λέγει γὰρ Παῦλος· Εἰ πνεύματι Θεοῦ ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον. διὰ τοῦτο ὁ σωτὴρ δείκνυσιν ἑαυτὸν πηγὴν ζωῆς, καὶ ὕδωρ ζῶν τὸ πνεῦμα τὸ ἅγιον. ὁρᾷς πῶς τὸ ἀμέριστον τῆς οὐσίας μηνύει; λέγει ὁ σωτήρ· Εἴ τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω· ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. καὶ εὐθέως ἐπάγει Ἰωάννης ὁ εὐαγγελιστὴς λέγων τί ἐστι τὸ ὕδωρ τὸ ζῶν· Τοῦτο δὲ ἔλεγε περὶ τοῦ πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες.

Ματθ. α. κ.

Ἑβρ. θ. ιγ.

* *

Ματθ. ιβ. κη.

Λουκ. δ. α.

Γαλατ. ε. ιη.

Ἰωαν. ζ. λζ.

Προσέχετε ἀκριβῶς. Εἰ τοίνυν ὕδωρ ζῶν τὸ πνεῦμα τὸ ἅγιον, καὶ αὐτὸ λαμβάνουσιν οἱ πιστεύοντες, διὰ τί εἶπες, Εἴ τις διψᾷ, ἐρχέσθω πρός με, καὶ οὐκ εἶπες, Εἴ τις διψᾷ, ἐρχέσθω πρὸς τὸ πνεῦμα τὸ ἅγιον; ἀλλ' εἰ καὶ πρὸς ἐμὲ εἶπον, τὴν ἀλήθειαν ἔφην. μία γὰρ πηγὴ ἀμφοτέρων· Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. ἀλλ' ἐπειδὴ ὁ σωτὴρ ὕδωρ ζῶν ἐκάλεσε τὸ πνεῦμα τὸ ἅγιον, διὰ τί φησιν, ὕδωρ ζῶν; ἵνα μάθῃς αὐτὸ ἐκ τῆς πηγῆς τοῦ Θεοῦ ὄν. ὕδωρ ζῶν τὸ πνεῦμα· πηγὴ ὕδατος ζῶντος, ὁ Θεός·

Ψαλ. λε. ι.

τὸν

τὴν μάθῃς τὴν πηγὴν, νοήσῃς πόθεν τὸ ὕδωρ τὸ ζῶν. ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. τοῦτο δὲ ἔλεγε τὸ ὕδωρ περὶ τοῦ πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες. εἰ ὕδωρ ζῶν τὸ πνεῦμα, ζητήσωμεν αὐτοῦ τὴν πηγήν. τίς ἡ πηγή; λεγέτω Ἱερεμίας. Τάδε λέγει Κύριος· Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἡ γῆ, ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαός μου· ἐμὲ ἐγκατέλιπε πηγὴν ὕδατος ζῶντος. ὁρᾷς πηγὴν ὕδατος τὸν Θεὸν, ζῶν δὲ ὕδωρ τὸ πνεῦμα τὸ ἅγιον; πηγὴ ὕδατος ζῶντος ὁ πατήρ· ποταμὸς ἐκ τῆς πηγῆς προερχόμενος, ὁ υἱός· ὕδωρ τοῦ ποταμοῦ, τὸ πνεῦμα τὸ ἅγιον. ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος. λεγέτω περὶ τοῦ υἱοῦ τὰ αὐτὰ καὶ ὁ προφήτης Ἡσαΐας. Καὶ ἥξει Κύριος, ὡς ποταμὸς ἔνδοξος, ἐν γῇ διψώσῃ. ὁρᾷς πηγήν; ποταμόν; ὕδωρ ζῶν; καὶ ὥσπερ οὐ δύναμαι τὴν πηγὴν καλέσαι ποταμὸν, ἕως τὴν ῥίζαν ὁρᾷς, οὔτε πάλιν τὸν ποταμὸν προελθόντα ἔξω οὐ δύναμαι καλέσαι πηγὴν, οὔτε τὸ ὕδωρ τὸ ἀπὸ τοῦ ποταμοῦ σχιζόμενον καὶ τὴν γῆν ἀρδεῦον οὐ καλεῖς ποταμὸν, ἀλλ' ὕδωρ ἀρδείας· καὶ τὰ μὲν ὀνόματα τέμνεται, ἡ δὲ φύσις ἀμέριστος· ὥσπερ οὖν (πάλιν γὰρ τὰ αὐτὰ ἀναλαβὼν διηγήσομαι) οὔτε τὴν πηγὴν καλεῖς ποταμὸν, ἕως τὴν ῥίζαν ὁρᾷς, οὔτε προελθοῦσαν τὴν πηγὴν εἰς ποταμὸν οὐ καλεῖς πηγὴν, ἀλλ' ἐκείνης τῆς πηγῆς ἀπόρροιαν· πάλιν τοῦ ποταμοῦ τὸ ὕδωρ ἐπειδὰν εἰς ἀρδείαν προέλθῃ, ποταμὸς οὐ λέγεται, ἀλλ' ὕδωρ ἀρδεῦον, καὶ τὰ μὲν ὀνόματα τέμνεται, ἡ δὲ φύσις οὐ μερίζεται· οὕτω τὸν μὲν πατέρα υἱὸν καλέσαι οὐ δυνατὸν, οὐδὲ τὸν υἱὸν πατέρα· ἵνα μὴ εἰς τὴν Σαβελλίου δόξαν ἐμπέσωμεν. οὐ μὴν ἡ διαφορὰ τῶν ὀνομάτων τέμνει τὴν φύσιν. οἱ γὰρ αἱρετικοὶ βούλονται ἀπὸ τῆς διαφορᾶς τῶν ὀνομάτων διαφορὰν κατασκευάσαι φύσεως. ὅταν δὲ ἴδῃς τὰς εἰκόνας ταύτας παραβαλλομένας, μὴ διόλου δούλευε τῇ εἰκόνι. οὐδὲν γὰρ τῶν ὁρωμένων παριστᾷ ἐναργῶς τὰ ἀόρατα, ἀλλὰ διαφεύγουσι τὸ ἄτοπον, καὶ λαμβάνουσι τὸ ἔνδοξον. οὐ γὰρ ἐπειδὴ ποταμὸς κατὰ ἀπόρροιαν προέρχεται, κατὰ ῥεῦσιν ἐγέννησεν ὁ πατήρ. καὶ ταῦτα εἶπον, τῇ γραφῇ ἀκολουθήσας. οὐδεὶς γὰρ ἀφ' ἑαυτοῦ τολμᾷ πιστὸς φθέγγεσθαι, εἰ μὴ ἤκουσα τοῦ πατρὸς λέγοντος, ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος. εἰ μὴ ἤκουσα τοῦ Κυρίου λέγοντος, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος (τοῦτο δὲ ἔλεγε περὶ τοῦ πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες) οὐκ ἂν ἀνθρωπίνῃ καὶ θνητῇ ἐννοίᾳ κατὰ τῆς ἀθανάτου ταῦτα ἐκαινοτόμησα. ἀλλ' ἔλθωμεν εἰς τρανοτέραν ἀπόδειξιν. καὶ μή τις νομίσῃ περιττὴν εἶναι ταύτην τὴν διδασκαλίαν, μάλιστα γὰρ πλησιαζούσης τῆς χάριτος, καὶ ἐπειδὴ μέλλει λοιπὸν τὸ ὕδωρ τὸ ζῶν τὴν ἑαυτοῦ ἐνέργειαν δεικνύναι. ἐνέθηκε τοῖς ὕδασιν ὕδωρ νοητόν. καὶ γὰρ δεῖ οὕτω λέγεσθαι, καὶ διὰ τοὺς προσιόντας μαθεῖν οἵᾳ δωρεᾷ προσέρχονται, καὶ τοὺς ἤδη ἀξιωθέντας τῆς δωρεᾶς, καὶ τοὺς μηδέπω λαβόντας εἰς ἐπιθυμίαν ἐλθεῖν ταύτης τῆς δωρεᾶς. ἀναγκαίως τὸ ὕδωρ τὸ ἅγιον καὶ ζῶν προέρχεται, λόγῳ μὲν κηρυττόμενον, πίστει δὲ προσκυνούμενον. ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καλεῖ ὕδωρ ζῶν τὸ πνεῦμα τὸ ἅγιον, ὡς λέγει τῇ Σαμαρείτιδι· Εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι, δός μοι πιεῖν, σὺ ἂν ᾔτησας αὐτὸν, καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν. περὶ τούτου τοῦ ὕδατος καὶ Ζαχαρίας διαλέγεται) καὶ Ἰεζεκιὴλ οἱ προφῆται. πρόσεχε ἀκριβῶς. λέγει ὁ σωτὴρ Νικοδήμῳ τῷ ἄρχοντι τῶν Ἰουδαίων· Ἀμὴν, ἀμὴν, λέγω ὑμῖν, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ἐκεῖνος ὡς Ἰουδαῖος, Ἰουδαϊκῇ ἀμαθίᾳ συγγηράσας, καὶ μηδὲν δυνάμενος ἔξω τῶν σωματικῶν φαντάζεσθαι, λέγει τῷ σωτῆρι ἀκούσας περὶ ἀναγεννήσεως· Πῶς ταῦτα δύναται γενέσθαι; μὴ δύναται ἄνθρωπος γέρων ὢν, ἐκ δευτέρου εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ εἰσελθεῖν, καὶ γεννηθῆναι; πνευματικὰ ἀκούων, σωματικὴν αἴσθησιν ἐλάμβανε. λέγει αὐτῷ ὁ σωτήρ· Πᾶν τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς, σάρξ ἐστιν (οὐ περὶ σαρκὸς διαλέγομαι, ἢ σαρκικῆς ἀναγεννήσεως) τὸ δὲ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμά ἐστιν. εἶτα ἐγκαλεῖ αὐτῷ· Σὺ εἶ ὁ διδάσκαλος τοῦ Ἰσραὴλ, καὶ ταῦτα οὐ γινώσκεις; ὁρᾷς ὅσον ἐστὶν ἔγκλημα, διδασκάλου τάξιν ἐπέ-

Ἱερ. ϐ ιβ.

Ἡσ. λϛ. ϐ.

* *

Ἰωαν. δ. ι.

Ἰωαν. γ. ε.

Ἰωαν. γ. δ.

χοντα, μὴ ἐπιβάλλειν ἑαυτὸν καὶ ἐρευνᾶν τὰς γραφάς; σὺ εἶ ὁ διδάσκαλος τοῦ Ισραὴλ, καὶ ταῦτα
οὐ γινώσκεις; καὶ εἰ διδάσκαλος ἦν τοῦ Ισραὴλ, πόθεν ᾔδει ὅτι μυστήριον ξένον κηρύττεις καὶ οὐράνιον
δῶρον; οὐδεὶς γὰρ μέχρι τοῦ νῦν ἐκήρυξε βάπτισμα τοιοῦτον ἀθανασίας. ναί, φησιν· ἀλλ'
οἱ προφῆται ἐμήνυσαν. οὐκ ἀνέγνως τοὺς προφήτας; οὐκ εἶ σὺ ἱερεύς; οὐκ εἶ διδάσκαλος;
οὐκ ἤκουσας περὶ ὕδατος καὶ πνεύματος ἐν τῷ προφήτῃ; τί ξένον εἶπον ἐγὼ παρὰ τοὺς προ-
Ιεζεκ.λϛ.κε. φήτας, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος; ταῦτα καὶ Ιεζεκιὴλ ἐλάλησε· Καὶ ἔσται
ἐπ' ἐσχάτων τῶν ἡμερῶν, λέγει Ἀδωναῒ Κύριος, καὶ προσλήψομαι ὑμᾶς καὶ ῥανῶ ἐφ' ὑμᾶς
ὕδωρ καθαρὸν, καὶ δώσω τὸ πνεῦμά μου εἰς ὑμᾶς. ὕδωρ καὶ πνεῦμα. ἐὰν μή τις γεννηθῇ ἐξ
ὕδατος καὶ πνεύματος. ῥανῶ ἐφ' ὑμᾶς ὕδωρ, καθαρὸν, καὶ δώσω ὑμῖν πνεῦμα καινόν. ὕδωρ, καὶ
πνεῦμα. πάλιν τρανῶς ὁ μακάριος Ιεζεκιὴλ διαγράφων τὴν μέλλουσαν παλιγγενεσίαν λέγει·
Ιεζεκ.μζ.α. Καὶ ἐγένετο ἐπ' ἐμὲ χεὶρ Κυρίου, καὶ ἐξήγαγέ με Κύριος ἐπὶ τὰ πρόθυρα τῆς πύλης, τῆς
βλεπούσης κατὰ ἀνατολάς· καὶ ἰδοὺ ὕδωρ ἐξήρχετο" ἐκ τοῦ αἰθρίου κατὰ ἀνατολάς. πανταχοῦ- γρ. ὑποκάτω
χοῦ τὸ, κατὰ ἀνατολάς, ἐπειδὴ ἐκεῖθεν ἡ πηγὴ τῆς σωτηρίας. ὥσπερ γὰρ ἐκεῖθεν ἡ δόξα αὐτοῦ θεν τοῦ αἰθρ
ἤρχετο κατὰ τὴν ὁδὸν τὴν κατὰ ἀνατολάς, οὕτω καὶ τὸ ὕδωρ ἐκεῖθεν ἤρχετο. καὶ ἰδού, φησιν, ὕδωρ ἐξήρ-
χετο ἀπὸ τοῦ αἰθρίου, κατὰ τὴν πύλην τῆς ὁδοῦ τῆς βλεπούσης κατὰ ἀνατολάς, καὶ ἐξῆλθεν ὕ-
δωρ· καὶ ἰδοὺ ὅρασις ἀνθρώπου. καὶ εἶχε μέτρον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἰδοὺ ὡς ἔξοδος ἀνδρός. καὶ
εἶδεν ὕδωρ, εἶδε δὲ καὶ ἄνθρωπον. καὶ ἐξήγαγέ με Κύριος ἐπὶ τὴν πύλην τὴν βλέπου-
σαν κατὰ ἀνατολάς, καὶ ἰδοὺ ὕδωρ ἐξήρχετο ὑποκάτωθεν τοῦ αἰθρίου. οὐδὲ τοῦτο ἀργόν, τὸ
ὑποκάτωθεν τοῦ αἰθρίου. οὐδὲν κεκαλυμμένον, ὅλον γυμνὸν, καθαρὸν, διειδὲς, φωτὸς
πεπληρωμένον. ὑποκάτωθεν τοῦ αἰθρίου ἐκ τοῦ κλίτους τοῦ δεξιοῦ τοῦ κατὰ ἀνατολάς· καὶ
ἰδοὺ ὡς ἔξοδος ἀνδρός. οὐκ ἂν ἦν ἄλλως, ἢ ὡς ἔξοδος ἀνδρός. συνήρχετο τῷ ὕδατι ἄν-
θρωπος, καὶ ἦν μυστήριον. τὸ μὲν γὰρ ἐμήνυσε τοῦ σωτῆρος τὴν οἰκονομίαν, τὸ δὲ τοῦ πνεύ-
ματος τὴν ἐνέργειαν. ὕδωρ καὶ ἀνὴρ, ἡ ἔνσαρκος οἰκονομία καὶ ἡ τοῦ πνεύματος ἐνέργεια. καὶ
Εφεσ.δ.ζ. μέτρον ἐν τῇ χειρὶ αὐτοῦ. ποῖον μέτρον; δωρεᾶς. Ενὶ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέ-
τρον τῆς δωρεᾶς τοῦ Χριστοῦ. καὶ μέτρον ἐν τῇ χειρὶ αὐτοῦ. προσέχετε ἀκριβῶς, παρακα-
λῶ, ἵν' εἰδῆτε τὴν ἐλπίδα τῆς ἀθανασίας ἄνωθεν προκατηγγελμένην. Ιδοὺ ὕδωρ ἐξ-
Ιεζεκ.α γ. ήρχετο, καὶ ὡς ἔξοδος ἀνδρὸς ἐνώπιον, καὶ ἦν ἐν τῇ χειρὶ αὐτοῦ μέτρον. τί ἐστι τὸ μέτρον; ἡ χάρις,
καὶ τὸ μέτρον τῆς" δωρεᾶς. Καὶ διεμέτρησεν ἐν τῷ ὕδατι χιλίους. τί ἐστι, χιλίους; οὐκ εἶ- γρ. χάριτι.
πε, πήχεις, καλάμους, ἀλλὰ χιλίους. τὰ μὲν λέγει, τὰ δὲ κρύπτει. καὶ διεμέτρησε χιλίους· καὶ
διῆλθε διὰ τοῦ ὕδατος ὕδωρ ἀφέσεως, καὶ διεμέτρησεν ἐν τῷ μέτρῳ ᾧ ἐμέτρησε χιλίους. καὶ
διῆλθε διὰ τοῦ ὕδατος ὕδωρ ἀφέσεως. ποῖον ὕδωρ ἀφέσεως διὰ τοῦ ὕδατος διῆλθεν;
ἐπειδὴ καὶ αἰσθητὸν ὕδωρ ἐστὶν ἐν τῷ βαπτίσματι καὶ νοητὸν, διῆλθε διὰ τοῦ ὕδατος τοῦ αἰσθητοῦ
τὸ ὕδωρ τῆς ἀφέσεως, τουτέστι, τὸ πνεῦμα τὸ τὴν ἄφεσιν ἔχον τῶν ἁμαρτημάτων, διῆλθε διὰ
τοῦ ὕδατος τοῦ αἰσθητοῦ. καὶ διῆλθε διὰ τοῦ ὕδατος ὕδωρ ἀφέσεως. ὅπου γὰρ πνεῦμα, ἐκεῖ
Ιωα.κ.κϐ. καὶ ἄφεσις ἁμαρτημάτων· ὥς φησιν ὁ σωτὴρ ἐμφυσήσας, Λάβετε πνεῦμα ἅγιον. ἄν τινων ἀ-
φῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς. " Εἶτα βουλόμενος δεῖξαι ὁ προφήτης, μᾶλλον δὲ ὁ γρ. ἐπ
Θεὸς τῷ προφήτῃ, πῶς τὸ μυστήριον τοῦ βαπτίσματος ἄρχεται μὲν ἀπὸ ὀλίγων, πλη-
θύνειν δὲ καὶ καλύπτειν ἔμελλε τὸν κόσμον (ἄρχεται πρῶτον ἀπὸ Παλαιστίνης διὰ τῶν
δώδεκα ἀποστόλων· εἶτα ἐπλήρωσε τὴν Παλαιστίνην, ἐπλήρωσε τὴν Συρίαν, ἐξῆλθε καὶ
εἰς ἀνατολὴν· κατέλαβε καὶ τὰ ἑσπέρια μέρη, ὑπέδυ τῆς δύσεως) τοῦτο αὐτὸ βουλόμενος
δεῖξαι ὁ Θεὸς, πῶς κατὰ μέρος ἡ γνῶσις τοῦ μυστηρίου προκόπτειν ἔμελλε, λέγει διὰ τοῦ προφήτου·
εἶχεν ἐν τῇ χειρὶ αὐτοῦ μέτρον, καὶ ἐμέτρησε χιλίους· καὶ διῆλθε διὰ τοῦ ὕδατος ὕδωρ ἀφέσεως.
ἐμέτρησε δὲ καὶ ἄλλους χιλίους, καὶ ἀνέβη τὸ ὕδωρ ἕως ὀσφύος. προέκοψε κατὰ μικρόν. πρῶτον ὕ-
δωρ· εἶτα ὕδωρ βαθὺ μέχρι τῆς ὀσφύος ἀνερχόμενον. καὶ διεμέτρησεν ἄλλους χιλίους. καὶ οὐκ

ἠδύνατο λοιπὸν διελθεῖν, ὅτι τὸ ὕδωρ ἐπλεόνασε. καὶ ἐξήρχετο τὸ ὕδωρ, καὶ ποταμὸς μέγας. περατὸν ὕδωρ· Εἶτα μέχρις ὀσφύος· εἶτα ποταμός. καὶ διεμέτρησε τρίτον, χιλίους, χιλίους, χιλίους. μέχρι τῶν χιλίων ὁ ἀριθμός. τελεία γὰρ καὶ ἡ τοῦ πατρὸς προσηγορία, καὶ ἡ τοῦ υἱοῦ προσηγορία, καὶ ἡ τοῦ ἁγίου πνεύματος προσηγορία. καὶ διεμέτρησε χιλίους· καὶ διῆλθε διὰ τοῦ ὕδατος ὕδωρ ἀφέσεως. καὶ ἐμέτρησεν ἄλλους χιλίους, καὶ διέβη τὸ ὕδωρ ἕως ὀσφύος, καὶ ἐμέτρησε τρίτον χιλίους. ὅτε τὸ πλήρωμα τῆς γνώσεως, τότε τὸ τρίτον ἐπετέθη. καὶ ἓν μὲν τὸ μέτρον, τρίτον δὲ ἐπιτιθέμενον· τουτέστι, πατρὸς, υἱοῦ, καὶ ἁγίου πνεύματος μία θεότης, μία δύναμις, μία ἐξουσία, ἐν τρισὶν ὀνόμασι κηρυττομένη. Καὶ ἰδοὺ, φησὶ, πλεονάζον τὸ ὕδωρ, ὡς χειμάρροις κατακλύζων. τί ἐστιν, ὡς χειμάρροις; ἡ τοῦ πνεύματος τοῦ ἁγίου ἐνέργεια. χειμάρρουν δὲ καλεῖ, τὸ ἐπάλληλον τῆς δωρεᾶς. ὁ ποταμὸς μὲν γὰρ ὁ διὰ παντὸς ῥέων, ἥσυχον φέρει τὸ ῥεῦμα· χειμάρροις δὲ ἀθρόον κορυφούμενος, ἐπάλληλα φέρει τὰ κύματα καὶ κατασύρει πάντα. βουλόμενος τοίνυν δεῖξαι ὁ φιλάνθρωπος Θεὸς τῆς χάριτος τὴν δωρεὰν, ὅτι ὕδωρ μὲν ἀφέσεως τοῖς πιστεύουσιν, ὕδωρ δὲ κατακλύζον τοῖς ἀπιστοῦσι, καὶ κατασύρον δαιμόνων πλάνην, δαιμόνων τυραννίδα, διαβόλου κακίαν, φησίν· ἐξῆλθεν ὡς χειμάρροις κατακλύζων. τίς ὁ χειμάρροις; ἄκουε τοῦ Θεοῦ λέγοντος διὰ Ἡσαΐου· Ἰδοὺ ἐγὼ ἐκκλίνω ἐπ' αὐτοὺς, ὡς ποταμὸς, καὶ ὡς χειμάρροις κατακλύζων. ποταμὸς, τοῖς πιστοῖς· χειμάρρους, τοῖς ἀντιλέγουσι. καὶ διῆλθεν ὡς χειμάρροις τοῖς ἀντιλέγουσι· καὶ ὡς χειμάρρους κατακλύζων, ἐγένετο τὰ ὕδατα ἐκεῖνα. βλέπε πῶς ἑρμηνεύει τὴν δωρεάν. ποίαν ἔχει ἐνέργειαν τὸ ὕδωρ ἐκεῖνο; ὥς φησιν ὁ προφήτης· Καὶ ἐξῆλθεν ὕδατα, καὶ ἐγένετο ἔνθεν τοῦ ποταμοῦ, καὶ ἔνθεν τοῦ ποταμοῦ φυτὰ μεγάλα σφόδρα. καὶ τὰ ὕδατα ὑγιάζοντα. τί ἐστι, καὶ τὰ ὕδατα ὑγιάζοντα; ἐπειδὴ ὑγείαν φέρει. Ἴδε ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τι σοι γένηται. καὶ ἰδοὺ δένδρα ἔνθεν τοῦ ποταμοῦ, καὶ ἔνθεν τοῦ ποταμοῦ. καὶ πᾶσαν ψυχὴν, ἐφ' ἣν ἂν ἔλθοι τὰ ὕδατα, ὑγιάσει. καὶ ἰχθὺς πολὺς ἦν ἐν τῷ ποταμῷ. ποῖος ἰχθύς; ὁ λαὸς ὁ πολύς. Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. καὶ ἰδοὺ ἰχθὺς πολὺς ἐν τῷ ποταμῷ, ὡς ἰχθύες τῆς θαλάσσης· ἀντὶ τοῦ, τοσούτους συνάγει ἡ Χριστοῦ παρουσία, ὅσους ἔχει ἡ οἰκουμένη, κατὰ τοὺς ἰχθύας τοὺς ἐν τῇ θαλάσσῃ τῇ μεγάλῃ. οὓς εἶχεν ὁ κόσμος, ἔλαβεν ἡ ἐκκλησία. καὶ πᾶν δένδρον (πάλιν ἐπαναλαμβάνω τὸν λόγον) ἔνθεν τοῦ ποταμοῦ, καὶ ἔνθεν τοῦ ποταμοῦ ἀναβήσεται καὶ ζωοποιήσει τὰ ὕδατα, καὶ ὑγιάσει· καὶ ὁ καρπὸς τῶν φυτῶν οὐ μὴ ἐκλείπῃ. Χριστοῦ κηρυττομένου, λύχνος εἰσάγεται. πεφύκασι γὰρ καὶ αἱ προφητεῖαι ἅπτειν λύχνον Χριστῷ, ὡς λέγει ὁ Δαβίδ· Ἡτοίμασα λύχνον τῷ Χριστῷ μου. λαμπὰς κατέλαβεν αἰσθητὴ νοητὴ τὴν λαμπάδα, τὸ δὲ προκείμενον. καὶ ἰδοὺ ἐπὶ τοῦ ποταμοῦ δένδρα πολλὰ, καὶ ὁ καρπὸς τῶν δένδρων ἐκείνων οὐ μὴ ἐκλείπῃ ἀπὸ τῆς καινότητος αὐτῶν. οὐ γὰρ παλαιῶν ἦν φυτῶν, ἀλλὰ νέων. καινὰ λέγει φυτὰ, καινοὺς καρπούς. ἀποδύσασθε τὸν παλαιὸν ἄνθρωπον, καὶ ἐνδύσασθε τὸν νέον τὸν ἀνακαινούμενον. ὁρᾷς τὴν χάριν προμεμηνυμένην; ὁρᾷς εἰκότως τὸν Κύριον ἐγκαλοῦντα Νικοδήμῳ; Σὺ εἶ ὁ διδάσκαλος τοῦ Ἰσραὴλ, καὶ ταῦτα οὐ γινώσκεις; ἀλλὰ μαρτυρεῖ τούτοις Ζαχαρίας (οὐχ ὁ Ἰωάννου πατὴρ, Ἰωάννου τοῦ τὴν ἔρημον τότε οἰκήσαντος, καὶ τὴν Παλαιστίνην κοσμήσαντος, καὶ τὴν ἡμετέραν πόλιν στεφανώσαντος. πρέπει τῷ Ἰωάννῃ καὶ μετὰ θάνατον βοᾶν, καὶ ἐκ τάφου ὑμνεῖν. Εἰ γὰρ ἀπὸ γαστρὸς σκιρτήσας τὸν δεσπότην ἐκήρυξεν, ἀπὸ τοῦ τάφου σκιρτήσει τοῖς ἁγίοις ὀστέοις, καὶ ἐρεῖ, Πάντα τὰ ὀστᾶ μου ἐροῦσι, τίς ὅμοιός σοι, Κύριε;) λέγει τοίνυν ὁ μακάριος Ζαχαρίας· Καὶ ἔσται ἐπ' ἐσχάτου τῶν ἡμερῶν πᾶς τόπος διανοιγόμενος τῷ οἴκῳ Δαβίδ. οἶκον Δαβὶδ καλεῖ τὴν συγγένειαν Δαβίδ· ἐπειδὴ ὁ Ἰωσὴφ ὁ μνηστὴρ Μαρίας ἐξ οἴκου ἦν Δαβίδ. Μνηστευθείσης ἀνδρὶ, ᾧ ὄνομα Ἰωσὴφ, ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ. ἐπὶ τῇ τοῦ σωτῆρος ἐπιφανείᾳ πᾶς τόπος ἠνοίγη, ἀνατολὴ, δύσις, μεσημβρία, ἄρκτος. καὶ ἔσται

Ησ. ξε. κ.

Ιωαν. ε. ιδ.

Ματθ. δ. ιθ.

Ψαλμ. ρλα. ιθ.

Ιωαν γ. ι.

Ζαχ. ιγ. α.

Ματθ. α. ιε.

ἐν ταῖς ἐσχάταις ἡμέραις πᾶς τόπος ἀνοιγόμενος τῷ οἴκῳ Δαβίδ, καὶ ἐξελεύσεται ὕδωρ ζῶν ἐξ Ἱερουσαλήμ. Ἰωαν ζ λη. ποῖον ὕδωρ ζῶν; Ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. καὶ ἐξελεύσεται ὕδωρ ζῶν ἐξ Ἱερουσαλήμ. πόθεν ἐξέρχεται; ἐξελεύσεται λόγος ἐξ Ἱερουσαλήμ, ὅθεν ὁ Χριστὸς, ἐκ Σιών. τὸ ὕδωρ τὸ ζῶν ἐξ Ἱερουσαλήμ. διὰ τί δὲ ἐξ Ἱερουσαλήμ; ἐκεῖθεν γὰρ ἤρξατο ἡ τοῦ φαίεια τοῦ πνεύματος. οἱ γὰρ ἀπόστολοι ἐν Ἱεροσολύμοις ἐδέξαντο τὸ πνεῦμα τὸ ἅγιον· κἀκεῖθεν διὰ Ζαχ ιδ η. τῶν ἀποστόλων περιῆλθεν εἰς τὰ πέρατα. Ἐξελεύσεται δὲ ὕδωρ ζῶν ἐξ Ἱερουσαλήμ. τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώτην, καὶ τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην. τί ἐστιν, εἰς τὴν θάλασσαν τὴν πρώτην, καὶ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην; μυθάρια ἐξηγεῖται ἡ γραφή; ἀλήθειαν κηρύττει, μυστήριον ἑρμηνεύει, δυνάμεις ἀποκαλύπτει. ἐξελεύσεται ὕδωρ ζῶν. βλέπε τὸ θαυμαστόν. οὐ λέγει, ποταμὸς, ἀλλὰ πρότερον, ὕδωρ. ἀεὶ γὰρ ἡ χάρις ἀπὸ μικρῶν ἀρχομένη, εἰς μεγάλα πληθύνει. ἐξελεύσεται ὕδωρ ζῶν ἐξ Ἱερουσαλήμ. τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώτην, καὶ τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην. θάλασσαν καλεῖ τὴν πρώτην, τὰ οἰκισθέντα πρῶτα μέρη τῆς οἰκουμένης ἀπὸ τῆς ἀνατολῆς. Ἀδὰμ γὰρ ἐκεῖ τὸ γένος ηὔξησε πρῶτον· εἶτα μετὰ ταῦτα ἐξῆλθεν εἰς δύσιν, καὶ ἐπλήρωσε τὴν οἰκουμένην. θάλασσαν οὖν καλεῖ πρώτην, τὰ πρῶτα οἰκισθέντα κλίματα τῆς γῆς· θάλασσαν ἐσχάτην, τὰ ἔσχατα τῆς δύσεως· καὶ ἀνατολὴν πληροῦσαν, καὶ δύσιν ἥρμωσαν. ἐννόησον τοίνυν τὸ μυστήριον, ὃ γελῶσιν αἱρετικῶν παῖδες, τὸ πνεῦμα τὸ ἅγιον ὑβρίζοντες, καὶ δεσποτικὴν δύναμιν οἰκετικὴν τάξιν ἐπεισάγοντες. φύγωμεν κακίαν, φύγωμεν αἱρετικὴν βλασφημίαν, φύγωμεν καὶ φαύλων ἔργων ἀναστροφήν. τεκμήριον πίστεως ἀγαθοποιΐα, τεκμήριον πίστεως φιλανθρωπία. ἐλέει πένητας. ὤνησον, καὶ λάμβανε. οὐ γὰρ δύνασαι ὃ μὴ σπείρεις, θερίζειν. πῶς λέγεις Θεῷ, συγχώρησόν μοι; ὃ μὴ δίδως, πῶς αἰτεῖς; ὃ μὴ ποιεῖς, πῶς λαμβάνεις; μνημόνευσον οὖν τῶν ῥημάτων σου τῶν ἐν τῇ πενίᾳ. ὅτε πένης ἦσθα, αἰτούμενος παρὰ πενήτων ἔλεγες, ἤθελον ἔχειν καὶ διδόναι. ὅτε ἦσθα πένης, ἔλεγες, τίς μοι δῷ, καὶ μεταδίδωμι; ἤθελον διδόναι, οἶδεν ὁ Θεὸς τὴν προαίρεσιν. ὁ Θεὸς πολλάκις γυμνάζων τὴν τοιαύτην διάνοιαν, καὶ δι' αὐτῶν τῶν πραγμάτων ἐλέγχων, ἄγει αὐτὸν εἰς πλοῦτον, καὶ οὐκέτι αὐτὸς ἑαυτὸν κρίνει, ἀλλὰ τὰ πρῶτα ῥήματα ἐπιλανθάνεται. ἕκαστος γὰρ ὄντως κρίνεται ἐξ ὧν λαλεῖ. ἕως μὴ ἐσμὲν δικασταὶ, λέγομεν· ἐγὼ εἰ ἤμην δικαστὴς, τὸ δὲ ἂν ἐποίουν· ἐγὼ εἰ ἤμην δικαστὴς, οὕτως ἂν ᾠκονόμουν· ἐγὼ δὲ εἰ ἤμην δικαστὴς, τὸ καὶ τὸ ἐθέσπιζον. προῆλθες εἰς δικαστήριον, δεῖξον τὴν ἐπαγγελίαν. ὡς ἦσθα πένης, ἐπηγγέλλω τὴν ἐλεημοσύνην, ἐπηγγέλλω τὴν δικαιοκρισίαν. δεῖξον ἄρτι καὶ τὰ ἔργα. ἀλλ' ἐοίκασιν οἱ ἄνθρωποι ἐν τῇ ταπεινώσει ταῖς ἀκρίσιν. ἡ γὰρ ἀκρὶς χειμῶνος ὥρᾳ ἐφέστηκε φραγμῷ, μηδὲ ἀνανεῦσαι δυναμένη (πάγῳ γὰρ κρύει δέδεται) καὶ ἔστι ταπεινὴ, καὶ εὐμεταχείριστος καὶ εὐάλωτος. ὀλίγον δὲ θαλφθεῖσα ἡλίῳ, ἀνίπταται, ἡ ἐπὶ τόπῳ μὴ δυναμένη πρότερον ἐπαίρεσθαι, εἰς τὸν ἀέρα πέταται. οὕτω καὶ ὁ ἄνθρωπος, ταπεινὸς ἐν ταῖς θλίψεσιν, εὐλαβὴς, ἐπιεικὴς, χρηστότητα ἐνδεικνύμενος. ἀνέκυψεν ἡ λαμπρότης, ἐγυμνώθη ἡ γνώμη. διὰ τοῦτό φησιν ἡ γραφὴ πρὸς Ναυμ γ ιζ. τοὺς Ἰουδαίους τότε ἐν μὲν ταῖς δυσπραγίαις εὐλαβεῖς, ἐν δὲ ταῖς εὐπραγίαις ἀνευλαβεῖς, Βροῦχος ἐξήλατο, ὡς ἀττέλεβος ὁ ἐπίμικτός σου, ὡς ἀκρίς. ἀνέτειλεν ὁ ἥλιος, καὶ ἐξεπετάσθη καὶ ἐπελάθετο τοῦ τόπου αὐτῆς. τὸν λαὸν λέγει τὸν μιγάδα. ἐξήλατο ὡς βροῦχος, καὶ ὡς ἀκρὶς ἐπιβεβηκυῖα φραγμῷ ἐν ἡμέρᾳ πάγους. ἀνέτειλεν ὁ ἥλιος, καὶ ἐξεπετάσθη, καὶ οὐκ ἐπέγνω τὸν τόπον αὐτῆς· ἀντὶ τοῦ, ἐπελάθετο τῆς ταπεινώσεως αὐτῆς. οὕτω καὶ ἡμεῖς ἐν πτωχείᾳ ἐσμὲν ταπεινοί· ἐπλουτήσαμεν, ἐπελαθόμεθα. ἐν θανάτῳ φιλοσοφοῦμεν, καὶ ὅταν προκομίζηται νεκρὸς, ἕκαστος φιλοσοφεῖ τὰ ἀνθρώπινα λέγων· παρέρχεται τὰ πάντα, οὐδέν ἐσμεν· ἕως ὁρᾷ τὴν [illegible], φιλοσοφεῖ· ἐξῆλθεν ἡ ὄψις ἡ φοβοῦσα, εὐθέως ἐπελάθετο τῆς προαιρέσεως.

※ κοιῶσαι

ῥέσεως. διὰ τοῦτο λέγει ἡ γραφή· Ἐν πᾶσι τοῖς λόγοις σου μιμνήσκου τὰ ἔσχατά σου, καὶ εἰς τὸν αἰῶνα οὐχ ἁμαρτήσεις. ἐπὶ πάντων μέμνησο τὰ ἔσχατά σου, καὶ οὐ μὴ ἁμαρτήσῃς. μνημόνευε τῆς τελευτῆς σου, καὶ ἕξεις τὴν γνώμην ἀσάλευτον. Εἴη δὲ ἡμᾶς, ἀδελφοί, ἐν πᾶσι πιστοὺς διαμένειν Θεῷ, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Σειρ. ζ. λη.

Λογ. ρϛ. ΕΙΣ ΤΑΣ ΣΦΡΑΓΙΔΑΣ ΤΩΝ ΒΙΒΛΙΩΝ, ΚΑΙ ὅπως προσφέρει ὁ υἱὸς τῷ πατρὶ, καὶ ὁ πατὴρ τῷ υἱῷ, καὶ εἰς τὴν τοῦ σωτῆρος οἰκονομίαν.

Ex edit. Rom. emend. ex Mſs.

ΜΕγα τῆς ψυχῆς ἐφόδιον εἰς σωτηρίαν, τὰ ἱερὰ μαθήματα. σίδηρος μὲν γὰρ σίδηρον ὀξύνει, λόγος δὲ θεῖος ψυχὴν ἀκονᾷ· καὶ ἄρτῳ μὲν σῶμα τρέφεται, λόγῳ δὲ θείῳ ψυχὴ στηρίζεται· καθὼς ὁ μακάριος Μωϋσῆς τὸ τρόφιμον τῆς θείας διδασκαλίας ὑποτιθέμενός φησιν· Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐν παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. τροφὴ τοίνυν ψυχῆς, λόγος Θεοῦ. τῇ γὰρ κατ' εἰκόνα τοῦ κοσμοποιοῦ γενομένῃ λόγου, καὶ λόγῳ τετιμημένῃ, καὶ λογικῆς ἐλευθερίας ἠξιωμένῃ τί ἂν οἰκειότερον γένοιτο λόγου τρέφοντος αὐτὴν, καὶ παιδεύοντος, καὶ πρὸς τὸ οἰκεῖον ἀξίωμα ταχέως ἐπανάγοντος; λόγον δὲ, ἀδελφοί, φαμὲν ἡμεῖς, οὐ τὸν σοφιστικῇ δεινότητι κεκομψευμένον εἰς πιθανότητα, ἀλλὰ τὸν ἁπλότητι πίστεως μεμαρτυρημένον εἰς ἀλήθειαν. νόθον γὰρ ἡγεῖσθαι δεῖ πᾶσαν ἀρετὴν καὶ βίου, καὶ λόγου, ἥτις μὴ παρὰ τοῦ θείου διδασκαλείου τὰς ἀρχὰς ὑπεδέξατο· καὶ καθ' ὅσον σκιὰ σώματος, καὶ ὄναρ τῆς ἀληθείας ἀπεσχοίνισται, τοσοῦτον διέστηκε τῆς ἀληθινῆς τοῦ Θεοῦ σοφίας ἡ νενομισμένη τοῦ κόσμου σοφία. ὅθεν καὶ ὁ μακάριος Παῦλος, τὸ σκεῦος τῆς ἐκλογῆς, ὁ ποτὲ μὲν ἐξελθὼν κακῶς ἐπὶ θήρᾳ τῶν ἁγίων, θηραθεὶς δὲ καλῶς ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων, διαρρήδην πρὸς τὸν νόθον, τὸν εὐσεβῆ καὶ ἀληθῆ λόγον ἀντεισάγων ἔλεγε· Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις, σοφίαν δὲ οὐ τὴν τοῦ αἰῶνος τούτου, ἀλλὰ Θεοῦ σοφίαν ἐν μυστηρίῳ. σοφία τοίνυν ἡμῖν ἡ προφητικὴ γλῶττα, καὶ ἀποστολικὴ διδασκαλία, καὶ τὸ εὐαγγέλιον τῆς βασιλείας, ἡ κορυφὴ τῆς λογικῆς ἐξουσίας. εὐαγγέλιον δὲ, ἀδελφοί, ὅταν ἀκούσωμεν, ἀξίαν τῆς προσηγορίας τὴν ἔννοιαν ἀναλάβωμεν. πολλοὶ γὰρ πολλάκις τῇ συνηθείᾳ τῶν ὀνομάτων ἐμμελετήσαντες, τὴν δύναμιν αὐτῶν τῶν πραγμάτων ἠγνόησαν. ἔστι δὲ εὐαγγέλιον, ἑρμηνεία τοῦ πράγματος. εὐαγγελίζεται γὰρ ἡμᾶς τὴν πολυύμνητον τοῦ σωτῆρος οἰκονομίαν, ὅτι ὁ Θεὸς ἐν ἀνθρώποις ἐγένετο διὰ φιλανθρωπίαν, οὐ τὴν προαιώνιον ἀξίαν προαποθέμενος, ἀλλὰ τὴν σωτήριον οἰκονομίαν ἐνδυσάμενος· εὐαγγελίζεται ἡμᾶς τὸ εὐαγγέλιον, ὅτι τοῖς κάμνουσιν ἰατρὸς ἐπεδήμησεν, οὐ φαρμάκοις θεραπεύων, ἀλλὰ νεύματι φιλανθρωπίας ἰώμενος. εὐαγγελίζεται ἡμᾶς, ὅτι τοῖς πεπλανημένοις ὁδὸς ἀνεδείχθη, τοῖς ἐσκοτισμένοις τὸ φῶς ἔλαμψε, τοῖς ἀπεγνωσμένοις ἡ σωτηρία. ἐπειδὴ γὰρ νόμῳ παιδευθέντες οὐκ ἐπεστράφημεν, καὶ προφητείαις ὁδηγηθέντες οὐκ ἀνεκλήθημεν πρὸς τὴν ἐπίγνωσιν τῆς ἀληθείας, καὶ ἐκινδύνευε τῇ ἡμετέρᾳ ἀγνωμοσύνῃ φθαρῆναι τὰ πάντα, καὶ λυθῆναι τὰ ἀνθρώπινα, ὡς εἶδεν ἡμᾶς ἡ τοῦ Θεοῦ φιλανθρωπία καὶ πρὸς τὴν τοῦ νόμου παιδείαν ἀπειρηκότας, καὶ πρὸς τὴν τῶν προφητῶν ὁδηγίαν ὀκλάσαντας, ἀγαθότητι πολλῇ καὶ ἀμέτρῳ τὴν ἀγνωμοσύνην ἐνίκησε, καὶ τὸ εὐαγγέλιον τῆς βασιλείας, οἷόν τινα βασιλικὴν δωρεὰν, εἰς πᾶσαν προθεὶς τὴν οἰκουμένην, πάντα τοῖς ἀναξίοις ἐχαρίσατο διὰ φιλανθρωπίαν. προῆλθε γοῦν ἡ σωτήριος χάρις διαφόρως πάντας εὐεργετοῦσα, τοὺς δούλους ἐλευθεροῦσα, τοὺς πτωχοὺς πλουτίζουσα, τοὺς ἐξορίστους ἀνακαλουμένη, τοὺς αἰχμαλώτους ἐξαγοράζουσα· πάντα τοῖς πᾶσιν ἐ-

γρ. ἐπὶ

Δευτ. η. γ.

γρ. εἴ τις

γρ. ἁγίων

α. Κορ. β. ϛ.

γένετο, οὐ διὰ τὴν ἡμετέραν ἀξίαν, ἀλλὰ διὰ τὴν αὐτὴν τῷ εὐεργέτῃ πρέπουσαν ἀγαθότητα· Ἑβρ. α. γ. ὃς ἁπλοῦς ὢν τὴν φύσιν καὶ ἀμέριστος καὶ ἀσχημάτιστος, αὐτὸς Θεὸς ἐκ Θεοῦ, εἰκὼν τοῦ ἀοράτου, ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως, διαφόρους ἐνδύεται προσηγορίας, οὐ πρὸς τὴν φύσιν ἁρμοζούσας, ἀλλὰ τῇ εὐεργεσίᾳ πρεπούσας. ἐπειδὴ γὰρ πάντα διέπεσε τὰ ἀνθρώπινα, εἰς ἑαυτὸν ἀναλαμβάνει τὰ πάντα οἰκειότητι, τῇ τὰ πάντα ἀνακαινιζούσῃ χάριτι τὰς προσηγορίας δεχόμενος. λιμὸς ἦν πολὺς, λιμὸς θείου λό- Ἀμ. η. ια. γου, λιμὸς, ὃν ἠπείλησεν ὁ Θεὸς τῇ συναγωγῇ λέγων· Ἀποστελῶ αὐτοῖς οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου. ἐπεὶ οὖν ἤδη πεινῶσαν τὴν οἰκουμένην, καὶ λιμῷ φθειρομένην (ὃ γάρ ἐστιν ἀτροφία τῷ σώματι, τοῦτο ἀπαιδευσία τῇ ψυχῇ) Ἰωαν. ϛ. μα. βοᾷ διὰ τῶν εὐαγγελίων ἡ πηγὴ τῶν ἀγαθῶν· Ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐξ οὐρανοῦ καταβὰς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. ὁ μὲν γὰρ αἰσθητὸς ἀπὸ γῆς προέρχεται κατὰ τὸ εἰρημένον, τοῦ Ψαλμ. ργ. ιε. Ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς· ὁ δὲ οὐράνιος ἐξ οὐρανοῦ πηγάζει. ἐγὼ γάρ εἰμι ὁ ἄρτος ὁ ἐξ οὐρανοῦ καταβάς. ἔρημος ἦν ἡ γῆ διψῶσα, καὶ ἐστερημένη τοῦ θείου λόγου, καὶ οὐκ ἔχουσα τῆς πνευματι- Ἰωαν. ζ. λζ. κῆς ἀρδείας τὴν ἀπόλαυσιν. τί οὖν; ἡ αὐτὴ πάλιν χάρις βοᾷ τὴν εὐεργεσίαν πηγάζουσα, Εἴ τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. ἐπειδὴ γὰρ διαφόρως ἐβόων οἱ προφῆται, καὶ πᾶς ὁ τῶν ἁγίων Ψαλμ. ξβ. α. χορὸς ἐδίψα αὐτοῦ τὴν παρουσίαν, λέγων· Ὁ Θεὸς, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω, ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ζῶντα· βουλόμενος δεῖξαι, ὅτι αὐτός ἐστιν, ὃν ἐδίψων οἱ προφῆται, βοᾷ διὰ τῶν εὐαγγελίων, Εἴ τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω· εἴ τίς ἐστι κατὰ τὸν λέγοντα, ἐδίψησέ σε ἡ ψυχή μου, ἐρχέσθω πρός με. Εἶδε πάλιν τὴν οἰκουμένην γυμνὴν, οὐ τῷ σώματι γυμνὴν, ἀλλ' ἀρετῆς γεγυμνωμένην· εἶδε τὸ πλάσμα ὃ ἔπλασε, καὶ ἠλέησεν ὃ ἐποίησε, καὶ δίδωσιν ἔνδυμα τοῖς γυμνοῖς, αὐτὸς ἑαυτόν· καθὼς καὶ ἤδη πρότερον ἔφθημεν εἰ- Γαλ. γ. κζ. πόντες τότε, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. πεπλάνητο ἡ γῆ ὁδὸν ζητοῦσα, καὶ μὴ εὑρίσκουσα. πᾶσα γὰρ ψυχὴ εἶχεν ἐν ἑαυτῇ τὸ σπέρμα τῆς θεολογίας, καὶ ἔχουσα οὐκ ᾔδει, πῶς δεῖ θηρᾶσαι τὸ ποθούμενον. ἐπειδὴ οὖν οὐχ εὕρισκον ὁδὸν οἱ πεπλανη- Ἰωαν. ιδ. ιϛ. Ἰωαν. ια. κε. μένοι, Ἐγώ εἰμι, φησιν, ἡ ὁδός. ἀλλὰ νεκρὸς εἶ; ἐγώ εἰμι ἡ ἀνάστασις. ἀλλ' ἀσθενὴς εἶ Ἡσ. ια. α. χειραγωγίας δεόμενος; Ἐγώ εἰμι ἡ ῥάβδος ἡ ἐκ τῆς ῥίζης Ἰεσσαὶ, στηρίζουσα τοὺς ἀσθενοῦν- Ψαλμ. κβ. δ. τας· περὶ ἧς ἔλεγεν ὁ προφήτης, Ἡ ῥάβδος σου, καὶ ἡ βακτηρία σου, αὐταί με παρεκάλεσαν. διὰ τί ῥάβδος; διὰ τί βακτηρία; ἐπειδὴ πρὸς πᾶσαν ἡλικίαν ἁρμόττει. νέους παιδαγωγεῖ, γέροντας ἐπιστηρίζει. ἀλλ', ὦ δέσποτα, πεινῶντά με ἔθρεψας, διψῶντά με ἐπότισας, γυμνὸν ἐνέδυσας, πεπλανημένον ὡδήγησας, ἀσθενοῦντα ἐβακτηρίασας· φθάσας ἐπὶ τὴν ὁδὸν, κατέλαβον τὰ ἴχνη τῆς εὐσεβείας, ζητῶ τὴν θύραν τῆς ἀληθείας. τίς ὁ δεικνύς; Ἰωαν. ι. θ. Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ πᾶς εἰσέρχεται πρὸς τὸν πατέρα. διὰ σοῦ, διὰ τί; πύλη γάρ εἰμι σωτηρίας ἀνεῳγμένη, ἣν ἐπιζητεῖ ὁ μακάριος Δαβὶδ, πολλὰς μὲν ἐπινοήσας, μίαν δὲ Ψαλμ. ριζ. ιθ. εὑρών. τὰ μὲν γὰρ πρῶτα λέγει· Ἀνοίξατέ μοι πύλας δικαιοσύνης, εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ Κυρίῳ. ἐπεὶ δὲ γὰρ ἔτυχε τῆς αἰτήσεως, καὶ εὗρεν ὃ μὴ προσεδόκησεν, οὐ Ψαλμ. ριζ. κ. κα. πολλὰς, ἀλλὰ μίαν, ἀνακαλεσάμενος τὴν ἑαυτοῦ φωνὴν, λέγει· Αὕτη ἡ πύλη τοῦ Κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. εἶτα τῇ προφητικῇ ὄψει, καὶ τῷ πόθῳ τῆς ψυχῆς ἔσω παρελθὼν, καὶ ὥσπερ ἐντὸς τῶν βασιλείων γενόμενος, Ἐξομολογήσομαί σοι, φησιν, ὅτι ἐπήκουσάς μου. εἰπὲ, ὦ προφῆτα καὶ θεολόγε, ἐξομολογῇ, καὶ εὐχαριστεῖς τῷ Θεῷ; τί ἄξιον τῆς προσδοκίας εὑρών; οἱ γὰρ ἐπιθυμοῦντες παρελθεῖν εἰς οἶκον βασιλείας, ἀναμένουσιν ἑστιᾶσαι τὰς ὄψεις τοῖς φαινομένοις, χρυσῷ πολλῷ, μαρμάροις ἀπαστράπτουσι, τοῖς ποικίλοις ἄνθεσι τοῦ πλούτου, τὴν δορυφορίαν τὴν περὶ τὸν βασιλέα, τῷ θρόνῳ τῷ βασιλικῷ, ταῖς δωρεαῖς τῶν βασιλέων. ταῦτα προσδοκῶν ἕκαστος ἰδεῖν, διψᾷ τὰ βασίλεια, καὶ πρὸς τὸν πόθον ἐπείγεται. σὺ δὲ τί ποθεῖς, ὦ εὗρες εἰσελθὼν ἔσω τῆς πύλης; ὑπὲρ τίνος εὐχαριστεῖς; τί μέγα καταλαβὼν, τί εὑρών

ρῶν τῆς ἐπιθυμίας ἄξιον; ἑρμήνευσον τὸν πόθον, ἵνα μήποτε ἡ Ἰουδαϊκὴ ἀναισχυντία συκοφαντήσῃ τὴν ἀλήθειαν. τί εὗρες; τί κηρύττεις; τί θαυμάζεις; Χριστόν, φησιν, εὗρον. Χριστοῦ τὴν οἰκονομίαν εἶδον, τὴν "καινὴν χάριν, τὴν ξένην εὐεργεσίαν, τὸ ἔνδοξον πάθος, τὴν ἀπόρρητον μυσταγωγίαν. Ταῦτα βλέπω, ταῦτα θαυμάζω, ὑπὲρ τούτων εὐχαριστῶν λέγω· Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν. οὐ κρύπτω τὴν εὐεργεσίαν, οὐ ταμιεύομαι τὴν σωτηρίαν, ἀλλ' εὐαγγελίζομαι τὴν οἰκονομίαν. Λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. ὁρᾷς πῶς ἡ εὐχαριστία τὴν ἱστορίαν ἐγύμνωσεν; ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν. λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. ὁρᾷς, ὅπως ἅπασα τῶν προφητῶν ἡ προσδοκία πρὸς αὐτὴν ἔβλεπε τὴν οἰκονομίαν, καὶ Χριστὸν ἐπόθει τὸν ἐν τῇ συναγωγῇ ἐξουθενημένον, ἐν δὲ τοῖς ἔθνεσι δοξαζόμενον; οὐκοῦν, ἵνα εἰς τὸ προκείμενον ἐπανέλθωμεν, κἂν τὴν πύλην ζητήσῃς, Χριστὸν εὑρήσεις. καὶ ναί, φησι, θύρα διὰ φιλανθρωπίαν. ἀλλ' ἐπειδὴ δεῖ πάντως τῷ εἰσελθόντι εἰς βασιλείαν καὶ ναὸν Θεοῦ, ἔχειν τὸν ὁδηγοῦντα πρὸς τὴν ἐπιθυμίαν (οὐδεὶς γὰρ καθ' ἑαυτὸν παραστῆναι τολμᾷ τῷ θυσιαστηρίῳ μὴ ἔχων τὸν ἱερατεύοντα) ὅταν ἔλθῃς ἔσω τῆς πύλης, εὑρίσκεις αὐτὸν ἱερέα προσάγοντά σε. Σὺ γὰρ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. ἀλλὰ χρεία τῷ ἱερεῖ καὶ θύματος, καὶ ἱερείου πρὸς τὸ τὸν Θεὸν ἐξιλεώσασθαι. ὁ αὐτός σοι πάλιν γίνεται· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. ἤκουσας ταῦτα πάντα διὰ σέ; ἄκουσον τὸν δι' αὐτόν. μὴ γὰρ ἐν τῇ τοῦ ἱερέως τάξει στήσῃς τὴν θεωρίαν· μὴ ἴδῃς αὐτόν, ὡς ἱερέα παρεστηκότα, ἀλλὰ βλέπε αὐτὸν διὰ τὴν ἑαυτοῦ ἀξίαν τῷ πατρὶ συγκαθήμενον. ἀλλὰ μὴ ἐχθρὸς ἔστω τις τῆς ἀληθείας, τὰ μὲν ἁρπάζων, τὰ δὲ κρύπτων. οἶδα, ὅτι πολλάκις αἱρετικός τις ἐχθρὸς τῆς ἀληθείας "ἔστη λέγων· ὁρᾷς, ὡς οὐκ ἔστι προσελθεῖν τῷ πατρὶ ἄνευ τοῦ υἱοῦ; μεσίτου γάρ, φησιν, ἐπέχει τάξιν καὶ ὑπηρέτου, προσάγων τῷ πατρὶ τοὺς σωζομένους. ἐπειδὴ γάρ φησιν, ὅτι καινὴ σοφία "καινοὶ τὴν ἀλήθειαν· ἐπειδὴ μὴ ἐχώρει ἡ ἀνθρωπίνη φύσις δι' ἑαυτῆς προσελθεῖν τῷ Θεῷ, μεθόριον γίνεται τῆς κτιστῆς καὶ τῆς ἀκτίστου φύσεως ὁ υἱὸς προσάγων τὴν οἰκουμένην. ὢ τῆς "καινῆς μανίας, ὢ τοῦ "καινοῦ δράματος. ἡ ὑπερβολὴ τῆς τοῦ πατρὸς ἀγαθότητος κινδυνεύει παρὰ τοῖς αἱρετικοῖς, ἀμβλύνει τὴν ἀξίαν τῆς θεότητος. ἀλλ' ἡ μὲν αἱρετικὴ μανία θρασύνεται, ἡ δὲ τοῦ σωτῆρος δύναμις οὐκ ἀμβλύνεται, ἡ δόξα οὐ σβέννυται, ἡ χάρις οὐ καθαιρεῖται. Ἐάν, φησιν, ἡμεῖς ἀρνησώμεθα, ἐκεῖνος πιστὸς μένει. ἀρνήσασθαι γὰρ ἑαυτὸν οὐ δύναται. συγκάθηται διὰ τὴν οἰκείαν ἀξίαν, ἕστηκε δὲ ὡς ἱερεὺς διὰ τὴν πρέπουσαν αὐτῷ φιλανθρωπίαν. καὶ ὅρα τὸ θαυμαστόν, ἀδελφέ. ἐπειδὴ ἐν ὑπηρέτου τάξει καὶ σχήματι διακονοῦντος ἐκλαμβάνουσι τὸ ῥῆμα, Ὅτι οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ, ἀναγκαῖον πρὸς τοὺς αἱρετικοὺς ἀποτεῖναι τὸν ἔλεγχον τῆς "εὐσεβείας. εἰ δὲ προσάγειν τῷ πατρὶ τὸν υἱὸν καθαιρεῖ τὴν ἀξίαν τοῦ προσάγοντος, ἐὰν ἴδῃς τὸν πατέρα τῷ υἱῷ προσάγοντα, ἐκτείνεις ἐκεῖ τὴν "εὐσέβειαν; μάλιστα μὲν οὖν εἰς υἱὸν ἀσεβῶν, τὸν πατέρα βλασφημεῖς. ἵνα τοίνυν, ἀδελφοί, ἐν τῷ λόγῳ τῆς εὐσεβείας καὶ τῆς ἀληθείας, καὶ τὴν κακίαν ἐπιστομίσωμεν, καὶ τὴν εὐσεβῆ δόξαν γνωρίσωμεν (Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ*, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον. δίστομον δὲ καλεῖ τὴν μάχαιραν, ἐπειδὴ διπλῷ κέχρηται τῷ λόγῳ, τῷ μὲν στηρίζοντι, τῷ δὲ καθαιροῦντι· καθαιροῦντι μὲν τοὺς ἐναντίους, στηρίζοντι δὲ τοὺς οἰκείους τῆς πίστεως) ἄκουε αὐτοῦ τοῦ Κυρίου λέγοντος, Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ πατήρ "μου ὁ οὐράνιος ἑλκύσῃ αὐτόν. ἀναγκαῖον δέ, ἀδελφοί, τὰ εἰκότα πρὸς τοὺς αἱρετικοὺς εἰπεῖν, καὶ τὰ περὶ τούτου τοῦ νοήματος τοὺς υἱοὺς τῆς πίστεως πληροφορῆσαι, τίνος ἕνεκεν καταδέχεται ὁ μονογενὴς τοῦ Θεοῦ λόγος τὴν προσαγωγήν, πῇ μὲν περὶ αὐτοῦ λέγων προσάγεσθαι τῷ πατρί, πῇ δὲ παρὰ τοῦ πατρὸς πρὸς αὐτόν.

Ψαλμ. ριζ΄. κα. κβ.

Ψαλμ. ρθ΄. δ.
Ιωαν. α. κθ.

β. Τιμ. β. ιγ.

Ιωαν. ιδ. ϛ.

Εβρ. δ. ιβ.

Ιωαν. ϛ. μδ.

χ. καινὴν

χ. ὅτι

χ. καινοῦ

χ. καινῆς
χ. καινοῦ

ἴσ. εὐσεβείας.
ἴσ. ἀσεβείαν

*χ. ἐνεργής

χ. ὁ πέμψας με

αὐτόν. οὐ γὰρ συγκέχυται τὰ τῆς θείας φύσεως, ἀλλ' εὐκρινής ἐστι, καὶ εὐδιόριστος ὁ λόγος τῆς
Ψαλ. με. ιγ. ἀληθείας, οὐδὲν σκολιὸν ἔχων, οὐδὲν στραγγαλιῶδες. Πᾶσαι γὰρ αἱ ὁδοὶ Κυρίου εὐθεῖαι.
ἆρα γάρ, ἀδελφοί, ὁ πατήρ, ποτὲ μὲν τὴν βασιλικὴν προεδρίαν ἐπέχων δέχεται τοὺς προσαγομένους,
ποτὲ δὲ τῷ υἱῷ ἐν βασιλικῷ σχήματι προκαθίσαντι δίδωσι τὴν ὀφειλήν, καὶ ἐν
ὑπηρέτου τάξει παριστάμενος, προσάγει τῷ υἱῷ; μὴ γένοιτο. ἐπεὶ γὰρ Θεοῦ οὔτε καθέδραν
εἰπόντα ἐστί τι ἀνθρώπινον ἐννοῆσαι, οὐδὲ στάσιν ἀκούσαντα πάλιν, ἔστι νοῆσαι τὴν
καθ' ἡμᾶς. ἐὰν ἀκούσῃς περὶ Θεοῦ, ὅτι ἕστηκε, τὸ ἀκλινὲς καὶ τὸ ὄρθιον νόει τῆς θείας οὐσίας·
κἂν πάλιν ἀναγνῷς καὶ ἀκούσῃς, ὅτι κάθηται, τὸ ἑδραῖον καὶ ἀσάλευτον ἐκλάμβανε τῆς μακαρίας
Ἐξοδ. λδ. ϛ. φύσεως. αὐτὸς λέγει ἑαυτὸν ἑστάναι, καὶ καθῆσθαι. τῷ Μωϋσεῖ λέγει, Σὺ στῆθι ὧδε μετ'
κδ. ι. ἐμοῦ· καί, Ἦν ὁ τόπος, οὗ εἱστήκει ὁ Θεὸς Ἰσραήλ, ὡς λίθος σαπφείρου. πρόσεχε ἀκριβῶς. γ. πάθος
ὁ Μωϋσῆς ἑστῶτα λέγει, καὶ ὁ Θεὸς τῷ Μωϋσεῖ, ὡς ἱστάμενός φησι, στῆθι μετ' ἐμοῦ. τί οὖν
ποιοῦμεν Ἱερεμίου λέγοντος, Σὺ καθήμενος εἰς τὸν αἰῶνα, καὶ ἡμεῖς ἀπολλύμενοι εἰς τὸν
αἰῶνα; καθέδρα καὶ στάσις ἀνθρώπινα ῥήματα, ἀλλὰ θεῖα νοήματα. διὰ τὸν ἄστατον καὶ ὧδε
κἀκεῖσε περιαγόμενον τὸν ἀνθρώπινον βίον, Θεὸς λέγεται ἑστάναι· καὶ διὰ τὴν ἀστήρικτον καὶ
πάντα χρόνον περιτρεπομένην τὴν καθ' ἡμᾶς κατάστασιν λέγεται καθῆσθαι, διὰ τὸ ἑδραῖον. τὸ
γὰρ καθήμενον ἕδρασαι. Φεῦγε τὰ ἀπὸ τῆς λέξεως ὑποβαλλόμενα, καὶ νόει τὰ διὰ τῆς πίστεως ἐν ἕδρ.
θεωρούμενα. πῶς οὖν προσάγει τῷ πατρὶ υἱός; πῶς πατὴρ τῷ υἱῷ; οὐ γὰρ δεῖ καταλιπεῖν
τὸν λόγον ἀνεξέταστον. ὁ πατὴρ φανερούς τινας καὶ ὁμολογουμένους προσάγει τῷ υἱῷ,
ὁ υἱὸς πάλιν φανερούς τινας καὶ ὁμολογουμένους προσάγει τῷ πατρί. μὴ προλαβὼν ἁρπάζῃς
τὸ ῥῆμα εἰς διαβολήν, ἀλλ' ἀνάμεινον τὸ τέλος, καὶ κρῖνον τὸ λεγόμενον· μὴ γίνου δικαστὴς δυσμενής,
ἀλλὰ συναγωνιστὴς εὐμενής. ἐν τῷ Ἰσραὴλ ἐγνώσθη μὲν ὁ Θεὸς καὶ πατήρ, ἠγνοεῖτο δὲ ὁ
υἱός· ἐν δὲ τοῖς ἔθνεσι καὶ ὁ πατὴρ ἠγνοεῖτο, καὶ ὁ υἱός. τῇ γὰρ πολυθέῳ πλάνῃ δεδούλωτο τὰ ἔθνη.
ὅπου οὖν πατὴρ μὲν γνωρίζεται, υἱὸς δὲ οὐ γνωρίζεται, ἑρμηνευτὴς γίνεται τοῦ ἀγνοουμένου υἱοῦ ὁ πατήρ.
ἐπαναλήψομαι τὸν λόγον, ἵνα στήσω τὸ νόημα. ὅπου πατὴρ γνωρίζεται, καὶ υἱὸς ἀμφιβάλλεται, ἑρμηνευτὴς
γίνεται ὁ γνωριζόμενος τοῦ ἀγνοουμένου· ὅπου πατὴρ ἠγνοεῖτο, κήρυξ τοῦ ἀγνοουμένου ὁ υἱὸς γίνεται.
διὰ τοῦτο, ἵνα λάβῃς ἀκριβῆ τῶν εἰρημένων τὴν ἐξέτασιν, ἔγγυόν σοι παρέχω τὸ εὐαγγέλιον. λέγει
Ἰωαν. ιζ. ϛ. ὁ σωτὴρ περὶ τῶν ἐθνῶν· Τὸ ὄνομά σου ἐφανέρωσα τῷ κόσμῳ, μᾶλλον ὅτι τῷ ἀγνοοῦντι ἐφανέρωσά
σου τὸ ὄνομα τῷ κόσμῳ. ποῖον ὄνομα ἐφανέρωσεν; ὅτι Θεός; ἀλλὰ προειλήφει ἡ γνῶσις τὸ
ὄνομα. καὶ οἱ πλανώμενοι γὰρ λέγουσι Θεόν, καὶ οἱ ἀπεσχοινισμένοι τῆς εὐσεβείας οὐκ ἀρνοῦνται τὴν
προσηγορίαν. ποῖον οὖν ὄνομα ἐγνώρισεν; ὅτι πατὴρ καλεῖται. ἐφανέρωσά σου τὸ ὄνομα
τῷ κόσμῳ. ὁρᾷς, ὅτι ὅπου ἠγνόηται ὁ πατήρ, ἑρμηνευτὴς γίνεται ὁ υἱός, τῷ εὐαγγελικῷ κηρύγματι
σαφηνίζων τὴν ἀλήθειαν; ὅπου δὲ ὁ πατὴρ ἐνομίζετο γνωρίζεσθαι, ὁ δὲ υἱὸς
μὴ γνωρίζεσθαι, ἑρμηνευτὴς γίνεται ὁ πατὴρ αὐτὸς τοῦ ἀγνοουμένου. δεῖ, ἵνα ἐπ' αὐτῶν δείξω
τῶν πραγμάτων τὴν ἀλήθειαν· Παῦλος ᾔδει τὸν Θεόν, οὐκ ᾔδει τὸν υἱόν· ᾔδει Θεόν,
οὐκ ᾔδει δὲ πατέρα ὄντα τοῦ Χριστοῦ τὸν Θεόν, καὶ ἦν ζηλωτὴς εὐσεβείας ὑπὲρ τοῦ νόμου
μαχόμενος. ὁ Θεὸς ἀπέβλεπεν εἰς τὸν ζῆλον, ἀγνοίας μὲν πεπληρωμένον, πόθου
δὲ γέμοντα, καὶ τί ποιεῖ; γνωρίζει τῷ ἀγνοοῦντι τὸν ἀγνοούμενον. τίς ἡμῖν ταῦτα σαφηνίζει;
αὐτὸς ὁ ποτὲ ἀγνοήσας, καὶ ὕστερον γνωρίσας, αὐτὸς ὁ ποτὲ διώξας, καὶ ὕστερον εὐαγγελισάμενος.
Πραξ. κβ. γ. τί γάρ φησι; Καὶ ἤμην ζηλωτὴς τοῦ πατρῴου νόμου, καθ' ὑπερβολὴν διώκων
τὴν ἐκκλησίαν τοῦ Θεοῦ. ὅτε δὲ ηὐδόκησεν ὁ Θεὸς ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου,
καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοί, καὶ τὰ ἑξῆς. ἡ γὰρ
μαρτυρία [τὸ δεῖξαι] τὸ ζητούμενον, οὐχ ἡ θεωρία τοῦ νοήματος. πάλιν ἐρωτᾷ ὁ σωτὴρ
τοὺς ἀποστόλους, Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; ἐρωτᾷ οὐχ
Ματθ. ιϛ. ιγ. ἵνα μάθῃ, ἀλλ' ἵνα τὴν ὑπόνοιαν ἐξορίσας, τὴν ἀλήθειαν στηρίξῃ. Τίνα με λέγουσιν οἱ
ἄνθρωποι;

ἄνθρωποι; οἱ ἀπόστολοι πρῶτον τὰς τῶν πολλῶν ὑπονοίας ἀντιβάλλουσιν. Οἱ μὲν γὰρ φασιν Ἠλίαν, οἱ δὲ Ἰερεμίαν, ἢ ἕνα τῶν προφητῶν. τί οὖν ὁ σωτήρ; πρὸς μὲν τὰς ψευδεῖς δόξας οὐδεμίαν ἀπόκρισιν ποιεῖται, ἀναξίας ἀποκρίσεως κρίνων τὰς ψευδεῖς ὑπονοίας. Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; οὐ τῶν πολλῶν μοι λόγος τῶν πεπλανημένων, ἀλλ᾽ ὑμῶν τῶν κηρυττόντων. ἐπειδὴ γὰρ ὑμεῖς ἐστε οἱ μέλλοντες διαγγέλλειν τὴν λαμπρότητα τῆς ἀληθείας, τὸ κήρυγμα τῆς εὐσεβείας εἰς πᾶσαν φέρειν τὴν ὑπ᾽ οὐρανόν, ἐν ὑμῖν σαλεύεται τὰ ἀνθρώπινα, ἐν ὑμῖν κινδυνεύει τὰ τῆς ἀληθείας· καὶ ὥσπερ ἡ ὑμετέρα γνῶσις κοινὴ τῶν ἀνθρώπων εὐεργεσία, οὕτως ἡ ὑμετέρα ἄγνοια κοινὴ τῆς οἰκουμένης ζημία. διὰ τοῦτο ὑμεῖς τίνα με λέγετε; τότε ἀποκριθεὶς Πέτρος εἶπε· Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. οὗτος πίστεως ὅρος, οὗτος ἀληθείας λόγος, αὕτη τῆς ὀρθῆς δόξης ἡ ὁμολογία. ἀλλ᾽ ἐπειδὴ ἐνεδέχετο καὶ ταύτην τὴν φωνὴν εἰς τὰς ἄλλας ἰσονομεῖσθαι, τὰς μὲν ἀποκρίσεως οὐκ ἠξίου, τῇ δὲ τὴν ψῆφον φέρει· καὶ τί φησιν; ἵνα μὴ καὶ τοῦτο ἐξ ἀνθρωπίνης νομισθῇ ὑπονοίας εἶναι τὸ ῥῆμα, ἐπισφραγίσας, καὶ σημαίνων αὐτῷ ἐπιθεὶς τῆς ἀληθείας, φησί· Μακάριος εἶ Σίμων Βαρ Ἰωνᾶ. ἐνταῦθα μνημόνευσον, ὅτι πατὴρ καὶ τῷ γινώσκοντι αὐτὸν ἀποκαλύπτει τὸν ἀγνοούμενον. μακάριος εἶ Σίμων Βαρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ᾽ ὁ πατήρ μου, ὁ ἐν τοῖς οὐρανοῖς. ὁρᾷς, ὅτι τῷ μὲν κόσμῳ πάντῃ ἀγνοοῦντι τὸν πατέρα ὁ υἱὸς ἑρμηνευτὴς γέγονε τοῦ ἀγνοουμένου· τῇ δὲ συναγωγῇ, καὶ τοῖς Ἰουδαίοις Θεὸν μὲν ὑπονοοῦσιν εἰδέναι, τὸν δὲ τοῦ Θεοῦ Θεὸν λόγον οὐκ ἐπιγινώσκουσιν, αὐτὸς ὁ πατὴρ ἑρμηνευτὴς γέγονε τοῦ ἀμφιβαλλομένου; μὴ τοίνυν τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν εἰς ἐφόδιον τάξῃς ἀσεβείας, μὴ ἐλαττώσῃς τὴν ἀξίαν διὰ τὴν οἰκονομίαν, μὴ πολυπραγμόνει φύσιν ἀμέτρητον, μὴ ἐρεύνα οὐσίαν ἀκατάληπτον. Ἡσαΐας σε πεισάτω τοιαῦτα μὴ διερευνᾶν, μηδὲ τοιαῦτα πραγματογραφεῖν. Τὴν γενεὰν γὰρ αὐτοῦ τίς διηγήσεται; ὢ τῆς ἀναισχύντου γνώμης τῶν πάντα ῥᾳδίως φθέγγεσθαι καὶ λέγειν τολμώντων· καὶ οὐ φοβεῖται ὁ ἄνομος ὡς Θεοῦ φύσιν διερευνώμενος, καὶ τολμῶν λέγειν τὰ ἄρρητα, καὶ δημοσιεύειν τὰ ἅγια· καὶ εἰκότως. ἐπειδὴ γὰρ ἀγνοεῖ τὴν ἀλήθειαν, ἐπαγγέλλεται ἀγνοεῖ, ἵνα κρύψῃ τὰ κηρυττόμενα. οὐκ ἤκουσε τῆς ἁγίας γραφῆς παραινούσης, Ἃ προσετάχθη σοι, ταῦτα διανοοῦ. οὐ γάρ ἐστι χρεία σοι τῶν κρυπτῶν. ὁ μακάριος Θεός, καὶ μόνος δυνάστης τῶν θαυμασίων, Ἰὼβ τὸν ἀπὸ τῆς ὑπομονῆς λάμψαντα, βουληθείς ποτε τῇ ἱστορίᾳ τῆς δημιουργίας ἐκπλῆξαι, λέγει αὐτῷ· Ποῦ ἦς ἐν τῷ θεμελιοῦν με τὴν γῆν, ὅτε ἡ θάλασσα ἔβρυεν; ἵνα συντέμω, ὅτε τὰ ὄρη ἔπλαττον; σὺ ἐφύλαξας τοκετὸν τραγελάφων; ἀπάγγειλόν μοι, φησι, τοῦ κόσμου τὴν διατύπωσιν, τὴν τῶν θηρίων ὠδῖνα, καὶ τὴν τροφὴν τῶν κτηνῶν, τὴν κατάστασιν πάντων τῶν ἐν τῷ κόσμῳ, τὴν ποικιλίαν. ταῦτα δὲ πρὸς αὐτὸν ἔλεγεν, ὁμοῦ παιδεύων αὐτόν, ὅτι καὶ τὰ ἐν αὐτῇ τῇ κτίσει φαινόμενα τοῖς ἀνθρώποις εἰσὶν ἀκατάληπτα. εἶτα ὁ μακάριος ἐκπλαγεὶς φησί, Κύριε, ἅπαξ ἐλάλησα, ἐπὶ δὲ τῷ δευτέρῳ οὐ προσθήσω. εἶτα ἡ ζήτησις τῶν φαινομένων ἐνίκησε τὸν Ἰώβ, σοῦ δὲ τὴν τόλμαν οὐδὲ ἡ ἄρρητος τοῦ μονογενοῦς ἐνίκησε γέννησις; ἀλλ᾽ ἐπεὶ διαγγέλλεις ἃ μὴ οἶδας, ἀπαιτοῦ λέγειν ἃ πάντες ἴσμεν. εἰπέ μοι, πῶς ἡ γῆ ἐστηρίχθη ἐπὶ τῶν ὑδάτων, εἰπὲ πῶς ὁ Ἀδὰμ ἐπλάσθη ἀπὸ γῆς, εἰπὲ πῶς τὸ μάννα ἐχορηγήθη, πῶς ἡ θάλαττα διῃρέθη, καὶ τὰ λοιπὰ θαύματα, ἵνα μὴ μηκύνω. εἰπέ μοι, πῶς οἱ ἄγγελοι παρατεθέντα αὐτοῖς τὸν μόσχον ὑπὸ τοῦ Ἀβραὰμ ἔφαγον. γαστὴρ οὐκ ἦν, δοχεῖα τροφῆς οὐχ ὑπῆρχεν ἀγγέλων φύσει. Ὁ ποιῶν γὰρ τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον. πῶς ἀνηλώθη; εὐθέως ὁ αἱρετικός· καὶ τί, φησιν, ἀδύνατον ζητεῖς; δυνάμει τῶν ἀγγέλων ἐνεφανίσθη. καὶ τῇ μὲν δυνάμει τῶν ἀγγέλων πιστεύεις, καὶ οὐκ ἐξετάζεις, Θεοῦ δὲ γέννησιν πολυπραγμονεῖς; πῶς ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν; ἀποκρίνεται, * ὡς οἶδεν, ὡς ἠθέλησεν. εἶτα ἡ μὲν δύναμις τοῦ Θεοῦ λογισμοῖς οὐχ ὑποβάλλεται, ἀλλὰ πίστει παραδίδοται, θεία δὲ γέννησις τῶν λογισμῶν ἀνάγ-

Ἡσ. νγ. η.

Σειρ. γ. κα.

Ἰωβ. λη. δ.

Ψαλ. ργ. δ.

καὶ περιεργάζεται; οὐκ ἤκουσας τοῦ Δαβὶδ λέγοντος, Πάντα, ὅσα ἠθέλησεν, ὁ Κύριος ἐποίησε; τὸ θέλημα οὐ πολυπραγμονεῖς, καὶ τὴν φύσιν περιεργάζῃ; καὶ τί, ἀδελφοί; ἃ μὲν ἐποίησεν ὁ Θεὸς θέλων, ὁρᾶται, ὃν δὲ ἐγέννησεν ἐκ τῆς ἰδίας οὐσίας ἀόρατον (εἰκὼν γὰρ Θεοῦ ἀοράτου· τὰ φαινόμενα ποιήματα) νῦν ἐν τῷ λογισμῷ ἡ ἀόρατος γέννησις τοῖς λογισμοῖς δουλεύει; ἃ θελήσας ἐποίησεν, οὐκ ἀνακρίνεται· ὃ κατὰ τὴν θείαν καὶ ἀγέννητον φύσιν ὑπήνεγκε, πολυπραγμονεῖς; ὢ καινῆς τόλμης, ὢ ξένης ἐπιχειρήσεως, ὢ βουλήματος ἠτιμωμένου, καὶ φύσεως ὑβριζομένης.

Ψαλμ. δ γ. καλῶς ὁ μακάριος Δαβὶδ ἔλεγεν, Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος; πᾶν γὰρ ἀλλότριον τῆς Χριστοῦ διδασκαλίας, καὶ ψεῦσμα, καὶ μάταιον.

Ιωαν. ιδ. ς. εἰ γὰρ ἀληθεύει λέγων, Ἐγώ εἰμι ἡ ἀλήθεια, ὅσα ἐκτὸς τῆς Χριστοῦ διδασκαλίας, εἰς ψεῦδος φέρει. ἀνάγαγέ σου τὴν ψυχὴν ἀπὸ τῶν χαμαὶ κειμένων ζητημάτων, καὶ τῶν ματαίων λογισμῶν ἐπὶ τὸ ὕψος τῆς

Ματθ. ιγ. μδ. θεολογίας, καὶ κατάλειπε τὴν πτωχὴν τῶν λογισμῶν ἔρευναν, λάβε τὸν θησαυρὸν τῆς ἀληθείας. Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν θησαυρῷ κεκρυμμένῳ. διὰ τί θησαυρὸς ὀνομάζεται ὁ σωτήρ; ἐν τούτῳ πρόσεχε ἀκριβῶς. ὥσπερ ὁ θησαυρὸς οὐχ ὅτε εὑρίσκεται, τότε συνίσταται, ἀλλ' ἔστι μὲν παλαιὸς τῇ θέσει, νέος δὲ τῇ εὑρέσει, οὕτω καὶ ὁ σωτήριος λόγος, παλαιὸς μέν ἐστι τὴν ἀξίαν καὶ ἀρχὴ τῶν ἁπάντων (ἐπειδὴ ἐν ἀρχῇ ἦν ὁ λόγος) νέον δὲ τὸ κήρυγμα διὰ τὴν τῆς σαρκὸς οἰκονομίαν. ἀμέλει οὖν, ἀδελφέ, ἵνα μάθῃς, ὅτι δίκην θησαυροῦ τοῖς ποθοῦσιν ἐκλάμπει, καὶ οἱ εὑρίσκοντες οὕτως ἐπιτρέχουσιν, ὡς θησαυρῷ εὑρημένῳ, ὁ Ἀνδρέας

Ιωαν. α με. τῷ Πέτρῳ τὴν εὐεργεσίαν κηρύττων φησίν· Ὃν ἔγραψε Μωϋσῆς ἐν τῷ νόμῳ, καὶ οἱ προφῆται, εὑρήκαμεν τὸν Χριστόν. Μωϋσῆς γὰρ καὶ οἱ προφῆται ἐν ταῖς ἁγίαις βίβλοις, ὡς ἐν θησαυροῖς, ἀπέθεντο τὸ κήρυγμα. ἀλλ' ὥσπερ οἱ κρυπτὸν θησαυρὸν ἀποτιθέμενοι, αὐτοὶ μὲν ὁρῶσιν, ἃ καταβάλλονται, σκέπουσι δὲ τῇ ὄψει, μὴ εὐδιάρπαστος γένηται τοῖς ἀλλοτρίοις· οὕτω καὶ οἱ προφῆται Χριστὸν κηρύξαντες, τῇ ἀσαφείᾳ τῶν λέξεων ἔκρυψαν τὸν θησαυρόν. διὰ τί; εἰ γὰρ σαφῶς εἶπον, οὐκ ἦν προφητεία, ἀλλὰ κήρυγμα, καὶ προελάμβανεν ἡ ἀωρία τῆς ἐκφράσεως τὴν εὐκαιρίαν τοῦ κηρύγματος. τί οὖν ποιοῦσι; καὶ

Ησ. κθ. ια. ἑρμηνεύουσι, καὶ κρύπτουσι. τίς ταῦτα λέγει; Ἡσαΐας· Καὶ ἔσται τοῦτο τὸ βιβλίον, ὡς βιβλίον ἐσφραγισμένον, ὃ ἐὰν δοθῇ ἀνθρώπῳ ἐπισταμένῳ γράμματα, ἐρεῖ, οὐ δύναμαι ἀναγνῶναι. ἐσφράγισται γάρ. καὶ ἐὰν δοθῇ τῷ μὴ εἰδότι γράμματα, ἐρεῖ, οὐ δύναμαι ἀναγνῶναι· οὐ γὰρ ἔμαθον γράμματα. τί βούλεται οὖν τοῦτο τὸ αἴνιγμα; ἡ περὶ Χριστοῦ προφητεία, φησί, καὶ Ἰουδαίοις καὶ Ἕλλησιν ἠγνοεῖτο· Ἰουδαίοις μὲν τοῖς εἰδόσι γράμματα, νόμον, καὶ προφήτας, ἐπειδὴ ἐσφράγιστο. Ἰουδαῖοι γράμματα ᾔδεισαν, καὶ ἐπαιδεύθησαν. διὰ τοῦτο λέγει αὐτοῖς

Ησ. μϛ. γ. ὁ Θεός, Οἱ βασταζόμενοι ἐκ κοιλίας, καὶ παιδευόμενοι ἕως γήρους. ἦσαν παιδευόμενοι, ἀλλ' οὐκ ᾔδεισαν· ἐπειδὴ τῇ ἀσαφείᾳ ἐκρύπτετο. τοῖς δὲ Ἕλλησιν ἠγνοεῖτο, οὐ διὰ τὴν ἀσάφειαν, ἀλλὰ διὰ τὸ ὅλως μὴ εἰδέναι γράμματα. διὰ τοῦτο Παῦλος Τιμοθέῳ τῷ ἐντραφέντι τῷ

β. Τιμ. γ. ιε. νόμῳ λέγει· Ὅτι ἐκ βρέφους τὰ ἱερὰ γράμματα οἶδας, τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν. ἦν οὖν ἡ προφητεία τεθησαυρισμένη, καὶ ἐν ταῖς ἁγίαις βίβλοις ἐγκεκρυμμένη. ἔδει γὰρ μὴ ἀποστῆναι τοῦ κεκρυμμένου. οὐκ Ἡσαΐας δὲ μόνον δείκνυσι τὰς προφητείας ἐσφραγισμένας, ἀλλὰ καὶ Δανιήλ. λέγει γὰρ αὐτῷ ὁ ἄγγελος μετὰ τὸ μηνῦσαι αὐτῷ τὴν ἀ-

Δαν. ιβ. δ. ποκάλυψιν τῶν μελλόντων· Καὶ σὺ Δανιήλ, σφράγισον τὸ βιβλίον τοῦτο τῆς ὁράσεως. ὅτι ἡ δήλωσις αὐτοῦ εἰς μακράν. διὰ τοῦτο ὁ μακάριος Δαβὶδ ἀναγινώσκων τὸν νόμον, καὶ ἀναγινώσκων τοὺς προφήτας ἐκ προσώπου τοῦ λαοῦ (οὐ γὰρ αὐτὸς ἠγνόει ὁ προφητεύων) βουλόμενος δεῖξαι, ὅτι ἔμφασιν μέν τινα δέχεται τῆς τοῦ Χριστοῦ οἰκονομίας, οὐ δύναται δὲ νοῆσαι διὰ τὴν ἀσάφειαν τῶν λέξεων, ἐπάγει τι παραπλήσιον τοῖς ἐρῶσι βαλάντιον ἐσφραγισμένον. τί οὖν ποιεῖ βλέπων τὰ γράμματα, καὶ μὴ καταλαμβάνων αὐτῶν τὰ νοή-

Ψαλμ. ριη. ιη. ματα; λέγει, Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου.

κ. ὁρατῶν

κ. κε ἕως ἵνα τί

καὶ πάλιν ὁ αὐτός· Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου. οὐ γὰρ διέγνως παρὰ τοῦ νόμου; οὐκ ἐπαίδευσέ σε ὁ Μωϋσῆς τὸν δεκάλογον; ἀλλὰ τὰ σὰ βούλομαι μαθεῖν, καὶ τὰ παρὰ σοῦ τοῦ νομοθέτου· παρὰ τῆς πηγῆς τοῦ νόμου βούλομαι μαθεῖν τοῦ νόμου τὴν ἀλήθειαν. ἀλλ' ἐζήτει μὲν μαθεῖν, ἡ δὲ χάρις ἐταμιεύετο τοῖς μέλλουσι λαμβάνειν τὴν εὐεργεσίαν. διὰ τοῦτο ἔλεγεν ὁ σωτὴρ τοῖς μαθηταῖς· Πολλοὶ βασιλεῖς, καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν, ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι, ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν· ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοί, ὅτι βλέπετε. ἀλλὰ ζητοῦμεν, πότε ὅλως ἡ σφραγὶς ἀπεσφραγίσθη, πότε ὁ δεσμὸς τῆς ἀγνοίας ἐλύθη, πότε τὰ "κεχωσμένα ἀνεῴχθη. ἀπαιτεῖ παρ' ἡμῶν ὁ ἀκροατής, [καὶ παρὰ]" τοῦ λόγου, τὸν τόπον μοί, φησιν, ἐμήνυσας τοῦ σφραγίσματος, τὸν καιρόν μοι τῆς ἐπιλύσεως τῶν ἐσφραγισμένων οὐ λέγεις; κεκλεισμένας ἔδειξας τὰς πύλας, ἀνεῳγμένας οὐχ ὑποδείξεις; τί οὖν; ἀπὸ ἑνὸς ῥήματος τὰ πολλὰ παρωσάμενος, παραστήσω τὸ ζητούμενον. τί οὖν; μετὰ τὴν τοῦ σωτῆρος ἀνάστασιν ἀγνοουμένης τοῖς πολλοῖς τῆς θείας χάριτος, τινές, φησι, τῶν μαθητῶν δύο, ἔξω εἰς κώμην ἀπῄεσαν, καὶ πρὸς ἀλλήλους, οἷα φίλοι, ἐν ὁδῷ ἀντέβαλλον περὶ τῆς οἰκονομίας. ὁ σωτὴρ ἀμείψας τὸ σχῆμα, καὶ τὸ ἐκφώνημα (ὃ γάρ ἐστι πρόσωπον τοῖς ὁρῶσι, τοῦτο φωνὴ τοῖς τὸ πρόσωπον "ἐκχωροῦσι) κρύπτει καὶ τὴν φωνήν, καὶ τὴν μορφήν, καὶ λέγει αὐτοῖς ὁ τὰ πάντα εἰδώς, Τίνες οἱ λόγοι οὗτοι, οὓς ἀντιβάλλετε πρὸς ἀλλήλους; λέγει αὐτῷ τῷ τὰ πάντα εἰδότι ὁ παρ' αὐτοῦ τὰ πάντα μανθάνων, Σὺ μόνος παροικεῖς "ἐν Ἱερουσαλήμ, καὶ οὐκ ἔγνως τὰ γενόμενα ἐν αὐτῇ; λέγει, ποῖα; οὗτος ὁ Θεὸς ὁ εἰδὼς τὰ πάντα, καὶ ἐρωτῶν, ὁ υἱός ἐστιν ἐκείνου τοῦ λέγοντος τῷ Κάϊν, Ποῦ Ἄβελ ὁ ἀδελφός σου; λέγουσι τὰ περὶ Ἰησοῦ τοῦ Ναζωραίου, ὃς ἐγένετο ἀνὴρ δυνατὸς λόγῳ καὶ ἔργῳ. ἀκμὴν ἀνήρ; μετὰ τοσαῦτα θαύματα ἀνήρ; μετὰ τοσαύτας ἐνεργείας, μετὰ τοσαύτην θείας δυνάμεως ἀπόδειξιν; ἡμεῖς δέ, φησιν, ἵνα μὴ πάντα ἐξετάζων ὁ λόγος μηκύνῃ, ἡμεῖς δὲ ἠλπίζομεν, ὅτι αὐτός ἐστιν ὁ λυτρούμενος τὸν Ἰσραήλ. ὅρα "πῶς ἔσβεστο ἐν αὐτοῖς σχεδὸν ἡ πίστις, καὶ καθῄρητο λοιπὸν ἡ ἐλπὶς τῆς οἰκονομίας. ἡμεῖς προσεδοκῶμεν. οὐ λέγει, προσδοκῶμεν, ἀλλά, προσεδοκῶμεν. ἤδει οὖν λοιπὸν ἀσθενοῦσαν αὐτῶν τὴν πίστιν, καὶ κλίνασαν αὐτῶν τὴν διάνοιαν, καὶ ἐπέστη ὁ στηρίζων τοὺς καταπεπτωκότας, καὶ ἀνορθῶν πάντας τοὺς κατερραγμένους. καὶ τί πρὸς αὐτοὺς ὁ εὐεργέτης; ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ, οὐ συνίετε τὰς γραφάς; οὐ ταῦτα ἔδει παθεῖν τὸν Χριστόν, καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ; καὶ ἀρξάμενος ἀπὸ τοῦ νόμου, καὶ τῶν προφητῶν, διήνοιγεν αὐτοῖς τὰς γραφάς. ὁρᾷς, ὅτι ἕως "ἐπέστη Χριστός, οὐκ ἀνεῴχθη τῆς ἀληθείας ἡ πύλη, οὐδὲ ἐλύθη ὁ δεσμὸς τῆς ἀγνοίας; διήνοιγε τὰς γραφάς, οἷά τινας θύρας κεκλεισμένας. ποίας θύρας; περὶ ὧν φησιν ὁ Παῦλος, Ἵνα ὁ Θεὸς ἀνοίξῃ θύραν τοῖς ἔθνεσι· καὶ πάλιν ἐπὶ Κορνηλίου, Ἄρα γε καὶ τοῖς ἔθνεσιν ἤνοιξεν ὁ Θεὸς θύραν μετανοίας. καὶ ὅρα τί οἰκονομεῖ ἡ πηγὴ τῶν ἀγαθῶν. ὅτε γὰρ ἐπέστη τῇ κώμῃ τῇ Ἐμμαοῦς, καθὰ καὶ τὴν ὁρμὴν εἶχον οἱ ὁδεύοντες, ἔτι ἀγνοούμενος ὑπ' αὐτῶν, "ἔφαινε τῷ ἀμφιβαλλομένῳ. ὡς γὰρ κατεκλίθη αὐτοῖς, τὰ πρῶτα, ὡς ξένος φιλοφροσύνης ἀξιούμενος (μεῖνον γάρ, φησι, παρ' ἡμῖν, ὅτι ἔκλινεν ἡ ἡμέρα) ἵνα μὴ "πάντη ἡ ἄγνοια κατακαλύπτῃ τὴν ἀξίαν, λαβὼν ἄρτον, ηὐλόγησε, καὶ κλάσας ἐπέδωκε, καὶ ἠνοίγησαν αὐτῶν οἱ ὀφθαλμοί, καὶ ἐπέγνωσαν αὐτόν. διὰ τί πρότερον ἔδωκε τὸν ἄρτον, καὶ τότε ἠνοίγησαν αὐτῶν οἱ ὀφθαλμοί; ἐπειδὴ βρῶσις τοῦ Ἀδὰμ τοὺς ὀφθαλμοὺς κακῶς ἤνοιξεν, ἀντεισήχθη νῦν βρῶσις τὴν ξένην ἀνάβλεψιν ἐργαζομένη. ἀναβλέψωσι καὶ οἱ τῶν αἱρετικῶν παῖδες, καὶ ἴδωσι τὸ φῶς τῆς ἀληθείας· ἴδωσι τὸν ἐν ἀρχῇ ὄντα Θεόν, Θεὸν ὄντα, καὶ "Θεοῦ λόγον ὑπάρχοντα. ἀκουσάτωσαν πολλάκις τό, ἦν, καὶ "παύσονται λέγοντες τό, οὐκ ἦν. ἐν ἀρχῇ ἦν ὁ λόγος. οὐκ εὐθὺς τοῦτο ἐκηρύχθη. οὐ γὰρ ἐχώρει ὁ κόσμος· μακρὰν ἡμῖν οἱ εὐαγγελισταί, Ματθαῖος, Μάρκος, Λουκᾶς καὶ Ἰωάννης. ὅτε ἤρξαντο τοῦ κηρύγματος, οὐκ εὐθὺς ἐλάλησαν τὰ πρέποντα τῇ ἀξίᾳ, ἀλλὰ τὰ ἁρμόζοντα

Ψαλμ. ριη. ιβ.
Λουκ. ι. κδ.
γρ. κεκλεισμένα
γρ. τῶν λόγων
γρ. ἐγ.
Λουκ. κδ. ιζ.
γρ. εἰς
Γεν. δ. θ.
γρ. ὅπως
γρ. ἀπέστη
Κολοσ. δ. γ.
Πραξ. ιδ. κζ.
γρ. ἔστη
γρ. πωτί
γρ. Θεὸν
γρ. παύσονται

Ματθ. α. α.

ζοντα τοῖς ἀκροωμένοις. ὁ Ματθαῖος ἀρχὴν ποιησάμενος τῶν εὐαγγελίων, λέγει· Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαβὶδ, υἱοῦ Ἀβραάμ. διὰ τί μὴ υἱοῦ Θεοῦ; διὰ τί πτωχῇ λέξει κρύπτεις τὴν ἀξίαν; διὰ τί τοῖς ἀνθρώποις τὰ θεῖα καλύπτεις; παρὰ Ἰουδαίοις, φησὶ, κηρύττω, τοῖς μὴ ἄνθρωπον δίκαιον εἶναι πιστεύουσι τὸν Χριστόν· υἱὸν Ἀβραὰμ οὔπω ἐδέξαντο, καὶ υἱὸν Θεοῦ καταγγελλόμενον ἀνέξονται; καὶ πόθεν τοῦτο, ὅτι οὐδὲ τοῦ γένους αὐτὸν ὡμολόγουν Ἀβραάμ; οὐκ ἤκουσας, ὡς πολλάκις βλασφημοῦντες αὐτὸν ἔλεγον, Σαμαρείτης εἶ σὺ, καὶ δαιμόνιον ἔχεις; οἱ τοῦ γένους αὐτὸν τῶν ἁγίων ἐκβάλλοντες, τὴν ἀξίαν τὴν ἔνθεον" καταλαμβάνουσι; τί οὖν φησι; Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβὶδ, υἱοῦ Ἀβραάμ. πρότερον αὐτὸν ἐπάγει τοῖς ὀνόμασι τοῖς φίλοις, τοῖς πρὸς συγγένειαν ἡνωμένοις, ἵν᾽ ἐξ ἐκείνων θηραθέντες κατὰ μικρὸν εὕρωσι τὴν ἀλήθειαν, τὴν ἀπαθῆ γέννησιν, τὴν ἄχραντον, τὴν θεοπρεπῆ, λόγῳ κρυπτομένην, καὶ πᾶσι παραδιδομένην. πάλιν ὁ μακάριος Μάρκος καθεὶς ἑαυτὸν εἰς τὸ εὐαγγέλιον, καὶ θαρσήσας τοῖς προγεγυμνασμένοις, λέγει μὲν υἱὸν Θεοῦ· ἀλλ᾽ εὐθέως συνέστειλε τὸν λόγον, καὶ ἐκολόβωσε τὴν ἔννοιαν, ἵνα μαλάξῃ τὸν ἀκροατήν. ἐπάγει οὖν εὐθέως τὰ κατὰ τὸν βαπτιστὴν λέγων, Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ, καθὼς γέγραπται ἐν Ἡσαΐᾳ τῷ προφήτῃ· ἰδοὺ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. ἔδειξε τὴν λαμπάδα τῆς ἀληθείας, καὶ εὐθέως ἀπέκρυψε, καὶ προφέρει πρότερον τὸν ὑπηρέτην, ἵνα τῇ φωνῇ προενηχηθεὶς ὁ ἀκροατὴς, δέξηται λοιπὸν ὑγιῶς τὸν παντελῆ τῆς θεογνωσίας λόγον. ὁ Λουκᾶς ἀκολουθεῖ τρίτος, καὶ μέσος χωρεῖ μετὰ τούτων, καὶ ἅπτεται μὲν τοῦ θείου λόγου, οὐ μὴν ἑρμηνεύει καὶ ἀναπτύσσει τὴν ἀξίαν, ἀλλά φησιν· Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων, ἔδοξε κἀμοὶ παρηκολουθηκότι τοῖς πᾶσιν ἀπ᾽ ἀρχῆς γράψαι, καθὼς παρέδωκαν ἡμῖν οἱ ἀπ᾽ ἀρχῆς αὐτόπται, καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου. ἀλλὰ λόγον μὲν εἶπεν, οὐκ εἶπε δὲ ὅτι καὶ Θεὸς ἦν ὁ λόγος. τί οὖν καὶ αὐτὸς ποιεῖ; ἀψάμενος τοῦ εἰπεῖν, καὶ ἐννοήσας, ὅτι νεκραῖς ἀκοαῖς ἐνηχεῖ, κρύπτει τὴν ἀξίαν, καὶ προφέρει τὴν οἰκονομίαν. Ἐγένετο ἱερεὺς Ζαχαρίας, καὶ τὰ ἑξῆς τοῦ εὐαγγελίου. πάντες οὖν ἐχώρησαν εἰς τὴν τῆς σαρκὸς οἰκονομίαν, καὶ ἠρέμα πως διὰ τῶν θαυμάτων ἐγνώριζον τὴν ἀξίαν. ἐκρύπτετο δὲ ἐπὶ τοῦ Θεοῦ λόγου τὸ ἀξίωμα· ἐκρύπτετο δὲ τὰ κατὰ τῶν αἱρετικῶν βέλη, καὶ τὸ τῆς ὀρθῆς δόξης ἐπιτείχισμα οὐδέπω τῷ κηρύγματι τῆς εὐσεβείας ἐγήγερτο. Ἰωάννης τοίνυν ὁ υἱὸς τῆς βροντῆς τελευταῖος παρῆλθεν ἐπὶ τὴν θεολογίαν μετὰ τοὺς τρεῖς ἐκείνους κήρυκας. καὶ εἰκότως ὁ μὲν ἠκολούθησεν, οἱ δὲ προέλαβον, "τὰ μικρὰ τέως ἀστράπτοντες. ὥσπερ γὰρ τῆς βροντῆς προηγεῖται ἀστραπὴ, ἵνα μὴ ἀθρόον ἐκείνη ἐκ τῶν νεφῶν ῥαγεῖσα πλήξῃ "τὸν ἀκούοντα· οὕτως ἐπειδὴ ἔμελλε βροντᾶν ὁ Ἰωάννης, προέλαβον οἱ τρεῖς εὐαγγελισταὶ δίκην ἀστραπῶν· καὶ οἱ μὲν ἤστραψαν τὴν οἰκονομίαν, ὁ δὲ βροντᾷ τὴν θεολογίαν. βροντὴ δὲ, ἀδελφοὶ, μετὰ ὄμβρων, βροντὴ φόβητρον τῶν πονηρῶν, καὶ ὥσπερ δὴ σάλπιγγί τινι κεχρημένος, τῇ βροντῇ ὁ οὐρανὸς καλεῖ τὸν ὄμβρον, ἀλλὰ πρότερον ταῖς ἀστραπαῖς προκαλεῖ τὸν ὑετόν. ἀστραπὰς γὰρ ὁ Θεὸς εἰς ὑετὸν ἐποίησεν· ἔπειτα τῇ βροντῇ κινεῖ τὰς νεφέλας. τί οὖν; ἐπειδὴ προηγήσαντο αἱ τοσαῦται ἀστραπαὶ τοῦ λόγου, "ἀκολουθείτω λοιπὸν, ὡς ἔφθην εἰπὼν, ἡ βροντὴ τῆς θεολογίας, καταπλήττουσα μὲν πολλοὺς τῇ ὑπερβολῇ τῆς θεολογίας, φέρουσα δὲ τοὺς ὄμβρους τῆς εὐλογίας· καὶ ἡμῖν μὲν βροντὴ γέγονε θεολογίας, τοῖς δὲ αἱρετικοῖς βροντὴ τοὺς κακοὺς θῆρας τῇ ὑπερβολῇ τῆς μεγαλοφωνίας ἐλαύνουσα· Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. ἀναδράμωμεν οὖν πρὸς τὸν ἐν ἀρχῇ Θεὸν, ἀναδράμωμεν πρὸς τὸ ἀΐδιον φῶς, ἀναδράμωμεν πρὸς τὸν λόγον διὰ σὲ γενόμενον ἄνθρωπον. γενόμενον δὲ ὅταν εἴπω, οὐ μεταβληθεῖσαν λέγω φύσιν, ἀλλὰ τὴν θεϊκὴν ἀξίαν ἀναλαβοῦσαν τὰ ἡμέτερα. τὸ γάρ, ὁ λόγος σὰρξ ἐγένετο, οὐ μετάπτωσιν τῆς φύσεως μηνύει, ἀλ-

λὰ

Ἰωαν. η. μη

ἴσ. καταλάμβανουσι;

Μαρκ. α. α.

Λουκ. α. α.

γ. ὑπό

γ. τοὺς ἀκούοντας

γ. ἀκολουθεῖ ἡ

Ψαλμ. ϟγ. η.

λαβε τὴν ἀνάληψιν τῆς ἡμετέρας ἀσθενείας. Εἰ γὰρ τὸ, ἐγένετο, μεταβολὴν νομίζεις, ἐὰν ἀκούσῃς τοῦ Παύλου λέγοντος, Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα, κατάραν εἰς φύσιν, καὶ μετάστασιν κατάρας ἐκλαμβάνεις τὴν λέξιν; ὥσπερ οὖν τὸ, γεγονὼς κατάρα, οὐδὲν ἕτερον σημαίνει, ἢ ὅτι τὴν καθ' ἡμῶν κατάραν εἰς ἑαυτὸν ἀνέλαβεν, οὕτω καὶ ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, οὐδὲν ἄλλο παρίστησιν, ἢ τῆς σαρκὸς τὴν ἀνάληψιν. ἔχεις εἰκόνα παρὰ σαυτῷ· ὁ λόγος ὁ σὸς παιδεύσει σε περὶ τοῦ Θεοῦ λόγου, οὐχ ὡς παντελῆ φέρων τὴν ὁμοιότητα, ἀλλ' ὡς ἔχων ἴχνος καὶ ἔμφασιν τῆς θείας ἀξίας ὁ λόγος. ἐνταῦθα δέ μοι πρόσεχε τῷ νῷ ἀκριβῶς, ἵνα μὴ διὰ κενῆς λέγηται τὰ ῥήματα, καὶ ἀφανίζηται τὰ θεῖα νοήματα. ὁ λόγος ὁ τῶν ἀνθρώπων (ἀμυδρὰ δέ ἐστιν ἡ εἰκὼν, οὐχ ὅλον παριστῶσα τὸ ἀξίωμα, ἀλλ' ἐκ τῶν καθ' ἡμᾶς τὰ ὑπὲρ ἡμᾶς διδάσκουσα) ὁ λόγος ὁ ἡμέτερος ἀσώματός ἐστιν, ἀόρατος, ἀκράτητος, ἀκοῇ μόνῃ παραδεδομένος· οὐδεὶς οἶδεν ὄψει λόγον, οὐδεὶς κατέσχε χερσί· ἀλλ' ἔστιν ἀόρατος, ἀκράτητος, ὑπὸ μιᾶς αἰσθήσεως κρατούμενος τῆς ἀκοῆς, καὶ τοῦτο ἀοράτως. οὐ γὰρ χεῖρας ἐκτείνασα ἡ ἀκοὴ κατέχει, ἀλλ' αὐτὸς ὁ λόγος εἰσελθὼν κρατεῖται. ὁ λόγος αὐτὸς γέννημα μέν ἐστι τοῦ νοῦ, γεννᾶται δὲ οὐ πάθει, οὐ κόψει, οὐ διαιρέσει, οὐ μερίζεται τοῦ νοῦ τοῦ γεννήσαντος, οὐ χωρίζεται, οὐκ ἀποσχίζεται. ἐνταῦθά μοι χρῆσον τὴν ἀκοὴν, αἱρετικὲ, νόησον πρῶτον τὰ σὰ, καὶ τότε φαντάζου τὰ ὑπὲρ σέ. γεννᾷ ὁ νοῦς, προέρχεται ὁ λόγος, προέρχεται ἐκ τοῦ γεννήσαντος, καὶ πάντας πληροῖ τοὺς ἀκούοντας, καὶ τοῦ γεννήσαντος [αὐτὸν] οὐκ ἀφίσταται. προέρχεται λόγος εἰς πάντας μεριζόμενος, καὶ οὐδαμοῦ σχιζόμενος. ἕκαστος γὰρ δέχεται ὁλόκληρον τὸν λόγον, καὶ ἔστιν ἐν ἑκάστῳ, καὶ ἐν τοσούτοις μεριζόμενος, ἀλλ' ὁλόκληρος εἰσχεόμενος. ὁ οὖν ἡμέτερος λόγος δείκνυσιν ἐν ἑαυτῷ τὸν γεννήσαντα νοῦν. ἀπὸ γὰρ τοῦ λόγου καταλαμβάνεται ἡ διάνοια. σκόπει δέ μοι κἀκεῖνο· τύπῳ τῷ λόγῳ τῷ ἡμετέρῳ προαναζωγραφῶν τὴν οἰκονομίαν τοῦ Θεοῦ λόγου, εἰκόνα τινὰ θαυμαστὴν προαναλήπτομαι, γηΐνοις μὲν ἄνθεσιν ὡραϊζομένην, πρέπουσαν δὲ τῇ τοῦ λόγου προθεωρείᾳ. τί οὖν; τὸν λόγον τὸν ἡμέτερον ἀόρατον ὄντα, καὶ σῶμα μὴ ἔχοντα, καὶ κρατεῖσθαι μὴ δυνάμενον, ἑτέρᾳ τινὶ σοφίᾳ ὁ Θεὸς μεταρρυθμίσας, καὶ ὁρᾶσθαι πεποίηκε καὶ κρατεῖσθαι. τί γὰρ ποιεῖ; ἐπειδὴ οὐκ ἑωρᾶτο ὄψει, ἐνδύει ἑαυτὸν σῶμα τὸ γράμμα, καὶ ὥσπερ τινὰ σάρκα αὐτῷ περιέθηκε τὴν τῶν γραμμάτων ὄψιν· καὶ ὅν ποτε ἀκούων οὐχ ἑώρας, ἀναγινώσκων ὁρᾷς· ὃν ἐντυχεῖν οὐκ ἐδύνω, διὰ τῆς βίβλου βαστάζεις. ἀλλὰ σωματοῦται μὲν ὁ λόγος διὰ τοῦ γράμματος, οὐ περικλείεται δὲ τῷ γράμματι, ἀλλ' ἔστι παρὰ τῷ λέγοντι, καὶ παρὰ τῷ ἀναγινώσκοντι. κἂν τις λαβὼν, ἀδελφοὶ, βιβλίον σχίσῃ, τὸ σῶμα τοῦ λόγου ἔσχισεν, οὐ τὸν λόγον ἔτεμε. καὶ ἵνα μάθῃς, ὅτι οὐ συναναλίσκεται γράμματι λόγος, λέγει ὁ Θεὸς τῷ Ἱερεμίᾳ· Καθίσας γράψον ἐπὶ βιβλίου πάντας τοὺς λόγους, καὶ ἐπίδος Ἰωακεὶμ τῷ βασιλεῖ. ἦν δὲ ὁ λόγος μεστὸς ἐλεγμοῦ. ἐπεὶ οὖν οἱ δυνάσται τοὺς ἐλέγχους οὐ φέρουσιν (ἡ γὰρ ἀξία οὐ ῥᾳδίως ὑποπίπτει τῷ δικαίῳ, ἀλλ' ἀμβλυώει τὴν ἀλήθειαν) πληγεὶς τοῖς ἐλέγχοις διαρρήγνυσι τὸ βιβλίον, καὶ τὴν συμβουλὴν τοῦ γράμματος διακόψας, ἔβαλε, φησὶ, παρὰ τὴν ἐσχάραν τοῦ πυρός. τί οὖν ὁ Θεὸς πρὸς Ἱερεμίαν; Καθίσας γράψον τοὺς αὐτοὺς λόγους, καὶ δὸς τῷ βασιλεῖ, ἵνα μάθῃ, ὅτι τὸ γράμμα διέκοψε, τοὺς δὲ λόγους οὐκ ἔτεμεν. Εἶδες τὴν εἰκόνα; ἀνάγαγέ σου τὸ λοιπὸν ἐπὶ τὸ ὕψος τὴν διάνοιαν. ὁ τοῦ Θεοῦ αὐτὸς Θεὸς λόγος ὁ μονογενὴς ἐνδύεται σῶμα, ἵνα φανῇ ὁ μὴ φαινόμενος· ἐνδύεται σάρκα, ἵνα κρατηθῇ ὁ μὴ κρατούμενος. διὰ τοῦτο ὁ Ἰωάννης θεωρῶν τὸ ποθεινὸν ἐκεῖνο, τὸ ποτὲ μὲν ἀκοῇ κρατούμενον, ὕστερον δὲ ὄψει κατεχόμενον λέγει· Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἑωράκαμεν, καὶ ἀκηκόαμεν, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν. ἐφόρεσε τοίνυν τὴν σάρκα ἔνδυμα τῆς ἀξίας, ἔνδυμα εὐπρεπές. ὁ Κύριος γὰρ ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. Ἰουδαῖοι μάχονται τῷ φαινομένῳ, ἀγνοοῦντες τὸν μὴ φαινόμενον, καὶ σταυροῦσι

Γαλατ. γ. ιγ.

Ιερ. λ.

α. Ιωαν. α. α.

Ψαλμ. ϞΓ. α.

μὲν τὴν σάρκα, οὐκ ἀναιροῦσι δὲ τὴν θεότητα. Εἰ γὰρ τῷ γράμματι, ὅ ἐστιν ἔνδυμα λόγου, ὁ ἐμὸς λόγος οὐ συναφανίζεται, ὁ Θεὸς λόγος, ἡ πηγὴ τῆς ζωῆς τῇ σαρκὶ συναπέθανε; τὸ πάθος περὶ τὸ σῶμα, ἡ δὲ ἀπάθεια περὶ τὴν ἀξίαν. Διὰ τί οὖν ὁ Παῦλος λέγει· Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν; ἐπειδὴ οἰκειοῦται τὸ πάθος τῆς σαρκὸς ὁ τὴν σάρκα ἐνδυσάμενος. ἔνδυμα βασιλικὸν ἐὰν ὑβρίσῃς, οὐ τὸν ἐνδιδυμένον ὑβρίζεις; οὐκ οἶδας, ὅτι εἰ εἰκόνα βασιλέως τις ὑβρίσει, εἰς τὸ πρωτότυπον τῆς ἀξίας φέρει τὴν ὕβριν; οὐκ οἶδας, ὅτι ἐάν τις εἰκόνα τὴν ἀπὸ ξύλου, ἢ ἀνδριάντα χαλκοῦν κατασύρῃ, οὐχ ὡς εἰς ἄψυχον ὕλην τολμήσας, οὕτω κρίνεται, ἀλλ' ὡς κατὰ βασιλέως χεῖρας ἐκτείνας ἀφανίζεται; ὕλη ἄψυχος τοῦ βασιλέως εἰκόνα φέρουσα τὴν ἑαυτῆς ὕβριν εἰς βασιλέα ἀνάγει· μορφὴ δὲ ζῶσα, ἣν ἐνεδύσατο ὁ Θεὸς λόγος, ὑβριζομένη, οὐκ ἐπὶ τὸν ἐνδυσάμενον τὴν ὕβριν ἀνήγαγε; νόει τοίνυν τὴν ἀξίαν, καὶ μὴ ὕβριζε τὴν οἰκονομίαν. ἀλλὰ ταῦτα μὲν ἱκανά, τὰ δὲ λείποντα τῇ θεωρίᾳ τοῦ Θεοῦ λόγου ἑτέρῳ ταμιευσάμενοι λόγῳ, τάξει τὴν συμμετρίαν τιμήσωμεν, καὶ Θεῷ δόξαν ἀναπέμψωμεν τῷ πατρί, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

α Κορ. β. η.

Λογ. ρζ. ΕΙΣ ΤΟΥΣ * ΤΡΕΙΣ ΠΑΙΔΑΣ, ΚΑΙ ΕΙΣ ΤΗΝ Βαβυλωνίαν κάμινον.

* ὁσίους

Ex edit. Burdeg. Duc. emend. ex Ms. Regio Lut.

ΚΑινή, ὡς ἀληθῶς, καὶ μέγιστον εὐσεβείας θέατρον ἡ τῶν τριῶν παίδων συνεστήσατο χορεία, ἐν Βαβυλῶνι μὲν τὸν ἀγῶνα τὸν καλὸν ἠγωνισμένη, κατὰ πᾶσαν δὲ τὴν οἰκουμένην συγκροτοῦσα τὸ θαῦμα τοῦ μαρτυρίου. οὐ γὰρ περιγράφεται τόπῳ ἡ τῶν ἁγίων δόξα, οὐδὲ περιορίζεται χρόνοις ἡ τῶν δικαίων μνήμη· Εἰς μνημόσυνον γὰρ αἰώνιον „ἔσται δίκαιος. ὅθεν εἰ καὶ ἐν τοῖς παλαιοτάτοις χρόνοις ἐπληρώθη τὸ μαρτύριον, ἀλλ' εἰς πάντα τὸν αἰῶνα τῆς ὑπομονῆς ᾄδεται τὸ στρατήγημα. "οἴδαμεν διὰ τῶν ἀναγνωσμάτων τὰ πράγματα· "οἴδαμεν διὰ τῆς μνήμης τὴν ἱστορίαν· "οἴδαμεν, ὡς ἐν εἰκόνι, τῷ λόγῳ καὶ τοῦ τυράννου τὴν παρανομίαν, καὶ τῶν ἁγίων τὴν ὁμολογίαν, καὶ φλεγομένην μὲν τῷ πυρὶ τὴν κάμινον, ἀντιλάμπουσαν δὲ τῷ θυμῷ τοῦ τυράννου, καὶ τῇ ἀπειλῇ τοῦ πυρὸς ἄσβεστον τὴν τῶν μαρτύρων * ὁμολογίαν ἐπιδεικνυμένην. μᾶλλον δὲ τί τὸ κωλύον ἄνωθεν τοῦ λόγου ἀναλαβόντας, τῶν θεοφιλῶν, ὡς ἀληθῶς, καὶ τρισμακαρίων τοὺς ἀγῶνας εἰπεῖν; Ναβουχοδονόσορ ὁ βασιλεύς, μᾶλλον δὲ ὁ τύραννος (τοῦτο γὰρ οἰκεῖον ὄνομα τῷ παρανόμῳ) ἐκράτει μὲν τῆς Βαβυλωνίας· ἦν δὲ καὶ τῇ ψυχῇ βάρβαρος, καὶ τὸν τρόπον ἀνήμερος. ὑπὸ ἀδικίᾳ πολλῇ καὶ πλούτῳ καὶ ἀσεβείᾳ μεθύων, ἠγνόησε μὲν τὴν ἑαυτοῦ φύσιν, καὶ οὐδὲ ἄνθρωπον ἑαυτὸν εἶναι ὑπονοήσας, ὡς Θεὸς προσκυνεῖσθαι προσεδόκησεν. ἔθρεψε δὲ αὐτῷ τὴν ὑπέρογκον ἀλαζονείαν ἥ τε σύντροφος αὐτοῦ μανία, καὶ ἡ τοῦ Θεοῦ μακροθυμία, φέρουσα μὲν ἀνεξικάκως τοὺς ἀσεβοῦντας, συγχωροῦσα δὲ πάντα γενέσθαι πρὸς γυμνασίαν τῶν "εὐσεβούντων. ἐποίησε δὲ ὁ παράνομος εἰκόνα χρυσῆν, τουτέστιν, ἀνδριάντα χρυσοῦν, καὶ τοὺς καὶ τὴν εἰκόνα Θεοῦ γενομένους προσκυνεῖν ἠνάγκαζεν, ἣν ἐποίησεν εἰκόνα. πολλῇ δὲ τῇ φιλοτιμίᾳ χρησάμενος, ὕψος μὲν αὐτῇ δίδωσι πηχῶν ἑξήκοντα, εὖρος δὲ πηχῶν ἕξ. εὐάρμοστον δὲ καὶ εὔρυθμον τὸ ἄγαλμα κατασκευάζει· ἵνα ἢ τῷ μεγέθει, ἢ τῷ κάλλει τῆς συνθέσεως ἐκνικήσῃ τὸ ψεῦδος βιασάμενον τὴν ἀλήθειαν. ἔστιλβε μὲν οὖν ἡ τέχνη, ἔλαμπεν ὁ χρυσός, ὁ κῆρυξ ἐβόα, ὁ τύραννος ἠπείλει, ἡ κάμινος ἐφλέγετο, καὶ πρὸς τούτοις πᾶσι τὰ λεγόμενα τῆς μουσικῆς ὄργανα τοὺς ἄφρονας δεινῶς εἰς ἀθεΐαν ἐξεβάκχευε, καὶ ὅλως πάντων ἔκλεπτε τῶν ὁρώντων τὴν ἔννοιαν ἡ φαντασία τῶν ὁρωμένων. ἀλλ' οὐκ ἔμελλε καὶ τῶν ἁγίων ἐπι-

κρατέστερον

Ψαλ. ριά. ζ.

χ. πάντα τὸν αἰῶνα

χ. ἴδωμεν

χ. ἴδωμεν

χ. ἴδωμεν

* τῷ Θεῷ

χ. χρυσῆν

χ. αἰδη

κρατέστερον εἶναι τὸ τῆς ἀσεβείας πρόσταγμα. πάντων δὲ, ὡς εἰπεῖν, ὥσπερ ὑπό τινος χειμάῤῥου τοῦ σφοδροῦ τῆς ἀπάτης ῥεύματος εἰς τὸν τῆς εἰδωλολατρείας κρημνὸν κατασυρομένων, οἱ τρεῖς οὗτοι μόνοι καὶ καλοὶ νεανίαι, ὥσπερ ἐπί τινα πέτραν, τὴν εὐσέβειαν πιστῶς ἑαυτοὺς ἐπερείσαντες, οὐχ ὑπεσύρησαν τῷ ῥεύματι τῆς ἀσεβείας. ἔπρεπε γὰρ λέγειν αὐτοῖς· Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς, ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ' ἡμᾶς· ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς, χειμάῤῥουν διῆλθεν ἡ ψυχὴ ἡμῶν, ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον. ἀλλ' οὔτε τῷ ῥεύματι κατεποντίσθησαν, οὔτε τοῖς βρόχοις ἑάλωσαν· ἀλλὰ καλῶς δραμόντες εἰς εὐσέβειαν, καὶ ὑψηλῷ τῷ πτερῷ τῆς πίστεως κεχρημένοι διεσώζοντο κατὰ τὴν παροιμιαστήν, Ὥσπερ δορκὰς ἐκ βρόχων, καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος. καὶ μονονουχὶ τὰ τοῦ διαβόλου δίκτυα κατὰ πάσης ἡπλωμένα τῆς ἀνθρωπότητος ὁρῶντες, τὴν εὐσεβῶν φωνὴν [illegible] κατὰ τὸν ὑμνογράφον λέγοντες, Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτοῦ οἱ ἁμαρτωλοί. καὶ οὐκ ἀπέβλεψαν εἰς τὴν ἑαυτῶν βραχύτητα οἱ τρεῖς αἰχμάλωτοι, καὶ ὑπὸ τοσούτων ἐλαυνόμενοι· ἀλλ' ᾔδεισαν ἀκριβῶς, ὅτι καὶ ὁ βραχύτατος τῆς εὐσεβείας σπινθὴρ ἱκανός ἐστιν ἅπασαν τὴν ἀσέβειαν, ὥσπερ τινὰ καλάμην, καταφλέξαι καὶ ἀφανίσαι. διὰ τοῦτο καίτοι τρεῖς ὄντες, ἀλλήλοις συνεστερεοῦντο καὶ συνεσφίγγοντο. ᾔδεισαν γὰρ ὅτι στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν. ἐμέμνηντο τοῦ πατριάρχου Ἀβραὰμ, ὅτι μόνος ὢν ἐν πάσῃ τῇ γῇ προσκυνητὴς τοῦ Θεοῦ, οὐκ ἠκολούθησε τῷ πλήθει τῶν ἀσεβούντων· ἀλλὰ νόμος ἦν ἑαυτῷ εὐσεβείας, καὶ δικαιοσύνης ἔπαθλον· ὅθεν εἰκότως ἐξ αὐτοῦ τε, οἷα ἔκ τινος ῥίζης ἀγαθῆς, ἐβλάστησαν οὗτοι οἱ τῆς εὐσεβείας καρποί. ἐξ αὐτοῦ γὰρ καὶ πατριάρχαι, καὶ ὁ νομοθέτης Μωϋσῆς, καὶ οἱ προφῆται, καὶ πάντες οἱ θεολόγοι· ἐξ αὐτοῦ δὲ προηγουμένως καὶ τὸ σωτήριον ἐκεῖνο καὶ ἀθάνατον τῆς δικαιοσύνης ἄνθος, ἡ τοῦ σωτῆρος ἐνανθρώπησις· ἐξ ἐκείνης καὶ οἱ τρεῖς παῖδες οὗτοι οὐκ ἠρνήσαντο τὴν εὐσέβειαν· ἐμέμνηντο καὶ τοῦ Λὼτ προοικήσαντος μὲν ἐν Σοδόμοις, μακρὰν δὲ τοῖς τρόποις ἀπῳκισμένου· ἐλάμβανον ἐν νῷ καὶ τὸν Ἰωσὴφ μόνον ἐν Αἰγύπτῳ σωφροσύνης ἀντιποιούμενον, καὶ εὐσεβείας ὄντα φροντιστήριον. ὅθεν καὶ οὗτοι ἐν τοσαύταις μυριάσιν ἀπειλημμένοι, τοὺς πολλοὺς μὲν ὁρῶντες ἐλογίζοντο, ὅτι πλατεῖα καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εὑρίσκοντες αὐτήν· πρὸς ἑαυτοὺς δὲ πάλιν βλέποντες καὶ τὴν κάμινον, ἐμέμνηντο καὶ τῆς σοφίας ὧδέ που λεγούσης, Ὅτι ὥσπερ δοκιμάζεται ἐν καμίνῳ χρυσὸς, οὕτως ἐκλέγεται καρδίας ὁ Θεός.

Ψαλμ. ρκγ. γ.
Παροιμ. ϛ. ε.
Ψαλ. ριι. ι.
Ματθ. ζ. ιγ.
Παροιμ. ιζ. γ.

Διὰ τοῦτο οὔτε σάλπιγξ αὐτοὺς τὸ πολεμικὸν ἠχοῦσα μέλος, ἐφόβησεν· οὔτε λύρα τὰς ἀκοὰς θέλγουσα, τοὺς τόνους τῆς εὐσεβείας διέλυσεν· οὔτε μὴν ἡ λοιπὴ πᾶσα συμφωνία τῆς μουσικῆς τὴν καλὴν καὶ ἐναρμόνιον τῆς εὐσεβείας συμφωνίαν διέλυσεν· ἀλλ' ἀντέστησαν τῇ κακῇ συμφωνίᾳ τὴν καλὴν ὁμολογίαν. ὁ δὲ κακόφρων ἐκεῖνος καὶ δυσσεβὴς τύραννος, ὡς προηγγέλθη, τοὺς περὶ τὸν Ἀνανίαν ἀπειθοῦντας τῷ προστάγματι τῆς ἀνομίας, διαβολικῷ τύφῳ τὴν ψυχὴν πεπιεσμένος, καὶ αὐτοῦ, ὡς εἰπεῖν, τοῦ ἄρχοντος τῆς κακίας τὴν ὄψιν ἀναλαβὼν, προσκαλεσάμενος αὐτούς φησιν· Εἰ ἀληθῶς Σιδρὰχ Μισὰχ καὶ Ἀβδεναγὼ τοῖς θεοῖς μου οὐ λατρεύετε, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησα, οὐ προσκυνεῖτε; ἐνόμισε σχῆμα εἶναι τὴν εὐσέβειαν, καὶ ἐρωτᾷ, εἰ ἀληθῶς βασιλικοῖς προστάγμασιν ἀντιπίπτειν τολμῶσιν οἱ τὴν εὐσέβειαν ἐπαγγελλόμενοι. ἔμελλε δὲ παρ' αὐτῆς τῆς πείρας διδάσκεσθαι, ὅτι οἱ τοῦ Θεοῦ ἄνθρωποι οὐ μόνον τῶν τυράννων τὰς ἀπειλὰς διαπτύουσιν, ἀλλὰ καὶ αὐτοῦ τοῦ πυρὸς τὴν ἀκμὴν τῇ δυνάμει τῆς εὐσεβείας καταπατήσουσι. νῦν οὖν, ὡς ἂν ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν, πίπτοντες προσκυνεῖτε τῇ εἰκόνι χρυσῇ, ᾗ ἔστησα. καλῶς ἡρμήνευσε τὴν τῶν δαιμόνων προσκύνησιν· πεσόντες προσκυνεῖτε. ἀμήχανον τοὺς δαίμονας προσκυνοῦντας μὴ

Δαν. γ. ιε.

πεσεῖν μὲν εἰς ὄλεθρον, ἐκπεσεῖν δὲ τῆς ἀληθείας. ἐὰν δὲ μή, φησί, προσκυνήσητε, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεσθε εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. πάντως εἰ κάμινός ἐστι, δῆλον ὅτι πῦρ ἐστιν· εἰ δὲ πῦρ ἐστι, δῆλον καὶ καιομένη· ἀλλὰ μεγαλύνει καὶ πλατύνει τὴν ἀπειλήν, ἵνα κάμψῃ τὴν γνώμην τῆς εὐσεβείας· αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεσθε εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. καὶ φορτικὰ μὲν μέχρι τούτου τὰ τῆς ἀλαζονείας· ὅρα δὲ τί μετὰ ταῦτα προστίθησι· καὶ τίς ἐστι Θεός, ὃς ἐξελεῖται ὑμᾶς ἐκ τῶν χειρῶν μου; ἄλλος οὗτος Φαραώ. Ἐξοδ. ε. ϐ. καὶ γὰρ ἐκεῖνος πρὸς τὸν Μωϋσῆν φησι· Τίς ἐστι Θεός, οὗ ἐπακούσομαι; οὐκ οἶδα, φησιν ὁ δυσσεβής, τὸν Κύριον, καὶ τὸν λαὸν οὐκ ἐξαποστελῶ. ὢ τῆς πολλῆς τῶν ἀνθρώπων ἀλαζονείας, ὢ τῆς μεγάλης τοῦ Θεοῦ μακροθυμίας· φθέγγεται ἄνθρωπος, καὶ ἀνέχεται Θεός· λαλεῖ ὁ πηλός, καὶ μακροθυμεῖ ὁ πλαστουργός· φθέγγεται γλῶσσα σαρκίνη, καὶ σπλαγχνίζεται ὁ χ. ἀνέχεται ὁ πλάσας· Ψαλ. ργ. δ. τῶν ἀσωμάτων ἀγγέλων δεσπότης· Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς χ. ὠργισμένοι [illegible] Ἡσ. ι. θ. αὐτοῦ πυρὸς φλόγα. εὔκαιρον ἐπὶ τούτου μνησθῆναι τοῦ Ἡσαΐου λέγοντος, Τί ἀλαζονεύεται γῆ καὶ σποδός; θέλεις θαυμάσαι Θεοῦ μακροθυμίαν; ἐννόησον τὴν εἰς σὲ γενομένην ὕβριν· πῶς ἀφόρητός σοι εἶναι νενόμισται. ὑβρίζεταί τις πολλάκις ὑπὸ οἰκέτου, καὶ εὐθέως τῆς ἐλευθερίας τὴν ὕβριν προβαλλόμενος, δίκην ἀπαιτεῖ τοῦ τολμήματος, ἀπαραιτήτῳ θανάτῳ κολάζων τὸν ὑβρίσαντα. ὑβρίζεταί πάλιν τις ὑπὸ εὐτελοῦς καὶ ἰδιώτου, αὐτὸς ἐν ταῖς τοῦ κόσμου πολιτείαις ἐξεταζόμενος· καὶ εὐθέως ὑπὸ τῆς ὕβρεως δακνόμενος ἐπὶ τιμωρίαν σπεύδει, εἰς μὲν τὴν κοινὴν φύσιν καὶ τὸ πάντων ἰσότιμον οὐκ ἀφορῶν· εἰς δὲ τὴν περικειμένην ἀξίαν ἀποβλέπων, ἧς περιαιρεθείσης μίαν ἐστὶν ἰδεῖν τὴν τοῦ γένους ἰσοτιμίαν, ὅτι πάντες ἐκ γῆς ἐπλάσθημεν, καὶ εἰς γῆν διαλυόμεθα· μία δὲ ἡ ὁδὸς ἡ εἰς τὸν βίον, ἔξοδός τε ἴση. ἐκ πηλοῦ, φησί, διήρτισαί σύ, ὡς κἀγώ. ἀλλ' ὁ μὲν πηλὸς τιαύτην ἀπαιτεῖ παρὰ τῶν ὁμοτίμων τὴν ὑπεροχήν· ὁ δὲ Θεὸς πάντων ὑπερέχων καὶ φύσει καὶ νόμῳ, καὶ τοσοῦτον ἀνώτερος ὤν, ὅσον ὑψηλότερον δεῖ νοεῖν τὸν ποιητὴν τῶν ποιημάτων, βλασφημούμενος καὶ ἐξουθενούμενος παρὰ τῶν ἀγνωμόνων οὐ παροξύνεται μὲν (ἀπαθὴς γάρ) τιμωρεῖται δὲ μικρὸν ὕστερον τοὺς ἐπιμένοντας τῇ ἑαυτῶν ἀφροσύνῃ, διότι δικαστής ἐστιν ἀληθείας καὶ κριτὴς ἀδυσώπητος. καὶ ἵνα μὴ ἀθρόως ἅπαντες οἱ ἁμαρτάνοντες ἐξολοθρεύωνται, ὑπερτίθεται τὴν τιμωρίαν, καὶ προσφέρει τὴν ἀνεξικακίαν, ἵνα ἐφελκύσηται πρὸς μετάνοιαν. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. ἐτόλμησεν εἰπεῖν ἄνθρωπος σάρκα περικείμενος, Τίς ἐστι Θεός, ὃς ἐξελεῖται ὑμᾶς ἐκ τῶν χειρῶν μου; οἱ χ. σῶμα. δὲ τρισμακάριοι παῖδες τούτων ἀκούσαντες οὐκ ἐξανέστησαν ἐν τῇ βλασφημίᾳ (σοφοὶ γὰρ ἦσαν καὶ αὐτοὶ τῆς τοῦ Θεοῦ μακροθυμίας) ἀλλὰ πρὸς τὰ τῆς ἀπιστίας ῥήματα πίστεως φωνὴν ἀναλαβόντες ἀντεφθέγγοντο τῷ τυράννῳ, νόμῳ τὴν ἀνομίαν ἐκλύοντες, καὶ ἐ- χ. ἀλλ' οἱ στασιασταὶ ἀπ' ἀπιστίας στεως Δαν. γ. ιη. λευθερίᾳ δικαιοσύνης τὴν ἀπειλὴν τῆς ἀδικίας ἐκνικῶντες, Γνωστὸν ἔστω, βασιλεῦ, λέγοντες, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν. παῦσαι τῆς ἀνοίας, ὦ ἄνθρωπε· αἰδέσθητι * τὴν ἐφύβριστον τῆς εἰκόνος προσκύνησιν. εἰ * σου τ[illegible] στασιν αἰσχύνθητι γὰρ σὺ τὴν εἰκόνα ἔστησας, πῶς προσκυνεῖς οἷς ἐποίησας; τίνες τίνων ὀφείλουσιν εἶναι δημιουργοί, ἄνθρωποι Θεοῦ, ἢ Θεὸς ἀνθρώπων; εἰ γὰρ ἀληθῶς θεοί, αὐτοῖς ἁρμόττει τὸ τῆς δημιουργίας ἀξίωμα. ἀλλ', ὅπερ πολλάκις ἔφθημεν εἰπόντες, εἰ τέχνη μὴ προσῆν τοῖς ἀνθρώποις, Ἕλληνες θεοὺς οὐκ ἂν εἶχον. μᾶλλον δὲ κἀκεῖνο προσθῶμεν, ὅτι εἴ τις αἴσθησις ἦν τοῖς εἰδώλοις, αὐτοῖς ἔπρεπε προσκυνεῖν τοὺς ἀνθρώπους τοὺς ἐργαζομένους αὐτά. νόμος γὰρ φύσεως, τὸ ποίημα προσκυνεῖν τὸν πεποιηκότα, οὐ τὸν δημιουργὸν ὑποκύπτειν τῇ ἑαυτοῦ δημιουργίᾳ. διὰ τοῦτο ἡμεῖς οἱ σοφοὶ τῆς εὐσεβείας θείῳ νόμῳ ἑπόμενοι, τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν· ἀλλ' ἔστιν ὁ Θεὸς ἐν οὐρανῷ, ὃς ἐξελεῖται ἡμᾶς ἐκ τῶν χειρῶν σου. εἶτα ἵνα μὴ δόξωσιν ὅτι τὸν

Θεὸν πειράζειν, οὐκ ἐπ' ἐλπίδι τοῦ ῥυσθήσεσθαι καταθαῤῥοῦσι τοῦ πυρός, εὐθέως ἐπήγαγον· Καὶ ἐὰν μὴ, τοῦτ' ἔστι, κἂν μὴ ῥύσηται, ἀλλὰ συγχωρήσῃ κατακαῦσαι τὰ σώματα ἡμῶν τῷ πυρί, οὐδὲ οὕτως ἀφιστάμεθα τῆς εὐσεβείας. οὐ γὰρ ἐπὶ μισθῷ θεοσεβοῦμεν, ἀλλ' εὐγνωμόνως τὴν ἀλήθειαν ὁμολογοῦμεν.

γρ. παραλεῖξαι

Ὡς δὲ ταύτης ἤκουσε τῆς πίστεως τὴν ἐπαγγελίαν, πυροῦται μᾶλλον ὁ τύραννος, καὶ κελεύει τὴν κάμινον ἑπταπλασίως ἐξαφθῆναι. ἔδει γὰρ τὸ ἀργύριον τὸ δοκιμώτατον ἑπταπλασίως καθαρθῆναι. Τὰ γὰρ λόγια Κυρίου λόγια ἁγνά· ἀργύριον πεπυρωμένον δοκίμιον τῇ γῇ, καὶ κεκαθαρισμένον ἑπταπλασίως. διὸ ἑπταπλασίως ἡ κάμινος ἐξεκαύθη, ἵνα ἑπταπλασίως οἱ ἅγιοι καθαρθῶσιν. ὅτι δὲ ἀργύριον κέκληνται οἱ τοῦ Θεοῦ ἄνθρωποι, μνημόνευε τῆς σοφίας λεγούσης, Ἄργυρος πεπυρωμένος γλῶσσα δικαίου· καὶ πάλιν τοῦ προφήτου Ἱερεμίου ἄκουσον λέγοντος περὶ τῶν ἀποδοκιμαζομένων ἀπὸ τῆς εὐσεβείας, Ἀργύριον ἀποδεδοκιμασμένον καλέσατε αὐτούς, ὅτι ἀπεδοκίμασεν αὐτοὺς ὁ Θεός. Εἰ δὲ οἱ ἀτελεῖς, ἀργύριον ἀδόκιμον· οἱ δὲ τετελειωμένοι δηλονότι ἀργύριόν εἰσι δοκιμώτατον. ὅσον γὰρ ἡ κάμινος ἐξῆπτεν, τοσοῦτον ὁ τοῦ μαρτυρίου πόθος ἐλαμπρύνετο. Εἰσελθόντες γὰρ οἱ ἅγιοι τρεῖς οὗτοι παῖδες μετὰ πίστεως κατεπάτουν τὴν φλόγα, λεπτὸν ἀέρα καὶ ἔνδροσον ἐν αὐταῖς μέσαις ταῖς ἀκμαῖς τοῦ πυρὸς ἀναπνέοντες. ὁ γὰρ πάντα ποιῶν καὶ μετασκευάζων ἤμβλυνε τοῦ πυρὸς τὴν θερμότητα, καὶ τὴν καυστικὴν αὐτοῦ ἐνέργειαν περιέκοψεν, ἐπαληθευούσης τῷ θαύματι τῆς ὑμνῳδίας ἐκείνης· Φωνὴ Κυρίου διακόπτοντος φλόγα πυρός. κεκοίμιστο μὲν τὸ πῦρ ἔνδον ἠρεμοῦν, οἱ δὲ ἅγιοι παῖδες ἐχόρευον, μονονουχὶ τῆς ἐπαγγελίας ἐκείνης ἀπολαύοντες, ἣν διὰ τοῦ προφήτου Ἡσαΐου ὁ Θεὸς ἐπαγγέλλεται πάσῃ ψυχῇ εὐσεβείας γεμούσῃ καὶ πίστεως· ὅτι Κἂν διαβαίνῃς, φησί, διὰ πυρός, μετὰ σοῦ εἰμι, καὶ φλὸξ οὐ κατακαύσει σε· καὶ ἣν ἴδωσι τὴν ἐπαγγελίαν δι' ἔργων προχωροῦσαν. οὐ γὰρ ἥψατο τῶν μελῶν τῶν ἁγίων τὸ πῦρ· οὐκ ἔφλεξεν ὀφθαλμοὺς τοὺς ὀρθῶς βλέποντας πρὸς εὐσέβειαν, καὶ διὰ τῆς εὐκοσμίας τῶν ὁρωμένων τὸν κοσμοποιὸν ἐπιγνόντας· οὐκ ἠδίκησεν ἀκοὰς τὰς θείου νόμου πεπληρωμένας· οὐ προσῆλθε τῷ στόματι, οὐδὲ τῶν χειλέων ἥψατο, τὰς ὑμνῳδοὺς αὐτῶν καὶ ὑμνογράφους γλώσσας δυσωπούμενον. ἕκαστον τῶν ἁγίων μέλος εἶχε τὸ ἑαυτοῦ φυλακτήριον· αἱ χεῖρες τὴν πρὸς τὰς εὐχὰς ἔκτασιν, καὶ τὴν τῆς ἐλεημοσύνης μετάδοσιν· τὰ στήθη τὴν ἐνοικοῦσαν αὐτοῖς δύναμιν τῆς εὐσεβείας· κοιλία καὶ τὰ ὑπογάστρια μέλη τὴν τῆς σωφροσύνης ἄσκησιν· οἱ πόδες τὸν τῆς ἀρετῆς δρόμον. Καὶ τί δεῖ τὰ καθ' ἕκαστον λέγοντας διατρίβειν; οὐδὲ γὰρ τῶν τριχῶν κατετόλμησε τὸ πῦρ διὰ τὸ μᾶλλον αὐτὰς εὐσεβείᾳ κεκαλύφθαι παράς· ἐφείσατο δὲ καὶ τῆς ἐσθῆτος διὰ τὴν τῶν ἁγίων εὐσχημοσύνην. Τί δὲ ἦν ἐπὶ τούτοις; προσεκελεύετο ὁ Θεὸς τῶν Χαλδαίων ἐπιλαβέσθαι τὸ πῦρ· καὶ ἵνα μὴ μαγείαν νομίσαντες τὸ ἀμαυροῦσθαι τοῦ πυρὸς τὴν ἐνέργειαν, ἀμβλύνωσι τὴν δόξαν τῶν μαρτύρων καὶ συκοφαντήσωσι τὸ θαῦμα τῆς ἀληθείας, διὰ τοῦτο οἱ μὲν ἔνδον ἠρέμουν, τὸ δὲ πῦρ ἔξω τοὺς Χαλδαίους προσενέμετο· ἵνα ἀσφαλῶς πείσῃ τοὺς ὁρῶντας, ὅτι ἐπὶ τῶν ἁγίων οὐ τὴν ἑαυτοῦ φύσιν ἠγνόησεν, ἀλλὰ τὴν εὐσέβειαν ἐτίμησεν, ὥσπερ οἱ λέοντες ἐπὶ τοῦ λάκκου τὸν Δανιήλ. ἐντεῦθεν λοιπὸν ἀγγελικὴν χορείαν ὡς ἀληθῶς συνεστήσαντο, καὶ τὸν Θεὸν ὕμνουν οἱ τρισμακάριοι παῖδες, καὶ πᾶσαν τὴν κτίσιν, τήν τε ὑπερκόσμιον, καὶ τὴν ἐν ὀφθαλμοῖς θεωρουμένην εἰς ἕνα χορὸν ὑμνῳδίας συνήγαγον.

Ψαλ. ια ζ.
γρ. ἐκκαθαρθ.
Παρ. ι. κα.
Ιερ. ϛ λ.
γρ. πάντως
Ψαλ. κη. ζ.
Ησ. μγ. β.
γρ. ὑμνοφόρους
γρ. μελῶν
γρ. τὴν τῶν χειρῶν ἔκτασιν,

Ἀναγκαῖον δὲ μηδὲ ἐκεῖνο παραλιπεῖν ἀνεξέταστον, τίνος ἕνεκεν μὴ πάσης ὁμοῦ ἐμνημόνευσαν τῆς κτίσεως, ἀλλὰ κατὰ μέρος ἐξέθεντο τὴν δημιουργίαν. ἤρκει γὰρ μόνον εἰπεῖν ὅσον εἰς ἀλήθειαν, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Θεόν. ἀλλ' ἐπειδὴ ἐν χώρᾳ τῶν ἀσεβῶν τὸ μέγα τοῦτο θέατρον τῆς εὐσεβείας συνεκροτεῖτο, ἔδει παιδευθῆναι τοὺς Βαβυλωνίους, τίνα μέν εἰσι τὰ ποιήματα, τίς δὲ ὁ ποιητὴς τῶν ἁπάντων. καὶ ἄρχονται μὲν ἀπὸ ἀγγέλων, κατα-

γρ. μὴ πᾶσαν ὁμοίως εἰλήφασι τὴν κτίσιν,
ἴσ. γὰρ
γρ. ὅτι

λέγουσι δὲ εἰς ἀνθρώπους. ἐνομίσθησαν ἄγγελοι θεοί, καὶ παρ' Ἕλλησι μυθεύεται, ὅτι τούτους, φησίν, οὓς προσκυνοῦμεν θεούς, ἄγγελοί εἰσι τοῦ μεγάλου Θεοῦ. ἵνα γοῦν παιδευθῶσιν οἱ ἄφρονες, ὅτι οὐ τῶν προσκυνουμένων, ἀλλὰ τῶν προσκυνούντων εἰσὶν οἱ ἄγγελοι, διὰ τοῦτο βοῶσιν, Εὐλογεῖτε ἄγγελοι Κυρίου τὸν Κύριον. προσεκυνήθη ὁ ἥλιος καὶ σελήνη καὶ πᾶς ὁ τῶν ἀστέρων χορός· διὰ τοῦτο καὶ τούτους παραλαμβάνουσιν εἰς τὴν τῶν ὕμνων προσκύνησιν. εὐλογεῖτε, φησίν, ἥλιος καὶ σελήνη· εὐλογεῖτε ἄστρα τοῦ οὐρανοῦ τὸν Κύριον. εἶτα μετὰ ταῦτα, Εὐλογείτω πᾶς ὄμβρος καὶ δρόσος τὸν Κύριον. τί οὖν βούλεται τό, πᾶς ὄμβρος καὶ δρόσος καὶ πάντα τὰ πνεύματα; καλὸν ἂν εἴη καὶ τοῦτο σκοπῆσαι. γίνονται πολλάκις ἀνομβρίαι καὶ πνευμάτων βίαι ἄκαιροι· φιλοῦσι δὲ ἀεὶ οἱ τοῦ ψεύδους εὑρεταὶ καὶ τῇ ματαιότητι χαίροντες ὕλῃ τινὶ καὶ κακίᾳ ἀταξίας πάντα ἐπιγράφειν· οὐκ εἰδότες, ὅτι οὐδὲν ἀδέσποτον, οὐδὲ ματαίως γεγενημένον, ἀλλ' ὅτι ταῦτα πάντα οἰκονομεῖ ὁ Θεὸς καὶ πρὸς παιδείαν ἀνθρώπων καὶ πρὸς ἀποφυγὴν ἀσεβείας. ἡ μὲν γὰρ εὐταξία τῶν ποιημάτων τὸν δημιουργὸν εἴωθε κηρύττειν, ἡ δὲ ἀταξία τὴν προσκύνησιν τῶν κτισμάτων ἀπαιτεῖ. εἰ γὰρ ἦν θεῖόν τι καὶ σεβάσμιον ὁ ὄμβρος, ἢ τὰ πνεύματα, οὐκ ἂν ἠτάκτουν. τὸ γὰρ θεῖον ἀταξίαν οὐκ ἐπιδέχεται. διὰ τοῦτο λέγουσι, πᾶς ὄμβρος, καὶ δρόσος, καὶ πάντα τὰ πνεύματα τὸν Κύριον. προσεκυνήθησαν καὶ ὄμβροι, καὶ ἄνεμοι, οἱ μὲν ὡς τροφεῖς, οἱ δὲ ὡς γεωργοὶ τῆς γῆς τῶν καρπῶν· προσεκυνήθη δὲ ἡ γῆ, καὶ οἱ ταύτης καρποὶ διαφόροις δαίμοσι προσεκληρώθησαν, τὴν μὲν ἄμπελον εἰπόντες εἶναι δῶρον τοῦ Διονύσου, τὴν δὲ ἐλαίαν τῆς Ἀθηνᾶς, καὶ ἄλλῳ ἄλλοι καρποί. καὶ τοῦτο ὁ αὐτὸς λόγος τῆς ἀληθείας ἀσφαλιζόμενός φησιν, εὐλογεῖτε πάντα τὰ φυόμενα ἐν τῇ γῇ τὸν Κύριον. αὐτὸς γάρ ἐστι πάντων τῶν φυέντων καὶ τῶν φυομένων καὶ δημιουργὸς καὶ δεσπότης. εἶτα μετὰ τοῦτο ὄρη καὶ βουνοί. ἆρ' οὖν ἐκτός εἰσι τῆς γῆς τὰ ὄρη καὶ οἱ βουνοί; οὐδαμῶς· ἀλλ' ἐπειδὴ ἐν τοῖς ὄρεσι καὶ τοῖς βουνοῖς τὰ τῶν δαιμόνων μιαρὰ κατεσκεύαστο, κἀκεῖ τὰ ἀγάλματα προσεκυνεῖτο, διὰ τοῦτό φησιν, εὐλογεῖτε ὄρη καὶ βουνοὶ τὸν Κύριον. ἀλλ' ὅμως μνημονεύσας τῶν βουνῶν, μέμνηται καὶ τῶν πηγῶν καὶ ποταμῶν καὶ θαλάσσης. καὶ γὰρ καὶ αὗται ἐθεοποιήθησαν, καὶ νύμφας ἐκάλεσαν τὰς πηγάς, Ποσειδῶνα τὴν θάλασσαν, Σειρῆνάς τινας καὶ Νηρηΐδας. ὅτι δὲ καὶ ποταμοὶ προσεκυνήθησαν, μαρτυρεῖ τὰ ἐν Αἰγύπτῳ μέχρι τῆς δεῦρο· ἔθυον τῇ ἀναβάσει τοῦ Νείλου, οὐ Θεὸν αὐτοὶ ἐπὶ τῇ φύσει θαυμάζοντες, ἀλλ' αὐτὸ τὸ ὕδωρ ὡς Θεὸν θεραπεύοντες. διὰ τοῦτο καὶ ποταμοὺς καὶ πηγὰς καὶ θάλασσαν εἰς τὴν ὑμνῳδίαν καλοῦσιν. εἶτα μετὰ ταῦτα τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τὰ θηρία καὶ τὰ κτήνη. οὐδὲ γὰρ ταῦτα θεοποιΐας ἐκτός. καὶ γὰρ ἀετὸς προσεκυνεῖτο, καὶ ἱέραξ, καὶ τὰ θηρία καὶ τὰ κτήνη, καὶ τῇ τῶν Θεῶν προσηγορίᾳ ταῦτα τετιμήκασιν Αἰγύπτιοι. καὶ τοσοῦτον ἴσχυσεν ἡ πλάνη, ὅτι καὶ ἀπὸ τῶν προσκυνουμένων ζώων καὶ τὰς πόλεις ὠνόμασαν· καὶ λέγεται παρ' αὐτοῖς Κυνῶν καὶ Προβάτων καὶ Λύκων καὶ Λεόντων· ἀλλὰ μετὰ ταῦτα πάντα παράγεται λοιπὸν τὸ ἀνθρώπινον γένος. εὐλογεῖτε, φησίν, οἱ υἱοὶ τῶν ἀνθρώπων τὸν Κύριον. τελευταῖον τάττεται τὸ ἀνθρώπινον γένος, οὐ κατὰ τὴν ἀξίαν, ἀλλὰ κατὰ τὴν δημιουργίαν. εὐλογεῖτε Ἰσραὴλ τὸν Κύριον· ὅπερ ἦν τῶν ἐπὶ τῆς γῆς ἀνθρώπων ἐξαίρετον γένος. τοῦτο τοίνυν παράγει, καὶ τὸ τὴν πάντα ἐν τῷ ἔθνει πολλὰς ἐκλίθεται διαφοράς, καὶ παράγει αὐτοὺς ἱερέας τοῦ Κυρίου, εὐλογεῖτε οἱ ἱερεῖς τοῦ Κυρίου τὸν Κύριον, εἰς ἔλεγχον τῶν ἱερέων τῶν ψευδωνύμων θεῶν. εἶτα, φησί, δοῦλοι Κυρίου. εἶτα ἵνα μὴ δόξωσιν οἱ προαπελθόντες ταύτης τῆς χορείας ἀλλότριοι εἶναι, μετὰ τῶν ζώντων αὐτοὺς ἀριθμοῦσι παρὰ τῷ Θεῷ λέγοντες, εὐλογεῖτε πνεύματα καὶ ψυχαὶ τῶν δικαίων τὸν Κύριον. εἶτα ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ τὸν Κύριον. διὰ τί ὁσίων καὶ ταπεινῶν μέμνηται; ἵνα δείξῃ, ὅτι ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάττεται, τοῖς δὲ ταπεινοῖς χάριν δίδωσι. τοὺς ἀλαζόνας ἔξω τῆς καμίνου τὸ πῦρ κατέφλεγε, τοὺς δὲ ὁσίους καὶ ταπεινοὺς ἐν μέσῳ

Παροιμ. γ. λδ.

μέσῳ τοῦ πυρὸς διεφύλαξε. διὸ καὶ συνεχώρησε τοῖς ἁγίοις τὸ πῦρ. ἐκεῖ γὰρ πάντων καὶ αὐτὸ ὑμνεῖν ἐν προσταχθὲν τὸν δημιουργόν· εὐλογεῖτε πῦρ καὶ καῦμα τὸν Κύριον· ἵνα παιδεύωνται καὶ Βαβυλώνιοι καὶ μάγοι, παρ' οἷς τιμᾶται τὸ πῦρ, ὅτι τοῦτο οὐκ ἔστι τῶν προσκυνουμένων, ἀλλὰ τῶν προσκυνούντων. ἀλλ' ὅμως ἐπὶ τὸ τελευταῖον ἐλθόντες καταπαύουσι μὲν τὸν λόγον· εὐλογεῖτε, φησίν, Ἀνανία, Ἀζαρία, Μισαὴλ τὸν Κύριον. τίς ἦν χρεία, τοσούτων ταγμάτων ἠριθμημένων, τῷ τελευταίῳ αὐτοὺς ὀνόματι προστεθῆναι; αὐτοὶ γὰρ οὐκ ἦσαν ἐν τοῖς υἱοῖς Ἰσραὴλ εὐλογήσαντες; αὐτοὶ οὐκ ἦσαν ἐν τοῖς δούλοις τοῦ Κυρίου συναριθμημένοι, ὅτε ἔλεγον, εὐλογεῖτε δοῦλοι Κυρίου τὸν Κύριον; ἢ ὅτε ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ, οὐκ ἦσαν ἐν τοῖς ὁσίοις ἠριθμημένοι; τί οὖν βούλεται τὸ ἐκ προσθήκης, εὐλογεῖτε Ἀνανία, Ἀζαρία, Μισαὴλ τὸν Κύριον; ἀλλ' ἐπειδὴ ὑπερφυὲς ἦν τὸ θαῦμα, ἐπειδὴ παρὰ φύσιν ἦν, θερμὴν (ἐν σώματι γὰρ τὴν κάμινον εἰσελθόντες κατεπάτησαν) ἵνα μή τις τῶν πεπλανημένων διὰ τὸ ξένον τοῦ θαύματος θεοὺς αὐτοὺς προσειπεῖν τολμήσειε, καὶ προσκυνήσῃ τούτους μᾶλλον δικαίως, ἢ τὸ πῦρ, τοὺς τοῦ πυρὸς περιγενομένους, ἵνα μηδὲν τοιοῦτο πάθωσιν οἱ βλέποντες, διὰ τοῦτο μηνύουσι τὴν ἑαυτῶν δουλείαν, καὶ ὁμολογοῦσι τὴν προσκύνησιν λέγοντες, εὐλογεῖτε Ἀνανία, Ἀζαρία, Μισαὴλ τὸν Κύριον. λέγεται δὲ ὅτι καὶ τὸν Δανιὴλ ὁ Θεὸς διὰ τοῦτο οὐ συνεχώρησεν εἰς τὸ μαρτύριον τοῦτο παραληφθῆναι. ἐπειδὴ γὰρ τὸ ὄναρ τοῦ βασιλέως ἡρμήνευσε, καὶ ὡς Θεὸς ὑπ' αὐτοῦ τοῦ βασιλέως προσεκυνήθη, καὶ ἐκλήθη Βαλτάσαρ τῷ ὀνόματι τοῦ Θεοῦ τοῦ παρὰ Πέρσαις, ἵνα μὴ νομισθῇ διὰ τὸ ἐπικείμενον αὐτῷ ὄνομα τοῦ Βαλτάσαρ πεπαῦσθαι τοῦ πυρὸς τὴν ἐνέργειαν, οἰκονομεῖ ὁ Θεὸς μὴ παραχθῆναι τὸν Δανιὴλ εἰς μέσον, ἵνα ἀκέραιον ᾖ τῆς εὐσεβείας τὸ θαῦμα. καὶ ταῦτα μὲν εἰς τοσοῦτον. εἴη δὴ ἡμᾶς εὐχαῖς καὶ πρεσβείαις τῶν μαρτυρησάντων, τὸν αὐτὸν ζῆλον ἀναλαβόντας, τῶν αὐτῶν ἐπαίνων ἀξιωθῆναι, καὶ τῆς αὐτῆς βασιλείας τυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ρη. ΕΙΣ ΤΗΝ ΣΟΥΣΑΝΝΑΝ.

Ex edit. Burdeg. Duc. emend. ex Ms.

Ἥκομεν ὑμῖν εὐγνώμονες ὀφειλέται τοῦ λόγου· οὐχ ὅσον ὀφείλομεν πληρώσοντες, ἀλλ' ὅσον ἔχομεν ἀποδιδόντες. ἡ μὲν γὰρ προθυμία φιλεῖ καὶ πλείω τοῦ ὀφειλομένου ἥπλωται διδόναι· ἡ δὲ τοῦ λόγου πενία ἐστένωται. δι' ὃ ὀλίγα ὑμῖν ἀντὶ πολλῶν παρακαλοῦντες δίδομεν. εἰ δέ τις ὑμῶν βουληθείη τι, ὀλιγοστὰ τῶν λόγων ἡμῶν τῇ προθυμίᾳ τῆς καρδίας συμπεριεκτεῖναι, οὐδὲν ἐλλείψομεν πρὸς τὸ ὀφειλόμενον, τῆς προθυμίας ἡμῶν τὸ ἐλλεῖπον μέρος τῶν λόγων ἀναπληρούσης. καὶ γὰρ ὁ Θεὸς ὅταν πένητος ἴδῃ βραχείας προσφορὰς, καὶ πλουσίου δαψιλεῖς, οἶδεν ὡς ἴσα δέχεσθαι ταύτας· πολλάκις δὲ μειζόνως τὰς τοῦ πένητος ἀποδέχεται. οὐ γὰρ τῷ ὄγκῳ τῶν χρημάτων, ἀλλὰ τῇ προθυμίᾳ τῆς καρδίας ἐμβλέπει. ἀπόδειξις δὲ τῶν λεγομένων ἡ περὶ τὴν πενιχρὰν χήραν τὴν τὰ δύο λεπτὰ εἰς τὸ γαζοφυλάκιον βαλοῦσαν. ὑπερεταλάντευσε γὰρ παρὰ Κυρίῳ ἡ ταύτης βραχεῖα προσφορὰ τῶν τὸ χρυσίον βεβληκότων πλουσίων· ἐπειδὴ οὐ χρημάτων χρῄζει ὁ Θεὸς, ἀλλ' εἰλικρινοῦς καὶ εὐπροαιρέτου καρδίας. φέρε τοίνυν καὶ ἡμεῖς ἁπλώσαντες ἡμῶν ἐν εἰλικρινείᾳ τὰς καρδίας, οἱ παρὰ Θεοῦ κεκλήμεθα λόγῳ, ὥσπερ ἔν τισι γαζοφυλακίοις Θεοῦ ἐμψύχοις καταβαλλόμενοι, τὸ χρέος τοῦ λόγου ὑμῖν ἀποτίσωμεν. μέμνημαι γὰρ τῇ προτεραίᾳ ἐπαγγειλάμενος ὑμῖν τὴν τῆς μακαρίας Σωσάννης σωφροσύνης ἄθλησιν εἰς πολλῶν ὠφέλειαν κηρύττειν, ὅτε καὶ ὁ Ἰωσὴφ κατὰ τῆς Αἰγυπτίας ἠγωνίζετο, καὶ πᾶσιν ἡμῖν παλαίσματα σωφροσύνης ὑπεδείκνυεν. ἀγωνιζέσθω οὖν καὶ Σωσάννα ἐν τῷδε τῷ πολυδήμῳ θεάτρῳ· ὅπου καὶ Θεὸς καὶ ἄγγελοι καὶ ἄνδρες καὶ γυναῖκες ὁρῶσιν· ἀγωνιζέσθω, καὶ διδασκέτω, πῶς δεῖ νεωτέρας ἕως θανάτου ὑπὲρ σωφροσύνης ἀγωνίζεσθαι. αὕτη τοίνυν ἡ μακαρία Σουσάννα εὐγενὴς τῷ γένει τυγχάνουσα, εὐπρεπὴς τῷ κάλλει ὑπάρχουσα, ἐξ ἁπαλῶν ὀνύχων ἐν οἰκίσκῳ θαλαμευομένη καὶ σεμνῷ βίου τρόπῳ ἀσκηθεῖσα, ὅτε τὸ τῆς νεότητος αὐτῆς κάλλος ἐπήνθει, πρὸς νομίμου γάμου συζυγίαν ἡρμόσθη. καὶ δὴ τὰ τοῦ γάμου μυστήρια ἀβλαβῆ τῷ ἰδίῳ ἀνδρὶ φυλάττουσα, οὐκ ὄμμα ἄτακτον πρὸς νεωτερικοῦ καὶ ξένου κάλλους θέαν περιέφερεν, οὐκ ἀκοὴν ἀνοίγουσα τὴν τῶν πορνικῶν ἀσμάτων καλλιφωνίαν ὑπεδέχετο, οὐ τὴν ὄσφρησιν ἐπηφίει" ἀναρύτειν τὰ τῶν νεωτερικῶν ἱματίων καπνίσματα, οὐδ᾽ ἄλλην τινὰ αἴσθησιν ἁπλῶς φέρεσθαι συνεχώρει· ἵνα μὴ ἡ ἐν τῇ καρδίᾳ αὐτῆς φυλαττομένη σωφροσύνη ὑποφθαρεῖσα τοῖς ἀπατηλοῖς δελεάσμασι πρὸς ἡδονὰς" σκελισθεῖν. τὰ γὰρ πλεῖστα τῶν ἁμαρτημάτων ἐκ τῶν αἰσθήσεων τῆς ψυχῆς ἡμῶν περιγίνεται. ἔστι γὰρ ἡ ψυχή, καθάπερ παρθένος ἐν θαλάμῳ τινί, ἐν μέσῃ τῇ καρδίᾳ ἡσυχάζουσα, καὶ ὑπὸ τῶν πέντε αἰσθήσεων, ὥσπερ ὑπό τινων θεραπαινίδων, δορυφορουμένη. ποίων αἰσθήσεων; ὁράσεως, γεύσεως, ὀσφρήσεως, ἀκοῆς, καὶ ἁφῆς. ἐὰν οὖν μηδεμία αἴσθησις ὑποφθαρεῖσα" πλημμυνθείη, φυλάττεται ἀκεραία καὶ ἀβλαβὴς ἡ ψυχή. ἐὰν δὲ συμβῇ τὴν ὅρασιν ἀκυβέρνητον μείνασαν πρὸς νεωτερικοῦ κάλλους θέαν ῥεμφθῆναι, καὶ λαβεῖν τὸ κῦμα τῆς ἐπιθυμίας διὰ τῶν ὀφθαλμῶν εἰς τὸ βάθος τῆς καρδίας εἰσδέξασθαι, εὐθὺς λαίλαπι ἡδονῶν" ῥαπισθεῖσα, πρὸς τὴν ἁμαρτίαν ὑποβρύχιος φέρεται, περὶ τὴν σωφροσύνην ναυαγήσασα· καὶ πάσχει λοιπὸν ἐκεῖνο, ὅπερ καὶ ὁ Δαβὶδ παθὼν ἔλεγεν· Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με. ὁμοίως δὲ καὶ ἡ ἀκοὴ ἐὰν ἀναπετασθεῖσα δέξηται τὰ τῆς καλλιφωνίας θέλγητρα, πρὸς ἐκεῖνα τὴν διάνοιαν τείνασα, ὅλην ἑαυτὴν τοῖς πορνικοῖς ᾄσμασι συνελκύσασα καταστρέφει. ἡ δὲ γεῦσις ἀδηφαγίᾳ καὶ οἴνῳ πολλῷ ἐμφορηθεῖσα, πρὸς μέθην καὶ κοίτας τὴν ψυχὴν καταφθείρει· ἡ δὲ ὄσφρησις τοῖς περιέργοις μυρίσμασι τῶν νέων ἀποδεχθεῖσα, καὶ τὴν ψυχὴν μεθ᾽ ἑαυτῆς συναπέδησεν. οὕτως οὖν, ὡς παρθένος τις, ἡ ψυχὴ ὑπὸ ἀφρόνων θεραπαινίδων τῶν αἰσθήσεων ἁλίσκεται πρὸς τὴν τῆς ἀκολασίας ἁμαρτίαν προδιδομένη. ἡ γὰρ ἁμαρτία πάσας τὰς αἰσθήσεις" καρώσασα, δίκην κλέπτου λαθραίως εἰς τὸ ταμιεῖον τῆς καρδίας ἐπεισέρχεται· εἶτα εἰσελθοῦσα ὅλην αὐτὴν γυμνοῖ, τὴν ἐνθήκην τῆς σωφροσύνης ἀποσυλήσασα. ἠσφαλίζετο γοῦν ἡ μακαρία ἐκείνη τὸ βλέμμα, τὸ στῆμα, τὸ βῆμα, τὴν ἀκοήν, τὴν ὅρασιν, τὴν ὄσφρησιν, τὴν γεῦσιν, τὴν ἁφήν, καὶ ἦν ἀληθῶς κατὰ τὴν σοφίαν τὴν λέγουσαν, Κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη. ὥσπερ γὰρ κῆπος κεκλεισμένος, μηδενὸς αὐτὸν συλαγωγῆσαι δυναμένου, ἐτύγχανεν ἡ μακαρία ποικάζουσα τὰ τῆς σωφροσύνης ἀρώματα, καὶ ὥσπερ πηγὴ ἦν τῇ πίστει ἐσφραγισμένη, ἐξ ἧς οὐδεὶς τῶν ἀτάκτων τὸ τῆς σωφροσύνης κάλλος ἀντλῆσαι ἠδύνατο. ταύτης ἐν ἐπιθυμίᾳ γεγόνασι δύο πρεσβύτεροι τοῦ λαοῦ οἱ δοκοῦντες κυβερνᾶν τὸ ποίμνιον, καὶ ἕκαστος αὐτῶν φλογὶ τῆς ἐπιθυμίας καιόμενος, θάτερος θατέρῳ τὸ ἔγκρυφον τῆς καρδίας πῦρ φανερῶσαι ᾐσχύνετο. καὶ δὴ ἐν μιᾷ τῶν ἡμερῶν ἑκάτερος αὐτῶν λάθρα τοῦ ἑτέρου αὐτοῦ ἀπῄει κατασκοπεῦσαι τὴν Σωσάνναν, καὶ εὑρηκότες ἀλλήλους, καὶ ἀνετάσαντες ὡμολόγησαν ἀλλήλοις, δι᾽ ἣν παρῆσαν αἰτίαν. τότε κοινωνίαν θέμενοι, ἐν τῇ τῆς ἁμαρτίας πράξει τῆς κακίας ἐποιοῦντο ἔρευναν ἐπιμελῆ, καὶ παρετήρουν καιρόν, ὅπως αὐτῆς κατατύχωσι μόνης. συνέβη οὖν ἐν μιᾷ τῶν ἡμερῶν κατὰ τὸ εἰωθὸς τὴν Σωσάνναν εἰσελθεῖν εἰς τὸν παράδεισον τοῦ ἀνδρὸς αὐτῆς λούσασθαι κατὰ τὸ καῦμα· καὶ ἐξαποστειλάσης αὐτῆς τὰς παιδίσκας ἐπὶ τὸ κομίσαι σμῆγμα, ἐπιδραμόντες αὐτῇ ἄφνω οἱ πρεσβύτεροι, ὥσπερ λύκοι ἀμνάδα κάτοχοι, τῷ οἴστρῳ τῆς ἀκολασίας ἁρπάξαι βουλόμενοι.

Ψαλ. ξη γ.

Ἀσμ. δ. ιβ.

βουλόμενοι. καὶ ἦν μόνη Σουσάννα ἀνὰ μέσον τῶν δύο λεόντων, καὶ οὐδεὶς ὁ βοηθῶν, οὐ παιδίσκη, οὐ δοῦλος, οὐ συγγενής, οὐ φίλος, οὐ γείτων· εἰ μὴ μόνος οὐρανόθεν παρειστήκει Θεός, ὁ κωλύειν μὲν δυνάμενος, συγχωρῶν δὲ γίνεσθαι τὴν πάλην· ἵνα κρυπτομένας γνώμας ἐλέγξῃ, καὶ τῆς μὲν Σουσάννης τὴν σωφροσύνην, τῶν δὲ πρεσβυτέρων τὴν ἀκολασίαν δημοσιεύσῃ· ὁμοῦ δὲ καὶ ταῖς γυναιξὶ παιδευτήριον μέγιστον τὴν Σουσάννης ἐνάρετον ἄθλησιν ἐπιδείξῃ.

Μεγάλη ἦν ἡ μάχη, σφοδρὸς ἀγὼν τῇ Σουσάννῃ ἐπέκειτο, μείζων τοῦ Ἰωσήφ. ἐκεῖνος μὲν γὰρ ἀνὴρ ὢν μετὰ μιᾶς ἐμάχετο γυναικός· αὕτη δὲ γυνὴ οὖσα μετὰ δύο ἀνδρῶν ἐπάλαιε. θέατρον ἦν μέγιστον καὶ τερπνόν· γυνὴ μετὰ δύο ἀνδρῶν ἐπύκτευε. καὶ τὸ θαυμαστόν, ἐὰν ἀκούσητε, ποῦ τὸ σκάμμα ἠνέῳκτο. ἐν παραδείσῳ, ὅπου ὁ ὄφις τὴν Εὔαν ἠπάτησεν. ὡς οὖν ἕτοιμος γέγονεν ἡ πάλη, ἠνοίχθησαν οἱ οὐρανοί, ἡ σάλπιγξ ἐβόα, ὁ ἀγὼν ἕτοιμος, ὁ ἀγωνοθέτης οὐρανόθεν παρειστήκει τῇ πάλῃ, καὶ ὁ δῆμος τῶν ἀγγέλων ἐπικεκυφὼς ἐθεώρει· ὁ ὄφις ἐν τοῖς παρανόμοις, ἡ δὲ πίστις ἐν τῇ σώφρονι. πολλὴ ἦν φροντὶς ἀμφοτέροις περὶ τῆς νίκης, τοῖς μὲν πρεσβυτέροις, τὸ μὴ ὑπὸ γυναικὸς ἡττηθῆναι· τῇ δὲ Σουσάννῃ, τὸ μὴ ἀπολέσαι τὴν σωφροσύνην. ἐκείνοις τὰ ὀψώνια τῆς νίκης οἱ δαίμονες ἡτοίμαζον, τῇ δὲ Σουσάννῃ τὰ ἔπαθλα τῆς σωφροσύνης ηὐτρέπισαν οἱ ἄγγελοι. κατέχουσι τὴν Σουσάνναν οἱ παράνομοι· καὶ πρῶτον μετὰ τῶν λόγων ἐπάλαιον αὐτῇ. τί λέγοντες; πρεσβύτεροί ἐσμεν τοῦ λαοῦ· ἡμῖν ὁ νόμος πεπίστευται· τοῦ λύειν καὶ δεσμεῖν ἐξουσίαν εἰλήφαμεν· οὐδείς ἐστιν ἐνθάδε κατάσκοπος· γενοῦ μεθ' ἡμῶν· ἐν ἐπιθυμίᾳ σου γάρ ἐσμεν. ἐὰν δὲ μὴ βουληθῇς, καταμαρτυρήσομέν σου, ὅτι ἦν μετὰ σοῦ νεανίσκος, καὶ διὰ τοῦτο ἐξαπέστειλας τὰ κοράσια ἀπὸ σοῦ. καὶ ὅρα πόσα ἦν τὰ συνέχοντα τὴν Σουσάνναν· συκοφαντία ἀκολασίας, φόβος θανάτου, κατάγνωσις ἐπὶ τοσούτου λαοῦ, μῖσος ἀνδρός, μῖσος συγγενῶν, πένθος γυναικῶν, πένθος οἰκετῶν, καὶ ἁπαξαπλῶς πλούτου τοῦ οἴκου κατάλυσις. ἀλλ' οὐδὲν τούτων τὸν λογισμὸν νικῆσαι ἴσχυσε τῆς σώφρονος. ἡ γὰρ ἐλπὶς τῆς καρδίας αὐτῆς ἦν εἰς Θεόν. στενάζουσα γοῦν ἡ Σωσάννα ἔλεγε, Στενά μοι πάντοθεν. ἐάν τε γὰρ πράξω, θάνατός μοί ἐστιν· ἐάν τε μὴ πράξω, οὐκ ἐκφεύξομαι τὰς χεῖρας ὑμῶν. αἱρετόν μοί ἐστι μὴ πράξασαν ἐμπεσεῖν εἰς τὰς χεῖρας ὑμῶν, ἢ ἁμαρτεῖν ἐνώπιον Κυρίου. οἴμοι οὓς ἐδόκουν εἶναι ποιμένας, λύκους ὁρῶ· οὓς ἐδόκουν εἶναι τῶν χειμαζομένων λιμένας, οὗτοι ναυάγιον γεγόνασι. οὐ μιαίνετέ μου τὴν σωφροσύνην· οὐ καταισχύνω μου τοὺς γονεῖς· οὐκ ἀτιμάζω μου τὴν συγγένειαν· οὐ λυπῶ μου τὸν ἄνδρα· οὐ λύω μου τὴν πρὸς αὐτὸν συζυγίαν ἐκ τῆς πρὸς ὑμᾶς ἀτάκτου ὁμιλίας. αἱροῦμαι θάνατον ἄνομον ὑπὲρ θάλαμον ἄτακτον. ἐμοὶ δὲ καὶ πάρεστιν ὁ ἀνήρ μου, οὐ τῇ τοῦ σώματος παρουσίᾳ, ἀλλὰ τῇ τῆς ψυχῆς διαθέσει, καὶ τοὺς τῶν γονέων μου χαρακτῆρας μεθ' ἑαυτῆς περιφέρω. φοβήθητε τὸν ὁρῶντα Θεόν· αἰσχύνθητε τοὺς παρόντας ἀγγέλους· νοήσατε ὅ ἐστε· γνῶτε ὃν ἀναγινώσκετε νόμον, τὸν λέγοντα, Οὐκ ἐπιθυμήσῃ τὴν γυναῖκα τοῦ πλησίον σου. Ταῦτα εἰρηκυῖα ἀνεβόησε, μάρτυρας τῆς ἀταξίας αὐτῶν συγκαλοῦσα· ἀνεβόησαν δὲ καὶ οἱ δύο πρεσβύτεροι· εἰσέδραμον οἱ τῆς Σουσάννης δοῦλοι καὶ παιδίσκαι· ὁρῶσι μετ' αὐτῆς τοὺς δύο πρεσβυτέρους. ἡνίκα δὲ εἶπον οἱ πρεσβύτεροι τοὺς λόγους κατὰ Σουσάννης, κατῃσχύνθησαν οἱ δοῦλοι σφόδρα, ὅτι οὐκ ἐρρήθη λόγος τοιοῦτος περὶ Σουσάννης ποτέ. ἐγένετο δὲ τῇ ἐπαύριον συνέδριον μέγιστον. ἔτι γὰρ ἦν ἡ κρίσιμος πάλη, ἡ περὶ στεφάνου νίκη· συνήχθη πᾶς ὁ λαὸς ἀνδρῶν, γυναικῶν, νηπίων. πάλιν συνηθροίσθη τὸ θέατρον· οἱ κάτω ἄνθρωποι οὐκ ᾔδεισαν τί ἐθεώρουν· οἱ δὲ ἐν οὐρανῷ [ἄγγελοι] ἐπεγίνωσκον τὸ πρᾶγμα. ἦλθον οἱ πρεσβύτεροι γέμοντες τῆς ἀνομίας· καλοῦσι τὴν Σουσάνναν, ὡς μὲν ἐκεῖνοι ἐνόμιζον, πρὸς αἰσχύνην καὶ θάνατον· ὡς δὲ τῷ δικαίῳ κριτῇ προώριστο, πρὸς ζωὴν καὶ δόξαν αἰώνιον. καὶ τί φασι πρὸς τὸν λαόν; ἀποστείλατε πρὸς Σουσάνναν θυγατέρα Χελκίου. οἱ δὲ ἀπέστειλαν. ἦλθεν αὐτή, καὶ οἱ γονεῖς αὐτῆς, καὶ ὁ ἀνὴρ αὐτῆς, καὶ τὰ τέκνα αὐτῆς, καὶ πάν-

Δευτ. ε. κά.

τες

τις οἱ συγγενεῖς αὐτῆς· καὶ ἦλθεν ἡ Σουσάννα ὡς θανεῖν ὀφείλουσα διὰ σωφροσύνην, μετὰ πολλῆς εὐλαβείας στενάζουσα, θλιβομένη, οὐχ ὅτι ἔμελλεν ἀποθνήσκειν, ἀλλ' ὅτι ὄνομα κακὸν κατελίμπανε τοῖς γονεῦσιν, ὅτι ἤμελλεν ὀνειδισμὸν τῷ γένει καταλιπεῖν. οὐδένα γὰρ εἶχε μάρτυρα τοῦ γεγονότος πράγματος ἐν τῷ παραδείσῳ. πολλοὶ ἦσαν οἱ δακρύοντες ὑπὲρ αὐτῆς, οἱ φίλοι, οἱ συγγενεῖς, οἱ γονεῖς, οἱ γείτονες. ὁ ἀνὴρ ἐπένθει, ὁ οἶκος αὐτῆς ἐθρήνει· κἀκείνη αὐτὴ κατώδυνος, σκυθρωπή, δακρύουσα, θλιβομένη, ἐν πολλῇ ταπεινότητι καρδίας ἵσταται ἐν τῷ μέσῳ. πάνδημος ἦν ἡ θέα, Θεοῦ, ἀγγέλων, ἀνθρώπων. ἀνίστανται οἱ δύο πρεσβύτεροι, οἱ ἐν σχήματι ποιμένων λύκοι· ἐπιτιθέασιν αὐτῇ τὰς χεῖρας, καὶ ἐν αὐτοῖς ὁ συκοφάντης ὄφις ἐλάλει. τί ἐλάλει; περιπατούντων ἡμῶν χθὲς ἐν τῷ παραδείσῳ μόνων εἰσῆλθεν αὕτη, καὶ ἀπέλυσε τὰς παιδίσκας αὐτῆς, καὶ ἦλθε πρὸς αὐτὴν ὁ νεανίσκος, ὃς ἦν κεκρυμμένος, καὶ ἀνέπεσε μετ' αὐτῆς· ἡμεῖς δὲ ὄντες ἐν τῇ γωνίᾳ τοῦ παραδείσου, καὶ ἰδόντες τὴν ἀνομίαν γινομένην, ἐδράμομεν ἐπ' αὐτούς· κἀκείνου μὲν ἐγκρατεῖς οὐκ ἠδυνήθημεν γενέσθαι, διὰ τὸ ἰσχύειν αὐτὸν ὑπὲρ ἡμᾶς, καὶ ἀνοίξαντα τὰς θύρας ἐκπεπηδηκέναι· ταύτης δὲ ἐπιλαβόμενοι ἠρωτῶμεν, τίς ἦν ὁ νεανίσκος, καὶ οὐκ ἠθέλησεν ἀπαγγεῖλαι ἡμῖν. ταῦτα μαρτυροῦμεν. καὶ ἐπίστευσεν αὐτοῖς ἡ συναγωγὴ ὡς πρεσβυτέροις τοῦ λαοῦ, καὶ κριταῖς, καὶ κατέκριναν αὐτὴν ἀποθανεῖν. καὶ ἀπήγετο ἡ Σωσάννα πρὸς θάνατον, καὶ οὐδεὶς ἦν ὁ ἐκδικητὴς τῆς ἀληθείας, καὶ μάρτυς, εἰ μὴ μόνος ὁ Θεός, ὃς καὶ συνεχώρει γενέσθαι τὰ γινόμενα, ἵν' ἀμφοτέρων τελεία δειχθῇ ἡ πρᾶξις, τῶν μὲν παρανόμων ἡ τῆς ἀκολασίας κακία καὶ ἡ συκοφαντία, τῆς δὲ μακαρίας Σουσάννης ἡ ἕως θανάτου ἔνστασις τῆς σωφροσύνης. ὁρᾷς ἕως πότε ὁ Θεὸς ἐγκαταλιμπάνει; ἐγκαταλιμπάνει δὲ ὡς χρυσὸν ἐν χωνευτηρίῳ, δοκιμάζων ἐν τοῖς πειρασμοῖς τοὺς δικαίους, ὥσπερ καὶ ἐπὶ τοῦ Ἀβραὰμ πεποίηκει. ἀπήγετο ὁ Ἰσαὰκ εἰς ὁλοκάρπωσιν· τὸ θυσιαστήριον ᾠκοδόμητο· τὰ ξύλα ἐπετέθη, καὶ οὐδαμοῦ τὸ πρόβατον· λαμβάνει τὴν μάχαιραν ὁ πατήρ, καὶ οὐδαμοῦ τὸ πρόβατον. ὥρμησε τοῦ σφάξαι, καὶ τότε ὁ Θεὸς τῇ φωνῇ τὴν χεῖρα αὐτοῦ ἐχαλίνωσε. ταῦτα δὲ εἶπον, ἵνα ἕκαστος ὑμῶν, ὅταν πειράζηται, κἂν ἐγγὺς τοῦ θανάτου γένηται, μὴ ἀπελπίσῃ τὴν ἀπὸ τοῦ Θεοῦ ἀντίληψιν, ἀλλ' ἕως τέλους ἀπεκδέξηται. ἀπήγετο γοῦν ἡ Σωσάννα θανεῖν· οὐδεὶς ἦν ὁ βοηθῶν. ὅτε λοιπὸν εἶδε τὴν ἀνθρώπων ἀντίληψιν μὴ ὑπάρχουσαν, ἀνατρέχει τῇ διανοίᾳ πρὸς τὸν ἐν οὐρανῷ πιστὸν μάρτυρα, πρὸς τὸν ἀκοίμητον ὀφθαλμόν, καὶ λέγει μετὰ φωνῆς· Ὁ Θεὸς ὁ αἰώνιος, ὁ τῶν κρυπτῶν γνώστης, ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν, σὺ ἐπίστασαι, ὅτι ψευδῆ μου καταμαρτυροῦσι, καὶ ἰδοὺ ἐγὼ ἀποθνήσκω μηδὲν πράξασα, ὧν οὗτοι κατ' ἐμοῦ ἐπονηρεύσαντο. καὶ εἰσήκουσεν αὐτῆς ὁ εἰρηκώς, Ἔτι σοῦ λαλοῦντος ἐγὼ πάρειμι, καὶ ἀπαγομένης αὐτῆς ἀπολέσθαι ἐξήγειρεν ὁ Θεὸς τὸ πνεῦμα παιδαρίου νεωτέρου, ᾧ ὄνομα Δανιήλ· καὶ ἐβόησε φωνῇ μεγάλῃ· καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος ταύτης. ἐπέστρεψε δὲ πᾶς ὁ λαός*, καὶ εἶπε· τίς ὁ λόγος οὗτος, ὃν λελάληκας; ὁ δὲ στὰς ἐν μέσῳ αὐτῶν ἔφη· οὕτω μωροὶ υἱοὶ Ἰσραήλ, οὐκ ἀνακρίναντες, οὐδὲ τὸ σαφὲς ἐπιγνόντες κατεκρίνατε θυγατέρα Ἰσραήλ; ἀναστρέψατε εἰς τὸ κριτήριον. ψευδῆ γὰρ οὗτοι κατεμαρτύρησαν αὐτῆς. καὶ ἀνέστρεψε πᾶς ὁ λαὸς μετὰ σπουδῆς, καὶ εἶπε Δανιήλ· διαχωρίσατε αὐτοὺς ἀπ' ἀλλήλων. καὶ ἐπηρώτησε τὸν ἕνα λέγων, πεπαλαιωμένε ἡμερῶν κακῶν, νῦν ἥκασιν αἱ ἁμαρτίαι σου, ἃς ἐποίεις· εἰπὲ οὖν μοι, ὑπὸ ποῖον δένδρον εἶδες αὐτοὺς ὁμιλοῦντας ἀλλήλοις. ὁ δὲ εἶπεν, ὑπὸ σχῖνον. καὶ εἶπε Δανιήλ· ὀρθῶς ἐψεύσω εἰς τὴν ἑαυτοῦ κεφαλήν. μέλλει γὰρ ὁ ἄγγελος τοῦ Θεοῦ τὴν μάχαιραν ἔχων σχίσαι σε μέσον. καὶ μεταστήσας τοῦτον καλεῖ τὸν ἕτερον, καὶ λέγει· σπέρμα Χαναάν, καὶ οὐχὶ Ἰούδα, τὸ κάλλος ἐξηπάτησέ σε, καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν διέστρεψε τὴν καρδίαν σου· εἰπὲ τοίνυν ὑπὸ ποῖον δένδρον εἶδες αὐτοὺς ὁμιλοῦντας. ὁ δὲ εἶπεν, ὑπὸ πρῖνον. ὁ δὲ Δανιὴλ πρὸς αὐτόν· ὀρθῶς καὶ σὺ ἐψεύσω εἰς τὴν σεαυτοῦ κεφαλήν. μέλλει

λει

Ησ. ξη. θ.

* πρὸς αὐτὸν

λεῖ γὰρ ὁ ἄγγελος τοῦ Θεοῦ ἔχων τὴν ῥομφαίαν αὐτοῦ πρίσαι σε μέσον. Καὶ ἀνεβόησε πᾶς ὁ λαὸς φωνῇ μεγάλῃ λέγων· εὐλογητὸς Κύριος ὁ σώζων πάντας τοὺς ἐλπίζοντας ἐπ' αὐτῷ. καὶ ἐσώθη ἐν τῇ ἡμέρᾳ ἐκείνῃ αἷμα ἀναίτιον· καὶ ἐπληρώθη τὸ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον ἐκ προσώπου Σουσάννης· Ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου· αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου. Οἱ παράνομοι πρεσβύτεροι εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς· παραδοθήσονται εἰς χεῖρας ῥομφαίας. μέλλει γὰρ ὁ ἄγγελος τοῦ Θεοῦ ἔχων τὴν ῥομφαίαν ἀναιρεῖν αὐτούς· μερίδες ἀλωπέκων ἔσονται. ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ· ὁ ἀνὴρ τῆς Σωσάννης ἐπαινεθήσεται· πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, τουτέστιν, ὁ πιστεύων αὐτῷ· ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα· τὰ τῶν παρανόμων πρεσβυτέρων ἄδικα στόματα. τότε μετεστρέφετο τὸ πένθος τῶν γονέων αὐτῆς εἰς χαράν· ὁ ἀνὴρ ἠγαλλιᾶτο δοξάζων τὸν Θεόν· οἱ συγγενεῖς ἐπῄνεσαν· οἱ γείτονες εὐθύμουν· πᾶς ὁ οἶκος αὐτῆς εὐφραίνετο, καὶ ἁπαξαπλῶς πάνδημος ἦν ἑορτή, Θεοῦ, ἀγγέλων, ἀνθρώπων. εἶδες ἐν γυναικείῳ σχήματι ἀνδρείαν ψυχήν; εἶδες γυναικὸς σωφροσύνην, ἧς ἡ μνήμη μένει ἀθάνατος μετὰ νίκης; αὕτη παρὰ ἀνθρώπων ἐδοξάσθη· παρὰ ἀγγέλων ἐμεγαλύνθη· παρὰ Θεῷ ἐστεφανώθη. Ταύτην ζηλώσατε γυναῖκες, ἵνα τῆς αὐτῆς καὶ ὑμεῖς τιμῆς ἀξιωθῆτε παρὰ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλ. ξ. 9.

γρ. σώματι

Λογ. ρθ. ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟ, ΠΑΤΕΡ ΗΜΩΝ.

Ex Ms. Cæsareo.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς. πατέρα λέγεις, ἄνθρωπε, τὸν Θεόν; καλῶς λέγεις. ἔστι γὰρ πατὴρ πάντων. ἀλλὰ σπούδαζε ἐργάζεσθαι ἔργα ἀρέσκοντα τῷ πατρί σου. εἰ δὲ κακὰ ποιεῖς ἔργα, πρόδηλον ὅτι τὸν διάβολον ἐπικαλῇ πατέρα. αὐτὸς γάρ ἐστιν ὁ ἔφορος τῶν κακῶν. διὸ σπούδαζε ἐκφυγεῖν τοῦτον, ἀρέσαι δὲ τῷ ἀγαθῷ πατρὶ καὶ ποιητῇ σου. Ἁγιασθήτω τὸ ὄνομά σου. καὶ τί γάρ; οὐκ ἔστιν ἅγιος ὁ Θεός; ναί, ἅγιος· ἀλλὰ τοῦτο λέγεις, ἐν ἐμοὶ ἁγιασθήτω τὸ ὄνομά σου· Ὅπως ἴδωσιν οἱ ἄνθρωποι τὰ καλὰ ἔργα μου, καὶ δοξάσωσι τὸν πατέρα καὶ ποιητήν μου. Ἐλθέτω ἡ βασιλεία σου. τί γάρ; οὐκ ἔστι βασιλεὺς ὁ Θεός, ὅτι μέλλει ἔρχεσθαι ἡ βασιλεία αὐτοῦ; ναί, βασιλεύς ἐστι πάντων· ἀλλ' ὥσπερ πόλις κυκλωθεῖσα ὑπὸ ἐχθρῶν ζητεῖ ἐλθεῖν τὴν δύναμιν τοῦ βασιλέως, καὶ ἐξελέσθαι αὐτήν· οὕτω δὴ καὶ ἡμεῖς κυκλωθέντες ὑπὸ τῶν ἐναντίων δυνάμεων καὶ ὑπὸ τῶν ἁμαρτιῶν ἡμῶν καὶ πονηρῶν λογισμῶν, ζητοῦμεν ἐλθεῖν τὴν βασιλείαν τοῦ Θεοῦ, ἐξελέσθαι ἡμᾶς. καὶ κατ' ἄλλον τρόπον· ἐπειδὴ ὁ προφήτης λέγει, Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη, τῷ παρελθόντι χρόνῳ, ὡς μέλλοντι, χρησάμενος, χάριν τούτου κράζομεν, ἐλθέτω ἡ βασιλεία σου, Κύριε, τουτέστιν, ἐλθέτω ἐφ' ἡμᾶς τὰ ἐλέη σου. Γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. λέγει γὰρ οὕτω· Κύριε, ὥσπερ ἐγένετο τὸ θέλημά σου ἐν τῷ οὐρανῷ, καὶ εἰσὶν ἄγγελοι ἅπαντες ἐν εἰρήνῃ, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ὁ ὠθῶν καὶ ἀντωθούμενος, οὔτε τύπτων καὶ τυπτόμενος, ἀλλὰ πάντες ἐν εἰρήνῃ βαθείᾳ· οὕτω καὶ ἐν ἡμῖν τοῖς ἐπὶ γῆς ἀνθρώποις γενηθήτω τὸ θέλημά σου· ἵνα πάντα τὰ ἔθνη ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάσωμεν τὸν ποιητὴν καὶ σωτῆρα ἡμῶν. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. ἐπιούσιον ἄρτον λαβεῖν αἰτοῦμεν· ἄρτος δὲ ψυχῆς λόγος Θεοῦ, καθὼς ἔφη τις τῶν ἁγίων· Ἄνοιγε, τέκνον, σὸν στόμα λόγῳ Θεοῦ· καὶ διὰ τοῦτο συχνοτέρως μνημονεύειν Θεοῦ καλὸν ἢ ἀναπνεῖν. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. λέγει δὲ οὕτω· καὶ ἄφες ἡμῖν τὰ χρέη ἡμῶν, τουτέστι, τὰς ἁμαρτίας ἡμῶν καὶ τὰ πταίσματα, ὡς καὶ ἡμεῖς ἀφίεμεν πᾶσι τοῖς πταίουσι καὶ ἁμαρτάνουσιν εἰς ἡμᾶς ἀδελφοῖς ἡμῶν, ἐλευθέροις τε

Ματθ. ε. ις.

Παροιμ. λα.

καὶ δούλοις, καὶ πᾶσι τοῖς ὑποχειρίοις ἡμῶν. Ταῦτα λέγων, ἄνθρωπε, ἐὰν δὲ ποιῇς οὕτως, ἐνόησον ὅτι φοβερὸν τὸ ἐμπεσεῖν ἡμᾶς εἰς χεῖρας Θεοῦ ζῶντος· καὶ διορθωσάμενος ἐπίστρεψον πρὸς τὸν ποιητὴν καὶ Κύριον. Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. ἐὰν ζητήσῃ ἡμᾶς ὁ Σατανᾶς σινιάσαι, ὡς τὸν σῖτον, ὥσπερ καὶ τοὺς ἀποστόλους ἐξῄτησε, καὶ ὡς δέον ἀπέτυχεν, ἀλλ' ὡς τὸ πάλαι Ἰὼβ, μὴ δῷς αὐτῷ ἐξουσίαν καθ' ἡμῶν· ἀλλ' εἰ καὶ πονηρὸς ἄνθρωπος θελήσῃ πειράσαι ἡμᾶς ἢ ἀδικῆσαι, μὴ δῷς ἡμᾶς εἰς τὸ θέλημα αὐτοῦ, ἀλλὰ σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις. Κύριε, ἐπεὶ σή ἐστιν ἡ βασιλεία, μὴ ἐάσῃς ἡμᾶς φοβηθῆναι ἑτέραν βασιλείαν, εἴτε δεσποτείαν ἄλλην, εἰ καὶ ἄξιοί ἐσμεν κολάσεως διὰ τὰς ἁμαρτίας ἡμῶν. σὺ ἡμᾶς, οἵῳ θέλεις τρόπῳ, τιμώρησον, καὶ μὴ παραδῷς ἡμᾶς εἰς χεῖρας ἀνθρώπων· ἀλλ' ἐμπεσούμεθα εἰς χεῖρας σου, ὅτι ὡς ἡ μεγαλωσύνη σου, οὕτω καὶ τὸ ἔλεός σου, πάτερ παντοκράτορ, εἰς τοὺς αἰῶνας. Ἀμήν.

Λουκ. κβ. λα.

Λογ. ρι. ΛΟΓΟΣ " ΚΑΤΗΧΗΤΙΚΟΣ ΕΙΣ ΤΟ ΡΗΤΟΝ ΤΟΥ εὐαγγελίου τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν, Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ, καὶ τὰ ἑξῆς.

Ματθ. κ. α.

γρ. εἰς τοὺς ἐργάτας

Ex Ms. Regio Lut. emend ex Ms. Bavar.

ΟΡῶ τῇ ποίμνῃ τῶν εὐσεβῶν μεμιγμένα πρόβατα ξένα, νέαν τὴν σφραγῖδα τοῦ ἐπουρανίου ποιμένος ἐπὶ τῶν μετώπων ἐπιφερόμενα. καὶ βούλομαι διδασκαλίας χλόην εὑρεῖν κατάλληλον τοῖς γευσαμένοις ἤδη τῆς χάριτος, καὶ τοῖς μέλλουσι κρίναι τὴν πόαν τοῦ πνεύματος· ἵνα τῆς αὐτῆς κατηχήσεως ἡ νομὴ τοῖς μὲν πεφωτισμένοις ὑπόμνησις" γίνηται τῶν τοῦ Θεοῦ δωρεῶν, τοῖς δὲ φωτισθησομένοις πλείονα προτροπὴν πρὸς τὸ βάπτισμα. δεῖ γὰρ [πρὸς ἑκατέρους] κεκερᾶσθαι τὸν λόγον, διὰ τὸ κεκερᾶσθαι τὸν φιλόθεον δῆμον ἔκ τε μεμυημένων καὶ " μυουμένων ἀνδρῶν. εὑρὼν τοίνυν πόθεν ἑστιάσω καὶ ἡμᾶς τοὺς οἰκογενεῖς καὶ ἀρχαίους ἀπολαύοντας τοῦ Χριστοῦ, καὶ πῶς τοὺς νεωνήτους δούλους ὑμῶν προτρέψω πρὸς τὴν ἐλευθερίαν τῆς " κλήσεως, ἀπαγγελῶ τοῖς ἐμοῖς ἀδελφοῖς ῥήσεις δεσποτικὰς δυναμένας καὶ τοὺς πάλαι καταλαβόντας τὸν βασιλικὸν ἀμπελῶνα προθυμοτέρους ἐργάσασθαι, καὶ τοὺς ἄρτι παρακύψαντας εἰς αὐτὸν διεγεῖραι πρὸς τὸν ὅμοιον ζῆλον.

γρ. γένοιτο

γρ. μεμυημέν
ἴσ. μὴ μεμυ
ημένων
γρ. ἐκκλήσεω

Ματθ. κ. α.

Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ. οἰκοδεσπότην ὁ δεσπότης ἑαυτὸν ὀνομάζει· ἐργάτας δὲ περὶ τρίτην καὶ ἕκτην καὶ ἐννάτην καὶ ἑνδεκάτην καλουμένους προσαγορεύει πάντας τοὺς εὐσεβεῖς τοὺς ἐν διαφόροις ἡλικίαις δεξαμένους τὸ βάπτισμα· ἀμπελῶνα, τὰ σωτήρια λέγει προστάγματα, μικρὸν ἔχοντα πόνον, πολὺ δὲ τὸ κέρδος. ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ. Συμφωνήσας δὲ μετ' αὐτῶν, τουτέστι, τῶν ἐργατῶν, ἐκ δηναρίου τὴν ἡμέραν, ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπελῶνα αὐτοῦ. ὁ οἰκοδεσπότης ἐκεῖνος ἐγώ εἰμι. ὥσπερ γὰρ ὁ οἰκοδεσπότης οἰκίας, ὡς βούλεται, οἰκοδομεῖ· οὕτως ἐγὼ τὸν κόσμον ὅλον, ὡς θέλω, διαπλάττω, ἐγὼ ὁ τῆς δικαιοσύνης ἥλιος φορέσας τὴν νεφέλην τῆς ἀνθρωπότητος συγκατέβην τῇ ἀνθρωπότητι, καὶ περιέρχομαι ζητῶν ἐργάτας εἰς τὸν ἀμπελῶνά μου. οὐ χρῄζω ἀνθρώπων ἀμπελουργῶν (ἔχω γὰρ ἀγγέλους καὶ ἀρχαγγέλους ποιοῦντας ἃ βούλομαι) ἀλλὰ ποθῶ τοὺς ἐπιγείους δούλους μου ἐν τοῖς ἐμοῖς κλήμασιν αὐλιζομένους ὁρᾶν. ἐγὼ περιτρέχω καὶ περιβλέπομαι πανταχοῦ τίνας εὑρῶ, τίνας μισθώσομαι, οὐχ ἵνα μόχθοις ἀλλοτρί-

Ματθ. κ. β.

οις πλουτήσω, ἀλλ᾽ ἵνα πλουτίσω τοὺς ὑπακούοντάς μοι. ἐγὼ τὸν Πέτρον καὶ τὸν Ἰωάννην καὶ τοὺς ἄλλους μαθητὰς, τοὺς ἀόκνους φυτουργοὺς τῆς οἰκουμένης, συνήγαγον· συνεφώνησα πρὸς αὐτοὺς ἐκ δηναρίου τὴν ἡμέραν· ἀπεμισθωσάμην αὐτῶν πᾶσαν τὴν ζωήν· ἀπεμισθωσάμην, καὶ ἐπηγγειλάμην αὐτοῖς ὑπὲρ πάσης ὁμοῦ τῆς ἐργασίας διδόναι μισθὸν, τὴν βασιλείαν τῶν οὐρανῶν. ἀλλ᾽ οὐκ ἀρκοῦσι μόνοι οὗτοι τὴν ἐμὴν κορέσαι ψυχήν. οὐ δύναμαι βλέπειν εὐαριθμήτους γεωργοὺς γεωργοῦντάς μου τὸ γεώργιον. στενοχωροῦμαι τοὺς ὀφθαλμοὺς [μου], τοσούτους μόνον ὁρῶν. ἔτι καὶ ἄλλους γηπόνους διψῶ· ἔτι καὶ ἄλλους μισθοφόρους ποθῶ· ἔτι καὶ ἄλλους μύστας ζητῶ. εὐρύχωρός ἐστι καὶ μέγας ὁ παράδεισος τῶν ἐμῶν ἐντολῶν· πάντας τοὺς πιστεύσαντάς μοι χωρεῖ· πάντας τοὺς φιλαρέτους ὑποδεχόμενος ἔτι πλατύτερος γίνεται. τί οὖν ποιήσω; πόθεν πληρώσω τοὺς ἐμοὺς περιβόλους; πόθεν πλείονας ἀπογράφους περιστρέψομαι; ἐξέλθω πάλιν εἰς τὰς περιόδους [αὐτῶν]; * ἐξέλθω πρὸς τοὺς πλανωμένους τὴν ἑκούσιον πλάνην; ἐξέλθω πρὸς τοὺς ῥαθύμους; ἐξέλθω πρὸς τοὺς ἀπόρους ὁ εὔπορος, ἵνα τοὺς ἀπόρους εὐπόρους ἐργάσωμαι; ἐξέλθω πάλιν πρὸς τὴν τῶν ἐργατῶν συλλογήν; ἐγὼ δὲ ὀφειλόμενον ποιήσω· καλέσω καὶ πάλιν τοὺς πένητας. ἐμὸν ἐστὶ τὸ περιστρέψαι, ἐκείνων τὸ πεισθῆναι· ἐμόν ἐστι τὸ θελῆσαι δοῦναι μισθὸν, ἐκείνων ἐστὶ τὸ θελῆσαι λαβεῖν. ἐὰν ὑπακούσωσί μοι, καὶ ἐμοὶ καὶ ἑαυτοῖς χαριοῦνται· ἐὰν δὲ παρακούσωσί μοι, ἑαυτοὺς ζημιοῦσιν. ἐμοὶ γὰρ οὐ λείπουσι γεωργοὶ δυνάμενοι περισκάψαι καὶ περιβοθρεῦσαι καὶ περικλαδεῦσαι τὰ κλήματα. οὐ δύναται ὁ ἐμὸς ἀμπελὼν μεῖναι κεχερσωμένος ἢ ἄκαρπος.

Καὶ ἐξελθὼν περὶ τὴν τρίτην ὥραν, εἶδεν ἄλλους ἐν τῇ ἀγορᾷ ἀργοὺς, κἀκείνοις εἶπεν· ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνά μου. καὶ ποῦ ἦτε πρωΐ; ποῦ ἦτε τὰς παρελθούσας ἡμέρας; πῶς οὐκ ἐζητήσατέ με τὸν εἰς ζήτησιν ὑμῶν ἀφικόμενον; πῶς οὐκ ὠρθρίσατε πρὸς τὸ συμφέρον ὑμῶν; οὕτως ἀγνοεῖτε τῆς εὐσεβείας τὰς ἀκτῖνας, ὅτι τὴν ἡμέραν νύκτα νομίζετε; καὶ λάμποντος τοῦ φωτὸς τῆς ἀληθείας ὑμεῖς τί καρηβαρεῖτε καὶ νυστάζετε; νῦν γοῦν ἐξυπνίσατε, νῦν γρηγορήσατε, νῦν ἐπιστρέψατε, νῦν γοῦν σωφρονίσατε. ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα· βλέπετε πῶς ὑμᾶς ἀγαπῶ. οὐ περιώρισα περὶ ὄρθρον τὸ κήρυγμα· οὐκ ἀπετείχισα τοῖς δευτέροις τὴν πρόσοδον· οὐ περιέκλεισα τῇ πρώτῃ κλήσει τὴν ὑμετέραν ἐπιστροφήν. πάσας ὥρας ὑμῖν ἐχαρισάμην πρὸς μετάνοιαν· πᾶσαν ἡλικίαν ἐναγκαλίζομαι. κἂν βρέφη προσενεχθῇ μοι, χαίρων προσίεμαι. ἐγὼ γάρ εἰμι τῶν βρεφῶν δημιουργὸς καὶ πατὴρ καὶ μήτηρ καὶ τροφὸς καὶ τροφή. κἂν παῖδες ὑποψελλίζοντες προσφύγωσιν, ἥδομαι· κἂν νεώτεροι προσχωρήσωσι, μᾶλλον εὐφραίνομαι· κἂν ἄνδρες τέλειοι προσδράμωσιν, ὑποδέχομαι. πάντας τοὺς μετὰ πίστεως προστρέχοντας ὡς ἀδελφοὺς ἐμοὺς περιπτύσσομαι. ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα. οὐ λογίζομαι τῶν παρελθουσῶν ὡρῶν τὴν ζημίαν· ἐὰν ἴδω προθυμίαν παλαιουμένην τῇ ῥαθυμίᾳ, ἐὰν τοὺς προφθάσαντας ὑμᾶς ἐπιφθάσαι σπουδάσητε, οὐ μειῶ τῆς ἡμέρας τοῦ μισθοῦ. ἄφετε τὸν ἀμπελῶνα τὸν Ἰουδαϊκὸν, τὸν ἀγνώμονα, τὸν ἀχάριστον, τὸν ἔξω μόνον ἐπιστάμενον γεωργεῖν. καταλίπετε τὴν ἄμπελον τὴν ἐξ Αἰγύπτου μεταφυτευθεῖσαν, καὶ τῆς Αἰγυπτιακῆς εἰδωλολατρείας τὴν πικρίαν περιφέρουσαν, καὶ βότρυν πικρίας μαθοῦσαν βλαστάνειν παρὰ φυτουργῷ, καὶ πρὸς τὸν ἐμὸν ἀμπελῶνα μετάστητε· καὶ ὃ ἐὰν ᾖ δίκαιον, δώσω ὑμῖν. * Πάλιν ἐξῆλθε περὶ τὴν ἕκτην καὶ ἐνάτην ὥραν, καὶ ἐποίησεν ὡσαύτως. οὐ καταλιμπάνω καιρὸν οὐδένα σαγηνεύων τοὺς θέλοντας· καὶ οὐ κάμνω τοὺς κάμνοντας ἐν ταῖς ἁμαρτίαις πρὸς δικαιοσύνην καλῶν. ἐξῆλθον ἅπαξ, καὶ θηρεύσας ὑπέστρεψα· ἐξῆλθον δεύτερον, καὶ ζωγρήσας ἀνέκαμψα· ἐξῆλθον τρίτον, καὶ πλουτήσας ἐπανελήλυθα· ἐξῆλθον τέταρτον περὶ τὴν ἐνάτην ὥραν, καὶ λαβὼν ἥκω πινάς. ὅσον συνεχῆ ποιοῦμαι τὸν δρόμον, τοσοῦτον θερμότερον ἀναφλέγω τὸν πόθον· ὅσους ἐὰν

* ἢ πάντων ὁδούς.

χ. ἐξυπνίσθητε

χ. ἥδομαι

χ. κομιῶ τὰς ἡμέρας τοὺς μισθούς

χ. ὄξος

* καὶ οὐκ εἰμὶ ἄδικος κατὰ φύσιν δίκαιος πέφυκα. οὐκ εἰμὶ πλεονέκτης ὁ κατὰ τῆς πλεονεξίας νόμους ἐκθέμενος. οὐκ εἰμὶ ἀγνώμων, ὁ περὶ τοὺς ἀγνώμονας δ᾽ ὕλυς * * * οὐκ εἰμὶ σμικρολόγος ἢ μικρόψυχος· περὶ τοὺς μεγαλοψύχους περιέμαι. δώσω ὑμῖν μισθοὺς ὑπεριόντας τοὺς πόνους, χορηγήσω δωρεὰς νικώσας τοὺς ἱδρῶτας ὑμῶν.

χ. εἶπεν.

Ματθ. κ γ.

Ματθ. κ. ε.

προσάγωμαι, τοσούτους ἄλλους ποθῶ· κἀκείνους εὑρὼν, ἑτέρους ἐπιζητῶ. Θέλω γὰρ πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. περὶ δὲ τὴν ἑνδεκάτην ὥραν ἐξελθὼν, εὗρεν ἄλλους ἑστῶτας ἀργούς. οὐ παύομαι γυμνῶν τὸν διάβολον, ἕως ἂν ὁ βίος οὗτος παρείη· οὐ παύσομαι λῃστεύων τὸν θάνατον, τὸν δεινὸν κλέπτην τῆς ἀνθρωπότητος· οὐκ ἀνέχομαι γὰρ ἀπὸ γνώμης οἰκείας γενομένους θνητοὺς μὴ μεταβῆναι πρὸς ἀθανασίαν ἕως αὐτῆς αὐτῶν τῆς τελευταίας ἀναπνοῆς. διὰ τοῦτο οὔτε τῆς ἑνδεκάτης ὥρας καταφρονῶ· διὰ τοῦτο προσεδρεύω ταῖς πύλαις τοῦ ᾅδου, ἵνα δυνηθῶ τινας περὶ τοῦ θανάτου μεταστῆσαι πρὸς τὴν ζωήν. περὶ δὲ τὴν ἑνδεκάτην ὥραν ἐξελθὼν, εὗρεν ἄλλους ἑστῶτας ἀργοὺς, καὶ λέγει αὐτοῖς· τί ὧδε ἑστήκατε ἀργῶς; ἐκκλησίας οὐκ ἔχετε; προφήτας οὐκ ἔχετε; ἀποστόλους οὐκ ἔχετε; μάρτυρας οὐκ ἔχετε; θείας γραφὰς οὐκ ἔχετε; πνευματικὸν ἔργον οὐδέν; τί οὕτως ἑστήκατε ὧδε ὅλην τὴν ἡμέραν ἀργοί; οὐ βλέπετε τὸν ἥλιον τὸν τεταγμένον δρόμον ἀνύοντα; οὐ βλέπετε τὴν σελήνην διακονοῦσαν τῷ κτίσαντι; οὐ βλέπετε τὴν κτίσιν δουλεύουσαν τῷ ποιητῇ; οὐ βλέπετε τῶν στοιχείων ἕκαστον ἐργαζόμενον τὸ ἔργον, δι' ὅπερ ἐγένετο; διὰ τί οὕτως ὑμεῖς μόνοι τῇ ἀργίᾳ τὴν φύσιν ὑβρίζετε; διὰ τί στήλας μιμεῖσθε νεκράς; οὐκ ἔχετε ὀφθαλμοὺς, ἵνα βλέποντες τοῦ κόσμου τὸ κάλλος, τὸν κοσμοποιὸν ἀνυμνήσητε; οὐκ ἔχετε στόμα, ἵνα τὰς γλώσσας ὑμῶν πρὸς ὑμνῳδίαν κινήσητε; οὐκ ἔχετε χεῖρας, ἵνα ἐλεημοσύνην ἐργάσητε; οὐκ ἔχετε πόδας, ἵνα δράμητε δρόμους ψυχωφελεῖς; τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; μέχρι πότε τὴν ἐμὴν δεσποτείαν ἐκτρέπεσθε; τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; οἱ δὲ λέγουσιν αὐτῷ· οὐδεὶς ἡμᾶς ἐμισθώσατο. τοιοῦτοί εἰσιν οἱ προφασιζόμενοι προφάσεις ἐν ἁμαρτίαις, οἱ τὸ παρὸν εἰς τὸ μέλλον ὑπερτιθέμενοι, οἱ λέγοντες, ἄφες ἄρτι, καὶ ὅτε κελεύει με ὁ Θεὸς, τότε βαπτίζομαι. ἔνδος μοι τοῦτο τὸ πάσχα, καὶ εἰς τὸ μέλλον φωτίζομαι. τοιοῦτοί εἰσιν οἱ λέγοντες, οὐδεὶς ἡμᾶς ἐμισθώσατο. ἀλλὰ τί πρὸς αὐτοὺς ὁ τῇ χρηστότητι νικῶν τὰς ὑπερθέσεις τῶν ἀναβαλλομένων τὴν χάριν; Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα. οὐκ ἤλεγξε τὴν ψευδολογίαν αὐτῶν, οὐκ ἐστηλίτευσε τὴν εἰρωνείαν τῶν πεπλανημένων ἠθῶν, οὐκ εἶπε πρὸς αὐτοὺς ῥᾳθύμους, τί λέγετε, ὅτι οὐδεὶς ἡμᾶς ἐμισθώσατο; τί τῇ ῥᾳθυμίᾳ καὶ τὸ ψεῦδος συρράπτετε; οὐδεὶς ὑμᾶς ἐμισθώσατο; οὐ παρεκάλεσαν ὑμᾶς οἱ προφῆται; οὐ προετρέψαντο ὑμᾶς οἱ ἀπόστολοι; οὐ παρεγενόμην ἐγὼ δι' ἐμαυτοῦ πρὸς ὑμᾶς; οὐκ ἐκάλεσα πολλάκις, ὑμεῖς δὲ οὐχ ὑπηκούσατε; οὐκ εἴδετέ με μισθούμενον τοὺς ἑτέρους ὑμῶν, καὶ ποιοῦντα μετ' ἐκείνων σύμφωνα; διὰ τί οὕτως οὐκ ἠβουλήθητε μιμήσασθαι τοὺς πεισθέντας μοι, ἀλλ' ἐμείνατε μέχρι γήρους κατάσκοποι; τούτων οὐκ εἶπεν οὐδὲν ὁ σωτήρ· ἀλλ', ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνά μου. δέχομαι καὶ γέροντας ἐργατεύσασθαι θέλοντας· δέχομαι καὶ πολιὰς εὐσεβείᾳ λαμπρυνομένας· δέχομαι καὶ τρέμοντα μέλη πίστει νευρούμενα· ἡδέως ὁρῶ γέροντας κρατοῦντας βακτηρίας ὁμοῦ καὶ σταυρούς. ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνά μου. τῷ διαβόλῳ τὴν νεότητα προσηνέγκατε, ἐμοὶ κἂν τὸ γῆρας δανείσατε· τῷ ἐχθρῷ τὴν ἰσχὺν ἐχαρίσασθε, ἐμοὶ κἂν τὴν ἄχρηστον ἡλικίαν ἐπίδοτε. τῷ τυράννῳ τὸν χρόνον ὅλον, ὡς ἐκεῖνος ἠθέλησεν, ἐστρατεύσασθε, ἐμοὶ τῷ ἐννόμῳ βασιλεῖ τὸν ἐπίλοιπον χρόνον σχολάσατε. γίνεσθε πιστοὶ, πρὶν γένησθε νεκροί. λάβετε πρὸ τοῦ θανάτου τὴν τῆς ἀθανασίας στολήν. ἑαυτοὺς πρὸ τῆς τελευτῆς ἐνταφιάσατε τοῖς ἀφθάρτοις ἐνταφίοις τῆς χάριτος. δράμετε, σπεύσατε πρὸ τῆς ἑσπέρας ἔσω τοῦ ἀμπελῶνος εὑρεθῆναι· [illegible] ἔνδον ὑμᾶς καταλείπῃ δύνων ὁ ἥλιος. ἐὰν πρὸ ἡλίου δυσμῶν ἑαυτοὺς συναριθμήσητε τοῖς ἐμοῖς ἐργάταις, ὄψεσθε τῆς ἐμῆς θεότητος τὴν δόξαν, ὡς φωτὸς ἐργάται. ἐὰν μετὰ τῶν κεκλημένων ἐκ τοῦ ἀμπελῶνος ἐξέλθητε, καὶ μὴ καμόντας ὑμᾶς ὡς καμόντας ἀμείψομαι. ἐὰν ἔξω τῆς αὐλῆς ἱσταμένους

γρ. ἐπιλαβὼν

γρ. ὁ Χριστὸς ἐπιγνώσας

γρ. ἐργάταις

γρ. πόνους

νοις ὑμᾶς καταλάβῃ τοῦ θανάτου ἡ νύξ, οὐκ ἔτι λοιπὸν ὑμᾶς ὡς φίλους ἔχειν ἀνέχομαι. νεκρὸς γὰρ οὐ πιστεύει, ἀλλ' οὔτε στεφανοῦται· νεκρὸς οὐχ ὁμολογεῖ, νεκρὸς οὐκ ἐργάζ(εται), καὶ θαρρεῖται μυστήριον· νεκρὸς οὐκ ἐργάζεται σωφροσύνην· νεκρὸς οὐ δύναται μισθὸν ἀπαιτεῖν· νεκρὸς ἀσφράγιστος δὲ περὶ τῆς κρίσεως κατακέκριται. ζῶν δὲ ὑγιὴς αἰνέσει τὸν Κύριον. ὁ τοιοῦτος νεκρὸς καὶ μετὰ θάνατον ζῇ· ὁ τοιοῦτος νεκρὸς μετὰ τὴν ταφὴν πάλιν ἀνθεῖ. ὑπάγετε δὲ ὑμεῖς εἰς τὸν ἀμπελῶνα. ἕως ἔχετε μικρὰν ἔτι προθεσμίαν ζωῆς, πραγματεύσασθε. μὴ περιμείνητε τῆς ἀρρωστίας τὴν ἀνάγκην λαβεῖν τῆς ὑμετέρας γνώμης τὸν στέφανον· μὴ βουληθῆτε παρὰ τὸν καιρὸν τοῦ θανάτου περιβαλέσθαι τὰ τῆς ἀθανασίας ἐφόδια. ἐν ζωῇ τὴν ζωὴν ἐμπορεύσασθε· ἐν ὑγείᾳ καὶ νήψει τὸ τάλαντον ὑποδέξασθε, ἵνα καὶ τὴν ἐργασίαν κερδάνητε. ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον, λήψεσθε. μόνον μετανοήσατε, μόνον προσέλθετε, μόνον γίνεσθε μετ' ἐμοῦ· οὐ μέμψασθέ μου τὴν προτροπήν. οὐδεὶς γὰρ ἐμοὶ πιστεύσας ἀπῆλθεν ἀχαριστῶν, οὐδεὶς ἐμοὶ διακονήσας ἔμεινεν ἔτι πτωχός. οὕτως ὁ οἰκοδεσπότης τοῦ οἴκου τούτου τὸν ἀμπελῶνα τοῦτον ἐπλήρωσεν.

Ὀψίας δὲ γενομένης. ἤδη τῆς παρούσης ζωῆς ὡς ἡμέρας ὑπορευσάσης, ἤδη παραγενομένης τῆς μακρᾶς τοῦ θανάτου νυκτός, ἤδη τῆς ἀναστάσεως τῶν νεκρῶν ἀνατειλάσης, ὥσπερ ὄρθρου τινὸς ἑσπέραν μὴ κεκτημένου διάδοχον, λέγει ὁ Κύριος τοῦ ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ· κάλεσον τοὺς ἐργάτας· κάλεσον πάντας τοὺς ἐξ Ἀδάμ· κάλεσον τὸν Ἄβελ τὸν διὰ θυσίαν τυθέντα· κάλεσον τὸν Ἐνὼχ τὸν εὐαρεστήσαντα καὶ μετατεθέντα· κάλεσον τὸν Νῶε τὸν τῆς ναυαγησάσης φύσεως καλὸν κυβερνήτην· κάλεσον τὸν πιστότατον Ἀβραάμ, τὸν φιλόθεον μᾶλλον ἢ φιλότεκνον, τὸν στρατευσάμενον κατὰ τῶν σπλάγχνων αὐτοῦ, τὸν τυραννήσαντα τὴν πίστιν· κάλεσον τὸν Ἰωσήφ, τὸν τῆς σωφροσύνης ἐργάτην· κάλεσον πάντας τοὺς πατριάρχας· κάλεσον τοὺς προφήτας· κάλεσον τὸν Ἠλίαν τὸν καλῶς ἡνιοχήσαντα δὲ γενόμενον ἡνίοχον πυρίνων ἁρμάτων· κάλεσον τοὺς ἀποστόλους, τοὺς τῆς καινῆς διαθήκης φωστῆρας· κάλεσον τοὺς μάρτυρας, [καὶ] τοὺς μιμησαμένους μου τὸν ὑπὲρ αὐτῶν θάνατον· κάλεσον Στέφανον τὸν δι' ἐμὲ λιθασθέντα· κάλεσον Βαρλαὰμ τὸν διὰ φυλακὴν τοῦ ἀμπελῶνος κατακαέντα τὴν δεξιάν· κάλεσον πάντας τοὺς καλῶς κοπιάσαντας· κάλεσον τοὺς τὰ ἐμὰ καλλιεργήσαντας κλήματα, καὶ ἀπόδος αὐτοῖς τὸν μισθόν. ἄνοιξον τοὺς ἐμοὺς θησαυρούς· ἄνοιξον τὰς ἐμὰς ἀποθήκας· ἄνοιξον τὰ φαιδρὰ τῆς ἐμῆς βασιλείας βασίλεια. προκόμισον τοὺς βασιλικοὺς στεφάνους, προκόμισον τὰ θεῖα βραβεῖα. μὴ φείσῃ μηδενὸς τῶν ἐμῶν κειμηλίων. οὐκ ἐφείσαντο γὰρ οὗτοι τῶν οἰκείων ψυχῶν δι' ἐμέ. στεφάνωσον τὰς κεφαλὰς τῶν ἀθλησάντων, ὡς ἠβουλόμην ἐγώ. ἔμβαλε τὰ βραβεῖα ταῖς καμούσαις χερσί. μηδεὶς ἀστεφάνωτος ἐντεῦθεν ἐξέλθῃ· μηδεὶς ἀγέραστος ὑποστρέψει· μηδεὶς ἀποστερηθῇ τῶν ἀμοιβῶν. πάντες πλουτήσωσι, πάντες χορεύσωσι, καὶ ἴδωσιν ἐπὶ τίσιν ἐμισθωσάμην αὐτούς· ἴδωσι ποίων οἱ πειθόμενοί μοι τυγχάνουσιν ἀγαθῶν· ἴδωσι ποίων δωρεῶν ἑαυτοὺς ἀποστεροῦσιν οἱ καλούμενοι, δὲ παραγενέσθαι μὴ βουλόμενοι. ἀπόδος αὐτοῖς τὸν μισθόν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων, τοὺς ἐσχάτους πρώτους εὐφραίνων ταῖς δωρεαῖς. οὗτοι γὰρ μάλιστα χρείαν ἔχουσι τῆς ἐμῆς ἀγαθότητος. ἐκεῖνοι μέν τοι οἱ πρωΐθεν εὐθέως ἅμα τῇ ἡμέρᾳ τῶν πόνων ἀρξάμενοι, αὐτὴν τὴν ἡμέραν καὶ τὰς ὥρας καὶ τὰς ἀρετὰς καὶ τοὺς ἀγῶνας καὶ τὰς συνθήκας ἔχουσι συνηγόρους· οὗτοι δὲ οἱ ἔσχατοι πάντων τούτων ἔρημοι καθεστῶτες, πρὸς μόνην τὴν φιλανθρωπίαν τὴν ἐμὴν ἀποβλέπουσι. τούτοις οὖν τοῖς ἐσχάτοις πρώτοις ἐπίδος τὰ δῶρα, καὶ τότε τοῖς πρώτοις ἀποδώσεις τὰς ἀμοιβάς. Καὶ ἐλθόντες οἱ περὶ τὴν ἑνδεκάτην ὥραν ἔλαβον ἀνὰ δηνάριον. καὶ τοῦτο περιχαρῶς ἐν ταῖς ἑαυτῶν χερσὶ περιστρέφοντες, ἔλεγον· ἐκινδυνεύομεν ἀπιστεῖν τοῖς ἀγαθοῖς. ἤλευσαι γὰρ οὐδὲν ἄξιον, ὧν ἐλάβομεν, ἐργασάμενοι. ὁ-

Ματθ. κ. η.

Ματθ. κ. θ.

ρῶντες δὲ τὸ δῶρον τοῖς ὀφθαλμοῖς, καὶ ταῖς παλάμαις τὴν χάριν κατέχοντες ἐχόρευον, ἐπανηγύριζον ἐπὶ τοῖς παρ' ἐλπίδα καλοῖς. Ματθ κ. ι. ια. Ἐλθόντες δὲ οἱ πρῶτοι ἐνόμισαν ὅτι πλείονα λήψονται· καὶ ἔλαβον καὶ αὐτοὶ ἀνὰ δηνάριον· λαβόντες δὲ, ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου, λέγοντες. ὁ δεσπότης τὸν λόγον παρήγαγεν, οὐχ ἵνα τιμωμένοις φθονήσωσι (χαίρουσι γὰρ, οὐκ ἀγανακτοῦσι πάντων σωζομένων οἱ ὅσιοι) ἀλλ' ἵνα δείξῃ τὴν οἰκείαν φιλανθρωπίαν τοιαύτην οὖσαν, ὥστε καὶ τοῖς ἀφθόνοις, εἰ ἐνεχώρει, φθόνον τεκεῖν. λαβόντες δὲ ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου, λέγοντες· οὗτοι οἱ ἔσχατοι, οὗτοι οἱ γεγηρακότες, οὗτοι οἱ μόλις τὴν σὴν δεσποτείαν ἐπεγνωκότες, οἱ μόλις τὰ γόνατα πρὸς τὴν σὴν προσκύνησιν κάμψαντες, οἱ μόλις τοῖς ὑστέροις δακτύλοις τὸ τοῦ σωτηρίου σοῦ σταυροῦ τὸ σύμβολον τοῖς μετώποις ἐπιγράψαντες, οἱ μὴ βαστάσαντες κοφίνους πειρασμῶν, οἱ μὴ κρατήσαντες δικέλλας συμφορῶν, οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν· εἶδον μόνον τὸν σὸν ἀμπελῶνα, τοῖς ὀφθαλμοῖς ἡμῖν μόνοις ἐκοινώνησαν τῆς ἐργασίας, τὰς ὄψεις αὐτῶν ὑπεδέξω, οὐ κατορθῶσαι πράξεις τινάς. μάρτυρες τῶν μόχθων, οὐ μερισταὶ γεγόνασι· καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα; ἡμεῖς ἐφλέχθημεν ταῖς ὀδύναις, ἀλλ' οὐκ ἐσβέσθημεν ταῖς ἀρεταῖς· ἡμεῖς ἐδιώχθημεν διὰ σέ· ἡμεῖς μυρίοις ὑπεμείναμεν πόνοις, ἵνα τὴν οὐσίαν πλατύνωμεν· καὶ βαδίζομεν ἐντεῦθεν λαβόντες μισθοὺς ὁμοίους τοῖς μὴ κεκμηκόσιν ὁμοίως; ἡμῖν ὁ πόνος ἀνόμοιος, καὶ τὸ κέρδος προσόμοιον· ὁ κόπος ἄνισος, καὶ τὸ κλέος ἐφάμιλλον. οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν. ἵνα μίαν ὥραν ἐγγύς σου κλαύσῃ γυνὴ πόρνη, καὶ λύσῃ τὰς τρίχας, ἃς ἔπλεκε πρὸς τοῦτο κακῶς, καὶ φιλήσῃ τοὺς ἀχράντους σου πόδας σώφροσι χείλεσι, καὶ προσενέγκῃ σοι τῷ οὐρανίῳ μύρῳ ἐπίγειον, ἔδωκας αὐτῇ πρεσβεῖα θυγατρὸς καὶ παρθένου. ἵνα μίαν ὥραν ἐσταυρωμένος λῃστὴς ἀπὸ τοῦ σταυροῦ σοι προσφύγῃ, καὶ βοήσῃ, Λουκ. κγ. μβ. Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου, ὑπὲρ μόνης τῆς φωνῆς ταύτης ἀνέῳξας αὐτῷ τὸν παράδεισον. ἵνα μίαν ὥραν μετανοήσῃ Παῦλος, ὁ διώκτης, ὁ πολέμιος, εὐαγγελιστὴς ἀναδέδεικται. οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα. τί οὖν πρὸς τοὺς οὕτω διακειμένους ὁ φιλάνθρωπος Κύριος; ἀποκριθεὶς ἑνὶ αὐτῶν, εἶπεν· ἑταῖρε, οὐκ ἀδικῶ σε. ὢ φιλανθρωπίας ἀνυπερβλήτου. ὁ δεσπότης ὑπὲρ τῶν δούλων τῷ δούλῳ δικάζεται· ὁ κριτὴς ὑπὲρ τῶν κρινομένων ἀπολογεῖται τῷ κατηγόρῳ. ἑταῖρε, οὐκ ἀδικῶ σε. δίκασαί μοι κατὰ λόγον, ἑταῖρε, καὶ μὴ ἀδίκως λυποῦ· διαλέχθητί μοι νομίμως, καὶ μὴ παρανόμως δυσχέραινε· εἰπέ, τί ἠδικήθης αὐτός, τιμηθέντος τοῦ συνδούλου σου; εἰπέ, τί ἐβλάβης αὐτός, συμβασιλεύοντος ἐπὶ τοῦ σοῦ ἀδελφοῦ; οὐκ ἔλαβες, δι' ὃ ἔκαμες; οὐχ ὑπεδέξω τῆς ἡμέρας ὅλης τέλειον τὸν μισθόν; οὐκ ἀπέλαβες, ὅπερ ἐπόθεις; τί οὖν ἄλλο πλέον ζητεῖς; οὐχὶ δηναρίου συνεφώνησάς μοι; ὑπόμνησον ἑαυτὸν τῶν ἐμῶν ὑποσχέσεων, ἐφ' οἷς ἐμισθωσάμην σε τὴν ἀρχήν. εἰ παρὰ τὰ συγκείμενα ἐποίησά τι, δικαίως ἀγανακτεῖς· εἰ δὲ τὰς συνθήκας ἐπλήρωσα, μάτην ἐγκαλεῖς τῷ ἀνεγκλήτῳ. οὐχὶ δηναρίου συνεφώνησάς μοι; μή τι τῶν σῶν ἐμείωσα δωρεῶν; μὴ τὰ σὰ λαβὼν ἑτέροις προσέδωκα; μὴ τὴν σὴν δόξαν ἄλλοις ἀπένεμον; οὐχὶ τὴν ἐμὴν οὐσίαν, οἷς ἠθέλησα, κατεμέρισα; τί οὖν γογγύζεις, βλαβεὶς ὡς δοῦλος, ὡς ἐλεύθερος τιμηθείς; τί οὖν γογγύζεις ὁ τοσοῦτον ὠφεληθείς; τί φθονεῖς τοῖς σοῖς ἀδελφοῖς, ἄφθονον ἔχων δεσπότην; ἆρον τὸ σὸν, καὶ ὕπαγε· ἀρκέσθητι τοῖς παροῦσι· μὴ θέλε μόνος βασιλεύειν, συγκληρονόμος μετὰ πολλῶν. ἀρκεῖ ἡ βασιλεία τῶν οὐρανῶν καὶ σοὶ, καὶ πᾶσι τοῖς ἀξίοις αὐτῆς. Ματθ κ. ιδ. Θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι, ὡς καὶ σοί. τῷ θελήματί μου τίς ἀντιστήσεται; Θεὸς ὁ δικαιῶν, καὶ τίς ὁ κατακρίνων; Θεὸς ὁ χορηγῶν, τίς ὁ λογοθετῶν; Θεὸς ὁ πλουτίζων, τίς ὁ γυμνῶσαι δυνάμενος; ὁ κριτὴς συνήγορος, τίς ὁ κατήγορος; ὁ δικαστὴς σύνδικος, τίς ἀντίδικος εὑρεθήσεται;

ται; θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι, ὡς καὶ σοί. οὐ φέρω τοὺς ἐμοὺς ἀνδριάντας γυμνοὺς δόξης καταλιπεῖν· οὐ φέρω τὴν ἐμὴν εἰκόνα πτωχεύουσαν περιιδεῖν· οὐ φέρω μὴ συμβασιλεῦσαί μοι καὶ τούτους, δι' οὓς κατῆλθον ἐκ τῶν οὐρανῶν. θέλω δοῦναι τούτῳ τῷ ἐσχάτῳ, ὡς καὶ σοί. ἔσχατος ἦλθεν, οἶδα κἀγώ· ἀλλὰ προσήγαγέ μοι πίστιν ἀπολογουμένην ὑπὲρ τῆς γεγενημένης βραδύτητος. ἔσχατος ἦλθεν, ἀλλ' ἐπεδείξατο πόθον, οἷον ποθῶ. ἐπλανήθη τὸν παρελθόντα χρόνον ὡς πρόβατον, ἀλλ' ἐπέγνω τὸν ποιμένα τῶν προβάτων. ἐμὸς ἦν τότε, καὶ ὅτε ἐρρέμβετο. ἔσχατος ἦλθεν, ἀλλὰ διὰ τῆς ἐμῆς κολυμβήθρας παρῆλθεν, ὥσπερ καὶ σύ. ἔσχατος ἦλθεν, ἀλλὰ τῆς ἐμῆς τραπέζης ἀπήλαυσεν, ὥσπερ καὶ σύ. ἔσχατος ἦλθεν, ἀλλ' εἶδέ μου πᾶσαν τοῦ ἀμπελῶνος τὴν εὐπρέπειαν, εἶδε τοῦ ξύλου τῆς ζωῆς τὸ φυτόν· κατεφίλησε τὰς ἀκάνθας, ἃς ἐστεφανοφόρησα δι' αὐτόν· περιεπτύξατο τὸν σταυρόν, ὃν ὑπέμεινα δι' αὐτόν. οὐ δύναμαι οὖν τὸν οὕτω με ποθήσαντα, τὸν οὕτω μοι πιστεύσαντα μὴ τιμῆσαι πάσῃ σπουδῇ καὶ τιμῇ. ὡς ἐπίστευσας, ἐπίστευσεν· [ὡς εὐπόρησας, εὐπόρησεν·] ὡς προσεκύνησας, προσεκύνησεν· ὡς ἐβασίλευσας, ἐβασίλευσεν· ὡς ἔκαμες, οὐκ ἔκαμεν, ἀλλ' ἐγὼ τῇ χάριτι τὸ λεῖπον ἀνεπλήρωσα. Ἢ οὐκ ἔξεστί μοι ποιῆσαι, ὃ θέλω, ἐν τοῖς ἐμοῖς; μὴ γὰρ τὰ σὰ δαπανῶ; τὰ ἐμὰ χορηγῶ. μὴ γὰρ ἐν τοῖς σοῖς φιλοτιμοῦμαι; ἐν τοῖς ἐμοῖς αὐθεντῶ. μὴ γὰρ ἐπίτροπόν σε τῆς ἐμῆς κατέστησα γνώμης; μισθωτόν σε ἔλαβον ἐξ ἀρχῆς. μὴ γὰρ κύριόν σε τῆς ἐμῆς ἐξουσίας ἐχειροτόνησα; ὡς φιλάνθρωπος, κοινωνὸν ἐποιησάμην τῶν ἐμαυτοῦ. εἰ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, οὐ δύναται βλέπειν ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσεν. ἀθολώτου χρεία βλέμματος εἰς τὴν τῶν μυστηρίων ἐπίσκεψιν, καθαρᾶς χρεία ψυχῆς εἰς τὴν τῶν καθαρῶν κατανόησιν. εἴδετε πῶς ἀγαθὸς ὁ δεσπότης ἡμῶν· εἴδετε πῶς τοὺς ἐν διαφόροις καιροῖς προσιόντας, μίαν δὲ πίστιν καὶ προθυμίαν καὶ πολιτείαν ἐπιδεικνυμένους ὁμοίαις τιμαῖς καὶ δωρεαῖς ἠξίωσεν· εἴδετε πῶς καὶ τοὺς ἐσχάτους ἴσους τοῖς πρώτοις ἐποίησε διὰ τὴν ἄβυσσον τῶν αὐτοῦ οἰκτιρμῶν. ἐπείχθητε τοίνυν πρὸς τὸν οὕτω φιλάνθρωπον. αὐτὸς καὶ νῦν ἡμᾶς ἐμισθώσατο· αὐτὸς λέγει καὶ πρὸς ἡμᾶς, ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα. Θεὸς ὁ μισθούμενος, ὁ μισθὸς οὐράνιος, τὸ ἔργον σωτήριον, ὁ ἀμπελὼν εὐπρεπής, ἡ θύρα τοῦ ἀμπελῶνος ἡ κολυμβήθρα καθέστηκεν. ἡ θεία χάρις εἰς θύραν τῆς κολυμβήθρας παρισταμένη, καθάπερ φαιδρὰ πυλωρός, πρὸς πάντας τοὺς δι' αὐτῆς εἰσιόντας βοᾷ· αὕτη ἡ πύλη τοῦ Κυρίου, νεοφώτιστοι διελεύσονται δι' αὐτῆς. ἡμεῖς οὐ φθονοῦμεν ὑμῖν, ὡς τελευταῖον ἐλθοῦσι, καὶ τῆς αὐτῆς ἐλθούσης ὑμῖν δόξης· ἀλλὰ μετέχομεν συγχορευόμενοι ὡς ἀδελφοῖς, καὶ συγχαίρομεν, ἡμετέραν δόξαν τὴν ὑμετέραν σωτηρίαν ἡγούμενοι. ποθήσατε οὖν τὸν καλέσαντα, λάβετε τῆς εἰς τὸν ἀμπελῶνα πορείας τὴν πίστιν ὁδηγὸν ἀπλανῆ. πίστις γὰρ τῆς ἐπὶ τὴν κολυμβήθραν ὁδοῦ χειραγωγὸς ἀγαθός, πίστις χειμαζομένης φύσεως ἄγκυρα, πίστις ἀνθρωπότητος λιμὴν γαληνός, πίστις τῶν ἀοράτων κάτοπτρον τηλαυγές, πίστις τῆς ὁμοουσίου τριάδος διδάσκαλος ἀκριβής, πίστις λέγειν ἡμᾶς παρεσκεύασεν ἐκεῖνα τὰ σωτήρια ῥήματα· πιστεύω εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα. πιστεύω, οὐκ ἐρευνῶ· πιστεύω, οὐ διώκω τὸν ἀκατάληπτον· πιστεύω, οὐ μετρῶ τὸν ἀμέτρητον. ἐὰν πιστεύσω, φωτίζομαι τὴν ψυχήν· ἐὰν περιεργάσωμαι, σκοτίζω μου τοὺς λογισμούς· ἐὰν πιστεύσω, καλῶς ἀναφέρομαι πρὸς οὐρανόν· ἐὰν ζητήσω περιέργως, καταφέρομαι πρὸς βυθόν. πιστεύω εἰς ἕνα καὶ μόνον ἀληθινὸν Θεόν, καὶ πατέρα παντοκράτορα. ἀρνοῦμαι τοὺς παρὰ τῶν ἑλλήνων πεπλανημένους θεούς. πολυθεΐα γὰρ οὐρανὸν οὐκ οἰκεῖ. ἕνα μόνον Θεὸν ἀνυμνῶ. μισῶ τὸν Ἀρειανισμόν, ὡς ἄλλον ἑλληνισμόν. οὐ λέγω, ἦν ποτε, ὅτε οὐκ ἦν πατήρ· ἀλλ' ἀεὶ Θεὸν τὸν Θεόν, ἀεὶ πατέρα τὸν αὐτὸν κηρύττω, οὕτως ὄντα πατέρα, ὡς οἶδεν αὐτός. πιστεύω εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, τὸν ἐξ αὐτοῦ γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, ὡς αὐτὸς μόνος οἶδεν ὁ γεννηθείς·

Ματθ. κ. ιε.

γεννηθέντα, οὐ ποιηθέντα· γεννηθέντα, οὐ κτισθέντα· γεννηθέντα, οὐ δημιουργηθέντα· ἐκ τῆς πατρῴας οὐσίας ἀχρόνως ἐκλάμψαντα, οὐκ ἔξωθεν ἐπεισελθόντα ποθέν· οὐχ ὑποβολιμαῖον ἢ νόθον υἱόν, ἀλλὰ γνήσιον ἀπαύγασμα τοῦ γνησίου πατρός, ἀπαράλλακτον χαρακτῆρα ἀοράτου μορφῆς. οἶδα τὸν Χριστὸν υἱὸν τοῦ Θεοῦ καὶ πατρός, ὡς Θεόν· οἶδα τὸν Χριστὸν τῆς δούλης αὐτοῦ καὶ μητρὸς ὡς φαινόμενον ἄνθρωπον· οἶδα τὸν Χριστὸν ὁμοούσιον τοῖς ἀνθρώποις, ὡς ἄνθρωπον ἐξ ἀνθρώπου· οἶδα τὸν Χριστὸν ἐπουράνιον, καὶ ἐπίγειον· οἶδα τὸν Χριστὸν ἀόρατον, καὶ ὁρώμενον· οἶδα τὸν Χριστὸν ἀψηλάφητον, καὶ παρὰ τοῦ Θωμᾶ ψηλαφούμενον· οἶδα τὸν Χριστὸν χιλιάδας ῥήματι θρέψαντα, καὶ τοῖς κύμασιν ἐπιβαδίσαντα, καὶ τοῖς δαίμοσιν ἐπιτάξαντα, καὶ νεκροὺς ἀναστήσαντα, καὶ μυρία ποιήσαντα θαύματα τῇ δυνάμει τῆς οἰκείας θεότητος· οἶδα τὸν Χριστὸν πεινάσαντα καὶ διψήσαντα καὶ κοπιάσαντα καὶ ἀγωνιάσαντα καὶ ἱδρώσαντα τῇ φύσει τῆς ἀνθρωπότητος· οἶδα τὸν Χριστόν, ὡς Θεόν, ἀπαθῆ· οἶδα τὸν Χριστὸν ἀποθανόντα, καὶ σαρκὶ τὸ πάθος δεξάμενον· οἶδα τὸν Χριστὸν κατὰ τὸ δυνάμενον ὑπομεῖναι τὴν πλευρὰν· οἶδα τὸν Χριστὸν ἀναστήσαντα τοῦ σώματος αὐτοῦ τὸν ναόν. γνωρίζω τὴν τῶν δύο φύσεων αὐτοῦ τὸ διάφορον· οὐ μερίζω τὸν ἕνα υἱὸν εἰς δύο υἱούς. πιστεύω καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ πνεῦμα τῆς ἀληθείας, τὸ παρὰ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ τῆς τριάδος συμπληρωτικόν. αὐτῷ θαρρῶ τὸν ἐμὸν ἁγιασμόν, αὐτῷ θαρρῶ τὴν ἐκ τῶν νεκρῶν ἐξανάστασιν. Ταῦτα τῇ ψυχῇ καὶ τῇ γλώττῃ μελετᾶτε διαπαντός· ταῦτα "φρονήματι, καὶ στόματι βοᾶτε διηνεκῶς. ἔχετε τὸν ἀποστολικὸν ὅρον τῆς πίστεως καὶ πολιτείας θεοφιλοῦς. ἄνευ γὰρ τῆς πίστεως τὰ ἔργα νεκρά. ἀνθρώπινον λέγω διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν. Ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, οὕτω νῦν παραστήσατε τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ Θεῷ. ὁ πόρνος γενέσθω σώφρων, ὁ ἄδικος γενέσθω δίκαιος, ὁ ἅρπαξ εὐμετάδοτος, ὁ πλεονέκτης φιλόπτωχος, ὁ ἀπάνθρωπος καὶ φιλόχρυσος παρὰ τούτου νῦν φανέσθω φιλόχριστος, ὁ βλάσφημος ὑμνολόγος, ὁ τρέχων εἰς θέατρα τρεχέτω λοιπὸν εἰς τὰς αὐλὰς τοῦ Θεοῦ, ὁ τοῖς δρόμοις τῶν ἵππων ἐπιμαινόμενος σχολασάτω τοῖς ἀποστόλοις, ὧν ὁ δρόμος τοῖς μιμουμένοις σωτήριος. ὡς μέλλοντες χρηματίζειν νύμφαι Χριστοῦ, οὕτω στολίσατε τὰς ὑμετέρας ψυχὰς καὶ τὰ σώματα. ἔστω ὑμῖν τὰ βλέμματα τῆς κατὰ ψυχὴν γαλήνης ἐνδεικνύσματα· ἔστωσαν αἱ ὄψεις τῆς ἔνδον εὐλαβείας χαρακτῆρες σαφεῖς· ἔστω ὑμῖν τὰ στόματα ψαλμῶν καὶ ὕμνων εὐωδίαν "ἐκπέμποντα, κόσμια, σώφρονα, πρέποντα παρθένῳ μελλούσῃ νυμφεύεσθαι. ἔστωσαν αἱ ψυχαὶ καθαραί, λευκαί, ἵνα γνησίαν τῆς βασιλικῆς ἁλουργίδος τὴν βαφὴν ὑποδέξωνται. ἐπειδὰν δὲ καταλαμβάνητε τὸν νυμφῶνα τοῦ "πνεύματος, ἐπειδὰν εἰσδράμητε τὴν παστάδα τῆς χάριτος, ἐπειδὰν πλησίον γένησθε τῆς φοβερᾶς ὁμοῦ καὶ ποθεινῆς κολυμβήθρας, ὡς αἰχμάλωτοι προσπέσατε τῷ βασιλεῖ· ῥίψατε πάντες ὁμοίως ἑαυτοὺς ἐπὶ γόνατα, καὶ τὰς χεῖρας ἀνατείναντες εἰς τὸν οὐρανόν, ὅπου κάθηται βασιλικῶς ὁ πάντων ἡμῶν βασιλεύς, καὶ τοὺς ὀφθαλμοὺς "ἰθύναντες πρὸς τὸν "ἀκοίμητον ὀφθαλμόν, τοιούτοις πρὸς τὸν φιλάνθρωπον χρήσασθε ῥήμασιν· ἄνοιξον ἡμῖν τὸν ἀμπελῶνά σου, Κύριε, εἰ καὶ περὶ τὴν ἑνδεκάτην ὥραν ἐφθάσαμεν. μὴ ὀργισθῇς ἡμῖν ὡς βραδύνασι, δέσποτα, μηδὲ κλείσῃς ταῖς ἡμετέραις ὄψεσι τῆς σῆς φιλανθρωπίας τὰς θύρας. κατεγνώκαμεν τῆς φθασάσης ἡμῶν ἀργίας, κατεγνώκαμεν τῆς προλαβούσης ἡμέρας τὴν ῥᾳθυμίαν, ἐβλάβημεν "παρακούσαντες, ἐζημιώθημεν καθευδήσαντες, ἐναυαγήσαμεν τερπόμενοι, ἐγυμνώθημεν παίζοντες καὶ παιζόμενοι, ἀπωλόμεθα τοῖς ματαίοις ψυχαγωγούμενοι. μόλις ἐγρηγορήσαμεν, μόλις ἐνήψαμεν, μόλις ηὕραμεν τὸ συμφέρον, μόλις ἐφύγομεν τὸν πόλεμον. ἀπεταξάμεθα παντελῶς τῷ πονηρῷ· ἀπεταξάμεθα τοῖς ὀλεθρίοις κακοῖς καὶ τερπνοῖς· συσχολάσαι τῷ σωτῆρι λοιπὸν συνταττόμεθα τῷ μόνῳ Θεῷ. δέξαι τὸ γραμμάτιον τῆς ὁμολογίας ἡμῶν, ἵνα φοβούμενοι τὸ πρόστιμον, ἐμμένωμεν οἷς καὶ

Ρωμ. ς. ιθ.

γ. τῷ στόματί σου

γ. ἐμπίπτ

γ. παιδὸς

γ. ἀνθύναντ

γ. ἀκ. [illegible]

γ. ῥᾳθυμήσαντες

συνεθέμεθα. δέξαι τὸ σύμβολον τῶν πρὸς σὲ συνθηκῶν, ἵνα τὸ σύμβολον αἰσχυνόμενοι, τὸ πρόσωπον ἡμῶν ἀπερίτρεπτον καθιδρύσωμεν. οἰκτείρησον τοὺς σοὺς δούλους, τοὺς αἰχμαλώτους, καὶ γυμνούς, καὶ νεκρούς. ἀπόδος ἡμῖν τὴν ἀρχαίαν εὐγένειαν· ἔνδυσον οὓς ὁ διάβολος ἀπεγύμνωσε· χρῖσον ἡμᾶς τῷ ἐλαίῳ τῆς ἁγίας σου χρίσεως, ἵνα μὴ βλαβῶμεν* ὑπὸ τοῦ ὄφεως. θέλομεν ἐργάσασθαι τὰς σὰς ἐντολάς, θέλομεν εὑρεθῆναι τοῦ ἀμπελῶνος ἐντός, θέλομεν ὡς ἐλπίζοντές σοι χρηματίζειν ἐργάται. ἐζήσαμεν πάσας ἡμῶν τὰς ἡμέρας κακῶς· θέλομεν ζῆσαι τὰς ὑπολοίπους καλῶς. θέλεις, ὡς πόρνοις, συγχωρῆσαι. συγχώρησον. θέλεις ὡς τελώνας προσποιήσασθαι. θέλεις ὡς λῃστὰς φιλανθρωπεύσασθαι. θέλεις ὡς διώκτας περισῶσαι. περίσωσον. θέλεις ἐλεῆσαι μετανοοῦντας, οἷς ἐμακροθύμησας ἐξαμαρτάνουσιν. ἐλέησον προσπίπτοντας, οὓς καὶ ἀπολακτίζοντας ἔφερες. ἐλέησον καθικετεύοντας, οὓς ὑβρίζοντας ἔφερες. ἄνοιξον τοῖς χειμαζομένοις τὸν τῆς κολυμβήθρας λιμένα· ἄνοιξον τοῖς τετραυματισμένοις τὸ ἀνώδυνον ἰατρεῖον· ἄνοιξον τοῖς παλαιωθεῖσι τὸ ἄλυπον χωνευτήριον· ἄνοιξον τοῖς χρεωστοῦσι θάνατον τὸν ἀκίνδυνον τάφον· ἄνοιξον ἡμῖν τῆς τριημέρου σου νεκρώσεως τὸ ζωηφόρον ἐκτύπωμα· ἄνοιξον ἡμῖν τῆς παλιγγενεσίας τὴν ″ παρθένον γαστέρα· ἄνοιξον ἡμῖν τῆς υἱοθεσίας τὴν ἄφθαρτον μητέρα· ἄνοιξον ἡμῖν τῆς ἀθανασίας τὴν πύλην· ἄνοιξον ἡμῖν τὴν θύραν τῶν οὐρανῶν· ὅτι σὺ εἶπας, Κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. ἅπερ εἶπας, ἀληθείᾳ πλήρωσον· ἅπερ ἐλάλησας, ὡς ἀψευδὴς ἐπιτέλεσον. πιστεύομεν ὅτι δύνασαι πάντα ποιῆσαι· πιστεύομεν ὅτι δύνασαι τῶν ἁμαρτημάτων ἡμῶν ἀποπλῦναι τὸν βόρβορον· πιστεύομεν ὅτι δύνασαι διὰ πνεύματος καὶ ὕδατος ἀναγεννῆσαι τοὺς ἐν ἁμαρτίαις γηράσαντας· πιστεύομεν ὅτι δύνασαι τὴν ξένην λοχείαν ἐργάσασθαι· πιστεύομεν ὅτι δύνασαι γυναῖκας καὶ βρέφη καὶ νέους καὶ ἄνδρας καὶ γέροντας ἐκ τῶν ὑδάτων νεοπλάστους ἀναγαγεῖν, ὡς ἀρτίτοκα βρέφη· πιστεύομεν ὅτι δύνασαι τοῖς ὕδασιν ἀποπνῖξαι τὰς ἁμαρτίας ἡμῶν, καθάπερ τὸν Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ πᾶσαν κατέκλυσας· πιστεύομεν ὅτι δύνασαι σωτηρίας ὁδὸν ἐξευρεῖν, ὡς ποτε τοῖς Ἰσραηλίταις ἐδημιούργησας ὁδὸν ἐν μέσῳ τῆς θαλάσσης· πιστεύομεν ὅτι δύνασαι ″ τόσον, ὅσον καὶ θέλεις. Ταῦτα λέγοντες πρὸς τὸν Κύριον ἐπιμείνατε, ἵνα εἴπῃ καὶ πρὸς ὑμᾶς ὁ ″ σωτήρ, Πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι; κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*[illegible] πάλιν ἐνεχθῶμεν

γ. παρθένου

Ματθ. ζ.

γ. ποιοῦντα, ὅσα

γ. πατήρ

Λογ. ρια. ΕΙΣ ΤΟ, ΕΞΗΛΘΕ ΔΟΓΜΑ ΠΑΡΑ ΚΑΙΣΑΡΟΣ Αὐγούστου, καὶ εἰς τὴν ἀπογραφὴν τῆς ὑπεραγίας, ἀχράντου, ὑπερευλογημένης δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Λουκ. β. α.

Ex Ms. Colleg. Novi Oxon. emend. ex Ms. Banat

ΜΕλλοντος, ἀγαπητοί, τοῦ κοινοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τίκτεσθαι, δόγμα παρὰ Καίσαρος Αὐγούστου ἐξέρχεται καθολικὸν εἰς πᾶσαν τὴν οἰκουμένην, ἐπειδὴ καθολικὴ χάρις ἐκλάμπειν ἤμελλεν εἰς πᾶσαν τὴν γῆν. συνάπτεται τρόπον τινὰ τὰ δημόσια τῇ εὐσεβείᾳ, καὶ γίνεται ἓν πρόσταγμα καθ᾽ ὅλης τῆς οἰκουμένης, τικτομένου τοῦ σωτῆρος. ἐξῆλθεν οὖν δόγμα παρὰ Καίσαρος Αὐγούστου, ὥστε ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην, εἰς παρασκευὴν συμφωνίας τῆς εὐσεβείας, εἰς πρόοδον τοῦ κηρύγματος, εἰς ὁδοποίησιν τῆς διδασκαλίας. πρότερον μὲν γὰρ αἱ τοπαρχίαι πυκναὶ ἐτύγχανον. οὔπω γὰρ ἦν τοῦ καθολικοῦ κηρύγματος ὁ καιρός. ἐπειδὴ δὲ ἤμελλε κήρυγμα καθ᾽ ὅλης τῆς οἰκουμένης, τῆς εὐσεβείας ἡ πίστις, διαδίδοσθαι, συνάπτεται ἡ οἰκουμένη ὑφ᾽ ἑνὶ συνθήματι, καὶ οὐ μόνον ἡ οἰκουμένη, ἀλλὰ καὶ τὰ κάτω τοῖς ἄνω, καὶ δημοσιεύεται ἡ εὐσέβεια συμφερόντως ἀνθρώποις, ἵνα μηδένα διαλάθῃ ἡ κατὰ Θεὸν ἀλήθεια. Καῖσαρ Αὔγουστος κελεύει, καὶ πείθεται Ἰωσήφ, καὶ λαμβάνει τὴν ″ παρθένον. ὅταν ἐρωτήσῃς Ἕλληνας, ἢ καὶ αὐτὸν τὸν Ἰουδαῖον, διατί Αὔγουστος πολλῷ χρόνῳ τῆς βασιλείας τετίμηται (ἐβασίλευσε γὰρ ἔτη πεντήκοντα ἓξ καὶ μῆνας τέσσαρας) ἀποκρίνονται μὲν οὐδέν, νομίζουσι δὲ κατὰ ἀποκλήρωσιν αὐτῷ τὸν χρόνον γεγονέναι μακρότατον, οὐκ εἰδότες τὰς αἰτίας τῶν πραγμάτων, οὐδὲ πιστεύοντες τῇ τοῦ Θεοῦ χάριτι. ἐπ' αὐτοῦ γὰρ ἐτέχθη Ἰησοῦς ὁ σωτήρ. Εἰ τοίνυν βασιλεὺς Ῥωμαίων Αὔγουστος καὶ πρῶτος, εἰκότως τῇ καταβολῇ τῆς βασιλείας τὴν κατὰ σάρκα οἰκονομίαν ἀνεδέξατο ὁ Χριστός. ἤμελλε γὰρ ἡ ῥάβδος εἰσάγεσθαι ἡ σιδηρᾶ, ἡ ῥάβδος, περὶ ἧς ὁ Δαβὶδ ἔλεγε· Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, καί, Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς· ὡσανεὶ τοῦ πατρὸς διαλεγομένου πρὸς τὸν υἱὸν καὶ λέγοντος, Ἰουδαῖοι παρῃτήσαντο τὴν σὴν βασιλείαν, καὶ τὴν ἀρχὴν ἠτίμασαν. εὐκαταφρόνητον τὸ ἔθνος, ὀλίγοι εἰσὶν οἱ ἀπογραφέντες. αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. οὐ τὴν γωνίαν τῆς Παλαιστίνης, οὐδὲ τὸ ἔθνος τὸ μάταιον, τὸ περιτετμημένον, ″ ἀκάρδιον δὲ τῇ ψυχῇ· ἀλλὰ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. ποιμανεῖς δὲ αὐτούς, ἐπειδὴ οὐκ ἐβουλήθησαν τῷ εὐαγγελίῳ ὑπακοῦσαι, ἐπειδὴ οὐκ ἠβουλήθησαν εἶξαι τοῖς θαύμασι, ποιμανεῖς αὐτοὺς οὐ λόγῳ, ἀλλ' ἔργῳ καὶ ῥάβδῳ σιδηρᾷ, τῇ Ῥωμαίων ἀρχῇ. διὰ τοῦτο ὑπόκεινται τῇ ἀρχῇ τῆς ῥάβδου. Ἰησοῦς γάρ, ὅτε ἦλθεν εἰς Ἱεροσόλυμα, καὶ εἶδεν ἐν τῷ ἱερῷ ἐμπορίαν καὶ πραγματείαν αἰσχροκερδῆ (ἐπίπρασκον γὰρ ἔσω καὶ ἠγόραζον, προφάσει τῶν θυσιῶν ἔνδον ἐμπορευόμενοι) ποιήσας οὖν ῥάβδον καὶ φραγέλλιον ἐκ σχοινίων, ἐξέβαλεν αὐτοὺς ἐκ τοῦ ἱεροῦ λέγων, Μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου οἶκον ἐμπορίου; καὶ εἰ ἦσαν ἀνασχόμενοι ἐκείνης τῆς ῥάβδου, οὐκ ἂν ἐποιμάνθησαν ῥάβδῳ σιδηρᾷ· ἐπειδὴ δὲ τὴν σωτήριον ῥάβδον ἠτίμασαν, γεγόνασιν οὐχ ὑπὸ τὸ φραγέλλιον, οὐδὲ ὑπὸ τῶν λόγων τῶν μαστιζόντων τοὺς ἀναισθήτους, ἀλλ' ὑπὸ τὴν ῥάβδον τὴν σιδηρᾶν. καὶ πολλάκις ἠθέλησαν παρακινῆσαι, καὶ κατέλαβεν αὐτοὺς ἡ σιδηρᾶ ῥάβδος, οὐχ ἁπλῶς τύπτουσα, ἀλλ' ἀναιροῦσα. ὅτε τοίνυν ἡ σιδηρᾶ ῥάβδος ἀρχὴν ἔλαβε τοῦ κρατεῖν ἐπὶ Αὐγούστου, τότε δὴ καὶ ὁ Χριστὸς ἐτέχθη. ἀρχὴ Ῥωμαίων, ἀρχὴ κηρύγματος, ἡ τετάρτη τῶν χρόνων βασιλεία. ἔστι γὰρ ἰδεῖν μυστικῶς ταῦτα παρὰ τοῖς προφήταις τεταμιευμένα. οὐδὲν γὰρ ἄγραφον κεῖται οὔτε ἐν τῇ καινῇ, οὔτε ἐν τῇ παλαιᾷ· ἀλλὰ προέλαβε τὴν καινὴν ἡ παλαιά, καὶ ἡρμήνευσε τὴν παλαιὰν ἡ καινή. καὶ πολλάκις εἶπον, ὅτι δύο διαθῆκαι, καὶ δύο παιδίσκαι, καὶ δύο ἀδελφαὶ τὸν ἕνα δεσπότην δορυφοροῦσι· Χριστὸς παρὰ προφήταις καταγγέλλεται, Χριστὸς ἐν καινῇ κηρύττεται. οὐ καινὰ τὰ καινά· προέλαβε γὰρ τὰ παλαιά. οὐκ ἐσβέσθη τὰ παλαιά· ἡρμηνεύθη γὰρ ἐν τῇ καινῇ. ἴδοις γὰρ ἂν τὸν Δανιὴλ ἐκεῖνον, τὸν νεώτερον τῇ ἡλικίᾳ, πολιὸν δὲ τῇ προφητείᾳ ἐν τῇ Βαβυλῶνι προφητεύοντα. διατί ἐν Βαβυλῶνι; ᾐχμαλώτιστο γὰρ ὁ λαός, καὶ ἑβδομήκοντα ἔτη ἐν γῇ Ἀσσυρίων πεποιήκει. ἐκεῖ οὖν γίνεται ὁ Δανιήλ, ἐκεῖ ἀνατρέφεται, οὐδὲν βλαβεὶς ἐκ τῆς ἀλλοφύλου γῆς. εἶχε γὰρ τὸ φρόνημα τὸ πατρικόν, καὶ γέγονεν ἐκ νεότητος προφήτης, καὶ κατέλαβεν αὐτοῦ τὸ ἅγιον πνεῦμα τὴν ψυχήν, καὶ ὀκτωκαιδεκαέτης γενόμενος, τῆς προφητείας ἀπήρξατο. καὶ ἔστι μὲν καὶ ἄλλα πολλά, ἃ προφητεύει· ἑρμηνεύει δὲ καὶ τέσσαρας βασιλείας. εἶδε γὰρ Ναβουχοδονόσορ ὁ τῶν Ἀσσυρίων βασιλεὺς ἐν εἰκόνι τέσσαρας διαφοράς, ἓν μὲν σῶμα, τέσσαρα δὲ χρώματα. ἡ γὰρ εἰκὼν εἶχε μὲν τὴν κεφαλὴν χρυσῆν, εἶχε δὲ τὸ στῆθος ἀργύρεον, εἶχε δὲ τὴν κοιλίαν χαλκῆν, εἶχε δὲ τοὺς πόδας σιδηροῦς, καὶ ἀπὸ τεσσάρων ὑλῶν συνέκειτο ἡ εἰκών. καὶ εἶδεν ὁ βασιλεύς, οὐκ ἦν δὲ ὁ ἑρμηνεύων. ἦλθον οἱ μάγοι, ″ εἰσῆλθον οἱ Χαλδαῖοι, οἱ μάντεις παρεβλήθησαν. * καὶ τί φασιν; εἰπὲ ἡμῖν τὸ

ὄναρ

Ψαλ. β. θ.

Ψαλ. β. η.

Ιωαν. β. ιϛ.

Δαν β.

γρ. [illegible]

γρ. καὶ ἀκάρδιον τὴν ψυχήν

γρ. ἦλθον οἱ πάντες ἀλλὰ τὰ βασίλεια [illegible] ὄναρ, καὶ ἑρμηνευόμενον. ὁ Θεὸς οὕτως οἰκονομεῖ, ἵνα μὴ συνιδόντες αὐτὸν ἀπατήσωσιν, ὑπεξαιρεῖ ἐκ τῆς μνήμης τοῦ βασιλέως τὸ ὄναρ. καὶ λέγει ὁ βασιλεύς, Εἴπατέ μοι τὸ ἐμὸν ὄναρ. ἐκείνων δὲ σαφῶς ὁμολογησάντων ὄναρ ἄλλου διηγήσασθαι ἀδυνάτως ἔχειν, ἑρμηνεῦσαι δὲ μόνον ἐὰν ἀκούσωσι, παρακαλεῖται Δανιὴλ, μηνυθεὶς ὅτι δυνατὸς εἴη, καὶ εἰσέρχεται πρὸς τὸν βασιλέα Ναβουχοδονόσορ, ἔχων διὰ τοῦ ἁγίου πνεύματος τοῦ ὀνείρατος τὴν ἀποκάλυψιν, καὶ λέγει πρὸς τὸν βασιλέα· βασιλεῦ, τάδε καὶ τάδε εἶδες. καὶ ἅμα τοῖς λόγοις τοῦ προφήτου ἀνελάμβανε τὴν μνήμην τοῦ ὀνείρατος ὁ ἀκούων, καὶ γέγονεν ἀνάμνησις ἡ ἀκοὴ τῆς θέας. ἑρμηνεύει τοίνυν αὐτῷ ὁ προφήτης (ἦν γὰρ λοιπὸν ἀξιόπιστος ὁ ἑρμηνεύων μετὰ τὴν ἐπαγγελίαν αὐτοῦ τοῦ ὀνείρατος) καὶ λέγει· ἡ εἰκὼν, ἣν εἶδες, τέσσαρές εἰσι βασιλεῖαι. τέσσαρες γὰρ βασιλεῖαι ἀναστήσονται ἐπὶ τῆς γῆς· ἐκείνη μέντοι ἡ εἰκὼν ὁλόκληρος ἦν, καὶ ἓν σῶμα εἱστήκει. Εἶδες δὲ, βασιλεῦ, ὅτι λίθος ἐτμήθη ἄνευ χειρῶν, καὶ ἔκλασε τὴν εἰκόνα, καὶ ὁ λίθος κατέσχε καὶ ἐπλήρωσε πᾶσαν τὴν γῆν. τοῦτο ἐστιν, ὃ εἶδες· τέσσαρας βασιλείας εἶδες. σὺ εἶ ἡ κεφαλὴ ἡ χρυσῆ. πρῶτοι γὰρ Ἀσσύριοι ἐβασίλευσαν, πλουσιώτατοι λίαν καὶ λαμπρότατοι*. καὶ λέγει αὐτῷ, σὺ εἶ ἡ κεφαλὴ ἡ χρυσῆ. καὶ ὀπίσω σου ἀναστήσεται βασιλεία ἥττων σου. μετὰ γὰρ τοὺς Ἀσσυρίους βασιλεύουσι Πέρσαι καὶ Μῆδοι. γεγόνασι δὲ φαιδρότατοι καὶ οὗτοι. τρίτη βασιλεία ἀναστήσεται ἡ χαλκῆ, ἡ τῶν Ἑλλήνων καὶ Μακεδόνων βασιλεία· ὅτε οὖν Ἀλέξανδρος ὢν ἐν τῇ Ἑλλάδι ζεύξας ἐπέδραμε τῇ Περσίδι, καὶ κατέλυσε μὲν τὸν Δαρεῖον, ὑπὸ δὲ τὴν ἰδίαν ἐξουσίαν ἤγαγε τὴν ἀρχήν. χαλκῷ τοίνυν παρεβλήθη διὰ τὸ εὔηχον τῆς ὁμιλίας καὶ τῆς γλώττης. Ἕλληνες γὰρ οἱ σὺν Ἀλεξάνδρῳ καὶ αὐτὸς Ἀλέξανδρος, ὑπάρχοντες εὔγλωττοι τὴν ὁμιλίαν, χαλκῷ παρεβλήθησαν. χρυσὸς γὰρ λαμπρὸς μέν ἐστιν, οὐ μὴν εὔηχος· ὁμοίως δὲ καὶ ὁ ἄργυρος. χαλκὸς δὲ τῇ μὲν ὕλῃ ἐλάττων, εὔηχος δέ ἐστι κατὰ τὴν ἠχήν. λέγει τοίνυν, τρίτη βασιλεία ἡ διὰ τοῦ χαλκοῦ σημαινομένη· τετάρτη δὲ βασιλεία ἡ τελευταία, σιδηρᾶ. ποιμανεῖς τοίνυν αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ. ὅρα συμφωνίαν τῆς προφητείας. Εἶδες μέντοι, ὅτι ὁ λίθος ἐτμήθη ἐξ ὄρους ἄνευ χειρῶν. πῶς ἐτμήθη οὐ σιδήρῳ, ἀλλ' ἄνευ χειρῶν; αὐτομάτως γὰρ τίκτει ἡ παρθένος. ὁ δὲ λίθος ἐπάταξε τὴν εἰκόνα, καὶ ἐγένετο εἰς ὄρος μέγα, καὶ ἐπλήρωσε πᾶσαν τὴν οἰκουμένην. ἐκεῖνος ὁ λίθος ἐτμήθη ἄνευ χειρῶν, καὶ ἐγένετο εἰς ὄρος μέγα, καὶ ἐπλήρωσε πᾶσαν τὴν οἰκουμένην. εἷς λίθος πληροῖ πᾶσαν τὴν γῆν; ποῖος οὗτος λίθος; ἄκουε Ἡσαΐου λέγοντος· Ἰδοὺ τίθημι ἐν Σιὼν λίθον προσκόμματος, καὶ πέτραν σκανδάλου· καὶ πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ οὐ μὴ καταισχυνθῇ. οὐχ Ἡσαΐας δὲ μόνος λέγει τοῦτον τὸν λίθον, ἀλλὰ καὶ Δαβὶδ προφητεύει· Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. ποία ἐγένετο ἡ γωνία; πᾶσα γωνία συνάπτει ἑαυτῇ δύο τοίχους· συνῆψε δὲ ὁ λίθος καινὴν καὶ παλαιὰν, δύο λαοὺς ἐξ ἐθνῶν καὶ ἐξ Ἰουδαίων. διὸ παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν; οὐκ ἐν τοῖς πάντων ὀφθαλμοῖς, ἀλλ' ἐν ὀφθαλμοῖς ἡμῶν τῶν πιστευόντων.

κ. τοῦ ὀνείρατος τὴν ἐκείνου

κ. εἰς

κ. συνίστατο

Δαν. β. λδ.

* ἢ πυρ. φαύ-
ματοι.

Ἡσ. κη. ις.

κ. εἰς αὐτόν

Ψαλ. ριζ. κα

Ὅταν τοίνυν ἴδῃς τὴν ἐκκλησίαν διὰ τοῦ ἑνὸς λίθου καταρτιζομένην, ἐξ Ἰουδαίων καὶ ἐξ Ἑλλήνων νόει μάλιστα τὸ λεγόμενον. ἀλλὰ πάντως εἴποι τις ἄν, καὶ ποῦ ἐν ἡμῖν οἱ ἐξ Ἰουδαίων; ἐξ Ἑλλήνων μὲν γὰρ ὁρῶμεν, τοὺς δὲ ἐξ Ἰουδαίων ποῦ τυγχάνουσι; πόθεν ἦν ὁ Παῦλος, πόθεν ὁ Πέτρος, πόθεν ὁ Ἀνδρέας, πόθεν δὲ Ἰωάννης, πόθεν δὲ ἡ μυριάνδρος ἐν τῇ Ἱερουσαλὴμ ἐκκλησία; πρῶτον ἀπὸ Ἰουδαίων, εἶτα ἐξ Ἑλλήνων. ὅτε γὰρ ἐπίστευσαν οἱ παρ' αὐτοῖς τὴν ἐλπίδα ἔχοντες τῆς εὐσεβείας, τότε ἦλθεν ἡ ῥάβδος ἡ σιδηρᾶ, καὶ διεσκόρπισε τοὺς παραμείναντας τῇ ἀπιστίᾳ. Ποιμανεῖς γὰρ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς. διὰ τί ὡς σκεύη κεραμέως; ἐὰν μὲν ὁ πηλὸς πέσῃ ἔτι ὑγρὸς ὢν, ἀναλαμβάνεται·

κ. σκεύες

ναλαμβάνεται· ἐὰν δὲ γένηται σκεῦος, καὶ ἅπαξ πυρὶ προσομιλήσῃ, γίνεται ξηρότατον ὄστρακον· ἐπειδὰν δὲ συντριβῇ, οὐκέτι ἀνάληψιν ἐπιδέχεται. Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ. Ἐν μέντοι τῇ βασιλείᾳ τῇ σιδηρᾷ Χριστὸς γεννᾶται, ἐτμήθη λίθος ἄνευ χειρῶν. Βλέπε σύμφωνα τὰ πράγματα, καὶ ὅμοια τὰ ῥήματα. Καὶ ἐπάταξε τὴν εἰκόνα, καὶ κατέπασσε τὰς ἐπὶ γῆς βασιλείας, καὶ ἐγένετο εἰς ὄρος μέγα, καὶ ἐπλήρωσε πᾶσαν τὴν οἰκουμένην. Τοῦτο ὁ Ναβουχοδονόσορ τὸ ὄναρ ἑωράκει· ἐπελάθετο δὲ τὸ ὄναρ, ἵνα μὴ διηγήσηται τοῖς μάγοις, καὶ συνήθως ἀπατηθῇ ὑπ' αὐτῶν, ἕτερα ἀνθ' ἑτέρων ἀκούσας. Μετὰ χρόνον δὲ ὀλίγον αὐτὸς ὁ Δανιὴλ καθ' ἕτερον τρόπον βλέπει τὸ ὄναρ. Δαν. ζ. ς. Οὐκ ἦν δὲ ὄναρ, ἀλλ' ἀποκάλυψις ὀπτασίας. Ἐδόκει εἶναι παρὰ τὴν θάλασσαν· καὶ λέγει Δανιήλ, τέσσαρα θηρία μεγάλα ἀνέβαινεν ἐκ τῆς θαλάσσης. Ἠρέμα δὲ καὶ κατὰ μικρὸν ἀκολουθήσωμεν τῷ τύπῳ τῆς προφητείας. Ἀνέβαινε, φησί, τέσσαρα θηρία ἐκ τῆς θαλάσσης μεγάλα, διαφέροντα ἀλλήλων· καί φησι, πλείστη ἐν αὐτοῖς διαφορά. Τὸ πρῶτον ὡσεὶ λέαινα, καὶ πτερὰ αὐτῆς ὡς ἀετοῦ. Ἔχεις ἐκεῖ χρυσόν, ὧδε λέαιναν. Διὰ τί δὲ λέαιναν ὧδε; κἀκεῖ χρυσόν, διὰ τὸ ὑψηλὸν καὶ πλούσιον· ἐνταῦθα δὲ λέαιναν, διὰ τὸ θηλυκὸν καὶ γυναικῶδες. Ὅμως δὲ θηρίον τὸ πρῶτον, ὡσεὶ λέαινα. Δεύτερον εἶδε θηρίον ὡσεὶ ἄρκον, καὶ εἰς μέρος ″ἓν ἐστάθη. γρ. ἐστάθη Ἐκεῖ ἄργυρος, ἐνταῦθα ἄρκος διὰ τὸ βαρύ. Τρίτον, φησί, θηρίον ″εἶδον ὡσεὶ πάρδαλιν. γρ. εἶδεν Ὀξύτατον τὸ θηρίον· ἐπειδὴ Ἀλέξανδρος, ὁ τῶν Μακεδόνων βασιλεύς, ὀξύτατα ἐπῆλθε τὴν ἀνατολήν, παρδάλει παρεβλήθη. Ἐκεῖ χαλκὸς διὰ τὸ εὔηχον τῆς Ἑλλάδος γλώττης, ἐνταῦθα πάρδαλις διὰ τὸ ὀξύτατον τῆς ἐφόδου. Τὸ δὲ τέταρτον θηρίον μὲν ὀνομάζει, οὐ λέγει δὲ ὄνομα, ἀλλά φησι, φοβερόν, φοβερώτατον περισσῶς· ④ οἱ ὀδόντες αὐτοῦ μεγάλοι· περισσῶς ἐσθίον καὶ λεπτῦνον, καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶ κατεπάτει. Καὶ αὐτὸ δὲ διέφερε περισσῶς παρὰ πάντα τὰ θηρία τὰ ἔμπροσθεν αὐτοῦ, καὶ ἦν φοβερὸν τὸ θηρίον. Καὶ οὐκ εἶπεν αὐτοῦ τὸ ὄνομα. Ἐπειδὴ γὰρ ἤμελλε σαφὲς γίνεσθαι τὸ τῆς προφητείας χωρίον, ἐπὶ Ῥωμαίων αὐτὸ προφέρων, ἵνα μὴ ὑβρισθῇ ἡ βασιλεία, ἀνώνυμον καταλιμπάνει τὸ θηρίον. Ἐφοβήθην, καὶ ἐθαύμασα. Ἦν γὰρ φοβερώτατον τὸ θηρίον. Πάντα κατεπάτει, πάντα συνέτριβε, πάντα κατήσθιε, πάντων ἐδέσποζεν, ὅπου ἀπήρχετο, ὑπέταττε. Δαν. ζ. 1. Καὶ τί φησιν; Ἀθρόως εἶδον ποταμὸν πυρός· θρόνος ἐτέθη, παλαιὸς ἡμερῶν ἐκάθισε, χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ. Τῷ παλαιῷ τῶν ἡμερῶν βίβλοι ἀνεῴχθησαν, καὶ ἰδοὺ ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασε. Καὶ τί εὐθέως ἐγένετο; οὐκέτι τὰ θηρία, οὐκέτι ἡ θάλασσα, οὐκέτι τῶν θηρίων ὁ φόβος· ἀλλ' ἔλαβε τὴν ἀρχήν, καὶ αὐτὸς ἐδέσποζεν. Ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος, ἥτις οὐ διαδεχθήσεται, καὶ ἡ ἀρχὴ αὐτοῦ ἕως γενεᾶς γενεῶν. Ἕως ὧδε, φησί, τὸ πέρας τοῦ λόγου. Καὶ ὁ μὲν προφήτης τέσσαρας βλέπει τὰς βασιλείας (ἔπρεπε γὰρ αὐτῷ, ἐπειδὴ ἀπείχετο τῶν βιωτικῶν πραγμάτων) ὁ δὲ βασιλεύς, ὡς ἥρμοττεν αὐτῷ, βλέπει ὡς ἐν χρυσῷ καὶ ἀργύρῳ καὶ χαλκῷ καὶ σιδήρῳ τέσσαρας βασιλείας. Εἰ γὰρ εἶδεν ὁ βασιλεὺς ὡς θηρία τὰς βασιλείας, εἶτα ἡρμήνευσεν αὐτῷ Δανιήλ, ἄτοπον ἦν ἂν λέγειν αὐτῷ, σὺ εἶ τὸ πρῶτον θηρίον. Ἔδοξε γὰρ ἂν ὑβρίζειν τὸν ἀκούοντα. Ἀλλὰ βλέπει βασιλεὺς ὡς βασιλεύς, καὶ βλέπει προφήτης ὡς ἐν ἄλλῳ τύπῳ παραπλήσια.

Ταῦτα ἡμῖν εἴρηται, ἀγαπητοί, οὐ μάτην, οὐδὲ εἰκῇ ἀνειλήφασι τὴν παλαιὰν ἱστορίαν· ἀλλ' ἵνα ὑμεῖς πληροφορηθῆτε, ὅτι Αὐγούστου βασιλεία ἐδοξάσθη, ἐτιμήθη, ἐπῃνέθη, πολυχρόνιος ὑπῆρξεν, ἐπειδὴ ὑπ' ″αὐτοῦ ἐτέχθη ὁ Χριστός· καὶ τοσοῦτον ἐτιμήθη ὁ ἀνήρ, ὡς καὶ τὸ ὄνομα αὐτοῦ γενέσθαι προσηγορίαν τοῦ ἀξιώματος. ἴσ. αὐτῇ ἢ αὐτὴν γρ. ἡμᾶς Δεῖ γὰρ ″ὑμᾶς εἰδέναι ὅτι ἐβασίλευσεν ἔτη πεντήκοντα ἕξ· τελέσαντος δὲ αὐτοῦ τεσσαράκοντα δύο ἔτη Χριστὸς τίκτεται. Τὰ δεκαπέντε τοίνυν ἔτη αὐτοῦ βασιλεύοντος Χριστὸς ἀνατρέφεται. Διαδέχεται δὲ Τιβέριος τὸν Αὔγουστον, καὶ ἐν τῷ ὀκτωκαιδεκάτῳ ἔτει Τιβερίου βασιλεύοντος ἔρχεται εἰς τὸν σταυρόν, καὶ

πάσχει,

πάλιν, καὶ αὔξεται, καὶ ἀναλαμβάνεται. ὥστε εἶναι μὲν Αὐγούστου ἔτη δεκαπέντε· Ἰησοῦς δὲ ἐπὶ Τιβερίου βασιλεύοντος τριακονταετὴς γενόμενος ἀπεκάλυψε τὴν ἑαυτοῦ θεότητα*, καὶ ἐπὶ τούτοις τρία ἔτη ἐκήρυξε. πανταχοῦ γὰρ τιμία ἡ τριάς. διὰ δὲ τρία κηρύξας ἔτη, τῷ ὀκτωκαιδεκάτῳ ἔτει τοῦ Τιβερίου ἀπαντᾷ εἰς τὸ πάθος, τελέσας τὴν τῆς σαρκὸς οἰκονομίαν. ἐγένετο τοίνυν ἐν ταῖς ἡμέραις ἐκείναις (ἵνα τὸ ἀνάγνωσμα ἀναλάβωμεν) ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγούστου ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην. αὕτη ἡ ἀπογραφὴ σαφήνεια πραγμάτων, πρώτη γύμνωσις τῆς ἀληθείας, ἵνα μὴ ῥέμβηται τὸ γένος τῶν ἀνθρώπων. αὕτη πρώτη ἀπογραφή. ἆρα καὶ αὖθις σεσιώπηται τοῖς προφήταις. ἀναδράμωμεν εἰς τὴν παλαιάν, ἐξετάσωμεν τὰ Ἰουδαϊκὰ καὶ τὰ τῆς Ἰουδαίων ἀπιστίας. καλῶ τὸν Δαβὶδ εἰς μαρτυρίαν, ἄνδρα ἀξιόπιστον, Ἰουδαίοις μὲν τίμιον ἕως ψιλῆς τῆς μνήμης, τῇ δὲ ἐκκλησίᾳ πιστόν. τί τοίνυν λέγει Δαβίδ; Κύριος διηγήσεται ἐν γραφῇ λαῶν καὶ ἀρχόντων τούτων. ταῦτα τὰ ῥήματα τοῦ προφήτου, ταῦτα τὰ πράγματα τοῦ εὐαγγελίου. αὕτη πρώτη ἀπογραφή. Ἀνέβη δέ, φησι, καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας ἐκ πόλεως Ναζαρὲτ εἰς τὴν Ἰουδαίαν εἰς πόλιν Δαβίδ, ἥτις καλεῖται Βηθλεέμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ, ὥστε ἀπογράφεσθαι σὺν Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ γυναικὶ οὔσῃ ἐγκύῳ. ἐπὶ γὰρ μόνοις τοῖς μνηστήροις ἡ σύλληψις ἐγένετο. ἐν δὲ τῷ εἶναι αὐτοὺς ἐκεῖ, ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν· καὶ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐσπαργάνωσεν αὐτόν, καὶ ἔθηκεν αὐτὸν ἐν τῇ φάτνῃ, διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι. οὐδὲν εὐτελέστερον τούτου τοῦ πράγματος, οὐδὲν πτωχότερον τῆς Ἰησοῦ γεννήσεως. Ἰησοῦς γὰρ ἐπτώχευσε δι' ἡμᾶς πλούσιος ὤν. ἔθηκε Μαρία ἐν φάτνῃ τὸν σωτῆρα. οὐδὲν ἦν ὑποκείμενον, οὐδὲν ἐπικείμενον. οὐδὲ γὰρ χρείαν εἶχεν ὁ σωτὴρ τῆς τοιαύτης θεραπείας, οὐδὲ ἐπιμελείας τῆς ἔξωθεν ἐπεδέετο· ὥσπερ οὐδὲ νόμῳ φύσεως συλλαμβάνεται. ἤρκει γὰρ ἡ προάγνευσις τῆς παρθένου· τὰ δὲ πάντα αὐτὸς ἦν οἰκονομῶν. οὕτω, φησίν, ἔθηκεν αὐτὸν ἐν φάτνῃ, καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες. ὁ μὲν Ματθαῖος ἱστορεῖ, ὅτι μάγοι παρεγένοντο· ὁ δὲ Λουκᾶς, ὅτι ποιμένες ἦσαν ἐν τῇ χώρᾳ ἀγραυλοῦντες· ἐκεῖ μάγοι, ἐνταῦθα ποιμένες. καὶ ἦλθεν ἄγγελος πρὸς αὐτοὺς μεγάλῃ φωνῇ, πράγματα ὑμῖν εὐαγγελίζομαι, σωτὴρ ἐτέχθη τῷ κόσμῳ ἐν πόλει Δαβίδ. καὶ τοῦ ἑνὸς λαλοῦντος ἀγγέλου, ἠνεῴχθησαν οἱ οὐρανοί, καὶ ὤφθη μία συμφωνία ὑμνούντων καὶ λεγόντων· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. πάντα γὰρ μέλλει συνάπτεσθαι, οὐρανὸς καὶ ἡ γῆ εἰς ἑνότητα ἔρχεσθαι, ἵνα τὰ κάτω γένηται ἄνω, ἵνα ὑπάρξῃ εἰρήνη τοῖς μακρὰν καὶ τοῖς ἐγγύς. ποιμένες τοίνυν εὐαγγελίζονται. διὰ τί ποιμένες; ἐπειδὴ ἦμεν πεπλανημένοι δίκην προβάτων, ἦλθε τῷ κόσμῳ ποιμὴν Χριστὸς Ἰησοῦς ὁ σωτὴρ τῆς οἰκουμένης· καὶ ποιμένες εὐαγγελίζονται διὰ τὴν ποίμνην, καὶ δόξα ἐν ὑψίστοις Θεῷ. ἤμελλον γὰρ οἱ ἄνθρωποι δοξάζειν καὶ εὐχαριστεῖν τῷ πέμψαντι ἐπὶ γῆς εἰρήνην. ἀπηλλάσσοντο γὰρ οἱ ἄνθρωποι τῆς πρὸς τὸν Θεὸν ἔχθρας. ἐν ἀνθρώποις εὐδοκία. ἤμελλε καλὰ δοκεῖν τοῖς ἀνθρώποις τὰ πρὸς εὐσέβειαν. οἱ μὲν οὖν ποιμένες εὐαγγελισθέντες καὶ ἀκούσαντες τὸν λόγον, εἶδον τὰ πράγματα, ἦλθον εἰς τὸ σπήλαιον. οὐκ εἶδον στρωμνήν, οὐκ εἶδον κλίνην, οὐκ εἶδον τραπέζης παρασκευήν, ἀλλὰ καθημένην Μαρίαν καὶ Ἰωσὴφ καὶ τὸν παῖδα βεβλημένον. οὐ λέγει τοίνυν ὁ εὐαγγελιστὴς πρῶτον πατέρα, ἀλλὰ πρῶτον λέγει Μαρίαν. ἐκείνη γὰρ μήτηρ, μᾶλλον δὲ οὐδὲ αὐτὴ μήτηρ, ἐπειδὴ οὐκ ἔτεκε φυσικῶς, ἀλλὰ συνέλαβεν ὑπερφυῶς. οὐ γὰρ ᾔδει τὸ γινόμενον, ἀλλ' ἐργαλεῖον ἦν τοῦ τεχνίτου. εἶδον μέντοι τὴν Μαρίαν καὶ τὸν Ἰωσὴφ καὶ τὸν παῖδα. ἀκούσαντες τὸν λόγον, εἶδον τὰ πράγματα, ἐθαύμασαν, ἀνεσώθησαν. ἔκειτο μέντοι τὸ παιδίον ἀνεχόμενον τῆς τέως ἀτελοῦς κατασκευῆς τοῦ σώματος, καὶ φέρον τὴν αὔξησιν τούτου· καὶ ὥσπερ τεχνίτης, ἐξε-

δέχετο

ἐπὶ τοῦ μα-
τῆς

ἀνείλιξεν

ἤλυθε

ἀνακεκλι-
μένον.

ὑπὲρ φύ-
σιν

ἔργον γὰρ

Ψαλ. πς. ς.

Λουκ. c. δ.

Ματθ. c.
Λουκ. c. η.

ναλαμβάνεται· ἐὰν δὲ γένηται σκεῦος, καὶ ἅπαξ πυρὶ προσομιλήσῃ, τὸ ξηρότατον ὄστρακον· ἐπειδὰν δὲ συντριβῇ, οὐκέτι ἀνάληψιν ἐπιδέχεται. ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ. ἐν μέσῳ τοι τῇ βασιλείᾳ τῇ σιδηρᾷ Χριστὸς γεννᾶται, ἐτμήθη λίθος ἄνευ χειρῶν. βλέπε σύμφωνα τὰ πράγματα, καὶ ὅμοια τὰ ῥήματα. καὶ ἐπάταξε τὴν εἰκόνα, καὶ κατέπασε τὰς ἐπὶ γῆς βασιλείας, καὶ ἐγένετο εἰς ὄρος μέγα, καὶ ἐπλήρωσε πᾶσαν τὴν οἰκουμένην. τοῦτο ὁ Ναβουχοδονόσορ τὸ ὄναρ ἑωράκει· ἐπελήθη δὲ τὸ ὄναρ, ἵνα μὴ διηγήσηται τοῖς μάγοις, καὶ συνθέτως ἀπατηθῇ ὑπ' αὐτῶν, ἕτερα ἀνθ' ἑτέρων ἀκούσας. μετὰ χρόνον οὖν ὀλίγον αὐτὸς ὁ Δανιὴλ καθ' ἕτερον τρόπον βλέπει τὸ ὄναρ. οὐκ ἦν δὲ ὄναρ, ἀλλ' ἀποκάλυψις ὀπτασίας. Δαν. ζ. ς. ἐδόκει εἶναι παρὰ τὴν θάλασσαν· καὶ λέγει Δανιήλ, τέσσαρα θηρία μεγάλα ἀνέβαινεν ἐκ τῆς θαλάσσης. ἠρέμα δὲ καὶ κατὰ μικρὸν ἀκολουθήσωμεν τῷ τύπῳ τῆς προφητείας. ἀνέβαινε, φησι, τέσσαρα θηρία ἐκ τῆς θαλάσσης μεγάλα, διαφέροντα ἀλλήλων· καὶ φησι, πλείστη ἐν αὐτοῖς διαφορά. τὸ πρῶτον ὡσεὶ λέαινα, καὶ πτερὰ αὐτῆς ὡς ἀετοῦ. ἔχεις ἐκεῖ χρυσόν, ὧδε λέαιναν. διὰ τί δὲ λέαιναν ὧδε; κἀκεῖ χρυσόν, διὰ τὸ τρυφηλὸν καὶ πλούσιον· ἐνταῦθα δὲ λέαιναν, διὰ τὸ θηλυκὸν καὶ γυναικῶδες. ὅμως δὲ θηρίον τὸ πρῶτον, ὡσεὶ λέαινα. δεύτερον εἶδε θηρίον ὡσεὶ ἄρκον, καὶ εἰς μέρος "ἓν ἐστάθη. ἐκεῖ ἄργυρος, ἐνταῦθα ἄρκος διὰ τὸ βαρύ. τρίτον, φησί, θηρίον "εἶδον ὡσεὶ πάρδαλιν. γρ. ἐστάθη γρ. εἶδεν ὀξύτατον τὸ θηρίον. ἐπειδὴ Ἀλέξανδρος, ὁ τῶν Μακεδόνων βασιλεύς, ὀξύτατα ἐπῆλθε τὴν ἀνατολήν, παρδάλει παρεβλήθη. ἐκεῖ χαλκὸς διὰ τὸ εὔηχον τῆς Ἑλλάδος γλώττης, ἐνταῦθα πάρδαλις διὰ τὸ ὀξύτατον τῆς ἐφόδου. τὸ δὲ τέταρτον θηρίον μὲν ὀνομάζει, οὐ λέγει δὲ ὄνομα, ἀλλά φησι, φοβερὸν, φοβερώτατον περιττῶς· οἱ ὀδόντες αὐτοῦ μεγάλοι· περιττῶς ἐσθίον καὶ λεπτῦνον, καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶ κατεπάτει. καὶ αὐτὸ δὲ διέφερε περιττῶς παρὰ πάντα τὰ θηρία τὰ ἔμπροσθεν αὐτοῦ, καὶ ἦν φοβερὸν τὸ θηρίον. καὶ οὐκ εἶπεν αὐτοῦ τὸ ὄνομα. ἐπειδὴ γὰρ ἔμελλε σαφὲς γίνεσθαι τὸ τῆς προφητείας χωρίον, ἐπὶ Ῥωμαίων αὐτὸ προφέρων, ἵνα μὴ ὑβρισθῇ ἡ βασιλεία, ἀνώνυμον καταλιμπάνει τὸ θηρίον. ἐφοβήθην, καὶ ἐθαύμασα. ἦν γὰρ φοβερώτατον τὸ θηρίον. πάντα κατεπάτει, πάντα συνέτριβε, πάντα κατήσθιε, πάντων ἐδέσποζεν, ὅπου ἀπήρχετο, ὑπέταττε. Δαν. ζ. ι. καὶ τί φησιν; Ἀθρόως εἶδον ποταμὸν πυρός· θρόνος ἐτέθη, παλαιὸς ἡμερῶν ἐκάθισε, χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ. τῷ παλαιῷ τῶν ἡμερῶν βίβλοι ἀνεῴχθησαν, καὶ ἰδοὺ ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασε. καὶ τί εὐθέως ἐγένετο; οὐκέτι τὰ θηρία, οὐκέτι ἡ θάλασσα, οὐκέτι τῶν θηρίων ὁ φόβος· ἀλλὰ ἔλαβε τὴν ἀρχήν, καὶ αὐτὸς ἐδέσποζεν. ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος, ἥτις οὐ διαδεχθήσεται, καὶ ἡ ἀρχὴ αὐτοῦ ἕως γενεᾶς γενεῶν. ἕως ὧδε, φησι, τὸ πέρας τοῦ λόγου. καὶ ὁ μὲν προφήτης τέσσαρας βλέπει τὰς βασιλείας (ἔπρεπε γὰρ αὐτῷ, ἐπειδὴ ἀπείχετο τῶν βιωτικῶν πραγμάτων) ὁ δὲ βασιλεύς, ὡς ἥρμοττεν αὐτῷ, βλέπει ὡς ἐν χρυσῷ καὶ ἀργύρῳ καὶ χαλκῷ καὶ σιδήρῳ τέσσαρας βασιλείας. εἰ γὰρ εἶδεν ὁ βασιλεὺς ὡς θηρία τὰς βασιλείας, εἶτα ἡρμήνευσεν αὐτῷ Δανιήλ, ἄτοπον ἦν ἂν λέγειν αὐτῷ, σὺ εἶ τὸ πρῶτον θηρίον. ἔδοξε γὰρ ἂν ὑβρίζειν τὸν ἀκούοντα. διὰ βλέπει βασιλεὺς ὡς βασιλεύς, καὶ βλέπει προφήτης ὡς ἐν ἄλλῳ τύπῳ παραπλήσια.

Ταῦτα ἡμῖν εἴρηται, ἀγαπητοί, οὐ μάτην, οὐδὲ εἰκῇ ἀνειλήφασι τὴν παλαιὰν ἱστορίαν· ἀλλ' ἵνα ὑμεῖς πληροφορηθῆτε, ὅτι Αὐγούστου βασιλεία ἐδοξάσθη, ἐτιμήθη, ἐπῃνέθη, πολυχρόνιος ὑπῆρξεν, ἐπειδὴ ὑπ' "αὐτοῦ ἐτέχθη ὁ Χριστός· καὶ τοσοῦτον ἐτιμήθη ὁ ἀνήρ, ὡς καὶ τὸ ὄνομα αὐτοῦ γενέσθαι προσηγορίαν τοῦ ἀξιώματος. δεῖ γὰρ "ὑμᾶς εἰδέναι ὅτι ἐβασίλευσεν ἔτη πεντήκοντα ἕξ· ἴσ. αὐτὸν ἢ αὐτὴν γρ. ἡμᾶς τελέσαντος δὲ αὐτοῦ τεσσαράκοντα δύο ἔτη Χριστὸς τίκτεται. τὰς δεκαπέντε τοίνυν ἔτη αὐτοῦ βασιλεύοντος Χριστὸς ἀνατρέφεται. διαδέχεται δὲ Τιβέριος τὸν Αὔγουστον, καὶ ἐν τῷ ὀκτωκαιδεκάτῳ ἔτει Τιβερίου βασιλεύοντος ἔρχεται εἰς τὸν σταυρόν, καὶ

πάσχει,

πάρεστι, καὶ ἀνίσταται, καὶ ἀναλαμβάνεται. ὥστε εἶναι μὲν Αὐγούστου ἔτη δεκαπέντε· Ἰησοῦς δὲ ἐπὶ Τιβερίου βασιλεύοντος τριακονταετὴς γενόμενος ἀπεκάλυψε τὴν ἑαυτοῦ θεότητα*, καὶ ἐπὶ τούτοις τρία ἔτη ἐκήρυξε. πανταχοῦ γὰρ τιμία ἡ τριάς. διὸ τρία κηρύξας ἔτη, τῷ ὀκτωκαιδεκάτῳ ἔτει τοῦ Τιβερίου ἀπήντησεν εἰς τὸ πάθος, τελέσας τὴν τῆς σαρκὸς οἰκονομίαν. ἐγένετο τοίνυν ἐν ταῖς ἡμέραις ἐκείναις (ἵνα τὸ ἀνάγνωσμα ἀναλάβωμεν) ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγούστου ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην. αὕτη ἡ ἀπογραφὴ σαφηνοῦσα πραγμάτων, πρώτη γύμνωσις τῆς ἀληθείας, ἵνα μὴ ῥέμβηται τὸ γένος τῶν ἀνθρώπων. αὕτη πρώτη ἀπογραφή. ἄρα καὶ αὖθις σεσιώπηται τοῖς προφήταις. ἀναδράμωμεν εἰς τὴν παλαιάν, ἐξετάσωμεν τὰ Ἰουδαϊκὰ καὶ τὰ τῆς Ἰουδαίων ἀπιστίας. καλῶ τὸν Δαβὶδ εἰς μαρτυρίαν, ἄνδρα ἀξιόπιστον, Ἰουδαίοις μὲν τίμιον ἕως ψιλῆς τῆς μνήμης, τῇ δὲ ἐκκλησίᾳ πιστόν. τί τοίνυν λέγει Δαβίδ; Κύριος διηγήσεται ἐν γραφῇ λαῶν καὶ ἀρχόντων τούτων. ταῦτα τὰ ῥήματα τοῦ προφήτου, ταῦτα τὰ πράγματα τοῦ εὐαγγελίου. αὕτη πρώτη ἀπογραφή. Ἀνέβη δέ, φησί, καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας ἐκ πόλεως Ναζαρὲτ εἰς τὴν Ἰουδαίαν εἰς πόλιν Δαβίδ, ἥτις καλεῖται Βηθλεέμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ, ὥστε ἀπογράφεσθαι σὺν Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ γυναικὶ οὔσῃ ἐγκύῳ. ἐπὶ γὰρ μόνοις τοῖς μνήστροις ἡ σύλληψις ἐγένετο. ἐν δὲ τῷ εἶναι αὐτοὺς ἐκεῖ, ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν· καὶ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐσπαργάνωσεν αὐτόν, καὶ "ἔθηκεν αὐτὸν ἐν τῇ φάτνῃ, διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι. οὐδὲν εὐτελέστερον τούτου τοῦ πράγματος, οὐδὲν πτωχότερον τῆς Ἰησοῦ γεννήσεως. Ἰησοῦς γὰρ ἐπτώχευσε δι' ἡμᾶς πλούσιος ὤν. ἔθηκε Μαρία ἐν φάτνῃ τὸν σωτῆρα. οὐδὲν ἦν ὑποκείμενον, οὐδὲν ἐπικείμενον. οὐδὲ γὰρ χρείαν εἶχεν ὁ σωτὴρ τῆς τοιαύτης θεραπείας, οὐδὲ ἐπιμελείας τῆς ἔξωθεν ἐπεδέετο· ὥσπερ οὐδὲ νόμῳ φύσεως συλλαμβάνεται. ἤρκει γὰρ ἡ προγέννησις τῆς παρθένου· τὰ δὲ πάντα αὐτὸς ἦν οἰκονομῶν. οὕτω, φησίν, ἔθηκεν αὐτὸν ἐν φάτνῃ, καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες. ὁ μὲν Ματθαῖος ἱστορεῖ, ὅτι μάγοι παρεγένοντο· ὁ δὲ Λουκᾶς, ὅτι ποιμένες ἦσαν ἐν τῇ χώρᾳ ἀγραυλοῦντες· ἐκεῖ μάγοι, ἐνταῦθα ποιμένες. καὶ ἦλθεν ἄγγελος πρὸς αὐτοὺς μεγάλῃ φωνῇ· πράγματα ὑμῖν εὐαγγελίζομαι, σωτὴρ ἐτέχθη τῷ κόσμῳ ἐν πόλει Δαβίδ. καὶ τοῦ ἑνὸς λαλοῦντος ἀγγέλου, ἠνεῴχθησαν οἱ οὐρανοί, καὶ ὤφθη μία συμφωνία ὑμνούντων καὶ λεγόντων· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. πάντα γὰρ μέλλει συνάπτεσθαι, οὐρανὸς καὶ ἡ γῆ εἰς ἑνότητα ἔρχεσθαι, ἵνα τὰ κάτω γένηται ἄνω, ἵνα ὑπάρξῃ εἰρήνη τοῖς μακρὰν καὶ τοῖς ἐγγύς. ποιμένες τοίνυν εὐαγγελίζονται. διὰ τί ποιμένες; ἐπειδὴ ἦμεν πεπλανημένοι δίκην προβάτων, ἦλθε τῷ κόσμῳ ποιμὴν Χριστὸς Ἰησοῦς ὁ σωτὴρ τῆς οἰκουμένης· καὶ ποιμένες εὐαγγελίζονται διὰ τὸν ποιμένα, καὶ δόξα ἐν ὑψίστοις Θεῷ. ἤμελλον γὰρ οἱ ἄνθρωποι δοξάζειν καὶ εὐχαριστεῖν τῷ πέμψαντι ἐπὶ γῆς εἰρήνην. ἀπηλλάσσοντο γὰρ οἱ ἄνθρωποι τῆς πρὸς τὸν Θεὸν ἔχθρας. ἐν ἀνθρώποις εὐδοκία. ἤμελλε καλὰ δοκεῖν τοῖς ἀνθρώποις τὰ πρὸς εὐσέβειαν. οἱ μὲν οὖν ποιμένες εὐαγγελισθέντες καὶ ἀκούσαντες τὸν λόγον, εἶδον τὰ πράγματα, ἦλθον εἰς τὸ σπήλαιον. οὐκ εἶδον στρωμνήν, οὐκ εἶδον κλίνην, οὐκ εἶδον τραπέζης παρασκευήν, ἀλλὰ καθημένην Μαρίαν καὶ Ἰωσὴφ καὶ τὸν παῖδα "βεβλημένον. οὐ λέγει τοίνυν ὁ εὐαγγελιστὴς πρῶτον πατέρα, ἀλλὰ πρῶτον λέγει Μαρίαν. ἐκείνη γὰρ μήτηρ, μᾶλλον δὲ οὐδὲ αὐτὴ μήτηρ, ἐπειδὴ οὐκ ἔτεκε φυσικῶς, ἀλλὰ συνέλαβεν "ὑπερφυῶς. οὐ γὰρ ἤδει τὸ γινόμενον, "ἀλλ' ἐργαλεῖον ἦν τοῦ τεχνίτου. εἶδον μέντοι τὴν Μαρίαν καὶ τὸν Ἰωσὴφ καὶ τὸν παῖδα. ἀκούσαντες τὸν λόγον, εἶδον τὰ πράγματα, ἐθαύμασαν, ἀνεσώθησαν. ἔκειτο μέντοι τὸ παιδίον ἀνεχόμενον τῆς τέως ἀτελοῦς κατασκευῆς τοῦ σώματος, καὶ φέρον τὴν αὔξησιν τούτου· καὶ ὥσπερ τεχνίτης, ἐξεδέχετο

ἀπὸ τοῦ μα-
στῆς

γρ. αὐθέλινον

Ψαλ. πς. ς.

Λουκ. β. δ.

Ματθ. β.
Λουκ. β. η.

γρ. ἦλυθο

γρ. ἀνακεκλι-
μένον.

γρ. ὑπὲρ φύ-
σιν

γρ. ἔργον γάρ

δέχετο καὶ κατεσκεύαζεν ὄργανον, ἵνα, ὥσπερ κιθαριστὴς χρήσεται τῇ κιθάρᾳ, καὶ ὥσπερ τοξότης χρήσεται τῷ τόξῳ καὶ τῷ βέλει εἰς δέον, οὕτω καὶ Ἰησοῦς κοινῶς τοῖς πᾶσι κατ᾽ ὀλίγον αὐξάνηται. διὰ τί οὖν μὴ ἀθρόως, διὰ τί μὴ τέλειος ἅμα παρεγένετο; ἦλθε μιμήσασθαι τὴν φύσιν*, ἵνα ἁγιάσῃ τὸ φύραμα διὰ τῆς ἀπαρχῆς. εἰ μὲν γὰρ τέλειος ἐπεδήμησε καθ᾽ ἡλικίαν, ἔμελλον οἱ αἱρετικοὶ φάσκειν, οὐκ ἔτεκεν αὐτὸν ἡ παρθένος, οὐκ ἔλαβεν ἐκ τοῦ ἡμετέρου γένους τὸ φύραμα. ἐπειδὴ τοίνυν ἐκ παρθένου, ἐκ τοῦ κοινοῦ φυράματος λαβὼν, ἵνα ἁγιάσῃ τὸν Ἀδὰμ τὸ ἑαυτοῦ πλάσμα. διὰ τοῦτο κατ᾽ ὀλίγον αὐξάνεται, καὶ ἀνθρώποις συναναστρέφεται μὲν ὡς ἄνθρωπος, ἀλλὰ κύριος ὢν τῆς φύσεως ἀναμαρτήτως ἐπολιτεύσατο. ὅταν τοίνυν ἀκούσῃς τὸ παιδίον, ἀναλάμβανε ἐκείνην τὴν προφητείαν τὴν τοῦ Ἡσαΐου, ἣν ἔλεγεν, Ὅτι παιδίον ἐγεννήθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, Θεὸς ἰσχυρὸς, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος. ὅταν ἀκούσῃς παιδίον, μὴ καταφρόνει τοῦ ὀνόματος, ἀλλὰ θαύμασον τοῦ Θεοῦ τὴν φιλανθρωπίαν· καὶ θαύμασον τῆς οἰκονομίας τὴν σωτηρίαν· ἵνα γένῃ ἄξιος ἀκούειν τοῦ εὐαγγελικοῦ λόγου, διὰ πίστεως παρακολουθῶν, διὰ καρτερίας γυμναζόμενος, * δι᾽ ἀγάπης τελειούμενος, διὰ πάντων ὁλόκληρος γενόμενος ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ᾽ οὗ τῷ πατρὶ, σὺν ἁγίῳ πνεύματι δόξα, κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ησ. θ. ϛ.

Λυκ. ιε. ια.

Λογ. ριϛ. ΕΙΣ ΤΟΝ ΑΣΩΤΟΝ ΥΙΟΝ, ΚΑΙ ΠΕΡΙ ΜΕΤΑνοίας, καὶ εἰς τὸ ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ, καὶ εἰς τὸν λῃστήν.

Ex Ms. Regio Lut.

Ψαλ. λε. θ.

Πρώην ἡμῖν ἡ μεγάλη καὶ θεοπρεπὴς τοῦ σωτῆρος ἐπιφάνεια πλουσίαν τράπεζαν παραθεῖσα, καὶ ὑπερχεόμενον κρατῆρα τῆς ἐνθέου φιλοσοφίας κεράσασα, ἅπαντα τὸν λαὸν, μᾶλλον δὲ πᾶσαν, ὡς εἰπεῖν, τὴν οἰκουμένην ἐμέθυσε. Μεθυσθήσονται γὰρ, φησὶν ὁ προφήτης, ἀπὸ πιότητος οἴκου σου, καὶ τὸν χείμαρρον τῆς τρυφῆς σου ποτιεῖς αὐτούς. ὅταν δὲ ἡ θεία γραφὴ λέγῃ μέθην, οὐκ οἶνον λέγει μεθύσκοντα, ἀλλὰ λόγον σοφίζοντα. παρηκολούθησε δὲ τῇ τοῦ σωτῆρος παρουσίᾳ ὁ τῆς μετανοίας καρπός. ἀκόλουθοι γὰρ τῇ τοῦ σωτῆρος ἐπιλάμψει ἀκολουθῆσαι τοὺς καρποὺς τῆς μετανοίας. διὰ τοῦτο χθὲς ἡμῖν ὁ περὶ ταύτης ἐγυμνάζετο λόγος· πολὺ μὲν τῆς ἀξίας τῶν προκειμένων ἀπολιμπανόμενος, τῆς δὲ οἰκείας δυνάμεως οὐκ ἀφιστάμενος περὶ μετανοίας ἐκινεῖτο λόγος, ὅ ἐστι φάρμακον σωτηρίας· καὶ ἰατρὸς ἐκηρύττετο ψυχῶν τε καὶ σωμάτων, οὐ φαρμάκοις ἐπιθεραπεύων, ἀλλὰ πνεύματι φιλανθρωπίας ἰώμενος. ἐπεὶ δὲ ἡ εὐαγγελικὴ ἀνάγνωσις προέδραμεν ἡμῶν τὴν διάνοιαν ὧδε κἀκεῖσε περισπωμένων, ἀναγκαῖον σήμερον εἰς ὑμᾶς βραχέα περὶ ταύτης διελθόντας, καταπαῦσαι τὸν λόγον. ὁ σωτὴρ καὶ λόγῳ τὴν εὐσέβειαν ὑποτιθέμενος, καὶ παραβολαῖς, καὶ αἰνίγμασι, καὶ διαφόροις τρόποις διδασκαλίας τὸ συμφέρον τοῖς πιστοῖς εἰσηγούμενος, εἶπέ τινα παραβολὴν, ἰσχυρὰν ἔχουσαν τῆς μετανοίας εἰκόνα. Ἄνθρωπος γάρ τις, φησὶν, εἶχε δύο υἱούς, ὧν ὁ νεώτερος προσελθὼν, ἠξίωσε τὸν πατέρα διελεῖν αὐτοῖς τὴν οὐσίαν. ἔτυχεν ὧν ᾔτησε, καὶ λαβὼν τὴν πατρῴαν οὐσίαν, κακῶς διέθηκε. καὶ τὴν μὲν ὑπόθεσιν ἴστε· τὴν δὲ θεωρίαν ἄξιον εἰσαγαγεῖν ἐνταῦθα. εἰ γὰρ καὶ τοῖς πολλοῖς διαφόρως παρέστη νοῆσαι, ἀλλ᾽ αὐτὴ ἑαυτὴν σαφηνίζει τοῖς εὐγνώμοσιν ἡ ἀλήθεια. τί οὖν ἐνταῦθα ὑποτίθεται ἡ πηγὴ τῆς σοφίας; τὸ πρῶτον τάγμα τῶν δικαίων, καὶ τὸ δεύτερον τάγμα τῶν ἐκ μετανοίας δικαιουμένων· τῶν μὲν ἀπ᾽ ἀρχῆς τὸ δίκαιον τιμώντων, τῶν δὲ ἐκ μετανοίας εἰς τὸ δίκαιον ἐπαναγομένων. ἄνθρωπός τις εἶχε δύο υἱούς, οὓς εἰ καὶ ἡ προαίρεσις ἔτεμε, τὸν ἀσεβῆ ἀπὸ τοῦ ἀσεβοῦς, ἀλλ᾽ ἡ ἀλήθεια ἓν οἶδε πλάσμα τοῦ

Λυκ. ιε. ια.

δημιουργοῦ

δημιουργὸς τούτων πάντων· καὶ πάντες υἱοὶ Θεοῦ, εἰ καὶ τῇ διανοίᾳ τῇ πονηρᾷ ἀποσχοινίζονται τῆς ἑαυτῶν ἀξίας. ὅθεν ὁ Θεός, ἂν ἡμεῖς διὰ πονηρῶν ἐπιθυμιῶν ἀποστῶμεν τῆς εὐσεβείας, αὐτὸς οὐκ ἀρνεῖται τὴν οἰκειότητα, ἀλλὰ καὶ τοὺς ἀφηνιάζοντας πατρῴαν φωνὴν ἀφίησιν, Ἐπιστράφητε πρὸς με υἱοὶ ἀφεστηκότες, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς. ὁρᾷς ὅτι ἂν ἀφεστῶσα ᾖ ἡ διάνοια τοῦ ἁμαρτάνοντος, ὁ Θεὸς οὐκ ἀπαξιοῖ υἱοὺς καλεῖν τοὺς ἀφεστηκότας; ἰδίαν γὰρ οἶδε τὴν πλάσιν, καὶ οὐκ ἀπαρνεῖται τὴν ἰδίαν εὐεργεσίαν. διὰ τί οὖν ὁ νεώτερος κακῶς τοῖς δοθεῖσιν ἐχρήσατο; αἴνιγμά ἐστι τὸ προκείμενον· καὶ ὅπως, ἄκουε. ἀπ᾽ ἀρχῆς ἡ δικαιοσύνη ἦν, καὶ ἐφαίνετο, καὶ διέλαμπεν· ἡ δὲ ἁμαρτία νεωτέρα ὡς ἐπεισήχθη τῷ κόσμῳ καὶ πρόσφατος. διὰ τοῦτο ὁ πρεσβύτερος υἱὸς οὐ λέγεται ἐν χώρᾳ τοῦ κακῶς δαπανήσαντος. ἡ γὰρ ἀρχαία δημιουργία ἀπηρτισμένην εἶχε τὴν εὐπρέπειαν, ὅτε καινὸς ἦν ὁ κόσμος, καινὴν χάριν ἐκλάμπων, καινὴν εὐπρέπειαν. μαρτυρεῖ γὰρ Μωϋσῆς τῷ κάλλει τῆς δημιουργίας, λέγων· Καὶ ἦν πάντα καλά· οὐχ ἁπλῶς καλά, ἀλλὰ καὶ λίαν καλά· ὥστε ἡ δικαιοσύνη πρεσβυτέρα ἦν, καὶ τὸ καλὸν ἀρχαιότατον· ἡ δὲ ἁμαρτία νεωτέρα ἦν. ἐπεισῆλθε γὰρ τῇ δικαιοσύνῃ, καὶ ἐθόλωσε τὴν εὐπρέπειαν· διέλει οὖν αὖθις ἐπίσης τὰ ὑπάρχοντα. διὰ τί ἐπίσης; οὐδὲν γὰρ πλέον ἔχουσιν οἱ δίκαιοι ἐν τῷ παρόντι βίῳ· ἐπειδὴ ἀνατέλλει τὸν ἥλιον ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ βρέχει ἐπὶ ἀγαθοὺς καὶ πονηρούς. ἀλλ᾽ ὁ μὲν εἰς τὴν χώραν τῶν δικαίων εἰκονογραφούμενος, οὐκ ἠθέλησε διελεῖν τὸν πατρῷον κλῆρον, ἀλλ᾽ ἔμενεν ὑπὸ τὴν τοῦ πατρὸς αὐθεντίαν. ὁ γὰρ δίκαιος, πάντοτε τῷ Θεῷ ἀκολουθεῖ, καὶ εἰς οἰκείαν ἐξουσίαν οὐδὲν παραιτεῖται. θέλεις δὲ μαθεῖν ὅτι ὁ δίκαιος οὐδὲν θέλει λαβεῖν παρὰ τοῦ Θεοῦ, ἀλλὰ μόνῃ τῇ οἰκονομίᾳ καὶ τῇ προνοίᾳ στοιχεῖ τοῦ αὐτοῦ πατρός; βοᾷ Δαβὶδ ἐκ τοῦ τάγματος τῶν δικαίων, Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ; καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς; ὁρᾷς ὅτι τὸ τάγμα τῶν δικαίων οὐ βούλεται εἰς ἑαυτὸ ἁρπάσαι τὴν ἐξουσίαν τῶν κτισμάτων· ἀλλ᾽ ὑπὸ τὴν τοῦ πατρὸς πρόνοιαν θέλει κεῖσθαι τὰ τῆς οἰκονομίας. ὁ δὲ νεώτερος λαβὼν τὴν πατρικὴν οὐσίαν, ἀπεδήμησεν εἰς χώραν μακράν, οὐ τόποις διειργομένην, ἀλλὰ τρόποις ἀπεσχοινισμένην. ὁ γὰρ ἁμαρτάνων, Θεοῦ μακράν ἐστιν, ἀδελφοί, οὐ τόπῳ, ἀλλὰ τρόπῳ, κατὰ τὸ εἰρημένον· ὅτι Ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνται. λαβὼν δὲ τὴν οὐσίαν τὴν πατρικήν, ἐσκόρπισεν αὐτήν, ἀσώτως ζῶν ἐν αὐτῇ. ἣν παρέλαβε δημιουργίαν, τῇ ἁμαρτίᾳ ἐμόλυνεν· ἔλαβε τὸν ἥλιον εἰς ἀπόλαυσιν, καὶ τὸ δῶρον ὡς Θεὸν προσεκύνησεν· ἔλαβε πηγὰς εἰς τρυφήν, καὶ τὸ δῶρον Θεὸν ἐνόμισεν· ἠγνοήθη ὁ χαρισάμενος, καὶ ἐτιμήθη τὰ χαρίσματα, ὡς ἀποδυσπετεῖ βοῶν ὁ Παῦλος· Καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα. ἡ αὐτὴ ἡ κτίσις, ἡ αὐτὴ πατρικὴ οὐσία· καὶ ὁ μὲν καλῶς αὐτῇ ἐχρήσατο, ὁ δὲ κακῶς. Ταῦμα τοῦτο, κἀκεῖνο, καλῶς καὶ ἐναντίως. ὁ εὐσεβὴς ὁρᾷ τὸ κάλλος τοῦ οὐρανοῦ, καὶ ἀπὸ τοῦ κάλλους τὸν δημιουργὸν ἐννοεῖ. Ὄψομαι γάρ, φησι, τοὺς οὐρανούς, ἔργα τῶν δακτύλων σου. εἶδε τὸ κάλλος, καὶ εὐχαρίστησε τῷ τοιοῦτον κάλλος ἐργασαμένῳ· εἶδε τὸν κόσμον, καὶ εὐφήμησε τὸν κοσμήσαντα. ὁ γὰρ εὐσεβὴς τὴν μὲν κτίσιν ἐπαινεῖ, τὸν δὲ κτίστην προσκυνεῖ· οἱ εὐσεβεῖς ὅταν φεύγωσι τὴν προσκύνησιν τῶν φαινομένων, οὐ τὴν κτίσιν ὑβρίζουσιν, ἀλλὰ τῷ δεσπότῃ τὴν τιμὴν ἀπονέμουσι. οὐ μισεῖ πιστὸς ἥλιον, ἐπειδὴ μὴ σέβει τὸ φῶς μετὰ τῶν ἀσεβῶν· ἀλλὰ μέτρον ἐπιτίθησι τῇ τιμῇ· καὶ τιμᾷ καὶ ἀγαπᾷ, ὡς Θεοῦ δῶρα, τὰ φαινόμενα. θέλεις ἰδεῖν πῶς ὁρᾷ ὁ εὐσεβής, καὶ θαυμάζει τὸ κάλλος, καὶ τὴν προσκύνησιν τῷ κτίστῃ ταμιεύεται; λέγει τις τῶν σοφῶν, τῶν κατὰ τὴν εὐσέβειαν λέγω σοφῶν· Ἥλιος ἐκλάμπων ἐν ὑψίστοις Κυρίου, σκεῦος θαυμαστόν, ἔργον ἰσχυρόν· ἀκτῖνας πυρώδεις ἐκφυσῶν, καταλάμπων τὸν οὐρανόν. καὶ τί εὐθέως; Μέγας ὁ Κύριος ὁ ποιήσας αὐτόν. καὶ τὸ κάλλος ἐκήρυξε, καὶ τὸν τεχνίτην οὐκ ἔκρυψεν. ὁ δὲ ἀσεβὴς κακῶς εἶδε τοὺς οὐρανοὺς διηγουμένους δόξαν Θεοῦ, οὐ λόγοις, ἀλλὰ τῷ κάλλει τῆς δημιουργίας. οὐ γὰρ φωνὴν ποτὲ ἔρρηξεν ὁ οὐρανός, ἀλλὰ φωνῆς

Ιερ. ι. κγ.
Ζαχ. α. γ.
Γεν. α.
Ματθ. ε. με.
Ψαλ. οϛ. κδ.
Ψαλ. οϛ. κζ.
Ρωμ. α. κε.
Ψαλ. η. δ.
Σειρ. μγ. ια.

Δαν. γ.

ἐνεργεστέραν ἀφίησι μαρτυρίαν διὰ τῆς εὐπρεπείας. καὶ σιωπῶν ὁ οὐρανὸς διηγεῖται δόξαν Θεοῦ; πάνυ μὲν οὖν. τὰ σὰ γράμματα σιωπῶντα λαλεῖ, στοιχεῖα δὲ Θεοῦ σιωπῶντα οὐ φθέγγεται; ἔλαβες γὰρ τὸ γράμμα τῆς εὐσεβείας· ἀπὸ τοῦ γράμματος τὸ πνεῦμα λάμβανε τῆς ἀληθείας. ἐξέτασον τὸ μέρος τοῦ ἀσεβοῦς, πῶς ἀπὸ τῶν αὐτῶν προσκόπτει, ἀφ' ὧν καὶ ὁ εὐσεβὴς διηγεῖται. ὁρᾷ σελήνην, καὶ προσκυνεῖ· ὁρᾷ τὰ ἄστρα, καὶ σέβει· ὁρᾷ τὴν θάλασσαν, καὶ θεοποιεῖ. οἱ ἐπὶ τῆς Βαβυλωνίας καμίνου, οἱ ἐν αὐτῇ εἰσελθόντες, μετὰ τῆς σωτηρίου καὶ καλῆς ὁμολογίας ὕμνουν τὸν Θεὸν διὰ τῶν ἔργων, λέγοντες· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. ἤρκει μὲν οὖν ταύτην εἰπόντας τὴν φωνὴν, παῦσαι τὸν ὕμνον. οὐ γὰρ τῷ μήκει τῶν ὕμνων, ἀλλὰ τῇ προθέσει τῶν ὑμνούντων Θεὸς ἐπαναπαύεται. διὰ τοῦ τοίνυν εἰπεῖν, πάντα τὰ ἔργα, πάντα περιελαμβάνετο, καὶ οὐ χρεία ἦν ἑτέρας προσθήκης. ἀλλ' ἐπειδὴ οὐχ ἑαυτοῖς ἐκήρυττον, τὸν δὲ Θεὸν ὕμνουν, καὶ διὰ τοῦ ὕμνου τοὺς παρεστῶτας Χαλδαίους ἐπαίδευον, ἀναγκαίως διὰ πάσης αὐτῆς ὁδεύει τῆς κτίσεως ὁ ὕμνος· ἵνα μάθωσιν οἱ πεπλανημένοι Χαλδαῖοι, τί τὸ ὑμνούμενον, καὶ τίνα τὸν ὑμνοῦντα.

Ψαλ. λγ. ι.
πγ. ιγ.
Ματθ. ζ. ς.
Παροιμ. ι. κϐ.
Ψαλ. πθ. ι.
Ἱερ. ϐ. ιθ.

Ἀλλ' ἐπειδὴ εἰς πολλὴν θεωρίαν ὁ λόγος ἡμᾶς ἐνέβαλεν, ἐκεῖνο τέως ἀφέντες, εἰς τὸ προκείμενον ἐπανέλθωμεν. ἐπεδήμησεν εἰς χώραν μακρὰν ὁ νεώτερος υἱός, καὶ ἐδαπάνησε κακῶς τὴν οὐσίαν, καὶ ἤρξατο ὑστερεῖσθαι. Πλούσιοι γὰρ ἐπτώχευσαν καὶ ἐπείνασαν· οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. Κύριος γὰρ οὐ στερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ. ἤρξατο ὑστερεῖσθαι, καὶ προσῆλθεν ἑνὶ τῶν ἀρχόντων τῆς χώρας ἐκείνης, καὶ ἔπεμψεν αὐτὸν ἐκεῖνος βόσκειν χοίρους. βλέπετε ὅσον ὕψος τῆς ἀρχαίας εὐγενείας; ὅση ταπείνωσις τοῦ ἀποσχοινισθέντος τῆς εὐσεβείας; ἐδόθη βόσκειν χοίρους, τουτέστιν, ἡδοναῖς καὶ ἁμαρτίαις ἐμφύρεσθαι. ὃ γάρ ἐστι βόρβορος χοίροις, τοῦτο ἁμαρτία τοῖς ἐμφυρομένοις. διὰ τοῦτο ὁ σωτὴρ τοὺς ἐν ἀκαθαρσίᾳ ζῶντας καὶ βορβόρου δίκην ταῖς ἁμαρτίαις ἐμφυρομένους αἰνιττόμενος ἔλεγε, Μὴ δῶτε τὰ ἅγια τοῖς κυσὶ, μηδὲ βάλλετε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων. ἔβοσκε χοίρους. ἐπεθύμει δὲ χορτασθῆναι ἀπὸ τῶν κερατίων, ὧν ἤσθιον οἱ χοῖροι, καὶ οὐδεὶς ἐδίδου αὐτῷ. πρόσεχε τούτῳ ἀκριβῶς. ὁ ἀποσχοινιζόμενος τῆς εὐσεβείας, οὐδὲ αὐτῆς ἔχει τῆς ἡδονῆς τὴν ἀπόλαυσιν, ἀλλ' ἐνδείᾳ ὑποβάλλεται, καὶ πτωχείᾳ καταδικάζεται, ὥστε μηδὲ τῶν αἱρεθέντων κακῶν ἔχειν τὴν ἀφθονίαν. Ὁ γὰρ ἄφρων, φησὶν, ἐν ἐνδείᾳ τελευτήσει. ἀπεικάζει τοίνυν τὰς ἐν τῷ κόσμῳ ἡδονὰς κερατίοις. τὸ γὰρ κεράτιον πολλὴν μὲν ἔχει τραχύτητα, μικρὰν δὲ τὴν ἡδύτητα· καὶ τὰ ἐν κόσμῳ φαιδρὰ καὶ ποθεινὰ, πολλοὺς μὲν ἔχει τοὺς πόνους, μικρὰν δὲ τὴν ἀπόλαυσιν. αὕτη πᾶσα ἡ ζωὴ ἡμῶν πλείονι κόπῳ μᾶλλον ἢ εὐφροσύνῃ συνέζευκται. Αἱ ἡμέραι γὰρ τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς, ἑβδομήκοντα ἔτη· καὶ τὸ πλεῖον αὐτῶν, κόπος καὶ πόνος· τὸ δὲ λοιπὸν, ἡ ἔνδεια αὐτὸν ἐπαιδαγώγησε, καὶ ἡ θλίψις ἐπέστρεψε. Παιδεύσει σε γὰρ ἡ ἀποστασία σου, καὶ ἡ κακία σου ἐλέγξει σε. εἰς ἑαυτὸν δὲ ἐλθών. καλὸν, τὸ, εἰς ἑαυτόν. ὅταν γὰρ ἁμαρτάνωμεν, ἐκτὸς αὐτῶν ἐσμεν, παραφρονοῦμεν, ἔξω τῶν οἰκείων λογισμῶν φερόμεθα. ὅταν δὲ δίκαια προάγωμεν, εἰς ἑαυτοὺς ἐπανερχόμεθα. Εἰς ἑαυτὸν ἐλθὼν, εἶπεν. ἐν τούτῳ πρόσεχε ἀκριβῶς, πῶς ἀληθεύει ὁ προειρημένος λόγος, ὅτι ἰατροὶ μὲν φάρμακα ὑποτίθενται ξένα καὶ ἀλλότρια, τὰ δὲ φάρμακα τῆς ζωῆς ἡμῶν ἐξ ἑαυτῶν ἔχομεν. Εἰς ἑαυτὸν ἐλθών. οὐκ ἀλλοτρίῳ ἐχρήσατο φαρμάκῳ, ἀλλὰ τοῖς οἰκείοις, τοῖς ἀπὸ τῆς φύσεως πλεονεκτήμασι, τούτοις κέχρηται εἰς σωτηρίαν, καὶ λέγει· πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι; υἱοὺς μὲν καλεῖ ἡ θεία γραφὴ, τοὺς πάντῃ τῇ δικαιοσύνῃ καὶ εὐσεβείᾳ ἀνακειμένους· μισθίους δὲ, τοὺς μὴ ὁλόκληρον ἔχοντας περὶ αὐτὸν διάθεσιν, μηδὲ κατὰ τὴν τῆς πολιτείας ἄσκησιν πάντῃ τὰ τοῦ Θεοῦ φρονοῦντας· ἀλλὰ συνιέντας μὲν τὸ καλὸν, καὶ ἀγαπῶντας τὸν λόγον, μὴ ὁλόκληρον δὲ τὴν διάνοιαν ἀναθέντας ἐπ' αὐτόν. καὶ τούτοις μὴ ὁλόκληρον ἔχουσι τὸν πόθον, ὅλως δὲ τῇ εὐσεβείᾳ προσανέχουσιν ὁ Θεὸς τὸν μισθὸν δίδωσι κατὰ τὴν τῆς προθέσεως

θέσεως ἀναλογίαν. Εἰκότως οὖν ἐκεῖνος, πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι; ὑποστρέψω πρὸς τὸν πατέρα μου· ὑποστρέψω κατὰ τὸν λέγοντα, Ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου· καὶ ἐρῶ, πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν, καὶ ἐνώπιόν σου, καὶ οὐκ ἔτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με, ὡς ἕνα τῶν μισθίων σου. ἄλλα τὰ ῥήματα τοῦ μετανοοῦντος, καὶ ἄλλα τὰ δῶρα τοῦ δεχομένου τὴν μετάνοιαν. ὁ ἀπὸ ἁμαρτωλῶν εἰς μετάνοιαν ἐρχόμενος, οὐ φαντάζεται βασιλείαν οὐρανῶν, οὐκ ἄξιον ἑαυτὸν κρίνει ζωῆς αἰωνίου· ἀλλὰ μόνην μίαν ἔχει προσδοκίαν ῥυσθῆναι ἀπὸ γεέννης. αὐτὸς μὲν οὖν μικρὰ προσδοκᾷ, ὁ δὲ Θεὸς ἀφθόνως αὐτῷ τὸν πλοῦτον τῆς εὐεργεσίας χαρίζεται. ἀλλ' ὢ τοῦ θαύματος. ἐνενόησε μόνον τὴν μετάνοιαν, καὶ ὁ πατὴρ εὐθέως ἔφθασε τῇ φιλανθρωπίᾳ. οὐκ ἀνέμεινε δέξασθαι τὰ ῥήματα τῆς ἐξομολογήσεως, ἀλλὰ προέλαβε τὴν αἴτησιν, κατὰ τὸ εἰρημένον· Πρὶν ἐπικαλέσῃ με, ἐρῶ, ἰδοὺ πάρειμι. Εἶδε τὸν υἱὸν μακρόθεν ἐρχόμενον, καὶ ὑπήντησεν αὐτῷ. ὁρᾷς πῶς φθάνει ἡ φιλανθρωπία τὴν μετάνοιαν; διὰ τοῦτο καὶ ὁ Δαβὶδ ἀποδυσάμενος τὴν νόσον τῆς ἁμαρτίας τῷ φαρμάκῳ τῆς μετανοίας, καὶ εἰδὼς ὅτι φιλάνθρωπος ὢν προσυπαντᾷ τοῖς προσερχομένοις, παρακαλεῖ τὸν Θεὸν, λέγων· Ἐξεγέρθητι εἰς συνάντησίν μου, καὶ ἴδε, ὅτι γνησίως πρὸς σὲ ἔρχομαι, ὅτι μετ' ἀληθείας τὴν μετάνοιαν ἐνδύομαι. ἐδέξατο ὁ πατὴρ τὸν παῖδα· κἀκεῖνος πρὸς τὸν πατέρα, ἥμαρτον, οὐκ ἔτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. ἐνταῦθα ὁ πατὴρ πρὸς αὐτὸν οὐδένα ποιεῖται λόγον· οὐκ ἀποκρίνεται πρὸς αὐτὸν, ἀλλά φησι πρὸς τοὺς δούλους· ἐξενέγκατε αὐτῷ τὴν πρώτην στολήν. τί βούλεται τὸ αἴνιγμα; πολλὰ εὔχεται ὁ μετανοῶν· ἀποκρίσεως δὲ διὰ λόγων οὐ τυγχάνει, ἀλλὰ δι' ἔργου τὴν φιλανθρωπίαν ὁρᾷ. ἐνταῦθα παιδευόμεθα, ὅτι ἡ μὲν μετάνοια διὰ ῥημάτων· Θεοῦ δὲ ἡ φιλανθρωπία διὰ πραγμάτων. ἐξενέγκατε αὐτῷ τὴν πρώτην στολὴν, ἣν ἀπώλεσε διὰ τῆς παραβάσεως· δότε αὐτῷ καὶ ὑποδήματα. διὰ τί; ἐπειδὴ ὁ ὄφις πρὸς τοὺς ἁμαρτάνοντας ἐκπεπολέμωται κατὰ τὸ εἰρημένον, Αὐτός σου τηρήσει κεφαλὴν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν, ἵνα μὴ γυμνῷ ποδὶ προσέλθοι ὁ ὀλέθριος ὄφις, ἵνα μὴ πάλιν τὸν ἰὸν τῆς ἁμαρτίας κενώσῃ κατὰ τοῦ ἐλευθερωθέντος ἀπὸ τῆς ἁμαρτίας, περιτίθησιν αὐτῷ τὰ ὑποδήματα πρὸς ἀσφάλειαν. ἐὰν γὰρ μὴ λάβῃ τὰ ὑποδήματα, οὐ δύναται πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. διὰ τοῦτο τὰ δήγματα τοῦ ὄφεως ἀσφαλιζόμενος ὁ Παῦλος, ἀρτίως ἐκήρυττε· Φοβοῦμαι μήπως ὡς ὁ ὄφις τὴν Εὔαν ἠπάτησεν, οὕτω φθαρείη τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς Χριστόν. ἀλλ' ἐνταῦθα ἀνακύπτει δή τι καινὸν δρᾶμα, τὸ πολυθρύλλητον ἐκεῖνο ζήτημα. πολλοὶ γὰρ ἐπιλαμβάνονται τῆς δημιουργίας. καὶ διὰ τί, φησιν, ὁ ὄφις ἐν παραδείσῳ; διὰ τί τὸ δένδρον ὑπόθεσιν τοσαύτην κακῶν ἤνεγκε; διὰ τί ὁ δημιουργὸς τοιοῦτον φυτὸν ἐφύτευσε; πῶς δὲ οὐκ ἄτοπον, ἀνθρώπους μὲν κηπουροὺς σπουδάζειν ἐναντία σπέρματα καὶ τὰς βοτάνας τὰς ἀλλοτρίας ἐξορίζειν τῶν οἰκείων σπερμάτων, καὶ καθαρὰν φυλάττειν τὴν ἑαυτοῦ γῆν ἀπὸ τῶν ἐναντίων· τὸν δὲ Θεὸν τοσοῦτον καὶ τηλικοῦτον ἐδράσαντα παράδεισον, φυτὸν κατασκευάσαι, ἀφ' οὗ πηγάζειν ἔμελλεν ἡ τῶν κακῶν ὑπόθεσις; ἐπὶ ταύτην ἡμᾶς ἄγει τὴν ἀκολουθίαν ὁ θεῖος Παῦλος, λέγων· Φοβοῦμαι μήπως, ὡς ὁ ὄφις Εὔαν ἠπάτησεν, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς Χριστόν. τί οὖν, ἀδελφοί; τὰ πολλὰ καὶ περιττὰ τῶν κατὰ μέρος ἐξεταζομένων ἀφέντες, ἐπὶ τὸ σύντομον ἔλθωμεν. ὁ Θεὸς πάντα καλὰ ἐποίησε· καὶ καλὰ οὐχ ἁπλῶς, ἀλλὰ καὶ λίαν καλά. ἡ γὰρ ἐπαγωγὴ τὸ ἄκρον τοῦ κάλλους δείκνυσι τῶν γενομένων πάντων. δίδωσιν οὖν ὁ Θεὸς τῷ Ἀδὰμ τὴν ἀφθονίαν, τὴν ἀπόλαυσιν, τὴν ἐξουσίαν, ἀπολαύειν μὲν τοῦ παραδείσου, ἄρχειν δὲ τῶν ὁρωμένων. Ποιήσωμεν γὰρ ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοί-

Ψαλμ. ριδ'. ζ.

Ψαλμ. λδ'. α.

Γεν. γ.

Λουκ. ι. ιθ.

β. Κορ. ια. γ.

Γεν. α. κϛ.

ωσιν· καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν θηρίων καὶ τῶν κτηνῶν, καὶ πάσης τῆς γῆς. ἐνταῦθα δέδωκε τὴν ἐξουσίαν τοῦ παραδείσου, δέδωκε τὴν τρυφὴν καὶ τὴν ἀπόλαυσιν. ἦν οὖν βασιλεὺς χειροτονητός, ἔχων καὶ τὴν ἐξουσίαν τῶν ὁρωμένων καὶ τὴν ἀπόλαυσιν τοῦ παραδείσου. ἐδέησεν οὖν ἐντολὴν δοθῆναι τῷ Ἀδάμ, γυμνάζουσαν τὴν ψυχὴν αὐτοῦ εἰς ὑπακοήν. πολλοὶ δέ φασιν, οὐκ ᾔδει ὁ Θεός, ὅτι παραβήσεται ὁ Ἀδάμ; διὰ τί οὖν ἐνομοθέτησε τῷ παραβῆναι μέλλοντι; παρακαλῶ τὴν ὑμετέραν ἀγάπην συναγωνίσασθαί μοι τῷ λόγῳ κόπου γέμοντι. ἀπολογούμεθα γὰρ ὑπὲρ τῆς πλάσεως, ὑπὲρ τοῦ θεϊκοῦ δημιουργήματος. ἐποίησε τὸν ἄνθρωπον, πάντων αὐτῷ δέδωκε τὴν ἀφθονίαν, ἐντέλλεται αὐτῷ ἀπὸ πάντων φαγεῖν. καὶ εἰ μὲν ἦν ἡ ἐντολὴ στενή, ἐπιτρέπουσα μὲν τῶν ὀλίγων ἅψασθαι, τῶν δὲ πλειόνων ἀπέχεσθαι, εὐπρόσωπος ἦν ἡ παράβασις, τῷ στενῷ τῆς ἀπολαύσεως ἀφορμὴν παρέχουσα τῇ ῥοπῇ τῆς προαιρέσεως. εἰ δὲ ἡ μὲν ἀφθονία πολλή, τὸ δὲ κεκωλυμένον βραχύ, τίνος ἕνεκεν μὴ ἐπιτίμησε διὰ τῆς ὑπακοῆς τὸν εὐεργέτην; ἀλλ' ἐνδέχεται εἰπεῖν, ὅτι τῶν πολλῶν μὲν ἔδωκε τὴν ἀφθονίαν, τοιοῦτον δὲ κάλλος οὐκ εἶδεν ἐν ἑτέρῳ δένδρῳ. Γεν. γ. 5. Ὡραῖον γὰρ τοῦτο τῇ ὁράσει, καὶ καλὸν τῇ γεύσει. ἵνα οὖν καὶ ταύτην περιέλῃ τὴν εὐπρόσωπον ἀπολογίαν ὁ Θεός, ὃ δέδωκε κάλλος ἐκείνῳ τῷ δένδρῳ, τοῦτο καὶ τοῖς ἄλλοις πᾶσιν ἐχαρίσατο. Γεν. β. 9. λέγει γὰρ Μωϋσῆς· καὶ ἐξανέτειλεν ὁ Θεὸς ἔτι πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν, καὶ καλὸν εἰς βρῶσιν. διὰ τί οὖν ἐδόθη ἡ ἐντολή; ἵνα μάθῃ ὅτι ὑπὸ νόμον ἐστὶ καὶ δεσπότην. καὶ διὰ τί ταύτην, καὶ οὐχ ἑτέραν δέδωκεν; οὐκ ἦν ἄλλης ὑπακοῆς γυμνάσιον. τί γὰρ ἔχρην τὸν Θεὸν τῷ Ἀδὰμ εἰπεῖν, μὴ κλέψῃς; τὰ τίνος; τί ἔχρην τὸν Θεὸν νομοθετῆσαι, οὐ φονεύσεις; τίνα; οὐ μοιχεύσεις; τὴν τίνος; οὐκ ἐπιθυμήσεις; τῶν τίνι διαφερόντων; οὐκ εἶχεν ὕλην ἡ ἐντολή, οὐκ ἦν ὁ κόσμος, οὐδὲ ἡ νῦν τῷ κόσμῳ παροῦσα σύγχυσις. ἀλλ' ἔχρην πάντως εἰπεῖν, οὐ συκοφαντήσεις; ποῖον ἦν δικαστήριον; τίνες οἱ κατηγοροῦντες; ἢ τίνες οἱ κατηγορούμενοι; δίδωσιν αὐτῷ ἐντολὴν ἀπὸ τῆς προκειμένης ἀπολαύσεως, πάντων μὲν ἔχειν τὴν ἀφθονίαν, τούτου δὲ μόνου ἀπέχειν· ἵνα τῶν ἁπάντων τὴν ἀπόλαυσιν ἔχων, προστεταγμένην ἔχῃ τὴν δεσποτείαν τὴν κωλύουσαν τοῦ δένδρου· οὐκ ἐπειδὴ αὐτὸ τὸ δένδρον ἦν κακόν, ἀλλ' ἡ παράβασις ἦν μοχθηρά. ὥσπερ γὰρ νόμος μὲν φύσεως βούλεται νυμφοστολεῖσθαι γάμῳ νομίμῳ παρθένον· ἐὰν δέ τις παρθένος φθάσασα τὸ πάθος τὴν προθεσμίαν, ἢ τὴν ὥραν τοῦ γάμου, ἑαυτὴν ἐκδῷ πρὸς ἀσέλγειαν, ἀπαραίτητον ὑπέχει τοῖς νόμοις τὴν τιμωρίαν, οὐχ ὡς ξένον τι παθοῦσα παρὰ τὰς ἄλλας παρθένους, ἀλλ' ὡς παρὰ τὸν νόμον τὸν ἀρέσκοντα τῷ πατρὶ ἑαυτὴν ἐκδοῦσα πρὸς ἁμαρτίαν, καὶ τιμωρεῖται οὐ διὰ τὴν φύσιν τοῦ πράγματος, ἀλλὰ διὰ τὸν τρόπον τῆς παραβάσεως· οὕτω καὶ ὁ Ἀδὰμ ὑπεύθυνος γέγονε τῇ τιμωρίᾳ, οὐχ ὡς ἀπηγορευμένου τινὸς ἁψάμενος, ἀλλ' ὡς τὸ τῇ ἐντολῇ ἀπηγορευμένον σφετερισάμενος.

Ἀνάγνωθι τὰ ὑπομνήματα. διὰ τί περὶ ὧν οὐκ οἶδας φιλονεικεῖς; ὅταν θέλῃς ἀρχαίων πραγμάτων ἱστορίαν ἢ δίκην ἐξιχνεῦσαι, οὐ τὰ ὑπομνήματα λαμβάνεις τὰ ἀρχαῖα, καὶ μανθάνεις τίνα μὲν τὰ ῥήματα τῶν κατηγορουμένων, τίνα δὲ τῶν συνηγορούντων καὶ τῶν ἀπολογουμένων, τίνα δὲ τὰ τοῦ δικαστοῦ καὶ τὴν ψῆφον ἐπάγοντος, καὶ οὕτω τὰ λήθῃ χωσθέντα ἀνανεοῦσαι τῇ μνήμῃ τῆς ἀναμνήσεως; ἀνάγνωθι οὖν τὰ ὑπομνήματα τῆς ἀρχαίας ἱστορίας. ὅτε ἐκάθισεν ὁ κριτὴς τῆς ἀληθείας, μᾶλλον δὲ ὅτε πρὸς τὸν κατάκριτον ἦλθεν ἐν σχήματι φίλου ὁ ἰατρὸς τῶν ἡμετέρων πλασμάτων, Γεν. γ. τί φησι πρὸς αὐτόν; Ἀδάμ, ποῦ εἶ; καὶ τί εἶπεν Ἀδάμ; τῆς φωνῆς σου ἤκουσα, καὶ ἐκρύβην, ὅτι γυμνός εἰμι. τί οὖν ὁ τὰ πάντα εἰδώς; σχηματίζεται ἄγνοιαν, καὶ λέγει· καὶ τίς σοι εἶπεν, ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες; δείκνυσιν, ὅτι πάντων, ὡς εἰπεῖν, ἔλαβε τὴν ἀφθονίαν, καὶ οὐ τὸ στενὸν τῆς ἀπολαύσεως ἤγαγεν αὐτὸν εἰς τὴν παράβασιν.

ἐπίβασιν. τί οὖν πρὸς ταῦτα ὁ ἐγκαλούμενος; ἡ γυνή, ἣν ἔδωκας μετ' ἐμοῦ, αὕτη μοι ἔδωκεν. ὁ Ἀδὰμ τῇ γυναικὶ ὑπογράφει τὸ ἁμάρτημα, καὶ σὺ τὸ δένδρον περιγράφεις τὴν κατηγορίαν; ὁ ἐγκαλούμενος οὐκ ἠδυνήθη τι ψεύσασθαι, οὐκ εὑρίσκει τινὰ ἑτέραν ἀποφυγὴν ἔξω τῆς ἀληθείας, οὐκ ἐπέγραψε τῷ δημιουργῷ τὴν αἰτίαν, ἀλλὰ τῆς γυναικὸς κατηγόρησε· καὶ σὺ κατηγορεῖς πραγμάτων, ὧν οὐκ οἶδας τὴν δύναμιν; καὶ τί πρὸς τὴν Εὔαν ὁ Θεός; Τί τοῦτο ἐποίησας; ἡ δὲ πρὸς τὴν ἐρώτησιν τὴν αἰτίαν ἀποκρίνεται· Ὁ ὄφις ἠπάτησέ με. μὴ ἥψατο τῆς δημιουργίας; μὴ διέβαλε τὸν πλάσαντα; μὴ εἶπε, διατί γὰρ ἡμᾶς ἐποίησας; διατί γὰρ ἀπὸ τοῦ δένδρου ἐκώλυσας; ἡ ὑποκειμένη τοῖς ἐγκλήμασιν οὐχ εὑρίσκει τι ψεύσασθαι. φιλοῦσι γὰρ τοῖς ἐγκαλουμένοις καὶ τὰ μὴ ὄντα πλάττεσθαι πρὸς ἀποφυγὴν τῶν ἐγκλημάτων. ἡ ὑποκειμένη οὖν τοῖς ἐγκλήμασιν οὐχ εὗρεν ἄλλην ἀποφυγήν· καὶ σύ, ἃ μὴ προσήνεγκεν οἱ κατάδικοι, προσφέρεις εἰς Θεοῦ κατηγορίαν; ἀλλὰ πάλιν ἐπὶ τὸ προκείμενον ἐπανάξω τὸν λόγον. Ἀδάμ, ποῦ εἶ; ἐπειδὴ εἶδεν ὅτι τοῖς ἁμαρτάνουσι φράττεται τὰ στόματα, καὶ οὐκ ἔχει παρρησίαν ὁ ἁμαρτάνων, ἐν σχήματι τῆς ἐρωτήσεως ἀνοίγει αὐτῷ ὁδὸν ἀπολογίας. παραβὰς ἐκρύβην· ἀκούσας τῆς φιλανθρωπίας τῆς σῆς, δέσποτα, πρὸς τὴν ἀπολογίαν προῆλθον. καὶ βλέπε τὸν δικαιοκρίτην. οὐκ ἐξετάζει εὐθέως τὴν ἁμαρτήσασαν, ἀλλὰ τὸν ἀπατηθέντα· καὶ εἰκότως· βαρύτερον γὰρ ἂν ἐγένετο τὸ δικαστήριον, εἰ τῶν ὑπευθύνων πρῶτον ἥψατο· ἀλλ' ἄρχεται ἀπὸ τοῦ δυναμένου κἂν μικρὰν εὑρεῖν ἀπολογίαν, ὅτι παρ' ἄλλου προσώπου ἀπάτην ἐδέξατο. ἀπὸ τοῦ ἀνδρὸς οὖν ἐπὶ τὴν γυναῖκα χωρεῖ, καὶ λέγει, τί τοῦτο ἐποίησας; ἡ δὲ πρὸς τὸν δεσπότην· ὁ ὄφις ἠπάτησέ με. ὁ ὄφις ἠπάτησε; χώραν εἶχεν ἡ ἀπάτη, εἰ μὴ προλαβοῦσα ἡ ἐντολὴ ἀπέκλεισε τὴν πλάνην· εἰ μὴ ἔφθην εἰπών, ὅτι ἐν ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπὸ τοῦ ξύλου, θανάτῳ ἀποθανεῖσθε, εἶχε χώραν ἡ ἀπάτη. διατί μὴ ὁ τοῦ Θεοῦ ἠκολούθει λόγος, ἀλλ' ὁ τῆς ἀπάτης ἐδείχθη; οὕτως ὁ δημιουργὸς ἀναίτιος ἦν, ὁ δὲ παραβὰς ὑπεύθυνος. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. ἡ μὲν ἐξέτασις τῶν πεπλημμεληκότων ἀπὸ τοῦ ἀπατηθέντος ἐπὶ τὴν ἀπατηθεῖσαν, ἡ δὲ ἀπόφασις ἐπὶ τὸν αἴτιον τῶν κακῶν. πρῶτον ἡ θεία δίκη κατ' ἐκείνου φέρει τὴν ψῆφον. οὐ γὰρ ἀποφέρεται κατὰ τοῦ ἀνδρός, οὐδὲ κατὰ τῆς γυναικὸς εὐθέως, ἀλλὰ κατὰ τοῦ ὄφεως. καὶ ὅρα τὸ μακρόθυμον τῆς δίκης. οὐ καλεῖ τὸν ὄφιν ὁ Θεὸς εἰς ἐξέτασιν. οὐ γὰρ εἰς ἕτερον διαγαγεῖν τὴν αἰτίαν βούλεται, οὐδὲ εὑρεῖν ἀποφυγὴν ἑτέραν. τί οὖν πρὸς αὐτόν; Ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς. ὁ ὄφις ὄργανον ἦν φαινόμενον, ὁ δὲ διάβολος ἀοράτως, ὁ διὰ τοῦ ὄφεως ἀπατῶν. τίνος ἕνεκεν κατὰ τοῦ ὀργάνου ἡ τιμωρία, καὶ οὐ κατὰ τοῦ αὐθέντου τῆς πονηρείας χωρεῖ ἡ θεία δίκη; καὶ κατὰ τῆς ἁμαρτίας χωρεῖ, καὶ κατὰ τοῦ ὀργάνου τῆς ἁμαρτίας. οἶδας ὅτι καὶ τὸν λογισμὸν οὐκ ἔχοντι ταύρῳ, ἐὰν κερατίσῃ, ὁ Θεὸς θάνατον ὁρίζει τὴν δίκην, καίτοι λογισμὸν οὐκ ἔχοντι, ἀλλ' αὐτὴν ὅλως τὴν ὁρμὴν κολάζει. οὕτω τοίνυν καὶ ἐνταῦθα κατὰ τοῦ ὄφεως ἀποφαίνεται, δεικνύς, ὅτι εἰ τὸ ὄργανον τῆς ἁμαρτίας οὕτω τιμωρεῖται, [οὐ] πολλῷ μᾶλλον τὸν ἐνεργήσαντα κολάζει. διὰ τοῦτο ὁ μακάριος Ἡσαΐας τὴν ἀπειλὴν ταύτην τὴν κατὰ τοῦ ὄφεως καλῶς ἐκλαβόμενός φησι, Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐπάξει ὁ Θεὸς τὴν μάχαιραν τὴν ἁγίαν καὶ μεγάλην καὶ ἰσχυρὰν ἐπὶ τὸν δράκοντα, τὸν ὄφιν τὸν φεύγοντα, ἐπὶ τὸν δράκοντα, τὸν ὄφιν τὸν σκολιόν, καὶ ἀνελεῖ τὸν δράκοντα τῇ ἡμέρᾳ ἐκείνῃ. δράκοντα καλεῖ τὸν διάβολον, καὶ ὄφιν σκολιόν, αὐτὸν τὸν τῶν δαιμόνων ἄρχοντα. οὕτω γοῦν καὶ ὁ σωτήρ φησιν, Ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων· καὶ ἵνα μὴ τὰ φαινόμενα ὑπολάβῃς, ἐπήγαγε, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. ἀλλ' ὅταν ἀκούσῃς δράκοντα καὶ ὄφιν, μὴ ῥίζαν κακίας ὑπολάβῃς, ὡς φασιν οἱ Μανιχαῖοι. οὐ γὰρ ἦν ῥίζα κακοῦ, οὐδὲ φύσις πονηρείας, ἀλλὰ ῥοπὴ παρανομίας. ὁρᾷς, φησι, τὴν γραφήν, ὅπως αὐτὸν ὄφιν ἐκάλεσε καὶ

ς τοῦ δένδρου
γ.

ἠκούσθη
ἐδέχθη;

Ἡσ. κζ. α.

Λουκ. ι. ιθ.

δράκοντα, καὶ ὥσπερ ξένην τινὰ φύσιν πονηρίας εἰσηγούμεθα ὅλην. ἀλλὰ ταῦτα τῶν ἀσεβῶν τὰ ῥήματα κενὰ καὶ μάταια καὶ λογισμοὶ οὐκ ἔχοντα. καὶ γὰρ ὅταν πρὸς τοὺς ἀνθρώπους λέγῃ ὁ Κύριος, Ματθ. κγ. λγ. Ὄφεις, γεννήματα ἐχιδνῶν, οὐ τὴν φύσιν διαβάλλει, ἀλλὰ τὴν προαίρεσιν διεμάχετο). οὕτως οὐ ταῖς λέξεσι πείθεσθαι, ἀλλὰ ταῖς ἐννοίαις παιδεύεσθαι.

Ἀλλ' ἀντιτείνουσι πάλιν, καὶ ἕτερον ζητοῦσι ζήτημα· διὰ τί, φησι, τὸ δένδρον ἐκάλεσε γνωστὸν καλοῦ καὶ πονηροῦ, εἰ μὴ πάντως φύσιν τινὰ τοιαύτην ἐβούλετο γνωρίσαι τοῦ φυτοῦ τὸ θεῖον γράμμα; μὴ συκοφάντει ἁπλῶς, ἄνθρωπε, τὴν ἀλήθειαν. τὸ γὰρ δένδρον τοῦ καλοῦ καὶ πονηροῦ οὐ φύσιν ἐμήνυσεν, ἀλλ' ὑπόθεσιν ἤνεγκε· καὶ ἐκαλεῖτο τῇ προσηγορίᾳ ταύτῃ, οὐκ ἐπειδὴ τοῦτο εἶχε κατὰ φύσιν, ἀλλ' ἐπειδὴ τοῦτο ἐπετέλει κατὰ τὴν ἀπόφασιν. τί γὰρ ἐδίδαξε τὸν Ἀδὰμ ἡ γεῦσις; ὅτι καλὸν τὸ ὑπακοῦσαι Θεοῦ, καὶ κακὸν τὸ παρακοῦσαι Θεοῦ. καὶ τοῦτό ἐστιν ἡ γνῶσις καλοῦ καὶ πονηροῦ, καὶ οὐδὲν ἕτερον ὅλως. ἐπεὶ ποίαν εὗρε γνῶσιν τῶν καλῶν ἀναβλέψας εὐθέως; τί ἕτερον εἶδε καλόν; τὴν ἐλεημοσύνην; τίνες γὰρ ἦσαν ἐκεῖ πένητες; ἀλλὰ τί εἶδεν; ὅτι καλὸν ἡ φιλανθρωπία; ποίαν γὰρ εὗρεν ὑπόθεσιν φιλανθρωπίας; τί οὖν εὗρεν; ὅτι καλὸν μὲν τὸ ὑπακούειν, κακὸν δὲ τὸ παρακούειν τοῦ εὐεργέτου. Τίς ταῦτα σαφηνίζει; ἡ γραφὴ λέγει, Ισ. ἀπηγγέλ Εἰ ἀπαγγέλλει σοι, ἄνθρωπε, τί καλόν, ἢ τί Δευτ. ι. ιβ. Κύριος ἐπιζητεῖ παρὰ σοῦ, ἀλλ' ἢ τὸ φοβεῖσθαι τὸν Κύριον καὶ Θεόν σου; ὁρᾷς ὅτι καλὸν ὁ φόβος τοῦ Θεοῦ, πονηρὸν δὲ τὸ παρακοῦσαι Θεοῦ; Ιερ. β. ιγ. Ἔφριξε, φησιν, οὐρανός, καὶ ἐξέστη ἡ γῆ, ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαός μου· ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος, καὶ τὰ ἑξῆς. διὰ τί οὖν, φησιν, εἶπε, μὴ ἅψῃ τοῦ δένδρου, ἐξ οὗ ἐὰν φάγῃς, μέλλεις γινώσκειν διὰ τῆς παραβάσεως τὸ καλὸν καὶ πονηρόν; διὰ τί; ἐγώ σοι σαφηνίσω καὶ σύντομον ἀποδώσω λόγον. φίλον ἀεὶ τῇ θείᾳ γραφῇ τοιαύτας διδόναι τοῖς πράγμασι προσηγορίας, οἵας ἂν καὶ τὰς ὑποθέσεις ἐνέγκωσιν. οἷόν τι λέγω. ὁ Ἰσαὰκ ὤρυξε φρέαρ· οἱ Φιλισταῖοι ἐλθόντες ἐμαχέσαντο περὶ τοῦ φρέατος, καὶ εἰς ἑαυτοὺς περιεποιήσαντο φρέαρ, ἀλλοτρίοις καρπούμενοι πόνοις. τί οὖν ὁ Ἰσαάκ; ἐκάλεσε τὸ ὄνομα τοῦ λάκκου, ἔχθραν. οὐχ ὁ λάκκος τὴν ἔχθραν εἰργάσατο, ἀλλ' ἡ ὑπόθεσις ἡ περὶ αὐτοῦ ἔχθραν ἐποίησε, καὶ διὰ τοῦτο φρέαρ ἐγένετο ἔχθρας. ἐποίησεν ἄλλο φρέαρ, καὶ ἀφῃρέθη καὶ τοῦτο· καὶ ἐκάλεσεν αὐτὸ φρέαρ ἀδικίας, οὐχ ὅτι τὸ φρέαρ ἦν ἀδικίας, ἀλλ' ἐπειδὴ ἡ ἀδικία περὶ τὸ φρέαρ εἶχε τὴν ὕλην. ὁμοίως καὶ οἱ ὑπηρέται β. Βασ. β. ιγ. ιε. τοῦ Ἰωὰβ καὶ τοῦ Ἀβεννήρ, περὶ τὴν κρήνην, ὡς ἴσασιν οἱ τὴν γραφὴν ἐπιστάμενοι, ἀλλήλοις συγκροτούμενοι, ἀλλήλοις ἐπεβούλευσαν, καὶ ἐκλήθη ὁ τόπος μερὶς τῶν ἐπιβούλων. πάλιν ἐνταῦθα, οὐχ ὁ τόπος τὴν ἐπιβουλὴν ἐμήνυσεν, ἀλλ' ἡ ὑπόθεσις ὄνομα τῷ τόπῳ δέδωκεν. οὕτως οὖν καὶ ἐπὶ τοῦ Ἀδάμ. ἐπειδὴ ἐκ τῆς γεύσεως ἔμελλε λοιπὸν τὸ πεῖραν λαμβάνειν, ὅτι καλὸν τὸ ὑπακοῦσαι, κακὸν δὲ τὸ παρακοῦσαι, ἔλαβε τὸ δένδρον ἐκ τῆς ὑποθέσεως τὴν προσηγορίαν. ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον. γένοιτο δὲ ἡμᾶς ἀπὸ τοῦ ξύλου ἐκείνου φυγεῖν, καὶ προσδραμεῖν τῷ ξύλῳ τῆς ζωῆς, τῷ φυτῷ τοῦ σταυροῦ, τῷ ἀνθήσαντι καρποὺς δικαιοσύνης, τῷ κατὰ γενεὰν βλαστήσαντι καὶ ἁγιωσύνην πηγάσαντι, καὶ καρποὺς διαφόρους ἀποτίσαντι πολλοῖς καὶ διαφόροις κομῶντας τοῖς πλεονεκτήμασι, τῷ ἐν ταύτῃ τῇ πήξει τῇ αἰσθητῇ τοῦ ξύλου τὴν μεγίστην ἐκείνην καὶ ξένην σωτηρίαν, οὐχ ἣν ὁ σωτὴρ μυστικῶς ᾠκονόμησεν, ἀλλ' ἣν ὁ λῃστὴς ἐκεῖνος περιφανῶς ἀπεσύλησεν, ἡμῖν πρυτανεύσαντι. ἐπειδὴ γὰρ ὁ Ἀδὰμ διὰ ξύλου ἐξωρίσθη τοῦ παραδείσου (δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου) ὅτι διὰ μίαν ἁμαρτίαν ὁ Ἀδὰμ ἐξορίζεται, καὶ διὰ μίαν πιστὴν ὁμολογίαν εἰσάγεται ὁ λῃστὴς εἰς τὸν παράδεισον· σταυροῦσαι μετὰ τῶν παρανόμων, καὶ σώζεις τοὺς παρανόμους· λέγει πρὸς Λουκ. κγ. μβ. αὐτὸν ὁ λῃστής, Κύριε, μνήσθητί μου ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. καὶ ὁ μὲν λῃστὴς ἐκεῖνος οὐκ ἐπαύσατο λῃστεύειν, ἕως μετὰ τῶν ἄλλων καὶ αὐτὴν τὴν βασιλείαν ἐσύλησεν. ἀλλ' ὁ ἕτερος Λουκ. κγ. λθ. λῃστὴς ὀνειδίζει τῷ Κυρίῳ, Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, καὶ σεαυτὸν σῶσον, καὶ ἡμᾶς. τὰ ῥήματα τοῦ λῃστοῦ ἀδελφὰ εἰσὶ τῶν ῥημάτων τῶν Ἰουδαϊκῶν· καὶ γὰρ ἐκεῖνοι ἔλεγον· Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσομέν σοι. ὁρᾷς τὰ στόματα τοῦ διαβόλου, πῶς σύμφωνον ἔχει τὴν μάθησιν τῆς ἀσεβείας; σῶσον, φησί, σεαυτὸν καὶ ἡμᾶς. ἀλλ' οὐχ ὁ μακάριος λῃστής· συνήγορος τοῦ Κυρίου, καὶ λαμβάνει τάξιν κριτοῦ ὁ κατάκριτος, καὶ ἄρχεται δικάζειν τῇ ἀληθείᾳ· οὐδὲ φοβῇ σὺ τὸν Θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματί ἐσμεν; καὶ ἡμεῖς μὲν δικαίως (ἄξια γὰρ ὧν ἐπράξαμεν, ἀπολαμβάνομεν) οὗτος δὲ τί ἐποίησεν; εἰπέ μοι, ὦ λῃστά, ἐπὶ Πιλάτου διὰ τί μὴ συντόμως ὡμολόγησας; διὰ τί μετὰ μυρίας βασάνους τότε οὐκ εἶπας, ἃ ἐποίησας; ἄλλο ἦν ἄνθρωπος δικαστής, ἄλλο Θεὸς δικαστής. ἐκεῖνον ἐπειρώμην κρύπτειν τὸν μὴ εἰδότα τὰ ἐγκάρδια, τούτῳ οὐ κρύπτω τῷ ἐμβατεύοντι ταῖς καρδίαις. διὰ τί οὐχ ὡμολόγησας ἐπὶ Πιλάτου συντόμως; ὅτι ἐκεῖ τῇ ὁμολογίᾳ εἵπετο ἡ τιμωρία· ἐνταῦθα δὲ τῇ ὁμολογίᾳ ἕπεται ἡ σωτηρία. Λέγε γὰρ σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς. ἦν οὖν ἰδεῖν τὸν σωτῆρα ἐν μέσῳ τῶν λῃστῶν ζυγὸν δικαιοσύνης· ἦν ἰδεῖν ταλαντεύοντα πίστιν καὶ ἀπιστίαν, καὶ δικαιοσύνην καὶ ἀδικίαν. εἵλκυσε μέσον τὸ τῆς δικαιοσύνης κριτήριον, καὶ ὁ μὲν τῇ ἀπιστίᾳ ἐμβαρυνόμενος καθείλκετο, ὁ δὲ τῇ πίστει μετεωριζόμενος ἀνήγετο. ἡμεῖς δή, φησίν, ἄξια, ὧν ἐποιήσαμεν, ἀπολαμβάνομεν· οὗτος δὲ τί; καινὴν βλέπω, φησίν, ἀδικίαν καὶ ξένην, δίκαιον μετὰ ἀδίκων σταυρούμενον, καὶ τὴν εὐνομίαν μετὰ τῆς παρανομίας κολαζομένην. ἡμεῖς μὲν ἄξια, ὧν ἐπράξαμεν, ἀπολαμβάνομεν· οὗτος δέ, τί ἐποίησεν; ἡμεῖς ἐποιήσαμεν φόνους, καὶ ζῶντας ἐνεκρώσαμεν· οὗτος νεκροὺς ἐζωοποίησε, καὶ θανάτου βίαν παρέλυσεν. ἡμεῖς ἀλλότρια ἐσυλήσαμεν· οὗτος καὶ τὰ ἴδια διδόναι παρακελεύεται. ἡμεῖς τοὺς οὐδὲν ἀδικήσαντας ἀπεκτείναμεν· οὗτος καὶ τοὺς ἐχθροὺς ἀγαπᾷν ἐδίδαξεν. ἄδικος ἡ κρίσις. εἰ τὰ ἔργα τούτου κολάσεως ἄξια, τὰ ἡμέτερα ἀφέσεως ἄξια; κρίνατε τὴν ἀλήθειαν. ἡ κακία φευγέτω, ἡ δικαιοσύνη τιμάσθω. ἀλλ' ἐγένετο μὲν ταῦτα πονηρίᾳ Ἰουδαϊκῇ, ἐπληροῦτο δὲ μυσταγωγία προφητικὴ διαρρήδην περὶ τοῦ σωτῆρος φάσκουσα, Καὶ μετὰ ἀνόμων ἐλογίσθη ὁ δίκαιος· ἀλλ' ὁ μὲν μακάριος λῃστὴς οὕτως ἐφιλοσόφει, οὕτω τοὺς παρόντας ἐπαίδευε, δι' ὧν τὸν ἕτερον ὠνείδιζεν. ὡς δὲ εἶδεν ἐχθρὰν τὴν τῶν παρόντων τὴν ἀκοήν, τρέπεται λοιπὸν ἐπὶ τὸν εἰδότα τὰ ἐγκάρδια, καί φησι πρὸς τὸν Κύριον· Κύριε, μνήσθητί μου ἐν τῇ βασιλείᾳ σου. σταυρούμενον βλέπεις, καὶ Κύριον ὁμολογεῖς; καταδίκου σχῆμα ὁρᾷς, καὶ βασιλέως ἀξίαν κηρύττεις; καὶ τί θαυμάζομεν, ἀδελφοί, εἰ Παῦλος μετὰ τοσαύτην μυσταγωγίαν, μετὰ τοσαύτην πεῖραν θαυμάτων λέγει· Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. τοῦτο κηρύττει ὁ Παῦλος, μετὰ τοσαύτην μυσταγωγίαν, μετὰ τὰ θαύματα, μετὰ τὰ σημεῖα, μετὰ μυρίας ἐνεργείας, μετὰ τὴν ἀνάστασιν, μετὰ τὴν ἀνάληψιν. ὁ δὲ λῃστής, ἀκμαζούσης τῆς φαρισαϊκῆς ὕβρεως, σταυροῦ πεπηγμένου, Κύριον καλεῖ τὸν ἐσταυρωμένον, καί φησι πρὸς αὐτόν· Κύριε, μνήσθητί μου ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. τί ἐποίησας ἄξιον μνήμης; τί δὲ οὐκ ἐποίησας ἄξιον τιμωρίας; οὐκ ἐφόνευσας; οὐκ ἔκλεψας; οὐκ ἐλῄστευσας; μυρίοις κακοῖς ἐμπεφυρμένος ἀξιοῖς μνησθῆναί σου τῆς ἀδικίας τὴν πηγὴν τῆς δικαιοσύνης; ναί, Κύριε· Δίκαιος εἶ, καὶ εὐθεῖς αἱ κρίσεις σου. ἀπόδος μοι κατὰ τὴν δικαιοσύνην σου. ἐγὼ εἶδόν σου τὴν φαρισαϊκὴν ὕβριν, καὶ σταυρόν, καὶ τὸ ὄνειδος τῶν παρανόμων· καὶ οὐ βλέπω τὴν φαινομένην ὕβριν, ἀλλὰ τὴν κρυπτομένην βασιλείαν. ἐγώ, ἃ ὁρῶ, παρορῶ· σὺ οὐ παρορᾷς μου τὰ φαινόμενα πλημμελήματα, καὶ ἀποδέχῃ τὴν πίστιν τῆς διανοίας; μνήσθητί μου, Κύριε. ὦ τῆς δικαίας κρίσεως. μνήσθητί μου ἐν τῇ βασιλείᾳ σου. οὐκ ἔστι δίκαιον, Κύριε, τὸν μὲν διάβολον ἕνα τῶν μαθητῶν ποιῆσαι προδότην· ἀπὸ δὲ τῶν μαθητῶν τοῦ διαβόλου σε μὴ μεταβαλεῖν εἰς εὐαγγελιστήν. τὸν μαθητὴν τῆς ἀληθείας ἥρπασεν ἡ ἀδικία, τὸν μαθητὴν τῆς ἀδικίας οὐ μεταβαλεῖ ἡ ἀλήθεια; οὐ σὺ εἶ, δέσποτα, ὁ μεταβάλλων τὸ σκότος εἰς φῶς, καὶ τὰ σκολιὰ εἰς εὐθεῖαν; μετάβαλε καὶ τὸν λῃστὴν εἰς εὐαγγελιστήν,

Ματθ. κζ.

Ἡσ. μγ. κς.

Ἡσ. νγ. ιβ.

α. Κορ. β. η.

Ψαλμ. ριη. ρλζ.

εὐαγγελιστήν, νίκησον ἀγαθότητι τὴν πονηρίαν, σβέσον τῇ δικαιοσύνῃ τὴν ἀδικίαν, καὶ δὸς δόξαν τῇ σῇ φιλανθρωπίᾳ· ᾗ πρέπει δόξα καὶ ἡ προσκύνησις, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λουκ. ις. ιθ.

Λογ. ριγ. ΕΙΣ ΤΟΝ ΠΛΟΥΣΙΟΝ ΚΑΙ ΕΙΣ ΤΟΝ ΛΑζαρον.

Ex Ms. Regio Lut. emend. ex Ms. Cæsar.

Μέγιστόν ἐστι διδασκάλιον τὸ τῆς ἐκκλησίας στάδιον, πλουσίων παιδευτήριον, πενήτων καταφύγιον. φέρε τοίνυν, ἀγαπητοὶ, ἐπειδήπερ ἐν τῷ "σταδίῳ τῆς διδασκαλίας ἑστήκαμεν, τοῖς τοῦ προλαβόντος διδάγμασιν" ἀκολουθοῦντες, τὰ ἀρτίως εἰρημένα ἐν χερσὶ λαβόντες, πᾶσιν ὑμῖν τὰς παρ' ἡμῶν ὀφειλομένας ψεκάδας τοῦ λόγου" δροσίσωμεν. ἦν δὲ ἡμῖν τὸ ἀνάγνωσμα διηγούμενον πλουσίου καὶ πένητος πολιτείαν· πλουσίου μὲν τὸν βίον τῇ τρυφῇ βεβαπτισμένον, πένητος δὲ τὸν βίον τῇ πτωχείᾳ κατεστιγμένον. ἄνθρωπός τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον, εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς. πτωχὸς δέ τις ἦν ὀνόματι Λάζαρος, ὃς ἐβέβλητο "πρὸς τὸν πυλῶνα τοῦ πλουσίου καθηλκωμένος, καὶ ἐπιθυμῶν ἀπὸ τῶν *ψιχίων τῆς τραπέζης τοῦ πλουσίου μεταλαβεῖν, καὶ οὐδεὶς ἐδίδου αὐτῷ· ἀλλὰ καὶ οἱ κύνες ἐρχόμενοι, ἀπέλειχον τὰ ἕλκη αὐτοῦ. ἀναγκαῖον τοίνυν διηγήσασθαι, ἀγαπητοὶ, κατὰ μέρος, ἵν', ὥσπερ οἱ πλωτῆρες, ἐκ τῆς τῶν προπλεόντων πείρας φύγωμεν τὰς ὑφάλους τῶν ναυαγίων πέτρας· ἵν' οἱ μὲν πλούσιοι ἐκ τῆς τοῦ προλαβόντος πλουσίου τιμωρίας ἑαυτοὺς σωφρονίσωσιν, οἱ δὲ πένητες τὰς ἑαυτῶν ἐλπίδας ὁρῶντες προλαμπούσας ἐν τῷ Λαζάρῳ, "προθύμως τὸν δρόμον τῆς θλίψεως διεκδράμωσιν. ἄνθρωπός τις ἦν πλούσιος. ἄνθρωπος ἦν. οὐ τετίμηται τῇ τοῦ ὀνόματος προσηγορίᾳ, ὥσπερ ὁ δίκαιος Ἰώβ. Ἄνθρωπός τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι, ᾧ ὄνομα Ἰώβ. τούτου δὲ παρασεσιώπηται τὸ ὄνομα. ὁ γὰρ ἄκαρπος ἐστέρηται καὶ τοῦ ὀνόματος· δικαίων δὲ τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς, ἁμαρτωλῶν δὲ "ἐξαλείφεται. μόνον ἔχων τὸ κοινὸν τῆς φύσεως ὄνομα, τὸ ἄνθρωπος. τοῦτο γὰρ πάντων κοινὸν τὸ ὄνομα. ἀλλὰ κοινὸν μὲν εἶχε τὸ ὄνομα, ἰδιάζουσαν δὲ τῆς κακίας τὴν ὠμότητα. ἄνθρωπός τις ἦν. συγγενὴς μὲν τοῦ πένητος Λαζάρου κατὰ τὴν τοῦ σώματος φύσιν, ξένος δὲ τῆς ἐν Χριστῷ κληρονομίας διὰ τὴν τῆς προαιρέσεως μοχθηρίαν. ἄνθρωπός τις ἦν. ἄνθρωπος τῷ σχήματι, τῷ δὲ φρονήματι θηρίον μονοφάγον. ἄνθρωπός τις ἦν πλούσιος. πλούσιος ἐν κτήμασι, πλούσιος ἐν ἐγκλήμασι, πλούσιος ἐν χαλκῷ, πλούσιος ἐν ἰῷ ἁμαρτίας· ἀργύρῳ περιλαμπόμενος, ἀλλ' ἁμαρτίαις "συστιζόμενος· πλούσιος ἐν χρυσίῳ, ἀλλὰ πτωχὸς ἐν Χριστῷ· ἐσθῆτα ἔχων πολλὴν, ἀλλὰ γυμνὴν ἔχων ψυχήν· πολυτελῆ ἐσθῆτα φυλάττων, καὶ σῆτας ἐκτρέφων πολλούς. ἄνθρωπός τις ἦν πλούσιος. πλούτῳ κομῶν, ἄνθος δικαιοσύνης οὐκ ἔχων. δένδρον ἦν φθινοπωρινὸν ἄκαρπον, δὶς ἀποθανόν. ἄνθρωπός τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον, φησίν. ἀλλὰ πορφύραν μὲν εἶχε τὸ ἔνδυμα, τῆς δὲ βασιλείας τοῦ Θεοῦ ἀπέρριπτο. πορφύραν εἶχεν, οὐ τῷ αἵματι τοῦ Ἰησοῦ ἐρραντισμένην, ἀλλ' ἐξ αἵματος "κόχλου θαλαττίου ἀποβεβαμμένην· οὐ βασιλείαν οὐρανῶν μνηστευομένην αὐτῷ, ἀλλὰ φοβερὰν γεέννης φλόγα αὐτῷ προλάμπουσαν. ἄνθρωπός τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον, εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς. εὐφραινόμενος, οὐχ ὡς οἱ δίκαιοι ἐν Χριστῷ (δικαίων γὰρ εὐφροσύνη, μνήμη Θεοῦ, ὡς μαρτυρεῖ μοι Δαβὶδ λέγων· Ἐμνήσθην τοῦ Θεοῦ, καὶ εὐφράνθην) ἀλλ' ἦν εὐφραινόμενος ἐν ἀσωτίαις, ἐν μέθαις, ἐν κραιπάλαις, ἐν ἀταξίαις, οὐδὲν ἀπεοικὼς χοίροις ἐν βορβόρῳ κυλινδουμένοις. πτωχὸς δέ τις ἦν Λάζαρος.

Εἶτα

Λουκ. ις. ιθ.

Ἰὼβ α. α.

Ψαλμ. οζ. γ.

γρ. σκάμματι

γρ. ἐπακολουθοῦντες,

γρ. ποτίσωμεν

γρ. ἔξω

* πιπτόντων

γρ. ἀτίμως

γρ. ἐξαλειφθήσεται.

γρ. [illegible]

γρ. κογχύλης θαλαττίας

εἶπε τοῦ πένητος τὸ ὄνομα, τιμῶν τὸν πτωχὸν διὰ τῆς τοῦ ὀνόματος προσηγορίας. πτωχὸς δέ τις ἦν Λάζαρος, ὃς ἐβέβλητο πρὸς τὸν πυλῶνα αὐτοῦ τῇ τρικυμίᾳ τῆς πενίας δεινῶς κλονούμενος, ἀλλὰ μετ' οὐ πολὺ εἰς τὸν εὔδιον κόλπον τοῦ Ἀβραὰμ ὑπὸ ἀγγέλων δορυφορούμενος. πτωχὸς δέ τις ἦν Λάζαρος, ὃς πρὸς τὸν τοῦ πλουσίου ἐβέβλητο πυλῶνα ἡλκωμένος. ὢ πόσοις κακοῖς ὁ πτωχὸς ἐκεῖνος συνείχετο; ὑπὸ τῆς βαρυτάτης πενίας, καθάπερ ὑπὸ χαλάζης βιαίας ἐκολαφίζετο· ὑπὸ τῶν ἀναζεουσῶν φλυκταινῶν, ὥσπερ ὑπὸ ἀνθράκων σπινθηροβόλων διησθίετο. πανταχόθεν αὐτῷ χείμαρροι θλίψεως προσηράσσοντο, τὸ σῶμα διαλύοντες, τὴν καρδίαν συνθρύπτοντες. οὐδεμία ἄνεσις γαλήνης ″τούτῳ ηὑρίσκετο. ἔξωθεν μάχαι, ἔσωθεν φόβοι· ἔξωθεν τὸ σῶμα ″ὑπὸ φλυκταινῶν ἐδαμάζετο, καὶ ″ἔνδοθεν ἡ καρδία ὑπὸ τῶν ἀπαραιτήτων φροντίδων ἠσθίετο. οὐ χώρα αὐτῷ σιτοφόρος σπέρμα ἄρτου προσέφερεν, οὐκ ἄμπελος αὐτῷ βότρυν γλυκοφόρον προσεκόμιζεν, οὐ δένδρον ὀπώρας ἥδιστον καρπὸν αὐτῷ ἐγεώργει, οὐδ' ἄλλο τι τῶν γεηρῶν πρὸς τὴν τῆς πενίας παραμυθίαν παρῆν. πῶς γάρ; ᾧ οὔτε σπιθαμὴ γῆς ἀροσίμου τόπος ὑπῆρχεν, οὔτε πηχυαῖον ἔδαφος πρὸς κατοίκησιν, ἀλλ' αἴθριος ἐβέβλητο ἐπὶ τῆς κοπρίας. κόπρος αὐτῷ καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ περιβόλαιον ἦν, θάλπουσα μὲν ἐκ μέρους ἐν τῷ χειμῶνι, ἐν δὲ τῷ θέρει δεινῶς κατακαίουσα. κατεστιγμένον εἶχε τὸ σῶμα τοῖς τραύμασιν, ἀδρανὲς πρὸς γεωργίαν, ″ἄχρηστον πρὸς ὁδοιπορίαν καὶ ἐμπορίαν, καὶ πρὸς τὰς ἄλλας τῶν χειρῶν ἀφορμὰς οὐκ ἐπιτήδειον. πανταχόθεν αὐτῷ ἀπορία, πανταχόθεν στένωσις. στεναγμοὶ αὐτῷ πρὸ δακρύων ἐν τῇ καρδίᾳ τριβόλων δίκην ἐφύοντο· ὀχετοὶ δακρύων ἐπὶ ″τῶν παρειῶν αὐτῷ ἐφέροντο, τῇ συνεχεῖ τῶν δακρύων ῥύμῃ αὐλακιζόμενοι. θάνατον ἐν τοῖς ὕπνοις ἐμελέτα· θάνατον μετὰ τὸν ὕπνον ″περιεβλέπετο, καὶ οὐδαμόθεν εὕρισκε. πόνων γὰρ καὶ φροντίδων μακρῶν ὡς λυτήριον ″ἐπεζήτει τὸν θάνατον, οὐδὲν ἀπεοικὼς τῷ πολυάθλῳ Ἰώβ. καὶ γὰρ ἐκεῖνος ἀπολέσας τὰ χρήματα, τὰ βουκόλια, τὰ κτήματα, τὸ τελευταῖον γυμνός, τοῖς σκώληξι τὸ σῶμα ″συνειλημμένος ἐπὶ τῆς κοπρίας ἐβέβλητο, καὶ θάνατον ἐπεθύμει. ἵνα τί γὰρ ἔλεγε, δίδοται τοῖς ἐν πικρίᾳ φῶς, ζωὴ δὲ ταῖς ἐν ὀδύναις ψυχαῖς; οἳ ἱμείρονται τοῦ θανάτου, καὶ οὐ τυγχάνουσιν, ἀνορύττοντες αὐτὸν ὥσπερ θησαυρόν· περιχαρεῖς δὲ ἐγένοντο ἐὰν ἐπιτύχωσι. θάνατος γὰρ ἀνδρὶ ἀνάπαυσις. ἀλλὰ καὶ ἐπεθύμει, φησίν, ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου χορτασθῆναι, καὶ οὐδεὶς ἐδίδου αὐτῷ. ὢ βίου ἀλλοκότου. ὁ μὲν πλούσιος ἐν τῷ πολυχύτῳ ῥεύματι τῆς τρυφῆς ″καταδυόμενος ἐμέθυεν· ὁ δὲ πένης μηδεμίαν ἔχων εὐπορίας ἰκμάδα, τῷ καύσωνι τῆς πενίας ἐμαραίνετο. διὰ τί γὰρ αὐτοῖς εὔκρατος ὁ τοῦ βίου πλοῦτος ἐν τῇ πρὸς ἀλλήλους κοινωνίᾳ οὐ ″γεγένηται; διὰ τί; ἵνα ὁ μὲν πένης λαμπροὺς τοὺς στεφάνους τῆς ὑπομονῆς ὑποδέξηται, ὁ δὲ πλούσιος τῆς ἀποτεθηριωμένης ψυχῆς τοὺς ὄμφακας τοῖς ἰδίοις ὀδοῦσι μασήσῃ). ἀλλὰ καὶ οἱ κύνες, φησίν, ἐρχόμενοι ἀπέλειχον τὰ ἕλκη αὐτοῦ. εὐγενέστεροι οἱ κύνες τοῦ πλουσίου, ἀγαθότεροι τῆς ἐκείνου ἀπανθρωπίας. ἐκείνου μηδεμίαν πώποτε ψεκάδα δροσίζοντος ″ἐλέους τῷ πένητι, οἱ κύνες τὴν ἀκμὴν τῶν ὀδόντων τῇ φιλανθρωπίᾳ πραΰνοντες, ἁπαλῇ τῇ γλώσσῃ αὐτὸν ἐθεράπευον, ″ὡς αἱ ῥύποι καὶ πάντα ἰχῶρα τῶν τραυμάτων αὐτοῦ ἀποσμήχοντες καὶ τὰ ἄγρια ἕλκη τῇ λειότητι τῆς γλώττης ἡθαστεύοντες, τοὺς πόνους τῶν τραυμάτων αὐτοῦ ὑπέκλεπτον ἠρέμα. ὁ δέ γε πλούσιος, οὐδὲ ὄμμα ἱλαρὸν ἐχαρίσατο τῷ πένητι πώποτε, οὔτε λόγον καὶ ἄκαρπον, οὐ ῥάκος αὐτῷ ἐπέρριψε, τῶν σιτίων τὸ λείψανον, οὐκ ὀβολὸν ἕνα ὑπὸ ἰοῦ δεδαπανημένον, οὐ κλάσμα ἄρτου ὑπὸ ″εὐρῶτος διεφθαρμένον. ἀλλὰ πάντα ἐν τῇ ἑαυτοῦ γαστρί, ὥσπερ ἐν πανδοχείῳ, διὰ τῆς τοῦ φάρυγγος χώνης ″ἐνέρριπτεν. ἀλλὰ ποῖα ἑκάστῳ τὰ ὀψώνια; συνέβη δέ, φησίν, ἀποθανεῖν τὸν πένητα, καὶ ἀπενεχθῆναι εἰς κόλπους Ἀβραὰμ ὑπὸ ἀγγέλων. μόλις ποτὲ ὁ πένης ἀπὸ τῆς ζαλώδους πενίας ῥυσθείς, εἰς τὸν εὔδιον λιμένα τοῦ Ἀβραὰμ ″ἀπέπλευσεν. ὁρᾷς πῶς ἡ πε-

νία

κ. ἐκ τῶν
κ. ἔσωθεν
κ. ἀχρήσιμον
κ. παρειῶν
κ. προσεδέχετο,
κ. ἐζήτει
κ. συνειλημμένος
κ. καταποθεὶς
κ. ἐγένετο;
κ. ἐλαίου
κ. ὡς πάντα ῥυπαρὰ
κ. εὐρωτίδος
κ. ἔρριπτεν
κ. ἀπέπαυσεν

Ἰωβ. γ. κ.

νία μετὰ τὴν ἔξοδον δορυφόρους ἔχει ἀγγέλους; Συνέβη δέ, φησι, καὶ τὸν πλούσιον ἀποθανεῖν,
καὶ ταφῆναι. εὐθὺς ἐπὶ τοῦ πλουσίου τέτακται ἡ ταφή, κατὰ τὸ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον·
Ψαλ. μη. ιζ. Καὶ οἱ τάφοι αὐτῶν, οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα. διὰ τοῦτο λέγεταί σοι, πτωχέ, Μὴ
φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, καὶ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ· ὅτι οὐκ ἐν
τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα, οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ. χ. αὐτῆς
ἐνταῦθα γὰρ πάντα καταλιμπάνει, τοὺς δούλους, τοὺς ὑπηρέτας, τοὺς ὑπασπιστάς, τοὺς
παρασίτους, τοὺς κόλακας, τὰ ὀχήματα, τοὺς χαλινοὺς τοὺς χρυσίνους μετὰ τῶν φορβιώτων αὐτῶν
ἵππων, τὰ βαλανεῖα, τὰ χωρία, τοὺς χρυσορόφους οἴκους, τὰ ἐψηφωμένα ἐδάφη, χ. [illegible]
τὴν βασιλείαν, τὴν δυναστείαν, τὴν ἐξουσίαν, τὴν δεσποτείαν, πάντα ἐνταῦθα καταλιμπάνει,
καὶ γυμνὸς ἀπέρχεται. Καὶ ὑπάρχων, φησίν, ἐν τῷ ᾅδῃ, ἐπάρας τοὺς ὀφθαλμοὺς
αὐτοῦ. ἐννόησον εἰς οἷον βάθος κατώτατον ὁ πλούσιος ἦν, εἰς οἷον δὲ ὕψος ὁ πένης. καὶ ἐπάρας, χ. [illegible]
φησί, τοὺς ὀφθαλμοὺς αὐτοῦ ὁ πλούσιος, εἶδε τὸν Ἀβραάμ, καὶ Λάζαρον εἰς τοὺς
κόλπους αὐτοῦ. διὰ τί γὰρ μὴ Λάζαρος εἶδε τὸν πλούσιον; ἐπειδὴ ὁ ἐν τῷ φωτὶ ὑπάρχων χ. [illegible]
τὸν ἐν τῷ σκότει ἐσῶτα οὐ βλέπει, ἀλλ' ὁ ἐν τῷ σκότει τὸν ἐν τῷ φωτὶ ὄντα ὁρᾷ. καὶ τί
εἶπε; πάτερ Ἀβραὰμ ἐλέησόν με. ἄρτι λέγεις τό, ἐλέησον, ὅτε καιρὸς ἐλέους οὐκ ἔστιν. οὐκ
ἤκουσας τοῦ λέγοντος, Ἡ κρίσις ἀνίλεως τῷ μὴ ποιήσαντι ἔλεος; νῦν μετανοεῖς, ὅτε οὐκ χ. [illegible]
Ψαλ. ς. ε. ἔστι καιρὸς, οὐκ ἔστιν ἐξομολόγησις; οὐκ ἤκουσας τοῦ Δαβὶδ λέγοντος, Ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί
σοι; ἐλέησόν με, καὶ πέμψον Λάζαρον. Λάζαρον νῦν γνωρίζεις; νῦν ἐπιγινώσκεις
τὸν ἐπὶ τῆς κοπρίας κείμενόν ποτε, ὃν ἶσα κυσὶ τιμᾶν οὐκ ἐβούλου; ἔκλεισας σὺ τὰ
σπλάγχνα αὐτῷ ἐν τῷ καιρῷ τῆς εὐποιΐας· κλείω μου νῦν κἀγώ σοι τοὺς κόλπους τῆς ἀνέσεως χ. [illegible]
ἐν τῷ καιρῷ τῆς τιμωρίας. οὐκ ἤκουσας τοῦ Θεοῦ σοι βοῶντος διὰ τῶν προφητῶν
Ωσ. ς. ς. πάντων καὶ λέγοντος· Ἔλεον καὶ κρίμα φυλάσσου, καὶ, Ἔγγιζε τῷ Θεῷ σου, ὅτι ἔλεον θέλω, καὶ οὐ
Ματθ. ε. ζ. Παροιμ. ιθ. ιζ θυσίαν· καὶ, Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται· καὶ πάλιν, Ὁ ἐλεῶν πτωχόν,
δανείζει Θεῷ. ὅπου οὖν ἔσπειρας, ἐκεῖ ζήτει καὶ θερίζειν· ὅπου ἐδάνεισας, ἐκεῖ καὶ ἀπαίτει.
σὺ δὲ ἐλεημοσύνης σπέρματα οὐκ ἔρριψας πώποτε, οὐδὲ διὰ τοῦ εἰς τὸν πένητα ἐλεημοσύνης
Θεῷ ἐδάνεισας· ἀλλὰ πάντα τῇ σαυτοῦ γαστρὶ ἐθησαύρισας. ὅπου ἔχεις τὸν θησαυρόν
σου, ἐκεῖ ἔχε καὶ τὴν καρδίαν σου. ἐλέησόν με καὶ πέμψον Λάζαρον, ἵνα τὸν δάκτυλον αὐτοῦ χ. τὸ ἄκρον δακτύλου
βάψῃ ὕδατος, καὶ καταψύξῃ τὴν γλῶσσάν μου, ὅτι δεινῶς ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ.
Μαρ. θ. μα. τὴν γλῶσσαν κολάζεται, δι' ἧς τὴν τρυφὴν ἐλάμβανε. ῥανίδα ἐζήτει ὕδατος,
ἐπειδὴ οὔτε κἂν ποτήριον ψυχροῦ ὕδατος εἰς ὄνομα μαθητοῦ πώποτε διψῶντι μετέδωκεν.
εἰ κοινωνὸν ἐν τῷ σῷ βίῳ τῶν σῶν ἀγαθῶν ἐκτήσω τὸν Λάζαρον, νῦν ἂν αὐτῷ τὴν βασιλείαν
συνεμερίσω· εἰ συνῆκας ἐπὶ τὸν πένητα, νῦν ἂν ἐρρύσθης τῆς πονηρᾶς αἰκίας. χ. κρίσεως
Ψαλ. μ. α. Μακάριος γὰρ ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα· ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος.
ἐξομάλισον ἐκεῖνο τὸ χάος τὸ πολυφλεγὲς τῇ πλουσίᾳ τῶν χρημάτων σου εἰς τοὺς πένητας
καταβολῇ· δρόσισον νῦν τὸν ἔλεον, καὶ ἔσβεσας τὴν γέενναν· θρέψον ὀρφανούς, καὶ ἀπέκλεινας
τοὺς ἀκοιμήτους σκώληκας· στεῖλον δάκρυον χήρας, καὶ ἀπέσμηξάς σου τὴν ψυχὴν
τοῦ πένθους τῶν ἁμαρτημάτων. διὰ τοῦτο γάρ σοι ταῦτα ἀνέγνωσται, ἵνα μὴ τοῖς αὐτοῖς ἴχνεσι
τοῦ ἀνελεήμονος πλουσίου ἐπιβάς, εἰς τὴν αὐτὴν τιμωρίαν τῆς γεέννης ἐμπέσῃς. σὺ
δὲ ὁ πένης μὴ ὀλιγώρει, μηδὲ ἀπόκαμνε, ἐν τῇ τρικυμίᾳ τῆς πενίας κλονούμενος. ἀπόβλεπε
πρὸς τὸν λαμπρότατον Λάζαρον· ἔχε ἐκεῖ τεταμένον τὸ ὄμμα καὶ νύκτωρ καὶ μεθ'
ἡμέραν· ἵνα τῷ οἴακι τῆς ὑπομονῆς κυβερνῶν σου τὴν ζωήν, εἰς τὸν αὐτὸν λιμένα τῆς ἀναστάσεως
φθάσῃς, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

Λογ.

Λογ. ριδ. ΕΙΣ ΤΟΝ ΤΥΦΛΟΝ, ΟΝ Ο ΧΡΙΣΤΟΣ ΕΘΕράπευσεν, καὶ εἰς τὸν Ζακχαῖον· καὶ περὶ κρίσεως καὶ ἐλεημοσύνης.

Λουκ. ιη. λε.

Ex Ms. Regio Lut.

Πολλαὶ καὶ διάφοροι τῶν ἁγίων γραφῶν αἱ διδασκαλίαι, μία δὲ χάρις ἡ πᾶσιν ἐπιλάμπουσα, καὶ μία πηγὴ διδασκαλίας, τὸ πνεῦμα τῆς ἀληθείας. καὶ ὅσα νόμος διαγορεύει, καὶ ὅσα προφῆται διδάσκουσιν, ὅσα ἀπόστολοι κηρύττουσιν, ὅσα τὰ εὐαγγέλια τῆς εὐσεβείας ὑπαγορεύει, ἀπὸ μιᾶς ὥσπερ τινὸς ἀειθαλοῦς πηγῆς καὶ γονίμου προέρχεται, τοῦ πνεύματος τοῦ ἁγίου· καὶ οὐκ ἔστιν οὔτε εἰπεῖν τι σεμνὸν, οὔτε νοῆσαι δίκαιον, οὔτε πρᾶξαι θαυμαστὸν, μὴ τοῦ ἁγίου πνεύματος ἐπιβεβαιοῦντος τὰ λεγόμενα καὶ τὰ νοούμενα καὶ τὰ πραττόμενα. κἂν γάρ τις τῇ ἀνθρωπίνῃ σοφίᾳ κομᾷ, καὶ λογισμοῖς ἀνθρωπίνοις ὠχυρωμένην ἔχῃ τὴν ψυχὴν, τῶν λόγων δὲ τοῦ Θεοῦ ἀποστείη, εἰς οὐδέν ἐστι, καὶ εἰς οὐδὲν λογισθήσεται. διὰ τοῦτό φησιν ὁ προφήτης, Τὸν λόγον Κυρίου ἀπεποιήσαντο. σοφία τίς ἐστιν ἐν αὐτοῖς. ἡμῖν τοίνυν ἄνθη τῆς ἀληθείας, αἱ γραφαὶ τῆς εὐσεβείας· καὶ πολλὰ μὲν τὰ ἄνθη, εἷς δὲ ὁ λειμὼν ὁ τὰ ἄνθη τρέφων· πολλοὶ τῆς διδασκαλίας οἱ λαμπτῆρες, εἷς δὲ ὁ φωστὴρ ὁ ἀληθινός· πολλοὶ δὲ οἱ ἀστέρες, εἷς δὲ ὁ οὐρανὸς ὁ φέρων τοὺς ἀστέρας· πολλοὶ οἱ κλάδοι, μία δὲ ἡ ῥίζα· πολλοὶ οἱ δάκτυλοι, μία δὲ ἡ χεὶρ ἡ διὰ τῶν δακτύλων γράφουσα· πολλαὶ αἱ χορδαὶ, μία ἡ κιθάρα τοῦ πνεύματος· πολλαὶ διδασκαλίαι, μία ἡ πηγὴ τῆς εὐσεβείας. ἀλλὰ θαυμάζω πῶς ὁ τυφλὸς ἐκεῖνος, οὐ νόμον ἀναγνοὺς, οὐ προφήταις διελθὼν, οὐκ εὐαγγελίοις ἐντυχὼν, οὐκ ἀποστόλοις βεβαιωθεὶς, ἐπεκαλεῖτο τὸν σωτῆρα τῆς οἰκουμένης λέγων, Ἰησοῦ υἱὲ Δαβὶδ, ἐλέησόν με. πόθεν ἔμαθες ταῦτα καλεῖν, μὴ μαθὼν ὃ ἐπικαλῇ; οὐκ ἀνέγνως βίβλους, τῶν ὄψεων ἀπεστερημένος· οὐκ ἐσχόλασας διδασκαλίαις, μίαν ἔχων ὑπόθεσιν τῆς ζωῆς, τὴν αἴτησιν, μᾶλλον δὲ τὸ προσαιτεῖν· πόθεν οὖν ἔγνως τὸν φωστῆρα τοῦ κόσμου, ὃν οὔτε ἐν οὐρανοῖς ἐθεάσω, οὔτε ἐπὶ γῆς, τῶν ὄψεων ἐστερημένος; ἀλλ' ἀληθῶς ἐπὶ τούτῳ ἐπληροῦτο τὸ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον, Κύριος σοφοῖ τυφλούς. ὄχλος πολὺς ἦν περὶ τὸν Ἰησοῦν, καὶ ὁ τυφλὸς τὸν φωστῆρα τῆς ἀληθείας οὐκ ᾔδει, τῆς δὲ ἐνεργείας ᾔσθετο. ἥρπασε τῇ διαθέσει, ὃ μὴ προέλαβεν ἡ ὄψις. τί, φησὶ, βούλεται ὁ ὄχλος; λέγουσιν αὐτῷ, Ἰησοῦς ὁ Ναζωραῖος παρέρχεται. ὢ τοῦ θαύματος. ἄλλα διδάσκεται, καὶ ἄλλα κηρύττει. ἀκούει Ἰησοῦν Ναζωραῖον, οὐ καλεῖ δὲ αὐτὸν Ἰησοῦν Ναζωραῖον, ἀλλὰ Ἰησοῦν υἱὸν Δαβίδ. οἱ βλέποντες τὰ ἐξ ὑπονοίας ἔλεγον, ὁ δὲ τυφλὸς τὰ ἐξ ἀληθείας ἐκήρυττεν. Ἰησοῦ υἱὲ Δαβὶδ ἐλέησόν με. τοίνυν ἕκαστος τὴν φωνὴν ἰδιοποιούμενος, ῥήξῃ ἀπὸ τῆς καρδίας ἐξομολόγησιν, καὶ ἕκαστος ὑπὲρ ἑαυτοῦ ταύτην εἴπῃ τὴν φωνὴν, υἱὲ Δαβὶδ ἐλέησόν με. καὶ ὥσπερ, ἀδελφοὶ, ἐπειδὰν εἰς πένθος πολλοὶ ἀπέλθωσι, καὶ ἴδωσι σκήνωμα προκείμενον καὶ δακρυόμενον ὑπὸ τῶν ἰδίων, πολλοί τις δακρύουσιν, οἱ μὲν σπουδὴν τιθέμενοι τῷ πάθει, οἱ δὲ τὰ ἑαυτῶν ἐρευνῶντες πράγματα· καὶ κλαίει πολλάκις γυνὴ καὶ ὀδύρεται, ἀλλ' οὖν οὐ τὸν προκείμενον (ἀλλότριος γάρ) ἀλλὰ τὸν ἑαυτῆς τὸν προαπελθόντα, καὶ γίνεται ἡ ἀλλοτρία ὑπόθεσις ἰδίων κακῶν ὑπόμνησις· οὕτως ὑμῶν ἕκαστος, ἀδελφοὶ, ὅταν τὰ παρὰ τῶν ἁγίων κηρυττόμενα μανθάνῃ, ἰδιοποιείσθω τὴν λέξιν, ὑπὲρ τῶν ἰδίων τραυμάτων λέγων, υἱὲ Δαβὶδ, ἐλέησόν με. καὶ λεγέτω καὶ νῦν ἕκαστος, ἀπὸ τῶν ἰδίων κακῶν διελεγχόμενος, ὁ μὲν ὅτι τυφλός ἐστι τὴν διάνοιαν, ὁ δὲ ὅτι κωφὴν ἔχει τὴν ψυχὴν, ἄλλος ὅτι χωλὸν ἔχει τὸν λογισμὸν, ἕτερος ὅτι λεπρὰν ἔχει τὴν γνώμην. τὰ γὰρ πάθη, ἃ ἐθεράπευσεν ἐπὶ τῶν σωμάτων ὁ Χριστὸς, ταῦτα καὶ ἐπὶ τῶν ψυχῶν γίνεται, καὶ δεῖται τῆς ἄνωθεν βοηθείας. ἔστι τυφλὴ ψυ-

ιος. ὄν

Ψαλ. ρμε. ϛ.

χὴ δεομένη ἀναβλέψεως, τυφλὴ ψυχὴ, ἡ νόμου θαυμάσια μὴ βλέπουσα, τυφλὴ ψυχὴ
ἡ τὰ μέλλοντα ἀΐδια μὴ καθορῶσα, τυφλὴ ψυχὴ ἡ τὸ σῶμα τοῦ Χριστοῦ βλέπουσα, τὴν
θεότητα μὴ γνωρίζουσα. ὅτι δὲ τυφλή ἐστιν ἡ ψυχὴ ἡ ἀγνοοῦσα τὰ περὶ Θεοῦ, μάρτυς Ἡσαΐας
Ησ. μβ. ιθ. κ. λέγων· Καὶ ἐτυφλώθησαν οἱ δοῦλοι τοῦ Θεοῦ. πῶς ἐτυφλώθησαν; εἴδετε γάρ,
φησι, πλεονάκις, καὶ οὐκ ἐφυλάξασθε· ἀνεῳγμένα τὰ ὦτα, καὶ οὐκ ἠκούσατε. καὶ, Τίς τυφλὸς,
ἀλλ' ἢ οἱ παῖδές μου; καὶ τίς κωφὸς, ἀλλ' ἢ οἱ κυριεύοντες αὐτῶν; καὶ ὁ σωτὴρ βουλόμενος
δεῖξαι τύφλωσιν διανοίας, Φαρισαίοις τυφλώττοντας περὶ τὴν ἀλήθειαν ἐλέγχ
Ματθ. ιε. ιδ. λέγων, Ἐάσατε αὐτούς· ὁδηγοί εἰσι τυφλοὶ τυφλῶν· τυφλὸς δὲ τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι
εἰς βόθυνον ἐμπεσοῦνται. κωφὴ δέ ἐστιν ἡ ψυχὴ, ἡ νόμου μὴ ὑπακούουσα, ἡ τὴν
δεσποτικὴν φωνὴν παραγραφομένη· κωφὴ οὐκ ἐκ φύσεως, ἀλλ' ἐκ προαιρέσεως. διὰ
Ματθ. ια. ιε. τοῦτο ἔλεγεν ὁ σωτὴρ, Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω· οὐχ ὅτι τινὲς τῶν παρόντων οὐκ εἶχον
ὦτα (πῶς γὰρ ἂν ἐσχόλαζον τῇ διδασκαλίᾳ, τὸ ὄργανον τῆς ἀκοῆς οὐκ ἔχοντες;) ἀλλὰ δείκνυσι
σαφῶς, ὅτι τὸ μὲν φαινόμενον οὖς πρὸς ἀκοὴν δεδημιούργηται, ἡ δὲ τῆς ψυχῆς αἴσθησις
πρὸς τὴν ἀκοὴν τοῦ θείου νόμου οὐ συναρμόζεται. οὐδὲν οὖν ὄφελος τῆς ἔξωθεν ἀκοῆς,
ἀποκεκωφωμένης τῆς ἔσωθεν διανοίας. λεπρὸς τίς ἐστι τῇ ψυχῇ, οὐχ ὁ τὸ σῶμα ἀμαυρούμενος,
ἀλλ' ὁ τὴν ψυχὴν σκοτιζόμενος. τί γάρ ἐστι λέπρα ἐν σώματι, ἀλλ' ἢ διπλοῦν
Σειρ. β. ιγ. χρῶμα; τί ἐστι λέπρα ἐν ψυχῇ; διπλοῦς διαλογισμός. Οὐαὶ ἁμαρτωλῷ ἐπιβαίνοντι
ἐπὶ δύο τρίβους. ὅταν τίς ποτε μὲν πιστεύῃ, ποτὲ δὲ ἀπιστῇ, καὶ ποτὲ μὲν πρὸς ἐλεημοσύνην
ῥέπῃ, ποτὲ δὲ πρὸς ἀπανθρωπίαν, λεπρός ἐστι τὴν ψυχὴν, οὐκ ἔχων χρῶμα ὑγιὲς,
ἀλλὰ μεριζόμενος τὴν διάνοιαν· καὶ ὥσπερ μερίζει λέπρα τὸ σῶμα, οὕτω μερίζει λογισμὸς
πονηρὸς τὴν διάνοιαν. ἕκαστος οὖν ὑπὲρ τῶν ἑαυτοῦ τραυμάτων βοήσει καὶ
ἐπικαλέσηται Ἰησοῦν τὸν ἰατρὸν ψυχῶν καὶ σωμάτων, καθὼς ἐβόα ὁ τυφλὸς, υἱὲ Δαβὶδ,
ἐλέησόν με. καὶ οἱ μὲν παράγοντες, ἐπετίμων· ἀλλ' οὐκ ἐμποδίζεται ἡ παῤῥησία
διὰ τῶν κωλυόντων. οἶδεν ἡ πίστις πρὸς πάντα μάχεσθαι, καὶ πάντα νικᾷ. ἐπετίμων
ἄνθρωποι, καὶ ὁ πιστὸς οὐχ ὑποστέλλεται, ἀλλ' ἀκολουθεῖ τῷ δεσπότῃ, εἰδὼς ὅτι καλὴ
ἡ ὑπὲρ εὐσεβείας ἀναίδεια. εἰ γὰρ ὑπὲρ χρημάτων ἀναιδεῖς πολλοὶ, ὑπὲρ σωτηρίας
ψυχῆς οὐ κάλλιον τὴν καλὴν ἀναίδειαν ἐνδύσασθαι;

Κελεύει αὐτὸν ὁ Ἰησοῦς ἀχθῆναι. ἔστησε τὸν Κύριον Ἰησοῦν ἡ φωνὴ τοῦ μετὰ πίστεως ἐπικαλουμένου·
ἐκέλευσε πρὸς αὐτὸν ἀχθῆναι τὸν ἐλπίσαντα αὐτῷ· τῇ πίστει προέτρεχε, καὶ πλησιάσαι
τῷ σώματι· ἐκέλευσεν αὐτὸν ἀχθῆναι, καί φησι· Τί σοι θέλεις ποιήσω; οὐκ ἀργῶς
ἐρωτᾷ. ἠδύνατο γὰρ καὶ καθημένῳ τὴν ἴασιν πέμψαι· ἀλλ' Ἰουδαῖοι οἱ τὴν ἀλήθειαν συκοφαντοῦντες,
Ιωαν. θ. θ. ἠδύναντο εἰπεῖν, ὡς ἐπὶ τοῦ ἐκ γενετῆς τυφλοῦ, Οὐκ ἔστιν οὗτος, ἀλλ' ὅμοιος
αὐτῷ. καλεῖ οὖν εἰς μέσον τῶν ἀγνωμόνων τὸ θέατρον τὸν εὐεργετούμενον, ἵνα πρῶτον δείξῃ
τὸ πήρωμα τῆς φύσεως, καὶ τότε γνωρίσῃ τὴν αὐθεντίαν τῆς χάριτος. Τί σοι θέλεις ποιήσω;
ἐρωτᾷ ἐκεῖνον, διδάσκει δὲ τοὺς παρόντας. ὁ δέ φησιν, ἵνα ἀναβλέψω. βλέπει ὅσα λαμβάνει
ἐνέχυρα παρὰ τοῦ τὴν θεραπείαν δεχομένου, ἵνα ἀποκλείσῃ τὴν συκοφαντίαν τῶν
πονηρευομένων. λέγει οὖν, πορεύου, ἡ πίστις σου σέσωκέ σε. ὁρᾷς πῶς τὸ προειρημένον ἡμῖν
κατὰ τὴν προθεραπείαν δι' αὐτῶν δείκνυται τῶν ἔργων; καὶ ὅτι ἄπρατοι αἱ εὐεργεσίαι, καὶ πωλοῦνται
τῇ πίστει; οὐ δίδωσιν ἀργυρίου τὰς εὐεργεσίας Ἰησοῦς, πωλεῖ δὲ αὐτὰς τῇ πίστει. ἐὰν μὴ
καταβάλῃς πίστιν, οὐ δέχῃ τὴν εὐεργεσίαν. ἡ χάρις ἥπλωται, ἡ δὲ πίστις προσέρχεται. καὶ
ὥσπερ πηγὴ μία, ἀντλοῦσι δὲ ἐκ τῆς πηγῆς, οἱ μὲν μικροῖς ἀγγείοις, οἱ δὲ μείζοσι, καὶ ὁ μὲν
ὀλίγον ἀρύεται ὕδωρ, ὁ δὲ πολὺ, οὐ τῆς πηγῆς μεριζούσης τὰ μέτρα, ἀλλ' ἑκάστου πρὸς τὸ οἰκεῖον
ἀγγεῖον ἀρυομένου· οὕτως ἡ χάρις ἥπλωται, ὡς πηγή. ἡ πρόθεσις δὲ τοῦ προσερχομένου,
ἀγγεῖον καὶ σκεῦος γίνεται τῆς χάριτος. ἐὰν οὖν προσαγάγῃς πίστιν ὀλίγην, ὡς σκεῦος μικρὸν,

κρὸν, μικρὰν ἀντλεῖς τὴν χάριν· ἐὰν δὲ μεγάλην προσαγάγῃς τὴν διάνοιαν, μεγάλην ἀντλεῖς τὴν εὐεργεσίαν. διὰ τοῦτο ὁ σωτὴρ λέγει, πιστεύεις ὅτι δύναμαι τοῦτο ποιῆσαι; ὁ δὲ, ναὶ, Κύριε. καὶ ὁ σωτὴρ, κατὰ τὴν πίστιν σου γενηθήτω σοι. ἐντεῦθεν ὁ ἀπόστολος παρακελεύεται Κορινθίοις λέγων· Πλατύνθητε ὑμεῖς, ἵνα δείξῃ ὅτι τῇ πλατυνομένῃ διανοίᾳ πλατυτέρα ἡ χάρις ἐπεισέρχεται· καὶ ὁ προφήτης, Ἄνοιξον τὸ στόμα σου, καὶ πληρώσω αὐτό. οὐδὲν παρὰ τῇ εὐεργεσίᾳ κώλυμα, ἀλλὰ παρὰ τῇ ἡμετέρᾳ ῥαθυμίᾳ. Φωστὴρ τῆς δικαιοσύνης ἀνέτειλεν Ἰησοῦς, ἥπλωται πανταχοῦ ἡ ἀκτὶς τοῦ νοητοῦ ἡλίου· καὶ ὁ μὲν ἐλάττονος ἀπολαύει τῆς χάριτος, ὁ δὲ μείζονος, οὐ τῆς χάριτος μειζούσης, ἀλλὰ τῆς διανοίας τὸ μέτρον ὑποβαλλούσης. ὥσπερ γὰρ εἷς ἥλιος εἰς πᾶσαν τὴν γῆν, καὶ μία ἀκτὶς, καὶ μία αὐγὴ, οὐ πᾶς δὲ ὁ κόσμος ὁμοίως πεφώτισται, ἀλλ' ὁ μὲν λαμπρὸν ἔχει τὸ φῶς, ὁ δὲ ἔλαττον, ὁ δὲ μεῖζον, καὶ ὁ μὲν στενὸν, ὁ δὲ πλατύτερον, οὐ τοῦ ἡλίου μείζοντος τούτῳ τῷ οἴκῳ τὸ μεῖζον, κἀκείνῳ τὸ ἔλαττον, ἀλλὰ πρὸς τὰς θυρίδας, ἃς ἀνέῳξαν οἱ οἰκοδομοῦντες, χώραν λαμβανούσης τῆς ἀκτῖνος· καὶ οὕτως εἰσερχομένης· οὕτως ἐπὶ τῶν θυρίδες ἡμῶν τῆς ψυχῆς οἱ λογισμοὶ, ὅταν πλατυτέρους ἀνοίξῃς τοὺς λογισμοὺς, πλατυτέραν δέχῃ τὴν εὐεργεσίαν· ὅταν στενώσῃς τὴν διάνοιαν, στενοῖς τὴν χάριν. ἀνακάλυψόν σου τὸν λογισμὸν, ἵνα δέξῃ τὴν αὐγήν. διὰ τοῦτό φησιν ὁ Παῦλος περὶ ἑαυτοῦ, Ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, μεταμορφούμενοι ἀπὸ δόξης εἰς δόξαν. εἷς τυφλὸς ἐθεραπεύθη διὰ τῆς ἱστορίας, καὶ πολλῶν ὀφθαλμοὶ διανοίγονται διὰ τῆς διδασκαλίας. κατὰ τὴν πίστιν σου γενηθήτω σοι. ὁ δὲ τυφλὸς, φησιν, ἠκολούθει δοξάζων τὸν Θεόν· καὶ οὐ κωλύει ὁ Ἰησοῦς. ἐνταῦθα ἀναγκαῖον θεωρῆσαι, ὅτι τὸν δαιμονιῶντα ἐθεράπευσε, παρεκλήθη ὑπὸ τοῦ τὴν εὐεργεσίαν δεξαμένου, ὥστε ἀκολουθεῖν τῷ Ἰησοῦ. Ἐβούλετο γάρ, φησιν, ἀκολουθεῖν. ὁ δὲ σωτὴρ κωλύει, καὶ λέγει· ὕπαγε εἰς τὸν οἶκόν σου, καὶ διάγγελλε ὅσα ἐποίησέ σοι ὁ Θεός. τίνος ἕνεκεν τὸν μὲν θελήσαντα ἀκολουθῆσαι κωλύει, τὸν δὲ οὐ κωλύει; διὰ τί τούτῳ μὲν ἐπιτρέπει τὴν ἀκολούθησιν, ἐκείνῳ δὲ οὐκ ἐπιτρέπει; κἀκείνῳ χρησίμως, καὶ τούτῳ συμφερόντως. τὸν μὲν ἀκολουθεῖν οὐ συνεχώρει δι' ἑτέραν αἰτίαν, ἐπειδὴ δαιμονιῶν ἦν· τοῦ δὲ δαιμονιῶντος καὶ ἡ λέξις, καὶ ἡ γλῶσσα διέστραπτο. ἀποστέλλει οὖν αὐτὸν κήρυκα, ἵνα ἐκ τῆς καταστάσεως κηρύξῃ τὸν εὐεργέτην. ξένον γὰρ ἦν θέαμα, ἰδεῖν τόν ποτε μὴ καθεστηκότα, καθεστηκότας κηρύττειν λόγους. ποιεῖ οὖν αὐτὸ τὸ ὄργανον τοῦ εὐεργετηθέντος κήρυκα τοῦ σώματος. καὶ βλέπε τὸ θαυμαστὸν, βλέπε τοῦ σωτῆρος ταπεινοφροσύνην, βλέπε τοῦ δαιμονιῶντος τὴν εὐγνωμοσύνην. ὁ μὲν σωτὴρ λέγει· πορεύου καὶ ἀνάγγελλε ὅσα ἐποίησέ σοι ὁ Θεός. οὐ λέγει, ὅσα ἐποίησά σοι ἐγὼ, ἀλλὰ ταπεινοφρονῶν, τῇ τοῦ Θεοῦ προσηγορίᾳ ἐπιγράφει. ὁ δὲ δαιμονιῶν περιῄει κηρύττων, ὅσα ἐποίησεν αὐτῷ ὁ Θεὸς Ἰησοῦς. τὸν μὲν οὖν ἀποστέλλει κηρύττειν, ἵνα ἀπὸ τῆς καταστάσεως δείξῃ τὸ μέγεθος τῆς εὐεργεσίας· τὸν δὲ τυφλὸν ἐπιτρέπει ἀκολουθεῖν. διὰ τί; ἐπειδὴ εἰς Ἱεροσόλυμα ἀνῄει ἐπιτελέσων τὸ μέγα μυστήριον, καὶ τὴν ὑπὲρ τοῦ κόσμου οἰκονομίαν ἀναδεξόμενος, καὶ σταυρὸς ἔμελλεν ἀκολουθεῖν, καὶ ὕβρεις, καὶ πάντα τὰ ὑπὸ τῶν θεομάχων καινοτομηθέντα, διὰ τοῦτο ποιεῖ ἀκολουθεῖν τὸν τυφλὸν, ἵνα πρόσφατον ἔχωσι τὴν μνήμην τοῦ θαύματος, ἵνα ἡ μνήμη τῆς ἰάσεως στηρίξῃ τὴν διάνοιαν τῶν μελλόντων διολισθαίνειν. ποιεῖ ἀκολουθεῖν τὸν τυφλὸν, ἵνα μή τις ἀρνήσηται τὴν θαυματουργίαν. ἐπειδὴ ἔμελλε σαλεύεσθαι, ὡς ἐν χειμῶνι, τῶν ἀποστόλων ἡ διάνοια, καὶ τῶν ὁρώντων ἡ κατάστασις ἔμελλε χειμάζεσθαι, ὁρώντων τὸν μονογενῆ τοῦ Θεοῦ ἐπὶ σταυροῦ· ἵνα οὖν μὴ πρὸς τὸ πάθος βλέποντες ὀκλάσωσι, συγχωρεῖ τῷ τυφλῷ ἀκολουθεῖν, ἵνα πρόσφατον ἔχοντες τὴν μνήμην τῆς εὐεργεσίας, ἀσάλευτον ἔχωσι τὸν λογισμὸν τῆς ἀληθείας. πολλὰ γὰρ τοιαῦτα ποιεῖ ὁ Χριστὸς, ἐπειδὴ ἦλθε τὴν ὑπὲρ τῶν ἀνθρώπων οἰκονομίαν ἀναδέξασθαι· καὶ ἵνα μή τις αὐτὸν ὑπολάβῃ δι' ἀσθένειαν πά-

β. Κορ. ϛ. ιγ.

β. Κορ. γ. ιη.

Μαρκ. ε. ιη.

Ματθ. κα. ιθ. χῆς, καὶ οὐ διὰ φιλανθρωπίαν ὑπομένειν, πρὶν εἰσέλθῃ εἰς Ἱεροσόλυμα, βλέπει συκῆν,
καὶ ἀπῆλθε, φησι, ζητῶν ἐπ' αὐτῆς καρπὸν, καὶ οὐχ εὗρεν· ὡς δὲ οὐχ εὗρεν, ἐπετίμησε
λέγων· μηδέποτε ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα. τί ἥμαρτεν ἡ συκῆ; μὴ γὰρ ἐξουσίᾳ
λογικῇ ἔχει τὴν καρποφορίαν; οὐχ ὅτε βούλεται ὁ κτίστης, παρέχει ἐνέργειαν τῇ καρποφορίᾳ;
εἶτα, οὔτε ὁ καιρὸς ἦν τῶν σύκων. τοῦτο γὰρ ἐπιμαρτυρεῖ τὸ εὐαγγέλιον. τίς δὲ
οὕτω τῶν κοινῶν ἀνθρώπων, μήτοιγε ὁ Θεὸς, ἐν ἀκαίρῳ καιρῷ καρπὸν ἀπῄτει; τοὺς καιροὺς
οὐ σὺ ἔπηξας ὁ δημιουργός; οὐ σὺ ἔδωκας καιροὺς καὶ χρόνους τῇ καρποφορίᾳ; τί τοίνυν ἀπαιτεῖς
παρὰ τὸν καιρὸν, ὃν ἔταξας; εἰ δὲ καὶ καιρὸς ἦν σύκων, μὴ ἤνεγκε δὲ ἡ συκῆ καρπὸν,
ἔγκλημα ἦν τῆς φύσεως; μὴ, ὅτε βούλεται, προσφέρει, οὐχ ὅτε κελεύεται, προσάγει
καρποφορίας; τίνος οὖν ἕνεκεν ἐπιτιμᾷ τῇ συκῇ; ἐπειδὴ ἔμελλε τὸ πάθος ὑφίστασθαι,
ἵνα μὴ νομίσωσιν αὐτὸν δι' ἀσθένειαν πάσχειν, ἐν τῷ ἀψύχῳ ἐνδείκνυται τὴν δύναμιν, ἵνα δείξῃ
ὅτι πάντας ἠδύνατο ξηρᾶναι τοὺς ἀντιλέγοντας, πάντας ἀφανίσαι τοὺς θεομάχους. ἀλλ'
Ιωαν. ιβ. μζ. ἐπειδὴ οὐκ ἦλθε κρῖναι τὸν κόσμον, ἀλλὰ σῶσαι, ὡς αὐτὸς ἔφησε, τὴν μὲν δύναμιν ἐνδείκνυται
ἐπὶ τῆς ἀψύχου, τὴν δὲ φιλανθρωπίαν ταμιεύεται τοῖς ἀνθρώποις. οὕτω καὶ ἐν τούτῳ
συνεχώρει τῷ τυφλῷ ἀκολουθεῖν, ἵνα νεάζουσα ἡ μνήμη διαλύσῃ τὸ σκάνδαλον, ἵνα ἔχωσι
τὴν θαυματουργίαν ἀπαστράπτουσαν.

Ἀλλὰ διεδέξατο τὸ θαῦμα,* ἕτερον. μετὰ γὰρ τὴν ἀνάβλεψιν τοῦ τυφλοῦ, ἀνέβλεψεν * θαῦμα
Λουκ. ιθ. β. ἄλλος τυφλὸς τὴν ψυχήν. τίς οὗτος; ὁ ἀρχιτελώνης, ὁ τυφλώττων περὶ τὰ χρήματα, ὁ
τῇ πλεονεξίᾳ τυφλὴν τὴν ψυχὴν ἔχων. οὐδὲν γὰρ οὕτως ἀποτυφλοῖ τὴν ψυχὴν, ὡς τὰ
Εξ. κγ. η. Δευτ. ιϛ. ιθ. χρήματα. διὰ τοῦτό φησι Μωϋσῆς· Δῶρα γὰρ ἀποτυφλοῖ ὀφθαλμοὺς ἀνθρώπων, καὶ
λυμαίνεται ῥήματα δίκαια. ἦλθεν ὁ ἀρχιτελώνης, καὶ παρῄει Ἰησοῦς ὁ πᾶσαν ἁμαρτίαν διαλύων,
ὁ πᾶσαν κακίαν ἀφανίζων, ὁ μεταβάλλων τὸ σκότος εἰς φῶς, καὶ τὰ σκολιὰ εἰς εὐθείαν
ἄγων. ὁ Ζακχαῖος βραχὺς ἦν τὴν ἡλικίαν, ἐκτεταμένος δὲ τὸν πόθον· βραχὺς τὸ σῶμα,
μέγας δὲ τὸ φρόνημα. ἐζήτει γὰρ τὸν Ἰησοῦν ἰδεῖν, καὶ οὐκ ἠδύνατο διὰ τὸ βραχὺ τῆς ἡλικίας·
καὶ παραλαβὼν μηχανὴν πορίζεται τὸ ἐλλεῖπον τῆς ἡλικίας. ἀναβαίνει γὰρ ἐπὶ συκομορέαν,
καὶ παριόντα τὸν Ἰησοῦν ἑώρα. ἀλλ' ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, περὶ οὗ φησιν ὁ
Εφεσ. γ. κ. Παῦλος, Ὁ εἰδὼς ἐκ περισσοῦ ποιεῖν, ὧν αἰτούμεθα ἢ νοοῦμεν, οὐ τοσοῦτον αὐτῷ ἔδωκεν, ὅσον
ἐπόθησεν, ἀλλ' ὑπὲρ ὃ προσεδόκησεν. ὁ μὲν γὰρ ἰδεῖν μόνον ἐπόθησεν, ὁ δὲ καὶ τῆς δεξιώσεως
αὐτὸν ἠξίωσε, καί φησι πρὸς αὐτὸν ὁ θεασάμενος αὐτοῦ τὴν διάνοιαν (πρὶν γὰρ ἀναβῇ
εἰς τὴν συκῆν, οἶδεν αὐτοῦ τὴν διάνοιαν) Ζακχαῖε, σπεύσας κατάβηθι. καλὸς ἰξευτὴς
ὁ σωτὴρ, ἀπὸ δένδρου ψυχὴν καταφέρων. Ζακχαῖε, σπεύσας κατάβηθι. ἐξέτεινεν
αὐτῷ τὸν κάλαμον τοῦ λόγου, περιέθηκε τὸν ἰξὸν τῆς ἀγάπης, ἔλαβεν αὐτὸν ἀπὸ τῶν πτερύγων
τῆς διανοίας, καὶ συνάγει αὐτὸν ὑπὸ τὴν ἑαυτοῦ ἐκκλησίαν. καὶ ὅρα τί ποιεῖ. ἵνα
δὲ μὴ νομίσῃς τὸ ῥῆμα εἶναι τὸ βιασάμενον, ἀλλ' ὅτι ὁ λόγος τοῦ Θεοῦ ὡς ἰξευτής ἐστι, λέγει ὁ
Αμ. η α. μακάριος "Ζαχαρίας· Καὶ ἔδειξέ μοι Κύριος ἄγγος ἰξευτοῦ, καὶ εἶπέ μοι· οὐ μὴ προσέλθω ἴσ. Ἀμώς
τὸν λαόν μου, ἕως ἂν, φησιν, ἰξεύσω αὐτόν. οὕτως ἀληθεία μεμαρτύρηται, ὅτι ὁ λόγος
τοῦ Θεοῦ ἰξός ἐστι· τῇ ἀγάπῃ, ὡς ἰξῷ, τὰς ψυχὰς περιπλέκων, καὶ ὥσπερ ἐκείνη ἡ κόλλα οὐ
δύναται λοιπὸν τὸ κατεχόμενον διαστῆσαι τοῦ κατέχοντος, οὕτω καὶ αἱ ψυχαὶ αἱ τῷ σωτῆρι
ἡνωμέναι κολλῶνται ὥσπερ τῇ κόλλῃ τοῦ ἰξευτοῦ. διὰ τοῦτο ὁ πιασθεὶς καλὸς νεοσσὸς Δαβὶδ
Ψαλ. ξβ. η. ἔλεγεν· Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου. καὶ πάλιν ὁ ἀπόστολος· Ὁ δὲ κολλώμενος τῷ
α. Κορ. ϛ. ιζ. Κυρίῳ, ἓν πνεῦμά ἐστιν. ἰξεύει τὸν Ζακχαῖον, καὶ κατάγει αὐτὸν ἀπὸ τοῦ δένδρου, καὶ εἰσάγει
αὐτὸν εἰς τὴν σκηνὴν ἑαυτοῦ, ἣν ποτε μὲν αὐτὸς ταῖς ἁμαρτίαις ἐζόφωσε, σήμερον δὲ ὁ φωστὴρ
τῆς εὐσεβείας κατηύγασεν. ὡς οὖν εἰσῆλθεν ὁ σωτὴρ, ὑπεδέξατο αὐτὸν ὁ τελώνης
χαίρων. ὢ τῆς πολλῆς ἀγαθότητος τοῦ δεσπότου· ὁ ἀναμάρτητος μετὰ ἁμαρτωλῶν, ἡ πηγὴ

τῆς δικαιοσύνης μετὰ τῆς ὕλης τῆς ἀδικίας. ὕλη γὰρ ἀδικίας, πλεονεξία. Εἰσῆλθεν εἰς τὴν οἰκίαν τοῦ τελώνου, οὐ τῷ γνόφῳ τῆς πλεονεξίας ὑβριζόμενος, ἀλλὰ τῇ αὐγῇ τῆς δικαιοσύνης τὴν πλεονεξίαν ἀφανίζων. καὶ ὅρα τὸ θαυμαστόν. εὐθέως ὁ Ζακχαῖος σταθεὶς πρὸ τοῦ προθύρου λέγει, Κύριε, τὰ ἡμίση τῶν ὑπαρχόντων μοι δίδωμι τοῖς πτωχοῖς. οὐδέποτε ἐδιδάχθης, καὶ ὑπακούεις; οὐδέπω ἔμαθες, καὶ ἐφύλαξας; οὐδὲν εἶπεν ὁ σωτὴρ, οὐδὲν ἐδίδαξεν, οὐ περὶ ἐλεημοσύνης ὑπέθετο, οὐ φιλοπτωχείαν ὑπηγόρευσε τότε· ἀλλ' ἐσιώπα καὶ ἠρέμα κατηύγαζε. καὶ ὥσπερ ἥλιος εἰσερχόμενος διὰ τῶν ἀκτίνων εἰς οἶκον, οὐ ῥήματι φωτίζει, ἀλλ' αὐτῇ τῇ ἐνεργείᾳ καταλάμπει, οὕτω καὶ ὁ σωτὴρ εἰσελθὼν, ταῖς ἀκτῖσι τῆς δικαιοσύνης τὸν δρόμον τῆς ἀδικίας ἐξώρισε. Τὸ γὰρ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, ὥς φησιν ὁ εὐαγγελιστής. Κύριε, τὰ ἡμίση τῶν ὑπαρχόντων μοι δίδωμι τοῖς πτωχοῖς. καὶ καλῶς μερίζει τὴν πλεονεξίαν, τέμνει τὴν ἀδικίαν. τὰ ἡμίση τῶν ὑπαρχόντων μοι. πᾶν ὁλόκληρον, ἰσχυρόν· τεμνόμενον δὲ, ἀσθενές. τὰ ἡμίση τῶν ὑπαρχόντων μοι. ὢ τῆς καλῆς φωνῆς, νικώσης τὴν φύσιν, μᾶλλον δὲ νικώσης τὴν συνήθειαν. δευτέρα γὰρ φύσις ἡ συνήθεια. ἐξώρισε τὴν ἀπληστίαν, ἐπέγνω τὴν ἀλήθειαν. τὰ ἡμίση τῶν ὑπαρχόντων μοι δίδωμι πτωχοῖς· καὶ εἴ τινός τι ἠδίκησα, ἢ ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλοῦν. ἐνταῦθα προσέχειν ἀκριβῶς χρὴ, ὅτι ὁ πλοῦτος τοῦ Ζακχαίου οὐκ ἦν ἐξ ἀδικίας μόνον, ἀλλὰ καὶ ἐκ πατρικῆς περιουσίας. εἰ γὰρ ἦν ἐξ ἀδικίας, πῶς τετραπλασίονα ἠδύνατο ἀποδοῦναι ἃ ἔλαβε; διὰ τί γὰρ λέγει, Εἴ τινός τι ἠδίκησα, ἀποδίδωμι τετραπλοῦν; εἰ καὶ τῇ παρανομίᾳ συνέζησεν, ἀλλὰ καὶ τὸν νόμον ἐγνώριζε. κελεύει γὰρ ὁ νόμος τὸν κλέπτην εἰς τετραπλάσιον ἀποδιδόναι τὴν κλοπήν. Ἐάν τις, φησὶ, κλέψῃ πρόβατον, καὶ γνωρισθῇ, ἀποδώσει τέσσαρα πρόβατα. τετραπλασιάζει τὴν τιμωρίαν ὁ Θεὸς, μᾶλλον δὲ τὴν ζημίαν· ἵνα κἂν ὁ νόμος μὴ φοβήσῃ, ἡ ζημία δυσωπήσῃ. πολλοὶ γὰρ πολλάκις νόμον μὴ αἰδούμενοι, ζημίαν αἰδοῦνται. ἑαυτὸν τοίνυν καταδικάζει, οὐκ ἐκδεχόμενος τὴν ψῆφον τοῦ νόμου, ἀλλ' αὐτὸς ἐφ' ἑαυτὸν νόμος γινόμενος. Δικαίῳ γὰρ νόμος οὐ κεῖται. ὁ σωτὴρ ταύτην δεξάμενος τὴν φωνὴν, φησί· σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ γέγονεν. αὐτὸς ἑαυτὸν ἐδικαίωσεν, οὐκ ἐπειδὴ Χριστὸν ἁπλῶς εἶδεν, ἀλλ' ἐπειδὴ τοῖς Χριστοῦ ὑπήκουσε νόμοις. σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ γέγονεν, ὅτι καὶ οὗτος υἱὸς Ἀβραάμ ἐστι. πρὶν ποιῆσαι τὰ ἔργα τοῦ Ἀβραάμ, οὐ καλεῖ αὐτὸν υἱὸν Ἀβραάμ, ἀλλὰ Ζακχαῖον ψιλῇ τῇ προσηγορίᾳ καλεῖ. ὅτε μέντοι ἐπλήρωσε τὰ ἔργα τοῦ πατριάρχου, φιλοπτωχείαν ἐπαγγειλάμενος καὶ τῆς ἀδικίας τὴν ἀλλοτρίωσιν, τότε λέγει. καὶ οὗτος υἱὸς Ἀβραάμ ἐστι. καὶ ἡμεῖς τοίνυν, ἀδελφοὶ, εἰ καὶ χριστιανοί ἐσμεν καὶ λεγόμεθα, οὐδὲν οὕτως ἡμᾶς δείκνυσι χριστιανοὺς, ὡς τὸ ἔργον τῆς ἀληθείας. μὴ τοίνυν ὑβρίσωμεν τοῖς ἔργοις τὴν προσηγορίαν, ἀλλὰ σεμνύνωμεν τοῖς ἔργοις τὴν πίστιν. ἐκλήθημεν υἱοὶ Ἀβραὰμ διὰ πίστεως; κληθῶμεν υἱοὶ Ἀβραὰμ διὰ τῶν ἀγαθῶν ἔργων. ὃ γὰρ ἔφθην εἰπὼν, οὐχ ἡ τοῦ σώματος συγγένεια ζητεῖται, ἀλλ' ἡ τῶν τρόπων ἀκολουθία. διὰ τοῦτο Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ οἱ πατριάρχαι πάντες ἠρνήσαντο τὴν συναγωγὴν, ἐπειδὴ τὴν τῶν πατέρων τὴν πίστιν οὐκ ἐκληρονόμησε. ἠρνήσατο Ἀβραὰμ οἰκείους, ἐπειδὴ οὐκ ἠκολούθησαν τῇ πίστει· ἠρνήσατο αὐτοὺς καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ οἱ πατριάρχαι πάντες. τὸν γὰρ ἀρνησάμενον Θεὸν καὶ ἡ φύσις ἀρνεῖται. καὶ τίς μαρτυρήσει λόγος, ὅτι Ἀβραὰμ Ἰουδαίους ἠρνήσατο; ἵνα μὴ δόξωμεν ὡς ἐπὶ ἐχθρῶν θρασύνεσθαι, ἀλλ' ὡς ἡμαρτηκότας ἐλέγχειν, λέγει ὁ μακάριος Ἱερεμίας ἐκ προσώπου τοῦ λαοῦ, Κύριε ἐλέησον ἡμᾶς· ἐγενήθη τὸ ὄρος καὶ ἡ πόλις, ἣν εὐλόγησαν οἱ πατέρες ἡμῶν, πυρίκαυστος. σὺ, Κύριε, ἐλέησον ἡμᾶς· ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς. σὺ, Κύριε, ῥῦσαι ἡμᾶς. ἐπειδὴ, φησὶν, ἐκεῖνοι, ἐφ' οἷς σεμνυνόμεθα, ἠλλοτριώθησαν ἡμῶν, καὶ ἠρνήσαντο ἡμᾶς τὸ γένος, σὺ ἐλέησον ὁ πάντας φιλανθρωπίᾳ νικῶν. ἐλέησον ἡμᾶς ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς. Εἰ

Ιωαν. α. ε.

Εξ. κβ. α.

α. Τιμ. α. θ.

ε. Ησαΐας

Ησ. ξγ. ιϛ. καὶ ξδ. ια.

γὰρ ᾠκειοῦτο τὰ ἡμέτερα, οὐκ ἂν ἐπρέσβευσεν ὑπὲρ τῶν ἰδίων τέκνων; ὑπὲρ Σοδομιτῶν ἐπρέσβευσε, καὶ ἤκουεν· καὶ ὑπὲρ τῶν ἰδίων πρεσβειῶν, οὐκ ἤκουεν; Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς. ἀρνεῖται Ἀβραὰμ τοὺς ἀλλοτρίους τοῖς τρόποις, οἰκειοῦται δὲ, ὡς ἔφην, τοὺς ἀλλοτρίους μὲν τοῦ γένους, οἰκείους δὲ τῆς εὐσεβείας. διὰ τοῦτο ἡ γραφὴ βουλομένη δεῖξαι τοῖς Ἰουδαίοις, ὅτι ὧν τις τοὺς τρόπους αἱρεῖται, τούτων καὶ τὴν προσηγορίαν δέχεται, λέγει, Ὁ πατήρ σου Ἀμορραῖος, καὶ ἡ μήτηρ σου Χετταία, ἡ ἀδελφή σου Σοδομῖτις. βλέπε πῶς τὴν συγγένειαν ἀπὸ τῶν τρόπων κατασκευάζει· ἐπειδὴ τὰ τῶν Σοδομιτῶν ἐφρόνησεν, ἤκουσεν, ἀδελφὴ Σοδόμων, ἤκουσε, θυγάτηρ Χαλδαίων, καὶ οὕτως ἐδείκνυτο οὐ τὸ γένος δικαίων, ἀλλὰ τὸ ἦθος σημνιώων. ἐγὼ δὲ νομίζω ὅτι ὁ Χαναναῖος καὶ ὁ Ἀμορραῖος ἀρνεῖται τὴν συγγένειαν, καὶ ὅταν ἴδῃ τοὺς θεομάχους καὶ τοὺς ἀλλοτρίους τῆς εὐσεβείας προσχωροῦντας αὐτῷ ἀρνεῖται, καὶ οὐ δέχεται ὁ Χαλδαῖος κληθῆναι πατὴρ τῶν ἀσεβῶν. διατί ἀρνεῖται; ἐὰν ἐπιτύχῃς Χαλδαίῳ, καὶ εἴπῃς, ὅτι ὁ πατήρ σου Χαλδαῖος, καὶ ἐρεῖ· οὐκ ἔστι μου υἱός, ὁ ἀρνησάμενος τὴν πίστιν τῶν πατέρων. ἐγὼ οὐκ εἰμὶ ἄπιστος, εἰ καὶ Χαλδαῖος. μαρτυρήσει γάρ μου τὴν πίστιν ἡ Χαναναία βοῶσα, υἱὲ Δαβίδ, ἐλέησόν με. μὴ καλείσθωσαν δὲ υἱοὶ Χαναναίων. οὐ γὰρ ἐφύλαξαν τὴν πίστιν τῆς Χαναναίας. κληθήτωσαν υἱοὶ λίθων καὶ ξύλων οἱ λέγοντες τῷ λίθῳ, πατήρ μου εἶ σύ, καὶ τῷ ξύλῳ, ὅτι σύ με ἐγέννησας. ἐγὼ δὲ νομίζω καὶ τοὺς λίθους ἀρνεῖσθαι, καὶ τὰ ξύλα ἀπαγορεύειν τὴν οἰκειότητα τῶν ἀπίστων. δύναται καὶ λίθος ἀρνεῖσθαι καὶ λέγειν, οὐκ ἔστι μου τέκνον ὁ υἱὸς τῆς ἀσεβείας, οὐκ ἔστι μου τέκνον ὁ υἱὸς τῆς ἀδικίας. ἐγὼ γὰρ εἰ καὶ λίθος εἰμί, ἤκουσα τῆς γραφῆς λεγούσης, Δύναται ὁ Θεὸς καὶ ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. εἶτα ναί, φησι, προσωποποιεῖ ἐκ προσώπου τοῦ λίθου, καὶ λίθος λαλεῖ; ἄκουε τοῦ προφήτου λέγοντος, ὅτι Λίθος ἐκ τοίχου φθέγξεται αὐτά, καὶ κάνθαρος ἐκ ξύλου λαλήσει. Κἂν ὑμεῖς σιωπήσητε, οἱ λίθοι κεκράξονται. τί οὖν κληθῇ τὸ γένος τῶν ἀπίστων, εἰ μήτε υἱοὶ Ἀβραάμ, μήτε Χαναναῖοι, διὰ τὴν Χαναναίαν (ἤμβλωσε γὰρ αὐτῶν τὴν ἀπιστίαν ἡ" αὐτὴ τῆς πίστεως τῆς Χαναναίας) μήτε υἱοὶ λίθων; ἀρνοῦνται γὰρ καὶ οἱ λίθοι τὴν οἰκειότητα. τί ὄνομα τοῖς ἀπίστοις; Ἱερεμίας αὐτοῖς ὄνομα ἔθετο· Ἀργύριον ἀποδεδοκιμασμένον καλέσατε αὐτούς, ὅτι ἀπεδοκίμασεν αὐτοὺς Κύριος. φοβηθῶμεν οἱ νῦν καὶ ἡμεῖς, ἀδελφοί. σεμνύνει σε ἡ τοῦ Χριστοῦ εὐγένεια; φοβείτω σε ἡ τοῦ Χριστοῦ δικαιοκρισία. περὶ ἐλεημοσύνης χθὲς ἐκηρύττετο, ὅτι δεῖ πάντα δεύτερα τίθεσθαι ἐλεημοσύνης, ὅτι δεῖ πάντων προτιμᾶν τὴν ψυχήν. ἐθαύμασα καὶ ἑτέραν ἀγνωμοσύνην, ὅτι πῶς οἱ τέκνα μὴ ἔχοντες, υἱοποιοῦνται λαμβάνουσι· καὶ ὁ μὲν πατροποιεῖται, ὁ δὲ ἀδελφοποιεῖται. υἱοποιῇ τὸν ἀλλότριον, καὶ φεύγεις τὸν δεσπότην; υἱοποίησαι τὸν ἀντιδιδόντα σοι τὸν μισθόν· γένηταί σοι Χριστὸς υἱός. φοβερόν, φησι, τὸ ῥῆμα. βλέπε τί λέγεις· μὴ προφάσει τοῦ λόγου ἐκτραπῇς τοῦ λόγου, μὴ εἰς ἀλογίαν κατενεχθῇς. υἱὸν καλεῖς ἀνθρώπου τὸν Χριστόν; ἐγὼ δὲ οὐ μόνον υἱὸν καλῶ, ἀλλὰ καὶ ἀδελφόν, οὐκ ἀπ' ἐμαυτοῦ, ἀλλὰ ταῖς αὐτοῦ φωναῖς ἀκολουθῶν. λέγουσιν αὐτῷ ποτε, Ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ζητοῦσί σε. λέγει ὁ σωτήρ, τίς ἐστι μήτηρ μου, ἢ τίνες εἰσὶν ἀδελφοί μου; ὃς ἂν ποιῇ τὸ θέλημα τοῦ πατρός μου, αὐτός μου ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ἐστίν. εἰ δὲ μήτηρ αὐτοῦ, ἄρα υἱὸς τῆς μητρός, ὁ τῇ προσηγορίᾳ τιμήσας τὴν δικαιοσύνην. γινέσθω τοίνυν πᾶσα ψυχὴ μήτηρ Χριστοῦ κατὰ διάθεσιν. πῶς μήτηρ Χριστοῦ; πᾶσα ψυχὴ ὠδίνει ἐν αὐτῇ τὸν Χριστόν. ἐὰν δὲ μὴ μεταμορφωθῇ τῇ εὐσεβείᾳ, μήτηρ Χριστοῦ καλεῖσθαι οὐ δύναται. ὅταν λάβῃς λόγον Χριστοῦ, καὶ πλάσῃς αὐτὸν ἐν τῇ διανοίᾳ σου, καὶ ὥσπερ ἐν μήτρᾳ τῷ λογισμῷ μεταμορφώσῃς, κληθῇς μήτηρ αὐτοῦ. καὶ ἵνα μάθῃς ὅτι ἐν ἑκάστῳ Χριστὸς μορφοῦται, καὶ μήτηρ Χριστοῦ γίνεται, λέγω δή, ὁ λόγου τοῦ Χριστοῦ ἑκάστου ἡμῶν ἡ ψυχή, λέγει Παῦλος· Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. εἰργάσω δικαιοσύνην; ἐμόρφωσας ἐν τῇ ψυχῇ Χριστόν.

Ιεζ. ιϛ. μδ.

Ιερ. β. κζ.

Ματθ. γ. θ.

Ἀμβ. β. ια.

Λουκ. ιθ. μ.

Ιερ. ϛ. γ.

Μαρ. γ. λε.

Γαλ. δ. ιθ.

ἴσ. αὐτή

σόν. ἐπέδωκας ἐλεημοσύνην; ἐμόρφωσας τὸν χαρακτῆρα τῆς ἀληθείας· οὐχ ὅτι καθ' ἕκαστον Χριστὸς μορφοῦται. Χριστὸν γὰρ καλεῖ τὸν λόγον τῆς εὐσεβείας, δι' οὗ τὸν χαρακτῆρα τῆς ἀληθείας ἀναλαμβανόμεθα. ἐπέδωκας ἐλεημοσύνην; ἐμορφώθη Χριστός. ἐποίησας δικαιοσύνην; ἐμορφώθη ὁ χαρακτὴρ τῆς ἀληθείας. δεῖ οὖν προσέχειν πῶς χρὴ ἀδελφοποιῆσαι τὸν Χριστόν. λάβε αὐτὸν κοινωνὸν τῶν σῶν πραγμάτων. οὐ θέλεις αὐτῷ χαρίσασθαι πάντα; κἂν τὰ ἡμίση δὸς αὐτῷ ὡς ὁ Ζακχαῖος. αὐτῷ γάρ, φησιν, ἔδωκεν ὁ Ζακχαῖος, οὐ τοῖς πτωχοῖς. ἀλλ' ἄκουε, ὅτι ὁ ἐλεῶν πτωχόν, δανείζει Θεῷ· πτωχοῖς διδούς, Χριστῷ δέδωκας. οὐκ οἶδας ὅτι τὰ δοθέντα εἰς ἑαυτὸν ἀναλαμβάνει; οὐκ οἶδας πῶς φοβερόν σοι κριτήριον ἐνέγραψε λέγων, ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ παλιγγενεσίᾳ, στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων, καὶ ἐρεῖ τοῖς ἐκ δεξιῶν· Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν, ὅτι ἐπείνασα, καὶ ἐδώκατε φαγεῖν; βλέπε πῶς ὁ διὰ τῶν πτωχῶν δανειζόμενος, ὁμολογεῖ τὸ χρέος. ἐδίψησα, καὶ ἐποτίσατέ με· γυμνὸς ἤμην, καὶ περιεβάλετέ με. οὐκοῦν τῷ μὲν φαινομένῳ σχήματι γυμνὸν ἐνδύεις, τῇ δὲ ἀληθείᾳ Χριστὸν περιβάλλεις. ἔνδυσον Χριστόν, ἵνα ἐνδύσῃ σε ἐν ἡμέρᾳ ὀργῆς. ἄκουε τοῦ Δαβὶδ λέγοντος, Ἐσκέπασέ με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ. χρεία σκέπης· καταλαμβάνει τὸ πῦρ ἐκεῖνο τὸ φοβερόν, ἡ γέεννα ἡ ἀπαραίτητος. καὶ ἐὰν μὴ Χριστοῦ χεὶρ σκεπάσῃ, τὸ πῦρ τὸ ἀλλότριον γνωρίσει. οἶδεν ἐπιλαβέσθαι ἀλλοτρίων, οἶδε τιμᾶν ἁγίους, αἰδεῖται τὴν εὐσέβειαν, ἐπιλαμβάνεται τῆς ἀσεβείας. ἐκεῖ οὐ πλοῦτος, οὐ χρήματα πείθει, οὐκ ἐξουσία, οὐ δυναστεία. πάντα ἐξ ἰσοτιμίας παρίσταται τῷ βήματι τοῦ Χριστοῦ. κἂν γὰρ αἱ διαφοραὶ ὦσι περὶ τοὺς ἀνθρώπους, ἀλλὰ πρὸς τὸν δεσπότην ὁμότιμα πάντα, κἂν πολλὴν ἔχῃ τὴν διαφοράν. ἀγγέλου καὶ ἀνθρώπου πόση διαφορά; πολλή, καὶ οὐχ ἡ τυχοῦσα. ἡλίου καὶ σελήνης καὶ ἀστέρων πόση διαφορά; ἀλλ' εἰς τὸν νόμον τῆς προσκυνήσεως ὁμοῦ καλοῦνται. πόση διαφορὰ βοτάνης καὶ ἀγγέλων, [καὶ] ὧν τὰ μὲν ἀθάνατα, τὰ δὲ θνητά; ἀλλ' ἕκαστον ἐν τῷ ζυγῷ τῆς δουλείας ἐπιγινώσκει τὴν δεσποτείαν. Διὰ τοῦτο καὶ Δαβὶδ τὰ διῃρημένα τῇ τάξει συνάπτει τῇ συμφωνίᾳ, λέγων· Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις, πάντες ἄγγελοι αὐτοῦ, πᾶσαι αἱ δυνάμεις αὐτοῦ· ἥλιος καὶ σελήνη. εἰ γὰρ καὶ ὑποβέβηκε τῇ τάξει, ἀλλ' ἴσωται τῇ δουλείᾳ· καὶ ὥσπερ, ἀδελφοί, τὰ ἐν τῷ κόσμῳ ἀξιώματα διῄρηται μὲν πρὸς ἑαυτά, ἴσωται δὲ πρὸς τὸν ζυγὸν τῆς δουλείας (πάντες γὰρ ὑποκύπτουσι τῷ βασιλεῖ, πάντες τρέμουσι τὴν ἐξουσίαν· καὶ ἡ μὲν διαφορὰ περὶ τὰ ἀξιώματα, ἡ δὲ συμφωνία παρὰ τοῖς δούλοις) οὕτω κἀκεῖ πάντες οἱ ἄνθρωποι ἴσοι, μόνοι δὲ ἄνισοι οἱ ὑπερέχοντες, οἱ τῇ εὐσεβείᾳ διαλάμποντες.

Παρ: ι. ιθ. ιζ.

Ματθ. κε.

Ψαλ. κς. θ.

Ψαλ. ρμη. α.

ισ. περὶ τὴν
δουλεῖαν

Διὰ τοῦτο καλῶς ἔλεγεν ὁ Δανιήλ, Ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός, καὶ ἰδοὺ ὡς παλαιὸς ἡμερῶν ἐκαθέζετο. ἐνταῦθα πρόσεχε ἀκριβῶς, παρακαλῶ, πῶς τὸν κριτὴν τῆς ἀληθείας ἱστορεῖ, ὡς ἐν εἰκόνι σωματικῇ. ἐπειδὴ γὰρ ὁ Θεὸς ἀσώματός ἐστι τὴν φύσιν, ὡς ἐν εἰκόνι τοῖς αἰσθητοῖς διαγράφει τὰ νοητά. φησὶ γοῦν, ὡς παλαιὸς ἡμερῶν· οὐ χρόνῳ πεπαλαιωμένος, ἀλλὰ τῇ ἀρχαιότητι τετιμημένος. ἡ στολὴ αὐτοῦ, ὡς χιὼν λευκή· ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ, ὡσεὶ ἔριον καθαρόν· ὁ θρόνος αὐτοῦ φλὸξ πυρός· οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον· ποταμὸς πυρὸς ἑλκόμενος ἔμπροσθεν αὐτοῦ· χίλιαι χιλιάδες παρειστήκεισαν αὐτῷ, καὶ μυρίαι μυριάδες λειτουργοῦσιν αὐτῷ. ὢ φοβεροῦ κριτηρίου, ὢ μνήμης ἱκανῆς φοβῆσαι τοὺς ἀγνώμονας. εἰ ἀκουόμενα οὕτω φοβερά, θεωρούμενα πόσῳ φοβερώτερα; καὶ ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός, καὶ ἰδοὺ βίβλοι ἀνεῴχθησαν, καὶ θρόνοι ἐτέθησαν. θρόνοι; τίνι; ἐνταῦθα προσέχειν ἀναγκαῖον. εἰ ὁ κριτὴς τῆς ἀληθείας κάθηται, καὶ ὁ θρόνος αὐτοῦ φλὸξ πυρός, ποίους ἄρα θρόνους ὁ Δανιὴλ λέγει; ἐθεώρουν ὅτι θρόνοι ἐτέθησαν καὶ βίβλοι ἠνεῴχθησαν. τίνων οἱ θρόνοι; ἢ δῆλον ὅτι τῶν ἁγίων ἀποστόλων, πρὸς οὓς ἔλεγεν ὁ σωτήρ· Ο-

Δαν. ζ. θ.

Ματθ. ιθ. κη.

τὸν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους, κρίνοντες
τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. βίβλοι ἀνεῴχθησαν· βίβλοι, αἷς ἐγγέγραπται τὰ
φαῦλα, αἷς ἐγγέγραπται τὰ ἀγαθά, ἐν αἷς ἀναγέγραπται ὁ ἑκάστου βίος. βιβλίον δὲ καλεῖ,
οὐκ ἐπειδὴ δέρμα ἐστὶ παρὰ Θεῷ καὶ γράμματα, ἀλλ' ἐπειδὴ παρὰ σοὶ τὸ βιβλίον μνήμης
ἐστὶν ὄργανον, τὴν τοῦ Θεοῦ μνήμην ἱστορεῖ ὡς ἐν βιβλίῳ. βιβλίου γὰρ ὁ Θεὸς οὐ χρῄζει. βίβλος
γὰρ Θεῷ, ἡ μνήμη. ἐπεὶ οὖν, ἐπειδὴ ἡμεῖς οἱ ἄνθρωποι ἀναγινώσκοντες προφήτας, ἀποστόλους,
εὐαγγέλια, ἐν καρδίᾳ οὐ περιφέρομεν τὴν μνήμην ἄνευ βιβλίου, ὁ Θεὸς βιβλίου δεῖται.
βιβλίου οὐ δεῖται ἡ πηγή. ἐκεῖ γράφεται τὰ ἐνάρετα ἔργα, ἐκεῖ γράφεται τὰ φαῦλα.
μὴ φοβηθῇς τὸ πρόκριμα. κἂν καταγραφῇ σου τὰ ἔργα τὰ πονηρά, δύναται ἐξαλειφθῆναι
διὰ τῶν ἔργων τῶν ἀγαθῶν· ὥσπερ πάλιν ἐὰν γραφῇ τινος τὸ ὄνομα δι' εὐσέβειαν, ἀρνήσηται
δὲ τοῖς τρόποις, πρόκριμα οὐ ποιεῖ τὸ γραφῆναι· ἀπαλείφεται γάρ. ἵνα δὲ μάθῃς ὅτι
ἀπαλείφεται ὁ δι' εὐσέβειαν γραφείς, καὶ διὰ ῥαθυμίαν ἐκβληθείς, λέγει Δαβὶδ περὶ Ἰουδαίων
Ψαλμ. ξη. λγ. τῶν ποτε γραφέντων, καὶ ὕστερον ἐξαλειφθέντων, Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων,
καὶ μετὰ δικαίων μὴ γραφήτωσαν. ὥσπερ ἐξαλείφονται οἱ ἄπιστοι, οὕτω γράφονται
Φιλιπ. δ. γ. οἱ πιστοί. ἄκουε Παύλου λέγοντος, Ἀσπάζεσθε τοὺς ἠγαπημένους ἡμῖν ἀδελφούς, καὶ τοὺς
σύζυγοι μετὰ Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς.

Φοβηθῶμεν τὴν βίβλον ἐκείνην· φοβήθητι μὴ καταγραφῇ σου τὰ ἁμαρτήματα. ἐννόει
πῶς διατίθεσαι ἐπὶ κριτοῦ. ἐὰν ἀνοιχθῇ κατὰ σοῦ ὑπομνήματα ἐπὶ ἄρχοντος, ἐλέγχοντά
σου τὴν ἀδικίαν, στηλιτεύοντά σου τὴν μανίαν, ἐννόησον ὅσος φόβος, ὅσος τρόμος, πῶς κλονεῖ τὰ
μέλη, πῶς ἀναβράσσεται πάντα τὰ ἐντός, ἀνθρώπου δικάζοντος. εἰ δὲ ἀνθρώπου δικάζοντος
τοσοῦτος φόβος, τίς δυνήσεται τὸν φόβον ἐκεῖνον ἱστορῆσαι, καθ' ὃν μέλλει κρίνειν τὴν οἰκουμένην ὁ
πάντων δεσπότης; ταῦτα λέγομεν, οὐχ ἵνα φοβήσωμεν, ἀλλ' ἵνα σωφρονίσωμεν. μὴ προτιμάσθω
τοῦ Χριστοῦ χρήματα, μὴ προτιμάσθω τοῦ Θεοῦ ἀδικία καὶ πλεονεξία. ἤκουσας τῶν
προειρημένων, ὅτι μέχρι τοῦ τάφου ἡ εὐπραγία; ταῦτα ἡμῖν χθὲς ἐγυμνάζετο. τί ἀναμένεις
τὸν τάφον τέλος γενέσθαι σου τοῦ βίου; ἀνάμεινον τὸν τάφον τέλος γενέσθαι σοι τῆς ζωῆς, ἵνα
διὰ τῆς παρούσης εἰς τὴν μέλλουσαν διαπορθμευθῇς. ἀγάπησον ἔργα δικαιοσύνης. τάφος
ἐστίν, ἐν ᾧ διαλυόμεθα, τάφος ἐν ᾧ ἀφανίζεται τὸ γήϊνον σκεῦος. φύγωμεν τὴν μέλλουσαν
κρίσιν, ἀδελφοί. δέομαι ταῦτα παρόντας ἀκούειν. ἀναλάβωμεν πόθον δικαιοσύνης. ἴσ. παραγγελοῦσι
Ἰωηλ α. 15. βλέπε πῶς βοᾷ ὁ προφήτης, Οἴμοι ἐγὼ εἰς τὴν ἡμέραν τοῦ Κυρίου, ὅτι ἐγγὺς ἡ
ἡμέρα Κυρίου. εἰ προφήτης μεμνημένος τῆς ἡμέρας τρέμει, ἡμεῖς οἱ ὑπεύθυνοι μυρίοις
ἁμαρτήμασιν ἄνευ φόβου μνημονεύσωμεν; δυσωπήσωμεν τὸν κριτὴν διὰ μετανοίας,
ἐξαλείψωμεν ἡμῶν τὰ ἁμαρτήματα, φοβηθῶμεν ἐκείνην τὴν φοβερὰν φωνὴν τὴν λέγουσαν,
Ματθ. ι. λγ. Ὃς ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων (οὐχ ὁ λόγῳ δὲ ἀρνούμενος, ἀλλ'
ὁ τοῖς τρόποις ἀρνούμενος, ἀρνεῖται) ἀρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ πατρός μου. ὃς
ἂν ὁμολογήσῃ ἐν ἐμοί, ὁμολογήσω κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου. εἰ τὰ ῥήματα
ἐξεταζόμενα, φοβερά, τὰ πράγματα ὁρώμενα, οὐ μᾶλλον φοβερώτερα; ἐννόησον, ἀδελφέ,
τὸν κριτὴν τῆς οἰκουμένης καθήμενον, ἀγγέλους παρεστῶτας, ἀρχαγγέλους δορυφοροῦντας,
τὰ χερουβὶμ δοξάζοντα, τὰς ὑπερκοσμίους δυνάμεις, τὰς ὑπερουρανίους στρατιάς, καὶ ἐν τούτοις
πᾶσι πατριάρχας, προφήτας, ἀποστόλους, εὐαγγελιστάς, μάρτυρας, καὶ τοὺς ἐν τῷ κόσμῳ
βασιλεῖς, ἄρχοντας, κριτάς, δυνάστας, πλουσίους, πένητας, ἰδιώτας, σοφούς, πάντας
τούτους περὶ τοῦ βήματος ἑστῶτας· καὶ ἐπὶ τοσούτων μαρτύρων οὐρανίων καὶ ἐπιγείων λέγοντα
τὸν κριτήν, καὶ ἀρνούμενον τοὺς ἀλλοτρίους ἐπὶ τοῦ πατρός. ἀρνήσομαι γὰρ αὐτόν, φησι,
τὸν ἀρνούμενόν με, ἔμπροσθεν τοῦ πατρός. ἐννόησον αὐτὸν λέγοντα· πάτερ, οὗτός μου τὴν
πίστιν ἐξουθένησεν, οὗτός μου τοὺς ἰδίους ἐδίωξεν, οὗτός μου τὴν ἐκκλησίαν ὕβρισεν, οὗτός μου

τὸν

τοὺς ἰδίους ἐστηλίτευσεν, οὗτός μου τὸ κήρυγμα κατεπάτησε. λέγει δὲ ταῦτα, οὐκ ἀγνοοῦντα τὸν
πατέρα διδάσκων, ἀλλὰ τῇ κατηγορίᾳ τῶν ἐχθρῶν στηλιτεύων. ἐννόησον λέγοντα τὸν κριτήν,
ὅταν καλέσῃ τοὺς ἐνδόξους τῆς γῆς δεδεμένους (Τοῦ δῆσαι γάρ, φησι, τοὺς ἄρχοντας Ψαλμ. ρμθ. η.
αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς) παρεστῶτας μετὰ φόβου
τοὺς κρινομένους τοὺς δυνάστας, καὶ τὸν σωτῆρα λέγοντα· οὗτοί μου τὸν λόγον τῆς ἀληθείας
διεκώλυσαν, οὗτοί μου τὸν νόμον παρεγράψαντο, οὗτοί μου τὸ δόγμα ἠκύρωσαν,
οὗτοι τοὺς ἀποστόλους ἐκόλασαν, οὗτοι τοὺς μάρτυρας ἐβασάνισαν. ταῦτα λέγει· καὶ
ἐννόησον, βασιλέως φθεγγομένου, πῶς οἱ παρεστῶτες ἄγγελοι νεύουσι φοβερόν, ἀπειλοῦσι
φρικτόν, τῷ βλέμματι ἤδη τὸν ἁμαρτωλὸν ἀναλίσκοντες· ἐννόησον τοὺς ἀγγέλους
ἀγανακτοῦντας, ἀγγέλους κινουμένους, τὰς δυνάμεις σαλευομένας, τὸν πατέρα ἀγανακτοῦντα,
τὸ πνεῦμα τὸ ἅγιον ὀργιζόμενον, ἐκεῖνον μετὰ μεγάλης αἰσχύνης ἐκβαλλόμενον, ἐκβαλλόμενον
δὲ οὐ τῆς σωτηρίας μόνον, ἀλλὰ καὶ εἰς κατάκρισιν ἐξοριζόμενον. ἀλλὰ γὰρ οὐ
φοβερὸν τὸ μὴ σωθῆναι μόνον, μηδὲ βασιλεῦσαι, ἀλλὰ καὶ τῷ πυρὶ παραδοθῆναι. ὃς δ᾽ ἂν
ὁμολογήσῃ ἐν ἐμοί, ὁμολογήσω ἐν αὐτῷ. ἐννόησον πόση δόξα, πόσον καύχημα, πόσος στέφανος,
ὅταν εἴπῃ ὁ κριτής· οὗτοί μου τὸν λόγον ἐτήρησεν, οὗτοί μου τὴν πίστιν ἐκήρυξεν, οὗτός
μου τὸν λόγον ἐβεβαίωσεν, οὗτός μου τὸν πτωχὸν οὐ παρεῖδεν, οὗτος τὴν πλεονεξίαν ἐπάτησε, καὶ
τὴν δικαιοσύνην προετίμησεν, οὗτοι κατεγέλασαν τοῦ κόσμου ὡς μὴ ὄντος, καὶ ἠγάπησαν τὸν μέλλοντα
κόσμον, οὗτοί μου τὴν βασιλείαν διεπόρθμευσεν, οὗτοί μου τὸν λόγον ἐτίμησαν· τίμησον
αὐτούς, πάτερ. ὅταν δὲ ταῦτα λέγωμεν ἠθοποιοῦντες, οὐ μειζόμεν τὴν ἀξίαν, οὔτε λύομεν
τὴν ἐξουσίαν, ἀλλὰ τῷ σχήματι τῆς κατηγορίας δείκνυται ἡ ἀγανάκτησις τοῦ κριτοῦ· καὶ γίνεται
ταῦτα πάντα εἰς σωτηρίαν μὲν τῶν ὁμολογηκότων, εἰς κατάκρισιν δὲ τῶν ἀπιστούντων.
τὸ δὲ πάντων φοβερώτερον, ὅταν ἐννοήσῃς ἑστῶτα μὲν τὸν Μιχαὴλ καὶ Γαβριὴλ καὶ πάσας
τὰς ἀγγελικὰς στρατιάς, καθεζομένους δὲ τοὺς υἱοὺς Ζεβεδαίου, καθεζόμενον Παῦλον καὶ
Πέτρον, τοὺς ἐξ ἀνθρώπων, ἀγγέλους δὲ φόβῳ παρεστῶτας, καὶ ἀνθρώπους παρρησίᾳ καθεζομένους.
ἐννόησον παρεστῶτας ἀγγέλους, καὶ τοὺς ἁλιεῖς καὶ τοὺς τελώνας καθεζομένους, καὶ εἴπωμεν
καὶ ἡμεῖς μετ᾽ αὐτῶν, Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε; κάθηται Ζακχαῖος, Ψαλμ. λ. κδ.
κάθηται Παῦλος καὶ Πέτρος, καὶ παρέστηκεν ὁ Μιχαήλ. οὐκ ὀνόματα ξένα λέγομεν, ἀλλὰ τοῖς
γεγραμμένοις στοιχοῦμεν. οὐ γὰρ ἀγγέλων ὀνόματα μεμαθήκαμεν, ἀλλὰ τοῖς γεγραμμένοις
ἀκολουθοῦμεν. οὐδεὶς φθόνος, οὐδεὶς ζῆλος. οὐ γάρ ἐστι γήϊνα πράγματα. οὐ λυ-
γρ. διὰ τί ποῦνται ἄγγελοι, διότι μὲν αὐτοὶ ἑστήκασιν, ἄνθρωποι δὲ καθέζονται. κοινωνοὶ γάρ εἰσι τῆς
δόξης τῶν ἁγίων. ἄκουε τοῦ Κυρίου λέγοντος, Ἀμὴν λέγω ὑμῖν, ὅτι χαρά ἐστιν ἐνώπιον Λουκ. ιε. ζ.
πάντων τῶν ἀγγέλων ἐφ᾽ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι. ἀγαπήσωμεν οὖν τὴν δόξαν τοῦ
Χριστοῦ, τὴν δὲ δόξαν τὴν παρερχομένην, ὡς ὄναρ, διαπτύσωμεν. εἴρηται γὰρ καὶ χθὲς ὑμῖν,
πῶς ὁ προφήτης τὴν δόξαν τοῦ κόσμου ἐνύπνιον ἐκάλεσεν. Ἔσται γάρ, φησιν, ὁ πλοῦτος Ησ. κθ. ζ.
τῶν ἀσεβῶν ὡς ἐνύπνιον. οὐδὲν γὰρ διαφέρει φαντασμάτων ἡ παροῦσα κατάστασις. ὁ
χθὲς ἐν ὑγείᾳ, σήμερον ἐν νόσῳ· ὁ χθὲς ἐν ἐξουσίᾳ, σήμερον ἐν ταπεινώσει· ὁ χθὲς ἐν πλούτῳ,
σήμερον ἐν πενίᾳ· ὁ χθὲς ἐν ὑπερηφανίᾳ, σήμερον ἐν ἐξουδενώσει. πάντα σαλεύεται,
πάντα μεταβάλλεται· καὶ οὐ λέγω τὰ ἀνθρώπινα μόνον, ἀλλὰ καὶ Ὁ οὐρανός, φησι, καὶ ἡ Ματθ. κδ. λε.
γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. διὰ τοῦτο μακάριοι οἱ χριστιανοὶ
οἱ καὶ ἐν τῇ ἀξίᾳ ταπεινοφρονοῦντες. ἐταπεινοφρόνησας ἐν τῇ ἀξίᾳ; ἡ ταπεινοφροσύνη
οὐδέν σε ἀδικεῖ. τοιοῦτον γάρ σε εὑρίσκει, οἷος ὀφείλεις γενέσθαι. ἐὰν προλαβὼν ταπεινώσῃς
σεαυτὸν πρὸ τῆς ταπεινώσεως, οὐδὲν ξένον καινοτομήσει κατὰ σοῦ ἡ ταπείνωσις, ἀλλ᾽
γρ. παρασκευάζει ἑτοιμασθεὶς τὴν διάνοιαν παρασκευάζῃ πρὸς τὴν μάχην. καλῶς οὖν ἔλεγεν ὁ Δαβίδ,
Ἡτοιμάσθην, καὶ οὐκ ἐταράχθην. φύγωμεν οὖν ἀλαζονείαν, φύγωμεν κενοδοξίαν, ἀγαπήσωμεν Ψαλμ. ριη. ξ.

πήσωμεν Χριστόν, καὶ διὰ Χριστὸν πένητας· ἵνα ὁ πάντας πλουτίζων, ὁ πάντας ἐλεῶν, προσθεί-
σονται πλῆθος τῇ ἐκκλησίᾳ, ὥστε κομᾷν ἐν εὐσεβείᾳ, ὥστε ἔχειν τὸν γεωργὸν τῆς δικαιοσύνης,
τὸν χθὲς ἀπολειφθέντα δι' ἑτέραν οἰκονομίαν, μεθ' ἡμῶν δὲ ὄντα διὰ τὴν πνευματικὴν ἐπιστασί-
Β. Παραλ. ιη. ις αν. οὐ γάρ ἐστιν ὁ λαὸς Ἰουδαῖος, ἵνα εἴπω, ὅτι ἐστὶν ὁ λαὸς ὡς πρόβατα μὴ ἔχοντα ποιμένα,
Κολασ. β. ε. ἀλλὰ ἀποστολικός ἐστιν, ἔχων εὐαγγελικὸν ποιμένα λέγοντα, Εἰ καὶ τῷ σώματι ἄπειμι, ἀλλὰ
τῷ πνεύματι σὺν ὑμῖν εἰμι, βλέπων καὶ χαίρων τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως· ᾧ ἡ
δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ριε. ΕΙΣ ΤΑΣ ΜΥΡΟΦΟΡΟΥΣ ΓΥΝΑΙΚΑΣ, ΚΑΙ ΟΤΙ οὐδεμία διαφωνία, οὐδὲ ἐναντίωσις ἐν τοῖς εὐαγγελισταῖς εὑρίσκεται περὶ τῆς ἀναστάσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Λυκ. κδ. ιβ.

Ex Ms. Cæsareo emend. ex Ms. Ox. Φέρε δὴ περὶ τῆς τῶν εὐαγγελιστῶν ἱστορίας εἰς τὴν ἁγίαν ἀνάστασιν
τοῦ Χριστοῦ βραχέα διαλεχθῶμεν τῇ ὑμετέρᾳ ἀγάπῃ· καὶ δείξω-
μεν ὅτι οὐδεμία διαφωνία, οὐδὲ ἐναντίωσις ἐν τοῖς εὐαγγελισταῖς
εὑρίσκεται περὶ αὐτῆς. ἐπειδὴ γὰρ οἱ τέσσαρες ἀλλοίως "ταύτην γ. πάντων
ἐξέδωκαν, ἔδοξεν ἐν ὀφθαλμοῖς ἀφρόνων διαφωνία εἶναι τὰ γε-
γραμμένα, καὶ ψεῦδος λοιπόν. οἱ δὲ ἅγιοι πατέρες ἡμῶν βραχεῖ
λόγῳ διέλυσαν τὴν ἐκείνων ἄνοιαν, ἕκαστον τῶν εὐαγγελιστῶν εἰρηκότες ἰδίαν ἄφιξιν γυναι-
κῶν τε καὶ ἀποστόλων ἐπὶ τὸ θεῖον μνημεῖον γεγενημένην ἀνιστορῆσαι κατὰ διαφόρους καιρούς, καὶ
μηδένα αὐτῶν τῆς ἄλλου ἐξηγήσεως ἐπιμνησθῆναι· οὕτω τοῦ παναγίου πνεύματος τοῦ δι'
αὐτῶν λαλοῦντος οἰκονομήσαντος, ἵνα καὶ τῶν τότε γινομένων μηδὲν παροφθῇ, καὶ τῷ μὴ * τὸν * περὶ
αὐτὸν καιρὸν διειληφέναι πάντας, ἐκφύγωσι τοῦ ἐνδυασμοῦ τὴν ὑπόνοιαν. ἀλλ' ἐπεί,
κἂν διαφόρους δοῦμεν τοὺς καιροὺς καὶ τὰς ἐπὶ τὸ μνῆμα τῶν γυναικῶν ἀφίξεις, ὡς οἱ πα-
τέρες εὑρήκασιν, ὅμως ἀναρμοστίαν καὶ ἀσυμβασίαν τῶν γεγραμμένων εἰρῆσθαι παρὰ τῶν
γυναικῶν κατηγοροῦσί τινες ὑπὸ δαίμονος ἐνηχούμενοι· φέρε τῇ ἐπιπνοίᾳ τοῦ παναγίου
πνεύματος τὰ περὶ τούτων, καθὰ χωροῦμεν, διασαφήσωμεν. οἶδα γὰρ ἐν Θεῷ, ὡς ἁρ-
μοζομένων τῶν διαφόρων καιρῶν, καὶ τῆς τῶν προσώπων ἐπιστασίας, οὐ προσκόψομεν πρὸς
τὰ ῥήματα. τὰ μὲν οὖν τοῦ πάθους τοῦ δεσποτικοῦ συντόμως διέλθωμεν. ἐλέγομεν δέ, ὡς
παρεδόθη ὁ Κύριος Πιλάτῳ, εἶτα σταυρωθεὶς ἐτελεύτησε κατὰ τὸ ἀνθρώπινον, ἐτάφη τε, καὶ
λίθος ἐπετέθη τῷ μνήματι μέγας, καὶ αὐτὸς σφραγισθεὶς ὑπὸ τῶν Ἰουδαίων, καὶ φυλαττό-
Λυκ. κγ. νδ. μενος ὑπὸ τῶν στρατιωτῶν. πότε ταῦτα; τῇ ἑσπέρᾳ τῆς παρασκευῆς. σάββατον γὰρ
ἐπέφωσκε. πολλαὶ γὰρ χρησταὶ καὶ κάλλισται γυναῖκες συναναβᾶσαι αὐτῷ ἐκ τῆς Γαλιλαίας,
Μαρ. ιε. μζ. εἶδον τὰ γενόμενα, καὶ τὸ μνημεῖον, καὶ τὴν θέσιν τοῦ σώματος. καὶ τὸ μὲν σάββατον, ὡς γέγρα-
πται, ἡσύχασαν κατὰ τὴν ἐντολήν· ἠγόρασαν δὲ ἀρώματα καὶ μύρα, ἵνα ἐλθοῦσαι ἀλείψω-
Λυκ. κγ. νς. σι τὸν Ἰησοῦν. ἀπεντεῦθεν πρόσεχε, ἀγαπητέ, τὴν ἁρμονίαν τοῦ πράγματος. ἡτοί-
μασαν τὰ μύρα τῷ σαββάτῳ Μαρία ἡ Μαγδαληνὴ καὶ Ἰωάννα καὶ Σαλώμη καὶ αἱ λοιπαὶ
γυναῖκες, ἵνα λοιπὸν τῇ μιᾷ τῶν σαββάτων ἐλθοῦσαι, ἥτις ἐστὶν ἡ κυριακή, ἀλείψωσιν αὐ-
τόν. ἀλλὰ Μαρία ἡ τοῦ Ἰακώβου, ἥτις ἐστὶν ἡ θεοτόκος (οὕτω γὰρ ἐχρημάτισε ποτέ, ὡς μητρυιά,
φημί, τοῦ Ἰακώβου τοῦ λεγομένου ἀδελφοῦ τοῦ Κυρίου) οὐκ ἐβάσταζεν ἀπὸ τῆς ὀδύνης
πᾶσαν τὴν μετὰ τὸ σάββατον νύκτα καρτερῆσαι, ἀλλ' εὐθὺς ὀψίας σαββάτων ἦλθεν εἰς τὸ
Ματθ. κη. α. μνημεῖον, τουτέστι, "βραδὺ μετὰ τὸ σάββατον. ἀμέλει τινὲς τῶν εὐαγγελιστῶν ὀψὲ σαββά- γρ. βραχὺ
των ἔχουσιν, ὡς "εἰώθαμεν λέγειν, ὀψὲ τῆς ὥρας, ὀψὲ τοῦ καιροῦ. οὐδὲ γὰρ τῇ ἑσπέρᾳ εὐ- γρ. εἰώθ
θὺς τοῦ σαββάτου, ἀλλ' ὀψίας, ἤτοι ὀψὲ σαββάτων. σημαίνει δὲ τὸ μεσονύκτιον, ἢ καὶ ἐπὶ βραχὺ
πρότερον

πόθεν δῆλον; ἐκ τοῦ δεῖν αὐτὸν κατὰ τὴν ἐπαγγελίαν αὐτοῦ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι, τουτέ-
στι, τῇ ἁγίᾳ κυριακῇ. αὕτη γὰρ τρίτη ἡμέρα σὺν τῇ παρασκευῇ, ἐν ᾗ ἐσταυρώθη. ἡ δὲ κυ-
ριακὴ ἀπὸ ἑβδόμης ὥρας τῆς νυκτὸς ἄρχεται, καὶ λήγει εἰς τὴν ἕκτην ὥραν τῆς ἑξῆς νυκτός.
καὶ οὕτω πᾶσαι ἡμέραι ἀριθμοῦνται, οὐ προσχόντες τῇ κοσμοποιΐᾳ λεγούσῃ· Καὶ ἐγένετο ἑσπέ- Γεν. α. ε.
γ. ὑποτρέχων ρα, καὶ ἐγένετο πρωῒ ἡμέρα μία. ἡνίκα γὰρ τὸ μέσον τῆς νυκτὸς παρέλθοι, ὁ ἥλιος ″ παρα-
τρέχων τὴν γῆν εὐθὺς φωτίζει λαμπρῶς τὰ πρὸς ἀνατολὰς μέρη, κἂν μὴ τοῦτο φαί-
νηται, καὶ πιστὸν τὸ λεγόμενον πρωῒ κατὰ τοὺς ἐκεῖσε οἰκοῦντας. οὕτω γὰρ καὶ τὰ παρ' ἡμῖν πρωΐ-
νὰ ἄλλοις ἄλλαις καὶ ἄλλαις ὥραις πρὸς τὸν ἐγκλισμὸν τοῦ ἡλίου δείκνυται), καὶ οὐ πᾶσιν ὁμοίως κατὰ
ταυτόν. μετὰ γοῦν τὸ μεσονύκτιον ἐπιφωσκούσης κυριακῆς ἠγέρθη ὁ Κύριος ἐκ νεκρῶν,
τουτέστι, τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς. ἡ οὖν ἁγία παρθένος καὶ θεοτόκος Μαρία ὀδυ-
νωμένη μᾶλλον ἁπάντων, συνδρομὸν αὐτῇ περὶ τὴν σπουδὴν εὑροῦσα Μαρίαν τὴν Μαγ- Ματθ. κη. α.
δαληνὴν (σπουδαιοτάτη δὲ αὕτη ἡ γυνή, ὅθεν καὶ παρὰ τοῖς τέσσαρσι τῶν εὐαγγελιστῶν μνη- Μαρ. ιϛ. α.
μονεύεται) ἦλθεν εὐθὺς μετὰ τὸ μεσονύκτιον, ἤγουν ὀψὲ σαββάτων, εἰς τὸ μνημεῖον, οὐ μετὰ Λυκ. κδ. ι.
τῶν ἀρωμάτων (οὐ γὰρ ἐπεδέχετο ὁ καιρὸς) ἀλλὰ μόνον θεωρῆσαι τὸν τάφον. αὕτη πρώτη Ιωαν. κ. α.
ἄφιξις τῶν τιμίων καὶ ἱερῶν γυναικῶν, ἣν ἱστορεῖ Ματθαῖος ὁ εὐαγγελιστής. εἶτα εἰσελθου- Ματθ. κη. α.
χ. ἀποκινεῖ σῶν αὐτῶν εἰς τὸ μνημεῖον, γίνεται ἄφνω σεισμός, ὅτι ὁ ἄγγελος ″ ἀποκυλίει τὸν λίθον ἐκ τοῦ
μνημείου, καὶ κάθηται ἐπάνω αὐτοῦ. ὁ δὲ Κύριος ἦν ἐγερθείς. οὐ γὰρ εἶπεν ὁ εὐαγγελιστής, ὅτι
ἀποκυλιαθέντος τοῦ λίθου τότε ὁ σωτὴρ ἐξῆλθεν ἐκ τοῦ τάφου· ἀλλ', ὅτι ἀπεκύλισεν ὁ ἄγγελος
τὸν λίθον, καὶ ἐκάθητο ἐπάνω αὐτοῦ. ὁ γὰρ Κύριος ἀφθαρσίᾳ λοιπὸν τὸ οἰκεῖον σῶμα, ὡς Θεός, Ιωαν. κ. ιθ.
διαλαμπρύνας, καὶ ὄντος τοῦ λίθου εἰς τὸ μνημεῖον, ἐξῆλθεν ἐκεῖθεν· ὥσπερ καὶ τῇ ἑσπέρᾳ τῆς
κυριακῆς αὐτῆς τῶν θυρῶν κεκλεισμένων εἰσῆλθε πρὸς τοὺς μαθητὰς αὐτοῦ. αἱ δὲ δύο
γυναῖκες αὗται, ἤγουν ἡ ἁγία παρθένος καὶ θεοτόκος, καὶ Μαρία ἡ Μαγδαληνὴ πορευόμεναι
μετὰ φόβου καὶ χαρᾶς μεγάλης ἀπαγγεῖλαι τοῖς ἀποστόλοις, ὅτι ἠγέρθη ὁ Κύριος, καθὼς εἶ-
πεν αὐταῖς ὁ ἄγγελος, καὶ ὅπως εἰς τὴν Γαλιλαίαν ἀπέλθωσι, καὶ ἐκεῖ αὐτὸν ὄψονται, αὐτα Ματθ. κη. θ.
χ. τοῦ Θεοῦ ἀπήντησαν τῷ σαρκωθέντι Λόγῳ ″ Θεῷ. καὶ εἰπόντος αὐταῖς, χαίρετε, προσελθοῦσαι ἐκρά-
τησαν αὐτοῦ τοὺς πόδας, καὶ προσεκύνησαν αὐτόν. ὁ δὲ Κύριος οὐκ ἐπετίμησεν αὐταῖς ἁψα-
μέναις αὐτοῦ (ἐν πρώτοις γὰρ αὐτὸν ἐθεάσαντο) ἀλλὰ τοὐναντίον καὶ ἀνεκτήσατο, εἰπών·
Μὴ φοβεῖσθε ὑμεῖς, ἀλλ' ὑπάγετε, εἴπατε τοῖς ἀδελφοῖς μου, ἵνα ἀπέλθωσιν εἰς τὴν Ματθ. κη. ι.
Γαλιλαίαν, κἀκεῖ με ὄψονται).

Μέχρι τούτου τὰ τοῦ Ματθαίου περὶ τῶν γυναικῶν. ἀπελθοῦσαι δὲ ἐκεῖναι πρὸς τοὺς
μαθητάς, ἀπήγγειλαν αὖθις καὶ πᾶσι τοῖς μετ' αὐτῶν τὰ τοῦ ἀγγέλου ῥήματα, καὶ τὰ τοῦ Κυρίου,
καὶ ὡς εἶδον αὐτόν· καὶ οὐ μόνον τοῦτο, ἀλλ' ὅτι καὶ ἐκράτησαν αὐτοῦ τοὺς πόδας. οἱ δὲ μαθη-
ταὶ τοῦ Κυρίου ἀπὸ τῆς πολλῆς καὶ ἀφάτου θλίψεως τῆς ἐκ τοῦ σταυροῦ οὐδὲ ἀκοῦσαι αὐτῶν Μαρ. ιϛ. ια.
ἠνείχοντο. καὶ περὶ μὲν τῆς Μαγδαληνῆς οὐδὲ λόγον οἶμαι ἀφῆκαν· περὶ δὲ τῆς μητρὸς Λυκ. κδ. θ.
τοῦ Κυρίου, ἐπειδὴ καὶ ἐτίμων καὶ ᾐδοῦντο αὐτήν, ἔφησαν πρὸς ἑαυτούς, ὡς ἡ ὑπερβολὴ τῆς
θλίψεως τὸν νοῦν αὐτῆς ἐκταράξασα, καὶ τὴν ὅρασιν καὶ τὴν ἀκοὴν καὶ τὴν ἁφὴν
αὐτῆς ἐξηπάτησεν. ἐκείνη δὲ ἡ καθαρὰ καὶ λελαμπρυσμένη ψυχὴ τῆς παρθένου, πε-
πεισμένη ἀκριβῶς οἷς εἶδε καὶ ἐψηλάφησεν, ἔμεινεν ἐφ' ἑαυτῇ, μηδὲν πρὸς τοὺς
μαθητὰς πλέον φιλονεικήσασα· μηκέτι δὲ ἀπελθοῦσα πρὸς τὸ μνημεῖον, ἀνενδοι-
άστως τοῖς ὀφθεῖσιν αὐτῇ πεποιθυῖα. ἡ δὲ Μαγδαληνὴ Μαρία πρῶτον μὲν τοῖς ἀποσό-
χ. μικρᾷ λοις πειθομένη, ἦν παρ' ἑαυτῇ ″ μικρὰ δέ πως, καὶ τῇ μιᾷ ὁράσει μὴ πεπιστευκυῖα, ἀλλὰ πε-
φαντάσθαι νομίσασα, λαμβάνει σὺν αὐτῇ Ἰωάνναν τινά, καὶ Μαρίαν ἄλλην, καὶ ἑτέρας Λυκ. κδ. α.
γυναῖκας μετὰ τῶν ἀρωμάτων, καὶ ἀπέρχεται πάλιν αὐτῇ τῇ νυκτί. ὄρθρου δὲ ὄντος βαθέος, τουτέστι,
πρὸ πολλοῦ τοῦ διαφαύσματος, ἄρτι ὑπὲρ γῆν τοῦ ὄρθρου, ἤγουν τοῦ ἑωσφόρου μόλις
φαίνοντος,

φαίνοντος, εἰσέρχεται σὺν ταῖς μετ' αὐτῆς εἰς τὸ μνημεῖον. ὁ γὰρ λίθος ἤδη ἀποκεκύλιστο.
Λουκ. κδ. β. γ. δ. καὶ τὸ μὲν σῶμα τοῦ Κυρίου οὐχ εὗρεν. πῶς γάρ; ἐν ὅσῳ δὲ διαποροῦσι πρὸς ἑαυτάς,
ἰδοὺ ἐπέστησαν αὐταῖς ἄνδρες δύο (ἤγουν δὲ ἄρα ἅγιοι ἄγγελοι) ἐν ἐσθῆσιν ἀστραπτούσαις. ἐκείνων δὲ ἴσ. ἢ
Λουκ. κδ. ε. φοβηθεισῶν, οὐ μόνον ″ ὅτι τοὺς φόβους αὐτῶν ἀνεκτήσαντο οἱ ἄγγελοι, ἀλλὰ καὶ ἐπιπληκτικῶς
λέγουσιν αὐταῖς· Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; οὐκ ἔστιν ὧδε, ἀλλ' ἐγήγερται. πρόσεχε,
Λουκ. κδ. ς. ἀγαπητέ, πῶς δηλοῦται μὴ εἶναι πρώτην κάθοδον ταύτην τῆς τῶν γυναικῶν ἐπὶ τὸ
μνημεῖον ἐλεύσεως. ἄτοπον γὰρ ἦν, μηδὲν θεασαμένων τῶν γυναικῶν μηδὲ ἀκουσασῶν
περὶ τῆς τοῦ Κυρίου ἐγέρσεως, ἐπιπλῆξαι αὐταῖς τοὺς ἀγγέλους λέγοντας, τί ζητεῖτε τὸν
ζῶντα μετὰ τῶν νεκρῶν; ἀλλὰ δῆλον ὡς παρακουσάντων αὐτῶν πάντων παρὰ τῶν αὐτοψὶ
θεωρησασῶν τὸν Κύριον, καὶ ″ ἀκουσασῶν * παρ' αὐτοῦ τὴν πρὸς τοὺς μαθητὰς ἀπόκρισιν, καὶ ἴσ. ἀκουσάντων ἢ
μὴ πιστευσάντων, τούτου χάριν ἐπιτιμῶσιν αὐταῖς δευτέρως οἱ ἄγγελοι. ἤγουν γὰρ καὶ ἄνδρες τινὲς ἴσ. προῤῥηθείσαις
Λουκ. κδ. α. σὺν αὐταῖς ταῖς ″ προῤῥηθείσι γυναιξί. τίς ταῦτά φησι; Λουκᾶς ὁ εὐαγγελιστής. Τῇ μιᾷ
γάρ, φησι, τῶν σαββάτων ὄρθρου βαθέος ἦλθον γυναῖκες εἰς τὸ μνημεῖον φέρουσαι ἃ ἡτοίμασαν
ἀρώματα, καί τινες σὺν αὐταῖς. εἶτα οὐ μόνον ″ ὅτι ἐπέπληξαν αὐταῖς οἱ ἄγγελοι, ἴσ. τὸ, ὅτι, παρέλκει.
Λουκ. κδ. ς. ζ. η. θ. ἀλλὰ καὶ ὠνείδισαν λέγοντες· Μνήσθητε, ὡς ἐλάλησεν ὑμῖν ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ, λέγων,
ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν, καὶ σταυρωθῆναι,
καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. καὶ ἐμνήσθησαν, φησι, τῶν ῥημάτων αὐτοῦ. εἶτα ἀπελθόντες
πάλιν καὶ οὗτοι, ἄνδρες τε καὶ γυναῖκες σὺν τῇ Μαγδαληνῇ Μαρίᾳ ἀπήγγειλαν
τοῖς μαθηταῖς. καὶ τῆς μὲν Μαγδαληνῆς δεύτερον τὸ μνῆμα θεωρησάσης, τῶν δὲ ἄλλων
Λουκ. κδ. ια. ἅπαξ, ἐφάνησαν δέ, φησι, τοῖς μαθηταῖς, ὡσεὶ λῆρος, τὰ ῥήματα αὐτῶν, καὶ ἠπίστουν ″ αὐταῖς. χ. αὐτοῖς.
εἰ δέ τις ἀπορήσει, τίνος χάριν οὐκ ἐμνήσθη ὁ εὐαγγελιστὴς ὀνομαστὶ τῶν ἀνδρῶν τῶν
ἀπελθόντων σὺν ταῖς γυναιξὶ τῇ δευτέρᾳ καθόδῳ, ὑπονοῶ ὅτι οὐκ ἦσαν τῶν ἐπισήμων,
ἀλλ' ἢ δοῦλοι τῶν γυναικῶν, ἤ τινες τῶν ὑπὸ χεῖρα. ἀμέλει τοῦ Πέτρου διεγερθέντος ἐν τῷ
δευτέρῳ ἀκοῦσαι λοιπόν, καὶ παρὰ πλειόνων, ὅτι ἀνέστη ὁ Κύριος, καὶ ἀπελθόντος εὐθὺς μόνου εἰς
Λουκ. κδ. ιβ. τὸ μνημεῖον καὶ ὁ εὐαγγελιστὴς ῥητῶς ἐμνήσθη, καὶ τὴν προσημείωσιν ἔθηκεν, οὕτως εἰπών· Ὁ
δὲ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ παρακύψας βλέπει τὰ ὀθόνια κείμενα μόνα,
καὶ ἀπῆλθε, πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός. σημείωσαι, ἀγαπητέ, ὡς ἐν πρώτοις ἀπελθὼν
ἄρτι καὶ μόνος, οὐκ ἐτόλμησεν εἰσελθεῖν εἰς τὸ μνημεῖον, ἀλλὰ παρέκυψε μόνον, καὶ
εἶδε τὰ ὀθόνια κείμενα· ἐπεὶ οὐδὲ τὸν πάντα τόπον ἀκριβῶς εἶδε. μέλλω γὰρ περὶ τούτου
* ἀκριβῶς ὑπομνήσειν σε. * κατωτέρω

Ταῦτα Λουκᾶς ὁ εὐαγγελιστής, τὴν δευτέραν ἄφιξιν τῶν γυναικῶν ἀναγράψας, λέγει.
εἶτα μετὰ τοῦτο τί; τὸ πνεῦμα τῆς Μαγδαληνῆς Μαρίας ἀνεφλέγετο, διότι οὐκ ἐπίστευσαν
οὐδὲ νῦν οἱ μαθηταὶ οὔτε αὐτῇ, οὔτε τοῖς σὺν αὐτῇ, ἀλλ' ὡσεὶ λῆρον ἔδοξαν τὰ ῥήματα αὐτῶν,
Ἰωάν. κ. α. καὶ ἀναστᾶσα μόνη πρωΐας γινομένης, τουτέστιν, αὐγασάσης τῆς ἡμέρας, καὶ τοῦ ὄρθρου λοιπὸν
διαφαυθέντος, σκοτίας δὲ ἔτι οὔσης, εἰς τὸ μνημεῖον ἔρχεται τοῦτο ἤδη τρίτον, καὶ βλέπει τὸν
Ἰωάν. κ. β. λίθον ἠρμένον ἀπὸ τῆς θύρας τοῦ μνημείου. τρέχει οὖν, καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον καὶ
Ἰωάννην. καὶ βλέπε σύνεσιν γυναικός. ἐθλίβετο κατὰ ψυχήν, ὅτι σὺν τῇ θεοπτικῇ ἀνήγγειλε
τοῖς μαθηταῖς τῇ πρώτῃ καθόδῳ περὶ τῆς ἐγέρσεως τοῦ Χριστοῦ, καὶ οὐκ ἐπιστεύθη· καὶ
πάλιν ὄρθρου βαθέος μετὰ τῶν ἄλλων γυναικῶν καὶ ἀνδρῶν, καὶ τότε ὡσεὶ λῆρος ἐφάνη τὰ ῥήματα
αὐτῆς. ἐθλίβετο δὲ οὐχ ὡς ἀπιστηθεῖσα μόνον, ἀλλ' ὅτι οὐδὲ ″ διανέστη τις ἐξ αὐτῶν τοῦ ἀπελθεῖν χ. αὐτ
εἰς τὸ μνημεῖον καὶ θεωρῆσαι· ἀλλ' εἴτε διὰ τὸν φόβον τῶν Ἰουδαίων, εἴτε διὰ τὴν πολλὴν καὶ ἄφατον
θλῖψιν ἐκάθηντο σχεδὸν πάντες ὡσεὶ νεκροί, μόλις μόνου τοῦ Πέτρου διεγερθέντος τῇ δευτέρᾳ
τῶν γυναικῶν ἐπαγγελίᾳ, καὶ ἀπελθόντος καὶ παρακύψαντος μόνον εἰς τὸ μνημεῖον, [ἐπεὶ] οὐδὲ κἂν
τολμήσαντος εἰσελθεῖν αὐτόθι, ὡς εἴπομεν. διά τοι τοίνυν ταῦτα ἡ Μαγδαληνὴ τῷ

πνεύματι ζέουσα, καὶ πλήρης οὖσα θείου φρονήματος, ἀπῆλθε πάλιν, ὡς εἴρηται, περὶ τὴν τρίτην καθόδῳ μόνη, καὶ εὑροῦσα τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου, καὶ ὑποστρέψασα πρὸς τοὺς μαθητὰς ἐβουλεύσατο ἐν ἑαυτῇ ταῦτα· ὅτι ἐὰν εἴπω τοῖς πᾶσι, πάλιν κερα-γλὼ ἔγρα τε μαγιουλύης ὑπόνοιαν κατ᾽ ἐμαυτῆς. εἰ γὰρ μετ᾽ ἄλλων ἀπαγγείλασα οὐκ ἐπιστεύθην, πῶς μόνη πιστευθήσομαι; μᾶλλον τοῖς ἐξέχουσιν αὐτῶν καὶ θερμοτέροις λαλήσω, Πέτρῳ καὶ Ἰωάννῃ. ἀλλὰ καὶ οὗτοι προσήκουσαν περὶ τῆς ἀναστάσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἀπὸ τῆς πολλῆς ἀπιστίας διὰ τὸ θαῦμα τοῦ πράγματος ὡς οὐδὲν ἀκηκοότες γεγόνασι. γ. ὑπὸ πῶς οὖν διεγείρω αὐτούς, εἰς τὸ καὶ ὅλως ἐλθεῖν εἰς τὸ μνημεῖον, καὶ θεωρῆσαι τὸ γεγονός; εὗρον, ὃ πράξω, οὐ λέγω αὐτοῖς, ὅτι ἀνέστη ὁ Κύριος, ἐπεὶ πάλιν τοῖς αὐτοῖς περιπεσοῦμαι· ἀλλὰ πιθανωτάτην καὶ εὔπιστον ἐπαγγελίαν ἐρῶ αὐτοῖς. ἔρχεται οὖν ἡ Μαγδαληνὴ Μαρία, ὡς εἴρηται, πρὸς τὸν Πέτρον καὶ Ἰωάννην, καὶ λέγει αὐτοῖς· Ἦραν τὸν Κύριόν μου ἐκ τοῦ μνημείου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν. Ἰωάν. κ. α. ὡς ἂν εἰ ἔλεγεν, ἀκούσατέ μου δοῦλοι τοῦ Θεοῦ· εἴτε ἠγέρθη ὁ Κύριος ἐκ νεκρῶν, εἴτε καὶ μή, οὐκ οἶδα τί ὑμῖν εἰπεῖν· ἓν δὲ λέγω ὑμῖν ἀκριβῶς, ὅτι τὸ σῶμα αὐτοῦ οὐκ ἔστιν ἐν τῷ μνημείῳ· σπουδὴν οὖν ὑμῖν ὀφείλει γενέσθαι, ἵνα γνῶμεν τίς ὁ ἐπάρας "αὐτόν, καὶ ποῦ τέθηκεν. γ. αὐτὸ εἶδες σοφίαν γυναικός. εἰ μὴ γὰρ οὕτως εἴπομεν αὐτὴν βεβουλεῦσθαι, ἀτόποις περιπεσούμεθα. πῶς γὰρ ἡ ψηλαφήσασα τοὺς πόδας αὐτοῦ μετὰ τῆς ἁγίας θεοτόκου Μαρίας, καὶ παρὰ τῶν ἀγγέλων δεύτερον ἀκούσασα ὅτι ἠγέρθη, πάλιν ὡς περὶ νεκροῦ διηγεῖται, ὅτι ἦραν τὸν Κύριόν μου ἐκ τοῦ μνημείου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν; ἀλλὰ δῆλον ὡς τεχνικὴ ἦν αὕτη ἡ ἀπολογία καὶ σοφή. καὶ ἔπεισεν εὐθύς. "οὐδὲ γὰρ ἦν μέγα, τὸ κλαπῆναι τὸ σῶμα ἐκ τοῦ μνημείου. γ. τί ἡ ὥρμησαν οὖν οἱ δύο εὐθὺς ἐπὶ τὸ μνημεῖον· συνηκολούθησε δὲ αὐτοῖς καὶ ἡ θαυμαστὴ ἐκείνη γυνή. εἶτα εἰσῆλθον οἱ δύο μαθηταὶ εἰς τὸ μνημεῖον, καὶ εἶδον τὰ ὀθόνια κείμενα μόνα, καὶ τὸ σουδάριον, ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, χωρὶς ἐντετυλιγμένον· τὸ δὲ σῶμα οὐδαμοῦ. Ἰωάν. κ. ζ. τότε οὖν, φησιν, εἶδον καὶ ἐπίστευσαν, ὅτι ἦραν τὸν Κύριον ἐκ τοῦ μνημείου. καὶ γὰρ πρὸ τούτου ἦν ἀπελθὼν ἐκεῖ μόνος ὁ Πέτρος· διὰ δὲ τὸν φόβον, καὶ τὸ ἔτι εἶναι ἀκρισχετίαν, Λουκ. κδ. ιβ. τηλαυγῶς τὸν τόπον οὐκ ἐθεώρησεν, ὡς νεωτερίας γενομένης. εἶδον οὖν τότε ἀμφότεροι, καὶ ἐπίστευσαν, ὅτι ἦραν τὸ σῶμα τοῦ Κυρίου, ὡς εἶπεν ἡ Μαγδαληνή. οὐδὲ γὰρ ὅτι ἠγέρθη, ἐπίστευσαν. πόθεν μοι τοῦτο παρίστας; αὐτὸς ἐπιφέρει ὁ εὐαγγελιστὴς μετὰ τὸ εἰσελθεῖν τὸν Πέτρον εἰς τὸ μνημεῖον. περὶ ἑαυτοῦ δὲ λέγει, καὶ εἶδεν καὶ ἐπίστευσεν. οὐδέπω γὰρ ᾔδεισαν τὴν γραφήν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι. Ἰωάν. κ. η. θ. ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς οἱ μαθηταί, μηδὲν περὶ τῆς ἀναστάσεως πιστεύσαντες· ὅμως καὶ τὴν τηλικαύτην Μαρίαν, καίτοι τοσαῦτα θεωρήσασαν καὶ ἀκούσασαν, εἰς ἐνδυασμὸν ἐνέβαλον, ἀπὸ ἄκρας εὐλαβείας ταῦτα λογισαμένων· ὅτι μέχρι τοῦ νῦν ἐδόκουν τι ἀσφαλὲς φρονεῖν, τῶν ἀποστόλων μὴ θεασαμένων τὸ μνημεῖον, καὶ ἀπιστούντων τῇ ἀναστάσει· ἀφ᾽ οὗ δὲ ὅπως καὶ θεωρήσαντες μὴ ὂν ἐνταῦθα τὸ σῶμα, ἐπὶ τῇ αὐτῇ γνώμῃ κρατοῦνται, δῆλον ὡς ἐγὼ γυνὴ οὖσα φαντάζομαι, καὶ οὐδὲν ἀκριβὲς οὔτε ἀκούω οὔτε βλέπω· ἀλλ᾽ ἐκεῖνοι θεόθεν πεφωτισμένοι ἀπλανεῖς διαμένουσι, καὶ οὐκ εὐχερῶς ἀπατῶνται, ὡς γυναῖκες ἡμεῖς. ταύτῃ τοίνυν τῇ γνώμῃ διχοστασιαθεῖσα Μαρία ἡ Μαγδαληνὴ ἐπέμεινε κλαίουσα πρὸς τὸ μνημεῖον, Ἰωάν. κ. ια. καὶ ἀναχωρησάντων Πέτρου καὶ Ἰωάννου παρακύπτει πάλιν εἰς τὸ μνημεῖον, καὶ βλέπει καθημένους δύο ἀγγέλους ἐν λευκοῖς. καὶ ἐρωτηθεῖσα παρ᾽ αὐτῶν, γύναι, τί κλαίεις; τίνα ζητεῖς; Ἰωάν. κ. ιγ. ἀπεκρίθη ἡ γυνή, ὅτι "ἦραν τὸν Κύριόν μου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν. γ. ἀπῆρεν εἶτα στραφεῖσα, ἐν τῷ τοὺς ἀγγέλους ἀναστῆναι ἐλθόντος ἐκεῖσε τοῦ Κυρίου, καὶ ἰδοῦσα αὐτόν, οὐκ ἐγνώρισε. διὰ τί; ἀφθάρτῳ γὰρ ἦν λοιπὸν τῷ σώματι ἠμφιεσμένος ὁ Κύριος μετὰ τὴν ἀνάστασιν, καὶ οὐκ ἐγνωρίζετο, εἰ μὴ παρ᾽ οἷς ἤθελε, καὶ ὅτε ἐβούλετο. εἶτα καὶ παρ᾽ αὐτοῦ

ἐρωτηθεῖσα,

Ιωαν. κ. ιε. ἐρωτηθεῖσα, Γύναι, τί κλαίεις; τίνα ζητεῖς; ἀπεκρίθη ὅμοια τοῖς πρὸς τοὺς ἀγγέλους. νομίσασα γὰρ αὐτὸν ὑπάρχειν τὸν προεστηκότα τοῦ κήπου, ἐν ᾧ ἦν τὸ μνημεῖον, λέγει αὐτῷ, Κύριε, εἰ σὺ ἐβάστασας αὐτὸν, εἰπέ μοι, ποῦ ἔθηκας αὐτὸν, κἀγὼ αὐτὸν ἀρῶ. Ταύτην τὴν ἀπόκρισιν καὶ τὴν πρὸς τοὺς ἀγγέλους οὐκ ἔτι μετὰ μελέτης τινὸς καὶ ὑποκρίσεως ἡ Μαγδαληνὴ ἐποιήσατο, καθάπερ τὴν πρὸς τοὺς μαθητάς. ἐκείνοις μὲν γὰρ ἀπεκρίνατο, ἅτε ἀγνοοῦσιν, εἰς τὸ διεγεῖραι αὐτοὺς "πάντας ἐλθεῖν εἰς τὸ μνημεῖον. ἐπειδὴ δὲ ἦλθον, καὶ εἶδον μὴ ὂν ἐκεῖ τὸ σῶμα, καὶ οὐδὲ οὕτως ἐπίστευσαν τῇ ἀναστάσει, λοιπὸν καὶ αὐτὴ ἐτράπη τῇ γνώμῃ, καὶ τοῦτο ὡς λίαν εὐλαβὴς παθοῦσα, καὶ τὴν ἀκριβῆ γνώμην δοκιμάσασα μᾶλλον ἔχειν τοὺς ἀποστόλους ὑπὲρ ἑαυτήν. τοῖς δὲ ἀγγέλοις καὶ τῷ δεσπότῃ μετατραπεῖσα λοιπὸν, καὶ ἀληθῶς πεπεισμένη ὡς ἀρθέντος ὑπό τινων τοῦ σώματος ἐκ τοῦ μνημείου, οὕτως ἀπεκρίθη. ἀμέλει ὁ Ἰησοῦς θεωρήσας τὴν καρδίαν αὐτῆς, ὡς Θεὸς, ἐπιπληκτικῶς ἀνέκραξεν αὐτῇ, Μαρία. τῆς δὲ λοιπὸν ἐπιγνούσης τὴν φωνὴν αὐτοῦ (δεύτερον γὰρ αὐτῇ ὤφθη τοῦτο) καὶ πεσούσης * πάλιν, ὡς καὶ τῇ προτέρᾳ καθόδῳ, πρὸς τοὺς πόδας αὐτοῦ, οὐκ ἔτι εὐμενῶς αὐτῇ

Ιωαν. κ. ιζ. προσηνέχθη, ὡς τότε, ἀλλὰ καὶ ἀπώσατο, εἰπών· Μή μου ἅπτου. καὶ μὴν τὸ πρότερον ἠτόνησαν καταφιλοῦσαι τοὺς τιμίους καὶ ἀχράντους αὐτοῦ πόδας αἱ δύο γυναῖκες, καὶ οὐδὲν τοιοῦτον ἤκουσαν παρ' αὐτοῦ. ὁρᾷς ὅτι ὡς ἀληθῶς ἀπιστήσασαν αὐτὴν ἀπωθεῖται ὁ σωτὴρ, λέγων· μή μου ἅπτου; "τότε γὰρ προτέρα κάθοδος ἦν τῆς ἐπιφανείας τοῦ Κυρίου, καὶ συνεχώρησεν αὐταῖς ἅπτεσθαι καὶ καταφιλεῖν ἀφειδῶς τοὺς πόδας αὐτοῦ, ἵνα ὑπὲρ τὴν ὅρασιν καὶ τὴν ἀκοὴν τῇ ἀφῇ μᾶλλον πιστωθῶσιν, ὅτι ὁ σταυρωθεὶς καὶ ταφεὶς "ἀνέστη. διὰ γὰρ τοῦτο καὶ ἀπωθεῖται νῦν ἡ Μαγδαληνὴ παρ' αὐτοῦ, ὡς μετὰ τοσαύτην πίστωσιν μετατραπεῖσα "ἀκούει, μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα μου. διὰ τούτων τῶν ῥημάτων καὶ ἐπιτιμᾷ ὡς ἀπιστησάσῃ, καὶ διεγείρει τὸν νοῦν αὐτῆς, ὑπομιμνήσκων τοῦ οὐρανίου πατρὸς, καὶ πείθων μὴ νομίζειν αὐτὸν εἶναι τοῦτο μόνον τὸ ὁρώμενον, ἄνθρωπον ἐκ νεκρῶν ἐγερθέντα, ἀλλὰ Θεὸν ὄντως, ὡς υἱὸν Θεοῦ "ἀληθινὸν, δι' ἡμᾶς ἐνανθρωπήσαντα. Εἰπὲ γὰρ, φησι, τοῖς ἀδελφοῖς μου, ἀναβαίνω πρὸς τὸν πατέρα μου, καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν. Ταῦτα ἀκούσασα καὶ θεωρήσασα ἡ Μαγδαληνὴ ἔρχεται πρὸς τοὺς μαθητὰς [αὐτοῦ] πάντας· καὶ οὐκέτι λέγει, ὅτι ἦραν τὸν Κύριόν μου ἐκ τοῦ μνημείου, ἀλλὰ μετὰ πολ-

Ιωαν. κ. ιη. λῆς πεποιθήσεως καὶ παρρησίας ἦλθε λέγουσα, ὅτι "ἑώρακε τὸν Κύριον. καὶ ταῦτα εἶπεν αὐτῇ.

γρ. πίστης

* αὐτῇ

γρ. ἡ μὲν περιέπιπτεν ... λῦσαι

γρ. αὐτὴ ἐδ...

γρ. ἀκούει

γρ. ἀληθινὸν

γρ. ἐνεχείρησε

Μέχρι τούτου καὶ οὗτος ὁ εὐαγγελιστὴς τὴν τρίτην κάθοδον τῶν εἰς τὸ "μνῆμα ἀφίξεων ἐξηγήσατο, γενομένην πρωῒ, σκοτίας ἔτι οὔσης, εἰς τὸ μνημεῖον. ἔστι δὲ οὗτος Ἰωάννης ὁ θεολόγος, ὃν ἠγάπα ὁ Ἰησοῦς διὰ πολλὰ δίκαια κρίσει καὶ θεοπρεπεῖ. λείπεται δὲ ἡμῖν λοιπὸν ἡ τετάρτη πρὸς τὸ μνημεῖον ἄφιξις τῶν γυναικῶν, ἣν ὑπὸ τοῦ ἁγίου πνεύματος οἰκονομηθεὶς Μάρκος ἀναγράψασθαι ὁ εὐαγγελιστής. καὶ πόθεν δῆλον, ὅτι τετάρτη ἄφιξίς ἐστιν ἡ ὑπὸ τοῦ Μάρκου ἱστορηθεῖσα; ὁ καιρὸς δηλοῖ. μόνος γὰρ ὁ Μάρκος τὰς γυναῖκας ἐληλυθέναι γρά-

Μαρ. ιϛ. α. φει, ἀνατείλαντος τοῦ ἡλίου. τί γὰρ καὶ λέγει; Μαρία, φησὶν, ἡ Μαγδαληνὴ (οἱ τέσσαρες γὰρ αὐτῆς ἐμνήσθησαν εὐαγγελισταὶ, ὡς προλέλεκται) σὺν ἄλλαις γυναιξὶν ἐχούσαις προητοιμασμένα μύρα. διαγενομένου τοίνυν τοῦ σαββάτου, πρωῒ τῇ μιᾷ τῶν σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ ἡλίου. τέως σκοπήσωμεν τίνος χάριν ἡ Μαγδαληνὴ μετὰ τρεῖς ὀπτασίας πάλιν ἀπέρχεται σὺν αὐταῖς ἐπὶ τὸ μνημεῖον, καὶ ταῦτα μύρα καὶ ἀρώματα ἐπιφερομένας, καὶ νομιζούσας τὸ σῶμα εὑρίσκειν ἐν τῷ τάφῳ. ἄκουε, ἀγαπητὲ, νουνεχῶς. τελείως πιστωθεῖσα διὰ τῆς τρίτης θεοπτίας περὶ τῆς ἀναστάσεως τοῦ Κυρίου ἡ Μαγδαληνὴ, καὶ διαμαρτυραμένη τοῖς μαθηταῖς τηλαυγῶς, ὅτι ἑώρακε τὸν Κύριον, καὶ ταῦτα εἶπεν αὐτῇ, ὡς προείπαμεν, "οὐκ ἔτι ἐνεδύασεν. ἀλλ' ἐπειδὴ εἶδε Μαρίαν τὴν

γρ. μνημεῖον

γρ. ἰσχυρῶς ...

τῆ

τοῦ Ἰακώβου τοῦ μικροῦ καὶ Ἰωσῆ ὄντως μητέρα, καὶ Σαλώμην καὶ ἄλλας γυναῖκας* παραγενομένας εἰς τὸ μνημεῖον, ἐχούσας δὲ καὶ αὐτὰς ἀρώματα, καὶ θέλειν νῦν ἀνατείλαντος τοῦ ἡλίου πορευθῆναι, συνῆλθεν αὐταῖς, οὐχ ὡς ἐνδυάζουσα, ἀλλ' ὡς ὁδηγοῦσα καὶ χαίρουσα καὶ σκιρτῶσα τῷ πολλάκις βλέπειν τὸν τάφον κενόν, καὶ τὸν ᾅδην ἐσκυλευμένον. αἱ δὲ ἄλλαι γυναῖκες ἢ οὐκ ἤκουσαν, ἢ κἂν ἤκουσαν, ἀλλ' οὕτω ψιλῶς ἤκουσαν τὸν λόγον λαλούμενον, καὶ συγγνωσταὶ ἦσαν μηδὲν ἀκριβὲς ἐπιστάμεναι. ἀμέλει, φησί, καὶ ἔλεγον πρὸς ἑαυτάς (οὐδὲ γὰρ πρὸς τὴν Μαγδαληνὴν εἶπον, ἀλλὰ πρὸς ἑαυτάς) τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου; Μαρκ. ιϛ. δ. καὶ ἀναβλέψασαι θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος. ἦν γὰρ μέγας σφόδρα. ὁρᾷς ὅτι οὔπω περὶ τοῦ λίθου ἦσαν ἠκριβωμέναι αὗται, ὥσπερ αἱ παρὰ τῷ Ματθαίῳ καὶ τῷ Λουκᾷ γυναῖκες, καὶ οἱ ἀπόστολοι Πέτρος καὶ Ἰωάννης τοῖς ὀφθαλμοῖς ἐθεάσαντο. Εἶτα εἰσελθοῦσαι, φησίν, εἰς τὸ μνημεῖον, εἶδον νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς, περιβεβλημένον στολὴν λευκήν, καὶ ἐξεθαμβήθησαν. Μαρκ. ιϛ. ε. ὁ δὲ οὐκ ἐπετίμησεν αὐταῖς, ὥσπερ ταῖς παρὰ τῷ Λουκᾷ καὶ παρὰ τῷ Ἰωάννῃ αὐτὸς ὁ Κύριος. ᾔδει γὰρ ὅτι ἐν πρώτοις ἐληλύθεισαν. ἀλλ' οὐδὲ τῇ Μαγδαληνῇ ἐπέπληξεν. ἔγνω γὰρ διὰ τῆς χαρᾶς τοῦ προσώπου αὐτῆς, ὡς οὐκ ἐνδυάζουσα περὶ τὴν ἀνάστασιν τοῦ σωτῆρος ἐληλύθει νῦν ἐπὶ τὸ μνημεῖον, ἀλλὰ τὸ γενόμενον ἀγαλλιῶσα καὶ χαίρουσα. ὅθεν οὐ μόνον, ὡς εἶπον, ″ ἐπετίμησεν, ἀλλὰ καὶ ἀνεκτήσατο αὐτὰς ἐκ τοῦ φόβου, καθάπερ καὶ ὁ πρῶτος ἄγγελος ὁ παρὰ τῷ Ματθαίῳ. τί εἰπών; Μὴ ἐκθαμβεῖσθε. Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνόν, τὸν ἐσταυρωμένον. Μαρκ. ιϛ. ϛ. ἠγέρθη, οὐκ ἔστιν ὧδε. ἴδε ὁ τόπος, ὅπου ἔθηκαν αὐτόν. ἀλλ' ὑπάγετε, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ Πέτρῳ, ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν. ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν. καλῶς δὲ πρόσκειται ἐνταῦθα, καὶ τῷ Πέτρῳ. εἰ μὴ γὰρ ῥητῶς ἐδηλώθη αὐτῷ ἀπελθεῖν εἰς τὴν Γαλιλαίαν μετὰ τῶν ἄλλων μαθητῶν, οὐκ ἂν οἶμαι ἐπίστευσεν ὅτι διηλλάγη αὐτῷ ὁ Κύριος περὶ τῆς ἀρνήσεως. ἐξελθοῦσαι οὖν ταχὺ αἱ γυναῖκες ἔφυγον ἀπὸ τοῦ μνημείου. Μαρκ. ιϛ. η. εἶχε δὲ αὐτὰς τρόμος καὶ ἔκστασις, καὶ οὐδενὶ οὐδὲν εἶπον· ἐφοβοῦντο γάρ. ἰδοὺ κἀντεῦθεν ἐκ τοῦ μηδὲν αὐτὰς μηδενὶ εἰπεῖν, δείκνυται ὅτι ἕτεραί εἰσιν αἱ γυναῖκες αὗται παρὰ τὰς πρώτας χωρὶς τῆς Μαγδαληνῆς, καὶ ὅτι ἄλλη κάθοδος αὕτη τῆς εἰς τὸ μνημεῖον ἐλεύσεως παρὰ τὰς προειρημένας τρεῖς· καὶ οὐχ, ὡς φασιν οἱ ἄθεοι καὶ πολύθεοι, γενόμενοι τύραννοι καὶ παραβάται, μία γέγονεν ἄφιξις τῶν γυναικῶν ἐπὶ τὸ μνημεῖον, καὶ περὶ τὴν ἱστορίαν οἱ εὐαγγελισταὶ διεφώνησαν. δῆλον γάρ ἐστι καὶ ἐκ τῶν καιρῶν, καὶ ἐκ τῶν προσώπων, καὶ ἐκ τῶν τρόπων τῆς πρὸς τοὺς μαθητὰς ἐπαγγελίας καὶ σιωπῆς, ὡς διαφέρουσι καὶ αἱ γυναῖκες, καὶ αἱ πρὸς τὸ μνημεῖον ἀφίξεις. ὅθεν συνίσταται φλίαι, παρὰ μὲν γὰρ τῷ Ματθαίῳ ἡ Μαγδαληνή, καὶ τοῦ Ἰακώβου λεγομένη, ἥτις ἦν ἡ θεοτόκος, ἦλθον μόναι εἰς τὸ μνημεῖον ὀψίας σαββάτων, ἐπιφωσκούσης κυριακῆς, τουτέστι, βραδὺ τῶν σαββάτων, ὡς εἴπομεν. παρὰ δὲ τῷ Λουκᾷ πάλιν ἡ Μαγδαληνὴ Μαρία καὶ Ἰωάννα καὶ Μαρία Ἰακώβου καὶ ἄλλαι τινές. ταύτην δὲ τὴν Ἰακώβου Μαρίαν, οὐ λέγω εἶναι τὴν θεοτόκον, εἰ καὶ παρὰ τῷ Ματθαίῳ οὕτως ἐχρημάτισεν (οὐ γὰρ λίαν αὐτῆς παρὰ πᾶσι τετιμημένης τρίτην ταύτην ἔταξεν ἐνταῦθα ὁ εὐαγγελιστής, λέγω δὴ μετὰ Μαρίαν τὴν Μαγδαληνὴν ἢ μετὰ Ἰωάνναν τινά) ἀλλ' ἢ ἄλλου τινὸς Ἰακώβου ἦν αὕτη, ἢ Ἰακώβου τοῦ μικροῦ καὶ Ἰωσῆ ὄντως ἐτύγχανε μήτηρ. οὕτω γὰρ ὁ Μάρκος καὶ περὶ αὐτῆς ἐμνημόνευσεν. αὗται οὖν αἱ παρὰ τῷ Λουκᾷ γυναῖκες οὐκ ἔτι ὀψὲ σαββάτων, ἀλλὰ ὄρθρου βαθέος ἦλθον εἰς τὸ μνημεῖον· παρὰ δὲ τῷ Ἰωάννῃ μόνη ἡ Μαγδαληνὴ ἀναγέγραπται πορευθεῖσα, οὐκ ἔτι ὀψὲ σαββάτων, ἀλλ' οὐδὲ ὄρθρου βαθέος. ἀλλὰ πότε; πρωΐ, πλὴν σκοτίας οὔσης ἔτι. τινὲς γὰρ οὕτως αὐτὸ ἐξέλαβον. καὶ σὺν αὐτῇ παραχρῆμα πάλιν οἱ ἀπόστολοι Πέτρος καὶ Ἰωάννης, ὅτε τῇ οἰκείᾳ ἀπιστίᾳ καὶ αὐτὴν παρεσκευάσασαν συναπιστῆσαι. παρὰ δὲ τῷ Μάρκῳ πάλιν ἡ Μαγδαληνὴ Μαρία ἡ τέτραθλος καὶ ἀνδρεία γυνή, καὶ Μαρία ἡ τοῦ Ἰακώβου τοῦ μικροῦ καὶ

Ἰωσῆ ὄντως μήτηρ. σημείωσαι, ἀγαπητέ, τοῦ Ἰακώβου τοῦ μικροῦ. ἡ γὰρ θεοτόκος τοῦ μεγάλου Ἰακώβου ἐχρημάτιζε μήτηρ, ἤγουν μητρυιά. ἦν δὲ μετ' αὐτῆς καὶ Σαλώμη, καὶ ἄλλαι τινὲς ἐν τῇ τετάρτῃ ταύτῃ καθόδῳ. ἐπορεύθησαν δὲ αὗται ἐπὶ τὸ μνημεῖον, οὐκ ὀψίας σαββάτων, οὐδὲ ὄρθρου βαθέος, ἀλλ' οὐδὲ πρωΐ, σκοτίας ἔτι οὔσης, ἀλλὰ μᾶλλον πρωῒ ἀνατείλαντος τοῦ ἡλίου, ὡς εἶπεν ὁ εὐαγγελιστής. ὅθεν δείκνυται, ὡς τὸ λεγόμενον πρωῒ ἐγγίζει μᾶλλον τῇ ἀνατολῇ τοῦ ἡλίου, καὶ οὐχὶ ὄρθρος βαθύς. τοῦτο δέ μοι εἴρηται, ἀγαπητοί, διὰ τό τινας τῶν πρὸ ἡμῶν εἰρηκέναι, ὡς δευτέρα κάθοδός ἐστιν ἡ παρὰ τῷ εὐαγγελιστῇ Ἰωάννῃ πρωῒ λεγομένη γεγενῆσθαι, σκοτίας ἔτι οὔσης, καὶ τρίτη ἡ παρὰ τῷ Λουκᾷ, ὄρθρου βαθέος, ὡς τοῦ πρωῒ πρῶτον γενομένου, καὶ μετὰ τοῦτο τοῦ ὄρθρου ἐπιτέλλοντος· ὅπερ καὶ ἐξ αὐτοῦ τοῦ προχείρου δοκεῖ μοι τὸ ἄτοπον ἔχειν, καὶ ἐκ τοῦ λέγειν δὲ Μάρκον τὸν εὐαγγελιστήν, ὡς ἅμα πρωῒ τῇ μιᾷ τῶν σαββάτων ἦλθον αἱ γυναῖκες ἐπὶ τὸ μνημεῖον ἀνατείλαντος τοῦ ἡλίου. εἰ δὲ ὄρθρος ἦν μετὰ τὸ πρωΐ, δῆλον ὅτι τὸν ὄρθρον εἶχεν κωλύειν ἡ ἀνατολὴ τοῦ ἡλίου, καὶ οὐχὶ τὸ πρωΐ. καὶ ὁ Δανιὴλ δὲ περὶ τοῦ Δαρείου λέγων, οὕτω φησί· Τότε ὁ βασιλεὺς ἀνέστη πρωῒ ἐν τῷ φωτί, καὶ ἐν σπουδῇ ἦλθεν ἐπὶ τὸν λάκκον. ἄλλως τε καὶ εἰ δευτέρα ἦν κάθοδος ἡ παρὰ τῷ Ἰωάννῃ, τρίτη δὲ ἡ παρὰ τῷ Λουκᾷ, πολλὰ μὲν καὶ ἄλλα περὶ τὴν ἱστορίαν ἐδείκνυτο ἄτοπα· πλὴν καὶ ταῦτα πῶς ἐδύναντο Πέτρος καὶ Ἰωάννης ἀπελθόντες καὶ εἰσελθόντες καὶ ἀκριβῶς θεωρήσαντες τὰ ἔσω τοῦ μνημείου, ὡς αὐτὸς Ἰωάννης λέγει, πάλιν ὕστερον τῶν γυναικῶν ἀπαγγελλουσῶν αὐτοῖς, ὡς ὁ Λουκᾶς φησι, τὰ τῶν ἀγγέλων ῥήματα, ὡς λῆρον ἔχειν τὰ λεγόμενα; ἢ πῶς ὁ Πέτρος μόνος εἶχεν ὁρμῆσαι πρὸς τὸ μνημεῖον, καὶ μὴ τολμῆσαι εἰσελθεῖν, ἀλλ' ἔξωθεν παρακύπτειν, ὡς ξενιζόμενος τὸ πρᾶγμα καὶ φοβούμενος, εἴ γε πρότερον ἀπῆλθε μετὰ Ἰωάννου, καὶ εἰσῆλθε καὶ κατεσκόπησεν ἀκριβῶς. ἄτοπον οὖν, ὡς οἶμαι, προτέραν λέγειν τὴν παρὰ τῷ Ἰωάννῃ τῆς παρὰ τῷ Λουκᾷ ἱστορίας. λείπεται δὲ εἰπεῖν ἄρτι, πόσαι εἰσὶ Μαρίαι, ὧν οἱ εὐαγγελισταὶ ἐμνημόνευσαν. πολλοὶ γὰρ περὶ αὐτῶν διηνέχθησαν. οἶμαι οὖν αὐτὰς πέντε ὑπάρχειν. ἀλλὰ προσέχετέ μοι μετὰ πάσης ἀκριβείας. ἔστι τοίνυν Μαρία ἡ Μαγδαληνή, ἀφ' ἧς ὁ Κύριος ἐκβεβλήκει ἑπτὰ δαιμόνια· ὅθεν καὶ σπουδαία γέγονεν ἡ γυνὴ διὰ τὴν ἀντίδοσιν τῆς τηλικαύτης εὐεργεσίας. καὶ Μαρία Ἰακώβου· οὕτω καλουμένη ἐστὶν ἡ θεοτόκος, ὡς εἴπομεν. ἐπειδὴ γὰρ διὰ τὸ ἄπιστον καὶ μέγα τοῦ θαύματος οὐκ ἠδύνατο ἡ ἀλήθεια τοῦ ἀσπόρου τόκου τηνικαῦτα φανερωθῆναι (ἢ γὰρ ἂν ἐκινδύνευσεν ἡ παρθένος λιθοβοληθῆναι, εἰ ὅλως παρεψιθυρίσθη, ὅτι οὐκ ἦν ἐκ τοῦ Ἰωσὴφ ὁ Χριστός) τούτου χάριν παρὰ πᾶσιν ὡς γυνὴ τοῦ Ἰωσὴφ ἐχρημάτιζε, καὶ λοιπὸν ἦν ὡς μητρυιὰ τοῦ Ἰακώβου τοῦ υἱοῦ τοῦ Ἰωσήφ. εἰ δέ τις ἀντιλέγει, καὶ τίνος ἕνεκεν μὴ τοῦ Ἰωσὴφ ὡς ἀνδρός, ἀλλὰ τοῦ Ἰακώβου ὡς μητρυιὰ ἐχρημάτιζεν, εὔδηλος ἡ λύσις. ὄνομα γὰρ μέγιστον ὁ Ἰάκωβος εἶχε παρὰ πᾶσιν, ὡς θεοσεβὴς καὶ ἐγκρατὴς καὶ δίκαιος ἀνὴρ ὑπάρχων· ἀμέλει καὶ δίκαιος ὁ Ἰάκωβος παρὰ πάντων ἐκαλεῖτο. ἄλλως τε ὑπολαμβάνω ὅτι καὶ τελευτήσας ἦν Ἰωσὴφ ἐν τῷ γενέσθαι τὸν Κύριον Ἰησοῦν Χριστὸν τριακονταέτην, καὶ κηρύσσειν τὸ εὐαγγέλιον. βρέφους γὰρ ὄντος τοῦ Κυρίου, ἀλλὰ καὶ δωδεκαέτους γενομένου, ἔχει μνήμην ὁ Ἰωσὴφ ἐν τοῖς εὐαγγελίοις· ἐπὶ δὲ τοῦ καιροῦ τῶν θαυματουργιῶν καὶ τοῦ τιμίου πάθους οὐδαμοῦ ζῶν μνημονεύεται. ἀμέλει καὶ ἐλέχθη τῷ Ἰησοῦ ποτε, ὅτι Ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω ἑστήκασι, καὶ ζητοῦσί σε, οὐκ ἔτι καὶ Ἰωσήφ. ὥστε δῆλον ὅτι τελευτήσας ἦν, ὡς ἔφην. ὅθεν καὶ ἐν τῷ σταυρῷ παρεστῶσα τῷ Ἰωάννῃ παρατίθεται ἡ παρθένος ὑπὸ τοῦ Κυρίου. διὰ ταῦτα οὖν, ὡς εἴρηται, Μαρία ἡ τοῦ Ἰακώβου ἐχρημάτιζε, καὶ οὐχὶ τοῦ Ἰωσὴφ ἡ θεοτόκος. ἡ δὲ τρίτη Μαρία ἡ τοῦ Ἰακώβου τοῦ μικροῦ καὶ Ἰωσῆ ὄντως μήτηρ, ἧς ὁ Μάρκος ἐμνήσθη, ἄλλη ἐστίν. αὐτὴν δὲ νομίζω εἶναι καὶ τὴν παρὰ τῷ Λουκᾷ γεγραμμένην Μαρίαν τοῦ Ἰακώβου· οὐδὲ γὰρ τὴν θεοτόκον, δι' ἣν προεῖπον αἰτίαν. καὶ γὰρ Μάρκος ὁ εὐαγγελιστὴς μνησθεὶς αὐτῆς δευτέρῳ καὶ εἰπών, Μαρία

Δαν. ϛ. ιθ.

Ματθ. ιβ. μϛ.

ἡ

ἡ Μαγδαληνὴ καὶ Μαρία Ἰακώβου τοῦ μικροῦ καὶ Ἰωσῆ ὄντως μήτηρ καὶ Σαλώμη, κατωτέρω πάλιν αὐτὴν ταύτην Μαρίαν Ἰακώβου μόνον ὀνομάζει, οὕτως εἰπών· Καὶ διαγενομένου τοῦ σαββάτου Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Σαλώμη ἠγόρασαν ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσι τὸν Ἰησοῦν. Εἰ δὲ ἄλλου τινὸς ἦν ἡ μήτηρ, καὶ οὐχὶ τοῦ μικροῦ Ἰακώβου, ἀλλ' οὐδὲ τοῦ ἀδελφοῦ τοῦ λεγομένου τοῦ Κυρίου, δῆλον ὅτι καὶ αὐτὴ ἄλλη ἐστὶ παρὰ τὰς λεχθείσας τρεῖς. ἔστι τοίνυν καὶ Μαρία ἡ τοῦ Κλωπᾶ, ἡ ἀδελφὴ τῆς θεοτόκου, ἧς μέμνηται Ἰωάννης ὁ θεολόγος ἐν τῇ σταυρώσει. ἔστι δὲ καὶ ἄλλη Μαρία ἡ ἀδελφὴ Μάρθας καὶ Λαζάρου. Ταῦτ' οὖν ἅπαντα εἰδότες, ἀγαπητοί, καὶ κατέχοντες ἀκριβῶς, μὴ δίδοτε χώραν τοῖς θέλουσι διαθρύλλειν τὴν θείαν γραφήν. πᾶσα γὰρ εὐθύτης καὶ ἀλήθεια ἐν αὐτῇ, ὡς ὑπὸ τοῦ ἁγίου πνεύματος ὑπηγορευμένη. ἀλλ' ἡ τῶν φρενῶν τῶν ἀνθρώπων ἀσθένεια, καὶ τὸ μὴ θέλειν ταύτην ἐκ κενοδοξίας ὁμολογεῖν, τὴν αὐτῶν ἰδιωτείαν καὶ ἀκαταληψίαν γραφῆς δυσαρμοστίαν ἐκάλεσαν. ὑμεῖς δὲ τὸ τίμιον καὶ ἅγιον τοῦ Χριστοῦ ποίμνιον, τὴν νομὴν τῶν ψυχῶν ἡμῶν, λέγω δὴ τὴν θείαν γραφήν, ἀληθῆ γινώσκετε οὖσαν καὶ ἀνεπίληπτον. ἀλήθεια γὰρ ὑμᾶς τρέφει, ὅτι ἡ ἀλήθεια καὶ ἡ ἀνάστασις καὶ ἡ ζωὴ Χριστὸς ὁ Θεὸς ἡμῶν ἐστι. καὶ εἴ τι αὐτῆς, ὡς εἰκός, οὐ καταλαμβανόμεθα, μακροθυμήσωμεν εἰς τὸν μέλλοντα αἰῶνα, ὅτε πρόσωπον πρὸς πρόσωπον ἀξιωθῶμεν κατιδεῖν τοῦ Θεοῦ, καὶ φωτισθῶμεν τῶν ὄντων πάντων τὴν γνῶσιν, ὅταν καὶ τὸν Θεὸν ἐπιγνωσώμεθα, οὐκ ἔτι ἐκ μέρους, ἀλλὰ καθὼς καὶ ἐπεγνώσθημεν ὑπ' αὐτοῦ· ὅπερ ἐστὶ πάσης τῆς λογικῆς κτίσεως ἐσχάτη μακαριότης τῇ ἀγάπῃ κυβερνωμένη καὶ διαμένουσα εἰς ἀεὶ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρί, καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μαρκ. ιε. α.
Μαρκ. ις. α.
Ιωαν. ιθ. κε.
Ιωαν. ι.
καταλαβό-
α. Κορ. ιγ. ιβ.

Λογ. ρις. ΕΙΣ ΤΟ, ΕΝ ΑΡΧΗ ΗΝ Ο ΛΟΓΟΣ, ΚΑΙ ΤΑ ἑξῆς· καὶ ὅτι τὸ πνεῦμα ἐρευνᾷ τὰ βάθη τοῦ Θεοῦ· καὶ περὶ τῶν νεοφωτίστων, καὶ κατὰ αἱρετικῶν.

Ιωαν. α. α.
α. Κορ. β. ι.

Χθὲς ἡμῖν ὁ λόγος εἰς τὴν τοῦ μεγάλου ἀετοῦ θεωρίαν κατέληξεν, ἀετοῦ τοῦ ὄντως μεγάλου καὶ πνεύματι τὸν οὐρανὸν καὶ τὰς ὑπερκοσμίους δυνάμεις ὑπερβάντος, καὶ ἀπ' αὐτῆς τῆς κορυφῆς τῶν ἁπάντων ἀρξαμένου. Ἰωάννης γὰρ ἡμῖν προεκήρυξε τό, Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ περὶ τῆς ἀκτίστου φύσεως ἐφιλοσόφησεν, ὃς ὑπερέβη μὲν τὴν κτίσιν ἅπασαν ὑπὲρ πᾶσαν ἀετοῦ φύσιν· ὑπερέβη δὲ καὶ πάσης βροντῆς ἦχον, μόνος τὴν αἰώνιον καὶ ὑπερκόσμιον φιλοσοφίαν κηρύξας. ἡ γὰρ βροντή, ἀγαπητοί, καὶ φοβεῖ καὶ ἀρδεύει· ἀρδεύει μὲν διὰ τῶν νεφῶν, φοβεῖ δὲ καὶ καταπλήττει διὰ τῆς φωνῆς. μερίζεται τοίνυν καὶ ἡ Ἰωάννου φωνή, ἀρδεύουσα μὲν τὴν ἐκκλησίαν, καταπλήττουσα δὲ τῶν αἱρετικῶν τὰ συστήματα. ὅταν γὰρ τὰ μάταια εἴπωσιν, ὅταν ἀγνοοῦντες τὰ ὄντα, μὴ ὡς ὄντα εἰπεῖν τολμήσωσιν, ὅταν τὴν ἀνθρωπίνην διάλεκτον κατὰ τῆς θείας γραφῆς στρατεύσωσι, τότε βοᾷ Ἰωάννης τό, ἦν, πρὸ τοῦ, οὐκ ἦν. Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος, τῇ φωνῇ καταπλήττων τοὺς ἐναντίους, ἐπιμαρτυροῦντος τοῦ Δαβὶδ καὶ λέγοντος· Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος. ἐπειδὴ γὰρ ἀπαθὴς ἡ τοῦ λόγου γέννησις, λόγον λέγει, ἵνα ἀπὸ τῶν κατὰ σὲ τὰ ὑπὲρ σὲ παιδεύσῃ. ὅτι ὥσπερ ὁ νοῦς γεννῶν τὸν λόγον, οὐ πάθει γεννᾷ, οὐ τέμνεται, οὐ ῥεῖ, οὐδὲ ἄλλο τι τῶν σωματικῶν ὑφίσταται· οὕτω καὶ ἡ θεία καὶ ἀπαθὴς γέννησις ἄφραστος καὶ ἀκατάληπτος, οὐ τεμνομένη,

Ex edit. Rom. emend. ex Ms. Ox.
Ψαλ. ργ. α.

οὐ μεριζομένη, ἀλλ' ὑπὸ μὲν τῶν ἀσεβῶν καὶ ἀπίστων αἱρετικῶν τεμνομένη κακῶς, ὑπὸ
δὲ τῆς εὐσεβείας ἑνουμένη καλῶς. Διὰ τί τοῦτο παρῃτήσατο ὁ εὐαγγελιστὴς, καὶ οὐκ εἶπεν, ἐν
ἀρχῇ ἦν ὁ υἱός; ἵνα μὴ ἡ τοῦ υἱοῦ προσηγορία πάθους γέννησιν εἰσαγάγῃ, ἀλλὰ λέγει αὐτὸν
λόγον, ἵνα τὸ ἀπαθὲς παραστήσῃ τῆς γεννήσεως. καὶ ἵνα μὴ προφορικὸν λόγον νομίσῃς,
ἐπήγαγε· καὶ Θεὸς ἦν ὁ λόγος· ἵνα ἀπὸ τοῦ μὲν λόγου τὸ ἀπαθὲς, ἀπὸ δὲ τοῦ Θεοῦ τὴν ἀξίαν
νοήσῃς. Εἶτα εἰσηγησάμενος αὐτοῦ τὰ τῆς γεννήσεως, εἰσάγει καὶ τὸ δυνατὸν τῆς δημιουργίας
ἀξίωμα· πάντα δι' αὐτοῦ ἐγένετο. πάντα τὰ γινόμενα· οὐχ ὡς οἱ τῶν αἱρετικῶν
παῖδες καὶ τὸ πνεῦμα τὸ προσκυνητὸν τολμῶσι τῇ λέξει ταύτῃ συμπαραλαβεῖν λέγοντες·
πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν ἐν αὐτῷ. Εἴ τι οὖν
γέγονεν ἐν αὐτῷ, οὐχ ἡ ἄκτιστος φύσις τοῦ πνεύματος. ἀλλ' εἴρηται, φησὶ, πάντα. ἀλλ' ἡ,
τὰ πάντα, φωνὴ οὐ περιλαμβάνει τὴν ἄκτιστον φύσιν μετὰ τῆς κτίσεως. Εἰ δὲ τῇ, πάντα, φωνῇ
Ιωα. ι η. προσέχων κατετόλμησας τῆς ἁγίας φύσεως, ἐὰν ἀκούσῃς τοῦ Κυρίου λέγοντος· Πάντες,
ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται ἦσαν καὶ λῃσταὶ, τί ἂν εἴποις; Μωϋσῆν λῃστὴν ὀνομάζεις, καὶ
τοὺς προφήτας κλέπτας προσαγορεύεις; πάντες γὰρ, ὅσοι πρὸ ἐμοῦ ἦλθον, κλέπται ἦσαν
καὶ λῃσταί, φησιν. ἡ δὲ ἔννοια μερίζει, καὶ περὶ τίνων ὁ λόγος, καὶ πρὸς τίνας. καὶ νῦν περὶ δημιουργίας
ὁ λόγος. καὶ τὴν δημιουργίαν λέγει δι' αὐτοῦ γεγενῆσθαι, οὐ τὴν τοῦ πνεύματος οὐσίαν,
τὴν οὕτω γνωρίζουσαν τὰ τοῦ Θεοῦ, ὡς τὸ τοῦ ἀνθρώπου πνεῦμα, τὰ ἐν αὐτῷ, καθὼς λέγει
α Κορ β. ια. Παῦλος· Οὐδεὶς οἶδε τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ κατοικοῦν.
Εἰ οὖν τὸ πνεῦμα τὸ ἐμὸν ἀλλότριον τῆς ἐμῆς φύσεως, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ
ἀλλότριον τῆς τοῦ Θεοῦ φύσεως. Τὸ γὰρ πνεῦμα, φησι, πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ
α. Κορ β ι. Θεοῦ. ἀλλ' ὁ αἱρετικὸς μὲν τὸ, ἐρευνᾷ, ἀκούει, τὴν δὲ ἔννοιαν κακῶς ἐκλαμβάνει. Εἰ γὰρ
ᾔδει, φησὶ, τὸ πνεῦμα τὰ ἐν τῷ Θεῷ, οὐκ ἂν ἠρεύνα. μαρτυρεῖ γὰρ αὐτοῦ τῇ ἀγνοίᾳ ἡ ἔρευνα.
Εἰ τοίνυν τὸ ἐρευνᾷν τὸ πνεῦμα τὸ ἅγιον τὰ βάθη τοῦ Θεοῦ ἀγνοίας κατηγορεῖ αὐτοῦ,
ἐπάγει, ὅταν εἴδῃς τὸν Θεὸν ἐρευνῶντα τὰς καρδίας τῶν ἀνθρώπων, ἀγνοίας αὐτοῦ καταψηφίζῃ;
ἄκουε γοῦν τοῦ Παύλου λέγοντος ὡς περὶ τοῦ πνεύματος εἶπε, τὸ πνεῦμα πάντα
Ρωμ. η κζ. ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ, οὕτω καὶ περὶ τοῦ Θεοῦ φιλοσοφῶν ὁ Παῦλός φησιν, Ο δὲ
ἐρευνῶν τὰς καρδίας, οἶδε τί τὸ φρόνημα τοῦ πνεύματος. Εἰ οὖν Θεὸς ἐρευνᾷ ἀγνοῶν, καὶ τὸ
πνεῦμα ἀγνοοῦν ἐρευνᾷ. ἀλλ' ἵνα μάθῃς ὅτι τὸ ἐρευνᾷν οὐκ ἀγνοοῦντός ἐστιν, ἀλλ' εἰδότος,
ἐπήγαγεν· οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς ἔγνω, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ. καὶ γνῶσιν ἐπιγράφει
τῷ πνεύματι, οὐ τὴν ἐκ τῆς φύσεως κατάληψιν, ἀλλὰ τὴν ἐκ τῆς φύσεως ἐπίγνωσιν.
τοιγαροῦν μὴ μέριζε τὴν ἀμέριστον φύσιν, μὴ τέμνε τὴν ἀδιαίρετον οὐσίαν· γνώριζε
δὲ μᾶλλον τὴν δύναμιν ἀκριβῶς. Εἷς κέκληται ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον.
Ματθ κς. ξδ. περὶ μὲν γὰρ τοῦ πατρὸς λέγει ὁ υἱὸς, Οταν ἴδητε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ
δεξιῶν τῆς δυνάμεως. καὶ δύναμιν εἰρηκὼς ἔστησε τὴν δόξαν, ἵνα θαυμάσῃς τὴν ἔννοιαν.
ὅθεν αὐτὸν τὸν πατέρα καὶ Θεὸν καλῶν δύναμιν πρὸς Καϊάφαν, διαλεγόμενος
ἔφη· Οταν ἴδητε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως. δύναμις
α. Κορ. α. κδ. οὖν ὁ πατὴρ, δύναμις δὲ καὶ ὁ υἱὸς, ὡς λέγει Παῦλος· Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία·
Λουκ κδ. μθ. δύναμις καὶ τὸ πνεῦμα τὸ ἅγιον. λέγει οὖν ὁ σωτὴρ τοῖς μαθηταῖς, Μείνατε ἐν Ἱερουσαλὴμ
ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους. εἰδὼς οὖν, ἀγαπητὲ, ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ
πνεύματι τὴν ὁμοίαν ταύτην δύναμιν, ἔχε τὴν πίστιν ἀσάλευτον. μὴ μερίσῃς τὴν δόξαν
τὴν ἀκατάληπτον, ἀλλ' ἐπίγνωθι τὰς συνθήκας τοῦ φωτίσματος. βλέπε τοὺς υἱοὺς τῆς
χάριτος διὰ τοῦ μεγάλου ἀρχιερέως ἀνθήσαντας· βλέπε τὰ τέκνα τοῦ φωτὸς δραμόντα
πρὸς τοὺς κήρυκας τοῦ φωτός. δεῖ γὰρ τοὺς ἀπὸ τοῦ φωτίσματος ἀναγεννηθέντας δραμεῖν πρὸς
τοὺς τὴν οἰκουμένην ἀναγεννήσαντας. εἴπωμεν καὶ ἡμεῖς μετὰ τοῦ προφήτου καὶ τῶν ἀποστόλων·

λων· Ἀνάβλεψον τοῖς ὀφθαλμοῖς, καὶ ἴδε συνηγμένα τὰ τέκνα σου. καὶ πάλιν, Ζῶ ἐγὼ λέγει Κύριος, ὅτι πάντας αὐτοὺς ἐνδύσῃ ὡς κόσμον νύμφης. ἕστηκε τοίνυν Ἠσαΐας σήμερον λέγων περὶ τὰ τῶν φωτισθέντων πλήθη, τοὺς γεννηθέντας ἐκ πνεύματος ἁγίου, τοὺς ἄνωθεν ἀναγεννηθέντας, τοὺς ἐν μιᾷ ῥοπῇ μεταβληθέντας, τοὺς ἀπὸ γηΐνης καταστάσεως εἰς οὐράνιον εἰκόνα μεταποιηθέντας. ἐκπλήττεται γὰρ Ἠσαΐας λέγων· Τίς εἶδε, τίς ἤκουσε τοιαῦτα, ὅτι ἔτεκεν ἡ γῆ τὰ τέκνα αὐτῆς ἐν ἡμέρᾳ μιᾷ, καὶ ἐτέχθη ἔθνος εἰς ἅπαξ; ταχεῖα γὰρ τοῦ πνεύματος ἡ ἀναγέννησις, οὐκ ἀναμένει χρόνον, οὐ δουλεύει καιροῖς καὶ γενεαῖς· ἀλλ' ἅμα βούλεται, ἅμα τίκτεται τὸ ἀναγεννώμενον. ἔπρεπε τοῖς υἱοῖς τοῦ φωτὸς ἅπασαν τὴν ἀγορὰν πομπεύειν καὶ δοξάζειν καὶ ἀναφωνεῖν ἐκεῖνον τὸν δι' αὐτοὺς ἐλθόντα κάτω, ἵνα ἅπασαν τὴν οἰκουμένην ἀναγάγῃ πρὸς ἑαυτὸν ἄνω. Χριστὸς κατῆλθεν ἐκ τῶν οὐρανῶν. κατῆλθεν οὐ μεταστὰς τῶν οὐρανῶν· ἀνῆλθεν οὐ μεταστὰς τῆς γῆς. οὔτε γὰρ κατελθὼν, τοὺς οὐρανοὺς ἐρήμους κατέλιπεν, οὔτε ἀνελθὼν, ἔρημον τὴν γῆν τῆς ἑαυτοῦ ἐπιστασίας ἀπέλιπεν. οὕτως ἔπρεπε τοῖς υἱοῖς τοῦ φωτὸς τὴν λαμπάδα * τοῦ λόγου περιφέρειν ἐν ταῖς ἀγοραῖς. οὐχ ὑβρίζετο τὸ μυστήριον, οὐκ ἠτιμάζετο * τῶν νεοφωτίστων ὁ χαρακτὴρ τῆς ἀληθείας. ἔπρεπε καὶ αὐτοὺς ἐν πλατείαις ὑμνεῖν. Σοφία γὰρ ἐν ἐξόδοις ὑμνεῖται, ἐν δὲ πλατείαις παῤῥησίαν ἄγει, ἐπ' ἄκρων δὲ τειχέων κηρύττεται. καθαρώμεν τὸν ἀέρα, ὃν ἐμίανε τὰ πορνικὰ ᾄσματα, καὶ ἐχθὲς ἦν ποτε βοαὶ ἀσεβῶν, καὶ ὀλολυγμοὶ τῶν * ἐπιτελούντων τὰ τῶν δαιμόνων μιάσματα. ἐκαθαρίσθησαν τῷ λόγῳ τοῦ φωτὸς καὶ ὁ ἀὴρ, καὶ ἡ γῆ, καὶ ὁ οὐρανός. ὥσπερ γὰρ στενάζει καὶ ὁ οὐρανὸς καὶ ἡ γῆ ἐπὶ τῇ κακίᾳ τῶν ἀσεβῶν, οὕτως εὐφραίνεται πάλιν ἐπὶ τῇ δικαιοσύνῃ τῶν κατορθούντων. ὅταν μὲν γὰρ ἁμαρτάνῃ ἄνθρωπος, ἀγανακτεῖ ὁ οὐρανὸς, ἀγανακτεῖ δὲ καὶ ἡ γῆ, ὥς φησιν Ἱερεμίας· Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἡ γῆ, ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαός. ὁρᾷς πῶς φρίττει ὁ οὐρανὸς καὶ ἡ γῆ, ἁμαρτανόντων τῶν ἀνθρώπων· μεταποιούντων δὲ ἑαυτοὺς εἰς εὐσέβειαν, ἄκουε τοῦ προφήτου λέγοντος· Εὐφρανθήτωσαν οἱ οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ· ῥηξάτω τὰ ὄρη εὐφροσύνην, καὶ οἱ βουνοὶ ἀγαλλίασιν· ὅτι ἠλέησεν ὁ Θεὸς τὸν λαὸν αὐτοῦ. λεγέτω καὶ ἡ ἐκκλησία ἡ τοσούτῳ ὄχλῳ καὶ λαῷ κομῶσα· ἐγὼ κατελείφθην ποτὲ μόνη, οὗτοι δέ μοι ποῦ ἦσαν; ἐγὼ ἄτεκνος καὶ χήρα, τούτους δέ μοι τίς ἐγέννησε; λεγέτω καὶ τὰ τέκνα τῆς ἐκκλησίας τὰ συνερχόμενα τῷ πλήθει πρὸς τὸν Θεὸν τὴν φωνὴν τῶν προφητῶν· Στενός μοι ὁ τόπος· ποίησόν μοι τόπον, ἵνα κατοικήσω. ὅτε γὰρ ἤκμαζε τὰ τῆς " πλάνης, ὅτε ἐπενέμετο τὴν πόλιν ταύτην ἡ νομὴ τῆς αἱρέσεως, διήλωτο τὰ τέκνα τῆς ἐκκλησίας. καὶ ὥσπερ ἀκρὶς ἐπελθοῦσα τῇ ὑπ' οὐρανὸν ἀναλίσκει τοὺς καρποὺς αὐτῶν, οὕτως ἡ φθοροποιὸς διδασκαλία τοὺς καρποὺς τῆς ὄντως διδασκαλίας ἀνήλισκε καὶ τῆς εὐσεβείας. ἀλλὰ σήμερον, ἀγαπητοὶ, ἐξεβλήθη ἡ φθοροποιὸς διδασκαλία, καὶ εἰσῆλθεν ἡ σωτήριος χάρις ἀναγεννῶσα τὸν λαὸν, καὶ λέγουσα πρὸς αὐτόν· Νῦν ἀνταποδώσω ἀντὶ τῶν ἐτῶν, ὧν κατέφαγεν ἡ κάμπη καὶ ἡ ἀκρὶς καὶ ἡ ἐρυσίβη. τί φιλονεικεῖς, αἱρετικὲ, μετὰ Ἰουδαίων κρύψαι τὴν δόξαν τοῦ μονογενοῦς; ἐκεῖνοι μὲν ἔκρυψαν τὴν ἀνάστασιν, ὅσον ἐπ' αὐτοῖς· σὺ δὲ κρύπτεις τὴν θεότητα, ὅσον ἐπὶ σοί. ἀλλ' οὔτε ἐκεῖνοι ἐπιγράφουσι τὴν ἀλήθειαν, οὔτε σὺ σεσιώπηκας τὴν εὐσέβειαν. ἄκουε γοῦν τοῦ προφήτου * λέγοντος· Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς " αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ. τῆς " αἰνέσεως, οὐ τῆς καταλήψεως· πίστεως, οὐκ ἐξετάσεως· ἀγάπης, οὐ ζητήσεως. οὐ ζητεῖν ἐδιδάχθημεν, ἀλλὰ πιστεύειν ἐπαιδεύθημεν. πιστεύοντες φωτιζόμεθα, οὐ πολυπραγμονοῦντες βαπτιζόμεθα. μὴ ἀπατάτω σε τῶν αἱρετικῶν τὰ συστήματα. βάπτισμα γὰρ ἔχουσιν, οὐ φώτισμα· καὶ βαπτίζονται μὲν σώματι, ψυχῇ δὲ οὐ φωτίζονται. ὥσπερ γὰρ καὶ Σίμων ἐβαπτίσθη, ἀλλ' οὐκ ἐφωτίσθη, οὕτω καὶ αὐτοὶ ἀκολούθως εὑρίσκονται. ἀγαλλιάσθω τοίνυν τὰ πνεύματα τῶν ἀποστόλων τὰ τῇ * πνευματικῇ σαγήνῃ τὸν * πολὺν τοῦτον λαὸν σαγηνεύσαντα διὰ τοῦ ἁγίου πνεύματος.

Ησ. ξ. δ. μθ. ιη.
Ησ. ξς. η.
* ἢ χάριτι ἢ
* διὰ
Παροιμ. α. κ.
* κακῶν
Ιερ. β. ιβ.
Ησ. μθ. ιγ. κ. κα.
γ. αἱρέσεως,
Ιωὴλ β. κε.
* Ἀμβακοὺμ
Αμβ. γ. β.
χ. σιωπήσεως
γ. σιωπήσεως
* θείᾳ καὶ
* καλὸν καὶ

Ιερ. γ. ιϛ. νῦν πεπλήρωται) ἐν ὀφθαλμοῖς ἡμῶν ἡ προφητικὴ φωνή· Ἐν ταῖς ἐσχάταις ἡμέραις λέγει ὁ
Θεός, οὐκέτι μὴ εἴπωσιν, ἰδοὺ ἡ κιβωτὸς διαθήκης ἁγίου Ἰσραὴλ (ἀντὶ τοῦ, ἡ παλαιὰ
λατρεία) οὐδὲ μὴ ἀναβήσεται εἰς τὴν καρδίαν αὐτῶν ἡ διαθήκη τῆς κιβωτοῦ. Διὰ τί;
Ὅτι ἰδοὺ ἐγὼ ἀποστέλλω πολλοὺς θηρευτὰς καὶ ἁλιεῖς. περιέγραψε τὴν κιβωτὸν τὴν
παλαιάν, καὶ εἰσήγαγε τὴν κιβωτὸν τῆς ἐκκλησίας τὴν μὴ ἀπολλυμένην. ἀποστέλλω
πολλοὺς θηρευτὰς καὶ ἁλιεῖς. ὢ ξένης* ἁλιείας. ὁ χθὲς ἁλιευθείς, σήμερον ἁλιεύει. ἐπληρώθη * καὶ παραδόξ
γὰρ ἡ γῆ τῆς δόξης τοῦ Χριστοῦ, καὶ πεπλήρωται τῆς πίστεως τῆς οἰκουμένης τὰ
πέρατα.

Μὴ οὖν ὕβριζε τὴν ἀξίαν διὰ τὴν οἰκονομίαν. παρὰ Ἰουδαίοις ἐξῆλθεν ὁ λόγος, γρ. μὴ οὖν ὕβρι-
ὅτι ἐπράθη ἡ ἀνάστασις· καὶ ἐξῆλθεν ὁ λόγος, ὅτι οἱ μαθηταὶ αὐτοῦ ἔκλεψαν αὐτόν. ζε τὴν οἰκονο-
ἐκεῖνοι μὲν οὖν ἀπεφήναντο θάνατον κατὰ τοῦ σώματος, οἱ δὲ τὴν θεολογίαν, ὅσον ἐπ' αὐτοῖς, μίαν.
ἐγχοῦσιν. ἀλλὰ παρ' ἐκείνοις μὲν ἡ πλάνη πολιτεύεται σήμερον, παρὰ δὲ τῇ ἐκκλησίᾳ ζωὴ
αἰώνιος κηρύττεται. καί, εἰ βούλει, ἔχεις καὶ εἰκόνα παλαιάν. ὥσπερ γὰρ ὅτε ἐπεβούλευσαν
τῷ Ἰωσὴφ οἱ ἀδελφοί, Ἰακὼβ καὶ ὁ οἶκος αὐτοῦ ἐπένθει αὐτὸν σφόδρα, ἀλλ' ἡ Αἴγυπτος
εἶχεν αὐτὸν ζῶντα καὶ βασιλεύοντα, οὕτω παρὰ τῷ Ἰακὼβ νεκρὸς ἐπενθεῖτο, ἐν δὲ τῇ Αἰγύπτῳ
ζῶν ἐβασίλευεν· οὕτω καὶ νῦν παρὰ μὲν τῇ συναγωγῇ καὶ τῇ τῶν αἱρετικῶν μανίᾳ νεκρὸς* (νε- * νομίζεται
κροῦσι γὰρ τὴν θεολογίαν οἱ πίστιν ἀναιροῦντες καὶ ζήτησιν εἰσάγοντες) παρ' ἡμῖν δὲ
βασιλεύει ζῶν καὶ ἀξίως προσκυνούμενος. ἀλλ' ὄντως ἰσχυρὸς ὁ τοῦ Θεοῦ λόγος, ἀήττητος ἡ τῶν
ἀποστόλων διδασκαλία. ὥστε εἰ καὶ κάμνει Παύλου ἡ φωνὴ συνηγορήσαντος τῇ ἀλη- γρ. ὥστε εἰ καὶ
θείᾳ· ἀλλ' οὖν εἰπέ, ὦ μακάριε Παῦλε, ὑπὲρ τῆς ἀληθείας κινούμενος, ἀγανάκτησον κάμνει Παύ
ὑπὲρ τῆς πίστεως, ἀγανακτῶν εἰπὲ τοῖς αἱρετικοῖς· πόθεν ἐδιδάχθητε τὰ Ἀριστοτελικά; ἡ φωνὴ συνηγορήσαντος.
τίς τὸν Πλάτωνα προετίμησε τῶν εὐαγγελίων; τίς ἐξέβαλε τὸ κήρυγμα τῆς πίστεως, καὶ εἰπέ, Παῦ
εἰσήγαγε τὴν ἄπιστον ζήτησιν; πόθεν ἔγνως τὸ ἀγέννητος καὶ τὸ γεννητός; κατέλιπες πατέρα, ὑπὲρ τῆς ἀλη
διέπλυσας τοῦ υἱοῦ τὴν προσηγορίαν, ἀναξίαν ἐνόμισας τὴν τοῦ πνεύματος ἀξίαν, εἰς ἰσ πατέρα
Ιερ. ζ. κζ. ἀνθρώπινα ῥήματα τρέπῃ. καλῶς ἔλεγεν Ἱερεμίας· Ἀπώλετο πίστις ἐκ τοῦ στόματος αὐτῶν.
Ματθ. ιϛ. ιϛ. τί εἶπε Πέτρος*, καὶ ἐμακαρίσθη; Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ. οὐκ εἶπε, σὺ εἶ τὸ * ὁ μέγας ἀπό-
γέννημα τοῦ ἀγεννήτου, ἀλλά, σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ. [ὅτε ἀπεκάλυψεν αὐτῷ ὁ πατὴρ στολος τοῦ
τὴν σοφίαν, οὐκ ᾔδει καταλαβεῖν;] μὴ γὰρ οὐκ ἠδύνατο εἰπεῖν ὁ Χριστὸς τοῖς ἀποστόλοις, ὅτε Κυρίου,
ἐκέλευσεν αὐτοῖς βαπτίζειν, πορευθέντες βαπτίσατε τὰ ἔθνη εἰς τὸ ὄνομα τοῦ ἀγεννήτου καὶ
γεννητοῦ; ἀλλ' ὄνομα εὗρε σοφώτερον τῶν μυστικῶν παραδόσεων. περιγράφεις τὰ θεῖα, γρ. ζητήματα
ἀναιρεῖς τὴν πίστιν, καὶ εἰσάγεις ζήτησιν. ἀλλὰ φοβήθητι, ἐχθρέ. Πέτρος κατέχει τὰς κλεῖς. ξένα καὶ ἀνθ
ἐπειδὴ εἶπε, σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, κλεῖς* ἔλαβεν. οὓς δ' ἂν βλέπῃ Πέτρος υἱὸν λέ- πεια
γοντας, τούτοις ἀνοίγει τὴν θύραν τῆς βασιλείας· ὅσους δὲ ἐὰν εὕρῃ κτίσμα λέγοντας καὶ βλα- * οὐρανοῦ
σφημοῦντας, τούτοις ἀποκλείει τὰς θύρας τῆς ἐκκλησίας. οὐ πρότερον γὰρ ἔλαβε τὰς κλεῖς, ἕως
Ματθ. ιϛ. ιζ. εἶπε, σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ, τότε κἀκεῖνος ἀκούει παρ' αὐτοῦ· μακάριος εἶ Σίμων Βὰρ Ἰωνᾶ· σοὶ
δώσω τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν. μετὰ τὴν ὁμολογίαν ἡ ἐξουσία, μετὰ τὴν πίστιν ἡ παράδοσις τῆς
ἐκκλησίας καὶ τῆς βασιλείας. ἀλλ' οἱ μὲν κατὰ τοῦ υἱοῦ στρατεύονται, οἱ δὲ κατὰ τοῦ ἁγίου πνεύματος
παρατάττονται. οὐδὲν δὲ ὄφελος τῶν Χριστὸν μὲν ὁμολογούντων, καὶ πνεῦμα ἅγιον ἀθετούντων· ὥσπερ
οὐδὲν ὄφελος τῶν τὸν πατέρα ὁμολογούντων, καὶ υἱὸν ἀθετούντων. ὁμολογοῦσι γὰρ καὶ
Ἰουδαῖοι τὸν πατέρα, τὸν υἱὸν ἀρνούμενοι, καὶ οὐκ ἔχουσι ζωὴν αἰώνιον. ὁ παρορῶν τοῦ υἱοῦ τὴν
δόξαν, οὐδὲ κλέος παρὰ τῷ πατρί. πρόσεχε ἀκριβῶς· καὶ γὰρ οἱ φίλοι τοῦ Ἰὼβ τῷ Θεῷ μὲν
συνῆλθον, τὸν δὲ Ἰὼβ κατέκριναν. ὁ δὲ Θεὸς οὐδὲ τοὺς συνηγορήσαντας αὐτῷ ἀπεδέξατο,
Ιωβ. μβ. ζ. ἀλλὰ λέγει· Διὰ τί καταλαλήσατε κατὰ τοῦ θεράποντός μου Ἰώβ; εἰ κατὰ τοῦ Ἰὼβ εἰρηκότας γρ. [illegible]
τοὺς φίλους καὶ αὐτὸν δοξάσαντας οὐκ ἐδέξατο, τοὺς τὸν υἱὸν ἀθετοῦντας καὶ αὐτὸν ὁμολογοῦν- [illegible]
τας

τὰς δέξηταί ποτε; οὐδαμῶς. Ὁ γάρ, φησι, μισῶν ἐμέ, καὶ τὸν πατέρα μου μισεῖ. ὁμοίως ὥσπερ οὐ δέχεται πατὴρ τὴν εἰς αὐτὸν τιμήν, τοῦ υἱοῦ ἀθετουμένου, οὕτως οὐδὲ πατὴρ καὶ υἱός, ἀθετουμένου τοῦ ἁγίου πνεύματος. Παῦλος γοῦν εὗρε ποτε τὰ αἱρετικὰ ζιζάνια ἀρχὴν μὲν λαβόντα, οὐδέποτε δὲ παρρησίαν δεξάμενα. ἐν Ἐφέσῳ γὰρ τῆς Ἀσίας εὑρίσκει τινὰς βαπτισθέντας, καὶ λέγει αὐτοῖς· Εἰ πνεῦμα ἅγιον ἐλάβετε πιστεύσαντες. οἱ δὲ ἔφησαν, οὐδὲ εἰ ἔστι πνεῦμα ἅγιον ἠκούσαμεν. Εἶτα ἡ γνησία φωνή· Εἰς τί οὖν ἐβαπτίσθητε; παιδευσάτω Πέτρος τὴν ἐκκλησίαν καὶ Παῦλος μὴ αἱρετικὰ πλέκειν συζητήματα. πόθεν ἡ δυσώνυμος ἀνομοίου προσηγορία; πόθεν τὰ αἱρετικὰ σπέρματα; ὄντως ἀπώλετο ἡ ἀλήθεια παρὰ τοῖς ἀσεβέσι, καὶ ἐκράτησεν Ἀριστοτελικὴ διδασκαλία. τοὺς ὅρους τῆς ἀνθρωπίνης φύσεως λαμβάνεις ἐπὶ τῆς θείας καὶ ἀγεννήτου, καὶ γεννητοῦ λέγεις; σὺ δέ, φησι, τί λέγεις τὸν πατέρα; ἀγέννητον λέγω, ἀλλ᾽ οὐχ ὡς σύ. λέγω ἀγέννητον τὸν πατέρα, ἐπεὶ μὴ ἐγεννήθη. ἀλλὰ καὶ τὸν Ἀδὰμ λέγω ἀγέννητον, ἐπειδὴ μὴ ἐγεννήθη, ἀλλ᾽ ἐπλάσθη. μὴ ξένιζε τοὺς ἀκροατάς. ταῦτα πλάσματα. ἀγέννητος ὁ πατήρ, καὶ πολλὰ ἕτερα ἀγέννητα. λέγεται μὲν οὖν ἀγέννητον πᾶν τὸ μὴ γεννώμενον· λέγεται ἀγέννητον καὶ πᾶν τὸ γιγνόμενον, μηδέπω γινόμενον. ἡ ἀνάστασις τῶν νεκρῶν ἀγέννητος νῦν. γενήσεται γάρ, ἀλλ᾽ οὔπω γέγονεν, καὶ ἔστιν ἀκατασκεύαστος, μηδέπω γενομένη. λέγεται ἀγέννητον καὶ τὸ μηδέποτε μήτε γινόμενον, μήτε γενέσθαι ὀφεῖλον, οἷα πολλὰ ἀγέννητα· ἐπεὶ οὖν οἱ προφῆται, καὶ Δανιὴλ μὲν λέγει· Ἐθεώρουν τέσσαρα θηρία ἐξερχόμενα ἐκ τῆς θαλάσσης, καὶ ἦν τὸ πρῶτον θηρίον ὡσεὶ λέαινα, καὶ πτερὰ αὐτῷ ὡς ἀετοῦ. καὶ ποῦ, εἰπέ μοι, ἐθεάσω θηρίον λεαίνης οὕτω διεσκευασμένην ἔχον τὴν κατάστασιν; ποῦ εἶδες θηρίον ἔχον ὄνυχας σιδηροῦς καὶ ὀδόντας χαλκοῦς; ταῦτα δὲ εἰς θεωρίαν ἀνέπλαττεν ὁ προφήτης· οὐ μὴν ἐγένετο, οὐδὲ γενήσεται, ἀλλ᾽ ἔστι τὸ θηρίον ἐκεῖνο ἀγέννητον, μηδὲ πώποτε γενόμενον, ἀλλ᾽ ὠνομάσθη μόνον. ποῖαι γυναῖκες ἐγένοντο πτερὰ ἔχουσαι, οἵας οἶδε Ζαχαρίας πτερὰ φερούσας; ποῦ ἐθεάσω πάρδαλιν ἔχουσαν πτερά; ταῦτα δὲ πάντα ἐξηγεῖται ὁ μακάριος Δανιήλ. ἢ ποῦ ἐθεάσω ἀνδριάντα ἀπὸ χρυσοῦ καὶ ἀργύρου καὶ χαλκοῦ καὶ σιδήρου καὶ ὀστράκου τὴν κατασκευὴν ἔχοντα, οἷον εἶδε Δανιήλ; ἕκαστον δὲ τούτων ἀγέννητον. οὐ γὰρ ἐγένετο, ἀνεγράφη δὲ ὡς πλάσμα καὶ θεωρία. μὴ τοίνυν νομίσῃς μέγα τι τῷ πατρὶ χαρίζεσθαι τῷ λέγειν αὐτὸν ἀγέννητον, διὰ τὸ πολλὰ καὶ ἕτερα μὴ γεγεννημένα λέγεσθαι ἀγέννητα. οἶδα ὅτι βαθὺς ὁ λόγος· ἀλλ᾽ ἵνα ἐλέγξω τὴν αἱρετικὴν κακίαν, εἰς τούσδε τοὺς τόπους ἐλήλυθα. λέγεται καὶ ἄνθρωπος ἀγέννητος ὁ μὴ γεννηθείς. καὶ εἰ μὴ ἐγεννήθη, φησι, πῶς λέγεται; δείκνυμί σοι ἄνθρωπον μὴ γεννηθέντα. λέγει οὖν ὁ σωτὴρ περὶ Ἰούδα τοῦ προδότου· Οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι᾽ οὗ παραδίδοται ὁ υἱὸς τοῦ ἀνθρώπου. συνέφερεν αὐτῷ, εἰ μὴ ἐγεννήθη. καὶ πῶς αὐτῷ συνέφερε; τῷ γὰρ μὴ ὄντι οὐδὲν οὔτε συμφέρει, οὔτε ζημίαν φέρει. καὶ Σολομὼν δὲ μακαρίζει ἄνθρωπον τὸν μὴ γεννηθέντα, τάδε λέγων· Μακάριος ὁ τεθνηκὼς μᾶλλον ἢ ζῶν, καὶ ὑπὲρ τοὺς δύο ὁ μὴ γεννηθείς. καὶ εἰ μὴ ἐγεννήθη, πῶς μακάριος; βλέπε ὀνόματα ἀγεννήτου φύσεως. εἶπεν ἄνθρωπον τὸν μὴ γεννηθέντα μηδὲ πλασθέντα μακάριον. ὥστε ἡ τοῦ ἀγεννήτου προσηγορία οὐ φύσιν θείαν ἑρμηνεύει, οὐδέ, ὡς σὺ λέγεις, ἀγέννητον οὐσίαν σημαίνει, οὐ τιμὴν τῷ πατρὶ φέρει, ὄντων καὶ ἑτέρων παρὰ τῷ προφήτῃ ὀνομάτων ἀγεννήτων τε καὶ γεννητῶν, καθὰ προαποδέδεικται, ἀλλὰ τὸ μὴ γεγονὸς δείκνυσι μόνον. ἀλλ᾽ εἴπωμεν πρὸς αὐτοὺς μετὰ τοῦ Δαβίδ· Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ᾽ οὐχ ὡς ὁ νόμος σου, Κύριε. τὴν Πέτρου δέξαι φωνήν, τὴν Παύλου διδασκαλίαν. Χριστὸς κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. τὸ πνεῦμα τὸ ἅγιον προσκυνείσθω, ἀνυμνείσθω, δοξαζέσθω. ἐκ τῶν θείων γραφῶν θεολογούμενον, κἂν θέλωσιν οἱ ἐχθροί, κἂν μή. μαρτυρήσει δέ μοι καὶ Παῦλος λέγων· Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε; καὶ τίς ὁ κατοικῶν; καὶ πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν. ἄλλο οὖν ναός, καὶ

ἄλλος

Ἰωαν. ιε. κγ.
Πρ. ιθ.
Δαν. ζ. γ.
Ματθ. κς. κδ.
Ἐκκλησ. δ. γ.
Ψαλ. ριη. πε.
Ῥωμ. θ. ε.
α Κορ. γ. ις.

ἄλλος ὁ ἐνοικῶν. Πραξ. ε. γ. οὐκ ἤκουσας Πέτρου λέγοντος· Ἀνανία, ἵνα τί ἐπείρασεν ὁ Σατανᾶς τὴν καρδίαν σου ψεύσασθαί σε τὸ πνεῦμα τὸ ἅγιον; καὶ ἐπήγαγεν, οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ. ἀλλά φασιν οἱ αἱρετικοὶ, οὐ τὸ πνεῦμα ἐκάλεσε Θεὸν, ἀλλ' ἐπειδὴ τὸ πνεῦμα ἐκ τοῦ Θεοῦ ἀπεστάλη, ὁ ὑβρίζων, φησὶ, τὸ πνεῦμα, τὸν Θεὸν ὑβρίζει τὸν ἀποστείλαντα τὸ πνεῦμα. ἀλλ' ἄφρον καὶ ἀλόγιστε (οὐδεμία γὰρ ἄλλη πρέπουσα τῷ ἀθέῳ προσηγορία, Ψαλ. ιϛ. α. εἰ μὴ ἡ τοῦ ἄφρονος. Εἶπε γὰρ ἄφρων ἐν καρδίᾳ αὐτοῦ οὐκ ἔστι Θεός) οὐκ εἶπεν, ὡς σὺ ἐνόησας. Εἰ γὰρ ἡ τοῦ πνεύματος ὕβρις εἰς Θεὸν * διέτρεχεν ὡς ἀποστείλαντα, ἐχρῆν εἰπεῖν, οὐκ ἐψεύσω τῷ πνεύματι, ἀλλὰ τῷ Θεῷ. ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον. δεῖ γὰρ τῇ ἀποστολικῇ χορείᾳ παραχωρῆσαι τὴν ἁγίαν τριάδα, ἣν ὁ πατὴρ καταγγέλλει. τριὰς ἀποστόλων, μάρτυς τῆς οὐρανίου τριάδος. χορεύσωμεν οὖν εἰλικρινῶς, καὶ εἴπωμεν, Ἡσ. νδ. α. Πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα· ἤγουν ἡ πᾶσα αἵρεσις ἡ ἄνθρωπον ἔχουσα διδάσκαλον, καὶ οὐ Θεόν. γένοιτο δὲ εὐχαῖς καὶ πρεσβείαις τοῦ κοινοῦ πατρὸς καὶ διδασκάλου, ἀποστόλοις πάντας ἡμᾶς καὶ μάρτυσιν ἐν ὀρθοδόξῳ πίστει συναυλίζεσθαι, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* ἐκ.

Ἰωαν. ζ. ιε.
Ματθ. κδ. λϛ

Λογ. ρκζ. ΕΙΣ ΤΟ ΡΗΤΟΝ ΤΟΥ ΕΥΑΓΓΕΛΙΟΥ, ΕΝ Ω ΕΛΕΓΟΝ οἱ Ἰουδαῖοι περὶ τοῦ σωτῆρος, Πῶς οἶδε γράμματα μὴ μεμαθηκώς; καὶ εἰς τὸ ῥητὸν τοῦ σωτῆρος, ὅτι Οὐδεὶς οἶδε τὴν ἡμέραν ἐκείνην.

Ex Ms. Caſareo.

ΦΕρε πάλιν τῆς εὐαγγελικῆς ἀπαρξώμεθα ναμάτων· φέρε μεθ' ὑμῶν τὸ διειδὲς καὶ καθαρὸν ἀρυσώμεθα ῥεῖθρον, πειθόμενοι τῷ προφήτῃ λέγοντι· Ἡσ. ιβ. γ. Ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. μία ἐστὶ πάντων τῶν ἀγαθῶν ἡ πηγὴ, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ πᾶσαν γνῶσιν καὶ πᾶσαν σοφίαν ἀνομβρήσας. καὶ θαυμάζω πῶς ξενίζονται οἱ Ἰουδαῖοι, ὅτι γράμματα οἶδε μὴ μεμαθηκώς. τοῦτο γὰρ ἡμῖν ἀρτίως ἀνέγνωσται, ὅτι τοῦ σωτῆρος τὴν ἔνθεον προφέροντος διδασκαλίαν, ἐθαύμαζον οἱ Ἰουδαῖοι. πῶς οὗτος, φησιν, οἶδε γράμματα μὴ μεμαθηκώς; γράμματα ζητοῦσι παρὰ τῆς πηγῆς τοῦ λόγου, μᾶλλον δὲ παρὰ τῷ Θεῷ λόγῳ· γράμματα ἀπαιτοῦσι παρὰ τοῦ Χριστοῦ, ὃς ἐπήγασε νόμον, ὃς προσήνεγκε προφητείαν· παρ' οὗ πᾶσα γνῶσις καὶ λόγος καὶ νόμος καὶ βούλημα καὶ σκέψις· πᾶσα γὰρ σοφία παρὰ Κυρίου. γράμματα ζητοῦσι παρὰ τοῦ λόγου, παρ' οὗ πάντες προφῆται ἤντλησαν, καὶ πάντες οἱ θεολόγοι ἐν ταῖς δεξαμεναῖς τῆς ἰδίας ψυχῆς ἐδέξαντο. τοῦτον ἐδέξατο Μωϋσῆς, ἐκ ταύτης τῆς πηγῆς ἤντλησαν οἱ προφῆται, Ἰωαν. α. ιϛ. ἐκ ταύτης τῆς πηγῆς πάντες οἱ ἀπόστολοι ἔλαβον. καὶ μαρτυρεῖ Ἰωάννης λέγων· Ὅτι ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν. ἀπαιτεῖς γράμματα παρὰ Θεοῦ, ὡς τῶν γραμμάτων τὸν λόγον ποιησάντων, ἢ τοῦ λόγου τὴν τῶν γραμμάτων τέχνην ἐφευρηκότος; μὴ γράμματα τὸν λόγον ἐποίησεν, ὁ λόγος τῶν γραμμάτων τὴν φύσιν εὗρε· καὶ ὥσπερ οὐκ αἱ τέχναι τὰς ὕλας εὗρον, ἀλλ' αἱ ὗλαι ταῖς τέχναις ἀφορμὰς ἐχαρίσαντο· οὕτως οὐ τὰ γράμματα τὸν λόγον ἐποίησεν, ἀλλ' ὁ λόγος τῶν γραμμάτων τὴν ἐπιστήμην εὗρεν. οὐ πρῶτα τὰ γράμματα, καὶ δεύτερος ὁ λόγος, ἀλλὰ πρῶτος ὁ λόγος, καὶ ταῦτα ἀπ' ἐκείνου ″ προηγεῖται. πάντα τὰ παρὰ τοῦ Θεοῦ, καὶ τότε ἕπεται τὰ τῆς ἐπιστήμης· οὐ τὰ βλεπόμενα ὀφθαλμὸς ἐποίησεν, ἀλλ' ὀφθαλμὸς τῶν ὁρωμένων τὴν φύσιν διέκρινεν· οὐχ αἱ τέχναι τὰς χεῖρας ἔδωκαν, ἀλλ' αἱ χεῖρες τὰς τέχνας ἐπενόησαν· οὐχ ὁ δρόμος πόδας εἰργάσατο, ἀλλ' οἱ πόδες τοῦ δρόμου τὴν φύσιν ἔδειξαν· οὕτως οὐ γράμματα λόγον ἔδειξεν, ἀλλ'

″ ἴσ. προήκ

ἀλλ' ὁ λόγος τῶν γραμμάτων τὴν ἐπιστήμην ἐφεῦρε. διὰ τί οὖν ζητεῖς τὰ δεύτερα παρὰ τῆς πηγῆς τῶν πρώτων; ὅτι γράμματα, φησιν, οἶδε μὴ μεμαθηκώς; οὐ θαυμάζεις ὅτι νεκροὺς ἐγείρει, καὶ ἐκπλήττῃ τὸ εἰδέναι γράμματα μὴ μεμαθηκότα, ἐνδεχόμενον τῇ φύσει. οἱ γὰρ ἄνθρωποι τὰ γράμματα εὑρόντες, οὐ παρ' ἑτέρου μαθόντες εὗρον, καὶ οἱ εὑρεταὶ τῶν γραμμάτων, ἄνθρωποι ἦσαν· τὸ δὲ νεκροὺς ἐγεῖραι, ὑπερβαίνει φύσιν ἀνθρώπων. τὰ μεγάλα παρορᾷς, καὶ περὶ τὰ μικρὰ ἀκριβολογῇ; πηγὴ τοίνυν πάσης σοφίας καὶ πάσης γνώσεως ὁ Χριστός· οὐδὲν αὐτὸν λανθάνει. πάντων γάρ ἐστιν εὑρετής, εὑρετὴς λέγω, οὐχ ὡς ἄλλου ποιήσαντος, ἀλλ' ὅτι αὐτὸς καὶ ποιητὴς τῆς σοφίας, καὶ εὑρετὴς τῶν ἐπὶ τῆς σοφίας θεωρουμένων. οὐδὲν αὐτὸν τῶν παρελθόντων, οὐδὲν αὐτὸν τῶν παρόντων, οὐδὲν τῶν μελλόντων λανθάνει. πηγὴ γάρ ἐστι τῶν ἁπάντων.

Εἰ τοίνυν φησὶν ὁ αἱρετικὸς (ἀνακύπτει γὰρ ἐν τῷ σίτῳ ζιζάνια) εἰ τοίνυν πηγὴ τῆς σοφίας ἐστὶ καὶ τῆς γνώσεως, πῶς περὶ τῆς ἡμέρας ἐκείνης, τουτέστι, τῆς συντελείας, ἐν ᾗ ἡ ἀνάστασις τῶν νεκρῶν, καὶ ἡ ἐπιδημία τοῦ σωτῆρος, λέγει, ὅτι οὐδεὶς οἶδεν, οὔτε οἱ ἄγγελοι, οὔτε ὁ υἱὸς, εἰ μὴ ὁ πατήρ; πῶς τοίνυν πηγὴ σοφίας, εἰ ἀγνοεῖ τὸ μέλλον; ἐγὼ δέ σε ἠβουλόμην μὴ κακοτέχνως στρέφειν τὸν λόγον, μηδὲ περιστροφὰς λόγων εἱλέσθαι, ἀλλὰ τὴν εὐθύτητα τῶν δογμάτων φέρεσθαι. διὰ τί λέγεις, εἰ πηγὴ τῆς σοφίας καὶ θησαυρός ἐστι, πῶς ἀγνοεῖ; οἶδα ὅτι βαθὺ τὸ ῥῆμα, πλὴν εἰς τὰ σύντομα ἥξωμεν. δεῖ γὰρ καταστοχάζεσθαι οὐ τῆς δυνάμεως τοῦ λόγου, ἀλλὰ τῆς δυνάμεως τῶν ἀκουόντων. φησὶ γὰρ ὁ ἀπόστολος περὶ τοῦ Χριστοῦ· Ὁδηγούμεθα εἰς ἐπίγνωσιν μυστηρίων Θεοῦ πατρὸς καὶ Χριστοῦ, ἐν ᾧ πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι. εἰ πάντα ἐν αὐτῷ, οὐδὲν αὐτὸν λανθάνει. τί οὖν φησι πρὸς τὴν ἀπόφασιν τοῦ σωτῆρος, ὅτι οὐδεὶς οἶδεν, οὔτε ὁ υἱὸς, εἰ μὴ ὁ πατήρ; ἐρωτάσθω ὁ αἱρετικὸς, τίς μείζων, ἡ ἡμέρα, ἢ ὁ πατήρ. ὁ γινώσκων τὸν πατέρα, οὐ γινώσκει τὴν ἡμέραν; Οὐδεὶς οἶδε τὸν πατέρα, εἰ μὴ ὁ υἱός. τὸν πατέρα οὖν εὗρε, τὴν πηγὴν τῆς γνώσεως οἶδε, καὶ τὴν ἡμέραν οὐκ οἶδεν; ἀλλ' ἐνδέχεται, φησιν, εἰδέναι μὲν τὸν πατέρα, ἀγνοεῖν δὲ τὰ ἐν τῷ πατρί. Εἰ ἔστι τι ἐν πατρὶ λανθάνον τὸν υἱὸν, ἔστι τι ἐν τῷ υἱῷ λανθάνον τὸν πατέρα. πόθεν τοῦτο; αὐτὸς ὅρον δέδωκεν ὁ πάντων δεσπότης, Καθὼς γινώσκει με ὁ πατὴρ, κἀγὼ γινώσκω τὸν πατέρα. περὶ τῶν ἀνθρώπων ὅταν διαλέγηται, λέγει, γινώσκω τὰ ἐμὰ, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. οὐ γὰρ ἀνισότης γνώσεως, ὅπου ἄνισος φύσις; ἄνισος γὰρ ἡ γνῶσις. γινώσκειν ἄνθρωπος δύναται Θεὸν, οὐ μὴν τὰ ἐν τῷ Θεῷ· γινώσκομεν πάντες πατέρα, ἀλλ' οὐχ ὡς ὁ υἱός· Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν. πάντες γινώσκομεν, ἀλλ' οὐχ ὡς ἐκεῖνος. ἄλλως γὰρ ὁ καρπὸς γνωρίζει τὴν ῥίζαν, ἄλλως ἡ ῥίζα τὸν καρπὸν ἑρμηνεύει, ἄλλως οἱ τὸν καρπὸν τρυγῶντες τῆς γνώσεως μεταβάλλουσιν. ἐνταῦθα δὲ τρανῆ καὶ ἀσύγχυτον δέδωκε τῆς γνώσεως τὴν ἰσότητα· καθὼς γινώσκει με ὁ πατὴρ, γινώσκω τὸν πατέρα. Εἰ ἔστι τι ἐν τῷ υἱῷ λανθάνον τὸν πατέρα, ἔστιν ἐν τῷ πατρὶ λανθάνον τὸν υἱόν. Εἶτα οὐδὲ ἐκείνην σου τὴν φωνὴν ᾔδει, αἱρετικὲ, δι' ἧς ἀποστερεῖς τὸν υἱὸν τῆς γνώσεως; ἑτέρῳ λόγῳ τὸ πνεῦμα τὸ ἅγιον ὅπου ἀρνῇ, μεῖζον τοῦ υἱοῦ κατὰ τὴν σὴν γνῶσιν ἐργάζῃ. λέγει γὰρ περὶ τοῦ ἁγίου πνεύματος ὁ Παῦλος· τὸ πνεῦμα τὸ ἅγιον πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ. τὸ πνεῦμα τὸ ἅγιον οἶδε τὰ βάθη, ὁ δὲ υἱὸς ἀγνοεῖ τὴν ἡμέραν; Εἰ τοίνυν, φησὶν, οἶδε, διὰ τί εἶπεν, οὐκ οἶδα; ἀπὸ μὲν τῆς τῶν λογισμῶν ἀκολουθίας, καὶ τῆς τῶν γραφῶν μαρτυρίας ἀποδέδεικται, ὅτι πηγὴ τῆς γνώσεως καὶ σοφίας ἐστί. τίνος δὲ ἕνεκεν, ἃ ἔχει, ἀρνεῖται, καὶ τὴν γνῶσιν, ἣν αὐτὸς πηγάζει, ταύτην λέγει αὐτὸς μὴ ἔχειν; Εἶπε γὰρ ὅτι οὐδεὶς οἶδε τὴν ἡμέραν. δεῖ δὲ, ἀδελφοὶ, τὸν σκοπὸν τοῦ σωτῆρος ἐρευνᾷν καὶ ἐρωτᾷν, τί λέγει, καὶ περὶ τίνος, καὶ πρὸς τίνας, καὶ πότε. οὐ γάρ ἐστιν ἁπλῶς βασανίζειν ῥήματα, καὶ ἐξετάζειν λεξείδια, ἀλλὰ ταύτης τῆς ἐννοίας καταστοχάζεσθαι τῆς δυνάμεως. οὐ πάντα γὰρ, ὅσα ὁ σωτὴρ διαλέγεται, πρέποντα τῇ οἰκείᾳ ἀξίᾳ διαλέγεται.

Ματθ. κδ. λϛ.

γ. ἐλέσθαι

Κολασ. ϐ. γ.

Ιωαν. ι. ιε.

Ιωαν ιζ. γ.

ἴσ. μεταλαμβάνουσιν.

α. Κορ. ϐ. ι.

διαλέγεται, ἀλλὰ τὰ ἁρμόζοντα τῇ ἡμετέρᾳ ἀσθενείᾳ. ἄλλως διαλέγεται πιστοῖς, ἄλλως διαλέγεται ἀπίστοις. οἶδα ταύτην τὴν ἔννοιαν προειρηκὼς ἐν ὑμῖν· ἀλλ' οὐδὲν κωλύει ὁδεῦσαι διὰ τῆς αὐτῆς ἐννοίας, καὶ δεῖξαι ἀληθεύουσαν τὴν ἀπόδειξιν τῶν πραγμάτων. πρὸς Ἰουδαίους ἦν ὁ λόγος, Ἰουδαίους τοὺς τοσοῦτον ἀπέχοντας τοῦ ὕψους τῆς θεότητος, ὅσον ἀποχωρίζεται γῆ οὐρανοῦ, ὡς ἔλεγεν ὁ Θεός· Ἠσ. νε. θ. Καθ' ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, ἀπέχουσιν αἱ ὁδοί μου ἀπὸ τῶν ὁδῶν ὑμῶν, καὶ αἱ βουλαί μου τῶν βουλῶν ὑμῶν. διελέγετο τοίνυν ἀπίστοις καὶ ἐπειδὴ ἐνόμιζον αὐτὸν ἀντίθεόν τινα, ἀντιπολιτευόμενον τῇ θείᾳ γνώσει, καὶ ἐναντίον τῷ νόμῳ Μωϋσέως, πανταχοῦ τὸ ἴδιον ἀξίωμα κρύπτων, ἐπὶ τὴν τοῦ πατρὸς ἀξίαν ἀναφέρει τὸ πᾶν, ἵνα δείξῃ Ἰουδαίους οὐκ αὐτῷ ἀντιλέγοντας, ἀλλὰ τῷ πατρὶ μαχομένους. ἀλλὰ πρὸς μὲν Ἰουδαίους πολλάκις ἁρμόζει τὰς οἰκείας αὐτῶν προαιρέσεσι τὰς λέξεις προσφέρων, οὐχ ὅτι τοῖς ἡμετέροις ἤθεσι συμμεταβάλλεται ὁ θεῖος λόγος, ἀλλ' ὅτι, ὡς ἰατρὸς ἁρμόζων τὰ φάρμακα τοῖς τραύμασιν, ἐπειδὴ ἐν Ἰουδαίοις ἐξεταζόμενος τοῖς ἀπηρνημένοις αὐτοῦ οὐ μόνον τὴν θεότητα, ἀλλὰ καὶ τὴν ἀνθρωπότητα. ἐνόησον γὰρ ὅσοι ἀπεῖχον τοῦ φαντασθῆναι υἱὸν Θεοῦ, ὅτι οὐδὲ ἄνθρωπον καθεστηκότα τὸν Κύριον ὑπελάμβανον. ἔλεγον γάρ, Δαιμόνιον ἔχει, καὶ δαιμονιῶντα ὑπελάμβανον τὸν υἱὸν τοῦ Θεοῦ. ἐπεὶ τοίνυν ἑώρα Ἰουδαίους ἀντιλέγοντας, καὶ τοὺς ἑαυτοῦ μαθητὰς ὡς ἀνθρώπους πολυπραγμονοῦντας τὰ μέλλοντα (φίλον γὰρ ἀεὶ τοῖς ἀνθρώποις, τοῖς μέλλουσιν ἐπιβάλλειν, καὶ τὰ μέλλοντα προειδέναι· ἀμέλει γοῦν καὶ ἐν τῇ κοινῇ ἀναστροφῇ, ἐάν τις, ἃ μανθάνουσι πάντες μετὰ μίαν ἡμέραν, προλαβὼν μάθῃ πρὸ μιᾶς ἡμέρας, χαίρει ὡς μέγα τι εὑρηκώς, καὶ ὥσπερ ὁ πάντων τὴν γνῶσιν λαβών. φίλον οὖν τοῖς ἀνθρώποις τὰ μέλλοντα διερευνᾶν) εἶδε τοίνυν τὸν πόθον ἐν τοῖς ἀποστόλοις ἀκμάζοντα ὁ σωτήρ, καὶ ζέοντα τὸν ἔρωτα περὶ τὴν γνῶσιν τῶν μελλόντων, καὶ ἃ ἔχει, ἀρνεῖται, ἵνα κολάσῃ τὴν ἄκαιρον ἐπιθυμίαν, Πραξ. α. ϛ. Πότε ἀποκαθιστᾷς τὴν βασιλείαν τοῦ Ἰσραήλ; εἶτα ἐπιστομίζων τὴν ἀνθρωπίνην περιπέτειαν τὴν βουλομένην ἐπιβάλλειν τοῖς μέλλουσι, καὶ τὰ τοῦ Θεοῦ περιεργάζεσθαι, λέγει· Οὐκ ἔστιν ὑμῶν γνῶναι χρόνους ἢ καιρούς. ὑπερβαίνει τὴν ἀνθρωπίνην φύσιν τὸ μέτρον τῆς γνώσεως. μὴ πολυπραγμόνει τὰ μέλλοντα περὶ τῶν πραγμάτων, ἀλλ' ἐκδέχου μόνον, καὶ πίστευε τοῖς μέλλουσι· παρασκεύασον σεαυτὸν πρὸς τὴν τοῦ μέλλοντος δικαστοῦ παρουσίαν. ἐκείνου φρόντισον, οὐχ ἵνα μάθῃς πότε ἡ ἡμέρα, ἀλλ' ἵνα μάθῃς ποταπή σοι ἀπαντήσῃ ἡμέρα. διὰ τοῦτο ὁ προφήτης τοὺς πολυπραγμονοῦντας περὶ ταύτης τῆς ἡμέρας καὶ λέγοντας, πότε ἔρχεται ἡ κρίσις, πότε ἡ ἀνάστασις, Αμ. ε. ιη. μεμφόμενος καὶ ἐπιστομίζων ἔλεγεν· Οὐαὶ οἱ ζητοῦντες τὴν ἡμέραν Κυρίου, ἵνα τί αὕτη ὑμῖν ἡ ἡμέρα τοῦ Κυρίου; Σοφον. α. ιε. αὐτὴ οὖν, διατί σπουδάζετε ἰδεῖν τὴν ἡμέραν Κυρίου; ἡ ἡμέρα Κυρίου πικρὰ καὶ σκληρὰ τέτακται, δυνατὴ ἡμέρα, ὀργῆς ἡ ἡμέρα ἐκείνη, θλίψεως καὶ ἀνάγκης. τὸν φόβον παρέστησεν, ἵνα κολάσῃ τὴν περιπέτειαν. ἐπεὶ οὖν ἐπόθουν εἰδέναι τὰ μέλλοντα τὴν ἀνθρωπίνην τάξιν ὑπερβαίνοντα, ὁ σωτὴρ ἔλεγεν· οὐκ ἔστιν ὑμῶν γνῶναι χρόνους ἢ καιρούς. εἶτα ἵνα μὴ νομισθῇ κατὰ φθόνον κωλύειν τὴν γνῶσιν, συμπεριλαμβάνει ἑαυτὸν τοῖς ἀγνοοῦσιν, ἵνα παραμυθήσηται τῶν ἀνθρώπων τὴν ἄγνοιαν. οὐκ οἴδασί, φησιν, οὔτε οἱ ἄγγελοι. τί φαντάζεσθε ὑπὲρ ἀγγέλους; οὐδὲ ὁ υἱὸς οἶδε. διατί ὑπὲρ ἐμὲ φαντάζῃ; ὅταν δὲ ἀκούσῃς υἱόν, μέρισον τῇ διανοίᾳ τὸ πρᾶγμα. ἰσ. κοι υἱὸς γὰρ λέγεται κατὰ κοινῷ καὶ ἡ θεότης καὶ ἡ ἀνθρωπότης. καὶ ἵνα μάθῃς ὅτι υἱὸν καλεῖ ἡ γραφή, καὶ τὴν σάρκα τοῦ σωτῆρος, καὶ τὴν οἰκονομίαν, α. Ιωαν. α. ζ. λέγει ἀλλαχοῦ· Καὶ τὸ αἷμα Ἰησοῦ τοῦ υἱοῦ αὐτοῦ καθαρίσει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας. τὸ αἷμα, οὐ θεότης, ἀλλὰ ἀνθρωπότης· οὕτω καὶ τὴν ἀνθρωπότητα υἱὸν ὀνομάζει. καὶ ὅταν εἴπωμεν ὁ υἱὸς τοῦ Θεοῦ ἔπαθεν, ὁμολογοῦμεν τί τὸ παθητόν, τί τὸ ἀπαθές. ὅταν εἴπωμεν, ὅτι ὁ υἱὸς τοῦ Θεοῦ ὁ μονογενὴς ἐσταυρώθη, μερίζωμεν τὸ ἀπαθές, καὶ χωρίζωμεν τὸ παθητόν. καὶ γὰρ ἐφ' ἡμῶν τῶν ἀνθρώπων πολιτεύεται ῥήματα. κατὰ πάσης μὲν τῆς ἀνθρωπίνης ὑποστάσεως εὑρίσκεται, μερίζεται δὲ τῇ ἐπινοίᾳ τοῦ λογισμοῦ. ἐὰν εἴπωμεν, ὅτι ὁ δεῖνα τέθνηκε, νοοῦμεν τί τὸ τεθνηκὸς, σῶμα, καὶ τί τὸ ἀθάνατον, ἡ ψυχή· καὶ οὐκ ἐπειδὴ κατὰ παντὸς τοῦ ὀνόματος ἡ τοῦ θανάτου προσηγορία φαίνεται, τὸ πᾶν τοῦ ἀνθρώπου λεγόμενον ἀπολέσθαι· οὐ γὰρ πάντως ἀνάγκη λέγειν, τὸ σῶμα τοῦδε ἀπέθανε. καὶ τὸ μὲν ὄνομα κοινὴν δέχεται τοῦ θανάτου τὴν προσηγορίαν, ὁ δὲ λογισμὸς τέμνει τὴν προσηγορίαν, τί τὸ ἀποθανὸν, τί δὲ τὸ μὴ τεθνηκός· ἐπεὶ καὶ ὁ σωτὴρ κοινὴν ἀποφαίνεται φωνὴν τοῦ θανάτου κατὰ τῶν ἁγίων λέγων· Παραστήσουσιν ὑμᾶς εἰς συνέδρια, καὶ ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, καὶ ἀποκτενοῦσιν ὑμᾶς. καὶ ἀπεφήνατο κοινῇ, διέτεμε δὲ αὐτὸς τῇ ἰδίᾳ διδασκαλίᾳ. Μὴ φοβηθῆτε γὰρ, φησιν, ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. οὕτω καὶ ἐν ἑτέρῳ ποιεῖ ὁ σωτήρ. ὥσπερ γὰρ ἐνταῦθα τὴν γνῶσιν ἐχόντων λέγει· οὐδεὶς οἶδε τὴν ἡμέραν, οὐδὲ ὁ υἱὸς, ἀντὶ τοῦ, οὐδὲ ἐγὼ τὸ φαινόμενον σχῆμα. οὐ γὰρ ὁ υἱὸς ἀγνοεῖ, ἐν ᾧ πάντες εἰσὶ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι. οὐκ ἀγνοεῖ ὁ γινώσκων τὸν πατέρα, καθὼς γινώσκεται ὑπὸ τοῦ πατρός. ἔχεις τοίνυν τὴν λύσιν, ὅτι τὸ ὄνομα τοῦ υἱοῦ λαμβάνεται καὶ εἰς τὸ τῆς θεότητος ἀξίωμα, καὶ εἰς τὸ τῆς οἰκονομίας σχῆμα. ἀγνοεῖ τοίνυν κατὰ τὸ σχῆμα τῆς ἀνθρωπότητος, ὁ γινώσκων τὰ πάντα κατὰ τὴν δύναμιν τῆς θεότητος.

Ματθ. ι ιζ.
Ματθ. ι. κη.

Τοῦ αὐτοῦ ἐστι φωνὴ, Ἐὰν ἐγὼ μαρτυρήσω περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής· τοῦ αὐτοῦ ἐστι διδασκαλία, Κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστιν. εἰ ἀληθὴς, πῶς οὐκ ἀληθής; εἰ οὐκ ἀληθὴς, πῶς ἀληθής; μάχεται τὰ ῥήματα, ἀλλὰ συμφωνεῖ τὰ νοήματα. ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκεν. ἀνέβη εἰς τὸ ἱερὸν ὁ τοῦ ἱεροῦ δημιουργὸς, ὁ τῆς λατρείας δεσπότης ἐλάλει ἐν τῷ ἱερῷ, ἵνα πληρωθῇ ἡ προφητεία τοῦ λέγοντος, Καὶ ἐξαίφνης ἥξει εἰς τὸν ἑαυτοῦ ναὸν ὁ Κύριος, ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ ἄγγελος τῆς διαθήκης, ὃν ὑμεῖς θέλετε· καὶ Κύριον αὐτὸν καλεῖ καὶ ἄγγελον. ὢ τῶν θείων μυστηρίων, ὢ τῆς ἐνδόξου καὶ προφητικῆς μυσταγωγίας. ἐξαίφνης ἥξει εἰς τὸν ἑαυτοῦ ναόν. Θεοῦ ναός· καὶ λέγει αὐτοῦ εἶναι τὸν ναὸν, ὡς μὴ νομίσαι ἑτέρου εἶναι τοῦ πατρὸς τὴν δεσποτείαν, καὶ ἑτέρου εἶναι τοῦ υἱοῦ τὴν βασιλείαν. τὸν ναὸν τοῦ πατρὸς, ὃν ἀνέθηκε Σολομὼν τῷ Θεῷ, τοῦτον τὸν ναὸν τοῦ σωτῆρος καλεῖ ὁ προφήτης. ἐξαίφνης ἥξει εἰς τὸν ἑαυτοῦ ναὸν ὁ Κύριος. ὅταν τοίνυν ναὸς τοῦ πατρὸς ᾖ, ναὸς τοῦ υἱοῦ ἐστιν· ὅταν ναὸς ᾖ τοῦ υἱοῦ, ναός ἐστι τοῦ πατρός. διὰ τοῦτο καὶ αὐτὸς ὁ σωτὴρ, ὅτε ἀπελαύνει τοὺς Ἰουδαίους τινὶ φραγελλίῳ, ὃ κατεσκεύασεν ἀπὸ σχοινίων, λέγει· Ἐκβάλετε ταῦτα ἐντεῦθεν, καὶ μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου, οἶκον ἐμπορίου. ὁ αὐτὸς πάλιν, Ἐκβάλετε ταῦτα ἐντεῦθεν. ὁ γὰρ οἶκός μου, οἶκος προσευχῆς κληθήσεται. ὁ οἶκος τοῦ πατρός μου, καὶ ὁ οἶκός μου. καὶ ἀλλαχοῦ ὁ μὲν εὐαγγελιστὴς λέγει· Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐκ ἐδέξαντο. περὶ Ἰουδαίων λέγει (Ἰουδαῖοι γὰρ ἦσαν) ἐπειδὴ αὐτὸς αὐτοὺς διὰ νόμου ἐφώτισε, καὶ διὰ προφητῶν ὡδήγησε· καὶ ἦν παρὰ Ἰουδαίοις ἰδίᾳ τοῦ πατρός. ὅτε γὰρ ἐζήτει αὐτὸν * προσιοῦσα, καὶ ἔφησε, Τέκνον, τί ἐποίησας ἡμῖν, περιερχόμεθα ζητοῦντές σε, ἀποκρίνεται, οὐκ οἴδατε ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ με εἶναι; ἀνέβη οὖν εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκε, καὶ ἐπληρώθη ἑτέρα προφητεία· Αὐτὸς ὁ λαλῶν, πάρειμι. ἐδίδασκεν οὐχ ὑβριζούσης τῆς διδασκαλίας τὴν ἀξίαν, διδάσκαλος δὲ διὰ τὴν φιλανθρωπίαν. μὴ, ὅταν ἀκούσῃς ὅτι ἐδίδασκε, νομίσῃς αὐτὸν ἕνα τῶν διδασκάλων τῶν λοιπῶν εἶναι. εἰ δὲ τὸ, ἐδίδασκε, σε σκανδαλίζει, ἐὰν ἀκούσῃς λέγοντος, Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου, ἀγνοεῖς τὴν ἀξίαν, καὶ οὐ θαυμάζεις τὴν διδασκαλίαν. ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερόν. οὐδαμοῦ εὑρίσκεις καταβαίνοντα. ἀνέβαινεν ἀπὸ Ἱεριχὼ εἰς Ἱεροσόλυμα, ἀνέβη εἰς τὸ ὄρος. ὅπου γὰρ Θεὸς, ἐκεῖ καὶ ἀνάβασις. Μακάριος ἀνὴρ, οὗ ἐστιν ἀντίληψις αὐτοῦ παρὰ σοῦ, Κύριε, αἱ ἀναβάσεις σου ἐν τῇ καρδίᾳ αὐτοῦ. ὅπου ἀρετὴ, ἀνάβασις, ὅπου κακία, κατάβασις. Ῥῦσαί με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον. ἐθαύμαζον οἱ Ἰουδαῖοι, πῶς οὗτος οἶδε γράμματα

μὴ

Ιωαν. ε λα.
Ιωαν. η ιδ.
Μαλαχ. γ. α.
Ιωαν. β ιϛ.
Λουκ. ιθ. μϛ.
Ιωαν. α ια.
Λουκ. β. μη.
Ψαλμ. ριη ιβ.
Ψαλμ. πγ. ε.
Ψαλμ. κζ γ.

* ἡ μήτηρ

Ἐξοδ. ιε. ιϛ.

Ἰωαν. ζ. ιϛ.

μὴ μεμαθηκώς. καὶ τὸ, σταυρός, ὑπερηφανίας ῥῆμα, ἐξουθενώσεως ἐπάγγελμα, σχῆμα κακίας. πῶς σταυρός; σὺ μὲν λέγεις ὑβρίζων, ὦ Ἰουδαῖε, πῶς σταυρός; ἐγὼ δὲ λαμβάνω δοξάζων. ἔστι γὰρ εἰπεῖν μετὰ ὕβρεως, τὸ σταυρός, καὶ ἔστιν εἰπεῖν μετὰ δόξης, τὸ σταυρός. σὺ λέγεις ὑβρίζων, πῶς σταυρὸς οἶδεν· ἐγὼ δὲ λέγω μετὰ Μωϋσέως, Οὗτός μου Θεὸς, καὶ δοξάσω αὐτόν. ἐλέγχει Ἰουδαίων τὴν ἀπιστίαν, στηλιτεύει τοῦ λαοῦ τὴν ἀπείθειαν, δείκνυσιν ἑαυτὸν πηγὴν σοφίας, καὶ πηγὴν πάσης γνώσεως, καὶ λέγει, Ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμὴ, ἀλλὰ τοῦ πέμψαντός με πατρὸς, πανταχοῦ δεικνὺς, ὅτι ὡμολογημένως Θεομάχοι εἰσὶν οἱ τὸν ἀμφιβαλλόμενον μὴ δεξάμενοι. ἐπειδὴ πεπίστευτο παρ' αὐτοῖς ὁ Θεὸς, ἀμφεβάλλετο δὲ παρ' αὐτοῖς ὁ Ἰησοῦς, ἑαυτοῦ κρύπτει τὴν ἀξίαν, καὶ προφέρει τοῦ πατρὸς τὴν αὐθεντίαν, δεικνὺς ὅτι ὁ Χριστῷ μαχόμενος, Θεῷ μάχεται. ἀλλὰ νομίζεις εἰρωνείαν τὸ πρᾶγμα, καὶ κατασκευὴν ῥημάτων, καὶ οὐκ ἀπόδειξιν πραγμάτων. ἐξ αὐτῶν δέχου τῶν πραγμάτων τὸν ἔλεγχον. κατὰ τὸν λόγον τὸν σὸν, ὦ Ἰουδαῖε, τὸν ἐξουθενοῦντα Χριστὸν, καὶ ἐκφαυλίζοντα τὰ τοῦ σωτῆρος πράγματα, σταυρὸς οὔτε κατὰ Θεόν ἐστιν, οὔτε νόμῳ στοιχεῖ, ἀλλὰ μάχεται τῇ εὐσεβείᾳ κατὰ τὸν λόγον τῶν ἀσεβούντων. σὺ δὲ καὶ ὑπερμαχεῖς τοῦ νόμου, καὶ ὑπεραγωνίζῃ τοῦ θείου λόγου, καὶ ἐκδικεῖς Θεὸν κατὰ τὸν σὸν σκοπὸν, καὶ νομίζεις εὐσεβεῖν, ἀποκρουόμενος μὲν τὴν Χριστοῦ τὴν δόξαν, φυλάττων δὲ τοῦ νόμου τὴν βασιλείαν. ἴδωμεν οὖν ἐκ τῶν πραγμάτων, πῶς ψηφίζεται Θεὸς τῇ σῇ γνώμῃ, καὶ τῇ ἡμετέρᾳ γνώμῃ. κατὰ τὸν σὸν λόγον ὑπερασπίζεις Θεοῦ, καὶ μάχῃ ἀντιθέῳ τινὶ, καὶ μὴ στοιχοῦντι τῷ νόμῳ, ἀλλὰ διαλύοντι τὰ τοῦ Θεοῦ δόγματα. ἴδωμεν πῶς προσέχει ὁ Θεὸς τοῖς ἀντιποιουμένοις τοῦ λόγου, καὶ τοῖς ἀκολουθοῦσι τῷ ἀντιβαίνοντι τῷ νόμῳ. ἀπὸ τῶν πραγμάτων τῶν κοινῶν λέγω. ἐὰν τις πόλις ὑποδέξηται τύραννον, κινδυνεύει, κἂν μὴ κοινωνήσῃ τῇ γνώμῃ· καὶ ἐπειδὴ ὅλως ἐδέξατο τὸν τύραννον, συναπολαύει τῶν κινδύνων. ἐὰν δέ τις πόλις ἀποκλείσῃ τύραννον, θαυμάτων ἀξιοῦται, καὶ καρποὺς δέχεται παρὰ βασιλέως, ὅτι ἐν καιρῷ κινδύνου ἔστησε τρόπαια, τὴν γνώμην ἀσφαλῆ, καὶ οὐ προσεδέξατο παρὰ τὸν βασιλέα ἕτερον τύραννον. τοῦτο ἐποίησας, Ἰουδαῖε, κατὰ τὸν σὸν λόγον, ἐλθόντα τὸν τύραννον κατὰ τὴν σὴν ἀσέβειαν· ἀντιπολιτευόμενον τῷ νόμῳ Μωϋσέως οὐκ ἐδέξω, ἀλλ' ἀπεπέμψω, φυλάττων τῷ Θεῷ τὴν βασιλείαν ἄτρωτον. ἡ ἐκκλησία τοῦ σωτῆρος ἀνέῳξε πύλας, κατὰ μὲν σε, τυράννῳ, κατὰ ταύτην δὲ, βασιλεῖ τῆς δόξης. ἴδωμεν πῶς ὁ ἀληθινὸς ἐψηφίσατο τοῖς μὴ δεξαμένοις τὸν βασιλέα. μία πόλις αὐτὸν οὐκ ἐδέξατο, καὶ εἰς ἔδαφος ἔστρωται, τὰ Ἱεροσόλυμα· μία πόλις αὕτη τῷ βασιλεῖ τῆς δόξης ἀπέκλεισε θύρας, καὶ μὴ δεξαμένη τύραννον ἔστρωται· αἱ ἐκκλησίαι τοῦ Θεοῦ πανταχοῦ δεξάμεναι τὸ σωτήριον ἀνθοῦσι καὶ ἀκμάζουσι, καὶ εἰς τὴν ὑπερκόσμιον τιμὴν ἀνάγονται. καὶ πάλιν ἀπὸ τοῦ ἐναντίου στοχάζου· ἕως ζῇ τύραννος, ἐν εὐδοκιμήσει οἱ φίλοι οἱ τὸ πιστὸν τῆς γνώμης ἐν καιρῷ ἐνδειξάμενοι, οἱ ἐχθροὶ αὐτοῦ ἐν κινδύνῳ· ἐπειδὰν δὲ ἀποθάνῃ ὁ τύραννος, οἱ φίλοι ἐν κινδύνῳ, καὶ οἱ ἐχθροὶ ἐν παρρησίᾳ. ἴδωμεν τοίνυν μετὰ τὴν τοῦ σωτῆρος τελευτὴν, μετὰ τὴν βάσιν τὴν ἐκ τοῦ αἰῶνος τούτου πρὸς τὸν πατέρα, μετὰ τὸν παρὰ σοὶ νομιζόμενον θάνατον, μετὰ τὴν παρ' ἐμοὶ πιστευομένην ἀνάστασιν, ἴδωμεν τί μετὰ τὸ τέλος· εἰ μὲν εὐδοκιμοῦσιν οἱ ἐχθροὶ τοῦ βασιλέως, ἢ οἱ ἐχθροὶ τούτου τοῦ τυράννου, τύραννος ἀληθῶς. εἰ δὲ οἱ μὲν ἐχθροὶ ἐν αἰχμαλωσίᾳ καὶ ἐξορισμῷ, οἱ δὲ φίλοι ἐν παρρησίᾳ καὶ δόξῃ, εἰ τοῖς λόγοις οὐ πείθῃ, τὰ πράγματα δυσωπήθητι, πῶς ὕψωσεν ὁ Θεὸς τὴν Χριστοῦ βασιλείαν, πῶς καθεῖλε τοὺς παραιτησαμένους αὐτοῦ τὴν βασιλείαν. ἠδύνατο αὐτοὺς ἀνελεῖν ὁ Θεὸς, ἀρνησαμένους τὸν υἱόν· ἠδύνατο ἀποκτεῖναι τοὺς ἐχθροὺς τοῦ βασιλέως, τοὺς νομίσαντας τύραννον τὸν βασιλέα τῆς δόξης· ἀλλ' οὐκ ἀνεῖλεν αὐτοὺς, ἀλλ' ἐσκόρπισεν. εἰ ἀνεῖλεν, ἐγίνετο αὐτοῖς ἀπολογία. εἰ συνεχώρησεν ἡμῖν μένειν ἐπὶ τῆς γῆς, ἐκ τῶν πραγμάτων ἐδυσωπούμεθα ἄν· εἰ εἴδομεν τὴν γῆν πιστεύσασαν, ἐπεστράφημεν ἂν καὶ ἡμεῖς μετὰ πάσης τῆς οἰκουμένης· ἠδύναντο λέγειν οἱ ἐχθροί· ἐθεασάμεθα αὐτὸν μετὰ δώδεκα, καὶ ὡς εὐτελοῦς αὐτοῦ, κατεφρονήσαμεν.

μεν. Εἰ εἴδομεν αὐτὸν ὑπὸ βασιλέων προσκυνούμενον, ἀναντιῤῥήτως τῷ ζυγῷ τῆς εὐσεβείας προσεπίπτομεν. διὰ τί προλαβὼν ἀνεῖλες ἡμῶν τὴν μετάνοιαν, καὶ προέλαβες τῇ τιμωρίᾳ τὴν διόρθωσιν; διὰ τοῦτο, ἵνα μή τις εἴπῃ, ἐσταυρωμένον μὲν οἴδαμεν, προσκυνούμενον δὲ οὐκ ἐθεασάμεθα, οὐκ ἀναιρεῖ αὐτούς, ἀλλὰ σκορπίζει. τοῦτο γὰρ προλαβὼν καὶ ὁ προφήτης αὐτῶν ἔπεισε Δαβίδ· Μὴ ἀποκτείνῃς αὐτούς, μήποτε ἐπιλάθωνται τοῦ νόμου σου· διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου.

Ψαλμ. νη. ιβ.

Βλέπε αὐτοὺς περὶ τὰς θύρας τοῦ Χριστοῦ πωλοῦντας σανδάλια καὶ σημικίνθια· πρὸς τὰς θύρας αὐτοὺς ἔστησεν, ἵνα μάρτυρες γένωνται τῶν προσκυνούντων. βλέπε αὐτοὺς παρεστῶτας τοῖς πυλῶσι τῆς ἐκκλησίας, ὡς τοὺς ἀδελφοὺς τοῦ Ἰωσήφ. ἐννόησον ὅτι ὥσπερ οἱ ἀδελφοὶ τοῦ Ἰωσήφ, βλέποντες τοῦ ἀδελφοῦ τὴν ἀξίαν, οὐκ ἐτόλμων προσελθεῖν ὡς ἰδίῳ, ἀλλ' ἐφοβοῦντο διὰ τὴν ἀξίαν· βλέπε αὐτοὺς τρέμοντας τὴν ἀξίαν τῆς ἐκκλησίας, ἣν παρὰ τοῦ Θεοῦ ἐδέξατο, ἣν παρὰ τοῦ δεσπότου καὶ σωτῆρος τῶν ἁπάντων ἐδέξατο· βλέπε αὐτοὺς ταπεινοὺς καὶ κατεπτηχότας, ὁρῶντας τὸν ἐσταυρωμένον ἐν δόξῃ. ἐννόησον τὸ πάθος, καὶ ἐννόησον τὴν δόξαν. αἱ ὧραι τοῦ σταυροῦ τρεῖς, ἀπὸ ἕκτης ἕως ἐνάτης· ὁ καιρὸς τῆς δόξης, αἰῶνες αἰώνων, καὶ οὐκ ἀναλίσκονται. βλέπε πῶς παρῆλθεν ὡς σκιὰ τὰ τῆς ὕβρεως· βλέπε πῶς ηὔξησεν ἡ ἀλήθεια τῆς δόξης· ἀπὸ ἕκτης ἕως ἐνάτης ἡ ὕβρις, ἀπὸ τοῦ αἰῶνος ἕως αἰώνων ἡ εὐδοξία, καὶ οὐκ ἀναλίσκεται ἡ Χριστοῦ εὐφημία, οὐ δαπανᾶται αὐτοῦ ἡ δοξολογία. πάντες ἐκκενοῦσιν ἑαυτῶν τὰς φωνάς, προφῆται καὶ εὐαγγελισταὶ καὶ ποιμένες, ἐπίσκοποι καὶ διδάσκαλοι, καὶ ὑπὸ τοῦ πελάγους τῆς θεότητος οὐκ ἀναλίσκονται. καὶ ὥσπερ ἡ θάλασσα ποταμοὺς δεχομένη, οὐ καλύπτεται τοῖς ποταμοῖς, ἀλλὰ καλύπτει τὰ ῥεύματα· οὕτω πάντες οἱ λαλοῦντες περὶ τοῦ Χριστοῦ τῆς δόξης, ὑπὸ τῆς δόξης σκέπονται, καὶ τὴν δόξαν οὐ σκέπουσι. φοβερὰ ἡ τόλμα τῶν θεομάχων, ἀλλ' ἔνδοξος ἡ τιμὴ τοῦ ὑβρισμένου μὲν διὰ τὴν οἰκονομίαν, δοξαζομένου δὲ διὰ τὴν ἔνθεον ἀξίαν. ἐννόησον ὅτι ὥσπερ τρεῖς ὧραι ἦσαν τῆς ὕβρεως, αἰῶνες δὲ αἰώνων οὐ πληροῦσι τὴν τοῦ Θεοῦ δόξαν. ἐννόησον καὶ τοῦ σταυροῦ τὸν τόπον. ἆρα μιᾶς σπιθαμῆς εἶχε περίμετρον ὁ τόπος τοῦ ξύλου; εἶχε ποδὸς μέτρον ἡ πῆξις τοῦ σταυροῦ. ἐννόησον τὸ μέτρον τῆς ὕβρεως, καὶ ἐννόησον τὰ κλίματα τῆς ὑπ' οὐρανόν, ὅτι ἐπλήσθη ἡ σύμπασα τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας.

**

παρειστήκεισαν οἱ Ἰουδαῖοι τῷ σταυρῷ γελῶντες τὸ πάθος, μᾶλλον δὲ γελώμενοι ὑπὸ τοῦ πάθους· ἔβλεπον τὸν ἐσταυρωμένον, καὶ ἠγνόουν τὸν δοξαζόμενον. διὰ τοῦτο ἔλεγεν ὁ προφήτης Ζαχαρίας, ὅτι Τότε ἥξει Κύριος ὁ Θεός, καὶ ἔσται κοπετὸς μέγας ἐν Ἱερουσαλήμ. ὄψονται γὰρ εἰς ὃν ἐξεκέντησαν, ἀντὶ τοῦ, οἱ τοῖς ἥλοις προσηλώσαντες.

Ζαχ. ιβ. α. ι.

καὶ οὐκ εἶπεν, ὄψονται ὃν ἐξεκέντησαν, ἀλλ', εἰς ὃν ἐξεκέντησαν. τί ἐστι τὸ, εἰς ὅν; σταυρὸς ἦν, εἰς ὃν ἐξεκέντησαν. περὶ δὲ τῆς παρουσίας τοῦ σωτῆρος, ὥσπερ βασιλικὸν σημεῖον, τὸ λεγόμενον σίγνον κατὰ τὴν κοινὴν συνήθειαν, προτρέχει τῆς Χριστοῦ παρουσίας, ὑπὸ τῶν ἀγγέλων δοξαζόμενον. φανήσεται ὁ σταυρὸς ἐπὶ τῆς γῆς, σκέπων ἥλιον, ἀμβλύνων σελήνην, ὡς ἔλεγεν ὁ σωτήρ· Τότε φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ Θεοῦ ἐν τῷ οὐρανῷ. καὶ ἵνα πληρωθῇ τὸ ῥῆμα Ζαχαρίου, αὐτὴν τὴν λέξιν λαβὼν ὁ σωτήρ, μετήγαγεν εἰς ἀλήθειαν· καὶ πότε ὄψονται εἰς ὃν ἐξεκέντησαν; ὀφθήσεται δὲ τὸ σημεῖον τοῦ υἱοῦ τοῦ Θεοῦ ἐν τῷ οὐρανῷ, καὶ κόψονται φυλαί· Φυλὴ οἴκου Δαβὶδ καθ' ἑαυτήν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς, φυλὴ οἴκου Νάθαν καθ' ἑαυτήν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς.

Ζαχ. ιβ. ιβ.

διὰ τί οὖν οὐκ ὄνομα φυλῆς παρήγαγεν, ἀλλ' ὄνομα βασιλείας; διὰ τί πενθεῖ ἡ φυλὴ Δαβίδ; φυλὴ γὰρ Δαβὶδ οὐκ ἐλέγετο. ἐπειδὴ τῷ ἐκ Δαβὶδ κατὰ σάρκα οἱ μὲν παραπλησιάζοντες τῷ γένει τῆς σαρκός, ἠγνόησαν τὸ ἀξίωμα τῆς θεότητος· ἅπτεται τοίνυν πρῶτον ἡ συμφορὰ τῶν παραπλησιαζόντων τῷ γένει, καὶ ἀπεσχοινισμένων τῷ βίῳ. Φυλὴ οἴκου Νάθαν. τίς ὁ Νάθαν; ἐγένετο προφήτης, ἐγένετο καὶ υἱὸς Δαβίδ. ἄλλος γὰρ Νάθαν ὁ προφή-

της, ὁ ἐλέγξας αὐτὸν περὶ ἁμαρτίας, καὶ ἄλλος Νάθαν ὁ ἐξ αὐτοῦ. ἀνάγνωθι τὰς ἱστορίας τῶν
τέκνων Δαβίδ, καὶ εὑρήσεις ἕνα τῶν τέκνων αὐτοῦ Νάθαν λεγόμενον. Λουκᾶς δὲ ὁ εὐαγγελιστής,
τὴν διαδοχὴν τὴν εἰς Μαρίαν παραπέμπων, καὶ τὸν Ἰωσὴφ διὰ τοῦ Νάθαν κατάγει.
ἰδοὺ ὅτι βαθὺς ὁ λόγος, καὶ περιεσκεμμένης διανοίας χρῄζων. ἀνάγνωθι τὰ εὐαγγέλια,
ὡς ἔλεγεν ὁ σωτήρ· Ἐρευνᾶτε τὰς γραφάς. οὐκ εἶπεν, ἀναγνῶτε, ἀλλ', ἐρευνᾶτε. οὐ γὰρ ἡ
ψιλὴ ἀνάγνωσις παρίστησι τὴν γνῶσιν, ἀλλ' ἡ ἀκριβὴς κατανόησις παρίστησι τὸ ζητούμενον.

Ὀφθήσεται τοίνυν τὸ σημεῖον τοῦ υἱοῦ τοῦ Θεοῦ ἐν τῷ οὐρανῷ. ὀφθήσεται οὐ ξύλου φέρων
τὴν εἰκόνα, ἀλλὰ φωτὸς ἐκλάμπων ἀκτῖνα. ὅταν δὲ ὀφθῇ ὁ σταυρός, καλυφθήσεται
ὁ ἥλιος, οὐκ ἀφανιζόμενος, ἀλλὰ τῇ ὑπερβολῇ τῆς δόξης σκεπόμενος· καλυφθήσεται
Ματθ. κδ. κθ. καὶ ἡ σελήνη, κρυβήσονται καὶ οἱ ἀστέρες, μᾶλλον δὲ πεσοῦνται, ὡς γέγραπται· Ὁ ἥλιος, φησί,
σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, οἱ ἀστέρες πεσοῦνται ἐκ τοῦ οὐρανοῦ·
καὶ δειχθήσεται τότε τὸ φοβερὸν ἐκεῖνο καὶ ἔνδοξον σημεῖον, Ἰουδαίων ὁρώντων, τῶν βλασφημούντων,
περιεστοιχισμένων τῶν δοξαζόντων. τότε ἀποκριθήσεται τῶν δικαίων ἕκαστος
Ησ. κε. θ. πρὸς τοὺς ἀδίκους· τότε ἐρεῖ ἡμῖν Ἡσαΐας· Ἰδοὺ ὁ Θεὸς ἡμῶν, εἰς ὃν ἠλπίσαμεν, ἠγαλλιώμεθα·
τότε φανεὶς ὁ σταυρὸς ἐλέγξει τὴν τόλμαν, καὶ βεβαιώσει τὴν ἐκκλησίαν·
τότε ἀποκριθήσονται οἱ ἀντιλέγοντες, καὶ δοξασθήσονται οἱ ὑπακούσαντες· τότε πᾶσα ἡ
κτίσις προσκυνήσει τῷ υἱῷ τοῦ Θεοῦ, καὶ τὸ τάγμα τῶν ἀπιστησάντων, καὶ τὸ τάγμα τῶν πιστευσάντων·
ἀλλὰ τὸ μὲν μετὰ παρρησίας, τὸ δὲ μετὰ αἰσχύνης. ὥσπερ γὰρ ἐν ταῖς βασιλικαῖς εἰκόσι
* * διαγράφεται ἡ δόξα τῶν δορυφορούντων τὸν βασιλέα, καὶ τῶν βαρβάρων τὸ γένος,
τῶν ὑποτεταγμένων τῷ βασιλεῖ, προσκυνούντων μὲν τὸν βασιλέα, μισθὸν δὲ τῆς προσκυνήσεως
οὐκ ἔχων (οὐ γὰρ γνώμη αὐτὸν ἤγαγεν, ἀλλ' ἡ ἀνάγκη αὐτὸν ἐπέδησεν· καὶ ἔστιν ἡ μὲν
ἄνω τάξις προσκυνούντων, ἡ δὲ κάτω τάξις πιπτόντων. ἄλλο γάρ ἐστι προσκυνῆσαι, καὶ
ἄλλο πεσεῖν) οὕτως ἐν τῇ παρουσίᾳ τοῦ μεγάλου βασιλέως, ἐν εἰκόνι τῆς δόξης φανήσεται
τὸ τάγμα τῶν πιστευόντων ἐν παρρησίᾳ μετὰ τῆς ἀγγελικῆς τάξεως ὑμνοῦντες καὶ δοξάζοντες·
φανήσεται δὲ καὶ τὸ τάγμα τῶν ἀπιστησάντων ἐρριμμένοι ὑπὸ τοὺς πόδας τοῦ μεγάλου
βασιλέως· καὶ οἱ μὲν ἔσονται λελυμένοι τῇ παρρησίᾳ, οἱ δὲ πεπεδημένοι τῇ ἀνάγκῃ. ἐπειδὴ
γὰρ προσεδέθησαν τῷ πόθῳ οἱ πιστοί, οὐ χρεία δεσμῶν (δεσμὸς γὰρ αὐτοῖς ὁ πόθος) οὓς δὲ μὴ
ἔδησεν ὁ πόθος, δεσμεῖ πολλάκις ἡ ἀνάγκη· καὶ προσάγονται μετὰ παρρησίας οἱ πιστοὶ τῷ
βασιλεῖ τῆς δόξης, οἱ μὲν πιστοὶ μετὰ παρρησίας, οἱ δὲ ἄδοξοι καὶ ἀντιλέγοντες τῷ λόγῳ τῆς
ἀληθείας, προσελεύσονται δεδεμένοι χειροπέδαις σιδηραῖς· καὶ οἱ μὲν ἔσονται ἐν τῷ τάγματι
τῶν προσκυνούντων ἐν ὕψει, οἱ δὲ ἐν τάγματι τῶν πιπτόντων ἐν βάθει. ὥσπερ γὰρ
ἐν ταῖς εἰκόσιν ἀνωτέρα μέν ἐστιν ἡ ζώνη ἡ τοὺς προσκυνοῦντας ἔχουσα, κατωτέρα δὲ ἡ τοὺς
βαρβάρους φέρουσα, οὕτω καὶ ἐπὶ τῆς Χριστοῦ βασιλείας, ὑψηλότερον μὲν διαφανεῖται
τὸ τάγμα τῶν πιστευόντων, χαμαιπετὲς δὲ καὶ γήϊνον τῶν ὑποπιπτόντων. διὰ τοῦτο [φησὶν]
Ψαλ. κα. κη. ὁ ψαλμός, ἀφορίζων τοὺς προσκυνοῦντας τῶν ὑποπιπτόντων, λέγει· Μνησθήσονται, καὶ
ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς, καὶ προσκυνήσουσιν ἐνώπιον
αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν, ὅτι τοῦ Κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν.
ὅτε ἐπὶ τῶν προσκυνητῶν τὴν τάξιν, ἐπήγαγεν, ἐνώπιον αὐτοῦ προπεσοῦνται
πάντες οἱ καταβαίνοντες εἰς γῆν. πῶς δέ ἐστι τὸ τάγμα τῶν πιστῶν ἀνώτερον; ὅτι
οὐκ ἐπὶ γῆς οἱ πιστοὶ στήσονται, ἀλλ' ἐν τῷ ἀέρι συμπάρεδροι καὶ συνδορυφόροι
τοῦ μεγίστου βήματος. οὐ γὰρ ὁ θρόνος τοῦ Θεοῦ ἐπὶ γῆς πήγνυται, ἀλλ' ἡ γῆ ὑποπόδιον
τῶν ποδῶν αὐτοῦ, ὥστε πάντας μὲν εἶναι τοὺς δικαζομένους κάτω, ἄνω δὲ τὸν δικάζοντα,
καὶ τοὺς μετὰ τοῦ δικαστοῦ φίλους. διὰ τοῦτο ὁ ἀπόστολος βουλόμενος δεῖξαι, ὅτι οὐκ
α. Θεσ. δ. ιζ. ἐπὶ γῆς στήσονται οἱ πιστοί, ἀλλ' ἐν τῷ ἀέρι ἐπαρθήσονται, λέγει· Ἡμεῖς δὲ ἁρπαγησόμεθα.

μεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.

Ταῦτά μοι εἰς μνήμην ἤγαγεν ἡ ἀφορμὴ τῆς τόλμης τῶν θεομάχων, τῶν τολμησάντων εἰπεῖν, δαιμόνιον ἔχει. εἴπω μετὰ τοῦ Δαβίδ, Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε; οἷα λαλοῦντα″ τὸν * λον φέρεις, οἷα φθεγγομένων τὴν γλῶσσαν βαστάζεις, οἷα τολμήσαντας κατὰ σοῦ τοὺς θεομάχους οὐ κολάζεις; ῥοπῇ τοῦ νεύματος οὐκ ἀφανίζεις ἐν κελεύσματι, οὐκ ἐκδίδωσω ἀπειλῆσαι. οὐκ ἦν περὶ σοῦ ὁ λόγος τοῦ προφήτου, ἀπειλῶν θαλάσσῃ, καὶ ξηραίνων αὐτήν; τοσαῦτα θεομαχοῦσι, τοσαῦτα βλασφημοῦσιν· ἀλλ' ἀποκρίνεται ὁ σωτήρ, οὐκ ἦλθον ἵνα κρίνω τὸν κόσμον. διὰ τοῦτο καὶ ὁ Δαβὶδ καλῶν αὐτόν, οὐκ εἰς τὸ κρῖναι κατὰ τὴν πρώτην αὐτοῦ παρουσίαν, ἀλλ' εἰς τὸ σῶσαι, ἔλεγεν· Ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ ἐμφάνηθι, ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς, οὐκ εἰς τὸ κρῖναι. ἡ πρώτη παρουσία, σωτηρίας, ἡ δευτέρα, κρίσεως. ἐὰν θέλῃς, ἔγνως αὐτὸν σωτῆρα· ἐὰν ἀπειθῇς, ἔγνως αὐτὸν κριτήν. προλαβὼν κατασκεύασον σαυτὸν φίλον τοῦ βασιλέως. ἀπὸ τῶν κοινῶν πραγμάτων διδαχθῶμεν. οὐκ οἶδας τινὰς σκιρτῶντας καὶ ἀγαλλιῶντας, ὅτε ἐν ἀξιώματι καὶ προαγωγῇ γίνονταί τινες τῶν φίλων; οὐχ ἕκαστος ″χαίρεται, ἐὰν ἴδῃ τόν ποτε γνώριμον αὐτοῦ εἰς ἀρχὴν προελθόντα, καὶ ἐλπίζει λοιπὸν καρποὺς τῆς φιλίας κομίζεσθαι; ἀλλ' οἱ μὲν ἄνθρωποι πολλάκις ψεύδονται, καὶ τὰς φιλίας ἐνδὴ ἀγνοοῦσι, καὶ μετὰ τὴν ἀρχὴν οὐκέτι φίλος· ὁ δὲ Χριστὸς οὐ κρύπτει τὴν ἀλήθειαν. γενοῦ αὐτοῦ φίλος, καὶ ἔσῃ ἀεὶ αὐτοῦ φίλος. πολλάκις γάρ, ἀδελφοί, τὸ ἀξίωμα ἐφύσησε τὸν ἄνθρωπον, μετέβαλεν αὐτοῦ τὴν γνώμην, μετέθηκεν αὐτοῦ τὴν διάθεσιν· ἄλλος ἀντ' ἄλλου φαίνεται. καὶ γὰρ περὶ τοῦ Σαοὺλ ὁ Θεὸς εἰδὼς ὅτι τὸ ἀξίωμα αὐτὸν μεταβάλλει, λέγει· Ἔχρισέ σε κύριος, καὶ ἀπαιτήσουσι, καὶ δώσουσί σοι ἀρχήν, καὶ λήψῃ ἐξ αὐτῶν· καὶ ὅταν ἔλθῃ ταῦτα ἐπὶ σὲ τὰ σημεῖα, στραφήσῃ εἰς ἄνδρα ἄλλον. μεταβάλλει γάρ σε ἡ ἐξουσία καὶ ἡ ἀξία, οὐχ ὅτι πάντας μεταβάλλει. τὸν πιστὸν γὰρ οὐ μεταλλάττει, τὸν δὲ σαθρὸν ἐλέγχει. διὰ τοῦτο ὁ σοφὸς λέγει· Ἐὰν καταστῇς ἄρχων, γενοῦ καὶ σὺ ὡς εἷς ἐξ αὐτῶν. εἰ τοίνυν ἐνταῦθα φιλία πολλάκις ἐψεύσατο, πολλάκις ἀληθεύει, ἡ δὲ τοῦ Χριστοῦ φιλία ἄπλωτος, οὐχ, ὅταν ἴδῃς αὐτὸν ἐν δόξῃ, ἀρνεῖταί σε τὸν ἐπὶ τῆς γῆς προσκυνήσαντα αὐτόν· ἀλλ' ὡς σήμερον δεξάμενός σε τῆς φιλίας, προσκαλεῖται, καὶ τότε γνωρίζει τὴν φιλίαν· Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου. ἐνταῦθα πολλάκις κἂν χάριν ποιήσῃς τινά, μετὰ τὴν ἀρχὴν οὐχ ὁμολογεῖ· ἀλλά, κἂν ἀντιδῷ τὴν χάριν, τὴν εὐεργεσίαν τὴν προτέραν κρύπτει. οὐ θέλει γὰρ φαίνεσθαι κατώτερος τοῦ εὐεργέτου, ἀλλὰ τὴν μὲν φιλίαν σου ἀμείβεται, τὴν δὲ εὐεργεσίαν κρύπτει. ὁ δὲ σωτὴρ καὶ τὴν φιλίαν ὁμολογεῖ, καὶ τὴν εὐεργεσίαν οὐ κρύπτει. Ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν, καὶ τὰ ἑξῆς· ὁ τοίνυν σωτὴρ λάμπει τῇ φιλίᾳ, λάμπει τῇ εὐεργεσίᾳ, οὐκ ἀρνεῖται τὴν προτέραν σου φιλίαν, ὁμολογεῖ σου τὴν διάθεσιν, κηρύττει σου τὸν πόθον, στεφανοῖ σου τὴν πρόθεσιν. ἔχωμεν τοίνυν αὐτὸν εὐεργέτην, καὶ μὴ κριτήν. κριτὴς μέν ἐστι, καὶ κριτὴς ἀληθείας. ἀλλὰ σὺ προλαβὼν αὐτὸν κατάστησον φίλον, καὶ μὴ δικαστήν, καὶ δυσώπησον αὐτόν. οὐκ εἶδες τοὺς ἔξωθεν ἄρχοντας, πῶς περιτρέχουσι, καὶ πῶς τοῖς οἰκείοις αὐτῶν διαλέγονται; ἀλλ' ἐνταῦθα περὶ ″σχημάτων, ἐκεῖ δὲ περὶ πρεσβείας. προλαβὼν διαλέχθητι τοῖς μάρτυσιν, ὁμίλησον τοῖς ἀποστόλοις· δέομαι ὑμῶν, προετοιμάσατέ μου τὸν κριτήν· γένοιτό μοι ἵλεως ἐν τῷ καιρῷ τῆς κρίσεως, ὅτε ἐξετασθῇ μου τὰ πράγματα, πείσατε αὐτόν· ἰσχυροί ἐστε δυσωπῆσαι. οἶδα ὅτι ὑμᾶς αἰδεῖται, ἐγὼ παρρησίαν οὐκ ἔχω, ὑμεῖς διαλέχθητε τῷ βασιλεῖ. ἀλλ' ἀποκρινοῦνταί σοι οἱ ἀπόστολοι καὶ οἱ μάρτυρες· οὐκ οἶδας τὸν Θεὸν ἡμῶν, δωρεὰν μὲν ἐλεοῦντα, ἀλλὰ καὶ παρ' ἡμῶν θέλει λαβεῖν; δὸς πτωχοῖς, καὶ αὐτὸς ἀντὶ ἐκείνων ὁμολογεῖ σου τὴν χάριν· δὸς εἰς χεῖρας πεινώντων, καὶ ὡς εἰς χεῖ-

ἢ τ. φαῦλον

* *

Ψαλ. οθ. β.

ἢ χαίρει

α. Βασ. ι. δ.

ἢ. χρημάτων

ραις πιστοῦ παρατιθέμενος, τὴν ἀνταπόδοσιν λήψῃ. διὸ Χριστῷ οὐ δι' ἀπληστίαν λαμβάνοντι, ἀλλὰ διὰ φιλανθρωπίαν τοῖς πένησι χορηγοῦντι. εἶτα λαμβάνει ὁ Θεὸς χρήματα, οὐκ εἰς ἑαυτὸν, ἀλλὰ διὰ πενήτων εἰς ἑαυτὸν, οὐ πωλῶν τὸ δίκαιον, ἀλλὰ τῇ μετανοίᾳ διορθούμενος τὰ πλαίσματα ἡμῶν. οὐ γὰρ λαμβάνει χρήματα, ἵνα σοι πωλήσῃ τὸ δίκαιον, καὶ ἄλλον ἀδίκως κατακρίνῃ, ἀλλ' ἵνα σε τὸν κατάκριτον ἐλευθερώσῃ διὰ τῆς δόσεως, ὡς ἔλεγεν Δαν. δ. κδ. ὁ Δανιήλ· Τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι, καὶ τὰς ἀνομίας σου ἐν οἰκτιρμοῖς πενήτων. προσένεγκε χρήματα ἀντὶ ψυχῆς. λύτρον γὰρ ἀνδρὸς ὁ ἴδιος πλοῦτος. ταῦτα λέγω πρὸς τὴν τοῦ μεγάλου κριτοῦ καὶ δεσπότου ἀξίαν, ὃν δέχεται ἡ ὑπ' οὐρανὸν πᾶσα, οὗ νῦν καταξιοῦται ἡ ἐκκλησία, ἐστέρηται δὲ μόνη ἡ συναγωγή· ἐσκόρπισαι γάρ. ἀρχὴν τὸ ὄνομα· ἄλλη κατατομὴ, κατατέμνεται γὰρ τῇ ἀπιστίᾳ. κατατομὴν καλεῖ τὴν συναγωγὴν, Φιλιπ. γ. β. ὡς καὶ ὁ Παῦλος λέγει, Βλέπετε τὴν κατατομήν. ἡμεῖς μὲν γάρ ἐσμεν ἡ περιτομή. διὰ τοῦτο οἱ δαιμονῶντα καλέσαντες τὸν σωτῆρα διατέμνονται τῆς δόξης, οἱ βασιλέα ὁμολογήσαντες ἐπληρώθησαν τῆς δόξης. καὶ ἐν εἰρηνικῷ ἀρχαίας ἱστορίας θεώρημα καταπαύσω τὸν λόγον. Κριτ. ια. Ἑβρ. ια. Γεδεών ποτέ τις ἀνὴρ δίκαιος, μεμαρτυρημένος ὑπὸ τῶν γραφῶν, ὃν καὶ Παῦλος ἐν τῷ τάγματι τῶν δικαίων παρήγαγε, φήσας Περὶ Γεδεὼν, καὶ Σαμψὼν, καὶ Ἰεφθάε· οὗτος δικαιοσύνῃ πάσῃ διαπρέψας, καὶ τὸν ἑαυτοῦ βίον ταῖς ἀρεταῖς κοσμήσας, ἐν καιρῷ πολέμου καὶ στενοχωρίας στάχυας λαβὼν ἀπό τινος τόπου ἐν ληνῷ ἐρράβδιζεν, ἵνα ἑαυτῷ παρασκευάσῃ παραμυθίαν τῆς ἀνάγκης. ἄγγελος δὲ αὐτῷ παραστὰς, φησίν· Ἴσχυε καὶ ἀνδρίζου, ὁ Κύριος μετὰ σοῦ. οὐκ ἀμβλύνει γὰρ δικαιοσύνην λιμὸς, ἀλλὰ λαμπροτέραν δείκνυσι τὴν ἀρετὴν ταῖς θλίψεσι βασανιζομένην. ὁ Κύριος μετὰ σοῦ, εἰρήνη σοι. καὶ λέγει Γεδεὼν, καὶ εἰ Κύριος ἐν ἡμῖν, πόθεν ἡμᾶς εὗρε τὰ κακὰ ταῦτα; οὐκ ἀντιλέγων τῷ Θεῷ, ἀλλ' ὡς ἀνάξιοι ἡγούμενος ἑαυτοὺς τοῦ Θεοῦ, οὕτω λέγων, εἰ ἦμεν, φησὶν, ἄξιοι τοῦ Θεοῦ, ταῦτα ἡμᾶς οὐ κατελάμβανε. πολλάκις οἱ ἄπιστοι οἱ τῷ μὲν λόγῳ πιστεύοντες, ταῖς δὲ γνώμαις μαχόμενοι, λέγουσι· ποῦ ὁ Θεὸς τῶν χριστιανῶν; διὰ τί μὴ ἐπήκουσε τῶν μοναζόντων; πόθεν οἱ πόλεμοι; πόθεν αἱ συγχύσεις; οὐχ οὕτως εἶπεν, ἀλλ', εἰ Κύριος ἦν ἐν ἡμῖν, πόθεν ἡμᾶς εὗρε τὰ κακὰ ταῦτα; οὐκοῦν οὐκ ἔστιν ἐν ἡμῖν· οὐ γάρ ἐσμεν αὐτοῦ ἄξιοι. λέγει, ὁ Κύριος μετὰ σοῦ· ἐν τῇ χειρί σου δέδωκεν ὁ Θεὸς τὴν νίκην· ἔπελθε εἰς πόλεμον. λέγει ὁ Γεδεὼν, ἐν τούτῳ γνώσομαι ὅτι ὁ Κύριος μετ' ἐμοῦ, ἐὰν δῷ μοι σημεῖον ἀληθινόν. ἰδοὺ, φησὶ, τίθημι τὸν πόκον τοῦ ἐρίου, καὶ ἐὰν βρέξῃ ὁ Θεὸς ἐπὶ τὸν πόκον τοῦτον, καὶ ἐπὶ πᾶσαν τὴν γῆν μὴ βρέξῃ, οἶδα ὅτι ὁ Θεὸς μετ' ἐμοῦ. * * βλέπε σημεῖον. καὶ ἑτοιμάσας ξένου δόρυ ἔθηκε τὸν πόκον. ὁ Θεὸς διὰ τῆς νυκτὸς κανόνι θείῳ καὶ λόγῳ μὴ παραλαμβανομένῳ, φέρει τὸν ὄμβρον κατὰ μόνου τοῦ πόκου, καὶ πᾶσα ἡ γῆ ξηρὰ ἦν. καὶ λαβὼν, φησὶν, ὁ Γεδεὼν ἕωθεν ὑπὸ τὸν ὄρθρον τὸν πόκον ἀπεπίασεν, καὶ εὑρέθη λεκάνη μεστὴ ὕδατος. εἶτα ὁ Γεδεὼν πάλιν· ἐν τούτῳ γνώσομαι ὅτι Κύριος μετ' ἐμοῦ, ἐὰν ποιήσῃ τὸ σημεῖον, ὃ θέλω. τίθημι τὸν πόκον τοῦτον, καὶ ἐὰν βρέξῃ ἐπὶ πᾶσαν τὴν γῆν, ἐπὶ δὲ τὸν πόκον τοῦτον οὐ βρέξῃ, τότε γνώσομαι ὅτι Κύριος μετ' ἐμοῦ ἐστιν. οὐκ ἤρκει σοι τὸ πρῶτον σημεῖον, ἀλλ' αἰτεῖς δεύτερον; οὐκ ἀνέγνως ὅτι οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου; οὐ δύο ᾔτησα, φησὶ, σημεῖα, ἓν ᾔτησα. τὰ δύο ἕν ἐστι σημεῖον. διὰ τοῦτο εἶπεν· ἐὰν δῷ μοι Κύριος σημεῖον ἀληθινὸν, ἀντὶ τῆς μελλούσης ἀληθείας θεώρημα. εἶτα ἔθηκε τὸν πόκον δεύτερον, καὶ κατῆλθεν ὁ ὄμβρος ἐπὶ πᾶσαν τὴν γῆν, καὶ ἔμεινεν ὁ πόκος ξηρός. μετὰ ταύτην τὴν πεῖραν καταθαρσεῖ τοῦ πολέμου, καὶ κατηγωνίζετο τοὺς ὑπεναντίους. δεῖ γὰρ συντεμεῖν. τὸ ἓν δόγμα τῆς βροχῆς, καὶ οὗτος ὁ πόκος καὶ ἐπὶ τοῦ σωτῆρος ἐμήνυσε τὴν πρώτην καὶ τὴν δευτέραν αὐτοῦ παρουσίαν· ὅτι ἡ μὲν προτέρα τὰ Ἱεροσόλυμα μόνα κατέλαβεν, ἡ δὲ γῆ πᾶσα οὐκ ἐδέξατο. ὥσπερ γὰρ ὁ πόκος πρὸς ὅλην τὴν γῆν οὐδὲν, οὕτω πρὸς πάντα τὰ ἔθνη, καὶ τὰ Ἱεροσόλυμα οὐδὲν καὶ οἰκτρόν. διὰ τοῦτο ἔλεγεν, οὐκ ἦλθον, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ, εἰς μόνον τὸ ἔθνος. ἐπεὶ δὲ μετὰ ταῦτα μετῆλθεν εἰς τὴν χάριν τοῦ Χριστοῦ, καὶ ἡ μὲν συναγωγὴ ἀφορίσθαι ἤμελλε, καὶ ὁ λαὸς ἐκεῖνος, ἡ δὲ γῆ πάντα δέχεσθαι, προλαβὼν ὁ τύπος * ἐν τῷ δευτέρῳ, ὅτι ὥσπερ ποτὲ τοῦ πόκου μόνου βραχέντος ἡ γῆ ἦν ξηρά, μετὰ δὲ ταῦτα τῆς γῆς βραχείσης ὁ πόκος ἔμεινε ξηρός· οὕτω ποτὲ τὸ ἔθνος τὸ πρῶτον ἀρδευόμενον οὐ μετέδωκε τῆς εὐσεβείας πᾶσι τοῖς ἔθνεσιν· ὅτε δὲ τὰ ἔθνη πάντα ἐδέξαντο τὴν εὐεργεσίαν, ὁ Ἰσραὴλ ἔμεινε ξηρός. ἀλλ' ἵνα μὴ λογισμοῖς ἀνθρωπίνοις καὶ ἐπινοίᾳ πλεκομένη νομισθῇ ἡ θεωρία, ἀναγκαῖον τῇ θεωρίᾳ ταύτῃ προφητικὴν παραστῆσαι τὴν μαρτυρίαν. περὶ τοῦ σωτῆρος προφητεύων ὁ Δαβίδ, καὶ λέγων· Ὁ Θεός, τὸ κρίμα σου τῷ βασιλεῖ δός, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως· κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ τοὺς πτωχούς σου ἐν κρίσει· καὶ μικρὸν ὑποβάς φησι· Πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα αὐτοῦ, καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν. εἶτα τὴν παρουσίαν σημαίνων, φησί· Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡς ἡ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν· καὶ εὐθέως, καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης. γένοιτο τοίνυν ἡμᾶς μετὰ πάσης τῆς γῆς ἀρδευομένους, καρποὺς ἀναφέρειν, εὐχαῖς καὶ πρεσβείαις τοῦ πατρὸς ἡμῶν καὶ διδασκάλου, ὃς δύναται καὶ τὸν ἡμέτερον ἐπισφραγίσαι λόγον, καὶ τὸν ὑμέτερον ἐκπληρῶσαι, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἔδειξεν

Ψαλ. οα. α.

Λογ. ρμ. ΕΙΣ ΤΟΝ ΕΚ ΓΕΝΕΤΗΣ ΤΥΦΛΟΝ.

Ex edit. Duc. Burdeg. emend. ex Mſs.

Πηγὴ φωτὸς ὁ τοῦ Θεοῦ λόγος· φωτὸς γὰρ γέμων, καὶ φωτὸς ἐκλάμπων φωτίζει καὶ περιαστράπτει τὰς τῶν πιστῶν διανοίας. αὐτὸς γὰρ ἐξ ἑαυτοῦ καὶ ἐν ἑαυτῷ λάμπει, καὶ τοὺς ἀπολαύοντας αὐτοῦ καταυγάζει· καὶ οὐ μόνον φωτίζει τῶν πιστῶν τὴν διάνοιαν, ἀλλὰ καὶ ὄνομα φωτὸς χαρίζεται. ἡ γὰρ θεία γραφὴ τοὺς τῇ ἀγνοίᾳ συντρόφους ὄντας, καὶ τῇ ἀπιστίᾳ συζῶντας δικαίως ὀνομάζει σκότος, μὴ δεχομένους τὴν λαμπάδα τῆς ἀληθείας, ἵνα ὦσιν υἱοὶ φωτός. διὰ τοῦτό φησι καὶ ὁ θεῖος ἀπόστολος Παῦλος· Οὐκ ἐσμὲν υἱοὶ νυκτός, οὐδὲ σκότους, ἀλλ' υἱοὶ φωτὸς καὶ ἡμέρας. καὶ ὡς ἀληθῶς υἱοὶ φωτός ἐσμεν, διὰ τοῦ εὐαγγελικοῦ λόγου τοῦ λαληθέντος διὰ στόματος Θεοῦ. Ἐγὼ γάρ εἰμι, φησὶν ὁ Χριστός, τὸ φῶς τοῦ κόσμου· ὁ ἀκολουθῶν ἐμοί, οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. ἐκεῖνος γὰρ λόγος ἐστὶ φωτός, ὃς ἐὰν πιστευθῇ παρ' ἡμῶν, υἱοὺς ἡμᾶς φωτὸς παρασκευάζει γενέσθαι. ὅθεν φησὶ καὶ ὁ σωτήρ· Ἕως τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε. ὡς γάρ ἐστιν ἐπὶ τῶν σωμάτων τὸ αἰσθητὸν τοῦτο φῶς· οὕτως ἐπὶ τῶν ψυχῶν ὁ νοερὸς τοῦ Θεοῦ λόγος· καὶ ὅπερ ἐστὶν ἐν τῇ νυκτὶ τὸ σκότος, τοῦτο ἐν ταῖς πεπλανημέναις ψυχαῖς ἡ ἄγνοια. διὰ τοῦτο καὶ ὁ μακάριος Δαβὶδ περὶ τῶν τοιούτων γράφει λέγων· Οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν· ἐν σκότει διαπορεύονται. οὕτως δὲ καὶ τὴν συναγωγὴν ὁ Θεὸς " τὴν ἀγνοίᾳ βεβαπτισμένην, καὶ μὴ βουληθεῖσαν ἀναδῦσαι πρὸς τὴν γνῶσιν τῆς " πνευματικῆς διδασκαλίας, νύκτα καλεῖ διὰ τὴν συζῶσαν " αὐτῇ ἄγνοιαν. ὅτε γὰρ τοῖς Ἰουδαίοις ὁ Θεὸς ἔλεγε διὰ τοῦ προφήτου· Νυκτὶ ὡμοίωσα τὴν μητέρα ὑμῶν· καὶ ἑρμηνεύων ὁποίαν λέγει νύκτα ὁμοίαν σκότους, ἐπήγαγεν· ὡμοιώθη ὁ λαός μου λαῷ μὴ ἔχοντι γνῶσιν. διὰ τοῦτο οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν· ἐν νυκτὶ διαπορεύονται. ἀλλ' ἐκεῖνοι μὲν οὕτως· οἱ δὲ τὴν τοῦ Χριστοῦ διδασκαλίαν δεξάμενοι τὸ φῶς, οἱ τοιοῦτοι φῶς ἀποτελοῦνται. ἔστι γὰρ ὁ Θεὸς ἡμῶν φῶς, καὶ ὁ λόγος αὐτοῦ ὁ ἐξ αὐτοῦ πρὸ αἰώνων ἀπαθῶς γεννηθεὶς

α. Θεσ. ε. ε.

Ἰωάν. η. ιβ.

Ἰωάν. ιβ. λς.

Ψαλ. πα. ε.

χ. τῇ

χ. προφητι-κῶς

χ. αὐτοῖς

Ωσ. δ. ε.

φῶς λέγεται, καὶ τὸ ἅγιον καὶ ὁμοούσιον καὶ ζωαρχικὸν πνεῦμα φῶς. φῶς καὶ φῶς καὶ φῶς, ἀλλ' ἓν
φῶς· καὶ ἡ ψυχὴ ἡ δεξαμένη τὸν λόγον, φῶς ὀνομάζεται. ἀλλ' ὁ μὲν Θεὸς φύσει τελειοϋπό-
στατον φῶς· ἡμεῖς δὲ κατὰ μετουσίαν ἐκείνου. καὶ πάλιν αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς φῶς, περὶ
Ιωαν. α. θ. οὗ ὁ εὐαγγελιστὴς Ἰωάννης φησίν· Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον
εἰς τὸν κόσμον. ἀλλὰ φῶς ὑπάρχων ἐκ φωτὸς ἀρρήτου, καὶ τὸν νόμον διαπέμπεται φω-
Ψαλμ. ριη. ρδ. τὸς γέμοντα, κατὰ τὸν προφήτην τὸν λέγοντα· Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς
τρίβοις μου. δεξαμένη τοίνυν ἡ ψυχὴ τῆς ἀληθείας τὸν φωτεινὸν λόγον, καὶ αὐτὴ φῶς ἀπο-
Εφ. ε. ε. τελεῖται, καὶ ἀκούει παρὰ τοῦ Παύλου· Ἦτε γάρ ποτε σκότος, νυνὶ δὲ φῶς ἐν Κυρίῳ. ὅταν
οὖν δέξηται ἡ διάνοια τὸ φῶς τὸ εὐαγγελικὸν, καὶ κατὰ τὴν πίστιν φῶς ὀνομάζεται. ὡσαύτως
Ματθ. ε. ιϛ. δὲ καὶ κατὰ τὰ ἔργα· Λαμψάτω γάρ, φησι, τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως
ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν οὐρανοῖς. ἀνάγκη γὰρ τὸν
δεξάμενον φῶς πίστεως, ἐλθεῖν καὶ εἰς ἔργα φωτός. οὐ μόνον δὲ ἔστι διὰ τῆς πίστεως τὴν ψυχὴν
φῶς, ἀλλὰ καὶ κατὰ τὰ ἔργα λάμπειν ἔμπροσθεν τῶν ἀνθρώπων. διὰ τοῦτο καὶ ὁ σωτὴρ φη-
σι· Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων. ποῖον φῶς; ὅπως ἴδωσιν ὑμῶν τὰ
καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. καὶ ὅρα τὸ θαυμαστόν· τὸ
μὲν γὰρ ἀπὸ τοῦ Θεοῦ φῶς ἁπλοῦν ἐστιν, ἀκτῖνας δὲ διαφόρους ἔχει, οὐ τῇ φύσει, ἀλλὰ ταῖς
ἐνεργείαις· καὶ πέμπεται μὲν ἡ λάμπουσα τοῦ Θεοῦ διδασκαλία ἐπὶ πᾶσαν πιστὴν ψυχὴν κατὰ
Ψαλ. πθ. ιζ. τὸ εἰρημένον· Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, ἵνα πρὸς αὐτὸ κατευθύνηται
τὰ ἔργα ἡμῶν. μία ἐστὶν ἡ λαμπρότης· ἀλλ' ἐρχομένη πρὸς ἡμᾶς πολλὰς λαμπρότητας ἀπο-
τελεῖ· λαμπρότητα ἐλεημοσύνης, λαμπρότητα σωφροσύνης, λαμπρότητα φιλοξενίας, λαμ-
πρότητα φιλοστοργίας. παρὰ μὲν τῷ Θεῷ μία λαμπρότης· αὕτη δὲ εἰς ἡμᾶς πεμπομένη, ταῖς
ἐνεργείαις διαφόρους ἀποτελεῖ τὰς μαρμαρυγάς· τῷ μὲν χαριζομένη λαμπρότητα προφη-
τείας, ἄλλῳ λαμπρότητα ἀποστολῆς, ἄλλῳ λαμπρότητα μαρτυρίου. ἐκεῖ μὲν μία λαμπρό-
Ψαλμ. ρθ. γ. της, εἰς ἡμᾶς δὲ πολλαὶ κατὰ τὸ εἰρημένον· Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου ἐν
α. Κορ. ιβ. θ. ταῖς λαμπρότησι τῶν ἁγίων σου. διὰ τί οὖν Παῦλος ἀπαριθμεῖται, καὶ λέγει· Μὴ πάντες
ἀπόστολοι; μὴ πάντες προφῆται; μὴ πάντες διδάσκαλοι; οὐχ ἁπλῶς οὕτω διαιρεῖ ὁ Παῦ-
λος, ἀλλ' ὡς εὑρίσκει ψυχὰς ἐπιτηδείας, οὐ κατὰ τὴν αὐθεντίαν μερίζει, ἀλλὰ κατὰ τὴν ὁμο-
λογίαν τῆς πίστεως· οὐχ ὅτι παρὰ τὸ βούλημα αὐτοῦ δίδωσιν, οὐδὲ παρὰ τὸ θέλημα, ἀλλ'
ὅτι τὸ θέλημα αὐτοῦ οὐκ ἔστιν ἄκριτον, ἀλλὰ κατὰ τὰ χαρίσματα τῶν δωρεῶν. ὥσπερ γὰρ
τὰ αἰθέρια καὶ εὐβαφῆ τῆς βασιλικῆς ἐσθῆτος δέχεται μὲν ἀκτῖνα ἡλιακὴν, διαφόρους δὲ τὰς
μαρμαρυγὰς ἀποτελεῖ, καὶ οἷον ἂν εἴη τῆς βαφῆς τὸ κάλλος, τοιαύτην τὴν εὔχροιαν ἀπεργά-
ζεται, καὶ ὥσπερ ὑπὸ τῆς προκειμένης βαφῆς μεταβάπτεται καὶ τοῦ ἀέρος τὸ κάλλος εἰς χρυσοῦν, ἢ
εἰς πορφύραν, ἢ εἰς πράσινον, ἢ εἰς ἄλλο τι τῶν χρωμάτων, οὐ τῆς ἀκτῖνος μεριζομένης, ἀλλὰ τῆς
ἐσθῆτος τὴν οἰκονομίαν τῆς ἀκτῖνος σχηματιζομένης τῷ φωτί· τοιούτοις ἀεὶ ἄνθεσι λάμπει τῆς
ἐκκλησίας τὸ κάλλος, βασιλικὴν ἔχουσα τὴν ἐσθῆτα καὶ ἐστολισμένη οὐράνιον καὶ ποικίλην στο-
Ψαλ. μδ. θ. λὴν, ὡς καὶ ὁ ψαλμῳδὸς λέγει· Θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου· παρέστη ἡ βασίλισσα ἐκ
δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη. πῶς πεποίκιλται; ταῖς
Εβρ. β. δ. τοῦ ἁγίου πνεύματος δωρεαῖς, κατὰ τὴν Παύλου φωνὴν, Ἐνεργοῦντος τοῦ Θεοῦ σημείοις καὶ τέ-
ρασι καὶ ποικίλαις δυνάμεσι καὶ πνεύματος ἁγίου μερισμοῖς. ἀλλὰ τί ὀνομάσω τοῦ Χριστοῦ
τὴν ἐκκλησίαν; νύμφην ἐστολισμένην, βασιλίδα κεκαλλωπισμένην, παράδεισον κομῶν-
τα, λειμῶνα βρύοντα τὴν εὐκαρπίαν, καὶ εἴ τι ἕτερον ἂν εἴπω, τῆς ἀξίας ἐλάττονα φθέγ-
γομαι. διὰ τοῦτο ὁ προφήτης Ἡσαΐας ἐκ προσώπου τῆς ἐκκλησίας ἀναλαβὼν αὐτῆς
Ησ. ξα. ι. τὴν φωνὴν, ἔλεγεν· Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ. ἐνέδυσε γάρ με ἱμάτιον
σωτηρίου. καὶ ἐπειδὴ ἐν ὑποδείγματι λοιπὸν, καὶ ὅλον τὸ κάλλος τῆς ἐκκλησίας οὐκ ἠδυνά-

τὸ φράσαι, διαφορὰν αὐτῆς παρατίθησι, λέγων· Ὡς νύμφην κατεκόσμησέ με κόσμῳ, καὶ ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς γῆν αὔξουσαν τὰ γεννήματα αὐτῆς, καὶ ὡς κῆπον λαχάνων τὰ σπέρματα αὐτοῦ. κῆπος γὰρ ὡς ἀληθῶς κεκλεισμένος καὶ παράδεισος ἡ ἐκκλησία τοῦ Θεοῦ τοῦ ζῶντος. παράδεισον δὲ λέγω, οὐ κατὰ τὸν ἀρχαῖον ἐκεῖνον, ἀλλὰ πολὺ ἐκείνου ἀνώτερον. ἐκεῖ μὲν γὰρ ἐβασίλευσεν ὁ ὄφις, ἐνταῦθα δὲ βασιλεύει ὁ Χριστός. μὴ τῇ ἀξιοπιστίᾳ πρόσεχε τοῦ ὀνόματος, ἀλλὰ τῇ δυνάμει τοῦ πράγματος. οὔτε γὰρ παράδεισός ἐστι θαυμαστὸς, ἐὰν μὴ ἔχῃ Θεοῦ ἐντολὴν τηρουμένην, οὔτε ἡ εὐτέλεια τῶν τόπων ὑβρίζεται, ἐὰν ἔχῃ Θεοῦ βασιλεύοντος τὸν νόμον. τί βέλτιον, τί χεῖρον; παράδεισος, ἢ κοπρία; ἀλλ' ὅμως τὸν Ἀδὰμ διὰ τὴν παράβασιν παράδεισος οὐκ ὠφέλησε· τὸν Ἰὼβ δὲ διὰ τὴν ὑπομονὴν κοπρία οὐκ ἔβλαψεν· ὁ Ἀδὰμ ἐν παραδείσῳ κατακρίνεται διὰ τὴν παρακοὴν, Ἰὼβ δὲ ἐπὶ τῆς κοπρίας στεφανοῦται διὰ τὴν ὑπομονήν. οὐδαμοῦ γὰρ ἡ ἀξιοπιστία τῶν τόπων συμβάλλεται, μὴ συντρεχούσης τῆς ἀγαθῆς γνώμης. καὶ παραδείσου ὑψηλότερος ὁ οὐρανὸς, ἀλλὰ πέπτωκεν ἐκεῖθεν ὁ διάβολος. Ἡ γῆ βαθεῖα, καὶ ὁ οὐρανὸς μετεωρίζεται· πέπτωκε δὲ ἐξ οὐρανοῦ ὁ διάβολος παραβὰς κατὰ τὸ, Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα· ὑψοῦνται δὲ ἀπὸ γῆς πτωχοὶ κατὰ τὸ, Ὁ ἐγείρων ἀπὸ γῆς πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα. ὁρᾷς ὡς οὐχ ἡ τῶν τόπων διαφορὰ χαρίζεται ἡμῖν τὰ πλεονεκτήματα, ἀλλὰ πανταχοῦ πίστις, καὶ ὑπομονὴ, καὶ ἐλπὶς τοὺς στεφάνους πλέκει τοῖς ἀξίοις. οὐδὲν κοιτῶνος σεμνότερον, οὐδὲν θεάτρου γυμνότερον. τί ὠφέλησε τὴν ἀκόλαστον Αἰγυπτίαν ἡ ἐν κοιτῶνι μοιχεία; τί ἔβλαψε τὴν πρωτομάρτυρα Θέκλαν τὸ ἐν θεάτρῳ γυμνωθῆναι; ἐν θεάτρῳ οὐχ ἡμάρτησε γυμνουμένη· οὐχ ὑβρίζεται ἡ ἁγία, ἀλλὰ στεφανοῦται. καὶ ἡ μὲν ἐν τῷ θεάτρῳ στεφανοῦται, ἡ δὲ ἐν τῷ νυμφῶνι στηλιτεύεται. τί ὠφέλησε τὰ εἴδωλα καὶ ἡ τῶν μὴ ὄντων προσκύνησις, τὰ τῶν ναῶν μεγέθη λέγω; τί δὲ ἔβλαψε τοὺς μάρτυρας ἡ τῶν τάφων εὐτέλεια; οὐ κατῃσχύνθη ἡ πλάνη ἐν μεγέθει, καὶ ὑψώθη τὰ τῶν μαρτύρων ἐν ταπεινώσει; οὕτως ἡ ἐκκλησία Θεοῦ τοῦ ζῶντος παράδεισός ἐστι τρυφῆς. ἐν τῷ παραδείσῳ ἐκείνῳ ὁ ὄφις ἐχόρευσε, καὶ ἠπάτα· ἐν τῷ παραδείσῳ τούτῳ λέγει ὁ σωτήρ· Ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει. ἐν τῷ παραδείσῳ ἐκλείσθη ἡ ὁδὸς τῆς ζωῆς τῷ Ἀδὰμ διὰ τὴν παράβασιν· καὶ ἵνα δείξῃ ὁ Θεὸς, ὅτι οὐκ ἐμποδίζεται ἡ ἐνάρετος ψυχὴ, ἔξω τοῦ παραδείσου τὰ μείζονα λαμβάνει τῶν ἐν τῷ παραδείσῳ. τῷ Ἀδὰμ ἀποκλείεται ὁ παράδεισος, καὶ Πέτρος πιστεύεται τὰς κλεῖς τοῦ οὐρανοῦ· Ἀδὰμ ἐκβάλλεται τοῦ παραδείσου, καὶ Παῦλος ἁρπάζεται ἕως τρίτου οὐρανοῦ· τῷ Ἀδὰμ ἀποτειχίζεται τὸ ξύλον τῆς ζωῆς. εἶπε γὰρ ὁ Θεός, φησι, Μήποτε ἅψηται Ἀδὰμ τοῦ ξύλου τῆς ζωῆς. ἐκεῖ ἡ ζωὴ κεκώλυται, καὶ τὸ ξύλον τῆς ζωῆς ἐκωλύθη διὰ τοῦ παραβάντος· ὧδε ἐπάγη τὸ ξύλον τοῦ σταυροῦ, καὶ πάντες οἱ βουλόμενοι τυγχάνουσι ζωῆς αἰωνίου. ἐν τῷ παραδείσῳ μετὰ τὴν παράβασιν κρύπτεται ὁ Ἀδὰμ τὸν Θεὸν, ὑπὸ τοῦ συνειδότος πληττόμενος· ἀνακαλεῖται αὐτὸν ὁ τὰ πάντα ζητῶν, καί φησιν· Ἀδὰμ, ποῦ εἶ; οὐκ ᾔδει γὰρ ποῦ ἐστιν; Ἀδὰμ, ποῦ εἶ; ἐλέγχων αὐτοῦ τὴν παρανομίαν λέγει, ποῦ εἶ; ἀντὶ τοῦ, ἐν ποίῳ εἶ; μὴ ἰσοθεΐαν σοι ἤνεγκεν ἡ ἀπάτη τοῦ ὄφεως; Εἶδες πῶς γεγύμνωσαι; ποῦ εἶ; Τῆς φωνῆς σου ἤκουσα, καὶ ἐφοβήθην. ἐκεῖνος κρύπτεται ἐν τῷ παραδείσῳ· οἱ ἀπόστολοι λέγουσιν, Ἡμεῖς πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμεθα, ἀπὸ δόξης εἰς δόξαν. Εἶδες τὴν παρρησίαν ἔξω τοῦ παραδείσου; Εἶδες αἰσχύνην ἔσω τοῦ παραδείσου; ἐν τῷ παραδείσῳ μετὰ τὴν παράβασιν ἐνέδυσεν ὁ Θεὸς τὸν Ἀδὰμ χιτῶνας δερματίνους. ἰδοὺ μάθε τί ἐνδέδυται. ἐκεῖνος ἐκεῖ χιτῶνα ἐνεδύσατο· ὧδε Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθησαν, Χριστὸν ἐνεδύσαντο. ἐκεῖ ἀποκλεισθέντος τοῦ παραδείσου τὰ Χερουβὶμ καὶ ἡ στρεφομένη ῥομφαία κωλύουσι τὴν ὁδὸν

τοῦ

κῆπος τὰ σπέρματα αὐτοῦ.

Π. βασιλ. ὄντα

Χ. ἀξίαν
Χ. γυμνὴν
παλαίει;
οὐχ ἡμᾶς.
Χ. κοιτῶνι

Ἰὼβ. β. η.

Παροιμ. κε. γ.

Λουκ. ι. ιη.

Ψαλμ. ριβ. ζ.

Λουκ. ι. ιθ.

Γεν. γ. κβ.

Γεν. γ. θ.

β. Κορ. γ. ιη.

Γαλ. γ. κζ.

τοῦ παραδείσου, καὶ ἦν ὥσπερ τεῖχος καὶ ἀποτείχισμα τῷ Ἀδὰμ μὴ συγχωροῦν εἰσελθεῖν
διὰ τὴν παρακοὴν τὴν ἐν παραδείσῳ μετὰ τὴν παράβασιν. οὐκ εἰς κατηγορίαν λέγω
τοῦ παραδείσου, ἀλλ' ὅτι ἐκεῖνο τὸ θεοπρεπὲς χωρίον οὐδὲν ὠφέλησε τὸν μὴ μετὰ γνώμης
ἀγαθῆς ἀναστρέφεσθαι βουληθέντα. καὶ ἦν πυρὸς τεῖχος κυκλοῦν τὸν παράδεισον, καὶ μὴ
συγχωροῦν τὸν παραβάντα εἰσελθεῖν· ἵνα δείξῃ ὁ Θεὸς, ὅτι οὐ τὸ πῦρ πολέμιον ἦν αὐτῷ,
ἀλλ' ἡ παράβασις τὸν Ἀδὰμ ἐκώλυσε τοῦ πυρὸς τὸ τεῖχος εἰσελθεῖν. καὶ Ἡλίαν ἅρμα
Ησ. ξα. ι. πυρὸς ἥρπασεν εἰς τὸν οὐρανόν. οὐ ψεύδεται ἡ ἐκκλησία τοῦ Θεοῦ λέγουσα· Ἐνέδυσέ με ὁ Θεὸς
ἱμάτιον σωτηρίου, καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ, ὡς γῆν αὔξουσαν τὰ γεννήματα
αὐτῆς, καὶ ὡς μέγας τῆς ἀληθείας κῆπος· οὗτος ὁ μέγας παράδεισος, ἡ ἐκκλησία ἡ οἰκουμενική. ἴσ. μέγαν. ἀ. κῆπον·
Χριστὸς βασιλεύει, καὶ νομοθετῶν πιστεύεται, εἰ μήπου τις εὑρεθῇ ἐν τῇ ἐκκλησίᾳ αἱρετικὴν
πλάνην νοσῶν, ὑπὸ τῆς τῶν ὄφεων διδασκαλίας, λέγω δὴ τῆς αἱρετικῆς πλάνης,
καὶ ἐκβαλλόμενος ἐντεῦθεν, ὡς τοῦ παραδείσου Ἀδάμ. ὥσπερ γὰρ ἐκεῖ ὁ πεισθεὶς τῇ
τοῦ ὄφεως διδασκαλίᾳ ἐξωρίσθη τοῦ παραδείσου· οὕτω καὶ ἐν τῇ ἐκκλησίᾳ οἱ Παύλῳ μὴ
πειθόμενοι, οἱ ὑπὸ Πέτρου μὴ διδασκόμενοι, ἀλλὰ ταῖς τῶν ὄφεων πειθόμενοι διδασκαλίαις,
α. Κορ. ια. ϐ. ἐκβάλλονται τούτου τοῦ παραδείσου. πόθεν τοῦτο δῆλον; λέγει ὁ Παῦλος· Ζηλῶ
γὰρ ὑμᾶς ζῆλον Θεοῦ· ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι
τῷ Χριστῷ· φοβοῦμαι δὲ μήπως, ὡς ὁ ὄφις ἐξηπάτησεν Εὔαν, οὕτω φθαρῇ τὰ νοήματα
ὑμῶν. ἀλλ' οὐκ ἔχει χώραν ἐνταῦθα ὄφεως διδασκαλία, τοῦ μεγάλου ποιμένος τῇ
βακτηρίᾳ τῆς πίστεως συντρίβοντος τὴν κεφαλὴν τῶν ὄφεων. καὶ γὰρ ὡς ποιμὴν ὁ θαυμάσιος
ἡμῶν πατὴρ συντρίβει τὰς κεφαλὰς τῶν δρακόντων τῇ εὐαγγελικῇ πίστει καὶ τῇ εἰς
Χριστὸν ἐλπίδι· καὶ ὡς ἄριστος φυτοκόμος καὶ κηπουρὸς, τρέφει μὲν τὰ φυτὰ τῆς ἐκκλησίας, ἐκριζοῖ
δὲ, εἴ τι νόθον σπέρμα καὶ βλάστημα· τὴν νόσον τῆς δυσεβείας, τὴν πλάνην τὴν ἑλληνικὴν,
ὡς ἀκάνθας, πυρὶ παραδίδωσι· τὴν δὲ αἱρετικὴν πλάνην ὡς ἀγρώστιν ἐκτίλας ἐκβάλλει,
ζήλῳ ἐνδεδυμένος Θεοῦ, ὃν οἱ πολλοὶ ἀγνοοῦσιν. εἰώθασι γάρ τινες κατασοφιστεύειν
τῆς ἐκκλησίας, καὶ τῶν ἁγίων ποιμένων, ὥσπερ οὖν καὶ τούτου τοῦ θαυμασίου πατρός. καὶ
πολλοὶ ἐν ἐπιεικείας σχήματι ἀργίαν εἰσάγουσι, καὶ ζῆλον ὑβρίζουσι, καὶ Θεοῦ ἀκμάζοντα
λόγον πειρῶνται ἀμβλύνειν. ἔστι γὰρ εὑρεῖν τινὰ ἐν σχήματι ἐπιεικείας λέγοντα· τί γὰρ κοινὸν
ἔχομεν πρὸς τοὺς ἕλληνας; θέλεις σωθῆναι; σωθήτω. ὁ ταῦτα λέγων οὐδέπω ἐτρώθη
ζήλῳ εὐσεβείας· ὁ βλέπων ἀπολλύμενον, καὶ μὴ πενθῶν τὴν ἐκείνου ἀπώλειαν, καὶ ἰδίαν
ζημίαν τιθέμενος, οὐκ οἶδε ζῆλον εὐσεβείας, οὐκ ἐτρώθη βέλεσιν ἀληθείας. ὁ βλέπων οὖν
β. Κορ. ια. κθ. ἀπολλύμενον, καὶ μὴ ζηλῶν ὥς πού φησι Παῦλος, Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; οὐκ ἔστιν οὗτος μαθητὴς
Παύλου. ἀντιπαραβαλλέτω τοῦ πατρὸς τὰ κατορθώματα, καὶ εὑρήσει αὐτὸν συνᾴδοντα
ταῖς ἀποστολικαῖς φωναῖς, τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ
πυροῦμαι; οἱ οὕτω φρονοῦντες ἀδελφοί εἰσι τῶν ἀποστόλων. δίκαιος γὰρ οὐκ ἐν οἷς ἁμαρτάνει
Ψαλ. ριη. νγ. μόνον ἀθυμεῖ, ἀλλὰ καὶ ἐν οἷς βλέπει ἄλλους ἁμαρτάνοντας, ὥς φησιν ὁ Δαβίδ· Ἀθυμία
κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου. εἴ τις ἐπὶ ταῖς
ἄλλων ἁμαρτίαις ἀθυμεῖ, ζῆλον ἔχει εὐσεβείας. ὁ γὰρ δίκαιος, ὅταν τὸν ἑαυτοῦ βίον διορθῶται,
δακρύει καὶ πενθεῖ τοῦ τὴν ἁμαρτίαν ἐξαλεῖψαι τὴν ἑαυτοῦ, καὶ τότε τῆς ἁμαρτίας τῆς ἰδίας
β. Κορ. ιβ. κα. παυσάμενος, τὰς ἄλλων λοιπὸν πενθεῖ ἁμαρτίας, καθὼς καὶ Παῦλος· Μήπως ἐλθὼν πολλοὺς
πενθήσω τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων. Παῦλος πενθεῖ τοὺς ἁμαρτήσαντας
καὶ μὴ μετανοήσαντας· Σαμουὴλ πενθεῖ τὸν Σαοὺλ, ὡς εἰπεῖν τὸν Θεόν· Ἕως πότε σὺ πενθεῖς
ἐπὶ Σαούλ; βλέπεις ψυχὴν ἀπολλυμένην, καὶ οὐ πενθεῖς; νεκρὸν ἐὰν τις ἴδῃ προκομιζόμενον,
καὶ μὴ δακρύσῃ, ὡς ἀπηνὴς καὶ σκληρὸς καὶ θηριώδης ἐλέγχεται· ψυχὴν ἐὰν ἴδῃς ἐν ἀσεβείᾳ
βαπτιζομένην καὶ αἰωνίῳ θανάτῳ καταδικαζομένην καὶ τῇ ἀπιστίᾳ διαμένουσαν, οὐ

δακρύεις, εἰπέ μοι, καὶ πενθεῖς; καὶ τοῦτο εὐλαβοῦς ψυχῆς. πάντα μὲν οὖν τὰ ἄλλα ἁμαρτήματα δεῖ πενθεῖν τὸν εὖ φρονοῦντα, ἐξαιρέτως δὲ, ὅταν ἴδῃ ψυχὴν ἐν ἀσεβείᾳ βεβαπτισμένην ἑλληνισμοῦ, ἐπὶ τῇ τοιαύτῃ ψυχῇ οὐ δεῖ μόνον πενθεῖν, ἀλλὰ καὶ πυροῦσθαι καὶ ἐμπιπρᾶσθαι τῷ ζήλῳ· ἵνα γένηται Παύλου μαθητής. Διατρίβοντος γάρ, φησι, Παύλου ἐν ταῖς Ἀθήναις ἐνεπίπρατο αὐτοῦ τὸ πνεῦμα, θεωροῦντος κατείδωλον οὖσαν τὴν πόλιν. Διὰ τί δὲ ταῦτα οἱ ἅγιοι φρονοῦσιν, ὥς που καὶ ὁ θαυμάσιος οὗτος πατὴρ ἔκδικος τῆς εὐσεβείας ἦν; καθάπερ γάρ ἐστι βασιλεὺς ὁ ἐπὶ γῆς κατέχων τῆς ὑπ' αὐτὸν οἰκουμένης, ἔχει δὲ ἐν ἑκάστῳ δικαστηρίῳ τοὺς παλατίου συνηγοροῦντας· οὕτως ἔχει ὁ Θεὸς τοὺς πιστοὺς ποιμένας ἐκδίκους τῆς εὐσεβείας. πολλοὶ γὰρ πολλάκις διασύροντες τῶν ἑλλήνων λέγουσιν, ὅταν ἀκούσωσι χριστιανῶν λεγόντων αὐτοῖς, Διὰ τί βλασφημεῖτε; διὰ τί ἀσεβεῖτε; εὐθέως διασύρουσιν· ἴδε οἱ ἔκδικοι τοῦ Θεοῦ. οὐ δύναται ἑαυτὸν ἐκδικῆσαι ὁ Θεός; ἀλλ' ἑαυτὸν οὐκ ἐκδικεῖ (οὐ γὰρ ὑβρίζει τὴν θεότητα) ἀλλὰ διὰ πιστῶν οἰκετῶν τοὺς ἀγνώμονας δούλους μαστίζει. χρείαν ἔχει ἐκδίκων ὁ Θεός; ναί. οὐκ ἐπειδὴ αὐτὸς ἀσθενής, ἀλλ' ἵνα σοὶ θύραν ζήλου ἀνοίξῃ. εἰ γὰρ πάντα δι' ἑαυτοῦ ἐποίει, ἀπεκλείετο ἡ ὁδὸς τῆς ζωῆς τῷ ζηλωτῇ. οὐκ ἐθεομάχει ποτὲ Φαραώ, καὶ ἦν ἐν ἀσεβείᾳ βεβυθισμένος, καὶ οὐδαμοῦ μάστιξ προσηνέχθη, ἕως ἂν ἐκίνησε Μωϋσῆς ὁ πιστός; οὐκ ἐκόμα ἡ πολύθεος πλάνη σὺν τοῖς ψευδέσιν ἱερεῦσι καὶ τοῖς ψευδοπροφήταις, καὶ οὐδαμοῦ παρὰ Θεοῦ πληγή, ἕως ἂν ἐκίνησεν Ἠλίας ὁ ζηλωτής; ἔκδικοί εἰσιν ὁμολογουμένως τοῦ Θεοῦ οἱ ἅγιοι. διὸ καὶ Παῦλος λέγει· Ἐν ἑτοίμῳ ἔχομεν ἐκδικῆσαι πᾶσαν παρακοήν, ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή. ἔτι δὲ ἡ θαυμασία Δεβόρρα ἐν γυναιξίν, ἡ γυναικὸς ἀσθένειαν ἔχουσα, καὶ ἀνδρείαν ἀρετῆς προφητεύουσα, περὶ ἧς φησιν ἡ γραφή· Καὶ ἀνέστη Δεβόρρα μήτηρ ἐν τῷ Ἰσραήλ, μήτηρ ἐγένετο τοῦ λαοῦ δι' εὐσέβειαν, καὶ τοσοῦτον ἤκμαζεν, ὥστε καὶ τοὺς στρατηγοὺς πολέμου δεομένους τοὺς περὶ τὸν Βαρὰκ λέγειν τῇ γυναικί· Ἐὰν μὴ σὺ ἔλθῃς εἰς πόλεμον μεθ' ἡμῶν, ἡμεῖς οὐκ ἐρχόμεθα. οὐ τῇ τῆς γυναικὸς ἐθάῤῥουν ἀνδρείᾳ, ἀλλὰ τῇ τῆς προφητείας δυνάμει. ἐξῆλθον πολλοὶ συνεργοὶ τῆς τοῦ Θεοῦ βουλῆς, καὶ ἐξέκοπτον τοὺς ἀλλοφύλους. ἐκεῖ τοίνυν ἡ μακαρία Δεβόρρα τὴν ἀλήθειαν φέρουσα, λέγει· Κύριε, οἱ ἀγαπῶντές σε ὡς ἀνατολὴ τοῦ ἡλίου, οἱ δὲ ἐχθροί σου ὡς ἀπόσμηγμα λύχνου. Κύριε, οἱ ἀγαπῶντές σε ὡς ἀνατολὴ τοῦ ἡλίου. (ἐπειδὴ ὁ ἥλιος οὐδέποτε σβέννυται)· οἱ δὲ ἐχθροί σου ὡς ἀπόσμηγμα λύχνου. (λύχνος γὰρ καὶ πρόσκαιρον ἔχει φῶς, καὶ πάλιν σβέννυται). Εἶτα ἐπαινεῖ τὸν στρατηγὸν ὑπουργήσαντα τῇ τοῦ Θεοῦ βουλῇ, καὶ μετὰ ταῦτα κελεύει καταρᾶσθαι τοὺς κατοικοῦντας Μαζώρ, ὅτι οὐκ ἐξῆλθον εἰς βοήθειαν Κυρίου. βοηθείας ἄρα ἔχρῃζεν ὁ Θεός; ναί. διὰ φανῆναι τοὺς βοηθοῦντας τῇ εὐσεβείᾳ. οὕτως οὖν καὶ ὁ θαυμάσιος οὗτος πατὴρ οὐ Θεῷ ὡς ἀπονοοῦντι βοηθεῖ, ἀλλ' εἰς τοῦτο ταγείς, ἐκδικεῖ τὴν εὐσέβειαν, τῷ σώματι μὲν ἐνδεικνύμενος προσαπώλειαν, ἀλλὰ ψυχὰς ἐμβαλλόμενος πρὸς δυναστείαν. Τὰ γὰρ βέλη τοῦ δυνατοῦ ἠκονημένα. καὶ μὴ θαυμάσῃς, εἰ οἱ ποιμένες Χριστοῦ καὶ διδάσκαλοι εὐσεβείας ἐκδικοῦσι τὴν ἀλήθειαν. ἀλλὰ κἂν μὴ ᾖ τις διδάσκαλος, μηδὲ διδασκαλικὸν θρόνον πεπιστευμένος, ἀλλ' ἁπλῶς δεξάμενος Χριστοῦ λόγον, καὶ ἐν μαθητοῦ τάξει τυγχάνων, ὀφείλει ζῆλον ἔχειν Θεοῦ, καὶ ἀμοιβὰς ἀποδιδόναι τῷ εὐεργέτῃ ἐν τῷ ἐλευθεροστομεῖν καὶ ὑπὲρ τῆς ἀληθείας φθέγγεσθαι, καὶ κατὰ ἀσεβείας ἀγωνίζεσθαι, ἵνα ἀκούσῃ παρὰ τῆς ἁγίας γραφῆς, Τέκνον ἀγώνισαι ὑπὲρ τῆς ἀληθείας, καὶ Κύριος ὁ Θεὸς πολεμήσει ὑπὲρ σοῦ. οὐδὲν θαυμαστόν, εἰ εὐσέβειαν ἐκδικοῦσιν ἅγιοι. πολλάκις χαλᾷ τι δι' ἐπιείκειαν, ὡς Θεὸς ἀγαθός, καὶ οἱ προφῆται οὐ συγχωροῦσι τρωθῆναι τὴν εὐσέβειαν ἐκ τῆς τοῦ Θεοῦ ἐπιεικείας. λέγει ὁ Θεὸς διὰ Μωϋσέως, Εἶπον τῷ Φαραώ, ἐξαπόστειλον τὸν λαόν μου· εἰ δὲ οὐ βούλει, ἰδοὺ ἀποστελῶ τὰ σημεῖα, καὶ πατάξω σε. ἐπλήγη Μωϋσῆς ἐπὶ τῷ ῥήματι, καὶ δίδοται

ἔννοια

Πραξ. ιζ. ιϛ.
β Κορ. ι. ϛ.
Κριτ. ε. ζ.
Κριτ. δ. η.
Κριτ. ε. λα.
Ψαλμ. μδ. ζ.
Σειρ. δ. λα.

ἔννοια τῷ εὐσεβεῖ, καί φησι· μὴ νομίσῃς, ὅτι ἐξ ἰσοτιμίας ἔχει λαὸν αὐτὸς, καὶ λαὸν ὁ Θεός. καὶ
ἀγωνιάσας μή ποτε ἡ πολλὴ τοῦ Θεοῦ ἀγαθότης καὶ ἐπιείκεια βλάψῃ αὐτὸν, καὶ νομίσῃ ἀντιπολιτεύεσθαι
Θεῷ, ἀκούσας ὁ λαός σου, καὶ ὁ λαός μου, ἀναφέρει τὸ κήρυγμα. Τί δὲ λέγει Κύριος
Ἐξοδ. ζ. γ. καὶ θ. κθ. ὁ Θεὸς τῶν Ἑβραίων· Ἐξαπόστειλον τὸν λαόν μου· εἰ δὲ μὴ βούλει, ἰδοὺ ἐγὼ ἐξαποστελῶ τὰ σημεῖα,
καὶ πατάξω σε καὶ τοὺς θεράποντάς σου· ἵνα μάθῃς ὅτι τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς.
ἡ γῆ ἤκουσε λαὸν καὶ λαὸν, καὶ οὐκ ἠκολούθησε τῷ λόγῳ, ἀλλὰ λέγει, πᾶσα ἡ γῆ τοῦ Κυρίου
ἐστίν. εἰ γὰρ καὶ ἐπιεικείᾳ ἐχρήσατο ὁ Θεὸς, ἀλλ' οὗτος οὐ παραδίδωσι τὴν δεσποτικὴν αὐθεντίαν·
διὰ τοῦτο γὰρ καὶ ὁ Θεὸς οὕτως ἐλάλησεν, ἵνα γυμνωθῇ τοῦ εὐσεβοῦς ὁ ζῆλος. ἀλλὰ καὶ φιλοῦσιν
Ματθ. ις ιγ. ἀεὶ οἱ πιστοὶ ὑπερβαίνειν τοῦ Θεοῦ τὰ ῥήματα. λέγει γὰρ ὁ σωτὴρ τοῖς μαθηταῖς· Τίνα με
λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; λέγει εἷς τῶν μαθητῶν αὐτοῦ, σὺ εἶ ὁ
Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. ὁ ζῆλος τοῦ ἁγίου πνεύματος καὶ ὑμᾶς διδασκέτω ζηλωτὰς
εἶναι, καὶ ὑπὲρ εὐσεβείας πάσχειν, καὶ ἀγωνίζεσθαι ὑπὲρ δικαιοσύνης τὸν καλὸν ἀγῶνα.
α. Κορ. ια α. ἄξιον γάρ ἐστι τὸ μιμητὰς εἶναι διδασκάλου ἀγαθοὺς μαθητὰς, ὡς καὶ Παῦλος λέγει· Μιμηταί
μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ. θέλεις μαθεῖν, ὅτι καὶ ὁ ἁπλῶς μαθητὴς καὶ μαθητοῦ
τάξιν ἔχων ὀφείλει ἔχειν ζῆλον εὐσεβείας; ἄκουε πῶς ὁ Χριστὸς τὸν ἐκ γενετῆς τυφλὸν ἐθεράπευσε.
Ἰωαν. θ. ς. Καὶ πτύσας, καὶ πηλὸν ποιήσας ἔχρισεν αὐτοῦ τοὺς ὀφθαλμοὺς, καὶ λέγει αὐτῷ·
ὕπαγε, νίψαι εἰς τὸν Σιλωὰμ ποταμόν· καὶ νιψάμενος ἀνέβλεψεν. οἱ Ἰουδαῖοι ἔγνωσαν
αὐτὸν, καὶ λέγουσιν· οὐχ οὗτός ἐστιν ὁ πρὸς τὴν ἐλεημοσύνην καθήμενος τυφλὸς ὤν;
ἄλλοι ἔλεγον, ναί· ἄλλοι, οὔ· ἀλλ' ὅμοιος αὐτοῦ ἐστιν. ἐκεῖνος ἔλεγεν, ἐγώ εἰμι. οἱ Φαρισαῖοι
καὶ οἱ ἄρχοντες τῶν Ἰουδαίων ὁρῶντες, ὅτι τὸ θαῦμα πολλοὺς ἔχει ἑλκύσαι πρὸς τὸν
Χριστὸν, δακνόμενοι ἐκ τοῦ ζήλου τῆς ἀσεβείας, καὶ πληττόμενοι τῷ κέντρῳ τῆς ἀληθείας,
καλοῦσι τὸν ποτε τυφλὸν ἔσω. καὶ ἦν θέατρον ἰδεῖν πονηρὸν, εὐσεβείας ἐκδικουμένης, καὶ
πονηρῶν δικαστῶν κρινόντων, καὶ μεγάλου συνηγόρου συναγωνιζομένου, καὶ Θεοῦ βραβεύοντος καὶ
ἐφορῶντος. καλοῦσι τὸν ἐκ γενετῆς τυφλὸν καὶ ἀναβλέψαντα Ἰουδαίων παῖδες, καὶ ἱστῶσιν
ἐν μέσῳ τοῦ συνεδρίου, καὶ λέγουσιν αὐτῷ· Εἰπὲ πῶς ἀνέβλεψας; τίς σου διήνοιξε τοὺς ὀφθαλμοὺς,
καὶ τί σοι ἐποίησε; ταῦτα ἔλεγον, οὐχ ἵνα μάθωσιν, ἀλλ' ἵνα τῷ σχήματι φόβον ἐνέγκωσι.
πολλάκις γὰρ τὸ σχῆμα τῆς ἐρωτήσεως διδάσκαλος γίνεται τῷ ἐρωτωμένῳ ἀποκρίνασθαι,
ἢ σιωπῆσαι. ὡς ἄν τις εἴποι τινὶ μέλλοντι μαρτυρεῖν εἰς πρᾶγμα, οἶδας τὴν ὑπόθεσιν;
παρῆς; πόθεν οἶδας; καὶ τὸ σχῆμα διδάσκει αὐτὸν ἀρνήσασθαι· οὕτω κἀκεῖνοι· πῶς ἀνέβλεψας;
τίς σου ἤνοιξε τοὺς ὀφθαλμούς; ὁ δὲ ἧττον φροντίσας τῆς ἀπειλῆς, εἴχετο μᾶλλον
Ἰωαν. θ. ια. τῆς ἀληθείας. Ἄνθρωπός τις λεγόμενος Ἰησοῦς, αὐτὸς ἐπέχρισέ μοι πηλὸν, καὶ εἶπέ
μοι, νίψαι· καὶ ἀπελθὼν ἐνιψάμην, καὶ ἀνέβλεψα. οὐκ ᾔδει τὴν ἀλήθειαν, ἀλλὰ τὴν
εὐεργεσίαν ἐγνώρισε, τοῦ εὐεργέτου τὸ ἀξίωμα οὔπω ᾔδει. ἄνθρωπός τις λεγόμενος Ἰησοῦς
πηλὸν ἐπέθηκέ μου τοῖς ὀφθαλμοῖς, καὶ βλέπω. οὐκ ἐπίστευσαν οἱ Ἰουδαῖοι, ὅτι τυφλὸς
ἦν. ἡ παραγραφὴ τῆς κακίας εἰς ἀμφιβολίαν ἤνεγκε τὴν ἀλήθειαν. καλοῦσι τοὺς γονεῖς
τοῦ τυφλοῦ. ἡ κακία καθ' ἑαυτῆς σωρεύει τὰς μαρτυρίας. ἐκλήθησαν οἱ γονεῖς τοῦ τυφλοῦ·
Ἰωαν. θ. ιθ. πάλιν τὸ αὐτὸ σχῆμα τῆς ἐρωτήσεως. Οὗτός ἐστιν ὁ υἱὸς ὑμῶν, ὃν ὑμεῖς λέγετε, ὅτι τυφλὸς
ἐγεννήθη; πῶς οὖν ἄρτι βλέπει; ἐκεῖνοι τὸν τρόπον τῆς κακίας νοήσαντες, ὅτι ἀπειλὰς
προσφέρουσι, λέγουσιν αὐτοῖς· ἴσμεν ὅτι οὗτος υἱὸς ἡμῶν ἐστι· καὶ ὅτι τυφλὸς ἐγεννήθη, οἴδαμεν·
πῶς δὲ ἀνέβλεψεν, ἢ τίς ἤνοιξεν αὐτοῦ τοὺς ὀφθαλμοὺς, ἡμεῖς οὐκ οἴδαμεν· αὐτὸς
ἡλικίαν ἔχει· αὐτὸς περὶ ἑαυτοῦ ἐρωτάσθω· αὐτὸς τὰ περὶ ἑαυτοῦ λαλήσει. καὶ ὅρα τοῦ
Θεοῦ τὴν σοφίαν. ἵνα μὴ παραγράψωνται αὐτοῦ τὴν φωνὴν τοῦ ἀναβλέψαντος, ἢ ὡς
νέου ὄντος, ἢ ὡς οὐκ εἰδότος εἰπεῖν, ὡς ἐπὶ τῶν κοινῶν δικαστηρίων, ᾠκονόμησεν ὁ Θεὸς πρῶτον
δειχθῆναι αὐτὸν τῆς ἐννόμου ἡλικίας. ἡλικίαν, φησὶν, ἔχει αὐτός; ἐπειδὴ οἱ ἀφήλικες

συνηγόρων χρήζουσιν, οἱ δὲ τελείαν φέροντες τὴν ἡλικίαν, αὐτοὶ ἑαυτῶν συνήγοροι γίνονται. οἱ γονεῖς λέγουσιν ὅτι τυφλὸς ἐγεννήθη, οἴδαμεν. ὡμολόγησαν οἱ γονεῖς, ἵνα μὴ ᾖ ἀμφιβολία, ὅτι οὐκ ἦν τυφλός. ἡλικίαν ἔχει, ἐρωτάσθω. καλοῦσι, φησιν, αὐτὸν ἐκ δευτέρου, καὶ λέγουσιν αὐτῷ, Εἰπὲ πῶς ἀνέβλεψας; τί σοι ἐποίησεν; ἐκεῖνος λοιπὸν ἐνδυσάμενος Θεοῦ ζῆλον, διαλύει τὴν ἐρώτησιν, καὶ ὡς ἀναξίους ἀποκρίσεως οὐκ ἀξιοῖ λόγου. ἀλλὰ τί λέγει αὐτοῖς; Εἶπον ὑμῖν ″ἅπαξ, καὶ οὐκ ἠκούσατε· τί πάλιν θέλετε ἀκούειν; μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ μαθηταὶ γενέσθαι; καὶ μιμεῖται τοῦ Χριστοῦ τὴν διδασκαλίαν, ὁ μηδέπω ἀκούσας Χριστοῦ διδασκαλίαν. οἱ γὰρ Ἰουδαῖοι ἐν τοῖς ἐγκαινίοις κυκλώσαντες τὸν σωτῆρα ἔλεγον αὐτῷ· Ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; εἰ σὺ εἶ ὁ Χριστὸς, εἰπὲ ἡμῖν παρρησίᾳ. λέγει αὐτοῖς, Εἶπον ὑμῖν, καὶ οὐκ ἠκούσατε· τί πάλιν θέλετε ἀκούειν; καὶ ὅρα συνηγόρου εὐσέβειαν. ἐπειδὴ προσέσχε τῇ κακίᾳ τῶν Ἰουδαίων, ὅτι πάντα ποιοῦσι, καὶ σχηματίζονται ἀπειλὴν καὶ φόβον αὐτῷ ἐπισείειν ὑπὲρ τοῦ μὴ ὁμολογεῖν* διδάσκαλον, λέγει αὐτοῖς· τί πάλιν θέλετε ἀκούειν; μὴ καὶ ὑμεῖς θέλετε μαθηταὶ αὐτοῦ γενέσθαι; τῷ εἰπεῖν, μὴ καὶ ὑμεῖς, ἔδειξεν, ὅτι καὶ ἐγὼ, ὁμολογεῖται. Ταύτην τὴν φωνὴν ἐχέτω πᾶς χριστιανὸς, ἀπὸ ἑλληνισμοῦ κατηγορούμενος. ὅταν γάρ σοι συντύχῃ Ἕλλην ἀρχαίαν ἔχων συνήθειαν πλάνης, καὶ εἴπῃ σοι, χριστιανὸς ἐγένου· εἰπὲ αὐτῷ· ναί, μὴ καὶ σὺ θέλεις γενέσθαι; ὁ σκοπὸς τοίνυν τοῦ ἀναβλέψαντος καὶ ψυχῇ καὶ σώματι τοιοῦτος. Μὴ οὖν καὶ ὑμεῖς θέλετε; ἀντὶ τοῦ, τοσοῦτον ἀπέχετε τοῦ ἐμὲ μεταπεῖσαι, ὅτι καὶ ἐγὼ προσδοκῶ μᾶλλον ὑμᾶς μεταβληθέντας Χριστὸν αὐτὸν ὁμολογῆσαι. Εἶτα τί πρὸς αὐτὸν οἱ Ἰουδαῖοι; ἐλοιδόρησαν αὐτὸν, καὶ εἶπον· Σὺ ἐκείνου μαθητὴς εἶ, ἡμεῖς δὲ Μωϋσέως ἐσμὲν μαθηταί. ἡμεῖς οἴδαμεν, ὅτι Μωϋσῇ λελάληκεν ὁ Θεός· τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν. ἐννόησον δὲ πλῆθος τῶν ἀντιλεγόντων, καὶ τὴν δύναμιν τοῦ ἑνὸς ἀνθεστηκότος. καὶ οὐκ ἐσιώπησε πάλιν ὁ συνήγορος τῆς ἀληθείας, ἀλλ᾽ ἵστατο. Τὸ γὰρ θαυμαστόν, φησι, τοῦτό ἐστιν, ὅτι ὑμεῖς οὐκ οἴδατε αὐτὸν πόθεν ἐστί, καὶ ἤνοιξέ μου τοὺς ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου. Εἰ μὴ ἦν οὗτος παρὰ Θεοῦ, οὐκ ἠδύνατο ταῦτα ποιῆσαι. ἑστήκει ὁ ἀγωνιζόμενος, καὶ ὁ Θεὸς ἐπόπτης καὶ βραβευτής. πολλοὶ λύκοι καθ᾽ ἑνὸς ἱερείου, νέφος ἀπίστων πρὸς μίαν σταγόνα πίστεως. ἀπὸ τοῦ αἰῶνος, φησιν, οὐκ ἠκούσαμεν, ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου. Εἰ μὴ ἦν οὗτος παρὰ Θεοῦ, οὐκ ἠδύνατο ποιεῖν οὐδέν. ἐπειδὴ σεμνύνεσθε, φησι, τῇ Μωϋσέως διδασκαλίᾳ. οὐ μνημονεύει μὲν Μωϋσέως τέως, ἵνα μὴ προξενήσῃ· λέγει δὲ, ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη, ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου· τουτέστι, τίς ἤνοιξεν ἄλλος προφήτης; οὐδὲ τὴν ὑπεροχὴν ὁρῶντες, οὐδὲ σύγκρισιν, ὅσον οὗτος τῆς ἀληθείας ἀντείχετο, τοσοῦτον ἐκεῖνοι τῆς ἀναισχυντίας οὐκ ἐπαύοντο. ἐπειδὴ ἀρνήσασθαι οὐκ ἐδύναντο, ἐσπούδασαν λοιπὸν καλύψαι, καί φασι· Δὸς δόξαν τῷ Θεῷ. οἴδαμεν ἡμεῖς, ὅτι ὁ ἄνθρωπος οὗτος ἁμαρτωλός ἐστιν. ὢ Ἰουδαϊκῆς ῥαδιουργίας. ἕστηκε μετ᾽ ἐμοὶ, καὶ δόξα τῷ Θεῷ· δόξα υἱοῦ ἡ δόξα πατρὸς, καὶ ἀμέριστος ἡ δόξα. ἀγωνίζεται ἔχων τὸν καλὸν ἀγῶνα πρὸς Ἰουδαίους. λέγουσιν αὐτῷ, δὸς δόξαν τῷ Θεῷ. ποίῳ; τοῦ νόμου τοῦ ἡμετέρου; καὶ δίκαιόν ἐστιν ἄλλον εὐεργετῆσαι, καὶ ἄλλον δοξασθῆναι; δὸς δόξαν τῷ Θεῷ. ἄλλος ″εὐεργέτησεν, καὶ ἄλλῳ δίδως δόξαν; ὡμολόγησεν, ὅτι πηλὸν ἐποίησεν Ἰησοῦς, καὶ ἔχρισεν αὐτοῦ τοὺς ὀφθαλμούς. ὁ ἀνοίξας ὁμολογεῖται, καὶ ἄλλῳ ἀνενέγκω τὴν δόξαν; διατί δὲ δῶ δόξαν τῷ Θεῷ; ὅτι τὸ ἔργον τοῦτο τοῦ Θεοῦ ἐστιν; ἰδοὺ οὖν ἄκοντες ὁμολογεῖτε, ὅτι Θεὸς ὁ Χριστός. δὸς δόξαν τῷ Θεῷ. εἰ γὰρ τὸ ἔργον τοῦ Θεοῦ, καὶ ὀφείλεται αὐτῷ ἡ δόξα, ὁ ποιητὴς τοῦ ἔργου αὐτός ἐστι Θεός. δὸς δόξαν τῷ Θεῷ· ἡμεῖς οἴδαμεν, ὅτι ὁ ἄνθρωπος οὗτος ἁμαρτωλός ἐστιν. ἀπεκρίθη αὐτοῖς ὁ ποτὲ τυφλός· εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα· ἓν οἶδα, ὅτι τυφλὸς ὢν ἄρτι βλέπω. μέχρι τούτου ὡς ἐπαρρησιάσατο, ἐκέλευσαν αὐτὸν ἐκβληθῆναι ἔξω· καὶ ἐξέβαλον αὐτόν, φησιν ὁ εὐαγγελιστής, ἔξω. μακάριος ὁ ἀφορισθεὶς συναγωγῆς πονηρευομένων.

γρ. ἤδη

Ἰωάν. θ. κζ.

Ἰωάν. ι. κδ.

* αὐτόν

Ἰωάν. θ. κη.

Ἰωάν. θ. λ.

γρ. εὐεργέτης

Ιωαν. α. α.

γηραιουμένων. καὶ ὅρα τί γίνεται. ἐπεὶ ἠγωνίσατο τὸν καλὸν ἀγῶνα, καὶ συνηγόρησε Θεοῦ δόξῃ, καὶ τὸν σωτῆρα ὡμολόγησεν ἐνδόξως μετὰ πολλῆς τῆς παῤῥησίας, καὶ ἦν αὐτῷ τὸ στάδιον πεπληρωμένον τῶν αὐτοῦ παλαισμάτων, ἐξεβλήθη ἔξω ὁ παλαιστής, μὴ λαβὼν τὸν στέφανον, καὶ ἀπαντᾷ αὐτῷ ἔξω ὁ βραβευτής. Ἤκουσε γάρ, φησιν, ὁ Ἰησοῦς, ὅτι ἐξέβαλον αὐτὸν ἔξω, καὶ εὑρὼν αὐτὸν λέγει αὐτῷ. ὢ τῆς ῥύσεως τοῦ εὑρόντος αὐτόν. ὃν ἀπόλλεσιν ἡ πλάνη, εὑρίσκει ἡ ἀλήθεια. διὰ τί δὲ αὐτῷ ἀπήντησεν; εἶδεν ὁ σωτὴρ ψυχὴν εὐγνωμοσύνης γέμουσαν· εἶδε ψυχὴν μηδέπω γνωσθεῖσαν ὑπὲρ Θεοῦ λέγειν, ἀλλὰ νομίζουσαν ὑπὲρ προφήτου τινὸς πιστοῦ. ἐρωτᾶται γὰρ περὶ τοῦ Χριστοῦ, καὶ τί λέγει περὶ αὐτοῦ; [illegible] προφήτης, φησίν, ἐστιν. ὁ δὲ σωτὴρ τοῦτο εἶπεν· εἰ προφήτην νομίζων, καὶ ἄνθρωπον ὑπονοῶν, οὕτως ἀγωνίζεται, τί οὐ ποιήσει, ἐὰν μάθῃ τὴν δόξαν τῆς θεότητος; εἰ ἄνθρωπον ὑπονοῶν, καὶ προφήτην ὀνομάζων, τοσαύτην ἐνήνεγκεν ὑπὲρ ἀληθείας συνηγορίαν, καὶ ἀγῶνα τηλικοῦτον ἀνεδέξατο μηδέπω κατηχηθείς, ἀλλ' ἀπὸ μόνης τῆς εὐεργεσίας φωτισθείς· ἐννόησον αὐτόν, ὅτι εἰ ὑπὲρ ἀνθρώπου νομίζων συνηγορεῖν, οὐκ ἐξέστη τῆς ἀληθείας, ἐὰν μάθῃ εὐαγγελικῶς λέγειν, Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ ὁ Θεὸς ἦν ὁ λόγος, τί ἔσται; διὰ τοῦτο λοιπὸν αὐτὸν εἰς γνῶσιν διωρθώσατο, τὸν μὲν ἀγῶνα ἀποδεξάμενος, τὴν δὲ πίστιν αὐτοῦ σφραγίσας. ἀπαντᾷ αὐτῷ ὁ σωτήρ. οὐκ ἐγνώριζε γὰρ τὸν χαρακτῆρα αὐτοῦ. ὅτε γὰρ ἀπέστειλεν αὐτὸν ἐν τῇ κολυμβήθρᾳ τοῦ Σιλωὰμ τοῦ νίψασθαι, τυφλὸν ἀπέστειλεν· ὡς δὲ ἐπανῆλθε βλέπων, τὸν μὲν σωτῆρα οὐκ εἶδε τῷ πλήθει ὄντα ἀναμεμιγμένον· ἀλλ' εὐθέως, πρὶν τὸν δεσπότην ἰδεῖν, εἰς τὸν ἀγῶνα κληθεὶς ἠγωνίσατο. λέγει αὐτῷ ὁ σωτήρ, ἵνα πληρώσῃ τὸ λεῖπον, σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ Θεοῦ; οὐ δεῖ γάρ σε ὡς προφήτῃ πιστεῦσαι ἀγωνιζομένῳ, ἀλλ' ὡς υἱῷ τοῦ Θεοῦ. σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ Θεοῦ; ἐκεῖνος τὸ πρόσωπον μὴ γνωρίσας, τὴν φωνὴν ἀνεγνώρισε. σὺ πιστεύεις, φησίν, εἰς τὸν υἱὸν τοῦ Θεοῦ; ἐπέγνω τὴν φωνήν, καὶ μετὰ περιχαρείας ἐβόησε, καὶ τίς ἐστι, Κύριε, ἵνα πιστεύσω εἰς αὐτόν; διὰ τί πιστεύεις σοὶ λέγοντι τῷ πιστῷ· σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ Θεοῦ; οἶδα ὅτι ὁ λόγος σου ἀληθής ἐστιν· ὅμως δὲ κἂν εἴπῃς μοι τὴν γνῶσιν, οὐκ ἀμφιβάλλω σοι πιστεῦσαι. καὶ τίς ἐστι, Κύριε, ἵνα πιστεύσω εἰς αὐτόν; [καὶ ὁ προγνώστης ἀντέφη· καὶ ὁ λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστιν. ὁ ἔσω συνηγορήσας, ἔξω διαλέγεται. σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ Θεοῦ; ὁ δὲ πεφωτισμένος καὶ τὸ σῶμα καὶ τὴν διάνοιαν, ἔφησε· καὶ τίς ἐστι, Κύριε, ἵνα πιστεύσω εἰς αὐτόν;] ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· Καὶ ἑώρακας αὐτόν, καὶ ὁ λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστιν. ὁ δὲ ἔφη, πιστεύω, Κύριε· καὶ προσεκύνησεν αὐτῷ.

Μαρκ. ιε. λϛ.
Λουκ. κγ. λθ.

Ταῦτά μοι εἴρηται, ἵνα μάθητε πάντες καλῷ διδασκάλῳ ἕπεσθαι, καὶ ποιμένα ἀγαθὸν μιμεῖσθαι, καὶ ὑπὲρ ἀληθείας ἀγωνίζεσθαι. ὁ γὰρ ὑμέτερος ἀγὼν συνεργεία γίνεται τοῦ μεγάλου ποιμένος. ἐθαυμάσατε ὅτι τυφλὸς ἐγένετο συνήγορος τῆς ἀληθείας εὐεργετηθείς; θαυμάσατε τὸν λῃστὴν τὸν περὶ τῆς εὐεργεσίας συνηγορήσαντα τῷ Χριστῷ. ἀεὶ γὰρ θεία ψυχὴ ἀλήθειαν ζηλοῦσα, διὰ τὴν ἑαυτῆς ἀξιοπιστίαν ἀνοίγει πολλὰ στόματα συνηγοροῦντα τῇ ἀληθείᾳ. ἐπὶ σταυροῦ ὁ Χριστὸς ἐκρέματο, καὶ δύο λῃσταί, εἷς ἐκ δεξιῶν, καὶ εἷς ἐξ εὐωνύμων, καὶ Ἰουδαῖοι φλυαροῦσιν, ἀρχιερεῖς βλασφημοῦσιν· Ἴδε ὁ βασιλεὺς τῶν Ἰουδαίων· καὶ πάλιν, Εἰ βασιλεὺς Ἰσραήλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα ἴδωμεν, καὶ πιστεύσωμεν αὐτῷ· καὶ πάλιν, Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. ὡσαύτως καὶ ὁ συσταυρωθεὶς λῃστὴς καὶ αὐτὸς ἐφλυάρει λέγων· Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, σῶσον σεαυτόν, καὶ ἡμᾶς. ὁ δὲ ἕτερος λῃστὴς οὐκ ἐλάλει οὐδέν, τῇ σιωπῇ κολάζων τοὺς ἀδίκους. ἐπεὶ οὖν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, οἱ νόμον εἰδότες, μᾶλλον δὲ ἀγνοοῦντες, οἱ ὀφείλοντες ἀπὸ τῶν προφητικῶν ἀναγνωσμάτων Χριστὸν ὁμολογῆσαι, οὐχ ὡμολόγησαν· ἀνοίγει ὁ Θεὸς ἀπροσδόκητον στόμα ἐπὶ τοῦ σταυροῦ συνηγοροῦν τῇ ἀληθείᾳ. καὶ βλέπε τί ποιεῖ. οὐ πρότερον ἀξιοῖ τὸν Χριστόν,

Χριστὸν, οὐδὲ πρῶτον ἀκούει φωνῆς Χριστοῦ, καὶ οὕτω συντηρεῖ, ἀλλὰ πρῶτον συντηρεῖ, καὶ τότε στεφανοῦται. Ἐσταυρώθησαν γάρ, φησι, σὺν αὐτῷ δύο λῃσταὶ, εἷς ἐκ δεξιῶν, καὶ εἷς ἐξ εὐωνύμων· καὶ ἦν ὁ σωτὴρ μέσος, ὥσπερ ζυγὸς ἀληθείας, κουφίζων μὲν τὸν ὁμολογοῦντα, ″βαρύνων δὲ τὸν ″βλασφημοῦντα. καὶ ὅρα τὸ θαυμαστόν· τῶν γραμματέων καὶ τῶν ἀρχιερέων βλασφημούντων τὸν Χριστὸν καὶ λεγόντων, Εἰ βασιλεὺς Ἰσραήλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν αὐτῷ· καὶ τοῦ ἄλλου λῃστοῦ, Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, σῶσον σεαυτὸν καὶ ἡμᾶς, λέγει εἷς τῶν λῃστῶν ὁ εὐγνώμων. Οἱ γὰρ δύο λῃσταὶ εἰκόνες ἦσαν τοῦ λαοῦ τῶν Ἰουδαίων καὶ τοῦ ἡμετέρου. ὁ μὲν γὰρ βλασφημεῖ, καὶ κατακρίνεται· ὁ δὲ πιστεύει, καὶ μετανοεῖ, καὶ σώζεται. λέγει οὖν εἷς τῶν ἀγνωμόνων, ὁ τῆς Ἰουδαϊκῆς λῃστείας ἀδελφός (λῃστρικὸς γὰρ ἦσαν λαὸς οἱ ἀγνώμονες Ἰουδαῖοι, ὡς μαρτυρεῖ ὁ σωτὴρ λέγων· Ὁ οἶκός μου, οἶκος προσευχῆς κληθήσεται, ὑμεῖς δὲ ἐποιήσατε αὐτὸν σπήλαιον λῃστῶν· καὶ ἡ μὲν τοῦ προτέρου προαίρεσις Ἰουδαϊκή· ἡ δὲ τοῦ δευτέρου Χριστιανική, ἀπὸ κακῶν μὲν ὁρμωμένη, μετάνοια δὲ τὴν σωτηρίαν ἁρπάζει) λέγει οὖν ὁ ἀγνώμων λῃστὴς, καὶ Ἰουδαϊκὴν ἔχων προαίρεσιν, Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, σῶσον σεαυτὸν καὶ ἡμᾶς, καταβὰς ἀπὸ τοῦ σταυροῦ. ὁ δὲ ἄλλος εὐγνώμων εὑρίσκεται, ὁ ἐν τῷ δικαστηρίῳ ὑπεύθυνος, ἐν τῷ σταυρῷ δικαστὴς, ἀλλὰ καὶ διδάσκων φόβον Θεοῦ. ἡ γὰρ πρώτη φωνὴ τοῦ λῃστοῦ τῷ συλλῃστῇ λέγει· Οὐδὲ φοβῇ σὺ τὸν Θεὸν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ, ὧν ἐπράξαμεν, ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε. τί λέγεις; ὁ ἔξω κλέπτων, ὧδε ″καταδικάζεις; ὁ ἔξω φονεύων, ὧδε φόβον διδάσκεις; οὐδὲ φοβῇ σὺ τὸν Θεόν; μάθε τοῦ Χριστοῦ τὸν σταυρὸν, ἵνα ἡ φωνὴ Χριστοῦ γένηταί σοι εὐσεβείας διδάσκαλος. ὅρα γὰρ τὸ θαυμαστόν· ὁ λῃστὴς λέγει τῷ συλλῃστῇ, Οὐδὲ φοβῇ σὺ τὸν Θεόν; Θεὸν αὐτὸν κηρύττει τὸν ἑκουσίως συνεσταυρωμένον αὐτοῖς, καὶ μακροθύμως ὑπὲρ τῆς φιλανθρωπότητος πάσχοντα. καὶ ὅτι περὶ αὐτοῦ τοῦ σωτῆρος λέγει, Οὐδὲ φοβῇ σὺ τὸν Θεὸν, ἐκ τῶν ἑξῆς μάνθανε· Οὐδὲ φοβῇ σὺ τὸν Θεὸν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ, ὧν ἐπράξαμεν, ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε. Ταῦτα λέγω, ἵνα μάθητε ὑπὲρ εὐσεβείας κάμνειν, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀγορᾷ τὸν ζῆλον ἐνδείκνυσθαι, καὶ ὑπὲρ Χριστοῦ ἀγωνίζεσθαι, ἵνα καὶ παρ᾽ αὐτοῦ τὸν τῆς δικαιοσύνης λάβητε στέφανον, ὡς ὁ εὐγνώμων ἐκεῖνος λῃστής. ἄκουε γὰρ αὐτοῦ πρὸς τὸν βλάσφημον συλλῃστήν· Οὐδὲ φοβῇ σὺ τὸν Θεὸν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ, ὧν ἐπράξαμεν, ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε. καὶ ἔλεγε τῷ Ἰησοῦ, Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. Εἶδες συνηγορίαν ἀληθῆ; Εἶδες πῶς αὐτὸν τὸν Χριστὸν Θεὸν ἀληθινὸν ὡμολόγησε; Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. ὁμολογεῖ τὰ ἴδια κακὰ, καὶ συνηγορεῖ τῷ δεσπότῃ. τοσαῦτα ἐβασανίσθης, λῃστὰ, ἐπὶ τοῦ ἡγεμόνος, ἵνα ὁμολογήσῃς τὰς λῃστείας, καὶ τοὺς φόνους, καὶ τὰς κλοπὰς, ἃς ἐποίησας, εἰ καὶ οὐχ ὡμολόγησας· καὶ ὧδε λέγεις ἐκτὸς βασάνων, ἄξια, ὧν ἐπράξαμεν, ἀπολαμβάνομεν; διὰ μυρίων βασάνων μόλις ὡμολόγησας ἐπὶ τοῦ ἡγεμόνος· καὶ ὧδε μηδένα ἔχων τὸν ἀναγκάζοντα, εὐκόλως οὕτως ὁμολογεῖς; ναί, φησιν. ἀλλ᾽ ἐκεῖ, φησι, τῇ ὁμολογίᾳ ἀκολουθεῖ θάνατος· ὧδε τῇ ὁμολογίᾳ ἕπεται μετάνοια καὶ ζωή. ἄξια γὰρ ἡμεῖς, ὧν ἐπράξαμεν, ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξεν. Εἰ ἡμεῖς, φησι, δικαίως, οὗτος ἀδίκως· ἡμεῖς γὰρ τοὺς ζῶντας ἐφονεύσαμεν, οὗτος τοὺς νεκροὺς ἤγειρεν· ἡμεῖς τὰ ἀλλότρια ἐσυλήσαμεν, οὗτος τὸν ἴδιον πλοῦτον τῇ οἰκουμένῃ δέδωκε. μάχεται ὁ λῃστὴς τῷ συλλῃστῇ, καί φησι· μέχρι τούτου τοῦ καιροῦ τοῦ κατὰ τὸν σταυρὸν ἀλλήλοις συνήλθομεν καὶ συνωδεύομεν· ἀλλὰ νῦν ἀπὸ τοῦ σταυροῦ σχίζεταί μοι ἡ ὁδός. ἐὰν θέλῃς, φησὶ, συνόδευσαί μοι πρὸς τὴν ζωὴν, ἐλθέ· εἰ δὲ μή, τὴν οἰκείαν πορεύου. εἶπεν, ὅτε σὺν σοὶ συνώδευον, τὴν πρώτην μετὰ σοῦ ἤμην· ἀλλὰ νῦν ὁ σταυρὸς ἔσχισεν αὐτὴν τὴν ὁδὸν τὴν δευτέραν εἰς δύο· μετάνοια σχίζεται ἡ ὁδὸς τῶν λῃστῶν. καὶ ἦν ὁ ψαλμὸς,

Ματθ. κη λη.

καταδικά-

″ ἀπσουῶτα.

Ματθ. κα. ιγ.

Λουκ. κγ. λθ.

διδάσκεις;

Ψαλ. α. ς.

καὶ τὸ τέλος τοῦ ψαλμοῦ τότε πληρούμενον· Γινώσκει Κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται. ὅτε οὖν συνηγόρησεν ὁ λῃστὴς τῇ ἀληθείᾳ, στρέφεται πρὸς τὸν βασιλέα τῆς δόξης, καί φησι, Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. αἰσχυνέσθωσαν λοιπὸν οἱ Ἀρειανοί, καὶ ἀκουέτωσαν τί ὁ λῃστὴς λέγει· Κύριε, μνήσθητί μου ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. ὁ λῃστὴς βλέπει ἐσταυρωμένον, καὶ Κύριον ὁμολογεῖ· ὁ αἱρετικὸς ὁμολογεῖ σύνθρονον τοῦ πατρὸς, καὶ ὡς κτίσμα βλασφημεῖ. μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. ἤθελον τινα εἰπεῖν πρὸς τὸν λῃστὴν, μνησθείη σου ὁ Χριστός; τί ἄξιον ποιήσαντος; ὅτι ἐφόνευσας; ὅτι ἐσύλησας; λέγεις γάρ, μνήσθητί μου, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. ἀλλὰ μή τις νομιζέτω, ὅτι κατὰ χάριν μόνον ἔσωσε τὸν λῃστὴν ὁ Χριστὸς, ἀλλὰ καὶ κατὰ ὀφειλὴν ἐχρεωστεῖτο αὐτῷ. ποῖον χρέος, φησίν; ὅτι ἐδικαιοπράγησεν; ἐλεημοσύνας ἔδωκε; τὰ ἴδια ἐμέρισεν; ἐνήστευσεν; ἠγρύπνησεν; ἐποίησε πρᾶγμα, ὃ μηδεὶς ἄλλος; ἀλλ' ὅτι ἐπίστευσε; καὶ προφῆται ἐπίστευσαν τῷ Θεῷ, καὶ πατριάρχαι ἐπίστευσαν, ὑμνογράφοι ἐπίστευσαν, ἀπόστολοι, κήρυκες, μάρτυρες, ἀλλ' οὗτοι πάντες ἐν δόξῃ θεασάμενοι τὸν Θεόν, οὗτος δὲ ἐν ὕβρει. ἀλλὰ στῆσον μυρίους οἰκέτας δουλεύοντας δεσπότῃ, ὅτε ὁ δεσπότης ἐστὶν ἐν εὐπραγίᾳ καὶ τιμῇ, καὶ ἕνα δοῦλον ἐν καιρῷ πειρασμοῦ καὶ θλίψεως καὶ φυγῆς οὐκ ἀναχωροῦντα τοῦ ἰδίου δεσπότου· ἐκείνους δὲ τοὺς μυρίους δούλους ἐν τῷ τοῦ πειρασμοῦ καιρῷ καὶ τῆς φυγῆς καταλιπόντας τὸν δεσπότην καὶ ἀποχωρήσαντας· ἆρά γε οὗτοι οἱ δοῦλοι, οἱ ἐν εὐπραγίᾳ τὸν δεσπότην ἐν τῷ καιρῷ τοῦ πειρασμοῦ καταλιπόντες, ὅμοιοι εἶναι δύνανται τοῦ ἐν δυσπραγίᾳ τῷ δεσπότῃ ἀκολουθήσαντος; οὐδαμῶς. ἐπίστευσε Πέτρος Χριστῷ, ἀλλ' ἰδὼν νεκροὺς ἐγείραντα, τὴν δόξαν αὐτοῦ θεασάμενος ἐπίστευσεν· ἐπίστευσε Παῦλος, ἀλλ' ἰδὼν φῶς οὐρανόθεν, καὶ τὰς μὲν σωματικὰς ὄψεις πηρώσαντα, τὰ δὲ ψυχικὰ ὄμματα φωτίσαντα· ἐπίστευσεν Ἀβραάμ, ἀλλὰ θεασάμενος ὄψιν θεϊκήν· Ἠσαΐας ἐπίστευσεν, ἀλλ' ἰδὼν αὐτὸν καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ, καὶ τὰ χερουβὶμ κύκλῳ αὐτοῦ. ὅλοι εἶδον, ἀλλ' ἐν δόξῃ· οὗτος δὲ ἐν ὕβρει. διὸ καὶ ἔκραζε, μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. ἀπὸ τοῦ κατ' ἐμὲ ὀφείλετέ μοι εἰπεῖν· διὰ τί λέγεις, ὅτι ἁμαρτωλός εἰμι καὶ φονεύς; λῃστὴς μέχρι τῆς ὥρας ταύτης; πολλά μου τὰ κακὰ ὁμολογῶ, ἀλλ' ἔχω ἐν τῇ διανοίᾳ μου πίστιν κεκρυμμένην, ἣν οὐδεὶς οἶδεν, εἰ μὴ ὁ δεσπότης μόνος ὁ σὺν ἐμοὶ πάσχων. ἔξωθεν ἔχει ὁ δεσπότης τὰ τοῦ πάθους φαινόμενα σύμβολα· καὶ ἐγώ, φησιν, οὐ προσέχω τῇ φαινομένῃ ὕβρει, ἀλλὰ τὴν κεκρυμμένην βασιλείαν δοξάζω. οὕτω καὶ σὺ λέγε· Κύριε, μὴ ἴδῃς μου τὰς ἀδικίας τὰς φαινομένας, ἀλλὰ τὴν πίστιν τὴν κρυπτομένην, καὶ μνήσθητί μου, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Λουκ. κγ. μγ.

Δι' ὅλου μηδὲν μηδενὶ λαλήσας Χριστὸς, ἀλλὰ σιωπήσας, καὶ μήτε τῷ Πιλάτῳ ἀποκριθεὶς, μήτε τινὶ ἄλλῃ ἀγνώμονι ψυχῇ τῶν Ἰουδαίων, ἀποκρίνεται τότε· καὶ ἐπειδὴ πολὺ βαρὺ ἦν, καὶ ἄτοπον τὸ σιωπᾶν, ἀποκρίνεται λοιπὸν, καὶ λέγει τῷ λῃστῇ· Ἀμὴν, ἀμὴν, λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. ὢ τοῦ εὐεργέτου χάρις· ἐπειδὴ βραδεῖαν ᾐτήσω τὴν χάριν, καὶ λέγεις, μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου, σὺ βραδεῖαν ᾐτήσας, ἐγὼ ταχεῖαν δίδωμι τὴν χάριν. σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. εἶδες Θεοῦ σωτηρίαν; εἶδες δεσπότου εὐεργεσίαν; εἶδες τὸν μέγαν τῆς ἀληθείας δικαστήν; σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. περὶ τούτου οὐδεὶς ἤκουσε τῶν Ἰουδαίων ἢ τῶν πατριαρχῶν ἐπαγγελίαν παραδείσου, ἀφ' οὗ ὁ Ἀδὰμ παρέβη, καὶ ἐξῆλθεν ἐξ αὐτοῦ. καίτοι μυρία ὁ Θεὸς ἐπηγγείλατο τοῖς ἀνθρώποις τοῖς πιστοῖς· καὶ οὐδενὶ ἐπηγγείλατο παράδεισον, ἢ τῷ λῃστῇ· οὐδαμοῦ φαίνεται τὸ στόμα τοῦ Θεοῦ ἐπαγγελλόμενον παράδεισον ἀνθρώπῳ μετὰ τὸ ἐκβληθῆναι τὸν Ἀδάμ, ἢ τότε πρῶτον τῷ λῃστῇ. διὰ τί μηδενὶ τῶν πατριαρχῶν πρῶτον εἶπε περὶ παραδείσου, οὐδενὶ τῶν προφητῶν, οὐδενὶ τῶν ἀποστόλων; ἀλλὰ τοῖς ἀρχαίοις ἐπηγγείλατο, Δώσω σοι γῆν ῥέουσαν γάλα καὶ μέλι· τοῖς ἀποστόλοις λέγει,

Ἐξοδ. ιγ. ε.

λέγει, Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· παράδεισος οὐδαμοῦ· ἐν μέσῳ τηρεῖ τὸν παράδεισον εἰς ἐπαγγελίαν πρῶτον τῷ λῃστῇ. ὅτε μὲν γὰρ εἴπῃ Παῦλος, Ἡρπάγην εἰς τὸν παράδεισον· ἀλλὰ μετὰ τὸν λῃστὴν τοῦτο ἐγένετο. διατί οὖν πρῶτος εἰσῆλθεν ὁ μίαν μόνον φθεγξάμενος φωνήν; τί γάρ; πολλάκις ἔψαλλε; πολλάκις ἠγωνίσατο; πολλάκις ἐθεολόγησεν; ἅπαξ φησί· δίκαιος ὁ Θεός μου, ὁ βεβαιωτὴς τῆς σωτηρίας. ἐπειδὴ τὸν πρῶτον ἄνθρωπον Ἀδὰμ οὐ διὰ πολλὰς ἁμαρτίας ἐξέβαλε τοῦ παραδείσου, ἀλλὰ διὰ μίαν παρακοήν· οὕτως ὁ τῆς δικαιοσύνης ζυγὸς πρῶτον εἰσελθεῖν ἐν παραδείσῳ τὸν λῃστὴν ἐπηγγείλατο, τὸν μὴ πολλά τινα ὁμολογήσαντα, ἀλλὰ μίαν ὁμολογίαν πίστεως προσενεγκόντα. εἶπον τὸ ἁμάρτημα τοῦ Ἀδάμ, ὅτι ἥψατο τοῦ ξύλου παρὰ τὴν ἐντολήν· τίς ἡ δικαιολογία τοῦ λῃστοῦ; ὅτι ἥψατο τοῦ σταυροῦ μετὰ πίστεως, εἰσῆλθεν εἰς τὸν παράδεισον. τί λοιπὸν γέγονε; ἐπηγγείλατο μὲν τὴν σωτηρίαν ὁ σωτήρ· καιρὸς δὲ οὐκ ἦν, οὐδὲ ἐνεδίδοτο τῷ λῃστῇ πιστεῦσαι, καὶ φωτισθῆναι. ὁ σωτὴρ γὰρ ἀπεφήνατο· Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. οὐχὶ ηὕρισκεν εὐκαιρίαν ἡ π[illegible] λῃστής, οὐκ εἶχε καιρὸν βαπτισθῆναι. ἐν τῷ σταυρῷ γὰρ ἐκρέματο. εὑρίσκει τι γοῦν ὁ σωτὴρ ἐν ἀπόροις πόρον. ἐπειδὴ γὰρ ἐπίστευσε τῷ σωτῆρι ὁ πεπαλαιωμένος ταῖς ἁμαρτίαις, καὶ ἔδει αὐτὸν καθαρισθῆναι, οἰκονομεῖ ὁ Χριστὸς μετὰ τὸ πάθος τὸν στρατιώτην νύξαι τῇ λόγχῃ τὴν πλευρὰν τοῦ Κυρίου, καὶ ἐκπηδᾷ αἷμα καὶ ὕδωρ. Ἐκ γὰρ τῆς πλευρᾶς αὐτοῦ, φησὶν ὁ εὐαγγελιστής, ἐξῆλθεν αἷμα καὶ ὕδωρ ἐν ἀληθείᾳ τοῦ πεσόντος, εἰς τύπον τῶν μυστηρίων. καὶ οὐκ ἐξῆλθε δὲ τὸ αἷμα καὶ τὸ ὕδωρ οὕτως ἁπλῶς ῥέον, ἀλλὰ ῥοίζῳ, ἵνα ῥαντίσῃ τὸ σῶμα τοῦ λῃστοῦ. τὸ γὰρ μετὰ ῥοίζου πεμπόμενον ῥαντίζει· τὸ δὲ ῥέον ἠρέμα ῥεῖ, καθὼς ἔρχεται. ἀλλὰ μετὰ ῥοίζου ἐξῆλθε τὸ αἷμα καὶ τὸ ὕδωρ ἐκ τῆς πλευρᾶς, ἵνα ῥαντίσας τὸν λῃστὴν βαπτίσῃ, ὡς καὶ ὁ ἀπόστολος λέγει· Προσεληλύθατε Σιὼν ὄρει καὶ αἵματι ῥαντισμοῦ, κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ. διατί παρὰ τὸν Ἄβελ κρεῖττον λαλεῖ τὸ αἷμα τοῦ Χριστοῦ; ἐπειδὴ τὸ αἷμα τοῦ Ἄβελ ἐν τῇ κορυφῇ τοῦ φονέως· τὸ δὲ αἷμα τοῦ Χριστοῦ καθαρίζει καὶ τοὺς φονεύσαντας μετανοοῦντας. μάθε οὖν τὸν ζῆλον τῆς ἀληθείας, καὶ ἀγάπησον τὴν ὑπὲρ Χριστοῦ παρρησίαν· ἀκολούθησον ἀληθεῖ διδασκάλῳ ὑπὲρ ἀληθείας ἀγωνιζομένῳ, ἵνα οὕτως ἀκούσας παρὰ τοῦ ἀποστόλου Παύλου, Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ, καταξιωθῇς καὶ αὐτὸς τῶν στεφάνων τῆς δικαιοσύνης, καὶ ὧν ἡτοίμασεν αἰωνίων ἀγαθῶν τοῖς ἠγαπηκόσιν αὐτὸν Χριστὸς ὁ Θεὸς ἡμῶν· ὧν γένοιτο καὶ ἡμᾶς πάντας ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. ε. | β. Κορ. ιβ. δ. | Ἰωαν. γ. ε. | Ἰωαν. ιθ. λδ. | Ἑβρ. ιβ. κδ. | α. Κορ. ια. α.

Λογ. ριθ. ΕΙΣ ΤΗΝ ΧΑΝΑΝΑΙΑΝ, ΚΑΙ ΕΙΣ ΤΟΝ ΦΑΡΑΩ,

καὶ ὅτι Οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ.

Ματθ. ιε. Ρωμ. θ. ιϛ.

Ex Ms. Oxon.

ΕΙ καὶ ἐθόλωσεν ~~ἡμᾶς ἡ μετὰ τὴν~~ ἑσπέραν ταραχή, ἀλλ' ηὔφραινεν ἡ πάντων σπουδή. οὐ γὰρ ἔβλεπον εἰς τὴν τῶν θορυβούντων ἀσυμφωνίαν, ἀλλ' εἰς τὴν τῶν ἀκουόντων προθυμίαν· καὶ τὸν θόρυβον θεασάμενος ἀγοραῖόν τινα ὄντα καὶ δημώδη, τὴν δὲ προθυμίαν ἔνθεον καὶ ἐνάρετον· ὡς εἰπεῖν, ὅτι Αἱ μὲν χεῖρες, χεῖρες Ἠσαῦ, ἡ δὲ φωνή, φωνὴ Ἰακώβ. δημώδης μὲν γὰρ ἦν ὁ θόρυβος, ἔνθεος δὲ ὁ ζῆλος. οὐ δεῖ δὲ ὅλως διαφέρεσθαι πρὸς τὴν κραυγὴν τῶν σπουδαζόντων, ἀλλ' ἀποβλέπειν εἰς τὸν ζῆλον τῶν ἀκουόντων. καὶ γὰρ ἡ Χαναναία κατέκραζε τοῦ σωτῆρος, ἀλλ' οὐκ ἔβλεπεν αὐτῆς εἰς τὸ τεθορυβημένον τῆς κραυγῆς, ἀλλ' εἰς τὸ ἐσπουδασμένον τῆς διανοίας. ἰδέα δὲ νῦν, ὡς ἀρτίως

Γεν. κζ. κβ.

Ματθ. ιε. κβ. ἀκηκόατε, ἀκολουθοῦσα τοῖς ἴχνεσι τοῖς δεσποτικοῖς, Υἱὲ Δαβὶδ, ἐλέησόν με. ὢ τῆς τῶν ἐθνῶν πίστεως, ὢ τῆς τῶν Ἰουδαίων ἀγνωμοσύνης. ἡ Χαναναία, ἡ τοῦ γένους τοῦ Ἰσραηλιτικοῦ ἀπεσχοινισμένη, ἡ μήτε νόμῳ συντραφεῖσα, μήτε προφήταις συζήσασα, κηρύττει τὴν ἀλήθειαν, λέγουσα· υἱὲ Δαβὶδ, ἐλέησόν με· οἱ δὲ τῷ νόμῳ συντραφέντες, καὶ προφητῶν ἀκούσαντες, τὴν ἀλήθειαν ἀρνησάμενοι, τὸ ψεῦδος πρεσβεύουσι, λέγοντες· Οὐκ οἴδαμεν αὐτόν. Σαμαρείτης ἐστὶ, καὶ δαιμόνιον ἔχει. ὢ τῆς πίστεως τῶν ἐθνῶν, ὢ τῆς ἀγνωμοσύνης τῶν Ἰσραηλιτῶν. ὅρα τὸν Θεὸν καὶ δεσπότην τῶν ἁπάντων, πῶς τιμᾷ τὸ γένος. Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις. καλεῖ κύνας τὰ ἔθνη, καὶ υἱοὺς τοὺς Ἰσραηλίτας· ἀντιστρέφεται δὲ ὑπὸ τοῦ λαοῦ ἡ τιμή· καὶ οἱ μὲν τιμώμενοι ἀτιμάζουσιν, οἱ δὲ ἀτιμαζόμενοι προσκυνοῦσιν· υἱοὶ καλούμενοι τὴν εὐεργεσίαν οὐ δέχονται, ἡ δὲ Χαναναία κύων ὀνομαζομένη, τοῦ εὐεργέτου οὐκ ἀφίσταται. διὰ τοῦτο γὰρ ὁ σωτὴρ καὶ κύνα ἐκάλεσε τὴν γυναῖκα, οὐχ ἵνα ὑβρίσῃ, ἀλλ' ἵνα τὴν πρόθεσιν γυμνώσῃ, ὅτι τὰ ἔθνη καὶ ὑβριζόμενα οὐκ ἀφίστανται τοῦ εὐεργέτου, ὁ δὲ Ἰσραὴλ καὶ εὐεργετούμενος ἠρνήσατο τὸν σωτῆρα. υἱὲ Δαβὶδ, ἐλέησόν με. καὶ ὁ πάντων ἐπακούων σιγᾷ, οὐκ ἀποπεμπόμενος τὴν δέησιν, ἀλλὰ λαμπροτέραν ἐκφαίνων τὴν πίστιν. Χαναναία τὸ γένος, καὶ Ἀβραμίτις τῇ πίστει. υἱὲ Δαβὶδ, ἐλέησόν με. καὶ ὁ πρὸ τῆς κραυγῆς τῶν στομάτων ὑπακούων ταῖς ἱκεσίαις τῶν ψυχῶν, σιωπᾷ καὶ ἀνέχεται, καὶ ἐνομίσθη τοῖς ἀποστόλοις ἀπηνής τις εἶναι, ἀποπεμπόμενος τὴν τοσαύτην ἱκεσίαν. Ματθ. ιε. κγ. καὶ πρὸς αὐτὸν οἱ μαθηταὶ, Ἀπόλυσον αὐτὴν, ὅτι κράζει ὄπισθεν ἡμῶν. ἆρ' οὖν σὺ, Πέτρε, ἢ σὺ, Ἀνδρέα, ἢ Φίλιππε, τοῦ σωτῆρος ἐστὲ φιλανθρωπότεροι; καὶ ὑμᾶς ἔκαμψεν ἡ παράκλησις, αὐτὸν δὲ οὐκ ἐδυσώπησεν ἡ ἱκεσία; ἄρα ὑμεῖς τοῖς φαινομένοις κρίνετε, ἐγὼ δὲ ταῖς ἐννοίαις δικάζω· ὑπερτίθεμαι καὶ ἀναβάλλομαι τὴν χάριν, ἵνα γυμνώσω τὴν λαμπρὰν πίστιν. Ματθ. ιε. κδ. Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. εἶτα ποιμὴν εἶ τῶν Ἰσραηλιτῶν, οὐχὶ πάσης τῆς γῆς δεσπότης; καὶ ποιμὴν, καὶ διοικητὴς, καὶ προνοητής. οὐκ εἶπεν, οὐκ εἰμὶ ποιμὴν τῶν ἄλλων, ἀλλ', οὐκ ἀπεστάλην εἰς τοῦτο, οὐκ ἀληθῶς τοῦτο λέγων, ἀλλὰ τῷ ῥήματι τὴν πίστιν γυμνῶν. εἰ γὰρ μὴ ἀπεστάλης ἀλλαχοῦ, ἀλλ' εἰς τὰ πρόβατα τοῦ οἴκου Ἰσραὴλ, Ματθ. κη. ιθ. πῶς τοὺς ἀποστόλους πέμπεις εἰς τὰ πέρατα τῆς οἰκουμένης, λέγων· Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες; εἰ μὴ ἀπεστάλης εἰς τὰ ἄλλα πρόβατα, ἀλλ' εἰς Ἰωαν. ι. ιϛ. ἐκεῖνα τὰ τοῦ Ἰσραὴλ, πῶς ἔλεγες ἄλλοις ἀποστόλοις, Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, κἀκεῖνα δεῖ με συναγαγεῖν, ἵνα γένηται μία ποίμνη, καὶ εἷς ποιμήν. ὥστε οὐ πρὸς αὐτὴν λαλεῖ τέως τῶν πραγμάτων τὴν ἀκρίβειαν, ἀλλὰ πρὸς τὴν τῆς ψυχῆς δοκιμασίαν. οὐκ ἀπεστάλην. ἀρνεῖται τὸ πρᾶγμα, καὶ οὐ φεύγει ἡ γυνὴ παρακαλοῦσα· ἀποσείεται αὐτῆς τὴν ἱκεσίαν, καὶ οὐκ ἀποσείεται αὐτοῦ τὴν προσκύνησιν. ἀληθῶς τῆς ἐκκλησίας εἰκὼν ἡ Χαναναία, ἡ ἐν κινδύνοις ἐξεταζομένη, καὶ τὸν δεσπότην οὐκ ἀρνουμένη, ἡ μυρίους χειμῶνας ὑπομένουσα, καὶ τὸν ὀφθαλμὸν ἔχουσα πρὸς τὸν λιμένα τῆς πίστεως, ἡ μυρίοις κύμασι τῶν αἱρετικῶν περικλονουμένη, καὶ ἀπὸ τῆς ἑδραίας πίστεως μὴ σαλευομένη. ἀντεξέτασον πίστιν ἐκκλησιαστικὴν, καὶ ἀγνωμοσύνην Ἰουδαϊκήν. Ἰουδαῖοι μάννα ἐσθίοντες γογγύζουσιν, ἡ ἐκκλησία νηστεύουσα εὐχαριστεῖ τῷ δεσπότῃ· ἐκεῖνοι τιμώμενοι ἀγνωμονοῦσιν, οἱ τοῦ Χριστοῦ διωκόμενοι εὐχαριστοῦσι. τίνα ἀποδέχῃ οἰκέτην, ἐὰν ᾖς δεσπότης; δύο οἰκετῶν τίνα ἀποδέχῃ, τὸν μετὰ τὰς εὐεργεσίας ἀγνωμονοῦντα, ἢ τὸν ἐν ταῖς παιδείαις εὐγνωμονοῦντα; εἰκὼν τοίνυν τῆς ἐκκλησίας ταύτης ἡ Χαναναία, ἡ ἀποπεμπομένη, καὶ τὸν δεσπότην οὐκ ἀρνουμένη. Ματθ. ιε. κε. προσκυνεῖ αὐτῷ, λέγουσα· Κύριε, βοήθει μοι. ἐπειδὴ πρῶτον εἶπεν, υἱὲ Δαβὶδ, ἐλέησόν με, νομίσασα ὅτι ἐλάττονα προσήγαγε τὴν παράκλησιν τῆς ἀξίας, ἀνακαλεῖται τὴν πρώτην φωνὴν, καὶ δευτέρᾳ εὐγνωμοσύνῃ τὴν προτέραν καλύπτει. οὐκέτι γὰρ αὐτὸν καλεῖ, υἱὲ Δαβίδ, ἀλλὰ Κύριον, λέγουσα, Κύριε, βοήθει μοι. καὶ οὐδὲ οὕτως ἀποκρίνεται; ἀλλ' ὀχλοῦσιν οἱ ἀπόστολοι πρὸς τὴν φωνὴν λέγοντες, κράζει ὄπισθεν ἡμῶν. ὑπὲρ τίνος δὲ ὁ Θεός, πρὸς τὴν πίστιν ἀποβλέπων, καί φησι πρὸς αὐτήν, Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις· τέκνα λέγων τοὺς Ἰσραηλίτας, οὐ τοσοῦτον αὐτοὺς τιμῶν, ὅσον ἐλέγχων ἐπὶ τῇ ἀγνωμοσύνῃ.

Ματθ. ιε. κδ.

ὁ γὰρ καλῶν σήμερον τέκνα τοὺς Ἰσραηλίτας, υἱός ἐστι τοῦ λέγοντος, Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν.

Ησ. α. β.

καλεῖται κύων ἡ Χαναναία, καὶ φέρει τὴν ὕβριν μετὰ χάριτος· πλὴν οἶμαι καὶ πιστεύω, ὅτι ἐν τῇ ὕβρει ταύτῃ ἐνέθηκε τῆς ἐννοίας τὴν εἰκόνα, κύνα, δεικνὺς τὸ εὔνοικον τοῦ ζώου. κύων μυρία πάσχων, τῆς δεσποτικῆς οἰκίας οὐκ ἀφίσταται· κύων ὅτε εἴδῃ τὰ δεσποτικὰ βήματα, σιωπᾷ· ὅταν δὲ δούλους δεσποτικούς, ἡσυχάζει· ὅταν δὲ εἴδῃ ἀλλοτρίους, ταράττεται, ὑλακτεῖ, οὐχ ἡσυχάζει, πρὸς οὐδένα τῶν ἄλλων βλέπων. Ἰουδαῖοι πῶς ὁρῶσι κατὰ τοῦ Θεοῦ μυρίας βλασφημίας, καὶ οὐ ταράττονται; βλέπε χριστιανὸν ἀκούοντα βλασφημίας αἱρετικῆς ἢ ἑτέρας πλάνης, καὶ εὐθέως θορυβούμενον, ὑλακτοῦντα, βοῶντα κατὰ τῶν ἐναντίων. οὐ φέρει χριστιανὸς ἰδεῖν ἀλλοτρίαν ὄψιν, ἀλλ' ὡς κύων περὶ τὸν δεσποτικὸν πυλῶνα ὑλακτεῖ. καὶ οἱ ἔξω τῆς πίστεως φιλόσοφοι τὴν τῶν κυνῶν προσηγορίαν ἠσπάσαντο, διὰ τὸ εὔνοικον τοῦ ζώου, καὶ οὐκ ᾐδέσθησαν τὸ ὄνομα, ἀλλ' ἀπέβλεψαν εἰς τὴν εὔνοιαν τῆς φύσεως. ὅτι δὲ ἀποδέχεται ὁ Θεὸς τὴν ὑλακτοῦσαν ὑπὲρ τῆς εὐσεβείας, καὶ μέμφεται τοῖς σιωπῶσι καὶ μὴ ὑλακτοῦσιν ὑπὲρ τῆς ἀληθείας, λέγει περὶ τῶν Ἰσραηλιτῶν, Πάντες κύνες ἐνεοί, οὐ δυνάμενοι ὑλακτεῖν.

Ησ. νϛ. ι.

κύων καλεῖται ψυχὴ εὐνοοῦσα τῷ δεσπότῃ, καὶ ὑπὲρ τοῦ δεσπότου ὑλακτοῦσα, οὐχ ὑβριζομένη. κύων ὅταν μανῇ, τοῦτο μόνον ἔχει σημεῖον τῆς μανίας, ὅταν κατὰ τοῦ δεσπότου τοὺς ὀδόντας ἐπάρῃ. οὐδέποτε γὰρ σωφρονῶν κύων κατὰ τοῦ δεσπότου μαίνεται. οὐδὲν ἕτερον ἐλέγχει τὴν Ἰουδαίων μανίαν, ἢ τὸ κατὰ τοῦ σωτῆρος ὑλακτεῖν· ὅτι Θεόν, ὃν ἔχρην γνωρίσαι ὡς δεσπότην, τοῦτον ἀπεσείσαντο ὡς ἀλλότριοι. ὅθεν κατηγορεῖ αὐτῶν λέγων· Περιεκύκλωσάν με κύνες πολλοί. καὶ τίνες οἱ κύνες; Συναγωγὴ πονηρευομένων περιέσχον με.

Ψαλ. κα. ιζ.

οὐκ ἀποπέμπεται τοίνυν ἡ Χαναναία τὴν ὕβριν, ἀλλὰ δέχεται μετ' εὐχαριστίας. Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις. ἡ δὲ ἀπὸ τῆς ὕβρεως τὴν φιλανθρωπίαν κατασκευάζουσα, λέγει· Ναί, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν.

Ματθ. ιε. κζ.

μὴ οἰκτειρήσῃς με ὡς τέκνον, ἀλλ' ἐλέησόν με ὡς κύνα. δέχομαι τὴν ὕβριν σου, δέσποτα. πάσης γὰρ τιμῆς ἐστι κρείττων ἡ παρὰ σοῦ ὕβρις, πάσης δόξης ἀνωτέρα. ἵνα τοίνυν ὁ σωτὴρ ἐπὶ τέλει δείξῃ, ὅτι οὐχ ὑβρίζων ἐκάλεσε κύνα, ὅτε αὐτῆς ἐγύμνωσε τὴν εὐχαριστίαν, τότε λέγει· Ὦ γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι, ὡς θέλεις.

Ματθ. ιε. κη.

ἐγὼ οὐκ οἶδα πῶς ἐπαινέσω τὴν πίστιν, ἣν ὁ σωτὴρ μεγάλην ἐκάλεσε. ποίαν γὰρ αὐτῆς δύναμαι ἐπινοῆσαι κρείττονα εὐφημίαν τῆς ἀπὸ τοῦ σωτῆρος ἀποδοθείσης; ἐάσωμεν τὴν φωνὴν ἀκέραιον, μὴ ὑβρίσωμεν αὐτὴν ταῖς ἡμετέραις εὐφημίαις, μὴ ποιήσωμεν τὸ μέγα μικρόν. ἡ ἀνθρωπίνη γὰρ εὐφημία μειοῖ τὰ πράγματα, Θεοῦ δὲ φωνὴ μαρτυρεῖ τοῖς πράγμασιν. Ὧν ὁ ἔπαινος, φησίν, οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ Θεοῦ.

Ρωμ. β. κθ.

διὰ τί δὲ ὅλως οἱ δαιμονῶντες τὸν σωτῆρα ἐκάλουν εἰς βοήθειαν, υἱὲ Δαβίδ, ἐλέησόν με; μὴ γὰρ ἡ τοῦ Δαβὶδ συγγένεια τὴν κατὰ τῶν δαιμόνων ἐξουσίαν ἔχει; πόθεν ὅλως τῷ προφητεύοντι τὸ βοᾶν, λέγοντι, υἱὲ Δαβίδ, ἐλέησόν με; καὶ τὴν Χαναναίαν προσάγουσαν τὴν θυγατέρα δαιμονιζομένην εἰπεῖν, υἱὲ Δαβίδ, ἐλέησόν με; παρεδόθη τὰ τῆς ἱστορίας, ὅτι Δαβὶδ τῇ ἀκολουθίᾳ τὴν ἁγίαν ἀνακρουόμενος λύραν ἀπήλαυνε τοῦ Σαοὺλ τὸν δαίμονα. ἐπεὶ οὖν καὶ Δαβὶδ ἤλαυνε τοὺς δαίμονας διὰ μουσικῆς ἐνεργείας, μουσικῆς οὐκ ἀνθρωπίνης, ἀλλὰ θείας, καὶ ἀπὸ ἁγίου πνεύματος ἀνακρουομένης, ἀπὸ τῆς συγγενείας εὐφημίαν λαβόντες λέγουσιν, υἱὲ Δαβίδ, ἐλέησόν με. πλεῖον οὖν δεῖ στοιχεῖν ταύτῃ τῇ φωνῇ.

Ματθ. ιε. κη. ἀλλ' ἐπ' ἐκείνην μὲν ὁδηγεῖσθαι, ἀνάγεσθαι δὲ ἐπὶ τὴν ἀξίαν. Ἰάθη ἡ παῖς αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης. Θεοῦ γὰρ φωνὴ προσελθοῦσα τὴν παῖδα ἰάσατο, ἐξορκίζει δαίμονας, ἐλαύνει ἡ τοῦ σωτῆρος φωνὴ πᾶσαν ἐναντίαν κατάστασιν.

Ἀλλὰ ταῦτα μὲν εἰς τὴν εὐαγγελικὴν χάριν, οὐχ ὅσον εἰπεῖν ἐχρῆν, ἀλλ' ὅσον εἰπεῖν ἰσχύομεν. ἐπειδὴ δὲ ὅσοι ὀφείλομεν οὐκ ἀρκοῦμεν, ἐπὶ τὴν ἐπαγγελίαν ἔλθωμεν, ἵνα μὴ ἡμέραν ἐξ ἡμέρας ἀναβαλλόμενοι τὴν ἐπιποθουμένην τὴν ἀκρόασιν, ἀμβλύνωμεν τὸν πόθον. καιρὸς οὖν κἀμοὶ ἅψασθαι τῆς ὑποσχέσεως, καὶ ὑμῖν παραδοῦναι τὸ ὄφελος τῆς ἀκροάσεως. περὶ τοῦ Φαραὼ ἐκινεῖτο λόγος, πῶς ἐσκλήρυνεν ὁ Θεὸς τὴν καρδίαν Φαραώ, καὶ
Ῥωμ. θ. ιη. ιθ. περὶ τῆς φωνῆς τῆς λεγούσης ἐκείνης, Ὃν θέλει ἐλεεῖ, ὃν δὲ θέλει σκληρύνει. ἐρεῖς οὖν μοι, τί ἔτι μέμφεται, φησί; τῷ γὰρ βουλήματι αὐτοῦ τίς ἀνθέστηκε; διὰ δὲ τοὺς ἀπλουστέρους τῶν θείων νοημάτων, καὶ τοὺς ἀκούοντας, μὴ εὐθέως ἐπ' αὐτὴν ἐξελθεῖν τὴν ἑρμηνείαν, ἵνα μὴ δόξῃ βεβιασμένη εἶναι ἡ ἔννοια, ἀλλ' ἄνωθεν τὴν ὑπόθεσιν τῆς εὐαγγελικῆς χάριτος ἐκλαβόντα, οὕτως ἀπὸ τῆς ἀκολουθίας τελείαν καὶ ἀσύγχυτον παραδοῦναί με τὴν θεωρίαν. ἵνα τοίνυν συντέμω, ταύτην ποιήσομαι τοῦ λόγου τὴν ἀρχήν. ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ ὁ λόγος. Ῥωμαίοις δὲ γράφει ὁ Παῦλος, πολλὰ μὲν οὖν καὶ ἕτερα παραινῶν, ἐξαιρέτως δὲ πρᾶγμα διορθούμενος πολλὴν ἔχον ταραχήν, καὶ πολλὴν ἔχον τὴν ἀκαταστασίαν. καὶ ὅπως ἄκουε. ἐν τῇ Ῥώμῃ πολλοί τινες ἐτύγχανον ἀπὸ Ἰουδαίων εἰς τὸν σωτῆρα πεπιστευκότες, πολλοὶ δὲ καὶ ἐξ ἐθνῶν ἐπίστευσαν. ἦν δὲ μάχη καὶ θόρυβος μεταξὺ τῶν μερῶν, οὐχ ὑπὸ ζήλου εὐσεβείας, ἀλλ' ὑπὲρ πρωτείων φιλονεικίας. ἐβούλοντο γὰρ οἱ ἀπὸ ἐθνῶν αὐτοὶ δοκεῖν πρωτεύειν, ἐβούλοντο καὶ οἱ ἀπὸ Ἰουδαίων αὐτοὶ εἶναι πρῶτοι. καὶ προσέφερον οἱ ἀπὸ τῶν
Ἰουδαίων τὴν ″πρακτικὴν εὐγένειαν, καὶ ἔλεγον τοῖς ἀπὸ ἐθνῶν, ὅτι ἡμεῖς ὑμῶν τιμιώτεροι· ἀρχαιοτέρα γὰρ ἡμῶν ἡ εὐσέβεια· καὶ ἡμῶν οἱ πατριάρχαι, ἡμέτερος ὁ Ἀβραάμ, ἡμέτερος ὁ Ἰσαάκ, ἡμέτερος ὁ Ἰακώβ, οἱ πατριάρχαι πάντες, καὶ οἱ προφῆται, καὶ ἡμεῖς μὲν ἀρχαίαν ἔχομεν τὴν εὐγένειαν, ὑμεῖς δὲ πρόσφατον ἐλάβετε τὴν εὐεργεσίαν. ἴσ. πατρικὴν
οἱ δὲ ἐξ Ἑλλήνων ἔλεγον οὐχ οἷόν τε πρωτεύειν τοὺς ἀρνησαμένους τὸν Χριστόν, οὐχ οἷόν τε ἐν πρώτῃ μοίρᾳ τετάχθαι τοὺς τὸν σταυρὸν πήξαντας, καὶ τοὺς θεομαχήσαντας. ἀπεβλήθητε γὰρ ὑμεῖς, καὶ ἐκλήθησαν πάντα τὰ ἔθνη. καὶ ἡμεῖς μέν ἐσμεν οἱ τὴν εὐεργεσίαν ἁρπάσαντες, ὑμεῖς δὲ οἱ τὴν εὐεργεσίαν ὑβρίσαντες. ὁ ἀπόστολος θεασάμενος ταραχὴν πολλήν, καὶ θόρυβον ἀκμάσαντα πολὺν ἐν τῇ Ῥώμῃ, καὶ ἐννοήσας, ὅτι κακὸν τὸ ἐν τῇ μεγάλῃ πόλει πλεονάζον, δύναται [γὰρ] ἐκχυθῆναι εἰς πᾶσαν τὴν ὑπ' οὐρανόν, ἀναστέλλει, ὥσπερ ἀπό τινος ῥίζης, τὴν φιλονεικίαν, ἵνα μὴ ἐκεῖθεν εἰς πᾶσαν τὴν γῆν ἐξέλθῃ ἡ φιλονεικία· καὶ μέσον ἑαυτὸν παρενθείς, ποιεῖ πρᾶγμα οὐ δικάζοντος, ἀλλ' εἰρηνεύοντος, εἰδὼς ὅτι ἡ φιλονεικία εὐσέβειαν οὐχ ἵστησιν, εὐσέβεια δὲ πᾶσαν διαλύει φιλονεικίαν. καὶ ὥσπερ οἱ βουλόμενοι καταστέλλειν μάχην καὶ θόρυβον, οὐχ ἑνὶ μέρει ἐπιτιμῶσιν, ἵνα μὴ τὸ ἕτερον πλέον ἐξάψωσιν· ἀλλὰ καὶ τούτῳ ἐπιτιμῶσι, κἀκείνῳ, ἵνα διὰ τῆς ἐπιτιμίας εὐπαράδεκτον ἕξωσι τὴν συμβουλίαν ἀπεργαζομένην· οὕτως ὁ θεῖος ἀπόστολος, μέσον ἑαυτὸν παρενθεὶς τῶν μαχομένων, καταστέλλει καὶ τὸν Ἰουδαϊκὸν θρύλλον, καὶ τὸν ἐξ ἐθνῶν. καθάπτεται δὲ πρῶτον τοῦ ἀναιδεστέρου μέρους, λέγω δὴ τῶν Ἰουδαίων. πάντες γὰρ κύνες ἀναιδεῖς, οὐ δυνάμενοι ὑλακτεῖν. ἀναιδὲς τὸ γένος, οὐ διὰ τὸ γένος λέγω, ἀλλὰ διὰ τὸ ἦθος. οὐ γὰρ τὸ γένος ἐστὶν ἀναιδές, ἀλλ' ὁ τρόπος ἀγενής. διαβάλλει τοίνυν τὸ μέρος τοῦτο, μᾶλλον δὲ καθάπτεται τούτου πρῶτον, τοῦ μέ-
Ἡσ. μη. δ. ρους τοῦ ἀναιδοῦς, πρὸς ″ὃν ἔλεγεν Ἡσαΐας· Ὁ τράχηλός σου σιδηροῦς, καὶ τὸ μέτωπόν σου ἴσ. ὃ
Ἱερ. γ. γ. χαλκοῦν· οὗτος ἀναίσχυντον ᾔδει· καὶ ὁ προφήτης Ἱερεμίας, λέγων· Ὄψις πόρνης ἐγένετό σοι Ἰσραήλ· ἀπηναισχύντησας πρὸς πάντας. καθάπτεται τοίνυν ὁ θεῖος ἀπόστολος πρῶτον τοῦ ἀναιδοῦς μέρους, λέγω δὴ τοῦ Ἰουδαϊκοῦ μέρους. καὶ ἐπειδὴ προσέφερον τὴν ἀρχαιό-

τητα

γιντα τῶν πατέρων Ἀβραάμ, Ἰσαάκ, Ἰακώβ, δείκνυσιν αὐτοῖς ὅτι οὐ δεῖ σεμνύνεσθαι γένει ἀλλὰ τρόπῳ. ἤδη διερχόμενος τούτου τοῦ λόγου, ἔλεγεν· Οὐ πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ. ἐπειδὴ γένος προσφέρεις, τὸν τρόπον οὐ δεικνύων, οὐ πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ. ταῦτα πρὸς τοὺς Ἰουδαίους. ἀλλ' οὐδ' ὅτι εἰσὶ σπέρμα Ἀβραάμ, πάντες τέκνα. γέγραπται γάρ, ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα. εἰ δὲ γένος ποιεῖ τὴν εὐσέβειαν, οὐδὲν ἐκώλυε τὸν Ἰσμαὴλ προτιμᾶσθαι τοῦ Ἰσαάκ· υἱὸς γὰρ ἦν τοῦ Ἀβραάμ, καὶ υἱὸς πρεσβύτερος. οὐ πάντες οὖν οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ, οὐδ' ὅτι εἰσὶ σπέρμα Ἀβραάμ, πάντες τέκνα Ἀβραάμ· ἀλλ' ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα. καὶ ἐπάγει τὴν ἑρμηνείαν Παῦλος, τουτέστιν, ὅτι Οὐ τὰ τέκνα τῆς σαρκὸς λογίζεται εἰς πίστιν, ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας, ταῦτα τέκνα τοῦ Θεοῦ. ἀλλ' ἐπειδὴ ἐνδέχεται Ἰουδαῖον αἰτιαροῦσαν πρὸς τὸ ῥῆμα, καὶ εἰσαγαγεῖν ἑτέραν ἀναισχυντίαν κατὰ τοῦ θείου κηρύγματος, καὶ εἰπεῖν, ὅτι Ἰσμαὴλ ἀπεδοκιμάσθη διὰ τὸ ἐκ παιδίσκης εἶναι, Ἰσαὰκ δὲ προετιμήθη διὰ τὸ ἐξ ἐλευθέρας φέρειν τὴν εὐγένειαν· ἀντεισάγει δὲ ὕστερον ὁ Ἰσμαὴλ εἰκόνα, καί φησιν· Οὐ μόνον ὁ Ἰσαάκ, ἀλλὰ καὶ Ῥεβέκκα ἐξ ἑνὸς κοίτην ἔχουσα τοῦ πατρὸς ἡμῶν. μήπω γὰρ γεννηθέντων αὐτῶν, ἢ πραξάντων τι ἀγαθόν, ἢ κακόν, ἵνα ἡ κατ' ἐκλογὴν πρόθεσις τοῦ Θεοῦ μένῃ, οὐκ ἐξ ἔργων, ἀλλ' ἐκ τοῦ καλοῦντος, ἐρρήθη αὐτῇ, ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι. ἐπειδὴ ἐκεῖ τὴν ἀγρόειαν τῆς σαρκὸς προσφέρεις εἰς φιλονεικίαν, δείκνυμί σοι ἐκ μιᾶς ῥίζης δύο κλάδους ἀποκλασθέντας, δείκνυμί σοι τὸν ἀπιστούμενον δοξασθέντα, τὸν δὲ πιστευόμενον ἄδεκτον. οὐ γὰρ ὑβρίζει φύσις, ὃ μὴ ὑβρίζει πρόθεσις, ἵνα μάθῃς ὅτι ἐρρήθη, ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι, καθὼς γέγραπται, Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα. ταῦτα ἐκ θείας φωνῆς προσφέρει Παῦλος. ὁ γὰρ Θεός φησι διὰ τοῦ προφήτου, οὐχ ἀδελφὸς ἦν Ἡσαῦ τῷ Ἰακώβ; τὸν γὰρ Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα. ἐπειδὴ φύσιν προσφέρεις, φησί, τί ὤνησε τὸν Ἡσαῦ ἡ φύσις; ἐπειδὴ ἡ τῶν πατέρων εὐγένεια σεμνύνει, τί πλέον ἀπηνέγκατο ἀπὸ τῆς εὐγενείας τοῦ πατρὸς ὁ Ἡσαῦ; οὐκ ἔκγονος ἦν τοῦ Ἀβραάμ; οὐχὶ υἱὸς ἦν τοῦ Ἰσαάκ; οὐκ ἐκ τῆς αὐτῆς μητρός; οὐκ ἐκ τῆς αὐτῆς ἐλευθερίας; μὴ ὤνησεν αὐτὸν τὸ γένος, ἐπειδὴ ἐξέβαλεν αὐτὸν τὸ ἦθος; εὐθέως ἐπάγει· Τί οὖν ἐροῦμεν; μὴ ἀδικία παρὰ τῷ Θεῷ; μὴ γένοιτο. τῆς μὲν ἱστορίας ἥψατο μέχρι τούτου· λοιπὸν δὲ πρὸς τὴν ἀνακύπτουσαν ἀντιλογίαν ὁπλίζεται. ἐπειδὴ γὰρ πολλοί, ἑτέρας θεωρίας ἐξεταζομένης, τὰ παρεμπιπτόμενα λαμβάνουσιν εἰς διαβολήν, οὐκ ἀπέβλεψε μόνον ὁ ἀπόστολος εἰς τὴν φιλονεικίαν τῶν τότε μαχομένων, ἀλλὰ καὶ εἰς τὴν ἔριν τῶν μετὰ ταῦτα ἀνακυπτόντων, ἢ διὰ Μανιχαίους, ἢ διὰ αἱρετικούς, ἢ δι' Ἕλληνας μέλλοντας ὁπλίζεσθαι κατὰ τῆς λέξεως ταύτης· καὶ προλαβὼν κατασκευάζεται τὰ βέλη, ἵνα σοι ἀποθῆται σκευὴν εἰς τὴν ἀκμὴν τοῦ πολέμου. οὐ γὰρ βλέπει ὁ Θεὸς μόνον τὰ παρόντα, ἀλλὰ πολλῷ μᾶλλον προβλέπει τὰ μέλλοντα. διὰ τοῦτο ὁ λόγος τοῦ Θεοῦ καλεῖται βέλος καὶ μάχαιρα. φησὶν ὁ Ἡσαΐας, Ἔθηκέ με ὡς μάχαιραν ὀξεῖαν, καὶ τῇ χειρὶ ἔκρυψέ με· ἔθηκέ με ὡς βέλος ἐκλεκτόν, ἐν τῇ φαρέτρᾳ αὐτοῦ ἐσκέπασέ με. διὰ τί μάχαιραν καὶ βέλος; ἡ μάχαιρα πρὸς τοὺς πλησίον ἑστῶτας ὁπλίζεται, τὸ δὲ βέλος καὶ πρὸς τοὺς μακρὰν ἑστῶτας πέμπεται. ἐπεὶ οὖν ὁ τοῦ Θεοῦ λόγος καὶ τὰς τότε φιλονεικίας καθῄρει, καὶ τὰς μελλούσας ἀνακύπτειν ἐρεσχελίας ἀνέκοπτε, καλεῖται μάχαιρα τοῖς πλησίον ἀγωνιζομένη, καὶ βέλος κατὰ τῶν ἐναντίων καὶ μακρὰν ἑστώτων πεμπόμενον. ἀλλ' ἵνα μὴ ἐκκόψωμεν τὴν ἀκολουθίαν τῆς ὑποθέσεως, πρότερον εἴπωμεν ἐκεῖνα, καὶ ἐλευσόμεθα ἐπὶ ταῦτα. ὅτι κατέστελλεν Ἰουδαίους μὴ μέγα φρονεῖν ἐπὶ τῷ γένει, ἅπτεται εὐθὺς καὶ τῶν ἀπὸ Ἑλλήνων ἐλθόντων, καὶ λέγει αὐτοῖς· Μὴ κατακαυχῶ τῆς ῥίζης. σὺ γὰρ ἀγριέλαιος ὢν ἐξεκόπης ἐκ τῆς κατὰ φύσιν ἀγριελαίας, καὶ ἐνεκεντρίσθης εἰς καλλιέλαιον. ὁ γὰρ τὴν ἐπιστολὴν μετ' ἀκριβείας ἀναγινώσκων, εὑρίσκει πολλὴν τὴν λύσιν· ἡμεῖς δὲ ἐπὶ τὰ σύντομα χωρήσωμεν.

Ρωμ. θ. ς.

Ρωμ. θ η.

* *

Ρωμ. θ ι.

Ρωμ. θ. ια ιβ.

Ησ μθ β.

Ρωμ. ια. ιη.

ρήσομεν. καλὸς δὲ ὁ Ἰσραηλιτικὸς λαὸς καλλιέλαιοι, τοὺς δὲ ἐκ τῶν ἐθνῶν, ἐκκοπέντας ἐκ τῆς
ἀγριελαίου, καὶ ἐγκεντρισθέντας εἰς καλλιέλαιον ἀναστέλλει. καλὸς δὲ ὁ λαὸς τοῦ Ἀβραὰμ
καλλιέλαιοι, καὶ τοὺς ἀπὸ ἐθνῶν ἐλθόντας καὶ τῆς γλυκύτητος γευσαμένους τοῦ Ἀβραὰμ καὶ τῶν
προφητῶν, ἀναστέλλει μὴ ὑψηλὰ φρονεῖν. μὴ γὰρ ὁ Ἰσραήλ, φησιν, ἐν σοὶ ἐνεκεντρίσθη;
μὴ σὺ ἐδέξω τὸν Ἰσραήλ; οὐκ αὐτός σε ἐδέξατο; οἱ δὲ ἀπόστολοι μὴ ἐκ σοῦ; ἐκ τῶν Ἰου-
δαίων ὁ σωτὴρ, μὴ ἀπ' ἐθνῶν; ἀπὸ τῶν Ἰουδαίων. διὰ τί οὖν ἀγνοεῖς τὴν ῥίζαν τῶν ἀγα-
θῶν, καὶ σεμνύνῃ; οὐκ οἶδας, ὅτι ἀγριέλαιος ὢν ἐνεκεντρίσθης εἰς καλλιέλαιον; ἀλλ' ἐρεῖς
μοι πάντως· ἀναλαμβάνεις πάλιν τὴν μάχην τοῦ ἀνθισταμένου, ὅτι οὗτοι τῇ ἀπιστίᾳ ἐξε-
Ρωμ. ια. κ. κλάσθησαν, ἐγὼ δὲ τῇ πίστει ἐνεκεντρίσθην. καλῶς. Μὴ ὑψηλὰ φρόνει, ἀλλὰ φοβοῦ. Εἰ
γὰρ ὁ Θεὸς τῶν κατὰ φύσιν κλάδων οὐκ ἐφείσατο, μήπως οὐδὲ σου φείσηται. βλέπε ἀπο-
στολικὴν φωνήν, βλέπε ἀποστολικὴν σύνεσιν, βλέπε πῶς ἐκκόπτει πρόρριζον τὴν φιλο-
Ρωμ. ια. ιη. νεικίαν, κἀκείνους ἐπιστομίζων, καὶ τούτους δυσωπῶν. μὴ ἐπαίρου. Εἰ δὲ κατακαυχᾶσαι, οὐ
σὺ τὴν ῥίζαν βαστάζεις, ἀλλ' ἡ ῥίζα σε. ἐπειδὴ οἱ ἐξ ἐθνῶν κατεκαυχῶντο τοῦ Ἰσραήλ, ὡς
ἐκείνων μὲν διὰ τὴν εἰς Χριστὸν θεομαχίαν ἐκκοπέντων, αὐτῶν δὲ διὰ τὴν γνῶσιν ἀνακλη-
θέντων, λέγει πρὸς αὐτοὺς τοσοῦτον θρασυνομένους, οὐ σὺ τὴν ῥίζαν βαστάζεις, ἀλλ' ἡ ῥίζα
Ρωμ. ια ιθ. σε. Ἀλλ' ἐρεῖς, ἐξεκλάσθησαν, ἵνα ἐγὼ ἐγκεντρισθῶ. εὐγνωμονούσῃ συντίθεμαί σου τῇ φω-
νῇ, δέχομαί σου τὴν εὐγνώμονα ἀπόκρισιν. καλῶς. ἀλλὰ Μὴ ὑψηλὰ φρόνει, ἀλλὰ φοβοῦ.
Ρωμ. ια. κ. κα. εἰ γὰρ ὁ Θεὸς τῶν κατὰ φύσιν κλάδων οὐκ ἐφείσατο, μήπως οὐδὲ σου φείσηται. τοὺς ἐκ φύ-
σεως ἔχοντας τὴν εὐγένειαν δι' ἀπιστίαν ἐξέβαλε, σὲ ἀλαζονευόμενον ἐκβαλεῖ διὰ τὴν αὐτὴν
Ρωμ. ια. κβ. ἀγνωμοσύνην. καὶ ὅρα πῶς τὴν φιλονεικίαν ἐκβάλλει διὰ τοῦ φόβου. Ἴδε οὖν χρηστότητα
καὶ ἀποτομίαν Θεοῦ· ἐπὶ μὲν τοὺς πεσόντας, ἀποτομίαν, ἐπὶ δὲ σε, χρηστότητα, ἐὰν ἐμμείνῃς
τῇ χρηστότητι· ἐπεὶ καὶ σὺ ἐκκοπήσῃ. βλέπε πῶς τῷ φόβῳ τὴν φιλονεικίαν ἐκκόπτει, καὶ
καθίστησιν αὐτὸν τὸν πιστὸν οὐκ εἰς τὸ φιλονεικεῖν, ἀλλ' εἰς τὸ ἀγωνιᾶν. τί περιεργάζῃ ἀλλό-
τριον λαός; ὑπὲρ τῆς σῆς ζωῆς ἀγώνισαι, σπούδασον πῶς ἀρέσεις τῷ εὐεργέτῃ, μὴ ψύ-
σῃ τὴν εὐγένειαν διὰ τῶν τρόπων. εἶτα λέγει αὐτοῖς τοῖς ἀπὸ ἐθνῶν. καὶ γὰρ τοῦτο προέφερον
οἱ ἐξ ἐθνῶν· Παῦλος ἡμῖν ἀπεστάλη, οὐχ ὑμῖν τοῖς Ἰουδαίοις, ἀλλὰ κήρυξ τοῖς ἔθνεσι.
πρὸς ταύτην τὴν φωνὴν πάλιν Παῦλος ἁρμόζει φάρμακον σωτήριον εὐσεβείας, καὶ λέ-
γει· μὴ ἐπ' ἐμοὶ σεμνύνεσθε· ναὶ ἡμῶν διδάσκαλος, καὶ οὐχὶ Ἰουδαίων. ἀλλὰ μάθε τὸ ἀ-
Ρωμ. ια. ιγ. κριβές. Οὐ θέλω γὰρ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι ἐφ' ὅσον εἰμὶ ἐθνῶν ἀπόστολος, τὴν δια-
κονίαν μου δοξάζω. τί ἐστι, δοξάζω; συνιστῶ μου τὴν διακονίαν, συνιστῶν τὰ ἔθνη. διὰ τί
Ρωμ. ια. ιδ. συνιστῶν; Εἴπως παραζηλώσω μου τὴν σάρκα, καὶ σώσω τινὰς ἐξ αὐτῶν. ὑμᾶς θαυμάζω,
ἵνα ἐκείνους εἰς ζῆλον ἐνέγκω. καὶ τοιούτοις χρησάμενος ῥήμασιν ὁ Παῦλος, καταστέλλει κα-
ταχεομένην τὴν φιλονεικίαν, καὶ εἰσάγει λάμπουσαν τὴν ἀλήθειαν· ἐκκόπτει τὰ τῆς φι-
λονεικίας, καὶ εἰσάγει τὰ τῆς ὁμονοίας. εἰς δὲ τὸ προκείμενον ἔλθωμεν.

Ρωμ. θ. ιδ. ιε. Τί ἐροῦμεν; μὴ ἀδικία παρὰ τῷ Θεῷ; μὴ γένοιτο. τῷ γὰρ Μωϋσῇ λέγει, ἐλεήσω ὃν ἂν θέλω,
καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω. τὴν φωνὴν ταύτην Παῦλος οὐκ ἐξ οἰκείου προσώπου ποιεῖ-
ται· ἀκολουθία γάρ ἐστι τῆς ἀντιθέσεως. στοματοποιεῖ τοίνυν ἀντίθεσιν Παῦλος ἐκ
προσώπου τῶν μαχομένων. τί ἐροῦμεν; μὴ ἀδικία παρὰ τῷ Θεῷ (μὴ γένοιτο) λέγοντος, ἐλεήσω ὃν
ἂν θέλω, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω; ἡ ἀντίθεσις οὐ πᾶσαν ἀκολουθίαν ἔλαβε· τὸ δὲ, μὴ
γένοιτο, παρένθεσίς ἐστι. πρὶν γὰρ λύσειν τὴν φιλονεικίαν, εὐθέως ἀνέστειλε τὴν βλασφη-
μίαν ἵνα μή τις ἐν ὅσῳ ἐξετάσῃ τὸ νόημα, προλαβὼν καταψηφίσηται τοῦ Θεοῦ, παρεντίθησιν
ὡς σοφὸς ἰατρὸς μέσον, τὸ μὴ γένοιτο· ἵνα τῇ ἀπαγορεύσει τοῦ δυσφήμου, στήσῃ βλασφημου-
μένην τὴν ἀλήθειαν. ὁ ἀνθιστάμενος τοῦτό φησι, περὶ τοῦ Ἰακὼβ εἶπε· Τὸν Ἰακὼβ ἠγά-
Ρωμ. θ. ιγ. Ρωμ. θ. ιε. πησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα. καὶ πρὸς Μωϋσῆν εἶπεν, Ἐλεήσω ὃν ἂν θέλω, καὶ οἰκτειρήσω

ὃν δὲ οἰκτείρω. εἰ ὃν θέλει ἐλεεῖ, ὃν δὲ θέλει σκληρύνει, τί ἔτι μέμφεται; εἰ γὰρ αὐτὸς τοῦτο ἐργάζεται, καὶ αὐτὸς τοῦτο κατασκευάζει, διὰ τί παρ' ἐμοῦ λόγον ἀπαιτεῖ, ὧν αὐτὸς ἐργάζεται; ταύτην ἔχει τὴν δύναμιν πᾶσα ἡ ἀντιλογία. τῷ γὰρ Μωϋσῇ λέγει· Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω. ἄρα οὖν ὡς ἑτέρου τοῦ ἀνθισταμένου, ὡς ἀπὸ συλλογισμοῦ συνάγοντα ἐπήγαγε, τὸ Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα· ἐπήγαγε δὲ καὶ ἄλλην φωνήν, ὃν θέλει ἐλεεῖ, ὃν δὲ θέλει σκληρύνει. ὡς οὖν συναγαγὼν τὸν συλλογιζόμενον ταῦτα λέγει ὁ ἀντιτιθέμενος. Ἄρα οὖν οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ. εἰ οὖν ὃν θέλει ἐλεεῖ, ὃν δὲ θέλει σκληρύνει, εἰ ὃν θέλει ἀγαπᾷ, ὃν δὲ θέλει μισεῖ, ἐμοὶ τί ἐγκαλεῖς; εἰκῇ λοιπὸν φέρω τὴν εὐσέβειαν, εἰκῇ τρέχω πρὸς τὴν ἀλήθειαν. οὐ γὰρ τοῦ τρέχοντος, οὐδὲ τοῦ θέλοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ. Ταῦτα πάντα ἐκ προσώπου τοῦ ἀντιλέγοντος. καὶ οὐκ ὀκνεῖ λοιπὸν ὁ ἀπόστολος ἰσχυρᾶς αὐτῷ ἀντιστῆναι, οὐ κυρῶσαι βουλόμενος τὴν ἀντιλογίαν, ἀλλὰ λῦσαι πᾶσαν τὴν ἐθνικὴν τὴν ὑπόνοιαν. ἄρα οὖν ὃν θέλει ἐλεεῖ, ὃν δὲ θέλει σκληρύνει. ἐρεῖς οὖν μοι, τί ἔτι μέμφεται; τῷ γὰρ βουλήματι αὐτοῦ τίς ἀνθέστηκεν; ἀρχὴν λοιπὸν τῆς ἀπαντήσεως ποιεῖται ὁ Παῦλος, λέγων· Μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; ἐνταῦθα οὐκ ἔστι λύσις τῆς ἀντιλογίας, ἀλλὰ πρῶτον ἀγανάκτησις κατὰ τῶν τολμώντων συζητεῖν τῷ Θεῷ. τὸ γὰρ ἐπιστομίσαι τὸν ἀντιλέγοντα, οὐκ ἦν λύοντος τὸ ζήτημα, ἀλλ' αὐξάνοντος τὴν ἀπορίαν. εἰ ἐπετίμησάς μοι τὰ δίκαια λέγοντι, σιωπῶ, καὶ φέρω τὴν αὐθεντίαν. διὰ τί οὖν ἐγκαλεῖς, καὶ οὐ πείθῃ; ἀλλὰ πρῶτον ἐπιστομίζει τὸ θράσος τῆς ἀνθρωπίνης προπετείας, καὶ τῆς τολμώσης, καὶ ὅλως σπουδαζούσης λόγον παρὰ Θεοῦ λαμβάνειν τῶν γινομένων. μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; καὶ λαμβάνων ὑπόδειγμα κοινὸν (δεῖ γὰρ καὶ ἀπὸ τῆς κοινῆς συνηθείας ἱστᾶν τὰ νοήματα) ὡς εἴ τις ἐθεάσατο δεσπότην τινὰ τὸν ἑαυτοῦ οἰκέτην τύπτοντα, παρελθὼν εἰς μέσον ἔλεγε, διὰ τί τύπτεις; ὁ δὲ τὴν δεσποτικὴν αὐθεντίαν προτείνας ἔλεγε, καὶ τί πρὸς σέ; οὐκ ἐξουσίαν ἔχω τοῦ ἐμοῦ οἰκέτου; οὐκ ἔστιν ἐμός; οὐ τῇ ἐμῇ ἐξουσίᾳ ὑπόκειται; ταῦτα μηνύοντός ἐστι τὴν αὐθεντίαν, οὐ δεικνύοντος τὴν ἀκολουθίαν. καὶ πρὸς μὲν τὸν ἀνθιστάμενον εὐθέως ὁ ἀγανακτῶν λέγει, τί πρὸς σέ; ὅταν μέντοι πέψῃ τὸν θυμόν, καὶ καταστείλῃ τὴν ἑαυτοῦ ἀγανάκτησιν, εἰς ἡμερότητα ἐλθών, λοιπὸν ἀπολογεῖται πρὸς τὸν ἐγκαλοῦντα· ἵνα δέ μου μὴ καταγνῷς, ἄνθρωπε, ὅτι ἀκαίρως ἐτύπτησα, μάθε τὰ τετολμημένα. τοῦτο καὶ ὁ ἀπόστολος ποιεῖ. ἀπαιτούμενος γὰρ λόγον παρὰ τῶν ἀντιλεγόντων, ἐπεὶ ὃν θέλει ἐλεεῖ, ὃν δὲ θέλει σκληρύνει, τί οὖν ἔτι μέμφεται; τῷ γὰρ βουλήματι αὐτοῦ τίς ἀνθέστηκεν; ἐπειδὴ εἶδεν ἀφοσιωμένην τὴν φωνήν, λέγει, μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; ὁ πηλὸς νομοθετεῖ τῷ πλάστῃ; τὸ ποίημα περιεργάζεται τὸν ποιήσαντα; ὁ δοῦλος ἀπαιτεῖ λόγον παρὰ τοῦ δεσπότου; οὐδ' ἐκ τῶν κοινῶν πραγμάτων διδάσκῃ, ὅτι καὶ περὶ ἐλευθερίας ἀγωνιζόμενος οἰκέτης, ἐπειδὰν εἰς δουλείαν ἕλκηται, οὐ τολμᾷ οἰκεῖον στῆσαι πρόσωπον, ἀλλ' ἕτερον λαμβάνει τὸν συναγωνιζόμενον, ἵνα μὴ ἐξ ἐναντίας πρόσωπον δούλου ἀντιστήσῃ τῇ δεσποτικῇ ὄψει· καὶ σὺ ἄνθρωπος ὢν θνητός, πρὸς τὴν ἀθάνατον ὄψιν σεαυτὸν ἐξισάζεις; τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; ὁ πρόσκαιρος πολυπραγμονεῖς τὸν αἰώνιον; ὁ θνητὸς τὸν ἀθάνατον; ὁ εἰς τάφον λυόμενος τὸν ἐν οὐρανῷ κατοικοῦντα; ὁ ἀπὸ γῆς τρεφόμενος, καὶ εἰς γῆν ἀποστρέφων, τὸν διαιωνίζοντα ἐν πᾶσι τοῖς χρόνοις λόγον ἀπαιτεῖς; μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; Οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς ἐκ τοῦ αὐτοῦ πηλοῦ ποιῆσαι τὸ μὲν εἰς τιμὴν σκεῦος, τὸ δὲ εἰς ἀτιμίαν; ναί, φησί· καλῶς ἐπιστομίζεις· τὸ δὲ ζητούμενον οὐ λύεις. ἐξ ὧν γὰρ ἐπιστομίζεις, πλεονάζεις τὸ ἔγκλημα. εἶπε γάρ, οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς ποιῆσαι τὸ μὲν σκεῦος εἰς τιμήν, τὸ δὲ εἰς ἀτιμίαν; οὐκοῦν αὐτός ἐστι καὶ ὁ τοὺς ἀτίμους ποιῶν, καὶ τί ἔτι μέμφῃ μοι; τῆς γὰρ φωνῆς σου ταύτης οὐκ ἀνέχομαι. ἐξ ὧν γὰρ οὐ λύεις τὸ ἔγκλημα, πλεονάζεις

συλλογι-
μὸν

Ρωμ. θ. ιε.

Ρωμ. θ. κ.

σκάζεις τὴν ἀπορίαν. διὰ τοῦτο ὁ ἀπόστολος, ὅτε ἐπετίμησεν ὡς προπετευσαμένοις, τότε
διορθοῦται ὡς σφαλλομένους, καὶ λέγει μὲν ἀγανακτῶν, Μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ
ἀνταποκρινόμενος τῷ Θεῷ; οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς ἐκ τοῦ αὐτοῦ πηλοῦ ποιῆσαι σκεύη,
τὰ μὲν εἰς τιμήν, τὰ δὲ εἰς ἀτιμίαν; ὡς δὲ συνεῖδεν, ὅτι ἐξ ὧν ἐπιστομίζει, μᾶλλον πλεονάζει
Ρωμ. θ κβ. τὴν ἀντιλογίαν, εὐθέως ἐπάγει, Εἰ δὲ θέλων ὁ Θεὸς ἐπιδείξασθαι τὴν ὀργήν, καὶ γνωρίσαι
τὸ δυνατὸν αὐτοῦ, ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ. κατὰ μέρος ἐξεταζέσθω τὰ ῥήματα. οὐ γάρ
ἐστιν ἀπὸ ψιλῶν φωνῶν ἐκλαμβάνειν τὴν ἀλήθειαν. ἔδειξε μὲν καὶ ἐπαίδευσεν, ὅτι οὐ δεῖ
παρὰ τοῦ Θεοῦ λόγον ἀπαιτεῖν, καὶ κατεχρήσατο Παῦλος τῇ φωνῇ τῇ τοῦ Θεοῦ διὰ Ἠσαΐου
Ησ. με. θ. λαλούσῃ. λέγει γὰρ ὁ Θεὸς πρὸς τὸν παλαιὸν λαόν, Μὴ ἐρεῖ τὸ πλάσμα τῷ
πλάσαντι, τί με ἐποίησας; μὴ ἀποκρίνεται ὁ πηλὸς τῷ κεραμεῖ, τί ποιεῖς; μὴ ἀποκρίνεται
τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας; ὑμεῖς δὲ περὶ τῶν ἔργων μου ἐντέλλεσθέ
μοι καὶ τῶν υἱῶν μου. τὴν φωνὴν τοῦ Ησαΐου τὴν ἐπιστομίζουσαν Παῦλος ἐκλαμβάνων,
διορθοῦται τὰς ἀποσφαλλομένας γνώμας. λοιπὸν τὰ μὲν τῆς ἐπιτιμήσεως ἐδείχθη, τὰ δὲ
τῆς λύσεως ἀκολουθείτω· ἵνα μάθης, ἀδελφέ, ὅτι Παῦλος οὐ πρὸς τὴν ἀκρίβειαν τῶν
ζητουμένων προσήγαγε τό, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ, ἀλλὰ δι᾽ ἀγανάκτησιν.
ἐνταῦθα μὲν γὰρ ἐπιγράφει τῷ πλάστῃ τὰ πάντα, καὶ λέγει, Οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς
ἐκ τοῦ αὐτοῦ πηλοῦ ποιῆσαι σκεύη, τὰ μὲν εἰς τιμήν, τὰ δὲ εἰς ἀτιμίαν; ἐνταῦθα πρὸς ἔνστασιν
λαλεῖ, οὐ πρὸς τὴν ἀκρίβειαν τοῦ δόγματος. ἀλλαχοῦ δὲ βουλόμενος δεῖξαι, ὅτι
σκεῦος τιμῆς, καὶ σκεῦος ἀτιμίας οὐκ ἀπὸ τοῦ Θεοῦ κατασκευάζεται, ἀλλ᾽ ἀπὸ τῆς τῶν ἐργαζομένων
προαιρέσεως, ἢ πρὸς τὰ φαῦλα ῥεπούσης, ἢ πρὸς τὴν ἀρετὴν βλεπούσης,
α. Τιμ. γ. ιε. λέγει τῷ Τιμοθέῳ· Ταῦτα γράφω πρὸς σέ, ἵνα ἴδῃς πῶς δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι.
β. Τιμ. β. κ. Ἐν μεγάλῃ δὲ οἰκίᾳ οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα.
ταῦτα ὁ αὐτὸς Παῦλος. οὐ γὰρ παράγω ἀλλαχόθεν μαρτυρίαν, ἵνα μὴ εἴπῃς, οὐχ εὑρὼν
ἐκ τοῦ ἀποστόλου λύσιν, εἰς ἑτέραν μετεπήδησε γραφήν. ὁ αὐτὸς Παῦλος ὁ τούτοις
ἀγανακτήσας, ὅτε ἐκτὸς ἀγανακτήσεως φθέγγεται, πρὸς ἀκρίβειαν διαλέγεται. λέγει
οὖν ὁ Παῦλος, Ἐν μεγάλῃ δὲ οἰκίᾳ οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα
β. Τιμ. β. κα. καὶ ὀστράκινα· καὶ τὰ μὲν εἰς τιμήν, τὰ δὲ εἰς ἀτιμίαν. καὶ τί ἐπάγει; Ἐὰν οὖν τις ἑαυτὸν ἐκκαθάρῃ,
ἔσται σκεῦος εἰς τιμὴν ἡγιασμένον. ὁ ἐνταῦθα τῷ πλάστῃ ἐπιγράψας τὸ σκεῦος
τῆς τιμῆς, καὶ τὸ σκεῦος τῆς ἀτιμίας, ἐν ἑτέρῳ τόπῳ τῇ προαιρέσει τὸ πᾶν ἀποδέδωκεν.
ἐάν τις ἑαυτὸν ἐκκαθάρῃ, ἔσται σκεῦος εἰς τιμὴν ἡγιασμένον καὶ εὔχρηστον τῷ δεσπότῃ εἰς
πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένον. ὅρα ὅτι ἑτέρως μὲν ἐπιτιμῶν φθέγγεται, ἑτέρως δὲ διδάσκων
συντίθεται· καὶ κατὰ τὴν παραλαβοῦσαν εἰκόνα τοῦ δεσπότου, τοῦ τὸν ἑαυτοῦ οἰκέτην τύπτοντος,
πρὸς τὸν ἀλλότριον εὐθέως ἀπηνῶς ἐφθέγξατο, πρὸς δὲ τὴν ἀλήθειαν ταύτην
παρέλκων· οὕτω καὶ ἐνταῦθα ἔδειξεν, ὅτι σκεῦος τιμῆς καὶ σκεῦος ἀτιμίας Θεὸς οὐ ποιεῖ, ἀλλὰ
κοινὴν ποιεῖται τὴν φύσιν, ἡ δὲ προαίρεσις ἄγει τὴν δημιουργίαν. καὶ ἵνα μάθῃς ἀκριβῶς
ὅτι οὐκ ἐκ φύσεως ἐπλάσθη μὲν σκεύη τιμῆς, καὶ σκεύη ἀτιμίας, ἡ γραφὴ παιδεύει. εἰ οὕτως
ἐπλάσθη σκεῦος ἀτιμίας, διὰ τί με ἡ γραφὴ διδάσκει εἶναι καλόν; ὃ γὰρ ἐπλάσθην κατὰ
φύσιν, μετατεθῆναι οὐ δύναμαι. διὰ τί παιδεύει εἶναι ἀγαθόν, τὸν κατὰ φύσιν ὄντα κακόν;
α. Κορ. ι. ιβ. διὰ τί δὲ ἀσφαλίζεται τὸν ἀγαθόν, λέγων· Ὁ ἑστώς, βλεπέτω μὴ πέσῃ. εἰ ἐκ φύσεως
καλός, τί ἀσφαλίζῃ τὸν ἀσφαλῆ; εἶτα καὶ τὸ ἀκόλουθον πρὸς τό, Οὐ τοῦ θέλοντος,
οὐδὲ τοῦ τρέχοντος, εἰ μηδέν ἐστιν ἐπ᾽ ἐμοὶ τῷ θέλοντι, διὰ τί κηρύττεις; εἰ μηδὲν ἐπὶ τῷ
Ησ. α. ιθ. τρέχοντι, διὰ τί κάμνεις; εἰ μηδὲν ἐπὶ τῷ θέλοντι, διὰ τί ὁ Θεὸς ἔλεγεν, Ἐὰν θέλητε,
καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε; εἰ μηδὲν ἐπὶ τῷ θέλοντι, διὰ τί ὁ
Ματθ. κγ. λζ. σωτὴρ ἔλεγε, Ποσάκις ἠθέλησα ἐπισυνάξαι τὰ τέκνα σου, καὶ οὐκ ἠθελήσατε. οὐ τοῦ

θέλοντος, οὐδὲ τοῦ τρέχοντος. Εἰ μηδέν ἐστιν ἐπὶ τῷ τρέχοντι, διὰ τί ἔλεγε Γαλάταις, Ἐτρέχετε καλῶς, τίς ὑμᾶς ἐνέκοψεν; εἰ μὴ τοῦ θέλοντός ἐστι, μηδὲ τοῦ τρέχοντος, διὰ τί Παῦλος λέγει, Οὕτω τρέχω, ὡς οὐκ ἀδήλως, τὰ μὲν ὄπισθεν ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω; τί κάμνεις, ἢ τί τρέχεις; σὺ εἶπας, οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος. ἀλλ᾽ ἡ γραφὴ λύει τὴν ἀμφιβολίαν. οὐ τοῦ θέλοντος τοῦ Ἰσαάκ (ἤθελε γὰρ εὐλογῆσαι τὸν πρωτότοκον) οὐδὲ τοῦ τρέχοντος τοῦ Ἠσαῦ εἰς τὸ πεδίον, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ τὸν Ἰακώβ. οὐ τοῦ θέλοντος τὸν Ἠσαῦ, οὐδὲ τοῦ τρέχοντος τὸν Ἰσαάκ, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ τὸν Ἰακώβ. ἀλλ᾽ ἐλύθη μὲν τὸ, οὐ τοῦ θέλοντος, οὕτω. διὰ τί δὲ ὅλως τοῦ ἐλεοῦντος Θεοῦ; μένει γὰρ ἀκμὴν τὸ ζήτημα, ὃν θέλει ἐλεεῖ, ὃν δὲ θέλει σκληρύνει. πρόσεχε ἀκριβῶς, ἀδελφέ. ὁ Θεὸς προγινώσκει μὲν πάντα, προγινώσκει δὲ, οὐχ ὡς αἴτιος τυπῶν τὰ μέλλοντα, ἀλλὰ προειδὼς τὰ μέλλοντα καὶ τὰ ἐσόμενα. ἄλλο γάρ ἐστιν, ἃ κατὰ τὴν οἰκείαν οἰκονομίαν προορίζει, ἄλλο ἐστὶν, ἃ ἀπὸ τῶν ἡμετέρων πράξεων προγινώσκει· ἄλλο προτυπῶσαι, ἄλλο προγνῶναι. ἐὰν προγνῷ τὸ κακὸν ἐσόμενον κακὸν, οὐχ ἡ πρόγνωσις μὲν ἐποίησε κακὸν αὐτό. οἷον δέ τι λέγω· ἐὰν ἴδω πολλάκις ἄνδρα νέον ὑπὸ τῶν πατέρων καταλειφθέντα κληρονόμον μεγάλης οὐσίας, ἴδω δὲ αὐτὸν παιδείας ἀπέχοντα, τοῖς τρυφῶσι συζῶντα, περὶ τὰς θέας ἔχοντα, πρὸς τὰς ἱππομανίας σχολάζοντα, εὐθέως ἀφορῶν λέγω· οὗτος εἰς μικρὸν χρόνον διασκορπίσει τὴν οὐσίαν, οὗτος τὴν πατρικὴν κληρονομίαν ἀπολλέσει· οὐκ ἐπειδὴ προϊδὼν ἐτύπωσα, ἀλλ᾽ ἀπὸ τῶν ἠθῶν ἐτεκμηράμην· καὶ ποιεῖ τὴν ἀπόβασιν οὐχ ἡ πρόθεσις τοῦ προθεασαμένου, ἀλλ᾽ ἡ πολιτεία τοῦ κακῶς ἀναστρεφομένου. πολλάκις οὕτω, ἀδελφέ, καὶ ἐπ᾽ ἄλλων πραγμάτων λέγομεν. ὁρῶμέν τινα ὁδὸν ὀλισθηρὰν ὁδεύοντα, καὶ βακτηρίαν οὐκ ἔχοντα, καὶ εὐθέως λέγομεν, οὗτος ὀλισθῆσαι ἔχει. ἀγνοεῖ τῶν τόπων τὴν φύσιν, περιπεσεῖν ἔχει ὀλισθήμασιν. ἆρ᾽ ἐπειδὴ προλέγεις, αὐτὸς ἐργάζῃ;

Οὐχ ὅτι ὁμοία μὲν ἡ πρόγνωσις, καὶ ἡ τοῦ Θεοῦ, οὐ τοῦτο λέγω· ἀλλ᾽ ἀπὸ τῶν σῶν τὰ ὑπὲρ σὲ διδάσκω. καὶ πρόσεχε ἀκριβῶς. προτείνουσι γὰρ οἱ ἀντιλέγοντες ταῦτα, ἵνα μάθῃς, φασὶν, ὅτι ὁ Θεὸς δικαίους ἐργάζεται καὶ πονηρούς, αὐτὸς εἶπε τῷ Ἱερεμίᾳ· Πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ ἐπίσταμαί σε, καὶ πρὸ τοῦ ἐξελθεῖν ἐκ μήτρας ἡγίακά σε. αὐτὸς γὰρ λέγει, Ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας, πρὶν ἐξέλθωσιν ἐπλανήθησαν, ἀπὸ γαστρὸς ἐλάλησαν ψευδῆ. ὁρᾷς ὅτι ἀπὸ γαστρὸς ἐδείχθη οὗτος δίκαιος, καὶ οὗτος πονηρός; ὁρᾷς ὅτι ἐκ φύσεως; καλῶς ἔλεγε, φησὶν, ὁ σωτὴρ πρὸς τοὺς Ἰουδαίους· Πλανᾶσθε, μὴ εἰδότες τὰς γραφὰς, μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ. ἀνάγνωθι ὀρθῶς, καὶ μὴ λάλει διεστραμμένως. καὶ πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ ἐπίσταμαί σε, καὶ πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας ἡγίακά σε. οὐ πρότερον ἡγίακά σε, ἀλλὰ πρότερον ἐπίσταμαί σε, καὶ τότε ἡγίακά σε. ἐνταῦθα τὴν πρόγνωσιν ἔδειξε, μετὰ τὴν πρόγνωσιν τότε τὸν ὅρον. καὶ πρὸ τοῦ με πλάσαι σε ἐπίσταμαί σε, καὶ πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας ἡγίακά σε. ἐπειδὴ ἔγνων σε, ἡγίακά σε. διὰ τοῦτο ὁ ἀπόστολος λέγει, οὓς προέγνω, καὶ προώρισεν. οὐκ εἶπε, πρότερον προώρισεν, ἀλλὰ, προέγνω, καὶ τότε προώρισε. παρακαλῶ, συναγωνίσασθε τῷ λόγῳ κάμνοντι διὰ τῆς προθυμίας, οὐχ ἵνα βοήσητε (οὐ γὰρ ταῦτα ζητοῦμεν, ὡς ὁ Θεὸς μάρτυς) ἀλλὰ ζητοῦμεν τὴν κοινὴν ὠφέλειαν. ἅπλωσόν μοι τὴν ἀκοὴν τῆς διανοίας· τὸ, πρὶν ἐξελθεῖν ἐκ μήτρας, ἡγίακά σε, καὶ πότερόν ἐστιν εἰρημένον ὑπὸ τοῦ ἀποστόλου. οὐ γὰρ ὁ ἀπόστολος περὶ αὐτοῦ λέγει, οὓς προέγνω, καὶ προεξελέξατο ὑμᾶς πρὸ καταβολῆς κόσμου, τὸν Ἱερεμίαν ἀπὸ κοιλίας ἔγνωκε, τοὺς ἀποστόλους πρὸ τοῦ κόσμου παντὸς προέγνω, καὶ οὐχ ἁπλῶς προέγνω, ἀλλὰ καὶ προεξελέξατο. ἴδωμεν οὖν εἰ ἡ πρόγνωσις φύσιν ἐποίησεν. εἰ τὸ ἐκλεχθῆναι πρὸ καταβολῆς κόσμου τοὺς ἀποστόλους, τοῦτο φύσιν δικαιοσύνης ποιεῖ, καὶ οὐ προαιρέσεως ἀρετὴν, διὰ τί οἱ προγνωσθέντες

τρέχωσι

Γαλ. ε. ζ.

Φιλιπ. γ. ι.

τ. τῦ Ἰσαάκ,
τ. τῦ Ἠσαῦ

πρόγνωσις

Ιερ. α. ε.

Ψαλ. νζ. γ.

Ματθ. κβ. κθ.

τελῶναι ἐκλήθησαν; διὰ τί Παῦλος διώκει; διὰ τί πόρναι σπεύδουσιν εἰς τὴν βασιλείαν; εἰ γὰρ
προεγνώσθη ἡ ἀξία τῆς βασιλείας πόρνη, διὰ τί ἐπόρνευσεν; εἰ προέγνω Παῦλον Θεός, διὰ τί
πρόγνωσις φύσιν οὐκ ἐργάζεται; διὰ τί ὁ προγνωσθεὶς πρὸ καταβολῆς κόσμου, ἐγένετο
βλάσφημος καὶ διώκτης καὶ ὑβριστής; ὁρᾷς ὅτι ἡ πρόγνωσις οὐ φύσιν ποιεῖ, ἀλλὰ προαίρεσιν
προορᾷ; εἰ πρόγνωσις ἐποίει τὸν ἀπόστολον, διὰ τί Ματθαῖος τελωνεῖ; τὸ δὲ τελωνεῖν, ἐστὶν εἰδωλολατρεῖν.
Ματθ. ιη. ιζ. λέγει γὰρ ὁ σωτήρ, Ἔσται σοι ὡς ὁ τελώνης, ἢ ὡς ὁ ἐθνικός. οὕτως ὁμότιμον τῆς εἰδωλολατρείας
τὴν τελωνείαν ὡρίσατο. εἰ τοίνυν προεγνώσθη Ματθαῖος, διὰ τί ἡ πρόγνωσις
αὐτὸν οὐκ ἐποίησεν ἀπόστολον, ἀλλ᾽ ἡ προαίρεσις ἔκλινεν εἰς ὑπακοήν; ἡ Ῥαὰβ ἐσώθη,
καὶ μετὰ πιστῶν ἠριθμήθη. δηλονότι κἀκείνην προέγνω ὁ Θεός. πῶς οὖν προγνωσθεῖσα
ἐπόρνευσε; διὰ τί ὁ μαργαρίτης ὁ προορασθεὶς ἐν βορβόρῳ ἦν; ταῦτα ὁρᾷς πανταχοῦ,
τὴν μὲν φύσιν μέσην, τὴν δὲ προαίρεσιν προεγνωσμένην τοῦ Θεοῦ, ἐν δὲ ταῖς οἰκείαις πολιτείαις
φαινομένην. προεῖδεν ὁ Θεὸς τὸ ἐσόμενον, ὁ δὲ καρπὸς τῆς πολιτείας ἐγνωρίσθη.
Ρωμ. η ιθ. ἀπὸ τῆς Παύλου φωνῆς λάβε τὴν λύσιν. Οὓς προέγνω, καὶ προώρισεν· οὓς προώρισε, τούτους
καὶ ἐκάλεσεν· οὓς δὲ ἐκάλεσε, τούτους καὶ ἐδικαίωσε. διὰ τί Ἰούδας ἐκλήθη, καὶ οὐκ ἐδικαιώθη;
οὓς προέγνω καὶ προώρισε, τούτους καὶ ἐκάλεσεν. οὐ ποιεῖ οὖν πρόκριμα τὸ ἀπὸ κοιλίας
γνωρισθῆναι τὸν προφήτην, ὅπου γε τοῖς πρὸ αἰῶνος ἐκλεχθεῖσιν οὐχ ἡ φύσις ἠκολούθησεν,
ἀλλ᾽ ἡ προαίρεσις τῇ προγνώσει ἐμαρτύρησε. δέδεικται τοίνυν ὅτι οὐ ποιεῖ ἡ πρόγνωσις
φύσιν, εἰ μή τις πάντη φιλόνεικος καὶ πρὸς αὐτὴν ἀπομαχόμενος τὴν ἀλήθειαν. διὰ τί δὲ ὅλως
Ρωμ. θ ιζ. εἰς τὸν Φαραὼ κατασκευάζει τὸ ῥῆμα; ὅτι εἴρηται τῷ Φαραώ, Ὅτι εἰς αὐτὸ τοῦτο
ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ
τῇ γῇ. ἵνα γνωρίσῃς σου τὴν δύναμιν, κολάζεις ἄνθρωπον; ἵνα γνωρίσῃς σου τὴν δυναστείαν,
καθαιρεῖς τὸν ἀναίτιον; εἰ μὲν ὑπαίτιον, καὶ μέμφου· εἰ δὲ ἀναίτιον, μὴ ἐγκάλει. τί
οὖν ἐστὶ τό, ἵνα ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου; καί μοι πρόσεχε· χρήσομαι δὲ ὑποδείγματί
τινι ἀρχαίῳ καὶ ἀληθινῷ. ἡ ἰατρικὴ τέχνη βουληθεῖσα ἀπ᾽ ἀρχῆς τὴν φύσιν τοῦ
ἀνθρώπου κατανοῆσαι καὶ τὰ σπλάγχνα, ἐχρήσατο ἀνατομαῖς, καὶ ἀνέτεμον ἀνθρώπους
ζῶντας, ἵνα τοῖς ἄλλοις τὴν ἰατρείαν ποιήσηται. ἀλλ᾽ ἦν μὲν καὶ τοῦτο ἄδικον διὰ τὴν ἑτέρων
σωτηρίαν ἄλλους ζῶντας θύεσθαι. τί οὖν ἐποίουν οἱ ἀρχαῖοι; τοὺς ἐκδεδομένους θανάτῳ
διὰ λῃστείαν, ἢ μοιχείαν, ἢ φαρμακείαν, τούτους λαμβάνοντες ἀνέτεμνον ζῶντας,
οὔτε ἀδικοῦντες τοὺς κολαζομένους, καὶ τῇ ἀνθρωπότητι βοήθειαν ἐφευρίσκοντες. τὸν γὰρ ἅπαξ
ἐκδεδομένον τῇ κολάσει διὰ πταίσματα, τοῦτον ἀνέτεμνον ζῶντα, ἵνα ἔτι σπαιρόντων
τῶν σπλάγχνων καταμάθωσι τὴν ἐνέργειαν. ὁ Θεὸς τοίνυν ὡς ἰατρὸς πάνσοφος (ἰατρὸς
Μαρκ β. ιζ. γάρ ἐστιν ὁ λέγων, Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλ᾽ ἁμαρτωλοὺς εἰς μετάνοιαν· καί, Οὐ
χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ᾽ οἱ κακῶς ἔχοντες) λαμβάνει τὸν Φαραὼ ἤδη μὲν
ὑπαίτιον ὄντα κολάσεσι μυρίαις διὰ τὰ ἴδια πλημμελήματα. πολλοῖς γὰρ ἦν ὑπεύθυνος
ἁμαρτήμασι. πρώτη γὰρ βλασφημία, τὸ λέγειν, οὐκ οἶδα τὸν Κύριον. βλασφημία
ἦν ἀρχὴ τῶν κακῶν. δευτέρα ἡ ἀγνωμοσύνη πρὸς τὸν λαόν, ὅτι ἐλευθέρων γένος κατεδίκαζε
δουλείᾳ καὶ πλινθοποιΐᾳ. τρίτον, ὅτι ἀναίτια βρέφη ἔπνιγεν ἐν τῷ ποταμῷ. τέταρτον,
ὅτι τὸν Κύριον κηρυττόμενον οὐκ ᾔδετο. πέμπτον, ὅτι θαύματα βλέπων ἀπηγωνίζετο
πρὸς τὴν εὐσέβειαν. πολλοῖς ὑποκείμενον αὐτὸν κακοῖς λαβὼν ὁ Θεός, ὡς ἰατρὸς ἄριστος,
τοῖς θαύμασιν ἀνέτεμνεν, οὐχ ἅπαξ κολάζων, ἵνα ἀποκτείνῃ. οὐ γὰρ οἱ ἀνατέμνοντες ὁμοῦ
κολάζουσιν, ἀλλὰ συγχωροῦσι κατατέμνοντες τὰ μέλη, ἵνα πανταχόθεν εὕρωσι τῆς
ἐπιστήμης τὴν ἐνέργειαν. ὑποβάλλει αὐτὸν βατράχοις, ὁπλίζει κατ᾽ αὐτοῦ λεγεῶνας ξένας,
λεγεῶνας βατράχων, ἀκρίδων, ἵνα δείξῃ τὸ ὑπερβάλλον τῆς δυνάμεως αὐτοῦ. οὐκ ἀποστέλλει
ἄγγελον ἐξ οὐρανοῦ, οὐ τὰ τάγματα τῶν χερουβίμ, οὐκ ἀποστέλλει τὰ σεραφὶμ τὰ

τῶν ἀντιλεγόντων, ἀλλὰ δεικνὺς τὰ τῆς δυνάμεως, παρασκευάζει λεγεῶνας βατράχων. καὶ ἦσαν ἀκρίδων τὰ στρατεύματα, οὐδενὸς ταξιαρχοῦντος φαινομένου, τοῦ δὲ Θεοῦ κελεύοντος ὡδηγοῦντο. ἐξῆλθον βάτραχοι ἐκ τοῦ ποταμοῦ κατὰ τοῦ θεομάχου στρατευόμενοι, ἦλθον ἀκρίδες λογισμοῦ μὲν διάκρισιν οὐκ ἔχουσαι, τὸ δὲ δεσποτικὸν πληροῦσαι πρόσταγμα. ἐπῆλθον καὶ σκνῖπες, καὶ κυνόμυιαι, καὶ πολλὰ καὶ διάφορα θαύματα κατ' αὐτοῦ καινουργεῖ διαφόρως ὁ Θεός, τὴν ψυχὴν ἀνατέμνων καὶ βασανίζων αὐτοῦ, τὴν ἔννοιαν διαφόρως ἀσθενήσασαν διαφόρως κολάζων. καὶ ἵνα μάθῃς ὅτι διὰ τοῦτο αὐτὸν κατὰ μέρος κατατέμνει, καὶ οὐκ ἀθρόον ἐκόλασεν, ἵνα δι' αὐτοῦ τὴν δύναμιν ἐνδείξηται, λέγει ἡ πανάρετος σοφία· Οὐ γὰρ ἠπόρει ἡ παντοδύναμός σου χείρ, καὶ κτίσασα τὸν κόσμον, καὶ ἀνεξιχνίαστος σοφία ἐπιρρίψαι αὐτοῖς ἢ θρασεῖς λέοντας, ἢ νεοκτίστους θυμοῦ πλήρεις θῆρας ἀγνώστους· ἀλλὰ πάντα ἐποίησεν ἐνδεικνύμενος ἑαυτοῦ τὴν μακροθυμίαν. διὰ τοῦτο λέγει ὁ Θεός, Ἵνα διηγήσησθε τοῖς τέκνοις τῶν τέκνων ὑμῶν, ὅσα ἐμπέπαιχα τοῖς Αἰγυπτίοις. τὸν οὖν Φαραὼ μυρίων τιμωριῶν ἄξια δράσαντα κολάζει ὁ Θεός, καὶ λέγει πρὸς αὐτόν· Εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ἵνα ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ ἀναγγελῇ τὸ ὄνομά μου πάσῃ τῇ γῇ. ἵνα διὰ σοῦ ἄλλους κερδάνω, ἵνα διὰ σοῦ ἄλλους σωφρονίσω, ἵνα διὰ σοῦ ἄλλους παιδεύσω. καὶ ἵνα μάθῃς πῶς ὠφέλησεν ἡ τούτου ἀνατομὴ τοὺς ἄλλους, λάβε τῆς γραφῆς τὴν ἐνέργειαν. ἡρπάγη ποτὲ τοῦ Θεοῦ ἡ κιβωτὸς παρὰ τῶν ἀλλοφύλων, καὶ ἦλθον οἱ μάντεις καὶ ψευδοπροφῆται πάντες, καὶ ἔλεγον τοῖς βασιλεῦσι τῶν ἀλλοφύλων· Ἐξαποστείλωμεν τὴν κιβωτὸν τοῦ Θεοῦ Ἰσραὴλ ἀφ' ἡμῶν, τὴν χεῖρα αὐτοῦ τὴν κραταιάν. οὐκ οἴδατε πόσα ἐποίησεν ὁ Κύριος τοῖς Αἰγυπτίοις; ἵνα τί σκληρύνωμεν τὰς καρδίας ἡμῶν, ὡς ἐσκλήρυνε Φαραώ; ὢ τῆς εὐγνωμοσύνης τῶν ἐθνῶν. αἰδέσθητι ὁ ἀντιλέγων τῶν ἀλλοφύλων τὰς φωνάς. μή, εἶπον οἱ ἀλλόφυλοι, σκληρύνωμεν τὰς καρδίας ἡμῶν, ὡς ἐσκλήρυνεν ὁ Θεὸς τὴν καρδίαν Φαραώ. αὐτῷ τῷ Φαραὼ ἐπέγραψαν τὴν ἀναισθησίαν. διὰ τί σκληρύνωμεν τὰς καρδίας ἡμῶν, ὡς ἐσκλήρυνε Φαραώ; οὐχ ὅτε ἐνέπαιξαν αὐτοῖς, τότε ἐξαπέστειλαν τὸν λαόν; καὶ νῦν ἐξιλεωσώμεθα τὸν Θεόν. γρ. αὐτοὺ· καὶ ἐν ἑτέρᾳ πάλιν παρεμβολῇ πολέμου, ὡς εἶδον τὴν κιβωτὸν οἱ ἀλλόφυλοι, λέγουσιν, οὐαὶ ἡμῖν, οὗτός ἐστιν ὁ Θεὸς ὁ σκληρός, ὁ πατάξας τὴν Αἴγυπτον· οὐαὶ ἡμῖν, ἐξελοῦ ἡμᾶς, Κύριε. παρὰ τῆς πείρας βλέπετε πῶς ἐσωφρόνισε Φαραώ. ταῦτα βοῶσιν οἱ ἀλλόφυλοι. καὶ ἑτέρα γυνὴ ἀλλόφυλος Ῥαὰβ ποτὲ πόρνη, νῦν δὲ σώφρων, ἐκείνη ἡ μνημονευομένη, λέγει τοῖς κατασκόποις· Ἔγνωμεν ὅσα ἐποίησε Κύριος ὁ Θεὸς τοῖς Αἰγυπτίοις, καὶ ἠκούσαμεν, καὶ ἐταπεινώθη ἡμῶν ἡ καρδία, καὶ οὐχ ὑπελείφθη ἐν ἡμῖν πνοή, ὅτι ὁ Θεὸς ὑμῶν μέγας αὐτὸς ἐν τῷ οὐρανῷ ἄνω, καὶ ἐν τῇ γῇ κάτω. ὁρᾷς ὅτι οὐ ψεύδεται ὁ Θεὸς λέγων· Εἰς τοῦτο αὐτὸ ἐξήγειρά σε, ἵνα ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ ἀναγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ; τὸ δὲ τέλος τῆς ἀποστολικῆς διδασκαλίας τέλος γινέσθω τῶν ἡμετέρων λόγων. λέγει ὁ Παῦλος· Εἰ δὲ θέλων ὁ Θεὸς ἐνδείξασθαι τὴν ὀργήν, καὶ γνωρίσαι τὸ δυνατὸν αὐτοῦ, ἤνεγκε τὴν ὀργὴν ἐπὶ σκεύη ὀργῆς ἐν πολλῇ μακροθυμίᾳ. Ρωμ. θ. κϐ. οὐχ ἁπλῶς φησιν, ἐπήγαγε τὴν ὀργήν, ἀλλ' ἐπὶ τὸν ἄξιον τῆς ὀργῆς. τί γὰρ λέγει; ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ ὀργὴν ἐπὶ σκεύη ὀργῆς. ὥσπερ γὰρ σὺ οἶδας μετὰ πρὸς τὰ ὄντα ὁ ἀπόστολος, Τὸ λοιπόν, ἀδελφοί, ἰσχύετε, ἐνδυναμοῦσθε, καταρτίζεσθε. Εφ. ϛ. ι. β. Κορ. ιγ. ια. Εἰ δὲ κατηρτισμένοι ἐκ φύσεως, διὰ τί μοι λέγεις, καταρτίζεσθε; τὸ δὲ καταρτίζεσθαι, τὸ ἀπὸ τῶν τρόπων ἑαυτοὺς ἀξίους ἀποτελεῖν. καὶ λαμβάνω μαρτυροῦσαν τὴν φύσιν τῶν πραγμάτων. τὸ ἔριον ἡ φύσις φέρει, τὸ δὲ κατηρτισμένον αἱ γυναῖκες ἐργάζονται. ἀμέλει γοῦν κατάρτισμα καλοῦσιν αὐτὴν τὴν ὑφήν, αὐτὴν τὴν ἐργασίαν. ἔριον ὥσπερ οὖν ἡ φύσις προφέρει τὸ ἔργον, ἡ δὲ σοφία καταρτίζει τὸ προαχθὲν ὑπὸ τῆς φύσεως· οὕτως ὁ Θεὸς πλάσας τὴν φύσιν, παρέδωκε τῇ προαιρέσει. ἔριον ἡμῶν ἡ φύσις ἐστὶ λοιπὸν, ἐν σοί ἐστι τὸ καταρτίσαι ἐξ αὐτῆς σκεῦος τιμῆς, ἢ καταρτίσαι σκεῦος ἀτιμίας. βαφεὺς εἶ, ἔλαβες παρὰ τῆς φύσεως ἐρίον, ἔλαβες τὴν προαίρεσιν, ὥσπερ [γὰρ] τινα βαφήν. θέλεις βάψαι τὴν ἐρίαν πορφύραν βασιλικήν; γένῃ υἱὸς βασιλέως. ἔβαψας αὐτὴν ἔργοις σκοτεινοῖς; γένῃ υἱὸς σκότους καὶ νυκτὸς, οὐ τῆς φύσεως τοῦτο ἐργαζομένης, ἀλλὰ τῆς προαιρέσεως τὴν διαφορὰν καταρτιζούσης. οὐδὲν τοίνυν ἐξ ἀνάγκης, κἂν φιλονεικῶσιν οἱ φιλόνεικοι. διὰ γὰρ τὴν τοῦ Θεοῦ χάριν, ὅσον ἧκεν εἰς δύναμιν ἡμετέραν, τὴν λύσιν πεποιήκαμεν· ὥστε τὰ ζητούμενα λοιπὸν ἐναποτιθέσθω τοῖς νοήμασι. καὶ πρόσεχε ἀκριβῶς. ἐάν τις ἀντιπέσῃ, οὕτως αὐτῷ ἀντίστηθι ἐν τοῖς οἰκείοις σκεύεσι καταβάλλειν. καὶ οὐκ ἐπειδὴ πρόκειταί σοι σκεύη ἐν τῇ οἰκίᾳ, ἀδιαφόρως πᾶσι κέχρησαι, ἀλλ' οἶδας ποῖον μὲν ἀγγεῖον δέχεται οἶνον, ποῖον δὲ ἀγγεῖον δέχεται ὄξος· οὕτως οἶδεν ὁ Θεὸς ποία ψυχὴ ἐπιτηδεία πρὸς ἔλεον, ποία ψυχὴ ἀξία τιμωρίας, οὐκ ἐπειδὴ οὕτω πεποίηται, ἀλλ' ἐπειδὴ οὕτω διὰ τῆς οἰκείας πολιτείας κατεσκεύασται. διὰ τοῦτο, ἀδελφὲ, σκεύη καλεῖ καὶ τοὺς τιμωρουμένους, σκεύη καὶ τοὺς ἐλεουμένους (Εἰ δὲ θέλων ὁ Θεὸς ἐνδείξασθαι τὴν ὀργὴν καὶ γνωρίσαι τὸ δυνατὸν αὐτοῦ, ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ τὴν ὀργὴν ἐπὶ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν, ἵνα ἐνδείξηται τὸν πλοῦτον τοῦ ἐλέους αὐτοῦ ἐπὶ σκεύη ἐλέους) κἀκεῖνον ἐποίησε σκεῦος ὀργῆς τὸν τὴν ὀργὴν δεξάμενον, καὶ τοῦτον σκεῦος ἐλέους τὸν τὴν φιλανθρωπίαν δεχόμενον, ἵνα δείξῃ ὅτι ἕκαστος ἐφ' ἑαυτὸν προσκαλεῖται τὴν ὀργὴν καὶ τὸ ἔλεος. ἀλλ' ἴσως τις ἐπιλαμβάνεται τῆς φωνῆς ταύτης, μᾶλλον δὲ τῆς λέξεως, ἐπὶ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν. οὕτω, φησὶν, οὐκ ἐκ πολιτείας, ἀλλ' αὐτὸς κατήρτισε. δεῖ δὲ εἰδέναι ὅτι τὸ καταρτισθῆναι οὐκ ἐκ φύσεως, ἀλλ' ἐκ προαιρέσεως. καὶ τούτου δέχου τὴν μαρτυρίαν τὸ καταρτίζεσθαι, τὸ ἐν τῇ προαιρέσει ἀποτελεῖν ἄξιον τιμωρίας ἢ φιλανθρωπίας. λέγει γάρ· ναὶ, οὐκ ἠκρίβωμαι τὰς γραφάς. ἀλλὰ τὸ ζητούμενον, ἵνα σὺ θεραπευθῇς. καὶ γὰρ ὁ θεραπευόμενος παρὰ τῷ ἰατρῷ, οὐ τὴν φύσιν τῶν φαρμάκων περιεργάζεται, ἀλλὰ πῶς θεραπευθῇ σπουδάζει. ἐὰν εἴπῃ σοι ὁ ἀντιλέγων, πῶς ἔμαθες, πῶς ἐδιδάχθης· εἰπὲ, πῶς μὲν ἔμαθον, οἶδα, πῶς δὲ ἀπηλλάγην, οὐκ οἶδα. οὐ γὰρ ἐθεράπευσα, ἀλλ' ἐθεραπεύθην ἀκλινῆ τὴν ψυχὴν ἔχων. ἐὰν ἴδῃς αὐτὸν ἀντιλέγοντα, εἰπέ· ἐπειδὴ ἐγὼ οὐκ ἐγενόμην ἰατρὸς, οὐδὲ ἰατρικὴν ἐπιστεύθην, ἐλθὲ πρὸς τοὺς ἰατροὺς, καὶ ἀπαγγελοῦσί σοι τὴν τῶν φαρμάκων βοήθειαν. γένοιτο δὲ ἡμᾶς ἰατρευομένους, δόξαν ἀναπέμπειν τῷ μόνῳ ἰατρῷ καὶ σοφῷ Θεῷ· αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ρωμ. θ. κβ.

Λογ. ρκ. ΕΙΣ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΠΑΡΟΥΣΙΑΝ ΤΟΥ ΚΥΡΙΟΥ ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ εἰς τὸ, Πάντες παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, καὶ ἕκαστος ὑπὲρ ἑαυτοῦ λόγον δώσει τῷ Θεῷ.

Ρωμ. ιδ. ι.

Ex edit. Duc. Burdeg. emend. ex Ms. Regio Lut.



ΕΝόμιζον μεγάλα τινὰ καὶ ὑπερφυῆ τῇ προτέρᾳ ἡμέρᾳ ὑμῖν εἰρηκέναι * (καὶ γὰρ ἦν φύσει μεγάλα, καὶ πάντα ὑπερβαίνοντα λόγον) ἀλλ' ὅμως τὰ σήμερον λεχθέντα τοσαύτην ἔχει τὴν ὑπερβολὴν πρὸς ἐκεῖνα, ὅσην ἐκεῖνα πρὸς τὰ ἡμέτερα. καίτοιγε οὐκ ᾤμην αὐτὰ ἔχειν ὑπερβολήν· ἀλλ' ὅμως ἐπελθόντα τὰ σήμερον ἀναγνωσθέντα πολὺ πλέον ἐκείνων ἐφάνησαν λαμπρότερα. τίνα δέ εἰσι τὰ σήμερον ἀναγνωσθέντα; ὅτι πάντες μὲν παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ. γέγραπται γάρ, Ζῶ ἐγὼ, λέγει Κύριος, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τῷ Θεῷ. ἄρα οὖν ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ λόγον δώσει τῷ Θεῷ. βλέπε, οὐκ εἶπεν ἁπλῶς, προσ-

γρ. ἰδίων
γρ. προτέρᾳ
* ἀγαπητὰ

Ρωμ. ιδ. ια.

κυνήσε

κινήσεται ἕκαστος, ἀλλὰ καὶ ἐξομολογήσεται ἕκαστος, τοῦτ' ἔστιν, εὐθύνας δώσει τῶν πεπραγμένων. ἔσο τοίνυν, ἄνθρωπε, ἐναγώνιος πάντοτε τὸν κοινὸν δεσπότην ὁρῶν ἐπὶ τοῦ βήματος καθήμενον, καὶ μὴ σχίζε καὶ μέριζε τὴν ἐκκλησίαν, τῆς χάριτος ἀπορρηγνύμενος. καὶ γὰρ ὁ Χριστὸς καὶ σὲ, καὶ πᾶσαν τὴν ἀνθρωπίνην φύσιν ἀπαιτήσει λόγον. ἵνα δὲ μὴ δόξῃ ὡς ἐπίτηδες φοβῶν ἡμᾶς ταῦτα λέγειν, ἐκ τῆς προκειμένης ἀκολουθίας πάλιν ἔχεται τῆς αὐτῆς ὑποθέσεως, λέγων· Μηκέτι οὖν ἀλλήλους κρίνωμεν, ἀλλὰ τοῦτο κρίνετε μᾶλλον, τὸ μὴ τιθέναι τινὰ πρόσκομμα τῷ ἀδελφῷ αὐτοῦ ἢ σκάνδαλον. τοῦτο δὲ οὐκ ἐκείνου μᾶλλόν ἐστιν, ἢ τούτου. διὸ ἀμφοτέροις ἁρμόζειν δύναται, καὶ τῷ τελείῳ σκανδαλιζομένῳ τῇ τῶν βρωμάτων παρατηρήσει, καὶ τῷ ἀτελεῖ προσκόπτοντι ἐπὶ τῇ σφοδρᾷ ἐπιπλήξει. σὺ δέ μοι σκόπει, ἀγαπητὲ, πόσην δώσομεν τιμωρίαν οἱ σκανδαλίζοντες ἁπλῶς. Εἰ γὰρ ἔνθα μὴ παράνομον ἦν τὸ γινόμενον, διὰ τὸ ἀκαίρως ἐπιτιμᾶν, ἐκώλυσε τοῦτο γίνεσθαι, ὥστε μὴ σκανδαλισθῆναι καὶ προσκόψαι τὸν ἀδελφὸν, ὅταν μηδὲ διορθοῦντες σκανδαλίζωμεν τινὰ, τίνος ἐσμὲν ἄξιοι; Εἰ γὰρ τὸ μὴ σῶσαι, ἔγκλημα, καὶ δείκνυσιν ὁ τὸ τάλαντον κατορύξας, τὸ σκανδαλίσαι τί οὐκ ἐργάζεται; τί οὖν ἐὰν οἴκοθεν, φησὶ, σκανδαλίζηται ἀσθενὴς ὤν; δι' αὐτὸ μὲν οὖν τοῦτο ἂν εἴης δίκαιος ὑπομένειν. Εἰ γὰρ ἰσχυρὸς ἦν, οὐδὲ τοσαύτης ἐπιμελείας αὐτῷ ἔδει· νυνὶ δὲ ἐπειδὴ ἀτελέστερός ἐστι, διὰ τοῦτο πολλῆς χρῄζει τῆς σπουδῆς. παρέχωμεν τοίνυν αὐτῷ τοῦτο, καὶ πανταχόθεν αὐτὸν διαβαστάζωμεν. οὐδὲ γὰρ τῶν οἰκείων κακῶν ὑφέξομεν λόγον μόνον, ἀλλὰ καὶ ὑπὲρ ὧν ἑτέρους σκανδαλίζομεν. εἰ δὲ ἐκεῖναι καθ' ἑαυτὰς χαλεπαὶ αἱ εὐθῦναι, ὅταν καὶ τὰ σκάνδαλα προστεθῶσι, πότε σωθησόμεθα; μὴ γὰρ νομίσωμεν, εἰ κοινωνοὺς εὕρωμεν τῶν ἁμαρτημάτων, ὡς ἀπολογίαν ἕξομεν· τοῦτο ἡμῖν καὶ προσθήκη γενήσεται τιμωρίας· ἐπεὶ καὶ ὁ ὄφις μᾶλλον ἐκολάσθη τῆς γυναικὸς, ὥσπερ οὖν καὶ ἡ γυνὴ τοῦ ἀνδρός· καὶ Ἰεζάβελ χαλεπωτέραν ἔδωκε δίκην τοῦ Ἀχαὰβ ἁρπάσαντος τὸν ἀμπελῶνα. καὶ σὺ τοίνυν ὅταν αἴτιος ἑτέροις ἀπωλείας γένῃ, χαλεπώτερα πείσῃ τῶν ὑποσκελισθέντων παρὰ σοῦ. οὐδὲ γὰρ οὕτω τὸ ἁμαρτεῖν, ὡς τὸ καὶ ἑτέρους εἰς τοῦτο ἐνάγειν ἀπόλλυσι. διό φησιν, Οὐ μόνον αὐτοὶ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράττουσιν. ὥστε ὅταν ἴδωμεν τινὰς ἁμαρτάνοντας, μὴ μόνον μὴ ὠθῶμεν αὐτοὺς, ἀλλὰ καὶ ἀνέλκωμεν ἐκ τοῦ βορβόρου τῆς πονηρίας· ἵνα μὴ τῆς ἑτέρων ἀπωλείας αὐτοὶ τὴν δίκην ὑπόσχωμεν. ἀλλὰ γὰρ ἐπὶ τὴν προκειμένην ὑπόθεσιν ἐπανέλθωμεν. πάντες, φησὶ, παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, καὶ λόγον δώσομεν τῷ Θεῷ. τί οὖν ποιήσομεν οἱ ἐν ἁμαρτίαις προδιδόντες ἑαυτοὺς ἑκόντες; τίνα ἕξομεν τὴν παραψυχήν; τίνα παραμυθίαν; πῶς ἐξιλεωσόμεθα τὸν φοβερὸν δικαστήν; πόσης αἰσχύνης πληρωθῶμεν, ὁρῶντες πρὸ ὀφθαλμῶν τὰς ἀσεβείας ἡμῶν; ὅμως ἐὰν θελήσωμεν νῦν διεγερθῆναι πρὸς τὰ Θεῷ ἀρεστὰ, δυνησόμεθα καὶ πάντα ἡμαρτημένα ἀπονίψασθαι, καὶ τὰ φοβερὰ ἐκεῖνα κριτήρια διαφυγεῖν. τοῦτο δὲ ἔσται, ἐὰν μνημονεύσωμεν διηνεκῶς τῆς ἐντεῦθεν ἀποδημίας [τοῦ σώματος] ἡμῶν. Μιμνήσκου γάρ, φησι, τὰ ἔσχατά σου, καὶ εἰς τὸν αἰῶνα οὐχ ἁμαρτήσεις. ἔπειτα ἀναλογιζώμεθα τὸ φοβερὸν βῆμα τοῦ Χριστοῦ, ἐν ᾧ πάντα γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν διανοίᾳ· ἔπειτα τὸν ποταμὸν τοῦ πυρὸς, τοὺς δεσμοὺς τοὺς ἀλύτους, τὸ σκότος τὸ ἀφεγγὲς, τὸν βρυγμὸν τῶν ὀδόντων, τὸν σκώληκα τὸν ἰοβόλον, τὴν ἡμέραν ἐκείνην τὴν ὀδυνηρὰν μὲν τοῖς ἁμαρτωλοῖς, φαιδρὰν δὲ καὶ ἡδεῖαν τοῖς ἔργα δικαιοσύνης ἐπιτελέσασιν. ἀλλ' εἰσί τινες τῶν ἀνθρώπων τοσαύτης ἀνοίας πεπληρωμένοι, ὡς ψευδεῖς ἡγεῖσθαι τὰς θεοπνεύστους γραφὰς, καὶ τὸ δίκαιον τοῦ Θεοῦ ἀλληγορεῖν. ἀκήκοα γάρ τινων φιλαμαρτημόνων, καὶ ὑπὸ πολλῆς φιληδονίας κατεχομένων λεγόντων τοιαῦτα· ὅτι, φησὶν, ὁ Θεὸς πρὸς φόβον τῶν ἀνθρώπων ἠπείλησε ταῦτα. μὴ γένοιτο γὰρ, ὅτι ἐλεήμων ὢν κολάσει τινὰ, καὶ μάλιστα τῶν ἐπεγνωκότων αὐτόν. ἀκούσατε οὖν

γρ. χρημάτων

γρ. ἀσθενέστερός

γρ. ἐλάττω· εἰ [illegible] ἔγκλη-
μα [illegible] καὶ τ-
[illegible] ἡ-
μῶν [illegible]

γρ. βυθοῦ

γρ. ἀναψυχήν;

γρ. ἁμαρτίας

γρ. ἀλληγοροῦν-
τες.

Ρωμ. ιδ. ιγ.

Ρωμ. α. λϐ.

Ἐκκλη. ζ. μ.

οἱ ἀπολωλεκότες τὰς καρδίας ἄνθρωποι, οἱ τῇ ὑποβολῇ τοῦ μισοκάλου πειθόμενοι τοῦ χαίροντος ὑμῶν τῇ ἀπωλείᾳ. ἵνα γὰρ μὴ φοβηθέντες εἰς χρηστὸν βίον ἑαυτοὺς μεταβάλωμεν, καὶ φύγωμεν τῆς κολάσεως τὰ βασανιστήρια, διὰ τοῦτο εἰς ταύτην ἡμᾶς ἤγαγε τὴν ἀφοβίαν· ὅπως ἐνταῦθα ἀμελήσαντες, εἰς αὐτὸν τὸν τοῦ ᾅδου πυθμένα ἑαυτοὺς ἐμβάλωμεν. λέγετε οὖν μοι οἱ ψεύστην τὸν Θεὸν ἀποφαίνοντες, οἱ ῥήματα μόνον ψιλὰ τὰς ἁγίας γραφὰς λογιζόμενοι, καὶ οὐχὶ ἀλήθειαν, τί νομίζετε, ὦ δύστηνοι; οὐχ ὁ πλούσιος ἐκεῖνος κολάζεται, ὁ τὸν Λάζαρον ὑπεριδών; οὐχὶ αἱ μωραὶ παρθένοι τοῦ νυμφῶνος ἐκβάλλονται; οὐχὶ οἱ μὴ θρέψαντες Χριστὸν εἰς πῦρ ἀπέρχονται τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ; οὐχ ὁ τὰ ῥυπαρὰ ἱμάτια ἐνδεδυμένος, χεῖρας καὶ πόδας δεθεὶς ἐκβάλλεται εἰς τὸ πῦρ; οὐχὶ ὁ τὰ ἑκατὸν δηνάρια ἀπαιτήσας παραδίδοται τοῖς βασανισταῖς; οὐ τὸ περὶ τῶν μοιχῶν εἰρημένον ἀληθές ἐστιν, ὅτι ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται; ἢ ἀπειλαὶ μόνον ταῦτά εἰσι; ναί, φησί. καὶ πόθεν, εἴπατέ μοι ἄθλιοι, πρᾶγμα τοιοῦτον τολμᾶτε ἀποφήνασθαι, καὶ ταῦτα οἴκοθεν φέροντες τὴν ἄδικον ψῆφον; ἐγὼ δὲ καὶ ἀφ' ὧν εἴρηκεν ὁ Χριστός, καὶ ἀφ' ὧν πεποίηκε, τοὐναντίον ἀποδεῖξαι πειράσομαι. εἰ γὰρ περὶ τῶν μελλουσῶν κολάσεων οὐ πιστεύομεν, κἂν ἀπὸ τῶν ἤδη γεγενημένων πιστεύσωμεν· οὐ γὰρ δὴ τὰ γεγενημένα καὶ εἰς ἔργον ἐξελθόντα, ἀπειλαὶ καὶ ῥήματά εἰσι μόνον. τίς οὖν τὴν οἰκουμένην κατέκλυσεν ἅπασαν ἐπὶ τοῦ Νῶε, καὶ τὸ χαλεπὸν ἐκεῖνο ναυάγιον εἰργάσατο, καὶ τὴν τοῦ γένους ἡμῶν πανωλεθρίαν παντὸς ἐποίησε; τίς πάλιν μετὰ ταῦτα τοὺς κεραυνοὺς ἐκείνους καὶ τοὺς πρηστῆρας ἀφῆκεν ἐπὶ τὴν Σοδόμων γῆν; τίς τὴν Αἴγυπτον ἅπασαν κατεπόντισε; τίς τὰς ἑξακοσίας χιλιάδας ἐπὶ τῆς ἐρήμου κατέστρωσε; τίς τὴν συναγωγὴν Ἀβειρὼμ κατέφλεξε; τίς τοῖς περὶ Κορὲ καὶ Δαθὰν διανοῖξαι τῇ γῇ τὸ στόμα καὶ καταπιεῖν ἐκέλευσε; τίς τὰς ἑβδομήκοντα χιλιάδας ἐν μιᾷ καιροῦ ῥοπῇ κατήνεγκεν ἐπὶ τοῦ Δαβίδ; τίς τὰς ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας ἐν μιᾷ νυκτὶ ἐθανάτωσεν ἐπὶ τῆς προφητείας Ἡσαΐου; εἴπω καὶ τοὺς κατ' ἰδίαν κολασθέντας, τὸν διηνεκῆ παραδοθέντα τιμωρίᾳ Κάϊν, τὸν καταλιθολευθέντα μετὰ παντὸς τοῦ γένους Χαρμὶν, τὸν ὑπὲρ συλλογῆς ξύλων τὸ αὐτὸ παθόντα ἐν σαββάτῳ, τοὺς ἐπὶ Ἐλισσαίου τεσσαράκοντα καὶ δύο παῖδας, τοὺς ὑπὸ τῶν θηρίων δαπανηθέντας, καὶ μηδὲ ἀπὸ τῆς ἡλικίας τυχόντας συγγνώμης; εἰ δὲ καὶ μετὰ τὴν χάριν τοιαῦτα ἰδεῖν ἐθέλοις, ἐννόησον, ὅσα ἔπαθον οἱ Ἰουδαῖοι, πῶς τὰ ἴδια τέκνα κατέφαγον αἱ γυναῖκες αὐτῶν, αἱ μὲν ὀπτῶσαι, αἱ δὲ καὶ ἄλλως δαπανῶσαι; πῶς λιμῷ παρεδόθησαν ἀνηκέστῳ, πολέμοις ποικίλοις καὶ χαλεποῖς, ὡς πάσας τὰς ἔμπροσθεν τραγῳδίας ἀποκρύψαι τῇ τῶν οἰκείων ὑπερβολῇ συμφορῶν; ὅτι γὰρ ὁ Χριστὸς αὐτοῖς ταῦτα εἰργάσατο, ἄκουσον αὐτοῦ ταῦτα προλέγοντος, καὶ διὰ παραβολῶν, καὶ σαφῶς καὶ διαρρήδην· διὰ παραβολῶν μέν, ὡς ὅταν λέγῃ· Τοὺς δὲ μὴ θελήσαντάς με βασιλεῦσαι ἐπ' αὐτοὺς ἀγάγετε καὶ κατασφάξατε, καὶ διὰ τοῦ ἀμπελῶνος, καὶ διὰ τοῦ γάμου. σαφῶς δὲ καὶ διαρρήδην, ὡς ὅταν λέγῃ ἀπειλῶν, Οἱ πεσοῦνται ἐν στόματι μαχαίρας· ἔσται συνοχὴ ἐπὶ τῆς γῆς ἐθνῶν, ἐν ἀπορίᾳ ἠχούσης θαλάσσης καὶ σάλου, ἀποψυχόντων ἀνθρώπων ἀπὸ φόβου· καὶ ἔσται θλῖψις τοιαύτη, οἵα οὐ γέγονε πώποτε, οὐδὲ μὴ γένηται. καὶ ὁ Ἀνανίας καὶ ἡ Σαπφείρα ὑπὲρ κλοπῆς ὀλίγων ἀργυρίων ὅσην ἔδωκαν δίκην ἅπαντες ἴστε. τὰς δὲ καθημερινὰς συμφορὰς οὐχ ὁρᾶτε ὅσας ὑποφέρομεν ἁμαρτάνοντες; ἢ οὐδὲ ταῦτα γεγένηται; οὐχ ὁρᾶτε καὶ νῦν τοὺς λιμῷ τηκομένους, τοὺς ἐλέφαντι καὶ λώβῃ σώματος κατεχομένους, τοὺς πενίᾳ διηνεκεῖ συζῶντας, τοὺς μυρία ἀνήκεστα καὶ θλιβερὰ πάσχοντας; πῶς οὖν ἂν ἔχοι λόγον τοὺς μὲν κολάζεσθαι, τοὺς δὲ μὴ κολάζεσθαι; εἰ γὰρ οὐκ ἄδικος ὁ Θεός, ὥσπερ οὖν οὐδὲ ἄδικος, πάντως καὶ σὺ δίκην δώσεις, ἁμαρτάνων. εἰ δέ, ἐπειδὴ φιλάνθρωπός ἐστιν ὁ Θεός, οὐ κολάζει, οὐδὲ τούτους ἔδει κολασθῆναι. νυνὶ δὲ διὰ ταῦτα ὑμῶν τὰ ψυχρὰ ῥήματα

πολλοὺς

Λουκ. ιϛ. κε.
Ματθ. κε.
Ματθ. κβ. ια.
Ἡσ. ξϛ. κδ.
Λουκ. ιθ. κζ.
Λουκ. κα. κδ.
Ματθ. κδ. κα.

γρ. ὕδατι
γρ. ἐπικ.
γρ. Ἀχάρ
γρ. αἰχμαλωτισθήσονται.

πολλοὺς καὶ ἐνταῦθα κολάζει ὁ Θεὸς ἵν', ὅταν τοῖς ῥήμασι μὴ πιστεύσητε τῆς ἀπειλῆς, κἂν τοῖς πράγμασι πιστεύσητε τῆς τιμωρίας. καὶ ἐπειδὴ τὰ παλαιὰ οὐχ οὕτως ὑμᾶς φοβεῖ, ὡς τὰ ἐφ' ἑκάστης ἡμέρας συμβαίνοντα, κἂν τούτοις πιστεύσητε, οὓς κατὰ καιρὸν διορθοῦται ῥαθυμοῦντας. καὶ τίνος ἕνεκεν οὐ πάντας ἐνταῦθα κολάζει, φησίν; ἵνα δῷ τοῖς ἄλλοις προθεσμίαν μετανοίας. καὶ τίνος ἕνεκεν οὐ πάντας τιμωρεῖται ἐκεῖ; ἵνα μὴ πολλοὶ διαπιστήσωσιν αὐτοῦ τῇ προνοίᾳ. πόσοι λησταὶ οἱ μὲν ἑάλωσαν, οἱ δὲ ἀπῆλθον μὴ δόντες δίκην; ποῦ τοίνυν ἡ φιλανθρωπία τοῦ Θεοῦ καὶ ἡ δικαιοκρισία; ἐμὸν γάρ ἐστιν ἐρέσθαι σε. εἰ μὲν γὰρ μηδεὶς ὅλως ἐτιμωρεῖτο, εἶχον ἐπὶ τοῦτο καταφυγεῖν· ὅταν δὲ οἱ μὲν δῶσι δίκην, οἱ δὲ μὴ δῶσι, καίτοι χείρονα ἁμαρτάνοντες, πῶς ἂν ἔχοι τοῦτο λόγον, μὴ τῶν αὐτῶν πλημμελημάτων τὰς αὐτὰς εἶναι δίκας; πῶς δὲ οὐκ ἂν δόξαιεν ἀδικεῖσθαι οἱ κολασθέντες; τίνος οὖν ἕνεκεν, φησίν, οὐ πάντες ἐνταῦθα κολάζονται; ἄκουσον αὐτοῦ τοῦ Χριστοῦ περὶ τούτων σοι ἀπολογουμένου. ἐπειδὴ γὰρ ἀπέθανόν τινες πύργου κατενεχθέντος, ἔλεγε τοῖς ὑπὲρ τούτων διαποροῦσι· Δοκεῖτε, ὅτι οὗτοι μόνοι ἁμαρτωλοὶ παρὰ πάντας εἰσίν; οὐχί, λέγω ὑμῖν· ἀλλ', ἐὰν μὴ μετανοήσητε, καὶ ὑμεῖς πάντες ὡς αὐτοὶ ἀπολεῖσθε· παραινῶν ἡμῖν καὶ διδάσκων μὴ θαῤῥεῖν, ὅταν ἑτέρων δόντων δίκην ἡμεῖς πολλὰ πλημμελήσαντες μὴ δῶμεν. ἂν γὰρ μὴ μεταμεληθῶμεν, δώσομεν πάντως.

γ. ἢ ταῦτα

Λουκ. ιγ. γ.

Καὶ πῶς, φησίν, ἀθάνατα κολαζόμεθα, ἐνταῦθα βραχὺν χρόνον ἁμαρτάνοντες; ὥσπερ δὴ καὶ ἐνταῦθα ἄνθρωπος ἐν βραχείᾳ καιροῦ ῥοπῇ ἕνα φόνον ποιῶν, τῇ τῶν μετάλλων διηνεκεῖ καταδικάζεται ταλαιπωρίᾳ. ἀλλ' ὁ Θεὸς οὐχ οὕτω, φησί. πῶς οὖν τριάκοντα ὀκτὼ ἔτη ἐν τοιαύτῃ κολάσει τὸν παραλυτικὸν κατεῖχεν; ὅτι γὰρ διὰ ἁμαρτήματα αὐτὸν ἐκόλαζεν, ἄκουσον τί φησιν· Ἴδε ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν σοί τι γένηται. ἀλλ' ὅμως ἔλαβε λύσιν, φησίν. ἀλλ' οὐ τὰ ἐκεῖ τοιαῦτα. ὅτι γὰρ ἐκεῖνα οὐχ ἕξει λύσιν ποτέ, ἄκουσον αὐτοῦ λέγοντος, Ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται· καί, Πορεύσονται οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς κόλασιν αἰώνιον. εἰ τοίνυν ἡ ζωὴ αἰώνιός ἐστι, καὶ ἡ κόλασις αἰώνιος. οὐχ ὁρᾷς πόσα ἠπείλησεν Ἰουδαίοις; ἆρα οὖν ἐξέβη τὰ ἀπειληθέντα, ἢ λόγος ἦν ταῦτα εἰρημένα; Οὐ μὴ μείνῃ λίθος ἐπὶ λίθον· ἆρα δὲ ἔμεινε; τί δὲ ὅτι εἶπεν, Ἔσται θλίψις, οἵα οὐ γέγονε πώποτε· ἆρα οὖν οὐκ ἐγένετο; ἀνάγνωθι τὴν ἱστορίαν τοῦ Ἰωσήππου, καὶ οὐδὲ ἀναπνεῦσαι δυνήσῃ ἀκούων, ἅπερ ἔπαθον ἐπὶ τῶν πραγμάτων ἐκείνων. φησὶ γάρ, ὅτι πᾶσαν ἐνίκησε τραγῳδίαν ἐκεῖνα τὰ δεινά, καὶ ὅτι πόλεμος οὐδεὶς οὐδέποτε τοιοῦτος τὸ ἔθνος κατέλαβε. ταῦτα λέγω, οὐχ ἵνα ὑμᾶς λυπήσω· ἀλλ' ἵνα ὑμᾶς ἀσφαλίσωμαι, καὶ μὴ ψυχαγωγήσας ὑμᾶς περιττά, παρασκευάσω χαλεπώτερα ὑπομεῖναι. διὰ τί γάρ, εἰπέ μοι, οὐκ ἀξιοῖς κολάζεσθαι ἁμαρτάνων; οὐχὶ προεῖπέ σοι ἅπαντα; οὐχὶ ἠπείλησεν; οὐχὶ ἐφόβησε; οὐχὶ μυρία εἰργάσατο ὑπὲρ τῆς σωτηρίας τῆς σῆς; οὐχὶ λουτρὸν παλιγγενεσίας ἐδωρήσατο, καὶ τὰ πρότερα πάντα ἀφῆκεν; οὐχὶ μετὰ τὴν ἄφεσιν ταύτην καὶ τὸ λουτρόν, καὶ τὴν ἐκ τῆς μετανοίας βοήθειαν πάλιν ἁμαρτάνοντί σοι δέδωκεν; οὐχὶ εὔκολόν σοι ἐποίησε τὴν ὁδὸν καὶ μετὰ ταῦτα τῆς τῶν ἁμαρτημάτων ἀφέσεως; ἄκουε τοίνυν καὶ οἷα ἐπέταξεν· Ἐὰν ἀφῇς τῷ πλησίον, ἀφίημί σοι κἀγώ, φησί. ποίαν τοῦτο δυσκολίαν ἔχει; ἐὰν κρίνητε ὀρφανόν, καὶ δικαιώσητε χήραν, δεῦτε, καὶ διαλεχθῶμεν, φησί, καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ. ποῖον τοῦτο ἔχει μόχθον; Λέγε σύ, φησί, τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς· τίνα τοῦτο δυσκολίαν ἔχει; Τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι. ποῖος τοῦτο ἱδρώς; εἶπεν ὁ τελώνης, Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ κατῆλθε δεδικαιωμένος. ποῖος πόνος μιμήσασθαι τὸν τελώνην; ἀλλ' οὐ βούλει πεισθῆναι οὐδὲ μετὰ τὰς τοσαύτας ἀποδείξεις, ὅτι κόλασίς ἐστι καὶ τιμωρία; οὐκοῦν οὐδὲ τὸν διάβολον εἴποις ἂν κολάζεσθαι. Πορεύεσθε γάρ, φησίν, εἰς τὸ πῦρ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέ-

γ. ἐβοήθησεν;

γ. ἱδρῶτα

γ. κρίσις;

Ιωαν. ε. ιδ.

Μαρκ. θ. μδ.

Ματθ. κε. μϛ.

Ματθ. κδ. β. & κα.

Ησ. α. ιζ.

Ησ. μγ. κϛ.

Δαν. δ. κδ.

Λουκ. ιη. ιγ.

Ματθ. κε. μα.

λοις αὐτοῦ. Εἰ γὰρ γέεννα οὐκ ἔστιν, οὐδὲ ἐκεῖνος κολάζεται· ἢ δῆλον ὅτι, ἐκείνου κολαζομένου, καὶ ἡμεῖς οἱ τὰ τούτου ἔργα ἐπιτελοῦντες κολασθησόμεθα. καὶ γὰρ καὶ ἡμεῖς παρηκούσαμεν, εἰ καὶ μὴ ἐπὶ τοῖς αὐτοῖς. πῶς δὲ οὐ δέδοικας, ἄνθρωπε, τολμηρὰ φθεγγόμενος, ὅταν λέγῃς. φιλάνθρωπός ἐστιν ὁ Θεὸς, καὶ οὐ κολάζει· καὶ ἐὰν οὐ κολάσῃ, εὑρεθήσεται κατὰ σὲ οὐκ ἔτι φιλάνθρωπος ὤν; ὁρᾷς εἰς οἷα ῥήματα ὑμᾶς ὁ διάβολος ἄγει; τί δὲ οἱ τὰ ὄρη κατειληφότες μοναχοὶ, καὶ μυρίαν ἄσκησιν ἐπιδειξάμενοι ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς, ἆρα ἀστεφάνωτοι ἀπελεύσονται; εἰ γὰρ οἱ πονηροὶ μὴ κολάζονται, μηδὲ ἔστι μηδενὸς ἀντίδοσις, ἐρεῖ πάλιν ἄλλος ἴσως, ὅτι οὔτε οἱ ἀγαθοὶ στεφανοῦνται. οὐχί, φησιν· ἀλλὰ τοῦτο τῷ Θεῷ πρέπον ἐστὶ, τὸ βασιλείαν μόνον εἶναι παρ' αὐτῷ, καὶ μὴ γέενναν. οὐκοῦν ὁ πόρνος καὶ ὁ μοιχὸς καὶ ὁ μυρία κακὰ ἐργασάμενος, τῶν αὐτῶν ἀπολαύσεται τῷ σωφροσύνην καὶ ἁγιωσύνην καὶ ἐγκράτειαν καὶ πᾶσαν ἀγγελικὴν πολιτείαν ἐπιδειξαμένῳ; εἰ δὲ μὴ ἔστι γέεννα, ἀνάστασις δὲ πάντως ἔσται, καὶ οἱ πονηροὶ τῶν αὐτῶν ἀγαθῶν τεύξονται τοῖς δικαίοις. καὶ τίς ἂν τοῦτο εἴποι καὶ τῶν σφόδρα ἐξεστηκότων ἀνθρώπων; μᾶλλον δὲ τίς ἂν τοῦτο εἴποι δαίμων; ἀλλὰ καὶ αὐτοὶ οἱ δαίμονες γέενναν ὁμολογοῦσιν εἶναι· διὸ καὶ ἐβόων λέγοντες, Ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; πῶς οὖν οὐ δέδοικας καὶ φρίττεις, ἄνθρωπε, τῶν δαιμόνων ὁμολογούντων, αὐτὸς ἀρνούμενος; πῶς δὲ οὐ συνορᾷς τὸν διδάσκαλον τῶν πονηρῶν τούτων δογμάτων; ὁ γὰρ τὸν ἐξ ἀρχῆς ἀπατήσας ἄνθρωπον, καὶ προφάσει μειζόνων ἐλπίδων καὶ τῶν ἐν χερσὶν ἐκβαλὼν αὐτὸν ἀγαθῶν, οὗτός ἐστιν ὁ καὶ νῦν ταῦτα ὑποβάλλων λέγειν τε καὶ νοεῖν μὴ εἶναι γέενναν, ἵνα ἐμβάλῃ εἰς γέενναν. καὶ γὰρ ὁ Θεὸς ἀπεναντίας ἀπειλεῖ γέενναν, καὶ ἡτοίμασε γέενναν, ἵνα ἡμεῖς μαθόντες οὕτως εὐσεβῶς βιώσωμεν τοῦ μὴ ἐμπεσεῖν εἰς γέενναν. καίτοιγε εἰ γεέννης οὔσης ὁ διάβολός σε ταῦτα ἀναπείθει, πῶς ἂν μὴ οὔσης ὡμολόγησαν οἱ δαίμονες, οἷς περισπούδαστόν ἐστι μηδὲν τοιοῦτον ὑποπτεύειν ἡμᾶς· ἵνα τῇ ἀδείᾳ γινόμενοι ῥαθυμότεροι, μετ' αὐτῶν εἰς τὸ πῦρ ἐκεῖνο ἐμπέσωμεν; καὶ πῶς, φησι, τότε ὡμολόγουν οἱ δαίμονες; τὴν ἀνάγκην οὐ φέροντες τὴν ἐπικειμένην αὐτοῖς. ἅπερ οὖν ἐννοοῦντες ἅπαντα, παυέσθωσαν καὶ ἑαυτοὺς καὶ ἑτέρους ἀπατῶντες οἱ ταῦτα λέγοντες. Ὁ Θεὸς γὰρ, φησιν, ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται. πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα· πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται, καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ. καὶ τίνες εἰσὶν οἱ ἐχθροὶ τοῦ Θεοῦ, ἀλλ' ἢ οἱ πόρνοι, οἱ μοιχοὶ, οἱ ἀρσενοκοῖται, οἱ μαλακοὶ, οἱ εἰδωλολάτραι, οἱ πλεονέκται, οἱ μέθυσοι, οἱ λοίδοροι, οἱ δόλιοι, οἱ ὑβρισταὶ, οἱ ἐπίορκοι, οἱ γοητευταὶ, οἱ ὀργίλοι, οἱ μνησίκακοι, οἱ ὑπερήφανοι, οἱ ἀλαζόνες, οἱ τοῖς γονεῦσιν ἀπειθεῖς, οἱ ἀνελεήμονες; τούτοις πᾶσιν ἐν τῇ φοβερᾷ τῆς κοινῆς ἀναστάσεως ἡμέρᾳ παρακελεύεται ὁ κριτὴς λέγων, Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Εἰ δὲ περὶ τούτων τῶν εἰρημένων δώσομεν δίκην, πολλῷ μᾶλλον ὑπὲρ τῶν ῥημάτων τούτων δώσουσιν εὐθύνας ἐπὶ τοῦ βήματος ἐκείνου τοῦ φοβεροῦ οἱ τὰ φοβερὰ καὶ φρικώδη διασύροντες τοῦ Χριστοῦ ἐντάλματα, καὶ πολλῶν τὸν τόνον τῶν σπουδάζειν βουλομένων ἐκλύοντες, καὶ οὐδὲ τοὺς βαρβάρους Νινευΐτας μιμούμενοι. ἐκεῖνοι γὰρ καίτοι τούτων πάντων ὄντες ἄπειροι, ἀκούσαντες ὅτι ἡ πόλις καταστραφήσεται, οὐ μόνον οὐκ ἠπίστησαν, ἀλλὰ καὶ ἐστέναξαν, καὶ σάκκον περιεβάλοντο καὶ συνεχύθησαν· καὶ οὐ πρότερον ἀπέστησαν πάντα ποιοῦντες, ἕως ἂν ἔλυσαν τὴν ὀργὴν καὶ τὴν ἀγανάκτησιν τοῦ Θεοῦ. σὺ δὲ ὁ χριστιανὸς, ὁ τοσαύτην λαβὼν πεῖραν πραγμάτων καὶ ῥημάτων, ἐξουδενοῖς τὰ εἰρημένα ὑπὸ τοῦ Χριστοῦ; οὐκοῦν ἔσται σοὶ τὰ ἐναντία. ὥσπερ γὰρ οἱ Νινευΐται φοβηθέντες τὰ ῥήματα οὐχ ὑπέμειναν τὴν ἀπὸ τῶν πραγμάτων πεῖραν· οὕτω καὶ σὺ τῆς ἀπὸ τῶν ῥημάτων καταφρονῶν ἀπειλῆς, τὴν ἀπὸ τῶν πραγμάτων ὑποστήσῃ κόλασιν. οὐχ ὁρᾷς τί πεποίηκεν ἐνταῦθα ὁ Χριστὸς, πῶς δύο λαβὼν λῃστὰς, οὐ τῶν αὐτῶν αὐτοὺς ἠξίωσεν,

Ματθ. η. κθ.

Ψαλμ. μθ. γ.

Ματθ. κε. μα.

ἀλλὰ τὸν μὲν εἰς βασιλείαν εἰσήγαγε, τὸν δὲ εἰς γέενναν ἔπεμψε; καὶ τί λέγω λῃστὴν καὶ ἀνδροφόνους; οὐδὲ γὰρ τοῦ μαθητοῦ αὐτοῦ ἐφείσατο, ἐπειδὴ προδότης ἐγένετο, ἀλλὰ καὶ ἐπὶ βρόχον ὁρῶν ὁρμῶντα αὐτὸν καὶ ἀγχόμενον καὶ μέσον ῥηγνύμενον (καὶ γὰρ ἐλάκησε μέσος, καὶ τὰ σπλάγχνα αὐτοῦ ἐξεχύθη πάντα) ἀλλ᾽ ὅμως ἅπαντα ταῦτα παθεῖν αὐτὸν συνεχώρησεν, ἀπὸ τῶν παρόντων πείθων σε, καὶ περὶ τῶν ἐκεῖ πάντων.

Πραξ. α. ιη.

Μὴ τοίνυν φενακίζητε ἑαυτοὺς ἄνθρωποι τῷ διαβόλῳ πειθόμενοι. ἐκείνου γάρ εἰσι ταῦτα τὰ ῥήματα. εἰ γὰρ δικασταὶ καὶ δεσπόται καὶ διδάσκαλοι καὶ ‴ἥμεροι καὶ βάρβαροι τοὺς μὲν ἀγαθοὺς τιμῶσι, τοὺς δὲ πονηροὺς κολάζουσι, πῶς ἂν ἔχοι λόγον παρὰ τῷ Θεῷ τὰ ἐναντία γίνεσθαι, καὶ τῶν αὐτῶν ἀξιοῦσθαι τούς τε ἀγαθοὺς καὶ τοὺς πονηρούς; πότε δὲ καὶ ἀπαλλαγήσονται τῆς κακίας οἱ πονηροί; ὅταν γὰρ καὶ προσδοκῶντες νῦν κόλασιν, καὶ μεταξὺ τοσούτων φόβων ὄντες, τῶν ἀπὸ τῶν δικαστῶν καὶ τῶν νόμων, οὐκ ἀφίστανται τῆς πονηρίας· ὅταν ἀπελθόντες ἐκεῖ καὶ τὸν φόβον τοῦτον ἀποθῶνται, καὶ μὴ μόνον εἰς γέενναν οὐκ ἐμπέσωσιν, ἀλλὰ καὶ βασιλείας ἐπιτύχωσι, πότε πονηρευόμενοι στήσονται; τοῦτο οὖν φιλανθρωπίας, εἰπέ μοι, ὃ τὴν πονηρίαν ἐπιτείνειν; ὃ τῇ κακίᾳ ἆθλον τιθέναι; τὸ τῶν αὐτῶν ἀξιοῦν τὸν σώφρονα καὶ τὸν ἀκόλαστον, τὸν πιστὸν καὶ τὸν ἀσεβῆ, τὸν ἐλεήμονα καὶ τὸν ἀπάνθρωπον; εἰ μὲν γὰρ μηδὲν μέλει τῷ Θεῷ, μηδὲ ἁμαρτανόντων ἡμῶν, μήτε κατορθούντων, ἴσως ἔχει τινὰ λόγον τὸ λέγειν μὴ εἶναι κόλασιν. εἰ δὲ τοσαύτην σπουδὴν ποιεῖται ὁ Θεὸς, ὥστε μὴ ἁμαρτάνειν ἡμᾶς, καὶ τοσαῦτα πραγματεύεται, ὥστε κατορθοῦν ἡμᾶς τὰς ἐντολὰς, εὔδηλον ὅτι καὶ ἁμαρτάνοντας κολάζει, καὶ κατορθοῦντας στεφανοῖ. σὺ δέ μοι σκόπει τὴν πολλῶν τὴν ἀνωμαλίαν. ἐνταῦθα μὲν γὰρ ἐγκαλοῦσι τῷ Θεῷ, ὅτι μακροθυμεῖ πολλάκις, καὶ περιορᾷ πολλοὺς μιαρούς, ἀσελγεῖς, πλεονέκτας μὴ διδόντας δίκην ἐκεῖ· πάλιν ἐὰν ἀπειλήσῃ κολάζειν αὐτούς, σφοδροὶ καὶ βαρεῖς εἰσιν αἰτιώμενοι. καίτοιγε εἰ τοῦτο λυπεῖ, ἐκεῖνο ἀποδέχεσθαι ἐχρῆν καὶ θαυμάζειν· ἀλλ᾽ ὢ τῆς ἀνοίας, ὢ τῆς ἀλόγου καὶ ἀναιδοῦς γνώμης· ὢ φιλαμαρτήμονος καὶ φιληδόνου, καὶ πρὸς κακίαν ″ῥεπούσης ψυχῆς. καὶ γὰρ ἀπὸ πολλῆς φιληδονίας τὰ δόγματα ἅπαντα ταῦτα τίκτεται. ὡς εἴγε βουληθεῖεν οἱ τὰ τοιαῦτα λέγοντες ἀρετῆς ἐπιλαβέσθαι, ταχέως καὶ περὶ τῆς γεέννης πεισθήσονται, καὶ οὐκ ἀμφιβαλοῦσι. καὶ ποῦ, φησι, καὶ ἐν ποίῳ χωρίῳ αὕτη ‴ἔσται ἡ γέεννα; τί γάρ σοι περὶ τούτου μέλει; τὸ ζητούμενόν ἐστι δεῖξαι, ὅτι ἔστιν· οὐχ ὅπου δὲ ″ταμιεύεται, καὶ ἐν ποίῳ χωρίῳ, μὴ ζήτει. τινὲς μὲν γὰρ μυθολογοῦντές φασιν, ὅτι ἐν τῇ κοιλάδι τοῦ Ἰωσαφὰτ ἐστὶν ἡ γέεννα, ὃ περὶ πολέμου τινὸς εἴρηται παρελθόντος. καὶ γὰρ ἐν τῇ κοιλάδι Ἰωσαφὰτ κρίσει δικαίᾳ τιμωρῶν τοὺς ἐναντίους ἄρδην ἀπώλεσεν, ὧν ἐπὶ ἑπταετῆ χρόνον ἤρκεσεν εἰς καῦσιν τὰ ὅπλα τοῖς τὴν Ἱερουσαλὴμ κατοικοῦσι· καὶ νῦν τοῦτο εἰς τὴν γέενναν ἕλκουσιν. ἡ δὲ γραφὴ οὐ τοῦτό φησιν. ἀλλ᾽ ἐν ποίῳ τόπῳ, φησὶν, ἔσται; ἔξω που, ὡς ἔγωγε οἶμαι, τοῦ κόσμου παντὸς τούτου. καθάπερ γὰρ τῶν βασιλείων τὰ δεσμωτήρια, καὶ τὰ μέταλλα πόρρω διέστηκεν, οὕτω καὶ τῆς οἰκουμένης ταύτης ἔξω που ἐστὶν ἡ γέεννα. μὴ ζητῶμεν τοίνυν ποῦ ἐστιν, ἀλλὰ πῶς αὐτὴν φύγωμεν· μηδὲ, ἐπειδὴ πάντας ἐνταῦθα οὐ κολάζει ὁ Θεὸς, διὰ τοῦτο ″ἀπιστῶμεν τοῖς μέλλουσι. φιλάνθρωπος γάρ ἐστι, καὶ μακροθυμεῖ· καὶ διὰ τοῦτο τέως ἀπειλεῖ, καὶ οὐκ εὐθέως ″κολάζει. Οὐ γὰρ θέλω, φησὶ, τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. εἰ δὲ μὴ ἔστι θάνατος ἁμαρτωλοῦ, περιττὸν τὸ εἰρημένον. καὶ οἶδα μὲν ὅτι οὐδὲν ἀηδέστερον τούτων ὑμῖν τῶν λόγων· ἀλλ᾽ ἐμοὶ τούτων οὐδέν ἐστιν ἡδύτερον. εἴθε γὰρ ἦν ἀεὶ καὶ διαπαντὸς περὶ γεέννης διαλέγεσθαι ἡμᾶς, καὶ ἀριστοποιουμένους, καὶ δειπνοῦντας, καὶ λουομένους· οὐδὲ γὰρ ἂν ἠλγήσαμεν τοῖς ἐνταῦθα δεινοῖς, οὐκ ἂν ἥσθημεν τοῖς χρηστοῖς. τί γάρ μοι καὶ εἰπεῖν ἔχεις δεινόν; πενίαν, νόσον, αἰχμαλωσίαν, πήρωσιν σώματος; ἀλλὰ πάντα ταῦτα γέλως εἰσὶ πρὸς τὴν ἐκεῖ κόλασιν. κἂν τοὺς δι᾽ ὅλου βασανιζομένους λιμῷ λέγῃς, κἂν τοὺς ἐκ πρώτης ἡλικίας πεπηρωμένους καὶ προσαιτοῦντας, τρυφὴ ταῦτά εἰσι πρὸς ἐκεῖνα τὰ κακά.

γρ. ἡμέτεροι

γρ. βλεπούσης

γρ. ἐστιν

γρ. τεταμίευται

Ιεζεκ. λθ. θ.

γρ. ἀπιστεῖτε

γρ. ἐμβάλλει.

Ιεζεκ. ιη. κγ.

καί. Συνεχῶς τοίνυν, ἀγαπητοί, στρέφωμεν τοὺς περὶ τούτων λόγους, καὶ ἐν διανοίᾳ, καὶ ἐπὶ
γλώττης. οὐ γὰρ ἀφίησιν ἐμπεσεῖν εἰς γέενναν τὸ μεμνῆσθαι γεέννης. οὐκ ἀκούεις Παύλου
ϐ Θεσ. α. θ. λέγοντος, Οἵτινες δίκην τίσουσιν αἰώνιον ἀπὸ προσώπου Κυρίου; οὐκ ἀκούεις οἷος ὁ Νέρων ἐ-
ϐ. Θεσ ϐ. ζ. γένετο, ὃν καὶ μυστήριον τοῦ Ἀντιχρίστου καλεῖ ὁ Παῦλος; Τὸ γὰρ μυστήριον, φησιν, ἤδη ἐνεργεῖ-
ται τῆς ἀνομίας. τί οὖν; οὐδὲν πείσεται ὁ Νέρων ὁ Πέτρον καὶ Παῦλον τιμωρήσας; οὐδὲν
πείσεται ὁ Ἀντίχριστος, οὐδὲν ὁ διάβολος; οὐκοῦν ὁ Ἀντίχριστος καὶ ὁ διάβολος οὐκ ἀποστή-
σονταί ποτε τῆς κακίας, μὴ κολαζόμενοι; ναί, φησιν· ἀλλ᾽ ὅτι μὲν ἔστι κόλασις καὶ γέεννα, παν-
τί που δῆλον· οἱ δὲ ἄπιστοι ἐμπεσοῦνται μόνοι. τίνος ἕνεκεν, εἰπέ μοι; ὅτι, φησίν, οἱ πιστοὶ τὸν
δεσπότην ἐπέγνωσαν τὸν ἑαυτῶν. καὶ τί τοῦτο; ὅταν γὰρ ὁ βίος ἀκάθαρτος ᾖ, μείζονα
Ρωμ ϐ. ιϐ. καὶ διὰ τοῦτο δώσουσι δίκην τῶν ἀπίστων. Ὅσοι γάρ, φησιν, ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπο- γ. ἀχρ
Λουκ ιϐ μζ. λοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται· καί, Ὁ οἰκέτης ὁ εἰδὼς τὸ θέλημα τοῦ
κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας, δαρήσεται πολλά. εἰ δὲ οὐκ ἔστι βίου δοῦναι δίκην, ἀλλ᾽ ἁ-
πλῶς καὶ εἰκῆ ταῦτα εἴρηται, οὐδὲ ὁ διάβολος τιμωρηθήσεται. καὶ γὰρ τὸν Θεὸν οἶδε, καὶ
ἀνθρώπων μᾶλλον πολλῷ· καὶ οἱ δαίμονες δὲ πάντες καὶ ἴσασιν αὐτόν, καὶ φρίττουσι, καὶ κριτὴν
αὐτὸν ὁμολογοῦσιν. εἰ τοίνυν βίου οὐκ ἔστι δοῦναι λόγον, οὐδὲ πονηρῶν πράξεων, διαφεύ-
ξονται καὶ οὗτοι. οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· μὴ ἑαυτοὺς ἀπατᾶτε, ἀγαπητοί. εἰ γὰρ μὴ ἔστι
Ματθ. ιθ. κη. γέεννα, πῶς κρινοῦσι τὰς δώδεκα φυλὰς τοῦ Ἰσραὴλ οἱ ἀπόστολοι; πῶς φησιν ὁ Παῦλος,
α. Κορ ϛ. γ. Οὐκ οἴδατε, ὅτι ἀγγέλους κρινοῦμεν, μήτοιγε βιωτικά; πῶς δὲ πάλιν ὁ Χριστὸς ἔλεγεν· Ἄν-
Ματθ ιϐ μα. καὶ ι. ιε. δρες Νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει, καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην· καί, Ἀνεκτότε-
ρον ἔσται τῇ γῇ Σοδόμων καὶ Γομόρρας ἐν ἡμέρᾳ κρίσεως; τί τοίνυν παίζεις ἐν οὐ παικτοῖς
πράγμασι; τί ἀπατᾷς σεαυτόν, καὶ παραλογίζῃ τὴν ψυχήν σου, ἄνθρωπε; τί δὲ καὶ τῇ
τοῦ Θεοῦ φιλανθρωπίᾳ" ἀντιμάχῃ; διὰ γὰρ τοῦτο καὶ ἡτοίμασε τὴν γέενναν, καὶ ἠπείλη-
σεν, ἵνα μὴ ἐμπέσωμεν ἐν αὐτῇ, τῷ φόβῳ βελτίους γινόμενοι. ὥστε ὁ τὸν περὶ τούτων ἀναι- γ. μάχῃ;
ρῶν λόγον, οὐδὲν ἕτερον*, ἢ εἰς αὐτὴν τὴν γέενναν ἑαυτὸν ὠθεῖ, καὶ ἐμβάλλει διὰ τῆς ἀ- * λανθάν ποιῶν
πάτης ταύτης. μὴ τοίνυν ἐκλύσῃς τὰς χεῖρας τῶν ὑπὲρ ἀρετῆς πονούντων, μηδὲ ἐπι-
τείνῃς τὴν ῥαθυμίαν τῶν καθευδόντων. εἰ γὰρ πεισθεῖεν οἱ πολλοί, ὅτι γέεννα οὐκ ἔστι, πότε
ἀποστήσονται τῆς κακίας; ποῦ δὲ τὸ δίκαιον φανεῖται; οὐ λέγω ἐπὶ ἁμαρτωλῶν καὶ δικαίων,
ἀλλὰ καὶ ἐπὶ ἁμαρτωλῶν καὶ ἁμαρτωλῶν. διὰ τί ὁ μὲν ἐκολάσθη ἐνταῦθα, ὁ δὲ οὐκ ἐκολά-
σθη τὰ αὐτὰ ἁμαρτάνων, ἢ καὶ χαλεπώτερα πολλῷ; εἰ γὰρ οὐκ ἔστι γέεννα, οὐδεὶς ὑπὲρ τούτων
ἀπολογήσασθαι δυνήσεται τοῖς ἐγκαλοῦσι. διὸ παρακαλῶ πάντας ὑμᾶς παυσαμένους
τοῦ γέλωτος τούτου τοῦ Σατανικοῦ, ἐπιστομίζειν τοὺς ὑπὲρ τούτων ὑμῖν ἀντιλέγοντας. καὶ
γὰρ καὶ τῶν σμικροτάτων καὶ ἐν τοῖς ἁμαρτήμασι, καὶ ἐν τοῖς κατορθώμασιν ἀκριβὴς ἔσται ἡ ἐξέ-
τασις. καὶ γὰρ καὶ ὀφθαλμῶν ἀκολάστων δώσομεν δίκην, καὶ ῥήματος ἀργοῦ, καὶ γέλωτος ἀτάκτου,
καὶ λοιδορίας ἁπλῶς, καὶ ἐνθυμήσεως κακῆς, καὶ μέθης εὐθύνας ὑφέξομεν· ὡς πάλιν ἐν τοῖς
Ιεζεκ. θ. δ. ἀγαθοῖς καὶ ποτηρίου ψυχροῦ ληψόμεθα μισθόν, καὶ λόγου ἀγαθοῦ, καὶ στεναγμοῦ· Δὸς γάρ,
φησι, τὸ σημεῖον ἐπὶ πρόσωπον τῶν στεναζόντων καὶ κατοδυνωμένων. πῶς οὖν τολμᾷς εἰ-
πεῖν, ὅτι μετὰ τοσαύτης ἀκριβείας ἐξετάζων τὰ ἡμέτερα ὁ Θεός, ἁπλῶς καὶ εἰκῆ τὴν γέεν-
ναν ἠπείλησε; μή, παρακαλῶ, μή, δέομαι ὑμῶν, μὴ ταῖς κεναῖς ταύταις ἐλπίσιν ἑαυτοὺς
ἀπολέσητε καὶ τοὺς πειθομένους ὑμῖν. εἰ γὰρ τοῖς ἡμετέροις λόγοις ἀπιστεῖτε, ἐξετάσατε
Ἰουδαίους, Ἕλληνας, αἱρετικοὺς ἅπαντας, καὶ πάντες, ὡς ἐξ ἑνὸς στόματος, ἀποκριθήσονται, ὅτι
κρίσις ἔσται καὶ ἀνταπόδοσις. ἀλλ᾽ οὐκ ἀρκοῦσιν οἱ ἄνθρωποι; ἐρώτησον καὶ τοὺς δαίμονας
Ματθ. η κθ. αὐτούς, καὶ ἀκούσῃ λεγόντων αὐτῶν· Τί ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; καὶ ἅ-
παντα ταῦτα συναγαγόντες πείσατε ἑαυτοὺς μὴ μάτην" ληρεῖν, ἵνα μὴ διὰ τῆς γ. λαλεῖν,
πείρας μάθητε τὴν γέενναν· ἀλλ᾽" ἐντεῦθεν σωφρονισθέντες, καὶ τὰς βασάνους ἐκείνας γ. ἐνταῦθ

δυνήσεσθε

δυνήσησθε ἐκφυγεῖν, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Λογ. ρκα.

ΕΙΣ ΤΟ ΡΗΤΟΝ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ, ΟΥΧ Ο θέλω, τοῦτο ποιῶ, ἀλλ' ὃ μισῶ, τοῦτο πράττω· καὶ πῶς ἐλέγετο ὁ Ἰακὼβ τύπος Χριστοῦ. ἐν δὲ τῷ προοιμίῳ τοῦ λόγου, κατὰ τῶν θεωρούντων τὰ θέατρα.

Ρωμ. ζ. ιθ.

Ἐπαινῶ μὲν ὑμῶν τὸν πόθον, καὶ θαυμάζω τὸν ζῆλον, καὶ τὴν κοινὴν ταύτην ἅμιλλαν ἀποδέχομαι. οὐ γάρ ἐστι ταραχὴ θόρυβον γεννῶσα, ἀλλὰ θλῖψις δικαιοσύνης στέφανον πλέκουσα. μακαρίζω τὴν κοινὴν ὑμῶν προθυμίαν, δι' ἣν πνίγματα πόνον ὑφίστασθε τῆς θείας ἀκροπόλεως ἐξηρτημένοι. ἀλλ' ὥσπερ τοῦτον θαυμάζω τὸν ζῆλον, οὕτως ἀποστρέφομαι τὸν περὶ τὰ μάταια πόνον. χθὲς γὰρ ἡμῖν οὗτος ὁ ἱερὸς σύλλογος ἐσυλᾶτο, καὶ ἀντὶ τοῦ θείου τούτου καὶ μακαρίου σταδίου ἱππόδρομος τὸν λαὸν ἐδέξατο· καὶ ἐθαύμασα πῶς ἵππων ἅμιλλαν ἐζητήσατε, θείου λόγου ἅμιλλαν καταλιπόντες. ἐκεῖ μὲν γὰρ ἦν ἰδεῖν ἵππων δρόμον, ἐνταῦθα δὲ ἅρμα Θεοῦ μυριοπλάσιον, ἐν ᾧ χιλιάδες εὐθηνούντων· ἐκεῖ ἦν ἰδεῖν ἀγῶνα καὶ δρόμον καὶ ἔριν, ἐνταῦθα πόθον καὶ ζῆλον καὶ προθυμίαν. ἓν ἅρμα μυρία ἅρματα καταβάλλει. ἓν γὰρ τοῦ Θεοῦ τὸ ἅρμα, πολλὰ δὲ τῶν πονηρῶν τὰ ἅρματα. ἀλλὰ τὸ μὲν κατευθύνει τὸν δρόμον τῆς εὐσεβείας, τὰ δὲ ὑπὸ τοῦ θείου ἅρματος ἀνατρέπονται. Οὗτοι γάρ, φησιν, ἐν ἅρμασι, καὶ οὗτοι ἐν ἵπποις· ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα· αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσον, ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν. Τὸ ἅρμα τοῦτο οὐχ ἵππους καταβάλλει, οὐδὲ ἀνθρώπους καταστρέφει, ἀλλὰ δαίμονας διαλύει, καὶ τοῦ διαβόλου τὴν τυραννίδα εἰς ἔδαφος στρώννυσιν. ἔχει ὁ Θεὸς ἅρμα οὐκ ἀπὸ τεσσάρων ἵππων, ἀλλ' ἀπὸ μυρίων ψυχῶν συγκεκροτημένον. Τὸ ἅρμα γὰρ τοῦ Θεοῦ, φησι, μυριοπλάσιον, ἐν ᾧ χιλιάδες εὐθηνούντων. ἵπποι τοῦ Θεοῦ αἱ ἅγιαι ψυχαί, ἵπποι τοῦ Θεοῦ αἱ ψυχαὶ τῶν ἀποστόλων, αἱ διὰ πάσης τῆς γῆς ὁδεύσασαι, καὶ τὴν σωτηρίαν τῷ κόσμῳ φέρουσαι. ἡ γὰρ τῶν ἀποστόλων ἱππασία σωτηρία τῆς οἰκουμένης. διὸ τοῦτο προανεφώνει ὁ προφήτης λέγων· Ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου σωτηρία. καὶ αὐτοὶ γὰρ οὗτοι ἵπποι καὶ τοῖς πιστοῖς ἤνεγκαν σωτηρίαν, καὶ τοὺς ἐχθροὺς τῆς εὐσεβείας ἐθόλωσαν. ἐπεβίβασας γὰρ εἰς θάλασσαν τοὺς ἵππους σου, φησι, ταράσσοντας ὕδατα πολλά. ἐτάραξε τὸ κήρυγμα τῶν ἀποστόλων, τῶν ἐθνῶν τὰ συγκροτήματα· πολλοὶ βασιλεῖς ἐταράχθησαν, πολλοὶ τύραννοι ἐθολώθησαν, μὴ φέροντες τὸν δρόμον τῆς ἀποστολικῆς χάριτος. διὰ τοῦτο καὶ ταραττόμενοι ἐπὶ τῷ δρόμῳ τῶν ἀποστόλων ἔλεγον· καὶ τὴν οἰκουμένην ἀναστατώσαντες, οὗτοι καὶ ἐνταῦθα πάρεισι. βλέπε Θεοῦ ἅρμα, βλέπε ἵππους χαλινὸν εὐσεβείας δεχομένους· μὴ ἀντίπιπτε τῷ λόγῳ τῆς ἀληθείας, μηδὲ μιμοῦ τῶν ἀλόγων τὰ σκιρτήματα, ἀπολακτίζων τὸν θεῖον νόμον· ἵνα μὴ καὶ πρὸς σὲ ὁ θεῖος εἴπῃ λόγος, Τί με διώκεις; σκληρόν σοι πρὸς κέντρα λακτίζειν. δεξώμεθα χαλινὸν εὐσεβείας, καὶ μεταγάγωμεν τὴν ὄψιν εἰς σώφρονα θέαν· ἴδωμεν τοὺς ἡνιόχους τῆς εὐσεβείας, προφήτας καὶ ἀποστόλους. προφῆται ἡνίοχοι τῆς ἀληθείας, καὶ κυβερνῶντες τὸν δρόμον τῆς εὐταξίας. τοιοῦτος ἦν Ἠλίας, πρὸς ὃν ἐβόα Ἐλισσαῖος· Πάτερ, πάτερ, ἡνίοχε Ἰσραήλ, καὶ ἱππεὺς αὐτοῦ. προτιμᾶσθαι δὲ δεῖ πάντων τὴν εὐσέβειαν. μὴ ὅταν μὲν ἀκούῃς τοῦ θείου λόγου, ἐξήρτησο τῆς διδασκαλίας· ὅταν δὲ ἔξω γένῃ τοῦ λόγου, μετὰ τῶν ἀλόγων φαίνου. συνδιατίθεσο τῇ ψυχῇ, καὶ τῷ ὄμματι ἀγάπα τοῦ Θεοῦ λόγον. μὴ μέριζέ

Ex Ms. Bavar

Ψαλμ. ξζ. ιη.

Ψαλμ. ιθ. η. θ.

Ψαλμ. ξζ. ιη.

Ἀμβ. γ. ιε. ζ.

Πραξ. θ. ε.

δ. Βασ. β. ιβ.

σου τὴν ὄψιν πρὸς ἀσχήμονα θέαν, καὶ πρὸς ἔνθεον ζῆλον· ἔθισόν σου τὸν ὀφθαλμὸν μηδὲν ἕτερον
Ψαλμ. ρκβ΄ α. βλέπειν, εἰ μὴ τὰ οὐράνια κάλλη, ὥστε λέγειν, Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν
κατοικοῦντα ἐν τῷ οὐρανῷ. ἔθισόν σου τὴν ἀκοὴν μὴ πρὸς κραυγὰς, μηδὲ πρὸς θορύβους,
Ψαλ. μη. δ. ἀλλὰ πρὸς τὸν θεῖον νόμον, λέγων· Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, καὶ ἀκούσω τί λαλήσει
ἐν ἐμοὶ Κύριος ὁ Θεός. οὐ δεῖ τὰ εἰς κολακείαν φέροντα λέγειν, ἀλλὰ τὰ παιδεύοντα διδάσκειν.
κολακείας γὰρ κέρδος οὐδὲν, παιδείας δὲ πολὺ τὸ ὄφελος. μὴ αἰχμαλωτίζου
τῷ νοήματι πρὸς τὰς ἀτόπους θέας, μηδὲ ἐκδίδου τὸν λογισμὸν τοῖς ἔξωθεν ᾄσμασιν. ἱκανὸς
γὰρ εἶ κρατεῖν λογισμοῦ, κἂν ἀπὸ τῆς συνηθείας ἴδῃς ἀπαγόμενόν σου τὸν νοῦν. οὐκ εἶ
δοῦλος, ἀλλ' ἐλεύθερος, οὐκ ἄκων αἰχμαλωτίζῃ, ἀλλ' ἑκὼν ἑαυτὸν πιπράσκεις τῇ ἁμαρτίᾳ.
μὴ ἐπιλαμβάνου τῆς ἀποστολικῆς φωνῆς· μὴ, ὅταν ἔλεγχος εἰσέλθῃ τῆς ἀληθείας
ἐλέγχων τὰ κρυπτὰ τῆς καρδίας, εἴπῃς, μὴ γὰρ ἐγὼ Παύλου εἰμὶ ἀνώτερος τοῦ λέγοντος,
Ρωμ. ζ. ιθ. Οὐχ ὃ θέλω, τοῦτο ποιῶ, ἀλλ' ὃ μισῶ, τοῦτο πράσσω; μὴ τῇ συνηθείᾳ δουλεύων συκοφάντει
τὰ θεῖα ῥήματα, μὴ σαυτοῦ τὴν ἐπιθυμίαν πληρῶν τὴν ἀποστολικὴν διάβαλλε δόξαν.
πολλοὶ γὰρ πολλάκις προφασίζονται προφάσεις ἐν ἁμαρτίαις, καὶ τὸν ἀποστολικὸν ἡμῖν
προτείνουσι λόγον τὸν ἀρτίως ἡμῖν ὑπαναγνωσθέντα. εἶπε, φησι, Παῦλος τὸ σκεῦος τῆς ἐκλογῆς,
ὁ πνεύματι ἁγίῳ διαπαντὸς κυβερνώμενος, οὐχ ὃ θέλω, τοῦτο ποιῶ, ἀλλ' ὃ μισῶ, τοῦτο
πράσσω. Συνήδομαι τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον· βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς
μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας.
φιλεῖ πᾶς φιλαμαρτήμων εὑρεῖν πρόσωπον ἀξιόπιστον συναγωνιζόμενον αὐτοῦ τῇ ἁμαρτίᾳ,
καὶ ἡδέως κατατρέχουσι τῶν ἀποστόλων, οὐχ ἵνα ἐκείνους ὑβρίσωσιν, ἀλλ' ἵνα ἑαυτοῖς ἀπολογίαν
Ρωμ. ζ. ιη. πορίσωνται. Εἶπε, φησιν, ὁ Παῦλος, Οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ, τουτέστιν, ἐν τῇ σαρκί
μου ἀγαθόν. Εἰ τοίνυν ἐν Παύλῳ οὐκ οἰκεῖ ἀγαθὸν, πῶς, φησιν, ἐν ἐμοὶ ἐνδέχεται ἀγαθοῦ
κατοίκησιν εἶναι, καὶ ἀγαθοῦ μετέχειν ἐμὲ, καὶ ἀγαθοῦ ῥίζαν εἶναι ἐν ἐμοί; Εἰ τὸν τοσοῦτον
ἄνδρα εὑρίσκομεν αἰχμαλωτιζόμενον τῇ ἁμαρτίᾳ, καθὼς αὐτὸς διεσάφησε, τί πρὸς ἐμὲ,
τὸν οἰκτρὸν καὶ τῇ ἁμαρτίᾳ δεδουλωμένον; ἵνα τοίνυν μὴ δύο γένηται φαῦλα, καὶ ὁ ἀποστολικὸς
συκοφαντῆται λόγος, καὶ ἡμεῖς ἑαυτοῖς ἄδειαν ἁμαρτημάτων πορίζωμεθα, ἀναγκαῖόν ἐστι
πᾶσαν τὴν ἀποστολικὴν ἀναπτύξαι διάνοιαν. πάντων τοίνυν τῶν ἀμφιβαλλομένων ἐν ταῖς
γραφαῖς λύσις, ἡ ὑπόθεσις. ὅταν γάρ τις γνῷ τὸν σκοπὸν τοῦ λέγοντος, καὶ πρὸς τίνας
ὁ λόγος, καὶ περὶ τίνων, εὐκρινῆ καὶ ἀσύγχυτον ἀποδίδωσι τῶν λόγων τὴν θεωρίαν.

Ὁ ἀπόστολος, ἵνα σαφεῖ καὶ συντόμῳ χρήσωμαι λόγῳ, ἀναζωγραφεῖ εἰκόνα παντὸς
τοῦ ἀνθρώπου, τοῦ τε πλασθέντος ἀπ' ἀρχῆς, καὶ τοῦ παιδαγωγηθέντος ἐν νόμῳ, καὶ
τοῦ ἐλευθερωθέντος ἐν χάριτι· καὶ ἀναζωγραφεῖ, ὡς ἐν εἰκόνι, τῷ λόγῳ. τί ἦν ὁ
Ἀδὰμ πρὸ τῆς ἐντολῆς; καὶ τίς ἐγένετο μετὰ τὴν ἐντολήν; ποίαν ἔσχε κατάστασιν ἐν
νόμῳ, καὶ ποίαν ἔλαβε προσηγορίαν ἐν τῇ χάριτι; καὶ ὥσπερ ἐὰν σήμερον λέγω, ὁ Θεὸς ἐποίησεν
ἡμᾶς κατ' εἰκόνα καὶ ὁμοίωσιν αὐτοῦ, ἐπειδὴ δὲ παρέβημεν τὴν ἐντολὴν, ἐξεβλήθημεν
τοῦ παραδείσου, οὐκ εἰς ἑαυτὸν ἀναλαμβάνω τὸν λόγον, ἀλλὰ τὴν ἀρχαίαν ἱστορίαν εἰς
ἑαυτὸν ἀναφέρω (οὔτε γὰρ παράδεισον εἶδον, οὔτε παραδείσου ἀπεβλήθην, ἀλλὰ τοῦ παθόντος
τὸ πάθος, καὶ τῶν ἀρχεγόνων τὰς συμφορὰς ἀναζωγραφῶ, καὶ λέγω, ἐπλάσθην, παρέβην, ἐξεβλήθην, Ἱσ. τῆς ἀρχαίας ἁμαρτ.
ἐπαιδαγωγήθην, ἀνεκλήθην) οὕτω καὶ ὁ Παῦλος διηγεῖται περὶ τοῦ Ἀδὰμ, τίς
ἦν πρὸ τῆς ἐντολῆς τοῦ νόμου (νόμου δὲ λέγω τοῦ ἐν παραδείσῳ δοθέντος) καὶ φησιν ἐκ προσώπου
Ρωμ. ζ. θ. τοῦ Ἀδάμ· Ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ. ἆρα Παῦλος πρεσβύτερος ἦν τοῦ νόμου;
ὁ Παῦλος μετὰ πάντας τοὺς τραφέντας ἐν τῷ νόμῳ ἐτέχθη, μετὰ τὴν τοῦ Χριστοῦ ἐπιφάνειαν.
εἰ τοίνυν μετὰ τὸν νόμον ἐστὶ, πῶς πρεσβύτερον ἑαυτὸν τοῦ νόμου τίθησι; δείκνυσι γὰρ ἐξ
ὧν λέγει, ὅτι πρεσβύτερος ἦν τοῦ νόμου· ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ· ἐλθούσης δὲ τῆς ἐντολῆς, ἡ
ἁμαρτία

ἁμαρτία ἀνέζησεν. ἆρα μετὰ Παῦλον ἦλθεν ἡ ἐντολή; καὶ ἵνα μή τις νομίσῃ ὅτι νόμος μὲν ἦν πρὸ τοῦ Παύλου, αὐτὸς δὲ ἔζη χωρὶς νόμου ποτὲ, ἐθνικὸν βίον ἐπανῃρημένος, μετὰ δὲ ταῦτα ἀπὸ τοῦ νόμου ἐπαιδαγωγήθη, ἐλέγχει ἡ ἱστορία τὴν ἀλήθειαν. Παῦλος γὰρ οὐκ ἔστιν ὅτε ἄνευ νόμου ἔζησε. πῶς γὰρ ὁ λέγων, Ἑβραῖος ἐξ Ἑβραίων, περιτομὴ ὀκταήμερος, ἐκ γένους Ἰσραηλιτικοῦ; πότε οὖν ἔζησε χωρὶς νόμου; ἐγὼ δὲ ἔζων χωρὶς νόμου· ἐλθούσης δὲ τῆς ἐντολῆς. ποίας; τῆς λεγούσης, Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ φάγῃ. ἐλθούσης δὲ τῆς ἐντολῆς, ἡ ἁμαρτία ἀνέζησεν· ἐγὼ δὲ ἀπέθανον. βλέπε πῶς, ὡς ἐν ζυγῷ, τῷ λόγῳ τίθησιν ἁμαρτίαν καὶ δικαιοσύνην· ὅτι τότε νεκροῦται ἡ ἁμαρτία, ὅτε κατορθοῦται ἡ ἐντολή· τότε ἀποθνήσκει ὁ ἄνθρωπος, ὅτε εὐοδοῦται ἡ ἁμαρτία. τὸ γὰρ εἰπεῖν, ἐλθούσης δὲ τῆς ἐντολῆς, ἡ ἁμαρτία ἀνέζησε, δείκνυσιν ὅτι πρὸ παραβάσεως νεκρὰ ἦν ἡ ἁμαρτία. ἁμαρτίαν δὲ καλεῖ, οὐ τὴν πρᾶξιν τῆς ἁμαρτίας, ἀλλὰ τὸν διάβολον. διὰ τί δὲ τὸν διάβολον ἁμαρτίαν καλεῖ; ἐπειδὴ διδάσκαλος ἐγένετο ἁμαρτίας. ἐὰν γὰρ μή τις τοῖς ἰδιώμασι τῆς γραφῆς προσέχῃ, πολὺ διαλανθάνει καὶ ἐκπίπτει τοῦ σκοποῦ τῆς ἀληθείας. ἁμαρτίαν ἔθος καλεῖν τῇ γραφῇ τὸν διάβολον. διὰ τί; ἐπειδὴ ἐγένετο διδάσκαλος καὶ εἰσηγητὴς καὶ πρόξενος ἁμαρτίας. ὁμοίως καὶ τὸν σωτῆρα τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καλεῖ ἡ γραφὴ δικαιοσύνην· οὐχ ὡς πρᾶξιν δικαιοσύνης, ἀλλ' ὡς διδάσκαλον δικαιοσύνης. διὰ τοῦτο περὶ αὐτοῦ φησὶν ὁ Παῦλος, Ὃς ἐγενήθη ἡμῖν ἀπὸ Θεοῦ σοφία καὶ δικαιοσύνη καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις. ὥσπερ οὖν ὁ Χριστὸς δικαιοσύνη κέκληται, καθ' ὃ πηγὴ δικαιοσύνης· οὕτω καὶ ὁ διάβολος εἰσηγητὴς γενόμενος καὶ διδάσκαλος ἁμαρτίας, τὴν τῆς ἁμαρτίας προσηγορίαν ἐδέξατο. ἡ ἁμαρτία ἀνέζησεν, ἐγὼ δὲ ἀπέθανον, καὶ εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωήν, αὕτη εἰς θάνατον. ἔδωκε γὰρ ὁ Θεὸς τῷ Ἀδὰμ ἐντολήν, οὐχ ἵνα ἀποθάνῃ, ἀλλ' ἵνα ζήσῃ. ἡ οὖν ἐντολή, φησιν, ἡ δοθεῖσά μοι εἰς ζωήν, αὕτη εὑρέθη εἰς θάνατον, οὐκ αὐτὴ μεταβληθεῖσα, ἀλλ' ἐμοῦ διὰ τῆς παραβάσεως τὴν ἐνέργειαν τὴν ζωοποιὸν ἀνατρέποντος. προσέχειν ἀκριβῶς δεῖ πρὸς τὰ ἀνακύπτοντα τῶν ζητημάτων ἅπαντα. εὐθέως γὰρ ὁ ἐχθρὸς τῶν γραφῶν, καὶ μὴ συντρεφόμενος τῷ λόγῳ τῆς εὐσεβείας, εἰς οὐδὲν ἕτερον χωρεῖ, ἢ τοῦτο· οὐ προῄδει, φησίν, ὁ Θεός, ὅτι ἔμελλεν ἁμαρτάνειν ὁ Ἀδάμ; οὐ προῄδει, ὅτι οὐ μὴ φυλάξει τὴν ἐντολήν; οὐ προῄδει ὅτι ἀπατηθήσεται ὑπὸ τοῦ ὄφεως; τίνος τοίνυν ἕνεκεν δέδωκε τὴν ἐντολὴν τῷ μέλλοντι μὴ φυλάττειν τὴν ἐντολήν; δεῖ δὲ εἰδέναι ὅτι ὁ Θεὸς προγινώσκει μὲν τὰ πάντα, δίδωσι δὲ τοὺς νόμους, οὐκ εἰς τὸν παραβαίνοντα μόνον ἀφορῶν, ἀλλὰ καὶ εἰς τὸν μέλλοντα κατορθοῦν. διὰ τί δέ, ὡς ἐχθρός, μονομερῶς τὴν πρόγνωσιν ἐξετάζεις; διὰ τί λέγεις, ὅτι οὐ προῄδει ὁ Θεὸς ὅτι Ἀδὰμ ἁμαρτήσει; διὰ τί τὰ ἑπόμενα καὶ τὰ ἐξ αὐτῆς τῆς ἀκολουθίας τὰ ἑπόμενα παρασιωπᾷς; ἀλλὰ σὺ σιωπᾷς ἀγνωμονῶν· ἐγὼ δὲ κηρύττω πιστεύων, ὅτι ὥσπερ προῄδει ὁ Θεὸς ὅτι παραβήσεται ὁ Ἀδάμ, οὕτως ᾔδει ὅτι Ἄβελ δικαιωθήσεται, προῄδει ὅτι Ἐνὼχ μετατεθήσεται, προῄδει ὅτι ὁ χορὸς τῶν ἁγίων συστήσεται, προῄδει ὅτι Νῶε τὸν πανδήμιον ὄλεθρον διανήξεται, προῄδει ὅτι Ἀβραὰμ ἡ ῥίζα τῆς πίστεως ἀνθήσει, προῄδει ὅτι λάμψουσι πατριάρχαι, ἀνθήσουσι προφῆται, διαπρέψουσιν ἀπόστολοι, καὶ ἐξ αὐτοῦ τοῦ φυράματος τοῦ μέλλοντος παραβαίνειν τὸ πολυύμνητον τῆς οἰκονομίας τοῦ σωτῆρος ἀνθήσει κάλλος. προεῖδε τῶν ἀποστόλων τὸν δρόμον, προεῖδε τῶν μαρτύρων τὰς ἐνστάσεις, προεῖδε τῶν ὁμολογητῶν τοὺς ἀγῶνας, προεῖδε τὰ συγκροτήματα τῶν μοναζόντων, προεῖδε τὰ ἄνθη τῶν ἐκκλησιῶν, προεῖδε τῶν ἱερέων τὸν χορόν, προεῖδε πάντας τοὺς ἐν ἀληθείᾳ παρισταμένους τῷ θυσιαστηρίῳ. τί οὖν; ἐχρῆν διὰ τὴν πρόγνωσιν τοῦ παραβαίνοντος κωλῦσαι τὴν δημιουργίαν, ἢ διὰ τὴν πρόγνωσιν τῶν τοσούτων ἀγαθῶν εἰσαγαγεῖν τὸ πλάσμα; Ἡ γὰρ ἁμαρτία ἀφορμὴν λαβοῦσα διὰ τῆς ἐντολῆς ἐξηπάτησέ με, καὶ δι' αὐτῆς ἀπέκτεινεν. ἡ ἁμαρτία, τουτέστιν, ὁ διάβολος. ἀφορμὴν λαβοῦσα ποίαν; ἐπειδὴ

Φιλιπ. γ. ε.

Γεν. β. ιζ.

α. Κορ. α. λ.

Ρωμ. ζ. ια.

Γεν. β ιζ. Εἶπεν ὁ Θεός, Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ· ἀπὸ δὲ τοῦ ξύλου τοῦ
γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φαγῇ· ᾗ γὰρ ἡμέρᾳ φάγεσαι, θανάτῳ ἀποθανῇ. ὁ διάβολος
Γεν. γ ε. ἀφορμὴν λαβὼν ἀπὸ τῆς ἐντολῆς, κατασκευάζει διαβολήν, καὶ λέγει τούτῳ, Ἤδει
γὰρ ὁ Θεός, ᾗ δ᾽ ἂν ἡμέρᾳ φάγητε, γίνεσθε ὡς θεοί, καὶ ἐκώλυσεν ὑμᾶς. διαβάλλει τὸν Θεὸν
εἰς φθόνον, καὶ ὡς βασκαίνου, τοῦ Θεοῦ κατατρέχει. Βασκαίνων ὑμῖν ὁ Θεός, φησι, τῆς ἰσοθείας,
ἐκώλυσε φαγεῖν ἀπὸ τοῦ δένδρου, ἐξ οὗ τὸ ἰσόθεον ὑμῖν ἀνακύπτειν ἔμελλεν. ἀφορμὴν
οὖν λαβοῦσα ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς ἐξηπάτησε. καλῶς εἶπε τό, ἐξηπάτησεν. οὐ
γὰρ τἀληθὲς ἐπηγγείλατο, ἀλλ᾽ ἐξηπάτησε, καὶ δι᾽ αὐτῆς ἀπέκτεινεν. ἡ γὰρ ἀπάτη θάνατον ἐγέννησεν.
οὐ γὰρ τὸ πλάσμα θνητὸν ἦν. πολλοὶ γὰρ καὶ τοῦτο ἐνόμισαν, ὅτι τὸ πλάσμα θνητὸν ἐποίησεν
ὁ Θεός· οὐκ ἦν δὲ τὸ πλάσμα θνητόν. εἰ γὰρ καὶ γήϊνον ἦν, ἀλλὰ ἀθάνατον δεδημιούργητο.
εἰ γὰρ μὴ ἀθάνατον ἐδημιουργήθη, ἀλλὰ θνητόν, ὃ εἶχεν ἐν τῇ φύσει, διὰ τί
κατὰ ἀπόφασιν ἔλαβεν; εἰ θνητὸν ἦν τὸ πλάσμα τοῦτο, διὰ τί ὁ Θεὸς ἐπιτίμιον αὐτοῦ τίθησι
τῆς παραβάσεως τὸν θάνατον; ᾗ γὰρ ἂν ἡμέρᾳ φαγῇ, θανάτῳ ἀποθανῇ. οὐκοῦν πρὶν φάγῃ,
ἀθάνατον ἦν τὸ πλάσμα. εἰ δὲ καὶ πρὶν φάγῃ, θνητὸν ἦν, ἀπάτη καὶ χλεύη τὸ λεγόμενον,
καὶ οὐκ ἀλήθεια. ἀπειλεῖ γάρ μοι ὃ ἤμελλεν. οὐδεὶς δὲ ἀπειλεῖ τινι ὕπνον, ὃν κατὰ φύσιν
ἔχει· οὐδεὶς ἀπειλεῖ βρῶσιν, ἣν κατὰ φύσιν ἐπιδέχεται· ἀλλ᾽ ἀπειλεῖ θάνατον ὁ Θεός. ὅτι
μὴ εἶχε τὸ πλάσμα κατὰ τὴν δημιουργίαν, ἐδέξατο κατὰ τὴν ἁμαρτίαν. εἰ γὰρ παρέμεινεν
ὁ Ἀδὰμ τὴν ἐντολὴν φυλάττων, τὸν θεῖον νόμον, οὐκ ἔσχε χώραν ὁ θάνατος. καὶ μαρτυρεῖ
Σοφ. α ιγ. τὸ σοφὸν ἐκεῖνο λόγιον, Ὅτι ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ᾽ ἀπωλείᾳ ζώντων·
φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον. ὅθεν, εἰ δεῖ κατὰ ἀλήθειαν εἰπεῖν,
τὸ μὲν θνητὸν παρὰ φύσιν ἡμῖν ἐπεισῆλθεν· ἡ δὲ ἀνάστασις τὸ κατὰ φύσιν ἡμῖν ἀποδίδωσι. διὰ
τοῦτο καὶ ἀνάστασις, ἐπειδὴ τὸ φθαρὲν πλάσμα καὶ πεσὸν διὰ τῆς ἁμαρτίας, ὀρθοῦται διὰ δικαιοσύνης.
εἰ παρέμενει ὁ Ἀδὰμ τῇ ἐντολῇ, ἔμεινεν ἂν ζῶν. καί τις ἐγγυᾶται τὸ ῥῆμα,
ἵνα μὴ νομισθῇ στοχασμὸς εἶναι καὶ πιθανότης; ἵνα τοίνυν, ἀδελφοί, μὴ στοχασμοῖς ἐπιβάλωμεν
πρὸς τὰ θεῖα, ἀλλὰ τῇ ἀκολουθίᾳ χρησάμενοι, καταλάβωμεν τὴν ἐνάργειαν τῶν πραγμάτων
ἀλήθειαν, μαρτυρεῖ τὴν ἀθανασίαν τοῦ πλάσματος τὰ μετὰ ταῦτα. εἰ θνητὸν ἦν
κατὰ φύσιν τὸ πλάσμα, εἰ μὴ ἦν δι᾽ ἁμαρτίαν τὸν θάνατον δεξάμενον, ἀλλὰ διὰ τὴν φύσιν
αὐτήν, πῶς τὴν φύσιν ἐνίκησαν Ἠλίας καὶ Ἐνώχ; πῶς Ἠλίας ἀνελήφθη, θανάτου μὴ
γευσάμενος; πῶς Ἐνὼχ μετετέθη, θανάτου πεῖραν μὴ λαβών; βλέπε τὰ ἐνέχυρα τῆς ἀρχαίας
δημιουργίας· ὥστε ἐνεχώρει ζῆν τὸν ἄνθρωπον διηνεκῶς, εἰ τῷ θείῳ συνεπολιτεύετο
νόμῳ. διὰ τοῦτο ὁ Θεὸς ἀπαρχὰς λαβὼν τοῦ ἡμετέρου γένους, εἰς ἀθανασίαν μετήνεγκε.
καὶ ὅρα τὴν σοφὴν οἰκονομίαν. ἀναλαμβάνει τὸν Ἐνὼχ πρὸ πολλῶν γενεῶν, ἁρπάζει
τὸν Ἠλίαν μετὰ πολλὰς γενεάς, καὶ τοῦτο χρησίμως. ἐπειδὴ γὰρ ἐν δύο ἔθνεσιν ἔμελλεν ἡ εὐσέβεια
πολιτεύεσθαι, ἐν τῷ λαῷ τῷ τὴν ἀκροβυστίαν ἔχοντι, καὶ ἐν τῷ λαῷ τῷ τὴν περιτομὴν
ἐπαγγελλομένῳ, οὐ λαμβάνει τὸν Ἠλίαν μόνον, ἵνα μὴ ὁ Ἰουδαῖος καυχήσηται τῇ ἀπαρχῇ σεμνυνόμενος·
ἀλλὰ πρότερον λαμβάνει τὸν Ἐνώχ, οὐ κατὰ τὸν νόμον πολιτευσάμενον, ἀλλ᾽ ἐκκλησιαστικὴν
εὐκοσμίαν φυλάξαντα. πάντα γὰρ τὰ πρὸ νόμου τύπος ἦν τῆς ἐκκλησίας.
ἐρώτησον τοὺς μέχρι Ἀβραὰμ καὶ τοῦ νόμου δικαίους, τίνες ἦσαν; ἐν τρισὶν ὀνόμασι στρέφεται
τὰ πάντα, ἐν ἑλληνισμῷ τῷ τῆς ἀπιστίας μέρει, ἐν Ἰουδαϊσμῷ τῷ κατὰ νόμον πολιτευσαμένῳ,
ἐν χριστιανισμῷ τῷ κατὰ τὴν εὐαγγελικὴν χάριν ὁδηγουμένῳ. ἐρωτάσθωσαν οἱ δι᾽ ἐναντίας
περὶ τοῦ Ἀδὰμ καὶ Ἄβελ καὶ Ἐνὼχ καὶ Σὴθ καὶ Νῶε, καὶ ὅσοι ἐξ ἐκείνου διέπρεψαν μέχρις
Ἀβραάμ, τίνες ἦσαν; ἕλληνες; ἀλλ᾽ οὐ συγχωρεῖ ἡ πίστις. ἕλληνες οὐκ ἦσαν. οὐ γὰρ ἀπιστίᾳ
συνέζησαν, δαίμοσιν οὐκ ἐδούλευσαν, ξοάνοις οὐχ ὑπετάγησαν, τῇ πλάνῃ τῶν δαιμόνων
ἀντέστησαν. οὐ δύνανται τοίνυν ἕλληνες ὀνομάζεσθαι. ἀλλὰ τί ἦσαν; Ἰουδαῖοι; ἀλλ᾽ οὐκ

ἐδέξαντο τὸν νόμον, οὐκ ἐφύλαξαν σάββατα, οὐ παρετήρησαν βρωμάτων διαφοράς, οὐκ εἶχον περιτομήν. εἰ τοίνυν οἱ ἀρχαῖοι μήτε Ἕλληνες, μήτε Ἰουδαῖοι ἦσαν, εὑρέθη ἕτερον ὄνομα τὸ δυνάμενον αὐτοῖς ἁρμόσαι. εἰ γὰρ μήτε Ἰουδαῖοι, μήτε Ἕλληνες οἱ πρὸ νόμου πολιτευσάμενοι, ἵνα διδῶσιν αὐτοῖς προσηγορίαν; τί τὸ ὑπολειπόμενον; ἢ δῆλον ὅτι Χριστιανοί, οὐ τῇ προσηγορίᾳ, ἀλλὰ τῇ δυνάμει. διὰ τοῦτο πάντες οἱ τύποι τῆς ἐκκλησίας προέλαμπον. ἀπερίτμητος ὁ Ἐνώχ, ὥσπερ καὶ ἡ ἐκκλησία· οὐ δουλεύει νόμῳ, ὥσπερ καὶ ὁ λαὸς τοῦ Χριστοῦ· οὐκ οἶδε διαφορὰς βρωμάτων, ὥσπερ ἡ ἐκκλησία ἡ τῷ θείῳ συμπολιτευομένη λόγῳ. ἀρχαιοτέρα πάντων ἡ ἐκκλησία ἡ τῷ τύπῳ τῆς εὐσεβείας στοιχουμένη, καὶ ἡ πίστις τοῦ Ἀβραὰμ εἰκὼν ἦν οὐκ Ἰουδαίων, ἀλλὰ τῆς ἐκκλησίας. διὰ τοῦτο ὁ ἀπόστολος βασανίζει τὸν λόγον τὸν περὶ τῆς πίστεως, καὶ βουλόμενος δεῖξαι τὸν Ἀβραὰμ εἰκόνα τῆς ἐκκλησίας, καὶ οὐχὶ τῶν Ἰουδαίων, λέγει· Ἀδελφοί, γέγραπται, ὅτι Ἀβραὰμ ἐπίστευσε τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. πότε οὖν αὐτῷ ἐλογίσθη; ἐν περιτομῇ ὄντι, ἢ ἐν ἀκροβυστίᾳ; ταῦτα Παῦλος, ὁ ἐξ Ἰουδαίων, ὁ τὸν νόμον εἰδώς, καὶ τὰ κατὰ νόμον διασαφῶν. Οὐκ ἐν περιτομῇ, ἀλλ' ἐν ἀκροβυστίᾳ· καὶ σημεῖον ἔλαβε τὴν περιτομήν, σφραγῖδα δικαιοσύνης τῆς ἐν τῇ ἀκροβυστίᾳ. βλέπε πολυπλόκων νοημάτων θεωρίαν, βλέπε πῶς ἀπόστολος ἐξοικίζει μὲν τὸν Ἰσραὴλ τοῦ Ἀβραὰμ μὴ ἔχοντα τῆς πίστεως τὴν οἰκειότητα· εἰσοικίζει δὲ τὰ ἔθνη, ὡς ἔχοντα τὸν χαρακτῆρα τῆς εὐσεβείας. Καὶ σημεῖον ἔλαβε περιτομήν, σφραγῖδα δικαιοσύνης, εἰς τὸ γενέσθαι αὐτὸν πατέρα τῶν πιστευόντων δι' ἀκροβυστίας. ὁρᾷς πῶς ὁ τύπος τῆς ἐκκλησίας ἐν τῷ Ἀβραὰμ ἐπολιτεύετο; καὶ ὁ σωτὴρ δὲ βουλόμενος δεῖξαι, ὅτι ἡ εὐαγγελικὴ κατάστασις πρὸς τὴν ἀρχαίαν ἄγεται κατάστασιν, λεγόντων Ἰουδαίων, Μωϋσῆς ἔγραψεν, ἐάν τις θέλῃ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ, δότω αὐτῇ βιβλίον ἀποστασίου, ὁ σωτὴρ πάλιν τὰ ἐν τῷ νόμῳ παρενθέμενος, οὐχ ὡς ἐκλύων, ἀλλὰ τὴν ἀληθῆ διδασκαλίαν ἐμφαίνων λέγει, Μωϋσῆς διὰ τὴν σκληροκαρδίαν ὑμῶν εἶπεν· ἀπ' ἀρχῆς δὲ οὐχ οὕτως ἐγένετο. βλέπε πῶς εἰς τὸ ἀρχαῖον ἡμᾶς ἀποκαθίστησιν.

Ρωμ. δ. θ.

Ματθ. ιθ. η.

Ἐπαναλαμβάνω τὸ ῥῆμα· ἀλλὰ παρακαλῶ συναγωνίσασθαι ἡμῖν διὰ τῆς σιωπῆς, ἵνα μὴ θόρυβος ἡμῖν ἐπιπνεύσας διαλύσῃ τὸ νόημα. ὁ σωτὴρ μὲν βουλόμενος δεῖξαι, ὅτι ἡ εὐαγγελικὴ διδασκαλία πρὸς τὴν ἀρχαίαν ἄγει κατάστασιν, λεγόντων τῶν μαθητῶν, μᾶλλον δὲ τῶν Φαρισαίων, τί οὖν Μωϋσῆς προσέταξεν, ἐάν τις ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, δοῦναι αὐτῇ βιβλίον ἀποστασίου; ὁ σωτὴρ οὐ κατηγορεῖ τοῦ νόμου, ἀλλ' ἀπολογεῖται ὑπὲρ τοῦ νόμου· Μωϋσῆς ταῦτα εἶπε διὰ τὴν σκληροκαρδίαν ὑμῶν, ἀπ' ἀρχῆς δὲ οὐχ οὕτως ἐγένετο (βλέπε πῶς εἰς τὸ ἀρχαῖον ἡμᾶς ἀποκαθίστησιν) ἀλλ' ὁ ποιήσας τὸν ἄνθρωπον, ἄρρεν καὶ θῆλυ ἐποίησεν αὐτούς. ἃ οὖν ὁ Θεὸς ἔζευξεν, ἄνθρωπος μὴ χωριζέτω. καὶ διὰ πολλῶν εὑρίσκω τὸν σωτῆρα πρὸς τὴν ἀρχαίαν κατάστασιν τὴν ἐκκλησιαστικὴν εὐκοσμίαν ἀνάγοντα. ἐπολιτεύσατο τοίνυν ὁ τύπος τῆς ἐκκλησίας πρὸ τῆς περιτομῆς. καὶ πρόσεχε ἀκριβῶς. ἐπειδὴ ἀπ' ἀρχῆς ὁ τύπος τῆς ἐκκλησίας ἐπολιτεύετο, καὶ μετὰ ταῦτα πάλιν ὁ κανὼν τῆς ἐκκλησίας, μέσος δὲ ὁ νόμος παρεισῆλθεν, ὁ ἀπόστολος βουλόμενος δεῖξαι τῇ ἀκολουθίᾳ τρέχουσαν διὰ τοῦ χρόνου τὴν ἐκκλησιαστικὴν εὐκοσμίαν, νόμος διέκυψε, λέγει, Νόμος δὲ παρεισῆλθεν. οὐκ εἶπε, νόμος εἰσῆλθεν, ἀλλά, παρεισῆλθεν. ἄλλος γὰρ ὁ εἰσελθὼν νόμος, καὶ ἄλλος ὁ παρεισελθών. εἰσῆλθεν ἀπ' ἀρχῆς νόμος ὁ εὐαγγελικός, οὐχ ἡμέρας παρατηρούμενος, οὐδὲ βρωμάτων διαφορὰς ἐπιστάμενος, οὐ περιτομὴν δεχόμενος. οὗτος ἀπ' ἀρχῆς ἀπὸ τῶν ἀρχαίων ἐπολιτεύσατο ὁ νόμος, καὶ εἰς τοὺς τελευταίους κατήντησε· μέσος δὲ ὁ νόμος εἰσῆλθε, μᾶλλον δὲ παρεισῆλθε. καὶ τοῦ ἀποστόλου ἔστιν ἀκοῦσαι λέγοντος σαφῶς, ὥσπερ εἰρήκαμεν, Νόμος δὲ παρεισῆλθε. καὶ θέλεις μαθεῖν

Ρωμ. ε. κ.

Γεν. β ιζ. Εἶπεν ὁ Θεός, Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φάγῃ· ἀπὸ δὲ τοῦ ξύλου τοῦ
γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγῃ· ᾗ γὰρ ἡμέρᾳ φάγεσαι, θανάτῳ ἀποθανῇ· ὁ διάβολος
Γεν. γ ε. ἀφορμὴν λαβὼν ἀπὸ τῆς ἐντολῆς, κατασκευάζει διαβολὴν, καὶ λέγει τούτῳ, Ἤδει
γὰρ ὁ Θεός, ᾗ δ' ἂν ἡμέρᾳ φάγεσθε, γίνεσθε ὡς θεοί, καὶ ἐκώλυσεν ὑμᾶς. διαβάλλει τὸν Θεὸν
εἰς φθόνον, καὶ ὡς βασκάνου τοῦ Θεοῦ κατατρέχει. βασκαίνων ὑμῖν ὁ Θεός, φησι, τῆς ἰσοθείας,
ἐκώλυσε φαγεῖν ἀπὸ τοῦ δένδρου, ἐξ οὗ τὸ ἰσόθεον ὑμῖν ἀνακύπτειν ἔμελλεν. ἀφορμὴν
οὖν λαβοῦσα ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς ἐξηπάτησε. καλῶς εἶπε τὸ, ἐξηπάτησεν. οὐ
γὰρ τἀληθὲς ἐπηγγείλατο, ἀλλ' ἐξηπάτησε, καὶ δι' αὐτῆς ἀπέκτεινεν. ἡ γὰρ ἀπάτη θάνατον ἐγέννησεν.
οὐ γὰρ τὸ πλάσμα θνητὸν ἦν. πολλοὶ γὰρ καὶ τοῦτο ἐνόμισαν, ὅτι τὸ πλάσμα θνητὸν ἐποίησεν
ὁ Θεός· οὐκ ἦν δὲ τὸ πλάσμα θνητόν. εἰ γὰρ καὶ γήϊνον ἦν, ἀλλ' ἀθάνατον δεδημιούργητο.
εἰ γὰρ μὴ ἀθάνατον ἐδημιουργήθη, ἀλλὰ θνητὸν, ὃ εἶχεν ἐν τῇ φύσει, διὰ τί
κατὰ ἀπόφασιν ἔλαβεν; εἰ θνητὸν ἦν τὸ πλάσμα τοῦτο, διὰ τί ὁ Θεὸς ἐπιτίμιον αὐτοῦ τίθησι
τῆς παραβάσεως τὸν θάνατον; ᾗ γὰρ ἂν ἡμέρᾳ φαγῇ, θανάτῳ ἀποθανῇ. οὐκοῦν πρὶν φάγῃ,
ἀθάνατον ἦν τὸ πλάσμα. εἰ δὲ καὶ πρὶν φάγῃ, θνητὸν ἦν, ἀπάτη καὶ χλεύη τὸ λεγόμενον,
καὶ οὐκ ἀλήθεια. ἀπειλεῖ γάρ μοι ὃ ἤμελλον. οὐδεὶς δὲ ἀπειλεῖ τινι ὕπνον, ὃν κατὰ φύσιν
ἔχει· οὐδεὶς ἀπειλεῖ βρῶσιν, ἣν κατὰ φύσιν ἐπιδέχεται· ἀλλ' ἀπειλεῖ θάνατον ὁ Θεός. ὃ
μὴ εἶχε τὸ πλάσμα κατὰ τὴν δημιουργίαν, ἐδέξατο κατὰ τὴν ἁμαρτίαν. εἰ γὰρ παρέμεινεν
ὁ Ἀδὰμ τὴν ἐντολὴν φυλάττων, τὸν θεῖον νόμον, οὐκ εἶχε χώραν ὁ θάνατος. καὶ μαρτυρεῖ
Σοφ. α ιγ. τὸ σοφὸν ἐκεῖνο λόγιον, Ὅτι ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων·
φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον. ὅθεν, εἰ δεῖ κατὰ ἀλήθειαν εἰπεῖν,
τὸ μὲν θνητὸν παρὰ φύσιν ἡμῖν ἐπεισῆλθεν· ἡ δὲ ἀνάστασις τὸ κατὰ φύσιν ἡμῖν ἀποδίδωσι. διὰ
τοῦτο καὶ ἀνάστασις, ἐπειδὴ τὸ φθαρὲν πλάσμα καὶ πεσὸν διὰ τῆς ἁμαρτίας, ὀρθοῦται διὰ δικαιοσύνης.
εἰ παρέμεινεν ὁ Ἀδὰμ τῇ ἐντολῇ, ἔμεινεν ἂν ζῶν. καὶ τίς ἐγγυᾶται τὸ ῥῆμα,
ἵνα μὴ νομισθῇ στοχασμὸς εἶναι καὶ πιθανότης; ἵνα τοίνυν, ἀδελφοί, μὴ στοχασμοῖς ἐπιβάλωμεν
πρὸς τὰ θεῖα, ἀλλὰ τῇ ἀκολουθίᾳ χρησάμενοι, καταλάβωμεν τὴν ἐναργῆ τῶν πραγμάτων
ἀλήθειαν, μαρτυρεῖ τὴν ἀθανασίαν τοῦ πλάσματος τὰ μετὰ ταῦτα. εἰ θνητὸν ἦν
κατὰ φύσιν τὸ πλάσμα, εἰ μὴ ἦν διὰ ἁμαρτίαν τὸν θάνατον δεξάμενον, ἀλλὰ διὰ τὴν φύσιν
αὐτήν, πῶς τὴν φύσιν ἐνίκησαν Ἠλίας καὶ Ἐνώχ; πῶς Ἠλίας ἀνελήφθη, θανάτου μὴ γευσάμενος;
πῶς Ἐνὼχ μετετέθη, θανάτου πεῖραν μὴ λαβών; βλέπε τὰ ἐνέχυρα τῆς ἀρχαίας
δημιουργίας· ὥστε ἐνεχώρει ζῆν τὸν ἄνθρωπον διηνεκῶς, εἰ τῷ θείῳ συνεπολιτεύετο
νόμῳ. διὰ τοῦτο ὁ Θεὸς ἀπαρχὰς λαβὼν τοῦ ἡμετέρου γένους, εἰς ἀθανασίαν μετήνεγκε.
καὶ ὅρα τὴν σοφὴν οἰκονομίαν. ἀναλαμβάνει τὸν Ἐνὼχ πρὸ πολλῶν γενεῶν, ἁρπάζει
τὸν Ἠλίαν μετὰ πολλὰς γενεάς, καὶ τοῦτο χρησίμως. ἐπειδὴ γὰρ ἐν δύο ἔθνεσιν ἔμελλεν ἡ εὐσέβεια
πολιτεύεσθαι, ἐν τῷ λαῷ τῷ τὴν ἀκροβυστίαν ἔχοντι, καὶ ἐν τῷ λαῷ τῷ τὴν περιτομὴν
ἐπαγγελλομένῳ, οὐ λαμβάνει τὸν Ἠλίαν μόνον, ἵνα μὴ ὁ Ἰουδαῖος καυχήσηται τῇ ἀπαρχῇ σεμνυνόμενος·
ἀλλὰ πρότερον λαμβάνει τὸν Ἐνώχ, οὐ κατὰ τὸν νόμον πολιτευσάμενον, ἀλλ' ἐκκλησιαστικὴν
εὐκοσμίαν φυλάξαντα. πάντα γὰρ τὰ πρὸ νόμου τύπος ἦν τῆς ἐκκλησίας.
ἐρώτησον τοὺς μέχρι Ἀβραὰμ καὶ τοῦ νόμου δικαίους, τίνες ἦσαν; ἐν τρισὶν ὀνόμασι στρέφεται
τὰ πάντα, ἐν ἑλληνισμῷ τῷ τῆς ἀπιστίας μέρει, ἐν Ἰουδαϊσμῷ τῷ κατὰ νόμον πολιτευσαμένῳ,
ἐν χριστιανισμῷ τῷ κατὰ τὴν εὐαγγελικὴν χάριν ὁδηγουμένῳ. ἐρωτάσθωσαν οἱ δι' ἐναντίας
περὶ τοῦ Ἀδὰμ καὶ Ἄβελ καὶ Ἐνὼχ καὶ Σὴθ καὶ Νῶε, καὶ ὅσοι ἐξ ἐκείνου διέπρεψαν μέχρις
Ἀβραάμ, τίνες ἦσαν; ἕλληνες; ἀλλ' οὐ συγχωρεῖ ἡ πίστις. ἕλληνες οὐκ ἦσαν. οὐ γὰρ ἀπιστίᾳ
συνέζησαν, δαίμοσιν οὐκ ἐδούλευσαν, ξοάνοις οὐχ ὑπετάγησαν, τῇ πλάνῃ τῶν δαιμόνων
ἀντέστησαν. οὐ δύνανται τοίνυν ἕλληνες ὀνομάζεσθαι. ἀλλὰ τί ἦσαν; Ἰουδαῖοι; ἀλλ' οὐκ

ἐδέξαντο τὸν νόμον, οὐκ ἐφύλαξαν σάββατα, οὐ παρετήρησαν βρωμάτων διαφοράς, οὐκ εἶχον περιτομήν. Εἰ τοίνυν οἱ ἀρχαῖοι μήτε Ἕλληνες, μήτε Ἰουδαῖοι ἦσαν, εὑρέθη ἕτερον ὄνομα τὸ δυνάμενον αὐτοῖς ἁρμόσαι. Εἴγε μήτε Ἰουδαῖοι, μήτε Ἕλληνες οἱ πρὸ νόμου πολιτευσάμενοι, τίνα διδόασιν αὐτοῖς προσηγορίαν; τί τὸ ἀπολειπόμενον; ἢ δῆλον ὅτι χριστιανοί, οὐ τῇ προσηγορίᾳ, ἀλλὰ τῇ δυνάμει. διὰ τοῦτο πάντες οἱ τύποι τῆς ἐκκλησίας προέλαμπον. ἀπερίτμητος ὁ Ἐνώχ, ὥσπερ καὶ ἡ ἐκκλησία· οὐ δουλεύει νόμῳ, ὥσπερ καὶ ὁ λαὸς τοῦ Χριστοῦ· οὐκ οἶδε διαφορὰς βρωμάτων, ὥσπερ ἡ ἐκκλησία ἡ τῷ θείῳ συμπολιτευομένη λόγῳ. ἀρχαιοτέρα πάντων ἡ ἐκκλησία ἡ τῷ τύπῳ τῆς εὐσεβείας στοιχουμένη, καὶ ἡ πίστις τοῦ Ἀβραὰμ εἰκὼν ἦν οὐκ Ἰουδαίων, ἀλλὰ τῆς ἐκκλησίας. διὰ τοῦτο ὁ ἀπόστολος βασανίζει τὸν λόγον τὸν περὶ τῆς πίστεως, καὶ βουλόμενος δεῖξαι τὸν Ἀβραὰμ εἰκόνα τῆς ἐκκλησίας, καὶ οὐχὶ τῶν Ἰουδαίων, λέγει· Ἀδελφοί, γέγραπται, ὅτι Ἀβραὰμ ἐπίστευσε τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. Ρωμ. δ. θ. πότε οὖν αὐτῷ ἐλογίσθη; ἐν περιτομῇ ὄντι, ἢ ἐν ἀκροβυστίᾳ; ταῦτα Παῦλος, ὁ ἐξ Ἰουδαίων, ὁ τὸν νόμον εἰδώς, καὶ τὰ κατὰ νόμον διασαφῶν. Οὐκ ἐν περιτομῇ, ἀλλ' ἐν ἀκροβυστίᾳ· καὶ σημεῖον ἔλαβε τὴν περιτομήν, σφραγῖδα δικαιοσύνης τῆς ἐν τῇ ἀκροβυστίᾳ. βλέπε πολυπλόκων νοημάτων θεωρίαν, βλέπε πῶς ὁ ἀπόστολος ἐξοικίζει μὲν τὸν Ἰσραὴλ τοῦ Ἀβραὰμ μὴ ἔχοντα τῆς πίστεως τὴν οἰκειότητα· εἰσοικίζει δὲ τὰ ἔθνη, ὡς ἔχοντα τὸν χαρακτῆρα τῆς εὐσεβείας. Καὶ σημεῖον ἔλαβε περιτομήν, σφραγῖδα δικαιοσύνης, εἰς τὸ γενέσθαι αὐτὸν πατέρα τῶν πιστευόντων δι' ἀκροβυστίας. ὁρᾷς πῶς ὁ τύπος τῆς ἐκκλησίας ἐν τῷ Ἀβραὰμ ἐπολιτεύετο; καὶ ὁ σωτὴρ δὲ βουλόμενος δεῖξαι, ὅτι ἡ εὐαγγελικὴ κατάστασις πρὸς τὴν ἀρχαίαν ἄγεται κατάστασιν, λεγόντων Ἰουδαίων, Μωϋσῆς ἔγραψεν, ἐάν τις θέλῃ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ, δότω αὐτῇ βιβλίον ἀποστασίου, ὁ σωτὴρ πάλιν τὰ ἐν τῷ νόμῳ παρεντιθέμενος, οὐχ ὡς ἐκλύων, ἀλλὰ τὴν ἀληθῆ διδασκαλίαν ἐμφαίνων λέγει, Μωϋσῆς διὰ τὴν σκληροκαρδίαν ὑμῶν Ματθ. ιθ. η. εἶπεν· ἀπ' ἀρχῆς δὲ οὐχ οὕτως ἐγένετο. βλέπε πῶς εἰς τὸ ἀρχαῖον ἡμᾶς ἀποκαθίστησιν.

Ἐπαναλαμβάνω τὸ ῥῆμα· ἀλλὰ παρακαλῶ συναγωνίσασθαι ἡμῖν διὰ τῆς σιωπῆς, ἵνα μὴ θόρυβος ἡμῖν ἀντιπνεύσας διαλύσῃ τὸ νόημα. ὁ σωτὴρ μὲν βουλόμενος δεῖξαι, ὅτι ἡ εὐαγγελικὴ διδασκαλία πρὸς τὴν ἀρχαίαν ἄγει κατάστασιν, λεγόντων τῶν μαθητῶν, μᾶλλον δὲ τῶν Φαρισαίων, τί οὖν Μωϋσῆς προσέταξεν, ἐάν τις ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, δότω αὐτῇ βιβλίον ἀποστασίου; ὁ σωτὴρ οὐ κατηγορεῖ τοῦ νόμου, ἀλλ' ἀπολογεῖται ὑπὲρ τοῦ νόμου· Μωϋσῆς ταῦτα εἶπε διὰ τὴν σκληροκαρδίαν ὑμῶν, ἀπ' ἀρχῆς δὲ οὐχ οὕτως ἐγένετο (βλέπε πῶς εἰς τὸ ἀρχαῖον ἡμᾶς ἀποκαθίστησιν) ἀλλ' ὁ ποιήσας τὸν ἄνθρωπον, ἄρρεν καὶ θῆλυ ἐποίησεν αὐτούς. ἃ οὖν ὁ Θεὸς ἔζευξεν, ἄνθρωπος μὴ χωριζέτω. καὶ διὰ πολλῶν εὑρίσκω τὸν σωτῆρα πρὸς τὴν ἀρχαίαν κατάστασιν τὴν ἐκκλησιαστικὴν εὐκοσμίαν ἀνάγοντα. ἐπολιτεύσατο τοίνυν ὁ τύπος τῆς ἐκκλησίας πρὸ τῆς περιτομῆς. καὶ προσέχετε ἀκριβῶς. ἐπεὶ ἀπ' ἀρχῆς ὁ τύπος τῆς ἐκκλησίας ἐπολιτεύετο, καὶ μετὰ ταῦτα πάλιν ὁ κανὼν τῆς ἐκκλησίας, μέσος δὲ ὁ νόμος παρεισῆλθεν, ὁ ἀπόστολος βουλόμενος δεῖξαι τὴν ἀκολουθίαν τρέχουσαν διὰ τοῦ χρόνου τὴν ἐκκλησιαστικὴν εὐκοσμίαν, νόμος διέκοψε, λέγει, Νόμος δὲ παρεισῆλθεν. Ρωμ. ε. κ. οὐκ εἶπε, νόμος εἰσῆλθεν, ἀλλά, παρεισῆλθεν. ἄλλος γὰρ ὁ εἰσελθὼν νόμος, καὶ ἄλλος ὁ παρεισελθών. εἰσῆλθεν ἀπ' ἀρχῆς νόμος ὁ εὐαγγελικός, οὐχ ἡμέρας παρατηρούμενος, οὐδὲ βρωμάτων διαφορὰς ἐπιστάμενος, οὐ περιτομὴν δεχόμενος. οὗτος ἀπ' ἀρχῆς ἀπὸ τῶν ἀρχαίων ἐπολιτεύσατο ὁ νόμος, καὶ εἰς τοὺς τελευταίους κατήντησε· μέσος δὲ ὁ νόμος εἰσῆλθε, μᾶλλον δὲ παρεισῆλθε. καὶ τοῦ ἀποστόλου ἐστὶν ἀκοῦσαι λέγοντος σαφῶς, ὥσπερ εἰρήκαμεν, Νόμος δὲ παρεισῆλθε. καὶ θέλεις μαθεῖν

πῶς προεισῆλθεν; ἱστορίας ἄκουε. ὥσπερ Ἰακὼβ ἐδούλευσε τῷ Λάβαν διὰ τὴν Ραχὴλ,
καὶ περὶ αὐτὸν τὸν γάμον ἡ μὲν οὐκ εἰσῆλθε· καὶ ὁ μὲν σκοπὸς ἦν τῷ πατριάρχῃ τὴν Ραχὴλ
λαβεῖν, ἡ δὲ ἀπάτη τοῦ πενθεροῦ ἄλλην ἀντ' ἄλλης εἰσήγαγε, καὶ εὑρέθη προεισαγομένη ἡ
μὴ ζητουμένη· οὕτω σκοπὸς ἦν τῷ Θεῷ ἀεὶ τὴν ἐκκλησίαν στῆσαι· προεισήγαγε δὲ τὴν συναγωγὴν,
οὐ κατὰ βίαν καὶ ἀπάτην αὐτὴν δεχόμενος, ἀλλὰ τῷ τύπῳ τῆς παλαιᾶς ἱστορίας
τὰ πράγματα συναρμόζων. καὶ ὥσπερ ὁ Ἰακὼβ σὺν τῇ Λείᾳ τὸν σκοπὸν εἶχε
πρὸς τὴν Ραχὴλ, ἔφερε δὲ τὴν ἀπὸ τῆς ἀπάτης βίαν· οὕτω καὶ ὁ Θεὸς καθ' ὃν χρόνον
εἶχε τὴν συναγωγὴν, τὴν μὲν ἐμίσει, τὴν δὲ ἐπόθει. καὶ τίς ἡμῖν ὁ μαρτυρῶν λόγος; τίς
ἐγγυᾶται τῆς ἱστορίας τὴν θεωρίαν; πολλάκις τῇ συναγωγῇ συζῶν ὁ Θεὸς τῇ κατὰ νόμον,
Ησ. α. ιδ. ἔλεγε· Τὰς ἑορτὰς ὑμῶν καὶ τὰς νεομηνίας ὑμῶν ἐμίσησεν ἡ ψυχή μου. καὶ ὥσπερ ὁ Ἰακὼβ
τὸ πρόσωπον τῆς Ραχὴλ ἠγάπα, τὸ δὲ ἀσθενὲς τῶν ὀφθαλμῶν τῆς Λείας ἀπεστρέφετο (Ἦν
Γεν. κθ. ζ. γὰρ, φησὶν, ἡ Λεία ἀσθενὴς τοῖς ὀφθαλμοῖς) οὕτως ὁ Θεὸς ἀπεστρέφετο τὴν συναγωγὴν,
οὐ τῷ σώματι οὖσαν σαθρὰν, ἀλλὰ τὴν ψυχὴν τυφλωθεῖσαν. διὰ τοῦτο ἔλεγεν ὁ προφήτης,
Ησ. μβ. ιθ. καὶ Τίς τυφλὸς, ἀλλ' ἢ οἱ παῖδές μου; καὶ τίς κωφὸς, ἀλλ' ἢ οἱ κυριεύοντες αὐτῶν;
καὶ ἐτυφλώθησαν οἱ δοῦλοι τοῦ Θεοῦ. καὶ ὥσπερ ἐκεῖ διὰ τὴν ἀσθένειαν τῶν ὀφθαλμῶν,
οὕτως ἐνταῦθα διὰ τὴν τύφλωσιν τῆς ψυχῆς ἀπεστρέφετο τὴν συναγωγήν. διὰ
Ματθ. ιε. ιδ. τοῦτο τὴν τύφλωσιν αὐτῶν ὁ σωτὴρ αἰνιττόμενος, ἔλεγεν· Ἄφετε αὐτοὺς, ὁδηγοί εἰσι τυφλῶν.
τυφλὸς δὲ τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον ἐμπεσοῦνται. ὅτι δὲ πάντα
τὸν χρόνον, καθ' ὃν ἡ συναγωγὴ συνεπολιτεύετο τῷ νόμῳ, ὁ Θεὸς ἐβούλετο ἐκεῖνον τὸν λαὸν
διὰ τὴν ἀγνωμοσύνην ἐκβαλεῖν, μαρτυρεῖ που προφήτης, λέγων· Ἀφ' ἧς ἡμέρας ἀνήγαγον
πατέρας ὑμῶν ἐκ γῆς Αἰγύπτου, καὶ ἕως τῆς σήμερον, πρὸ ὀφθαλμῶν μου ἦν ἐκβαλεῖν
τὴν πόλιν ταύτην. ὅτι δὲ πάλιν ἐν ὅσῳ χρόνῳ ἡ συναγωγὴ συνῆν τῷ νόμῳ, ὁ Θεὸς
Γεν. λβ. ι. τὸν σκοπὸν ἐπὶ τὴν ἐκκλησίαν εἶχε, λέγει τῷ Μωϋσῇ· Ἔασόν με, καὶ ἐξαλείψω αὐτοὺς,
καὶ ποιήσω σε εἰς ἔθνος μέγα καὶ πολὺ μᾶλλον. εἰ τοῦτο ἔχεις ἐν ἑαυτῷ τὴν ἐκκλησίαν
* * εἰκόνα τῆς παλαιᾶς ἱστορίας, πῶς προεισῆλθεν ὁ νόμος; ὡς ἡ Λεία τῇ Ραχήλ. ὅτι δὲ, ἀδελφοί,
οὐ θεωρία ἐστὶν ἀλληγορία βεβιασμένη, ἀλλ' ἀληθῶς εἰκὼν ἦν αὕτη τοῦ Ἰακὼβ, καὶ ὅτι
ὁ Ἰακὼβ τοῦ Θεοῦ τύπον ἐπλήρου, τοῦ ποτὲ μὲν τὴν συναγωγὴν, νῦν δὲ τὴν ἐκκλησίαν ἔχοντος,
Ωσ. ια ι. αὐτὸς βοᾷ διὰ τοῦ προφήτου· Ἐγὼ ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφήτου
ὡμοιώθην. καὶ ἐδούλευσεν Ἰακὼβ ἐν γυναικὶ, καὶ ἐν γυναικὶ ἐφυλάξατό με. διὰ τί οὖν
ἐφύλαξεν; ἢ πῶς ἐφύλαξεν; εὑρήσεις, ἀδελφὲ, κατὰ ἄλλην πάλιν θεωρίαν τὸν Ἰακὼβ ἑτέρως
λαμβάνοντα τὴν γυναῖκα, ἑτέρως δὲ τὸν Ἰσαὰκ τὸν πατέρα τοῦ Ἰακώβ. Ἰσαὰκ λαμβάνων
τὴν γυναῖκα, οὐκ αὐτὸς ἦλθεν εἰς τὴν μέσην τῶν ποταμῶν, καὶ ἔλαβεν, ἀλλὰ
ἀπέστειλε τὸν δοῦλον αὐτοῦ, καὶ ἐμνηστεύσατο· ὁ δὲ Ἰακὼβ οὐ διὰ δούλου μνηστεύεται, ἀλλὰ
δι' ἑαυτοῦ. ἦν γὰρ καὶ τοῦτο τύπος τῆς παλαιᾶς καὶ τῆς νέας. τὴν γὰρ παλαιὰν συναγωγὴν
μνηστευσάμενος ὁ Θεὸς, διὰ τοῦ ἱκέτου Μωϋσέως λαμβάνει. Ἰσαὰκ λαμβάνων γυναῖκα ἴσ. οἰκέτ
δι' οἰκέτου μνηστεύεται, καὶ δι' οἰκέτου μνηστευσάμενος λαμβάνει. ὁ δὲ Ἰακὼβ οὐκ ἀποστέλλει
οἰκέτην, καίτοι ἔχων οἰκέτας, ἀλλ' αὐτὸς ἦλθεν εἰς τὴν μέσην τῶν ποταμῶν. ἦλθεν
αὐτὸς μόνος ὁ πολλοὺς οἰκέτας ἔχων· μόνος ἦλθεν ὁ πολλὰ ὑποζύγια ἔχων. ὁ γὰρ Θεὸς
εὐλόγησε τὸν οἶκον τοῦ δεσπότου Ἀβραὰμ ἐν κτήνεσι καὶ ἀργυρίῳ καὶ χρυσίῳ καὶ δούλοις, καὶ ἵπποις,
καὶ τοῖς ἄλλοις. καὶ τοσαῦτα κτήματα ἔχων ἔρχεται τὴν ῥάβδον ἔχων μόνην, καὶ λέγει ὁ
Γεν. λβ. ι. Ἰακώβ· Τῇ ῥάβδῳ μου διῆλθον τὸν Ἰορδάνην τοῦτον, ἀντὶ τοῦ, ῥάβδον μόνην ἔχων ἐξῆλθον
μόνος, ὁ πολλῶν δεσπότης. ἐξῆλθεν Ἰακὼβ μόνος, ἦλθεν εἰς Βεθὴλ, καὶ ἐκοιμήθη τὴν ἑσπέραν,
καὶ ὑπέθηκε λίθον τῇ κεφαλῇ· οὐκ οἶκον εὗρεν, οὐ κατάλυμα. εἰκὼν γὰρ ἦν
Ματθ. η. κ. τοῦ λέγοντος, Ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. εἶτα, ἀδελφοί, καθεύδων

θεύδων βλέπει τὸν οὐρανὸν ἀνεῳγμένον. ὥσπερ γὰρ τῷ Χριστῷ οὐκ ἦν κλῖναι τὴν κεφαλὴν ἐπὶ τῆς γῆς, οὐρανὸς δὲ αὐτῷ καὶ τὰ ἐπουράνια ἀνέῳκτο· οὕτω καθεύδει Ἰακὼβ, οἶκον οὐκ ἔχων, καὶ τὸν οὐρανὸν βλέπων ἀνεῳγμένον, καὶ κλίμακα ἀπὸ γῆς ἕως οὐρανοῦ ἐστηριγμένην. ἦν δὲ καὶ ἄλλῳ λόγῳ τύπος τῶν διωκομένων. ἐπειδὴ γὰρ τὸν Ἡσαῦ φεύγων ἦλθεν εἰς τὴν μέσην τῶν ποταμῶν, βουλόμενος δεῖξαι ὁ Θεὸς, ὅτι παντὶ τοῖς ἐπὶ γῆς διωκομένοις οὐρανὸς ἀνέῳκται, βλέπει τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ κλίμακα ἐστηριγμένην ἀπὸ γῆς ἕως τοῦ οὐρανοῦ, καὶ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας διὰ τῆς κλίμακος. καὶ ὁ Κύριος, φησιν, ἐπεστήρικτο. οὐκ εἶπεν ἁπλῶς, ἐκάθητο, ἀλλ', ἐπεστήρικτο τῇ κλίμακι. τίς δὲ ἡ κλίμαξ; εἰκὼν τοῦ σταυροῦ. δι' αὐτοῦ γάρ ἐστιν ἀνελθεῖν εἰς τὸν οὐρανόν. καὶ οἱ μὲν δι' αὐτοῦ ἀνῆλθον εἰς τὸν οὐρανόν, οἱ δὲ δι' αὐτοῦ κατῆλθον. Ἰουδαῖοι ἐξέπεσον τῶν οὐρανῶν διὰ σταυροῦ, καὶ ἔθνη εἰς οὐρανὸν ἀνάγονται διὰ τοῦ σταυροῦ.

Γεν. κη. ιγ.

Ἀλλ' ἐπειδὴ δεῖ πανταχοῦ φεύγειν τὴν βίαν τῆς ἀλληγορίας, καὶ μαρτυρίαις ἐγγράφοις σφραγίζειν τὰ λεγόμενα, ἵνα δείξῃ ὁ σωτὴρ διὰ τῶν εὐαγγελίων, ὅτι οἱ ἄγγελοι ἐκεῖνοι οἱ ἀναβαίνοντες καὶ καταβαίνοντες εἰκόνα τῆς εὐαγγελικῆς ἐπλήρουν χάριτος, λέγει τῷ Ναθαναήλ· Ἐπειδὴ εἶπόν σοι, εἶδόν σε ὑπὸ τὴν συκῆν, ἐπίστευσας· μείζονα τούτων ὄψει. Ἀμὴν λέγω ὑμῖν, ἀπάρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου. ἦλθεν ἐπὶ τὴν μέσην τῶν ποταμῶν· καὶ ὡς εἶδε τὸ ὅραμα, λέγει, Οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος Θεοῦ. καὶ μὴν οὐκ εἶδες οἶκον οἰκοδομὴν, ἀλλὰ κλίμακα. ἀλλ' ἐπειδὴ ᾔδει ὅτι ἡ κλίμαξ τύπος ἐστὶ τῆς ἐκκλησίας, λέγει, τοῦτο οἶκος Θεοῦ, τοῦτο ἐκκλησία ἐστί. καὶ πόθεν τοῦτο, ὅτι οἶκος Θεοῦ ἐκκλησία ἐστί; λέγει Παῦλος Τιμοθέῳ ταῦτα γράφων· Ἐλπίζω ἐλθεῖν πρὸς σὲ τάχιον. ἐὰν δὲ βραδύνω, ἵνα εἰδῇς πῶς δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶν ἐκκλησία Θεοῦ ζῶντος. εἶτα πληρῶν διὰ πάντων τὴν εἰκόνα τοῦ Χριστοῦ, τὴν ἀκτήμονα, τὴν μισόπλουτον, τὴν μηδὲν δεχομένην φάντασμα κοσμικὸν, λέγει· Ἐὰν ᾖ Κύριος ὁ Θεὸς μετ' ἐμοῦ, καὶ δώσῃ μοι ἄρτον φαγεῖν καὶ ἱμάτιον περιβαλέσθαι. βλέπε πῶς ἡ φιλόσοφος ψυχὴ τὴν αὐτάρκειαν οὐκ ἐκβαίνει. ἐὰν ᾖ Κύριος ὁ Θεὸς μετ' ἐμοῦ, καὶ ὁδηγήσῃ με ἐν τῇ ὁδῷ, καὶ δώῃ μοι ἄρτον φαγεῖν καὶ ἱμάτιον περιβαλέσθαι. πρὸ τῶν εὐαγγελικῶν τὰ ἀποστολικὰ φθέγγεται, καὶ ἐὰν δῷ μοι ἄρτον φαγεῖν καὶ ἱμάτιον περιβαλέσθαι. Παῦλος διὰ τοῦ Ἰακὼβ φθέγγεται· Ἔχοντες γὰρ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. ἔσται μοι ὁ τόπος οὗτος, οἶκος Θεοῦ. τοῦτο γὰρ καὶ ἑρμηνεύεται τὸ Βεθήλ. Βὲθ γάρ ἐστιν οἶκος· τὸ δὲ Ἠλ Θεοῦ. ἀπῆλθεν εἰς τὴν μέσην τῶν ποταμῶν, καὶ πρῶτον αὐτῷ συναντᾷ φρέαρ. ἦλθεν ἐπὶ τὸ φρέαρ, καὶ τοῦτο ἐσκέπαστο, καὶ εὗρεν ἐκεῖ ποιμένας. εἰκὼν κατὰ πάντα Χριστοῦ. πρώτη παρουσία Χριστοῦ ἐπὶ τὸ βάπτισμα, ἐπὶ τὸ φρέαρ, φρέαρ τὸ ἁλλόμενον εἰς ζωὴν αἰώνιον. εὑρίσκει τὸ φρέαρ ἐσκεπασμένον, ἐπειδὴ καὶ ἡ χάρις πρὸ τῆς παρουσίας ἐκεκάλυπτο. λέγει Ἰακὼβ τοῖς ποιμέσι, τί ἑστήκατε ἔτι; πολλὴ ὥρα ἐστί· ποτίσαντες τὰ πρόβατα ἀπαγάγετε. οἱ δὲ πρὸς αὐτὸν, ἐὰν μὴ πάντες ἔλθωσιν οἱ ποιμένες, οὐ δυνάμεθα ἀποκυλίσαι τὸν λίθον. καὶ τί εὐθέως ὁ Ἰακώβ; ὃ διὰ πολλῶν καὶ διὰ πάντων ἐχρῆν γενέσθαι τῶν ποιμένων, μόνος ποιεῖ. λαβὼν γὰρ ἀποκυλίει τὸν λίθον. πῶς οὖν ἠδύνατο τοῦτο μόνος ποιῆσαι, ὃ πολλοὶ μόλις ἐποίουν; ἀλλ' ἐπειδὴ εἰκὼν ἦν τοῦ Χριστοῦ, καὶ ἡ γραφὴ τὴν δύναμιν ἔδειξε τοῦ δεσπότου, ὅτι ὃ μὴ ἠδυνήθησαν πολλοὶ κατορθῶσαι, ἡ εὐαγγελικὴ χάρις κατώρθωσεν. ἐκεῖ εὑρίσκει τὴν Ῥαχὴλ ἐρχομένην· πανταχοῦ γὰρ οἱ δίκαιοι οἱ ἀρχαῖοι τῷ πλείστῳ μέρει ἀπὸ φρεάτων ἐδέξαντο τὰς μνήστρας ἑαυτῶν. Μωϋσῆς ἀπὸ φρέατος ἔλαβε τὴν γυναῖκα τὴν θυγατέρα τοῦ Ἰοθὼρ, Ἰακὼβ ἀπὸ φρέατος, ὁ δοῦλος τοῦ Ἀβραὰμ ἀπὸ φρέατος ἐδέξατο τὴν Ῥεβέκκαν. πανταχοῦ

Ἰωαν. α. μη.
Γεν. κη. ιζ.
α. Τιμ. γ. ι
Γεν. κη. κ.
α. Τιμ. ϛ. η.
Γεν. κθ.
Ἰωαν. δ. ιδ.

χοῦ τὰ μνῆστρα τῶν ἀρχαίων ἀπὸ φρέατος· ἐπειδὴ καὶ ὁ Χριστὸς οὐχ ἑτέρως μνηστεύεται τὴν ἐκκλησίαν, ἢ ἀπὸ τῶν ὑδάτων. καὶ ἵνα συντέμω, εἰσῆλθεν, ἤτησε τὴν Ῥαχήλ, παρεισῆλθεν ἡ Λεία. τοῦ προκειμένου δὴ ἔχεσθαι καὶ εἰς τὸ προκείμενον ἐπανελθεῖν ἀναγκαῖον. νόμος οὕτω παρεισῆλθεν, οὐκ εἰσῆλθεν· ἐπειδὴ οὐδὲ ἡ Λεία εἰσῆλθεν, ἀλλὰ παρεισῆλθεν. εἰσελθεῖν γάρ ἐστι τὸ γυμνῇ τῇ παρρησίᾳ χρήσασθαι· παρεισελθεῖν δὲ τὸ μετ᾽ ἄλλου πλαγιάσαντα συνεισελθεῖν. παρεισῆλθεν οὕτω καὶ ἡ ἁμαρτία, παρεισῆλθε διὰ τοῦ νόμου διάβολος.
Ρωμ. ζ. ια. Ἡ γὰρ ἁμαρτία ἀφορμὴν λαβοῦσα διὰ τῆς ἐντολῆς, ἐξηπάτησέ με, καὶ δι᾽ αὐτῆς ἀπέκτεινεν.
Ρωμ. ζ. ιβ. ἵνα μὴ οὕτω τις νομίσῃ τὴν ἐντολὴν εἶναι τὴν θανατοποιόν, λέγει· Ὥστε ὁ μὲν νόμος ἅγιος καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή. τὸ οὖν ἀγαθὸν ἐμοὶ γέγονε θάνατος; μὴ γένοιτο· ἀλλ᾽ ἵνα ἡ ἁμαρτία φανῇ διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη θάνατον. πανταχοῦ ἁμαρτωλὸν λέγει τὴν ἁμαρτίαν, τουτέστι, τὸν διάβολον· ἵνα, φησί, φανῇ καθ᾽ ὑπερβολὴν ἁμαρτωλὸς ὁ διάβολος, διὰ τῆς ἐντολῆς ἐργαζόμενος θάνατον. οἴδαμεν ὅτι ὁ νόμος πνευματικός ἐστιν, ἐγὼ δὲ σαρκικός εἰμι. σύ, Παῦλε, σαρκικός, ὁ ὑπὸ τοῦ ἁγίου πνεύματος κυβερνώμενος, ὁ λαλοῦντα ἔχων ἐν ἑαυτῷ τὸν Χριστόν; εἰ σὺ σαρκικός, διὰ τί τοὺς μαθητὰς
Ρωμ. η. θ. τοὺς σοὺς ἠπάτησας, λέγων· Ὑμεῖς οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ᾽ ἐν πνεύματι; οἱ μαθηταί σου οὐκ εἰσὶν ἐν σαρκί, καὶ σὺ σαρκικὸς εἶ; ἐγὼ δὲ σαρκικός εἰμι. ἐγώ. τίς; ὁ πρὸ τοῦ νόμου καὶ ἐν τῷ νόμῳ πολιτευσάμενος, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν. οὐκ εἶπε, πραθεὶς ὑπὸ τῆς ἁμαρτίας, ἀλλά, πεπραμένος τῇ ἁμαρτίᾳ. οὐ γὰρ ἕτερός τις τῶν ἀνθρώπων πέπρακεν, ἀλλ᾽ ἑαυτὸν ἐπώλησεν. ὥσπερ γὰρ ἐν ἡμῖν τοῖς ἀνθρώποις εἰσί τινες οἱ κατ᾽ ἀνάγκην πιπρασκόμενοι, εἰσὶ δὲ ἄλλοι ἐλευθερίας μετέχοντες, δι᾽ ἐπιγαμίας δὲ παιδισκῶν ἢ ἑτέρας τινὸς ἀνάγκης εἰς δουλείαν αὑτοὺς ἐκδιδόασιν· οὕτω καὶ ὁ ἄνθρωπος, ἐλεύθερος ὢν τὴν φύσιν, καὶ ἐλευθέρας φύσεως λαχών, ἑκὼν ἑαυτὸν ἐπώλησε. θέλεις ἰδεῖν ἑαυτὸν πωλοῦντα ἄνθρωπον; βλέπε τί φησιν ὁ Ἠλίας πρὸς τὸν Ἀχαάβ, ὡς ἀπέστειλεν αὐτὸν ὁ Θεὸς ἐλέγξαι
γ. Βασ. κα. κ. αὐτὸν διὰ τὸν ἀμπελῶνα, ὃν ἀφείλετο τοῦ Ναβουθέ. λέγει αὐτῷ Ἀχαάβ, Εὕρηκάς με ὁ ἐχθρός μου; λέγει αὐτῷ Ἠλίας· εὕρηκά σε, διότι ἐπράθης ποιῆσαι τὸ πονηρὸν ἐνώπιον Κυρίου. ἡ γὰρ πρᾶσις ἡμῶν διὰ τῶν ἔργων τῆς πονηρίας. ἐγὼ δὲ σαρκικός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν. ὁ γὰρ τῇ κακῇ συνηθείᾳ προειλημμένος, οὐδέ, ἂν θέλῃ, ἑαυτὸν εὐκόλως
* * ἐκβάλλει τῆς δουλείας. δευτέρα γὰρ φύσις ἡ συνήθεια· καὶ ἡ φύσις κατὰ τῶν ἀνθρώπων. διὰ τοῦτο ἐπήγαγεν· οὐ γὰρ ὃ βούλομαι, τοῦτο ποιῶ, ὡς ἅπαξ πεπραμένος, οὐδὲ ὃ θέλω, τοῦτο πράσσω. ταῦτα πρέποντα οἰκέτῃ τὰ ῥήματα. ὥσπερ γάρ τις οὐχ, ἃ θέλει, πράττει, ἀλλὰ κελεύεται· οὕτως ὁ ἄνθρωπος οὐκ εἶχεν ἐξουσίαν ποιεῖν ἃ ἐβούλετο, ἀλλ᾽ ἃ ἐκελεύετο ὑπὸ τῆς ἁμαρτίας. λοιπὸν γὰρ ἐβασίλευσεν ἡ ἁμαρτία· βασιλεῖ δὲ ἀντιλέγειν οὐκ ἦν. πέπρατο τοίνυν ὁ ἄνθρωπος, οὐχ ὁ Παῦλος, ἀλλ᾽ εἰκὼν τοῦ ἀνθρώπου, τὸ πλάσμα τὸ τῆς ἐλευθερίας. καὶ ἵνα συντέμω, ὅτε εἶπε, πολλὰ τῆς ἠναγκασμένης δουλεί-
Ρωμ. ζ. κδ. ας τεκμήρια ἐπήγαγε· Ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται τοῦ σώματος τοῦ θανάτου τούτου; βλέπεις πῶς εἰσήγαγε τὸν ἄνθρωπον, ὡς ἐν δουλείᾳ πικρᾷ καὶ τυραννίδι ἐξεταζόμενον, καὶ ἀποδύσασθαι ἐπιποθοῦντα τὴν δουλείαν, καὶ ἐπιζητοῦντα τὴν ἐλευθερίαν, καὶ ἐπικαλούμενον τὴν εὐεργεσίαν; ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται; τίς ἔρχεται; εὐχαριστῶ τῷ Θεῷ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ἵνα δείξῃ σοι, τὴν πρᾶσιν τῆς ἁμαρτίας λέγει τὸν ποτε ὑπὸ τὸν νόμον, ἐλευθερίαν δὲ τῶν πεπραμένων τοὺς διὰ τῆς εὐαγγελικῆς χάριτος ἐξαγορασθέντας, λέγει, ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται; εὐχαριστῶ τῷ
Ρωμ. η. β. Θεῷ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας. Ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με. ὁρᾷς πῶς τὸν ἄνθρωπον τὸν ἐλευθερούμενον καὶ τὸν δουλεύοντα εἰσήγαγε; καὶ οὐ περὶ ἑαυτοῦ μόνου φθέγγεται, ἀλλὰ περὶ πάσης ὁμοῦ

τῆς ἀνθρωπότητος. ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου. καὶ πῶς ἠλευθερώθης; Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός· ἐπειδὴ ὁ μὲν νόμος ἐκέλευε τὸ ἀγαθὸν, ἡ δὲ σὰρξ οὐχ ὑπήκουεν, ὡς πεπραμένη τῇ ἁμαρτίᾳ, ἃ μὴ ἠδυνήθη ὁ νόμος κατορθῶσαι διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς, κατώρθωσε διὰ τῆς δυνάμεως τῆς σαρκὸς τοῦ Χριστοῦ. τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς (οὐ γὰρ δι' ἑαυτὸν ἠσθένει ὁ νόμος, ἀλλὰ διὰ τῆς σαρκὸς) ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν, τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα. ἀποδέδοται τοίνυν Θεοῦ χάριτι τῶν ζητουμένων ἡ λύσις, ὅτι οὐ περὶ ἑαυτοῦ ταῦτα Παῦλος φθέγγεται, οὐδὲ τὴν ἑαυτοῦ συκοφαντεῖ ἐλευθερίαν, οὐχ ἑαυτὸν ὑπὸ τὴν ἁμαρτίαν τίθησιν, οὐδὲ πνευματικὸν καὶ σαρκικὸν ἑαυτὸν εἰσηγεῖται· ἀλλ' ἔστησεν, ὥσπερ ἐν εἰκόνι, τῷ λόγῳ τὸν πρὸ τοῦ νόμου ἄνθρωπον, τὸν ἐν τῷ νόμῳ, τὸν μετὰ τὴν χάριν· εἶτα ἐποίησεν εἰσελθεῖν εἰς ἐπίγνωσιν. τίς οὖν ὁ ἄνθρωπος ὁ πρὸ τοῦ νόμου; τίς ἐν τῷ νόμῳ; τίς μετὰ τὴν ἐν Χριστῷ ἐλευθερίαν; ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας. ἐνταῦθα λύεται καὶ τὸ ἕτερον ζήτημα. λέγουσι γὰρ οὐκ Ἀπολλινάριοι μόνον, ἀλλὰ καὶ Ἀρειανοὶ καὶ Εὐνομιανοὶ, ὅτι σάρκα μόνον ἀνέλαβεν ὁ σωτὴρ, οὐχὶ δὲ καὶ ψυχήν. καὶ οἱ μὲν ἐφιλοτιμήσαντο, καὶ εἶπον ψυχὴν ἄνευ νοῦ, οἱ δὲ σάρκα μόνην τὸν σωτῆρα εἰληφέναι. ἀποδέδεικται δὲ ἡμῖν διὰ τῶν προειρημένων τῇ προτεραίᾳ, ὅτι ἡ γραφὴ εἴωθε τοῦ ἀνθρώπου μνημονεύειν, καὶ τὸν ἄνθρωπον ἀπὸ μέρους καλεῖν. ποτὲ γὰρ ἀπὸ τῆς σαρκὸς τὸν πάντα ἄνθρωπον ὀνομάζει (Πρὸς σὲ πᾶσα σὰρξ ἥξει, ἀντὶ τοῦ, πᾶς ἄνθρωπος) ποτὲ δὲ ἀπὸ ψυχῆς, ὡς ὅταν λέγῃ, Ἐν ἑβδομήκοντα πέντε ψυχαῖς κατῆλθεν Ἰακὼβ εἰς Αἴγυπτον· ποτὲ δὲ ἀπὸ τῆς πνοῆς, ὡς τὸ, Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. δεῖξον τοίνυν πού τὴν σάρκα ἄψυχον ἡ γραφὴ λέγει· ἐὰν δὲ ὅλως τελευτήσῃ, οὐκέτι σὰρξ λέγεται, ἀλλὰ σῶμα νεκρόν. οὐδεὶς ποτε νεκρὸν ἐκάλεσε σάρκα, ἀλλὰ σῶμα νεκρόν. ἕως γὰρ ἔχει τὴν ζωτικὴν δύναμιν καὶ ζῇ, σὰρξ ὀνομάζεται· νεκρωθεῖσα δὲ, σὰρξ μὲν οὐ καλεῖται, σῶμα δὲ προσαγορεύεται. σῶμα γὰρ πᾶν ἄψυχον· καὶ λίθος σῶμα, καὶ ξύλον σῶμα, καὶ πνεῦμα τὸ μὴ ἔχῃ ψυχὴν σῶμα λέγεται. Εἰπὲ δέ μοι, διὰ τί μὴ ἀνέλαβε τὴν ψυχήν; ἦλθε γὰρ, φησὶν, αὐτὸς δι' ἑαυτοῦ σῶσαι, οὐ χρείαν δὲ εἶχε τῆς ἡμετέρας ψυχῆς. διὰ τί οὖν τὴν σάρκα ἀνέλαβεν; ἐπειδὴ οὐκ ἠδύνατο φανῆναι ὡς Θεὸς, ἀνέλαβε τὴν σάρκα, ἵνα δι' αὐτῆς πολιτεύσηται. οὐκοῦν οὐκ εἶχε ψυχὴν ἡ σάρξ; πῶς οὖν ἐπείνασε; πῶς ἐδίψησε, πῶς ἐκοπίασεν; εἰ γὰρ τὴν ψυχὴν ἐκβαλὼν τὸν Θεὸν εἰσάγεις, καὶ τὸ πεινᾶν καὶ τὴν δίψαν ἐπ' ἐκεῖνον φέρεις. ἄλλως τε, ἀδελφοὶ, εἰ μὴ ἦν καὶ Θεὸς λόγος καὶ ἔμψυχος ἄνθρωπος τὸ σκεῦος τῆς ἀνθρωπότητος τὸ ἑνωθὲν αὐτῷ, ἀλλὰ μόνη ἦν ἡ θεότης ἐν σαρκὶ, περὶ ποίας ὁ σωτὴρ ἔλεγε ψυχῆς, Πάτερ, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου; εἰ θεότης ἦν μόνη, ψυχὴ δὲ οὐκ ἦν, τίς ὁ παρατιθέμενος, καὶ τί τὸ παρατεθέν; πάτερ, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου, τουτέστι, τὴν ψυχήν. εἰ μόνην εἰσηγῇ τὴν θεότητα ἐν τῇ σαρκὶ, ψυχὴν δὲ ἐκβάλλεις, τίς ὁ παρατιθέμενος, καὶ τί τὸ παρατεθέν; δῆλος ὁ σκοπὸς τῶν αἱρετικῶν δῆλος. διὰ τοῦτο γὰρ ψυχὴν λέγουσι μὴ ἀνειληφέναι τὸν Κύριον, ἵνα πάντα τὰ ταπεινὰ τῶν ῥημάτων εἰς τὴν θεότητα ἑλκύσωσιν· ἵν' ὅταν ἀναγνῶσιν, Ἐγὼ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, Ὅτι ὁ πατήρ μου ἐντολήν μοι δέδωκε, Τί εἴπω, ἢ τί λαλήσω, μηκέτι τῇ ἀνθρωπότητι, ἀλλὰ τῇ θεότητι ἐπιγράψωσιν. εἶδες εἰς ὅσον βυθὸν ἀσεβείας ἐξολισθαίνουσι; ποῖον ἐστὶ τὸ πνεῦμα, ὃ λέγει, Εἰς χεῖράς σου παρατίθημι, κἂν βιάσωνται, οὐχ εὑρίσκουσι. λύεται γὰρ δι' ἑτέρων, ὅτι τὸ πνεῦμα τὴν ψυχὴν ἐκάλεσεν. ἄκουε Στεφάνου λέγοντος ἐν τῷ μαρτυρίῳ, Κύριε Ἰησοῦ, δέξαι τὸ πνεῦμά μου. ὅτι τὸ πνεῦμα ἡ ψυχή ἐστι, Στέφανος μαρτυρεῖ. τίς οὖν ὁ παραθέμενος τὸ πνεῦμα; καὶ τί ᾧ παρετέθη τὸ πνεῦμα; περὶ ποίας δὲ διαλέγεται οὐσίας; εἰς ἣν οἱ ἀπόστο-

Ρωμ. η. γ. δ.

Ψαλ. ξδ. γ.

Πραξ. ζ. ιδ.

Ψαλ. ρν.

Λουκ. κγ. μς.

Ιωαν. ιβ. μθ.

Πραξ. ζ. νθ.

Ψαλμ. ιε. ι. λει τὴν προφητείαν ἕλκουσιν, ὅτι Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου, οὐδὲ δώσεις
τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου, περὶ Θεοῦ
ἦν ὁ λόγος; Θεὸς οὐ καταλιμπάνεται εἰς ᾅδου. κατέσχε γὰρ ᾅδης Θεόν; κατέσχε τὴν ζωοποιὸν
δύναμιν ἡ διαφθορά; οὐκ ἤκουσας Παύλου λέγοντος, καθότι οὐκ ἦν δυνατὸν τὴν ζωὴν
ὑπὸ τῆς φθορᾶς κατέχεσθαι; τὴν ζωὴν δὲ σῶμα λέγει. εἰ δὲ τὸ σῶμα ζωὴ, κατείχετο
ἡ ζωὴ θανάτῳ; οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου. ὅλην πεσοῦσαν τὴν
ἀνθρωπότητα ὅλην ἤγειρεν· ὅλον πεσόντα τὸν ἄνθρωπον ὅλον ἀνεκαίνισεν. ἀλλ' ἐὰν εἴπῃς,
φησὶ, τέλειον ἄνθρωπον ἀνεκαίνισε, ποίαν διαφορὰν αὐτῷ δίδως παρὰ τοὺς ἀποστόλους; καὶ
γὰρ ἐν ἐκείνοις ἐγένετο ὁ Θεός. ἀλλ' ἕτερόν ἐστιν ἐνοικῆσαι, καὶ ἄλλο ἀναλαβεῖν καὶ ἑνωθῆναι.
Λευϊτ. κϛ. ιβ. περὶ ἡμῶν εἴρηται, Ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω. τῆς ψυχῆς λέγει τὴν ἁπλότητα,
τὴν ἀρετὴν τῆς ψυχῆς ὑποτίθεται, ἣν ἐπαναπαύεται Θεὸς καὶ ἐμπεριπατεῖ. ἐπεὶ
δὲ τοῦ Χριστοῦ αὐτὸ τὸ σῶμα ἐκ κοιλίας ἑνωθὲν ναὸς ἐγένετο, οὐ κατὰ προκοπὴν πολιτείας ἐδέξατο
Θεὸν ἐνοικοῦντα, ἀλλ' ἅμα ναὸς κατεσκευάσθη, ἅμα Θεὸς ἐνῴκησε. ναὸς οὖν
Ἰωάν. β. ιθ. ἦν τοῦ ἑνωθέντος Χριστοῦ τὸ σῶμα. διὰ τοῦτό φησι, Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις
ἐγερῶ αὐτόν. ὢ τῆς ἀτοπίας τῶν πάντα τολμώντων ἀδεῶς. ἀλλὰ ταῦτα μὲν
πρὸς αἱρετικοὺς τοὺς λέγοντας ψυχὴν καὶ σῶμα καὶ πνεῦμα, καὶ βιαζομένους τὸ ἀποστολικὸν ῥῆμα
τὸ λέγον· Ὁ Θεὸς φυλάξει ὑμῶν τὸ σῶμα καὶ τὴν ψυχὴν καὶ τὸ πνεῦμα. ἐκεῖνο ἀναγκαῖον
εἰπεῖν· πνεῦμα νομίζουσι τὸν νοῦν. εἰ τοίνυν τὸ πνεῦμα ὁ νοῦς ἐστι, διὰ τί ὁ ἀπόστολος
α. Κορ. ιδ. ιε. λέγει, Ψαλῶ τῷ πνεύματί μου, ψαλῶ καὶ τῷ νοΐ; εἰ γὰρ τὸ αὐτὸ πνεῦμα καὶ νοῦς, διὰ τί μερίζει
Παῦλος λέγων, ψαλῶ τῷ πνεύματι, ψαλῶ καὶ τῷ νοΐ; εἰ τὸ πνεῦμα νοῦς, διὰ τί νοῦν
παρὰ τὸ πνεῦμα ἕτερον λέγει; ἀλλ' ἐπειδὴ, φησιν, οὐ καταδέξω οὕτως, ἑρμήνευσον ὡς
φρονεῖς. τί ἐστιν ὃ λέγει Παῦλος, ὁ δὲ Θεὸς φυλάξει ὑμῶν τὴν ψυχὴν καὶ τὸ πνεῦμα; πνεῦμα
ἔθος τῇ γραφῇ καλεῖν τὸ χάρισμα τοῦ ἁγίου πνεύματος. παρακαλῶ, συναγωνίσασθέ μοι
τῷ καμάτῳ. οὐ γὰρ μικρὸν πρᾶγμα αἱρετικὴν ἄκανθαν ἐκκόψαι. πνεῦμα ἔθος τῇ γραφῇ
καλεῖν τὸ χάρισμα τοῦ ἁγίου πνεύματος· οἷον ἐάν τις λάβῃ πνεῦμα σοφίας, ἢ πνεῦμα
α. Κορ. ιδ. ιβ. γνώσεως. αὐτὸ τὸ δῶρον τοῦ πνεύματος καλεῖται πνεῦμα. λέγει Παῦλος, Ἐπεὶ ζηλωταὶ
πνευμάτων ἐστὲ, ἀντὶ τοῦ χαρισμάτων πνευματικῶν· οὐ γὰρ πολλὰ πνεύματα. ἐπεὶ ζηλωταὶ
ἐστε πνευμάτων, ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι. δείκνυμι, φησιν, ὑμῖν τίνα ὀφείλετε
τῶν χαρισμάτων ζητεῖν. καλεῖται τοίνυν πνεῦμα ἡ τοῦ πνεύματος χάρις, οὐκ αὐτὴ ἡ οὐσία
α. Κορ. ιβ. ια. τοῦ πνεύματος, ἀλλ' ἡ ἐνέργεια τοῦ πνεύματος. Ταῦτα δὲ πάντα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα.
ἐνέργεια πνεύματος τὸ πνεῦμα, τουτέστι, τὸ χάρισμα, οὐκ αὐτὴ ἡ οὐσία τοῦ πνεύματος. καλῇ
σὺ πνευματικὸς, ἐπεὶ καλεῖται τὸ παρὰ σοὶ χάρισμα πνεῦμα. λέγει οὖν ὁ ἀπόστολος, ὁ Θεὸς
φυλάξει ὑμῶν τὸ σῶμα καὶ τὴν ψυχὴν καὶ τὸ χάρισμα, ὃ ἐλάβετε ἀπὸ τοῦ πνεύματος.
πάλιν τὸ πνεῦμα χάρισμα λέγει. τὸ γὰρ χάρισμα διὰ σπουδῆς αὔξεται, καὶ δι' ἀμελείας
α. Θεσ. ε. ιθ. ἀπόλλυται. ὁ ἀπόστολος λέγει, Τὸ πνεῦμα μὴ σβέννυτε· οὔτε γὰρ τὴν οὐσίαν τοῦ πνεύματος
σβέσαι δυνατὸν, οὔτε τὸν νοῦν τὸν κατὰ φύσιν ὄντα· ἀλλ' ἐπειδὴ τὴν χάριν ἐν μὲν τῇ σπουδῇ
αὐξομένην, ἐν δὲ τῇ ῥᾳθυμίᾳ σβεννυμένην, λέγει, τὸ χάρισμα, ὃ ἐλάβετε, μὴ σβέννυτε. πνεῦμα
τοίνυν καλεῖ τοῦ πνεύματος τὴν ἐνέργειαν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ
Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

β. Κορ. ιβ. θ.

Λογ. ρκβ. ΕΙΣ ΤΟ *, ΑΡΚΕΙ ΣΟΙ Η ΧΑΡΙΣ ΜΟΥ· Η ΓΑΡ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται.

* ἀποστολικ ῥητὸν

Ὅτι

Ὅτε τὸν παναρμόνιον τουτονὶ κόσμον ἐξ ἀρχῆς ἔπλαττεν ὁ Θεός, θαύματα ἐπὶ θαύμασιν εἰργάσατο, οὐ νόμῳ φύσεως δουλεύων, ἀλλ' ἐξουσίᾳ δυνάμεως πάντα τεκταινόμενος. οἷόν τι λέγω. Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. εἶδες τάξιν καὶ ἀκολουθίαν; πρότερον τὸν ὄροφον, καὶ τότε τὸ ἔδαφος. ὅπερ γὰρ εἶπον, οὐ νόμῳ φύσεως ἐδούλευεν, οὐδὲ τάξει τέχνης, ἀλλ' ἐξουσίᾳ δυνάμεως. εἱστήκει ἡ στέγη, καὶ τὸ ἔδαφος οὐκ ἐφαίνετο. ἡ γὰρ δύναμις τοῦ ἐργαζομένου πάντα διεκράτει. ἐρώτησον τὸν αἱρετικόν· εἰπέ μοι, πῶς ἡ στέγη ἐγένετο, καὶ τὸ ἔδαφος οὐχ ὑπέκειτο; εἰπέ μοι τὸν λογισμόν· εἰπέ μοι τὸν τρόπον. ἀλλὰ σιγᾷς, καὶ πίστει σεαυτὸν παραχωρεῖς. ποίας ἄξιος εἶ συγγνώμης*, τὰ μὲν κοσμικὰ καὶ ἐπίγεια τῇ πίστει σαυτῷ παραχωρῶν, τὰ δὲ θεῖα καὶ ἐπουράνια περιεργαζόμενος καὶ πολυπραγμονῶν; ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν· ἐποίησε τὴν γῆν ἔδαφος, καὶ ὕδατα αὐτῇ ὑπέθηκεν. εἶδες θεμέλιον τοῦ οἰκοδομήματος, ἄνωθεν γῆ, καὶ κάτωθεν ὕδατα. καίτοιγε οἱ οἰκοδόμοι ἑτέρως ἐργάζονται· ἐξαντλοῦσι τὰ ὕδατα, καὶ τότε τὸν θεμέλιον καταβάλλονται. ὁ δὲ Θεὸς ἐπάνω τῶν ὑδάτων ἔθηκε τὸν θεμέλιον, ἵνα μὴ τὴν δύναμιν τοῦ θεμελίου, ἀλλὰ τὴν ἐξουσίαν τοῦ ἐργαζομένου θαυμάσῃς. ἀλλ', ὅπερ ἔλεγον, προσέχετε μετὰ ἀκριβείας· φιλοσόφων γὰρ ἅπτομαι λόγων. ὅτε δὴ τὸν παναρμόνιον τουτονὶ κόσμον εἰργάζετο, τὰ μὲν ἄλλα πάντα ἀπὸ μοναδικῆς ἐποίησεν οὐσίας. κἂν ἀσαφὴς ᾖ ὁ λόγος, ποιήσω αὐτὸν σαφέστερον, ἐὰν προσέχητε. τὰ μὲν ἄλλα πάντα ἀπὸ μοναδικῆς ἐποίησεν οὐσίας, τὰ ἄνω καὶ τὰ κάτω. καὶ γὰρ κόσμος ἐκεῖνος, καὶ κόσμος οὗτος· δύο οὗτοι κόσμοι. ἀλλ' ἕκαστος τῶν γενομένων ἀπὸ μοναδικῆς ἦν οὐσίας. οἷόν τι λέγω. τὰ ἄνω πάντα ἀσώματα, τὰ κάτω πάντα σώματα· τὰ ἄνω νοερά, τὰ κάτω αἰσθητά· τὰ ἄνω ἀόρατα, τὰ κάτω ὁρατά. πάντα σώματα τὰ κάτω, καὶ οὐρανός, καὶ ἥλιος, καὶ σελήνη, καὶ γῆ καὶ θάλαττα, καὶ δένδρα καὶ φυτά, καὶ βόες, καὶ πρόβατα, καὶ ἵπποι· πάντα ὁρώμενα, πάντα αἰσθητά, πάντα σώματα, πάντα ἁφῇ ὑποβαλλόμενα, καὶ ὄψει ὁρώμενα. τὰ ἄνω πάντα ἀόρατα, νοερά, ἄγγελοι, ἀρχάγγελοι, θρόνοι, κυριότητες, ἀρχαί, ἐξουσίαι, δυνάμεις, τὰ χερουβίμ, τὰ σεραφίμ. οὔτε ἐκεῖνα ὁρατά, οὔτε ταῦτα ἀόρατα· οὔτε ἐκεῖνα σώματα, οὔτε ταῦτα ἀσώματα, ἀλλὰ καὶ ταῦτα σώματα, καὶ ἐκεῖνα ἀσώματα· πάντα ἐκ μοναδικῆς ἐγένετο οὐσίας, καὶ τὰ κάτω, καὶ τὰ ἄνω. καὶ τὰ μὲν ἀπὸ σωμάτων, τὰ δὲ ἐξ ἀσωμάτων, τὰ μὲν σώματα, τὰ δὲ ἀσώματα· μόνος ὁ ἄνθρωπος ἐκ διπλῆς ἐγένετο οὐσίας, τῆς μὲν βελτίονος, τῆς δὲ χείρονος, ψυχῆς τε καὶ σώματος. ἡ μὲν γάρ ἐστιν ἀόρατος καὶ νοερά, ἡ ψυχή· τὸ δὲ σῶμα αἰσθητὸν καὶ ὁρατόν. τίνος οὖν ἕνεκεν οἱ μὲν δύο κόσμοι οὗτοι ἀπὸ μοναδικῆς ἐγένοντο οὐσίας, καὶ οὔτε ἄνω σώματα, οὔτε κάτω ἀσώματα· ἄνθρωπος δὲ μόνος ἀπὸ ἀσωμάτου καὶ σώματος συνέστηκεν; ἀκούσατε τὴν αἰτίαν, καὶ μάθετε τοῦ ἐργασαμένου τὴν σοφίαν. ἐπειδὴ γὰρ δύο κόσμοι ἦσαν οὗτοι τῇ οὐσίᾳ διεστηκότες, ὁ μὲν ἀσώματος, ὁ δὲ ἐνσώματος· ὁ μὲν ἀόρατος, ὁ δὲ ὁρατός· ὁ μὲν νοερὸς ὁ ἄνω, ὁ δὲ αἰσθητὸς ὁ κάτω· ἵνα μὴ ἡ διαφορὰ τῶν ἔργων διαφόρους δημιουργοὺς εἰσαγάγῃ, καὶ μὴ λέγηται, ὅτι ἄλλος τὰ ἄνω ἐποίησε, καὶ ἄλλος τὰ κάτω, διπλοῦν ζῷον ἐν τῷ κόσμῳ ἔθηκεν ἀνακηρύττειν καὶ τῶν ἄνω, καὶ τῶν κάτω τὴν δημιουργίαν. διπλοῦς κόσμος ἄνθρωπος, καὶ τῶν ἄνω τὸ συγγενὲς ἔχων τὴν ψυχήν, καὶ τῶν κάτω τὸ σῶμα, σύνδεσμός τις καὶ γέφυρα, ἕνα δημιουργὸν ἔχων τῶν τε ἄνω καὶ τῶν κάτω ἐργασάμενον· καὶ καθάπερ παρθένος, ἐμπέπλεκται ἡ ψυχὴ ἐν μέσῳ τῷ σώματι. ἐπεὶ οὖν διπλῆ γέγονεν ἡ οὐσία, διπλῆ αὐτῆς καὶ ἡ χρεία. πρόσεχε μετὰ ἀκριβείας τῷ λόγῳ· διπλῆ αὐτῆς καὶ ἡ χρεία. ἔστι σῶμα, καὶ ἔστι ψυχή. ὥρισε τῷ σώματι τροφήν, καὶ τῇ ψυχῇ λόγον· τρέφεται τὸ σῶμα ἄρτῳ, τρέφεται καὶ ἡ ψυχὴ τῷ λόγῳ· ἔχει ἔνδυμα τὸ σῶμα ἱμάτια, ἔχει ἔνδυμα καὶ ἡ ψυχὴ τὴν ἀρετήν.

γρ. τιμώμενος

* εἰπέ μοι

ἰσ. ὧν

γρ. λέγηται,

Ex edit. Rom. emend. ex Ms. Ox.

Γεν. α. α.

Ψαλμ. μδ. ια. ιε.

ἀρετήν. Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη, οὐ περὶ αἰσθητῶν ἱματίων λέγουσα ἡ γραφή, ἀλλὰ περὶ τῶν τῆς ἀρετῆς. Πᾶσα γὰρ ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν ἐν κροσσωτοῖς χρυσοῖς. τί δήποτε; διπλοῦς ὁ ἄνθρωπος, καὶ διπλῆ ἡ οὐσία· καὶ δεῖται ἡ ψυχὴ λόγου διδάσκοντος, νουθετοῦντος, ἀπωθουμένου τὰ πάθη, διορθοῦντος τὰ τραύματα. μὴ τοίνυν τὴν αἰσθητὴν μόνον προσέχωμεν τράπεζαν, ἀλλὰ καὶ τὴν νοερὰν ὑμῖν * παραθώμεθα, ἀπὸ τῶν Παύλου ῥημάτων τὴν ἑστίασιν ὑμῖν ἐργαζόμενοι, καὶ τὸν σκηνοποιὸν εἰς μέσον ἄγοντες, τὸν ἰδιώτην, τὸν ἀμαθῆ, τὸν τῆς οἰκουμένης διδάσκαλον, τὸν τοῖς δαίμοσι φοβερόν, τὸν νοσήματα ἐλαύνοντα, τὸν ἄνω καὶ κάτω περιτρέχοντα, τὸν εἰς παράδεισον ἐλθόντα, τὸν εἰς τρίτον ἀρθέντα οὐρανόν, τὸν ἐν τῇ τέχνῃ τοσαύτην ἔχοντα τὴν χάριν, τὸν οὐ παρὰ τῆς τέχνης διακωλυόμενον, ἀλλ' ἐπιτήδευμα μεταχειρίζοντα, καὶ λάμποντα τοῖς κατορθώμασιν. ἄγωμεν αὐτὸν εἰς τὸ μέσον· οὐ γὰρ λαμβάνω αὐτοῦ κόρον τῶν ἐγκωμίων· ἐραστὴς αὐτοῦ εἰμι τοῦ κάλλους. οὐ γάρ ἐστι σωματικόν, ἵνα σήπηται, ἀλλὰ πνευματικὸν μηδέποτε μαραινόμενον. τὸ σῶμα διελύθη, καὶ ἡ μορφὴ λάμπει ὑπὲρ τὸν ἥλιον. ὁ ἥλιος ἄνω τρέχει, Παῦλος κάτω ἀντιτρέχει· ὁ μὲν αἰσθητὸν φαίνων φῶς, ὁ δὲ νοερὸν εἰς τὰς ψυχὰς εἰσάγων· ὁ μὲν ἐν νυκτὶ παραχωρῶν, ὁ δὲ καὶ ἐν νυκτὶ λάμπων. ἔλαβε βασιλέας, καὶ εὐσεβείας ἐνέπλησεν· ἔλαβε γυναῖκας, καὶ ἀνδρῶν ἀνδρειοτέρας κατέστησεν· ἔλαβε νέους, καὶ γεγηρακότων συνετωτέρους κατεσκεύασεν· ἑκατέραν φύσιν, πᾶσαν ἡλικίαν κατώρθωσεν ὁ σμίλην ἔχων, ὁ δέρματα ῥάπτων. οὐ γὰρ παύσομαι συνεχῶς αὐτοῦ λέγων τὴν τέχνην. νύμφη παρεσκευασμένη, βασιλέων σεμνότερος, πλουσίων εὐπορώτερος, στρατιωτῶν δυνατώτερος, τειχῶν ἀσφαλέστερος, [λύρα ἡ γλῶσσα,] μέλιτος γλυκύτερος, θαλάσσης βαθύτερος, οὐρανοῦ ὑψηλότερος, πυρὸς θερμότερος, σιδήρου τομώτερος, Θεοῦ τὴν χάριν ἔχων, ναὸς τοῦ Θεοῦ, στόμα τοῦ Χριστοῦ, λύρα τοῦ πνεύματος, τῶν κατηχουμένων κήρυξ, τῶν πιστῶν παιδοτρίβης, πανταχοῦ περιερχόμενος, τεῖχος μηδέποτε καταπίπτον, ἐπιστολαῖς τὴν οἰκουμένην νικῶσαι καὶ τὴν κιβωτόν. καθάπερ γὰρ Νῶε σανίδας ῥάψας κιβωτὸν εἰργάσατο, οὕτω καὶ Παῦλος ἐπιστολὰς γράψας κατεσκεύασε κιβωτὸν νοεράν. αὕτη ἐκείνης βελτίων. ἡ μὲν γὰρ ἐλάμβανε τὰ ἄλογα, καὶ ἐτήρει τὰ ἄλογα· αὕτη δὲ λαμβάνει τὰ ἄλογα, καὶ μεταβάλλει. οἷόν τι λέγω. εἰσῆλθεν εἰς τὴν κιβωτὸν λύκος, καὶ ἐξῆλθε λύκος· εἰσῆλθεν εἰς τὰς Παύλου ἐπιστολὰς λύκος, καὶ ἐξῆλθε πρόβατον· εἰσῆλθε μάγος, καὶ διωρθώθη· εἰσῆλθεν ὕπατος, καὶ βελτίων ἐγένετο. καὶ ἐκείνη μὲν ἡ κιβωτὸς τὸν Νῶε διέσωσε μόνον μετὰ δύο, ἢ τριῶν ὀνομάτων· αὕτη δὲ ἡ κιβωτὸς τὴν οἰκουμένην ἐσαγήνευσε. πανταχοῦ πλεῖ καθ' ἑκάστην ἡμέραν, καὶ αἱ σανίδες οὐ διαλύονται. οὐ γὰρ πίσσῃ, ἀλλὰ πνεύματί εἰσι κεχρισμέναι. ἀπῆλθεν ὁ Νῶε ἐξ αὐτῆς, καὶ αὐτὴ πλεῖ· ἀπέθανε Παῦλος, καὶ ἡ κιβωτὸς ζῇ· καθ' ἑκάστην ἡμέραν σαγηνεύει, καὶ οὐ καταποντίζεται. ἔχει γὰρ τοῦ κυβερνήτου τῆς οἰκουμένης τὴν χάριν αὐτὴν κατέχουσαν. ἐπεὶ οὖν τοιαῦται αἱ ἐπιστολαί, τοιαῦται αἱ σανίδες, τοιαύτη ἡ σωτηρία, φέρε δὴ τὴν γλαφυρίαν ἐνταῦθα ἀφήσωμεν, μίαν λέξιν ὑμῖν ἑρμηνεύοντες, καὶ πᾶσαν τὴν ὁμιλίαν εἰς ταύτην ἀναλίσκοντες. τοιαύτη γὰρ ἡ τῶν γραφῶν περιουσία. καθήμενος γὰρ καὶ ἀκούων αὐτοῦ λέγοντος· ὅτι ἡρπάγη εἰς τρίτον οὐρανόν, καὶ ἤκουσεν ἄρρητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ εἰπεῖν· εἶτα προϊόντος καὶ λέγοντος· Ἐν τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων, ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ· ἐφοβήθην, μή τις τῶν ἀκουόντων ἀγνοῶν τὸ νόημα, ἁπλουστέρως σκανδαλισθῇ, ἀναγκαῖον ἐποιησάμην ταύτην εἰς μέσον τὴν ῥῆσιν ἀγαγεῖν, καὶ διαψηλαφῆσαι οὕτως. εἴτε γὰρ ἠγνόει τις, σαφὲς ἔσται· εἴ τε μή, γνωριμώτεροι καὶ εὔληπτοι ἔσται. ὁ μὲν γὰρ εἰδὼς ἀναμνησθήσεται· ὁ δὲ μὴ εἰδώς, μαθήσεται. καὶ γὰρ πολλῶν ἤκουσα τὸ νόημα ἀγνοούντων καὶ λεγόντων, ὅτι παρε-

β. Κορ. ιβ. ζ.

γ. ἀποθῶμ.

* στήκειν

γ. κωλυόμ.

ἴσ. φοβηθείς

γ. ἁπλούστερον

ἂν

γ. σαφέστερον

δόθη τῷ Σατανᾷ ὁ Παῦλος. τί λέγεις, εἰπέ μοι; παρεδόθη, φησί, τῷ Σατανᾷ, ἵνα τὴν
κεφαλὴν αὐτοῦ πλήξῃ, καὶ κεφαλαλγίαν αὐτῷ ἐνέβαλεν ὁ διάβολος. τοῦτο ὅλον; τὸν διδά-
σκαλον τῆς οἰκουμένης, τὸν παραδείσου πολίτην, τὸν ναὸν τοῦ Χριστοῦ, ὅπερ ἔφην, τὴν λύ-
ραν τοῦ πνεύματος, τὸ σκεῦος τῆς ἐκλογῆς, τὸν τὴν οἰκουμένην διαδραμόντα, τὸν τὰς ἀ-
γ. διασπά- κάνθας τῶν ἁμαρτημάτων " ἀνασπάσαντα, τὸν τὰ σπέρματα τῆς εὐσεβείας ἐμβαλόντα, τὸν
ἐν γῇ τρέχοντα, τὸν ἐν θαλάσσῃ ἀγωνιζόμενον, τὸν νυχθήμερον ἐν τῷ βυθῷ πεποιηκότα,
τὸν ἐν δεσμωτηρίοις στεφανούμενον, τὸν ἐν δικαστηρίῳ τρόπαιον στήσαντα, τὸν πᾶσαν ἐπι-
δραμόντα τὴν οἰκουμένην, τὸν ἄϋπνον ἐκεῖνον, οὗ τὰ ἱμάτια νόσους ἐφυγάδευσεν, οὗ ἡ ζωὴ
θάνατον δραπετεύειν παρεσκεύασε, τοῦτον ὑποχείριον ὁ διάβολος εἶχε; καὶ μὴν τὸ ἐναν-
τίον ἀκούω ποιοῦντα. ἐπόρνευσέ τις παρὰ Κορινθίοις· ἤκουσεν ὁ Παῦλος, καὶ τί φησι; Καὶ α. Κορ. ε. β.
ὑμεῖς πεφυσιωμένοι ἐστέ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐκ τοῦ μέσου ὑμῶν ὁ τὸ ἔρ-
γον τοῦτο ποιήσας. ἐγὼ μὲν γὰρ ὡς ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ πνεύματι, ἤδη κέκρικα ὡς
παρὼν τὸν οὕτω τοῦτο κατεργασάμενον, ἐν τῷ ὀνόματι τοῦ Κυρίου συναχθέντων ὑμῶν ἀπάν-
των, καὶ τοῦ ἐμοῦ πνεύματος, σὺν τῇ δυνάμει τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ παραδοῦναι τὸν
τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου
Ἰησοῦ. ἐννόησον ἐξουσίαν Παύλου· τὸν πεπορνευκότα παρέδωκε τῷ Σατανᾷ, ἵνα πλήξῃ
αὐτὸν ὁ Σατανᾶς, ἵνα ἡ κόλασις αὐτῷ αὕτη καθάρσιον γένηται τοῦ ἁμαρτήματος. ὅτι γὰρ
τοῦτο ἐγένετο, ἐν τῇ δευτέρᾳ ἐπιστολῇ λέγει· Κυρώσατε εἰς αὐτὸν ἀγάπην, ἵνα μὴ πλεο- β. Κορ. β. ια.
νεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ. σὺ παρέδωκας τῷ Σατανᾷ, καὶ σὺ λέγεις, ἵνα μὴ πλεο-
νεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ; οὐ γὰρ οἶδε, φησι, μέτρον ὁ Σατανᾶς· παρέδωκα ὅτε ἔ-
δει, ἀπολαμβάνω ὅτε χρή· παρέδωκα ὡς δημίῳ τῷ Σατανᾷ, ἵνα μόνον ἀποσμηχθῇ ὁ
ἡμέτερος ἀδελφός· λάβωμεν αὐτόν. ἐὰν γὰρ ἐπιπλέον ἀφῶμεν αὐτὸν, πλεονεκτού-
μεθα ὑπὸ τοῦ Σατανᾶ. οὐ γὰρ οἶδε μέτρον ὁ Σατανᾶς· παρέδωκα, ἵνα διορθώσηται ἑαυ-
τόν. ἐὰν δὲ ἀφῶμεν αὐτὸν, ἀποκλενεῖ αὐτὸν ὡς τὸν Ἰούδαν. διὰ τοῦτο λέγει· κυρώσατε εἰς
αὐτὸν ἀγάπην, ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ. τί κάλλιστα εἶπεν; οὐκέτι τοῦ
Σατανᾶ ἐστιν (οὐ γὰρ ἐν πορνείᾳ ἐστὶν, ἀλλ' ἐν μετανοίᾳ) μὴ οὖν τὸ ἐμὸν λάβῃ ἐκεῖνος. ὅτε
ἦν ἐκείνου, ἔδωκα αὐτῷ, ἵνα ἐμὸν γένηται τὸ ἐκείνου. ὢ σοφία Παύλου. διὰ τοῦ λύκου τὸ πρό-
βατον ἔσωσε· διὰ τοῦ πειρατοῦ τὸν ναύτην ναυαγήσαντα ἀνιμήσατο· διὰ τοῦ πολεμίου τὸν στρα-
τιώτην εἰς τάξιν ἐπανήγαγεν. ἀντὶ φαρμάκου πικροῦ κέχρηται τῇ τοῦ διαβόλου πληγῇ.
εἰ μόνον παιδεύσει, ἀφίσταμαι αὐτοῦ. κολαζέτω ἐκεῖνος, ἵνα αἴσθηται τί εἰργάσατο ὁ πεπορνευ-
γ. τὰ ἁμαρτή-ματα κώς. ὅταν ἀποσμήξῃ "τὸ ἁμάρτημα, ὅταν ἀποσμήξῃ τὴν σηπεδόνα, καὶ ἐκκαθάρῃ τὸ τραῦμα,
τότε ἰσχυρὰ δείκνυται ἡ ψυχή. οὐκ ἀφίημι τὸ χρυσίον ἐν τῷ πυρί· ἵνα μὴ φρυγῇ, ἀνιμῶμαι
αὐτό. τοῦτο γάρ ἐστι τοῦ σοφοῦ εἰδέναι τὸ μέτρον, πόσον δοῦναι τῷ πυρὶ, καὶ πόσον λαμβάνειν. Ἵνα μὴ β. Κορ. β. ια.
πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ· οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. ὁ τοίνυν τὰ
νοήματα αὐτοῦ ἐπιστάμενος, ὁ τοσαύτην ἔχων ἐξουσίαν, ὡς καὶ ὅρους αὐτῷ τιθέναι καὶ χρόνου καὶ
μέτρου· χρόνου μὲν, ἁρπάζων παρ' αὐτοῦ αὐτόν· μέτρου δὲ, παραδιδοὺς τὸν τοιοῦτον τῷ Σα-
τανᾷ εἰς ὄλεθρον τῆς σαρκός. ἐπειδὴ γὰρ ἀκόρεστον τὸ θηρίον, καὶ οὐδέποτε λαμβάνει πλη-
*λαβὼν σμονὴν ἀπὸ τῶν ἡμετέρων σαρκῶν, ἵνα μὴ * καθάπαξ ἀποκτείνῃ αὐτὸν, διὰ τοῦτο λέγει Εἰς
ὄλεθρον τῆς σαρκός, ἵνα μὴ τῆς ψυχῆς αὐτοῦ ἅψηται· ὅπερ ὁ Θεὸς λέγει τῷ Ἰώβ, Ἄπελθε, Ἰωβ. β. ε.
πλῆξον αὐτοῦ τὴν σάρκα, τῆς δὲ ψυχῆς αὐτοῦ μὴ ἅψῃ, καὶ ὅρους τίθησι τῷ διαβόλῳ ὁ Θεός·
οὕτω καὶ ὁ δοῦλος τοῦ Θεοῦ, τῇ δυνάμει τοῦ Θεοῦ τὸν δεσπότην μιμούμενος, ἀπόφασιν αὐτῷ
δίδωσιν, ἣν ὑπερβῆναι ὁ διάβολος οὐκ ἐτόλμησεν. Εἰ γὰρ ὑπερέβη, πρὸς Παῦλον
γ. ἴσχυεν "ἴσχυσεν· ἐπεὶ καὶ τότε, ὅτε ἦν ἐν τῷ δεσμωτηρίῳ, τοιοῦτόν τι ἐργάσασθαι ἐβουλήθη ὁ διάβο- Πραξ. ις. κζ.
λος. ἐπειδὴ γὰρ τὸ δεσμωτήριον ἐσαλεύθη, ἐπειδὴ τὰ δεσμὰ ἐλύθη, ἐπειδὴ ὁ δεσμοφύλαξ ἔξ-

υπνος

ὕπνος ἐγένετο, ἔλαβε μάχαιραν, ἵνα ἀνέλῃ ἑαυτὸν, τοῦ διαβόλου κατεπείγοντος ἀναιρεθῆναι
αὐτόν. ἐπειδὴ γὰρ ἔνδον ἦν ὁ ποιμὴν, ἵνα μὴ τὸ πρόβατον σωθῇ, ἦλθεν ὁ λύκος θηριάλωτον
ποιῆσαι τὸ πρόβατον. ἀλλ' ὁ ποιμὴν καίτοι δεδεμένος κατέσχε, λέγων· μηδὲν ποιήσῃς σαυτῷ
κακόν. ὢ φιλανθρωπία ποιμένος. δέδεται, καὶ τὸν λύσαντα ἐλεεῖ· ἀφῆκε τὰ ἑαυτοῦ, καὶ τὰ
Πραξ. ις. κη. ἐκείνου μεριμνᾷ. Μηδὲν ποιήσῃς σεαυτῷ κακόν. ὁρᾷς τὰς θύρας ἀνεῳγμένας, ἀλλ' ἐγὼ
εὐγνώμων οἰκέτης. ἦν ἀνεῳγμέναι αἱ θύραι, ἀλλὰ μένω ἔνδον· ἕως ἂν σε διασώσω, οὐκ ἐξέρχομαι.
διὰ τοῦτο εἰσῆλθον, ἵνα λύσας σε τὴν σειρὰν, ἀπαλλάξω σε ἁμαρτημάτων. σὺ ἔδησας,
ἐγὼ λύω. μηδὲν ποιήσῃς σαυτῷ κακόν· πάντες γάρ ἐσμεν ἐνθάδε. τί οὖν; ὁ λύκος εἱστήκει
βουλόμενος ἀποκτεῖναι, τὸ ξίφος ὠθῶν κατὰ τοῦ δεσμοφύλακος· ὁ ποιμὴν ἐβόησεν. ἤκουσεν
ὁ λύκος, ἀφῆκε τὸ πρόβατον. ἔλαβεν ὁ ποιμὴν θηριάλωτον μέλλον γενέσθαι. καὶ
τί ποιήσω, φησὶν, ἵνα σωθῶ; βαπτίσθητι εἰς τὸ ὄνομα Χριστοῦ. βαβαὶ, πῶς εὔκολος ἡ σωτηρία,
ἄφατος ἡ φιλανθρωπία; τὸν δεσμοφύλακα ἔσωσεν ὁ δεσμώτης, τὸ δεσμωτήριον
ἐκκλησίαν εἰργάσατο. πότε, φησὶ, βαπτισθῶ, ἵνα σωθῶ; ἡ φυλακὴ οὐ κωλύει, ὁ τόπος
οὐκ ἐμποδίζει. χάρις ἐστὶν ἡ οὐ τόπου δεομένη, οὐ καιροῦ χρῄζουσα. γενέσθω καὶ τὸ δεσμωτήριον
ἐκκλησία. ὢ πῶς οὐδὲ οὗτος οὐδαμοῦ τῆς τέχνης τῆς ἑαυτοῦ ἐπελάθετο; ἀλλὰ πανταχοῦ
ἡλίευε, καὶ ἐν δικαστηρίῳ, καὶ ἐν θαλάσσῃ, καὶ ἐν νήσῳ, καὶ ἐν γῇ, καὶ ἐν ἐρήμῳ, καὶ ἐν οἰκουμένῃ.
ὁ μὲν γὰρ ἁλιεὺς, ἐὰν μὴ ἴδῃ θάλατταν, οὐχ ἁπλοῖ τὰ δίκτυα. ἐπειδὴ δὲ οὗτος οὐκ
αἰσθητὸς, ἀλλὰ νοερὸς, καὶ ἐν πλοίῳ ἡλίευε, καὶ ἐν ὄρει, καὶ ἐν πηγαῖς, καὶ ἐν ὁδοῖς, καὶ ἐν λειμῶσι,
καὶ ἐν ποταμοῖς, καὶ οὐδεὶς τόπος κώλυμα ἐγένετο τῇ τέχνῃ. ἀλλ', ὅπερ ἔλεγον· καὶ γὰρ
πολλὰς ποιησάμενοι τὰς διεξόδους, τοῦ ζητήματος οὐκ ἀποστησόμεθα. τί οὖν ἐστιν; ὁ τοίνυν τοσαύτην
ἔχων ἐξουσίαν, ὡς ἐπιτάττειν τῷ διαβόλῳ, καὶ ὅρους αὐτῷ τιθέναι, καὶ μέτρον τοῦ σκάμματος,
Λυκ. ι. ιθ. β. Κορ. ιβ. ζ. οὗτος τῷ διαβόλῳ παραδίδοται; οὐκ ἤκουσας τοῦ Χριστοῦ λέγοντος, ὅτι Πατεῖτε ἐπάνω
ὄφεων, καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ; τί οὖν ἐστι τὸ εἰρημένον, Ἐδόθη
σκόλοψ τῇ σαρκί μου, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ; ὅλη ἡ ἄγνοια ὡς ἐπὶ πολὺ ἐντεῦθεν
γίνεται τοῖς πολλοῖς ἐκ τοῦ μὴ εἰδέναι τὰ ἰδιώματα τῶν λέξεων, μηδὲ τὰς ἑρμηνείας αὐτῶν.
τὸ, κολαφίζειν, τινὲς ἐπὶ κεφαλῆς ἔλαβον μόνον. κολαφισμὸς δὲ λέγεται κάκωσις, ταπείνωσις.
ἐκολάφισεν αὐτὸν ἐχθρὸς αὐτοῦ, ἐταπείνωσε τόδε τὸ πρᾶγμα, ἐκολάφισεν, ἀντὶ
τοῦ, ἐταπείνωσεν. οὐ μόνον γὰρ ἐπὶ κεφαλῆς λέγεται. καὶ αὐτὸς κέχρηται τῇ λέξει πάλιν. ἐπειδὴ
α. Κορ. δ. ια. γὰρ ἰδιώτης ἦν, τῇ συνήθει λέξει κέχρηται εἰς παράστασιν τῶν νοημάτων. Μέχρι τῆς ἄρτι
ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἐπηρεαζόμεθα παρὰ
τῶν ἐχθρῶν, ἐπιβουλευόμεθα, κωλυόμεθα, ἐμποδιζόμεθα, ἀδικούμεθα, τουτέστι, κολαφιζόμεθα,
κακουχούμεθα, μαστιγούμεθα, δεινὰ πάσχομεν, ἐν δεσμωτηρίῳ ἐμβαλλόμεθα,
ἀπαγόμεθα, ἐξοριζόμεθα, λιμῷ παραδιδόμεθα. ὅλην οὖν ταύτην τὴν κάκωσιν κολαφισμὸν
ἐκάλεσε καὶ ταπείνωσιν.

Πρόσεχε, καὶ μὴ παραδράμῃς αὐτό. χρείαν ἔχω τῆς ἑρμηνείας ἐν τῷ καιρῷ. τί οὖν;
σαφῶς παρέξομεν. κάτεχε τὴν ἑρμηνείαν ἣν εἶπόν σοι, πρόσεχε τοῖς λεγομένοις. ὁ τοίνυν
κολαφισμὸς, τοῦτ' ἔστιν, ἡ ταπείνωσις ἡ παρὰ τῶν ἐχθρῶν γινομένη; εἴτε διὰ δεσμωτηρίου,
εἴτε δι' ἀπαγωγῆς, εἴτε διὰ δικαστηρίου, εἴτε διὰ λιμοῦ, εἴτε διὰ οἱουδήποτε πράγματος.
β. Κορ. ιβ. ζ. τί οὖν ἐστιν, Ἐν τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων, ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη
σκόλοψ τῇ σαρκί μου, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ· ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα,
καὶ εἶπέ μοι· ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται;
πρόσεχε τίς ἐστιν οὗτος ὁ ἄγγελος τοῦ Σατᾶν. οὐ γὰρ εἶπεν, ἐδόθη μοι Σατανᾶς ἄγγελος,
Φιλιπ. γ. α. ἀλλ', ἄγγελος Σατᾶν. ἔθος τῇ γραφῇ, ὃ πολλάκις μὲν εἴρηται, λεχθήσεται δὲ καὶ νῦν. Τὰ
γὰρ αὐτὰ λέγειν ἐμοὶ μὲν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ ἀσφαλές. διδάσκω γὰρ, οὐκ ἐπίδειξιν παρέχο-

μαι λόγων· φυτεύω, οὐχ ἁπλῶς περιέρχομαι. οὐκ εἰμὶ ὁδοιπόρος, ἀλλὰ σπόρον καταβάλλω. ὁ μὲν γὰρ ὁδοιπόρος τρέχει, ἵνα τὴν ὁδὸν ἀνύσῃ· ὁ δὲ σπόρον καταβάλλων σκάπτει, εἶτα καταβάλλει τὸν κόκκον, εἶτα ἐπάγει τὴν γῆν, καὶ ἐν τῷ βάθει τίθησιν, ἵνα μὴ γυμνὸν προκείμενον τὸ σπέρμα γένηται πρόσβολον τοῖς "αὐτόθι ὀρνέοις. ὅπερ οὖν ὁ γεωργὸς ἐπὶ τῶν σπερμάτων, τοῦτο ἐγὼ ἐπὶ τῶν νοημάτων. ὥσπερ γὰρ ἐπὶ τῶν σπερμάτων εἰσὶ κόρακες, οὕτως ἐπὶ τῶν νοημάτων εἰσὶ δαίμονες καὶ διάβολοι, καὶ φροντίδες βιωτικαί. διὰ τοῦτο αὐτὰ περιστέλλω, ἵνα διελθὼν τῇ φροντίδι τῇ βιωτικῇ μὴ λάβῃ τοῦ διαβόλου. ἐὰν μὲν γὰρ ἁπλώσω αὐτὰ, ἁρπάζεται· ἐὰν δὲ ἐν τῷ βάθει θῶ, διαφυλάττεται. οὐ γὰρ χρεία καιροῦ, ἀλλὰ γνώμης· οὐ χρεία ὑετοῦ, ἀλλὰ προθυμίας. μετὰ προθυμίας ἄκουσον, μετὰ σπουδῆς περίστειλον· καὶ οὐδεὶς αὐτὰ ἁρπάσαι δύναται. Τί οὖν ἔλεγον ἔθος τῇ γραφῇ; τὰ ὀνόματα πολλαχοῦ ἀπὸ τῶν τρόπων τιθέναι, καὶ μὴ ἀπὸ τῆς προσηγορίας ἐκείνης καλεῖν τὸν ἄνθρωπον, ἀφ' ἧς ἔθηκεν ὁ γονεὺς ἀπ' ἀρχῆς· ἀλλὰ ἀπὸ τῆς προσηγορίας ἐκείνης, ἀφ' ἧς ἡ κακία ἢ ἡ ἀρετὴ δίδωσιν. οἷόν τι λέγω. ἐὰν ἴδῃ τινὰ ἀναίσχυντον, κύνα αὐτὸν καλεῖ, οὐ τῷ ἰδίῳ ὀνόματι, ἀλλὰ τῷ ὀνόματι τῆς κακίας· ἐὰν ἴδῃ τινὰ ἅρπαγα, λύκον αὐτὸν καλεῖ, οὐ τῷ ὀνόματι τῶν γονέων, ἀλλὰ "τῇ πονηρείᾳ τῆς προσηγορίας· ἐὰν ἴδῃ "ἕτερον πονηροῦ ἀνθρώπου ἔργα πράττοντα, ἀπ' ἐκείνου τοῦ ὀνόματος αὐτὸν καλεῖ. ἀλλ' ἵνα μὴ ἁπλῶς αὐτὰ ἀποφαίνωμαι, καὶ ἀπόδειξιν παρέχω τῶν λεγομένων, μάρτυρας ὑμῖν εἰσαγαγεῖν βούλομαι. Ὅρασις, ἣν εἶδεν Ἠσαΐας υἱὸς Ἀμὼς κατὰ τῆς Ἰουδαίας, καὶ κατὰ τῆς Ἱερουσαλήμ. ἐνταῦθα προσέχετε, κατὰ τῆς Ἰουδαίας, καὶ κατὰ τῆς Ἱερουσαλήμ. ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησεν· υἱοὺς ἐγέννησα, καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκεν. οὐαὶ ἔθνος ἁμαρτωλόν. τίσι ταῦτα; τοῖς Ἰουδαίοις. λαὸς πλήρης ἁμαρτιῶν. λέγει αὐτῶν τὰς παρανομίας, τὰς ἁμαρτίας, τὸ ἀδιόρθωτον, τὴν τυραννίδα, τὴν τιμωρίαν. ἀρχόμενος εἶπε, κατὰ τῆς Ἰουδαίας, καὶ κατὰ Ἱερουσαλήμ· καὶ πάλιν λέγει, Ἀκούσατε λόγον Κυρίου ἄρχοντες Σοδόμων, προσέχετε "νόμον Θεοῦ ὁ λαὸς Γομόῤῥας. τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν, λέγει Κύριος; πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν, καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι. ἐὰν προσφέρητέ μοι σεμίδαλιν, μάταιον θυμίαμα, βδέλυγμά μοί ἐστι. τὰς νεομηνίας ὑμῶν καὶ τὰ σάββατα μισεῖ ἡ ψυχή μου. ποῖα σάββατα μεμίσηκε; ποίας νεομηνίας; ποῖα θυμιάματα; ποίους ταύρους; ποῖα πρόβατα; Σοδομῖνοι οὐδὲν τούτων ᾔδεσαν· οἱ ἐν Σοδόμοις πρὸ Μωϋσέως ἐγένοντο· Σοδομηνοὶ πρὸ τοῦ Ἀβραὰμ ἦσαν· Σοδομῖνοι ἀπὸ Λὼτ ἦσαν· Σοδομηνοὶ ἀπώλοντο. Σοδομίνοις διαλέγεται τοῖς καυθεῖσι, τοῖς ἀπολωλόσι; ἐνταῦθα εἶπε, κατὰ Ἰουδαίας, καὶ κατὰ Ἱερουσαλήμ· ἦλθεν ἐπὶ Σόδομα· ἔδωκε δίκην. τίνι διαλέγεται; ἀνακόλουθα τὰ εἰρημένα, ἐὰν μὴ ἴδῃς τὴν ἑρμηνείαν τῆς λέξεως· ἐὰν δὲ μάθῃς, εὑρίσκεις τὴν ἀκολουθίαν. οὐ γὰρ Σοδομίνοις διαλέγεται, ἀλλὰ Ἰουδαίοις, Σοδομίνους αὐτοὺς καλῶν. ἐπειδὴ τὸν τρόπον αὐτῶν ἐκληρονόμησαν, καὶ τὸ ὄνομα αὐτοῖς ἐπιτίθησι. Σοδομῖνοι, οἱ τὰ ἐκείνων "ἀκούοντες. πάλιν ἀλλαχοῦ· Κύνες ἐνεοὶ οἱ Ἰουδαῖοι, οὐ δυνάμενοι ὑλακτεῖν· οὐκ ἐπειδὴ εἰς "κύνα μετέπεσον τὴν φύσιν, ἀλλ' ἐπειδὴ εἰς κύνας τὴν προαίρεσιν. Ἰωάννης ὁ τῆς ἐρήμου πολίτης, τὸ φρόνημα τὸ ὑψηλὸν, ἡ γνώμη ἡ ἀχείρωτος, ὁ κάτω βαδίζων, καὶ τῆς οὐρανίας ἁψῖδος ἁπτόμενος, ὁ τῆς στείρας καρπὸς, ἡ τῆς ἀφωνίας τοῦ πατρὸς λύσις, ἡ φωνὴ τοῦ ἀφώνου, ὁ ἐν τῇ ἐρήμῳ βοῶν, ἐν τῇ μήτρᾳ (ἡ γὰρ μήτρα ἔρημος, στεῖρα γὰρ ἦν) ὁ διπλοῦς κήρυξ, καταφρονῶν παίδων, κατεξανιστάμενος τῶν ὁρωμένων, ἦλθε πρὸς Ἰουδαίους, καὶ λέγει αὐτοῖς, Ὄφεις, γεννήματα ἐχιδνῶν· οὐκ ἐπειδὴ ὄφεις ἦσαν τὴν φύσιν, ἀλλ' ἐπειδὴ δολεροὶ τὴν προαίρεσιν. ἄλλος πάλιν προφήτης· Ἵπποι θηλυμανεῖς ἐγένοντο· ἕκαστος πρὸς τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐχρεμέτιζεν. ἵπποις οὖν διαλέγεται; οὐχί, ἀλλὰ τοῖς ἀσελγέσι,

γ. ἄνω πετεινοῖς.

ἴσ. τῇ προσηγορίᾳ τῆς πονηρίας.

γ. ἑτέρου

Ἡσ. α. α.

γ. ἰδίω

Ἡσ. α. ι.

ἴσ. ἀνύοντες.

ἴσ. κύνας

Ματθ. γ. η.

Ἱερ. ε. η.

Ἰωαν. η μδ. σελγέσι, τοῖς ἀκολάστοις ἀνθρώποις. αὐτὸς ὁ Χριστὸς τοῖς Ἰουδαίοις· Ὑμεῖς υἱοὶ τοῦ διαβόλου
ἐστέ. τέκνα οὖν τοῦ διαβόλου, καὶ τὴν φύσιν εἶχον τοῦ διαβόλου; οὐχί, ἀλλὰ τὴν προαίρεσιν
ἐμιμήσαντο, καὶ τὸ ὄνομα αὐτοῦ ἔλαβον. καὶ λέγει ἑρμηνεύων αὐτό· ὑμεῖς υἱοὶ τοῦ διαβόλου
ἐστέ, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν· ἐκεῖνος ἀνθρωποκτόνος ἐστὶν ἀπ᾽ ἀρχῆς.
κατέχετε τὸν κανόνα, ὅτι κύνες εἰσὶν ἀναίσχυντοι, ὅτι λύκοι εἰσὶν ἅρπαγες, ὅτι ὄφεις εἰσὶ
δολεροί, ὅτι ἀσπίδες εἰσὶν ὕπουλοι, ὄνοι οἱ ἀνόητοι, ἵπποι θηλυμανεῖς οἱ ἀσελγεῖς καὶ ἀκόλαστοι, κορῶναι
οἱ ἀκάθαρτοι, Σοδομῖνοι οἱ τὰ ἐκείνων ζηλοῦντες, οἱ τὰς πράξεις ἐκείνων μιμούμενοι.
ἡ τοίνυν φύσις οὐκ ἔστι πονηρά, ἀλλ᾽ ἡ γνώμη ἐστὶν ἡ διεφθαρμένη. κατέχετε μετ᾽ ἀκριβείας·
προσέχετε ὅτι τὰ ὀνόματα ἀπὸ τῶν τρόπων τίθενται, καὶ αἱ προσηγορίαι ἀπὸ τῆς γνώμης.
καὶ τοῦτο οὐκ ἐν τῇ γραφῇ, ἀλλὰ καὶ ἐν τῇ συνηθείᾳ τῇ κοινῇ. ἐὰν ἴδωμεν σήμερον
ἄνθρωπον ἥμερον, λέγομεν, πρόβατον ὁ ἄνθρωπος· ἐὰν ἴδωμέν τινα ἀναισχυντοῦντα,
λέγομεν, μὴ γὰρ ἄνθρωπος, κύων ἐστίν· ἐὰν ἴδωμεν δολερόν, ὄφις ὁ ἄνθρωπος. ὁρᾷς ὅτι
καὶ ἡ κοινὴ συνήθεια τοῦτον οἶδε τὸν νόμον; ἐὰν ἴδωμεν πολλαῖς πονηρίαις γέμοντα ἄνθρωπον,
λέγομεν, Σατανᾶς· οὐκ ἐπειδὴ Σατανᾶς, οὐδὲ κατὰ τὴν φύσιν κοινωνὸς αὐτοῦ ἐστιν, ἀλλὰ
τῇ γνώμῃ, ἐπειδὴ ζηλοῖ κατὰ ἀνθρωπίνην δύναμιν τὰ ἐκείνου. οὐκοῦν τὰ ὀνόματα ἀπὸ
τῶν τρόπων. ὅταν οὖν ἀκούσῃς καὶ Παύλου λέγοντος, ἐδόθη σκόλοψ τῇ σαρκί μου, ἄγγελος
Σατᾶν, μὴ τὸν διάβολον νόμιζε, ἀλλὰ τοὺς τὰ διαβόλου ἐργαζομένους, τοὺς Ἕλληνας, τοὺς
β. Τιμ. δ. ιδ. Ἰουδαίους, τοὺς δαίμονας· οἷος τότε δαίμων ἄγγελος Σατᾶν, Ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι
κακὰ ἐνεδείξατο. ἄγγελος Σατᾶν· τὰ γὰρ τοῦ Σατανᾶ ἔπραττεν οἷοι ἦσαν* οἱ ἐμβαλόντες αὐτὸν * οἱ πλάνοι, οἷοι ἦσαν
εἰς τὸ δεσμωτήριον, οἷοι ἦσαν οἱ μαστίζοντες αὐτόν. ἀνθρώπους οὖν ἀγγέλους τοῦ Σατανᾶ, τοὺς τὰ
τοῦ Σατανᾶ ἐργαζομένους, τοὺς ἐκκόπτοντας τὸ εὐαγγέλιον, τοὺς ἐμποδίζοντας τὸ κήρυγμα, ἴσ. ἐγκ.
τοὺς μαστίζοντας αὐτόν, τοὺς ἐλαύνοντας προσέσχε· ὅλον ἐλύθη τὸ νόημα.

Πρόσεχε μετ᾽ ἀκριβείας, ἵνα εἰδῆτε καὶ τὸν λέγοντα κάμνοντα, καὶ Παῦλον ἀνθρώπινα πάσχοντα.
ἐπειδὴ γὰρ ὁ Χριστὸς ἀνέβη, καὶ τὸ κήρυγμα αὐτοῖς ἐνεχείρισε καὶ τὴν πρεσβείαν τὴν
καλήν. ὁ γὰρ Χριστὸς πρεσβευτὴς ἦλθε πρὸς ἡμᾶς παρὰ τοῦ πατρὸς ἀποσταλεὶς πρεσβεῦσαι
εἰρήνην. πόλεμος γὰρ ἦν ἀνθρώποις πρὸς τὸν Θεόν, καὶ ἔπεμψε πρεσβευτήν,
οὐ δοῦλον, ἀλλὰ υἱόν. ὢ κηδεμονία τοῦ ἀποσταλέντος· ὢ φιλανθρωπία τοῦ ἀποστείλαντος.
ἀποστείλαντος καὶ ἀποσταλέντος ὅταν ἀκούσῃς, μὴ τόπου νόμιζε μετάβασιν, ἀλλ᾽ οἰκονομίας
συγκατάβασιν. εἰ γὰρ καὶ μεθ᾽ ἡμῶν ἦν, ἀλλὰ καὶ παρὰ τῷ πατρὶ ἦν. καὶ Παῦλος λέγει, Ὑπὲρ
β. Κορ. ε. κ. Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι᾽ ἡμῶν, καταλλάγητε τῷ Θεῷ. ὑπὲρ
Χριστοῦ πρεσβεύεις; ναί. καὶ ποῦ ὁ πρεσβευτής; ἀπῆλθε. ποῦ ἀπῆλθε; πρὸς τὸν
πατέρα. διὰ τί; βλέπε πράγματα καινότερα. ἐπὶ τῶν ἀνθρωπίνων πραγμάτων ὅταν
ἔθνος πρὸς ἔθνος πρεσβεύῃ, ὁ πρεσβευτὴς ἀδείας ἀπολαύει τῷ νόμῳ τῆς πρεσβείας· ἐὰν
δὲ πάθῃ τι ὁ πρεσβευτής, πόλεμος κινεῖται μέγας μεταξὺ τῶν ἐθνῶν. ἐπὶ τοῦ Θεοῦ τὸ ἐναντίον
ἐγένετο. ἦλθε παρὰ τοῦ πατρὸς πρὸς ἀνθρώπους, ἐσφάγη ὁ πρεσβευτής, καὶ τότε
γέγονεν εἰρήνη. ἀλλ᾽ οἱ πρέσβεις ἐρχόμενοι δῶρα φέρουσι, καὶ δῶρα λαμβάνουσι. τί οὖν;
ποῖον ἦλθε φέρων δῶρον ἐμοί, καὶ τὸ δῶρον παράδοξον; ὡς καὶ ὁ πρεσβευτὴς παράδοξος, καὶ τὸ
δῶρον παράδοξον. τὸ αἷμα αὐτοῦ ἦλθε φέρων δῶρον, τὸ σῶμα αὐτοῦ ἦλθε φέρων δῶρον. καὶ τί παρ᾽
ἐμοῦ ἔλαβε δῶρον; πίστιν. καὶ τίς ταύτης μοι ἔδωκε χάριν; ἐπίστευσα ἐγώ, ἐχαρίσατο ἐκεῖνος, ἐλύθη
ἡ ἔχθρα. εἶδες πραγμάτων εὐκολίαν; εἶδες καταλλαγῆς τάχος; ὁ πρεσβευτὴς ἐπειδὰν
ἔλθῃ πρὸς ἔθνος, οὐ καταξιοῖ ἀγοραίῳ, ἤ τινι τῶν πενήτων διαλεχθῆναι, ἀλλ᾽ εὐθὺς
ὄρθριος πρὸς βασιλέα εἰσέρχεται. οὗτος ὁ πρεσβευτὴς ἦλθε, καὶ εὐθέως πόρνῃ διελέχθη,
λῃστῇ, καὶ μάγῳ, καὶ τελώνῃ. εἶδες πρεσβευτοῦ φιλανθρωπίαν; οὐ γὰρ πρὸς ἕνα, καὶ
δεύτερον ἦλθεν, ἀλλὰ πρὸς τὴν κοινὴν φύσιν· καὶ ἦλθε τὸ ἱμάτιον τὸ ἐμὸν περιβεβλημένος,

ἵνα μὴ γυμνῇ τῇ θεότητι παραγινόμενος σβέσῃ τὴν θήραν· ἀλλ' ἦλθε πρὸς ἀνθρώπους ὡς ἄνθρωπος. ἐπειδὴ τοίνυν ἦλθεν, ἀνήγαγεν ἡμῶν τὴν ἀπαρχὴν, καὶ καλέσας τοὺς ἀποστόλους, τὴν πρεσβείαν αὐτοῖς ἐνεχείρισε· λάβετε τὴν πρεσβείαν. ἡμεῖς πῶς δυνάμεθα, δέομαί σου; λάβετε πνεῦμα ἅγιον. σὺ ἐσφάγης, καὶ ἡμεῖς τί ἔχομεν παθεῖν; λάβετε πνεῦμα ἅγιον, καὶ ἐγὼ μεθ' ὑμῶν εἰμι, μεθ' ὑμῶν, ὅτι πρεσβεύω. οὐ γὰρ ἐγκατέλιπον ὑμᾶς. ἐπειδὴ τοίνυν ἀνέβη, καὶ τὴν πρεσβείαν αὐτοῖς ἐνεχείρισε. καὶ τί θαυμάζεις, εἰ καὶ αὐτὸς ὁ βασιλεὺς ὁ πατὴρ πρεσβεύει; ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν. ὁ ὑβρισθεὶς παρακαλεῖ; ἵνα τί; καταλλάγητε τῷ Θεῷ. ὢ φιλανθρωπία· ὢ ἀγαθότης ἄφατος. ἐπειδὴ τοίνυν ἀνέβη, καὶ τὴν πρεσβείαν τοῖς ἀποστόλοις ἐνεχείρισε· τὰ δὲ πράγματα ἦν ἀδιόρθωτα, καὶ ἡ οἰκουμένη ἀκανθῶν ἔγεμε, καὶ ἀσέβεια ἐτυράννει, καὶ ἡ κακία ἐκράτει, καὶ βωμοὶ ἀνήπτοντο, καὶ κνίσσα ἐμόλυνε, καὶ αἵματα ἐξεχεῖτο, καὶ φύσις ἐπατεῖτο, καὶ ὠδῖνες κατεφρονοῦντο, καὶ νόμοι καὶ θεσμοὶ" καινοὶ παρελύοντο, καὶ θυγατέρας αὐτῶν καὶ υἱοὺς αὐτῶν τοῖς δαιμονίοις ἔθυον, καὶ τὰ ἄλλα πάντα ἦσαν πανηγύρεις, καὶ ῥητόρων χοροὶ, καὶ φιλοσόφων σύλλογοι, καὶ δαιμόνων βακχεῖαι, καὶ διαβόλου δύναμις, καὶ ξίφη ἠκονημένα, καὶ πανταχοῦ κρημνοὶ, καὶ πανταχοῦ σκόπελοι, καὶ συνήθεια ἡ κρατοῦσα, καὶ ὠδῖνες πατέρων, καὶ ἡ προγόνων ἀσέβεια οὐδὲν ἡδονῆς ἔχουσα, καὶ νόμοι βασιλέων διεφθαρμένοι, καὶ δοῦλοι καὶ δεσπόται, καὶ ἄρχοντες καὶ ἰδιῶται, καὶ πλούσιοι καὶ πένητες, πάντες ἀσεβείᾳ συμπεπλεγμένοι, καὶ * πολλὰ ἔχοντες τὰ μηχανήματα· οἱ δὲ ἀπόστολοι πάντες ἦσαν δώδεκα, μᾶλλον δὲ ἕνδεκα· ὁ γὰρ εἷς θηριάλωτος γέγονεν. ἦσαν οὖν ἕνδεκα. ὁ τοίνυν Παῦλος οὐ λόγων δύναμιν κεκτημένος, οὐ χρημάτων περιουσίαν ἔχων, οὐ γλῶτταν ἠκονημένην, οὐ πατρίδος μέγεθος, οὐ γένους περιφάνειαν, οὐ σώματος ἰσχὺν, γυμνὸς, μεμονωμένος, ἰχθύων ἀφωνότερος, ἄσημος ἐξ ἀσήμων, ἰδιώτης, ἀμαθὴς, καὶ περιήρχετο σπείρων κατὰ τὴν οἰκουμένην τὰ σπέρματα τῆς εὐσεβείας, καὶ πάντες ἀντέπιπτον. καὶ ὁ μὲν ἐνέβαλε, καὶ ἐμαστίγου· ὁ δὲ ἐλάμβανε, καὶ εἰς δεσμωτήριον εἷλκεν· ὁ δὲ ἐλάμβανε, καὶ εἰς τήγανα ἐνέβαλλεν· ὁ δὲ ἐσκανδάλιζε, καὶ μυρίοι πόλεμοι· ἔξωθεν μάχαι, ἔσωθεν φόβοι. Διάκονοι Χριστοῦ εἰσι; παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ· ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως, ἐν θανάτοις πολλάκις*, τεσσαράκοντα παρὰ μίαν ἔλαβον· τρεὶς ἐρραβδίσθην*, τρεὶς ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα, ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ*, κινδύνοις ἐν ψευδαδέλφοις, ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις, ἐν λιμῷ καὶ δίψει, ἐν νηστείαις πολλάκις, ἐν ψύχει καὶ γυμνότητι, χωρὶς τῶν παρεκτὸς, ἡ ἐπισύστασίς μου ἡ καθ' ἡμέραν, ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν. τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; ὁ ἀδελφὸς ἔπιπτεν, οὗτος ἤλγει· ἐχθρὸς ἐπεβούλευσεν, οὗτος ἔπασχεν. Οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν με* οἱ ἐν τῇ Ἀσίᾳ. πάλιν· Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. ποῦ ἤμελλεν ἀρκεῖν τοῖς ἔξω, τοῖς ἔσω, ταῖς μάστιξι, ταῖς λύπαις, τῇ θαλάσσῃ, τοῖς κινδύνοις, τοῖς δεσμωτηρίοις, ταῖς ἀπαγωγαῖς, τηγάνοις, ἐπιβουλαῖς, δήμοις, βασιλεῦσιν, οἰκείοις, ἀλλοτρίοις, ψευδαδέλφοις ἐπιβουλεύουσιν, ἀδελφοῖς ἀσθενοῦσιν, ἀλλοτρίοις ἀπερχομένοις, τοῖς οἰκείοις, τοῖς" σχιζομένοις; ποῦ ἤρκει τὸ σῶμα; ποῦ ἤρκει ἡ ψυχή; ἅλυσιν περιέκειτο, δεσμωτήριον ᾤκει, ἐπιστολὰς ἔγραφεν· ἐνθένδε" ἐξεβάλλετο, ἐκεῖθεν ἐπεβουλεύετο· ἔνθεν ἄγγελοι Σατᾶν, ἐκεῖθεν ἄγγελος Σατᾶν. πολλοὶ ἄγγελοι τοῦ Σατᾶν, οἱ μὲν εἰς δεσμωτήριον, οἱ δὲ εἰς δικαστήρια. οὐκ ἤρκει, ἀπώλλυτο, ἡ ψυχὴ διεκόπτετο. τοὺς κύνας οὐχ ἑώρα, καὶ ἐδάκνετο, ἐπεβουλεύετο πανταχόθεν. προσέρχεται τῷ Θεῷ, καὶ λέγει αὐτῷ· δέομαί σου, ἀναπνεύσω μικρόν. ποῦ ἀρκέσω; ὁ ἄγγελος τοῦ Σατᾶν βάλλει με, οἱ ἐχθροὶ, οἱ ἐπίβουλοι, οἱ Ἕλληνες, οἱ Ἰουδαῖοι, ψευδάδελφοι, ἀσθενεῖς

ἴσ. κοινοὶ

*πανταχοῦ

γ. ἰσχὺν

*ὑπὸ Ἰουδαίων πεντάκις

*ἅπαξ ἐλιθάσθην

*κινδύνοις ἐν θαλάσσῃ,

*πάντες

γ. σκανδαλ.

γ. ἐβάλλετο

β. Κορ. ια. κγ.

β. Τιμ. α. ιε.

Γαλ. δ. ιθ.

ἀδελφοί. ὠδίνω, καὶ τῶν ἐκτρωμάτων οὐ γίνομαι, καὶ ἄλλοι ἐπιβουλεύουσι· σήμερον εἰς δεσμωτήριον,
εἰς θάλασσαν ἀγρίαν, μετ' αὐτὰ εἰς πέλαγος· εἶτα εἰς λιμὸν, εἰς δίψαν, εἰς γυμνότητα, εἰς
τήγανα, εἰς καμίνους, εἰς ὁδούς. ποῦ ἀρκέσω; μία ψυχὴ, ἓν σῶμα. δέομαί σου, ἄνες μοι, ἵνα μὴ
κολαφίζωμαι. οὐδὲν αὐτῷ ὁ Θεὸς ἀπεκρίνατο. προσῆλθεν αὐτῷ δεύτερον. ἄνες μοι, δέομαί
σου, ἀναπνεύσω μικρόν. ἄνθρωπός εἰμι εἷς, καὶ τὴν οἰκουμένην μοι ἐνεχείρισας; ἄνθρωπός εἰμι εἷς,
καὶ πάντες πανταχόθεν βάλλουσι βέλη. προσῆλθεν αὐτῷ ἅπαξ, καὶ λέγει αὐτῷ· δέομαί σου,
ἄνες μοι, ἵνα μὴ κολαφίζωμαι. οὐδὲν αὐτῷ ἀπεκρίνατο ὁ Θεός. προσῆλθεν αὐτῷ δεύτερον
ναυτιῶν· καθάπερ γὰρ παγκρατιαστὴς μυρίους ἔχων δάκνοντας καὶ βάλλοντας τὴν κεφαλήν.
οὐκ ἀπεκρίνατο αὐτῷ τὸ δεύτερον. προσῆλθεν αὐτῷ τὸ τρίτον. τότε αὐτῷ ἀπεκρίνατο.
διὰ τί ἡ ἀναβολή; ἵνα σὺ παιδευθῇς ἐκ προφήτης μὴ ἀναχωρεῖν· ἵνα σὺ παιδευθῇς, κἂν αἰτήσῃς
τι τῶν ἀσυμφόρων, καὶ τὸ ἐναντίον λάβῃς, μὴ ″λυπηθῇς. αἰτεῖς πολλάκις, ὃ νομίζεις
συμφέρειν, οὐ συμφέρει δέ· ὁ Θεὸς οὐ τοῖς δάκρυσί σου προσέχει, ἀλλὰ τῇ δυστυχίᾳ. ἐπεὶ καὶ
παιδίον πολλάκις αἰτεῖ παρὰ τῆς μητρὸς ἄρτον· ἀλλ' εἴ τι βλαβερὸν, ὃ οὐ δεῖ αἰτῆσαι, οὐ
δίδωσιν ἡ μήτηρ, οὔτε τῇ ὀδύνῃ προσέχει, ἀλλὰ τῇ ὠφελείᾳ. καὶ ἰατρῷ παρενοχλεῖ συνεχῶς
ὁ πυρέττων προσδοθῆναι αὐτῷ ψυχρόν, καὶ οὐ δίδωσιν ὁ ἰατρός. οὐ γὰρ τῇ πρὸς τὸ παρὸν
βλαπτούσῃ ἐπιθυμίᾳ προσέχει, ἀλλὰ τῇ πρὸς τὸ μέλλον λυσιτελούσῃ ὑγείᾳ. οὕτω
καὶ ὁ Παῦλος συμφέρον οὐκ ᾔδει αἰτῆσαι. ποίαν ″ἡμεῖς συγγνώμην ἔχομεν; [εἰ μὴ] ἀπονοηθεὶς γρ. ἡμῖν
προσῆλθεν αὐτῷ, λέγει [αὐτῷ]· ἀναπνεύσω μικρὸν, ″ἀνέσθω τῶν κινδύνων, δός μοι γρ. ἄνες με
ἄδειαν μικράν· μόνος εἰμὶ, καὶ τὴν οἰκουμένην μοι ἐνεχείρισας. ἅπαξ προσῆλθεν
αὐτῷ, καὶ οὐδὲν εἶπε· δεύτερον προσῆλθε, τρίτον προσῆλθεν. ὑπὲρ τούτου τρὶς τὸν Κύριον
παρεκάλεσα. ἵνα τί; ἵνα ἀποστῇ ἀπ' ἐμοῦ ὁ ἄγγελος τοῦ Σατᾶν, οἱ ἀντικείμενοι. τί ἐστιν;
ἵνα ἀπραγμόνως τὸ κήρυγμα κηρύξω, ἵνα μὴ ἔχω ἐπιβουλὴν, ἵνα μὴ ἔχω ἐχθρὸν, ἵνα μὴ μάστιγες,
ἵνα μὴ κίνδυνοι, ἵνα μὴ δεσμωτήρια, ἵνα μὴ ἀπαγωγαὶ, ἵνα μὴ γυμνότης. τούτῳ
προσέρχομαι, τοῦτο παρακαλῶ. ἔκαμνον, ἐπόνησα, ἐταλαιπωρήθην, ″πανταχόθεν ἐβλήθην. γρ. πάντοθεν ἐνεβλήθην.
τί οὖν αὐτῷ λέγει ὁ Θεὸς, εἰπέ μοι; ὁ Θεὸς, οὐκ ἐπένευσε τῇ αἰτήσει αὐτοῦ, οὐκ ἔδωκεν,
ὅπερ ᾔτει· ἀλλ' εἶπεν, ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται.
ἀρκεῖ σοι ἡ χάρις μου. ταῦτα βλέπεις, ἃ πάσχεις· ἃ ποιεῖς, οὐ βλέπεις. ἃ ποιοῦσιν εἰς σὲ
οἱ ἐχθροὶ, βλέπεις· ἃ ποιῶ ἐγὼ εἰς σὲ, οὐ βλέπεις. μαστίζουσί σε ἐκεῖνοι, ἐγὼ χάριν δίδωμι.
εἰσῆλθες εἰς τὸ δεσμωτήριον, ἢ οὐκ εἰσῆλθες; εἰσῆλθον. δέομαί σου. εἶδες ἐκεῖ
ἄγγελον Σατᾶν, ἢ οὐκ εἶδες; εἶδον τὸν ἐμβάλλοντά με. ἔδησέ σε, ἢ οὐκ ἔδησε; τί ἐποίησα
ἐγώ; οὐκ ἔσεισα τοὺς τοίχους; οὐκ ἤνοιξα τὰς θύρας; οὐκ ἔλυσα τὰ δεσμά; οὐκ ἤγαγόν
σοι αἰχμάλωτον τὸν δεσμοφύλακα; μή τι σὲ ἔβλαψεν ἄγγελος τοῦ Σατᾶν; οὐκ ὠφέλησέ
σε ἡ παρ' ἐμοῦ χάρις; οὐ λαμπρότερον τὸ σήμερον ἐποίησεν; ἀρκεῖ σοι ἡ χάρις μου. καὶ
ταῦτα, καὶ ἐκεῖνα ζητεῖς; οὐ θέλεις μάστιγας; πῶς ζητεῖς σημεῖα; οὐ θέλεις κινδύνους; πῶς
ζητεῖς θαύματα; ὅτε μαστίζῃ, βλέπεις· ὅτε νεκροὺς ἐγείρεις, οὐ βλέπεις; ὅτε ″ἐρράγη σου τὰ γρ. ἐρράγησαν
ἱμάτια, εἶδες· ὅτε τὰ ῥήματά σου νοσήματα δραπετεῦσαι ἐποίησεν, οὐκ εἶδες; ὅτε ἦλθες
Πραξ. κϛ κη. εἰς τὸ δικαστήριον δεδεμένος, εἶδες· ὅτε εἶπέ σοι Φῆστος, Ἐν ὀλίγῳ με πείθεις χριστιανὸν γενέσθαι,
οὐκ εἶδες; ἀρκεῖ σοι ἡ χάρις μου. μέγα ὅπλον ἔλαβες, πνεύματος δύναμιν νικῶσαν
τὰς ἐπιβουλὰς, λαμπρότερόν σε ἐργαζομένην. τί ″θέλεις; μηδὲν πάσχειν; καὶ πῶς γρ. ἤθελες
ἐδείκνυτό μου ἡ δύναμις; ἐδείκνυτο μὲν, οὐχ οὕτω δὲ ὡς νῦν. πῶς; ἐπειδὴ γὰρ ὁ Παῦλος καὶ
διὰ τοῦτο ἤλγει. οὐαί μοι· βασιλείας κῆρυξ εἰμὶ, τοῦ Χριστοῦ μαθητής εἰμι, ἀθάνατα ἐπαγγελλόμενος
πράγματα· καὶ μαστίζομαι, ὑβρίζομαι, ἄγομαι. μὴ ἀθύμει διὰ τοῦτο· ταῦτά
σε λαμπρότερον ποιεῖ. εἰ μὴ ἔπασχες ταῦτα, οὐκ ἦς οὕτω περιφανής. εἰσῆλθες εἰς
τὴν φυλακήν. εἰ μὴ ἐδέθης, ἀλλ' εἰσῆλθες ἁπλῶς, ″κατήχησε καὶ ἐξήγαγε· νῦν δὲ γρ. κατη
ἧς

ἧς δεδεμένος, καὶ ἔλυσέ σε δεθέντα. τοὺς πόδας ἐν τῷ ξύλῳ, καὶ ἡ χάρις τοὺς τοίχους ἐσάλευσε. Ταῦτα λέγω, ἵνα μηδεὶς μηδὲ ταῖς περὶ ἡμᾶς ἐπιβουλαῖς ξενίζηται. Ταῦτα λέγομεν, οὐ Παύλῳ ἑαυτοὺς παρισοῦντες (οὐχ οὕτω μαινόμεθα) ἀλλ᾽ ἵνα δείξωμεν, ὅτι καὶ εἰς ταπεινοὺς ὁ Θεὸς τὸ αὐτὸ ἐμβάλλει, Ἀρκεῖ σοι ἡ χάρις μου. οὐκ ἐξεβλήθημεν. ποῦ ἡ χάρις; πλείων ὁ ἔπαινος γέγονεν, οὐ μυρίοι ἐχθροὶ ἐπεβούλευσαν. ποῦ ἡ χάρις; πλείονες ἐρασταὶ κατέστησαν, οὐχ ὑμῶν με ἐζήτουν χωρῆσαι. ποῦ ἡ χάρις; καὶ Ἰουδαίοις μοι προσέθηκαν· Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. μηδέποτε ξενίζου θλῖψιν· συγκεκλήρωται τῷ εὐαγγελίῳ θλίψεις. Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. πῶς μαστίζῃ, καὶ ἀπαλλάττεις τοὺς μαστίζοντας; ἐπιβουλεύῃ, καὶ περιγίνῃ τῶν ἐπιβουλευόντων; ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. ὅτε οὖν ὁ Παῦλος ἤκουσε, τοῦτο θέλεις; τοῦτο ἀρκεῖ σοι; ἵνα μαστίζωμαι, ἀτιμάζωμαι, ὑβρίζωμαι, τοῦτο θέλω· Διὸ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν διωγμῷ. ὢ εὐγνωμοσύνη οἰκέτου. προσῆλθεν αὐτῷ ἀξιῶν ἀπαλλαγῆναι τῶν θλίψεων. ἐπειδὴ δὲ ἤκουσεν, ὅτι ὁ δεσπότης αὐτοῦ οὐ θέλει μόνον, ἀλλὰ καὶ βούλεται τὸ ἐναντίον, τοῦτό σοι δοκεῖ, ἵνα θλίβωμαι, καὶ ἐγὼ τοῦτο βούλομαι, καὶ ὑπὲρ τούτου χάριν ἔχω. οὐκ εἶπε, θέλω μόνον, ἀρέσκομαι, βούλομαι, ἐπιθυμῶ μαστίζεσθαι, ἐλαύνεσθαι, *στενοχωρεῖσθαι. διὸ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν διωγμοῖς, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις. διὰ τί; ἵνα ἐπισκηνώσῃ ἐπ᾽ ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

β Κορ ιβ. ι.

*ὑβρίζεσθαι.

Λογ. ρκγ. ΕΙΣ ΤΟ, ΕΚΟΥΣΙΩΣ ΓΑΡ ΑΜΑΡΤΑΝΟΝΤΩΝ ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας, καὶ τὰ ἑξῆς· καὶ ὅπως χρὴ προσιέναι τοῖς μυστηρίοις τοῦ Χριστοῦ.

Ἑβρ ι. κϛ.

Ex edit. Paris. emend. ex Ms. Ox.

ΤΩν δένδρων ὥσπερ ἂν φυτευθέντα, καὶ τῆς ἄλλης ἐπιμελείας ἀπολαύσαντα, καὶ χειρῶν γεωργικῶν καὶ πόνων ἀξιωθέντα, μηδεμίαν παρέχηται τῶν πόνων ἀμοιβήν, πρόρριζον ἀνασπασθέντα, τῷ πυρὶ παραδίδοται· τοιοῦτόν τι καὶ ἐπὶ τοῦ φωτίσματος γίνεται. ἐπειδὰν ἡμᾶς ὁ Χριστὸς φυτεύσῃ, καὶ τῆς ἀρδείας ἀπολαύσωμεν τῆς πνευματικῆς, εἶτα μηδένα καρπὸν ἐπιδειξώμεθα, πῦρ ἡμᾶς ἀναμένει τὸ τῆς γεέννης, καὶ φλὸξ ἄσβεστος. ὁ τοίνυν Παῦλος παρακαλέσας εἰς ἀγάπην καὶ καρποφορίαν ἔργων ἀγαθῶν, προτρέψας καὶ ἀπὸ τῶν χρηστοτέρων (ποίων δὴ τούτων; ὅτι εἴσοδον ἔχομεν εἰς τὰ ἅγια, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν) καὶ ἀπὸ τῶν σκυθρωποτέρων πάλιν τὸ αὐτὸ ποιεῖ, οὕτω λέγων. εἰπὼν γάρ, Μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν, καθὼς ἔθος τισίν, ἀλλὰ παρακαλοῦντες, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν, καὶ ταύτην οὖσαν εἰς παραμυθίαν ἱκανήν, ἐπήγαγεν εἰπών· ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκ ἔτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία. ἐκαθάρθης, ἀπηλλάγης ἐγκλημάτων, φωτὸς γέγονας υἱός· ἂν τοίνυν ἐπιστρέψῃς ἐπὶ τὸν πρότερον ἔμετον, πάλιν ἀποκήρυξις μένει σε καὶ πῦρ αἰώνιον, καὶ σκώληξ ἀκοίμητος, καὶ ὅσα τοιαῦτα. οὐ γάρ ἐστι θυσία δευτέρα. πάλιν ἐνταῦθα ἡμῖν ἐπιφύονται οἱ τὴν μετάνοιαν ἀναιροῦντες, καὶ ὅσοι πρὸς τὸ βάπτισμα ὀκνοῦσιν ἐλθεῖν· ἐκεῖνοι μὲν λέγοντες, ὅτι οὐκ ἀσφαλὲς αὐτοῖς τῷ βαπτίσματι προσελθεῖν, εἴγε οὐκ ἔστιν ἄφεσις δευτέρα· οὗτοι δὲ φάσκοντες, οὐκ ἀσφαλὲς εἶναι μεταδοῦναι μυστηρίων τοῖς ἡμαρτηκόσιν, εἴγε μή ἐστιν ἄφεσις δευτέρα. τί οὖν πρὸς ἀμφοτέρους ἐροῦμεν; ὅτι οὐ τὴν μετάνοιαν ἐνταῦθα ἀναιρεῖ, οὐδὲ τὸν διὰ μετανοίας ἐξιλασμόν, οὐκ ὠθεῖ καὶ καταβάλλει διὰ τῆς ἐπιγνώσεως τὸν ἐπταικότα. οὐχ οὕτω γὰρ ἐχθρός ἐστι τῆς σωτηρίας τῆς ἡ-

Ἑβρ. ι. ιθ. ι. κε.

μετέρας. ἀλλὰ τί; δεύτερον ἀναιρεῖ λουτρόν. οὐ γὰρ εἶπεν, οὐκέτι ἐστὶ μετάνοια, οὐδὲ οὐκέτι ἐστὶν ἄφεσις, ἀλλὰ θυσία οὐκέτι ἐστὶ, τουτέστι, σταυρὸς δεύτερος· θυσίαν γὰρ καλεῖ τοῦτο. μιᾷ γὰρ θυσίᾳ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους, οὐχ ὥσπερ τὰ Ἰουδαϊκά. διὰ γὰρ τοῦτο τοσαῦτα ἄνω καὶ κάτω διελέχθη περὶ τῆς θυσίας, ὅτι μία, [καὶ μία] οὐ τοῦτο μόνον βουλόμενος δηλῶσαι, ὅτι διενήνοχε τῶν Ἰουδαϊκῶν τούτων, ἀλλὰ καὶ ἀσφαλεστέρους ποιῆσαι, ὥστε μηκέτι προσδοκᾶν κατὰ τὸν Ἰουδαϊκὸν νόμον ἄλλην θυσίαν. ἑκουσίως γάρ, φησιν, ἁμαρτανόντων ἡμῶν· ὥστε τῶν ἀκουσίως ἐστὶ συγγνώμη. μετὰ τὴν ἐπίγνωσιν τῆς ἀληθείας, ἤτοι τοῦ Χριστοῦ, φησιν, ἤτοι τῶν δογμάτων ἁπάντων, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία· ἀλλὰ τί; φοβερά τις ἐκδοχὴ κρίσεως καὶ πυρὸς ζῆλος ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους. ὑπεναντίους, οὐ τοὺς ἀπίστους φησὶν, ἀλλὰ καὶ τοὺς ἐναντία πράττοντας τῇ ἀρετῇ, ὅτι καὶ τοὺς οἰκείους τὸ αὐτὸ λήψεται πῦρ, ὅπερ καὶ τοὺς ὑπεναντίους. εἶτα τὸ διαβρωτικὸν αὐτοῦ δηλῶν, ὥσπερ ἐψύχωσεν αὐτὸ, πυρὸς ζῆλος εἰπὼν ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους. καθάπερ γὰρ θηρίον παροξυνόμενον καὶ σφόδρα χαλεπὸν καὶ ἐξηγριωμένον οὐκ ἂν παύσαιτο, ἕως ἂν λάβοι τινὰς καὶ καταφάγοι· οὕτω καὶ τὸ πῦρ ἐκεῖνο, καθάπερ τις ὑπὸ ζήλου κεντούμενος, ὃ ἂν ἐπιλάβηται, οὐκ ἀφίησιν, ἀλλὰ τρώγει καὶ διασπᾷ. εἶτα καὶ τὸν λόγον ἐπάγει τῆς ἀπειλῆς, ὅτι εἰκότως, ὅτι δικαίως, ὅπερ εἰς πίστιν ἐστὶ συμβαλλόμενον, ὅταν δείξωμεν, ὅτι δικαίως ἔσται. Ἀθετήσας γάρ τις νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει. χωρὶς οἰκτιρμῶν, φησιν, ὥστε οὐδεμία συγγνώμη ἐστὶν, οὐδεὶς ἔλεος ἐκεῖ, καίτοιγε Μωϋσέως ὁ νόμος ἐστί· τὰ γὰρ πολλὰ αὐτὸς διετάξατο. τί ἐστιν, ἐπὶ δυσὶν ἢ τρισίν; ἂν δύο καὶ τρεῖς μαρτυρήσωσί, φησιν, εὐθέως τὴν δίκην ἔδοσαν. εἰ τοίνυν ἐπὶ τῆς παλαιᾶς, ἔνθα ὁ Μωϋσέως ἀθετεῖται νόμος, τοσαύτη τιμωρία, πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη, καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας; καὶ πῶς, φησι, καταπατεῖ τις τὸν υἱὸν τοῦ Θεοῦ; ὅταν γὰρ αὐτοῦ μετέχων τοῖς θείοις μυστηρίοις ἁμαρτίαν ἐργάσηται, φησιν, οὐχὶ κατεπάτησεν αὐτόν; οὐχὶ κατεφρόνησεν αὐτοῦ; καθάπερ γὰρ τῶν καταπατουμένων οὐδένα λόγον ἔχομεν· οὕτω καὶ οἱ ἁμαρτάνοντες, τοῦ Χριστοῦ οὐδένα λόγον ἔσχον, καὶ οὕτως ἥμαρτον. γέγονας σῶμα Χριστοῦ, καὶ δίδως σεαυτὸν τῷ διαβόλῳ, ὥστε καταπατεῖν σε. καὶ τὸ αἷμα κοινὸν, φησιν, ἡγησάμενος. κοινὸν τί ἐστι; τουτέστιν, ἀκάθαρτον, ἢ τὸ μηδὲν πλέον ἔχειν τῶν λοιπῶν. καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας. ὁ γὰρ τὴν εὐεργεσίαν μὴ παραδεξάμενος, ὕβρισε τὸν εὐεργέτην. ἐποίησέ σε υἱὸν, σὺ δὲ γενέσθαι θέλεις δοῦλος. ἦλθε κατασκηνῶσαι πρὸς σὲ, σὺ δὲ ἐπεισάγεις αὐτῷ πονηροὺς λογισμούς. ὁ Χριστὸς ἠθέλησεν ἱδρυνθῆναι παρὰ σὲ, σὺ δὲ αὐτὸν καταπατεῖς διὰ τῆς κραιπάλης, διὰ τῆς μέθης. ἀκούσωμεν οἱ ἀναξίως τῇ τραπέζῃ προσιόντες ἐκείνῃ· Μὴ δῶτε τὰ ἅγια τοῖς κυσὶ, μήποτε καταπατήσωσιν αὐτὰ τοῖς ποσὶν αὐτῶν· τουτέστι, μὴ καταφρονήσωσι, μὴ διαλύσωσιν. ἀλλ' οὐκ εἶπε τοῦτο, ἀλλ' ὃ τούτου φοβερώτερον ἦν. ἀπὸ γὰρ τοῦ φοβεροῦ ἐπισφίγγει τὰς ψυχάς. ἱκανὸν γὰρ καὶ τοῦτο ἐπιστρέψαι, παραμυθίας οὐχ ἧττον. καὶ ὁμοῦ τε τὴν διαφορὰν δείκνυσι καὶ τὴν κόλασιν, καὶ τὴν κρίσιν αὐτοῖς ἀφιέναι, ἅτε τοῦ πράγματος ὄντος φανεροῦ. πόσῳ δοκεῖτε, φησι, χείρονος ἀξιωθήσεται τιμωρίας; ἐνταῦθά μοι δοκεῖ περὶ τῶν θείων μυστηρίων αἰνίττεσθαι. καὶ μαρτυρίαν ἐπάγει λέγων· φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος. γέγραπται γάρ, ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος. καὶ πάλιν, ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ. ἐμπεσούμεθά, φησιν, εἰς χεῖρας ἀνθρώπων· ἀλλ' ἐὰν μὴ μετανοῆτε, εἰς χεῖρας Θεοῦ ἐμπεσεῖσθε. ἐκεῖνο φοβερὸν, τοῦτο δὲ οὐδέν. ὅταν τοίνυν ἴδωμέν τινας κολαζομένους ἐνταῦθα, μὴ φρίξωμεν ἐπὶ τοῖς παροῦσιν, ἀλλὰ φρίξωμεν ἐπὶ τοῖς μέλλουσι. Κατὰ γὰρ τὸ ἔλεος αὐτοῦ καὶ ἡ ὀργὴ αὐτοῦ, καὶ ἐπὶ ἁμαρτωλοὺς καταπαύσει ὁ θυμὸς αὐτοῦ. ἀλλ' ἐπὶ

τὴν

Ἑβρ. ι. κη.

γ. λήψεται

ἴσ. ἀφίησιν

τῶν ἁγίων μυστηρίων ἐμνήσθην, βούλομαι μικρὰ πρὸς ὑμᾶς εἰπεῖν τοὺς μεμυημένους, μικρὰ μὲν τῷ μέτρῳ, μεγάλην δὲ ἔχοντα τὴν ἰσχὺν καὶ ὠφέλειαν. οὐ γὰρ ἡμέτερά ἐστιν, ἀλλὰ τοῦ "θείου πνεύματος τὰ λεγόμενα. τί οὖν ἐστι; πολλοὶ τῶν μυστηρίων ἅπαξ μεταλαμβάνουσι τοῦ παντὸς ἐνιαυτοῦ, ἕτεροι δὲ δὶς, ἄλλοι δὲ πολλάκις. πρὸς ἅπαντας οὖν ἡμῖν ὁ λόγος ἐστὶν, οὐ πρὸς τοὺς ἐνταῦθα δὲ μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἐν τῇ ἐρήμῳ καθεζομένους. ἐκεῖνοι γὰρ ἅπαξ τοῦ ἐνιαυτοῦ μετέχουσι *, πολλάκις δὲ καὶ διὰ δύο ἐτῶν. τί οὖν; τίνας ἀποδεξώμεθα, τοὺς ἅπαξ, ἢ τοὺς πολλάκις, ἢ τοὺς ὀλιγάκις; οὔτε τοὺς ἅπαξ, οὔτε τοὺς πολλάκις, οὔτε τοὺς ὀλιγάκις, ἀλλὰ τοὺς μετὰ καθαροῦ συνειδότος, τοὺς μετὰ καθαρᾶς καρδίας, τοὺς μετὰ βίου ἀνεπιλήπτου. οἱ τοιοῦτοι ἀεὶ προσιέτωσαν· οἱ δὲ μὴ τοιοῦτοι, μηδὲ ἅπαξ. τί δήποτε; ὅτι κρῖμα ἑαυτοῖς λαμβάνουσι καὶ κατάκριμα, καὶ κόλασιν καὶ τιμωρίαν. καὶ μὴ θαυμάσῃς. ὥσπερ γὰρ ἡ τροφὴ φύσει οὖσα θρεπτικὴ, ἐὰν εἰς κακόσιτον σῶμα ἐμπέσῃ, πάντα ἀπόλλυσι καὶ διαφθείρει, καὶ γίνεται νόσου ἀφορμή· οὕτω δὴ καὶ ταῦτα τὰ τῶν φρικτῶν μυστηρίων. ὦ ἄνθρωπε, τραπέζης ἀπολαύεις πνευματικῆς, τραπέζης βασιλικῆς, καὶ πάλιν φύρεις βορβόρῳ τὸ στόμα; μύρῳ χρίεις, καὶ πάλιν δυσωδίας πληροῖς; εἰπέ μοι, παρακαλῶ· μετ' ἐνιαυτὸν τῆς μεταλήψεως μετέχων, τεσσαράκοντα ἡμέρας οἴει ἀρκεῖν σοι πρὸς καθαρισμὸν τῶν ἁμαρτημάτων παντὸς χρόνου, καὶ πάλιν ἑβδομάδος παρελθούσης ἐκδίδως σαυτὸν τοῖς προτέροις; εἰπὲ δή μοι, ἐὰν ὑγιάνας τεσσαράκοντα ἡμέρας ἀπὸ νόσου μακρᾶς, πάλιν σαυτὸν ἐκδῷς σιτίοις ἐκείνοις τοῖς νοσοποιοῖς, οὐχὶ καὶ τὸν πρότερον κόπον ἀπώλεσας; εἰ γὰρ τὰ φυσικὰ μεθίσταται, πολλῷ μᾶλλον τὰ τῆς προαιρέσεως. οἷόν τι λέγω. φύσει βλέπομεν, καὶ ὑγιεῖς ἔχομεν τοὺς ὀφθαλμοὺς, ἀλλὰ πολλάκις ἀπὸ καχεξίας βλάπτεται ἡμῶν τὸ βλεπτικόν. εἰ τὰ φυσικὰ τοίνυν μεθίσταται, πολλῷ μᾶλλον τὰ τῆς προαιρέσεως. τεσσαράκοντα ἡμέρας ἀπονέμεις τῇ ὑγείᾳ τῆς ψυχῆς, τάχα δὲ οὐδὲ τεσσαράκοντα, καὶ προσδοκᾷς ἐξιλεώσασθαι τὸν Θεόν; παίζεις, εἰπέ μοι; ταῦτα λέγω, οὐχὶ τῆς μιᾶς καὶ ἐνιαυσίου προσόδου κωλύων ὑμᾶς, ἀλλὰ βουλόμενος διὰ παντὸς ὑμᾶς προσιέναι τοῦ χρόνου ἀμέμπτους καὶ καθαρούς. τοῖς ἁγίοις ταῦτα δέδοται. διὰ τοῦτο καὶ ὁ διάκονος ἐπιφωνεῖ, τοὺς ἁγίους καλῶν, καὶ διὰ ταύτης τῆς φωνῆς πάντας μωμοσκοπῶν. καθάπερ γὰρ ἐπὶ ποίμνης, ἔνθα πολλὰ μὲν ὑγιαίνει πρόβατα, πολλὰ δὲ ψώρας ἀναπέπλησται, ἀνάγκη ταῦτα διείργεσθαι ἀπὸ τῶν ὑγιαινόντων· οὕτω καὶ ἐν τῇ ἐκκλησίᾳ, ἐπειδὴ τὰ μὲν εἰσιν ὑγιῆ πρόβατα, τὰ δὲ κεκακωμένα, διὰ τῆς φωνῆς ταύτης διείργει ταῦτα ἐκείνων. προϊὼν γὰρ πανταχοῦ διὰ τῆς φωνῆς ἐκείνης τῆς φρικωδεστάτης ὁ ἱερεὺς, καὶ τοὺς ἁγίους καλῶν καὶ ἕλκων πρὸς μετάληψιν τῶν θείων καὶ φρικτῶν μυστηρίων, λέγει, Τὰ ἅγια τοῖς ἁγίοις. ἐπειδὴ γὰρ οὐκ ἔνι ἄνθρωπον ὄντα εἰδέναι τὰ τοῦ πλησίον (Τίς γὰρ οἶδεν, φησι, τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ;) ταύτην οὖν ἀφίησι τὴν φωνὴν ὁ ἱερεὺς μετὰ τὸ τὴν θυσίαν ἀπαρτισθῆναι πᾶσαν, ὥστε μηδένα ἁπλῶς, καὶ ὡς ἔτυχεν, ἐπὶ τὴν πηγὴν ἐλθεῖν ταύτην τὴν πνευματικὴν [καὶ πυρὸς γέμουσαν]. καὶ γὰρ καὶ ἐπὶ τῆς ποίμνης (οὐδὲν γὰρ κωλύει τῷ αὐτῷ πάλιν ὑποδείγματι χρήσασθαι) τὰ μὲν νοσερὰ ἔνδον ἀποκλείομεν, καὶ ἑτέρας μεταδίδομεν τροφῆς, οὔτε ἀέρος, οὔτε πόας, οὔτε πηγῆς τῆς ἔξω συγχωροῦντες μεταλαβεῖν· καὶ ἐνταῦθα τοίνυν αὐτὴ ἡ φωνὴ ἀντὶ δεσμοῦ τινός ἐστιν *. οὐκ ἔχεις εἰπεῖν *, οὐκ ᾔδειν, ἠγνόουν ὅτι κίνδυνος ἐπῆν τῷ πράγματι. μάλιστα μὲν οὖν καὶ ὁ Παῦλος διεμαρτύρετο. ἀλλ' ἐρεῖς ὅτι οὐκ ἀνέγνων. οὐκ ἔστι τοῦτο ἀπολογία, ἀλλὰ καὶ ἔγκλημα μέγα. καθ' ἑκάστην ἡμέραν εἰσέρχῃ εἰς τὴν ἐκκλησίαν, καὶ ἔτι τοῦτο ἀγνοεῖς; πλὴν ἀλλ' ἵνα μηδὲ τοῦτο ἔχῃς προφασίζεσθαι, τούτου χάριν ὑψηλὸς ἑστὼς ὁ ἱερεὺς, μεγάλῃ τῇ φωνῇ, φρικτῇ τῇ βοῇ, καθάπερ τις κῆρυξ, τὴν χεῖρα ἔχων εἰς ὕψος, πᾶσι κατάδηλος γεγονὼς, καὶ μέγα ἐπ' ἐκείνῃ τῇ φρικτῇ ἡσυχίᾳ ἀνακράζων, τὰ ἅγια τοῖς ἁγίοις, τοὺς μὲν καλεῖ, τοὺς δὲ ἀπείργει· οὐ τῇ χειρὶ τοῦτο ποιῶν, ἀλλὰ τῇ γλώττῃ τῆς χει-

γρ. ἁγίου

* τούτου τοῦ θείου καὶ μυστικοῦ δώρου,

α. Κορ. β. ια.

* καὶ φυλακῆς,

* ὦ ἄνθρωπε

ρὸς τρανώτερον. ἡ γὰρ φωνὴ ἐκείνη εἰς τὴν ἀκοὴν ἐμπίπτουσα τὴν ἡμετέραν, καθάπερ χείρ, τοὺς μὲν ὠθεῖ καὶ ἐκβάλλει, τοὺς δὲ εἰσάγει καὶ παρίστησιν. εἰπὲ δή μοι, παρακαλῶ, ἐν τοῖς Ὀλυμπιακοῖς ἀγῶσιν οὐχὶ ἕστηκεν ὁ κήρυξ βοῶν μέγα καὶ ὑψηλὸν λέγων, εἴ τις τούτου κατηγορεῖ, μὴ δοῦλός ἐστι, μὴ κλέπτης, μὴ τρόπων πονηρῶν; καίτοι τὰ ἀγωνίσματα ἐκεῖνα οὐ ψυχῆς ἐστιν, οὐδὲ τρόπου, ἀλλὰ ῥώμης καὶ σώματος. εἰ τοίνυν ἔνθα σωμάτων ἐστὶν ἄσκησις, πολλὴ προαιρέσεως ἐξέτασις γίνεται, πόσῳ μᾶλλον ἐνταῦθα, ἔνθα τὸ πᾶν ψυχὴ ἀθλεῖ; ἕστηκε τοίνυν ὁ παρ' ἡμῖν κῆρυξ, οὐ τῆς κεφαλῆς ἑκάστου κατέχων καὶ παράγων, ἀλλὰ πάντας ὁμοῦ τῆς κεφαλῆς ἔνδον κατέχων. οὐκ ἐφίστησιν ἄλλους, ἀλλ' αὐτοὺς κατηγόρους ἑαυτοῖς. οὐ γὰρ λέγει, μή τις τούτου κατηγορεῖ, ἀλλὰ τί; εἴ τις ἑαυτοῦ. ὅταν γὰρ εἴπῃ, τὰ ἅγια τοῖς ἁγίοις, τοῦτο λέγει· εἴ τις οὐκ ἔστιν ἅγιος, μὴ προσίτω. οὐχ ἁπλῶς, φησὶν, ἁμαρτημάτων καθαρὸς, ἀλλὰ ἅγιος. τὸν γὰρ ἅγιον οὐχὶ τῶν ἁμαρτημάτων ἀπαλλαγὴ μόνον ποιεῖ, ἀλλὰ καὶ ἡ τοῦ πνεύματος παρουσία, καὶ ὁ τῶν ἀγαθῶν ἔργων πλοῦτος. οὐ βούλομαι, φησὶ, μόνον βορβόρου ἀπηλλάχθαι ὑμᾶς, ἀλλὰ καὶ λευκοὺς εἶναι καὶ ὡραίους. εἰ γὰρ ὁ Βαβυλώνιος βασιλεὺς ἀπὸ τῆς αἰχμαλωσίας ἐκλεγόμενος τοὺς νεανίσκους, καλοὺς τῷ εἴδει, καὶ ὡραίους τῇ ὄψει ἐξελέξατο· πολλῷ μᾶλλον καὶ ἡμᾶς παρισταμένους τῇ ἁγίᾳ τραπέζῃ καὶ τῇ βασιλικῇ, καλοὺς τῷ εἴδει εἶναι δεῖ τῷ τῆς ψυχῆς, τὸν κόσμον ἔχοντας χρυσοῦν, τὴν στολὴν καθαρὰν, τὰ ὑποδήματα βασιλικὰ, τὸ πρόσωπον τῆς ψυχῆς εὔμορφον, τὸν κόσμον αὐτῇ περικείμενον τὸν χρυσοῦν, * τὴν ζώνην τῆς ἀληθείας. ὁ τοιοῦτος προσίτω * καὶ ποτηρίων ἁπτέσθω βασιλικῶν. εἰ δέ τις ῥάκια ἠμφιεσμένος, ἢ ῥυπῶν, αὐχμῶν, ἐπεισιέναι βούλοιτο τῇ * τραπέζῃ, ὅρα ὅσα πείσεται· Πᾶς γὰρ, φησὶν, ὁ ἀναξίως ἐσθίων καὶ πίνων τοῦ Κυρίου σῶμα καὶ αἷμα, κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει, τουτέστιν, ἐν τῇ γεέννῃ κατακριθήσεται τοῦ πυρὸς μετὰ τῶν βλασφημησάντων τὸν Κύριον, οὐκ ἀρκοῦσαν τὴν τεσσαράκοντα ἡμερῶν τὰ ἐν πολλῷ χρόνῳ ἀποδύσασθαι τὰ πεπλημμελημένα ἡμῖν. εἰ γὰρ ἡ γέεννα οὐκ ἀρκεῖ, καίτοι γε αἰώνιος οὖσα (διὰ γὰρ τοῦτο καὶ αἰώνιός ἐστι) πολὺ μᾶλλον ὁ βραχὺς οὗτος χρόνος. οὐδὲ γὰρ μετάνοιαν ἰσχυρὰν ἐπεδειξάμεθα, ἀλλὰ ἀσθενῆ καὶ ταλαίπωρον. τοὺς εὐνούχους μάλιστα δεῖ " παρεστάναι τῷ βασιλεῖ. εὐνούχους λέγω, τῇ διανοίᾳ λευκοὺς, μηδένα ἔχοντας ῥύπον, μηδὲ σπίλον, ὑψηλοὺς τῇ διανοίᾳ, τὸ ὄμμα ἥμερον τῆς ψυχῆς ἔχοντας καὶ ὀξυδερκὲς, εὐπερίστροφον καὶ γοργὸν ἀλλὰ μὴ ὑπνηλὸν, μηδὲ ὕπτιον ἐλευθερίας, γέμον πολλῆς ἀναισχυντίας καὶ ἰταμότητος· * ἐγρηγορός, ὑγιές, μήτε στυγνὸν πάνυ καὶ κατηφές, μήτε διακεχυμένον καὶ ὑγρόν. τούτου ἡμεῖς ἐσμεν κύριοι τοιοῦτον δημιουργῆσαι τὸν ὀφθαλμὸν, καὶ ὀξυδερκῆ ποιῆσαι καὶ καλόν. ὅταν γὰρ αὐτὸν μὴ πρὸς τὸν καπνὸν ἄγωμεν, μηδὲ πρὸς τὴν κόνιν (τοιαῦτα γὰρ τὰ ἀνθρώπινα πράγματα) ἀλλὰ πρὸς τὴν αὔραν τὴν λεπτὴν, πρὸς τὸν κοῦφον ἀέρα, πρὸς τὰ μετέωρα καὶ ὑψηλὰ καὶ ἡσυχίας γέμοντα πολλῆς καὶ καθαρότητος καὶ πολλῆς τῆς τέρψεως, ἀνακτησόμεθα ταχέως αὐτὸν καὶ ῥώσομεν, ἐντρυφῶντα τῇ τοιαύτῃ θέᾳ. εἶδες πλεονεξίαν καὶ πλοῦτον πολύν; μὴ ἀπαγάγῃς ἐκεῖ τὸν ὀφθαλμὸν, βόρβορός ἐστι τὸ πρᾶγμα, καπνός ἐστιν, ἀτμοὶ πονηροὶ, σκότος καὶ στενοχωρία πολλὴ, καὶ φροντίδων πνιγμός. εἶδες * δικαιοσύνην ἀσκοῦντα ἄνθρωπον καὶ ἀρκουμένους τοῖς αὐτοῦ, καὶ πολλὴν ἔχοντα τὴν εὐρυχωρίαν τῆς ἀνέσεως, οὐδὲν μεριμνῶντα, οὐδὲ φροντίζοντα τῶν ἐνταῦθα· στῆσον αὐτὸν ἐκεῖ καὶ μετεώρισον, καὶ πολλῷ καλλίονα αὐτὸν ἐργάσῃ καὶ λαμπρότερον, οὐ τοῖς τῆς γῆς ἄνθεσιν εὐωχῶν, ἀλλὰ τοῖς τῆς ἀρετῆς, τουτέστι, σωφροσύνῃ καὶ ἐπιεικείᾳ καὶ τοῖς ἄλλοις κατορθώμασιν. οὐδὲν γὰρ οὕτω ταράττει ὀφθαλμὸν, ὡς συνειδὸς πονηρόν. Ἐταράχθη γὰρ, φησὶν, ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου. ταύτης αὐτὸν ἀπάλλαξον τῆς πονηρίας *, καὶ ποιήσεις φαιδρότερον καὶ ἰσχυρότερον, ἀεὶ τρεφόμενον ἐλπίσιν ἀγαθαῖς. γένοιτο δὲ πάντας ἡμᾶς καὶ τοῦτον, καὶ τὰς ἄλλας τῆς ψυχῆς ἐνεργείας κατασκευάσαι τοιαύτας, οἵας ὁ Χριστὸς * βούλεται, ἵνα τῆς ἐπικει-

μένης

Δαν α.

α. Κορ. ια. κθ.

Ψαλ. ς. ζ.

* καὶ

* προθύμως

* πανάγια ταύτῃ καὶ φοβερᾷ.

ἰσ παρεστά

* ἀλλ'

* πάλιν

* ὦ ἄνθρωπε

* καὶ Θεὸς ἡμῶν

μένης ἡμῶν κεφαλῆς ἄξιοι γενόμενοι, ἀπέλθωμεν ἔνθα θέλει ὁ Κύριος ἡμῶν. Φησὶ γάρ, Θέλω ἵνα ὅπου εἰμὶ ἐγώ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, ὅπως τὴν δόξαν τὴν ἐμὴν θεωρήσωσι. τοῦτο δὲ παρέξει ἡμῖν, ἐάν περ ἀδιαλείπτως καὶ νήφοντες καὶ μετὰ πολλῆς τῆς ἀγρυπνίας τὰς εὐχὰς πρὸς τὸν Θεὸν ποιώμεθα. ἀγρυπνεῖν δέ, οὐ τὸ νυκτὸς ἐγείρεσθαι μόνον, ἀλλὰ καὶ τὸ ἐν ἡμέρᾳ νήφειν ἐν ταῖς προσευχαῖς. ἄγρυπνος γὰρ καλεῖται ὁ τοιοῦτος. ἐπεί ἐστι καὶ νυκτὸς εὐχόμενον καθεύδειν, καὶ ἐν ἡμέρᾳ εὐχόμενον μὴ ἀγρυπνεῖν. πῶς; ὅταν ἡ ψυχὴ μὴ ᾖ τεταμένη πρὸς τὸν Θεόν, ὅταν μὴ ἐννοῇ τίνι διαλέγεται, ἢ πρὸς τίνα ὁ λόγος, ὅταν μὴ λαμβάνῃ ἐν νῷ, ὅτι ἄγγελοι παρεστήκασι μετὰ φόβου καὶ τρόμου, αὐτὸς δὲ πρόσεισι χασμώμενος, κνώμενος.

Ὄντως μέγα ὅπλον εὐχή, ἐὰν μετὰ τῆς προσηκούσης γίνηται νήψεως. καὶ ἵνα μάθῃς αὐτῆς τὴν ἰσχύν, ἀναισχυντίας καὶ ἀδικίας καὶ ὠμότητος καὶ ἰταμότητος ἐκράτησεν ἡ συνεχὴς ἔντευξις. Ἀκούσατε γάρ, φησι, τί ὁ κριτὴς τῆς ἀδικίας λέγει. καὶ ὄκνου δὲ πάλιν ἐκράτησε, καὶ ὅπερ οὐκ ἐποίησε φιλία, τοῦτο ἐποίησεν ἔντευξις συνεχής· Καὶ εἰ μὴ διὰ τὸ φίλον αὐτοῦ εἶναι, φησι, δώσει αὐτῷ, ἀλλά γε διὰ τὴν ἀναίδειαν αὐτοῦ ἀναστὰς δώσει αὐτῷ. καὶ ἀναξίαν οὖσαν, ἀξίαν ἐποίησεν ἡ συνεχὴς προσεδρεία. Οὐκ ἔστι γάρ, φησι, καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ δοῦναι τοῖς κυναρίοις. ἡ δέ, ναί, φησι, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. προσέχωμεν τῇ εὐχῇ, ἀγαπητοί. μέγα γὰρ ὅπλον ἐστίν, ἐὰν μετὰ ἐκτενείας γίνηται, ἐὰν χωρὶς κενοδοξίας, ἐὰν μετὰ ψυχῆς εἰλικρινοῦς, ἐὰν μετὰ συντετριμμένης καρδίας. αὕτη πολέμους ἐτροπώσατο, αὕτη ἔθνος ὁλόκληρον καὶ ἀνάξιον εὐαρεστῆσαι ἐποίησεν. Ἤκουσα γάρ, φησι, τοῦ στεναγμοῦ αὐτῶν, καὶ κατέβην τοῦ ἐξελέσθαι αὐτούς. εὐχὴ φάρμακόν ἐστι σωτήριον, καὶ κωλυτικὸν ἁμαρτιῶν, καὶ ἰατρεῖον τῶν πλημμελημάτων. ἐὰν γὰρ μετὰ ταπεινοφροσύνης εὐχώμεθα, ἐὰν τὸ στῆθος τύπτοντες, ὡς ὁ τελώνης, λέγωμεν ὥσπερ ἐκεῖνος, Ἱλάσθητί μοι, Κύριε, τῷ ἁμαρτωλῷ, πάντων ἐπιτευξόμεθα. εἰ γὰρ καὶ μὴ τελῶναί ἐσμεν, ἀλλὰ ἕτερα ἔχομεν ἐκείνων οὐχ ἥττονα ἁμαρτήματα. μὴ γάρ μοι εἴπῃς, ὅτι ἐν μικρῷ τινι διήμαρτες. τὴν γὰρ αὐτὴν ἔχει τὸ πρᾶγμα φύσιν. καθάπερ γὰρ ὁμοίως ἀνδροφόνος λέγεται, ὅ τε παιδίον ἀνελών, καὶ ὁ ἄνδρα, οὕτω καὶ πλεονέκτης ὅ τε πολλά, καὶ ὁ μικρὰ πλεονεκτῶν. καὶ ἡ μνησικακία δὲ οὐ μικρόν, ἀλλὰ καὶ μέγα ἐστὶν ἁμάρτημα (Μνησικάκων γάρ, φησιν, ὁδοὶ εἰς θάνατον) καὶ ὁ ὀργιζόμενος εἰκῇ τῷ ἀδελφῷ αὐτοῦ, ἔνοχος ἔσται θανάτου καὶ γεέννης, καὶ ὁ καλῶν τὸν ἀδελφὸν αὐτοῦ μωρὸν καὶ ἀνόητον. καὶ μυρία ὅσα τοιαῦτα πράττομεν, καὶ οὐ παυόμεθα μεταλαμβάνειν τῶν φρικτῶν μυστηρίων. καὶ φθονοῦμεν, καὶ λοιδοροῦμεν, τινὲς δὲ ἡμῶν καὶ ἐμεθύσθησαν πολλάκις· τούτων δὲ ἕκαστον καὶ αὐτὸ καθ' ἑαυτὸ ἱκανὸν ἐκβάλλειν τῆς βασιλείας. ὅταν δὲ καὶ ὁμοῦ συμφύρηται, τίνα ἕξομεν παραμυθίαν, ποίαν δὲ συγγνώμην; πολλῆς ἡμῖν δεῖ* τῆς μετανοίας, ἀγαπητοί, πολλῆς τῆς εὐχῆς, πολλῆς τῆς καρτερίας, πολλῆς τῆς προσεδρίας, ἵνα δυνηθῶμεν τυχεῖν τῶν ἡμῖν ἐπηγγελμένων ἀγαθῶν. εἴπωμεν οὖν καὶ ἡμεῖς, Ἱλάσθητί μοι, Κύριε, τῷ ἁμαρτωλῷ· μᾶλλον δὲ μὴ εἴπωμεν μόνον, ἀλλὰ καὶ οὕτω φρονῶμεν. κἂν ἕτερος ''καλέσῃ ἡμᾶς, μὴ ὀργιζώμεθα. ἤκουσεν ἐκεῖνος, Ὅτι οὐκ εἰμὶ ὡς οὗτος ὁ τελώνης. καὶ οὐ παρωξύνθη, ἀλλὰ μᾶλλον κατενύγη. ἐδέξατο τὸ ὄνειδος*, καὶ ἀπέθετο τὸ ὄνειδος*.. ἐκεῖνος εἶπε τὸ τραῦμα, καὶ οὗτος ἐζήτησε τὸ φάρμακον. λέγωμεν τοίνυν καὶ ἡμεῖς, Ἱλάσθητί μοι, Κύριε, τῷ ἁμαρτωλῷ. κἂν ἕτερος ἡμᾶς τοῦτο εἴπῃ, μὴ ἀγανακτῶμεν· ἂν δὲ αὐτοὶ μὲν λέγωμεν ἑαυτοὺς μυρία κακά, παρ' ἑτέρων δὲ ἀκούοντες αὐτά, δυσχεραίνωμεν, οὐκ ἔτι τοῦτο ταπεινοφροσύνη, οὐδὲ ἐξομολόγησις, ἀλλὰ ἐπίδειξις καὶ κενοδοξία. τί οὖν; ἐπίδειξίς, φησίν, ἐστὶν ἁμαρτωλὸν ἑαυτὸν καλεῖν; ναί. ταπεινοφροσύνης γὰρ λαμβάνομεν δόξαν, θαυμαζόμεθα, ἐγκωμιαζόμεθα παρὰ τῶν ἀνθρώπων. ἐὰν δὲ τοὐναντίον εἴπωμεν ἑαυτούς, ὑπερορώμεθα καὶ καταφρονούμεθα, ὥστε καὶ τοῦτο δόξης ἕνεκεν ποιούμεθα

Ἰωάν. ιζ. κδ.

Λουκ. ιη. ε.

Λουκ. ια. η.

Ματθ. ιε. κς.

Ἐξόδ. γ. ζ.

Λουκ. ιη. ιγ.

Παροιμ. ιβ. κη.

Ματθ. ε. κβ.

Λουκ. ιη. ια.

* τῆς σωφροσύνης καὶ

ἴσ. ἐγκαλέσῃ ἡμῖν

* εὐδεῶς

* πρὸ εὐθύ.

Τί δέ ἐστι ταπεινοφροσύνη; τὸ ἑτέρου ὀνειδίζοντος φέρειν γενναίως, τὸ ἐπιγινώσκειν τὸ ἁμάρτημα, τὸ φέρειν τὰς κατηγορίας. καὶ οὐδὲ τοῦτο ταπεινοφροσύνης ἂν εἴη, ἀλλ' εὐγνωμοσύνης. νῦν δὲ ἑαυτοὺς μὲν λέγομεν ἁμαρτωλούς, ἀναξίους, μυρία ὅσα· ἂν δὲ ἕτερος ἡμῖν ἓν τούτων προσενέγκῃ*, χαλεπαίνομεν, ἀγριαίνομεν. ὁρᾷς ὅτι οὐκ ἔστιν ἐξομολόγησις, οὐδὲ εὐγνωμοσύνη; εἶπες σαυτὸν εἶναι τοιοῦτον; μὴ ἀγανάκτει λοιπὸν παρὰ ἑτέρων ἀκούων καὶ ἐλεγχόμενος. οὕτω σοὶ τὰ ἁμαρτήματα κουφίζεται, ὅταν ἕτεροι ὀνειδίζωσιν. ἑαυτοῖς μὲν γὰρ βάρος ἐπιτιθέασι, σὲ δὲ εἰς φιλοσοφίαν ἐνάγουσιν. ἄκουε τί φησιν ὁ μακάριος Δαβίδ, ἡνίκα κατηράσατο αὐτῷ ὁ Σεμεΐ· Ἄφες αὐτόν, φησί· Κύριος ἐνετείλατο αὐτῷ, ὅπως εἴδῃ τὴν ταπείνωσίν μου, καὶ ἀνταποδώσῃ μοι Κύριος ἀγαθὰ ἀντὶ τῆς κατάρας αὐτοῦ. σὺ δὲ περὶ σαυτοῦ λέγων καὶ ὑπερβολὴν κακῶν, ἐὰν μὴ τὰ τῶν μεγάλων δικαίων ἐγκώμια παρὰ ἑτέρων ἀκούσῃς, ἀγριαίνεις. ὁρᾷς ὅτι παίζεις ἐν οὐ παικτοῖς πράγμασι; καὶ γὰρ τοὺς ἐπαίνους ἑτέρων ἐπαινῶν ἐπιθυμίᾳ διακρουόμεθα, ἵνα μειζόνων τύχωμεν ἐγκωμίων, ἵνα μᾶλλον θαυμασθῶμεν· ὥστε οὐ προσιέμεθα τὰ ἐγκώμια, ἵνα αὐτὰ αὐξήσωμεν διὰ τῆς ἀγαθῆς πολιτείας, ἀλλ' ἵνα πάντα πρὸς δόξαν ἡμῶν γίνηται, οὐ πρὸς ἀλήθειαν. διὰ τοῦτο πάντα κενά, πάντα ἄπορα. διὸ παρακαλῶ ἀποστῆναι ὑμᾶς τῆς μητρὸς τῶν κακῶν, τῆς κενοδοξίας. διὰ γὰρ ταύτην πεπαλαιώμεθα, καὶ ἐγγύς ἐσμεν ἀφανισμοῦ καὶ ἀπωλείας. ἀποξέσωμεν τοῦτο τὸ γῆρας. λουτρῷ μὲν οὖν οὐκ ἔτι δυνατόν, μετανοίᾳ δὲ ἐνταῦθα δυνατόν. ἀλλ' εἴ τι παλαιὸν ἐν ἡμῖν, ῥίψωμεν, εἴ τις ῥυτίς, εἴ τις κηλίς, εἴ τις σπῖλος, ἀπονιψώμεθα· γενώμεθα καλοὶ καὶ ὡραῖοι, ἵνα ἐπιθυμήσῃ ὁ βασιλεὺς τοῦ κάλλους ἡμῶν. ἔξεστι γὰρ καὶ πρὸς ἐσχάτην δυσειδίαν καταπεσόντα ἀνακαλέσασθαι τὸ κάλλος ἐκεῖνο, περὶ οὗ φησιν ὁ Δαβίδ, ὅτι ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. καὶ μὴν λήθη κάλλος οὐ ποιεῖ. ναί, ποιεῖ κάλλος τὸ ψυχικόν. λήθη ποία; ἡ τῶν ἁμαρτημάτων. πρὸς γὰρ τὴν ἐκκλησίαν τὴν ἐξ ἐθνῶν διαλέγεται, παραινῶν" αὐτὴν τῶν πατρῴων μὴ μεμνῆσθαι, τουτέστι, τῶν εἰδώλοις θυόντων. καὶ οὐκ εἶπε, μὴ μετέλθῃς αὐτά, ἀλλ', ὃ πολλῷ πλέον ἐστί, μηδὲ εἰς νοῦν λάβῃς· ὃ καὶ ἀλλαχοῦ φησιν, Οὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου· καὶ πάλιν, Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων. οὔπω τοῦτο μεγάλη ἀρετή· μεγάλη μὲν γάρ, ἀλλ' οὐ τοιαύτη. ἐκεῖ γὰρ τί φησιν; οὐκ εἶπε, μὴ λαλήσῃς τὰ τῶν ἀνθρώπων, ἀλλὰ μηδὲ ἀναμνησθῇς αὐτῶν, μηδὲ εἰς νοῦν λάβῃς. ὁρᾷς πόσον ἡμᾶς διάστημα τῆς κακίας ἀπέχειν βούλεται; ὁ γὰρ μὴ μεμνημένος, οὐ λογίζεται· ὁ δὲ μὴ λογιζόμενος, οὐδὲ φθέγγεται· ὁ δὲ μὴ φθεγγόμενος, οὐ πράξει. ὁρᾷς περὶ πόσων ἀπέχισεν ἡμᾶς ὁδῶν, περὶ πόσων διαστημάτων; ἀκούσωμεν τοίνυν καὶ ἡμεῖς ἅπαντες, ἀγαπητοί, καὶ ἐπιλαθώμεθα τῶν ἡμετέρων κακῶν· οὐ τῶν ἡμαρτημένων ἡμῖν λέγω. Μνήσθητι γάρ, φησι, σὺ πρῶτος τὰς ἁμαρτίας σου, καὶ οὐ μὴ μνησθῶ ἔτι ἐγώ. ὅ τι λέγω. μηκέτι μεμνήμεθα ἁρπαγῆς, ἀλλὰ καὶ τὰ πρότερα ἀποδῶμεν. τοῦτό ἐστιν ἐπιλαθέσθαι κακίας, ἐκβάλλειν λογισμὸν τὸν ἁρπακτικόν, καὶ μηδέποτε αὐτὸν δέξασθαι, ἀλλὰ καὶ τὰ ἤδη πεπλημμελημένα ἀπαλείφειν. πόθεν δ' ἂν γένοιτο ἡμῖν λήθη πονηρίας; ἀπὸ τῆς μνήμης τοῦ Θεοῦ. ἐὰν τοῦ Θεοῦ διαπαντὸς μνημονεύωμεν, οὐ δυνάμεθα κἀκείνων μεμνῆσθαι. Ἐμνημόνευόν σου, φησιν, ἐπὶ στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ. ἀεὶ μέν, μάλιστα δὲ τότε χρὴ μεμνῆσθαι τοῦ Θεοῦ, ὅταν ἐν ἡσυχίᾳ λογισμὸς ᾖ, ὅταν διὰ τῆς μνήμης ἐκείνης καταδικάζειν ἑαυτὸν δύνηται, ὅταν κατέχηται ἐν τῇ μνήμῃ διαπαντός. ἐν ἡμέρᾳ γὰρ κἂν μνημονεύωμεν, ἐπεισελθοῦσαι φροντίδες ἕτεραι καὶ θόρυβοι πάλιν αὐτὴν ἐκβάλλουσιν· ἐν νυκτὶ δὲ διαπαντὸς δυνατὸν μεμνῆσθαι, ὅταν ἐν γαλήνῃ ᾖ, καὶ ἀναπαύσῃ ἡ ψυχή, ὅταν ἐν λιμένι, ὅταν ἐν εὐδίᾳ. Ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε, φησιν. ἐδ

μ̂

β. Βασ. ιϛ. ιβ.

Ψαλ. μδ. ιβ.

Ψαλ. ιε. δ. ιϛ. δ.

Ψαλ. ξβ. ζ.

Ψαλ. δ. ε.

* ῥῆμα

" αὐτῷ

μετὰ γὰρ καὶ δι' ἡμέρας ταύτην ἔχειν τὴν μνήμην. ἐπεὶ δὲ φροντίζετε καὶ περισπᾶσθε, κἂν ἐν νυκτὶ μνημονεύετε τοῦ Θεοῦ, καὶ ἐν τοῖς ὄρθροις μελετήσωμεν ἐν αὐτῷ, ἵνα μετὰ πολλῆς ἀσφαλείας χωρήσωμεν εἰς τὰ πράγματα, ἐὰν ἵλεω πρότερον τὸν Θεὸν ποιήσωμεν τῇ ἐντεύξει καὶ ἱκετηρίᾳ· οὕτω προβαίνοντες οὐδένα ἕξομεν ἐχθρόν· * πόλεμός ἐστι, μάχη ἐστὶ τὰ πράγματα τὰ καθημερινά, κλυδώνιόν ἐστι καὶ χειμών. δεῖ τοίνυν ὅπλων ἡμῖν. μέγα ὅπλον εὐχή. δεῖ οὐρίων ἀνέμων, δεῖ μαθεῖν ἅπαντα, ὥστε τὸ μῆκος τῆς ἡμέρας χωρὶς ναυαγίων καὶ τραυμάτων διανύσαι. πολλοὶ γὰρ καθ' ἑκάστην ἡμέραν σκόπελοι, καὶ πολλάκις προσέρρηξε τὸ σκάφος καὶ κατεποντίσθη. διὰ τοῦτο εὐχῆς ἡμῖν δεῖ, μάλιστα ἑωθινῆς καὶ ἑσπερινῆς.

* κἂν ἔχῃς δὲ καταγελάσῃ, Θεὸν ἔχων ἵλεω.

Ὀλύμπια πολλοὶ πολλάκις ἡμῶν ἐθεάσαντο, καὶ οὐκ ἐθεάσαντο μόνον, ἀλλὰ καὶ σπουδασταὶ καὶ θαυμασταὶ τῶν ἀγωνιζομένων ἐγένοντο, καὶ ὁ μὲν τούτου, ὁ δὲ ἐκείνου. ἴστε οὖν πῶς καὶ τὰς ἡμέρας τῶν ἀγώνων, καὶ τὰς νύκτας ἐκείνας οὐδὲν ἄλλο φροντίζει ὁ κῆρυξ, ἢ ὅπως μὴ ἐξηχῶν ἀσχημονήσῃ ὁ ἀγωνιζόμενος. εἰ τοίνυν ὁ ἐπ' ἀνθρώπων ἀγωνίζεσθαι μέλλων, τοσαύτῃ κέχρηται προνοίᾳ, πόσῳ μᾶλλον ἡμῖν ἁρμόσει τὸ διηνεκῶς φροντίζειν καὶ μεριμνᾶν, οἷς ἅπας ὁ βίος ἀγών ἐστι; πᾶσα τοίνυν ἔστω νὺξ παννυχίς· καὶ μεριμνῶμεν πῶς ἐξέλθωμεν τὴν ἡμέραν, μὴ γέλωτα ὀφλῶμεν, καὶ οὔτε γέλωτα μόνον. νυνὶ δὲ κάθηται ἐν δεξιᾷ τοῦ πατρὸς ἀγωνοθέτης ἀκούων ἀκριβῶς, μή τι ἐπαχθὲς φθεγγόμεθα, μή τι παράνομον. οὐ γὰρ πραγμάτων μόνον, ἀλλὰ καὶ ῥημάτων κριτής ἐστι. παννυχίσωμεν, ἀγαπητοί· ἔχομεν καὶ ἡμεῖς σπουδαστάς, ἐὰν θέλωμεν. ἑκάστῳ ἡμῶν ἄγγελοι παρακάθηνται, ἡμεῖς δὲ ῥέγχομεν δι' ὅλης τῆς νυκτός· καὶ οὐδὲ μόνον τοῦτο, ἀλλὰ πολλοὶ καὶ τὰ ἀσελγῆ πράττουσιν, ἕτεροι δὲ μεθύουσι καὶ παραφθέγγονται, ἄλλοι δόλους πλέκουσιν, ἕτεροι φροντίσι κατακόπτονται, καὶ πάντα τὰ τοιαῦτα αἱροῦνται μᾶλλον, ἢ τὰ τῷ Θεῷ προσήκοντα. οὐαί σοι, μαμμωνᾶ, καὶ τῷ ἔχοντί σε. εἰπὲ γάρ μοι, οὐχὶ καὶ ταύτην τὴν ἀπειλὴν ἠπείλησεν ὁ Θεός, λέγων· Οὐ δύνασθε δυσὶ κυρίοις δουλεύειν; σὺ δὲ ἐκλύεις τὴν ἀπειλήν. οὐχὶ τὴν πλεονεξίαν εἰδωλολατρείαν καλεῖ; σὺ δὲ ἕστηκας * ἀφόβως γελῶν κατὰ τὰς βιωτικὰς γυναῖκας. τοῦτο πάντα ἀνέτρεψε, τοῦτο πάντα κατέδυσε. γέλως γέγονε τὰ ἡμέτερα, καὶ πολιτισμὸς καὶ ἀστειότης. οὐδὲν εὐσταθές, οὐδὲν βέβαιον. οὐ πρὸς βιωτικοὺς ταῦτα λέγω μόνον, ἀλλ' οἶδα οὓς αἰνίττομαι. γέλωτος γὰρ ἐμπέπλησται ἡ ἐκκλησία· ἂν ὁ δεῖνα ἀστεῖον εἴπῃ, γέλως εὐθέως ἐν τοῖς καθημένοις γίνεται· καὶ τὸ θαυμαστόν, ὅτι ἐν αὐτῷ τῷ καιρῷ τῆς εὐχῆς οὐ παύονται οἱ πολλοὶ τοῦ ἀτάκτου γέλωτος. πανταχοῦ χορεύει ὁ διάβολος, καὶ πάντας ἐνέδυσε, καὶ πάντων ἐκράτησεν. ἠτίμασται ὁ Χριστός, παρέωσται, ἐν οὐδενός ἐστι μέρει ἡ ἐκκλησία. οὐκ ἀκούετε, ἄθλιοι, Παύλου λέγοντος· Αἰσχρότης καὶ μωρολογία καὶ εὐτραπελία ἀρθήτω ἀφ' ὑμῶν; μετὰ τῆς αἰσχρότητος τὴν εὐτραπελίαν τέθεικεν ὁ Παῦλος· σὺ δὲ γελᾷς, ταλαίπωρε, καὶ μάλιστα ἐν ἐκκλησίᾳ ἱστάμενος; μωρολογία τί ἐστι; τὰ μηδὲν ἔχοντα χρήσιμον, μήτε μὴν ἀρέσκοντα Θεῷ. γελᾷς δὲ ὅλως καὶ διαχεῖς τὸ πρόσωπόν σου ὁ μονάζων; ὁ ἐσταυρωμένος; ὁ πενθεῖν μᾶλλον πάντοτε προῃρημένος γελᾷς; εἰπέ μοι, τοῦτο ποιοῦντος τοῦ Χριστοῦ ἤκουσας; οὐδαμοῦ, ἀλλὰ καὶ κατηφιῶντος μὲν πολλάκις. καὶ γὰρ ὅτε τὴν Ἱερουσαλὴμ εἶδεν, ἐδάκρυσε, καὶ ὅτε τὸν προδότην ἐνενόησεν, ἐταράχθη, καὶ ὅτε τὸν Λάζαρον ἐγείρειν ἔμελλεν, ἔκλαυσε· σὺ δὲ γελᾷς; εἰ ἐπὶ τοῖς ἑτέρων ἁμαρτήμασιν ὁ μὴ ἀλγῶν κατηγορίας ἄξιός ἐστιν, ὁ ἐπὶ τοῖς ἑαυτοῦ ἀναλγήτως διακείμενος καὶ γελῶν, ποίας ἔσται ἄξιος συγγνώμης; πένθους ἐστὶν ὁ καιρὸς καὶ θλίψεως, ὑπωπιασμοῦ καὶ δουλαγωγίας, ἀγώνων καὶ ἱδρώτων. σὺ δὲ γελᾷς; οὐχ ὁρᾷς πῶς ἐπετιμήθη Σάρρα; οὐκ ἀκούεις τοῦ Χριστοῦ λέγοντος, Οὐαὶ οἱ γελῶντες, ὅτι αὐτοὶ κλαύσονται; οὐχὶ ταῦτα ψάλλεις καθ' ἑκάστην ἡμέραν; τί γὰρ λέγεις, εἰπέ μοι; ὅτι ἐγέλασα; οὐδαμῶς, ἀλλ' ὅτι ἐκοπίασα ἐν τῷ στεναγμῷ μου. ἀλλὰ τάχα τινές εἰσιν οὔ-

* ἐν ἐκκλησίᾳ.

Ματθ. ϛ. κδ.
Κολοσ. γ. ε.
Ἐφεσ. ε. δ.
Λουκ. ϛ. κε.
Ψαλμ. ϛ. ϛ.

τοι

που διακεχυμένοι καὶ χαῦνοι, ὡς καὶ ἐν τῇ ἐπιτιμήσει ταύτῃ γελᾶν, ὅτι περὶ γέλωτος διαλεγόμεθα. καὶ γὰρ τοιοῦτόν ἐστιν ἡ παραφορὰ, τοιαύτη ἡ παραπληξία· οὐδὲ αἰσθανόμεθα τῆς ἐπιτιμήσεως. ἕστηκεν ὁ ἱερεὺς "τοῦ Θεοῦ τὴν πάντων εὐχὴν ἀναφέρων, σὺ δὲ γελᾷς "οὐδένα δεδοικώς; καὶ ἐκεῖνος μετὰ τρόμου ὑπὲρ σοῦ τὰς εὐχὰς ἀναφέρει, σὺ δὲ καταφρονεῖς; οὐκ ἀκούεις τῆς γραφῆς λεγούσης, Οὐαὶ οἱ καταφρονηταί; *οὐ φρίττεις; οὐ συστέλλεις σαυτόν; καὶ εἰς μὲν βασίλεια "εἰσελθὼν, καὶ σχήματι καὶ βλέμματι καὶ βαδίσματι καὶ πᾶσι τοῖς ἄλλοις κοσμεῖς σαυτόν· ἐνταῦθα δὲ, ὅπου ὄντως εἰσὶ βασίλεια, καὶ τοιαῦτα οἷα τὰ οὐράνια, γελᾷς, εἰπέ μοι; σὺ μὲν οὖν, οἶδα, ὅτι οὐχ ὁρᾷς· ἄκουε δὲ ὅτι ἄγγελοι πάρεισι πανταχοῦ, καὶ μάλιστα ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. παρεστήκασι τῷ βασιλεῖ, καὶ πάντα ἐμπέπλησται τῶν ἀσωμάτων ἐκείνων δυνάμεων. εἶτα εἰσῆλθες ἐξομολογήσασθαι τὰ ἁμαρτήματα, προσπεσεῖν τῷ Θεῷ, δεηθῆναι καὶ ἱκετεῦσαι ὑπὲρ τῶν κακῶς σοι πεπλημμελημένων, καὶ μετὰ γέλωτος τοῦτο ποιεῖς; πῶς οὖν αὐτὸν ἐξιλεώσασθαι δυνήσῃ; καὶ τί κακὸν ὁ γέλως, φησίν; οὐ κακὸν ὁ γέλως, ἀγαπητὲ, ἀλλὰ κακὸν τὸ παρὰ καιρὸν, τὸ ἀμέτρητον, τὸ διακεχυμένον καὶ ἄτακτον. ὁ γέλως ἔγκειται ἡμῖν, ἵν', ὅταν φίλους ἴδωμεν διὰ μακροῦ χρόνου, τοῦτο ποιῶμεν· ὅταν τινὰς καταπληττομένους ἴδωμεν καὶ δεδοικότας, μεταβάλλωμεν αὐτοὺς τῷ μειδιάματι μόνον, οὐχ ἵνα καγχάζωμεν καὶ ἀεὶ γελῶμεν. ὁ γέλως ἔγκειται ἐν τῇ "φύσει τῇ ἡμετέρᾳ, ἵνα ἀνίηταί ποτε ἡ ψυχὴ, οὐχ ἵνα διαχέηται· ἐπεὶ οὖν καὶ ἐπιθυμία ἔγκειται ἐν ἡμῖν, καὶ οὐ πάντως δεῖ κεχρῆσθαι αὐτῇ, ἀλλὰ κρατοῦμεν αὐτῆς καὶ οὐ λέγομεν, ἐπεὶ ἔγκειται, χρησώμεθα αὐτῇ. μετὰ δακρύων καὶ συντετριμμένης καρδίας δούλευε τῷ Θεῷ, ἵνα δυνηθῇς ἀπονίψασθαι τὰ ἡμαρτημένα, καὶ μετὰ καθαροῦ συνειδότος προσέρχου τοῖς ἀχράντοις καὶ φρικτοῖς μυστηρίοις τοῦ Χριστοῦ. οἶδα ὅτι πολλοὶ διαμωκῶνται ἡμᾶς λέγοντες, εὐθέως δάκρυα ἡμῖν προτίθεται. ἀλλὰ δακρύων καὶ θρήνων ἐστὶν ὁ παρὼν καιρός. οἶδα ὅτι καὶ οἰωνίζονται οἱ λέγοντες, φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης, οὐκ ἐγὼ λέγω, ἀλλ' αὐτὸς φησὶν ὁ τὴν πεῖραν τῶν πραγμάτων λαβών. ᾠκοδόμησά μοι οἴκους, ἐφύτευσα ἀμπελῶνας, καὶ τὰ ἑξῆς. καὶ τί δὲ μετὰ ταῦτα πάντα; ματαιότης, φησὶ, ματαιοτήτων, τὰ πάντα ματαιότης. πενθήσωμεν τοίνυν, ἀγαπητοὶ, πενθήσωμεν ἐνταῦθα, ἵνα ὄντως γελάσωμεν ἐκεῖ ἐν τῷ καιρῷ τῆς χαρᾶς τῆς ἀληθινῆς. ταύτῃ μὲν γὰρ τῇ χαρᾷ λύπη συναναμέμικται, καὶ οὐδέποτε καθαρὰν ἐστὶν αὐτὴν εὑρεῖν· ἐκείνη δὲ εἰλικρινής ἐστι, καὶ ἄδολος, καὶ οὐδὲν ἔχουσα ὕπουλον. ἐκείνην ποθήσωμεν, ἀγαπητοὶ, τὴν χαρὰν, ἐκείνην μεταδιώξωμεν. ἄλλως δὲ οὐκ ἔστι ταύτης ἐπιτυχεῖν, εἰ μὴ διὰ τοῦ ἐνταῦθα μὴ τὰ ἡδέα, ἀλλὰ τὰ ὠφελοῦντα ἡμᾶς αἱρεῖσθαι, καὶ διὰ τούτου θλίβεσθαι ἑκόντας καὶ μετ' εὐχαριστίας ἅπαντα φέροντας. οὕτω γὰρ ποιοῦντες δυνησόμεθα περιγενέσθαι τῶν παθῶν, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα, καὶ τὸ κράτος, καὶ ἡ προσκύνησις ἀναπέμπεται εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

Εκκλησ. α. β.
β. δ.

γρ. τοῦ Θεοῦ
γρ. μηδένα

* ταῦτα ἀκ
ων καὶ ψάλλων
συνεχῶς, ἄνθρωπε,
γρ. ἐσυνθεῖν
βουλόμενος

γρ. ψυχῆ

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου λόγοι πανηγυρικοὶ, ἤτοι ἑορταστικοὶ
ἀμφιβαλλόμενοι.

Λογ. ρκδ. ΕΙΣ ΤΗΝ ΑΡΧΗΝ ΤΗΣ ΙΝΔΙΚΤΟΥ.

Ex Ms. Regio Lut. Μηνὸς Σεπτεμβρίου α.

Θαυμασταὶ τῶν ὀρθοδόξων αἱ πανηγύρεις, φαιδραὶ τῶν μαρτύρων αἱ μνῆμαι, ἀνεπαίσχυντοι τῶν εὐσεβῶν αἱ εὐωχίαι. οὐχ ἑορτάζομεν χρόνον τῶν ἀστάτως κινουμένων· οὐ σεβόμεθα ἐνιαυτὸν τὴν τῆς ἀνθρωπίνης ζωῆς δαπάνην· οὐ προσκυνοῦμεν ἀγῶνα τὸν εἰς φθορὰν ἡμᾶς ἕλκοντα; οὐ λατρεύομεν τῇ κτίσει (σύνδουλα γὰρ τὰ γενόμενα) οὐ θεραπεύομεν τὸν ἥλιον. ἐξ οὐκ ὄντων γὰρ ὑπέστη. ὡς γὰρ ἀρχὴν γενέσεως ἔχει ταῦτα, καὶ φθορᾶς ὑπόκειται τέλει. οὐ σεβόμεθα οὐρανὸν (ὡς καπνὸς γὰρ ἐστερεώθη) οὐ σεβόμεθα στερέωμα (ἐκρυσταλλώθη) οὐ σεβόμεθα τὸ φῶς (λόγῳ γὰρ ἐδημιουργήθη) οὐ σεβόμεθα τὴν σελήνην (ῥήματι γὰρ ἐκοσμήθη) οὐ σεβόμεθα τὴν γῆν (ἐξ ὕδατος γὰρ ἀνελκύσθη) οὐ σεβόμεθα τὸ πῦρ (ὑλικὸν γὰρ τὸ στοιχεῖον) οὐ προσκυνοῦμεν τὸ ὕδωρ (ῥέουσα γὰρ ἡ φύσις) οὐ λατρεύομεν τῷ χρόνῳ (οὐκ ἕστηκε γὰρ, ἀλλ᾽ ἀφίσταται) οὐ σεβόμεθα τὴν ἡμέραν· διατάξει γὰρ δουλεύει. πάντα χρόνῳ γηρᾷ, ὁ χρόνος μετὰ πάντα γηρᾷ· Θεὸς δὲ μόνος παλαιότητος ἀνώτερος· ὁ δείκνυσιν ἡ τῆς συντελείας ἡμέρα. Ἕλληνες μὲν οὖν καὶ Ἰουδαῖοι, ἀδελφοὶ ἀνομίας, τοῦ διαβόλου τὰ λάφυρα, τῆς ἁμαρτίας τὰ ἔγγονα, τῆς πλάνης τὰ θρέμματα, τῆς δυσσεβείας ἡ πώρωσις, τῆς γεέννης οἱ ιαυτολόγοι, οἱ ὄφεις τῆς ἀσεβείας, οἱ υἱοὶ τῆς κατάρας, οὗτοι ἑορταζέτωσαν δυσσεβῶς, ὅπερ φρονοῦσιν ἀνοσίως. οἱ μὲν τὴν πλάνην ὑμνείτωσαν, οἱ δὲ τὸν νόμον πατείτωσαν, καὶ ἑκάτεροι εἰς τὰ πονηρὰ μαθητευέτωσαν. συνήλλαξαν γάρ. Ἰουδαῖοι παρὰ Ἑλλήνων ἔμαθον τὴν εἰδωλολατρείαν, καὶ Ἕλληνες παρὰ Ἰουδαίων τὸ προφητικιονεῖν. οἱ Ἰουδαῖοι γὰρ ἐν τῷ νόμῳ πᾶσαν ἑλληνικὴν ἐπεδείξαντο πλάνην. ἀλλὰ γὰρ ἀγανακτεῖς, ὦ Ἰουδαῖε, ταῦτα ἀκούων; ἐνόησον γὰρ τὰς πράξεις, καὶ μὴ χαλέπαινε πρὸς τὰς μέμψεις. ποῦ γὰρ οὐκ εἰδωλολάτρησας, εἰπέ μοι; ἐν τῇ ἐρήμῳ μόσχον ἐχάλκευσας· ἐσπαιοφορούμενος τῷ Βεὲλ Φεγὼρ ἐτελέσθης· ἐν τῇ Μωαβίτιδι τῷ Θάματζ προσεκύνησας· ἐν τῇ Παλαιστίνῃ τῷ Δαγὼν ἐθυσίασας· ἐν Φοινίκῃ τῇ Ἀστάρτῃ ἐλάτρευσας· ἐν αἰχμαλωσίᾳ τῷ Χαμὼς προσεκύνησας. ἔλειψε τόπος, οὐκ ἔλειψε μῖσος· διὰ τοῦτο καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ὁ δεσπότης

ἴσ. προφητοκτονεῖν.

ἴσ. μῦσος.

της

Ησ. α. ιδ.

της. ἄκουε γὰρ τοῦ προφήτου λέγοντος, Μεμίσηκα, ἀπῶσμαι τὰς ἑορτὰς ὑμῶν, καὶ οὐ μὴ εὐφρανθῶ ἐν ταῖς πανηγύρεσιν ὑμῶν. πᾶσα γὰρ ἑορτὴ Ἰουδαίων φόνους ἐπήγαγε. νηστεύων τὸν Ναβουθὲ ἐλίθασας· ἑορτάζων τὸν Ἡσαΐαν ἔπρισας· πανηγυρίζων τὸν Ἱερεμίαν εἰς λάκκον κατέρριψας. εἰς κρίσεις καὶ μάχας ἀνοσίως ἐνήστευσας· κραιπαλῶν τὴν κιβωτὸν ἐπὶ τὸν Ἠλὶ προέδωκας, τὸν Ἰωάννην ἀπεκεφάλισας. εἰ τοιαῦτα ἑορτάζεις, τὸ θρηνεῖν σοι συμφέρει. ἡμεῖς δὲ ἑορτάζομεν θεῖα καὶ παράδοξα πράγματα, τῶν μαρτύρων τοὺς ἄθλους, τῶν ταφέντων τὰς νίκας, τῶν μὴ ὁρωμένων τὰ δίκτυα, τῶν διαλυθέντων τὴν ἰατρείαν· ἐν προφήτοις τοῦ Χριστοῦ καὶ Θεοῦ μου τὰ θαύματα, ἃ διὰ τὴν ἐμὴν σωτηρίαν ἄνθρωπος γεγονὼς ἐξετέλεσεν· εἶθ' οὕτω τῶν δούλων αὐτοῦ τὰ πάθη· τοῦ Στεφάνου τὸν λιθοκόλλητον στέφανον, τοῦ ἐνδόξου Λαυρεντίου τὰ κατὰ θανάτου τρόπαια, τῆς Ἄννης τὴν ἀναυάγητον παρθενίαν. ὦ τριὰς τριάδος κῆρυξ, ὦ λείψανα τῶν ὀδυνωμένων τὰ φάρμακα, ὦ κόνις πηγὴ ἰαμάτων, ὦ οἶκος οὐρανοῦ τὸ κάλλος μιμούμενος. ἀλλὰ καὶ τὸ ἄψυχον στοιχεῖον ἡ θάλασσα ἀλαλήτως βοᾷ πρὸς ὑμᾶς· ἤλεγξας τοὺς συνδούλους, κηρύξω κἀγὼ τὸν δεσπότην. οὐ βαρεῖ με τὸ ἴχνος τοῦ πλάστου, ἁγιάζουσί με οἱ πόδες Χριστοῦ. Μωϋσῆς ἔσχισεν, ἀλλ' οὗτος ἡγίασε· τὸν Ἰωνᾶν ἐρρόφησα, τοῦτον δὲ φρίττω· τὸν Νῶε ἐκλυδώνισα, ἀλλ' οὐ τολμῶ προσβλέψαι τῷ χειρὶ τὸν ἄνθρωπον πλάσαντι. ποσὶ τὴν θάλασσαν ἡγίασε, τὸν οὐρανὸν ἐν ἀστέρι ἐδόξασε, τὴν γῆν τῇ φάτνῃ ἐλάμπρυνε, τὸν ᾅδην διὰ τοῦ τάφου ἐφώτισεν. οὐκ εἰμὶ ἀγνώμων καὶ ἄψυχος· ἐπιγινώσκω ὡς στοιχεῖον τὸν ποιήσαντα· οὐ λέγω μετὰ τῶν Ἰουδαίων, οὗτος ὁ ἄνθρωπος οὐκ ἔστι παρὰ Θεοῦ· ἀλλὰ κράζω εὐσεβοῦσα, οὗτός μου Θεός, καὶ δοξάσω αὐτόν. δείξω τὰ τῆς ἐμῆς φύσεως, ἐλέγξω τῶν μιαιφόνων τὰς γνώμας, δημοσιεύσω τοῦ περιπατήσαντός με τὸ κράτος. οὗτοι σύνδουλοι, ἐκεῖνος δεσπότης, οὐ φόβῳ τούτους ταράττω. ὁ μὲν δεσπότης ἐν τῇ θαλάττῃ ἀβρόχως ἐβάδιζεν, οἱ δὲ πλέοντες ἐθορυβοῦντο· ὁ δὲ φόβος τοὺς κινδυνεύοντας βοᾶν παρεσκεύασεν, ὁ δὲ φιλάνθρωπος τὸ θαρρεῖν παρεκελεύετο, λέγων, Θαρσεῖτε, ἐγώ εἰμι· μὴ φοβεῖσθε. θαρσεῖτε, τὴν τῆς πίστεως ἔχοντες ἄγκυραν. εἰδωλολατρείας γὰρ σπιλὰς οὐκ ἐβύθισεν ὑμᾶς· θαρσεῖτε, Ἰουδαϊκὴ ὑμᾶς λαῖλαψ οὐ κατεπόντισε· θαρσεῖτε, αἱρετικὴ ὑμᾶς τρικυμία οὐ κλυδωνίζει. ἐγώ εἰμι, ὁ συνάναρχος τοῦ πατρὸς λόγος, τῆς ἀκτίστης ἀρχῆς ὁ κλάδος, τῆς κοσμικῆς ἁμαρτίας ὁ ἀμνός, τοῦ τῶν πόλεων ναυαγίου ὁ κυβερνήτης, τῆς ὀρθοδόξου πίστεως ὁ θησαυρός, τῶν μαρτυρικῶν ἀγώνων ὁ βραβευτής. ἐγώ εἰμι, μὴ φοβεῖσθε. ὅπου γὰρ ὁ Θεὸς πάρεστιν, ἀπελήλαται κίνδυνος χάριτι Θεοῦ· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ιερ.

Ματθ. ιδ. κζ.

Ησ.

Λογ. ρκε. ΕΙΣ ΑΡΧΗΝ ΤΗΣ ΙΝΔΙΚΤΟΥ ΤΟΥ ΝΕΟΥ ἔτους, καὶ εἰς μακαρίους μάρτυρας, καὶ εἰς αἱμόρρουν.

Ex Ms. Regio Lut. Μηνὸς Σεπτεμβρίου α.

Ἐπάλληλοι σήμερον παρὰ τοῦ δεσπότου Χριστοῦ ἡ τῶν ἀγαθῶν ἐπομβρεία, καὶ ἄλλος ἄλλον διαδέχεται πλοῦτον. ἰδοὺ καὶ σήμερον ἡμᾶς ἑστιῶσιν οἱ καλλίνικοι μάρτυρες, τοὺς οἰκείους ἄθλους προτεθεικότες εἰς ἐπίκοινον εὐφροσύνης συμπόσιον. ἔδει γάρ, ἔδει τοὺς ἀεὶ νεάζοντας τῇ χάριτι μάρτυρας, καὶ τῇ τοῦ ἔτους εἰσόδῳ γενέσθαι τοῖς εὐσεβέσιν ἀφορμὴν δεξιώσεως· ἔδει τοιαύτην τῷ νέῳ ἐνιαυτῷ τοῖς πιστοῖς ὑπαντῆσαι τὴν ἀγαλλίασιν· ἔδει μετὰ τοσαύτης ἡμᾶς εὐλογίας ἀσπάσασθαι τῆς τοῦ χρόνου ἐναλλαγῆς τὰ προοίμια· ἔδει τὴν τῆς παρούσης ἡμέρας πανήγυριν, τῷ χορῷ τῶν ἁγίων τετιμημένην ἀποδέξασθαι· ἔδει τὸν κύκλον τοῦ ἔτους τῷ τῶν μαρτύρων κοσμηθῆναι στεφάνῳ.

φλύαρ. ἔδει τοιαύτῃ χρήσασθαι ἐπὶ τοῦ ἐπιστάντος ἡμᾶς τῇ εὐωχίᾳ, μεθ' ἑαυτῶν ἐπαγομένους καὶ τὴν τῶν μαρτύρων τιμήν. αὐτοὶ γάρ εἰσι πάσης εὐφροσύνης τῷ γένει παραίτιοι, οἱ γενναῖοι τοῦ Χριστοῦ στρατιῶται, οἱ καὶ μετὰ θάνατον τῆς αὐτοῦ δυνάμεως κήρυκες, οἱ τὸν ἀπατεῶνα ὄφιν ποσὶ καρτερίας καταπατήσαντες, καὶ τὸν τυραννόφρονα λέοντα φιλοθείας χερσὶν ἀποπνίξαντες, καὶ τὴν ἀλήθειαν φανερώσαντες· οἱ τὴν παροῦσαν ζωὴν ὡς ματαίαν μισήσαντες, καὶ τὴν τῶν οὐρανῶν βασιλείαν, ὡς υἱοὶ μητέρα, ποθήσαντες· οἱ διὰ θανάτου τὰς τῆς ἀθανασίας πύλας ἀνοίξαντες, καὶ τὸν τοῦ θανάτου γεννήτορα τῷ οἰκείῳ θανάτῳ νεκρώσαντες· οἱ ἐν σώματι τοὺς ἀσωμάτους νικήσαντες δαίμονας, οὐ δυνάμει σώματος, ἀλλὰ πίστει ψυχῆς. διὰ πίστεως γὰρ τὴν τοῦ κόσμου κατηγωνίσαντο πάντων, ἧς οὐδὲν χριστιανοῖς αἱρετώτερον. πίστιν γὰρ κεκτημένοι, συμπαράκτορες τοὺς λόγους ἔργοις ἐβεβαίωσαν. μέγα μὲν γάρ, ὡς ἀληθῶς, τὸ τῆς δικαιοσύνης κατόρθωμα· λαμπρὰ δὲ καὶ τῆς σωφροσύνης ἡ ἀρετή· χρήσιμος ὁμοίως καὶ τῆς φιλοπτωχίας ἡ ἐπιμέλεια· καλὴ μετὰ τούτων καὶ ἡ τῆς ἐγκρατείας ἡ ἄσκησις· φέρει δὲ τὴν κατὰ πάντων νίκην τὸ δυνατὸν τῆς πίστεως πλεονέκτημα. αὕτη ποτὲ τοῦ Ἀβραὰμ τὴν χερσεύουσαν τῆς Σάρρας γαστέρα μετὰ τὴν πολλὴν τοῦ χρόνου δαπάνην, πρὸς γόνιμον ἐγεώργησεν ἄρουραν. ταύτῃ καὶ Μωϋσῆς πεζεύεσθαι τὴν πλεομένην ἐποίησε θάλασσαν. διὰ ταύτης Ἠλίας προσέταττεν οὐρανῷ, καὶ ἠκούετο. αὕτη μυρία τῶν παθῶν ἐπὶ τοῦ σωτῆρος ἀπεδίωξε γένη. λεπρὸς διὰ πίστεως τῶν τοῦ πάθους ἀπηλλάγη φολίδων, τυφλὸς δι' ἐκείνης ὀφθαλμούς, οὓς ἡ φύσις οὐκ ἤνεγκεν, ἀπέλαβε· ταύτην συμμαχοῦσαν ἡ Χαναναία λαβοῦσα, βιαθεῖσα περὶ γονήν, ἀνθήρπασε τὴν θυγατέρα τοῦ κατέχοντος δαίμονος. ἐξήρανε καὶ λανθάνουσα πίστις αἱμάτων ῥοάς. καὶ ἐπ' ἄλλων μὲν προλαμβανούσης αἰτήσεως ἠκολούθει τὸ δῶρον· ἐνταῦθα δὲ σιγῶσα, παρὰ σιγῶντος, ὡς ἐνόμιζεν, ἀπεσύλα τὸ χάρισμα. ὢ γυναικὸς ἀθλίας καὶ μακαρίας ὁμοῦ· ἀθλίας διὰ τὰ πρότερα, μακαρίας διὰ τὰ δεύτερα. Ἰδοὺ γάρ, φησι, γυνὴ ἐν ῥύσει αἵματος αὐτῆς δώδεκα ἔτη. τοσοῦτος ἡμερῶν εἰ ἦν ἀριθμός, ὁπόσος ἐτῶν ἀνάλωτο χρόνος, κατεδάμασεν αὐτὴν ἄν, οὐχὶ δὲ ἔτη δώδεκα. εἰς φύσιν, ὡς οἶμαι, τὸ πάθος μετέπεσεν. ἥτις ἰατροῖς προσαναλώσασα τὸν βίον ὅλον, τῷ τοῦ σώματος μαρασμῷ καὶ τὴν τῶν χρημάτων προσέθηκε μείωσιν. ὑπ' οὐδενὸς δὲ ἴσχυσε θεραπευθῆναι. ὢ, τὸ οὐκ ἴσχυσεν, ἀνταγωνιστὴν εἶχεν ἡ γυνὴ τὸ τοῦ πάθους πολέμιον. ἐπήγαζεν ἄρα τῆς γυναικὸς ἡ γαστήρ, κρουνός τις αἱμάτων ἀνελλιπὴς κατεφέρετο· οὐδὲ τοῦ τοσούτου χρόνου τὸ μῆκος τῷ τῆς δυσωδίας ὀχετῷ τὴν φορὰν ἐδαπάνα. ὀδύναις ἔτι καὶ φροντίσιν ἐκόπτετο τὴν διάνοιαν, πῶς τὸν δεσμὸν διαρρήξει τοῦ χαλεποῦ ἀρρωστήματος, πῶς τὸ δωδεκαέτες ἀποτινάξεται πάθος, πῶς λύσει τὰς αἰενδότους ὠδῖνας, πῶς στήσει τὰ ἀχαλίνωτα ῥεῖθρα, πῶς παύσει τῶν φλεβῶν τὴν μανίαν. πάντων ἰατρῶν κυκλοποροῦσα καὶ συρομένη κατέτριβε τὰς θύρας. περιῄτει γὰρ τὸ φῶς, μὴ καὶ αἱ τῶν αἱμάτων κατιοῦσαι σταγόνες ἀτραπὸν ἐργασάμεναι, στηλιτεύσωσι τὴν λανθάνουσαν τῆς βασιλιζούσης αἱμορρύην. μισθὸν τοῖς θεραπεύειν ἐθέλουσι πᾶσαν ἣν εἶχε περιουσίαν ἐξήντλησε, τῆς ἀνάγκης βιαζομένης τὴν δόσιν. ἡ γὰρ ἐπιθυμία τῆς ὑγείας πείθει χρημάτων μὴ φείδεσθαι. καὶ οὕτως, ἰατροὶ πάντες τῇ νόσῳ πολεμοῦντες, ἠπόνουν· ποικίλαι φαρμάκων ἐπίνοιαι, τὴν τοῦ πάθους οὐκ ἴσχυον ἐξημερῶσαι ἀγριότητα. ὥσπερ γάρ τι δύσκωφον θηρίον, τῆς τῶν ἐπᾳδόντων τέχνης ἀνήκοον ἔμενεν, ὥσπερ ἀντιλέγειν τοιαῦτα δοκοῦν τοῖς βιαζομένοις λύοντα· τί μάχεσθε δυνατωτέρῳ θηρίῳ; χρόνος μὲν τοσοῦτος τῆς ἐν σώματι νομῆς οὐκ ἐσύλησεν, ἰατρευόντων ἐπιστήμαις οὐκ εἴκω· χρήμασιν οὐδεὶς ἐξαγοράσει τὴν δύναμιν, οὐδείς μου τὴν φορὰν τῶν ἐπὶ γῆς ἀνακόψει· εἷς με μόνος ἐκ παρθένου γεννηθεὶς ἰατρὸς φυγαδεύσει. ἐκείνου κἀγὼ πρὸς δόξαν φυλάττομαι, μάρτυς μετὰ τῶν ἄλλων τῆς ἐκείνου τηροῦμαι δυνάμεως. τί οὖν ἀπεράντους ἐπιδείκνυσθε πόνους, δέον αὐτοῦ προ-

ἀφήρ.

Ματθ. ιε. κ.

Λουκ. η. μγ.

ἁρπάζειν τὴν δοῦλοι βιαζόμενοι νίκην; οὐ φείσομαι τοῦ πλάσματος, ἂν μὴ τὸν πλάστην θεάσωμαι. ὢ πόσα τῇ γυναικὶ τὰ μαχόμενα; χρόνου μῆκος, ἀλγηδόνος ἀνένδοτοι δημεύσεις, ἀνωφέλητος μαραινομένου σώματος λύπη, λογισμὸς κεναῖς ἐλπίσι δαπανηθείς. ἀλλὰ τοσοῦτοι πολέμιοι τὸ τῆς πίστεως τῆς κινδυνευούσης οὐκ ἐσύλησαν ὅπλον· τοσαῦται τῶν δεινῶν τρικυμίαι τῇ γυναικὶ ναυάγιον οὐκ εἰργάσαντο· τοσαῦται πειρασμῶν προσβολαὶ τὴν ὑπομένουσαν οὐ κατέβαλον γυναῖκα. Εἶδε, φησι, τὸν Ἰησοῦν. Εἶδεν ἡ ἀπολλυμένη τὸν σώζοντα, Εἶδεν ἡ δεδεμένη τὸν λυτρωτὴν, Εἶδεν ἡ χειμαζομένη τοῦ κόσμου τὴν ἄγκυραν, Εἶδε τὸν ἄνωθεν ἐλθόντα τῶν παθῶν βασιλέα, Εἶδεν ἐλπίδα χάριτος ἀπροσδόκητον, Εἶδε θεραπείας ἀκαταγώνιστον δύναμιν, Εἶδε πηγὴν ἰαμάτων ἀμισθὶ μερίζουσαν ἰάματα, εἶδε ζωὴν νεκρουμένοις ἐνδημήσασαν· Εἶδε, καὶ τοιαύτην ἐνθυμίας ἀνέστρεφεν ἔννοιαν, εὗρον λέγουσα θεραπείαν τὴν ἐπιτήδειον. οὗτος ὁ ἰατρὸς μισθὸν οὐκ ἀπαιτήσει χρυσίου. ἕνα μισθὸν, ὡς οἶμαι, γνώμην ἀπαιτήσει γνησίαν· μίαν πίστεως ἐπιζητήσει με δόσιν. ἀλλ' ἔχω· ταύτης γάρ με μόνης ἡ νόσος οὐκ ἀπεστέρησεν· ἀλλὰ λογισμῶν ἀπορίαις ἀνθέλκομαι. τί γάρ; προσδραμοῦσα κατάσχω; τὸν ἀπὸ τοῦ πλήθους ὑποστέλλομαι κίνδυνον. βοήσω τὰ κατ' ἐμαυτήν; διώξουσιν ὡς ἀκάθαρτον. κρύψω τὴν συμφοράν; ἀλλὰ τὴν ὀδύνην οὐ φέρω. ὡς ἰατρῷ προσδράμω τῆς φύσεως; ἀλλ' ὡς βασιλέα φοβοῦμαι. ὡς ἱκετεύουσαν δέξεται; μὴ ὡς μολύνουσαν φύγῃ. ἐλεήσει τὸ πάθος; μὴ κατακρίνῃ φανεῖσαν. τί οὖν δράσω; ποῖον ἀναδέξομαι λογισμόν; ἀναίσχυντος φανῶ; αἰδοῦμαι μὴ πάλιν ἀθεράπευτος μείνω. μὴ δειλιάσω τὸ πλῆθος, καταφρονήσω τοῦ δέους· θεατῶν λήσωμαι, φύγω τὸν ἔξωθεν γέλωτα· ἰάσομαι τὸν ἔνδοθεν πόλεμον. ὁ νόμος ὡς ἐρρυπωμένην μισεῖ, ὁ νομοθέτης ὡς νοσοῦσαν οἰκτείρει. προθυμία καὶ ὄκνος τῆς γυναικὸς τὴν ψυχὴν ἐμερίζοντο. ἀλλ' εὗρε πίστιν μεσίτην τῆς ἐγχειρήσεως. προσελθοῦσα γάρ, φησιν, ὄπισθεν τοῦ Ἰησοῦ, ἥψατο τοῦ

Ματθ θ κα. κρασπέδου τοῦ ἱματίου αὐτοῦ. ἔλεγε γὰρ ἐν ἑαυτῇ, Ὅτι μόνον ἐὰν ἅψωμαι τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ, σωθήσομαι. ὢ κλοπῆς, ἣν αὐτὸς ἐπῄνεσεν ὁ τὰς κλοπὰς τιμωρούμενος· ὢ κλοπῆς τὸν κλαπέντα τερπούσης· ὢ σύλων στεφανουμένων ἐκ δικαστοῦ. καὶ ὅρα τὸ θαυμαστόν. λῃστεύσασα τὸ κέρδος, ὡς χαρισαμένη θαυμάζεται. ἔλεγε γὰρ ἐν ἑαυτῇ· ὁ Θεός, φησι, δεσπότης ἐστὶν οὐδὲν ἀγνοῶν, δεσπότης σωματικῶν ὀφθαλμῶν οὐ δεόμενος, ἰατρός ἐστι ψυχὰς ἰώμενος, ὀφθαλμός ἐστι λογισμοὺς ἐμβατεύων· ὁρᾷ καὶ κρυπτομένην ἐμὲ, ἀκούει, καὶ μὴ λαλούσης ἐμοῦ ἅπτεται. κἂν ἀφέστηκα, οἶδεν ὅτι πάντως ὡς ἀναξία, τὴν θέαν οὐκ ἤνεγκα. τί οὖν λανθάνουσαν ποιήσομαι πρόσοδον; καὶ τῇ γνώμῃ τιμῶσα, καὶ οὐ καθυβρίζουσα τῇ ὄψει, κατόπιν ἅψομαι τοῦ χιτῶνος ἐλθοῦσα. ἀρκεῖ μοι καὶ τοῦτο μόνον, ἂν ἐπιτύχω, πρὸς ἴασιν. πάντως γάρ που καὶ αὐτὸς τῆς τοῦ φοροῦντος ἐνεργείας πεπλήρωται. οὐ δύναται γὰρ τὸ τῆς ζωῆς περιβόλαιον μὴ καὶ αὐτὸ σωτηρίας ἀποπέμπειν ἀκτῖνας. μέγας ἦν ἐν προφήταις Μωϋσῆς, καὶ λαοῦ δυσκόλου σωφρονιστής, ἀλλ' ὅμως ἄνθρωπος· οὗτος δεσπότης ἐκείνου, καὶ φιλάνθρωπος. Εἰ οὖν τοῦ δούλου ἡ ῥάβδος τὴν ἐρυθρὰν διέτεμε θάλασσαν, τειχοποιίαν ἐργασαμένη ἐν τοῖς ὕδασι, πῶς οὐκ ἂν τοῦ δεσπότου τὸ κράσπεδον πετρώσῃ τῶν αἱμάτων τὰ ῥεύματα; ζηλωτὴς ὁ Ἠλίας καὶ θερμὸς τοῦ Θεοῦ ὑπηρέτης· ἀλλὰ καὶ αὐτὸς εἷς ὑπῆρχε τῆς φύσεως· καὶ ὅμως μηλωτὴν εἶχε τῶν θαυμάτων ἐργάτιν. αὖθις Ἐλισσαῖος κληρονομήσας μετὰ παραθήκης τοῦ διδασκάλου τὴν χάριν, ἐχαλίνου τῇ μηλωτῇ τοῦ Ἰορδάνου τὰ ῥεῖθρα. Εἰ οὖν τοσαύτη παρὰ τοῖς προφήταις ἡ χάρις, πόση ἔσται τοῦ περὶ αὐτῶν προφητευομένου ἡ δύναμις; τί συντόμως οὐ λέγω; Πέτρου ἡ σκιὰ θεραπεύει· καὶ τὸ Χριστοῦ ἱμάτιον οὐκ ἰάσεται; αἰσθάνομαι ὅσον μοι καὶ τὸ βουλεύσασθαι μόνον τὴν τρέχουσαν ἐχαλίνωσε νόσον. ὢ πίστεως, ἀναβολὴν μὴ παραδεχούσης τῶν παθῶν. ἐπίστευσε γὰρ μόνον, καὶ τὸ πολέμιον ἐδραπέτευσεν· ἐπίστευσε, καὶ τὸ φιλόνεικον οὐκ αἰτειπε θήλειον ἐπίστευσε, καὶ ἡ τῶν αἱμάτων ἀέναος ἐξηράνθη πηγή, καθάπερ ὑπό τινος ἀοράτου τυφλωθεῖσα καυτῆρος. ἀλλ' ἡ μὲν ἱματίου καθήπτετο, καὶ τοῖς ἔξωθεν προσήγγιζεν· ὁ δὲ τοὺς ἔνδοθεν λογισμοὺς ἐπεγίνωσκεν. ἐκείνη μὲν ἀφανῶς τῷ σώματι τὴν θεραπείαν ἐξήντλησεν· ὁ σωτὴρ δὲ αὐτῆς τὸ ψυχικὸν ἐδημοσίευσε κάλλος. οὐκ εἴασε γὰρ τοιαύτην εὐσεβείας ἀθριάμβευτον ὡραιότητα· οὐκ ἀφῆκε δικαιοσύνης σπινθῆρα λήθης παραδοθῆναι νυκτί. ἐχαρίσατο τῷ βίῳ ἡ τῶν εὐαγγελίων διήγησις μιᾶς γυναικὸς πίστιν, Θεὸν καλῶς συλησάσης τῇ ἀδιστάκτῳ γνώμῃ, τίς ἡ διὰ κλοπὴν ὡς πιστὴ τιμωμένη. παρέλαβε τὸν λῃστὴν ἡ πίστις τῆς γυναικός, παρὰ τῆς ἐκείνου γλώττης ἡ ταύτης εὐφημεῖται παλάμη. πρὶν ἐκεῖνος φωνῇ λύσει τὸν παράδεισον, ἐλῄστευσεν αὕτη αὐτὸν τῆς βασιλείας τὸν χορηγὸν τῇ σιωπῇ. Γνοὺς γάρ, φησιν, ὁ Ἰησοῦς τὴν ἐξελθοῦσαν δύναμιν ἐξ αὐτοῦ, ἐπηρώτα τοὺς μαθητάς, τίς μου ἥψατο; πῶς οὐκ ἔγνωτε τὴν κλοπήν; πῶς ἠγνοήσατε τὴν λῃστείαν; τίς μου ἥψατο; τίς νόσου ἐκ τῶν ἐμῶν θησαυρῶν ὑγείαν ἐπλούτησε; τίς μου ἥψατο; τί λέγεις, ὦ δέσποτα; σὺ δέδωκας, καὶ τὴν δεξαμένην οὐκ οἶδας; τὴν πίστιν εἶδες, καὶ τὴν πιστεύσασαν οὐκ ἐγνώρισας; τὴν λανθάνουσαν κατενόησας γνώμην, καὶ τὴν φαινομένην οὐκ ἐσκόπησας ὄψιν; τίς μου ἥψατο; τίς σου ἥψατο; τίνι δὲ φάρμακον τῆς ἐνεργείας ἐπέθηκας; τίνι τὴν ἴασιν ἐξέπεμψας, δέσποτα; τὸ πάθος ἐδίωξας, καὶ τὴν σωθεῖσαν ἠγνόησας; τίς μου ἥψατο; τίς με τῇ διανοίᾳ παρὰ τῶν χειρῶν ἐψηλάφησε; τίς μου κατέσχε λογισμὸς τὴν θεότητα; τίς ὁ δίκαιος οὗτος τῆς ἐμῆς ἐνεργείας λῃστής; τίς αὐτοῦ τῆς ἐσβεσμένης σωτηρίας τὸν λύχνον ἀφανῶς ὑπανῆψεν ἐκ τῆς ἐμῆς λαμπάδος; τίς μου ἥψατο; ἢ μάθω παρ' ὑμῶν, ἢ διδάσκω. ἐβουλόμην πρὸς τὸ τῆς ὑποθέσεως πέρας δραμεῖν· ὁ καιρὸς δὲ λοιπὸν ἑτέραν τῷ θαύματι φυλάττει διδασκαλίας ἡμέραν. Εἰ γὰρ ἐκείνη δωδεκαέτη χρόνον πολεμηθεῖσα τῷ πάθει, τὸν τῆς ὑπομονῆς οὐκ ἐξέλυσε τόνον, ἡμεῖς ἄλλην μίαν ἡμέραν τοῖς μακροῖς ἀγῶσι τῆς γυναικὸς οὐκ ἐναπομείνομεν, ἧς τὴν πίστιν καὶ ὁ τῶν μαρτύρων δῆμος ἐζήλωσεν, οὐ δεσποτικῶν κρασπέδων ἁψάμενοι, ἀλλὰ καὶ αὐτὸ τὸ σῶμα διὰ Χριστὸν ἐκδυσάμενοι; καὶ ἡμεῖς τοίνυν, ἀγαπητοί, πρὸς ζῆλον τῆς ὁμοίας πίστεως τὰς ἡμετέρας διαναστήσωμεν γνώμας, μὴ γενώμεθα χείρους μιᾶς γυναικὸς ἀλλοφύλου, εἰ εἰς εὐσέβειαν πλέον ἡμεῖς, ἢ ἐκείνη, ἀπελαύσαμεν θέας. ἐκείνῃ μόνον ἤρκεσεν ἅπαξ ἱματίου καθάψασθαι· ἡμεῖς δὲ καθ' ἑκάστην, ὡς ἴστε, τὸ τοῦ σωτῆρος σῶμα κατέχοντες, κἂν ὡς τρεφόμενοι τοῖς τοῦ δεσπότου μέλεσιν εὐχαριστίαν προσφέρωμεν· αὐτῷ γὰρ πρέπει δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Marc. 5. λ.

Λογ. ρκϛ. ΕΙΣ ΤΟΝ ΤΙΜΙΟΝ ΣΤΑΥΡΟΝ. ϛ΄.

Ex Ms. Regio Lut. Μηνὸς Σεπτεμβρίῳ ιδ.

Σταυρὸς πρόκειται σήμερον ἑορτή, χορὸς ἀγγέλων σκιρτάτω· σταυροῦ θέατρον ἔρχεται, δῆμος βροτῶν προσκυνείτω· σταυροῦ δὲ θεῖον ὑψοῦται κράτος, πλῆθος δαιμόνων φυγαδευέσθω. ἀλλ' ὦ θεῖε σταυρέ, τὸ τῶν ἀγγέλων ἄρρητον θέαμα, τὸ τῶν βροτῶν καύχημα, τὸ σκῆπτρον τὸ βασιλικὸν (ὡς γὰρ ἐμψύχῳ σοι διαλέξομαι, χαρμόσυνά τε καὶ νικητήρια τῆς ἡμῶν γε φέροντι σωτηρίας) διὰ σοῦ πύλαι παραδείσου κλεισθεῖσαι πάλιν ἀνοίγονται, διὰ σοῦ τέθραυσται τὸ κράτος τοῦ θανάτου, διὰ σοῦ ᾅδης ἐσκύλευται, διὰ σοῦ οἱ νεκρωθέντες ζωῆς κατηξίωνται, διὰ σοῦ ὁ λῃστὴς ἐν παραδείσῳ χορεύει καὶ ἀγάλλεται, διὰ σοῦ συνάπτεται τὰ οὐράνια τοῖς ἐπιγείοις· διὰ σοῦ ἐπίγνωσις ἀληθείας, διὰ σοῦ βάπτισμα ἀναγεννήσεως δεδώρηται, διὰ σοῦ ἄφεσις ἁμαρτιῶν κεχάρισται τοῖς ἀνθρώποις, διὰ σοῦ ἐσφράγισται ἡ δωρεὰ τοῦ ἁγίου πνεύματος,

γρ. πληθὺς

Λογ. ρκϛ.

Ἀμφιβολη.

διὰ σὲ ἐκκλησίαι σημειούμεναι, οἶκοι Θεοῦ χρηματίζουσι· διὰ σοῦ σώματος καὶ αἵματος
Χριστοῦ ἀπολαύομεν, διὰ σοῦ υἱοὶ Θεοῦ καὶ κληρονόμοι βασιλείας οὐρανῶν γενέσθαι κα-
ταξιούμεθα, διὰ σοῦ πανηγύρεις καὶ ἑορταὶ καταφαιδρύνονται καὶ καταλάμπονται. καὶ ποία
ἂν γλῶσσα διεξελθεῖν ἰσχύσειεν, ὅσα καὶ οἷα διὰ σοῦ Χριστὸς ὁ Θεὸς ἐδωρήσατο τῷ γένει
τῶν ἀνθρώπων; ἐπεὶ οὖν ταῦτα, πληθὺς ἡγιασμένη καὶ φιλέορτος, διὰ τοῦ λόγου ἐπέγνωμεν,
λευκαῖς καρδίαις καὶ καθαροῖς στόμασι περιπτυξώμεθα τὸ σεβάσμιον καὶ ζωοποιὸν ξύλον, ἐν
ᾧ προσεπάγη Χριστὸς ὁ Θεὸς ἡμῶν, καὶ παλάμας θείας ἥλοις συνεπείρησαν, ἐν ᾧ τὴν λό-
γχην διὰ τῆς πλευρᾶς διήλασαν οἱ κυριοκτόνοι, καὶ τὴν γεῦσιν τῷ ὄξει χολῇ μεμιγμέ-
νῳ προσεπότισαν· παριόντες δὲ καὶ παραπορευόμενοι, ἐκίνουν τὰς κεφαλὰς, χλευάζοντες
Ματθ. κζ μβ'. καὶ λέγοντες· Οὐὰ, ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. Εἰ υἱὸς ἐστὶ τοῦ Θεοῦ, κατα-
βάτω νῦν ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύομεν αὐτῷ. Ταῦτα ἡ τῶν Ἑβραίων ὁμήγυρις ἡ ἀγνώ-
μων καὶ πεπωρωμένη, ἡ τῶν θείων τεραστίων ἀπολαύσασα τῆς εὐεργεσίας· ἡμεῖς δὲ πιστῶς προσ-
κυνήσωμεν τὰ ζωοποιὰ τοῦ Χριστοῦ πάθη, τὴν σταύρωσιν, τὴν ταφὴν, τὴν ἐκ τῶν νεκρῶν
τριήμερον ἔγερσιν· ἵνα καὶ συναναστῶμεν καὶ συνδοξασθῶμεν, εἴπερ συμπάσχομεν, καθὼς τὸ
Ρωμ. η ιζ. σκεῦος τῆς ἐκλογῆς Παῦλος ὁ θεῖος προηγόρευσεν. ἐν τούτοις καὶ πρὸς τούτοις συγκαλεῖται
γοῦν σήμερον ἡμᾶς ὁ ἑορταζόμενος πανάγιος σταυρὸς, καὶ ταῦτα τὰ ἄφθαρτα καὶ ἀείζωα ἐ-
δέσματα πᾶσιν ὁμοίως ἐπιτρέπει, τοῖς οἴκοις, ταῖς ἀγοραῖς, ταῖς νυξὶ, ταῖς ἡμέραις, ταῖς πό-
λεσι, ταῖς ἐρήμοις. τὴν τοίνυν διὰ τοσούτων ἡμῖν τὸ πρὸ ἑαυτῆς καλὸν χαριζομένην φαι- ἴσ. λείπει τὴν ἑορτὴν
Ματθ. ϛ ιϛ. δρῶς ὑποδεξώμεθα κατὰ τὸν τοῦ Κυρίου λόγον, Μὴ σκυθρωπάζοντες ὡς ὑποκριταί, ἀλλὰ
τὸ ἱλαρὸν τῆς ψυχῆς ἀνεπιτηδεύτως διαδεικνύντες. καὶ οὐ τοσούτου μοι δεῖν ἀγῶνος ἡγεῖσθαι
τὴν περὶ νηστείας παράκλησιν, ὅσον τὸ μὴ σήμερον τοῖς κακοῖς τῆς μέθης περιπεσεῖν. τὴν μὲν
γὰρ νηστείαν, καὶ διὰ τὴν συνήθειαν, καὶ διὰ τὴν πρὸς ἀλλήλους αἰδῶ, οἱ πολλοὶ καταδέχονται· φοβοῦ-
μαι δὲ τὴν μέθην, ἣν ὥσπερ τινὰ κλῆρον πατρῷον οἱ φίλοινοι ἰδιάζουσιν. ὡς γὰρ οἱ πρὸς τὰς
μακρὰς ἀποδημίας ἀπαίροντες, οὕτω τινὲς τῶν ἀνοήτων σήμερον πρὸς τὰς πέντε τῶν νηστειῶν ἡμέ-
ρας οἰνίζονται. τίς οὕτως ἀνόητος, ὥστε πρὶν ἄρξασθαι πίνειν, τὰ τῶν μεθυόντων παραφρονεῖν;
οὐκ οἶδας ὅτι γαστὴρ παρακαταθήκην οὐ διασώζει; γαστὴρ ἀλλάκτης ἐστὶν ἀπιστότατος, τα-
μιεῖον ἀφύλακτον πολλῶν ἐναποτεθέντων, τὴν μὲν βλάβην παρακατέχουσα, τὰ μέντοι
παρατεθέντα οὐ διασώζουσα. ὅρα μὴ καὶ σοὶ ἄμεινον ἀπὸ μέθης ἐλθόντι τὰ νῦν ἀναγνωσθέντα
Ησ. νη ε. λεχθῇ· Οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην, λέγει Κύριος. τί μιγνύεις τὰ ἄμικτα; τίς
μετοχὴ νηστείας πρὸς μέθην; τίς κοινωνία τῆς οἰνοφλυγίας πρὸς τὴν ἐγκράτειαν; τίς συγ-
β. Κορ ϛ. ιϛ. κατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων; ναὸς μὲν γὰρ Θεοῦ εἰσιν, οἷς τὸ πνεῦμα τοῦ Θεοῦ ἐνοικεῖ·
ναὸς δὲ εἰδώλων, οἱ διὰ τῆς μέθης τὸν συρφετὸν, τῆς ἀκολασίας κόρον ὑποδεχόμενοι. ἡ
σήμερον ἡμέρα προπύλαιόν ἐστι τῶν νηστειῶν· οὐδήπου δὲ ὁ ἐν τοῖς προθύροις βεβηλωθεὶς
ἄξιός ἐστιν εἰσελθεῖν εἰς τὰ ἅγια. οὐδεὶς οἰκέτης ἐξευμενίσασθαι θέλων τὸν ἑαυτοῦ δεσπό-
την, τῷ ἐχθρῷ αὐτοῦ προστάτῃ καὶ διαλλακτῇ κέχρηται. μέθη ἔχθρα ἐστὶν εἰς Θεόν· νηστεία
δὲ ἀρχὴ μετανοίας. Εἰ οὖν βούλει διὰ τῆς ἐξομολογήσεως ἐπανελθεῖν πρὸς τὸν Θεόν,
φεῦγε τὴν μέθην, μή σοι χαλεπωτέραν κατασκευάσῃ τὴν ἀλλοτρίωσιν. οὐ μέντοι ἐξαρ-
κεῖ καθ' ἑαυτὴν ἡ ἀποχὴ τῶν βρωμάτων πρὸς τὴν ἐπαινετὴν νηστείαν, ἀλλὰ νηστεύσωμεν νη-
στείαν δεκτὴν, εὐάρεστον τῷ Θεῷ. ἀληθὴς νηστεία ἡ τῶν κακῶν ἀλλοτρίωσις, ἐγκράτεια
γλώσσης, θυμοῦ ἀποχὴ, ἐπιθυμιῶν χωρισμὸς, καταλαλιᾶς, ψεύδους καὶ ἐπιορκίας. ἡ
τούτων ἔνδεια, νηστεία ἐστὶν ἀληθής. ἐν τούτοις μὲν οὖν ἡ νηστεία καλόν. κατατρυφήσωμεν δὲ
τοῦ Κυρίου ἐν τῇ μελέτῃ τῶν λογίων τοῦ πνεύματος, καὶ ἐν τῇ ἀναλήψει τῶν σωτηρίων νομί-
μων, καὶ ἐν πᾶσι τοῖς διορθωτικοῖς τῶν ψυχῶν ἡμῶν δόγμασιν. ἀπὸ μέντοι τῆς ἐν τῷ κρυπτῷ
νηστείας φυλαξώμεθα, περὶ ἧς καὶ ὁ προφήτης ἐπεύχεται λέγων· Οὐ λιμοκτονήσει Κύριος ψυ-
χὴν

Ψαλ. λϛ. κϛ.

χὴν δικαίου· καὶ τὸ, Οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον, οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους. οὐ γὰρ δὴ περὶ αἰσθητῶν ἄρτων εἶπεν, ὁ εἰδὼς τοὺς παῖδας τοῦ πατριάρχου Ἰακὼβ ἄρτων ἕνεκεν καταβάντας εἰς Αἴγυπτον, ἀλλὰ περὶ τῆς πνευματικῆς λέγει τροφῆς, καθ' ἣν ὁ ἔσω ἄνθρωπος τελειοῦται· μὴ ἔλθῃ καὶ ἐφ' ἡμᾶς ἡ τοῖς Ἰουδαίοις ἀπειληθεῖσα νηστεία. Ἰδοὺ γὰρ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ ἐπάξω ἐπὶ τὴν γῆν ταύτην λιμὸν, οὐ λιμὸν ἄρτου, οὐ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου· ὃν διὰ τοῦτο ἐπήγαγεν ὁ δίκαιος κριτὴς, ἐπειδὴ ἑώρα αὐτῶν τὸν μὲν νοῦν ἐν τῇ ἀτροφίᾳ τῶν τῆς ἀληθείας διδαγμάτων λιμαγχονούμενον, ὑπερπιαινόμενον δὲ αὐτῶν καὶ κατασαρκούμενον τὸν ἔξω ἄνθρωπον. πάσας τοίνυν τὰς ἐφεξῆς ἡμέρας ἑστιάσει ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ἑωθιναῖς τε καὶ ἑσπεριναῖς εὐφροσύναις. μηδεὶς ἑκουσίως ἀπολειπέσθω τῆς πνευματικῆς εὐωχίας, πάντες μετάσχωμεν τοῦ νηφαλίου τῶν πεμμάτων ἐπιτηδείων. ἡσυχασάτω ποτὲ καὶ ὁ οἶκος ἀπὸ τῶν μυρίων θορύβων, καὶ τοῦ καπνοῦ καὶ τῆς κνίσης, καὶ τῶν ἄνω καὶ κάτω διατρεχόντων, καὶ οἱονεὶ ἀπαραιτήτῳ δεσποίνῃ τῇ γαστρὶ λειτουργούντων. πάντως ποτὲ καὶ οἱ φορολόγοι τοῖς ὑποχειρίοις ἐλευθεριάσαι μικρὸν ἐπιτρέπουσι. δότω τινὰ εὐκαιρίαν καὶ ἡ γαστὴρ τῷ σώματι, δότω· σπεισάσθω πενθημέρους σπονδὰς ἡμῖν ἡ ἀεὶ ἀπαιτοῦσα καὶ οὐδέποτε λήγουσα, ἡ λαμβάνουσα σήμερον, καὶ αὔριον ἐπιλανθανομένη. ὅταν ἐμπλησθῇ, περὶ ἐγκρατείας φιλοσοφεῖ· ὅταν διαπνευσθῇ, ἐπιλανθάνεται τῶν δογμάτων. νηστεία δανείου φύσιν οὐκ οἶδεν, οὐκ ὄζει τόκων τράπεζα τοῦ νηστεύοντος, οὐκ ἄγχουσιν ὀρφανὸν νηστευτοῦ παιδοτόκοι πατρῷοι, ὥσπερ ὄφεις περιπλεκόμενοι. καὶ ἄλλως δὲ, ἀφορμὴ εἰς εὐφροσύνην ἐστὶ τὸ νηστεύειν. ὡς γὰρ ἡ δίψα ἡδὺν τὸν πότον εὐτρεπίζει, καὶ λιμὸς προηγησάμενος ἡδεῖαν παρασκευάζει τὴν τράπεζαν, οὕτω καὶ τὴν τῶν βρωμάτων ἀπόλαυσιν ἡ νηστεία φαιδρύνει. μέσην γὰρ ἑαυτὴν παρενθεῖσα καὶ τὸ συνεχὲς τῆς τρυφῆς διακόψασα, ποθεινήν σοι τὴν μετάληψιν ποιήσει φανῆναι, ὥσπερ ἀπόδημον. ὥστε εἰ βούλει σεαυτῷ ἐπιθυμητὴν κατασκευάσαι τὴν τράπεζαν, δέξαι τὴν ἐκ τῆς νηστείας μεταβολήν. σὺ δὲ ὑπὸ τοῦ σφόδρα τῆς τρυφῆς περιέχεσθαι λέληθας σεαυτῷ ἀμαυρῶν τὴν τρυφὴν, καὶ ὑπὸ φιληδονίας τὴν ἡδονὴν ἀφανίζων. οὐδὲν γὰρ οὕτως ἐπιθυμητὸν, ὡς μὴ τῇ συνεχείᾳ τῆς ἀπολαύσεως εὐκαταφρόνητον γίνεσθαι· ὧν δὲ σπανία ἡ κτῆσις, περισπούδαστος ἡ ἀπόλαυσις. οὕτω καὶ ὁ κτίσας ἡμᾶς, διὰ τῆς κατὰ τὸν βίον ἐναλλαγῆς παραμυθίαν ἡμῖν τὴν χάριν τῶν δεδομένων ἐμηχανήσατο. οὐχ ὁρᾷς ὅτι καὶ ἥλιος φαιδρότερος μετὰ τὴν νύκτα, καὶ ἐγρήγορσις ἡδίων μετὰ τὸν ὕπνον, καὶ ὑγίεια ποθεινοτέρα μετὰ τὴν πεῖραν τῶν ἐναντίων· καὶ τράπεζα τοίνυν χαριεστέρα μετὰ τὴν νηστείαν, ὁμοίως μὲν πλουσίοις καὶ εὐτραπέζοις, ὁμοίως δὲ τοῖς λιτοῖς καὶ αὐτοσχεδίοις τὴν δίαιταν. φοβήθητι δὲ ὑπόδειγμα τοῦ πλουσίου. ἐκεῖνον παρέδωκε τῷ πυρὶ ἡ διὰ βίου τρυφή. οὐ γὰρ ἀδικίαν, ἀλλὰ δὲ ἁβροδίαιτον ἐγκληθεὶς, ἀπετηγανίζετο ἐν τῇ φλογὶ τῆς καμίνου. ἵνα τοίνυν σβέσωμεν ἐκεῖνο τὸ πῦρ, ὕδατος χρεία. καὶ οὐ πρὸς τὰ μέλλοντα μόνον ὠφέλιμος ἡ νηστεία, ἀλλὰ καὶ αὐτῇ τῇ σαρκὶ λυσιτελεστέρα. αἱ γὰρ εἰς ἄκρον εὐεξίαι ὑποστροφὰς ἔχουσι καὶ μεταπτώσεις, ὀκλαζούσης τῆς φύσεως, καὶ ἀναφέρειν τὸ βάρος τῆς εὐεξίας ἀδυνατούσης. ὅρα οὖν· μὴ νῦν διαπτύων τὸ ὕδωρ, ὕστερον ῥανίδος ἐπιθυμήσῃ, ὥσπερ ὁ πλούσιος. οὐδεὶς ἐκραιπάλησεν ἀπὸ ὕδατος· οὐδενὸς κεφαλὴ ὠδυνήθη ποτὲ ὕδατι βαρυνθεῖσα· οὐδεὶς ἀλλοτρίων ποδῶν ἐδεήθη ὑδροποσίᾳ συζῶν· οὐδενὸς ἐδέθησαν πόδες, οὐδενὸς χεῖρες ἀπηχρειώθησαν ὕδατι καταρδόμεναι. τὸ γὰρ περὶ τὴν πέψιν πλημμελὲς τοῖς τρυφῶσιν ἀναγκαίως ἀκολουθεῖ. τοῦτο τὰ σφοδρὰ νοσήματα τοῖς σώμασιν ἐνεργάζεται. τοῦ νηστεύοντος σεμνὸν τὸ χρῶμα, οὐκ εἰς ἐρύθημα ἀναιδὲς ἐξανθοῦν, ἀλλ' ὠχρότητι σώφρονι κεκοσμημένον· ὀφθαλμὸς πρᾶος, κατεσταλμένον βάδισμα, πρόσωπον συννοῦν, ἀκολάστῳ γέλωτι μὴ καθυβριζόμενον, συμμετρία λόγων, καθαρότης καρδίας. μνήσθητι τῶν ἀπ' αἰῶνος ἁγίων, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος,

Ἀμὼς η ια.

οἱ περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι ἐκείνων
μίμησαι τὴν ἀναστροφήν, εἴπερ ζητεῖς αὐτῶν τὴν μερίδα. τί τὸν Λάζαρον ἐπανέπαυσε
τοῖς κόλποις τοῦ Ἀβραάμ; οὐχ ἡ νηστεία; Ἰωάννου δὲ ὁ βίος ἅπας μία νηστεία ἦν· ὃς
οὐ κλίνην εἶχεν, οὐ τράπεζαν, οὐ γῆν ἀρόσιμον, οὐκ ἀροτῆρα βοῦν, οὐ σῖτον, οὐ σιτοποιόν,
οὐκ ἄλλο τι τῶν κατὰ τὸν βίον. διὰ τοῦτο Μείζων ἐν γεννητοῖς γυναικῶν οὐκ ἔστιν Ἰωάννου τοῦ
βαπτιστοῦ. Παύλῳ δὲ μετὰ τῶν ἄλλων καὶ ἡ νηστεία, ἣν ἐν τοῖς ὑπὲρ τῆς θλίψεως καυχήμασιν
ἀπηριθμήσατο, εἰς τὸν τρίτον ἀνήγαγεν οὐρανόν. κεφάλαιον δὲ ἐπὶ τοῖς εἰρημένοις, ὁ
Κύριος ἡμῶν νηστείᾳ τὴν σάρκα, ἣν ὑπὲρ ἡμῶν ἀνέλαβεν, ὀχυρώσας, οὕτως ἐν αὐτῇ τοῦ διαβόλου
τὰς προσβολὰς ὑπεδέξατο, ἡμᾶς τε παιδεύων νηστείας ἀλείφειν καὶ παιδοτριβεῖν ο. νηστείαν
ἑαυτοὺς πρὸς τοὺς ἐν τοῖς πειρασμοῖς ἀγῶνας, καὶ τῷ ἀντιπάλῳ διὰ τῆς ἐνδείας οἱονεὶ λαβὴν
ἐνδιδούς. ἀπρόσιτος γὰρ ἦν αὐτῷ διὰ τὸ ὕψος τῆς θεότητος, εἰ μὴ διὰ τῆς ἐνδείας
ὑπέβη πρὸς τὸ ἀνθρώπινον. ἐπανιὼν μέντοι εἰς οὐρανοὺς τροφῆς ἥψατο, τὴν φύσιν
τοῦ σώματος τοῦ ἀναστάντος πιστούμενος. σὺ δὲ ὑπερπιαίνων μὲν σαυτόν, καὶ κατασαρκῶν
οὐκ αἰΐεις, ἐκλήκων δὲ τὸν νοῦν ἐν ἀτροφίᾳ τῶν σωτηρίων καὶ ζωοποιῶν διδαγμάτων, οὐδένα ι. αἰΐης
λόγον ποιεῖς; ἢ ἀγνοεῖς, ὅτι ὥσπερ ἐπὶ παρατάξεως ἡ τοῦ ἑτέρου συμμαχία ἥττην ποιεῖ
τοῦ ἑτέρου· οὕτως ὁ τῇ σαρκὶ προστιθέμενος, τὸ πνεῦμα καταγωνίζεται, καὶ ὁ πρὸς τὸ πνεῦμα
μεταταξάμενος, καταδουλοῦται τὴν σάρκα. ταῦτα γὰρ ἀλλήλοις ἀντίκειται· ὥστε
εἰ βούλει ἰσχυρὸν ποιῆσαι τὸν νοῦν, δάμασον τὴν σάρκα διὰ νηστείας. τοῦτο γάρ ἐστιν ὅ
β Κορ. δ. ιϛ. φησιν ὁ ἀπόστολος, ὅτι Ὅσον ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, τοσοῦτον ὁ ἔσωθεν ἡμῶν ἀνακαινοῦται·
καὶ ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι. οὐ καταφρονήσεις τῶν φθαρτῶν βρωμάτων;
οὐκ ἐπιθυμίαν λήψῃ τῆς ἐν τῇ βασιλείᾳ τραπέζης, ἣν πάντως ἡ ἐνθάδε νηστεία
προευτρεπίσει; ἢ ἀγνοεῖς τῇ ἀμετρίᾳ τοῦ κόρου παχὺν σεαυτῷ τὸν βασανιστὴν κατασκευάζων
σκώληκα; τίς γὰρ ἐν τροφῇ δαψιλεῖ καὶ τρυφῇ διηνεκεῖ ὑπεδέξατό τινα κοινωνίαν
χαρίσματος πνευματικοῦ; Μωϋσῆς δευτέραν λαμβάνων νομοθεσίαν, δευτέρας νηστείας
ἐδεήθη· Νινευῗται, εἰ μὴ καὶ τὰ ἄλογα συνενήστευσαν, οὐκ ἂν διέφυγον
τὴν ἀπειλὴν τῆς καταστροφῆς. τίνων ἔπεσε τὰ κῶλα ἐν τῇ ἐρήμῳ; οὐ τῶν κρεοφαγιῶν
ἐπιθυμούντων; ἐκεῖνοι ἕως μὲν ἠρκοῦντο τῷ μάννᾳ, καὶ τῷ ἐκ πέτρας ὕδατι,
Αἰγυπτίους ἐνίκων, διὰ θαλάσσης ὥδευον, οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν. ἐπεὶ
δὲ ἐμνήσθησαν τῶν κρεῶν, τῶν λεβήτων, καὶ ὑπέστρεψαν εἰς Αἴγυπτον ταῖς ἐπιθυμίαις,
οὐκ εἶδον τὴν γῆν τῆς ἐπαγγελίας. οὐ φοβῇ τὸ ὑπόδειγμα; οὐ φρίττεις τὴν ἀδηφαγίαν,
μήπου σε τῶν ἐλπιζομένων ἀγαθῶν ἀποκλείσῃ; ἀλλ' οὐκ ἂν ὁ σοφὸς Δανιὴλ τὰς ὀπτασίας
εἶδεν, εἰ μὴ ἡ νηστεία διαυγεστέραν αὐτοῦ τὴν ψυχὴν ἐποίησεν. ἐκ γὰρ τῆς παχείας
τροφῆς οἱονεὶ αἰθαλώδεις ἀναθυμιάσεις ἀναπεμπόμεναι νεφέλης δίκην πυκνῆς τὰς ἀπὸ
τοῦ ἁγίου πνεύματος ἐγγινομένας ἐλλάμψεις ἐπὶ τὸν νοῦν διακόπτουσιν. εἰ δὲ καὶ ἀγγέλων
Ψαλ. οζ. κθ. ἐστί τις τροφή, ἄρτος ἐστὶν (ὥς φησιν ὁ προφήτης, ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος)
οὐ κρέα, οὐκ οἶνος, οὐχ ὅσα τοῖς δούλοις τῆς γαστρὸς διεσπούδασται. νηστεία ὅπλον ἐστὶ
Ματθ. ιζ. κα. πρὸς τὴν κατὰ δαιμόνων στρατηγίαν. Τοῦτο γὰρ τὸ γένος οὐκ ἐξέρχεται, εἰ μὴ ἐν προσευχῇ
καὶ νηστείᾳ. καὶ τὰ μὲν ἐκ τῆς νηστείας ἀγαθὰ τοσαῦτα. ὁ δὲ κόρος, ὕβρεως ἀρχή. εὐθὺς γὰρ
συνεισέπεισι τῇ τρυφῇ καὶ τῇ μέθῃ καὶ ταῖς παντοδαπαῖς καρυκείαις πᾶν εἶδος ἀκολασίας
βοσκηματῶδες. ἔνθεν ἵπποι θηλυμανεῖς οἱ ἄνθρωποι, διὰ τὸν ἐκ τῆς τρυφῆς ἐγγινόμενον
οἶστρον τῇ ψυχῇ. παρὰ τῶν μεθυόντων αἱ τῆς φύσεως ἐναλλαγαί, ἐν ἄρρενι μὲν τὸ θῆλυ, ἐν
δὲ τῷ θήλει τὸ ἄρρεν ἐπιζητούντων. νηστεία δὲ καὶ γαμικῶν ἔργων μέτρα γνωρίζει, καὶ τῶν ἐκ νόμου
* * συγκεχωρημένων τὴν ἀμετρίαν κολάζουσα. σὺ τοῦ εὑρεῖν ἄνθρωπον μετά τινος ἑτέρου
ὀφείλοντα δικάσασθαι ἐπὶ τοῦ βασιλέως, καὶ τὸ μὴ καθόλου εὑρεῖν. πολλοὺς γὰρ ἀ-

πώλεσε

πόλεσι τῶν ἀδίκως αἱρουμένων. Διὰ ταῦτα ὁ φιλάγαθος Θεὸς οὐ παρεῖδε τὰ δάκρυα καὶ τοὺς στεναγμοὺς τῶν αὐτοῦ ἱερέων καὶ ὁσίων ὑπὲρ αὐτοῦ παρακαλούντων αὐτόν, ὁ εἰπὼν διὰ τοῦ προφήτου Ἡσαΐου, Κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν, καὶ δεῦτε, καὶ διαλεχθῶμεν. ἀλλὰ καὶ τούτων τῶν εὐχῶν εἰσακούσας, κἀκείνου τὰ ὑπὲρ ἄνθρωπον παρανομήματα συνεχώρησε, καὶ τῇ ἐκκλησίᾳ τὸν οἰκεῖον κόσμον, καὶ τὴν εὐπρέπειαν τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων ἀπένειμε, καὶ ἡμῖν τοῖς εἰλικρινῶς προσκυνοῦσι καὶ κατασπαζομένοις αὐτάς, καὶ τὰ θεῖα παραγγέλματα αὐτοῦ φυλάττουσιν εἰρήνην σταθερὰν καὶ συγχώρησιν τῶν πεπλημμελημένων καθ' ἑκάστην δωρεῖται· ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἡσ. α. ιζ.

Λογ. ρκζ. ΕΙΣ ΤΗΝ ΥΨΩΣΙΝ ΤΟΥ ΤΙΜΙΟΥ ΣΤΑΥροῦ β.

Ex Ms. Regio Lut. Μηνὸς Σεπτεμβρ. ιδ.

Πᾶσα μὲν ἡ ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττονα μεταβολὴ μεγίστην χαρὰν καὶ εὐφροσύνην τῇ φύσει τῶν ἀνθρώπων κατεργάζεται. πέφυκε γὰρ ἡ ἀνθρωπίνη φύσις τῶν κρειττόνων ὀρεγομένη ἀεὶ σπεύδειν ἐπὶ τὴν τῶν βελτιόνων κατάληψιν. οὕτω γοῦν ἡδεῖα τοῖς πλέουσιν ἡ ἐκ χειμῶνος εἰς εὐδίαν καὶ γαλήνην μετάβασις· ἡδεῖα δὲ καὶ τοῖς ὁδοιπόροις ἡ ἐκ καμάτου ἐπ' ἀνάπαυσιν ἡσυχία· ἡδεῖα δὲ καὶ τοῖς λυπουμένοις ἡ ἐκ κατηφείας εἰς εὐφροσύνην μετάθεσις· ἡδυτέρα δὲ καὶ τοῖς νοσοῦσιν ἡ ἐξ ἀσθενείας εἰς ὑγείαν καὶ εὐρωστίαν ἀνάληψις· ἡδεῖα δὲ καὶ τοῖς πολεμίοις ἡ ἀπὸ ἔχθρας εἰς φιλίαν καὶ εἰρήνην βεβαίωσις· ἡδυτέρα δὲ καὶ ἡ ἀπὸ τοῦ σκότους καὶ τῆς νυκτὸς εἰς τὴν ἡμέραν μετάπτωσις. καὶ πᾶσα πρᾶξις, ὡς ἔστιν εἰπεῖν, ἡδυτέραν ἔχει τὴν ἐργασίαν, ὅταν ὄφελος μετὰ τοῖς ποθοῦσιν αὐτὴν ἀπεργάζηται. οὕτω γοῦν ὁρῶμεν καὶ τὴν ὑπὸ Θεοῦ δεδομένην ἡμῖν ἀπόλαυσιν, τῇ μεταβολῇ τὴν εὐφροσύνην ἡμῖν παρεχομένην. σῖτος μὲν γάρ ἐστιν οὕτως ἡδύς· εἰς δὲ τὴν γῆν μετὰ κόπου καταβαλλόμενος καὶ πολυπλασιαζόμενος, ἡδύτερος ἀναδείκνυται μετὰ πάσης χαρᾶς εἰς πλῆθος τροφῆς λαμβανόμενος. εἷς μὲν γάρ ἐστι τῷ σπόρῳ κόκκος εἰς ἀδηλίαν ῥιπτόμενος. οὕτω καὶ φύσις ἀμπέλου ἡδυτέραν ἡμῖν παρέχει τὴν ἀνάπαυσιν, τῇ μεταβολῇ τοῦ καρποῦ τὸ πότον ἀπὸ τοῦ ξύλου προφερομένη. ἕλικες μὲν γὰρ καὶ φύλλα δριμυτάτην καὶ στυπτικωτάτην ἔχουσι τὴν ἐνέργειαν, ὡς μηδὲ στόματι δυνατὸν πρὸς γεῦσιν ἐφάψασθαι· σταφυλὴ δὲ σὺν ἕλιξι καὶ φύλλοις ἐν ἑνὶ ξύλῳ συμφυομένη, τοιαύτην γλυκεῖαν ἔχει τὴν αἴσθησιν, ὡς γλυκαίνειν τῶν πικρῶν καὶ λυπηρῶν τὴν ἕξιν, τὸν ἴδιον καρπὸν εἰς εὐφροσύνην τῇ πόσει παρεχομένη. οὕτω καὶ τῆς ἐλαίας τὸ πρέμνον ἀειθαλὲς μὲν ἔχει τὸ φύλλον, ἀεὶ δὲ νεάζον τὸ δένδρον. φέρεται δὲ μετὰ καιρὸν ὁ καρπός, οὐχ ὁμοίως τοῖς πᾶσιν ἀπὸ τοῦ ξύλου φαινόμενος, ἀλλ' ἰδίαν τινὰ φύσιν ἐν ἑαυτῷ ἐπιδεικνύμενος. ἄνθος μὲν γὰρ πρῶτον, ὡς χιὼν λεπτότατον, ἐστι προβαλλόμενος· ἐν μέσῳ δὲ τούτου αὐτός ἐστιν ὡς κέγχρος ἀναφυόμενος. καὶ βότρυϊ μὲν παρεοικὼς πλῆθος ἀναρίθμητον ἐπιδείκνυται, εἰς αὔξησιν δὲ προϊών, τοῦ πλήθους μὲν ὡς ἀνωφελοῦς ἀπαλλάττεται, καὶ πικρὸς μέν ἐστιν ἕως τέλους ἀπογευόμενος, ἄγευστος δὲ διὰ χειρῶν λαμβανόμενος· φύλαξ δὲ διὰ τούτου τῆς ἑαυτοῦ πιότητος γινόμενος, ἤδη τῆς πικρότητος τῇ μεταβολῇ τοσαύτην ἡδεῖαν παρέχει τὴν γεῦσιν, ὡς πάσης μὲν τρυφῆς ἄρτυμα παρεισφέρεσθαι, πάσης δὲ ἑστιάσεως κέρασμα πρὸς τὴν ζωὴν τῶν ἀνθρώπων γίνεσθαι. καὶ οὕτω πᾶσα φύσις φυτῶν τε καὶ σπερμάτων τῇ μεταβολῇ τῶν καρπῶν τὴν εὐφροσύνην τοῖς πᾶσι παρέχουσι. ἐπεὶ τοίνυν τῶν χαλεπωτέρων ἐπὶ τῇ τῶν βελτιόνων μεταβολῇ τοσαύτην χαρίζεται τὴν ἀπόλαυσιν,

Φέρε δὴ, μεταβάντες ἐπὶ τὰ τούτων τιμιώτερα, θεασώμεθα πόσων ἡμῖν ἀγαθῶν πρόξενος γέγονεν ὁ σταυρὸς τοῦ Χριστοῦ, διὰ τῆς αὐτοῦ ἐνεργείας τοσαύτην μεταβολὴν ἀγαθῶν κατεργασάμενος. εἰ γὰρ καὶ λυπηρὸς καὶ στυγνὸς ὁ τοῦ Κυρίου σταυρὸς ἀκουόμενος, ἀλλὰ χαρᾶς πλήρης καὶ φαιδρότητος ἔμπλεος, οὐ πάθους, ἀλλὰ ἀπαθείας αἴτιος γινόμενος. εἰ δὲ καὶ σκάνδαλόν ἐστιν Ἰουδαίοις ὀνομαζόμενος, μωρία δὲ καὶ τοῖς ἔθνεσι κηρυττόμενος, ἀλλ' ἡμῖν τοῖς πιστεύουσι σωτηρία μνημονευόμενος. εἰ γὰρ καὶ ἐν ἐκκλησίᾳ σταυροῦ ἀναγινωσκομένου, καὶ πάθους διὰ σταυροῦ μνημονευομένου, λαὸς ὁ σταυρῷ πιστεύων ἀγανακτεῖ, ἐλεεινὴν φωνὴν καὶ γογγυσμὸν ἀφιέμενος, οὐ διὰ τὸν σταυρὸν, ἀλλὰ διὰ τοὺς σταυρώσαντας καὶ ἀπιστήσαντας. σταυρὸς γὰρ σωτηρία τῆς ἐκκλησίας, σταυρὸς δὲ καύχημα τῶν εἰς αὐτὸν ἠλπικότων, σταυρὸς ὁ ἀπαλλάξας ἡμᾶς τῶν προλαβόντων κακῶν, καὶ ἀπαρχὴ τῶν ἐπιγινομένων ἡμῖν ἀγαθῶν, σταυρὸς ἡ πρὸς Θεὸν ἐχθρῶν καταλλαγὴ, καὶ ἐπὶ Χριστὸν ἁμαρτωλῶν ἐπιστροφή. διὰ σταυροῦ γὰρ τῆς ἔχθρας ἐρρύσθημεν, καὶ διὰ σταυροῦ τῷ Θεῷ εἰς φιλίαν συνήφθημεν· διὰ σταυροῦ τῆς τοῦ διαβόλου τυραννίδος ἠλευθερώθημεν, καὶ διὰ σταυροῦ τοῦ θανάτου καὶ τῆς ἀπωλείας ἀπηλλάγημεν. διὰ τοῦτο ὁ λαὸς πρότερον μὲν περὶ σταυροῦ ἀκούων ἐγόγγυζεν, αὖθις δὲ περὶ ἀναστάσεως ἀκούων, τὸν γογγυσμὸν εἰς χαρὰν μετέβαλε, καθαρᾷ τῇ φωνῇ τὴν δόξαν προφερόμενος· σταυρὸς τὴν ἀνθρωπείαν φύσιν εἰς ἀγγελικὴν μετέβαλε τάξιν, πάσης φθαρτῆς πράξεως ἀλλοτρίαν ἀποδείξας, καὶ τῆς ἀφθάρτου ζωῆς ἐνδιαιτᾶσθαι καταξιώσας. οὐκ ἔτι γὰρ ἀνθρώπους, ἀλλὰ καὶ θεοὺς προσηγόρευσε λέγων· Ἐγὼ εἶπα, θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες. Ψαλ. πα. ς. οὐκ ἔτι δούλους, ἀλλὰ φίλους καὶ ἀδελφοὺς ὠνόμασεν, Ἀπαγγελῶ δὲ ὄνομά σου τοῖς ἀδελφοῖς μου λέγων. Ψαλ. κα. κγ. ὁρᾷς πόσην μεταβολὴν ὁ σταυρὸς κατειργάσατο; ἵνα δὲ μάθῃς ἀκριβέστερον τὴν δύναμιν τοῦ σταυροῦ, κατανόησόν τι πρὸ σταυροῦ, καὶ τί μετὰ σταυρὸν, καὶ εὑρήσεις τοῦ σταυροῦ τὴν ἐνέργειαν. πρὸ σταυροῦ υἱὸς οὐκ ἦν γινωσκόμενος, σήμερον σταυροῦ κηρυττομένου υἱὸς ὀνομάζεται, καὶ πατὴρ δι' υἱοῦ γνωρίζεται· πρὸ σταυροῦ διάβολος προσεκυνεῖτο, νῦν σταυροῦ κηρυττομένου διάβολος πέπτωκε, καὶ δαίμονες φυγαδεύονται· πρὸ σταυροῦ πορνείαις καὶ ἀσελγείαις ἐσχολάζομεν, νῦν δὲ σταυροῦ κηρυττομένου οὐ μόνον πορνείας ἀπέστημεν, ἀλλὰ καὶ γάμων κατεφρονήσαμεν, παρθενίαν δὲ, ἣν οὐκ ᾔδειμεν, δεξάμενοι, ὡς ἰδίαν φυλάττομεν. οὐκ ἦν σταυρὸς κηρυττόμενος, καὶ διάβολος τοὺς Ἰουδαίους κατὰ τοῦ Χριστοῦ συνήγαγε. σήμερον σταυρὸς κηρύσσεται, καὶ οἱ ἀπόστολοι Ἰουδαίους διὰ τῆς πίστεως προσάγουσιν. οὐκ ἦν σταυρὸς κηρυττόμενος, καὶ ὑπὸ θανάτου κατειχόμεθα· νῦν σταυρὸς κηρύσσεται, καὶ ὡς μὴ ὄντος θανάτου κατεφρονήσαμεν, τὴν δὲ αἰώνιον ζωὴν ἐποθήσαμεν. οὐκ ἦν σταυρὸς κηρυττόμενος, καὶ παραδείσου ἀλλότριοι ἦμεν· σταυροῦ δὲ φανέντος παραχρῆμα λῃστὴς παραδείσου ἠξιώθη. ὢ μεγάλης δυνάμεως σταυροῦ, ὅσην μεταβολὴν τῷ γένει τῶν ἀνθρώπων κατειργάσατο; ἀπὸ τοσούτου σκότους εἰς φῶς ἀπέραντον μετέστησεν, ἀπὸ θανάτου εἰς ζωὴν αἰώνιον ἀνεκαλέσατο, ἀπὸ φθορᾶς εἰς ἀφθαρσίαν ἀνεκαίνισεν. οὐκ ἔτι γὰρ ὀφθαλμοὶ καρδίας ἀπὸ ἀγνοίας ὑπὸ τοῦ σκότους καλύπτονται, ἀλλὰ διὰ σταυροῦ τῷ φωτὶ τῆς γνώσεως καταυγάζονται· οὐκ ἔτι ὦτα κωφῶν ὑπὸ ἀπιστίας κέκλεισται. οἱ κωφοὶ γὰρ ἤκουσαν λόγον Κυρίου, καὶ οἱ τυφλοὶ ἀνέβλεψαν τοῦ ἰδεῖν τὴν δόξαν τοῦ Θεοῦ. ταῦτα τοῦ σταυροῦ τὰ κατορθώματα, ταῦτα ἡμῖν διὰ σταυροῦ τὰ δωρήματα. τί γὰρ καλὸν ἡμῖν οὐκ ἀπὸ σταυροῦ δεδώρηται; τί δὲ ἀγαθὸν, οὐ διὰ σταυροῦ, ἡμῖν κατώρθωται; διὰ σταυροῦ εὐσεβεῖν ἐδιδάχθημεν, καὶ τῆς θείας φύσεως τὴν δύναμιν ἐπέγνωμεν· διὰ σταυροῦ δικαιοσύνην Θεοῦ παιδευόμεθα, καὶ σωφροσύνης ἀρετὴν μεταδιώκομεν· διὰ σταυροῦ ἀλλήλους γνωρίζομεν, καὶ οἱ μακρὰν ὄντες Χριστῷ συνήφθημεν, καὶ τῆς χάριτος τοῦ ἁγίου πνεύματος ἠξιώθημεν· διὰ σταυροῦ ἀγάπης τὴν δύναμιν ἔγνωμεν, καὶ ὑπὲρ ἀλλήλων ἀποθανεῖν οὐ παραιτούμεθα· διὰ σταυροῦ πάντων τῶν ἐν τῷ κόσμῳ καταπεφρονήκαμεν, καὶ ὡς οὐδὲν αὐτὰ εἶναι ἡγησάμεθα

τὴν

τῶν μελλόντων ἀγαθῶν ὀρεγόμενοι, καὶ τῶν ἀοράτων ὡς ὁρωμένων ἀντιποιούμενοι. σταυρὸς κηρύττεται, καὶ πίστις ἡ εἰς Θεὸν ὁμολογεῖται, καὶ ἀλήθεια εἰς ἅπασαν τὴν οἰκουμένην πολιτεύεται· σταυρὸς κηρύττεται, καὶ μάρτυρες ἀναδείκνυνται, καὶ ἡ εἰς Χριστὸν ὁμολογία κραταιοῦται· σταυρὸς κηρύττεται, καὶ ἡ ἀνάστασις ἀναδείκνυται, καὶ ἡ ζωὴ πεφανέρωται, καὶ ἡ τῶν οὐρανῶν βασιλεία καταπιστεύεται, καὶ οἱ ἄπιστοι τῷ σταυρῷ πιστεύουσι, καὶ σωτηρίας τυγχάνουσιν οἱ τὸν σταυρὸν κατὰ τῆς ζωῆς ἐπινοήσαντες. σταυρὸς τούτων ἁπάντων ἡμῖν πρόξενος γέγονε, καὶ διὰ σταυροῦ ἀεὶ ἐδιδάχθημεν. τί τοίνυν σταυροῦ τιμιώτερον; τί δὲ τούτου ταῖς ἡμετέραις ψυχαῖς ὠφελιμώτερον; μὴ οὖν ἐπαισχυνθῶμεν σταυρὸν ὀνομάζοντες, ἀλλὰ μετὰ πάσης παρρησίας αὐτὸν ὁμολογήσωμεν, δι' οὗ εἰς σωτηρίαν ἀνεκλήθημεν, καὶ εἰς αἰώνιον ζωὴν παραπεμπόμεθα. ὁρᾷς πόσην ὁ σταυρὸς τὴν οἰκονομίαν τῷ κόσμῳ κατειργάσατο; μετέβαλεν αὐτοῦ τὰ ἄνομα πράγματα, καὶ ἠλλοίωσε τὰ ἄθεα δόγματα· οὐκ ἔτι νόμοις διαβολικοῖς ἐμπολιτεύεται, οὐ θεσμοῖς θανατικοῖς ἀναστρέφεται. Θεὸς γὰρ ἐπεδήμησε, καὶ τῆς οἰστρηλασίας τὰ πάθη ἐξέτεμε, τὰ ἴδια ἐνομοθέτησε, καὶ τὰ συμφέροντα καὶ ἐπωφελῆ ἐδογμάτισε· δόγματα σωφροσύνης ἐθέσπισε, καὶ τὴν ἡδυπάθειαν ἐξέκοψεν· ὅρους ἁγιωσύνης ἐνέθηκε, καὶ νόμον ἁγνείας ἥρμοσε, καὶ ἄνομον πορνείαν ἐκποδὼν ἐποίησε· τοὺς τῆς ἐγκρατείας ἐνομοθέτησε κανόνας, καὶ τὰς τῶν ἡδονῶν ἐπικρατείας ἀνέτρεψε. δόγματι θεϊκῷ τὰ τῶν ἐπιθυμιῶν ὄργανα κατέσπασε, καὶ πᾶσαν τὴν δι' ἡδονῆς ἐντικτομένην ἁμαρτίαν ἐμείωσεν. ἐπειδὴ γὰρ ἀρχὴ πορνείας, ἐπίνοια εἰδώλων, εὕρεσις δὲ αὐτῶν, φθορὰ ζωῆς, διὰ τοῦτο τὴν ῥίζαν τῆς ἀνομίας ἐξέκοψεν, ἵνα παύσῃ πάντα τὰ ῥεύματα τῆς ἀσεβείας. καὶ κατήργησε μὲν τὰ μυσαρὰ σεβάσματα τῆς εἰδωλολατρείας, διέφθειρε δὲ τὰ τῶν ἀθεμίτων ἐπιτηδεύματα, ἠχρείωσε τὰ ᾄσματα τῆς Βακχικῆς παρανομίας, καὶ ἠμαύρωσε τὰ πλάσματα καὶ τὰ καλλωπίσματα τῆς ἀσεβείας· τὰ τῆς ἀπάτης ἐνέκοψεν ἀδικήματα, καὶ τὰ τῆς ἀπωλείας ἐνέφραξε ῥεύματα· ἐκαθάρισε τὰς ψυχὰς ἐκριζώσας τὰς ἀκάνθας τῆς ἀσεβείας, καὶ ἤνεγκεν ὡς κόκκον σίτου τὰ σπέρματα τῆς θεοσεβείας, ἵν' ἀποδείξῃ τὰς ψυχὰς καρποφορούσας γεννήματα δικαιοσύνης· ἤνοιξε τοὺς καταρράκτας τῆς πνευματικῆς σιτοδοσίας, καὶ ἐπλήρωσε τὰς λογικὰς ἀποθήκας τῶν θεϊκῶν γεννημάτων τῆς ἐπουρανίου σοφίας· ἐνεφόρησε τοὺς πιστεύοντας τῆς τοῦ πνεύματος ἁγιαστίας, καὶ γέγονεν ἕκαστος δοχεῖον τῆς ἐνθέου ἁγιωσύνης, καὶ ποταμὸς τῆς θείας εὐπρεπείας. τούτων ἡμῖν ἁπάντων ὁ σταυρὸς ἐχορήγησε τὴν κτῆσιν, καὶ πάντων τῶν τηλικούτων ἀγαθῶν διὰ τοῦ σταυροῦ ἀπολαύομεν. τούτων ἁπάντων τὴν γνῶσιν διὰ σταυροῦ εἰλήφαμεν, καὶ ταῦτα πάντα δι' αὐτοῦ ἐδιδάχθημεν. ἵνα δὲ μάθῃς τοῦ σταυροῦ τὴν δύναμιν καὶ πόσον ἰσχύει σταυροῦ ἐνέργεια, κατάμαθε τὰ ἐπὶ τοῦ σταυροῦ γινόμενα, καὶ εὑρήσεις ἔργα θεϊκῆς δυνάμεως δι' αὐτοῦ τελούμενα. σταυρὸς κατὰ τῆς ζωῆς πήγνυται, καὶ ζωὴ τῷ κόσμῳ διὰ σταυροῦ κεχάρισται· σταυρὸς εἰς θάνατον ἐπινενόηται, καὶ θάνατος νεκρὸς δι' αὐτοῦ ἀποδέδεικται· σταυρὸς κατὰ τῆς ἀληθείας ἥπλωται, καὶ διὰ σταυροῦ κόσμος τῆς ἀληθείας πεπλήρωται· σταυρὸς ἐκτέταται κατὰ τοῦ δεσπότου, καὶ ὁ δεσπότης δι' αὐτοῦ τὰς χεῖρας ἐκτείνας, τὰ πάντα πρὸς ἑαυτὸν συνήγαγε. Χριστὸς ἐπὶ σταυροῦ κρέμαται, καὶ διάβολος νενέκρωται· Χριστὸς ἐπὶ σταυροῦ ἥπλωται, καὶ σημεῖον σωτηρίας τῷ κόσμῳ δεδώρηται· Χριστὸς ἐπὶ σταυροῦ προσήλωται, καὶ πᾶσα ψυχὴ ἐκ δεσμῶν λελύτρωται· Χριστὸς ἐπὶ σταυροῦ πέπηγε, καὶ ἡ σύμπασα κτίσις ἀπὸ τῆς φθορᾶς τῆς δουλείας ἠλευθέρωται· Χριστὸς ἐπὶ σταυροῦ ἀναπέπαυται, καὶ τεράστιον καινότερον τῷ κόσμῳ ἀναδέδεικται. ἡλίου γὰρ τὸ φῶς σκοτίζεται. σύμβολον τοῖς μὲν ἀπίστοις ἐν ἡμέρᾳ κρίσεως τὸ σκότος ταμιευόμενον, τοῖς δὲ πιστεύουσι τὸ φῶς τῆς ἡμέρας ἀπὸ σκότους μεταβαλλόμενον. τοῦτο δὲ καὶ προφητικόν που λόγιον βοᾷ, λέγον· Καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει Κύριος, δύσεται ὁ ἥλιος μεσημβρίας, καὶ συσκοτάσει ἐν ἡμέρᾳ τὸ φῶς, καὶ μεταστρέψω τὰς ἑορτὰς ὑμῶν εἰς πένθος, καὶ πάσας τὰς ᾠδὰς ὑμῶν εἰς θρήνους. ὁρᾷς, ἀγαπη-

Αμως. η. 9.

τε, ἡλίκην περιέχει μυστήριον τὸ προφητικὸν λόγιον; ἐνταῦθα γὰρ ἀμφοτέρων αἰνίττεται τὰ πράγματα, Ἰουδαίων τε λέγω τῶν ὑπὸ νόμον, καὶ ἐθνῶν ἔξω τοῦ νόμου τὴν ἀνομίαν ἐπιτελούντων. οἱ μὲν γὰρ κατὰ νόμον ἑορτάζοντες πενθήσουσι τὰς ἑορτὰς ἀποτελέσαντες, καὶ ἀντὶ ᾠδῶν κοπετὸν περὶ τῆς Ἱερουσαλὴμ ποιήσονται. οὐκ ἔτι γὰρ ἔσται Ἱερουσαλὴμ ἔχουσα τὰς λατρείας, οὔτε ἐπιτελεσθήσεται ἑορτὴ ἐν αὐτῇ, τέλος εἰληφότων ἁπάντων μετὰ τὴν Χριστοῦ ἐπιδημίαν καὶ τὸ πάθος αὐτοῦ καὶ τὴν οἰκονομίαν. διὰ τοῦτο οὖν φησι, μεταστρέψω τὰς ἑορτὰς ὑμῶν εἰς πένθος, καὶ πάσας τὰς ᾠδὰς ὑμῶν εἰς θρήνους· τῶν νομικῶν ἀποστερούμενοι καὶ εἰς δουλείαν παντὶ ἔθνει παραδιδόμενοι, ἀνθ' ὧν οὐκ ἐπίστευσαν τῷ θείῳ καὶ παραδόξῳ τοῦ σταυροῦ κηρύγματι. πενθήσει δὲ καὶ ἐπὶ ταῖς ἁμαρτίαις ἐξομολογούμενα ἔθνη πένθος μακαρισμοῦ παρέξενον. Μακάριοι γάρ, φησιν, οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. πενθήσουσιν οὖν ἐπὶ ταῖς ματαίαις αὐτῶν ἑορταῖς καὶ ᾄσμασιν ἀθεμίστοις, οἷς ἐπετέλουν τοῖς ἀκαθάρτοις δαίμοσιν. ὅρα γάρ μοι σήμερον, πῶς μετανοήσας ἐθνικός, ὁ πρότερον τοῖς εἰδώλοις ἑορτάζων, μεταστρέφει τὴν ἑορτὴν εἰς πένθος, μετανοῶν ἐφ' οἷς κακῶς ἔπραττε, καὶ λέγει θρηνῶν τὸ προφητικὸν ἐκεῖνο λόγιον· Ἐπλημμήθημεν ἐν τῇ αἰσχύνῃ ἡμῶν, καὶ ἐπεκάλυψεν ἡμᾶς τὰ ἁμαρτήματα ἡμῶν, ὅτι ἐπλήσθημεν ἀσεβείας ἡμῶν· ἔγνωμεν ἀδικίας πατέρων ἡμῶν. οὕτως οὖν καὶ ἡμεῖς καλῶς θρηνοῦντες καὶ πενθοῦντες ἐν τοῖς προγεγραμμένοις ἡμῖν κακοῖς τῷ σταυρῷ ἑαυτοὺς προσπλέξωμεν, σταυρῷ τὰς ἐλπίδας ἀναπτέντες, ἵνα διὰ σταυροῦ παιδαγωγηθέντες, καὶ εἰς οὐρανὸν τὴν διάνοιαν τείναντες, Χριστῷ τῷ σωτῆρι ἡμῶν πλησιάσαντες, ἐγγὺς Θεοῦ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν γενέσθαι καταξιωθῶμεν, ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. ε. δ.

Ex edit. Duc. Burdeg.

Μηνὶ Σεπτεμβρίῳ εἰς κβ.

Λογ. ρκη. ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ ΦΩΚΑΝ, καὶ κατὰ αἱρετικῶν, καὶ εἰς τὸν ρμα. ψαλμόν, Φωνῇ μου πρὸς τὸν Κύριον ἐκέκραξα· φωνῇ μου πρὸς τὸν Θεὸν ἐδεήθην.

Λαμπρὰ γέγονεν ἡμῖν χθὲς ἡ πόλις, λαμπρὰ καὶ περιφανής· οὐκ ἐπειδὴ κίονας εἶχεν, ἀλλ' ἐπειδὴ μάρτυρα πομπεύοντα ἀπὸ πόντου πρὸς ἡμᾶς παραγενόμενον. εἶδεν ὑμῶν τὴν φιλοξενίαν, καὶ ἐνέπλησεν ὑμᾶς τῆς εὐλογίας· ἐπῄνεσεν ὑμῶν τὴν προθυμίαν, καὶ εὐλόγησε τοὺς παραγενομένους. ἐμακάρισα τοὺς συνελθόντας καὶ μετασχόντας αὐτοῦ τῆς εὐωδίας, καὶ ἐταλάνισα τοὺς ἀπολειφθέντας· ἀλλ' ἵνα μὴ ἡ ζημία αὐτῶν διαρκὴς γένηται, πάλιν ἐν ἑτέρᾳ ἡμέρᾳ ἀνακηρύττομεν αὐτόν, ἵνα καὶ οἱ ἀπολειφθέντες διὰ ῥαθυμίαν, διπλασιάσωσι τῇ σπουδῇ τὴν εὐλογίαν τὴν παρὰ τοῦ μάρτυρος. ὃ μὲν γὰρ πολλάκις εἶπον, τοῦτο καὶ λέγων οὐ παύσομαι· οὐκ εὐθύνας ἀπαιτῶ ἁμαρτημάτων, ἀλλὰ τοῖς ἀσθενοῦσι φάρμακον κατασκευάζω. ἀπελείφθης χθές; παραγενοῦ καὶ σήμερον, ἵνα ἴδῃς αὐτὸν εἰς τὸν οἰκεῖον χῶρον ἀπαγόμενον. εἶδες αὐτὸν διὰ τῆς ἀγορᾶς ἀγόμενον; βλέπε αὐτὸν καὶ διὰ τοῦ πελάγους πλέοντα, ἵνα ἑκάτερα τὰ στοιχεῖα τῆς παρ' αὐτοῦ εὐλογίας ἐμπλησθῇ. μηδεὶς ἀπολιμπανέσθω τῆς ἱερᾶς ταύτης πανηγύρεως· μὴ παρθένος οἴκοι μενέτω· μὴ γυνὴ τὴν οἰκίαν κατεχέτω· κενώσωμεν τὴν πόλιν, καὶ πρὸς τὸν τάφον τοῦ μάρτυρος μεθορμίσωμεν· καὶ γὰρ καὶ βασιλεῖς κοινῇ μεθ' ἡμῶν χορεύουσι. ποίαν οὖν συγγνώμην ἔχει ὁ ἰδιώτης, βασιλέων τὰς βασιλικὰς αὐλὰς καταλιμπανόντων, καὶ τῷ τάφῳ τοῦ μάρτυρος παρακαθημένων; τοιαύτη γὰρ τῶν μαρτύρων ἡ δύναμις, ὡς μὴ μόνον τοὺς ἰδιώτας, ἀλλὰ καὶ τοὺς τὰ διαδήματα φοροῦντας σαγηνεύειν. αὕτη τῶν Ἑλλήνων ἡ αἰσχύνη·

γρ. φάρμακ

γρ. ἐμπλήσῃ

φωνή· αὕτη τῆς πλάνης αὐτῶν τὸ ὄνειδος· αὕτη τῶν δαιμόνων ἡ ἐξολόθρευσις· αὕτη ἡμῶν ἡ εὐγένεια, καὶ τῆς ἐκκλησίας ὁ στέφανος. χορεύω μετὰ τῶν μαρτύρων, καὶ σκιρτῶ διότι λειψάνων βλέπων αὐτῶν τὸ τρόπαιον, ὅτι ἀντὶ πηγῶν αἷμα ἔρρεον. τὰ ὀστᾶ αὐτῶν ἐδαπανήθη, καὶ ἡ μνήμη αὐτῶν καθ' ἑκάστην ἡμέραν νεαρωτέρα γίνεται. ὥσπερ γὰρ τὸν ἥλιον ἀμήχανον σβεσθῆναι, οὕτω καὶ μνήμην μαρτύρων. αὐτὸς γὰρ ὁ Χριστὸς ἀπεφήνατο· Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν. ἀλλὰ τοῦ μὲν μάρτυρος τὰ ἐγκώμια εἰς τὸν προσήκοντα καιρὸν ἀναμείνωμεν. καὶ γὰρ καὶ ταῦτα ἀρκούντως εἴρηται διὰ τὴν σπουδὴν τῶν ὀφειλόντων συναχθῆναι, καὶ περιφανῆ ποιῆσαι τὴν ἡμέραν τῆς ἑορτῆς. ὃ μὲν γὰρ καὶ χθὲς ἔλεγον, καὶ σήμερον πάλιν λέγω, τῷ μὲν μάρτυρι οὐδεμία δόξα ἀπὸ τῆς τῶν πολλῶν παρουσίας γενήσεται· ὑμῖν δὲ πλείων ἔσται ἡ εὐλογία ἀπὸ τοῦ παραγενέσθαι πρὸς τὸν μάρτυρα. ὥσπερ γὰρ ὁ πρὸς τὸν ἥλιον βλέπων, τὸ μὲν ἄστρον φαιδρότερον οὐ ποιεῖ, τὰ δὲ οἰκεῖα ὄμματα καταυγάζει· οὕτω δὴ καὶ ὁ μάρτυρα τιμῶν, ἐκεῖνον λαμπρότερον οὐ ποιεῖ, ἀλλ' αὐτὸς παρ' ἐκείνου τὴν εὐλογίαν τοῦ φωτὸς ἐπισπᾶται. ποιήσωμεν πάλιν τὴν θάλασσαν ἐκκλησίαν, μετὰ λαμπάδων ἐξιόντες ἐκεῖσε, καὶ τὸ πῦρ ἐνυγραίνοντες, καὶ τὸ ὕδωρ ἐμπιμπλῶντες πυρός. μηδεὶς φοβείσθω τὸ πέλαγος· ὁ μάρτυς θάνατον οὐκ ἐφοβήθη, καὶ σὺ τὸ ὕδωρ δέδοικας; ἀλλὰ τούτων μὲν αὐταρκῶς τὸν λόγον εἰρήκαμεν. φέρε δὴ καὶ ἐκ τῶν σήμερον εἰρημένων τὴν εἰωθυῖαν ὑμῖν παραθῶμεν τράπεζαν. εἰ γὰρ καὶ στενοχωρεῖται ἡμῶν τὰ σώματα, ἀλλ' ἀναπλερούσθω ἡ διάνοια. οὐδὲ γὰρ τὴν στενοχωρίαν ὑμῶν, ἀλλὰ τὴν προθυμίαν βλέπω. ἡδὺ καὶ κυβερνήτῃ θάλασσα κυματουμένη, καὶ διδασκάλῳ ἐκκλησία πελαγιζομένη. οὐ γὰρ ἔστιν ἐν τοῖς ὕδασι τούτοις οὔτε ἅλμη, οὔτε σκόπελος, οὔτε θηρία· ἀλλὰ θάλαττα καὶ πέλαγος γέμον εὐωδίας. ἐνταῦθα πλοῖα οὐκ ἀπὸ γῆς εἰς γῆν, ἀλλ' ἀπὸ γῆς εἰς οὐρανὸν μεθορμίζομεν· οὐ χρήματα ἔχοντα, οὐ χρυσόν, οὐδὲ ἄργυρον, ἀλλὰ πίστιν, καὶ ἀγάπην, καὶ ζῆλον, καὶ σοφίαν. φέρε δὴ τοίνυν μετὰ ἀκριβείας ἐφίεμεν τὸ πλοῖον μηδέποτε ἀπολλύμενον, μηδὲ ναυάγιον ὑπομένον. ἀλλὰ προσέχετε μετὰ ἀκριβείας τοῖς λεγομένοις. ὁ γὰρ ψαλμὸς ἡμᾶς σήμερον εἰς παράταξιν ἐξάγει τῶν αἱρετικῶν, οὐχ ἵνα αὐτοὺς ἑστῶτας βάλλωμεν, ἀλλ' ἵνα κειμένους ἀναστήσωμεν. τοιοῦτος γὰρ ἡμῶν ὁ πόλεμος· οὐκ ἀπὸ ζώντων νεκροὺς ἐργάζεται, ἀλλ' ἀπὸ νεκρῶν ζῶντας κατασκευάζει, ἡμερότητος γέμων καὶ πολλῆς τῆς ἐπιεικείας. οὐ γὰρ ἐλαύνω πράγματι, ἀλλὰ τῷ λόγῳ διώκω· οὐ τὸν αἱρετικόν, ἀλλὰ τὴν αἵρεσιν· οὐ τὸν ἄνθρωπον ἀποστρέφομαι, ἀλλὰ τὴν πλάνην μισῶ, καὶ ἐπισπάσασθαι βούλομαι. οὐκ ἔχω πόλεμον πρὸς οὐσίαν (Θεοῦ γὰρ ἔργον ἡ οὐσία) ἀλλὰ τὴν γνώμην διορθώσασθαι βούλομαι, ἣν διέφθειρεν ὁ διάβολος. οὕτω καὶ ἰατρὸς ἄρρωστον θεραπεύων οὐ τῷ σώματι πολεμεῖ, ἀλλὰ τοῦ σώματος τὴν κακίαν ἀναιρεῖ. κἀγὼ τοίνυν ἐὰν πολεμήσω αἱρετικοῖς, οὐκ αὐτοῖς τοῖς ἀνθρώποις πολεμῶ, ἀλλὰ τὴν πλάνην ἐκβαλεῖν βούλομαι, καὶ τὴν σηπεδόνα ἐκκαθᾶραι. ἐμοὶ ἔθος ἐστὶ διώκεσθαι, καὶ μὴ διώκειν, ἐλαύνεσθαι, καὶ μὴ ἐλαύνειν. οὕτω καὶ ὁ Χριστὸς περιεγένετο, οὐ σταυρώσας, ἀλλὰ σταυρωθείς· οὐ ῥαπίσας, ἀλλὰ ῥαπισθείς. Εἰ μὲν κακῶς ἐλάλησα, φησί, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις; ὁ δεσπότης τῆς οἰκουμένης τῷ δούλῳ τοῦ ἀρχιερέως ἀπολογεῖται, καὶ ῥαπισθεὶς τὸ στόμα, ὅθεν ἐξῆλθε ῥῆμα, καὶ τὴν θάλατταν ἐχαλίνωσε, καὶ τετραήμερον Λάζαρον ἐκ νεκρῶν ἤγειρεν· ὅθεν κακία ἐδραπέτευσεν, ὅθεν νοσήματα καὶ ἁμαρτήματα ἐλύετο. τοῦτο τοῦ σταυρωθέντος τὸ στόμα. καὶ γὰρ δυνάμενος κεραυνοὺς ἀφεῖναι, καὶ τὴν γῆν σεῖσαι, καὶ τὴν χεῖρα τοῦ δούλου ξηρᾶναι, οὐδὲν τούτων ἐποίησεν· ἀλλὰ καὶ ἀπολογεῖται, καὶ πρᾳότητι περιγίνεται, σὲ παιδεύων ἄνθρωπον ὄντα μηδέποτε ἀγανακτεῖν· κἂν σταυρωθῇς, κἂν ῥάπισμα λάβῃς, τὰ αὐτὰ ἵνα λέγῃς, ὡς ὁ δεσπότης σου· Εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις;

Ματθ κδ. λε.

Ιωαν ιη κγ.

Καὶ ὅρα αὐτοῦ τὴν φιλανθρωπίαν, πῶς τὰ μὲν τῶν δούλων ἐκδικεῖ, τὰ δὲ ἑαυτοῦ παρατρέχει. Ἐγένετό τις ποτὲ προφήτης, καὶ βασιλέα ἀσεβοῦντα διήλεγχε, καὶ ἐλθὼν φησί· Θυσιαστήριον, θυσιαστήριον, ἄκουσον. ἐπειδὴ γὰρ ὁ βασιλεὺς Ἱεροβοὰμ εἱστήκει τοῖς εἰδώλοις ἀναφέρων θυσίαν, ἐλθὼν ὁ προφήτης τῷ θυσιαστηρίῳ διαλέγεται. Τί ποιεῖς, ὦ προφῆτα; τὸν ἄνθρωπον ἀφῆκας, καὶ τῷ θυσιαστηρίῳ διαλέγῃ; ναί, φησί· διὰ τί; ἐπειδὴ λίθου ἀναισθητότερος ὁ ἄνθρωπος ἐγένετο, ἐκεῖνον ἀφίημι, καὶ τούτῳ διαλέγομαι· ἵνα μάθῃς, ὅτι ὁ λίθος ἀκούει, καὶ ἄνθρωπος οὐκ ἀκούει. ἄκουσον, θυσιαστήριον, ἄκουσον. καὶ εὐθέως ἐῤῥάγη τὸ θυσιαστήριον. ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ὁ βασιλεύς, πιάσαι τὸν προφήτην βουλόμενος, καὶ οὐκ ἠδύνατο συστεῖλαι αὐτήν. ὁρᾷς ὅτι μᾶλλον τὸ θυσιαστήριον ἤκουσεν, ἢ ὁ βασιλεύς; ὁρᾷς ὅτι τὸν λογικὸν ἀφῆκε, καὶ τῷ ἀλόγῳ διελέγετο, ἵνα διὰ τῆς τούτου ὑπακοῆς τὴν ἐκείνου ἀναισθησίαν καὶ κακίαν διορθώσηται; ἐῤῥάγη τὸ θυσιαστήριον, καὶ ἡ κακία τοῦ βασιλέως οὐκ ἐῤῥάγη· ἀλλ' ὅρα τὸ γενόμενον. ἐξέτεινε τὴν χεῖρα ὁ βασιλεὺς λαβεῖν τὸν προφήτην, καὶ εὐθέως ἐξηράνθη ἡ χεὶρ αὐτοῦ. ἐπειδὴ τῇ τιμωρίᾳ τοῦ θυσιαστηρίου οὐκ ἐγένετο βελτίων, τῇ οἰκείᾳ κολάσει παιδεύεται τοῦ Θεοῦ τὴν ὑπακοήν. ἐγὼ μὲν γάρ σου φειδόμενος, εἰς λίθον ἠθέλησα ἀφεῖναι τὴν ὀργήν· ἐπειδὴ δὲ οὐκ ἐγένετό σοι διδάσκαλος ὁ λίθος, λάμβανε σὺ τὴν τιμωρίαν. καὶ ἐξέτεινε τὴν χεῖρα αὐτοῦ, καὶ παραυτὰ ἐξηράνθη. Εἱστήκει λοιπὸν τὸ ἔμπαιον τοῦ προφήτου, καὶ συστεῖλαι αὐτὴν ὁ βασιλεὺς οὐκ ἠδύνατο. ποῦ τὸ διάδημα; ποῦ αἱ πορφυρίδες; ποῦ οἱ θώρακες; ποῦ αἱ ἀσπίδες; ποῦ τὸ στρατόπεδον; ποῦ τὰ δόρατα; ὁ Θεὸς ἐκέλευσε, καὶ πάντα ἐκεῖνα ἀπώλετο. παρειστήκεισαν οἱ στρατιῶται βοηθῆσαι μὲν οὐ δυνάμενοι, θεωροὶ δὲ τῆς πληγῆς γινόμενοι μόνον. καὶ ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ὁ βασιλεύς, καὶ ἐξηράνθη. ὅτε ἐγένετο ξηρά, τότε καρπὸν ἤνεγκε. βλέπε μοι τὸ ὑπόδειγμα τὸ ἐπὶ τοῦ ξύλου τοῦ ἐν τῷ παραδείσῳ, καὶ τοῦ ξύλου τοῦ ἐν τῷ σταυρῷ. ὥσπερ γὰρ τὸ ξύλον ἐκεῖνο χλωρὸν ὂν θάνατον ἔτεκε, τὸ δὲ ξύλον τοῦ σταυροῦ ξηρὸν ὂν ζωὴν ἐγέννησεν· οὕτω καὶ ἐπὶ τῆς χειρὸς τοῦ βασιλέως ἐγένετο· ὅτε χλωρὰ ἦν, τότε ἀσέβειαν ἔτεκεν· ὅτε ξηρὰ ἐγένετο, τότε τὴν ὑπακοὴν προσήγαγεν. ἴδε τοῦ Θεοῦ τὰ παράδοξα πράγματα. ἀλλ', ὅπερ ἔλεγον, ὅτε αὐτὸς ἐῤῥαπίζετο, οὐδὲν κακὸν τῷ ῥαπίζοντι ἐποίει· ὅτε δὲ ὁ δοῦλος ἔμελλεν ὑβρίζεσθαι, τὸν βασιλέα ἐκόλασε, σὲ παιδεύων τὰ μὲν τοῦ Θεοῦ ἐκδικεῖν, τὰ δὲ οἰκεῖα παρατρέχειν. ὥσπερ γὰρ τὰ ἐμὰ παρατρέχω, τὰ δὲ σὰ ἐκδικῶ· οὕτω καὶ σὺ τὰ ἐμὰ ἐκδίκει, τὰ δὲ σὰ παράτρεχε. ἀλλὰ συντείνατέ μοι τὴν ἀκοήν (ἔνθα γὰρ ἀγώνων καιρός, ἀκροατῶν χρεία συντεταμένην ἐχόντων τὴν ἀκοήν) ἵνα εἰδῆτε μετὰ ἀκριβείας πῶς δεσμεύω, πῶς λύω τὰ τῶν ἀντιδίκων ἁμαρτήματα, πῶς παλαίω, πῶς ῥίπτω. Εἰ γὰρ οἱ ἐν τῷ θεάτρῳ καθήμενοι ἐπικύπτουσι δύο παλαιόντων, τὴν ὄψιν αὐτῶν καὶ τὴν ἡλικίαν ἐκτείνοντες, ἵνα ἴδωσι παλαίσματα αἰσχύνης γέμοντα, ἵνα ἴδωσι παλαίσματα, ἃ μιμήσασθαι αἰσχύνη· πολλῷ μᾶλλον ἡμᾶς προσέχειν δεῖ τῇ τῶν θείων γραφῶν ἀκροάσει. Εἰ γὰρ ἐπαινεῖς τὸν ἀθλητήν, διὰ τί οὐ γίνῃ ἀθλητής; Εἰ δὲ αἰσχύνῃ γενέσθαι ἀθλητής, διὰ τί μιμῇ τύπων τὸν ἔπαινον; ἀλλ' οὐκ ἔστιν ἐνταῦθα τοιαῦτα τὰ παλαίσματα, ἀλλὰ κοινὰ πᾶσι καὶ ὠφέλιμα, καὶ τοῖς λέγουσι, καὶ τοῖς ἀκούουσι. παλαίω γὰρ μετὰ τοῦ αἱρετικοῦ, ἵνα καὶ ὑμᾶς ἀθλητὰς ἀπεργάσωμαι· ἵνα μὴ μόνον ψάλλοντες, ἀλλὰ καὶ διαλεγόμενοι τὴν γλῶτταν αὐτῶν ἀποῤῥάπτητε. Τί οὖν φησιν ὁ προφήτης; Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς τὸν Θεὸν ἐδεήθην. προσέχεις μὴ δοκεῖ ἔχειν ἀφορμὴν παλαισμάτων τὸ ῥητόν; ὅρα πῶς πλέκω τὸν στέφανον καὶ τῶν ἀγώνων τὴν ὑπόθεσιν. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα· φωνῇ μου πρὸς τὸν Θεὸν ἐδεήθην. ἐνταῦθά μοι τὸν αἱρετικὸν κάλει, ἐάν τε παρῇ, ἐάν τε μὴ παρῇ. ἐάν τε γὰρ παρῇ, παρὰ τῆς ἡμετέρας φωνῆς παιδευέσθω· ἐάν τε μὴ παρῇ, διὰ τῆς ὑμετέρας ἀκροάσεως μανθανέτω. ἀλλ', ὅπερ εἶπον, οὐκ ἐλαύνω αὐτὸν παρόντα, ἀλλὰ οἴχονται αὐτοὶ ἐλαυνόμενοι, οὐ παρ' ἡμῶν, ἀλλ' ἀπὸ τοῦ οἰκείου συνειδότος, κατὰ τὸν λέγοντα,

γ. Βασ ιγ. ς.

Ψαλμ γ. δ.

Παροι. κη α. φεύγει ὁ ἀσεβὴς μηδενὸς διώκοντος. ἡ ἐκκλησία μήτηρ ἐστὶ τῶν οἰκείων τέκνων, καὶ τούτους δεχομένη, καὶ τοῖς ξένοις τοὺς κόλπους ἐφαπλοῦσα. κοινὸν θέατρον ἡ κιβωτὸς ἡ τοῦ Νῶε ἦν· ἀλλ' ἡ ἐκκλησία καὶ ταύτης βελτίων. ἐκείνη μὲν γὰρ ἐλάμβανεν ἄλογα, καὶ ἐφύλαττεν ἄλογα· αὕτη δὲ λαμβάνει ἄλογα, καὶ μεταβάλλει. οἷον τί λέγω· ἐὰν εἰσέλθῃ ἐν ταύτῃ ἀλώπηξ αἱρετικός, ποιῶ τοῦτον πρόβατον· ἐὰν εἰσέλθῃ λύκος, ποιῶ αὐτὸν ἀρνίον, τὸ ἐμὸν μέρος· ἐὰν δὲ μὴ βούληται, οὐδὲν πρὸς ἐμέ, ἀλλὰ παρὰ τὴν οἰκείαν ἀγνωμοσύνην· ἐπεὶ καὶ ὁ Χριστὸς δώδεκα εἶχε μαθητάς, καὶ εἷς προδότης ἐγένετο, ἀλλ' οὐ παρὰ τὸν Χριστόν, ἀλλὰ παρὰ τὴν διεφθαρμένην γνώμην ἐκείνου· ἐπεὶ καὶ ὁ Ἐλισσαῖος εἶχε μαθητὴν φιλάργυρον, ἀλλ' οὐ παρὰ τὴν ἀσθένειαν τοῦ διδασκάλου, ἀλλὰ παρὰ τὴν ῥαθυμίαν τοῦ μαθητοῦ. δ. Βασ. ε. ἐγὼ καταβάλλω τὰ σπέρματα· ἐὰν γῆ λιπαρὰ ἧς δεχομένη τὰ σπέρματα, καὶ τὸν στάχυν ἀποδίδως· ἐὰν δὲ ἧς πέτρα ἄγονος, οὐδὲν πρὸς ἐμέ· ἐάν τε ἀκούσῃς, ἐάν τε μὴ ἀκούσῃς, οὐ παύσομαί σοι ἐπᾴδων ᾠδὴν πνευματικήν, καταντλῶν τὰ τραύματα, ἵνα μὴ ἀκούσω κατὰ τὴν ἡμέραν ἐκείνην, Πονηρὲ δοῦλε, ἔδει σε καταβαλεῖν τὸ ἀργύριόν μου ἐπὶ τοὺς τραπεζίτας. Ματθ. κε κς.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα· φωνῇ μου πρὸς τὸν Θεὸν ἐδεήθην. τί λέγεις, αἱρετικέ; περὶ τίνος λέγει ὁ προφήτης, καὶ τίνα καλεῖ Κύριον καὶ Θεόν; περὶ ἑνὸς γὰρ προσώπου ὁ λόγος. ἐκεῖνοι γὰρ παραγραφόμενοι τὰς γραφὰς κατὰ τῆς ἑαυτῶν κεφαλῆς, καὶ ζητοῦντες ἀεὶ λήμματα κατὰ τῆς ἑαυτῶν σωτηρίας, οὐκ αἰσθάνονται εἰς βάραθρον ἀπωλείας ἑαυτοὺς ὠθοῦντες. τὸν γὰρ υἱὸν τοῦ Θεοῦ οὔτε ὁ εὐφημῶν ἐνδοξότερον ποιεῖ, οὔτε ὁ βλασφημῶν βλάπτει. οὐ γὰρ χρείαν ἔχει ἡ ἀσώματος οὐσία τῆς ἡμετέρας εὐφημίας. ἀλλ' ὥσπερ ὁ τὸν ἥλιον λέγων φαιδρόν, οὐ προστίθησιν αὐτοῦ τῷ φωτί, οὐδὲ ὁ σκοτεινὸν λέγων, μειοῖ αὐτοῦ τὴν οὐσίαν, ἀλλὰ τῆς οἰκείας πηρώσεως ἐκφέρει δεῖγμα τὴν ψῆφον· οὕτως ὁ τὸν υἱὸν τοῦ Θεοῦ μὴ λέγων υἱόν, ἀλλὰ κτίσμα, τῆς οἰκείας μανίας ἐκφέρει ἀπόδειξιν· ὁ δὲ ἐπιγινώσκων αὐτοῦ τὴν οὐσίαν, τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδείκνυται, καὶ οὔτε οὗτος αὐτὸν ὠφελεῖ, οὔτε ἐκεῖνος αὐτὸν βλάπτει· ἀλλ' ὁ μὲν κατὰ τῆς ἑαυτοῦ σωτηρίας, ὁ δὲ ὑπὲρ τῆς ἑαυτοῦ σωτηρίας ἀγωνίζεται. ἀλλ' ὅπερ ἔλεγον, παραγραφόμενοι τὰς γραφάς, τὰ μὲν ἄλλα παρατρέχουσι, ζητοῦσι δέ, εἴπου εὕροιεν λῆμμα δοκοῦν τι συντρέχειν αὐτῶν τῷ νοσήματι. καὶ μή μοι λέγε, ὅτι ἡ γραφὴ αἰτία. οὐχὶ ἡ γραφὴ αἰτία, ἀλλ' ἡ ἀγνωμοσύνη αὐτῶν· ἐπεὶ καὶ τὸ μέλι γλυκύ ἐστιν, ἀλλ' ὁ νοσῶν πικρὸν αὐτὸ νομίζει· ἀλλ' οὐ τοῦ μέλιτος τὸ ἔγκλημα, ἀλλὰ τῆς ἀρρωστίας ἡ κατηγορία. οὕτω καὶ οἱ μαινόμενοι τὰ ὁρώμενα οὐ βλέπουσιν· ἀλλ' οὐ τῶν ὁρωμένων τὸ ἔγκλημα, ἀλλὰ τοῦ μαινομένου ἡ διεφθαρμένη γνώμη. ἐποίησε τὸν οὐρανὸν ὁ Θεός, ἵνα ἴδωμεν τὸ ἔργον, καὶ προσκυνήσωμεν τῷ δημιουργῷ, ἀλλ' οἱ Ἕλληνες ἐθεοποίησαν τὸ ἔργον· ἀλλ' οὐ τὸ ἔργον αἴτιον, ἀλλ' ἡ ἐκείνων ἀγνωμοσύνη· καὶ ὥσπερ ὁ μὲν ἀγνώμων παρ' οὐδενὸς ὠφελεῖται, οὕτως ὁ εὐγνώμων καὶ παρ' ἑαυτοῦ ὠφελεῖται. τί τοῦ Χριστοῦ ἴσον; καὶ οὐκ ὠφελήθη ὁ Ἰούδας. τί τοῦ διαβόλου πονηρότερον; καὶ ἐστεφανώθη ὁ Ἰώβ· καὶ οὔτε τὸν Ἰούδαν ὠφέλησεν ὁ Χριστός, ἐπειδὴ ἀγνώμων ἦν, οὔτε τὸν Ἰὼβ ἔβλαψεν ὁ διάβολος, ἐπειδὴ εὐγνώμων ἦν. ταῦτα λέγω, ἵνα μηδεὶς τὰς γραφὰς διαβάλλῃ, ἀλλὰ τὴν ἀγνωμοσύνην τῶν τὰ καλῶς εἰρημένα κακῶς ἑρμηνευόντων. καὶ γὰρ ὁ διάβολος ἀπὸ γραφῶν τῷ Χριστῷ διελέγετο· ἀλλ' οὐχ ἡ γραφὴ αἰτία, ἀλλ' ἡ διάνοια ἡ τὰ καλῶς εἰρημένα κακῶς ἑρμηνεύουσα. θέλοντες γὰρ δεῖξαι τὸν υἱὸν ἐλάττονα τοῦ πατρός, περιέρχονται ὀνόματα ξένα περιεργαζόμενοι, καὶ λέγουσιν εἰς τό, Θεός, καὶ Κύριος· ὡς ὁ πατὴρ Θεός, ὁ δὲ υἱὸς Κύριος· καὶ διαιροῦσι τὰ ὀνόματα, καὶ προσνέμουσι τὸ μέν, Θεός, τῷ πατρί, τὸ δέ, Κύριος, τῷ υἱῷ, ὡς διαιρεταὶ ὄντες τῆς θεότητος καὶ κληροδόται. λέγει τῷ υἱῷ τό, Κύριος, ἡ γραφή; ταῦτα λέγει; πῶς οὐκ ἤκουσας τοῦ ψαλμοῦ πρὸς ἓν πρόσωπον λέγοντος σήμερον, Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς τὸν Θεὸν ἐδεήθην; Ψαλ. γ. δ. οὐκοῦν καὶ Κύριον καὶ Θεὸν αὐτὸν ὀνομάζει. ἵνα βούλῃ Θεὸν εἶναι, τὸν υἱόν, ἢ τὸν πατέρα; πάντως τὸν πατέρα ἐρεῖς τὰ ὀνόματα ταῦτα. οὐκοῦν Θεὸς ὁ υἱὸς, καὶ Κύριος ὁ πατήρ. τί οὖν διαιρεῖς τὰ ὀνόματα, καὶ τὸ μὲν ἐκεῖ προσεπιτίθης, τὸ δὲ ἐνταῦθα διαιρεῖς; καὶ ὁ Παῦλος δὲ λέγει (εἴθε ἤκουες Παύλου, καὶ μακάριος ἦς) α. Κορ. η. ϛ. Ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα. μὴ ἐκάλεσε τὸν υἱὸν Θεόν; ἀλλὰ τί; Κύριον. τί γοῦν, εἰπέ μοι, τὸ Θεὸς, σεμνότερον τοῦ, Κύριος, καὶ τὸ, Κύριος, ἔλαττον τοῦ, Θεός; συντείνατε ἑαυτοὺς, παρακαλῶ, μετὰ ἀκριβείας. ἐὰν οὖν δείξω, ὅτι ἕν ἐστι τὸ Κύριος καὶ τὸ Θεὸς, τί λέγεις; λέγεις τὸ, Θεὸς, μεῖζον, τὸ δὲ, Κύριος, ἔλαττον; Ησ. με. ιη. ἄκουσον τοῦ προφήτου λέγοντος· Οὗτος Κύριος ὁ ποιήσας τὸν οὐρανὸν, οὗτος Θεὸς ὁ κατασκευάσας τὴν γῆν. Κύριος τὸν οὐρανὸν, καὶ ὁ Θεὸς τὴν γῆν. οὐκοῦν ἐπὶ τοῦ αὐτοῦ προσώπου καὶ τὸ Κύριος καὶ τὸ Θεὸς τέθεικε. Δετ. ϛ. δ. καὶ πάλιν· Ἄκουε Ἰσραὴλ, Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστι. δεύτερον τὸ Κύριος, καὶ ἅπαξ τὸ Θεός· καὶ πρῶτον τὸ Κύριος, καὶ τότε τὸ Θεὸς, καὶ πάλιν τὸ Κύριος. εἰ δὲ τοῦτο καταδεέστερον, ἐκεῖνο δὲ μεῖζον, οὐκ ἐπὶ μεγάλης οὐσίας καὶ μείζονος τοῦ λόγου τὸ ἔλαττον τέθεικε πρῶτον· ἀλλὰ τὸ μεῖζον εἰπὼν ἠρκέσθη, καὶ οὐκ ἂν προσέρριψε τὸ ἔλαττον. ἆρα συνήκατε ὃ εἶπον; πάλιν παιδεύω. οὐ γὰρ θέατρόν ἐστι πρὸς ἐπίδειξιν, ἀλλὰ διδασκαλία πρὸς κατάνυξιν· οὐχ ἵνα ἄοπλοι ἀπέλθητε, ἀλλ' ἵνα ὁπλισθέντες ἀναχωρήσητε. τὸ Θεὸς λέγεις, αἱρετικὲ, μεῖζον, καὶ τὸ Κύριος ἔλαττον; ἔδειξά σοι τὸν προφήτην λέγοντα· Κύριος ὁ ποιήσας τὸν οὐρανὸν, Θεὸς ὁ κατασκευάσας τὴν γῆν. δείκνυμί σοι πάλιν τὸν Μωϋσέα λέγοντα· ἄκουε Ἰσραὴλ, Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστι. πῶς εἷς, εἰ δύο εἰσὶ τὰ ὀνόματα, τὸ μὲν ἐλάττονος, τὸ δὲ μείζονος οὐσίας; οὐ γὰρ δὴ ἡ οὐσία μείζων ἑαυτῆς καὶ ἐλάττων· ἀλλ' ἴση καὶ συνημμένη· Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστι· καὶ δεικνύω σοι, ὅτι τὸ ὄνομα τὸ Κύριος τοῦτό ἐστι Θεός. ὅλως δὲ, εἰ καταδεέστερον τὸ Κύριος, τὸ δὲ Θεὸς μεῖζον, ποῖον ὤφειλεν αὐτοῦ ὄνομα εἶναι, τὸ Κύριος τὸ μικρότερον, ἢ τὸ Θεὸς τὸ μεῖζον; ἐὰν εἴπῃ, ποῖον ὄνομά μου, τί λέγεις, ὦ αἱρετικέ; λέγεις ὅτι τὸ Κύριος τοῦ υἱοῦ, τὸ δὲ Θεὸς τοῦ πατρὸς, ὡς οἰκειότερον; ἐὰν οὖν σοι δείξω, τὸ Κύριος, τὸ μικρὸν, γνωριστικὸν αὐτοῦ, τί ποιεῖς; Ψαλ. πβ. ιθ. Γνώτωσαν, ὅτι ὄνομά σοι Κύριος, ὁ προφήτης λέγει. μὴ εἶπε Θεός; καίτοι εἰ μεῖζον τὸ Θεὸς, διὰ τί οὐκ εἶπεν ὁ προφήτης, γνώτωσαν, ὅτι ὄνομά σοι Θεός; εἰ γὰρ τὸ μὲν ἴδιον αὐτοῦ καὶ οἰκεῖον τὸ Θεὸς, ἀλλότριον δὲ αὐτοῦ, ὡς καταδεέστερον, τὸ Κύριος, διὰ τί εἶπε, γνώτωσαν, ὅτι ὄνομά σοι Κύριος, τὸ μικρὸν, τὸ ἔλαττον, τὸ καταδεέστερον τῆς ἀξίας, καὶ οὐ λέγει ἐκεῖνο τὸ μέγα καὶ ὑψηλὸν, τὸ ἄξιον τῆς οὐσίας; καὶ ἵνα μάθης, ὅτι τοῦτο οὐκ ἔστι μικρὸν οὐδὲ καταδεέστερον, ἀλλὰ τὴν αὐτὴν ἔχει τιμήν· γνώτωσαν, ὅτι ὄνομά σοι Κύριος, σὺ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν. ἀλλ' ἔτι οὐκ ἀφίστασαι τῆς μάχης, ἀλλὰ λέγεις πάλιν τὸ Θεὸς μεῖζον, τὸ δὲ Κύριος ἔλαττον. ἐὰν οὖν δείξω τὸν υἱὸν τῷ ὀνόματι τῷ μείζονι καλούμενον, τί λέγεις; καταλύεις τὴν μάχην; ἀφίστασαι τῆς φιλονεικίας; ἐπιγινώσκεις σου τὴν σωτηρίαν; ἀπαλλάττῃ τῆς μανίας; συνήκας τί εἶπον; ἐπειδὴ τὸ Κύριος ὄνομα τῷ υἱῷ προσεπιτίθουσι, τὸ δὲ Θεὸς τῷ πατρὶ ὡς μεῖζον· ἐὰν οὖν δείξω σοι τῷ μείζονι ὀνόματι τῷ Θεὸς τὸν υἱὸν καλούμενον, λέλυται ἡ μάχη. τοῖς γὰρ ὅπλοις τοῖς σοῖς σε χειροῦμαι, καὶ τοῖς σοῖς πτεροῖς περιγίνομαί σου. σὺ εἶπας, ὅτι τὸ Θεὸς μεῖζον, τὸ δὲ Κύριος ἔλαττον· βούλομαι δεῖξαι, ὅτι τὸ ἔλαττον οὐχ ἥρμοζε τῷ πατρὶ, εἰ μείζων ἦν, καὶ τὸ μεῖζον οὐχ ἥρμοζε τῷ υἱῷ, εἰ ἐλάττων ἦν ὁ υἱός. ἄκουσον τοῦ προφήτου λέγοντος· Βαρ. γ. λγ. οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· Ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης. μετὰ ταῦτα ἐπὶ γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. τί λέγεις πρὸς τοῦτο; ἀντιλέγεις τοῖς ῥήμασι τούτοις; ἀλλ' οὐ δύνασαι· μόνη γὰρ ἡ ἀλήθεια τὴν οἰκείαν λαμπηδόνα ἐκπέμπουσα, καὶ τυφλοῦσα τὰς τῶν αἱρετικῶν ὄψεις τῶν μὴ θελόντων αὐτῇ πιστεῦσαι. εἰ καὶ βαθέα τὰ παλαίσματα, καὶ πολὺ τὸ καῦμα, ἀλλὰ μείζων ὁ λόγος καὶ τῆς δυσχερείας τῶν ἀκουόντων περιγινόμενος, καὶ τὸ καῦμα τῇ δρόσῳ τῆς διδασκαλίας παραμυθεῖται. κἂν ἅπαξ, ἢ δεύτερον τῆς ἑβδομάδος συλλεγώμεθα, οὐ δεῖ ῥάθυμον εἶναι τὸν ἀκροατήν. ἐὰν γὰρ

ἴσ. λείπει τὸ, δυνάμεθα

ἐξέλθης

ἐξέλθῃς ἐκ τῶν ὧδε, καὶ εἴπῃ σοί τις· τί ὡμίλησεν ὁ διδάσκαλος; εἴπῃς, πρὸς αἱρετικούς. ἐὰν εἴπῃ σοι, τί ὡμίλησε, καὶ μὴ εὕρῃς, αἰσχύνη σοι μεγίστη. ἐὰν δὲ εἴπῃς, δάκνεις αὐτόν· κἄν τε αἱρετικὸς ᾖ, διορθοῖς αὐτόν· κἄν τε φίλος ἢ ῥάθυμος, ἐφέλκεις αὐτόν· κἄν τε γυνὴ ἀκόλαστος, σωφρονεστέραν ποιεῖς. καὶ γὰρ καὶ ὑπεύθυνος εἶ τῇ γυναικί· Αἱ γυναῖκες γάρ, φησιν, ἐν ἐκκλησίαις σιγάτωσαν· εἰ δέ τι μανθάνειν θέλουσι, τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν. (α. Κορ. ιδ. λδ.) ἐὰν εἰσέλθῃς εἰς τὴν οἰκίαν, καὶ ἐρωτήσῃ σε ἡ γυνή, τί ἐκόμισας μοι ἀπὸ τῆς ἐκκλησίας, εἰπὲ πρὸς αὐτήν· οὐ κρέας, οὐδὲ οἶνον, οὐδὲ χρυσίον, οὐδὲ κόσμια τὰ τὸ σῶμα καλλωπίζοντα, ἀλλὰ λόγων σοφίζοντα διάνοιαν. ὅταν εἰσέλθῃς πρὸς τὴν γυναῖκα, παράθες τὴν τράπεζαν τὴν πνευματικήν· εἰπὲ πρότερον, ὡς ἔναυλος ἡ μνήμη ἐστίν· ἀπολαύσωμεν τῶν πνευματικῶν, καὶ τότε ἀπολαύσομεν τῆς αἰσθητῆς τραπέζης. καὶ γὰρ ἂν οὕτω τὰ καθ' ἑαυτῶν οἰκονομῶμεν, καὶ τὸν Θεὸν ἕξομεν ἐν τῷ μέσῳ καὶ τὴν τράπεζαν εὐλογοῦντα, καὶ ἡμᾶς στεφανοῦντα. ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστήσωμεν αὐτῷ τῷ πατρί, σὺν τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ρκθ. ΕΙΣ ΤΗΝ ΣΥΛΛΗΨΙΝ ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ τοῦ προφήτου προδρόμου καὶ βαπτιστοῦ.

Ex Ms. Regio Lut.
Μην. Σεπτ. κγ.

ΜΩϋσῆς ὁ μέγας, ὁ τοῦ Θεοῦ θεράπων, τὸ κεφάλαιον τῶν προφητῶν, ὁ τῆς θαλάσσης ὁδοιπόρος, ὁ τοῦ ἀέρος ἡνίοχος, ὁ τοῦ μάννα τραπεζοποιός, ὁ τοῦ Θεοῦ νομοθέτης, ὁ τὰς πλάκας τὰς ἱερὰς δεξάμενος, ὁ πρῶτος εἰσηγητὴς τῶν συμφερόντων τῷ βίῳ, οὗτος ὁ τοσοῦτος καὶ τηλικοῦτος, σκηνὴν τῷ λαῷ Ἰσραὴλ κατεσκεύασε, καθ' ὃν ἐν τῷ ὄρει παρὰ Θεοῦ ἐδιδάχθη τύπον· καὶ πάντα μὲν ἅγιά τε καὶ ἱερὰ τὰ καθ' ἕκαστον ἐποίησεν, ὅσα τῷ περιορίσματι κατὰ τὸ ἐντὸς περιείληπτο, τὸ δὲ ἐνδότατον τούτοις, ὃ ἄδυτόν τε καὶ ἀνεπίβατον ἦν, ἅγιον ἁγίων λεγόμενον. τούτῳ τῷ παραδείγματι τῆς σκηνῆς καὶ Σολομὼν ᾠκοδόμησε ναόν, οὐχὶ τῇ πολυτελείᾳ τῆς ὕλης μόνον, οὐδὲ τῇ ποικιλίᾳ τῆς τέχνης, ἀλλὰ καὶ τῷ σχήματι τῆς οἰκοδομῆς πάντας τοὺς ἐπὶ γῆς ναοὺς ἀποκρύπτοντα· ὥστε αὐτοὺς μηδέποτε εἰς ἐπιθυμίαν ἐλθεῖν τῶν παρ' Αἰγυπτίοις. καὶ ποιεῖ τὸν ναὸν πρὸς τὴν εἰκόνα τοῦ κόσμου παντός, τοῦ τε αἰσθητοῦ, καὶ τοῦ νοητοῦ. καθάπερ γὰρ ἐστὶ γῆ καὶ οὐρανός, καὶ μέσον διάφραγμα τὸ στερέωμα τοῦτο, οὕτω κἀκεῖνον ἐκέλευσε γενέσθαι ὁ Θεός· καὶ εἰς δύο διατεμὼν τὸν ναὸν τοῦτον, καὶ καταπέτασμα ἀφεὶς μέσον, τὸ μὲν ἔξω τοῦ καταπετάσματος πᾶσι συνεχώρησεν εἶναι βατόν, τὸ δὲ ἔνδον ἄβατον πᾶσι καὶ ἀθέατον, πλὴν τοῦ ἀρχιερέως μόνου· ὡς ὁ ἄγγελος ἐνετείλατο λαλῆσαι τῷ Μωϋσῇ εἰπεῖν τοῖς υἱοῖς Ἰσραήλ· Ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ, δεκάτῃ τοῦ μηνός, ταπεινώσατε τὰς ψυχὰς ὑμῶν, (Λευϊτ. ις. κθ.) τουτέστι πρὸ ε″ τῆς σκηνοπηγίας. τότε γὰρ ἐν τῇ σκηνοπηγίᾳ, ἅπαξ τοῦ ἐνιαυτοῦ, μόνος ὁ ἀρχιερεὺς εἰσῄει εἰς τὰ ἅγια τῶν ἁγίων θυμιᾶν. ἐν ταύτῃ οὖν τῇ ἑορτῇ τῆς σκηνοπηγίας εἰσῆλθε καὶ ὁ Ζαχαρίας θυμιᾶσαι κατὰ τὴν ἐφημερίαν αὐτοῦ· (Λουκ. α. ι.) καὶ εἶδε τὸν ἄγγελον ἑστῶτα ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος. καὶ ἐταράχθη Ζαχαρίας ἰδών, καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτόν· εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγγελος· μὴ φοβοῦ, Ζαχαρία· διότι εἰσηκούσθη ἡ δέησίς σου· καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην· καὶ ἔσται σοι χαρὰ καὶ ἀγαλλίασις, καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρήσονται. ἔσται γὰρ μέγας ἐνώπιον Κυρίου· καὶ οἶνον καὶ σίκερα οὐ πίεται, καὶ πνεύματος ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ, καὶ αὐτὸς προπορεύσεται ἐν πνεύματι καὶ δυνάμει Ἠλίου, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα, καὶ ἀπειθεῖς ἐν φρονήσει δικαίων, ἑτοιμάσαι Κυρίῳ λαὸν κατεσκευασμένον.

Εἶδες ἐπαγγελίας προφητικῆς ὑπερβαίνουσαν δύναμιν; αὕτη ἡ προφητεία τοῦ Ζαχαρίου ἔδησε καὶ ἔλυσε τὴν γλῶτταν. ἔδησε γὰρ ἀπιστηθέντος τοῦ τόκου, ἔλυσε δὲ αὐτὴν γενομένου τοῦ τόκου. ὢ τοῦ θαύματος· Ἰωάννης ἐκ κοιλίας εὐαγγελιστής, ἐκ γαστρὸς θαυματουργός, τῆς ἐρημίας σύντροφος, καὶ τῶν ἀγγέλων ὁμοδίαιτος· ὁ μετὰ τὸν νόμον ἐν προφήταις, δεύτερος Ἠλίας καὶ ἀληθέστατος κήρυξ, τῷ ζήλῳ τοῦ πνεύματος τὴν πλάνην ἐξελαύνων· Ματθ. γ. β. ὁ πρόδρομος καὶ βαπτιστής· ὁ λέγων, Μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν· ὁ τοῦ Ζαχαρίου υἱός, καὶ τῆς στείρας τὸ βλάστημα, καὶ τῶν εὐχῶν τοῦ λαοῦ τέλειον ἀνεύρημα· ὁ τῆς μετανοίας γνήσιος εἰσηγητής, καὶ πιστῶν συνήγορος ἐξομολογουμένων· ὁ τοῦ νόμου πλήρωμα, καὶ τῆς χάριτος ἀρχηγός, καὶ τῆς ἀσεβείας τῶν Ἰουδαίων ἔλεγχος· ὁ τῶν ἐπουρανίων δογμάτων βεβαιωτής, καὶ κριτὴς ἀδέκαστος τῶν τοῦ λαοῦ πλασμάτων· ὁ ἐκ στείρας ἀγόνου παρ' ἐλπίδα τεχθείς, καὶ χάριτι τοῦ ἐκ πέτρας ὕδωρ ἐξαγαγόντος Χριστοῦ νυμφαγωγός· ὁ τῶν Ἰορδανείων ῥείθρων χαλιναγωγός, καὶ τῆς τῶν ἁμαρτωλῶν καθάρσεως πρεσβύτης· ὁ τοῦ ἀκαταλήπτου μυστηρίου προγνώστης, καὶ τῆς τοῦ ἀοράτου παρουσίας προφήτης. οὗτός ἐστιν Ἰωάννης, ὁ κατ' ἐπαγγελίαν τεχθεὶς τῷ Ζαχαρίᾳ ἐν γήρᾳ βαθυτάτῳ. ὢ τοῦ θαύματος. ἰδοὺ γὰρ ἐπὶ τῶν ἔργων ἐδείχθη τὰ ἐν γαστρὶ τοῦ Ἰωάννου σκιρτήματα, ἃ ἐμήνυσεν. Εἶδεν ὁ κόσμος τὴν ἀγαλλίασιν, ἣν ἐν τῇ νηδύϊ ὁ πρόδρομος τοῖς ποσὶν ἐζωγράφησεν. ἀλλὰ ποίαν ἡμεῖς τῷ δικαίῳ τὴν τιμὴν ἀποτίσωμεν, κυκλούμενοι πανταχόθεν τοῖς αὐτοῦ κατορθώμασιν; εὐαγγελίζεται γὰρ κυοφορούμενος, θαυματουργεῖ τικτόμενος, προκόπτει ἐν ταῖς ἐρήμοις ἀσκούμενος, τρέφεται τῷ πνεύματι προαγόμενος, μεσιτεύει νόμῳ καὶ χάριτι· κηρύττει μετανοίας βάπτισμα, βαπτίζει τὸν δεσπότην παραγινόμενον, θεωρεῖ βαπτίζων τῆς τριάδος τὴν δόξαν, καὶ τὴν χάριν μαρτυρεῖ τῇ ἀληθείᾳ. βοῶν ὑποδείκνυσι τὸν προφητευθέντα, δεσπότην ὁμολογῶν, καὶ αὐτοῦ ἰσχυρότερον· ὁδηγεῖ πρὸς αὐτὸν τοὺς πιστεύοντας, ἐκδιδάσκων τὸ συμφέρον τοῖς ὄχλοις· νουθετεῖ καὶ βαπτιζομένους τελώνας, ἐλέγχει καὶ τὸν Ἡρώδην παρανομοῦντα, δέχεται καὶ μακαριζόμενον τέλος. ποίοις τοίνυν θαυμάσωμεν λόγοις; ποίαν ἐν τούτοις κινήσωμεν γλῶσσαν; τί τούτων παραλείπομεν, καὶ μή τι εἰπεῖν περὶ τούτων ἰσχύσωμεν; μέγα γὰρ τῶν ἐγκωμίων τὸ πέλαγος, μέγα καὶ τῶν κατορθωμάτων τὸ πλάτος. ἐκπλήττει τοὺς λέγοντας καὶ μόνη τῶν πραγμάτων ἡ πεῖρα. ἀλλ' ἔλθοι καὶ νῦν Ζαχαρίας ὁ τοῦ δικαίου πατήρ, ὁ καὶ τῇ σιωπῇ κατακριθείς, καὶ πάλιν φθεγξάμενος. ἐκεῖνος ἡμῖν τὰ ἑαυτοῦ τρανότατα διηγήσεται, πῶς ἐφθέγξατο κατασχεθείσης τῆς γλώσσης, πῶς Ἰωάννης γεννᾶται, καὶ ἡ τοῦ ἀγγέλου ἀπόφασις λύεται· πῶς ἡ τιμωρία ἀπάγεται, καὶ ἡ θεραπεία ἔρχεται. ὁ γὰρ εὐαγγελιστὴς σύντομον τοῦ Ζαχαρίου καὶ Ἐλισάβετ τῆς γυναικὸς αὐτοῦ εἰσάγων τὸ κήρυγμα, πρότερον τὰς προσηγορίας αὐτῶν καὶ τὴν φύσιν καὶ τὴν ἀξίαν σημαίνει. ἔπειτα δὲ πολιτείας ἔπαινον καὶ εὐποιίας τρόπαιον ἐπάγει, ἐν ᾧ καὶ τῆς σιωπῆς κατάκρισιν δείκνυσι καὶ τῆς εὐγλωττίας τὴν λύσιν γνωρίζει. καὶ ἄκουε τῶν εὐαγγελικῶν ἐντεῦθεν ῥημάτων. Λουκ. α. ζ. Καὶ οὐκ ἦν, φησίν, αὐτοῖς τέκνον, καθότι ἡ Ἐλισάβετ ἦν στεῖρα, καὶ ἀμφότεροι προβεβηκότες ἐν ταῖς ἡμέραις αὐτῶν ἦσαν. καὶ νῦν οὐ μόνον τὴν τούτων ἀτεκνίαν ὁρῶ, ἀλλὰ καὶ τὴν ἀρχαίαν εἰκόνα τῶν δικαίων ἐννοῶ, Ἀβραὰμ λέγω καὶ Σάρρας, καὶ μανθάνω καὶ στείρωσιν τίκτουσαν ἑτέραν, καὶ παιδοποιίαν χάριτος καὶ φύσεως, ξένον τεκνολογίας μυστήριον. ἔστι γὰρ καὶ τῆς ἐπαγγελίας ὁ τρόπος ταύτης. Λουκ. α. ια. Ὤφθη δὲ αὐτῷ ἄγγελος Κυρίου ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος. καὶ ἐταράχθη Ζαχαρίας ἰδών, καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτόν. Εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγγελος· μὴ φοβοῦ, Ζαχαρία· διότι εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην. καλὸν τῆς ἐπαγγελίας τὸ κλῆμα, μέγα τῆς ὀπτασίας τὸ δῶρον· ἀληθῶς Ἀβραμιαῖον τὸ καύχημα. ὡς γὰρ ἐκείνῳ ἡ σύλληψις τῆς Σάρρας, οὕτω καὶ τούτῳ προκατήγγελται τῆς Ἐλισάβετ ἡ κύησις.

ἀλλ' ἡ μὲν παῤῥησις ἴση, οὐκ ἴση δὲ τῶν πραγμάτων ἡ τάξις. τοῦ γὰρ Ἀβραὰμ μηδὲν ἐκ τῆς ἐπαγγελίας πεπονθότος δεινόν, ἄφωνος μετὰ τὸν εὐαγγελισμὸν Ζαχαρίας εὑρίσκεται, πιστῷ ἀγγέλῳ μὴ πιστεύσας, καὶ σιωπὴν τὴν τιμωρίαν δεξάμενος. Εἶπε δέ, φησι, Ζαχαρίας πρὸς τὸν ἄγγελον· κατὰ τί γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς. τί τοῦτο, δέσποτα; ἐγὼ τὰς ἱκεσίας προσάγω τῷ Θεῷ, ὑπὲρ παντὸς τοῦ λαοῦ ἐξιλασκόμενος, καὶ αὐτὸς υἱόν μοι τέξειν εὐαγγελίζῃ; τοῦτο ἀδύνατόν ἐστι. τὸ γὰρ γῆρας ἀσθενές, καὶ ἡ φύσις ἄτονος, καὶ ἡ ἐμὴ σύζυγος πέτρα ἐστὶν ἄγονος· καὶ πῶς ἔσται μοι τοῦτο; ὅμως εἰ καί, ὡς εἴρηκας, γενήσεταί μοι υἱός, τίς ἔσται ὠφέλεια ἐξ αὐτοῦ τῷ λαῷ; ὁ δὲ ἄγγελος· μεγάλη ἔσται σωτηρία δι' ἐκείνου τῷ λαῷ καὶ πᾶσι τοῖς ἔθνεσιν. αὐτὸς γὰρ ἐπιστρέψει πάντας ἀπὸ τῆς πλάνης, καὶ ὑποδείξει αὐτοῖς τὴν ὁδὸν τῆς σωτηρίας, μεσίτης γενόμενος Θεοῦ καὶ ἀνθρώπων. καὶ γὰρ προπορεύσεται ἐν πνεύματι καὶ δυνάμει Ἡλίου, καὶ προφήτης ὑψίστου κληθήσεται. οὗτος προπορεύσεται δὲ πρὸ προσώπου Κυρίου λέγων· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. ὁ δὲ Ζαχαρίας ἀνταποκριθεὶς εἶπε πρὸς τὸν ἄγγελον· κατὰ τί γνώσομαι τοῦτο; εἶπε δὲ ὁ ἄγγελος· ἐπειδὴ σημεῖον ἐπιζητεῖς τοῦ τόκου, καὶ τοῖς ἐμοῖς ἀπιστεῖς λόγοις, λάβε ἐνέχυρον ἀσφαλές· ἐγώ εἰμι Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ, καὶ ἀπεστάλην λαλῆσαι πρὸς σέ, καὶ εὐαγγελίσασθαί σοι ταῦτα. καὶ ἰδοὺ ἔσῃ σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι ἄχρι ἧς ἡμέρας γένηται ταῦτα, ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν. ἀνένδοτος ἡ δίκη τῷ πλημμελήσαντι, καὶ ἀνυπέρθετος ἡ τῆς τιμωρίας ὀργή. οὐκ ἔδει γὰρ ἀληθῶς ἀπιστηθῆναι τὸν ἄγγελον, οὐ τὸ θυσιαστήριον εὐκαταφρόνητον ἔχειν, οὐ τὸν καιρὸν τοῦ θυμιάματος καιρὸν ἀπάτης λογίσασθαι. ὁ γὰρ ἄγγελος θυμιῶντι αὐτῷ ὤφθη. οὐ τῆς Ἀβραὰμ ἱστορίας ὑπεμνήσθη. καὶ τότε γὰρ στεῖρα καὶ γῆρας παιδοποιεῖ, καὶ εὔπιστα πανταχοῦ τὰ λεγόμενα ἐδείχθη. εἶχε γὰρ τῆς τοιαύτης τεκνογονίας τὸ θαῦμα. ὅθεν ὁ ἄγγελος πρὸς αὐτόν· ἔσῃ, φησί, σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι ἄχρις ἧς ἡμέρας γένηται ταῦτα, ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς ἐμοῖς λόγοις. ὢ τῆς φιλανθρώπου τιμωρίας, διόρθωσιν μᾶλλον ἐργασαμένης. αὐτὴν γὰρ ὁ ἄγγελος τὴν σφαλεῖσαν φωνὴν σωφρονίζει. ἐξελθὼν γὰρ οὐκ ἠδύνατο λαλῆσαι αὐτοῖς· καὶ ἐπέγνωσαν ὅτι ὀπτασίαν ἑώρακεν ἐν τῷ ναῷ. καὶ αὐτὸς ἦν διανεύων αὐτοῖς, καὶ διέμενε κωφός. καλῶς γὰρ καὶ τό, ἔμενεν, ὁ εὐαγγελιστὴς συνεγράψατο. παρέμενε γὰρ ἡ σιωπὴ τίκτουσα τὴν φωνήν, ὁ Ζαχαρίας τὸν Ἰωάννην, ὁ πρεσβύτης τὸν παῖδα. ὢ τοῦ θαύματος. λόγος ἐπιδημεῖ, καὶ ἡ φωνὴ προκηρύττει· δεσπότης ἔρχεται, καὶ δοῦλος προαποστέλλεται. ἀλλὰ τί νῦν προλαβὼν τὸ τῆς ἐρήμου κήρυγμα λέγω, ἔχων ἑτέραν ξένην τινὰ καὶ μεγάλην τὴν προοιμίων φωνήν; ἔργα γάρ ἐστι πρόσφατα, τούτων τῶν ῥημάτων ἀνώτερα. ἔτι γὰρ ὁ βαπτιστὴς οἰκῶν ἐν τῇ γαστρὶ τῆς μητρός, ἔτι τοῖς τῆς φύσεως δεσμοῖς κατεχόμενος, ἔτι τοῖς μητρικοῖς σπαργάνοις ἐνειλημμένος, κηρύγματι τὴν τοῦ δεσπότου βοᾷ παρουσίαν. Ἐγένετο γάρ, φησιν, ὡς ἤκουσε τὸν ἀσπασμὸν τῆς Μαρίας ἡ Ἐλισάβετ, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς. οὔπω γεννᾶται, καὶ τοῖς σκιρτήμασι φθέγγεται· οὔπω βοᾶν συγχωρεῖται, καὶ δι' ἔργων ἀκούεται· οὔπω μανθάνει τὸν βίον, καὶ τὸν Θεὸν προκηρύττει. ὄντως ἄλλοι κεκοπιάκασι, καὶ ἡμεῖς εἰς τοὺς κόπους αὐτῶν εἰσεληλύθαμεν. προεβόων οἱ προφῆται, καὶ οὐκ ἐσίγων τυπτόμενοι· πατριαρχῶν κατάλογος ἐκινδύνευεν, ἀντιπαρετάττοντο τύραννοι, βασιλεῖς ἐπολέμουν, ὠργίζετο δῆμος, ὁ κόσμος ὅλος ἀντηγωνίζετο τοῖς τῶν δικαίων ἀγῶσιν. ἔνθεν προσήγοντο βήμασι, κἀκεῖθεν κατεξέοντο ταῖς μάστιξι· πανταχόθεν κολαστήρια καὶ στρεβλώσεις. ἀλλ' ἐν τοιαύτῃ κατηφείᾳ βίου τυγχανόντας λύσιν τοῦ χειμῶνος εὐαγγελιζόμενος ὁ Ἰωάννης, δεδεμένος ἐπὶ τοῖς σπαργάνοις τῆς φύσεως, τὸ σωτήριον ἔαρ ὑπέδειξεν ἡμῖν· καὶ σπεύδων κη-

Λουκ. α. ιγ.

Ἰωάν. α. κθ.

Λουκ. α μα.

γρ. ἐνεός.

ἐνειλη-μένος,

κατεξαί-νετο

ῥύξαι τῇ φωνῇ, ὃ ἐμήνυσε τοῖς ποσὶν αὐτοῦ, ἐβιάζετο τοὺς ὅρους τῆς φύσεως. βραδυτοκοῦσαν γὰρ τὴν Ἐλισάβετ ἐσόβει, ἐσκίρτα· ὁμοῦ τε χορεύων καὶ δυσχεραίνων, ἐφ᾽ οἷς ἐπὶ τῆς νηδύος κεκράτητο, τῆς περιόδου τὴν μονὴν κατεβόα, ὡς ἄδικον φυλακὴν τὴν μήτραν ἐπίνασε, καὶ ἐβόα τοῖς σκιρτήμασι, τοιαῦτα πρὸς τὴν Ἐλισάβετ φθεγγόμενος· ἀδικεῖς, ὦ μῆτερ, βραδυτοκοῦσα, τῆς οἰκουμένης τὴν χαρὰν συνέχουσα, καὶ τὸν πρόδρομον κωλύουσα. προφήτην ἐγγάστριον φέρεις, βασιλικὸν στρατιώτην κατέχεις, συμποδίζεις τὸν ταχυδρόμον τῆς εὐσεβείας· ἀδικεῖς, ὦ μῆτερ· οὐκ οἶδας τὸ μέλλον, ἀγνοεῖς τὰ ἐσόμενα. τὸ φῶς παραγίνεται, τὸν ὄρθρον ἀπόλυσον· ἀνατέλλει ὁ ἥλιος, ὁ ἑωσφόρος προλαμπέτω· ἐπὶ θύραις ὁ λόγος, καὶ χρεία τῆς φωνῆς· ἐγγὺς ὁ νυμφίος, καὶ δίκαιον ἀπλωθῆναι τὸν θάλαμον ἐν τῷ Ἰορδάνῃ· αἵματος χρεία ἐξαγοράζοντος τὸν κόσμον, καὶ χρή με πόρρωθεν τὸν ἀμνὸν ὑποδεῖξαι. σπαργανοῦται τὸ γένος ταῖς ἁμαρτίαις, ἦλθεν ὁ λύων τοὺς πεπεδημένους· χρεία κλήτορος, ἵνα πάντες μαθόντες ἀπαντήσωσι τῷ δεσπότῃ, καὶ ἰδοὺ κρατεῖς ἐν μήτρᾳ τὸν πρόδρομον. οὐκοῦν ἐννόησον, μῆτερ, τὸν Ἀδὰμ κρατούμενον ἐν τῷ ᾅδῃ, τῆς Εὔας τοὺς αἰωνίους στεναγμούς. ἔτι γὰρ κράζει τὸ αἷμα τοῦ Ἄβελ, τὴν κατὰ τοῦ Κάϊν ἐντυγχάνον ἀναίρεσιν· συστενάζει αὐτῷ καὶ αὐτὰ τὰ στοιχεῖα. διὰ τοῦτο πάντως ἀπηλλάγης τοῦ πάθους τῆς ἀτεκνίας, ἵνα μηνύσῃ ὁ ἐκ στείρας τὸν ἐκ παρθένου. διὰ τοῦτο ἐγὼ ἐν τῇ μήτρᾳ ἐσκίρτησα, ἵνα μηκέτι ὀρχήσηται ὁ διάβολος ἐν τῷ κόσμῳ. τοιαῦτα μὲν οὖν μήπω τεχθεὶς ὁ Ἰωάννης πρὸς τὴν Ἐλισάβετ διὰ τῶν σκιρτημάτων ἐσήμαινε. Τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτὴν, καὶ ἐγέννησεν υἱόν. καὶ ἤκουσαν οἱ περίοικοι καὶ οἱ συγγενεῖς αὐτῆς, ὅτι ἐμεγάλυνε Κύριος τὸ ἔλεος αὐτοῦ μετ᾽ αὐτῆς, καὶ συνέχαιρον αὐτῇ. καὶ ἐγένετο ἐν τῇ ὀγδόῃ ἡμέρᾳ ἦλθον περιτεμεῖν τὸ παιδίον, καὶ ἐκάλουν αὐτὸ ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ Ζαχαρίαν. καὶ ἀποκριθεῖσα ἡ μήτηρ αὐτοῦ εἶπεν, Ἰωάννης κληθήσεται. ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ, τὸ τί ἂν θέλοι καλεῖσθαι αὐτό. καὶ αἰτήσας πινακίδιον, ἔγραψε λέγων· Ἰωάννης ἐστὶ τὸ ὄνομα αὐτοῦ· καὶ ἐθαύμασαν πάντες. ἀνεῴχθη γὰρ τὸ στόμα αὐτοῦ παραχρῆμα, καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει εὐλογῶν τὸν Θεόν. ἀμέλει τὸ βρέφος τίκτεται, καὶ ἡ φωνὴ τοῦ πατρὸς ἐπανέρχεται. οὕτω γὰρ δείκνυται βοῶσα ἡ Ἰωάννου φωνή, ὅτι καὶ αὐτὸ τὸ ὄνομα φωνῆς ἐνέργειαν πέφηνεν. Ἐγὼ γάρ, φησι, φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. δεξάμενος γὰρ τὴν ἔλλαμψιν τοῦ ἁγίου πνεύματος, ὑπεδείκνυε τὸν ποιητὴν τοῖς ποιήμασι, καὶ τὸν πλάστην ἐδακτυλοδείκτει τοῖς πᾶσι, μεγαλοφώνως βοῶν· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς, πατέρα ἔχομεν τὸν Ἀβραάμ. λέγω γὰρ ὑμῖν, ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. ἀλλὰ τί τῷ θερμῷ ζήλῳ τοῦ βρέφους καὶ ὁ ἡμέτερος συνεκτείνεται λόγος; ἐπίσχωμεν, εἰ δοκεῖ, νῦν τέως τὴν γλῶτταν, ἀρκούντως μετὰ τοῦ βρέφους σκιρτήσασαν. καλὸν γὰρ συμμετρεῖν τῷ καιρῷ τὴν ἐξήγησιν, καὶ ἐντρυφᾶν μὲν τοῖς εἰρημένοις, περιμένειν δὲ καὶ τὴν τῶν καθεξῆς θεωρίαν. οὔτε γὰρ τοὺς ὅρους τῆς φύσεως ὁ βαπτιστὴς ἐβιάσατο τῷ σκιρτήματι, ἀλλ᾽ ἔμεινε καὶ αὐτὸς τὸν προσήκοντα χρόνον, εἰδὼς ὅτι καὶ τοῦτο δι᾽ ἡμᾶς μετ᾽ αὐτὸν πληρώσει ὁ δεσπότης βοῶν· Πλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας· καὶ ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν δεδόξασταί μου τὸ ὄνομα, καὶ ἐν παντὶ τόπῳ προσφέρεται τῷ ὀνόματί μου θυσία καθαρά. οὐκ ἔτι γὰρ κατὰ τὸν νόμον εἷς ναός ἐστιν ὁ δεχόμενος τὰς θυσίας, ὁ σεμνυνόμενος ἐπὶ ταύταις· ἀλλὰ κατὰ πᾶσαν τὴν οἰκουμένην ἐκκλησίαι εἰλικρινῶς τῷ Θεῷ δόξαν ἀναπέμπουσιν. ἐκεῖ ἱερεὺς ἦν εἷς τοῦ ἐνιαυτοῦ, θνητός, καὶ πάσης ἁμαρτίας πεπληρωμένος· νῦν ἐλάβομεν τῶν ἡμετέρων ψυχῶν ἀρχιερέα Ἰησοῦν Χριστόν, ὃς ἁμαρτίαν οὐκ ἐποίησε, καὶ οὐχ εὑρέθη δόλος ἐν

Λουκ. α. μζ.

Ιωαν. α. κγ.

Ματθ. γ. η.

τῷ στόματι αὐτοῦ. ἔχομεν γάρ, φησιν, ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανούς, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ πατρί, καὶ τῷ παναγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ρλ. ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΠΡΩΤΟΜΑΡΤΥΡΑ ΚΑΙ Ἀπόστολον Θέκλην ἐγκώμιον.

Ex edit. Ducai Burdeg.

Καλὰς ἡμῖν ἡ τοῦ πνεύματος χάρις τῶν ἁγίων εἰκόνας, τὰς ἐτησίους αὐτῶν ἀνεστήσατο μνήμας, καὶ χρόνῳ τὰς πράξεις ἐρχομένας εἰς λήθην νεαρὰς διηνεκῶς διασώζει. ἕκαστος γὰρ ὥσπερ εἰκόνι τινὶ ἐντυγχάνων τῇ μνήμῃ, ὃ τῶν πράξεων κατοπτρίζεται κάλλος, καὶ θεωρεῖ τὰς πράξεις τῇ τῆς μνήμης ἐγκειμένας εἰκόνι. καί μοι δοκῶ σήμερον τὴν μακαρίαν ἐκείνην κατοπτρίζεσθαι κόρην, καθάπερ ἐπ' εἰκόνος ἑστηκυῖαν τῆς μνήμης, καὶ τῇ μὲν τὸν καθ' ἡδονῶν, τῇ δὲ τὸν κατὰ κινδύνων ἀνατείνουσαν στέφανον· καὶ τῇ μὲν τὴν παρθενίαν, τῇ δὲ τὸ μαρτύριον τῷ τῶν ὅλων δεσπότῃ προσφέρουσαν. ἦν μὲν οὖν αὐτῇ καὶ τὰ τῆς παρθενίας, ἃ τοῖς ἀκριβῶς σκοπουμένοις μέγα τι πρὸ μαρτυρίου μαρτύριον. αἱ γὰρ ἡδοναὶ δεινοί τινες τοῦ σώματος δήμιοι· μᾶλλον δὲ δημίων δεινότεροι. κατατείνουσι γὰρ ἀχειροποιήτοις δεσμοῖς· ξέουσι τὴν ψυχὴν δι' ὀμμάτων· προσφέρουσι δι' ἀκοῶν τὴν τῆς γνώμης ἀνενδότῳ φιληδονίας λαμπάδα· μαστίζουσι δριμείᾳ τὴν διάνοιαν μάστιγι· ἄλλας ἐπ' ἄλλαις κυκῶσι καθ' ἡμῶν παρατάξεις. ὅταν τις τοῖς ὀφθαλμοῖς παραγγείλῃ τετυφλῶσθαι πρὸς κάλλη, παρανοίγουσι δὲ κλεισθὲν ἡδοναὶ δι' ὤτων, ἀσελγέσιν ἐκλυόμενοι ᾠδαῖς. ὅταν ἐντύχωσιν ὠσὶ πρὸς ᾠδὰς πορνικὰς κεκλεισμένοις, προσπαίζουσι τοῖς λογισμοῖς ἀσελγῶς κοσμηθεῖσαι. ὅταν αὐτὰς διὰ πάντων, συντόμως εἰπεῖν, ἐγρηγορότες νικήσωμεν, κοιμωμένοις σκιαμαχοῦσι· καὶ τῆς παρατάξεως τοῦ αὐταῖς ὁ κύκλος ἀΐδιος, οὐχ ἡλίῳ συνεξιστάμενος, οὐ συνησυχάζων νυκτί. ἂν δὲ δὴ καὶ νεότητος λάβωνται, πυρὸς γέγονε πρὸς πῦρ συμπλοκή, καμίνου πρὸς καλάμην συνάφεια. εὐκατάπρηστος γὰρ ἡδοναῖς ἡ νεότης, ὡς ἐλαιωδεστέρα πρὸς ἔξαψιν, ὡς πρὸς πόνους σωφροσύνης τρυφερωτέρα. ἃ δὴ πάντα τῇ μακαρίᾳ παρθένῳ μακρόν τι μαρτύριον τὴν παρθενίαν εἰργάζετο, πυκτευούσῃ ταῖς ἡδοναῖς, ὡς ὁ μάρτυς θηρίοις, παλαιούσῃ τοῖς λογισμοῖς, ὡς ἐκεῖνος βασάνοις, συμβαλλούσῃ φιληδονίας ἐννοίαις, ὡς ἀνάγκαις δημίων· νικώσῃ δὲ ὅμως τὸν πολύτροπον τοῦτον καὶ σύνοικον πόλεμον. τοῦ γὰρ τῆς φύσεως πυρὸς ὁ τῆς γνώμης αὐτῇ πυρωδέστερον καὶ ἅγιον. ἀλλ' ἡ μὲν φύσις παρεχώρει τῇ κόρῃ, καὶ τυραννοῦσα παρ' ἄλλοις καὶ λυττῶσα πρὸς μίξιν, παρὰ Θέκλᾳ παρθενίαν ἐξήσκει· οἱ γονεῖς δὲ τὰς πρὸς τὴν παρθενίαν τῆς παιδὸς οὐκ εἰδότες συνθήκας, οὐδὲ τῆς πρὸς αὐτὴν νυμφαγωγίας τὸν δεσπότην Χριστὸν ἐξ οὐρανοῦ δεξιὰν δεδωκότα, πολλὰς αὐτῇ περὶ γάμου νουθεσίας ἐμακρολόγουν. ἡ Παύλου δὲ ἄρα ταῖς τῆς κόρης ἀκοαῖς ἐπῳδὴ προσενήχει, Ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, ἵνα ᾖ ἁγία καὶ σώματι, καὶ πνεύματι. στέφανος τῆς παρθενίας εὐθύς· αὐτὸς αὐτῇ πρῶτος τῆς μερίμνης ὁ τρόπος. μεριμνᾷ γὰρ εὐλογίας ἀνάμεστον μέριμναν· μεριμνᾷ πάσης ἀμεριμνίας ἐλευθερωτέραν φροντίδα, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι. οὐδὲν αὐτῇ κοινὸν πρὸς τὴν γῆν· οὐδεμία πρὸς γαμικὰς ἀνάγκας συγγένεια· οἷον, πορνεύοντος ἀνέχεσθαι νυμφίου, ὑποψίας ματαίας ὑπενεγκεῖν, ἐξουσίαν χρησίμων ἀφῃρῆσθαι προσόδων, περὶ τροφῆς διευθύνεσθαι, κοσμουμένην ζηλοτυπεῖσθαι, διαλύεσθαι πρὶν τέκῃ, καθάπερ ὑπὸ γαμετὴν γινομένην· τεκοῦσαν, ὑπὲρ τῶν τόκων εὑρίσκειν ἐγκλήματα. ἐτέχθη τις θήλεια; ὅτι μὴ ἄρρεν, ὁ ἀνὴρ σκυθρωπάζει. προσετέθη καὶ ἄρρεν; ἐπειδὴ τὸ τεχθέν, ὡς οὐκ

α. Κορ. ζ. λδ.

ἰσ. ἐτέχθη

εὔμορφον. χαρίεντα πρὸς κάλλος ἀμφότερα; ὡς ὑπὲρ καλῶν ἡ φροντὶς πικροτέρα.
ἀπηλλάγησαν γάλακτος; διεδέξατο πάλιν ἡ διὰ τροφῆς ἀγωνία. ὅταν ὑγιαίνωσι, μὴ νοσήσωσι
φόβος· ὅταν νοσήσωσι, δειλία μὴ τελευτήσωσιν· ὅταν τελευτήσωσιν, ὡς ἐπ' ἀτέκνῳ
λοιπὸν ἔσεσθαι καταφρόνησιν φόβος· ὅταν μὴ τελευτήσωσιν, ὡς ὑπὲρ ζώντων ἡ φροντὶς
βαρυτέρα, πόθεν εἰς παίδευσιν χορηγία τοῖς τέκνοις, πόθεν αὖθις γαμικοῦ παρασκευὴ συναλλάγματος,
πόθεν ἐσθημάτων εὐσχημοσύνη, πόθεν οἰκετῶν ἑκάστῳ διανομή, ποία τῶν ὄντων
προσνείμῃ τῷ μείζονι, πῶς τὸν μικρότερον θεραπεύσει φθονοῦντα. ἡ ἄγαμος μεριμνᾷ
τὰ τοῦ Κυρίου, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι. οὐ τοῦ γάμου στηλιτεύω τὴν φύσιν (πρόνοια
γὰρ ἐστὶ τοῦ γένους κοινή) ἀλλὰ τῶν ἐν γάμῳ δημοσιεύω τὴν μέριμναν. μερίμνης σαρκικῆς
οὐράνιον προτίθημι μέριμναν· κάλλιον καλοῦ προτιμῶ· κρείττων καὶ τῶν κατὰ τῆς
Γεν. ϛ. ι. Εὔας ἡ παρθένος προστίμων. ὃ γάρ, Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει,
ταῖς παρὰ ἀνδρῶν μὴ δεσποζομέναις ἀνίσχυρον· ὅ, Ἐν λύπαις τέξῃ τέκνα, ταῖς παρθενευούσαις
ἀργόν. ἡ γὰρ μὴ τίκτουσα τῆς τῶν λυπηρῶν ὠδίνων ἐκτὸς ἀποφάσεως. ἤδη τῆς τῶν
μελλόντων ἡ παρθένος ἐντρυφᾷ ἀρραβῶσιν· ἤδη τῷ τῆς ἀναστάσεως ἁγιασμῷ συνοικεῖ.
Ματθ. κβ λ. Ἐν γὰρ τῇ ἀναστάσει, φησίν, οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται. διὰ τοῦτο καὶ τὸ πτῶμα τοῦ
πράγματος πάμμεγα, ἐπειδήπερ καὶ τὸ κατόρθωμα. διὰ τοῦτο τῆς παρθενευομένης ἢ τῆς
πορνευομένης ἀσέλγεια μιαρωτέρα. οὐ γὰρ ἴσον παρθενευομένης καὶ πορνευομένης φθορά·
οὐκ ἴσον ἰδιώτιδος καὶ βασιλίδος φθορά· οὐκ ἴσον σκεύους ἱερατικοῦ καὶ ἀγοραίου κλοπή.
σκεῦος γὰρ ἱερατικόν, ἡ παρθένος· πορφυρίς, ἣν οὐκ ἔξεστιν ἄλλῳ, πλὴν τῷ τῶν ὅλων βασιλεῖ
προσαρμόσασθαι· νύμφη γάμον ἀεὶ κεκτημένη παρθένον. ὦ μακαρίων γάμων, ὧν ἡ στρωμνὴ
παρθενία. ὑπὲρ τούτων τῆς μακαρίας οἱ κίνδυνοι μάρτυρες. εἶδε γὰρ τοῦ νυμφίου τὸ κάλλος,
καὶ τῆς θέας οὐκ ἀπεσπάσατο. ἐπέκειτο μήτηρ πρὸς γάμον ἐπείγουσα, ἡ δὲ πρὸς τὸν ἐν τοῖς οὐρανοῖς
Ψαλ. ρκβ. α. διεβόα νυμφίον· Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ. ἐπεφοίτα
Ψαλ. ξβ θ. μνηστὴρ διαλέξει γαμικῇ γαργαλίζων· ἡ δὲ τῷ Χριστῷ καθ' ἑαυτὴν συνετάττετο,
ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, λέγουσα. συνέρρεον συγγενεῖς κολακεύοντες, ἡ δὲ διαμαρτυρομένη
β Κορ. β. ια. ἐφαντάζετο Παῦλον· Ἡρμοσάμην σε ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ
Ρωμ. η. λε. Χριστῷ· ἱκέτευον οἰκέται σὺν δάκρυσιν, ἡ δὲ προσῇδεν ἐρωτικῶς τῷ νυμφίῳ· Τίς ἡμᾶς χωρίσει
ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; ἐφόβουν δικασταὶ τιμωρίαις, ἡ δὲ φρονήματι πάσας κατεπάτει
Ρωμ. ιγ γ. βοῶντι· Οἱ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων, ἀλλὰ τῶν κακῶν. ὡς
δὲ εἶδε κἀν ταῖς ὁδοῖς παρθενίας ἀνδριάντας ἀναστῆναι τῇ μάρτυρι, γίνεταί τι τοιοῦτον τῇ παιδὶ
πειρατήριον. ἀφεμένη τῆς κρίσεως τὴν Παύλου μετεδίωκε θήραν, καὶ ταῖς φήμαις ὁδηγουμένη
κατεθάρρει καὶ ὁδῶν ἀγνουσῶν ἐπὶ Παῦλον. ἐτήρει δὲ ἄρα τὴν κόρην διάβολος,
καὶ τηρήσας ὁδοιποροῦσαν ἐπιστρατεύει τὸν μνηστῆρα τῇ κόρῃ, τῆς παρθενίας ὡς ἐν ἐρημίᾳ ληστήν.
καὶ δὴ πληρούσῃ τὴν ὁδὸν τῇ γυναικὶ ἱππόπορνος κατόπιν ὁ μνηστὴρ ἐφιππεύων ἐπωλόλυζε
σύλληψιν· ἄπορος πανταχόθεν στενοχωρία· ὁ πολέμιος ἰσχυρός, ἡ πολεμουμένη σαθρά.
ποῦ τις ἐν ἐρημίᾳ καταφυγῆς καταφυγή; στραφεῖσα δὲ πρὸς οὐρανὸν ἡ παρθένος,
Ψαλ. ξ. β. πρὸς τὸν πᾶσι πανταχοῦ τοῖς καλοῦσι παρόντα σὺν οἰμωγαῖς ἀνωλόλυζε· Κύριε ὁ Θεός μου,
ἐπὶ σοὶ ἤλπισα.

ἀτελής.

Λογ. ρλα. ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΠΟΣΤΟΛΟΝ ΘΩΜΑΝ.

Ex Ms. Bauar. castigato ad edit. Rom. & Ms. Palatinum.

Εὐλογητὸς ὁ Θεός· ἥκω τὸ χρέος ἀποδώσων ὑμῖν, ὦ φίλοι, χρέος καὶ μὲ τὸν ἀποδιδόντα πλουτίζον, καὶ ὑμᾶς τοὺς ἀπολαμβάνοντας ὠφελοῦν. πάρειμι πάλιν ἀποδείξων τὸν Θωμᾶν, παρὰ μὲν τὴν ἀρχὴν ἀπιστοῦντα τῇ τοῦ σωτῆρος ἀναστάσει, ὕστερον δὲ μετὰ τὴν ὄψιν καὶ τὴν ἀφὴν πιστεύοντα τῷ Χριστῷ, καὶ Κύριον αὐτὸν καὶ Θεὸν ὀνομάζοντα. συντείνατέ μοι τοίνυν τὰς ὑμετέρας διανοίας, παρακαλῶ, [καθικετεύσατε τὸν Θωμᾶν, ἵνα τὴν ἁγίαν αὐτοῦ δεξιὰν τὴν ἁψαμένην τῆς τοῦ δεσπότου πλευρᾶς τοῖς ἐμοῖς χείλεσιν ἐπιθεὶς, νευρώσῃ μου τὴν γλῶτταν πρὸς τὴν ἐξήγησιν τῶν ποθουμένων ὑμῖν,] καὶ μετὰ γαλήνης τῶν εὐτελῶν μου ῥημάτων ἀνάσχεσθε, ἵνα μικράν γοῦν τινα τὴν ἐξ αὐτῶν ὠφέλειαν καρπώσησθε. τοῦ σωτῆρος ἤδη * διαρρήξαντος τὴν παμφάγον γαστέρα τοῦ ᾅδου, καὶ γενομένου πρωτοτόκου τῶν νεκρῶν, καὶ διὰ τῶν κεκλεισμένων θυρῶν εἰσελθόντος πρὸς τοὺς ἑαυτοῦ μαθητὰς, Θωμᾶς, ὁ λεγόμενος Δίδυμος, οὐκ ἦν μετ' αὐτῶν. βαβαὶ τοῦ θαύματος· ὁ ποθούμενος παρεγένετο, καὶ ὁ ποθῶν ἀπελιμπάνετο· ὁ ποιμὴν ὁ καλὸς ἐπέστη τῇ ποίμνῃ, καὶ τὸ πρόβατον ἔξω [τῆς ποίμνης, μᾶλλον δὲ] τῆς μάνδρας ἐπλανᾶτο· ὁ βασιλεὺς τῶν οὐρανῶν παρὼν ἐπεδήμησε, καὶ ὁ στρατιώτης πόρρω τοῦ θείου στρατοπέδου διετέλει. ἦν δὲ ἄρα καὶ τοῦτο τῆς θείας οἰκονομίας μυστήριον, τὸ μὴ παρεῖναι τὸν Θωμᾶν τότε. εἰ γὰρ παρῆν, οὐκ ἂν ἠμφισβήτησεν· εἰ δὲ μὴ ἀμφέβαλεν, οὐκ ἂν ἐψηλάφησεν· εἰ δὲ οὐκ ἐψηλάφησεν, οὐκ ἂν οὕτως ἐπίστευσεν· εἰ δὲ μὴ οὕτως ἐπίστευσεν, οὐκ ἂν ἡμᾶς οὕτω πιστεύειν ἐδίδαξεν. ὥστε καὶ ἡ ἀπιστία τοῦ μαθητοῦ τῆς ἡμετέρας πίστεως μήτηρ γεγένηται. διὰ τοῦτο γὰρ καὶ ἡμεῖς μὴ βλέποντες τὸν Χριστὸν, προσκυνοῦμεν αὐτὸν, ἐπειδήπερ ἐκεῖνος ἰδὼν αὐτὸν προσεκύνει· διὰ τοῦτο μὴ ψηλαφοῦντες τὸν ἀψηλάφητον, ἀνυμνοῦμεν αὐτὸν, ἐπειδήπερ ἐκεῖνος ταῖς οἰκείαις χερσὶ κρατήσας τὸν δεσπότην ἀνύμνησε λέγων· Ὁ Κύριός μου, καὶ ὁ Θεός μου. ἔλεγον οὖν οἱ ἄλλοι μαθηταὶ τελευταῖον παραγενομένῳ τῷ Θωμᾷ, ἑωράκαμεν τὸν Κύριον, ἑωράκαμεν τὸν εἰπόντα, μετὰ τρεῖς ἡμέρας ἐγείρομαι, καὶ τὴν ἀλήθειαν τῶν ῥημάτων ἐκ τῶν πραγμάτων εὑρήκαμεν· ἑωράκαμεν τὸν εἰπόντα, ἐγώ εἰμι ἡ ἀνάστασις, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή· καὶ τὴν ἀνάστασιν καὶ τὴν ἀλήθειαν καὶ τὴν ζωὴν ἐκ τῆς ζωῆς ἐδεξάμεθα· ἑωράκαμεν τὸν εἰπόντα, ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν· καὶ τὴν ἐξουσίαν αὐτοῦ ἐπὶ πράγματι παρειλήφαμεν. ἐπέστη γὰρ ἀθρόως ἡμῖν ὁ σωτὴρ, τοῦ δωματίου τὰς θύρας μὴ διελών· ἡμεῖς δὲ πρὸς τὴν ξένην αὐτοῦ ἐπιστασίαν, ὡς εἰκὸς, ἐκπλαγέντες ἐθαυμάσαμεν τὸν τοιαύτην εἴσοδον καινουργήσαντα. [ἠκούσαμεν αὐτοῦ πρὸς ἡμᾶς εἰπόντος, Εἰρήνη ὑμῖν, καὶ τὴν ζάλην τῆς λύπης πρὸς γαλήνην εὐφροσύνης ἐστρεψάμεθα.] εἴδομεν αὐτοῦ τὰς χεῖρας, ἐν αἷς ἐδέξατο τὰς τῶν ἥλων ἀκμὰς, καὶ τὰς τῶν ἀνθρώπων ἁμαρτίας ἐξήλειψεν· εἴδομεν αὐτοῦ τὰς χεῖρας, "δι' ὧν τὸν θάνατον συνέτριψε, καὶ τὴν ἀνάστασιν πᾶσιν ἀνθρώποις" ἔφυσεν *· εἴδομεν αὐτοῦ καὶ τὴν ἁγίαν πλευρὰν τὴν τρωθεῖσαν ὑπὲρ ἡμῶν, καὶ βλύσασαν αἷμα καὶ ὕδωρ, τοὺς δύο τῆς ἡμετέρας σωτηρίας κρουνούς· [ὑπεδεξάμεθα καὶ φύσημα θεῖον ἐκ τοῦ θείου στόματος αὐτοῦ, φύσημα πνευματικὸν, φύσημα πάσης χάριτος χορηγόν. ἐχειροτονήθημεν ἐκ τοῦ δεσπότου δεσπόται τῆς τῶν πλημμελημάτων ἀφέσεως, ἐγενόμεθα καὶ κύριοι τῆς τῶν ἁμαρτωλῶν κρίσεως, τοιοῦτον ῥῆμα παρ' αὐτοῦ δεξάμενοι σύνθημα, Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται. τοιούτων λόγων τοῦ σωτῆρος κατετρυφήσαμεν, τοιούτων δωρεῶν ἀπηλαύσαμεν (οὐ γὰρ ἐνῆν ἡμᾶς ἀπολαῦσαι, καὶ μὴ πλουτῆσαι τοιούτῳ δεσπότῃ περιτυχόντας) σὺ δὲ μόνος πτωχὸς ἔμεινας μὴ παρών.] καὶ πρὸς αὐτοὺς εὐθέως ὁ Θωμᾶς ὑπολαβὼν ἔφη· ὑμεῖς τὸν Κύριον ἐθεάσασθε; ἐγὼ μόνος ἀνάξιός εἰμι τῆς θέας αὐτοῦ; οὐχ ὡς ἐκλήθητε, κέκλημαι; οὐχ ὡς ἐτιμήθητε,

Ioan. κ. κδ.

Ioan. κ. κγ.

γρ. ἰδοὺ πάλιν ἰδοὺ πτ, ἰδοὺ πάλιν σωτηρία ψυχῶν ἥκω

γρ. ὅρασιν

* ἄρδην

γρ. ἔξω τ' ἐρ- [illegible]

γρ. μαθηταῖς

γρ. ἐν αἷς

γρ. [illegible]

* ἰκμὸς ζω- οδότης.

Ἰωάν. κ. κε.

Ματθ. ζ. ζ.

* ὡς

* ὡς ποθεῖς.

χ. [illegible]

θῆτε, τετίμημαι περὶ αὐτοῦ; οὐχ ὡς εἴδετε ἐσταυρωμένον αὐτόν, οὕτως εἶδον κἀγώ; * εἶδον μεθ' ὑμῶν τὰ στυγνά, θέλω καταμαθεῖν καὶ τὰ φαιδρά. ὡς εἶδον τὴν νέκρωσιν τοῦ Χριστοῦ, θέλω καὶ τὴν ἀνάστασιν αὐτοῦ κατιδεῖν. Ἐὰν γὰρ μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω. [ἀλλ' ὑμεῖς οὐκ ἂν ἐπιστεύσατε, εἰ μὴ πρότερον ἐθεάσασθε· οὕτω κἀγώ, ἐὰν μὴ ἴδω, οὐ μὴ πιστεύσω.] ἐπίμεινον, ὦ Θωμᾶ, ἐπίμεινον τῇ καλῇ σου ἀπιστίᾳ ταύτῃ, σπουδαίως ἐπίμεινον, ἕως ἂν κρατήσῃς τῆς πίστεως τὴν ἄγκυραν· ἐπίμεινον τῷ τοιούτῳ πόθῳ σφοδρότερον, ἕως ἂν θεάσῃ τὸν ποθούμενον*. φιλῶ σου τὴν διχόνοιαν τῶν λογισμῶν, ὡς πᾶσαν διχόνοιαν τέμνουσαν· ἐπαινῶ σου τὸν φιλόνεικον καὶ φιλέλεγχον τρόπον, ὡς πᾶσαν φιλονεικίαν [αἱρετικῶν] ἐκκόπτοντα. ἀπίστησον, ἀπίστησον ἔτι καὶ μᾶλλον, ἵνα πιστεύσω βεβαίως ἐγώ. ζήτησον τὸν Κύριον, καὶ κάλεσον τὸν παρόντα, ἵνα σοῦ ζητοῦντος αὐτὸν καὶ καλοῦντος, ἐγὼ περιπτύξωμαι τὸν ἐμὸν λυτρωτήν. [ἐπίμεινον ζητῶν τὸν εἰπόντα· ζητεῖτε, καὶ εὑρήσετε. μὴ παρέλθῃς ἁπλῶς ἐρευνῶν, ἐὰν μὴ εὑρήσῃς, ὃν ζητεῖς θησαυρόν. ἐπίμεινον κρούων τὴν θύραν τῆς ἀναπορρύτου γνώσεως, ἕως ἂν ὑπανοίξῃ σοι ταύτην ὁ εἰπών, Κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. ἡδέως ἀκούω σου πολλάκις λέγοντος, ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, οὐ μὴ πιστεύσω. σοῦ γὰρ ἀπιστοῦντος, ἐγὼ πιστεύειν διδάσκομαι· σοῦ τῇ δικέλλῃ τῆς γλώττης ὀρύττοντος τὰς τοῦ θείου σώματος ἀρούρας, ἐγὼ τὸν καρπὸν ἀπόνως θερίζω καὶ σωρεύω πρὸς ἑαυτόν. ἐὰν μὴ ἴδω τούτοις μου τοῖς ὀφθαλμοῖς τὰς ἐν ταῖς ἁγίαις αὐτοῦ χερσὶν αὔλακας, ἃς ἠροτρίασαν οἱ δυσσεβεῖς, οὐδαμῶς τοῖς ὑμετέροις συντεθήσομαι ῥήμασιν· ἐὰν μὴ βάλω τοῦτόν μου τὸν δάκτυλον εἰς τὰ κοιλώματα τῶν ἥλων, οὐκ ἂν τὸ ὑμέτερον εὐαγγέλιον παραδέξομαι· ἐὰν μὴ κρατήσω ταύτῃ μου τῇ χειρὶ τὴν πλευρὰν ἐκείνην, τὴν αὐτόπιστον μάρτυρα τῆς ἀναστάσεως, οὐχ ἂν τῷ ὑμετέρῳ πιστεύσαιμι δείγματι.]

χ. ὑπολ[illegible]ομαι

Θεάσομαι τοῖς ἐμοῖς ὀφθαλμοῖς τὰ κηρυττόμενα παρ' ὑμῶν (ἐπειδήπερ τῆς ἀκοῆς ἀξιοπιστότεροι μάρτυρες οἱ ὀφθαλμοί) καὶ τότε τὸν ὑμέτερον δέχομαι λόγον. [ἅπας γὰρ λόγος κεκτημένος τὴν ἀπὸ τῶν πραγμάτων συνηγορίαν ἰσχυρὸς ὑπάρχει καὶ βέβαιος· πᾶσα δὲ φωνὴ τῆς ἀπὸ τῶν ἔργων μαρτυρίας ἐστερημένη, ἐστὶν ἐξίτηλος, ἐκ τῶν χειλέων εἰς τὸν ἀέρα χεομένη. μέλλω κηρύττειν τοῖς ἀνθρώποις τοῦ διδασκάλου τὰ θαύματα. πῶς οὖν ἃ μὴ παρέλαβον τοῖς ὀφθαλμοῖς, ταῦτα τοῖς λόγοις ἐξείπω; πῶς πείσω τοὺς ἀπίστους πιστεῦσαι, οἷς οὔτε αὐτὸς τέως παρηκολούθησα; πῶς εἴπω τοῖς Ἰουδαίοις καὶ τοῖς Ἕλλησιν, ὅτι σταυρούμενον τὸν ἐμὸν δεσπότην τεθέαμαι, ἀναστάντα δὲ οὐκ εἶδον, ἀλλ' ἤκουσα; καὶ τίς οὐ γελάσει μου τὴν φωνήν; τίς οὐ διαπτύσει τὸ κήρυγμα; ἕτερον γάρ ἐστιν ἀκοή, καὶ ἕτερον ὄψις, καὶ ἕτερόν ἐστι λόγων ἐπαγγελία, καὶ ἕτερον πραγμάτων θέα καὶ πεῖρα.] Ταῦτα, καὶ τὰ τοιαῦτα πρὸς τοὺς συναποστόλους διαλεγομένου τοῦ Θωμᾶ, εἰσῆλθε πάλιν ὁ Ἰησοῦς πρὸς τοὺς μαθητὰς κεκλεισμένων τῶν θυρῶν· εἰσῆλθεν ἡ θύρα τῆς ζωῆς διὰ τῶν κεκλεισμένων θυρῶν· εἰσῆλθεν, ὡς οἶδεν αὐτὸς μόνος ὁ Θεὸς λόγος. ὥσπερ γὰρ ἐγεννήθη, καὶ τὰς πύλας τῆς παρθενίας οὐκ ἔφθειρεν, οὕτω καὶ ἐντὸς τῆς οἰκίας εὑρέθη, καὶ τὰ κλεῖθρα οὐκ ἀνέσπασε. καὶ πάλιν, ὥσπερ ἐξῆλθεν ἐκ τοῦ κεκλεισμένου καὶ ἐσφραγισμένου τάφου, οὕτως εἰσῆλθε καὶ τῶν θυρῶν κεκλεισμένων. εἰσῆλθε τῇ σαρκί, ὅπου ἦν τῇ θεότητι, καὶ τὰς θύρας οὐκ ἀνεπέτασεν. ἠθέλησε γάρ, καὶ τὸ κωλῦον οὐδέν. ἠθέλησε, καὶ πάντα συνέδραμεν, ἠθέλησε, καὶ ἡ κτίσις ὑπούργησε, μόνῳ τῷ θελήματι αὐτοῦ πάντα συνέδραμε Θεῷ ὄντι [καὶ ὑπάρχοντι]. οὕτω καὶ ἡ γέννησις αὐτοῦ πάντα λόγον νικᾷ, καὶ ἡ τοῦ μνήματος ἔξοδος ὑπερβαίνει πᾶσαν διάνοιαν, καὶ ἡ πρὸς τοὺς μαθητὰς αὐτοῦ εἴσοδος, ἀπόρρητός ἐστι καὶ ἀνέκφραστος. ὅτι μὲν γὰρ εἰσῆλθε πρὸς τοὺς μαθητάς, δεδίδαγμαι· τὸ δὲ πῶς εἰσῆλθεν, οὐκέτι μεμάθηκα· ὃ δὴ

χ. ἀνέῳξε.

μὴ παρέλαβον, οὔτε λέγειν τολμῶ. ὑμνῶ τὸν εἰσελθόντα, οὐ πολυπραγμονῶ τῆς εἰσόδου τὸν τρόπον· κηρύττω τὸ μυστήριον, οὐχ ἑρμηνεύω τὸ ἀνερμήνευτον· θαυμάζω τὸ γεγενημένον σημεῖον, πῶς δὲ γέγονεν, οὐ ζητῶ· πιστεύω τοῖς γεγραμμένοις ἀπεριέργως, καὶ σώζομαι. ἀκροατὴς γάρ εἰμι θαυμάτων δεσποτικῶν, οὐκ εἰμὶ δὲ "δικαστὴς θείων" ἐνεργειῶν. κἂν τις τῶν Ἰουδαίων εἴπῃ πρός με, ἀμήχανα καὶ ξένα κηρύττεις καὶ παντελῶς ἄπιστα πράγματα (πῶς γὰρ ἠδύνατο διὰ κεκλεισμένων θυρῶν σῶμα παχὺ ἐλθεῖν ἔνσαρκον;) ἐρῶ κἀγὼ πρὸς αὐτόν, πῶς ἠδυνήθη ἄγγελος καταγαγεῖν τὸν "Ἀμβακοὺμ εἰς τὸν λάκκον τῶν λεόντων, καὶ πάλιν ἀναγαγεῖν, καὶ τὰς ἐπικειμένας σφραγῖδας σώας καὶ ἐρρωμένας καταλιπεῖν; ὁ δοῦλος, ὅπερ ἠθέλησεν, "ἐποίησε, καὶ ὁ δεσπότης οὐκ ἴσχυσεν, "ὅπερ ηὐδόκησεν; ὥσπερ δὲ ἐκεῖνο γεγένηται βουληθέντος Θεοῦ, οὕτω καὶ τοῦτο πεπέρακται, τοῦ ἐνανθρωπήσαντος λόγου Θεοῦ θελήσαντος. Εἰσῆλθε τοίνυν πρὸς τοὺς ἑαυτοῦ μαθητάς, ὡς ηὐδόκηκεν, ὁ σωτήρ, καὶ ἔστη εἰς τὸ μέσον, ἵνα πᾶσιν ὁμοίως φανῇ, καὶ εἶπεν αὐτοῖς· Εἰρήνη ὑμῖν. εἰρήνη γάρ εἰμι, καὶ εἰρήνην χαρίζομαι ὑμῖν. ὅ πέφυκα, τοῦτο καὶ δίδωμι. αὕτη ἡ εἰρήνη πάντας τοὺς πολεμίους ὑποτάξει τοῖς ὑμετέροις ποσίν· αὕτη ἡ εἰρήνη τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ποιήσει δούλας ὑμῶν· αὕτη ἡ εἰρήνη στήσει κατὰ τῆς "οἰκουμένης τρόπαιον. ηὐφράνθησαν οὖν μαθηταὶ πάλιν ἀπολαύσαντες τῆς δεσποτικῆς μορφῆς καὶ φωνῆς. [καί φασι πρὸς τὸν Θωμᾶν,] καὶ τοῖς αἰχμῶσιν" ὑπένυττον, καὶ διένευον τοῖς ὀφθαλμοῖς αὐτῷ, καὶ μονονουχὶ διὰ τῶν βλεφάρων ἔλεγον πρὸς αὐτόν, οὐκ εἰρήκαμέν σοι πρῴην, ἑωράκαμεν τὸν Κύριον, καὶ οὐκ ἐπίστευσας ταῖς ἡμετέραις φωναῖς; ἰδοὺ πάρεστιν αὐτὸς ὁ ποθούμενος· ἀπόλαυσον ὡς ζητεῖς, κατατρύφησον ὡς ποθεῖς, προσάχθητι τῷ διὰ τὴν σὴν σωτηρίαν πρὸς ἡμᾶς εἰσελθόντι, καὶ λάβε τὴν τῶν ζητουμένων ἐπίλυσιν. καὶ αὐτὸς δὲ ὁ Θωμᾶς ἵστατο "περιπέμπων τοὺς ὀφθαλμοὺς εἰς ὅλα τοῦ σωτῆρος τὰ μέλη, καὶ περιεργαζόμενος ἀκριβῶς ἕκαστον, εἰ ἀληθῶς ὁ "ἀποθανὼν, [καὶ] ἀναστὰς αὐτὸς παρεγένετο. Τί οὖν πρὸς αὐτὸν ὁ μόνος ἀγαθός, ὁ μόνος εὔσπλαγχνος καὶ φιλάνθρωπος, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν *; [Φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς χεῖράς μου. ὦ φιλανθρωπίας ἀπέραντον ὕψος, ὦ συγκαταβάσεως ἀμέτρητον πέλαγος. οὐκ ἀνέμεινε τὴν πρόοδον τοῦ μαθητοῦ· οὐ περιέμεινε τὸν δεόμενον προσελθεῖν, καὶ δεηθῆναι καὶ τυχεῖν ὡς ἐβούλετο· οὐκ ἀπεστέρησεν αὐτὸν οὐδὲ πρὸς βραχὺ τῆς εὐχῆς. ἀλλ' αὐτὸς ὁ ἐρώμενος τὸν ἐραστὴν πρὸς τὸν ποθούμενον ἐβίαζεν· αὐτὸς τῇ φωνῇ τὸν δάκτυλον τοῦ ποθοῦντος πρὸς ἑαυτὸν ἐπεσπάσατο· αὐτὸς τῇ δεσποτικῇ γλώττῃ τὴν δουλικὴν δεξιὰν εἵλκυσεν εἰπὼν πρὸς αὐτόν,] Φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς χεῖράς μου. διὰ σὲ γὰρ παρεγενόμην πρὸς σέ· διὰ σὲ πάλιν ἐπέστην, ὅθεν οὐκ ἀπέστην οὐδαμῶς τῇ θεότητι· διὰ σὲ ταύτας μου τὰς χεῖρας τοῖς ἥλοις ὑπέθηκα, ἵνα σοι προξενήσω σωτηρίαν ἀκίνδυνον. πλησίασόν μοι τῷ σώματι καὶ τῷ πνεύματι καὶ τῇ πίστει, καὶ μάθε σαφῶς ἅπερ "ἐπεθύμεις μαθεῖν· ὡς θέλεις, ἐρεύνησον, ὡς θέλεις κατάμαθε, ὡς θέλεις ψηλάφησον· ὡς ἔτι νηπιάζων, ἐν ταῖς ἐμαῖς χερσὶν ἀνάγνωθι γεγραμμένα τὰ τοῦ ἑκουσίου μου πάθους "τραύματα. "παρατίθημί σοι πάντα μου τὰ μέλη πρὸς ἔρευναν· οὐκ αἰσχύνομαι τοῦ σώματός μου τοὺς μώλωπας· οὐκ αἰδοῦμαι τῆς σαρκός μου τὰ τραύματα, ἅπερ κατεδεξάμην διὰ τὰ ὑμέτερα τραύματα· οὐ κρύπτω τῆς ἐμῆς δόξης καὶ νίκης τὰ τρόπαια· δημοσιεύω, καὶ πάσῃ τῇ κτίσει κατάδηλα ποιῶ. οἶδε ταῦτα καὶ ὁ ἥλιος (διὰ ταῦτα γὰρ διεχώρησε καὶ νύκτα ἐν ἡμέρᾳ ἐδημιούργησεν) οἶδε ταῦτα ἡ γῆ (διὰ ταῦτα γὰρ ἐζήτησε τόπον "φυγῆς) ἴσασι ταῦτα αἱ πέτραι (διὰ ταῦτα γὰρ αὗται κλασθεῖσαι τῇ διαιρέσει τὸ ἐμὸν πάθος ἐθρήνησαν) ἴσασι ταῦτα καὶ οἱ νεκροί (διὰ γὰρ ταῦτα ἐκ τῶν τάφων ἐξέδραμον) οἶδε ταῦτα καὶ τὸ καταπέτασμα τοῦ ναοῦ. διὰ γὰρ ταῦτα καὶ τοῦτο περισχισθὲν προεθρήνησε τὴν τῶν Ἰουδαίων ἀπώλειαν. ἴδε τὰς ἐμὰς χεῖρας, ὡς ἠθέλησας· εἴσελθε διὰ τοῦ δακτύλου σου εἰς τὰ "βάθη

τῶν

γ. ἐξεταστὴς
γ. λογίων.
γ. -κὼν
γ. ἴσχυσε,
γ. γὰρ
γ. κτίσεως
γ. τὸν Θωμᾶν ὑπένυττον,
γ. διαβλεπόμενος τοῖς ὀφθαλμοῖς
γ. πάντα,
* ἀπεφθέγξατο;
γ. ἐπιθυμήσας
ἰσ. στίγματα.
γ. προστίθ.
γ. φυγεῖν
γ. ὄντα

Δαν. ιδ. λϛ.
Ἰωαν. κ. κϛ.
α. Τιμ. β. δ.

τὴν ἐμὴν ἀντιλαβήν. θέλεις καὶ τὴν πλευράν μου καταμαθεῖν; ἰδοὺ καὶ ταύτην σοι παραγυμνῶ. φέρε οὖν τὴν χεῖρά σου τὴν πολυπράγμονα καὶ φιλομαθῆ, καὶ βάλε εἰς τὴν πλευράν μου· ἅψαι τοῦ σώματός μου τοῦ συστάντος χωρὶς ἀνθρωπίνης σπορᾶς, ἅψαι τοῦ σώματός μου τοῦ ληφθέντος ἐκ τῆς παρθένου Μαρίας καὶ παρθένου μεμενηκυίας, ἅψαι τοῦ σώματός μου τοῦ σοι συγγενοῦς, ἅψαι τοῦ σώματός μου τοῦ παθόντος κατὰ γνώμην ἐμήν· ἅψαι τοῦ σώματός μου τοῦ νεκρωθέντος ὑφ' ὑμῶν, ἀλλ' οὐ κρατηθέντος ὑπὸ τῆς τοῦ θανάτου φθορᾶς· ἅψαι τοῦ σώματός μου τοῦ φρικτοῦ ταῖς ἀσωμάτοις δυνάμεσιν· ἅψαι τοῦ σώματός μου τοῦ φοβεροῦ τοῖς χερουβείμ, καὶ σεπτοῦ τοῖς σεραφείμ, καὶ διδάχθητι διὰ τῆς πείρας αὐτῆς, τί τὸ ψηλαφητόν μου, καὶ τί τὸ ἀψηλάφητόν μου, τί τὸ παθητόν μου, καὶ τί τὸ ἀπαθές μου, τί τὸ θνητόν μου, καὶ τί τὸ ἀθάνατόν μου, τί τὸ νεκρωθὲν διὰ σέ, καὶ τί τὸ μεῖναν ἀνώλεθρον, τί τὸ ὑποπίπτον τοῖς σοῖς δακτύλοις, καὶ τί τὸ μὴ ὑποπίπτον τῇ σῇ δεξιᾷ· καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός.

[Ἤκουσα, Θωμᾶ, μὴ παρὼν ὡς ἄνθρωπος, ἀλλὰ παρὼν ὡς Θεός, ἅπερ ἐλάλησας πρὸς τοὺς σοὺς ἀδελφούς· παρήμην ὑμῖν τῇ θεότητι, κεχωρισμένος ὑμῶν τῇ ἀνθρωπότητι. θέλεις ὑπομνήσω σοι τῶν εἰρημένων ὑπὸ σοῦ πρώην ῥημάτων; οὐκ εἶπας, ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω; οὐ ταῦτα τὰ ῥήματα γεννήματα τυγχάνει τῶν σῶν λογισμῶν; οὐ ταῦτα τὰ ῥήματα διὰ τῶν σῶν ἐρρύη χειλέων; διὰ ταῦτα πάλιν ἐλήλυθα, δι' ἅπερ ἀμφιβάλλεις, τοῦτο δεύτερον ἐπλησίασα, δι' ἅπερ ἐπεθύμεις. μὴ τοίνυν αἰσχυνθῇς μαθεῖν ἃ ποθεῖς, μὴ ἐντραπῇς περιεργάσασθαι ἅπερ ἐπιζητεῖς· μὴ παραιτήσῃ τὸν σὸν δάκτυλον ἐπιβαλεῖν ταύταις μου ταῖς χερσίν. ἀνέχομαι καὶ δακτύλου περιέργου, ὡς ἠνεσχόμην τῶν ἥλων· ὑπομένω τοῦ φιλοῦντος τὴν περιεργίαν, ὡς ὑπέμεινα τὴν τῶν μισούντων ἐπήρειαν σταυρούμενος· ὑπὸ τῶν ἐχθρῶν οὐκ ἠγανάκτησα παροινούμενος· φιλικῶς ὑπὸ σοῦ παραιτούμενος οὐχ ὑποίσω; φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς χεῖράς μου τὰς τραυματισθείσας ὑφ' ὑμῶν, ἵνα θεραπευθῶσιν οἱ μώλωπες τῶν ὑμετέρων ψυχῶν· ἴδε τὰς χεῖράς μου, καὶ λόγισαι κατὰ σαυτόν, πότερος ἐκεῖνός εἰμι ὁ σταυρωθεὶς ἑκών, ἢ ἄλλος τις παρ' ἐκεῖνον εἰμί· ἴδε τὰς χεῖράς μου, ἃς ἔχειν ἀφῆκα τῆς Ἰουδαϊκῆς μανίας τὰ σύμβολα, ἵν' ὅταν συνήθως ἀναισχυντήσωσιν οἱ Ἰουδαῖοι κατὰ τὴν ἡμέραν τῆς κρίσεως, καὶ εἴπωσι πρός με, ἡμεῖς οὐκ ἐσταυρώσαμέν σε, δέσποτα, ὑποδείξω τοῖς πολεμίοις τὰς χεῖρας ἐν τούτῳ τῷ σχήματι καὶ τῇ ὄψει, καὶ καταισχυνῶ]

Τὴν θεομάχον συναγωγήν· ἵνα ὄψωνται οἱ Ἰουδαῖοι, εἰς ὃν ἐξεκέντησαν, καὶ προσκυνήσωσι στένοντες. [Ἀψάμενος τοίνυν ὁ Θωμᾶς τῶν δεσποτικῶν χειρῶν καὶ τῆς θείας πλευρᾶς, καὶ μεστὸς γενόμενος δειλίας ὁμοῦ καὶ περιχαρείας ἐκ τῆς θέας ὧν ἐπεθύμησε, πρὸς ὑμνῳδίαν εὐθέως τὴν γλῶτταν κινεῖ βοῶν πρὸς τὸν Κύριον, ὁ Κύριός μου, καὶ ὁ Θεός μου. σὺ εἶ Κύριος καὶ Θεός· σὺ ἄνθρωπος καὶ φιλάνθρωπος· σὺ εἶ ξένος καὶ παράδοξος τῆς φύσεως ἰατρός. οὐ τέμνεις σιδήρῳ τὰ πάθη, οὐ καίεις πυρὶ τὰ ἕλκη, οὐκ ἐρανίζεις παρὰ βοτανῶν τὴν τῶν φαρμάκων ἰσχύν, οὐκ ἐπιδεσμεύεις ἐπιδέσμοις ὁρατοῖς τὰ κάμνοντα μέλη. ἔχεις οἰκτιρμῶν ἐπιδέσμους ἀοράτους, ἀοράτως τὰ διαλελυμένα συσφίγγοντας· ἔχεις λόγον σιδήρου τομώτερον· ἔχεις ῥῆμα πυρὸς δυνατώτερον· ἔχεις νεῦμα φαρμάκου προσηνέστερον. ὡς δημιουργὸς ἀπόνως ἀγλαΐζεις τὸ ποίημα· ὡς πλάστης μεταπλάττεις ἀκαμάτως τὰ πλάσματα· ὁ Κύριός μου, καὶ ὁ Θεός μου. σὺ λέπραν ἀπέξεσας ὡς ἠθέλησας, σὺ χωλοὺς δρομαίους ἀνέδειξας, σὺ παραλυτικοὺς βαστάζειν τὰς ἑαυτῶν κλίνας ἐποίησας, σὺ τυφλοὺς ἐκ γενετῆς ἀπονίψασθαι τὸν ζόφον ἐκέλευσας, σὺ τοὺς δαίμονας ἐκ τῶν σῶν ποιημάτων ἐξώθησας, σὺ παρὰ τῶν ἐχθρῶν ἐκρατήθης βουλόμενος, καὶ πάλιν παρὰ τῶν Ἰουδαίων

πολύτα

πάντα κατὰ σάρκα πέπονθας δι' ἐμέ.] ὁ Κύριός μου, καὶ ὁ Θεός μου. σὺ ὁ Θεός μου, καὶ Κύριος· σὺ προαιώνιος ἅμα καὶ πρόσφατος· σὺ οὐράνιος ἅμα καὶ ἐπίγειος· σὺ ἀόρατος καὶ ὁρώμενος· σὺ ἀνείδεος, καὶ ἐν εἴδει τῷ κατ' ἐμέ· σὺ ἀσχημάτιστος, καὶ ἐν τούτῳ τῷ σχήματι· σὺ Θεὸς ἀληθῶς, καὶ ἄνθρωπος ἀψευδής· σὺ ἐν γαστρὶ παρθένου, ὁ αὐτὸς καὶ ἐν κόλποις πατρός· σὺ ἐν οὐρανῷ σὺν τῷ πατρί, ὁ αὐτὸς καὶ ἐν σταυρῷ δι' ἡμᾶς· σὺ ἐν τῷ βασιλικῷ θρόνῳ πρὸ αἰώνων, ὁ αὐτὸς ἐν ἥλοις καὶ ξύλῳ κατὰ σάρκα· σὺ ἀπαθὴς κατὰ πνεῦμα, ὁ αὐτὸς παθητὸς κατὰ σάρκα· σὺ ἀθάνατος ὡς ὁμοούσιος τῷ πατρί, ὁ αὐτὸς θνητὸς ὡς καὶ ἡμῖν ὁμοούσιος· σὺ ἐν τάφῳ, ὁ αὐτὸς καὶ ἐπὶ τῶν χερουβείμ· σὺ ἐν θανάτῳ ὡς ζωῆς χορηγός, ὁ αὐτὸς ἐν νεκροῖς τῶν νεκρῶν ἐλευθερωτής· σὺ νεκρὸς τριήμερος ὑπάρχεις, σὺ τῷ γεννήσαντι συναΐδιος· σὺ ἀνέστησας τοῦ σώματός σου τὸν ναόν· σὺ ἀνέστης διὰ τῆς ἰδίας δυνάμεως Θεὸς ὤν· σὺ μὲν ἡμῖν ἐν σαρκί, ὁ πρὸ πάντων τῶν αἰώνων ὑπάρχων σὺν τῷ πατρί· σὺ ἐν τοῖς οὐρανοῖς ἄνω, σὺ ἐπὶ γῆς, ὁ αὐτὸς καὶ ἐν ὅλῃ τῇ κτίσει ἐπισκοπῶν ὁ Θεός· σὺ πανταχοῦ. σὺ γὰρ πάντα πληροῖς· σὺ κρατῇ παρ' ἐμοῦ, ὁ τὰ πάντα κρατῶν τῇ δρακὶ τῇ ἰδίᾳ. σὲ βλέπω τοῖς σωματικοῖς ὀφθαλμοῖς, σὲ κατανοῶ τοῖς τῆς πίστεως ὄμμασιν· ἐπιγινώσκω ἐν σοὶ τὸ ἐξ ἐμοῦ· γνωρίζω ἐν σοὶ τὴν ἐκ τοῦ πατρὸς ἀνέκφραστον θεότητα· ἕνα σε Κύριον καὶ Θεὸν ὁμολογῶ· ἄλλο καὶ ἄλλο ὄντα σε τὸν ἕνα μεμάθηκα, οὐκ ἄλλον καὶ ἄλλον ἐπίσταμαι. οὐ διαιρῶ σε τὸν ἀδιαίρετον, οὐ χωρίζω σε τὸν ἀχώριστον, οὐ τέμνω σε τὸν ἀμέριστον· ὃ βλέπω, καὶ ὃ κρατῶ, καὶ ὃ νοῶ, διὰ μιᾶς ἐξαγορεύω φωνῆς, ὁ Κύριός μου, καὶ ὁ Θεός μου. σὺ γὰρ διὰ τῆς σῆς συγκαταβάσεως τὴν ἐμὴν ψυχὴν ἀνήγαγες ἐκ τοῦ τῆς ἀπιστίας βυθοῦ· σὺ τοὺς ἀνθρώπους αἰχμαλώτους γενομένους ἠλευθέρωσας· σὺ τὴν ἁμαρτίαν ἐν τῇ ἀναμαρτήτῳ σου σαρκὶ κατέκρινας· σὺ τὸν διάβολον ὅτε ἠθέλησας, κατεπάτησας, συντρίψας αὐτοῦ πάντα τὰ πεπυρωμένα βέλη· σὺ τὸν θάνατον ἐν τῷ θανάτῳ τεθανάτωκας· σὺ διὰ τῆς σῆς ἀφθαρσίας τὴν φθορὰν ἀπεδίωξας· σὺ διὰ τῆς σῆς ἀναστάσεως τὴν ἀνάστασιν ἡμῖν ἐνεκαίνισας· σὺ τὸν τριήμερόν σου τάφον ἐγγυητὴν ἐπὶ τῆς γῆς καταλέλοιπας τῆς τῶν νεκρῶν ἀναστάσεως· σὺ τοὺς ἀνθρώπους οὐρανίους ἀπέδειξας· σὺ τὴν γῆν οὐρανοῦ φαιδροτέραν ἐποίησας· σὺ ἁπαξαπλῶς τὰ πάντα εἰς τὸ κρεῖττον μετέστησας· σὺ Θεὸς ὢν γέγονας ἄνθρωπος, ἵνα τὸν ἄνθρωπον ποιήσῃς Θεόν, ὁ Κύριός μου, καὶ ὁ Θεός μου. λέγει αὐτῷ ὁ Κύριος, Ὅτι ἑώρακάς με, πεπίστευκας; ὅρα μὴ πάλιν ἀνελθόντος μου μετὰ σαρκός, ὅθεν κατῆλθον ἄνευ σαρκός, σὺ τοῖς τῆς ἀπιστίας χρήσῃ ῥήμασι, καὶ εἴπῃς· ἐὰν μὴ πάλιν ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, οὐ μὴ πιστεύσω. ἅπαξ ἠπίστησας, ἅπαξ ἐψηλάφησας, ἅπαξ ἐπίστευσας· κήρυττε λοιπὸν ἅπερ παρείληφας. μακάριοι γὰρ οἱ ἰδόντες με, καὶ πιστεύσαντες· τρισμακάριοι δὲ οἱ μὴ ἰδόντες με, καὶ πιστεύσαντες. ὁ μακαρισμὸς οὗτος, ἀδελφοί, εἰς ἡμᾶς διαβαίνει τοὺς μὴ θεασαμένους αὐτόν, καὶ πιστεύσαντας εἰς αὐτόν. μακάριοι γὰρ οἱ τῇ πίστει βλέποντες τὸν ἀόρατον· μακάριοι ὑμεῖς, οἱ καθ' ἑκάστην πανήγυριν ὁρῶντες αὐτόν, καὶ τοῖς ὀφθαλμοῖς προσφέροντες, καὶ τοῖς στόμασιν ἀσπαζόμενοι, καὶ τοῖς ὀδοῦσιν ἐσθίοντες, καὶ μὴ καταναλίσκοντες ὃν ἐσθίετε. ὢ μυστηρίων ξένων, ὢ μυστηρίων φρικτῶν. ὁ καθήμενος ἐν δεξιᾷ τοῦ πατρός, ἐν ταῖς δεξιαῖς εὑρίσκεται τῶν ἁμαρτωλῶν· καὶ ὁ παρὰ τῶν ἀγγέλων ὑμνούμενος, παρὰ ῥυπαρῶν κρατεῖται χειρῶν, καὶ φέρει, φερόμενος ὑπὸ τῶν ἀναξίων αὐτοῦ δούλων φέρειν αὐτόν. οὐ φεύγει τὰς ἁμαρτωλοὺς παλάμας ἡμῶν, οὐ φεύγει τοὺς κατακρίτους δακτύλους, οὐ συντρίβει τοὺς πηλίνους ὁ ποιητής, ἀλλ' αὐτὸς προτρέπεται καὶ λέγει· Λάβετε, φάγετε· λάβετε, πίετε· φέρετε τὰς χεῖρας ὑμῶν, καὶ βάλετε εἰς τὴν πλευράν μου, καὶ τῶν ἐμῶν κατατρυφήσατε πάντες μελῶν. ὅπερ γὰρ ἐὰν λάβητε μέλος, ἐν ἐκείνῳ ὅλος εἰμί, ὁ παρὰ τοῦ Θωμᾶ ψηλαφηθείς. προσερχώμεθα τοίνυν ἅπαντες καθαρῶς τῷ καθαρῷ, καὶ δεχόμενοι τὸν ἡμέτερον Κύριον, μὴ εὐθέως ἅμα τῷ δέξασθαι καταφρο-

γ. ἀληθῶς

γ. σώματι

γ. Ἰησοῦς

Ιωαν. κ. κθ.

γ. ἐπόθησας,

Ματθ. κϛ. κϛ.

γ. ξύλινοι

Ματθ. η. η.

νηπικῶς αὐτῷ προσερχώμεθα, ἀλλ' ἀναχωροῦντες κατ' ἰδίαν, μόνοι μόνῳ διαλεγόμενοι τῷ λυτρωτῇ λέγωμεν· Κύριε, οὐκ ἐσμὲν ἄξιοι ἱκανοὶ ἵνα εἰσέλθῃς ὑπὸ τὴν στέγην τῶν ἡμετέρων ψυχῶν. ἀλλ' ἐπειδὴ σὺ βούλει κρατεῖσθαι παρ' ἡμῶν, ἐπειδὴ σὺ θέλεις ὡς φιλάνθρωπος οἰκεῖν ἐν ἡμῖν, σοὶ θαῤῥοῦντες προσερχόμεθα, σοὶ λέγοντες· εἴ τι κελεύεις, δέσποτα, ″ἀναπετάσωμεν τῶν στομάτων ἡμῶν τὰς πύλας, ἃς σὺ μόνος ἐδημιούργησας. Εἰσέρχῃ γὰρ μετὰ φιλανθρωπίας ὡς πέφυκας· εἰσέρχῃ καὶ λύεις τοὺς τῶν ἀνομημάτων δεσμούς· εἰσέρχῃ καὶ φωτίζεις τοὺς ἐσκοτισμένους ἡμῶν λογισμούς. πιστεύομεν, Κύριε, ὡς τοῦτο ποιήσεις. οὔτε γὰρ πόρνην μετὰ δακρύων προσελθοῦσάν σοι ἀπέφυγες, οὐδὲ τελώνην μετανοήσαντα ἀπεβάλου, οὐδὲ λῃστὴν ἐπιγνόντα τὴν σὴν βασιλείαν ἐδίωξας, οὐδὲ διώκτην μετανοήσαντα κατέλιπες εἶναι ὃ ἦν, ἀλλὰ τούτους πάντας ὑπὸ τῆς μετανοίας σοὶ″ προσαχθέντας, ἐν τῷ χορῷ τῶν σῶν φίλων κατέταξας*. μετὰ τοιαύτης εὐχῆς καὶ ψυχῆς καθαρᾶς τῶν οὐρανίων μυστηρίων μεταλάβωμεν, καὶ βίῳ σώφρονι περιφράξωμεν ἑαυτούς· καὶ μὴ ἐξερχέσθω λόγος αἰσχρός, ὅθεν εἰσέρχεται ὁ Χριστὸς ὁ Κύριος καὶ Θεὸς ἡμῶν. τοιαύτην πολιτείαν καὶ ὑμεῖς μετέρχεσθε οἱ νεοφώτιστοι· αἰδέσθητε τὰς ἀνωδύνους ὠδῖνας τῆς κολυμβήθρας, καὶ μὴ ἀθετήσητε τὴν θείαν αὐτῆς λοχείαν, ἵνα μὴ εἴπῃ καὶ καθ' ὑμῶν, Υἱοὺς ἐγέννησα καὶ ὕψωσα· αὐτοὶ δέ με ἠθέτησαν. ἐν οὐρανοῖς ὑμῶν″ ἀναγέγραπται τὰ ὀνόματα· μὴ πάλιν τῷ βορβόρῳ τῶν ἡδονῶν ἑαυτοὺς ἐγκυλίσητε, ἵνα μὴ ὁ ἀπόστολος τοῦ Κυρίου Παῦλος ὑμῖν ὀνειδίσῃ βοῶν· Ἐτρέχετε καλῶς· τίς ὑμᾶς ἐνέκοψε τῇ ἀληθείᾳ μὴ πείθεσθαι; ἀπεδύσασθε τὰς λευκὰς στολάς, ἀλλὰ μὴ συναποδύσησθε τὴν λευκότητα τῶν ψυχῶν ὑμῶν. ταύτην γὰρ τὴν στολὴν ἐὰν μὴ ὑμεῖς ″ἀποδύσησθε, οὐδεὶς ὑμᾶς ἄλλος ἀποδῦσαι δυνήσεται). μείνατε οὖν διαπαντὸς νεοφώτιστοι, ἵνα καταξιωθῆτε ἀκοῦσαι τῆς μακαρίας ἐκείνης φωνῆς, Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, κράτος, τιμὴ καὶ προσκύνησις σὺν ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ησ. α. ϛ.

Γαλ. ε. ζ.

Ματθ. κε. λδ.

*- σοὶ δὲ

χ. προσευχόντας.

* μόνε ἀγαθέ.

χ. ἀπηχθέν

χ. ἀπορρίψητε,

Λογ. ρλβ. ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΑΡΤΥΡΑ ΡΩΜΑΝΟΝ.

Ex edit. Duc. Burdeg.

Μηνὸς Νοεμϐ. ιη.

Παλαίστραι μὲν σώμασιν εὐεξίαν χαρίζονται, καὶ τέχνης ἀθλητικῆς ἐπιστήμας· μαρτύρων δὲ μνῆμαι ταῖς τῶν δαιμόνων τὰς ψυχὰς ἀνθοπλίζουσι τέχναις, καὶ πρὸς τὰς κατ' ἐκείνων παιδοτριβοῦσι λαβάς· τὸν γὰρ ἀθλητικὸν δημοσιεύουσαι τόνον, καὶ τὴν ἀνένδοτον πρὸς τὰς μάστιγας πάλην, ἐγείρουσιν εἰς θάρσος τὴν εὐσέβειαν, ὥσπερ ἐν σκάμμασι ταῖς τῶν παθῶν διηγήσεσιν ὑπὸ μαρτύρων πάντως τεταμένον προτεθεῖσαι δίαυλον. τοιαύτη ἡ τοῦ σήμερον στεφανωθέντος ἀθλητοῦ μνήμη. τίς γὰρ οὐκ ἂν τὰ κατὰ τοῦ διαβόλου θαῤῥήσειε σκάμματα τοῖς τοῦ μάρτυρος τὴν ψυχὴν παιδοτριβήσας παλαίσμασιν, ὃν τοσούτων κινδύνων οὐ κατέσεισε πλῆθος; πολλὴ γάρ τις τῷ κόσμῳ τῆς ἀσεβείας τότε τυραννὶς ἐνωρχεῖτο, καὶ θάλασσαν ἐκ βυθῶν ἐμιμεῖτο σειομένην ὁ βίος, καὶ τοῦ πελάγους εἰς τὴν γῆν αἱ τρικυμίαι μετέστησαν, καὶ σφοδρὸν τὸ τῆς εὐσεβείας σκάφος δυσσεβείας περιήντλει κλυδώνιον· ἐν ᾧ πολλοὶ μὲν νεκροὶ πανταχοῦ κυβερνῆται, ναυτῶν δὲ οὐκ ὀλίγος ἀριθμὸς ὑποβρύχιος, πάντα δὲ ἦν φόβων πικρῶν καὶ ναυαγίων ἀνάμεστα. ἔπνεον βασιλεῖς καταιγίδος σφοδρότερον· φοβερὰς τύραννοι τρικυμίας ἐπῆγον· ἀρχόντων συγκεκίνηντο θρόνοι· δίκας αἱ τὴν εἰς Χριστὸν ἐκήρυττον ἄρνησιν· πικρὰς νομοθέται τιμωρίας ἠπείλουν· πρὸς τὰς τῶν δαιμόνων ἄνδρες θυσίας ἡρπάζοντο· πρὸς τὴν τῶν βωμῶν εἵλκοντο βδελυρίαι γυναῖκες· ἐσύροντο πρὸς ταύτην καὶ παρθένοι τὴν λύσσαν· φυγαῖς ἱερεῖς καὶ σφαγαῖς παρεδίδοντο· τῶν ἱερῶν ἠλαύνοντο οἱ πιστοὶ περιβόλων. πρὸς τηλικαύτην ὁ μάρτυς ἐξωπλίζετο μάχην, καὶ τοσούτοις τὴν γνώμην κινδύνοις ἀντέθηκεν, ὥσπερ τινὰ σκιαμαχίαν γελῶν τὴν παράταξιν, καὶ καθάπερ ἐν σκάμμασιν ἀντὶ κόνεως τῇ πίστει τοὺς δυνάστας καταπάσαν, οὕτω τὴν τοῦ τότε δικάζοντος ἀνερρίπιζε γνώμην, δρόμοι αὐτῷ κατὰ τῆς ἐκκλησίας μεγετώμενον στήσας. διὸ δὴ πρὸς κόλασιν ὀξέως ὁ γενναῖος ἀνήρπαστο, καὶ πολλαὶ μὲν προσήγοντο τιμωριῶν ποικιλίαι, ὁ μάρτυς δὲ προσεστῶκει κιθάρα, τῷ τῶν βασάνων πλήκτρῳ πρὸς φθέγγον κινούμενος. συνέτριβον δὲ τὸ στόμα παίσαντες οἱ δήμιοι· ὁ δὲ, ὡς χαλκός τις, τῆς εὐσεβείας τὸ μέλος ὑπήχει κρουόμενος. κρεμάσαντες ἐπὶ ξύλου κατέξαινον· ὁ δὲ ὡς δένδρον ζωῆς τὸ ξύλον ἠσπάζετο. ὡς πλευρὰς τοῦ δικαίου τὰς παρειὰς διεσπάραττον· ὁ δὲ ὡς πλείονα στόματα λαμβάνων ἐρρητόρευε, καὶ καινῷ κατήχησε τὸν ἀντίπαλον στόματι. ὡς γὰρ εἶδε τὸν δικαστὴν πρὸς τὴν τῶν δαιμόνων σπουδὴν αὐτὸν ἐκκαλούμενον, αἰτεῖ βρέφος ἐξ ἀγορᾶς ἀχθῆναι, ὡς ἐκεῖνο τῶν ζητουμένων παρὰ τοῦ δικαστοῦ κριτὴν ποιησόμενος· καὶ προσαχθέντι τῷ βρέφει τὴν περὶ τῶν προκειμένων προσῆγεν ἐρώτησιν. τέκνον, φησὶ, δίκαιόν ἐστι τὸν Θεὸν προσκυνεῖν, ἢ τοὺς θεοὺς τοὺς λεγομένους ὑπὸ τύπων; πολλὴ τῆς τοῦ μάρτυρος σοφίας ἡ περιουσία· τοῦ δικαστοῦ δικαστὴν τὸ παιδίον καθίζει. τὸ δὲ ὑπὸ τοῦ Χριστοῦ ταχέως ἀπεφήνατο ψῆφον· ἵνα δειχθῇ καὶ παιδία δυσσεβούντων δικαστῶν συνετώτερα, μᾶλλον δὲ ἵνα φανῇ μὴ μόνον μάρτυς, ἀλλὰ καὶ μαρτύρων ἀλείπτης. οὐδὲ τοῦτο δὲ ὅμως τὴν δικαστικὴν ὑπεσκέλισε λύσσαν, ἀλλ' εὐθὺς ἐπὶ ξύλου μετὰ τοῦ βρέφους ὁ μάρτυς ἡρπάζετο, καὶ τὴν τοῦ ξύλου κόλασιν εἱρκτὴ διεδέχετο, κἀκείνην ψῆφος ποικίλας τοῖς ἀθληταῖς τὰς τιμωρίας μερίζουσα. τὸ μὲν γὰρ βρέφος θανάτῳ, τὸν δὲ μάρτυρα τῇ τῆς γλώττης ἐκτομῇ κατεδίκασε. τίς τρόπον κρίσεως τοιοῦτον ἀκήκοε; μαστίζουσι δικασταὶ καταδίκους, ἃ συνίσασιν ἑαυτοῖς, ὁμολογεῖν ἀναγκάζοντες· ἐκτέμνει δὲ τὴν γλῶτταν ὁ τῆς ἀσεβείας κριτὴς, ἃ σύνοιδεν ἑαυτῷ σιγᾶν βιαζόμενος. ὢ δεινοῦ κακοτεχνίας εὑρήματος. φρονοῦσαν, φησὶ, τὰ τοῦ Χριστοῦ τὴν ψυχὴν οὐκ ἐξέστησα· κἂν τὴν λαλοῦσαν ὑπὲρ Χριστοῦ διακόψω γλῶτταν. ἔκκοψον, ὦ τύραννε, γλῶτταν, ἵνα μάθῃς τὴν φύσιν καὶ ἄγλωττον παρὰ Χριστοῦ ῥητορεύουσαν· ἐκκόλαψον τὴν γλῶτταν τοῦ στόματος, ἵνα μάθῃς ἀληθῆ τὰ χαρίσματα τῶν γλωττῶν ὑποδεχόμενον. τὸ μὲν γὰρ τῆς γλώττης ἐξέκοψεν ὄργανον· ὁ λόγος δὲ ἐξώρμα σφοδρότερον, ὥσπερ ἐμποδίου τινὸς ἀπηλλαγμένος τῆς γλώττης. θέαμα καινὸν καὶ παράδοξον· σάρκινος σαρκίνοις ἀσάρκως φθεγγόμενος. ἔπρεπεν ἄρα τῷ μάρτυρι τοῦ προφήτου τὸ μέλος· Ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν, καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως. ἐπλήσθη τὸ στόμα χαρᾶς, καινὸν θῦμα τῷ Χριστῷ προσκομίσαν τὴν γλῶτταν. εἶχεν ἡ γλῶσσα πολλὴν ἀγαλλίασιν, πρόδρομος μάρτυς ὀφθεῖσα τοῦ μάρτυρος. ὢ γλώττης πρὸ τοῦ τῶν μαρτύρων δήμους τὴν ψυχὴν προλαβούσης· ὢ στόματος κρυπτόμενον γεννήσαντος μάρτυρα· ὢ γλώττης θυσιαστήριον κτησαμένης τὸ στόμα· ὢ στόματος ἱερεῖον κτησαμένου τὴν γλῶτταν. ναὸν ἔχων ἐλελήθεις, ὦ γενναῖε, τὸ στόμα, ναὸν, ἐν ᾧ τὴν ὁσίαν ἡμῖν γλῶτταν παράδοξον ἀμνάδα κατέθυσας. τίς ἄρα σου τὰς ἀρετὰς ἀξίως στεφανώσειε ῥήτωρ; ἔλαβες παρὰ τῆς φύσεως γλῶτταν, σὺ δὲ αὐτὴν ἐξέθρεψας μάρτυρα· ἔλαβες στόμα φυλακτήριον γλώττης, σὺ δὲ τῇ γλώττῃ τὸ στόμα βωμὸν κατεσκεύασας· ἔλαβες εἰς τὸ φθέγγεσθαι πλῆκτρον, σὺ δὲ αὐτὸ τεμνόμενον ἄσταχυν ἀνέδειξας· ἔλαβες γλῶτταν ῥημάτων διάκονον, σὺ δὲ αὐτὴν ἄμωμον τῷ Χριστῷ κατέθυσας πρόβατον. τίνι σου τὴν γλῶτταν πρεπούσῃ προσηγορίᾳ τιμήσω; ποίῳ σου κοσμήσω τὴν γλῶτταν ὀνόματι; προσῆγον ταύτῃ τὸν σίδηρον δήμιοι· ἡ δὲ κατὰ τὸν δεδεμένον Ἰσαὰκ οὐκ ἐσκίρτα, ἀλλ' ὡς ἐν βωμῷ κειμένη τῷ στόματι, τὴν πληγὴν σὺν ἡδονῇ προσεδέχετο, διδάσκουσα τῶν ἀνθρώπων τὰς γλώσσας, ὡς οὐ φθέγγεσθαι μόνον

γρ. κατιπτάζων,

γρ. σῶμα

Ψαλ. ρκε β.

γρ. σωάιμον

διὰ Χριστόν, ἀλλὰ καὶ σφάττεσθαι δεῖ. τῆς τοῦ πατριάρχου θυσίας ἥρπασας, γενναῖε, τὸ φιλότιμον, μονογενὲς βλάστημα γλώττης ἀντὶ τέκνου μονογενοῦς προσκομίσας. καλῶς ἄρα σοι δευτέραν ὁ Χριστὸς ἀντεφύτευσε γλῶσσαν. εὗρε γὰρ ἀγαθόν σε τῆς προτέρας γεωργόν· καλῶς σοι τὴν ἄσαρκον ἐχαρίσατο γλῶσσαν. ἀγγελικῷ γὰρ οὐκ ἔπρεπε φρονήματι σάρκινος. καλῶς σοι τὴν τῆς γλώττης ἀντιμισθίαν ἀπέδωκεν. ἐχρήσω σὺ τῷ δεσπότῃ πρὸς θυσίαν τὴν γλῶσσαν, ὁ δὲ αὐτῇ πρὸς ῥητορείαν φωνὴν ἀντεδωρήσατο· καὶ γέγονε τῆς γλώττης καὶ τοῦ Χριστοῦ πρὸς ἀλλήλους συνάλλαγμα· τῆς μὲν γλώττης ὑπὲρ Χριστοῦ τεμνομένης, τοῦ Χριστοῦ δὲ ὑπὲρ τῆς γλώττης λαλοῦντος. ποῦ νῦν ἡμῖν Μακεδόνιος, ὁ τῷ δεδωκότι τὸ χάρισμα τῶν γλωσσῶν Παρακλήτῳ μαχόμενος; ὅτι δὲ οὐ ψευδόμεθα τῇ τοῦ Παρακλήτου θεότητι τὰς τῶν χαρισμάτων δωρεὰς προσάπτοντες, μάρτυς ἡμῖν ὁ μακάριος Παῦλος, ὁ νῦν πρὸς τὴν ὑμετέραν φιληκοΐαν βοῶν, Πάντα ταῦτα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται. καθὼς βούλεται, φησίν, οὐ καθὼς ἐπιτάττεται. ἀλλ' ἵνα μή τινας πρὸς τούτοις ἐπιθέντες προσθήκας, τῷ πλήθει τὴν ὑμετέραν καταχώσωμεν μνήμην, ταύτην οὖσαν ἰσχυρὰν τὴν φωνὴν ὑπὲρ τοῦ Παρακλήτου μεμνημένοι οὕτως ἐντεῦθεν ἐξέλθωμεν, μεγάλα μὲν κατ' ἐκείνων φρονοῦντες, συγγινώσκοντες δὲ τέως αὐτοῖς πλανωμένοις, καὶ τὴν τοῦ Παρακλήτου προσκυνοῦντες θεότητα. ἡ μὲν οὖν προφητικὴ σάλπιγξ τὴν οἰκουμενικὴν εἰς Χριστὸν προσημαίνουσα συμφωνίαν ἔλεγεν, ὅτι Εἰδήσουσί με, φησίν, ἀπὸ μικροῦ αὐτῶν, καὶ ἕως μεγάλου αὐτῶν· καί, Πᾶσα γλῶσσα ἐξομολογήσεται τῷ Θεῷ τῷ ἀληθινῷ. καὶ ὁ μὲν προφήτης, ὡς ἔφην, ἁπάσας γλώσσας τῷ τῆς θεογνωσίας περικλείει δικτύῳ· ἡμεῖς δὲ σήμερον καὶ ἀγλώττου ῥήτορος ἀκουσόμεθα τῇ εὐσεβείᾳ συνηγοροῦντος. οἱονεὶ γάρ τις κιθάρα πλῆκτρον οὐκ ἔχουσα, τὸν δημιουργὸν εὐφημεῖ. λεγέτω τοίνυν καὶ ὁ μακάριος Ῥωμανός· Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. ποία γλῶσσα; οὐχ ἣν ὁ σίδηρος ἀφεῖλεν, ἀλλ' ἣν ἡ τοῦ πνεύματος χάρις ἐχάλκευε. τῆς γλώττης γὰρ συληθείσης ἡ τοῦ πνεύματος χάρις ἀντεισήχθη. εἶχον καὶ οἱ ἀπόστολοι γλώσσας· ἀλλ' ἵνα δειχθῇ τοῦ ἐνεργοῦντος ἡ δύναμις, ὁ πηλὸς ἤργει, καὶ τὸ πῦρ τὸ οὐράνιον ἐφθέγγετο. εἶχε καὶ ἡ Μωσαϊκὴ γραφὴ τοῦ ὑπὲρ λόγον πράγματος τὴν εἰκόνα. βάτος γὰρ παρ' ἐκείνῳ καὶ πῦρ. καὶ τὸ ἀποστολικὸν πῦρ τὰς τοῦ κηρύγματος φωνὰς ἐπὶ τῆς βάτου προετύπου, καὶ φωνὴν τῷ ἀψύχῳ χαρίζεται, ἵνα τῶν ἐμψύχων ὀργάνων ἀψάμενον πιστευθῇ. εἰ γὰρ τὸ ἄψυχον ἡ βαφὴ τοῦ πυρὸς ἔμφωνον ἀπειργάσατο, πῶς οὐκ ἔμελλεν ἀναπλῆσαί που ψυχὰς λογικὰς δι' ἀφῆς τὸ παναρμόνιον ἀνακρούεσθαι μέλος; ταύτης μετέσχε τῆς χάριτος καὶ Ῥωμανὸς ὁ ἀοίδιμος, καὶ τὴν γλῶτταν ἀποτμηθείς, τρανοτέρῳ φθόγγῳ τὸν τύραννον ἤλεγχεν. οὐκ ἂν δὲ ὅλως ὁ τύραννος ἐπὶ τὴν τῆς γλώττης ἔδραμεν ἐκτομήν, εἰ μὴ τῶν ἐλέγχων ἐφοβήθη τὰ ῥεύματα· εἰ μὴ τὸν χειμάρρουν τοῦ κηρύγματος κατεπλάγη· εἰ μὴ τὰ κύματα τῆς εὐαγγελικῆς ῥητορείας στορέσαι ὑπέλαβεν. ἀλλ' ἴδωμεν, ὅθεν ὁ τύραννος εἰς ἀνάγκην ἔρχεται τῆς τοιαύτης τόλμης. δαίμοσί ποτε θύσας ὁ δυσσεβής, καὶ καπνοῦ καὶ κνίσσης ἀνάπλεως γεγονώς, καὶ ταῖς σαρξὶ τῆς ἀσεβείας μεμολυσμένος, δρομαίως ἐπὶ τὴν ἐκκλησίαν ἐχώρει, καὶ τὸν ᾑμαγμένον ἐπιφερόμενος πέλεκυν, τὸ ἀναίμακτον θυσιαστήριον πρὸς ἱερουργίαν ἀθέμιτον ἐπεζήτει. ἀλλ' οὐκ ἔλαθεν ἡ τοῦ τυράννου λύττα τὸν μάρτυρα. εὐθέως γοῦν ἐκπηδήσας εἰς τὰ προπύλαια, φερομένην ἤδη τῆς ἀσεβείας τὴν ἐπίκλυσιν ἀναστέλλει. καὶ καθάπερ τις εὐμήχανος κυβερνήτης τὴν θάλατταν βλέπων κατὰ τῆς πρώρας ἐπιφερομένην, ἠρεμεῖν οὐκ ἀνέχεται, ἀλλὰ τὸ σκάφος ὅλον κούφῳ ποδὶ διατρέχει, καὶ διὰ τοῦ πηδαλίου τὴν πρύμναν ἐγείρας, ἵστησι τὸ πλοῖον τοῖς κύμασιν ἀντιπρόσωπον, καὶ μετεωρίσας τὸν κίνδυνον, μέσην διασχίζει τὴν τρικυμίαν, καὶ τέχνῃ τινὶ τὸ κυρτωθὲν πέλαγος αὐλακίζει· τοῦτο καὶ ὁ μακάριος Ῥωμανὸς ἐποίησε. τῆς εἰδωλικῆς θαλάττης βλάσφημα μυκωμένης,

καὶ

α. Κορ. ιβ. ια.

Ιερ. λα. λδ.

Ησ. με. κγ.

Ψαλμ. μδ. β.

ἴσ. ἡ ἀφὴ

ἴσ. δρομαῖος

καὶ κατὰ τοῦ ἐκκλησιαστικοῦ σκάφους λυττώσης, καὶ ἀφρὸν αἱμάτων κατὰ τοῦ θυσιαστηρίου ἐρευγομένης, μόνος ἀντοπλίζεται τῇ μαινομένῃ θαλάττῃ, καὶ εἰς ἄκρον ὁρῶν τὸ σκάφος σφαλλόμενον, ἀφυπνίζει τὸν ἐν τῷ πλοίῳ δεσπότην· ἀφυπνίζει δὲ αὐτὸν τὸν τῆς μακροθυμίας ὕπνον καθεύδοντα. βλέπει τὸ πέλαγος ταῖς ἀντιπνοίαις χειμαζόμενον, καὶ τὰ τῶν κινδυνευόντων μαθητῶν φθέγγεται ῥήματα· Ἐπιστάτα, σῶσον, ἀπολλύμεθα. πειραταὶ τὸ σκάφος περιστοιχίζονται· λύκοι πολιορκοῦσι τὸ ποίμνιον· λῃσταὶ τὴν παστάδα τὴν θείαν διορύττουσι· μοιχικὰ συνθήματα τὴν σὴν νύμφην περικτυπεῖ· πάλιν ὁ ὄφις τοιχωρυχεῖ τὸν παράδεισον· ὁ τῆς ἐκκλησίας θεμέλιος ἡ πέτρα σαλεύεται· ἀλλ' ἐξ οὐρανοῦ τὴν εὐαγγελικὴν ἄγκυραν ῥίψον, καὶ τὴν πέτραν στήριξον σειομένην· ἐπιστάτα, σῶσον, ἀπολλύμεθα. ὁ κοινὸς κίνδυνος μερίζει τὸν μάρτυρα, καὶ πρὸς τὸν δεσπότην παρρησιάζεται· ἐπαφίησι ῥέουσαν κατὰ τοῦ τυράννου τὴν γλῶτταν, στῆσον λέγων τὸν ἐμμανῆ τοῦτον δρόμον, ὦ τύραννε· ἐπίγνωθι τῆς σῆς ἀσθενείας τὰ μέτρα· αἰδέσθητι τοῦ σταυρωθέντος τοὺς ὅρους. ὅροι δὲ τοῦ σταυρωθέντος οὐ τῆς ἐκκλησίας οἱ τοῖχοι, ἀλλὰ τῆς οἰκουμένης τὰ πέρατα. ἀποτίναξαι τὴν ἀχλὺν τῆς μανίας· βλέψον εἰς γῆν, καὶ τὸ τῆς φύσεως τῆς σῆς ἀσθενὲς ἐνθυμήθητι· ἀνάβλεψον εἰς τὸν οὐρανόν, καὶ τοῦ πολέμου τὸ μέγεθος λόγισαι· τῶν δαιμόνων τὴν ἀσθενῆ διάπλυσον συμμαχίαν· σκόπησον, ὅτι τῷ σταυρῷ πεπληγότες οἱ δαίμονές σε προστάτην τῶν βωμῶν τῶν οἰκείων προβάλλονται. τί διώκεις ἀκατάληπτα; τί πεζεύεις ἀπέραντα; μὴ γὰρ τοίχοις ὁ Θεὸς περιγράφεται; ἀπερίγραπτον τὸ θεῖον· μὴ γὰρ ὀφθαλμοῖς ὁ ἡμέτερος δεσπότης ὁρᾶται; ἀθεώρητος γάρ ἐστι καὶ ἀνείδεος τῇ οὐσίᾳ· κατὰ δὲ τὸ ἀνθρώπινον γράφεται καὶ ὁρᾶται. μὴ γὰρ λίθον καὶ ξύλον οἰκεῖ, πιπράσκων ἀντὶ βοὸς καὶ προβάτου τὴν πρόνοιαν; μὴ γὰρ βωμὸς τοῖς συναλλάγμασιν αὐτοῦ μεσιτεύει; αὕτη τῶν σῶν δαιμόνων ἡ λίχνος προσαίτησις. ὁ ἐμὸς δεσπότης, μᾶλλον δὲ ὁ τῶν ὅλων δεσπότης Χριστὸς οὐρανὸν οἰκεῖ, καὶ κόσμον ἡνιοχεῖ, καὶ θυσία τούτῳ, ψυχὴ πρὸς αὐτὸν ἀνανεύουσα· μία τούτῳ τροφή, τῶν πιστευόντων σωτηρία. παῦσαι κατὰ τῆς ἐκκλησίας τὰ ὅπλα κινῶν· ἐπὶ γῆς τὸ ποίμνιον, καὶ ὁ ποιμαίνων ἐν οὐρανῷ· ἐπὶ γῆς αἱ κληματίδες, καὶ ἐν οὐρανῷ ἡ ἄμπελος· ἂν δὲ ἐκτέμῃς τὰς κληματίδας, πολυπλασιάζεις τὴν ἄμπελον. λύθρου γέμουσιν αἱ χεῖρές σου· τὸ ξίφος τὸ σὸν ἀπὸ θυμάτων ἐστὶν ἀλόγων· φεῖσαι τῶν ἀναιτίων θρεμμάτων, καὶ ἡμῖν τοῖς ἐλέγχουσιν ἔπαφες τὸν σίδηρον· φεῖσαι τῶν σιωπώντων ἀλόγων, καὶ ἡμᾶς τοὺς κατηγοροῦντας ἀπόσφαττε. οὐ γὰρ οὕτω φοβοῦμαι τὸν ἀνδροφόνον σίδηρον, ὡς τὸν ἐπιβώμιον πέλεκυν. ὁ ἀνδροφόνος σίδηρος τὸ σῶμα διασπαράττει, ὁ ἐπιβώμιος πέλεκυς τὴν ψυχὴν ἀναιρεῖ· ὁ ἀνδροφόνος σίδηρος τὸ θυόμενον κατασφάττει, ὁ δὲ ἐπιβώμιος πέλεκυς καὶ τὸν θυόμενον καὶ τὸν θύοντα συναπόλλυσι. τέμε τὸν αὐχένα τὸν ἐμόν, καὶ μὴ μολύνῃς θυσιαστήριον· ἔχεις αὐτοκέλευστον ἱερεῖον, τί τὸν δεσμώτην ταῦρον ἀναλύοντα συμποδίζεις; εἰ θύειν ἐπιθυμεῖς, ἐν τοῖς τῆς ἐκκλησίας προθύροις θῦε λογικὸν ἱερεῖον. οὐ φέρει τὴν ἄμετρον ὁ τύραννος παρρησίαν τοῦ μάρτυρος· ἀλλ' εὐθέως ἀπὸ τῆς γλώττης τοῦ θύματος ἄρχεται. ἐκτέμνει τοίνυν τὴν γλῶτταν, οὐκ αἰκίζειν βουλόμενος, ἀλλὰ τῷ κηρύγματι πολεμῶν· οὐ τοσοῦτον τῷ κήρυκι φθονῶν, ὅσον τῷ κηρυττομένῳ βασκαίνων. ἀλλ' ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν, τὸ ἐκτμηθὲν ὄργανον τῆς φωνῆς ἐξ οὐρανοῦ ἀποδίδωσι, καὶ ἀοράτῳ γλώττῃ τὸν χωλεύοντα φθόγγον ὑποστηρίζει, καὶ χαρίζεται τῷ ἀγλώττῳ τὴν φωνήν, ἔργῳ τὴν ἀνθρωπίνην δημιουργίαν ἐνδεικνύμενος τῷ τυράννῳ. καὶ καθάπερ οἱ φρεωρύχοι τὰς φλέβας "διασκυλεύοντες εὐρυτέραν τῷ ὕδατι τὴν ἐκροὴν ἀπεργάζονται, οὕτω καὶ ὁ τύραννος σιδήρῳ τῆς γλώττης διορύττων τὴν ῥίζαν, σφοδροτέροις ἐπέκλυζεν τοῖς τῶν ἐλέγχων κρουνοῖς. ἐβουλόμην ἄχρι τέλους ἐγχορεῦσαι τῇ τοῦ μάρτυρος ὑποθέσει· ἀλλ' ὁ τῆς συμμετρίας ἐπέστη καιρός, καί μοι σιωπᾶν ἐγκελεύεται. ὑμῖν τε γὰρ πρὸς ὠφέλειαν ἱκανὰ τὰ ῥηθέντα, καὶ ἀναγκαῖα τοῦ πα-

γρ. διασκαλλοντες

ἕως τὰ διδάγματα περὶ τὸν τῶν ῥηθέντων ἀπαρτισμόν. ἀλλὰ καὶ τὰ ῥηθέντα τοῖς τῆς μνήμης κόλποις περιπτυξώμεθα, καὶ τοῖς λέγεσθαι μέλλουσι τοὺς τῆς ψυχῆς αὔλακας ἀναπτύξωμεν, καὶ ἐπὶ πᾶσι τὸν θαυματοποιὸν Χριστὸν προσκυνήσωμεν· ὅτι αὐτῷ ἡ δόξα, σὺν τῷ πατρὶ, καὶ τῷ παναγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ρλγ. ΕΙΣ ΤΗΝ ΧΡΙΣΤΟΥ ΓΕΝΝΑΝ.

Ex Ms. Reg. Lut. caſtigat. ex Ms. meo.
Μην: Δεκεμβ. κε.

Μυστήριον ξένον καὶ παράδοξον βλέπω· ποιμένες μου περιηχοῦσι τὰ ὦτα, οὐκ ἔρημον συρίζοντες μέλος, ἀλλ' οὐράνιον ᾄδοντες ὕμνον· ἄγγελοι " ᾄδουσιν, * ὑμνεῖ τὰ χερουβὶμ, δοξολογεῖ τὰ σεραφίμ· " ἄγγελοι ἑορτάζουσι, Θεὸν ὁρῶντες ἐπὶ γῆς, καὶ ἄνθρωπον ἐν οὐρανῷ· τὸν ἄνω κάτω δι' οἰκονομίαν, καὶ τὸν κάτω ἄνω διὰ φιλανθρωπίαν. σήμερον Βηθλεὲμ τὸν οὐρανὸν ἐμιμήσατο, ἀντὶ μὲν ἀστέρων " ἀγγέλους ὑμνοῦντας ὑποδεξαμένη, ἀντὶ δὲ ἡλίου τὸν ἥλιον τῆς δικαιοσύνης ἀπεριγράπτως χωρήσασα. καὶ μὴ ζήτει πῶς. ὅπου γὰρ βούλεται Θεὸς, νικᾶται φύσεως τάξις. ἐβουλήθη γὰρ, ἠδυνήθη, κατῆλθεν, ἔσωσε. συνδρομὰ πάντα Θεῷ. σήμερον ὁ ὢν τίκτεται, καὶ ὁ ὢν γίνεται, ὅπερ οὐκ ἦν. ὢν γὰρ Θεὸς, γίνεται ἄνθρωπος, οὐκ ἐκπεσὼν τοῦ εἶναι Θεός. οὔτε γὰρ " κατὰ πλώσιν τῆς θεότητος γέγονεν ἄνθρωπος, οὔτε κατὰ προκοπὴν ἐξ ἀνθρώπου γέγονε Θεός· ἀλλὰ λόγος " ὢν ἀπαθὴς, σὰρξ ἐγένετο, ἀμεταβλήτου μενούσης τῆς φύσεως. ἀλλ' ὅτε μὲν ἐτέχθη, Ἰουδαῖοι ἠρνοῦντο τὸν ξένον τόκον, Φαρισαῖοι δὲ παρερμήνευον τὰς θείας βίβλους· οἱ γραμματεῖς ὑπεναντία τοῦ νόμου ἐλάλουν· Ἡρώδης τὸν τεχθέντα ἐζήτει, οὐχ ἵνα τιμήσῃ, ἀλλ' ἵνα αὐτὸν ἀνέλῃ. σήμερον δὲ πάντα ὑπεναντία εἶδον. [Οὐκ ἐκρύβη γὰρ, κατὰ τὸν ψαλμῳδὸν, ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν.] βασιλεῖς μὲν γὰρ ἦλθον τὸν ἐπουράνιον βασιλέα " θαυμάσαντες, ὅτι πῶς ἐπὶ γῆς ἦλθεν, οὐκ ἀγγέλους ἔχων, οὐκ ἀρχαγγέλους, οὐ θρόνους, οὐ κυριότητας, οὐ δυνάμεις, ἀλλὰ ξένην καὶ ἀτριβῆ βαδίσας ὁδὸν, ἐξ ἀγεωργήτου προῆλθε γαστρὸς, οὔτε τοὺς ἀγγέλους ἐρήμους τῆς ἐπιστασίας αὐτοῦ καταλιπὼν, οὔτε τῇ πρὸς ἡμᾶς ἐνανθρωπήσει τῆς οἰκείας θεότητος ἐκστάς. ἀλλὰ βασιλεῖς μὲν τὸν ἐπουράνιον βασιλέα ἦλθον θεραπεύσοντες, οἱ στρατιῶται τὸν ἀρχιστράτηγον τῆς δυνάμεως προσκυνήσοντες· αἱ γυναῖκες, τὸν ἐκ γυναικὸς τεχθέντα, ἵνα τὰς λύπας τῆς γυναικὸς εἰς χαρὰν " μεταβάλλῃ· αἱ παρθένοι, τὸ τῆς παρθένου παιδίον ", ὅτι πῶς ὁ γάλακτος καὶ μαζῶν δημιουργὸς, αὐτόματα ῥεῖθρα φέρεσθαι ποιῶν, παρὰ μητρὸς παρθένου τροφὴν λαμβάνει· τὰ νήπια, τὸν ὡς νήπιον γενόμενον· οἱ ἄνδρες, τὸν ἐνανθρωπήσαντα, καὶ τὰ τοῦ Ἀδὰμ φορέσαντα κακά· οἱ ποιμένες, τὸν ποιμένα τὸν καλὸν, τὸν τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν προβάτων προϊέμενον· οἱ ἱερεῖς, τὸν κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερέα γενόμενον· οἱ δοῦλοι, τὸν δούλου μορφὴν φορέσαντα, ἵνα ἡμῶν τὴν δουλείαν ἐλευθερίᾳ τιμήσῃ· οἱ ἁλιεῖς, τὸν τῶν ἁλιέων ἁλιέα, τὸν τοὺς θηρευτὰς τῶν ἰχθύων ζωγρευτὰς ἀνθρώπων ἐργασάμενον· οἱ τελῶναι, τὸν ἀπὸ τελώνου εὐαγγελιστὴν ἀποδείξαντα· αἱ πόρναι, τὸν πορνικοῖς δάκρεσι τοὺς πόδας προϊέμενον. καὶ ἵνα συντόμως εἴπω, πάντες οἱ ἁμαρτωλοὶ ἦλθον τὸν ἀμνὸν τοῦ Θεοῦ ἰδεῖν τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου. πάντων οὖν σκιρτώντων σκιρτῆσαι θέλω κἀγὼ, χορεῦσαι βούλομαι. " χορεύω δὲ, οὐ κιθάραν πλήττων, οὐ θυρσὸν κινῶν, οὐκ αὐλὸν κρούων *, οὐ δᾷδας ἀνάπτων, ἀλλ' ἀντὶ μουσικῶν ὀργάνων τὰ τοῦ Χριστοῦ σπάργανα φέρων. αὐτὰ γάρ μοι " πλῆκτρον, αὐτά μοι αὐλὸς, αὐτά μοι κιθάρα, αὐτά μοι δᾷδες. καὶ τί λέγω, δᾷδες; αὐτά μοι ἐλπὶς, αὐτά μοι ζωὴ, αὐτά μοι σωτηρία. διὸ καὶ ταῦτα ἔρχομαι φέρων, ἵνα τῇ αὐτῶν δυνάμει ἰσχὺν λαβὼν, * εἴπω, δόξα ἐν ὑψίστοις Θεῷ, * καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις

Ψαλ. οζ. δ.

χ. καταδυν
* ἀρχάγγελοι
μέ. ποιοῦν
χ. πάντες
χ. ἀγγέλους
φαιδρῶς ὑμνοῦντας
χ. καὶ ἔκστασιν
χ. ὢν. διὰ τὸ ἀπαθὴς σὰρξ
χ. -μάζοντες
ἴσ. λιώσητι,
θαυμάτων
χ. εὐχαριστῶ
δὲ βούλομαι,
* οὐ σύριγγα
ἔχων.
ἴσ. πλῆκτρον,
* μετ' ἀγγέλων
* καὶ μετὰ ποιμένων

ἀνθρώποις εὐδοκία. σήμερον ὁ γεννηθεὶς ἀρρήτως ἐκ τοῦ πατρὸς, ἐκ παρθένου τίκτεται "ἀρρήτως δι' ἐμέ. ἀλλὰ τότε μὲν κατὰ φύσιν ἐκ τοῦ πατρὸς πρὸ αἰώνων ἐγεννήθη, ὡς ὁ γεννήσας οἶδε· σήμερον δὲ πάλιν ἐκ τῆς παρθένου παρὰ φύσιν ἐτέχθη, ὥσπερ ἡ τοῦ ἁγίου πνεύματος ἐπίσταται χάρις. καὶ ἡ ἄνω γέννησις αὐτοῦ ἀψευδής, καὶ ἡ κάτω ἀληθής. καὶ ἀληθῶς Θεὸς ἐκ Θεοῦ ἐγεννήθη, καὶ ἀληθῶς ἄνθρωπος ἐκ παρθένου ἐτέχθη· ἄνω μόνος ἐκ μόνου μονογενής· καὶ κάτω ἐκ μόνης μονογενής. ὥσπερ γὰρ ἐπὶ τῆς ἄνω γεννήσεως ἀσεβές ἐστιν ἐννοῆσαι μητέρα, οὕτω καὶ ἐπὶ τῆς κάτω γεννήσεως βλάσφημόν ἐστιν ὑπολαβεῖν πατέρα. ὁ πατὴρ ἀρρεύστως ἐγέννησε, καὶ παρθένος ἀφθόρως ἔτεκεν. οὔτε γὰρ Θεὸς ῥεῦσιν ὑπέμεινε γεννήσας (θεοπρεπῶς γὰρ ἐγέννησεν) οὔτε ἡ παρθένος φθορὰν ὑπέμεινε τίκτουσα. πνευματικῶς γὰρ ἔτεκεν. ὅθεν οὐδὲ ἡ ἄνω γέννησις αὐτοῦ εἰς ἐξήγησιν "ἕλκεται, οὔτε ἡ ἐν ὑστέροις καιροῖς "πρόοδος πολυπραγμονεῖσθαι ἀνέχεται. ὅτι γὰρ ἔτεκεν ἡ παρθένος σήμερον, οἶδα· καὶ ὅτι ἐγέννησεν ὁ Θεὸς ἀχρόνως, πιστεύω· τὸν δὲ τρόπον τῆς γεννήσεως σιγῇ τιμᾶσθαι μεμάθηκα, καὶ οὐ διὰ λόγων πολυπραγμονεῖν παρέλαβον. ἐπὶ γὰρ Θεοῦ οὐ δεῖ τῇ φύσει τῶν πραγμάτων προσέχειν, ἀλλὰ τῇ δυνάμει τοῦ ἐνεργοῦντος πιστεύειν. φύσεως μὲν γάρ ἐστι νόμος, ὅταν "παρθένος προσομιλήσασα "γάμοις τίκτῃ· ὅταν δὲ παρθένος ἀπειρόγαμος τεκοῦσα πάλιν παρθένος "μείνῃ, ὑπὲρ φύσιν τὸ πρᾶγμα. τὰ μὲν οὖν κατὰ φύσιν "ζητείσθω· τὰ δὲ ὑπὲρ φύσιν σιγῇ "τιμάσθω, οὐχ ὡς φευκτά, ἀλλ' ὡς ἀπόρρητα, καὶ σιγῇ τιμᾶσθαι ἄξια. [ἀλλὰ νείματέ μοι συγγνώμην ἐν προοιμίοις βουλομένῳ κατευνάσαι τὸν λόγον. δειλὸς γὰρ ὢν πρὸς τὴν τῶν κρειττόνων ἔρευναν, εἰ πῶς ὅποι τρέχει τῶν λόγων τὰ πηδάλια.] τί γὰρ εἴπω, ἢ τί λαλήσω; τὴν τεκοῦσαν βλέπω, τὸν τεχθέντα ὁρῶ· τὸν δὲ τρόπον τῆς γεννήσεως οὐ συνορῶ. νικᾶται φύσις, νικᾶται τάξεως δρόμος, ὅπου Θεὸς βούλεται. οὐ γὰρ κατὰ φύσιν γέγονε τὸ πρᾶγμα, ἀλλ' ὑπὲρ φύσιν "ἤργησε τοῦ δεσπότου τὸ βούλημα. [ὢ χάριτος ἀφράστου. ὁ πρὸ αἰώνων μονογενής, ὁ ἀναφὴς καὶ ἁπλοῦς καὶ ἀσώματος, ὑπεισῆλθέ μου τὸ φθαρτὸν καὶ ὁρατὸν σῶμα. διὰ τί; ἵνα βλεπόμενος μὲν διδάξῃ, διδάξας δὲ, πρὸς τὸν μὴ βλεπόμενον χειραγωγήσῃ. ἐπειδὴ γὰρ οἱ ἄνθρωποι τοὺς ὀφθαλμοὺς ἀκοῆς πιστότερον ἔχουσι καὶ "ὃ βλέπουσιν, ἀμφιβάλλουσι, διὰ τοῦτο ἠνείχετο καὶ ὁ "ὀφθαλμὸς τὴν ἑαυτοῦ θέαν διὰ τοῦ σώματος παρασχεῖν, ἵνα λύσῃ τῆς ἀμφιβολίας τὴν ἀπιστίαν· καὶ τίκτεται παρὰ παρθένου ἀγνοούσης τὸ πρᾶγμα. οὔτε γὰρ συνήργησέ τι πρὸς τὸ γινόμενον, οὔτε συνελάβετο αὐθαιρέτῳ γνώμῃ πρὸς τὸ πραττόμενον· ἀλλ' ἦν ψιλὸν ὄργανον τῆς ἀπορρήτου δυνάμεως, μόνον εἰδυῖα ὃ παρὰ τοῦ Γαβριὴλ ἐρωτῶσα ἐμάνθανεν, ὅτι πῶς ἔσται μοι τοῦτο; πῶς ἔσται τοῦτο; πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. τὸ δὲ πῶς ἦν μετ' αὐτῆς, ὁ μετὰ μικρὸν ὕστερον ἐξ αὐτῆς οὐ γινώσκει. ὥσπερ γὰρ τεχνίτης ἄριστος ὕλην εὑρὼν χρησιμωτάτην, κάλλιστον ἀπεργάζεται ἑαυτῷ σκεῦος· οὕτω καὶ ὁ Χριστὸς, εὑρὼν τὴν παρθένον ἁγίαν καὶ τὸ σῶμα, καὶ τὴν ψυχὴν, ἔμψυχον ἑαυτῷ κατεσκεύασε ναόν, ὃν ἠβουλήθη τρόπον, πλάσας τὸν ἄνθρωπον ἐν τῇ παρθένῳ, καὶ ἐνδυσάμενος τὸ δυσῶδες τῆς φύσεως. οὔτε γὰρ αὐτῷ ὕβριν ἔφερε φορέσαι τὸ ἴδιον ἔργον, καὶ τὸ σῶμα μεγίστην ἐκαρποῦτο δόξαν, ἔνδυμα τοῦ τεχνίτου γινόμενον. ὥσπερ γὰρ παρὰ τὴν ἀρχὴν ἀδύνατον ἦν συστῆναι τὸν ἄνθρωπον, πρὶν ἢ τὸν Θεὸν τὸν πηλὸν εἰς τὰς χεῖρας "αὐτοῦ τὰ ἑαυτοῦ, ἀδύνατον ἦν μεταποιηθῆναι, εἰ μὴ ἔνδυμα τοῦ ποιήσαντος "αὐτῷ γένηται. ἀλλὰ τί εἴπω, ἢ τί λαλήσω; ἐκπλήττει γάρ με τὸ θαῦμα. ὁ παλαιὸς ἡμερῶν παιδίον γέγονε; καὶ ὁ ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου καθήμενος ἐν φάτνῃ τίθεται; καὶ ὁ ἀναφὴς καὶ ἀσώματος χερσὶν ἀνθρωπίναις ἑλίσσεται; ὁ τὰ τῆς ἁμαρτίας διαρρήσσων δεσμά, σπαργανίοις ἐμπέπλεκται; ναί, ἐπειδὴ τοῦτο θέλει. θέλει γὰρ τὴν ἀτιμίαν ποιῆσαι τιμήν, τὴν ἀδοξίαν ἐνδῦσαι δόξαν, τὸν τῆς ὕβρεως λόγον ἀρετῆς διδάξαι τρόπον. ὅθεν "ὑπέρχεται τὸ ἐμὸν σῶμα·

γρ. ἀοράτως δι' ὑμᾶς.

γρ. ἔρχεται, γρ. καταλαμβάνεται.

γρ. γυνή
γρ. θεσμοῖς γαμικοῖς
γρ. φευκτά,
γρ. ζητείσθω
γρ. τιμάσθω

ἴσ. ἐνήργησε

ἴσ. ὁ οὐ
ἴσ. Θεὸς

ἴσ. αὐτοῦ λαβεῖν, οὔπως ἐδύν.
ἴσ. αὐτὸν

γρ. ὑπέρχε.

* *

μα, ἀναχωρήσω αὐτῷ ἐγὼ τῶν λόγων· καὶ αἴρει μου τὴν σάρκα, καὶ δίδωσί μοι τὸ ἑαυτοῦ πνεῦμα, ἵνα διδοὺς καὶ λαμβάνων θησαυρόν μοι ζωῆς ἐμπορεύσηται. αἴρει δέ μου τὴν σάρκα, ἵνα αὐτὴν ἁγιάσῃ, καὶ δίδωσί μοι τὸ πνεῦμα, ἵνα με διασώσῃ.] ἀλλὰ τί εἴπω, ἢ τί λαλήσω; τὸ, ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, οὐκ ὅτι λέγεται ὡς γινόμενον, ἀλλὰ θαυμάζεται ὡς πεπραγμένον· καὶ παρὰ Ἰουδαίοις μὲν πλάττεται, πρὸς οἷς καὶ ἐλέγετο, παρὰ δὲ τῶν ἐθνῶν πιστεύεται, πρὸς οἷς οὐδὲ ὠνομάζετο. ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται. τὸ μὲν γράμμα τῆς συναγωγῆς, τὸ δὲ κλῆμα τῆς ἐκκλησίας· ἐκείνη τὸ δίπτυχον εὗρεν, αὕτη τὸν μαργαρίτην ἐφεῦρεν· ἐκείνη τὸ ἔριον ἔβαψεν, αὕτη τὴν ἁλουργίδα ἐνεδύσατο. ἡ Ἰουδαία γὰρ αὐτὸν ἔτεκε, καὶ ἡ οἰκουμένη αὐτὸν ἔλαβεν· ἡ συναγωγὴ ἐτιθηνήσατο καὶ ἔθρεψε, καὶ ἡ ἐκκλησία κατέσχε καὶ ἐκαρπώσατο. παρ' ἐκείνῃ τὸ κλῆμα τῆς ἀμπέλου, παρ' ἐμοὶ ὁ βότρυς τῆς ἀληθείας. ἐκείνη τὸν βότρυν ἐτρύγησε, καὶ τὰ ἔθνη τὸ μυστικὸν πίνει πόμα· ἐκείνη τὸν κόκκον τοῦ σίτου εἰς τὴν Ἰουδαίαν ἀνέσπειρε, καὶ τὰ ἔθνη τῇ δρεπάνῃ τῆς πίστεως τὸν ἄσταχυν ἐθέρισε. τὰ ἔθνη τὸ ῥόδον εὐσεβῶς ἀπέκειραν, καὶ παρὰ Ἰουδαίοις ἡ ἄκανθα τῆς ἀπιστίας ἔμεινεν. ὁ νεοττὸς ἀπέπτη, καὶ παρακάθηνται οἱ ἀγνώμονες τῇ καλιᾷ· τὴν φυλλάδα τοῦ γράμματος οἱ Ἰουδαῖοι ἑρμηνεύουσι, καὶ τὸν καρπὸν τοῦ πνεύματος τὰ ἔθνη δρέπονται. ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται. εἰπέ μοι, ὦ Ἰουδαῖε, εἰπέ μοι λοιπὸν, τίνα ἔτεκε; θάῤῥησόν μοι, κἂν ὡς Ἡρώδῃ. ἀλλ' οὐ θαῤῥεῖς. οἶδα διὰ τί. διὰ τὴν ἐπιβουλήν. ἐκείνῳ γὰρ εἶπας, ἵνα αὐτὸν ἀνέλῃ, ἐμοὶ δὲ οὐ λέγεις, ἵνα μὴ αὐτὸν προσκυνήσω. τίνα δὲ ἔτεκε; τὸν δεσπότην τῆς κτίσεως. κἂν γὰρ σὺ σιωπᾷς, ἡ φύσις βοᾷ. ἔτεκε γὰρ, ὡς ὁ τεχθεὶς τεχθῆναι ἠθέλησεν. οὐ γὰρ ὑπὸ τῆς φύσεως ἐπετρέπετο, ἵνα τεχθῇ καθὼς ἡ φύσις, ἀλλ' ὡς δεσπότης τῆς φύσεως ὢν, ξένον γεννήσεως εἰσήγαγε τρόπον, ἵνα δείξῃ ὅτι καὶ ἄνθρωπος γεννώμενος, οὐχ ὡς ἄνθρωπος τίκτεται, ἀλλ' ὡς Θεὸς γεννᾶται. ἐκ παρθένου τοίνυν προῆλθε νικήσας φύσιν, ὑπερβὰς γάμον. ἔπρεπε γὰρ τῷ τῆς ἁγιωσύνης φυτουργῷ ἐκ καθαρᾶς καὶ ἁγίας προελθεῖν παστάδος. αὐτὸς γάρ ἐστιν ὁ πάλαι ἐκ παρθένου γῆς τὸν Ἀδὰμ πλάσας, ἀπὸ δὲ τοῦ Ἀδὰμ γυναῖκα μορφώσας. ὥσπερ γὰρ ὁ Ἀδὰμ ἄνευ γυναικὸς γυναῖκα ἤνεγκεν, οὕτω σήμερον ἡ παρθένος ἄνευ ἀνδρὸς ἄνδρα ἔτεκεν. ἄνθρωπος γάρ ἐστι, φησὶ, καὶ τίς γνώσεται αὐτόν; ἐπειδὴ γὰρ ἐχρεώστει τὸ γυναικεῖον γένος τοῖς ἀνθρώποις τὴν χάριν, ὡς τοῦ Ἀδὰμ ἄνευ γυναικὸς γυναῖκα πλάσαντος, διὰ τοῦτο σήμερον ἡ παρθένος ἔτεκεν ἄνευ ἀνδρὸς ἄνδρα, ὑπὲρ τῆς Εὔας ἐκτίνουσα τὸ χρέος τοῖς ἀνδράσιν. ἵνα γὰρ μὴ μέγα φρονῇ ὁ ἀνὴρ ὡς ἄνευ γυναικὸς γυναῖκα πλάσας, διὰ τοῦτο σήμερον ἡ παρθένος ἄνευ ἀνδρὸς ἄνδρα ἔτεκεν, ἵνα τῷ κοινῷ τοῦ θαύματος δείξῃ τὸ ὁμότιμον τῆς φύσεως. ὥσπερ γὰρ ἀπὸ τοῦ Ἀδὰμ καὶ τὴν πλευρὰν ἀφεῖλε, καὶ τὸν Ἀδὰμ οὐκ ἐμείωσεν οὐδὲν, οὕτω καὶ ἐν τῇ παρθένῳ καὶ ἔμψυχον ἔπλασεν ἄνθρωπον, καὶ τὴν παρθενίαν οὐκ ἔλυσε. σῶος ἔμεινεν ὁ Ἀδὰμ μετὰ τὴν ἀφαίρεσιν τῆς πλευρᾶς· ἄφθορος ἔμεινε καὶ ἡ παρθένος μετὰ τὴν πρόοδον τοῦ βρέφους. διὰ τοῦτο δὲ οὐκ ἀλλαχόθεν ἑαυτῷ ναὸν κατεσκεύασεν, οὐκ ἄλλο σῶμα πλάσας ἐνεδύσατο, ἵνα μὴ δόξῃ τὸ τοῦ Ἀδὰμ ὑβρίζειν*. ἐπειδὴ γὰρ ἀπατηθεὶς ὁ ἄνθρωπος, ὄργανον γέγονε τοῦ διαβόλου, διὰ τοῦτο αὐτὸν ὑποσκελισθέντα ἔμψυχον ἀνέλαβε ναὸν, ἵνα διὰ τῆς πρὸς τὸν πεποιηκότα συναφείας ἐκ τῆς τοῦ διαβόλου αὐτὸν ἀποσπάσῃ συνηθείας. ὅμως καὶ ἄνθρωπος γινόμενος, οὐχ ὡς ἄνθρωπος τίκτεται, ἀλλ' ὡς Θεὸς γεννᾶται. εἰ γὰρ ἐκ κοινῶν γάμων προῆλθεν, ὥσπερ ἐγὼ, ψεῦδος τοῖς πολλοῖς ἐνομίζετο. νῦν δὲ διὰ τοῦτο ἐκ παρθένου τίκτεται, καὶ τὴν μήτραν ἀναλλοίωτον τηρεῖ, καὶ τὴν παρθενίαν ἀζήμιον φυλάττει, ἵνα ὁ ξένος τῆς κυήσεως τρόπος πίστεώς μοι* γένηται πρόξενος. ὅθεν κἂν Ἕλλην με, κἂν Ἰουδαῖος ἐρωτᾷ, ὅτι ὁ Χριστὸς Θεὸς ὢν κατὰ φύσιν, ἄνθρωπος γέγονε παρὰ φύσιν, ἐρῶ· ναὶ, μάρτυρα τοῦ λόγου τὴν ἄσπιλον τῆς παρθενίας σφραγῖδα καλῶν. οὕτω γὰρ Θεός ἐστι

νικῶν

ἴσ. οὐ μόνον

γρ. ἔλαβεν

γρ. αὐξηθ.

γρ. ἐλιποβάτησε,

γρ. ἄφρονες

γρ. ἀχρήμονα

γρ. φάζουσι

γρ. φύσεως

γρ. βλαστήσαντος,

γρ. κοινὸν

γρ. ἐδήλωσεν

γρ. ἐνυβρίζειν.
* φόρημα

γρ. ἀποσπάσει

γρ. μητέρα ἄλυπον

γρ. ἄσυλον
* μεγάλης

ικὸν τῆς φύσεως τὴν τάξιν, οὕτω γαστρὸς ἐστὶ κεραμεύς, καὶ παρθενίας ἐργάτης, ὅτι καὶ ἀνύμφευτον ἔσχε τὸν τῆς γεννήσεως τρόπον, καὶ αὐτὸς ἑαυτῷ ἀφράστως ᾠκοδόμησε ναόν, ὃν ἠβουλήθη τρόπον. Εἰπέ μοι οὖν, ὦ Ἰουδαῖε, ἔτεκεν ἡ παρθένος, ἢ οὔ; εἰ μὲν γὰρ ἔτεκεν, ὁμολόγησον τὸν ξένον τόκον· εἰ δὲ οὐκ ἔτεκε, διὰ τί τὸν Ἡρώδην ἠπάτησας; σὺ γὰρ αὐτῷ πυνθανομένῳ, ποῦ ὁ Χριστὸς γεννᾶται, εἶπας, ἐν Βηθλεὲμ τῆς Ἰουδαίας. μὴ γὰρ ἐγὼ τὸν τόπον, ἢ τὴν χώραν ᾔδειν; μὴ ἐγὼ τοῦ γεννωμένου τὴν ἀξίαν ἐπεγίνωσκον; οὐχὶ δὲ Ἡσαΐας Θεὸν αὐτὸν ἐμνημόνευσε; Τέξεται γάρ, φησιν, υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. οὐχ ὑμεῖς οἱ ἀγνώμονες ἐχθροί, τὴν ἀλήθειαν εἰσηγήσασθε; οὐχ ὑμεῖς οἱ γραμματεῖς, καὶ Φαρισαῖοι, οἱ ἀκριβεῖς τοῦ νόμου φύλακες, πάντα τὰ καθ' ἑαυτὸν ἡμᾶς ἐδιδάξατε; μὴ οὖν ἡμεῖς τὴν Ἑβραίων γλῶτταν ᾔδειμεν; οὐχ ὑμεῖς τὰς γραφὰς ἡρμηνεύσατε μετὰ τὸ τεκεῖν τὴν παρθένον, καὶ πρὸ τοῦ τεκεῖν, ἵνα μὴ δόξῃ πρὸς χάριν τοῦ Θεοῦ ἑρμηνεύεσθαι τὸ λεγόμενον; οὐχ ὑμεῖς παρὰ Ἡρώδου ἀπαιτούμενοι, ποῦ ὁ Χριστὸς γεννᾶται, Μιχαίαν τὸν προφήτην μάρτυρα προσηγάγετε, ἵνα ὑμῶν τὸν λόγον κυρώσητε; Καὶ σὺ γάρ, φησι, Βηθλεὲμ οἶκος τοῦ Ἐφραθά, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα. ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὃς ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ. καλῶς εἶπεν ὁ προφήτης, ἐκ σοῦ ἐξελεύσεται. ἐξ ὑμῶν γὰρ ἐξῆλθε, καὶ εἰς τὴν οἰκουμένην εἰσῆλθε. καλῶς εἶπεν, ἐξελεύσεται. ὁ ὢν γὰρ προέρχεται, ὁ δὲ μὴ ὢν κτίζεται. αὐτὸς δὲ καὶ πρώην, καὶ ἀεὶ ἦν. ἀλλ' ἦν μὲν ἀεί, ὡς Θεὸς διέπων τὸν κόσμον, σήμερον δὲ προῆλθεν ὡς ἄνθρωπος· καὶ ὡς ἄνθρωπος μέν, τὸν λαὸν ποιμαίνων, ὡς Θεὸς δέ, τὴν οἰκουμένην διασώζων. ὢ πολεμίων χρηστῶν, ὢ κατηγόρων φιλανθρώπων. αὐτοὶ τὸν ἐν Βηθλεὲμ λανθάνοντα Θεὸν ἔδειξαν· αὐτοὶ τὸν ἐν φάτνῃ κρυπτόμενον δεσπότην ἐγύμνωσαν· αὐτοὶ τὸν ἐν σπηλαίῳ καθήμενον ἐμήνυσαν· ἐδίδαξαν ἄκοντες, εὐηργέτησαν μὴ βουλόμενοι. εἶδες ἀμαθεῖς διδασκάλους; ἃ διδάσκουσιν, οὐ γινώσκουσι. πεινῶντες τρέφουσι, διψῶντες ποτίζουσι, πενόμενοι πλουτίζουσι. δεῦτε οὖν ἑορτάσωμεν, δεῦτε πανηγυρίσωμεν. ξένος γὰρ ὁ τῆς ἑορτῆς τρόπος, ἐπειδὴ καὶ παράδοξος ὁ τῆς γεννήσεως λόγος· σήμερον ὁ χρόνιος ἐλύθη δεσμός, ὁ διάβολος ἠχρειώθη, οἱ δαίμονες ἐδραπέτευσαν, ὁ θάνατος ἐλύθη, ὁ παράδεισος ἀνεῴχθη, ἡ κατάρα ἠφανίσθη, ἡ ἁμαρτία δὲ ἐκποδὼν γέγονεν, ἡ πλάνη ἀπηλάσθη, ἡ ἀλήθεια ἐπανῆλθε, τῆς εὐσεβείας ὁ λόγος διεσπάρη καὶ ἔδραμεν, ἡ τῶν ἄνω πολιτεία ἐν γῇ ἐφυτεύθη, ἄγγελοι μετὰ ἀνθρώπων κοινωνοῦσιν, ἄνθρωποι μετὰ ἀγγέλων ἀδεῶς διαλέγονται. διὰ τί; ἐπειδὴ Θεὸς ἐπὶ γῆς ἦλθε, καὶ ἄνθρωπος ἐν οὐρανῷ, πάντα ἀναμὶξ γέγονεν. ἦλθε γὰρ ἐπὶ τῆς γῆς ὅλος ὢν ἐν οὐρανῷ· ὅλος δὲ ὢν ἐν οὐρανῷ, ὅλος ἐστὶν ἐπὶ γῆς. Θεὸς ὤν, γέγονεν ἄνθρωπος, οὐκ ἀρνησάμενος τὸ εἶναι Θεός. λόγος ὢν ἀπαθής, σὰρξ ἐγένετο· διὰ τὸ ἐνοικῆσαι ἡμῖν, σὰρξ ἐγένετο. Θεὸς γὰρ οὐκ ἐγένετο, ἀλλ' ἦν. διὰ τοῦτο σὰρξ ἐγένετο, ἵνα, ὃν οὐκ ἐχώρει ὁ οὐρανός, σήμερον δέξηται φάτνη. διὰ τοῦτο ἐν φάτνῃ τίθεται, ἵνα ὁ τρέφων τὰ πάντα, παιδίου τροφὴν παρὰ μητρὸς παρθένου λάβῃ· διὰ τοῦτο ὁ τῶν μελλόντων αἰώνων πατήρ, ὡς ὑπομάζιον βρέφος παρθενικῶν ἀγκαλῶν ἀνέχεται, ἵνα καὶ μάγοις εὐπρόσιτος γένηται. σήμερον γὰρ μάγοι προσῆλθον ἀρχὴν λαβόντες ἀρνήσασθαι τὸν τύραννον, καὶ οὐρανὸς καυχᾶται ἀστέρι τὸν ἴδιον δεσπότην μηνύων· καὶ ὁ Κύριος ἐπὶ νεφέλης κούφης τοῦ σώματος καθεζόμενος, ἐπὶ τὴν Αἴγυπτον τρέχει, τῷ μὲν δοκεῖν, φεύγων τὴν Ἡρώδου ἐπιβουλήν, τῇ δὲ ἀληθείᾳ, πληρῶν τὸ παρὰ Ἡσαΐου εἰρημένον· Καὶ ἔσται, φησίν, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ Ἰσραὴλ τρίτος ἐν τοῖς Αἰγυπτίοις καὶ τοῖς Ἀσσυρίοις. εὐλογημένος ἔσται ὁ λαός μου ἐν γῇ, ἣν ηὐλόγησε Κύριος, λέγων· εὐλογημένος ἔσται ὁ λαός μου ὁ ἐν Αἰγύπτῳ, καὶ ὁ ἐν Ἀσσυρίοις, καὶ ὁ ἐν Ἰσραήλ. τί λέγεις, ὦ Ἰουδαῖε; ὁ πρῶτος, τρίτος γέγονας; Αἰγύπτιοι καὶ Ἀσσύριοι προτάσσονται, καὶ ὁ πρωτότοκος υἱὸς [illegible]; ναί, εἰκότως καὶ Ἀσσύριοι προτάσσονται, καὶ Αἰγύπτιοι, καὶ ὁ πρωτότοκος

Ματθ. β.

Ησ. ζ. ιδ.

Ματθ. α. κγ.

Μιχ. ε. β.

Ησ. ιθ. κδ.

τότοκος Ἰσραὴλ ὑπαριθμεῖται· ἐπειδὴ καὶ πρῶτοι αὐτοὶ σήμερον διὰ τῶν μάγων αὐτῷ προσεκύνησαν· Αἰγύπτιοι δὲ μετὰ τοὺς Ἀσσυρίους, ἐπειδὴ καὶ αὐτοὶ φεύγοντα αὐτὸν τὴν Ἡρώδου ἐπιβουλὴν ἐδέξαντο. τελευταῖος δὲ Ἰσραὴλ ὑπηρίθμηται, ἐπειδὴ μετὰ τὴν ἄνοδον τὴν ἐκ τοῦ Ἰορδάνου, ὀψὲ τότε διὰ τῶν ἀποστόλων αὐτὸν ἐπέγνωσαν. Εἰς Αἴγυπτον εἰσῆλθεν ὁ σείων τὰ χειροποίητα τῆς Αἰγύπτου, οὐχ ἁπλῶς, ἀλλ' ἐπειδὴ ἀπέκλεισε τῆς Αἰγυπτίας γῆς τὰ πρόθυρα τῇ τῶν πρωτοτόκων ἀπωλείᾳ. διὰ τοῦτο* εἰσῆλθεν ὡς πρωτότοκος, ἵνα τῆς παλαιᾶς στυγνότητος διαλύσῃ τὸ πένθος. καὶ ὅτι πρωτότοκος λέγεται ὁ Χριστός, μαρτυρεῖ σοι σήμερον Λουκᾶς ὁ εὐαγγελιστὴς λέγων· ἔτεκε, φησί, τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ φάτνῃ, διότι οὐκ ἦν τόπος αὐτοῖς ἐν τῷ καταλύματι. εἰσῆλθεν οὖν εἰς τὴν Αἴγυπτον, ἵνα τῆς παλαιᾶς στυγνότητος διαλύσῃ τὸ πένθος, ἀντὶ μαστίγων χαρὰν ἐπιβαλών, ἀντὶ νυκτὸς καὶ σκότους σωτηρίας φέγγος χαρισάμενος. βέβηλον ἦν τότε τοῦ Νείλου τὸ ὕδωρ τῇ τῶν ἀώρων παιδίων σφαγῇ· εἰσῆλθεν οὖν εἰς τὴν Αἴγυπτον ὁ πάλαι τὸ ὕδωρ φοινίξας, καὶ ἐποίησε τὰ ῥεῖθρα τοῦ ποταμοῦ σωτηρίας γεννητικά, τὸ ἐναγὲς αὐτῶν καὶ βέβηλον τῇ δυνάμει καθαρίσας τοῦ πνεύματος. ἐκακώθησαν οἱ Αἰγύπτιοι, καὶ μανέντες ἠρνοῦντο τὸν Θεόν. εἰσῆλθε τοίνυν εἰς τὴν Αἴγυπτον, καὶ γνώσεως Θεοῦ ψυχὰς φιλοθέους πληρώσας, παρέσχεν αὐτὸν τὸν Νεῖλον μάρτυρας τρέφειν ἀσταχύων εὐφορωτέρους. ἀλλὰ διὰ τὸ στενὸν τοῦ καιροῦ ἐνταῦθα καταπαύσω τὸν λόγον, τὸ λειπόμενον ὑμῖν τῆς πραγματείας τῇ ἑξῆς ταμιευσάμενος, ὅτι πῶς λόγος ὢν ἀπαθής, σὰρξ ἐγένετο, ἀμεταβλήτου μενούσης τῆς φύσεως. τί γὰρ εἴπω, ἢ τί λαλήσω; τέκτονα καὶ φάτνην ὁρῶ, καὶ βρέφος, καὶ λοχὸν παρθένου, ὅλα πτωχείας ἐχόμενα, ὅλα πενίας γέμοντα. εἶδες πλοῦτον ἐν πενίᾳ πολλῇ, πῶς πλούσιος ὢν ἐπτώχευσε δι' ἡμᾶς, πῶς οὔτε κλίνην, οὔτε στρωμνὴν εἶχεν, ἀλλ' ἐπὶ ξηρᾶς ἐρρίπτετο φάτνης; ὦ πενία πλούτου πηγή, ὦ πλοῦτε ἀμέτρητε πενίας πρόσχημα φέρων. ἐν φάτνῃ κεῖται, καὶ τὴν οἰκουμένην σαλεύει· σπαργάνοις ἐμπέπλεκται, καὶ τὰ τῆς ἁμαρτίας διαρρήσσει δεσμά· οὔπω ἔναρθρον ἔρρηξε φωνήν, καὶ τοὺς μάγους ἐδίδασκε. τί εἴπω, ἢ τί λαλήσω; ἰδοὺ βρέφος ἐν σπαργάνοις ἐμπέπλεκται, καὶ ἐν φάτνῃ κεῖται· πάρεστι δὲ καὶ ἡ Μαρία, παρθένος οὖσα, καὶ λοχὸς, καὶ μήτηρ· παραμένει δὲ καὶ Ἰωσὴφ ὁ ὀνομαζόμενος πατήρ· ἐκεῖνος ἀνὴρ λέγεται, ἐκείνη γυνὴ προσαγορεύεται· ὀνόματα ἔννομα συζυγίας ἔρημα. μέχρι λόγων νόησαί μοι, ἀλλ' οὐ μέχρι πραγμάτων. ἐκεῖνος ἐμνηστεύσατο, καὶ τὸ πνεῦμα τὸ ἅγιον* ἐπεσκίασεν. ὅθεν ἀπορῶν Ἰωσήφ, οὐκ ᾔδει τί καλέσει τὸ βρέφος. ἐκ μοιχείας αὐτὸ εἰπεῖν οὐκ ἐτόλμα, διὰ τὸ μὴ βλάσφημον κατὰ τῆς παρθένου καταχέειν λόγον· τέκνον αὐτὸν εἰπεῖν ἴδιον οὐκ ἠνείχετο. ᾔδει γὰρ ἀκριβῶς, ὅτι οὐκ ἔγνω πῶς, ἢ πόθεν ἐτέχθη τὸ βρέφος· ὅθεν ἀποροῦντι αὐτῷ πρὸς τὸ πρᾶγμα, χρησμὸς οὐρανόθεν διὰ τῆς τοῦ ἀγγέλου γλώττης ἐφέρετο· Μὴ φοβοῦ, Ἰωσήφ· τὸ γὰρ γεννώμενον ἐξ αὐτῆς, ἐκ πνεύματός ἐστιν ἁγίου. πνεῦμα γὰρ ἅγιον ἐπεσκίασεν ἐν τῇ παρθένῳ. διὰ τί δὲ ἐκ παρθένου τίκτεται, καὶ* τὴν παρθενίαν ἀζήμιον διατηρεῖ; διὰ τί; ἐπειδὴ τότε παρθένον οὖσαν τὴν Εὔαν ὁ διάβολος ἠπάτησε, διὰ τοῦτο νῦν παρθένον οὖσαν τὴν Μαριὰμ ὁ Γαβριὴλ εὐηγγελίσατο. ἀλλ' ἀπατηθεῖσα ἡ Εὔα ῥήματα ἔτεκε θανάτου, εὐαγγελισθεῖσα Μαρία λόγον ἐν σαρκὶ ἔτεκε ζωῆς αἰωνίου ἡμῖν πρόξενον. τὸ ῥῆμα τῆς Εὔας ξύλον ἔδειξε, δι' οὗ τὸν Ἀδὰμ ἐκ τοῦ παραδείσου ἐξήγαγεν· ὁ λόγος δὲ ὁ ἐκ παρθένου σταυρὸν ἔδειξε, δι' οὗ τὸν λῃστὴν εἰς πρόσωπον τοῦ Ἀδὰμ εἰς τὸν παράδεισον εἰσήγαγεν. ἐπειδὴ γὰρ οὐκ ἐπίστευον, οὐχ Ἕλληνες, οὐκ Ἰουδαῖοι, οὐχ αἱρετικῶν παῖδες, ὅτι ὁ Θεὸς ἀπαθῶς καὶ ἀρρεύστως ἐγέννησε, διὰ τοῦτο σήμερον ἐκ παρθένου σώματος προελθών, τὸ παθητὸν διετήρησε σῶμα· ἵνα δείξῃ, ὅτι ὥσπερ ἐκ παρθένου τεχθείς, τὴν παρθενίαν ἀζήμιον διετήρησεν, οὕτω καὶ ὁ Θεός, ἀρρεύστου καὶ ἀναλλοιώτου μενούσης τῆς φύσεως, ὡς Θεὸς Θεὸν θεοπρεπῶς ἐγέννησεν. ἐπειδὴ οἱ ἄνθρωποι καταλιπόντες τὸν Θεόν, ἀνθρωπόμορφα ἔγλυψαν ξόανα, οἷς καὶ ἐλάτρευον ἐφ' ὕβρει τοῦ κτίσαντος, διὰ τοῦτο σήμερον ὁ τοῦ Θεοῦ

γρ. [illegible]

* σήμερον

γρ. βρεφῶν

γρ. ἐκίνησε πρὸς τὴν ἐπιστροφὴν τοῦ Θεοῦ.

γρ. ὁ ἀγγε

* αὐτῇ

Ματθ. α. ιη.

* [illegible]

γρ. τοῦ παθητ

γρ. οὐκ ἐν υσυ

γρ. ἁγίας οὐσίας

Θεοῦ λόγος ἐν μορφῇ ἀνθρώπου ὤφθη, ἵνα καὶ τὸ ψεῦδος λύσῃ, καὶ λανθανόντως εἰς ἑαυτὸν τὴν λατρείαν ἀπενέγκηται. τῷ οὖν ἡμῖν ἐξ ἀπόρων πόρον ἐργασαμένῳ Χριστῷ ἡ δόξα ἀναπέμπεται, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ρλδ. ΕΙΣ ΤΗΝ ΕΝΑΝΘΡΩΠΗΣΙΝ ΤΟΥ ΚΥΡΙΟΥ ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ὅτι ἑκάστῳ κλίματι ἐφεστήκασιν ἄγγελοι.

Edita ex Ms. Coll. Novi Oxon. emendat. ex Ms. Reg. Lut. et Bibliotheca Photij p. 843.

Μηνὸς Δεκεμβ. κε.

ΟΝτως ἐπεφάνη ἡμῖν ἡ χάρις τοῦ Χριστοῦ, καὶ συνεξέλαμψεν ἡμῖν τῆς εὐσεβείας ἡ δύναμις· ὄντως ἀνέτειλεν ἡμῖν ὁ τῆς δικαιοσύνης ἥλιος, καὶ μαρτυρεῖ φωτισθέντα τῆς οἰκουμένης τὰ πέρατα. ἐπεφάνη γὰρ ὁ τῶν οὐρανῶν δεσπότης, καὶ πᾶσαν τὴν γῆν, ὡς ἠθέλησεν, εἰς οὐρανὸν μετεποίησε, καθὼς προείρηται· ἐν ὑμῖν ἐπουράνιος ὢν ἐπουρανίους ἀπεργάζεται, καὶ ἐπουράνια τοῖς ἐπουρανίοις χαρίζεται· παρὰ τοῦ πιστοῦ τοῖς πιστοῖς τὰ πιστὰ, παρὰ τοῦ ἁγίου τοῖς ἁγίοις τὰ ἅγια, παρὰ τοῦ ζῶντος τοῖς ζῶσι τὰ ζῶντα. ταῦτα γὰρ ὑμῖν ἐν ταῖς ἱεραῖς καὶ βασιλικαῖς τῶν ἀποστόλων αὐλαῖς εἰσηγούμεθα, ὅτε τῶν προφητικῶν ἡψάμεθα νοημάτων, ὅτε οὐρανὸς καὶ γῆ ἐμερίζοντο τὰς φωνὰς τῶν προφητῶν· γῆ μὲν ἔχουσα τὸν Ἰωάννην λέγοντα, Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ· οὐρανὸς δὲ ἔχων τοῦ πατρὸς τὴν φωνὴν ἐπὶ τοῖς ἔργοις βεβαιουμένην, ὅτι Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων. ταῦτα ὑμῖν ὑπεθέμεθα· ἀρκεῖ δὲ ταῦτα καὶ τοῖς σπουδαίοις εἰς ὑπόμνησιν, καὶ τοῖς πιστοῖς εἰς βεβαίωσιν. δεῖ δὲ εἰδέναι ὅτι ἡ τῶν ἀγαθῶν ἐπανάληψις βεβαιοτέρας ὑμῶν τὰς ψυχὰς ἀπεργάζεται. ὥσπερ γὰρ τὴν γῆν ὁρῶμεν τότε μάλιστα καλῶς γεωργουμένην, ὅταν τοῖς αὐτοῖς ἀρότροις διευθύνηται, καὶ τὴν προτέραν ἐπιφάνειαν ἡ δευτέρα καταλαβοῦσα κοσμήσῃ, οὕτω καὶ τὴν ψυχὴν ἀροτριωμένην τῷ θείῳ λόγῳ, ἐὰν ὑπόμνησις τῶν προειρημένων εἰσελθοῦσα ἀνανεώσῃ τὴν διάνοιαν, καὶ γονιμωτέραν τὴν ψυχὴν ἀπεργάζεται εἰς τὴν τῆς ἀρετῆς καρποφορίαν. καιρὸς δὲ ἡμῖν ἐπὶ τὴν ὀφειλὴν ὑπαντῆσαι, ὀφειλὴν ἣν καὶ αὐτοὶ ὑπεσχόμεθα, καὶ ὑμεῖς ἐν διανοίᾳ φέρετε. ἀξιῶ δὲ πάντας τοὺς φιλοχρίστους ὑπέχειν καὶ τὰς ἀκοὰς καὶ τὴν διάνοιαν, ἵνα ἡ μὲν ἀκοὴ ἀπαραλήπτως δέχηται τὰ λεγόμενα, ἡ δὲ διάνοια ἀκριβῶς ἐξετάζῃ τὰ νοήματα. περὶ Χριστοῦ γὰρ ὁ λόγος ἐστί· πᾶν δὲ περὶ Χριστοῦ λεγόμενον, οὐκ ἔστιν ἁπλοῦν κήρυγμα, ἀλλ' εὐσεβείας μυστήριον· πᾶσα ἡ τοῦ Χριστοῦ οἰκονομία, μυστήριον ὀνομάζεται· τὸ δὲ μυστήριον οὐκ ἐν τῷ γράμματι φαίνεται, ἀλλ' ἐν τῷ πράγματι κρύπτεται. διὰ τοῦτο ἡ γραφὴ πᾶσαν τοῦ Χριστοῦ τὴν οἰκονομίαν μυστήριον καλεῖ, ὡς ὅταν λέγῃ Παῦλος, Τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν· καὶ πάλιν, Ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον, ὃ ἐφανερώθη ἐν σαρκί· καὶ πάλιν, κατὰ ἀποκάλυψιν ἐγνωρίσθη μοι τὸ μυστήριον, καθὼς δύνασθε ἀναγινώσκοντες νοῆσαι τὴν σύνεσίν μου ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ· καὶ ἀλλαχοῦ, ἐμοὶ δὲ τῷ ἐλαχιστοτέρῳ πάντων τῶν ἁγίων ἐδόθη ἡ χάρις αὕτη εὐαγγελίσασθαι ὑμᾶς τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ καὶ φωτίσαι πάντα, Τίς ἡ οἰκονομία τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων, καὶ ἀπὸ τῶν γενεῶν· νῦν δὲ ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ, οἷς ἠθέλησεν ὁ Θεὸς γνωρίσαι, τίς ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου αὐτοῦ ἐν τοῖς ἔθνεσιν, ὅ ἐστι Χριστὸς, ἡ ἐλπὶς τῆς δόξης. τοίνυν σφάλλονται αἱρετικῶν παῖδες, μυστήριον Θεοῦ λογισμοῖς ὑποβάλλοντες ἀνθρωπίνοις. λέγει γάρ, Τὸ μυστήριόν μου ἐμοὶ καὶ τοῖς ἐμοῖς. τίνες δὲ οἱ τοῦ Θεοῦ; ἢ δῆλον ὅτι οἱ πιστοί. ὅταν θέλῃς τι περὶ Χριστοῦ μαθεῖν ἢ ἀκοῦσαι, μὴ ἐπερωτήσῃς λογισμόν, μὴ ἐξετάσῃς σοφόν, ἀλλ' ἐρώτησον προφήτην, ἐρώτησον ἀπόστολον, ἐξέτασον ἄγγελον· ἐὰν ἀπορήσωσι

Ματθ. γ. γ.

Ψαλ. κη. γ.

Ἐφ. ε. λβ.

α. Τιμ. γ. ιϛ.

Κολοσ. α. κϛ.

Ησ. κδ. ιϛ.

σωσιν οὗτοι, ἐπὶ τὸν πατέρα δράμε. ἐὰν ἐρωτήσῃς προφήτας, καὶ εἴπῃς, τίς ἐστιν αὐτὸς ὁ Χριστός,
ἀποκρίνεταί σοι ὁ προφητικὸς χορὸς λέγων· οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος
Βαρ. γ. κγ. πρὸς αὐτόν· Ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ
Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις
συνανεστράφη. ἐὰν δὲ ἐρωτήσῃς, τίς ἐστιν αὐτὸς ὁ Χριστός, καὶ πῶς ἐγεννήθη πολυπραγμονῶν
τὸ θεῖον γέννημα, ἐπιστομίζουσί σου τὴν παρρησίαν οἱ προφῆται, καὶ ἄρχονται λέγειν· ἃ μὴ
ἐχώρησεν ὁ ἡμέτερος λογισμός, σὺ χωρεῖς; ἐὰν θέλῃς μαθεῖν, μάθε ὅτι Θεός. Εἰ δὲ ὅπως
ἐγεννήθη πολυπραγμονεῖς, μάθε παρ' ἡμῶν, Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ἐὰν ἐρωτήσῃς
Ησ. νγ. η. ἀπόστολον, λέγω δὴ τὸν ἀποστολικὸν χορόν, ἐροῦσί σοι ὅτι ὁ Χριστὸς Θεός, ἐν ἀρχῇ Θεός,
καὶ πρὸς τὸν Θεὸν Θεός, καὶ ἀεὶ Θεός· ἐροῦσί σοι, Ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς
Εβρ. α. γ. ὑποστάσεως, Εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, φέρων τὰ σύμπαντα τῷ ῥήματι τῆς δυνάμεως
αὐτοῦ. ἐὰν ἐρωτήσῃς πῶς ὁ ὢν ἐγεννήθη, ἐροῦσί σοι, τὸ μὲν ἠκούσαμεν, καὶ ὅτι μὲν ἐμάθομεν·
τὸ δὲ πῶς ἐστιν ἐκ τοῦ ὄντος ὁ ὤν, πίστει παρειλήφαμεν, οὐ καταλήψει. πάλιν, ἐὰν αὐτοὺς ἐρωτήσῃς,
Εἰ τοίνυν μὴ οἴδατε πῶς ἐγεννήθη, πῶς οἴδατε ὅτι υἱὸς Θεοῦ ἐστιν, ἐροῦσί σοι· Ὁ λόγος
Ιωαν. α. ιδ. σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς
παρὰ πατρός, πλήρης χάριτος καὶ ἀληθείας. πάλιν, ἐὰν τοὺς ἀποστόλους καταλιπὼν καὶ τοὺς
προφήτας, δράμῃς ἐπὶ τοὺς ἀγγέλους, καὶ εἴπῃς αὐτοῖς, τίς ἐστιν αὐτὸς ὁ Χριστὸς ὁ κηρυττόμενος,
ἐροῦσί σοι οἱ εὐαγγελισάμενοι τοὺς ποιμένας, ἡμεῖς δοξάζειν ἐμάθομεν, οὐ πολυπραγμονεῖν,
Λουκ. β. ιδ. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ τῆς γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. ἡμεῖς οὕτως
αὐτὸν κηρύττομεν, εὐαγγελιζόμεθα ὑμᾶς χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ, ὅτι
ἐτέχθη ὑμῖν σήμερον σωτήρ, ὅς ἐστι Χριστὸς Κύριος, ἐν πόλει Δαβίδ. καὶ ὅτι Χριστός, καὶ γρ. ἡμῶν
ὅτι σωτὴρ καὶ Κύριός ἐστιν, ἐπιστάμεθα. ἐὰν δὲ εἴπῃς αὐτοῖς, Εἴπατε ἡμῖν τίς ἡ φύσις
αὐτοῦ, ἢ πῶς ἐγεννήθη, ἢ πῶς ἐστι μετὰ τοῦ πατρὸς ἡ ἀδιαίρετος δύναμις, ἐροῦσί σοι,
Ψαλ. ρμη. α. β. οὐκ ἤκουσας τοῦ προφήτου λέγοντος, Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς
ὑψίστοις, αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ
αὐτοῦ, ποιοῦντες τὸ θέλημα αὐτοῦ. ἡμεῖς θέλημα ποιεῖν ἐκελεύσθημεν, οὐ φύσιν πολυπραγμονεῖν.
ἀλλὰ ἄρα μή, ἄγγελοι μὲν σιωπῶσι, καὶ προφῆται οὐκ ἀπαγγέλλουσι, καὶ
ἀπόστολοι ταμιεύονται, ὁ δὲ πατὴρ ὁ γεννήσας κηρύττει τὸν υἱὸν πῶς ἐγέννησεν; οὐδὲ αὐτός· οὐ
τῷ μὴ εἰδέναι, ἀλλὰ τῷ μὴ ἐκφῆναι. ὅτι ἐγέννησε, λέγει· Ἐκ γαστρὸς πρὸ ἑωσφόρου
Ψαλ. ρθ. γ. ἐγέννησά σε. λέγει ὅτι ἐγέννησε, καὶ οὐ κρύπτει τὸ ἀθάνατον ἐκεῖνο γέννημα τὸ ἐκ τῆς ἀϊδίου
ῥίζης ἀνθῆσαν, ὡς μαρτυρεῖ περὶ αὐτοῦ λέγων ὁ πατήρ· Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ
Ματθ. γ. ιζ. ηὐδόκησα. αὐτῷ λέγει, ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε, τῷ κόσμῳ λέγει, ἐγέννησα,
καὶ φύσιν μὲν ἐπαγγέλλει, τὸν δὲ τρόπον οὐκ ἑρμηνεύει. ἐπεὶ τοίνυν πρόκειται ἡμῖν περὶ Χριστοῦ
ἀναγκαία ζήτησις, μὴ ἐκβῶμεν τῶν ἀποστολικῶν καὶ προφητικῶν πηγῶν, ἀλλ' ἐξ ἐκείνων
τῶν ἀενάων ῥείθρων καὶ τῶν ἀθανάτων ποταμῶν ἀρυσώμεθα τὰ θεῖα νάματα τῆς ἐνθέου
διδασκαλίας. ὅταν γάρ τις τὰ τοῦ Θεοῦ φθέγγηται, ἀπὸ τῶν τοῦ Θεοῦ, ὡς ἀπὸ ζώσης πηγῆς,
Ιερ. β. ιγ. ζῶντα ἀρύεται νάματα κατὰ τὸ εἰρημένον, Ἐμὲ ἐγκατέλειπον πηγὴν ὕδατος ζῶντος· καὶ γρ. προειρημένον
Ησ. ιβ. γ. πάλιν, Πίνε ὕδατα ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. ἐὰν μέντοι καταλιπόντες τὰς γραφὰς ἐπιθυμίαις
δουλεύσωμεν ἀνθρωπίνων λογισμῶν, ἐκεῖνα νοοῦντες, ἃ λογισμοῖς ὑποβάλλει,
εὑρίσκεται ἡμῖν τὰ ὕδατα τῆς διδασκαλίας, ἐρήμου ὕδατα· οὐ ζῶντος ποταμοῦ, ἀλλ' ἐρήμου.
Ιερ. λα. θ. καθὼς ἔλεγεν ὁ μακάριος Ἱερεμίας πρὸς τὴν Ἱερουσαλήμ· Ἐπλάτυνε τὰς ὁδοὺς
αὐτῆς ἐπὶ ὕδατα ἐρήμου. καὶ ἵνα ἑρμηνεύσῃ ὃ λέγει, ἐπάγει, ἐν ἐπιθυμίαις ψυχῆς αὐτῆς
ἐπνευματοφορεῖτο, τουτέστιν, ἐκεῖνα ἐλάλει ἃ ἐπεθύμει ἡ ψυχὴ αὐτῆς, οὐχὶ ἃ ἤθελεν ὁ
Θεός. οὕτω καὶ νῦν ὁ τὰς ἐπιθυμίας τῶν οἰκείων λογισμῶν πληρῶν, καὶ μὴ τὰ τοῦ Θεοῦ ζητῶν,

τῶν, ἐπὶ ὕδατα ἐρήμου πλανᾶται. οὐδὲν οὕτως ἐκκλησίας ἀφανίζει κάλλος, ὡς τὸ ἐπιθυμίας ἀνθρωπίνων λογισμῶν βεβαιοῦν. διὰ τοῦτο Παῦλος περὶ τῶν αἱρετικῶν ἔλεγε· Κατὰ τὰς ἰδίας αὐτῶν ἐπιθυμίας ἐπισωρεύουσιν ἑαυτοῖς διδασκάλους. ἔλθωμεν τοίνυν ἐπὶ τὴν ὀφειλήν. ταῦτα δὲ ἀναγκαίως προεισοποιησάμεθα ὑμῶν τὴν ἀγάπην, ἵνα πάντων τῶν λεγομένων τὴν ἀκριβῆ ἐξέτασιν ζητῆτε μὴ παρ' ἡμῶν καὶ τῶν ἡμετέρων λογισμῶν, ἀλλὰ παρὰ τῶν θείων γραφῶν. προὔκειτο ἡμῖν δεῖξαι πῶς ὁ Χριστὸς ἀνακαινίζει τὸν κόσμον, πῶς τὸν ἄνθρωπον παλαιωθέντα ἐν τῷ παραδείσῳ διὰ τὴν ἁμαρτίαν ἀνακαινίζει Χριστὸς διὰ τῆς ἑαυτοῦ οἰκονομίας. ταύτην δὲ τὴν ὑπόσχεσιν ἐποιησάμεθα ἐν ταῖς ἱεραῖς τῶν ἀποστόλων αὐλαῖς, ταμιευσάμενοι τὴν ἀπόδοσιν, διὰ τὸ μὴ πάντας παρεῖναι. λάβωμεν δὲ ἀρχὴν ὁμολογουμένην καὶ πρέπουσαν τῷ λόγῳ, τὴν δημιουργίαν. ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. ἀρχὴ γὰρ πρέπουσα τῶν μελλόντων λέγεσθαι, ἡ πρώτη κρηπὶς τοῦ κόσμου, ὁ πρῶτος θεμέλιος τῆς δημιουργίας. ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς. ἵνα συντέμω, καὶ τὰ μὲν ἄλλα πάντα λόγῳ παρήγαγεν, ἀβίαστον ἔχων τὸ νεῦμα, καὶ οὔτε κόπον ὑπομένων, οὔτε ἱδρῶτα ὑφιστάμενος, ἀλλὰ τῷ λέγειν ἀκολουθοῦσαν ἔχων τὴν φύσιν τῶν λεγομένων. ἐποίησε τὴν δημιουργίαν ἅπασαν, καὶ ἐπὶ τέλει τὸ τῆς δημιουργίας κάλλος τὸν ἄνθρωπον. ὥσπερ γὰρ ὅλον τὸ σῶμα τὸ ἡμέτερον ἐκτὸς τοῦ προσώπου νεκρὸν φαίνεται, οὕτω πᾶσα ἡ δημιουργία ἡ φαινομένη ἐκτὸς τῆς τοῦ ἀνθρώπου κατασκευῆς νεκρά ἐστι. καὶ ὅπως ἄκουε. λαμπρὸς ὁ ἥλιος, ἀλλ' ἑαυτὸν ἑρμηνεῦσαι οὐ δύναται· λαμπρὰ ἡ σελήνη, ἀλλὰ τὰς ἑαυτῆς τροπὰς οὐκ αὐτὴ ἐπαίδευσεν, ἀλλὰ λόγος παρέδωκε· λαμπρὰ τῶν ἄστρων ἡ τάξις, ἀλλὰ οὐδὲ τούτων ῥυθμοὺς διδασκαλία παρέδωκε· μεγάλη ἡ θάλασσα, ἀλλὰ οὐδὲ ἐν αὐτῇ κόλπους ἀνθρωπίνη γλῶσσα παρέδωκε. καὶ οὐδέν ἐστι τῶν ἐν τῷ κόσμῳ γινομένων, ὃ μὴ δεῖται ἑρμηνέως τῆς ἀνθρωπίνης φωνῆς. οὕτω πως καὶ τὸ φαινόμενον ἄτοπον δειχθῆναι ὄντως κακόν, καὶ τὸ καλὸν δειχθῆναι ὄντως καλόν. πολλὰ γὰρ ἀπατᾶται ἡ ὄψις, καὶ πλανᾷ τὴν διάνοιαν· λόγος δὲ εἰσελθὼν δείκνυσι τὴν φύσιν, ὑποβάλλει τὴν δύναμιν, ἑρμηνεύει τὴν διδασκαλίαν. προσέχετε τοίνυν. ἐποίησεν ὁ Θεὸς τὴν δημιουργίαν ἅπασαν, καὶ ἐπὶ τέλει τῆς δημιουργίας τὸν ἄνθρωπον εἰργάσατο κατ' εἰκόνα ἑαυτοῦ καὶ ὁμοίωσιν, εἰκόνα αὐτῷ χαρισάμενος, οὐ τὸν χαρακτῆρα τοῦ σώματος, ἀλλὰ τὸ ἀρχικὸν ἀξίωμα, τὴν διακριτικὴν δύναμιν, τὸ ταῖς ἀρεταῖς ἀφομοιοῦσθαι τῷ ποιήσαντι. ἐγένετο τοίνυν ἐν εἰκόνι καὶ ὁμοιώματι Θεοῦ ὁ ἄνθρωπος· ἐξέτεινε δὲ τὴν ὁμοίωσιν εἰς ἀμετρίαν. καὶ μὴ νομίσῃς ξένα εἶναι ταῦτα παρὰ τὸ προκείμενον ἡμῖν πρόβλημα. ῥίζα γὰρ τῶν μελλόντων λέγεσθαι τὰ νῦν γυμναζόμενα. ἐποίησε τὸν ἄνθρωπον ἐν εἰκόνι ἰδίᾳ καὶ ὁμοιώσει· ἠβουλήθη αὐτὸν εἰς ὁμοιότητα δραμεῖν τῆς δεσποτικῆς ἀξίας, μέτρῳ μέντοι καὶ ἀκολουθίᾳ καὶ τάξει. οἷόν τι λέγω. δεῖ γὰρ καὶ ἀπὸ τῶν κοινῶν ὑποδειγμάτων στῆσαι τὸ ζητούμενον. ἐάν τις τῶν καθ' ἡμᾶς δεσπότης ἔχῃ δοῦλον, καὶ ἴδῃ τὸν δοῦλον μιμούμενον αὐτοῦ τὴν σωφροσύνην, ἀγαπᾷ αὐτὸν καὶ τιμᾷ. ἐὰν δὲ μιμήσηται ὁ δοῦλος δεσπότου φιλανθρωπίαν, ἀγαπᾷ ὁ δεσπότης τὸ κτῆμα. ἐὰν ἴδῃ τὸν δοῦλον ἑαυτοῦ σχολάζοντα ἐν ἐκκλησίᾳ, εὐσεβοῦντα, νηστεύοντα, ἐλεημοσύνας ἐργαζόμενον, ἀγαπᾷ ὁ δεσπότης τὴν καλὴν τοῦ δούλου μίμησιν. ἐὰν μέντοι ὁ δοῦλος ἐκβάλῃ τὴν μίμησιν εἰς ἀμετρίαν, καὶ ἄρξηται μιμεῖσθαι τοῦ δεσπότου τὴν αὐθεντίαν, ἐπιτάττων τοῖς συνδούλοις ὡς δεσπότης, διασκορπίζων τὰ πράγματα ὡς δεσπότης, οὐκέτι ἡ μίμησις ἐπαινετή, ἀλλὰ ψεκτή. δεῖ γὰρ τὸν δοῦλον μιμεῖσθαι δεσπότου ἐπιείκειαν, σωφροσύνην, εὐσέβειαν, δικαιοσύνην, οὐκ αὐθεντίαν, οὐ δεσποτείαν. λαβὼν τοίνυν ὁ ἄνθρωπος τὸ μιμεῖσθαι τοῦ Θεοῦ τὴν ἀγαθότητα, ἐξέτεινε τὸ μέτρον τῆς μιμήσεως εἰς ἀμετρίαν, καὶ ἐπεθύμησε λοιπὸν τοῦ Θεοῦ ζηλωτὴς γενέσθαι, οὐ κατὰ ἀρετήν, ἀλλὰ κατὰ αὐθεντίαν. τούτῳ γὰρ ἠπάτησεν αὐτὸν ὁ

γρ. προηγωνισάμεθα

γρ. γινομένων

ὄφις λέγων, ᾗ ἂν ἡμέρᾳ φάγητε, ἔσεσθε ὡς θεοὶ, γινώσκοντες καλὸν καὶ πονηρόν. ἐπαινεῖ δὲ ὁ Θεὸς τὴν μίμησιν, ὅταν μέτρον ἔχῃ· ἐὰν δὲ τὸ μέτρον ἐξέλθῃ, ὑπὸ ψόγον ὁ μιμησάμενος. καὶ πόθεν τοῦτο; λέγει, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν. ὡμοιώθησαν τῷ Θεῷ οἱ ἀπόστολοι, καὶ οὐκ ἐμέμφθησαν· ὡμοιώθησαν τῷ Θεῷ οἱ προφῆται, καὶ οὐκ ἐψέχθησαν. μιμηταὶ ἐγένοντο φιλανθρωπίας, ἐλεημοσύνης, δικαιοσύνης, εὐσεβείας. ὡμοιώθη τις τῷ Θεῷ κατὰ αὐθεντίαν θεϊκὴν, Ησ. ιδ' ιγ. καὶ εὐθέως ἐτιμωρήθη. λέγει Ἡσαΐας πρός τινα τύραννον ἐν Βαβυλῶνι μανέντα ἰσοθεΐαν, Σὺ εἶπας ἐν τῇ διανοίᾳ σου, εἰς τὸν οὐρανὸν ἀναβήσομαι, καὶ καθήσομαι ἐπὶ τὰ ὄρη τὰ ὑψηλὰ τὰ πρὸς Βοῤῥᾶν, ἐπάνω τῶν νεφελῶν ἀναβήσομαι, καὶ ἐπάνω τῶν ἄστρων θήσω τὸν θρόνον μου, καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ· νῦν δὲ εἰς ᾅδου καταβήσῃ, εἰς τὰ θεμέλια τῆς γῆς. ὁρᾷς πῶς τὸν ἐπαρθέντα τῇ ὑπερηφανίᾳ κολάζει; ποῖος γὰρ ἦν φθόνος τὸ γενέσθαι ὅμοιον τοῦ δημιουργοῦ, εἰ κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ κτίσαντος ἐγένετο; ἀλλ' οὐκ εἶχε μέτρον τῆς ὁμοιώσεως ἡ ἄμετρος αὐτοῦ τόλμα. κατέλιπε γὰρ τῆς ἀρετῆς τὴν ὁμοίωσιν, καὶ ἔδραμεν ἐπὶ δεσποτικῆς αὐθεντίας ὁμοίωσιν. Ψαλ. πθ. κ. οὕτω καὶ ἐπὶ τοῦ Δαβὶδ λέγει, Εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαὶ, ἄνδρα κατὰ τὴν καρδίαν μου. ἰδοὺ ὁμοίωσις κατ' εἰκόνα. ἐπειδὴ ἦν ὁ λογισμὸς τοῦ Δαβὶδ πρὸς Θεὸν βλέπων, ἐπιεικείας μεστὸς, ταπεινοφροσύνης γέμων, δικαιοσύνης φροντίζων, καὶ φιλανθρωπίας ἀντεχόμενος, εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαὶ, ἄνδρα κατὰ τὴν καρδίαν μου. καὶ τὸν μὲν καλῶς μιμησάμενον καρδίαν Θεοῦ ἐπῄνεσεν, ἄλλον δὲ τύραννον μιμησάμενον Θεοῦ καρδίαν οὐ κατὰ ἀρετὴν, ἀλλὰ κατὰ δεσποτείαν ἔψεξε, μᾶλλον δὲ καὶ ἐκόλασε. καὶ λέγει ὁ Θεὸς Ιεζ. κη. β. διὰ τοῦ Ἰεζεκιήλ· Καὶ σὺ, υἱὲ ἀνθρώπου, εἰπὸν τῷ ἄρχοντι Τύρου, ἀνθ' ὧν ὑψώθη ἡ καρδία σου, καὶ εἶπας, Θεός εἰμι ἐγὼ, σὺ δὲ ἄνθρωπος εἶ καὶ οὐ Θεὸς, καὶ ἔδωκας τὴν καρδίαν σου ὡς καρδίαν Θεοῦ, ἀντὶ τούτου ἰδοὺ ἐγὼ ἐπάξω ἐπὶ σὲ ἀλλοτρίους λοιμοὺς ἀπὸ ἐθνῶν, καὶ ἐκκενώσουσι τὰς μαχαίρας αὐτῶν ἐπὶ σὲ, καὶ ἐπὶ τὸ κάλλος τῆς ἐπιστήμης σου, καὶ ἵνα συντέμω, ἐπάξει, καὶ ἀποθανῇ θανάτῳ τραυματιῶν ἐν καρδίᾳ θαλάσσης. μὴ λέγων ἐρεῖς, Θεός εἰμι ἐγὼ ἐνώπιον ἀναιρούντων σε; ὁρᾷς πῶς τὸ ἄμετρον τῆς μιμήσεως ὑπὸ κόλασιν ἔρχεται; ἐκτραπεὶς τοίνυν ὁ ἄνθρωπος καὶ ἐξολισθήσας εἰς ὁμοιότητα ἄμετρον, εὑρέθη καὶ ὧν εἶχε γυμνούμενος. πᾶσα γὰρ θνητὴ φύσις τὴν ὑπὲρ δύναμιν ἐπιθυμοῦσα παρὰ γνώμην Θεοῦ, οὐ μόνον οὐ προσλαμβάνει τι, ἀλλὰ καὶ ἃ ἔχει ἀπόλλυσι. καὶ ὥσπερ ὁ ὀφθαλμὸς τῆς μετρίας ἀκτῖνος ἀπολαύων τοῦ ἡλίου εὐφραίνεται καὶ φωτίζεται, ἐὰν δὲ θέλῃ εἰς αὐτὸν ἀτενίσαι τὸν κύκλον, οὐ μόνον οὐ προσλαμβάνει φῶς, ἀλλὰ καὶ ὃ ἔχει προσζημιοῦται, οὕτω καὶ ἡ θνητὴ φύσις τὴν ὑπὲρ δύναμιν ἐπιθυμοῦσα παρὰ γνώμην Θεοῦ ἀμαυροῦται τὴν διάνοιαν. ἐξωλίσθησε τοίνυν ὁ ἄνθρωπος, καὶ ἀπὸ τῆς ὀλισθήσεως πολλὰ τῷ πτώματι ἠκολούθησαν τραύματα, εἰδωλολατρεία, πορνεία, μοιχεία, πλεονεξία, καὶ ὅσα τούτοις ἀδελφὰ καὶ συγγενῆ. κατέπεσε τοίνυν ὁ ἄνθρωπος πτῶμα μέγιστον, καὶ τὸν μὲν χαρακτῆρα τῆς θεϊκῆς ὄψεως ἀπώ- Ψαλ. μη. ιγ. καὶ λεσε διὰ ἀπροσεξίαν (Παρασυνεβλήθη γὰρ τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς) ἡ δὲ κτίσις ἐμερίσθη, καὶ ἡ μὲν ἀφηνίασεν, ἡ δὲ ἔμενε δουλεύουσα, ὡς πρότερον ἐν τῇ προλαβούσῃ διδασκαλίᾳ. οἱ λέοντες ἐπεβούλευον τῇ εἰκόνι, οἱ ὄφεις ἔδακνον, πᾶσα ἡ τῶν ἀλόγων φύσις κατὰ τοῦ δεσπότου ἐμαίνετο. ἐπειδὴ εἶδον αὐτὸν παραχαράξαντα τοῦ Θεοῦ τὸν νόμον, ἠθέλησε καὶ ἡ ἄλλη κτίσις φυγεῖν τὴν δεσποτείαν· ἠθέλησεν ὁ ἥλιος μὴ ἀνατέλλειν τῷ παραβάτῃ, ἠθέλησεν ἡ σελήνη σκοτίσαι τὰς ἑαυτῆς αὐγάς, ἠθέλησαν οἱ ἀστέρες μὴ φᾶναι τῷ πλάσματι, χ. πυρσῶν ἠθέλησαν αἱ πηγαὶ ἀρνήσασθαι τὰ νάματα, οἱ ποταμοὶ τὰ ῥεύματα, οἱ λειμῶνες τὰ ἄνθη, οἱ παράδεισοι τὴν τρυφήν· πάντα ἠθέλησεν ἀρνήσασθαι τὸν ἄνθρωπον, ἐπειδὴ ἠρνήσατο τὸν ἑαυτοῦ δεσπότην. οἶδα ὅτι βαθὺς ὁ λόγος καὶ συνεσκιασμένος, ἀλλὰ διὰ τοὺς πιστοὺς καὶ συντρόφους τῆς ἐκκλησίας ἐρευνᾷν δεῖ τῆς θείας γραφῆς τὰ νοήματα. ἐδούλευσεν ἡ κτίσις τῷ ἀνθρώπῳ, οὐχ ὡς ἀξίῳ, ἀλλὰ τοῦ Θεοῦ τοῦτο προστάξαντος, ξάντος, ὥστε μὴ ὑβρισθῆναι δι' ὅλου τὴν εἰκόνα, εἰ καὶ παρέβη. πάσης τοίνυν τῆς κτίσεως στασιαζούσης, ὁ Θεὸς ἐκέλευσε τῇ κτίσει μὴ ἀφηνιᾷν· ἀλλὰ παρέχειν τὸν ἥλιον τὴν ἑαυτοῦ ἀκτῖνα, τὴν γῆν τοὺς ἑαυτῆς καρπούς, τὴν θάλασσαν ἰχθῦς καὶ τὰς ἐμπορείας, τοὺς ἀστέρας τὴν ἑαυτῶν φαιδρότητα. Ταύτην γοῦν τὴν ἔννοιαν ὁ ἀπόστολος ἀπογυμνῶν, λέγει· Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται. τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι, ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ. οἷόν τι λέγω. ὡς εἶδεν ὁ Θεὸς τὸν ἄνθρωπον ἐκπεσόντα, καὶ τὴν κτίσιν ἀναδύουσαν πρὸς ὑπηρεσίαν τοῦ ἀναισθήτου, ἐχαλίνωσεν αὐτὴν καὶ μὴ θέλουσαν, καὶ ἐκέλευσε τὸν ἥλιον ἀνατέλλειν, τὴν γῆν φέρειν τοὺς καρπούς, καὶ μὴ ἀφίστασθαι τὸν παραβάτην διὰ τὴν ἀγνωμοσύνην, ἀλλὰ ἐπιδεικνῦναι τοῦ κοινοῦ δεσπότου τὴν ἄφθονον εὐεργεσίαν, ἐπαγγειλάμενος τῇ δημιουργίᾳ ὅτι μετὰ τοῦ ἀνθρώπου τοῦ φθαρέντος ἀνακαινισθῆναι· ὡς εἰ ἔλεγεν ὁ Θεὸς τῇ κτίσει· ἐπειδὴ ἔπεσεν ἡ εἰκὼν καὶ ὠλίσθησε διὰ τὴν παράβασιν, καὶ φθείρεται διὰ τὴν παρακοήν· ἀνάσχου δουλεῦσαι τῇ φθορᾷ τοῦ φθαρέντος, ἵν', ὅταν αὐτὸν ἀνακαινίζω, τὴν ἐμὴν εἰκόνα, τὸν [ἐμὸν] ἄνθρωπον τὸν φθαρέντα, σὺν αὐτῷ καί σε τὴν κτίσιν ἀνακαινίσω καὶ σύνθρονον αὐτοῦ ποιήσω τῆς δόξης. συγκακοπαθὴς αὐτοῦ τῇ ταλαιπωρίᾳ, συνανάστηθι αὐτοῦ τῇ δόξῃ. τί δέ ἐστιν, ἀδελφέ, ὃ τὴν κτίσιν ἀποφεύγειν τὴν τοῦ ἀνθρώπου δεσποτείαν; λέγει γάρ, τῇ ματαιότητι ἡ κτίσις ὑπετάγη. ποίᾳ ματαιότητι; ἀφ' οὗ ἂν ἐκτραπῇ ὁ ἄνθρωπος τοῦ Θεοῦ, ματαιότης καλεῖται, ὡς λέγει ὁ Δαβίδ· Πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν· πᾶς ἄνθρωπος μάταιός ἐστιν, ὁ τὸν Θεὸν καταλιμπάνων, καὶ τὰ μάταια μεταδιώκων.

Ἦσαν οὖν οἱ ἄγγελοι ἐν πάσῃ τῇ γῇ ἐπιτεταγμένοι τὰ ἔθνη, καθὼς μαρτυρεῖ Μωϋσῆς λέγων· Ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ. οἷόν τι λέγω· διώρισεν ὁ Θεὸς τὰ κλίματα τῆς οἰκουμένης ἑκάστῳ ἀγγέλῳ. φέρε εἰπεῖν, ἀπένειμε τήνδε τὴν ἐπαρχίαν, ἢ τόδε τὸ κλίμα ἑνὶ ἀγγέλῳ, ὃ ἕτερον ἄλλῳ, ἵνα ταύτην τὴν ἄψυχον φύσιν ἡλίου καὶ σελήνης καὶ ἄστρων καὶ γῆς καὶ θαλάσσης χαλινώσωσι * πρὸς τὴν τοῦ θνητοῦ ἀνθρώπου ἀπόλαυσιν. πάλιν οἱ ἄγγελοι ἐπεύχοντο ὑπηρετούμενοι τοῖς ἀνθρώποις τοῖς ἀναξίοις, * καὶ ἐθλίβοντο ὁρῶντες τὴν δεσποτικὴν ἀξίαν παραδιδομένην, καὶ εἴδωλα προσκυνούμενα· διεπορίοντο οἱ ἄγγελοι ἐννοοῦντες, ἵνα ἄλλος ὁ χορηγός, καὶ ἄλλοι οἱ εὐχαριστούμενοι. ἔφερεν ἡ γῆ τὸν οἶνον, καὶ οἱ βωμοὶ τὰς σπονδὰς ἐδέχοντο· ἔφερεν ἡ γῆ τὴν καρπῶν τὴν ἀφθονίαν, καὶ τοῖς εἰδώλοις ἀνετίθετο. οὐκ ἔφερον οἱ ἄγγελοι τὴν βίαν, ὁρῶντες τὰ μὴ ὄντα ἀντὶ τοῦ ὄντος τιμώμενα. ἐντεῦθεν λύεται καὶ τὸ ἕτερον ζήτημα, ὃ ἐν τῷ προφήτῃ ἀναφερόμενον. Ἦλθε πρὸς αὐτόν, φησιν, ὁ ἄγγελος Γαβριήλ, καὶ λέγει αὐτῷ· Δανιὴλ ὁ δοῦλος τοῦ Θεοῦ, ἀφ' ἧς ἡμέρας προέθου κακῶσαι τὴν ψυχήν σου ἐνώπιον Κυρίου, εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἀπεστάλην ἀπαγγεῖλαί σοι τὰ ῥήματα ταῦτα· ἀλλ' ὁ ἄρχων τῆς βασιλείας Περσῶν ἀντέστη μοι, εἰ μὴ Μιχαὴλ ὁ ἄρχων τοῦ ἔθνους ὑμῶν ἦλθεν εἰς βοήθειαν. τίς οὖν ὁ ἄγγελος ὁ ἀντιστὰς τῷ Γαβριήλ, ἢ διὰ τί αὐτῷ ἀντέστη; εἴρηται καὶ πρώην ἐν ὑμῖν, ἀδελφοί, ὅτι τοῖς ἀγγέλοις ὁ Θεὸς ἑκάστοις ἀπένειμε κλίμα πρὸς φυλακὴν πάσης τῆς κτίσεως. ἀποσταλέντι τοίνυν τῷ ἁγίῳ Γαβριὴλ ἐξ οὐρανοῦ ἀνθίστατο ὁ ἄγγελος ὁ ἐπιτεταγμένος τὴν βασιλείαν Περσῶν, τουτέστι, τὴν Περσίδα. ὃ δὲ ζητούμενον, εἰ παρὰ Θεοῦ ἀπεστάλη, παρὰ Θεοῦ δὲ ἀπεστάλη καὶ Γαβριήλ, διὰ τί οὖν αὐτῷ ἀνθίστατο; εἰ μὲν γὰρ τῆς ἄλλης δεσποτείας ὁ ἀποσταλεὶς ἄγγελος, καλῶς αὐτῷ ἀνθίστατο. εἰ δὲ ὁ αὐτὸς Θεὸς ὁ κἀκεῖνον ἐπὶ τοῦ ἔθνους καταστήσας, καὶ τοῦτον πρὸς τὸν προφήτην ἀποστείλας, διὰ τί αὐτῷ ἀνθίστατο; πρόσεχε ἀκριβῶς. ἦν ὅλος ὁ κόσμος εἰδωλολατρείας πεπληρωμένος· οἱ δὲ ἄγγελοι οἱ ἐφεστῶτες

γρ. τὸ κλίπον

γρ. οἶδεν

γρ. ἠμβλακό-τος

γρ. δ' ἐργάτου

Ῥωμ. η. κ.

Ψαλ. λη. ς.

Δευτ. λβ. η.

γρ. κλίπον
* ὑπηρετεῖν
* ἀηδῶς ἐ-ἰόχεις

γρ. διὰ τοῦτο ἐδυσφόρουν οἱ ἄγγελοι, ὅτι ... τὸν ἄνθρωπον

Δαν. ι. ιβ.

τῶν ἐθνῶν ἠγανάκτουν καὶ ἐθλίβοντο ὁρῶντες τὸν Θεὸν ἀθετούμενον, καὶ εἴδωλα προσκυνούμενα.
ὅτι δὲ κατῆλθεν ὁ λαὸς αἰχμάλωτος εἰς Βαβυλῶνα, ἐφάνη Δανιὴλ τὸν Θεὸν κηρύττων,
ἐφάνησαν οἱ τρεῖς παῖδες τὸν Θεὸν ὑμνοῦντες, ὅτε φλὸξ ἐπατεῖτο καὶ ἀσέβεια ἐλύετο,
ὅτε λέοντες ἐφιμοῦντο καὶ ἄπιστοι ἐπεστομίζοντο. ὁ οὖν ἄγγελος ὁ ἀρχηγὸς βασιλείας Περσῶν
ἔχαιρε καὶ ἐσκίρτα, ὅτι ἐν τοῖς αὐτοῦ μέρεσι Θεὸς κηρύττεται. ἔβλεπεν ὁ ἄγγελος τοὺς Χαλδαίοις
τούς ποτε πῦρ προσκυνοῦντας, καὶ εἴδωλα δοξάζοντας, τὸν Θεὸν ἐπὶ τῇ παραδοξοποιΐᾳ
ὑμνούμενον, καὶ ἔχαιρεν ὁρῶν τὴν ἑαυτοῦ χώραν τήν ποτε ἀσεβείᾳ κομῶσαν εἰς εὐσέβειαν μεταβληθεῖσαν. Ἴσ. ὑμνοῦντας
ἔβλεπεν ὁ ἄγγελος Ναβουχοδονόσορ τὸν βασιλέα λέγοντα, Σεδράχ, Μισάχ,
Δαν. γ. Ἀβδεναγώ, οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου, καὶ ἐσκίρτα. ἐπεὶ οὖν ὁ μακάριος Δανιὴλ
ἐδέετο τοῦ Θεοῦ, πληρωθέντων τῶν ἑβδομήκοντα ἐτῶν τῶν ὁρισθέντων, τῆς αἰχμαλωσίας
ἀνακληθῆναι τὸν λαόν, ἀπεστάλη δὲ Γαβριὴλ μηνῦσαι αὐτῷ, ὅτι ὁ λαὸς ἐπανάγεται ἀπὸ τῆς
αἰχμαλωσίας, καὶ μέλλει τὴν γῆν τὴν ἑαυτοῦ, τουτέστι, τὴν Ἱερουσαλὴμ καταλαμβάνειν, ἀνθίσταται
τῷ Γαβριὴλ ὁ τῆς Περσικῆς ἀρχῆς ἄγγελος, λυπούμενος ὅτι πάλιν ἡ γῆ αὐτοῦ γυμνοῦται
εὐσεβείας, καὶ πληροῦται ἀσεβείας· ἐλυπεῖτο, ὅτι πάλιν ἡ γῆ αὐτοῦ εἰς τὴν ἀρχαίαν
τάξιν ἐπανήει τῆς εἰδωλολατρείας, καὶ ἀνθίστατο αὐτῷ, οὐ μαχόμενος, ἀλλὰ δικαιολογούμενος.
τί σπουδάζετε, φησίν, ἀνακληθῆναι τὸν λαόν; τί γὰρ ἐβλάβησαν αἰχμαλωτισθέντες;
ὅτε ἦσαν ἐν τῇ ἑαυτῶν χώρᾳ, εἴδωλα προσεκύνουν· ὅτε ἦλθον ἐνταῦθα, τὸν
Θεὸν δοξάζουσι, καὶ αὐτοὶ ὠφελήθησαν, καὶ τούτους ὠφέλησαν. τί κωλύει ἐν μέσῳ αὐτοὺς μένειν;
τί ἠδίκηται ὁ λαός, καὶ σπουδάζετε ἐπαναγαγεῖν τὴν αἰχμαλωσίαν; βλέπεις Θεὸν προσκυνούμενον,
καὶ ἔθνη φωτιζόμενα, καὶ σπεύδεις τοσαύτην εὐεργεσίαν λῦσαι; τί ἀπεστάλης;
ἀπεστάλην, φησίν, ἐπαναγαγεῖν τὸν λαὸν εἰς τὴν πατρίδα αὐτοῦ. ποίαν, φησί, πατρίδα;
ἣν ἐμίαναν τῇ μιαιφονίᾳ, ὅτε ἦσαν ἐν τῇ Ἱερουσαλήμ; οὐ ταῦτα Ἱερεμίας κατηγορεῖ, λέγων, ὅτι
Ἱερ. ϛ. κη. Κατὰ ἀριθμὸν τῶν πόλεών σου ἦσαν οἱ θεοί σου, Ἰούδα, καὶ κατὰ τὰ ἄμφοδα Ἱερουσαλὴμ ἔθυες τῷ Βάαλ;
μυρία τότε ἔπασχον παρὰ τοῦ Θεοῦ καλά, καὶ τῆς κακίας οὐκ ἀνεχώρουν· νῦν μυρία πάσχουσι κακά,
καὶ τοῦ Θεοῦ οὐκ ἀφίστανται. ἦν οὖν ἡ ἀντίστασις, οὐ κακοῦ πρὸς ἀγαθόν. οὐ γὰρ εἶπεν, ἐμάχετο,
ἀλλ', ἀνθίστατο· ὅτι ἔστι πολλάκις ἀντίστασις δικαίου πρὸς ἀγαθόν. ἀνθίσταται ἔσθ' ὅτε
νόμῳ φιλανθρωπία, καὶ φιλανθρωπίᾳ νόμος. ὁ νόμος τὸν ἁμαρτήσαντα κολάζει, φιλανθρωπία
βασιλέως πολλάκις τὸν ἁμαρτήσαντα ἐλεεῖ. ὧδε οὖν ἡ μάχη, οὐκ ἐναντίου πρὸς
ἐναντίον, ἀλλὰ συγγενοῦς πρὸς συγγενές. οὔτε γὰρ τὸ δίκαιον ἔξω ἀγαθότητος, οὔτε τὸ ἀγαθὸν
ἔξω δικαιοσύνης εὑρίσκεται. ἀλλὰ ταῦτα μὲν ἐν παρόδῳ, εἰς δὲ τὸ προκείμενον ἐπανέλθωμεν.
οὔπω γοῦν τῆς κτίσεως διακειμένης καὶ ἀγανακτούσης ἐπὶ τῷ παραβάτῃ, καὶ ἀγγέλων ἀχθομένων
ἐπὶ τῇ τοῦ εὐεργετουμένου ἀγνωμοσύνῃ, καὶ τοῦ ὅλου κόσμου κακωθέντος διὰ τὴν παρανομίαν
Γεν. ϛ. ιϐ. (ὃ γὰρ πάσχει δένδρον, ἢ ἄλλη ὕλη, τοῦτο πάσχει ἡ γῆ κατὰ τὸ εἰρημένον· Καὶ εἶδεν ὁ Θεὸς
τὴν γῆν, καὶ ἦν κατεφθαρμένη πᾶσα· ὅτι κατέφθειρε πᾶσα σὰρξ τὴν ὁδὸν αὐτῆς. εἶδε
τὴν γῆν, καὶ ἦν κατεφθαρμένη) οὕτως οἱ προφῆται ἀπήγγελλον τῷ κόσμῳ τὸν αἰῶνα τὸν
μέλλοντα τὸν πεσόντα κόσμον ἐγείρειν, καὶ τὴν φθαρεῖσαν εἰκόνα ἀνακαινίζειν. καὶ μή τις ὑπολαμβανέτω
πολλὰς εἶναι περιόδους λόγων, τὸ ὧδε κἀκεῖσε φέρεσθαι τὰ νοήματα· ταῦτα
γὰρ πάντα εἰς μίαν ἀνάγεται δύναμιν. ἐὰν μὴ πρῶτον δείξωμεν πῶς ἐφθάρη ὁ
κόσμος, οὐ δυνάμεθα δεῖξαι πῶς ἀνεκαινίσθη. ἦν τοίνυν πᾶσα ἡ γῆ κατεφθαρμένη, οὐρανὸς
ἀμβλυνόμενος, καὶ πᾶσα ἡ κτίσις τεθολωμένη. οὐκ ἦν ἡ κτίσις οἵαν ἐποίησεν αὐτὴν ὁ
Θεὸς ἀπ' ἀρχῆς, οὐκ ἦν ὁ οὐρανὸς τοῖς ἄστροις καταλαμπόμενος, οὐκ ἦν ἡ γῆ τοῖς καρποῖς
εὐθηνοῦσα, οὐ θάλασσα ταῖς ἐμπορείαις. εἰσῆλθε γὰρ ὁ παραβάτης, καὶ ἐμίανε τὴν
γῆν, ἐμίανε τὸν οὐρανόν, τὸν ἀέρα, τὴν θάλασσαν, τὰς πηγάς, τοὺς ποταμούς, πάντα ἐμίανε
ταῖς βλασφημίαις, τὸν οὐρανὸν τῇ βλασφημίᾳ, τὸν ἀέρα ταῖς αἰσχραῖς φωναῖς, τὴν γῆν

κ. ἐφ' ᾧ ἐά-
κα τὰ τῷ πα-
ραβάτῃ πα-
ρὰ τῆς χώ-
ρας καὶ ἐξυπηρέ-
τει, καὶ ἀγγελ

γῆν ταῖς ἀθεμίτοις μιαιφονίαις, τὴν θάλασσαν τοῖς πειραταῖς καὶ ταῖς λῃστείαις, τὰς πηγὰς καὶ τοὺς ποταμοὺς ταῖς ἀθεμίτοις εἰδωλολατρείαις. καὶ γὰρ πηγαὶ καὶ ποταμοὶ καὶ παράδεισοι καὶ δένδρα καὶ πᾶσα ἡ κτίσις ἐθεοποιεῖτο. οὐδὲν δὲ οὕτω μιαίνει κτίσιν, ὡς τὸ θεοποιεῖσθαι αὐτήν. ἦν οὖν πᾶσα ἡ κτίσις τεθολωμένη. εἰσέρχεται ὁ σωτὴρ τοῦ κόσμου, μᾶλλον δὲ κηρύττεται ὑπὸ τῶν ἀποστόλων, ὅτι ἥξει ἀνακαινίζων τὰ πάντα. οὐ μόνον δὲ οἱ ἀπόστολοι, ἀλλὰ καὶ οἱ προφῆται προέλεγον, ὅτι ἔρχεται ὁ Χριστός. διὰ τί; ἵνα μή τις νομίσῃ ὅτι ὁ Θεὸς, ὡς ἄνθρωπος, ὅταν ἀπορήσῃ κατὰ τὴν πρώτην βοήθειαν, δευτέραν ἐπινοεῖ· καὶ ὅταν ταύτης ἀποτύχῃ, ἐπὶ τρίτην ἔρχεται· καὶ ταύτης διαμαρτὼν, τετάρτης ἅπτεται. ἵνα οὖν μή τις ὑπονοήσῃ τοῦτο, προέλεγον οἱ προφῆται τὸν μέλλοντα ἔρχεσθαι, ἵνα δείξωσιν ὅτι Θεὸς οὐ σκεπτόμενος εὑρίσκει τὸ συμφέρον, ἀλλ᾽ ἀπ᾽ ἀρχῆς προῄδει τὰ πάντα. ἡμεῖς οἱ ἄνθρωποι σκεπτόμεθα, καὶ ἐὰν ἀποτύχωμεν τῆς πρώτης πείρας, ἐρχόμεθα ἐφ᾽ ἑτέραν· ὁ δὲ Θεὸς οὐχ οὕτως· ἀλλ᾽ ἔδωκε νόμον, προφήτας, καὶ μετὰ ταῦτα τὸ εὐαγγέλιον, οὐ χρόνῳ τὸ συμφέρον μαθὼν, ἀλλ᾽ ἀπ᾽ ἀρχῆς εἰδὼς, ὅτι ἄλλως οὐκ οἷόν τε ἦν τὴν κτίσιν γενέσθαι καὶ στῆναι, μὴ τοῦ Χριστοῦ φαινομένου. καὶ ἡμεῖς μὲν οἱ ἄνθρωποι, ὅταν ἴδωμεν τὰ νοσήματα, τότε ἐπινοοῦμεν τὰ βοηθήματα· ὁ δὲ Θεὸς πρὸ τῶν τραυμάτων τοῦ ἡμετέρου πλάσματος προῄδει τὸ φάρμακον τῆς σωτηρίας. [πολλοὶ λέγουσιν,] οὐ προῄδει οὖν ὁ Θεὸς ὅτι ἁμαρτήσει ὁ Ἀδάμ; ἐγὼ τοῦτο λέγω, ὅτι οὐ τοῦτο μόνον προῄδει, ἀλλὰ πρὸ τῆς παραβάσεως, ὅτι ἐγερεῖ αὐτὸν ὁ Χριστὸς διὰ τὴν οἰκονομίαν· καὶ οὐ πρότερον εἶδε τὴν πλάσιν, εἰ μὴ προεπενόησε τὴν ἀνάστασιν, ἀλλὰ προαπέθετο τὸ φάρμακον τῆς ἀναστάσεως, καὶ τότε συνεχώρησεν εἰς πεῖραν θανάτου εἰσελθεῖν τὸν ἄνθρωπον· ἵνα μάθῃ τίνος μὲν ἀπολαύει δι᾽ ἑαυτὸν, τίνος δὲ τυγχάνει διὰ τὸν Θεόν. καὶ ὥσπερ ἐν Αἰγύπτῳ πρότερον ἤνεγκε τὰ ἔτη τῆς εὐθηνίας, προαποθέμενος φάρμακον τῷ λιμῷ τὰ ἔτη τῆς εὐθηνίας, καὶ τότε τὰ ἔτη τοῦ λιμοῦ ἐπήγαγε, καὶ προέλαβε τὴν τοῦ τραύματος φύσιν ἡ τοῦ φαρμάκου βοήθεια· οὕτω πρὶν πλασθῇ ὁ Ἀδάμ, πρὶν φανῶσιν οἱ ἐξ αὐτοῦ ἄνομοι, πρὶν τεχθῶσιν οἱ ἐξ αὐτοῦ δίκαιοι, καὶ οἱ ἐξ αὐτοῦ προφῆται, προῄδει ὁ Θεὸς, ὅτι οὐκ οἷόν τέ ἐστι τὴν εἰκόνα ταύτην στῆναι μὴ ἀνακαινισθεῖσαν ὑπὸ τοῦ Χριστοῦ. ἐν τῷ Ἀδὰμ ἔβλεπεν ὁ Θεὸς τὸν Παῦλον, ἔβλεπε Πέτρον. οὐκ ἔβλεπε τὸν Ἀδὰμ ἐν τῷ παραδείσῳ τρεφόμενον, καὶ μέλλοντα ἐκβάλλεσθαι· ἀλλ᾽ ἔβλεπεν ἐν αὐτῷ Παῦλον τὴν εὐσέβειαν κηρύττοντα, καὶ εἰς παράδεισον ἁρπαζόμενον, καὶ Πέτρον κλεῖς οὐρανοῦ πιστευόμενον, καὶ πάντα ἐν τῷ πρώτῳ ἔβλεπεν ἀνθρώπῳ. ἐν γὰρ τῇ ῥίζῃ ἦσαν οἱ καρποί.

Καί μοι συγχωρήσατε μικρόν τι ὡς ἐν ὁμιλίᾳ γενέσθαι Θεοῦ, καὶ εἰσαγαγεῖν τὸν Θεὸν, ὥσπερ ἐν προσωποποιΐᾳ τινὶ κεχρημένον, καὶ διαλεγόμενον τῷ ἑαυτοῦ υἱῷ· καὶ μή τις νομίσῃ βεβιασμένον εἶναι τὸ ῥῆμα. ὥσπερ γὰρ ποιῶν τὸν ἄνθρωπον ὁ Θεὸς συμβούλῳ κέχρηται τῷ μονογενεῖ καὶ συνεργῷ (Ποιήσωμεν γὰρ ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν) Γεν. α. κϛ. εἰκὸς ἦν καὶ τὸν υἱὸν λέγειν πρὸς τὸν πατέρα, ἀνάμενε δὲ τὸ τέλος. μὴ εἴπῃς, καταμαντεύεται οὗτος τοῦ Θεοῦ, μὴ παρὼν τοῖς ἐκεῖ. πῶς οἶδε ταῦτα; ἐὰν τὸ τέλος μὴ ἀπαντήσῃ πρὸς τὴν ἔννοιαν, ὡς συκοφάντην με κρίνον. ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν. ὡς δημιουργὸς ἔλεγεν, ὡς προγνώστης ἀπεκρίνατο· ἐὰν οὖν ἁμάρτῃ ὁ Ἀδάμ (ἁμαρτήσει γὰρ) γρ. ἁμαρτήσει διαβάλλεται ἡμῶν ἡ δημιουργία; ἐννόησον ταῦτα λέγοντα τὸν πατέρα υἱῷ, τὸν υἱὸν πατρί. ἀδιάστατος γὰρ ἡ βουλὴ, οἷς ἀδιαίρετος ἡ οὐσία. ἀλλ᾽ ἁμαρτάνει ὁ Ἀδάμ, παραβαίνει, ἀποθνήσκει, καὶ δι᾽ αὐτὸν πάντες οἱ ἄνθρωποι ἀπόλλυνται, καὶ συκοφαντεῖται ἡμῶν τὸ πλάσμα, ὡς κακῶς γενόμενον. πάλιν ἡ βουλή· ἀλλὰ δεῖ πρὸ πάντων ὁρίσαι τὴν θεραπείαν. δεῖ γάρ σε, ὦ μονογενές μου, ὦ υἱὲ λόγε, ὦ ἀπαύγασμα ἐμῆς δόξης, δεῖ σε, εἰ ὅλως προνοεῖς τοῦ πλάσματος, ὅπερ συνεργοῦντες

ἀλλήλοις εἰργασάμεθα, διὰ σὲ τὸν φθειρόμενον ἐνδύσασθαι ἄνθρωπον, διὰ σὲ ἀποστόλους
λαβεῖν· ἵν᾽, ὥσπερ τῷ ὄφει ὁ διάβολος ὑπουργῷ ἐχρήσατο καὶ ὅπλῳ πρὸς τὴν ἀπάτην,
οὕτω καὶ σὺ ὑπουργῷ χρήσῃ τῷ σῷ πλάσματι πρὸς εὐεργεσίαν, καὶ ἀνακαινίσῃς τὸν πεσόντα.
ἀλλὰ πολλοὶ ἔσονται τῶν δογμάτων, φησὶν, ἀσεβῶν εὑρεταί. ἀνακύπτει γὰρ ἡ ἄθεος γ. ὅς
τῶν Ἐπικούρων πλάνη, ἀνακύπτει αἵρεσις ἡ λέγουσα ἀπρονόητα εἶναι τὰ τοῦ βίου, ἀνακύπτει
ἄλλη αἵρεσις ἡ λέγουσα τὸ σῶμα Θεόν· πολλοὶ γίνονται τῆς πλάνης διδάσκαλοι.
τίς οὖν λύσει ταῦτα τὰ μοχθηρά; ταῦτα εἶπεν ἐπὶ ῥήματι, ἵνα ἐπὶ τέλει τῇ ἀποστολικῇ
φωνῇ σφραγίσω τὴν ἔννοιαν. τί οὖν; ἆρα τοῦτο τὸ ἔνδυμα, ὃ ἀναλαμβάνει ὁ Θεὸς λόγος;
τοῦτο ὀφείλει διαδραμεῖν τὰ πέρατα τὰ ὑπ᾽ οὐρανόν, καὶ φωτίσαι πάντας; οὐχί, φησιν·
ἀλλὰ σύ μοι πληρώσεις τὴν θείαν οἰκονομίαν, ἕξεις δὲ τοὺς ἀποστόλους κήρυκας τοῦ θείου λόγου,
ἕξεις Παῦλον κηρύττοντα, ἕξεις Πέτρον τὴν Ῥώμην καταλαμβάνοντα, ἕξεις τοὺς ἀποστόλους γ. κήρυκας
κοινωνοῦντας ἡμῖν τῇ οἰκονομίᾳ. ταῦτα ἐλέγετο πρὶν ἢ Ἀδὰμ πλασθῆ. πρῶτον ἐτυπώθη
τὰ κατὰ τὴν σάρκα τοῦ Χριστοῦ, καὶ τὰ κατὰ τοὺς ἀποστόλους, καὶ τότε ὁ Ἀδὰμ ἐπλάσθη.
Κολοσσ. α. κϛ. πόθεν τοῦτο; ἄκουε Παύλου λέγοντος, Τὸ μυστήριον τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων καὶ
Ἐφεσ. α. γ. δ. τῶν γενεῶν· καί, Εὐλογητὸς ὁ Θεὸς ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς
ἐπουρανίοις, καθὼς ἐξελέξατο ἡμᾶς ἐν Χριστῷ πρὸ καταβολῆς κόσμου, προορίσας ἡμᾶς
Ῥωμ. η. κθ. εἰς υἱοθεσίαν. καὶ ἀλλαχοῦ περὶ ἑαυτοῦ, καὶ τῶν κατ᾽ αὐτὸν λέγει, Οὓς προέγνω συμμόρφους
τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ. οὐ μόνον δὲ προωρίσθη καὶ ἐξελέχθη, ἀλλὰ καὶ τὴν χάριν,
ἣν ἔλαβε Παῦλος μετὰ πολλὰς γενεὰς οὕτως ἐπαριθμεῖται, ὡς λαβὼν αὐτὴν πρὸ τῶν
β. Τιμ. α. η. αἰώνων. πόθεν τοῦτο; λέγει Τιμοθέῳ, Τέκνον Τιμόθεε, συγκακοπάθησον τῷ εὐαγγελίῳ κατὰ
δύναμιν Θεοῦ τοῦ σώσαντος ἡμᾶς, καὶ καλέσαντος κλήσει ἁγίᾳ, οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ
κατ᾽ ἰδίαν πρόθεσιν καὶ χάριν τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων, ἐξελέξατο
πρὸ καταβολῆς κόσμου, προώρισε πρὸ τῶν αἰώνων, ἐχαρίσατο ἡμῖν πρὸ τῶν αἰώνων,
καὶ ταῦτα πάντα σημαίνει, ὅτι πρὸ τῆς τοῦ ἀνθρώπου κατασκευῆς προώφθη καὶ προωρίσθη
ἡ τοῦ σωτῆρος οἰκονομία. ἀλλ᾽ οἶδα ὅτι καὶ ἐν φίλοις διαλέγομαι τῆς εὐσεβείας
ἐνίοτε δὲ καὶ ἐν κατασκόποις, οἳ οὐ πρὸς τὸ συμφέρον βλέποντες τῶν κηρυττομένων, ἀλλ᾽ ἓν ἔργον
τιθέμενοι, πῶς ἐπιλάβωνται τοῦ λέγοντος, ὧν ἀληθῶς οὐ μισῶ τὸν τρόπον, ἀλλὰ μᾶλλον
Γαλατ. β. δ. ἐλεῶ, ὅμως κατὰ τὸν ἀπόστολον διὰ τοὺς παρεισάκτους ψευδαδέλφους, οἵτινες εἰσέρχονται
κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν, γυμνάσωμεν τὸ νόημα. δύναται γὰρ ὁ ἐχθρὸς
ἐξελθὼν εἰπεῖν, μεγάλη θεολογία· εἰσήγαγε τὸν Θεὸν σκεπτόμενον καὶ λέγοντα, ἐπεὶ οὖν
πολλοὶ γίνονται πλάνης διδάσκαλοι, τί ἔσται, καὶ τὸν πατέρα λέγοντα τῷ υἱῷ, ὡς ἐκείνου μὲν
ἀποροῦντος, τούτου δὲ διδάσκοντος ταῦτα. αἱ γραφαί, ὅταν παιδεύωσιν ἡμᾶς περὶ Θεοῦ,
οὐδέποτε ἁρμόζοντα τῇ θείᾳ δυνάμει φθέγγονται ῥήματα, ἀλλὰ πρέποντα τῇ ἡμετέρᾳ
Ἡσ. ε. γ. ἀσθενείᾳ. ἆρα γάρ, ὅτε ὁ Θεὸς καθίζει δικαστήριον ἀνθρώπινον, καὶ λέγει, Καὶ νῦν οἱ ἄνθρωπος
τοῦ Ἰούδα, καὶ οἱ κατοικοῦντες τὴν Ἱερουσαλήμ, κρίνατε ἀνὰ μέσον ἐμοῦ, καὶ ἀνὰ μέσον
ἀμπελῶνός μου, τί ἔδει με ποιῆσαι, καὶ οὐκ ἐποίησα, λαλοῦντος ἡ φωνή, ἢ σκεπτομένου;
Ἡσ. ϛ. η. ἀλλ᾽ ἆρα, ὅτε λέγει πρὸς τὸν Ἡσαΐαν, Τίνα ἀποστελῶ, ἢ τίς πορεύσεται πρὸς τὸν λαὸν
τοῦτον, ἀμφιβάλλων λέγει, ἢ ἀγνοῶν τὸν ὑπηρέτην; ὅσα λέγεται περὶ Θεοῦ, κατὰ τὴν ἐκκλησιαστικὴν
διδασκαλίαν δεῖ μετρεῖν, οὐ τῇ δυνάμει τοῦ κηρύττοντος, ἀλλὰ τῇ ἀσθενείᾳ τῶν
ἀκουόντων. ἡμῖν δὲ σκοπὸς δεῖξαι τὰ ἐπὶ Χριστοῦ πρὸ τοῦ Ἀδὰμ προτετυπωμένα, καὶ
τοὺς ἀποστόλους προεκλελεγμένους, καὶ τὴν χάριν τοῦ εὐαγγελίου πρὸ χρόνων αἰωνίων προτετυπωμένην.
πρόσεχε ἀκριβῶς. δύναται μία λέξις παροραθεῖσα συκοφαντίας γεμίσαι
τὸ λεγόμενον. οὐ μόνον εἶδεν ὁ Θεὸς ἐν τῷ παραδείσῳ τὸν Ἀδὰμ παραβαίνοντα,
ἀλλὰ καὶ τὸν σωτῆρα τὸν ἐν σαρκὶ φανέντα δεσπότην προοδοποιοῦντα τὴν ἀρετήν,

καὶ πλάνης εἰς παρακοὴν ἕλκοντα. ἔβλεπεν ὁ Θεὸς τὴν πλευρὰν τὴν ἐκ τοῦ Ἀδὰμ κλαπεῖσαν, καὶ εἰς γυναῖκα μεταβαλλομένην, καὶ προέβλεπε πάλιν τὴν πλευρὰν τοῦ Χριστοῦ προσφέρουσαν ἡμῖν τὰ μυστικὰ δῶρα, ὕδωρ καὶ αἷμα, ὧν τὸ μὲν ἐστὶ τοῦ λουτροῦ σύμβολον, τὸ δὲ τῶν μυστηρίων ἐλέγχει. καὶ οὐ τοσοῦτον αὐτὴν ἐπάλγυνε τὴν πληγήν, ὅσον ἐκποιήσας τὸ φάρμακον ἐμακάρισεν. ἐκεῖ γυνὴ ἐξ ἀνδρὸς εἰς παρανομίαν, ὧδε ἀνὴρ ἐκ γυναικὸς εἰς σωτηρίαν· ἐκεῖ πλευρὰ τίκτουσα θανάτου ὑπόθεσιν, ἐνταῦθα πλευρὰ φέρουσα τὸν ἀρραβῶνα τῆς ἀφθαρσίας· ἐκεῖ ὄφις παρὰ τὸ ξύλον, ὧδε Χριστὸς παρὰ τὸν σταυρόν· ἐκεῖ βρῶμα προσκαλούμενον θάνατον, ἐνταῦθα βρῶμα ἀφανίζον θάνατον. οἶδας τὰ πιστῶν, ἐπίγνωθι τὰ μυστήρια. ἐκεῖ διέβλεψαν κακῶς, καὶ εἶδον ὅτι γυμνοί εἰσιν· ἡμεῖς νῦν ἀναβλέπομεν εὐσεβῶς, καὶ βλέπομεν ὅτι ἐστολισμένοι ἐσμέν· ἐκεῖ ἀνάβλεψις καὶ γύμνωσις, ἐνταῦθα στολισμὸς καὶ φωτισμός· ἐκεῖ δερμάτινοι χιτῶνες καλύπτοντες τὴν ἀσχημοσύνην· ἐνταῦθα χιτὼν δόξης καλύπτων ἡμῶν τὴν ἀσθένειαν, τοῦ Χριστοῦ τὸ σῶμα, αὐτοῦ βασιλέως τὸ ἔνδυμα. Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. ἐκεῖ, Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ· ὧδε ἀνακαινίσας τὴν γῆν ποιεῖ τὸν ἄνθρωπον οὐράνιον, οὐ γῆν ἐπαγγελλόμενος, ἀλλὰ βασιλείαν. ἐκεῖ φλογίνη ῥομφαία κωλύουσα τὸν Ἀδάμ, ἐνταῦθα γλῶσσαι πυρὸς ἐξ οὐρανοῦ φωτίζουσαι τὸν Ἀδάμ· ἐκεῖ ἐκβαλλόμενος τοῦ παραδείσου, ὧδε πιστευόμενος κλεῖς οὐρανῶν. προέδειξεν ὁ Θεὸς τὰ μέλλοντα πρὸ τῶν παρόντων. καὶ ὥσπερ σήμερον πρὶν ἑλκύσωμεν τὸ ὕδωρ, ὑδραγωγὸς κατασκευάζεται, καὶ πρὶν ῥεύσῃ τὰ ὕδατα, ὑδρεῖον λέγεται, οὐχ ὕδατος ῥέοντος, ἀλλὰ μέλλοντος ῥεῖν· οὕτως ὁ Θεὸς προέγνωσε τὰ μέλλοντα ἐν Χριστῷ τυποῦσθαι, καὶ ἤδει ὅτι ἐν Χριστῷ ἀνακαινίζεται τὰ πάντα. καὶ ἄρχεται ἄνωθεν, ἐπιβαίνει τῷ οὐρανῷ, κατὰ τό, Κλῖνον, Κύριε, οὐρανούς, καὶ κατάβηθι. περιῆλθε τοὺς οὐρανοὺς ἁγιάσας αὐτούς, διέτεμε τὸν ἀέρα, ἵνα ἁγιάσῃ αὐτὸν ταῖς αἰσχραῖς ᾠδαῖς μολυνθέντα, πατεῖ τὴν γῆν, ἵνα ἁγιάσῃ αὐτὴν φόνοις μεμολυσμένην, ἐπάτησε θαλάττης κύματα, ἵνα τὰ μιανθέντα ἁγιάσῃ ὕδατα, βαπτίζεται ἐν τῷ Ἰορδάνῃ, ἵνα τῶν ποταμῶν τὴν φύσιν ἁγιάσῃ, εὑρίσκει καὶ τὸν Ἀδὰμ κείμενον ἐν τῷ τάφῳ, καὶ ὑπάρχει αὐτοῦ τὴν εἰκόνα, καὶ γίνεται ὁ Χριστὸς ὁ κατὰ τὸν Ἀδάμ, καὶ ἀνακαινισμὸς τοῦ Ἀδάμ, καὶ ὅπως, ἄκουε· ἀναλαμβάνει τὴν μορφήν, ἣν ἔπλασεν ἐν παραδείσῳ, καὶ πᾶσιν αὐτὴν τοῖς ἐναντίοις ἐκόσμησεν, ὑπὸ ἐναντία τῇ ἐν τῷ παραδείσῳ διαγωγῇ, δοὺς αὐτῷ τὰ τῆς ἀρετῆς ἐφόδια. ἐν παραδείσῳ διὰ τρυφὴν ἠπατήθη ὁ Ἀδάμ, ἡ σὰρξ τοῦ Χριστοῦ ἐν νηστείᾳ στεφανοῦται· ἐν παραδείσῳ ἡ προτέρα πάλη, ἐν ἐρήμῳ ὁ δεύτερος ἀγὼν πρὸς τὸν διάβολον. ἔρχεται τοίνυν ὁ σωτὴρ ἀνακαινίζων τὸ πλάσμα τοῦτο, παντοίαις ἀρεταῖς αὐτὸ στεφανῶν, καὶ εἰσέρχεται μεσολαβῶν Θεῷ καὶ ἀνθρώποις· ἦλθεν ἐπαγγείλασθαι τῷ κόσμῳ, ὅτι ἀνακαινίζεται ἡ πεπτωκυῖα εἰκών, ὅτι ἐγήγερται, ὅτι σώζεται. οὐκ ἠδύνατο ἀπαγγεῖλαι ταῦτα, εἰ μὴ ἦν μεσίτης. ὥσπερ γὰρ πρὸς ἄνθρωπον ἀξιόπιστον ὑποβεβηκότι ἐὰν ἐπαγγείληταί τι, οὐ τολμᾷ τὴν ἐπαγγελίαν ἀπαιτῆσαι ὁ ὑποκείμενος, ἐὰν μὴ ἔχῃ μεσίτην. ἐπειδὴ γὰρ ἀόρατος ἦν ὁ Θεός, ὁ δὲ κόσμος ἦν ὁρώμενος, δίδωσι μεσίτην ἀξιόπιστον. Μεσίτης γὰρ Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς. ὁ μεσίτης ἐὰν μὴ ἔχῃ συγγένειαν πρὸς τὰ μεσιτευόμενα, μεσίτης εἶναι οὐ δύναται. ἐπεὶ οὖν μεσίτης Θεοῦ καὶ ἀνθρώπων Χριστός, ἔδει αὐτὸν δειχθῆναι συγγενῆ τοῦ Θεοῦ, καὶ συγγενῆ τῶν ἀνθρώπων, καὶ φανῆναι ὥσπέρ τινα οἰκονομίαν μέσην, καὶ Θεῷ συναπτόμενον κατὰ τὴν θεότητα, καὶ ἀνθρώποις ἑνούμενον κατὰ τὴν ἀνθρωπότητα· καὶ τί ποιεῖ; ἐπειδὴ πρῶτον διδάσκει, καὶ τότε ἀνακαινίζει, γίνεται καὶ μεσίτης καὶ ἔγγυος· ἀντιφωνεῖ τὰ τοῦ Θεοῦ τοῖς ἀνθρώποις, καὶ τὰ τῶν ἀνθρώπων τῷ Θεῷ. ἐπειδὴ γὰρ ἐχθρὸν ἦν τὸ ἀνθρώπινον γένος τῷ Θεῷ διὰ τὴν παράβασιν, οὐκ ἐπιστεύετο οὔτε ἄνθρωπος τῷ Θεῷ, οὔτε Θεὸς τῷ ἀνθρώπῳ, ὅτι διαλλάσσεται τῷ πεσόντι. ὡς εἰ ἔλεγε τοῖς ἀνθρώποις, μὴ ἀπιστήσητε, ὅτι ἐστὶν ἀνάστασις. ἐγὼ τούτου ἔγγυος λαμβάνω

τὴν

Γαλατ. γ. κζ.
Γεν. γ. ιθ.
Ψαλ. ρμγ. ε.
κ. ἀνακαινίζειν
α. Τιμ. β. ε.

τὴν ἐξ ὑμῶν σάρκα, παραδίδωμι αὐτὴν θανάτῳ. ἐὰν μὴ ἀναστήσω αὐτὴν, μὴ πιστεύετέ
μοι. ἐγγυᾶται τοῖς ἀνθρώποις τὸν Θεόν· ὡς εἰ ἔλεγε, πρὸς ἐμὲ τὸν ἄνθρωπον ἔχεις· ἐγὼ
αὐτὸν ἀνακαινίζω, ἐγὼ αὐτὸν ποιήσω ἀρνήσασθαι τὴν πλάνην καὶ ἐπιγνῶναι τὴν ἀλήθειαν.
δέξαι με ὑπὲρ ἀνθρώπων ἐγγυώμενον, ἵνα καὶ αὐτοὶ δέξωνταί με ἐγγυητὴν τῆς σῆς δυνάμεως.

Ὅτι μὲν οὖν μεσίτης ὁ Χριστὸς, ἔδειξεν ἡ γραφή· ὅτι δὲ καὶ ἔγγυος καὶ ἀνάδοχος, πῶς εὑρίσκομεν,
ἵνα μὴ φλυαρῶμεν τὰ ἑαυτῶν λαλοῦντες ἐν ἐκκλησίᾳ; Εἰ τὰ ἑαυτοῦ λαλῶ, ἵνα τί λαλῶ;
Εἰ δὲ τὰ τοῦ Θεοῦ κηρύττω, τὰ τοῦ πνεύματος ἑρμηνεύω, δέξαι τὴν διδασκαλίαν. ὅτι
οὖν ἔγγυός ἐστιν ὁ " Ἰησοῦς, λέγει Παῦλος· Νῦν δὲ διαφορωτέρας" τετυχήκαμεν λειτουργίας, γρ. Χριστὸς
Ἑβρ. ζ. κβ. καὶ η. ϛ. ὅσῳ καὶ κρείττονός ἐστι διαθήκης ἔγγυος Ἰησοῦς. ἰδοὺ ἐγγυώμενος τὸν Θεὸν τοῖς ἀνθρώποις, γρ. τέτυχε
ἐγγυᾶται καὶ τὸν ἄνθρωπον τῷ Θεῷ, καὶ τὸν Θεὸν τοῖς ἀνθρώποις. Εἶπεν ἡμᾶς ἐγείρειν,
καὶ ἐγείρει· Εἶπεν ἡμᾶς ἀθανασίᾳ τιμᾶν, καὶ τιμᾷ. ὅτε ἔπλαττε τὸν Ἀδὰμ, ἐγγύας
οὐκ ἔδωκε τῶν γινομένων, ἐγγύας οὐ παρέσχε, καὶ ἔδωκεν αὐτῷ τὸν οὐρανὸν καὶ τὴν γῆν·
μὴ ἐπαγγειλάμενος τὴν γῆν, μὴ ὑποσχόμενος τὸν παράδεισον, τὰ ἄλλα πάντα, ἃ μὴ
ἐπηγγείλατο, ἔδωκεν· ἃ μετ' ἐγγύης ἐπηγγείλατο, οὐ δίδωσι; τὸ εὐαγγέλιον ἡ γραφὴ ποτὲ καινὴν
καλεῖ διαθήκην, ποτὲ νέαν διαθήκην, ποτὲ κρείττονα διαθήκην, ποτὲ δευτέραν, ποτὲ
αἰώνιον. ἐπειδὴ ἓν ὄνομα πᾶσαν τὴν δύναμιν παραστῆσαι οὐ δύναται, διαφόροις ὀνόμασι
δείκνυσι τοῦ εὐαγγελίου τὴν δύναμιν, καὶ μάλιστα Παῦλος, ὁ λαλοῦντα ἔχων ἐν ἑαυτῷ τὸν
Χριστὸν, καλεῖ καινὴν διαθήκην τὸ εὐαγγέλιον, ὡς τὴν παλαιὰν ἀνακαινίζουσαν. τὸ γὰρ καινὸν
ξένης ἐστὶ καὶ ἀληθῶς ἀνεπαφοῦ φύσεως ἑρμηνεία· ἡ νέα πρὸς ἀντιδιαστολὴν τῆς
γεγηρακυίας· ἡ κρείττων πρὸς ἀντιδιαστολὴν τῆς ἐλάττονος, ἡ δευτέρα πρὸς ἀντιπαράθεσιν
τῆς πρώτης, ἡ αἰώνιος πρὸς ἀντιδιαστολὴν τῆς προσκαίρου. καινὴ λέγεται διαθήκη
Ἰερ. κα. λα. κατὰ τὸν μακάριον Ἱερεμίαν τὸν λέγοντα, Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει Κύριος,
Ματθ. κϛ. κη. διαθήσομαι ὑμῖν διαθήκην καινήν· καὶ ὁ σωτὴρ παραδιδοὺς τὸ μυστήριον λέγει, Τοῦτό μου
ἐστὶ τὸ αἷμα τὸ τῆς καινῆς διαθήκης. ἰδοὺ καινὴ διαθήκη. καὶ ἀλλαχοῦ καλεῖ αὐτὴν νέαν,
Ἑβρ. ιβ. κβ. διὰ τὸ νέον καὶ ἀκμάζον κήρυγμα. καὶ λέγει Παῦλος, Προσεληλύθαμεν ὄρει Σιὼν καὶ μυριάσιν
Ἑβρ. η. ιγ. ἀγγέλων, καὶ ἐκκλησίᾳ πρωτοτόκων, καὶ μεσίτῃ νέας διαθήκης Ἰησοῦ. Ἐν τῷ λέγειν καινὴν,
Ἑβρ. η ϛ. ζ. πεπαλαίωκε τὴν πρώτην. ἀλλαχοῦ καλεῖ κρείττονα διαθήκην λέγων, Νῦν δὲ διαφορωτέρας
τετυχήκαμεν λειτουργίας, ὅσῳ καὶ κρείττονός ἐστι διαθήκης μεσίτης. Εἰ γὰρ ἡ πρώτη
ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος. ἰδοὺ καὶ πρώτη καὶ δευτέρα. ποῦ ἡ αἰώνιος;
Ἑβρ. ιγ. κ. ἄκουε Παύλου λέγοντος· Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ ἀναγαγὼν ἐκ τῆς γῆς τὸν ποιμένα
τῶν προβάτων τὸν μέγαν καὶ ἐν αἵματι διαθήκης αἰωνίου, ἐπειδὴ ἡ πρώτη διαθήκη πρόσκαιρος
Ἱερ. λα. λα. ἦν, αὕτη αἰώνιος. καὶ ἀλλαχοῦ λέγει, Διαθήσομαι ὑμῖν διαθήκην καινὴν αἰώνιον,
τὰ ὅσια Δαβὶδ, τὰ πιστά. καινὴ διαθήκη, νέα, [πρώτη,] δευτέρα, κρείττων, αἰώνιος. τούτων
τῶν διαθηκῶν ἔγγυος Ἰησοῦς. ὅτε τοίνυν μέλλει ὁ ἄνθρωπος ἀνακαινίζεσθαι, τότε ὁ οὐρανὸς
Ἡσ. ξε. ιζ. καινὸς, οὐκ ἀφανιζόμενος, ἀλλὰ ἀνακαινιζόμενος τῇ καινῇ κτίσει· ἥλιος καινὸς, σελήνη καινή,
ἄστρα καινὰ, προσθήκην λαμβάνοντα καὶ αὔξησιν. λέγει γὰρ ὁ προφήτης· Ἔσται ὁ οὐρανὸς
καινὸς, καὶ ἡ γῆ καινή· ἰδοὺ ἀνακαινίζεται ἡ κτίσις, καὶ οὐ ψεύδεται ὁ ἐπαγγειλάμενος. ὅσην λαμβάνει
Ἡσ. λ. κϛ. προσθήκην ὁ ἄνθρωπος, λαμβάνει καὶ τὰ στοιχεῖα. πόθεν τοῦτο; λέγει Ἡσαΐας· Ἔσται
γὰρ τὸ φῶς τοῦ ἡλίου ἑπταπλάσιον, καὶ τὸ φῶς τῆς σελήνης ὡς ὁ ἥλιος. Εἶδες πῶς οὐκ ἐψεύσατο
ὁ Θεὸς τὴν ἐπαγγελίαν, ἀλλὰ ἀνεκαίνισε τὴν κτίσιν; ἀρχηγὸς δὲ τοῦ ἀνακαινισμοῦ Χριστός.
Κολοσ. α. ιε. ταύτην τὴν ἔννοιαν αἱρετικῶν παῖδες ἐκνοήσαντες προσήνεγκαν τὸ, Πρωτότοκος πάσης κτίσεως,
οὐ συνιέντες, ὅτι οὐ τῆς κτίσεως λέγει τῆς γινομένης, ἀλλὰ τῆς ἀνακαινιζομένης.
β Κορ. ε. ιζ. ποία ἐστὶν ἡ κτίσις ἡ ἀνακαινιζομένη; ἄκουε Παύλου λέγοντος· Εἴ τις ἐν Χριστῷ καινὴ κτίσις.

σις. καὶ ἵνα δείξῃ ὅτι πρωτότοκος λέγεται τῆς κτίσεως τῆς ἀνακαινιζομένης, ἐπάγει, Πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσι πρωτεύων, τῶν ἀνακαινιζομένων, τῶν εἰς ἀφθαρσίαν καλουμένων, τῶν ἐκ νεκρῶν ἐγειρομένων, ἐν πᾶσι πρωτεύων, οὐ κατὰ τὴν θεότητα. οὐδεὶς γὰρ Θεῷ, τὸ κεφάλαιον πρῶτος, οὐδεὶς ἡ νομιζομένη τιμή. ἐν γὰρ τῇ θείᾳ καὶ ἀκτίστῳ φύσει οὐκ ἔνι πρῶτον καὶ δεύτερον, ἀλλὰ πάντα ἀρχὴν ἔχει ζωῆς, ἀρχὴν ἄναρχον, ἀρχὴν ἀΐδιον, ἀκατάληπτον, ἄφραστον. ἐν δὲ τοῖς καθ' ἡμᾶς εἰ πρὸς σύγκρισιν Παύλου πρωτεύει Χριστός, εἰ πρὸς σύγκρισιν Πέτρου, κενὴ ἡ ἐλπὶς ἡμῶν, ματαία ἡ πίστις ἡμῶν. εἰ τούτων πρωτεύει ὁ Χριστὸς ἐν θεότητι· ἀλλὰ πρωτεύει ἐν ἀνθρωπότητι, ὡς ἀνακαινίσας τὸν Ἀδάμ, ὡς ζωοποιήσας τὴν οἰκουμένην. διὰ τοῦτο λέγει, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσι πρωτεύων. καὶ πῶς πρωτότοκος ἐκ τῶν νεκρῶν, παρακαλῶ, ζητήσωμεν. ἐὰν γὰρ παρέλθω τὸν λόγον ἀνεξέταστον, ἀλλ' ἡ ψυχὴ φιλοπραγμονοῦσα ἀντιτίθησι τὰ ἑαυτῆς, καὶ νομίζει ἰσχυρὰ ἔχειν. πῶς πρωτότοκος τῶν νεκρῶν, φησιν, ὁ Χριστός, ὁπότε καὶ πρὸ τῆς παρουσίας αὐτοῦ ἤγειρεν Ἡλίας τὸν υἱὸν τῆς χήρας, ἤγειρε καὶ Ἐλισσαῖος τὸν υἱὸν τῆς Σωμανίτιδος, αὐτὸς ὁ σωτὴρ ἤγειρε τὸν Λάζαρον, τὴν Ἰαείρου θυγατέρα, τὸν υἱὸν τῆς χήρας; εἰ τοίνυν καὶ ἐν τῇ παλαιᾷ, καὶ ἐν τῇ νέᾳ ἠγέρθησαν νεκροί, πῶς πρωτότοκος ὁ Χριστὸς τῶν νεκρῶν; τί οὖν; ἐκεῖνοι εἰ καὶ ἀνέστησαν πρὸ Χριστοῦ, ἀλλ' ἀναστάντες πάντες ἀπέθανον πάλιν, γεῦσμα δεδωκότες τῆς ἀναστάσεως· ὁ δὲ Χριστὸς ἀναστὰς οὐκ ἔτι ὑποπίπτει θανάτῳ. καὶ διὰ τοῦτο ἀρχηγός, ὡς ἀναστάς, καὶ μηκέτι ἀποθνήσκων. καὶ λέγει Παῦλος· Χριστὸς γὰρ ἀναστὰς ἐκ νεκρῶν οὐκέτι ἀποθνήσκει· θάνατος αὐτοῦ οὐ κυριεύει. εἶδες τὸν ἐν πᾶσι πρωτεύοντα, εἶδες τὸν ἀνακαινίζοντα τὸ γένος ἡμῶν διὰ τῆς ἑαυτοῦ οἰκονομίας; οὕτως ἐπὶ τέλει τὸν ἄνθρωπον ἀναστήσας εἰς οὐρανοὺς ἀνήγαγε καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ. ὦ κακῆς καὶ ἄφρονος ἡμῶν καρδίας· ἦλθε Χριστὸς πρὸς ἡμᾶς, ἔδωκεν ἡμῖν τὸ ἐξ αὐτοῦ πνεῦμα, καὶ ἀνέλαβε τὸ ἡμέτερον σῶμα, καὶ τὸ συνάλλαγμα γέγονε, καὶ ἡ ἀγνωμοσύνη τὴν εὐεργεσίαν ὑβρίζει; ἔλαβε παρ' ἡμῶν τὸ πλάσμα, καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ· ἐλάβομεν ἡμεῖς ἐξ αὐτοῦ τὸ πνεῦμα, καὶ ὑβρίσαμεν ἐν τάξει κτίσεως καὶ δουλαγωγίας αὐτὸ καταγαγόντες; ὦ ἄθλιε καὶ ταλαίπωρε· ἐὰν σοι εἴπῃ Χριστὸς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὅτι ἐγὼ τὸ σὸν σῶμα ἀθανασίᾳ ἐτίμησα, καὶ σὺ τὸ ἐμὸν πνεῦμα εἰς τὴν τῆς κτίσεως φύσιν κατέσπασας; εἶδες τὸ θνητὸν ἐγειρόμενον, εἶδες αὐτὸ σύνθρονον, εἶδες ἐπάνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος, καὶ οὐκ αἰσχύνῃ; τὰ ἡμέτερα τιμᾷ Θεός, καὶ τὰ ἐξ αὐτοῦ οὐ τιμῶμεν ἡμεῖς;

Ἀλλ' οἶδα τὴν αἱρετικὴν κακίαν ἀντιστρατευομένην τῇ ἀληθείᾳ. οἶδα, φησι, τὸ σῶμα τοῦτο ἀναληφθὲν εἰς οὐρανούς, ἀλλ' οὐ τοσοῦτον, ἵνα τιμηθῇ, ἀλλ' ἵνα ἔχωμεν ἄνω συνήγορον τὸν ἀξιοῦντα τὸν Θεὸν ὑπὲρ ἡμῶν. διὰ τοῦτο αἱ ἀνάγωγοι γλῶσσαι καὶ ἀπαίδευτοι ψυχαὶ ἔλεγον ἐν ἀγορᾷ ἐκπομπεύουσαι τὰ ἅγια, οὐκ οἶδα ὅπως. τὴν γὰρ λέξιν οὐκ ἀναπιφέρω τῆς βλασφημίας, τὴν δὲ ἔννοιαν ἐρῶ. σύ, φησι, Χριστὲ δεήθητι ὑπὲρ ἡμῶν τῷ Θεῷ, καὶ ἔντυχε ὑπὲρ ἡμῶν. καὶ λαμβάνουσι ῥῆσιν παρὰ τοῦ ἀποστόλου, τὴν ἔννοιαν μὴ μαθόντες. οὐκ εἶπε, φησιν, ὁ ἀπόστολος, Χριστὸς ὁ ἀποθανών, μᾶλλον δὲ καὶ ἐγερθείς, ὅς ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν; μὴ ἡμεῖς, φησιν, ἐπλασάμεθα; μὴ ἡμεῖς τὰ θεῖα ἐσυκοφαντήσαμεν; Παῦλος εἶπε τὸν Χριστὸν ἐντυγχάνοντα ὑπὲρ ἡμῶν. οὐ προσέχοντι ἐστὶν ἐντυχία, ὅτι πολὺ τὸ μέσον δεήσεως καὶ ἐντυχίας. εἰ τὸ αὐτὸ ἦν ἐντυγχάνειν καὶ ἀξιοῦν, οὐκ ἂν εἶπε Παῦλος, Βούλομαι ὑμᾶς ποιεῖσθαι προσευχάς, δεήσεις, ἐντεύξεις, εὐχαριστίας. δέησις λέγεται, ὅταν τις ἀξιοῖ τὸν Θεὸν εἰς πρᾶγμα· προσευχὴ δὲ λέγεται, ὅταν ὑμνῇ τὸν Θεόν· εὐχαριστία λέγεται, ὅταν τις ὑπὲρ ὧν εὖ ἔπαθεν εὐχαριστῇ τῷ Θεῷ· ἐντυχία λέγεται, ὅταν τις κατὰ τῶν ἀδικούντων ἐντυγχάνῃ τῷ Θεῷ, παρακαλούμενος αὐτὸν εἰς ἐκδίκησιν. ὅτι δὲ τὸ ἐντυγχάνειν οὐκ ἔστιν ἱκετεύειν, ἀλλ' ἐρωτᾶν καὶ ἀπόκρισιν δέχεσθαι, μαρτυρεῖ ἡ παλαιὰ διαθήκη

Κολασ. α. ιη.
γ Βασ. ιζ. κα.
δ. Βασ. δ. λδ.
Ιωαν. ια. λθ.
Μαρκ. ε. κβ.
Λουκ. ζ. ιε.
Ρωμ. ς. θ.
Εφεσ. α. κ.
α. Κορ. β. ιβ.
γρ. λυπηρῶ.
Ρωμ. η. λδ.
α. Τιμ. β. α.
γρ. πρόσω.

γ. Βασ. ιθ. ιδ. θήκῃ λέγουσα· καὶ Εἶπεν ὁ Θεὸς πρὸς Ἠλίαν τὸν προφήτην, Τί σὺ ἐνταῦθα, Ἠλία; γρ. σοὶ
ἐρωτᾷ ὁ Θεὸς τὸν προφήτην. ἀποκρίνεται ὁ προφήτης λέγων· Ζηλῶν ἐζήλωσα Κυρίῳ
παντοκράτορι, ὅτι ἐγκατέλιπόν σε οἱ υἱοὶ Ἰσραήλ· τὰ θυσιαστήριά σου κατέσκαψαν, καὶ τοὺς
προφήτας σου ἀπέκτειναν ἐν ῥομφαίᾳ, καὶ ὑπελείφθην ἐγὼ μόνος, καὶ ζητοῦσι τὴν ψυχήν
μου. οὐκ ἦν ἐνταῦθα δέησις, οὐκ ἦν εὐχή, ἀλλ' ἐρώτησις καὶ ἀπόκρισις, καὶ γέγονεν ἔντευξις. καὶ
Ρωμ. ια. β. ὅπως, ἄκουε Παύλου λέγοντος· Ἢ οὐκ ἀνέγνωτε ἐν Ἠλίᾳ τῷ προφήτῃ τί λέγει ἡ γραφή,
ὡς ἐντυγχάνει τῷ Θεῷ κατὰ τοῦ Ἰσραήλ; οὐκοῦν ἡ ἐντυχία οὐκ ἔστι δέησις, ἀλλὰ βία
προφήτου ἀπαγγέλλουσα τῷ Θεῷ τὰ τετολμημένα. ἐπεὶ τοίνυν οἱ ἀπόστολοι ἐν τοῖς
ἔθνεσιν ἐκινδύνευον ὑπὸ ἀρχόντων καὶ ἡγεμόνων συρόμενοι, ὑπὸ Ἰουδαίων ἐπιβουλευόμενοι,
παρεσκεύαζε δὲ αὐτοὺς ὁ ἀπόστολος πάντων καταφρονεῖν, καὶ διωγμοῦ καὶ θλίψεως καὶ θανάτου,
ὥσπερ παραμυθούμενος αὐτούς, φησί· κἂν ὑμεῖς μὴ εἴπητέ τι κατὰ τῶν ἀδικούντων ὑμᾶς,
Ρωμ. η. λγ. ἔστιν ὁ ὑπὲρ ὑμῶν ἐντυγχάνων, ὁ ἐξ ὑμῶν τὸ πλάσμα λαβών. Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν
Θεοῦ; Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων; Χριστὸς ὁ ἀποθανών, μᾶλλον δὲ καὶ ἐγερθείς, ὃς καί
ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν. Εἰ ἐντυγχάνει, πῶς κάθηται; ἢ ὁ ἐντυγχάνων,
οὐχ ἑστὼς ἐντυγχάνει; Εἶδές τινα δουλοπρεπῶς ἐντυγχάνοντα, καὶ καθήμενον ἐκ
δεξιῶν τοῦ ἄρχοντος; ἀλλὰ διὰ τοῦτό, φησι, προστάττει τὴν ἀξίαν λέγων· ὃς καὶ ἔστιν ἐν δεξιᾷ
τοῦ Θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν· ὡς εἰ ἔλεγε· μὴ χρείαν ἔχετε ὑμεῖς μεριμνᾷν τὸ
γινόμενον; σὺ τῷ κηρύγματι τῆς ἀρετῆς πρόσεχε· μὴ ἀπαγολήσῃς σεαυτόν, καὶ εἴπῃς·
Κύριε, πόσα πάσχομεν; ἐλαυνόμεθα, διωκόμεθα· ἔχεις τὸν ὑπὲρ σοῦ λέγοντα, ἔχεις τὸν ἐντυγχάνοντα.
ἐντυγχάνει δὲ ὁ υἱὸς τῷ πατρί, οὐ κατὰ ὑποβεβηκυῖαν τάξιν, ἀλλ' ὡς υἱὸς πατρὶ λέγων
τὰ πράγματα· οἱ εἰς ἡμᾶς πιστεύοντες ἀδικοῦνται, διώκονται, ἐλαύνονται. ἵνα ἀξιόπιστον
κατασκευάσῃ τὴν κατηγορίαν, εἰσάγει τὸν υἱὸν ἐντυγχάνοντα. οὕτω καὶ ὁ σωτὴρ λέγει·
Ιωαν. ε. με. Ἢ δοκεῖτε ὅτι ἐγὼ κατηγορήσω ὑμῶν; ἔστιν ὁ κατηγορῶν ὑμῶν Μωϋσῆς, εἰς ὃν ὑμεῖς ἠλπίσατε.
ἐλάττων ἐστὶ κατὰ σὲ ὁ υἱὸς ὡς ἐντυγχάνων τῷ πατρί; ἐὰν οὖν ἴδῃς τὸν Θεὸν ἐντυγχάνοντα
Ιερ. γ. ς. ἀνθρώπῳ κατὰ τῶν ἀπίστων, τί ποιήσεις; ἄκουε τοῦ Κυρίου λέγοντος πρὸς Ἱερεμίαν· Εἶδες ἃ
ἐποίησέ μοι ἡ ἀσύνετος θυγάτηρ Ἰούδα; ἐγκατέλιπέ με, καὶ ἐπορεύθη ὀπίσω θεῶν. ἔστω· ἄνθρωπος
Ησ. ε. γ. ἐντυγχάνει τῷ Θεῷ. διὰ τί Θεὸς ἀνθρώπῳ; καὶ ἀλλαχοῦ· Καὶ νῦν σὺ ἄνθρωπος
τοῦ Ἰούδα καὶ οἱ κατοικοῦντες τὴν Ἱερουσαλήμ, κρίνατε ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον τοῦ
ἀμπελῶνός μου· τί ἔδει με ποιῆσαι, καὶ οὐκ ἐποίησα; οὕτως ὁ Χριστὸς ἕως μὲν ἐν σαρκὶ τὴν
οἰκονομίαν ἐπλήρου, καὶ ἱερεὺς ἦν, καὶ δεήσεις προσέφερε καὶ ηὔχετο τῷ πατρὶ κατὰ τὴν ἔνσαρκον
οἰκονομίαν· ἀφ' οὗ δὲ εἰς οὐρανοὺς ἀνῆλθε, κάθηται μόνον δοξαζόμενος, οὐχ ἱκετεύων,
οὐκ ἐντυγχάνων· ἀλλ' εἰ καὶ ἐντυγχάνει, ὡς υἱὸς πατρί, ἐπεὶ καὶ ὁ Θεὸς προφήτῃ ἐνέτυχε.
διὰ τοῦτο λέγει ὁ Παῦλος, ἵνα δείξῃ ὅτι ὁ Χριστὸς οὐχ ὡς ἱερεὺς ἵσταται ἄνω προσφέρων
Εβ. ζ. κ. ὑπὲρ ἑαυτοῦ καὶ τοῦ λαοῦ, ἀλλὰ κάθηται, λέγει· Τοιοῦτος γὰρ ἡμῖν ἔπρεπεν ἀρχιερεύς, ὃς
ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας· ὃς
οὐκ ἔχει ἀνάγκην καθ' ἑκάστην ἡμέραν, ὥσπερ οἱ ἱερεῖς, προσφέρειν ὑπὲρ τῶν ἰδίων καὶ τῶν τοῦ λαοῦ
ἀγνοημάτων. τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ ἑαυτὸν προσενέγκας. τί οὖν καταμαίνονται τῆς γρ. ἁμαρτημάτων
Εβ. θ. κδ. εὐσεβείας, εἰ οὐκ εἶχεν ἀνάγκην; σὺ ὑπὸ ἀνάγκην ἄγεις τὸν πάσης ἀνάγκης ἀνώτερον;
πάλιν ἐπάγει Παῦλος· Οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστὸς ἀντίτυπα τῶν
ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανόν, ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν.
οὐκ εἶπεν, ἐμφανίζεσθαι. ἅπαξ γὰρ ἐνεφανίσθη, οὐ πολλάκις. καὶ πάλιν, οὔτε ἵνα καθ'
ὥραν ἑαυτὸν προσφέρῃ, ὡς ἱερεύς, ἅπαξ τοῦ ἐνιαυτοῦ εἰσέρχεται εἰς τὰ ἅγια τῶν ἁγίων.
νῦν δὲ ὁ Χριστὸς εἰς ἀθέτησιν ἁμαρτίας ἅπαξ διὰ τῆς θυσίας αὐτοῦ ἐφανερώθη. καὶ οἱ μὲν ἄλλοι
ἱερεῖς καθ' ἡμέραν ἑστήκασι λειτουργοῦντες, καὶ τὰς αὐτὰς θυσίας ποιοῦντες· Χριστὸς δὲ μίαν

ὑπὲρ ἀνθρώπων προσενέγκας θυσίαν εἰς τὸ διηνεκὲς ἐκάθισεν, ἐκδεχόμενος ἕως τεθῶσιν οἱ ἐχθροὶ ὑπὸ τοὺς πόδας αὐτοῦ. μὴ γὰρ ἐντυγχάνει λοιπόν; κάθηται· τί ὑβρίζεις τὴν εὐεργεσίαν;

Ἀλλ᾽ οἶδα μηκύνας τὸν λόγον· σύγγνωτε δέ μοι εἰς βυθὸν εἰσελθόντι, καὶ τῇ τοῦ ἁγίου πνεύματος δυνάμει δυνηθέντι διανήξασθαι τὸ πέλαγος τῶν ἁγίων γραφῶν, οὐχ ὅσον εἰπεῖν ἄξια, ἀλλ᾽ ὅσον ἡμεῖς ἠδυνάμεθα. ἐκεῖνο δὲ πρὸ πάντων ὑμᾶς παρακαλῶ καὶ ἱκετεύω, καὶ ἱκετεύων οὐ παύσομαι, τὰς γραφὰς ἐρευνᾷν, τὴν ἀλήθειαν ζητεῖν, παρὰ Χριστοῦ τὰ περὶ Χριστοῦ μανθάνειν· μὴ ἐκδῷς σεαυτὸν αἱρετικῇ κακίᾳ. πολλοὺς ἔχει σήμερον ὁ διάβολος ὄφεις ἀντὶ τοῦ ἀρχαίου ὄφεως· σπείρει τὰ ζιζάνια τῆς ἁμαρτίας, ἵνα θερίσῃ τὴν φθορὰν τῆς ἀσεβείας. μή, παρακαλῶ· ἀποτειχίσωμεν τὰς ἀκοὰς ἀπὸ τῆς αἱρετικῆς κακίας. οἶδα τοῦτο εἰρηκὼς ἐν ὑμῖν τὸν λόγον, ἀλλὰ καὶ νῦν λέγω· πάσης αἱρέσεως φανεροί εἰσιν οἱ ἔξαρχοι, ἀπὸ Ἀρείου Ἀρειανοί, ἀπὸ Μακεδονίου Μακεδονιανοί, ἀπὸ Εὐνομίου Εὐνομιανοί, ἀπὸ Μαρκίωνος Μαρκιωνισταί, ἀπὸ Σαβελλίου Σαβελλιανοί, ἀπὸ Μάνεντος Μανιχαῖοι, ἀπὸ Μοντανοῦ Μοντανισταί, καὶ αἱ καθεξῆς αἱρέσεις. εἰ ἔστιν ἡ πίστις τῆς ἐκκλησίας αἱρετική, εἴπωσιν οἱ αἱρετικοί, τίς αὐτῆς ὁ ἔξαρχος· λεγέτωσαν, ὅτι ἀπὸ τοῦδε τοῦ ἀνθρώπου ἤρξατο ὑμῶν ἡ αἵρεσις· εἰπάτωσαν, εἰ οἴδασιν. ὅρα γὰρ καὶ τοῦ Θεοῦ τὴν ἀγαθότητα. οὐ συνεχώρησεν ὁ Θεὸς τῇ δόξῃ τῶν ἀποστόλων ἐπικληθῆναι ὄνομα ἀνθρώπου· οὐ λεγόμεθα Μακεδονιανοί. ἀλλὰ κἂν εἴπωσιν ὁμοουσιασταί, οὐκ ὄνομα εἶπον, ἀλλὰ τῆς πίστεως ἔδειξαν τὴν συμφωνίαν. ἐὰν οὖν ἐρωτήσῃς αὐτούς, καὶ τίς πρῶτος εἶπε τό, ὁμοούσιον, οὐκ ἔχουσιν εἰπεῖν, ὁ δεῖνα καὶ ὁ δεῖνα· ἀλλὰ τριακόσιοι δέκα καὶ ὀκτὼ πατέρες σύμφωνοι ῥήξαντες φωνήν, ὁμολογίας συνεφώνησαν εἰς εὐσέβειαν. πρόσεχε πῶς καὶ αὐτῆς τῆς ἀρετῆς λάμπει ἡ ὁμολογία. οὐκ ἤρξατο τοῦ ὁμοουσίου οὐκ εἷς, οὐ δεύτερος, ἀλλὰ πᾶσα σύνοδος ἀνατολῆς, δύσεως, μεσημβρείας, ἄρκτου. ὅπου γὰρ ἀλήθεια φαίνεται, πάντα σύμφωνα. ἐρώτησον αἱρετικὸν ὃ μέλλω λέγειν. ἐὰν ἐρωτήσῃς ὀρθόδοξον, κἂν ἰδιώτης ᾖ, κἂν ἄπειρος, ταῦτα λέγει· ἐγὼ πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον, μίαν βασιλείαν, μίαν δύναμιν ὁμολογῶ. εἰπὲ δὲ αἱρετικοῖς δυσὶν ἢ τρισὶν ἀνθρώποις, πῶς φρονεῖτε; ἐὰν ἔλθωσι κατὰ τὴν αὐτὴν φωνήν, ἀλήθειαν λέγουσιν. ἀλλ᾽ ὁ μὲν λέγει ἄκτιστον, ὁ δὲ γεννητόν, ὁ δὲ ἀθάνατον, ὁ δὲ ἀΐδιον. κἂν ἄλλος ἀνακύψῃ, λέγει· ἐγὼ οἶδα ὅτι ὁ πατὴρ ἐποίησε τὸν υἱόν, ὁ δὲ υἱὸς τὰ ἄλλα· εἶτα ἕτερος διορθοῦται τοῦτον, λέγων, οὐχ οὕτως, ἀλλ᾽ ὁ μὲν πατὴρ ἐποίησε τὸν υἱόν, διὰ δὲ τοῦ υἱοῦ τὰ πάντα συνέστη. ὅπου γὰρ οὐκ ἔστιν ἀλήθεια, ἀλλὰ σαθρὸν τὸ ἱμάτιον, σχίζεται. καὶ ὥσπερ, ἀδελφοί, ἱμάτιον πεπαλαιωμένον, ὅπου ἐὰν ῥήξῃς, σχίζεται· κἂν σχήματι ἑλκύσῃς ἵνα εἰς ὁμιλίαν, ἐλέγχεται ἡ σαθρότης, καὶ ὑπὸ τῶν τυχουσῶν ἀφορμῶν σχίζεται· οὕτω καὶ αἱ αἱρέσεις, ὁ μὲν ὁμολογεῖ οὕτως, ὁ δὲ ἄλλως· αἱρέσεις ξέναι, ὀνόματα ξένα, καὶ ταῦτα ἐπονείδιστα, καπήλων ὀνόματα. τοῦτο ἔπαθον οἱ αἱρετικοί, ὃ ἔπαθόν ποτε Ἰουδαῖοι. ἡ λυχνία ἡ ἁγία ἐπὶ τοῦ νόμου ἔκειτο εἰς τὰ ἅγια τῶν ἁγίων, ὅπου τὸ καταπέτασμα, ὅπου ἡ τράπεζα, ὅπου ὁ νόμος, ὅπου αἱ πλάκες· ἀφ᾽ οὗ ἐξέπεσον τῆς ἀληθείας, ποῦ ἵσταται ἡ λυχνία; ἐν τοῖς προθύροις τῶν καπήλων. ποῦ τὸ κέρας τῶν προφητῶν; ἐν τοῖς καπηλείοις. καὶ ταῦτα ποιοῦσιν, οὐ διὰ πόθον, ἀλλὰ διὰ πόρον, οὐχ ἵνα δείξωσι τὴν λυχνίαν τιμωμένην, ἀλλ᾽ ἵνα προσκαλέσωνται τοὺς παριόντας· ἵνα δείξωσιν, ὅτι Ἰουδαϊκὸς ὁ οἶνος. ὥσπερ οὖν ἐκεῖ ἀπὸ τῶν ἁγίων εἰς τοσαύτην κατηνέχθη εὐτέλειαν τὰ ἅγια τὰ ὑπὸ τῶν ἀναξίων κατεχόμενα, οὕτω καὶ ἐνταῦθα, ἀπὸ Παύλου καὶ Πέτρου, ἀπὸ τῆς κορυφῆς ἐκείνης (αἰσχύνομαι λέγειν, αἰδοῦμαι τὸ ὄνομα τῆς αἰσχύνης, ἐπ᾽ ἀληθείας καὶ εἰπεῖν αἰδοῦμαι, καὶ λέγειν ἀναγκάζομαι) μετὰ τὴν φωνὴν ἐκείνην, Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω τὴν ἐκκλησίαν μου, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς· μετὰ δὲ εἰπεῖν Παῦλοι,

γρ. ἄξια

ἴσ. ταῦτα

Ματθ. ιϛ. ιη.

β. Κορ. ιγ. γ.
Ψαλ. λδ. ιϑ.

λον, Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ, ἀπὸ Παύλου καὶ Πέτρου, τῶν εὐαγγελιστῶν, τῶν κηρύκων, τῶν ὁμολογητῶν., Ψαθυριανοὶ δὲ ἕτεροί τινες ὀνομάζονται. πότε ἔμειναν ἐπὶ σχήματος; πότε οὐ διεῤῥάγη τὸ πεπαλαιωμένον ἱμάτιον; ἀλλ᾽ εἴπω εἰς αὐτὸ τὸ τοῦ προφήτου, καταπαύσω τὸν λόγον, Διεσχίσθησαν, καὶ οὐ κατενύγησαν· ἐνταῦθα δὲ ὁ χιτὼν τῆς ἐκκλησίας ὑφαντὸς δι᾽ ὅλου ἄῤῥαφος. Τί ἐστιν, ὑφαντός; ἐπειδὴ πολλά ἐστιν ἀπὸ κολλημάτων γινόμενα· ὁ δὲ χιτὼν οὗτος οὐκ ἐκολλήθη ἀπὸ λογισμῶν, ἀλλ᾽ ἐκ τῶν ἄνωθέν ἐστιν ὑφαντὸς δι᾽ ὅλου ἄῤῥαφος. οὐκ ἂν ἀνθρώπινοι λογισμοὶ ἔῤῥαψαν τὴν πίστιν ἡμῶν, ἀλλ᾽ ἔχομεν ὑγιῆ τὸν χιτῶνα. ἐπληρώσαμεν τὴν ὑπόθεσιν πολλὴν οὖσαν καὶ περισκελῆ καὶ λεπτὴν τῇ θεωρίᾳ. γινωσκέτω δὲ ὁ ἀκροατὴς ὅτι τὰ μὲν ἁπλᾶ τῶν νοημάτων ἁπλαῖς κέχρηνται ταῖς φωναῖς, τὰ δὲ βαθέα τῶν θεωρημάτων χρείαν ἔχει πολλῆς ποικιλίας. ὅταν ἴδῃς συνεσκιασμένον λόγον, ἀναφέρου τῇ διανοίᾳ· ὅταν ἴδῃς λεπτὸν νόημα, ποίκιλλου τὴν διάνοιαν. ἔστι πολλὰ τῶν νοημάτων τοῦ Θεοῦ σύντομα, ὡς τὸ, οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις. ὅταν μέντοι εἴπῃ, Ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ μετὰ ταῦτα, Ἐπὶ γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, ποικίλον ἐστὶ τὸ ἱμάτιον κατὰ τὸ εἰρημένον· Ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ. ἐπὶ τούτοις πᾶσι δοξάσωμεν τὸν φανέντα, προσκυνήσωμεν τὸν ἐλθόντα, ὑμνήσωμεν τὸν ἀνακαινίσαντα, τὸν ζωοποιήσαντα, τὸν ἐγείραντα, τὸν τειχίσαντα, τὸν φωτίσαντα, τὸν πλοῦτον ἡμῖν τῶν ἀγαθῶν τὴν ἀφθονίαν χαρισάμενον Ἰησοῦν Χριστὸν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ιωαν. α. ιδ.
Εφεσ. γ. ι.

Λογ. ρλε. ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΣΤΕΦΑΝΟΝ ΤΟΝ ΠΡΩτομάρτυρα. α.

Ex edit. Dnc. Bur.
Μην Δεκ. κζ.
Ματϑ. ι κη.

ΣΤέψωμεν ἀνθέσιν ἐγκωμίων τὸν Στέφανον, καὶ τοῖς τῶν ἐπαίνων αὐτὸν περιῤῥαίνωμεν ῥόδοις. ἤδη γὰρ αὐτὸς ἑαυτὸν τοῖς τῆς πίστεως προεστεφάνωσεν ἄθλοις. ἔκειτο μὲν γὰρ ἐν γράμμασι· Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, ἀλλ᾽ ἡ περὶ τὸ σῶμα συνάφεια τὴν δυσχέρειαν εἰσῆγε. τούτου δὲ τοῦ νεανίου βουληθέντος μαρτυρικὰς ἀναδέξασθαι νίκας, πᾶσα ἀπελήλαται δυσχέρεια· δειλία δὲ καὶ φόβος ἀργεῖν ἐμελέτησεν. οὔτε γὰρ ἀρχιερέων ἐφοβήθη μανίαν, οὐχ ἱερέων ἐδειλίασε θρασύτητα, οὔτε πρεσβυτέρων αὐτὸν κατέπληξαν λόγοι, οὐ γραμματέων αὐτὸν ἀπειλὴ διετάραξεν, οὐ λόγοι συκοφαντῶν τὴν αὐτοῦ προθυμίαν ἐνέκοψαν· γενναίῳ δέ τινι φρονήματι εἰς τοὺς ὑπὲρ Χριστοῦ ἀγῶνας κατέσπευδε. τίς τοίνυν θνητῶν ἀξίους ἐπαίνους τῷ ἀγωνιστῇ προσαγάγῃ; τίς ἀνθρώπων ἀνάλογον τῆς αὐτοῦ πολιτείας ἐγκώμιον διαπλέξει; ποία γλῶσσα τὰς τοῦ ἀριστέως ἐξειπεῖν δυνήσεται δόξας; ποῖον στόμα πρὸς ἔπαινον τῶν τοῦ Στεφάνου ἀγωνισμάτων ἀνοιγήσεται; ποῖα χείλη ἐπαρκέσει τὰς ἀνδραγαθίας εἰπεῖν τοῦ πρωτομάρτυρος; ἐπὶ τῆς γῆς γὰρ ἐπάλαιε, καὶ τὰ ἐν οὐρανοῖς περιεσκέπτετο· ἐν τῷ βίῳ παρῆν, καὶ τὰ ἐν ὑψίστοις περιῴδευε· μετὰ τῶν θνητῶν διελέγετο, καὶ ἀθανάτοις συνετάττετο· ἀνθρώποις ἀπεμάχετο, καὶ συνεχόρευεν ἀγγέλοις. πᾶσα λοιπὸν ἡλικία τὸ βέβαιον ἐχέτω· Στέφανος γὰρ ἐπάλαισε, καὶ ὁ ἀρχέκακος ἔπεσεν. ἐχέτω λοιπὸν καὶ ἐν πολιᾷ ἀγωνιζόμενος τὸ βέβαιον, καὶ ὁ ἐν γήρᾳ κατορθῶν τοὺς στεφάνους λαμβάνει, καὶ ὁ νεανίας ἀθλήσας στεφανοῦται, καὶ μειράκιον παλαῖσαν κομίζεται γέρα, καὶ νήπια ἀγωνιζόμενα κομίζονται στεφάνους, καὶ γύναια παραταξάμενα στεφανοῦται δόξῃ, καὶ παρθένοι παλαίσασαι κομίζονται νίκας. Στεφάνου τοίνυν ἀνοίξαντος τοῦ μαρτυρίου τὰς πύλας, πᾶσα λοιπὸν ἡλικία ἐπὶ τὸ μαρτύριον τρεχέτω. πρῶτος γὰρ Στέφανος τῷ τυράννῳ ἀντέστη· πρῶτος τὰς

κατ' αὐτοῦ ἀνεδέξατο νίκας· πρῶτος τῶν καλλινίκων ἐκείνων ἀπήρξατο ἀγώνων· πρῶτος διὰ Χριστὸν τὰ τοῦ Χριστοῦ ἀνεδέξατο πάθη· πρῶτος ἔδειξε θνητοῖς, πῶς παίζεται θάνατος· ἔδειξεν ἀνθρώποις, πῶς νέκρωσις γέλως ἔσται· ἐγνώρισε τοῖς ἐν τῷ βίῳ τὰς οὐρανίους ἀνόδους. Στέφανος γὰρ πλήρης χάριτος καὶ δυνάμεως ἐποίει σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ. Πραξ. ϛ. η.
Εἰς μείζονα προκοπὴν τὸν Στέφανον ἡ τοῦ πνεύματος προεβίβαζε χάρις. τὸ γὰρ ἄμετρον τῆς αὐτοῦ πίστεως προεμηνύατο τὸ βέβαιον. Διάκονος γὰρ ταγεὶς, μάρτυς ἀνεδείχθη· εἰς χηρῶν κατασταθεὶς χρείαν, εἰς θαυμάτων προέκοψε χάριν· τραπεζῶν ἐτάγη διάκονος, καὶ τερασίων ἀνεδείχθη ἐργάτης. Στέφανος δὲ πλήρης πίστεως καὶ δυνάμεως. ἐχέτω, φησὶν, ἐν προσηγορείᾳ τὸν τῆς νίκης στέφανον ὁ Στέφανος· Στέφανος, ὁ ἀμελέτητον πόλεμον γνωρίσας τῷ βίῳ, ὁ ἀδίδακτον μάχην ἐμφανίσας τῷ κόσμῳ. οὐκ εἶχεν ἐν ἔθει τοῦτο ἡ φύσις, καὶ Στέφανος κατὰ ἀσωμάτου στρατιᾶς παρετάξατο μόνος. πίστις γὰρ αὐτῷ τοὺς ἀγῶνας κατώρθου, ἐλπὶς μετὰ τέλος προετρέπετο παλαίειν. Στέφανος πλήρης πίστεως καὶ δυνάμεως. Στέφανος, ὁ αἰχμάλωτον τὸν ἀρχέκακον δείξας, ὁ προαιρέσει γυναῖα κατ' αὐτοῦ τρόπαια ἐγείρας, ὁ δαίμονας παρασκευάσας θρηνεῖν, καὶ ἀνθρώπους χορεύειν· Στέφανος ὁ πρῶτος τῶν μαρτύρων τροπαιοῦχος, ὁ στρατηγὸς τῶν διὰ Χριστὸν ἀγωνιζομένων. ὃς γὰρ ἂν διὰ Χριστὸν ἄρξηται παλαίειν, Στέφανον εὑρίσκει διδάσκαλον· ὅστις μαρτυρικῶν ἐφάψεται ἀγώνων, Στέφανον μιμεῖται. Στέφανος τὸ ἀκροθίνιον τῶν διὰ Χριστὸν ἀγωνιζομένων, ἡ κρηπὶς τῶν δι' αὐτὸν ἀποθνησκόντων, Στέφανος πλήρης πίστεως καὶ δυνάμεως. πανταχόθεν περιεπέφρακτο ὁ τοῦ Χριστοῦ στρατιώτης· ἑκατέρωθεν ἐπεθωράκιστο ὁ εὐσεβὴς πολέμαρχος. πλήρης πίστεως καὶ δυνάμεως. ἐπήρκεσαν, φησὶ, ταῦτα πρὸς νίκην, ἐξίσχυσαν ταῦτα παρασχεῖν τὸ τρόπαιον. πίστις γὰρ καὶ δύναμις καὶ τὸν ἀρχέκακον ἐνίκα, καὶ Ἰουδαίους κατέπληττε. πλήρης πίστεως καὶ δυνάμεως ἐποίει σημεῖα καὶ τέρατα μεγάλα ἐν τῷ λαῷ. θαυμάτων ὁ ἀριστεὺς ἐνεδείκνυτο πλήθη, τερασίων πλῆθος ὁ Χριστοῦ εἰργάζετο στρατιώτης. ἐποίει σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ, χωλοῖς μὲν χαριζόμενος δρόμους, πηροῖς δὲ ὑγίειαν ἐκπέμπων, ἵνα πρὸς φθόνον τοὺς ἀρχιερεῖς διεγείρῃ· οὕτως ἐπεθύμει διὰ Χριστὸν γεύσασθαι θανάτου. Εἶτα ἐγκαλεῖται κατ' αὐτοῦ ἀνδρῶν ἀσεβεστάτων πεντάπολις. Ἀνέστησαν γὰρ, Πραξ. ϛ. θ.
φησὶ, τινὲς τῶν ἀπὸ τῆς συναγωγῆς τῆς λεγομένης Λιβερτίνων, καὶ Κυρηναίων, καὶ Ἀλεξανδρέων, καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας συζητοῦντες τῷ Στεφάνῳ. ὢ πόσον ὄχλον ἡ κακία συνήγαγεν· ὢ πόσον δῆμον ὁ φθόνος συνέστρεψε· Λιβερτίνους, Κυρηναίους, Ἀλεξανδρεῖς, καὶ τοὺς ἀπὸ Κιλικίας καὶ Ἀσίας. ἄπειρος, φησὶν, ὄχλος καθ' ἑνὸς παρετάξατο στρατιώτου· ἄμετρα πλήθη καθ' ἑνὸς ὥρμησαν ἀριστέως· πέντε πόλεων ἄνδρες ἐφ' ἕνα κατέδραμον νεανίαν. ὢ τῆς ἀνιατρεύτου τῶν Ἰουδαίων κακίας. ἐξ αὐτῆς τῆς θέας ἠθέλησαν τὸν ἀριστέα ἐκφοβῆσαι, ἵνα τῇ ὑπερβολῇ τοῦ πλήθους ὑπεκλυθῇ τὰ νεῦρα. Εἶτα καὶ τάξιν τὴν παμπόνηρον ἐπιτιθέασι τῇ μάχῃ, καὶ ζητημάτων τῷ Στεφάνῳ ἐν προοιμίοις πλέκουσι λόγους. ἀνέστησαν γὰρ, φησὶ, τινὲς ἐκ τῆς συναγωγῆς τῆς λεγομένης Λιβερτίνων, καὶ Κυρηναίων, καὶ Ἀλεξανδρέων, καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας συζητοῦντες τῷ Στεφάνῳ. τί, φασιν, ὦ νεανία, ἀπερισκέπτως ὑβρίζεις τὸν θεόν; τί μεμελετημένοις λόγοις πείθεις τὸν ὄχλον; τί θαυμάτων ἀπάτῃ διασκεδάζεις τὸ ἔθνος; ὧδε τῶν ζητημάτων τὸ πέρας· Θεός ἐστιν ὁ ἐκ Μαρίας τεχθείς; δημιουργὸς ὁ τοῦ τέκτονος υἱός; οὐ Βηθλεὲμ τούτου κώμη καὶ τροφὸς ἡ Ναζαρέτ; Θεὸν φαντάζῃ τὸν ἐπὶ γῆς τεχθέντα; Θεὸς, ὁ δι' εὐτέλειαν σπαργανωθεὶς ἐν τῇ φάτνῃ; ὁ ἀποδράσας ὀργισθέντα τὸν Ἡρώδην; ὁ πρὸς κάθαρσιν λουτρὸν δεξάμενος Ἰορδάνην; ὁ πείνῃ δουλεύσας καὶ δίψῃ; ὁ κόπου αἰσθόμενος καὶ ὕπνου; ὁ κρατηθεὶς, καὶ μὴ ἰσχύσας διαδρᾶσαι; ὁ ῥαπισθεὶς, καὶ ἑαυτὸν μὴ ἐκδικήσας; ὁ ἀναρτηθεὶς, καὶ κατελθεῖν μὴ ἰσχύσας; ἐπάρατον καὶ ἐφύβριστον εὑράμενος τέλος; τὸν ἐν τάφῳ τεθέντα ἐν οὐρανοῖς εἶναι φαντάζῃ; τὸν παρα-

ἰσ. συν' ἐροιστ

πλήσιον θνητοῖς, νεκροὺς ζωὴν εἶναι κηρύττεις; κατεδέχετο οὖν Θεὸς ταῦτα παθεῖν; οὐκ ἐκέλευσε,
καὶ οὖν ἐπελθόντας ἐνέκρου; οὐχὶ προστάττων αἰφνίδιον ἐπῆγε τὸν θάνατον; ἢ παῦσαι
τοίνυν τῆς πλάνης, ἢ τὸν ἴσον αὐτοῦ δέχου καὶ σὺ θάνατον.

Τοιαῦτά τινα λέγοντες ἦσαν συζητοῦντες τῷ Στεφάνῳ. Εἶτα ὁ Στέφανος· οὐ παρ' ὑμῖν
φυλάττονται τῶν προφητῶν τὰ συγγράμματα; οὐχ ὑμεῖς τὰς τῆς παλαιᾶς ἀναπτύσσετε
Ιω θ. κθ. βίβλους; οὐκ ἐλέγετε ἀλλήλοις, Ἡμεῖς οἴδαμεν ὅτι Μωϋσῇ λελάληκεν ὁ Θεός, τοῦτον
δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν; ἡμεῖς τοῦ Μωϋσέως μαθηταί ἐσμεν. οὐχὶ Μωϋσῆς ἔλεγε, Προφήτην
ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε; οὐ
Δευτ. ιη ιε. Μιχ. ε β. προέγραψε πόρρωθεν Μιχαίας, Καὶ σὺ Βηθλεὲμ γῆ Ἰούδα οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς
ἡγεμόσιν Ἰούδα· ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος; οὐ τῆς ἀπειρογάμου ὁ Ἡσαΐας προανήγγειλε
Ησ. ζ. ιδ. τὸν τόκον, Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει; οὐ τῶν ἐν τῇ φάτνῃ ζώων τὴν παράστασιν ὁ
Αμβακ. γ. β. Ἀμβακοὺμ προεῖπεν, Ἐν μέσῳ δύο ζώων γνωσθήσῃ; οὐ τὴν ἐν Αἰγύπτῳ φυγὴν διὰ Ἡρώδην
Ησ. ι α. εἶπεν ὁ Ἡσαΐας, Ἰδοὺ Κύριος ἔρχεται ἐπὶ νεφέλης κούφης εἰς Αἴγυπτον; οὐ τῶν
Ψαλ. οϛ ιζ. ὑδάτων τοῦ Ἰορδάνου τὸν δρασμὸν ὁ Δαβὶδ προεμήνυσεν· Εἴδοσάν σε ὕδατα, ὁ Θεός, εἴδοσάν
σε ὕδατα, καὶ ἐφοβήθησαν; οὐ τῶν κόπων καὶ πόνων τὴν ἔκβασιν ὁ Ἡσαΐας προέγραψεν,
Ησ. νγ. δ. Αὐτὸς τὰς ἁμαρτίας ἡμῶν ἔλαβε, καὶ τὰς νόσους ἐβάστασεν; οὐ τῶν ἥλων τὴν βίαν Δαβὶδ προεῖπεν
Ψαλ. κγ. ιζ. ὁ προφήτης, Ὤρυξαν χεῖράς μου καὶ πόδας μου; οὐ τὴν ἐν τῷ ξύλῳ ἀνάρτησιν ὁ
Δευτ. κη. ξϛ. Μωϋσῆς προανεκήρυξεν, Ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην ἐπὶ ξύλου; οὐ τὴν ταφὴν
Γεν μθ. θ. τὴν ἐν μνημείῳ ὁ Ἰακὼβ προέγραψεν, Ἀναπεσὼν ἐκοιμήθη ὡς λέων; οὐ τὰ τῆς ἀναστάσεως
Ψαλ. πα η. προανεβόησεν ὁ Δαβίδ, Ἀνάστα, ὁ Θεός, κρῖνον τὴν γῆν; οὐ τὰ τῆς ἀναλήψεως ὁ αὐτὸς
Ψαλ. μϛ. ϛ. προεῖπεν, Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ; ἢ δείξατε τοίνυν ἐν ἄλλῳ τινὶ τῶν προφητικῶν
τὴν ἔκβασιν, ἢ ὡς Θεῷ τῷ ἐσταυρωμένῳ προσκυνεῖτε. ὑμεῖς γάρ, ὦ ἀνόητοι, μὴ γινώσκοντες
τὴν προφητείαν Μωϋσέως, ἐνομίζετε ψιλὸν ἄνθρωπον σταυροῦν· ἀλλ' ὁ ἐξ ὑμῶν, καθ'
α Κορ. β. η. ὑμῶν δὲ μᾶλλον, τὸ σκεῦος τῆς ἐκλογῆς, Παῦλος κράζει· Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον
τῆς δόξης ἐσταύρωσαν. περὶ αὐτοῦ ἐλέγχων ὑμᾶς ὁ κορυφαῖος τῶν ἀποστόλων ἔλεγεν,
Πραξ. γ. ιδ. Ὑμεῖς δὲ τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε, καὶ ᾐτήσασθε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν, τὸν δὲ ἀρχηγὸν
τῆς ζωῆς ἀπεκτείνατε. ταύτην ὑμῶν τὴν φωνὴν πόρρωθεν εἰδὼς Ἡσαΐας ἔλεγεν,
Ησ. ε. κ. Οὐαὶ τοῖς λέγουσι τὸ πικρὸν γλυκύ, καὶ τὸ γλυκὺ πικρόν. οὕτω τοίνυν διαλεγομένου τοῦ Στεφάνου,
οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι ᾧ ἐλάλει. καὶ καλῶς εἴρηται τό,
ἀντιστῆναι. ἐπειδὴ γὰρ ἀνωτέρω εἶπεν, ἀνέστησάν τινες τῶν ἐκ τῆς συναγωγῆς, ὧδε λέγει,
οὐκ ἴσχυον ἀντιστῆναι. εἰς σιωπὴν οὖν ὠθοῦντο τὴν γλῶτταν· συνέκλειον ἅπαντες
τὰ οἰκεῖα χείλη· ἀνέστελλον τῶν λόγων τὰ βέλη· ἀπεκράτησαν τῶν ῥημάτων τὰ τόξα· ὑπὸ
τὴν γλῶτταν ἔκρυψαν τῆς κακίας τὸ δόρυ. οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι
ᾧ ἐλάλει. ὢ τῶν καινῶν πραγμάτων. πῶς καλῶς συγγράφεται ὁ ἀοίδιμος Λουκᾶς;
Λουκ κα κε. πῶς τὰς ἐπαγγελίας τοῦ Χριστοῦ εἰς πέρας ἕλκει; εἶπε γὰρ ὁ Χριστός, Ὅτι δώσω ὑμῖν
στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. καλῶς οὖν λέγει,
οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ, καὶ τῷ πνεύματι ᾧ ἐλάλει. ποίᾳ σοφίᾳ; τῷ Χριστῷ τῷ ἐν
α. Κορ α. κδ. αὐτῷ φθεγγομένῳ. καὶ ὅτι ὁ Χριστὸς σοφία, ἡκέτω Παῦλος λέγων, Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ
β Κορ. ιγ. γ. σοφία· ὅτι δὲ λαλεῖ ἐν τοῖς εὐαγγελίζουσι, γράφων ἐν ἄλλοις ἔλεγεν, Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ
λαλοῦντος Χριστοῦ, ὃς εἰς ὑμᾶς οὐκ ἀσθενεῖ, ἀλλὰ δυνατεῖ ἐν ὑμῖν; καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ
σοφίᾳ, τουτέστι, τῷ Χριστῷ. τίς γὰρ ἀντιστήσεται αὐτῷ, καὶ ὑπομενεῖ; καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ
καὶ τῷ πνεύματι ᾧ ἐλάλει. ποίῳ πνεύματι; τῷ παρακλήτῳ, περὶ οὗ ἐν προοιμίοις ἔλεγε·
Πραξ. ϛ. η ζ. νε. Στέφανος δὲ πλήρης πίστεως καὶ δυνάμεως· καὶ αὖθις, Ὑπάρχων δὲ πνεύματος ἁγίου πλήρης,
ἀτενίσας εἰς τὸν οὐρανὸν εἶδε δόξαν Θεοῦ. τότε οὖν ὑπέβαλον ἄνδρας λέγοντας, ὅτι ἀκηκόαμεν

κηκόαμεν

ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα εἰς Μωϋσῆν, καὶ τὸν Θεόν. διεδέξατο ψευδομαρτυρία τὸν φθόνον· ὑπέβαλον ἄνδρας, ἀργυρίοις ἠγόρασαν τὸ ψεῦδος, δεῦτε, λέγοντες, ὦ τίμιοι ἄνδρες, τοῖς ἡμετέροις τὰ ὑμέτερα διακονήσατε· ἐν τοῖς ἡμῶν σκέμμασιν ἡ ὑμῶν ὑπουργησάτω γλῶσσα· τοῖς ἡμετέροις βουλεύμασιν ὑπηρετήσει τὸ ὑμέτερον στόμα. ἔκδικος γάρ τις τοῦ Γαλιλαίου ἀνέστη, ὑπέρμαχος ἐκείνου ἠγέρθη καὶ ἀντίμαχος. Θεὸν ἐν τάφῳ κείμενον γεραίρει· δημιουργὸν τὸν ἐν τύμβῳ συγκλεισθέντα κηρύττει· τὸν ἐν μνημείῳ τεθέντα ἐν τοῖς οὐρανοῖς φαντάζεται εἶναι· τὸν ὑπὸ στρατιωτῶν ἐμπαιχθέντα σὺν τῇ στρατιᾷ τῶν οὐρανῶν φημίζει παραγενέσθαι· τὸν μήτε ἑαυτὸν ἐκδικῆσαι ἰσχύσαντα, κριτὴν ἐπαγγέλλεται τῆς κτίσεως. Ἰωσὴφ ἀπέθετο τὸ τούτου σῶμα ἐν μνημείῳ, καὶ οὗτος αὐτὸν ἐκ δεξιῶν τοῦ Θεοῦ φαντάζεται ὑπάρχειν. οἱ μαθηταὶ αὐτὸν ἠρνήσαντο, ὡς ἀπατεῶνα, καὶ οὗτος λέγει, ὅτι πᾶσα γλῶσσα αὐτῷ ἐξομολογήσεται· ἐκ τοῦ σταυροῦ οὐκ ἴσχυσε καταβῆναι, καὶ δευτέραν αὐτοῦ παρουσίαν οὗτος ἐκ τῶν οὐρανῶν ἐπαγγέλλεται· οἱ κακοῦργοι αὐτὸν ἐβλασφήμουν μὴ δυνάμενον μήτε ἑαυτὸν σῶσαι, μήτε ἐκείνους, καὶ οὗτος τρανότατα κράζει, ὅτι αὐτός ἐστιν ὁ σωτὴρ τοῦ κόσμου. Εἴδετέ ποτε τοιοῦτον τόλμημα; ἠκούσατε δὲ ὅλως τοιαύτης ἀπονοίας καὶ βλασφημίας ῥήματα; ὑπουργήσατε τοίνυν τῇ σκέψει, καὶ ἐπίκοινον παρὰ τῶν νῦν κομίσεσθε κλέος. ο σκέψει Εἶτα οἱ ἀπόγονοι τῶν ἐπὶ Ναβουθὲ συκοφαντῶν τούτοις ἐχρήσαντο λόγοις· ἀκηκόαμεν λαλοῦντος αὐτοῦ ῥήματα βλάσφημα εἰς Μωϋσῆν, καὶ τὸν Θεόν. γ. Βασ. κα. ιγ. κατ' αὐτοῦ, φησι, τοῦ νομοθέτου ἀπετόλμησε λέγειν· αὐτὸς παρήγγειλεν ἡμῖν λέγων, Προσέχετε λαός μου τὸν νόμον μου, καὶ οὗτος κράζει, ὅτι Ἰησοῦς ἀλλάξει τὰ ἔθη, ἃ παρέδωκεν ἡμῖν Μωϋσῆς. Ψαλμ. οζ α. Εἰς Μωϋσῆν ἐβλασφήμησε, τὸν σεβάσμιον παρὰ ὅλῳ τῷ ἔθνει, τὸν εἰς συμμαχίαν ὅλην λαβόντα τὴν κτίσιν, τὸν δουλείας χαλεπῆς ἐλευθερώσαντα τὸ ἔθνος, τὸν ῥάβδῳ τὰ τῆς θαλάττης τειχίσαντα ὕδατα, τὸν βυθίσαντα προσευχῇ τὰ τῶν Αἰγυπτίων στρατεύματα, τὸν ἐν νυκτὶ προσευχῇ οὐράνιον ἀνάψαντα στῦλον, τὸν μεθοδεύσαντα οὐράνιον ἀγεώργητον ἄρτον, τὸν ἐξαντλήσαντα τῇ ῥάβδῳ τῆς ἀγόνου τὰ ῥεῖθρα. Εἰς Μωϋσῆν. καὶ τί τὸ, Εἰς Μωϋσῆν, παρατείνω τὸν λόγον; καὶ τὸν Θεὸν, εἰς αὐτὸν τὸν οὐρανὸν ἠκόντισε τὰ βέλη· κατ' αὐτοῦ τοῦ δημιουργοῦ ἐξέτεινε τὴν γλῶσσαν· νεκρὸν ἀντίθεον κηρύττει τοῦ κτιστοῦ. εἰς Μωϋσῆν, καὶ εἰς τὸν Θεόν. Συνεκίνησάν τε τὸν λαὸν, καὶ τοὺς πρεσβυτέρους, καὶ τοὺς γραμματεῖς· καὶ ἐπιστάντες ἥρπασαν αὐτὸν, καὶ ἤγαγον εἰς τὸ συνέδριον. Πραξ. ς. ιβ. εἰς ὀργὴν τὸν λαὸν συνεκίνησαν, καὶ ἥρπασαν αὐτόν. ἥρπασαν οἱ θῆρες τὸ πρόβατον, καὶ ἤγαγον εἰς τὸ συνέδριον τὸ ὑποκρίσεως ἀνάμεστον καὶ φθόνου· εἰς τὸ συνέδριον τὸ ἀλλότριον ἀληθείας, καὶ χηρεῦον δικαίου· καὶ ἤγαγον αὐτὸν εἰς τὸ συνέδριον, περὶ οὗ πόρρωθεν κέκραγεν Ἱερεμίας, Οὐκ ἐκάθισα ἐν συνεδρίῳ αὐτῶν ματαιότητος. Ἱερ. ιε. ιζ. καὶ ἔστησαν μάρτυρας ψευδεῖς λέγοντας, ὁ ἄνθρωπος οὗτος οὐ παύεται λαλῶν ῥήματα βλάσφημα κατὰ τοῦ τόπου τοῦ ἁγίου, καὶ τοῦ νόμου. τὸ ἱερόν, φησι, τὸν τόπον τοῦτον οὐκ ἠρυθρίασεν ἐνυβρίσαι· ὅπου τὰ θεῖα ἀναγινώσκονται ῥήματα· ὅπου τῶν προφητῶν σαλπίζονται τὰ συγγράμματα· ἔνθα αἱ πλάκες, καὶ τὸ οὐράνιον μάννα· ὅπου ἡ κιβωτὸς καὶ ἡ τοῦ Ἀαρὼν ῥάβδος· ὅπου ἀρχιερέων πολιά, καὶ πρεσβυτέρων ἀξίωμα, καὶ γραμματέων τιμή· ἀλλὰ παίγνιον ἡγεῖται τὸν τόπον· εὐτελὲς τὸ ἱερὸν ἀποφαίνεται. καὶ οὐ μόνον κατὰ τοῦ τόπου ἐτόλμησε φθέγξασθαι, ἀλλὰ καὶ κατὰ τοῦ νόμου· σκιὰν τὸν νόμον εἶναι φαντάζεται· τύπον τὴν παλαιὰν ἀνυποστόλως κηρύττει· μείζονα τὸν Γαλιλαῖον εἶναι λέγει Μωϋσέως· ἰσχυρότερον τὸν ἐκ Μαρίας τοῦ νομοθέτου κηρύττει. οὐκ ἠρυθρίασε τῶν πρεσβυτέρων τὴν ἀξίαν· οὐκ ἐδειλάνθη τῶν γραμματέων τὰ πλήθη, ἀλλ' ἐβλασφήμησε κατὰ τοῦ τόπου καὶ τοῦ νόμου. καὶ μάθετε αὐτοῦ τῶν λόγων τὴν πεῖραν. ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος, ὅτι Ἰησοῦς ὁ Ναζωραῖος καταλύσει τὸν τόπον τοῦτον, καὶ ἀλλάξει τὰ ἔθη, ἃ παρέδωκεν ἡμῖν Μωϋσῆς. νεκρὸς ἡμῖν ἐπαπειλεῖται δεσπότην· τεθνεῶτα ἡμῖν ἐπαγγέλλεται Κύριον· Ἰησοῦς ὁ Ναζωραῖος ἀναστή-

σεται, καὶ καταλύσει τὸν τόπον τοῦτον. ἐφαντάσθη, φησὶν, οὗτος ὁ νεανίας· ἠγνόησε τοῦ περιβοήτου ναοῦ τὴν τέρψιν· διέλαθον αὐτὸν τῶν ἐν αὐτῷ τελεσθέντων οἱ πόνοι· ἡ Σολομῶντος σοφία τοῦτον διέγραψε τὸν οἶκον· σύμμαχον εἶχεν ὁ σοφὸς τὴν ἄνωθεν χάριν· πολλοὺς ἀγῶνας ἐν τῇ κτίσει ὑπέμεινε τοῦ ἔργου· καὶ ὀγδοήκοντα μὲν χιλιάδες ἐλατόμουν ἐν τῷ ὄρει· ἑβδομήκοντα δὲ χιλιάδες ἐξέτεμνον τὸ ξύλον· τριάκοντα χιλιάδες παρεκόμιζον τὸν λίθον· τρισχίλιοι ἑξακόσιοι ἐπεστάτουν τῷ ἔργῳ· φιλότιμον χεῖρα τῷ ἱερῷ ἐπεξέτεινε, καὶ ἐν τεσσαράκοντα καὶ ἓξ ἔτεσι μόλις ἠδυνήθη κατασκευάσαι τὸ ἔργον· καὶ οὗτος λέγει, ὅτι Ἰησοῦς ὁ Ναζωραῖος καταλύσει τὸν τόπον· καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ ἀλλάξει τὰ ἔθη, ἃ παρέδωκεν ἡμῖν Μωϋσῆς. τὸ πολυάγιον σάββατον ὑπ' ἐκείνου καταλυθήσεσθαι λέγει· τὴν ἔννομον περιτομὴν ὑπὸ τοῦ Ναζωραίου ἀνατραπήσεσθαι ἀπεφήνατο· τὰς νεομηνίας ἡμῶν ὡς εὐτελεῖς παραγράφεσθαι λέγει· τὴν σκηνοπηγίαν τὴν τέρψιν τὸν ἐκ Μαρίας διαδέχεσθαι κηρύττει· τὰς θυσίας ἡμῶν ἀπροσδέκτους παρὰ τῷ Θεῷ εἶναι φαντάζεται· τοὺς ῥαντισμοὺς καὶ τὰ συνήθη καθάρσια τὸν θανόντα ἀνατρέψαι ἀποφαίνεται. τίς τοιγαροῦν οὐκ οἶδε τοῦ Ναζωραίου τὸ τέλος; πότε δὲ θνητὸς τοὺς ζῶντας ἀμύνασθαι δύναται; Ἠσαΐας ἐπρίσθη, καὶ οὐδαμοῦ ὁ τὰς δίκας εἰσπράττων· Ἱερεμίας ἐπνίγη, καὶ ἐπεξελθεῖν οὐκ ἠδυνήθη· ὁ Ναβουθὲ λίθοις ἀνῃρέθη, καὶ οὐδαμοῦ ὁ ἔκδικος τούτου· Ζαχαρίας ἐσφάγη, καὶ μένομεν ἕως τῆς δεῦρο ἀνέγκλητοι, καὶ τοῦ Ναζωραίου θανόντος ὑπέρμαχος ἵσταται οὗτος· ὡς κριτὴν ἡμῖν τὸν νεκρὸν ἐπαπειλεῖται· ὡς δικαστὴν τὸν ἐν τύμβῳ καταγγέλλει πλανώμενος.

Εἶτα τούτων οὕτω ψευδῆ κατηγορούντων, ἀτενίσαντες εἰς αὐτὸν πάντες οἱ καθεζόμενοι ἐν τῷ συνεδρίῳ, βλοσυρὸν ὄμμα κατ' αὐτοῦ ἐκπέμψαντες, ὀφρύας ὀργῆς μεμεστωμένας κατ' αὐτοῦ ἀκοντίσαντες, ἐξ αὐτῆς τῆς θέας βουλόμενοι ἐκπλῆξαι τὸν ἀγωνιστὴν, ἐν
Ψαλ. λϛ. κβ. τῇ ἑαυτῶν κακίᾳ τὸ προφητικὸν πληροῦντες λόγιον, Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ ζητεῖ τοῦ θανατῶσαι αὐτόν· ἀτενίσαντες εἰς αὐτὸν πάντες, εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου. ἡ γὰρ περὶ τὸ μαρτύριον χαρὰ προεκπηδῶσα τῆς ὄψεως ἀγγελικὰς τῷ νεανίᾳ περιέγραψε χάριτας. καὶ διὰ τί τὸ πρόσωπον ἀγγέλου; ἵνα πληρωθῇ ὁ λόγος τοῦ
Λουκ. κ. λε. Χριστοῦ, ὃν εἶπεν· Ἐν τῇ ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται· ἀλλ' εἰσὶν ὡς ἄγγελοι
Ματθ. ιζ. οἱ ἐν τοῖς οὐρανοῖς. οὕτως ἔλαμψαν Μωϋσῆς καὶ Ἠλίας ἐν τῷ ὄρει, ὅτε συνελάλουν τῷ
Ματθ. ιϛ. μϛ. Ἰησοῦ, ὥστε ἰδόντας τοὺς μαθητὰς πεσεῖν ἐπὶ πρόσωπον· οὕτω μέλλουσιν ἐκλάμπειν πάντες οἱ δίκαιοι ἐν τῇ βασιλείᾳ τοῦ πατρός. εἶδον τὸ πρόσωπον αὐτοῦ, ὡσεὶ πρόσωπον ἀγγέλου. Εἶπε δὲ ὁ ἀρχιερεὺς, εἰ ἄρα ταῦτα οὕτως ἔχει; ὢ λόγοι ὑποκρίσεως ἀνάμεστοι· ὢ ῥήματα ἐστολισμένα ἐπινοίᾳ καὶ φθόνῳ. εἰ ἄρα ταῦτα οὕτως ἔχει; ἐτόλμησας, φησὶν, ὦ ἄνερ, τὸν νομοθέτην ἐνυβρίσαι Μωϋσέα; εἰ ἄρα τῷ Θεῷ ἀντεστράτευσας ἀντίθεον; εἰ κατὰ τοῦ πολυαγίου ἀνερυθριάστως ἐλάλησας τόπου; εἰ τὸν ἐκ Θεοῦ δοθέντα νόμον ἄκυρον εἶναι ἐφαντάσθης; εἰ τὸν Ναζωραῖον ἐναλλάττειν τὰ Μωϋσέως ἐνόμισας; μεγάλων κακῶν ἑαυτῷ πρόξενος ἐγένου. Εἶτα πρὸς ταῦτα ὁ πρωτομάρτυς· ἄνδρες ἀδελφοὶ καὶ πατέρες ἀκούσατε. ἐχέτω, φησὶ, πᾶσα τέως ἡλικία τὴν προσήκουσαν ἑκάστῳ τιμήν. ἄνδρες ἀδελφοὶ καὶ πατέρες ἀκούσατε. ἀκούσατε, οὐ λέγω, πείσθητε (τὸ γὰρ ἄπιστον τῆς ὑμετέρας ἐπίσταμαι γνώμης) ἀλλ' ἀκούσατε. ὁ Θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ ἐν τῇ Μεσοποταμίᾳ. οὐκ ἐν τῇ Ἱερουσαλὴμ, οὐκ ἐν τῷ περιβοήτῳ ναῷ, ἀλλ' ἐν τῇ Μεσοποταμίᾳ, ὅπου κατείδωλος ὑπῆρχεν ὁ χῶρος, ἔνθα ἀθέοις ἡ πατρὶς συνεπνίγετο· ἐν τῇ Μεσοποταμίᾳ, ὅπου ξοάνοις ἀνεπέμπετο σέβας· ὅπου ξύλοις καὶ λίθοις τὸ πολυάγιον ἐνετίθεσαν ὄνομα, ἐκεῖ αὐτῷ ὤφθη. ᾔδει γὰρ ὅτι ἐν ἀκάνθαις τίκτεται ῥόδον, καὶ μέσον ζιζανίων εὐγενὴς ἀνατέλλεται σῖτος· ὥσπερ ὁ πολύαθλος Ἰὼβ ἐν τῇ ἀσώτῳ χώρᾳ τῇ Αὐσίτιδι ὡς ῥόδον ἐν

ἀκάνθαις ὤφθη, καὶ ὡς κρίνον ἐν περιβόλοις, καὶ ὡς φωστὴρ ἐν τῷ σκότει τῆς ἀγνοίας ἔλαμπε ταῖς ἀρεταῖς, καὶ ὡς πύργος ἐν καταστροφῇ ἦν πάσαις ταῖς ἄνω δυνάμεσιν εὔδηλος, ἀπὸ γῆς εἰς οὐρανοὺς τὰ κατορθώματα ἐπαύξων, ἀπὸ βάθους εἰς ὕψος τῆς δικαιοσύνης τοὺς καρποὺς ἐκπέμπων. ὅθεν ὀσφρανθεὶς" αὐτῶν ὁ Θεὸς τὸν καρπὸν, ὡς καὶ τοῦ Νῶε μετὰ τὸν κατακλυσμὸν (ὠσφράνθη γὰρ Κύριος ὀσμὴν εὐωδίας) ἐμαρτύρει τῷ ἰδίῳ θεράποντι· ἰδοὺ ἄνθρωπος δίκαιος, ἀληθινὸς, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς κακοῦ, παρὰ τοῦ νόμου τὰ τοῦ νόμου πληρῶν. ἔχων γὰρ τὸν ἔμφυτον νόμον, οὐκ ἐδεήθη τοῦ γραπτοῦ. γνωστὰ γὰρ τῷ Θεῷ ἀπ' αἰῶνος πάντα τὰ ἔργα αὐτοῦ. Εἶτα λέγει πρὸς τὸν Ἀβραάμ, ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω. ἔξελθε ἐκ τῆς γῆς σου. τί, φησι, πολύθεος χώρα τὸν τῶν ἐθνῶν περιέχει πατέρα; τί κατείδωλος πατρὶς περιέχει τὸν προπάτορα τοῦ ἔθνους; ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου. δυσχερῆ, ὡς ἐν ἀνθρώποις, τὰ προσταττόμενα τῷ πατριάρχῃ. κατάλιπε, φησὶ, πατρίδα· ἄφες ὅλον τὸ γένος· ἀπόταξαι τῇ γῇ ἐν ᾗ ἐγεννήθης· χωρίσθητι πατρὸς καὶ τικούσης, ἀλλ' οὐδὲν τούτων τὸν πατριάρχην περιεσάλευσεν· οὐκ ἐλογίσατο καθ' ἑαυτὸν οἷά γε θνητὸς, ἄδηλά μοι, φησὶν, ὁ ὀφθεὶς ὑπισχνεῖται· ἀβέβαια ἐπαγγέλλεται τοῦτο. καταλίπω τοίνυν τὰ ἐν χερσὶ, καὶ τὰ ἀόρατα μεταδιώξω; ἀφῶ τὰ ἐν ποσὶ, καὶ τὰ ἄδηλα ποθήσω; ἀλλ' οὐδὲν τούτων ὁ πατὴρ τῶν ἐθνῶν ἐλογίσατο· ἀλλὰ προσετάγη, καὶ τῷ χωρισμῷ συνετίθετο· ἐντολὰς ἐλάμβανε, καὶ τὰ ἄδηλα ζητεῖν ἐπεπόθει. πίστις γὰρ αὐτῷ τοῦτον ἀνέκαιε τὸν ἔρωτα. τὰ γὰρ ἐπαγγελλόμενα τελείως κατανοήσας, πλέον πρὸς τὴν ἔξοδον τῆς πατρίδος ἐσπούδαζεν. ἔξελθε γὰρ, φησιν, ἐκ τῆς γῆς σου. ἐκ τῶν μηρῶν σου μέλλω, ἐκ σοῦ κατὰ σάρκα γεννᾶσθαι. οὐδὲν σοι τοιγαροῦν ὑπισχνοῦμαι· ἀρκεῖ σοι γὰρ μόνον, ἵνα πατήρ μου χρηματίσῃς. Βίβλος γενέσεως Ἰησοῦ υἱοῦ Δαβὶδ, υἱοῦ Ἀβραάμ· Εἶτα τὰ κατὰ τὸν Ἀβραὰμ διηγησάμενος, ὅτι μιᾷ φωνῇ Θεοῦ ὑπήκουσε καλοῦντος· ὅτι προεῖπε τὴν τοῦ σπέρματος αὐτοῦ δουλείαν· καὶ ὅτι τετρακοσιοστὸν ἐν Αἰγύπτῳ δουλεύσουσιν ἔτος· καὶ ὅτι τῇ δεξιᾷ τοῦ Θεοῦ λυτρωθῶσι τῆς ἀνάγκης· καὶ ὅτι ἔδωκεν αὐτῷ περιτομῆς διαθήκην, λέγει λοιπὸν τὸν τοῦ Ἰσαὰκ παράδοξον τόκον, καὶ ὅτι τῇ ὀγδόῃ αὐτὸν περιέτεμε, καθὼς προσετάχθη. ἔτι λέγει καὶ τὴν τοῦ Ἰακὼβ ἐκ τοῦ Ἰσαὰκ γένεσιν, καὶ ὅτι ὁ Ἰακὼβ δώδεκα πατριαρχῶν πατὴρ ἀνεδείχθη. λέγει δὲ τὸν φθόνον πρὸς τὸν Ἰωσὴφ τῶν συγγενῶν, καὶ τὴν πρᾶσιν αὐτοῦ τὴν ὑπὸ τῶν ἀδελφῶν ἐν Αἰγύπτῳ· καὶ ὅτι εὗρε χάριν καὶ σοφίαν παρὰ τῷ βασιλεῖ τῆς Αἰγύπτου· καὶ ὅτι μετὰ τὴν δουλείαν κύριος καὶ σοφὸς ἀνεδείχθη· λέγει καὶ ὅτι λιμὸς καθ' ὅλου, ὡς εἰπεῖν, ἀνεδείχθη τοῦ κόσμου, καὶ ὅτι Χαναὰν τῇ ἀπορίᾳ τῶν βρωμάτων τὰ οἰκεῖα φίλτατα παρεδίδου· καὶ ὅτι ἐν δόξῃ ἐνεφάνισεν ἑαυτὸν Ἰωσὴφ τοῖς ἰδίοις συγγενέσι· καὶ ὅτι μετεκαλέσατο Ἰωσὴφ ἐν Αἰγύπτῳ Ἰακὼβ τὸν πατριάρχην· καὶ ὅτι ἐν ἑβδομήκοντα πέντε ψυχαῖς ὁ Ἰακὼβ ἐκεῖσε κατῆλθε· καὶ ὅτι ἐπληθύνθη Ἰσραὴλ εἰς ἄμετρον ἐν Αἰγύπτῳ· καὶ ὅτι ἕτερος ἀνέστη βασιλεὺς τὸν Ἰωσὴφ ἀγνοήσας· καὶ ὅτι κατασοφισάμενος τὸ τοῦ Ἰσραὴλ ἐκάκωσεν ἔθνος· καὶ ὅτι τὰ ἄρρενα βρέφη ἔκδοτα παρέπεμπε τῷ Νείλῳ ποταμῷ. λέγει δὲ καὶ τὴν γένεσιν Μωϋσέως τοῦ νομοθέτου· καὶ ὅτι παρὰ τῶν γονέων ἐν τῇ θήκῃ ἐρρίφη· καὶ ὅτι ἀνείλετο αὐτὸν ἡ θυγάτηρ Φαραὼ τοῦ βασιλέως· καὶ ὅτι πάσῃ τῇ τῶν Αἰγυπτίων ἐπαιδεύθη σοφίᾳ, καὶ ὅτι δυνατὸς ἐν λόγοις ἐδείχθη καὶ ἔργοις· καὶ ὅτι μετὰ τὸ τεσσαρακοστὸν ἔτος ἀνῆλθεν εἰς ἐπίσκεψιν τοῦ ἔθνους· καὶ ὅτι εἶδεν Ἰσραηλίτην ἀδικούμενον, καὶ ἠμύνατο τὸν Αἰγύπτιον· καὶ ὅτι μαχομένοις Ἰσραηλίταις συνεβούλευσε φιλιάσαι· καὶ ὅτι ὑβρίσθη παρὰ ὁμοεθνοῦς, ὡς ἐργασάμενος φόνον· καὶ ὅτι ἔφυγεν εἰς γῆν Μαδιὰμ διὰ τοῦτον τὸν λόγον· καὶ ὅτι ἐκεῖ δύο υἱῶν πατὴρ ἀνεδείχθη· καὶ ὅτι ἄγγελος αὐτῷ ἐν τῷ ὄρει Σινᾶ ὤφθη· καὶ ὅτι εἶδε πυρὸς καὶ βάτου ἄμαχον φιλίαν· καὶ ὅτι φωνῆς οὐρανόθεν ἐπήκουσε θείας· καὶ ὅτι σύντρομος ἐγένετο μὴ τολμῶν κατανοῆσαι τὸ θαῦμα· καὶ ὅτι ἐκελεύσθη τῶν οἰκείων ποδῶν λῦσαι τὸ

ἴσ. αὐτοῦ

Γεν. η. κα.

Ματθ. α. α.

ὑπόδημα· καὶ ὅτι τὸν τόπον ἐν ᾧ ἔστη γῆν ἤκουσεν ἁγίαν· καὶ ὅτι μετὰ σημείων τὸν λαὸν ἐξήγαγεν ἐξ Αἰγύπτου· καὶ ὅτι διὰ τῆς ἐρυθρᾶς, ὡς διὰ τῆς ξηρᾶς, τὸν Ἰσραὴλ ἐστρατήγησε. λέγει δὲ καὶ τὴν ἐν τῷ ὄρει τῶν ἀνόμων εἰδωλολατρείαν· ὅτι οἱ τῆς θαλάσσης ὁδοιπόροι μόσχῳ προσωμοίωσαν τὸν Θεόν· ὅτι τῷ εἰδώλῳ τὰς κατ' Αἰγυπτίων ἀνέθηκαν νίκας. λέγει αὖθις καὶ τὴν ἐν Βαβυλῶνι αἰχμαλωσίαν τοῦ ἔθνους, καὶ τὴν τοῦ Δαβὶδ παρὰ τῷ Θεῷ εὐαρέστησιν, ὅτι εὗρε χάριν ἐνώπιον τοῦ Θεοῦ, καὶ πατὴρ Χριστοῦ ἐχρηματίσθη. λέγει δὲ τὸν ὑπὸ Σολομῶντος οἶκον κτισθέντα, καὶ ὅτι ὁ Θεὸς ἐν χειροποιήτοις οὐκ αὐλίζεται τόποις. οὕτω τοιγαροῦν διεξελθὼν τὰς τῶν πατέρων ἱστορίας, λαβὼν εἰς συνεργίαν τὸ ἅγιον πνεῦμα, τῶν καθ' αὐτῶν λοιπὸν ἀπάρχεται ὕβρεων, καί φησι, σκληροτράχηλοι, ἀκαμπεῖς καὶ ἀδάμαστοι· ποία γὰρ ὀδύνη τὸν ὑμέτερον ἔκαμψεν αὐχένα; ποία ἀνάγκη τὸν ὑμέτερον ἔκλινε τράχηλον; οὐχὶ τετρακόσια ἔτη Φαραὼ ἐν Αἰγύπτῳ ἐδουλεύσατε; οὐχὶ ὄγδοον ὑμᾶς ἔτος ὁ Συρίας βασιλεὺς Χουσαρσαθὲμ εἰσεκτήσατο; οὐκ ὀκτωκαιδέκατον ἔτος ὑπὸ τὴν τῶν Μοαβιτῶν γεγόνατε βασιλείαν; οὐ πάλιν εἴκοσιν ὑπὸ τῶν Χαναναίων ἐδουλώθητε χρόνοις; οὐχ ἕβδομον ἔτος αὖθις πάλιν Μαδιανίταις ὑπεκύψατε; οὐχὶ πάλιν ὀκτωκαιδέκατον ἔτος ὑπὸ Ἀμμωνιτῶν ἐκυριεύθητε; οὐχὶ τοῖς Φιλιστιεὶμ τεσσαράκοντα ὑπείξατε ἔτεσιν; οὐχὶ ἑβδομήκοντα τοῖς Βαβυλωνίοις ἐδουλεύσατε; οὐχὶ Σαλμανασὰρ ὑμᾶς εἰς τὰ ὄρη μετῴκισε Χαλδαίων, καὶ οὐδαμοῦ ἀνάγκη μεταβάλλουσα τὰς γνώμας ὑμῶν; σκληροτράχηλοι, οὓς ὁ κόφινος οὐκ ἐδάμασεν Αἰγύπτου, οὓς οὐκ ἐμάλαξε τῶν ἀχύρων τὸ ἄχθος, οὓς οὐκ ἔκαμψε τῆς πλινθουργίας ἡ βία. εἶτα τούτων τῶν φωνῶν ἐπακούσαντες, ἐκβαλόντες αὐτὸν ἔξω τῆς πόλεως ἐλιθοβόλουν. ἔνθα τὸν βασιλέα ἐσταύρωσαν, ἐκεῖ καὶ τὸν στρατιώτην βάλλουσι λίθοις. καὶ ἐκβαλόντες αὐτὸν ἔξω τῆς πόλεως ἐλιθοβόλουν. ἀλλὰ καὶ μετὰ λίθων βολὰς ὁ ἀγωνιστὴς ἀνεδέξατο νίκας, καὶ τοιαύτῃ φωνῇ πρὸς τὸν κτίστην ἐκέχρητο· Κύριε Ἰησοῦ, δέξαι τὸ πνεῦμά μου. Κύριε Ἰησοῦ, ὁ γνώμῃ πατρὸς ἀναδεξάμενος πάθος, ὁ βουλῇ τοῦ τεκόντος θάνατον ὑπομείνας, δέξαι τὸ πνεῦμά μου. χώρισον λοιπὸν τοῦ σώματος τὴν ψυχήν· τὴν ἀσώματον μετάστησον· δέξαι τὸ πνεῦμά μου ἀρεταῖς κατεστεμμένον παντοίαις· δέξαι τὸ πνεῦμά μου. τὸν γὰρ δρόμον τετέλεκα· τὴν πίστιν τετήρηκα· διὸ αἰτοῦμαι δέξαι τὸ πνεῦμά μου. ἐν ὅσῳ γὰρ περίκειμαι τὸ φθαρτὸν σῶμα, δειλιῶ· ἐν ὅσῳ φορῶ τὴν γηΐνην σάρκα, φοβοῦμαι μὴ μετὰ πόνους ἀπολέσω τοὺς πόνους· ἰλιγγιῶ μὴ μετὰ πάλην ἀστεφάνωτος μείνω· μὴ μετὰ τοὺς ἀγῶνας ἀπολέσω τὰ βραβεῖα· δέξαι οὖν τὸ πνεῦμά μου. πενθήσῃ λοιπὸν ὁ διάβολος, ὡς ἀπολέσας τὴν νίκην· θρηνήσῃ ὁ ἀρχέκακος, ὡς πρὸς θνητὸν μὴ ἐξισχύσας· ὀδυρέσθωσαν οἱ ἀσώματοι, ὅτι οἱ ἐν σώματι γελῶσι τὰ πάθη. δέξαι τὸ πνεῦμά μου. θεὶς δὲ τὰ γόνατα, ἔκραξε φωνῇ μεγάλῃ, Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. καὶ ἵνα μάθῃς ὅτι μετὰ σπουδῆς εὔχεται, οὐχ ἁπλῶς εὔχεται, ἑστὼς καὶ κατανυσσόμενος, ἀλλὰ θεὶς τὰ γόνατα, εἶπε μετὰ κατανύξεως, μετὰ πολλῆς συμπαθείας, Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· καὶ ταῦτα εἰπὼν ἐκοιμήθη. ὕπνος γὰρ τοῖς δικαίοις ὁ θάνατος, ἀνάπαυσις τοῖς σοφοῖς ἡ νέκρωσις. διὰ τοῦτο γὰρ ὕπνος ὁ θάνατός ἐστιν, ἵνα ὥσπερ ἐκ κάρου τινὸς ἐν τῇ ἀναστάσει διεγερθέντες, τῶν αἰωνίων ἀγαθῶν ἀπολαύσωσιν· ὧν γένοιτο πάντας ἡμᾶς μεταλαβεῖν, χάριτι καὶ μεσιτείᾳ τοῦ Χριστοῦ, δι' οὗ δόξα τῷ πατρὶ ἐν πνεύματι ἁγίῳ τῷ παρακλήτῳ, ὡς ἀπ' ἀρχῆς, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ρλϛ. ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΠΡΩΤΟΜΑΡΤΥΡΑ ΣΤΕφανον. β.

Πάντες μὲν τῶν μαρτύρων ἀγῶνες ἐπίδοξοι, καὶ θαυμάζεται πανταχοῦ τῶν δικαίων ἡ ἄθλησις· ἀλλ' ὅπου δὲ περίβλεπτον ἄγεται Στεφάνου τοῦ πρωτομάρτυρος στάδιον, ἐκεῖ καὶ ἡ ἄφωνος γλῶττα πρὸς εὐφημίαν διεγείρεται. τίνα γὰρ "οὐ καλεῖ πρὸς ἔπαινον ὁ μακάριος Στέφανος; ὁ καὶ μόνῃ τῇ προσηγορίᾳ τὴν οἰκείαν σημαίνων ἀξίωσιν, καὶ αὐτῷ τῷ ὀνόματι τὴν τιμὴν ἤδη προκεκληρωμένος τῆς νίκης. ἐν τούτῳ γὰρ καὶ τὴν πάλην, καὶ τὴν νίκην, καὶ τὴν τιμὴν κηρύττει δὲ τοῦ μάρτυρος ὄνομα. Στέφανος, ὁ καὶ τῶν ἀγώνων πρῶτος, καὶ τῶν ἐπάθλων πρῶτος, καὶ τῶν ἐπαίνων ἐξαίρετος, ὁ τοῖς ἴχνεσι τοῦ δεσπότου ἑπόμενος, καὶ "ἀρχὴ τῶν ἀθλούντων γενόμενος. τοῦτον γὰρ πρῶτον ὁ σωτὴρ εἰς σωτηρίαν ἐπεώργησε μάρτυρα· τοῦτον ὁ τοῦ Χριστοῦ θάνατος εὐθέως καταφρονῆσαι καὶ αὐτοῦ τοῦ θανάτου "ἔπεισε· τοῦτον ἐκχέαι καὶ τὸ ἴδιον αἷμα ἡ τοῦ δεσπότου πλευρὰ προεξένησεν. ἃ γὰρ ἔγνω τὸν δεσπότην ὑπὲρ δούλων παθόντα, ταῦτα παθεῖν "ὑπέσχετο ὑπὲρ αὐτοῦ τοῦ δεσπότου, οὐκ ἀναμείνας καιρὸν, οὐ προλαβόντας ἰδὼν, οὐ θεασάμενος ἄθλησιν. ἐπεὶ γὰρ τὴν ἑαυτοῦ πολιτείαν ἑπομένην ἔδειξε, πανταχοῦ τῷ δεσπότῃ συναγωνίζεσθαι καὶ τὴν τελευτὴν ὁμοίαν "ἐργάσασθαι, φυλάττων, ὡς μαθητὴς, διδασκάλου τάξιν. καὶ βλέπε μοι τὸν μακάριον ἐν ἔργοις τε καὶ λόγοις αὐτὸν τὸν δεσπότην μιμούμενον. ἐδόξασε τὸν σωτῆρα τῶν σημείων ἡ δύναμις· μακαρίζεται καὶ ἐν τούτῳ ἡ χάρις τοῦ μάρτυρος. Στέφανος γὰρ, φησὶ, πλήρης χάριτος καὶ δυνάμεως, ἐποίει τέρατα καὶ σημεῖα ἐν τῷ λαῷ. θαυμάζεται διδάσκων ὁ Κύριος, ἐπαινεῖται δημηγορῶν ὁ μάρτυς. ἀρξάμενος γὰρ ἀπὸ τῆς κατὰ τὸν Ἀβραὰμ ὀπτασίας, καὶ διελθὼν καθεξῆς ἀκολούθως, ἐπιμέμνηται μὲν τῶν "κυριωτέρων προσώπων τε καὶ πραγμάτων, εἰσάγει δὲ τὴν εἰς Χριστὸν προφητείαν, καὶ δείκνυσιν ἀεὶ τοὺς Ἰουδαίους τὸν Θεὸν παροργίζοντας. ἀλλ' ὥσπερ εἶχεν ὁ Χριστὸς "Φαρισαίους ἀντιλέγοντας, οὕτω καὶ ὁ μάρτυς τοὺς ἐκ τῆς συναγωγῆς "αὐτῷ ἀντιπίπτοντας. Ἀνέστησαν γάρ τινες, φησὶ, τῶν "ἀπὸ τῆς συναγωγῆς τῆς λεγομένης Λιβερτίνων καὶ Κυρηναίων καὶ Ἀλεξανδρέων, καὶ [ἀπὸ] τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας, συζητοῦντες τῷ Στεφάνῳ· καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι, ᾧ ἐλάλει· κατηγορεῖται περὶ τοῦ ναοῦ ὁ δεσπότης· συκοφαντεῖται καὶ ὁ μάρτυς ἐν τούτῳ. Ὁ γὰρ ἄνθρωπος οὗτος, φησὶν, οὐ παύεται λαλῶν ῥήματα κατὰ τοῦ τόπου τοῦ ἁγίου τούτου, καὶ τοῦ νόμου. ἔξω τῆς πόλεως ὁ δεσπότης σταυροῦται· ἔξω τῆς πόλεως καὶ ὁ μάρτυς λιθάζεται. Ἐκβάλλοντες γὰρ αὐτὸν ἔξω τῆς πόλεως ἐλιθοβόλουν. Ἰουδαῖοι σταυροῦσι τὸν Χριστὸν, Ἰουδαῖοι λιθάζουσι καὶ τὸν Στέφανον. ἀπονέμει συγγνώμην ὁ δεσπότης σταυρούμενος· Πάτερ γὰρ, φησὶν, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· οὐ γὰρ οἴδασι τί ποιοῦσι. παρακαλεῖ ὅμοια περὶ αὐτῶν καὶ ὁ μάρτυς· Θεὶς γὰρ, φησὶ, τὰ γόνατα προσηύξατο λέγων, Κύριε Ἰησοῦ Χριστὲ, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. οὔτε ἐν λόγοις, οὔτε ἐν ἔργοις ἀκολουθῶν ὁ μάρτυς τῷ δεσπότῃ παρέλειψεν, ἀλλ' ἔδειξε καὶ τὸ τῆς ψυχῆς ἀνεξίκακον, καὶ τὸ τῆς ὑπομονῆς ἀνδρεῖον· ὅθεν καὶ ταύτης τῆς θείας ὀπτασίας ἀξιοῦται. Ἀτενίσας γὰρ, φησὶν, εἰς τὸν οὐρανὸν, εἶδε δόξαν Θεοῦ, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ πατρός. μέγα τῶν ἀγώνων τοῦτο τὸ στάδιον. ὁ γὰρ ἀθλητὴς κάτω παλαίει, καὶ ὁ ἀγωνοθέτης ἐξ οὐρανῶν κατοπτεύει· οὗτος ἀγωνίζεται πυκτεύων ἐνταῦθα, κἀκεῖνος ἄνωθεν συναγωνίζεται στήκων. οὐ γὰρ καθεζόμενον, ἀλλ' ἑστῶτα θεωρεῖ τὸν σωτῆρα. ὢ πόση τῆς ἀξίας ἡ χάρις· ἕστηκεν ὁ δεσπότης ἀθλοῦντος τοῦ μάρτυρος. "Εἶδος γὰρ ἀγωνοθέτου καὶ τὸ σχῆμα σημαίνει τῶν ἀγώνων τὸ μέγεθος. τότε γὰρ οἱ ἀγωνοθέται τῶν θρόνων ἀνίστανται, ὅτε τὸ θερμὸν τῶν ἀγώνων ἀνάπτεται· τότε τὸ στεῤῥὸν τῶν ἀθλούντων ἐλέγχεται, ὅτε τὸ χρέος τῆς τιμῆς ἀποδίδοται. ἡ δὲ τιμὴ τοῦ σωτῆρος αὐτὴ, ὡς καὶ

τῶν

Ex Ms. Palatino, emend. ex Ms. August.

Μηνὸς Δεκεμβρ. κζ.

γ. οὐχ ἕλκει

γ. ἄρχων

γ. παρέπεισε

γ. ἥρπασεν

ἴσ. λείπει τὸ, ἠθέλησεν, ἢ, ἠθέλησε,

Πραξ. ς. η.

γ. κυριωτέρ.

γ. Ἰουδαίους

γ. αὐτῷ

γ. ἐν

Πραξ. ς. θ.

Πραξ. ις. ιγ.

Πραξ. ζ. νη.

Λουκ. κγ. λδ.

Πραξ. ζ. ξ.

Πραξ. ζ. νε.

γ. ἴδιον

τῶν ἀγγέλων περιτιμηθῆναι τὸν μάρτυρα. ἀτενίσας γάρ, φησιν, εἰς τὸν οὐρανὸν, εἶδε δόξαν Θεοῦ, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ· εἶδε τὸν ἀόρατον οὐ μόνον τόπον καὶ δόξαν, ἀλλὰ καὶ αὐτὸν τὸν ποθούμενον, ὅπου φοβεῖται καὶ τῶν ἀγγέλων στρατιὰ παρακύψαι. ἐκεῖ ὁ μάρτυς ἀτενίζει τὸ βλέμμα, ὅπου τὰ χερουβὶμ καλύπτει τὰ πρόσωπα ἐκεῖνα καθαρὰ, ἀναβλέψαι τὰ σεραφὶμ τοῖς ὀφθαλμοῖς οὐ τολμᾷ εἰς τὸ ἀπέραντον ὕψος. ὤφθη οὖν κατὰ τοῦτο τῶν ἀγγέλων ἀνώτερος, τῶν ἐξουσιῶν ὑψηλότερος, τῶν θρόνων καὶ τῶν κυριοτήτων ἐπέκεινα. εἷλκε γὰρ αὐτὸν ἡ τοῦ δεσπότου φωνὴ, προεπαγγειλαμένη καὶ λέγουσα, Ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται. πρῶτος οὖν τοῦ σωτῆρος διάκονος, ὡς καὶ πρῶτος τῆς ἀθλήσεως μάρτυς. καὶ τῶν πραγμάτων τὸ ξένον, ὅτι οὐ πυρὶ, οὐ σιδήρῳ, οὐ θηρίοις, οὐκ ἑτέροις δεινοῖς τὸ τοῦ δικαίου τούτου πληροῦται μαρτύριον, ἀλλὰ μόνῃ τῇ τῶν λίθων βολῇ. ἔδει λίθοις κοσμηθῆναι μόνοις τὸν Στέφανον, καὶ δέξασθαι τῆς ἀληθείας τὴν χάριν ἐκ τῆς τῶν λίθων προσθήκης. ὡς γὰρ ἐν χρυσῷ τῷ σώματι ἡ τῶν λίθων ἐνετέθη βολὴ, καὶ μάλιστα ἐν τῇ πανταχόθεν περιρρεομένῃ τῷ αἵματι τῇ κεφαλῇ. ὁρῶντες οὖν πολλοὶ γεγόνασι μάρτυρες. περιπόθητος γὰρ τοῖς ἀθλοῦσιν ὁ Στέφανος, τήν τε τιμὴν προξενῶν, καὶ ἐκδιδάσκων τὴν ἄθλησιν. ὁδηγεῖ γὰρ τοῖς ἰδίοις παλαίσμασι, καὶ προσπρέπεται τῷ ἰδίῳ ὀνόματι. διὸ καὶ ἐκ τῶν πραγμάτων τῶν αὐτοῦ περὶ τοῦ Παύλου βοᾷ, Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ. ἠκολούθησα γάρ, φησι, καὶ λόγῳ, καὶ βίῳ, καὶ τελευτῇ τῷ τῶν ἁπάντων δεσπότῃ. δεῦτε μιμήσασθε καὶ ὑμεῖς ἕκαστα τούτων σὺν ἐμοὶ κατορθοῦντες. δυνατὸν γὰρ καὶ συμφέρον τοῖς θέλουσι. καὶ μάρτυς ἐγὼ, ὁ καὶ πρῶτος μετὰ τὸν δεσπότην ἀθλήσας, καὶ πρῶτος ἐν οὐρανῷ τὰ κρυπτὰ θεωρήσας. εἶδον γὰρ ἐκ δεξιῶν τοῦ πατρὸς τὸν Ἰησοῦν ἑστῶτα· κἀκεῖνο περιεσκόπουν γινόμενον, Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἰωαν. ιβ. κϛ.

α. Κορ. ια. α.

Ψαλ. ριγ. α.

Λογ. ρλζ. ΕΙΣ ΤΗΝ ΥΠΑΠΑΝΤΗΝ ΤΟΥ ΣΩΤΗΡΟΣ, ΚΑΙ τῆς θεοτόκου, καὶ εἰς τὸν Συμεῶνα.

ΟΥ μόνον φορεῖ σάρκα ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἀλλὰ καὶ κατὰ νόμον "περιτέμνεται, ἵνα περιέλῃ τῆς Ἰουδαϊκῆς ἀπιστίας τὴν πρόφασιν. ἔρχεται γὰρ πρὸς τὸν νόμον ὑπὸ νόμου, ἵνα τοὺς μαθητὰς ἐλευθερώσῃ διὰ *πίστεως τοῦ νόμου· καὶ λαμβάνει σάρκα, καὶ περιτέμνεται μετὰ Ἰουδαίων. ἐκοινώνησε σαρκὸς, ἐκοινώνησε καὶ περιτομῆς· ἐβεβαίωσε τὴν συγγένειαν, ἵνα μὴ ἀρνήσωνται τὸν ἐρχόμενον. ἐκ "σπέρματος γὰρ Δαβὶδ Χριστὸς προσδοκᾶται, ἔδειξε τὸ τεκμήριον τῆς συγγενείας. εἰ γὰρ καὶ περιτεμνομένου αὐτοῦ ἔλεγον, Οὐκ οἴδαμεν πόθεν ἐστὶν, εἰ μὴ περιετμήθη κατὰ σάρκα, εἶχεν ἂν πρόφασιν εὔλογον αὐτῶν ἡ ἄρνησις. ὅτε τοίνυν ἐπληρώθησαν αἱ ἡμέραι ὀκτὼ τοῦ "περιτεμεῖν τὸ παιδίον, ἦν Ἰησοῦς ἐκδεχόμενος τὴν αὔξησιν τοῦ ὀργάνου*. ὅτε ἐπληρώθησαν αἱ ἡμέραι ὀκτώ. κελεύει γὰρ ὁ νόμος τῇ ὀγδόῃ περιτέμνειν· καὶ ἐὰν ἀπαντήσῃ ἡ ὀγδόη ἐν σαββάτῳ, τότε ἔρχεται εἰς μέσον ὁ ἰατρὸς, καὶ μεταχειρίζεται σιδήριον, καὶ ἐργάζεται τὴν τέχνην, καὶ ἀργεῖ τὸ σάββατον "διὰ τὴν περιτομήν. ἐρωτήσωμεν τοίνυν Ἰουδαίους, ἄνεσις τὸ σάββατι; ἀργία τελεία ἡ ἡμέρα; τίνος ἕνεκεν ἡ ὀγδόη ἐκβάλλει τὴν ἑβδόμην; διατί ἡ ὀγδόη γέγονεν ἐπάνω τῆς ἑβδόμης; ἀλλ' Ἰουδαῖοι μὲν τὰ Ἰουδαϊκὰ οὐκ οἴδασιν· ἡ δὲ ἐκκλησία τοῦ Χριστοῦ καὶ τὸν Χριστὸν οἶδε, καὶ τὰ Ἰουδαϊκὰ μαθήματα. περιτέμνεται γὰρ τὸ παιδίον τῇ ὀγδόῃ, ἐπειδὴ ἔμελλε τῇ ὀγδόῃ ἡ ἀνάστασις ἡ κυριακὴ περιτομὴ εἶναι παντὸς τοῦ κόσμου. διατί γὰρ μὴ προσέταξε Μωϋ-

σῆς

Ex Ms. Regio Lut. emend. ex Ms. Palatino, & edit. Colon. & edit. Duc. Burdeg.

Μηνὸς Φεβρουαρ. β.

Ἰω. ζ. κβ.

Λουκ. β. κα.

Λευΐτ. ιβ. γ.

χ. πολιτεύεται

* τῆς

χ. σπέρματος Δαβὶδ Χριστὸν, ὃν καὶ προσεδόκων.

εἰ γὰρ

χ. περιτομῆς. παιδίον γὰρ ἦν Ἰησοῦς ἐκδεχόμενον

* ὁ αὐτὸς δὲ περὶ αὐτῶν τέλειος ἦν ἐκ παιδός

χ. ἐν τῇ περιτομῇ.

σης περιτέμνειν τῇ ἕκτῃ, διὰ τί μὴ τῇ ἐννάτῃ, ἢ τῇ δεκάτῃ; φανερὰ τοίνυν ἡ ὀγδόη, καθ' ἣν ἀνίσταται ὁ Κύριος. εἴ τις οὖν μὴ πιστεύει τῇ ἀναστάσει, ἀπερίτμητός ἐστι τῇ καρδίᾳ, διὰ τῆς ἀπιστίας ἀλλοτριούμενος τοῦ Θεοῦ. ἡ δὲ περιτομὴ τῆς πίστεως ἀληθής ἐστι γνῶσις καὶ αἴσθησις. διὰ τοῦτο, ἀγαπητέ, ἡ περιτομὴ τοῖς πιστοῖς ″τὸ ἅγιον βάπτισμα λόγῳ παραδίδοται, καὶ μετὰ γνώσεως χορηγεῖται· τὸ δὲ ἅγιον βάπτισμα, τύπος ἐστὶ τῆς τοῦ Χριστοῦ ἀναστάσεως. μετάβα τοίνυν ἀπὸ σαρκὸς εἰς τὸ πνεῦμα, καὶ ἀπὸ τοῦ σωματικοῦ εἰς τὴν ″ἀναγωγὴν τοῦ πνεύματος· καὶ εὑρήσεις ἐκεῖ μὲν σαρκικὴν περιτομήν, ἐνταῦθα δὲ πνευματικήν, καὶ ἁμαρτημάτων κάθαρσιν. ὀγδόη δέ ἐστιν ἡ περιτομή, ὀγδόη ἐστὶ καὶ ἡ ἀνάστασις· τῆς δὲ ἀναστάσεως τύπος τὸ βάπτισμα· ἀπὸ τῶν μικρῶν εἰς τὰ μείζονα″, ἀπὸ τῶν σωματικῶν εἰς τὰ πνευματικώτερα. ἔλθωσι τοιγαροῦν Ἰουδαῖοι, καὶ προσκόψωσι. δεῖ γὰρ προσκόψαι ἀπὸ τῶν σαρκικῶν, καὶ μὴ αὖθις ἐναπομεῖναι. ὁ μὲν οὖν Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ μὴ ἐλθὼν καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι, μετὰ Ἰουδαίων περιετμήθη. φησὶν οὖν ὁ εὐαγγελιστής, Ἐπληρώθησαν αἱ ἡμέραι ὀκτὼ τοῦ περιτεμεῖν τὸ παιδίον, καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς, τὸ κληθὲν *ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ. ἡμεῖς μὲν γὰρ καλούμεθα μετὰ τὸ τεχθῆναι· Ἰησοῦς δὲ καλεῖται πρὸ τοῦ συλληφθῆναι. Ἰησοῦς δὲ ἐκλήθη, ἐπειδὴ σωτήρ, καὶ σωτῆρος εἶχε τὸ ἔργον. καὶ ὅτε ἐπληρώθησαν, φησίν, αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν κατὰ τὸν νόμον Μωϋσέως. τίνος καθαρισμοῦ; τῆς Μαρίας, καὶ τοῦ Ἰωσήφ. ἐκέλευσε γὰρ ὁ νόμος τὴν νεοτόκον γυναῖκα καθαρίζεσθαι, καὶ τηρεῖν τὰς ἡμέρας, καὶ ἀπρόσιτον διαμένειν. ὅτε τοίνυν ἐπληρώθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν κατὰ τὸν νόμον Μωϋσέως (καίτοι οὐκ ἀνάγκην εἶχεν ἡ παρθένος, ἀλλ' ὅμως ὁ νόμος ἐπληροῦτο) ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα παραστῆσαι τῷ Κυρίῳ, καθὼς γέγραπται ἐν νόμῳ Κυρίου. ὅπου καθαρισμὸς σώματος, κατὰ τὸν νόμον, φησί, Μωϋσέως· ὅπου παράστασις τοῦ ἁγίου, καθὼς γέγραπται, φησίν, ἐν νόμῳ Κυρίου· οὐχ ὅτι καὶ ὁ νόμος Μωϋσέως οὐκ ἦν νόμος Κυρίου. ὅσα γὰρ λαλεῖ προφήτης πνεύματι ἁγίῳ διαλεγόμενος, οὐκ αὐτὸς λαλεῖ, ἀλλ' ὁ Κύριος ὑποβάλλει. ὅμως δὲ καὶ ὁ καθαρισμὸς ἐπειδὴ τύπον εἶχε σωματικόν, λέγει, Μωϋσέως ὁ νόμος· ἐπειδὴ δὲ τὸ πρωτότοκον προωρίσατο, λέγει, κατὰ τὸν νόμον Κυρίου, τουτέστι τὸ γεννώμενον· καθὼς γέγραπται ἐν νόμῳ Κυρίου, Πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ Κυρίῳ κληθήσεται. ὁ λόγος οὖν οὗτος″ καὶ ὁ νόμος ὅλος καὶ ἡ αἰτία τοῦ νόμου διὰ τὸν μέλλοντα διανοίγειν μήτραν ἐτίθετο. ὅλα γὰρ τὰ πρωτότοκα τῶν ζώων καὶ τῶν ἀνθρώπων οὐδέποτε διήνοιξεν μήτραν, ἀλλ' ἦν πρωτότοκα μόνον· ὃν δὲ παρθένος ἐγέννησεν, αὐτὸς μόνος διήνοιξε μήτραν. ὅρα μοι τοίνυν ὅλου τοῦ νόμου τὴν διατύπωσιν διὰ τὸν μέλλοντα μόνον ἐκ παρθένου γεννᾶσθαι. πόθεν δὲ Ἰουδαίοις ταύτην νοῆσαι *δυνατὸν ἦν; σαρκικοὶ γὰρ ὑπάρχοντες, τὰ νοήματα τῆς πνευματικῆς παρακολουθήσεως πλεῖστον ὅσον ἀπέχουσι νοῆσαι. εἶτα ἀνέρχονται τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν τῷ νόμῳ, Ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν.

″Ἐγένετο δὲ καὶ ταῦτα τυπικῶς κατὰ τὸν νόμον, ἵνα μηδὲν ἐλλείψῃ εἰς συμπλήρωσιν τοῦ νόμου. ταῦτα αἰνίγματά ἐστι νομικά, ἔλθωμεν″ δὲ εἰς τὴν εὐαγγελικὴν ἐξήγησιν. Καὶ ἰδοὺ ἄνθρωπος ἐν Ἱερουσαλήμ, ᾧ ὄνομα Συμεών· καὶ ὁ ἄνθρωπος ἐκεῖνος δίκαιος καὶ εὐλαβής, καὶ ἦν πνεῦμα Θεοῦ ἐπ' αὐτῷ. καὶ οὗτος ἦν κεχρηματισμένος ὑπὸ τοῦ ἁγίου πνεύματος, μὴ πρότερον τελέσαι τὸν βίον, ἕως ἂν ἴδῃ τὸν Χριστὸν ″Κυρίου. πρεσβύτης ἦν ὁ Συμεών, καὶ ἐξεδέχετο τὴν ἐπαγγελίαν· ἔμενεν ἐν τῷ ναῷ ἔσω, ἐκεῖνο λέγων πρὸς ἑαυτόν· ὅτι ὅπου ἐὰν γεννηθῇ, πάντως ἐνταῦθα ἀπαντᾷ. οὗτος ἦλθεν ἐν τῷ πνεύματι εἰς τὸ ἱερὸν κατ' ἐκείνην τὴν ὥραν, ὅτε οἱ γονεῖς τὸ παιδίον προσήγαγον. πολλάκις μὲν γὰρ ἤρχετο, ἀλλὰ κατ' ἰδίαν πρόθεσιν· τότε δὲ ὑπὸ τοῦ ἁγίου πνεύματος χρηματισθείς, εὐκαίρως ″ἔρχεται πρὸς τὴν ἀποπλήρωσιν τῆς ἐπαγγελίας. οὗτος ἐδέξατο εἰς τὰς ἀγκάλας αὐτοῦ τὸν Ἰησοῦν, καὶ εὐλόγησε

τὸν

χ. λόγῳ ἐγγράφως βαπτίσματος παραδίδοται.
χ. ἀλλ. τοῖς τὸ ἅγιον βάπτισμα λαμβάνουσι λόγῳ παραδίδοται
χ. ἀναγωγὴν
λείπει τὸ μετάβα.
*αὐτῷ
χ. καὶ ὅλος ὁ ἀγὼν τοῦ νόμου, διὰ
*τὴν ἔννοιαν
χ. ἐγένετο
χ. λοιπὸν
χ. ἐν σαρκί.
χ. ἀνέρχεται

Λουκ. β. κα.
Ἐξοδ. ιγ. κα.
Λουκ. β. κε.

τὸν Θεόν, καὶ εἶπε· Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ. πόθεν ἀπολύεις; ἐκ τοῦ βιωτικοῦ σκάμματος. λυπηρὰ γὰρ τὰ πράγματα· δεσμωτήριον ὁ βίος. ἐκεῖνος μὲν οὔπω ἀπολυθῆναι ἤθελεν. εἴ τις δὲ ζημίαν ἡγεῖται τὴν ἐντεῦθεν ἀναχώρησιν, οὗτος οὐδέπω τέλειός ἐστι τὴν πίστιν. ὅμως ἔλεγε· νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ. ὁ γὰρ μέλλων ποιεῖν εἰρήνην ἐν τῷ κόσμῳ παρεγένετο, ὁ εἰρηνοποιὸς ἐλήλυθεν, ὁ συνάπτων τὸν οὐρανὸν τῇ γῇ, καὶ κατασκευάζων τὴν γῆν οὐρανὸν διὰ τῆς εὐαγγελικῆς διδασκαλίας παραγέγονε. Συμεὼν βοᾷ, νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, φησί. τί ἐστιν ὃ λέγει; πρότερον μὲν γὰρ ἐπίστευον τῇ διανοίᾳ, καὶ τῷ λογισμῷ ἐγίνωσκον· νῦν δὲ εἶδον καὶ οἱ ὀφθαλμοί μου, καὶ ὃ τῇ καρδίᾳ προσεδόκησα, ἰδοὺ εἶδον οἱ ὀφθαλμοί μου· τετελειωμένον. τί δὲ εἶδον, φησί, τὸ σωτήριόν σου; ὃ ἡτοίμασας κατὰ πρόσωπον, οὐ τοῦ λαοῦ ἑνός, οὐδὲ τοῦ Ἰσραὴλ μόνου, ἀλλὰ κατὰ πρόσωπον πάντων τῶν λαῶν. καθολικὸς γὰρ ὁ πεμφθεὶς διδάσκαλος. φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ. διὰ τί δὲ φῶς; ἐπειδήπερ τὰ ἔθνη ἐν σκότει ὑπῆρχον, ἐπειδήπερ τὰ ἐσκοτισμένα ἔθνη ἐφωτίζετο. φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ. ὧδε δόξα, ἐκεῖ ἀποκάλυψις· ἐκεῖ διδασκαλίας ἀρχή, ἐνταῦθα δὲ ἀκόλουθος μάθησις. δόξαν λαοῦ σου Ἰσραήλ. ἀλλὰ πάντως ἐρεῖ τις, καὶ ποῦ εἰσιν οἱ Ἰσραηλῖται; ἔχεις Πέτρον, ἔχεις Παῦλον, ἔχεις Ἰωάννην, ἔχεις τοὺς τρισχιλίους, ἔχεις τοὺς πεντακισχιλίους, ἔχεις τὴν ἐκκλησίαν τὴν ἐν Ἱερουσαλήμ, ἔχεις τοὺς ἐξ Ἰουδαίων πεπιστευκότας. ἐν γὰρ τοῖς πεπιστευκόσιν ἦν τὸ ἔθνος. Ἡσ. α. θ. Εἰ μὴ γὰρ Κύριος σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν. Ρωμ. ια δ. καὶ γὰρ λέγει ὁ Θεός· γ. Βασ ιθ. ιη. Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ. οὕτως ἐν τῷ λαῷ ἐφυλάττετο τὸ σπέρμα τῆς πίστεως, καὶ οὐκ ἀπώλετο ὁ λαὸς ὅλος (μὴ γένοιτο) οὐδὲ διεφθάρησαν πάντες οἱ Ἰουδαῖοι. ἐπειδὴ καὶ νῦν ἐν ταύτῃ τῇ μακαρίᾳ καταστάσει καὶ κλήσει, πολλοὶ μέν εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί. ἐκάλεσε γὰρ ὁ Χριστὸς πᾶσαν τὴν οἰκουμένην, καὶ παρεσκεύασε τὴν ἁγίαν τοῦ εὐαγγελίου ἑστίασιν. ἀλλ᾽ ὅταν ἔλθῃ ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ, εἰσέρχεται καὶ ποιεῖ ἐκλογήν, καὶ περιεργάζεται τοὺς ἀνακειμένους. Ματθ. κβ. ιβ. κἂν εὕρῃ τινὰ τῶν ἀνακειμένων μὴ ἔχοντα ἔνδυμα γάμου, λέγει αὐτῷ, Ἑταῖρε, πῶς εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα γάμου; καὶ ἀποβάλλει αὐτόν, καθὼς ἠκούσαμεν ἐν τοῖς εὐαγγελίοις. ὥστε κἀκεῖ ἐκλογὴ γέγονε, καὶ ἐνταῦθα γενήσεται ἐκλογή. μὴ γάρ, ἐπειδὴ ἐκλήθημεν, ὀφείλομεν ἤδη ἀπεντεῦθεν αὐθαδιάζεσθαι, ὡς δὴ τὸ τέλειον κατεσχηκότες. τῶν γὰρ πρώτων τὸ πτῶμα ἡμῶν ἀσφάλεια γενέσθω. οὕτως, ἀγαπητέ, καὶ ὁ λαὸς οὐχ ἅπας ἀπώλετο, οὐδὲ ὅλος διεφθάρη. οὐδὲ ὅλος ἠπίστησεν, οὐδὲ ὅλος ἐδίωξε τοὺς ἀποστόλους· ἀλλ᾽ ἐπίστευσαν διὰ τῶν ἀποστόλων ἅμα τρισχίλιοι, χωρὶς γυναικῶν καὶ παιδίων, καὶ ἐγένετο ἐν Ἱερουσαλὴμ μυρίανδρος ἐκκλησία. μηδέπω τοῦ ναοῦ καταστραφέντος, μηδέπω τῶν Ἰουδαίων ἐκβληθέντων, μηδέπω τῆς Ἱερουσαλὴμ καταστραφείσης, ᾠκοδομήθη ἐκκλησία, καὶ ἐγένετο τοῦ Ἰωάννου Ιωαν. γ. λ. τὰ ῥήματα ἀληθῆ ἐναργής, Ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι. ὁ τοίνυν Συμεὼν προφήτης ὑπάρχων, λέγει· δόξαν λαοῦ σου Ἰσραήλ. δόξα γὰρ ἦν τῶν προσδοκώντων, ἡ ἀπάντησις τοῦ προσδοκωμένου· καὶ δοξάζουσιν ὅ τε Ἰωσὴφ καὶ ἡ Μαρία τὰ λεγόμενα. ἄγγελος εὐηγγελίσατο, μάγοι ἐπέγνωσαν, ποιμένες ἤκουον, στρατιαὶ ἀγγέλων ἐχόρευον, ἀστὴρ ἐμήνυσεν ἄνωθεν, Συμεὼν προφητεύει, Ἄννα γυνὴ Φανουὴλ προφητεύει, ἡ γῆ ἠγάλλετο, ὁ οὐρανὸς διὰ ἀστέρος ἐφθέγγετο, μάγοι τὸν τύραννον ἠρνήσαντο, οἱ ποιμένες τὸν ἀρχιποίμενα προσεκύνησαν· τὰ πάντα ἐπέγνω, ἡ μήτηρ ᾔδει, ὁ Ἰωσὴφ ἤκουσεν· ἔτρεμον ἐπὶ τοῖς πράγμασι, σιωπῶσι δὲ καὶ τῶν πραγμάτων τὴν ἔκβασιν.

Λουκ. β. λδ. Καὶ εὐλόγησεν αὐτοὺς Συμεών, καὶ εἶπε πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ· Ἰδοὺ οὗτος

κεῖται

χ. λύπη

χ. πεπλή-ρωμαι

κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον. τίνων εἰς πτῶσιν; δηλαδὴ τῶν ἀπιστούντων, τῶν σταυρωσάντων. τίνων εἰς ἀνάστασιν; τῶν "ἐπεγνωκότων, καὶ εὐγνωμόνως ὁμολογούντων. καὶ εἰς σημεῖον ἀντιλεγόμενον. ποῖον σημεῖον ἀντιλεγόμενον; τὸ σημεῖον τοῦ σταυροῦ, ὃ οἶδεν ἡ ἐκκλησία, σωτήριον τοῦ κόσμου, ᾧ ἐχθραίνουσιν Ἰουδαῖοι, ὅπερ πολλάκις καὶ ὁ οὐρανὸς ἐκήρυξεν. ἀντιλέγεται δὲ τὸ σημεῖον, ἵνα νικήσῃ ἡ ἀλήθεια. ἄνευ γὰρ ἀντιλογίας ὁλόκληρος οὐ γίνεται νίκη. ἔδει τοίνυν τὴν ἀντιλογίαν εἰσαχθῆναι, ἵνα ὁ δικαστὴς μακροθυμίᾳ τὴν ψῆφον δι' ὅλου τοῦ αἰῶνος προσενέγκῃ. διό φησι, καὶ εἰς σημεῖον ἀντιλεγόμενον· ἀντιλέγουσι δὲ οἱ ἀπιστοῦντες. καὶ σὺ δέ, φησι, δοκεῖς εἶναι μήτηρ. ἆρ' οὖν σὺ ἀπείραστος γενήσῃ, ἐπειδὴ ὁμολογεῖς εἶναι μήτηρ; ἐπειδὴ ἔτεκες αὐτόν, ἐπειδὴ ἔδοξας "αὐτῷ κιχρᾶν σου τὴν μήτραν; ἐγένετο γάρ σου ἡ κοιλία, ἄγγος τῆς ἐνεργείας τοῦ πνεύματος. ἆρ' οὖν ἀπείραστος γενήσῃ, ἐπειδὴ γέγονας θεοτόκος; ἐπειδὴ ἀπειρόγαμος οὖσα συνέλαβες; ἐπειδὴ κατεσκευάσθης μήτηρ τοῦ σοῦ δημιουργοῦ; ἆρα σὺ ἀπείραστος γενήσῃ; οὐδὲ σὺ ἀπείραστος ἔσῃ, ἀλλὰ καὶ σοῦ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία. διὰ τί, ὦ Κύριε; τί γὰρ ἐγὼ ἥμαρτον; ἥμαρτες μὲν οὐδέν. ὅταν δὲ ἴδῃς αὐτὸν ἐν τῷ σταυρῷ κρεμάμενον, ὅταν ἴδῃς αὐτὸν ὑπὲρ τοῦ κόσμου πάσχοντα, ὅταν ἴδῃς αὐτοῦ τὰς χεῖρας ἡπλωμένας ἐν τῷ σταυρῷ, καὶ ἐν τῷ ξύλῳ προσηλωμένας, τότε ἄρχῃ ἀμφιβάλλειν, καὶ λέγειν· οὐκ ἔστι, περὶ οὗ ἄγγελός μοι διελέχθη; οὐκ ἔστιν ἐφ' οὗ γέγονε τῆς ἐμῆς συλλήψεως τὸ θαῦμα; παρθένος ἤμην, καὶ τέτοκα, καὶ ἔμεινα παρθένος. διὰ τί νῦν σταυροῦται; καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία. ὥστε οὐδεὶς ἀπείραστος γέγονε κατὰ τὴν προφητείαν τοῦ δικαίου Συμεών. Πέτρος ὁ κορυφαῖος τῶν μαθητῶν τρὶς ἠρνήσατο· οἱ ἄλλοι μαθηταὶ καταλιπόντες αὐτὸν ἔφυγον. οὐδὲ γὰρ χρείαν εἶχεν ὁ ποιμὴν προστασίας προβάτων, λύκους ἐκδιώκων· οὐδὲ ὁ ἀγωνιστὴς χρείαν εἶχε τῶν βοηθούντων· ἀλλὰ πάντες ἀνεχώρησαν, Χριστὸς δὲ μόνος ἦν, ὡσεὶ κριὸς κρεμάμενος. δηλαδὴ τοίνυν καὶ ταύτης τὴν ψυχὴν ῥομφαία, τὸ πειρατήριον, καὶ ἡ ἀμφιβολία. καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία, ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί. ὥστε πάρεστι Χριστὸς εἰς ἔλεγχον τῆς ἀπιστίας, εἰς σύστασιν τῆς τῶν πιστευόντων εὐγνωμοσύνης. ἀντιλέγεται δὲ τὸ σημεῖον, ἵνα διελεγχθῶσιν οἱ διὰ πονηρίαν ἀντιλέγοντες. εἰ γὰρ πάντα τρόπον ἀναντίρρητος ἦν παρὰ ἀνθρώποις ἡ ἀλήθεια, ἀδόκιμος ἔμελλεν εἶναι καὶ ἡ εὐσέβεια. ἡ δὲ συγχώρησις τῆς ἀντιλογίας δοκιμὴν ἐμποιεῖ τῇ αἱρέσει τῆς ἀληθείας. ἀντιλέγεται τὸ σημεῖον· ἐπεὶ πῶς ἂν ἐδοκιμάσθησαν μάρτυρες ἐν διωγμοῖς; πῶς ἂν ἠγωνίσαντο νικηταὶ διὰ τῆς καρτερίας ἀναδεικνύμενοι; ὁρᾷς ὅσον ὠφέλησεν ἡ ἀντιλογία, ὅτι κατεσκεύασεν οὐ πιστοὺς ἁπλῶς, ὡς ἄν τις εἴποι, ἀλλὰ καὶ μάρτυρας ἕως βασάνων καὶ θανάτου προελθόντας, καὶ "δεῖγμα τῆς τοῦ Χριστοῦ χάριτος διὰ τῆς ἑαυτῶν καρτερίας παραδόντας. ὅταν τοίνυν Συμεὼν λέγῃ, ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον, "νόει ὅτι οὔτε τὴν πτῶσιν ἐργάζεται, οὔτε τὴν ἀνάστασιν βίᾳ προσάγει· ἀλλὰ κεῖται μὲν εἰς πτῶσιν τοῖς προσκόπτουσι τῷ λίθῳ τοῦ προσκόμματος, εἰς ἀνάστασιν δὲ τοῖς ἐκ προαιρέσεως πιστεύουσι. κεῖται γάρ, φησιν. ὥσπερ ἂν εἴ τις εἴποι, τὸ φῶς ἀνατέλλει, ἵνα οἱ ὑγιαίνοντες βλέπωσιν, οἱ δὲ τοὺς ὀφθαλμοὺς ἀλγοῦντες ἐπὶ πλεῖον φύγωσι τοῦ φέγγους τὰς αὐγάς. πῶς δὲ οἱ μὲν ἔπεσον; ἄξιοι ὄντες τοῦ διελεγχθῆναι. οἱ δὲ ἀνέστησαν; ἐλπίδας ἔχοντες ἀγαθὰς ἐκ προαιρέσεως. εἰ μὴ γὰρ τὸ σημεῖον ἀντελέγετο, αἱ προαιρέσεις ἡμῶν οὐκ ἐδοκιμάζοντο. καὶ διὰ τί προλέγει Συμεών, καὶ εἰς σημεῖον ἀντιλεγόμενον; ἵνα μὴ ξενίσῃ τοὺς πιστεύοντας ἡ ἀντιλογία. ὅτι δὲ καὶ ἡ κατὰ Θεὸν ἀλήθεια ἀντιλέγεται, δῆλον ὅτι τοῦ Θεοῦ συγχωροῦντος. οὐδεὶς γὰρ ἂν ἠδύνατο ἀντειπεῖν, εἰ μὴ Θεὸς συνεχώρει. ἀναγκαία δὲ ἡ συγχώρησις, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται.

γ. ἐπιγινωσκόντων

χ. αὐτὸν

χ. γνῶμα

χ. νοητέον

νωνται. ἔσται γὰρ καιρός, ὅτε οὐκ ἔτι ἀντιῤῥηθήσεται. ὅταν γὰρ τὸ σημεῖον περιλάμψῃ ἀπ᾽ οὐρανῶν, τότε πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ πατρός. ἕως μὲν γὰρ τὸ σημεῖον αὐτὸ μόνον ὑποφαίνεται, καὶ σημεῖον αὐτὸ μόνον ἐστὶ, τοῦ σημαινομένου ὁρωμένου οὐδαμοῦ, ἀντιλέγεται τὸ σημεῖον. ἐπειδὰν δὲ αὐτὸς ὁ σημαινόμενος ἀποκαλυφθῇ ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ, οὐκέτι τολμᾷ τις ἀντειπεῖν τῷ σημείῳ, τοῦ σημαινομένου τρανεῖ τῇ θεότητι παραγινομένου κατὰ τῶν ἀντειπόντων. τότε οἱ μὲν δεξάμενοι τὸ σημεῖον, ″δοξασθήσονται ὑπὸ τοῦ σημανθέντος· οἱ δὲ ἀντειπόντες τῷ σημείῳ, κατακριθήσονται ὑπὸ τοῦ δηλωθέντος. καὶ ἔσται ″ποτὲ τὸ τέλος τῆς ἀντιλογίας, τέλος τῆς ἀπιστίας, τέλος τῆς πλάνης, ἀρχὴ δὲ βραβείων καὶ στεφάνων· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα, καὶ τὸ κράτος, καὶ ἡ τιμὴ, καὶ ἡ προσκύνησις, σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Φιλιπ. c. 2. 10.

χ. δεχθήσονται

ἴσ. πότε

Λογ. ρλη.

ΕΙΣ ΤΗΝ ΜΕΣΗΝ ΕΒΔΟΜΑΔΑ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Ex Ms. Regio Lut. emend. ex alio Ms. Regio ibid.

Εὐλογητὸς ὁ Θεὸς ὁ καταξιωσάμενος τοῖς ἀγωνισταῖς τῆς νηστείας καὶ τὸ μέσον ἆθλον τῆς ἐγκρατείας θεάσασθαι. ἰδοὺ γὰρ ἐπὶ ταῖς θύραις ἑστήκαμεν τῶν μέσων τῆς νηστείας σκαμμάτων· ἰδοὺ τὸ μέσον τοῦ ἀγῶνος ἡμῖν πρόκειται. διὰ τοῦτο θαῤῥοῦντες τῷ ἀγωνοθέτῃ Χριστῷ, κατατολμήσωμεν καὶ τῶν δευτέρων τῆς νηστείας παλαισμάτων. ἐμεσάσαμεν χάριτι Κυρίου ἤδη τὴν εἰς οὐρανοὺς ἀνάγουσαν κλίμακα· ἀπαγώσωμεν καὶ τῶν ἁμαρτημάτων μὴ τὸ ἥμισυ μόνον, ἀλλὰ τὸ ὅλον. πλησίον γεγόναμεν λοιπὸν τῶν ἐπάθλων· ἐπιμείνωμεν τοίνυν τοῖς σκάμμασι. λάμπουσι γὰρ ἤδη τῶν τῆς ἐγκρατείας σκαμμάτων τὰ χαρίσματα, στίλβουσι τῶν ἀθλητικῶν ἱδρώτων οἱ στέφανοι, οὐρανόθεν πρόκεινται τῶν ἀγώνων τὰ βραβεῖα, ἃ βραβεύει ὁ ἀγωνοθέτης Χριστὸς τῇ νίκῃ τῶν σκαμματιζόντων. οὐρανόθεν ἡμᾶς νεύει πρὸς τὴν τῆς νηστείας εὐτονίαν, καὶ οὐρανόθεν ἐπαγγέλλεται ″διδόναι χαρίσματα τοῖς ἀθληταῖς τῆς νηστείας. μὴ τοίνυν ὀλιγωρήσωμεν πρὸς τοὺς ἀγῶνας, ἵνα καταλάβωμεν τὴν τῆς νηστείας στεφανιτῶν πόλιν. οὐρανὸν γὰρ περιπολοῦσιν οἱ τῆς νηστείας τρόφιμοι, οὐρανὸς ἀγκαλίζεται τοὺς μιμητὰς τῶν ἀγγέλων, ἐπειδὴ οὐράνιον τῶν νηστευόντων τὸ πολίτευμα. νηστεία γὰρ τοὺς ἀνθρώπους ἀπὸ γῆς εἰς οὐρανοὺς μεθίστησιν, εἰς τὴν τῶν ἀγγέλων ἀνάγει τάξιν, εὔκολον τὴν ἀπὸ γῆς εἰς οὐρανοὺς πορείαν καθίστησι, καὶ πρὸς αὐτὸν τὸν ἐπουράνιον βασιλέα παρίστησι, τῶν ἀθανάτων ἀγαθῶν τὴν ἀπόλαυσιν ″χορηγοῦσα. ξένον γὰρ, ἀδελφοὶ, τοῦ ″πρὸ ἡμῶν ἀγῶνος τὸ θαῦμα. παῖδες γὰρ μετὰ ἀνδρῶν ἀλείφονται, γυναῖκες ἀνδράσιν ἁμιλλῶνται, ἡ ἀσθενὴς τῶν θηλειῶν πρὸς τὸν ἀγῶνα ἀνδρίζεται φύσις· ἐλεύθερον τοῖς ἐθέλουσι τὸ σκάμμα τῆς νηστείας. Χριστὸς γὰρ ἄφθονος ἀγωνοθέτης ″κάθηται. σπεύσωμεν καὶ πρὸς τὸν μέσον ἀγῶνα τῆς νηστείας. μηδεὶς καταισχύνῃ τὸν πνευματικὸν τοῦτον ἀγῶνα· μηδεὶς λειποτακτήσῃ τῶν πνευματικῶν ἀγώνων τούτων. ″λέλυται γὰρ ὁ ἐχθρὸς τοῦ θράσους, ἀφῄρηται τὸ πλέον τῆς μάχης, νενίκηται τῇ τοῦ Θεοῦ χρίσει, δεδούλωται ἡττηθεὶς, ἐλήλαται διὰ νηστείας, ἐπ᾽ ἐδάφους ὑπὸ νηπίων γελώμενος ἔρριπται, ἐπιτάφιον αἰσχύνης ὑπ᾽ αὐτῶν δεχόμενος ὄνειδος. μηδεὶς τοίνυν ὀκλάσῃ, ἀγαπητοὶ, περὶ τὸ μέσον τῆς νηστείας γενόμενος· μηδεὶς ὀλιγωρήσῃ τῶν μέσων σκαμμάτων. ἡ γὰρ ἡμετέρα γενναιότης, ἐκείνου κατάπτωσις. εἴ τις ἀθλεῖ νωθρῶς, ἐκεῖνον ῥώννυσιν· εἴ τις ὑμῶν ἀσθενῶς ἀγωνίζεται, ἐκεῖνον νευροῖ. στῶμεν τοιγαροῦν πρὸς τὸν ἀγῶνα γενναίως, ἵνα ὁ ἀντίπαλος

πάλος

χ. δωρεῖσθαι

χ. προξενοῦσα.

χ. ἐν ἡμῖν

χ. καθίσταται.

χ. ἔρριπται χαμαὶ λοιπὸν ὁ ἐχθ.

παλος πόσῳ μειζόνως. βρωμάτων φύγωμεν πόθον· καρτερήσωμεν πρὸς ὀλίγον, ἵνα ἀθάνατον λάβωμεν χάριν. ἔφαγε γὰρ Ἀδάμ, καὶ θανάτῳ κατεδικάσθη· ἐνήστευσεν Ἠλίας, καὶ τοῦ οὐρανοῦ τὰς κλεῖς ἐπιστεύθη· ἔπιε Νῶε, καὶ τῷ οἴνῳ μετεβλήθη· ἤσκησεν Ἐνώχ, καὶ ὑπὸ ἀγγέλων μετετέθη· ἐχορτάσθη Φαραώ, καὶ ἐν θαλάσσῃ σὺν ἅρμασι" κατεποντίσθη· ἐνήστευσε Μωϋσῆς, καὶ θάλατταν κατέτεμε, καινοτέρων τειχῶν ἐκ τῆς ὑγρᾶς τῶν ὑδάτων οὐσίας γινόμενος οἰκοδόμος, καὶ ξένην γῆν τὸν λαὸν ὁδοιπορεῖν παρασκευάσας, κεκονιαμένῳ ποδὶ τὴν θάλασσαν παρήγαγε. μετέλαβεν Εὔα παρανόμου βρώσεως, καὶ πάντες ἐξ ἐκείνης θανάτῳ παραδίδονται· ἀπέσχετο ὁ ἐκ Μαρίας τεχθεὶς δεσπότης ἐννόμου βρώσεως, καὶ πάντας τῆς καταδίκης τοῦ θανάτου ἠλευθέρωσε. γεῦσις θανάτου, τὸ ἐν παραδείσῳ δένδρον. Ἧ δ' ἂν ἡμέρᾳ γάρ, φησὶν ὁ Θεός, φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε. φυγὴ θανάτου, σταυροῦ τὸ δένδρον. ἐκεῖθεν γὰρ ἐπήγαζεν ἡ ζωὴ ἡ ἀθάνατος. ἀπὸ σταυροῦ πρὸς παράδεισον ὁ λῃστὴς μεταβέβηκεν, ἀντὶ θανάτου ζωὴν ἀνταλλαξάμενος. καρπὸς τοῦ φθόνου τοῦ ἐν παραδείσῳ φυτοῦ ἡ βρῶσις, καὶ ἀναίρεσις τοῦ φθόνου ἡ ἐκ τοῦ καρποῦ τοῦ σταυροῦ μετάληψις. Εἰ ἐνήστευσεν ὁ Ἀδάμ, οὐκ ἂν θανάτῳ κατεδικάσθη· οὐκ ἂν τῆς ἀκαμάτου τρυφῆς ἐξόριστος γέγονεν· οὐκ ἂν τῇ φθορᾷ ὑπεβλήθη. φησὶ γὰρ ἡ θεία γραφή, ὅτι Ὁ Θεὸς τὸν ἄνθρωπον ἔκτισεν ἐπ' ἀφθαρσίᾳ· φθόνῳ δὲ διαβόλου θάνατος εἰς τὸν κόσμον εἰσῆλθεν. ἀλλ' ἦλθε Χριστός, ἡ εἰρήνη ἡμῶν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν ἐν" τῇ σαρκὶ αὐτοῦ, προσηλώσας τὸ γραμματεῖον τῆς ἁμαρτίας τῷ σταυρῷ, ἀκυρώσας τὸ καθ' ἡμῶν χειρόγραφον τοῦ θανάτου. καὶ βοᾷ Παῦλος· Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. ἀμειψώμεθα τοίνυν κατὰ δύναμιν τὸν εὐεργέτην, ἀγαπητοί· μικροῖς ὀβολοῖς θεραπεύσωμεν τὸν πλούσιον ἐν ἐλέει. ὁ δεσπότης ἡμῶν ὑπὲρ ἡμῶν ἐσταυρώθη· ἡμεῖς δὲ θρέψωμεν τὸν κατ' εἰκόνα αὐτοῦ κτισθέντα πένητα· ἐκεῖνος θανάτῳ προσωμίλησεν, ἵνα ἡμᾶς θανάτου ἐλευθερώσῃ· ἡμεῖς δι' αὐτὸν μικροῖς ὀβολοῖς τοῦ θανατικοῦ λιμοῦ τοὺς ὁμογενεῖς ἐξαρπάσωμεν. αὐτὸς γάρ, αὐτός ἐστιν, ὁ διὰ τῶν πενήτων δεχόμενος τὸ παρεχόμενον. μὴ τοίνυν παραδράμῃς, ἄνθρωπε, ἐκτείνοντος τὴν χεῖρα τοῦ πένητος, ἀφορῶν εἰς τὸν δι' ἐκείνου δεχόμενον δεσπότην· ἀλλὰ γενέσθω σοι ἡ χεὶρ τοῦ πένητος θυμιατήριον ἐν ἀγορᾷ προκείμενον. ἔχει γὰρ ἀντὶ πυρός, τοῦ λιμοῦ τοὺς ἄνθρακας κατατήκοντας. ἐπιβάλλωμεν οὖν ἀντὶ θυμιάματος ὀβολοὺς δύο, καὶ τῆς εὐωδίας πληρώσωμεν τὸν οὐρανόν· ἵνα ἐξ οὐρανῶν ἀκούσωμεν, Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν μικρῶν, ἐμοὶ ἐποιήσατε, βοῶντος τοῦ Χριστοῦ· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

κ. κατεκλύσθη

Γεν. β. ιζ.

Σοφ. β. κγ.

Εφεσ. β. ιδ.

κ. τῷ σταυρῷ

Γαλ. γ. ιγ.

Ματθ. κε. μ.

Λογ. ρλθ. ΕΙΣ ΤΗΝ ΠΡΟΣΚΥΝΗΣΙΝ ΤΟΥ ΤΙΜΙΟΥ καὶ ζωοποιοῦ σταυροῦ, τῇ μέσῃ ἑβδομάδι τῶν *νηστειῶν.

* ἁγίων ἐνδόξων

Ἧκεν ἡμῖν ἐνιαύσιος ἡμέρα, ἡ πανσέβαστος καὶ φωσφόρος τῶν ἁγίων νηστειῶν ἡ μέση ἑβδομάς, τὸν τρισόλβιον καὶ ζωοποιὸν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ σταυρὸν προσκομίζουσα, καὶ τοῦτον προτιθεμένη εἰς προσκύνησιν, καὶ τοὺς προσκυνοῦντας αὐτὸν εἰλικρινεῖ καρδίᾳ, καὶ ἁγνοῖς χείλεσιν ἁγιάζουσα, καὶ πρὸς τὸν ἑξῆς τοῦ σταδίου τῶν ἁγίων νηστειῶν δρόμον εὐτονωτέρους τε καὶ ἀκμαιοτέρους ἐνδεικνύουσα. σήμερον τοιγαροῦν προσκυνήσιμος ἡμέρα τοῦ τιμίου σταυροῦ καθέστηκε, καὶ δεῦτε, ὦ φίλοι*, φόβῳ καὶ πόθῳ τοῦτον" προσπτυξώμεθα. τῆς γὰρ ἐγέρσεως Χριστοῦ τὰς αὐγὰς φωτοβολῶν, πάντας φωτίζει καὶ" ἁγιάζει ταῖς αὐτοῦ χάρισι. διὰ τοῦτο ἀσπασώμεθα ψυχικῶς ἀγαλλόμενοι. σήμερον χαρὰ γέγονεν ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς, ὅτι ὁ τοῦ Χριστοῦ φαεσφό-

Ex edit Pariſ. emend. ex Ms. meo.

* ἡ προσκυνητή

κ. περιπτυξώμεθα

κ. ἀγλαΐζει

ρος καὶ ζωοποιὸς σταυρὸς τῷ κόσμῳ ἐμφανίζεται· δι' οὗ δαίμονες φυγαδεύονται, καὶ νόσοι δραπετεύουσι,
καὶ σκότος ζοφῶδες ἀπελαύνεται, καὶ πάντα τῆς γῆς τὰ πέρατα καταφωτίζεται.
σήμερον ἡ Χριστοῦ ἐκκλησία ἄλλος παράδεισος δείκνυται, τὸ πανάγιον ξύλον τοῦ τιμίου
σταυροῦ ἐν μέσῳ προθεῖσα, καὶ προπομπὸν τοῦ πάθους Χριστοῦ τὸν σταυρὸν ποιουμένη, καὶ
τῆς ἀναστάσεως αὐτοῦ προέγερσιν. σήμερον τὸ προφητικὸν πεπλήρωται λόγιον τὸ φάσκον,
Ψαλ. ρλα. ζ. Ἰδοὺ γὰρ προσκυνοῦμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες τοῦ Θεοῦ ἡμῶν. εὐφραίνου τοιγαροῦν
καὶ ἀγάλλου ἡ Χριστοῦ ἐκκλησία, καὶ προσάγαγε τὰ σὰ τέκνα, τῇ ἐγκρατείᾳ τῶν
παθῶν, τῇ νηστείᾳ κεκαθαρμένα, ταῖς τε θεολαμπέσιν ἀρεταῖς ἐξαστράπτοντα, καὶ χόρευε χορείαν
τὴν ἀνεκλάλητον. καθάπερ γὰρ πάλαι ἐν τῇ ἐρήμῳ τὸν χαλκοῦν ὄφιν οἱ δηχθέντες
προσβλέποντες ἐρρύοντο θανάτου· οὕτω δὴ καὶ νῦν οἱ τὸ τῆς νηστείας μεσοπορήσαντες στάδιον,
τούτῳ προσψαύοντες, τὸν νοητὸν ὄφιν νεκρὸν δεικνύουσι, καὶ αὐτοὶ ἀθανατίζονται, καὶ κοινωνοὶ τῶν
παθημάτων τοῦ Χριστοῦ διὰ τῆς ἐγκρατείας δεικνύμενοι, κοινωνοὶ καὶ τῆς ἀναστάσεως αὐτοῦ ἀναδείκνυνται.
καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ πρὸς τὸ ἑξῆς νεανικῶς εὐδρομοῦντες, ἐπινικίους
ὕμνους τῷ Θεῷ προσκομίζουσι. τροπαιοφόρον γὰρ καὶ νικητικὸν ὅπλον ὁ τοῦ Κυρίου σταυρὸς
καθέστηκε· βασιλέων ὅπλον ἀκαταμάχητον, ἐκκλησίας κέρας, ἐχθρῶν καθαιρέτης, καὶ
τῶν πιστῶν σωτηρία· καὶ μακάριοι ἀληθῶς καὶ τρισμακάριοι, οἱ ἁγνοῖς χείλεσι καὶ στόμασι
καθαροῖς τοῦτον ἀξιούμενοι περιπτύξασθαι· ἔργῳ γὰρ ἀληθῶς πληροῦσι τὸ φάσκον τοῦ
Ματθ. η. λδ. Κυρίου ῥητόν, Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ,
καὶ ἀκολουθείτω μοι. καὶ ὅρα πῶς ἀκαταναγκάστως ποιεῖται τὸν λόγον· οὐδὲ γὰρ εἶπε, κἂν
βούλησθε, κἂν μή, τοῦτο δεῖ ὑμᾶς παθεῖν, ἀλλὰ πῶς; Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν. οὐ
βιάζομαι, οὐκ ἀναγκάζω· ἀλλ' ἕκαστον κύριον τῆς ἑαυτοῦ προαιρέσεως ποιῶ, διὸ καὶ λέγω,
Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν. ἐπὶ γὰρ ἀγαθῷ καλῶ, οὐκ ἐπὶ κακῷ καὶ ἐπαχθεῖ, οὐκ ἐπὶ κολάσει
καὶ τιμωρίᾳ. καὶ γὰρ αὐτὴ τῶν πραγμάτων ἡ φύσις ἱκανὴ ἐφελκύσασθαι. Εἴ τις
θέλει ὀπίσω μου ἐλθεῖν, κἂν ἀνήρ, κἂν γυνή, κἂν ἄρχων, κἂν ἀρχόμενος, καὶ θέλει σωθῆναι,
ταύτην ἐρχέσθω τὴν ὁδόν. τρία δέ ἐστι τὰ λεγόμενα, τὸ ἀπαρνήσασθαι ἑαυτόν, τὸ ἆραι τὸν
σταυρόν, καὶ τὸ ἀκολουθῆσαι. ἀλλ' ἴδωμεν πρότερον, τί ἐστι τὸ ἀπαρνήσασθαι ἑαυτόν. μάθωμεν
τί ἐστιν ἀρνήσασθαι ἕτερον, καὶ τότε εἰσόμεθα τί ἐστι τὸ ἀπαρνήσασθαι ἑαυτόν. τί οὖν ἐστι
τὸ ἀρνήσασθαι ἕτερον; ὁ ἀρνούμενος ἕτερον, οἷον ἢ ἀδελφόν, ἢ φίλον, ἢ γείτονα, ἢ ὁντιναοῦν, κἂν
μαστιζόμενον ἴδῃ τοῦτον, κἂν δεσμούμενον, κἂν ὁποιοῦν πάσχοντα, οὐ παρίσταται, οὐ βοηθεῖ, οὐκ
ἐπικλᾶται, οὐ πάσχει τι πρὸς αὐτόν· ἅπαξ γὰρ αὐτοῦ ἠλλοτρίωται. οὕτω τοίνυν βούλεται
τοῦ σώματος ἀφειδεῖν τοῦ ἡμετέρου ὁ Θεός, ἵνα κἂν μαστίζωσιν ἡμᾶς δι' αὐτόν τινες, κἂν κολάζωσι,
κἂν ἐλαύνωσι, κἂν ἄλλο τι ποιῶσι, μὴ φειδώμεθα. τοῦτο γάρ ἐστιν ἀρνήσασθαι·
τουτέστι, μηδὲν ἐχέτω πρὸς ἑαυτόν, ἀλλ' ἐκδιδότω ἑαυτὸν τοῖς κινδύνοις, τοῖς ἀγῶσι, καὶ ὡς
ἑτέρου πάσχοντος, οὕτω διακείσθω. καὶ οὐκ εἶπεν, ἀρνησάσθω ἑαυτόν, ἀλλ', ἀπαρνησάσθω, τῇ
μικρᾷ ταύτῃ προσθήκῃ πολλὴν ἐμφαίνων τὴν ὑπερβολήν. καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ.
Εἶδες πῶς καθώπλισε τὸν ἑπόμενον αὐτῷ στρατιώτην ὁ τῶν οὐρανῶν βασιλεύς. οὐ
θυρεὸν ἔδωκεν, οὐ κράνος, οὐ τόξον, οὐ θώρακα, οὐ κνημῖδα, οὐκ ἄλλο τι τῶν τοιούτων οὐδέν,
ἀλλ' ὃ πάντων τούτων ἐστὶν ἰσχυρότερον, τὴν ἀσφάλειαν τὴν ἀπὸ τοῦ σταυροῦ, τὸ σύμβολον
τῆς κατὰ τῶν δαιμόνων νίκης. τοῦτο μάχαιρα, τοῦτο ἀσπίς, τοῦτο θώραξ, τοῦτο κράνος, τοῦτο
κνῆμις, τοῦτο φρούριον ἀσφαλές, τοῦτο λιμήν, τοῦτο καταφυγή, τοῦτο στέφανος, τοῦτο ἔπαθλον,
τοῦτο τῶν ἀγαθῶν ἁπάντων θησαυρός, καὶ τῶν νῦν καὶ τῶν ἐσομένων ποτέ. καθάπερ γάρ
τις ὅπλον ἰσχυρὸν λαβών, καὶ τοῖς αὐτοῦ δίδωσι στρατιώταις, οὕτω καὶ ὁ Χριστός. ἴδετε, φησί, τὸν
ἐμὸν σταυρὸν ὅσα ἤνυσε; ποιήσατε καὶ ὑμεῖς ὅπλα τοιαῦτα, καὶ ἀνύσατε τοιαῦτα ὅσα βούλεσθε.
Ιω. ιδ. ιβ. καίτοιγε καὶ ἀλλαχοῦ καὶ μείζονα τούτων ἐπηγγείλατο λέγων· Ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα

ἃ

ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει. τί δέ ἐστιν ἄλλο τὸ ῥητὸν, τὸ, ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι; ἆρα ἵνα τὸ ξύλον βαστάζωμεν ἕκαστος; οὐδαμῶς· ποία γὰρ ἀρετὴ τοῦτο; ἀλλ' ἵνα πρὸς τοὺς κινδύνους ὦμεν παρατεταγμένοι, τὸ αἷμα ἡμῶν ἐν ταῖς ψυχαῖς περιφέροντες, πρὸς σφαγὴν καὶ θάνατον ἕτοιμοι καθημερινοί· οὕτως ἅπαντα πράττοντες, ὡς μηδέπω προσδοκᾶν μέχρι τῆς ἑσπέρας τὴν ἡμετέραν διαρκέσαι ζωήν· ὡς ἀποθανούμενοι πάντως, ὅπερ καὶ ὁ ἀπόστολος ἔλεγε Παῦλος, Καθ' ἡμέραν ἀποθνήσκω. οὐχὶ εἷς σοι παρὰ τῆς φύσεως δέδοται θάνατος· ἔξεστιν, ἂν θέλεις, μυριάκις ἀποθανεῖν ὑπὲρ τοῦ δεσπότου τοῦ σοῦ. τοιαύτη γὰρ ἡ χάρις τὴν παρ' αὐτοῖς φιλοπτωχίαν εἰς πολὺν ἐξάγει πλοῦτον, διὰ τὸ φιλόδωρον τοῦ δεσπότου, οὐ τῇ τῶν πραγμάτων ἐκβάσει μόνον, ἀλλὰ καὶ τῇ προθέσει τῶν ἀγωνιζομένων τοὺς στεφάνους ὁρίζοντος.

γρ. ποιῶ.

γρ. παραφέρ.

γρ. μηκέτι

γρ. παρὰ τοῖς ἄλλοις πτωχίαν

α. Κορ. ιε. λα.

Τί δέ ἐστιν, ἀράτω; οὕτως ἔστω πρόθυμος εἰς τὸ σφαγιασθῆναι καὶ σταυρωθῆναι, φησὶν, ὡς ἐκεῖνος ὁ βαστάζων ἐπὶ τῶν ὤμων, οὕτως ἐγγὺς εἶναι νομιζέτω τοῦ θανάτου. τὸν τοιοῦτον ἅπαν τις καταπλήττει. οὐ γὰρ οὕτω δεδοίκαμεν τοὺς μυρίοις πεφραγμένους ὅπλοις ἀνθρωπίνοις, καὶ ἐπὶ ἀνδρείᾳ τοσαύτῃ τετειχισμένους, ὡς τοῦτον ἐστὶν ἀληθείᾳ. οὐδὲν γὰρ οὕτω πείθει θάνατον ἐκφυγεῖν, ὡς τὸ καταφρονεῖν θανάτου. ἵνα δὲ μηδεὶς νομίσῃ τοῦτο μόνον ἀρκεῖν, τὸ πρὸς θάνατον ἑτοίμους εἶναι (εἰσὶ γὰρ καὶ λῃσταὶ καὶ γόητες τοιοῦτοι καὶ μιαιφόνοι πάντες) διὰ τοῦτο προσέθηκε, καὶ ἀκολουθείτω μοι. οὐ τὸν ἀνδρεῖον ζητῶ, φησὶ, μόνον, οὐδὲ τὸν ἀκατάπληκτον πρὸς τὴν τελευτὴν τοῦ βίου, ἀλλὰ τὸν ἐπιεικῆ τε σώφρονα καὶ μέτριον, καὶ πάσης γέμοντα ἀρετῆς. Εἶδες σταυροῦ διακονίαν, οὐκ ἐπὶ τοῦ δεσπότου μόνου, ἀλλὰ καὶ ἐπὶ τῶν δούλων τοσαῦτα ἰσχύουσαν; τοῦτο Πέτρον κορυφαῖον εἰργάσατο· τοῦτο Παῦλον τοιοῦτον ἐποίησε. διὸ καὶ ἔλεγε, Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλίψις, ἢ στενοχωρία, ἢ κίνδυνος, ἢ μάχαιρα; τοῦτο καὶ τοὺς νηστεύοντας οὐχὶ βρωμάτων μόνον, ἀλλὰ καὶ παθῶν ἀνδρείους ἀπειργάσατο. περιφράττωμεν ἑαυτοὺς, ἀγαπητοὶ, τῇ δυνάμει τοῦ σταυροῦ, καὶ καθωπλισμένοι πρὸς τὸ ἑξῆς, προθυμότεροι τῇ νηστείᾳ προσβάλωμεν, καὶ πάντων τῶν τοῦ βίου τερπνῶν καταφρονήσωμεν. καὶ γὰρ πλοῦτος καὶ δόξα καὶ δυναστεία καὶ ἔρως καὶ ὅσα τοιαῦτα, διὰ τοῦτο ἡδέα, διότι φιλοψυχοῦμεν, καὶ τῇ παρούσῃ προσηλώθημεν ζωῇ. ταύτης δὲ καταφρονηθείσης, οὐδεὶς ἐκείνων ἡμῖν λόγος. καλὴ γὰρ ἡ παροῦσα ζωὴ, καλὴ καὶ ἡδεῖα· δῶρον γάρ ἐστι Θεοῦ· ἀλλ' ὅταν ἡ μέλλουσα φανῇ, τότε καταφρονεῖται δικαίως αὕτη. μὴ τοίνυν ἀχαριστῶμεν τοῖς σεμνοῖς τῆς σωτηρίας ἡμῶν συμβόλοις, μηδὲ τὸ μέγα κεφάλαιον τῶν ἀγαθῶν, δι' οὗ ζῶμεν, καὶ ἐσμὲν, ἀποκρυψώμεθα, τρυφῇ ἑαυτοὺς ἐκδόντες καὶ κραιπάλῃ καὶ γαστριμαργίᾳ, ἀλλ' ὡς στέφανον περιφέρωμεν τὸν σταυρὸν τοῦ Χριστοῦ, τουτέστι, τῶν παθῶν τὴν νέκρωσιν. καὶ γὰρ πάντα δι' αὐτοῦ τελεῖται τὰ καθ' ἡμᾶς. κἂν ἀναγεννηθῆναι δέῃ, σταυρὸς παραγίνεται, κἂν τραφῆναι τὴν μυστικὴν ἐκείνην τροφὴν, κἂν χειροτονηθῆναι, κἂν ὁτιοῦν ἕτερον ποιῆσαι, πανταχοῦ τὸ σύμβολον ἡμῖν τοῦ σταυροῦ παρίσταται. διὰ τοῦτο καὶ ἐπὶ οἰκίας, καὶ ἐπὶ τῶν τοίχων, καὶ ἐπὶ τῶν θυρίδων, καὶ ἐπὶ τῶν μετώπων, καὶ ἐπὶ τῆς διανοίας μετὰ πολλῆς ἐπιγράφομεν αὐτὸν τῆς σπουδῆς. τῆς γὰρ ὑπὲρ ἡμῶν σωτηρίας καὶ τῆς ἐλευθερίας τῆς κοινῆς, καὶ τῆς ἐπιεικείας τοῦ δεσπότου, τοῦτ' ἔστι σημεῖον. διὰ τοῦτο σφραγὶς κέκληται, ὅτι πάσας τοῦ Θεοῦ τὰς παρακαταθήκας, ὅσας ἂν λάβωμεν, τούτῳ, καθάπερ τινὶ σημαντῆρι βασιλικῷ καὶ δακτυλίῳ, σφραγίζομεν, καὶ προσελθεῖν οὐδὲν οὐκέτι τολμᾷ πονηρόν. ἂν προστασίαν δήμου τινὶ παρακαταθῶμεν, κἂν πρὸς τὸ τῆς ἱερωσύνης ἀγάγωμεν ἀξίωμα, μετὰ τὸ μυρία ἐπεύξασθαι καὶ καλέσαι τοῦ πνεύματος τὴν χάριν ἐλθοῦσαν, τούτῳ σφραγίζομεν, ὥσπερ ἐναποκλείοντες ἐν ἀσφαλεῖ ταμιείῳ τὴν δοθεῖσαν δωρεάν. οὕτω καὶ ἐν ταῖς ἱερουργίαις παραλαμβάνεται. ὁ γὰρ σταυρὸς τοῦ Χριστοῦ, μάχαιρά ἐστι καὶ ξύλον, ἐν ᾧ σφαγεὶς ὁ Χριστὸς ὑπὸ τῶν θεοκτόνων Ἰουδαίων ἔλυσε τὰ ἔργα τοῦ διαβόλου, καὶ αὐτὸν τὸν διάβολον κατέβαλε, τὰς ἡμῶν ἁμαρ-

Ρωμ. η. λε.

γρ. ἀπηργάσατο.

γρ. ἐπιχαράττομεν

γρ. καί

ρος καὶ ζωοποιὸς σταυρὸς τῷ κόσμῳ ἐμφανίζεται· δι' οὗ δαίμονες φυγαδεύονται, καὶ νόσοι δραπετεύουσι, καὶ σκότος ζοφῶδες ἀπελαύνεται, καὶ πάντα τῆς γῆς τὰ πέρατα καταφωτίζεται. σήμερον ἡ Χριστοῦ ἐκκλησία ἄλλος παράδεισος δείκνυται, τὸ παμμάκαρον ξύλον τοῦ τιμίου σταυροῦ ἐν μέσῳ περιθεῖσα, καὶ περὶ πομπὴν τοῦ πάθους Χριστοῦ τὸν σταυρὸν ποιουμένη, καὶ τῆς ἀναστάσεως αὐτοῦ προέγερσιν. σήμερον τὸ προφητικὸν πεπλήρωται λόγιον τὸ φάσκον, Ἰδοὺ γὰρ προσκυνοῦμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες τοῦ Θεοῦ ἡμῶν. εὐφραίνου τοιγαροῦν καὶ ἀγάλλου ἡ Χριστοῦ ἐκκλησία, καὶ προσάγαγε τὰ σὰ τέκνα, τῇ ἐγκρατείᾳ τῶν παθῶν, τῇ νηστείᾳ κεκαθαρμένα, ταῖς τε θεολαμπέσι ἀρεταῖς ἐξαστράπτοντα, καὶ χόρευε χορείαν τὴν ἀνεκλάλητον. καθάπερ γὰρ πάλαι ἐν τῇ ἐρήμῳ τὸν χαλκοῦν ὄφιν οἱ δηχθέντες προσβλέποντες ἐρρύοντο θανάτου· οὕτω δὴ καὶ νῦν οἱ τὸ τῆς νηστείας μεσοπορήσαντες στάδιον, τούτῳ προσψαύοντες, τὸν νοητὸν ὄφιν νεκρὸν ἀποδεικνύουσι, καὶ αὐτοὶ ἀθανατίζονται, καὶ κοινωνοὶ τῶν παθημάτων τοῦ Χριστοῦ διὰ τῆς ἐγκρατείας δεικνύμενοι, κοινωνοὶ καὶ τῆς ἀναστάσεως αὐτοῦ ἀναδείκνυνται. καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ πρὸς τὸ ἑξῆς νεανικῶς εὐδρομοῦντες, ἐπινικίους ὕμνους τῷ Θεῷ προσκομίζουσι. τροπαιοφόρον γὰρ καὶ νικητικὸν ὅπλον ὁ τοῦ Κυρίου σταυρὸς καθέστηκε· βασιλέων ὅπλον ἀκαταμάχητον, ἐκκλησίας κέρας, ἐχθρῶν καθαιρέτης, καὶ τῶν πιστῶν σωτηρία· καὶ μακάριοι ἀληθῶς καὶ τρισμακάριοι, οἱ ἁγνοῖς χείλεσι καὶ στόμασι καθαροῖς τοῦτον ἀξιούμενοι περιπτύξασθαι· ἔργῳ γὰρ ἀληθῶς πληροῦσι τὸ φάσκον τοῦ Κυρίου ῥητὸν, Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. καὶ ὅρα πῶς ἀκαταναγκάστως ποιεῖται τὸν λόγον· οὐδὲ γὰρ εἶπε, κἂν βούλησθε, κἂν μὴ, τοῦτο δεῖ ὑμᾶς παθεῖν, ἀλλὰ πῶς; Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν. οὐ βιάζομαι, οὐκ ἀναγκάζω· ἀλλ' ἕκαστον κύριον τῆς ἑαυτοῦ προαιρέσεως ποιῶ, διὸ καὶ λέγω, Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν. ἐπὶ γὰρ ἀγαθῷ καλῶ, οὐκ ἐπὶ κακῷ καὶ ἐπαχθεῖ, οὐκ ἐπὶ κολάσει καὶ τιμωρίᾳ. καὶ γὰρ αὐτὴ τῶν πραγμάτων ἡ φύσις ἱκανὴ ἐφελκύσασθαι. Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, κἂν ἀνὴρ, κἂν γυνὴ, κἂν ἄρχων, κἂν ἀρχόμενος, καὶ θέλει σωθῆναι, ταύτην ἐρχέσθω τὴν ὁδόν. τρία δέ ἐστι τὰ λεγόμενα, τὸ ἀπαρνήσασθαι ἑαυτὸν, τὸ ἆραι τὸν σταυρὸν, καὶ τὸ ἀκολουθῆσαι. ἀλλ' ἴδωμεν πρότερον, τί ἐστι τὸ ἀπαρνήσασθαι ἑαυτόν. μάθωμεν τί ἐστιν ἀρνήσασθαι ἕτερον, καὶ τότε εἰσόμεθα τί ἐστι τὸ ἀπαρνήσασθαι ἑαυτόν. τί οὖν ἐστι τὸ ἀρνήσασθαι ἕτερον; ὁ ἀρνούμενος ἕτερον, οἷον ἢ ἀδελφὸν, ἢ φίλον, ἢ γείτονα, ἢ ὁντιναοῦν, κἂν μαστιζόμενον ἴδῃ τοῦτον, κἂν δεσμούμενον, κἂν ὁτιοῦν πάσχοντα, οὐ παρίσταται, οὐ βοηθεῖ, οὐκ ἐπικλᾶται, οὐ πάσχει τι πρὸς αὐτόν· ἅπαξ γὰρ αὐτοῦ ἠλλοτρίωται. οὕτω τοίνυν βούλεται τοῦ σώματος ἀφειδεῖν τοῦ ἡμετέρου ὁ Θεὸς, ἵνα κἂν μαστίζωσιν ἡμᾶς δι' αὐτὸν τινες, κἂν κολάζωσι, κἂν ἐλαύνωσι, κἂν ἄλλο τι ποιῶσι, μὴ φειδώμεθα. τοῦτο γάρ ἐστιν ἀρνήσασθαι· τουτέστι, μηδὲν ἐχέτω πρὸς ἑαυτὸν, ἀλλ' ἐκδιδότω ἑαυτὸν τοῖς κινδύνοις, τοῖς ἀγῶσι, καὶ ὡς ἑτέρου πάσχοντος, οὕτω διακείσθω. καὶ οὐκ εἶπεν, ἀρνησάσθω ἑαυτὸν, ἀλλ', ἀπαρνησάσθω, τῇ μικρᾷ ταύτῃ προσθήκῃ πολλὴν ἐμφαίνων τὴν ὑπερβολήν. καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ. εἶδες πῶς καθώπλισε τὸν ἑπόμενον αὐτῷ στρατιώτην ὁ τῶν οὐρανῶν βασιλεύς. οὐ θυρεὸν ἔδωκεν, οὐ κράνος, οὐ τόξον, οὐ θώρακα, οὐ κνημῖδα, οὐκ ἄλλο τι τῶν τοιούτων οὐδὲν, ἀλλ' ὃ πάντων τούτων ἐστὶν ἰσχυρότερον, τὴν ἀσφάλειαν τὴν ἀπὸ τοῦ σταυροῦ, τὸ σύμβολον τῆς κατὰ τῶν δαιμόνων νίκης. τοῦτο μάχαιρα, τοῦτο ἀσπὶς, τοῦτο θώραξ, τοῦτο κράνος, τοῦτο κνημὶς, τοῦτο φρούριον ἀσφαλὲς, τοῦτο λιμὴν, τοῦτο καταφυγὴ, τοῦτο στέφανος, τοῦτο ἔπαθλον, τοῦτο τῶν ἀγαθῶν ἁπάντων θησαυρὸς, καὶ τῶν νῦν καὶ τῶν ἐσομένων ποτέ. καθάπερ γάρ τις ὅπλον ἰσχυρὸν λαβὼν, καὶ τοῖς αὐτοῦ δίδωσι στρατιώταις, οὕτω καὶ ὁ Χριστός. ἴδετε, φησι, τὸν ἐμὸν σταυρὸν ὅσα ἤνυσε; ποιήσατε καὶ ὑμεῖς ὅπλα τοιαῦτα, καὶ ἀνύσατε τοιαῦτα ὅσα βούλεσθε. καίτοιγε καὶ ἀλλαχοῦ καὶ μείζονα τούτων ἐπηγγείλατο λέγων· Ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα

Ψαλ. ρλα. ζ.

Ματθ. ις. κδ.

Ἰω. ιδ. ιβ.

ἃ

ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει. τί δέ ἐστιν αὐτὸ τὸ ῥητόν, τό, ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι; ἆρα ἵνα τὸ ξύλον βαστάζωμεν ἕκαστος; οὐδαμῶς· ποία γὰρ ἀρετὴ τοῦτο; ἀλλ' ἵνα πρὸς τοὺς κινδύνους ὦμεν παρατεταγμένοι, τὸ αἷμα ἡμῶν ἐν ταῖς ψυχαῖς περιφέροντες, πρὸς σφαγὴν καὶ θάνατον ἕτοιμοι καθημμένοι· οὕτως ἅπαντα πράττοντες, ὡς μηδέπω προσδοκᾶν μέχρι τῆς ἑσπέρας τὴν ἡμετέραν διαρκέσαι ζωήν· ὡς ἀποθανούμενοι πάντως, ὅπερ καὶ ὁ ἀπόστολος ἔλεγε Παῦλος, Καθ' ἡμέραν ἀποθνήσκω. οὐχὶ εἷς σοι παρὰ τῆς φύσεως δέδοται θάνατος· ἔξεστιν, ἂν θέλεις, μυριάκις ἀποθανεῖν ὑπὲρ τοῦ δεσπότου τοῦ σοῦ. τοιαύτη γὰρ ἡ χάρις τὴν παρ' αὐτοῖς φιλοπλωχίαν εἰς πολὺν ἐξάγει πλοῦτον, διὰ τὸ φιλόδωρον τοῦ δεσπότου, οὐ τῇ τῶν πραγμάτων ἐκβάσει μόνον, ἀλλὰ καὶ τῇ προθέσει τῶν ἀγωνιζομένων τοὺς στεφάνους ὁρίζοντος.

α. Κορ. ιε. λα.

γρ. τιμῶ.

γρ. παρὰ δ' ἐρ.

γρ. μηκέτι

γρ. παρὰ τοῖς δούλοις πλουχίαν

Τί δέ ἐστιν, ἀράτω; οὕτως ἔστω πρόθυμος εἰς τὸ σφαγιασθῆναι καὶ σταυρωθῆναι, φησίν, ὡς ἐκεῖνος ὁ βαστάζων ἐπὶ τῶν ὤμων, οὕτως ἐγγὺς εἶναι νομιζέτω τοῦ θανάτου. τὸν τοιοῦτον ἅπαντες καταπλήττονται. οὐ γὰρ οὕτω δεδοίκαμεν τοὺς μυρίοις πεφραγμένους ὅπλοις ἀνθρωπίνοις, καὶ ἐπὶ ἀνδρείᾳ τοσαύτῃ τετειχισμένους, ὡς τοῦτον ἴσα ἀληθείᾳ. οὐδὲν γὰρ οὕτω ποιεῖ θάνατον ἐκφυγεῖν, ὡς τὸ καταφρονεῖν θανάτου. ἵνα δὲ μηδεὶς νομίσῃ τοῦτο μόνον ἀρκεῖν, τὸ πρὸς θάνατον ἑτοίμους εἶναι (εἰσὶ γὰρ καὶ λῃσταὶ καὶ γόητες τοιοῦτοι καὶ μιαιφόνοι πάντες) διὰ τοῦτο προσέθηκε, καὶ ἀκολουθείτω μοι. οὐ τὸν ἀνδρεῖον ζητῶ, φησί, μόνον, οὐδὲ τὸν ἀκατάπληκτον πρὸς τὴν τελευτὴν τοῦ βίου, ἀλλὰ τὸν ἐπιεικῆ, τὸν σώφρονα καὶ μέτριον, καὶ πάσης γέμοντα ἀρετῆς. εἶδες σταυροῦ διακονίαν, οὐκ ἐπὶ τοῦ δεσπότου μόνου, ἀλλὰ καὶ ἐπὶ τῶν δούλων τοσαῦτα ἰσχύσαν; τοῦτο Πέτρον κορυφαῖον εἰργάσατο· τοῦτο Παῦλον τοιοῦτον ἐποίησε. διὸ καὶ ἔλεγε, Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις, ἢ στενοχωρία, ἢ κίνδυνος, ἢ μάχαιρα; τοῦτο καὶ τοὺς νηστεύοντας οὐχὶ βρωμάτων μόνον, ἀλλὰ καὶ παθῶν ἀνδρείους ἀπειργάσατο. περιφράξωμεν ἑαυτούς, ἀγαπητοί, τῇ δυνάμει τοῦ σταυροῦ, καὶ καθωπλισμένοι πρὸς τὸ ἑξῆς, προθυμότερον τῇ νηστείᾳ προσβάλωμεν, καὶ πάντων τῶν τοῦ βίου τερπνῶν καταφρονήσωμεν. καὶ γὰρ πλοῦτος καὶ δόξα καὶ δυναστεία καὶ ἔρως καὶ ὅσα τοιαῦτα, διὰ τοῦτο ἡδέα, διότι φιλοψυχοῦμεν, καὶ τῇ παρούσῃ προσηλώθημεν ζωῇ. ταύτης δὲ καταφρονηθείσης, οὐδεὶς ἐκείνων ἡμῖν λόγος. καλὴ γὰρ ἡ παροῦσα ζωή, καλὴ καὶ ἡδεῖα· δῶρον γάρ ἐστι Θεοῦ· ἀλλ' ὅταν ἡ μέλλουσα φανῇ, τότε καταφρονεῖται δικαίως αὐτή. μὴ τοίνυν αἰσχυνθῶμεν τοῖς σεμνοῖς τῆς σωτηρίας ἡμῶν συμβόλοις, μηδὲ τὸ μέγα κεφάλαιον τῶν ἀγαθῶν, δι' οὗ ζῶμεν, καί ἐσμεν, ἀποκρυψώμεθα, τρυφῇ ἑαυτοὺς ἐκδόντες καὶ κραιπάλῃ καὶ γαστριμαργίᾳ, ἀλλ' ὡς στέφανον περιφέρωμεν τὸν σταυρὸν τοῦ Χριστοῦ, τουτέστι, τῶν παθῶν τὴν νέκρωσιν. καὶ γὰρ πάντα δι' αὐτοῦ τελεῖται τὰ καθ' ἡμᾶς. κἂν ἀναγεννηθῆναι δέῃ, σταυρὸς παραγίνεται, κἂν τραφῆναι τὴν μυστικὴν ἐκείνην τροφήν, κἂν χειροτονηθῆναι, κἂν ὁτιοῦν ἕτερον ποιῆσαι, πανταχοῦ τὸ σύμβολον ἡμῖν τοῦ σταυροῦ παρίσταται. διὰ τοῦτο καὶ ἐπὶ οἰκίας, καὶ ἐπὶ τῶν τοίχων, καὶ ἐπὶ τῶν θυρίδων, καὶ ἐπὶ τῶν μετώπων, καὶ ἐπὶ τῆς διανοίας μετὰ πολλῆς ἐπιγράφομεν αὐτὸν τῆς σπουδῆς. τῆς γὰρ ὑπὲρ ἡμῶν σωτηρίας καὶ τῆς ἐλευθερίας τῆς κοινῆς, καὶ τῆς ἐπιεικείας τοῦ δεσπότου, τοῦτ' ἔστι σημεῖον. διὰ τοῦτο σφραγὶς κέκληται, ὅτι πάσας τοῦ Θεοῦ τὰς παρακαταθήκας, ὅσας ἂν λάβωμεν, τούτῳ, καθάπερ τινὶ σημαντῆρι βασιλικῷ καὶ δακτυλίῳ, σφραγίζομεν, καὶ προσελθεῖν οὐδεὶς οὐκέτι τολμᾷ πονηρός. ἂν προστασίαν δήμου τινὶ παρακαταθῶμεν, κἂν πρὸς τὸ τῆς ἱερωσύνης ἀγάγωμεν ἀξίωμα, μετὰ τὸ μυρία ἐπεύξασθαι καὶ καλέσαι τοῦ πνεύματος τὴν ἄνωθεν ἐλθοῦσαν, τούτῳ σφραγίζομεν, ὥσπερ ἐναποκλείοντες ἐν ἀσφαλεῖ ταμιείῳ τὴν δοθεῖσαν δωρεάν. οὕτω καὶ ἐν ταῖς ἱερουργίαις παραλαμβάνεται. ὁ γὰρ σταυρὸς τοῦ Χριστοῦ, μάχαιρά ἐστι καὶ ξύλον, ἐν ᾧ σφαγεὶς ὁ Χριστὸς ὑπὸ τῶν θεοκτόνων Ἰουδαίων ἔλυσε τὰ ἔργα τοῦ διαβόλου, καὶ αὐτὸν τὸν διάβολον κατέδησε, τὰς ἡμῶν ἁμαρ-

Ρωμ. η λε.

γρ. ἀπειργάσαντο.

γρ. ἐπιγράφομεν

γρ. καὶ

πίας προσηλώσας ἐν αὐτῷ. τοῦτο γὰρ ἐν ταῖς ἱερουργίαις παραλαμβάνεται, οἷα τις
ῥομφαία καὶ μάστιξ βασιλική, βασανίζουσα καὶ ἀποδιώκουσα πᾶσαν δαιμονικὴν ἔλευσιν, καὶ γ. ἐπιτοίπ στ. διά τι πτ.
σατανικὴν ἐπιφοράν. διὰ τοῦτο οἱ θεῖοι ἱερομύσται, ὥσπερ τινὲς δορυφόροι, προθέντες
τὴν βασιλικὴν μάστιγα, διὰ ταύτης ἀποδιώκουσι πᾶσαν ἀντίδικον καὶ ἀντίπαλον φάλαγγα,
τὰς θείας καὶ βασιλικὰς δωρεὰς τοῖς μυσταγωγοῖς ἀπονέμοντες, καὶ σὺν αὐτοῖς τὸν βασιλέα
Χριστὸν γεραίροντες. ὅταν τοίνυν σφραγίζῃ, ἐννόει τοῦ σταυροῦ πᾶσαν τὴν ὑπόθεσιν, καὶ σβέσεις
θυμὸν καὶ πάντα τὰ λοιπὰ πάθη. ὅταν σφραγίζῃ, πολλῆς ἔμπλησον τὸ μέτωπον παῤῥησίας·
τὸ στῆθος, τὰ ὄμματα, καὶ πᾶν μέλος παράστησον θυσίαν εὐάρεστον τῷ Θεῷ. τοῦτο γὰρ
ἡ λογικὴ λατρεία. τοῦτο δὲ σημεῖον καὶ ἐπὶ τῶν προγόνων ἡμῶν θύρας ἀνέῳξε κεκλεισμένας,
τοῦτο δηλητήρια ἔσβεσε φάρμακα, τοῦτο κωνείου δύναμιν ἐξέλυσε, τοῦτο θηρίων ἰοβόλων
δήγματα ἰάσατο. εἰ γὰρ ᾅδου πύλας ἀνέῳξε, καὶ οὐρανῶν ἁψῖδας ἀνεπέτασε, καὶ παραδείσου
εἴσοδον ἐνεκαίνισε, καὶ τοῦ διαβόλου τὰ νεῦρα ἐξέκοψε, τί θαυμαστὸν εἰ φαρμάκων γ. ἐξέκοψε
δηλητηρίων περιγίνεται; τοῦτο τοίνυν ἐγκόλαψον τῇ διανοίᾳ τῇ σῇ, καὶ τὴν σωτηρίαν περίπτυξαι
τῶν ἡμετέρων ψυχῶν. οὗτος γὰρ ὁ σταυρὸς τὴν οἰκουμένην ἔσωσε, τὴν πλάνην ἀπήλασε,
τὴν ἀλήθειαν ἐπανήγαγε, τὴν γῆν οὐρανὸν ἐποίησε, τοὺς ἀνθρώπους ἀγγέλους
εἰργάσατο. διὰ τοῦτο οἱ δαίμονες οὐκ ἔτι φοβεροί, ἀλλ' εὐκαταφρόνητοι, οὐδὲ ὁ θάνατος,
θάνατος, ἀλλ' ὕπνος καὶ ἐγρηγόρησις. διὰ τοῦτο τὰ τῆς σαρκὸς πάθη τὰ πολεμοῦντα τοὺς
πιστεύοντας, ἀπομαραίνονται. ἂν τοίνυν εἴποι σοί τις τῶν Ἰουδαίων, τὸν ἐσταυρωμένον προσκυνεῖς;
εἰπὲ φαιδρᾷ καὶ μεγάλῃ τῇ φωνῇ, καὶ γεγηθότι τῷ προσώπῳ, ναί, καὶ προσκυνῶ,
καὶ οὐ παύσομαι προσκυνῶν. κἂν γελάσῃ, δάκρυσον ὅτι μαίνεται, καὶ οὐ συνίει τί φθέγγεται,
καὶ τῷ δεσπότῃ Χριστῷ εὐχαρίστησον, ὅτι τοιαῦτα ἡμᾶς εὐεργέτησεν, ἃ μηδὲ μαθεῖν δύναταί
τις χωρὶς τῆς ἄνωθεν ἀποκαλύψεως. διὰ τοῦτο καὶ οὗτος γελᾷ, ὅτι ψυχικὸς ἄνθρωπος οὐ
δέχεται τὰ τοῦ πνεύματος.

Ἀλλὰ τί φησιν ὁ φρενόληπτος καὶ ἀγνώμων καὶ ἀπειθὴς Ἰουδαῖος; εἰ οὖν Θεός ἐστιν ὁ Χριστός,
ὡς φατε, καὶ Θεοῦ υἱός, καὶ ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων ἐλήλυθε, διὰ τί τοιούτῳ
θανάτῳ ἀσήμῳ ἐσταύρωται; πρὸς ὃν ἐροῦμεν ὀλίγα τῶν προφητῶν ἐκλεξάμενοι· ὅτι
τὸν Χριστὸν σταυρωθῆναι, ὦ παράνομε καὶ ἀγνώμων Ἰουδαῖε, ὅτι ὁ νόμος καὶ οἱ προφῆται
οὕτως ἐκήρυξαν, σώζεσθαι τὴν ἀνθρωπότητα διὰ Χριστοῦ. πρῶτος γὰρ Μωϋσῆς
Δευτ. κη ξς. λέγει, Ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν, καὶ οὐ μὴ
Ησ. νγ. ζ. πιστεύσητε τῇ ζωῇ ὑμῶν. καὶ ὁ Ἠσαΐας, Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς
ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος. καὶ ὁ Ἱερεμίας, Δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν
Ιερ. ια ιθ. ἄρτον αὐτοῦ. καὶ ἔδωκαν τὴν τιμὴν αὐτοῦ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέ
Εσδ. ϛ. λγ. μοι Κύριος. καὶ ὅτι Θεός ἐστιν ὁ σταυρωθεὶς Χριστός, ἄκουσον τοῦ Ἔσδρα λέγοντος, Εὐλογητὸς
Κύριος ὁ ἐκπετάσας τὰς χεῖρας αὐτοῦ, καὶ σώσας τὴν Ἱερουσαλὴμ κατέναντι τῶν ὀφθαλμῶν
ἡμῶν. καὶ ὅτε οἱ ὄφεις ἀπέκτεινον τὸν λαόν, ὄφιν κελεύσει Θεοῦ κρεμάσας Μωϋσῆς ἐπὶ ξύλου
Αριθ. κα. ἔλεγε, Τούτῳ προσέχετε, καὶ οὐ μὴ ἀποθάνητε. καὶ πάλιν Ἱερεμίας λέγει, ὡς ἐκ προσώπου
Ιερ ια. ιθ. τῶν σταυρωσάντων αὐτόν· Δεῦτε καὶ ἐκτρίψωμεν αὐτὸν ἐκ γῆς ζώντων. καὶ πάλιν ὁ
Ιερ. ια. ιθ. Χριστὸς διὰ τοῦ αὐτοῦ προφήτου, Ἐγὼ δὲ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι, οὐκ ἔγνων.
Ψαλ. κα. ιζ. καὶ πάλιν ὁ Δαβίδ, ὡς ἐκ προσώπου τοῦ Χριστοῦ· Ὤρυξαν χεῖράς μου, καὶ πόδας μου,
καὶ διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. καὶ πάλιν, γ. τὸν ἱματισμόν
Ησ. ξε. β. Διεπέτασα τὰς χεῖράς μου ὅλην τὴν ἡμέραν πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα, οἳ
οὐκ ἐπορεύθησαν ὁδῷ ἀγαθῇ, ἀλλ' ὀπίσω τῶν ἁμαρτιῶν αὐτῶν. ὅτι δὲ σεβάσμιος καὶ προσκυνητὸς
ὁ τοῦ Χριστοῦ σταυρὸς καὶ ὁ τύπος αὐτοῦ, καὶ τοῦτο οἱ προφῆται διδάσκουσι· Δαβὶδ
Ψαλ. ξθ. δ. μὲν γὰρ λέγων· Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου· καὶ
πάλιν,

πάλιν, Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθὸν, καὶ εἰδέτωσαν οἱ μισοῦντές με, καὶ αἰσχυνθήτωσαν. καὶ ὁ Θεὸς δὲ διὰ Ἰεζεκιὴλ τοῦ προφήτου λέγει· Δὸς τὴν σημείωσιν ἐπὶ τὰ μέτωπα τῶν καταστεναζόντων καὶ κατοδυνωμένων ἐν πάσαις ἀνομίαις, καὶ διέλθετε καὶ κόπτετε, καὶ μὴ ἐλεήσητε πρεσβύτερον, καὶ νεανίσκον, καὶ γυναῖκας, καὶ νήπια θηλάζοντα ἐξαλείψατε· ἐπὶ δὲ τοὺς ἔχοντας τὸ σημεῖόν μου μὴ ἐγγίσητε. καὶ ὁ Σολομὼν λέγει, Εὐλογεῖται ξύλον, δι' οὗ γίνεται δικαιοσύνη. καὶ ὁ Ἠσαΐας, πόθεν ἦν, καὶ ποῖα τὰ ξύλα τοῦ σταυροῦ, λέγει· Ἐν κυπαρίσσῳ καὶ πεύκῃ καὶ κέδρῳ, ἅμα δοξάσαι τὸν τόπον τὸν ἅγιον· καὶ Μωϋσῆς δὲ ξύλον βαλὼν εἰς Μερρὰν, τὰ πικρὰ ὕδατα ἐγλύκανεν εἰς τύπον τοῦ σταυροῦ τοῦ Χριστοῦ τοῦ γλυκάναντος ἐκ τῆς πικρίας τῶν δαιμόνων τὸν κόσμον. καὶ ἡ ῥάβδος Μωϋσέως, ἡ σχίσασα τὴν πέτραν, εἰς τύπον ἦν τοῦ σταυροῦ τοῦ Χριστοῦ, τοῦ σχίσαντος τὰς καρδίας τῶν ἀνθρώπων, καὶ ἐμβαλόντος τὴν χάριν τοῦ ἁγίου πνεύματος ἐν αὐταῖς. καὶ αὕτη ἐστὶν ὄντως ἡ ὁδὸς τῆς ζωῆς, καὶ πάντες οἱ κρατοῦντες αὐτὴν ζῶσιν· οἱ δὲ καταλιπόντες αὐτὴν θάνατον καὶ κόλασιν ἀτελεύτητον ἕξουσιν. ὁ νόμος γὰρ καὶ οἱ προφῆται κηρύττουσι τὴν ἁγίαν τριάδα, καὶ ἀληθῶς οὗτός ἐστιν ὁ κηρυχθεὶς ὑπὸ τῶν προφητῶν καὶ τοῦ νόμου. ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου Ἰησοῦς Χριστὸς Κύριος, καὶ οὐκ ἔστιν ἄλλος, εἰ μὴ ὁ γεννηθεὶς ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἐκ τῆς παρθένου καὶ θεοτόκου Μαρίας, ἐπὶ Καίσαρος Αὐγούστου· καὶ ὁ μὴ δεχόμενος αὐτὸν, καὶ μὴ πιστεύων εἰς αὐτὸν, ἀποστάτης ἐστὶ τοῦ Θεοῦ καὶ ἀνάθεμα αὐτῷ. διὰ τοῦτο καὶ ὁ Ἠσαΐας περὶ ὑμῶν τῶν πλανηθέντων βοᾷ λέγων, Αἰχμάλωτος ὁ λαός μου ἐγενήθη διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τὸν Κύριον. ἐξ οὗτε γὰρ ἦλθεν ὁ Χριστὸς, κατελύθη ἡ δύναμις τοῦ στρατοῦ ὑμῶν τῶν Ἰουδαίων, καὶ ἡ ἱερωσύνη ἠφάνισται, καὶ ὑπὸ τῶν Ῥωμαίων διεσκορπίσθητε. φησὶ γὰρ Ἠσαΐας περὶ τῶν σταυρωσάντων τὸν Χριστὸν, Διὰ τὰς ἁμαρτίας ἡμῶν ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ὁ Θεὸς ἀφ' ἡμῶν, καὶ οἱ κατάλοιποι ἡμῶν ἐν ἁμαρτίαις. εἰ γὰρ μὴ ἦν αὐτὸς ὁ Χριστὸς ὁ γεννηθεὶς ἐκ Μαρίας ὁ ἐκλεκτὸς τοῦ Θεοῦ καὶ υἱὸς ἀληθινὸς αὐτοῦ, ὁ κηρυχθεὶς ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν, εἶχεν ἂν δοξασθῆναι τὸ ἔθνος ὑμῶν τῶν Ἰουδαίων, καὶ ὑψωθῆναι καὶ βασιλεῦσαι, ὡς τὸν ἀντίθεον καὶ πλάνον ἀποκτεῖναν. ἀλλ' ἐξ οὗ τε ὁ σταυρὸς, καὶ ἐσταυρώθη ἐν αὐτῷ ὑπὸ τῶν πατέρων ὑμῶν ὁ Χριστὸς, ἀπὸ τότε ἕως τῆς σήμερον εἰς ἀπώλειαν καὶ εἰς ἀτιμίαν ἐστὶ, καὶ χεῖρον ὠργίσθη ὑμῖν ὁ Θεὸς ὑπὲρ τὴν αἰχμαλωσίαν τὴν ἐν Βαβυλῶνι. ἐκεῖ γὰρ μετ' ἑξήκοντα ἔτη ὁ Θεὸς ἠλέησε καὶ ἀνεκαλέσατο ὑμᾶς· ἐνταῦθα δὲ, τελείως ἀπώσατο, καὶ ἠλήθευσεν ὁ πατὴρ ὑμῶν καὶ προφήτης καὶ πατριάρχης Ἰακὼβ, καὶ πάντα τὰ νόμιμα ὑμῶν κατέπεσε, καὶ τῆς χώρας ὑμῶν τῆς Ἰουδαίας ἐξείργεσθε, καὶ κατὰ τόπους διεσκορπίσθητε, καὶ ἐστὲ εἰς ἐξουθενισμὸν, καὶ εἰς κατάγελων εἰς πᾶσαν τὴν οἰκουμένην ἀπὸ ἑῴας ἕως ἐσχάτου τῆς γῆς. τὰ δὲ ἡμέτερα τῶν χριστιανῶν καθ' ἑκάστην ἡμέραν ἀνθεῖ, καὶ αὔξει, καὶ κρατύνεται, καὶ εἰς πᾶσαν τὴν οἰκουμένην τὸ κήρυγμα τῆς εὐσεβοῦς ἡμῶν πίστεως διέδραμε, καὶ βασιλεὺς Χριστὸς ἐν ἡμῖν, καὶ τὸν τίμιον καὶ ζωοποιὸν αὐτοῦ σταυρὸν προσκυνοῦμεν,* καὶ ὡς θησαυρὸν πολυτίμητον κατέχομεν. καὶ γὰρ ὄντως παντὸς στεφάνου βασιλικοῦ λαμπρότερός τε καὶ σεμνότερος ὁ τοῦ Κυρίου σταυρός. καὶ τί λέγω στεφάνου βασιλικοῦ; αὐτῶν τῶν ἡλιακῶν ἀκτίνων φαιδρότερος. καὶ τὸ μὲν πάλαι, βίου πονηροῦ καὶ διεφθαρμένων πράξεων καταδίκη τὸ πρᾶγμα ἦν· νῦν δὲ δωρεᾶς θείας σύμβολον, εὐγενείας πνευματικῆς σημεῖον, θησαυρὸς ἀσύλητος, ἀναφαίρετος δωρεὰ, ὑπόθεσις ἁγιασμοῦ. τοῦτον καὶ ἐπὶ κλίνης, καὶ ἐπὶ τραπέζης προσφέρομεν, καὶ πανταχοῦ ὥσπερ αἰροῦμεν. καθάπερ γὰρ πολλοὶ τῶν στρατιωτῶν, χωρὶς ὅπλων οὔτε ἀριστοποιοῦνται, οὔτε καθεύδουσιν· οὕτω καὶ νῦν, ἀντὶ μαχαίρας ἐπὶ κλίνης κρεμάσωμεν, ἀντὶ μοχλοῦ ἐπὶ θύρας χαράξωμεν, ἀντὶ τοίχους τῇ οἰκίᾳ πάσῃ περιβάλωμεν· τὰ ἔσω καὶ τὰ ἔξω τούτῳ περιφράξωμεν. τοῦτο γὰρ θάνατον κατέλυσεν, οὐρανοὺς ἀνέῳξε, γῆν ἐκάθηρε, τὴν φύσιν τὴν ἡμετέραν ἐπὶ τὸν θρόνον ἀνήγαγε τὸν βασιλικὸν, τὴν τυραννίδα τοῦ διαβόλου κατέλυσε. τοῦτο

Ψαλ. πε. ζ.
Ἰεζ. θ. δ. ε.
Σοφ. ιδ. ζ.
Ἡσ. ξ. γ.
Ἐξοδ. ιε.
Ἡσ. ε. ιγ.
Ἡσ. νγ. γ.

γ. ἐξότε
γ. ὑμῶν
γ. ὑμῶν
γ. ἑβδομήκοντα
γ. ἐξηλάθητε
* καὶ ἀσπαζόμεθα.
γ. περιφέρομεν.

τὸ εἶδος διπλοῦν, τὸ μὲν ἐξ ὕλης ἢ χρυσοῦ, ἢ μαργαριτῶν, ἢ λίθων τιμίων, ὃ δὴ καὶ ἀφαιρεῖται πολλάκις ὑπὸ βαρβάρων ἢ κλεπτῶν· τὸ δὲ ἄϋλον. οὐ γὰρ ἐξ ὕλης αὐτοῦ ἡ ὑπόστασις, ἀλλ' ἀπὸ πίστεως ἡ οὐσία, ἀπὸ διαθέσεως τοῦ ποιοῦντος ἡ ὕλη. τοῦτο καθεύδοντας τηρεῖ, τοῦτο ἐγρηγορότας ἀσφαλίζεται, τοῦτο κινδυνεύοντας διασώζει, διὰ τούτου πόλεμος καταλύεται, καὶ εἰρήνη συνίσταται. ὑμνῶ σου τοιγαροῦν τὸ μακρόθυμον καὶ ἀνεξίκακον τῆς περὶ ἐμὲ οἰκονομίας μυστήριον, Κύριε· προσκυνῶ τὸν τίμιον καὶ ζωοποιόν σου σταυρὸν, δέσποτα· περιπτυσσόμεθα * τὰ πάθη, φιλοῦμεν τοὺς ἥλους, καὶ τὰς διατρήσεις τῶν μελῶν ἀσπαζόμεθα· τόν τε κάλαμον καὶ τὴν λόγχην καὶ τὸν σπόγγον ὑπεράγαμαι· ὡς βασίλειον διάδημα, τὸν ἀκάνθινον περιτίθεμαι στέφανον. καὶ ὡς διαυγέσι '' λίθοις, τοῖς ἐμπτυσμοῖς ἐγκαλλωπιζόμεθα, ὡς λαμπροτάτῳ κόσμῳ τοῖς ῥαπισμοῖς ἐνσεμνυνόμεθα. καὶ σὲ ὁμολογῶ ἀληθινὸν Θεὸν τὸν ἕνα τῆς ἁγίας τριάδος Χριστὸν Ἰησοῦν, τὸν ὑπὲρ ἐμοῦ τὸ πάθος καταδεξάμενον, εἱληθέντα τε ἐν σινδόνι, καὶ ὑπὸ τῶν παρανόμων Ἰουδαίων μυκτηρισθέντα, τέλος ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, καὶ πάλιν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς· σοῦ γάρ ἐστιν ἡ δόξα καὶ τὸ κράτος, ἅμα τῷ πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* καὶ

χ. μαργαρίταις

Λογ. ρμ. ΕΙΣ ΤΑ ΒΑΪΑ.

Ex Ms. Regio Lut. emend. ex Ms. Caesareo.

Ἐκ θαυμάτων ἐπὶ θαύματα τοῦ Κυρίου βαδίσωμεν, ἀδελφοὶ, καὶ φθάσωμεν, ὡς ἐκ δυνάμεως εἰς δύναμιν. καθάπερ γὰρ ἐν ἁλύσει χρυσῇ κρικίοις ἀλληλενδέτοις συμβεβλημένῃ ἐκ τοῦ ἑνὸς κατέχεται, καὶ τῶν συμβεβλημένων ἕκαστον συνάπτεται θάτερον θατέρῳ καὶ παραπέμπεται· οὕτω καὶ τὰ τῶν ἁγίων εὐαγγελίων θαύματα ἐξ ἀλλήλων εἰς ἄλληλα ποδηγοῦσι τὴν φιλέορτον τοῦ Θεοῦ ἐκκλησίαν, καὶ εὐφραίνουσιν οὐ τῇ ἀπολλυμένῃ βρώσει, ἀλλὰ τῇ μενούσῃ εἰς ζωὴν αἰώνιον. Φέρε οὖν σήμερον καὶ ἡμεῖς, ἀγαπητοὶ, ἐν ἑτοιμασίᾳ καρδίας καὶ ὠσὶν εὐηκόοις ἀκούσωμεν, τί λαλήσει ἡμῖν Κύριος ὁ Θεὸς ἔν τε προφήταις καὶ εὐαγγελίοις περὶ τῆς ἡδυτάτης ταύτης ἑορτῆς. Λαλήσει δὲ πάντως εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ, καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν ἐπ' αὐτόν. σήμερον προφητικαὶ σάλπιγγες τὴν οἰκουμένην '' ἀνεπλήρωσαν, καὶ τὰς ἁπανταχῇ '' τοῦ Κυρίου ἐκκλησίας ἐφαίδρυναν καὶ κατέστεψαν, καὶ ἐκ τοῦ σκάμματος τῶν ἁγίων νηστειῶν καὶ τῆς κατὰ τῶν παθῶν παλαίστρας παραλαβοῦσαι τοὺς πιστοὺς, τὸν ἐπινίκιον ὕμνον καὶ τὸ καινὸν '' ᾆσμα τῆς εἰρήνης ᾄδειν τῷ νικοποιῷ Χριστῷ ἐδίδαξαν. δεῦτε οὖν ἅπαντες ἀγαλλιασώμεθα τῷ Κυρίῳ· δεῦτε πάντα τὰ ἔθνη κροτήσωμεν χεῖρας, καὶ ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν ἐν φωνῇ ἀγαλλιάσεως. μηδεὶς ἄμοιρος ἔστω τῆς χαρᾶς, μηδεὶς ὑστερείτω τῆς κλήσεως, ὅτι ἐγλυνήθη τὸ σπέρμα τῶν ἀπειθούντων εἰς ἀπώλειαν· μηδεὶς ἀγνωμονείτω τὴν ὑπὲρ αἴτησιν τοῦ βασιλέως, ἵνα μὴ ἔξωθεν τοῦ νυμφῶνος ἀποκλεισθῇ. μηδεὶς σκυθρωπὸς ἢ κατηφὴς πρὸς τὴν ὑποδοχὴν εὑρεθῇ ἐν ἡμῖν, ἵνα μὴ τοῖς πονηροῖς πολίταις συγκατακριθῇ. πολίτας δὲ '' φημι, τοὺς μὴ '' θέλοντας δέξασθαι τὸν Κύριον * βασιλέα ἐφ' ἑαυτούς. πάντες φαιδρῶς συνδράμωμεν, πάντες προθύμως ὑποδεξώμεθα, καὶ ὑπερκοσμίως ἑορτάσωμεν. ἀντὶ ἱματίων τὰς καρδίας ἡμῶν ἐκχέωμεν ἐνώπιον αὐτοῦ, καὶ ἐν ψαλμοῖς καὶ ὕμνοις καὶ εὐχαριστίας ἀνατείνωμεν αὐτῷ, καὶ τὸ, Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ἀκαταπαύστως βοήσωμεν. οἱ γὰρ εὐλογοῦντες αὐτὸν, ηὐλόγηνται· καὶ οἱ καταρώμενοι αὐτὸν, κατήρανται. πάλιν ἐρῶ, καὶ προτρεπόμενος ἐπὶ τὸ ἀγαθὸν οὐ παύσομαι· δεῦτε, ἀγαπητοὶ, εὐλογήσωμεν τὸν εὐλογημένον, ἵνα εὐλογηθῶμεν ὑπ' αὐτοῦ.

Ψαλ. πδ. θ.

Ησα. ς.

Λουκ. ιθ. λη.

χ. ἀνεπλήρωσαν,

χ. τοῦ Θεοῦ

χ. ᾠδήν

ἴσ. λέ τοὺς πονηρούς

χ. θελήσαντας

* ἑαυτῶν

τοῦ. πᾶσαν ἡλικίαν καὶ ἀξίαν ἐπὶ τὸ αὐτὸ συνεκάλεσεν ὁ λόγος πρὸς τὴν τοῦ Κυρίου αἴνεσιν, βασιλεῖς τῆς γῆς καὶ πάντας τοὺς λαούς, ἄρχοντας καὶ πάντας κριτὰς γῆς, νεανίσκους καὶ παρθένους. καὶ τὸ καινοπρεπὲς τοῦ θαύματος, ὅτι τῇ νέᾳ καὶ ἀπειροκάκῳ τῶν νηπίων παίδων καὶ θηλαζόντων ἡλικίᾳ τὰ πρεσβεῖα συνεχώρησε τοῦ ἐξάρξαι τῷ Κυρίῳ ἐν ἐξομολογήσει τὸ θεοδίδακτον ᾆσμα (καθάπερ πάλαι Μωϋσῆς τῷ ἐξ Αἰγύπτου λαῷ) τό, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. σήμερον χαρᾷ χαίρει ὁ μακάριος Δαβίδ, σεσυλημένος τὴν κιθάραν ὑπὸ νηπίων, οἷς καὶ συγχορεύων τῷ πνεύματι καὶ συνευωχούμενος, καθάπερ τὸ πρὶν πρὸ προσώπου τῆς κιβωτοῦ τοῦ Θεοῦ, συμμουσουργεῖ καὶ συμψάλλει ἡδέως, τό, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. πρὸς ὃν ἐρώμεθα· λέγε ἡμῖν, ὦ προφῆτα, τίς ἐστιν ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου; οὐκ ἐμόν, φησί, τὸ διδασκαλεῖον σήμερον. νηπίοις γὰρ ἀφιέρωται παρὰ τοῦ καταρτίσαντος ἐκ στόματος νηπίων καὶ θηλαζόντων αἶνον τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν· ὅπως καὶ διὰ τοῦ θαύματος τούτου ἐπιστραφῶσι καρδίαι πατέρων ἐπὶ τέκνα, καὶ ἀπειθεῖς ἐν φρονήσει δικαίων. λέγετε, ὦ παῖδες, πόθεν ὑμῖν ἡ καλὴ αὕτη καὶ ἐπίχαρις ἅμιλλα καὶ ᾠδή; τίς ὁ διδάξας; τίς ὁ σοφίσας; τίς ὁ συναθροίσας; ''ποῦ αἱ δέλτοι; τίνες οἱ παιδαγωγοί; συγκοινωνήσατε ἡμῖν,'' φησί, τῆς εὐωχίας καὶ μελῳδίας, καὶ μαθήσεσθε τὰ Μωϋσῆ καὶ τοῖς λοιποῖς προφήταις ἐν ἐπιθυμίαις. ἐπεὶ οὖν προετράπημεν, καὶ δεξιὰς ἡμῖν ἔδωκαν οἱ παῖδες κοινωνίας, δεῦρο, ἀγαπητοί, καὶ ἡμεῖς ζηλώσωμεν τὴν θεοπρεπῆ χορείαν, καὶ μετὰ τῶν ἀποστόλων ὁδοιποιήσωμεν τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς, καὶ ἐφ' ὑποζύγιον, ὡς εὐδόκησεν, ἐποχουμένῳ ἐπὶ τῆς γῆς. μετὰ νηπίων τὰ κλάδη ἄρωμεν, καὶ τοῖς'' κλάδοις κροτήσωμεν, ὅπως ἐπιπνεύσῃ καὶ ἡμῖν τὸ πνεῦμα τὸ ἅγιον, καὶ τὴν θεοδίδακτον'' ἀναπέμψωμεν εὐτάκτως ᾠδήν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· ὡσαννὰ ἐν τοῖς ὑψίστοις. σήμερον * ὁ πατριάρχης ἐν πνεύματι ἑορτάζει Ἰακώβ, ὁρῶν τὴν προφητείαν αὐτοῦ εἰς ἔργον ἀχθεῖσαν, καὶ τὸν δεσμεύοντα πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ, ἐπιβεβηκότα ἐπὶ πῶλον νέον· καὶ μετὰ τῶν πιστῶν προσκυνεῖ τῷ πνεύματι. σήμερον πῶλος ἑτοιμάζεται'' τὸ τῶν ἀλογίστων ἐθνῶν τὸ πρὶν ἀλόγων ἐξεμπλάριον εἰς ἔνδειξιν ὑποταγῆς τοῦ ἐξ ἐθνῶν νέου λαοῦ· καὶ νήπια καταμηνύουσι τὴν τούτων πρὸς θεογνωσίαν νηπιότητα *. σήμερον ὁ βασιλεὺς τῆς δόξης ἐπὶ γῆς προφητικῶς δοξάζεται, καὶ κοινωνοὺς τῆς ἐπουρανίου εὐωχίας τοὺς γηγενεῖς ἀναδείκνυσιν· ἵνα δείξῃ ὅτι αὐτός ἐστι Κύριος ἀμφοτέρων, ὡς ἑκατέρωθεν συμφώνως σὺν πατρὶ καὶ πνεύματι ἀνυμνούμενος. διὰ τοῦτο οἱ μὲν ἄνω τὴν ἐπὶ τῆς γῆς σωτηρίαν καταμηνύοντες ἔψαλλον, Ἅγιος, ἅγιος, ἅγιος, Κύριος σαβαώθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ· οἱ δὲ κάτω τῇ ἐπουρανίῳ εὐφροσύνῃ συμπανηγυρίζοντες ἐκραύγαζον, ὡσαννὰ ἐν τοῖς ὑψίστοις, ὡσαννὰ τῷ υἱῷ Δαβίδ. καὶ οἱ μὲν ἐδοξολόγουν, εὐλογημένη ἡ δόξα Κυρίου ἐκ τοῦ τόπου αὐτοῦ· οἱ δὲ ἐθεολόγουν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Τούτων δὲ οὕτω τελουμένων, καὶ τῶν μαθητῶν χορευόντων περὶ πασῶν ὧν εἶδον δυνάμεων, καὶ λεγόντων, εὐλογημένος ὁ ἐρχόμενος * ἐν ὀνόματι Κυρίου·'' ἐν ὑψίστοις δόξα, καὶ ἐπὶ γῆς εἰρήνη, ἡ πόλις ἐσείετο λέγουσα· τίς ἐστιν οὗτος, πεπωρωμένον φθόνον κατὰ τῆς τοῦ δεσπότου δόξης κινοῦσα. πόλιν δὲ ἀκούων, τὴν παλαιὰν τῆς συναγωγῆς ἄτακτον πληθὺν ἐπιγίνωσκε. διερωτῶσιν οἱ ἀγνώμονες, τίς ἐστιν οὗτος, ὡς μήπω ἑωρακότες τὸν εὐεργέτην καὶ περιβόητον τοῖς θεοπρεπέσι θαύμασιν. οὐ γὰρ κατέλαβεν ἡ'' σκιὰ τὸ ἐν αὐτῇ ἐπιλάμψαν ἄδυτον φῶς. ὅθεν εὐθυβόλως προανακέκραγε πρὸς αὐτοὺς Ἡσαΐας λέγων· Οἱ κωφοὶ ἀκούσατε, καὶ οἱ τυφλοὶ ἀναβλέψατε ἰδεῖν. καὶ τίς τυφλός, ἀλλ' ἢ οἱ παῖδές μου; καὶ κωφοί, ἀλλ' ἢ οἱ κυριεύοντες αὐτῶν; καὶ ἐτυφλώθησαν οἱ δοῦλοι τοῦ Θεοῦ. εἴδετε πολλάκις, καὶ οὐκ'' ἐφυλάξασθε· ἠνεῳγμένα τὰ ὦτα, καὶ οὐκ ἠκούσατε. ὁρᾶτε, ἀγαπητοί, ἀκρίβειαν λόγων;

ὅπως

Ψαλ. ρμη.

Ψαλ. η. β.

γ. ποῖαι

ἴσ. παρέλκει ὁ φησί

γ. θαλλοῖς

γ. ἀναμέλψωμεν

* καὶ

Γεν. μθ. ια.

γ. τὸ τῶν ἀλογίστων ἐθνῶν τὸ πρὶν ἄλογον ὑποτάξαντες εἰς ἔνδειξιν τῆς ὑποταγῆς τοῦ νέου Ἰσραήλ.

* καὶ τὸ μετὰ ταῦτα πρὸς θεογνωσίαν τελειότητα.

Ησ. ς. γ.

Ιεζεκ. γ. ιβ.

* βασιλεὺς

γ. ἐν οὐρανῷ εἰρήνη, καὶ ἐπὶ γῆς δόξα,

γ. σκοτία

Ησ. μβ. ιη. ιθ.

γ. ἐφυλάξατε.

ὅπως τὸ προθεωρητικὸν θεῖον πνεῦμα διὰ τῶν ἁγίων αὐτοῦ, ὡς παρόντα, τὰ μέλλοντα προεκήρυττεν; Εἶδον γὰρ οἱ ἀχάριστοι, καὶ ἐψηλάφησαν διὰ τῶν θαυμάτων τὸν θαυματουργὸν Θεόν, καὶ τῇ ἀπιστίᾳ ἐνέμειναν. Εἶδον τὸν τυφλὸν ἐκ γενετῆς τὸν φωταγωγήσαντα "Κύριον κηρύττοντα. Εἶδον σύγκροτον καὶ σύζυγον τῇ ἀσθενείᾳ παράλυτον προστάγματι διαζευχθέντα τῆς κακουχίας. ἐθεάσαντο Λάζαρον φυγάδα θανάτου γεγονότα. ἤκουσαν τὸν ἐν θαλάσσῃ περιπατοῦν, τὴν ἀγεώργητον οἰνοδοσίαν, τὴν ἄμοχθον ἀρτοτροφίαν, τὴν τῶν δαιμόνων ἀπελασίαν, τὴν τῶν καμνόντων εὐρωστίαν. αἱ πλατεῖαι αὐτῶν τὰς δυνάμεις ἐκήρυττον, αἱ ὁδοὶ αὐτῶν τὰς ἰάσεις τοῖς "ὁδοιπόροις κατήγγελλον. πᾶσα ἡ Ἰουδαία ἐπληρώθη τῶν εὐεργεσιῶν, καὶ νῦν πυνθάνονται, τίς ἐστιν οὗτος; ὢ τῆς ἀνοίας τῶν ψευδωνύμων διδασκάλων, ὢ τῶν ἀπειθῶν πατέρων, ὢ τῶν ἀφρόνων πρεσβυτέρων, ὢ σπέρμα Χαναὰν τοῦ ἀναιδοῦς, καὶ οὐκ Ἰούδα τοῦ εὐλαβοῦς. τὰ τέκνα ἐπέγνωσαν τὸν κτίστην, καὶ οἱ ἀπειθεῖς πατέρες ἔλεγον, τίς ἐστιν οὗτος; ἡ νέα *ἡλικία τὸν Θεὸν ἀνύμνησε, καὶ οἱ πεπαλαιωμένοι ἡμερῶν κακῶν ἐπυνθάνοντο, τίς ἐστιν οὗτος; οἱ θηλάζοντες θεολογοῦσι, καὶ οἱ πρεσβύτεροι βλασφημοῦσι, παῖδες εὐσεβῶς ἱερουργοῦσιν αὐτόν, καὶ ἀνίεροι ἱερεῖς δυσσεβῶς ἀγανακτοῦσι; οἱ ἀπειθεῖς ἐν φρονήσει δικαίων, ἐπιστρέψατε τὰς καρδίας ὑμῶν ἐπὶ τὰ τέκνα ὑμῶν. μάθετε Θεοῦ μυστήρια. αὐτὸ γὰρ τὸ τελούμενον μαρτυρεῖ, ὅτι Θεός ἐστιν ὁ οὕτως ἀνυμνούμενος ὑπὸ ἀδιδάκτων γλωττῶν. Ἐρευνᾶτε τὰς γραφάς, καθὼς ἠκούσατε παρὰ τοῦ δεσπότου, ὅτι αὗταί εἰσιν αἱ μαρτυροῦσαι περὶ αὐτοῦ, καὶ οὐκ ἀγνοεῖτε τὸ θαῦμα. ἀκούσατε οἱ *ἀχάριστοι, τί εὐαγγελίζεται ὑμῖν ὁ προφήτης Ζαχαρίας. φησὶ γάρ, Χαῖρε σφόδρα θύγατερ Σιών. ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος *καὶ ἐπιβεβηκὼς ἐπὶ πῶλον "ὄνου. διὰ τί τὴν χαρὰν ἀποσείεσθε; διὰ τί ἡλίου λάμποντος τὸ σκότος ἀγαπᾶτε; διὰ τί πρὸς τὴν ἀπολέμητον εἰρήνην μελετᾶτε πόλεμον; Εἰ τοίνυν υἱοὶ Σιών ἐστε, συγχορεύσατε τοῖς τέκνοις ὑμῶν. χαρᾶς ἀφορμὴ ἔστω ὑμῖν ἡ τῶν τέκνων "θεοσέβεια. μάθετε παρ' αὐτῶν, τίς ὁ διδάξας, τίς ὁ συναθροίσας, πόθεν τὰ διδάγματα, τίς ἡ καινὴ θεολογία, καὶ παλαιὰ προφητεία. Εἰ δὲ ἀνθρώπων μὲν οὐδεὶς οὐδὲν τούτων ἐδίδαξεν, αὐτόματοι δὲ τὸν αὐτὸν ἀναμέλπουσι, γνῶτε Θεοῦ εἶναι τὸ ἔργον, ὡς ἐν τῷ νόμῳ γέγραπται. Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. διπλασιάσατε "οὖν τὴν χαράν, ὅτι τοιούτων *γεγόνατε πατέρες, οἵτινες καὶ τὰ τοῖς πρεσβυτέροις ἀγνοηθέντα θεοδιδάκτως εὐφήμησαν. ἐπιστρέψατε οὖν τὰς καρδίας ὑμῶν ἐπὶ τὰ τέκνα ὑμῶν, καὶ μὴ "μύσητε τοὺς ὀφθαλμοὺς ὑμῶν πρὸς τὴν ἀλήθειαν. Εἰ δὲ αὐτοί ἐστε, καὶ ἀκούοντες οὐκ ἀκούετε, καὶ βλέποντες οὐ βλέπετε, καὶ μάτην διαφέρεσθε πρὸς τὰ νήπια, αὐτοὶ ὑμῶν κριταὶ ἔσονται κατὰ τὸν τοῦ σωτῆρος λόγον. καλῶς γοῦν καὶ τοῦτο μετὰ τῶν ἄλλων προανεφώνησε περὶ ὑμῶν ὁ προφήτης Ἡσαΐας λέγων. Οὐ νῦν αἰσχυνθήσεται Ἰακώβ, οὐδὲ νῦν τὸ πρόσωπον μεταβαλεῖ; ἀλλ' ὅταν ἴδωσι τὰ τέκνα αὐτῶν τὰ ἔργα μου, δι' ἐμὲ ἁγιάσουσι *τὸν ἅγιον τοῦ Ἰακώβ, καὶ τὸν Θεὸν τοῦ Ἰσραὴλ φοβηθήσονται. καὶ γνώσονται οἱ τῷ πνεύματι πλανώμενοι σύνεσιν, οἱ δὲ γογγύζοντες μαθήσονται ὑπακούειν, καὶ αἱ γλῶσσαι αἱ ψελλίζουσαι μαθήσονται λαλεῖν εἰρήνην. ὁρᾷς, ὦ ἀνόητε Ἰουδαῖε, πῶς ἐκ προοιμίων τοῦ λόγου αἰσχύνην ὑμῖν προκαταγγέλλει ὁ προφήτης διὰ τὴν ἀπείθειαν ὑμῶν; μάθετε κἂν παρ' αὐτοῦ, πῶς θεοδίδακτον κηρύσσει τὴν τῶν τέκνων ὑμῶν ὑμνῳδίαν, ὡς καὶ ὁ μακάριος Δαβὶδ προανεφώνησε λέγων. Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. ἣν τοίνυν τὴν ὁσιότητα τῶν παίδων οἰκειώσασθε, ὡς χρεών, ἣν μετὰ τῆς εὐσεβείας καὶ τοὺς παῖδας ἡμῖν παρείσασθε. ἡμεῖς τούτοις συγχορεύσωμεν καὶ συνεορτάσωμεν, καὶ τῇ καινῇ γλώσσῃ τὸ θεοδίδακτον ᾆσμα συμψάλλωμεν. ποτὲ μὲν γὰρ Συμεὼν ὁ πρεσβύτης ὑπήντησε τῷ σωτῆρι, καὶ ταῖς ἀγκάλαις ὑπεδέξατο τὸν τῶν αἰώνων "δεσπότην ὡς βρέφος, καὶ Κύριον καὶ Θεὸν ἐκήρυξε. νῦν δὲ ἀντὶ πρεσβυτέρων ἀγνωμόνων οἱ παῖδες τῷ σωτῆρι ὑπήντησαν ὡς Συμεών, καὶ τὰ κλάδη ἀντὶ ἀγκαλῶν ὑπέστρωσαν,

γρ. Θεὸν

γρ. ὁδοιποροῦσι

* καὶ ἁπαλή

Ἰωαν. ε. λθ.

* ἀχαρίτωτοι καὶ

Ζαχ. θ. θ.

* καὶ σώζων αὐτὸς, πραΰς.

γρ. νέον

γρ. εὐσέβεια

Ψαλ. η. β.

γρ. νῦν

* παίδων

γρ. καμμύσητε

Ματθ. ιβ. κζ.

Ἡσ. κθ. κβ.

* τὸ ὄνομά μου, καὶ ἁγιάσουσι

Ψαλ. η. β.

γρ. ποιητὴν

στρῶσαι, καὶ Κύριον τὸν Θεὸν εὐλογῆσαι τὸν ἐπὶ πώλου, ὡς ἐπὶ χερουβὶμ καθεζόμενον, ὡσαννὰ τῷ υἱῷ Δαβίδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. μεθ' ὧν βοήσωμεν καὶ ἡμεῖς, εὐλογημένος ὁ ἐκ Θεοῦ Θεός, ὁ βασιλεὺς τῆς δόξης, ὁ πτωχεύσας ἐν τοῖς ἰδίοις αὐτοῦ ἀπτωχεύτως δι' ἡμᾶς, ἵνα ἡμᾶς πλουτίσῃ τῇ αὐτοῦ ἀγαθότητι· εὐλογημένος ὁ ἐλθὼν ἐν ταπεινώσει, καὶ πάλιν ἐρχόμενος ἐν δόξῃ· πρότερον, ἐπὶ πώλου πραῢς καὶ ὑπὸ νηπίων εὐφημούμενος, ὅπως πληρωθῇ τὸ γεγραμμένον, Ἐθεωρήθησαν αἱ πορεῖαί σου, ὁ Θεός, αἱ πορεῖαι τοῦ Θεοῦ μου τοῦ βασιλέως τοῦ ἐν τῷ ἁγίῳ· δεύτερον, φοβερὸς ἐπὶ τῶν νεφελῶν, καὶ ὑπὸ ἀγγέλων καὶ δυνάμεων δορυφορούμενος. * ὢ τῆς μελιρρύτου τῶν παίδων γλώττης· ὢ τῆς ἀκαπηλεύτου διδασκαλίας τῶν θεαρέστων. Δαβὶδ προφητεύσας ὑπὸ τὸ γράμμα ἐκάλυψε τὸ νόημα· οἱ παῖδες τὸν θησαυρὸν ἀνοίξαντες, ἐπὶ γλώττης τὸν πλοῦτον ἤνεγκαν, καὶ λόγῳ κεχαριτωμένῳ πάντας "διαπρυσίως ἐπὶ τὴν ἀπόλαυσιν συνεκάλεσαν. ἀντλήσωμεν τοιγαροῦν καὶ ἡμεῖς σὺν αὐτοῖς τὸν ἀναφαίρετον πλοῦτον, ἀπλήστοις κόλποις καὶ ταμείοις "ἐναποθέμενοι τὰ χαρίσματα. βοήσωμεν ἀπέραντα, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Θεὸς ἀληθινός, *παντοκράτωρ ἐκ παντοκράτορος, υἱὸς ἐν ὀνόματι πατρός, βασιλεὺς ἀληθινὸς ἐξ ἀληθινοῦ βασιλέως, συναΐδιον καὶ προαιώνιον τὴν βασιλείαν ἔχων, ὡς ὁ γεννήσας αὐτόν. κοινὴ γὰρ ἡ βασιλεία, καὶ οὐκ ἔξωθεν τὴν αὐτοῦ τιμὴν τῷ υἱῷ ὁ λόγος "προσκληροῖ, οὔτε ἀρξαμένην ἢ προσγινομένην ἢ μειουμένην (ἄπαγε) ἀλλὰ φυσικὴν καὶ ἰδιοκτητον ἀληθῶς. μία γὰρ ἡ βασιλεία πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, ὥσπερ καὶ μία οὐσία καὶ μία κυριότης. ὅθεν καὶ μιᾷ προσκυνήσει "λατρεύωμεν μίαν τρισυπόστατον θεότητα, ἄναρχον, ἄκτιστον, ἀπέραντον, καὶ ἀδιάδοχον. οὔτε γὰρ ὁ πατὴρ παυθήσεταί ποτε τοῦ εἶναι πατήρ, οὔτε ὁ υἱὸς τοῦ εἶναι υἱὸς καὶ βασιλεύς· οὕτως οὐδὲ τὸ πνεῦμα τὸ ἅγιον τοῦ εἶναι τοῦθ' ὅπερ ἐστὶ τῇ ὑποστάσει. οὐδὲ γὰρ τῆς τριάδος ἐλαττωθήσεται, ἢ παυθήσεταί ποτε ἢ τῆς ἀϊδιότητος, ἢ τῆς κοινότητος καὶ βασιλείας. οὐ γάρ, ὅτι ἄνθρωπος γέγονε δι' ἡμᾶς ὁ υἱὸς τοῦ Θεοῦ, καὶ τὸν καθ' ἡμῶν τύραννον "ἐνίκησεν, ἐν σαρκὶ ταύτην πραγματευσάμενος κατὰ τοῦ δυσμενοῦς αὐτοῦ ἐχθροῦ νίκην, διὰ τοῦτο βασιλεὺς ἐχρημάτισεν, ἀλλ' ὅτι Κύριος καὶ Θεὸς ἀεί, διὰ τοῦτο βασιλεύς, ὡς ὁ γεννήσας αὐτόν, νυνί τε, καὶ μετὰ τῆς προσλήψεως, καὶ εἰς τὸ διηνεκές. μὴ βλασφήμει τὴν "τοῦ Χριστοῦ βασιλείαν, αἱρετικέ, ἵνα μὴ τὸν γεννήσαντα ἀτιμάσῃς. εἰ πιστὸς εἶ, πιστῶς πρόσελθε Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν, καὶ μὴ ὡς ἐπικάλυμμα ἔχων τῆς κακίας τὴν ἐλευθερίαν. εἰ δοῦλος εἶ, ἐν τρόμῳ τῷ δεσπότῃ ὑποτάγηθι. ὁ γὰρ λογομαχῶν οὐκ εὐγνώμων, ἀλλὰ πρόδηλος δυσμενής. γέγραπται γάρ· Ὁ μὴ τιμῶν τὸν υἱόν, οὐ τιμᾷ τὸν πατέρα τὸν πέμψαντα αὐτόν.

* τότε θυμὸς λήψεται τοὺς ἀπειθεῖς.

γρ. διαπύρως.

γρ. ἐναποθώμεθα τὰ θεῖα χαρ.

* ἐν ὀνόματι Θεοῦ ἀληθινοῦ,

γρ. περιβάλλει.

γρ. λατρεύομεν

γρ. κατίδωμεν, ὡς τῇ σαρκὶ ταύτῃ πραγματευσάμενος τὴν κατὰ

γρ. τοῦ Θεοῦ

Ψαλ. ξζ. κε.

Ιωαν. ε. κγ.

Ἡμεῖς δέ, ἀγαπητοί, ὅθεν "ἐξήλθομεν, ἐπανέλθωμεν, τῷ λόγῳ βοῶντες, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὁ ποιμὴν ὁ καλὸς καὶ ἀγαθός, θεῖναι ἑκουσίως τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν προβάτων αὐτοῦ· ἵνα ὥσπερ τοὺς πρόβατα σιτουμένους λύκους προβάτῳ ἁλίσκουσιν οἱ λυκόθηρες, οὕτω τοῖς νοητοῖς καὶ ψυχοφθόροις λύκοις ἑαυτὸν ὡς ἄνθρωπον προθεὶς ὁ ἀρχιποίμην θήραμα ποιήσῃ τοὺς θηρεύσαντας τῷ πάλαι θηρευθέντι ὑπ' αὐτῶν [Ἀδάμ]. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Θεὸς κατὰ τοῦ διαβόλου, οὐ φανερῶς διὰ τῆς ἀπροσβλέπτου δυνάμεως, ἀλλὰ διὰ τῆς ἀσθενείας τῆς σαρκός, λῦσαι τὸν καθ' ἡμῶν ἰσχυρόν. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὁ βασιλεὺς κατὰ τοῦ τυράννου, οὐ διὰ τῆς παντοκρατορικῆς δυνάμεως καὶ σοφίας, ἀλλὰ διὰ τῆς νομισθείσης τοῦ σταυροῦ μωρίας, τὰ ἐν κακίᾳ φρονίμου ὄφεως τὰ σκῦλα διαρπάσαι. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὁ ἀληθινὸς κατὰ τοῦ ψεύστου, ὁ σωτὴρ κατὰ τοῦ λυμεῶνος, ὁ εἰρηνάρχης κατὰ τοῦ πολεμήτορος, ὁ φιλάνθρωπος κατὰ τοῦ μισανθρώπου. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· * Κύριος σῶσαι τὸν πλανηθέντα ἄνθρωπον, καταλῦσαι τὴν πλάνην, φωταγωγῆσαι τοὺς ἐν σκότει,

γρ. ἐξέβημεν

* Κύριος, ἐλεῆσαι τὸ πλάσμα τὸ ἴδιον.

σκότει, καταργῆσαι εἰδώλων ἀπάτην, ἀντεισάξαι θεογνωσίαν σωτήριον, ἁγιάσαι κόσμον, ἀπελάσαι τὸ μύσος καὶ ἄγος τῆς τῶν ματαίων θεραπείας. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, εἰς ὑπὲρ πολλῶν ῥύσασθαι πτωχὸν γένος ἀνθρώπων ἐκ χειρὸς στερεωτέρων αὐτοῦ, καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ἐπιχέαι οἶνον καὶ ἔλαιον ἐπὶ τὸν ἐμπεσόντα εἰς τοὺς λῃστάς, καὶ τετραυματισμένον. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, σῶσαι ἡμᾶς δι' ἑαυτοῦ, ὥς φησιν ὁ προφήτης· Οὐ πρέσβεις, οὐδὲ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν αὐτούς. διὰ τοῦτο καὶ ἡμεῖς εὐλογοῦμέν σε, Κύριε, τὸν σὺν πατρὶ καὶ ἁγίῳ πνεύματι πρὸ αἰώνων καὶ εἰς αἰῶνας αἰώνων εὐλογημένον· πρὸ μὲν τῶν αἰώνων καὶ μέχρι τῆς δεῦρο ἀσωμάτως· τανῦν δὲ, καὶ εἰς αἰῶνας, μετὰ τῆς θείας καὶ ἀμεταβόλου καὶ ἀμερίστου σαρκώσεως. ἴδωμεν καὶ τὰ ἑξῆς. τί λέγει ὁ θειότατος εὐαγγελιστής; Ματθ. κα. ιβ. Εἰσελθόντος γάρ, φησι, τοῦ Κυρίου εἰς τὸ ἱερόν, προσῆλθον αὐτῷ τυφλοὶ καὶ χωλοί, καὶ ἐθεράπευσεν αὐτούς. ἰδόντες δὲ οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι τὰ θαύματα ἃ ἐποίησε, καὶ τοὺς παῖδας κράζοντας καὶ λέγοντας, ὡσαννὰ τῷ υἱῷ Δαβίδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, (γ. θαυμάσια) οὐκ ἤνεγκαν τὴν τούτου τιμήν. ὅθεν προσελθόντες αὐτῷ, εἶπον· οὐκ ἀκούεις τί οὗτοι λέγουσιν; οὐ βαρύνῃ δοξαζόμενος, ὡς Θεός; οὐκ ἄχθῃ ἀκούων παρὰ τῶν ἀκάκων τὰ τῷ Θεῷ καὶ μόνῳ πρέποντα; οὐ πάλαι δεδήλωκεν ὁ Θεὸς διὰ τοῦ προφήτου, Τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω; καὶ πῶς σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν Θεόν; ἀλλὰ τί πρὸς ταῦτα ὁ μακρόθυμος, ὁ πολὺς ἐν ἐλέει καὶ βραδὺς εἰς ὀργήν; ἀνέχεται τῶν μεμηνότων, ἀναστέλλει ἀπολογίᾳ τὴν φλεγμονήν, ἀναμιμνήσκει γραφάς, προφέρει μαρτυρίας τῶν τελουμένων, (γ. μάρτυρας) καὶ Ματθ. κα. ιϛ. οὐκ ἀπομαίνεται πρὸς τὴν πεῦσιν. διὸ καί φησιν· Οὐδέποτε καὶ ὑμεῖς ἠκούσατέ μου διὰ τοῦ προφήτου λέγοντος, τότε γνώσεσθε ὅτι αὐτὸς ἐγὼ ὁ λαλῶν πάρειμι; οὐδ' αὖ πάλιν, ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον ἕνεκα τῶν ἐχθρῶν σου, τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν; οἵτινές εἰσιν ὑμεῖς, οἱ νόμῳ προσέχοντες, καὶ προφήτας ἀναγινώσκοντες, κἀμὲ τὸν ἐν νόμῳ κηρυττόμενον ἀθετοῦντες. δοκεῖτε μὲν γὰρ ἐν προσχήματι εὐσεβείας ἐκδικεῖν τὴν τοῦ Θεοῦ δόξαν, μὴ συνιέντες, ὅτιπερ ὁ ἐμὲ ἀθετῶν, καὶ τὸν πατέρα * ἀθετεῖ. (γ. ἀλαβὼν) (* μου) ἐγὼ γὰρ παρὰ τοῦ Θεοῦ ἐξῆλθον, καὶ ἐλήλυθα εἰς τὸν κόσμον· καὶ ἡ ἐμὴ δόξα, καὶ τοῦ πατρός μου ἐστὶ δόξα. ἐλεγχθέντες δὲ οὕτως οἱ ἀνόητοι ὑπὸ τοῦ σωτῆρος ἡμῶν Θεοῦ, ἐπαύσαντο μὲν τῆς ἀντιλογίας, φιμωθέντες τῇ ἀληθείᾳ· ἕτερον δὲ ἐπισπασάμενοι ἀνοίας λογισμόν, συμβούλιον κατ' αὐτοῦ ἐποιοῦντο. Ψαλ. ρμϛ. ε. ἡμεῖς δὲ ψάλλωμεν, Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός. ταῦτα γὰρ πάντα γέγονεν, ἵνα ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου ἀμνὸς καὶ υἱὸς τοῦ Θεοῦ, ἑκουσίως ὑπὲρ ἡμῶν ἐπὶ τὸ σωτήριον πάθος ἔλθῃ, καὶ ἐπὶ τὸ πραιτώριον γνωρισθῇ, καὶ οἱ ἐξουθενοῦντες τὸν ἐξουθενούμενον (γ. ἐξουθενούμενοι) τῷ ζωοποιῷ αὐτοῦ αἵματι τὸν κόσμον συμφωνήσωσι τριάκοντα ἀργυρίοις, καὶ τὸ πάσχα τυθῇ ὑπὲρ ἡμῶν Χριστός, ὅπως οἱ τῷ τιμίῳ αὐτοῦ αἵματι ῥαντιζόμενοι, καὶ τὰ χείλη ὡς φλιὰς σφραγιζόμενοι, (ἴσ. φλιαῖς) ἐκφύγωσι τοῦ ὀλοθρεύοντος τὰ βέλη· καὶ οὕτως ὁ παθὼν σαρκὶ Χριστός, καὶ ἀναστὰς τριήμερος, σὺν πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι ὁμοτίμως καὶ ὁμοδόξως παρὰ πάσης κτίσεως προσκυνηθῇ· ὅτι αὐτῷ κάμψει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, (ἴσ. ἀναπέμποντα) δόξαν αὐτῷ ἀναπέμποντες εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ρμα. ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΠΑΡΘΕΝΟΝ ΚΑΙ ΘΕΟΤΟΚΟΝ Μαρίαν.

Πᾶσαι

Ex Ms. Regio Lut.
Μηνὶ Μαρτ. κε.

Πᾶσαι μὲν αἱ μαρτυρικαὶ πανηγύρεις θαυμασταί, αἳ μιμοῦνται τὴν λαμπρότητα τῶν ἀστέρων τὴν μνήμην. καθάπερ γὰρ οἱ ἀστέρες ἐν οὐρανῷ τῇ θέσει πεπήγασι, καὶ τῇ διαστάσει ἀλλήλων πλείονα γνωρίζονται, καὶ πάντα τὸν τῆς γῆς καταλάμπουσι κύκλον, καὶ ὁ αὐτὸς παρὰ Ἰνδοῖς ὁρᾶται, παρὰ Σκύθαις οὐ κρύπτεται, ἐν ἠπείρῳ ἀστράπτει, καὶ θάλασσαν φωτίζει, καὶ κυβερνᾷ τοὺς πλέοντας, ὧν καὶ διὰ τὸ πλῆθος τὰ ὀνόματα ἀγνοοῦμεν, ἀλλὰ διὰ τὸ κάλλος τὴν λαμπρότητα θαυμάζομεν· οὕτω καὶ τῶν ἁγίων ἕκαστος. Εἰ γὰρ καὶ τάφοις τὰ λείψανα περικέκλεισται, ἀλλὰ τὴν δύναμιν αὐτῶν ἡ ὑπ᾽ οὐρανὸν οὐ περιέγραψε. καὶ ὅτι ἀληθὲς τὸ εἰρημένον, ἔξεστί σοι μαθεῖν ἐκ τῶν πραγμάτων αὐτῶν. ἡ Παλαιστίνη τὸ λείψανον τοῦ Ἀβραὰμ ἔχει, καὶ ἡ καλύβη αὐτοῦ τῷ παραδείσῳ ἐρίζει. ὁ γὰρ ἐκεῖ κατὰ τοῦ Ἀδὰμ ἀποφηνάμενος Θεός, ἐνταῦθα ὑπὸ τοῦ πατριάρχου ἐξενοδοχήθη. τοῦ Ἰωσὴφ τὰ ὀστᾶ εἷς περιπτύσσεται τάφος, οὗ τὸν κατὰ τῆς Αἰγυπτίας πόλεμον τὰ τῆς οἰκουμένης ἐκπλήττεται πέρατα. Μωϋσέως οὐδὲ τὸ μνῆμα εὑρίσκεται, καὶ μετὰ θάνατον κηρύττει τὸν διὰ ῥάβδου σχίσαντα τὴν ἐρυθρὰν θάλασσαν. Ἡσαΐας δὲ ποῦ τέθαπται, οὐκ ἴσμεν· καὶ πᾶσα ἡ ἐκκλησία διὰ τῆς προφητείας αὐτοῦ κέκραγεν, Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν. Δανιὴλ ἐν Βαβυλῶνι ἐτάφη, καὶ διὰ πάσης τῆς γῆς κέκραγεν, Ἰδοὺ ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος. οἱ περὶ Ἀνανίαν παῖδες καὶ αὐτοὶ ἐν Βαβυλῶνι ἐκοιμήθησαν, καὶ δι᾽ αὐτῶν πᾶσα ἡ οἰκουμένη βοᾷ καθ᾽ ἑκάστην ἡμέραν, Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. Ἰεζεκιὴλ παρὰ Πέρσαις ἐχώσθη καὶ μετὰ τῶν χερουβὶμ κέκραγεν, Εὐλογημένη ἡ δόξα Κυρίου ἐκ τοῦ τόπου αὐτοῦ. οὕτως οὐδὲν ὠφέλησεν ὁ διάβολος ἐν παραδείσῳ τὸν Ἀδὰμ θανατώσας. ἀνέῳξε γὰρ ὁ Θεὸς τοῖς δικαίοις διὰ θανάτου παρρησίας θύραν. ἀλλὰ πᾶσαι μὲν τῶν ἁγίων αἱ μνῆμαι θαυμασταί· οὐδὲν δὲ τοσοῦτον εἰς δόξαν, οἷα ἡ παροῦσα πανήγυρις. ὁ Ἄβελ διὰ θυσίαν ὀνομάζεται· ὁ Ἐνὼχ δι᾽ εὐαρέστησιν μνημονεύεται· ὁ Μελχισεδὲκ ὡς εἰκὼν Θεοῦ κηρύττεται· ὁ Ἀβραὰμ διὰ πίστιν ἐγκωμιάζεται· ὁ Ἰσαὰκ διὰ τύπον ἐπαινεῖται· ὁ Ἰακὼβ διὰ πάλην μακαρίζεται· ὁ Ἰωσὴφ διὰ σωφροσύνην τιμᾶται· ὁ Ἰὼβ δι᾽ ὑπομονὴν μακαρίζεται· Μωϋσῆς ὡς νομοθέτης εὐφημεῖται· Ἰησοῦς ὁ τοῦ Ναυῆ ὡς στρατηγὸς μνημονεύεται· Σαμψὼν ὡς συνόμιλος Θεοῦ μακαρίζεται· Ἠλίας ὡς ζηλωτὴς μαρτυρεῖται· Ἡσαΐας ὡς θεολόγος ἀναγράφεται· Δανιὴλ ὡς συνετὸς κηρύττεται· Ἰεζεκιὴλ ὡς θεατὴς τῶν ἀπορρήτων θαυμάζεται· Δαβὶδ ὡς πατὴρ τοῦ κατὰ σάρκα μυστηρίου λαλεῖται· Σολομὼν ὡς σοφὸς θαυμάζεται· ἀλλ᾽ οὐδὲν τοιοῦτον, οἷον ἡ θεοτόκος Μαρία. ὃν γὰρ ἐκεῖνοι πάντες ἐν αἰνίγμασιν εἶδον, αὕτη ἐν γαστρὶ σαρκωθέντα ἐβάστασε· καὶ οὐδὲν ἐνεπόδισε τὴν ἄρρητον οἰκονομίαν τοῦ Θεοῦ λόγου. ὄγκος; ἀλλ᾽ ὑλικὸν πάθος· ἀλλ᾽ ὄγκου καὶ πάθους ὁ λόγος ἀλλότριος. ἐλαττώματος τοιούτου μέγεθος; ἀλλ᾽ ἡ θεότης οὐ περιγράφεται. μύσος; ἀλλ᾽ ἣν ἀνέπλασεν οὐκ ἐμόλυνεν, ἐν αὐτῇ σαρκωθείς, καὶ ἐξ αὐτῆς οὐκ ἐμιάνθη· ἀλλὰ καὶ μᾶλλον δόξαν φέρει τῷ βασιλεῖ τὸ φιλάνθρωπον. τόκος; ἀλλ᾽ οὐκ ἠλάττωσε τόκος τὸν ἄναρχον. τόκῳ ἡ ἐνανθρώπησις; ἀλλὰ μεταβολὴν ἡ θεία φύσις οὐχ ὑπέμεινεν. ἔχει κατὰ σάρκα μητέρα, ἀλλ᾽ οὐκ ἀπώλεσε τὸ εἶναι κατὰ θεότητα ἀμήτωρ. φάτνη; ἀλλὰ τὸν τοῦ πατρὸς οὐκ ἐγύμνωσε κόλπον. σπήλαιον; ἀλλ᾽ οὐδέποτε τῷ ἀνθρώπῳ ἡ τριὰς ἐνέλειψεν. οὐδὲν τοίνυν ἐν βίῳ, οἷον ἡ θεοτόκος Μαρία. περίελθε, ὦ ἄνθρωπε, πᾶσαν τὴν κτίσιν τῷ λογισμῷ, καὶ βλέπε εἰ ἔστιν ἴσον, ἢ μεῖζον τῆς ἁγίας καὶ θεοτόκου παρθένου. περινόστησον τὴν γῆν· περίβλεψαι τὴν θάλασσαν· πολυπραγμόνησον τὸν ἀέρα· τοὺς οὐρανοὺς τῇ διανοίᾳ ἐρεύνησον· τὰς ἀοράτους πάσας δυνάμεις ἐνθυμήθητι, καὶ βλέπε, εἰ ἔστιν ἄλλο τοιοῦτον θαῦμα ἐν πάσῃ τῇ κτίσει. οὐρανοὶ μὲν γὰρ

δόξαν

Ησ. ζ. ιδ.

Δαν. ζ. ιγ.

ἴσ. Ἀζαρίαν

Ιεζ. γ. ιβ.

δόξαν διηγοῦνται Θεοῦ, ἄγγελοι λειτουργοῦσι μετὰ φόβου, ἀρχάγγελοι προσκυνοῦσι μετὰ τρόμου, τὰ χερουβὶμ μὴ φέροντα φρίττει, τὰ σεραφὶμ οὐ πλησιάζουσι, περιϊπτάμενα κέκραγον τῷ τρόμῳ, Ησ. ϛ. γ. Ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς αἰνέσεως αὐτοῦ. ἡ λίμνη τὸ ἦχος οὐκ ἤνεγκεν· αἱ νεφέλαι τῆς ἀναλήψεως τῷ τρόμῳ γεγόνασιν ὄχημα· ὁ ἥλιος τὴν ὕβριν μὴ φέρων ἔφριξεν· ὁ ᾅδης τοὺς νεκροὺς ἐν φόβῳ ἐξήμεσε. πυλωροὶ ἰδόντες σε ἔπτηξαν, τὸ ὄρος τὴν ἐπίβασιν δεξάμενον ἐκαπνίσθη, ἡ βάτος μὴ ἐνέγκασα τὴν ὀπτασίαν ἐφλέγετο, ὁ Ἰορδάνης φρίξας ἐστράφη εἰς τὰ ὀπίσω, ἡ θάλασσα φοβηθεῖσα τὴν ῥάβδον ἐσχίσθη διὰ τὸν δεσποτικὸν τύπον ἡμερωθεῖσα, ἡ ῥάβδος Ἀαρὼν διὰ τὴν εἰκόνα παρὰ φύσιν ἤνθησε, τὸ πῦρ ἐν Βαβυλῶνι τετράδος ἀριθμὸν ἠδέσθη. ἀρίθμησον τοίνυν τὰ παράδοξα, καὶ θαύμασον τῆς παρθένου τὴν νίκην· διότι ὃν πᾶσα ἡ κτίσις φόβῳ καὶ τρόμῳ ὕμνησεν, αὕτη μόνη ἀνερμηνεύτως ἐθαλάμευσε. μακάριαι δι' αὐτὴν πᾶσαι αἱ γυναῖκες. οὐκ ἔτι τὸ θῆλυ ἐν κατάρᾳ. ἔχει γὰρ τὸ γένος, ἀφ' οὗ καὶ ἀγγέλους νικήσει εἰς δόξαν. τεθεράπευται ἡ Εὔα, σεσίγηται ἡ Αἰγυπτία, τέθαπται ἡ Δαλιδά, λεληθάργηται ἡ Ἰεζάβελ, ἀμνημονεῖται καὶ Ἡρωδιάς· καὶ νῦν θαυμάζεται τῶν γυναικῶν ὁ κατάλογος. εὐφημεῖται Σάρρα ὡς λαῶν ἄρουρα, τιμᾶται Ῥεβέκκα ὡς εὐλογιῶν πανοῦργος πρόξενος, θαυμάζεται καὶ ἡ Λνία, ὡς μήτηρ τοῦ κατὰ σάρκα προγόνου· ἐπαινεῖται Δεβόρρα ὡς ὑπὲρ φύσιν στρατηγήσασα· ἴσ. ἡ Λεία μακαρίζεται καὶ ἡ Ἐλισάβετ, ὡς σκίρτημα τοῦ προδρόμου διατιθεῖσα τῆς χάριτος· προσκυνεῖται καὶ ἡ Μαρία, ὅτι γέγονε μήτηρ, καὶ δούλη, καὶ νεφέλη, καὶ θάλαμος, καὶ κιβωτὸς τοῦ δεσπότου. μήτηρ. ἔτεκε γὰρ τὸν βουληθέντα τεχθῆναι. δούλη. ὁμολογῶ γὰρ φύσιν, καὶ κηρύττω τὴν χάριν. νεφέλη. ἐκ πνεύματος γὰρ ἁγίου συνέλαβεν, ὃν ἀπαθῶς ἔτεκε. θάλαμος. ὡς ἐν νυμφῶνι γὰρ ὁ Θεὸς λόγος ἐν αὐτῇ κατεσκήνωσε. κιβωτός· οὐ τὸν νόμον βαστάσασα, ἀλλὰ τὸν νομοθέτην κυοφορήσασα. διόπερ εἴπωμεν πρὸς αὐτὴν, εὐλογημένη σὺ ἐν γυναιξὶν ἡ μόνη τῆς Εὔας θεραπεύσασα τὴν λύπην, ἡ μόνη τῆς στεναζούσης ἀπομάξασα δάκρυα, ἡ μόνη τὸ κοσμικὸν βαστάσασα λύτρον, ἡ μόνη τὸν θησαυρὸν τοῦ μαργαρίτου πιστευθεῖσα, ἡ μόνη ἄνευ ἡδονῆς ὀγκωθεῖσα, καὶ ἄνευ πάθους τεκοῦσα, ἡ μόνη τὸν Ἐμμανουήλ, ὡς ἠθέλησεν αὐτὸς, γεννήσασα. εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς, οὐχ ὁ σπόρος· τὸ ἄνθος, οὐ τὸ πάτος· τὸ ἀπαύγασμα, οὐ τὸ κτίσμα· ὁ σύνθρονος, οὐχ ὁ δοῦλος· ὁ ἥλιος, οὐχ ἡ ψάμμος· ὁ προσκυνούμενος, οὐ τὸ κτίσμα· τὸ λύτρον, οὐχ ὑπόχρεως. εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Ησ. ζ. ιδ. ἀντὶ πάντων εἰς εὐφημίαν ἀρκεῖ σοι ὁ προφήτης βοῶν· Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει. εἶπε τὸ θαῦμα, καὶ τὸν τρόπον ἐσίγησε. καὶ τέξεται υἱόν. ἐκήρυξε τὴν ὠδῖνα, καὶ τὴν σχέσιν οὐκ ἐνόθευσε. καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. εἶπε τὸ μυστήριον, καὶ τὴν κλῆσιν ἐβρόντησεν. ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ Θεός. τὸν τεχθέντα Θεὸν ἐκήρυξε, καὶ Ἰουδαίων ἐφίμωσε στόματα. μεθ' ἡμῶν ὁ Θεὸς, καὶ ἐσβέσθη ἡ πλάνη. μεθ' ἡμῶν ὁ Θεὸς, καὶ περιτομὴ κατηργήθη. μεθ' ἡμῶν ὁ Θεὸς, καὶ οἱ δαίμονες ἐφυγαδεύοντο. μεθ' ἡμῶν ὁ Θεὸς, καὶ ὁ διάβολος καταργεῖται. μεθ' ἡμῶν ὁ Θεὸς, καὶ ἡ κολυμβήθρα τίκτουσα οὐ κάμνει. μεθ' ἡμῶν ὁ Θεὸς, καὶ βασιλεῖς εὐσεβοῦσι. μεθ' ἡμῶν ὁ Θεὸς, καὶ ἐκκλησίαι στενοχωροῦνται. μεθ' ἡμῶν ὁ Θεὸς, καὶ ὁ θάνατος γέγονεν ὕπνος. μεθ' ἡμῶν ὁ Θεὸς, καὶ οἱ νεκροὶ τὴν ἐλευθερίαν σκιρτῶντες βοῶσιν· οὐκ ἄγγελος, οὐ πρέσβεις, ἀλλ' αὐτὸς ὁ Θεὸς ἦλθε, καὶ ἔσωσεν ἡμᾶς· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας.

Λογ. ρμβ. ΚΑΤΑ ΑΙΡΕΤΙΚΩΝ, ΚΑΙ ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ θεοτόκον.

Ex Ms. Regio Lut.
Μὴν Μαρτ. κε.

Πάλιν τῇ παρρησίᾳ τοῦ ἁγίου πνεύματος διασπῶν τὰς σειρὰς τῆς ἀμαθίας τὸν διδασκαλικὸν καταλαμβάνω θρόνον, οὐκ αἰδούμενός μου τὴν πτωχείαν. φιλόπτωχοι γὰρ ὄντες οἰκτείρετέ με διὰ τὴν τῆς ἀγάπης φιλοτιμίαν. πένης γὰρ ὢν πλουσίοις ἐπεκλείνομαι, οὐκ ἀλαζονείας ὑποθέμενος νόσον, ἀλλὰ τῆς φιλοθέου ὑμῶν ψυχῆς ἀποπληρῶν τὸν ἔρωτα. τέρπεσθε γὰρ μὲν τοῖς λόγοις, ἐπειδὴ κἀγὼ εὐφραίνομαι ὑμῶν τοῖς τρόποις. οὐκ οἶδα μὲν τὴν πτωχείαν, καὶ μογιλάλον φωνὴν, τὸ καλὸν τοῦτο καὶ ἐπέραστον θεωρῶν θέατρον. οἶδα γὰρ, ὡς οὐ κριταὶ μὲν τῶν λόγων, ἢ θεαταὶ τῶν ἀγώνων συνέρχεσθε· ἀλλ' ἵνα τῷ παιδὶ ὡς πατέρες συνεπισχύσητε. ἐγὼ γὰρ τῇ γλώττῃ λαλῶ, ὑμεῖς δὲ τῇ καρδίᾳ φθέγγεσθε πρὸς τὸν Θεὸν τοῦτο, δοθῆναι ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος. Ἐφ. ς. ιθ. φιλόπαιδες γὰρ ὄντες καὶ φιλότεκνοι τοὺς ἡμετέρους πόνους οἰκείους λογίζεσθε στεφάνους. διὸ οὐκ ὀκνῶ πρὸς τὸ λέγειν. λύει γὰρ μὲν τὸν ὄκνον ὁ πρὸς ὑμᾶς πόθος, μεταβάλλει μὲν τὴν ἀμαθείαν εἰς ἐνάρετον διδασκαλίαν ἡ εὐαγὴς προσευχή. ἀλλὰ ταῦτα μὲν ἐν προοιμίῳ εἰρήσθω. ἐγὼ δὲ σήμερον περιζωσάμενος τὴν ὀσφὺν τῆς ἀληθείας, καὶ ἐνδυσάμενος τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδησάμενος τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, ἄρχομαι κατὰ τῶν αἱρετικῶν ἀναδεξάμενος ἀγῶνα. ἐφάπτομαι τῶν ἀγώνων, οὐ λόγοις λόγους συνάπτων, οὐδὲ ῥητορικῇ δεινότητι τὰς σειρὰς τῶν προτάσεων διαλύων, ἀλλὰ τῇ τελείως ἐπιγνωσθείσῃ φωνῇ τὰ εὐμήχανα τῶν αἱρετικῶν προβλήματα, ὡς ἱστὸν ἀράχνης, διασπῶν. ἔστι δὲ τὸ ἀποστολικὸν ἀνάγνωσμα τοῦτο· Ὢ βάθος πλούτου, καὶ σοφίας, καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ; Ρωμ. ια. λγ. τί λέγεις, ὦ Παῦλε; ὁ πλοῦτος τοῦ Θεοῦ ἐν βάθει κεῖται, καὶ ἐν ὕψει γνωρίζεται; ναί, φησι· καὶ ἐν βάθει, καὶ ἐν ὕψει· ἐν βάθει μὲν διὰ τὴν ἀνθρωπότητα, ἐν ὕψει δὲ διὰ τὴν θεότητα. οὕτω γὰρ διὰ τοῦ προφήτου ἀποκαλύπτων τὴν οἰκονομίαν ἔλεγε πρὸς Ἄχαζ· Αἴτησαι σεαυτῷ σημεῖον παρὰ Κυρίου τοῦ Θεοῦ σου εἰς βάθος, ἢ εἰς ὕψος· Ησ. ζ. ια. εἰς βάθος μὲν διὰ τὴν οἰκονομίαν, εἰς ὕψος δὲ, διὰ τὴν θεολογίαν. βαθὺ μὲν γὰρ σημεῖον τὸ ἐκ παρθένου τεχθῆναι, ὑψηλὸν δὲ κήρυγμα καὶ τὸ ἐκ Θεοῦ Θεὸν γεννηθῆναι. οὔτε οὖν τὸ ὕψος, ἄνθρωπε, περιεργαζόμενος καταλαμβάνεις, οὔτε τὸ βάθος πολυπραγμονῶν εὑρίσκεις. διτταὶ γάρ εἰσιν αἱ τοῦ Χριστοῦ γεννήσεις. ἡ μὲν γάρ ἐστι κατὰ φύσιν, ἡ δὲ παρὰ φύσιν. παρὰ φύσιν γὰρ ἐν ὑστέροις καιροῖς ἐκ τῆς παρθένου ἐτέχθη· κατὰ φύσιν δὲ πρὸ αἰώνων ἐκ τοῦ πατρὸς ἐτέχθη, ὡς ὁ γεννήσας οἶδε. καὶ ἡ ἀναγέννησις ἀψευδής. ἀληθῶς γὰρ ἐκ Θεοῦ Θεὸς ἐγεννήθη, ἀληθῶς ἐκ τῆς παρθένου ἄνθρωπος ὁ Θεὸς μετὰ ἀνθρώπων ἐτέχθη· ἄνω μόνος ἐκ μόνου μονογενής, καὶ κάτω μόνος ἐκ μόνης μονογενής. καὶ ὥσπερ ἐπὶ τῆς ἄνω γεννήσεως ἀσεβές ἐστιν ὑπονοῆσαι μητέρα, οὕτω καὶ ἐπὶ τῆς παρθένου βλάσφημόν ἐστιν ὑπονοῆσαι πατέρα. ὁ πατὴρ ἀῤῥεύστως ἐγέννησεν, ἡ παρθένος ἀφθόρως ἔτεκεν· οὔτε γὰρ Θεὸς ῥεῦσιν ὑπέμεινε γεννήσας (θεοπρεπῶς γὰρ ἐγέννησεν) οὔτε ἡ παρθένος φθορὰν ὑπέστη τικτοῦσα· πνευματικῶς γὰρ ἔτεκεν. ὢ καινοῦ θαύματος, ὢ σεπτοῦ καὶ ἀλαλήτου μυστηρίου. τολμῶ γὰρ εἰπεῖν, ὅπερ λέγων οὐ σφάλλομαι· ὅτι καὶ ἄνω παρθένος ἐγέννησε φύσις (καθαρὰ γάρ ἐστι καὶ ἄφθορος ἡ τῆς θεότητος οὐσία) καὶ κάτω παρθένος ἔτεκεν ἄφθορος ἀφθόρου. Οὐ δώσεις γὰρ τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. Πραξ. β. κζ. ὅταν ἡ φύσις τάξει βαίνῃ, τότε τὰ κατὰ φύσιν ζήτει, ἄνθρωπε· ὅταν δὲ Θεός τι προστάσσῃ, τότε ἡ φύσις τὴν ἑαυτῆς ἀρνεῖται τάξιν, καὶ ἐκεῖνα πράττει, ἅπερ ὁ τοῦ Θεοῦ βούλεται νόμος. οἷόν τι λέγω· ἐκέλευσεν ὁ Θεὸς τῇ πέτρᾳ ἐν τῇ ἐρήμῳ ἐκβλύσαι ὕδωρ, καὶ ἔβλυσεν· οὐχ ὃ εἶχεν ἐν κόλποις, ἀλλ' ὃ ἐναπέθετο τὸ πρόσταγμα. ὥσπερ οὖν ἡ πέτρα νεύματι τοῦ Θεοῦ πηγὴ γέγονε, καὶ τῇ φορᾷ τῶν ὑδάτων χειμάῤῥους ἔτεκεν, οὐ φλε-

Λυκ. α. λε.

βος ὑποκειμένης, οὐ παρὰ ποταμοῦ δανεισαμένη, ἀλλ' ἡ ξηρὰ καὶ ἄφλεβος καὶ ἄνυγμος ἄφνω γέγονε ποταμῶν μήτηρ, ἀφθόνως παρέχουσα ὅπερ οὐκ εἶχεν ὕδωρ· οὕτω καὶ ἡ ἀπειρόγαμος παρθένος τῇ ἐπισκιάσει τοῦ ἁγίου πνεύματος τὸν Κύριον ἡμῶν ἔτεκε κατὰ σάρκα, οὐ τάξει φύσεως κινηθεῖσα, ἀλλὰ τῇ δυνάμει τοῦ ὑψίστου ἐπὶ τὸ τεκεῖν ἐλθοῦσα. οὐ γὰρ δανεισαμένη παρὰ τὸν νόμον τῆς φύσεως ἔτεκεν, ἀλλὰ δυναμωθεῖσα τῷ ἁγίῳ πνεύματι οὕτως ἔτεκεν, ὥσπερ ἡ τοῦ Θεοῦ χάρις ἠθέλησε. Πνεῦμα γάρ, φησιν, ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται υἱὸς Θεοῦ. Εἰ δὲ θέλεις γνῶναι πῶς ἡ φύσις ἀρνεῖται τὴν ἑαυτῆς τάξιν, ἵνα παρὰ φύσιν ὑπηρετήσῃ τῇ τοῦ Θεοῦ βουλῇ, ἐρώτησον τὴν ῥάβδον τὴν Ἀαρὼν εἰπέ, ἡ ῥάβδος ἡ ξηρά, πῶς φύλλα καὶ καρπὸν ἐν ἀκαριαίᾳ ῥοπῇ παρὰ φύσιν ἐβλάστησας; οὐ τῇ γῇ Μωϋσῆς σε παρέθετο, οὐκ ὄμβροις ἤρδευσεν, οὐ χρόνος τὰς ῥίζας ἔθρεψεν, οὐ θέρος εἶδες ἢ ἔαρ, οὐ χειμῶνος ἀπήλαυσας, ἢ μετοπώρου. πῶς οὖν φύλλα, καὶ ἄνθη, καὶ καρπὸν ἔδωκας; καὶ ἡ ῥάβδος, οὐ τροπαῖς, φησιν, ἀέρων ἢ μεταβολαῖς καιρῶν ἐδούλευσα, ἀλλὰ τῷ θείῳ ὑπηρετησαμένη λόγῳ τὴν φύσιν ἐπάτησα, καὶ παρὰ φύσιν καρπὸν ἔδωκα· ἵνα καὶ κατὰ φύσιν καὶ παρὰ φύσιν τῷ τοῦ ἀριστοτέχνου ὑπηρετήσωμεν θελήματι. ὥσπερ οὖν ἡ ῥάβδος παρὰ φύσιν καρπὸν ἔδωκεν, ἄνθρωπε, ἵνα πιστεύσῃ ἡ Ἰουδαία· οὕτω καὶ ἡ ζῶσα ῥάβδος, ἡ βασιλικὴ παρθένος, ἄνευ γαμικῶν νόμων ἔτεκεν, ἵνα σωθῇ ἡ οἰκουμένη.

ἴσ. ἄνυχμ

ἴσ. τοῦ νόμου

Ησ. ια. α.

Εἰ δὲ λέγεις, τί ὅμοιον ῥάβδος βλαστάνουσα πρὸς παρθένον τίκτουσαν; μάνθανε ὡς πολὺ τὴν ὁμοιότητα σώζει. ἡ γὰρ ῥάβδος τύπος ἦν τῆς παρθένου· ἐκείνη εἰκών, αὕτη ἡ ἀλήθεια· καὶ τὸ προλαβὸν ὑπόδειγμα, τοῦτο ἀπόδειξις. ὥσπερ γὰρ ἐκείνη ἡ ῥάβδος καρπὸν ἔδωκε παρὰ φύσιν, οὕτω καὶ ὧδε παρὰ φύσιν ἡ παρθένος τὸ ἄνθος τῆς εὐσεβείας ἐβλάστησεν. Ἐξελεύσεται γάρ, φησι, ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς ἀναβήσεται. μὴ μάτην οὖν ὁ Παῦλος τὸν πλοῦτον τοῦ Θεοῦ θαυμάζει, τουτέστι, τὴν ἔνσαρκον οἰκονομίαν τοῦ Χριστοῦ. Φεῦ τῆς ἀπιστίας τῶν αἱρετικῶν, φεῦ τούτων τῆς λύσσης καὶ θεομάχου γλώσσης. Παῦλος, ὁ τῶν οὐρανῶν πολίτης, ὁ τοῦ παραδείσου θεατής, ὁ τοῦ Χριστοῦ διάπυρος ἐραστής, ὁ τῶν ἀλαλήτων μυστηρίων ἀκροατής, καὶ τὴν οἰκονομίαν ζητήσας ἔφριξε καὶ ἰλιγγίασε· καὶ ὑμεῖς τὴν θεότητα διερμηνεύοντες οὐ φρίττετε; Παῦλος τὰ κρίματα τοῦ Θεοῦ ἀνεξερεύνητα λέγει· καὶ σὺ τὴν φύσιν τοῦ πατρὸς ὡς εὐθήρατον ἐρευνᾷς; καιρὸς δέ σε καλέσαι, σκυθρωπάσαντα ἐπαναστρέψαι κατὰ τῶν ὑπὸ σοῦ ἀφράστως εἰρημένων. πῶς ἔτεκεν ἡ παρθένος οὐκ οἶδας, καὶ πῶς ἐγέννησεν ὁ Θεὸς εἰδέναι βούλει; τὴν ἐν τῇ Ἡρώδου κατὰ σάρκα γέννησιν τοῦ Χριστοῦ ἀγνοεῖς πῶς γέγονε, καὶ τὴν ἐκ πατρὸς ἀνάρχως καὶ ἀνερμηνεύτως καὶ σεπτῶς καὶ ἀλαλήτως πρὸ πάσης ἐννοίας, καὶ καιρῶν, καὶ αἰώνων ἀμεσιτεύτως γεγενημένην ἑρμηνεύειν τολμᾷς, καὶ δοκιμάζειν ἐπιχειρεῖς; εἰ τὸ σταυρωθὲν σῶμα τοῦ Χριστοῦ Θωμᾶς ψηλαφήσας ἀνεπαίδευτος οὐκ ἔμεινε, καίγε ἀπόστολος ὤν· ποίας εἰσὶ τιμωρίας ἄξιοι οἱ μὴ χερσὶ τὸ σῶμα ψηλαφῶντες τοῦ Χριστοῦ, ἀλλὰ τῇ γλώττῃ τὴν ἀΐδιον τῆς θεότητος αὐτοῦ διερευνῶντες φύσιν; Θωμᾶς γοῦν καὶ ὃ εἶδε σῶμα, ἐψηλάφησεν· οὗτοι δὲ ἣν μὴ εἶδον θεότητα, ὡς ἑωρακότες ἐξηρεύνησαν. Εἰπὲ δέ, ὦ δεινὲ καὶ εὐμήχανε ῥήτωρ Εὐνόμιε, ὁ τεχνῶς τὴν τῆς θεότητος διακρίνων φύσιν, ὁ μικροῦ πάλιν βραχύτερον ἀναπλάττων θεούς, διὰ τί κτίσμα, καὶ οὐ γέννημα τὸν Χριστὸν λέγεις; ἵνα μή, φησι, ῥεύσεως ἔννοιαν τῇ ἀκτίστῳ τοῦ Θεοῦ προσάψωσι φύσει. τὸν γὰρ γεννῶντα ἀνάγκη ὑπομεῖναι ῥεῦσιν. οὐκοῦν καὶ κτίζοντα ἀκόλουθον ὑπομεῖναι πόνον. ὁ γὰρ κτίζων, ἀκόπως οὐ κτίζει; εἰ τοίνυν τῆς ῥεύσεως ἔννοιαν φυγών, τὸν πατέρα πατέρα εἰπεῖν παραιτεῖς, μήτε δημιουργὸν αὐτὸν εἴπῃς, ἵνα μὴ πόνων καὶ ἱδρώτων ὑπόνοιαν ἐπιρρίψῃς. ἀλλ' οὐχ οἵαν, φησί, δόξαν περὶ ἀνθρώπων ἔχομεν, τοιαύτην καὶ περὶ Θεοῦ ἐκλαμβάνειν ὀφείλομεν. ἄνθρωποι γὰρ κτίζοντες, πόνῳ καὶ ἱδρῶτι κτίζουσι·

ἴσ. αὐτοπίθωνος

ζουσι· Θεὸς δὲ κτίζων, ἀπόνως κτίζει. ἀσυνθέτως γὰρ ἔχει τὴν φύσιν. ἐπεὶ οὖν, ὦ σοφὲ καὶ ἐπιστήμων, ὁ κτίζων Θεὸς, κτίζει ἀπόνως, ἀῤῥεύστως γεννᾷν οὐ δύναται, ἀλλ' ὅτε μὲν κτίζει, ἀπόνως ὁ Θεὸς κτίζει, ὅτε δὲ γεννᾷ, ὡς ἄνθρωπος ὑπομένει ῥεῦσιν; καὶ δημιουργῶν μὲν ἀπαθὴς μένει, γεννῶν δὲ ἀνθρωπίνῳ περιπίπτει πάθει; φρίττω, καὶ δέδια, καὶ τρέμω τὴν βλάσφημον, τὴν ἀθύρωτον, τὴν ἀχαλίνωτον τῶν αἱρετικῶν γλῶτταν, ἐννοῶν, ὅτι ἀφθάρτως ἡ παρθένος ἔτεκε, πιστεύουσι, καὶ ὅτι Θεὸς ἀῤῥεύστως ἐγέννησεν, ἀμφιβάλλουσιν. ἡ ἄφθορος τῆς παρθένου μήτρα καὶ μετὰ τὸ τεκεῖν ἄλυτος ἔμεινεν, ἄνθρωπε, καὶ ἡ τοῦ πατρὸς φύσις ἐν τῷ γεννᾷν τὴν ῥεῦσιν οὐ διέφυγεν; ἀλλ' ἡ παρθένος καὶ μετὰ τὸ τεκεῖν παρθένος ἔμεινεν, ἐκ τοῦ τεκεῖν μὴ ζημιωθεῖσα τὴν παρθενίαν· καὶ ὁ πατὴρ μετὰ τὸ γεννῆσαι ὁ αὐτὸς μεῖναι οὐκ ἠδύνατο, ἀῤῥεύστου καὶ ἀναλλοιώτου τῆς οὐσίας μενούσης; καὶ ὅπου μὲν ὄγκος σώματος, μελῶν ἁρμονία, ὀστέων σύνθεσις, νεύρων τάξις, φλεβῶν πλήθη, ἄρθρων δεσμοὶ, τὸ βρέφος ἐξῆλθεν ὡς οἶδε, καὶ ἐν τῇ παρθενικῇ ἀποῤῥήτως ἑαυτὸν ὑφάνας γαστρί· ὅπου δὲ οὐ σῶμα, οὐ μέλος, οὐκ ἄρθρα, οὐ νεῦρα, οὐκ ὀστέα, οὐ φλέβες, ἀλλ' ἀναφὴς καὶ ἀσώματος καὶ ἀόρατος φύσις, ῥεῦσιν εἰσάγεις καὶ μείωσιν νοεῖς; καὶ προῆλθεν ἐκ μήτρας, καὶ ἄλυτος ἔμεινεν ἡ μήτρα. ὁ γὰρ ἄνευ σπέρματος ἐν τῇ παρθένῳ ἐμψυχώσας ἑαυτῷ ναὸν, αὐτὸς καὶ ἄλυτον διετήρησε τὴν μήτραν, ὡς Θεός. τὰ γὰρ ἔργα τοῦ Θεοῦ οὐ τῇ φύσει τῶν πραγμάτων δουλεύει, ἀλλὰ τῇ κελεύσει τοῦ Θεοῦ λόγου ἐξακολουθεῖ. ποτὲ μὲν γὰρ ὁ Θεὸς κατὰ φύσιν κτίζει, ἵνα γνῷς τῆς φύσεως τὴν εὐταξίαν· ποτὲ δὲ παρὰ φύσιν δημιουργεῖ, ἵνα μάθῃς τοῦ ἐνεργοῦντος τὴν δύναμιν. οὔτε γὰρ πάντα κατὰ φύσιν ποιεῖ, ἵνα μὴ θεολογηθῇ ἡ φύσις, οὔτε πάντα παρὰ φύσιν, ἵνα μὴ ἀταξία τῆς φύσεως νομισθῇ τὰ παρὰ φύσιν πραττόμενα. πλάττει δὲ Θεὸς κατὰ φύσιν, δημιουργεῖ καὶ παρὰ φύσιν, ἵνα μάθῃς ὡς ἡ φύσις θεραπαινίδος τάξιν ἐπέχουσα κατὰ φύσιν κινεῖται, καὶ παρὰ φύσιν τρέχει, πρόσταγμα πληροῦσα Θεοῦ.

γρ. δείδω

Εἰπὲ δὲ, ὁ ζητῶν, πῶς ὁ Χριστὸς ἐκ τῆς ἀλύτου μήτρας προελθὼν οὐκ ἠφάνισε τὴν σφραγῖδα τῆς παρθενίας, πῶς ἐκ τοῦ παρθενικοῦ Ἀδὰμ ἡ παρθένος Εὔα προῆλθε. ἡ θεοτόκος γὰρ Μαρία μὴ γνοῦσα ἄνδρα ἔτεκεν, ὁ πρωτόπλαστος Ἀδὰμ μὴ γνοὺς γυναῖκα, γυναῖκα ἐβλάστησεν. ἀλλὰ τὸ μὲν παρθένον γεννῆσαι, εἰ καὶ παράδοξον, ἀλλ' ὅμως ἔχεται λόγου, καθὸ γαστὴρ καὶ μήτρα καὶ φυσικὴ τοῖς τικτομένοις προτετύπωται ὁδός· ἐπὶ δὲ τοῦ Ἀδὰμ πάντα ξένα. τίς γὰρ εἶδεν ἀπὸ πλευρᾶς τικτόμενον ἄνθρωπον; πότε δὲ πλευρὰ συνεισήνεγκε καρποφορίαν; ὕπνον ἐπέβαλε τῷ Ἀδὰμ ὁ Θεὸς, ἵνα μὴ λυπηθῇ διὰ τὴν ἀφαίρεσιν τῆς πλευρᾶς, ἀλλ' ὅμως ὑπνώσει αὐτοῦ τὰ δεσμά. δεσμὰ γὰρ εἰσὶ τῆς φύσεως τὰ νεῦρα. καὶ μάρτυς Δανιὴλ λέγων, Καὶ εἶδον τὴν ὀπτασίαν, καὶ ἔπεσα· καὶ οἱ σύνδεσμοί μου τῆς ὀσφύος διελύθησαν. πλευρὰν οὖν νόμῳ φύσεως ἠσφαλισμένην, δεσμοῖς νεύρων συμπεπλεγμένην, σαρξὶν ὑφασμένην, φλεψὶν ἡνωμένην πῶς ἐξεῖλε; πῶς ἀπέσπασε; πῶς καὶ ἡ πλευρὰ ἐξῆλθε, καὶ ὁ Ἀδὰμ σῶος ἔμεινε; πῶς; ὁ λύσας οἶδεν· ὁ λύσας καὶ ἔδησεν. εἰ μὲν γὰρ ἄλλος ὁ δήσας, καὶ ἄλλος ὁ λύσας, ζήτημα ἦν· εἰ δὲ ὁ ἁρμόσας ἔλυσε, καὶ ὁ πλευρὰν ἐκ γῆς πλάσας, τὴν πλευρὰν ἀφείλατο, ἐκεῖνος μόνος οἶδε πῶς ἔλυσεν, ὁ καὶ μόνος ἐπιστάμενος πῶς τὴν τῶν μελῶν ἁρμονίαν συνέθηκεν. ὥσπερ οὖν καὶ μετὰ τὴν ἀφαίρεσιν τῆς πλευρᾶς σῶος ἔμεινεν ὁ Ἀδὰμ, οὕτω καὶ μετὰ τὴν πρόοδον τοῦ βρέφους ἄφθορος ἔμεινεν ἡ παρθένος. οὔτε γὰρ ἡ τῶν τοῦ Ἀδὰμ ἐβλάβη ἁρμονία, ληφθείσης τῆς πλευρᾶς, οὔτε τῆς παρθενίας ὑβρίσθη ἡ σφραγὶς, προελθόντος τοῦ βρέφους. καθάπερ γὰρ ἐφ' ἡμῶν ἐάν τις ἀλλότριον δεσμὸν λῦσαι θελήσῃ, ἀφανίζει αὐτὸν, καὶ συγκόπτει δι' ἀπειρίαν, ὁ δὲ δήσας ἀκόπως λύει (οἶδε γὰρ ὧν ἔδησε τὴν ἁρμονίαν) οὕτω καὶ ὁ Θεὸς ὁ ἁρμόσας, ὁ συσφίγξας, ὁ κομβώσας τὸ σῶμα, καὶ τοὺς συνδέσμους τῶν νεύρων ᾔδει, καὶ πῶς συνῆψε πλευρὰν πρὸς πλευρὰν, καὶ ἄρθρον, καὶ με-

Δαν. ι. η.

λος· καὶ ἐξ ὧν παρέδησεν, ἐπιστημόνως καὶ πολυσόφως ἐπῆρε πλευράν, καὶ οὐκ ἐμείωσε τὸν Ἀδάμ. ἔπλασεν αὐτὸν ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ ἐν τῇ παρθένῳ, καὶ οὔτε τὴν παρθενίαν πλάττων διέλυσεν, οὔτε διὰ τῆς μήτρας προελθὼν τὴν μήτραν διέφθειρεν. Εἰπὲ οὖν, ὦ σοφὲ καὶ ἐπιστήμων, τί εὐκοπώτερόν ἐστι, παρθένον τεκεῖν, καὶ μετὰ τὸ τεκεῖν παρθένον πάλιν μεῖναι· ἢ ῥάβδον εἰς ζῶον ψυχωθῆναι, καὶ ἀπὸ ζώου πάλιν ῥάβδον γενέσθαι; πῶς ἡ ῥάβδος Μωϋσέως εἰς δράκοντα μετεβλήθη; πῶς τὸ ἄψυχον ψυχὴν ἔλαβε; πῶς τὸ ἀκίνητον ἐπὶ γῆς εἷρπε; πῶς δὲ πάλιν ἀπὸ δράκοντος ῥάβδος γέγονε, τὴν οἰκείαν ἐπιγνοῦς φύσιν; ποτὲ μὲν γὰρ ἀπὸ ῥάβδου δράκων, ποτὲ δὲ ἀπὸ δράκοντος ῥάβδος ἐγένετο. ὥσπερ οὖν ἡ Μωϋσέως ῥάβδος, ἄνθρωπε, κατὰ φύσιν μὲν ἦν ῥάβδος, κατ' οἰκονομίαν δὲ δράκων· οὕτω καὶ ἡ Μαρία κατὰ φύσιν μὲν ἦν παρθένος, κατ' οἰκονομίαν δὲ μήτηρ ἐγένετο, ἵνα πιστεύσωσι τῶν Χαλδαίων οἱ μάγοι, καθάπερ, ἵνα φοβηθῇ Αἴγυπτος, ἡ ῥάβδος δράκων ἐγένετο. τοιγαροῦν ἵνα σωθῇ ἡ οἰκουμένη, οὐκ ἤθελες σὺ τὴν παρθένον φανῆναι; εἶτα δὲ σεισμῶν γινομένων διαιροῦνται τοῖχοι καὶ συνάπτονται· Χριστοῦ δὲ τικτομένου οὐκ ἠνοίγετο μήτρα, καὶ πάλιν ὑφαίνεται; καὶ ἐν σεισμοῖς μὲν οὕτω διαιροῦνται τοῖχοι, ὡς καὶ θάνατον ἀπειλεῖν· οὕτω δὲ ἑνοῦνται, ὡς μηδὲ σχῆμα ἢ ἴχνος φαίνεσθαι τῆς διαιρέσεως· ἐπὶ δὲ τῆς ἀφθάρτου ἐκείνης γεννήσεως οὐκ ἤθελες λυθῆναι μὲν τὴν μήτραν πρὸς ὑμὴν τοῦ τικτομένου, συναχθῆναι δὲ καὶ ἑνωθῆναι καὶ τὸ τῆς παρθενίας ἀπολαβεῖν σχῆμα δυνάμει τοῦ ἐνεργοῦντος; καὶ μή μοι λέγε, πόθεν ὑπέστη σὰρξ καὶ αἷμα, σπέρματος μὴ ὑποκειμένου; ἔστι γὰρ ἐκ τῶν καθ' ἡμᾶς μαθεῖν τὸ ὑπὲρ ἡμᾶς· καὶ κάλει μοι εἰς εἰκόνας τῶν λεγομένων τοὺς τῶν ζωγράφων παῖδας, οἳ πολλάκις καὶ φυτὰ καὶ δένδρα καὶ λειμῶνας καὶ ποταμοὺς ζωγραφοῦσιν, καὶ ἐπειδὴν δὴ τὴν φύσιν συνεργοῦσαν οὐκ ἔχουσι, τέχνῃ βιάζονται τῇ κράσει τῶν χρωμάτων ταῖς τῶν πραγμάτων παριστᾶν εἰκόνας. ποιοῦσι γὰρ ποταμόν, παρὰ ποταμῶν μὴ δανειζόμενοι ῥεῖθρον· ποιοῦσιν ἄνθρωπον μηδὲν παρὰ τῆς ἀνθρωπίνης ἐρανιζόμενοι φύσεως. ὥσπερ οὖν οἱ ζωγράφοι διὰ τῶν χρωμάτων καὶ ἄνθρωπον καὶ πηγὴν καὶ ποταμὸν ζωγραφοῦσι, μηδὲν παρὰ πηγῆς ἢ ποταμοῦ ἢ ἀνθρώπου λαμβάνοντες· τὸν αὐτὸν τρόπον καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐν τῇ παρθένῳ, οὐ χρώμασιν, ἀλλὰ βουλῇ, ἔμψυχον κατεσκεύασεν ἄνθρωπον, παρὰ τῆς ἀνθρωπίνης φύσεως μὴ ἐρανισάμενος σπέρμα εἰς σύστασιν τοῦ πλαττομένου. ὁ Θεὸς χοῦν λαβὼν ἀπὸ τῆς γῆς, οὐ χερσὶν ἀνθρωπίναις (ἀσύνθετος γὰρ τῆς θεότητος ἡ φύσις) τὸν Ἀδὰμ ἐμόρφωσεν ὡς ἠθέλησε· τὸ δὲ πνεῦμα τὸ ἅγιον οὐ χοῦν ἔλαβεν, ″ οὐ φυσικὸν ὄνομα καταβληθῆναι σπέρμα συνεχώρησεν, ἀλλὰ μόνον ἐπέλαμψε, καὶ ὀστέα ἔπηξε, καὶ νεῦρα ἔτεινε, καὶ ῥῖνα καὶ ὦτα, ὀφθαλμούς τε καὶ γλῶτταν, χεῖρας καὶ πόδας, ψυχήν, καὶ νοῦν, καὶ λογισμόν, καὶ λόγον συνεστήσατο, κἂν μὴ βούλωνται οἱ αἱρετικῶν παῖδες. ὥσπερ γὰρ οἱ ἐν κατόπτρῳ ἐγκύπτοντες, εἰκόνα αὐτοτελεσμένην αὐτῶν ὁρῶσι τῇ ὄψει ἐκ τῆς ἀμόρφου ὕλης, εἰκόνα γελῶσαν πολλάκις, καὶ κλαίουσαν, κινουμένην τε καὶ πολυτρόπως μετερχομένην, καὶ τῆς ζώσης μορφῆς τὰ σχήματα μιμουμένην· οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐν καθαρῷ κατόπτρῳ, τῷ ἀσπίλῳ σώματι τῆς παρθένου, ἐλλάμψαν, τέλειον ἐδημιούργησεν ἄνθρωπον οὐ νόμῳ φύσεως, οὐ χρόνῳ, οὐκ ἀνθρωπίνῳ σπέρματι, ἀλλ' ὄψει μόνον, νοερᾷ τε καὶ ἁγίᾳ δυνάμει πρὸς ὠδῖνας τὴν παρθένον ἐκίνησεν, ἀπορρήτως ἐν αὐτῇ τὸ βρέφος ὑφάνας, ὡς ἱμάτιον, ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων. Ταῦτα μὲν οὕτως· ἡμεῖς δὲ ὑπὲρ τῶν εἰρημένων δόξαν τῷ δι' ἡμᾶς ἐνανθρωπήσαντι Θεῷ ἀναπέμψωμεν, ὅτι αὐτῷ ἡ δόξα, τῷ πατρί, καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἴσ. οὐ φυσικῷ νόμῳ

Λογ. ρμγ. ΕΙΣ ΤΗΝ ΠΡΟΔΟΣΙΑΝ ΤΟΥ ΣΩΤΗΡΟΣ ἩΜΩΝ Ἰησοῦ Χριστοῦ, καὶ εἰς τὸν νιπτῆρα.

Ἐβουλόμην εἰς τέλος διανύσαι τοῦ σταυροῦ τὰ θεωρήματα, οὐχ ὡς τῶν νοημάτων περιγινόμενος, ἀλλὰ τὰ δυνατὰ τοῖς πιστοῖς ἐκτιθέμενος. οὐκ ἀρκεῖ γὰρ λόγος πρὸς ἐξήγησιν τῶν θείων λογίων, ἀλλ' ἀνθρωπίνῃ δυνάμει μετρεῖται τὸ λεγόμενον, οὐχ ὡς αὐτῆς τῆς δυνάμεως ἀρκούσης καταλαβεῖν, ἀλλ' ὡς τοῦ Θεοῦ παρέχοντος· οὐχ ὅσα δύναται δοῦναι ὁ διδοὺς, ἀλλ' ὅσα χωρεῖ ὁ λαμβάνων. ὥσπερ γὰρ μήτηρ τῷ βρέφει τῷ γάλακτι τρεφομένῳ, αὐτὴ μὲν δύναται παρασχεῖν τέλειον ἄρτον, ἐκεῖνο δὲ δέξασθαι οὐκ ἰσχύει· οὕτως οὔτε Θεῷ ἀδύνατον παρασχεῖν τὴν μείζονα σοφίαν καὶ ὑπερκόσμιον, ἀλλ' ἡμεῖς δέξασθαι ἀδυνατοῦμεν. θνητὸν γὰρ ἔχοντες σῶμα, ἀνάλογον τῇ θνητῇ φύσει δεχόμεθα τὴν γνῶσιν. οὐδὲν οὖν ἐλάλησεν ὁ Θεὸς πρὸς ἡμᾶς κατὰ τὴν ἁρμόζουσαν αὐτῷ τελειότητα, ἀλλὰ πρὸς τὴν ἡμετέραν ἀσθένειαν ἐμέτρησε τὸ λεγόμενον. διὰ τοῦτο ὁ σωτὴρ ἔλεγε· Πολλὰ ἔχω λέγειν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. καὶ ἀλλαχοῦ ἔλεγεν ὁ σωτὴρ τῷ Νικοδήμῳ· Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε, πῶς, ἂν εἴπω τὰ ἐπουράνια, πιστεύσητε; λέγωμεν τοίνυν ὅσον ἧκεν εἰς τὴν ἀνθρωπίνην δύναμιν ὑπὸ Θεοῦ χορηγούμενοι. διακόπτεται δὲ ἡμῖν ἀπὸ τῆς ἡμέρας ὁ λόγος βουλομένοις ἐφεξῆς ἀγαγεῖν τὰ θεωρήματα. διεκόπτετο δὲ διὰ τὴν τοῦ εὐαγγελίου ἀνάγνωσιν. ἀλλ' ἐκεῖνο ἐν τῷ ἰδίῳ καιρῷ λεχθήσεται· τῶν δὲ ἐν τῇ σήμερον ἡμέρᾳ γινομένων μνημονεύσωμεν. σήμερον ὁ Χριστὸς κατὰ ταύτην τὴν πέμπτην τοῦ σαββάτου ἐν τῇ ἑσπέρᾳ τῇ πρὸ τοῦ πάθους, καὶ τῶν μαθητῶν τοὺς πόδας ἔνιψε, καὶ ἐν τῷ νόμῳ τυπικὸν πάσχα ἐτέλεσε, καὶ τὴν σωτήριον τοῦ πάθους μυσταγωγίαν παρέδωκεν. ὥστε ἤδη φιλαλήθως εἰπεῖν, οὐδὲ αὐτὸς ὁ τῆς ἀληθείας διακόπτεται λόγος. περὶ τοῦ σταυροῦ γὰρ ἐκείνη ἡ διήγησις· καὶ οὕτω φυλάττεται κανών. ἔλθωμεν οὖν εἰς τὴν ἀκολουθίαν, τέμνοντες, ἵνα γλύσματά τινα παρασχόντες ταῖς φιλοχρίστοις ὑμῶν ψυχαῖς. πῶς δὴ καταδύσομεν εἰς τὴν τῶν ἁγίων καὶ μυστικῶν ἡμῶν παραδόσεων θεωρίαν σύντομον τε εὔκρινῆ δῶμεν τοῦ λόγου τὴν ἀπόδειξιν; λέγει ὁ σωτὴρ τοῖς μαθηταῖς· Οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι. πολλάκις ὁ σωτὴρ προεῖπε τοῖς ἑαυτοῦ μαθηταῖς, ὁμοῦ δεικνὺς ὅτι καὶ εἰδὼς οὐ φεύγει, καὶ προγινώσκων οὐ παραιτεῖται· ὁμοῦ δὲ καὶ προομαλίζων τὰς ψυχὰς τῶν ἀποστόλων, ἵνα τὸ προπαρασκευάζεσθαι γνῶναι φύγωσι τὸν θόρυβον. πρᾶγμα μελετηθὲν οὐκ ἔχει τὴν ἀπὸ τοῦ αἰφνιδίου ταραχήν. ὅπερ καὶ ὁ Δαβὶδ προέλεγεν· Ἡτοιμάσθην, καὶ οὐκ ἐταράχθην. τοῦτο καὶ ἐν ταῖς βρονταῖς γίνεται. προλαβοῦσα ἡ ἀστραπὴ, διδάσκει τὸν λογισμὸν, ὅτι δεῖ ἐκδέξασθαι τὴν βροντὴν, ἵνα τῇ προσδοκίᾳ λύσῃ τὸν μείζονα φόβον. οὕτω καὶ ὁ σωτὴρ, ἵνα μὴ ἀθρόον ὑπὸ τοῦ πάθους. ** ὡς τὸν σωτῆρα ὀνειδίσαι τοὺς ἀποστόλους, καὶ εἰπεῖν μετὰ τὴν ἀνάστασιν· Οὗτοί εἰσιν οἱ λόγοι μου, οὓς ἐλάλησα ὑμῖν, ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν. ὀνειδίζει αὐτοὺς ὅτι τὸν σκοπὸν οὐκ ἐπλήρωσαν, δι' ὃν ὁ σωτὴρ προεῖπε. Προεῖπον, φησιν, ἵνα μὴ σκανδαλισθῆτε· καὶ ὁ θόρυβος ὑμῶν ἐκράτησεν. οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου μέλλει παραδίδοσθαι εἰς τὸ σταυρωθῆναι. οὐδαμοῦ εὑρίσκεις τὸν σωτῆρα πάθους μνημονεύσαντα, καὶ μὴ τὸ ἀνθρώπινον πρόσωπον [μὴ] εἰσαγαγόντα, καὶ ὡς ἄλλον διαλεγόμενον περὶ ἄλλου. οὐκ εἶπε, παραδίδομαι, ἀλλ', ὁ υἱὸς τοῦ ἀνθρώπου μέλλει παραδίδοσθαι εἰς τὸ σταυρωθῆναι. οὐδαμῶς εὑρίσκεις τὸν σωτῆρα παραδιδόμενον, ἀλλ' ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται, καὶ πανταχοῦ ὡς ἄλλος περὶ ἄλλου λαλεῖ. ὅταν μέντοι εἰς τὴν θεότητα, γυμνῶς λέγει, Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. οὐ λέγει, ἐγὼ καὶ ὁ πατὴρ ὁ πέμψας με, ἀλλ', ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. καὶ, Ὁ ἑωρακώς με, οὐχ ἑώρακε τὸν πατέρα. οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται· καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι.

Ex Ms. Cæsareo.

Ιωαν. ιϛ. ιϐ.

Ιωαν. γ. ιϐ.

**

Ματθ. κϛ. ϐ.

Ψαλ. ριη. ξ.

Λουκ. κδ. μδ.

Ιωαν. ιϛ. α.

Ιωαν. ι. λ.

Ιωαν. ιδ. θ.

ὁ δὲ Ἰωάννης πῶς ἀσφαλῶς λέγει; ἵνα μή τις νομίσῃ τὸν ὁρώμενον κρατεῖν τῆς ἀνάγκης, ὅρα πῶς ἀσφαλίζεται· Ιωαν. ιγ. α. Εἰδὼς ὅτι ἦλθεν ἡ ὥρα, ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν πατέρα, Ιωαν. ιγ. β. ἀγαπήσας τοὺς ἰδίους, εἰς τέλος ἠγάπησεν, ἀντὶ τοῦ, ἀπηρτισμένην ἀγάπην ἔδειξε. Καὶ τοῦ δείπνου γινομένου ἀναστὰς ἀποτίθεται τὰ ἱμάτια, καὶ διεζώσατο τὸ λέντιον, καὶ ἔβαλεν ὕδωρ εἰς τὸν νιπτῆρα, καὶ ἤρξατο νίπτειν τοὺς πόδας τῶν μαθητῶν. αἰσχυνέσθωσαν αἱρετικοί. ἐπὰν ἀκούσωσι τοῦ σωτῆρος λέγοντος, ποιῶ τὸ θέλημα τοῦ πατρός μου, εὐθέως λέγουσιν· ὁρᾷς ὅτι ὡς δοῦλος ὑποτάσσεται καὶ ὑπακούει τῷ πατρί; ἐν ἐκείνῃ τῇ ὥρᾳ ἦν ἰδεῖν πρᾶγμα φοβερόν. τίς ἀνέστη καὶ ἀπέθετο τὸ ἱμάτιον; ὁ περιβαλλόμενος φῶς ὡς ἱμάτιον, καὶ διεζώσατο λέντιον; καὶ ἦν ἰδεῖν τότε τὴν Παύλου φωνὴν ἀληθεύουσαν, Φιλιπ. β. ς. ὅτι ἐν μορφῇ Θεοῦ ὑπάρχων, μορφὴν δούλου ἔλαβε. διεζώσατο λέντιον ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις· καὶ ἔβαλλεν ὕδωρ εἰς τὸν νιπτῆρα ὁ ποταμοῖς καὶ πηγαῖς καὶ θαλάσσαις τὴν τῶν ὑδάτων φύσιν ἐκχέας. ἐννόησον μαθητὴν καθήμενον, καὶ τὸν δεσπότην ἐπικαμπτόμενον, καὶ πρὸς γόνυ βλέποντα, ᾧ κάμπτει γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων. ἡ ταπείνωσις τοῦ σωτῆρος πᾶσαν ἔσβεσεν ὑπερηφανίαν· ἐκείνη ἡ ἐπιείκεια πᾶσαν ἔσβεσεν ἀλαζονείαν.

Ὅταν ἴδω τὸν σωτῆρα νίπτοντα τοὺς πόδας τῶν μαθητῶν, λέγω τὸ τοῦ Ἡσαΐου περὶ τῆς ἡμετέρας ὑπερηφανίας· ἴσ. Σειρὰχ Σειρ. ι. θ. Τί ὑπερηφανεύεται γῆ καὶ σποδός; ἐννόησον ἐπικύπτοντα τὸν δεσπότην πρὸς τοὺς πόδας τῶν οἰκετῶν καὶ νίπτοντα. πῶς ταῦτα λαληθῇ, ἢ πῶς σιωπηθῇ; λόγους οὐκ ἀρκεσθῇ, ἡ σιωπὴ ἀγνωμοσύνην ἡμῶν κατηγορεῖ. καὶ τί ποιήσομεν καὶ εἴπωμεν μὴ ἰσχύοντες; ἤρξατο νίπτειν τοὺς πόδας τῶν μαθητῶν καὶ ἐκμάσσειν τῷ λεντίῳ. οὐδὲ ἓν ὑπηρεσίας εἶδος παρέλιπεν· οὐκ ἐπέτρεψε τὸ μὲν ὕδωρ ἐνθεῖναι παρ' ἄλλων, ἑαυτῷ δὲ νίψαι· οὐδὲ ἔνιψε μὲν αὐτός, ἄλλοι δὲ ἀπέμαξαν. καὶ φαίνεται ἐνταῦθα ξένον τι μυστήριον εἰσηγούμενος τοῖς μαθηταῖς. ἀγαπήσας, φησί, τοὺς ἰδίους μαθητάς, εἰς τέλος ἠγάπησε, λέγει Ἰωάννης· Καὶ τοῦ δείπνου γινομένου ἤδη τοῦ διαβόλου βεβληκότος εἰς τὴν καρδίαν Ἰούδα Σίμωνος Ἰσκαριώτου, ἵνα παραδῷ αὐτόν. ἀναστὰς ἀπέθετο τὰ ἱμάτια. οὐχ ἁπλῶς τοῦτο εἶπεν· ἀλλ' ἵνα δείξῃ ὅτι ἤδη μελετήσαντος τοῦ προδότου τὴν παράδοσιν οὐκ ὤκνησεν ὁ σωτὴρ αὐτοῦ τοῦ προδότου τοὺς πόδας νίψαι· καὶ ᾔδει αὐτοῦ τὸν δόλον, καὶ ἔνιψε. τί οὖν; προσωποληψία παρὰ τῷ Θεῷ; μὴ γένοιτο. ἴσ. ἐκεῖ ἀεὶ μεταξὺ ἀδικούντων, καὶ ἀδικουμένων ἐστὶν ἡ προσωποληψία. ἐὰν μέν τοι ὁ ἀδικούμενος τιμήσῃ τὸν ἀδικοῦντα, οὐ προσωποληψία ἐστίν, ἀλλὰ ταπεινοφροσύνη. ἐὰν δὲ ὁ ἀδικούμενος λάθρα μὲν ἐργάζηται τὸ κακόν, σχήματι δὲ φιλανθρωπεύηται, ἐκείνη ἐστὶν ὑπόκρισις. δὴ ἀπ' αὐτοῦ τοῦ πράγματος λάβε τὴν ἀπόδειξιν. ᾔδει Ἰούδας ὁ παραδιδοὺς τὸν δεσπότην, ὅτι ἀσεβὲς ἦν αὐτοῦ. γρ. αὐτῷ ᾧ γὰρ ἐπεβούλευε, τούτῳ φίλημα προσέφερεν. ὁ δὲ σωτὴρ ἀδικούμενος ἐτίμα τὸν ἀδικοῦντα, ὅπερ οὐκ ἦν ἀδικία, ἀλλὰ ταπεινοφροσύνης ὑπερβολή, καὶ παρὰ Θεῷ ἐπαινουμένη, καὶ παρὰ ἀνθρώποις θαυμαζομένη. θέλεις ἰδεῖν σχῆμα; βλέπε τὸν Ἰωὰβ τὸν ἀρχιστράτηγον τοῦ Δαβίδ. β. Βασ. γ. κζ. κατεῖχε τὸν Ἀβνὰρ ἄλλον ἀρχιστράτηγον, καὶ φιλίας προσέφερε ῥήματα, καὶ λάθρα ἐνέπηξε τὸ ξίφος τῇ λαγόνι· ἀδελφὸν ἐκάλει, καὶ ὡς ἐχθρὸν ἀνῄρει. διὰ τοῦτο κακὸν ἡ ὑπόκρισις. ἀλλαχοῦ δὲ ὅταν ὁ ἀδικούμενος εὐεργετήσῃ τὸν ἀδικοῦντα, ἐπαίνου ἐστὶ τὸ ἔργον. ὁ Ἰακὼβ ἐφοβεῖτο τὸν ἴδιον ἀδελφὸν τὸν Ἡσαῦ, καὶ παρεκάλει τὸν Θεὸν λέγων· Γεν. λβ. ια. Ἐξελοῦ με ἐκ χειρὸς τοῦ ἀδελφοῦ μου, μὴ ἐλθὼν ἀποκτείνῃ με. ὅτε μέν τοι εἶδεν αὐτόν, τιμᾷ καὶ λέγει· Γεν. λγ. ι. Εἶδον τὸ πρόσωπόν σου, ὡς ἄν τις ἴδῃ πρόσωπον Θεοῦ. ἰδὼν δὲ αὐτὸν ὡς πολέμιον, ὡς φονέα, ἐπειδὴ ᾔδει ὅτι οὐκ ἔλεγεν ἵνα ἐπιβουλεύσῃ, ἀλλ' ἵνα ἐπιβουλὴν φύγῃ, συνέγνω ὁ Θεός. οὕτω τις ἐὰν φιλίας προσενέγκῃ ῥήματα, οὐχ ἵνα δολιεύσηται, ἀλλ' ἵνα τὸν δόλον ἐκφύγῃ, οὐκ ἀγανακτεῖ ὁ Θεός. αὐτὸς γάρ ἐστι διδάσκαλος, Παροιμ. ιε α. Λόγους ὑποπίπτων

πίπτων ἀποστρέφει ὀργήν. ἤδη οὖν, φησι, τοῦ διαβόλου βεβληκότος εἰς τὴν καρδίαν Ἰούδα παραδοῦναι τὸν σωτῆρα, ὁ σωτὴρ νικῆσαι θέλων τὴν ἀγνωμοσύνην τῇ φιλανθρωπίᾳ, καὶ τῇ ἐπιεικείᾳ τὴν ἀλαζονείαν λῦσαι, ἔνιψεν αὐτοῦ τοὺς πόδας. ἐγὼ οὐ τοσοῦτον θαυμάζω τὸν δεσπότην τὰ ἴδια ποιοῦντα (ἔργον γὰρ ἦν αὐτοῦ ἡ ἐπιείκεια) ὅσον ἐκεῖνον δόλου γέμοντα. ποία καρδία παρέτεινε τοὺς πόδας; πῶς ἔβλεπε τὰς ἁγίας χεῖρας τοῦ δεσπότου περὶ τοὺς πόδας αὐτοῦ στρεφομένας; πῶς οὐκ ἐνάρκησε; πῶς οὐκ ἔφριξεν; ἀλλ᾽ ὅμως ἡ ἀνεξίκακος φύσις μακροθυμεῖ. φαίνεται δὲ καὶ πρῶτον νίψας αὐτόν. διὰ τί; εἰ μὴ ἔνιψε τοὺς πόδας τοῦ προδότου, ἀλλὰ νίπτων τῶν ἄλλων αὐτὸν κατέλιπε, κἀκεῖνο ἦν τοῦ δεσπότου ἀλλότριον, καὶ ὁ Ἰούδας εὔλογον ἔλαβεν ἀφορμήν· αὐτός με ἀφώρισεν, αὐτός με ἠλλοτρίωσε· πάντων ἔνιψε τοὺς πόδας, ἐμὲ δὲ κατέγνω. ποίᾳ ψυχῇ ἐδυνάμην εἶναι μετ᾽ αὐτοῦ; εἶδεν ὁ Θεὸς καρδίαν συντετριμμένην, καὶ οὐκ ἠθέλησε τὸ ἀφ᾽ ἑαυτοῦ συντριβόμενον αὐτὸς συντρῖψαι. καὶ τοῦτο ἦν τὸ, Κάλαμον συντετριμμένον μὴ κατεάξῃς. ὅμως ἔνιψε τῶν μαθητῶν τοὺς πόδας. ἦλθε τελευταῖον ἐπὶ τὸν Πέτρον. ἐν ὅσῳ δὲ τοὺς ἄλλους ἔνιπτεν ὁ σωτήρ, ἐνόει Πέτρος τὸ ἀξίωμα τοῦ δεσπότου, καὶ τὴν εὐτέλειαν τῶν ἀνθρώπων, τὸ ταπεινὸν τῶν ἀνθρώπων, καὶ τὴν δόξαν τοῦ δεδοξασμένου, καὶ ὥρισε παρ᾽ ἑαυτῷ τὸ μὴ καταδέξασθαι. ἦλθε πρὸς αὐτὸν ὁ σωτήρ, καὶ λέγει ἐκεῖνος· Κύριε, σύ μου νίπτεις τοὺς πόδας; σὺ ὁ νεκροὺς ἐγείρων, ὁ λεπροὺς καθαρίζων (τὸ γὰρ, σὺ, πολλὴν ἔχει δύναμιν) σὺ, ᾧ ἐγὼ ἐμαρτύρησα, ὅτι σὺ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος; εἰ μὲν ἀπὸ ἀγνοίας εἶπον, συνέβη ἂν ὑπόνοιαν ἀνθρωπίνην εἶναι· εἰ δὲ σύ μου τὴν φωνὴν ἐσφράγισας, λέγων, Ὅτι ὁ πατήρ μου ὁ ἐν οὐρανοῖς ἀπεκάλυψέ σοι, ἀνέχῃ οἰκέτου πόδας πλῦναι χερσὶ δεσπότου; οὐ μὴ νίψῃς τοὺς πόδας εἰς τὸν αἰῶνα. τί οὖν ὁ σωτήρ; διεσκέδασε τὴν φωνὴν αὐτοῦ. Ὃ ποιῶ, φησι, νῦν σὺ οὐκ οἶδας, γνώσῃ δὲ μετὰ ταῦτα· ἀντὶ τοῦ, ἀγνοεῖς μου τὸν σκοπὸν τοῦ ποιοῦντος. οὐκ ἠνείχετο, ἀλλὰ ταῦτα ἀκούσας λέγει· οὐ μή μου νίψῃς τοὺς πόδας εἰς τὸν αἰῶνα. ἔδειξε ψυχὴν ἀδάμαντος σκληροτέραν. προσήνεγκε δὲ ὁ σωτὴρ τὸ ἑαυτοῦ πῦρ, καὶ ἐποίησε τὴν ἀδάμαντα ψυχὴν κηροῦ ἁπαλωτέραν. ὥστε φησὶ, καὶ μονότονος καὶ φιλόνεικος λῦσόν σου τὴν ἔνστασιν. εἰ μὴ σου νίψω τοὺς πόδας, οὐκ ἔχεις μέρος μετ᾽ ἐμοῦ. καὶ ὁ μονότονος καὶ ὁ φιλόνεικος λέγει· Κύριε, μὴ μόνον τοὺς πόδας, ἀλλὰ καὶ τὰς χεῖρας, καὶ τὴν κεφαλήν. τὸ κεφάλαιον ἀπεστέρει, καὶ μετὰ τόκου ἀπέδωκε. χριστιανῶν ἦθος οὐκ ἔστιν εἶναι μονότονον· οὐ δεῖ χριστιανὸν ἔμφιλον ἦθος ἔχειν, οὐδὲ αὐτὸν ποικίλον εἶναι εἰς ἐπιβουλήν, ἀλλ᾽ ἁπλότροπον εἰς ἀρετήν, οἷον δεῖ εἶναι, φαιδρὸν μὲν ἐν καιρῷ φαιδρότητος, στυγνὸν δὲ ἐν καιρῷ λύπης, ὡς λέγει Παῦλος, Χαίρειν μετὰ χαιρόντων, νηστεύειν μετὰ νηστευόντων, κλαίειν μετὰ κλαιόντων. τοῦτο γάρ ἐστιν ὃ λέγει Παῦλος· Εἴτε ἐσθίετε, εἴτε πίνετε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε. οὐδὲν οὖν ὤνησεν ἡ Πέτρου μονοτονία. ἐλύθη γὰρ, ὡς καὶ ἄλλου. ὅτε ἦλθεν ὁ Χριστὸς βαπτισθῆναι ὑπὸ Ἰωάννου, λέγει αὐτῷ ὁ βαπτιστής· Κύριε, ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; λέγει αὐτῷ ὁ σωτήρ· ἄφες ἄρτι. μὴ φιλονείκει, μὴ ἀντιτάσσου, ὅτι θεία ἐστὶν ἡ γνώμη. μὴ παρὰ καιροῦ γυμνώσῃς τὸ ἀξίωμα· ἔασόν με πληρῶσαι τὴν τάξιν, καὶ δεῖξαι ἀληθῶς, ὅτι ἄνθρωπον ἔλαβον, ἵνα διὰ τοῦ ἀνθρώπου τοῦ ἀληθινοῦ τὸν ἀληθινὸν Θεὸν ἀναφαίνω. μόνον εἶπεν, ἄφες ἄρτι, καὶ εὐθέως ἐπισημαίνεται ὁ εὐαγγελιστής, τότε ἀφῆκεν αὐτὸν βαπτισθῆναι. ἐφιλονείκησεν ὡς εὐσεβής, καὶ ὑπήκουσεν ὡς φιλόθεος. οὕτω καὶ Ἰερεμίας ἐφιλονείκησε τῷ Θεῷ. Ὁ ὢν δέσποτα Κύριε, σὺ οἶδας ὅτι νεώτερός εἰμι. καὶ εἶπε Κύριος πρός με· μὴ λέγε, ὅτι νεώτερος ἐγώ εἰμι, ὅτι πρὸς οὓς ἂν ἐξαποστελῶ σε, πορεύσῃ. ἔλυσε τὴν μονοτονίαν ἡ εὐτονία. πάλιν ὁ Μωϋσῆς ἐμονοτόνησε λέγων· Προχείρισαι ἄλλον· ἰσχνόφωνος γάρ εἰμι, καὶ βραδύγλωσσος· ἀλλ᾽ οὐκ ἐνέδωκεν.

Ματθ. ιβ. κ.

Ἰωαν. ιγ. ϛ.

Ματθ. ιϛ. ιζ.

Ἰωαν. ιγ. ζ.

Ῥωμ. ιβ. ιε.

α. Κορ. ι. λα.

Ματθ. γ. ιδ.

Ἰερ. α. ϛ.

Ἐξοδ. δ. ιγ.

Ἀλλ᾽ εἰς τὸ προκείμενον ἐπανέλθωμεν. λέγει ὁ σωτήρ, Ἐὰν μὴ νίψω σου τοὺς πόδας,

Ἰωαν. ιγ. η.

οὐκ ἔχεις μέρος μετ' ἐμοῦ. ἐν τούτῳ ὀφείλομεν εἰδέναι, ὅτι μέρος τῶν πιστῶν ὁ Θεός ἐστι,
καὶ μέρος τοῦ Θεοῦ οἱ πιστοί. οἶδα, ὅλος ὁ κόσμος τοῦ Θεοῦ ἐστιν, οἶδε δὲ τοὺς πιστοὺς ὁ Θεός. ὅ-
λος ὁ κόσμος, φησὶν, ἐκτίσθη ὑπ' ἐμοῦ, ἀλλ' οὐδέν μοι διαφέρει, ἢ τὸ τῶν πιστῶν μέρος. διὰ
Ψαλ. ρμα. ζ. τοῦτο οἱ μὲν πιστοὶ ἐβόων, ὡς ὁ Δαβίδ· Μερίς μου ὁ Κύριος ἐν γῇ ζώντων· καὶ πάλιν, Κύριος
μερὶς τῆς κληρονομίας μου. ἡ δὲ Μαρία καθημένη πρὸς τοῖς ποσὶ τοῦ δεσπότου, ἤκουσε τῆς
Λουκ. ι. μβ. διδασκαλίας, καὶ λέγει ὁ σωτήρ· Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀ-
φαιρεθήσεται ἀπ' αὐτῆς. ὁρᾷς ὅτι τῶν πιστῶν ἡ μερὶς ὁ Θεός ἐστι; λοιπὸν δεῖξαι ἀναγκαῖον,
Δευτ. λβ. θ. ποῦ ἡ μερὶς τοῦ Θεοῦ οἱ πιστοί. λέγει Μωϋσῆς, ὅτε διεμέριζεν ἔθνη ὁ ὕψιστος, διέσπειρεν υἱοὺς
Ἀδὰμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ, καὶ ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτοῦ
Ἰακώβ· ἐπειδὴ ὅλος ὁ κόσμος ἦν αὐτοῦ, μόνος δὲ λαὸς αὐτοῦ ἤκουσεν Ἰακώβ. οὕτω καὶ ὁ προ-
Ἀμ. ζ. δ. φήτης Ἀμὼς λέγει· Καὶ εἶδον, καὶ ἰδοὺ ἐκέλευσε Κύριος τὴν δίκην ἐν πυρὶ, καὶ κατέφαγε
τὴν ἄβυσσον τὴν πολλὴν, καὶ κατέφαγε τὴν μερίδα Κυρίου, τὸν λαὸν λέγει· καὶ εἶπον, φησὶ,
κόπασον, Κύριε, ἀπὸ τοῦ Ἰακὼβ, ὅτι ὀλιγοστός ἐστιν, ἀντὶ τοῦ, μὴ ἀναλώσῃς ἡμᾶς. ταῦτα "μὴ ἴσ. παρέλκει
εἴρηται), διὰ τὸ λέγειν τὸν σωτῆρα, ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ. μερὶς οὖν μή
τῶν πιστῶν ὁ Θεὸς, καὶ μερὶς τοῦ Θεοῦ οἱ πιστοί. λέγει ὁ Πέτρος, Κύριε, μὴ μόνον τοὺς πόδας μου
"νίψεις, ἀλλὰ καὶ τὰς χεῖρας, καὶ τὴν κεφαλήν. ἐνόμισεν ὁ Πέτρος ὅτι ἡ ἀπόνιψις ἐκείνη ἁμαρ- γρ. νίψῃς,
τιῶν ἦν ἄφεσις, καὶ ἤθελε δι' ὅλου τοῦ σώματος λαβεῖν ἄφεσιν. ἡ δὲ οὐχ ἁμαρτιῶν ἄφεσις ἦν,
Ἰωαν. ιγ. ι. ἀλλ' εὐλαβείας ὑπόθεσις. εἶτα λέγει ὁ σωτὴρ, Ὁ λελουμένος, οὐ χρείαν ἔχει, εἰ μὴ μόνον
τοὺς πόδας νίψασθαι. ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον, ὃν λελάληκα ὑμῖν. ἀλλὰ
ταῦτα μὲν ταύτην ἔχει τὴν ἔξιν. ὅτε δὲ ἀπένιψε τοὺς πόδας καὶ ἐξέμαξε, λαβὼν τὰ ἱμάτια
ἀνέπεσεν. "ἐτήρησε τοῦ δούλου τὴν μορφὴν, καὶ "τί λοιπὸν ἀνακλίνεται ὡς δεσπότης, καὶ ἴσ. ἐξέβαλε
λέγει μετ' αὐθεντίας, οὐκ οἴδατε τί πεποίηκα ὑμῖν; ἀντὶ τοῦ, οὐκ ἐνοήσατε; οὐχ ὑμεῖς λέ- ἴσ. τὸ
γετε, ὁ Κύριος καὶ ὁ διδάσκαλος; καὶ καλῶς λέγετε· εἰμὶ γάρ. ὧδε γυμνοῖ τὴν αὐθεντίαν.
ἐξέβαλε τὴν τοῦ δούλου μορφὴν, καὶ εἰσάγει τὴν τοῦ Θεοῦ. οὐχ ὑμεῖς λέγετε, ὁ Κύριος,
καὶ ὁ διδάσκαλος; εἰ οὖν ἐγὼ ὁ Κύριος καὶ ὁ διδάσκαλος ἔνιψα ὑμῶν τοὺς πόδας, πόσῳ μᾶλ-
λον ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας; ὑπόδειγμα γὰρ δέδωκα ὑμῖν. ὁρᾷς ὅτι εὐλαβείας
ἦν ὑπόθεσις, ἵν', ὡς ἐποίησα ὑμῖν, φησιν, οὕτω καὶ ὑμεῖς ἀλλήλοις ποιῆτε.

Μαρκ. ιδ. ιγ. Τούτων οὕτω γενομένων προσέρχονται αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, καὶ λέγουσι· Κύριε, ποῦ
θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα; βλέπε Θεοῦ πρόγνωσιν. λέγει, ἀπέλθατε εἰς
τὴν πόλιν, καὶ ἀπαντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων. ἀκολουθήσατε
αὐτῷ ὅπου ἀπέρχεται, καὶ εἰς ἣν ἂν οἰκίαν εἰσέλθῃ, εἴπατε τῷ οἰκοδεσπότῃ· ὁ διδάσκαλος
λέγει, ὁ καιρός μου ἐγγύς ἐστι· πρὸς σὲ ποιῶ τὸ πάσχα μετὰ τῶν μαθητῶν μου· καὶ αὐτὸς ὑμῖν
δείξει ἀνώγεον ἐστρωμένον. τὰ δύο τηρεῖ, καὶ τοὺς ἀποστόλους ἐφοδιάζει ἐρωτῆσαι τὸν οἰκοδε-
σπότην, καὶ ἵνα μὴ νοήσωσιν, ὅτι ἀγνοεῖ τὸν τόπον, λέγει αὐτοῖς, ὑμῖν δείξει ἀνώγεον μέγα ἐστρωμέ-
νον. εἰ προλέγεις τὸν τόπον, διὰ τί λέγεις τοῖς μαθηταῖς, ἐρωτήσατε περὶ τοῦ τόπου; πρὶν ἐρωτήσω-
μεν ἐμάθομεν· ναί φησι, καί μοι πρέπει προλέγειν ὡς Θεῷ, καὶ ὑμῖν ἐρωτᾶν ὡς ἀνθρώποις.
οὐδαμοῦ δὲ Χριστὸς παραδίδωσι τὸ μυστήριον ἐν ταπεινοῖς τόποις, ἀλλ' ἐν τῇ ὀρεινῇ, ἢ ἐν ὑπερῴῳ.
οὐδὲν γὰρ κατώτερον ἐπὶ Χριστοῦ. διὰ τοῦτο ὅτε καὶ τὴν ἐπιφοίτησιν ἐδέχοντο τοῦ ἁγίου πνεύ-
ματος οἱ ἀπόστολοι, ἐν ὑπερῴῳ ἦσαν συνηγμένοι. τότε, φησὶν, ἀπέστειλε δύο τῶν μαθητῶν
ἑτοιμάσαι τὸ πάσχα. τίνες δὲ ἦσαν οὗτοι; Πέτρος καὶ Ἰωάννης. διὰ τί δὲ παρὰ τοὺς δώδεκα
Ματθ. ιϛ. ιϛ. Πέτρον καὶ Ἰωάννην ἀπέστειλε; Πέτρος ἦν ὁ ὁμολογήσας, Ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ
Ἰωαν. α. α. τοῦ ζῶντος· Ἰωάννης δὲ ἔμελλε κηρύττειν τὸ, Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν,
καὶ Θεὸς ἦν ὁ λόγος. ἀποστέλλει τὸν θεμέλιον τῆς πίστεως, καὶ τὸν υἱὸν τῆς βροντῆς, ἵνα ἐν μὲν τῷ
θεμελίῳ πήξῃ τὸ τῆς εὐσεβείας μυστήριον, ἐν δὲ τῷ υἱῷ τῆς βροντῆς ἀστράψῃ τὰ τῆς δικαιοσύνης

σύνης ἐντάλματα. πάλιν διὰ τί Πέτρον καὶ Ἰωάννην ἀποστέλλει; ἵνα δειχθῇ ὅτι καὶ τῆς σεμνογαμίας καὶ τῆς παρθενίας ἥπλωται τὸ δῶρον, καὶ γίνονται κοινωνοὶ τοῦ πάσχα καὶ οἱ ἐν σεμνογαμίᾳ, καὶ οἱ ἐν παρθενίᾳ καλῶς ζῶντες. ἀποστέλλει παρθενίαν καὶ σεμνογαμίαν ἑτοιμάσαι αὐτῷ τὸ πάσχα· ὥσπερ ἐν τῷ ὄρει Μωϋσῆν καὶ Ἠλίαν παρέστησε, τὸν μὲν ἀπὸ σεμνογαμίας, τὸν δὲ ἀπὸ παρθενίας λάμποντα, ἵνα φανῇ σεμνογαμία καὶ παρθενία παρεστῶσαι τῷ Χριστῷ. Ἐπιθυμίᾳ γὰρ ἐπεθύμησα μεθ' ὑμῶν τὸ πάσχα τοῦτο φαγεῖν. οὐκ ἀναγκαζόμενος βιάζεται, οὐκ ἀκούσιον τὸ πάθος, ἀλλ' ἑκούσιος ἡ γνώμη. εἰ ὁ δεσπότης εὐεργετῶν εἶπεν, ἐπιθυμίᾳ ἐπεθύμησα, τί εἴπωμεν ἡμεῖς; προλαμβάνεις γὰρ τὰς φωνὰς ἡμῶν, δέσποτα· ἡμέτερα προλαμβάνεις ἁμαρτήματα, καὶ προλάμπεις ταῖς εὐεργεσίαις. ἡμεῖς ὀφείλομεν εἰπεῖν, ἐπεθυμοῦμεν ἰδεῖν τὸ πάσχα, καὶ σὺ προλαμβάνεις; πηγὴ ἐπιθυμεῖ ποτε τῶν διψώντων, ἢ οἱ διψῶντες τῆς πηγῆς; τράπεζα ἐπιθυμεῖ τῶν πεινώντων, ἢ οἱ πεινῶντες τῆς τραπέζης; ἡμῖν πρέπει λέγειν τὸ τοῦ Δαβίδ, Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ, ὁ Θεός. ἀλλ' ἐπειδὴ πρόκειται τοῦ σωτῆρος μυσταγωγία, αὐτὸ τὸ πάθος τὸ ἔνδοξον, αὕτη τοῦ πάθους ἡ παράδοσις, δεῖ τῷ λόγῳ παραχωρῆσαι τῷ καιρῷ· ἵνα καὶ διψῶντες ἀπολαύσωμεν, καὶ οἱ πιστοὶ στηριχθῶσι, καὶ οἱ μέλλοντες φωτίζεσθαι τὸν ἀρραβῶνα δέξωνται, καὶ φυλάξωνται οἱ πιστοί. μὴ προφάσει τοῦ δώρου λύσῃς τῆς νηστείας τὸν δρόμον. ὥσπερ ὁ τὴν ὁδὸν διανύων τὴν μακρὰν, καὶ διὰ τὴν τοῦ σώματος θεραπείαν ἀναπαύσεται, εἴτε ἐν δοχείοις, εἴτε ἐν ἄλλοις τόποις, οὐ παύεται τῆς ὁδοῦ, ἀλλ' ἀναπαύεται μὲν ἐπὶ τὸ θάλψαι τὸ σῶμα, τοῦ δὲ σκοποῦ τῆς ὁδοιπορίας οὐκ ἀφίσταται· οὕτω καὶ ἡμῖν ἔδωκε τὴν ἀπόλαυσιν τῶν ἀγαθῶν αὐτοῦ ὁ σωτὴρ, οὐχ ἵνα τρυφήσωμεν, ἀλλ' ἵνα τὴν σάρκα, καὶ τὴν ψυχὴν κάμνουσαν θεραπεύσωμεν. μὴ τοίνυν προφάσει τῶν μυστηρίων εἰσαγάγῃς τὸ ἀλλότριον, μὴ, ἐπειδὴ μεταλαμβάνεις, νομίσῃς ἀδελφὴν τὴν χαρὰν εἶναι τῆς κραιπάλης. ταῦτα δὲ φυλαττέσθωσαν μὴ οἱ πιστοὶ μόνοι, ἀλλὰ καὶ οἱ κατηχούμενοι. περὶ τῆς δωρεᾶς δεῖξον τὸ ἀξίωμα τοῦ δώρου. τίς χρεία λόγου; τὴν συνείδησίν σου ἐξέτασον. ποίᾳ παρρησίᾳ προσέρχεται ὁ κλέψας τὴν νηστείαν; ἀληθῶς προσέρχῃ αὔριον, καὶ μηδενός σου κατηγοροῦντος ἡ συνείδησίς σου κατηγορήσει. εἶδες οὐδένα ποτὲ μεθ' ἑαυτοῦ κατήγορον φέροντα, μᾶλλον ἔχει συνήγορον τὴν συνείδησιν. ἡ σήμερον ἡμέρα, τουτέστιν, ἡ ἁγία αὕτη μυσταγωγία, οὐ θέλει τῆς νηστείας τὸν δρόμον, οὐδὲ τὴν ἐν τῷ ἁγίῳ πάσχα μυσταγωγίαν. ἀλλ' ἐπειδὴ ἐστὶ μὲν ἐν αὐτῇ τοῦ πάθους ἡ παράδοσις, ἐν ἐκείνῃ δὲ τῆς ἀναστάσεως ἡ ἀπόδειξις, γινώμεθα κοινωνοὶ, καὶ τῆς ἀναστάσεως μέτοχοι. σήμερον κοινωνήσωμεν τοῖς πάθεσι, τότε τῇ ἀναστάσει· σήμερον κοινωνοῦντες μὴ εἰς σπατάλην ἐκδῶμεν ἑαυτοὺς, ἀλλ' εἰς δάκρυα. μετὰ γὰρ τὴν ἀνάστασιν οὐκ ἔστι λύπη. ἀκμὴν ἐν πάθει ὁ δεσπότης, καὶ σὺ τρυφᾷς; οὐκ οἶδας, πῶς πολλοὶ πολλάκις καὶ τῶν μεγάλων μέμψιν ὑπέστησαν ἐπὶ βασιλικῷ πένθει τρυφήσαντες, καὶ τιμωρίαν ὑπέσχον; σὺ δὲ βλέπων τὸ δεσποτικὸν πάθος ἔτι ἐπὶ σταυροῦ λάμπον, οὔπω τῆς ἀναστάσεως φέρων τὸν λόγον, προλαβὼν τῆς ἀναστάσεως τὴν εὐφροσύνην, σπατάλῃ ἑαυτὸν ἐξέδωκας. ταῦτα λέγω, οὐχ ὅτι δεῖ πενθεῖν αὐτὸν τὸν σωτῆρα, ὡς ἄξια πένθους ὑποστάντα, ἀλλ' ὅτι χρὴ ἡμᾶς τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδείκνυσθαι, ἵνα κοινωνήσαντες αὐτοῦ τῶν παθῶν, κοινωνοὶ γινώμεθα καὶ τῆς ἀναστάσεως· ὅτι αὐτῷ πρέπει τῷ Κυρίῳ ἡ δόξα, ἡ τιμὴ, καὶ ἡ προσκύνησις, ἅμα τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λουκ. κβ. ιε.

Ψαλ. μα. α.

Λογ. ρμδ. ΕΙΣ ΤΟΝ ΤΙΜΙΟΝ ΚΑΙ ΖΩΟΠΟΙΟΝ ΣΤΑΥρόν· καὶ εἰς τὸ, Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; καὶ εἰς τὸν τυφλὸν καὶ μογιλάλον· καὶ εἰς τὸ ῥητὸν τοῦ προφήτου Ἀμβακοὺμ, Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην.

Ματθ. ια. γ.

Ἀμβ. γ. α.

Ex Ms. Regio Lut.

Καλῶς ἡμῖν καὶ σοφῶς ἡ προεξηγησαμένη γλῶσσα τοῦ σταυροῦ τὰς ἀκτῖνας ἐπέδειξεν. ἐκήρυξε σταυρὸν, τὸν ψιλὸν μὲν τῇ λέξει, μέγαν δὲ τῇ ἐνεργείᾳ· ἐκήρυξε σταυρὸν, ὃν γελῶσιν ἄπιστοι, καὶ τρέμουσι δαίμονες· ἐκήρυξε σταυρὸν, ὃν ἔπηξαν οἱ Ἰουδαῖοι, καὶ ὁ κόσμος προσεκύνησεν· ἔδειξεν αὐτοῦ καὶ ἀκτῖνας. ἀκτῖνας γὰρ τοῦ σταυροῦ ὑποτίθεται παρθενίαν λάμπουσαν· καὶ λάμψασαν οὐχ ἁπλῶς, ἀλλ' ἐκ προνοίας τὸ κάλλος ἐκφήνασαν. καὶ ὅπως, ἄκουε. πορνεύοντα παρέλαβεν ὁ σταυρὸς τὸν κόσμον, καὶ σωφρονοῦντα πᾶσιν ἀνέδειξε. τοῦ σταυροῦ αἱ ἀκτῖνες οὐκ ἀπὸ τῶν λόγων κηρύττονται, ἀλλὰ διὰ τῶν ἔργων ἑρμηνεύονται. οὐ χρείαν ἔχει σταυρὸς γλώσσης πειθούσης καὶ λέξεως ἑρμηνευούσης, ἀλλὰ ψυχῆς εὐγνωμονούσης καὶ ἔργα δικαιοσύνης ἐπιτελούσης. ἀφ' οὗ σταυρὸς ἐπάγη, οἱ μέθυσοι νηστεύουσιν· ἀφ' οὗ σταυρὸς ἐπάγη, οἱ πόρνοι κήρυκες τῆς εὐσεβείας καὶ τῆς σωφροσύνης ἐγένοντο· ἀφ' οὗ ὁ σταυρὸς, τελῶναι εὐαγγελισταὶ, καὶ διῶκται κήρυκες τῆς εὐσεβείας ἐδείχθησαν. ἐπήγαγε δὲ καὶ ὁ προφητευσάμενος λόγος τὴν μνήμην τοῦ σταυροῦ, καὶ τὴν ῥίζαν. ῥίζα δὲ σταυροῦ ἡ παρθενία, ἡ τὸν παθόντα τεκοῦσα παρθένος, τίκτουσα οὐ νόμῳ φύσεως, ἀλλὰ δυνάμει καὶ ἐνεργείᾳ τοῦ τεχνίτου τῆς φύσεως. μὴ οὖν ἀπαίτει ἐπὶ τῆς παρθένου τὸν ἄνδρα, ἐπεὶ ἀπαιτηθήσῃ ἐπὶ τοῦ Ἀδὰμ τὴν γυναῖκα. ἐὰν γὰρ λέγῃς, πῶς ἐγέννησεν ἡ παρθένος ἄνευ ἀνδρός; ἐρῶ σοι κἀγὼ, πῶς ἡ Εὔα προῆλθεν ἐκ τοῦ Ἀδὰμ ἄνευ γυναικός; καὶ τί δεῖ σώματι σῶμα παραβάλλειν; τίς ὁ τοῦτο μαχόμενος Ἰουδαῖος; αἰσχυνέσθω ὅτι ἀναγινώσκων, οὐδὲν ἐπιγινώσκει. ἀμφιβάλλει πῶς ἔτεκεν ἡ παρθένος; ἑρμηνευέτω πῶς ἔτεκεν ἡ πέτρα τὸ ὕδωρ, οὐκ ἔχουσα ὑποκειμένην φλέβα, οὐ ποταμὸν ὑπεστορεσμένον, οὐ ῥίζαν ὑδάτων· ἀλλὰ τὸ θαυμαστὸν, καὶ αὕτη ξηρὰ καὶ ἄγονος, καὶ ἡ ῥάβδος ξηρὰ καὶ ἄγονος. ἄγονος ῥάβδος ἁψαμένη πέτρας ἀγόνου, ἤνεγκεν ὕδωρ· δύναμις ὑψίστου ἐπισκιάσασα τῇ παρθένῳ, αὐτή γε ζῶσα τῇ ἀθανάτῳ ζωῇ, καὶ ζώσης ἁψαμένη σαρκὸς, οὐκ ἤνεγκε καρπὸν, ὡς ἡ πέτρα ἤνεγκε τὸ ὕδωρ; ἀλλ' οὔτε τότε ἡ πέτρα ἤνεγκεν ὕδωρ, οὔτε ἡ ῥάβδος ἡ πλήξασα, ἀλλ' ἡ δύναμις ἡ δι' ἐκείνων θεωρηθεῖσα. πέτρα αὕτη τὸ φαινόμενον ἦν· μᾶλλον μὲν οὖν τὸ φαινόμενον πέτρα ἦν, τὸ δὲ νοούμενον Χριστός. ἑρμηνεύει Παῦλος, ὅτι ἡ πέτρα ἐκείνη εἰκὼν ἦν τοῦ Χριστοῦ. Ἔπινον γὰρ, φησὶν, ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα ἦν ὁ Χριστός. ἡ πέτρα τύπον εἶχε τοῦ δεσπότου, ἡ ῥάβδος τύπον εἶχε τοῦ σταυροῦ· καὶ αὕτη ἡ ἱστορία ἑρμηνεύει τοῦ σταυροῦ τὴν δύναμιν. ἐπάταξε Μωϋσῆς τὴν πέτραν ἅπαξ καὶ δίς. εἰ δυνάμει Θεοῦ ὑπακούει, τίς χρεία δευτέρας πληγῆς; εἰ δὲ ἐκτὸς δυνάμεως Θεοῦ τύπτει, οὔτε δευτέρα, οὔτε δεκάτη, οὔτε ἑκατοστὴ πληγὴ δύναται ἐπιθεῖναι τῇ ἀγόνῳ φύσει γόνιμον φύσιν. εἰ μὲν οὖν Θεοῦ τὸ ἔργον ἁπλῶς, καὶ ἄνευ μυστηρίου σταυροῦ, ἤρκει καὶ τὸ ἅπαξ, ἤρκει καὶ νεῦμα, ἤρκει καὶ λόγος· ἀλλ' ἵνα δείξῃ πῶς δείκνυται σταυροῦ ἡ χάρις, καὶ ὅτι ἄλλως Χριστὸς οὐ πηγάζει τὴν εὐεργεσίαν, ἢ διὰ σταυροῦ θεωρούμενος, ἐπάταξε Μωϋσῆς ἅπαξ καὶ δὶς, οὐ κατὰ τοῦ αὐτοῦ σχήματος, ἀλλὰ σταυρὸν ὑπογράφων. ἅπαξ καὶ δὶς ἐπάταξε. διὰ τί ἅπαξ καὶ δίς; ἵνα καὶ ἡ ἄψυχος φύσις αἰδεσθῇ τοῦ σταυροῦ τὸ σύμβολον. καὶ γὰρ βασιλέως ἀπόντος, εἰκὼν βασιλέως πληροῖ χώραν βασιλέως· καὶ προσκυνοῦσιν ἄρχοντες, καὶ ἱεραὶ νεομηνίαι ἐπιτελοῦνται, καὶ ἄρχοντες ὑπαντῶσι, καὶ δῆμοι προσκυνοῦσιν, οὐ πρὸς τὴν σανίδα βλέποντες, ἀλλὰ πρὸς τὸν χαρακ-

τῆρα

ἴσ. τούτῳ

α Κορ. ι. δ.

τῆρα τοῦ βασιλέως, οὐκ ἐν τῇ φύσει θεωρούμενον, ἀλλ' ἐν τῇ γραφῇ παραδιδόμενον. εἰκὼν τοσοῦτον ἰσχύει βασιλέως θνητοῦ· ἀθανάτου βασιλέως εἰκὼν, ὁ σταυρὸς, οὐκ ἠδύνατο, καὶ φανεῖσα μόνον, καὶ πέτραν ῥῆξαι, καὶ τὸν οὐρανὸν, καὶ πᾶσαν τὴν οἰκουμένην; ἢ οὐκ ἤκουσας, πῶς ὁ μακάριος Δαβὶδ ἐρωτᾷ τὴν κτίσιν; ἐπειδὴ καὶ τὴν θάλασσαν ῥάβδῳ Μωϋσῆς ἐπάταξε, καὶ τῇ αὐτῇ ῥάβδῳ καὶ τὴν πέτραν ἔτυψε, καὶ πολὺ σημεῖον διὰ τῆς ῥάβδου ἐποίησεν, ἐρωτᾷ Δαβὶδ τὴν κτίσιν, Ψαλ. ριγ. ε. Τί σοί ἐστι, θάλασσα, ὅτι ἔφυγες, καὶ σὺ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; τί γέγονε, φησὶν, ὅτι μετεβλήθησαν ὅροι φύσεως; διὰ τί ἐσαλεύθησαν θεμέλιοι τῆς δημιουργίας; τί σοί ἐστι, θάλασσα, ὅτι ἔφυγες; τοσοῦτοι αἰῶνες, καὶ ἐπὶ τοῦ σχήματος ἔμεινας. οὐδέποτε οἱ ῥέοντες ποταμοὶ ἐξέωσάν σε ἐκ τοῦ πελάγους· οὐχ ὑπεχώρησας τοσούτοις ῥεύμασι, καὶ νῦν τίνα ἰδοῦσα ᾐδέσθης; τί ὑπεχώρησας; τί ἔλυσας τὸν ὅρον τοῦ νομοθέτου, τοῦ κελεύσαντός σοι, Ἰωβ. λη. ια. Μέχρι τούτου ἐλεύσῃ, καὶ οὐχ ὑπερβήσῃ; ἔθετο τῇ θαλάσσῃ νόμον αἰώνιον, καὶ οὐχ ὑπερβήσεται. Ἱερ. ε. κβ. Εἰ δὲ ἣν τοιοῦτον ἔλαβες νόμον, τί ἀλλάζεις τὸ ῥεῦμα; τί σοί ἐστι; τί γὰρ γέγονε; τί εἶδες; τί ἔπαθες; τί σοί ἐστι, θάλασσα, ὅτι ἔφυγες; καὶ σὺ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; τὰ ὄρη, ὅτι ἐσκιρτήσατε, ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων; ἠρώτησε, καὶ ἡ ἄψυχος ὑπακούει καὶ ἀποκρίνεται· Ἀπὸ προσώπου Κυρίου. ποίου; ποῖον γὰρ εἶδες πρόσωπον ἐν τῇ θαλάττῃ; ποῖον εἶδες πρόσωπον ἐν τῇ πέτρᾳ; Μωϋσῆν εἶδες καὶ ῥάβδον· πρόσωπον οὐκ ἐφαίνετο, οὐδὲ εἶπεν ἡ γραφὴ κατὰ τὸ [illegible], ὅτι ὤφθη Κύριος ἐν τῇ θαλάσσῃ, καὶ εἶδον οἱ Αἰγύπτιοι, καὶ ἐφοβήθησαν· ἀλλὰ Μωϋσῆς ἦν κατέχων ῥάβδον, ἡ δὲ κτίσις λέγει· ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ, ἀπὸ προσώπου Κυρίου. ποίου; τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων. πρόσωπον Κυρίου καλεῖ τὴν ῥάβδον, ἐπειδὴ εἰκόνα ἔφερε τοῦ σταυρωθέντος. ὅτι δὲ ἡ τοῦ Μωϋσέως ῥάβδος εἰκών ἐστι τοῦ σωτῆρος ἡμῶν, ἄκουε τοῦ προφήτου Δαβὶδ ἐν ἑτέρῳ τύπῳ διαγράφοντος· Ψαλ. ρθ. β. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιὼν, καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. ὁρᾷς ὅτι ἡ ῥάβδος ἐκείνη, εἰκὼν ἦν τῆς ῥάβδου τῆς δυνάμεως; ῥάβδον δυνάμεως ὅταν εἴπῃ, ῥάβδου βασιλικῆς λέγει σύνθημα. Ψαλ. μδ. η. Ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου. ῥάβδον δυνάμεως, τουτέστι, βασιλείαν δυνατήν. δυνατὴν διὰ τί; ὅτι διὰ τῶν ἐναντίων τὰ ἐναντία κατορθοῖ, διὰ πάθους ἀπάθειαν ἡμῖν χαρίζεται, διὰ θανάτου ἀθανασίαν δωρεῖται, διὰ σταυροῦ σταυροῖ τοὺς δαίμονας, διὰ τῆς ῥάβδου φανερώσεως ἐθριάμβευσε τὴν τῶν δαιμόνων φάλαγγα. Εἰκότως οὖν καὶ ῥάβδον δυνάμεως, οὐκ ἀπὸ τῶν ἀκολούθων νικώσης, ἀλλ' ἀπὸ τῶν ἐναντίων τῶν ἐχθρῶν περιγινομένης. ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ, τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων. ὢ τῆς ἀγνωμοσύνης τῶν αἱρετικῶν. ἡ πέτρα τὴν ῥάβδον θεασαμένη ᾐδέσθη, εἰκόνα σταυροῦ εἶδεν ἡ πέτρα, καὶ ᾐδέσθη· αἱρετικοὶ αὐτὸν τὸν σωτῆρα εἶδον, καὶ οὐκ ἠρυθρίασαν. ἡ πέτρα θεασαμένη σταυροῦ εἰκόνα, καὶ ἃ μὴ εἶχε, προσήνεγκεν· αἱρετικοὶ εἶδον τὸν σωτῆρα, καὶ ἃ παρέλαβον, ἠρνήσαντο. ἐκείνη προσφέρει, ἃ μὴ εἶχει· οὗτοι ἀρνοῦνται ἃ ἔλαβον· παρέλαβον πίστιν, καὶ πίστιν ἠρνήσαντο· παρέλαβον φώτισμα, καὶ τοῦ φωτίσματος τὴν δύναμιν ἠρνήσαντο.

Ἀλλ' ἔλθωμεν ἐπὶ τὸν ἰατρὸν τῶν ἡμετέρων ψυχῶν, τὸν καὶ λόγῳ ἡμᾶς παιδεύοντα, καὶ τοῖς λειψάνοις τοῖς ἑαυτοῦ τὴν πόλιν τὴν ἡμετέραν τειχίζοντα· Ἰωάννην λέγω τὸν Βαπτιστὴν, λούσαντα ἡμᾶς σήμερον τῷ λόγῳ τῆς μετανοίας· ἴδωμεν αὐτὸν, δι' ὧν πρὸς τὸν σωτῆρα ἀποστέλλει παιδεύοντα ἡμᾶς τὴν ἀλήθειαν. σήμερον γὰρ, ὡς ὑπανεγνώσθη ταῖς ὑμετέραις ἀκοαῖς, ἀπέστειλεν Ἰωάννης ὁ Βαπτιστὴς πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν λέγων· Ματθ. ια. γ. Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; δοκεῖ πως ὑπεναντίον εἶναι τῇ τοῦ προφήτου ἐπαγγελίᾳ ἡ ἀμφιβολία. τὸ γὰρ, σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν, κατὰ

δο

τὸ φαινόμενον ἐν τῇ λέξει οὐδέπω πεπιστευκότος, ἀλλ' ἔτι ζητοῦντός ἐστιν. ἐπερωτάσθω
τοίνυν ὁ προφήτης καὶ πρόδρομος· εἰ ἀκμὴν ἔτι ζητεῖς, πῶς ἐμαρτύρεις; διὰ τί ἐπὶ τοῦ
Ιωαν. α. κθ. βαπτίσματος ἔλεγες, Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου; διὰ τί ἔλε-
Ιωαν. α. κς. γες, Μέσος ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε; Καὶ ὁ ἄνωθεν ἐρχόμενος, ἐπάνω πάντων
Ιωαν. γ. λα. ἐστί; πῶς δὲ αὐτῷ προσφωνεῖς τῷ σωτῆρι λέγων, Κύριε, ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ
Ματθ. γ. ιδ. βαπτισθῆναι; οὐ σὴ ἐστὶν ἡ φωνή, Κἀγὼ οὐκ ᾔδειν αὐτόν, ἀλλ' ὁ πέμψας με βαπτί-
Ιωαν. α. λγ. ζειν ἐν ὕδατι, αὐτός μοι εἶπεν, ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστεράν, καὶ
μένον ἐπ' αὐτόν, οὗτός ἐστιν; εἰ καὶ ἡ μαρτυρία σε τοῦ πατρὸς ἐβεβαίωσε, καὶ ἡ ὄψις ἔπει-
σε, καὶ σὺ ἐκήρυξας, καὶ οἱ ἀκούσαντες ἐπίστευσαν, διὰ τί ἀποθέμενος τὴν προτέραν γνῶσιν,
ἀγνοίας ἀναλαμβάνεις σχῆμα; οὐκ ἀγνοεῖ ὁ προφήτης, οὐκ ἀγνοεῖ τὸν δεσπότην, ὃν ἐν
τῇ γαστρὶ προσεκύνησεν· οὐκ ἀγνοεῖ τὸν εὐεργέτην, ὃν καὶ διὰ τοῦ σκιρτήματος ἔδειξεν. οὐ
μάχεται αὐτοῦ ταῖς φωναῖς, σπεύδει δὲ τῶν μαθητῶν τὰς γνώμας. ἐπειδὴ γὰρ ἐν τῇ φυλακῇ
Ματθ. ια. β. ἦν (τοῦτο γὰρ γέγραπται, ὅτι Ἰωάννης ὑπάρχων ἐν τῇ φυλακῇ, ἀπέστειλε πρὸς τὸν Ἰη-
σοῦν) ἐπειδὴ ἐν τῇ φυλακῇ ἦν ὑπὸ Ἡρώδου βεβλημένος διὰ τὸν ἔλεγχον τῆς ἀκολασίας,
ὡς δὲ προφήτης εἶδεν, ὅτι τὰ τῶν ἀγώνων εἰς τέλος προσῆλθε, καὶ μέλλοι λοιπὸν ἐκδημεῖν
ἐκ τοῦ κόσμου, καὶ πρὸς τὸν ἑαυτοῦ βελτίω τρέχειν, πολὺς δὲ αὐτὸν περιεῖχεν ὅμιλος τῶν
μαθητῶν, καὶ πολλοὶ αὐτὸν περιεστοίχιζον τῶν Ἰουδαίων, βουληθεὶς μὴ καταλιπεῖν τὴν ἀγέ-
λην ἔρημον, καὶ τοὺς ὑπ' αὐτοῦ μαθητευομένους βουληθεὶς παραστῆσαι τῷ ἀληθινῷ διδασκά-
λῳ, οὐκ ἀποστέλλει πρὸς αὐτὸν μετὰ τῆς πεπαρρησιασμένης αὐτῷ πίστεως καὶ ὁμολογίας. οὐκ
εἶπε λοιπόν, ἐπειδὴ ἐκδημῶ τοῦ σώματος, προσχωρήσατε τῷ Χριστῷ· ἱκανὸς γάρ ἐστιν ὁ
διδάσκαλος (μαρτυρία γὰρ εὐχερὴς εἰς ὑποψίαν ἔρχεται) ἀλλ' ὅρα τὸ θαυμαστόν, ὡς
προφήτης, ἵνα καὶ τὴν ὑποψίαν φύγῃ τῆς μαρτυρίας, καὶ τὴν ἐνέργειαν αὐτὴν παραστή- χ. ἐπιρ.
σῃ τῆς ἀληθείας· ἀποστέλλει τοὺς μαθητὰς πρὸς τὸν Ἰησοῦν, ἐννοήσας, μᾶλλον δὲ ὡς προφή-
της θεασάμενος, ὅτι κατὰ τὸν καιρόν, ἐν ᾧ ἀπήρχοντο οἱ μαθηταί, εὑρίσκετο ὁ σωτὴρ θαυμα-
τα ποιῶν· ἵνα τῶν θαυμάτων γενόμενοι θεαταί, τὸν μὲν σχήματι θεωρήσωσι, τῇ δὲ ἀληθείᾳ τὸν σωτῆρα
τοῦ κόσμου παραλάβωσιν. ἄλλο γάρ ἐστι μαρτυρῆσαι λόγῳ, ἄλλο ἐστὶ παραστῆσαι τῶν πραγ-
μάτων τὴν ἀλήθειαν. πορευθέντες, φησίν, ἐρωτήσατε αὐτόν, καὶ εἴπατε· Ἰωάννης λέγει ὁ Βα-
πτιστής, αἰνιττόμενος, ὡς οὐκ ἐπελαθόμην τῶν ἐν τῷ βαπτίσματι, οἶδα ὃν ἐβάπτισα, λυτρω-
τὴν τοῦ κόσμου ἐγὼ ὁ λυτρώσεως δεόμενος· Ἰωάννης λέγει ὁ Βαπτιστής, σὺ εἶ ὁ ἐρχόμενος,
ἢ ἕτερον προσδοκῶμεν; ἦλθον οἱ μαθηταί, καὶ περιεπάτησαν τῇ θύρᾳ τῆς ἀληθείας. ἀ-
Λουκ. ζ. κ. πῆλθον μαθεῖν, καὶ εὑρέθη τὰ θαύματα διδάσκοντα. λέγει γὰρ ὁ εὐαγγελιστής· Ἐν ἐκείνῃ τῇ
ὥρᾳ ὁ Ἰησοῦς πολλὰς νόσους ἐθεράπευσε, καὶ πολλὰ δαιμόνια ἐξέβαλε, καὶ πολλὰς θεραπείας
ἐπετέλεσεν. ἐν ἐκείνῃ τῇ ὥρᾳ. ποίᾳ; καθ' ἣν ἀπέστειλεν Ἰωάννης. ὡς γὰρ προφήτης, ἥρ-
μοσε τῷ καιρῷ τῶν θαυμάτων τὴν ἀποστολὴν τῶν μαθητῶν. εἶτα οἱ ἀποσταλέντες φρά-
ζουσι τὴν βουλὴν τοῦ ἀποστείλαντος, μᾶλλον δὲ αὐτῇ τῇ λέξει λέγουσιν· Ἰωάννης ὁ Βαπτιστὴς
ἀπέστειλεν ἡμᾶς λέγων, σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; ὁ σωτὴρ λέγει, πορευ-
θέντες εἴπατε Ἰωάννῃ ἃ βλέπετε καὶ ἀκούετε. οὐκ Ἰωάννῃ πέμπων ταῦτά φησιν, ἀλλ'
ἐκείνων διορθοῦται τὴν διάνοιαν. πορευθέντες εἴπατε Ἰωάννῃ ἃ βλέπετε καὶ ἀκούετε. οὐ
χρεία λόγου· ὀφθαλμῶν χρεία μαρτύρων καὶ γλώσσης μαρτυρούσης τὰ τῇ ὄψει θεαθέντα.
τί δὲ εἴπωμεν; τυφλοὶ ἀναβλέπουσι, καὶ χωλοὶ περιπατοῦσιν. εἴπατε ταῦτα, εἴπατε
ἐκείνῳ τῇ γλώσσῃ, εἴπατε ἑαυτοῖς τῇ γνώμῃ. ἀπαγγείλατε τῷ μὴ δεομένῳ διὰ λόγου,
ἀπαγγείλατε ἑαυτοῖς ἃ οἴδατε διὰ τῶν πραγμάτων. τυφλοὶ ἀναβλέπουσι, χωλοὶ περι-
πατοῦσι, λεπροὶ καθαρίζονται, νεκροὶ ἐγείρονται, πτωχοὶ εὐαγγελίζονται· καὶ μακάριος ὃς
ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί. πρόσεχε ἀκριβῶς. οὐκ εἶπε, μακάριός ἐστιν Ἰωάννης.

ἐὰν μὴ σκανδαλισθῇ (οὐ γὰρ σημαίνει τοιαύτην τινὰ μεμερισμένην ἔννοιαν τοῦ προφήτου) ἀλλὰ μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί, ἀντὶ τοῦ, μακάριοί ἐστε ὑμεῖς, ἐὰν μὴ σκανδαλισθῆτε. τί ἐστι δέ, μὴ σκανδαλισθῆτε; μακάριοί ἐστε, φησίν, ἐὰν μὴ πρὸς τὸ σῶμα ἴδητε τὸ φαινόμενον, καὶ ἀπ' αὐτοῦ ἀρνήσησθε τὴν θεότητα, ἀλλ' ἀπὸ τῶν θαυμάτων μάθητε τὸν ἐνεργοῦντα ἐν τῷ σώματι Θεόν. ἐνεργοῦντα δὲ λέγει Θεὸν ἐν τῷ σώματι, οὐχ ὡς ἐνήργησεν ἐν προφήταις, οὐδ' ὡς ἐνήργησεν ἐν ἀποστόλοις, ἀλλ' ἐνεργοῦντα, ὡς ἐνοικοῦντα καὶ συνημμένον καὶ ἀναλαμβάνοντα εἰς ἑαυτὸν τὴν πλάσιν τοῦ Ἀδάμ, τουτέστι, τὴν ἀνθρωπότητα.

Τυφλοὶ ἀναβλέπουσι. καὶ τί πρὸς τὴν ἐρώτησιν, σὺ εἶ ὁ ἐρχόμενος; μὴ γὰρ εἶπον, τί ἐργάζῃ; τί ποιεῖς; ποῖα σημεῖα γνωρίζεις; ἐρωτώμενος, σὺ εἶ ὁ ἐρχόμενος, ἄλλο δείκνυσιν· ὅτι τοῦ ἐρχομένου σημεῖα ταῦτά ἐστι. καὶ πόθεν τοῦτο δῆλον, ὅτι τοῦ ἐρχομένου σημεῖα ταῦτά ἐστιν; ἐπειδὴ ἐμοὶ ἀπιστοῦσι πολλάκις οἱ πρὸς τὸ σῶμα βλέποντες καὶ σκανδαλιζόμενοι, ἐρωτήσωσιν Ἡσαΐαν τὸν περὶ τῶν θαυμάτων τούτων ταῦτα τὰ θαύματα κηρύττοντα. ἄκουε γὰρ τί φησιν Ἡσαΐας· Ἰσχύσατε χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα· (Ἡσ. λε. γ.) παρακλήθητε οἱ ὀλιγόψυχοι τῇ διανοίᾳ· ἰσχύσατε, μὴ φοβεῖσθε. ἰδοὺ ὁ Θεὸς ἡμῶν, ἰδοὺ Κύριος μετὰ ἰσχύος ἔρχεται. καὶ ὁ ἐρχόμενος τί ποιεῖ; ἀνοίγει τυφλῶν ὀφθαλμούς. τότε ἀνοιχθήσονται, φησίν, ὀφθαλμοὶ τυφλῶν. πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ, τυφλοὶ ἀναβλέπουσι· τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν. παράθες τῇ εὐαγγελικῇ λέξει λέξιν προφητικήν, ἵνα ἴδῃς τὸν προφήτην Ἰωάννην καὶ πρόδρομον σύμφωνα φθεγγόμενον τῷ Ἡσαΐᾳ. τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, τυφλοὶ ἀναβλέπουσι· κωφοὶ ἀκούουσι, καὶ ὦτα κωφῶν ἀκούσονται· χωλοὶ περιπατοῦσι, τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλός, καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων. καὶ πότε ἐποίησε τρανὴν γλῶσσαν μογιλάλων; ἡνίκα προσηνέχθη ποτὲ τῷ Κυρίῳ ἄνθρωπος (Μαρκ. ζ. λα.) δαιμονιζόμενος, κωφὸς καὶ ἄλαλος· καὶ τί γέγονεν; ἀπολαβὼν αὐτὸν κατ' ἰδίαν καὶ πτύσας, ἥψατο τῆς γλώσσης αὐτοῦ. διὰ τί πτύει, ὁ λόγῳ πάντα ποιῶν; τρεῖς κέχρηται πτυέλῳ, τῷ ὀργάνῳ τούτῳ. εὑρίσκεις αὐτὸν ἐπὶ τριῶν θαυμάτων χρησάμενον τούτῳ τῷ φαρμάκῳ· ἐπὶ τοῦ ἐκ γενετῆς τυφλοῦ, ὅτε πτύσας πηλὸν ἐποίησε· καὶ ἐπὶ ἑτέρου τυφλοῦ, ἔπτυσεν εἰς τὰ ὄμματα αὐτοῦ· καὶ ἐπὶ τοῦ κωφοῦ καὶ μογιλάλου, ἔπτυσεν εἰς τὰ ὦτα αὐτοῦ. τρίτον ἐχρήσατο τῷ φαρμάκῳ τούτῳ, οὐ δεόμενος αὐτοῦ, ἀλλὰ πρᾶγμα μυστικὸν ὑποτιθέμενος, ἐπειδὴ ἀπ' ἀρχῆς ὁ διάβολος ταύτας τὰς αἰσθήσεις ἔβλαψε. θεασαμένη γὰρ ἡ γυνὴ τὸ δένδρον ὅτι καλόν, θεασαμένη τοῖς ὀφθαλμοῖς, καὶ ἀκούσασα ἐκ τοῦ ὄφεως. ποίῳ γὰρ μέρει; τῇ ἀκοῇ. ἐπειδὴ ὁ ἰὸς τοῦ ὄφεως κατὰ τῆς ἀκοῆς ἔδραμε, καὶ διὰ τῆς ἀκοῆς πᾶσαν ἐπλήρωσε τὴν δεξαμένην τῆς ψυχῆς, καὶ ὅλος ἰοῦ ἐπεπληρώθη ὁ ἄνθρωπος, ὡς μὴ μόνον ἔχειν, ἀλλὰ καὶ διδόναι· ἐπειδὴ ἐπληρώθησαν ἰοῦ, εὑρέθησαν καὶ ἰὸν φέροντες (Ἰὸς γὰρ ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν) (Ψαλμ. ρλθ. γ.) μετέδωκεν ἡ τοῦ ὄφεως πικρία καὶ τῷ ἀνθρώπῳ, καὶ ἀπὸ τοῦ ἀνθρώπου δέδωκεν εἰς ἄλλους· ἐπεὶ τοίνυν ἰὸς ὄφεως, πτύελόν ἐστιν ὄφεως, εἰσάγει οὖν δηλητήριον ἀντιφάρμακον, τὸν ἰὸν πτυέλῳ. (ἰὸς τὸ δηλητήριον ἀντιφ. τῷ ἰῷ πτύελον) λέγεται γὰρ φυσικῶς, ὅτι ὅπερ ἐστὶν ἰὸς ὄφεως ἀνθρώπῳ, τοῦτο τῷ ὄφει πτύελος ἀνθρώπου. ἀλλ' ὁ μὲν ἐμὸς πτύελος τὸν αἰσθητὸν ὄφιν ἐκτρέπεται, ὁ δὲ τοῦ δεσπότου τὸν νοητόν. πτύει εἰς τὰ ὦτα, ἵνα τὸν ἰὸν ἀποπλύνῃ· καὶ ἀνοίγει τὴν γλῶσσαν, λέγων, ἐφφαθά, ὅ ἐστι, διανοίχθητι. ὃ γὰρ ἀπέκλεισεν ὁ διάβολος τῇ παραβάσει, ἠνοίξεν ὁ σωτὴρ τῇ φιλανθρωπίᾳ. τὸν δὲ τυφλόν, οὐ τὸν ἐκ γενετῆς, ἀλλ' ἕτερον παραλαβὼν ἔξω τῆς κώμης, καὶ θεωρήσας, φησίν, εἰς τὸν οὐρανὸν ἐστέναξε· καὶ στενάξας, προσέπτυσε τοῖς ὄμμασι τοῦ τυφλοῦ. διὰ τί στενάζει; καὶ διὰ τί προσπτύει; διὰ τί μὴ κελεύει ὡς αὐθέντης; διὰ τί μὴ ἰατρεύει ὡς Θεός; διὰ τί ἀναβλέπει εἰς τὸν οὐρανόν, καὶ στενάζει; οὐκ ἀπὸ τῆς θεότητος οὕτω φθέγγεται, ἀλλὰ τὸ σχῆμα καὶ τὸ φθέγμα τὸν Ἀδὰμ δείκνυσιν. ἐπειδὴ γὰρ τὸν Ἀδὰμ ἐνεδύσατο τὸν πεσόντα, α. Κορ. ιε. με. σόντα, καὶ ἐκλήθη Ἀδὰμ διὰ τὸ ἀναλαβεῖν πλάσμα τοῦ Ἀδάμ. Ὁ γὰρ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν, ὁ δεύτερος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν. ἀναβλέψας ἐστέναξεν ἐκ προσώπου τῆς ἀνθρωπότητος, μονονουχὶ διὰ τοῦ στεναγμοῦ κηρύττων τὴν βίαν γρ. φανερῶς τοῦ διαβόλου, καὶ λέγων· ἰδοὺ τὸ πλάσμα πῶς ὕβρισται; ἰδοὺ τὰ ὄργανα τὰ ὑπ' ἐμοῦ πλασθέντα πῶς ἡ τοῦ διαβόλου τυραννὶς ἀπέπνιξεν; ἐστέναξε συμπαθῶν τῇ ἀνθρωπότητι οὕτως ὑπὸ τοῦ διαβόλου πεπεδημένῃ, οὕτως ὑπὸ τῆς τυραννίδος τοῦ διαβόλου κατεχομένῃ. ἐστέναξεν, ἔδειξε τὴν συμπάθειαν. λοιπὸν δείκνυσι καὶ τὴν ἐνέργειαν. καὶ προσπτύει τοῖς ὄμμασιν αὐτοῦ, καὶ ἐπιτίθησι τὰς χεῖρας. προσπτύει, ἵν' ἀποπλύνῃ τὸν ἰόν· ἐπιτίθησι τὰς χεῖρας, ἵνα δείξῃ τὴν πλάσιν. ἄλλως γὰρ οὐκ ἔστι πλάσις, ἢ χειρὸς Θεοῦ ἐπικειμέ- Ψαλ. ρλη. δ. νης, χειρὸς δὲ νοητῆς. Καὶ τούτῳ τῷ λόγῳ μαρτυρεῖ Δαβὶδ λέγων· Σύ ἔπλασάς με, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου. ἐπέθηκεν αὐτῷ τὰς χεῖρας, καὶ ἀνέβλεψε, καὶ ἐρωτᾷ αὐτὸν ὁ σωτήρ· τί βλέπεις; ὁ δὲ λέγει, βλέπω τοὺς ἀνθρώπους ὡς δένδρα περιπατοῦντας. οὔπω γὰρ καθαρῶς ἀναβλέψας, ἀλλ' ἠρέμα αὐγὴν ἔβλεπεν. ἐπέθηκεν ἐκ δευτέρου τὰς χεῖρας ὁ Ἰησοῦς, καὶ ἀνέβλεψε καθαρῶς. ἠπόρει γὰρ ἡ δύναμις ἐκ πρώτης προσβολῆς ὅλην τὴν ἀχλὺν διασκεδάσαι; διὰ τί ἡ πρώτη ἐπίθεσις τῆς χειρὸς ἀμαυρότερον ἔδειξε τὸ φῶς, ἡ δευτέρα δὲ καθαρὸν ἀπέδωκεν; ἵνα ἑρμηνεύσῃ τὸ μυστήριον· ὅτι ἡ πρώτη πλάσις οὐκ ἴσχυσεν ἰδεῖν καθαρῶς τὴν ἀλήθειαν, οὐ παρὰ τὴν ἀσθένειαν τοῦ τεχνίτου, ἀλλὰ παρὰ τὴν ἀμβλύτητα τῆς διανοίας· ἡ δὲ δευτέρα ἀναγέννησις ἀπέδωκεν αὐτῷ καθαρῶς τὸ ὁρᾶν. διὰ τοῦτο ὁ Παῦ- Ρωμ. α. κα. λος τῇ ἐσκοτισμένῃ ταύτῃ πλάσει φησί· Σκοτισθήσεσθε διὰ τὴν ἀσύνετον ὑμῶν καρδίαν. Φάσκοντες γὰρ εἶναι σοφοί, ἐμωράνθησαν. ἐσκοτίσθη οὐχ ἡ πλάσις, ἀλλ' ἡ ἀσύνετος αὐτῶν καρδία. ὁ δὲ μακάριος Δαβὶδ τὸ σκεῦος τῆς γνώσεως παρασκευάζων τῷ θείῳ λόγῳ, λέγει· Ψαλ. λγ. ε. Προσέλθετε πρὸς αὐτόν, καὶ φωτίσθητε. ἐπέθηκε τὰς χεῖρας, ἀνέβλεψε καὶ λέγει· βλέπω, φησί, τοὺς ἀνθρώπους ὡς δένδρα περιπατοῦντας, διὰ τὴν ζωτικὴν δύναμιν, ἐπειδὴ κινούμενοί εἰσι καὶ μεταφερόμενοι τὸ πλάσμα. διὰ τί ὡς δένδρα βλέπει; ἐπειδὴ καὶ τὸν καιρὸν περιλαμβάνει, καὶ ἀποβάλλει καὶ πρόσκαιρον ἔχει τὴν χρῆσιν. μετὰ ταῦτα οὐ βλέπει ὡς δένδρα, ἀλλὰ βλέπει ἀνθρώπους. τὸ πρῶτον πλάσμα ἐοικὸς φυτείᾳ πεφυτευμένῃ καὶ ἀνασωμένῃ· ἡ δὲ δευτέρα ἀναγέννησις τὸν ἄνθρωπον δείκνυσι καθαρόν, τὴν αὐτὴν εἰκόνα. εἰκὼν δὲ Θεοῦ θανάτῳ οὐχ ὑποπίπτει. εἰ γὰρ ἀποθνήσκει ἡ εἰκών, ὑβρίζεται τὸ πρωτότυπον. οὕτως ἔδειξε δένδρα διὰ πάντων τὴν ἐνέργειαν ἀστράπτουσαν.

Καὶ εἰκότως πρὸς τὸν ἐρωτήσαντα σχήματι ἀποκρίνεται τῇ ἀληθείᾳ· Εἴπατε Ἰωάννῃ ἃ βλέπετε καὶ ἀκούετε· τυφλοὶ ἀναβλέπουσι, χωλοὶ περιπατοῦσι, νεκροὶ ἐγείρονται, πτωχοὶ Ησ. ξα. α. εὐαγγελίζονται. ποῦ εὐαγγελίζονται πτωχοί; οὐδὲ τοῦτο ἐσιώπησεν Ἡσαΐας· Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με. οὐκ ἀμφιβολίας τοίνυν ἡ ἐρώτησις, ἀλλὰ βεβαιοῦντος τοὺς μαθητάς, καὶ διεσχισμένην ἔχοντας τὴν καρδίαν μὴ μερίζεσθαι περὶ τὸν εὐεργέτην, ἀλλ' εἰδέναι τὸν ἐλθόντα, καὶ ὅτι ἦλθεν. ἀλλὰ Αμβ. γ. γ. ζητεῖς, τίς ὁ ἐλθών; ζητεῖς πόθεν ἦλθεν; ἐρωτήσωμεν. λέγει ὁ προφήτης Ἀμβακούμ· Ὁ Θεὸς ἐκ Θαιμὰν ἥξει. τί ἐστι Θαιμάν; κατὰ τὴν τῶν Σύρων γλῶσσαν καὶ Ἑβραΐδα ἡ μεσημβρία λέγεται. ἐπεὶ οὖν ᾔδει ὁ προφήτης, ὡς προφήτης πνεύματι ἁγίῳ πεφωτισμένος, ὅτι ἐκ τῶν μεσημβρινῶν τόπων, τουτέστιν, ἐκ τῆς Παλαιστίνης μέλλει ὁ σωτὴρ ἐπιφαίνεσθαι τῷ κόσμῳ, λέγει· ὁ Θεὸς ἐκ Θαιμὰν ἥξει, καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου δασέος. ποίου ὄρους κατασκίου; ὄρος καλεῖ τὴν Σιὼν κατάσκιον, ἐπειδὴ τῇ θείᾳ δυνάμει ἐπεσκιάζετο καὶ τὸ θαυμασὸν παρακαλῶ. ἐντεῦθεν γὰρ ἀνακύπτει μέγα ζήτημα μεγάλης δεόμενον λύσεως. ὁ μακάριος Ἀμβακοὺμ ἑρμηνεύων τὸν ἐλθόντα, καὶ τίς ὁ ἐρχόμενος, καὶ ὅτι Θεός ἐστι, καὶ Θεὸς οὐ πάλαι γνωριζόμενος, ἀλλ' ὢν μὲν πρὸ αἰώνων, ἐπὶ τέλει δὲ φανερούμενος τῶν αἰώνων, ἐξεπλάγη ὁ προφήτης. ἐδέξατο πνεύματος ἁγίου ἐνέργειαν· καὶ ἐπειδὴ προσεκύνει τὸν Θεὸν, νομίζων τὸν ὑπὸ Μωϋσέως κηρυττόμενον εἶναι Θεὸν, καὶ οὐκ εἶναι τὸν ἐκ Θεοῦ Θεὸν (ἁπλῆ γὰρ ἐδόθη πίστις ἐν ἀρχῇ· Ἄκουε Ἰσραὴλ, Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι) τῇ λέξει μετεστήσαντες οἱ προφῆται τὸ ῥῆμα, οὔπω διέκειντο ὡς Θεὸν προσκυνοῦντες, οὐ μὴν ὁμολογοῦντες ἕτερον Θεὸν υἱὸν Θεοῦ. τί οὖν γνωρίζεται τῷ προφήτῃ; ὅτι τοῦ προσκυνουμένου Θεοῦ ἐστι Θεὸς λόγος, καὶ μέλλει φανεροῦσθαι τῇ οἰκουμένῃ καὶ ἐπιφαίνεσθαι τῷ κόσμῳ, οὐκ ἐν τῷ παρεῖναι γινόμενος, ἀλλ' ὑπάρχων μὲν πρὸ τῶν αἰώνων, ἐν δὲ τῇ παρουσίᾳ γνωριζόμενος. τί οὖν φησιν ὁ προφήτης; ἐπειδὴ ἤκουσε καὶ ἐξενίσθη, ὅτι Θεὸς γνωρίζεται ἐκ Θεοῦ, νέον κήρυγμα, νέος λόγος, νέος τῇ αἱρέσει, οὐ τῇ φύσει (οὐκ ἔστι γὰρ ἐν σοὶ Θεὸς πρόσφατος, οὐδὲ προσκυνήσεις Θεῷ ἀλλοτρίῳ) φόβου πληρωθεὶς τὴν καρδίαν, ἄρχεται διὰ τῆς ἁγίας ᾠδῆς μελῳδεῖν τὴν θείαν παρουσίαν· Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην. Αμβ. γ. α. εἰσακήκοας τὴν ἀκοήν μου; πρὸ γὰρ τούτου οὐκ ἀκήκοας; οὐκ ἐγώ εἰμι ὁ λαλήσας ἐν τῷ ὄρει Σινᾶ; οὐ διὰ Μωϋσέως ἐλάλησα; οὐ διὰ τῶν προφητῶν ἐκήρυξα τὴν πρόσοδον; οὐ Δαβὶδ ἐκήρυξεν; ὁ γὰρ Ἀμβακοὺμ μετὰ πολλὰς γενεὰς τοῦ Δαβίδ. μετὰ γὰρ δεκατέσσαρας γενεὰς ὕστερον ἐστὶν ὁ ἐν Βαβυλῶνι προελθών. Ματθ. α. ιζ. Ἀπὸ γὰρ Δαβὶδ ἕως τῆς μετοικεσίας Βαβυλῶνος γενεαὶ δεκατέσσαρες, ὥς φησι τὸ εὐαγγέλιον. εἰ τοίνυν ὁ προφήτης Ἀμβακοὺμ κατὰ τὸν χρόνον ἦν τῆς αἰχμαλωσίας Βαβυλῶνος, καὶ Μωϋσῆς καὶ Σαμουὴλ καὶ Ἡσαΐας καὶ Ἱερεμίας καὶ Ἠλίας καὶ Ἐλισσαῖος, καὶ οἱ ἀκρότατοι τῶν προφητῶν πανταχοῦ τὸν Θεὸν ἐκήρυξαν, Κύριε ὁ Θεὸς Ἀβραὰμ, Κύριε ὁ Θεὸς Ἰσαὰκ, Κύριε ὁ Θεὸς Ἰακὼβ, ἐπάκουσόν μοι σήμερον ἐν πυρί· Γ. Βασ. ιη. λϛ. ἕκαστος τῶν προφητῶν Θεὸν ἐκήρυττον, καὶ ἀκοὴ διεδίδοτο, σὺ προφῆτα, ὁ μετὰ πολλοὺς γενόμενος προφήτας, διὰ τί τὸ πάλαι τετριμμένον τῇ συνηθείᾳ, τὸ ἤδη κατεχόμενον τῇ συνειδήσει, τὸ ἤδη κατεχόμενον τῇ γνώμῃ, τὸ ἤδη προλάμπον τῇ συνειδήσει τῶν πιστῶν, διὰ τί ὡς ξένον ἑρμηνεύεις, καὶ μετὰ τρόμου λέγεις, Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην; πόθεν ἀκήκοας; ἢ τίς σοι ἀπήγγειλεν, ὦ προφῆτα; οὐ καλῶς ἐξενίσθης, οὐδὲ καλῶς ἐφοβήθης. ὁ γὰρ κηρυττόμενος, οὐ φόβον ἔχει, ἀλλ' ἀληθείας χαρὰν ἀπεργάζεται, εὐφροσύνης πληροῖ. ἀλλ' ἐγώ, φησιν, οἶδα τί ἤκουσα. πόθεν ἤκουσας; παρὰ τοῦ λαλοῦντος ἐν ἐμοὶ Θεοῦ. Θεὸς γὰρ προφήταις οὐκ ἔξωθεν λαλεῖ, ἀλλ' ἔσωθεν ἀκούεται ἤχῳ προφήτου, καὶ ἔνδοθεν ἠχεῖται. πόθεν τοῦτο; αὐτὸς μαρτυρεῖ ὁ Ἀμβακούμ· Ἐπὶ τῆς φυλακῆς μου στήσομαι, καὶ ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεός. Αμβ. β. α. παρακαλῶ δὲ, ὅτι ἐνέπεσον εἰς τὴν ὑπόθεσιν ταύτην, εὐγνωμόνως ὑμᾶς ἀκοῦσαι καὶ μακροθύμως, ἵνα μὴ παρέλθῃ τὸ νόημα ἁπλῶς, γυμνούμενον τῆς οἰκείας θεωρίας. ἀναγκαῖον γὰρ ζητῆσαι, ἀπὸ ποίας ἀφορμῆς εἰς ἀνάγκην κατέστη ὁ τοῦ Θεοῦ λόγος· ἑρμηνευέτω ὁ προφήτης τὸν σωτῆρα. ἢ ποίᾳ ὑποθέσει; οὐ γὰρ λαλεῖ ὁ Θεὸς ἀργῶς μὴ ὑποκειμένου πράγματος. καὶ ἀπαιτοῦντος Θεοῦ τὴν διδασκαλίαν, ὁ προφήτης Ἀμβακοὺμ, οὐδὲν ἔχων περὶ τὸ προκείμενον, οὔτε ἵνα πῶς τὸν σωτῆρα θεολογήσῃ, ἀλλὰ περὶ τῆς ἀνωμαλίας τῶν πραγμάτων ἐντυγχάνων τῷ Θεῷ, καὶ δεικνὺς ὅτι ἀνωμαλίας ὁ βίος γέμει, καὶ ἀδικία δυναστεύει, καὶ πλεονεξία τυραννεῖ, ἐντυγχάνει τῷ Θεῷ· Κύριε, ἵνα τί μοι ἔδειξας κόπους καὶ πόνους, ἐπιβλέπειν ἐπὶ ταλαιπωρίαις ἀνθρώπων; Αμβ. α. γ'. ὡς εἴ τις λέγει· διὰ τί ἐγεννήθην, ἵνα μάρτυς γένωμαι τῶν κακῶν τοῦ κόσμου; τί γὰρ εἶδες κακὸν, ὦ προφῆτα; ἐνώπιόν μου γέγονε κρίσις, ἀντὶ τοῦ, οὐκ ἠδέσθησαν οὐδὲ προφήτου ὀφθαλμούς. λέγει πρὸς αὐτὸν ὁ Θεὸς, θαυμάζεις ὅτι σε οὐκ ἐρυθριῶσιν; ἐνώπιον ἐμοῦ λαμβάνουσι, καὶ οὐκ ἀδικοῦνται. ἐνώπιόν μου γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει, Ὁ ἄρχων αἰτεῖ, καὶ ὁ κριτὴς λόγους εἰρηνικοὺς ἐλάλησε, καταθύμιον τῆς ψυχῆς αὐτοῦ, Μιχ. ζ. γ'. οὐ κατὰ τὴν βούλησιν τοῦ νόμου, ἀλλ' εἰς τὸ θέλημα τῆς ψυχῆς αὐτοῦ. διὰ τοῦτο ἐξέρχεται τὸ κρίμα διεστραμμένον. εἶτα λέγει τῷ Θεῷ προνοητὰ τοῦ κόσμου, ὁ πάντων φειδόμενος, παρασιω-

πρὸς ἐν τῷ καταπίνεσθαι τὸν δίκαιον ὑπὸ τοῦ ἀσεβοῦς; καὶ ποιεῖς τοὺς ἀνθρώπους ὡς τοὺς
ἰχθύας τῆς θαλάσσης ἀλλήλους κατεσθίοντας, οἷς οὐκ ἔστιν ἡγούμενος; ὡς ταῦτα ἐπέτυχε, καὶ
ταῦτα ἔδειξεν, ὡς προφήτης ἄρχεται λέγειν μετὰ τὸ πληρῶσαι τὸν λόγον, ἐπὶ τῆς φυλακῆς
μου στήσομαι, καὶ ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος, καὶ τί ἀποκριθήσομαι πρὸς τὸν
ἔλεγχόν μου. ἰδοὺ ποίαν λύσιν τοῖς ζητήμασι δίδωσιν. ἐρωτήσας περὶ τῆς ἀνωμαλίας τῶν
πραγμάτων, διὰ τί περιφορᾷ ταῦτα γινόμενα, ἐπὶ τῆς φυλακῆς μου, φησὶ, στήσομαι. τί
ἐστι φυλακή; φυλακὴν λέγει ὁ δίκαιος τὸ μὴ προπετῶς λαλεῖν. ὅταν τις, ἀδελφὲ, ἀπορῇ
τῶν πραγμάτων τῶν ἐν τῷ βίῳ τὸν τρόπον, οὐκ ὀφείλει προπετῶς ἀποκρίνεσθαι· οὐ
πρόνοος ὁ Θεὸς τοῦ κόσμου, οὐ διαφέρεται τῶν γινομένων, κατέλιπε τὴν οἰκουμένην, οὐκ ἐφορᾷ
Ψαλ. ϟγ. ε. τὴν γῆν· ὡς διαβάλλει Δαβὶδ τοὺς κακοὺς λέγων, Τὸν λαόν σου, Κύριε, ἐταπείνωσαν, καὶ
τὴν κληρονομίαν σου ἐκάκωσαν· χήραν καὶ ὀρφανὸν ἀπέκτειναν, καὶ προσήλυτον ἐφόνευσαν·
καὶ εἶπαν, οὐκ ὄψεται Κύριος, οὐδὲ συνήσει ὁ Θεὸς τοῦ Ἰακώβ. κατεψηφίσαντό σου ἀπρονοησίαν·
Ψαλ. ιγ. α. Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ οὐκ ἔστι Θεὸς, οὐδὲ πρόνοος ὁ Θεός. ἐγὼ δὲ ὁ προφήτης,
εἰ καὶ δυσχεραίνω ἐπὶ τῇ ἀνωμαλίᾳ, ἀλλ' οὐ προπετεύομαι. ἐπὶ τῆς φυλακῆς
μου στήσομαι, ἀντὶ τοῦ, φυλακῆς τῆς ἐμῆς οὐκ ἀφίσταμαι. ποίας; τὸ μὴ προπετῶς φθέγγεσθαι,
μηδὲ ἀποφαίνεσθαι ἀπὸ τῶν ἀνθρωπίνων λογισμῶν πράγματα, ἀλλὰ ἀναμένειν
Θεοῦ διδασκαλίαν. ἐπὶ τῆς φυλακῆς μου στήσομαι. φυλακὴν λέγει, τὸ μηδὲν λαλῆσαι
Ψαλ. ρμ. γ. προπετῶς. Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου. καὶ ἐπὶ τῆς φυλακῆς μου στήσομαι, καὶ ἀκούσομαι
τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεὸς, καὶ τί ἀποκριθήσομαι πρὸς τὸν ἔλεγχόν μου. οὐκ εἶπε, τί ἀποκριθῇ
ὁ Θεὸς, ἀλλὰ, τί ἀποκριθῶ ἐγώ. διὰ γὰρ τοῦ αὐτοῦ προφήτου καὶ τὰ ἐγκλήματα, καὶ ἡ λύσις
τῶν ἐγκλημάτων. καὶ εἶπε Κύριος πρός με, ἔσωθεν λαλῶν, οὐκ ἔξωθεν φθεγγόμενος·
καθίσας γράψον ἐπὶ πυξίου εἰς βιβλίον σαφῶς, ἵνα σαφῶς τρέχῃ ὁ ἀναγινώσκων·
ἀντὶ τοῦ, εὔδηλα γράμματα, τρανὰ, φανερά· ἵνα μὴ ἡ δυσκολία τῆς ἀναγνώσεως ἐμποδίσῃ
τὴν γνῶσιν· ἵνα σαφῶς τρέχῃ ὁ ἀναγινώσκων. τί οὖν γράψω; ὅτι ὁ ἐρχόμενος ἥξει, καὶ οὐ
χρονιεῖ. ἐπειδὴ κριτὴν ζητεῖς δίκαιον ἐρευνῶντα τὰ ὑπὸ τῆς δυναστείας κρυπτόμενα, ζητοῦντα
τὰ ἁμαρτήματα, ἐπειδὴ κριτὴν ζητεῖς ἐρευνῶντα τὰ γινόμενα, εὐθέως ἀπαιτοῦντα πάντα
τὰ παρανόμως κατασκευαζόμενα, ἥξει ὁ κριτής· ὅτι ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. καὶ οὐ
λέγει, ἰδοὺ ἥξω, ἀλλ', ἰδοὺ ἥξει. ἐγώ σε κριτὴν ζητῶ. τίς ἔσται ἄλλος παρὰ σὲ ἐρχόμενος
* * καὶ κρίνων; εἰ δὲ ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται, μὴ τῇ
ὄψει κρίνων, ἀλλὰ τῇ πίστει ταμιευόμενος τὴν ἀλήθειαν. ὅτι ὁ ἐρχόμενος ἥξει. ποῖος ἐρχόμενος;
σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; ὅτι ὁ ἐρχόμενος ἥξει. μηδὲν ἄλλο
γράψῃς. λύσις πάντων τῶν ζητημάτων Χριστοῦ παρουσία. ὁ ἐρχόμενος ἥξει. ὅπου Χριστὸς,
λύεται ζήτημα· ὅπου Χριστὸς, λύεται φόβος καὶ δειλία. ἐδειλίασαν ποτε ἐν τῇ θαλάσσῃ
Ματθ. ιδ. κζ. οἱ μαθηταὶ, καί φησι· Θαρσεῖτε, ἐγώ εἰμι. μὴ φοβεῖσθε· Χριστοῦ παρουσία, λύσις πάντων
τῶν κακῶν. ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ· ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται. ἐὰν πιστεύῃς,
ὅτι ἔρχεται ὁ δίκαιος κριτὴς ἀποδοῦναι ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ, καὶ μὴ ἀρνήσῃ
πρὸς τὴν βραδύτητα τὴν φαινομένην ὁρῶν, ἀλλ' ἀναμένῃς τὴν ἀλήθειαν τὴν ἀψευδῆ,
ζήσῃ ἐκ πίστεως. τοῦτον τὸν λόγον ὁ θεῖος ἀπόστολος εἰς τὴν σωτηρίαν ἐκλαμβάνων· οὐ γὰρ
ἡμεῖς ταῦτα θεωροῦμεν, ἀλλὰ τοῖς ἁγίοις ἡμῶν πατράσι καὶ διδασκάλοις ἀκολουθοῦμεν, τοῖς
οὕτω θεωρήσασι περὶ τοῦ σωτῆρος. διαλεγόμενος γὰρ λέγει Παῦλος, Ἀδελφοὶ ἅγιοι,
κλήσεως ἐπουρανίου μέτοχοι, φυλάξατε τὴν ἀρχὴν τῆς πίστεως. καὶ ἄλλα τινὰ μεταξὺ
Ἑβρ. ι. λζ. εἰρηκὼς ἐπάγει· Ὅτι μικρὸν ὅσον ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ· ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται.
εἶτα ἑρμηνεύων λοιπόν· ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου. ἡμεῖς δὲ, ἀδελφοὶ,
οὐκ ἐσμὲν ὑποστολῆς τέκνα, ἀλλὰ πίστεως εἰς περιποίησιν ψυχῆς.

Ὁ ἐρχόμενος ἥξει· ἥξει πάντως, καὶ κρινεῖ. ἰδοὺ ὁ Θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι, καὶ αὐτὸς ἀνταποδώσει· αὐτὸς ἥξει. ὅπου ἡ παρουσία, ἐκεῖ καὶ ἡ κρίσις, παρουσία ἡ ἔνδοξος, ἡ μέλλουσα, ὅτε σαλπίσει ὁ ἄγγελος, καὶ πάντες ἀναστήσονται οἱ ἐν τοῖς μνημείοις. Ταῦτα ἀκούσας ὁ προφήτης, καὶ διαλεχθεὶς τῷ Θεῷ, ἕτερον δὲ ἀκούσας κριτὴν καὶ δεσπότην ἐρχόμενον, εὐθέως ἀναβοᾷ, ἐκπλήξεως πληρωθεὶς τὴν διάνοιαν, προσλαλεῖ λοιπὸν τῷ κηρυχθέντι· Κύριε, Αμϐ. γ. α. εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην· κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην, πῶς ἐν μέσῳ δύο ζώων γνωσθήσῃ. πολλοῖς μὲν ἔδοξεν εἰπεῖν, τὸ ἐν μέσῳ δύο ζώων γνωσθήσῃ, τουτέστι, ζωῆς μιᾶς τοῦ αἰῶνος τούτου καὶ τοῦ μέλλοντος· πολλοῖς δὲ πάλιν, ἐν μέσῳ δύο λαῶν. πανταχοῦ δὲ τὸ ἀσφαλὲς ἕστηκε, τὸ μεταξὺ τῆς πρώτης διαθήκης καὶ τῆς δευτέρας. Ταῦτα γάρ ἐστι τὰ ζῶα τὰ λογικὰ, πάντας ἡμᾶς ζωοποιοῦντα. τὰ γὰρ θεῖα ῥήματα ζωοποιὸν ἔχει δύναμιν. ἐν μέσῳ δύο ζώων γνωσθήσῃ. ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ. οὐδέπω γὰρ ἐπεγνώσθης, ἀλλ' ἐν τῷ ἐγγίζειν τὰ ἔτη· ἀντὶ τοῦ, περὶ τὸ πλήρωμα τῶν καιρῶν τότε μέλλεις γνωρίζεσθαι, τότε μέλλεις κηρύττεσθαι. τοῦτο οὖν ἤκουσα, καὶ ἐφοβήθην· κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην. ποῖα ἔργα κατενόησας; ὅτι ὁ ποιητὴς τοῦ οὐρανοῦ καὶ τῆς γῆς μέλλει τὸ νῦν λανθάνειν τὸν κόσμον. Ἐν γὰρ τῷ κόσμῳ Ιωαν. α. ι. ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ. οὐκ εἶπε, γεννηθήσῃ, οὐκ εἶπε, πλασθήσῃ, ἀλλὰ, γνωσθήσῃ, τῇ μὲν φύσει αἰώνιος, τῇ δὲ γνώσει νέος. ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ, τουτέστι, βασιλεὺς ἀναγορευθήσῃ. Εἶτα εἰπὼν τοῦτο, ἐπάγει τὴν οἰκονομίαν. ὁ Θεὸς ἡμῶν ἐκ Θαιμὰν ἥξει, τουτέστιν, ἐκ μεσημβρίας· καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου δασέος. ὄρος κατάσκιον τὴν ἁγίαν παρθένον καὶ θεοτόκον καλεῖ. τινὲς δὲ καὶ εἰς τὸ τῆς Σιὼν ὄρος τοῦτο ἐκλαμβάνουσι. τῇ γὰρ θείᾳ δυνάμει ἐπεσκιάζετο. ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς συνέσεως αὐτοῦ πλήρης ἡ γῆ. ἄρχεται λοιπὸν ὡς φίλῳ διαλέγεσθαι καὶ γνωρίμῳ. ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου τοῦ σῶσαι τοὺς χριστούς σου· ἐπεβίβασας τοὺς ἵππους σου ἐφ' ὕδατα θαλάσσης. ποίους ἵππους; τοὺς ἀποστόλους· θάλασσαν δὲ τὸν κόσμον, ὥς φησιν Ἡσαΐας· Οὐαὶ πλῆθος ἐθνῶν πολλῶν, ὡς Ησ. ιζ. ιϛ. θάλασσα κυμαίνουσα, οὕτω ταραχθήσεσθε. ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου ταράσσοντας ὕδατα πολλά. ταραχῆς ἐπληροῦτο ἡ οἰκουμένη· ἤκουσαν νέον κήρυγμα, ξένον βασιλέα, καινὴν νομοθεσίαν καὶ διδασκαλίαν. οὕτως ἐταράχθησαν, ὡς εἰς Μακεδονίαν ἐλθόντος τοῦ μακαρίου Παύλου βοῆσαι τοὺς ἐν Μακεδονίᾳ, Οἱ τὴν οἰκουμένην ἀναστατώ- Πραξ. ιζ. ϛ. σαντες, οὗτοι καὶ ἐνθάδε πάρεισιν. ἐταράττετο ἡ ἀπιστία, ἐστηρίζετο ἡ ἀλήθεια· ἵνα δείξῃ ὅτι τῶν αὐτῶν ἵππων ἦν καὶ ταράττειν τοὺς ξενιζομένους, καὶ φωτίζειν τοὺς ἁγιαζομένους. ὁ εἰπὼν, ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου ταράσσοντας ὕδατα πολλὰ, ὁ αὐτὸς ἐν τῇ αὐτῇ ᾠδῇ λέγει· Ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου σωτηρία. Ταῦτα μαθὼν ὁ προφήτης, Αμϐ. γ. ζ. κηρύττει Ἰουδαίοις· Τάδε λέγει Κύριος, ἰδοὺ ἐγὼ ποιῶ ἔργον ἐν ταῖς ἡμέραις ὑμῶν, ὃ οὐ μὴ Αμϐ. α. ε. πιστεύσητε, οὐδὲ ἐάν τις ἐκδιηγῆται ὑμῖν· μᾶλλον δὲ οὕτως· Ἴδετε οἱ καταφρονηταὶ, καὶ ἐπιβλέψατε καὶ ἀφανίσθητε, ὅτι τάδε λέγει Κύριος· ἰδοὺ ἐγὼ ἐργάζομαι ἔργον ἐν ταῖς ἡμέραις ὑμῶν, ὃ οὐ μὴ πιστεύσητε, οὐδὲ ἐάν τις ἐκδιηγῆται ὑμῖν. ἔργον λέγει τὴν οἰκονομίαν τοῦ σωτῆρος. τί οὖν ποιῶ ἔργον, ὥστε κηρυττόμενον παρ' ὑμῶν μὴ πιστεύεσθαι; ταύτην τὴν φωνὴν πάλιν ἐκλαμβάνει Παῦλος καλῶς, καὶ ἐν Ῥώμῃ Ἰουδαίοις διαλεγόμενος λέγει· Βλέπετε οὖν μὴ ἐπέλθοι ἐφ' ὑμᾶς τὸ γεγραμμένον· Ἴδετε οἱ καταφρονηταὶ, καὶ ἐπιβλέ- Πραξ. ιγ. μα. ψατε, καὶ ἀφανίσθητε· ὅτι ἐγὼ ἔργον ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, ἔργον, ὃ οὐ μὴ πιστεύσητε. ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον, ἵνα καὶ τὴν τῶν πατέρων δείξωμαι διδασκαλίαν, θεραπευέσθω τὰ τραύματα τῶν ἀσθενούντων, προσέλθωσι τῷ ἰατρῷ, τῷ θείῳ λόγῳ τῷ λαβόντι παρὰ Θεοῦ τὴν ἰατρείαν. οἶδε καὶ τὸ σιδήριον τοῦ λόγου τεμεῖν τὸ ἕλκος, καὶ ἐμφράξαι τὰ

κενὰ τοῦ ἕλκους τοῖς φαρμάκοις τῆς ἀληθείας. ὡς γὰρ ἐπὶ τῶν ἰατρευόντων μετὰ τὴν τομὴν εἰσέρχεται τὰ ῥάκη ἐκεῖνα, ἐμβάλλεται δὲ, ἵνα διὰ διάστασιν, καὶ μὴ συμπτύξῃ τὰ ἰοῦρα, καὶ τῇ μοτώσει διασφαλίζεται τὴν σύμπτυξιν τῶν χειλῶν· οὕτω καὶ ὁ Θεὸς, ἐπειδὰν ἀναπτύξῃ τῷ θείῳ λόγῳ, ὥσπερ σιδήρῳ τὸ γλύμμα, τότε ταῖς θείαις ἐντολαῖς καὶ τῇ θείᾳ διδασκαλίᾳ μοτοῖ αὐτά. οὐκ ἐμὸς ὁ λόγος· ἄκουε τοῦ προφήτου λέγοντος τοῖς πεπληγμένοις· (Ωσ. ς. α.) Λάβετε μεθ' ἑαυτῶν λόγους, καὶ εἴπατε· ἐπιστρέψωμεν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ὅτι αὐτὸς ἔπαισε καὶ ἰάσεται ἡμᾶς· πατάξει καὶ μοτώσει καὶ ὑγιάσει ὑμᾶς. πότε; μετὰ δύο ἡμέρας. διὰ τί μετὰ δύο ἡμέρας; εἰ ὅλως ἐνέργεια Θεοῦ, ἐχρῆν γενέσθαι καὶ ἐν μιᾷ ῥοπῇ. πατάξει καὶ μοτώσει καὶ ὑγιάσει ὑμᾶς μετὰ δύο ἡμέρας· ἐπειδὴ τὸ μέγιστον αὐτῶν τραῦμά ἐστιν ἡ θεομαχία ἡ ἐπὶ τοῦ σταυροῦ, ἴασις δὲ τῶν σταυρωσάντων ἡ ἐλπὶς τοῦ ἀναστάντος· ἀνέστη δὲ ὁ σωτὴρ μετὰ δύο ἡμέρας τῇ τρίτῃ, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν ἐλπίδα σωτηρίας πᾶσι τοῖς μετολμοῦσιν ἐπέδωκεν. ἐξ αὐτῶν γὰρ τῶν σταυρωσάντων πολλαὶ μυριάδες ἐπίστευσαν, ὥς φησιν ἡ γραφή· (Πραξ. κα. κ.) Θεωρεῖς γὰρ, ἀδελφὲ Παῦλε, πόσαι μυριάδες τῶν σταυρωσάντων Ἰουδαίων ἐπίστευσαν; καὶ μετὰ τὸν σταυρὸν οἱ θεομάχοι τῇ δυνάμει τοῦ σταυροῦ ἐθεραπεύθησαν. ὅθεν τὴν δύναμιν τῆς ἀναστάσεως ὁ προφήτης ὑποτίθεται, μεθ' ἑαυτῶν, λέγων, λάβετε λόγους, ἀντὶ τοῦ, οὐ χρεία ἔργου, οὐ χρεία διὰ πραγμάτων ἀπολογήσασθαι, ἀλλὰ διὰ λόγων. ἐπειδὴ διὰ λόγων ἠσεβήσατε, καὶ λόγος ὑμᾶς εἰς παρανομίαν ἤγαγε, λόγος ὑμᾶς ἰατρεύσει. λάβετε μεθ' ἑαυτῶν λόγους, καὶ ἐπιστρέψατε πρὸς Κύριον, καὶ εἴπατε· ἐπιστρέψωμεν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ὅτι ἐπάταξε καὶ ἰάσεται ἡμᾶς, πατάξει καὶ μοτώσει καὶ ὑγιάσει ἡμᾶς μετὰ δύο ἡμέρας. πῶς, καὶ τίνι τρόπῳ; ἐν τῇ τρίτῃ ἡμέρᾳ ἀναστησόμεθα. καὶ μὴν τῇ τρίτῃ ἡμέρᾳ Χριστὸς ἀνέστη, οὐχ οἱ λοιποί. ἑρμηνεύει Παῦλος, καὶ συνήγειρεν ἡμᾶς ἐν τῇ τρίτῃ ἡμέρᾳ. (Ωσ. ς β.) Ἀναστησόμεθα σὺν αὐτῷ, καὶ ζησόμεθα ἐνώπιον αὐτοῦ· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ρμε. ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΑΡΑΣΚΕΥΗ.

Ex edit. August.

Πεπλήρωται ἡμῖν λοιπὸν ὁ τῆς νηστείας ἀγὼν, ἔληξε δὲ εἰς σταυρόν. ποῦ γὰρ ἐχρῆν τῆς νίκης τὸ τέλος, ἢ ἐπὶ τρόπαιον λήγειν; τρόπαιον γὰρ ὁ σταυρὸς ἅπαξ μὲν παγεὶς, ἀεὶ δαίμονας τρέπει. ποῦ γὰρ εἴδωλα, καὶ ζώων ματαίων οἱ φόνοι, ποῦ ναοὶ, καὶ δυσσεβείας πῦρ; ἐσβέσθη, πάντα δι' ἓν ἅγιον αἷμα πέπτωκε. καὶ ἔστι σταυρὸς πολυδύναμος δύναμις, βέλος ἀόρατον, φάρμακον ἄϋλον, πηγὴ λυσίπονος, ἐπονείδιστος δόξα. ὥστε κἂν μυρία ἕτερα λέγω περὶ Χριστοῦ, κἂν μυρία θαύματα διηγούμενος καταπλήξω τὸν ἀκροατὴν, οὐχ οὕτως ἐπ' ἐκείνοις, ὡς ἐπὶ σταυρῷ σεμνύνομαι. οἶδα τί λέγω. ἐκ παρθένου προῆλθεν Ἰησοῦς· μέγα τὸ θαῦμα γάμον ὑπερβῆναι, καὶ φύσιν καινοτομῆσαι. ἀλλ' εἰ μὴ σταυρὸς ἦν, οὐκ ἂν ἐσώθη τοῖς ἔργοις ἡ πρώτη τοῦ παραδείσου παρθένος. νυνὶ δὲ ἐν τῷ τοῦ σταυροῦ καιρῷ, πρώτη σώζεται γυνὴ, τὸ παλαιὸν κακὸν νέοις χαρίσμασι θεραπεύουσα. ἀνέστη γὰρ νεκρὸς ἐν τῇ Γαλιλαίᾳ, ἀλλὰ πάλιν ἀπέθανεν· ἐγὼ δὲ διὰ σταυροῦ ἀναστὰς, οὐκέτι δύναμαι πρὸς θάνατον πεσεῖν. ἔπλευσεν Ἰησοῦς τὴν θάλασσαν, Θεὸς ἐν σκάφῃ, τὸ ξύλον ἐφήμερον ἔδωκε τὴν ὠφέλειαν· ἐγὼ δὲ ἔλαβον ξύλον αἰώνιον, ἀγαθὸν, ᾧ κεχρημένος ἀντὶ πηδαλίου, τὰ "πνευματικὰ τῆς πονηρίας ἀπωθοῦμαι (γρ. πνεύματα) κύματα. (Ματθ ιδ.) ἐτράφησαν πεντακισχίλιοι ὑφ' ἑνὶ τῷ τοῦ σταυροῦ συνθήματι. ποῦ οὖν τῆς τροφῆς τὰ λείψανα; πῶς ὁ μὴ παρὼν, τὰ τῶν παρόντων λείψανα λάβω; δώδεκα γὰρ ἦσαν

περισσεύσαντες κλασμάτων κόφινοι· σύμμετρος χάρις. ἐσταυρώθη Χριστὸς, καὶ ἀεὶ τρεφόμεθα· καὶ κορεννύμενοι, πάλιν ζητοῦμεν, καὶ πλέον τὸ λειπόμενον. ἀζήμιος γὰρ ἡ χάρις. ἐπαινείσθω ἡμέρα φωτὸς γεννητικὴ, δι᾽ ἣν αἱ λοιπαὶ ἡμέραι πρὸς εὐφροσύνην ἐκλήθησαν. πῶς; ἄκουε· σήμερον Ἀδὰμ ἐπλάσθη τῇ ἕκτῃ ἡμέρᾳ, σήμερον μορφὴν ἐφόρεσε θείαν, σήμερον μικρὸς κόσμος ἐν κόσμῳ συνέστη, σήμερον κυβερνήτης ὁ ἄνθρωπος καλῶς τῆς ἀνθρωπίνης κατέσχε πηδάλια, ζώων ἁπάντων ἡγεμονεύων· σήμερον ἐντολὰς ἔλαβεν αὐτεξουσίους, σήμερον ἐξέπεσε τοῦ παραδείσου, σήμερον πάλιν εἰσήχθη. ὢ πολυτρόπου ἡμέρας, ὢ πολυπενθοῦς καὶ ἀπενθοῦς· ὢ πρωῒ μὲν λυπήσασα, ἑσπέρας δὲ εὐφράνασα, μᾶλλον δὲ ὢ πόσα θεραπεύσασα; συνανθρωπῶς ὑμῖν ὁμολογῶ, τοῖς παλαιοῖς ἐντυγχάνων πάθεσιν, ἀκούων τὸν Ἀδὰμ τῆς πατρῴας ἑστίας ἐκπεσόντα, ἄνθρωπον παραδείσου πολίτην ἄνευ γεωπονίας τρεφόμενον, ἄνευ ὄμβρου τρυφῶντα, μηδὲν ἱδρώτων ἢ δικέλλης ἢ πόνου ἢ μόχθων πρὸς ζωὴν δεόμενον, ἀειθαλέσι δένδρεσιν ἀγαλλόμενον, ἀπὸ ἀνθέων εἰς ἄνθη μεταβαίνοντα, ἀπὸ καρπῶν εἰς καρποὺς μετιόντα, ταῖς ἐπιθυμίαις ἀκολουθοῦσαν τὴν χεῖραν ἔχοντα, οὐκ ἔχοντα δὲ διὰ κάλλους τῶν ὁρωμένων τίνι πρότερον τὰς χεῖρας ἐπιβάλλει. ἐδάκρυσα πολλάκις τὴν τοσαύτην μακαριότητα, αὐτὸν ἰδὼν ἐκπεσόντα. κοινὸν γὰρ ἦν τὸ πάθος, καὶ τοῦ ἡμετέρου γένους ἀπολόμενοι. ἐπεὶ δὲ τοῖς εὐαγγελίοις ἐνέτυχον, καὶ ἐλαβόμην ταύτης τῆς ἡμέρας (ἕκτη γὰρ ἦν κἀκείνη, καὶ αὕτη) ἀπώλεσά τε τὴν λύπην, καὶ λευχειμονῶ τῷ λόγῳ, καὶ λέγω ἐμαυτῷ καὶ ὑμῖν· ἀπέδρα ὀδύνη, λύπη, στεναγμός. τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά. ὥσπερ γὰρ ἰατρῶν παῖδες τὰς ὀφιώδεις πληγὰς ἰῶνται, ἐξ αὐτῶν ἐκχέοντες τὰ ἀλεξίκακα φάρμακα καὶ σκευάζοντες, ταῖς ἀφορμαῖς τοῦ πάθους τὸ πάθος πολεμοῦντες· οὕτως ὁ σωτὴρ πάσαις ταῖς κακῶν ἀφορμαῖς πρὸς ἀγαθὸν συνεχρήσατο, τὸ πικρὸν γλυκὺ καταστήσας, τὸ χολῶδες εἰς θεραπείαν μεταβαλὼν, τὸ τοῦ θανάτου κέντρον κατ᾽ αὐτοῦ περιστρέψας, τὴν τοῦ ξύλου βλάβην εἰς σωτηρίαν μεταθεὶς, ἡμέραν λαβὼν τὸν κόσμον ποιήσασαν, καὶ ἡμέραν ἀντιδιδοὺς τὸν κόσμον εὐφράνασαν. ἐμοὶ μὴ πεισθῇς, ἀλλὰ τοῖς σοῖς ὀφθαλμοῖς· βλέπε τὴν παροῦσαν ἐκκλησίαν, καὶ πέπαυσο πρὸς ἡμᾶς ἐρίζων. ἡμέρα σταυροῦ, καὶ πάντες ἀγαλλόμεθα, καὶ νηστεύομεν ἀπὸ κακῶν, καὶ καθαρεύομεν ἅπαντα, τὰ ἔσω, τὰ ἔξω. οὗτος ὁ τῆς ἑορτῆς λόγος, οὗτος ὁ τῆς εὐφροσύνης τρόπος. μικρὰ λέγω τῆς τοῦ σταυροῦ δυνάμεως θαύματα. βλέψον πρὸς τὸν κύκλον τῆς οἰκουμένης, πόσαι κῶμαι, πόσαι πόλεις, πόσοι τόποι, πόσα ἔθνη, πόσαι νῆσοι, πόσοι ποταμοὶ, πόσοι αἰγιαλοὶ, πόσα γένη καὶ φυλαὶ, καὶ βαρβάρων γλῶσσαι. οὗτοι πάντες διὰ σταυρὸν ἀσιτοῦσι, τῇ ἐκείνου δυνάμει τὰ πάθη σταυρώσαντες· καὶ λύεται νὺξ πολλοῖς, καὶ οὐ λύεται τῆς νηστείας ὁ πόνος.

β. Κορ. ε ιζ.

Καὶ νῦν τί συνεληλύθαμεν πάντες ἀκοῦσαι ἢ περὶ σταυροῦ, καὶ πληροῦμεν ἐκκλησίαν, καὶ ἀλλήλους ὠθοῦμεν, ἱδροῦντες, πονοῦντες, ἐπὶ μὲν δικαστῶν πολλάκις ἀξιούμενοι προεδρείας, ἐπὶ δὲ Ἰησοῦ ἡδέως ἑστῶτες; ὅτι καὶ Ἰησοῦς ἔστη δι᾽ ἡμᾶς, ἵνα στήσῃ κακίας ῥεύματα. τί οὖν ἐπράχθη σήμερον; μὴ γὰρ ἁπλῶς ἡμᾶς παραδράμῃ τῆς ἡμέρας ταύτης τὰ θαύματα. φέγγος ἦν λοιπὸν, καὶ αὐτὸ τὸ περίορθρον, καὶ εἰσάγεται δεδεμένος τὰς χεῖρας εἰς τὸ πραιτώριον Πιλάτου. χεῖρας ποίας; τυφλῶν ἰατρικὰς, χωλῶν θεραπευτικάς. καὶ δάκτυλοι δεσμοῖς ἐνεπλοῦντο βλέφαρα πλάσαντες, καὶ ὁ θεραπευτὴς τῆς φύσεως κατείχετο μὴ τὸ οἰκεῖον πληρῶσαι τῆς τέχνης ἔργον. ταῦτα Κυρίῳ ἀνταποδέδοται. ἐδέθη ὁ δεσμεύων νεφέλαις ὕδατα, ὁ λύων πεπεδημένους ἐν ἀνδρείᾳ, ὁ αἰχμαλώτοις ἄφεσιν χαριζόμενος· ἐδέθη ὁ Λάζαρον λύσας τῶν τοῦ θανάτου δεσμῶν· ἤχθη εἰς τὸ πραιτώριον, ὁ μυρίοις ἀγγέλοις δορυφορούμενος· παρέστη παρὰ Πιλάτῳ ὁ τὸν οὐρανὸν θρόνον ἔχων· καὶ ἠνείχετο ἑλκόμενος ὁ δημιουργὸς παρὰ τῶν δημιουργημάτων, ὁ πλάστης ὑπὸ τοῦ πλάσματος, ὁ ποιητὴς ὑπὸ τοῦ ποιηθέντος. τί οὖν ἐπὶ τούτοις;

Ιωβ. κϛ η.
Ψαλ. ξζ. ζ.
Ησ. ξα α.
Ιωαν. ια.

Ιωαν. ιη. κη. τούτοις, τί γίνεται; καὶ αὐτοί, φησιν, οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ'
ἵνα φάγωσι τὸ πάσχα. ὢ τῆς πολλῆς παρανομίας· φόνον ἀδικίας ἐργάζονται, καὶ εἰς τὸ πραιτώριον
εἰσελθεῖν παραιτοῦνται, φυλαττόμενοι μὴ μολυνθῶσιν οἱ ἤδη μεμιασμένοι, προβάτῳ
τὸ πρόβατον λύοντες. ἀνέμενε τοίνυν κριτήριον ὁ πάσης τῆς οἰκουμένης κριτής· ἀνέμενε
μάρτυρας, ὁ τῶν ψυχῶν μάρτυς, πλάσας καὶ κρινόμενος. καὶ ἄνθρωποι μὲν ἐκάθηντο
δικάζοντες, Θεὸς δὲ εἱστήκει, καὶ ἔσω ἐσιώπα, παρὰ τὰ πρόθυρα τῶν ἀνθρώπων ἔξω, ὁ τῶν
οὐρανίων πυλῶν δεσπότης. ἠρώτησεν ὁ Πιλάτος, τάχα Ἰουδαίων φιλανθρωπότερος. τί λέγω
Ιωαν. ιη. κθ. τάχα; δείξει τὰ πεπραγμένα τὴν ἀλήθειαν. τίνα κατηγορίαν φέρετε κατὰ τοῦ ἀνθρώπου
τούτου; τίς ἔχει Θεὸν αἰτιάσασθαι; ἀναγκάζομαι γὰρ τὰ Πιλάτου φθέγξασθαι. Ἰησοῦς γὰρ
σιωπᾷ, οὐ λόγων ἀπορῶν ὁ λόγος, ἀλλὰ μὴ τῇ ἀποκρίσει λύσῃ τοῦ σταυροῦ τὸν στέφανον. καὶ
κτημάτων ἐπεθύμησεν ὁ ἀκτήμων; οἴκων ἀλλοτρίων, ὁ μηδέποτε ἔχων ποῦ τὴν κεφαλὴν κλῖναι;
χρημάτων, ὁ καὶ τοὺς οἰκείους μαθητὰς ἄχρι τῆς ζώνης γυμνώσας; ὄνον οὐκ ἔχων, ἀλλότριον
ἐχρήσατο, ἵνα τοὺς ὑμετέρους παῖδας εὐλογήσῃ. εὕρατε πρόφασιν, πλάσατε, δικαίως ἀνέλετε.
Ιωαν. ιη λ. ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι· εἰ μὴ ἦν οὗτος κακοποιός, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν.
μεγάλη πραγμάτων ἀπόδειξις, ἀόριστος ἀπόφασις. εἴπατε τὴν κακίαν, καὶ μὴ περιπλανᾶτε τὴν ἀκρόασιν.
λέγει αὐτοῖς ὁ Πιλάτος· λάβετε αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε. εὐγνώμων
δικαστής, ἀπέθετο τὸ βάρος κατὰ τῆς τῶν Ἰουδαίων κεφαλῆς· ὑμεῖς λάβετε τῆς κακίας
κοινωνόν. λέγουσιν αὐτῷ οἱ Ἰουδαῖοι· ἡμῖν οὐκ ἔξεστιν ἀνελεῖν οὐδένα. πῶς οὖν ἀνείλετε
Ἡσαΐαν, πῶς Ζαχαρίαν, πῶς ἕκαστον τῶν προφητῶν; ἀλλ' οὐκ ἔστιν ὑμῖν ἀνελεῖν· οὐ διὰ
τὸ μὴ βούλεσθαι, ἀλλὰ διὰ τὸ μὴ δύνασθαι. ἤδη γὰρ ἦσαν τῆς τοιαύτης ἐξουσίας παρὰ
Ῥωμαίων ἀφῃρημένοι. λέλυται τοίνυν ὁ νόμος ἤδη, ἐν μὲν πράγμασιν ἀργῶν, ἐν δὲ μέλανι
κείμενος· ἔλυσε δὲ αὐτὸν ὁ δεδεμένος Ἰησοῦς. ὁ δὲ Πιλάτος, ἐγὼ οὐδεμίαν αἰτίαν εὑρίσκω
ἐν αὐτῷ. οὐ σὺ μόνον, ὦ Πιλάτε, ἀλλ' οὐδὲ Ἰουδαῖοι, ἀλλ' οὐδὲ τυφλοί, ἀλλ' οὐδὲ
νεκροί, οὐδὲ ἥλιος, οὐδὲ σελήνη, οὐδὲ ὁ κόσμος, οὐδὲ οἱ δίκαιοι πάντες, προφῆται καὶ μάρτυρες,
Ησ. νγ. θ. οὐδὲ ὁ λέγων προφήτης, Ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι
αὐτοῦ. πάντες Πιλάτῳ συντρέχουσι δικαίαν φέροντες ψῆφον· μόνοι μάχονται Ἰουδαῖοι,
κραυγῇ δικαζόμενοι, καὶ θορύβῳ τὴν ἀλήθειαν ἐπισκιάζειν φιλονεικοῦντες, καὶ τὸ τοῦ
Ησ. ε. β. Ἡσαΐου βεβαιοῦντες· Ἔμεινα τοῦ ποιῆσαι σταφυλήν, ἐποίησε δὲ ἀκάνθας, καὶ οὐ δικαιοσύνην,
ἀλλὰ κραυγήν. ἐν ὅσῳ ταῦτα ἐπράττετο, καὶ ὁ Πιλάτος οὔτε λέγειν, οὔτε ἀκούειν ἠδύνατο
διὰ τὴν σύμμικτον ταραχήν, καὶ στάσις ἐμελετᾶτο, ἔπεμψε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ,
Ματθ. κζ. ιθ. καλὴ βοηθός, ἱέμενον ἄνδρα κατέχουσα, μηδέν σοι καὶ τῷ δικαίῳ ἐκείνῳ, λέγουσα. εἰ
μὲν δύνασαι, σῶσον αὐτόν· εἰ δὲ οὐ δύνασαι, σαυτὸν διάσωσον· μονονουχὶ λέγουσα τὸ τοῦ
Ψαλ. κε. θ. Δαβὶδ λόγιον, Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων
τὴν ζωήν μου. μηδέν σοι καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ ἔπαθον κατ' ὄναρ δι' αὐτόν.
ἄλλος Ἰωσήφ, διὰ τῶν ἐνυπνίων τὴν ἀλήθειαν ὁρῶσα, ταῖς Ἰουδαίων κραυγαῖς ἀντιμαρτυροῦσα.
ἔπρεπε γὰρ αὐτοὺς ὑπὸ γυναικῶν ἡττᾶσθαι. ἐνίκησεν αὐτοὺς Ῥαὰβ ἡ πόρνη,
ἐνίκησεν αὐτοὺς ἡ αἱμορροοῦσα, ἐνίκησεν ἡ Χαναναία, καὶ νῦν πάλιν γυνὴ κατ' αὐτῶν. στενοῦνται·
ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι, ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει
Ιωαν. ιθ. ζ. ἀποθανεῖν. ποῖον νόμον; ποίαις λέξεσι βεβαιούμενον; τάχα ταῖς σήμερον διαγνωσθείσαις,
Ησ. νγ. ζ. Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως
οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ· ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον. ταύτας εὑρίσκω
χρησίμους ἐκείνοις τὰς συλλαβάς· ἀλλαχοῦ δὲ οὐδαμῶς Ἰησοῦν δικαίως σφαττόμενον.
εἰσῆλθεν ὁ Πιλάτος εἰς τὸ πραιτώριον, ἐνδιδοὺς τὸν Ἰουδαίων θυμόν, σβέσαι φιλονεικῶν
Ιωαν. ιθ. ε. ἄσβεστον φλόγα. εἰσῆλθε, καὶ ἐξῆλθε· μᾶλλον δὲ πῦρ ἐξῆψεν. ἐξῆλθε γὰρ ἔχων

τὸν Ἰησοῦν ἐστεφανωμένον· ἀβούλητον Ἰουδαίοις θαῦμα· δυσχερὲς τὸν πολέμιον αὐτοῖς ἤδη ἐστεφανωθέντα, ἤδη νενικηκότα, ἤδη βασιλικὸν σχῆμα περιβεβλημένον. ὃ μὲν γὰρ ἦν μηχανώμενοι ἐφ' ὕβρει, αἴνιγμα δὲ ἦν τῆς κατὰ φύσιν βασιλείας. ὡς δὲ εἶδον αὐτόν, οἱ πολλάκις εἶδον, οἱ οὐδέποτε εἶδον, οἱ ἀεὶ βλέποντες ὑφάπτοι δέ, τῷ οἰκείῳ δαπανώμενοι πυρί, θελήσουσιν. εἰ γὰρ ἐγένοντο πυρίκαυστοι, ἐπῆραν αὐτὸν τὴν Σοδομιτικὴν κραυγήν, ἐπῆραν, καὶ ἐπηρώθησαν· Αἶρε, αἶρε, σταύρωσον αὐτόν. τὸν βασιλέα ὑμῶν θέλετε σταυρῶσαι; Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα, φασίν. ἀρνήσεις χωρὶς διωγμοῦ, ἄξια μετὰ τὰ Αἰγύπτου κακά· Οὗτοι οἱ θεοί σου, Ἰσραήλ, οἱ ἀναγαγόντες σε ἐκ γῆς Αἰγύπτου. Οὐκ ἔχετε βασιλέα, εἰ μὴ Καίσαρα; τίς οὖν ὡδήγησεν ὑμᾶς ἐπὶ τῆς ἐρήμου; ἢ τίς ἔθρεψε; τίνα ἐπιβοᾶται Μωϋσῆς, λέγων· Κύριος βασιλεύων τὸν αἰῶνα, καὶ ἐπ' αἰῶνα, καὶ ἔτι; οὐκοῦν, ἐπείπερ ἠρνήσασθε τὸν ἑαυτῶν βασιλέα, μείνατε λοιπὸν ἀβασίλευτοι, ζυγὸν δουλείας αἰώνιον ἕλκοντες.

Ταῦτα μέχρις ὥρας ἐπεράνθη. ἴδωμεν δὲ καὶ τὸ λειπόμενον μέρος τῆς ἡμέρας. πᾶσα γάρ ἐστιν ἁγία. ἔλαβον αὐτὸν ἐστεφανωμένον. πῶς; ἀκάνθαις, τοῖς Ἰουδαίων δώροις. Ἔμενε τὸ ποιῆσαι σταφυλήν, ἐποίησε δὲ ἀκάνθας. ἐρραπίσθη, ἐτυπτήθη, μάστιγας ἔλαβεν· ἀλλὰ μηδὲν ἐπαισχυνθῇς. ἴσθι μετὰ Ἡσαΐου, καὶ βλέπε Θεὸν τοῖς ἐκείνου βλεφάροις. τί οὖν ἐκεῖνός φησι; Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος· ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Οὐκ εἶχε κάλλος, οὐδὲ εἶδος, ὁ παντὸς κάλλους τεχνίτης. ἐθεώρει γὰρ τῶν Ἰουδαίων τὰ κακά. ἄνθρωπος, ἐν πληγῇ ὤν, καὶ εἰδὼς φέρειν μαλακίαν· ἄνθρωπος, οὐ Θεός. ἄνθρωπος γὰρ ἦν, καὶ οὐ Θεός, ὁ πληττόμενος. τίς οὖν ἐστιν ὁ πολύπονος καὶ πολυώδυνος καὶ ὑπὸ πάντων βαλλόμενος; μήπου καὶ δικαίως ἃ πάσχει πάθη. οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ ὑπὲρ ἡμῶν ὀδυνᾶται. Ἐγὼ οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ. ἀλλὰ μὴ αἰσχύνου τοῖς ἐπονειδίστοις ἀγαθοῖς. τοσαῦτα γὰρ παθών, ἔμεινεν ἀπαθής. ἐσταυρώθη, ἐνεπτύσθη, τὰ αἴσχιστα ὑπέμεινε, καὶ ὁ αὐτὸς μένει ἔντιμος, ἔνδοξος, τῶν πεπληγμένων ὥς τις, φησὶν αὐτὸς ὁ Ἡσαΐας· Καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ, καὶ ἐν πληγῇ, καὶ ἐν κακώσει· αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ ἐμαλακίσθη διὰ τὰς ἀνομίας ἡμῶν. οὐκοῦν καὶ αὐτὸς καὶ ἡμεῖς τραυματίαι κείμεθα. τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. νεκρὸς νεκροὺς ἰᾶται, τραυματίας πολυπόνων ἀνθρώπων ἀντιφάρμακον. ἀλλ' ἕως πότε τὴν ἡμετέραν ἄδηλον περιπλανᾷς, ὦ ἄνθρωπε; εἰπὲ σαφέστερον τὸ ζητούμενον. Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος ἄφωνος. χρηστὸν πρόβατον κακοῖς μαγείροις ἐκδοθέν. εἰ σφάττετε, ὦ Ἰουδαῖοι, μὴ κείρετε· εἰ δὲ κείρετε, φείσασθε προβάτου χρηστὰ καρποφοροῦντος. Ἤγοντο δὲ καὶ ἄλλοι μετ' αὐτοῦ κακοῦργοι δύο. περιῆκε γὰρ ἡμῖν ὁ λόγος εἰς τὴν ἑνδεκάτην ὥραν τῆς ἡμέρας, ἵνα μηδεὶς τὴν ἑαυτοῦ ζωὴν ἀπαγορεύσῃ. καὶ ἐβουλόμην μὲν ὑπερβῆναι τὴν ἱστορίαν, διὰ τὸ πολλάκις αὐτὴν εἰρῆσθαι· ὁρῶ δὲ λῃστὴν ἀεί με βιαζόμενον. καὶ οὐ μέγα. καὶ γὰρ παραδείσου θύρας ἐβιάσατο, τὴν τέχνην εἰς σωτηρίαν μεταβαλών. εἱστήκει ἐπὶ τοῦ σταυροῦ ἀμνός, καὶ δύο λύκοι· ἀλλ' ὁ μὲν ἔμεινεν ἐπὶ τῆς γῆς γνώμῃ· ὁ δὲ ἤδη μετεβάλλετο, Μνήσθητί μου, λέγων, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. ὢ τῆς δυνάμεως Ἰησοῦ. ὁ λῃστὴς ἤδη προφήτης ἀπὸ σταυροῦ κηρύσσεται· Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. τί γὰρ ὁρᾷς βασιλέως, ὦ λῃστά; ῥάπισμα, ἔμπτυσμα, ἥλους καὶ ξύλον, καὶ τὰ Ἰουδαίων σκώμματα, καὶ ἤδη τὴν λόγχην τῶν στρατιωτῶν γυμνουμένην. ἀλλ' οὐχ ὁρῶ, φησί, τὰ φαινόμενα· ἀγγέλους παρεστῶτας ὁρῶ, ἥλιον φεύγοντα, καταπέτασμα ῥηγνύμενον, τὴν γῆν τρέμουσαν, νεκροὺς ἤδη φθέγγεσθαι μέλλοντας. Ἰησοῦς πάντας δεχόμενος, ὁ καὶ τοῖς περὶ τὴν ἑνδεκάτην ὥραν ἐλθοῦσιν ἐργάταις δοὺς τὸ αὐτὸ δηνάριον. Ἀμὴν λέγω σοι (λάβε καὶ σὺ τὸ, Ἀμήν, ὦ λῃστά, ὁ σήμερον λῃστής) σήμε-

ρον

χ. φωνν.
χ. Ἰησοῦ

Ἰωαν. ιθ. ιε.
Ἐξοδ. λβ. δ.
Ἡσ. ε. β.
Ἡσ. νγ. α.
Λουκ. κγ. κβ.
Ἡσ. νγ. δ.
Λουκ. κγ. λβ.
Λουκ. κγ. μβ.
Λουκ. κγ. μγ.

ρον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. ἐγώ σε ἐκβαλών, εἰσάγω· ὁ τὰς θύρας τοῦ παραδείσου κλείσας, ὁ ῥομφαίᾳ πυρίνῃ τειχίσας. ἂν γὰρ ἐγὼ μὴ εἰσάγω, μένουσιν αἱ θύραι κεκλεισμέναι. δεῦρο, ὦ λῃστά, τὸν διάβολον λῃστεύσας, καὶ κατ' αὐτοῦ στεφανωθείς. ἄνθρωπον ἰδὼν καὶ Θεόν, προσκυνήσας, τὰ μὲν πάλαι ῥίψας ὅπλα, τὰ δὲ τῆς πίστεως ἀναλαβών. τούτων δὲ οὕτως ἐχόντων, καὶ πάντων ἀγιαζομένων, ἐκ μὲν αἰθέρος, ἡλίου· ἐκ δὲ φυτῶν, ξύλου· ἐκ δὲ ζώων, χολῆς· ἐκ δὲ ὑφασμάτων, χιτῶνος ἀδιαρρήκτου· ἐκ δὲ θαλάσσης, πορφυρᾶς στολῆς· ἐκ δὲ μετάλλων, καὶ σιδήρου λόγχης καὶ ἥλων, καὶ διδύμων πηγῶν, αἵματος καὶ ὕδατος προχυθέντος, ὁ σωτὴρ τὸ ἑαυτοῦ ἐποίει. Λουκ. κγ. λδ. Πάτερ, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν. τίσιν ἄφεσις; Ἕλλησιν, Ἰουδαίοις, ξένοις, βαρβάροις, πᾶσιν ἁπλῶς. ἅπαξ γὰρ εἶπε, καὶ ἀεὶ τὸ ἔργον τελεῖται. μὴ γὰρ ἐπὶ τῶν πολεμίων μόνον ἄφες, εἶπε. καθ' ἕκαστον ἔτος λέγει, καὶ ἀεὶ λέγει, καὶ ὁ βουλόμενος λαμβάνει. Ματθ. κζ. ξϛ. Συνῆλθον πάντες ἐπὶ τὸ πραιτώριον Πιλάτου. τί λέγοντες; Οἴδαμεν ὅτι ὁ πλάνος ἐκεῖνος εἶπεν ἔτι ζῶν, μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. ὅλως οἶδας; ὅλως μέμνησαι ὅτι ἐγήγερται; ἀσφαλίζου τὸν τάφον. ἐμοὶ γὰρ ἀσφαλίζει. φρούρησον νεκρόν, μὴ φύγῃ. ἔχετε, φησί, κουστωδίαν, ὑπάγετε, ἀσφαλίσασθε ὡς οἴδατε· ἀποκλείετε ὡς οἴδατε, ὡς οἴδατε σκευάσατε, ὡς οἴδατε φρουρήσατε· εἰ μὴ ἐφυλάξατε, ἐμοὶ προφάσεως λόγον καταλιμπάνετε. νυνὶ δὲ ὑμῖν αὐτοῖς παραδίδωμι, ὅτε μὲν ἔζη παρ' ὑμῶν κατασχεθέντα, ὅτε δὲ ἀνῃρέθη, πάντας ὑμᾶς λαθόντα. μείνωμεν τοίνυν νήφοντες, ἵνα τὸν βαθὺν ὕπνον τῶν Ἰουδαίων ἴδωμεν, καὶ ταῖς ἐπουρανίαις στρατιαῖς συνεορτάσωμεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ρμϛ. ΕΙΣ ΤΟΝ ΛΗΣΤΗΝ, ΚΑΙ ΕΙΣ ΤΗΝ ΠΡΟΔΟσίαν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

κε. τῇ Ἰούδα τῇ ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ.

Ex Mss. Cæsareis.

Ω πόση δύναμις τῆς ἡμετέρας πίστεως· ὢ πόσον ἰσχύει δέησις φιλοχρίστου λαοῦ* ὑπὲρ ἁμαρτωλοῦ ἱερέως πρεσβεύουσα· καὶ μὴ ξενίσῃ σε τὸ λεγόμενον. τοῦτο γὰρ παρὰ τοῦ θεσπεσίου Παύλου λέγειν πρὸς ὑμᾶς δεδίδαγμαι, διαρρήδην ἐν ταῖς οἰκείαις ἐπιστολαῖς τοῖς μαθηταῖς ἐπιστέλλοντος· Ἐφεσ. ϛ. ιθ. Προσεύχεσθε ὑπὲρ ἐμοῦ, ἵνα δοθῇ μοι λόγος ἐν ἀνοίξει τοῦ στόματός μου. εἰ δὲ Παῦλος, τὸ σκεῦος τῆς ἐκλογῆς, ὁ οὐράνιος ἄνθρωπος, ὁ τῆς χάριτος ῥήτωρ, δωρεᾶς παρὰ τῶν οἰκείων μαθητῶν προσευχῶν ἐδέετο, πόσῳ μᾶλλον ἐγώ, ὃν πάντες ἁμαρτωλὸν ἐγνώκατε. ἀλλ' ὅμως καὶ τελώνης ποτὲ τοῦ πονηροῦ σκοποῦ μεταθέμενος, ἐγένετο μαθητὴς τοῦ Κυρίου· οἶδα δὲ καὶ πόρνης δάκρυα μετανοίας τοῖς δεσποτικοῖς ἴχνεσι προσενέγκασαν, καὶ τὸν πολυθρύλλητον τῆς πορνείας μολυσμὸν ἀποπλύνασαν· οἶδα καὶ τὸν λῃστὴν ἐκεῖνον τὸν φρόνιμον, τὸν καλῶς διὰ πίστεως τὰ μεγάλα συλήσαντα. τῆς γὰρ τοιαύτης αὐτοῦ λῃστείας τὸ κέρδος παράδεισος γέγονεν. αἰσθάνομαι κἀγὼ τῆς τοιαύτης ἀγκύρας ἐπιλαβόμενος. τοιοῦτον γὰρ ἔχομεν δεσπότην φιλάνθρωπον, ὅστις μόνον εἰλικρινῶς δεξάμενος παρ' ἡμῶν τὴν δέησιν, εὐθέως τὸν ἔλεον ἀντιδίδωσι. νόμον γὰρ ἔδωκεν. ἀλλὰ σκιὰν ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τῶν πραγμάτων τὴν ἀλήθειαν, φωτίσαι οὐκ ἴσχυσε. προφητικὸν δῆμον, ὡς πρέσβιν, ἀπέστειλεν· ἀλλὰ καὶ ὁ προφητικὸς δῆμος κρατηθεὶς ὑπὸ τοῦ θανάτου ἐβόησε λέγων· Ιω ιη. κζ. Ἐγώ εἰμι γῆ καὶ σποδός. ἄγγελος ἀτρέπτως σαρκοῦσθαι οὐκ ἠδύνατο. Οὐκ ἄγγελος, φησίν, οὐ πρέσβυς ἐλυτρώσατο αὐτούς, ἀλλ' αὐτὸς ὁ Κύριος. εἶδε γὰρ τὴν οἰκουμένην βοηθείας ἐστερημένην, Ψαλ. ρμγ. ε. καὶ βοῶσαν πρὸς αὐτόν· Κλῖνον, Κύριε, τοὺς οὐρανούς σου, καὶ κατάβηθι. ἐλθὲ γὰρ σύ, φησί, μὴ

* καὶ

μὴ καταβῇς πρὸς ἡμᾶς, ἡμεῖς δι' ἄλλου τινὸς πρὸς σὲ ἀνελθεῖν οὐ δυνάμεθα. Εἶδεν οὖν, καὶ οὐ παρεῖδε τὴν δέησιν, ἀλλ' ἔκλινεν οὐρανοὺς, καὶ κατῆλθεν ἐπὶ γῆς, μὴ κενώσας τοὺς οὐρανούς· συνελήφθη ἐν μήτρᾳ παρθενικῇ πλατυτέρᾳ πάσης κτίσεως. ὃν γὰρ οὐκ ἐχώρησε καλύβη πατριαρχικὴ, αὐτὸν ἐχώρησε μήτρα παρθενική. ἐσαρκώθη, ὡς οἶδεν αὐτὸς, οὐχ ὡς ἑρμηνεύουσιν οἱ αἱρετικοὶ, οἱ τὰ οἰκεῖα ἀγνοοῦντες, καὶ τὰ θεῖα περιεργῶντες· ἐτέχθη, ὡς ηὐδόκησεν· ἐπέβη τῷ ξύλῳ τὸ ξύλον τοῦ παραδείσου ἰώμενος, καὶ βοᾷ· Ληνὸν ἐπάτησα μόνος, καὶ οὐδεὶς ἦν μετ' ἐμοῦ, οὐκ ἄγγελος, [οὐ πρέσβυς, οὐκ ἀρχάγγελος,] οὐ προφήτης, οὐ βασιλεὺς, οὐδεὶς τῶν δικαίων μετ' ἐμοῦ· καὶ εἷς μόνος μετ' ἐμοῦ, οὐ μετ' ἐμοῦ συνετέλεσε τὸν θάνατον, ἀλλὰ μετ' ἐμοῦ ἐκληρονόμησε τὸν παράδεισον· μετ' ἐμοῦ ἐπὶ τοῦ ξύλου, οὐ μετ' ἐμοῦ ἐν τῷ πολέμῳ τοῦ θανάτου. Κύριος γὰρ, φησι, συντρίβων πολέμους, Κύριος ὄνομα αὐτῷ. Εἷς λῃστὴς ὡμολόγησεν. ὢ τῶν ξένων καὶ παραδόξων πραγμάτων· ὁ λῃστὴς μετὰ τοῦ Χριστοῦ, καὶ ὁ μαθητὴς Ἰούδας μετὰ τοῦ διαβόλου· τὸ φῶς γέγονε σκότος, καὶ τὸ σκότος εἰς φῶς μεταβάλλεται· ὁ ἀμνὸς λύκος, καὶ ὁ λύκος ἀμνός. ὁ λῃστὴς τὰς χεῖρας τοῖς ἥλοις ἐμπεπαρμένος, πιστῇ φωνῇ τὸν δεσπότην ἠσπάζετο λέγων, Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου· καὶ ὁ μαθητὴς φίλημα προσφέρων τοῖς χείλεσι, τῇ καρδίᾳ τὸ ξίφος ηὐτρέπισε, τοῖς χείλεσι γὰρ μέλι ἐφθέγγετο, καὶ τῇ καρδίᾳ δόλον ἠρεύξατο, Χαῖρε, λέγων, ῥαββί· εἶτα καὶ φιλεῖ αὐτὸν, καὶ στρεφόμενος ἔλεγε τοῖς Ἰουδαίοις, νεύματι, οὐ ῥήματι· κρατήσαντες αὐτὸν ἀπενέγκατε. ὦ παράνομε Ἰούδα, ποῦ προστάττεις ἀπάγεσθαι τὸν λέγοντα, Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου.

Ἀλλ' ὁρῶ τὴν ἀγάπην ὑμῶν προθυμοτέραν, καὶ τὸ σῶμα στενοχωρούμενον· ἐβουλόμην ἐνταῦθα καταπαῦσαι τὸν λόγον. ἀλλ' ἐπειδὴ τὸ ὑμέτερον φιλήκοον προτρέπεται ἡμᾶς μηκῦναι τὸν λόγον, πρὸς τὴν ἀκολουθίαν τοῦ λόγου ἐπανέλθωμεν. χαῖρε, φησὶ, ῥαββί· ὁ δὲ φιλάνθρωπος δεσπότης, νικῶν τῇ ἀνεξικακίᾳ τοῦ προδότου τὴν πονηρίαν, καλῶς εἶπεν, ἑταῖρε, ἐφ' ᾧ πάρει; ἀσπάζομαί σε, Ἰούδα, οὐχ ἵνα ἀγάπην δωρήσωμαι, ἣν ἀπεβάλου, ἀλλ' ἵνα κενώσω τὴν χάριν, ἣν δέδωκά σοι. ἀνάξιον γὰρ ἀγγεῖον ἐπουράνιον μύρον βαστάζειν οὐ δύναται. τί δὲ λέγω περὶ Ἰούδα; Πέτρος ὁ τὴν κλεῖδα τῆς βασιλείας δεξάμενος, βλέπων τὸν βασιλέα τῆς δόξης σταυρούμενον, ῥίψας τὰς κλεῖς ἔφυγε· καὶ ὁ λῃστὴς ὁ τὰς θύρας ὑπανοίγων τῶν ἀνθρώπων, αὐτὸς τὰς κλεῖς τοῦ παραδείσου ἥρπασε. Πέτρος ὁ λέγων, Κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι, τέλειον ἀπηρνήσατο· ὁ λῃστὴς οὐ λόγοις ἐπαγγειλάμενος, ἀλλ' ἔργοις συναποθνήσκων τῇ ἀληθείᾳ ἔλεγε, Κύριε, μνήσθητί μου ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. ὁ λῃστὴς ἀρχὰς καὶ ἐξουσίας οὐκ ἠδέσθη· καὶ ὁ Πέτρος ἀπειλὴν κόρης οὐκ ὑπήνεγκεν· ὁ λῃστὴς ἔκραξε, Κύριε· καὶ ὁ Πέτρος, οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον, ὃν πρὸ μικροῦ υἱὸν Θεοῦ ἐκάλει. Πέτρος ὁ διὰ θαλάσσης περιπατήσας, τὸν πεζεύσαντα τὴν ὑγρὰν φύσιν ἠρνήσατο· καὶ ὁ λῃστὴς οὐκ ἐπὶ νῶτα θαλάσσης βαδίσας, ἀλλ' ἐπὶ τὰς τῶν πλουσίων πύλας, ἔκραζε, Κύριε· οἱ υἱοὶ Ζεβεδαίου, οἱ λέγοντες, Δυνάμεθα πιεῖν τὸ ποτήριον, ὃ μέλλεις πίνειν (τοῦτο γὰρ ἦν) ἐν καιρῷ τοῦ ποτηρίου ἔφυγον· καὶ ὁ λῃστὴς ἥρπασεν ἐκ χειρὸς τῶν Ζεβεδαίου τὸ τοῦ σωτηρίου ποτήριον, λέγων· Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. Θωμᾶς ὁ τοῦ ἀνεπιλήπτου μυστηρίου περίεργος ἐρευνητὴς, ἔφασκε τοῖς συμμαθηταῖς· Ἄγωμεν καὶ ἡμεῖς, [ἵνα] ἀποθάνωμεν σὺν αὐτῷ, καὶ ἰδὼν αὐτὸν σταυρούμενον ἔφυγε. σταυρούμενον βλέπει, καὶ φεύγει, ἀνιστάμενον βλέπει, καὶ διστάζει, λέγων· Ἐὰν μὴ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω. ἀλλ' ὁ φιλάνθρωπος Θεὸς, ὁ δι' ἓν πρόβατον καταληλυθὼς, τοῦ ἑνὸς προβάτου οὐ καταφρονήσει· ἀλλ' αἴρει αὐτὸ ἐπὶ τῶν ὤμων, καί φησι· Φέρε τὴν χεῖρά σου ὧδε, καὶ βάλε εἰς τὴν πλευράν μου. Λόγχης στρατιωτικῆς ἐδεξάμην,

γρ. παρθενικὴ γαστὴρ οὐκ ἐστενοχώρησε.
γρ. ἠθέλησεν
γρ. ὁμολογητής.
γρ. στίμα
γρ. καὶ
γρ. μετ' αὐτοῦ.

Ησ. ξγ. γ.
Λουκ. κγ. μβ.
Ματθ. κς. μθ.
Ησ. ξς. α.
Ματθ. κς. λγ.
Ματθ. κ. κβ.
Ψαλ. ριε. δ.
Ιωαν. ια. ις.
Ιωαν. κ. κε.

γόμενον, καὶ δεξιᾶς ἀποστολικῆς οὐκ ἀνέξομαι; ἀλλ' ὦ τῶν καλῶν λῃστά (πρέπει σε γάρ γρ. ἀνέχομαι
μοι ὁ λόγος) λῃστεύειν ἔμαθες, πιστεύειν οὐκ ἐδιδάχθης, οὐ γέγονας μαθητής, καὶ πῶς δημιουργὸν
καλεῖς, λέγων· Κύριε, μνήσθητί μου ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου; καλῶς ἐλάλησας, εὐ-
σεβῶς ἐπίστευσας. ἐπικινδύνως πολλάκις ἐσύλησας, πλουσίων πολλάκις ἤνοιξας θη-
σαυρούς, καὶ τοιοῦτον μαργαρίτην οὐχ εὗρες ὡς τὸν Χριστόν. ἀπόστολος οὐ γέγονας, οὐκ ἤ- γρ. καίτοι
Δευτ. κη. ξϛ. κουσας τοῦ νομοθέτου λέγοντος, Ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην· καὶ πῶς ἀπὸ ξύλου γρ. ἡμῶν
Ησ. νγ. ε. ἐτρύγησας τὴν ζωήν; οὐκ ἤκουσας Ἡσαΐου λέγοντος, Τῷ μώλωπι τοῦ πάθους αὐτοῦ τὰ τῶν
ἀνθρώπων πάθη τὴν ἴασιν δέχεται· καὶ πῶς πάθεσιν εὗρες ἴαμα; ναί, φησὶν ὁ λῃστής· βλέπω
τὴν κτίσιν πᾶσαν δονουμένην καὶ τρέμουσαν, καὶ τὸν ἐπὶ τοῦ ξύλου κρεμάμενον, δεσπότην γνω-
ρίζω τῆς κτίσεως. Εἰ μὴ γὰρ ἦν οὗτος ποιητὴς τῶν ὅλων, ὁ ἥλιος οὐκ ἂν βλέπων αὐτὸν
γυμνούμενον, αἰδούμενος τὰς οἰκείας ἀκτῖνας ἀπέκρυψε, καὶ τοὺς θεομάχους ἐσκότισεν. Εἰ μὴ
ἦν οὗτος ποιητὴς οὐρανοῦ καὶ γῆς, οὐκ ἂν βλέπων αὐτὸν ὁ οὐρανὸς σταυρούμενον, τὸ σκότος ὡς
σάκκον περιεβάλλετο. Εἰ μὴ ἦν οὗτος δεσπότης πάσης τῆς γῆς, οὐκ ἂν ἐκ τῆς πλευρᾶς
αὐτοῦ δεξαμένη τὸ αἷμα, ἐκ τῶν θεμελίων ἐσαλεύθη. Εἰ μὴ ἦν οὗτος ζωῆς καὶ θανάτου δε-
σπότης, οὐκ ἂν προσεγγίζων αὐτῷ ὁ θάνατος κατεβλήθη, καὶ τὰ τῶν ἁγίων μνήματα ἀνε-
ῴχθησαν. Εἰ μὴ ἦν οὗτος Κύριος τοῦ ναοῦ, οὐκ ἂν βλέπων αὐτὸν ὁ ναὸς σταυρούμενον, τὸ οἰ-
κεῖον καταπέτασμα περιέσχισεν. Εἰ μὴ ἦν οὗτος ὁ μὴ βουλόμενος τὸν θάνατον τῶν ἁμαρτω-
λῶν, οὐκ ἂν ἐπρέσβευσεν ὑπὲρ τῶν ἁμαρτωλῶν, λέγων· Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι
τί ποιοῦσιν. ὁ γὰρ τούτου θάνατος πάντα (συνέστησε. κατέρχεται) γὰρ εἰς τὸν ᾅδην, καὶ μετὰ γρ. πάντα
πάντων ἀνέρχεται). Διὰ τοῦτο κράζω λέγων· Κύριε, μνήσθητί μου. οὐχ ὡς δοῦλον παρακα- συνέστησε.
λῶ, μνήσθητί μου, ὅταν εὖ σοι γένηται, ἀλλά, μνήσθητί μου, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ
σου. καὶ τί πρὸς αὐτὸν ὁ δεσπότης; ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.
λεγέτωσαν οἱ ἀκριβῶς λογοθέται τῆς ἀκαταλήπτου γεννήσεως, πῶς ἔλεγε τῷ λῃστῇ, σήμερον
μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. περὶ τούτου ἑρμηνευσάτωσαν, καὶ τότε τὸν ἄρρητον αὐ- γρ. ἑρμηνευ-σάτωσαν,
Ησ. νγ. η. τοῦ τόκον, οὗ προφητικῶς βοᾷ, Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται), ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ
ζωὴ αὐτοῦ; ταύτην ἐπλάτυναν οἱ πατέρες τὴν πίστιν· οὕτως ἐδόξασαν τὸν ἀπερίλη-
πτον, πιστεύοντες, καὶ μὴ πολυπραγμονοῦντες. σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ;
εἶπε, καὶ γέγονεν. ἀλλ', ὦ φιλάνθρωπε δέσποτα, πάντες οἱ δίκαιοι ἔξω τοῦ παραδείσου γρ. ἑστήκεισαν
ἑστήκασι, καὶ λῃστὴν εἰς παράδεισον εἰσάγεις; ναί, λῃστὴν πρῶτον εἰσάγω εἰς τὸν παράδεισον,
Μαρκ. β. ιζ. ἵνα πείσω τὸν κόσμον, ὅτι Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν.
αὐτῷ τῷ Χριστῷ ἡ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ρμζ΄. ΕΙΣ ΤΗΝ ΖΩΟΦΟΡΟΝ ΤΑΦΗΝ, ΚΑΙ ΤΡΙΗμερον ἀνάστασιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, λεχθεὶς τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ.

Ex Ms. Oxon.
ΕΙδετε χθὲς λῃστοῦ εὐγνωμοσύνην, καὶ Ἰουδαίων μανίαν· φέρε καὶ σήμερον
τῆς αὐτῆς πάλιν ὑποθέσεως ἁψάμενοι, δείξωμεν ὑμῶν τῇ ἀγά-
πῃ τῶν ἀναισχύντων Ἰουδαίων τὴν φιλόνεικον γνώμην, καὶ τῆς ἀλη-
θείας τὴν ἰσχύν, καὶ ὅπως δι' αὐτῶν τῶν πολεμεῖν ἐπιχειρούντων καὶ
συσκιάζειν αὐτὴν βουλομένων περιφανεστέρα καὶ λαμπροτέρα δεί-
κνυται. ἀλλ' ἵνα σαφέστερος ὑμῖν ὁ λόγος γένηται, αὐτὰ τὰ εὐαγγε-
λικὰ ῥήματα παραθώμεθα ἐπὶ τῆς ὑμετέρας ἀγάπης. ἀλλὰ προσέχετε μετὰ πάσης ἀ- γρ. ἀναισχύν- ἀγαπητοί
Ματθ. κζ. ξϐ. κριβείας. Τῇ δὲ ἐπαύριον, ἥτις ἐστὶ μετὰ τὴν παρασκευήν, συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ
Φαρισαῖοι

Φαρισαῖοι πρὸς Πιλάτον λέγοντες· ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ πλάνος ἔτι ζῶν εἶπεν, ὅτι μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας, μήποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ νυκτὸς κλέψωσιν αὐτὸν, καὶ εἴπωσι τῷ λαῷ, ὅτι ἠγέρθη ἐκ τῶν νεκρῶν· καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης. πανταχοῦ ἡ πλάνη ἑαυτὴν περιπείρει, καὶ τῇ ἀληθείᾳ ἄκουσα συνηγορεῖ. σκόπει δέ· ἔδει πιστευθῆναι ὅτι ἀπέθανε, καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἀνέστη. καὶ πανταχοῦ ταῦτα διὰ τῶν ἐχθρῶν γίνεται πιστά. ὅρα γοῦν τὰ ῥήματα ταῦτα τούτοις μαρτυροῦντα ἅπασιν· ἐμνήσθημεν, φησὶν, ὅτι εἶπεν ὁ πλάνος ἐκεῖνος ἔτι ζῶν (οὐκοῦν ἐτελεύτησε) μετὰ τρεῖς ἡμέρας ἐγείρομαι· κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον (οὐκοῦν ἐτάφει κατὰ τὸν λόγον αὐτῶν) μήποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ νυκτὸς κλέψωσιν αὐτόν· ὥστε ἐὰν σφραγισθῇ ὁ τάφος, οὐκ ἔσται τις κακουργία. οὐ μὲν οὖν· οὐκοῦν ἀναντίρρητος τῆς ἀναστάσεως γέγονεν ἡ ἀπόδειξις, δι' ὧν ὑμεῖς κατεσκευάσατε. ἐπειδὴ γὰρ ἐσφραγίσθη ὁ τάφος, οὐδεμία γέγονε κακουργία. δῆλον ὅτι ἀνέστη σαφῶς καὶ ἀναντιρρήτως. εἶδες, πῶς καὶ ἄκοντες συναγωνίζονται τῇ τῆς ἀληθείας ἀποδείξει. ἄξιον δὲ θαυμάσαι μετὰ τῶν ἄλλων, καὶ τῶν μαθητῶν τὸ φιλαλῆθες· πῶς τῶν λεγομένων παρὰ τῶν ἐχθρῶν οὐδὲν ἀποκρύπτονται, κἂν ἐπονείδιστα λέγωσιν. ἰδοὺ γοῦν καὶ πλάνον καλοῦσι, καὶ οὐ σιγῶσι. ταῦτα δὲ καὶ τὴν ἐκείνων δείκνυσιν ὠμότητα, ὅτι οὐδὲ τῷ θανάτῳ τῆς μανίας καθυφῆκαν, καὶ τῶν μαθητῶν τὸν ἁπλοῦν καὶ φιλαλήθη τρόπον. ἴσως δὲ ἄν τις ζητήσειε μαθεῖν, καὶ ποῦ εἶπεν, ὅτι μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. οὐ γὰρ εὕροι τις ἂν σαφῶς οὕτως εἰρημένον, ἀλλ' ἢ τὸ τοῦ Ἰωνᾶ παράδειγμα. ὥστε οἱ ἀγνώμονες Ἰουδαῖοι ᾔδεσαν τὰ παρ' αὐτοῦ λεγόμενα, καὶ ἑκόντες ἐκακούργουν. τί οὖν ὁ Πιλάτος; Ἔχετε κουστωδίαν· ὑπάγετε, ἀσφαλίσασθε ὡς οἴδατε. ἅτε γὰρ μαθὼν ἴσως τὰ περὶ αὐτοῦ, οὐκ ἔτι συμπράττειν αὐτοῖς ἤθελεν, ἀλλ' ὑπὲρ ἀπαλλαγῆς αὐτῶν καὶ τοῦτο ἀνέχεται. καί φησιν· ὑμεῖς, ὡς βούλεσθε, σφραγίσατε· ἵνα μὴ ἑτέροις ἔχητε αἰτιᾶσθαι. εἰ γὰρ μόνοι οἱ στρατιῶται ἐσφραγίσαντο, ἐδύναντο λέγειν (εἰ καὶ ἀπίθανα ψευδῆ τὰ λεγόμενα· ἀλλ' ὅμως, ὡς ἐν τοῖς ἄλλοις ἠναισχύντουν, οὕτω καὶ ἐν τούτῳ λέγειν εἶχον) ὅτι οἱ στρατιῶται τὸ σῶμα διδόντες κλαπῆναι παρέσχον τοῖς μαθηταῖς, τὸν περὶ τῆς ἀναστάσεως πλάσαι λόγον· νῦν δὲ αὐτοὶ ἀσφαλισάμενοι, οὐδὲ τοῦτο λέγειν δύνανται. εἶδες πῶς σπουδάζουσιν ὑπὲρ τῆς ἀληθείας ἄκοντες· καὶ γὰρ αὐτοὶ προσῆλθον, αὐτοὶ ᾔτησαν, αὐτοὶ ἐσφραγίσαντο μετὰ τῆς κουστωδίας, ὥστε ἀλλήλων εἶναι κατήγοροι καὶ ἔλεγχοι. καίτοι, πότε ἂν ἔκλεψαν; τῷ σαββάτῳ; καὶ πῶς; οὐδὲ ἐξῆν προσελθεῖν. εἰ δὲ καὶ τὸν νόμον παρέβαινον, πῶς ἂν ἐτόλμησαν οἱ οὕτω δειλοὶ προσελθεῖν; πῶς δὲ πεῖσαι τὸν ὄχλον ἠδύναντο; τί λέγοντες; τί ποιοῦντες; ποία δὲ προθυμία στῆναι εἶχον ὑπὲρ τοῦ νεκροῦ; τίνα δὲ προσδοκῶντες ἀντίδοσιν; ποίαν ἀμοιβήν; ἔτι ζῶντα ἰδόντες ἔφυγον, καὶ μετὰ τὴν τελευτὴν ὑπὲρ αὐτοῦ παρρησιάζεσθαι ἔμελλον, εἰ μὴ ἀνέστη; καὶ πῶς ἂν ἔχοιεν ταῦτα λέγειν; ὅτι γὰρ οὔτ' ἂν ἐβουλήθησαν, οὔτ' ἂν ἐδυνήθησαν πλάσαι ἀνάστασιν μὴ γενομένην, δῆλον ἐκεῖθεν. πολλὰ περὶ ἀναστάσεως αὐτοῖς διελέχθη, καὶ συνεχῶς ἔλεγεν ἀεὶ, ὡς καὶ αὐτοὶ εἰρήκασιν· ὅτι μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. εἰ τοίνυν οὐκ ἀνέστη, εὔδηλον ὡς ἀπατηθέντες οὗτοι, καὶ πρὸς ὁλόκληρον ἔθνος δι' αὐτὸν ἐκπολεμηθέντες, καὶ ἀοίκητοι καὶ ἀπόλιδες γενόμενοι, ἀπεστράφησαν ἂν αὐτόν· καὶ οὐκ ἂν ἐβουλήθησαν τοιαύτην αὐτῷ περιθεῖναι δόξαν, ἅτε ἠπατημένοι, καὶ εἰς τοὺς ἐσχάτους δι' αὐτὸν ἐκπεσόντες κινδύνους. ὅτι δὲ οὐδ' ἂν ἠδυνήθησαν, εἰ μὴ ἦν ἀληθὴς ἡ ἀνάστασις, πλάσαι αὐτὴν, οὐδὲ λόγου δεῖται. τίνι γὰρ ἐθάρρουν; τῇ δεινότητι τῶν λόγων; ἀλλὰ πάντων ἦσαν ἀμαθέστεροι. ἀλλὰ τῇ περιουσίᾳ τῶν χρημάτων; ἀλλ' οὐδὲ ῥάβδον οὐδὲ ὑποδήματα εἶχον. ἀλλὰ τῇ περιφανείᾳ τοῦ γένους; ἀλλ' εὐτελεῖς ἦσαν, καὶ ἐξ εὐτελῶν. ἀλλὰ τῷ μεγέθει τῆς πατρίδος; ἀλλ' ἀπὸ χωρίων ἦσαν ἀσήμων. ἀλλὰ τῷ πλήθει τῷ ἑαυτῶν; ἀλλὰ τῶν ἕνδεκα οὐκ ἦσαν πλείους·

Ματθ. κζ. ξε

γρ. ἀλλὰ

καὶ αὐτοὶ δὲ διεσπάρησαν. ἀλλὰ ταῖς ἐπαγγελίαις τοῦ διδασκάλου; ποίαις; εἰ γὰρ μὴ ἀνέστη, οὐδὲ ἐκεῖναι ἔμελλον εἶναι αὐτοῖς πισταί. πῶς δ' ἂν ἤνεγκαν δῆμον μαινόμενον; εἰ γὰρ ὁ κορυφαῖος αὐτῶν θυρωροῦ ῥῆμα οὐκ ἤνεγκε γυναικός, καὶ οἱ λοιποὶ δὲ πάντες δεδεμένον ἰδόντες διεσπάρησαν, πῶς ἂν ἐνενόησαν εἰς τὰ πέρατα τῆς οἰκουμένης διαδραμεῖν, καὶ φυτεῦσαι πεπλασμένον ἀναστάσεως λόγον; εἰ γὰρ ὁ μὲν πρὸς γυναικὸς ἀπειλὴν οὐκ ἔστη, οἱ δὲ πρὸς δήμων ὄψιν, πῶς ἠδυνήθησαν πρὸς βασιλεῖς καὶ ἄρχοντας καὶ δήμους ἵστασθαι, ὅπου ξίφη καὶ τήγανα, καὶ κάμινοι, καὶ μυρίοι καθ' ἡμέραν θάνατοι, εἰ μὴ τῆς τοῦ ἀναστάντος ῥοπῆς ἀπέλαυσαν; τοιαῦτα σημεῖα γέγονε καὶ τοσαῦτα· καὶ οὐδὲν τούτων ᾐδέσθησαν Ἰουδαῖοι, ἀλλ' ἐσταύρωσαν τὸν ποιήσαντα. καὶ τούτοις ἔμελλον ἁπλῶς λέγουσι πείθεσθαι περὶ ἀναστάσεως; οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν· ἀλλ' ἡ τοῦ ἀναστάντος ἰσχὺς ταῦτα εἰργάσατο.

Σκόπει δέ μοι τὴν κακουργίαν αὐτῶν τὴν καταγέλαστον. ἐμνήσθημεν, φασίν, ὅτι εἶπεν ὁ πλάνος ἐκεῖνος ἔτι ζῶν, μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. καὶ εἰ πλάνος ἦν, καὶ ψευδῆ ἐκόμπαζε, τί δεδοίκατε καὶ περιτρέχετε, καὶ τοσαύτῃ κέχρησθε σπουδῇ; δεδοίκαμεν, φασί, μήποτε κλέψωσιν αὐτὸν οἱ μαθηταί, καὶ ἀπατήσωσι τοὺς πολλούς· καίτοι γε ἀπεδείχθη τοῦτο οὐκ ἔχον λόγον καθόλου· ἀλλ' ὅμως ἡ κακία φιλόνεικον, καὶ ἀναιδές, καὶ τοῖς ἀλογίστοις ἐπιχειρεῖ. καὶ μέχρι τριῶν ἡμερῶν κελεύουσιν ἀσφαλισθῆναι τὸν τάφον, ὡς ὑπὲρ δογμάτων μαχόμενοι, καὶ βουλόμενοι δεῖξαι καὶ πρὸ τούτου πλάνον ὄντα, καὶ μέχρι τοῦ τάφου τὴν κακίαν ἐκτείνουσι. διὰ τί τοίνυν τάχιον ἀνέστη, ἵνα μὴ λέγωσιν, ὅτι ἐψεύσατο καὶ ἐκλάπη. τοῦτο μὲν γὰρ ἔγκλημα οὐκ εἶχε, τὸ θᾶττον ἀναστῆναι, τὸ δὲ βράδιον ὑποψίας ἔγεμε. καὶ γὰρ εἰ μὴ τότε ἀνέστη, καθημένων αὐτῶν αὐτόθι, καὶ φυλαττόντων, ἀλλ' ἀναχωρησάντων μετὰ τὴν τρίτην ἡμέραν, εἶχόν τι λέγειν καὶ ἀντιλέγειν, εἰ καὶ ἀνοήτως. διὰ τοῦτο προέφθασε καὶ ἀνέστη, ὥστε μήτε ἀναίσχυντον αὐτοὺς ἔχειν πρόφασιν· ἔδει γὰρ αὐτῶν παρακαθημένων καὶ φυλαττόντων γενέσθαι τὴν ἀνάστασιν. οὐκοῦν καὶ ἐντὸς τῶν τριῶν ἡμερῶν ἔδει γενέσθαι· ὥστε εἴγε παρελθουσῶν αὐτῶν καὶ ἀναχωρησάντων αὐτῶν ἐγένετο, ὕποπτον τὸ πρᾶγμα ἔμελλεν εἶναι. διὸ καὶ σφραγίσαι συνεχώρησεν, ὡς ἐβούλοντο, καὶ στρατιῶται περιεκάθηντο, καὶ οὐκ ἐμέλλησεν αὐτοῖς ἐν σαββάτῳ ταῦτα ποιοῦσι, καὶ ἐργαζομένοις, ἀλλὰ πρὸς ἓν μόνον ἑώρων, τὴν ἑαυτῶν πονηρίαν, ὡς ταύτῃ περιεσόμενοι· ὅπερ ἐσχάτης ἀνοίας ἦν καὶ φόβου σφόδρα αὐτοὺς κατασείοντος λοιπόν· οἱ γὰρ ζῶντα αὐτὸν καταδόντες, ἀποθανόντα δεδοίκασι. καίτοι γε, εἰ ψιλὸς τις ἄνθρωπος ἦν, ἔδει θαρρεῖν. ἀλλ' ἵνα μάθωσιν ὅτι καὶ ζῶν, ἑκὼν ἔπαθεν, ἅπερ ἔπαθεν, ἰδοὺ καὶ σφραγίς, καὶ λίθος, καὶ κουστωδία, καὶ πᾶσα φυλακή, καὶ οὐκ ἴσχυσαν τὸν νεκρὸν κατασχεῖν· ἀλλ' ἓν ἐγίγνετο μόνον, τὸ δημοσιευθῆναι ἐντεῦθεν τὴν ἀνάστασιν. καὶ γὰρ στρατιῶται περιεκάθηντο, καὶ Ἰουδαῖοι προσεδρεύουσιν. ἐπεὶ δὲ ἑσπέρα λοιπὸν κατέλαβεν, Ὀψέ, φησι, σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων, ἦλθε Μαρία ἡ Μαγδαληνή, καὶ ἡ ἄλλη Μαρία θεωρῆσαι τὸν τάφον. καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέγας. ἄγγελος γὰρ Κυρίου καταβὰς ἐξ οὐρανοῦ καὶ προσελθών, ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας τοῦ μνημείου, καὶ ἐκάθητο ἐπάνω αὐτοῦ. ἦν δὲ ἡ ἰδέα αὐτοῦ, ὡς ἀστραπή, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκόν, ὡσεὶ χιών· καὶ εἶπε, φησι, ταῖς γυναιξί, μὴ φοβεῖσθε. οὐχὶ πρὸ τούτου, ἀλλὰ μετὰ τὴν ἀνάστασιν ἦλθεν ὁ ἄγγελος. τίνος δὲ ἕνεκεν ἦλθε, καὶ τὸν λίθον ἦρε διὰ τὰς γυναῖκας; αὗται γὰρ εἶδον τότε αὐτὸν ἐν τῷ τάφῳ· ἵνα οὖν πιστεύσωσιν, ὅτι ἠγέρθη, ὁρῶσι τὸν τάφον κενὸν τοῦ σώματος. διὰ τοῦτο ἀνεῖλε τὸν λίθον, διὰ τοῦτο καὶ σεισμὸς ἐγένετο, ἵνα διαναστῶσι, καὶ ἀφυπνισθῶσι· καὶ γὰρ ἦσαν παραγενόμεναι, φησιν, αἱ γυναῖκες, ὥστε ἔλαιον "βαλεῖν, καὶ ἐν νυκτὶ ταῦτα ἐγίνετο, καὶ εἰκός τινας ἀποκαθευδῆσαι. ἀλλὰ τίνος ἕνεκεν, φησι, πρὸς αὐτὰς ὁ ἄγγελος εἶπε, μὴ φοβεῖσθε ὑμεῖς; οὐχ ἁπλῶς, οὐδὲ εἰκῆ, ἀλλὰ βουλόμενος αὐτὰς πρότερον ἀπαλλάξαι τοῦ δέους, τότε διαλέγεται περὶ τῆς ἀναστάσεως· μὴ φοβεῖσθε, φησιν, ὑμεῖς· οὐ γὰρ ὑμῶν ἐστι δεδοικέναι, ἀλλ' ἐκείνων τῶν σταυρω-

Ματθ. κη. α.

γρ. λαβεῖν.

Ματθ. κη. ε.

Ματθ. κη. ζ.

σαντων. ἀπαλλάξας τοίνυν αὐτὰς τοῦ φόβου, καὶ διὰ τῶν ῥημάτων, καὶ διὰ τῆς ὄψεως (καὶ γὰρ τὸ σχῆμα φαιδρὸν ἔδειξεν, ἅτε εὐαγγέλια τοιαῦτα φέρων) καὶ ἐπήγαγε λέγων πρὸς αὐτάς· Οἶδα ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε. καὶ οὐκ ἐπαισχύνεται ἐσταυρωμένον αὐτὸν καλεῖν. τοῦτο γάρ ἐστι τὸ κεφάλαιον τῶν ἡμετέρων ἀγαθῶν. ἠγέρθη, φησί. πόθεν δῆλον; καθὼς αὐτὸς εἶπεν, ὥστε, κἂν ἐμοὶ διαπιστῆτε, τῶν ἐκείνου μνήσθητε ῥημάτων, καὶ οὐδὲ ἐμοὶ διαπιστήσετε. εἶτα καὶ ἄλλη ἀπόδειξις. δεῦτε, καὶ ἴδετε τὸν τόπον, ὅπου ἔκειτο. διὰ τοῦτο ἐπῆρε τὸν λίθον, ὥστε καὶ ἐντεῦθεν λαβεῖν αὐτὰς τινὰ ἀπόδειξιν. Καὶ εἴπατε τοῖς μαθηταῖς, ὅτι ὄψεσθε αὐτὸν εἰς τὴν Γαλιλαίαν. καὶ ἑτέροις εὐαγγελίζεσθαι παρασκευάζει, ὃ μάλιστα αὐτὰς ἐποίει πιστεῦσαι. καὶ καλῶς εἶπεν, εἰς τὴν Γαλιλαίαν, ἀπαλλάττων κινδύνων καὶ πραγμάτων, ὥστε μὴ τὸν φόβον διενοχλεῖν τῇ πίστει. Καὶ ἐξῆλθον ἐκ τοῦ μνημείου μετὰ φόβου καὶ χαρᾶς. τί δήποτε; ἐκπληκτικὸν πρᾶγμα εἶδον καὶ παράδοξον, τάφον κενόν, ἔνθα πρότερον τεθέντα εἶδον. διὸ καὶ ἤγαγεν αὐτὰς εἰς θεωρίαν, ἵνα ἀμφοτέρων γένωνται μάρτυρες, καὶ τοῦ τάφου, καὶ τῆς ἀναστάσεως. καὶ γὰρ ἐνενόουν ὅτι οὐδεὶς αὐτὸν ἂν ἦρε, στρατιωτῶν τοσούτων παρακαθημένων, εἰ μὴ ἑαυτὸν ἀνέστησε. διὰ τοῦτο καὶ χαίρουσι, καὶ θαυμάζουσι, καὶ τῆς τοσαύτης παραμονῆς λαμβάνουσι τὴν ἀμοιβὴν, τὸ πρώτας ἰδεῖν καὶ εὐαγγελίσασθαι οὐ τὰ εἰρημένα μόνον, ἀλλὰ καὶ τὰ ὁραθέντα. ἐπεὶ οὖν ἐξῆλθον μετὰ φόβου καὶ χαρᾶς, ἰδοὺ Ἰησοῦς ἀπήντησεν αὐταῖς λέγων, χαίρετε. αἱ δὲ ἐκράτησαν αὐτοῦ τοὺς πόδας, καὶ μεθ᾽ ὑπερβαλλούσης εὐφροσύνης αὐτῷ προσδραμοῦσαι, ἐλάμβανον καὶ διὰ τῆς ἁφῆς τεκμήριον καὶ πληροφορίαν τῆς ἀναστάσεως. Καὶ προσεκύνησαν αὐτῷ. τί οὖν αὐτός; Μὴ φοβεῖσθε. πάλιν καὶ αὐτὸς τὸ δέος ἐκβάλλει προοδοποιῶν τῇ πίστει. Ἀλλὰ ὑπάγετε, εἴπατε τοῖς ἀδελφοῖς μου, ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ με ὄψονται. σκόπει πῶς καὶ αὐτὸς διὰ τούτων τοὺς μαθητὰς εὐαγγελίζεται, ὃ πολλάκις εἶπον, τὸ μάλιστα γένος ἀτιμασθὲν διὰ τὴν τῆς Εὔας παρακοὴν, εἰς τιμὴν ἄγων καὶ εἰς χρηστὰς ἐλπίδας, καὶ τὸ πεπονηκὸς ἰώμενος. εἴδετε πῶς διὰ πάντων, ὧν ἐπεχείρησαν οἱ τῆς ἀληθείας ἐχθροὶ, περιφανεστέραν εἰργάσαντο τὴν ἀλήθειαν, καὶ ἄκοντες συνηγωνίσαντο τῇ τῆς ἀναστάσεως ἀποδείξει. εἴδετε ὅσης ἠξιώθησαν τιμῆς αἱ γυναῖκες διὰ τὴν προσεδρείαν. μιμησώμεθα τούτων τὸν ζῆλον, καὶ ἄνδρες, καὶ γυναῖκες, καὶ τιμήσωμεν κατὰ δύναμιν καὶ ἡμεῖς τὴν τῆς ἀναστάσεως ἡμέραν, οὐχὶ μύρα καὶ ἀρώματα βαστάζοντες αἰσθητὰ, ἀλλὰ τὴν ἀπὸ τῶν πράξεων τῆς ἀρίστης πολιτείας εὐωδίαν ἐπιφερόμενοι. καὶ καθάπερ αὗται μισθὸν τῆς ὑπομονῆς εἰλήφασι, τὸ καταξιωθῆναι πρὸ τῶν ἄλλων ἁπάντων αὐτὸν θεάσασθαι τὸν δεσπότην μετὰ τὴν ἀνάστασιν, καὶ τοὺς πόδας κατασχεῖν καὶ προσκυνῆσαι, οὕτω καὶ ἡμῶν ἕκαστος ἔξεστιν, εἰ βουληθείημεν, οὐ μόνον τοὺς πόδας κατασχεῖν, ἀλλὰ καὶ αὐτὸν ὅλον λαβεῖν (ἴσασιν οἱ μεμυημένοι τὸ λεγόμενον) μόνον ἐὰν προλαβόντες ἐκκαθάρωμεν ἑαυτῶν τὴν διάνοιαν παντὸς λογισμοῦ βιωτικοῦ, καὶ τὸν ῥύπον τῶν ἁμαρτημάτων ἀποσμηξάμενοι διὰ τῶν δακρύων, οὕτω μετὰ φόβου καὶ φρίκης κατὰ τὴν ὥραν ἐκείνην μάλιστα τῇ φοβερᾷ τραπέζῃ προσιῶμεν, πάντα θόρυβον καὶ ταραχὴν ἀπελάσαντες τῆς ἑαυτῶν διανοίας, καὶ εἰρηνεύοντες μετὰ πάντων. ἡσυχίας γὰρ δεῖται τὰ τελούμενα μυστήρια καὶ νηφούσης ψυχῆς· καὶ οὕτω προσεγγίσαι τοῖς ἀπορρήτοις μυστηρίοις. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, ἐπείγῃ καὶ θορυβῇ, καὶ διὰ βραχεῖαν ὥραν λυμαίνῃ τῇ τοσαύτῃ παραμονῇ τὴν σαυτοῦ ψυχήν; εἰ γὰρ καὶ τὴν ψυχὴν αὐτὴν ἐχρῆν δοῦναι ὑπὲρ τοῦ καταξιωθῆναι τῶν τοσούτων ἀγαθῶν, οὐκ ἔδει εὐκόλως προέσθαι, μήτιγε δὴ βραχὺν ὑπομεῖναι κάματον σωματικόν; παρακαλῶ πάντας ὑμᾶς πολλὴν τὴν ἡσυχίαν, πολλὴν τὴν εὐλάβειαν ἐπιδείξασθαι, ἵνα καὶ τὸν μισθὸν μετὰ δαψιλείας κομίσησθε· καὶ δυνηθῶμεν μὴ μόνον τοὺς πόδας καὶ τὰς χεῖρας κατασχεῖν, ἀλλὰ καὶ τὴν κεφαλὴν διὰ τῆς ἀπολαύσεως τῶν φρικτῶν ἐκείνων καὶ ἀπορρήτων μυστηρίων, είων, καὶ ἐν καθαρῷ συνειδότι τὴν μετάληψιν ποιούμενοι. οὐκ ἐνταῦθα δὲ μόνον, ἀλλὰ καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ δυνησόμεθα ἰδεῖν αὐτὸν μετὰ τῆς ἀπορρήτου δόξης ἐκείνης, καὶ τοῦ δήμου τῶν ἀγγέλων ἐρχόμενον. ὡς εἰ βουληθείημεν εἶναι ἡμεῖς οἱ φιλάδελφοι, οὐ μόνον ὀψόμεθα, ἀλλὰ καὶ ναὸς αὐτοῦ γενώμεθα, καὶ ἀκουσόμεθα παρ' αὐτοῦ, οὐ μόνον, χαίρετε, καθάπερ ταῖς γυναιξὶν εἶπεν, ἀλλὰ καὶ τὰ τῆς βασιλείας ἄξια ῥήματα· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός ἐμοῦ, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. γενώμεθα τοίνυν θεοσεβεῖς, φιλόθεοι, φιλάδελφοι, τὴν ἀγάπην πρὸς ἀλλήλους ἐπιδεικνύμενοι, ἵνα ταῦτα ἀκούσωμεν τὰ ῥήματα, καὶ αὐτὸν τὸν Χριστὸν ὑποδεξώμεθα· ὅτι αὐτῷ πρέπει ἡ τιμὴ, καὶ ἡ προσκύνησις καὶ ἡ δόξα, σὺν τῷ ἀνάρχῳ πατρὶ, καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ρμη. ΚΑΤΗΧΗΤΙΚΟΣ ΕΙΣ ΤΟ ΑΓΙΟΝ πάσχα.

Ex Ms. Epis. Philadelphia.

Εἴ τις εὐσεβὴς καὶ φιλόθεος, ἀπολαυέτω τῆς καλῆς ταύτης πανηγύρεως· εἴ τις δοῦλος εὐγνώμων, εἰσελθέτω χαίρων εἰς τὴν χαρὰν τοῦ Κυρίου αὐτοῦ· εἴ τις ἔκαμε νηστεύων, ἀπολαυέτω νῦν τὸ δηνάριον· εἴ τις ἀπὸ πρώτης ὥρας εἰργάσατο, δεχέσθω σήμερον τὸ δίκαιον ὄφλημα· εἴ τις μετὰ τὴν τρίτην ἦλθεν, εὐχαρίστως ἑορτάσῃ· εἴ τις μετὰ τὴν ἕκτην ἔφθασε, μηδὲν ἀμφιβαλλέτω (καὶ γὰρ οὐδὲν ζημιοῦται) εἴ τις ὑστέρησεν εἰς τὴν ἐννάτην, προσελθέτω μηδὲν ἐνδοιάζων· εἴ τις εἰς μόνην ἔφθασε τὴν ἑνδεκάτην, μὴ φοβηθῇ τὴν βραδυτῆτα. φιλότιμος γὰρ ὢν ὁ δεσπότης δέχεται τὸν ἔσχατον, καθάπερ καὶ τὸν πρῶτον· ἀναπαύει τὸν τῆς ἑνδεκάτης, ὡς τὸν ἐργασάμενον ἀπὸ τῆς πρώτης· καὶ τὸν ὕστερον ἐλεεῖ, καὶ τὸν πρῶτον θεραπεύει· κἀκείνῳ δίδωσι, καὶ τούτῳ χαρίζεται· καὶ τὴν πρᾶξιν τιμᾷ, καὶ τὴν πρόθεσιν ἐπαινεῖ. οὐκοῦν εἰσέλθητε πάντες εἰς τὴν χαρὰν τοῦ Κυρίου ἡμῶν, καὶ πρῶτοι καὶ δεύτεροι τὸν μισθὸν ἀπολαύετε, πλούσιοι καὶ πένητες μετὰ ἀλλήλων χορεύσατε, ἐγκρατεῖς καὶ ῥᾴθυμοι τὴν ἡμέραν τιμήσατε, νηστεύσαντες καὶ μὴ νηστεύσαντες εὐφράνθητε σήμερον. ἡ τράπεζα γέμει, τρυφήσατε πάντες· ὁ μόσχος πολὺς, μηδεὶς ἐξέλθοι πεινῶν· πάντες ἀπολαύσατε τοῦ πλούτου τῆς χρηστότητος. μηδεὶς θρηνείτω πενίαν· ἐφάνη γὰρ ἡ κοινὴ βασιλεία· μηδεὶς ὀδυρέσθω τὰ πταίσματα· συγγνώμη γὰρ ἐκ τοῦ τάφου ἀνέτειλε. μηδεὶς φοβείσθω τὸν θάνατον· ἠλευθέρωσε γὰρ ἡμᾶς ὁ τοῦ σωτῆρος θάνατος· ἔσβεσεν αὐτὸν ὑπ' αὐτοῦ κατεχόμενος· ἐκόλασε τὸν ᾅδην ὁ κατελθὼν εἰς τὸν ᾅδην· ἐπίκρανεν αὐτὸν γευσάμενος τῆς σαρκὸς αὐτοῦ. καὶ τοῦτο προλαβὼν Ἡσαΐας ἐβόησεν· Ὁ ᾅδης, φησὶν, ἐπικράνθη· συναντήσας σοι κάτω ἐπικράνθη. καὶ γὰρ καθῃρέθη. ἐπικράνθη· καὶ γὰρ ἐνεπαίχθη. ἔλαβε σῶμα, καὶ Θεῷ περιέτυχεν· ἔλαβε γῆν, καὶ συνήντησεν οὐρανῷ· ἔλαβεν ὅπερ ἔβλεπε, καὶ πέπτωκεν ὅθεν οὐκ ἔβλεπε. Ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος; ἀνέστη Χριστὸς, καὶ σὺ καταβέβλησαι· ἀνέστη Χριστὸς, καὶ πεπτώκασι δαίμονες· ἀνέστη Χριστὸς, καὶ χαίρουσιν ἄγγελοι· ἀνέστη Χριστὸς, καὶ νεκρὸς οὐδεὶς ἐπὶ μνήματος. Χριστὸς γὰρ ἐγερθεὶς ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ησ. ιδ. θ.

Λογ. ρμθ. ΕΙΣ ΤΟ ΠΑΣΧΑ. α΄.

Ex Ms. Regio Lut. emend. ex Ms. Episcopi Philadelph. Venet.

Πάσχα μὲν γήϊνον ἑορτάζουσιν Ἰουδαῖοι, τὸ οὐράνιον ἀρνησάμενοι· πάσχα δὲ οὐράνιον ἑορτάζοντες ἡμεῖς, τὸ γήϊνον ὑπερβεβήκαμεν. καὶ τὸ μὲν παρ' ἐκείνοις ἐπιτελεσθὲν, σωτηρίας πρωτοτόκων τῶν ἐν Ἰουδαίοις σύμβολον ἦν, ὅτε τοῖς Αἰγυπτίοις πρωτοτόκοις οὐ συναπώλετο τὰ Ἰουδαίων, αἵματι τοῦ θύματος τοῦ πάσχα συμβολικῶς τηρηθέντα. τὸ δὲ παρ' ἡμῖν ἐπιτελούμενον πάσχα, τῆς ἁπάντων ἀνθρώπων σωτηρίας ἐστὶν αἴτιον, ἀρξάμενον ἀπὸ τοῦ πρωτοπλάστου, ὃς ἐν ἅπασίν ἐστι σωζόμενος καὶ ζωογονούμενος. τὰ δὲ μέρη τῶν τελείων καὶ τὰ πρόσκαιρα, τῶν αἰωνίων εἰκόνες καὶ τύποι, προεμελετᾶτο πρὸς τὴν νῦν ἀνατείλασαν ἀλήθειαν σκιαγραφούμενα. ἀληθείας δὲ παρούσης, ὁ τύπος ἄχρειος· ὥσπερ βασιλέως ἐπιδημήσαντος, οὐδεὶς αὐτὸν ἐάσας τὸν ζῶντα βασιλέα, τὴν εἰκόνα προσκυνεῖν ἀξιοῖ. δήλη δὲ αὐτόθεν ἡ τοῦ τύπου παρὰ τὴν ἀλήθειαν ἐλάττωσις. ὅπου γε ὁ μὲν τύπος ὀλιγοχρόνιον ζωὴν ἑορτάζει, τὴν τῶν Ἰουδαίων πρωτοτόκων· ἡ δὲ ἀλήθεια, τὴν διηνεκῆ ζωὴν τὴν ἁπάντων ἀνθρώπων. οὐ γὰρ μέγα τὸ θάνατον πρὸς βραχὺ διαφυγεῖν τὸν μικρὸν ὕστερον ἀποθανούμενον· μέγα δὲ τὸ καθόλου θάνατον ἀποφυγεῖν· ὅπερ ἡμῖν περιγίνεται), οἷς τὸ πάσχα ἐτύθη Χριστός. καὶ αὐτό γε τὸ τῆς ἑορτῆς ὄνομα πλείστην ἔχει τὴν ὑπεροχὴν, ἐπὶ τῆς ἀληθείας ἑρμηνευόμενον. ὑπέρβασις μὲν γάρ ἐστι καθ' ἑρμηνείαν τὸ πάσχα, ὅτε ὑπερέβη τοὺς Ἑβραίων οἴκους ὁ τὰ πρωτότοκα παίων ὀλοθρευτής. ὑπέρβασις δὲ τοῦ ὀλοθρευτοῦ παρ' ἡμῖν ἀληθὴς, ὅταν καθάπαξ ἡμᾶς ὑπερβαίνῃ πρὸς τὴν αἰώνιον ζωὴν ἀνισταμένους ὑπὸ Χριστοῦ. οὕτω μὲν δὴ τὴν ὅλην ὑπόθεσιν τοῦ πάσχα θεωρεῖσθαι χρὴ πνευματικῶς, καὶ πιστεύεσθαι κατὰ τὰς ἀποστολικὰς ἐξηγήσεις. ποθεῖ δὲ ὁ πιστὸς καὶ τὴν ὅλην ὑποτύπωσιν κατανοῆσαι, πῶς ἔχει πρὸς τὴν ἀλήθειαν, καὶ ὡσπερεὶ θεωρῆσαι τὰ καθ' ἑαυτὸν πνευματικὰ διὰ τῶν τότε σωματικῶν· ἵν' αὐτῷ καὶ τὰ τοῦ νόμου πάντα οἰκείως ἔχῃ νοούμενα κατὰ Χριστὸν, καὶ διὰ τοῦ πνευματικοῦ τὸ σωματικὸν ἐμφανέστερον γίνηται), καὶ καθάπερ ζωγραφούμενον ἐν τοῖς ὁρατοῖς ἐκφανῇ τὸ ἀόρατον. ὅτε τοίνυν ἔμελλε τὴν δεκάτην ἐπάγειν πληγὴν Αἰγυπτίοις ὁ Θεὸς (αὕτη δὲ ἦν ὁ τῶν πρωτοτόκων θάνατος) ἔλεγε πρὸς τὸν Μωϋσῆν· Ὁ μὴν οὗτος ὑμῖν ἀρχὴ μηνῶν, πρῶτός ἐστιν ὑμῖν ἐν τοῖς μησὶ τοῦ ἐνιαυτοῦ. καὶ διέταττεν ἐφεξῆς τὴν τοῦ πάσχα θυσίαν, καὶ τὴν τοῦ αἵματος χρίσιν ἐπὶ τῶν θυρῶν· καὶ τῇ μὲν τούτου χρίσει σωτηρίαν τῶν πρωτοτόκων ἐπηγγέλλετο. τί δὲ τοῦτο ἐστὶν εὐθὺς ἐπὶ τῆς ἀληθείας θεωρούμενον, τὸ ἀρχὴν ἐνιαυτοῦ τὸν καιρὸν ἐκεῖνον ὁρίζεσθαι, ἐν ᾧ τὸ πάσχα καὶ ἡ σωτηρία τῶν πρωτοτόκων; ὅτι καὶ ἡμῖν ἀρχὴ ζωῆς αἰωνίας, ἡ τοῦ ἀληθινοῦ πάσχα θυσία. αἰώνιος γὰρ ὁ ἐνιαυτὸς σύμβολον, διότι κύκλῳ περιιὼν αὐτὸς εἰς ἑαυτὸν ἀεὶ στρέφεται, καὶ εἰς τέλος οὐδὲν ἀποπαύεται)) καὶ πατὴρ τοῦ μέλλοντος αἰῶνός ἐστι προσαχθεὶς ὑπὲρ ἡμῶν θυσία Χριστὸς, καὶ τὸν πρότερον ἅπαντα βίον ἡμῶν ἄχρειον ποιῶν, ἀρχὴν ἑτέρου διὰ τοῦ λουτροῦ τῆς παλιγγενεσίας δίδωσι, καθ' ὁμοιότητα τοῦ ἰδίου θανάτου καὶ τῆς ἀναστάσεως. ὥστε πᾶς ὁ γινώσκων τὸ τεθυμένον ὑπὲρ αὐτοῦ πάσχα, ἀρχὴν ἑαυτῷ ζωῆς ὑποτιθέσθω ταύτην, ἀφ' οὗ τέθυται Χριστὸς ὑπὲρ αὐτοῦ. τέθυται δὲ ὑπὲρ αὐτοῦ τότε, ἡνίκα ἂν ἐπιγνῷ τὴν χάριν, καὶ συνιῇ τὴν διὰ τῆς θυσίας ἐκείνης ζωήν. καὶ τοῦτο γινώσκων, τῆς νεαρᾶς ὀρεγέσθω ζωῆς λαμβάνειν τὴν ἀρχὴν, καὶ μηκέτι ἀνατρεχέτω πρὸς τὴν παλαιὰν, ἧς ἐπὶ τέλος ἔφθασεν. Οἵτινες γὰρ ἀπεθάνομεν, φησὶ, τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ; τὸ μὲν δὴ τῆς ἀρχῆς τοῦ ἐνιαυτοῦ σύμβολον τοιοῦτον. δεκάτῃ δὲ τοῦ μηνὸς κελεύει λαμβάνειν ἕκαστον πρόβατον κατ' οἰκίαν, καὶ τοσούτους εἶναι) ἐπὶ τῆς οἰκίας τοὺς ἐσθίοντας, ὡς ἐξαρκεῖν εἰς τὴν βρῶσιν, καὶ μηδὲν περισ-

χ. πν

Ἐξοδ. ιβ. β.

Ῥωμ. ϛ. β.

σεῦσαι· θύεσθαι δὲ τῇ τεσσαρεσκαιδεκάτῃ τὸ πρόβατον πρὸς ἑσπέραν. συνοικοῦν πέντε μὲν ἡμέρας σύνεστι τὸ θῦμα τοῖς μέλλουσι σώζεσθαι δι' αὐτοῦ, περιουσιωμένης δὲ τῆς πέμπτης τὸ μὲν ἱερεῖον θύεται, ὁ δὲ θάνατος ὑπερβαίνει, ὁ δὲ σωθεὶς ἀπολαύει διηνεκοῦς φωτὸς, διὰ τε νυκτὸς ὅσης λαμπούσης σελήνης, καὶ τοῦ ἡλίου τὴν σελήνην διαδεχομένου. τοῦτο γὰρ ἐν πεντεκαιδεκάτῃ ἐστὶ πανσελήνῳ γίνεται. τὰ δὲ πέντε διαστήματα ταῦτα, τὸν ἅπαντα δείκνυσι χρόνον τοῦ κόσμου διαιρούμενον εἰς πέντε, εἴς τε τὸν ἀπὸ Ἀδὰμ μέχρι Νῶε, καὶ τὸν ἀπὸ Νῶε μέχρι Ἀβραάμ, καὶ τὸν ἐξ Ἀβραὰμ ἐπὶ Μωϋσῆν, καὶ τὸν ἀπὸ Μωϋσέως ἐπὶ τὴν Χριστοῦ παρουσίαν, καὶ πέμπτον αὐτῆς τῆς παρουσίας. ἐν ᾧ χρόνῳ παντὶ προέκειτο μὲν ἀνθρώποις ἡ διὰ τοῦ μακαρίου θύματος σωτηρία, οὔπω δὲ ἐτελεῖτο. ἐν δὲ τῷ πέμπτῳ διαστήματι τοῦ χρόνου τὸ πάσχα τὸ ἀληθὲς ἐθύετο, καὶ ὁ δι' αὐτοῦ σωζόμενος πρωτόγονος ἄνθρωπος εἰς τὸ διηνεκὲς ἐξῄει φῶς. ἔστι τό γε μὴ ἐπ' αὐτῆς τῆς ἑσπέρας, ἀλλὰ πρὸς ἑσπέραν τὸ πάσχα θύεσθαι ἐδηλοῦτο μὴ ἐν αὐτῷ τῷ τέλει τοῦ παρόντος αἰῶνος, ἀλλὰ πρὸς αὐτὸ τὸ τέλος πάσχειν τὸν Χριστόν. διῃρημένον δὲ οὕτω τὸν χρόνον ἔδειξεν ἡ παραβολὴ τεμῶν τὸ εἰς πέντε τὴν ἡμέραν, καὶ τοὺς κεκλημένους εἰς τὸν ἀμπελῶνα, τουτέστιν, εἰς τὴν τῆς δικαιοσύνης ἐργασίαν, φάσκοντος καλεῖσθαι τοὺς μὲν ὑπὸ πρώτην ὥραν, τοὺς δὲ ὑπὸ τρίτην, τοὺς δὲ ὑπὸ ἕκτην, τοὺς δὲ ὑπὸ ἐννάτην, τοὺς δὲ ὑπὸ ἑνδεκάτην. καὶ γὰρ ἦσαν διάφοροι κλήσεις αὗται, καὶ διάφορα δικαιώματα. ἕτερον μὲν τὸ ἐπὶ Ἀδάμ, ἕτερον δὲ τὸ ἐπὶ Νῶε· ἄλλο τὸ ἐπὶ Ἀβραάμ, ἄλλο τὸ ἐπὶ Μωϋσέως. τελευταῖον δὲ καὶ τελεώτατον, τὸ ἐπὶ τῆς Χριστοῦ παρουσίας, ὅτε καὶ τῶν ἔργων ὁ μισθὸς ἀποδίδοται πρώτοις τοῖς τελευταίοις κατὰ τὴν σωτήριον παραβολήν· ἐπεὶ πρῶτοι τὴν ἀναγέννησιν ἡμεῖς ἐν βαπτίσματι κομιζόμεθα, οἷς ἐτύθη Χριστὸς, ἐφ' ᾧ ἀνέστη, καὶ τὸ πνεῦμα τὸ ἅγιον εἰς ἀνακαίνισιν ἡμῶν ἐνεφύσησεν. αὕτη μὲν οὖν ἡ τεσσαρεσκαιδεκάτη μυστικῶς νοουμένη, καὶ τοιοῦτον τὸ τοῦ θύματος σύμβολον, καὶ ἡ τῆς θυσίας διαδεχομένη φωτεινὴ νὺξ καὶ ἡμέρα. τὸ δὲ ὅλον ἐφ' ἑκάστης οἰκίας ἐσθίεσθαι τὸ ἱερεῖον, καὶ μὴ ἐκφέρεσθαι τῶν κρεῶν ἔξω, δηλοῖ μίαν οἰκίαν μόνην ἔχουσαν τὴν ἐν Χριστῷ σωτηρίαν. αὕτη δὲ ἐστὶν, ἡ καθ' ὅλης τῆς οἰκουμένης ἐκκλησία, ἡ πάλαι μὲν ἀλλοτρία Θεοῦ, νῦν δὲ μόνη πρὸς Θεὸν οἰκείως ἔχουσα διὰ τὸ δέξασθαι τοὺς ἀποσταλέντας παρὰ τοῦ Κυρίου Ἰησοῦ, ὥσπερ εἰ τῆς Ῥαὰβ ἡ τῆς πάλαι πόρνης οἰκία τοὺς κατασκόπους ὑποδεξαμένη τοὺς παρὰ Ἰησοῦ μόνη, καὶ ἐσώζετο τῆς Ἱεριχῶ πορθουμένης. ὥστε εἰ καὶ πλείους αἱ τῶν Ἑβραίων οἰκίαι, μίαν ἔχουσι δύναμιν, ὥσπερ αἱ κατὰ πόλεις καὶ χώρας ἐκκλησίαι, πολλαὶ τὸν ἀριθμὸν οὖσαι, μία ἐστὶν ἐκκλησία. εἷς γὰρ ἐν αὐταῖς ὁ Χριστὸς ἁπανταχοῦ, ὁ τέλειος καὶ ἀμέριστος. διόπερ τέλειον ἦν ἐφ' ἑκάστης οἰκίας τὸ ἱερεῖον, καὶ οὐκ εἰς διαφόρους ἐμερίζετο. φησὶ γοῦν ἡμᾶς καὶ ὁ Παῦλος ἕνα εἶναι πάντας ἐν Χριστῷ, διότι ἐστὶν ὁ Κύριος εἷς, καὶ ἡ πίστις μία. τὴν οὖν ἕνωσιν τοῦ ἱερείου τὴν ἀδιαίρετον ἀναγκαίως ὁ νόμος εἰς Χριστὸν προετύπου, ἐν ταύτῃ καὶ τὴν τῆς ἐκκλησίας ἕνωσιν προδιατυπῶν. ἐν Χριστῷ μὲν δὴ τὴν σωτηρίαν ἔχομεν καὶ ἐν τῇ θυσίᾳ τοῦ Χριστοῦ, καὶ πάντα τὰ περὶ τῆς παρουσίας εἰς τὴν παρουσίαν προευτρεπισθέντα γινώσκομεν, καὶ τοῦτον μόνον εἰς σωτηρίαν ἁπάσῃ τῇ ἀνθρωπότητι προκείμενον ἐξ ἀρχῆς, καθάπερ εἰ προορωμένων τὸν Χριστὸν ὑπὲρ πάντων τυθῆναι· μίαν δὲ προσήκειν ἐκκλησίαν τὴν σωτηρίαν ταύτην ἐπιστάμεθα, καὶ μηδένα τῆς καθολικῆς ἔξωθεν ἐκκλησίας καὶ πίστεως μετέχειν Χριστοῦ δυνάμενον, μηδὲ σώζεσθαι. καὶ ταῦτα εἰδότες, οὐδὲ ἐν τοῖς κατὰ νόμον, ἀλλ' ἐν Χριστῷ τὴν ἁπάντων τοῦ κόσμου σωτηρίαν ἴσμεν πραγματευομένην, οὐδὲ ταῖς ἀθέοις αἱρέσεσιν ἀπονέμομέν τι πρὸς τὴν ἐλπίδα, ἀλλὰ παντελῶς ἔξω τῆς ἐλπίδος τίθεμεν αὐτάς· ἅτε δὴ μηδὲ τὴν βραχυτάτην ἐχούσας Χριστοῦ μετουσίαν, ἀλλὰ κενῶς ἐπιφημιζούσας ἑαυταῖς τὸ σωτήριον ὄνομα πρὸς ἀπάτην καὶ βλάβην τῶν ὀνόματι καὶ σχήματι μᾶλλον ἢ ἀληθείᾳ προσέχειν δυναμένων. μήτε οὖν τὰ παλαιά τις ἀπορρηγνύτω Χριστοῦ, μη-

δὲ

Ἐφεσ. δ. ε.

ἴσ. ὅλης

γρ. ἐξείη

ἴσ. τό γε

ἴσ. χρόνου

ἴσ. τεμοῦσα

ἴσ. φάσκουσα

δὲ ἄνευ Χριστοῦ σώζεσθαί τινα τῶν προτέρων ὑπονοείτω, μήτε τοὺς νῦν παραδιδάσκοντας καὶ τὴν ἀλήθειαν παραχαράττοντας καὶ μάταια παρασκευάζοντας ἐκκλησιῶν σχήματά τε τῆς ἀληθείας ἐκτὸς καὶ ἀλλότρια Χριστοῦ, τοὺς τοιούτους μήτε χριστιανοὺς ὀνομαζέτω τις, μήτε κοινωνίαν αἱρείσθω πρὸς αὐτούς. οὐ γὰρ ἔξεστιν· ἐπείπερ οὐκ ἐκκομίζεται τῆς ἱερᾶς οἰκίας τὸ θῦμα, οὐδὲ εἰς κοινωνίαν τοῖς ἔξω προσφέρεται. εἰς δὲ τὴν τοῦ Κυρίου δόξαν προτετυπωμένον ὁρῶμεν, τὸ τέλειον εἶναι καὶ ἄρσεν καὶ ἐνιαύσιον τὸ πρόβατον. τέλειον μὲν γάρ, ὅτι μόνος Χριστὸς ἀνενδεὴς ἐν τῇ πάσῃ ἀρετῇ, καὶ κατὰ πάντα τρόπον ἄμωμος, καὶ ἐξ ἀρχῆς καὶ εἰς τέλος οὐδεμιᾶς ἐνδεὼν δικαιοσύνης, ὡς αὐτός φησιν· Οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. διὸ καὶ πάντα τὰ θύματα προσήγετο τέλεια καὶ ἄμωμα, ὅτι καὶ πάντα εἰς τύπον ἐθύετο τοῦ Χριστοῦ. καὶ τοὺς ἱερεῖς ἀρτίους εἶναι καὶ τελείους τοῖς σώμασιν ἐκέλευεν ὁ Θεός, ὅτι τοῦ ἀληθοῦς ἀρχιερέως ἦσαν ἅπαντες τύπος. ἄρσεν δὲ τὸ πρόβατον, ὅτι ἡγεμονικὸν φύσει, τὴν ἡγεμονίαν ἔχον, ὥσπερ ὁ ἄρρην ἔχει σωματικὴν ἡγεμονίαν πρὸς τὸ θῆλυ. φύσει γὰρ καὶ ἀληθείᾳ Χριστὸς ἡγεμὼν καὶ βασιλεύς, ἅτε ὢν ἐπουράνιος ἄνθρωπος, καὶ συνταχθεὶς μὲν ἡμῖν, ὡς ἀδελφὸς κατὰ τὴν φύσιν τὴν σαρκικήν, ἐφεστὼς δέ, ὡς δεσπότης κατὰ τὴν θεότητα τὴν πνευματικήν. διὸ καὶ νυμφίος αὐτὸς δὴ καὶ μόνος, ὡς νύμφης τῆς πάσης ἀνθρωπότητος, καὶ οὔτε Ἰωάννης νυμφίος ὁ προφητῶν μέγιστος, ὅς γε φησὶ περὶ Χριστοῦ καὶ ἑαυτοῦ περὶ Χριστοῦ μέν, Ὁ ἔχων τὴν νύμφην, νυμφίος ἐστί· περὶ ἑαυτοῦ δέ, Ὁ φίλος δὲ τοῦ νυμφίου ὁ ἑστηκὼς καὶ ἀκούων τὴν φωνὴν αὐτοῦ χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου. αὕτη οὖν ἡ χαρὰ ἡ ἐμὴ πεπλήρωται. οὐδὲ μὴν οἱ ἀπόστολοι νυμφίοι τῆς ἐκκλησίας· καίτοιγε τὴν πρὸς Χριστὸν ὁμοίωσιν κατὰ χάριν λαβόντες, καὶ υἱοὶ Χριστοῦ διὰ τὸ Χριστοῦ πνεῦμα γενόμενοι. ἀλλὰ τί φησιν ὁ μακάριος Παῦλος; Ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. ἡγεμὼν οὖν ἀληθῶς καὶ δεσπότης καὶ βασιλεὺς ὁ Κύριος, οὐ μόνον ὅτι Θεὸς ἦν ἐν ἀνθρώποις, ἀλλὰ καὶ κατὰ τὴν προϋπάρχουσαν θεότητα, ὅτι φύσει βασιλεὺς ἁπάσης τῆς κτίσεως· οὐ χάριτι τὸ βασιλεύειν λαβών, ἀλλ' ἔχων ἐν ἀληθείᾳ καὶ γεννήσει τῇ ἐκ πατρός. ἔτι δὲ καὶ ἐνιαύσιον τὸ πρόβατον· ὅπερ ἐδήλου τὸν Κύριον νέον ἐπὶ γῆς ὄντα, καὶ παλαιότητος οὐδὲν τῆς ἐν ἀνθρώποις ἔχοντα. εἰ δέ τις οὖν ἄνθρωπον ψιλὸν λέγει τὸν Κύριον, καὶ τῆς ἡμετέρας φύσεως τίθησι τὸν Χριστόν, τοῦτο τὸ πρόβατον οὐκ ἔστι τέλειον, οὐδὲ ἄμωμον. οὐδεὶς γὰρ ἀνθρώπων ἄμωμος. τοῦτο τὸ πρόβατον οὐκ ἔστιν ἄρσεν. οὐδεὶς γὰρ ἀνθρώπων ἡγεμονίαν ἔχει φυσικὴν καὶ ὁλόκληρον πρὸς τοὺς ὁμοφυεῖς ἀνθρώπους. καὶ ὃς ἐν κτίσει τὸν Κύριον ἀριθμεῖ, καὶ φησὶ κεχαρισμένην ἔχειν, οὐκ ἀληθῆ τὴν θεότητα, οὐδὲ οὗτος ἄρσεν ἔχει τὸ θυόμενον ὑπὲρ αὐτοῦ πρόβατον. οὐ γὰρ ἔγνω τὸν φύσει βασιλέα, ἀλλ' εἰς ἕτερον τὴν μὴ φύσει μηδὲ ἀληθείᾳ περιτρέπει. ἀλλὰ καὶ εἴ τις τι ἐκ τῆς ἀνθρωπίνης παλαιότητος εἰς Χριστὸν ἀνάγει, ἢ δεκτικὸν ἁμαρτίας λέγειν τολμᾷ, ἢ νόμου δουλείᾳ προσήκοντα, ἢ θανάτῳ καὶ ἀνάγκην ὑποκείμενον, οὗτος ἐνιαύσιον οὐκ ἔχει τὸ πρόβατον, οὐδὲ τῆς καινότητος ᾔσθετο τῆς ἐν Χριστῷ. ὑπολείπεται τοῦ προβάτου τὸ σύμβολον καὶ τοῦ ἐρίφου κατανοῆσαι. ἔστι τοίνυν τὸ μὲν πρόβατον, κατὰ τὸν Ἠσαΐαν, ἠπιότητος τῆς τοῦ Χριστοῦ σύμβολον. Ὡς πρόβατον γὰρ ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος· ἔριφος δὲ κατὰ τὸν νόμον, ὑπὲρ ἁμαρτίας θῦμα. Χίμαρον γάρ, φησιν, ἐξ αἰγῶν περὶ ἁμαρτίας. προσαχθεὶς οὖν ἤπιος, ὡς πρόβατον, ὑπὲρ ἁμαρτίας ὡς χίμαρος ὢν τέθυται, διὰ τῆς ἠπιότητος δοὺς ἑαυτὸν εἰς τὴν τῶν ἀνθρώπων σωτηρίαν· ἧς εὐξόμεθα τυχεῖν διὰ πίστεως καὶ ἀγάπης τοῦ παθόντος ὑπὲρ ἡμῶν Κυρίου Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, σὺν ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. προσφέρεται

γρ. ἐστι

Ματθ. γ. ιε.

Ιωαν. γ. κθ.

β. Κορ. ια β.

Ησ. νγ ζ.

Λευϊτ. ις. ε.

Λογ.

Λογ. ρν. ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ. β.

Ex Ms. Regio Lut. emend. ex Ms. Episcopi Philadelph. Venet.

ΤΟ τῶν νομικῶν τύπων βούλημα ἐπὶ τῆς ἀληθείας φαίνεται· οἷον τὸ ἄμωμον εἶναι τὸ πρόβατον, ὥσπερ τὴν τοῦ πάσχα θυσίαν ὁ νόμος ἐζητήσατο· τὸ ἄῤῥεν εἶναι, τὸ ἐνιαύσιον εἶναι, τὸ δεκάτῃ τοῦ μηνὸς ληφθὲν τεσσαρεσκαιδεκάτῃ θύεσθαι πρὸς ἑσπέραν, τὸ ἀρχὴν λελογίσθαι μηνῶν, ἡνίκα τὸ πάσχα ἐτηρεῖτο. πάντα γὰρ ταῦτα ἐν Χριστῷ καὶ τοῖς τοῦ Χριστοῦ πάθεσι συνίσταται καὶ ἀληθῆ καὶ ἀναγκαῖα, καὶ καθ' ἑαυτὰ λόγον ἔχειν οὐδένα δύναται. οὐδὲ ἂν εὕροιεν οἱ Χριστὸν ἀγνοοῦντες ἀπολογισμὸν ποιήσασθαι περὶ τούτων, καὶ διδάξαι διὰ τί ταῦτα προσέταξεν ὁ Θεός· οὐδὲ αὐτό γε ὅλως τινὰ αἰτίαν ἔχει τὸ θυσίαν ἐπὶ τῇ σωτηρίᾳ τῶν πρωτοτόκων ὁρίσαι, καὶ χρίσιν τοῦ αἵματος ἐπὶ ταῖς εἰσόδοις ποιήσασθαι. τί δὲ ἴσχυσεν εἰς τὴν τῶν πρωτοτόκων σωτηρίαν ἡ τῶν θυμάτων σφαγή; τί δὲ ἀναγκαῖον ἡ τοῦ αἵματος χρίσις εἰς σημεῖον ἐπὶ τῶν οἰκιῶν; Θεός γέ τοι καὶ ἄνευ σημείων τὰς Ἑβραίων ἐγίνωσκεν οἰκίας. ὥστε θαυμαστὸν τὸ λέγειν, Ὄψομαι τὸ αἷμα, καὶ σκεπάσω ὑμᾶς. ἀνάγων δὲ καὶ ταῦτα εἰς τὴν ἀλήθειαν, τὸ βούλημα αὐτῶν ἐπιγνώσει, καθάπερ ἐπὶ τῶν ἄλλων τῶν προειρημένων ἐδείξαμεν. τοῦ γὰρ ἀμώμου θύματος ὑπὲρ ἡμῶν πάσχοντος, ὁ ἐκ τοῦ πρωτοπλάστου λύεται θάνατος, καὶ σώζεται ὁ πρωτόγονος ἄνθρωπος ἐν ἡμῖν πᾶσιν ὤν, ἀναστάσει τοῦ Κυρίου ζωογονούμενος. δικαίως γὰρ λυτικὸν ἁμαρτίας καὶ θανάτου ζωὴ σημεῖον τοῖς μετόχοις αὐτοῦ σωτήριον γίνεται. καὶ πρὸς τοῦτο Θεὸς ἀφορῶν, σώζει τοὺς κεχρισμένους αὐτῷ διὰ πίστεως, οὐκ ἄλλως δυναμένους ἀποφυγεῖν τὸν δικαίως τιμωρὸν ἄγγελον, εἰ μὴ διὰ τοῦ φιλανθρώπως ἐκχυθέντος ὑπὲρ ἡμῶν αἵματος. ὁρᾷς ὅσην ἔχει τὴν δύναμιν ὁ τύπος ἐπὶ τῆς ἀληθείας θεωρηθείς; ὥστε εἴ τις Ἰουδαῖος λέγειν ἐπιχειροίη, τί δήποτε ὁ υἱὸς ἔπαθεν ἵνα σωθῇ ὁ κόσμος, ὡς οὐκ ἂν καὶ ἄνευ τούτου σωθείς; λεγέσθω πρὸς αὐτόν· τί δήποτε τὸ πάσχα ἐθύετο πρὸς σωτηρίαν Ἰουδαίων πρωτοτόκων, ὡς οὐκ ἂν καὶ ἄνευ τούτου σωθέντων; κἀκεῖνος μὲν οὐχ ἕξει τί ἀποκρίνεται (οὐ γὰρ θυσίας προσδεῖται Θεός, οὐδὲ σημείου πρὸς ἐπίγνωσιν οἰκιῶν) ἡμῖν δὲ συνηγορεῖ τὸ πρᾶγμα, καὶ τῇ ἁγίᾳ πίστει μαρτυρεῖ, τῆς ἡμετέρας ἀδικίας ἐν τῇ δικαιοσύνῃ τοῦ Χριστοῦ λυομένης, ἄλλως δὲ οὐκ ἂν λυθείσης (σκότος γὰρ ὑπὸ φωτὸς ἀφανίζεται) καταργουμένου δὲ καὶ τοῦ ἡμετέρου θανάτου διὰ Χριστοῦ ζωῆς, ὥσπερ σκότους ὑπὸ φωτός. ἱερὸν μὲν οὖν κἀκεῖνο τὸ θῦμα, διότι τύπος ἦν τοῦ ἀληθοῦς· τοῦτο δὲ ἱερὸν ὄντως, ὡς ἀληθές, ἀγνοίᾳ μὲν τῇ τῶν ἀσεβούντων ἐκδιδόμενον θανάτῳ καὶ ἀναιρέσει, βουλῇ δὲ τοῦ Θεοῦ πρὸς θυσίαν ἱερὰν λαμβανόμενον, καὶ τῇ ἑαυτοῦ βουλήσει προσφορὰ τῷ πατρὶ προσαγόμενον. παρέδωκε γάρ, φησιν, ὁ πατὴρ τὸν υἱὸν ὑπὲρ ἡμῶν, καὶ προσήνεγκεν ἑαυτὸν τῷ πατρὶ Χριστὸς ὑπὲρ τῆς ἐκκλησίας προσφορὰν καὶ θυσίαν εἰς ὀσμὴν εὐωδίας. καὶ τοῖς μὲν ἀναίρεσιν Χριστοῦ προσδοκήσασιν ὀλέθριος ἡ βουλή, τοῖς δὲ σωτηρίαν διὰ τοῦ θανάτου τοῦ Κυρίου ζητοῦσι σωτήριος ἡ πίστις. τούτους ἡ τιμωρία καὶ ὁ θάνατος ὑπερβαίνει, διότι μὴ πρὸς ἀπώλειαν θανάτῳ κατέχονται, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ σωτῆρος· Ἐάν τις τὸν λόγον μου τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσει εἰς τὸν αἰῶνα. διὰ γὰρ τοῦ αἵματος τοῦ χυθέντος ὑπὲρ ἡμῶν πνεῦμα τὸ ἅγιον λαμβάνομεν. ἐπείπερ εἰς ἓν ἦλθε τό τε αἷμα καὶ τὸ πνεῦμα, ἵνα διὰ τοῦ ὁμογενοῦς ἡμῖν αἵματος τὸ μὴ ὁμογενὲς ἡμῖν πνεῦμα τὸ ἅγιον λαβεῖν δυνηθῶμεν, καὶ διὰ τούτου τὴν εἴσοδον ἀποκλείσωμεν τῷ θανάτῳ τὴν εἰς ἡμᾶς. διπλῆ δέ τίς ἐστιν ἡ εἴσοδος τῷ θανάτῳ, καὶ διὰ τοῦτο διπλῆ γίνεται τοῦ αἵματος ἡ σφραγίς. Ἐπὶ τῶν δύο, φησί, σταθμῶν, καὶ ἐπὶ τῆς φλιᾶς. εἰσέρχεται μὲν γὰρ δι' ἁμαρτίας ὁ θάνατος, ὡς ὁ ἀπόστολός φησιν. ἁμαρτία δέ, ἡ μὲν κατὰ τὸ πάθος τὸ ἐν ἡμῖν (διττὸν δὲ τοῦτο, ἢ μαλακτικὸν τῆς ψυ-

Ἐξοδ. ιβ. ιγ.

γρ. αὐτὸς

Ἰωάν. η. να.

Ἐξοδ. ιβ. ζ.

χῆς εἰς ἁπαλότητα, ἢ σκληροποιὸν εἰς τραχύτητα) ἡ δὲ κατὰ τὸν λογισμὸν, ὅτε μὴ ὑγιῆ μηδὲ ὀρθὰ λογίζοιτο. καὶ ἔστιν ὁ μὲν λογισμὸς, οἱονεὶ φλιὰ, τουτέστιν, ὑπέρθυρον, ἐπὶ τοῖς σταθμοῖς ἑκατέροις. ἡγεμονικὸς γὰρ καὶ ἀνώτερος τῇ φύσει· τὸ δὲ πάθος ἀνάλογον ἔχει τοῖς σταθμοῖς, ὑποκείμενον τῷ λογισμῷ, καθάπερ οἱ σταθμοὶ τοῖς ὑπερθύροις ὑπόκεινται. τίνα τὰ πρὸς ἁπαλότητα προσάγοντα πάθη; γαστριμαργία, καὶ οἰνοφλυγία, καὶ συνουσιῶν ἐπιθυμία. τίνα τὰ σκληρὰ τῆς ψυχῆς; ὀργαὶ καὶ αὐθάδειαι, ὧν ὁ Παῦλος τὴν ἀναίρεσιν ποιούμενος, ἔλεγε· Μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔριδι καὶ ζήλῳ· ἀλλ' ἐνδύσασθε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. ὅμοιον τοίνυν ἡ ζῶσις τῇ ἐνδύσει, ὅτε τὰ Χριστοῦ πάθη μορφούμενοι, τὴν ἁγιότητα περιβαλλόμεθα τοῦ Χριστοῦ, μήτε εἰς ἡδονὰς ἐκλυόμενοι, μήτε εἰς θυμοὺς ἐκτραχυνόμενοι. καλὸν δὲ καὶ τοῖς λογισμοῖς ″εἴπερ ζῶσμα καὶ ἐπένδυμα, σοφία ἡ μὴ σαρκικὴ, ἀλλὰ ἡ κατὰ Χριστὸν, ὥστε νεκροῦσθαι μὲν ἡμᾶς περὶ τὸν σαρκικὸν νοῦν ὡς ἀποθανόντας, κοσμεῖσθαι δὲ τῷ πνευματικῷ. οὕτω γὰρ οὔτε διὰ τῶν ἀλόγων παθῶν, οὔτε διὰ τῶν ἀφρόνων λογισμῶν ″ἐπίησιν ἡμῖν ἡ ἁμαρτία, οὔτε καταδυναστεύει ἡμῖν ὁ θάνατος. τοιοῦτον μὲν δὴ τὸ τῆς ζώσεως μυστήριον. μετὰ δὲ τὴν ζῶσιν ἐστὶν ἡ βρῶσις, εἰσοικίζουσα τὸ σῶμα τὸ θεῖον εἰς ἡμᾶς καὶ ἀναμιγνῦσα πρὸς ἕνωσιν. Φάγονται, φησὶ, τὰ κρέα ταύτῃ τῇ νυκτὶ ὀπτὰ πυρί. νὺξ ὁ παρὼν οὗτος αἰών. Ἡ νὺξ προέκοψε, Παῦλός φησι. διάπυρος ἡ τοῦ ἁγίου μετάληψις σώματος, τουτέστι, δι' ἐμπύρου καὶ ζεούσης σπουδῆς. Τῷ πνεύματι, φησὶ, ζέοντες· καὶ, Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν λέγει, καὶ τί θέλω, εἰ ἤδη ἀνήφθη; ὥσπερ δὲ τὸ πῦρ ἐμφανιστικὸν τῆς ζεούσης σπουδῆς εἰς τὴν ἀπόλαυσιν τῶν κρεῶν παραλαμβανόμενον, οὕτως ἄζυμα τῆς ἁπλότητος, καὶ αἱ πικρίδες τῶν ἐπακολουθουσῶν θλίψεων. ἄζυμα γὰρ, φησιν, ἐπὶ πικρίδων ἔδονται. ἁπλοῦς ὁ τρόπος καὶ ἀκακοποιός, τὸ παλαιὸν ἐκεῖνο καὶ πανοῦργον ἀποτιθέμενος, ὥσπερεὶ ζύμην· τὸ δὲ νέον καὶ ἀπανοῦργον ἀνειληφὼς, ἵνα ζυμώσῃ. Τὸ πάσχα γὰρ ἡμῶν, φησιν, ἐτύθη Χριστός· ὥστε ἑορτάζωμεν μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας. πικρὸν δὲ αἱ θλίψεις· Ἀλλὰ καὶ ἐν ταῖς θλίψεσι, φησι, καυχώμεθα, εἰδότες ὅτι ἡ θλίψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. Διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν. ὥστε προσιέμεθα τὴν θλίψιν ἐν ἡδυσμάτων τρόπῳ, διὰ τὴν ἐλπίδα τὴν ἐξ αὐτῆς καὶ τὴν βασιλείαν. ἀπαγορεύει δὲ τὸ πρόσταγμα μὴ ἐσθίειν ἀπὸ τῶν κρεῶν ὠμόν. τοῦτο δὲ τοῖς μὲν σωματικῶς ἀκούουσιν οὐδένα λόγον ἂν ἔχοι, δι' ὧν ἀπηγόρευσε Θεὸς τὸ μὴ ἄν ποτε γινόμενον (οὐδεὶς γὰρ ἂν ὠμὸν φάγοι) παρά γε ἡμῖν καὶ μέγιστον περιέχεται λόγον, τὸ μὴ ἀργῶς προσιέναι τῇ τοῦ θείου σώματος μεταλήψει. ἀμετάληπτον γὰρ καθίσταται τοῖς ἀργῶς αὐτοῦ μεταχειριζομένοις, καὶ μὴ δι' ἔργων ἀγαθῶν τῆς πρὸς αὐτὸ συγκράσεως ἀντιποιουμένοις. Ἡ πίστις, φησὶ, χωρὶς ἔργων νεκρά ἐστι. καὶ διὰ τοῦτο τοῖς ἀργῶς διακειμένοις ἐπιφέρονται θλίψεις πρὸς τὸ συμφέρον, ὡς ὁ Παῦλός φησιν ″ἵνα μεταλαμβάνωσι τῆς ἁγιότητος αὐτοῦ. ἀργίαν δὲ ἐμποιεῖ περὶ τὰ πνευματικὰ ἔργα τὸ φιλήδονον τῆς σαρκός. διόπερ ἑτέρῳ συμβόλῳ τοῦτο δηλῶν ὁ νομοθέτης ἀπαγορεύει καὶ ἑψόμενον ὕδατι φαγεῖν. πρὸς ἡδονὴν γὰρ τῆς βρώσεως τὸ ἑψόμενον παρασκευάζεται. μεθ' ἡδονῆς δὲ τὴν θείαν τροφὴν οὐκ ἔστιν ὑποδέξασθαι. οὐ γὰρ ἀναμίγνυται τρόπῳ σαρκικῷ δύναμις πνευματική. μὴ τοίνυν ἕψαι τὸ κρέας τὸ ἅγιον, φησιν, ἀναμιγνύων ἡδύσμασιν αὐτὸ, ἀλλ' ὀπτὰ πυρὶ μόνον ἐσθιέσθω, ″ὅπερ ἡ σπουδὴ σύντονος, ἀφιλήδονος. τὸ φιλήδονον, οὐ φιλόθεον, ὡς ὁ Παῦλός φησι· Καὶ ὧν ὁ Θεὸς ἡ κοιλία, τούτοις οὐκ ἔστι Θεὸς ὁ Θεός. οὐδὲ οἱ τὴν εὐαγγελίαν εἰς πολυτελεῖς εὐωχίας μετατιθέντες, ἀπόδεκτοι παρὰ τῷ ἀποστόλῳ, βρώσεως πολλῆς καὶ ποικίλης καὶ πόσεως ὑπόθεσιν ποιούμενοι τὴν ἁγιαστικὴν κοινωνίαν. πρὸς οὓς ὁ Παῦλός

Ρωμ. ιγ. ιγ.

ἴσ. ἔστι

ἴσ. ἔπεισιν

Ἐξοδ. ιβ. η.

Ρωμ. ιγ. ιβ.

Πραξ. ιι. κα.

Λουκ. ιβ. μθ.

α. Κορ. ε. ζ.

Ρωμ. ε. δ.

Πραξ. ιδ. κβ.

Ιακωβ. β. κ.

Ἑβρ. ιβ. ι.

ἴσ. ὥσπερ

Φιλιπ. γ. ιθ.

α. Κορ. ια. κ. λος φησιν· Οὐκ ἔστι κυριακὸν δεῖπνον φαγεῖν. ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει
ἐν τῷ φαγεῖν· καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει. μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν;
ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας; τί εἴπω ὑμῖν;
ἐπαινέσω ὑμᾶς; ἐν τούτῳ οὐκ ἐπαινῶ. φησὶ δὲ ἐκ ταύτης τῆς ἀνεπιτηδείου χρήσεως περὶ
τὸ ἅγιον βρῶμα συμβαίνειν αὐτοῖς τοὺς πειρασμούς, ὅτι μὴ ἁγίως τῷ ἁγίῳ προσίασι. διὰ
τοῦτο γὰρ ἐν ὑμῖν, φησι, πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί. εἰ δὲ ἑαυτοὺς ἐ-
κρίνομεν, οὐκ ἂν ἐκρινόμεθα. ἀσεβείας γὰρ ὑπεύθυνοι τῆς εἰς τὸν Κύριον οἱ μὴ παρέ-
χοντες ἐπιτήδειον τὸ σῶμα πρὸς τὴν ἀνάκρασιν τοῦ σώματος αὐτοῦ, ὅπερ ἡμῖν ἔδωκεν, ἵνα
πρὸς αὐτὸ κιρνάμενοι, πρὸς τὸ πνεῦμα τὸ ἅγιον ἀνακρινώμεθα. ἐπεὶ καὶ διὰ τοῦτο ὅλως ἴσ. ἀνακρ. νώμεθα.
εἰς σῶμα ἔδωκεν ἑαυτὸν ὁ τοῦ Θεοῦ λόγος, καὶ σὰρξ ἐγένετο κατὰ τὴν εὐαγγελικὴν φωνήν, ἵν',
ἐπειδὴ μετασχεῖν ὡς λόγου μὴ οἷοί τε ἦμεν, ὡς σαρκὸς μετάσχωμεν αὐτοῦ, τῇ πνευματικῇ σαρκὶ
τὴν ἡμετέραν οἰκειώσαντες καὶ τῷ πνεύματι τὸ πνεῦμα κατὰ δύναμιν, ὡς ἂν ὁμοιώματα
α. Κορ. γ. ιϛ. Χριστοῦ κατασταίημεν, ναοὶ τοῦ πνεύματος γινόμενοι, καθά φησιν ὁ ἀπόστολος· Ναοὶ τοῦ
καὶ ϛ. ιθ. Θεοῦ ἐστε· καὶ πάλιν, Οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνεύματός ἐστιν,
οὗ ἔχετε ἀπὸ Θεοῦ; καὶ διὰ τῆς ἀναμίξεως τῆς πρὸς τὸ πνεῦμα, τοῦ Χριστοῦ σώματος γίνεσθαι,
α. Κορ. ϛ. ιε. καὶ περιέπειν ἐν ἁγιασμῷ, ταῦτα δὲ περιέποντας ὡς μέλη Χριστοῦ. Οὐκ οἴδατε γάρ, φησιν, γρ. περιέπη
ὅτι τὰ μέλη ὑμῶν μέλη Χριστοῦ ἐστιν; ἄρας οὖν τὰ μέλη τοῦ Χριστοῦ ποιήσω πόρνης μέλη; μὴ
γένοιτο. τὴν μὲν οὖν σκευασίαν τῆς ἁγίας τροφῆς οὕτω καὶ ἐν τοιούτοις συμβόλοις διέταξεν
Ἐξοδ. ιβ. θ. ἡ νομοθεσία, πρὸς τὸ ἡμῖν συμφέρον διατάξασα τὴν τότε προτύπωσιν. Κεφαλὴν δέ,
φησι, σὺν τοῖς ποσί, καὶ τοῖς ἐνδοσθίοις· κεφαλὴν μὲν αἰνιττόμενος, τὴν ἀρχὴν τῆς εἰς τοὺς
ἀνθρώπους ἐπιφανείας· αὕτη δὲ ἦν ἡ προτέρα παρουσία· πόδας δέ, τὸ τέλος· αὕτη δὲ ἦν
ἡ δευτέρα ἐπιφάνεια, ἧς ἄνευ τὴν προτέραν οὐκ ἔστι πιστεύεσθαι, ἐπεὶ μὴ πάντα τὰ προ-
φητευθέντα ἐπλήρωσεν αὕτη. διόπερ οὐδὲ πιστεύουσιν Ἰουδαῖοι, τὸ μὴ πεπληρῶσθαι τὰ τῆς ἴσ. τοῦ
ἐνδόξου παρουσίας, οὐκ εἶναι Χριστὸν οἰόμενοι τὸν οὕτω παραγινόμενον. διὰ τοῦτο συμ-
πλέξας εἶπε, κεφαλὴν σὺν τοῖς ποσί, τουτέστι, τὴν προτέραν παρουσίαν μετὰ τῆς δευτέρας·
ἵνα καὶ σὺν ἀδοξίᾳ πρόβατον ἐπὶ σφαγὴν ἀχθέντα δέξῃ τὸν Κύριον, καὶ βασιλέα μετὰ δόξης
φαινόμενον ἴδῃς· ἅπερ ἀμφότερα προεῖπεν Ἡσαΐας ὁ προφήτης· Καὶ μὴ τὴν λύτρωσιν
τῆς Ἱερουσαλὴμ ἀπαιτήσῃς, ἀλλ' ὕστερον προσδοκήσῃς τό, Ἥξει ἐκ Σιὼν ὁ ῥυόμενος, καὶ ἀπο-
στρέψει ἀσεβείας ἀπὸ Ἰακώβ, σώζοντος αὐτοῦ τὸ ὑπόλοιπον τοῦ λαοῦ, τὸ μέλλον ἐπ' αὐτὸν ἐ-
πιστρέφειν. ἐπὶ δὲ τῆς προτέρας παρουσίας τοὐναντίον ἴδῃς πληρούμενον, τό, Ἐγκατα- ἴσ. ἴδοις
λέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου· καὶ τό, Παρέδωκε τοὺς ἀσεβεῖς ἀντὶ τῆς
ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου. κεφαλὴν οὖν σὺν τοῖς ποσὶ λέγων, προ-
διαμαρτύρεται τοῖς Ἰουδαίοις, ὅτι τὴν ἄδοξον παρουσίαν τοῦ Κυρίου μὴ χωρίσητε τῆς ἐνδόξου,
ἵνα μὴ τῆς κοινωνίας χωρισθῆτε τῆς πρὸς αὐτὸν ἀπιστήσαντες. ἀλλὰ καὶ σὺν τοῖς ἐνδοσ-
θιδίοις, φησί. τί τοῦτο ἐστι; μὴ σκανδαλισθῆτε περὶ τὸ φαινόμενον, ἀλλὰ καὶ τὸ ἀπόκρυφον
θεωρήσατε· μὴ ἄνθρωπον ἐπίσης ὑμῖν νομίσητε, διότι καὶ ἄνθρωπός ἐστι κατὰ σῶμα·
ἀλλὰ γνῶτε πνευματικῶς αὐτόν, καὶ γνώσεσθε ἐν αὐτῷ τὸν πατέρα. ἕως γὰρ ἂν τὸ ἐν-
τὸς μὴ ὁρᾷς, μηδὲ μετέχῃς ἐνδοσθιδίου, οὔπω Χριστὸν ἑώρακας, ἄνθρωπον οἰόμενος αὐτόν, οὐ
Ἰωαν. ιδ. θ. Θεόν. λέγει δὲ αὐτός· Ὁ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν πατέρα. σκεπτέον δὲ καὶ τί τό, Οὐκ ἀ- γρ. ἀπολείψητε
Ἐξοδ. ιβ. ι. α. Κορ. ια. κϛ. πολείψετε ἀπ' αὐτοῦ εἰς τὸ πρωΐ. καὶ τοῦτο ἡμῖν ὁ Παῦλος ἑρμηνευέτω λέγων, Ἀνάμνη-
σιν ἡμᾶς τοῦ πάθους τοῦ Κυρίου ποιεῖσθαι, ἕως ἂν ἔλθῃ. αὕτη γὰρ ἕως τοσούτου τελεῖται,
καὶ σώζει τοὺς τελοῦντας, ἕως ἡ παροῦσα νὺξ παρέλθῃ, καὶ πρωΐ γένηται, καὶ ζῶν ἡμῖν ἐξ οὐρανοῦ
Ῥωμ. ε. ι. Χριστὸς ἐπιλάμψῃ, διὰ τῆς ζωῆς ἑαυτοῦ σώζων ἡμᾶς, ὁ νῦν διὰ τοῦ θανάτου σώζων. Εἰ
γὰρ ἐχθροὶ ὄντες, φησί, κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλ-

λαγέντες

γ. ἡμῶν

Κολ. γ β. γ.

Ἐξοδ. ιβ. μϛ.

Ιωαν. κ. λγ.

Πραξ. β. λα.

Ψαλ. ριη. ιη.

λαβόντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ; ἤδη μὲν οὖν ἐν τῷ θανάτῳ Χριστοῦ σωζόμεθα, τότε δὲ ἐν ζωῇ. οἰκεῖον δὲ σύμβολον τὸ μὴ καταλιμπάνεσθαι τῶν κρεῶν τοῦ θύματος εἰς τὸ πρωΐ. καὶ γὰρ ἡμεῖς τότε ζῶντες ἐσόμεθα, καὶ ἡ προοῦσα νέκρωσις ἡμῶν πάρεισι, νῦν μὲν οὐκ ἄλλως σωζομένων, εἰ μὴ νεκρωθείημεν, τότε δὲ ζωτικὴν ἐχόντων σωτηρίαν. Μὴ τὰ ἐπίγεια, φησί, φρονεῖτε· ἀπεθάνετε γάρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. ὅταν ὁ Χριστὸς φανερωθῇ ἡ ζωὴ ὑμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ. διὸ καὶ εἴ τι τῶν κρεῶν τοῦ ἱερείου περιλοιπὸν, πυρὶ κατακαίεται, ἵν' εἰδείημεν ὅτι κατὰ τὸν νῦν αἰῶνα Χριστὸς τέθνηκε τῇ ἁμαρτίᾳ ἐφάπαξ· οὐκέτι δὲ θάνατος αὐτοῦ κυριεύει, ἀλλὰ ἀπείρηται τῇ δυνάμει τοῦ πνεύματος, ὥσπερεὶ πυρός, τὰ τοῦ θανάτου σημεῖα, τῆς ζωῆς ἐπικρατησάσης. Τὸ δὲ δὴ ὀστοῦν οὐ συντριβήσεται ἀπ' αὐτοῦ· φησὶ μὲν ὁ μακάριος Ἰωάννης καὶ σωματικῶς πεφυλάχθαι, μὴ κατεαγότων αὐτοῦ τῶν σκελῶν· ἔχει δὲ καὶ τὴν πνευματικὴν δήλωσιν, ὅτι τὸ στερρὸν τὸ ἐν αὐτῷ διέμενεν ἀήττητον, καὶ διὰ τοῦτο φθορᾶς τοῦ σώματος οὐχ ἥψατο, στερροτάτην καὶ ἀσυντριπτον ἔχοντος τὴν ὑποβάθραν, διὰ τὸ θείως καὶ μὴ σαρκικῶς συστῆναι τὸ σῶμα, καὶ θείαν ἐσχηκὸς τὴν γέννησιν μὴ ὑποκεῖσθαι τῇ τῶν ἀνθρώπων φθορᾷ. Ἡ σὰρξ αὐτοῦ, φησίν, οὐκ εἶδε διαφθοράν. Ταῦτα περί τε τῆς σωτηρίου χρήσεως τῆς ἱερᾶς βρώσεως ἐξητακότες, παυσώμεθα τοῦ λόγου καὶ νῦν, εἰς ἑτέραν ἐξέτασιν τὰ μετὰ τοῦτο καταλιπόντες, αἰτούμενοι παρὰ τοῦ Κυρίου τὴν αἴτησιν, ἣν Δαβὶδ ᾐτήσατο· Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου· ἵν' ἡμῖν μὴ εὐκαταφρόνητος ἡ τῶν νομίμων ἀνάγνωσις ᾖ, καθάπερ Ἰουδαίοις ἕως τῶν τύπων ἱσταμένοις, ἀλλὰ θείως τὰ θεῖα νοοῦντες σύμβολα, πρὸς τὴν ἀνωτάτην ἀλήθειαν φερώμεθα, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα σὺν ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

Λογ. ρια. ΕΙΣ ΤΗΝ ΑΥΤΗΝ ΠΡΑΓΜΑΤΕΙΑΝ

[πάσχα] γ.

ἴσ. ἀμώμου

Ex Ms. Episcopi Philadelph.

Ἐξοδ. ιβ. μγ.

ΤΗν μὲν ἁγιωτάτην Χριστοῦ, τὸ θῦμα τοῦ πάσχα μετὰ τοῦ ἄμωμον ὑπεδείκνυε· τὴν δὲ ἐν τῷ πάθει Χριστοῦ σωτηρίαν ἀνθρώπων, ἡ τῶν πρωτοτόκων σωτηρία διὰ τῆς θυσίας τοῦ πάσχα δοθεῖσα· τὸν δὲ ἁγιασμόν, ἡ βρῶσις. καὶ ταῦτα ἡμῖν ἤδη προείρηται. νῦν ἐκ τῶν ὑπολοίπων τῆς νομοθεσίας ἐπισκεπτέον· ὅπως μὲν δεῖ παρασκευάζεσθαι τὸν ἁγιασθησόμενον· ὅπως δὲ προσιέναι πρὸς τὴν τῆς ἁγιότητος κοινωνίαν· οἷον δὲ τὸν βίον διάγειν μετὰ τὸ γενέσθαι τοῦ ἁγίου μέτοχόν τε καὶ κοινωνόν. τὴν μὲν οὖν παρασκευήν, ἣν παρασκευάσασθαι δεῖ τὸν μέλλοντα μεθέξειν Χριστοῦ διὰ περιτομῆς, ἐπέδειξεν ἡμῖν ὁ νομοθέτης τυπικῶς λέγων, Οὗτος ὁ νόμος τοῦ πάσχα· πᾶς ἀλλογενὴς οὐκ ἔδεται ἀπ' αὐτοῦ, καὶ πάντα οἰκέτην τινὸς καὶ ἀργυρώνητον περιτεμεῖς αὐτόν, καὶ τότε φάγεται ἀπ' αὐτοῦ. περιτομὴ δὲ τότε μὲν ἦν μερική, καὶ τὴν ὠφέλειαν αὐτόθεν οὐκ ἐπιδεικνύουσα. οὐδὲν γὰρ κρείττων ἐκ τῆς περιτομῆς ἄνθρωπος ἀπεδείκνυτο παρὰ τὸν ἀκρόβυστον· ἀλλὰ καὶ ὄνειδος παρὰ Θεοῦ τοῖς Ἰσραηλίταις ἦν, Ὅτι πάντα τὰ ἔθνη, φησίν, ἀπερίτμητα σαρκί· ὁ δὲ οἶκος Ἰσραήλ, ἀπερίτμητος καρδίαις αὐτῶν. ἡ δὲ ἀληθὴς περιτομὴ καθ' ὅλης ἐστὶ σαρκός, φίλον τε καὶ οἰκεῖον ἀποδείκνυσι Θεῷ τὸν περιτετμημένον τῇ καρδίᾳ, καὶ περιῃρημένον τὸ κάλυμμα τὸ σαρκικόν, ὅπερ ἐκ διαδοχῆς πατέρων ἔχοντας ἡμᾶς, καὶ περιαιρεθῆναι χρῄζοντας ἡμᾶς αὐτό, προϋπέδειξεν ὁ νόμος, τὰ γεννητικὰ περιτέμνων μόρια, τῆς γεννήσεως τὰ σύμβολα ποιῶν διὰ τούτου, καὶ τοῦ καλύμματος τοῦ κατὰ γέννησιν ἡμῖν ἀκολουθοῦντος. οὐδεὶς οὖν μὴ περιτεμνόμενος τὸν σαρκικὸν τρόπον ἐπὶ τὴν κοινωνίαν ἀφίξεται Χριστοῦ· ἀλλ' ἡμεῖς ἔσμεν ἡ περιτομή, φησιν, οἱ Χριστοῦ μέτοχοι, οἱ πνεύματι Θεοῦ λατρεύοντες, καὶ μὴ πεποιθότες ἐν σαρκί. γυμνὴ γὰρ ἡ καρδία παντὸς σαρκικοῦ λατρεύειν ἀληθινῶς Θεῷ δύναται, καὶ τῷ Χριστῷ συγκιρνᾶσθαι πνεύματι. ταύτης τῆς περιτομῆς κατάρχει μὲν τὸ τοῦ Κυρίου πάθος ὑπὲρ ἡμῶν ἀποθεμένου τὴν σάρκα, καὶ τὴν περιτομὴν αὐτὴν δι' ἡμᾶς ἀναδεξαμένου· ἐκτυποῦται δὲ τὸ μυστήριον εἰς ἡμᾶς ἐν βαπτίσματι, καὶ τελεῖται τῷ βίῳ τῷ κατὰ Χριστόν.

Κολοσ. β. ια. Περιετμήθητε γάρ, φησι, περιτομῇ ἀχειροποιήτῳ ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῆς σαρκὸς ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ, συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι. ἕως οὖν οὐκ ἀποτέθεσαι τὸ σαρκικὸν ἦθος, ἀλλογενὴς εἶ καὶ ξένος, ἀμέτοχά σοι καὶ ἀκοινώνητα πρὸς τὸν ἅγιον τὸν ἐξ οὐρανοῦ παρόντα Χριστόν. οὐράνιον γὰρ γενέσθαι δεῖ τὸν τῷ οὐρανίῳ προσελευσόμενον. οὐράνιος δὲ οὐδεὶς ἂν γένοιτο, μὴ τὰ γήϊνα περιελών. οὕτω μὲν δὴ προαποθέμενος τὸν παλαιὸν ἄνθρωπον ἐν τῇ χάριτι τοῦ βαπτισμοῦ, καὶ τῇ προθυμίᾳ τῶν πνευματικῶν πράξεων, προσελεύσει καὶ μεθέξει Χριστοῦ. δεύτερον δὲ ἰδεῖν ἐστιν, ὁποῖοί τινες ὑπὸ τοῦ νόμου τέλλονται πάντες οἱ τοῦ πάσχα μεταλαμβάνοντες· ἵνα καὶ ὁποίους ἡμᾶς εἶναι δεῖ Χριστοῦ μεταλαμβάνοντας ἐπιγνῶμεν.

Ἐξοδ. ιβ. ια. Οὕτω, φησί, φάγεσθε αὐτό· αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι, καὶ τὰ ὑποδήματα ἐν τοῖς ποσὶν ὑμῶν, καὶ αἱ βακτηρίαι ἐν ταῖς χερσὶν ὑμῶν. ὁδοιπορικὸν τὸ σχῆμα εὐσταλὲς καὶ εὔζωνον ὑποδείκνυσι καὶ ἕτοιμον τρέχειν εἰς ἐπαγγελίαν Θεοῦ, ὥσπερ ὁ Ἰσραὴλ τότε πρὸς τὴν ἐπαγγελίαν τῆς γῆς τῆς ἀγαθῆς ὁδίτης ἐστέλλετο. σκόπει δέ μοι τὸν πνευματικὸν ὁδοιπόρον, πρὸς ἐκεῖνον ὅσην ἔχει τὴν ὑπεροχήν, οὐχ ἐπὶ τὴν κάτω σπεύδων γῆς ἐπαγγελίαν, οὐ τὰ πρόσκαιρα μεταδιώκων καλά, οὐ γῆν ἀντὶ γῆς ἀλλαττόμενος, Ἰουδαίαν ἀντ' Αἰγύπτου. ἀλλὰ τί φησιν ὁ τοιοῦτος ὁδοιπόρος περὶ τῆς ὁδοιπορίας τῆς ἑαυτοῦ;

Φιλιπ. γ. ιδ. Τὰ μὲν ὄπισθεν ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκων ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως; ὀσφὺς οὖν περιεζωσμένη τῇ ἀληθείᾳ, κατὰ τὸν ἀπόστολον.

Ἐφεσ. ς. ιδ. οὕτω γὰρ ἔσῃ πρὸς τὸν δρόμον τὸν ἀγαθὸν εὔζωνος, ἐὰν πάντα τὰ παρόντα ματαιότητα καὶ ψεῦδος ὑπολαβών, κατὰ τὸν Δαβὶδ τὴν μέλλουσαν ἀλήθειαν ἐπιζητοίης, κἀκείνης ἔχῃς τὸν πόθον. πόδες δὲ ὑποδεδεμένοι τῇ ἑτοιμασίᾳ, φησί, τοῦ εὐαγγελίου τῆς εἰρήνης, πρὸς πάντα δρόμον ἀγαθὸν εὐπρεπεῖς, δι' οὗ τὴν εἰρήνην τὴν πρὸς Θεὸν βεβαιοῦμεν ἑαυτοῖς, καθά φησιν ὁ ἀπόστολος·

Ρωμ. ε. α. Εἰρήνην ἔχομεν πρὸς τὸν Θεὸν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ·

Ἑβρ. ιβ. α. καί, Δι' ὑπομονῆς τρέχωμεν, φησι, τὸν προκείμενον ἡμῖν ἆθλον· καί,

α. Κορ. θ. κε. Οὕτω τρέχω, ἵνα καταλάβω. βακτηρίαι δὲ ἐκείνοις ἐν χερσὶν ἐπίδες ἡ εἰς Θεὸν στήριγμα ψυχῆς, οὐκ ἐῶσαι ταῖς θλίψεσιν ἔσεσθαι, καθάπερ ὁ Παῦλος εἴρηκεν, ἀλλὰ στηρίζουσαι βεβαίως εἰς τὸ μὴ σαλεύεσθαι.

ἴσ. ἐλπίδες

ἔδεσθε αὐτὸ μετὰ σπουδῆς. πάσχα ἐστὶ Κυρίου· οὐ ῥᾴθυμος, οὐδὲ πρὸς ἡδονὴν τροφή, οὐκ ἀνειμένων, οὐδὲ κατακεκλιμένων, ἀλλ' ἐγηγερμένον ἐχόντων τὸ φρόνημα καὶ συντεταμένων διὰ τὸ τῆς ὀλοθρευτικῆς τιμωρίας ὑπέρβασιν ἡμῖν παρέχειν τὴν Κυρίου ταύτην δωρεουμένου. διό φησι, πάσχα ἐστὶ Κυρίου· ὅπερ ἕτερος ἑρμηνεύων ἄντικρυς εἴρηκεν, ὑπέρβασίς ἐστι τῷ Κυρίῳ. μετὰ δὲ τὴν τοιαύτην μετάληψιν τοῦ θείου βρώματος, τὸ τρίτον ἴδωμεν, ὁποῖον εἶναι δεῖ καὶ τὸν βίον τοῦ μετεσχηκότος τῆς ἁγίας τροφῆς· ὑποδείκνυσι δὲ τοῦτο τὰ ἄζυμα, καὶ αἱ τῶν ἀζύμων ἡμέραι. Ἰουδαῖοι μὲν οὖν περὶ τῶν ἀζύμων σπουδαζέτωσαν, καὶ τὰς ἑπτὰ νομιζέτωσαν ἡμέρας παρέχειν αὐτοῖς τι θαυμάσιον, ὅτι ζυμωτὸν οὐκ ἐσθίουσιν, οὐδὲ ἔχουσι παρ' ἑαυτοῖς, οὐδεμίαν ἔχοντες ὠφέλειαν ἀπὸ τοῦ πράγματος ἐπιδεῖξαι. τύπον γὰρ ἐπιτελοῦσιν, οὐκ ἀλήθειαν. σὺ δὲ σκόπει τὸ ἄζυμον, καθὰ τῷ ἀποστόλῳ παρείρηται, καὶ ἡμεῖς ἐπεσημηνάμεθα τὴν εἰλικρινῆ καὶ καθαρὰν ἀπὸ πάσης κακουργίας ψυχήν, τὸν καινὸν τρόπον καὶ μηδὲν τῆς παλαιᾶς κακίας ἐπαγόμενον· εἰς ὃ καὶ καλῶς εἰρημένον φαίνεται τό,

οδ. ιβ. ιθ. Ἀφανιεῖτε ἐκ τῶν οἰκιῶν ὑμῶν. πᾶς ὃς ἂν φάγῃ ζυμωτόν, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐξ Ἰσραήλ. κακίας γὰρ παλαιᾶς ἐπανάληψις ὄλεθρος πρὸς τὴν καινότητα μετηγμένῳ.

η. ιγ. Εἰ κατὰ σάρκα ζῆτε, φησι, μέλλετε ἀποθνήσκειν.

θνήσκειν. τί δὲ τὸ τῶν ἑπτὰ σύμβολον ἡμερῶν; διὰ, φησὶν, ἑπτὰ ἡμέρας ἔδεσθε ἄζυμα. ἑπτὰ συμβέβηκεν ἡμέρας εἶναι τὸν ἅπαντα χρόνον. μετὰ γὰρ τὴν ἑβδόμην, ἥτις ἐστὶ τὸ σάββατον, ἐπάνοδος τῆς πρώτης γίνεται. καὶ ἔστιν ὁ κύκλος τοῦ χρόνου διὰ τῶν ἑπτὰ περιϊὼν ἡμερῶν εἰς ἑαυτὸν ἀνακυκλούμενος. πάντα δὴ τὸν χρόνον ἐν ἁπλότητι καὶ εἰλικρινείᾳ ἔδει σε ζῆν, καὶ τοῦτο σωτήριον ἀληθῶς. Εἰ γὰρ πνεύματι, φησὶ, τὰς πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε. ἁπλοῦς δὲ ὁ τρόπος τοῦ μὴ ζητοῦντος τὰ σαρκικὰ, ἀκακοήθης, ἀπανοῦργος, μηδὲν κακὸν, μηδὲν πικρὸν ἐννοῶν. διὰ τί δὲ τὴν πρώτην ἡμέραν καὶ ἑβδόμην ἁγίας καλεῖ, λέγων· Ἡ ἡμέρα ἡ πρώτη κληθήσεται ἁγία, καὶ ἡ ἡμέρα ἡ ἑβδόμη κλητὴ ἁγία ἔσται ἡμῖν; ὅτι πρώτη μὲν ἡμέρα δηλοῖ τὴν ἀρχὴν, καθ' ἣν ἁγιαζόμεθα, τὸ πνεῦμα τὸ ἅγιον ὑποδεχόμενοι· ἑβδόμη δὲ τὸ τέλος σημαίνει, ἡνίκα δὲ ἀπὸ σώματος ἀναλύσαντες γινόμεθα σὺν τῷ Χριστῷ καὶ ἐπιδημοῦμεν τῷ Κυρίῳ καταλιπόντες τὴν ἐκδημίαν τὴν ἐπὶ γῆς, ὅλοι δὲ πρὸς τὴν ἁγιότητα μεταβάντες. Ἐνδημοῦντες γὰρ, φησὶ, τῷ σώματι, ἐκδημοῦμεν ἀπὸ τοῦ Κυρίου. τὰς δὲ ἁγίας ταύτας ἡμέρας ἀνειμένας ἔργων ὁ νόμος εἶναι βούλεται. πᾶν γὰρ ἔργον, φησὶν, οὐ ποιήσετε ἐν αὐταῖς· ὅπερ δηλοῖ μὴ συγκάμπτεσθαι τὴν ψυχὴν περὶ τὰς πραγματείας τὰς ἐπιγείας, μηδὲ δουλείαν ὑπομένειν ἀνάρμοστον τῇ τοῦ Θεοῦ δουλείᾳ· ἀλλ' ἐκεῖνα καὶ μόνα πράξεσθαι διὰ σπουδῆς, καὶ περὶ ἐκεῖνα συντείνεσθαι τὴν ψυχὴν ὅσα αὐτῇ πρὸς ὠφέλειαν ἐστί. καὶ τοῦτο πάλιν σύμβολόν τι, πλὴν ὅσα ποιηθήσεται πάσῃ ψυχῇ, τοῦτο μόνον ποιηθήσεται ὑμῖν. διόπερ ὁ Κύριος ἐπὶ τὴν ἑρμηνείαν ἄγων τῆς ἀνέσεως τῆς νομικῆς, ὅτι τὴν εἰς ματαιότητα συντεινόντων ἔργων ἐδίδου τὴν ἀργίαν, οὐ τὴν εἰς ψυχῆς ὠφέλειαν ἡκόντων, προύτεινε τοῖς Φαρισαίοις· Ἔξεστιν ἐν σαββάτῳ ἀγαθοποιῆσαι ἢ κακοποιῆσαι, ψυχὴν σῶσαι ἢ ἀπολέσαι; εἰ δὲ καλῶς καὶ κατὰ Χριστὸν ἐθέλεις τηρεῖν τὸ σάββατον καὶ τὴν ἄνεσιν τὴν ἑορταστικὴν, κοσμικῶν σπουδασμάτων καὶ διαπράξεων ἀφίστασο· φρόντιζε δὲ καὶ πράττε τὰ Θεοῦ καὶ τὰ εἰς ψυχῆς ὠφέλειαν· καὶ οὕτω σαββατίσεις σάββατον ἅγιον καὶ καλὸν ἀληθῶς, καὶ ἑορτάσεις ἁγίαν ἑορτὴν, εἰκόνα τῆς παρὰ Χριστῷ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ῥωμ. η. ιγ.

β. Κορ. ε. ϛ.

Μαρκ. γ. δ.

Λογ. ριϐ. ΕΙΣ ΤΗΝ ΑΥΤΗΝ ΠΡΑΓΜΑΤΕΙΑΝ. δ.

Ex Ms. Episcopi Philadelph. Venet.

Πάσχα μὲν ἑορτάζουσιν Ἰουδαῖοι, τῆς ἐξ Αἰγύπτου σωτηρίας ἀνάμνησιν, θανάτου πρωτοτόκων ἀποφυγήν. πάσχα διὰ τοῦτο ὀνομάζονται, ὅπερ ἐστὶν ὑπέρβασις θανάτου. τοῦτο γὰρ ἡ λέξις δηλοῖ κατὰ τὴν γλῶτταν Ἑβραίων. πάσχα δὲ ἡμεῖς ἑορτάζομεν, οὐ μερικὴν ἀποφυγὴν θανάτου, καθάπερ ἐκεῖνοι, οὐδὲ πρόσκαιρον δουλείας ἐλευθέρωσιν, ἀλλὰ τελείαν μὲν ἐκ θανάτου λύτρωσιν, τελείαν δὲ ἐκ τῆς τοῦ διαβόλου δουλείας ἀπόλυσιν. ὁ τῶν πρωτοτόκων θάνατος ἐκείνους ὑπερέβαινε, τὸ τυπικὸν πρόβατον θύσαντας, καὶ τῷ αἵματι τὰ περὶ τὰς θύρας χρίσαντας· ἡμᾶς δὲ ὁ ἐκ τοῦ πρωτοπλάστου θάνατος ὑπερβαίνει, κατασχεῖν μὴ δυνάμενος τοὺς τὴν θυσίαν τοῦ θείου προβάτου δεδεγμένους, καὶ τῇ πίστει τοῦ σωτηρίου αἵματος περιπεφραγμένους. ἐκείνοις ἀπὸ γῆς τὸ πρόβατον· ἡμῖν δὲ ἐξ οὐρανοῦ (κατὰ τὸν Ἀβραὰμ τύπον γινόμενοι, ὅτι πρόβατον ἔσχε θεόπεμπτον ὑπὸ τοῦ υἱοῦ προσαγαγεῖν) νῦν δὲ ὡς ἀληθῶς θεόπεμπτον ἐξ οὐρανοῦ τὸ πρόβατον, προσαχθὲν ὑπὲρ ἡμῶν, ἵνα μηκέτι θανάτῳ κατεχώμεθα, διὰ τὸν ἀκράτητον ὑπὸ θανάτου Χριστόν. Ἀπέστειλε γὰρ, φησὶν, ὁ Θεὸς τὸν υἱὸν σωτῆρα τοῦ κόσμου· καὶ, Καταβέβηκα, φησὶν, ἐξ οὐρανοῦ. καὶ μαρτυρεῖ περὶ αὐτοῦ ὁ Βαπτιστὴς, Ἴδε, ὁ ἀμνὸς τοῦ Θεοῦ, λέγων, ὁ αἴ-

α Ἰωαν. δ. ι.

Ἰωαν. α. κθ.

ρων τὴν ἁμαρτίαν τοῦ κόσμου. ἁμαρτίαν γὰρ οὐκ ἀφῄρει πρόβατον ἄλογον· διὰ τοῦτο οὐδὲ τὸν ἐκ τῆς ἁμαρτίας γινόμενον θάνατον. τὸ δὲ λογικώτατον πρόβατον ἁμαρτίαν ἔλυσε, θάνατον σὺν αὐτῇ καταλύσαν. ἐξάγει δὲ ἡμᾶς οὐκ ἐκ τῆς Αἰγυπτιακῆς εἰς τὴν Ἰουδαίας, ἀλλ' εἰς αἰωνίαν κτῆσιν ἀπὸ κόσμου φθειρομένου. πρόβατόν ἐστιν ἅμα, καὶ ποιμὴν τῶν προβάτων καθηγούμενος. Ἔμπροσθεν γάρ, φησι, πορεύσομαι, ἐπὶ τὴν αἰωνίαν ἄγων αὐτὰ ζωήν. ἀρχὴ μὲν οὖν Ἰουδαίοις ἡ τοῦ προβάτου θυσία, καὶ ἡ ἔξοδος ἡ ἐξ Αἰγύπτου· ἡμῖν δὲ ἀρχὴ ζωῆς τὸ τοῦ Κυρίου πάθος, καὶ ἡ σὺν Χριστῷ μετάστασις ἀπὸ κόσμου. τότε γὰρ ζῶμεν, ὅτε ἀποθνήσκομεν κόσμῳ· τότε εἰς Θεὸν ἀναγεννώμεθα, ὅτε τὴν ἐπὶ γῆς γένεσιν "ἀπογινόμεθα. τὸ πρόβατον ἀμέριστον, ἐπὶ μιᾶς ἐσθιόμενον οἰκίας, τῆς πνευματικῆς ἐκκλησίας, ἀλλαχοῦ δὲ οὐχ εὑρισκόμενον· ὥσπερ καὶ τοῖς σωματικοῖς Ἰουδαίοις προστέτακτο μὴ ἐξενεγκεῖν τῶν τοῦ προβάτου κρεῶν ἀπὸ τῆς οἰκίας. πρόβατον, διὰ τὴν ἠπιότητα, Χριστός· κατὰ δὲ τὴν ὑψοῦσαν ὁδόν, ἔριφος, ὁμοίωμα αὐτοῦ τότε ἐθύετο. ἄρτος ἄζυμος τοῖς τὸ πάσχα ἐσθίουσιν· ἡμῖν δὲ πρὸς Χριστὸν κοινωνία μετὰ καινῆς καὶ νέας καὶ ἁπλουστάτης διανοίας· ὥσπερ τὸ ἄζυμον καινὸν φύραμα καὶ ἁπλοῦν. αἱ πικρίδες αἱ μετὰ τὸ πάσχα ἐσθιόμεναι. τὰς τε θλίψεις ἐδήλου τὰς ἡμετέρας, δι' ὧν κοινωνοῦμεν τοῖς Χριστοῦ παθήμασι. πικρὰ γὰρ ἡ θλῖψις, εἰ καὶ γλυκὺς ὁ ἐξ αὐτῆς καρπός. ὀστοῦν οὐ συνετρίβετο τοῦ προβάτου, καὶ τοῦτο ὁ νόμος ἐκέλευεν εἰς Χριστὸν προτυπῶν, ὡς τὸ εὐαγγέλιον ἐξηγεῖται, ὅτι οὐδεὶς κατέαξε τὰ ἅγια τοῦ Κυρίου σκέλη· ἵνα ἡ γραφὴ πληρωθῇ, Ὀστοῦν οὐ συντριβήσεται ἀπ' αὐτοῦ. ἠσθίετο δὲ ἐπὶ τῆς νυκτὸς τὰ κρέατα, καὶ εἰς ἡμέραν οὐχ ὑπελείπετο, ὅτι καὶ ὁ Χριστοῦ θάνατος ἐπὶ τοῦ παρόντος αἰῶνος μνημονεύεται, ἐπὶ δὲ τοῦ μέλλοντος ἡ ζωὴ φαίνεται. σχῆμα δὲ τῶν ἐσθιόντων τὸ πάσχα, ὀσφὺς ἐζωσμένη, ὑποδήματα ἐν ποσίν, ἐν χερσὶ βακτηρίαι. ὁδοιπορικὸν ἅπαν τὸ σχῆμα, παρεσκευασμένων εἰς ὁδοιπορίαν, ἐπειγομένων ἀπᾶραι· ἡμῖν δὲ ψυχῆς ἡ πρόθεσις ὁδοιπορικὴ πρὸς ἀποδημίαν τοῦ κόσμου στελλομένη. διὰ τοῦτο εὐσταλεῖς καὶ περιεσφιγμέναι πανταχόθεν αἱ ψυχαὶ τὰς τοῦ βίου μερίμνας ἀποφεύγουσι, πρὸς δὲ τὴν θείαν ἕτοιμοι πορείαν, ὥστε τρέχειν εἰς οὐρανόν. Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς, φησι. ῥάβδον δὲ ἀνειλήφαμεν, ᾗ στηριζόμεθα πίστιν καὶ ἐλπίδα τὴν εἰς Χριστόν. ἀνῆπται δὲ καὶ ἡμῖν λύχνος ταῖς ψυχαῖς, ὥσπερ ἐκείνοις ὁ σωματικός. ψυχῶν δὲ λύχνος ἐστὶν ἡμῖν ὁ νόμος τοῦ Χριστοῦ. Λύχνος γὰρ τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου. λέγει δὲ καὶ αὐτὸς ὁ Κύριος περὶ τούτων· Ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι, καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις ἐκδεχομένοις τὸν κύριον αὐτῶν. ὑπόλοιπόν ἐστιν ἰδεῖν τίνες οἱ τὸ πάσχα ἐσθίοντες. ἐσθίει δὲ τὸ πάσχα οὐδεὶς ἀπερίτμητος, ἀλλ' εἰ καὶ ἀλλογενὴς [ἐστὶ] καὶ ἀργυρώνητος, περιτέμνεται. οὐδεὶς γὰρ Χριστοῦ μέτοχος γενέσθαι δύναται, τὰς ἀνθρωπίνας περισσότητας μὴ περιτεμνόμενος, μηδὲ καθαρθεὶς ἀπὸ τῶν σαρκικῶν μολυσμάτων, ὧν κατὰ γένεσιν τὴν ἐκ πατέρων διεδεξάμεθα. τούτου γὰρ ἦν τύπος ἡ σωματικὴ περιτομή. διὸ καὶ ἐλέγετο ὑπὸ τοῦ προφήτου Ἱερεμίου περιτέμνεσθαι τὴν σκληροκαρδίαν ὑμῶν. σπεύδωμεν οὖν ἐπὶ τὴν μακαρίαν Χριστοῦ κοινωνίαν, καθαροὶ κοσμικῶν κακῶν διὰ τοῦτο γινώμεθα, ἵνα τοῖς πνευματικοῖς ἁγιασθῶμεν ἀγαθοῖς· μηδεὶς ἐπὶ κόσμον μεταστρεφόμενος, ἀλλὰ σπεύδοντες ἀτρέπτως εἰς, * * * ἵνα μὴ μείνωμεν ὑπὸ τὴν δουλείαν τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου, ἀλλ' εἰς τὴν ἐλευθερίαν μεταστῶμεν τὴν παρὰ Χριστῷ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἰωαν. κ. λγ.

Φιλιπ. γ. κ.

Λυκ. ιβ. λε.

ἴσ. ἀπογινόμεθα

Λογ.

Λογ. pry. ΕΙΣ ΤΗΝ ΑΥΤΗΝ ΥΠΟΘΕΣΙΝ. ε.

Ex Ms. Episcopi Philadelph. Venet.

Ἑβρ. ι. α. Ιωαν. α. ιζ.

ΕΝ Ἰουδαίοις οἱ τύποι, παρ' ἡμῖν δὲ ἡ ἀλήθεια. Σκιὰν γάρ, φησίν, ὁ νόμος εἶχε τῶν μελλόντων ἀγαθῶν. καί, Ὁ νόμος, φησί, διὰ Μωϋσέως ἐδόθη· ἡ χάρις γὰρ καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. οὐδὲ γὰρ τὰ Ἰουδαίων ἀλλότρια Χριστοῦ, τυπικὴν δὲ καὶ σκιώδη τὴν πρὸς Χριστὸν εἶχεν οἰκείωσιν· ἐτηρεῖτο δὲ τῇ κατὰ πρόσωπον αὐτοῦ παρουσίᾳ ἡ τελείωσις, καὶ ἡ σαφὴς αὐτοψία τῶν πραγμάτων, ὅτε καὶ ἡ αὐτοψία τοῦ βασιλέως. καὶ γάρ τις εἰκόνα γράφων, σκιογραφεῖ πρότερον, εἶτα τοῖς χρώμασι τελειοῖ τὴν γραφήν· καὶ ἔστιν ἕτερον μὲν τῆς σκιᾶς ἡ εἰκὼν κατὰ τὸ φαινόμενον, ταὐτὸν δὲ κατὰ τὸ ὑποκείμενον τοῖς χρώμασι χαρακτῆρα. σκόπει δή μοι διὰ τῶν σκιῶν τὰ ἀληθινά, καὶ θεώρει διὰ τύπων τὰ δηλούμενα, καὶ ἐκ τῶν μικρῶν πρὸς τὰ μεγάλα πρόιθι· καὶ μή μοι περὶ τὴν ἀπομείνῃς, ἐλευθερίας ἔθνους ἑνὸς τῆς ἀπὸ τυράννου, καὶ σωτηρίας παιδίων τῆς προσκαίρου, καὶ μετοικίας τῆς ἀπὸ γῆς εἰς γῆν ἐπιτελῶν ὑπομνήματα. οὐδὲ γὰρ τὰς ἑλλήνων ἑορτὰς εὑρήσεις πολύ τι τῶν τοιούτων ἀφεστηκυίας ὑπομνημάτων. ἑορτάζουσι γάρ τοι καὶ ἐκεῖνοι νόσων ἀποφυγάς, καὶ τυραννίδων ἐλευθερώσεις, ἀποικίας τε καὶ πόλεων κτίσεις, καὶ νίκας πολέμων, καὶ τὰ τοιαῦτα, ὅσα γήϊνα καὶ πρόσκαιρα λαμβάνοντες εἰς ὑπόθεσιν ἑορτῆς. ἤδη τὰ μεγάλα μυηθῆναι δεῖ, τὰ θεῖα καὶ ὄντως Θεοῦ δῶρα, καὶ μεγάλην τὴν αἰωνίαν ἑορτάζουσιν ἑορτήν, ἐλευθέρωσιν ἐκ δαιμόνων ἀντικειμένων πολεμούντων πρὸς τὸ ἀγαθόν, ἀφελκόντων ἀπὸ τῆς Θεοῦ βασιλείας, σωτηρίαν οὐ πρὸς βραχύν τινα βίον, ἀλλὰ πρὸς αἰωνίαν διαμονήν, μετοικίαν ἀπὸ γῆς εἰς οὐρανὸν κατὰ τὴν παροῦσαν πολιτείαν, καὶ εἰς αἰωνίαν κτῆσιν κατὰ τὴν μέλλουσαν ἀνάστασιν. Αἴγυπτος ἔθλιβεν Ἰουδαίους ἐλευθέρους ὄντας ἐκ πατέρων, ὑποβαλοῦσα δουλείας ζυγῷ, ″πλινθουργεῖν καὶ πόλεις κατασκευάζειν ἀναγκάζουσα. σύμβολον τοῦτο θλίψεως κοσμικῆς, ἐν ᾗ κατατρίβεται τὸ γένος τὸ ἀνθρώπινον, ἀποπεσὸν τῆς παρὰ Θεοῦ τρυφῆς τε καὶ ἐλευθερίας, περὶ τὴν γήϊνον ἐργασίαν διαπονούμενον, καὶ τὰς σκηνὰς ἀπολλυμένας κατασκευάζον· ὅτι μηδὲν τῶν ἐν ἀνθρώποις μόνιμον μηδὲ ἀσφαλές, ἀλλὰ πάντα φθειρόμενα χειρῶν ἀνθρωπίνων ἔργα, καὶ χρόνου παραναλώματα. ἐλευθερῶσαι τῆς δουλείας ταύτης ὁ Θεὸς βούλεται, καταπονούμενον τὸ ποίημα τὸ ἴδιον οἰκτείρας, ὥσπερ εἶδε τὴν κάκωσιν τῶν υἱῶν Ἰσραὴλ ἐλευθεροῖ διὰ κλήσεως. ἑκουσίως γὰρ εἰς Θεὸν ἐπιμελεῖσθαι δεῖ τοὺς ἑκουσίως ἀποπηδήσαντας. πέμπονται δούλοις νόμον κομίζοντες, διὰ νόμου πρὸς δικαιοσύνην παρακαλοῦντες, διὰ δικαιοσύνης πρὸς Θεὸν ὁδηγοῦντες, μικρὰς ἔτι κολάσεις ταῖς ἀντικειμέναις δυνάμεσιν ἐπάγοντες, οὔπω τέλεον ἐλευθερίαν ἐν μέρει κομίζοντες, τοὺς ἀσεβεῖς οὔπω παντελῶς ἐξαλείφοντες. τοῦτο γὰρ ἐφυλάττετο τῇ τοῦ δεσπότου παρουσίᾳ μετὰ τοὺς δούλους παραγινομένου. τύποι δὲ τούτων καὶ σύμβολα, Μωϋσῆς ἀποστελλόμενος πρὸς Ἰουδαίους μετὰ Ἀαρὼν τοῦ ἀδελφοῦ, καλῶν ἐπὶ λατρείαν Θεοῦ, μαστιγοῦνται Αἰγύπτιοι πληγαῖς μερικαῖς ὑπὲρ τοῦ δουλευομένου καὶ θλιβομένου λαοῦ. ἀλλὰ γὰρ τούτων γινομένων ἔτι, καὶ ὁ Ἰσραὴλ ἐν Αἰγύπτῳ, καὶ ὁ βασιλεὺς τῶν Αἰγυπτίων χώραν εἶχε τοῦ θεομαχεῖν. ἐννέα πληγαί, καὶ τέλος οὔπω τοῦ πράγματος. τὴν τελευταίαν ἐπαχθῆναι δεῖ τὴν τῶν πρωτοτόκων ἀναίρεσιν, καὶ ἅμα ταύτῃ ἐξιέναι τὸν Ἰσραήλ. ἐνταῦθα πρόβατον θύεται, καὶ αἱ τῶν οἰκιῶν εἴσοδοι τῶν Ἑβραίων τῷ αἵματι χρίονται, καὶ τὰ πρωτότοκα τῶν Ἰουδαίων ἐκφεύγει τὴν τοῦ θανάτου πληγὴν διὰ τὸ τοῦ αἵματος σύμβολον. ἐσθίουσι τὸ πρόβατον Ἰουδαῖοι σὺν ἀζύμοις καὶ πικρίσιν. ἐξιόντι ἐξ Αἰγύπτου ἐπιδιώκει Φαραὼ καὶ οἱ λειπόμενοι τῶν Αἰγυπτίων· ἐπὶ τὴν θάλασσαν ἔρχονται τὴν ἐρυθράν. αὕτη δέχεται μὲν τὸν

ἴσ. ἐλευθερ

τῶν Ἑβραίων στρατὸν διαιρεθεῖσα δυνάμει Θεοῦ, καὶ ῥάβδῳ Μωϋσέως· καταποντίζει δὲ τὴν Αἰγυπτιακὴν δύναμιν ἐπεισελθοῦσαν. πρόβατόν σοι Χριστὸς ἐπ' ἐξόδῳ τῇ ἀπὸ κόσμου, καὶ σὲ συμμετατίθησιν εἰς οὐρανὸν ἀναβαίνων· ἀναβιβάζει καὶ σὲ ἐπὶ τὴν αἰωνίαν ζωήν. μετάγων τὸν ἄνθρωπον τὸν ἐκ Δαβὶδ γεγονότα συμμετάγει τοὺς ἀκολουθοῦντας, τοὺς ὑπηκόους καὶ πειθηνίους, τοὺς μηκέτι Φαραὼ φοβουμένους, μηδὲ δηλαδὴ ἐναπομένοντας ταῖς δουλικοσμικαῖς καὶ κακοπαθείαις γηΐναις, διὰ τὴν ὀλίγην καὶ δριμεῖαν ἡδονήν, ἧς τύπον εἶχεν ὁ Ἰσραὴλ τὴν τῶν κρεῶν καὶ κρομμύων καὶ σκορόδων βρῶσιν ἐν Αἰγύπτῳ. τοιαύτη γὰρ ἡ κατὰ κόσμον ἡδονή, δριμυτάτην τῶν μεριμνῶν πολλὴν ἔχουσα συμπεπλεγμένην, σαρκικὴν δὲ καὶ θηριώδη τὴν πλησμονήν. ἐξιόντι δέ σοι τῆς κοσμικῆς ζωῆς, ἀρχὴ ζωῆς ἀληθινῆς γίνεται· ὥσπερ ἐκείνοις ἀρχὴ μηνῶν τὸ πάσχα τὸ τυπικόν. νῦν γὰρ ἄρχῃ ζῆν, ὅτε ἀποτάσσῃ τῇ κοσμικῇ καὶ γηΐνῃ ζωῇ· νῦν εὑρίσκεις τί τὸ ἀληθινὸν ζῆν, τὸ ἐν πνεύματι. θύεται Χριστός, ὥστε γινώσκεις τὴν θυσίαν αὐτοῦ τὴν ὑπὲρ σοῦ γινομένην. τότε σοι πληροῦται τὸ, Ὡς πρόβατον
Ἡσ. νγ. ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος. καὶ ἡ μὲν ἠπιότης ἐν αὐτῷ σώζει τοῦ προβάτου τὴν προτοτύπωσιν· ἡ δὲ εἰς ὕψος ἄνοδος, καὶ οὐκ ἐν τοῖς κάτω κατάξεσις, ἀποσώζει τοῦ ἐρίφου τὴν ἐπὶ τὰ ὑψηλὰ πορείαν. αἶγες γὰρ ἐπὶ τὰ ὑψηλότερα καὶ δύσβατα πηδῶσί τε καὶ ἀναβαίνουσιν. ὑψηλῶν δὲ ἀνθρώπων καὶ δυσβάτων ἦν οὐρανός, ἀφ' ἧς ἡμέρας καταπέπτωκε σφαλεὶς ἀπὸ τῆς θείας ἐντολῆς, σαρκὶ δουλεύσας καὶ πνεύματος ἁγίου χωρισθείς· ἀναβαίνει δὴ καὶ ἀναβιβάζει σε τὸ θεῖον ἱερεῖον τυθὲν ὑπὲρ σοῦ. μετὰ σοῦ γὰρ ἀπέθνησκεν, ἵνα σὺ ζήσῃς ἐν αὐτῷ. αἷμα δέ σοι τὸ τοῦ ἀμνοῦ σωτήριον· ἐὰν προσέλθῃς τῷ αἵματι πιστῶς, ἐὰν τὰς αἰσθήσεις τὰς ἑαυτοῦ καὶ τὰς ἐννοίας, δι' ὧν εἰσέρχεται θάνατος ἁμαρτίαν προσεισπέμπων, ταύτας τῇ πίστει τοῦ αἵματος οἱονεὶ χρίσῃς, καθάπερ ὁ Ἰσραὴλ ἔχριε τὰς εἰσόδους τῷ αἵματι. ἐὰν γάρ σοι μὴ ἐπεισέλθῃ διὰ τῶν ὀφθαλμῶν ἐπιθυμία, διὰ τῆς ἀκοῆς, διὰ τῆς ὀσφρήσεως, διὰ τῆς γεύσεως, διὰ τῆς ἁφῆς, καὶ μετὰ ταῦτα διὰ τῶν λογισμῶν, οὐ κρατήσει σου θάνατος, ἀλλὰ φέρων ἐν τῷ σώματι τὴν νέκρωσιν τοῦ Ἰησοῦ, ἕξεις καὶ τὴν ζωὴν ἐν τῷ σώματί σου φανερουμένην, καὶ οὕτως ὑπερβήσεταί σε ὁ θάνατος ὁ ἐκ τοῦ πρωτοπλάστου Ἀδάμ, ὡς τὰς Ἑβραίων οἰκίας ὑπερέβαινεν ὁ τῶν πρωτοτόκων ὄλεθρος. διὸ καὶ τῆς ἐπὶ τούτοις ἑορτῆς ὄνομα πάσχα σημαῖνον ὑπέρβασιν. ἄμωμον μέν σοι τὸ πρό-
Ἡσ. νγ. βατον. ἄμωμος γάρ σοι Ἰησοῦς, Ὃς ἁμαρτίαν, φησὶν, οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. τέλειον ἄρσεν. ἡ γὰρ τελείωσις τῆς δικαιοσύνης παρὰ τῷ μόνῳ ἀληθινῷ βασιλεῖ. ἐνιαύσιόν τε τὸ πρόβατον αἰωνίου τύπος Χριστοῦ. σύμβολον γὰρ αἰῶνος ἐνιαυτὸς, ὁ αὐτὸς ἐν παντὶ αἰῶνι πολλάκις ἀνακυκλούμενος, καὶ τὰς πάσας τροπὰς ἔχων ἐν ἑαυτῷ, τοῦ καινοῦ τύπος ἀνθρώπου, ἐν ᾧ τὸ παλαιὸν τῆς ἡμετέρας ἀνθρωπότητος εἰς καινότητα μεταβέ-
Ἐφεσ. δ. κδ. βληται· Ἐνδύσασθε γὰρ, φησὶ, τὸν καινὸν ἄνθρωπον. τοῦ προβάτου τὴν ἀμωμότητα καὶ τελειότητα ἐπενδυσάμενος ἔσῃ πρόβατον Θεοῦ, καὶ αὐτὸς παραστήσας τὸ ἑαυτοῦ σῶμα θυ-
Ῥωμ. ιβ. α. σίαν ζῶσαν, ἁγίαν, εὐάρεστον Θεῷ, κατὰ τὸν ἀπόστολον, καὶ πρὸς τὴν αἰωνίαν παραπεμφθείσῃ ζωήν.

Ὁρᾷς ὅτι τὸ πάσχα τὸ σὸν οὐδὲ σύγκρισιν ἔχει πρὸς τὸ Ἰουδαϊκὸν, ἀλλ' ὁμοίωσιν αὐτοῦ τὴν σκιοειδῆ μόνον εἶχεν ἐκεῖνο· καὶ νήπιος ὁ Ἰσραὴλ ἐπὶ τῇ τοῦ προβάτου θυσίᾳ, ταύτην ἡγούμενος παρὰ Θεῷ σπουδάζεσθαι, καὶ διὰ ταύτης οἰόμενος εἰληφέναι τὴν σωτηρίαν, καὶ οὐχ ὡς τύπον ὁρῶν αὐτὴν τῆς ὄντως σωζούσης θυσίας. διὸ λέγεται ὑπὸ τοῦ Θεοῦ πρὸς αὐτοὺς
Ἱερ. ζ. κβ. διὰ Ἱερεμίου, Ὅτι οὐκ ἐνετειλάμην ὑμῖν περὶ θυσιῶν. καὶ οὐκ ἔστι παρὰ Θεῷ ψεῦδος, ἵνα ἐντειλάμενος εἴπῃ μὴ ἐντετάλθαι· ἀλλ' ἡ τοῦ πράγματος δηλοῦται δύναμις, ὅτι προφητικῶς ἡ θυσία ἐπετελεῖτο καὶ προμηνυτικῶς εἰς Χριστόν. καὶ πρόβατον θύειν ἐντελλόμενος ὁ Θεὸς, Χριστὸν ἐδήλου τεθυσόμενον, καὶ τὰ περὶ τὸ πρόβατον ἅπαντα εἰς Χριστὸν προετύπου·

ἐτύπου· ὧν τὰ μὲν ἤδη τεθεώρηκας, τὰ δὲ ἐφεξῆς θεώρει κατὰ δύναμιν. ἐπὶ πάσης Ἑβραίων οἰκίας ἓν πρόβατον αὐτοτελές, καὶ μέρος ἐκ τῶν κρεῶν οὐκ ἐκκομίζεται τῆς οἰκίας ἐν ᾗ θύεται. ἐπὶ πάσης γὰρ ἐκκλησίας καὶ ψυχῆς Χριστὸς ὅλος πανταχῆ, καὶ οὐδαμῆ μερικός. διὸ πολλὰ μὲν ἐκεῖ τὰ πρόβατα καθ' ἑκάστην οἰκίαν· εἷς δὲ Χριστὸς κατὰ πᾶσαν ψυχὴν ὁ αὐτός. πέντε ἡμέρας ἐπὶ τῆς οἰκίας κατέχεται τὸ πρόβατον, ἀπὸ δεκάτης εἰς τεσσαρεσκαιδεκάτην· ἔπειτα οὕτω θύεται τῇ τεσσαρεσκαιδεκάτῃ πρὸς ἑσπέραν ὑπὸ τῆς Ἰουδαίων συναγωγῆς. πέντε διαστήματα χρόνου δηλοῦνται ταῖς πέντε ταύταις ἡμέραις ἀπὸ Ἀδὰμ μέχρι συντελείας· ἓν μὲν τὸ μέχρι Νῶε, δεύτερον δὲ τὸ ἐκεῖθεν μέχρι Ἀβραάμ, τρίτον τὸ ἐπὶ Μωϋσέα, τέταρτον τὸ ἐκ Μωϋσέως ἐπὶ τὴν Χριστοῦ παρουσίαν, πέμπτον ὁ παρὼν τῆς παρουσίας χρόνος. θύεται δὲ πρὸς ἑσπέραν, ὅτι ἐπ' ἐσχάτου τοῦ αἰῶνος ὑπὸ πάσης τῆς συναγωγῆς συνεφώνησεν ὁ Ἰσραὴλ κατὰ Χριστοῦ. ἐμελετᾶτο μὲν ἐξ ἀρχῆς ἡ Χριστοῦ θυσία ἐν τοῖς ἀεὶ τῶν δικαίων παθήμασιν ἀπὸ Ἄβελ τοῦ δικαίου, καὶ Χριστὸς ἦν ἐν ἅπασιν ὁ πάσχων. ἐπετελέσθη δὲ ὅτι αὐτὸς δι' ἑαυτοῦ παρὼν ἔπασχεν ὁ θεῖος ἀμνός. καὶ δὴ κατὰ τὴν τοῦ αὐτοῦ μηνὸς τεσσαρεσκαιδεκάτην ἔπασχε, καὶ τὸ πνεῦμα παρεδίδου πρὸς ἑσπέραν, καὶ κατὰ τοῦτον Ⓑ τύπον τοῦτο ἦν τὸ ἐκ δεκάτης λαμβάνεσθαι τὸ πρόβατον εἰς τὴν θυσίαν, καὶ θύεσθαι τῇ τεσσαρεσκαιδεκάτῃ πρὸς ἑσπέραν, ὅτι ἦν ἀπ' ἀρχῆς μὲν ἡ μελέτη τοῦ πάθους, ἐν τέλει δὲ τὸ πάθος. εἶπέ μοι σκόπει περὶ τὴν τοῦ προβάτου βρῶσιν ἐντολὴν Θεοῦ καινὴν καὶ παράδοξον, μὴ ἐσθίειν ὠμὰ τὰ τοῦ προβάτου κρέα. τίς γὰρ δὴ ὠμὸν φάγοι; ἔσω λέγειν, μηδὲ ἑφθόν, ἵνα μὴ διατρίβωσιν. ἐπειγόμενος γὰρ ὁ καιρός. τί τὸ μηδὲ ὠμόν, ἀλλ' ὀπτὰ πυρί; οὐδεὶς γὰρ κωλύει τὸ μὴ γινόμενον· ἀλλὰ σημαίνεται διὰ τῶν τύπων, ὡς ἔφην, τὰ πράγματα. ὠμὴν προσφέρεται τὴν ἀγάπην ὁ τὴν πίστιν ἔχων ἀργήν· ἑφθὴν ὁ φιλήδονος, ἐξυδαρῶν ἐν τῇ τοῦ βίου ῥαθυμίᾳ τὸ στερρὸν τῆς πίστεως ἔργον, ὀπτὴν ἐν πνεύματι θερμῷ τε καὶ ζέοντι. κεφαλὴν σὺν ποσὶ καὶ τοῖς ἐνδοσθίοις ἐσθίειν κελεύονται. γίνωσκε δὲ Χριστὸν ἀπὸ μὲν τῆς κεφαλῆς, ὅτι Θεὸς πρὸ αἰώνων ὑπάρχων κεφαλὴ τοῦ ἀοράτου καὶ πνευματικῆς ἐκκλησίας· ἀπὸ δὲ τῶν ποδῶν, ὅτι καὶ δι' ἄνθρωπος ἐπ' ἐσχάτων αἰώνων γῆς ἐπιβάς· ἀπὸ δὲ τῶν ἐνδοσθίων, ὅτι κεκρυμμένην ἔχων ἐν σαρκὶ δύναμιν, καὶ δικαιοσύνην, καὶ οὐ κατὰ τὸ ἐκτὸς καὶ θεωρούμενον μόνον ἐπωφελὴς καὶ σωτήριος τοῖς μετέχουσιν, ἀλλὰ καὶ κατὰ τὸ ἔνδον καὶ κατὰ τὸ ἀπόκρυφον. ἐσθίεται δὲ ἐν νυκτὶ τὰ κρέα, καὶ εἰς τὴν ἡμέραν οὐχ ὑπολείπεται. ἀνάμνησις γὰρ τοῦ Χριστοῦ πάθους ἐν τῷ καιρῷ τῆς κοσμικῆς νυκτός, μεθ' ἣν ἡμέρα διαλάμψει, καὶ ζωὴ Χριστοῦ φανήσεται, κατὰ τό, Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικε. συντρίβεται δὲ ὀστοῦν οὐδέν. οὐδὲ γὰρ κατεάξαι Ⓒ δύναμαι τὰ Χριστοῦ σκέλη, τῶν συσταυρωθέντων κατεάξαντες, ὡς ὁ εὐαγγελιστὴς ἐμαρτύρησεν. αἱ πικρίδες αἱ σὺν τῷ προβάτῳ ἐσθιόμεναι τὴν τῶν θλίψεων πικρίαν ἐδήλουν· τὰ ἄζυμα τὴν ἁπλότητα καὶ εἰλικρίνειαν, ὡς ὁ Παῦλός φησι, τουτέστι, τὸ ἀμιγὲς πρὸς τὴν παλαιὰν κακίαν καὶ νέαν ἀρετήν. ὑπόλοιπόν ἐστί σοι τὸ σχῆμα τῶν ἐσθιόντων τὸ πάσχα καὶ θεωρῆσαι πνευματικῶς, καὶ μιμήσασθαι. ἔστω γὰρ ἐν τῷ πνευματικῷ τὸ σωματικὸν σχῆμα. οὐκ ἔστι σχῆμα κενόν, ἀλλὰ ἔργον σωτήριον ζώσασθαι τὴν ὀσφύν σου, μὴ τὴν τοῦ σώματος ἐν ἱμάντι, ἀλλὰ τὴν τῆς ψυχῆς ἐν ἐπιμονῇ. ὑποδήσασθαι τοὺς πόδας ὡσαύτως ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου, κατὰ Ⓓ τὸν ἀπόστολον. βακτηρίαν ἐν ταῖς χερσὶν ἔχειν, μὴ ξύλον, ἀλλὰ πίστεως ὑποστηριζούσης. ὅλον τὸ σχῆμα ἐκεῖνο ὁδοιπορικόν ἐστιν, ὡς αὖ πρὸς ἔξοδον ἐπειγομένων τῆς ἐξ Αἰγύπτου, μίμησαι σὺ κάλλιον, ὡς εἰς ἔξοδον ἐπειγόμενος τὴν ἀπὸ κόσμου καὶ φθορᾶς. σπουδὴ δὲ ἔστω, καὶ ῥαθυμία μηδαμῶς ἐν τῇ τοῦ πάσχα βρώσει τῇ πνευματικῇ, καὶ καλεῖ ἐν τάχει τὸ σπουδαῖον, οὐ γαστριμαργίαν ἐπιφαίνει ἐσθιόντων ἠπειγμένως τὰ κρέα, ἀλλὰ φιλοθεότητα τῶν σπευδόντων ἀπὸ κόσμου πρὸς Θεόν. ἐφ' ἑπτὰ δὲ ἡμέρας ἡ ἄζυμος τροφή, τουτέστι, διὰ πάσης ζωῆς τὸ εἰλικρινές. διὰ γὰρ τῶν ἑπτὰ ἡμερῶν ὁ σύμπας πολυπλασιάζεται

Ῥωμ. ιγ. ιβ.

Ἰωάν. ιθ. λγ.

Ἐφεσ. ς. ιε.

χρόνος· καὶ ὁ ζύμην ἔχων ἐξολοθρευθήσεται. ἡ γὰρ τοῦ παλαιοῦ ἀνθρώπου κακία ὀλέθριος καὶ οὐδαμῶς ἀναμίγνυσθαι δυναμένη τῇ τοῦ νέου ἀνθρώπου δικαιοσύνῃ καὶ ὁσιότητι. καὶ ὁρᾷς ὅτι δίκαιος ὁ διὰ τὴν τοιαύτην ζύμην ὀλεθρευθείς· διὰ δὲ τὴν κοινὴν τοῦ ἄρτου ζύμην οὐκ ἂν δικαίως ἔδοξε χαλεπαίνειν Θεός. οὐ γὰρ φαίνεται τὸ δίκαιον ἐν τοῖς τύποις, ἀλλὰ ἐπὶ τῆς ἀληθείας ἐκλάμπει τε καὶ γινώσκεται· ὥσπερ καὶ αὐτὸ τὸ τῆς χρίσεως τοῦ αἵματος δοκοῦν ἀπρεπὲς εἶναι Θεῷ προαιρεῖσθαι, κατὰ τὴν ἀλήθειαν νοούμενον τοῦ τύπου. ἀπρεπὲς γὰρ τὸ δοκοῦν χρῄζειν Θεὸν αἵματος σημείου πρὸς ἐπίγνωσιν τῶν Ἑβραϊκῶν οἰκιῶν· πρεπωδέστατον δὲ τὸ διὰ τὴν πίστιν τοῦ Χριστοῦ αἵματος γινώσκεσθαι ἡμᾶς Θεῷ καὶ σώζεσθαι ὑπὸ Θεοῦ. ἆρ' οὖν οὐχὶ καὶ τὸ τῆς περιτομῆς ἁπλῶς μὲν οὕτως ἀκούειν ἀπρεπὲς, ὡς, Θεοῦ κελεύσαντος ὑπὸ σπουδῆς τὸν μέλλοντα τοῦ πάσχα ἐσθίειν, εἰ μὴ ἐμπερίτομος εἴη, περιτέμνεσθαι, καὶ οὕτως ἐπὶ τὴν βρῶσιν ἥκειν. ἐὰν δὲ συνῇς τῆς περιτομῆς τὴν δύναμιν πνευματικῶς, μυστήριον ὄψει καὶ δοξάσεις Θεόν. τοῦ γεννητικοῦ μέλους ἦν ἡ περιτομή. ἀπὸ γενέσεως εἶχες, ὦ ἄνθρωπε, κάλυμμα, ὅπερ ἔδει σε περιαιρεῖσθαι, ἵνα κεκαλυμμένῳ προσώπῳ θεωρῇς ἀλήθειαν, καὶ μὴ κεκαλυμμένος τῷ σώματι καὶ γηΐνῳ καλύμματι περὶ τὴν ἀλήθειαν ἀναβλέποις. ὅταν γὰρ γυμνὸς γένῃ τοῦ σαρκικοῦ σώματος, ὡς πνεῦμα προσέσῃ πρὸς Χριστὸν, καὶ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμα γενήσῃ, μετέχων τὴν ἱερὰν καὶ σωτήριον μετοχὴν, ἣν ἡ τῶν κρεῶν βρῶσις ἐμήνυσε· περιτέμνου δὴ καὶ ἀπεκδύου τὸ σῶμα μετὰ Χριστὸν, κατὰ τὸν λέγοντα Παῦλον, ὅτι περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῆς σαρκὸς ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ· καὶ οὕτω περιτεμνόμενος ἅπασαν φιλοχρηματίαν, φιλοδοξίαν, φιληδονίαν, τῆς μὲν πρὸς Θεὸν ἐμπίπλασο τροφῆς εἰς οὐρανὸν ἀναγούσης, ἐλευθερούσης ἀπὸ πονηρῶν ἀρχόντων, λυούσης ἀπὸ πόνων χαλεπῶν, ἔνδοξον καὶ μακαρίαν σοι τὴν εἰς Θεὸν ἐπάνοδον χαριζόμενος ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κολασ. β. ια.

Λογ. ριδ΄. ΕΙΣ ΤΑΥΤΟΝ. ϛ.

Ex Ms. Episcopi Philadelphiæ, Venet.

ΙΕραὶ μὲν ἤδη φωτὸς ὑπαυγάζουσι Χριστοῦ ἀκτῖνες, καὶ καθαραὶ καθαροῦ πνεύματος ἀνατέλλουσι φωστῆρες, οὐράνιοι δὲ καὶ ʺβασιλείαι δόξης θεότητος ἀνεῴγασι θησαυροί. νὺξ πολλὴ καὶ ἀμαυρὰ κατεπόθη, καὶ ὁ ἀμειδὴς θάνατος συσκιασθείς· ζωὴ τοῖς ὅλοις ἐφηπλώθη, καὶ φωτὸς ἀενάου τὰ ὅλα γέμει, καὶ ἀνατολαὶ ἀνατολῶν ἐπέχουσι τὸ πᾶν, καὶ ὁ πρὸ ἑωσφόρου γεννηθεὶς, ἀθάνατος, καὶ πολὺς μέγας ἐπιλάμπει Χριστὸς τοῖς ὅλοις ὑπὲρ ἥλιον· καὶ διὰ τοῦτο μακρὰ καὶ αἰώνιος καὶ ἄσβεστος ἡμῖν ἐμπολιτεύεται τοῖς πεπιστευκόσιν ἐπ' αὐτῷ λευκὴ ἡμέρα· πάσχα τὸ μυστικὸν, τυπικῶς μὲν διὰ νόμου λειτουργούμενον· πάσχα, τὸ θαυμαστὸν τῆς θείας ἀρετῆς καὶ δυνάμεως ἔργον. ἀληθῶς ἑορτὴ καὶ μνημόσυνον ἔπομον αἰώνιον, ἐκ πάθους ἀπάθεια, ἐκ θανάτου ἀθανασία, ἐκ νεότητος ζωὴ, ἐκ πληγῆς ἴασις, ἐκ πτώσεως ἀνάστασις, ἐκ καθόδου ἀνάβασις. οὕτως ὁ Θεὸς ἐργάζεται μεγάλα· οὕτως ἐκ τῶν ἀδυνάτων δημιουργεῖ τὰ παράδοξα, ὅπως γνωσθῇ ὅτι μόνῳ πάντα θέλοντι ἔξεστι. τύπους μὲν οὖν τοὺς τύπους προσαπαγγελλέτω καὶ νόμος, τὰς εἰκόνας τῆς ἀληθείας προερμηνευέτω ἄγγελος κηρύττων μεγάλην μεγάλου βασιλέως ἐπιδημίαν· ἔνθα ὁ μὲν Αἰγύπτιος τῶν πρωτοτόκων ἀπέθνησκε δῆμος, ὁ δὲ Ἰσραὴλ τῷ μυστικῷ αἵματι ἐσώζετο. ταῦτα πάντα τῶν μελλόντων σκιά· ἐν ἡμῖν δὲ τῶν εἰκόνων τὰ μορφώματα, καὶ τῶν τύπων τὰ πληρώματα, καὶ ἀντὶ τῆς σκιᾶς αὐτὴ ἡ ἀκρίβεια καὶ βεβαίωσις τῆς ἀληθείας. ἀμνὸς ἐξ ἀγέλης ἐκεῖ, ἐνταῦθα ἀμνὸς ἐξ οὐρανῶν· αἵματος σημεῖον ἐκεῖ καὶ κατ' ὀλίγον τῶν

ἴσ. βασιλικ

πάντος φυλακτήριον, ἐν τούτῳ λόγος ὁ κρατὴρ θείου γέμων αἵματός τε καὶ πνεύματος· πρόβατον ἐκ ποίμνης ἐκεῖ, ἐν τούτῳ αὐτὸς αὐτὸς τοῦ προβάτου ὁ ποιμήν. Ὡς πρόβατον γὰρ ἐπὶ σφαγὴν ἤχθη. πῶς οὖν τὰ καθόλου σωτήρια ἐπαγγέλλεται τὰ ἔργα; καὶ μόνοι οἱ τύποι εἰσὶ σωτήριοι. ἑορταζέτωσαν μὲν οὖν οἱ οὐρανοὶ τῶν οὐρανῶν, ὡς τὸ θεῖον πνεῦμα βοᾷ, δόξαν Θεοῦ διηγούμενοι· ἑορταζέτωσαν δὲ καὶ οἱ ἄγγελοι καὶ οἱ ἀρχάγγελοι τῶν οὐρανῶν, καὶ πᾶς ὁ οὐράνιος δῆμος ἑορταζέτω, οἱ ἀρχιστράτηγοι τῆς ἄνω στρατιᾶς βλέπων ἐπίσκοπον σωματικῶς ἀφικνούμενον· ἑορταζέτωσαν καὶ οἱ τῶν ἀστέρων χοροί, οἱ περὶ ἑωσφόρον ἀνατέλλοντα μηνύοντες· ἑορταζέτω καὶ ὁ ἀὴρ ἀμετρήτως βάθεσι καὶ πλάτεσι μεριζόμενος· ἑορταζέτω καὶ ἁλμυρὸν θαλάσσης ὕδωρ, ἱεροῖς ἴχνεσι καὶ βάσεσι τετιμημένον· ἑορταζέτω καὶ ἡ γῆ θείῳ λουσαμένη αἵματι· ἑορταζέτω καὶ πᾶσα ἀνθρωπίνη ψυχὴ εἰς τὴν καινὴν παλιγγενεσίαν δι' ἀναστάσεως ἀναψυχουμένη. Τοῦτο πάσχα, ἡ κοινὴ τῶν ὅλων πανήγυρις, πατρικοῦ θελήματος ἐπὶ κόσμον ἀποστολὴ Χριστοῦ, περὶ γῆν ἔνθεος ἀνατολή, ἀγγέλων καὶ ἀρχαγγέλων ἀΐδιος ἑορτή, τοῦ παντὸς κόσμου ἡ ἀθάνατος ζωή, θανάτου θανατηφόρος, πηγὴ σωτήριος, ἀνθρώπων ἡ ἄφθαρτος τρυφή, οὐράνιος, ἱερὰ τελετή, παλαιὰ καὶ νέα παρερμηνεύουσα μυστήρια, ἐν γῇ μὲν ὁρατῶς βλεπόμενα, ἐν οὐρανοῖς δὲ νοούμενα τοῖς καινὰ καὶ μετὰ γνώσεως ἱερᾶς ἀποδεξαμένοις ὥσπερ οὖν διὰ βραχέων ἐγνωρίσαμεν εἰπεῖν. Τοιάδε ἡ τοῦ πάσχα δημοτελὴς ἑορτή. ἵνα δὲ καὶ κατὰ μέρος ἑστιαθῶμεν τοῦ λόγου τὰ γήϊνα, ἀλλὰ τὰ οὐράνια σιτούμενοι φάγωμεν καὶ ἡμεῖς τὸ λογικὸν πάσχα μεθ' ἐπιθυμίας πνεύματος, μεθ' ἧς καὶ ὁ Ἰησοῦς συνεπεθύμησε φαγεῖν μεθ' ἡμῶν τὸ πάσχα· φέρε, πρῶτον μὲν ἀναλαβόντες διὰ βραχέων εἴπωμεν, τί νόμος, καὶ " τί νόμου χρεία· διὰ τί δὲ μετ' Αἴγυπτον νόμος· δεύτερον δέ, " τί τὸ πάσχα οἰκονομία, καὶ τί τὸ πολὺ καὶ περὶ παντὸς " τὸ πάσχα μυστήριον. παραθήσομεν πρῶτον τὴν γραφήν, ἵν' ἐκ παραβολῆς καὶ παραθέσεως ἕκαστα βλέπωμεν " τῶν Θεοῦ ῥημάτων. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν καὶ Ἀαρὼν ἐν γῇ Αἰγύπτου λέγων· ὁ μὴν οὗτος ὑμῖν ἀρχὴ μηνῶν, πρῶτός ἐστιν ἐν τοῖς μησὶ τοῦ ἐνιαυτοῦ. λάλησον πάσῃ συναγωγῇ υἱῶν Ἰσραήλ, λέγων· τῇ δεκάτῃ τοῦ μηνὸς τούτου λαβέτωσαν πρόβατα κατ' οἴκους πατριῶν, πρόβατον κατ' οἰκίαν. ἐὰν δὲ ὀλίγοι ὦσιν ἐν τῇ οἰκίᾳ, ὥστε μὴ ἱκανοὺς εἶναι εἰς πρόβατον, προσλήψονται οὗτοι τὸν γείτονα μεθ' ἑαυτῶν, τὸν πλησίον αὐτῶν. κατ' ἀριθμὸν ψυχῶν ἕκαστος τὸ ἀρκοῦν αὐτῷ συναριθμηθήσεται εἰς πρόβατον· πρόβατον τέλειον, ἄρσεν, ἐνιαύσιον ἔσται ὑμῖν· ἀπὸ τῶν ἀμνῶν, καὶ ἀπὸ τῶν ἐρίφων λήψεσθε· καὶ ἔσται ὑμῖν διατετηρημένον ἕως τῆς τεσσαρεσκαιδεκάτης τοῦ μηνὸς τούτου, καὶ σφάξουσιν αὐτὸ πᾶν τὸ πλῆθος συναγωγῆς υἱῶν Ἰσραὴλ πρὸς ἑσπέραν, καὶ λήψονται ἀπὸ τοῦ αἵματος, καὶ θήσουσιν ἐπὶ τῶν δύο σταθμῶν, καὶ ἐπὶ τὴν φλιάν, καὶ ἐν τοῖς οἴκοις, ἐν οἷς ἐὰν φάγωσιν αὐτὰ ἐν αὐτοῖς. καὶ φάγονται τὰ κρέα ἐν αὐτῇ τῇ νυκτί, ὀπτὰ πυρί, καὶ ἄζυμα μετὰ πικρίδων ἔδονται. οὐκ ἔδεσθε ἀπ' αὐτῶν ὠμόν, οὐδὲ ἡψημένον ἐν ὕδατι, ἀλλ' ἢ ὀπτὰ πυρί, κεφαλὴν σὺν τοῖς ποσὶ καὶ τοῖς ἐνδοσθίοις. οὐ καταλείψεται ἐξ αὐτῶν εἰς τὸ πρωΐ, καὶ ὀστοῦν οὐ συντρίψεται ἀπ' αὐτοῦ. τὸ δὲ καταλειπόμενον ἀπ' αὐτοῦ ἕως πρωΐ, ἐν πυρὶ κατακαύσετε. οὕτω δὲ φάγεσθε αὐτό· αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι, καὶ τὰ ὑποδήματα ὑμῶν ἐν τοῖς ποσὶν ὑμῶν, καὶ αἱ βακτηρίαι ὑμῶν ἐν ταῖς χερσὶν ὑμῶν. καὶ ἔδεσθε αὐτὸ μετὰ σπουδῆς· πάσχα γάρ ἐστι Κυρίου. καὶ διελεύσομαι ἐν γῇ Αἰγύπτου ταύτῃ τῇ νυκτί, καὶ πατάξω πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτου, καὶ ἐν πᾶσι θεοῖς τῶν Αἰγυπτίων ποιήσω τὴν ἐκδίκησιν· ἐγὼ Κύριος· καὶ ἔσται τὸ αἷμα ὑμῖν ἐν σημείῳ ἐπὶ τῶν οἰκιῶν, ἐν αἷς " ἔσται ἐκεῖ, καὶ ὄψομαι τὸ αἷμα, καὶ σκεπάσω ὑμᾶς, καὶ οὐκ ἔσται ἐν ὑμῖν πληγὴ τοῦ ἐκτρῖψαι, ὅταν παίω ἐν γῇ Αἰγύπτου. καὶ ἔσται ἡ ἡμέρα αὕτη ὑμῖν μνημόσυνον αἰώνιον, καὶ ἑορτάσετε αὐτήν. ἡμέρας ἑπτὰ ἄζυμα ἔδεσθε. καὶ πάλιν εἶπε Κύριος πρὸς Μωϋσῆν καὶ Ἀαρών· οὗτος ὁ νόμος τοῦ πάσχα· πᾶς ἀλλογενὴς οὐκ ἔδεται ἀπ' αὐτοῦ, καὶ πάν-

τα

Ἡσ. νγ. ζ.

* *

ἴσ. τίς νόμου
ἴσ. τίς ἡ τοῦ
ἴσ. τοῦ
ἴσ. τῶν θείων

Ἐξοδ. ιβ. α.

γρ. ὑμεῖς ἐστε

Ἐξοδ. ιβ. μγ.

τὸ οἰκέτην [τινὸς] ἢ ἀργυρώνητον περιτεμεῖς αὐτὸν, καὶ τότε φάγεται ἀπ' αὐτοῦ. ἐν οἰκίᾳ μιᾷ βρωθήσεται, καὶ οὐκ ἐξοίσετε ἐκ τῆς οἰκίας τῶν κρεῶν ἔξω, καὶ ὀστοῦν οὐ συντρίψετε ἀπ' αὐτοῦ. πᾶσα συναγωγὴ Ἰσραὴλ ποιήσεται αὐτό. πᾶς ἀπερίτμητος οὐκ ἔδεται ἀπ' αὐτοῦ· νόμος εἷς ἔσται τῷ ἐγχωρίῳ καὶ τῷ προσηλύτῳ τῷ ἐν ὑμῖν. ἡ μὲν οὖν θεία γραφὴ οὕτω μυστικῶς τὴν ἱερὰν ἑορτὴν παρεθέσπισεν. ἡμεῖς δὲ ἤδη καθ' ἕκαστον ἀκριβώσωμεν τῶν ἀνεγνωσμένων, εὐχαῖς ὑμετέραις ἐρευνῶντες τῶν γραφῶν τὰ κάτω μυστήρια, τὴν μὲν ἀλήθειαν τῶν γεγραμμένων οὐκ ἀναιροῦντες, τὴν δὲ ἀκρίβειαν τῶν μυστηρίων διὰ τῶν τύπων θεωροῦντες. καὶ γὰρ καὶ σκηνὴν τῷ Μωϋσῇ τὸ θεῖον πνεῦμα ἐντέλλεται ποιῆσαι· Ἐξοδ. κϛ μ. Καθὸ δείξω σοί, φησιν, οὕτως αὐτὴν ποιήσεις. τυπικῶς ὁρωμένη ἐστί, καὶ μυστικῶς τῷ κάτω πρωτότυπον καὶ πρωτοτελὲς παράδειγμα νοούμενον. λέγωμεν δὴ πρῶτον, τίς ἐστὶν ὁ μὴν ἀρχὴ τῶν μηνῶν· διὰ τί δὲ οὗτος ὁ τοῦ πάσχα μὴν, ἐστὶ δὲ πρῶτος ἐν τοῖς μησὶ τοῦ ἐνιαυτοῦ· δεύτερον, τί τὸ πρόβατον τῇ δεκάτῃ τοῦ μηνὸς λαμβανόμενον, καὶ τὸ πρόβατον τέλειον, ἄρσεν, ἐνιαύσιον· τίς ὁ γείτων καὶ τίς ὁ πλησίον ὁ παραλαμβανόμενος· διὰ τί δὲ μέχρι τῆς τεσσαρεσκαιδεκάτης συντηρεῖται τὸ πρόβατον, καὶ πρὸς ἑσπέραν θύεται, καὶ σφάζουσιν αὐτὸ πᾶν τὸ πλῆθος συναγωγῆς υἱῶν Ἰσραὴλ πρὸς ἑσπέραν· τί τὸ αἷμα τὸ ἐπὶ τοὺς δύο σταθμοὺς καὶ ἐπὶ τὴν φλιάν· διὰ τί δὲ ἐν νυκτὶ τὰ κρέα ἐσθίουσι, καὶ ταῦτα ὀπτὰ πυρί, οὔτε ὠμόν, οὔτε ἡψημένον ἐν ὕδατι· ἢ τί κεφαλὴν σὺν ποσὶ καὶ τοῖς ἐνδοσθιδίοις· διὰ τί δὲ ὀστοῦν οὐ συντρίβεται, καὶ τίνα τὰ ἄζυμα μετὰ πικρίδων· διὰ τί δὲ μετὰ σπουδῆς ἔδεσθε τὸ πάσχα· τίνες αἱ ὀσφύες αἱ περιεζωσμέναι, καὶ τὰ ὑποδήματα τὰ ἐν τοῖς ποσί, καὶ αἱ βακτηρίαι ἐν ταῖς χερσί· καὶ τί τὸ πάσχα Κυρίου, καὶ τὸ αἷμα σημεῖον ἐπὶ τῶν οἰκιῶν ἐν αἷς ἔσται ἐκεῖ, καὶ ὄψομαι τὸ αἷμα, καὶ σκεπάσω ὑμᾶς, καὶ οὐκ ἔσται ἐν ὑμῖν πληγὴ τοῦ ἐκτρῖψαι, ὅταν παίω ἐν γῇ Αἰγύπτου· διὰ τί δὲ ἑπτὰ ἡμέρας ἄζυμα ἔδεσθε· διὰ τί ὁ μὲν ἀλλογενὴς οὐ βρώσεται· τί δὲ τὸ ἐν οἰκίᾳ μιᾷ βρωθήσεται, καὶ ἔξω ἐκ τῶν κρεῶν οὐκ ἐξοίσετε, καὶ ὀστοῦν οὐ συντρίψετε ἀπ' αὐτοῦ. πᾶς ἀπερίτμητος οὐκ ἔδεται ἀπ' αὐτοῦ· πᾶσα συναγωγὴ ποιήσει αὐτό· τίς ἡ συναγωγή. νόμος εἷς ἔσται τῷ ἐγχωρίῳ καὶ προσελθόντι προσηλύτῳ· εἷς καὶ ὁ αὐτὸς ἐπ' ἀμφοτέρων νόμος. οἱ μὲν οὖν τύποι καὶ τὰ σύμβολα καὶ τὰ μυστήρια, ἐν Ἰσραὴλ μὲν ὁρατῶς γινόμενα, ἐν ἡμῖν δὲ πνευματικῶς τελεσιουργούμενα. μικρὰ δὴ περὶ τύπων διαλεχθέντες, οὕτως ἐπανάγωμεν τὰ τῆς ἀληθείας μυστήρια, τίς μετὰ τὸν νόμον Ἰησοῦ Χριστοῦ ἐπιδημία, διὰ τί δὲ ἦλθε καὶ μετὰ σώματος, τί τὸ πάσχα ὃ ἐπεθύμησε φαγεῖν μεθ' ἡμῶν· διὰ τί δὲ ὁ λόγῳ νεκροὺς ἀναστήσας, οὐχὶ καὶ πάντη τῷ θανάτῳ ἐπετίμησε ζῶν· διὰ τί δὲ καὶ ὅλως ὑπέμεινε θάνατον διὰ ξύλου· τίς ἡ ἄκανθα ἣν ἐστεφανώσατο, ἢ τί τὸ ὄξος ὃ ἔπιε καὶ ἡ χολή, καὶ τίς ἡ ἀνοιγομένη πλευρά, ἐξ ἧς ἔρρευσεν αἷμα καὶ ὕδωρ· διὰ τί εὔχεται παρελθεῖν τὸ ποτήριον ὃ πάντως ἦλθε πιεῖν· τίνες οἱ λῃσταὶ οἱ συγκρεμάμενοι, καὶ τίς ὁ ἐξ ἀμφοτέρων ἐν τῷ παραδείσῳ· διὰ τί τὸ πνεῦμα παρακατατίθεται ἐν ταῖς χερσὶ τοῦ πατρός, τὸ δὲ σῶμα ἐν τῷ καινῷ μνημείῳ· τί τὸ, ἔσῃ μετ' ἐμοῦ ἐν τῷ παραδείσῳ [γινόμενοι] σήμερον· τίς ἡ τριήμερος, ἣν ὑπὸ γῆν ἔμεινε· διὰ τί δὲ πρῶται αὐτὸν ὁρῶσιν αἱ γυναῖκες, καὶ εὐαγγελιζόμενος λέγει, γυναῖκες χαίρετε. ταῦτα ἡμῖν τῆς ἱερᾶς ἑορτῆς τὰ ἐδέσματα, αὕτη ἡ τράπεζα ἡ πνευματική, αὕτη ἡ ἀθάνατος τροφὴ καὶ τρυφή. ἐπισιτισάμενοι δὲ τὸν ἄρτον τὸν ἐκ τῶν οὐρανῶν, καὶ πιόντες τῆς εὐφροσύνης ποτήριον αὐτὸ τὸ ζέον καὶ ἔμπυρον, αἷμα μὲν δὴ ἄνωθεν θερμῷ τυπωθὲν πνεύματι, λόγῳ οὖν ἀναλαβόντες, πρῶτον μὲν τίς νόμος καὶ τίς νόμου οἰκονομία. οὕτω γὰρ γνωσόμεθα ἐκ τῆς παραβολῆς, τίς λόγος καὶ τίς λόγου ἀλήθεια. νόμος ὁ διὰ Μωϋσέως ποικίλων καὶ ἀναγκαίων δογμάτων ἀθροισμός ἐστι, πάντων ἐρανισμὸς κοινωφελὴς τῶν ἐν τῷ βίῳ καλῶν, μίμημα μυστικὸν τῆς ἐν οὐρανῷ πολιτείας, λύχνοι καὶ λυχνίαι, καὶ πῦρ καὶ φῶτα, τῆς ἄνω λαμπαδουχίας τὰ τιμήματα. νόμος ὁ διὰ

ἴσ. -ελυτ
δείξω θω

Μωϋσέως, θεοσεβείας τὸ προτύπωμα, εὐτάκτου πολιτείας τὸ πρόσταγμα, τῆς πρώτης ἁμαρτίας τὸ κώλυμα, τῆς μελλούσης ἀληθείας τὸ αἴνιγμα. νόμος ὁ διὰ Μωϋσέως, Αἰγυπτίας πλάνης τὸ κολαστήριον, δακτύλῳ Θεοῦ καταγραφόμενον. ἄλλως γὰρ ὁ ὑψηλὸς βραχίων ἐτηρεῖτο. νόμος ὁ διὰ Μωϋσέως, εὐσεβείας ἀρχηγὸς, δικαιοσύνης ὁδηγὸς, τυφλῶν φωτισμὸς, ἀφρόνων νηπίων παιδαγωγὸς, ἀγνωμονούντων δεσμὸς, σκληροτραχήλων χαλινὸς, καὶ τῶν ἑτεροζυγούντων ἀνάγκης ζυγός. νόμος ὁ διὰ Μωϋσέως, σοφῶν παιδευτήριον, ἀναγκαίων γυμνάσιον, κοσμικῶν διδασκαλεῖον, δόγμα ἐμπρόθεσμον, παρερχόμενον μυστήριον. νόμος ὁ διὰ Μωϋσέως, τῆς μελλούσης χάριτος συμβολικὴ καὶ αἰνιγματώδης ἐπιτομὴ, ταῖς εἰκόσιν ἀπαγγέλλουσα τὴν τελειότητα τῆς μελλούσης ἀληθείας, ταῖς θυσίαις τὸ ἱερεῖον, τῷ αἵματι τὸ αἷμα, τῷ ἀμνῷ τὸν ἀμνόν, τῇ περιστερᾷ τὴν ἐξ οὐρανῶν περιστεράν, τοῖς βωμοῖς τὸν ἀρχιερέα, τῷ ναῷ τὸ τῆς θεότητος καταγώγιον, ″ τῷ περιβωμίῳ πυρὶ ὅλον ἄνωθεν τοῦ κόσμου τὸ φῶς. νόμος μὲν δὴ ὧδε ἡμῖν μυστικῶς προθεωρείσθω. ἔρχεται δὲ καὶ ἀναγκαίως μετ' Αἴγυπτον νόμος, ὑλομανούσης ψυχῆς καὶ Αἰγυπτιαζούσης καρδίας ἐκκόπτων τὰ ἀόρατα κακὰ μοσχεύματα, τέμνων ἀρότρου δίκην τὰς ἔνδον καὶ δασείας ἀκάνθας τῶν λογισμῶν, καὶ αὐλακηδὸν τὰ τῆς ψυχῆς βάθη προσοδοποιῶν, καὶ νεάζων τὴν ψυχὴν εἰς ὑποδοχὴν τοῦ οὐρανίου θείου λόγου. διὸ εἰκότως τὸ θεῖον πνεῦμα βοᾷ· Νεώσατε ἑαυτοῖς νεώματα, καὶ μὴ σπείρετε ἐπ' ἀκάνθαις. διὸ δὴ καὶ τὸ πάσχα μυστικῶς πρῶτον ἐξ Αἰγύπτου ἄρχεται, τῆς σκοτεινῆς εἰδωλολατρείας ἡ πρώτη ἐκκοπή, καὶ τῆς ἀθέου εἰδωλομανίας ἡ μυστικὴ ἀποτομή, καὶ τῶν τῆς πλάνης πρωτοτόκων σπερμάτων ἡ νυκτερινὴ ἔνδικος πληγή. ἔπασχε μὲν οὖν καὶ Αἴγυπτος ὁμολογουμένως τὴν τῶν πρωτοτόκων πληγήν, καὶ πᾶς ὃς ἐγεννήθη ἀπέθνησκε δῆμος· ἵν' ὁ μὲν σκληροτράχηλος Φαραὼ καὶ οὕτω βραδέως παιδευθῇ, ταῖς πρώταις ἐπιταγαῖς μὴ παιδευόμενος· ὁ δὲ Ἰσραὴλ καὶ οὕτω παραδόξως σωθῇ, καὶ ὁ Θεὸς ἐν πᾶσι δοξασθῇ. Αἰγύπτου μὲν τὸ πλῆθος ἐν πληγῇ, τῷ δὲ Ἰσραὴλ τὸ πάσχα ἐν ἑορτῇ· διὸ καὶ ὀνομάζεται τὸ πάσχα ἐν ἑορτῇ Κυρίου· πολλὰ καὶ ἱερὰ τῆς μελλούσης Θεοῦ φιλανθρωπίας μυστήρια. ἔχει γὰρ ὧδε πᾶς ὁ περὶ τούτων λόγος. Αἴγυπτος μὲν ἡ πολλὴ καὶ μεγάλη τῆς σκοτεινῆς καὶ βαθείας πλάνης ἐστὶν εἰκών. ἐκεῖθεν γὰρ τὰ πρῶτα τῆς ἀπάτης ῥεύματα, μόσχοι καὶ ἰχθύες, θηρία καὶ ὄρνιθες, καὶ πάντα τὰ τοιαῦτα ζῶα θεοποιούμενα καὶ θεολογούμενα. ὅταν δὲ ἡ ἐξ οὐρανῶν ἔνδικος ὀργὴ ἀποκαλυφθῇ, καὶ ὁ μέγας θυμὸς ἐπὶ πᾶσαν γῆν ἐφαπλωθῇ, τότε πρῶτον ἡ δεισιδαίμων καὶ εἰδωλομανὴς πλάνη καταργηθήσεται. ἐν γὰρ πᾶσι, φησι, θεοῖς Αἰγυπτίων ποιήσω τὴν ἐκδίκησιν· ἐγὼ Κύριος. εἰς δὲ τὰ πρωτότοκα πάντα ἡ πληγή, ἐπειδὴ τὰ πρεσβύτερα τῶν χρόνων ἐκδικοῦντες ἑαυτοῖς, πρεσβύτερα πάντων ἔχον καὶ τὰ τῆς εἰδωλολατρείας δουλεύματα. σκοτεινὴ δὲ καὶ κατὰ νύκτα ἡ πληγή. σκοτεινὰ γὰρ καὶ σκυθρωπὰ καὶ ἀμειδῆ καὶ ἀφεγγῆ καὶ ἀνήμερα καὶ σκοτεινῶν ἔργων καὶ δαιμόνων τὰ δικαστήρια. Δώσω γάρ, φησι, τέρατα ἐν τῷ οὐρανῷ ἄνω, καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω, αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ· καὶ ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ. Ινα τί ὑμῖν αὕτη ἡ ἡμέρα Κυρίου, καὶ αὐτὴ ἐστὶ σκότος καὶ οὐ φῶς; ὃν τρόπον γὰρ ἐὰν φύγῃ ἀνὴρ ἀπὸ προσώπου λέοντος, καὶ συναντήσῃ αὐτῷ ἄρκτος, καὶ εἰσέλθῃ εἰς τὴν οἰκίαν, καὶ ἀπερείσηται τὴν χεῖρα αὐτοῦ εἰς τὸν τοῖχον, καὶ δάκῃ αὐτὸν ὄφις, οὕτως ἔσται ἡ ἡμέρα Κυρίου σκότος, καὶ οὐκ ἔστι φέγγος ἐν αὐτῇ. τὸ δὲ αἷμα εἰς σημεῖον τῆς Χριστοῦ σφραγῖδος, τὸ ἐμὸν μυστήριον· σημεῖον δὲ οὐ τὸ τότε ἀληθές, ἀλλὰ μελλούσης ἀληθείας τὸ σημεῖον. ὅσοι γὰρ ἔχουσι τὸ σημεῖον τὸ δι' αἵματος ἐπὶ τῶν ψυχῶν, ὡς ἐπὶ τῶν οἰκιῶν τετυπωμένον νόμον καὶ κεχρισμένον, τούτους ἀπολιμπάνει ἡ ὀλοθρεύουσα πληγὴ παρελεύσεται. ἐν αἷς ἐάν, φησιν, οἰκίαις ὄψομαι τὸ αἷμα, καὶ σκεπάσω ὑμᾶς, καὶ οὐκ ἔσται ἐν ὑμῖν πληγὴ τοῦ ἐκτρίψαι, ὅταν παίω ἐν γῇ Αἰγύπτου. τὸ μὲν οὖν αἷμα, ὡς σημεῖον φυλακτήριον

ἴσ. τῷ ἐπιβωμίῳ πυ.

Ιερ. δ. δ.

Ιωηλ. β. λ.

Αμως. ε. ιη.

τῆ

τὸ δὲ ἐν ταῖς οἰκίαις, ὡς ἐν ταῖς ψυχαῖς. τοῦτο γάρ ἐστι τὸ ἐκ τοῦ θείου πνεύματος τὸ ἐκ πίστεως ἱεροπρεπὲς οἰκητήριον. τὸ δὲ σκεπάζουσι τοὺς πιστεύοντας. τὸ μὲν δὲ κοσμικὸν καὶ καθόλου πάσχα τοιόνδε ἐστὶ μυστήριον. ἄκουε δὲ καὶ κατὰ μέρος, ὡς δυνατόν ἐστιν ἡμῖν θείαν τελετὴν διηγουμένοις. τὸ μὲν γὰρ ἀληθὲς ὅπως ἔχει περὶ τούτων, Θεὸς, καὶ τὸ ἱερὸν πάσχα ἐν ἑαυτῷ καὶ δι' ἑαυτοῦ κοσμήσας οἶδε λόγος· ἡμῖν δὲ ὡς ἀνθρώποις συγγνώμη δεδόσθω, ἐὰν ἄρα ὅπῃ τοῦ παντὸς καὶ διασφαλώμεθα. λέγωμεν δὲ, ἄνωθεν ἀναλαβόντες, πρῶτον μὲν ὧδε· ὁ μὴν ἀρχὴ μηνῶν. καὶ διὰ τί ὁ τοῦ πάσχα μὴν πρῶτός ἐστιν ἐν τοῖς μησὶ τοῦ ἐνιαυτοῦ; ὁ μὲν οὖν ἀπόρρητος Ἑβραίων λόγος τοῦτόν φησι τὸν καιρὸν εἶναι, ἐν ᾧ ὁ τῶν καιρῶν κύριος καὶ δημιουργὸς Θεὸς τό τε ἐδημιούργησε τὸ πᾶν· καὶ τοῦτο εἶναι τῆς κτίσεως τὸ πρῶτον ἄνθος, τοῦ κόσμου τὸ κάλλος, ὅτε τὸ πανδαίδαλον ἄγαλμα κατὰ νοῦ αὐτὸς ὁ δημιουργὸς ἐμμελῶς εἶδε κινούμενον, καὶ τεκμηρούμενον ταῖς τῶν οὐρανῶν εὐταξίαις, καὶ ὡρῶν εὐκρασίαις, καὶ ἡλίου εὐνομίαις, φωτός τε μηκέτι μειουμένου ἀνατολαῖς, καὶ μὴν καρπῶν ἐκβολαῖς, φυτῶν ὁρμαῖς, καὶ δένδρων εὐανθέσιν ἀναδρομαῖς, καὶ ποιμνίων ἤδη τικτομέναις γοναῖς· ὅτε χλοηφορεῖ ἤδη πᾶσα ἡ γῆ, ἀνθηκομεῖ δὲ δένδρα ἐξεπιγόνοις εἰς ἐκβολὴν ὠδίνοντα καρπούς, ὅτε ζυγοὺς ἐξ ἀρότρου λύσας γεωργὸς ἀνέπαυσεν ἅρμα μυκώμενον, καὶ τοὺς θείους ἐπὶ γῆς καταβαλὼν καρποὺς, τὰς οὐρανίους ἄνωθεν ἐκδέχεται πηγάς· ὅτε λευκὸν ἤδη ποιμὴν ἀμέλγει γάλα· ὅτε ἡ μέλιττα ποιεῖ τοὺς γλυκεῖς μηνίους πλάττουσα κηρούς· ὅτε ναυτικὸς ἤδη χαροπῆς θαλάσσης καταθαρσύνεται καὶ φιλοκερδέσι τέχναις γλαυκοῦ κατατολμᾷ κύματος. τὴν δὲ ἤδη τῶν ὅλων εὐγνωμονίαν, καὶ τὴν τοῦ παντὸς εὐταξίαν, καὶ ὡς ἂν εἴποι τις εὐδοκίαν ταύτην εἶναι τὴν πρώτην ἀπαρχὴν, τὴν γλυκεῖαν ἔαρος ἡδονήν. ἐγὼ μὲν οὖν οὐδὲ τούτοις τοῖς λεγομένοις ἀπιστῶ· νομίζω δὲ, καὶ μᾶλλον πεπίστευκα, διὰ τὴν τοῦ πάσχα πνευματικὴν ἑορτὴν, ἀρχὴν καὶ κεφαλὴν, καὶ πρώτην ἡγεμονίαν ἁπάντων τοῦ χρόνου νενομίσθαι τόνδε τὸν μῆνα τοῦ πάσχα, ἐν ᾧ τὸ μέγα τοῦτο τελεσιουργεῖται καὶ ἱερουργεῖται μυστήριον· ἵν' ὡς ὁ Κύριος τῶν πάντων νοητῶν τε καὶ ἀοράτων πρωτογονός ἐστι καὶ πρωτότοκος ἀπ' ἀρχῆς, οὕτω καὶ ὅδε ὁ μὴν, ὁ τὴν ἱερὰν τετιμημένος τελετὴν, πρῶτος γένηται τοῦ ἐνιαυτοῦ, καὶ παντὸς αἰῶνος ἀρχή. ἐνιαυτὸς δὲ οὗτος, ὃν ἡ θεία γραφὴ βοᾷ, Κηρύξαι ἐνιαυτὸν Κυρίου δεκτόν. πρόβατον, τὸ θῦμα τὸ ἱερόν. Αὐτὸς ὡς πρόβατον γάρ, φησιν, ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος. καὶ Ἰωάννης, Ἰδοὺ ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. τέλειον δὲ τὸ πρόβατον καὶ ἐνιαύσιον· τέλειον δὲ ὡς ἐν γῇ. ἐνιαυτὸς χρόνου μέτρον ἐν γῇ ἑαυτὸν ἐπιλαμβανομένων, καὶ εἰς ἑαυτὸν ἀνακυκλούμενος, καὶ τῇ εἰς ἑαυτὸν περιόδῳ περιφορᾷ τὸν ἀμέτρητον αἰῶνα μιμούμενος. λαμβάνεται δὲ τῇ δεκάτῃ τοῦ μηνὸς, καὶ πάνυ συμβολικώτατα. διάστημα γὰρ εὐαγγελίου, νόμος. νόμου γὰρ τὸ κορυφαιότατον δόγμα, ἡ δεκάλογος· μετὰ δὲ τὰς δέκα τοῦ νόμου ἐντολὰς, τότε τὸ πρόβατον ἔρχεται τὸ μυστικὸν τὸ ἐκ τῶν οὐρανῶν. τηρεῖται δὲ τὰς διὰ μέσου ἡμέρας, αἰνιττόμενον τῇ γραφῇ ἐν μέσῳ τοῦ χρόνου μέχρι τοῦ πάθους ἐν τῇ τοῦ σώματος ἐπιδημίᾳ τοῦ πάσχα καὶ τὴν σύλληψιν, ἣν ἐν τοῖς τοῦ ἀρχιερέως συλληφθεὶς ἐτηρεῖτο. ὁ δὲ προσλαμβανόμενος εἰς τὸ πρόβατον ὁ πλησίον εἰμὶ γείτων ἐγώ. ἀπὸ σοῦ γὰρ, ὦ Ἰσραὴλ, τὸ πρόβατον οὐκ ἐχωρήθη. εἶτα δὲ τὸ πρόβατον πρὸς ἑσπέραν θύεται. καὶ γὰρ ἐπὶ δυσμαῖς τοῦ ἡλίου καὶ ὁ ἱερὸς ἀμνὸς φονεύεται. σφάζουσι δὲ αὐτὸ πᾶν τὸ πλῆθος συναγωγῆς υἱῶν Ἰσραήλ. ὁ ἄπιστος γὰρ Ἰσραὴλ ἔνοχος γέγονεν ἐκείνου τοῦ τιμίου αἵματος. ὁ μὲν γὰρ πάλαι φονεύων, ὁ δὲ μέχρι νῦν ἀπιστῶν. διὸ καταμαρτυρεῖται αὐτῶν τὸ θεῖον πνεῦμα καὶ βοᾷ λέγον, Αἱ χεῖρες ὑμῶν αἵματος πλήρεις. τὸ δὲ αἷμα ἐπὶ τὴν φλιὰν, ὡς ἐπὶ τὴν ἐκκλησίαν· καὶ ἐπὶ τῶν δύο σταθμῶν, ὡς ἐπὶ τῶν δύο λαῶν. οὐ γὰρ ἄρ' ἔσται ὁ σωτὴρ πρὸς σὲ πρῶτον, ὦ Ἰσραὴλ, ἀπεσταλμένος. Οὐ γὰρ ἀπεστάλην, φησὶ, πρὸς ὑμᾶς, ἀλλὰ πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. ἐγὼ δὲ ὡς κυνίδιοι ἀλλοτρίας τραπέζης παρεκαθεζόμην

* *
— ~

Λουκ. δ. ιθ.
Πρξ. η. λβ.
Ἰωάν. α. κθ.
Ἡσ. α. ιε.
Ματθ. ιε. κδ.

ἴσ. περιόδῳ καὶ περι

θιζόμενον, τὸν μὲν ἄρτον μήπω φαγεῖν δυνάμενος, τὰς δὲ ψίχας τὰς ἐκπιπτούσας ἀναλέγων,
παρεστῶτος ἀλλοτρίας τραπέζης. ἐπεὶ δὲ οὐκ ἔγνως τὸ μάννα τὸ ἐκ τῶν οὐρανῶν, εἰς ἐμὲ ὁ
ἄρτος διὰ τῆς πίστεως μετετέθη, καὶ ὁ ἀρτὶ κυνὸς υἱὸς ἤδη γινόμενος σὺν υἱοῖς τὰ κρέα ἐσθίει.
ἐὰν γὰρ τὸ τοῦ κόσμου φῶς ἐπὶ τῷ μεγάλῳ σώματι τοῦ Χριστοῦ. λάβετε, φάγετε, τοῦτό * *
μού ἐστι τὸ σῶμα. τὰ δὲ κρέα ὀπτὰ πυρί. ἔμπυρον γὰρ λογικὸν σῶμα τοῦ Χριστοῦ. Πῦρ
ἦλθον βαλεῖν εἰς τὴν γῆν, καὶ τί θέλω εἰ ἤδη ἀνήφθη; οὐκ ὠμὸν τὸ κρέας ἵνα εὐκατέργαστος Λυκ. ιϐ. μθ.
ᾖ ὁ λόγος καὶ εὐπρόσφορος καὶ εὐπαράδεκτος· οὐδὲ ἐν ὕδατι ἡψημένον, ἵνα μὴ ὑγρὸς ᾖ,
μηδὲ ὑδατώδης ὁ λόγος, μηδὲ ἐκλελυμένος. κεφαλὴ σὺν τοῖς ποσὶ καὶ τοῖς ἐντοσθίοις. ἀρχὴ
καὶ μεσότης ὡς ἀόρατος βουλή, πόδες ὡς ἄνθρωπος. κεφαλὴ σὺν τοῖς ποσὶ καὶ τοῖς ἐντοσθίοις,
ἀρχὴ καὶ μεσότης καὶ τέλος, πάντα συνέχων καὶ συσφίγγων καὶ συγκολλῶν ἐν ἑαυτῷ ἀλύτοις
δεσμοῖς, γινόμενος ἀληθῶς μεσίτης Θεοῦ καὶ ἀνθρώπων. κεφαλὴ σὺν τοῖς ποσὶ καὶ τοῖς
ἐντοσθίοις. ὕψη καὶ βάθη καὶ πλάτη καὶ γῆς καταρριζώματα. κεφαλὴ σὺν τοῖς ποσὶ καὶ τοῖς
ἐντοσθίοις. νόμος καὶ λόγος ὡς βουλή. Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων τὰ ἀγαθά; Ησ. νϐ. ζ.
ὀστέον δὲ οὐ συντρίβεται ἀπ' αὐτοῦ, ἵνα γνωσθῇ ἡ ἀνάστασις ἡ μετὰ σώματος. Βάλε γάρ, Ιωαν. κ. κζ.
φησι, τοὺς δακτύλους σου εἰς τοὺς τῶν ἥλων τύπους, ἵνα γνῷς· Ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ Λυκ. κδ. λθ.
ἔχει. ἄζυμα μετὰ πικρίδων ἔδεσθε. πικρὰ γάρ σοι ἡ πικρῶν ἔργων τὰ μυστήρια. ἡ γῆ
ὑμῶν ἔρημος, αἱ πόλεις ὑμῶν πυρίκαυστοι, τὴν χώραν ὑμῶν ἀλλότριοι ἐνώπιον ὑμῶν κατεσθίουσι,
καὶ ἠρήμωται κατεστραμμένη ὑπὸ λαῶν ἀλλοτρίων. ἔδεσθε μετὰ σπουδῆς τὸ πάσχα.
ἐγρηγορέναι γὰρ καὶ ἐπιπεφυκέναι δεῖ ἅπαντα τοὺς μέλλοντας προσιέναι τῷ μεγάλῳ σώματι.
αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι. παυσάσθωσαν αἱ διὰ γαμέσεως πηγαὶ λελυμέναι σαρκῶν
περιπλοκαί, καὶ αἱ ῥυπαρώδεις ἡδοναί. τὰ ὑποδήματα ὑμῶν ἐν τοῖς ποσίν. ὀρθοτομοῦσαι
βάσεις, στηρίγματα ἀχώλευτα. ἀληθείας γὰρ ῥιζώματα. τὰ ὑποδήματα ὑμῶν ἐν
τοῖς ποσὶν ὑμῶν. ἃ Μωϋσῆς μὲν ὑπελύσατο, Ἰησοῦς δὲ ὑπεδήσατο. λῦσαι γάρ, φησι,
τὸ ὑπόδημα τῶν ποδῶν σου, ἵνα τὸ παρερχόμενον τοῦ νόμου δηλωθῇ. Οὗ οὐκ εἰμὶ ἱκανὸς τὸν Μαρκ. α. ζ.
ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ λῦσαι· ἵνα τὸ πάντοθεν περιεσφιγμένον τοῦ λόγου μηνυθῇ.
αἱ βακτηρίαι ὑμῶν ἐν ταῖς χερσὶν ὑμῶν. τῆς θείας δυνάμεως τὰ σημεῖα, τῆς λογικῆς ἰσχύος
τὰ ἐρείσματα. ῥάβδος ἡ διὰ Μωϋσέως, ῥάβδος ἡ δι' Ἀαρὼν, ῥάβδος ἡ καρυΐνη, ῥάβδος ἡ τέμνουσα
βάθη θαλάσσης, ἡ γλυκάνασα πικρίας πηγῶν· ῥάβδος ἐφ' ἣν τὰ ἑπτὰ πνεύματα
τὰ ἅγια ἀνεπαύσατο τοῦ Θεοῦ· Πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, Ησ. ια. ϐ.
πνεῦμα φόβου Θεοῦ ἐμπλήσει αὐτόν. τόδε πάσχα, πάσχα Κυρίου, ἐξεβόησε τὸ πνεῦμα·
ὅτι πάσχα οὐ τύπος, οὐχ ἱστορία, οὐ σκιά, ἀλλὰ πάσχα ἀληθῶς Κυρίου. τὸ δὲ αἷμα εἰς
σημεῖον, σημεῖον δὲ τῆς μελλούσης ἀληθείας, τοῦ ἀληθινοῦ πνεύματος τὸ προτύπωμα, τὸ
μίμημα τοῦ μεγάλου χρίσματος. καὶ ὄψομαι τὸ αἷμα, καὶ σκεπάσω ὑμᾶς. ἐσκέπασας ἀληθῶς,
Ἰησοῦ, ἀπὸ τῆς πολλῆς ἀπωλείας, καὶ χεῖρας ἐξέτεινας πατρικάς· ἐκάλυψας ἡμᾶς
ἐν τοῖς τῶν πτερύγων σου τῶν πατρικῶν, αἷμα θεῖον ἐπὶ γῆς πηγάσας ταῖς ἐναίμοις σου καὶ φιλανθρώποις
σου σπονδαῖς· καὶ τὰς τῆς ὀργῆς περιήγαγες ἀφ' ἡμῶν ἀπειλάς, καὶ τὰς παρ' αὐτοῦ
ἡμῖν ἄνωθεν ἀνταπέδωκας διαλλαγάς. ἐκεῖνοι μὲν οὖν ἄζυμα ἐσθιέτωσαν ἑπτὰ ἡμέρας,
τὴν ἑβδομαδικὴν ἐπὶ τοῦ κόσμου μετρῶντες περίοδον, καὶ τὴν ἐπίγειον ἐπὶ γῆς ἕτοιμοι ἐσθίοντες
τρυφήν· ἡμῶν δὲ τὸ πάσχα τέθυται Χριστός, καὶ τὸ νέον φύραμα τῆς ἱερᾶς αὐτοῦ συγκράσεως
ἀπειλήφαμεν, ὅλοι δυνάμει κρείττονι ἀναζυμωθέντες καὶ ἀναφυραθέντες αὐτοῦ τῷ
πνεύματι. ἐγὼ μὲν γὰρ αὐτὴν τὴν βασιλείαν τῶν οὐρανῶν τῇ κεκρυμμένῃ ζύμῃ ἀναζυμώσασαν
ἀναλόγως τρία μέτρα τῆς σεμιδάλεως. διὰ τοῦτο ἀπὸ τούτου τὸ πάσχα. ὁ μὲν
ἀλλογενὴς οὐ βρώσεται. οὐ γὰρ βάλλω τοὺς μαργαρίτας τοῖς χοίροις, οὐ δίδωμι τὸ ἅγιον τοῖς
κυσίν. ὁ δὲ πάλαι δουλεύων ἐν ἁμαρτίαις, τὴν καρδίαν περιτμηθήσεται, καὶ τῆς πικρᾶς

δουλείας ἀπαλλαγεὶς οὕτω μετ' εὐθυμίας τῷ μυστηρίῳ προσελεύσεται· καὶ τότε μετ' ἐλευθερίας
τὸ πάσχα βρώσεται ἐλευθερίως. Χριστὸς γὰρ ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς δουλείας καὶ
κατάρας, κατάρα γενόμενος ὑπὲρ ἡμῶν. ἐν οἰκίᾳ μιᾷ βρωθήσεται, καὶ ἔξω τῆς κρέα οὐκ
ἐξοίσετε. μία γάρ ἐστιν ἡ συναγωγὴ, καὶ μία ἐστὶν ἡ οἰκία· τουτέστιν, ἡ μία ἐκκλησία, ἐν ᾗ
τὸ ἱερὸν σῶμα τοῦ Χριστοῦ ἐσθίεται· καὶ διὰ τοῦτο ἔξω τῆς μιᾶς οἰκίας ἐκκλησίας τὰ κρέα
οὐκ ἐκβληθήσεται. ὁ δὲ ἀλλαχοῦ ἐσθίων, ὡς ἀσεβὴς καὶ κλέπτης κολασθήσεται. νόμος εἷς
ἔσται τῷ ἐλευθέρῳ καὶ προσηλύτῳ. ὅπου Χριστὸς ἐλευθερία πάντων, ἰσηγορία, ἰσονομία,
ἰσοτιμία. τιμίῳ πάντες ἠγοράσθησαν αἵματι. διὰ τοῦτο οὐκέτι εἶ δοῦλος, οὐκέτι
Ἰουδαῖος, ἀλλ' ἐλεύθερος. πάντες γὰρ ἐν Χριστῷ γεγόναμεν ἐλεύθεροι. ἄκουε μὲν γὰρ δή· ἄκουε,
μετὰ τοὺς τύπους καὶ τὴν νομικὴν οἰκονομίαν, τίς καὶ πόση ἡ μετὰ τὴν τοῦ Χριστοῦ ἐπιδημίαν
ἐπὶ γῆν. τίς ἡ Χριστοῦ ἐπιδημία; δουλείας ἀποφυγὴ, παλαιᾶς ἀνάγκης ἀπαλλαγὴ,
υἱοθεσίας τιμὴ, ἀφέσεως ἁμαρτημάτων πηγὴ, ἀθάνατος ἀληθῶς ἐν πᾶσι ζωή. ὁρῶν ἡμᾶς
ἄνωθεν ὑπὸ τοῦ θανάτου τυραννουμένους, καὶ δεσμοῖς φθορᾶς λυομένους ὁμοῦ καὶ δεσμουμένους,
ῥέοντας εἰς τὴν ἀναγκαίαν καὶ ἀνυπόστροφον ὁδὸν, ἐλθὼν καὶ λαβὼν τοῦ πρώτου πλάσματος
ἐν βουλαῖς πατρικαῖς, οὐκ ἀγγέλοις, οὐκ ἀρχαγγέλοις τὴν ὑπὲρ ἡμῶν λειτουργίαν
ἐνεχείρισεν, ἀλλ' αὐτὸς ὁ λόγος ὅλον τὸν ἀγῶνα τὸν ὑπὲρ ἡμῶν ἀνεδέξατο, πειθόμενος
ταῖς πατρῴαις ἐντολαῖς. ἀπρόσιτος δὲ ὢν τοῖς ὅλοις ἀκράτου θείου πνεύματος, ἵνα μὴ
πάντας συμπαθῆ ταῖς ἀμιγέσι τοῦ πνεύματος ἐμβολαῖς, αὐτὸς ἑκὼν ἑαυτὸν συναθροίσας
καὶ συναγαγὼν, τοσοῦτος ἦλθεν, ὅσος ἠθέλησεν, οὐ μειούμενος ἐν ἑαυτῷ, οὐδὲ ἐλαττούμενος,
οὐδὲ τῇ δόξῃ δαπανούμενος, δυνάμεως δὲ πατρῴας ὑπερβολῇ ὃ μὲν εἶχεν, οὐκ ἀπολέσει,
ὃ δὲ οὐκ εἶχε, προσλαμβάνων. τοσοῦτος ἦλθεν, ὅσος ἤμελλε χωρεῖσθαι. ἐπεὶ δὲ ἔδει
καὶ δοχεῖον γενέσθαι τοῦ θείου πνεύματος, ἵνα τὸ πρῶτον τῆς ἀνθρωπίνης φύσεώς τε καὶ οὐσίας
μετάσχωσι, διυλίσας καὶ συναριθμήσας, τὸ μὲν ὅσον περιττὸν ἦν καὶ θολερὸν ἀποβράσας καὶ
ἀποχωρήσας, τὸ δὲ ὅσον καθαρὸν καὶ διαυγὲς καὶ εἰλικρινὲς περιλάμψας καὶ περιαστράψας καὶ
περιαυγάσας καὶ πυρώσας καὶ παστώσας καὶ παρθενώσας, καὶ, ὡς εἰπεῖν, ἐξαγγελώσας, εἰς τὴν ἀνθρωπίνην
εἰκόνα σωματικῶς ἐμορφώθη, πνευματικὴν μὲν ἔχων τὴν ἀνατολὴν, σωματικὴν
Ζαχ. ϛ. ιϐ. δὲ προσλαμβάνων τὴν μόρφωσιν. διὸ καὶ μυστικώτατα αὐτὸν ἡ γραφὴ ἐπεσημειώσατο. Ἰδοὺ
γάρ, φησιν, ἀνὴρ, ἀνατολὴ ὄνομα αὐτῷ· ἀνατολὴ μὲν ὡς ἐν πνεύματι, ἀνὴρ δὲ ὡς ἐν σώματι.
Λουκ. α. λε. Πνεῦμα γὰρ Κυρίου ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον
ἅγιον κληθήσεται υἱὸς ὑψίστου. παραδόξου δὲ καὶ θείας οὔσης τῆς γενέσεως εἰκότως
Ἡσ. νγ. η. καὶ τὸ πνεῦμα τεθαύμακε λέγον· Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; τεσσάρων δὲ ὄντων τῶν
τῆς θεότητος ἡγεμονικῶν ὀνομάτων, δι' ὧν μάλιστα τὸ θεῖον πνεῦμα πιστεύεται, κυριότητος καὶ
θεότητος, υἱότητος καὶ βασιλείας αἰωνίου, ὁρᾷς, μὴ μόνον ταύτας τὰς ἀρετὰς καὶ δόξας λαβεῖν
Ψαλμ. ρθ. α. ἐτιμήθη. καὶ πρῶτον γε ὅρα αὐτὸν τὸν Κύριον. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου
ἐκ δεξιῶν μου. ὁρᾷς αὐτὸν τὰ παρὰ τοῦ Κυρίου τὸν Κύριον; ὅρα καὶ τὸν υἱὸν αὐτοῦ. Αὐτός
Ψαλμ. ϐ. ζ. με ἐπικαλέσεται πατέρα, κἀγὼ θήσομαι αὐτὸν πρωτότοκον· καὶ, Υἱός μου εἶ σὺ, ἐγὼ
σήμερον γεγέννηκά σε· αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου. ὁρᾷς
Ἡσ. με. ιδ. αὐτὸν υἱὸν καὶ πρωτότοκον καὶ μονογενῆ; ὅρα καὶ τὸν Θεόν. Ἄνδρες ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται,
καὶ ἐν σοὶ προσεύξονται, καὶ ἐν σοὶ προσκυνήσουσι, καὶ ἀκολουθήσουσιν ἐν χειροπέδαις
δεδεμένοι. σὺ γὰρ εἶ ὁ Θεὸς, ὅτι ἐν σοὶ ὁ Θεός ἐστιν. εἶδες αὐτὸν τὸν Θεόν· ἴδε αὐτὸν καὶ
Ψαλμ. μδ. ζ. τὸν βασιλέα αἰώνιον. Ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ῥάβδος εὐθύτητος
ἡ ῥάβδος τῆς βασιλείας σου. ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀδικίαν. διὰ τοῦτο ἔχρισέ
σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. ἑώρακας αὐτὸν τὸν
Ψαλμ. κγ. ζ. βασιλέα· ὅρα μετὰ τοῦ βασιλέως καὶ τὸν τῶν δυνάμεων Κύριον. Ἄρατε πύλας οἱ ἄρ-

χοντες

γοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. τίς ἐστιν
οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος τῶν δυνάμεων αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης. ὁρᾷς αὐτὸν
μετὰ τοῦ βασιλέως καὶ τὸν τῶν δυνάμεων Κύριον. ἴδε ἐκ περιόντων αὐτοῦ καὶ τὸν ἀρχιερέα
αἰώνιον. Ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα. εἰ δὲ Ψαλ. ρθ. δ.
καὶ Κύριος, καὶ Θεός, καὶ υἱός, καὶ βασιλεύς, καὶ Κύριος τῶν δυνάμεων, καὶ ἀρχιερεὺς
αἰώνιος· ὅτι θέλει, καὶ ἄνθρωπός ἐστι. καὶ τίς γνώσεται αὐτόν; τὸ δὲ καὶ ἄνθρωπος δηλονότι
καὶ προϋπαρχόντως ὅτι καὶ Θεός. καὶ ἵνα μὴ κατὰ τὰς τῶν ἀνθρώπων δόξας αὐτόματον
καὶ χωρὶς γενέσεως φάσμα ἢ πνεῦμα τῇ γῇ ἐπιδεδημηκέναι δόξῃ, ἄκουε αὐτοῦ καὶ τὸ
παιδίον γενόμενον. Ἀκούσατε δὴ οἶκος Δαβίδ· μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις, Ησ. ζ. ιγ.
καὶ πῶς Κυρίῳ παρέχετε ἀγῶνα; διὰ τοῦτο δίδωσι Κύριος αὐτὸς ὑμῖν σημεῖον· ἰδοὺ
ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Εμμανουήλ. Καὶ θελήσουσιν, Ησ. θ. ς.
εἰ ἐγένοντο πυρίκαυστοι. Διότι παιδίον ἐγεννήθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ,
καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς σύμβουλος, Θεὸς ἐξουσιαστής,
ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος. Θεὸς μὲν δὴ καὶ ἄνθρωπος οὗτος ὁ μέγας
Ιησοῦς ἐπεδήμησεν ἡμῖν· ἀπιστείτω μηδείς· ἡγεμονικὸν ἐχωρήθη ὑπὸ ἀνθρώπου σώματος.
καὶ γὰρ τὴν πρώτην τοῦ πατρὸς πνοὴν τὴν μυστικὴν ἐχώρησεν Ἀδὰμ ἐν τῇ γῇ καὶ πηλὸς ὤν.
οὐ γὰρ βλάπτεται τὸ θεῖον πνεῦμα τῷ σώματι βουλῇ Θεοῦ ζωοῦσθαι. εἰ δὲ ὁ πρῶτος χοῦς τὸ ἱερὸν
ἐχώρει πνεῦμα, ἐμψυχωμένον σῶμα τὴν ἀθάνατον Χριστοῦ ἐχώρησε ζωήν. εἰ μὲν οὖν πνεῦμα μόνον
ἐπεδήμησε τῇ ἁμαρτίᾳ καὶ τῷ θανάτῳ δεδουλωμένοις, περιττὴ ἂν ἦν οὕτως ἡ μεγάλη τοῦ σώματος
ἐπιδημία, μήτε τῆς ἁμαρτίας, μήτε τοῦ θανάτου νενικημένου. ἔδει δὲ καὶ τὴν ἁμαρτίαν
ἀναιρεθῆναι. καὶ διὰ τοῦτο αὐτὸς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ δόλος εὑρέθη ἐν τῷ σώματι
αὐτοῦ. αὐτὸς οὖν τὸ πρῶτον ἐκεῖνο τὸ χλωρὸν καὶ νεκρὸν ἐνεδύσατο σῶμα. διὸ καὶ βοᾷ περὶ
αὐτοῦ τὸ πνεῦμα, Οὐκ ἔστιν εἶδος αὐτῷ, οὐδὲ δόξα· καὶ εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος, Ησ. νγ. β.
οὐδὲ κάλλος· ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Ἐν γὰρ Ρωμ. η. γ.
ὁμοιώματι τῆς σαρκὸς ἁμαρτίας χωρὶς ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν, δείξας ὅτι οὐ
χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. ἐθεράπευσεν οὖν καὶ πάντα
ἡμῶν τὰ σώματα τῶν ἀρρωστημάτων, καὶ τὰ κατὰ μέρος τῶν νοσημάτων ἐξουσίᾳ δυνάμεως
ἰάσατο, ἵνα πληρωθῇ, Ἐγὼ Κύριος ὁ Θεὸς ἐκάλεσά σε ἐν δικαιοσύνῃ. κρατήσω τῆς χειρὸς Ησ μβ. ς.
τῆς δεξιᾶς σου, καὶ ἐνισχύσω σε εἰς διαθήκην γένους μου εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς
τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν πεπεδημένους ἐν σκότει. ἐγὼ Κύριος ὁ Θεός, τοῦτό μου
ὄνομα· ἀκούσατε κωφοὶ λόγους βιβλίου, καὶ τοῖς καθημένοις ἐν σκότει φῶς ἀνέτειλε. τότε
ἁλεῖται χωλός, ὡς ἔλαφος, καὶ τρανὴ δὲ ἔσται γλῶσσα μογιλάλων. ἐπειδὴ δὲ κατὰ μέρος τὰ
τῆς κακίας ᾑρέθη, ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος εἰς νῖκος· ποῦ σου, θάνατε, τὸ κέντρον;
τοῦτο ἦν τὸ πάσχα, ὃ ἐπεθύμησεν ὑπὲρ ἡμῶν ὁ Ιησοῦς παθεῖν. πάθει πάθους ἠλευθέρωσε, καὶ θανάτῳ
θάνατον ἐνίκησε, καὶ διὰ τῆς βλεπομένης τροφῆς τὴν ἀθάνατον ζωὴν αὐτοῖς ἐχορήγησεν.
αὕτη ἡ σωτήριος ἐπιθυμία τοῦ Ιησοῦ· οὗτος ὁ ἔρως ὁ πνευματικώτατος, δεῖξαι μὲν τοὺς
τύπους, ὡς τύπους, τὸ δὲ ἱερὸν σῶμα τοῖς μαθηταῖς αὐτοῦ ἀντιδοῦναι. Λάβετε, φάγετε, Ματθ. κς. κς.
τοῦτό ἐστι μου τὸ σῶμα· λάβετε, πίετε, τοῦτό ἐστι μου τὸ αἷμα ἐν καινῇ διαθήκῃ τὸ ὑπὲρ πολλῶν
ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. διὰ τοῦτο οὐκ ἐπιθυμεῖ τοσοῦτον φαγεῖν, ὅσον
ἐπιθυμεῖ παθεῖν· ἵνα ἡμᾶς τοῦ διὰ βρώσεως πάθους ἐλευθερώσῃ· καὶ διὰ τοῦτο ξύλον ξύλῳ ἀντιρριζώσας,
καὶ τὴν πάλαι πονηρὰν χεῖρα ἀσεβῶς προσηλώσας, ὅλην ἔδειξεν ἐν αὐτῷ ἀληθῶς
τὴν ζωὴν κρεμαμένην. σὺ μὲν, ὦ Ισραήλ, οὐκ ἠδυνήθης φαγεῖν· ἡμεῖς δὲ μετὰ
γνώσεως ἀκαταλύτου πνευματικῶς ἐφάγομεν, καὶ φαγόντες οὐκ ἀποθνήσκομεν. τοῦτό μοι
φυτὸν εἰς σωτηρίαν αἰώνιον· τούτῳ τρέφομαι, τούτῳ συνεστιῶμαι· τούτου ταῖς μὲν ῥίζαις ὑπορ-

ῥιζουμένη, τοῖς δὲ κλάδοις συγκλειομένη, τῷ δὲ πνεύματι ὡς ὑπὸ ἀνέμου ἐντρυφῶν γεωργουμένη. τούτου τῇ σκιᾷ ὑπεσκιώσα, καὶ τὸν πολὺν καύσωνα διαφυγὼν ἔνδροσον ἔχω καταγώγιον. τούτου τοῖς μὲν ἄνθεσι συνανθῶ, τοῖς δὲ καρποῖς τελείως συνήδω, τοὺς δὲ ἐξ ἀρχῆς μοι τετηρημένους καρποὺς ἀκωλύτως τρυγῶ. τοῦτό μοι πεινῶντι τροφή, καὶ διψῶντι πηγή, καὶ σκέπη γεγυμνωμένῳ· οὗ καὶ τὰ φύλλα, πνεῦμα ζωῆς. οὐκέτι μοι φύλλα συκῆς· τοῦτό μοι Θεὸν φοβουμένῳ φυλακτήριον, καὶ σαλευομένῳ στήριγμα, καὶ ἀγωνιζομένῳ βραβεῖον, καὶ τρόπαιον νενικηκότι. τοῦτό μοι ἀτραπὸς ἡ στενή, τοῦτο ἡ τεθλιμμένη ὁδός, τοῦτο κλίμαξ Ἰακώβ, καὶ τῶν ἀγγέλων πορεία, ἐφ᾽ ἧς ἄκρας ἀληθῶς ἐστήρικται ὁ Κύριος. τοῦτο δένδρον οὐρανομήκες ἀπὸ γῆς εἰς οὐρανοὺς ἀνέβαινεν, ἀθάνατον φυτόν, στηρίξας ἑαυτὸν ἐν μέσῳ οὐρανοῦ τε καὶ γῆς, ἕδρασμα τῶν ὅλων, στήριγμα τοῦ παντός, ἔρεισμα τῆς ὅλης οἰκουμένης, σύμπλεγμα κοσμικόν, τῆς ποικίλης καὶ ἀνθρωπίνης οὐσίας συνεκτικόν, ἀοράτοις γόμφοις τοῦ πνεύματος συνηλωμένον, ἵνα τῷ θείῳ συναρμοσθὲν μηκέτι λυθῇ, ἄκραις μὲν κορυφαῖς τῶν οὐρανῶν ἐπιψαῦον, τὴν γῆν δὲ στηρίζον ποσί, τὸ δὲ πολὺ καὶ μέσον πνεῦμα τοῦ ἀέρος πανταχόθεν χερσὶν ἀμετρήτοις περιλαβόν. ὅλος ὢν ἐν πᾶσι καὶ πανταχοῦ, γεμίσας δὲ δι᾽ ἑαυτοῦ, πρὸς ἀερίους ἀρχὰς γυμνὸς ἀντεπεδύσατο. καὶ πρὸς ὀλίγον μὲν βοᾷ παρελθεῖν τὸ ποτήριον, ἵνα δείξῃ ἀληθῶς ὅτι καὶ ἄνθρωπος ἦν, μεμνημένος δὲ διὸ ἀπεστάλη, πληρῶσαι τὴν οἰκονομίαν βουλόμενος, εἰς ἣν ἀπεστάλη, βοᾷ πάλιν· Μὴ τὸ θέλημά μου, ἀλλὰ τὸ θέλημά σου. τὸ μὲν γὰρ πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής. οἷα δὴ τὸν ὑπὲρ ψυχῆς τρέχων ἀγῶνα τὸν ἐπινίκιον, πρῶτον μὲν τὴν ἱερὰν κεφαλὴν ἀκάνθαις ἐστεφανώσατο, ὅλην τὴν παλαιὰν κατάραν τῆς γῆς ἀναιρῶν, καὶ τὸ δι᾽ ἁμαρτίαν ἀκανθῶδες πλεονάσαν τῇ θείᾳ κεφαλῇ πάλιν ἐξημερῶν· τὴν δὲ πικρὰν καὶ ὀξεῖαν τοῦ δράκοντος χολὴν ἐκπιών, ὅλας ἡμῖν τὰς ἀφ᾽ ἑαυτοῦ γλυκείας ἀντεκέρασε πηγάς. τὸ γὰρ ἔργον τῆς θηλείας λῦσαι θελήσας, καὶ τὴν ἐκ πλευρᾶς πρότερον ῥεύσασαν ἐπὶ γῆν θανατηφόρον ἤδη, τὴν ἱερὰν αὐτοῦ ἐν ἑαυτῷ ἐσόμφσε πλευράν, ἐξ ἧς τὸ ἱερὸν ἔρρευσεν αἷμα καὶ ὕδωρ, τὰ τέλεια τῶν πνευματικῶν γάμων τῶν μυστικῶν καὶ υἱοθεσίας καὶ παλιγγενεσίας τὰ σημεῖα. αὐτὸς γὰρ ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί, τὸ μὲν ὕδωρ ὡς ἐν πνεύματι, τὸ δὲ αἷμα ὡς ἐν πυρί. τότε δὴ συνεκτείνονται αὐτῷ δύο λῃσταί, εἰς δὲ δύο λαοὺς φέροντες ἐν ἑαυτοῖς τὰ σημεῖα· ὧν ὁ μὲν εἷς ἐκ μεταβολῆς εὐγνωμονεῖ, καὶ μετὰ ὁμολογίας ἐξομολογεῖται, καὶ πρὸς τὸν δεσπότην εὐσεβεῖ· ὁ δὲ ἕτερος κινεῖται σκληροτράχηλος ὤν, καὶ ἀγνωμονεῖ πρὸς τὸν δεσπότην, καὶ οὐκ εὐσεβεῖ, καὶ τοῖς παλαιοῖς ἁμαρτήμασιν ἐμφιλοχωρεῖ. εἶτα καὶ οἱ δύο ψυχῆς εἰσι λογισμοί, ὧν ὁ μὲν ἕτερος ἐν τοῖς παλαιοῖς ἁμαρτήμασι μεταβάλλεται, καὶ πρὸς τὸν δεσπότην ἀποδύεται (διὸ καὶ τῆς ἐκ μετανοίας φιλανθρωπίας καὶ τιμῆς ἀξιοῦται) ὁ δὲ ἕτερος ἀναπολόγητος, ὅτι καὶ ἀμετάθετος, καὶ μέχρι τέλους ἐστὶ λῃστής. ὡς δὲ τέλος εἶχεν ὁ κοσμικὸς ἀγών, καὶ πανταχόθεν διήθλησε νικήσας, μήτε ὡς Θεὸς ἐπαιρόμενος, μήτε ὡς ἄνθρωπος νενικημένος, ἔμενεν ἐν μεθορίων ὅλων ἐρριζωμένος τρόπαιον ἐπινίκιον, αὐτὸς ἐν ἑαυτῷ κατὰ τοῦ ἐχθροῦ προπομπεύων καὶ θριαμβεύων. τότε τῆς ὑπομονῆς ἐπιμονῆς ἐθαμβήθη τὸ πᾶν, τότε οὐρανοὶ μὲν ἐσαλεύθησαν, ἀρχαὶ δὲ ἐκινήθησαν ὑπερκόσμιοι, θρόνοι καὶ νόμοι τὸν ἀρχιστράτηγον τῆς μεγάλης δυνάμεως ὁρῶντες κρεμάμενον· μικροῦ δ᾽ ἂν ἐξέπεσον καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ, τὸν προεωσφόρον βλέποντες ἁπλούμενον· ἐσβέσθη δὲ πρὸς ὀλίγον καὶ τὸ τοῦ ἡλίου πῦρ, τὸ μέγα βλέπον τοῦ κόσμου φῶς ἀμαυρούμενον. τότε ἐσχίσθησαν πέτραι τῆς γῆς, τοῦ Ἰσραὴλ ἀγνωμοσύνην καταβοῶσαι, ὅτι μὴ ἔγνω τὴν πέτραν τὴν πνευματικήν, ἐξ ἧς ἀκολουθήσας ἔπινε· ἐρράγη δὲ τοῦ ναοῦ τὸ καταπέτασμα συμπάσχον καὶ μηνῦον τὸν οὐράνιον ἀληθῶς ἀρχιερέα. μικροῦ δ᾽ ἂν ὅλως ὁ κόσμος συνεχύθη, καὶ τῷ φόβῳ τοῦ πάθους συνελύθη, εἰ μὴ τὸ θεῖον πνεῦμα ἐνεφύσησεν ὁ μέγας Ἰησοῦς εἰπών, Πά-

τερ

περ, παρακατατίθεμαι τὸ πνεῦμά μου εἰς τὰς χεῖράς σου. κλονουμένων γὰρ τῶν ὅλων καὶ δονουμένων σεισμῷ, τῷ φόβῳ πάντων σαλευομένων, πάλιν ἀναβαίνοντος τοῦ θείου πνεύματος τὸ πᾶν ψυχούμενον καὶ ζωοποιούμενον καὶ στηριζόμενον, πάλιν ἔστη τὸ πᾶν, ὡς τῆς θείας ἐκτάσεως τῆς ἐν πᾶσι καὶ πανταχοῦ ὡς τῆς διὰ πάντων ἁπλουμένης σταυρώσεως. ὦ μοναὶ μόνοι ἀληθῶς δι' ὅλων ὅλαι. ἐχέτωσαν σου τὸ πνεῦμα οἱ οὐρανοί, ὁ δὲ παράδεισος τὴν ψυχὴν (σήμερον γάρ, φησιν, ἔσομαι μετὰ σοῦ ἐν τῷ παραδείσῳ) τὸ δὲ αἷμα ἡ γῆ. μεμέρισται ὁ ἀμερής, ἵνα τὰ πάντα σωθῇ, ἵνα μηδὲ ὁ κάτω τόπος τῆς θείας ἐπιδημίας ἀμύητος ᾖ. εἶδος μὲν αὐτοῦ οὐκ εἴδομεν, φωνὴν δὲ αὐτοῦ ἠκούσαμεν. ἔλυσε μὲν οὖν καὶ παρὰ τὸν βίον τοὺς τοῦ θανάτου δεσμίους ἐξουσίᾳ χρώμενος βασιλικῇ, ὥς τε Λάζαρε δεῦρο ἔξω, καί, ἡ παῖς ἐγείρου· ἵνα αὐτοῦ καὶ τὸ ἐν δυνάμει ἐπιτακτικὸν δηλωθῇ. διὸ δὴ καὶ ὅλον ἑαυτὸν φέρων ἔδωκε τῷ θανάτῳ, ἵνα τὸ ἀδηφάγον θηρίον, καὶ ὁ ἄπληστος δεσμὸς ὅλως ἐν ἑαυτῷ νεκρωθῇ. τῷ ἀναμαρτήτῳ σώματι ἐζήτει πανταχοῦ τὰς ἰδίας τροφάς, μήπου ἡδονή, μήπου ὀργή, μήπου παρακοή, μήπου ὅλως ἡ παλαιὰ ἁμαρτία ἡ πρώτη τοῦ θανάτου τροφή. κέντρον γάρ, φησι, τοῦ θανάτου ἡ ἁμαρτία. ὡς δὲ οὐδὲν εὕρισκεν ἐν αὐτῷ θανάτου "θρεπτικόν, ὅλως ἐν ἑαυτῷ κλεισθεὶς καὶ ἀτροφίᾳ λυθείς, αὐτὸς ἑαυτῷ θάνατος ἐγένετο, ὡς δὲ καὶ πολλοὶ τῶν δικαίων εὐαγγελιζόμενοι καὶ προφητεύοντες καὶ τὸν ἐν ἀναστάσει πρωτότοκον ἐκ τῶν νεκρῶν. ὁ δὲ καὶ τὴν τριήμερον ὑπὸ γῆν ὑπομονὴν ἀνεδέχετο, ἵνα ὅλον καὶ πᾶν σώσῃ τὸ τῶν ἀνθρώπων γένος, τὸ πρὸ νόμου, δι' ἑαυτοῦ· τάχα δὲ καὶ ἵνα ὁλόκληρον ἐξαναστήσῃ τὸ ζῶον, ψυχήν, καὶ πνεῦμα, καὶ σῶμα, διὰ τοῦτο καὶ τριημερεύει. ἀναστάντα δὲ αὐτὸν πρῶτον ὁρῶσιν αἱ γυναῖκες. ὡς γὰρ πρώτην τὴν ἁμαρτίαν τὴν ἐν κόσμῳ ἤγαγε γυνή, οὕτω καὶ πρώτη τῷ κόσμῳ ζωὴν ἐπαγγέλλει. διὸ καὶ ἀκούουσι τὴν ἱερὰν φωνὴν γυναῖκες, χαίρετε, ἵνα ἡ πρώτη λύπη διὰ τῆς χαρᾶς τῆς ἀναστάσεως· καὶ τοῖς ἀπιστοῦσιν ἵνα αὐτοῦ ἡ ἐκ νεκρῶν ἀνάστασις πιστευθῇ μετὰ στόματος. ὡς δὲ ὅλην τὴν εἰκόνα ἐν ἑαυτῷ φέρων ἐνεδύσατο, καὶ τὸν παλαιὸν ἄνθρωπον ἀναστολησάμενος μετετέθηκεν εἰς τὸν ἐπουράνιον ἄνθρωπον, τότε συνανέβαινεν αὐτῷ καὶ ἡ εἰκὼν συγκεκραμένη εἰς τοὺς οὐρανούς. βλέπουσαι δὲ αἱ δυνάμεις τὸ μέγα μυστήριον, συναναβαίνοντα ἤδη ἄνθρωπον ἐν Θεῷ, ἐγκελευόμεναι ἐβόων μετὰ χαρᾶς ταῖς ἄνω στρατιαῖς, Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. αἱ δὲ ὁρῶσαι τὸ καινὸν θαῦμα, ἄνθρωπον συγκρεμάμενον Θεῷ, ἀντιβοῶσι καὶ λέγουσι· Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; αἱ δὲ πάλιν ἐρωτηθεῖσαι ἀνταποκρίνονται, Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης, ἰσχυρὸς καὶ κραταιὸς καὶ δυνατὸς ἐν πολέμῳ. ὢ τῆς χορηγίας τῆς μυστικῆς· ὢ τῆς πνευματικῆς ἑορτῆς· ὢ πάσχα θεῖον ἀπ' οὐρανῶν ὁδεῦσαν μέχρι γῆς, καὶ ἀπὸ γῆς πάλιν ἀναβαῖνον εἰς οὐρανούς· ὢ καινὸν τῶν ὅλων ἑόρτασμα, κοσμικὸν πανηγύρισμα· ὢ τοῦ παντὸς χαρὰ καὶ τιμὴ καὶ τροφὴ καὶ τρυφή· δι' ἧς ὁ μὲν σκοτεινὸς θάνατος κατελύθη, ἡ δὲ ζωὴ τοῖς ὅλοις ἐφηπλώθη, καὶ ἀνεῴχθησαν πύλαι οὐρανῶν, καὶ Θεὸς ἄνθρωπος ἐφάνη, καὶ ἄνθρωπος Θεὸς ἀνέβη· δι' ὃν ἐρράγησαν ᾅδου πύλαι, καὶ κλεῖθρα ἐλύθησαν ἀδαμάντινα. καὶ ὁ μὲν κάτω δῆμος ἀνέστη τῶν νεκρῶν, εὐαγγελιζόμενος τοῖς ἄνω πληρώμασιν, ἀπὸ γῆς ἀπεδόθη χορός. ὢ πάσχα θεῖον Θεὸν ἐξ οὐρανῶν οὐ συναγαγοῦσα, καὶ ἡμῖν πνευματικῶς συνάψαν, δι' ὃν μέγας νυμφὼν τῶν γάμων ἐπληρώθη, καὶ πάντες φέρουσι τὰς στολὰς τὰς νυμφικάς, ἐκβάλλεται δὲ οὐδείς, ὡς οὐκ ἔχων τὴν στολὴν νυμφικήν. ὢ πάσχα καινῆς λαμπαδουχίας τὸ φώτισμα, παρθενικῆς δᾳδουχίας ἀγλάϊσμα. διὸ οὐκ ἔτι σβέννυνται τῶν ψυχῶν αἱ λαμπάδες· ἐνθέως δὲ καὶ πνευματικῶς ἐν πᾶσι τῆς χάριτος δᾳδουχεῖται τὸ πῦρ, σώματι, καὶ πνεύματι, καὶ "ἐλαίῳ Χριστοῦ χορηγούμενον. σὲ δὲ δὴ παρακαλοῦμεν, Θεὲ δέσποτα, πνευματικῶς αἰώνιε βασιλεῦ Χριστέ, ὑπερέχε σου τὰς χεῖρας τὰς μεγάλας ἐπὶ τὴν ἱεράν σου ἐκκλησίαν, καὶ ἐπὶ τὸν λαὸν ἀεί σου τὸν ἅγιον, προπολεμῶν, φυλάσσων, συντηρῶν, προστρατευόμενος, προ-

γρ. θρυπτικόν

Ψαλ. κγ. ζ.

γρ. ἐλέῳ

ἀγωνιζόμενος, ὑποτάσσων πόλεις τοὺς πολεμίους, νικῶν καὶ τοὺς ἀοράτῳ δυνάμει τοὺς ἐναντίους, ὡς καὶ τοὺς ἡμετέρους ἐνίκησας ἐχθρούς· ἀνάστησον καὶ νῦν αὐτὸς τὰ ὑπὲρ ἡμῶν τρόπαια, καὶ χάρισαι ἡμῖν ᾆσαι μετὰ Μωϋσέως τὴν ᾠδὴν τὴν ἐπινίκιον, ὅτι σοῦ ἐστιν ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ρις. ΕΙΣ ΤΟ ΑΥΤΟ ΠΑΣΧΑ ΛΟΓΟΣ η. ΚΑΙ ΤΕλευταῖος.

Ex Ms. Episcopi Philadelph. Venetijs.

Χθὲς μὲν, ἀδελφοὶ, περὶ τῆς προθεσμίας τοῦ ἁγίου πάσχα τινὰ ἐλαλοῦμεν· καὶ ἐπειδὴ ἔδοξεν ἀμφιβολία τις γίνεσθαι, ἐσημαινάμεθα ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι παρὰ πολλοῦ οὔτε τὴν ἀμφιβολίαν ἠγνοήσαμεν, οὔτε τὴν προθεσμίαν· καὶ περὶ τούτων ἀρκούντως ἐρρέθη, εἴγε ἐν μνήμῃ τῶν εἰρημένων τὴν δύναμιν εἴχετε· ἠπειγόμεθα δὲ εἰπεῖν σήμερον τὴν αἰτίαν τῆς παρολκῆς. καὶ ἐπειδὴ ἡ τοιαύτη διήγησις ἀπαιτεῖ ὅλου τοῦ περὶ τὸ πάσχα τόπου τὴν θεωρίαν, βουλόμεθα, ἐὰν καὶ ὁ Κύριος βούληται, ἀναλαβεῖν τὴν ὑπόθεσιν, καὶ, ὅση δύναμις, ἐξειπεῖν τοῦ μυστηρίου τὰ θεωρήματα. καὶ ἐπειδὴ πολλὴ καταδρομὴ τῶν ἐναντίων γέγονε ἀγνοούντων τῆς ἀληθείας τὴν φύσιν, καὶ αἱρετικοὶ ἀποσκιρτήσαντες φαίνονται, καὶ Ἰουδαῖοι ἐπαγγέλλονται πάσχα τελεῖν, χριστιανῶν δὲ μόνων τὸ μυστήριον τοῦτό ἐστι, καὶ ἡ τοῦ μυστηρίου τελετὴ παρ' ἡμῖν μετὰ ἀκριβείας συνίσταται, θέλω ἀπάντων τε ἐκείνων συντόμως μνησθῆναι, καὶ ἀπαμφιάσαι τὴν σύγχυσιν ἀπὸ τοῦ καθ' ἡμᾶς μυστηρίου, καὶ οὕτως ἑκάστου χρόνου εἰπεῖν τὴν διάνοιαν, καθὼς ἂν δῷ ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ. πολλάκις γὰρ ἐθεασάμεθα λεγόντων τινῶν, πῶς τὰ γενέθλια μὲν τοῦ σωτῆρος ἐν ὡρισμένῃ ἡμέρᾳ τελεῖται (γέγονε γὰρ, ὡς πάντες ἴσμεν, πρὸ ὀκτὼ καλανδῶν ἰανουαρίων κατὰ Ῥωμαίους) θεοφάνια δὲ ὡσαύτως (καὶ αὐτὰ γὰρ ἐπιτελεῖται ἡμέρᾳ ὡρισμένῃ, τεσσαρεσκαιδεκάτῃ τετάρτου μηνὸς κατὰ Ἀσιανούς) καὶ μαρτύρων δὲ ὡσαύτως μνήμην ἐπιτελοῦντες πρὸς ἡμέραν ὡρισμένην ἁρμόζομεν τὴν ἀνάμνησιν, ἐπὶ δὲ τοῦ πάσχα οὐχ οὕτως ἐστὶν ὁ λόγος; ὅτι οὐ μιᾶς, οὐδὲ ἁπλῶς συμβαινούσης ἡμέρας ἐστὶ τὸ μυστήριον, ἀλλὰ πολλῶν προθεσμιῶν μετὰ διανοίας συναγαγεῖν εἰς τὸν τόπον παραλαμβάνομεν διὰ τὴν τῆς θεωρίας ἀνάπτυξιν. τηρούμεθα γὰρ καὶ πρῶτον μῆνα, τὸν πρῶτον μῆνα ἀληθῶς τοῦ πρώτου χρόνου, ὃς ἐξ ἐαρινῆς ἰσημερίας γνωρίζεται. ὁ γὰρ πρῶτον μῆνα τηρῶν, ὀφείλει ἰδεῖν τὸν πρῶτον χρόνον, δι' ὃν καὶ πρῶτος μὴν ὀνομάζεται. πάλιν τε ὁ τὸν πρῶτον χρόνον παραλαμβάνων, τὴν ἀρχὴν ὀφείλει τοῦ πρώτου χρόνου ἰδεῖν, οὐκ ἄλλην τινὰ ἢ ἰσημερίαν ἐαρινὴν, ὡς προϊὼν ἐπιδείξω. ἐπειδὴ οὖν καὶ πρῶτον χρόνον τηρούμεθα, καὶ ἰσημερίαν, καὶ μετὰ τοῦτο καὶ σελήνης τεσσαρεσκαιδεκάτην, καὶ σὺν τούτῳ τὴν τριήμερον, τουτέστι, παρασκευὴν, σάββατον, κυριακὴν, καὶ ἀδύνατόν ἐστιν ἑνὸς χρόνου τούτων λιπόντος ἐπιτελεσθῆναι τὸ πάσχα, διὰ τοῦτο μὲν οὐ δυνάμεθα μίαν ἡμέραν ὡρισμένην πρὸς τὸ μυστήριον τοῦ πάσχα παραλαμβάνειν, ἀλλ' ὅλας ταύτας τὰς προθεσμίας συναγαγόντες ἀπαρτίζομεν τοῦ σωτηρίου πάθους τὴν θεωρίαν. βούλομαι οὖν πρὶν εἰπεῖν τὴν θεωρίαν τῆς ἰσημερίας μυστικὴν οὖσαν, καὶ τῆς τεσσαρεσκαιδεκάτης κατὰ σελήνην καὶ ταύτην τῷ μυστηρίῳ συμβαλλομένην, καὶ πάλιν τὸ τῶν τριῶν ἡμερῶν τὴν αἰτίαν ἁρμόζουσαν πρὸς τὸ τέλος τοῦ μυστηρίου, πρῶτον εἰπεῖν τὴν ἔξω τῶν Ἰουδαίων συνήθειαν καὶ ταύτην ἀλόγως ἐπισυρομένων· εἶθ' οὕτω διακρῖναι τοῦ ἐκκλησιαστικοῦ μυστηρίου τὴν καθαρότητα. καὶ γὰρ καὶ αἱρετικοὶ, εἰ καὶ ἐσφαλμένως, ἀλλ' ὅμως ἐξέχονται. οὔτε γὰρ Ἰουδαῖοι μίαν ἡμέραν ἔμπροθεσμον πρὸς τὴν τοῦ πάσχα τελεσιουργίαν τηροῦσιν, ἀλλὰ καὶ τὸν μῆνα, ὡς οἴονται, τὸν καθ' ἥλιον καὶ σελήνην τεσσαρεσκαιδεκάτην.

δεκάτην. αὐτίκα γοῦν εἰ συμβαίη τεσσαρεσκαιδεκάτην κατὰ σελήνην παρ' αὐτοῖς ἐμπεσεῖν, μήπω ἐνστάντος πρώτου μηνός, ὑπερτίθενται δὲ ταύτην τὴν τεσσαρεσκαιδεκάτην διὰ τὸν ἡλιακὸν πρῶτον μῆνα παραλαμβάνουσιν, ἵνα συνδρομῆς γινομένης τοῦ τε πρώτου χρόνου, καὶ τῆς τεσσαρεσκαιδεκάτης κατὰ σελήνην, δόξωσιν ἀπαρτίζειν τὸ βούλημα. οὐκοῦν, ἀδελφέ, ὁρᾷς ὅτι καὶ Ἰουδαῖοι τοῦτο σπουδάζουσι, καὶ κοινὸν ἡμῖν τοῦτο ἐστήκασι, τὸ μὴ μίαν ἡμέραν ζητεῖν πρὸς τὴν τελετήν, ἀλλὰ χρόνοις πολλοῖς. τεσσαρεσκαιδεκάτη δὲ αἵρεσίς ἐστι σὺν Ἰουδαίοις ποιοῦντες τὸ πάσχα, καὶ αὐτοὶ τὸ αὐτὸ ἐκεῖνοι πεπόνθασι. Ναυατιανοὶ δοκοῦσιν ἄλλως πως τὰ καθ' ἡμᾶς ἠρέμα μιμεῖσθαι, δουλεύουσι μὲν καὶ αὐτοὶ τῇ προθεσμίᾳ τῶν Ἰουδαίων· καὶ πρῶτον μῆνα καὶ αὐτοὶ νομίζουσι, καὶ τεσσαρεσκαιδεκάτην κατὰ σελήνην τὴν παρ' ἐκείνοις μεταδιώκοντες. ἀλλ' οὐχ ἕως τούτου γε ἵστανται· ἀλλ' ὅταν ἐν τούτοις γένωνται, καὶ ἐπὶ τὴν τριήμερον ἔρχονται, εἰ καὶ μάλιστα ἀκύρως, καὶ οὐ καθ' ἁρμονίαν ἐκκλησιαστικήν, ὡς δειχθήσεται. ἔστι τις ἄλλη αἵρεσις ἡ τῶν Μωντανιστῶν, ἥτις δῆθεν μὲν ἀποδύεται τὸ μετὰ Ἰουδαίων ποιεῖν, ἀφέστηκε δὲ σὺν τούτῳ καὶ τῆς ἐκκλησίας εἰς ἴδιον κίνδυνον. τεσσαρεσκαιδεκάτην γὰρ μηνὸς τοῦ πρώτου φυλάττει, τουτέστι, μηνὸς ἑβδόμου κατ' Ἀσιανούς, οὐ τεσσαρεσκαιδεκάτην δὲ σελήνης· οὐκ οἶδα πόθεν λαβοῦσα τοῦτον τὸν δεσμόν. ὁ μὲν γὰρ μονογενὴς υἱὸς τοῦ Θεοῦ ἐν τῷ πάσχα τῶν Ἰουδαίων, τεσσαρεσκαιδεκάτην ἐχούσης τῆς σελήνης, ἐν μηνὶ τῷ πρώτῳ, ἐν ταύτῃ τῇ τεσσαρεσκαιδεκάτῃ, ἐν τῷ πάσχα τῶν Ἰουδαίων ὁ Χριστὸς ἔπαθε. πόθεν οὖν αὕτη ἡ δυσώνυμος αἵρεσις τὴν τεσσαρεσκαιδεκάτην ἀπὸ τοῦ ἡλιακοῦ μηνός, οὐκ ἀπὸ τοῦ σεληνιακοῦ εἴληφεν; ἢ δῆλον ὅτι παρὰ τοῦ ἀπατήσαντος δαίμονος. πλὴν καὶ αὐτὴ εἰ καὶ πέπτωκε τοῦ ἐκκλησιαστικοῦ ἀριθμοῦ, ἀλλ' ὅμως ἔνθεν ἐπὶ τὴν τριήμερον ἥκει. καὶ ἐρρίφθω μὲν αὐτή. ἐπειδὴ δὲ ἐδίδαξα ὅτι πᾶσα αἵρεσις σπεύδει δῆθεν τῆς προθεσμίας συναγαγεῖν πλέον ἢ ἔλαττον, θέλω λοιπὸν ἐλέγξαι τοὺς Ἰουδαίους πρότερον, εἶθ' οὕτω τὰς αἰτίας τῆς τῶν Χριστιανῶν συναγωγῆς ἐξειπεῖν. ἕστηκεν ἐπὶ τῆς ἐκκλησίας αὕτη ἡ προθεσμία τοῦ πάθους, ἰσημερία ἐαρινή, τεσσαρεσκαιδεκάτη μετὰ τοῦτο κατὰ σελήνην, τριήμερος δέ, παρασκευή, σάββατον, κυριακή. τοῦτον περὶ τὸν τρόπον χρήζομεν, καὶ οὕτω κυρίως γίνεται· οὐ κατὰ καινότητα ἄλλως, ἀλλὰ κατὰ παράδοσιν αὐτοῦ τοῦ Μωϋσέως, τῆς κατὰ σελήνην τεσσαρεσκαιδεκάτης μετ' ἰσημερίαν φυλαττομένης. ἔχω μάρτυρας σοφοὺς Ἑβραίους. οὐ γὰρ τῇ τῶν νῦν Ἰουδαίων ἀφροσύνῃ προσέχειν χρή (πάντα γὰρ τὰ τοῦ νόμου δίκαια ἐξηφάνισαν αὐτοί) ἀλλὰ τῶν σοφῶν Ἑβραίων ἱστορούντων ἀκούειν προσήκει, καὶ ἐκείνων ἀνάγκη τὴν ψῆφον ὁρίζειν· καὶ ἐκκηρύττειν μὲν τούτους ὡς παραβάτας, συνιστάναι δὲ τὸν ἡμέτερον λόγον, κἀκεῖθεν ἱκανῶς μαρτυρούμενον. Ἰουδαῖοι μὲν γὰρ πάντα τὰ ἀγαθὰ ἐξεχορίσαντο. αὐτίκα γοῦν καὶ τὰς γραφὰς δύο καὶ ἑβδομήκοντα σοφῶν μεταβολὴν αὐτῶν ἠθέτησαν. τοσοῦτοι γὰρ Ἰουδαῖοι πρὸς τὴν τοιαύτην ἱστορίαν ἠσχόληντο, ἀρχαῖοι, πρὸ τῆς τοῦ σωτῆρος παρουσίας, ἀριστίνδην ὑπὸ ἀρίστων ἐξειλεγμένοι πρὸς τὴν μεταβολὴν τῶν γραφῶν, ἔτι καὶ τότε ἐν Ἑβραϊκοῖς χαρακτῆρσιν οὐσῶν εὐδοκίμων. καὶ ἐδοκιμάσθη ἡ ἑρμηνεία, καὶ ἀραὶ ὑπὸ πάντων τῶν Ἑβραίων ἐτέθησαν, εἴ τις τὴν ἑρμηνείαν παρακινήσειε. καὶ ταύτας διὰ ταῦτα ἡμεῖς περιέπομεν, ἀκούοντες Μωϋσέως λέγοντος, Ἐπὶ στόματος δύο καὶ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα, οὐκέτι δὲ δύο, ἀλλ' ἐπὶ ἑβδομήκοντα δύο μάρτυρσι τὴν μεταβολὴν ἀσμενίσαντες. ἀλλ' εἰς ὅσον μὲν οἱ σοφοὶ προέστησαν τῶν Ἰουδαίων, τὰ τῆς μεταβολῆς ἐκρατύνετο· γινομένης δὲ τῆς παρανομίας τῆς κατὰ τοῦ σωτῆρος, ἀπεσβέσθη παρὰ Ἰουδαίοις πάντα κάλλη. προφήτης ἐστὶν ὁ κηρύττων· Ἰδοὺ δὴ Κύριος Σαβαὼθ ἀφελεῖ ἀπὸ Ἰερουσαλὴμ καὶ ἀπὸ τῆς Ἰουδαίας ἰσχύοντα καὶ ἰσχύουσαν, ἰσχὺν ἄρτου καὶ ἰσχὺν ὕδατος, γίγαντα καὶ ἰσχύοντα, καὶ ἄνθρωπον πολεμιστήν, καὶ δικαστὴν καὶ προφήτην, καὶ στοχαστήν, καὶ πρεσβύτερον, καὶ σοφὸν ἀρχιτέκτονα, καὶ συνετὸν ἀκροατήν· καὶ ἐπιστήσω νεανίσκους ἄρχοντας αὐτῶν, καὶ

ισ. ἢ, ἐκπέπτωκε

ἢ, ἠχο' οὗτο

Δευτ. ιθ. ιε.

Ησ. γ. α.

ἐμπαῖκται κυκλώσουσιν αὐτῶν. τοῦτο δὲ προφητικὸν λόγιον κατέβαλε τὴν τῶν Ἰουδαίων πληθὺν, καὶ ἐρημία συνέσεως, ἐρημία προφήτου ὑποδεικνύντος τὰ σώζοντα, καὶ τὰς τῶν ἰδίων σοφῶν παραδόσεις ἠφάνισαν, καὶ τὰ τοῦ νόμου λοιπὸν ἐκινδύνευσε δίκαια. ὡς οὖν τὰς γραφὰς μετεκίνησαν, καὶ τὴν ἑρμηνείαν τῶν σοφῶν ἐκείνων ἠθέτησαν, ἑνός τινος προσηλύτου πεισθέντες μεταβολῇ ἐπ' ἀθετήσει τοσούτων ἀνδρῶν καὶ ἀρχῶν, οὕτω καὶ τὴν προθεσμίαν τοῦ πάσχα διέφθειραν. ἔχομεν μάρτυρας σοφοὺς Ἑβραίους, οἷον Φίλωνα καὶ Ἰώσηππον, καὶ ἄλλους τινὰς, οἵτινες ἐν τοῖς οἰκείοις συγγράμμασι διαβεβαιοῦνται, ὅτι οὐ δυνατὸν ἀκριβῶς ἄλλως τὸ πάσχα γίνεσθαι, ἢ μετ' ἐαρινὴν ἰσημερίαν ἐνστᾶσαν. καὶ ὁρίζονται οὗτοι ἀνέκαθεν τὸν τοιοῦτον εἱρμὸν τετηρῆσθαι μετὰ τῆς κατὰ σελήνην τεσσαρεσκαιδεκάτης, ὡς πολλάκις ἐρρέθη. οὗτοι δὲ σαφῶς, ὡς πάντες Ἰουδαῖοι ἐπίστανται, μετὰ τὸ πάθος τοῦ σωτῆρος ἐγένοντο, πολλῷ τῷ μετέπειτα χρόνῳ βιώσαντες· ὥστε δῆλον εἶναι, ὅτι καὶ ὁ σωτὴρ ἐν τῷ πάσχα τῶν Ἰουδαίων ἔπαθε μετ' ἰσημερίαν. ἔχεις τοίνυν καὶ ἐκ τῆς μαρτυρίας τῶν σοφῶν Ἰουδαίους τοὺς νῦν ἀποβλήτους, ἐξ ἀρχῆς μετ' ἰσημερίαν τεσσαρεσκαιδεκάτης σελήνης τὸ πάσχα τοῦ προβάτου τελέσαντας. τοῦτό μοι ἱστάσθω τέως, ἵν' ἐκ τούτου δειχθῇ τὸ προκείμενον. λοιπὸν γὰρ Ἰουδαῖοι ποιοῦσι τὸ πάσχα πρὸ ἰσημερίας ἀδιαφόρως, ἐκτὸς εἰ μὴ ἐμβολίμου μηνὸς ἐνστάντος ἀκουσίως μετ' ἰσημερίαν παραταθῶσι. τοῦτο δὲ οὐκ ἔστι σκοποῦ, ἀλλ' ἁπλῶς τοῦ συμβάντος. αὐτίκα γοῦν νῦν εἰς τὸ ἐνεστὼς πρὸ ἰσημερίας ποιοῦσι, καὶ κατηγοροῦνται ὑπὸ τῶν Ἰουδαίων σοφῶν παραβάται τοῦ χρίσματος. ἔχομεν δὲ ἡμεῖς τοῦ μυστηρίου τὴν τάξιν ἀσύλητον. ὁ μὲν γὰρ χρόνος, καθ' ὃν ἔπαθεν ὁ σωτὴρ, οὐκ ἠγνόηται. τὰ γὰρ ὑπομνήματα τὰ ἐπὶ Πιλάτου πραχθέντα καὶ τὴν προθεσμίαν περιέχει τοῦ πάσχα. ἱστορεῖται γοῦν, ὅτι τῇ πρὸ ὀκτὼ καλανδῶν ἀπριλλίων ἔπαθεν ὁ σωτήρ. αὕτη γοῦν ἡ προθεσμία μετ' ἰσημερίαν συνίσταται, καὶ τοῖς ἀκριβοῦσι κατείληπται. καὶ ἔχε τοῦτον τὸν κανόνα, ἵνα ἴδῃς ὅτι Χριστὸς ἐν ταύτῃ τῇ προθεσμίᾳ ἔπαθε, καὶ ἵνα εἰδὼς τηρῇς ἀεὶ μετ' ἰσημερίαν ποιεῖν τὸ πάσχα Χριστὸν μιμούμενος, καὶ φεύγῃς μὲν τὴν τῶν αἱρετικῶν παρανομίαν, ζητῇς δὲ τὰς αἰτίας τῶν χρόνων. πειράσομαι δὲ ἤδη ταύτην ἀπαριθμῆσαι κατὰ τόπον, ἵνα ἁρμονίαν δείξω τοῦ μυστηρίου πρὸς τὴν ἀρχαίαν κατάστασιν. ἔπαθεν ὁ Χριστὸς μετ' ἰσημερίαν, καὶ τῇ παρασκευῇ ἔπαθεν, ὡς ἴσμεν, καὶ αἱ γραφαὶ μεμηνύκασι, τεσσαρεσκαιδεκάτῃ κατὰ σελήνην τῆς παρασκευῆς συντρεχούσης. ἐν γὰρ τῷ πάσχα τῶν Ἰουδαίων ἔπαθε· τὸ δὲ πάσχα τῶν Ἰουδαίων τότε παρὰ τοὺς χρόνους πρὸς τὸ πάθος συνήγαγε, καὶ ἰσημερίαν προλαμβάνουσαν, καὶ τεσσαρεσκαιδεκάτην ἐνεστῶσαν, καὶ παρασκευὴν καὶ σάββατον καὶ κυριακὴν συναρμοζόμενος. δεῖξαι τί ταῦτα γέγονε, καὶ τίνος ἕνεκεν, ἤδη ὀφείλω λέγειν, καὶ ἑκάστου τῶν προκειμένων τὴν θεωρίαν ἀποδοῦναι, οὐκ ἀπὸ γλώττης ἐμῆς χαριζομένου τοῦ λόγου, ἀλλ' ἀπὸ πιστῶν πραγμάτων πιστοῦ δεικνυμένου τοῦ λόγου. ὅτι μὲν γὰρ ἡ ἰσημερία προέστηκε τοῦ ἀληθῶς πρώτου χρόνου, τοῦτο δῆλον ἐπὶ τῆς τοῦ Θεοῦ δημιουργίας ἐστί. πρῶτον μὲν γὰρ μῆνα ζητοῦμεν διὰ τὸν πρῶτον χρόνον· ὁ δὲ πρῶτος χρόνος ἀρχὴν ὀφείλει ἔχειν τὴν πρώτην ἡμέραν καὶ νύκτα ἐν ἴσῳ διαταχθεῖσαν. οὐδὲ γὰρ ἄλλη ἥρμοσεν ἀρχὴ τῷ πρώτῳ χρόνῳ, ἢ ἰσότης τῶν εἰρημένων. ἔδει γὰρ δημιουργεῖσθαι μέλλοντος χρόνου, καὶ ἡμέρας καὶ νυκτὸς ἄρτι παραγομένων, τὰς ὑπάρξεις τούτων ὡρισμένας δειχθῆναι ἐν ἴσῳ· εἶθ' οὕτω τῇ κινήσει τὴν ἀνωμαλίαν ἐπιτραπῆναι. εἰ γὰρ ἡ κίνησις τὸ ἀνώμαλον ἔχει, ἡ δημιουργία ὤφειλε τὴν ἰσότητα δεῖξαι. ὅμως δὲ βούλομαι τοῦτο ἐκ τῆς γραφῆς παραστῆσαι. Ἐν ἀρχῇ, φησιν, ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. εἶτα ἐπάγει, ὅτι σκότος ἦν, καὶ φῶς οὐδέπω ἦν. καὶ εἶπεν ὁ Θεὸς, Γενηθήτω φῶς, καὶ ἐγένετο φῶς. καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτὸς, καὶ ἀνὰ μέσον τοῦ σκότους· καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα. ἔχεις πρώτην ἡμέραν καὶ πρώτην νύκτα. τί γάρ; πῶς εἶπεν ὅτι καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον

ἴσ. συναρμοζόμενα

σον τοῦ φωτός, καὶ ἀνὰ μέσον τοῦ σκότους, ὃ διέταξεν εἰς νύκτα; τὸ γὰρ ἀνὰ μέσον εἰς τὰ δύο ἄκρα ποιεῖ. ἐπειδὴ γὰρ πάντα, ὅσα ἐδημιούργησεν ὁ Θεός, ἐν ὡρισμένῃ ἐδημιούργησε φύσει, εἰκότως καὶ ἡμέραν καὶ νύκτα ταῖς πρώταις ἐν ὡρισμένῃ καὶ ἴσως ἐχούσῃ περιῆγε περιγραφῇ, καὶ ἀπαρτίσας τὸ μέτρον, ἕως ἄρα κάλλιστα εἶχεν· εἶτα οὕτω, καθὰ ἤδη φθάσας εἶπον, τῇ κινήσει λοιπὸν ἀφῆκε τὴν ἀνωμαλίαν ἐργάζεσθαι. εἰ μέντοι πρώτη στάσις ἐν ἴσῳ, γέγονε τοίνυν ἡ ἰσημερία ἀρχὴ τοῦ χρόνου τοῦ πρώτου, ὡς ἀποδέδεικται. εἶτα μετὰ ἰσημερίαν, σκόπει ὃ λέγω, τετάρτῃ ἡμέρᾳ γέγονεν ἥλιος καὶ σελήνη. ἰσότης ἰσημερίας εἰσὶν οἱ φωστῆρες. ἕκτῃ ἡμέρᾳ πλάττει τὸν ἄνθρωπον· καὶ ἔπειτα τῇ ἑβδόμῃ καταπαύει ἀπὸ πάντων τῶν ἔργων. τῇ ἐπιούσῃ, ἥτις ἐστὶ καὶ πρώτη, οἷα τελειωθὲν λοιπὸν τὸ σύμπαν ἀφῆκεν ἐν τάξει φέρεσθαι. τηρεῖ δὴ γὰρ τούτων τηρουμένων καὶ τῆς σῆς μνήμης παραστάσης εὐδοκιμῆσαι τὸν ἑρμηνεύοντα λόγον. ἐποίησεν οὕτω τὸν ἄνθρωπον ὁ Θεός, καὶ ὡς Θεὸς ἀγαθὸς τοσοῦτον καὶ τηλικοῦτον ἐποίησε τὸν ἄνθρωπον· μὴ γὰρ ὅρα αὐτοῦ τὴν ἀβελτηρίαν, ἀλλὰ τὴν πρώτην φαντάζου κατάστασιν. καὶ γὰρ κατ᾿ εἰκόνα αὐτὸν ἑαυτοῦ ἐποίησε. καὶ ἵνα δείξῃ αὐτοῦ τὴν φύσιν τοῖς ἄστροις ἁμιλλωμένην, ἐμφαίνει, ὅτι καὶ γυμνὸν ἔθηκεν ἐν τῷ παραδείσῳ στολῆς οὐ χρῄζοντα. οὐδέπω γὰρ ὕβρις συνεληλύθει τῇ ὄψει, ἵνα καὶ σκέπης δέηται ἄνθρωπος. ἀλλ᾿ ἡ γραφὴ μαρτυρεῖ, ὅτι ἐποίησε τὸν ἄνθρωπον, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ, καὶ ὅτι γυμνοὶ ἦσαν, καὶ οὐκ ᾐσχύνοντο. ἀλλ᾿ ὥσπερ ἥλιος καὶ σελήνη τῇ ἑαυτῶν γυμνώσει ἐγκαλλωπίζονται, οὕτω δὴ καὶ οὗτοι ἠφείθησαν τῇ φυσικῇ εὐπρεπείᾳ ἐνωραΐζεσθαι. τοσαύτην οὖν εὐεργεσίαν εἰς τοῦτον εἰσενεγκάμενος ὁ Θεός, καὶ ἀβροδίαιτον αὐτὸν ἐν παραδείσῳ καταστησάμενος, τῶν τε χαρίτων πλουσίως αὐτῷ μεταδούς, καὶ τὴν αὐτοῦ αἴσθησιν κατὰ τὸ δίκαιον ἐπεζήτει, καὶ ὑπακοῇ τιμᾶσθαι τὴν χάριν ἐδίδαξε. καὶ ἐπειδὴ εἶδεν ὁ Θεός, ὅτι ἀδύνατον αὐτῷ συμφυλαχθῆναι τὴν δωρεάν, εἰ μὴ καταφυγὴ καὶ τιμὴ τῇ πρὸς τὸν δεδωκότα Θεόν, νόμον αὐτῷ φρουρὸν ὁρίζει τῆς φύσεως, ἵνα μνήμῃ καὶ βοηθείᾳ τοῦ νομοθέτου, οἷα ἀγαθοῖς τισι φαρμάκοις φυλάττηται· καὶ ἀθανασίαν μὲν αὐτῷ τηρουμένου τοῦ νόμου κατεπαγγέλλεται, θάνατον δὲ παραβαίνοντος. ἀλλὰ τούτων οὕτως ἐχόντων γέγονε τὰ γινόμενα, καὶ φθόνῳ τοῦ διαβόλου πεισθεὶς παραβῆναι τὸν νόμον ὁ ἄνθρωπος, φθαρτὸς γέγονε, καὶ ἔξω τίθεται τοῦ παραδείσου· καὶ λοιπὸν εἰς πλῆθος δοθείς, βίον τε κτηνώδη ἔζη, καὶ ἀθείας τε καὶ ἀκολασίας δοχεῖον ἐγένετο. καὶ διὰ τοῦτο προφῆται ἐβόων, καὶ περὶ τῆς πρώτης αὐτοῦ ἀξίας, καὶ μετὰ ταῦτα ἀναξιότητος· Ψαλ. μη. ιγ. Ἄνθρωπος ἐν τιμῇ ὤν, οὐ συνῆκε· παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. τούτων δὴ οὕτως ἐχόντων καὶ ἀπολλυμένης τῆς φύσεως, βουληθεὶς ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ σὺν πατρικῇ γνώμῃ ἐπαναγαγεῖν τὸν ἄνθρωπον, καὶ τῆς ἐπηρτημένης δίκης ἐξαρπάζειν αὐτόν, καιρὸν τῆς βοηθείας καὶ τρόπον ἐπινοεῖ· καιρὸν μέν, ὃν εὐκαίρως ἐπιστῇ πρὸς τὴν ἴασιν· τρόπον δέ, ἵνα κατάλληλος αὐτὸς πρὸς τὴν ἐκκαθάρσεως ἀποκατάστασιν γένηται· καὶ δὴ γενόμενος ἄνθρωπος, μετὰ τοῦ μεῖναι Θεός, τὸ παγκόσμιον πάθος ὑπέμεινεν. εἶπον πολλάκις περὶ τούτου τοῦ θύματος. πολλὰ ἐλέγχων προῆλθον, ἐξ αὐτῶν τῶν Ἰουδαίων πρὸς Ἰουδαίους, καὶ ἐξ αὐτῶν τῶν Ἑλλήνων πρὸς Ἕλληνας τὰς ἀποδείξεις ποιούμενος, καὶ ἀποτρόπαιον τοῦτο τὸ σφάγιον καὶ καθαιρετικὸν καὶ δαιμόνων καὶ κινδύνων καὶ ἐχθρῶν καὶ πάσης αἰσχρότητος τοῖς πράγμασιν ἐμφαίνων· ἵνα μὴ πάλιν τὸν πρὸς ἐκεῖνον ἄρτι ἀναλαβὼν λόγον, ἐμποδίσω ἐμαυτὸν πρὸς τὸν προκείμενον τοῦ λόγου εἱρμόν. ἐπειδὴ οὖν ἠβουλήθη ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ ἀνάστασιν τῷ ἐκπεπτωκότι ἀνθρώπῳ ποιήσασθαι, καὶ ἀνανεώσασθαι τοῦτον, καὶ τῷ πάθει τῷ ἰδίῳ ἐπὶ τὸν πρῶτον ἀνακτίσαι τρόπον, βλέπε τί πράττει. ἐπειδὴ αὐτὸς ἦν τοῦ πρώτου δημιουργός, ἔμελλεν αὐτοῦ καὶ πεσόντος εἶναι θεραπευτὴς ἐπὶ διορθώσει ὅλης τῆς φύσεως. προσάγει μὲν τῷ πάθει ἑαυτόν, ὅλον δὲ χρόνον παραλαμβάνει πρὸς ἀνανέωσιν, ὅνπερ καὶ πρὸς τὴν κτίσιν παρείληφεν· ἵνα καὶ τὸ τέλος τῇ ἀρχῇ σύμφωνον φαίνηται, καὶ ὁ τρόπος τοῦ δημιουργοῦ ὁ αὐτός. ἠβουλήθη γάρ, ἐπείπερ καὶ χρόνον καθαρώτατον ὑπεστήσατο ἐπὶ τῇ τοῦ πρώτου ἀνθρώπου πλάσει, ἐπεὶ δὲ ὁ πρῶτος χρόνος ἐμολύνθη διὰ τῆς παραβάσεως, σὺν αὐτῷ τῷ παραβάντι φθαρείς, καὶ μεμολυμμένον λοιπὸν τὸν ἑξῆς αἰῶνα ἀπέδειξεν, αὐτὸν τὸν πρῶτον χρόνον ἐπὶ τῷ κατορθώματι τοῦ ἀνθρώπου παρειλήφει· ἵνα σὺν τούτῳ τῇ ἐκ τοῦ πάθους καθάρσει καὶ τὸν ἑξῆς αἰῶνα ἐκ κορυφῆς καθαρώτερον ἀποφήνειεν, ἵνα ἐν ταὐτῷ τὰ πάντα δείξειε, καὶ τὴν τοῦ ἀνθρώπου ἀνανέωσιν, καὶ τὴν τοῦ αἰῶνος καθαρότητα, καὶ τὸν διορθωτὴν καὶ δημιουργὸν τῆς φύσεως ἐξ αὐτῶν τῶν χρονικῶν συμβόλων σαφῶς ἀποδείξειε. τίς οὖν ὁ πρῶτος χρόνος; τίς ἡ κορυφὴ χρόνου τοῦ πρώτου; ἰσημερία, ἀδελφέ, ὡς ἐδείξαμεν, ἡμέρας καὶ νύκτας ἴσα τμήματα ἀπαιτοῦντες, καὶ ἰσημερία ἐαρινή· ὅθεν ὁ τοῦ ἔαρος ἐξ αὐτῆς τῆς κατὰ τὴν ἱστορίαν ἀκολουθίας. ἱστορεῖ γοῦν ὁ Μωϋσῆς, ὅτι τῇ τρίτῃ ἡμέρᾳ ἐκέλευσεν ὁ Θεὸς τὰ ἄνθη καὶ τὰ δένδρα καὶ τὰς βοτάνας γενέσθαι· ἔαρος δὲ σύμβολα ταῦτα, τὰ συμφωνοῦντα τῇ τέχνῃ, ὁδῷ καὶ τάξει τοῦ Θεοῦ τὰ πάντα κτίζοντος. ἐπειδὴ οὖν πρώτη δημιουργία τοῦ ἀνθρώπου μετ' ἰσημερίαν ἐγένετο ἕκτῃ τῆς ἰσημερίας ἡμέρᾳ (τῇ γὰρ παρασκευῇ ἐκτίσθη ὁ ἄνθρωπος) τὸ δὲ τῆς σελήνης πλησιφαὲς καὶ αὐτὸ μετ' ἰσημερίαν ἐδημιουργήθη τετάρτῃ ἡμέρᾳ, διάπτωσις δὲ ἐξ ἁμαρτίας τοῦ ἀνθρώπου ἐγένετο, διὰ τοῦτο τὴν διόρθωσιν αὐτοῦ καὶ τὴν ἀνανέωσιν ἐπὶ τῆς κατὰ τὴν κτίσιν αὐτοῦ προθεσμίας ἀναλαμβάνει, καὶ ἰσημερίαν, καὶ τεσσαρεσκαιδεκάτην τὴν μετ' ἰσημερίαν, καὶ ἡμέραν ἕκτην συναγαγών, ἵνα διὰ πασῶν προθεσμιῶν τὴν τοῦ παθόντος ἀνάστασιν δείξῃ, καὶ τῆς φύσεως ἀνανέωσίν τε καὶ ἀνακεφαλαίωσιν. διὰ τοῦτο ὁ ἀπόστολος ταύτην τὴν ἀνακεφαλαίωσιν ἐμφαίνων ὑπὸ τοῦ Θεοῦ γινομένην, ἔλεγεν· Ἐν πάσῃ σοφίᾳ καὶ φρονήσει γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ, κατὰ τὴν εὐδοκίαν αὐτοῦ, ἣν προέθετο ἐν αὐτῷ εἰς οἰκονομίαν τοῦ πληρώματος τῶν καιρῶν, ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ, τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ γῆς. ὁρᾷς πῶς ἀνακεφαλαίωσιν τῶν ἐπὶ γῆς λέγει πρὸς τὰ οὐράνια; ἐκπτώσεως δὲ τοῦ ἀνθρώπου γενομένης καὶ διαμερισμοῦ ἀπὸ τῆς εὐσεβείας τῶν οὐρανίων ἀγγέλων εἰς ταύτην ἐπανάγει διὰ τοῦ πάθους· τὴν ἕρωσιν ἡμᾶς προμηθούμενος, τί ἄλλο, ἢ ἀνακεφαλαίωσιν ἀγαθῶν πραγματεύεται; διὸ καὶ τοὺς χρόνους τῆς δημιουργίας ἐπὶ τῇ διορθώσει παραλαμβάνει, καὶ μυστήριον ἔχεις ἀκοῦσαι μέγιστον. ἐπειδὴ γὰρ δυσχερῶς οὗτοι οἱ χρόνοι συμπίπτουσι κατὰ τὸν πρῶτον τρόπον εἰς μίαν καὶ τὴν αὐτὴν ἑβδομάδα (πρόσεχε ὅτι ἡ πρώτη ἑβδομὰς ἐκείνη κατὰ τὴν δημιουργίαν, φημί, ἐν αὐτῇ εἶχε τὴν μὲν ἰσημερίαν ἐν ἀρχῇ, ἔπειτα τὴν πλησιφαῆ σελήνην κατὰ τὴν τετάρτην ἡμέραν ὑφεστῶσαν, καὶ τὴν ἕκτην εὐθέως, ἐν ᾗ ἐπλάσθη ὁ ἄνθρωπος· οὐ μὴν ἀεὶ τοῦτο συμβαίνειν δύναται κατὰ τὴν μίαν καὶ τὴν αὐτὴν ἑβδομάδα) ἐπειδὴ δυσχερὲς ἦν καὶ δυσπόριστον ἐν μιᾷ ἑβδομάδι κατὰ τὴν πρώτην δημιουργίαν ταύτας ὑφ' ἓν τὰς προθεσμίας συναγαγεῖν, ὥστε συνδρομῆς τύπον πρὸς τὴν τοῦ πάθους οἰκονομίαν ὁ σωτὴρ ἐχρῄζεν, ἵνα τὴν προκειμένην ἀνακεφαλαίωσιν δείξειε· διὰ τοῦτο πολλάκις ζητούμενος ὑπὸ τῶν Ἰουδαίων ἀναιρεθῆναι, μήπω τῆς συνδρομῆς τῶν χρόνων ἐκπεπληρωκυίας, ὑπέφυγε. καὶ ἔχεις ἐν τοῖς εὐαγγελίοις, ὅτι ἠθέλησαν αὐτὸν συλλαβεῖν οἱ Ἰουδαῖοι, καὶ ὁ σωτὴρ ἀνεχώρησε. καὶ τοῦτο οἱ ἀμαθεῖς τὸ μυστήριον δειλίαν ἐνόμισαν. οὐκ ἦν δὲ δειλία, ἀλλὰ τῆς συνδρομῆς τῶν προθεσμιῶν ἐπιτήρησις. ὅτε μέντοι συνῆγεν ὁ υἱὸς τοῦ Θεοῦ τοὺς χρόνους, ὅτε τὴν ἑβδομάδα πρὸς τὴν ἀρχαίαν δημιουργίαν ἥρμοσε, καὶ ἰσημερία καὶ πλησιφαὴς σελήνη καὶ ἡ παρασκευή, ἐν ᾗ ἔδει παθεῖν τὴν ἀνανέωσιν δειχθῶσαι σύνδρομον, τὸ τηνικαῦτα ἐπιδίδωσι μὲν ἑαυτὸν τῷ πάθει. ἐπάρας δὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν εἶπε, Πάτερ, ἐλήλυθεν ἡ ὥρα· δόξασόν σου τὸν υἱόν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε· καὶ πρὸς τοὺς μαθητάς, Ἐλήλυθεν ἡ ὥρα, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου. οὕτως ἐπιμελὲς γέγονε τῷ μονογενεῖ υἱῷ τοῦ Θεοῦ, πάντας τοὺς χρόνους τοὺς πρώτους, καθ' οὓς πλασθεὶς

διέπεσεν

Ἐφεσ. α. η.

Ἰωαν. ιζ. α.
Ἰωαν. ιϐ. κγ.

ἴσ. παρειληφέναι

ἴσ. τὴν στερέωσιν

ἴσ. ὡς τὸ συνδρ.

ἴσ. παθεῖν, ἢ τὴν ἀνανέωσιν δειχθῆναι σύνδρομα

διέπεσεν ὁ ἄνθρωπος, συναγαγεῖν ἐπὶ τῇ διορθώσει αὐτοῦ, καὶ τὴν ἀποστολικὴν ἀνακαίνωσιν τῆς φύσεως ὑποδεῖξαι, αὐτῆς τῆς συμβουλῆς τῶν προθεσμιῶν ἀναγκαίας οὔσης τῷ πράγματι. διὰ τοῦτο ἐπὶ τῷ πάθει καὶ ἰσημερία, οἷα κορυφὴ τοῦ χρόνου, τετήρηται. πρὸ μὲν γὰρ ταύτης τῆς ἰσημερίας, πρὸ τοῦ ἡμέραν ἡγεῖσθαι, ἦν σκότος· καὶ οὐκ ἦν ἄξιον ἐν τῷ τόπῳ τοῦ σκότους τὸ πάσχα ποιεῖν καὶ διορθοῦσθαι τὸ σφάλμα, ὅτι μηδὲ ὁ πρῶτος ἄνθρωπος ἐν τῷ σκότει, ἀλλὰ μετὰ τὸ φῶς πλεονάζειν μετ' ἰσημερίαν ἢ ἐπικρατεῖ τῆς νυκτός. ἔδει οὖν καὶ τὸ ἐπὶ διορθώσει πάθος γινόμενον ἐν τοιαύτῃ καταστάσει δειχθῆναι, ἐν ᾗ τὸ φῶς τῆς ἀληθείας ἔμελλεν αὔξειν, τοῦ σκότους μειουμένου τῆς ἀσεβείας. Ἀλλ' ἡ μὲν ἰσημερία ἐπὶ τῷ πάθει τετήρηται διὰ τὴν ἀνακεφαλαίωσιν τοῦ πρώτου χρόνου· ἡ δὲ παρασκευὴ ὡσαύτως, ἐπειδὴ ὁ πρῶτος ἄνθρωπος ἐν ταύτῃ ἐπλάσθη· καὶ ἔχρην ἐν ᾗ πλασθεὶς διέπεσεν, ἐν ταύτῃ αὐτὸν καὶ διορθωθῆναι. τὸ δὲ σάββατον ἡ γραφὴ πρὸς ἀνάπαυσιν, οὑτωσὶ λέγουσα· Καὶ κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ ἡγίασεν αὐτήν. οὕτως οὖν καὶ ὁ Κύριος ἅπαξ τὴν ἀνακεφαλαίωσιν ἐργασάμενος, τῇ παρασκευῇ παθὼν καὶ τελέσας τὰ ὑπὲρ τοῦ πεπτωκότος ἀνθρώπου τῆς διορθώσεως ἔργα, τῇ ἑβδόμῃ καταπαύει καὶ διαμένει ἐν τῇ καρδίᾳ τῆς γῆς, τοῖς ἐν ᾅδου λοιπὸν δωρησάμενος τὴν ἐκ τοῦ πάθους ἐλευθερίαν. [illegible] ὅτι Κύριος καταπαύει νῦν ἀπὸ πάντων τῶν ἔργων. ἐπειδὴ διάπτωσις τοῦ ἀνθρώπου ἐκ τῆς παραβάσεως ὤφθη, ὑπελείπετο πάλιν ἔργον τῷ Θεῷ, ὃ ἔμελλε κατορθοῦν ἐπιμαγῆν. τοῦτο δὲ ἐπὶ τῷ πάθει ποιήσας καὶ ἀνασωσάμενος τὸν ἀπολωλότα ἄνθρωπον, ὃν ἔσωσε, τῇ ἡμέρᾳ τοῦ κατὰ τὸ πάσχα σαββάτου κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων, μηδενὸς ἐπιλειπομένου ἔτι ἔργου πρὸς ἐργασίαν τοῦ ἡμῶν σωτηρίου. οὕτω δὲ καὶ ἰσημερίαν, καὶ παρασκευὴν, καὶ σάββατον κατὰ τὴν ἀρχαίαν τηρήσας ἐπὶ τῷ πάθει ἀκολουθίαν, τῇ μιᾷ τῶν σαββάτων ἐπιδείκνυσι τῆς ἀναστάσεως τὸ φῶς· καὶ τοῦτο τῷ τοῦ χρόνου εἱρμῷ. αὕτη γὰρ ἦν πάλιν πρώτη τοῦ παντὸς χρόνου ἡμέρα, ἣν καὶ τότε τοῦ αἰσθητοῦ τὸ φῶς ἀρχὴν καὶ νῦν ἀκολούθως τὸ τῆς ἀναστάσεως νοητοῦ ἀρχαῖον προεστήσατο. Ταῦτα δὲ πάντα τηρήσας κατὰ τὴν πρώτην δημιουργίαν, καὶ τὴν πλησιφαῆ σελήνην, ὡς ἔφαμεν, καθ' ἐκείνην μετ' ἰσημερίαν ἐτήρησεν. ἔχει δέ τι καὶ αὐτὴ ἕτερον θαῦμα, δι' ὃ τετήρηται. ἐπειδὴ γὰρ ἤμελλε σκότος γίνεσθαι ἐπὶ τῶν τοῦ σωτῆρος παθῶν, Ἕλληνες δὲ καθ' ὑποδρομὴν σελήνης ἡλίου ἔκλειψίς φασιν, ἵνα μὴ τὴν θεοσέβειαν τέχνῃ ἑλληνικῇ διακρούσηται, τῇ τεσσαρεσκαιδεκάτῃ κατὰ σελήνην ἀφείληπται, ὡς ἂν, πλησιφαοῦς αὐτῆς ὡς ἐν πλάτει οὔσης κατὰ τὸ πάθος, καὶ κατὰ διάμετρον τῶν ἡλιακῶν ἀντιμεταπλούσης δρόμων, ἀνεπισκίαστον ὤφθη τὸ θαῦμα, ὅλης κατὰ τὸ ἄγος, οὐ τέχνης ἐμφαινομένης. Διὰ ταῦτα πάντα τὰς ἀρχαίας ἐπὶ τῷ νέῳ πάθει προθεσμίας ἐτήρησεν ὁ Χριστός· διὰ τοῦτο δὴ καὶ ἡμεῖς τηροῦμεν πάντας τοὺς χρόνους, εἰς ἔνδειξιν τῶν μυστηριωδῶν λογισμῶν τὸ μίμημα προφέροντες. ἀλλ' ὁ μὲν σωτὴρ τὸ ἀληθινὸν ἐκτελεῖ πάσχα ὑπὲρ τοῦ τῆς ἐπικρεμαμένης δίκης τοὺς πάντας ῥύσασθαι, εἰκότως, οἷα ἐπ' ἀληθινῷ καὶ κυρίῳ πάσχα, πάντας τοὺς προειρημένους χρόνους μετὰ ἀκριβείας ἐν τῇ ἑβδομάδι κατὰ τὸ ἀρχαῖον συνήγαγεν, ἵνα τὴν ἀνακεφαλαίωσιν ἀκριβῶς ἐκπληρώσειεν· ἡμεῖς δὲ, ἐπεὶ μὴ δύναται οὕτω εἰς ἀεὶ συντρέχειν αἱ προθεσμίαι, μίμημα τοῦ ἀληθινοῦ πάσχα ποιοῦντες, ὅση δύναμις, τὸ μίμημα τῶν χρόνων περὶ τὸν τόπον συνάγομεν, ἀκριβῆ τῶν χρόνων κατάστασιν τῷ πρωτοτύπῳ πάσχα τοῦ σωτῆρος παραχωρήσαντες· ὅθεν ἅπαξ τυθέντος τοῦ μονογενοῦς καὶ πρὸς τὴν οἰκονομίαν ἀρκέσαντος, οὐκέτι ἄνθρωπος θύεται, ἀλλ' ὁ σωτὴρ ἐπὶ τῷ πάθει γινόμενος τῆς κυριωτάτης θυσίας ἄρτον καὶ ποτήριον μίμημα δίδωσι, τὸ μὲν, σῶμα ἴδιον, τὸ δὲ, αἷμα, ἀρρήτοις ἐπικλήσεσιν ἐκτελῶν, καὶ προστάττων ἐν τούτοις τοῖς τύποις τὸ πάσχα ποιεῖν. ἀκολούθως οὖν τῷ μιμήματι καὶ τοὺς χρόνους ἐν μιμήσει συνάγομεν, ὅση δύναμις, καὶ ἰσημερίαν καὶ τεσσαρεσκαιδεκάτην κατὰ σελήνην καὶ [illegible] περὶ τὸν τόπον ἀθροίζοντες, τὴν μὲν τεσ-

ἴσ. συμβολῆς

ἴσ. ἢ τὸ φῶς ἐπικρατεῖ

Gen. c. 2.

ἴσ. τοὺς πάντας

ἴσ. τῷ πρωτοτύπῳ πάσχα τοῦ σωτῆρος παραχ.

σαρεσκαιδεκάτην ἐξ ἀνάγκης κατὰ τὴν ἑβδομάδα, ὡς τὸ ἀρχαῖον διέδειξε, καὶ αὐτὴν τὴν
τριήμερον· τὴν δὲ ἰσημερίαν περὶ τῶν χρόνων τοῦ πάσχα, ὡς ἂν συνερχόμενοι. ὁ μὲν σωτὴρ
τὸ κυριώτατον πάσχα ἐπιδειξάμενος, ἀποτρόπαιον τῶν ἐπηρτημένων ἡμῖν κακῶν καὶ δαιμόνων καὶ
εἰδωλολατρείας καὶ πάσης λύμης ἀπέφηνε, καὶ ἐλευθέραν τὴν φύσιν ἡμῶν πρὸς τὴν τῆς
μακαριότητος ἐπανάληψιν ἀπειργάσατο. ἐπειδὴ δὲ προσέταξεν ἐπὶ τῶν χρόνων καὶ τοῦ πάθους
Λουκ. κβ. ιθ. γενόμενος, καὶ ἡμᾶς τοῦτο μιμουμένους ποιεῖν ἐπὶ συμβόλοις οἷς ἔδωκε, φήσας, Τοῦτο ποιεῖτε
εἰς ἐμὴν ἀνάμνησιν, εἰκότως καθ' ἕκαστον ἐνιαυτὸν ἐπὶ τῆς αὐτῆς ἀναμνήσεως μετ'
ἰσημερίαν″ γενόμενον, εἰς σωτηρίαν πάντων ἡμῶν καὶ ἀποτροπὴν τῶν ἐπιγινομένων κακῶν ἴσ. γινομένην
καὶ τῶν οὐρανίων κρειττόνων μετάληψιν τὸν σωτῆρα μιμούμενοι τὸ πάσχα θύομεν, ἐπὶ φανοτάτῃ
φαιδρότητι τοῦ παντός. διὰ ταύτην τὴν αἰτίαν τὴν τῶν αἱρετικῶν ἄγνοιαν καὶ τὴν τῶν
Ἰουδαίων ἐπὶ τῷ τοῦ πάσχα μυστηρίῳ ἀπεδυσάμεθα, παραλαμβάνοντες ἀεὶ πρὸς τοῦτο ἰσημερίαν,
καὶ ζητοῦντες τὴν μετ' ἰσημερίαν τεσσαρεσκαιδεκάτην, καὶ οὕτω παρασκευὴν καὶ
σάββατον καὶ κυριακὴν τὴν τοῦ Κυρίου ἐπώνυμον, καθὰ πολλάκις ἐρρέθη διὰ τὸ αὐτὸν τὸν
Κύριον ταύτας τὰς προθεσμίας τετηρηκέναι ἐπὶ τῷ δεῖξαι τὸ τοῦ προβάτου αἴνιγμα. ὁ δ'
ὁ νόμος πάσχα ἢ καλεῖ ἐπ' αὐτοῦ τελεσθὲν εὐκαίρως ἀντεισαχθέντος. ὅρα γάρ, ἀδελφέ, τὴν
ἀνάγκην τοῦ πράγματος εἰς δεῖξιν τῆς ἀληθείας. ἐκέλευσε Μωϋσῆς, πρώτῳ μηνί,
τεσσαρεσκαιδεκάτῃ σελήνης τὸ πρόβατον σφαγιάζεσθαι, ὃ δὴ τύπον τοῦ σωτῆρος εἶναι προφῆται
Ησ. νγ. ζ. ε. ἐβόων. ὅθεν δὴ καὶ προέβαλον αὐτὸ τῷ σωτῆρι, καὶ ἔλεγον, Ὡς πρόβατον ἐπὶ σφαγὴν
ἤχθη, καὶ ὡς ἀμνὸς ἔναντι τοῦ κείραντος αὐτὸν ἄφωνος· τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν.
Ιωαν. α. κθ. διὸ θεασάμενος τοῦτον ὁ πρόδρομος Ἰωάννης ἐβόα, Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν
τοῦ κόσμου. ἐπεὶ οὖν ἀκόλουθον ἦν προελθόντος τοῦ ἐναργοῦς παυθῆναι τὸν τύπον, οὐκ
ἄλλην προθεσμίαν ἐν ἄλλῃ ᾔτησεν ὁ Χριστός, ἢ τὴν τοῦ προβάτου σφαγήν, ὡς ἂν τὴν
ἀντεισαγωγὴν ἐπιδείξειε. διὰ τοῦτο συνάπτει μὲν πάντας τοὺς χρόνους, ὡς εἶπον, καὶ συντρέχει
τῇ παρασκευῇ ἡ τεσσαρεσκαιδεκάτη· καὶ νόμου κελεύοντος πρὸς ἑσπέραν καὶ ἀνὰ μέσον
τῶν ἑσπερινῶν τὸ πρόβατον σφάττεσθαι, καὶ ἡμέραν καὶ ὥραν τῆς σφαγῆς ἐπιτηρεῖ ὁ σωτήρ,
ἡμέραν μὲν τὴν παρασκευήν, ἐν ᾗ ἐκτίσθη ὁ ἄνθρωπος, ὥραν δὲ ἐνάτην· καὶ περὶ αὐτὴν
τὴν ἐνάτην ἐπὶ σταυροῦ ἀποπνεῖ. πρὸς ἑσπέραν μὲν γὰρ ἀπὸ τῆς ἑβδόμης ὥρας εἶναί
φασι μετὰ τὴν ἕκτην· τὸ δὲ ἀνὰ μέσον τῶν ἑσπερινῶν, εἰ ἀπὸ ἑβδόμης ἄρξῃ, τὸ κέντρον τῆς
ἐνάτης τετελεσμένον ἐστίν, ἐν ᾗ καὶ οἱ σοφοὶ τῶν Ἑβραίων ἱστοροῦσι τὸ πρόβατον θύεσθαι. ἐν
ταύτῃ οὖν τῇ ὥρᾳ τῆς σφαγῆς τοῦ προβάτου κατὰ τὴν παρασκευὴν ὁ σωτὴρ ἀποδοὺς τὸ
πνεῦμα, καὶ τὴν ἀντεισαγωγὴν τοῦ αἰνίγματος ἐπεδείξατο, καὶ τὴν ἀνακεφαλαίωσιν διὰ τῆς
τῶν χρόνων ἁρμονίας σαφῶς ἐποιήσατο. καὶ τοσαύτη ἦν ἡ ἀνάγκη τῆς ἀντεισαγωγῆς, ὥστε
ἑορτῆς οὔσης τοῦ πάσχα οὐκ ἠδυνήθησαν Ἰουδαῖοι εἰς τιμὴν τῆς ἑορτῆς μεταθεῖναι τὸ ἄγος,
ὃ δὴ καὶ ἄλλοι ἂν ἐποίησαν· ἀλλ' ἅπαξ πρὸς τὸν φόνον ἑκουσίως ὁρμήσαντες εἶχον τὴν δίκην
συγχωρουμένην τῇ ὁρμῇ, ὡς οὐκ ᾔδεσαν, πρὸς τὴν τῆς εἰσαγωγῆς φανοτάτην ἐκκάλυψιν.
τηρεῖται δέ σοι καὶ τῆς πλησιφαοῦς σελήνης ἡ κατὰ τὸ πάθος αἰτία, ὅτι ἐπείπερ ἤμελλεν ὁ
ἥλιος τοῦ τοιούτου γινομένου κατὰ τοῦ σωτῆρος ἄγους σκοτίζεσθαι, ἀπὸ ἕκτης ὥρας ἕως ἐνάτης,
καὶ τὰς ἑαυτοῦ ἀκτῖνας καθάπερ ὀφθαλμοὺς ἀναστρέφειν, ἵνα μὴ ἴδῃ τὸ ἄγος, ἡ πλησιφαὴς
τὸ πάθος ᾠκειώθη, ὡς ἂν μὴ ἔκλειψις ἡλίου καθ' ὑποδρομὴν σελήνης τοῖς Ἕλλησι νομισθῇ·
ἀλλ' ἐπὶ τοσοῦτον διεστηκυίας αὐτῆς τοῦ ἡλίου, ἀνάγκη τοῦ παθόντος ὁμολογηθῆναι·
″συμβῆναι τὸ σκότος τὸ ἀπὸ τῆς ἕκτης ὥρας κατὰ τὴν τῶν εὐαγγελίων φωνὴν ἐπὶ τῷ τοῦ σωτῆρος ἴσ. συμβαίνει ἢ τὸ
Αμως η. θ. πάθει γινόμενον, καὶ προφητικῶς ἄνωθεν προλαβὼν ἐβόα. φησὶ γοῦν Ἀμώς· Καὶ ἔσται
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος, δύσεται ὁ ἥλιος μεσημβρίας, καὶ συσκοτάσει ἐν ἡμέρᾳ
τὸ φῶς. καὶ ἐπειδὴ ἤμελλεν ἡ ἡμέρα αὕτη μερίζεσθαι φωτὶ καὶ σκότει, Ζαχαρίας αὖθις

ἄλλος

Ζαχ. ιδ. ϛ.

ἄλλος προφήτης φησί· Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐκ ἔσται φῶς, καὶ ἡ ἡμέρα ἐκείνη γνωστὴ τῷ Κυρίῳ, καὶ οὐχ ἡμέρα καὶ οὐ νύξ· καὶ πρὸς ἑσπέραν ἔσται φῶς. καὶ ὅλην τὴν ἀμφίβολον ποιεῖ τῇ παρὰ μέρος διαδοχῇ τοῦ σκότους καὶ τοῦ φωτός.

ἴσ. ἄλλην τι-
νὰ ἀμφ.

καὶ ἐπειδὴ ὁ προφήτης ἐβόα, ὅτι σκοτισθήσεται ὁ ἥλιος μεσημβρίας, καὶ ἐνίοτε τινὲς ἤμελλον ἀπιστεῖν εἰ ἀληθῶς γέγονε τοῦτο ἐπὶ τῷ τοῦ σωτῆρος, ἢ οὔ, ἔστιν ὑπὸ τοῖς σοῖς ὀφθαλμοῖς ἄρτι ὁρώμενον μέγα τεκμήριον· ἵνα ἐκ τοῦ τεκμηρίου τῆς ἀποκαταστάσεως βλέπων ζητήματος ἀπαλλάττοιο. τί οὖν παρακολουθεῖ σήμερον, ἵνα λεχθῇ ἡ δεσποτικὴ φωνή; πρὸς Ἰουδαίους ἀπειλῶν φησιν ὁ Ἀμώς, τοῦ πάθους τοῦ σωτῆρος τοῦ ἀγαπητοῦ τοῦ Θεοῦ προεβδηζόμενος, καὶ τὴν αὐτῶν παρανομίαν λυπηθείς· Δύσεται ὁ ἥλιος μεσημβρίας, καὶ συσκοτάσει ἐν ἡμέρᾳ τὸ φῶς· καὶ μεταστρέψω τὰς ἑορτὰς ὑμῶν εἰς πένθος, καὶ πάσας τὰς ᾠδὰς ὑμῶν εἰς θρῆνον· καὶ ἀναβιβάσω ἐπὶ πᾶσαν ὀσφὺν σάκκον, καὶ ἐπὶ πᾶσαν κεφαλὴν φαλάκρωμα· καὶ θήσομαι αὐτὸν ὡς πένθος ἀγαπητοῦ, καὶ τοὺς μετ' αὐτοῦ, ὡς ἡμέραν ὀδύνης.

ἴσ σωτῆρος
σταυρῷ ἤ

ἴσ. τί τοῦ πα.

Αμως η. θ.

τοῦ γὰρ δῦναι τὸν ἥλιον μεσημβρίας σημεῖα τέθεικε, μεταστροφὴν τῶν ἑορτῶν εἰς πένθος, καὶ τῶν ᾠδῶν εἰς θρῆνον, καὶ ταῦτα πάντα διὰ τὸν ἑαυτοῦ ἀγαπητόν, ἔφη, ὁ Θεὸς ποιήσει. τοιοῦτον γὰρ πένθος, φησίν, ἔσται, καὶ τοιαύτη ἀνάγκη δίκης, οἷα ἀναλογήσει πρὸς τὴν τοῦ ὑβρισθέντος ἀγαπητοῦ ἀξίαν. ὅρα τοίνυν, εἰ μὴ ἐξ οὗ πέπονθεν ὁ σωτήρ, παρακολουθεῖ τὰ πάθη· εἰ μὴ μετεστράφησαν εἰς πένθος αἱ ἑορταὶ αὐτῶν· εἰ μὴ αἱ ᾠδαὶ αὐτῶν εἰς θρῆνον· οὐκ ἔδυ ὁ ἥλιος μεσημβρίας. εἰ δὲ συνορᾷς τὸ μέγα θαῦμα, ὅτι ἐν ἑορτῇ μὲν τοῦ πάσχα ἐσταυρώθη ὁ Χριστός, ἡ δὲ δίκη τούτου χάριν μετέβαλει εἰς πένθος τὰς ἑορτάς, Ῥωμαίων μὲν ἐπελθόντων, τῶν δὲ Ἰουδαίων συμφυγόντων ἁπάντων, ὥσπερ εἰς κοινὴν παγίδα τὴν Ἱερουσαλήμ, καὶ ἐν αὐταῖς ταῖς ἑορταῖς, ὡς ἡ ἱστορία φησί, ξίφει καὶ πυρὶ καὶ οἰμωγαῖς ἀνονήτοις δαπανηθέντων, ὡς ὑπὸ τοσούτων κακῶν ἐστοιχισμένων αὐτῶν ῥητῶς ἀποδεῖξαι τὴν μεταβολὴν καὶ τῶν ἑορτῶν εἰς πένθος, καὶ τῶν ᾠδῶν εἰς θρῆνον, δῆλον ὅτι, τούτων ἐκβεβηκότων ἐπ' ὄψεσιν, ἔδυ ὁ ἥλιος μεσημβρίας. τοῦτο γὰρ σημαίνει τὰ εἰρημένα. διετῆ γοῦν χρόνον ὁ πόλεμος, καὶ τοὺς Ἰουδαίους ἐπὶ πένθη ἀνάλωσε, καὶ ἄχρι τῆς σήμερον τὸ πένθος τῆς Ἰουδαίας παρέτεινε.

ἴσ. πένθει

ποῦ γὰρ ὁ ναός; ποῦ ἡ ἱερωσύνη; ποῦ ἡ βασιλεία; ποῦ τὸ ὁρμητήριον; ποῦ ἡ τοῦ νόμου πόλις; πάντα οἴχεται, πάντα ἀπέσβη, πάντα ἐκ βάθρων ἦρται, δύναντος τοῦ ἡλίου, εἰς πένθος μετέβαλεν. ἐπειδὴ οὖν ταῦτα μεγάλων μυστηρίων χάριν ἐπετελεῖτο ἐπὶ τοῦ σωτῆρος πάσχοντος, διὰ τοῦτο καὶ ἡμεῖς καθ' ἕκαστον πάσχα τοῦ μυστηρίου τὴν σημασίαν ἀναλύεσθαι πειρώμενοι, καὶ τὰς προθεσμίας συνάγομεν, ὅση δύναμις, καὶ παραλαμβάνομεν καὶ τὴν τεσσαρεσκαιδεκάτην, οὐ μόνον διὰ τὰς λοιπὰς θεωρίας τὰς εἰρημένας καὶ τὰς μὴ ῥηθείσας, ἀλλὰ καὶ διὰ τὸ τοῦ δῦναι τὸν ἥλιον μεσημβρίας, ἵνα φαίνηται οὐ τέχνης ἐκλειπτικῆς, ἀλλὰ δίκης ἔργον τὸ σκότος, ὡς πολλάκις ἐρρέθη, οὐχ ὑποδραμούσης σελήνης, ἀλλὰ κατὰ διάμετρον τῷ ἡλιακῷ ἀνατελλούσης δρόμῳ, καὶ οὕτως, ὡς ἄν τις εἴποι, κινουμένης γινόμενοι, ἵνα ᾖ σημεῖον τοῦ συμβεβηκότος θαύματος ἡ τεσσαρεσκαιδεκάτη τοῖς πᾶσιν αἰώνιον.

ἴσ. τὸ

παραλαμβάνομεν καὶ παρασκευὴν καὶ σάββατον καὶ κυριακὴν διὰ τὰς προρρηθείσας αἰτίας, καὶ ὁλόκληρον τοῦ μυστηρίου τὴν θεωρίαν τῇ τῶν προθεσμιῶν συνδρομῇ ἐκπληροῦντες, καὶ τὴν τῶν Ἰουδαίων ἄνοιαν, καὶ τὴν τῶν μὴ τοῦτον τὸν τρόπον ἀσμενιζόντων αἱρετικῶν μανίαν ἀποπεμπόμεθα, καὶ χαρακτῆρα ὁλοτελῆ τῆς τοῦ παντὸς ἀνακεφαλαιώσεως ἐπὶ τῇ τοῦ πάσχα ἱερᾷ τελετῇ προβαλλόμεθα. ἐν ὅλαις γὰρ ταῖς προθεσμίαις ταύταις τοῦ Χριστοῦ παθόντος, ἀνάγκη καὶ ἡμᾶς ποιεῖν ὡσαύτως τὸ πάσχα, ὅση δύναμις, καὶ εἴ τι ἂν τούτων λείποι, σκάζει κινδυνωδῶς ἡ μίμησις. ἐπεὶ οὖν ἀρκούντως περὶ τούτων ἀκήκοας, ἀναγκαῖον ἂν εἴη λοιπὸν καὶ τὴν αἰτίαν εἰπεῖν, δι' ἣν νῦν ἡ τοῦ πάσχα παράστασις γέγονεν, ὅπερ ἀρξάμενος τοῦ λόγου ἐπήγγελμαι. Εἰρήκαμεν, ἀδελφέ, ὅτι δεῖ ἐπὶ τῷ πάθει καὶ τὴν ἐαρινὴν ἰσημερίαν, καὶ τὴν τεσσαρεσκαιδεκάτην κατὰ σελήνην, οὐ πρὸ ἰσημερίας, καὶ τὸ σάββατον, καὶ τὴν κυριακὴν συλλαμβάνειν.

λαμβάνειν. ἐὰν οὖν ποτε συμβαίνῃ τὴν τεσσαρεσκαιδεκάτην κατὰ σελήνην πρὸ ἰσημερίας ἐμπίπτειν, ἐκείνην μὲν ἀκυροῦμεν, ἄλλην δὲ ζητοῦμεν τὴν ὀφείλουσαν μετ' ἰσημερίαν γενέσθαι· καὶ συμβαίνει ἐν τούτῳ μῆνα ἐμβόλιμον παρεμπίπτειν εἰς γένεσιν τῆς μετ' ἰσημερίαν τεσσαρεσκαιδεκάτης. νῦν δὲ, ἀδελφέ, εἰς τοῦτο τὸ προκείμενον ἡμῖν πάσχα ἡ τεσσαρεσκαιδεκάτη ὡς πρὸ δύο ἡμερῶν τῆς ἰσημερίας ἐμπίπτει, καὶ ἄκυρος γέγονε. ἔδει ζητοῦμεν τελέσαι τὸν μῆνα τῆς σελήνης καὶ τὴν ἐπιοῦσαν τεσσαρεσκαιδεκάτην παραλαβεῖν· ἵνα ἐν ταύτῃ τὸν μῆνα τοῦ σωτῆρος ἀπεργασώμεθα. μηνὸς οὖν ἐμβολίμου χρῄζομεν. ἀλλ' ὥσπερ ἐθεασάμεθα ὅτι ἡ τεσσαρεσκαιδεκάτη κατὰ σελήνην πρὸ ἰσημερίας ἐὰν ἐμπέσῃ, οὐ ταύτης, ἀλλὰ τῆς μετ' ἰσημερίαν ἁρμόζοντας δεόμεθα· οὕτω πάλιν κατὰ σελήνην τεσσαρεσκαιδεκάτης κυριακῇ συνελθούσης, οὐκ ἄγομεν ταύτην τὴν κυριακὴν ἀναστάσιμον, ἀλλὰ τῆς ἑξῆς κυριακῆς χρῄζομεν, ὅτι ἡ μὲν τεσσαρεσκαιδεκάτη πάθους ἐστίν. ἐν γὰρ ταύτῃ πέπονθεν ὁ Χριστὸς τῇ παρασκευῇ συνελθούσῃ. καὶ ὥσπερ τὴν παρασκευὴν ἀναστάσιμον οὐ γνωρίζομεν, οὐδὲ τὴν τεσσαρεσκαιδεκάτην συζυγοῦσαν αὐτῇ, ἡ δὲ ὀφείλουσα ἐπὶ τῇ ἀναστάσει ἴσ. ἐπιστ. ὁρίζεσθαι κυριακὴ καθαρὰ τῆς παθητικῆς ἡμέρας κατ' ἀρχὴν τέτακται. ἐὰν οὖν συμπέσῃ αὐτῇ ὁ παθητικὸς τῆς τεσσαρεσκαιδεκάτης ἀριθμός, ταύτην ἀφέντες, τὴν ἑξῆς ὡς καθαρὰν πάθους διώκομεν. προκειμένου γὰρ ἡμῖν τοῦ κατὰ τὸν σωτῆρα ἐπὶ τὰ πάθη καὶ τῇ ἀναστάσει μιμήματος, ἀεὶ τὴν κυριακήν, ἣν μέλλομεν ἐπὶ τῇ ἀναστάσει ὁρίζειν, ἐλευθέραν πάθους, ὡς ὁ δεσπότης, διαφυλάττομεν, ἐπὶ ταῖς πρὸ ταύτης τὸ πάθος λαμβάνοντες. ἐπειδὴ τοῦτο τεθέασαι, πρόσεχε λοιπὸν ὃ λέγω. πρὸ δύο ἡμερῶν νῦν ἐμπίπτει, ὡς ἔφην, ἡ τεσσαρεσκαιδεκάτη κατὰ σελήνην τῆς ἰσημερίας. ἀνάγκην ἔχομεν ταύτην μὲν παραῤῥῖψαι, τὴν δὲ μετὰ ταύτην τεσσαρεσκαιδεκάτην ὡς μετ' ἰσημερίαν ἐκδέχεσθαι. ἀλλ' αὐτὴ πάλιν ἡ ἁρμόζουσα τεσσαρεσκαιδεκάτη μηνὸς ἑβδόμου εἰκάδι ἕκτῃ συντρέχει, ἐπειδὴ καὶ κυριακῇ συμπίπτει. ἐπεὶ οὖν ἡ τεσσαρεσκαιδεκάτη αὖ τῇ κυριακῇ συμπίπτει, τὴν τῆς ἀναστάσεως ἑορτὴν εἰς τὴν ἑξῆς κυριακὴν μετατίθεμεν τοῦ παθητικοῦ ἀριθμοῦ ἐλευθέραν εὑρημένην· καὶ οὕτω τῇ εἰκάδι ἕκτῃ τοῦ ἑβδόμου μηνὸς ἑβδομάδα ἐπισυνάπτοντες, εἰς δευτέραν ὀγδόου μηνὸς τὴν ἀναστάσιμον ἄγομεν· καὶ αὕτη ἐστὶν ἡ αἰτία τῆς παραστάσεως. εἰ δέ τις ἀντιλέγει ἐθέλοι περὶ τὴν εἰκάδα ἕκτην τοῦ ἑβδόμου μηνός· νῦν αὐτὴ ἡ κυριακὴ τὴν τεσσαρεσκαιδεκάτην τοῦ μηνὸς συμβαίνειν, στελλέσθω ἐπισκεψόμενος τὴν ἀντίρρησιν, εἰ βούλεται, καὶ τοὺς σοφοὺς τῶν Ἑλλήνων πρὸς τοῦτο παραλαβὼν μάρτυρας, ὅτι ὅλην τὴν κυριακὴν καὶ ταύτην καὶ τὴν μετ' αὐτὴν νύκτα ἕως ἕξεις εἰς τὴν ἐπιοῦσαν δευτέραν ἡ τεσσαρεσκαιδεκάτη καταλαμβάνει. καὶ μηδεὶς λεγέτω ὅτι οὐδέποτε ἐπὶ τοσαύτῃ παραστάσει τὸ πάσχα γεγένηται. καὶ τούτου πολλοὺς ἔχομεν μνήμονας μάρτυρας. ἔπειτα τὰ οὐδέποτε ἀληθῶς οὐδέποτε ἐπιστήμῃ ἁρμόζει· ἀλλ' ἀεὶ ὁ λόγος ζητεῖται τῆς ἐπιστήμης· καὶ πολλάκις ταχὺ γέγονε, πολλάκις ταχύτερον, καὶ πάλιν βραδύτερον, καὶ οὐδεὶς ἐπιστήμων τῇ ἀνωμαλίᾳ προσέχει τῶν χρόνων, ἀλλὰ τῇ ἁρμονίᾳ τῶν λόγων. ποσάκις νομίζεις ἐν τοῖς ἔμπροσθεν χρόνοις ἐρρέθη τὸ, οὐδέποτε γέγονε, καὶ ἡ τέχνη κρατεῖ; τί δὲ καὶ τὸ παραλλάττον ἐστίν; οἱ μὲν γὰρ αἰλιώμενοι ὁμολογοῦσιν εἰκάδι ἐνάτῃ ἑβδόμου μηνὸς γεγενῆσθαι πάσχα πολλάκις. λοιπὸν οὖν ἐστὶ περὶ τελῶν ἡμερῶν ἢ τεσσάρων, ἃς ὀκνοῦσι παραχωρῆσαι τῇ ἐπιστήμῃ. ποῦ οὖν λοιπὸν ἡ ἐκ παραδόξου τῆς παραστάσεως ἀπορία; ἀλλὰ θαυμάζουσιν ὅτι ἀνωμάλως οὕτως, ὅσοι ἐπὶ τῷ χρόνῳ, γέγονε τὸ πάσχα. ἀλλὰ τοῦτο θαῦμα οὐκ ἔστιν ἐπιστημόνων. εἶδες, ἀδελφέ, ποιητικοὺς κόσμους ἢ τραγικούς, πῶς οἱ μέν εἰσι κονδοί, οἱ δὲ κονδότεροι, οἱ δὲ ἐπὶ πλέον ἐκτεταμένοι. τούτους οἱ ἀμαθεῖς πάντως θαυμάζουσιν, ὡς ἁπλῶς οὕτω διακειμένους· ὁ μέντοι τεχνίτης ὁ μέτρου ἁρμονίας εἰδώς, οἶδε τὸ ὁμαλὸν τῆς τέχνης, κἂν ἡ ὄψις τῶν στίχων ἀνώμαλος φαίνηται. αὐτίκα γοῦν, ἀδελφέ, νῦν μὲν γέγονε δευτέρᾳ ὀγδόου ἡ

ἀναστάσιμος· εἰς δὲ τὸ ἐπιὸν ἑπτακαιδεκάτῃ ἑβδόμου μηνὸς γίνεται, καὶ πάλιν εἰς τὸ ἑξῆς ἐννάτῃ ἑβδόμου μηνός· καὶ αὖθις εἰς τὸ τρίτον ἔτος, εἰκάδι ἐννάτῃ τοῦ μηνὸς ἡ ἀναστάσιμος γνωρισθήσεται. καὶ οὐδεὶς πρὸς ταῦτα βλάπτεται, οὐδεὶς πρὸς ταῦτα λυπεῖται, ἀλλ' ἕκαστος τὴν ἁρμονίαν ζητεῖ τῆς τέχνης, καὶ τῷ τῆς ἐπιστήμης λόγῳ εὐφραίνεται. ὅλον γάρ ἐστι τὸ σκοπούμενον, ἵνα μὴ ἡ τεσσαρεσκαιδεκάτη κατὰ σελήνην πρὸ ἰσημερίας ἐαρινῆς γένηται, καὶ ἡ πρὸς τὴν ἀναστάσιμον ὁριζομένη κυριακὴ ἐλευθέρα τῆς τεσσαρεσκαιδεκάτης ὑπάρχῃ, δι' ἣν καὶ τὰ ζητήματα τοῖς οὐκ ἀκριβοῦσι τὴν ψῆφον ἐπιφύεται. δεῖ μὲν γὰρ τὴν τεσσαρεσκαιδεκάτην ἐν τῇ ἑβδομάδι πρὸ τῆς ὁριζομένης ἀναστασίμου συμβῆναι. ἀλλ' ἐὰν μὲν εἰς τὸ πλάτος τῆς ἑβδομάδος συμπέσῃ, εὐπέτεια τῆς εὑρέσεως ὑπανοίγεται· ἐὰν δὲ τῇ κυριακῇ ἡμέρᾳ ἐμπίπτῃ, ἐν ταύτῃ ἀκριβοῦς ἐπιστασίας χρεία. τὸ γὰρ μὴ ζητοῦντες, ἐνίοτε οὐ τεσσαρεσκαιδεκάτην, ἀλλὰ πεντεκαιδεκάτην κατὰ σελήνην ὑπάρχειν τὸ σφάλμα ἐργάζονται· ὃ δὴ καὶ ἐπὶ τοῦ παρόντος συμβέβηκε. πολὺ οὖν ὀφείλομεν ἐστάναι, καὶ γνωρίζειν ὅτι καὶ νῦν ἡ παράστασις ἐναρμονίως γίνεται. ταῦτα γνωρίζειν ὀφείλομεν, καὶ πρὸ τῆς ἐρχομένης ἑβδομάδος καθαρὰν " ἐχέτω τὴν γνώμην, καὶ γινωσκέτω ταύτην πρώτην εἶναι τῶν ἑπτὰ ἑβδομάδων ὀφείλουσαν νηστευθῆναι. ἡμεῖς δὲ ἐπὶ τούτῳ τὸν τῆς ἐπαγγελίας λόγον πεπληρώκαμεν, μόνον ἐὰν παραμείνῃ τῇ μνήμῃ τῶν λεγομένων ἡ δύναμις. δῴη δὲ ὁ Θεὸς καὶ τὰ μυστήρια πάντα φυλαχθῆναι ἐν ταῖς καρδίαις ὑμῶν, καὶ ὑμᾶς ἐν Χριστῷ, μεθ' οὗ ἀναφέρεται δόξα τῷ Θεῷ καὶ πατρὶ σὺν τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἴσ. ἕκαστος ἐχέτω

Λογ. ρνζ. ΕΙΣ ΤΟΝ " ΔΙΚΑΙΟΝ ΚΑΙ ΜΑΚΑΡΙΟΝ Ἰώβ. λογ. α.

γρ. ἄμεμπτον

Ex Mss. Oxon.

Μηνὸς Μαΐου ε.

Ἧκεν ἡμῖν ἐνιαύσιος σήμερον ὁ τῆς οἰκουμένης ἀθλητής, ἧκεν ἡμῖν ὁ ξένος καὶ τῶν ἀγγέλων ὁμότιμος ἀγωνιστής, ὁ πολλὰ παρὰ τοῦ διαβόλου τυπτόμενος, καὶ πολλὰ παρὰ τοῦ Θεοῦ μαρτυρούμενος, ὁ πολλὰ παρὰ τοῦ διαβόλου πληττόμενος, καὶ πολλὰ βραβεῖα παρὰ τῶν θεατῶν ἀγγέλων ὑποδεχόμενος, ὁ πολλὰ παρὰ τοῦ ἐχθροῦ μαστιζόμενος, καὶ μέγας στεφανίτης ὑπὸ τοῦ Θεοῦ εἰς τὴν οἰκουμένην ἀναδειχθείς. οὕτω γὰρ αὐτὸς αὐτῷ διαλεγόμενος ἔλεγεν· οἴει δέ με ἄλλως σοι κεχρηματικέναι, ἀλλ' ἢ ἵνα ἀναφανῇς δίκαιος; τίς οὖν τὸν τοιοῦτον ἀριστέα κατ' ἀξίαν εὐφημῆσαι δύναται; τίς ἀντάξια τῶν ἀνδραγαθημάτων αὐτοῦ βραβεῖα πλέξαι κατατολμήσει; τίς ἐπιχειρήσει πρὸς ἄπειρον πέλαγος ἐγκωμίων ἀναβῆναι; ὡς οὐδὲ γὰρ ἄν τις τῶν νοῦν ἐχόντων κατατολμήσειέ ποτε τῆς θαλάσσης τὸ πέλαγος βήμασιν ἀνθρωπίνοις διαπερᾶσαι· οὕτως οὐδέ τις τῶν σοφῶν καὶ λίαν διδασκάλων ἐπιχειρήσει ποτὲ τοὺς κατ' ἀξίαν ἐπαίνους τῆς γενναίας ἐκείνης* ψυχῆς τοῖς ἀκροαταῖς διηγήσασθαι. πᾶσαν γὰρ ἀνθρωπίνην ὑπερβαίνει σοφίαν τὰ τούτου κατορθώματα, πᾶσαν * ὑπερβάλλει στεφανηφορίαν τὰ τούτου παλαίσματα. οὐκοῦν ἀγγελικῆς ἐπιδεόμεθα γλώσσης, ἵνα ἄκροις, ὡς εἰπεῖν, τοῖς δακτύλοις ἐφαψάμενοι τῆς μυροθήκης ἐκείνης, πᾶσαν ὁμοῦ τὴν ἐκκλησίαν πληρώσωμεν. μόνον γάρ, ἐὰν ἐπιχειρήσωμεν ἅψασθαι τοῦ ἁγίου τούτου Ἰώβ, καὶ μικρὸν " αὐτῷ διασαλεύσωμεν, εὐθὺς τῆς εὐωδίας τοῦ μύρου ἡ ἐκκλησία πληροῦται. ἀκούσωμεν τοίνυν τῆς ἱστορίας περὶ αὐτοῦ λεγούσης· Ἐν πᾶσι τούτοις τοῖς συμβεβηκόσιν αὐτῷ οὐδὲν ἥμαρτεν Ἰὼβ τοῖς χείλεσιν ἐναντίον Κυρίου. εἶδες μαρτυρίαν τὴν εὐφημίαν τῶν ἀγγέλων διεγείρουσαν; εἶδες μαρτυρίαν τὸν διάβολον μετὰ τῶν ἐπιχειρημάτων αὐτοῦ καταισχύνουσαν; ἐν πᾶσι τούτοις τοῖς συμβεβηκόσιν

* καὶ τριπλασίου
* ἀνθρωπίνην

ἴσ. αὐτὴν

Ἰώβ α. κβ.

αὐτῷ οὐδὲν ἥμαρτεν. αὕτη ἡ τοῦ Θεοῦ μαρτυρία κατὰ πᾶσαν ἐκκλησίαν, ὡς μύρον" πολυτί- χ. πολύτιμον
μητον, τοὺς ἀκούοντας εὐφραίνει. ὢ ἀγγείου πολυτίμου εἰς ἕνα τόπον κατὰ τὴν Ἀραβίαν ἀπο-
κειμένου, καὶ κατὰ πᾶσαν τὴν οἰκουμένην τὴν εὐωδίαν τοῦ μύρου διαπεμπομένου· ὢ ἀγγείου
μυρίοις λίθοις καὶ πληγαῖς καὶ βέλεσι παρὰ τοῦ διαβόλου τυφθέντος, καὶ τὸ μύρον μὴ ἐκ-
χέαντος. πολὺς ἐγένετο τῷ διαβόλῳ κάματος, ἵνα τὸ ἀγγεῖον συντρίψῃ, καὶ τὸ μύρον τῆς
εὐσεβείας ἀφανίσῃ. καὶ ἐσπούδαζε διὰ τῆς δυσωδίας τῶν τραυμάτων ἀμαυρῶσαι τοῦ μύ-
ρου τὴν εὐωδίαν. καὶ γὰρ καὶ τὸ σῶμα αὐτοῦ" ἀπώζεσεν ἀπὸ τῆς ἑλκώσεως τῶν τραυμάτων. χ. ἀπώλεσεν
ἀλλ' ἔμενε καὶ τὸ ἀγγεῖον τραυματιζόμενον, καὶ τὸ μύρον μὴ ἀπολλύμενον· ἵνα καὶ ἡμεῖς
Ἀσμ. α. γ. προσφόρως εἴπωμεν αὐτῷ, Μύρον ἐκκενωθὲν ὄνομά σοι. δέον οὖν αὐτὸν γυμνὸν, ὡς" ἐ- χ. ἐπάλαισεν
πάλαιεν, ἀναστῆσαι τὸν ἀθλητὴν, ἵνα εἰς ἐκείνην τὴν εἰκόνα τὴν θαυμασίαν ὁρῶντες, πλη-
ροφορηθῶμεν διὰ τῆς" φύσεως τῶν πραγμάτων, ὅτι ὁ Θεὸς δεῖξαι βουλόμενος τῷ δια- χ. [illegible]
βόλῳ, ὅτι ἐπὶ τῆς γῆς ἀνθρώπους δικαίους ἔχει, οὐκέτι διὰ κολακείας κατὰ τὸν Ἀδὰμ ἀπα-
τωμένους, ἀλλὰ διὰ μυρίων βασάνων καὶ μαστίγων στεφανουμένους ταύτην συνεχώρησε γε-
νέσθαι τὴν δραματουργίαν. ἀποστάτα, φησὶ, μεγαλοφρονεῖς, ὅτι τὸν Ἀδὰμ ἀπατήσας, καὶ
τὴν γυναῖκα κολακεύσας ἐξέβαλες τοῦ παραδείσου; ἰδοὺ ἄνθρωπος δίχα προσταγμάτων
γραφῆς βιώσας, καὶ τὸν ἄγραφον τῆς φύσεως νόμον διανοίᾳ κατορθώσας. προσάγαγε μυ-
ρίας θωπείας, μυρίας κολακείας, μυρίας βασάνους, εἰ δύνασαι τὴν ἀρίστην ταύτην
* παρασαλεῦσαι ψυχήν. ἰδοὺ, τὸν πρῶτον ἄνθρωπον ἐξέβαλες τοῦ παραδείσου· βλέπε * καὶ μαγγανείας
νῦν, ἐπιχείρησον, εἰ δύνασαι, κἂν ἀπὸ κοπρίας τὸν ἀθλητὴν ὑποσκελίσαι. ἀλλ', εἰ δο-
κεῖ, ἄνωθεν ὀλίγον εἰς αὐτὴν τὴν ἱστορίαν ἀναδράμωμεν. Ἄνθρωπός τις ἦν ἐν χώρᾳ τῇ
Αὐσίτιδι, ᾧ ὄνομα Ἰώβ· καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος, ἄμεμπτος, δίκαιος, θεοσεβὴς, ἀληθινὸς,
ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. Τοιοῦτος ἦν καὶ ὁ Ἀδὰμ πρὸ τοῦ πεισθῆ-
ναι τῇ γυναικί. διὰ τοῦτο οὗτος οὐ πείθεται τῇ γυναικὶ, ἵνα μὴ γένηται κατ' ἐκεῖνον. ἐκεῖ-
νος ἐνδεδυμένος ἦν*, ὡς οἶδεν ὁ πλάσας αὐτόν· καὶ ἵνα πεισθῇ τῇ γυναικὶ, γυμνὸς ἐγένετο, * ἀφθαρσίαν
καὶ κατεκρίθη· οὗτος γυμνὸς ἦν, καὶ οὐκ ἐπείσθη τῇ γυναικὶ, καὶ ἵνα μὴ πεισθῇ τῇ γυναικὶ,
τὴν τῶν ἀγγέλων στεφανηφορίαν ἐνεδύσατο. ἐκεῖνος ἵνα πεισθῇ τῇ γυναικὶ, καὶ τῆς τοῦ
παραδείσου τρυφῆς ἐξέπεσε, καὶ τὴν γῆν μητέρα ἀκανθῶν ἐποίησε, καὶ θάνατον ἐκληρονόμη-
σεν· οὗτος ἵνα μὴ πεισθῇ τῇ γυναικὶ, καὶ τῆς κοπρίας, καὶ τῶν πληγῶν τὴν ἐλευθερίαν ἔλα-
βε, καὶ τὴν τῶν οὐρανῶν ἐκληρονόμησε βασιλείαν. ἐκεῖνος ἀπολογούμενος τῷ Θεῷ ἔλε-
Γεν. γ. γεν· Ἡ γυνὴ, ἣν ἔδωκάς μοι, αὕτη [μοι] ἔδωκε, καὶ ἔφαγον. ὢ ἀπολογίας συγγνώμην οὐκ
ἐχούσης. ἐκείνη εἶπε, φάγε· ἐγὼ εἶπον, μὴ" φάγε. διὰ τί οὖν τῆς γυναικὸς ἤκουσας, χ. φάγῃς.
καὶ τοῦ Θεοῦ παρήκουσας; ἀλλ' οὐκ οὕτως ἦν* Ἰώβ· ἀλλὰ πῶς; μετ' ἐπιπλήξεως ἔλεγεν, * ὁ μακάριος
ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας. ἄνθρωπος ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι, ᾧ ὄνομα
Ἰώβ. διὰ τί δὲ καὶ τὴν χώραν ὠνόμασε; διὰ σὲ, ἵνα μάθῃς, ὅτι οὐχ ἡ συνουσία τῶν ἁμαρτωλῶν
τὸν δίκαιον δύναται ποιῆσαι ἁμαρτῆσαι, ἀλλ' ἡ προαίρεσις τῶν εὐσεβούντων ὀφείλει στάσιμον καὶ
βεβαίαν ἔχειν τὴν γνώμην. αὕτη γὰρ ἡ χώρα τῆς Ἀραβίας ἐστὶ, μοχθηρῶν καὶ διεφθαρμέ-
νων ἀνθρώπων οἰκητήριον. πάντες ἦσαν παράνομοι, πάντες θεοστυγεῖς, πάντες βέβηλοι,
πάντες ὑπερήφανοι, καὶ τοῦ Ἡσαῦ ἀπόγονοι, καὶ ταῖς ἁμαρτίαις κομῶντες. ἀλλὰ τοσοῦτον πέ-
λαγος τῆς ἀσεβείας οὐκ ἠδυνήθη κατασβέσαι τὸν λαμπτῆρα τῆς εὐσεβείας· ἡ τοσαύτη
χώρα τῶν κακῶν οὐκ ἠδυνήθη τὸ ὡραῖον ἀποπνίξαι τῆς καρτερίας· ὅθεν τούτῳ προσπαλαῖ-
σαι ὁ διάβολος ἐπεχείρησε. διὰ τί; ἐπειδήπερ ἔβλεπεν αὐτὸν ταῖς ἐλεημοσύναις μᾶλ-
Ἰὼβ κθ. 15. λον, ἢ τοῖς χρήμασι πλουτοῦντα. ἄκουσον γὰρ αὐτοῦ λέγοντος ἀψευδῶς· Ὀφθαλμὸς ἤ-
μην τοῖς τυφλοῖς, ποὺς δὲ χωλῶν· καὶ αὖθις, Ἐγὼ ἐπὶ ἀδυνάτῳ ἔκλαυσα, ἐστέναξα δὲ ἰδὼν
ἄνδρα ἐν ἀνάγκαις. καὶ οὐ μόνον διὰ τῶν λόγων, ἀλλὰ καὶ διὰ τῶν ἔργων ὑπερεπλούτει, θη-

σαυρὸς ὅλος εὐποιΐας τοῖς δεομένοις εὑρισκόμενος. τί γάρ φησιν*; Οὐκ ἐξῆλθεν ἐκ τοῦ οἴκου μου ἐπιδεόμενος κόλπῳ κενῷ· στόμα χήρας εὐλόγησέ με, ἀπὸ δὲ κουρᾶς τῶν προβάτων μου ἐθερμάνθησαν ὦμοι πενήτων. *διὰ πάντων ἐπλούτει*, καὶ διὰ τῶν λόγων, καὶ διὰ τῶν ἔργων, καὶ διὰ τῆς ἐλεημοσύνης, καὶ διὰ τῆς προστασίας τῶν πενήτων, καὶ διὰ τῆς ἐπικουρίας τῶν δεομένων. ἀλλ' ὅρα τί ποιεῖ ὁ διάβολος. ἀφαρπάζει πάντα τὰ ὑπάρχοντα αὐτῷ ἀπ' αὐτοῦ πρότερον, καὶ *τελευταῖον τὰ τέκνα λαμβάνει. ἔλαβε πρῶτον τὰς ἀγέλας τῶν καμήλων, ἔλαβε τὰ ποίμνια τῶν προβάτων, τὸν πολὺν ἀριθμὸν τῶν ὄνων, τὴν μεγίστην ἀγέλην τῶν βοῶν· πάντα ἀφείλετο, καὶ *τελευταῖον τὰ τέκνα. διὰ τί; πρόσεχε λοιπὸν μετὰ πάσης ἀκριβείας. πρῶτον ἔλαβεν αὐτοῦ πάντα τὰ ὑπάρχοντα, ἔπειτα τὰ τέκνα. ἔλαβε τὰ κληρονομιαῖα πράγματα, ἔπειτα τοὺς κληρονόμους ἠφάνισεν, ἵνα παντοίως αὐτὸν καὶ διὰ τῶν τέκνων πλήξῃ. πρῶτον ἤρξατο τὴν ὕπαρξιν ἀφανίζειν, πρῶτον ἤρξατο τὰ κληρονομιαῖα πράγματα ζώντων τῶν κληρονόμων ἁρπάζειν; ἵνα τῶν υἱῶν καὶ τῶν θυγατέρων ἑστηκότων, διὰ τὴν ἀπώλειαν τῶν κτημάτων χαλεπὴν λάβῃ ὁ δίκαιος τῆς ἀθυμίας πληγήν. ἐνενόει γὰρ ὁ πονηρὸς δαίμων, μήποτε τῶν τέκνων προαπολλυμένων, μηδὲ εἰς αἴσθησιν ἔλθῃ τῆς ἀπωλείας τῶν κτημάτων. ἀλλ' ὁ *γενναῖος ἀθλητής, ὁ πολλὰ τυπτόμενος, καὶ διὰ πάντων στεφανούμενος, ὁ πολλὰ βέλη δεχόμενος, καὶ δι' αὐτῶν τῶν βελῶν τὸν διάβολον κατακοντίζων, ὁ διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν καθοπλιζόμενος οὐκ ἐπόνησεν, οὐκ ἐδάκρυσεν, οὐκ ἐσαλεύθη· ἀλλ' οὔτε πρὸς τὴν ἀπώλειαν τῶν κτημάτων ἐκάμπτετο, οὐδὲ πρὸς τὸν θάνατον τῶν τέκνων τὴν εὐσέβειαν ἐσυλᾶτο, ἀλλ' ἔμενεν ὥσπερ πύργος ἀΐνακλος, κάτωθεν ἐπὶ τῆς γῆς ἐρριζωμένος*, καὶ μέχρι αὐτῶν τῶν οὐρανίων ἀψίδων ἠσφαλισμένος.

Ἦλθε πρῶτος ἄγγελος, καὶ λέγει τῷ Ἰώβ· τὰ ζεύγη τῶν βοῶν ἠροτρία, καὶ ἐλθόντες οἱ αἰχμαλωτεύοντες ᾐχμαλώτευσαν αὐτά, καὶ τοὺς παῖδας ἀπέκτειναν* μαχαίραις. ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος ἄγγελος, καὶ λέγει τῷ Ἰώβ· πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ, καὶ κατέκαυσε τὰ πρόβατά σου, καὶ τοὺς ποιμένας κατέφαγεν ὁμοίως. βλέπε τί ποιεῖ ὁ διάβολος. ἐπειδὴ γὰρ εἶδεν αὐτὸν εἰς τὴν πρώτην καὶ δευτέραν πληγὴν γενναίως ἑστηκότα, καὶ μηδὲ ὅλως ἐκ τῶν βασάνων αὐτοῦ διασαλευθέντα, πολεμούμενον, καὶ μὴ πτωσκόμενον, μηχανᾶταί τι τοιοῦτον ποιῆσαι. ἐπιβάλλει πῦρ ἐξ ἀέρος, ἵνα δόξῃ τὸ πῦρ ἐξ οὐρανοῦ καταπέμπεσθαι, καὶ ἵνα νομίσας, ὅτι ὁ Θεὸς ἐξ οὐρανῶν αὐτὸν πολεμεῖ, βλασφημήσῃ τὸν Θεόν, τὸν οὕτω δίχα τινὸς ἁμαρτήματος ἀδίκως αὐτὸν πολεμοῦντα. πῦρ, φησιν, ἐκ τοῦ οὐρανοῦ ἔπεσε, καὶ κατέφαγε τὰ πρόβατά σου καὶ τοὺς ποιμένας. ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος ἄγγελος, καὶ εἶπε τῷ Ἰώβ· οἱ ἱππεῖς ἐποίησαν ἡμῖν κεφαλὰς τρεῖς, καὶ ἐκύκλωσαν τὰς καμήλους, καὶ ᾐχμαλώτευσαν αὐτάς, καὶ τοὺς παῖδας ἀπέκτειναν* μαχαίραις. ἀλλὰ καὶ ἐν πᾶσι τούτοις ἔμενεν ὁ μακάριος Ἰώβ, ὥσπερ στῦλος ἀσάλευτος, ὥσπερ πύργος ἄσειστος, ὥσπερ ἀγωνιστὴς ἀήττητος, ἀκαμπής, ἀνένδοτος, βάλλων μᾶλλον, ἢ βαλλόμενος. ὅταν γάρ τις ἀνόνητα κάμνῃ, πολλὰ πολεμῶν, καὶ μηδὲν ὠφελῶν, πολλάκις μαχόμενος, καὶ μηδὲ ὅλως περιγινόμενος, αὐτὸς μᾶλλόν ἐστιν ὁ τὰς μάστιγας κατὰ τῶν ματαίων αὐτοῦ πόνων ὑποδεχόμενος. Ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος ἄγγελος. συνεχὴς ὁ πόλεμος, ἀλλὰ μάταιος τῷ κάμνοντι· πυκνότερα τὰ βέλη, ἀλλὰ φαιδρότερα τὰ βραβεῖα. οὐκ ἀφίησιν αὐτὸν οὐδὲ πρὸς ὥραν ἀναπνεῦσαι, ἵνα μή τι κατὰ τὴν ἔμφυτον εὐσέβειαν τοῦ παλαιστοῦ σοφόν τι λογίσηται. ἔπεμψεν ὅλα τὰ βέλη, καὶ οὐκ ᾔσχυνε τὸν ἀθλητήν· ἐκένωσεν αὐτοῦ τὴν φαρέτραν, καὶ οὐκ ἐκενώθη τῆς ἀλγηδόνος. αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διὰ κενῆς· ἐπεὶ γὰρ κάκιστος ἀπεγράφη τεταπεινωμένος, κατῃσχυμμένος, ὁ πολλὰ παλαίσας, καὶ διὰ πάντων ἡττηθείς. ἔπεμψε γὰρ κατὰ ποιμένων, κατὰ βουκολίων, κατὰ τῶν προβάτων, κατὰ τῶν καμήλων, κατὰ τῶν υἱῶν, κατὰ τῶν θυγατέρων, κατὰ

*ἀλλαχοῦ

*ὥστε ὑψηλὸν ὅπ

*θησαυ γῆς ὅλος

*τὸ

*τὸ καὶ παράγγελ

*ὄντως ἀδάμας καὶ

κ. ἐπικάμπτετο.

*καὶ τεθεμελιωμένος,

*ἐν

*ἐν

ἐν. καὶ δὲ οὐ

Ἰὼβ λ. ιγ.

τῆς οἰκίας, κατὰ τοῦ σώματος, διὰ τῶν φίλων, διὰ τῶν οἰκετῶν, διὰ τῶν σκωλήκων, διὰ
τῶν τραυμάτων, διὰ τῶν ἰχώρων. πάντα ἐξεκένωσε, καὶ τὴν εὐσέβειαν οὐκ " ἐσύλησε· τὸν γ. ἔνυσι
τοῖχον διώρυξε, καὶ τὸν θησαυρὸν οὐκ ἐξεκένωσεν. ὅσας εἶχεν ὁ τῆς οἰκουμένης τύραννος
ῥομφαίας ἐκίνησε, διὰ πυρός, διὰ ξιφῶν, διὰ χώματος, δι' αἰχμαλωσίας, δι' αἵματος, πάν-
τα * διέτεινε, καὶ τὸν ἀθλητὴν μᾶλλον ἀνδρειότερον ἐποίησε. διὸ δὴ καὶ ὁ προφήτης * πάντα
Ψαλ. θ. ζ. ἀνεβόα λέγων· Τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος. τάχα δὲ καὶ πρὸς αὐτὸν λέ-
Πράξ. θ. ε. γει, Σκληρόν σοι πρὸς κέντρα λακτίζειν. ἔλαβε πάντα τὰ χρήματα, τὰ κτήματα, τὴν
ὕπαρξιν· καὶ τί ὁ τελευταῖος ἄγγελος; τῶν υἱῶν σου καὶ τῶν θυγατέρων σου ἐσθιόντων καὶ πινόντων εἰς τὸν οἶκον τοῦ ἀδελφοῦ αὐτῶν τοῦ πρεσβυτέρου, ἐξαίφνης ἦλθε πνεῦμα ἐκ τῆς ἐρήμου,
καὶ ἥψατο τῶν τεσσάρων γωνιῶν τῆς οἰκίας, καὶ κατέπεσεν ἡ οἰκία ἐπὶ τὰ παιδία σου, καὶ ἀπέθανον. καὶ ἵνα μάθῃς, ἀγαπητέ, ὅτι οὐκ ἦν ἄνθρωπος ὁ ταῦτα διαγορεύων τῷ Ἰώβ,
ἀλλ' αὐτὸς ἦν ὁ διάβολος ἐσχηματισμένος ἐν ἀνθρώπου μορφῇ, μάθε μετὰ πάσης ἀκριβείας. τῶν υἱῶν σου καὶ τῶν θυγατέρων σου ἐσθιόντων καὶ πινόντων παρὰ τῷ ἀδελφῷ αὐτῶν
τῷ πρεσβυτέρῳ, ἐξαίφνης ἦλθε πνεῦμα ἐκ τῆς ἐρήμου, καὶ ἥψατο τῶν τεσσάρων γωνιῶν τῆς
οἰκίας, καὶ ἔπεσεν ἡ οἰκία ἐπὶ τὰ παιδία σου, καὶ ἀπέθανον. πόθεν οἶδας, εἰπέ μοι, ὅτι ἦλθεν ἐκ τῆς ἐρήμου, καὶ ἥψατο τῶν τεσσάρων γωνιῶν τῆς οἰκίας; ἄνθρωπος εἶ, καὶ πῶς " εἶ- γ. οἶδας
δες τὸ πνεῦμα; ποίοις ὀφθαλμοῖς ἐθεάσω αὐτό; πῶς δὲ καὶ ἥψατο τῶν τεσσάρων γωνιῶν τὸ
πνεῦμα; εἰ ἄνθρωπος εἶ, καὶ ἔνδον ἦς ἐν τῇ οἰκίᾳ, πάντως ὅτι καὶ σὲ περιελάμβανεν ἡ
οἰκία· εἰ δὲ ἔξω ἦς, πῶς ἔβλεπες τὰ ἔσω γινόμενα; εἰ δὲ πνεῦμα εἶ, δεῖξον ὅστις εἶ, καὶ
μὴ σχηματίζου εἰς ἀνθρώπου μορφήν. τῶν υἱῶν σου, φησί, καὶ τῶν θυγατέρων σου ἐσθιόντων καὶ πινόντων παρὰ τῷ ἀδελφῷ αὐτῶν τῷ πρεσβυτέρῳ. βλέπε πῶς πάσης συνέσεως
καὶ σοφίας πεπληρωμένος ἦν ὁ * Ἰώβ, καὶ πῶς ἠσφαλίζετο τὴν φιλίαν τῶν τέκνων. ἐ- * μακάριος
λογίσατο γάρ, ὅτι Κάϊν καὶ Ἄβελ δύο ἦσαν ἀδελφοὶ μόνοι κατὰ τὴν οἰκουμένην τυγχάνοντες, οὐδεμίαν ἔχοντες ἀφορμὴν πολέμου. πᾶσα γὰρ ἡ γῆ κοινῶς ἀμφοτέροις ἐπ' ἐξουσίας προέκειτο. καὶ οὕτω διὰ τὴν τιμὴν τοῦ Ἄβελ φθονήσας ὁ Κάϊν, ἀναστὰς ἐφόνευσε
τὸν ἀδελφόν. διὰ τοῦτο ὁ μακάριος Ἰώβ, περὶ μὲν τῶν ἀδήλων θυσίαν καθ' ἑκάστην ἡμέ-
Ἰώβ. α. ε. ραν προσέφερε τῷ Θεῷ, ἀνιστάμενος τὸ πρωΐ, καὶ λέγων· Μήποτε κακὰ ἐνενόησαν οἱ υἱοί
μου ἐν τῇ καρδίᾳ αὐτῶν πρὸς τὸν Θεόν. περὶ δὲ τῶν " συμβαινόντων αὐτοῖς ἢ εἰς λόγον, ἢ εἰς γ. συμβαινόντων
φιλονεικίαν, ἐποίει αὐτοὺς καθ' ἑκάστην ἡμέραν μετ' ἀλλήλων ἐσθίειν, ἐνθυμούμενος, ὅτι κἄν
τινα πρὸς ἀλλήλους ἔχωσι μικροψυχίαν, ἡ τράπεζα καὶ ἡ διάθεσις τῶν ἄρτων ποιεῖ αὐτοὺς
εἰς φιλίαν μεταποιηθῆναι, καὶ τὴν κακίαν τὴν προσαπεσοῦσαν ἐξορίσαι, εἰδὼς ὅτι διὰ
τῆς τραπέζης τῆς συνεχοῦς πάντα λύεται αὐτοῖς τὰ προσαπεσόντα μοχθηρά. ἀλλ' ὁ μισό-
καλος * διάβολος ἐν τοιούτῳ καιρῷ παρετήρει ἀπολέσαι τὰ μηδὲν ἡμαρτηκότα παιδία, ἐν * καὶ φθονερὸς
καιρῷ τῆς μεσημβρίας, ὅτε πάντες ἦσαν συγκεκροτημένοι. ὅτε πρὸς εἰρήνην ἐκεῖνοι συνήπτοντο,
τότε τὸν ἄσπονδον πόλεμον κατ' αὐτῶν ἠφίει. ἐκεῖνοι φιλίαν, οὗτος μάχαιραν ἠκόνει·
ἐκεῖνοι ἀγάπην ᾠκοδόμουν, καὶ οὗτος τὸν οἶκον κατέστρεφε. καὶ ἐγένετο κατ' αὐτὴν
τὴν ὥραν ὁ οἶκος τάφος, καὶ ἡ τράπεζα συμφορᾶς σκάφος, καὶ ναυάγιον μάνδρα ποιμενική, καὶ πάντα θηριάλωτα. τί οὖν ὁ γενναῖος ἐκεῖνος; οὐ συνεχύθη,
οὐ κατέπεσε. τί αὐτὸν ἐπαινέσω; ποῖος " ἐπαρκέσει λόγος; ποῖος ἐξαρκέσει φόβος πρὸς τὴν γ. ἐξαρκέσει
τοιαύτην διήγησιν; ὢ γενναίας * ψυχῆς, ὢ μεγάλης ὑπομονῆς ὑπερβολὴν οὐκ ἐχούσης. * καὶ μακαρίας
* συγκέχυμαι τὴν ψυχήν, διαταράττομαι τὸ συνειδός, καίγε στεφανούμενον βλέπων τὸν * ὄντως, ἀμ- πτί,
Ἰώβ· ἀλλὰ συγκέχυμαι τῇ ψυχῇ νῦν μᾶλλον ἐγὼ τὸν στεφανίτην ὁρῶν, ἤπερ ἐκεῖνος τότε
τὴν συμφορὰν τῶν τέκνων ἐπ' ὄψεσι βλέπων. συγκέχυμαι τῇ ψυχῇ, νομίζω δὲ καὶ ὑμᾶς
οὕτω διακεῖσθαι. πῶς οὖν ἐξείπω τὴν τοσαύτην τραγῳδίαν, οὐκ ἐπίσταμαι, καὶ γὰρ

τὴν κορωνίδα τῶν ἐγκωμίων ἐπὶ γλώσσης φέρων. οἱ κατὰ σάρκα γονεῖς, ὅταν ἔχωσιν υἱὸν ταῖς ἐσχάταις" ἀναπνοαῖς συνεχόμενον, περικαθέζονται, λόγων τελευταίων ἀκροαταί, χεῖρας αὐτοῦ περιπτύσσονται," συνάγαγας περὶ τῶν ἀδοκήτων συναπτοῦσι, στόμα φιλοῦσι, τὰ τελευταῖα τῶν πατέρων φιλήματα. Εἶτα ἀποδέδωκε τὴν ψυχὴν ὁ παῖς, ὡς ὁ δεδωκὼς ἐκέλευσεν. οἱ γονεῖς σχηματίζουσι, χεῖρας" ἀποτείνουσιν, ὀφθαλμοὺς ἀποκλείουσι, τὴν κεφαλὴν διορθοῦσι, τοὺς πόδας ἀποτείνουσιν, ἀπολούουσι, τοῖς ἀξίοις" ἀμφιάζουσιν ἐνταφίοις, καὶ τὴν ἰδίαν συμφορὰν παραμυθοῦνται. ἀλλὰ τί πρὸς τὸν γενναῖον τοῦτον ἀθλητήν; ἀπῆλθεν εἰς τὸν οἶκον τὸν κατ' αὐτῶν, τὸν καὶ μίαν καὶ τὴν αὐτὴν ὥραν οἶκον καὶ τάφον, συμπόσιον καὶ χῶμα, ἑορτὴν καὶ πένθος γενόμενον. περιέσκαπτε καὶ ἐζήτει τῶν τέκνων τὰ μέλη, καὶ ηὕρισκεν οἶνον καὶ αἷμα, ἄρτον καὶ χεῖρα, ὀφθαλμὸν καὶ κόνιν. καὶ ἐλάμβανέ ποτε μὲν χεῖρα καὶ πόδα, ἄλλοτε κεφαλὴν αἵματι μετὰ τοῦ χώματος, καὶ τῶν λίθων καὶ τῶν ξύλων καί ποτε μὲν μέρος κοιλίας, ἄλλοτε τῶν ἐντέρων τὰ σπλάγχνα μετὰ τῶν χωμάτων ἀναφυρόμενα. ἐκαθέζετο δὲ ὁ οὐρανομήκης ἐκεῖνος ἀγωνιστὴς" διεσπαραγμένα βλέπων τὰ μέλη τῶν τέκνων, ἐκαθέζετο συντιθεὶς μέλη πρὸς μηρὴ, χεῖρα πρὸς βραχίονα," ἀναπλάττων, κεφαλὴν πρὸς στῆθος, γόνατα πρὸς τοὺς μηρούς. οὐ γὰρ ἦν μία τῶν συμβεβηκότων ἡ συμφορά, ἀλλ' ἐκ διαβολικῆς ἐνεργείας καὶ τυραννίδος ἡ πάντα λόγον ὑπερβαίνουσα καταστροφή. ἐκαθέζετο * Ἰὼβ" διακρίναι τῶν τέκνων αὐτοῦ τὰ μέλη, μήπου τῶν θηλειῶν τὰ μέλη κατὰ τῶν ἀρσενικῶν διαπλάσῃ μελῶν, μήπου τὸ ἀρσενικὸν σχῆμα εἰς τὰ τῆς θηλείας μέλη συναρμοσθῇ. ὢ * γενναίας ψυχῆς, τὴν τῶν ἀγγέλων εὐφημίαν ὑπερβαινούσης. διὰ τί; ὅτι ἐν πᾶσι τούτοις τοῖς συμβεβηκόσιν αὐτῷ, οὐδὲν ἥμαρτεν Ἰὼβ ἐναντίον Κυρίου, ἀλλ' ἀντὶ τούτων ἁπάντων ὁλόκληρον εὐχαριστίαν ἀντὶ θυσίας προσήνεγκε τῷ Θεῷ, λέγων· Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ρπη. ΕΙΣ ΤΟΝ ΔΙΚΑΙΟΝ ΚΑΙ ΜΑΚΑΡΙΟΝ ΙΩΒ.

λόγος κβ.

Τὰ μεγάλα τῶν πραγμάτων μεγάλων δέεται διηγημάτων, καὶ αἱ λαμπραὶ τῶν δικαίων ἱστορίαι λαμπρᾶς δέονται καὶ γλώττης καὶ διανοίας· διανοίας μὲν εἰλικρινῶς τὰς θείας γραφὰς θεωρούσης, γλώττης δὲ τρανῶς τὰ θεῖα ἑρμηνευούσης, καὶ μάλιστα ἐπὶ τῆς προκειμένης ὑποθέσεως, λέγω δὲ τῆς τῷ μακαρίῳ Ἰὼβ πεπονημένης, ἃ διὰ πάσης φοιτῶντα τῆς ὑπ' οὐρανόν, τὸν τῆς ὑπομονῆς" ἀπαστράπτει λόγον. πλὴν εἰ καὶ νικᾷ τὴν ἡμετέραν ἀσθένειαν ὁ τῆς ὑποθέσεως λόγος, ἀλλ' εὖ οἶδα, ὅτι παρέχει τοῦ Θεοῦ χάρις λόγον, οὐ διὰ τὴν τοῦ λέγοντος ἀξίαν, ἀλλὰ διὰ τὴν τῶν πατέρων πρεσβείαν. ἀλλ' ἐπ' αὐτὴν ἔλθωμεν τὴν" ὑπόθεσιν. ἄνθρωπός τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι. ἀναγκαῖον * σκοπῆσαι δὲ τὸ προοίμιον ποίαν ἔχει δύναμιν, καὶ πῶς εἶπεν ἀπὸ πρώτης τῆς λέξεως τὸ προοίμιον πεποίηται ὁ ἱστοριογράφος, ἄνθρωπός τις ἦν. ἐπειδὴ ἔμελλε βίον ἐξαίρετον διηγήσασθαι, καὶ πολὺ τὴν ἡμετέραν κατάστασιν νικῶντα, ἵνα μή τις εἰς τὸ ὑπερβολικὸν τῶν ἀγώνων ἀποβλέψας, νομίσῃ ξένην εἶναι τὴν φύσιν, καὶ οὐκ ἀνθρωπίνην, προλαβὼν ἔδειξε τὴν φύσιν, ἵνα θαυμάσῃς τὴν προαίρεσιν, ὅτι ἄνθρωπος ὢν ὑπὲρ ἀνθρώπους ἐπολιτεύσατο, * τὸ μὲν κοινῆς φύσεως ἅπασι κοινωνήσας, ἀνωτέραν δὲ τοῦ κόσμου τὴν ψυχὴν ἀναγαγών. * ἄνθρωπός τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι. κηρύττει αὐτὸν καὶ ἀπὸ τῆς φύσεως, κηρύττει αὐτὸν καὶ ἀπὸ τῆς χώρας. ἵν' ὥσπερ ἀκούσας αὐτὸν ἄνθρωπον θαυμάζεις ὅτι ὑπὲρ ἄνθρωπον ἐπολιτεύσατο, οὕτως εἰδὼς μάθῃς καὶ τὴν χώραν, ἐξ ἧς ὁ τοσοῦτος

γρ. πνοαῖς

γρ. σιαγω-γὰς

γρ. ὑποτείν.

γρ. ἐνταφιάζουσιν

γρ. διεσπαρμένα

γρ. πλάττων,

* τίνων ὁ ἀληθῶς καρτερικὸς ἀδάμας ὁ μακάριος

γρ. διακρίνων

* μακαρίας ὢ ἀληθῶς καὶ

Ex Mss. Oxon.

γρ. ἀποκρύπτει

γρ. διήγησιν.

* διὸ προοίμιον

* καὶ

καρπὸς ἐνήνθησε, θαυμάσῃς ἀληθῶς ὁποῖον ῥόδον ἐν μέσῳ τῶν ἀκανθῶν ἐβλάστησεν. * ἡ χώρα τοίνυν ἡ τῆς Αὐσίτιδος, χώρα ἦν τοῦ Ἡσαῦ. ἀπὸ γὰρ τοῦ Ἡσαῦ ἡ Αὐσῖτις. ὀνομάζει δὲ τοῦ βεβήλου καὶ πονηροῦ Ἡσαῦ τὴν χώραν, ὥς φησιν ὁ ἀπόστολος· Μή τις πόρνος ἢ βέβηλος, ὡς Ἡσαῦ· ἵνα θαυμάσῃς ἐκ ποίων παιδευτηρίων κακίας οἷος καρπὸς ἀληθείας ἐνήνθησεν. ἀλλὰ οὐ μόνον αὐτὸν ἡ χώρα τοῦ Ἡσαῦ ἤνεγκεν, ἀλλὰ καὶ αὐτὴ ἡ ῥίζα τοῦ Ἡσαῦ. ἀπόγονος γὰρ ἦν τοῦ διαβαλλομένου. λέγει γὰρ τὸν Ἰὼβ ἡ γραφὴ πέμπτον εἶναι ἀπὸ τοῦ Ἀβραάμ· καὶ ὅπως πέμπτος, ἄκουε. Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ· Ἰσαὰκ τὸν Ἡσαῦ· Ἡσαῦ τὸν Ῥαγουήλ· Ῥαγουὴλ τὸν Ζαρά· Ζαρὰ δὲ τὸν Ἰώβ. εἶχεν οὖν τὴν διαδοχὴν ἀπὸ τοῦ Ἀβραάμ, διὰ τοῦ Ἡσαῦ εἰς αὐτὸν κατερχομένην. δείκνυσιν οὖν τὴν ῥίζαν, ἵνα τὸν καρπὸν θαυμάσῃς. τίς δὲ ἦν Ἡσαῦ; πόρνος καὶ βέβηλος. τίς δὲ ἦν καὶ Ἰώβ; ὁ ἀπὸ τοῦ πόρνου, οὗτος αὐτὸς ὁ σεμνὸς καὶ θαυμάσιος *, ὁ λέγων· Εἰ ἐπηκολούθησεν ὁ ὀφθαλμός μου γυναικὶ ἀλλοτρίᾳ, ἀρέσει καὶ ἡ γυνή μου ἀλλοτρίῳ ἀνδρί. Ἡσαῦ περὶ πολλὰς εἶχε μίξεις γυναῖκας, ἄπληστος ὢν εἰς ἀσέλγειαν· ὁ δὲ Ἰὼβ τὸν τρόπον νόμον εἶχε τοῦ βίου, καὶ τοσοῦτον ἀπεῖχεν, ὥστε ἀλλότρια κάλλη μὴ περιεργάζεσθαι· καὶ πορνείας, καὶ μοιχείας τοσοῦτον ἀπεῖχεν, ὡς μηδὲ ταῖς μηδέπω κατεγγυωμέναις γυναιξὶ προσέχειν, τουτέστι, ταῖς ἀμνηστεύτοις παρθένοις. δεῖ γὰρ τῇ τρανοτέρᾳ λέξει χρήσασθαι. τοσοῦτον ἀπεῖχεν ἀλλοτρίοις γάμοις ἐπιβουλεύειν, ὅτι οὐδὲ τῇ ἀμνηστεύτῳ παρθένῳ, ἐφ' ᾗ οὐδεὶς ἦν κίνδυνος, ἀπέτεινε τὸ ὄμμα πρὸς ἀκολασίαν. καὶ τίς ὁ ταῦτα μαρτυρῶν; αὐτὸς ὁ Ἰώβ. Διαθήκην, φησί, διεθέμην τοῖς ὀφθαλμοῖς μου, καὶ οὐ συνῆκα ἐπὶ παρθένῳ. βλέπε μέχρι τίνος παιδαγωγίας ἤκμασεν αὐτῷ τὰ τῆς εὐσεβείας. παιδαγωγεῖ τὸν ὀφθαλμὸν εἰς εὐσέβειαν, παιδαγωγεῖ καὶ τὰ μέλη εἰς δικαιοσύνην, καὶ ἀπὸ τοῦ πόρνου τὴν διαδοχὴν φέρων, μεγίστῃ σωφροσύνῃ διέλαμψεν. Ἡσαῦ καὶ ἀδελφοκτόνος ὑπῆρχεν, ὅσον εἰς πρόθεσιν. εἰ γὰρ καὶ μὴ ἐξέβη ἡ πρᾶξις, ἀλλὰ κατηγορεῖται ἡ πρόθεσις. εἶπε γάρ, φησιν, Ἡσαῦ ἐν τῇ καρδίᾳ αὐτοῦ· Ἐγγισάτωσαν αἱ ἡμέραι τοῦ πένθους τοῦ πατρός μου, καὶ ἀνελῶ Ἰακὼβ τὸν ἀδελφόν μου. ἡ τοίνυν ῥίζα, ἀδελφοκτόνος· ὁ δὲ ἐκ τῆς ῥίζης ἀνθήσας, δικαιοσύνης βραβευτής. ἐκεῖνος τῇ φύσει ἐπολέμησε, καὶ τὸν ἀδελφὸν ἀλλότριον ἡγεῖτο· οὗτος καὶ τοὺς ἀλλοτρίους, ἀδελφοὺς ἐνόμιζεν, ὁ λέγων· Ἐγενόμην ὀρφανοῖς ὡς πατήρ, καὶ ἀντὶ ἀνδρὸς τῇ μητρὶ αὐτῶν· δίκην ἣν οὐκ ᾔδειν ἐξιχνίασα, καὶ κατέπαυσα ἀδίκους. καὶ πάντα τὰ ἀλλότρια ἰδιοποιεῖται ὁ ἀπὸ τοῦ Ἡσαῦ φέρων τὴν διαδοχήν, τοῦ τὰ ἀλλότρια ἴδια ὑποθεμένου. Ἡσαῦ ἐν τῇ διανοίᾳ ἐλογίζετο ἀνελεῖν τὸν Ἰακώβ· Ἰὼβ δὲ προσέφερε θυσίας ὑπὲρ τῶν υἱῶν, ἐννοῶν, μή τι κατὰ διάνοιαν ἥμαρτον. ἐπειδὴ γὰρ ἐκεῖνος κατὰ διάνοιαν ἐμελέτησε τὸν φόνον, φοβηθεὶς οὗτος ὁ μέγας καὶ γενναῖος ἀθλητής, μὴ καὶ οὗτοι ἐν τῇ διανοίᾳ παραδέξωνται τὸν ἰὸν τῆς ἁμαρτίας, προσέφερε θυσίαν καὶ μόσχον ἕνα περὶ ἁμαρτιῶν. ἔλεγε γὰρ ὁ Ἰώβ· μήποτε οἱ υἱοί μου κακὰ ἐνενόησαν πρὸς τὸν Θεόν. ἐννόησον εἰς ὅσην ἀκρίβειαν αὐτῷ ἔφθασεν ἡ παιδαγωγία τοῦ τρόπου. καὶ τί ποιεῖ; ἐπειδὴ Ἡσαῦ καὶ Ἰακὼβ οἱ * πρόγονοι διεπολεμήθησαν πρὸς ἀλλήλους, οὐ τοῦ Ἰακὼβ εἰς κακίαν συμφωνήσαντος, ἀλλὰ τοῦ Ἡσαῦ [εἰς κακίαν] ἄρξαντος, τὴν διαφωνίαν τῶν προγόνων διαλύει τῇ ἑστιάσει, καὶ ποιεῖ τοὺς υἱοὺς αὐτοῦ καθ' ἡμέραν μετ' ἀλλήλων ἑστιᾶσθαι, ἵνα ἡ συνήθης τράπεζα διαλύσῃ τῆς κακίας τὸν ἰόν. παρ' ἀλλήλους ἐφοίτων οἱ υἱοὶ τοῦ Ἰώβ, ὁμόνοιαν παιδευόμενοι ἐκ νέας ἡλικίας, εἰρήνην ἀσκούμενοι, συμφωνίαν παιδευόμενοι, καὶ μετ' ἀλλήλων ἤσθιον καὶ ἔπινον. παρελάμβανον δέ, φησι, καὶ τὰς τρεῖς ἀδελφὰς ἐσθίειν καὶ πίνειν μετ' αὐτῶν. καὶ τί τοῦτο εἰς ὠφέλειαν τῷ ἀκροατῇ; καὶ διὰ τί προσέθηκε τῶν ἀδελφῶν τὴν συνεστίασιν; ἵνα δειχθῇ, εἰς ὅσον σωφροσύνης ηὐξήθη αὐτῶν τὸ συμπόσιον, καὶ ὅτι οὐκ ἦν γέλως * ἐκκεχυμένος, καὶ ἀκολασία τὴν τράπεζαν ὑβρίζουσα. διὰ τοῦτο παρεισάγει καὶ τὰς παρθένους εὐωχουμένας, ἵνα δείξῃ τὸ πρᾶγμα τοῦ συμποσίου οὐ μέθῃ ὑβριζόμενον, ἀλλὰ συμφωνίᾳ στεφανούμενον·

αἱ δὲ παρ

Εβρ. ιβ. ιϛ.

Γεν. λϛ. λγ.

Ἰωβ. λα. α.

Γεν. κζ.

Ἰωβ. κθ. ιϛ. ιε.

* πρόσωπα ἀκριβῶς.

γρ. μάθῃς

* ἀνήρ, ὃ νῦν προκείμενος ἡμῖν εἰς διήγησιν,

γρ. τοῦ τὰ ἴδια ἀλλότρια προθεμένου

* αὐτῶν

* ἄτακτος καὶ

ἄνθρωπός τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι· πρόβατον ἐν μέσῳ ἱεράκων, πρόβατον ἐν μέσῳ λύκων, ἀστὴρ ἐν μέσῳ τῶν νεφελῶν, κρίνον ἐν μέσῳ τῶν ἀκανθῶν, τὸ βλάστημα τῆς δικαιοσύνης ἐν τῇ κώμῃ τῆς ἀδικίας. καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος ἄμεμπτος. πρόσεχε ἀκριβῶς. οἱ ἔξωθεν ὅρον ἔθεντο ἀνθρώπου. τί ἐστιν ἄνθρωπος; ἄνθρωπός ἐστι, φησι, ζῶον λογικὸν θνητόν. ταῦτα βούλονται τῶν φιλοσόφων οἱ ὅροι· ἡ δὲ γραφὴ οὐ τοιούτους ὅρους δίδωσιν. ἀλλὰ τί; ἄνθρωπος ἄμεμπτος, δίκαιος, ἀληθινός. ἐάν τίς σε ἐρωτήσῃ καὶ ὅρον ἀπαιτήσῃ, τί ἄνθρωπος; εἰπὲ πρὸς αὐτὸν, ἄμεμπτος, δίκαιος, ἀληθινὸς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος· ὡς ὅγε τοῖς τοιούτοις κατορθώμασι μὴ μεμαρτυρημένος, οὐδὲ ἄνθρωπος ὑπάρχει. ἐὰν γὰρ ἔχῃ μὲν τὸν χαρακτῆρα τῆς φύσεως, ὑβρίζῃ δὲ αὐτὸν τῇ κακίᾳ τῆς προαιρέσεως, ἄκουε παρὰ τοῦ προφήτου· Ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος ἄμεμπτος. οὐ μικρὸν τὸ ἐγκώμιον. βασάνισον τὴν λέξιν, ἵνα θαυμάσῃς τὴν προσθήκην. ἄλλο ἐστὶν ἔγκλημα, καὶ ἄλλο μέμψις. ἔγκλημα μὲν γὰρ ταῖς βαρυτάταις ἐπάγεται τῶν ἁμαρτιῶν· ἡ δὲ μέμψις ἐπὶ τῶν κουφοτέρων τῶν πταισμάτων. ἠθέλησεν οὖν δεῖξαι*, ὅτι οὐ μόνον ἐγκλημάτων μακρὰν ἦν*, ἀλλὰ καὶ μέμψεων. οὐδεὶς αὐτῷ ἐνεκάλεσεν ὡς μεγάλα δράσαντι, ὅπουγε οὐδὲ ἐμέμψατο ὡς μικρὰ πράξαντι. τοῦτο δὲ μέγα τεκμήριον. οὗ μέσος ὁ βίος, ἀνέγκλητος. ὃν γὰρ μὴ ἔχῃς περὶ μοιχείας ἐγκαλέσαι, ἢ περὶ φόνου, ὁ τοιοῦτος ἀνέγκλητος· ᾧ δὲ μέμψεις προσάγεις ὕβρεως, διαβολῆς, ἢ λοιδορείας, ἢ μέθης, ὁ τοιοῦτος ἐγκλημάτων μὲν ἐκτὸς, ὑπὸ μέμψιν δὲ τρέχει. ἠθέλησεν οὖν δεῖξαι, ὅτι καὶ τῶν μικρῶν* πταισμάτων μακρὰν ἦν, καί φησιν· ἦν ἄμεμπτος, δίκαιος, ἀληθινὸς*, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. ὅθεν καὶ ὁ Θεὸς τῷ Ἀβραὰμ βουλόμενος δεῖξαι, ὅτι τὸ ἀκρότατον κατ' ἀρετὴν, τὸ ἄμεμπτόν ἐστι, λέγει αὐτῷ· Σὺ δὲ εὐάρεστει ἐνώπιόν μου, καὶ γίνου ἄμεμπτος. τὸ, ἄμεμπτος, εἰς ἀκρότητα τρόπων ἐκλαμβάνεται. ὁ δὲ ἀπόστολος Παῦλος, ἐπειδὴ πρὸς τὰ ἔθνη εἶχε τοὺς ἀπὸ πολυθείας ἀπεσπασμένους, τοὺς ἀπὸ κακίας συνειλεγμένους, τοὺς ἀπὸ πορνείας καὶ μοιχείας συνηθισμένους, [ἐπειδὴ πρὸς τοὺς ἐξ ἐθνῶν εἶχεν,] οὐ παρέστησε τὸ ἄκρον τῆς ἀρετῆς· ἀλλ' ὡς ἦλθεν εἰς τὴν οἰκουμένην πεπληρωμένην πορνείας καὶ μοιχείας, ἠθέλησε δὲ ποιμένας καταστῆσαι*, ἐπειδὴ τότε ἐσπούδαζε τὰ καλὰ τῆς ἀρετῆς, καθιστῶν ἐπισκόπους, Τίτῳ λέγει· Κατάστησον ἐπισκόπους, ὡς ἐγώ σοι διεταξάμην, εἴ τίς ἐστιν ἀνέγκλητος. τὸ, ἄμεμπτος, οὐκ εἶχε τότε χώραν, ἐπειδὴ, ὡς προεῖπον, ἐσπούδαζεν ἀκμὴν τὰ τῆς εὐσεβείας. μέγα τὸ ἄμεμπτον, μέσον δὲ τὸ ἀνέγκλητον· μέγα δὲ ἐν κακοῖς καὶ τὸ μικρὸν ἀγαθόν. διὰ τοῦτο εἶπε, Μιᾶς γυναικὸς ἄνδρα· οὐκ ἐπειδὴ τοῦτο νῦν φυλάττεται ἐν τῇ ἐκκλησίᾳ (δεῖ γὰρ παντελῶς ἁγνείᾳ καὶ ἁγιωσύνῃ ἐστέφθαι τὸν ἱερέα) ἀλλ' ἐπειδὴ τότε πρὸς τοὺς ἐν πορνείᾳ μέγα ἦν, λέγει· Κατάστησον ἐπισκόπους, ὡς ἐγώ σοι διεταξάμην, εἴ τίς ἐστιν ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνήρ· οὐχ ἐπειδὴ νόμον ἔθηκε τοῦτο, ἀλλ' ἐπειδὴ τῇ πλάνῃ συνέγνω. ᾔδει γὰρ ὅτι ἀνθοῦντος τοῦ λόγου τῆς εὐσεβείας αὐθαίρετον αὐτὴ ἡ φύσις ἕξει τὸ ἀγαθὸν, καὶ ἡ ἐκκλησία [illegible] τῶν κρειττόνων. ἄμεμπτος, δίκαιος. οὐ πρότερον οὖν ἐστι γενέσθαι δίκαιον, ἄμεμπτον μὴ γενόμενον. ἀληθινός. ὁ ἀληθινὸς τί βούλεται; ὁ μὴ ἐσχηματισμένος τὴν ὄψιν, καὶ ἄλλην ἔχων τὴν κατάστασιν, ὁ μὴ σωφροσύνην σχηματιζόμενος, ἀκολασίαν δὲ ἐνδεδυμένος, ὁ μὴ τὴν δικαιοσύνην τῷ σχήματι δεικνύων, τὴν δὲ ἀδικίαν ἐν τῇ καρδίᾳ φέρων, οὗτος ἀληθινὸς, καὶ ἀληθῶς θεοσεβής. ὅταν γὰρ ᾖ τὸ ἄμεμπτον, ὅταν τὸ δίκαιον, ὅταν τὸ ἀληθινὸν, τότε ἀπαρτίζεται θεοσέβεια. ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. ἐπειδὴ πολλοὶ ἀπέχονται ἀπὸ πολλῶν ἁμαρτημάτων, πάντων δὲ οὐκ ἀπέχονται· τὸ ἄκρον πάλιν τῆς ἀρετῆς βουλόμενος ὑποδεῖξαι, φησίν· ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. ὅθεν καὶ ὁ Δαβὶδ φησιν· Οἱ ἀγαπῶντες Κύριον μισεῖτε πονηρά. οὐ γὰρ ἀρκεῖ τι καὶ θεοσεβῆ καὶ πονηρὸν εἶναι. ἐκ-

πίθε)

γρ. βούλονται

* ὁ συγγραφεὺς

* ὁ δίκαιος,

* καὶ ἐλαχίστων

* θεοσεβὴς

* τῆς οἰκουμένης

γρ. τῶν παλαιῶν

Ψαλ. μη. ιϛ.

Γεν. ιζ. α.

Τιτ. α. ϛ.

τίθεται δὲ αὐτοῦ καὶ τὴν ὕπαρξιν, ὅτι εἶχε πρόβατα ἑπτακισχίλια, καμήλους τρισχιλίας, ζεύγη βοῶν πεντακόσια, ὄνους νομάδας πεντακοσίας. διὰ τί ταῦτα ἐκτίθεται; οὐ τὸν πλοῦτον θαυμάζων*, ἀλλά σοι τῷ ἀκροατῇ καταλιμπάνων τὸ πλῆθος τῆς οὐσίας· ἵν᾽, ὅταν αὐτὸν ἴδῃς μετὰ ταῦτα γεγυμνωμένον τῶν ὑπαρχόντων, καὶ μὴ στένοντα, θαυμάσῃς, ὅτι πόσων στερούμενος ἀγαθῶν, οὐκ ἀθετεῖ τὸν εὐεργέτην, οὐχ ὑβρίζει τὸν δημιουργόν. ταῦτα τοίνυν ἐγράφη, οὐχ ἵνα τὸν πλοῦτον θαυμάσῃς, ἀλλ᾽ ἵνα τὴν καρτερίαν καὶ τὴν ὑπομονὴν ἐπαινέσῃς τοῦ δικαίου. ταῦτα πρὸ ὀφθαλμῶν ἔχωμεν. ἡ γὰρ ἀκολουθία τὴν θεωρίαν εἰς ἕτερον καιρὸν ταμιεύεται. ὁ γὰρ διάβολος, ἀδελφοί, ἐπειδὴ εἶδεν αὐτὸν πλουτοῦντα τοῦτον τὸν πλοῦτον τὸν πρόσκαιρον, καὶ ἐκ τούτου τοῦ πλούτου τοῦ προσκαίρου τὸν αἰώνιον πλοῦτον ταμιευόμενον, ἐνενόησεν, ὅτι ὥσπερ πλουτοῦντι αὐτῷ συνεπλούτησεν ἡ δικαιοσύνη, οὕτω καὶ πτωχεύοντι συμπτωχεύσει καὶ ἡ ἀρετή. πειρᾶται οὖν αὐτὸν γυμνῶσαι τῶν χρημάτων, ἵνα γυμνώσῃ καὶ τῶν πλεονεκτημάτων. ἐνταῦθα δὲ προσεχέτωσαν ἀκριβῶς οἱ λέγοντες· μὴ ὁ Ἰὼβ οὐκ ἦν πλούσιος; μὴ ὁ Ἀβραὰμ οὐκ ἦν πλούσιος; διὰ τί οὖν ὑποτίθης ἡμῖν ἀκτημοσύνην; ἐρῶ κἀγὼ πρὸς σέ· γενοῦ κατὰ τὸν Ἰὼβ πλούσιος, καὶ ἐπεύχομαί σοι πλείονα κτήσασθαι· γενοῦ κατὰ τὸν Ἀβραάμ, καὶ πᾶσα ἡ γῆ συνεύξεταί σοι τοῦ πλούτου. εἰπὲ καὶ σύ, ὡς ἐκεῖνος, ἡ θύρα μου ἀνέῳκται παντὶ θλιβομένῳ· εἰπέ, ὤμους πενήτων ἐθέρμαινα· εἰπέ, ἐκ τῆς κουρᾶς τῶν προβάτων μου ἐθερμάνθησαν ὦμοι πενήτων· εἰπέ, τὸ στόμα χήρας εὐλόγησέ με, καὶ πλούτει πλοῦτον, ὃν θέλεις. εὑρεθήσῃ γὰρ οὐ σαυτῷ πλουτῶν, ἀλλὰ τοῖς πένησιν οἰκονομῶν. ἡ θύρα μου γάρ, φησιν, ἀνέῳκται παντὶ θλιβομένῳ. μίμησαι τὴν ἀκρότητα ταύτης τῆς φιλοπτωχίας, ἔνδυσαι τὸν ζῆλον τῆς ὑπομονῆς, ἀνδρίσαι κατὰ τῶν ὀδυνῶν, τὰ ἴσα φρόνησον. ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον. γένοιτο δὲ ἡμᾶς τὸν ζῆλον καὶ τὴν ὑπομονὴν ἔχοντας ἔναυλον, ἔχειν καὶ τὴν ἀκολουθίαν τῶν λειπομένων, καὶ ὑμᾶς παρ᾽ ἡμῶν ἀπαιτεῖν τὰ λειπόμενα, καὶ ἡμᾶς ὑμῖν πινύειν τῶν θεωρημάτων τὴν ἀκολουθίαν· καὶ γένοιτο ἡμᾶς γνησίως καὶ τὴν ἑορτὴν ἐπιτελέσαι, καὶ τοῖς παθήμασι τῶν ἁγίων κοινωνήσαντας κοινωνῆσαι καὶ τῷ πάθει τοῦ Χριστοῦ. ἀληθῶς γάρ, ἀδελφοί, δικαίως προέλαμψε τοῦ πάθους τοῦ Χριστοῦ τὰ πάθη τῶν ἁγίων. προέλαμψε γάρ, ὥσπερ ἀστραπαί, τὰ πάθη τῶν δικαίων, ἵνα μετὰ ταῦτα φανῇ ὁ Χριστός (ὥς φησιν ὁ Παῦλος) ὁ πᾶσι συμπάσχων, καὶ πᾶσι συνδοξαζόμενος. εὐχαῖς οὖν καὶ πρεσβείαις τῶν ἁγίων πατέρων, τῶν τοῖς εἰρημένοις στοιχήσαντες, τῶν τὰ λειπόμενα προσδοκήσαντες, δόξαν ἀναπέμψωμεν τῷ πατρί, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* τοῦ Ἰώβ,

γρ. οὔτε μὴν

γρ. καὶ πρὸ ὀφθαλμῶν ἔχωμεν ποτὲ τὸν φόβον τοῦ Θεοῦ. ἡ δὲ ἀκολ-

γρ. ὑποτίθεσαι

γρ. προέλαμψαν

γρ. ἁγίων

Λογ. ρνθ. ΕΙΣ ΤΟΝ ΔΙΚΑΙΟΝ ΚΑΙ ΜΑΚΑΡΙΟΝ ΙΩΒ.

λόγος γ.

Ex Mss. Oxon.

Φέρε, καὶ ἡμεῖς ἁψώμεθα τῆς ὑποθέσεως, καὶ ὑμεῖς τῆς ἀκροάσεως· καὶ πάντες γινώμεθα τῆς ἑσπερινῆς ἀκολουθίας τοῦ Ἰώβ, καὶ μετὰ πίστεως τῷ λόγῳ τῆς ὑπομονῆς ἑαυτοὺς παραστήσωμεν. ἄτοπον γὰρ τὸν μὲν Ἰὼβ ἐπὶ κοπρίας καθήμενον μὴ ναρκῆσαι πρὸς τὴν εὐσέβειαν, ἡμᾶς δὲ ἐν ἐκκλησίᾳ χορεύοντας ὀκνεῖν πρὸς τὴν ἀλήθειαν· καὶ τὸν μὲν μυρίοις ὀδυρμοῖς περιηχούμενον τῆς ἑαυτοῦ συμφορᾶς, μὴ κατακλασθῆναι τὴν ψυχήν· ἡμᾶς δὲ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς καὶ θείαις γραφαῖς περιαδομένους προδιδόναι ῥᾳθυμίᾳ τὴν προθυμίαν. Ἰὼβ ὑπὸ σκωλήκων διεσθιόμενος τὸ σῶμα, ἄτρωτον διεφύλαττε τὴν ψυχὴν πρὸς εὐσέβειαν. ἐκεῖνον σκώληκες οὐκ ἐνίκησαν· καὶ ἡμᾶς ἱδρῶτες καταπαλαίσωσι. γινώμεθα καὶ ἡμεῖς ἄνθρωποι, ἄνθρωποι κατὰ τὸν ὁ-

γρ. παραπί-σωμεν

γρ. οἱ

ἐστὶ τὸν προαποδεδομένον. τὸν γὰρ ἄνθρωπον χαρακτηρίζει τὸ ἄμεμπτον, τὸ δίκαιον, τὸ ἀληθινόν, τὸ θεοσεβές. καὶ ὥσπερ ἐπὶ τῆς κοινῆς συνηθείας ἐπειδάν τις τὸν ἑαυτοῦ οἰκέτην ἢ τὸν υἱὸν ἐπὶ πρᾶξίν τινα ἀποστέλλῃ, παρακελεύεται, λέγων· ὡς ἄνθρωπος ἅψαι τῆσδε τῆς πράξεως, καὶ τὸ κοινὸν ὄνομα ἰδιοποιεῖται θαῦμα· οὕτω κἂν πάντες λέγωνται ἄνθρωποι, μόνος ἐκεῖνος ἀληθὴς ἄνθρωπος, ὁ τὴν εἰκόνα σώζων, καὶ τὸ πρωτότυπον κάλλος μὴ ἀφανίζων. Εἶπεν αὐτὸν ἄνθρωπον, ἵνα ἀπὸ τῆς κοινῆς φύσεως τὴν πρόθεσιν ἐπαινέσῃς. Εἶπεν αὐτὸν ἀπὸ τῆς χώρας τῆς Αὐσίτιδος, ἵνα ἀπὸ τῆς ″χώρας τῆς κομώσης τὴν ἀσέβειαν, τὸν καρπὸν ἀνυμνήσῃς. Εἶπεν αὐτοῦ τὰ κλήματα, ἵνα θαυμάσῃς τὰ πλεονεκτήματα. Εἶπεν αὐτοῦ τὸν πλοῦτον, οὐχ ἵνα τὴν περιουσίαν ἐπαινέσῃς, ἀλλ᾿ ἵνα γεγυμνωμένον * αὐτὸν θαυμάσῃς. πάντων γὰρ ἀπεδύθη, καὶ τὴν εὐσέβειαν οὐκ ἀπεδύετο, ἀλλ᾿ ἦν ὥσπερ τις πόλις πολιορκουμένη, πάντων μὲν τῶν ἔξωθεν γεγυμνωμένη, μόνῳ δὲ τῷ τείχει φυλαττομένη. ἐγυμνώθη τέκνων, καὶ τοὺς καρποὺς τῆς εὐσεβείας οὐκ ἀπώλεσεν. Εἶχε γὰρ τέκνα, τοὺς τρόπους [τῆς εὐσεβείας]· Εἶχε θυγατέρας, τὰς ἀρετάς· τρεῖς αὐτῷ θυγατέρες κατὰ σάρκα, καὶ τρεῖς αὐτῷ* κατὰ πνεῦμα, καθώς φησιν ὁ Παῦλος· Μένει δὲ τὰ τρία ταῦτα, πίστις, ἐλπίς, ἀγάπη· μείζων δὲ τούτων ἡ ἀγάπη. ἐγυμνώθη πάντων, καὶ τὸν ″δημιουργὸν τῆς φύσεως οὐκ ἠρνήσατο. ᾔδει γὰρ ὅτι τέκνα, παραμυθία διαδοχῆς, ὁ δὲ Θεός, γεωργὸς τῆς ῥίζης. οὐκ ″ἐδυσχέραινε, τοὺς καρποὺς ὁρῶν ἀποβαλλομένους. ᾔδει γὰρ ὅτι ″μένει εἰς τὸν αἰῶνα ὁ γεωργὸς τῆς ῥίζης. ἐγυμνώθη τῶν προβάτων, καὶ αὐτὸς ἦν πρόβατον ὑπὸ Θεοῦ φυλαττόμενον. ἐγυμνώθη τῶν βοῶν, καὶ τὰ μὲν ζεύγη τῶν βοῶν περιῄρητο, τὸ δὲ ζεῦγος τῆς ψυχῆς καὶ τοῦ σώματος οὐ διετέμνετο, ἀλλ᾿ ὁμοῦ ″συμφωνήσασα ἡ σάρξ καὶ ἡ ψυχὴ πρὸς εὐσέβειαν εἷλκε τὸ ἄροτρον. τρόπον δὲ τῆς ὑπομονῆς ἐδέχετο τοὺς καρποὺς τῆς ἀρετῆς, ἵνα πλεονάσῃ τοὺς καρποὺς τῆς ὑπομονῆς. ἦσαν οὖν αὐτῷ κάμηλοι τρισχίλιαι, ὄνοι νομάδες πεντακόσιαι. ἐγὼ νομίζω ὅτι μικρὰ ἐκέκτητο, ἅπερ ἐκέκλητο. Εἰ γὰρ ἑκάστῳ πτωχῷ ἐχορήγει, καθὼς αὐτὸς λέγει· Ὀφθαλμὸς ἤμην τυφλῶν, ποὺς δὲ χωλῶν, μικρὰ αὐτῷ ἦν ἡ ὕπαρξις πρὸς τὴν πρόθεσιν· πλείων ἦν ἡ χορηγία τῆς φιλοξενίας παρὰ τὴν περιουσίαν τῆς εἰσόδου. πτωχὸς ἦν Ἰώβ, οὐκ ἐπιτυχὼν τῇ προθυμίᾳ. καὶ πλούσιος μὲν ὑπῆρχε τῇ κτήσει, πτωχὸς δὲ πρὸς τὴν δύναμιν τῆς προαιρέσεως. ἦν δὲ αὐτῷ, φησι, καὶ ἔργα μεγάλα ἐπὶ τῆς γῆς. ποῖα δὲ ταῦτα; φιλοπτωχία καὶ φιλοξενία, ἄκρα ταπείνωσις, ἐλεημοσύνη ἀνυπέρβλητος, καὶ ὅσα εἰς ἀρετὴν ″τελεῖ. ἀλλ᾿ ὁ μὲν οὕτως ἐκόμα οὐ τῷ πλούτῳ τῷ προσκαίρῳ μᾶλλον, ἀλλὰ τῷ τῆς εὐσεβείας. ἄλλος δέ τις σοφὸς κομψῶς ἐκλαμβάνων τὸν λόγον, νομίζει ἔργα μεγάλα εἶναι ἀμπελῶνας καὶ ἐλαιῶνας καὶ ἄπειρα πλέθρα, καὶ ὅσα τοιαῦτα. ἀληθῶς δὲ ἦν αὐτῷ ἔργα μεγάλα ἐπὶ τῆς γῆς κομῶντι τῷ πλούτῳ τῷ ἐπουρανίῳ. ὁ δὲ διάβολος, ὥσπερ ἔφθην εἰπὼν τῇ προτέρᾳ, ὑποτοπήσας ὁ παμμίαρος, ὅτι ὥσπερ αὐτῷ πλουτοῦντι συνεπλούτησε καὶ ἡ ἀρετή, οὕτω καὶ πτωχεύσαντι συμπτωχεύσει καὶ τὰ τῆς ἀρετῆς, γυμνοῖ αὐτὸν τῶν ″κτεάνων, ἵνα γυμνώσῃ καὶ τῶν τῆς ἀρετῆς πλεονεκτημάτων. καὶ αἰτεῖται παρὰ τοῦ Θεοῦ τὸν κατὰ τοῦ δικαίου πειρασμόν, ἵνα σὺ θάρσος λάβῃς, ὅτι οὐκ ἔχει δαίμων ἐξουσίαν κατὰ χριστιανοῦ, οὐδὲ κατ᾿ ἀνδρὸς φοβουμένου τὸν Θεόν, ἐὰν μὴ ἐπιτραπῇ ἄνωθεν γένηται, ἢ διὰ παιδείαν, ἢ διὰ συγχώρησιν. Θεὸς γὰρ ὅταν ἐπάγῃ παιδευτήρια, ἢ δίκην ἀπαιτεῖ τῶν ἁμαρτημάτων, ἢ τὴν ἀρετὴν γυμνάζει τῶν θείων κατορθωμάτων. οὐκ ἠδυνήθη οὖν ὁ διάβολος πολεμῆσαι τῷ Ἰώβ, ἕως ἐπετράπη παρὰ τοῦ Θεοῦ. καὶ μὴ θαυμάσῃς, ἀγαπητέ, εἰ κατὰ τοῦ Ἰὼβ οὐκ εἶχε τὴν ἐξουσίαν, μὴ λαβὼν τὴν ἐπιτροπήν. οὐδὲ γὰρ κατὰ χοίρων ἔχει ἐξουσίαν. ἄκουε πῶς ὁ λεγεὼν παρεκάλει λέγων· Εἰ ἐκβάλλεις ἡμᾶς, ἐπίτρεψον ἡμᾶς ἀπελθεῖν εἰς τοὺς χοίρους. εἰ δὲ χοίρων οὐκ ἔχει ἐξουσίαν μὴ ἐπιτρεπόμενος, τῶν κατ᾿ εἰκόνα Θεοῦ γενομένων πῶς ἔχει ἐξουσίαν μὴ κελευόμενος; Ἐγένετο, φησιν, ὡς ἡ ἡμέρα αὕτη, καὶ ἦλθον οἱ ἄγγελοι τοῦ Θεοῦ παραστῆναι τῷ Κυρίῳ, καὶ ὁ διάβολος ἔστη ἐν μέσῳ αὐτῶν. ἄρα οὖν συνῆν τῇ ἀγγελικῇ λει-

τουργίᾳ

κ. ἀπὸ τῆς

* ταύτης

* ἀρεταί

κ. γεωργόν

κ. οὐκ ἤχθετο τοὺς καρποὺς ἀποβαλλομένους

κ. μένει ὁ καρπὸς τῆς ῥίζης

κ. συμφρονήσασα

κ. συντελεῖ

κ. κτηνῶν

α. Κορ. ιγ. ιγ.

Ματθ. η. λα.

τουργίας παρείσατο καὶ ὁ διάβολος, καὶ ἐν μέσῳ τῶν ἁγίων πνευμάτων τὸ ἀκάθαρτον πνεῦμα παρείσατο; ἀλλ' οὔτε οἱ ἅγιοι ἄγγελοι τῷ Θεῷ παρέστησαν σωματικῶς, οὐδὲ ὁ Σατανᾶς σωματικῶς· ἀλλὰ πᾶσα ὑπουργία παράστασις λέγεται. ὥσπερ γὰρ ὁ Ἡλίας ἐπὶ τῆς γῆς πολιτευόμενος, τῷ Θεῷ παρεστάναι ἐλέγετο· Ὡς, φησί, ζῇ Κύριος, ᾧ παρέστην ἐνώπιον αὐτοῦ σήμερον, οὐχ ὅτι ἐν οὐρανοῖς ἀνελθὼν παρέστη, ἀλλ' ὅτι τῷ θείῳ κελεύσματι διηκονεῖτο· οὕτω καὶ ὁ διάβολος ἔστη, οὐκ ἐν τῷ οὐρανίῳ χωρίῳ, οὐδὲ ἐν ταῖς ὑπερκοσμίαις δυνάμεσιν, ἀλλ' ὡς κτίσμα Θεοῦ κελευόμενον ποιεῖν τὰ καθήκοντα· καὶ ὅπως, ἄκουε. μὴ γάρ μου ἁρπάσῃς τὸ ῥῆμα, καὶ εἴπῃς· ὑπηρέτῃ κέχρηται διαβόλῳ ὁ Θεός; ὥσπερ * ἐπὶ τῶν ἀνθρωπίνων ἐξουσιῶν εἰσὶ φανεροὶ στρατιῶται, οἱ ταῖς τιμαῖς διακονούμενοι, καὶ εἰσὶν ὁμολογούμενοι στρατιῶται, οἱ πρὸς τὰς τιμωρίας ἀφωρισμένοι· οὕτω καὶ ἐνταῦθα πρὸς μὲν τὰς λειτουργίας τὰς ἀγαθάς, καὶ τὰς ὑπὲρ τῶν ἀνθρώπων οἰκονομίας, ἄγγελοι ἅγιοι ἀποστέλλονται· πρὸς δὲ τὰς κατὰ τῶν ἀνόμων ἀνθρώπων τιμωρίας, δαίμονες " ἐπιτρέπονται. καὶ ὅπως, ἄκουε. ὅτι τῶν ἁγίων ἀγγέλων μέμνηται Παῦλος, φησίν· Οὐχὶ πάντες λειτουργικὰ πνεύματά εἰσιν εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν; ὅθεν δῆλον ὅτι οἱ μὲν ἅγιοι ἄγγελοι ὑπηρετοῦσι ταῖς τῶν ἀνθρώπων σωτηρίαις· οἱ δὲ πικροὶ δαίμονες ταῖς κατὰ τῶν ἁμαρτωλῶν τιμωρίαις. Ἐξαπέστειλε γάρ, φησὶν ὁ Δαβίδ, εἰς τὴν Αἴγυπτον θυμόν, καὶ ὀργήν, καὶ θλῖψιν, ἀποστολὴν * ἀγγέλων πονηρῶν. οἱ τοίνυν * δαίμονες, εἰ καὶ ἀφηνίασαν τῇ προθέσει, ἀλλ' ὑπὸ τὸν ζυγὸν κεῖνται τῆς δουλείας, καὶ κελεύονται ὡς δήμιοι πρᾶξαι τὰ προσταττόμενα. καὶ μὴ θαυμάσῃς, εἰ Θεὸς κελεύει δαίμοσιν· οἱ ἀπόστολοι ὡς δημίῳ κέχρηνται τῷ διαβόλῳ. λέγει * Παῦλος· ἐπειδή τινες περὶ τὴν πίστιν ἠστόχησαν, τούτους παρέδωκα τῷ Σατανᾷ, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν. καὶ πάλιν περί τινος ἐκπορνεύσαντος, καὶ δίκην ὀφείλοντος τί φησιν ὁ αὐτὸς Παῦλος; Συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος, σὺν τῇ δυνάμει τοῦ Κυρίου Ἰησοῦ ἔκρινα τὸν οὕτω τοῦτο κατεργασάμενον, τοῦτον παραδοῦναι τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου. ἵνα γὰρ μὴ νομίσωσιν οἱ δαίμονες, ὅτι πάντη κατὰ τῆς θείας αὐθεντίας ἐτυράννησαν, κελεύονται καὶ ἄκοντες ποιεῖν τὰ προσταττόμενα, οὐ πράγματα εἰς εὐθυμίαν συντείνοντα, ἀλλὰ πράγματα εἰς τιμωρίαν φέροντα. οὐκ εἶδες καὶ τοὺς παρ' ἡμῖν ἄρχοντας, ὅταν μὲν μετὰ τιμῆς τινὰς " καλῶσι, πῶς ἀποστέλλουσι τοὺς δρομεῖς, κουρσώρας καλουμένους Ῥωμαϊστί· ὅταν δὲ μετ' ἀτιμίας τινὰς ἕλκωσιν, ἑτέρους ἐκπέμπουσιν ἀπηνεῖς καὶ σκληροὺς στρατιώτας; οὕτω καὶ ὁ Θεός· τοῖς μὲν ἁγίοις ἀποστέλλει διακόνους ἀγγέλους εἰς σωτηρίαν· ὅταν δὲ τιμωρήσασθαι βούληται, τοῖς δαίμοσιν ἐπιτρέπει. διὰ τοῦτο ὅτε ἀπεφαίνετο κατὰ τοῦ Ἀχαὰβ ὁ Θεὸς λέγει· Τίς πορεύσεται καὶ ἀπατήσει τὸν Ἀχαάβ, καὶ πεσεῖται; καὶ ἀπεκρίθη πνεῦμα πονηρόν, ἰδοὺ ἐγώ. ᾔδει γὰρ ὅτι εἰς τοῦτο τέτακται ὁ διάβολος.

Σύγγνωτε δέ μοι παρακαλῶ. περὶ πραγμάτων γὰρ ἀοράτων, καὶ οὐκ αἰσθητῶν διαλέγομαι. ἀλλ' οὐδ' ἂν ἀπ' ἀρχῆς ἐπεχείρησά τι περὶ τῶν τοιούτων εἰπεῖν, εἰ μὴ τὰς ἀφορμὰς ἐκ τῆς ἁγίας γραφῆς ἐδανειζόμην. οὐ γὰρ ἀνθρωπίνης ἐστὶν ἐννοίας μετρεῖν τὰ ἀόρατα ἀπὸ τῶν αἰσθητῶν. ἀλλ' ἐπειδὴ οἷς εἶπεν ὁ Θεός, ἀντειπεῖν οὐκ ἔστι, τοῖς γεγραμμένοις [οὖν] στοιχοῦμεν, κἂν θέλωμεν, κἂν μή. οἱ τοίνυν πονηρότατοι δαίμονες ἀποστέλλονται μὲν ἀδίκως εἰσπράξασθαι παρὰ τῶν πονηρῶν τιμωρίαν· " ἀποστέλλονται δὲ καὶ πρὸς δικαίους, οὐχ ἵνα τιμωρήσωνται, ἀλλ' ἵνα " πειράσωνται. ἐπειδὴ γὰρ ἄγγελος ἅγιος ὑπουργῆσαι τῇ πείρᾳ οὐ κελεύεται (οὐδὲ γὰρ ὁ Θεὸς κελεύει τι ἀνάξιον ἀγγέλῳ) διὰ τοῦτο δαίμονες ταύτην ἐπιτρέπονται τὴν πεῖραν. καὶ μὴ θαυμάσῃς, εἰ πρὸς δικαίους δαίμονες ἀποστέλλονται. Ἀνήχθη γάρ ποτε ὁ δεσπότης τῶν ἁπάντων ἀπὸ τοῦ Ἰορδάνου εἰς τὴν ἔρημον πειρασθῆναι ὑπὸ τοῦ διαβόλου. εἰ τοίνυν τὸν Κύριον καὶ τὸν σωτῆρα τῶν ἁπάντων διάβολος

ἐπείρασε

Ἑβρ. α. ιδ.

α. Τιμ. α. κ.

α. Κορ. ε. δ.

Ματθ. δ. α.

* γὰρ

γρ. ἀποστέλλονται

* διὰ

* πονηροὶ καὶ ἀκάθαρτοι

* οὖν

γρ. καλέσωσι

γρ. πειράσωσιν

ἐπείρασε, καὶ θαυμάσεις, εἰ κατὰ δικαίου εἰς γυμνασίαν ὑπομονῆς δαίμων ἀποστέλλεται; ἀποστέλλεται δὲ, οὐ τοῦ Θεοῦ κελεύοντος, ἀλλὰ συγχωροῦντος. σχηματίζει δὲ ἡ γραφὴ ὡς ἐν προσωποποιΐᾳ τὸν λόγον. οὐ γὰρ φωνὴ παρὰ τοῦ Θεοῦ χωρεῖ πρὸς πονηρὸν δαίμονα, οὐδὲ καταξιοῦται ταύτης ἡ'' παραβάτης ἐκείνη πρόθεσις. φύσις γὰρ ἀγαθὴ, πρόθεσις δὲ κακή. οὐ καταξιοῦται τῆς ἀκεραίου φωνῆς. ἐὰν δὲ εἴπῃς, * εἶπεν ὁ Κύριος τῷ διαβόλῳ· ἐρῶ σοι ἀπὸ τοῦ Δαβίδ· Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεὸς, ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου; ἆρα φωνὴν ἔρρηξε πρὸς τὸν ἁμαρτωλόν; οὐχὶ, ἀλλὰ δι' ὧν φθέγγεται, δι' αὐτῶν τῶν πραγμάτων λαλεῖ πρὸς τοὺς ἀναξίους. ἐπέταξεν ὁ Θεὸς τῷ κήτει. ἆρα φωνὴν ἐκπέμψας, ἢ πρόσταγμα καὶ νευρώσας; ἐκέλευσεν ὁ Θεὸς σκώληκι ἑωθινῇ. οὕτως ἐὰν σχηματίσῃ ὁ λόγος, ὅτι ὁ Θεὸς ἐφθέγξατο πρὸς τὸν διάβολον, μὴ διὰ ἰσοτιμίας παραγάγῃς τὴν ἄτιμον ταύτην καὶ παραβεβηκυῖαν πρόθεσιν [εἰσαγομένην] εἰς πρόσωπον τοῦ δεσπότου. ἀλλ' ἑστήκασιν οἱ ἄγγελοι κατὰ τὴν διατεταγμένην ἀκολουθίαν· ἦλθε δὲ ὁ διάβολος, καὶ παρέστη ἐν μέσῳ τῶν ἀγγέλων· ἵνα μάθῃς ὅτι ἀγγέλου μὲν φύσιν ἔλαβε, προδότου δὲ πρόθεσιν ἐπεδείξατο. διάβολος γὰρ, ἀδελφοὶ, οὐ φύσεως ὄνομα, ἀλλὰ προαιρέσεως. οὐ γὰρ διάβολος ἐγένετο ἀπ' ἀρχῆς, ἀλλὰ ἄγγελος ἐκτίσθη· διάβολος δὲ ὠνομάσθη, ὡς διαβάλλων καὶ Θεὸν ἀνθρώποις, καὶ ἀνθρώπους Θεῷ, καὶ ὡς συγκρούων δεσπότην πρὸς οἰκέτην, καὶ οἰκέτην πρὸς δεσπότην. ὅταν γὰρ ὑποβάλλῃ ἡμῖν ὁ διάβολος, καὶ εἴπῃ, πόσα κακὰ ἐν τῷ κόσμῳ; ποῦ ὁ Θεός; διὰ τί μὴ προΐσταται; διαβάλλει τὸν δημιουργὸν πρὸς ἡμᾶς. ἔργον γὰρ τοῦτο ἐξ ἀρχῆς τῷ διαβόλῳ. διαβάλλει τὸν Θεὸν πρὸς τὸν Ἀδὰμ, λέγων· Ἤδει ὁ Θεὸς, ὅτι ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπὸ τοῦ ξύλου, ἔσεσθε ὡς θεοί. βασκαίνων, φησὶν, ἐκώλυσεν ὑμᾶς ὁ Θεὸς τῆς βρώσεως. ἐκεῖ τὸν Θεὸν διαβάλλει πρὸς τὸν Ἀδάμ· ὧδε τὸν Ἰὼβ πρὸς τὸν Θεόν. Μὴ γὰρ δωρεὰν σέβεται Ἰὼβ τὸν Θεόν; τουτέστιν, ὑπομίσθιός ἐστιν, οὐκ ἐνάρετος· μισθόν σοι τελεῖ τῆς εὐπραγίας. περίελε τὰ χρήματα, καὶ γυμνοῦται αὐτοῦ ἡ πρόθεσις. ἐπεὶ οὖν εἶδεν ὁ Θεὸς τὸν δίκαιον τῇ ὑπονοίᾳ ἐκείνου ὑβριζόμενον, περιαιρεῖ τὰ κτήματα, ἵνα περιέλῃ τὴν ὑποψίαν, καὶ γυμνὴν δείξῃ τὴν εὐσέβειαν. καὶ βλέπε τοῦ πονηροῦ δαίμονος τὴν πρόθεσιν. εἶπε, φησὶν, ὁ Κύριος τῷ διαβόλῳ· πόθεν παραγέγονας; εἶτα ὁ ὑπερήφανος καὶ ἀλαζὼν, καὶ μήτε τὴν ἑαυτοῦ τάξιν εἰδὼς, μήτε τοῦ ἐρωτῶντος τὴν ἀξίαν, λέγει· περιελθὼν τὴν γῆν, καὶ ἐμπεριπατήσας τὴν ὑπ' οὐρανὸν, πάρειμι· μονονουχὶ βοῶν καὶ βουλόμενος δεῖξαι, ὅτι κρατεῖ τῆς ὑπ' οὐρανὸν, ὅτι πάντα αὐτῷ πεπάτηται τὰ γήϊνα, ὅτι πάντας ὑπὸ πόδας ἔχει τοὺς ἀνθρώπους. Περιελθὼν, ἔφη, τὴν γῆν, καὶ ἐμπεριπατήσας τὴν ὑπ' οὐρανὸν, πάρειμι. ἐκκόπτεται τοῦ διαβόλου ἡ ἀλαζονεία. ἐπειδὴ γὰρ ἐνόμισε κρατεῖν τῆς τοῦ Θεοῦ εἰκόνος, ἐκβάλλεται τῆς γῆς, ὥστε μηκέτι * ἐμπεριπατεῖν, καὶ ἐξορίζει αὐτὸν ὁ πάντων δεσπότης. αὐτὸς γάρ ἐστιν ὁ ἐπαγγειλάμενος, Ὅτι ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεός. τὰ πρῶτα ἐμπεριεπάτει ὁ διάβολος. ὅτε μὲν γὰρ ἡ εἰδωλολατρεία ἐπεκέχυτο, ὅτε ἡ'' ἀσέβεια ἐκράτει, ὅτε πάντα τὰ τῆς κακίας ἤκμαζεν, ὁ διάβολος ἐμπεριεπάτει· ὅτε δὲ ἁγιωσύνη καὶ δικαιοσύνη καὶ ἀλήθεια παρὰ τοῖς φυλάττουσι τὴν ἀλήθειαν, ὁ Θεὸς ἐνοικεῖ καὶ ἐμπεριπατεῖ. προσέσχες οὖν τῇ διανοίᾳ σου, φησὶ, κατὰ τοῦ θεράποντός μου Ἰώβ· ὅτι οὐκ ἔστι κατ' αὐτὸν τῶν ἐπὶ τῆς γῆς, ἄμεμπτος, δίκαιος, ἀληθινὸς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ; ἐπειδὴ εἶπε, πᾶσαν περιῆλθον τὴν ὑπ' οὐρανὸν, καὶ ἠλαζονεύετο ὡς πάντων κρατῶν, παραλύων αὐτοῦ τὴν ἀλαζονείαν ὁ λόγος τῆς ἀληθείας, φησὶ πρὸς αὐτόν· Εἶδες τὸν ἄνθρωπον τὸν ὑπὸ σοῦ μὴ πεπατημένον, ἐπειδὴ πάντων, ὡς ἔφης, κρατεῖς; Εἶδες τὸν πάσης σου τῆς κακίας κρατοῦντα; Εἶδες τὸν πατήσαντά σε τὸν πατοῦντα πάντας; Εἶδες τὸν ἑλκύσαντά σου τὴν τυραννίδα, καὶ'' τὴν ἀδικίαν ἑλκύσαντα τῇ δικαιοσύνῃ, καὶ τὴν ἀσέβειαν τῇ εὐσεβείᾳ; ὁ δὲ ἀνθίσταται τῷ Θεῷ, καὶ λέγει· Οὐ δωρεὰν σέβεται. περιέστηκε τὰ κτήματα, ἵνα ὑβρίσῃ

αὐτὸν

γ. παραβάτις

* πῶς

Γεν. α γ.

* αὐτὴν

β. Κορ. ϛ. ιϛ.

γ. ἀσέλγεια

γ. τὴν κακίαν λύσαντα

αὐτοῦ τὸν τρόπον, ἵνα ὑβρίσῃ αὐτοῦ καὶ τὸ ἦθος, ἵνα ταῖς ὑπονοίαις νόθον δείξῃ τὴν ἀρετήν. οὐ
δέδωκας αὐτῷ, φησὶ, τὴν ἀφθονίαν· περίελε τὴν ἀφθονίαν, καὶ γυμνοῦται ἡ ὑπόκρισις.
λέγει αὐτῷ ὁ Θεός· ἅψαι πάντων ὧν ἔχει. ᾔδει γὰρ ὁ Θεὸς, ὅτι ἀκόρεστον ἔχει τὴν πρόθεσιν
εἰς πλεονεξίαν, καὶ λέγει· ἰδοὺ, πάντων δίδωμί σοι τὴν ἐξουσίαν, αὐτοῦ δὲ μόνον μὴ ἅψῃ. ὅ-
ροις περιορίζει τὴν κακίαν τοῦ διαβόλου. βλέπε λοιπὸν οἷον ἀποτείνει τόξον κατὰ τοῦ δικαίου,
οἷα πέμπει βέλη. ἐξῆλθε, καὶ πρῶτον σχηματίζεται αὐτὸς ὁ τῶν κακῶν ἐργάτης, αὐτὸς ἑαυ-
τὸν ἄγγελον τῶν κακῶν παραστήσας. αὐτὸς ἔπληξε τὰ κλήματα, καὶ αὐτὸς ἀπαγγέλλει τὴν
πληγήν. Εἶπε γὰρ, φησὶν, ὁ διάβολος τῷ Ἰώβ· Τὰ ζεύγη τῶν βοῶν σου ἠροτρία, καὶ αἱ
θήλειαι ὄνοι ἐνέμοντο, καὶ ἦλθον οἱ αἰχμαλωτεύοντες, καὶ κατέσφαξαν τοὺς παῖδάς σου, καὶ γρ. ἐβόσκοντο
ὑπελείφθην ἐγὼ μόνος, καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. πρώτη πεῖρα τοῦ διαβόλου, πρῶ-
τον βέλος κατὰ τοῦ γενναίου ἀγωνιστοῦ. ἀλλ' ἀντέστησεν Ἰὼβ τὸν θυρεὸν τῆς πίστεως, τὸν δυνά- γρ. δικαίου
μενον πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι. τὰ ζεύγη τῶν βοῶν ἀπώλετο,
καὶ ἡ ψυχὴ οὐκ ἐμερίζετο· αἱ ὄνοι ἀπώλοντο, καὶ ὁ εὐγενὴς πῶλος τὸν χαλινὸν τῆς εὐσεβείας
οὐκ ἠρνήσατο. Εἶδεν ἀγγελίαν πικρὰν τῆς ἀπωλείας τῶν κλημάτων, καὶ ἔμεινεν ὡς ἀσφαλὴς
πύργος καὶ ἀκαταγώνιστος. ὁ διάβολος πικρὸς ὢν τῇ κακίᾳ, καὶ πικρὸς ὢν τὴν προαίρεσιν,
μετεμελήθη οὕτως ἀπαγγείλας. καὶ πρόσεχε ἀκριβῶς, παρακαλῶ, μή σε διαφύγῃ ἡ τοῦ
β. Κορ. β. ια. πονηροῦ ἔννοια, ἣν καὶ ἀπόστολος ἀκριβῶς κατοπτεύσας φησίν· Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀ-
γνοοῦμεν. ὡς οὖν ἀπήγγειλεν αὐτῷ, ὅτι τὰ ζεύγη τῶν βοῶν ἠροτρία, καὶ αἱ θήλειαι ὄνοι ἐνέ-
μοντο, καὶ ἦλθον οἱ αἰχμαλωτεύοντες, εἶδε δὲ τὸν Ἰὼβ ψυχῇ γενναίᾳ φέροντα τὴν ἀγγελί-
αν, μετεμελήθη ὅτι κακῶς ἀπήγγειλε, καὶ μονονουχὶ εἶπε πρὸς ἑαυτὸν ὁ διάβολος· κακῶς
ἀπήγγειλα εἰπὼν αὐτῷ, ὅτι ἄνθρωποι αὐτῷ ἐπολέμησαν· δύναται λογίσασθαι, ὅτι εἰ ἄν-
θρωποι ἐπολέμησαν καί με ἠδίκησαν, τί πρὸς τὸν Θεόν; κακῶς, φησὶν, ἐτόξευσα, οὐ κατὰ
σκοποῦ ἔβαλον, ἀπέτυχον τῆς τοξείας, ἀπεπλανήθη τὰ βέλη. εἶπον ὅτι ἄνθρωποι ἠχ- γρ. ἀπεπλανήθησαν τὰ βέλη.
μαλώτευσαν. δύναται τοίνυν εἰπεῖν, τί οὖν τὴν τῶν ἀνθρώπων ἀδικίαν Θεῷ ἐπιγράψω;
ἄλλοι οἱ ἠδικηκότες, καὶ ἄλλος ἔσται ὁ βλασφημούμενος; ἵνα οὖν μεταγάγῃ αὐτοῦ τὴν διά-
νοιαν ἀπὸ τῶν ἀνθρώπων εἰς Θεὸν, καὶ δείξῃ αὐτῷ οὐκ ἀνθρώπους καταβλάπτοντας, ἀλλὰ
Θεὸν πολεμοῦντα, λέγει αὐτῷ· Πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ. μὴ δύνῃ εἰπεῖν, ὅτι ἐχθροὶ
ἔρριψαν ἄνωθεν; ὕβρισον τὸν ἀδικήσαντα, βλασφήμησον τὸν πολεμήσαντα. πῦρ ἔπεσεν
ἐκ τοῦ οὐρανοῦ. διὰ τί λατρεύεις τῷ ἀδικήσαντι; διὰ τί προσκυνεῖς τὸν ἀναλίσκοντά σου
τὰ κλήματα; πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ. ἤκουσεν ὁ Ἰὼβ, καὶ πάλιν ἤνεγκε γενναίως. ἡ γὰρ
ὑπομονὴ ἐκείνου, ἀληθῶς ὑπομονὴ ἦν, μέχρι τέλους παρατεταμένη. περὶ ἧς φησὶν ὁ
Ματθ. ι. κβ. σωτήρ· Ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. Πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ. καθ' ἡμέ-
ραν ἔκαμνε προσφέρων θυσίας ὑπὲρ τῶν τέκνων· ἃ καθ' ἡμέραν κάμνων προσέφερεν, ἀ-
θρόως ὁ Θεὸς εἰς θυσίας ἔλαβε. Πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ. εἰ ἐγὼ μόνος ἐνεδυόμην, δι-
καίως ἤλγουν· εἰ δὲ πένητες ἐνεδύοντο, μὴ δύναται ὁ δεσπότης ἀμελῆσαι τῶν πτωχῶν; οἶδα
ὅτι ἃ ἔλαβεν εἰς θυσίαν, ἀποδίδωσιν εἰς τὸ πενταπλάσιον. μὴ γὰρ ἐξ ἀδικίας συνήχθη
Ἰὼβ λα. κ. τὰ κλήματα; μὴ γὰρ ἀπὸ πλεονεξίας ἐκτησάμην τὰ πρόβατα; Ἐκ τῆς κουρᾶς τῶν
Ἰὼβ κθ. ιγ. προβάτων μου ἐθερμάνθησαν ὦμοι πενήτων, Καὶ στόμα χήρας εὐλόγησέ με. οἶδε τί ποιεῖ ὁ
Θεός· νῦν ἔλαβέ μου τὴν ὕπαρξιν, ὡς θυσίαν· πολλαπλασιάζει δέ μου τὴν οὐσίαν εἰς πλεο-
νασμὸν ἀρετῆς. οὐ σαλεύει με τὰ ἔξωθεν βέλη τοῖς ἔσωθεν ὀχυρούμενον· στηρίζει δέ με γρ. ὠχυρωμένον
μᾶλλον ἔνδοθεν τὰ τοῦ Θεοῦ βέλη. τὰ γὰρ βέλη τοῦ δυνατοῦ ἠκονημένα, περὶ ὧν ἔλεγε
Ψαλ. λζ. β. Δαβὶδ, Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι. τὰ βέλη, ποῖα; βέλος εὐσεβείας, βέλος δικαι-
οσύνης, βέλος πόθου πρὸς Θεὸν, βέλος ζήλου ἀρετῆς· τούτοις τοῖς θείοις βέλεσιν ἡ ψυχὴ τι-
τρώσκεται. ὡς οὖν πᾶσαν πεῖραν προσαγαγὼν ὁ διάβολος, καὶ τῶν κτημάτων γυμ-
νώσας,

νώσας, τῆς ἀρετῆς οὐκ ἐγύμνωσε, χωρεῖ λοιπὸν ἐπὶ τὴν φύσιν, καὶ τὴν γεωργίαν τῆς φύσεως βιάζεται, καὶ ἀποσπᾷ τοὺς κλάδους ἀπὸ τῆς ῥίζης, καὶ συντρίβει τοὺς παῖδας τοῦ καλοῦ ἀγωνιστοῦ. περιαιρεῖ τὸν καρπόν, ἵνα λυπήσῃ τὸν γεννήσαντα. καὶ τί ποιεῖ; βλέπε καὶ τὴν ἀγγελίαν τοῦ πονηροῦ, πῶς μεστὴ μέν ἐστιν εἰρωνείας, καὶ εἰς γυναικείαν ῥέπουσα, καὶ κατακλάσαι τὴν ψυχὴν τοῦ γενναίου δυναμένη. λέγει οὖν αὐτῷ· Τῶν υἱῶν σου καὶ τῶν θυγατέρων σου ἐσθιόντων καὶ πινόντων ἐν τῇ οἰκίᾳ τοῦ πρεσβυτέρου σου υἱοῦ, ἦλθε πνεῦμα μέγα ἐκ τῆς ἐρήμου, καὶ συνέσεισε τὸν οἶκον, καὶ ἔπεσεν ἐπὶ τὰ παιδία σου, καὶ ἐτελεύτησαν. καὶ τὸ ῥῆμα ὑποκοριστικόν, δυνάμενον ἐγεῖραι πένθος. οὐκ εἶπεν, ἐπὶ τὰ τέκνα σου, ἀλλ᾽, ἐπὶ τὰ παιδία· ἵνα τῶν παίδων ἀκούσας, εἰς οἶκτον ἔλθῃ, ἵνα καμφθῇ πρὸς συμπάθειαν. ἦλθε πνεῦμα μέγα ἐκ τῆς ἐρήμου. πάλιν τὸν κτίστην διαβάλλει. πνεῦμα γὰρ οὐκ ἀνθρώποις ὑπακούει, ἀλλὰ τῷ Θεῷ. Ἔπεσεν ἐπὶ τὰ παιδία σου, καὶ ἐτελεύτησαν. τότε Ἰὼβ ἀνέστη. οὕτω γὰρ γέγραπται καλῶς, ὅτι ἀνέστη. οὐ γὰρ κατέπεσε τῇ πληγῇ, ἀλλ᾽ ἀνέστη τῇ δυνάμει τῆς εὐσεβείας. ἀνέστη, καὶ προσεκύνησε. μισθὸς συμφορῶν ἡ προσκύνησις. τυπτόμενος εὐλογεῖ, συμφοραῖς βαλλόμενος εὐχαριστεῖ. καὶ περιεκείρατο τὴν κόμην. νῦν ἐφ᾽ ἡμῶν τῶν πενθούντων πολλοὶ τρέφουσι κόμην, ἐκεῖνος δὲ περιῄρει. διὰ τί; τῷ πενθοῦντι τὸ σπουδαζόμενον, εἰς τὸ ἐναντίον σχῆμα περιστῆσαι τὴν κατάστασιν· ὅπου οὖν τιμᾶται κόμη, σημεῖον πένθους τὸ μὴ κείρεσθαι. πανταχοῦ γὰρ τὸ ἐναντίον ζητεῖται σχῆμα ἀπὸ τῶν πενθούντων. καὶ διέρρηξε τὰ ἱμάτια, τῷ μὲν σχήματι πρὸς τὸ πάθος ἀποδυόμενος, τῷ δὲ πράγματι πρὸς τὴν ἀρετὴν ἀποδυόμενος. ἀποδύεται τὸ ἱμάτιον, ἵνα ὡς γυμνὸς ἀθλητὴς περιπλακῇ τῷ ἀντιπάλῳ, καὶ ἐξ ἀναπορρήτου πάλης βραβεύσῃ τὴν δικαιοσύνην. ἀπεδύσατο τὸ ἱμάτιον ὁ ἐνδεδυμένος τὴν δικαιοσύνην, καί φησιν ὁ μέγας λαμπτὴρ τῆς εὐσεβείας· Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. ὢ γενναίας ψυχῆς· αὕτη ἡ φωνὴ βέλος ἐγένετο κατὰ τοῦ διαβόλου, αὕτη ἡ φωνὴ βέλη κατὰ τῶν δαιμόνων ἀπέστελλεν, ἔρρηξε τὴν φάλαγγα τῶν ἐναντίων. Γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι. ἀποστολικὴ φωνὴ πρὸ τῶν ἀποστολικῶν χρόνων ἀνδρίζομ. ἡ. γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός, γυμνὸς καὶ ἀπελεύσομαι. ὡς ὁ ἀπόστολος· Οὐδὲν ἐπηνέγκαμεν εἰς τὸν κόσμον· δῆλον, ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα. Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο. πάντων περιῃρέθη (ἵνα συντέμω) καὶ ἡ γυνὴ μόνη ὑπελέλειπτο, τὸ ἀρχαῖον ὄργανον τοῦ διαβόλου. ἡ γυνὴ ὑπελέλειπτο, οὐ φεισαμένου τοῦ διαβόλου, ἀλλ᾽ ἑαυτῷ τὸ ὅπλον τηρήσαντος. ἐπειδὴ γὰρ ᾔδει, ὅτι διὰ γυναικὸς τὸν πρῶτον ἄνθρωπον κατηγωνίσατο, φυλάττει τὴν γυναῖκα, ἵνα τῷ ὁμοίῳ ὅπλῳ χρήσηται πρὸς τὴν ἐπιβουλήν. ἀλλ᾽ ἐκεῖ μὲν εὗρε τὸν Ἀδάμ, ὧδε δὲ τὸν Ἀδὰμ οὐχ εὑρίσκει. ἐκεῖ τὸν Ἀδὰμ εὗρε καὶ τὴν Εὔαν· ὧδε δὲ τὴν μὲν Εὔαν εὗρε, τὸν δὲ Ἀδὰμ οὐχ εὗρε. λέγει αὐτῷ ἡ γυνή, Ἕως τίνος καρτερήσεις; τὰ ῥήματα τὰ * τοῦ διαβόλου. τὸ γάρ, ἕως τίνος, βασανιζομένου ἦν ἡ φωνή. ἐγὼ βασανίζομαι, καὶ σὺ λέγεις ἕως τίνος; ἐγὼ τύπτομαι, καὶ σὺ ναρκᾷς πρὸς τὰς πληγὰς τοῦ βασανιζομένου. ἕως τίνος κάθησαι προσμένων ἡμέραν ἐξ ἡμέρας " τὴν σωτηρίαν; ἄκων ὁ διάβολος τὴν ἀρετὴν τοῦ δικαίου ἀνυμνεῖ· κηρύττει αὐτοῦ τὴν ὑπομονήν, ὅτι ἐλπίδι ἠγωνίζετο. ἕως τίνος; εἶτα βλέπε τὸ σοφὸν τοῦ συγγραφέως. καὶ ἐμβλέψας αὐτῇ, φησίν, Ἰὼβ εἶπεν. οὐκ εἶπε, προσχὼν αὐτῇ, ἀλλ᾽, ἐμβλέψας. ἐμβλέψας, διὰ τί; ἠγνόει γὰρ τὴν ἑαυτοῦ γυναῖκα; οὐκ αὐτῇ συνέζησεν; οὐκ ἐξ αὐτῆς ἐτεκνώσατο; διὰ τί οὖν ἐνέβλεψε; τὸ ἐμβλέψας δείκνυσιν, ὅτι οὐκ αὐτὴν βλέπει, ἀλλὰ τὸν ἐν αὐτῇ. ἐνέβλεψε τῷ διαβόλῳ ὁ Ἰώβ. εἶδε τὸν ἐν τῷ ὄφει λαλήσαντα, καὶ νῦν ἐν τῇ γυναικὶ λαλοῦντα, καὶ λέγει· Ὡς μία τῶν ἀφρόνων ἐλάλησας. διὰ τί οὐκ εἶπεν, ὡς μία τῶν ἀσεβῶν; ὡς μία τῶν ἀθέων; ᾔδει αὐτὴν οὐκ ἄθεον οὖσαν, ἀλλ᾽ ὑπὸ ἀφροσύνης συναρπασθεῖσαν· ἄλλως δέ, ἀδελφοί, κυρίως τῷ " τῷ Θεῷ ἀρε-

γρ. λείπ.

γρ. μέχρι

* ἀληθῶς

γρ. πρὸς τὴν σωτηρίαν σου

ἴσ. τὸν Θεὸν

α. Τιμ. ϛ. ζ.

νουμένῳ ἡ τοῦ ἄφρονος δίδοται φωνή. Εἶπε γάρ, φησιν, ἄφρων ἐν τῇ καρδίᾳ, οὐκ ἔστι Θεός. ὡς μία τῶν ἀφρόνων· ὡς εἴ τις ἔλεγεν, ὡς ἡ Εὔα ἐλάλησας. Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; ὦ γενναίας ψυχῆς. ἐνταῦθά μοι δοκίμασον αὐτοῦ τὴν ψυχήν. οὐκ ᾔδει Ἰώβ, ὅτι ὑπὲρ ἀρετῆς ἠγωνίζετο· οὐκ ᾔδει ὅτι ὑπὲρ ὑπομονῆς στέφεται· ἀλλ' ἐνόμιζεν ἁπλῶς συμφορὰν εἶναι θεήλατον. κακὰ εἶναι ἐνόμισε, καὶ κακὰ νομίσας, οὐχ ὡς ὑπὲρ κακῶν ἐβλασφήμησεν. Εἰ δὲ κακὰ νομίσας οὕτως ἠγωνίσατο, εἰ ᾔδει τὸν στέφανον, οὐ πολλῷ μᾶλλον ἠγωνίζετο; ἀλλὰ διατί οὐ προλαβὼν εἶπεν αὐτῷ ὁ Θεός· ὅρα τί ποιεῖς· ὁ διάβολος μέλλει παρατάττεσθαί σοι, μέλλει κατὰ σοῦ ὁπλίζεσθαι. ἀγωνίζου, ἴσχυε, ἵνα μή σου παρατρέψῃ τὴν διάνοιαν, ἵνα μὴ συλήσῃ τοὺς λογισμούς, ἵνα μή σου πολιορκήσῃ τὴν ψυχήν· ἴσχυε, καὶ μὴ νομίσῃς, ὅτι ἀνοίκειον Θεῷ τὸ " παραγγεῖλαι τῷ ἀθλητῇ τὴν πάλην. τῷ γὰρ Πέτρῳ λέγει ὁ Κύριος, Πέτρε, ἰδοὺ ὁ Σατανᾶς ἐξῃτήσατο ὑμᾶς * σινιάσαι ὡς τὸν σῖτον. τοῖς ἀποστόλοις προλέγει τοὺς πειρασμούς, τῷ δὲ Ἰὼβ οὐ προλέγει τοὺς πειρασμούς, οὐδὲ τὴν ἄθλησιν. μὴ ἀδικία παρὰ τῷ Θεῷ; μὴ γένοιτο. τοὺς μὲν παραθαρσύνει, τοὺς μὲν καταλιμπάνει. διατί μὴ λέγει αὐτῷ, ὡς τοῖς ἀποστόλοις; ᾔδει ὁ Θεὸς τοῦ διαβόλου τὴν " κακουργίαν, ᾔδει τὸν φθόνον, ᾔδει τὴν ὑπόνοιαν δυναμένην ἀμβλῦναι τὴν ἀρετήν. Εἰ εἶπεν αὐτῷ ὁ Θεός, πρόσεχε σεαυτῷ καὶ ἀγώνισαι· ἐὰν ὑπομείνῃς εἰς τέλος, τὰ ὑπάρχοντά σοι εἰς τὸ διπλάσιον ἀποδίδωμι, βασιλείαν οὐρανῶν κληρονομήσεις, στεφάνους ἀθανασίας " δέξῃ, μεστὴ τῶν ἐγκωμίων τῶν σῶν καὶ τῶν ἐπαίνων ἡ οἰκουμένη πᾶσα γενήσεται· εἰ ταῦτα εἶπεν, ἠγωνίζετο μὲν ἂν ὁ δίκαιος· ὁ δὲ διάβολος πάλιν ἀφορμὴν ἐλάμβανε· καὶ εἰ μὲν ἀγωνισάμενος οὕτως ἐνίκησεν, ἔλεγε τῷ Θεῷ, μὴ γὰρ δωρεὰν ἠγωνίσατο; ἐπηγγείλω αὐτῷ ἀθανασίαν, ἐπηγγείλω βασιλείαν, ἐπηγγείλω στεφάνους. Εἰ τοίνυν τῶν προσκαίρων λαβὼν τὴν ἀπόλαυσιν ὑπενοήθη οὐχ ὡς δίκαιος, ἀλλ' ὡς ὑπομίσθιος· εἰ ἔλαβε τῶν αἰωνίων τὴν ὑπόσχεσιν, οὐ πολλῷ μᾶλλον ὁ διάβολος ἀφορμὴν ἐλάμβανεν; ἀλλὰ κρύπτει τοὺς στεφάνους, ἵνα γυμνώσῃ τοὺς ἄθλους· κρύπτει τὸ βραβεῖον, ἵνα δείξῃ τὸν ἀθλητήν. διατί οὖν, φησι, καὶ τοῖς ἀποστόλοις οὐκ ἔκρυψεν; εἰ γὰρ διατοῦτο οὐκ εἶπε τῷ Ἰώβ, διατί μὴ τῷ αὐτῷ τρόπῳ καὶ ἐπὶ τῶν ἀποστόλων ἐσιώπησε τὸν ἆθλον; Ἰὼβ μόνος ἠγωνίζετο, ὑπὲρ ἑαυτοῦ ἔκαμνεν, ὑπὲρ ἑαυτοῦ ἠγωνίζετο· οἱ δὲ ἀπόστολοι κήρυκες ἦσαν τῆς γῆς καὶ διδάσκαλοι τῆς οἰκουμένης. αὐτοῖς μὲν οὖν κρύψαι ἠδύνατο, ἀλλὰ τῷ κόσμῳ ζημία τὸ πρᾶγμα ἐγίνετο. ἠδύνατο Παῦλος ἄνευ στεφάνων ἐπαγγελίας ἀγωνίσασθαι, ἠδύνατο Πέτρος ἄνευ ἐπαγγελίας ἀνδρίσασθαι, ἠδύναντο οἱ ἀπόστολοι μὴ δεξάμενοι ἐπαγγελίαν ἀγαθῶν ὑπὲρ ἀρετῆς ἀγωνίσασθαι· ἀλλ' οὐ πανταχοῦ Παῦλος, οὐ πανταχοῦ Πέτρος· πολλῶν ἀσθενοῦσιν αἱ ψυχαί, πολλῶν ὀκλάζουσιν αἱ διάνοιαι. Εἰ γὰρ σήμερον βασιλείας κηρυττομένης, μελλόντων ἀγαθῶν ἀπολαύσεως, συνδιαιτήσεως ἀγγελικῆς, τῆς ἐν παραδείσῳ τρυφῆς, καταφρονοῦσι τῶν ἐπηγγελμένων πολλοὶ προστετηκότες πρὸς τὰ παρόντα· εἰ " πάντως ἐσιωπήθη, τίς ἂν προσέδραμε τῇ εὐσεβείᾳ; εἰκότως οὖν, ἀδελφοί, τῷ μὲν Ἰὼβ οὐ δείκνυσι τὰ μέλλοντα, ἵνα στερεωτέραν δείξῃ τὴν πρόθεσιν· τοῖς δὲ ἀποστόλοις ἐπαγγέλλεται τὰ μέλλοντα, ἵνα τῶν ἀκροατῶν διεγείρῃ τὰς ψυχάς, ἵνα τῆς οἰκουμένης νευρώσῃ τὴν διάνοιαν. πολλοὶ νῦν ἀκούουσι περὶ βασιλείας, καὶ καταφρονοῦσι· πολλοὶ Χριστὸν ἐνδέδυνται, καὶ πονηρίαν ἐνδύονται· πολλοὶ κακίας οὐκ ἀναχωροῦσι. τιμῶσι πολλοὶ σήμερον τὰς νηστείας, καὶ λέγουσι· σήμερον οὐδὲν λέγω τῷ ἀντιδίκῳ μου. παρέλθοι ἡ ἡμέρα τοῦ πάθους τοῦ Χριστοῦ, καὶ γυμνάζω τὴν δίκην, ἐκδικῶ τὴν ὕβριν, ποιῶ πολλά. οὐκοῦν ἀδελφὸς εἶ τοῦ Ἡσαῦ, ταῦτα ἐνθυμούμενος· ταῦτα λέγεις, ἃ εἶπεν Ἡσαῦ. καὶ γὰρ Ἡσαῦ ἠθέλησε φονεῦσαι τὸν ἀδελφόν, ἀλλὰ τὸν πατέρα ᾐδεῖτο. καὶ τί εἶπεν; Ἐγγισάτωσαν αἱ ἡμέραι τοῦ πένθους τοῦ πατρός μου, καὶ τότε φονεύσω τὸν ἀδελφόν μου. παρέλθῃ ὁ θάνατος τοῦ πατρός

μου,

Ψαλ. ιγ. α.

Λουκ. κβ. λα.

Γεν. κζ. μα.

γρ. παραγγέλλειν

* τὸν

γρ. κακίαν

γρ. δὲ χρὴ

γρ. πάντα

μου, καὶ τότε ἀναιρῶ. καὶ σὺ τί λέγεις; παρῆλθεν τὸ πάθος τοῦ Χριστοῦ, καὶ τότε στρατεύσομαι κατὰ τοῦ ″ἐχθροῦ μου. βλέπε μὴ ἀδελφὸς εἶ τοῦ Ἡσαῦ. ἄκουσον τί λέγει ὁ Παῦλος· Μή τις πόρνος, μὴ βέβηλος, ὡς Ἡσαῦ. ἵνα μὴ δι' αὐτοῦ μιανθῶσιν οἱ πολλοί. ταῦτα εἴρηταί μοι, οὐκ εἰς παροξυσμὸν, ἀλλ' εἰς ἀντίληψιν τῶν ἀδελφῶν καὶ σωτηρίαν. γένοιτο δὲ ἡμᾶς καὶ λόγῳ παιδευομένους καὶ ἱστορίαις παιδαγωγουμένους, ταῖς τῶν ἁγίων πατέρων καὶ προφητῶν ἀθλήσεσι ″κατορθοῦντας, δόξαν πάντοτε τῷ Θεῷ ἀναπέμπειν, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. ἀντιδίκου

Ἑβρ. ιβ. ις.

γρ. κατορθούντων καὶ ἔργῳ πληρουμένων δόξαν

Λογ. ρξ. ΕΙΣ ΤΟΝ ΔΙΚΑΙΟΝ ΚΑΙ ΜΑΚΑΡΙΟΝ ΙΩΒ

Λογ. δ.

Ex Mss. Oxon.

ΠΑνταχοῦ μὲν καὶ ἐπὶ πάντων, ὡς εἰπεῖν, τῶν θείων διηγημάτων κατώτεροι τῶν πραγμάτων οἱ λόγοι, καὶ ἀσθενέστεραι αἱ λέξεις τῶν ὑποθέσεων· ἐξαιρέτως δὲ ἐπὶ τῶν τοῦ μακαρίου Ἰὼβ κατορθωμάτων. οὐδεὶς οὐδεπώποτε δύναται τῷ λόγῳ τῆς ὑποθέσεως παρισῶσαι τὸν λόγον τῆς ἑαυτοῦ εὐτελείας. κἂν γὰρ μυρία περὶ αὐτοῦ λέγηται, τῆς κατ' ἀξίαν δυνάμεως ὁ λόγος ἀπολιμπάνεται. ἐπεὶ οὖν εἴρηται ἡμῖν τὰ κατὰ δύναμιν μετρίως, οὐδὲν κωλύει καὶ σήμερον τῶν αὐτῶν ἅψασθαι διηγημάτων. καὶ μηδεὶς νομιζέτω ὑβρίζεσθαι τὴν ὑπόθεσιν, εἰ κατατέμνωμεν τὸ διήγημα. οὐ γὰρ ἀλγεῖ Ἰὼβ τεμνόμενος. εἰ γὰρ τὸ σῶμα τεμνόμενος οὐκ ἤλγει, τῷ διηγήματι τεμνόμενος ἀλγήσει; ἔγνωμεν ἀπὸ τῶν προειρημένων διηγημάτων ὡς ἀπώλεσεν ἅπαντα, μᾶλλον δὲ εὗρεν ἅπαντα. πάντα γὰρ τὰ φαιδρὰ ἀπολέσας, τὴν ῥίζαν τῆς φαιδρότητος οὐκ ἀπώλεσεν. ἀπώλεσε τὴν λύραν, ἀλλ' ἔμενεν ὁ τεχνίτης· ἀπώλεσε τοὺς καρποὺς τῆς εὐθηνίας, ἀλλ' ἔμενεν ὁ ″γεωργὸς τῆς εὐπραγίας· ἐγυμνώθη πάντων τῶν κτημάτων, καὶ οὐκ ἐγυμνώθη τῆς ἀρετῆς· ″περιέρριψε τῷ διαβόλῳ τὰ κτήματα, ἀπορρίψάμενος τὸν βίον, ὥσπερ ὁ Ἰωσὴφ τὸ ἱμάτιον τῇ ἀτίμῳ. ἐν τῷ πάσχειν οὐκ ἔπασχε. δεῖ γὰρ καὶ τῆς φύσεως ὁμολογεῖν τὸ πάθος, καὶ τῆς ψυχῆς ″ἀνυμνεῖν τὴν ἀνδρείαν. ἐδείχθη τῆς φύσεως τὰ γνωρίσματα, ἐδείχθη καὶ τῆς ἀρετῆς τὰ πλεονεκτήματα. ἤκουσε τῶν παίδων τὴν συμφορὰν, καὶ διέρρηξε τὰ ἱμάτια, ἵνα τῆς φύσεως δείξῃ τὴν συμπάθειαν. εἰ μὴ γὰρ ἔπαθεν, οὐκ ἂν ἐθαυμάζετο ὡς φιλάρετος, ἀλλὰ κατεγινώσκετο ὡς ἀναίσθητος. ἀλλ' ἔπαθε μὲν ὡς ἄνθρωπος, ὑπέμεινε δὲ ὡς φιλόθεος· καὶ τῆς φύσεως τὴν ἀσθένειαν ἤλεγξε, καὶ τῆς εὐσεβείας τὸν τόπον οὐ προέδωκε. διέρρηξε τὰ ἱμάτια, ἀλλὰ προσεκύνησεν. οὐ τοσοῦτον δὲ ἔπληξεν ὁ διάβολος, ὅσον ἐπλάγη· οὐ τοσοῦτον ἔτρωσεν, ὅσον ἐτρώθη. ἀλλὰ τὸν πρῶτον ἀγῶνα καλῶς διαθλήσαντα τὸν Ἰὼβ, πάλιν εἰς ἕτερον ἀγῶνα δίδωσιν ὁ Θεὸς, ἵνα λαμπρότερον αὐτῷ πλέξῃ τῆς ὑπομονῆς τὸν στέφανον. πάλιν γὰρ ἐκ δευτέρου παρίστανται οἱ ἄγγελοι, καὶ ὁ διάβολος εἰς τὸ μέσον. ἐρωτᾶται παρὰ τοῦ πάντα εἰδότος, Πόθεν σὺ ἔρχῃ; βλέπε τοῦ Θεοῦ τὴν σοφίαν· βλέπε τοῦ διαβόλου τὴν πανουργίαν. ὁ μὲν Θεὸς ᾔδει πόθεν ἦλθεν, ὅτι ἡττηθεὶς παρὰ τοῦ δικαίου ἦλθε. βούλεται δὲ ὁ Θεὸς ἰδεῖν, εἰ εὐγνωμόνως ὁμολογεῖ τὴν ἧτταν. πόθεν παραγέγονας; ὁ διάβολος κρύψας τὴν ἧτταν (″ᾐσχύνετο γὰρ) τῇ αὐτῇ κέχρηται φωνῇ τῇ προτέρᾳ· Περιελθὼν τὴν γῆν, καὶ ἐμπεριπατήσας τὴν ὑπ' οὐρανὸν πάρειμι. εἰς τοῦτο γὰρ ἐξῆλθες; τοῦτο ᾔτησας; οὐ σὺ εἶπας, ἔκδος μοι τὰ ὑπάρχοντα τοῦ Ἰώβ; διὰ τί κρύπτεις τὸν ἀγῶνα, ἵνα ἀφανίσῃς τὸν στέφανον τῆς νίκης; εἰπὲ τὸν ἀγῶνα, κατηραμμένε, εἰπὲ τὴν πάλην, ἵνα κηρύξῃς τὴν νίκην. ἀλλ' ὃ ἔκρυψε φθονῶν ὁ διάβολος, ἀνυμνεῖ τῇ ἐναρέτῳ φιλοσοφίᾳ ὁ πάντων δεσπότης. Προσέσχες τῇ διανοίᾳ σου κατὰ τοῦ θεράποντός μου Ἰώβ; ὃ κρύ-

γρ. καρπὸς

γρ. περιέρριψε

γρ. ὁμολογεῖν

γρ. αἰσχύνεται

πλεῖς, ἐγὼ γνωρίζω. ἐρωτᾷ γὰρ ὁ Θεὸς πολλάκις, οὐχ ἵνα μάθῃ, ἀλλ' ἵνα τῶν ἐρωτωμένων γυμνάσῃ
Γεν. δ. θ. τὴν πρόθεσιν, εἰ εὐγνωμόνως ὁμολογοῦσιν. οὕτως ἠρώτησε τὸν Κάϊν, Ποῦ Ἄβελ ὁ ἀδελφός σου; ἠβουλήθη
αὐτὸν τὸν τὸ κακὸν δράσαντα καὶ κατήγορον ἑαυτοῦ εἶναι, ἵνα ἡ αὐτοῦ κατηγορία ἀμβλύνῃ
τὸ μέγεθος τοῦ "ἐγκλήματος. πᾶς γὰρ "ἑαυτοῦ κατηγορῶν, παραλύει τοῦ δικαστοῦ τὴν ἀγανάκτησιν. χ. τολμήματος
ὥσπερ οὖν τότε ἠρώτα τὸν Κάϊν, Ποῦ Ἄβελ ὁ ἀδελφός σου; ὁ δὲ νομίσας τὴν ἐρώτησιν χ. ἑαυτὴν
ἀπὸ ἀγνοίας εἶναι, λέγει, Οὐκ οἶδα. μὴ φύλαξ τοῦ ἀδελφοῦ μου εἰμί; καὶ ὅτε ἐδοκίμασε
τὴν πρόθεσιν, τότε ἤλεγξε τὴν ἀνοσιουργίαν λέγων· Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου
βοᾷ πρός με ἐκ τῆς γῆς. οὕτως [ἐὰν ἐρωτήσας ἴδῃ ἀγνωμονοῦντα, ἐλέγχει κακουργοῦντα.]
καὶ νῦν ἐπειδὴ ἐρωτᾷ τὸν διάβολον, οὐ μανθάνει παρ' αὐτοῦ τὴν ἧτταν, ἣν ὑπέστη, αὐτὸς
στηλιτεύει αὐτοῦ τὴν ἧτταν, καὶ δείκνυσι τοῦ δικαίου τὴν νίκην. Προσέσχες τῇ διανοίᾳ σου κατὰ τοῦ
θεράποντός μου Ἰὼβ, ὅτι οὐκ ἔστι κατ' αὐτὸν ἄκακος ἐπὶ τῆς γῆς; ἐνταῦθα πρόσεχε ἀκριβῶς,
παρακαλῶ· μὴ παρέρχου τὰ ῥήματα τῶν θείων γραφῶν. ἐν τῇ πρώτῃ μαρτυρίᾳ οὐδαμοῦ
ἐλέχθη τὸ ἄκακος, ἀλλ' ἐν τῇ δευτέρᾳ. ἐν τῇ πρώτῃ ἔλεγεν ὁ Θεὸς, Προσέσχες τῇ
διανοίᾳ σου κατὰ τοῦ θεράποντός μου Ἰὼβ, ὅτι οὐκ ἔστι κατ' αὐτὸν ἐπὶ τῆς γῆς ἄνθρωπος ἄμεμπτος,
δίκαιος, ἀληθινὸς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ*. τὸ ἄκακος ἐκεῖ οὐ προσέθηκε· * πράγματος.
μετὰ δὲ τὴν νίκην καὶ τὸν ἀγῶνα προστίθησιν αὐτῷ ὥσπερ στέφανον τὴν εὐφημίαν συνᾴδουσαν
αὐτοῦ τοῖς ἀγωνίσμασιν. ἐπειδὴ γὰρ μυρία πάσχων ἀκάκως ἤνεγκε τὴν συμφορὰν,
μὴ βλασφημήσας κατὰ τοῦ δεσπότου, ἀλλ' ἀγαθότητι κρίνας τὰ πάντα, καὶ εἰρηκώς· Εἰ τὰ
ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; ἐπειδὴ ἀκακίας ἦν τὸ ῥῆμα,
ἀκακίας αὐτῷ πλέκει τὸν στέφανον, ὅτι οὐκ ἔστι τῶν κατ' αὐτὸν ἄνθρωπος ἄκακος. σὺ
δὲ διὰ τί εἶπας ἀπολέσαι τὰ ὑπάρχοντα αὐτοῦ διακενῆς; ἀντὶ τοῦ, μάτην αὐτοῦ "τῇ περιουσίᾳ χ. τῆς εὐνοίας
ἐφθόνησας; εἶπες προφάσει τῶν χρημάτων εὐσεβεῖν τὸν ἄνδρα· ἐγυμνώθη τῶν χ. κτημάτων
"χρημάτων, καὶ οὐκ ἐγυμνώθη τῆς ἀληθείας. σὺ οὖν, διάβολε, "εἶπες ἀπολέσαι τὰ ὑπάρχοντα χ. οὕτως
αὐτοῦ διακενῆς. οὐκ ἀπορεῖ ἡ κακία τῆς ἑαυτῆς πονηρίας. εὑρίσκει πάλιν ἐπίνοιαν
ἄλλην δυναμένην σβέσαι τοῦ "ἐναρέτου τὴν ἀνδρείαν. λέγει οὖν τῷ Θεῷ· Δέρμα χ. δικαίου
ὑπὲρ δέρματος, καὶ πάντα ὅσα ἔχει ἄνθρωπος, δώσει ὑπὲρ τῆς ψυχῆς αὐτοῦ. οὐδὲν,
φησὶ, μέγα, εἰ ἀπώλεσε "κτήματα. ἡδέως πάντων κατεφρόνησεν, ἵνα ἑαυτὸν σώσῃ. χ. χρήματα
ἀλλ' εἰ βούλει δοκιμάσαι αὐτὸν, τῶν σαρκῶν αὐτοῦ ἅψαι. ἦ μὴν εἰς πρόσωπόν
σε εὐλογήσει, ἀντὶ τοῦ, καταράσεται. ἡ γὰρ γραφὴ τῇ εὐφημίᾳ τὴν δυσφημίαν
ἐκάλυψε. καὶ διὰ τί ταῦτα γέγραπται; ἵνα σὺ ὁ πιστὸς μάθῃς, ὅτε τῶν ἀλλοτρίων
κακῶν "διηγῇ τὰ αἰσχρὰ, καλύπτειν αὐτὰ τῇ σεμνότητι τῶν λέξεων. μὴ σεμνύνου χ. διηγῆται
αἰσχρὰ πράττων, ἀλλὰ σεμνύνου, ὅταν τῶν αἰσχρῶν διαφύγῃς τὴν ὁμιλίαν. διὰ
Εφεσ. δ. κθ. τοῦτό φησιν ὁ ἀπόστολος· Πᾶν ῥῆμα αἰσχρὸν μὴ ἐκπορευέσθω ἐκ τοῦ στόματος ὑμῶν. εἶτα ὁ
Θεὸς παραδίδωσιν εἰς δευτέραν πεῖραν τὸν ἀγωνιστὴν, οὐκ αὐτὸς ἐκ τῆς πείρας μανθάνων
οἷος ἦν ὁ ἀγωνιστὴς, ἀλλὰ τὸν διάβολον καταισχύνων ἐκ τῆς πείρας. Θεὸς γὰρ πρὸ
τῶν ἁπάντων οἶδε τὰ πάντα. Ἐξῆλθε δὲ ὁ διάβολος ἀπὸ προσώπου Κυρίου, καὶ ἔπαισε
τὸν Ἰὼβ ἕλκει πονηρῷ ἀπὸ ποδῶν ἕως κεφαλῆς. ὅλον αὐτοῦ τὸ σῶμα ἓν τραῦμα ἐποίησεν, ἓν
μώλωπα. ἔδει γὰρ ὅλον δι' ὅλου στεφανωθῆναι τὸν ἀγωνιστήν. ἀπὸ ποδῶν ἕως κεφαλῆς
τὸ τραῦμα τὸ σωτήριον, τὸ ἕλκος τὸ ἐπινίκιον· ἕλκος κατὰ μὲν τὸ φαινόμενον ἰχῶρας ῥέον,
κατὰ δὲ τὸ νοούμενον εὐφημίας γέμον. οἱ ἰχῶρες τοῦ ἕλκους ἐν ὀλίγοις χρόνοις ἐγένοντο, αἱ δὲ εὐφημίαι,
ἃς ἀπέτεκεν ἡ ἄθλησις, εἰς πάντα τὸν αἰῶνα οὐκ ἀναλίσκονται. ἔπαισεν "αὐτῷ χ. αὐτὸν
ἕλκει πονηρῷ ἀπὸ ποδῶν ἕως κεφαλῆς, ἵνα ὅλος δι' ὅλου τῶν μελῶν στεφανίτης ἀναδειχθῇ.
εἶτα ἐπειδὴ τὸν οὕτω δυσπραγήσαντα τῷ σώματι τόπος ἐντείχιος οὐκ ἐδέχετο, ἀλλὰ πᾶσα
ἡ οἰκία ἐξώθει τοῦτον, ὡς λελωβημένον (οὐ γάρ ἦν τι ἕτερον τὸ τραῦμα τοῦ Ἰὼβ, εἰ μὴ "λώβησις) χ. λώβη τοῦ σώματος

βητις) ἐξῆλθεν ἔξω τῆς πόλεως ὁ τοῦ κόσμου ἀλλότριος· ἐξῆλθεν ἔξω τῆς πόλεως, καὶ ἐκάθητο ἐπὶ κοπρίας· ἐξῆλθεν ἔξω τῆς πόλεως, οὐ κοσμικὸν ἔχων τὸν ἀγῶνα, ἀλλ' ὑπερβαίνοντα τὴν παροῦσαν κατάστασιν. τὸ γὰρ ἔξω τῆς πόλεως εἶναι καὶ τοῦ τείχους, εἰκὼν ἦν τοῦ σταυροῦ τοῦ Χριστοῦ. διὰ τοῦτο ὁ Παῦλος λέγει· Ὧν δὲ εἰσφέρεται ζώων τὸ αἷμα εἰς τὰ ἅγια, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς. διὰ τοῦτο καὶ ὁ Ἰησοῦς, ἵνα ἁγιάσῃ τὸν λαὸν, ἔξω τῆς πύλης ἔπαθε. Χριστὸς ἔξω τῆς πύλης, Ἰὼβ ἔξω τῆς πόλεως ἐκάθισεν ἐπὶ κοπρίας· ὁ τῆς εὐσεβείας πρόεδρος, ὁ πρόεδρος τῆς ὑπομονῆς, ἐπὶ τῶν θλίψεων κοπριζόμενος, ἐκάθισεν ἐπὶ κοπρίας, μιμούμενος τὸν ἐγείροντα ἀπὸ γῆς πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνιστάντα τὸν πένητα. ἔβλεπεν, ἀδελφοὶ, τὸ σῶμα διαρρέον, τὴν δὲ ψυχὴν ἐστηριγμένην· ἔβλεπε τὸ σῶμα σκώληκας φέρον, τὴν δὲ ψυχὴν εὐσέβειαν ἀποτίκτουσαν· ἔβλεπε τὸ γήϊνον σκεῦος φθειρόμενον, καὶ ἐμέμνητο πρὸ τοῦ Παύλου τὰ τοῦ Παύλου ῥήματα. ἔπρεπε γὰρ αὐτῷ λέγειν, Ὅσον ὁ ἔξωθεν ἡμῶν ἄνθρωπος διαφθείρεται, τοσοῦτον ὁ ἔσωθεν ἀνακαινίζεται ἡμέραν καθ' ἡμέραν. ἔλαβεν ὄστρακον, ἵνα τὸν ἰχῶρα ξέσῃ, τῷ ὀστράκῳ τὸν ἰχῶρα ἀποξέων, τῇ ὑπομονῇ τὸν ἀνταγωνιστὴν ἐκλύων. ἔπρεπε καὶ αὐτῷ λέγειν κατέχοντι τὸ ὄστρακον· Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνῳ σκεύει. ἐκάθητο ἐπὶ κοπρίας ὁ πολλοὺς ἀπὸ κοπρίας ἐγείρας. ἔλαβεν ὄστρακον, ἵνα τὸν ἰχῶρα ξέσῃ· τῷ νεκρῷ πηλῷ τὸν ζῶντα πηλὸν ἔξεεν. ἦλθον οἱ τρεῖς φίλοι. καλοῦσι γὰρ αἱ συμφοραὶ τοὺς φίλους εἰς παραμυθίαν· ἦλθεν Ἐλιφὰζ, Σοφὰρ καὶ Βελδὰδ, τρεῖς βασιλεῖς πρὸς ἕνα βασιλέα. βασιλεὺς γὰρ ἦν περὶ τούτου ὁ λέγων· Ἤμην δὲ ἐν αὐτοῖς, ὡς βασιλεὺς ἐν μονοζώνοις. καὶ ἐκάθισαν, φησὶν, ἐναντίον τοῦ Ἰὼβ ἑπτὰ ἡμέρας καὶ ἑπτὰ νύκτας, καὶ οὐδεὶς ἐλάλησεν. αἱ μὲν γὰρ μέτριαι συμφοραὶ δέχονται παραμυθίαν· τὰ δὲ μεγέθη τῶν συμφορῶν τῇ σιωπῇ τιμᾶται. ἔστι γὰρ, ἀδελφοὶ, ὅτε νικᾷ παραμυθίαν τὸ πάθος. καὶ ὥσπερ τὰ νοσήματα ἐν ἀκμῇ πᾶσαν θεραπείαν ἀποπέμπεται, οὕτω καὶ τὰ πάθη ἐν τῇ ἀκμῇ τῶν συμφορῶν πᾶσαν νουθεσίαν ἐκβάλλει. ἐσιώπησαν τῇ σιωπῇ κοινωνοῦντες τῷ πάθει. καὶ τί ποιεῖ; ἐπειδὴ ἐκείνους ἐνίκησεν ἡ συμφορὰ, καὶ οὐδεὶς ἐτόλμησε ῥῆξαι φωνὴν παραμυθίας, πρῶτος ἄρχεται "τοῦ λέγειν Ἰώβ· ἀνοίγει θύραν τοῖς μὴ πάῤῥησιν ὁ πάσχων. ἴσμεν γὰρ, ἀδελφοὶ, ὅτι ἐν ταῖς συμφοραῖς, ἢ ἐν τοῖς πένθεσιν, ἢ ἐν ἄλλῳ τινὶ κατηφείας πράγματι ἕκαστος αἰδεῖται πρῶτος ῥῆξαι φωνὴν, ἵνα μὴ δόξῃ ἄκαιρός τις εἶναι ἀρετῆς [ἢ γνώμης] εἰσηγητής· ἐὰν δὲ ἤδη ἄλλοι ἀρξάμενοι, ἀκολουθεῖ ἀκινδύνως. τοῦτο, ἀδελφοὶ, καὶ ἡ πεῖρα διδάσκει, καὶ τὰ πράγματα ὑποτίθεται. ὡς οὖν εἶδεν ἀποκλεῖσαν τὸ πάθος τὴν παραμυθίαν τῶν φίλων, ἀνοίγει θύραν ὁ πάσχων, καὶ ἄρχεται εὐθέως ἐκτραγῳδεῖν τὴν συμφορὰν, πανταχοῦ βλασφημίας φεύγων τὴν ὑπόνοιαν. πρώτη φωνὴ τοῦ Ἰὼβ, Ἐπικατάρατος ἡ ἡμέρα ἐν ᾗ ἐγεννήθην, καὶ ἡ νὺξ ἐκείνη εἴη σκότος. οὐκ ἀσεβῶν ταῦτα λέγει, ἀλλὰ πάσχων. καὶ βλέπε τί ποιεῖ. ὥσπερ ἐπειδάν τις δεινῷ ἀποστήματι περιεχόμενος τέμνηται σιδήρῳ παρὰ τοῦ ἰατροῦ, οὐκ ἔχων πῶς ἀμύνηται τῷ τέμνοντι, τῶν περιεστώτων ἅπτεται, καὶ δάκνει τοὺς παρεστῶτας, ἐκείνοις μὲν ἐγκαλεῖν οὐδὲν ἔχων, πρὸς δὲ τὸν ἰατρὸν ἐκτεῖναι τὴν χεῖρα οὐκ ἰσχύων· οὕτω καὶ ὁ Ἰὼβ φοβούμενος τῆς βλασφημίας τὸ μέγεθος, ὑβρίζει τὰ ἄψυχα, καὶ πληροῖ τοῦ πάθους τὴν πληροφορίαν, οὐ "τοῦ Θεοῦ κατατολμῶν, ἀλλ' ἑαυτοῦ τῆς ἡμέρας κατηγορῶν. καταρᾶται γὰρ οὐ τὴν κτίσιν, ἀλλὰ τὴν ἑαυτοῦ ἡμέραν. ἐξουσίαν γὰρ ἔχω, φησὶ, τῆς ἐμῆς ἡμέρας. οὐ καταρῶμαι τὴν δημιουργίαν· τὴν ἐμαυτοῦ ἡμέραν καταρῶμαι. Ἐπικατάρατος ἡ ἡμέρα, ἐν ᾗ ἐγεννήθην, καὶ ἡ νὺξ ἐκείνη εἴη σκότος. ταῦτα λέγει καὶ ὁ Ἱερεμίας· Οἴμοι, ὦ μῆτερ, ὡς τίνα με ἔτεκες ἄνδρα κρινόμενον καὶ δικαζόμενον; Ἐπικατάρατος ἡ" ἡμέρα ἐν ᾗ ἐγεννήθην. ταῦτα δὲ πάντα ἐκτραγῳδοῦσιν οἱ ἅγιοι, ἵνα σὺ μετὰ ταῦτα μάθῃς, ὅτι οὐ τρυφῶντες διῆλθον τὸν βίον, ἀλλὰ μυρία κακὰ ὑπομείναντες τοὺς ἀγῶνας διεξῆλθον. ἀπεκλαύσατο οὖν καὶ Ἱερεμίας λέ-

Ἑβρ. ιγ. ια.
Ψαλ. ρ.ϛ. ζ.
β. Κορ. δ. ιϛ.
β. Κορ. δ. ζ.
γρ. Ἐλιφὰς, Σαφάρης,
Ἰὼβ κθ. κε.
γρ. τῷ λόγῳ
γρ. Θεῷ
Ἱερ. ιε. ι.
γρ. νὺξ ἐν ᾗ
Ἱερ. κ. ιδ.

γων· Οἴμοι, ὦ μῆτερ, ὡς τίνα με ἔτεκες; καὶ ἔπασχε μὲν ὡς ἄνθρωπος, ὑπέμεινε δὲ ὡς φιλόθεος. Μωϋσῆς ὁμοίως ὁ μέγας καὶ θεῖος τοῦ Θεοῦ νομοθέτης, ὁ τὰς πλάκας τὰς ἱερὰς δεξάμενος, ὁ πρῶτος εἰσηγητὴς τῶν συμφερόντων τῷ βίῳ, καὶ αὐτός φησι τῷ Θεῷ, βαρούμενος τῷ πλήθει τῶν συμφορῶν· Κύριε, σὺ εἶπας, ὅτι εὕρηκας χάριν παρ' ἐμοί, καὶ οἶδά σε παρὰ πάντας, καὶ εἰ εὕρηκα χάριν ἐνώπιόν σου, ἄφελε τὴν ψυχήν μου ἀπ' ἐμοῦ· οὐ δύναμαι γὰρ φέρειν τὸ βάρος τοῦ λαοῦ τούτου· μακρὸν, καὶ λιθοβολήσουσί με. Μὴ ἐγὼ αὐτὸν ὠδίνησα; μὴ ἐγὼ αὐτὸν ἔτεκον, ὅτι λέγεις μοι, βάστασον αὐτὸν ὃν τρόπον βαστάζει ἡ ″τιθηνοῦσα τὸν παῖδα; οὐ δύναμαι φέρειν τοῦ λαοῦ τὰ ἐλαττώματα. ὅμως καὶ ἀποδυρόμενος καὶ πενθῶν ὡς ἄνθρωπος, οὐκ ἐβλασφήμησεν ὡς ἄθεος, ἀλλ' ἐδείκνυε τὰ πάθη τῆς φύσεως, ″ὑπ' αὐτῶν τῶν παθῶν ἐλεγχόμενος. οὕτω δὲ ὁμοίως τῶν προφητῶν ἕκαστος ἀποδύρεται. καὶ ὁ Ἀμβακοὺμ φησίν· Ἵνα τί μοι ἔδειξας κόπους καὶ πόνους [ἐπὶ ταλαιπωρίας ἀνθρώπων]; ἔβλεπε γὰρ τὴν ἀδικίαν ὁ προφητικὸς χορὸς, καὶ οὐκ ἔφερεν, ἀλλ' ἐβόα Ἀμβακοὺμ λέγων· ἵνα τί μοι ἔδειξας κόπους καὶ πόνους; ἐνώπιόν μου γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει, καὶ διὰ τοῦτο ἐξέρχεται τὸ κρίμα διεστραμμένον. ὁ ἄρχων αἰτεῖ, καὶ ὁ κριτὴς λαμβάνει, καὶ ἐξουδενεῖται ὁ νόμος. οὕτω πάντες ἔπασχον οἱ δίκαιοι, καὶ ἀπεδύροντο πρὸς τὴν δυσκολίαν τοῦ κόσμου. ἀλλὰ μὴ ταῦτα ″λαβὼν ἐκλάβῃς εἰς συμφωνίαν τῆς σῆς προαιρέσεως. μὴ εἴπῃς, μὴ βελτίων ἐγώ εἰμι τοῦ Ἱερεμίου τοῦ καταβοήσαντος τοῦ κόσμου, μὴ τὰ ῥήματα τῆς ἰάσεως γίνονταί σοι τραύματα; ταῦτα δὲ γέγραπται, ἵνα μάθῃς ὅσον ἀγῶνα διήθλησαν, ὅσων κινδύνων μεστὸν τὸν βίον διεξῆλθον. θέλεις μαθεῖν οἷος ὀφείλεις εἶναι; μάθε τὰ μετὰ τὴν χάριν. ἔπαθον προφῆται, ἔπαθον δὲ καὶ οἱ ἀπόστολοι· ἀλλ' οἱ μὲν πάσχοντες ἤλγουν, οἱ δὲ πάσχοντες ἐκαυχῶντο. ἦλθε Παῦλος εἰς μέσον, πάσχων μὲν, οὐ κλαίων δέ· τυπτόμενος, ἀλλ' οὐκ ἀποδυρόμενος· βασανιζόμενος, ἀλλὰ καυχώμενος. καὶ τί φησι; Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν, εἰδότες ὅτι ἡ θλίψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνεται. καὶ πάλιν, τυπτηθέντες οἱ ἀπόστολοι, Ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι. μὴ τοίνυν τὰ περὶ τῆς χάριτος ἐκλάβῃς εἰς ἀκολουθίαν τῆς χάριτος. εἴρηται γὰρ ἡμῖν ταῦτα, ἵνα μάθῃς ἐκ τῶν πόνων τὴν ἐλπίδα. οὕτω καὶ ὁ Ἰὼβ καταρᾶται τὴν ἡμέραν, καὶ πάσχει τὴν ψυχὴν, καὶ οὐ βασανίζει τὴν ψυχὴν τῇ ἀσεβείᾳ, ἀλλ' ἀνέχεται τῶν τραυμάτων, καὶ οὐ τραυματίζει τὴν ψυχὴν τῇ βλασφημίᾳ. εἶτα, ἐπειδὴ δεῖ συντεμεῖν, συντόμως ὑμῖν ἀνακεφαλαιώσομαι τὴν ὑπόθεσιν. ἐν τῷ ἀγῶνι τῷ κατὰ τὸν Ἰὼβ, πλὴν τοῦ Θεοῦ, πάντες ἠγνόουν τὸν σκοπὸν τοῦ ἀγῶνος. Ἰὼβ οὐκ ᾔδει ἐπὶ τίνι ἠγωνίζετο, οὐκ ᾔδει ὅτι εἰς γυμνασίαν αὐτῷ προβέβληται τὰ παλαίσματα. οἱ φίλοι ἠγνόουν τὸν σκοπὸν τοῦ Θεοῦ, ὁ διάβολος ἠγνόει τὸ μέλλον. εἰ γὰρ ᾔδει ὅτι ἐνικᾶτο, οὐκ ἂν ἐπεχείρησεν. ὁ Ἰὼβ οὐκ ᾔδει τὸ ἀποβησόμενον ἐκ τοῦ ἀγῶνος. ὅτι μὲν γὰρ ὁ Θεὸς κατὰ συγχώρησιν ″ἐκδέδωκεν, ᾔδει ὁ Ἰὼβ, οὐ προγινώσκων, ἀλλὰ μαθὼν παρὰ Θεοῦ. ὁ δὲ διάβολος οὐκ ᾔδει εἰς ποῖον τέλος ″ἀπαντήσει τὰ παλαίσματα. εἰ γὰρ ᾔδει, οὐκ ἂν ἐπεχείρησεν, ἵνα μὴ χείρονα τὴν αἰσχύνην ἐφελκύσηται. ἀλλ' ὅ ἔπαθεν ἐπὶ τῶν μαρτύρων, τοῦτο ″ἔπαθε καὶ ἐπὶ τοῦ Ἰώβ. ἀνεῖλε μάρτυρας, ἵνα σβέσῃ τὴν ἐκκλησίαν· οὐκ εἰδὼς, ὅτι μετὰ τοὺς μάρτυρας αὐξήσει ἡ ἐκκλησία. πάντες οὖν ἠγνόουν, πλὴν τοῦ Θεοῦ. οἱ φίλοι ἀγνοοῦντες ″τὸν σκοπὸν τοῦ Θεοῦ, ἀγνοοῦντες καὶ τοῦ Ἰὼβ τὴν δοκιμασίαν, εἵλοντο ὡς ἐν συγκρίσει ἀγνοίας μᾶλλον καταδικάσαι τὸν Ἰὼβ ὡς ἄξια πάσχοντα, ἢ καταγνῶναι τοῦ Θεοῦ ὡς ἀναξίως δικάσαντος. πρόσεχε ἀκριβῶς. εἵλοντο κατακρῖναι ἄνθρωπον ὡς ἄξια πάσχοντα τῆς ἑαυτοῦ ἁμαρτίας, ἢ εἰπεῖν κατὰ τοῦ Θεοῦ, ὅτι ἀναξίως ἐδίκασε. καὶ ἐνὶ μὲν μέρει κατὰ σκοποῦ ἐφέροντο, τὸν Θεὸν ἀδικίας ἐκτὸς λέγοντες· ἐνὶ δὲ μέ-

ρει

Ἱερεμ. ιε. ι.
Ἐξοδ. ιζ. γ.
Ἀριθμ. ια. ιε.
Ἀμβ. α γ.
Ῥωμ. ε. γ.
Πραξ. ε μα.

γρ. τιθηνὸς
γρ. ὡς δι'
γρ. λαλῶν
γρ. δέδωκεν.
γρ. ἀποβήσεται
γρ. πέπονθε
γρ. τὴν καλὴν

ρεῖ δημιουργὸν, καταικρίνοντες τὸν ἀθῶον. ἡ δὲ ἄγνοια ἀπολογεῖται ὑπὲρ τῶν ἀγνοούντων. καὶ ἀπόδεκτοι, ὅτι ἐν ἀγνοίᾳ φιλοσοφοῦσι, καὶ οὐ καταψηφίζονται, βλέποντες τὴν τοῦ Θεοῦ δικαιοσύνην. τὴν μὲν τοῦ Ἰὼβ δικαιοσύνην παραγράφονται, τὴν δὲ τοῦ Θεοῦ αἰνυμνοῦσιν. Εἶτα Ἰὼβ ἄρχεται παρὰ τῶν φίλων ἐλέγχεσθαι· καί φασι πρὸς αὐτὸν ἐκεῖνοι, Πότε ἀληθινοὶ πρόρριζοι ἀπώλοντο; πότε εἶδες δικαίους ὁλορρίζους ἀπολλυμένους; εἰ μὴ ἥμαρτες, φησὶ, καὶ ἄξια ἁμαρτίας ἐποίησας, οὐκ ἂν ἀδίκως ἠδίκησέ σε ὁ δίκαιος. πολλαί σου εἰσὶν ἁμαρτίαι. εἰ δὲ σὺ οὐχ ἥμαρτες, πόθεν τοῦτο; εἰ μὴ οἱ υἱοί σου ἥμαρτον. πολλάκις δὲ χήρας ἠδίκησας, ὀρφανοὺς ἔθλιψας. εἰ δὲ ταῦτα γέγονε, καὶ ὁ Θεὸς δικαίως ταύτην τὴν ψῆφον ἐπήγαγεν. ὁ Ἰὼβ συνῄδει μὲν ἑαυτῷ μηδὲν τοιοῦτον πεποιηκότι, συνῄδει δὲ καὶ τῷ Θεῷ μὴ ἀδίκως κρίνοντι. ἐπεὶ οὖν εἶδεν ὁ Ἰὼβ, ὅτι παρὰ τοῖς" φίλοις κατακρίνεται, ἡ δὲ * συνείδησις αὐτὸν οὐ κατακρίνει, καὶ ὁ Θεὸς αὐτοῦ οὐ καταγινώσκει, ἐπειδὴ οὐκ εἶχε πείθειν ἀνθρώπους, μεταφέρει τὸν λόγον ἐπὶ τὸν κριτὴν, καὶ στρέφει τὸ ὄμμα τῆς ψυχῆς πρὸς τὰ ἄνω, οὐ βλασφημῶν, ἀλλὰ δυσωπῶν, καί φησι πρὸς αὐτόν· Ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων, ἵνα τί με ἔθου κατεντευκτήν σου; σὺ ἐποίησάς με κατεντυγχάνειν τῆς σῆς δικαιοσύνης· οἶδάς μου τὴν καρδίαν. Εἶτα μέγα τι φθέγγεται Ἰὼβ, οὐκ ἀπὸ κακίας, ἀλλ᾽ ἀπὸ ἀκακίας. καὶ ἵνα τὰ πολλὰ εἰς ὀλίγα συντέμω (πολλὴ γὰρ ἡ ὕλη τῆς δικαιολογίας) λέγει· Τίς δώσει κριτὴν ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, ἵνα γνῶ [τὸ] πόσαι εἰσὶν αἱ ἁμαρτίαι μου, ὅτι οὕτω με ἔκρινας; φοβερὸν τὸ ῥῆμα, ἀλλ᾽ ἀπ᾽ ἀκακίας. προλαβὼν γὰρ εἶπεν ὁ Θεὸς, ὅτι οὐκ ἔστι κατ᾽ αὐτὸν ἄκακος· τῷ δὲ ἀκάκῳ οὐδεὶς τὸ ῥῆμα εἰς πονηρίαν λογίζεται. ἀεὶ γὰρ, ἀδελφοὶ, πολίτις ἡμεῖς οἱ ἄνθρωποι, μήτιγε Θεὸς, οὐ τοῖς πράγμασι δικάζομεν, ἀλλὰ τῇ προθέσει τῶν ποιούντων. ὑβρίζει υἱὸς πατέρα· καὶ τὸ πρᾶγμα ἀφόρητον, καὶ τῷ πάσχοντι, καὶ τῷ ἀκούοντι. πατραλοίας ὁ τοιοῦτος καλεῖται, καὶ μητραλοίας, καὶ ἀνόσιος καὶ παράνομος, ὅτι φωνὴν ἐναντίαν ἔρρηξε πατρὶ, ὅτι ἐτόλμησε δυσφημῆσαι τὴν ἑαυτοῦ ῥίζαν. ταῦτα δὲ πάσχει καὶ κατακρίνεται" ὁ ἐπὶ τὸν τέλειον λογισμόν· παιδίον δὲ ἄκακον, κἂν τύπτῃ τὸν πατέρα, ἢ τὴν μητέρα, ἢ καὶ ὑβρίσῃ, πάσης εὐφροσύνης ποθεινότερον. πολλάκις μητέρες ἐρεθίζουσι τὰ τέκνα εἰς ὕβριν φέρουσαι, οὐ τῇ ὕβρει, ἀλλὰ τῇ ἀκακίᾳ καὶ τῷ ἀκεραίῳ καὶ ἀφελεῖ τοῦ ἤθους ἐπαγαλλόμεναι. οὕτω καὶ ὁ Θεὸς εἰδὼς ὅτι οὐκ ἐκ κακίας, ἀλλ᾽ ἐξ ἀκακίας φθέγγεται (μαρτυρεῖ γὰρ αὐτῷ λέγων· Ἔτι δὲ ἔχεται ἀκακίας) δέχεται τὰ [παρὰ] τοῦ Ἰὼβ, εἰς κρίσιν καλούμενος παρ᾽ αὐτοῦ. φοβερὸν τὸ ῥῆμα, οἰκέτην δεσπότην καλεῖν εἰς κρίσιν, ἄνθρωπον Θεὸν, τὸ πλάσμα τὸν πλάσαντα, τὸν πηλὸν τὸν κατασκευάσαντα. ἀλλ᾽ ὅμως, ὡς ἔφθην εἰπὼν, ἀκακίας τὸ ῥῆμα, οὐ πονηρίας. πλὴν ὅμως, ἀδελφοὶ, ἡ ἀκακία οὐκ ἦν ἐκτὸς συνέσεως, ἀλλ᾽ ἐντὸς πάσης σοφίας. θέλεις γὰρ τὸ ἀκριβέστερον μαθεῖν; οὐδὲν ᾔτησεν ὁ Ἰὼβ ὧν μὴ ἐποίησεν. ᾔδει ἑαυτὸν οἰκέτην τοῦ Θεοῦ, ᾔδει τὸν Θεὸν ἑαυτοῦ δεσπότην. ἀλλ᾽ ἐπειδὴ καὶ αὐτὸς πολλάκις κρινόμενος πρὸς τοὺς ἑαυτοῦ δούλους, ἔδωκεν αὐτοῖς" ἰσηγορίας ἀξίαν, καὶ εἴ ποτε ἐδοκιμάζετο πρὸς" αὐτὸν δοῦλος, οὐχ ὡς δοῦλον ἐπεστόμιζεν, ἀλλὰ τὴν δικαιολογίαν ἐλάμβανεν· ὃ ἐποίησεν, ᾔτησε, πειθόμενος τῷ λόγῳ· ὅτι Ὧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν. καί φησι, Τίς δώσει κριτήν; καὶ πότε δούλῳ ἐφύλαξας ἰσηγορίαν; ἄκουε αὐτοῦ ὅτι τὰς ἀρετὰς ἀπαριθμεῖται, καὶ τοῦτο οὐκ ἀπὸ φιλοτιμίας, ἀλλ᾽ ἀπὸ ἀκακίας λέγοντος· Οὐκ ἀπεποιησάμην κρίμα θεράποντός μου, καὶ θεραπαινίδος μου, κρινομένων αὐτῶν πρὸς μέ· δώσω ἀπόκρισιν τῷ Θεῷ· μὴ οὐχὶ ὡς ἐγὼ ἐπλάσθη; ταῦτα ἐννοῶν, τῷ κοινῷ τῆς φύσεως παρεῖχε τὸ κοινὸν τῆς ἰσηγορίας. ἡμεῖς δὲ, ἀδελφοὶ, οὐ τοιοῦτοι. θαυμάζεις τὸν δίκαιον; σαυτοῦ καταγίνωσκε. ὅτι πολλάκις ἐάν τις ἐγκαλῇ, οὐ λέγω δούλῳ, ἀλλ᾽ ὀλίγον ὑποβεβηκότι, ἐὰν ἀποκρίνηται τὰ δίκαια, ὡς ἀναισχυντοῦντα καὶ τολμῶντα ἐξ ἰσοτιμίας φθέγγεσθαι ἐπιστομίζει. ὅλως, φησὶ, καὶ τολμᾷς ἐξ ἰσοτιμίας φθέγξασθαι; ἀπαιτεῖς τὸ δίκαιον; δέχου τὴν δικαίαν ἰσηγορίαν. ἐγκα-

λεῖ

γ. ἀνθρώποις μὴ κατακέκριται, * ἰδία

γ. ὁ ἐπὶ τῶν πλεόνων λογισμῶν·

γ. ἰσηγορίαν
γ. αὐτὸν

Ματθ. ζ. β.

Ἰωβ. λα. ιγ.

λεῖ ὁ ὑπερήφανος, καὶ οὔτε δικαιολογίαν δέχεται, οὔτε σιωπὴν δυσωπεῖται. ἐὰν σιωπήσῃ ὁ ἐγκαλούμενος, κατεγνώσθη, φησὶν, οὐκ οἶδε διᾶραι τὰ χείλη· ἐὰν λαλήσῃ, ἐτόλμησέ, φησι, πρὸς τὸν δεσπότην ῥῆξαι φωνήν. Εἶτα ἄλλος ὑπερηφανίας μεστὸς, ἐὰν ὑπὲρ τοῦ δικαίου, ὑπὲρ εὐγενοῦς ἀνδρὸς " πείθηται παρακαλούμενος θεῖναι λόγον πρὸς τὸν ἕτερον, καὶ ἐκβιβάσαι εἰς εἰρήνην, καὶ τὴν κακίαν " καταπαῦσαι τῇ ἀγάπῃ, εὐθέως τῇ ὑπερηφανίᾳ φερόμενος λέγει· ἐγὼ εἰς τοῦτον κατέρχομαι; ὢ τῆς ὑπερηφανίας. ποῦ γὰρ ἕστηκας, ἵνα κατέλθῃς; ἐγὼ εἰς τοῦτον κατέρχομαι; ὡς τὸν οὐρανὸν πατῶν καὶ τὰς νεφέλας, οὕτω φθέγγεται. τὴν αὐτὴν γῆν πατεῖς, ἀπὸ τῆς αὐτῆς τρέφῃ, εἰς αὐτὴν ὑποστρέφεις, ἐν αὐτῇ θάπτῃ· καὶ ποῦ κατέρχῃ; οὐκ αἰδεῖσαι, οὐ δυσωπεῖσαι τὸ πάθος τοῦ Κυρίου; οὐκ " αἰδεῖσαι λέγων πρὸς τὸν ὁμότιμον, ἐγὼ εἰς τοῦτον κατέρχομαι; οὐκ αἰδεῖσαι ταῦτα λέγειν, ἐννοῶν ὅτι Ἰησοῦς διὰ σὲ κατῆλθε; πρὸς τὰς τοιαύτας γνώμας καὶ τὰς τοιαύτας ὑπερηφανίας πρέπει σὺν τῷ Ἡσαΐᾳ πάντοτε βοᾷν· Τί ἀλαζονεύεται γῆ καὶ σποδός; ὅμως δὲ εἰς τὸ προκείμενον ἐπανέλθωμεν. Τίς δώσει κριτὴν ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ; ἐπιφαίνεται ἐπὶ τέλει ὁ δίκαιος κριτὴς, καὶ φαίνεται αὐτῷ ἀπὸ λαίλαπος καὶ " νεφῶν. φαίνεται τῷ Ἰὼβ ἀπὸ νεφῶν, ὁ τὸν ὄμβρον τῆς εὐλογίας μέλλων χέειν· φαίνεται αὐτῷ ἐκ νεφῶν, ὁ μέλλων τὸν σπόρον τὸν κοπριζόμενον ἀρδεύειν. καὶ διεγείρει τὸν Ἰὼβ, καὶ νεύει μόνον, καὶ " διασκορπίζει τὰ πάθη. νεύει μόνον, καὶ ἐγείρει τὸν πεπτωκότα, καὶ λέγει αὐτῷ· Ἀνάστηθι, καὶ ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου. ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι, ἐπειδὴ εἰς κρίσιν με ἐκάλεσας, καὶ εἶπας· Τίς δώσει κριτὴν ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ; ἀνάστηθι ὁ γενναῖος ἀγωνιστὴς, ὁ μὴ πεσὼν τῇ πληγῇ τῆς συμφορᾶς ἀνάστηθι. ἐὰν γάρ τις παιδευθεὶς, γενναίως ἐνέγκῃ τὴν συμφορὰν καὶ τὴν παιδείαν, ἀκούει παρὰ τοῦ Θεοῦ, τὸ ἀνάστηθι· ὡς ὅταν λέγῃ τῇ Ἱερουσαλὴμ, Ἀνάστηθι Ἱερουσαλὴμ, ἡ πιοῦσα τὸ ποτήριον τοῦ θυμοῦ μου. περίζωσαι ὡς ἀνὴρ τὴν ὀσφύν σου· ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι. οὐκ εἶπε, κρινῶ σε, σὺ δέ μοι ἀποκρίθητι. οὐ γὰρ " ἐκάλεσά σε εἰς κρίσιν, ἀλλ' " ἐκάλεσά σε εἰς τὸ συγκροτηθῆναί σοι. δικαστὴν ᾔτησας μεταξὺ ἐμοῦ καὶ σοῦ· σὺ γενοῦ δικαστής. Οἴει ἄλλως σοι κεχρηματικέναι με, ἢ ἵνα ἀναφανῇς δίκαιος; νομίζεις, " φησὶ, δι' ἄλλο τι τὴν συμφορὰν ἐπήγαγον ταύτην, ἢ ἵνα δίκαιόν σε ἀναφαίνω; καὶ βλέπε τῇ ἀκριβείᾳ τῶν τοιούτων ῥημάτων προσέχων. Οὐκ εἶπεν, οἴει με ἄλλως σοι κεχρηματικέναι, ἢ ἵνα γένῃ δίκαιος; οὐ γὰρ ἡ συμφορὰ αὐτὸν δίκαιον ἐποίησεν, ἀλλὰ δίκαιον ἐγνώριζεν. οἴει με ἄλλως σοι κεχρηματικέναι, ἢ ἵνα ἀναφανῇς δίκαιος; ἐμοὶ μὲν γὰρ, φησι, καὶ πρὸ τῶν ἀγώνων ἦσθα γνώριμος· τῷ δὲ κόσμῳ διὰ τῆς συμφορᾶς γνωρίζῃ, τῷ κόσμῳ διὰ τῆς πάλης κηρύττῃ. διὰ τοῦτό σοι ἐχρημάτισα, οὐχ ἵνα βλάψω, ἀλλ' ἵνα στέψω· οὐχ ἵνα καταισχύνω, ἀλλ' ἵνα λαμπρύνω. πλὴν ἐπειδὴ διὰ τὴν ἀκακίαν ἐξῆλθες " τῶν μέτρων τῆς φύσεως, συγγινώσκω σου τῇ ἀκεραιότητι. κἂν γάρ τις ἀπὸ ἀκακίας ἁμάρτῃ, ὁ Θεὸς διορθοῦται τὰ ἀπὸ ἀκακίας γινόμενα. ἐπειδὴ ὅλως ἐκάλεσας Θεὸν εἰς κρίσιν, εἰπέ μοι, ποίαν ἔχων πρὸς ἐμὲ ὁμοτιμίαν ἐκάλεσάς με; Ποῦ ἦς ἐν τῷ θεμελιοῦν με τὴν γῆν; σύγχρονος ἐγένου " τοῦ ποιητοῦ, ἵνα καλέσῃς αὐτὸν εἰς κρίσιν; ὁ μὲν πρὸ τῶν αἰώνων, σὺ δὲ μετὰ πολλοὺς αἰῶνας. ὅτε ἔπλαττον τὴν γῆν, οὐ παρῆς· ὅτε τὴν θάλατταν, οὐ παρῆς· ἢ ὅσα τοιαῦτα, οὐ παρῆς. πᾶσα ἡ κτίσις ἐγένετο, καὶ σὺ οὐδαμοῦ ἦσθα. τὸν οὖν ἀρχαιότερον τῶν αἰώνων, τὸν κτιστὴν τῆς δημιουργίας εἰς κρίσιν ἐκάλεσας; ὅτε ἔτεινα σπαρτίον ἐπὶ τῆς γῆς, ὅτε τοὺς στύλους αὐτῆς ἥδρασα, ὅτε μετήγαγον ἐκ κοιλίας μητρὸς αὐτῆς, ὅτε ἐτίκτετο ἡ θάλασσα, ποῦ ἦς; ὅτε αὐτὴν ἐσκέπασα νεφέλῃ, ὁμίχλῃ δὲ αὐτὴν περιέβαλον, ποῦ ἦς; καθάπτεται αὐτοῦ ὡς ἀναξίως φθεγξαμένου, ἀπὸ ἀκακίας μὲν, πλὴν ἀπ' ἀγνοίας. καὶ τί ποιεῖ; οὐκ ἐπὶ πάντων αὐτὸν ἐλέγχει, ἀλλ' ὡς φίλον ἰδίᾳ διορθοῦται. ὡς οὖν εἶπε ταῦτα, καὶ τὰ τούτοις παραπλήσια (οὐ γὰρ καιρός ἐστι κατὰ μέρος πᾶσαν λέξιν ἑρμηνεῦσαι) καὶ ὁ Ἰὼβ ἐπιγνώμων ἑ-

αὐτοῦ

Σιρ. ι. θ.

Ἰὼβ λη. γ.

Ἠσ. να. ιζ.

Ἰὼβ μ. γ.

Ἰὼβ λη. δ.

γρ. παραγενόμενος πειθῆναι δοῦναι λόγον

γρ. καταπαλαῖσαι

γρ. αἰδῇ

γρ. νεφελῶν

γρ. διασκορπίζεται

γρ. ἐκάλεσάς με, φησιν, εἰς

γρ. ἐκάλεσάς με

ἴσ. φησιν, ὅτι δι'

γρ. τὸ μέζον

γρ. τῷ ποιητῇ

αὐτοῦ γινόμενος (ὁ γὰρ δίκαιος ἐκ παντὸς ἐλέγχου διορθοῦται τὸ σφάλμα) λέγει· Κύριε, ἀκοῇ μὲν ὠτὸς ἤκουόν σου τὸ πρότερον, νυνὶ δὲ ὁ ὀφθαλμός μου εἶδέ σε, καὶ ἐξουδένωσα ἐμαυτόν. ἥγημαι δὲ ἐμαυτὸν γῆν καὶ σποδόν, καὶ ἅπαξ ἐλάλησα, ἐπὶ δὲ τῷ δευτέρῳ οὐ προσθήσω. βλέπε πῶς ἀνακαλεῖται τὸ σφάλμα ὁ καλῶς τὴν μέμψιν δεξάμενος. ἅπαξ ἐλάλησα, καὶ τοῦτο ἀπὸ ἀκακίας, οὐκ ἀπὸ πονηρίας· ἐπὶ δὲ τῷ δευτέρῳ οὐ προσθήσω. τίς γάρ εἰμι ἐγὼ κρινόμενος ἐναντίον Κυρίου; ἃ μὴ προσέγνω ὁ Ἰὼβ δι᾽ ἀκακίαν, μανθάνει μετὰ τὸν ἔλεγχον. εἶτα τί ὁ Θεός; οὐ συγχωρεῖ αὐτῷ παραιτήσασθαι τὴν κρίσιν, ἀλλά φησιν· οὐχί, ἀλλὰ ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου. εἶθ᾽, φησιν, ὡς ἀνήρ· μὴ νομίσῃς ὅτι διὰ τοῦτό σε κατέπληξα τῇ δυναστείᾳ φυγεῖν τὸ δίκαιον, ἀλλὰ διορθωσάμενός σου τὴν ἀκακίαν. τὴν μέντοι κρίσιν οὐ παραιτοῦμαι· κρῖνόν με δικαίως, καὶ ἀπαίτει λόγον τῶν γινομένων. ἐκρίθης ἵνα στεφθῇς, ἐκρίθης ἵνα ἀγασθῇς ἐν πάσῃ τῇ ὑπ᾽ οὐρανόν. πρὸ τοῦ πάθους μία σε γωνία ἐγνώριζε, μετὰ τὸ πάθος πᾶσα γνωρίσει ἡ ὑπ᾽ οὐρανόν. ἡ κοπρία σου παντὸς βασιλικοῦ διαδήματος λαμπροτέρα γέγονε· τὸ διάδημα φέροντες ἐπιθυμοῦσιν ἰδεῖν σε καὶ τὸν ἀγῶνα καὶ τὸν πόνον τῶν ἀθλημάτων. παράδεισόν σου ἐποίησα τὴν κοπρίαν, ἐγεώργησα πρὸς εὐσέβειαν, φυτὸν ἐπουράνιον ἀνέδειξα. ἔλαβες τὰ ἐπουράνια, δέχου καὶ τὰ ἐπίγεια, λάμβανε τὰ πάντα εἰς τὸ διπλάσιον. ἐνταῦθα μάθε πᾶς χριστιανὸς τὴν σὴν ἐλπίδα, τὴν ὑπεροχὴν τῆς σῆς ἐπαγγελίας. τῷ Ἰὼβ μὲν γὰρ διπλασίονα ἐπαγγέλλεται, καὶ διπλάσια δίδωσιν· ὁ δὲ σωτὴρ τοῖς ἑαυτοῦ μαθηταῖς φησιν· Ὃς ἀφῆκε πατέρα, ἢ μητέρα, ἢ ἀδελφούς, ἢ ἀδελφὰς ἕνεκεν ἐμοῦ, ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει. ἀλλ᾽ ἐκεῖνο πρόσεχε ἀκριβῶς, ὅπως τὸν μὲν φίλον ἰδίᾳ διορθοῦται, τοὺς δὲ φίλους τοῦ Ἰὼβ ἐλέγχει μετὰ παρρησίας· καὶ λέγει αὐτοῖς ὁ Θεός, Ἵνα τί οὐκ ἐλαλήσατε ὀρθὰ κατὰ τοῦ θεράποντός μου Ἰώβ; ἀλλ᾽, ὦ δικαιοκρῖτα, ὑπὲρ σοῦ τὸν λόγον ἐθέμεθα, τὴν σὴν δικαιοσύνην ἐκηρύξαμεν, κατεψηφισάμεθα ἀνθρώπου, τὴν δὲ σὴν δικαιοσύνην ἀθῷαν ἐδείξαμεν. ἐνταῦθα δὴ πρόσεχε τῇ δικαιοκρισίᾳ τοῦ Θεοῦ. εἰ γὰρ τὸν ὑπὲρ αὐτοῦ λέγοντα κατὰ τοῦ δικαίου οὐ δέχεται, τοὺς κατὰ τοῦ δικαίου λέγοντας παρὰ τὸ δίκαιον δέξεται; ἐλέγχει οὖν τοὺς φίλους αὐτοῦ, καὶ λέγει· Καὶ νῦν, εἰ μὴ διὰ τὸν δοῦλόν μου Ἰώβ, ἀπώλεσα ἂν ὑμᾶς. ὁμοῦ οὖν καὶ ἐλέγχει, καὶ διασώζει. σώζει μὲν διὰ τὸ μηδὲν πονηρὸν κατὰ τοῦ Θεοῦ λέγειν· τιμᾷ δὲ τὸν δίκαιον τῇ συγχωρήσει. καὶ τιμᾷ μὲν τοὺς φίλους δι᾽ ἐκεῖνον· τιμᾷ δὲ τὸν δίκαιον διὰ τὴν ἄθλησιν, καὶ δίδωσιν αὐτῷ* διπλάσιον, καὶ ἀπὸ σκότους αὐτῷ τὸ φῶς ἔλαμψε καὶ τότε καὶ νῦν. εἰ δὲ ἐπὶ εἰρηκότες δείξωμεν τὴν ὑπεροχήν. ἔλαβε τὰ πρόβατα εἰς τὸ διπλάσιον, βόας, καμήλους, ὄνους εἰς τὸ διπλάσιον· τὰ δὲ τέκνα ἀπολέσας δέκα, εἴκοσι οὐκ ἔλαβεν. ἐνταῦθα ζητητέον, πῶς τὰ κτήνη μὲν εἰς τὸ διπλάσιον, τὰ δὲ τέκνα εἰς τὸ ἁπλοῦν. ἐπειδὴ τὰ κτήνη μὲν καὶ τὰ κτήματα ἀπολλύμενα τέλειον ἀπώλοντο, ἄνθρωπος δὲ ἀποθανὼν εἰς ζωὴν διαφυλάττεται, καὶ εἰς ἀνάστασιν ἐγείρεται. οὐ δίδωσιν αὐτῷ εἰς τὸ διπλάσιον τὰ τέκνα, ἵνα μὴ ἐκκόψῃ τὴν ἐλπίδα τῶν ἀπελθόντων, ἀλλ᾽ ἵνα δείξῃ αὐτῷ, ὅτι κἀκεῖνοι, εἰ καὶ προηρπάγησαν, ἀλλὰ ζῶσι. κἀκεῖνοι μὲν πάντες χορηγοῦνται αὐτῷ· οὐ δίδωσι δὲ αὐτῷ πλὴν δέκα, ἵνα εὑρεθῇ Ἰώβ, οὐκ ἀπὸ ζωῆς εἰς θάνατον, ἀλλ᾽ ἀπ᾽ οἴκου εἰς οἶκον μεταβάντων. δέκα γὰρ αὐτὸν τελέσαντα τὸν βίον μέχρι τάφου προέπεμψαν, δέκα πάλιν αὐτὸν ἐν τῇ τῆς ἀναστάσεως ἡμέρᾳ ἀπὸ τοῦ τάφου εἰς βασιλείαν παραδέξονται, καὶ τῶν ἀπορρήτων ἐκείνων καὶ αἰωνίων ἀγαθῶν ἀπολαύσουσιν ὁμοθυμαδόν· ὧν γένοιτο πάντας ἡμᾶς καταξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

γ. ἑώρακε

γ. στεφανωθῇς

γ. ἐπιποθοῦσιν

γ. φίλον

γ. ἐλέγχει δὲ τὸν δίκαιον, ὡς ἀκριβέστερα ἐπανορθούμενος.

* τὸ

γ. δείξομεν

γ. ἀνάπαυσιν

Ἰωβ. μβ. ε.

Ματθ. ιθ. κθ.

Ἰωβ μβ. η.

Ἰωβ. μβ. η.

Λογ. ρξα. ΕΙΣ ΤΗΝ ΑΝΑΛΗΨΙΝ ΤΟΥ ΚΥΡΙΟΥ.

Ex Ms. Cesareo.

ΦΑιδρὰ μὲν πᾶσα ἑορτὴ τῆς τοῦ Χριστοῦ οἰκονομίας, καὶ φαιδρύνουσα τὰς τῶν πιστῶν καρδίας· φαιδρὰ δὲ καὶ τῆς προκειμένης ἑορτῆς ἡ ὑπόθεσις. διὰ τί δὲ φαιδρά, ἐν τοῖς καθεξῆς ῥηθησομένοις ὑποδείξομεν. Ἐξοδ. κ. ια. Ἐν ἓξ τοίνυν ἡμέραις ἐποίησεν ὁ Θεὸς πάντα τὰ ἔργα αὐτοῦ, καθὼς γέγραπται, τῇ δὲ ἑβδόμῃ κατέπαυσε. διὸ καὶ ἐπ' ἐσχάτου τῶν ἡμερῶν εὐδοκήσας ὁ τοῦ Θεοῦ λόγος ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλὸς, καὶ ἐνανθρωπήσας, τὸν αὐτὸν τρόπον κατὰ τὸν ἀριθμὸν τῶν ἡμερῶν τῆς κοσμοποιΐας, τὰς ἑορτὰς τῆς ἑαυτοῦ οἰκονομίας ἡμῖν παρέδωκε. πρώτη τοίνυν καὶ ῥίζα τῶν ἑορτῶν Χριστοῦ, ἡ κατὰ σάρκα ἐκ τῆς ἁγίας παρθένου καὶ θεοτόκου Μαρίας μετὰ τὴν σύλληψιν παράδοξος γέννησις· ἐν ᾗ παραγέγονεν Χριστὸς ὁ Θεὸς κλίνας οὐρανοὺς, ὅπως σώσῃ κόσμον ἀπολλύμενον· ἐν ᾗ Λυκ. β. ιδ. ἄγγελοι τοῖς ποιμέσιν ὀφθέντες, τὸ παράδοξον τοῦ θαύματος γνωρίζοντες ἐβόων, Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. διὸ καὶ δικαίως πρώτη ἑορτὴ προσηγόρευται. δευτέρα δὲ ἑορτὴ, ἡ ἐπιφάνεια Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καθ' ἣν ἐν τῷ Ἰορδάνῃ παραγινόμενος ἔδειξε πᾶσιν ἀνθρώποις τῆς ἀφάτου αὐτοῦ εὐσπλαγχνίας τὴν Ματθ. γ. ιζ. συγκατάβασιν· ἐν ᾗ καὶ φωνὴ πατρὸς ἐξ οὐρανοῦ ἦλθε, μαρτυροῦσα περὶ αὐτοῦ, Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα. ἀλλὰ καὶ τὸ πνεῦμα ἐν εἴδει περιστερᾶς ἐλθὸν ἔμεινεν ἐπ' αὐτὸν, τῆς ὁμοουσίου τριάδος δηλαδὴ ἐπιφανείσης ἐν μιᾷ καιροῦ ῥοπῇ· ἧς αὐτόπτης ἄξιος ὁ τοῦ Κυρίου πρόδρομος γέγονεν Ἰωάννης· περὶ ἧς ἐπιφανείας καὶ ὁ μακάριος Παῦλος Τιτ. β. ια. ὁ ἀπόστολος ἔλεγεν· Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις. ἐπεὶ οὖν πάντων ἀνθρώπων σωτηρία πέφυκεν, ἀξίως καὶ ἑορτὴ μεγίστη ὑπὸ τῶν εὐσεβῶν ὀνομάζεται. τρίτη τῶν ἑορτῶν ἡ ἁγία καὶ προσκυνητὴ καὶ πανσέβαστος τοῦ σωτηρίου πάθους Χριστοῦ τοῦ ἀληθινοῦ ἡμῶν Θεοῦ ἡμέρα· ἐν ᾗ ἐν σταυρῷ σαρκὶ προσηλωθεὶς, τὸ καθ' ἡμῶν τῆς ἁμαρτίας ἐξήλειψε χειρόγραφον· ἐν ᾗ καὶ τὸν διὰ τῆς παρακοῆς ἐκβληθέντα τοῦ παραδείσου Ἀδὰμ, Λυκ. κγ. μγ. διὰ μιᾶς φωνῆς ἐν αὐτῷ εἰσήγαγε. φησὶ γὰρ τῷ λῃστῇ, Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. ὅθεν καὶ ταύτῃ ἑορτὴ μεγίστη καθέστηκε, καὶ μάλιστα. Παῦλος γὰρ εἴρηκε, α. Κορ. ε. ζ. Τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός. τετάρτη ἑορτὴ, ἡ ὑπερένδοξος καὶ εἰρηνοποιὸς ἡμέρα τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἀναστάσεως, καθ' ἣν καὶ ἐν τοῖς καταχθονίοις γενόμενος, τοὺς μοχλοὺς τοὺς αἰωνίους συντρίψας, καὶ τὰ δεσμὰ διαρρήξας, ἀνέστη ἐκ τῶν νεκρῶν, νίκην κατὰ τοῦ ᾅδου ἀράμενος, τοὺς ἐν αὐτῷ κατακειμένους συναναστήσας δικαίους, καὶ πρὸς τοὺς μαθητὰς εἰσελθὼν, τὴν εἰρήνην αὐτοῖς κατεβράβευσεν. ὅθεν πάσης ἀντιλογίας ἐκτὸς, μήτηρ αὕτη ἑορτῶν ἡ ἀοίδιμος ἡμέρα τοῖς πιστοῖς λελόγισται. πέμπτη τοιγαροῦν ἑορτὴ ἡ ἁγία τοῦ Κυρίου εἰς οὐρανοὺς ἀνάληψις, περὶ ἧς νυνὶ καὶ τὴν πραγματείαν ποιούμεθα. πέμπτη δὲ τῶν ἑορτῶν ἐστι, καθότι καὶ πέμπτη ἡμέρα τῆς ἑβδομάδος ἐπράχθη. διὰ τοῦτο δὲ ἑορτάζειν ὀφείλομεν, ἐπειδὴ σήμερον τὴν ἀπαρχὴν τοῦ ἡμετέρου φυράματος, Ἐφ. β. ς. τουτέστι, τὴν σάρκα, ἐν οὐρανοῖς Χριστὸς ἀνήγαγε. διὸ καὶ ὁ ἀπόστολος ἔλεγε· Συνήγειρε, καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ. ὅθεν ὁ ἀρχέκακος καὶ τῆς ἁμαρτίας εὑρετὴς διάβολος διὰ τὸν ὄγκον τῆς ἐπάρσεως καὶ τῆς ὑπερηφανίας τὸν τῦφον ἐξέπεσεν, ἐκ δὲ τῷ μεγέθει τῆς ἑαυτοῦ φιλανθρωπίας τὸν διὰ τῆς ἐκείνου κακίστης συμβουλίας ἐκ τοῦ παραδείσου ἐκβληθέντα ἄνθρωπον Χριστὸς ἀντικατέστησε. τιμῆς οὖν ἀξία καὶ πνευματικῆς χορείας καὶ ἡ παροῦσα ἑορτὴ καθέστηκεν. ἀλλ' ἐπειδὴ ἑπτὰ ἑορτῶν ἀριθμὸν κατὰ τὰς ἡμέρας τῆς κοσμοποιΐας ἐν ἀρχῇ τοῦ λόγου ἐμνημονεύσαμεν, πέντε δὲ καὶ μόνον μέχρι τοῦ παρόντος ἑορτὰς ἐδείξαμεν, δέον ἐστὶ καὶ τὰς ἄλλας δύο ἑορτὰς εἰς μέσον ἀγαγεῖν, εἶθ' οὕτως ἐπὶ τὴν προκειμένην ἱστορίαν τὸν λόγον χειραγωγήσωμεν. ἕκτη τοίνυν ἐστὶ τῶν ἑορτῶν ἡ ἕκτη πανεύφημος ἡμέρα τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου πνεύματος, καθ' ἣν τοῖς ἁγίοις ἀποστόλοις ἡ κατ' ἐπαγγελίαν προσδοκωμένη δωρεὰ τοῦ ἁγίου πνεύματος, ἐν εἴδει πυρίνων γλωσσῶν παρὰ Χριστοῦ ἐξ οὐρανῶν ἀπεστάλη· ἥτις καὶ πεντηκοστὴ διὰ τὴν τῶν ἑπτὰ ἑβδομάδων συμπλήρωσιν ὠνομάσθη. ἀναντιρρήτως οὖν καὶ αὕτη ἑορτὴ τοῖς εὐσεβέσι μεγίστη καθέστηκεν. ἑβδόμη ἑορτὴ ἡ προσδοκωμένη ἡμέρα τῆς ἀναστάσεως τῶν νεκρῶν (τὴν γὰρ ἐλπίδα ταύτην οἱ πιστοὶ ἀπεκδεχόμεθα) ἐν ᾗ μέλλει ὁ φιλάνθρωπος καὶ ἀπροσωπόληπτος δικαστὴς Χριστὸς ὁ Θεὸς ἡμῶν ἀποδιδόναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. αὕτη ἐστὶν ἡ ἀληθὴς κατάπαυσις, δι' ἣν καὶ ὁ ἀπόστολος Παῦλος ἔλεγε· Σπουδάσωμεν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν. τότε τοίνυν καὶ μάλιστα ἑορτὴ χαρᾶς καὶ εὐφροσύνης καὶ ἀγαλλιάσεως πεπληρωμένη ὑπάρχει τοῖς μέλλουσι κληρονομεῖν, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. ὥστε, ἀγαπητοί, εὐξώμεθα καὶ ἡμεῖς συνεορτάσαι τοῖς δικαίοις ἐν τῷ νυμφῶνι τῆς βασιλείας τῶν οὐρανῶν, οὐ μόνον πρὸς μίαν ἡμέραν, ἢ δύο, ἢ τρεῖς, ἀλλ' εἰς ἀτελευτήτους αἰῶνας. τοιγαροῦν τῶν ἑπτὰ ἑορτῶν ἡμῖν ἀποδειχθεισῶν, ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. ἔστι δὲ ἡμῖν περὶ τῆς παρούσης ἑορτῆς τῆς ἐν οὐρανοῖς, λέγω δὴ τῆς Χριστοῦ ἀναλήψεως, τὸ διήγημα. Δαβὶδ μὲν γὰρ εἴρηκε· Καὶ ἔκλινεν οὐρανοὺς, καὶ κατέβη, καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ. τὴν ἐξ οὐρανῶν δηλαδὴ τοῦ λόγου παρουσίαν ἐπὶ γῆς ἐσήμανε. γνόφον δὲ εἶπεν ὑπὸ τοὺς πόδας αὐτοῦ, τὸ διὰ σαρκὸς ἔνδυμα τῆς θεότητος γνωρίζων· ὥστε καὶ ἄγνωστος ἦν τοῖς πολλοῖς ἡ αὐτοῦ παρουσία διὰ τὸ ταπεινὸν καὶ πρᾶον. πάλιν γὰρ ὁ αὐτὸς προφήτης λέγει· Κύριε, ἐν τῇ θαλάσσῃ ἡ ὁδός σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται. Εἰ γὰρ ἔγνωσαν, φησὶν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. καὶ πάλιν εἶπεν· Ἐπέβη ἐπὶ χερουβὶμ, ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων. ἐπὶ χερουβὶμ εἶπε, καθότι αὐτὸς καὶ ἐν οὐρανοῖς σὺν τῷ πατρὶ ὢν ἐπὶ τῶν χερουβὶμ ἐπωχεῖτο. καὶ σὺν ἀνθρώποις γὰρ ἐπὶ γῆς ἀναστρεφόμενος, τοῦ χερουβικοῦ καὶ ἐπουρανίου θρόνου οὐδαμῶς ἐχωρίζετο. πτέρυγας δὲ ἀνέμων τὰς νεφέλας αἰνίττεται, ἐν αἷς καὶ ἀνελήφθη, καθὼς καὶ ἐν ταῖς πράξεσι τῶν ἀποστόλων γέγραπται· Καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. εἶτα καθεξῆς λέγει· Καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανὸν πορευομένου αὐτοῦ. θαῦμα τοῖς ἀποστόλοις καὶ ἔκστασις καὶ θάμβος ἐπεγίνετο. θνητοὶ γὰρ τὴν φύσιν ὄντες καὶ ἀσυνήθεις τοιούτων θεωριῶν, ἐζήτησαν τῇ διανοίᾳ. ἀλλ' ἐρεῖ τις, ὅτι προειδότες ἦσαν καὶ τὴν μεταμόρφωσιν ὅ τε Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης. προεῖδον μὲν ἐκεῖνοι μεταμορφωθέντα τὸν Κύριον, καὶ νεφέλην σκιάσασαν αὐτὸν, ἀλλ' οὐκ εἶδον τὴν νεφέλην εἰς ἀέρα ἁρπαχθεῖσαν, καὶ εἰς οὐρανοὺς τὸν δεσπότην ἀναλαμβάνουσαν. θαῦμα ἐκεῖνο, θαῦμα καὶ τοῦτο· ἀλλὰ θαῦμα θαύματος φοβερώτερον τοῦτο ἐκείνου, ὑψηλότερον, κἂν ἑνὸς Θεοῦ ἡ δύναμις καὶ τὸ μυστήριον ὑπῆρχε. τότε Μωϋσῆς καὶ Ἠλίας ὤφθησαν τοῖς περὶ τὸν Πέτρον, μετ' αὐτοῦ συλλαλοῦντες· νῦν δὲ θρόνος χερουβικὸς, τουτέστιν, ἀόρατος δύναμις τὴν νεφέλην καλυπτομένην ἀθρόον ἐπιστᾶσα, τὸν δεσπότην τοῖς δούλοις συνομιλοῦντα ἀφήρπασε. τότε Πέτρος μετὰ παρρησίας ἀπεκρίνατο, Κύριε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· ποιήσωμεν ὧδε τρεῖς σκηνὰς, σοὶ μίαν, καὶ Μωϋσῇ μίαν, καὶ μίαν Ἠλίᾳ· νυνὶ δὲ οὐδὲ φθέγξασθαι ἠδυνήθη τις τῶν μαθητῶν, οὐδὲ τὸ στόμα διανοῖξαι, ἀλλὰ φόβῳ μεγίστῳ καταπλαγέντες ἐξέστησαν. ἐπάγει δὲ καθεξῆς ἡ γραφὴ λέγουσα· Καὶ ἰδοὺ ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς ἐν ἐσθήσεσι λευκαῖς, οἳ καὶ εἶπον. οὐδὲ τοῦτο ἀργόν. τὸ γὰρ λευχείμονας ὑπάρχειν τοὺς ἄνδρας, ἑορτῆς μεγίστης σημαντικόν ἐστι. τί δὲ εἶπαν; ἄνδρες Γαλιλαῖοι,

χ.-σωμεν

Ἑβρ. δ. ια.

ἴσ. τοῦ Χριστοῦ

Ψαλ. ιζ. ια.

Ψαλ. οϛ. ιθ.

α Κορ. β. η.

Ψαλ. ιζ. ιβ.

Πραξ. α. θ.

ἴσ. ἐξέστησαν τῇ

ἴσ. ἐκείνου, καὶ ὑψηλ.

ἴσ. τῇ νεφέλῃ καλυπτομένη, ἀθρόον

Ματθ. ιζ. δ.

Πραξ. α. ι.

Γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν; τὸ ὑπεράγαν θαῦμα κατέπληξεν ὑμᾶς; ἐπελάθεσθε τοῦ εἰπόντος, Πορεύομαι πρὸς τὸν πατέρα μου, καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν; ἢ οὐχὶ ἕνεκεν τούτου ἔλεγε πρὸς ὑμᾶς, Οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς; καὶ πάλιν, Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν; οὐ τὴν ἐπαγγελίαν τοῦ παρακλήτου, τουτέστι, τοῦ ἁγίου πνεύματος, ὑπέσχετο ὑμῖν; Οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανόν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε πορευόμενον αὐτὸν εἰς τὸν οὐρανόν. οὕτως ἐλεύσεται μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ, μετὰ δόξης καὶ δυνάμεως πολλῆς· οὕτως ἐλεύσεται ἐν καιρῷ, ὅταν μέλλῃ κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ. αὐτῷ γὰρ ὁ πατὴρ δέδωκε τὴν κρίσιν πᾶσαν. οὐ μνημονεύετε ὅτι ὢν σὺν ὑμῖν ἔλεγον· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς; τότε οἱ ἀπόστολοι ἐν ἑαυτοῖς γενόμενοι, ὑπέστρεφον αἰνοῦντες καὶ εὐλογοῦντες τὸν Κύριον, καὶ ἀπεκδεχόμενοι τῆς θείας δωρεᾶς, τουτέστι, τοῦ παναγίου πνεύματος, τὴν ἐπιφοίτησιν. Ψαλμ. μϛ. ε. καὶ δὴ ἐπληρώθη τὸ ἐν ψαλμοῖς εἰρημένον· Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος. σαφῶς ἐνταῦθα ὁ προφήτης τὴν δυάδα τῶν φύσεων τῆς ἐν Χριστῷ οἰκονομίας ἐσήμανε. τὸν αὐτὸν δὲ τρόπον καὶ Θωμᾶς μετὰ τὴν τοῦ Κυρίου ἀνά- Ἰωαν. κ. κη. στασιν ψηλαφήσας τὴν πλευρὰν αὐτοῦ ἐβόα λέγων, Ὁ Κύριός μου καὶ ὁ Θεός μου. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος· ἐν ἀλαλαγμῷ μέν, ὅτι ἀκαταπαύστῳ φωνῇ τὸν τρισάγιον ὕμνον ἀναπέμπουσι τῷ Θεῷ (καὶ ὅπως ἐπὶ χερουβικοῦ θρόνου ἀνελήφθη προαπεδείξαμεν) ἐν φωνῇ δὲ σάλπιγγος, ἀρχαγγελικῆς δηλαδή, προσημαινούσης αὐτοῦ τὴν ἐν οὐρανοῖς ἄνοδον. ἀλλὰ καὶ τὸ πνεῦμα τὸ ἅγιον ταῖς ἄνω δυνάμεσι τῇ προστακτικῇ Ψαλ. μ. κγ. ζ. φωνῇ ἀνεκήρυττεν· Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. αἱ δὲ δυνάμεις ἔλεγον· Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; εἶτα τὸ πνεῦμα· Κύριος κραταιὸς καὶ δυνατός, Κύριος δυνατὸς ἐν πολέμῳ. ἐνίκησε γὰρ τὸν πολέμιον, ὡπλίσατο κατὰ τῆς τοῦ διαβόλου τυραννίδος ἐν τῷ ἀνθρωπίνῳ σώματι, ἔσβεσεν αὐτοῦ τὰ πεπυρωμένα βέλη· καὶ τῷ σταυρῷ προσηλωθείς, καὶ θανάτου γευσάμενος, ἀθάνατος ὑπάρχων, ἐσκύλευσε τὸν ᾅδην, καὶ νικητὴς ἀποδειχθεὶς ἀνέστη ἐκ τῶν νεκρῶν· καὶ τὸ πλανώμενον πρόβατον ἐπιστρέψας, ἰδοὺ ἀνέρχεται ἐπ' ὤμων τοῦτο φέρων πρὸς τὰ ἐννενήκοντα ἐννέα τὰ ἀπλανῆ, τὰ ἐν τοῖς ὄρεσι, τουτέστιν, ἐν οὐρανοῖς, νεμόμενα. Κύριος κραταιὸς καὶ δυνατός, Κύριος δυνατὸς ἐν πολέμῳ. καὶ πάλιν λέγει· Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης. αἱ οὖν δυνάμεις ὡς ἤκουσαν, Κύριος τῶν δυνάμεων, ὁμοφώνως τὴν συνήθη δοξολογίαν ἐκβοῶντες, ἐδέχοντο μετὰ χαρᾶς τὸν Κύριον, καὶ ἔπεμπον ἕως τοῦ ὑψηλοῦ Ψαλ. ρθ. α. θρόνου καὶ ἐπηρμένου. καὶ ἐπληρώθη τὸ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. ὦ αἱρετικέ, ἢ πάντως πρὸς τὴν ἐξ ἡμῶν ληφθεῖσαν σάρκα, ἐψυχωμένην ἐκ τῆς ἁγίας παρθένου. αἰσχυνέσθωσαν οὖν οἱ μίαν φύσιν ἐπὶ Χριστοῦ ὁμολογοῦντες (ἡ γὰρ θεία φύσις εὔδηλον ὅτι συνῆν ἀϊδίως τῷ θρόνῳ τῆς μεγαλωσύνης) ἡ δὲ καθολικὴ ἐκκλησία δοξαζέσθω. ἡμᾶς δὲ πάντας ἀξίους ἀναδείξῃ Χριστὸς ὁ Θεὸς τῆς αἰωνίου αὐτοῦ βασιλείας· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀχράντῳ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ρξβ. ΕΙΣ ΤΗΝ ΑΝΑΛΗΨΙΝ ΤΟΥ ΚΥΡΙΟΥ ἡμῶν Ἰησοῦ Χριστοῦ. Λογ. β.

Ἐπέστη

Ex Mſ. Cæſareo. Viennæ.

ἜΠέστη τῆς δεσποτικῆς ἀναλήψεως ἡ ἡμέρα· καὶ" προσοδοιπορησάντων πολλῶν οἳ καὶ τὴν ἡμετέραν βραχύτητα πρὸς λόγους ὁ πατὴρ προετρέψατο. καὶ δίκαιον ὑμῖν κατεφαίνετο, κάλυμμα τῆς βραχυλογίας τὴν σιωπὴν ἐπιφέρεσθαι, καὶ κρύπτειν τῆς ἀπαιδευσίας τὸ μέγεθος. ἐπεὶ δὲ μετὰ τοῦ πατρὸς καὶ τῶν ἄνω δυνάμεων πρὸς λόγους τὸ πλῆθος" προετρέπετε καὶ λαλεῖν μετ' αὐτῶν" ἐγκελεύετε ἅπερ πάλαι καὶ Δαβὶδ περὶ τῆς ἀναλήψεως τῆς δεσποτικῆς ἀνεβόησεν· Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης· δεῦρο, σήμερον τὰ πρόσφορα τῆς ἡμέρας καὶ ἡμεῖς κελαδήσωμεν. σήμερον γὰρ ὁ δεσπότης ἡμῶν Χριστὸς πρὸς τὸν πατρῷον θρόνον ἀνέρχεται· σήμερον ὁ σωματωθεὶς τῷ πατρὶ συγκαθέζεται, οὔτε πρότερον χωρισθεὶς, οὔτε νῦν ἐν ἀνθρώποις αὐτῷ συγκαθήμενος. ἀεὶ γὰρ ἐν τοῖς κόλποις τοῦ πατρὸς διαπαύεται, μόνος τὸν πατέρα χωρῶν, καὶ ὑπὸ τοῦ πατρὸς μόνος χωρούμενος. Ἐγὼ γάρ, φησιν, ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί· καὶ ὁ λόγος ἐν τῷ πατρί, καὶ ὁ λόγος ἐν τῇ γῇ. οὔτε δὲ" κατελθὼν ὡς τὸ δὲν τὸν πατρῷον κόλπον ἐκένωσεν· οὔτε εἰς οὐρανοὺς ἀνελθὼν, ἔρημον τὴν γῆν τῆς αὐτοῦ παρουσίας κατέλιπεν· ἀλλὰ καὶ τοῖς ἀνθρώποις συναναστρεφόμενος, τῷ πατρὶ συνεκάθητο, καὶ τῷ πατρὶ συγκαθήμενος, ὑπάρχει τῶν ἀνθρώπων ἀχώριστος. Ἰδοὺ γὰρ ἐγώ, φησι, μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. σήμερον ὁ δεσπότης Χριστὸς ἐκ τῶν ἀνθρώπων εἰς οὐρανοὺς ἀναφέρεται, οὐ κατὰ τὸν Ἐνὼχ μεθιστάμενος, οὐ κατὰ τὸν Ἠλίαν ἅρματι πυρὸς πρὸς οὐρανὸν ἀνερχόμενος· ἀλλ' ἀναλαμβάνεται, ἵνα πέμψῃ τοῖς μαθηταῖς τὴν τοῦ ἁγίου πνεύματος δύναμιν. Ταύτης τῆς ἀναλήψεως τὴν χάριν πρὸ πολλῶν γενεῶν Δαβὶδ θεασάμενος, προανεφώνησε λέγων· Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ· ὁ τὸν Ἀδὰμ διαπλάσας ἐκ κόνεως, ὁ τὸν Ἄβελ δικαιώσας, καὶ τὸν Ἐνὼχ μεταθέμενος· ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, ὁ τὸν Νῶε κυβερνήσας, καὶ πιστὸν τὸν Ἀβραὰμ ἐκλεξάμενος· ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, ὁ τὸν Ἰσαὰκ ἄθυτον θυσίαν δεξάμενος, καὶ τὸν Ἰακὼβ πληρώσας εὐλογιῶν· ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, ὁ τὸν Ἰωσὴφ ὁδηγήσας πλανώμενον, καὶ τὴν ὑπομονὴν τοῦ Ἰὼβ προσδεξάμενος· ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, ὁ δοξάσας τὸν Μωϋσῆν, καὶ τὴν ἀρχιερωσύνην τῷ Ἀαρὼν χαρισάμενος· ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, ὁ τὸν Ἰησοῦν τὸν Ναυῆ ἐνισχύσας, καὶ τὴν προφητείαν" τῷ Σαμουὴλ δωρησάμενος· ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, ὁ τὸν Δαβὶδ δυναμώσας, καὶ τὸν Σολομῶντα σοφίσας· ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ," ὁ τοὺς προφήτας ἐμπνεύσας, καὶ τοῖς ἀποστόλοις τὰς τῶν ἰαμάτων δωρεὰς χαρισάμενος· ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, ὁ ἄνω ἀμήτωρ, καὶ κάτω ἀπάτωρ· ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, τὸ τοῦ πατρὸς προαιώνιον γέννημα, καὶ τῆς παρθένου μητρὸς τὸ ἀφύτευτον βλάστημα· ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, ὁ τῆς ζωῆς χορηγὸς, καὶ τῶν παραδόξων διανομεύς· ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, ὁ τῷ θανάτῳ θανατώσας τὸν θάνατον, καὶ τῷ γένει τῶν ἀνθρώπων ζωὴν χαρισάμενος· ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. εὐλογητὸς ὁ Θεός· εὔκαιρον σήμερον ἅπαντας τὸν προφητικὸν ἀναβοῆσαι λόγον, καὶ κοινῇ φωνῇ τὸν ἁπάντων δεσπότην ἀνυμνῆσαι, καὶ εἰπεῖν· Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; σήμερον ἡ ἀπαρχὴ ἡ ἡμετέρα εἰς τὸν οὐρανὸν ἀνελήλυθε, καὶ ὁ τὴν ἐξ ἡμῶν σάρκα ἀναλαβὼν, τὸν θρόνον κατείληφε τὸν πατρικόν· ἵνα τὴν καταλλαγὴν τοῦ δεσπότου πρὸς τοὺς δούλους ἐργάσηται, καὶ παλαιὰν ἔχθραν ἀνέλῃ, καὶ τὴν εἰρήνην τῶν ἄνω δυνάμεων τοῖς ἐπὶ γῆς ἀνθρώποις χαρίσηται. κοινὰ γὰρ ἡμῶν σήμερον κατὰ τοῦ διαβόλου τὰ νικητήρια, κοινὰ τὰ βραβεῖα, κοινὰ τὰ ἔπαθλα, κοινοὶ καὶ οἱ στέφανοι. διὸ σκιρτήσωμεν, ἀδελφοί, ἐρῶντες τὴν

ἴσ. προσοδοιπ. πολλῶν, ὅμως τὴν

ἴσ. προετρέπετέ τε

ἴσ. ἐγκελεύεται

ἴσ. καταλθὼν αὐτὸς οὐρανόθεν, τὸν

ἴσ. τὸν

ἴσ. ὁ εἰς τοὺς

Ψαλμ. κγ. ζ.

Ἰωαν. ιδ. ια.

Ματθ. κη. κ.

Ψαλμ. μς. ϛ.

Ψαλμ. ρε. β.

ἀπαρχὴν ἡμῶν″ ἀνακειμένην, καὶ τὴν ἡμετέραν φύσιν τὸν″ ἐκδέξιον τοῦ Θεοῦ καταλαβοῦσαν θρόνον. ἴσ. ἄνω καθημένην, καὶ. ἴσ. ἐνδέξιον

Ησ. λα. θ. Εἰ γὰρ ὁ θαυμαστὸς προφήτης μακαρίζει τοὺς ἔχοντας ἐν Σιὼν σπέρμα, καὶ οἰκείους ἐν Ἱερουσαλήμ· πόσῳ μᾶλλον ἡμᾶς χαίρειν δεῖ καὶ ἀγαλλιᾶσθαι, ὁρῶντας τὴν ἡμετέραν ἀπαρχὴν εἰς αὐτὴν τὴν τοῦ οὐρανοῦ κορυφὴν ἀνελθοῦσαν, καὶ τὸν θρόνον ἐπειλημμένην τὸν βασιλικόν; ἐννόει γάρ μοι, ἀγαπητέ, ὅση τοῦ Θεοῦ ἀγαθότης, καὶ ἀπόρρητος οἰκονομία γέγονε περὶ τὸ γένος τὸ ἡμέτερον· τὸν ἐκ παραδείσου ἐκπεπτωκότα διὰ τοῦ διαβόλου, καὶ τοσαύτῃ ἀρᾷ καταδικασθέντα, ἀθρόον εἰς ὅσον ὕψος ἀνήγαγε· καὶ πῶς ἡμεῖς οἱ τῆς γῆς ἀνάξιοι φανέντες, σήμερον εἰς τὸν οὐρανὸν ἀνήχθημεν· καὶ ἡ ἡμετέρα φύσις καὶ τοῦ παραδείσου τὸ πρότερον νομισθεῖσα ἀναξία, αὕτη τοῦ οὐρανοῦ τὴν προεδρίαν ἀνείληφε· καὶ ἡ τῶν δαιμόνων γινομένη παίγνιον, αὕτη σήμερον ὑπὸ ἀγγέλων καὶ τῶν ἄνω δυνάμεων προσκυνεῖται. ὢ μακαρίου φθόνου· ὢ καλῆς ἐπιβουλῆς μυρίον ἡμῖν ἀγαθὸν ἀποτικούσης. φθονήσας γὰρ τῇ ἡμετέρᾳ φύσει ὁ πονηρὸς ἐκεῖνος δαίμων ἐπὶ γῆς τὴν διαγωγὴν ἐχούσῃ, νῦν ὁρᾷ αὐτὴν ὑπὸ τῶν ἀγγέλων προσκυνουμένην· καὶ παραβλάψας (ὡς ᾤετο μὲν) ἀνήκεστα, νῦν μειζόνων καὶ λαμπροτέρων ἄνω ἡμᾶς ἀπολαύοντας ὁρᾷ. διὸ δὴ σκιρτῶ καὶ ἀγάλλομαι σήμερον, καὶ ὑμᾶς″ Συνέφθασθέ μοι τῆς χαρᾶς ταύτης παρακαλῶ. ἴσ. συνευφράνθητέ μοι οἱ γὰρ μηδὲ τῆς κάτω ἀρχῆς ὄντες ἄξιοι, πρὸς τὴν βασιλείαν ἀνέβημεν τὴν ἀνωτάτω. ὑπερέβημεν τοὺς οὐρανούς, ἐπελαβόμεθα τοῦ θρόνου τοῦ βασιλικοῦ· καὶ ἡ φύσις, δι᾽ ἣν ἐφύλαττε τὸν παράδεισον τὰ χερουβίμ, αὕτη ἐπάνω τῶν οὐρανῶν κάθηται σήμερον. ἐκπλάγηθι τοίνυν, ἄνθρωπε, τοῦ δεσπότου σου τὸ εὐμήχανον, καὶ δόξασον τὸν τοσαῦτά σοι χαρισάμενον. ὑπερέβη γὰρ ἡ φιλοτιμία τῆς δωρεᾶς τῆς ζημίας τὸ μέγεθος. ὅρα γάρ, παραδείσου ἐξεπέσαμεν, καὶ εἰς οὐρανοὺς ἡμᾶς ἀνήγαγε· θανάτῳ κατεδικάσθημεν, καὶ ἀθανασίαν ἡμῖν ἐχαρίσατο· προσκεκρουκότες ἦμεν καὶ ἀπερριμμένοι, καὶ υἱοὺς ἡμᾶς καλέσαι κατηξίωσε· καὶ οὐχ υἱοὺς μόνον, ἀλλὰ καὶ κληρονόμους· καὶ οὐ κληρονόμους μόνον, ἀλλὰ καὶ συγκληρονόμους Χριστοῦ. ἴδες μείζονα τῶν ἀφαιρεθέντων τὰ παρ᾽ αὐτοῦ δωρήματα· ἀλλ᾽ ὅταν ἀκούσῃς ὅτι ἀνῆλθε, μὴ μετάβασιν τοπικὴν ὑπὸ″ Θεοῦ ὑποβάλῃς. ἴσ. Θεοῦ γινομένην ὑπολάβῃς. ἡ γὰρ θεότης ἅπαντα πληροῖ, καὶ πανταχοῦ πάρεστι· τὸ δὲ ὁμογενὲς ἡμῖν σῶμα ἀναλαβεῖν κατηξίωσεν· αὐτὸ ἐστι τὸ ἀναλαμβανόμενον. καὶ διὰ τοῦτο κοινῇ πάντες σήμερον τὴν περιφανῆ ταύτην καὶ λαμπρὰν″ ἑορτάσωμεν πανήγυριν, ἴσ. ἑορτάζωμεν ἐπειδὴ καὶ κοινῇ πάντες τῆς παρ᾽ αὐτοῦ δωρεᾶς ἀπηλαύσαμεν. καθάπερ γὰρ δεσπότης φιλάνθρωπος ἀγαπήσας τὸν ἴδιον οἰκέτην, διὰ τὸ περὶ αὐτὸν φίλτρον οὐ παραιτεῖται καὶ τὸ ἱμάτιον αὐτοῦ περιβαλέσθαι· οὕτω δὴ καὶ ὁ δεσπότης ὁ ἡμέτερος ἀγαπήσας τὴν φύσιν τὴν ἀνθρωπίνην, καὶ θεασάμενος εἰς βυθὸν κακίας κατενεχθεῖσαν, καὶ οὐδεμίαν ἐλπίδα σωτηρίας ἔχουσαν, καὶ πολλῆς δεομένην τῆς συγκαταβάσεως, κατηξίωσε τὸ σῶμα τὸ ἡμέτερον ἀναλαβεῖν, καὶ δι᾽ αὐτοῦ φανείς, πάντας ἀπὸ τῆς πλάνης

Ματθ. θ. ιγ. ἠλευθέρωσε, καὶ πρὸς τὴν ἀλήθειαν ἐπανήγαγε, καὶ βοᾷ λέγων, Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. ὃ τοίνυν ἐβούλετο, κατώρθωσε· καὶ τὴν ἀνθρωπίνην φύσιν κάτω που κειμένην ἀνέστησε, καὶ τοσαύτην φιλανθρωπίαν ἐπεδείξατο, ὡς μὴ χωρεῖν ἀνθρώπινον λογισμὸν τὴν οἰκονομίαν τῆς εὐσπλαγχνίας ἐξειπεῖν. πῶς γάρ, εἰπέ μοι, ἡμεῖς οἱ προσκεκρουκότες, οἱ τῆς γῆς ἀνάξιοι φανέντες, καὶ τῆς ἀρχῆς τῆς κάτωθεν ἐκπεσόντες, πρὸς τοσοῦτον ὕψος ἀθρόον ἀνήχθημεν; πῶς ὁ πόλεμος κατελύθη; τὸ γὰρ θαυμαστὸν καὶ πολλῆς ἐκπλήξεως γέμον τοῦτ᾽ ἔστιν· ὅτι οὐχ ἡμῶν προσδεδραμηκότων, ἀλλ᾽ αὐτοῦ πρὸς ἡμᾶς ἐλθόντος, καὶ τὴν ἡμῶν φύσιν ἀναλαβόντος καὶ θεώσαντος, οὕτω καὶ ἡ καταλλαγή, καὶ ἡ εἰρήνη γέγονεν. ἴδες εὐμήχανον σοφίαν, ἴδες φιλανθρωπίαν δεσπότου ἄφατον. ἡ δυναστεία τοῦ θανάτου κατηργήθη, ἡ ἔχθρα καταλέλυται, ὁ χρόνιος πόλεμος ἔσβεσται, καὶ ἐπαγγέλλεται ἡμῖν δώσειν τὴν τοῦ παρακλήτου παρουσίαν. ὅρα γὰρ καὶ τὸ ἐπαγόμενον, πῶς ἀκριβῶς

Ιωαν. ις. ιγ. προσέθηκε· Καὶ αὐτός, φησιν, ὁδηγήσει ὑμᾶς πρὸς πᾶσαν ἀλήθειαν· δηλονότι πλανωμένους.

νωμένους, καὶ ὧδε κἀκεῖσε περιαγομένους, τὸ πνεῦμα τὸ ἅγιον καταπεμφθὲν, εἰς τὴν ἀλήθειαν πάντας ἡμᾶς ὡδήγησεν. ἐπεὶ γὰρ αὐτὸς μὲν ὠργίζετο, ἡμεῖς δὲ καὶ οὕτως ἀπηχθόμεθα τῷ δεσπότῃ, μέσον ἑαυτὸν ἐμβαλὼν ὁ Χριστὸς τὴν καταλλαγὴν εἰργάσατο. διὸ λοιπὸν χρηστὰς ἔχομεν τὰς ἐλπίδας, πρὸς τὴν ἡμετέραν ἀπαρχὴν ἀφορῶντες. ὅρα καὶ ἐν τούτῳ κηδεμονίαν τοῦ δεσπότου. εἰδὼς γὰρ τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν, καὶ ὅτι πολλῆς δεῖται τῆς συμμαχίας, ἐχαρίσατο τὴν τοῦ ἁγίου πνεύματος βοήθειαν· ἵνα ἀκαταγώνιστος γένηται ὁ ἄνθρωπος πρὸς τὰς τοῦ διαβόλου συμμαχίας. ὥσπερ ἄν τις στρατηγὸς ἄριστος ἰδὼν τοὺς ὑπ' αὐτὸν ταττομένους στρατιώτας οὐ φέροντας τῶν ἐναντίων προσβολὰς, ἀλλὰ καταπεπληγμένους ὑπὸ τῆς ἀγωνίας, πάντας αὐτοὺς ἐπιρρώσειε, περιφράξας θώρακι καὶ ἀσπίδι καὶ περικνημῖσι καὶ περικεφαλαίᾳ καὶ τῇ λοιπῇ πανοπλίᾳ· οὕτω δὴ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς θεασάμενος πολλὴν οὖσαν τῶν ἀντικειμένων δυνάμεων τὴν ἐνέργειαν καὶ τὴν πονηρὰν δυναστείαν, καὶ διὰ τοῦτο πολλῆς δεομένην βοηθείας τὴν ἀνθρωπίνην φύσιν, ἐδωρήσατο τοῦ ἁγίου πνεύματος τὴν χάριν, τὴν ἀκαταμάχητον πανοπλίαν· ἵνα ὁ πρότερον δεδιὼς τῶν δαιμόνων τὰς φάλαγγας, νῦν αὐτὸς καταπλήττῃ αὐτοὺς καὶ μόνον ὀφθείς. τοιαύτη γὰρ ἡ τοῦ ἁγίου πνεύματος χάρις· ὅπουπερ ἂν φανῇ, δραπετεύειν παρασκευάζει πάσας τὰς ἀντικειμένας δυνάμεις. Λήψεσθε "γὰρ δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς· καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλὴμ, καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς. τίς δὲ ἦν αὕτη ἡ δύναμις; ὅπερ καὶ πρότερον πρὸς αὐτοὺς ἔλεγεν· Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, δαιμόνια ἐκβάλλετε. οὐδὲν γὰρ, φησιν, ἔσται νόσημα οὕτως ἰσχυρὸν, ὡς "μὴ ὀρέξῃ αὐτῶν τοῦ ἁγίου πνεύματος δύναμις. τοσούτων ἀγαθῶν αἰτία γέγονεν ἡ σήμερον ἡμερῶν ἡμέρα. σήμερον γὰρ ἀπέλαβον οἱ ἄγγελοι ὃ πάλαι ἐπεθύμουν, ἐπὶ τοῦ θρόνου τοῦ βασιλικοῦ θεωρῆσαι ἀπαστράπτουσαν τὴν ἡμετέραν φύσιν, καὶ καταλλαγὴν καὶ εἰρήνην μεταξὺ αὐτῶν καὶ τῆς ἀνθρωπότητος. ὅπερ καὶ πρότερον ἔλεγον· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. διατί δὲ ἐν νεφέλαις ἀνελαμβάνετο; ἵνα μάθῃς δούλου καὶ δεσπότου τὸ διάφορον. ἡνίκα γὰρ Ἠλίας ἀνελαμβάνετο, ἐν ἅρματι πυρίνῳ "τοῦτο ἠξιώθη· ἡνίκα δὲ ὁ δεσπότης ὁ ἡμέτερος, νεφέλη πρὸς τὴν ἄνοδον ὑπηρετεῖται. Βλεπόντων γὰρ αὐτῶν, φησιν, ἐπήρθη· καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. καὶ ὅτε μὲν τὸν δοῦλον "ἔδει βληθῆναι, ἅρμα κατεπέμπετο· ὅτε δὲ τὸν υἱὸν, θρόνος βασιλικός· καὶ οὐχ ἁπλῶς θρόνος βασιλικὸς, ἀλλ' αὐτὸς ὁ πατρικὸς τῆς θεότητος. καὶ ἄκουε Δαβὶδ τοῦ προφήτου λέγοντος· Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ, ὅτι ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. καὶ πάλιν· Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου. ποία δόξα; ἡ δωρεὰ τοῦ ἁγίου πνεύματος, ἡ χάρις τῶν ἰάσεων, ἡ ἄφεσις τῶν ἁμαρτιῶν, ἡ ἐπίγνωσις τῆς θεότητος εἰς πᾶσαν τὴν γῆν. ὥσπερ γὰρ Ἠλίας ἀνελθὼν ἀφῆκε μηλωτὴν ἐπὶ τὸν Ἐλισσαῖον· οὕτω καὶ ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφῆκε χαρίσματα ἐπὶ τοὺς μαθητὰς, οὐχ ἕνα προφήτην ποιοῦντα, ἀλλὰ μυρίους Ἐλισσαίους, μᾶλλον δὲ ἐκείνου πολλῷ μείζους καὶ λαμπροτέρους. ἅπερ ἅπαντα ἐννοοῦντες, ἀγαπητοὶ, ἀμειψώμεθα καὶ ἡμεῖς τὸν ἡμέτερον δεσπότην διὰ τῆς ἀρίστης πολιτείας· ἵν', ὥσπερ αὐτὸς ἡμᾶς ἐδόξασε διὰ τῶν οἰκείων χαρισμάτων, οὕτω καὶ ἡμεῖς διὰ τῶν κατορθωμάτων καὶ τῶν οἰκείων ἔργων αὐτὸν δοξάσωμεν. "οὕτω καὶ τοῦ ἁγίου πνεύματος τὴν χάριν δαψιλεστέραν ἐπισπασόμεθα. δοξάσωμεν τοίνυν τὸν ἡμέτερον δεσπότην διὰ τῆς κατὰ τὸν βίον ἀκριβείας, καὶ τῆς ὑπεροψίας τῶν παρόντων ἁπάντων· εὐτρεπίσωμεν τοίνυν ἑαυτοὺς, παρακαλῶ, ἵνα καὶ τῆς παρὰ τοῦ Θεοῦ εὐεργεσίας ἀξιωθῶμεν, καὶ τὸν παρόντα βίον ἀλύπως διανύσωμεν, καὶ τῶν μελλόντων "ἐπιτύχωμεν, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἀπολαύσωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι-

ἴσ. γάρ, φησι, δύν-
ἴσ. μὴ ἀρήξῃ αὐτῷ τοῦ
ἴσ. τοῦτο
ἴσ. ἔδει μεταβληθῆναι,
ἴσ. οὕτω γὰρ τοῦ
ἴσ. -χωμεν ἀγαθῶν,

Πράξ. α. η.
Ματθ. ι. η.
Λουκ. β. ιδ.
Πράξ. α. θ.
Ψαλμ. ϙη.
Ψαλ. ρζ. ϛ.

σοῦ· μεθ' οὗ τῷ πατρὶ πρέπει δόξα, τιμὴ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ρξγ. ΕΙΣ ΤΗΝ ΠΕΝΤΗΚΟΣΤΗΝ. Λογ. α.

Ex Ms. Cesareo Viennae.

Οὐρανὸς ἡμῖν γέγονε σήμερον ἡ γῆ, οὐκ ἀστέρων ἐξ οὐρανοῦ εἰς γῆν καταβαίτων, ἀλλ' ἀποστόλων ὑπὲρ τοὺς οὐρανοὺς ἀναβαίτων, ἐπειδήπερ ἐξεχύθη ἡ χάρις τοῦ πνεύματος. οὐρανὸν τὴν οἰκουμένην ἐποίησεν, οὐ τὴν φύσιν μεταβαλὼν, ἀλλὰ τὴν προαίρεσιν διορθωσάμενος. εὗρε τελώνην, καὶ εὐαγγελιστὴν κατεσκεύασεν· εὗρε βλάσφημον, καὶ ἐποίησεν ἀπόστολον· εὗρε λῃστὴν, καὶ εἰς παράδεισον εἰσήγαγεν· εὗρε πόρνην, καὶ παρθένου ἐποίησε σεμνοτέραν· εὗρε μάγους, καὶ εὐαγγελιστὰς εἰργάσατο. ἐξέβαλε τὴν κακίαν, καὶ ἐπανήγαγε τὴν ἀρετήν· τὴν τοῦ Θεοῦ χάριν ἐκόμισεν. οὐρανὸς γέγονεν ἡ γῆ. τί γὰρ τοιοῦτον ἀστέρες, οἷοι ἀπόστολοι; ἀστέρες ἐν οὐρανῷ· ἀπόστολοι ὑπὲρ τὸν οὐρανόν.

Ισ.-- σὺ ὁ Χριστὸς, ὁ

Κολ γ. α.

Τὰ ἄνω γὰρ φρονεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος. ἀστέρες ἀπὸ πυρὸς αἰσθητοῦ· ἀπόστολοι ἀπὸ πυρὸς πνευματικοῦ. ἀστέρες ἐν νυκτὶ φαίνουσιν, ἐν δὲ ἡμέρᾳ κρύπτονται· ἀπόστολοι δὲ ἐν νυκτὶ καὶ ἡμέρᾳ τὴν ἑαυτῶν ἀκτῖνα λάμπουσιν. ἀστέρες ἡλίου φαίνοντος οὐ φαίνουσιν· ἀπόστολοι δὲ τοῦ ἡλίου τῆς δικαιοσύνης λάμποντος, τὰς ἑαυτῶν λαμπηδόνας ἀπαστράπτουσιν. ἀστέρες ἐν τῇ ἀναστάσει ὡς φύλλα πίπτουσιν· ἀπόστολοι δὲ ἐν τῇ ἀναστάσει ἐν νεφέλαις ἁρπάζονται. ἐν τοῖς ἄστροις ὁ μέν ἐστιν ἕσπερος, ὁ δὲ φωσφόρος· ἐν δὲ τοῖς ἀποστόλοις ἕσπερος οὐδεὶς, ἀλλὰ φωσφόροι πάντες· διὰ δὴ τοῦτο τῶν ἀστέρων οἱ ἀπόστολοι φαιδρότεροι. καὶ οὐκ ἄν τις αὐτοὺς ἁμάρτοι φωστῆρας τῆς οἰκουμένης προσειπὼν, οὐχ ὅτε ἔζων, ἀλλὰ καὶ νῦν ὅτε ἐτελεύτησαν.

Ισ.--νῦν τί, φησιν, ὃ

ἡ γὰρ τῶν ἁγίων χάρις οὐ διακόπτεται θανάτῳ, οὐκ ἀμβλύνεται τελευτῇ, οὐ διαλύεται εἰς τὴν γῆν· καὶ μαρτυρεῖ τὰ πράγματα. ἁλιεῖς ἦσαν, καὶ οἱ ἁλιεῖς ἀπέθανον· αἱ δὲ σαγῆναι αὐτῶν ἐργάζονται· καὶ μαρτυρεῖ τὸ πλῆθος τῶν καθ' ἡμέραν σωζομένων.

Ισ. ἔζων μόνον, ἀλλ-

ἀμπελουργοὶ ἦσαν, καὶ ἀπῆλθον ἐκεῖνοι, καὶ ἡ ἄμπελος τοῖς φύλλοις κομᾷ, καὶ τῷ καρπῷ βρίθεται. καὶ γὰρ ἀμπελουργοὶ, καὶ ἁλιεῖς, καὶ στύλοι, καὶ ἰατροὶ, καὶ στρατηγοὶ, καὶ διδάσκαλοι.

Ισ.--λυργοὶ ἦσαν, καὶ

στύλοι μὲν, ὅτι τὸν ὄροφον τῆς πίστεως ἐβάστασαν· λιμένες δὲ, ὅτι τὰ κύματα τῆς ἀσεβείας κατέστειλαν· κυβερνῆται δὲ, ὅτι τὴν οἰκουμένην ἀπὸ γῆς εἰς οὐρανὸν ἐχειραγώγησαν· ποιμένες δὲ, ὅτι τοὺς λύκους ἀπήλασαν, καὶ τὰ θρέμματα διέσωσαν· ἀμπελουργοὶ, ὅτι τὰς ἀκάνθας ἀνέσπασαν, καὶ τὰ σπέρματα τῆς εὐσεβείας κατέσπειραν· ἰατροὶ, ὅτι τὰ τραύματα ὑμῶν διωρθώσαντο. καὶ ἵνα μάθῃς ὅτι οὐ κόμπος τὰ ῥήματα, παράγω Παῦλον ἅπαντα ταῦτα ποιήσαντα.

α. Κορ. γ. ς.

Βούλει ἰδεῖν αὐτὸν φυτουργόν; Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισε. Βούλει ἰδεῖν οἰκοδόμον; Ὡς σοφὸς ἀρχιτέκτων, θεμέλιον τέθεικα.

α. Κορ. θ. κς.

Βούλει ἰδεῖν αὐτὸν παγκρατιαστήν; Οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων.

Εφ ς. ις.

Βούλει ἰδεῖν αὐτὸν ἀθλητήν; Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα.

Ρωμ. ιε. ιθ.

Βούλει ἰδεῖν αὐτὸν δρομέα; Ὥστε με ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ Θεοῦ.

Ισ. Θεοῦ. Βούλει ἰδεῖν αὐτὸν στρατηγόν; ἐν

β. Τιμ δ. ζ. η.

Ἐνδυσάμενοι τὸν θώρακα τῆς πίστεως. Βούλει ἰδεῖν αὐτὸν ἀγωνιστήν; Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι. Βούλει ἰδεῖν αὐτὸν στεφανίτην; Λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος. Εἷς ὢν, πάντα ἐγένετο, τὸν δεσπότην τὸν ἑαυτοῦ μιμούμενος. καὶ γὰρ ὁ δεσπότης ὁ ἡμέτερος εἷς ὢν τὴν οὐσίαν, πρὸς ἅπαντα ἐσχηματίζετο. πῶς πρὸς πάντα; διὰ τὴν ἡμετέραν σωτηρίαν.

Ιωαν. ιε. α. ε.
Ιωαν. ι. θ.
Ιωαν. ι. ια.

κλῆμα ἐγένου; καὶ ἐγένετο ῥίζα. Ἐγὼ γάρ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα. βαδίσαι ἠθέλησας· ἐγένετό σοι ὁδός· Δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, καὶ ἐξέλθῃ, νομὴν εὑρήσει. πρόβατον ἐγένου· ἐγένετό σοι ποιμήν· Ἐγὼ γάρ εἰμι ὁ ποιμὴν ὁ καλός. ὁ ποιμὴν ὁ κα-

λὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. ἀμνὸν πολλάκις ἐθύου· ἐγένετό σοι Ἀμνὸς
τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. φαγεῖν ἠθέλησας· ἐγένετό σοι τράπεζα. πιεῖν
ἠθέλησας· ἐγένετό σοι ποτήριον. Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ — Ἰωαν. ς νς.
μένει, κἀγὼ ἐν αὐτῷ. ἐνδύσασθαι ἠθέλησας· ἐγένετό σοι ἱμάτιον· Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, — Γαλ. γ. κζ.
Χριστὸν ἐνεδύσασθε. νύμφη ἠθέλησας γενέσθαι· ἐγένετό σοι νυμφίος. Ὁ ἔχων — Ἰωαν. γ. κθ.
τὴν νύμφην νυμφίος ἐστίν. ἠθέλησας· ἐγένετό σοι ἀνήρ. Ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ — β. Κορ. ια. β.
παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. πόρνη ἦς, καὶ ἐγένου παρθένος. ὢ καινῶν καὶ παραδόξων
πραγμάτων. ἐπὶ τῶν ἔξωθεν ὁ γάμος τὴν παρθενίαν διαλύει· ἐπὶ δὲ τῶν πνευματικῶν,
πόρνην ἔλαβε, καὶ παρθένον ἐποίησε σεμνοτέραν. ἑρμήνευσον, ὦ αἱρετικέ, πῶς ἡ πόρνη
παρθένος. περιεργάσασθαι οὐ δύναμαι· πίστει δὲ κατέχομαι. ταῦτα δὲ πάντα ἡ τοῦ πνεύματος
ἐποίησε χάρις. ἐξεχύθη ἡ χάρις, καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι αἱ γλῶσσαι — Πραξ. β. γ.
ὡσεὶ πυρός. οὐχὶ πυρός, ἀλλ' ὡσεὶ πυρός. Εἰ πῦρ, πῶς οὐκ ἐκαίοντο; ἐρωτᾷ ὁ Ἰουδαῖος·
μᾶλλον δὲ ἐγὼ τὸν Ἰουδαῖον ἐρωτῶ, πῶς οὐκ ἔκαιε τὴν βάτον φρυγανῶδες ξύλον; τί πυρὸς
σφοδρότερον; τί βάτου εὐτελέστερον; καὶ οὔτε τὸ ξύλον ἐκαίετο, οὔτε τὸ πῦρ ἐσβέννυτο. καὶ
πάλιν, πῶς τὰ σώματα τῶν τριῶν παίδων οὐ κατέκαυσεν, ἀλλ' ἡ κάμινος εἰς δρόσον μετεβάλλετο,
καὶ τοὺς ἄνθρακας ῥοδῶνα ἐνόμιζον; μάχη ἦν πυρὸς καὶ σωμάτων, καὶ ἡ νίκη τῶν σωμάτων
ἐγίνετο. κηροῦ γὰρ ὄντα μαλακώτερα, σιδήρου ἐγένετο στερεώτερα. ἑρμήνευσόν μοι τὰ
τῶν παλαιῶν. ἀλλ' ἐκεῖνα παρέλαβεν, ἵνα πιστευθῇ ἡ ἀλήθεια. διατί ἐν πυρὶ τὸ πνεῦμα
τὸ ἅγιον; διὰ τὸ γοργὸν τῆς διανοίας τῶν δεχομένων. οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ
ὥσπερ τὸ πῦρ τὰς ἀκάνθας ἀναλίσκει· οὕτω τὸ πνεῦμα τὰ ἁμαρτήματα δαπανᾷ. ἐνεβλήθη
ὁ ἅγιος εἰς λάκκον, καὶ τοὺς λέοντας ἐφίμωσε· περιῆλθον οἱ ἁλιεῖς τὴν οἰκουμένην,
νοσοῦσαν αὐτὴν παραλαβόντες, καὶ πρὸς ὑγίειαν ἐπανήγαγον· στασιάζουσαν παραλαβόντες,
πρὸς εὐταξίαν ἐχειραγώγησαν, οὐ δόρατα κινοῦντες, οὐ τόξα βάλλοντες, οὐ βέλος
ἀφιέντες, οὐ χρημάτων ἔχοντες περιουσίαν, οὐ λόγων ῥητορικῶν· ἀλλ' ἦσαν γυμνοὶ ἀπὸ
ἱματίων, καὶ ἐνδεδυμένοι τὸν Χριστόν· πένητες καὶ πλούσιοι, χρημάτων ἀπεστερημένοι, τὴν
δὲ βασιλείαν κεκτημένοι, μόνοι καὶ οὐ μόνοι, μόνοι ἀνθρώπων, ἔχοντες δὲ τὸν ἑαυτῶν δεσπότην.
Ἐγὼ γὰρ εἰμί, φησι, μεθ' ὑμῶν ἕως τῆς συντελείας τοῦ αἰῶνος. περιῆλθον — Ματθ. κη. κ.
τὴν οἰκουμένην πᾶσαν τὰ πρόβατα μεταξὺ τῶν λύκων. τίς εἶδε; τίς ἤκουσε; λέγει·
Ἀποστέλλω ὑμᾶς ὥσπερ πρόβατα ἐν μέσῳ λύκων. ποῖος ποιμὴν πρόβατα ἐν μέσῳ — Ματθ. ι. ις.
λύκων πέμπει; ἀλλ' ὅταν ἴδῃ τὸν λύκον ὁ ποιμήν, συνελαύνει τὰ πρόβατα· ὁ
δὲ Χριστὸς τὸ ἐναντίον ἐποίησε· τὰ πρόβατα εἰς τοὺς λύκους ἀπέστειλε, καὶ οὐκ ἐγένετο θηριάλωτα
τὰ πρόβατα, ἀλλ' οἱ λύκοι εἰς τὴν τῶν προβάτων ἡμερότητα μετέστησαν. καὶ
ἵνα μὴ λέγωσιν ἐκεῖνοι, πρόβατά ἐσμεν, καὶ πέμπεις ἡμᾶς κατάβρωμα τοῖς λύκοις, καὶ τράπεζαν
τοῖς θηρίοις; μιᾷ λέξει περιεῖλεν αὐτῶν τὴν διάνοιαν· οὐκ εἶπεν, ἀπέλθετε· οὐδὲ
γὰρ τῇ ἑαυτῶν δυνάμει ἔπεμπεν αὐτούς· ἀλλ', ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς. ἀσθενεῖς ὑμεῖς·
ἀλλὰ δυνατὸς ὁ ἀποστέλλων ὑμᾶς. τίς εἶ σύ; ἐγώ εἰμι ὁ τὸν οὐρανὸν πήξας, ὁ
τὴν γῆν θεμελιώσας, ὁ τὴν θάλασσαν διαλύσας, ὁ τὸ καθ' ὑμῶν χειρόγραφον τῷ σταυρῷ
προσηλώσας, ὁ τὸν παλαιὸν νόμον ἀνατρέψας, ὁ εἰς τὴν ἀρχαίαν ἐπαναγαγὼν ὑμᾶς
πατρίδα, ὁ τὰ ἰσχυρὰ παραλύων, καὶ τὰ παραλελυμένα ἐνισχύων. τί τῆς θαλάσσης ἰσχυρότερον;
ἀλλὰ ἡ μικρὰ ψάμμος τὴν ἀφόρητον βίαν ἐκείνην κατέχει. ἰδοὺ ἐγὼ ἀποστέλλω
ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων. τεῖχος τὰ θηρία τοῖς προβάτοις γέγονεν, ἵνα μηδὲ
φυγῇ τὴν σωτηρίαν πορίσωνται. ὢ δυνάμεως τοῦ ἀποστείλαντος. ἐν μέσῳ τὰ πρόβατα,
καὶ κύκλῳ οἱ λύκοι· ἀλλὰ μετεβλήθησαν, καὶ ἐγένοντο πρόβατα. οὐ γὰρ ἦσαν φύσει λύκοι,
ἀλλὰ προαιρέσει. Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς. τί οὖν κελεύεις; Γίνεσθε φρόνιμοι ὡς — Ματθ. ι. ις.

σαις γα-
μετὴ γενέσθαι·
γένου

οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. τί λέγεις, φρόνιμοι ὡς οἱ ὄφεις; ὁ ὄφις κἂν μυρία
λάβῃ τραύματα, τὴν δὲ κεφαλὴν διασώσῃ, ὅλος ἐστὶν ὑγιής· οὕτω καὶ σύ, κἂν χρήματα θέλῃ
λαβεῖν ὁ ἐναντίος, δός· κἂν κλήματα, κἂν αὐτὴν τὴν ζωήν· μόνον τὴν πίστιν σου διατήρησον.
γίνεσθε φρόνιμοι· ἐκείνης μενούσης πάντα ῥᾴδια καὶ εὐχερῆ. γυμνὸς ἐξῆλθες ἐκ
κοιλίας μητρός σου, γυμνὸς καὶ ἀπελεύσῃ. ἀλλ' ἐξορίζει σέ τις; Τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα
αὐτῆς. ἀλλ' ἀποθνήσκεις; ἀλλ' ὁ θάνατός σοι ἀποδημία· μόνον τὴν πίστιν μὴ ἀπολέσῃς,
τὸν θησαυρὸν τὸν ἀνάλωτον, τὴν πίστιν τὴν ἀδαπάνητον. μάρτυρες τούτων οἱ
μάρτυρες οὗτοι· ἐπειδὴ τὴν πίστιν οὐκ ἀπώλεσαν, καὶ μετὰ τελευτὴν τῶν ζώντων εἰσὶ δυνατώτεροι.
διὰ τοῦτο ἄνθρωπος ἐγενόμην, διὰ τοῦτο σάρκα ἀνέλαβον, ἵνα τὴν οἰκουμένην
ἐκκλησίαν ἐργάσωμαι. πολὺ γὰρ περισπούδαστον τῷ Θεῷ ἐκκλησία, οὐ τοίχοις ἀσφαλιζομένη,
ἀλλὰ πίστει τειχιζομένη. διὰ τὴν ἐκκλησίαν οὐρανὸς ἐστάθη, καὶ ἡ θάλασσα ἐξεχύθη,
καὶ ἀὴρ ἡπλώθη, καὶ γῆ ἐθεμελιώθη· παράδεισος ἐφυτεύθη, νόμος ἐδόθη, προφῆται ἀπεστάλησαν,
θαύματα ἐγίνετο, πέλαγος ἐσχίζετο καὶ ἐρράπτετο, πέτρα ἐρρήγνυτο καὶ πάλιν συνήπτετο, μάννα
κατεφέρετο, καὶ σχεδιαζομένη παρεσκευάζετο τράπεζα. διὰ τὴν ἐκκλησίαν προφῆται, διὰ τὴν
ἐκκλησίαν ἀπόστολοι· καὶ τί πολλὰ λέγω; διὰ τὴν ἐκκλησίαν ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ ἄνθρωπος
Ρωμ. η. λϐ. ἐγένετο, ὥς φησιν ὁ Παῦλος· Ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο. τοῦ υἱοῦ οὐκ ἐφείσατο,
ἵνα τῆς ἐκκλησίας φείσηται· τὸ αἷμα τοῦ υἱοῦ ἐξέχεε διὰ τὴν ἐκκλησίαν. τοῦτο ἀρδεύει
αὐτὴν τὸ αἷμα, διὰ τοῦτο τὰ φυτὰ μαρανθῆναι οὐ δύναται, οὐδὲ φυλλορροεῖ· οὐχ
ὑπόκειται καιρῶν ἀνάγκαις, οὐδὲ δουλεύει χρόνοις, ἐν θέρει μὲν κομῶσα τὰ φύλλα, ἐν δὲ
χειμῶνι γυμνουμένη· οὐ γὰρ καιρῶν ἀνάγκη, ἀλλ' ἡ τοῦ πνεύματος χάρις αὐτὴν γεωργεῖ.
διὰ τοῦτο οὐκ ἀνασπᾶται. ἀλλ' οὐκ ἔστι θαυμαστόν, ὅτι οὐκ ἀνασπᾶται, ἀλλ' ὅτι καὶ πολεμούντων
πολλῶν οὐκ ἀνασπᾶται. πόσοι ἐξ ἀρχῆς ἐπολέμησαν τὴν ἐκκλησίαν; ὅτε νεόφυτος
ἦν, πολλὰ κατ' αὐτῆς ἐκινήθη. νῦν μὲν γὰρ διὰ τὴν τοῦ Θεοῦ χάριν, καὶ τὴν τοῦ
πνεύματος δύναμιν, καὶ βασιλεῖς εὐσεβεῖς, καὶ στρατηλάται, καὶ ἡ οἰκουμένη πᾶσα τῆς πίστεως
ἐμπέπλησται· τὸ δὲ ἐν ἀρχῇ καὶ ἐν προοιμίοις, βασιλεῖς ἐν ἀσεβείᾳ, στρατηλάται ἀσεβεῖς,
διατάγματα ἀρχόντων, βωμοὶ ἀναπτόμενοι, καπνὸς πανταχοῦ καὶ κνίσσα· ὁ ἀὴρ ἐμολύνετο,
ἡ γῆ ἐμιαίνετο, δαίμονες ἐβάκχευον, διάβολος ἐχόρευε, πατὴρ ἀπέκτεινεν υἱόν, υἱὸς
ἠτίμαζεν· ἡ φύσις ἐσχίζετο, καὶ ἡ εὐσέβεια οὐκ ἐμερίζετο. ποῦ νῦν οἱ τολμήσαντες τῇ ἴσ. ἠτίμαζε τὸν πατέρα ἡ
ἐκκλησίᾳ ἀντιπαρατάττεσθαι; ὅτε νεόφυτος ἦν, οὐκ ἠδικήθη· ὅτε τοῦ δρόμου ἥψατο, προσδοκᾷς
αὐτῆς περιγενέσθαι; ὅτε ἕνδεκα οἱ ἀπόστολοι, οὐδεὶς αὐτῶν ἐκράτησεν, ἀλλὰ
οἱ ἕνδεκα τοσαύτας μυριάδας ἐσαγήνευσαν· νῦν ὅτε ἡ θάλαττα, καὶ ἡ οἰκουμένη, καὶ
ἡ ἀοίκητος χώρα, καὶ πόλεις, καὶ πάντα τὰ πέρατα, τῆς εὐσεβείας ἐμπέπλησται, τότε ἐλπίζεις
Ματθ. ις. ιη. αὐτῆς κρατῆσαι; ἀλλ' οὐ δύνασαι. ὁ Χριστὸς γὰρ ἀπεφήνατο· Πύλαι ᾅδου οὐ
κατισχύσουσιν αὐτῆς. εὐκολώτερον τὸν οὐρανὸν ἀφανισθῆναι, καὶ τὴν γῆν ἀπολέσθαι, ἢ
Ματθ. κδ. λε. τὴν ἐκκλησίαν τι παθεῖν. αὐτὸς ὁ Χριστός· Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου ἴσ. Χριστὸς εἶπεν· ὁ
οὐ μὴ παρέλθωσι. καὶ καλῶς· ὁ γὰρ λόγος τοῦ Θεοῦ, αὐτοῦ τοῦ οὐρανοῦ δυνατώτερος. ὁ γὰρ
οὐρανὸς ἔργον τοῦ λόγου. Εἶπεν ὁ Θεός, γενηθήτω οὐρανός· καὶ ὁ λόγος ἔργον ἐγένετο. ἔτρεχεν
ἡ φύσις, καὶ τὸ κωλῦον οὐδέν. καὶ γὰρ δεσπότης ἦν τῆς φύσεως, καὶ τοιαύτην ποιῆσαι, καὶ
τοιαύτην μεταβαλεῖν. ἐγὼ αὐτὴν ᾠκοδόμησα ὁ τοὺς οὐρανοὺς στήσας· ἀλλ' ὑπὲρ οὐρανοὺς
σῶμα οὐκ ἀνέλαβον, ἵνα μάθῃς ὅτι καὶ οὐρανοῦ καὶ ἀγγέλων καὶ πάσης τῆς κτίσεως
ἡ ἐκκλησία τιμιωτέρα. διὰ τοῦτο ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται· οἱ δὲ λόγοι μου οὐ μὴ
παρέλθωσι. παρέστω ὁ Ἰουδαῖος, παρέστω ὁ Ἕλλην· Εἰ κόμπος τὰ ῥήματα, ἐλεγχέτω· Εἰ
δὲ ἀλήθεια τὰ εἰρημένα, προσκυνείτω τὴν δύναμιν. Εἶπεν ὁ Χριστός· Ὁ οὐρανὸς καὶ ἡ
γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. τί δέ ἐστιν, οἱ λόγοι αὐτοῦ, προσχεί-

σωμεν ἐν μέσῳ· ἴδωμεν μὴ διέπεσαν. οὐκ ἀμφιβάλλων λέγω, ἀλλὰ τὸν αἱρετικὸν ἐπιστομίζων. Διὰ τοῦτο ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται· οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. ποῖοι λόγοι; Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν· καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. ἐπὶ ταύτῃ τῇ πέτρᾳ. οὐκ εἶπεν, ἐπὶ τῷ Πέτρῳ· οὔτε γὰρ ἐπὶ τῷ ἀνθρώπῳ, ἀλλ' ἐπὶ τὴν πίστιν τὴν ἑαυτοῦ ἐκκλησίαν ᾠκοδόμησε. τί δὲ ἦν ἡ πίστις; Σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. πέτραν τὴν ἐκκλησίαν ἐκάλεσε, δεχομένην κύματα, καὶ μὴ σαλευομένην. καὶ γὰρ ἡ ἐκκλησία δέχεται πειρασμοὺς, ἀλλ' οὐ νικᾶται. τί οὖν ἐστιν, ἐπὶ τῇ πέτρᾳ; ὁμολογία ἐπὶ τοῖς ῥήμασιν. οὐ λίθους βάλλεις; οὐ ξύλα; οὐ σίδηρον; οὐχί, φησιν. οὐ γάρ ἐστιν οἰκοδομὴ αὕτη τοιαύτη. οἵα ἂν ᾖ, τῷ χρόνῳ λύεται· ὁμολογίαν δὲ οὔτε δαίμονες νικῆσαι δύνανται. καὶ μαρτυροῦσιν οἱ μάρτυρες, οἱ τὰς πλευρὰς ξεόμενοι, καὶ τὴν πίστιν οὐκ ἀπολλύντες. ὢ καινῶν καὶ παραδόξων πραγμάτων. ὁ τοῖχος διαρρύπτεται, καὶ ὁ θησαυρὸς οὐ συλᾶται· ἡ σὰρξ δαπανᾶται, καὶ ἡ πίστις οὐκ ἀναλίσκεται· τοιαύτη τῶν μαρτύρων ἡ δύναμις. ἐπὶ γὰρ τῇ πέτρᾳ ταύτῃ οἰκοδομήσω μου τὴν ἐκκλησίαν· καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. πρόσεχε τῇ ἀκριβείᾳ τοῦ ῥήματος· πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. διὰ τί γάρ, φησι, μὴ κωλύει τοὺς πειρασμοὺς τῇ ἐκκλησίᾳ προσέρχεσθαι; οὐχ ἵνα δείξω μου τὴν δύναμιν; ἂν μή τις αὐτὴν πολεμήσῃ, ἔχουσιν εἰπεῖν· εἰ ἐπολεμήθη, ἐνικᾶτο. διὰ τοῦτο ἀφίησιν αὐτὴν πολεμηθῆναι, ἵνα μὴ τῇ ἠρεμίᾳ τῶν πολεμούντων τὰ τῆς νίκης ἐπιγράφηται. καὶ πύλαι ᾅδου, οὐκ εἶπεν, οὐ προσβάλωσιν αὐτῇ· ἀλλ', οὐ κατισχύσουσιν αὐτῆς. πολεμηθήσεται μὲν, οὐ νικηθήσεται δέ· χειμάζεται ἡ ἐκκλησία, ἀλλ' οὐ καταποντίζεται· κλυδωνίζεται, ἀλλ' οὐ γίνεται ὑποβρύχιος· δέχεται βέλη, ἀλλ' οὐ δέχεται τραύματα· δέχεται μηχανήματα, ἀλλ' ὁ πύργος οὐ σαλεύεται. καὶ τί λέγω ἡ ἐκκλησία; ἕνα λόγον ἐφθέγξατο ὁ ἁλιεὺς καὶ ἕστηκεν ὡς πύργος ἄσειστος. πόσοι τύραννοι ἐφιλονείκησαν ἀφανίσαι τὸ ῥῆμα τοῦτο, ἀλλ' οὐκ ἴσχυσαν; ἐπὶ γὰρ τῇ πέτρᾳ τεθεμελίωτο. ἐννόησον· τύραννοι, βασιλεῖς, διαδήματα, ξίφη ἠκονημένα, θηρίων ὀδόντες, θάνατοι ἀπειλούμενοι, τήγανα, κάμινοι. καὶ μὲν τὴν βελοθήκην αὐτοῦ ἐξεκένωσεν ὁ διάβολος, τὴν δὲ ἐκκλησίαν οὐκ ἔβλαψε. διὰ τί; πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. πόσοι ἐξ ἀρχῆς ἐπολέμησαν τὴν ἐκκλησίαν; ποῦ οἱ πολεμήσαντες; σεσίγηνται, καὶ λήθῃ παραδίδονται· ἡ ἐκκλησία ἀνθεῖ. ποῦ Κλαύδιος; ποῦ Αὔγουστος; ποῦ Νέρων; ποῦ Τιβέριος; ὀνόματα εἰσὶ ψιλά· τούτων δὲ οὐδεὶς μέμνηται. ἐπεὶ τὴν ἐκκλησίαν ἐπολέμησαν, καὶ τὴν μνήμην ἀπώλεσαν. ἡ δὲ ἐκκλησία ὑπὲρ τὸν ἥλιον λάμπει· ὅπου δ' ἂν ἀπέλθῃς, εἰς Ἰνδοὺς, εἰς Μαύρους, εἰς Βρεττανοὺς, εἰς τὴν οἰκουμένην, εὑρήσεις, Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ βίον ἐνάρετον. πρὸ γὰρ τούτου, καὶ πόλεις ἐν ἀσεβείᾳ πεπληρωμέναι· νῦν δὲ καὶ ἡ ἔρημος εὐσεβείας ἐμπέπλησται. πρὸ τούτου καὶ βασιλίδες ὠρχοῦντο (Γενεσίων δὲ γινομένων Ἡρώδου, ὠρχήσατο ἡ θυγάτηρ Ἡρωδιάδος) σήμερον δὲ θεράπαιναι οὐ καταξιοῦσι τοῦτο ποιῆσαι. πρὸ τούτου Πέρσαι μητέρας ἐγάμουν· σήμερον καὶ παρθενίαν ἀσκοῦσι. πρὸ τούτου Γότθοι πατέρας ἀπέκτειναν· σήμερον τὸ αἷμα αὐτῶν ὑπὲρ εὐσεβείας ἐκχέειν σπουδάζουσι. πρὸ τούτου καὶ ἰδιῶται ἀσεβεῖς· σήμερον καὶ βασιλεῖς εὐσεβεῖς, καὶ δῆμοι. ὁ παρὼν βασιλεὺς διάδημα ἀποθέμενος, καὶ λαβὼν σταυρὸν, ἐν ἀώρῳ ἡλικίᾳ, πεπολιωμένην δὲ σοφίαν ἐνδεικνύμενος, ἐν ἐκκλησίᾳ βασιλείαν οὐκ ἐπιγινώσκων· ἔξω δόρατα, καὶ ἐνταῦθα μυστήρια· ἔξω ἀσπίδες, καὶ ἐνταῦθα μυσταγωγίαι· Θεοδοσίου υἱὸς, καὶ ὁ πατὴρ Θεοδόσιος. ὑπὲρ δὲ τούτων εὐχαριστήσωμεν τῷ Θεῷ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἴσ. διὰ τί τοῦτο ὁ ο. κ. ἡ γ. π. ὁ δ. λ. μ. ο. μ. παρέλθωσι;

ἴσ. -τη. τοιαύτη γάρ, οἷα

ἴσ. ἐρημ-

ἴσ. -σκων, φησίν· ἔξω

Matth. 16. 18.

Ioan. 1. 1.

Matth. 14. 6.

Λογ.

Λογ. ρξδ. ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΠΕΝΤΗΚΟΣΤΗΝ. λογ. β.

Ex Ms. Regio Lut.

ἘΠεφοίτησεν ἡ τοῦ πνεύματος χάρις· ἀληθὴς γὰρ ὁ τὴν δωρεὰν τοῦ πνεύματος ὑποσχόμενος. ἐπεδήμησεν ὁ παράκλητος ὁ παρὰ τοῦ δεσπότου Χριστοῦ κηρυττόμενος· ἀψευδὴς γὰρ ὁ τὴν ἄφιξιν προμηνύσας, οὐ δοῦλος δούλου παρουσίαν προλέγων, ἀλλὰ δεσπότης ὁμοτίμου δεσπότου γινόμενος μηνυτὴς, καὶ διδάσκαλος, ἀγαθὸς ἀγαθῷ παραχωρῶν διδασκάλῳ, μᾶλλον δὲ συμπαρόντι πρώην καὶ συνανιὼν ἀνιόντι, καὶ συγκατιὼν ἐρχομένῳ. ἀδιαίρετος γὰρ τῆς τριάδος ἡ χάρις· καὶ οὔτε ἀναβὰς ἀπέστη, οὔτε ἐρχόμενος οὐ παρῆν. ἀλλ' ἀνῆλθεν ὡς ἄνθρωπος, ὁ Θεὸς λόγος, καὶ πάρεστι· κατῆλθε δὲ ὁ παράκλητος, καὶ τοὺς οὐρανοὺς οὐ κατέλιπεν· ἀλλὰ σὺν τῷ πατρὶ βασιλεύει, καὶ τὴν γῆν καταυγάζει, καὶ τὴν οἰκονομίαν ἐπλήρωσε, καὶ γένη γλωσσῶν τοῖς ἀποστόλοις ἀπέστειλε, καὶ φωνῆς μέγεθος ἐξαίφνης ἠκούετο, καὶ βιαίας αὔρας ἦχος ἀπετελεῖτο, καὶ βροντῆς τύπον ἡ τοῦ πνεύματος ἄφιξις ἐμιμεῖτο. ἐπὶ γὰρ τοὺς ὅρους τῆς βροντῆς "περιεγίνετο. Καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι, ὡσεὶ πυρός. καὶ ἦν τὸ φαινόμενον φοβερὸν, τὸ δὲ γινόμενον ποθεινόν· φλὸξ ἐφιζάνουσα, καὶ μὴ καίουσα, πῦρ ἐπικαθήμενον, καὶ μὴ φλέγον· πῦρ τὴν ἐπουράνιον σοφίαν δωρούμενον, πῦρ εἰς ἀπείρους μεριζόμενον γλώσσας, πῦρ εἰς μυρίας ἰδέας ῥημάτων τεμνόμενον· φλὸξ σοφιστεύειν τοὺς ἁλιέας διδάσκουσα, καὶ ῥήτορα τὸν σκυτοτόμον ἀπαρτίζουσα· μᾶλλον δὲ οὐδὲν τοσοῦτον οἱ σοφισταί. οἱ μὲν γὰρ ἑνός τινος ἦσαν ἔθνους διδάσκαλοι, οἱ δὲ τῆς οἰκουμένης γεγένηνται παιδευταί· καὶ Γαλιλαῖος ἀνὴρ τὰ Μήδων ἐφθέγγετο, καὶ τὰ τῶν Πάρθων ἐπίστατο, καὶ τὰ τῶν Ἐλαμιτῶν οὐκ ἠγνόει· ἀλλ' εἶχεν ἐπὶ τοῦ στόματος πάσης εἰκόνας φωνῆς. καὶ οὐδεὶς αὐτὸν τῶν ἀκροατῶν ἐνόμιζε βάρβαρον, οὐδὲ ὡς νόθους τοὺς λόγους τῆς ἀκοῆς ἀπέφυγεν· ἀλλ' ὡς παντὸς ἔθνους πολίτης ἠκούετο, πάσης τῆς οἰκουμένης γλῶτταν ἑαυτῷ περιφέρων, καὶ παράδοξον τοῦτον τῆς εὐσεβείας εἰλήφαμεν καρπόν. ἐπὶ μὲν γὰρ τῆς τοῦ πύργου κατασκευῆς τὰ τῆς φωνῆς ἐμερίσθη, καὶ τὰς ἀλλήλων ἠγνόησαν γλώττας οἱ ἄνθρωποι. ἔδει γὰρ τῆς θεομάχου βουλῆς τὴν ὁμόνοιαν "ἀγνωσίαις συναχθῆναι ῥημάτων, καὶ τοὺς κακῶς ἀλλήλοις συμπαράξαντας τῇ τῆς γλώττης μεταβολῇ διαστῆναι, καὶ τὸν ἀλογίστων ἐγχειρημάτων λόγῳ τὴν πεῖραν λαβεῖν, καὶ μήτε λέγοντα λέγειν, μήτε ἀκούοντα συνιέναι, μηδὲ μάτην προσαπολλύναι τοὺς χρόνους. τί γάρ σοι τῆς ἀπονοίας τὸ κέρδος; τί σοι τῆς μεγαλουργίας τὸ τέλος; τί δὲ ἀκατάληπτον βιάζῃ καταλαβεῖν; τί τὸν οὐρανὸν ἁρπάζειν φιλονεικεῖς, ὁ μηδὲ τῆς γῆς ἄξιος ὢν ἀπολαύειν; τί μετεωρολογεῖς, ὁ μηδὲ τῆς τοῦ πλησίον φωνῆς ἐπακούων; μερίζω σοι τὴν φωνὴν, καὶ καταλύω τὴν πρᾶξιν, οὐ τὴν σὴν ἀνάβασιν δεδοικὼς, οὐδὲ ὑπὲρ τῆς ἐμοῦ βασιλείας φοβούμενος, ἀλλά σου τοῦ μάτην πονοῦντος καὶ κοπτομένου κηδόμενος. οὐδὲ γὰρ λίθων οἰκοδομὴ, καὶ πολυχειρίᾳ συντιθέμενος πύργος εἰς οὐρανὸν ἀνάγειν πέφυκεν, ἀλλὰ ἅρματα θεογνωσίας, καὶ "πολλοὶ δικαιοσύνης, καὶ φωτὸς καθαρώτερος βίος, καὶ πτέρυγες ἀρετῆς πρὸς ἐκεῖνον τὴν ὁδὸν ἀνάγουσιν. ἐκείνους μὲν ἡ γλῶττα μερισθεῖσα τῆς τόλμης κατέπαυσε, σοφῶς τε ὁμοῦ, καὶ φιλανθρώπως τοῦτο τοῦ Θεοῦ κυβερνήσαντος. ὃ δὲ παρ' ἐκείνων ἔλαβεν ὡς κακῶν, τοῦτο τοῖς ἀποστόλοις ὡς ἀγαθοῖς ἐδωρήσατο· καὶ ὁ διὰ γλώττης κολάσας τοὺς ἀσεβεῖς, διὰ γλώττης τοὺς ἁγίους ἐδόξασε· καὶ οἱ τοῦ λόγου διάκονοι, τὰς τοῦ λόγου μορφὰς ὑποδέχονται, οὐ πρὸς ἐπίδειξιν τῆς χάριτος "ἀπολαύσαντες, ἀλλ' ἐπὶ χρείᾳ τὸ δῶρον "ἐπιδεξάμενοι. ἔδει γὰρ τοὺς τῆς οἰκουμένης παιδευτὰς τὰ τῆς οἰκουμένης ἐπίστασθαι. ἀσθενὴς γὰρ διδάσκαλος ὁ τοῖς μανθάνουσιν ἀσαφής· ἀλλ' ὡς τηλικούτων μυστηρίων πιστευόμενοι, ἀναγκαίως

περὶ ἕτερον

Πραξ. β. γ.

ἴσ. παρεγ.

ἴσ. ἀγνωσίᾳ συνταραχθῆναι ῥημάτων.

ἴσ. πῶλοι

ἴσ. ἀπολαύοντες

ἴσ. ἐπιδειξάμενοι.

πρότερον τῶν γλωσσῶν τὴν γνῶσιν ἐλάμβανον. οὐδὲ γὰρ δύναταί τις μυσταγωγεῖν τὸν μὴ πιστεύσαντα πρότερον· πιστεύει δ' ἂν οὐδεὶς, ἀπείρως ἔχων τῶν λεγομένων. ἐντεῦθεν ἡ τοῦ πνεύματος ἤρξατο χάρις, καὶ διὰ τοῦτο τὰ περὶ τῶν φθόγγων πρότερον ἐθαυματούργησεν. Εἰς πᾶσαν γὰρ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν. ἔμελλε καὶ τὴν οἰκουμένην καταλαμβάνειν, καὶ τοῖς ὁρίοις τῆς γῆς μετεῖναι, καὶ οὐδένα ἀδίδακτον ὑπεῖναι, οὐδὲ ἀμαθήτευτον παρατρέχειν. ὤφθησαν δὲ ἐν εἴδει πυρὸς μεριζόμεναι γλῶσσαι. καὶ γὰρ τὰ τοῦ πυρὸς ἔμελλον ἐνεργεῖν τῶν ἀποστόλων αἱ γλῶσσαι, καὶ διπλῆν τὴν χρῆσιν δείκνυσθαι· καὶ τὸν μὲν διάβολον καταφλέγειν, φωτίζειν δὲ τοὺς καθημένους ἐν σκότει. ὅρα μοι πῦρ παντὸς ἐλαίου τοῖς πιστοῖς προσηνέστερον· ὅρα μοι γλῶτταν παντὸς πυρὸς τῷ διαβόλῳ φοβερωτέραν· ὅρα μοι γλῶτταν τῆς ἀσεβείας τὰς ἀκάνθας συμφλέγουσαν, καὶ τὰ λήϊα τῆς εὐσεβείας δροσίζουσαν· ὅρα μοι δώδεκα μαθητὰς ἐξ ἑνὸς διδασκάλου παιδευομένους· ὅρα μοι δώδεκα στρατηγοὺς ὑφ' ἑνὶ βασιλεῖ ταττομένους· ὅρα μοι δώδεκα φωστῆρας λαμπροὺς ἐκ μιᾶς ἀνατέλλοντας κορυφῆς· ὅρα μοι δώδεκα καθαρὰς ἀκτῖνας ἐξ ἑνὸς προϊούσας ἡλίου· ὅρα μοι δώδεκα λαμπάδας ἐξ ἑνὸς ἁπτομένας σπινθῆρος· ὅρα μοι δώδεκα κλήματα ἐξ ἀληθινῆς ἀμπέλου βλαστήσαντα· ὅρα μοι δώδεκα κοφίνους ἐκ μιᾶς πληρουμένους τραπέζης· ὅρα μοι δώδεκα ποταμοὺς ἐκ μιᾶς προφερομένους πηγῆς· ὅρα μοι δώδεκα γλώττας ἐκ μιᾶς χάριτος φθεγγομένας. καὶ μὴ νομίσῃς αὐτοὺς μεθύειν, μηδὲ γλεύκους εἶναι μεστοὺς, μηδὲ ὑβρίσῃς ἀπιστίᾳ τὴν δωρεὰν, μηδὲ μιμήσῃ τοὺς καταράτους, μηδὲ προσείπῃς μέθην τοῦ πνεύματος τὴν ἐνέργειαν. μέθη μὲν γνῶσιν γλωσσῶν οὐκ οἶδε χαρίζεσθαι, ἀλλὰ καὶ τὴν οὖσαν ἑκάστῳ δεσμεῖ, καὶ παράφρονα ἀπεργάζεται, καὶ κόπτει τοῦ λόγου τὸν δρόμον, καὶ καθάπερ ἐν πέτραις τῷ σκότῳ βαδίζουσα τοῖς ὀδοῦσι προσπταίει· καὶ νῦν ἐπέχει τὴν διάνοιαν, καὶ ταραχὴν ἐμποιεῖ, καὶ φαντασίαν ἐργάζεται, καὶ περιτέμνει τὰς συλλαβάς. καὶ ἔστιν ἡ μέθη, ὄναρ ἐγρηγορότος, καὶ ἐνύπνιον οὐ καθεύδοντος, καὶ μανία διψῶσα, καὶ δαίμων πεινώμενος, καὶ διάβολος ἐγκαθήμενος οἴνῳ, καὶ λῃστὴς ἐν συμποσίοις λοχῶν, καὶ τὸν λογισμὸν καταφλέγων ἀκράτῳ, καὶ φάρμακον τῆς ἀθυμούσης ψυχῆς δηλητήριον ἐργαζόμενος. ταῦτα ἡ μέθη πέφυκεν ἐμποιεῖν· ταῦτα τοὺς ἀποστόλους ἐσυκοφάντουν οἱ δυσσεβεῖς· καὶ οὐδὲν "θαυμαστόν." οἱ νήφοντες μεθύειν τοῖς Ἰουδαίοις ἐδόκουν." πάσαι γὰρ ταῖς τῶν ἁγίων ἐνετράπησαν ὕβρεσι, καὶ τοὺς προφήτας ἐχλεύαζον ὡς μεθύοντας. κἂν ἀρνήσωνται, λέγωμεν πρὸς αὐτούς· Μὴ οὐκ ἔστι ταῦτα, υἱοὶ Ἰσραὴλ, λέγει Κύριος; καὶ ἐποτίζετε τοὺς ἡγιασμένους μου οἶνον, καὶ τοῖς προφήταις ἐνετέλλεσθε λέγοντες, μὴ προφητεύετε. ἐγὼ δὲ μεθύειν μὲν αὐτοὺς καὶ αὐτὸς ὁμολογῶ, ἀλλ' οὐ τὴν μέθην ἣν λέγεις αὐτὸς, ἀλλὰ τὴν θειοτέραν καὶ νοερὰν ἐκείνην, ἧς ὁ πεπωκὼς σοφίας ἐμπίπλαται, ἧς ὁ πεπωκὼς ἔρρωται τὴν διάνοιαν, ἧς ὁ πεπωκὼς ἐγρήγορε καὶ νήφει πρὸς ἀρετὴν, ἧς ὁ πεπωκὼς ἐρᾷν μανθάνει Θεοῦ· ἧς ὁ πεπωκὼς οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα· ἧς ὁ πεπωκὼς μαίνεται μετὰ Παύλου, καὶ παντὸς πυρὸς καὶ σιδήρου κατατολμᾷ, καὶ τοῖς κινδύνοις ἐπιπηδᾷ, καὶ πάσας συμφορὰς ὡς εὐφροσύνην ἀσπάζεται, καὶ ταῖς λοιδορίαις ὡς εὐφημίαις ἀγάλλεται, καὶ ταῖς ὕβρεσιν ὡς ἐπαίνοις ἐγκαλλωπίζεται, καὶ τοῖς ὑπὲρ τοῦ σωτῆρος δεσμοῖς, ὡς ἐπὶ τοῖς βασιλικοῖς στεφάνοις, ἀβρύνεται. οὗτος ὁ κρατὴρ τοὺς ἀποστόλους ἐμέθυσε· τοῦτο δὲ ποτήριον οἱ τοῦ σωτῆρος ἔπιον μαθηταὶ, καὶ τὴν καλλίστην ἐμεθύσθησαν μέθην, καὶ τῆς ἁγίας τραπέζης ἐνεφορήθησαν, καὶ λέγουσι μετὰ τοῦ μακαρίου Δαβίδ· Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, ἐξ ἐναντίας τῶν θλιβόντων με· ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον, καὶ τὸ ἔλεός σου καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. ὁ γὰρ ἐκ τούτου τοῦ ποτηρίου πίνων νήφει μὲν ἐν Χριστῷ, μεθύειν δὲ τοῖς ἀνοήτοις δοκεῖ, τὰ τοῦ σωτῆρος φρονῶν. τοῦτον καὶ ἡμῖν ὁ δεσπότης Χριστὸς ἐξ αἵματος ἐκέρασε τὸν κρατῆρα, καὶ πολ-

λοὺς

ἴσ. παρεῖναι

Ρω. ι. ιη.

ἴσ. θαυμαστὸν, οἱ νήφοντες

ἴσ. πάσαις γὰρ ταῖς τῶν ἁγίων ἐνετράφησαν ὕβρ.

Ἀμως β. ιβ.

Ψαλμ. κβ. ε.

λοις ἡμῖν συνεκάλεσε δαιτυμόνας, καὶ τῶν εὐαγγελικῶν ἰχθύων ἀπείρους συνεκάλεσε, καὶ τοῦ Πέτρου τὴν σαγήνην ἐπλήρωσε, καὶ γέγονεν αὐτῷ τὰ τῆς θεωρείας ἐκ παραδόξου, καὶ τὴν ἁλιείαν αὐτῷ λαμπροτέραν ἐποίησεν ὁ χειμών· καὶ οὓς οὐκ ἐθήρευσε πείθων, τούτους φοβηθέντας ἐξώγρησεν, ἀστραπῆς αὐτῷ πρὸς τὴν ἄγραν συλλαμβανομένης. ἀλλὰ μηδεὶς ὕβριν τοῦτο τῆς νέας ἀγέλης ὀνομαζέτω, εἰ δι' ἀστραπῆς ἐθηρεύθησαν. εἴωθε γὰρ ὁ Χριστὸς τοὺς λακτίζοντας πώλους δι' ἀστραπῆς χαλινοῦν· καὶ ὅστις οἶδε τοῦ μακαρίου Παύλου τὴν κλῆσιν, ἀγάλλεται μετὰ τοῦ Παύλου κληθείς, καὶ τὸν δεσπότην Χριστὸν δι' ἀστραπῆς θεασάμενος, γίνεται Χριστοῦ μαθητής· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ρξε. ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΠΕΝΤΗΚΟΣΤΗΝ. Λογ. γ.

Ex Ms. Cæsareo.

Τὰς γλώσσας σήμερον διανείμασα χάρις, αὕτη οὐκ ἐᾷ με δεδοικέναι τὴν τῆς γλώττης πενίαν, ἡ τοὺς ἀγραμμάτους τῷ κόσμῳ παιδευτὰς ἐπιστήσασα, ἡ τοὺς ἁλιέας χειροτονήσασα ῥήτορας, αὐτοσχεδίῳ σοφίᾳ τοὺς τοῦ κόσμου σοφοὺς καταισχύνασα. πόθεν γὰρ ἄλλοθεν αἱ τῶν ἀνθρώπων ἀγέλαι τῇ εἰδωλολατρείᾳ νοσοῦσαι πρὸς τὴν εὐσέβειαν ἔδραμον; πόθεν τὴν πολυδέσποτον τῶν δαιμόνων δουλείαν μετέμαθον; πόθεν βραχὺς μαθητῶν ἀριθμός, ἀνθρώπων ὁμοῦ καὶ δαιμόνων ἀντηγωνίσαντο φάλαγξιν, εἰ μὴ τῷ τῆς θεότητος πυρὶ καθωπλίσθη; σήμερον αἱ διὰ τοῦ πυρὸς πηγαὶ τῆς χάριτος ἐξέβλυσαν, καὶ φλὸξ διατρέχουσα ταῖς αὔραις ὕφειν τοῦ πνεύματος. ἴσ. ἀφίησι Ταύτην ὁ Χριστὸς τὴν χάριν τοῖς μαθηταῖς εὐαγγελιζόμενος ἔλεγεν, Ιωαν. ιδ ιη. Οὐκ ἐάσω ὑμᾶς ὀρφανούς· ἄλλον ὑμῖν ἀποστελεῖ παράκλητον ὁ πατήρ. ἡ γὰρ εἰς οὐρανὸν ἄνοδος τοῦ δεσπότου τὴν ἐξ οὐρανοῦ κάθοδον ἐγγυᾶται τοῦ πνεύματος. ἔδει γὰρ τοὺς τὸν Ἰησοῦν ἀποδεξαμένους ὑποδέξασθαι καὶ τὴν τοῦ πνεύματος ἄφιξιν, ἵνα δράμῃ πρὸς ἐντελεστέραν ἄνοδον τὰ τῆς θεογνωσίας διδάγματα. ὁ μὲν οὖν Ἰησοῦς, ἀνθρωπίνην τὴν φύσιν λαβών, καὶ συγγενῆ τοῖς ἀνθρώποις περιβαλλόμενος θέαν, πρὸς τὴν τοῦ πνεύματος ὑποδοχὴν τοὺς ἀνθρώπους ἀνέστησεν. Ιωαν ιϛ ιβ. Ἔτι γάρ, φησι, πολλὰ ἔχω λέγειν, ἀλλ' οὐ δύνασθε βαστάζειν. ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, τὸ πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν. ἐλεύσεται μετ' ἐμέ, τὸ κατ' ἐμὲ τὴν οὐσίαν· παραμυθήσεται πρὸς ὑμᾶς τὸ ἐκ πατρὸς τῷ πατρὶ τὴν οὐσίαν ἐφάμιλλον. ἐκεῖνοι ἃ τοῖς λόγοις εὐηγγελίσθησαν, τοῖς ἔργοις ἐπέγνωσαν· ὧν τὴν ἐπαγγελίαν ἐδέξαντο, τούτων τὴν πεῖραν ἀνέμενον. Πραξ. β. α. Ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς. βραχὺς ἐν μέσῳ τῆς ἀνόδου καιρός, καὶ ἡ τοῦ πνεύματος γίνεται κάθοδος· ἡ τοῦ σωτῆρος ὑπόσχεσις ἔργοις τὸ πέρας ἐλάμβανεν. ὁ μὲν οὖν τῶν ἀποστόλων χορός, τῆς ὑποσχέσεως τῆς δεσποτικῆς, καθάπερ ἀγκύρας τινός, ἐπιλαβόμενος, τὴν τοῦ πνεύματος παρουσίαν ἀνέμενεν. ἐπεὶ δὲ τῶν ἡμερῶν ὁ δρόμος πρὸς τὸν πεντηκοστὸν ἀριθμὸν ἀνελήλυθεν, ὅτε τῶν ἑπτὰ ἑβδομάδων ὁ κύκλος κατὰ τὴν τοῦ νόμου διάταξιν ἑαυτὸν ἀναστρεφόμενος, ταῖς ἑορταῖς ἑκατέρωθεν περιεγράφετο, τότε οὖν ἡ τοῦ πνεύματος γίνεται κάθοδος· ἀλλ' οὐ σαρκός, ὡς υἱός, ἐπελάβετο, οὐδὲ ἀνθρωπίνης ἐφανερώθη μορφῆς, οὐδ' ὥσπερ ἐν τοῖς Ἰορδάνου ῥείθροις τὸ τῆς περιστερᾶς εἶδος τὴν τοῦ πνεύματος παρουσίαν ἐμήνυσεν. οὐσία γὰρ δεσποτική, καθὰ βούλεται, ἐπιφαίνεται. βροντὴ δὲ σάλπιγξ οὐρανόθεν ἐβόα, πᾶσαν ἀκοῆς ἐνέργειαν τῇ ἀπηχήσει νικῶσα, καὶ φλὸξ διϊπταμένη γλώσσας πυρίνας ἀπέτικτεν· ἡ τοῦ πυρὸς διαίρεσις γλωσσῶν ἐγίνετο μήτηρ. γλῶσσαι διαμεριζόμεναι ταῖς τῶν μαθητῶν κορυφαῖς ἐπεκαθέζοντο. τοιοῦτος μὲν οὖν τῆς τοῦ πνεύματος ἐπιφανείας ὁ τρόπος. ἐκλέγεται τὴν ἡμέραν, ταῖς ἑτέραις παραπεμπόμενος. ἴσ. ταύτην τ ἡμέραν, ταῖς ἑτέρας παρα- πεμπ. * * οὐ γὰρ δὴ λόγου χωρίς, οὔτε τῷ τάχει λαμβάνει τὴν ἑορτήν, οὔτε μὴν ἀν

τῆς ἡμέρας τὴν πρόοδον, ἐπάγει τὴν κάθοδον. διὰ τί; πρῶτον εἰσὶν αὗται μόναι παρὰ Ἰουδαίοις δημοτελεῖς ἑορταί· πρώτη μὲν ἡ τοῦ πάσχα, καθ' ἣν τὸ πρόβατον θύοντες, τὸν ἀληθινὸν ἀμνὸν οὐκ ἐπέγνωσαν, καὶ τιμῶντες τὸν τύπον, εἰς τὸν τοῦ τύπου προδηλούμενον παρῄτουν. οὐ γὰρ τὴν σκιὰν προσεκύνουν, τοῦτο τὴν προουσίαν ἠτίμαζον. δευτέρα δὲ, ἡ μετ' ἐκείνην πεντηκοστὴ, ὄνομα λαχοῦσα, τὸ "τοῦ πνεύματος διάστημα. ἐπὶ ταύταις αἱ σκιαί, τῆς ἐρήμου τὸ μίμημα. αὗται πάντας ὁμοῦ Ἰουδαίους ἀνάγκῃ πρὸς μίαν πάλιν συνήθροιζον. ἐπεὶ τοίνυν ἐν τῇ προτέρᾳ σταυρὸς ἐπάγη, καὶ τὸ πάθος ὑψώθη, καὶ θεατὴς ἦν μέχρι τούτων ἅπας τῶν Ἰουδαίων ὁ δῆμος, τὸ δὲ τῆς ἀναστάσεως θαῦμα ἠγνόουν ἑκόντες, ἠπίστουν, ἔκρυπτον, ἐσυκοφάντουν, μετὰ τὴν πρώτην εὐθύς, καθ' ἣν ἅπαντα τῶν Ἰουδαίων τὰ φῦλα πάλιν ἀνάγκῃ νόμου πρὸς τὸν αὐτὸν "ἤγερθε τόπον, ἐπιτηροῦσα τὸν καιρὸν ἐπὶ τοὺς μαθητὰς ἡ χάρις ἐκχεῖται, καὶ τοὺς ἁπάντων ὀφθαλμοὺς καὶ ἀκοὰς ἐπιστρέφει, ἵνα πρὸς τοὺς Χριστοῦ μαθητὰς ἡ δωρεὰ φερομένη ἀναστάντα μαρτυρῆται. καὶ εἰ ἐγηγέρθαι Χριστὸν ἀπιστήσαντες, ἐξ οὐρανῶν ὁρῶσι δωρεάς, ἀντιπέμπονται οἱ τὸν τάφον σφραγίζοντες, τῶν οὐρανίου θαυμάτων θεαταὶ καταστῶσιν. ἦχος οὖν βροντῆς καὶ πῦρ οὐρανόθεν καὶ ἐνέργεια τοῦ πνεύματος ἄφιξιν πιστουμένη. οὕτως ἄρα ποτὲ καὶ κατὰ τὸ Σιναῖον ὄρος ἡ φλὸξ ἐπινάετο, καὶ Μωϋσῆς ἐν μέσῳ πυρὸς νομοθετεῖν ἐδιδάσκετο. ἀλλὰ νῦν μετεώρου πυρὸς ἵστατο φλὸξ, τὰς ἀποστολικὰς κορυφὰς σταδιοῦσα. ὁ γὰρ τότε Μωϋσέα ταῖς εἰς Ἑβραίους νομοθεσίαις κινήσας, αὐτὰ εἰς τὴν τῶν ἐθνῶν σωτηρίαν, διὰ τοῦτο καὶ παλαιῶν μνήμῃ θαυμάτων τοῖς νέοις ἀνεμίγνυτο· καὶ πάλιν μεσιτεύει τὸ πῦρ ἐν παραπλησίῳ τῆς θέας τὸν αὐτὸν ἐκεῖνον εἶναι Θεὸν τοῖς προόδοις πιστούμενον. πρὸς δὲ γλώσσας μεριζομένη τορνεύεται, ἵνα διδασκάλους τοὺς ὑποδεχομένους ἐργάσηται· ἵν' ἐν πυρὶ πορευόμενοι παιδευταὶ τῆς οἰκουμένης ὑπάρξωσι. πάλαι μὲν οὖν μίαν φωνήν τε καὶ γλῶσσαν ἁπάντων ὑπάρχουσαν ἡ πάλαι τῆς πυργοποιίας διεμεμέριστο τόλμα, καὶ μάχη γλωσσῶν ἀπιστίᾳ τὸν κατὰ τῶν οὐρανῶν πόλεμον παύουσα· καὶ γλῶσσαι μυρίαι μυρίοις φθέγμασιν ἐπλήττον, ἀκοὴν δὲ μίαν οὐχ εὕρισκον πρὸς τὸν ἦχον [οὐκ] ἐπινεύουσαν· ἀλλ' ἡ γλῶσσα τμηθεῖσα, καὶ τὰς γνώμας ἐμέρισε, καὶ γλῶττα λυθεῖσα τὰς χεῖρας ἐπέδησε. νυνὶ δὲ ἡ χάρις διαιρεθείσας γλώττας τὰ στόματα, εἰς τὴν ἑνὸς ἑκάστου γλῶσσαν συνήθροισε, τοὺς τῆς διδασκαλίας ὅρους πλατύνουσα, καὶ πολλὰς ὁδοὺς τεμνομένη τῆς πίστεως. ὢ τῶν παραδόξων θαυμάτων· ἀπόστολος ἐλάλει, καὶ Ἰνδὸς ἐδιδάσκετο· Ἑβραῖος ἐφθέγγετο, καὶ βάρβαρος ἐπαιδεύετο· ἡ χάρις ἐξηχεῖτο, καὶ ἀκοὴ τὸν λόγον ἐδέχετο· Γότθοι τὴν φωνὴν ἐπεγίνωσκον, καὶ Αἰθίοπες τὴν γλῶτταν ἐγνώριζον· Πέρσαι τοῦ λαλοῦντος ἐθαύμαζον, καὶ ἔθνη βάρβαρα ὑπὸ μιᾶς ἠρδεύετο γλώττης. ὅσον ἡ φύσις τοῖς γένεσιν ἐπλατύνετο, τοσοῦτον ἡ χάρις ἀντιπλουτεῖ ταῖς γλώτταις. ἡ μὲν οὖν τοῦ πυρὸς φύσις μεριζομένη, πολυπλασιάζει τὴν ἐνέργειαν. πηγὴ γὰρ φωτός ἐστιν ὁ πλοῦτος τῆς χάριτος. πάλιν ἡ τοῦ πυρὸς φύσις οὐκ "οἶδεν ἐφαπτομένη μειοῦσθαι, ἀλλ' ἡ μετάδοσις αὔξησις· οὕτως ἡ " ἐκχεομένη πολυπλασιάζει τὸ ῥεῖθρον. μία μὲν λαμπὰς μυρίους ἀποτίκτουσα πυρσοὺς, καὶ πάντας δείκνυσι κοσμοῦντας τοῖς φέγγεσι, καὶ ἡ τοῦ φωτὸς λαμπηδὼν οὐκ ἀφίησιν· οὕτως ἡ χάρις τοῦ πνεύματος, ἀφ' ἑτέρων εἰς ἑτέρους μεταφοιτῶσα, καὶ τοὺς ἑτέρους πληροῖ, καὶ τοὺς ἀφ' ὧν πρόεισι. πρῶτον τοίνυν ἐπὶ τοὺς ἀποστόλους ἡ χάρις ἐλθοῦσα, καὶ τούτους ὥσπερ ἀκρόπολιν καταλαβοῦσα, καὶ δι' αὐτῶν τοὺς πιστεύοντας ἐπικυμαίνουσα πάντας πληροῖ, καὶ τὰ τῆς χάριτος οὐ συστέλλεται ῥεῖθρα. ἡ μὲν οὖν τοῦ πυρὸς ἐφίστατο γλῶσσα, γλωσσῶν δὲ ἦν μυρίων δοχεῖον μαθητὴς ἕκαστος, καὶ τοὺς προφήτας ἀπεφθέγγοντο, τῶν διδασκαλικῶν ἀγώνων ἁπτόμενοι· καὶ θεαταὶ ἦσαν οἱ παρόντες τοῦ θαύματος· καὶ πλῆθος ἀκροατῶν τῷ γένει μεριζόμενον, οὐκ ἠπόρει γλώσσης ἀποστολικῆς πειθούσης συγγενέσι τοῖς ῥήμασιν. ὥσπερ γὰρ τινι βαφῇ τῇ τοῦ πυρὸς ἐπαφῇ τὴν φωνὴν ἐκδεχόμενοι, ἄχρονον τὴν γνῶ-

ἴσ. τῆς πεμπτάδος

ἴσ. ἠγέρθη

ἴσ. οἶδεν ἐξαπτομένη

ἴσ. λείπει χάρις

σιν ἐλάμβανον. ἡ πίστις ἐδιδάσκετο, ἡ χάρις ἐθαυμάζετο, καὶ Θεὸς ἐγνωρίζετο· ἀλλ᾽ Ἰουδαῖος ἐχλεύαζε, καὶ μέθην κατηγόρει τοῦ θαύματος, καὶ γλεύκους ἔργον ἐκάλει τὸ τῆς χάριτος μυστήριον. Γλεύκους γάρ, φησι, μεμεστωμένοι εἰσίν. ὢ τῆς συκοφάντου τῶν Ἰουδαίων ἀγνωμοσύνης. ἐννόησον τὸν καιρόν, ὦ Ἰουδαῖε, καὶ τὴν γλῶτταν συκοφαντοῦσαν ἀνάστελλε. ποῦ γὰρ γλεῦκος, ἤδη παρελαύνοντος θέρους; ἔαρος δὲ ἄρτι φανέντος, ποῦ χώραν ἔχει γλεύκους ἡ μνήμη; λογίζου τὴν ὥραν, καὶ χαλίνου τὴν γλῶτταν. τί οὖν Πέτρος, ὁ προφητεύων τῷ πνεύματι, καὶ βρύων τῇ χάριτι, ὁ πλησθεὶς ποιεῖ; συνήγορον τὴν γλῶτταν ταῖς γλώτταις ἀφίησιν. Οὐ γάρ, ὡς ὑμεῖς ὑπολαμβάνετε, φησιν, οὗτοι μεθύουσιν, ἀλλὰ τοῦτό ἐστι τὸ παρὰ τοῦ προφήτου Ἰωὴλ εἰρημένον· Ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου. πέλαγος χαρισμάτων ὁ προφήτης εὐαγγελίζεται. ἐκχεῶ, φησιν, ἀπὸ τοῦ πνεύματός μου. ἀλλ᾽ ἆρα μὴ συνέσταλται πάλιν τὸ ῥεῦθρον, ἢ πρὸς Ἰουδαίους περιγράφεται μόνον τὸ δῶρον; οὐ μὲν οὖν. ἐκχεῶ, φησιν, ἐπὶ πᾶσαν σάρκα. μαθόντες τὴν πρόρρησιν, ὁρᾶτε τὴν ἔκβασιν. προέλαβε τὴν προφητικὴν γλῶτταν ἡ γλῶσσα τοῦ πνεύματος. ἐκείνης καὶ ἡμῖν τῆς χάριτος ἐπελθεῖν σταγόνα παρακαλέσωμεν· ἵνα τὴν μνήμην τῶν θαυμάτων φυλάττοντες, τῆς χάριτος τὸ κέρδος τευξώμεθα. εὔκολος γὰρ ἡ δόσις, ἂν εὕροι προαίρεσιν. ὁ γὰρ αὐτὸς Θεός, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν· αὐτῷ ἡ δύναμις καὶ τὸ κράτος εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πραξ. β. ιϛ.
Ιωηλ. β. κη.

Λογ. ρξζ'. ΕΙΣ ΜΝΗΜΗΝ ΜΑΡΤΥΡΩΝ, ΚΑΙ ΟΤΙ ΠΟΙΜΗΝ καὶ πρόβατον ὁ Χριστὸς ὀνομάζεται, καὶ εἰς τὸ καταπέτασμα, καὶ εἰς τὸ ἱλαστήριον.

Ex edit. Rom. emend. ex Ms. Regio Lut.

Πάλιν μαρτύρων μνήμη, πάλιν εὐσεβῶν ἑορτή, πάλιν ἀγγέλων ὑπόθεσις, πάλιν ἐκκλησίας πανήγυρις, ἡ μνήμη τῶν μαρτυρησάντων. τιμὴ δὲ μαρτύρων ἡ δόξα τοῦ μαρτυρηθέντος. τιμῶνται μάρτυρες ὑπὲρ Χριστοῦ παθόντες, προσκυνεῖται δὲ Χριστὸς ὑπὲρ πάντων παθών. οἱ μὲν γὰρ διὰ τοῦ πάθους ἑαυτοὺς ἀπὸ ταπεινώσεως εἰς ὕψος ἀνήγαγον· ὁ δὲ σωτὴρ ἀπὸ ὕψους τῆς θεότητος εἰς ταπείνωσιν ἀνθρωπότητος ἐλήλυθεν, οὐ τῆς ἀξίας ἐξερχόμενος, τὴν δὲ οἰκονομίαν πραγματευόμενος. ἠκούσαμεν γὰρ αὐτοῦ λέγοντος, Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, ὁ τιθεὶς τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν προβάτων· καὶ τὴν φιλανθρωπίαν ἔδειξε τοῦτο εἰρηκώς, καὶ τὴν ἐξουσίαν ἐκήρυξε. τὸ μὲν γὰρ παθεῖν ὑπὲρ τῶν προβάτων, φιλανθρωπίας· τὸ δὲ ἀφ᾽ ἑαυτοῦ θεῖναι τὴν ψυχήν, ἐξουσίας. οὐ γὰρ βίαν ὑφίσταται, ἀλλ᾽ οἰκονομίαν ἐργάζεται· κἂν λέγῃ ὁ ἀπόστολος, ὅτι ὁ Πατὴρ παρέδωκεν αὐτὸν ὑπὲρ ἡμῶν, οὐκ ἠναγκασμένον εἰσάγει τοῦ υἱοῦ τὸ πάθος, ἀλλὰ σύνδρομον τῷ πατρὶ τὸ τοῦ υἱοῦ θέλημα. παραδίδωσι δὲ ἑαυτὸν ὁ υἱός, οὐκ ἀνάγκῃ δουλεύων, ἀλλὰ γνώμῃ πατρὸς συνεργῶν. ἄλλο γὰρ ὑπουργῆσαι δουλοπρεπῶς, ἕτερον δὲ συνεργῆσαι θεϊκῶς. συνεργὸς γὰρ τοῦ πατρὸς ὁ μονογενής, κἂν μὴ θέλωσιν αἱρετικῶν παῖδες, οἱ τῇ ἰδίᾳ κακίᾳ τὴν ἄτμητον φύσιν τέμνοντες, οἱ τὸν μὲν πατέρα δημιουργόν, τὸν δὲ υἱὸν ὑπουργόν, τὸ δὲ πνεῦμα τὸ ἅγιον λειτουργὸν κηρύττοντες· οἳ οὐκ αἰσχύνονται τὰς τοῦ Παύλου φωνάς, ὃς τοὺς ὑπηρέτας τοῦ κηρύγματος οὐχ ὑπουργοὺς ἐκάλεσεν, ἀλλὰ συνεργοὺς Θεοῦ, εἰρηκώς, Θεοῦ ἐσμεν συνεργοί. Παῦλος συνεργός, καὶ ὁ υἱὸς ὑπουργός; μὴ οὖν ζήτει τί εἴρηκε Χριστὸς διὰ Ἡσαΐου, ἀλλὰ τί δι᾽ ἑαυτοῦ. δι᾽ ἑαυτὸν μὲν γὰρ ποιμήν ἐστι, διὰ δὲ σὲ πρόβατον. τὰ γὰρ δύο ταῦτα συνέδραμεν σήμερον ἀναγνώσματα. Ἡσαΐας γὰρ περὶ αὐτοῦ τῷ εὐνούχῳ ὑπανεγίνωσκεν, Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη·

Ιω. ι. ια.
Ρω. η. λβ.
Πραξ. η. λβ.

ὁ δὲ σωτὴρ, Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. δεῖξόν μοι τοίνυν τὴν διαφορὰν προβάτου πρὸς ποιμένα, ἐν τίνι πρόβατον, ἐν τίνι ποιμήν. ἐὰν γὰρ μὴ εἰδῶς τῶν ὀνομάτων τὴν διαφορὰν, πόθεν γνωρίσεις τῆς ὑπεροχῆς τὴν ἀξίαν; δῆλον μὲν ὅτι ὡς πρόβατον, διὰ τὸ πάθος τῆς οἰκονομίας· ὡς ποιμὴν δὲ, διὰ τὴν ἐξουσίαν τῆς φιλανθρωπίας. οὐ γὰρ ἐπαισχύνεται Θεὸς ὢν καλεῖσθαι ποιμήν. ἐχρῆν μὲν γὰρ ἡμᾶς Θεὸν αὐτὸν γινώσκειν καὶ βασιλέα. ἀλλ' ἐπειδὴ ὡς ἄνθρωποι λογικοὶ Θεὸν οὐκ ἐπέγνωμεν, βούλεται ἡμᾶς, κἂν ὡς πρόβατα ἄλογα, τὸν ποιμένα γνωρίσαι. Εἰ γὰρ ἐλθὼν ὁ σωτὴρ εἰς τὸν κόσμον εὗρέ σε ἄνθρωπον λογικὸν, ἀναγκαίως σοι ὡς Θεὸς ἂν ἐπεφαίνετο· ἀλλ' ἐπειδὴ ἄνθρωπον μὲν οὐχ εὗρεν, ὡς πρόβατον δὲ πλανώμενον ἐξ ἀρχαίων χρόνων, καὶ παρακαλοῦντα διὰ τῶν προφητῶν τὸν δεσπότην, Ἐπλανήθην ὡς πρόβατον ἀπολωλὸς, ζήτησον τὸν δοῦλόν σου, διὸ κρύπτει τὴν βασιλικὴν ἀξίαν, καὶ προφέρει τὴν ποιμαντικὴν κηδεμονίαν. διὰ τοῦτο καὶ ἀπ' ἀρχῆς οἰκονομεῖ ἐν φάτνῃ τεθῆναι τὸ σῶμα τὸ ἑαυτοῦ, καὶ συνάγει εἰς ἀνάγκην τὴν μητέρα, καὶ τὸν τῆς οἰκονομίας ὑπηρέτην Ἰωσήφ. οὐ γὰρ εἴποιμι πατέρα ἐκεῖνον τοῦ σωτῆρος, οὐδὲ ἄνδρα Μαρίας, ἀλλὰ κοινωνὸν, καὶ μεσίτην τοῦ μυστηρίου. μνηστὴρ γὰρ ἦν τῆς παρθένου, καὶ οὐκ ἀνήρ. ἀλλ' ἀνὴρ μὲν τῇ προσηγορίᾳ, ὑπηρέτης δὲ τῆς οἰκονομίας. στενοῦνται οὖν οὗτος μετὰ τῆς Μαρίας ἐν Βηθλεέμ, ὥστε διὰ τὸ στενὸν τοῦ καταλύματος ἀναγκασθῆναι τὸ βρέφος ἐν φάτνῃ τεθῆναι. Θεοῦ δὲ ἦν ἔργον ἡ στένωσις· ἵν' ἐξ ἀνάγκης εἰς ἐκεῖνο τὸ χωρίον ἀποτεθῇ ὁ φιλάνθρωπος· ἀποτεθῇ δέ φημι διὰ τὴν εἰς σάρκα οἰκονομίαν. διὰ τί δὲ τοῦτο οἰκονομεῖ; ἐπειδὴ ἡ φάτνη ἀλόγων ἐστὶ τράπεζα, ἡ δὲ ἀνθρωπότης εἰς ἀλογίαν ἐτράπη (Ἄνθρωπος γὰρ ἐν τιμῇ ὢν, οὐ συνῆκε· παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς) τίθησι τὴν τροφὴν τὴν οὐράνιον τῇ τραπέζῃ τῶν κτηνῶν, ἵνα οἱ κτηνώδεις τὴν ψυχὴν προσελθόντες, ὡς οἰκείᾳ τραπέζῃ, τῇ φάτνῃ, εὕρωσι μηκέτι κτηνώδη χόρτον, ἀλλὰ τὸν φάσκοντα, Ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐξ οὐρανοῦ καταβὰς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. πρόβατον μὲν οὖν διὰ τὴν οἰκονομίαν, Θεὸς δὲ διὰ τὴν ἑαυτοῦ δόξαν. τίθησιν οὖν τὴν ἑαυτοῦ ψυχὴν ὑπὲρ τῶν προβάτων, οὐκ ἀνάγκην ὑπομένων, ὡς ἔφθην εἰπὼν, ἀλλὰ πραγματείαν ἀναδεχόμενος. πάντα γὰρ ὅσα ἐν τῇ παλαιᾷ λατρείᾳ γεγένηται, εἰς τὸν σωτῆρα τὴν ἀνακεφαλαίωσιν φέρει, εἴτε προφητεία, εἴτε ἱερωσύνη, εἴτε βασιλεία, εἴτε ναὸς, εἴτε θυσιαστήριον, εἴτε καταπέτασμα, εἴτε κιβωτὸς, εἴτε ἱλαστήριον, εἴτε μάννα, εἴτε ῥάβδος, εἴτε στάμνος, εἴτε τι ἄλλο, πάντα εἰς αὐτὸν τὴν ἀναφορὰν ἔχει. Συνεχώρησε γὰρ ὁ Θεὸς Ἰουδαίων παισὶν ἀπ' ἀρχῆς τὴν τῶν θυσιῶν λειτουργίαν, οὐκ ἀναπαυόμενος ταῖς θυσίαις, ἀλλὰ βουλόμενος αὐτοὺς ἀπὸ τοῦ ἑλληνισμοῦ ἀποσπάσαι, καὶ ἐξ ἐκείνου ἡνιοχῆσαι αὐτοὺς πρὸς ἃ βούλεται, περιτίθησιν ἑαυτῷ ὃ μὴ βούλεται. ἐπειδὴ γὰρ οὐδέπω ἐχώρει Ἰουδαίων διάνοια δέξασθαι πνευματικὴν ἐνέργειαν, ἀλλὰ τῇ τῶν ἐθνῶν συνηθείᾳ δεδούλωτο, καὶ περὶ βωμοὺς ἐκέχηνει καὶ θυσίας, λαβὼν ὁ Θεὸς τὰς εἰδωλικὰς ἑορτὰς μεταβάλλει τῷ ῥυθμῷ τῆς εὐσεβείας, καὶ ἀνέχεται ὧν μὴ βούλεται. καὶ ὥσπερ πατὴρ ἀγαθὸς, ἐπειδὰν ἴδῃ τὸν ἑαυτοῦ παῖδα περιπαίγνια ἔχοντα, τῆς μὲν ἀγορᾶς αὐτὸν ἀφέλκει, κατὰ δὲ τὸν οἶκον ἐπιτρέπει πάντα ποιεῖν ἃ βούλεται, καὶ τὴν εὐσχημοσύνην αὐτῷ φυλάττων, καὶ τὴν ἀναίδειαν τῆς παιδιᾶς ἀνασκευάζων· οὕτω καὶ ὁ Θεὸς βουλόμενος αὐτοὺς τῇ φαινομένῃ ταύτῃ πανηγύρει τὴν ἑορτὴν εἰς εὐσέβειαν μεταρρυθμίσαι, συγχωρεῖ καὶ θυσιάζειν, δίδωσι καὶ θυσιαστήριον, καὶ πρόβατα θύεσθαι κελεύει, καὶ αἶγα καὶ βοῦν, καὶ πάντα ποιεῖ ὅσα ἐκεῖνοι ἐτέρπον. οὐ γὰρ Θεὸν ἀνέπαυσεν. ὅτι δὲ ταῦτα οἰκονομικῶς ἐγίνετο, ἄκουε πῶς ὁ διὰ Μωϋσέως ἐπιτρέψας τὰς θυσίας, καὶ προστάξας διαφόρους γίνεσθαι θυσιῶν ἰδέας, διὰ τῶν προφητῶν ἀνατρέπει τὰ κατὰ συγχώρησιν γινόμενα, δεικνὺς ὅτι ὡς νηπίοις γάλα συνεχώρησεν, οὐ τροφὴν ἔδωκε· καί φησι διὰ τοῦ Δαβίδ· Α-

γρ. εἰδῇς

γρ. ἐπιστράπτο·

γρ. εἶχεν

γρ. ἔχει

ἴσ. περὶ

γρ. ἄδειαν

Ἰωαν. ι. ια.

Ψαλ. ριη. ρος.

Ψαλ. μη ιε.

Ιω. ϛ. λε μα.

Ψαλ. μθ ν.

κουσον, λαός μου, καὶ λαλήσω σοι, Ἰσραήλ, καὶ διαμαρτύρομαί σοι, ὅτι ὁ Θεός, ὁ Θεός σου
εἰμι ἐγώ. οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε, τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μου
ἐστὶ διαπαντός. οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους. γρ. πέμμ.
καὶ ἵνα μή τις νομίσῃ, ὅτι ἀποστρεφόμενος οὐ δέχεται, ἑρμηνεύει τὸν τρόπον, ὅτι δι' ἀνενδέησιν γρ. δέχομαι
Ψαλ. μθ. ιδ. τούτων, οὐ διὰ τὴν τούτων προσφοράν, καὶ ἐπάγει· Μὴ φάγομαι κρέα ταύρων, καὶ αἷμα τρά- γρ. Ου
γων μὴ πίομαι; θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου· δεικνὺς
ὅτι οὐκ ἀποστρεφόμενος ἀποσείεται, ἀλλ' εἰς τὴν κρείττονα αὐτοὺς καὶ νοερὰν θυσίαν προσκαλεῖται. γρ. ιν
συνεχώρησε μὲν οὖν ἀπ' ἀρχῆς τὰς θυσίας, οὐκ αὐταῖς ἀρεσκόμενος, ἀλλὰ τοὺς οὕτως ἠργμέ-
νους μεταρρυθμίζων εἰς εὐσέβειαν. ἐνδιδοὺς δὲ τῇ προθέσει τῇ Ἰουδαϊκῇ, ὡς σοφὸς καὶ
μέγας, ἐν αὐτῇ τῇ συγχωρήσει τῶν θυσιῶν προκατεσκεύαζεν εἰκόνα τῶν μελλόντων· ἵνα κἂν γρ. γνώμη
ἡ θυσία δι' ἑαυτὴν ἄχρηστος ᾖ, διὰ τὴν εἰκόνα χρήσιμος εὑρεθῇ. πρόσεχε ἀκριβῶς· λε-
πτὸν γὰρ τὸ νόημα. αἱ μὲν οὖν θυσίαι οὐκ ἦσαν ἀρεσταὶ τῷ Θεῷ, οὐδὲ κατὰ γνώμην γινό-
μεναι, ἀλλὰ κατὰ συγχώρησιν, καὶ γινομέναις ἐπέθηκε τύπον κατ' εἰκόνα τῆς μελλούσης οἰκονο-
μίας τοῦ Χριστοῦ· ἵνα κἂν μὴ δι' ἑαυτὰς ὦσι δεκταί, κἂν γοῦν διὰ τὴν εἰκόνα ὦσιν εὐπρόσ-
δεκτοι. καὶ τίθησι διὰ πάντων εἰκόνα Χριστοῦ, καὶ σκιαγραφεῖ τὰ μέλλοντα· κἂν πρόβατον
ἦν θυόμενον, εἰκὼν τοῦ σωτῆρος, κἂν βοῦς, εἰκὼν τοῦ Κυρίου, κἂν μόσχος, κἂν δάμαλις,
κἂν ἄλλο τι τῶν προσφερομένων, κἂν περιστερὰ καὶ τρυγών, πάντα εἰς τὸν σωτῆρα τὴν
ἀναφορὰν εἶχε. διὰ τοῦτο καὶ ναός, ἵνα ἡ εἰκὼν προκατασκευασθῇ τοῦ Κυριακοῦ ναοῦ·
διὰ τοῦτο πρόβατον, διὰ τοῦτο ἱερεύς, διὰ τοῦτο καταπέτασμα. καὶ ἵνα μὴ κατὰ μέρος πλα-
τύνω τὸν λόγον, δέχου τὸν εἰρημένων ἑρμηνέα τὸν Παῦλον, μὴ συγχωροῦντά σοι μηδὲν ἔξω
Χριστοῦ νοῆσαι, ἀλλὰ πάντα εἰς Χριστὸν ἀναλαμβάνοντα. τί γάρ; ὁ αὐτὸς πρὸς Ἑβραί-
ους βουλόμενος ἐκθέσθαι τῶν μυστηρίων τὰς διαφοράς, τί ἐβούλετο ἡ τράπεζα, τί ἐβούλετο
τὸ θυσιαστήριον, τί ἐβούλετο τὸ καταπέτασμα, τί ὁ ναός, τί ὁ ἱερεύς, ἐν κεφαλαίῳ εἰς Χρι-
στὸν τὰ πάντα ἀναφέρει, καὶ δείκνυσι σκηνὴν εἶναι δι' ὅλου τὸν πάντα βίον· ἀλλὰ τὴν πρώτην
σκηνὴν τύπον τῆς ἀρχαίας διαθήκης, τὰ δὲ ἅγια τῶν ἁγίων τύπον τῆς νέας διαθήκης.
πρόσεχε ἀκριβῶς, παρακαλῶ. ἦν μὲν γὰρ ὁ ναὸς εἷς δι' ὅλου, εἰς ἄλλα δὲ καὶ ἄλλα ἐμε-
μέριστο· εἰς τὸ ἅγιον, καὶ εἰς τὸ ἅγιον τῶν ἁγίων. τύπος ὁ ναὸς τοῦ Κυριακοῦ σώματος. καὶ ἄκουε
Ιωαν. β. ιθ. τοῦ Κυρίου λέγοντος, Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. ὥσπερ οὖν
ἐν τῷ ναῷ ἐκείνῳ τὰ μὲν πᾶσιν ἑωρᾶτο, τὰ δὲ μόνῳ τῷ ἀρχιερεῖ· οὕτω καὶ ἐν τῇ τοῦ σωτῆρος οἰ-
κονομίᾳ ἡ θεότης, καὶ ἡ ἐνέργεια τῆς θεότητος, οὖσα μὲν ἐν κρυφῇ, ἐργαζομένη δὲ ἐν τῷ φανερῷ.
ἔχεις τοῦ ναοῦ τὴν εἰκόνα· ζήτησόν μοι τὸ καταπέτασμα τὸ μέσον, τὸ διεῖργον τὰ ἅγια ἀπὸ
τοῦ ἁγίου τῶν ἁγίων, ὁποῖον τὸ καταπέτασμα. πάλιν τὸ καταπέτασμα εἰκὼν τοῦ σώματος.
ὥσπερ γὰρ τὸ καταπέτασμα ἐμεσολάβει τῷ τόπῳ, καὶ διεῖργε τὴν ἔξωθεν ὄψιν τῆς ἔσωθεν
μυσταγωγίας, οὕτω τὸ σῶμα τοῦ Κυρίου καταπέτασμα ἦν τῆς θεότητος, μὴ συγχωροῦν
ταῖς ὄψεσι ταῖς θνηταῖς ἐνατενίζειν τῇ ὄψει τοῦ ἀθανάτου. οὐκ ἐμὸς ὁ λόγος, ἀλλ' ἄκουε τοῦ
Εβρ. ι. κ. Παύλου λέγοντος· Ἔχοντες δέ, ἀδελφοί, ὁδὸν πρόσφατον καὶ ζῶσαν, ἣν ἐνεκαίνισεν ἡμῖν διὰ
τοῦ καταπετάσματος, τουτέστι, τῆς σαρκὸς αὐτοῦ, προσερχώμεθα. πρόσεχε ἀκριβῶς. καὶ ναὸν
εἶπε τὴν σάρκα, καὶ τὸ καταπέτασμα τύπον τῆς σαρκός. πάλιν ὁ ἱερεὺς εἰσῄει διὰ τοῦ κα-
ταπετάσματος ἅπαξ τοῦ ἐνιαυτοῦ. οὐδὲ τοῦτο παρέλιπεν ὁ Παῦλος, ἀλλὰ λαμβάνει αὐτὸ
Εβρ. θ. κδ. εἰς τύπον τοῦ σωτῆρος, καί φησιν· Οὐκ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστὸς ἀντίτυπα τῶν
ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανόν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡ-
μῶν. ὁρᾷς τὸν ἀρχιερέα; ὅρα τὸν τύπον. πάλιν ἐθύετο πρόβατον, καὶ ἦν εἰκὼν τοῦ σωτῆρος.
Ησ. νγ. ζ. Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη. ἐθύετο μόσχος, ταῦρος, τὰ ἄλλα πάντα. καὶ ἀπὸ τοῦ αἵ-
ματος τῶν θυομένων ἐλάμβανεν ὁ ἀρχιερεὺς τῷ δακτύλῳ, καὶ εἰσῄει εἰς τὰ ἅγια τῶν ἁγίων γρ. θυσιῶν

καὶ ἔρραινεν ἀπέναντι τοῦ ἱλαστηρίου ἑπτάκις. καὶ ἦν καὶ αὐτὸ τὸ ἱλαστήριον τύπος τοῦ σωτῆρος, καὶ τὸ αἷμα τὸ ῥαινόμενον τύπος αὐτοῦ, ἵνα καὶ ὁ προσκυνούμενος, καὶ τὸ δῶρον τὸ προσφερόμενον τῷ προσκυνουμένῳ εἷς καὶ ὁ αὐτὸς ᾖ. τούτων δὲ τῶν ζώων, ὧν τὸ αἷμα προσεφέρετο εἰς τὰ ἅγια, τὰ σώματα κατεκαίετο ἔξω τῆς παρεμβολῆς, καὶ ἡ τέφρα αὐτῶν ἡγίαζε τοὺς ἀνθρώπους, καὶ τοὺς κεκοινωμένους ἡγίαζε τὰ τῶν νεκρωθέντων ζώων λείψανα. βλέπε τοίνυν. ζῶντα μὲν οὐκ ἡγίαζεν, ἀποτεφρωθέντα δὲ καὶ εἰς θυσίαν ἀπαρτισθέντα, ἁγιασμὸν ἔφερον τοῖς κεκοινωμένοις, καὶ ἦν τὰ αὐτὰ ζῶα, καὶ ἔξω καιόμενα, καὶ ἔσω προσφερόμενα. ἐντεῦθεν ὁ ἀπόστολος· Ὧν γάρ, φησιν, εἰσφέρεται ζώων τὸ αἷμα εἰς τὰ ἅγια τῶν ἁγίων, τούτων τὰ σώματα κατεκαίετο ἔξω τῆς παρεμβολῆς. εἶπε τὸν τύπον· καθερμηνεύει τὴν ἀλήθειαν, καί φησι· Διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ τὸν λαόν, ἔξω τῆς " παρεμβολῆς ἔπαθε. καὶ τί ἐπάγει; Ἐξερχώμεθα οὖν πρὸς αὐτόν, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες. ἔχεις τὸν τύπον, ἴδε τὴν ἀλήθειαν· ζήτησον πάλιν τὸ αἷμα καὶ τὸ ἱλαστήριον. τὸ αἷμα ἐρραίνετο, καὶ τὸ ἱλαστήριον ἐδέχετο, ὁ ἱλασμὸς ἐπέκειτο. τί τὸ ἱλαστήριον; Παύλου πάλιν ἄκουε λέγοντος ἐν τῇ πρὸς Ῥωμαίους· Πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι διὰ τοῦ αἵματος αὐτοῦ, διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ, ὃν προέθετο ὁ Θεὸς ἱλαστήριον διὰ τῆς πίστεως αὐτοῦ ἐν τῷ αἵματι αὐτοῦ. καὶ τὸ αἷμα αὐτοῦ, καὶ τὸ ἱλαστήριον αὐτοῦ. ταῦτά μοι εἴρηται πάντα, ὅτι πάντα δι' ἡμᾶς γέγονεν ὁ σωτὴρ Θεὸς καὶ Θεοῦ μονογενὴς υἱός, οὐ δι' ἑαυτόν. ἄλλο δὲ τὸ δι' ἡμᾶς πραγματευόμενον, ἄλλο τὸ " δι' ἑαυτὸν κατὰ τὴν θεότητα προσκυνούμενον· ἄλλο καὶ ἄλλο, οὐ νοῦν μεμερισμένον, ἀλλὰ τῇ οἰκονομίᾳ μὲν συνημμένον, τῇ δὲ ἐννοίᾳ τεμνόμενον. ὅταν τοίνυν ἀκούσῃς ἢ ἀρχιερέα, ἢ ποιμένα, ἢ πρόβατον, ἢ ναόν, ἢ καταπέτασμα, ἢ ἱλαστήριον, ἢ αἷμα ῥαντισμοῦ, ἢ ὅσα τοιαῦτα, διὰ πάντων γνώριζε τὴν διὰ σὲ γενομένην οἰκονομίαν. ὅταν δὲ ἴδῃς σύνθρονον τὸν μονογενῆ (τοῦτον γὰρ ἐκήρυττεν ἡ ἐκκλησία, καὶ ἐπόμπευεν) οὐκ ἐπαισχυνῇ τὰ θεῖα " λόγια. Σοφία γὰρ ἐν ἐξόδοις ὑμνεῖται, ἐν δὲ πλατείαις παρρησίαν ἄγει, ἐπ' ἄκρων δὲ τειχέων κηρύττεται. ὅταν δὲ ἴδῃς κηρυττομένην Θεοῦ σοφίαν καὶ δύναμιν, νόει τὴν ὑπεροχὴν τῆς δόξης, τὴν προαιώνιον ἀξίαν, τὴν ἄτρεπτον, τὴν ἀμετάβλητον, τὴν ἀναλλοίωτον. Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος. πανταχοῦ τὸ, ἦν, τὸ δέ, οὐκ ἦν, οὐδαμοῦ. ἐὰν νοήσῃς τὴν ὑπεροχὴν τῆς δόξης, οὐ σκανδαλισθήσῃ πρὸς τὴν τῆς σαρκὸς οἰκονομίαν. οἷόν τι λέγω· ἐὰν ἀκούσῃς λέγοντος αἱρετικοῦ, ὅτι Ὁ πατὴρ ὁ πέμψας με μείζων μού ἐστι, λέγε αὐτῷ· ὅτι οὐδὲν θαυμαστόν, εἰ τοῦ πατρὸς ἐλάττων διὰ τὴν οἰκονομίαν, ὅπου γε καὶ ἀγγέλων ἠλαττώθη. σὺ σπουδάζεις δεῖξαι διὰ τὴν κακίαν, ὅτι τοῦ πατρὸς ἐλάττων· ἐγὼ δὲ αὐτὸν δείκνυμι διὰ τὴν οἰκονομίαν καὶ ἀγγέλων ἐλάττονα. καὶ σὺ μὲν οὖν βουλόμενος κατασκευάσαι διαφορὰν οὐσίας πατρὸς καὶ υἱοῦ, παρεισάγεις τὸ ῥῆμα, ὅτι Ὁ πατὴρ ὁ πέμψας με μείζων μού ἐστιν· ἐγὼ δὲ δείκνυμι, ὅτι οὐ μόνον τοῦ πατρὸς ἐλάττων κατὰ τὴν λέξιν, ἀλλὰ καὶ ἀγγέλων. ὁ γὰρ μακάριος Παῦλος παράγων τοῦ Δαβὶδ τὴν μαρτυρίαν, τό, Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, ἑρμηνεύων διὰ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς· Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ " πάθημα τοῦ θανάτου. τί τοίνυν κάμνεις πολλά, καὶ κατασκευάζεις δεῖξαι υἱὸν ἐλάττονα πατρός, ὅπου καὶ ἀγγέλων ἐλάττων, οὐ διὰ τὴν ἀξίαν, ἀλλὰ διὰ τὴν οἰκονομίαν; Εἶτα τό, Ὁ πέμψας με πατὴρ μείζων μού ἐστιν, ἀκήκοας, " τῆς εὐαγγελικῆς ταύτης οὐκ ἀκούεις φωνῆς, ἣ σήμερον ἐπεβόα πᾶσιν, Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν; Ε προσέσχε τῇ διαφορᾷ· ὅπου τὸ ἕν, οὐκ εἶπε τό, ὁ πέμψας με, ἀλλ', ὁ πατήρ· ὅπου τὴν ἕνωσιν ἠβουλήθη δεῖξαι καὶ τὴν ταυτότητα, οὐκ εἶπεν, ἐγὼ καὶ ὁ πέμψας με ἕν ἐσμεν, ἀλλ', ἐγὼ καὶ ὁ πατήρ. πατρὸς καὶ υἱοῦ οὐδὲν τὸ μέσον. ὅπου δὲ τό, μείζων, προστίθησι τό, ὁ πέμψας με. τὸ γὰρ πέμψαι, ἔργον οἰκονομίας· τὸ δὲ

γρ. πύλης

Ἑβρ. ιγ. ια.

Ῥωμ. γ. κγ.

ἴσ. δι' αὐτόν

γρ. ῥήματα.

Παροι. α. κ.

Ἰωαν. ιδ. κη.

Ψαλ. η. ε.

Ἑβρ. β. θ.

γρ. πάθος

ἴσ. τῆς δὲ εὐαγγ.

Ἰωαν. ι. λ.

πεμφθῆναι οὐχ ἑρμηνεία θεότητος, ἀλλ' ἑρμηνεία τῆς οἰκονομίας. Θεὸς γὰρ οὔτε ἀποστέλλεται
σωματικῶς, οὔτε ἀποστέλλεται). καὶ ὅπως ἄκουε. ὁ γὰρ ἀποστέλλων, ἐν ἐκείνοις ἀποστέλλει τοῖς τόποις,
ἐν οἷς μὴ πάρεστι. δεῖξον τοίνυν ἔρημον τόπον πατρὸς, δεῖξον τόπον γυμνὸν τοῦ υἱοῦ, δεῖξον
τόπον ἀφεστηκότα τοῦ πνεύματος, καὶ ἔχει χώραν, εἰ κατὰ τὴν λέξιν ἐνόησας, ὅτι ὁ μὲν ἀπέστειλεν, ὁ
δὲ ἀπεστάλη. τὸ γοῦν ἀπεστάλη, οὐ τοπικὴν μετάβασιν δείκνυσιν, ἀλλὰ σωματικὴν ὄψιν. οὐδὲ
Ἰωαν. α. ς. γὰρ, ὅταν λέγῃ ἡ γραφή, Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης,
ἤδη τὸν Ἰωάννην ἐξ οὐρανῶν ἀφῖχθαι νομίζομεν· ἐπεὶ εἰ ἦν, φησι, πῶς ἀπεστάλη; ἀλλ' ἐπειδὴ
οἰκονομίαν ἐνεχειρίσθη, τὴν οἰκονομίαν ἀποστολὴν ἐκάλεσεν. Ἡσαΐας ἐν Ἱεροσολύμοις ἐν αὐτῷ
τῷ ναῷ εἶδε τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. ὢν ἐν τῇ πόλει καὶ ἐν τῷ
ναῷ, καὶ θεασάμενος τὴν ὀπτασίαν, καὶ ἰδεῖν καταξιωθεὶς Θεὸν, ὡς δυνατὸν ἀνθρώπῳ, ἤκουσε τοῦ
Ἡσ. ς. η. Θεοῦ λέγοντος· Τίνα ἀποστείλω * πρὸς τὸν λαὸν τοῦτον; ἐν τῷ λαῷ ἦν, καὶ πῶς ἀποστέλλεται * καὶ τίς πορεύσεται
πρὸς τὸν λαόν; οὕτως ἡ ἀποστολὴ οὐ τοπικὴν ἑρμηνεύει μετάβασιν, οὔτε ὑπουργίαν δουλικὴν,
ἀλλ' ἀνθρωπίνην οἰκονομίαν. ἄλλως δὲ εἰ τῇ λέξει ″δουλεύεις, τὴν λέξιν αἰδέσθητι. γρ. δουλεύσεις,
Ἰωαν. η. κθ. Εἰ ἀπεστάλη, πῶς λέγει, Καὶ ὁ πέμψας με μετ' ἐμοῦ ἐστιν; οὐδεὶς γὰρ ἀποστέλλων
συναπέρχεται τῷ ἀποσταλέντι. τοῦτο γὰρ οὐκ ἔστιν ″ἀποστεῖλαι, ἀλλὰ συνοδεῦσαι. γρ. ἀποστολὴ
Ἰωαν. ιδ. ια. Ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί. ποῦ ἡ ἀποστολή; καὶ ἵνα μή τις τὸ, ὁ πέμψας με πατὴρ
Ἰωαν. ιδ. ι. μετ' ἐμοῦ ἐστι, κατ' ἐνέργειαν εἰρῆσθαι νομίσῃ καὶ κατὰ βοήθειαν, φησιν· Ὁ πατὴρ ὁ ἐν
ἐμοὶ μένων, καὶ τὸ, Ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί. ταύτην γὰρ τὴν φωνὴν καὶ Ἡσαΐας
Ἡσ. με. ιδ. προεκήρυξε, λέγων· Ἐκοπίασεν Αἴγυπτος, καὶ ἡ ἐμπορεία Αἰθιόπων, καὶ οἱ Σαβαεὶμ
ἄνδρες ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται, καὶ ἐξακολουθήσουσί σοι χειροπέδαις δεδεμένοι, καὶ προσκυνήσουσί
σοι, καὶ ἐν σοὶ προσεύξονται· ὅτι ἐν σοὶ ὁ Θεός, καὶ οὐκ ἔστι Θεὸς πλὴν σοῦ. πῶς ἐνδέχεται;
εἰ ἄλλος ἐστὶν ἐν αὐτῷ, πῶς πλὴν αὐτοῦ οὐκ ἔστιν ἄλλος; ὅτι ἐν σοὶ ὁ Θεός, καὶ οὐκ
ἔστι Θεὸς πλὴν σοῦ. ἆρα οὐχ ἑρμηνεία ἐστὶ τοῦ εὐαγγελίου τούτου τοῦ λέγοντος, Ἐγὼ ἐν τῷ
πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοὶ, καὶ οἱ δύο ἕν ἐσμεν; τὸ γὰρ, οὐκ ἔστι Θεὸς πλὴν σοῦ, ἑρμηνεία ἐστὶ
τοῦ, ἕν ἐσμεν. καὶ ὅρα τὸ σοφὸν τῆς λέξεως, καὶ πεπληρωμένον δυνάμεως. τὸ, ἕν ἐσμεν, δίστομος
μάχαιρα αἱρετικοὺς τέμνουσα. τὸ μὲν γὰρ ἕν, ἐλέγχει τὴν τῶν Ἀρειανῶν μανίαν· τὸ δὲ ἕν
ἐσμεν, τὴν Σαβελλίου σύγχυσιν. ὅτι ὁ Θεὸς ἐν σοί ἐστι, καὶ οὐκ ἔστι Θεὸς πλὴν σοῦ. καὶ ἵνα
δείξῃ ὁ προφήτης τὸν αὐτὸν ὄντα Θεὸν ἐν Θεῷ, ἐπάγει· Σὺ γὰρ εἶ Θεός, καὶ οὐκ ᾔδειμεν.
οὐκ ᾔδεις σύ, ὅτι αὐτός ἐστι Θεός; Μωϋσῆς οὐ πρὸ σοῦ προεκήρυξεν; οὐ μετὰ εἴκοσι καὶ μίαν
γενεὰν ἐγένου τοῦ Μωϋσέως; ἀπὸ γὰρ Μωϋσέως ἕως Δαβὶδ γενεαὶ ἑπτά· ἀπὸ δὲ τοῦ Δαβὶδ
μέχρι Ἡσαΐου γενεαὶ δώδεκα. πρὸ γὰρ δύο γενεῶν Βαβυλῶνός ἐστιν Ἡσαΐας· ὃν τοίνυν
Δευτ. ς. δ. πρὸ εἰκοσιπέντε γενεῶν ἐκήρυξαν οἱ προφῆται, ὅτι Θεός ἐστι· καὶ Μωϋσῆς ἔλεγεν, Ἄκουε,
Ἰσραήλ, Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι· καὶ Σαμουὴλ μὲν ἐπεβόα ταῦτα· ἀλλὰ μὴν
καὶ Δαβὶδ τὰ αὐτὰ ἐκήρυττε, καὶ πᾶς δὲ προφήτης τὰ αὐτὰ ἐθέσπιζε. πῶς φησιν ὁ προφήτης
Ἡσαΐας, Σὺ γὰρ Θεός, καὶ οὐκ ᾔδειμεν, εἰ μὴ ἀληθῶς τὸν σωτῆρα αἰνίττεται, τὸν ὄντα μὲν,
οὐ γνωριζόμενον δέ; ″τὸ γὰρ, σὺ εἶ Θεός, καὶ οὐκ ᾔδειμεν, οὐχ ἑαυτοῦ ἀγνοίας κατηγορεῖ, ἀλλὰ ἴσ. τῷ γὰρ εἰπεῖν, σὺ
τοῦ λαοῦ τὸ πρόσωπον ἀναδέχεται. συντείνει δὲ ἡ διδασκαλία τὸ, σὺ εἶ Θεός, καὶ οὐκ ᾔδειμεν,
Ἡσ. κς. ια. τῶν φασκόντων, Κύριε, ὑψηλός σου ὁ βραχίων, καὶ οὐκ ᾔδεισαν. καὶ ἵνα ὅμως εἴπῃ, σὺ γὰρ εἶ ὁ Θεός,
καὶ οὐκ ᾔδειμεν, Θεὸς τοῦ Ἰσραὴλ πάντων σωτήρ, ἄκουε τῶν ἀγγέλων λεγόντων, καὶ εὐαγγελιζομένων
Λουκ. β. ι. τοὺς ποιμένας· Μὴ φοβεῖσθε, εὐαγγελιζόμεθα ὑμῖν χαρὰν μεγάλην· ὅτι ἐτέχθη
Ἡσ. με. ιε. σήμερον ″ἡμῖν σωτήρ, ὅς ἐστι Χριστὸς Κύριος. Σὺ γὰρ εἶ ὁ Θεὸς τοῦ Ἰσραὴλ πάντων σωτήρ. γρ. ὑμῖν,
ἰδοὺ αἰσχυνθήσονται πάντες οἱ ἀντικείμενοί σοι, καὶ πορευθήσονται ἐν αἰσχύνῃ. ἔσονται γὰρ
ὡς ″οὐκ ὄντες, καὶ ὡς ἱμάτιον παλαιωθήσονται, ἀντικειμένους καλῶν, τοὺς τῷ λόγῳ ἀντιπίπτοντας. γρ. οὐ δοκοῦντες
ἐπειδὴ γὰρ ἐὰν μὲν εἴπῃς Ἕλληνι, ἢ ἑτέρῳ τινὶ τῶν τῆς εὐσεβείας ἀπεσχοινισμέ-

νῳ

μένῳ, ὅτι ἐστὶ Θεός, οὐ μάχεται· λέξῃς δὲ ὅτι ἐστὶ Χριστός, δαιμονίζεται· ὥς πού φησι καὶ ὁ μακάριος Δαβίδ· Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί· ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ, σαλευθήτω ἡ γῆ. καὶ τίς ὁ καθήμενος; ἢ δῆλον ἐκεῖνος, περὶ οὗ φησιν ὁ αὐτὸς προφήτης, Ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ ἐμφάνηθι, καὶ ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. ὁρᾷς ὅτι οὐκ ἔχει χώραν ἀπὸ τῶν λέξεων ἡ κατασκευαζομένη τοῖς αἱρετικοῖς κακουργία· ἀλλ' ὅπου μὲν τὸ ἰσότιμον, Ἐγὼ καὶ ὁ πατήρ· ὅπου δὲ τὸ οἰκονομικόν, Ὁ πέμψας με μείζων μού ἐστι· διὰ τὸ σχῆμα τῆς ἀποστολῆς μείζων, οὐ διὰ τὴν τῆς θεότητος ἕνωσιν. οὕτως οὖν δεῖ προσέχειν ταῖς γραφαῖς, καὶ μὴ παρέρχεσθαι τὰ θεῖα λόγια. νῦν μὲν σὺ ὁλόκληρον εὐαγγελίου καταγινώσκεις, ὁ δὲ σωτὴρ οὐδενὸς γράμματος. τοσοῦτον γοῦν ἐβουλήθη εὐλαβεῖς εἶναι ἡμᾶς περὶ τὴν γραφήν, ὡς εἰπεῖν, Ἀμήν, ἀμὴν λέγω ὑμῖν, εὐκοπώτερόν ἐστι τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν, ἢ τοῦ νόμου μου ἰῶτα ἕν, ἢ μίαν κεραίαν πεσεῖν. ὁ μὲν οὖν σωτὴρ οὐδὲ τοῦ ἰῶτα καταφρονεῖ, σὺ δὲ ὁλόκληρον γραφὴν διασπᾷς. σαφῶς δὲ ἡμῖν ὁ λόγος δείκνυσιν, ὅτι ἡ περὶ τῶν γραφῶν γνῶσις, καὶ τῆς τῶν νεκρῶν ἀναστάσεως ἰσχυροτέρα τυγχάνει. οὐ γὰρ τοσοῦτον δύναται νεκρῶν ἀνάστασις, ὅσον ἡ τῶν γραφῶν ἀνάγνωσις. καὶ ἄκουε τοῦ πατριάρχου Ἀβραάμ, ὃς ἀκούει λέγοντος τοῦ πλουσίου αὐτῷ· Πάτερ Ἀβραάμ, ἐλέησόν με, καὶ πέμψον Λάζαρον, ἵνα εἴπῃ τοῖς ἀδελφοῖς μου μὴ ἐλθεῖν εἰς τὴν κρίσιν ταύτην. καὶ τί φησιν; Ἔχουσι Μωσέα καὶ τοὺς προφήτας, ἀκουσάτωσαν αὐτῶν. ὁ δὲ λέγει, Οὐχί, πάτερ Ἀβραάμ· ἐὰν μή τις ἐκ νεκρῶν ἀναστῇ, οὐ πιστεύσουσιν. ὁ δέ φησι πρὸς αὐτόν, Ἀμὴν λέγω σοι, εἰ Μωϋσέως καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν, οὐδέ, ἐάν τις ἐκ νεκρῶν ἀναστῇ, πιστεύσουσι. πρόσεχε ἀκριβῶς. ἆρα οὖν εἰ ἀνέστη τις ἐκ νεκρῶν, οὐκ ἂν ἐπίστευσαν; οὐδαμῶς. καὶ ὅρα τὴν ἀκολουθίαν. ἄρα εἰ ἐφάνη τις ἐκ νεκρῶν τῶν παλαιῶν, ἢ τῶν καθ' ἡμᾶς ἀγνοουμένων, ἢ τῶν γνωριζομένων; εἰ μὲν οὖν τῶν ἀγνοουμένων, ἡ ἄγνοια ἐσκέπαζε τὰ θαύματα. εἰ ἐφάνη σήμερον Μωϋσῆς, πόθεν ᾔδεις ὅτι Μωϋσῆς ἦν; εἰ ἐφάνη σήμερον Ἡσαΐας, πόθεν ᾔδεις ὅτι Ἡσαΐας ἦν; εἰ δὲ ἄλλος τις τῶν καθ' ἡμᾶς ἀποθανόντων ἠγείρετο, [ἀλλὰ καὶ] πάλιν τὸ θαῦμα συνεσκίαζεν, τῶν μὲν λεγόντων, οὗτός ἐστιν ὁ ἀποθανών, τῶν δὲ φασκόντων, οὐχ ὁ τεθνεώς ἐστιν οὗτος, ἀλλὰ δαίμων τις καὶ φάντασμα κατ' ἀρχάς. οὐκ ἀπορεῖ γὰρ ἡ ἀπιστία κακῆς ὁδοῦ. καὶ τί θαυμαστόν, εἰ ἠδύνατο ἡ τῶν ἀνθρώπων ἀγνωμοσύνη συκοφαντῆσαι καὶ νεκρὸν ἀναστάντα, ὅπου γε ὁ τυφλὸς ἐθεραπεύθη, καὶ οἱ μὲν ἔλεγον, ὅτι αὐτός ἐστιν· ἕτεροι ἔφασκον, οὔ· ἀλλ' ὅμοιος αὐτῷ ἐστιν· ἐκείνου λέγοντος, ἐγώ εἰμι. καὶ ὁ μὲν ἑαυτῷ ἐμαρτύρει, καὶ τὸ θαῦμα ἐβόα· ἡ δὲ ἀγνωμοσύνη ἠρνεῖτο. μὴ γὰρ οὐκ ἀνέστησαν πολλοὶ ἐπὶ * τοῦ σωτῆρος; Πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων, ὥς φησιν ἡ γραφή, μετὰ τὴν τοῦ σταυροῦ οἰκονομίαν ἀνέστησαν ἐκ τῶν μνημείων, καὶ ἦλθον εἰς τὴν ἁγίαν πόλιν, καὶ ἐνεφανίσθησαν πολλοῖς. μὴ τὸ θαῦμα τὴν ἀπιστίαν ἔσβεσεν, ἢ τὴν ἀγνωμοσύνην ἐνίκησε; καὶ γὰρ σημεῖα τοῖς ἀπίστοις, καὶ οὐ τοῖς πιστοῖς· ὁ δὲ ἄπιστος εὐχερῶς καὶ σημείων καταφρονεῖ. ἀλλ' ὅρα εἰ ἐδυσωποῦντο ἀναστάντα νεκρόν, ὡς ἡδέως ᾐδέσθησαν Λαζάρου· Λάζαρος ἐκ νεκρῶν ἀνέστη· καὶ ἐπειδὴ πολλοὶ διὰ τὴν τοῦ Λαζάρου ἀνάστασιν εἰς θέαν τοῦ σωτῆρος ἤρχοντο, ἐβουλεύσαντο οἱ Ἰουδαῖοι ἀποκτεῖναι τὸν Λάζαρον. ὅρα τὴν ἀγνωμοσύνην πανταχοῦ ἑαυτῆς μὴ ἀφισταμένην. εἰκότως οὖν καὶ ὁ πατριάρχης ἔλεγεν, Εἰ Μωϋσέως καὶ τῶν προφητῶν μὴ ἀκούσωσιν, οὐδέ, ἐάν τις ἐκ νεκρῶν ἀναστῇ, πιστεύσουσιν αὐτῷ. καὶ νῦν οὖν αἱρετικῶν παῖδες, εἰ Μωϋσέως καὶ τῶν προφητῶν καὶ τῶν εὐαγγελίων οὐκ ἀκούουσιν, οὐδέ, ἐάν τις ῥήξῃ μυρίας φωνάς, ἀκούσονται. ἀλλ' ἡμεῖς μὴ ἀποστῶμεν τῆς ὁδοῦ. Ἐγὼ γάρ εἰμι ἡ ὁδός, φησὶν ὁ Κύριος. ὁ τοίνυν ἐκβαίνων ἐκ τῆς ὁδοῦ, πλανᾶται· ὁ ἔξω τῶν γραφῶν ὁδεύων χειμάζεται. ὥσπερ γὰρ ἐν θαλάσσῃ ὁ πολλοῖς ἀνέμοις

γ. ἃ μὲν γραφ

* τοῦ σταυροῦ γ. ὁ σῶλθον

ἢ ἐκ νεκρῶν, ἴδωσ ἰσ. Λάζαρον

Ψαλμ. ϟη. α.

Ψαλμ. οθ. β.

Λουκ. ις. ιζ.

Λουκ. ις. κδ.

Ιωαν. θ. θ.

Ματθ. κζ. νβ.

Ιωαν. ιδ. ϛ.

περιφερόμενος οὐκ ἔχει ἐξ εὐθείας διευθυνόμενον τὸν πλοῦν, ἀλλ' ὧδε κἀκεῖ ὑπὸ διαφόρων
ἀνέμων ῥιπίζεται· οὕτω δὴ καὶ ὁ διαφόροις διδασκαλίαις ἑαυτὸν '' διδούς, καὶ μὴ στοιχῶν τῇ γρ. ἐκδιδούς
εὐαγγελικῇ διδασκαλίᾳ, οὐδὲν διαφέρει ὁλκάδος κλυδωνιζομένης. διὰ τοῦτό φησι καὶ ἡ
Σειρ. ε. ιβ. γραφή, Μὴ παντὶ ἀνέμῳ λίκμα· καὶ ὁ ἑρμηνεύων ἐπάγει, Καὶ μὴ παντὶ λόγῳ πίστευε. καὶ
Σειρ. ιθ. ιδ. ἵνα μάθῃς, ὅτι πάντα ἄνεμον πᾶσαν διδασκαλίαν καλεῖ ἡ γραφή, Παύλου ἄκουε λέγοντος·
Εφεσ. δ. ιδ. Ἵνα μὴ ὦμεν νήπιοι, κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας,
ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, πρὸς τὴν μεθοδείαν τῆς πλάνης. παντὶ ἀνέμῳ τῆς διδασκαλίας.
τὸ οὖν, παντὶ ἀνέμῳ, ἀντὶ τοῦ, πάσῃ διδασκαλίᾳ ὁ ἐκδοὺς ἑαυτὸν κλυδωνίζεται,
χειμάζεται, ναυαγεῖ. Εἷς γάρ ἐστι πλοῦς, μία ὁδός, εἷς λιμήν, ἡ πίστις· αὕτη ὁδηγεῖ,
αὕτη συγκλείει, αὕτη δέχεται· ὁ δὲ ἐκ πίστεως ἐκπίπτων, ναυαγεῖ, ὥς φησιν ὁ Παῦλος
α. Τιμ. α. ιη. Τιμοθέῳ γράφων· Ταύτην τὴν παραγγελίαν παρατίθημί σοι, τέκνον Τιμόθεε, ἵνα στρατεύσῃ
'' ἐν αὐτῷ τὴν καλὴν στρατείαν, ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν· ἥν τινες ἀπωσάμενοι, γρ. ἑαυτῷ
περὶ τὴν πίστιν ἐναυάγησαν. ὁ γοῦν τῆς πίστεως ἀφιστάμενος, ναυαγεῖ· ὁ δὲ τῇ ἰσ. ἐν αὐταῖς
πίστει ἑπόμενος, εἰς εὔδιον λιμένα τὸ σκάφος ὁρμίζει. μὴ τοίνυν παντὶ ἀνέμῳ ὑπαγώμεθα·
μετὰ Κύριον οὐκ ἔνι ἄλλη διδασκαλία. μετὰ γὰρ Μωϋσέα προσεδοκᾶτο Χριστός·
μετὰ δὲ Χριστὸν οὐ προσδοκᾶται ἄλλος. διὰ τοῦτο Μωϋσῆς μὲν βουλόμενος παιδεῦσαι τὸν λαόν,
ὅτι οὐ δεῖ τοῖς ἑαυτοῦ νόμοις στοιχῆσαι μόνοις, ἀλλ' ἐκδέξασθαι τὴν τελείωσιν, ἔλεγε·
Δευτ. ιη. ιη. Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν, αὐτοῦ ἀκούσεσθε. Εἰ γὰρ συνῄδει τὸ ἐντελὲς
τῆς διδασκαλίας, οὐκ ἂν ἄλλον διδάσκαλον παρεπέμψατο λέγων, Προφήτην ὑμῖν
ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν, ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ. διὰ τοῦτο προφήτην,
ἐπειδὴ ἐξ '' ὑμῶν. Θεὸς μὲν γὰρ οὐκ ἐξ '' ὑμῶν, προφήτης δὲ ἐξ '' ὑμῶν. ὁ μὲν γὰρ Θεὸς ἐκ γρ. ἡμῶν. γρ. ἡμῶν
Θεοῦ· ὁ δὲ προφήτης ἐξ '' ὑμῶν, τὸ κατὰ σάρκα. διὰ τοῦτο καὶ ὡς ἐμέ, νομοθέτην. ἐπειδὴ γὰρ γρ. ἡμῶν.
εἷς μὲν νομοθέτης ἀρχαῖος, Μωϋσῆς, δεύτερος δὲ νομοθέτης, ὁ σωτήρ, οὐχ ἑνὸς λαοῦ, ἀλλὰ γρ. ἡμῶν,
τῆς οἰκουμένης, διὰ τοῦτο ὡς ἐμέ, κατὰ τὸν τύπον καὶ τὴν νομοθεσίαν. Τίς τούτῳ γὰρ μαρτυρήσει
Ψαλ. θ. κ. τῷ λόγῳ; Δαβὶδ ὁ γενόμενος μετ' ὀλίγας γενεὰς τοῦ Μωϋσέως ἐπιβοᾷ· Ἀνάστηθι, Κύριε,
μὴ κραταιούσθω ἄνθρωπος· κριθήτωσαν ἔθνη ἐνώπιόν σου, κατάστησον, Κύριε, νομοθέτην ἐπ'
αὐτούς. Εἰ μὲν οὖν πρὸ Μωϋσέως ἦν ὁ Δαβίδ, εἰκότως ὑπὲρ Μωϋσέως ἱκέτευεν· εἰ δὲ
Μωϋσῆς μὲν προδιέλαμψε, μεταγενέστερος δὲ Δαβὶδ Μωϋσέως, τί ἐβούλετο ὁ προφήτης
Δαβὶδ ἄλλον καλέσαι νομοθέτην ἑτέρου ὄντος, καὶ λέγειν, Κατάστησον, Κύριε, νομοθέτην ἐπ'
αὐτούς; τίσιν ἄρα ἀλλ', ἢ τοῖς ἔθνεσιν; Ἀνάστηθι γάρ, φησι, Κύριε, μὴ κραταιούσθω ἄνθρωπος·
κριθήτωσαν ἔθνη ἐνώπιόν σου. τοῖς γὰρ ἔθνεσι δέδοται ὁ νομοθέτης. Γνώτωσαν ἔθνη ὅτι
ἄνθρωποί εἰσι. πρὸ γὰρ τοῦ νομοθέτου, ὡς ἄλογα ὑπήχθησαν· ἐπὰν δὲ ἔλθῃ ὁ Θεὸς
Λόγος, εἰς τὴν λογικὴν αὐτῶν ἀποκαθιστᾷ φύσιν. ὁ μὲν οὖν Μωϋσῆς (ὡς ἔφθην εἰπὼν)
ἔλεγε, Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεός, ὡς ἐμέ· ὁ Δαβίδ, Κατάστησον, Κύριε,
νομοθέτην ἐπ' αὐτούς· ὁ δὲ Παῦλος ἐλθὼν μετὰ τὸν σωτῆρα, καὶ κῆρυξ ὢν τοῦ σωτῆρος, τοὺς
Γαλ. α. θ. προφήτας ἰδών, '' ὅτι ἦν ἐκδέξασθαι Χριστόν, μετὰ δὲ Χριστὸν οὐδένα ἄλλον, διὰ τοῦτό φησιν· Εἴ τις ἰσ. ὅτι ἐχρῆν ἀν-.
ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. ἀποκλείει πᾶσαν γνῶσιν, καὶ λαμβάνει τὰς
κλεῖς τῆς εὐσεβείας. ὅτι δὲ μετὰ τὴν διδαχὴν Χριστοῦ οὐκ ἔστιν ἄλλην προσδοκῆσαι διδασκαλίαν, γρ. βασιλείας
λέγει· Παρ' ὃ παρελάβετε εἴ τις εὐαγγελίζεται ὑμῖν, ἀνάθεμα ἔστω. καὶ ἵνα μὴ μόνον τὴν τῶν
ἀνθρώπων ἀποκλείσῃ κακοτεχνίαν, ἐπαγωνίζεται, καί φησι· Κἂν ἡμεῖς. τί δήποτε δέ ἐστι,
Κἂν ἡμεῖς; ὁ ἀπόστολος εἶχεν ἄλλως διδάξαι; ἢ δῆλον ὅτι ὑπερβολῇ κέχρηται ὁ θεῖος Παῦλος,
ὅτι κἂν ἐμοῦ ἀκούσητε κηρύττοντος ἕτερα, νοήσατε ὅτι οὐκ ἐκ Θεοῦ φθέγγομαι. διὰ
τοῦτο λέγει, Κἂν ἡμεῖς. ἀνθρωπίνη μὲν γὰρ ἀνατρέπεται γλῶττα, Θεοῦ δὲ γλῶσσα οὐ μεταβάλλεται.

βάλλεται. διὰ τοῦτο, Κἂν ἡμεῖς, κἂν ἄγγελος ἐξ οὐρανοῦ. ἀσφαλῶς γὰρ εἰς τὴν ὑπόνοιαν τοιαύτην ἦρχε, ὅτι ἄγγελος ἐξ οὐρανοῦ ξένην διδασκαλίαν ἡμῖν ἂν εἰσάγῃ· ἀλλ' οὐκ ἀγγέλους ἀσφαλίζεται, ἀλλὰ τοῦ διαβόλου τὴν κακοτεχνίαν κατατέμνει. καὶ ἄγγελος ἐξ οὐρανοῦ οὐκ ἐπὶ τοιαῦτα συνήθει ἀγγέλοις (ᾔδει γὰρ ὅτι ἐν ἀγγέλοις ἀπλανὴς ἡ ἀλήθεια) ἀλλ' ἐπειδὴ πολλάκις ὁ Σατανᾶς ἑαυτὸν μεταμορφοῖ, καὶ δαίμονες πολλάκις ἐν σχήμασιν ἀγγέλων ἑαυτοὺς μεταμορφώσαντες, πρὸς τὴν ἑαυτῶν ἔννοιαν τὴν διδασκαλίαν εἰσάγουσι, κατὰ τὸ εἰρημένον· Αὐτὸς γὰρ ὁ Σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός. διὸ ἀποκλείει τῷ σχήματι τῶν σχηματιζομένων τοὺς ἀληθεῖς ἀγγέλους, καὶ φέρει γυμνὴν τὴν ψῆφον κατὰ ἀγγέλων, οὐκ ἐκείνους ὑβρίζων, ἀλλὰ τοῖς δαίμοσιν ἀποκλείων τὴν ὁδόν. καὶ οὐκ ἠγανάκτουν ἄγγελοι Παύλου λέγοντος, Κἂν ἄγγελος ὁ ἐξ οὐρανοῦ εὐαγγελίζηται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω· ἀλλ' ἔχαιρον ἐπὶ τῇ παρρησίᾳ τοῦ κηρύσσοντος, καὶ ἀσφαλιζομένου καὶ τειχίζοντος τὸ θεῖον κήρυγμα. διὰ τοῦτο καὶ αὐτοὶ οἱ ἄγγελοι μαθόντες, ὅτι οὐ δεῖ οὐδενὶ πιστεύειν, ἢ τῷ λόγῳ τῶν ἀποστόλων, ἀσφαλίζονται καὶ οὐ κηρύσσουσιν. ἀποστέλλονται μὲν πρὸς τοὺς ἀνθρώπους, καὶ οὐ μὴν κηρύσσουσιν ἀμέλει. ἀπεστάλη ἄγγελός ποτε πρὸς Κορνήλιον, καὶ ἐπιφαίνεται μὲν αὐτῷ, καὶ τὴν ἑαυτοῦ λειτουργίαν μηνύει, Κορνήλιε, λέγων, αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ. τὸ μηνύειν ἐμόν, τὸ δὲ κηρύττειν τῶν ἀποστόλων. ἀγγέλου γάρ ἐστιν εἰδέναι εἰ δεκτός ἐστι τῆς λειτουργίας καὶ προσευχῆς ὁ τρόπος, τὸ δὲ κήρυγμα οὐχ ἑαυτῷ ἐπιτρέπει ἄγγελος, ἀλλὰ τοῖς ἀποστόλοις. διὸ ἐπάγει, Ἀπόστειλον οὖν εἰς Ἰόππην, καὶ μετάπεμψαι Σίμωνα, ὃς ἐπικαλεῖται Πέτρος, ὅστις ἐλθὼν λαλήσει σοι ῥήματα, ἐν οἷς σωθήσῃ σὺ καὶ πᾶς ὁ οἶκός σου. καὶ τί ἐκώλυσεν αὐτὸν παρ' αὐτὰ κηρύξαι; ἆρ' οὐκ ἀξιοπιστότερον τὸ κήρυγμα τοῦ ἀγγέλου; ἆρ' οὐ μᾶλλον ἐβεβαιοῦτο Κορνήλιος παρὰ ἀγγέλου περὶ σταυροῦ ἀκούων, καὶ περὶ πάθους, καὶ περὶ τῆς οἰκονομίας; ἀλλ' ἅμα μὲν καὶ τηρεῖ ἑαυτόν, μὴ βουλόμενος ἀνοῖξαι χώραν τοῖς δαίμοσιν, ἅμα δὲ καὶ δείκνυσιν ἡμῖν ὁ ἄγγελος, ὅτι ἔξω τῆς ἀποστολικῆς διδασκαλίας σωθῆναι οὐκ ἔστιν. εἰ δὲ ἄγγελος ἐξ οὐρανοῦ ἕτερόν τι εὐαγγελιζόμενος, ἀναθεματίζεται· ὁ τὰ Ἀρείου πνέων, καὶ τὰ Εὐνομίου καὶ Σαβελλίου διδάσκων, οὐκ εἰκότως ἀναθεματισθήσεται, ἐὰν μὴ φθάσῃ τῇ μετανοίᾳ τὴν διόρθωσιν; ταῦτα, ἀδελφοί, ἡγεῖσθε μὴ παρ' ἡμῶν εἰρῆσθαι, ἀλλὰ παρὰ τοῦ ἁγίου μάρτυρος, καὶ παρὰ τῶν πρεσβειῶν τοῦ πατρός. καὶ γὰρ εἰς τιμὴν τῶν μαρτύρων ταῦτα λέγεται. τιμὴ γὰρ μαρτύρων, ἡ φυλακὴ τῆς πίστεως. εἰ γοῦν θέλεις καὶ σὺ τιμῆσαι τὸν μάρτυρα, τίμησον τὰ ὑπὸ τοῦ μάρτυρος μαρτυρηθέντα. εἰ γὰρ ἐκεῖνος ὑπὲρ Χριστοῦ τὸ αἷμα ἐξέχεε, σὺ ὑπὲρ Χριστοῦ τὸ αἷμα οὐκ ἐκχέεις; ταύτην οὖν ἔχοντες τὴν ἀσφάλειαν τῆς πίστεως, σπουδάσωμεν διαλάμψαι καὶ ἔργοις ἀγαθοῖς, ἵνα σπείραντες τὰς ἀρετάς, θερίσωμεν τὰς ἀμοιβάς. ἕκαστος γὰρ τῶν ἰδίων ἔργων θεριστής ἐστι δικαιοσύνης, ὥς φησιν ὁ Παῦλος· Ἐν ὅσῳ καιρὸν ἔχομεν, ἐργασώμεθα τὸ ἀγαθόν. καιρῷ γὰρ ἰδίῳ θερίσωμεν μὴ ἐκλυόμενοι. ποίῳ καιρῷ ἰδίῳ; τῷ τῆς ἀναστάσεως. οὐκοῦν ὁ καιρὸς οὗτος οὐκ ἴδιος ὑμῶν, ἀλλ' ἀλλότριος. ἐνταῦθα μὲν οὖν τὰ σπέρματα, ἐκεῖ δὲ τὰ δράγματα· ἐνταῦθα σπείρεις μετὰ θλίψεως, ἐκεῖ θερίζεις μετ' εὐφροσύνης, ὥς φησιν ὁ Δαβίδ· Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσι. γένοιτο δὲ ἡμᾶς καὶ σπεῖραι καὶ θερίσαι ἐν ἀγαλλιάσει, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Β. Κορ. ια. ιδ.

Πραξ. ι. γ.

ἰσ. τιμὴ τῶν μαρ.

Λογ. ρξζ'. ΕΙΣ ΤΟΥΣ ΚΟΡΥΦΑΙΟΥΣ ΤΩΝ ΑΠΟΣΤΟλων Πέτρον καὶ Παῦλον, καὶ τὸ αὐτῶν μαρτύριον ἐνδοξότατον.

Ex edit. Rom. emend. ex Ms. Palatino.

Μηνὶ Ἰαν. κθ.

Ἐφ. γ΄. ι.

Οὐρανοῦ καὶ γῆς ἅμιλλαν ὁρῶ διὰ τὴν προοῦσαν πανήγυριν τῆς μνήμης τῶν ἀποστόλων· τῶν μὲν ἐπουρανίων δυνάμεων εὐφημουσῶν ἐντίμοις φωναῖς τοῦ πόνου αὐτῶν τὸ διδασκάλιον, ὡς δι' αὐτῶν γνωρισθὲν αὐταῖς τὸ τῆς οἰκονομίας μυστήριον, καθὼς ὁ Παῦλος βοᾷ, Ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ· τῶν δὲ ἐπὶ γῆς ἀνθρώπων ἐκβιαζομένων ἀξίαν εὐφημίαν διὰ τῆς ʺτιμῆς πρὸς τοὺς κορυφαίους δεῖξαι, ὡς δι' αὐτῶν εἰς σωτηρίαν ἐπανελθόντων. τί γὰρ Πέτρου μεῖζον; τί δὲ Παύλου ἴσον; οἵτινες τῷ ἔργῳ καὶ τῷ λόγῳ πᾶσαν τὴν ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς κτίσιν ʺἐνίκησαν· οἱ τῷ πηλῷ τοῦ σώματος συμπεπλεγμένοι, καὶ ἀμείνους ἀγγέλων εὑρεθέντες. τί οὖν ἐροῦμεν πρὸς τοὺς διδασκάλους τῆς ἄνω καὶ τῆς κάτω κτίσεως; οὐχ εὑρίσκω γὰρ λόγον ἐπάξιον ἐγκωμιάσαι τοὺς ἐγκωμιάσαντας τὸ γένος ἡμῶν· τοὺς τὴν ἅπασαν γῆν καὶ θάλασσαν περιελθόντας, καὶ τὰς ῥίζας τῶν ἁμαρτημάτων ἀνασπάσαντας, καὶ τὰ σπέρματα τῆς εὐσεβείας καταβαλόντας ἐν ταῖς καρδίαις τῶν ἀπειθούντων ἀνθρώπων. Πέτρος ὁ καθηγητὴς τῶν ἀποστόλων· Παῦλος ὁ γνωριστὴς τῆς οἰκουμένης καὶ τῶν ἄνω δυνάμεων συμμέτοχος. Πέτρος τῶν ἀγνωμόνων Ἰουδαίων ὁ χαλινός· Παῦλος τῶν ἐθνῶν ʺἡ παράκλησις. καὶ βλέπε μοι τοῦ δεσπότου τὴν ὑπερέχουσαν σοφίαν. τὸν γὰρ Πέτρον ἀπὸ ἁλιέων ἐξελέξατο, τὸν δὲ Παῦλον ἀπὸ σκηνορράφων· καὶ τοῦτο δὲ πρὸς ὠφέλειαν πεποίηκεν. ἐβυθίζετο γὰρ ἡ δόξα τῶν Ἰουδαίων. διὰ τοῦτο τούτῳ τῷ ἁλιεῖ ἐνεπίστευσεν ὁ Κύριος, φήσας πρὸς αὐτόν· Ἀπελθὲ εἰς τὴν θάλασσαν, καὶ βάλλε ἄγκιστρον, καὶ τὸν ἀναβαίνοντα πρῶτον ἰχθὺν ἄρας, ἄνοιξον τὸ στόμα αὐτοῦ, καὶ εὑρήσεις στατῆρα· θάλασσαν λέγων, τὴν ἄστατον τῶν ἀνόμων Ἰουδαίων γνώμην· ἄγκιστρον, τὸν ἔντεχνον λόγον τῆς διδασκαλίας· ἰχθὺς τὸν νόμον σημαίνει· τὸ δὲ ἀνοῖξαι τὸ στόμα αὐτοῦ, τὸ ἑρμηνεύειν αὐτὸν λέγει· τὸ δὲ εὑρεῖν ἐν αὐτῷ στατῆρα, τὸ πνευματικῶς αὐτὸν ἀνακρίνειν σημαίνει. τῷ δὲ Παύλῳ ὡς σκηνορράφῳ τὰ ἔθνη ἐνεχείρισεν· ἵνα ἐνδύσῃ διὰ νόμου καὶ τῆς χάριτος γυμνοὺς τὸ κόκκινον ʺἔνδυμα, τὸ ἐξ ὕδατος καὶ αἵματος δεσποτικοῦ βαφέν. οὕτως αὐτῷ ὁ δεσπότης βοῶν, Ἀπελθὲ, φησὶν, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἀποστελῶ σε. ὢ μακαρία δυὰς ἡ πιστευθεῖσα ὅλου τοῦ κόσμου τὰς ψυχάς. Πέτρος ἡ ἀρχὴ τῆς ὀρθοδοξίας, ὁ μέγας τῆς ἐκκλησίας ἱεροφάντης, ὁ ἀναγκαῖος σύμβουλος τῶν χριστιανῶν, τὸ κειμήλιον τῶν ἄνω δυνάμεων, ὁ τετιμημένος ὑπὸ τοῦ δεσπότου ἀπόστολος. Παῦλος ὁ μέγας τῆς ἀληθείας κῆρυξ, τὸ καύχημα τῆς οἰκουμένης, ὁ ἐν οὐρανοῖς ἄνθρωπος, καὶ ἐπὶ γῆς ἄγγελος, ἡ δόξα τῆς ἐκκλησίας, ὁ ἐν ὑψηλοῖς πετόμενος ἀετὸς, ἡ λύρα τοῦ πνεύματος, ἡ χελιδὼν καὶ τέττιξ, τὸ ὄργανον τὸ δεσποτικὸν, ὁ ʺγρήγορος τοῦ Χριστοῦ ὑπηρέτης. Παῦλος καὶ Πέτρος, οἱ ζευκτοὶ βόες τῆς ἐκκλησίας, οἱ καλῶς πραγματευταὶ τῇ οἰκουμένῃ ʺἐμπορευσάμενοι, οἱ τὸν σταυρὸν ἀντὶ ζυγοῦ ἄραντες, ἀντὶ δὲ ἐπιβάτου τὸν σωτῆρα, ἀντὶ δὲ ζευγλῶν τὰς τῶν γραφῶν διαθήκας, ἀντὶ δὲ ʺκέντρου τὴν χάριν τοῦ ἁγίου πνεύματος. Παῦλος καὶ Πέτρος, οἱ τὴν ἐκκλησίαν καθ' ἡμέραν φαιδρύνοντες, τὰ ταμιεῖα τὰ δεσποτικὰ, τὰ πανδοχεῖα τῆς οἰκουμένης, τὰ δοχεῖα τοῦ πνεύματος, τῆς ἁγίας τριάδος τὰ ἑρμηνευτήρια, τῆς οἰκονομίας τοῦ θείου λόγου οἱ ὑφηγηταί. Πέτρος, ὁ ἐμὸς πνευματικὸς ἔρως· Παῦλος, τὸ σκεῦος τῆς ἐκλογῆς, ἡ ἐμὴ βακτηρία. Πέτρος, ὁ ναὸς τοῦ Θεοῦ· Παῦλος, τὸ στόμα τοῦ Χριστοῦ, ἡ λύρα τοῦ πνεύματος, ὁ τρίπηχυς ἄνθρωπος, ʺκαὶ τῶν οὐρανῶν ἁπλούμενος· ὁ ἐν τόπῳ περιγραφόμενος, καὶ τὸν κόσμον ἅπαντα τῷ δεσπότῃ περιγράφων· ὁ ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκὼς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ· ὁ ὀξύδρομος δρομεὺς, ὁ εἰς οὐρανὸν ἀνιπτάμενος ἀετὸς, ὁ θείας χάρι-

τος

Ματθ. ιζ΄. κζ΄.

Πραξ. κβ. κα.

γρ. μνήμης

γρ. ἐνδεσμευμένοι

γρ. ὁ διδάσκαλος.

γρ. δέρμα

γρ. [illegible]

γρ. παραγαρόντες,

γρ. νομήν

γρ. καὶ εἰς τρίτον οὐρανὸν φθάνων

τος πεπληρωμένος, ὁ μαρτυρούμενος ὑπὸ τοῦ Κυρίου βαστάζειν τὸ ὄνομα αὐτοῦ ἐνώπιον πάσης τῆς οἰκουμένης, ὁ τρεῖς οὐρανοὺς διελθών, καὶ εἰς παράδεισον εἰσελθών, καὶ μέχρι τῆς δεσποτικῆς καὶ ἀπροσιόντου καθέδρας ἀναβάς, καὶ ἀκούσας τῶν ἀπορρήτων μυστηρίων, ὧν οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι. τί δὲ καὶ περὶ Πέτρου ἐροῦμεν; τὸ γλυκὺ τῆς ἐκκλησίας θέαμα, ἡ λαμπηδὼν τῆς οἰκουμένης, "ἡ περιαγνὸς περιστερά, ὁ καθηγητὴς τῶν ἀποστόλων, ὁ θερμὸς ἀπόστολος, ὁ ζέων τῷ πνεύματι, ὁ ἄγγελος καὶ ἄνθρωπος, ὁ χάριτος μεμεστωμένος, ἡ στερεὰ τῆς πίστεως πέτρα, τὸ γηραλέον τῆς ἐκκλησίας φρόνημα, ὁ μακάριος καὶ υἱὸς περιστερᾶς ἀκούσας διὰ τὴν ἀγνείαν ἐκ τοῦ δεσποτικοῦ στόματος, ὁ τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν ἐξ αὐτοῦ τοῦ Κυρίου εἰληφώς. τῶν ἀγγέλων τὰ τάγματα ὑμεῖς ἐσυλήσατε. καὶ τί πολλὰ λέγω; αὐτὸς ὁ Κύριος ἐγκωμιάζει ὑμᾶς, λέγων· Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου, οἱ βασιλέων εὐπορώτεροι, οἱ πλουσίων δυνατώτεροι, οἱ στρατιωτῶν ἰσχυρότεροι, οἱ σοφῶν καὶ φιλοσόφων σοφώτεροι, οἱ ῥητόρων εὐγλωττότεροι, οἱ μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες. ὑμεῖς ἐστε τῶν μαρτύρων ὑπομονή, τῶν πατριαρχῶν" τὸ ὀρθόδοξον, τῶν μοναζόντων ἡ ἄσκησις, τῶν παρθένων οἱ στεφανῖται, τῶν ἐν ὁμοζυγίαις οἱ εἰρηνοποιοί, τῶν ἁρπακτῶν πλουσίων οἱ χαλινοί, τῶν ἀκολάστων οἱ σωφρονισταί, ἡ σκέπη τῶν βασιλέων, τὰ τείχη τῶν χριστιανῶν, τῶν βαρβάρων οἱ ἀντίπαλοι, οἱ φιμὸν τοῖς αἱρετικοῖς ἐπιθέντες, οἱ νεκροῦντες τὰ ἄλογα πάθη τῶν σωμάτων, οἱ τοὺς λεγεῶνας τῶν δαιμόνων ἀπελάσαντες, οἱ τοὺς βωμοὺς "τῶν εἰδώλων καθελόντες, οἱ τὰ ἄνω καὶ τὰ κάτω" κληρονομήσαντες, τῶν μὲν ἄνω τὰς κλεῖς εἰληφότες, τῶν δὲ κάτω λύειν καὶ δεσμοῦν τὰς ἁμαρτίας ἐξουσίαν ἔχοντες. ὢ τῶν ἰδιωτῶν τὸ θαῦμα, ὢ τῶν ἀγραμμάτων ἡ σοφία. Πέτρος, ὁ ἐν τῇ σκιᾷ αὐτοῦ παραλυτικοὺς σφίγγων καὶ θάνατον λύων, Παῦλος, ὁ ἐν τοῖς ἱματίοις αὐτοῦ νοσήματα ἐκδιώκων, καὶ δαίμονας φυγαδεύων· οἱ εἰς μέσον * τὴν μητέρα τοῦ Κυρίου ἔχοντες, καὶ "κρείττους πνεύματος δικαίου ὑπάρχοντες. Παῦλος ἡ ἄπαυστος χελιδὼν τῆς ἐκκλησίας· Πέτρος ὁ διηνεκῶς τῇ οἰκουμένῃ, καθάπερ ἀηδών," λυρίζων ἀπαύστως· οἱ στῦλοι τῆς ἐκκλησίας, οἱ μεγάλοι τῆς οἰκουμένης φωστῆρες, οἱ κρείττους ἀλλήλων, καὶ ἀμείνους πάσης ὁμοῦ τῆς κτίσεως. χαίροις, Πέτρε, τῆς πίστεως ἡ πέτρα· χαίροις, Παῦλε, τῆς ἐκκλησίας τὸ καύχημα· χαίροις, Πέτρε, ἡ κρηπὶς τῆς ὀρθοδοξίας· χαίροις, Παῦλε, ἡ μέριμνα τῶν ἐκκλησιῶν· χαίροις, Πέτρε, τὸ ἐγκαλλώπισμα τῆς οἰκουμένης· χαίροις, Παῦλε, ἡ εἴσοδος τοῦ παραδείσου· χαίροις, Πέτρε, ὁ χειραγωγὸς τῆς βασιλείας τῶν οὐρανῶν· χαίροις, Παῦλε, εὔδιος λιμὴν τῶν χειμαζομένων· χαίροις, Πέτρε, ὁ πολλῶν ἐπαίνων ἀξιωθεὶς ὑπὸ τοῦ Κυρίου· χαίροις, Παῦλε, ὁ τῶν πολλῶν χαρισμάτων κυβερνήτης ὑπάρχων· χαίροις, Πέτρε, ὁ θερμὸς καὶ ζέων τῷ πνεύματι τῷ ἁγίῳ· χαίροις, Παῦλε, ὁ εὔτονος δρομεύς· οἱ τὴν ὑφήλιον ἅπασαν τῷ κηρύγματι τῷ ἁγίῳ φωτίσαντες, οἱ μυρία δεινὰ διὰ τὴν ἐκκλησίαν ὑπομείναντες ἐν φυλακαῖς κατακλειόμενοι, ὑπὸ Ἰουδαίων βδελυττόμενοι, ὑπὸ βαρβάρων συρόμενοι, ὑπὸ βασιλέων αἰκιζόμενοι, οἱ ἀναπνεῖν [εὐχερῶς] μὴ συγχωρούμενοι, καὶ παύσασθαι μὴ ἀνεχόμενοι τῆς διδασκαλίας· οἱ μηδὲ τοῦ σώματος κινῆσαι μὴ δυνάμενοι διὰ τὸ βάρος τῶν δεσμῶν, καὶ πᾶσαν τὴν οἰκουμένην δεδεμένην τῇ ἁμαρτίᾳ δι' ἐπιστολῶν λύοντες. τῶν δαιμόνων τὰς φάλαγγας ὑμεῖς" κατετροπώσατε· δι' ὑμῶν ἡ τοῦ ἁγίου πνεύματος χάρις εἰς τὴν οἰκουμένην ἐφήπλωται· τὴν ἀχλὺν τῆς πλάνης ὑμεῖς συνεστείλατε· τῶν δαιμόνων τὰ θράση ὑμεῖς κατεβάλετε· τοὺς βωμοὺς τῶν ἑλλήνων ὑμεῖς κατελύσατε· πᾶσαν ψευδώνυμον λατρείαν ὑμεῖς ἀποδδὶ ἐποιήσατε· ἐκ τοῦ σίτου τὰ ζιζάνια ὑμεῖς σκυβαλίσαντες ἐρρίψατε, καὶ καθαρὸν τῆς ἐκκλησίας τὸ γεώργημα ἡ καθημερινὴ ὑμῶν διδασκαλία ἔδειξε. ποίας οὖν εὐχαριστίας ἀνταποδῶμεν ὑμῖν τοῖς τοσαῦτα κεκοπιακόσι δι' ἡμᾶς; μιμνησκόμεθά σε, Πέτρε, καὶ ἐκπληττόμεθα· ἀναμιμνησκόμεθά σε, Παῦλε,

καὶ

Ματθ. ε. ιδ.

β. Κορ. ϛ. ι.

χ. ἡ πλαδικὴ καὶ ἁγνὴ περι-

χ. ἡ ὀρθοδοξία,

χ. τῶν ἑλλήνων

χ. πλουτησάντες

* τὸν Χριστὸν καὶ

χ. τοῦ πνεύματος τοῦ ἁγίου δοχεῖα

χ. μυρίζων

χ. ἠλλοιώσατε

καὶ ἐξιστάμενος δάκρυσι συνέχομαι. τί γὰρ εἴπω, ἢ τί λαλήσω, ἀναθεωρῶν ὑμῶν τὰς θλίψεις, οὐκ οἶδα. πόσας φυλακὰς ἡγιάσατε; πόσα δεσμωτήρια ἐφωτίσατε; πόσας εἱρκτὰς διδασκαλίαις ὑμῶν ἐνεπλήσατε; πόσας ἁλύσεις ἐλαμπρύνατε; πόσας βασάνους ὑπεμείνατε; πόσους τόπους τοῖς βήμασιν ὑμῶν ἡγιάσατε; πόσας λοιδορίας περιεποιήσασθε; πῶς τὸν Χριστὸν ἐβαστάσατε; ″πῶς τὰς ἐκκλησίας ἐφαιδρύνατε τῷ κηρύγματι; εὐλογημένον τὸ ὄργανον τῆς γλώττης ὑμῶν· αἵματι συμπεφυρμένα διὰ τὴν ἐκκλησίαν τὰ μέλη ὑμῶν τυγχάνει· αἰνιγματῶς ἐν πᾶσι τὸν Χριστὸν ὑμεῖς ἐμιμήσασθε. εἰς πᾶσαν γὰρ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος ὑμῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα ὑμῶν. ἀδιάρρηκτον τὴν ὑφ' ὑμῶν νυμφευθεῖσαν ἐκκλησίαν διαφυλάξει ὁ Χριστός. οὐδεὶς παρ' ὑμῶν, οὐδὲ μεθ' ὑμᾶς ἐφάνη τοιοῦτος. τίς γὰρ τὸ διδασκαλικὸν ἐπέχων ἀξίωμα, ἀποτολμήσει λέγειν τι ἄνευ τῆς ὑμῶν παραδόσεως; πόσους τοὺς διδασκάλους ὑμεῖς ἀπετελέσατε· πόσους τοὺς θεολόγους ἀπειργάσασθε· πόσους τοὺς ἐσκοτισμένους ἐφωτίσατε. ἐνίκησε τὰς ἡμετέρας ″πηρώσεις ἡ ὑμετέρα ὑπομονή, τὸ ἀνάθεμα εἶναι αὐτοὶ εὐχόμενοι, ἵνα τὸν κόσμον κερδήσητε. τί οὖν ἀνταποδώσομεν ὑμῖν περὶ πάντων, ὧν ἀνταπεδώκατε ἡμῖν ἀγαθῶν; σήμερον ὑμῶν τῆς ἀθλήσεως τὰ μνημόσυνα· σήμερον ἡ πανήγυρις τῆς [περὶ Χριστοῦ] μαρτυρίας ὑμῶν· σήμερον πάντες ἡμεῖς ἀγαλλόμενοι τιμῶμεν τὰ ἅγια ὑμῶν λείψανα. χαίροις Πέτρε, ὁ τοῦ ξύλου τοῦ σταυροῦ ἀπολαύσας, καὶ καθ' ὁμοιότητα τοῦ διδασκάλου σταυρωθῆναι μὴ θελήσας ἐν ὀρθῷ τῷ σχήματι, καθὼς ὁ δεσπότης ἡμῶν· ἀλλὰ μᾶλλον ἐπὶ κεφαλήν, ὡς εἰς οὐρανὸν τὴν πορείαν ἐπὶ γῆς ποιούμενος. ὢ εὐλογημένοι ἧλοι, οἵτινες τὰ ἅγια ἐκεῖνα μέλη διῆλθον, τὰ ἐμοὶ ποθεινά, καὶ κρείττω οὐρανίου δόξης μοι ὄντα. ὁ μετὰ παρρησίας ταῖς χερσὶ τοῦ δεσπότου τὴν ψυχὴν παραδούς, ὁ δουλεύσας τῷ Κυρίῳ ἀπερισπάστως, καὶ τῇ νυμφευθείσῃ αὐτῷ ἐκκλησίᾳ μετὰ πάσης προθυμίας· ὁ φιλοδέσποτος καὶ εὐδούλευτος τῷ Κυρίῳ, ὁ ζέων τῷ πνεύματι, ὁ πιστικὸς τοῦ δεσπότου τῶν ὅλων ἀπόστολος. Παῦλος δὲ ὁ τρισμακάριος τὴν κεφαλὴν ξίφει ἀπετμήθη, ὁ ἀνεκδιήγητος ἄνθρωπος. ποῖον ξίφος ″διῆλθεν ἐκεῖνον τὸν λάρυγγα, τὸ δεσποτικὸν ὄργανον, τὸ ὑπ' οὐρανοῦ θαυμαζόμενον, καὶ ἐπ ὑπὸ γῆς φριττόμενον; ποῖος τόπος τὸ σὸν ἐδέξατο αἷμα; [τὸ γαλακτῶδες ὁραθὲν ἐν τῷ χιτῶνι τοῦ σε ἀνασκολοπίσαντος, ὅπερ τὴν βάρβαρον αὐτοῦ ψυχὴν ὑπὲρ μέλι γλυκᾶναν, πιστὸν παρεσκεύασε γενέσθαι μετὰ τῶν συνεταίρων.] ἐμοὶ ξίφος ἐκεῖνο γένοιτο ἀντὶ στεφάνου. ὃς τριακονταπέντε ἐδούλευσε τῷ Κυρίῳ μετὰ πάσης προθυμίας· τελέσας δὲ τὸν ὑπὲρ τῆς εὐσεβείας δρόμον, ἀνεπαύσατο ὡς ἐτῶν ἑξήκοντα ὀκτώ. ἀντιφθεγγόμεθα ″ἡμῶν ταῖς ἁμαρτίαις τὰς μακαρίους ὑμῶν φωνάς. Χαίρετε ἐν Κυρίῳ πάντοτε· ἀδιαλείπτως ὑπὲρ ἡμῶν προσεύχεσθε· τὰς ὑποσχέσεις ὑμῶν ἐκπληρώσατε. ἀνακέκραγας γάρ, μακάριε Πέτρε, οὕτω φάσκων, ὅτι σπουδάσω μετὰ τὴν ἐμὴν ἄφιξιν τὴν ὑμετέραν μνήμην ποιεῖσθαι. ἔστιν οὖν ὁ μακάριος Πέτρος ὁ τοῦ Χριστοῦ ἀπόστολος ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας, [ἔνθα ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὰς πλείστας θαυματουργίας εἰργάσατο, ἐξ ἧς καὶ ὁ Φίλιππος ὥρμητο πόλεως·] ὁ δὲ μακάριος Παῦλος ἀπὸ Ταρσοῦ τῆς Κιλικίας· κεκοίμηνται δὲ ἀμφότεροι ἐν τῇ μεγαλοπόλει Ῥώμῃ τῇ ἀρχαίᾳ, μηνὶ Ἰουνίῳ, εἰκάδι ἐνάτῃ, ἐπὶ Νέρωνος τοῦ ἀνομωτάτου βασιλέως ἀναιρεθέντες, καὶ πρὸς τὸν διδάσκαλον καὶ Κύριον τῶν ἁπάντων μετὰ πλείστας πραγματείας ἀφικόμενοι. πᾶσαν οὖν σπουδὴν ἐπιδείξασθαι ὀφείλομεν, ἀγαπητοί, δεόμενοι τοῦ παμβασιλέως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἵνα ἡμᾶς ἀξιώσῃ τῇ αὐτοῦ φιλανθρωπίᾳ ταῖς αὐτῶν παραδόσεσι καὶ διδασκαλίαις ἐμμένειν, ἵνα λάβωμεν *ἔλεος ἔμπροσθεν τοῦ βήματος αὐτοῦ· δι' οὗ καὶ μεθ' οὗ τῷ Θεῷ καὶ πατρί, ἡ δόξα σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεί, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ.

γρ. πόσως

γρ. πυρώσεις

γρ. διῆλθέ σου τὸν διακριτικώτατον λά-

γρ. ἡμῖν τὰς μακαρίους ὑμῶν φωνάς.

Φιλιπ. δ. δ.

α. Θεσ. ε. ιζ.

* διὰ τῶν ἁγίων εὐχῶν αὐτῶν

Λογ. ρξη. ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΔΩΔΕΚΑ ΑΠΟΣΤΟλους.

Εἰκότως καὶ τήμερον ἐπὶ φοιτήσει τοῦ ἁγίου πνεύματος ἡ τῶν ἁλιέων αὕτη πεπλήρωται σαγήνη, ἀδιαλείπτως ἐν αὐτῇ τῶν λογικῶν ἰχθύων ἡμῶν εἰσπηδώντων. ὁ γὰρ λόγος τοῦ λόγου τοὺς ἀγραμμάτους σοφίσας, καὶ γλώσσαις πυρίναις τοὺς βραδυγλώσσους στομώσας, τὴν τέχνην αὐτῶν μετέθηκεν ἐπὶ τὸ θειότερον, λέγων, Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. εἶπε, δεῦτε ὀπίσω μου, καὶ πάντα πρὸς τὸ κρεῖττον εὐθέως μετεβλήθη. δώδεκα ἐπιλεχθέντες ἐτύγχανον ἀθληταὶ, καὶ τούτων οὐδαμῶς οὐδεὶς ἔμεινεν ἀστεφάνωτος. ἡ γὰρ μία χάρις τοῖς ἅπασι συνῆλθε καὶ συνέτρεχε, καὶ τὴν ἑκάστου νίκην δοκιμωτέραν ἐδείκνυε. μόνος ὁ τάλας Ἰούδας τῆς τοιαύτης ἀγκύρας ἑαυτὸν ἀπεσχοίνισε, φιλήματι τοῖς λύκοις ὑποδείξας τὸ πρόβατον, καὶ τριάκοντα ἀργυρείων πωλήσας τὸν Κύριον, οὗ τὸ αἷμα τὸν κόσμον ἠγόρασεν. ἀλλ' ὦ τῆς ὑμῶν, ἀπόστολοι, μακαρείας καὶ λαμπρᾶς ξυνωρίδος, ὅτι τὰ πάντα τοῖς πᾶσι γεγόνατε χάριτι, οὐ καλάμῳ, ἀλλὰ λόγῳ τὰς τῶν ἀνθρώπων ἀγέλας ἐμπείρως ζωγρήσαντες. ὑμεῖς γάρ ἐστε τῆς ὀρθοδοξίας ἀμετάθετοι στῦλοι, τῆς ἐκκλησίας πέτρα, τῆς βασιλείας σκῆπτρα, καὶ τοῦ ποιμνίου μάλιστα τούτου ἄγρυπνοι προστάται, τῆς νοσούσης ἀνθρωπότητος ἄμισθοι ἰατροὶ, καὶ τῆς ἡμῶν μετανοίας πρὸς Θεὸν ἀνάδοχοι συμπαθεῖς. ὡς γὰρ ἀκμόνες τινὲς ἔμψυχοι τυγχάνοντες, ἐν τῷ τύπτεσθαι τοὺς τύπτοντας ἐχαλκεύσατε πρὸς ἐπίγνωσιν. Πέτρος ἐντεῦθεν μαθητεύει τὴν Ῥώμην· Παῦλος ἐκεῖθεν εὐαγγελίζεται κόσμον· Ἀνδρέας τῆς Ἑλλάδος σοφοὺς διορθοῦται· Σίμων διδάσκει τὸν Θεὸν τοὺς Βαρβάρους· Θωμᾶς διὰ βαπτίσματος λευκαίνει τοὺς Αἰθίοπας· Ἰακώβου τὴν καθέδραν ἡ Ἰουδαία τιμᾷ, Μάρκου τὸν θεῖον Ἀλεξάνδρεια ἡ παρὰ Νεῖλον ἀσπάζεται· Λουκᾶς καὶ Ματθαῖος γράφουσι τὰ εὐαγγέλια· Ἰωάννης ἔτι θεολογῶν, καὶ μετὰ τέλος ὡς ζῶν, θεραπεύει τὴν Ἔφεσον· Βαρθολομαῖος παιδαγωγεῖ σωφρονῶν τοὺς Λυκάονας· Φίλιππος θαυματουργῶν σώζει τὴν Ἱεράπολιν. ἅπαντες ἁπανταχοῦ πάντας εὐεργετοῦντες οὐ παύονται· κόνιν ἀθάνατον ἐν τάφοις καταλελοίπασι, νῦν μὲν θεραπευόνται, μετ' ὀλίγον δὲ δικασταὶ τοῦ κόσμου προκαθήμενοι. τούτῳ προσαπελάσας χωλὸς, ἀρτίπους ἀνέλυσεν· ἐκείνῳ συντυχὼν παράλυτος, κλινοφορεῖν ἐκελεύετο· ἄλλος ἐκάλει νεκρούς, καὶ τούτους εἶχεν εὐθὺς ὑπακούοντας· ἑτέρου καὶ σκιὰ μόνη τὰς νόσους ἐδίωκεν, ἄλλου τὴν ἐπίκλησιν οἱ δαίμονες ἔφριττον, καὶ τὰ σουδάρια τούτων ἀπέσταζον ἴασιν. μαθηταὶ γὰρ ὑπῆρχον ἐκείνου, οὗπερ τὸ κράσπεδον κλαπὲν τῆς αἱμοῤῥοούσης ἀφῇ, τὴν ἐρυθρὰν τῶν αἱμάτων ἀπεξήρανε θάλασσαν. ἀλλ' ἐγὼ πρὸς τοὺς κορυφαίους τῶν ἀποστόλων ἐπάνειμι τῷ λόγῳ, καὶ τῆς προφητικῆς ἐκείνης ἐπιμέμνημαι φωνῆς· Ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν τοὺς ἀδελφοὺς ἐπὶ τὸ αὐτό; ἡγείσθω τοίνυν τοῦ λόγου Πέτρος, ἐπεὶ καὶ πρότερος εἰς τὸν ἀμπελῶνα τοῦ Κυρίου μεμίσθωται, Πέτρος τῆς τοῦ καλοῦ ποιμένος ἀγέλης τὸ πρωτότοκον πρόβατον, Πέτρος ὁ ἀπὸ λίμνης εἰς οὐρανὸν ἀναβὰς, ὁ τοὺς ναύτας ἀφεὶς, καὶ συλλαλεῖν ἀγγέλοις ἀξιωθεὶς, ὁ τὴν ὁλκάδα καταλιπὼν, καὶ τὴν ἐκκλησίαν παραλαβὼν εἰς κυβέρνησιν· ὁ κλειδοῦχος τῶν οὐρανῶν προσκληθεὶς, εἰς τὸ δεσμοῦν καὶ λύειν ἐπὶ γῆς ἐν ἐξουσίᾳ δεξάμενος· ὁ πρὸς τὴν κλῆσιν ταχὺς, καὶ πρὸς τὴν πίστιν ἀνενδοίαστος, καὶ ἀεὶ πάντα θερμὸς τοῦ διδασκάλου συνήγορος· Σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, φθεγξάμενος· ὁ συναποθνήσκειν τῷ δεσπότῃ προθέμενος, καὶ μέχρι τῆς αὐλῆς τοῦ Καϊάφα τῷ δεδεμένῳ λυ-

πρωτῳ

Ex edit. Rom.

Μαρ. Ιω. α. Λουκ. ε.

Ματθ. δ. ιθ.

γρ. χορείας

γρ. τὸ αἷμα τοῦ σφαγέντος τὸν κόσ-

γρ. ἐπεὶ

Ψαλ. ρλβ. α.

γρ. προβληθεὶς

Ματθ. ις. ις.

πρώτῃ συνεισερχόμενος. ὁ δὲ ἀρνούμενος συγγνωστὸς, καὶ μεταμελόμενος θαυμαστός. οὐδὲ
γὰρ μέμψεως τοσοῦτον διὰ τὴν ἄρνησιν, ὅσον μακαρισμοῦ διὰ τὴν μετάνοιαν ἄξιος. ἡ-
μῖν γὰρ καὶ σφαλλόμενος ὠφέλιμος, ὅτι ταχὺ δακρύσας τὸ πταῖσμα κατέκλυσε, καὶ πρὸς
μικρὸν σαλευθεὶς, εἰς αἰῶνα τῶν πιστῶν εὑρέθη θεμέλιος. ἂν γὰρ σκοπήσῃς, ἀγαπητὲ, τὸν
τότε καιρὸν τῆς εὐκαίρου δειλίας, οὐκ ἂν εὕροις πολὺ τὸν Πέτρον πρὸς τὴν μέμψιν ὑπεύ-
θυνον. ὅτε γὰρ ἥλιος ἔφυγεν, οὐρανὸς ἐκρύπτετο, γῆ ἐσαλεύετο, πέτραι διεθρύπτοντο, οὐ
δυνάμεναι φέρειν τὴν ὕβριν τοῦ κτίσαντος, τότε Πέτρος ὤκλασε, τότε ὁ κορυφαῖος ἠρνήσα-
το· καὶ τὸν ἄλογον τῆς ἡμέρας ἄγγελον, ἔλεγχον εὐθὺς εὗρε τῆς προῤῥηθείσης ἀρνήσεως.
Ματθ. κϛ λδ. Πρὶν ἀλέκτορα φωνῆσαι, ἀπαρνήσῃ με τρίς. ἀλλὰ πρῶτος ἀρνησάμενος, πρῶτος ἐπὶ
τὸν τάφον ἔδραμε, πρῶτος εἶδεν ἀναστάντα τὸν ζωοδότην τῶν νεκρῶν, παρὰ Μαρίας μα-
θὼν ὅπερ αὐτῇ οὐκ ἐθάῤῥησεν ἐπάνω τοῦ λίθου καθήμενος ἄγγελος. ἀλλ' ἦλθε μετ' αὐτὸν ἴσ. ἀγγελοῦσαι
εἰς μέσον Παῦλος ὁ πάνσοφος τῆς οἰκουμένης ῥήτωρ, ὁ ἀπὸ λύκου ἀρνὸς, ὁ ἐξ ἀκανθῶν ἴσ. ἀμνὸς, ὁ
βότρυς, ὁ ἐκ ζιζανίων σῖτος, ὁ ἀπὸ ἐχθροῦ φίλος, ὁ ἀπὸ Ἑβραίων μόνων Ἑβραῖος, ὁ παρ' ἐκεί-
νοις Σαῦλος ἐμπνέων ἀπειλῆς καὶ φόνου, παρ' ὑμῖν δὲ Παῦλος Ἰησοῦ Χριστοῦ κλητὸς ἀπόστολος, ἴσ. παρ' ἡμῖν
ὁ ἀπὸ βλασφήμου θεολόγος, ὁ ἀπὸ διώκτου εὐαγγελιστὴς, ὁ ἀπὸ πειρατοῦ κυβερνήτης, ὁ ἀπὸ
προδότου στρατιώτης· ὁ μετὰ Πέτρου τὴν Ῥώμην λαχὼν εἰς ταφὴν, καὶ μετ' αὐτοῦ καὶ ταύ- γρ. λυχνοπτῶ
την καὶ περιορῶν τὴν Συχέμ· ὁ κατὰ τὸν Βενιαμὶν τοῦ Ἰωσὴφ ἀδελφὸς, καὶ κατὰ τὴν Θέκλαν καὶ
τῶν παίδων πατὴρ καὶ διδάσκαλος· ὁ περὶ τῆς Δαμασκοῦ τυφλὸς, καὶ καθ' ἑκάστην πόλιν
τοῦ κηρύγματος ὀφθαλμός· ὁ ἐξ οὐρανοῦ κληθεὶς, καὶ εἰς οὐρανὸν ἁρπαγείς· ὁ θεωρήσας τὸν
παράδεισον πρὸ τῆς ἐντεῦθεν ἀφίξεως, καὶ τὸν στέφανον τῆς νίκης ἔτι παλαίων λαβὼν, καὶ πάλιν
β. Τιμ. δ. η. (ὡς λέγει) χρεωστούμενον. τί γάρ φησιν; Ὃν ἀποδώσει μοι Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.
Παῦλος ὁ ἐξ ἐσχάτων πρῶτος, ὁ ἀπὸ ἐκτρώματος τέλειος ἀνὴρ, ὁ καὶ διώκων ἡδὺς, καὶ διω-
κόμενος γλυκὺς, ὁ Ῥωμαῖος καὶ Φαρισαῖος, καὶ πάντα τοῖς πᾶσι διὰ πίστιν γινόμενος. ὁ Χρι-
Πραξ. θ. ιϛ. στὸς γὰρ ὁ εἰπὼν Πέτρῳ, δεῖ σε παθεῖν, εἶπε καὶ περὶ Παύλου, Ὅσα αὐτὸς ἔδει ὑπὲρ τοῦ ἴσ. αὐτὸν ἔδει
ὀνόματος αὐτοῦ παθεῖν, ἵνα ὁ μὲν σταυρούμενος, ὁ δὲ τὴν κεφαλὴν τεμνόμενος, μίαν πίστιν κη-
ρύξαντες, ἕνα δρόμον τελέσαντες, μάρτυρες ἀληθεῖς τῆς ἀναστάσεως ἔσωνται τοῦ παθόντος καὶ
ταφέντος καὶ ἀναστάντος, ὡς εἶδε, καὶ εἰς τὸν κόλπον τοῦ πατρὸς φθάσαντος, ὅνπερ οὐδέποτε
Ψαλμ. μζ ια. καταλέλοιπε. πρὸς οὓς αὐτὸς ὁ δεσπότης προφητικῶς διαλέγεται· Κυκλώσατε τὴν νέ-
αν ταύτην Σιὼν, καὶ περιλάβετε αὐτήν· τουτέστι, φυλάξατε, τειχίσατε, ταῖς εὐχαῖς ὀχυ-
ρώσατε, ἵν', ὅταν εὐχερῶς ὀργίζωμαι καὶ σαλεύω τὴν σύμπασαν, βλέπων τὸν ὑμῶν ἀτελεύ-
τητον τάφον, καὶ ἅπερ ἑκουσίως δι' ἐμὲ βαστάζετε στίγματα, νικῶ τὸν θυμὸν εὐσπλαγχνίᾳ, καὶ
παραλαμβάνω τὴν ὑμῶν διὰ ταύτην πρεσβείαν. ἱερωσύνην γὰρ καὶ βασιλείαν ὅταν ἴδω
δακρύουσαν, εὐθὺς πρὸς οἶκτον ὡς συμπαθὴς ἐπικάμπτομαι, καὶ τῆς ἐμῆς ἐκείνης φωνῆς
δ. Βασ. ιθ. λδ. ἐπιμέμνημαι, Ὑπερασπιῶ τῆς πόλεως ταύτης διὰ Δαβὶδ τὸν δοῦλόν μου καὶ Ἀαρὼν τὸν
ἅγιόν μου· οἵτινες ὡς ὑμεῖς ὁμονοήσαντες τῇ πίστει, καὶ τὰς ἀξίας αὐθαιρέτῳ ταπεινοφροσύνῃ
καλύψαντες, καὶ τῇ στολῇ δείξαντες τῆς ψυχῆς τὴν ταπείνωσιν, πολλάς μοι τῶν μαθητῶν
μυριάδας προσήνεγκαν ἐμὲ φέρουσαι, καὶ ὑπὲρ ἐμοῦ τῷ κόσμῳ τὸν ἱλασμὸν αἰτοῦσαι. εἶπον
Ματθ. ζ. ζ. γάρ, Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ,
εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ.

Λογ. ρξθ. ΕΙΣ ΤΝΗ ΣΥΝΑΞΙΝ ΤΩΝ ΑΡΧΑΓΓΕΛΩΝ.

Ἀγγέλους ἐγκωμιάζειν χρεών. καὶ γὰρ αὐτοὶ τὸν δημιουργὸν ὑμνοῦντες, ἵλεων αὐτὸν καὶ εὐμενῆ τοῖς ἀνθρώποις παρέχουσιν. ἀγγέλους δέ φημι, τοὺς ἡμετέρους συμμάχους, τοὺς κατὰ τῶν ἀντικειμένων δυνάμεων ἐκστρατεύοντας· ὧν εἷς ἐστιν ὁ ἀρχάγγελος Μιχαὴλ πρὸς μὲν τὸν διάβολον ὑπὲρ Μωϋσέως σώματος ἀντιταττόμενος, πρὸς δὲ τοὺς ἄρχοντες τῶν Περσῶν ὑπὲρ τῆς τοῦ λαοῦ ἐλευθερίας ἀνθιστάμενος· ὧν ἐστιν ἐκεῖνος ὁ τὴν ὄνον καταστρέφων, καὶ Βαλαὰμ τῆς ἀτόπου μανίας εἴργων. καὶ ἐπείπερ ὁ μάντις οὐκ ἐνόει τὸ παρατελλόμενον, ἀλόγου φωνὴ τὸ λογικὸν ἐσωφρόνιζεν· ὧν ἐστιν ὁ τὴν μάχαιραν ἀσπασάμενος, καὶ τὸν Ἰησοῦν τοῦ Ναυῆ συμπλέκεσθαι τοῖς πολεμίοις προτρεπόμενος· ὧν ἐστιν ὁ τὰς πέντε καὶ ὀγδοήκοντα καὶ ἑκατὸν χιλιάδας τῶν Ἀσσυρίων ἐν μιᾷ νυκτὶ πατάξας, καὶ τῷ ὕπνῳ τῶν βαρβάρων συνάψας τὸν θάνατον· ὧν ἐστιν ὁ τὸν προφήτην Ἀμβακοὺμ ἀερίσῳ μετακοσμήσας πηδήματι, ἵνα τὸν προφήτην Δανιὴλ ἐν μέσῳ τῶν ἀγρίων λεόντων γεύσῃ τροφῆς. οὗτοι μὲν οὖν, καὶ οἱ τοιοῦτοι κατὰ τῶν ἐχθρῶν εἰσιν, οἱ καὶ κατὰ τῶν παθῶν ἀριστεύουσιν· ὁποῖος ἦν καὶ ὁ θαυμάσιος καὶ θεσπέσιος Ῥαφαήλ, δι' ἑνὸς ἰχθύος ἀνατομῆς δαιμονιῶσαν κόρην ἰασάμενος, καὶ γέροντι τυφλῷ τὸ φῶς τεχνιασάμενος. ἀλλ' οὐδὲ ἐκεῖνοι σιωπῆς ἄξιοι οἱ τῇ νέᾳ διαθήκῃ διακονήσαντες, ὧν μέγα μέρος ἐστὶν ὁ ἀρχάγγελος Γαβριήλ, ὁ τῷ Ζαχαρίᾳ χρηματίσας, καὶ σιωπῇ τὴν ἀπιστίαν εἰσπραξάμενος, ὅτι μὴ κύειν τὴν στεῖραν διὰ τὴν μέλλουσαν οἰκονομίαν ἐπίστευσεν· ὁ τῇ σεμνῇ Μαριὰμ τὰς ἀνυμφεύτους ὠδῖνας εὐαγγελισάμενος· ὁ τοὺς ποιμένας ἐπὶ τὸ σπήλαιον ὁδηγῶν, καὶ καταμηνύων τὸν ἀχώρητον ἐν φάτνῃ, ἐν σπαργάνοις τὸν ἀπερίγραπτον, ἐκείνοις σύμφωνον ᾠδὴν δοξολογίας ἀναπέμπων· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. ἄλλος τοὺς μάγους κωλύει τῆς ἐπὶ τῶν τυράννων ἀναζεύξεως· οἱ δὲ διηκόνουν ἐπὶ γῆς τῷ κτίσαντι· ἄλλος τὸν μνηστῆρα τῆς παρθένου νουθετεῖ μὴ ἀπολύειν ὡς διεφθαρμένην τὴν ἄφθορον· ἄλλος αὐτῷ διὰ τὴν Ἡρώδου βρεφοκτονίαν φυγὴν ἐπιτήδειον ὑποτίθεται. καίπερ ἐν σαρκὶ θεωροῦντες τὸν ἄκτιστον, δουλοπρεπῶς διηκόνουν. ἐθαύμασαν γὰρ τὴν ἰσχὺν αὐτοῦ, δι' ἧς ὁ πειράζων κατέπεσε, καὶ κατὰ τὴν φωνὴν τοῦ Δαβίδ, Ἐπὶ χειρῶν ἀροῦντες αὐτόν, ἔξω τῆς βολῆς τῶν λίθων ἐκόμιζον. Ἦραν γάρ, φησιν, Ἰουδαῖοι λίθους, ἵνα βάλωσιν ἐπ' αὐτόν. ἄλλοι τῷ πάθει συνέτρεχον· ἄλλοι μετὰ τὴν ἀνάστασιν τῷ κενῷ τάφῳ συνεδρεύοντες, πισταῖς γυναιξὶν ἔλεγον, Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; μετὰ δὲ τὴν ἀνάληψιν ἐδορυφόρουν τοὺς μαθητάς, τὰ Πέτρου λύοντες δεσμά, Παύλου τοὺς ἐπὶ γῆς καὶ θαλάττης κινδύνους ἐπικουφίζοντες, τῇ πίστει Κορνηλίου μεσιτεύοντες, τὸν δικαιοκτόνον Ἡρώδην μεγαληγοροῦντα πατάσσοντες. ἆρ' οὖν οὐ μεγίστης τιμῆς ἄξιοι, οἱ τὴν ἡμετέραν ζωὴν διιθύνοντες; οὐ γὰρ μόνον ἔθνη φρουρεῖν ἐτάχθησαν ἄγγελοι, καθὼς βοᾷ τὸ λόγιον, Ὅτε διεμέριζε, φησιν, ἔθνη ὁ ὕψιστος, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ· ἀλλὰ γὰρ τῶν ἀνθρώπων ἕκαστος ἔλαχεν ἄγγελος. ὁ λόγος οὐκ ἐμός, ἀλλὰ τῆς θείας γραφῆς. τῆς γὰρ παιδίσκης Ῥόδης ἀπαγγελούσης τοῖς ἀποστόλοις πρὸ θυρῶν ἑστάναι Πέτρον τὸ Ἡρώδου διαδράντα δεσμωτήριον, ἀπιστοῦντες ἔλεγον ἐκεῖνοι, Ὁ ἄγγελος αὐτοῦ ἐστιν. ἐπιμαρτυρεῖ δὲ καὶ ὁ σωτὴρ τούτοις, περὶ τῶν κατὰ τὸν βίον σμικρῶν λέγων, Ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων. λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγελοι αὐτῶν ἐν οὐρανοῖς διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. καθ' ἑκάστην δὲ ἐκκλησίαν

ἴσ. τὸν ἄρχοντα

ἴσ. ἀερίῳ μετακομίσας πηδ-

ἴσ. τεχνησάμενος.

ἴσ. τὸν τύραννον

ἴσ. ἀγγέλων καὶ τῶν

Λουκ. β. ιδ.

Ψαλ. ϟ. ιβ.

Ἰωάν. η. νθ.

Λουκ. κδ. ε.

Δευτ. λβ. η.

Πράξ. ιβ. ιε.

Ματθ. ιη. ι.

Ἀποκαλ. β. θ. κλησίαν ἐπέστησεν ἀγγέλους φύλακας ὁ Χριστὸς, ὡς ἀποκαλύπτων Ἰωάννης φησίν· Εἰπὲ τῷ ἀγγέλῳ τῆς ἐκκλησίας Σμύρνης, Οἶδά σου τὴν πενίαν καὶ τὴν θλῖψιν· ἀλλὰ πλούσιος εἶ. τί λέγεις, ὦ δέσποτα; πλούσιός εἰμι, πένης ὤν; τί με διακένῳ πλουτίζεις ὀνόματι; εἰ μὲν γὰρ πλούσιος, οὐ πένης· εἰ δὲ πένης, πῶς πλούσιος; πολλὴ γὰρ πλούτου καὶ πενίας ἡ διάστασις, ὡς αὐτὸς μαρτυρεῖς, Χάσμα μέγα μεταξὺ πλουσίου καὶ πένητος" ὡρισμένος. χ. ἐστηριγμένος ὁ πλούσιος τὸν πτωχὸν ἀποστρέφεται, ὁ πτωχὸς τὸν πλούσιον ὑποβλέπεται. ἐναντία τὰ πράγματα, ὁ βίος ἀνώμαλος. ὁ μὲν γὰρ ἐπιστένει τοῖς πάθεσιν, ὁ δὲ ἐπικαγχάζει ταῖς ἡδοναῖς· οὗτος ἄρτου τυχεῖν εὔχεται, ἐκεῖνος ταῖς ἀδηφαγίαις ὑπερμαζᾷ· οὗτος οἴνου κοτύλης οὐκ εὐπορεῖ, ἐκεῖνος κραιπαλῶν καὶ καταπλούμενος ἐξερεύγεται τὴν μέθην· οὗτος ῥάκος περιβέβληται, ἐκεῖνος ποικίλοις περικεκόσμηται ἐσθήμασιν· οὗτος ἐπὶ ἐδάφους ἀγρυπνῶν ἔρριπται, ἐκεῖνος ἐπὶ στρωμνῆς ῥέγχει τὴν τρυφὴν ὀνειροπολῶν· οὗτος κέρμα τι αἰτεῖ, ἐκεῖνος χρυσῷ κέχρωται. ὁ γὰρ θησαυρίζων, μὴ διανέμων δὲ, ἐπέοικε πτωχῷ πλουσίαν τρυφὴν ἀναμένοντι. ἀλλ' οὐδὲ τοῖς καιροῖς ἴσως χαίρουσι. τῷ πτωχῷ μὲν γὰρ ὁ χειμὼν χαλεπὸς ὅτι θάλπος οὐκ ἔχουσι, τῷ πλουσίῳ δὲ τὸ θέρος μοχθηρὸν ὑπὸ πλησμονῆς" τὸ θάλπος οὐ στέγουσι. ἴσ. τοῦ θάλπους πῶς οὖν ὁ αὐτὸς πένης καὶ πλούσιος; ἀληθὴς ὁ λόγος, καὶ ὁ φθεγγόμενος. πένητες μὲν διὰ τὴν ἔνδειαν τῶν χρημάτων, πλούσιοι δὲ διὰ τοὺς τῆς πίστεως θησαυρούς. ἄμεινον δὲ πένεσθαι τὰ βιωτικὰ, πλουτεῖν δὲ τὰ πνευματικά· τῶν μὲν γὰρ τὸ τέλος φθορὰ, τῶν δὲ τὸ κέρδος ἀναφαίρετον. Ματθ. ς. ιθ. διὰ τοῦτό φησιν ὁ υἱὸς, Μὴ θησαυρίζετε θησαυροὺς ἐπὶ τῆς γῆς," καλῶν ἡμᾶς θησαυρίζειν τὰ ἐπουράνια, ἴσ. παρακαλῶν πτωχοὺς τρέφειν, ἀσθενεῖς ἐπισκέπτεσθαι, ἀσκέπους σκέπειν, Παροι. ιθ. ιζ. χρεωφειλέτας ἀπόρους λύειν, καὶ τὸ δάνειον ἐκ Θεοῦ ἀπαιτεῖν. Ὁ ἐλεῶν γὰρ πτωχὸν, δανείζει Θεῷ. ταῦτα γὰρ ἄγγελοι θεωροῦντες ἐπὶ τὸν κριτὴν τῶν ὅλων ἀναφέρουσιν· Πραξ. ι. δ. ὁ δὲ προστάττει" λέγων αὐτοῖς τῷ ἐργαζομένῳ τὸ ἀγαθὸν, Αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον σου ἔμπροσθεν τοῦ Θεοῦ. ἴσ. λέγων αὐτὸν

αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ETONÆ
Excuſum in Collegio Regali.
1611.

MVSEVM
BRITANNICVM

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ
Πατρὸς ἡμῶν
ΙΩΑΝΝΟΥ
ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ
ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ
ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ΤΩΝ
εὑρισκομένων

ΤΟΜΟΣ ΕΚΤΟΣ,

Δι' ἐπιμελείας καὶ ἀναλωμάτων ΕΡΡΙΚΟΥ τοῦ ΣΑΒΙΛΙΟΥ
ἐκ παλαιῶν ἀντιγράφων ἐκδοθείς.

HONI SOIT QUI MAL Y PENSE

ETONÆ, *in Collegio Regali,*
Excudebat IOANNES NORTON, in Græcis &c.
Regius Typographus.
1611

MVSEVM
BRITAN
NICVM

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ
ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ
ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου λόγοι διάφοροι.

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ. Λογ. α.

Ἐμοὶ πολλοὶ μὲν ἐγένοντο φίλοι, γνήσιοί τε καὶ ἀληθεῖς, [καὶ] τοὺς τῆς φιλίας νόμους καὶ εἰδότες καὶ φυλάττοντες ἀκριβῶς· εἷς δέ τις τουτωνὶ τῶν πολλῶν, ἅπαντας αὐτοὺς ὑπερβαλλόμενος τῇ πρὸς ἡμᾶς φιλίᾳ, τοσοῦτον ἐφιλονείκησεν ἀφεῖναι κατόπιν ἐκείνους, ὅσον ἐκεῖνοι τοὺς ἁπλῶς πρὸς ἡμᾶς διακειμένους. οὗτος τῶν τὸν ἅπαντά μοι χρόνον παρηκολουθηκότων ἦν. καὶ γὰρ μαθημάτων ἡψάμεθα τῶν αὐτῶν, καὶ διδασκάλοις ἐχρησάμεθα τοῖς αὐτοῖς. ἦν δὲ ἡμῖν [καὶ] προθυμία καὶ σπουδὴ περὶ τοὺς λόγους, οὓς ἐπονούμεθα, μία, ἐπιθυμία τε ἴση, καὶ ἐκ τῶν αὐτῶν τικτομένη πραγμάτων. οὐ γὰρ ὅτε εἰς διδασκάλους μόνον ἐφοιτῶμεν, ἀλλὰ καὶ ἡνίκα ἐκεῖθεν ἐξελθόντας βουλεύεσθαι ἐχρῆν, ὁποίαν ἑλέσθαι τοῦ βίου βέλτιον ἡμῖν ὁδόν, καὶ ἐνταῦθα ὁμογνωμονοῦντες ἐφαινόμεθα. καὶ ἕτερα δὲ πρὸς τούτοις ἡμῖν τὴν ὁμόνοιαν ταύτην ἐφύλαττεν ἄρραγῆ τε καὶ βεβαίαν. οὔτε γὰρ ἐπὶ πατρίδος μεγέθει ἕτερος ἑτέρου μᾶλλον φρονεῖν εἴχομεν· οὔτε ἐμοὶ μὲν πλοῦτος ὑπέρογκος ἦν, ἐκεῖνος δὲ ἐσχάτῃ συνέζη πενίᾳ, ἀλλὰ καὶ τὸ τῆς οὐσίας μέτρον, τὸ τῆς προαιρέσεως ἰσοστάσιον ἐμιμεῖτο· καὶ γένος δὲ ἡμῖν ὁμότιμον ἦν, καὶ πάντα τῇ γνώμῃ συνέτρεχεν. ἐπειδὴ δὲ ἔδει τὸν μακάριον, τὸν τῶν μοναχῶν μεταδιώκειν βίον, καὶ τὴν φιλοσοφίαν τὴν ἀληθῆ, καὶ οὐκ ἔτι ἡμῖν ὁ ζυγὸς οὗτος ἴσος ἦν, ἀλλ᾽ ἡ μὲν ἐκείνου πλάστιγξ ἐκουφίζετο μετέωρος, ἐγὼ δὲ ἔτι ταῖς τοῦ κόσμου πεπεδημένος ἐπιθυμίαις καθεῖλκον τὴν ἐμαυτοῦ ψυχήν, καὶ ἐβιαζόμην κάτω μένειν, νεωτερικαῖς αὐτὴν ἐπιβρίθων φαντασίαις· ἐνταῦθα λοιπὸν ἡ μὲν φιλία βέβαιος ἔμενεν ἡμῖν, καθάπερ καὶ πρότερον, ἡ δὲ συνουσία διεκόπτετο. οὐ γὰρ ἦν τοὺς μὴ περὶ τὰ αὐτὰ σπουδάζοντας, κοινὰς ποιεῖσθαι τὰς διατριβάς. ὡς δέ ποτε καὶ αὐτὸς μικρὸν ἀνέκυψα τοῦ βιωτικοῦ κλύδωνος, δέχεται μὲν ἡμᾶς, ἄμφω τὼ χεῖρε προτείνας· τὴν δὲ ἰσότητα οὐδὲ οὕτως ἰσχύσαμεν φυλάξαι τὴν προτέραν. καὶ γὰρ καὶ τῷ χρόνῳ φθάσας ἡμᾶς, καὶ πολλὴν τὴν σφοδρότητα ἐπιδειξάμενος, ἀνωτέρω πάλιν ἡμῶν ἐφέρετο, καὶ εἰς ὕψος ᾔρετο μέγα. πλὴν ἀλλ᾽ ἀγαθός τε ὤν, καὶ πολλοῦ τὴν ἡμετέραν τιμώμενος φιλίαν, ἁπάντων ἑαυτὸν ἀποστήσας τῶν ἄλλων, ἡμῖν

γρ. ἐποιοῦμ.

γρ. ἔχειν·

πλημμέτὸν ἅπαντα χρόνον συνεῖναι, ἐπιθυμῶν μὲν τούτου καὶ πρότερον, ὅπερ δ' ἔφην, ὑπὸ τῆς ἡμετέρας κωλυόμενος ῥᾳθυμίας. οὐ γὰρ ἦν τῷ δικαστηρίῳ προσεδρεύοντα, καὶ περὶ τὰς ἐν τῇ σκηνῇ τέρψεις ἐπτοημένον, συγγίνεσθαι πολλάκις τῷ βίβλοις προσηλωμένῳ, καὶ μηδὲ εἰς ἀγορὰν ἐμβάλλοντί ποτε. διὰ τοῦτο δὴ καὶ πρότερον διειργόμενος, ἐπειδή ποτε ἡμᾶς ἔλαβεν εἰς τὴν αὐτὴν τοῦ βίου κατάστασιν, ἀθρόως, ἣν πάλαι ὤδινεν ἐπιθυμίαν, ἀπέτεκε τότε· καὶ οὐδὲ τὸ βραχύτατον τῆς ἡμέρας μέρος ἡμᾶς ἀπολιμπάνειν ἠνείχετο, διετέλει τε παρακαλῶν, ἵνα τὴν οἰκίαν ἀφέντες ἕκαστος τὴν ἑαυτοῦ, κοινὴν ἀμφότεροι τὴν οἴκησιν ἔχωμεν· καὶ ἔπεισέ γε, καὶ τὸ πρᾶγμα ἦν ἐν χερσίν. ἀλλά με αἱ συνεχεῖς τῆς μητρὸς ἐπῳδαὶ διεκώλυσαν ταύτην ἐκείνῳ δοῦναι τὴν χάριν, μᾶλλον δὲ ταύτην λαβεῖν παρ' ἐκείνου τὴν δωρεάν. ἐπειδὴ γὰρ ᾔσθετο ταῦτα βουλευόμενον, λαβοῦσά με τῆς δεξιᾶς, εἰσήγαγεν εἰς τὸν ἀποτεταγμένον οἶκον αὐτῇ· καὶ καθίσασα πλησίον ἐπὶ τῆς εὐνῆς, ἧς ἡμᾶς ὤδινε, πηγάς τε ἠφίει δακρύων, καὶ τῶν δακρύων ἐλεεινότερα προσετίθη τὰ ῥήματα, τοιαῦτα πρὸς ἡμᾶς ἀποδυρομένη.

γ. τὸν ἐν δικαστηρίῳ προσεδρ.

γ. προσετίθει

Ἐγώ, φησι, παιδίον, τῆς ἀρετῆς τοῦ πατρὸς τοῦ σοῦ οὐκ ἀφείθην ἀπολαῦσαι ἐπὶ πολύ, τῷ Θεῷ τοῦτο δοκοῦν. τὰς γὰρ ὠδῖνας τὰς ἐπὶ σοὶ διαδεξάμενος ὁ θάνατος ἐκείνου, σοὶ μὲν ὀρφανίαν, ἐμοὶ δὲ χηρείαν ἐπέστησεν ἄωρον, καὶ τὰ τῆς χηρείας δεινά, ἃ μόναι αἱ παθοῦσαι δύναιντ' ἂν εἰδέναι καλῶς. λόγος γὰρ οὐδεὶς ἂν ἐφίκοιτο τοῦ χειμῶνος ἐκείνου καὶ τοῦ κλύδωνος, ὃν ὑφίσταται κόρη, ἄρτι μὲν τῆς πατρῴας οἰκίας προελθοῦσα, καὶ πραγμάτων ἄπειρος οὖσα· ἐξαίφνης δὲ πένθει τε ἀφορήτῳ βαλλομένη, καὶ ἀναγκαζομένη φροντίδων καὶ τῆς ἡλικίας καὶ τῆς φύσεως ἀνέχεσθαι μειζόνων. δεῖ γάρ, οἶμαι, ῥᾳθυμίας τε οἰκετῶν ἐπιστρέφειν, καὶ κακουργίας παρατηρεῖν, συγγενῶν ἀποκρούεσθαι ἐπιβουλάς, τῶν τὰ δημόσια εἰσπραττόντων τὰς ἐπηρείας καὶ τὴν ἀπόνοιαν ἐν ταῖς τῶν εἰσφορῶν καταβολαῖς φέρειν γενναίως. ἐὰν δὲ καὶ παιδίον καταλιπὼν ὁ τεθνεὼς ἀπέλθῃ, θῆλυ μὲν ὂν πολλὴν μὲν καὶ οὕτω παρέξει τῇ μητρὶ τὴν φροντίδα, ὅμως δὲ καὶ ἀναλωμάτων καὶ δέους ἀπηλλαγμένην· ὁ δὲ υἱὸς μυρίων αὐτὴν φόβων καθ' ἑκάστην ἐμπίπλησι τὴν ἡμέραν, καὶ πλειόνων φροντίδων. τὴν γὰρ τῶν χρημάτων ἐῶ δαπάνην, ὅσην ὑπομένειν ἀναγκάζεται, ἐλευθερίως αὐτὸν ἀναθρέψαι ἐπιθυμοῦσα. ἀλλ' ὅμως οὐδέν με τούτων ἔπεισε δευτέροις ὁμιλῆσαι γάμοις, οὐδὲ ἕτερον ἐπεισαγαγεῖν νυμφίον τῇ τοῦ πατρὸς οἰκίᾳ τοῦ σοῦ· ἀλλ' ἔμεινον ἐν τῇ ζάλῃ καὶ τῷ θορύβῳ, καὶ τὴν σιδηρᾶν τῆς χηρείας οὐκ ἔφυγον κάμινον, πρῶτον μὲν ὑπὸ τῆς ἄνω βοηθουμένη ῥοπῆς, ἔφερε δέ μοι παραμυθίαν οὐ μικρὰν τῶν δεινῶν * ἐκείνων καὶ τὸ συνεχῶς εἰς τὴν σὴν ὄψιν ὁρᾶν, καὶ εἰκόνα μοι * τοῦ τετελευτηκότος φυλάττεσθαι ἔμψυχον, καὶ πρὸς ἐκεῖνον ἀπηκριβωμένην καλῶς. διὰ τοῦτο καὶ ἔτι νήπιος ὤν, καὶ μηδὲ φθέγγεσθαί πω μαθών, ὅτε μάλιστα τέρπουσι τοὺς τεκόντας οἱ παῖδες, πολλήν μοι παρεῖχες τὴν παράκλησιν. καὶ μὴν οὐδὲ ἐκεῖνο ἂν ἔχοις [εἰπεῖν καὶ] αἰτιάσασθαι, ὅτι τὴν μὲν χηρείαν γενναίως ἠνεγκάμην, τὴν δὲ οὐσίαν σοι τὴν πατρῴαν ἠλάττωσα μὲν διὰ τὴν τῆς χηρείας ἀνάγκην· ὅπερ πολλοὺς τῶν τὴν ὀρφανίαν δυστυχησάντων οἶδα παθόντας ἐγώ. καὶ γὰρ καὶ ταύτην ἀκέραιον ἐφύλαξα πᾶσαν, καὶ τῶν ὀφειλόντων εἰς τὴν εὐδοκίμησιν δαπανηθῆναι τὴν σὴν ἐνέλιπον οὐδέν, ἐκ τῶν ἐμαυτῆς, καὶ ὧν ἦλθον οἴκοθεν ἔχουσα, δαπανῶσα χρημάτων. καὶ μὴ τοίνυν νομίσῃς ὀνειδίζουσάν με ταῦτα λέγειν νῦν· ἀλλ' ἀντὶ πάντων σε τούτων μίαν αἰτῶ χάριν, μή με δευτέρᾳ χηρείᾳ περιβάλῃς, μηδὲ τὸ κοιμηθὲν ἤδη πένθος ἀνάψαι πάλιν· ἀλλὰ περίμεινον τὴν ἐμὴν τελευτήν· ἴσως μετὰ μικρὸν ἀπελεύσομαι χρόνον. τοὺς μὲν γὰρ νέους ἐλπὶς καὶ εἰς γῆρας ἥξειν μακρόν, οἱ δὲ γεγηρακότες ἡμεῖς οὐδὲν ἕτερον, ἢ τὸν θάνατον ἀναμένομεν. ὅταν οὖν με τῇ γῇ παραδῷς, καὶ τοῖς ὀστέοις τοῦ πατρὸς ἀναμίξῃς τοῦ σοῦ, στέλλου μακρὰς ἀποδημίας, καὶ πλέε θάλατταν, ἣν ἂν ἐθέλῃς, τότε ὁ κωλύσων οὐδ' εἷς· ἕως δ' ἂν ἐμπνέωμεν, ἀνάσχου τὴν μεθ' ἡμῶν οἴκησιν,

γ. ἀπελθὼν

γ. θρέψαι

γ. ἄνωθεν

* ὅμως

* λογίζεσθαι

γ. τῶν ὀρφα
δυστυ

μὴ δὴ προσκρούσῃς τῷ Θεῷ μάτην καὶ εἰκῆ, τοῖς τοσούτοις ἡμᾶς περιβαλὼν κακοῖς, ἠδικηκότας οὐδέν. εἰ μὲν γὰρ ἔχεις ἐγκαλεῖν, ὅτι σε εἰς βιωτικὰς περιέλκω φροντίδας, καὶ τῶν πραγμάτων ἀναγκάζω φροντίζειν τῶν ἐμῶν, μὴ τοὺς τῆς φύσεως νόμους, μὴ τὴν ἀνατροφήν, μὴ τὴν συνήθειαν, μηδὲ ἄλλο μηδὲν αἰδεσθείς, ὡς ἐπιβούλους φεῦγε καὶ πολεμίους. εἰ δὲ ἅπαντα πράττομεν ὑπὲρ τοῦ πολλήν σοι παρασκευάσαι σχολὴν εἰς τὴν τοῦ βίου τούτου πορείαν, εἰ καὶ μηδὲν ἕτερον, οὗτος γοῦν κατεχέτω σε παρ᾽ ἡμῖν ὁ δεσμός. κἂν γὰρ μυρίους σε λέγῃς φιλεῖν, οὐδείς σοι παρέξει τοσαύτης ἀπολαῦσαι ἐλευθερίας· ἐπειδὴ μηδὲ ἔστι τις, ὅτῳ μέλει τῆς σῆς εὐδοκιμήσεως ἐξ ἴσης ἐμοί.

Ταῦτα [μὲν] καὶ τούτων πλείονα πρὸς ἐμὲ μὲν ἡ μήτηρ, ἐγὼ δὲ πρὸς τὸν γενναῖον ἔλεγον ἐκεῖνον. ὁ δὲ οὐ μόνον οὐκ ἐδυσωπεῖτο τοῖς ῥήμασι τούτοις, ἀλλὰ καὶ πλέον ἐνέκειτο, τὰ αὐτὰ ἀπαιτῶν, ἅπερ καὶ πρότερον. ἐν τούτῳ δὲ ἡμῶν ὄντων, καὶ τοῦ μὲν συνεχῶς ἱκετεύοντος, ἐμοῦ δὲ οὐκ ἐπινεύοντος, ἄφνω τις ἐπιστᾶσα φήμη διετάραξεν ἀμφοτέρους. ἡ δὲ φήμη ἦν, εἰς τὸ τῆς ἐπισκοπῆς ἡμᾶς ἀξίωμα μέλλειν παράγεσθαι. ἐγὼ μὲν οὖν ἅμα τῷ τὸν λόγον ἀκοῦσαι τοῦτον, δέει τε καὶ ἀπορίᾳ συνειχόμην· δέει μέν, μήποτε καὶ ἄκων ἁλῶ, ἀπορίᾳ δέ, ζητῶν πολλάκις, πόθεν ἐπῆλθε τοῖς ἀνδράσιν ἐκείνοις ἐνθυμηθῆναι τι τοιοῦτο περὶ ἡμῶν. εἰς γὰρ ἐμαυτὸν ἀφορῶν, οὐδὲν εὕρισκον ἔχοντα τῆς τιμῆς ἄξιον ἐκείνης. ὁ δὲ γενναῖος οὑτοσὶ προσελθών μοι κατ᾽ ἰδίαν, καὶ κοινωσάμενος περὶ τούτων, ὡς ἀνηκόῳ γε ὄντι τῆς φήμης, ἐδεῖτο κἀνταῦθα καὶ πράττοντας καὶ βουλευομένους ὀφθῆναι τὰ αὐτά, καθάπερ καὶ πρότερον· ἕψεσθαι γὰρ αὐτὸν ἑτοίμως ἡμῖν, καθ᾽ ὁποτέραν ἂν ἡγώμεθα τῶν ὁδῶν, εἴτε φυγεῖν, εἴτε ἑλέσθαι δέοι. αἰσθόμενος τοίνυν αὐτοῦ τῆς προθυμίας ἐγώ, καὶ ζημίαν ἡγησάμενος οἴσειν παντὶ τῷ κοινῷ τῆς ἐκκλησίας, εἰ νέου οὕτως ἀγαθοῦ, καὶ πρὸς τὴν τῶν ἀνθρώπων ἐπιστασίαν ἐπιτηδείου ἀποστερήσω τοῦ Χριστοῦ τὴν ἀγέλην διὰ τὴν ἀσθένειαν τὴν ἐμαυτοῦ, οὐκ ἀπεκάλυψα τὴν γνώμην, ἣν εἶχον περὶ τούτων, ἐκείνῳ· καίτοιγε μηδέποτε πρότερον ἀνασχόμενος λαθεῖν τι τῶν βουλευμάτων αὐτὸν τῶν ἐμῶν· ἀλλ᾽ εἰπὼν δεῖν τὴν ὑπὲρ τούτων βουλὴν εἰς ἕτερον ἀναβάλλεσθαι καιρόν (οὐ γὰρ νῦν τοῦτο κατεπείγειν) ἔπεισά τε εὐθέως μηδὲν ὑπὲρ τούτων φροντίζειν, καὶ ὑπὲρ ἐμαυτοῦ παρέχον θαρρεῖν, ὡς ὁμογνωμονήσοντος, εἴ ποτε συμβαίη τοιοῦτό τι παθεῖν. χρόνου δὲ παρελθόντος οὐ πολλοῦ, καὶ τοῦ μέλλοντος ἡμᾶς χειροτονήσειν ἐλθόντος, καὶ κρυπτομένου μου, αὐτὸς μηδὲν τούτων εἰδώς, ἄγεται μὲν ὡς ἐφ᾽ ἑτέρᾳ προφάσει, δέχεται δὲ τὸν ζυγόν, ἐλπίζων, ἐξ ὧν ὑπεσχημένος ἤμην αὐτῷ, καὶ ἡμᾶς πάντως ἕψεσθαι, μᾶλλον δὲ νομίζων ἡμῖν ἀκολουθεῖν. καὶ γάρ τινες τῶν ἐκεῖ παρόντων, ἀσχάλλοντα πρὸς τὴν σύλληψιν ὁρῶντες, ἠπάτησαν βοῶντες· ὡς ἄτοπον εἴη, τὸν μὲν θρασύτερον εἶναι δοκοῦντα παρὰ πᾶσιν (ἐμὲ λέγοντες) μετὰ πολλῆς τῆς ἐπιεικείας εἶξαι τῇ τῶν πατέρων κρίσει· ἐκεῖνον δέ, τὸν πολὺ συνετώτερον καὶ ἐπιεικέστερον, θρασύνεσθαι καὶ κενοδοξεῖν, σκιρτῶντα καὶ ἀποπηδῶντα καὶ ἀντιλέγοντα. τούτοις εἴξας τοῖς ῥήμασιν, ἐπειδὴ ἤκουσεν ὅτι διέφυγον, εἰσελθὼν πρὸς ἐμὲ μετὰ πολλῆς τῆς κατηφείας, καθέζεται πλησίον μου· καὶ ἐβούλετο μέν τι καὶ εἰπεῖν, ὑπὸ δὲ τῆς ἀπορίας κατεχόμενος, καὶ λόγῳ παραστῆσαι τὴν βίαν, ἣν ὑπέμεινεν, οὐκ ἔχων, ἅμα τῷ χᾶναι ἐκωλύετο φθέγγεσθαι, τῆς ἀθυμίας, πρὶν ἢ τοὺς ὀδόντας ὑπερβῆναι, διακοπτούσης τὸν λόγον. ὁρῶν τοίνυν ἐγὼ περιδάκρυν ὄντα, καὶ πολλῆς πεπληρωμένον τῆς ταραχῆς, καὶ τὴν αἰτίαν εἰδώς, ἐγέλων τε ὑπὸ πολλῆς τῆς ἡδονῆς, καὶ τὴν δεξιὰν κατέχων, ἐβιαζόμην καταφιλεῖν· καὶ τὸν Θεὸν ἐδόξαζον, ὅτι μοι τὰ τῆς μηχανῆς τέλος εἶχε καλόν, καὶ οἷον ηὐχόμην ἀεί.

Ὡς δὲ εἶδε περιχαρῆ τε ὄντα, καὶ φαιδρόν, καὶ πρότερον ἠπατημένος ὑφ᾽ ἡμῶν ᾔσθετο, μᾶλλον ἐδάκνετο καὶ ἐδυσχέραινε, καί ποτε μικρὸν ἀπ᾽ ἐκείνου καταστὰς τοῦ θορύβου τῆς ψυχῆς·

ΒΑΣ. ΑΛΛ᾽ εἰ καὶ τὸ ἡμέτερον, φησί, διέπλευσας, καὶ λόγον ἡμῶν ἔχεις οὐδένα λοιπὸν (ὡς ἔγωγε

γρ. περιστῆναι τῶν,
γρ. πάντα πρ. ὅσα πολ.
γρ. πλεῖον
γρ. ἱερωσύνης
γρ. περὶ ἡμῶν τι τοιοῦτο
γρ. φεύγειν
γρ. πολλῶν ἐπίσημον ὄντ.
γρ. τι τοιοῦτο συμβ. παθ.
γρ. [illegible]ίζειν τι
γρ. [illegible]ξασθαι
γρ. [illegible]δακρύοντα,
γρ. φιλεῖν·

οὐκ οἶδα ἀνθ' ὅτου) τῆς γοῦν ὑπολήψεως ἔδει σε φροντίσαι τῆς σῆς. νῦν δὲ τὰ πάντων ″ἀνέῳξας στόματα, καὶ δόξης σε ἐρῶντα κενῆς, τὴν λειτουργίαν ταύτην παρῃτῆσθαι λέγουσιν ἅπαντες· ὁ δὲ ἐξαιρησόμενός σε τῆς κατηγορίας ταύτης, οὐκ ἔστιν. ἐμοὶ δὲ οὐδὲ εἰς ἀγορὰν ″ἐμβαλεῖν ἀνεκτόν· τοσοῦτοι οἱ προσιόντες ἡμῖν, καὶ καθ' ἑκάστην ἐγκαλοῦντες τὴν ἡμέραν. ὅταν γὰρ ἴδωσι φανέντα που τῆς πόλεως, λαβόντες κατὰ μόνας ὅσοι πρὸς ἡμᾶς οἰκείως ἔχουσι, τῷ πλείονί με τῆς κατηγορίας ὑποβάλλουσι μέρει. εἰδότα γὰρ αὐτοῦ τὴν γνώμην, φασὶν (οὐδὲ γὰρ ἂν ″τί σε ἐλάνθανε τῶν ἐκείνου) οὐκ ἀποκρύψασθαι, ἀλλ' ἡμῖν ἀνακοινώσασθαι ἐχρῆν· καὶ πάντως οὐκ ἂν ἠπορήσαμεν μηχανῆς πρὸς τὴν ἄγραν. ἐγὼ δὲ, ὅτι μὲν σε οὐκ ᾔδειν ἐκ πολλοῦ ταῦτα βουλευόμενον, αἰσχύνομαι καὶ ἐρυθριῶ πρὸς ἐκείνους εἰπεῖν, μήποτε καὶ ὑπόκρισιν τὴν ἡμετέραν εἶναι νομίσωσι φιλίαν. εἰ γὰρ καὶ ἔστιν (ὥσπερ οὖν καὶ ἔστι, καὶ οὐδὲ ἂν αὐτὸς ἀρνηθείης, ἐξ ὧν εἰς ἡμᾶς ἔπραξας νῦν) ἀλλὰ τοὺς ἔξωθεν καὶ μετρίαν γοῦν περὶ ἡμῶν ἔχοντας δόξαν, καλὸν τὰ ἡμέτερα κρύπτειν κακά. εἰπεῖν μὲν οὖν πρὸς αὐτοὺς τἀληθὲς, καὶ ὡς ἔχει τὰ καθ' ἡμᾶς, ὀκνῶ· ἀναγκάζομαι δὲ λοιπὸν σιωπᾶν, καὶ κύπτειν εἰς γῆν, καὶ τοὺς ἀπαντῶντας ἐκτρέπεσθαι καὶ ἀποπηδᾶν. κἂν γὰρ τὴν προτέραν ἐκφύγω κατάγνωσιν, ψεύδους ἀνάγκη με κρίνεσθαι λοιπόν. οὐδὲ γὰρ ἐθελήσουσι πιστεῦσαί ποτε, ὅτι καὶ Βασίλειον μετὰ τῶν ἄλλων ἔταξας, οἷς οὐ θέμις εἰδέναι τὰ σά. ἀλλὰ τούτων μὲν οὐ πολύς μοι λόγος, ἐπειδή σοι τοῦτο γέγονεν ἡδύ· τὴν δὲ λοιπὴν πῶς ″οἴσομεν αἰσχύνην; οἱ μὲν γὰρ ἀπονοίας, οἱ δὲ φιλοδοξίας σε γράφονται. ὅσοι δέ εἰσιν ἀφειδέστεροι τῶν αἰτιωμένων, ταῦτά τε ἡμῖν ἀμφότερα ἐγκαλοῦσιν ὁμοῦ, καὶ προστιθέασι τὴν εἰς τοὺς τετιμηκότας ὕβριν· δίκαια πεπονθέναι λέγοντες αὐτούς, καὶ εἰ μείζονα τούτων ἀτιμασθέντες ἔτυχον παρ' ἡμῶν, ὅτι τοσούτους καὶ τηλικούτους ἀφέντες ἄνδρας, μειράκια χθὲς καὶ πρώην ἐπὶ ταῖς τοῦ βίου μερίμναις ἐγκαλινδούμενα (ἵνα χρόνον βραχὺν τὰς ὀφρῦς συναγάγωσι, καὶ φαιὰ περιβάλωνται, καὶ κατήφειαν ὑποκρίνωνται) ἐξαίφνης εἰς τοσαύτην ἤγαγον τιμὴν, ὅσην οὐδὲ ὄναρ λήψεσθαι προσεδόκησαν. καὶ οἱ μὲν ἐκ πρώτης ἡλικίας εἰς ἔσχατον γῆρας τὴν ἑαυτῶν ἐκτείναντες ἄσκησιν, ἐν τοῖς ἀρχομένοις εἰσίν· ἄρχουσι δὲ αὐτῶν οἱ παῖδες [αὐτῶν,] καὶ μηδὲ τοὺς νόμους ἀκηκοότες, καθ' οὓς ″ταύτην δεῖ διοικεῖν τὴν ἀρχήν. ταῦτα, καὶ πλείονα τούτων λέγοντες συνεχῶς ἡμῖν ἐπιφύονται. ἐγὼ δὲ ὅ,τι μὲν ἀπολογήσομαι πρὸς ταῦτα, οὐκ ἔχω· δέομαι δέ σου φράσαι μοι. οὐδὲ γὰρ ἁπλῶς, οὐδὲ εἰκῇ ταύτην οἶμαί σε φυγεῖν τὴν φυγὴν, καὶ πρὸς ἄνδρας οὕτω μεγάλους τοσαύτην ἀναδέξασθαι τὴν ἔχθραν· ἀλλὰ μετά τινος λογισμοῦ καὶ σκέψεως ἐπὶ τοῦτο ἐλθεῖν, ὅθεν καὶ λόγον ἕτοιμον εἶναί σοι πρὸς ἀπολογίαν στοχάζομαι. εἰπὲ οὖν εἴ τινα πρόφασιν δικαίαν πρὸς τοὺς ἐγκαλοῦντας δυνησόμεθα λέγειν. ὧν γὰρ αὐτὸς ἠδίκημαι παρὰ σοῦ, οὐδένα ἀπαιτῶ λόγον, οὐχ ὧν ἠπάτησας, οὐχ ὧν προὔδωκας, οὐχ ὧν ″ἀπήλαυσας παρ' ἡμῶν ἅπαντα τὸν ἔμπροσθεν χρόνον. ἡμεῖς μὲν γὰρ καὶ τὴν ψυχὴν τὴν ἡμετέραν (ὡς εἰπεῖν) φέροντες, ἐνεθήκαμέν σου ταῖς χερσί· σὺ δὲ τοσαύτῃ πρὸς ἡμᾶς ἐχρήσω τῇ πανουργίᾳ, ὅσηπερ ἂν εἰ πολεμίους σοι τινὰς φυλάξασθαι προὔκειτο. καίτοιγε ἐχρῆν, εἰ μὲν ὠφέλιμον ταύτην ᾔδεις οὖσαν τὴν γνώμην, μηδὲ ″αὐτὸν τὸ κέρδος φυγεῖν· εἰ δὲ ἐπιβλαβῆ, καὶ ἡμᾶς (οὓς ἁπάντων ἀεὶ προτιμᾶν ἔλεγες) ἀπαλλάξαι τῆς ζημίας· σὺ δὲ καὶ ὅπως ἐμπεσούμεθα, ἅπαντα ἔπραξας, καὶ δόλου σοι καὶ ὑποκρίσεως ἐδέησε πρὸς τὸν ἀδόλως καὶ ἁπλῶς ἅπαντα καὶ λέγειν καὶ πράττειν εἰωθότα πρὸς σέ. ἀλλ' ὅμως, ὅπερ ἔφην, οὐδὲν τούτων ἐγκαλῶ νῦν, οὐδὲ ὀνειδίζω τὴν ἐρημίαν, εἰς ἣν κατέστησας ἡμᾶς, τὰς συνόδους διακόψας ἐκείνας, ἐξ ὧν καὶ ἡδονὴν καὶ ὠφέλειαν οὐ τὴν τυχοῦσαν ἐκαρπωσάμεθα ″πολλάκις. ἀλλὰ πάντα ταῦτα ἀφίημι, καὶ φέρω σιγῇ καὶ πρᾴως· οὐκ ἐπειδὴ πρᾴως εἰς ἡμᾶς ἐπλημμέλησας, ἀλλ' ἐπειδὴ τοῦτον ἔθηκα

ἐμαυτῷ

γρ. ἀνέῳξας

γρ. ἐκβαλεῖν

γρ. σε ἔλαθεν τι τῶν ἐκείνου

γρ. οἴσομεν

γρ. δεῖ πάντα αὐτοὺς δι[illegible] τὴν

γρ. ἀπολαύσας

γρ. αὐτῶν

γρ. πάλαι

ἐμαυτῷ τὸν νόμον, ἀπὸ τῆς ἡμέρας ἐκείνης, ἧς τὴν φιλίαν ἔστερξα τὴν σὴν, ὑπὲρ ὧν ἂν θέλῃς ἡμᾶς λυπεῖν, μηδέποτέ σε εἰς ἀπολογίας ἀνάγκην καθιστᾶν. ἐπεὶ ὅτι γε "οὐ μικρὰν τὴν ζημίαν ἡμῖν ἐπήγαγες, οἶσθα καὶ αὐτός· εἴγε μέμνησαι τῶν ῥημάτων, καὶ τῶν παρὰ τῶν ἔξωθεν περὶ ἡμῶν, καὶ τῶν ὑφ' ἡμῶν λεγομένων ἀεί. ταῦτα δὲ ἦν, ὅτι πολὺ κέρδος ἡμῖν "ὁμοψύχοις εἶναι [τε] καὶ φράττεσθαι τῇ πρὸς ἀλλήλους φιλίᾳ. καὶ οἱ μὲν ἄλλοι πάντες ἔλεγον, καὶ ἑτέροις πολλοῖς οὐ μικρὰν ὠφέλειαν τὴν ἡμετέραν οἴσειν ὁμόνοιαν. ἐγὼ δὲ ὠφελῆσαι μὲν οὐδέποτε ἐνενόησα, τόγε εἰς ἐμὲ ἧκον, παρέξειν "τισὶν ἔλεγον δὲ, ὅτι τοῦτο γοῦν ἀπ' αὐτῆς κερδανοῦμεν κέρδος οὐ μικρὸν, τὸ δυσχείρωτοι "γενέσθαι τοῖς καταγωνίσασθαι βουλομένοις ἡμᾶς. καὶ ταῦτά σε ὑπομιμνήσκων οὐκ ἐπαυσάμην ποτέ· χαλεπὸς ὁ καιρὸς, οἱ ἐπιβουλεύοντες πολλοί· τὸ τῆς ἀγάπης γνήσιον ἀπόλωλεν, ἀντείσηκται δὲ ὁ τῆς βασκανίας ὄλεθρος· ἐν μέσῳ παγίδων διαβαίνομεν, καὶ ἐπὶ ἐπάλξεων πόλεων περιπατοῦμεν. οἱ μὲν ἕτοιμοι τοῖς ἡμετέροις ἐφησθῆναι κακοῖς, εἴ ποτέ τι συμβαίη, πολλοὶ καὶ πολλαχόθεν ἐφεστήκασιν· οἱ δὲ συναλγήσοντες, οὐδεὶς, ἢ καὶ εὐαρίθμητοι λίαν. ὅρα μὴ διαστάντες ποτὲ, πολὺν τὸν γέλωτα ὀφλῶμεν, καὶ τοῦ γέλωτος μείζονα τὴν ζημίαν. Ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρὰ, καὶ ὡς μεμοχλευμένη βασιλεία. μὴ δὴ διαλύσῃς ταύτην τὴν γνησιότητα, μηδὲ διακόψῃς τὸν μοχλόν. ταῦτα, καὶ τὰ τούτων πλείονα ἔλεγον συνεχῶς, οὐδὲν μὲν "ποτε ὑποπτεύων τοιοῦτον, ἀλλὰ καὶ πάνυ σε τὰ πρὸς ἡμᾶς ὑγιαίνειν νομίζων, ἐκ περιουσίας δὲ καὶ ὑγιαίνοντα θεραπεύειν βουλόμενος· ἐλάνθανον δὲ, ὡς ἔοικε, νοσοῦσι τὰ φάρμακα ἐπιτιθεὶς, καὶ οὐδὲ οὕτως ὁ δείλαιος ὤνησα, οὐδὲ γέγονεν ἐμοί τι πλέον ἐκ ταύτης τῆς ἄγαν προμηθείας. πάντα γὰρ ἐκεῖνα ῥίψας ἀθρόως, καὶ "οὐδὲ εἰς νοῦν βαλλόμενος, ὥσπερ ἀνερμάτιστον πλοῖον εἰς πέλαγος ἡμᾶς ἄπειρον ἀφῆκας, οὐδὲ τῶν ἀγρίων ἐκείνων ἐννοήσας κυμάτων, ἅπερ ἡμᾶς ὑπομένειν ἀνάγκη. εἰ γάρ ποτε συμβαίη συκοφαντίαν, ἢ χλευασίαν, ἢ καὶ ἄλλην τινὰ ὕβριν καὶ ἐπήρειαν ἐπενεχθῆναί ποθεν ἡμῖν (πολλάκις δὲ τὰ τοιαῦτα συμβαίνειν ἀνάγκη) πρὸς τίνα καταφευξόμεθα; τίνι κοινωσόμεθα τὰς ἡμετέρας ἀθυμίας; τίς ἡμῖν ἀμῦναι θελήσει, καὶ τοὺς μὲν λυποῦντας ἀνακόψει, καὶ ποιήσει μηκέτι λυπεῖν, ἡμᾶς δὲ παραμυθήσεται, καὶ παρασκευάσει τὰς ἑτέρων φέρειν ἀπαιδευσίας; οὐκ ἔστιν οὐδὲ εἷς, σοῦ πόρρωθεν ἑστηκότος τοῦ δεινοῦ τούτου πολέμου, καὶ μηδὲ κραυγὴν ἀκοῦσαι δυναμένου*. ἆρα οἶδας ὅσον εἴργασαί σοι κακόν; ἆρα νῦν γοῦν μετὰ τὸ πλῆξαι, ἐπιγινώσκεις ὡς καιρίαν ἡμῖν ἔδωκας τὴν πληγήν; ἀλλὰ ταῦτα μὲν ἀφείσθω (οὐδὲ γάρ ἐστι τὰ γινόμενα ἀναλῦσαι λοιπὸν, οὐδὲ πόρον τοῖς ἀπόροις εὑρεῖν) τί πρὸς τοὺς ἔξωθεν ἐροῦμεν; τί πρὸς τὰς αἰτίας ἀπολογησόμεθα τὰς ἐκείνων;

γρ. οὐχὶ σμικρὰν. ἄλλ. οὐκ [illegible] μικρὰν.

γρ. ὁμοψύχους

γρ. τινί· ἄλ. τινά·

γρ. οἱ τοῖς

Παροι. ιη. ιθ.

γρ. πότε

γρ. μηδὲ εἰς νοῦν βαλλόμε.

* ποτέ.

ΧΡΥΣ.

ΘΑΡΣΕΙ, ἔφην ἐγώ. οὐ γὰρ ὑπὲρ τούτων εἰμὶ μόνον ἕτοιμος εὐθύνας ὑπέχειν, ἀλλὰ καὶ ὧν ἀνευθύνους ἡμᾶς ἀφῆκας, καὶ τούτων πειράσομαί σοι λόγον δοῦναι, ὡς ἂν οἷός τε ὦ. καὶ, εἰ βούλει γε, ἀπ' αὐτῶν πρῶτον τῆς ἀπολογίας [τῶν λόγων] ποιήσομαι τὴν ἀρχήν. καὶ γὰρ ἂν εἴην ἄτοπος καὶ λίαν ἀγνώμων, εἰ τῆς παρὰ τῶν ἔξωθεν δόξης φροντίζων, καὶ ὅπως παύσωνται ἡμῖν ἐγκαλοῦντες, πάντα ποιῶν, τὸν ἁπάντων μοι φίλτατον, καὶ τοσαύτῃ πρὸς ἡμᾶς αἰδοῖ κεχρημένον, ὡς μηδὲ ὑπὲρ ὧν ἠδικῆσθαί φησιν, ἐγκαλέσαι θελῆσαι, ἀλλὰ "παρ' οὐδὲν τὰ αὐτοῦ θέμενον, ἔτι τῶν ἡμετέρων φροντίζειν, μὴ δυναίμην ὡς οὐκ ἀδικῶ πεῖσαι, ἀλλὰ μείζονι περὶ αὐτὸν φαινοίμην κεχρημένος ῥᾳθυμίᾳ, ἧς αὐτὸς περὶ ἡμᾶς ἐπεδείξατο σπουδῆς. τί ποτε οὖν σε "ἠδικήκαμεν, ἐπειδὴ καὶ ἐντεῦθεν ἐγνώκαμεν εἰς τὸ τῆς ἀπολογίας ἀφεῖναι πέλαγος; ἆρα ὅτι σε παρεκρουσάμεθα, καὶ τὴν ἡμετέραν ἐκρύψαμεν γνώμην; ἀλλ' ἐπὶ κέρδει καὶ τοῦ ἀπατηθέντος σου, καὶ οἷς ἀπατήσαντές σε προὐδώκαμεν. εἰ μὲν γὰρ δι' ὅλου τὸ τῆς κλοπῆς κακὸν, καὶ οὐκ ἔστιν εἰς δέον αὐτῷ χρήσασθαί ποτε, δοῦναι ἕτοιμοι δίκην ἡμεῖς, ἣν ἂν αὐτὸς ἐθέλῃς·

γρ. φροῦδα τὰ

γρ. ἠδικήκαμεν

μᾶλλον δὲ σοῦ μὲν οὐδέποτε παρ' ἡμῶν ἀνέξῃ δίκην λαβεῖν, ἡμᾶς δὲ ἑαυτῶν καταγνωσόμεθα ταῦτα, ἃ τῶν ἀδικούντων οἱ δικάζοντες, ὅταν αὐτοὺς ἕλωσιν, οἱ κατήγοροι. Εἰ δὲ οὐκ ἀεὶ τὸ πρᾶγμα ἐπιβλαβές, ἀλλὰ παρὰ τὴν τῶν χρωμένων προαίρεσιν γίνεται φαῦλον ἢ καλόν, ἀφεὶς ἐγκαλεῖν τὸ ἠπατῆσθαι, δεῖξον ἐπὶ κακῷ τοῦτο "τεχνησαμένους· ὡς ἕως ἂν" τοῦτο ἀπῇ, μὴ ὅτι μέμψεις καὶ αἰτίας ἐπάγειν, ἀλλὰ καὶ ἀποδέχεσθαι τὸν ἀπατῶντα δίκαιον ἂν εἴη τούς γε εὐγνωμόνως ἐξετάζεσθαι βουλομένους. τοσοῦτον γὰρ ἔχει κέρδος εὔκαιρος ἀπάτη, καὶ μετὰ τῆς ὀρθῆς γινομένη διανοίας, ὡς πολλούς, ὅτι μὴ παρεκρούσαντο, καὶ δίκην δεδωκέναι πολλάκις. καὶ εἰ βούλει γε τῶν στρατηγῶν τοὺς ἐξ αἰῶνος εὐδοκιμήσαντας ἐξετάσαι, τὰ πλείονα αὐτῶν τρόπαια τῆς ἀπάτης εὑρήσεις ὄντα κατορθώματα· καὶ μᾶλλον τούτους ἐπαινουμένους, ἢ τοὺς ἐκ τοῦ φανεροῦ κρατοῦντας. οἱ μὲν γὰρ μετὰ πλείονος τῆς δαπάνης, καὶ τῆς τῶν χρημάτων, καὶ τῆς τῶν σωμάτων κατορθοῦσι τοὺς πολέμους, ὡς μηδὲν "πλέον αὐτοῖς" ἀπὸ τῆς νίκης γίνεσθαι, ἀλλὰ παρ' οὐδὲν ἧττον τῶν ἡττημένων τοὺς κρατήσαντας δυστυχεῖν, καὶ τῶν στρατευμάτων ἀπολωλότων, καὶ τῶν ταμιείων κεκενωμένων. πρὸς δὲ τούτοις, οὐδὲ τῆς ἐπὶ τῇ νίκῃ δόξης αὐτοὺς "ἀφιᾶσιν ἀπολαῦσαι πάσης. μέρος γὰρ αὐτῆς οὐ μικρὸν συμβαίνει καὶ τοὺς πεπτωκότας καρποῦσθαι, διὰ τὸ ταῖς ψυχαῖς νικῶντας τοῖς σώμασιν "ἡττηθῆναι μόνοις. ὡς εἴ γε ἐνῆν βαλλομένους μὴ πίπτειν, μηδὲ ἐπελθὼν ὁ θάνατος αὐτοὺς ἔπαυσεν, οὐκ ἂν ἔστησαν τῆς προθυμίας ποτέ. ὁ δὲ ἀπάτῃ κρατῆσαι δυνηθείς, οὐ συμφορᾷ "μόνον, ἀλλὰ καὶ γέλωτι περιβάλλει τοὺς πολεμίους. οὐ γάρ, ὥσπερ ἐκεῖ, τοὺς ἐπαίνους ἐξ ἴσης "ἀποφέρονται ἀμφότεροι τοὺς ἐπὶ τῇ ῥώμῃ, οὕτω καὶ ἐνταῦθα τοὺς ἐπὶ φρονήσει, ἀλλ' ὅλον τῶν νικώντων ἐστὶ τὸ βραβεῖον· καὶ τὸ τούτων οὐκ ἔλαττον, τὴν ἀπὸ τῆς νίκης ἡδονὴν ἀκέραιον τῇ πόλει φυλάττουσιν. οὐ γάρ ἐστιν, ὥσπερ ὁ τῶν χρημάτων πλοῦτος καὶ τὸ τῶν σωμάτων πλῆθος, ἡ τῆς ψυχῆς φρόνησις· ἀλλ' ἐκεῖνα μέν, ὅταν τις αὐτοῖς ἐν τοῖς πολέμοις χρῆται συνεχῶς, δαπανᾶσθαι συμβαίνει καὶ ἀπολείπειν τοὺς ἔχοντας· αὕτη δέ, ὅσῳπερ ἄν τις αὐτὴν ἀνακινῇ, τοσούτῳ μᾶλλον αὔξεσθαι πέφυκεν. οὐκ ἐν τοῖς πολέμοις δὲ μόνον, ἀλλὰ καὶ ἐν εἰρήνῃ πολλὴν καὶ ἀναγκαίαν εὕροι τις ἂν τῆς ἀπάτης τὴν χρείαν· καὶ οὐ πρὸς τὰ τῆς πόλεως πράγματα μόνον, ἀλλὰ καὶ ἐν οἰκίᾳ πρὸς γυναῖκα ἀνδρί, καὶ πρὸς ἄνδρα γυναικί, καὶ πατρὶ πρὸς υἱόν, καὶ πρὸς φίλον φίλῳ, ἤδη δὲ καὶ πρὸς πατέρα παισί. καὶ γὰρ τῶν τοῦ Σαοὺλ
α. Βασ. ιθ. ιβ. χειρῶν ἡ τοῦ Σαοὺλ θυγάτηρ οὐκ ἴσχυσεν ἂν ἑτέρως ἐξελέσθαι τὸν ἄνδρα τὸν αὐτῆς, ἀλλ' ἢ
α. Βασ. κ. κ. μετὰ τοῦ παραλογίσασθαι τὸν πατέρα. καὶ ὁ ταύτης δὲ ἀδελφὸς τὸν ὑπ' ἐκείνης διασωθέντα σῶσαι βουλόμενος κινδυνεύοντα πάλιν, τοῖς αὐτοῖς ὅπλοις ἐχρήσατο, οἷσπερ καὶ ἡ γυνή. καὶ ὁ Βασίλειος,

ΒΑΣ. ΑΛΛ' οὐδὲν τούτων πρὸς ἐμέ, φησίν. οὐδὲ γὰρ ἐχθρὸς ἐγὼ καὶ πολέμιος, οὔτε τῶν ἀδικεῖν ἐπιχειρούντων· ἀλλὰ πᾶν τοὐναντίον. τῇ γὰρ σῇ γνώμῃ τὰ ἐμαυτοῦ πάντα ἐπιτρέψας ἀεί, ταύτῃ εἱπόμην, ᾗπερ ἐκέλευσας.

ΧΡΥΣ. ΑΛΛ', ὦ θαυμάσιε καὶ ἀγαθώτατε, διὰ τοῦτο γὰρ καὶ αὐτὸς φθάσας εἶπον, ὅτι οὐκ ἐν πολέμῳ μόνον, οὐδ' ἐπὶ τοὺς ἐχθρούς, ἀλλὰ καὶ ἐν εἰρήνῃ, καὶ ἐπὶ τοὺς φιλτάτους "χρῆσθαι ταύτῃ καλόν. ὅτι γὰρ οὐ τοῖς ἀπατῶσι μόνον, ἀλλὰ καὶ τοῖς ἀπατωμένοις τοῦτο χρήσιμον, προσελθὼν ἑνὶ τῶν ἰατρῶν ἐρώτησον, πῶς ἀπαλλάττουσι τῆς νόσου τοὺς κάμνοντας; καὶ ἀκούσῃ παρ' αὐτῶν, ὅτι οὐκ ἀρκοῦνται τῇ τέχνῃ μόνῃ, ἀλλ' ἔστιν ὅπου καὶ τὴν ἀπάτην "παραλαμβάνοντες, καὶ τὴν παρ' "αὐτῆς βοήθειαν καταμίξαντες, οὕτως ἐπὶ τὴν ὑγίειαν "τοὺς ἀσθενοῦντας ἐπανήγαγον. ὅταν γὰρ τὸ δυσάρεστον τῶν ἀρρωστούντων, καὶ τῆς νόσου δὲ αὐτῆς τὸ δυστράπελον μὴ προσίοιτο ταῖς τῶν ἰατρῶν συμβουλαῖς, τότε τὸ τῆς ἀπάτης ὑποδῦναι προσωπεῖον ἀνάγκη, ἵν', ὥσπερ ἐπὶ τῆς σκηνῆς, τὴν τῶν γινομένων ἀλήθειαν κρύψαι δυνηθῶσιν. εἰ δὲ βούλει, καὶ ἐγώ σοι διηγήσομαι δόλον ἕνα ἐκ πολλῶν, ὧν ἤκουσα κατασκευάζειν ἰατρῶν παῖδας.

χ. τεχνη- μένοις·
χ. αὐτοῖς ον ἀπὸ
χ. ὑπὸ
χ. ἀφίη
χ. ἡττᾶσ-
χ. μόνη
χ. ἀμφότ- φέρονται
χ. ταύτῃ χρήσασθαι
χ. παραλ- βόντες
χ. ἑαυτῆς
χ. τοὺς ἀ- νοῦντας

δας. ἐπέπεσέ ποτέ τινι πυρετὸς ἀθρόως μετὰ πολλῆς τῆς σφοδρότητος, καὶ ἡ φλὸξ ἤρετο, καὶ τὰ μὲν δυνάμενα σβέσαι τὸ πῦρ ἀπεστρέφετο ὁ νοσῶν, ἐπεθύμει δὲ καὶ πολὺς ἐνέκειτο τοὺς εἰσιόντας πρὸς αὐτὸν ἅπαντας παρακαλῶν ἄκρατον ὀρέξαι πολὺν, καὶ παρασχεῖν ἐμφορηθῆναι τῆς ὀλεθρίου ταύτης ἐπιθυμίας. οὐ γὰρ τὸν πυρετὸν ἐκκαύσειν μόνον ἔμελλεν, ἀλλὰ καὶ παραπληξίᾳ παραδώσειν τὸν δείλαιον, εἴ τις αὐτῷ πρὸς ταύτην εἶξε τὴν χάριν. ἐνταῦθα τῆς τέχνης ἀπορουμένης καὶ οὐδεμίαν ἐχούσης μηχανὴν, ἀλλὰ παντελῶς ″ἐκβεβλημένης, εἰσελθοῦσα τοσαύτην ἐπεδείξατο τὴν αὐτῆς δύναμιν ἡ ἀπάτη, ὅσην αὐτίκα παρ' ἡμῶν ἀκούσῃ. ὁ γὰρ ἰατρὸς ἄρτι ἀπὸ τῆς καμίνου προσελθὼν ἄγγος ὀστράκου λαβὼν, καὶ βάψας οἴνῳ πολλῷ, εἶτα ἀνασπάσας κενὸν, καὶ πλήσας ὕδατος, κελεύει τὸ δωμάτιον, ἔνθα κατέκειτο ὁ νοσῶν, συσκιάσαι παραπετάσμασι πολλοῖς, ἵνα μὴ τὸ φῶς ἐλέγξῃ τὸν δόλον, καὶ δίδωσιν ἐκπιεῖν ὡς ἀκράτου πεπληρωμένον· ὁ δὲ, πρὶν εἰς τὰς χεῖρας λαβεῖν, ὑπὸ τῆς ὀσμῆς προσπεσούσης εὐθέως ἀπατηθεὶς, οὐδὲ πολυπραγμονεῖν ἠνέσχετο τὸ δοθὲν, ἀλλὰ ταύτῃ πειθόμενος, καὶ τῷ σκότει κλαπεὶς, ὑπό τε τῆς ἐπιθυμίας ἐπειγόμενος, ἔσπασε ″τὸ δοθὲν μετὰ πολλῆς τῆς προθυμίας, καὶ ἐμφορηθεὶς ἀπετινάξατο τὸ πνῖγος εὐθέως, καὶ τὸν ἐπικείμενον ″ἔφυγε κίνδυνον. εἶδες τῆς ἀπάτης τὸ κέρδος; καὶ εἰ πάντας βούλοιτό τις τῶν ἰατρῶν καταλέγειν τοὺς δόλους, εἰς ἄπειρον ἐκπεσεῖται μῆκος ὁ λόγος. οὐ μόνον δὲ τοὺς τὰ σώματα θεραπεύοντας, ἀλλὰ καὶ τοὺς τῶν ψυχικῶν νοσημάτων ἐπιμελομένους εὕροι τις ἂν συνεχῶς τούτῳ κεχρημένους τῷ φαρμάκῳ. οὕτω τὰς πολλὰς μυριάδας ἐκείνας τῶν Ἰουδαίων ὁ μακάριος προσηγάγετο Παῦλος. μετὰ ταύτης τῆς προαιρέσεως τὸν Τιμόθεον περιέτεμεν, ὁ Γαλάταις ″ἐπιστέλλων, ὅτι Χριστὸς οὐδὲν ὠφελήσει τοὺς περιτεμνομένους. διὰ τοῦτο ὑπὸ νόμον ἐγίνετο, ὁ ζημίαν ἡγούμενος μετὰ τὴν εἰς Χριστὸν πίστιν τὴν ἀπὸ τοῦ νόμου δικαιοσύνην. πολλὴ γὰρ ἡ τῆς ἀπάτης ἰσχύς· μόνον μὴ μετὰ δολερᾶς προσαγέσθω τῆς προαιρέσεως. μᾶλλον δὲ οὐδὲ ἀπάτην τὸ τοιοῦτο δεῖ καλεῖν, ἀλλ' οἰκονομίαν τινὰ καὶ σοφίαν, καὶ τέχνην ἱκανὴν πολλοὺς πόρους ἐν τοῖς ἀπόροις εὑρεῖν, καὶ πλημμελείας ἐπανορθῶσαι ψυχῆς. οὐδὲ γὰρ τὸν Φινεὲς ἀνδροφόνον εἴποιμ' ἂν ἔγωγε, καίτοι γε μιᾷ πληγῇ δύο σώματα ἀνεῖλεν· ὥσπερ οὐδὲ τὸν Ἠλίαν μετὰ τοὺς ἑκατὸν στρατιώτας, καὶ τοὺς τούτων ἡγεμόνας, καὶ τὸν πολὺν τῶν αἱμάτων χειμάρρουν, ὃν ἐκ τῆς τῶν ἱερωμένων τοῖς δαίμοσιν ἐποίησε ῥεῦσαι σφαγῆς. εἰ γὰρ τοῦτο συγχωρήσαιμεν, καὶ τὰ πράγματά τις τῶν πεποιηκότων τῆς προαιρέσεως γυμνώσας ἐξετάζοι καθ' ἑαυτά· καὶ τὴν Ἀβραὰμ παιδοκτονίαν ὁ βουλόμενος ″κρινεῖ, καὶ τὸν ἔγγονον τὸν ἐκείνου καὶ τὸν ἀπόγονον κακουργίας καὶ δόλου γράψεται. οὕτω γὰρ ὁ μὲν τῶν τῆς φύσεως ἐκράτησε πρεσβείων, ὁ δὲ τὸν τῶν Αἰγυπτίων πλοῦτον εἰς τὸ τῶν Ἰσραηλιτῶν μετήνεγκε στρατόν. ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν, ἄπαγε τῆς τόλμης· οὐ γὰρ μόνον αὐτοὺς αἰτίας ἀφίεμεν, ἀλλὰ καὶ θαυμάζομεν διὰ ταῦτα, ἐπεὶ καὶ ὁ Θεὸς αὐτοὺς διὰ ταῦτα ἐπῄνεσε. καὶ γὰρ ἀπατεὼν ἐκεῖνος ἂν εἴη καλεῖσθαι δίκαιος, ὁ τῷ πράγματι κεχρημένος ἀδίκως, οὐχ ὁ μεθ' ὑγιοῦς γνώμης τοῦτο ποιῶν· καὶ πολλάκις ἀπατῆσαι δέον, καὶ τὰ μέγιστα διὰ ταύτης ὠφελῆσαι τῆς τέχνης, ὁ δὲ ἐξ εὐθείας προσενεχθεὶς, κακὰ μεγάλα τὸν οὐκ ἀπατηθέντα εἰργάσατο.

γρ. ἐκβεβλημένης
γρ. τοῦ δοθέντος
γρ. ἐξέφυγε
γρ. ἀπειλῶν
γρ. κρίνοι

Πραξ. κα. κς.
Πραξ. ις. γ.
Γαλ. ε. β.
Φιλ. γ. ζ.
Αριθ. κε. η.
δ. Βασ. α. κ.
γ. Βασ. ιη. λδ.
Γεν. κβ. γ.
Γεν. κζ. ιθ.
Ἐξοδ. ια. β.

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ Λογ. β.

Ὅτι μὲν οὖν ἔστι καὶ ἐπὶ καλῷ τῇ τῆς ἀπάτης κεχρῆσθαι δυνάμει, μᾶλλον δὲ, ὅτι μηδὲ ἀπάτην δεῖ τὸ τοιοῦτο καλεῖν, ἀλλ' οἰκονομίαν τινὰ θαυμαστὴν, ἐνῆν μὲν καὶ πλείονα λέγειν. ἐπειδὴ δὲ καὶ τὰ εἰρημένα πρὸς ἀπόδειξιν ἱκανὰ γέγονε, φορτικὸν καὶ ἐπαχθὲς περιττὸν τῷ λόγῳ προστιθέναι μῆκος. σὸν δὲ ἂν εἴη δεικνύναι λοιπὸν, εἰ μὴ τῷ πράγματι τούτῳ πρὸς τὸ κέρδος ἐχρησάμεθα τὸ σόν.

ΚΑΙ

ΒΑΣ. ΚΑΙ ποῖον ἡμῖν κέρδος, φησίν, ἐκ ταύτης γέγονε τῆς οἰκονομίας, ἢ σοφίας, ἢ ὅπως ἂν αὐτὴν ″χαίρης καλῶν, ἵνα πεισθῶμεν ὅτι οὐκ ἠπατήμεθα παρὰ σοῦ;

γρ. χαίρεις

ΧΡΥΣ. ΚΑΙ τί τούτου τοῦ κέρδους, ἔφην, ἂν γένοιτο μεῖζον, ἢ τὸ ταῦτα φαίνεσθαι πράττοντας, ἅπερ δείγματα τῆς εἰς τὸν Χριστὸν ἀγάπης αὐτὸς ἔφησεν εἶναι ὁ Χριστός; πρὸς γὰρ τὸν κορυφαῖον τῶν ἀποστόλων διαλεγόμενος, Ἰω. κα. ιε. Πέτρε, φησί, φιλεῖς με; τούτου δὲ ὁμολογήσαντος, ἐπιλέγει· Εἰ φιλεῖς με, ποίμαινε τὰ πρόβατά μου. ἐρωτᾷ τὸν μαθητὴν ὁ διδάσκαλος, εἰ φιλοῖτο παρ' αὐτοῦ, οὐχ ἵνα αὐτὸς μάθῃ (πῶς γὰρ ὁ ″ταῖς ἁπάντων ἐμβατεύων ″καρδίαις;) ἀλλ' ἵνα ἡμᾶς διδάξῃ, ὅσον αὐτῷ μέλει τῆς τῶν ποιμνίων ἐπιστασίας τούτων. τούτου δὲ ὄντος δήλου, κἀκεῖνο ὁμοίως ἔσται φανερόν, ὅτι πολὺς καὶ ἄφατος ἀποκείσεται μισθὸς τῷ περὶ ταῦτα πονουμένῳ, ἃ πολλοῦ τιμᾶται ὁ Χριστός. εἰ γὰρ ἡμεῖς, ὅταν ἴδωμεν τῶν οἰκετῶν, ἢ τῶν θρεμμάτων τῶν ἡμετέρων ″ἐπιμελουμένους τινάς, τῆς περὶ ἡμᾶς ἀγάπης τὴν εἰς ἐκεῖνα σπουδὴν τιθέμεθα σημεῖον, καίτοιγε ἅπαντα ταῦτα χρημάτων ἐστὶν ὠνητά· ὁ μὴ χρημάτων, μηδὲ ἄλλου τινὸς τοιούτου, ἀλλ' ″ἰδίου θανάτου τὸ ποίμνιον πριάμενος τοῦτο, καὶ τιμὴν τῆς ἀγέλης τὸ αἷμα δοὺς τὸ ἑαυτοῦ, πόσῃ τοὺς ποιμαίνοντας ″αὐτὴν ἀμείψεται δωρεᾷ; διά τοι τοῦτο εἰπόντος τοῦ μαθητοῦ, Σὺ οἶδας, Κύριε, ὅτι φιλῶ σε, καὶ μάρτυρα τῆς ἀγάπης αὐτὸν τὸν ἀγαπώμενον καλέσαντος, οὐκ ἔστη μέχρι ″τούτου ὁ σωτήρ, ἀλλὰ καὶ τὸ τῆς ἀγάπης προσέθηκε σημεῖον. οὐ γὰρ ὅσον ὁ Πέτρος αὐτὸν ἐφίλει, τότε ἐπιδεῖξαι ἐβούλετο (καὶ γὰρ ἐκ πολλῶν τοῦτο ἤδη ἡμῖν γέγονε δῆλον) ἀλλ' ὅσον αὐτὸς τὴν ἐκκλησίαν ἀγαπᾷ τὴν ἑαυτοῦ, καὶ Πέτρον καὶ πάντας ἡμᾶς μαθεῖν ἠθέλησεν, ἵνα πολλὴν καὶ ἡμεῖς περὶ ″ταῦτα εἰσφέρωμεν τὴν σπουδήν. διὰ τί γὰρ υἱοῦ Ρω. η. λβ. Ιω. γ. ις. καὶ μονογενοῦς οὐκ ἐφείσατο ὁ Θεός, ἀλλ' ὃν μόνον εἶχεν ἐξέδωκεν, ἵνα τοὺς ″ἐχθρωδῶς πρὸς αὐτὸν διακειμένους ἑαυτῷ καταλλάξῃ, Ιω. ι. α. καὶ ποιήσῃ λαὸν περιούσιον; Τιτ. β. ιδ. διὰ τί καὶ τὸ αἷμα ἐξέχεεν, ἵνα τὰ πρόβατα κτήσηται ταῦτα, ἃ τῷ Πέτρῳ καὶ τοῖς μετ' ἐκεῖνον ἐνεχείρισεν; εἰκότως ἄρα ἔλεγεν ὁ Χριστός· Ματ. κδ. με. Τίς ἄρα ὁ πιστὸς δοῦλος καὶ φρόνιμος *, ὃν ″καταστήσει ὁ κύριος αὐτοῦ ἐπὶ τὴν οἰκίαν αὐτοῦ; πάλιν τὰ μὲν ῥήματα, ἀπορῶντος, ὁ δὲ φθεγγόμενος αὐτὰ οὐκ ἀπορῶν ἐφθέγγετο· ἀλλ' ὥσπερ τὸν Πέτρον ἐρωτῶν, εἰ φιλοῖτο, οὐ μαθεῖν δεόμενος τοῦ μαθητοῦ τὸν πόθον ἠρώτα, ἀλλὰ δεῖξαι βουλόμενος τῆς οἰκείας ἀγάπης τὴν ὑπερβολήν· οὕτω καὶ νῦν λέγων, Τίς ἄρα ὁ πιστὸς δοῦλος καὶ φρόνιμος; οὐ τὸν πιστὸν καὶ φρόνιμον ἀγνοῶν ἔλεγεν, ἀλλὰ παραστῆσαι θέλων τὸ τοῦ πράγματος σπάνιον, καὶ τῆς ἀρχῆς ταύτης τὸ μέγεθος. ὅρα γοῦν καὶ ″τὸ ἔπαθλον ὅσον. Ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν, φησίν. ἔτι οὖν ἀμφισβητήσεις ἡμῖν τοῦ μὴ καλῶς ἠπατῆσθαι, πᾶσι μέλλων ἐπιστήσεσθαι τοῦ Θεοῦ τοῖς ὑπάρχουσι, καὶ ταῦτα πράττειν, ἃ καὶ τὸν Πέτρον ποιοῦντα ″ἔφησε δυνήσεσθαι [καὶ] τῶν ἀποστόλων ὑπερακοντίσαι τοὺς λοιπούς; Πέτρε γάρ, φησι, φιλεῖς με πλεῖον τούτων; ποίμαινε τὰ πρόβατά μου. καίτοιγ' ἐνῆν εἰπεῖν πρὸς αὐτόν· Εἰ φιλεῖς με, νηστείαν ἄσκει, χαμευνίαν, ἀγρυπνίας συντόνους, προΐστασο τῶν ἀδικουμένων, γίνου ὀρφανοῖς ὡς πατήρ, καὶ ἀντὶ ἀνδρὸς τῇ μητρὶ αὐτῶν· νῦν δὲ πάντα ταῦτα ἀφείς, τί φησι; ποίμαινε τὰ πρόβατά μου. ἐκεῖνα μὲν γάρ, ἃ προεῖπον, καὶ τῶν ἀρχομένων πολλοὶ δύναιντ' ἂν ἐπιτελεῖν ῥᾳδίως, οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ γυναῖκες· ὅταν δὲ ἐκκλησίας προεστῆναι δέῃ καὶ ψυχῶν ἐπιμέλειαν πιστευθῆναι τοσούτων, πᾶσα μὲν ἡ γυναικεία φύσις παραχωρείτω τῷ μεγέθει τοῦ πράγματος, καὶ ἀνδρῶν δὲ τὸ πλέον, ἀγέσθωσαν δὲ εἰς μέσον οἱ πολλῷ τῷ μέτρῳ πλεονεκτοῦντες ἁπάντων, καὶ τοσοῦτον ὑψηλότεροι τῶν ἄλλων κατὰ τὴν τῆς ψυχῆς ὄντες ἀρετήν, ὅσον τοῦ παντὸς ἔθνους Ἑβραίων α. Βασ. ι. κγ. κατὰ τὸ τοῦ σώματος μέγεθος ὁ Σαούλ· μᾶλλον δὲ καὶ πολλῷ πλέον. μὴ γάρ μοι ὑπωμίας ἐνταῦθα ζητείσθω μέτρον· ἀλλ' ὅση πρὸς τὰ ἄλογα τῶν λογικῶν ἀνθρώπων ἡ διαφορά, τοσοῦτον τοῦ ποιμένος καὶ τῶν ποιμαινομένων ἔστω τὸ μέσον, ἵνα μὴ καὶ πλέον τι εἴπω· καὶ γὰρ περὶ πολλῷ μειζόνων ὁ κίνδυνος. ὁ μὲν γὰρ πρόβατα ἀπολλύς, ἢ λύκων

ἁρπασάντων,

γρ. τὰς
γρ. καρδίας
γρ. ἐπιμελουμ
γρ. -ῳ θανάτ
γρ. αὐτὸ
γρ. τούτων
γρ. αὐτὰ
γρ. ἐχθρῶς
* οἰκονόμος
γρ. κατέστησ
γρ. πόσον τὸ ἔπαθλον.
γρ. ἐφῆκε

ἁρπασάντων, ἢ λῃστῶν ἐπιστάντων, ἢ λοιμοῦ τινος, ἢ καὶ ἄλλου συμπτώματος ἐπιπεσόντος, τύχοι μὲν ἂν ἴσως καὶ συγγνώμης παρὰ τοῦ κυρίου τῆς ποίμνης· εἰ δὲ καὶ δίκην ἀπαιτοῖτο, μέχρι τῶν χρημάτων ἡ ζημία· ὁ δ' ἀνθρώπους πιστευθεὶς, τὰ λογικὰ τοῦ Χριστοῦ ποίμνιον, πρῶτον μὲν οὐκ εἰς χρήματα, ἀλλ' εἰς τὴν ἑαυτοῦ ψυχὴν ὑφίσταται τὴν ζημίαν ὑπὲρ τῆς τῶν προβάτων ἀπωλείας. ἔπειτα καὶ τὸν ἀγῶνα πολλῷ μείζονα καὶ χαλεπώτερον ἔχει. οὐ γὰρ αὐτῷ πρὸς λύκους ἡ μάχη, οὐδὲ ὑπὲρ λῃστῶν δέδοικεν, οὐδὲ ἵνα λοιμὸν ἀπελάσῃ τῆς ποίμνης φροντίζει· ἀλλὰ πρὸς τίνας ὁ πόλεμος; μετὰ τίνων ἡ πάλη; ἄκουε τοῦ μακαρίου Παύλου λέγοντος· Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. Εἶδες πολεμίων πλῆθος δεινὸν, καὶ φάλαγγας ἀγρίας, οὐ σιδήρῳ πεφραγμένας, ἀλλ' ἀντὶ πάσης πανοπλίας ἀρκουμένας τῇ φύσει. βούλει καὶ ἕτερον στρατόπεδον ἰδεῖν ἀπηνὲς καὶ ὠμὸν ταύτῃ προσεδρεῦον τῇ ποίμνῃ; καὶ τοῦτο ἀπὸ τῆς αὐτῆς ὄψει περιωπῆς. ὁ γὰρ περὶ ἐκείνων ἡμῖν διαλεχθεὶς, οὗτος καὶ τούτους ἡμῖν ὑποδείκνυσι τοὺς ἐχθροὺς, ὧδέ πως λέγων· Φανερά ἐστι τὰ ἔργα τῆς σαρκὸς, ἅτινά ἐστι, πορνεία, μοιχεία, ἀκαθαρσία, ἀσέλγεια, εἰδωλολατρεία, φαρμακεία, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοὶ, ἐριθεῖαι, καταλαλιαὶ, ψιθυρισμοὶ, φυσιώσεις, ἀκαταστασίαι, καὶ ἕτερα τούτων πλείονα. οὐ γὰρ πάντα κατέλεξεν, ἀλλ' ἐκ τούτων ἀφῆκεν εἰδέναι καὶ τὰ λοιπά. καὶ ἐπὶ μὲν τοῦ ποιμνίου τῶν ἀλόγων, οἱ βουλόμενοι διαφθεῖραι τὴν ἀγέλην, ὅταν ἴδωσι τὸν ἐφεστῶτα φεύγοντα, τὴν πρὸς ἐκεῖνον μάχην ἀφέντες, ἀρκοῦνται τῇ τῶν θρεμμάτων ἁρπαγῇ· ἐνταῦθα δὲ, κἂν ἅπασαν λάβωσι τὴν ποίμνην, οὐδ' οὕτω τοῦ ποιμαίνοντος ἀφίστανται, ἀλλὰ μᾶλλον ἐφεστήκασι, καὶ πλέον θρασύνονται, καὶ οὐ πρότερον παύονται, ἕως ἂν ἢ καταβάλωσιν ἐκεῖνον, ἢ νικηθῶσιν αὐτοί. πρὸς δὲ τούτοις, τὰ μὲν τῶν προβάτων νοσήματα καθέστηκε φανερά, κἂν λιμὸς ᾖ, κἂν λοιμὸς, κἂν τραῦμα, κἂν ὅ,τι δὴ ποτοῦν ἕτερον ᾖ τὸ λυποῦν. οὐ μικρὸν δὲ τοῦτο δύναιτ' ἂν πρὸς τὴν τῶν ἐνοχλούντων ἀπαλλαγήν. ἔστι δέ τι καὶ ἕτερον τούτου μεῖζον τὸ ποιοῦν ταχεῖαν τῆς ἀρρωστίας ἐκείνης τὴν λύσιν. τί δὲ τοῦτ' ἔστι; μετὰ πολλῆς τῆς ἐξουσίας καταναγκάζουσι τὰ πρόβατα οἱ ποιμένες δέχεσθαι τὴν ἰατρείαν, ὅταν ἑκόντα μὴ ὑπομένῃ. καὶ γὰρ δῆσαι εὔκολον ὅταν καῦσαι δέῃ καὶ τεμεῖν, καὶ φυλάξαι ἔνδον ἐπὶ χρόνον πολὺν, ἡνίκ' ἂν τοῦτο συμφέρῃ, καὶ ἑτέραν δὲ ἀνθ' ἑτέρας προσαγαγεῖν τροφὴν, καὶ ἀποκλεῖσαι ναμάτων· καὶ τὰ ἄλλα δὲ πάντα, ὅσαπερ ἂν δοκιμάσωσι πρὸς τὴν ἐκείνων ὑγείαν συμβαλέσθαι, μετὰ πολλῆς προσάγουσι τῆς εὐκολίας. τὰς δὲ τῶν ἀνθρώπων ἀρρωστίας, πρῶτον μὲν οὐκ ἔστιν ἀνθρώπῳ ῥᾴδιον ἰδεῖν. Οὐδεὶς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ. πῶς οὖν τις προσάγοι τῆς νόσου τὸ φάρμακον, ἧς τὸν τρόπον οὐκ οἶδε, πολλάκις δὲ μηδὲ εἰ τυγχάνοι νοσῶν, δυνάμενος συνιδεῖν; ἐπειδὰν δὲ καὶ καταφανὴς γένηται, τότε πλείονα αὐτῷ παρέχει τὴν δυσχέρειαν. οὐ γὰρ ἔστι μετὰ τοσαύτης ἐξουσίας ἅπαντας θεραπεύειν ἀνθρώπους, μεθ' ὅσης τὸ πρόβατον ὁ ποιμήν. ἔστι μὲν γὰρ καὶ ἐνταῦθα καὶ δῆσαι, καὶ τροφῆς ἀπεῖρξαι, καὶ καῦσαι, καὶ τεμεῖν. ἀλλ' ἡ ἐξουσία τοῦ δέξασθαι τὴν ἰατρείαν, οὐκ ἐν τῷ προσάγοντι τὸ φάρμακον, ἀλλ' ἐν τῷ κάμνοντι κεῖται. τοῦτο γὰρ καὶ ὁ θαυμάσιος ἐκεῖνος ἀνὴρ συνιδὼν, Κορινθίοις ἔλεγεν· Οὐ γὰρ κυριεύομεν ὑμῶν τῆς πίστεως, ἀλλὰ συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν. μάλιστα γὰρ ἁπάντων Χριστιανοῖς οὐκ ἔξεσται πρὸς βίαν ἐπανορθοῦν τὰ τῶν ἁμαρτανόντων πταίσματα. ἀλλ' οἱ μὲν ἔξωθεν δικασταὶ, τοὺς κακούργους ὅταν ὑπὸ τοῖς νόμοις λάβωσι, πολλὴν ἐπιδείκνυνται τὴν ἐξουσίαν, καὶ ἄκοντας τοῖς τρόποις κωλύουσι χρῆσθαι τοῖς αὐτῶν· ἐνταῦθα δὲ οὐ βιαζόμενον, ἀλλὰ πείθοντα δεῖ ποιεῖν ἀμείνω τὸν τοιοῦτον. οὔτε γὰρ ἡμῖν ἐξουσία τοσαύτη παρὰ τῶν νόμων δέδοται πρὸς τὸ κωλύειν τοὺς ἁμαρτάνοντας, οὔτε, εἰ καὶ δέδοτο, εἴχομεν ὅπου καὶ χρησώμεθα τῇ δυνάμει, οὐ τοῦ

ἀνάγκη

Ἐφ. ς ιβ.
Γαλ. ε ιθ.
β. Κορ. ιβ. κ.
γρ. ποίμνιον,
γρ. ποιμένος
γρ. θρεμμάτων
γρ. τραύματα,
γρ. ποτε
γρ. συμβάλλεσθαι
α. Κορ. β. ια.
γρ. εὐκολίαν.
γρ. συνειδὼς
β. Κορ α. κδ.
γρ. Οὐχ ὅτι
γρ. ἔφη
γρ. ἐδόκει
γρ. ὅπως καὶ

ἀνάγκῃ τῆς κακίας, ἀλλὰ τῇ προαιρέσει ταύτης ἀπεχομένους στεφανοῖ ὁ Θεός. διὰ τοῦτο πολλῆς χρεία τῆς μηχανῆς, ἵνα πεισθῶσιν ἑκόντες ἑαυτοὺς ὑπέχειν τῇ παρὰ τῶν ἱερέων θεραπείᾳ οἱ κάμνοντες· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ἵνα καὶ χάριν εἰδῶσι τῆς ἰατρείας αὐτοῖς. ἄν τε γάρ ποτε σκιρτήσῃ δεθεὶς (κύριος γάρ ἐστι τούτου) χεῖρον εἰργάσατο τὸ δεινόν· ἄν τε τῶν σιδήρου δίκην τεμνόντων λόγους διαπέμψῃ), προσέθηκε διὰ τῆς καταφρονήσεως τραῦμα ἕτερον, καὶ γέγονεν ἡ τῆς θεραπείας πρόφασις νόσου χαλεπωτέρας ὑπόθεσις. ὁ γὰρ καταναγκάζων, καὶ ἄκοντα θεραπεῦσαι δυνάμενος οὐκ ἔστι. τί οὖν ἄν τις ποιήσειε; καὶ γὰρ ἐὰν πρᾳότερον προσενεχθῇς τῷ πολλῆς ἀποτομίας δεομένῳ, καὶ μὴ δῷς βαθεῖαν τὴν τομὴν τῷ τοιαύτης χρείαν ἔχοντι, τὸ μὲν περιέκοψας, τὸ δὲ ἀφῆκας τοῦ τραύματος· κἂν ἀφειδῶς τὴν ὀφειλομένην ἐπαγάγῃς τομήν, πολλάκις ἀπογνοὺς πρὸς τὰς ἀλγηδόνας ἐκεῖνος, ἀθρόως πάντα ἀπορρίψας καὶ τὸ φάρμακον, καὶ τὸν ἐπίδεσμον, φέρων ἑαυτὸν κατεκρήμνισε, συντρίψας τὸν ζυγόν, καὶ διαρρήξας τὸν δεσμόν. καὶ πολλοὺς ἂν ἔχοιμι λέγειν, τοὺς εἰς ἔσχατα ἐξοκείλαντας κακά, διὰ τὸ δίκην ἀπαιτηθῆναι τὴν ἁμαρτημάτων ἀξίαν. οὐ γὰρ ἁπλῶς πρὸς τὸ τῶν παραπτωμάτων μέτρον δεῖ καὶ τὴν ἐπιτιμίαν ἐπάγειν, ἀλλὰ καὶ τῆς τῶν ἁμαρτανόντων στοχάζεσθαι προαιρέσεως, μή ποτε ῥάψαι τὸ διερρωγὸς βουλόμενος, χεῖρον τὸ σχίσμα ποιήσῃς, καὶ ἀνορθῶσαι τὸ καταπεπτωκὸς σπουδάζων, μείζονα ἐργάσῃ τὴν πτῶσιν. οἱ γὰρ ἀσθενεῖς καὶ διακεχυμένοι καὶ τὸ πλέον τῇ τοῦ κόσμου προσδεδεμένοι τρυφῇ, ἔτι δὲ καὶ ἐπὶ γένει καὶ δυναστείᾳ μέγα φρονεῖν ἔχοντες, ἠρέμα μὲν καὶ κατὰ μικρόν, ἐν οἷς ἂν ἁμαρτάνωσιν, ἐπιστρεφόμενοι δύναιντ' ἄν, εἰ καὶ μὴ τέλεον, ἀλλὰ γοῦν ἐκ μέρους, τῶν κατεχόντων αὐτοὺς ἀπαλλαγῆναι κακῶν· ἐὰν δὲ ἀθρόον τις ἐπαγάγῃ τὴν παίδευσιν, καὶ τῆς ἐλάττονος αὐτοὺς ἀπεστέρησε διορθώσεως. ψυχὴ γὰρ ἐπειδὰν εἰσάπαξ ἀπερυθριάσαι βιασθῇ, εἰς ἀναλγησίαν ἐκπίπτει, καὶ οὔτε προσηνέσιν εἴκει λόγοις λοιπόν, οὔτε ἀπειλαῖς κάμπτεται, οὔτε εὐεργεσίαις προτρέπεται· ἀλλὰ γίνεται πολὺ χείρων τῆς πόλεως ἐκείνης, ἣν ὁ προφήτης κακίζων ἔλεγεν· Ὄψις πόρνης ἐγένετό σοι, ἀπηναισχύντησας πρὸς πάντας. διὰ τοῦτο πολλῆς δεῖ τῆς συνέσεως τῷ ποιμένι, καὶ μυρίων ὀφθαλμῶν πρὸς τὸ περισκοπεῖν πάντοθεν τὴν τῆς ψυχῆς ἕξιν. ὥσπερ γὰρ εἰς ἀπόνοιαν αἴρονται πολλοί, καὶ εἰς ἀπόγνωσιν τῆς ἑαυτῶν καταπίπτουσι σωτηρίας, ἀπὸ τοῦ μὴ δυνηθῆναι πικρῶν ἀνασχέσθαι φαρμάκων· οὕτως εἰσί τινες, οἳ διὰ τὸ μὴ δοῦναι τιμωρίαν τῶν ἁμαρτημάτων ἀντίρροπον, εἰς ὀλιγωρίαν ἐκτρέπονται, καὶ πολλῷ γίνονται χείρους, καὶ πρὸς τὸ μείζονα ἁμαρτάνειν προάγονται. χρὴ τοίνυν μηδὲν τούτων ἀνεξέταστον ἀφεῖναι, ἀλλὰ πάντα διερευνησάμενον ἀκριβῶς, καταλλήλως τὰ παρ' ἑαυτοῦ προσάγειν τὸν ἱερωμένον, ἵνα μὴ μάταιος αὐτῷ γίνηται ἡ σπουδή. οὐκ ἐν τούτῳ δὲ μόνον, ἀλλὰ καὶ ἐν τῷ τὰ ἀπερρηγμένα τῆς ἐκκλησίας μέλη συνάπτειν, πολλὰ ἴδοι τις ἂν αὐτὸν ἔχοντα πράγματα. ὁ μὲν γὰρ τῶν προβάτων ποιμήν, ἔχει τὸ ποίμνιον ἑπόμενον, ᾗπερ ἂν ἡγῆται· εἰ δὲ καὶ ἐκτρέποιτό τινα τῆς εὐθείας ὁδοῦ, καὶ τὴν ἀγαθὴν ἀφιέντα νομήν, λεπτόγεα καὶ ἀπόκρημνα βόσκοιτο χωρία, ἀρκεῖ βοήσαντα σφοδρότερον συνελάσαι πάλιν, καὶ εἰς τὴν ποίμνην ἐπαναγαγεῖν τὸ χωρισθέν. εἰ δὲ τῆς εὐθείας ἄνθρωπος ἀποπλανηθείη πίστεως, πολλῆς δεῖ τῷ ποιμένι τῆς πραγματείας, τῆς καρτερίας, τῆς ὑπομονῆς. οὐ γὰρ ἑλκύσαι πρὸς βίαν ἐστίν, οὐδὲ ἀναγκάσαι φόβῳ· πείσαντα δὲ δεῖ πάλιν πρὸς τὴν ἀλήθειαν ἀναγαγεῖν, ὅθεν ἐξέπεσε τὴν ἀρχήν. γενναίας οὖν δεῖ ψυχῆς, ἵνα μὴ περικακῇ, ἵνα μὴ ἀπογινώσκῃ τὴν τῶν πεπλανημένων σωτηρίαν, ἵνα συνεχῶς ἐκεῖνο καὶ λογίζηται καὶ λέγῃ· Μή ποτε δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος. διὰ ταῦτα τοῖς μαθηταῖς ὁ Κύριος διαλεγόμενος ἔφη· Τίς ἄρα ὁ πιστὸς δοῦλος καὶ φρόνιμος; ὁ μὲν γὰρ ἑαυτὸν ἀσκῶν, εἰς ἑαυτὸν μόνον περιΐστησι τὴν ὠφέλειαν· τὸ δὲ τῆς ποιμαντικῆς κέρδος εἰς ἅπαντα διαβαίνει τὸν λαόν. καὶ ὁ μὲν χρήματα διανέμων

Ιερ. γ. γ.

β. Τιμ. β. κε.

Ματθ. κδ. με.

νέμων τοῖς δεομένοις, ἢ καὶ ἑτέρως πως ἀδικουμένοις ἀμύνων, ὤνησε μέν τι καὶ τότε τὸν πλησίον· τοσούτῳ δὲ ἔλαττον τοῦ ἱερέως, ὅσῳ τὸ μέσον σώματος πρὸς ψυχήν. εἰκότως ἄρα τῆς εἰς αὐτὸν ἀγάπης τὴν περὶ τὰ ποίμνια σπουδὴν ὁ Κύριος ἔφησεν εἶναι σημεῖον.

ΒΑΣ. ΣΥ δέ, φησιν, οὐ φιλεῖς τὸν Χριστόν;

ΧΡΥΣ. ΚΑΙ φιλῶ, καὶ φιλῶν οὐ παύσομαί ποτε. δέδοικα δὲ μὴ παροξύνω τὸν φιλούμενον ὑπ' ἐμοῦ.

ΒΑΣ. ΚΑΙ τί τούτου γένοιτ' ἂν αἴνιγμα, φησιν, ἀσαφέστερον, εἰ ὁ μὲν Χριστὸς τὸν φιλοῦντα αὐτὸν ποιμαίνειν προσέταξεν αὐτοῦ τὰ πρόβατα, σὺ δὲ διὰ τοῦτό φης οὐ ποιμαίνειν, ἐπειδὴ τὸν τοῦτο προστάξαντα φιλεῖς;

ΧΡΥΣ. ΟΥΚ ἔστιν αἴνιγμα, ἔφην, ὁ λόγος, ἀλλὰ καὶ λίαν σαφὴς καὶ ἁπλοῦς. εἰ μὲν γὰρ ἱκανῶς ἔχων διοικῆσαι τὴν ἀρχὴν ταύτην, καθὼς ὁ Χριστὸς ἤθελεν, εἶτα ἀπέφυγον, ἔδει πρὸς τὸ παρ' ἐμοῦ λεγόμενον ἀπορεῖν· ἐπειδὴ δὲ ἄχρηστόν με πρὸς τὴν διακονίαν ταύτην ἡ τῆς ψυχῆς ἀσθένεια καθίστησι, ποῦ ζητήσεως ἄξιον τὸ λεγόμενον; καὶ γὰρ δέδοικα, μὴ τὴν ἀγέλην τοῦ Χριστοῦ σφριγῶσαν καὶ εὐτραφῆ παραλαβών, εἶτα αὐτὴν ὑπὸ τῆς ἀπειρίας λυμηνάμενος, παροξύνω κατ' ἐμαυτοῦ τὸν οὕτως αὐτὴν ἀγαπήσαντα Θεόν, ὡς ἑαυτὸν ἐκδοῦναι διὰ τὴν ταύτης σωτηρίαν τε καὶ τιμήν.

ΒΑΣ. ΠΑΙΖΩΝ λέγεις ταῦτα, φησιν. εἰ γὰρ σπουδάζων, οὐκ οἶδα πῶς ἂν ἑτέρως μᾶλλον ἡμᾶς ἀπέδειξας δικαίως ἀλγοῦντας, ἢ διὰ τῶν ῥημάτων τούτων, δι' ὧν ἀποκρύψασθαι τὴν ἀθυμίαν ἐσπούδασας. ἐγὼ γὰρ καὶ πρότερον εἰδώς, ὅτι με ἠπάτησας καὶ προὔδωκας, νῦν δὲ πολλῷ πλέον, ὅτε καὶ τὰ ἐγκλήματα ἀποδύσασθαι ἐπεχείρησας, τοῦτο μανθάνω, καὶ συνίημι καλῶς, οἷ τῶν κακῶν με ἤγαγες. εἰ γὰρ διὰ τοῦτο σαυτὸν ὑπεξήγαγες τῆς τοιαύτης λειτουργίας, ὅτι συνῄδεις οὐκ ἀρκοῦσάν σου τὴν ψυχὴν πρὸς τὸν τοῦ πράγματος ὄγκον, ἐμὲ πρότερον ἐξελέσθαι ἐχρῆν, κἂν εἰ πολλὴν πρὸς τοῦτο ἐπιθυμίαν ἔχων ἐτύγχανον, μὴ ὅτι καὶ πᾶσαν τὴν ὑπὲρ τούτων ἐπέτρεψά σοι βουλήν. νῦν δὲ τὸ σαυτοῦ μόνον ἰδών, τὸ ἡμέτερον προὔδωκας· εἴθε μὲν οὖν προὔδωκας, καὶ ἀγαπητὸν ἂν ἦν· σὺ δέ, καὶ ὅπως εὐχείρωτοι γενώμεθα τοῖς βουλομένοις λαβεῖν, ἐπεβούλευσας. οὐδὲ γὰρ εἰς ἐκεῖνο καταφυγεῖν ἔχοις ἄν, ὅτι ἡ τῶν πολλῶν δόξα ἠπάτησέ σε, καὶ μεγάλα τινὰ καὶ θαυμαστὰ περὶ ἡμῶν ὑποπτεύειν ἔπεισεν (οὔτε γὰρ τῶν θαυμαζομένων καὶ ἐπισήμων ἦμεν) οὔτε, εἰ καὶ τοῦτο οὕτως ἔχον ἐτύγχανε, τὴν τῶν πολλῶν δόξαν τῆς ἀληθείας προτιμῆσαι ἐχρῆν. εἰ μὲν γὰρ μηδέποτέ σοι πεῖραν τῆς ἡμετέρας ἔδομεν συνουσίας, ἐδόκει τις εἶναί σοι πρόφασις εὔλογος ἀπὸ τῆς τῶν πολλῶν φήμης φέροντι τὴν ψῆφον· εἰ δὲ οὐδεὶς οὕτω τὰ ἡμέτερα οἶδεν, ἀλλὰ καὶ τῶν γεγεννηκότων καὶ θρεψαμένων αὐτῶν τὴν ἡμετέραν μᾶλλον ἐπίστασαι ψυχήν, τίς οὕτως ἔσται σοι λόγος πιθανός, ὡς δυνηθῆναι πεῖσαι τοὺς ἀκούοντας, ὅτι οὐχ ἑκὼν ἡμᾶς εἰς τοῦτον ὦσας τὸν κίνδυνον; ἀλλὰ γὰρ ταῦτα ἀφείσθω νῦν· οὐδὲ γὰρ ὑπὲρ τούτων ἀναγκάζομέν σε κρίνεσθαι. τί πρὸς τοὺς ἐγκαλοῦντας ἀπολογησόμεθα, λέγε.

ΧΡΥΣ. ΑΛΛ' οὐδὲ αὐτὸς πρότερον, ἔφην, ἐπ' ἐκεῖνα πορεύσομαι, ἕως ἂν διαλύσομαι τὰ πρὸς σέ, κἂν μυριάκις αὐτὸς ἡμᾶς τῶν ἐγκλημάτων ἐθέλῃς ἀπολύειν. σὺ μὲν γὰρ ἔφης τὴν ἄγνοιαν ἡμῖν φέρειν συγγνώμην, καὶ πάσης ἂν ἡμᾶς ἀφεῖναι κατηγορίας, εἰ μηδὲν τῶν σῶν εἰδότες, εἶτά σε εἰς τὰ παρόντα ἠγάγομεν· ἐπειδὴ δὲ οὐκ ἀγνοοῦντας προὐδώκαμεν, ἀλλ' ἀκριβῶς ἐπισταμένους τὰ σά, διὰ τοῦτο πᾶσαν ἡμῖν πρόφασιν εὔλογον καὶ ἀπολογίαν ἀνῃρῆσθαι δικαίαν. ἐγὼ δὲ πᾶν τοὐναντίον φημί. διὰ τί; ὅτι τὰ τοιαῦτα πολλῆς δεῖται τῆς ἐξετάσεως· καὶ τὸν μέλλοντα παραδώσειν τὸν εἰς ἱερωσύνην ἐπιτήδειον, οὐ δεῖ τῇ τῶν πολλῶν ἀρκεῖσθαι φήμῃ μόνον, ἀλλὰ μετ' ἐκείνης καὶ αὐτὸν μάλιστα πάντων, καὶ πρὸ πάντων, ἐξητακέναι τὰ ἐκείνου. καὶ γὰρ ὁ μακάριος Παῦλος εἰπών, Δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν ἔχειν καλὴν ἀπὸ

α. Τιμ. γ. ζ.

τῶν

γ. ὤνησε μὲν
γ. τοσοῦτον
γ. [illegible]
γ. τῆς ψυχῆς.
γ. [illegible]
γ. ἐξ ἀπειρίας λυμ.
γ. [illegible]
γ. ἀπολύσασθαι
γ. συνῄδεις
γ. [illegible]
γ. [illegible]
γ. [illegible]
γ. [illegible]
γ. [illegible]

τὴν ἔξωθεν, οὐκ ἀναιρεῖ τὴν ἀκριβῆ καὶ βεβασανισμένην ἔρευναν, οὐδ' ὡς προηγούμενον τεκμήριον τοῦτο τίθησι τὴν τῶν τοιούτων δοκιμασίαν. καὶ γὰρ πολλὰ πρότερον διαλεχθείς, ὕστερον τοῦτο προσέθηκε, δεικνύς, ὡς οὐκ αὐτῷ μόνον ἀρκεῖσθαι δεῖ πρὸς τὰς τοιαύτας αἱρέσεις, ἀλλὰ μετὰ τῶν ἄλλων καὶ αὐτὸ παραλαμβάνειν χρή. συμβαίνει γὰρ πολλάκις τὴν τῶν πολλῶν ψεύδεσθαι φήμην· τῆς δὲ ἀκριβοῦς ἐξετάσεως ἡγησαμένης, οὐδένα ἐκ ταύτης κίνδυνόν ἐστιν ὑποπτεῦσαι λοιπόν. διὰ τοῦτο μετὰ τὰ ἄλλα, τὰ παρὰ τῶν ἔξωθεν, αὐτοῦ τίθησιν. οὐ γὰρ ἁπλῶς ἔφησε, δεῖ δὲ αὐτὸν μαρτυρίαν ἔχειν καλήν, ἀλλὰ τί, καὶ παρὰ τῶν ἔξωθεν, παρενέβαλε· δηλῶσαι βουλόμενος, ὅτι περὶ τῆς τῶν ἔξωθεν φήμης πρὸς ἀκρίβειαν αὐτὸν διερευνήσασθαι δεῖ. ἐπεὶ οὖν καὶ αὐτὸς ἤδειν τὰ σὰ τῶν γεγεννηκότων μᾶλλον, ὡς καὶ αὐτὸς ὡμολόγησας, διὰ τοῦτο δίκαιος ἂν εἴην πάσης ἀφεῖσθαι αἰτίας.

ΒΑΣ. ΔΙ' αὐτὸ μὲν οὖν τοῦτο, φησιν, οὐκ ἂν ἔφυγες, εἴ τις σε γράφεσθαι ἤθελεν. ἢ οὐ μέμνησαι καὶ παρ' ἡμῶν ἀκούσας πολλάκις, καὶ διὰ τῶν ἔργων αὐτῶν διδαχθείς, τὸ τῆς ψυχῆς ἀγεννὲς τῆς ἐμῆς; οὐ διὰ τοῦτο εἰς μικροψυχίαν ἡμᾶς διετέλεις σκώπτων ἀεί, ὅτι καὶ ταῖς τυχούσαις φροντίσι καταπίπτομεν εὐκόλως;

ΧΡΥΣ. ΜΕΜΝΗΜΑΙ μὲν καὶ ταῦτα πολλάκις, ἔφην, ἀκούσας παρὰ σοῦ τὰ ῥήματα, καὶ οὐκ ἂν ἀρνηθείην. ἐγὼ δέ σε εἴ ποτε ἔσκωπτον, παίζων, οὐκ ἀληθεύων, τοῦτο ἐποίουν. ἀλλ' ὅμως οὐδὲν ὑπὲρ τούτων φιλονεικῶ νῦν. ἀξιῶ δὲ καὶ σεαυτὸν τὴν ἴσην μοι παρασχεῖν εὐγνωμοσύνην, ὅταν θελήσω τινὸς ἐπιμνησθῆναι τῶν σοι προσόντων ἀγαθῶν. κἂν γὰρ ἐπιχειρήσῃς ἡμᾶς ἀπελέγξαι ψευδομένους, οὐ φεισόμεθα, ἀλλ' ἀποδείξομεν μετριάζοντά σε μᾶλλον, ἢ πρὸς ἀλήθειαν ταῦτα φθεγγόμενοι, ἑτέρῳ μὲν οὐδενί, τοῖς δὲ λόγοις τοῖς σοῖς, καὶ ταῖς πράξεσι, μάρτυσι χρώμενοι πρὸς τὴν τῶν λεγομένων ἀλήθειαν. πρῶτον δέ σε ἐκεῖνο ἐρέσθαι βούλομαι· οἶσθα πόση τῆς ἀγάπης ἡ δύναμις; ὁ μὲν γὰρ Χριστὸς τὰ τεράστια πάντα ἀφείς, ἅπερ ἔμελλεν ὑπὸ τῶν ἀποστόλων τελεῖσθαι, Ἐν τούτῳ, φησί, γνώσονται οἱ ἄνθρωποι, ὅτι ἐμοί ἐστε μαθηταί, ἐὰν ἀγαπᾶτε ἀλλήλους· ὁ δὲ Παῦλος, Πλήρωμα τοῦ νόμου * φησὶν αὐτὴν εἶναι, καὶ ταύτης ἀπούσης, οὐδὲν εἶναι τῶν χαρισμάτων ὄφελος. τοῦτο δὴ τὸ ἐξαίρετον ἀγαθόν, τὸ γνώρισμα τῶν τοῦ Χριστοῦ μαθητῶν, τὸ τῶν χαρισμάτων ἀνώτερον κείμενον, εἶδον γνησίως ἐν τῇ σῇ πεφυτευμένον ψυχῇ, καὶ πολλῷ βρύον τῷ καρπῷ. Καὶ ὁ Βασίλειος,

Ιωαν. ιγ. λε.
Ρωμ. ιγ. ι.
α. Κορ. ιγ. γ.

ΒΑΣ. ΟΤΙ μὲν πολλή μοί, φησι, τοῦ πράγματος ἡ φροντίς, καὶ μεγίστην ποιοῦμαι τὴν σπουδὴν ὑπὲρ ταύτης τῆς ἐντολῆς, καὶ αὐτὸς ὁμολογῶ· ὅτι δὲ οὐδὲ ἐξ ἡμισείας αὐτὴν διηνύσαμεν, καὶ αὐτὸς ἄν μοι μαρτυρήσεις, εἰ τὸ πρὸς χάριν λέγειν ἀφείς, τιμῆσαι τἀληθὲς βουληθείης.

ΧΡΥΣ. ΟΥΚΟΥΝ ἐπὶ τοὺς ἐλέγχους τρέψομαι, ἔφην· καὶ ὅπερ ἠπείλησα, ποιήσω νῦν, μετριάζειν μᾶλλον, ἢ ἀληθεύειν βουλόμενον ἀποδείξας. ἐρῶ δὲ πρᾶγμα ἄρτι συμβεβηκός, ἵνα μή τις ὑποπτεύσῃ τὰ παλαιά με διηγούμενον, τῷ πλήθει τοῦ χρόνου τἀληθὲς ἐπισκιάζειν ἐπιχειρεῖν, τῆς ἀληθείας οὐκ ἀφιείσης ἐπισκῆψαί τι τοῖς πρὸς χάριν λεγομένοις παρ' ἡμῶν. ὅτε γὰρ τῶν ἐπιτηδείων τις τῶν ἡμετέρων, ἐπ' ἐγκλήμασιν ὕβρεως καὶ ἀπονοίας συκοφαντηθείς, περὶ τῶν ἐσχάτων ἐκινδύνευε, τότε οὔτε ἐγκαλοῦντός σοί τινος, οὔτε ἐκείνου τοῦ κινδυνεύειν μέλλοντος δεηθέντος, εἰς μέσους σαυτὸν ἔρριψας τοὺς κινδύνους. καὶ τὸ μὲν ἔργον οὕτως ἦν· ἵνα δέ σε καὶ ἀπὸ τῶν ῥημάτων ἐλέγξωμεν, καὶ αὐτῶν τῶν εἰρημένων σοι μνημονεύσωμεν, ἐπειδὴ γὰρ τὴν προθυμίαν ταύτην οἱ μὲν οὐκ ἀπεδέχοντο, οἱ δὲ ἐπῄνουν καὶ ἐθαύμαζον, καὶ τί πάθω; πρὸς τοὺς ἐγκαλοῦντας ἔφης· ἑτέρως γὰρ οὐκ οἶδα φιλεῖν, ἀλλ' ἢ μετὰ τοῦ καὶ τὴν ψυχὴν ἐκδιδόναι τὴν ἐμαυτοῦ, ἡνίκα ἄν τινα τῶν ἐπιτηδείων κινδυνεύοντα διασῶσαι δέῃ· ῥήμασι μὲν ἑτέροις, διανοίᾳ δὲ τῇ αὐτῇ, τὰ τοῦ Χριστοῦ φθεγγόμενος, ἃ πρὸς τοὺς μαθητὰς ἔλεγε, τῆς τελείας ἀγάπης τοὺς ὅρους τιθείς. Μείζονα γὰρ ταύτης ἀγάπην οὐδεὶς

Ιωαν. ιε. ιγ.

ἔχει

γρ. τὴν τῶν τοιούτων δοκιμασί
γρ. μόνῳ
γρ. ποτέ
γρ. αὐτὸ
γρ. ὅτι περὶ τῆς τῶν ἔξωθ
γρ. εἴδη
γρ. ἐπίσημ
γρ. αὐτὸν
γρ. κεχρημένοι
* καὶ

ἔχει, φησίν, ἢ ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. Εἰ τοίνυν μείζονα ταύτης οὐκ ἔστιν εὑρεῖν, ἐπὶ δὲ τέλος αὐτῆς ἔφθασας· καὶ δι' ὧν ἔπραξας, καὶ δι' ὧν εἶπας, τῆς κορυφῆς ἐπέβης αὐτῆς. διὰ τοῦτό σε προὐδώκαμεν, διὰ τοῦτο τὸν δόλον ἐρράψαμεν ἐκεῖνον. ἆρά σε πείθομεν ὅτι οὔτε ἐκ κακονοίας, οὔτε εἰς κίνδυνον ἐμβαλεῖν βουλόμενοι, ἀλλὰ χρήσιμον ἔσεσθαι εἰδότες, εἰς τὸ στάδιον εἵλκομεν τοῦτο;

ΒΑΣ. ΕΙΤΑ ἀρκεῖν οἴει, φησί, πρὸς τὴν τῶν πλησίον διόρθωσιν, τὴν τῆς ἀγάπης δύναμιν;

ΧΡΥΣ. ΜΑΛΙΣΤΑ μὲν πολὺ μέρος, ἔφην, πρὸς τοῦτο συμβάλλεσθαι δύναιτ' ἄν. Εἰ δὲ βούλει καὶ τῆς φρονήσεως ἡμᾶς τῆς σῆς δείγματα ἐξενεγκεῖν, καὶ ἐπὶ ταύτης βαδιούμεθα, καὶ δείξομεν συνετὸν ὄντα μᾶλλον ἢ φιλόστοργον.

ΒΑΣ. ΕΠΙ τούτοις ἐρυθριάσας ἐκεῖνος, καὶ φοινιχθείς· ΤΑ μὲν ἡμέτερα, φησί, παρείσθω νῦν (οὐδὲ γὰρ [παρὰ] τὴν ἀρχὴν σε τὸν ὑπὲρ τούτων λόγον ἀπῄτουν) εἰ δέ τι πρὸς τοὺς ἔξωθεν δίκαιον ἔχεις εἰπεῖν, ἡδέως ἂν τοὺς ὑπὲρ τούτων ἀκούοιμι λόγους. διὸ τὴν σκιαμαχίαν ταύτην ἀφεὶς, εἰπὲ τί πρὸς τοὺς λοιποὺς ἀπολογησόμεθα, καὶ τοὺς τετιμηκότας, καὶ τοὺς ὑπὲρ ἐκείνων ὡς ὑβρισμένων ἀλγοῦντας;

ΧΡΥΣ. ΚΑΙ αὐτὸς λοιπὸν, ἔφην, πρὸς τοῦτο ἐπείγομαι. ἐπειδὴ γὰρ ὁ πρὸς σέ μοι διήνυσται λόγος, εὐκόλως καὶ ἐπὶ τοῦτο τρέψομαι τῆς ἀπολογίας τὸ μέρος. τίς οὖν ἡ τούτων κατηγορία, καὶ τίνα τὰ ἐγκλήματα;

ΒΑΣ. ΥΒΡΙΣΘΑΙ φασὶν ὑφ' ἡμῶν, καὶ δεινὰ πεπονθέναι, ὅτι τὴν τιμὴν, ἣν τιμῆσαι ἠθέλησαν, οὐκ ἐδεξάμεθα.

ΧΡΥΣ. ΕΓΩ δὲ πρῶτον μὲν ἐκεῖνό φημι, ὅτι οὐδένα λόγον ποιεῖσθαι δεῖ τῆς εἰς ἀνθρώπους ὕβρεως, ὅταν διὰ τῆς ἐκείνων τιμῆς ἀναγκαζώμεθα προσκρούειν Θεῷ. οὐδὲ γὰρ τοῖς ἀγανακτοῦσιν αὐτοῖς, τὸ δυσχεραίνειν ἐπὶ τούτοις, ἀκίνδυνον φαίην ἄν, ἀλλὰ καὶ πολλὴν ἔχει τὴν ζημίαν. δεῖ γὰρ, οἶμαι, τοὺς ἀνακειμένους Θεῷ, καὶ πρὸς αὐτὸν βλέποντας μόνον, οὕτω διακεῖσθαι εὐλαβῶς, ὡς μηδὲ ὕβριν τὸ τοιοῦτο ἡγεῖσθαι, κἂν μυριάκις ἠτιμωμένοι τυγχάνοιεν. ὅτι δὲ οὐδὲ μέχρι ἐννοίας τετόλμηταί τι τοιοῦτον ἐμοὶ, δῆλον ἐκεῖθεν. Εἰ μὲν γὰρ ἀπονοίᾳ καὶ φιλοδοξίᾳ, ὡς πολλάκις ἔφης τινὰς διαβάλλειν, ἐπὶ τοῦτο ἦλθον ἐγὼ, [ψηφίσασθαι τοῖς κατηγόροις] τῶν τὰ μέγιστα ἠδικηκότων ἂν εἴην, ἀνδρῶν καταφρονήσας θαυμαστῶν καὶ μεγάλων, καὶ πρὸς τούτοις εὐεργετῶν. Εἰ γὰρ τὸ τοὺς μηδὲν ἠδικηκότας ἀδικεῖν, κολάσεως ἄξιον· τοὺς τιμῆσαι προελομένους ἀφ' ἑαυτῶν, πῶς τιμᾶν χρή; οὐδὲ γὰρ τοῦτο ἔχοι τις ἂν εἰπεῖν, ὅτι εὖ παθόντες ἢ μικρὸν ἢ μέγα παρ' ἐμοῦ, τῶν εὐεργεσιῶν ἐκείνων ἐξέτισαν τὰς ἀμοιβάς. πόσης οὖν οὐκ ἂν εἴη τιμωρίας ἄξιον τοῖς ἐναντίοις ἀμείβεσθαι; Εἰ δὲ τοῦτο μὲν οὐδὲ εἰς νοῦν ἐβαλόμεθά ποτε, μεθ' ἑτέρας δὲ προαιρέσεως τόδε τὸ βαρὺ φορτίον ἐξεκλίναμεν· τί παρέντες συγγινώσκειν, εἴ γε ἀποδέχεσθαι μὴ βούλοιντο, ἐγκαλοῦσιν ὅτι τῆς ἑαυτῶν ἐφεισάμεθα ψυχῆς; ἐγὼ γὰρ τοσοῦτον ἀπέχω εἰς τοὺς ἄνδρας ὑβρίσαι ἐκείνους, ὅτι καὶ τετιμηκέναι αὐτοὺς φαίην ἂν τῇ παραιτήσει. καὶ μὴ θαυμάσῃς, εἰ παράδοξον τὸ λεγόμενον. ταχεῖαν γὰρ καὶ τούτου τὴν λύσιν ἐπάξομεν. τότε μὲν γὰρ, εἰ καὶ μὴ πάντες, ἀλλ' οἷς τὸ κακῶς ἀγορεύειν ἡδὺ, πολλὰ ἂν εἶχον καὶ ὑποπτεῦσαι καὶ εἰπεῖν περί τε τοῦ χειροτονηθέντος ἐμοῦ, περί τε τῶν ἑλομένων ἐκείνων· οἷον ὅτι πρὸς πλοῦτον βλέπουσιν, ὅτι λαμπρότητα γένους θαυμάζουσιν, ὅτι κολακευθέντες ὑφ' ἡμῶν εἰς τοῦτο ἡμᾶς παρήγαγον. Εἰ δὲ καὶ ὅτι χρήμασι πεισθέντες, οὐκ ἔχω λέγειν, εἴ τις καὶ τοῦτο ὑποπτεύσων ἦν. καὶ ὁ μὲν Χριστὸς ἁλιεῖς καὶ σκηνοποιοὺς καὶ τελώνας ἐπὶ ταύτην ἐκάλεσε τὴν ἀρχήν· οὗτοι δὲ τοὺς μὲν ἀπὸ τῆς ἐργασίας τῆς καθημερινῆς τρεφομένους διαπτύουσιν· εἰ δέ τις λόγων ἅπτοιτο τῶν ἔξωθεν, καὶ ἀργῶν τρέφοιτο, τοῦτον ἀποδέχονται καὶ θαυμάζουσι. τί γὰρ δήποτε τοὺς

Ματθ. δ. ιθ.
Πραξ. ιη. γ.
Λουκ. ε. κζ.

μὲν μυρίους ἀναδεδεγμένους ἱδρῶτας εἰς τὰς τῆς ἐκκλησίας χρείας περιεῖδον, τὸν δὲ οὐδέποτε τοιούτων γευσάμενον πόνων, πᾶσαν δὲ τὴν ἡλικίαν ἐν τῇ τῶν ἔξωθεν λόγων ματαιοπονίᾳ καταναλώσαντα, ἐξαίφνης εἰς ταύτην εἵλκυσαν τὴν τιμήν; ταῦτα καὶ πλείονα τούτων λέγειν ″εἶχον ἄν, δεξαμένων ἡμῶν τὴν ἀρχήν. ἀλλ' οὐ νῦν. πᾶσα γὰρ αὐτοῖς κακηγορίας ″ἐκκέκοπται πρόφασις· καὶ οὔτε ἐμοὶ κολακείαν, οὔτε μισθαρνίαν ἐκείνοις ἔχουσιν ἐγκαλεῖν, πλὴν εἴ τινες ἁπλῶς μαίνεσθαι βούλοιντο. πῶς γὰρ ὁ κολακεύων καὶ χρήματα ἀναλίσκων, ἵνα τύχῃ τῆς τιμῆς, ἡνίκα ἔδει τυχεῖν, ἑτέροις ἂν ἀφῆκεν αὐτήν; ὅμοιον γὰρ ἂν εἴη τοῦτο, ὥσπερ ἂν εἴ τις πολλοὺς περὶ τὴν γῆν ἀναδεχόμενος πόνους, ἵνα βρίθηται μὲν αὐτῷ τὸ λήϊον πολλῷ τῷ καρπῷ, οἴνῳ δὲ ὑπερβλύζωσιν αἱ ληνοί, μετὰ τοὺς ″μυρίους ἱδρῶτας καὶ τὴν πολλὴν τῶν χρημάτων δαπάνην, ἡνίκα ἂν καλαμᾶσθαι καὶ τρυγᾶν δέῃ, τηνικαῦτα ἑτέροις τῆς τῶν καρπῶν ἐκσταίη φορᾶς. ὁρᾷς ὅτι τότε μὲν εἰ καὶ πόρρω τῆς ἀληθείας ἦν τὰ λεγόμενα, ἀλλ' ὅμως εἶχον πρόφασιν οἱ βουλόμενοι διαβάλλειν αὐτούς, ὡς οὐκ ὀρθῇ κρίσει λογισμῶν τὴν αἵρεσιν πεποιημένους· ἡμεῖς δὲ αὐτοῖς νῦν οὐδὲ χάναι, οὐδὲ ἁπλῶς διᾶραι τὸ στόμα συνεχωρήσαμεν. καὶ τὰ μὲν παρὰ τὴν ἀρχὴν λεγόμενα, τοιαῦτα ἂν ἦν, καὶ τούτων πλείονα. μετὰ δὲ τὸ τῆς διακονίας ἅψασθαι, οὐκ ἂν ″ἤρκεσαν καθ' ἑκάστην ἡμέραν τοῖς ἐγκαλοῦσιν ἀπολογούμενοι, εἰ καὶ πάντα ἡμῖν ἀναμαρτήτως ἐπεπράττετο (μὴ ὅτι καὶ πολλὰ ″διαμαρτεῖν ὑπό τε τῆς ἀπειρίας καὶ τῆς ἡλικίας ἠναγκάσθημεν ἄν) νῦν δὲ καὶ ταύτης αὐτοὺς ″κατηγορίας ἀπηλλάξαμεν· τότε δὲ μυρίοις ἂν αὐτοὺς περιεβάλομεν ὀνείδεσι. ″τί γὰρ οὐκ ἂν εἶπον; παισὶν ἀνοήτοις πράγματα οὕτω θαυμαστὰ καὶ μεγάλα ἐπέτρεψαν, ἐλυμήναντο τοῦ Θεοῦ τὸ ποίμνιον, παίγνια καὶ γέλως γέγονε τὰ χριστιανῶν. ἀλλὰ νῦν πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα ″αὐτῆς. εἰ γὰρ καὶ διὰ σὲ ταῦτα λέγοιεν, ἀλλὰ ταχέως αὐτοὺς διδάξεις διὰ τῶν ἔργων, ὅτι οὐ χρὴ τὴν σύνεσιν ἡλικίᾳ κρίνειν, οὐδὲ τὸν πρεσβύτην ἀπὸ τῆς πολιᾶς δοκιμάζειν, οὐδὲ τὸν νέον πάντως ἀπείργειν τῆς τοιαύτης διακονίας, ἀλλὰ τὸν νεόφυτον· πολὺ δὲ ἀμφοτέρων τὸ μέσον.

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ. Λογ. γ.

Τῆς μὲν οὖν ὕβρεως ἕνεκεν τῆς εἰς τοὺς τετιμηκότας, καὶ ὅτι αὐτοὺς οὐ καταισχῦναι βουλόμενοι, ταύτην ἐφύγομεν τὴν ″τιμήν, ταῦτα ἂν ″ἔχοιμεν λέγειν, ἅπερ εἰρήκαμεν. ὅτι δὲ οὐδὲ ὑπὸ ἀπονοίας τινὸς φυσηθέντες, τὸ τοῦτο νῦν εἰς δύναμιν τὴν ἐμὴν πειράσομαί σοι ποιῆσαι φανερόν. εἰ μὲν γὰρ στρατηγίας ἡμῖν ἢ βασιλείας αἵρεσις προὔκειτο, ″εἶτα ταύτην εἶχον τὴν γνώμην, εἰκότως ἄν τις τοῦτο ὑπέλαβεν· ἢ τότε μὲν ἀπονοίας οὐδεὶς, ἀνοίας δὲ πάντες ἂν ἡμᾶς ἔκρινον. ἱερωσύνης δὲ προκειμένης, ἣ ″τοσοῦτον ἀνωτέρω βασιλείας ἕστηκεν, ″ὅσον πνεύματος καὶ σαρκὸς τὸ μέσον, τολμήσει τις ἡμᾶς ὑπεροψίας ″γράψασθαι; καὶ πῶς οὐκ ἄτοπον, τοὺς μὲν τὰ μικρὰ διαπτύοντας, ὡς παραπαίοντας αἰτιᾶσθαι· τοὺς δὲ ἐπὶ τῶν ἄγαν ″ὑπερεχόντων τοῦτο ποιοῦντας, τῶν μὲν τῆς παραπληξίας ἐγκλημάτων ἐξαιρεῖν, ταῖς δὲ τῆς ὑπερηφανίας ὑποβάλλειν αἰτίαις; ὥσπερ ἂν εἴ τις τὸν ἀγέλης βοῶν καταφρονοῦντα καὶ μὴ βουλόμενον εἶναι βουκόλον, εἰς ὑπερηφανίαν μὲν οὐδαμῶς, εἰς δὲ φρενῶν ἔκστασιν αἰτιώμενος, τὸν ἁπάσης τῆς οἰκουμένης τὴν βασιλείαν, καὶ τὸ γενέσθαι κύριον τῶν ἁπανταχοῦ στρατοπέδων μὴ ″καταδεχόμενον, ἀντὶ τοῦ μαίνεσθαι τετυφῶσθαι φαίη. ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν· οὐδὲ ἡμᾶς μᾶλλον, ἢ ἑαυτοὺς οἱ ταῦτα λέγοντες διαβάλλουσι. τὸ γὰρ ἐννοῆσαι μόνον, ὅτι δυνατὸν ἂν ἀνθρωπίνῃ φύσει τῆς ἀξίας ὑπερφρονῆσαι ἐκείνης, δεῖγμα κατὰ τῶν ἐκφερόντων

ἐστὶ

ἐστιν, ἣν ἔχουσι περὶ τοῦ πράγματος δόξης. εἰ γὰρ μὴ τὴν τυχοῦσαν αὐτὸ, καὶ ὧν οὐ πολὺς [ὁ] λόγος ἐνόμιζον εἶναι, οὐδ᾽ ἂν ὑποπτεῦσαι τοῦτο ἐπῆλθεν αὐτοῖς. διὰ τί γὰρ περὶ τὴν τῶν ἀγγέλων ἀξίαν οὐδεὶς ἐτόλμησέ τι τοιοῦτον ὑποπτεῦσαί ποτε, καὶ εἰπεῖν ὅτι ἐστὶν ἀνθρωπίνη ψυχὴ δι᾽ ἀπόνοιαν οὐκ αἰσχυνομένη ἐπὶ τὸ τῆς φύσεως ἐκείνης ἀξίωμα ἐλθεῖν; μεγάλα γάρ τινα φανταζόμεθα περὶ τὴν δύναμιν ἐκείνων, καὶ τοῦτο ἡμᾶς οὐκ ἀφίησι πιστεῦσαι, ὅτι δύναται ἄνθρωπος τῆς τιμῆς φρονῆσαί τι μεῖζον ἐκείνης. ὥστε αὐτοὺς μᾶλλον δικαίως ἄν τις γράψαιτο ἀπονοίας τοὺς ἡμῶν τοῦτο κατηγοροῦντας. οὐ γὰρ ἄν ποτε περὶ ἑτέρων τοῦτο ὑπέλαβον, εἰ μὴ πρότερον αὐτοὶ τοῦ πράγματος, ὡς οὐδενὸς ὄντος, κατέγνωσαν. εἰ δὲ πρὸς δόξαν ὁρῶντά με τοῦτο πεποιηκέναι φήσουσι, περιπίπτοντες ἑαυτοῖς ἐλεγχθήσονται καὶ μαχόμενοι φανερῶς. οὐδὲ γὰρ οἶδα ποίους ἂν ἑτέρους πρὸ τούτων ἐζήτησαν λόγους, εἰ τῶν τῆς κενοδοξίας ἡμᾶς ἠθέλησαν ἀπαλλάξαι ἐγκλημάτων. εἰ γὰρ οὗτός με ποτε εἰσῆλθεν ὁ ἔρως, καταδέξασθαι μᾶλλον ἐχρῆν, ἢ φυγεῖν. διατί; ὅτι πολλὴν ἡμῖν τοῦτο τὴν δόξαν ἤνεγκεν ἄν. τὸ γὰρ ἐν τούτῳ τῆς ἡλικίας ὄντα, καὶ πρὸ βραχέος ἀποστάντα τῶν βιωτικῶν φροντίδων, ἐξαίφνης οὕτω δόξαι παρὰ πᾶσιν εἶναι θαυμαστὸν, ὥστε τῶν τὸν ἅπαντα χρόνον ἐν τοῖς τοιούτοις ἐξαναλωθέντων πόνοις προτιμηθῆναι, καὶ πλείονας ψήφους πάντων ἐκείνων λαβεῖν, θαυμαστά τινα καὶ μεγάλα περὶ ἡμῶν πάντας ἂν ὑποπτεῦσαι ἔπεισε, καὶ σεμνοὺς ἂν ἡμᾶς καὶ περιβλέπτους κατέστησε. νῦν δὲ, πλὴν ὀλίγων, τὸ πλεῖον τῆς ἐκκλησίας μέρος οὐδ᾽ ἐξ ὀνόματος ἡμᾶς ἴσασιν· ὥστε οὐδὲ ὅτι παρῃτήμεθα, πᾶσιν ἔσται φανερὸν, ἀλλ᾽ ὀλίγοις τισὶν, οὓς οὐδ᾽ αὐτοὺς οἶμαι τὸ σαφὲς εἰδέναι πάντας· ἀλλ᾽ εἰκὸς καὶ τούτων πολλοὺς ἢ μηδόλως ἡμᾶς ᾑρῆσθαι νομίσαι, ἢ μετὰ τὴν αἵρεσιν ἀνεπιτηδείους εἶναι δόξαντας, οὐχ ἑκόντας φυγεῖν.

γ. [illegible]

γ. φασίν,

γ. [illegible]

γ. ἴσως

γ. οὐδὲ [illegible] καὶ

γ. [illegible]

ΒΑΣ. ΑΛΛ᾽ οἱ τἀληθὲς εἰδότες θαυμάσονται.

ΧΡΥΣ. ΚΑΙ μὴν τούτους ἔφης, ὡς κενοδόξους καὶ ὑπερηφάνους, διαβάλλειν ἡμᾶς. πόθεν οὖν ἔστιν ἐλπίσαι τὸν ἔπαινον; ἀπὸ τῶν πολλῶν; ἀλλ᾽ οὐκ ἴσασι τὸ σαφές· ἀλλ᾽ ἐκ τῶν ὀλίγων; ἀλλὰ κἀνταῦθα ἡμῖν εἰς τοὐναντίον τὸ πρᾶγμα περιέτραπται. οὐδὲ γὰρ ἑτέρου τινὸς ἕνεκεν ἐνταῦθα εἰσῆλθες νῦν, ἀλλ᾽ ἵνα μάθῃς τί πρὸς ἐκείνους ἀπολογήσασθαι δέοι. καὶ τί τούτων ἕνεκεν ἀκριβολογοῦμαι νῦν; ὅτι γὰρ εἰ καὶ πάντες ᾔδεσαν τἀληθὲς, οὐδ᾽ οὕτως ἡμᾶς ἀπονοίας ἢ φιλοδοξίας ἔδει κρίνειν· μικρὸν ἀνάμεινον, καὶ τοῦτο εἴσῃ σαφῶς, καὶ πρὸς τούτῳ πάλιν ἐκεῖνο, ὅτι οὐ τοῖς ταύτην τολμῶσι τὴν τόλμαν μόνον, εἴπερ τίς ἐστιν ἀνθρώπων (οὐ γὰρ ἔγωγε πείθομαι) ἀλλὰ καὶ τοῖς περὶ ἑτέρων ὑποπτεύουσι κίνδυνος ἀπόκειται οὐ μικρός. ἡ γὰρ ἱερωσύνη τελεῖται μὲν ἐπὶ τῆς γῆς, τάξιν δὲ ἐπουρανίων ἔχει ταγμάτων, καὶ μάλα γε εἰκότως. οὐ γὰρ ἄνθρωπος, οὐκ ἄγγελος, οὐκ ἀρχάγγελος, οὐκ ἄλλη τις κτιστὴ δύναμις, ἀλλ᾽ αὐτὸς ὁ Παράκλητος ταύτην διετάξατο τὴν ἀκολουθίαν, καὶ ἔτι μένοντας ἐν σαρκὶ τὴν τῶν ἀγγέλων ἔπεισε φαντάζεσθαι διακονίαν. διὸ χρὴ τὸν ἱερωμένον, ὥσπερ ἐν αὐτοῖς ἑστῶτα τοῖς οὐρανοῖς μεταξὺ τῶν δυνάμεων ἐκείνων, οὕτως εἶναι καθαρόν. φοβερὰ μὲν γὰρ καὶ φρικωδέστατα καὶ τὰ πρὸ τῆς χάριτος, οἷον οἱ κώδωνες, οἱ ῥοΐσκοι, οἱ λίθοι οἱ ἐπὶ τοῦ στήθους, οἱ τῆς ἐπωμίδος, ἡ μίτρα, ἡ κίδαρις, ὁ ποδήρης, τὸ πέταλον τὸ χρυσοῦν, τὰ ἅγια τῶν ἁγίων, ἡ πολλὴ τῶν ἔνδον ἠρεμία. ἀλλ᾽ εἴ τις τὰ τῆς χάριτος ἐξετάσειε, μικρὰ ὄντα εὑρήσει τὰ φοβερὰ καὶ φρικωδέστατα ἐκεῖνα, καὶ τὸ περὶ τοῦ νόμου λεχθὲν κἀνταῦθα ἀληθὲς ὂν· ὅτι Οὐ δεδόξασται τὸ δεδοξασμένον [ἐν τούτῳ τῷ μέρει] ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης. ὅταν γὰρ ἴδῃς τὸν Κύριον τεθυμένον, καὶ τὸν ἱερέα ἐφεστῶτα τῷ θύματι, καὶ ἐπευχόμενον, καὶ πάντας ἐκείνῳ τῷ τιμίῳ φοινισσομένους αἵματι, ἆρα ἔτι μετὰ ἀνθρώπων εἶναι νομίζεις καὶ ἐπὶ τῆς γῆς ἑστάναι, ἀλλ᾽ οὐκ εὐθέως ἐπὶ τοὺς οὐρανοὺς μεταναστῆναι, καὶ πᾶσαν σαρκικὴν διάνοιαν τῆς ψυχῆς ἐκβαλὼν, γυμνῇ τῇ ψυχῇ καὶ τῷ νῷ καθαρῷ περιβλέπεις τὰ ἐν οὐρανοῖς; ὢ τοῦ θαύματος, ὢ τῆς

γ. διαβάλλειν

γ. ὁ λόγος

γ. ἀπόκειται

Ἐξοδ. κη.

β. Κορ. γ. 1.

γ. ἀρχιερέα

τὸ πρὸ [illegible]

[illegible]

γ. ἐκβαλὼν

τοῦ Θεοῦ φιλανθρωπίας. ὁ μετὰ τοῦ πατρὸς ἄνω καθήμενος, κατὰ τὴν ὥραν ἐκείνην ταῖς ἁπάντων κατέχεται χερσὶ, καὶ δίδωσιν αὑτὸν τοῖς βουλομένοις περιπτύξασθαι καὶ περιλαβεῖν. ποιοῦσι δὲ τοῦτο πάντες * διὰ τῶν ὀφθαλμῶν τῆς πίστεως. ἆρά σοι τοῦ καταφρονεῖσθαι ἄξια ταῦτα καταφαίνεται; ἢ τοιαῦτα εἶναι, ὡς δυνηθῆναί τινα καὶ ἐπαρθῆναι κατ' αὐτῶν; βούλει καὶ ἐξ ἑτέρου θαύματος, τῆς ἁγιαστείας ταύτης ἰδεῖν τὴν ὑπερβολήν; ὑπόγραψόν μοι τὸν Ἠλίαν τοῖς ὀφθαλμοῖς, καὶ τὸν ἄπειρον ὄχλον περιεστῶτα, καὶ τὴν θυσίαν ἐπὶ τῶν
γ. Βασ. ιη. λίθων κειμένην, καὶ πάντας μὲν ἐν ἡσυχίᾳ τοὺς λοιποὺς καὶ πολλῇ τῇ σιγῇ, μόνον δὲ τὸν προφήτην εὐχόμενον· εἶτα ἐξαίφνης τὴν φλόγα ἐκ τῶν οὐρανῶν ἐπὶ τὸ ἱερεῖον ῥιπτουμένην. θαυμαστὰ ταῦτα καὶ πάσης ἐκπλήξεως γέμοντα. μετάβηθι τοίνυν ἐκεῖθεν ἐπὶ τὰ νῦν τελούμενα, καὶ οὐ θαυμαστὰ μόνον ὄψει, ἀλλὰ καὶ πᾶσαν ἔκπληξιν ὑπερβαίνοντα. ἕστηκε γὰρ ὁ ἱερεὺς, οὐ πῦρ καταφέρων, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον, καὶ τὴν ἱκετηρίαν ἐπὶ πολὺ ποιεῖται, οὐχ ἵνα τις λαμπὰς ἄνωθεν ἀφεθεῖσα καταναλώσῃ τὰ προκείμενα, ἀλλ' ἵνα ἡ χάρις ἐπιπεσοῦσα τῇ θυσίᾳ, δι' ἐκείνης τὰς ἁπάντων ἀνάψῃ ψυχὰς, καὶ ἀργυρίου λαμπροτέρας ἀποδείξῃ πεπυρωμένου. ταύτης οὖν τῆς φρικωδεστάτης τελετῆς, τίς μὴ σφόδρα μαινόμενος μηδὲ ἐξεστηκὼς, ὑπερφρονῆσαι δυνήσεται; ἢ ἀγνοεῖς, ὅτι οὐκ ἄν ποτε ἀνθρωπεία ψυχὴ τὸ πῦρ ἐκεῖνο τῆς θυσίας ἐβάστασεν, ἀλλ' ἄρδην ἂν ἅπαντες ἠφανίσθησαν, εἰ μὴ πολλὴ τῆς τοῦ Θεοῦ χάριτος ἦν ἡ βοήθεια; εἰ γάρ τις ἐννοήσειεν, ὅσον ἐστὶν, ἄνθρωπον ὄντα καὶ ἔτι σαρκὶ καὶ αἵματι πεπλεγμένον, τῆς μακαρίας καὶ ἀκηράτου φύσεως ἐκείνης ἐγγὺς δυνηθῆναι γενέσθαι· τότε ὄψεται καλῶς, ὅσης τοὺς ἱερέας τιμῆς ἡ τοῦ πνεύματος ἠξίωσε χάρις. διὰ γὰρ ἐκείνων καὶ ταῦτα τελεῖται, καὶ ἕτερα τούτων οὐδὲν ἀποδέοντα, καὶ εἰς ἀξιώματος, καὶ εἰς σωτηρίας τῆς ἡμετέρας λόγον. οἱ γὰρ τὴν γῆν οἰκοῦντες καὶ ἐν ταύτῃ ποιούμενοι τὴν διατριβὴν, τὰ ἐν οὐρανοῖς διοικεῖν ἐπετράπησαν, καὶ ἐξουσίαν ἔλαβον, ἣν οὔτε ἀγγέλοις, οὔτε ἀρ-
Ματθ. ιη. ιη. χαγγέλοις ἔδωκεν ὁ Θεός. οὐ γὰρ πρὸς ἐκείνους εἴρηται· Ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα καὶ ἐν τῷ οὐρανῷ· καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. ἔχουσι μὲν γὰρ καὶ οἱ κρατοῦντες ἐπὶ τῆς γῆς τοῦ δεσμοῦ ἐξουσίαν, ἀλλὰ σωμάτων μόνον· οὗτος δὲ ὁ δεσμὸς αὐτῆς ἅπτεται τῆς ψυχῆς, καὶ διαβαίνει τοὺς οὐρανούς· καὶ ἅπερ ἂν ἐργάσωνται κάτω οἱ ἱερεῖς, ταῦτα ὁ Θεὸς ἄνω κυροῖ, καὶ τὴν τῶν δούλων γνώμην ὁ δεσπότης
Ιωαν. κ. κγ. βεβαιοῖ. καὶ τί γὰρ, ἀλλ' ἢ πᾶσαν αὐτοῖς τὴν οὐράνιον ἔδωκεν ἐξουσίαν; Ὧν γὰρ ἂν, φησιν, ἀφῆτε τὰς ἁμαρτίας, ἀφέωνται· καὶ ὧν ἂν κρατῆτε, κεκράτηνται. τίς ἂν γένοιτο ταύτης
Ιωαν. ε. κβ. ἐξουσία μείζων; Πᾶσαν τὴν κρίσιν ἔδωκεν ὁ πατὴρ τῷ υἱῷ· ὁρῶ δὲ πᾶσαν αὐτὴν τούτοις ἐγχειρισθεῖσαν ὑπὸ τοῦ υἱοῦ. ὥσπερ γὰρ εἰς οὐρανοὺς ἤδη μετατεθέντες, καὶ τὴν ἀνθρωπείαν ὑπερβάντες φύσιν, καὶ τῶν ἡμετέρων ἀπαλλαγέντες παθῶν, οὕτως εἰς ταύτην ἤχθησαν τὴν ἀρχήν. εἶτα, ἂν μὲν βασιλεύς τινι τῶν ὑπ' αὐτὸν οἰκούντων ταύτης μεταδῷ τῆς τιμῆς, ὥστε ἐμβάλλειν εἰς δεσμωτήριον οὓς ἂν ἐθέλῃ, καὶ ἀφιέναι πάλιν, ζηλωτὸς καὶ περίβλεπτος παρὰ πᾶσιν οὗτος· ὁ δὲ παρὰ Θεοῦ τοσούτῳ μείζονα ἐξουσίαν λαβὼν, ὅσῳ γῆς τιμιώτερος ὁ οὐρανός, καὶ σωμάτων ψυχαὶ, οὕτω μικρὰν ἐνίοις ἔδοξεν εἰληφέναι τιμὴν, ὡς δυνηθῆναι κἂν ἐννοῆσαι, ὅτι τῶν ταῦτα πιστευθέντων τις ὑπερφρονήσει τῆς δωρεᾶς; ἄπαγε τῆς μανίας· μανία γὰρ περιφανὴς, ὑπερορᾶν τῆς τοσαύτης ἀρχῆς, ἧς ἄνευ οὔτε σωτηρίας ἡμῖν, οὔτε τῶν ἐπηγγελμένων ἐπιτυχεῖν ἔστιν ἀγαθῶν. εἰ γὰρ οὐ δύναταί τις εἰσελθεῖν εἰς τὴν βα-
Ιωαν. γ. ε. σιλείαν τῶν οὐρανῶν, ἐὰν μὴ δι' ὕδατος καὶ πνεύματος ἀναγεννηθῇ, καὶ ὁ μὴ τρώγων τὴν σάρ-
Ιωαν. ς. νγ. κα τοῦ Κυρίου καὶ τὸ αἷμα αὐτοῦ πίνων, ἐκβέβληται τῆς αἰωνίου ζωῆς· πάντα δὲ ταῦτα δι' ἑτέρου μὲν οὐδενὸς, μόνον δὲ διὰ τῶν ἁγίων ἐκείνων ἐπιτελεῖται χειρῶν, τῶν τοῦ ἱερέως λέγω· πῶς ἄν τις τούτων ἐκτὸς, ἢ τὸ τῆς γεέννης ἐκφυγεῖν δυνήσεται πῦρ, ἢ τῶν ἀποκειμένων στεφάνων τυχεῖν; οὗτοι γάρ εἰσιν, οὗτοι, οἱ τὰς πνευματικὰς πιστευθέντες ὠδῖνας, καὶ τὴν διὰ τοῦ βα-

πτίσματος

πολίσματος ἐπιτρέψαντες τόκον. διὰ τούτων ἐνδυόμεθα τὸν Χριστόν, καὶ "συνθαπτόμεθα τῷ υἱῷ τοῦ Θεοῦ, μέλη γινόμεθα τῆς μακαρίας "ἐκείνης κεφαλῆς· ὥστε ἡμῖν οὐκ ἀρχόντων μόνον, οὐδὲ βασιλέων φοβερώτεροι, ἀλλὰ καὶ πατέρων τιμιώτεροι "δικαίως ἂν εἶεν. οἱ μὲν γὰρ ἐξ αἱμάτων καὶ ἐκ θελήματος σαρκὸς ἐγέννησαν, οἱ δὲ τῆς ἐκ τοῦ Θεοῦ γεννήσεως ἡμῖν εἰσιν αἴτιοι, τῆς μακαρίας παλιγγενεσίας ἐκείνης, τῆς "ἐλευθερίας, τῆς ἀληθοῦς καὶ τῆς κατὰ χάριν υἱοθεσίας*. λέπραν" σώματος ἀπαλλάττειν, μᾶλλον δὲ ἀπαλλάττειν μὲν οὐδαμῶς, τοὺς δὲ "ἀπαλλαγέντας δοκιμάζειν μόνον εἶχον ἐξουσίαν οἱ τῶν Ἰουδαίων ἱερεῖς· καὶ οἶσθα πῶς περιμάχητον ἦν τὸ τῶν ἱερέων τότε. οὗτοι δὲ οὐ λέπραν σώματος, ἀλλ᾽ ἀκαθαρσίαν ψυχῆς, οὐκ ἀπαλλαγεῖσαν δοκιμάζειν, ἀλλ᾽ ἀπαλλάττειν παντελῶς ἔλαβον ἐξουσίαν. ὥστε οἱ τούτων ὑπερορῶντες, πολλῷ τῶν περὶ Δαθὰν εἶεν ἐναγέστεροι, καὶ μείζονος ἄξιοι τιμωρίας. οἱ μὲν γάρ, εἰ καὶ μὴ προσηκούσης αὐτοῖς ἀντεποιοῦντο τῆς ἀρχῆς, ἀλλ᾽ ὅμως θαυμαστήν τινα περὶ αὐτῆς εἶχον δόξαν, καὶ τοῦτο τῷ μετὰ πολλῆς ἐφίεσθαι σπουδῆς ἐδήλουν· οὗτοι δέ, ὅτε ἐπὶ τὸ κρεῖττον διεκοσμήθη, καὶ τοσαύτην ἔλαβεν ἐπίδοσιν τὸ πρᾶγμα, τότε ἐξ ἐναντίας μὲν ἐκείνοις, πολλῷ δὲ ἐκείνων μείζονα τετολμήκασιν. οὐδὲ γὰρ ἴσον εἰς καταφρονήσεως λόγον, ἐφίεσθαι μὴ προσηκούσης τιμῆς, καὶ ὑπερορᾶν τοσούτων ἀγαθῶν· ἀλλὰ τοσούτῳ μεῖζον ἐκείνου τοῦτο, ὅσῳ τοῦ διαπτύειν καὶ θαυμάζειν τὸ μέσον ἐστί. τίς οὖν οὕτως "ἄθλιος ἂν εἴη, ὡς τοσούτων ὑπεριδεῖν ἀγαθῶν; οὐκ ἄν ποτε οὐδένα φαίην ἔγωγε, πλὴν εἰ μή τις οἶστρον ὑπομείνειε δαιμονικόν. ἀλλὰ γὰρ ἐπάνειμι πάλιν, ὅθεν ἐξέβην. οὐ γὰρ ἐν τῷ κολάζειν μόνον, ἀλλὰ καὶ ἐν τῷ εὐεργετεῖν, μείζονα τοῖς ἱερεῦσιν ἔδωκε δύναμιν τῶν φυσικῶν γονέων ὁ Θεός· καὶ τοσοῦτον ἀμφοτέρων τὸ διάφορον, ὅσον τῆς παρούσης καὶ τῆς μελλούσης ζωῆς*. οἱ μὲν γὰρ εἰς ταύτην, οἱ δὲ εἰς ἐκείνην γεννῶσι. κἀκεῖνοι μὲν οὐδὲ τὸν σωματικὸν αὐτοῖς δύναιντ᾽ ἂν "ἀμύνασθαι θάνατον, "οὐ νόσον ἐπενεχθεῖσαν ἀποκρούσασθαι· οὗτοι δὲ καὶ κάμνουσαν καὶ ἀπόλλυσθαι μέλλουσαν τὴν ψυχὴν πολλάκις ἔσωσαν, τοῖς μὲν πρᾳοτέραν τὴν κόλασιν ἐργασάμενοι, τοὺς δὲ οὐδὲ παρὰ τὴν ἀρχὴν ἀφέντες ἐμπεσεῖν, οὐ τῷ διδάσκειν μόνον καὶ νουθετεῖν, ἀλλὰ καὶ τῷ δι᾽ εὐχῶν βοηθεῖν. οὐ γὰρ ὅταν ἡμᾶς ἀναγεννῶσι μόνον, ἀλλὰ καὶ [τὰ] μετὰ ταῦτα συγχωρεῖν ἔχουσιν ἐξουσίαν ἁμαρτήματα. Ἀσθενεῖ γάρ τις (φησὶν) ἐν ὑμῖν; προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας, καὶ προσευξάσθωσαν "ἐπ᾽ αὐτόν, ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ ὀνόματι τοῦ Κυρίου. καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, [καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος,] κἂν ἁμαρτίας ᾖ πεποιηκώς, "ἀφεθήσονται αὐτῷ. ἔπειτα οἱ μὲν φυσικοὶ γονεῖς, εἴ τισι τῶν ὑπερεχόντων καὶ μεγάλα* δυναμένων προσκρούσαιεν οἱ παῖδες, οὐδὲν αὐτοὺς "ἔχουσιν ὠφελεῖν· οἱ δὲ ἱερεῖς οὐκ ἄρχοντας, οὐ βασιλέας, ἀλλ᾽ αὐτὸν αὐτοῖς πολλάκις ὀργισθέντα κατήλλαξαν τὸν Θεόν. ἔτι οὖν ἡμᾶς μετὰ ταῦτα τολμήσει τις ἀπονοίας κρίνειν; ἐγὼ μὲν γὰρ ἐκ τῶν εἰρημένων τοσαύτην εὐλάβειαν οἶμαι ταῖς τῶν ἀκουόντων κατασχεῖν ψυχαῖς· ὡς μηκέτι τοὺς φεύγοντας, ἀλλὰ τοὺς ἀφ᾽ ἑαυτῶν προσιόντας, καὶ σπουδάζοντας ταύτην ἑαυτοῖς "κτήσασθαι τὴν τιμήν, ἀπονοίας καὶ τόλμης "κρίνειν. εἰ γὰρ οἱ τὰς τῶν πόλεων ἀρχὰς "ἐμπιστευθέντες, ὅταν μὴ συνετοὶ καὶ λίαν ὀξεῖς τυγχάνωσιν ὄντες, καὶ τὰς πόλεις ἀνέτρεψαν, καὶ ἑαυτοὺς προσαπώλεσαν· ὁ τοῦ Χριστοῦ τὴν νύμφην κατακοσμεῖν λαχών, πόσης σοι δοκεῖ δεῖσθαι δυνάμεως καὶ τῆς παρ᾽ "αὐτοῦ, καὶ τῆς ἄνωθεν, πρὸς τὸ μὴ διαμαρτεῖν; οὐδεὶς μᾶλλον Παύλου τὸν Χριστὸν ἠγάπησεν, οὐδεὶς μείζονα ἐκείνου σπουδὴν "ἐπεδείξατο, οὐδεὶς πλείονος ἠξιώθη χάριτος· ἀλλ᾽ ὅμως μετὰ τοσαῦτα πλεονεκτήματα δέδοικεν ἔτι καὶ τρέμει περὶ ταύτης τῆς ἀρχῆς, καὶ τῶν ἀρχομένων ὑπ᾽ αὐτοῦ. Φοβοῦμαι γάρ, φησί, μή πως, ὡς ὄφις Εὔαν ἐξηπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριστόν. καὶ πάλιν· Ἐν φόβῳ καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς. ἄνθρωπος εἰς τρίτον ἁρπαγεὶς οὐρανὸν καὶ ἀπορρήτων κοινωνήσας "Θεῷ, καὶ τοσούτους ὑπομείνας θανάτους, ὅσας

γρ. Συναπτόμεθα τῷ υἱῷ τοῦ Θεοῦ [illegible]

γρ. [illegible]

γρ. [illegible] αὐτῶν λογίζεσθαι.

γρ. ἐλευθέρας

* [illegible]

γρ. σωμάτων

γρ. ἀπαλλαττομένους

γρ. ἄθλια ψυχή.

* τὸ μέσον.

γρ. ἀμύνασθαι

γρ. [illegible]

γρ. ὑπ᾽ αὐτοῦ.

γρ. ἀφεθήσεται

* [illegible]

γρ. [illegible]

γρ. [illegible]

γρ. [illegible]

γρ. [illegible]

Λευΐτ ιδ. δ.

Αριθ. ιϛ.

Ιακ. ε. ιδ.

β. Κορ. ια. γ.

α. Κορ. β. γ.

β. Κορ. ιβ. β.

ϲ Κορ. θ. ιε. μετὰ τὸ πιστεῦσαι ἔζησεν ἡμέρας· ἄνθρωπος μηδὲ τῇ δοθείσῃ παρὰ τοῦ Χριστοῦ χρήσασθαι
ἐξουσίᾳ βουληθείς, ἵνα μή τις τῶν πιστευσάντων σκανδαλισθῇ· εἰ τοίνυν ὁ τὰ προστάγματα
ὑπερβαίνων τοῦ Χριστοῦ, καὶ μηδαμοῦ τὸ ἑαυτοῦ ζητῶν, ἀλλὰ τὸ τῶν ἀρχομένων, οὕτως
ἔμφοβος ἦν ἀεί, πρὸς τὸ τῆς ἀρχῆς μέγεθος ἀφορῶν, τί πεισόμεθα ἡμεῖς οἱ πολλαχοῦ
τὰ ἑαυτῶν ζητοῦντες, οἱ τὰς ἐντολὰς τοῦ Χριστοῦ οὐ μόνον οὐχ ὑπερβαίνοντες, ἀλλὰ καὶ ἐκ
ϲ Κορ. ια. κθ. πλείονος παραβαίνοντες μοίρας; Τίς ἀσθενεῖ, φησί, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ
οὐκ ἐγὼ πυροῦμαι; τοιοῦτον εἶναι δεῖ τὸν ἱερέα· μᾶλλον δὲ οὐ τοιοῦτον μόνον· μικρὰ γὰρ
Ρωμ. θ. γ. ταῦτα καὶ τὸ μηδὲν πρὸς ὃ μέλλω λέγειν. τί δὲ τοῦτό ἐστιν; Ηὐχόμην, φησίν, ἀνάθεμα εἶναι
ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου κατὰ σάρκα. εἴ τις δύναται
ταύτην ἀφιέναι τὴν φωνήν, εἴ τις ἔχει τὴν ψυχὴν ταύτης ἐφικνουμένην τῆς εὐχῆς, ἐγκαλεῖσθαι
δίκαιος ἂν εἴη φεύγων· εἰ δέ τις ἀποδέοι τῆς ἀρετῆς ἐκείνης τοσοῦτον ὅσον ἡμεῖς,
οὐχ ὅταν φεύγῃ, ἀλλ' ὅταν δέχηται, μισεῖσθαι δίκαιος. οὐδὲ γάρ, εἰ στρατιωτικῆς ἀξίας
αἵρεσις προὔκειτο, εἶτα χαλκοτύπον, ἢ σκυτοτόμον, ἤ τινα τῶν τοιούτων δημιουργῶν ἑλκύσαντες
εἰς τὸ μέσον οἱ δυνάμενοι κύριοι τὴν τιμήν, ἐνεχείριζον τὸν στρατόν, ἐπῄνεσα ἂν
τὸν δείλαιον ἐκεῖνον οὐ φεύγοντα καὶ πάντα ποιοῦντα, ὥστε μὴ εἰς πρόϋπτον ἑαυτὸν ἐμβαλεῖν
κακόν. εἰ μὲν γὰρ ἁπλῶς τὸ κληθῆναι ποιμένα, καὶ μεταχειρίσαι τὸ πρᾶγμα ὡς ἔτυχεν,
ἀρκεῖ, καὶ κίνδυνος οὐδείς, ἐγκαλείτω κενοδοξίας ἡμῖν ὁ βουλόμενος· εἰ δὲ πολλὴν
μὲν σύνεσιν, πολλὴν δὲ "πρὸ τῆς συνέσεως τὴν παρὰ τοῦ Θεοῦ χάριν, καὶ τρόπων ὀρθότητα
καὶ καθαρότητα βίου, καὶ μείζονα ἢ κατὰ ἄνθρωπον ἔχειν δεῖ τὴν ἀρετὴν τὸν ταύτην ἀναδεχόμενον
τὴν φροντίδα, μή με ἀποστερήσῃς συγγνώμης μάτην ἀπολέσθαι μὴ βουλόμενον.
καὶ γὰρ εἰ μυριαγωγόν τις ὁλκάδα ἄγων πεπληρωμένην "ἐρετῶν, καὶ *φορτίων γέμουσαν
πολυτελῶν, εἶτα ἐπὶ τῶν οἰάκων καθίσας ἐκέλευέ με περᾶν τὸ Αἰγαῖον ἢ τὸ Τυρρηνικὸν
πέλαγος, ἐκ πρώτης ἂν ἀπεπήδησα τῆς φωνῆς· καὶ εἴ τις ἤρετο, διατί; ἵνα μὴ καταδύσω
τὸ πλοῖον, εἶπον ἄν. εἶτα, ἔνθα μὲν εἰς χρήματα ἡ ζημία, καὶ ὁ κίνδυνος "σωματικοῦ
μέχρι θανάτου, οὐδεὶς "ἐγκαλέσει πολλῇ κεχρημένοις προνοίᾳ· ὅπου δὲ τοῖς ναυαγοῦσιν
οὐκ εἰς τὸ πέλαγος τοῦτο, ἀλλ' εἰς τὴν ἄβυσσον τοῦ πυρὸς ἀπόκειται πεσεῖν, καὶ θάνατος αὐτοὺς,
οὐχ ὁ τὴν ψυχὴν ἀπὸ τοῦ σώματος διαιρῶν, ἀλλ' ὁ ταύτην μετ' ἐκείνου εἰς κόλασιν
"παραπέμπων αἰώνιον, ἐκδέχεται, ἐνταῦθα ὅτι μὴ προπετῶς εἰς τοσοῦτον ἑαυτὸν ἐρρίψαμεν
κακόν, ὀργίζεσθε καὶ μισήσετε; μή, δέομαι καὶ ἀντιβολῶ. οἶδα τὴν ἐμαυτοῦ ψυχήν,
τὴν ἀσθενῆ ταύτην καὶ μικράν· οἶδα τῆς διακονίας ἐκείνης τὸ μέγεθος, καὶ τὴν πολλὴν τοῦ
πράγματος δυσκολίαν. πλείονα γὰρ τῶν τὴν θάλατταν ταραττόντων "πνευμάτων χειμάζει
κύματα τὴν τοῦ ἱερωμένου ψυχήν· καὶ πρῶτον ἁπάντων, ὁ δεινότατος τῆς κενοδοξίας σκόπελος,
χαλεπώτερος ὢν οἱ μυθοποιοὶ τερατεύονται τῶν σειρήνων. τοῦτον γὰρ πολλοὶ μὲν ἴσχυσαν
διαπλεύσαντες διαφυγεῖν ἀσινεῖς· ἐμοὶ δὲ οὕτω τοῦτο χαλεπόν, ὡς μηδὲ νῦν, ὅτε οὐδεμία
με τις ἀνάγκη πρὸς ἐκεῖνο ὠθεῖ τὸ βάραθρον, δύνασθαι *καθαρεύειν τοῦ δεινοῦ. εἰ
δὲ καὶ τὴν ἐπιστασίαν τις ἐγχειρίζοι ταύτην, μονονουχὶ δήσας ὀπίσω τὼ χεῖρε, παραδώσει τοῖς ἐν
ἐκείνῳ τῷ σκοπέλῳ κατοικοῦσι θηρίοις καθ' ἑκάστην με σπαράττειν τὴν ἡμέραν. τίνα
δέ ἐστι τὰ θηρία; θυμός, ἀθυμία, φθόνος, ἔρις, διαβολαί, κατηγορίαι, ψεῦδος, ὑπόκρισις,
ἐπιβουλαί, "ὀργαὶ κατὰ τῶν ἠδικηκότων οὐδέν, ἡδοναὶ ἐπὶ ταῖς τῶν "συλλειτουργούντων
ἀσχημοσύναις, πένθος ἐπὶ ταῖς εὐημερίαις, ἐπαίνων ἔρως, τιμῆς πόθος, τοῦτο δὴ τὸ μάλιστα
πάντων τὴν ἀνθρωπίνην ἐκτραχηλίζον ψυχήν, διδασκαλίαι πρὸς ἡδονήν, ἀνελεύθεροι
κολακεῖαι, θωπεῖαι ἀγεννεῖς, καταφρονήσεις πενήτων, θεραπεῖαι πλουσίων, ἄλογοι
τιμαὶ καὶ ἐπιβλαβεῖς χάριτες κίνδυνον φέρουσαι καὶ τοῖς παρέχουσι καὶ τοῖς δεχομένοις αὐτάς,
φόβος δουλοπρεπὴς καὶ τοῖς φαυλοτάτοις τῶν ἀνδραπόδων προσήκων μόνοις, παρρησι-

ας ἀναίρεσις, ταπεινοφροσύνης δὲ μὲν σχῆμα πολύ, ἡ ἀλήθεια δὲ οὐδαμοῦ, ἔλεγχοι δὲ ἐκποδὼν καὶ ἐπιτιμήσεις, μᾶλλον δὲ ″ κατὰ μὲν τῶν ταπεινῶν καὶ πέρα τοῦ μέτρου, ἐπὶ δὲ τῶν δυναστείαν περιβεβλημένων οὐδὲ διᾶραί τις τὰ χείλη τολμᾷ. Ταῦτα γὰρ ἅπαντα καὶ τὰ τούτων πλείονα ὁ σκόπελος ἐκεῖνος τρέφει θηλείας, οἷς τοὺς ἅπαξ ἁλόντας εἰς ″ τοσοῦτον ἀνάγκη καθελκυσθῆναι ″ δουλείας, ὡς καὶ εἰς γυναικῶν ἀρέσκειαν πράττειν πολλὰ πολλάκις, ἃ μηδὲ εἰπεῖν καλόν. Ὁ μὲν γὰρ θεῖος νόμος αὐτὰς ταύτης ἐξέωσε τῆς λειτουργίας, ἐκεῖναι δὲ ἑαυτὰς ″ εἴσω θεῖναι βιάζονται. καὶ ἐπειδὴ δι' ἑαυτῶν * ἰσχύουσιν οὐδέν, δι' ἑτέρων ἅπαντα πράττουσι· καὶ τοσαύτην περιβέβληνται δύναμιν, ὡς τῶν ἱερέων καὶ ἐγκρίνειν καὶ ἐκβάλλειν οὓς ἂν ″ βούλωνται· καὶ τὰ ἄνω κάτω, τοῦτο δὴ τὸ τῆς παροιμίας λεγόμενον, ἐστὶν ἰδεῖν γινόμενον. τοὺς ἄρχοντας ἄρχουσιν οἱ ἀρχόμενοι· καὶ εἴθε μὲν ἄνδρες, ἀλλ' αἷς οὐδὲ διδάσκειν ἐπιτέτραπται. τί λέγω διδάσκειν; οὐδὲ λαλεῖν μὲν ὅλως αὐταῖς ἐν ἐκκλησίᾳ συνεχώρησεν ὁ μακάριος Παῦλος. ἐγὼ δέ τινος ἤκουσα λέγοντος, ὅτι καὶ τοσαύτης αὐταῖς ″ μετέδωκαν παρρησίας, ὡς καὶ ἐπιτιμᾶν τοῖς τῶν ἐκκλησιῶν προεστῶσι, καὶ καθάπτεσθαι πικρότερον ἐκείνων, ἢ τῶν ἰδίων οἰκετῶν οἱ δεσπόται. καὶ μή μέ τις οἰέσθω πάντας ταῖς εἰρημέναις ὑποβάλλειν αἰτίαις. Εἰσὶ γάρ, εἰσὶ πολλοὶ οἱ τούτων ὑπερενεχθέντες τῶν δικτύων, καὶ τῶν ἁλόντων ″ πλείονες. ἀλλ' οὐδὲ τὴν ἱερωσύνην ″ αἰτιάσαιμι ἂν τούτων τῶν κακῶν· μήποτε οὕτω μανείην ἐγώ. οὔτε γὰρ τὸν σίδηρον τοῦ φόνου, οὔτε τὸν οἶνον τῆς μέθης, οὔτε τὴν ῥώμην τῆς ὕβρεως, οὔτε τὴν ἀνδρείαν τῆς ἀλόγου τόλμης· ἀλλὰ τοὺς οὐκ εἰς δέον χρωμένους ταῖς παρὰ τοῦ Θεοῦ δεδομέναις δωρεαῖς ἅπαντες οἱ νοῦν ἔχοντες αἰτίους εἶναί φασι, καὶ κολάζουσιν. ἐπεὶ ἥ γε ἱερωσύνη ″ κἂν ἐγκαλέσῃ δικαίως ἡμῖν, οὐκ ὀρθῶς αὐτὴν μεταχειρίζουσιν. οὐ γὰρ ″ αὐτὴ τῶν εἰρημένων ἡμῖν αἰτία κακῶν, ἀλλ' ἡμεῖς αὐτὴν τοσούτοις, τό γε εἰς ἡμᾶς ἧκον, καταῤῥυπαίνομεν μολυσμοῖς, ἀνθρώποις τοῖς τυχοῦσιν ἐγχειρίζοντες αὐτήν· ″ οἵτινες οὔτε τὰς ἑαυτῶν πρότερον καταμαθόντες ψυχάς, οὔτε εἰς τὸν τοῦ πράγματος ὄγκον ἀποβλέψαντες, δέχονται μὲν προθύμως τὸ διδόμενον· ἐπειδὰν δ' ἂν εἰς τὸ πράττειν ἔλθωσιν, ὑπὸ τῆς ἀπειρίας σκοτούμενοι, μυρίων ἐμπιπλῶσι κακῶν οὓς ἐπιστεύθησαν λαούς. τοῦτο δή, τοῦτο, ὅπερ καὶ ἐφ' ἡμῶν μικροῦ δεῖν ἔμελλε γίνεσθαι, εἰ μὴ ταχέως ἡμᾶς ὁ Θεὸς τῶν κινδύνων ἐκείνων ἐξείλκυσε, καὶ τῆς ἐκκλησίας τῆς αὐτοῦ καὶ τῆς ἡμετέρας φειδόμενος ψυχῆς. ″ ἢ πόθεν, εἰπέ μοι, νομίζεις τὰς τοσαύτας ἐν ταῖς ἐκκλησίαις τίκτεσθαι ταραχάς; ἐγὼ μὲν γὰρ οὐδὲ ἀλλαχόθεν ποθὲν οἶμαι, ἢ ἐκ τοῦ τὰς τῶν προεστώτων αἱρέσεις καὶ ἐκλογὰς ἁπλῶς καὶ ὡς ἔτυχε γίνεσθαι. ″ τὴν γὰρ κεφαλὴν ἰσχυροτάτην εἶναι χρεών, ἵνα τοὺς ἐκ τοῦ λοιποῦ σώματος κάτωθεν περιπεμπομένους ἀτμοὺς πονηροὺς διοικεῖν καὶ εἰς τὸ δέον καθιστᾶν δύνηται. ὅταν δὲ καθ' ἑαυτὴν ἀσθενὴς οὖσα τύχῃ, τὰς νοσοποιοὺς ἐκείνας προσβολὰς ἀποκρούσασθαι μὴ δυνηθεῖσα, αὐτή τε ἀσθενεστέρα ἤπερ ἐστὶ μᾶλλον ″ καθίσταται, καὶ τὸ λοιπὸν μεθ' ἑαυτῆς προσαπόλλυσι σῶμα. ὅπερ ἵνα μὴ καὶ νῦν γένηται, ἐν τῇ τάξει τῶν ποδῶν ἡμᾶς ἐφύλαξεν ὁ Θεός, ἥνπερ καὶ ἐλάχομεν ἐξ ἀρχῆς. πολλὰ γάρ ἐστιν, ὦ Βασίλειε, πρὸς τοῖς εἰρημένοις, πολλὰ ἕτερα, ἃ τὸν ἱερωμένον ἔχειν χρή, ἡμεῖς δὲ οὐκ ἔχομεν· καὶ πρό γε τῶν ἄλλων ἐκεῖνο. πάντων πρότερον αὐτῷ τῆς τοῦ πράγματος ἐπιθυμίας καθαρεύειν δεῖ τὴν ψυχήν. ὡς ἐὰν προσπαθῶς πρὸς ταύτην διακείμενος τύχῃ τὴν ἀρχήν, γενόμενος ἐπ' αὐτῆς, ἰσχυροτέραν ἀνάψει τὴν φλόγα, καὶ κατὰ κράτος ἁλούς, ὑπὲρ τοῦ βεβαίαν ἔχειν αὐτὴν μυρία ὑπομένει δεινά, κἂν κολακεῦσαι δέῃ, κἂν ἀγεννές τι καὶ ἀνάξιον ὑπομεῖναι, κἂν χρήματα ἀναλῶσαι πολλά *. ὅτι γὰρ καὶ φόνων τὰς ἐκκλησίας ἐνέπλησάν τινες, καὶ πόλεις ἀναστάτους ἐποίησαν, ὑπὲρ ταύτης μαχόμενοι τῆς ἀρχῆς, παρίημι νῦν, μὴ καὶ ἄπιστα δόξω λέγειν τισίν. χρεὼν δέ, οἶμαι, τοσαύτην τοῦ πράγματος ἔχειν εὐλάβειαν, ὡς καὶ τὴν ἀρχὴν ἐκφυγεῖν τὸν ὄγκον, καὶ μετὰ τὸ γενέσθαι ἐν αὐτῇ, ″ μὴ περιμένειν τὰς παρ' ἑτέρων κρίσεις, εἴ ποτε συμβαίη ἁμάρτημα καθαίρεσιν

ἱκανὸν

γρ. τοσαύτην

γρ. δουλείαν,

γρ. μετέδωκε

γρ. πλείους.

γρ. αἰτιασαίμην

γρ. αὕτη

γρ. οἱ δὲ

α. Κορ. ιδ. λδ.

α. Τιμ. β. ιβ.

α. Κορ. ιδ. λδ.

ἱκανὸν ἐργάζεσθαι· ἀλλὰ παραλαβόντα ἐκβάλλειν ἑαυτὸν τῆς ἀρχῆς. οὕτω μὲν γὰρ καὶ ἔ-
λεον ἐπισπάσασθαι παρὰ τοῦ Θεοῦ εἰκὸς ἦν. τὸ δὲ ἀντέχεσθαι παρὰ τὸ πρέπον τῆς
ἀξίας, πάσης ἑαυτὸν ἀποστερεῖν συγγνώμης ἐστὶ, καὶ μᾶλλον ἐκκαίειν τοῦ Θεοῦ τὴν ὀργὴν, δεύ-
τερον χαλεπώτερον προστιθέντα πλημμέλημα. ἀλλ᾽ οὐδεὶς ἀνέξεταί ποτε. δεινὸν γὰρ
ἀληθῶς, δεινὸν τὸ ταύτης γλίχεσθαι τῆς τιμῆς. καὶ οὐ μαχόμενος τῷ μακαρίῳ Παύλῳ
α. Τιμ. γ. α. ταῦτα λέγω, ἀλλὰ καὶ πάνυ συνᾳδὸν αὐτοῦ τοῖς ῥήμασι. τί γὰρ ἐκεῖνός φησιν; Εἴ τις ἐπι-
σκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ. ἐγὼ δὲ οὐ τοῦ ἔργου, τῆς δὲ αὐθεντίας καὶ δυναστείας
ἐπιθυμεῖν εἶπον εἶναι δεινόν· καὶ τοῦτον οἶμαι δεῖν τὸν πόθον πάσῃ σπουδῇ τῆς ψυχῆς ἐξω-
θεῖν, καὶ μηδὲ τὴν ἀρχὴν κατασχεθῆναι αὐτὴν ὑπ᾽ αὐτοῦ συγχωρεῖν· ἵνα μετ᾽ ἐλευθερί-
ας ἅπαντα αὐτῷ πράττειν ἐξῇ. ὁ γὰρ οὐκ ἐπιθυμῶν ἐπὶ ταύτης δειχθῆναι τῆς ἐξουσί-
ας, οὐδὲ τὴν καθαίρεσιν αὐτῆς δέδοικεν· οὐ δεδοικὼς δὲ, μετὰ τῆς προσηκούσης Χριστιανοῖς
ἐλευθερίας πάντα πράττειν δύναιτ᾽ ἄν· ὡς οἵ γε φοβούμενοι καὶ τρέμοντες κατενεχθῆναι
ἐκεῖθεν, πικρὰν ὑπομένουσι δουλείαν, καὶ πολλῶν γέμουσαν τῶν κακῶν, καὶ ἀνθρώποις καὶ
Θεῷ προσκρούειν ἀναγκάζονται πολλάκις. δεῖ δὲ οὐχ οὕτω διακεῖσθαι τὴν ψυχήν·
ἀλλ᾽ ὥσπερ ἐν τοῖς πολέμοις τοὺς γενναίους τῶν στρατιωτῶν ὁρῶμεν καὶ πολεμοῦντας προθύ-
μως καὶ πίπτοντας ἀνδρείως· οὕτω καὶ τοὺς ἐπὶ ταύτην ἥκοντας τὴν οἰκονομίαν, καὶ ἱερᾶσθαι καὶ
παραλύεσθαι τῆς ἀρχῆς, ὡς Χριστιανοῖς ἐστι προσῆκον ἀνδράσιν, εἰδότας, ὡς ἡ τοιαύτη
καθαίρεσις οὐκ ἐλάττονα φέρει τῆς ἀρχῆς τὸν στέφανον. ὅταν γάρ τις, ὑπὲρ τοῦ μηδὲν ἀ-
πρεπὲς, μηδὲ ἀνάξιον τῆς ἀξίας ὑπομεῖναι ἐκείνης, πάθῃ τι τοιοῦτο· καὶ τοῖς ἀδίκως κα-
θελοῦσι τὴν κόλασιν, καὶ ἑαυτῷ μείζονα προξενεῖ τὸν μισθόν. Μακάριοι γάρ, φησίν, ἐ-
Ματθ. ε. ια. στε, ὅταν ὀνειδίσωσι καὶ διώξωσιν ὑμᾶς, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ᾽ ὑμῶν, ψευδόμενοι,
ἕνεκεν ἐμοῦ· χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι πολὺς ἐστὶν ὁ μισθὸς ὑμῶν ἐν τοῖς οὐρανοῖς. καὶ
ταῦτα μὲν ὅταν ὑπὸ τῶν ὁμοταγῶν, ἢ διὰ φθόνον, ἢ πρὸς ἑτέρων χάριν, ἢ πρὸς ἀπέ-
χθειαν, ἢ ἑτέρῳ τινὶ μὴ ὀρθῷ τις ἐκβάλληται λογισμῷ· ὅταν δὲ καὶ ὑπὸ τῶν ἐναντίων τοῦτο
παθεῖν συμβαίνῃ, οὐδὲ λόγου δεῖν οἶμαι πρὸς τὸ δεῖξαι τὸ κέρδος ὅσον αὐτῷ διὰ τῆς ἑαυτῶν
συλλέγουσι πονηρίας ἐκεῖνοι. τοῦτο οὖν δεῖ πανταχόθεν περισκοπεῖν, καὶ ἀκριβῶς διερευνᾶ-
σθαι, μή πού τις σπινθὴρ τῆς ἐπιθυμίας ἐκείνης ἐντυφόμενος λάθῃ. ἀγαπητὸν γὰρ καὶ
τοὺς ἐξ ἀρχῆς καθαρεύοντας τοῦ πάθους, ἡνίκα ἂν ἐμπέσωσιν εἰς τὴν ἀρχὴν, δυνηθῆ-
ναι τοῦτο διαφυγεῖν· εἰ δέ τις καὶ πρὶν ἢ τυχεῖν τῆς τιμῆς, τρέφει παρ᾽ ἑαυτῷ τὸ δεινὸν καὶ ἀπη-
νὲς τοῦτο θηρίον, οὐδὲ ἔστιν εἰπεῖν εἰς ὅσην ἑαυτὸν ἐμβαλεῖ κάμινον μετὰ τὸ τυχεῖν. ἡμεῖς
δὲ (καὶ μή τοι νομίσῃς μετριάζοντας ἡμᾶς ἐθελῆσαι ἄν τι ποτε ψεύσασθαι πρὸς σὲ) πολ-
λὴν ταύτην κεκτήμεθα τὴν ἐπιθυμίαν· καὶ μετὰ τῶν ἄλλων ἁπάντων, οὐχ ἧττον ἡμᾶς καὶ
τοῦτο ἐφόβησε, καὶ πρὸς ταύτην ἔτρεψε τὴν φυγήν. καθάπερ γὰρ οἱ σωμάτων ἐρῶντες,
ἕως μὲν ἂν πλησίον εἶναι τῶν ἐρωμένων ἐξῇ, χαλεπωτέραν τοῦ πάθους τὴν βάσανον ἔχουσιν,
ὅταν δὲ ὡς πορρωτάτω τῶν ποθουμένων ἑαυτοὺς ἀπαγάγωσι, καὶ τὴν μανίαν ἀπήλασαν·
οὕτω καὶ τοῖς ταύτης ἐπιθυμοῦσι τῆς ἀρχῆς, ὅταν μὲν πλησίον αὐτῆς γένωνται, ἀφόρητον γίνεται
τὸ κακόν· ὅταν δὲ ἀπελπίσωσι, καὶ τὴν ἐπιθυμίαν μετὰ τῆς προσδοκίας ἔσβεσαν. μία μὲν
οὖν αὕτη πρόφασις οὐ μικρά· ἀλλ᾽ εἰ καὶ μόνη καθ᾽ ἑαυτὴν οὖσα, ἐτύγχανεν ἱκανὴ ταύτης
ἡμᾶς ἀπεῖρξαι τῆς ἀξίας, νῦν δὲ καὶ ἑτέρα ταύτης οὐχ ἧττων προστέθειται. τίς δέ ἐστιν αὕτη;
α. Τιμ. γ. β. νηφάλιον εἶναι δεῖ τὸν ἱερέα, καὶ διορατικόν, καὶ μυρίους πανταχόθεν κεκτῆσθαι τοὺς ὀφθαλμούς,
ὡς οὐχ ἑαυτῷ μόνον, ἀλλὰ καὶ πλήθει ζῶντα τοσούτῳ· ἡμεῖς δὲ ὅτι νωθροὶ καὶ παρειμένοι καὶ
πρὸς τὴν ἑαυτῶν μόλις ἀρκοῦντες σωτηρίαν, καὶ αὐτὸς ἂν ὁμολογήσειας ὁ μάλιστα πάντων
τὰ ἡμέτερα, διὰ τὸ φιλεῖν, κρύπτειν σπουδάζων κακά. μὴ γάρ μοι νηστείας ἐνταῦθα εἴ-
πῃς, μηδὲ ἀγρυπνίας, μηδὲ χαμευνίας, καὶ τὴν λοιπὴν τοῦ σώματος σκληραγωγίαν. καὶ

τούτων μὲν γὰρ ὅσον ἀπέχομεν οἶδας· εἰ δὲ καὶ εἰς ἀκρίβειαν ἡμῖν κατώρθωτο, οὐδ' οὕτω μετὰ τῆς παρούσης νωθρότητος ἴσχυσεν ἄν τι πρὸς τὴν ἐπιστασίαν ἡμᾶς ταῦτα ὠφελῆσαι ἐκείνην. ἀνθρώπῳ μὲν γὰρ εἰς οἰκίσκον τινὰ κατακλεισθέντι καὶ τὰ ἑαυτοῦ μεριμνῶντι μόνον, πολλὴν ἂν ταῦτα παράσχοι τὴν ὠφέλειαν· εἰς δὲ τοσοῦτον σχιζομένῳ πλῆθος καὶ καθ' ἕκαστον τῶν ἀρχομένων ἰδίας κεκτημένῳ φροντίδας, τί δύναιτ' ἂν πρὸς τὴν ἐκείνων ἐπίδοσιν ἀξιόπιστον συμβάλλεσθαι κέρδος, "ἐὰν μὴ ψυχὴν εὔτονον καὶ ἰσχυρὰν σφόδρα ἔχων τύχῃ; καὶ μὴ θαυμάσῃς, εἰ μετὰ τοσαύτην καρτερίαν ἑτέραν βάσανον ζητῶ τῆς ἐν τῇ ψυχῇ ἀνδρείας. τὸ μὲν γὰρ σιτίων καὶ ποτῶν *, καὶ στρωμνῆς καταφρονεῖν ἁπαλῆς, πολλοῖς οὐδὲ ἔργον ὁρῶμεν ὄν, καὶ μάλιστά γε τοῖς ἀγροικότερον διακειμένοις, καὶ οὕτως ἐκ πρώτης τραφεῖσι τῆς ἡλικίας, καὶ πολλοῖς δὲ ἑτέροις τῆς τε τοῦ σώματος κατασκευῆς καὶ τῆς συνηθείας ἐξευμαριζούσης τὴν ἐν ἐκείνοις τοῖς πόνοις τραχύτητα. ὕβριν δὲ καὶ ἐπήρειαν, καὶ λόγον φορτικὸν, καὶ τὰ παρὰ τῶν ἐλαττόνων σκώμματα, τά τε ἁπλῶς, καὶ τὰ ἐν δίκῃ λεγόμενα, καὶ μέμψεις τὰς εἰκῇ καὶ μάτην παρά τε τῶν ἀρχόντων καὶ παρὰ τῶν ἀρχομένων γινομένας, οὐ τῶν πολλῶν ἐνεγκεῖν, ἀλλ' ἑνός που καὶ δευτέρου. καὶ ἴδοι τις ἂν τοὺς ἐν ἐκείνοις "ἰσχυροὺς πρὸς ταῦτα οὕτως ἰλιγγιῶντας, ὡς μᾶλλον τῶν χαλεπωτάτων ἀγριαίνειν θηρίων· τοὺς "δὲ τοιούτους μάλιστα τῶν τῆς ἱερωσύνης ἀπείργομεν περιβόλων. τὸ μὲν γὰρ μήτε πρὸς τὰ σιτία ἀπηγχονίσθαι, μήτε ἀνυπόδητον εἶναι τὸν προεστῶτα, οὐδὲν ἂν βλάψειε τὸ κοινὸν τῆς ἐκκλησίας· θυμὸς δὲ ἄγριος, εἴς τε τὸν κεκτημένον, εἴς τε τοὺς πλησίον μεγάλας ἐργάζεται συμφοράς. καὶ τοῖς μὲν ἐκεῖνα μὴ ποιοῦσιν οὐδεμία ἀπειλὴ παρὰ τοῦ Θεοῦ κεῖται· τοῖς δὲ ἁπλῶς ὀργιζομένοις γέεννα καὶ τὸ τῆς γεέννης ἠπείληται πῦρ. ὥσπερ οὖν ὁ δόξης ἐρῶν κενῆς, ὅταν τῆς τῶν πολλῶν ἀρχῆς ἐπιλάβηται, μείζονα τῷ πυρὶ παρέχει τὴν ὕλην· οὕτως ὁ καθ' ἑαυτὸν καὶ ἐν ταῖς πρὸς ὀλίγους ὁμιλίαις κρατεῖν ὀργῆς μὴ δυνάμενος, ἀλλ' ἐκφερόμενος εὐχερῶς, ὅταν πλήθους ὅλου προστασίαν ἐμπιστευθῇ, καθάπερ τι θηρίον πάντοθεν καὶ ὑπὸ μυρίων κεντούμενον, οὔτε αὐτὸς ἐν ἡσυχίᾳ δύναιτ' ἄν ποτε διάγειν, καὶ τοὺς ἐμπιστευθέντας αὐτῷ μυρία διατίθησι κακά. οὐδὲν γὰρ οὕτω καθαρότητα νοῦ, καὶ τὸ διειδὲς θολοῖ τῶν φρενῶν, ὡς θυμὸς ἄτακτος καὶ μετὰ πολλῆς φερόμενος τῆς ῥύμης. "Θυμὸς γάρ, φησιν, ἀπόλλυσι καὶ τοὺς φρονίμους. καθάπερ γὰρ ἔν τινι νυκτομαχίᾳ "σκοτωθεὶς ὁ τῆς ψυχῆς ὀφθαλμὸς, οὐχ εὑρίσκει διακρῖναι τοὺς φίλους τῶν πολεμίων, οὐδὲ τοὺς ἐντίμους τῶν ἀτίμων· ἀλλὰ πᾶσιν ἐφεξῆς ἑνὶ κέχρηται τρόπῳ, κἂν λαβεῖν τι "δέῃ κακὸν, ἅπαντα εὐκόλως ὑπομένων ὑπὲρ τοῦ πληρῶσαι τὴν τῆς ψυχῆς ἡδονήν. ἡδονὴ γάρ τις ἐστὶν ἡ τοῦ θυμοῦ πύρωσις, καὶ ἡδονῆς χαλεπώτερον τυραννεῖ τὴν ψυχὴν, πᾶσαν αὐτῆς τὴν ὑγιῆ κατάστασιν ἄνω καὶ κάτω "ταράττουσα. καὶ γὰρ πρὸς ἀπόνοιαν αἴρει ῥᾳδίως, καὶ ἔχθρας ἀκαίρους, καὶ μῖσος ἄλογον, καὶ "προσκρούσματα ἁπλῶς καὶ εἰκῇ προσκρούειν παρασκευάζει συνεχῶς, καὶ πολλὰ ἕτερα τοιαῦτα καὶ λέγειν καὶ πράττειν βιάζεται, πολλῷ τῷ ῥοίζῳ τοῦ πάθους τῆς ψυχῆς ὑποσυρομένης, καὶ οὐκ ἐχούσης ὅποι τὴν αὐτῆς ἐρείσασα δύναμιν ἀντιστῆσαι πρὸς τοσαύτην ὁρμήν.

χρεὼ μὴ

"ἀπέχεσθαι

γρ. ἰσχυροτέρους ἂν

Ματθ. ε. κβ.

Παροιμ. ιε. α.

γρ. ὀργὴ δὲ

γρ. σκοτωθεὶς

γρ. δ' αὐ

γρ. κατεστ.

" παρακρούσματα

ΒΑΣ. ΑΛΛ' οὐκ ἔτι σε εἰρωνευομένου ἀνέξομαι περαιτέρω· τίς γὰρ οὐκ οἶδε, φησὶν, ὅσον ταύτης ἀπέχεις τῆς νόσου;

ΧΡΥΣ. ΤΙ οὖν, ἔφην, ὦ μακάριε, βούλει πλησίον με τῆς πυρᾶς ἀγαγεῖν, καὶ παροξῦναι τὸ θηρίον ἠρεμοῦν; ἢ ἀγνοεῖς, ὡς οὐκ οἰκείᾳ τοῦτο κατωρθώσαμεν "ἀρετῇ, ἀλλ' ἐκ τοῦ τὴν ἡσυχίαν ἀγαπᾶν; τὸν δὲ οὕτω διακείμενον, ἀγαπητὸν ἐφ' ἑαυτοῦ μένοντα, καὶ ἑνὶ μόνῳ, ἢ δευτέρῳ χρώμενον φίλῳ, δυνηθῆναι τὸν ἐκεῖθεν διαφυγεῖν ἐμπρησμόν· μὴ ὅτι εἰς τὴν ἄβυσσον τῶν τοσούτων ἐμπεσόντα φροντίδων. τότε γὰρ οὐχ ἑαυτὸν μόνον, ἀλλὰ καὶ ἑτέρους πολλοὺς ἐπισύρει μεθ' ἑαυτοῦ πρὸς τὸν τῆς ἀπωλείας κρημνὸν, καὶ περὶ τὴν τῆς ἐπιεικείας ἐπιμέλειαν ἀργοτέρους καθίστησι. πέφυκε γὰρ, ὡς τὰ πολλὰ, τὸ τῶν ἀρχομένων πλῆθος, ὥσπερ εἰς ἀρ-

γρ. ἀγαπᾶν, ἀλλὰ καὶ τὴν

χέτυπόν τινα εἰκόνα, τοὺς τῶν ἀρχόντων τύπους ὁρᾶν, καὶ πρὸς ἐκείνους ἐξομοιοῦν ἑαυτούς. πῶς οὖν ἄν τις τὰς ἐκείνων παύσειε φλεγμονὰς, οἰδαίνων αὐτός; τίς δ' ἂν ἐπιθυμήσειε ταχέως τῶν πολλῶν γενέσθαι μέτριος, τὸν ἄρχοντα ὀργίλον ὁρῶν; οὐ γάρ ἐστιν, οὐκ ἔστι τὰ τῶν ἱερέων κρύπτεσθαι ἐλαττώματα· ἀλλὰ καὶ τὰ μικρότατα ταχέως κατάδηλα γίνεται. καὶ γὰρ ἀθλητὴς, ἕως μὲν ἂν οἴκοι μένῃ καὶ μηδενὶ συμπλέκηται, δύναται λανθάνειν, κἂν ἀσθενέστατος ὢν τύχῃ· ὅταν δὲ ἀποδύσηται πρὸς τοὺς ἀγῶνας, ῥᾳδίως ἐλέγχεται. καὶ τῶν οἱ μὲν τὸν ἰδιωτικὸν τοῦτον καὶ ἀπράγμονα βιοῦντες βίον, ἔχουσι παραπέτασμα τῶν ἰδίων ἁμαρτημάτων, τὴν μόνωσιν· εἰς δὲ τὸ μέσον ἀχθέντες, καθάπερ ἱμάτιον, τὴν ἠρεμίαν ἀποδύεσθαι ἀναγκάζονται, καὶ πᾶσι γυμνὰς ἐπιδεῖξαι τὰς ψυχὰς διὰ τῶν ἔξωθεν κινημάτων. ὥσπερ οὖν αὐτῶν τὰ κατορθώματα πολλοὺς ὤνησε πρὸς τὸν ἴσον παρακαλοῦντα ζῆλον, οὕτω καὶ τὰ πλημμελήματα ῥαθυμοτέρους κατέστησε περὶ τὴν τῆς ἀρετῆς ἐργασίαν, καὶ βλακεύειν πρὸς τοὺς ὑπὲρ τῶν σπουδαίων παρεσκεύασε πόνους. διὸ χρὴ πανταχόθεν αὐτοῦ τὸ κάλλος ἀποστίλβειν τῆς ψυχῆς, ἵνα καὶ εὐφραίνειν ἅμα καὶ φωτίζειν δύνηται τὰς τῶν ὁρώντων ψυχάς. τὰ μὲν γὰρ τῶν τυχόντων ἁμαρτήματα, ὥσπερ ἐν νυκτὶ σκότῳ πραττόμενα, τοὺς ἐργαζομένους ἀπώλεσε μόνους· ἀνδρὸς δὲ ἐπισήμου καὶ πολλοῖς γνωρίμου πλημμέλεια κοινὴν ἅπασι φέρει τὴν βλάβην, τοὺς μὲν ἀναπεπτωκότας πρὸς τοὺς ὑπὲρ τῶν ἀγαθῶν ἱδρῶτας ὑπτιωτέρους ποιοῦσα, τοὺς δὲ προσέχειν ἑαυτοῖς βουλομένους ἐρεθίζουσα πρὸς ἀπόνοιαν. χωρὶς δὲ τούτων τὰ μὲν τῶν εὐτελῶν παραπτώματα, κἂν εἰς τὸ μέσον ἔλθῃ, οὐδένα ἔπληξεν ἀξιόλογον πληγήν· οἱ δὲ ἐν τῇ κορυφῇ ταύτης καθήμενοι τῆς τιμῆς, πρῶτον μὲν πᾶσίν εἰσι κατάδηλοι· ἔπειτα, κἂν ἐν τοῖς μικροτάτοις σφάλλωσι, μεγάλα τὰ μικρὰ τοῖς ἄλλοις φαίνεται. οὐ γὰρ τῷ τοῦ πταίσματος μεγέθει, ἀλλὰ τῇ τοῦ διαμαρτάνοντος ἀξίᾳ τὴν ἁμαρτίαν μετροῦσιν ἅπαντες. καὶ δεῖ τὸν ἱερέα, καθάπερ τισὶν ἀδαμαντίνοις ὅπλοις, πεφράχθαι πανταχόθεν τῇ τε συντόνῳ σπουδῇ καὶ τῇ διηνεκεῖ περὶ τὸν βίον νήψει, πανταχόθεν περισκοποῦντα μή πού τις γυμνὸν εὑρὼν τόπον καὶ ἠμελημένον, πλήξῃ καιρίαν πληγήν. πάντες γὰρ περιεστήκασι, τρῶσαι ἕτοιμοι καὶ καταβαλεῖν, οὐ τῶν ἐχθρῶν μόνον καὶ πολεμίων, ἀλλὰ πολλοὶ καὶ τῶν προσποιουμένων φιλίαν. τοιαύτας οὖν ἐπιλέγεσθαι δεῖ ψυχὰς, οἷα τὰ τῶν ἁγίων ἐκείνων ἀπέδειξε σώματα ἡ τοῦ Θεοῦ χάρις ἐν τῇ Βαβυλωνίᾳ καμίνῳ ποτέ. οὐ γὰρ κλήματα καὶ πίσσα καὶ στυππεῖον, ἡ τοῦ πυρὸς τούτου τροφή, ἀλλὰ πολὺ τούτων χαλεπώτερα. ἐπεὶ μηδὲ πῦρ τὸ αἰσθητὸν ὑπόκειται ἐκεῖνο, ἀλλ' ἡ παμφάγος αὐτοὺς τῆς βασκανίας περιστοιχίζεται φλὸξ, πανταχόθεν αἰρομένη, καὶ ἀκριβέστερον αὐτῶν ἐπιοῦσα καὶ διερευνωμένη τὸν βίον, ἢ τὸ πῦρ τότε τῶν παίδων ἐκείνων τὰ σώματα. ὅταν οὖν εὕρῃ καλάμης ἴχνος μικρὸν, προσεπλέκεται ταχέως· καὶ τὸ μὲν σαθρὸν ἐκεῖνο κατέκαυσε μέρος, τὴν δὲ λοιπὴν ἅπασαν οἰκοδομὴν, κἂν τῶν ἡλιακῶν ἀκτίνων λαμπροτέρα οὖσα τύχῃ, ἀπ' ἐκείνου τοῦ καπνοῦ προσέφλεξε καὶ ἠμαύρωσεν ἅπασαν. ἕως μὲν γὰρ ἂν πανταχόθεν ἡρμοσμένος ᾖ καλῶς ὁ τοῦ ἱερέως βίος, ἀνάλωτος γίνεται ταῖς ἐπιβουλαῖς· ἂν δὲ τύχῃ μικρόν τι παριδὼν (οἷα εἰκὸς ἄνθρωπον ὄντα, καὶ τὸ πολυπλανὲς τοῦ βίου τούτου περῶντα πέλαγος) οὐδὲν αὐτῷ τῶν λοιπῶν κατορθωμάτων ὄφελος πρὸς τὸ δυνηθῆναι τὰ τῶν κατηγόρων στόματα διαφυγεῖν, ἀλλ' ἐπισκιάζει πάντα τὰ λοιπὰ τὸ μικρὸν ἐκεῖνο παράπτωμα· καὶ οὐχ ὡς σάρκα περικειμένῳ, οὐδὲ ἀνθρωπείας λαχόντι φύσιν, ἀλλ' ὡς ἀγγέλῳ, καὶ τῆς λοιπῆς ἀσθενείας ἀπηλλαγμένῳ δικάζειν ἅπαντες ἐθέλουσι τῷ ἱερεῖ. καὶ καθάπερ τύραννον, ἕως μὲν ἂν κρατῇ, ἅπαντες πεφρίκασι καὶ κολακεύουσι διὰ τὸ μὴ δύνασθαι καθελεῖν· ὅταν δὲ ἴδωσιν εἰς τοὐναντίον περιχωροῦν ἐκείνου τὰ πράγματα, τὴν μὲν ὑπόκρισιν ἀφέντες τιμῆς, οἱ πρὸ μικροῦ φίλοι, γεγόνασιν ἐξαίφνης ἐχθροὶ καὶ πολέμιοι, καὶ πάντα αὐτοῦ τὰ σαθρὰ καταμαθόντες ἐπιτίθενται παραλύοντες τῆς ἀρχῆς· οὕτω δὴ καὶ ἐπὶ τῶν ἱερέων

Δαν. γ.

ρέων, οἱ πρὸ βραχέος, καὶ ἡνίκα ἐκράτει, τιμῶντες καὶ θεραπεύοντες, ὅταν μικρὰν εὕρωσι λαβὴν, παρασκευάζονται σφοδρῶς, οὐχ ὡς τύραννον μόνον, ἀλλὰ καί τι τούτου χαλεπώτερον καθαιρήσειν μέλλοντες. καὶ ὥσπερ ἐκεῖνος τοὺς "σωματοφύλακας δέδοικεν, οὕτω καὶ οὗτος τοὺς πλησίον καὶ συλλειτουργοῦντας αὐτῷ μάλιστα πάντων τρέμει. οὔτε γὰρ ἕτεροί τινες οὕτω τῆς ἀρχῆς ἐπιθυμοῦσι τῆς ἐκείνου, καὶ τὰ ἐκείνου μάλιστα πάντων "ἴσασιν, ὡς οὗτοι. ἐγγύθεν γὰρ ὄντες, εἴ τι συμβαίη τοιοῦτο, πρὸ τῶν ἄλλων αἰσθάνονται, καὶ δύναιντ' ἂν εὐχερῶς καὶ διαβάλλοντες πιστευθῆναι, καὶ τὰ μικρὰ μεγάλα ποιοῦντες, τὸν συκοφαντούμενον ἑλεῖν. τὸ γὰρ ἀποστολικὸν ἐκεῖνο ῥῆμα ἀντέστραπται, τὸ, Εἴτε πάσχει ἓν μέλος, "χαίρει πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· πλὴν εἴ τις εὐλάβεια πολλὴ πρὸς ἅπαντα στῆναι δυνηθείη. "Εἰς τοσοῦτον οὖν ἡμᾶς ἐκπέμπεις πόλεμον; καὶ πρὸς μάχην οὕτω καὶ ποικίλην καὶ πολυειδῆ τὴν ἡμετέραν ἐνόμισας "ἀρκέσειν ψυχήν; πόθεν καὶ παρὰ τίνος μαθών; εἰ μὲν γὰρ ὁ Θεὸς "ἐγνώρισε τοῦτο, ἐπίδειξον τὸν χρησμόν, καὶ πείθομαι· εἰ δὲ οὐκ ἔχεις, ἀλλ' ἀπὸ δόξης ἀνθρωπίνης φέρεις τὴν ψῆφον, ἀπαλλάγηθί ποτε ἐξαπατώμενος. ὑπὲρ γὰρ τῶν ἡμετέρων ἡμῖν μᾶλλον, ἢ ἑτέροις πείθεσθαι δίκαιον· ἐπεὶ Τὰ τοῦ ἀνθρώπου οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ. ὅτι γὰρ καὶ ἡμᾶς αὐτοὺς, καὶ τοὺς ἑλομένους καταγελάστους ἂν ἐποιήσαμεν ταύτην δεξάμενοι τὴν ἀρχὴν, καὶ μετὰ πολλῆς τῆς ζημίας εἰς ταύτην ἂν ἐπανήλθομεν τοῦ βίου τὴν κατάστασιν, ἐν ᾗ καὶ νῦν ἐσμεν, εἰ καὶ μὴ πρότερον, ἀλλὰ νῦν σε τούτοις οἶμαι πεπεικέναι τοῖς ῥήμασιν. οὐδὲ γὰρ βασκανία μόνον, ἀλλὰ "πολλῷ καὶ τῆς βασκανίας σφοδροτέρα ἡ τῆς ἀρχῆς ταύτης ἐπιθυμία τοὺς πολλοὺς ὁπλίζειν εἴωθε κατὰ τοῦ ταύτην ἔχοντος. καὶ καθάπερ οἱ φιλάργυροι τῶν παίδων βαρύνονται "τὸ τῶν πατέρων γῆρας· οὕτω καὶ τούτων τινὲς, ὅταν ἴδωσιν εἰς μακρὸν "παραταθεῖσαν τὴν ἱερωσύνην χρόνον, ἐπειδὴ ἀνελεῖν οὐκ εὐαγές, παραλῦσαι σπεύδουσιν αὐτὸν τῆς ἀρχῆς, πάντες ἀντ' ἐκείνου γενέσθαι ἐπιθυμοῦντες, καὶ εἰς ἑαυτὸν ἕκαστος μεταπεσεῖσθαι τὴν ἀρχὴν προσδοκῶντες. Βούλει σοι καὶ ἕτερον ἐπιδείξω ταύτης τῆς μάχης εἶδος, μυρίων ἐμπεπλησμένον κινδύνων; ἴθι δὴ, καὶ διάκυψον εἰς τὰς δημοτελεῖς ἑορτὰς, ἐν αἷς μάλιστα τῶν ἐκκλησιαστικῶν ἀρχῶν "τὰς αἱρέσεις ποιεῖσθαι νόμος, καὶ τοσαύταις ὄψει κατηγορίαις τὸν ἱερέα βαλλόμενον, ὅσον τῶν ἀρχομένων τὸ πλῆθός ἐστι. πάντες γὰρ οἱ δοῦναι κύριοι τὴν τιμὴν, εἰς πολλὰ τότε σχίζονται μέρη, καὶ οὔτε πρὸς ἀλλήλους, οὔτε πρὸς αὐτὸν τὸν λαχόντα τὴν ἐπισκοπὴν τὸ τῶν πρεσβυτέρων συνέδριον ὁμογνωμονοῦν ἴδοι τις ἂν, ἀλλ' ἕκαστος καθ' ἑαυτὸν ἑστήκασιν, ὁ μὲν τοῦτον, ὁ δὲ ἐκεῖνον αἱρούμενος. τὸ δὲ αἴτιον, οὐκ εἰς ἓν πάντες ὁρῶσιν, εἰς ὃ μόνον ὁρᾶν ἐχρῆν, τῆς ψυχῆς τὴν ἀρετὴν, ἀλλ' εἰσὶ καὶ ἕτεραι προφάσεις αἱ ταύτης πρόξενοι τῆς τιμῆς· οἷον, ὁ μὲν, ὅτι γένους ἐστὶ λαμπροῦ, ἐγκρινέσθω, φησίν· ὁ δὲ, ὅτι πλοῦτον περιβέβληται πολὺν, καὶ οὐκ ἂν "δέοιτο τρέφεσθαι ἐκ τῶν τῆς ἐκκλησίας προσόδων· ὁ δὲ, ὅτι παρὰ τῶν ἐχθρῶν ηὐτομόλησε· καὶ ὁ μὲν, τὸν οἰκείως πρὸς αὐτὸν διακείμενον, ὁ δὲ, τὸν γένει προσήκοντα, ὁ δὲ, τὸν κολακεύοντα μᾶλλον τῶν ἄλλων προτιμᾶν σπουδάζουσιν· εἰς δὲ τὸν ἐπιτήδειον οὐδεὶς ὁρᾶν βούλεται, οὐδὲ ψυχῆς τινα ποιεῖσθαι βάσανον. ἐγὼ δὲ τοσούτου δέω ταύτας ἡγεῖσθαι τὰς αἰτίας ἀξιοπίστους εἶναι πρὸς τὴν τῶν ἱερέων δοκιμασίαν, ὡς μηδὲ, εἴ τις πολλὴν εὐλάβειαν ἐπιδείξαιτο, τὴν οὐ "μικρὸν ἡμῖν πρὸς τὴν ἀρχὴν συντελοῦσαν ἐκείνην, μηδὲ τοῦτον ἀπὸ ταύτης εὐθέως ἐγκρίνειν τολμᾶν, εἰ μὴ μετὰ τῆς εὐλαβείας πολλὴν καὶ τὴν σύνεσιν ἔχων τύχοι. καὶ γὰρ οἶδα πολλοὺς ἐγὼ τῶν τὸν ἅπαντα χρόνον καθειρξάντων ἑαυτοὺς, καὶ νηστείαις δαπανηθέντων, ὅτι, ἕως μὲν αὐτοῖς μόνοις ἐξῆν καὶ τὰ αὑτῶν μεριμνᾶν, εὐδοκίμουν παρὰ Θεῷ, καὶ καθ' ἑκάστην ἡμέραν ἐκείνῃ προσετίθεσαν τῇ φιλοσοφίᾳ μέρος οὐ μικρόν· ἐπειδὴ δὲ εἰς τὸ πλῆθος ἦλθον, καὶ τὰς τῶν πολλῶν ἀμαθίας ἐπανορθοῦν ἠναγκάσθησαν, οἱ μὲν οὐδὲ τὴν ἀρχὴν ἤρκεσαν πρὸς τὴν "τοσαύτην πραγματεί-

α. Κορ. ιβ κϛ.

α. Κορ. β ια.

αν,

μὲν, οἱ δὲ βιασθέντες ἐπιμεῖναι, τὴν περιττὴν ἀκρίβειαν ῥίψαντες, ἑαυτούς τε ἐζημίωσαν τὰ μέγιστα, καὶ ἑτέρους ὤνησαν οὐδέν. ἀλλ' οὐδέ, εἴ τις τὸν ἅπαντα χρόνον" ἀναλώσει ἐν τῇ ἐσχάτῃ τῆς λειτουργίας τάξει μένων, καὶ εἰς ἔσχατον ἤλασε γῆρας, τοῦτον ἁπλῶς διὰ τὴν ἡλικίαν αἰδεσθέντες ἐπὶ τὴν ἀρχὴν οἴσομεν τὴν" ἀνωτέρω. τί γάρ, εἰ [καὶ] μετὰ τὴν ἡλικίαν ἐκείνην ἀνεπιτήδειος ὢν μένοι; καὶ οὐ τὴν πολιὰν ἀτιμάσαι βουλόμενος, οὐδὲ νομοθετῶν τοὺς ἀπὸ χοροῦ μοναζόντων ἥκοντας πάντως ἀπείργεσθαι τῆς τοιαύτης ἐπιστασίας, ταῦτα εἶπον νῦν (συνέβη γὰρ πολλοὺς καὶ ἐξ ἐκείνης ἐλθόντας τῆς ἀγέλης εἰς ταύτην διαλάμψαι τὴν ἀρχήν) ἀλλ' ἐκεῖνο δεῖξαι σπουδάζων, ὅτι εἰ μήτε εὐλάβεια καθ' ἑαυτήν, μήτε γῆρας μακρὸν ἱκανὰ γένοιτ' ἂν δεῖξαι τὸν κεκτημένον ἱερωσύνης ἄξιον ὄντα, σχολῇ γ' ἂν αἱ προειρημέναι προφάσεις τοῦτο ἐργάσαιντο· οἱ δὲ καὶ ἑτέρας προστιθέασιν" ἀτοπωτέρας. καὶ γὰρ οἱ μέν, ἵνα μὴ μετὰ τῶν ἐναντίων τάξωσιν ἑαυτούς, εἰς τὴν τοῦ κλήρου καταλέγον") τάξιν· οἱ δέ, διὰ πονηρίαν, καὶ ἵνα μὴ παροφθέντες μεγάλα ἐργάσωνται κακά. ἆρα γένοιτ' ἂν τι τούτου παρανομώτερον, ὅταν ἄνθρωποι μοχθηροὶ καὶ μυρίων γέμοντες κακῶν διὰ ταῦτα θεραπεύωνται, δι' ἃ κολάζεσθαι ἔδει; καὶ ὧν ἕνεκεν μηδὲ τὸν οὐδὸν τῆς ἐκκλησίας ὑπερβαίνειν ἐχρῆν, ὑπὲρ τούτων καὶ εἰς τὴν ἱερατικὴν ἀναβαίνωσιν ἀξίαν; ἔτι οὖν ζητήσομεν, εἰπέ μοι, τοῦ Θεοῦ τῆς ὀργῆς τὴν αἰτίαν, πράγματα οὕτως ἅγια καὶ φρικωδέστατα ἀνθρώποις τοῖς μὲν πονηροῖς, τοῖς δὲ οὐδενὸς ἀξίοις λυμαίνεσθαι" παραδόντες; ὅταν γὰρ οἱ μὲν τῶν μηδὲν αὐτοῖς προσηκόντων, οἱ δὲ τῶν πολλῷ μειζόνων τῆς οἰκείας δυνάμεως προστασίαν ἐμπιστευθῶσιν, οὐδὲν Εὐρίπου τὴν ἐκκλησίαν διαφέρειν ποιοῦσιν. ἐγὼ δὲ πρότερον τῶν ἔξωθεν ἀρχόντων κατεγέλων, ὅτι τὰς τῶν τιμῶν διανομὰς οὐκ ἀπὸ τῆς ἀρετῆς τῆς ἐν" ταῖς ψυχαῖς, ἀλλ' ἀπὸ τῶν χρημάτων καὶ πλήθους ἐτῶν καὶ ἀνθρωπίνης ποιοῦνται προστασίας, ἐπειδὴ δὲ ἤκουσα, ὅτι αὕτη ἡ ἀλογία καὶ εἰς τὰ ἡμέτερα φλυερῶς εἰσεκώμασεν, οὐκ ἔτι ὁμοίως ἐποιούμην τὸ πρᾶγμα δεινόν. τί γὰρ θαυμαστὸν ἀνθρώπους βιωτικούς, καὶ δόξης τῆς παρὰ τῶν πολλῶν ἐρῶντας, καὶ χρημάτων" ἕνεκα πάντα πράττοντας, ἁμαρτάνειν τοιαῦτα, ὅπου γε οἱ πάντων ἀπηλλάχθαι προσποιούμενοι τούτων, οὐδὲν ἄμεινον ἐκείνων διάκεινται, ἀλλ' ὑπὲρ τῶν οὐρανίων τὸν ἀγῶνα ἔχοντες, ὡς περὶ πλέθρων γῆς ἢ ἑτέρου τινὸς τοιούτου τῆς βουλῆς αὐτοῖς προκειμένης, ἁπλῶς ἀνθρώπους ἀγελαίους λαβόντες ἐφιστᾶσι πράγμασι τοιούτοις, ὑπὲρ ὧν καὶ τὴν αὐτοῦ κενῶσαι δόξαν, καὶ ἄνθρωπος γενέσθαι, καὶ δούλου μορφὴν λαβεῖν, καὶ ἐμπτυσθῆναι, καὶ ῥαπισθῆναι, καὶ θάνατον τὸν ἐπονείδιστον ἀποθανεῖν [διὰ τῆς σαρκὸς] οὐ παρῃτήσατο ὁ μονογενὴς τοῦ Θεοῦ παῖς. καὶ οὐδὲ μέχρι τούτων ἵστανται μόνον, ἀλλὰ καὶ ἕτερα προστιθέασιν ἀτοπώτερα. οὐ γὰρ τοὺς ἀναξίους ἐγκρίνουσι μόνον, ἀλλὰ καὶ τοὺς ἐπιτηδείους ἐκβάλλουσιν. ὥσπερ γὰρ δέον ἀμφοτέρωθεν λυμήνασθαι τῆς ἐκκλησίας τὴν ἀσφάλειαν, ἢ ὥσπερ οὐκ ἀρκούσης τῆς προτέρας προφάσεως ἐκκαῦσαι τοῦ Θεοῦ τὴν ὀργήν, οὕτω τὴν δευτέραν συνῆψαν οὐχ ἧττον οὖσαν χαλεπήν. καὶ γὰρ ἐξ ἴσης οἶμαι εἶναι δεινόν, τό τε τοὺς χρησίμους ἀπείργειν, καὶ τὸ τοὺς ἀχρείους εἰσωθεῖν. καὶ τοῦτο" δὲ γίγνεται, ἵνα μηδαμόθεν παραμυθίαν" εὕρῃ, μηδὲ ἀναπνεῦσαι δυνηθῇ Χριστοῦ τὸ ποίμνιον. ταῦτα οὖν οὐ μυρίων ἄξια σκηπτῶν; ταῦτα οὐ γεέννης" σφοδροτέρας, οὐ ταύτης μόνον τῆς ἠπειλημένης ἡμῖν; ἀλλ' ὅμως ἀνέχεται καὶ φέρει τὰ τοσαῦτα κακὰ ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι αὐτὸν καὶ ζῆν. καὶ πῶς ἄν τις αὐτοῦ τὴν φιλανθρωπίαν θαυμάσειε; πῶς ἂν ἐκπλαγείη τὸν ἔλεον; οἱ τοῦ Χριστοῦ τὰ τοῦ Χριστοῦ διαφθείρουσιν ἐχθρῶν καὶ πολεμίων μᾶλλον· ὁ δὲ ἀγαθὸς ἔτι χρηστεύεται, καὶ εἰς μετάνοιαν καλεῖ. δόξα σοι, Κύριε, δόξα σοι· πόσης φιλανθρωπίας ἄβυσσος παρὰ σοί; πόσος ἀνεξικακίας πλοῦτος; οἱ διὰ τὸ ὄνομα τὸ σὸν ἐξ εὐτελῶν καὶ ἀτίμων ἔντιμοι καὶ περίβλεπτοι γενόμενοι, τῇ τιμῇ κατὰ τοῦ τετιμηκότος κέχρηνται, καὶ τολ-

μῶσι

Φιλιππ. β. ζ.

Ματθ. κς. ξζ.

Ιεζ. ιη. κγ.
καὶ λγ. λγ.

γ. ἀνάλ

γ. ἀνώτ

γ. χαλεπ
τέρας

γ. παρέχ
τες

γ. τῇ ψυ

γ. ἕνεκεν
πάντα

γ. δὲ

γ. ἀρεῖ

γ. σφοδ
ρᾶς

μῶσι τὰ ἀτόλμητα, καὶ ἐνυβρίζουσιν εἰς τὰ ἅγια, τοὺς σπουδαίους ἀπωθούμενοι καὶ ἐκβάλλοντες, ἵνα ἐν ἠρεμίᾳ πολλῇ, καὶ μετὰ ἀδείας [τῆς] ἐσχάτης οἱ πονηροὶ πάντα, ὅσαπερ ἂν ἐθέλωσιν, ἀνατρέπωσι. καὶ τούτου δὲ τοῦ δεινοῦ τὰς αἰτίας εἰ θέλεις μαθεῖν, ὁμοίας ταῖς προτέραις εὑρήσεις. τὴν μὲν γὰρ ῥίζαν καὶ (ὡς ἄν τις εἴποι) μητέρα μίαν ἔχουσι, τὴν βασκανίαν. αὗται δὲ οὐ μιᾶς εἰσιν ἰδέας, ἀλλὰ διεστήκασιν. ὁ μὲν γάρ, ἐπειδὴ νέος ἐστίν, ἐκβαλλέσθω, φησίν· ὁ δέ, ἐπειδὴ κολακεύειν οὐκ οἶδεν· ὁ δέ, ἐπειδὴ τῷ δεῖνι προσέκρουσε· καὶ ὁ μέν, ἵνα μὴ ὁ δεῖνα λυπῆται, τὸν μὲν ὑπ' αὐτοῦ δοθέντα ἀποδοκιμασθέντα, τοῦτον δὲ ἐγκεκριμένον ὁρῶν· ὁ δέ, ἐπειδὴ χρηστός ἐστι καὶ ἐπιεικής· ὁ δέ, ἐπειδὴ τοῖς ἁμαρτάνουσι φοβερός· ὁ δέ, δι' ἄλλην αἰτίαν τοιαύτην. οὐδὲ γὰρ ἀποροῦσι προφάσεων, ὅσων ἂν ἐθέλωσιν· ἀλλὰ καὶ τὸ πλῆθος τῶν ὄντων ἐστὶν αὐτοῖς αἰτιᾶσθαι, ὅταν μηδὲν ἔχωσιν ἕτερον, καὶ τό, μὴ δεῖν ἀθρόως εἰς ταύτην ἄγεσθαι τὴν τιμήν, ἀλλ' ἠρέμα καὶ κατὰ μικρόν· καὶ ἑτέρας, ὅσας ἂν βούλωνται, δύναιντ' ἂν αἰτίας εὑρεῖν. ἐγὼ δὲ * ἡδέως ἐνταῦθα ἐρήσομαι, τί οὖν δεῖ τὸν ἐπίσκοπον ποιεῖν, τοσούτοις μαχόμενον πνεύμασι; πῶς πρὸς τοσαῦτα στήσεται κύματα; πῶς πάσας ταύτας ἀπώσεται τὰς προσβολάς; ἂν μὲν γὰρ ὀρθῷ λογισμῷ τὸ πρᾶγμα "διαθῇ, ἐχθροὶ καὶ πολέμιοι καὶ αὐτῷ καὶ τοῖς αἱρεθεῖσιν ἅπαντες, καὶ πρὸς φιλονεικίαν τὴν ἐκείνου ἅπαντα πράττουσι, στάσεις καθ' ἑκάστην ἐμβάλλοντες τὴν ἡμέραν, καὶ σκώμματα μυρία τοῖς αἱρεθεῖσιν ἐπιτιθέντες, ἕως ἂν ἢ τούτους ἐκβάλλωσιν, ἢ τοὺς αὐτῶν εἰσαγάγωσι· καὶ γίνεται παραπλήσιον, οἷον ἂν εἴ τις κυβερνήτης ἔνδον ἐν τῇ νηῒ τῇ πλεούσῃ πειρατὰς ἔχοι συμπλέοντας, καὶ αὐτῷ καὶ τοῖς ναύταις καὶ τοῖς ἐπιβάταις συνεχῶς καὶ καθ' ἑκάστην ἐπιβουλεύοντας ὥραν. ἂν δὲ τὴν πρὸς ἐκείνους χάριν προτιμήσῃ τῆς αὐτοῦ σωτηρίας, δεξάμενος οὓς οὐκ ἔδει, ἕξει μὲν τὸν Θεὸν ἀντ' ἐκείνων ἐχθρόν (οὗ τί γένοιτ' ἂν χαλεπώτερον;) καὶ τὰ πρὸς ἐκείνους δὲ αὐτῷ δυσκολώτερα ἢ πρότερον διακείσεται, πάντων συμπραττόντων ἀλλήλοις, καὶ τούτῳ μᾶλλον ἰσχυρῶν γινομένων. ὥσπερ γὰρ ἀγρίων ἀνέμων ἐξ ἐναντίας προσπεσόντων ἀλλήλοις, τὸ τέως ἡσυχάζον πέλαγος μαίνεται ἐξαίφνης καὶ κορυφοῦται, καὶ τοὺς "πλέοντας ἀπόλλυσιν· οὕτω καὶ ἡ τῆς ἐκκλησίας γαλήνη, δεξαμένη "φθορέας ἀνθρώπους, ζάλης καὶ ναυαγίων πληροῦται πολλῶν. ἐννόησον οὖν, ὁποῖόν τινα εἶναι χρὴ τὸν πρὸς τοσοῦτον μέλλοντα ἀνθέξειν χειμῶνα, καὶ τοσαῦτα κωλύματα τῶν κοινῇ συμφερόντων διαθήσειν καλῶς. καὶ γὰρ καὶ σεμνὸν καὶ ἄτυφον, καὶ φοβερὸν καὶ προσηνῆ, καὶ ἀρχικὸν καὶ κοινωνικόν, καὶ ἀδέκαστον καὶ θεραπευτικόν, καὶ ταπεινὸν καὶ ἀδούλωτον, καὶ σφοδρὸν καὶ ἥμερον εἶναι δεῖ· ἵνα πρὸς ἅπαντα ταῦτα εὐκόλως μάχεσθαι "δυνήσηται. καὶ τὸν ἐπιτήδειον δεῖ μετὰ πολλῆς τῆς ἐξουσίας, κἂν ἅπαντες ἀντιπίπτωσι*, παράγειν, καὶ τὸν οὐ τοιοῦτον μετὰ τῆς αὐτῆς ἐξουσίας, κἂν ἅπαντες συμπνέωσι, μὴ προσίεσθαι· ἀλλ' εἰς ἓν μόνον ὁρᾶν, "τὴν τῆς ἐκκλησίας οἰκοδομήν, καὶ μηδὲν πρὸς ἀπέχθειαν ἢ χάριν ποιεῖν. ἆρά σοι δοκοῦμεν εἰκότως "παραιτεῖσθαι τοῦ πράγματος τούτου τὴν διακονίαν; καίτοιγε οὔπω πάντα διῆλθον πρὸς σέ· ἔχω γὰρ καὶ ἕτερα λέγειν. ἀλλὰ μὴ "ἀποκάμῃς, ἀνδρὸς φίλου καὶ γνησίου βουλομένου σε πείθειν, ὑπὲρ ὧν ἐγκαλεῖς, ἀνεχόμενος. οὐδὲ γὰρ πρὸς τὴν ἀπολογίαν σοι τὴν ὑπὲρ ἡμῶν ταῦτα χρήσιμα" ἔσται μόνον, ἀλλὰ καὶ πρὸς αὐτὴν τοῦ πράγματος τὴν διοίκησιν τάχα οὐ μικρὸν" συμβαλεῖται κέρδος. καὶ γὰρ ἀναγκαῖον τὸν μέλλοντα ἐπὶ ταύτην ἔρχεσθαι τοῦ βίου τὴν ὁδόν, πρότερον ἅπαντα διερευνησάμενον καλῶς, οὕτως ἅπτεσθαι τῆς διακονίας. τί δήποτε; ὅτι, εἰ καὶ μηδὲν ἄλλο, τὸ γοῦν μὴ ξενοπαθεῖν, ἡνίκα ἂν ταῦτα προσπίπτῃ, περιέσται τῷ πάντα εἰδότι σαφῶς. βούλει οὖν ἐπὶ τὴν τῶν χηρῶν προστασίαν ἴωμεν πρότερον, ἢ τὴν τῶν παρθένων κηδεμονίαν, ἢ τὴν τοῦ δικαστικοῦ μέρους τὴν δυσχέρειαν; καὶ γὰρ ἐφ' "ἑκάστου τούτων διάφορος ἡ φροντίς, καὶ τῆς φροντίδος μείζων ὁ φόβος. καὶ πρῶτον, ἵνα ἀπὸ τοῦ τῶν ἄλλων εὐτελεστέρου δοκοῦντος εἶναι ποιησώμεθα τὴν ἀρχήν, ἡ τῶν χηρῶν θεραπεία δοκεῖ μὲν μέχρι τῆς τῶν χρημάτων δαπάνης τοῖς ἐπιμελουμένοις αὐτῶν πα-

α Τιμ. ε. ιε.

* σε

γρ. διαθῆται,

γρ. ἁμιλλῶνται

γρ. φθορεῖς

γρ. δυνήσ

* τῷ ποιεῖν

γρ. τὴν ἀκαλη- [illegible] οἰκ.

γρ. [illegible]

γρ. ἀπωσάμενοις

γρ. [illegible] λ-

γρ. [illegible]

α. Τιμ. ε. θ.

ῥέγχειν τὴν φροντίδα. Τὸ μὲν οὖν τοιοῦτόν ἐστιν· ἀλλὰ πολλῆς δεῖ καὶ ταῦτα τῆς ἐξετάσεως, ὅταν αὐτὰς καταλέγειν δέῃ· ὡς τό γε ἁπλῶς καὶ ὡς ἔτυχεν αὐτὰς ἐγγράφεσθαι, μυρία εἰργάσατο δεινά. καὶ γὰρ οἴκους διέφθειραν, καὶ γάμους διέσπασαν, καὶ ἐπὶ κλοπαῖς πολλάκις καὶ ἐπὶ καπηλείαις καὶ ἑτέροις τοιούτοις ἀσχημονοῦσαι ἑάλωσαν. τὸ δὲ τὰς τοιαύτας ἀπὸ τῆς ἐκκλησίας τρέφεσθαι χρημάτων, καὶ παρὰ Θεοῦ τιμωρίαν, καὶ παρὰ ἀνθρώπων φέρει τὴν ἐσχάτην κατάγνωσιν, καὶ τοὺς εὖ ποιεῖν βουλομένους ὀκνηροτέρους καθίστησι. τίς γὰρ ἂν ἕλοιτό ποτε, ἃ τῷ Χριστῷ προσετάχθη δοῦναι χρήματα, ταῦτα ἀναλίσκειν εἰς τοὺς τὸ τοῦ Χριστοῦ διαβάλλοντας ὄνομα; διὰ ταῦτα δεῖ πολλὴν καὶ ἀκριβῆ ποιεῖσθαι τὴν ἐξέτασιν, ὡς μὴ μόνον τὰς εἰρημένας, ἀλλὰ μηδὲ τὰς ἑαυταῖς ἐπαρκεῖν δυναμένας τὴν τῶν ἀδυνάτων λυμαίνεσθαι τράπεζαν. μετὰ δὲ τὴν ἐξέτασιν ταύτην ἑτέρα διαδέχεται φροντὶς οὐ μικρά, ἵνα αὐταῖς τὰ τῆς τροφῆς ἀφθόνως, ὥσπερ ἐκ πηγῶν, ἐπιρρέῃ, καὶ μὴ διαλιμπάνῃ ποτέ. καὶ γὰρ ἀκόρεστόν πως κακὸν ἡ ἀκούσιος πενία, καὶ μεμψίμοιρον, καὶ ἀχάριστον· καὶ δεῖ πολλῆς μὲν τῆς συνέσεως, πολλῆς δὲ τῆς σπουδῆς, ὥστε αὐτῶν ἐμφράττειν τὰ στόματα, πᾶσαν ἐξαιροῦντα κατηγορίας πρόφασιν. Οἱ μὲν οὖν πολλοί, ὅταν τινὰ ἴδωσι χρημάτων κρείττονα, εὐθέως αὐτὸν ἐπιτήδειον εἶναι πρὸς ταύτην ἀποφαίνονται τὴν οἰκονομίαν· ἐγὼ δὲ οὐχ ἡγοῦμαί ποτε ταύτην αὐτῷ τὴν μεγαλοψυχίαν ἀρκεῖν μόνην, ἀλλὰ δεῖν μὲν αὐτὴν πρὸ τῶν ἄλλων ἔχειν (χωρὶς γὰρ ταύτης λυμεὼν ἂν εἴη μᾶλλον ἢ προστάτης, καὶ λύκος ἀντὶ ποιμένος) μετὰ δὲ αὐτῆς καὶ ἑτέραν *ζητεῖν εἰ κεκτημένος τυγχάνοι. αὕτη δέ ἐστι πάντων αἰτία ἀνθρώποις τῶν ἀγαθῶν, ἀνεξικακία, ὥσπερ εἴς τινα εὔδιον λιμένα ὁρμίζουσα καὶ παραπέμπουσα τὴν ψυχήν. ὁ γὰρ τῶν χηρῶν δῆμος καὶ διὰ τὴν πενίαν, καὶ διὰ τὴν ἡλικίαν, καὶ διὰ τὴν φύσιν ἀμέτρῳ τινὶ κέχρηται παρρησίᾳ (οὕτω γὰρ ἄμεινον εἰπεῖν) καὶ βοῶσιν ἀκαίρως, καὶ αἰτιῶνται μάτην, καὶ ἀποδύρονται ὑπὲρ ὧν χάριν εἰδέναι ἐχρῆν, καὶ κατηγοροῦσιν ὑπὲρ ὧν ἀποδέχεσθαι ἔδει. καὶ δεῖ τὸν προεστῶτα ἅπαντα φέρειν γενναίως, καὶ μήτε πρὸς τὰς ἀκαίρους ἐνοχλήσεις, μήτε πρὸς τὰς ἀλόγους παροξύνεσθαι μέμψεις. ἐλεεῖσθαι γὰρ ἐκεῖνο τὸ γένος, ὑπὲρ ὧν δυστυχοῦσιν, οὐχ ὑβρίζεσθαι, δίκαιον· ὡς τό γε ἐπεμβαίνειν αὐτῶν ταῖς συμφοραῖς, καὶ τῇ διὰ τὴν πενίαν ὀδύνῃ τὴν ἀπὸ τῆς ὕβρεως προστιθέναι, τῆς ἐσχάτης ὠμότητος ἂν εἴη. διὰ τοῦτο καί τις ἀνὴρ σοφώτατος, εἴς τε τὸ φιλοκερδὲς καὶ τὸ ὑπερόπτικον τῆς ἀνθρωπίνης φύσεως ἀπιδών, καὶ τῆς πενίας τὴν φύσιν καταμαθὼν δεινὴν οὖσαν καὶ τὴν γενναιοτάτην ψυχὴν καταβαλεῖν, καὶ πεῖσαι περὶ τῶν αὐτῶν ἀναισχυντεῖν πολλάκις· ἵνα μή τις αἰτούμενος πρὸς αὐτὸν ὀργίζηται, μηδὲ τῷ συνεχεῖ τῆς ἐντεύξεως παροξυνθεὶς πολέμιος, ὁ βοηθεῖν ὀφείλων, γένηται, παρασκευάζει προσηνῆ τε αὐτὸν καὶ εὐπρόσιτον εἶναι τῷ δεομένῳ, λέγων· Κλῖνον πτωχῷ ἀλύπως τὸ οὖς σου, καὶ ἀποκρίθητι αὐτῷ ἐν πραότητι εἰρηνικά. καὶ τὸν παροξύνοντα ἀφεὶς (τί γὰρ ἄν τις τῷ κειμένῳ λέγοι;) τῷ δυναμένῳ τὴν ἐκείνου φέρειν ἀσθένειαν διαλέγεται, παρακαλῶν τῷ τε ἡμέρῳ τῆς ὄψεως καὶ τῇ τῶν λόγων πραότητι πρὸ τῆς δόσεως αὐτὸν ἀνορθοῦν. ἂν δέ τις τὰ μὲν ἐκείνων μὴ λαμβάνῃ, μυρίοις δὲ αὐτὰς ὀνείδεσι περιβάλλῃ καὶ ὑβρίζῃ, καὶ παροξύνηται κατ' αὐτῶν· οὐ μόνον οὐκ ἐπεκούφισε τὴν ἀπὸ τῆς πενίας ἀθυμίαν τῷ δοῦναι, ἀλλὰ καὶ μεῖζον ταῖς λοιδορίαις εἰργάσατο τὸ δεινόν. καὶ γὰρ λίαν ἀναισχυντεῖν βιάζονται διὰ τὴν τῆς γαστρὸς ἀνάγκην, ἀλλ' ὅμως ἀλγοῦσιν ἐπὶ τῇ βίᾳ ταύτῃ. ὅταν οὖν διὰ μὲν τὸ τοῦ λιμοῦ δέος προσαιτεῖν ἀναγκάζωνται, διὰ δὲ τὸ προσαιτεῖν ἀναισχυντεῖν, διὰ δὲ τὸ ἀναισχυντεῖν πάλιν ὑβρίζωνται, ποικίλη τις καὶ πολλὴν φέρουσα τὸν ζόφον ἐπὶ τὴν ψυχὴν ἐκείνων κατασκήπτει τῆς ἀθυμίας ἡ δύναμις. καὶ δεῖ τὸν τούτων ἐπιμελούμενον ἐπὶ τοσοῦτον εἶναι μακρόθυμον, ὡς μὴ μόνον αὐταῖς μὴ πλεονάζειν τὴν ἀθυμίαν ταῖς ἀγανακτήσεσιν, ἀλλὰ καὶ τῆς οὔσης τὸ πλέον κουφίζειν διὰ τῆς παρακλήσεως. ὥσπερ γὰρ ἐκεῖνος ὑβρισθεὶς ἐν πολλῇ περιουσίᾳ, οὐκ αἰσθάνεται τῆς ἀπὸ τῶν χρη-

Σειρ. δ. η.

μάτων

μετὰ ὠφελείας δέχεται τὴν ἀπὸ τῆς ὕβρεως πληγήν, οὕτως οὐδὲ ὁ προσαιτῶν λόγῳ ἀκούσας, καὶ μετὰ παρακλήσεως τὸ διδόμενον δεξάμενος, γάνυται πλέον καὶ χαίρει, καὶ διπλοῦν αὐτῷ τὸ δοθὲν τῷ τρόπῳ γίνεται. καὶ ταῦτα οὐκ ἀπ᾽ ἐμαυτοῦ, ἀλλ᾽ ἀπ᾽ ἐκείνου τοῦ τὰ πρότερα παραινέσαντος φθέγγομαι. Τέκνον, γάρ φησιν, ἐν ἀγαθοῖς μὴ δῷς μῶμον, καὶ ἐν πάσῃ δόσει λύπην λόγων. οὐχὶ καύσωνα ἀναπαύσει δρόσος; οὕτω κρείσσων λόγος, ἢ δόσις. ἰδοὺ γὰρ λόγος ὑπὲρ δόμα ἀγαθόν, καὶ ἀμφότερα παρὰ ἀνδρὶ κεχαριτωμένῳ. οὐκ ἐπιεικῆ δὲ μόνον καὶ ἀνεξίκακον τὸν τούτων προστάτην, ἀλλὰ καὶ οἰκονομικὸν οὐχ ἧττον εἶναι χρή· ὡς ἐὰν τοῦτο ἀπῇ, πάλιν εἰς τὴν ἴσην περιίσταται ζημίαν τὰ τῶν πενήτων χρήματα. ἤδη γάρ τις ταύτην πιστευθεὶς τὴν διακονίαν, καὶ χρυσὸν συναγαγὼν πολύν, αὐτὸς μὲν οὐ κατέφαγεν, ἀλλ᾽ οὐδὲ εἰς τοὺς δεομένους, πλὴν ὀλίγων, ἀνάλωσε· τὸ δὲ πλέον κατορύξας ἐφύλαττεν, ἕως οὗ καιρὸς χαλεπὸς ἐπιστὰς παρέδωκεν αὐτὰ ταῖς τῶν ἐναντίων χερσί. πολλῆς οὖν δεῖ τῆς προμηθείας, ὡς μήτε πλεονάζειν, μήτε ἐλλείπειν τῆς ἐκκλησίας τὴν περιουσίαν· ἀλλὰ πάντα μὲν σκορπίζειν ταχέως τοῖς δεομένοις τὰ ποριζόμενα, ἐν δὲ ταῖς τῶν ἀρχομένων προαιρέσεσι συνάγειν τῆς ἐκκλησίας τοὺς θησαυρούς. τὰς δὲ τῶν ξένων ὑποδοχὰς καὶ τὰς τῶν ἀσθενούντων θεραπείας πόσης μὲν οἴει δεῖσθαι χρημάτων δαπάνης; πόσης δὲ τῆς τῶν ἐπιστατούντων ἀκριβείας τε καὶ συνέσεως; καὶ γὰρ τῆς εἰρημένης ἀναλώσεως ταύτην ἥττονα μὲν οὐδαμῶς, πολλάκις δὲ καὶ μείζονα εἶναι ἀνάγκη· καὶ τὸν ἐπιστατοῦντα, ποριστικόν τινα μετ᾽ εὐλαβείας καὶ φρονήσεως, ὡς παρασκευάζειν καὶ φιλοτίμως καὶ ἀλύπως διδόναι τοὺς κεκτημένους τὰ παρ᾽ ἑαυτῶν· ἵνα μὴ τῆς τῶν ἀσθενούντων ἀναπαύσεως προνοῶν, τὰς τῶν παρεχόντων πλήττῃ ψυχάς. τὴν δὲ μακροθυμίαν καὶ τὴν σπουδὴν πολλῷ πλείονα ἐνταῦθα ἐπιδείκνυσθαι δεῖ. δυσάρεστον γάρ πως τὸ νοσοῦν τι χρῆμα καὶ ῥᾴθυμον. κἂν μὴ πολλὴ πανταχόθεν εἰσφέρηται ἀκρίβεια καὶ φροντίς, ἀρκεῖ καὶ τὸ μικρὸν ἐκεῖ παροφθὲν μεγάλα ἐργάσασθαι τῷ νοσοῦντι κακά. ἐπὶ δὲ τῆς τῶν παρθένων ἐπιμελείας τοσούτῳ μείζων ὁ φόβος, ὅσῳ καὶ τὸ κτῆμα τιμιώτερον, καὶ βασιλικωτέρα αὕτη τῶν ἄλλων ἡ ἀγέλη. ἤδη γὰρ καὶ εἰς τὸν τῶν ἁγίων τούτων χορὸν μυρίαι μυρίων γέμουσαι κακῶν εἰσεκώμασαν. μεῖζον δὲ ἐνταῦθα τὸ πένθος. καὶ καθάπερ οὐκ ἴσον κόρην τε ἐλευθέραν, καὶ τὴν ταύτης θεράπαιναν ἁμαρτεῖν, οὕτως οὐδὲ παρθένον καὶ χήραν. ταῖς μὲν γὰρ καὶ ληρεῖν καὶ λοιδορεῖσθαι πρὸς ἀλλήλας, καὶ κολακεύειν, καὶ ἀναισχυντεῖν, καὶ πανταχοῦ φαίνεσθαι, καὶ [τὸ] περιιέναι τὴν ἀγορὰν γέγονεν ἀδιάφορον· ἡ δὲ παρθένος ἐπὶ μείζοσιν ἀπεδύσατο, καὶ τὴν ἀνωτάτω φιλοσοφίαν ἐζήλωσε, καὶ τὴν τῶν ἀγγέλων πολιτείαν δεῖξαι ἐπὶ γῆς ἐπαγγέλλεται, καὶ μετὰ τῆς σαρκὸς ταύτης τὰ τῶν ἀσωμάτων αὐτῇ δυνάμεων κατορθῶσαι πρόκειται. καὶ [οὐ δεῖ] οὔτε προόδους περιττὰς ποιεῖσθαι καὶ πολλάς, οὔτε ῥήματα αὐτῇ φθέγγεσθαι εἰκῇ καὶ μάτην ἔξεστι· λοιδορίας δὲ καὶ κολακείας οὐδὲ τοὔνομα εἰδέναι χρή. διὰ τοῦτο ἀσφαλεστάτης φυλακῆς καὶ πλείονος δεῖται τῆς συμμαχίας. ὅ τε γὰρ τῆς ἁγιωσύνης ἐχθρὸς ἀεὶ καὶ μᾶλλον αὐταῖς ἐφέστηκε καὶ προσεδρεύει, καταπιεῖν ἕτοιμος, εἴ που τις ὀλισθήσειε καὶ καταπέσοι, ἀνθρώπων τε τῶν ἐπιβουλευόντων πολλοί· καὶ μετὰ τούτων ἁπάντων ἡ τῆς φύσεως μανία· καὶ ἁπλῶς πρὸς διπλοῦν τῶν πολέμων ἡ παράταξις αὐτῇ, τῶν μὲν ἔξωθεν προσβαλλόντων, τῶν δὲ ἔσωθεν ἐνοχλούντων. διὰ ταῦτα τῷ γοῦν ἐπιστατοῦντι πολὺς μὲν ὁ φόβος, μείζων δὲ ὁ κίνδυνος καὶ ἡ ὀδύνη, εἴ τι τῶν ἀβουλήτων (ὃ μὴ γένοιτο) συμβαίη ποτέ. Εἰ γὰρ πατρὶ θυγάτηρ ἀπόκρυφος ἀγρυπνία, καὶ ἡ μέριμνα αὐτῆς ἀφιστᾷ ὕπνον, ὅπου περὶ τοῦ στειρωθῆναι ἢ παρακμάσαι ἢ μισηθῆναι τοσοῦτον δέος· τί πείσεται ὁ τούτων μὲν οὐδέν, ἕτερα δὲ τούτων πολλῷ μείζονα μεριμνῶν; οὐ γὰρ ἀνὴρ ἐνταῦθα ὁ ἀθετούμενος, ἀλλ᾽ αὐτὸς ὁ Χριστός· οὐδὲ μέχρις ὀνειδῶν ἡ στείρωσις, ἀλλ᾽ εἰς ἀπώλειαν ψυχῆς τελευτᾷ τὸ δεινόν. Πᾶν γὰρ δένδρον, φησί, μὴ ποιοῦν καρπὸν καλόν, ἐκκόπτεται καὶ εἰς

Σειρ. ιη. ιε.

Σειρ. μβ. ιϛ.

Ματθ. γ. ι.

πῦρ βάλλεται. καὶ μισηθεῖσα δὲ παρὰ τοῦ νυμφίου, οὐκ ἀρκεῖ λαβοῦσαν ἀποστασίου βιβλίον καὶ ἀπελθεῖν, ἀλλὰ κόλασιν αἰώνιον τοῦ μίσους δίδωσι τὴν τιμωρίαν. καὶ ὁ μὲν κατὰ σάρκα πατὴρ πολλὰ ἔχει τὰ ποιοῦντα αὐτῷ τὴν φυλακὴν εὔκολον τῆς θυγατρός. καὶ γὰρ καὶ ἡ μήτηρ, καὶ τροφὸς, καὶ θεραπαινῶν πλῆθος, καὶ οἰκίας ἀσφάλεια συναντιλαμβάνεται τῷ γεννήσαντι πρὸς τὴν τῆς παρθένου τήρησιν. οὔτε γὰρ εἰς ἀγορὰν αὐτῇ ἐμβάλλειν ἐφεῖται συνεχῶς, οὔτε, ἡνίκα ἂν ἐμβάλλῃ, φαίνεσθαί τινι τῶν ἐντυγχανόντων ἀναγκάζεται, τοῦ σκότους τῆς ἑσπέρας οὐχ ἧττον τῶν τῆς οἰκίας τοίχων καλύπτοντος τὴν φανῆναι μὴ βουλομένην. χωρὶς δὲ τούτων, πάσης αἰτίας ἀπήλλακται, ὡς μὴ ἄν ποτε εἰς ἀνδρῶν ὄψιν βιασθῆναι ἐλθεῖν. οὔτε γὰρ ἡ τῶν ἀναγκαίων φροντὶς, οὔτε αἱ τῶν ἀδικούντων ἐπήρειαι, οὐδ' ἄλλο τοιοῦτον οὐδὲν εἰς ἀνάγκην αὐτὴν τοιαύτης ἐντυχίας καθίστησιν, ἀντὶ πάντων αὐτῇ γινομένου τοῦ πατρός. αὕτη δὲ μίαν ἔχει φροντίδα μόνον, τὸ μηδὲν ἀνάξιον μήτε πρᾶξαι μήτε εἰπεῖν τῆς αὐτῇ προσηκούσης κοσμιότητος. ἐνταῦθα δὲ πολλὰ τὰ ποιοῦντα τῷ πατρὶ δύσκολον, μᾶλλον δὲ καὶ ἀδύνατον τὴν φυλακήν. οὔτε γὰρ ἔνδον ἔχειν αὐτὴν μεθ' ἑαυτοῦ δύναιτ' ἄν· οὔτε γὰρ εὔσχημον, οὔτε ἀκίνδυνος ἡ τοιαύτη συνοίκησις. κἂν γὰρ μηδὲν αὐτοὶ ζημιωθῶσιν, ἀλλ' ἀκέραιοι μείνωσι τὴν ἁγιωσύνην φυλάττοντες, οὐκ ἐλάττονα δώσουσι λόγον ὑπὲρ ὧν ἐσκανδάλισαν ψυχῶν, ἢ εἰ εἰς ἀλλήλους ἁμαρτάνοντες ἔτυχον. τούτου δὲ οὐκ ὄντος δυνατοῦ, οὔτε τὰ κινήματα τῆς ψυχῆς καταμαθεῖν εὔπορον, καὶ τὰ μὲν ἀτάκτως φερόμενα περικόψαι, τὰ δὲ ἐν τάξει καὶ ῥυθμῷ μᾶλλον ἀσκῆσαι καὶ ἐπὶ τὸ βέλτιον ἀναγαγεῖν, οὔτε τὰς ἐξόδους περιεργάζεσθαι ῥᾴδιον. ἡ γὰρ πενία, καὶ τὸ ἀπροστάτευτον οὐκ ἀφίησιν αὐτὸν ἀκριβῆ τῆς ἐκείνῃ προσηκούσης εὐκοσμίας γενέσθαι ἐξεταστήν. ὅταν γὰρ ἑαυτῇ πάντα διακονεῖν ἀναγκάζηται, πολλὰς, εἴ γε βούλοιτο μὴ σωφρονεῖν, τῶν προόδων τὰς προφάσεις ἔχει. καὶ δεῖ τὸν κελεύοντα διαπαντὸς οἴκοι μένειν, καὶ ταύτας περικόψαι τὰς προφάσεις, καὶ τὴν τῶν ἀναγκαίων αὐτάρκειαν παρέχοντα, καὶ τὴν πρὸς ταῦτα διακονησομένην αὐτῇ. δεῖ δὲ καὶ ἐκφορῶν καὶ παννυχίδων ἀπείργειν. οἶδε γὰρ, οἶδεν ὁ πολυμήχανος ὄφις ἐκεῖνος καὶ διὰ χρηστῶν πράξεων τὸν αὐτοῦ διασπείρειν ἰόν. καὶ χρὴ τὴν παρθένον πανταχόθεν τειχίζεσθαι, καὶ ὀλιγάκις τοῦ παντὸς ἐνιαυτοῦ προβαίνειν τῆς οἰκίας, ὅταν ἀπαραίτητοι καὶ ἀναγκαῖαι κατεπείγωσι προφάσεις. εἰ δὲ λέγοι τις οὐδὲν εἶναι τούτων ἔργον τῷ ἐπισκόπῳ μεταχειρίζειν, εὖ ἴστω, ὅτι τῶν ἐφ' ἑκάστης γινομένων αἱ φροντίδες καὶ αἱ αἰτίαι εἰς ἐκεῖνον ἔχουσι τὴν ἀναφοράν. πολλῷ δὲ λυσιτελέστερον αὐτὸν ἅπαντα διακονούμενον ἀπηλλάχθαι ἐγκλημάτων, ἃ διὰ τὰς τῶν ἑτέρων ἁμαρτίας ὑπομένειν ἀνάγκη ἢ τῆς διακονίας ἀφειμένον, τὰς ὑπὲρ ὧν ἔπραξαν ἕτεροι, τρέμειν εὐθύνας. πρὸς δὲ τούτοις ὁ μὲν δι' ἑαυτοῦ ταῦτα πράττων, μετὰ πολλῆς τῆς εὐκολίας ἅπαντα διεξέρχεται· ὁ δὲ ἀναγκαζόμενος, μετὰ τοῦ πείθειν τὰς ἁπάντων γνώμας, τοῦτο ποιεῖν, οὐ τοσαύτην ἔχει τὴν ἄνεσιν ἐκ τοῦ τῆς αὐτουργίας ἀφεῖσθαι, ὅσα πράγματα καὶ θορύβους διὰ τοὺς ἀντιπίπτοντας καὶ ταῖς αὐτοῦ κρίσεσι μαχομένους. ἀλλὰ πάσας μὲν οὐκ ἂν δυναίμην καταλέγειν τὰς ὑπὲρ τῶν παρθένων φροντίδας. καὶ γὰρ καὶ ὅταν αὐτὰς ἐγγράφεσθαι δέῃ, οὐ τὰ τυχόντα παρέχουσι πράγματα τῷ ταύτην πεπιστευμένῳ τὴν οἰκονομίαν. τὸ δὲ τῶν κρίσεων μέρος μυρίας μὲν ἔχει τὰς ἀπεχθείας, πολλὴν δὲ τὴν ἀσχολίαν, καὶ δυσκολίας τοσαύτας, ὅσας οὐδὲ οἱ τοῖς ἔξωθεν δικάζειν καθήμενοι φέρουσι. καὶ γὰρ εὑρεῖν αὐτὸ τὸ δίκαιον, ἔργον· καὶ εὑρόντα μὴ διαφθεῖραι, χαλεπόν. οὐκ ἀσχολία δὲ μόνον καὶ δυσκολία, ἀλλὰ καὶ κίνδυνος πρόσεστιν οὐ μικρός. ἤδη γάρ τινες τῶν ἀσθενεστέρων πράγμασιν ἐμπεσόντες, ἐπειδὴ προστασίας οὐκ ἔτυχον, ἐναυάγησαν περὶ τὴν πίστιν. πολλοὶ γὰρ τῶν ἠδικημένων οὐχ ἧττον τῶν ἠδικηκότων τοὺς μὴ βοηθοῦντας μισοῦσι· καὶ οὔτε πραγμάτων διαστροφὴν, οὔτε καιρῶν χαλεπότητα, οὔτε ἱερατικῆς δυναστείας μέτρα, οὔτε ἄλλο τοιοῦτον οὐδὲν ἀναλογίζεσθαι βούλονται, ἀλλ' εἰσὶν ἀσύγγνωστοι δικασταὶ, μίαν ἀπολογίαν εἰδότες, τὴν τῶν συνἐλθόντων αὐτοῖς κακῶν ἀπαλλαγήν. ὁ δὲ μὴ δυνάμενος ταύτην παρασχεῖν, κἂν μυρίας λέγῃ προφάσεις, οὐδέποτε τὴν κατάγνωσιν φεύξεται τὴν παρ' ἐκείνων. ἐπειδὴ δὲ προστασίας ἐμνήσθην, φέρε σοι καὶ ἑτέραν ″μέμψεων ἀποκαλύψω πρόφασιν. Εἰ γὰρ μὴ καθ' ἑκάστην ἡμέραν μᾶλλον τῶν ἀγοραίων περινοστεῖ τὰς οἰκίας ὁ τὴν ἐπισκοπὴν ἔχων, ″προσκρούσματα ἐντεῦθεν ἀμύθητα. οὐδὲ γὰρ ἀρρωστοῦντες μόνον, ἀλλὰ καὶ ὑγιαίνοντες ἐπισκοπεῖσθαι βούλονται, οὐ τῆς εὐλαβείας αὐτοὺς ἐπὶ τοῦτο προκαλουμένης, τιμῆς δὲ καὶ ἀξιώματος οἱ πολλοὶ ἀντιποιούμενοι μᾶλλον. Εἰ δέ ποτε συμβαίη τινὰ τῶν πλουσιωτέρων καὶ δυνατωτέρων, χρείας κατεπειγούσης, εἰς τὸ κοινὸν τῆς ἐκκλησίας κέρδος, συνεχέστερον ἰδεῖν, εὐθέως ἐντεῦθεν θωπείας καὶ κολακείας ″προσετρίψαντο δόξαν. καὶ τί λέγω προστασίας καὶ ἐπισκέψεις; ἀπὸ γὰρ τῶν προσρήσεων μόνον ″τοσοῦτο φέρουσιν ἐγκλημάτων ἄχθος, ὡς καὶ βαρύνεσθαι καὶ καταπίπτειν ὑπὸ τῆς ἀθυμίας πολλάκις. ἤδη δὲ καὶ βλέμματος εὐθύνας ὑπέχουσι. τὰ γὰρ ἁπλῶς παρ' αὐτῶν γινόμενα βασανίζουσιν ἀκριβῶς οἱ πολλοί, καὶ μέχρι φωνῆς ἐξετάζοντες καὶ διάθεσιν ὄψεως καὶ ποσότητα γέλωτος. πρὸς τὸν μὲν δεῖνα, φησί, δαψιλῶς ἐπεγέλασε, καὶ φαιδρῷ τῷ προσώπῳ καὶ μεγάλῃ προσεῖπε τῇ φωνῇ, ἐμὲ δὲ ἔλαττον καὶ ὡς ἔτυχε. ″καὶ ἂν πολλῶν συγκαθημένων μὴ πανταχοῦ περιφέρῃ τοὺς ὀφθαλμοὺς διαλεγόμενος, ὕβριν τὸ πρᾶγμά φασιν οἱ πολλοί. τίς οὖν μὴ λίαν ἰσχυρὸς ὤν, τοσούτοις ἂν ἀρκέσειε κατηγόροις, ἢ πρὸς τὸ μηδ' ὅλως γραφῆναι παρ' αὐτῶν, ἢ πρὸς τὸ [μὴ] διαφυγεῖν μετὰ τὴν γραφήν; δεῖ μὲν γὰρ μηδὲ ἔχειν κατηγόρους· εἰ δὲ τοῦτο ἀδύνατον, ″ἀπολύεσθαι τὰ παρ' ἐκείνων ἐγκλήματα· εἰ δὲ οὐδὲ τοῦτο εὔπορον, ἀλλὰ τέρπονταί τινες εἰκῆ καὶ ἁπλῶς αἰτιώμενοι, γενναίως πρὸς τὴν τῶν μέμψεων τούτων ἀθυμίαν ἵστασθαι. ὁ μὲν γὰρ δικαίως ἐγκαλούμενος, κἂν ἐνέγκῃ τὸν ἐγκαλοῦντα ῥᾳδίως. ἐπειδὴ γὰρ οὐκ ἔστι πικρότερός τις τοῦ συνειδότος κατήγορος, διὰ τοῦτο, ὅταν ὑπ' ἐκείνου τοῦ χαλεπωτάτου πρότεροι ἁλῶμεν, τοὺς ἔξωθεν ἡμερωτέρους ὄντας εὐκόλως φέρομεν. ὁ δὲ οὐδὲν ἑαυτῷ συνειδέναι πονηρὸν ἔχων, ὅταν ἐγκαλῆται μάτην, καὶ πρὸς ὀργὴν ἐκφέρεται ταχέως, καὶ πρὸς ἀθυμίαν καταπίπτει ῥᾳδίως, ἂν μὴ πρότερον ″τύχῃ μεμελετηκὼς τὰς τῶν πολλῶν φέρειν ″ἀνοίας. οὐ γάρ ἐστιν, οὐκ ἔστι συκοφαντούμενον εἰκῆ καὶ καταδικαζόμενον, μὴ ταράττεσθαι καὶ πάσχειν τι πρὸς τὴν τοσαύτην ἀλογίαν. τί δ' ἄν τις λέγοι τὰς λύπας, ἃς ὑπομένουσιν, ἡνίκα ἂν δέῃ τινὰ τοῦ τῆς ἐκκλησίας ″περικόψαι πληρώματος; Εἴθε μὲν οὖν μέχρι λύπης ἵστατο τὸ δεινόν· νῦν δὲ καὶ ὄλεθρος οὐ μικρός. δέος γάρ, μήποτε πέρα τοῦ δέοντος κολασθεὶς ἐκεῖνος, πάθῃ τοῦτο δὴ τὸ ὑπὸ τοῦ μακαρίου Παύλου λεχθέν, Καὶ ὑπὸ τῆς περισσοτέρας λύπης καταποθῇ. πλείστης οὖν κἀνταῦθα δεῖ τῆς ἀκριβείας, ὥστε μὴ τὴν τῆς ὠφελείας ὑπόθεσιν ″μείζονος αὐτῷ γενέσθαι ζημίας ἀφορμήν. ὧν γὰρ ἂν ἁμάρτῃ μετὰ τὴν τοιαύτην θεραπείαν ἐκεῖνος, κοινωνὸς τῆς ἐφ' ἑκάστῳ τούτων ὀργῆς ὁ μὴ καλῶς τὸ τραῦμα τεμὼν ἰατρός. πόσας οὖν χρὴ προσδοκᾶν τιμωρίας, ὅταν μὴ μόνον ὑπὲρ ὧν αὐτὸς ἕκαστος ἐπλημμέλησεν, ἀπαιτῆται λόγον, ἀλλὰ καὶ ὑπὲρ τῶν ἑτέροις ἁμαρτηθέντων εἰς τὸν ἔσχατον ″καθίσηται κίνδυνον; εἰ γὰρ τῶν οἰκείων πλημμελημάτων εὐθύνας ὑπέχοντες φρίττομεν, ὡς οὐ δυνησόμενοι τὸ πῦρ ἐκφυγεῖν ἐκεῖνο, τί χρὴ πείσεσθαι προσδοκᾶν τὸν ὑπὲρ τοσούτων ἀπολογεῖσθαι μέλλοντα; ὅτι γὰρ τοῦτο ἐστιν ἀληθές, ἄκουσον τοῦ μακαρίου Παύλου λέγοντος, μᾶλλον δὲ οὐκ ἐκείνου, ἀλλὰ τοῦ ἐν αὐτῷ λαλοῦντος Χριστοῦ· Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε, ″ὅτι αὐτοὶ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες. ἆρα μικρὸς οὗτος ὁ τῆς ἀπειλῆς φόβος; οὐκ ἔστιν εἰπεῖν. ἀλλὰ καὶ τοὺς σφόδρα ἀπειθεῖς καὶ σκληροὺς ἱκανὰ ταῦτα πεῖσαι, ὡς οὔτε ″ἀπονοίᾳ, οὔτε ″φιλοδοξίᾳ ἁλόντες, ὑπὲρ δὲ ἑαυτῶν δεδοικότες μόνον, καὶ εἰς τὸν τοῦ πράγματος ὄγκον ἀποβλέψαντες, ταύτην ″ἐφύγομεν τὴν φυγήν.

β. Κορ. β. ζ.

Ἑβρ. ιγ. ιζ.

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ. Λογ. δ.

ΒΑΣ. Ταῦτα ὁ Βασίλειος ἀκούσας, καὶ μικρὸν ἐπισχών· ΑΛΛ' εἰ μὲν αὐτὸς ἐσπουδάσας, φησι, ταύτην κτήσασθαι τὴν ἀρχὴν, εἶχεν ἂν σοι λόγον οὗτος ὁ φόβος. τὸν γὰρ ὁμολογήσαντα ἐπιτήδειον εἶναι πρὸς τὴν τοῦ πράγματος διοίκησιν τῷ σπουδάσαι λαβεῖν, οὐκ ἔστι μετὰ τὸ πιστευθῆναι, ἐν οἷς ἂν σφάλληται, καταφυγεῖν εἰς ἀπειρίαν. προλαβὼν γὰρ αὐτὸς ἑαυτοῦ ταύτην ἀφείλετο τὴν ἀπολογίαν τῷ προσδραμεῖν καὶ ἁρπάσαι τὴν διακονίαν, καὶ οὐκ ἔτι ἂν δύναιτο λέγειν ὁ ἑκὼν καὶ ἐθελοντὴς ἐπὶ τοῦτο ἐλθὼν, ὅτι ἄκων τόδε ἥμαρτον, καὶ ἄκων τὸν δεῖνα διέφθειρα. ἐρεῖ γὰρ πρὸς αὐτὸν ὁ ταύτην αὐτῷ τότε δικάζων τὴν δίκην, καὶ τί δήποτε τοσαύτην σεαυτῷ συνειδὼς ἀπειρίαν, καὶ οὐκ ἔχων διάνοιαν ἰσχυρὰν πρὸς τὸ μεταχειρίσαι τὴν τέχνην ταύτην ἀναμαρτήτως, ἔσπευσας καὶ ἐτόλμησας μείζονα τῆς οἰκείας δυνάμεως ἀναδέξασθαι πράγματα; τίς ὁ κατηναγκάσας; τίς ὁ πρὸς βίαν ἑλκύσας ἀποπηδῶντα καὶ φεύγοντα; ἀλλὰ σύ γε τούτων οὐδὲν ἀκούσῃ ποτέ. οὔτε αὐτὸς γὰρ ἔχοις * τοιοῦτόν τι σαυτοῦ καταγνῶναι, καὶ πᾶσίν ἐστι καταφανὲς, ὅτι οὔτε μέγα, οὔτε μικρὸν ὑπὲρ ταύτης ἐσπούδασας τῆς τιμῆς, ἀλλ' ἑτέρων γέγονε τὸ κατόρθωμα. καὶ ὅπερ ἐκείνους ἐν τοῖς ἁμαρτήμασιν οὐκ ἀφίησιν ἔχειν συγγνώμην, τοῦτό σοι πολλὴν παρέχει πρὸς ἀπολογίαν τὴν ὑπόθεσιν.

Πρὸς ταῦτα ἐγὼ κινήσας τὴν κεφαλὴν, καὶ μειδιάσας ἠρέμα, ἐθαύμαζόν τε αὐτὸν τῆς ἁπλότητος, καὶ πρὸς αὐτὸν ἔλεγον· ΧΡΥΣ. ΕΒΟΥΛΟΜΗΝ καὶ αὐτὸς ταῦτα οὕτως ἔχειν, ὡς ἔφης, ὦ πάντων ἀγαθώτατε [σὺ,] οὐχ ἵνα δέξασθαι δυνηθῶ τοῦτο, ὅπερ ἔφυγον νῦν. εἰ γὰρ καὶ μηδεμία μοι προὔκειτο κόλασις ὡς ἔτυχε καὶ ἀπείρως ἐπιμεληθέντι τῆς ποίμνης τοῦ Χριστοῦ, ἀλλ' ἐμοὶ πάσης τιμωρίας χαλεπώτερον ἦν αὐτὸ τὸ, πιστευθέντα πράγματα οὕτω μεγάλα, περὶ τὸν πιστεύσαντα οὕτω φανῆναι κακόν. τίνος οὖν ἕνεκεν ηὐχόμην τὴν δόξαν σου ταύτην μὴ διαπεσεῖν; ἵνα τοῖς ἀθλίοις καὶ ταλαιπώροις (οὕτω γὰρ δεῖ καλεῖν τοὺς οὐχ εὑρόντας καλῶς ταύτης προστῆναι τῆς πραγματείας, κἂν μυριάκις αὐτοὺς πρὸς ἀνάγκην ἦχθαι λέγῃς, καὶ ἀγνοοῦντας ἁμαρτεῖν) [ἵνα τούτοις] διαφυγεῖν ᾖ τὸ πῦρ ἐκεῖνο τὸ ἄσβεστον, καὶ τὸ σκότος τὸ ἐξώτερον, καὶ τὸν σκώληκα τὸν ἀτελεύτητον, καὶ τὸ διχοτομηθῆναι, καὶ τὸ μετὰ τῶν ὑποκριτῶν ἀπολέσθαι. ἀλλὰ τί σοι πάθω; οὐκ ἔστι ταῦτα, οὐκ ἔστι. καὶ, εἰ βούλει γε, ἀπὸ τῆς βασιλείας πρότερον, ἧς οὐ τοσοῦτος, ὅσος τῆς ἱερωσύνης τῷ Θεῷ λόγος, παρέξω σοι τούτων, ὧν εἶπον, τὴν πίστιν. α. Βασ. θ. ὁ Σαοὺλ ἐκεῖνος, ὁ τοῦ Κεὶς υἱὸς, οὐκ αὐτὸς σπουδάσας ἐγένετο βασιλεὺς, ἀλλ' ἀπῆλθε μὲν ἐπὶ τὴν τῶν ὄνων ζήτησιν, καὶ ὑπὲρ τούτων ἐρωτήσων τὸν προφήτην ἤρχετο· ὁ δὲ αὐτῷ περὶ τῆς βασιλείας διελέγετο. καὶ οὐδὲ οὕτως ἐπέδραμε, καίτοι παρὰ ἀνδρὸς ἀκούων προφήτου, ἀλλὰ [καὶ] ἀνεδύετο καὶ παρῃτεῖτο, λέγων· Τίς εἰμι ἐγὼ, καὶ τίς ὁ οἶκος τοῦ πατρός μου; τί οὖν, ἐπειδὴ κακῶς ἐχρήσατο τῇ παρὰ τοῦ Θεοῦ δοθείσῃ τιμῇ, ἴσχυσεν αὐτὸν ἐξελέσθαι ταῦτα τὰ ῥήματα τῆς τοῦ βασιλεύσαντος αὐτὸν ὀργῆς; οὐδαμῶς· καίτοι ἐξῆν λέγειν πρὸς τὸν Σαμουὴλ ἐγκαλοῦντα αὐτῷ· μὴ γὰρ αὐτὸς ἐπέδραμον τῇ βασιλείᾳ; μὴ γὰρ ἐπεπήδησα ταύτῃ τῇ δυναστείᾳ; τὸν τῶν ἰδιωτῶν ἐβουλόμην βίον ζῆν, τὸν ἀπράγμονα καὶ ἡσύχιον· σὺ δέ με ἐπὶ τοῦτο εἵλκυσας τὸ ἀξίωμα. ἐν ἐκείνῃ μένων τῇ ταπεινότητι, εὐκόλως ἂν ταῦτα ἐξέκλινα τὰ προσκρούσματα. οὐ γὰρ δήπου τῶν πολλῶν εἷς ὢν καὶ ἀσήμων, ἐπὶ τοῦτο ἂν ἐξεπέμφθην τὸ ἔργον, οὐδ' ἂν ἐμοὶ τὸν πρὸς τοὺς Ἀμαληκίτας πόλεμον ἐνεχείρισεν ὁ Θεός· μὴ ἐγχειἐκληθεὶς δὲ, οὐκ ἄν ποτε ταύτην ἥμαρτεν τὴν ἁμαρτίαν. ἀλλὰ ταῦτα πάντα ἀσθενῆ πρὸς ἀπολογίαν· οὐκ ἀσθενῆ δὲ μόνον, ἀλλὰ καὶ ἐπικίνδυνα, καὶ μᾶλλον ἐκκαίοντα τοῦ Θεοῦ τὴν ὀργήν. τὸν γὰρ ὑπὲρ τὴν ἀξίαν τιμηθέντα, οὐκ εἰς τὴν τῶν ἁμαρτημάτων ἀπολογίαν χρὴ προβάλλεσθαι τῆς τιμῆς τὸ μέγεθος, ἀλλ' εἰς μείζονος βελτιώσεως προτροπὴν κεχρῆσθαι τῇ πολλῇ περὶ αὐτὸν τοῦ Θεοῦ σπουδῇ. ὁ δὲ, διότι κρείττονος ἔτυχεν ἀξιώματος, διὰ τοῦτο ἁμαρτάνειν αὐτῷ νομίζων ἐξεῖναι, οὐδὲν ἕτερον, ἢ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν αἰτίαν τῶν οἰκείων ἁμαρτημάτων ἐπιδεῖξαι ἐσπούδακεν· ὅπερ τοῖς ἀσεβέσι καὶ ῥαθύμως τὸν ἑαυτῶν διοικοῦσι βίον λέγειν ἔθος ἀεί. ἀλλ' οὐχ ἡμᾶς οὕτω διακεῖσθαι χρὴ, οὐδὲ εἰς τὴν αὐτὴν ἐκείνοις ἐκπίπτειν μανίαν, ἀλλὰ πανταχοῦ σπουδάζειν τὰ παρ' ἑαυτῶν εἰσφέρειν εἰς δύναμιν τὴν ἡμετέραν, καὶ εὔφημον καὶ γλῶτταν καὶ διάνοιαν ἔχειν. οὐδὲ γὰρ ὁ Ἠλὶ (ἵνα τὴν βασιλείαν ἀφέντες, ἐπὶ τὴν ἱερωσύνην, περὶ ἧς ἡμῖν ὁ λόγος, ἔλθωμεν νῦν) ἐσπούδασε κτήσασθαι τὴν ἀρχήν. τί οὖν αὐτὸν τοῦτο, ἡνίκα ἥμαρτεν, ὤνησε; καὶ τί λέγω, κτήσασθαι; οὐδὲ διαφυγεῖν μὲν οὖν, εἴπερ* ἤθελε, δυνατὸν ἦν αὐτῷ διὰ τὴν ἀνάγκην τοῦ νόμου. καὶ γὰρ ἦν τῆς Λευῒ φυλῆς, καὶ τὴν ἀρχὴν διὰ τοῦ γένους ἄνωθεν καταβαίνουσαν ἔδει δέξασθαι. ἀλλ' ὅμως καὶ οὗτος ὑπὸ τῆς τῶν παίδων παρανομίας ἔδωκε δίκην οὐ μικράν. τί δαὶ αὐτὸς ὁ πρῶτος γενόμενος τῶν Ἰουδαίων ἱερεὺς, περὶ οὗ τοσαῦτα διελέχθη ὁ Θεὸς τῷ Μωϋσῇ, ἐπειδὴ οὐκ ἴσχυσε μόνος πρὸς τοσούτου πλήθους στῆναι μανίαν, οὐ παρὰ μικρὸν ἦλθεν ἀπολέσθαι, εἰ μὴ ἡ τοῦ ἀδελφοῦ προστασία ἔλυσε τοῦ Θεοῦ τὴν ὀργήν; ἐπειδὴ δὲ Μωϋσέως ἐμνήσθημεν, καλὸν καὶ ἐκ τῶν ἐκείνῳ συμβεβηκότων δεῖξαι τοῦ λόγου τὴν ἀλήθειαν. αὐτὸς γὰρ οὗτος ὁ μακάριος Μωϋσῆς τοσοῦτον ἀπεῖχε τοῦ τὴν προστασίαν ἁρπάσαι τῶν Ἰουδαίων, ὡς καὶ διδομένην παραιτεῖσθαι, καὶ, Θεοῦ κελεύοντος, ἀντιλέγειν ἐπὶ τοσοῦτον, ὡς καὶ παροξῦναι τὸν προστάττοντα. καὶ οὐ τότε μόνον, ἀλλὰ καὶ μετὰ ταῦτα γενόμενος ἐπὶ τῆς ἀρχῆς, ὑπὲρ τοῦ ταύτης ἀπαλλαγῆναι ἡδέως ἂν ἀπέθνησκεν. Ἀπόκτεινον γάρ με, φησιν, εἰ οὕτω μοι μέλλεις ποιεῖν. τί οὖν; ἐπειδὴ ἥμαρτεν ἐπὶ τοῦ ὕδατος, ἴσχυσαν αἱ συνεχεῖς αὗται παραιτήσεις ἀπολογήσασθαι ὑπὲρ αὐτοῦ, καὶ πεῖσαι τὸν Θεὸν δοῦναι συγγνώμην; καὶ πόθεν ἄλλοθεν τῆς ἐπηγγελμένης ἀπεστερεῖτο γῆς; οὐδαμόθεν ἄλλοθεν, ὡς ἅπαντες ἴσμεν, ἀλλ' ἢ διὰ τὴν ἁμαρτίαν ταύτην, δι' ἣν ὁ θαυμαστὸς ἐκεῖνος ἀνὴρ οὐκ ἴσχυσε τῶν αὐτῶν τοῖς ἀρχομένοις τυχεῖν· ἀλλὰ μετὰ τοὺς πολλοὺς ἄθλους καὶ τὰς ταλαιπωρίας, μετὰ τὴν πλάνην ἐκείνην τὴν ἄφατον, καὶ τοὺς πολέμους καὶ τὰ τρόπαια, ἔξω τῆς γῆς ἀπέθνησκεν, ὑπὲρ ἧς τοσαῦτα ἐμόχθησε· καὶ τὰ τοῦ πελάγους ὑπομείνας κακὰ, τῶν τοῦ λιμένος οὐκ ἀπήλαυσεν ἀγαθῶν. ὁρᾷς ὡς οὐ τοῖς ἁρπάζουσι μόνον, ἀλλ' οὐδὲ τοῖς ἐκ τῆς ἑτέρων σπουδῆς ἐπὶ τοῦτο ἐρχομένοις λείπεταί τις, ἐν οἷς ἂν πταίσωσιν, ἀπολογία. ὅπου γὰρ οἱ τοῦ Θεοῦ χειροτονοῦντος παραιτησάμενοι πολλάκις, τοσαύτην ἔδωκαν δίκην, καὶ οὐδεὶς ἴσχυσεν ἐξελέσθαι τοῦ κινδύνου τούτου, οὔτε τὸν Ἀαρὼν, οὔτε τὸν Ἠλὶ, οὔτε τὸν μακάριον ἐκεῖνον ἄνδρα, [τὸν ἅγιον,] τὸν προφήτην, τὸν θαυμαστὸν, τὸν πρᾳότατον μάλιστα πάντων τῶν ἐπὶ τῆς γῆς, τὸν ὡς φίλον λαλοῦντα τῷ Θεῷ, σχολῇ γε ἡμῖν τοῖς τοσοῦτον ἀποδέουσι τῆς ἀρετῆς τῆς ἐκείνου δυνήσεται) πρὸς ἀπολογίαν ἀρκέσαι τὸ συνειδέναι ἑαυτοῖς μηδὲν ὑπὲρ ταύτης ἐσπουδακόσι τῆς ἀρχῆς· καὶ μάλιστα ὅτε πολλαὶ τούτων τῶν χειροτονιῶν οὐκ ἀπὸ τῆς θείας γίνονται χάριτος, ἀλλὰ καὶ ἀπὸ τῆς τῶν ἀνθρώπων σπουδῆς. τὸν Ἰούδαν ὁ Θεὸς ἐξελέξατο, καὶ εἰς τὸν ἅγιον ἐκεῖνον κατέλεξε χορὸν, καὶ τὴν ἀποστολικὴν ἀξίαν μετὰ τῶν λοιπῶν ἐνεχείρισεν· ἔδωκε δέ τι καὶ τῶν ἄλλων πλέον αὐτῷ, τὴν τῶν χρημάτων οἰκονομίαν. τί οὖν; ἐπειδὴ τούτοις ἀμφοτέροις ἐναντίως ἐχρήσατο, καὶ ἃ ἐπιστεύθη κηρύττειν, προὔδωκε, καὶ ἃ καλῶς διοικεῖν ἐνεχειρίσθη, ταῦτα ἀνήλωσε κακῶς, ἐξέφυγε τὴν τιμωρίαν; διὰ αὐτὸ μὲν οὖν τοῦτο καὶ χαλεπωτέραν ἑαυτῷ τὴν δίκην εἰργάσατο. καὶ μάλα γε εἰκότως. οὐ γὰρ εἰς

α. Βασ. δ. ιη.

Ἐξοδ. λβ. α.

Ἐξοδ. δ. ιγ.

Ἀριθ. ια. ιε.

Ἀριθ. κ. ιϛ.

Ἀριθ. ιϛ. γ.

Ἐξοδ. λγ. ια.

Ἰωαν. ιβ. ϛ.

τὸ τῷ Θεῷ προσκρούειν δεῖ κατακεχρῆσθαι ταῖς παρὰ Θεοῦ διδομέναις τιμαῖς, ἀλλ' εἰς τὸ μᾶλλον ἀρέσκειν αὐτῷ. ὁ δὲ, ἐπειδὴ πλέον τετίμηται, διὰ τοῦτο ἀξιῶν ἀποφυγεῖν, ἐν οἷς ἂν κολάζεσθαι δέῃ· παραπλήσιον ποιεῖ, ὥσπερ ἂν εἴ τις καὶ τῶν ἀπίστων Ἰουδαίων ἀκούσας τοῦ Κυρίου λέγοντος, ὅτι Εἰ μὴ ἦλθον, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· [καὶ ὅτι εἰ μὴ τὰ σημεῖα ἐποίουν ἐν αὐτοῖς, ἃ μηδεὶς ἄλλος ἐποίησεν, ἁμαρτίαν οὐκ εἶχον·] ἐγκαλοίη τῷ σωτῆρι καὶ εὐεργέτῃ, λέγων· τί γὰρ ἤρχου καὶ ἐλάλεις; τί δὲ ἐποίεις σημεῖα, ἵνα μειζόνως ἡμᾶς κολάσῃς; ἀλλὰ μανίας τὰ ῥήματα ταῦτα, καὶ τῆς ἐσχάτης παραπληξίας. ὁ γὰρ ἰατρὸς οὐχ ἵνα σε κατακρίνῃ, ἦλθεν, ἀλλὰ μᾶλλον θεραπεύσων, οὐχ ἵνα σε νοσοῦντα περιίδῃ, ἀλλ' ἵνα σε ἀπαλλάξῃ τῆς νόσου τέλεον· σὺ δὲ σαυτὸν ἑκὼν ἀπεστέρησας τῶν ἐκείνου χειρῶν· δέχου τοίνυν χαλεπωτέραν τὴν τιμωρίαν. ὥσπερ γὰρ εἰ εἶξας τῇ θεραπείᾳ, καὶ τῶν προτέρων ἂν ἀπηλλάγης κακῶν· οὕτως ἐπειδὴ παραγινόμενον ἰδὼν ἔφυγες, οὐκ ἔτι ἀπονίψασθαι ταῦτα δυνήσῃ· μὴ δυνάμενος δὲ, καὶ τούτων δώσεις τὴν τιμωρίαν, καὶ ἀνθ' ὧν αὐτοῦ ματαίαν τὴν σπουδὴν ἐποίησας, τό γε μέρος τὸ σόν. διὰ ταῦτα οὐκ ἴσην πρὸ τοῦ τιμηθῆναι παρὰ τοῦ Θεοῦ, καὶ μετὰ τὰς τιμὰς τὴν βάσανον ὑπομένομεν, ἀλλὰ πολλῷ σφοδροτέραν ὕστερον. ὁ γὰρ μηδὲ τῷ παθεῖν εὖ γενόμενος ἀγαθὸς, πικρότερον δίκαιος ἂν εἴη κολάζεσθαι. ἐπεὶ οὖν ἀσθενὴς [ἡμῖν] αὕτη ἡ ἀπολογία δέδεικται, καὶ οὐ μόνον οὐ σώζει τοὺς εἰς αὐτὴν καταφεύγοντας, ἀλλὰ καὶ προδίδωσι πλέον· ἑτέραν ἡμῖν ποριστέον ἀσφάλειαν.

Ιωαν. ιε. κβ.

ΒΑΣ. ΠΟΙΑΝ δὴ ταύτην, ὁ Βασίλειος ἔφη; ὡς ἔγωγε οὐδὲ ἐν ἐμαυτῷ δύναμαι εἶναι νῦν· οὕτω με ἔμφοβον καὶ ἔντρομον τοῖς ῥήμασι κατέστησας τούτοις.

ΧΡΥΣ. ΜΗ, δέομαι (ἔφην) καὶ ἀντιβολῶ, μὴ τοσοῦτον καταβάλῃς σαυτόν. ἔστι γὰρ, ἔστιν ἀσφάλεια τοῖς μὲν ἀσθενέσιν ἡμῖν, τὸ μηδέποτε ἐμπεσεῖν· ὑμῖν δὲ τοῖς ἰσχυροῖς, τὸ τὰς ἐλπίδας τῆς σωτηρίας εἰς ἕτερον μὲν ἀνηρτῆσθαι μηδὲν μετὰ τὴν τοῦ Θεοῦ χάριν, ἀλλ' ἢ εἰς τὸ μηδὲν ἀνάξιον πράττειν τῆς δωρεᾶς ταύτης καὶ τοῦ δεδωκότος αὐτὴν Θεοῦ. μεγίστης μὲν γὰρ ἂν εἶεν κολάσεως ἄξιοι, οἱ μετὰ τὸ δι' οἰκείας σπουδῆς ταύτης ἐπιτυχεῖν τῆς ἀρχῆς, ἢ διὰ ῥᾳθυμίαν, ἢ διὰ πονηρίαν, ἢ καὶ δι' ἀπειρίαν κακῶς κεχρημένοι τῷ πράγματι. οὐ μὴν διὰ τοῦτο τοῖς οὐκ ἐσπουδακόσι καταλέλειπταί τις συγγνώμη, ἀλλὰ καὶ οὗτοι πάσης ἀπολογίας ἐστέρηνται. δεῖ γὰρ, οἶμαι, κἂν μυρίοι καλῶσι καὶ καταναγκάζωσι, μὴ πρὸς ἐκείνους ὁρᾶν, ἀλλὰ πρότερον τὴν ἑαυτοῦ βασανίσαντα ψυχὴν, καὶ πάντα διερευνησάμενον ἀκριβῶς, οὕτως εἶξαι τοῖς βιαζομένοις. νῦν δὲ οἰκίαν μὲν οἰκοδομήσασθαι οὐδεὶς ἂν ὑποσχέσθαι τολμήσειε τῶν οὐκ ὄντων οἰκοδομικῶν, οὐδὲ σωμάτων ἅψασθαι νενοσηκότων ἐπιχειρήσειεν ἄν τις τῶν ἰατρεύειν οὐκ εἰδότων, ἀλλὰ κἂν πολλοὶ οἱ πρὸς βίαν ὠθοῦντες ὦσι, παραιτήσεται, καὶ οὐκ ἐρυθριάσει τὴν ἄγνοιαν· ψυχῶν δὲ ἐπιμέλειαν μέλλων ἐμπιστεύεσθαι τοσούτων, οὐκ ἐξετάσει πρότερον ἑαυτὸν, ἀλλὰ κἂν ἁπάντων ἀπειρότατος ᾖ, δέξεται τὴν διακονίαν, ἐπειδὴ ὁ δεῖνα κελεύει, καὶ ὁ δεῖνα βιάζεται, καὶ ἵνα μὴ προσκρούσῃ τῷ δεῖνι; καὶ πῶς οὐκ εἰς προῦπτον ἑαυτὸν μετ' ἐκείνων ἐμβαλεῖ κακόν; ἐξὸν γὰρ αὐτῷ σώζεσθαι καθ' ἑαυτὸν, νῦν * καὶ ἑτέρους προσαπόλλυσι μεθ' ἑαυτοῦ. πόθεν γὰρ ἔστιν ἐλπίσαι σωτηρίαν; πόθεν συγγνώμης τυχεῖν; τίνες ἡμᾶς ἐξαιτήσονται τότε; οἱ βιαζόμενοι νῦν ἴσως καὶ πρὸς ἀνάγκην ἕλκοντες; αὐτοὺς δὲ τούτους τίς κατ' ἐκεῖνον διασώσει τὸν καιρόν; καὶ γὰρ καὶ αὐτοὶ προσδέονται ἑτέρων, ἵνα διαφύγωσι τὸ πῦρ. ὅτι δέ σε οὐ δεδιττόμενος ταῦτα λέγω νῦν, ἀλλ' ὡς ἔχει τὸ πρᾶγμα ἀληθείας, ἄκουε τί τῷ μαθητῇ φησιν ὁ μακάριος Παῦλος, Τιμοθέῳ τῷ γνησίῳ τέκνῳ καὶ ἀγαπητῷ. Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις. εἶδες ἴσης τοὺς μέλλοντας ἡμᾶς ἐπὶ τοῦτο παράγειν, οὐ μέμψεως μόνον, ἀλλὰ καὶ τιμωρίας, τό γε ἡμέτερον ἀπηλλάξαμεν μέρος. ὥσπερ γὰρ τοῖς αἱρεθεῖσιν οὐκ αὔταρκες πρὸς ἀπολογίαν, τὸ λέγειν, οὐκ αὐτόκλητος ἦλθον, οὐδὲ προειδὼς οὐκ ἀπέφυγον· οὕτως οὐδὲ τοῖς

α Τιμ. ε. κβ.

χειροτονοῦντας ὠφελῆσαί τι δύναται, εἰ λέγοιεν τὸν χειροτονηθέντα ἀγνοεῖν. ἀλλὰ διὰ τοῦτο καὶ μεῖζον τὸ ἔγκλημα γίνεται, ὅτι οὓς ἠγνόουν, παρήγαγον· καὶ ἡ δοκοῦσα εἶναι ἀπολογία αὔξει τὴν κατηγορίαν. πῶς γὰρ οὐκ ἄτοπον, ἀνδράποδον μὲν πρίασθαι βουλομένους καὶ ἰατροῖς ἐπιδεικνύναι, καὶ τῆς πράσεως ἐγγυητὰς ἀπαιτεῖν, καὶ γειτόνων πυνθάνεσθαι, καὶ μετὰ ταῦτα πάντα μηδέπω θαρρεῖν, ἀλλὰ καὶ χρόνον πολὺν πρὸς δοκιμασίαν αἰτεῖν· εἰς δὲ τοσαύτην λειτουργίαν μέλλοντάς τινα ἐγγράφειν, ἁπλῶς καὶ ὡς ἔτυχεν, ἂν τῷ δεῖν δόξῃ, πρὸς χάριν, ἢ πρὸς ἀπέχθειαν ἑτέρων μαρτυρῆσαι ἐγκρίνειν, μηδεμίαν ποιουμένους ἑτέραν ἐξέτασιν; τίς οὖν ἡμᾶς ἐξαιτήσεται τότε, τῶν ὀφειλόντων προστῆναι, καὶ αὐτῶν προστατῶν δεομένων; δεῖ μὲν οὖν καὶ τὸν χειροτονεῖν μέλλοντα, πολλὴν ποιεῖσθαι τὴν ἔρευναν· πολλῷ δὲ πλείονα τούτου τὸν χειροτονούμενον. εἰ γὰρ καὶ κοινωνοὺς ἔχει τῆς κολάσεως τοὺς ἑλομένους, ἐν οἷς ἂν ἁμάρτῃ, ἀλλ' ὅμως οὐδὲ αὐτὸς ἀπήλλακται τῆς τιμωρίας, ἀλλὰ καὶ μείζονα δώσει· μόνον εἰ μὴ διά τινα ἀνθρωπίνην αἰτίαν παρὰ τὸ φανὲν αὐτοῖς εὔλογον ἔπραξαν οἱ ἑλόμενοι. εἰ γὰρ ἐν τούτῳ φωραθεῖεν, καὶ τὸν ἀνάξιον εἰδότες, διά τινα πρόφασιν αὐτὸν παρήγαγον, ἐξ ἴσης τὰ τῶν κολαστηρίων αὐτοῖς· τάχα δὲ καὶ μείζονα τοῖς τὸν οὐκ ἐπιτήδειον καταστήσασιν. ὁ γὰρ τὴν ἐξουσίαν παρασχὼν τῷ βουλομένῳ διαφθεῖραι τὴν ἐκκλησίαν, οὗτος ἂν εἴη τῶν ὑπ' ἐκείνου τολμηθέντων αἴτιος. εἰ δὲ τούτων μὲν οὐδενὶ γένοιτο ὑπεύθυνος, ἀπὸ δὲ τῆς τῶν πολλῶν ὑπολήψεως ἠπατῆσθαι λέγοι, ἀτιμώρητος μὲν οὐδὲ οὕτω μενεῖ, ὀλίγῳ δὲ ἐλάττονα τοῦ χειροτονηθέντος δίδωσι δίκην. τί δήποτε; ὅτι τοὺς μὲν ἑλομένους εἰκὸς ὑπὸ δόξης ψευδοῦς ἀπατηθέντας ἐπὶ τοῦτο ἐλθεῖν· ὁ δὲ αἱρεθεὶς οὐκ ἔτι ἂν δύναιτο λέγειν, ὅτι ἠγνόουν ἐμαυτὸν, καθάπερ αὐτὸν ἕτεροι. ὡς οὖν βαρύτερον μέλλοντα κολάζεσθαι τῶν παραγαγόντων, οὕτως ἀκριβέστερον αὐτὸν χρὴ ποιεῖσθαι τὴν ἑαυτοῦ δοκιμασίαν, κἂν ἀγνοοῦντες ἕλκωσιν ἐκεῖνοι, προσιόντα διδάσκειν ἀκριβῶς τὰς αἰτίας, δι' ὧν ἠπατημένους παύσει, καὶ ἀνάξιον ἑαυτὸν τῆς δοκιμασίας ἀποδείξας, ἐκφεύξεται τοσούτων πραγμάτων ὄγκον. διὰ τί γὰρ περὶ στρατείας καὶ ἐμπορίας καὶ γεωργίας, καὶ τῶν ἄλλων τῶν βιωτικῶν βουλῆς προκειμένης, οὔτε ὁ γεωργὸς ἕλοιτ' ἂν πλεῖν, οὔτε ὁ στρατιώτης γεωργεῖν, οὔτε ὁ κυβερνήτης στρατεύεσθαι, κἂν μυρίους τις ἀπειλήσῃ θανάτους; ἢ δῆλον, ὅτι τὸν ἐκ τῆς ἀπειρίας προορώμενοι κίνδυνον ἕκαστος; εἶτα, ὅπου μὲν ἡ ζημία περὶ μικρῶν, τοσαύτῃ χρησόμεθα προνοίᾳ, καὶ οὐκ ἂν εἴξομεν τῇ τῶν βιαζομένων ἀνάγκῃ· ὅπου δὲ ἡ κόλασις αἰώνιος τοῖς οὐκ εἰδόσι μεταχειρίζειν ἱερωσύνην, ἁπλῶς καὶ ὡς ἔτυχε τοσοῦτον ἀναδεξόμεθα κίνδυνον, τὴν ἑτέρων προβαλλόμενοι βίαν; ἀλλ' οὐκ ἀνέξεται ταῦτα ὁ τότε κρίνων ἡμῖν. ἔδει μὲν γὰρ καὶ πολλῷ πλείω τῆς σαρκικῆς περὶ τὰ πνευματικὰ τὴν ἀσφάλειαν ἐπιδείξασθαι· νῦν δὲ οὐδὲ ἴσην εὑρισκόμεθα παρεχόμενοι. εἰπὲ γάρ μοι, εἴ τινα ὑποπτεύσαντες ἄνδρα εἶναι τεκτονικὸν, οὐκ ὄντα τεκτονικὸν, πρὸς τὴν ἐργασίαν καλοῖμεν, αὐτὸς δὲ ἕποιτο, εἶτα ἁψάμενος τῆς πρὸς τὴν οἰκοδομὴν παρεσκευασμένης ὕλης, ἀφανίζοι μὲν ξύλα, ἀφανίζοι δὲ λίθους, ἐργάζοιτο δὲ τὴν οἰκίαν οὕτως, ὡς εὐθέως καταπεσεῖν, ἆρα ἀρκέσει πρὸς ἀπολογίαν αὐτῷ, τὸ παρ' ἑτέρων ἠναγκάσθαι, καὶ μὴ αὐτεπάγγελτον ἥκειν; οὐδαμῶς· καὶ μάλα γε εἰκότως καὶ δικαίως. ἐχρῆν γὰρ, καὶ ἑτέρων καλούντων, ἀποπηδᾶν. εἶτα τῷ μὲν ξύλα ἀφανίζοντι καὶ λίθους, οὐδεμία ἔσται καταφυγὴ πρὸς τὸ μὴ δοῦναι δίκην· ὁ δὲ τὰς ψυχὰς ἀπολλὺς, καὶ οἰκοδομῶν ἀμελῶς, τὴν ἑτέρων ἀνάγκην ἀπόχρη αὐτῷ πρὸς τὸ * διαφυγεῖν οἴεται; καὶ πῶς οὐ λίαν εὔηθες; οὔπω γὰρ προστίθημι, ὅτι τὸν μὴ βουλόμενον οὐδεὶς ἀναγκάσαι δυνήσεται. ἀλλ' ἔστω μυρίαν αὐτὸν ὑπομεμενηκέναι βίαν, καὶ μηχανὰς πολυτρόπους, ὥστε * ἐμπεσεῖν. τοῦτο οὖν αὐτὸν ἐξαιρήσεται τῆς κολάσεως; μὴ, παρακαλῶ, μὴ ἐπὶ τοσοῦτον ἀπατῶμεν ἑαυτούς· μηδὲ ὑποκρινώμεθα ἀγνοεῖν τὰ καὶ τοῖς ἄγαν παισὶ φανερά. οὐ γὰρ δήπου καὶ ἐπὶ τῶν εὐθυνῶν αὕτη τῆς ἀγνοίας ἡ προσποίησις ἡμᾶς ὠφελῆσαι δυνήσεται. οὐκ ἐσπούδασας αὐτὸς ταύτην δέξασθαι τὴν ἀρχὴν, ἀσθένειαν σεαυτῷ συνειδώς; "εὖ καὶ καλῶς. ἐχρῆν οὖν μετὰ τῆς αὐτῆς προαιρέσεως, καὶ ἑτέρων καλούντων, ἀποπηδᾶν. ἢ ὅτε μὲν οὐδεὶς ἐκάλει, ἀσθενὴς σὺ καὶ οὐκ ἐπιτήδειος "ἐπειδὴ δὲ εὑρέθησαν οἱ δώσοντες τὴν τιμὴν, γέγονας ἐξαίφνης ἰσχυρός; γέλως ταῦτα καὶ "λῆρος, καὶ τῆς ἐσχάτης ἄξια τιμωρίας. διὰ γὰρ τοῦτο καὶ ὁ Κύριος παραινεῖ μὴ πρότερον Λουκ. ιδ. κη. "βάλλεσθαι θεμέλιον τὸν βουλόμενον πύργον οἰκοδομεῖν, πρὶν ἢ τὴν οἰκείαν "ἀναλογίσασθαι δύναμιν, ἵνα μὴ δῷ τοῖς παριοῦσι μυρίας ἀφορμὰς χλευασίας τῆς εἰς αὐτόν. ἀλλ' ἐκεῖ μὲν μέχρι τοῦ γέλωτος ἡ ζημία· ἐνταῦθα δὲ ἡ κόλασις πῦρ ἄσβεστον, καὶ σκώληξ ἀτελεύτητος, Ματθ. γ. ιβ. Ησ. ξς. κδ. καὶ βρυγμὸς ὀδόντων, καὶ σκότος ἐξώτερον, καὶ τὸ διχοτομηθῆναι, καὶ τὸ ταγῆναι μετὰ τῶν ὑπο- Ματθ. κε. λ. κριτῶν. ἀλλ' οὐδὲν τούτων ἐθέλουσιν ἰδεῖν οἱ κατηγοροῦντες ἡμῶν. ἢ γὰρ ἂν ἐπαύσαντο μεμφόμενοι τὸν οὐκ ἐθέλοντα ἀπολέσθαι μάτην. οὐκ ἔστιν ἡμῖν" ὑπὲρ οἰκονομίας πυροῦ καὶ κριθῶν, οὐδὲ βοῶν καὶ προβάτων, οὐδὲ ἄλλων περὶ τοιούτων ἡ σκέψις [ἡ] προκειμένη νῦν, ἀλλ' ὑπὲρ αὐτοῦ τοῦ σώματος τοῦ Ἰησοῦ. ἡ γὰρ ἐκκλησία τοῦ Χριστοῦ, κατὰ τὸν μακάριον Κολ. α. ιη. Παῦλον, σῶμά ἐστι τοῦ Χριστοῦ· καὶ δεῖ τὸν τοῦτο "πεπιστευμένον, εἰς εὐεξίαν αὐτὸ πολλὴν Εφ. ε. κζ. καὶ κάλλος ἀμήχανον ἐξασκεῖν, πανταχοῦ περισκοποῦντα, μή που σπίλος, ἢ ῥυτίς, ἤ τις ἄλλος μῶμος τοιοῦτος τὴν ὥραν ἢ καὶ τὴν εὐπρέπειαν λυμαινόμενος ἐκείνην· καὶ τί γὰρ ἄλλ', ἢ τῆς ἐπικειμένης αὐτῷ κεφαλῆς τῆς ἀκηράτου καὶ μακαρίας ἄξιον αὐτὸ κατὰ δύναμιν τὴν ἀνθρωπείαν ἀποφαίνειν; εἰ γὰρ τοῖς περὶ τὴν ἀθλητικὴν εὐεξίαν ἐσπουδακόσι, καὶ ἰατρῶν χρεία, καὶ παιδοτριβῶν, καὶ διαίτης ἠκριβωμένης, καὶ ἀσκήσεως συνεχοῦς, καὶ μυρίας παρατηρήσεως ἑτέρας (καὶ γὰρ καὶ τὸ τυχὸν ἐν αὐτοῖς παροφθὲν πάντα ἀνέτρεψε καὶ κατέβαλεν) οἱ τὸ σῶμα θεραπεύειν τοῦτο λαχόντες, τὸ τὴν ἄθλησιν οὐ πρὸς σώματα, ἀλλὰ πρὸς τὰς ἀοράτους δυνάμεις ἔχον, πῶς αὐτὸ δυνήσονται φυλάττειν ἀκέραιον καὶ ὑγιὲς, μὴ πολὺ τὴν "ἀνθρωπίνην ὑπερβαίνοντες ἀρετὴν, καὶ "πᾶσαν ψυχῆς πρόσφορον ἐπιστάμενοι θεραπείαν; ἢ ἀγνοεῖς, ὅτι καὶ πλείοσι τῆς ἡμετέρας σαρκὸς καὶ νόσοις καὶ ἐπιβουλαῖς τοῦτο ὑπόκειται τὸ σῶμα, καὶ θᾶττον αὐτοῦ* φθείρεται, καὶ "σχολαίτερον ὑγιαίνει; καὶ τοῖς μὲν ἐκεῖνα θεραπεύουσι τὰ σώματα, καὶ φαρμάκων "ἐξεύρηνται ποικιλίαι, καὶ ὀργάνων διάφοροι κατασκευαί, καὶ τροφαὶ τοῖς νοσοῦσι κατάλληλοι· καὶ φύσις δὲ ἀέρων πολλάκις ἤρκεσε μόνη πρὸς τὴν τοῦ "κάμνοντος ὑγίειαν. ἔστι δὲ ὅπου καὶ ὕπνος περιπεσὼν "εἰς καιρὸν, παντὸς πόνου ἀπήλλαξε τὸν ἰατρόν. ἐνταῦθα δὲ οὐδὲν τούτων ἐπινοῆσαι ἔστιν· ἀλλὰ μία τις μετὰ τὰ ἔργα δέδοται μηχανὴ καὶ θεραπείας ὁδὸς, ἡ διὰ τοῦ λόγου διδασκαλία. τοῦτο ὄργανον, τοῦτο τροφὴ, τοῦτο ἀέρων κρᾶσις ἀρίστη· τοῦτο ἀντὶ φαρμάκων, τοῦτο ἀντὶ πυρὸς, τοῦτο ἀντὶ σιδήρου. κἂν καῦσαι δέῃ "καὶ τεμεῖν, τούτῳ χρήσασθαι ἀνάγκη· κἂν τοῦτο "μὴ ᾖ, πάντα οἰχήσεται τὰ λοιπά. τούτῳ καὶ κειμένην ἐγείρομεν, καὶ φλεγμαίνουσαν καταστέλλομεν τὴν ψυχὴν, καὶ τὰ περιττὰ περικόπτομεν, καὶ τὰ λείποντα πληροῦμεν, καὶ τὰ ἄλλα ἅπαντα ἐργαζόμεθα, ὅσα εἰς τὴν τῆς ψυχῆς ὑγίειαν ἡμῖν συντελεῖ. πρὸς μὲν γὰρ βίου κατάστασιν ἀρίστην, βίος ἕτερος εἰς τὸν ἴσον ἂν "ἐναγάγοι ζῆλον. ὅταν δὲ περὶ δόγματα νοσῇ ἡ ψυχὴ τὰ νόθα, πολλὴ τοῦ λόγου ἐνταῦθα ἡ χρεία, οὐ πρὸς τὴν τῶν οἰκείων ἀσφάλειαν μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἔξωθεν πολέμους. εἰ μὲν γάρ τις ἔχοι τὴν μάχαιραν τοῦ πνεύματος, καὶ θυρεὸν πίστεως τοσοῦτον, ὡς δύνασθαι θαυματουργεῖν, καὶ διὰ τῶν τεραστίων τὰ τῶν ἀναιδῶν ἐμφράττειν στόματα, οὐδὲν ἂν δέοιτο τῆς ἀπὸ τοῦ λόγου βοηθείας· μᾶλλον δὲ οὐδὲ τότε ἄχρηστος ἡ τούτου φύσις, ἀλλὰ καὶ λίαν ἀναγκαία. καὶ γὰρ ὁ μακάριος Παῦλος αὐτὸ μετεχείριζε, καίτοιγε ἀπὸ τῶν σημείων πανταχοῦ θαυμαζόμενος. καὶ ἕτερός τις τῶν ἀπ' ἐκείνου τοῦ χοροῦ παραινεῖ ταύτης ἐπιμελεῖσθαι τῆς δυνάμεως, λέγων· α. Πετ. γ. ιε. Ἕτοιμοι γίνεσθε πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς Πραξ. ς. ς. ἐν ὑμῖν ἐλπίδος. καὶ πάντες δὲ ὁμοῦ τότε δι' οὐδὲν ἕτεροι τοῖς περὶ Στέφανον τὴν τῶν

χηρῶν

χειρῶν ἐπέτρεψαι οἰκονομίαν, ἀλλ' ἵνα αὐτοὶ τῇ τοῦ λόγου σχολάζωσι διακονίᾳ. πλὴν ἀλλ' οὐδὲ παραπλησίως αὐτὸν ἐπιζητήσομεν, ὅτε ἀπὸ τῶν σημείων ἔχοντες ἰσχύν. εἰ δὲ τῆς μὲν δυνάμεως ἐκείνης οὐδὲ ἴχνος ὑπολέλειπται, πολλοὶ δὲ πανταχόθεν ἐφεστήκασιν οἱ πολέμιοι καὶ συνεχῶς· τούτῳ λοιπὸν ἡμᾶς ἀνάγκη φράττεσθαι, καὶ ἵνα μὴ βαλλώμεθα τοῖς τῶν ἐχθρῶν βέλεσι, καὶ ἵνα [μᾶλλον] βάλλωμεν ἐκείνους. διὸ πολλὴν χρὴ ποιεῖσθαι τὴν σπουδὴν, ὥστε τὸν λόγον τοῦ Χριστοῦ ἐν ἡμῖν ἐνοικεῖν πλουσίως. οὐ γὰρ πρὸς ἓν εἶδος ἡμῖν μάχης ἡ παρασκευὴ, ἀλλὰ ποικίλος οὗτος ὁ πόλεμος, καὶ ἐκ διαφόρων συγκροτούμενος τῶν ἐχθρῶν. οὔτε γὰρ ὅπλοις ἅπαντες χρῶνται τοῖς αὐτοῖς,, οὔτε ἑνὶ προσβάλλειν ἡμῖν μεμελετήκασι τρόπῳ. καὶ δεῖ τὸν μέλλοντα τὴν πρὸς πάντας ἀναδέχεσθαι μάχην, τὰς ἁπάντων εἰδέναι τέχνας, καὶ τὸν αὐτὸν τοξότην τε εἶναι καὶ σφενδονήτην, καὶ ταξίαρχον, καὶ λοχαγὸν, καὶ στρατιώτην, καὶ στρατηγὸν, καὶ πεζὸν καὶ ἱππέα, καὶ ναυμάχον καὶ τειχομάχον. ἐπὶ μὲν γὰρ τῶν στρατιωτικῶν πολέμων ἕκαστος ἔργον ἀπολαβὼν, τούτῳ τοὺς ἐπιόντας ἀμύνεται· ἐνταῦθα δὲ τοῦτο οὐκ ἔστιν· ἀλλ' ἂν μὴ πάσας ἐπιστάμενος ᾖ τῆς τέχνης τὰς ἰδέας ὁ μέλλων νικᾶν, οἶδεν ὁ διάβολος καὶ δι' ἑνὸς μέρους, ὅταν ἠμελημένον τύχῃ, τοὺς πειρατὰς εἰσαγαγὼν τοὺς αὐτοῦ, διαρπάσαι τὰ πρόβατα· ἀλλ' οὐχ, ὅταν διὰ πάσης ἥκοντα τῆς ἐπιστήμης τὸν ποιμένα αἴσθηται, καὶ τὰς ἐπιβουλὰς αὐτοῦ καλῶς ἐπιστάμενον ἁπάσας. διὸ χρὴ καλῶς ἐξ ὅλων φράττεσθαι τῶν μερῶν. καὶ γὰρ πόλις, ἕως μὲν ἂν πανταχόθεν περιβεβλημένη τυγχάνῃ, καταγελᾷ τῶν πολιορκούντων, ἐν ἀσφαλείᾳ μένουσα πολλῇ· ἐὰν δέ τις πυλίδος μόνον μέγεθος διακόψῃ τὸ τεῖχος, οὐδὲν αὐτῇ λοιπὸν ὄφελος τοῦ περιβόλου γίνεται, καίτοιγε τοῦ λοιποῦ παντὸς ἀσφαλῶς ἑστηκότος. οὕτως οὖν καὶ ἡ τοῦ Θεοῦ πόλις, ὅταν μὲν αὐτὴν πανταχόθεν ἀντὶ τείχους ἡ τοῦ ποιμένος ἀγχίνοιά τε καὶ σύνεσις περιβάλλῃ, πάντα εἰς αἰσχύνην καὶ γέλωτα τοῖς ἐχθροῖς τὰ μηχανήματα τελευτᾷ, καὶ μένουσιν οἱ κατοικοῦντες ἔνδον ἀσινεῖς· ὅταν δέ τις αὐτὴν ἐκ μέρους καταλῦσαι δυνηθῇ, κἂν μὴ πᾶσαν καταβάλῃ, διὰ τοῦ μέρους ἅπαν (ὡς εἰπεῖν) λυμαίνεται τὸ λοιπόν. τί γὰρ ὅταν πρὸς Ἕλληνας μὲν ἀγωνίζηται καλῶς, συλῶσι δὲ αὐτὴν Ἰουδαῖοι; ἢ τούτων μὲν ἀμφοτέρων κρατῇ, ἁρπάζωσι δὲ Μανιχαῖοι; μετὰ δὲ τὸ περιγενέσθαι καὶ τούτων, οἱ τὴν εἱμαρμένην εἰσάγοντες ἔνδον ἔσω τὰ πρόβατα κατασφάττωσι; καὶ τί δεῖ πάσας καταλέγειν τοῦ διαβόλου τὰς αἱρέσεις; ἃς ἂν μὴ πάσας ἀποκρούεσθαι καλῶς ὁ ποιμὴν εἰδῇ, δύναιτ' ἂν καὶ διὰ μιᾶς τὰ πλείονα τῶν προβάτων καταφαγεῖν ὁ λύκος. καὶ ἐπὶ μὲν τῶν στρατιωτῶν, ἀπὸ τῶν ἑστώτων καὶ μαχομένων καὶ τὴν νίκην ἔσεσθαι, καὶ τὴν ἧτταν προσδοκᾶν ἀεὶ χρή· ἐνταῦθα δὲ πολὺ τοὐναντίον. πολλάκις γὰρ ἡ πρὸς ἑτέρους μάχη τοὺς οὐδὲ τὴν ἀρχὴν συμβαλόντας, οὐδὲ πονέσαντας ὅλως, ἡσυχάζοντας δὲ καὶ καθημένους, νικῆσαι πεποίηκε· καὶ τῷ οἰκείῳ ξίφει περιπεσὼν ὁ μὴ πολλὴν περὶ ταῦτα τὴν ἐμπειρίαν ἔχων, τοῖς φίλοις καὶ τοῖς πολεμίοις καταγέλαστος γέγονε. οἷον (πειράσομαι γάρ σοι καὶ ἐπὶ παραδείγματος, ὃ λέγω, ποιῆσαι φανερόν) τὸν ὑπὸ τοῦ Θεοῦ δοθέντα τῷ Μωϋσῇ νόμον οἱ τὴν Οὐαλεντίνου καὶ Μαρκίωνος παραδεξάμενοι φρενοβλάβειαν, καὶ ὅσοι τὰ αὐτὰ νοσοῦσιν ἐκείνοις, τοῦ καταλόγου τῶν θείων ἐκβάλλουσι γραφῶν· Ἰουδαῖοι δὲ αὐτὸν οὕτω τιμῶσιν, ὡς καὶ τοῦ καιροῦ κωλύοντος φιλονεικεῖν ἅπαντα φυλάττειν παρὰ τὸ τῷ Θεῷ δοκοῦν. ἡ δὲ ἐκκλησία τοῦ Θεοῦ, τὴν ἀμφοτέρων ἀμετρίαν φεύγουσα, μέσην ἐβάδισε· καὶ οὔτε ὑποκεῖσθαι αὐτῷ τῷ ζυγῷ πείθεται, οὔτε διαβάλλειν αὐτὸν ἀνέχεται· ἀλλὰ καὶ πεπαυμένον* ἐπαινεῖ, διὰ τὸ χρήσιμον γενέσθαι ποτὲ εἰς καιρόν. δεῖ δὴ τὸν μέλλοντα πρὸς ἀμφοτέρους μάχεσθαι, τὴν συμμετρίαν εἰδέναι [ταύτην]. ἄν τε γὰρ Ἰουδαίους διδάξαι βουλόμενος, ὡς οὐκ ἐν καιρῷ τῆς παλαιᾶς ἔχονται νομοθεσίας, ἄρξηται κατηγορεῖν αὐτῆς ἀφειδῶς, ἔδωκε τοῖς διασύρειν βουλομένοις τῶν αἱρετικῶν λαβὴν οὐ μικράν· ἄν τε τούτους ἐπιστομίσαι σπουδάζων, ἀμέτρως αὐτὸν ἐπαίρῃ

Κολ. γ. ις.

παίρῃ, καὶ ὡς ἀναγκαῖον ἐν τῷ παρόντι τυγχάνοντα θαυμάζῃ, τὰ τῶν Ἰουδαίων ἀνέῳξε στόματα. πάλιν οἱ τὴν Σαβελλίου μαινόμενοι μανίαν, καὶ [οἱ] τὰ Ἀρείου λυττῶντες, ἐξ ἀμετρίας ἀμφότεροι τῆς ὑγιοῦς ἐξέπεσον πίστεως. καὶ τὸ μὲν ὄνομα χριστιανῶν ἀμφοτέροις ἐπίκειται· εἰ δέ τις τὰ δόγματα * ἐξετάσειε, τοὺς μὲν οὐδὲν ἄμεινον Ἰουδαίων διακειμένους εὑρήσει, πλὴν ὅσον ὑπὲρ ὀνομάτων διαφέρονται μόνον· τοὺς δὲ πολλὴν τὴν ἐμφέρειαν πρὸς τὴν αἵρεσιν Παύλου τοῦ Σαμοσατέως ἔχοντας· ἀμφοτέρους δὲ τῆς ἀληθείας ἐκτός. πολὺς οὖν κἀνταῦθα ὁ κίνδυνος, καὶ στενὴ καὶ τεθλιμμένη ἡ ὁδός, ὑπὸ κρημνῶν ἀμφοτέρωθεν ἀπειλημμένη· καὶ δέος οὐ μικρόν, μὴ τὸ ἕτερόν τις θέλων βαλεῖν, ὑπὸ θατέρου πληγῇ. ἄν τε γὰρ μίαν τις εἴπῃ θεότητα, πρὸς τὴν ἑαυτοῦ παράνοιαν εὐθέως εἵλκυσε τὴν φωνὴν ὁ Σαβέλλιος· ἄν τε διέλῃ πάλιν, ἕτερον μὲν τὸν πατέρα, ἕτερον δὲ τὸν υἱόν, καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον ἕτερον λέγων, ἐφέστηκεν Ἄρειος, εἰς παραλλαγὴν οὐσίας ἕλκων τὴν ἐν τοῖς προσώποις διαφοράν. δεῖ δὲ καὶ τὴν ἀσεβῆ σύγχυσιν ἐκείνου, καὶ τὴν μανιώδη τούτου διαίρεσιν ἀποστρέφεσθαι καὶ φεύγειν, τὴν μὲν θεότητα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος μίαν ὁμολογοῦντας, προστιθέντας δὲ τὰς τρεῖς ὑποστάσεις· οὕτω γὰρ ἀποτειχίσαι δυνησόμεθα τὰς ἀμφοτέρων ἐφόδους. πολλὰς δὲ καὶ ἑτέρας ἔνεστι λέγειν συμπλοκάς, πρὸς ἃς ἂν μὴ γενναίως τις καὶ ἀκριβῶς μάχηται, μυρία λαβὼν ἄπεισι τραύματα. τί ἄν τις λέγοι τὰς τῶν οἰκείων ἐρεσχελίας; οὐ γὰρ εἰσὶν ἐλάττους αὗται τῶν ἔξωθεν προσβολῶν, ἀλλὰ καὶ πλείονα τῷ διδάσκοντι παρέχουσι τὸν ἱδρῶτα. οἱ μὲν γὰρ ὑπὸ πολυπραγμοσύνης ἁπλῶς καὶ εἰκῇ περιεργάζεσθαι θέλουσιν, ἃ μήτε μαθόντας ἐστὶ κερδᾶναι, μήτε μαθεῖν δυνατόν· ἕτεροι πάλιν τῶν τοῦ Θεοῦ κριμάτων εὐθύνας αὐτὸν ἀπαιτοῦσι, καὶ τὴν ἄβυσσον τὴν πολλὴν ἀναμετρεῖν βιάζονται.

Ψαλ. λε. ς. Τὰ γὰρ κρίματά σου, φησίν, ἄβυσσος πολλή. καὶ πίστεως μὲν πέρι καὶ πολιτείας ὀλίγους ἂν εὕροις σπουδάζοντας· τοὺς δὲ πλείους ταῦτα περιεργαζομένους καὶ ζητοῦντας, ἃ μήτε εὑρεῖν δυνατόν, καὶ τὸν Θεὸν παροξύνει ζητούμενα. ὅταν γάρ, ἅπερ αὐτὸς ἡμᾶς οὐκ ἠθέλησεν εἰδέναι, ταῦτα βιαζώμεθα μανθάνειν, οὔτε εἰσόμεθα (πῶς γάρ, τοῦ Θεοῦ μὴ βουλομένου;) καὶ τὸ κινδυνεύειν ἡμῖν ἐκ τοῦ ζητεῖν περίεστι μόνον. ἀλλ' ὅμως καὶ τούτων τοιούτων ὄντων, ὅταν τις μετ' αὐθεντίας ἐπιστομίζῃ τοὺς τὰ ἄπορα ταῦτα ἐρευνῶντας, ἀπονοίας τε καὶ ἀμαθίας ἑαυτῷ περιεστείλατο δόξαν. διὸ χρὴ κἀνταῦθα πολλῇ κεχρῆσθαι τῇ συνέσει, ὥστε καὶ ἀπάγειν αὐτοὺς τῆς ἀτόπου ἐρωτήσεως τὸν προεστῶτα, καὶ τὰς εἰρημένας ἐκφεύγειν αἰτίας. πρὸς ἅπαντα δὲ ταῦτα ἕτερον μὲν οὐδέν, ἡ δὲ τοῦ λόγου βοήθεια δέδοται μόνη. κἄν τις ταύτης ἀπεστερημένος ᾖ τῆς δυνάμεως, οὐδὲν ἄμεινον τῶν χειμαζομένων πλοίων διηνεκῶς αἱ ψυχαὶ τῶν ὑπ' αὐτῷ τεταγμένων ἀνδρῶν διακείσονται, τῶν ἀσθενεστέρων καὶ περιεργοτέρων λέγω. διὸ χρὴ τὸν ἱερέα πάντα ποιεῖν ὑπὲρ τοῦ ταύτην κτήσασθαι τὴν ἰσχύν. καὶ ὁ Βασίλειος,

ΒΑΣ. ΤΙ οὖν ὁ Παῦλος, φησίν, οὐκ ἐσπούδασε ταύτην αὐτῷ κατορθωθῆναι τὴν ἀρετήν· οὐδὲ ἐγκαλύπτεται ἐπὶ τῇ τοῦ λόγου πενίᾳ, ἀλλὰ καὶ διαρρήδην ὁμολογεῖ ἰδιώτην ἑαυτὸν εἶναι, καὶ ταῦτα Κορινθίοις ἐπιστέλλων τοῖς ἀπὸ τοῦ λέγειν θαυμαζομένοις, καὶ μέγα ἐπὶ τούτῳ φρονοῦσι;

β. Κορ. ια. ς.

ΧΡΥΣ. ΤΟΥΤΟ γάρ, ἔφην, τοῦτό ἐστιν, ὃ τοὺς πολλοὺς ἀπώλεσε, καὶ ῥαθυμοτέρους πρὸς τὴν ἀληθῆ διδασκαλίαν ἐποίησε. μὴ γὰρ δυνηθέντες ἀκριβῶς ἐξετάσαι τῶν ἀποστολικῶν φρενῶν τὸ βάθος, μηδὲ συνιέναι τὴν τῶν ῥημάτων διάνοιαν, διετέλεσαν τὸν ἅπαντα χρόνον νυστάζοντες καὶ χασμώμενοι, καὶ τὴν ἀμαθίαν τιμῶντες ταύτην, οὐχ ἣν ὁ Παῦλος φησὶν εἶναι ἀμαθής, ἀλλ' ἧς τοσοῦτον ἀπεῖχεν, ὅσον οὐδὲ ἄλλος τις τῶν ὑπὸ τὸν οὐρανὸν τοῦτον ἀνθρώπων. ἀλλ' οὗτος μὲν ἡμᾶς εἰς ὕστερον ὁ λόγος ἀναμενέτω· τέως δὲ ἐκεῖνό φημι· θῶμεν αὐτὸν εἶναι ἰδιώτην τοῦτο τὸ μέρος, ὅπερ αὐτοὶ βούλονται· τί οὖν τοῦτο πρὸς τοὺς ἄνδρας τοὺς νῦν; ἐκεῖνος μὲν γὰρ εἶχεν ἰσχὺν πολλῷ τοῦ λόγου μείζονα, καὶ πλεῖστα δυναμένην κατορθοῦν. φαινόμενος μὲν γὰρ μόνον, καὶ σιγῶν, τοῖς δαίμοσιν ἦν φοβερός. οἱ δὲ νῦν πάντες ὁμοῦ συνελθόντες μετὰ μυρίων εὐχῶν καὶ δακρύων, οὐκ ἂν δυνηθεῖεν ὅσα ἴσχυσε τὰ σιμικίνθια Παύλου ποτέ. καὶ Παῦλος μὲν εὐξάμενος νεκροὺς ἀνίστη, καὶ ἄλλα ἐθαυματούργει τοιαῦτα, ὡς καὶ θεὸς νομισθῆναι παρὰ τοῖς ἔξωθεν· καὶ πρὶν ἢ τοῦ βίου μεταστῆναι τούτου, κατηξιώθη ἁρπαγῆναι ἕως τρίτου οὐρανοῦ, καὶ ῥημάτων μετασχεῖν, ὧν οὐ θέμις ἦν ἀνθρωπίνην ἀκοῦσαι φύσιν. οἱ δὲ νῦν ὄντες (ἀλλ' οὐδὲν δύναμαι δυσχερὲς εἰπεῖν, οὐδὲ βαρύ· καὶ γὰρ καὶ ταῦτα οὐκ ἐπεμβαίνων αὐτοῖς λέγω νῦν, ἀλλὰ θαυμάζων) πῶς οὐ φρίττουσιν, ἀνδρὶ τηλικούτῳ παραβάλλοντες ἑαυτούς; εἰ γὰρ καὶ τὰ θαύματα ἀφέντες, ἐπὶ τὸν βίον ἔλθοιμεν τοῦ μακαρίου, καὶ τὴν πολιτείαν ἐξετάσαιμεν αὐτοῦ τὴν ἀγγελικήν, καὶ ἐν ταύτῃ μᾶλλον, ἢ ἐν τοῖς σημείοις ὄψει νικῶντα τὸν ἀθλητὴν τοῦ Χριστοῦ. τί γὰρ ἄν τις εἴποι τὸν ζῆλον, τὴν ἐπιείκειαν, τοὺς συνεχεῖς κινδύνους, τὰς ἐπαλλήλους φροντίδας, τὰς ἀδιαλείπτους ὑπὲρ τῶν ἐκκλησιῶν ἀθυμίας, τὸ πρὸς τοὺς ἀσθενεῖς συμπαθές, τὰς πολλὰς θλίψεις, τοὺς καινοτέρους διωγμούς, τοὺς καθημερινοὺς θανάτους; τίς γὰρ τόπος τῆς οἰκουμένης, ποία ἤπειρος, ποία θάλαττα τοῦ δικαίου τούτου τοὺς ἄθλους ἠγνόησεν; ἐκεῖνον καὶ ἡ ἀοίκητος ἔγνω, κινδυνεύοντα δεξαμένη πολλάκις. πᾶν γὰρ εἶδος ὑπέμεινεν ἐπιβουλῆς, καὶ πάντα τρόπον ἐπῆλθε νίκης, καὶ οὔτε ἀγωνιζόμενος, οὔτε στεφανούμενος διέλιπέ ποτε. ἀλλὰ γὰρ οὐκ οἶδ' ὅπως τὸν ἄνδρα προήχθην ὑβρίζειν. τὰ γὰρ κατορθώματα αὐτοῦ πάντα μὲν ὑπερβαίνει λόγον· τὸν δὲ ἡμέτερον τοσοῦτον, ὅσον καὶ ἡμᾶς οἱ λέγειν εἰδότες. πλὴν ἀλλὰ καὶ οὕτως (οὐδὲ γὰρ ἀπὸ τῆς ἐκβάσεως, ἀλλ' ἀπὸ τῆς προαιρέσεως ἡμᾶς ὁ μακάριος κρινεῖ) οὐκ ἀποστήσομαι, ἕως ἂν εἴπω τοῦτο, ὃ τοσούτῳ τῶν εἰρημένων κρεῖττόν ἐστιν, ὅσῳ πάντων ἀνθρώπων ἐκεῖνος. τί οὖν τοῦτό ἐστι; μετὰ τοσαῦτα κατορθώματα, μετὰ τοὺς μυρίους στεφάνους ηὔξατο εἰς γέενναν ἀπελθεῖν, καὶ αἰωνίῳ παραδοθῆναι κολάσει ὑπὲρ τοῦ τοὺς πολλάκις αὐτὸν καὶ λιθάσαντας καὶ ἀνελόντας, τό γε αὐτῶν μέρος, Ἰουδαίους σωθῆναι, καὶ τῷ Χριστῷ προσελθεῖν. τίς οὕτως ἐπόθησε τὸν Χριστόν, εἴγε πόθον αὐτὸ δεῖ καλεῖν, ἀλλ' οὐχ ἕτερόν τι τοῦ πόθου πλέον; ἔτι οὖν ἑαυτοὺς ἐκείνῳ παραβαλοῦμεν μετὰ τὴν τοσαύτην χάριν, ἣν ἔλαβεν ἄνωθεν, μετὰ τὴν τοσαύτην ἀρετήν, ἣν οἴκοθεν ἐπεδείξατο; καὶ τί τούτου γένοιτ' ἂν τολμηρότερον; ὅτι δὲ οὐδὲ οὕτως ἦν ἰδιώτης, ὡς οὗτοι νομίζουσι, καὶ τοῦτο λοιπὸν ἀποδεῖξαι πειράσομαι. οὗτοι μὲν γὰρ οὐ μόνον τὸν οὐκ ἠσκημένον τὴν τῶν ἔξωθεν λόγων τερθρείαν ἰδιώτην καλοῦσιν, ἀλλὰ καὶ τὸν οὐκ εἰδότα μάχεσθαι ὑπὲρ τῶν τῆς ἀληθείας δογμάτων. καὶ καλῶς νομίζουσιν. ὁ δὲ Παῦλος οὐκ ἐν ἀμφοτέροις ἔφησεν ἰδιώτης εἶναι, ἀλλ' ἐν θατέρῳ μόνον. καὶ τοῦτο ἀσφαλιζόμενος, τὸν διορισμὸν ἀκριβῶς πεποίηται, λέγων· Τῷ λόγῳ ἰδιώτης εἶναι, ἀλλ' οὐ τῇ γνώσει. ἐγὼ δὲ εἰ μὲν τὴν λειότητα Ἰσοκράτους ἀπῄτουν, καὶ τὸν Δημοσθένους ὄγκον, καὶ τὴν Θουκυδίδου σεμνότητα, καὶ τὸ Πλάτωνος ὕψος, ἔδει φέρειν εἰς μέσον ταύτην τοῦ Παύλου τὴν μαρτυρίαν· νῦν δὲ ἐκεῖνα μὲν πάντα ἀφίημι, καὶ τὸν περίεργον τῶν ἔξωθεν καλλωπισμόν· καὶ οὐδέν μοι φράσεως, οὐδὲ ἀπαγγελίας μέλει. ἀλλ' ἐξέστω καὶ τῇ λέξει πτωχεύειν, καὶ τὴν συνθήκην τῶν ὀνομάτων ἁπλῆν τινα εἶναι καὶ ἀφελῆ· μόνον μὴ τῇ γνώσει τις, καὶ τῇ τῶν δογμάτων ἀκριβείᾳ ἰδιώτης ἔστω· μηδ' ἵνα τὴν οἰκείαν ἀργίαν ἐπικαλύψῃ, τὸν μακάριον ἐκεῖνον ἀφαιρείσθω, τὸ μέγιστον τῶν ἀγαθῶν, καὶ τὸ τῶν ἐγκωμίων κεφάλαιον. πόθεν γάρ, εἰπέ μοι, τοὺς Ἰουδαίους συνέχεε τοὺς ἐν Δαμασκῷ κατοικοῦντας, οὐδέπω τῶν σημείων ἀρξάμενος; πόθεν τοὺς ἑλληνιστὰς κατεπάλαισε; διὰ τί δὲ εἰς Ταρσὸν ἐξεπέμπετο; οὐκ ἐπειδὴ κατὰ κράτος ἐνίκα τῷ λόγῳ, καὶ εἰς τοσοῦτον αὐτοὺς ἤλαυνεν, ὡς καὶ εἰς φόνον παροξυνθῆναι, μὴ φέροντας τὴν ἧτταν; ἐνταῦθα γὰρ οὐδέπω τοῦ θαυματουργεῖν ἤρξατο· οὐδ' ἂν ἔχοι τις εἰπεῖν, ὅτι ἀπὸ τῆς περὶ τὰ τεράστια δόξης

Πραξ. ιθ. ια.
Πραξ. κ. θ.
Πραξ. ιδ. ια.
β. Κορ. ιβ. β.
β. Κορ. ια. κη.
α. Κορ. θ. κβ.
Ρωμ. θ. γ.
β. Κορ. ια. ς.
Πραξ. θ. κβ.
Πραξ. θ. κθ.

θαυμαστὸν αὐτὸν ἡγοῦντο οἱ πολλοί, καὶ οἱ μαχόμενοι πρὸς αὐτὸν ἀπὸ τῆς ὑπολήψεως
ἐπηρεάζοντο τοῦ ἀνδρός. πῶς γὰρ ἀπὸ τοῦ λέγειν μόνον ἐκράτει. πρὸς δὲ τοὺς Ἰουδαΐζειν ἐπιχειροῦντας
Πραξ. ιζ. λδ. ἐν Ἀντιοχείᾳ πόθεν ἠγωνίζετο καὶ συνεζήτει; ὁ δὲ Ἀρεοπαγίτης ἐκεῖνος, ἀπὸ
τῆς δεισιδαιμονεστάτης πόλεως ἐκείνης, οὐκ ἀπὸ δημηγορίας μόνης ἠκολούθησεν αὐτῷ
Πραξ. κ. θ. μετὰ τῆς γυναικός; ὁ δὲ Εὔτυχος πῶς κατέπεσεν ἀπὸ τῆς θυρίδος; οὐκ ἐπειδὴ μέχρι βαθείας
νυκτὸς εἰς τὸν τῆς διδασκαλίας αὐτοῦ ἀπησχολεῖτο λόγον; τί δὲ ἐν Θεσσαλονίκῃ καὶ Κορίνθῳ;
τί δὲ ἐν Ἐφέσῳ καὶ ἐν αὐτῇ τῇ Ῥώμῃ; οὐχ ὅλας ἡμέρας καὶ νύκτας ἀνήλισκεν ἐφεξῆς εἰς
Πραξ. ιζ. ιη. τὴν ἐξήγησιν τῶν γραφῶν; τί δὲ ἄν τις λέγοι τὰς πρὸς τοὺς Ἐπικουρείους διαλέξεις καὶ Στωϊκούς;
εἰ γὰρ ἅπαντα θέλοιμεν καταλέγειν, εἰς μακρὸν ἐκπεσεῖται μῆκος ὁ λόγος. ὅταν
οὖν καὶ πρὸ τῶν σημείων καὶ ἐν μέσοις αὐτοῖς φαίνηται πολλῷ κεχρημένος τῷ λόγῳ, πῶς ἔτι
τολμήσουσιν ἰδιώτην εἰπεῖν, τὸν καὶ ἀπὸ τοῦ διαλέγεσθαι καὶ δημηγορεῖν μάλιστα θαυμασθέντα
Πραξ. ιδ. ιβ. παρὰ ″ πᾶσι; διὰ τί γὰρ Λυκάονες αὐτὸν ὑπέλαβον εἶναι Ἑρμῆν; τὸ μὲν γὰρ θεοὺς αὐτοὺς
νομισθῆναι, ἀπὸ τῶν σημείων ἐγένετο· τὸ δὲ τοῦτον Ἑρμῆν, οὐκ ἔτι ἀπ' ἐκείνων ἐγένετο,
ἀλλ' ἀπὸ τοῦ λόγου. τίνι δὲ καὶ τῶν ἄλλων ἀποστόλων ἐπλεονέκτησεν ὁ μακάριος οὗτος, καὶ
πόθεν ἀνὰ τὴν οἰκουμένην ἅπασαν πολὺς ἐν τοῖς ἁπάντων ἐστὶ στόμασι; πόθεν οὐ παρ' ἡμῖν μόνον,
ἀλλὰ καὶ παρὰ Ἰουδαίοις καὶ Ἕλλησι μάλιστα πάντων θαυμάζεται; οὐκ ἀπὸ τῆς τῶν ἐπιστολῶν
ἀρετῆς; δι' ἧς οὐ τοὺς τότε μόνον πιστούς, ἀλλὰ καὶ τοὺς ἐξ ἐκείνου μέχρι τῆς σήμερον
γινομένους, καὶ τοὺς μέλλοντας δὲ ἔσεσθαι μέχρι τῆς ἐσχάτης τοῦ Χριστοῦ παρουσίας ὠφέλησέ
τε καὶ ὠφελήσει· καὶ οὐ παύσεται τοῦτο ποιῶν, ἕως ἂν τὸ τῶν ἀνθρώπων διαμένῃ γένος. ὥσπερ
γὰρ τεῖχος ἐξ ἀδάμαντος κατασκευασθέν, οὕτω τὰς πανταχοῦ τῆς οἰκουμένης ἐκκλησίας τὰ
τούτου τειχίζει γράμματα· καὶ καθάπερ τις ἀριστεὺς γενναιότατος, ἕστηκε καὶ νῦν μέσος, αἰχμαλωτίζων
β. Κορ. ι. ε. πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ, καὶ καθαιρῶν λογισμοὺς καὶ πᾶν
ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. ταῦτα δὲ πάντα ἐργάζεται, δι' ὧν ἡμῖν κατέλιπεν
ἐπιστολῶν τῶν θαυμασίων ἐκείνων, καὶ τῆς θείας πεπληρωμένων σοφίας. οὐ πρὸς
δογμάτων δὲ μόνον, νόθων τε ἀνατροπήν, καὶ γνησίων ἀσφάλειαν ἐπιτήδεια ἡμῖν αὐτοῦ τὰ
γράμματα· ἀλλὰ καὶ πρὸς τὸ βιῶναι εὖ οὐκ ἐλάχιστον ἡμῖν συντελεῖ μέρος. τούτοις γὰρ
β. Κορ. ια. β. ἔτι καὶ νῦν οἱ τῶν ἐκκλησιῶν προεστῶτες χρώμενοι, τὴν ἁγνὴν παρθένον, ἣν ἡρμόσατο τῷ
Χριστῷ, ῥυθμίζουσί τε καὶ πλάττουσι, καὶ πρὸς τὸ πνευματικὸν ἄγουσι κάλλος. τούτοις καὶ τὰ
ἐπισκήπτοντα αὐτῇ νοσήματα ἀποκρούονται, καὶ τὴν προσγινομένην διατηροῦσιν ὑγείαν.
τοιαῦτα ἡμῖν ὁ ἰδιώτης κατέλιπε φάρμακα, τοσαύτην ἔχοντα δύναμιν, ὧν ἴσασι τὴν πεῖραν
καλῶς, οἱ χρώμενοι συνεχῶς. καὶ ὅτι μὲν πολλὴν αὐτὸς ἐποιεῖτο τοῦ μέρους τούτου σπουδήν,
α. Τιμ. δ. ιγ. ις. ἐκ ″ τούτων δῆλον. ἄκουε δὲ καὶ τῷ μαθητῇ τί φησιν ἐπιστέλλων· Πρόσεχε τῇ ἀναγνώσει,
τῇ παρακλήσει, τῇ διδασκαλίᾳ. καὶ τὸν ″ ἀπ' αὐτοῦ καρπὸν προστίθησι, λέγων· Τοῦτο
β. Τιμ. β. κδ. γὰρ ποιῶν, καὶ σεαυτὸν σώσεις, καὶ τοὺς ἀκούοντάς σου. καὶ πάλιν· Δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι,
β. Τιμ. γ. ιδ. ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, διδακτικόν, ἀνεξίκακον. καὶ προϊὼν δέ φησι· Σὺ δὲ
μένε ἐν οἷς ἔμαθες καὶ ″ ἐπιστώθης, εἰδὼς παρὰ τίνος ἔμαθες, καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ
β. Τιμ. γ. ις. γράμματα οἶδας τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν. καὶ πάλιν· Πᾶσα γραφὴ θεόπνευστος,
φησί, καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ″ ἐπανόρθωσιν,
πρὸς ″ παιδείαν τὴν ἐν δικαιοσύνῃ, ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος. ἄκουε δὲ καὶ τῷ
Τιτ. α. ζ. θ. Τίτῳ περὶ τῆς τῶν ἐπισκόπων καταστάσεως διαλεγόμενος τί ″ προστίθησι· Δεῖ γάρ, φησιν,
εἶναι τὸν ἐπίσκοπον ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ τοὺς ἀντιλέγοντας
ἐλέγχειν. πῶς οὖν ἰδιώτης τις ὤν, ὡς οὗτοί φασι, τοὺς ἀντιλέγοντας ἐλέγχειν
δυνήσεται καὶ ἐπιστομίζειν; τίς δὲ χρεία προσέχειν τῇ ἀναγνώσει καὶ ταῖς γραφαῖς, εἰ ταύτην
δεῖ τὴν ἰδιωτείαν ἀσπάζεσθαι; σκήψεις ταῦτα καὶ προφάσεις, καὶ ῥᾳθυμίας καὶ ὄκνου

προσχήματα. ἀλλὰ τοῖς ἱερεῦσι, φησι, ταῦτα διατάττεται. Τὸ γὰρ περὶ ἱερέων ἡμῖν ὁ λόγος νῦν. ὅτι δὲ καὶ τοῖς ἀρχομένοις, ἄκουε τί πάλιν ἑτέροις ἐν ἑτέρᾳ ἐπιστολῇ παραινεῖ· Ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως, ἐν πάσῃ σοφίᾳ. καὶ πάλιν· Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι. καὶ τὸ, Πρὸς ἀπολογίαν ἕτοιμοι εἶναι, ἅπασιν εἴρηται. Θεσσαλονικεῦσι δὲ ἐπιστέλλων, Οἰκοδομεῖτε, φησιν, εἷς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε· ὅταν δὲ περὶ ἱερέων διαλέγηται; Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ. καὶ γὰρ οὗτος ὁ τελεώτατος τῆς διδασκαλίας ὅρος, ὅταν καὶ δι' ὧν πράττουσι, καὶ δι' ὧν λέγουσι, τοὺς μαθητευομένους ἐνάγωσι πρὸς τὸν μακάριον βίον, ὃν ὁ Χριστὸς διετάξατο. οὐ γὰρ ἀρκεῖ τὸ ποιεῖν πρὸς τὸ διδάσκειν· καὶ οὐκ ἐμὸς ὁ λόγος, ἀλλ' αὐτοῦ τοῦ σωτῆρος. Ὃς γὰρ ἂν, φησι, ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται. Εἰ δὲ τὸ ποιῆσαι, διδάξαι ἦν, περιττῶς τὸ δεύτερον ἔκειτο. καὶ γὰρ ἤρκει εἰπεῖν, ὃς ἂν ποιήσῃ μόνον. νῦν δὲ τῷ διελεῖν ἀμφότερα, δείκνυσιν, ὅτι τὸ μὲν τῶν ἔργων ἐστὶ, τὸ δὲ τοῦ λόγου, καὶ ἀλλήλων δεῖται ἑκάτερα πρὸς τὴν τελείαν οἰκοδομήν. ἢ οὐκ ἀκούεις τί φησι τοῖς πρεσβυτέροις Ἐφεσίων τὸ τοῦ Χριστοῦ σκεῦος τὸ ἐκλεκτόν; Διὸ γρηγορεῖτε, μνημονεύοντες, ὅτι τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον ὑμῶν. τίς γὰρ χρεία τῶν δακρύων, ἢ τῆς διὰ τῶν λόγων νουθεσίας, τοῦ βίου οὕτως αὐτῷ λάμποντος τοῦ ἀποστολικοῦ; ἀλλὰ πρὸς μὲν τὴν τῶν ἐντολῶν ἐργασίαν δύναιτ' ἂν ἡμῖν οὗτος πολὺ συμβαλέσθαι μέρος (οὐδὲ γὰρ ἐκεῖ μόνον αὐτὸν τὸ πᾶν κατορθοῦν φαίην ἂν) ὅταν δὲ περὶ δογμάτων ἀγὼν κινῆται, καὶ πάντες ἀπὸ τῶν αὐτῶν μάχωνται γραφῶν, ποίαν ἰσχὺν ὁ βίος ἐνταῦθα ἐπιδείξασθαι δυνήσεται; τί τῶν πολλῶν ὄφελος ἱδρώτων, ὅταν μετὰ τοὺς μόχθους ἐκείνους, ἀπὸ τῆς πολλῆς τις ἀπειρίας εἰς αἵρεσιν ἐκπεσὼν ἀποσχισθῇ τοῦ σώματος τῆς ἐκκλησίας, ὅπερ οἶδα πολλοὺς παθόντας ἐγώ; ποῖον αὐτῷ κέρδος τῆς καρτερίας; οὐδέν· ὥσπερ οὖν οὐδὲ ὑγιοῦς πίστεως, τῆς πολιτείας διεφθαρμένης. Διὰ δὴ ταῦτα μάλιστα πάντων ἔμπειρον εἶναι δεῖ τῶν τοιούτων ἀγώνων τὸν διδάσκειν τοὺς ἄλλους λαχόντα. Εἰ γὰρ καὶ αὐτὸς ἕστηκεν ἐν ἀσφαλείᾳ μηδὲν ὑπὸ τῶν ἀντιλεγόντων βλαπτόμενος, ἀλλὰ τὸ τῶν ἀφελεστέρων πλῆθος τὸ ταττόμενον ὑπ' ἐκείνῳ, ὅταν ἴδῃ τὸν ἡγούμενον ἡττηθέντα, καὶ οὐδὲν ἔχοντα πρὸς τοὺς ἀντιλέγοντας εἰπεῖν, οὐ τὴν ἀσθένειαν τὴν ἐκείνου τῆς ἥττης, ἀλλὰ τὴν τοῦ δόγματος αἰτιῶνται σαθρότητα· καὶ διὰ τὴν τοῦ ἑνὸς ἀπειρίαν, ὁ πολὺς λεὼς εἰς ἔσχατον ὄλεθρον καταφέρεται. κἂν γὰρ μὴ πάντῃ γένωνται τῶν ἐναντίων, ἀλλ' ὅμως, ὑπὲρ ὧν θαρρεῖν εἶχον, ἀμφιβάλλειν ἀναγκάζονται· καὶ οἷς μετὰ πίστεως προσῄεσαν ἀκλινοῦς, οὐκ ἔτι μετὰ τῆς αὐτῆς δύνανται προσέχειν στερρότητος· ἀλλὰ τοσαύτη ζάλη ταῖς ἐκείνων εἰσοικίζεται ψυχαῖς ἀπὸ τῆς ἥττης τοῦ διδασκάλου, ὡς καὶ εἰς ναυάγιον τελευτῆσαι τὸ κακόν. ὅσος δὲ ὁ ὄλεθρος, καὶ ὅσον συνάγεται * πῦρ εἰς τὴν ἀθλίαν κεφαλὴν ἐκείνου, καθ' ἕκαστον τῶν ἀπολλυμένων τούτων, οὐδὲν δεήσῃ παρ' ἐμοῦ μαθεῖν, ἅπαντα αὐτὸς εἰδὼς ἀκριβῶς. τοῦτο οὖν ἀπονοίας, τοῦτο κενοδοξίας, τὸ μὴ θελῆσαι τοσούτοις ἀπωλείας αἴτιον γενέσθαι, μηδὲ ἐμαυτῷ μείζονα προξενῆσαι τιμωρίαν τῆς νῦν ἀποκειμένης ἐκεῖ; καὶ τίς ἂν ταῦτα φήσειεν; οὐδεὶς, πλὴν εἰ μή τις μάτην μέμφεσθαι βούλοιτο, καὶ ἐν ταῖς ἀλλοτρίαις φιλοσοφεῖν συμφοραῖς.

Κολ. γ. ις.
Κολ. δ. ϛ.
α. Πετ. γ. ιε.
α. Θεσ. ε. ια.
α. Τιμ. ε. ιζ.
Ματθ. ε. ιθ.
Πραξ. κ. λα.

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ. Λογ. ε.

Ὅσης μὲν ἐμπειρίας τῷ διδασκάλῳ δεῖ πρὸς τοὺς ὑπὲρ τῆς ἀληθείας ἀγῶνας, ἱκανῶς ἡμῖν ἀποδέδεικται. ἔχω δέ τι καὶ πρὸς τούτοις ἕτερον μυρίων αἴτιον κινδύνων εἰπεῖν. μᾶλλον δὲ οὐκ ἐκεῖνο εἴποιμ' ἂν αἴτιον ἔγωγε, ἀλλὰ τοὺς οὐκ εἰδότας αὐτῷ χρῆσθαι καλῶς· ἐπεὶ τό [γε] πρᾶγμα αὐτὸ σωτηρίας τε καὶ πολλῶν ἡμῖν παρέξειεν ἀγαθῶν, ὅταν τοὺς διακονουμένους εὕρῃ σπουδαίους τε ἄνδρας καὶ ἀγαθούς. τί οὖν τοῦτό ἐστιν; ὁ πολὺς πόνος ὁ περὶ τὰς διαλέξεις τὰς κοινῇ πρὸς τὸν λαὸν γινομένας ἀναλισκόμενος. πρῶτον μὲν γὰρ τὸ πλέον τῶν ἀρχομένων οὐκ ἐθέλουσιν ὡς πρὸς διδασκάλους διακεῖσθαι τοὺς λέγοντας, ἀλλὰ τὴν τῶν μαθητῶν τάξιν ὑπερβάντες, ἀντιλαμβάνουσι τὴν τῶν θεατῶν τῶν ἐν τοῖς ἔξωθεν καθεζομένων ἀγῶσι. καὶ καθάπερ ἐκεῖ τὸ πλῆθος μερίζεται, καὶ οἱ μὲν τούτῳ, οἱ δὲ ἐκείνῳ προσνέμουσιν ἑαυτούς· οὕτω δὴ καὶ ἐνταῦθα διαιρεθέντες, οἱ μὲν μετὰ τούτου, οἱ δὲ μετὰ ἐκείνου γίνονται, πρὸς χάριν καὶ [πρὸς] ἀπέχθειαν ἀκούοντες τῶν λεγομένων. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ χαλεπόν· ἀλλὰ καὶ ἕτερον οὐδὲν ἔλαττον τούτου. ἂν γάρ τινα συμβῇ τῶν λεγόντων μέρος τι τῶν ἑτέροις πονηθέντων ἐνυφῆναι τοῖς αὐτοῦ λόγοις, πλείονα τῶν τὰ χρήματα κλεπτόντων ὑφίσταται ὀνείδη. πολλάκις δὲ οὐδὲ λαβὼν παρ' οὐδενὸς οὐδέν, ἀλλ' ὑποπτευθεὶς μόνον, τὰ τῶν ἑαλωκότων ἔπαθε. καὶ τί λέγω τῶν ἑτέροις πεπονημένων; αὐτοῖς τοῖς εὑρήμασι τοῖς ἑαυτοῦ συνεχῶς χρήσασθαι οὐκ ἔνι. οὐ γὰρ πρὸς ὠφέλειαν, ἀλλὰ πρὸς τέρψιν ἀκούειν εἰώθασιν οἱ πολλοί, καθάπερ τραγῳδῶν ἢ κιθαρῳδῶν καθήμενοι δικασταί· καὶ ἡ τοῦ λόγου δύναμις, ἣν ἐξεβάλομεν νῦν, οὕτως ἐνταῦθα γίνεται ποθεινή, ὡς οὐδὲ τοῖς σοφισταῖς, ὅταν πρὸς ἀλλήλους ἀγωνίζεσθαι ἀναγκάζωνται. γενναίας οὖν δεῖ κἀνταῦθα ψυχῆς, καὶ πολὺ τὴν ἡμετέραν ὑπερβαινούσης σμικρότητα· ἵνα τὴν ἄτακτον καὶ ἀνωφελῆ τοῦ πλήθους ἡδονὴν κολάζῃ, καὶ πρὸς τὸ ὠφελιμώτερον μετάγειν δύνηται τὴν ἀκρόασιν· ὡς αὐτῷ τὸν λαὸν ἕπεσθαι καὶ εἴκειν, ἀλλὰ μὴ αὐτὸν ταῖς ἐκείνων ἄγεσθαι ἐπιθυμίαις. τοῦτο δὲ οὐδαμῶς ἐστιν ἐπιτυχεῖν, ἀλλ' ἢ διὰ τούτοιν τοῖν δυοῖν, τῆς τε τῶν ἐπαίνων ὑπεροψίας, καὶ τῆς ἐν τῷ λέγειν δυνάμεως. κἂν γὰρ τὸ ἕτερον ἀπῇ, τὸ λειπόμενον ἄχρηστον γίνεται τῇ διαζεύξει θατέρου. ἄν τε γὰρ ἐπαίνων ὑπερορᾷ, μὴ προσφέρῃ διδασκαλίαν τὴν ἐν χάριτι καὶ ἅλατι ἠρτυμένην, εὐκαταφρόνητος ὑπὸ τῶν πολλῶν γίνεται, οὐδὲν ἀπὸ τῆς μεγαλοψυχίας κερδαίνων ἐκείνης. ἄν τε τοῦτο καλῶς κατορθώσας τὸ μέρος, τῆς ἀπὸ τῶν κρότων δόξης ἡττώμενος τύχῃ, εἰς ταὐτὸν πάλιν περιΐσταται τὰ τῆς ζημίας αὐτῷ τε καὶ τοῖς πολλοῖς, πρὸς χάριν τῶν ἀκουόντων μᾶλλον, ἢ πρὸς ὠφέλειαν λέγειν μελετῶντι διὰ τὴν τῶν ἐπαίνων ἐπιθυμίαν. καὶ καθάπερ ὁ μήτε πάσχων τι πρὸς τὰς εὐφημίας, μήτε λέγειν εἰδώς, οὔτε εἴκει ταῖς τοῦ πλήθους ἡδοναῖς, οὔτε ὠφελεῖν ἀξιόλογόν τινα δύναται ὠφέλειαν, τῷ μηδὲν ἔχειν εἰπεῖν· οὕτω καὶ ὁ τῷ πόθῳ τῶν ἐγκωμίων ἑλκόμενος, ἔχων ἀφ' ὧν ἀμείνους ἐργάσασθαι δυνήσεται τοὺς πολλούς, ἀντὶ τούτων παρέχει τὰ τέρψαι δυνάμενα μᾶλλον, διὰ τούτων τοὺς ἐν τοῖς κρότοις θορύβους ὠνούμενος. ἀμφοτέρωθεν οὖν ἰσχυρὸν εἶναι τὸν ἄριστον ἄρχοντα δεῖ, ἵνα μὴ θατέρῳ θάτερον ἀνατρέπηται. ὅταν γὰρ ἀναστὰς ἐν τῷ μέσῳ λέγῃ τὰ τοὺς ῥᾳθύμως ζῶντας ἐπιστῦψαι δυνάμενα, εἶτα προσπταίῃ καὶ διακόπτηται καὶ ὑπὸ τῆς ἐνδείας ἐρυθριᾶν ἀναγκάζηται, διερρύη τὸ κέρδος τῶν λεχθέντων εὐθέως. οἱ γὰρ ἐπιτιμηθέντες, ἀλγοῦντες τοῖς εἰρημένοις, καὶ οὐκ ἔχοντες ἑτέρως αὐτὸν ἀμύνασθαι, τοῖς τῆς ἀμαθίας αὐτὸν βάλλουσι σκώμμασι, τούτοις οἰόμενοι τὰ ἑαυτῶν συσκιάζειν ὀνείδη. διὸ χρή, καθάπερ τινὰ ἡνίοχον ἄριστον, εἰς ἀκρίβειαν τούτων ἀμ-

Κολ. δ. ϛ.

σοφωτέρων ἐληλακέναι τῶν καλῶν, ἵνα ἀμφότερα πρὸς τὸ δέον αὐτῷ μεταχειρίζειν ἔχῃ. καὶ γὰρ ὅταν αὐτὸς ἀνεπίληπτος ἅπασι γένηται, τότε δυνήσεται, μεθ' ὅσης βούλεται ἐξουσίας, καὶ κολάζειν καὶ ἀνιέναι τοὺς ὑπ' αὐτῷ ταττομένους ἅπαντας· πρὸ δὲ τούτου οὐκ εὐμαρὲς ταῦτα ποιεῖν. τὴν δὲ μεγαλοψυχίαν οὐ μέχρι τῆς τῶν ἐπαίνων ὑπεροψίας δείκνυσθαι χρὴ μόνον, ἀλλὰ καὶ περαιτέρω προάγειν, ἵνα μὴ πάλιν ἀτελὲς ᾖ τὸ κέρδος. τίνος οὖν δεήσεται καὶ ἑτέρου καταφρονεῖν; βασκανίας καὶ φθόνου. τὰς δὲ ἀκαίρους κατηγορίας (καὶ γὰρ ἀνάγκη τὸν προεστῶτα μέμψεις ὑπομένειν ἀλόγους) οὔτε ἀμέτρως δεδιέναι καὶ τρέμειν, οὔτε ἁπλῶς ὑπερορᾶν καλόν· ἀλλὰ χρὴ, κἂν ψευδεῖς τυγχάνωσιν οὖσαι, κἂν παρὰ τῶν τυχόντων ἡμῖν ἐπάγωνται), πειρᾶσθαι σβεννύναι ταχέως αὐτάς. οὐδὲν γὰρ οὕτως αὔξει φήμην πονηράν τε καὶ ἀγαθὴν, ὡς τὸ πλῆθος τὸ ἄτακτον. ἀβασανίστως γὰρ καὶ ἀκούειν καὶ ἐκλαλεῖν εἰωθὸς, ἁπλῶς τὸ ἐπελθὸν ἅπαν φθέγγεται, τῆς ἀληθείας οὐδένα ποιούμενον λόγον. διὰ ταῦτα οὐ δεῖ τῶν πολλῶν καταφρονεῖν, ἀλλὰ ἀρχομένας εὐθέως ἐκκόπτειν τὰς ὑποψίας τὰς πονηράς, πείθοντα τοὺς ἐγκαλοῦντας, κἂν ἀλογώτατοι πάντων εἶεν, καὶ μηδὲν ὅλως ἐλλείπειν τῶν ἀφανίσαι δυναμένων δόξαν οὐκ ἀγαθήν. ἂν δὲ πάντα ποιούντων ἡμῶν μὴ θέλωσιν οἱ μεμφόμενοι πεισθῆναι, τὸ τηνικαῦτα καταφρονεῖν. ὡς ἐάν τις φθάσῃ ταπεινωθῆναι τοῖς συμπτώμασι τούτοις, οὐ δυνήσεταί ποτε γενναῖόν τι καὶ θαυμαστὸν ἀποτεκεῖν. ἡ γὰρ ἀθυμία, καὶ αἱ συνεχεῖς φροντίδες, δειναὶ καταβαλεῖν ψυχῆς δύναμιν, καὶ εἰς ἀσθένειαν καταγαγεῖν τὴν ἐσχάτην. οὕτως οὖν χρὴ τὸν ἱερέα διακεῖσθαι πρὸς τοὺς ἀρχομένους, ὥσπερ ἂν εἴ τις πατὴρ πρὸς παῖδας ἄγαν νηπίους διακέοιτο. καὶ καθάπερ ἐκείνων οὔτε ὑβριζόντων, οὔτε πληττόντων, οὔτε ὀδυρομένων ἐπιστρεφόμεθα, ἀλλ' οὐδὲ ἡνίκα ἂν γελῶσι καὶ προσχαίρωσιν ἡμῖν, μέγα ἐπὶ τούτῳ φρονοῦμέν ποτε· οὕτω καὶ τούτων μήτε τοῖς ἐπαίνοις ἐξογκοῦσθαι, μήτε καταπίπτειν τοῖς ψόγοις*, ὅταν ἀκαίρως γίνωνται παρ' αὐτῶν. χαλεπὸν δὲ τοῦτο, ὦ μακάριε, τάχα δὲ οἶμαι [ὅτι] καὶ ἀδύνατον. τὸ γὰρ μὴ χαίρειν ἐπαινούμενον, οὐκ οἶδα εἴ τινι ἀνθρώπων ποτὲ κατώρθωται. τὸν δὲ χαίροντα εἰκὸς καὶ ἐπιθυμεῖν ἀπολαύειν αὐτῶν· τὸν δὲ ἀπολαύειν ἐπιθυμοῦντα, πάντως καὶ ἐν ταῖς τούτων ἀποτυχίαις λυπεῖσθαι, καὶ ἐκκλίνειν, καὶ ἀνιᾶσθαι, καὶ ἀλγεῖν ἀνάγκη. ὥσπερ γὰρ οἱ γανύμενοι τῷ πλουτεῖν, ἡνίκα ἂν καταπέσωσιν εἰς πενίαν, ἄχθονται, καὶ οἱ τρυφᾶν εἰωθότες, οὐκ ἂν ἀνάσχοιντο ζῆν εὐτελῶς· οὕτω καὶ οἱ τῶν ἐγκωμίων ἐρῶντες, οὐχ ὅταν ψέγωνται μόνον εἰκῆ, ἀλλὰ καὶ ὅταν μὴ ἐπαινῶνται συνεχῶς, καθάπερ λιμῷ τινι διαφθείρονται τὴν ψυχήν, καὶ μάλιστα ὅταν αὐτοὶ ἐντραφέντες τύχωσιν, ἢ καὶ ἑτέρους ἐπαινουμένους ἀκούωσι. τὸν δὴ μετὰ ταύτης τῆς ἐπιθυμίας εἰς τὸν τῆς διδασκαλίας ἀγῶνα παρελθόντα, πόσα πράγματα καὶ πόσας ἔχειν οἴει τὰς ἀλγηδόνας; οὔτε τὴν θάλατταν ἔστι κυμάτων ἐκτὸς εἶναί ποτε, οὔτε τὴν ἐκείνου ψυχὴν φροντίδων καὶ λύπης. καὶ γὰρ ὅταν πολλὴν ἐν τῷ λέγειν δύναμιν ἔχῃ (τοῦτο δὲ ἐν ὀλίγοις εὕροι τις ἂν) οὐδὲ οὕτω τοῦ πονεῖσθαι διηνεκῶς ἀπήλλακται. ἐπεὶ γὰρ οὐ φύσεως, ἀλλὰ μαθήσεως τὸ λέγειν, κἂν εἰς ἄκρον αὐτοῦ τις ἀφίκηται), τότε αὐτὸν ἀφίησιν ἔρημον, ἂν μὴ συνεχεῖ σπουδῇ καὶ γυμνασίᾳ ταύτην θεραπεύῃ τὴν δύναμιν. ὥστε τοῖς σοφωτέροις μᾶλλον, ἢ τοῖς ἀμαθεστέροις, μείζων ὁ πόνος. οὐδὲ γὰρ ὑπὲρ τῶν αὐτῶν ἡ ζημία ἀμελοῦσι τούτοις κἀκείνοις· ἀλλὰ τοσοῦτον αὐτοῖς πλείων ἐκείνων, ὅσον καὶ τῆς κτήσεως ἑκατέρας τὸ μέσον. κἀκείνοις μὲν οὐδ' ἂν ἐγκαλέσειέ τις μηδὲν ἄξιον λόγου παρέχουσιν· οὗτοι δὲ, εἰ μὴ μείζονα τῆς δόξης, ἧς ἅπαντες ἔχουσι περὶ αὐτῶν, ἀεὶ προσφέροιεν, πολλὰ παρὰ πάντων ἕπεται τὰ ἐγκλήματα. πρὸς δὲ τούτοις, ἐκεῖνοι μὲν καὶ ἐπὶ μικροῖς μεγάλων ἂν τύχοιεν τῶν ἐπαίνων· τὰ δὲ τούτων, ἂν μὴ λίαν ᾖ θαυμαστὰ καὶ ἐκπληκτικά, οὐ μόνον ἐγκωμίων ἐστέρηται, ἀλλὰ καὶ τοὺς μεμφομένους ἔχει πολλούς. οὐ γὰρ τοῖς λεγομένοις, ὡς ταῖς τῶν λεγόντων δόξαις, κάθηνται δικάζοντες οἱ ἀκροαταί. ὥστε ὅταν κρατῇ τις ἁπάντων ἐν τῷ λέγειν, τότε μάλιστα πάντων αὐτῷ δεῖ πεπονημένης σπουδῆς. οὐδὲ γὰρ τοῦτο, ὃ κοινὸν τῆς ἀνθρωπίνης φύσεώς ἐστι, ὃ μὴ πάντα ἐπιτυγχάνειν, ἔξεστιν ἐκείνῳ παθεῖν· ἀλλ', ἂν μὴ δι' ὅλου συμφωνῇ τῷ μεγέθει τῆς ὑπολήψεως αὐτοῦ τὰ λεγόμενα, σκώμματα μυρία καὶ μέμψεις λαβὼν ἄπεισι παρὰ τῶν πολλῶν. καὶ οὐδεὶς ἐκεῖνο λογίζεται πρὸς ἑαυτόν, ὅτι καὶ ἀθυμία προσπεσοῦσα, καὶ ἀγωνία, καὶ φροντίς, πολλάκις δὲ καὶ θυμὸς "ἐπεσκότησε τῷ τῆς διανοίας καθαρῷ, καὶ τὰ τικτόμενα οὐκ ἀφῆκε προελθεῖν εἰλικρινῆ· καὶ ὅτι ὅλως ἄνθρωπον ὄντα οὐκ ἔστι διὰ παντὸς εἶναι τὸν αὐτόν, οὐδὲ ἐν ἅπασιν εὐημερεῖν· ἀλλ' εἰκός ποτε καὶ διαμαρτεῖν, καὶ ἐλάττονα τῆς οἰκείας δειχθῆναι δυνάμεως. τούτων οὐδέν, ὅπερ ἔφην, ἐννοῆσαι βούλονται· ἀλλ' ὥσπερ ἀγγέλῳ δικάζοντες, ἐπάγουσι τὰς αἰτίας. καὶ ἄλλως δὲ πέφυκεν ἄνθρωπος τὰ μὲν κατορθώματα τοῦ πλησίον καὶ πολλὰ ὄντα καὶ μεγάλα παρορᾶν· ἂν δὲ ἐλάττωμά που φανῇ, κἂν τὸ τυχὸν ᾖ, κἂν διὰ πολλοῦ συμβεβηκός, καὶ ἐπαισθάνεται ταχέως, καὶ ἐπιλαμβάνεται προχείρως, καὶ μέμνηται διαπαντός· καὶ τὸ μικρὸν τοῦτο καὶ εὐτελὲς τὴν τῶν πολλῶν καὶ μεγάλων ἠλάττωσε δόξαν πολλάκις. ὁρᾷς, ὦ γενναῖε, ὅτι μάλιστα τῷ λέγειν δυναμένῳ πλείονος "δεῖ τῆς σπουδῆς·" πρὸς δὲ τῇ σπουδῇ, καὶ ἀνεξικακίας τοσαύτης, ὅσης οὐδὲ ἅπαντες, "ὅσους πρότερόν σοι διῆλθον, ἐδέοντο. πολλοὶ γὰρ αὐτῷ συνεχῶς ἐπιφύονται μάτην καὶ εἰκῆ· καὶ οὐδὲν ἔχοντες ἐγκαλεῖν, πλὴν τοῦ παρὰ πᾶσιν εὐδοκιμεῖν, ἀπεχθάνονται. καὶ δεῖ γενναίως φέρειν τὴν πικρὰν τούτων βασκανίαν. τὸ γὰρ ἐπάρατον τοῦτο μῖσος, ὅπερ εἰκῆ συλλέγουσιν, οὐ στέγοντες κρύπτειν καὶ λοιδοροῦσι, καὶ "μέμφονται, καὶ διαβάλλουσι λάθρα, καὶ πονηρεύονται φανερῶς· ψυχὴ δὲ ἀρξαμένη καθ' ἕκαστον τούτων ἀλγεῖν καὶ παροξύνεσθαι, κἂν φθάσειε "διαφθαρῆναι τῇ λύπῃ. καὶ γὰρ οὐ δι' ἑαυτῶν αὐτὸν ἀμύνονται μόνον, ἀλλὰ καὶ δι' ἑτέρων τοῦτο ποιεῖν ἐπιχειροῦσι. καὶ πολλάκις τινὰ τῶν οὐδὲν δυναμένων εἰπεῖν ἐκλεξάμενοι, τοῖς ἐπαίνοις ἐπαίρουσι, καὶ θαυμάζουσιν ὑπὲρ τὴν ἀξίαν, * οἱ μὲν μανίᾳ μόνοι, οἱ δὲ καὶ ἀμαθίᾳ καὶ φθόνῳ τοῦτο ποιοῦντες· ἵνα τὴν δόξαν τούτου καθέλωσιν, οὐχ ἵνα δείξωσι θαυμαστόν, τὸν οὐκ ὄντα τοιοῦτον. οὐ πρὸς τούτους δὲ μόνον ἐκείνῳ τῷ γενναίῳ ὁ ἀγών, ἀλλὰ καὶ πρὸς ἀπειρίαν ὅλου δήμου πολλάκις. ἐπειδὴ γὰρ οὐκ "ἔνεστιν ἐξ ἐλλογίμων ἀνδρῶν συλλέγεσθαι τοὺς "συνερχομένους ἅπαντας, ἀλλὰ τὸ πλέον τῆς ἐκκλησίας μέρος ἐξ ἰδιωτῶν συγκεῖσθαι συμβαίνει, τοὺς δὲ λοιποὺς καὶ αὐτοὺς ἐκείνων μὲν εἶναι συνετωτέρους, τῶν δὲ λόγους κρῖναι δυναμένων λείπεσθαι πολλῷ πλέον, ἢ ὅσον ἐκείνων οἱ λοιποὶ πάντες, ἕνα δὲ "μόλις, ἢ δεύτερον καθῆσθαι τὸν ταύτην κεκτημένον τὴν ἀρετήν· ἀνάγκη τὸν ἄμεινον εἰπόντα ἐλάττονας ἀπενέγκασθαι κρότους, ἔστι δὲ ὅτε μηδὲ ἐπαινεθέντα "ἀπελθεῖν. καὶ δεῖ πρὸς ταύτας γενναίως παρεσκευάσθαι τὰς ἀνωμαλίας· καὶ τοῖς μὲν δι' ἀμαθίαν ταῦτα πάσχουσι συγγινώσκειν, τοὺς δὲ διὰ φθόνον τοῦτο ὑπομένοντας δακρύειν, ὡς ἀθλίους ὄντας καὶ ἐλεεινούς· μηδετέρῳ δὲ τούτων ἐλάττω τὴν αὑτοῦ νομίζειν γεγενῆσθαι δύναμιν. οὐδὲ γὰρ εἰ ζωγράφος ὢν ἄριστος, καὶ πάντων κατὰ τὴν τέχνην κρατῶν, τὴν μετὰ πολλῆς τῆς ἀκριβείας ἀναγεγραμμένην εἰκόνα ὑπὸ τῶν τῆς τέχνης ἀπείρων σκωπτομένην ἑώρα, ἔδει καταπεσεῖν, καὶ τῇ κρίσει τῶν οὐκ εἰδότων, φαύλην ἡγεῖσθαι τὴν γραφήν· ὥσπερ οὐδὲ τὴν ὄντως φαύλην, θαυμαστήν τινα καὶ ἐπέραστον, ἀπὸ τῆς τῶν ἀτέχνων ἐκπλήξεως. ὁ γὰρ ἄριστος δημιουργός, αὐτὸς ἔστω καὶ κριτὴς τῶν αὑτοῦ τεχνημάτων· καὶ καλὰ καὶ φαῦλα ταύτῃ τιθέσθω τὰ γινόμενα, ὅταν ὁ τεχνησάμενος αὐτὰ νοῦς ταύτας φέρῃ τὰς ψήφους, τὴν δὲ τῶν ἔξωθεν δόξαν τὴν πεπλανημένην καὶ ἄτεχνον μηδὲ εἰς νοῦν βαλλέσθω ποτέ. μὴ τοίνυν μήτε ὁ τῆς διδασκαλίας ἀναδεξάμενος τὸν ἀγῶνα ταῖς τῶν ἔξωθεν εὐφημίαις προσεχέτω, μηδὲ ἀπὸ τούτων τὴν ἑαυτοῦ καταβαλλέτω ψυχήν· ἀλλ' ἐργαζόμενος τοὺς λόγους, ὡς ἂν ἀρέσκῃ τῷ Θεῷ (οὗτος γὰρ αὐτῷ κανὼν καὶ ὅρος ἔστω μόνος τῆς ἀρίστης δημιουργίας ἐκείνων· μὴ κρότοι, μηδὲ εὐφημίαι) εἰ μὲν ἐπαινοῖτο καὶ παρὰ τῶν ἀνθρώπων, μὴ διακρουέσθω τὰ ἐγκώμια· μὴ παρεχόντων δὲ αὐτὰ τῶν "ἀκροατῶν, "μὴ ζητείτω, "μηδὲ ἀλγείτω. ἱκανὴ γὰρ αὐτῷ παραμυθία τῶν πόνων, καὶ "πάντων μείζων,

γρ. -ποι
γρ. δεῖται
γρ. ἐπὶ
γρ. ὡς
γρ. καταμέμφ
γρ. -ρεῖσα
* ἢ
γρ. ἔστιν
γρ. ἀνερχ.
γρ. μόνον
γρ. ἐπαινεθ.
γρ. ἀκουόντων
γρ. μήτε
γρ. μήτε
γρ. πασῶν

ζων, ὅταν ἑαυτῷ συνειδέναι δύνηται, πρὸς ἀρέσκειν τῷ Θεῷ συντιθεὶς καὶ ῥυθμίζων τὴν διδασκαλίαν. καὶ γὰρ ἂν φθάσῃ τῇ τῶν ἀλόγων ἐπαίνων ἐπιθυμίᾳ ἁλῶναι, οὐδὲν αὐτῷ τῶν πολλῶν πόνων ὄφελος, οὐδὲ τῆς ἐν τῷ λέγειν δυνάμεως. τὰς γὰρ ἀνοήτους τῶν πολλῶν καταγνώσεις μὴ δυναμένη φέρειν ψυχὴ ἐκλύεται, καὶ τὴν περὶ τὸ λέγειν ῥίπτει σπουδήν. διὰ τοῦτο χρὴ μάλιστα ″πάντων πεπαιδεῦσθαι ἐπαίνων ὑπερορᾶν. οὐ γὰρ ἀρκεῖ τὸ λέγειν εἰδέναι πρὸς τὴν ταύτης τῆς δυνάμεως φυλακήν, ἂν μὴ καὶ τοῦτο προσῇ. εἰ δέ τις ἀκριβῶς ἐξετάζειν ἐθέλοι, καὶ τὸν ἐν ἐνδείᾳ καθεστῶτα ταύτης τῆς ἀρετῆς, εὑρήσει δεόμενον τοῦ τῶν ἐπαίνων καταφρονεῖν οὐχ ἧττον, ἢ τοῦτον. καὶ γὰρ πολλὰ ἁμαρτάνειν ἀναγκασθήσεται, τῆς τῶν πολλῶν δόξης ″ἥττων γενόμενος. ἀτονῶν γὰρ ἐξισωθῆναι τοῖς εὐδοκιμοῦσι κατὰ τὴν τοῦ λέγειν ἀρετήν, ἐπιβουλεύειν τε αὐτοῖς, καὶ διαφθονεῖσθαι, καὶ μέμφεσθαι μάτην, καὶ πολλὰ τοιαῦτα ἀσχημονεῖν οὐ παραιτήσεται· ἀλλὰ πάντα τολμήσει, κἂν τὴν ψυχὴν ἀπολέσαι ″δέοι, ὑπὲρ τοῦ τὴν ἐκείνων δόξαν εἰς τὴν τῆς ἰδίας εὐτελείας καταγαγεῖν ταπεινότητα. πρὸς δὲ τούτοις καὶ τῶν ἱδρώτων ἀποστήσεται τῶν περὶ τὸ πονεῖν, νάρκης ὥσπερ τινὸς κατασκεδασθείσης αὐτοῦ ″τῆς ψυχῆς. τὸ γὰρ πολλὰ μοχθοῦντα, ἐλάττονα καρποῦσθαι ἐγκώμια, ἱκανὸν καταβαλεῖν, καὶ τρέψαι πρὸς ὕπνον βαθύν, τὸν οὐ δυνάμενον ἐγκωμίων καταφρονεῖν· ἐπεὶ καὶ γεωργός, ὅταν εἰς ″λεπτόγεων κάμνῃ χωρίον καὶ πέτρας ἀναγκάζηται γεωργεῖν, ταχέως ἀφίσταται τοῦ πονεῖν, ἂν μὴ πολλὴν περὶ τὸ πρᾶγμα κεκτημένος ᾖ τὴν προθυμίαν, ἢ λιμοῦ δέος ἐπικείμενον ἔχῃ. εἰ γὰρ οἱ μετὰ πολλῆς τῆς ἐξουσίας δυνάμενοι λέγειν, τοσαύτης δέονται τῆς γυμνασίας πρὸς τὴν τῆς κτήσεως φυλακήν, ὁ μηδὲν ὅλως συναγαγών, ἀλλ' ἐν τοῖς ἀγῶσιν ἀναγκαζόμενος μελετᾶν, πόσην ὑποστήσεται τὴν δυσχέρειαν, πόσον θόρυβον, πόσην ταραχήν, ἵνα πολλῷ τῷ μόχθῳ μικρόν τι συναγαγεῖν δυνηθῇ; ἐὰν δέ τις καὶ τῶν μετ' αὐτὸν τεταγμένων, καὶ τὴν ἐλάττω τάξιν λαχόντων, ἐν τῷ μέρει τούτῳ μᾶλλον ἐκείνου διαφανῆναι δυνηθῇ· θείας τινὸς δεῖ ψυχῆς ἐνταῦθα, ὥστε μὴ ἁλῶναι βασκανίᾳ, μηδὲ ὑπὸ ἀθυμίας καταπεσεῖν. τὸ γὰρ ὑπὸ τῶν ἐλαττόνων παρευημερεῖσθαι αὐτὸν ἐν ἀξιώματι καθεστῶτα μείζονι, καὶ φέρειν γενναίως, οὐ τῆς τυχούσης, οὐδὲ τῆς ἡμετέρας, ἀλλά τινος ἀδαμαντίνης ἂν εἴη ψυχῆς. κἂν μὲν ἐπιεικὴς ᾖ καὶ μέτριος ἄγαν ὁ παρευδοκιμῶν, φορητὸν ὁπωσοῦν γίνεται τὸ πάθος· ἂν δὲ θρασὺς καὶ ἀλαζὼν καὶ φιλόδοξος, ″θάνατον ἐκείνῳ καθ' ἑκάστην ″εὔκλεον ἡμέραν. οὕτως αὐτῷ πικρὰν καταστήσει τὴν ζωήν, ἐπεμβαίνων φανερῶς, καταμωκώμενος λάθρα, τῆς ἐξουσίας πολλὰ παρασπῶν τῆς ἐκείνου, πάντα αὐτὸς εἶναι βουλόμενος. μεγίστην δὲ ἐν ἅπασι τούτοις τὴν ἀσφάλειαν, τὴν ἐν τῷ λέγειν κέκτηται παρρησίαν, καὶ τὴν τοῦ πλήθους περὶ αὐτὸν σπουδήν, καὶ τὸ φιλεῖσθαι παρὰ τῶν ἀρχομένων ἁπάντων. ἢ οὐκ οἶδας, ὅσος ταῖς τῶν χριστιανῶν ψυχαῖς λόγων ἔρως εἰσεκώμασε νῦν· καὶ ὅτι μάλιστα πάντων οἱ τούτους ἀσκοῦντες ἐν τιμῇ, οὐ παρὰ τοῖς ἔξωθεν μόνον, ἀλλὰ καὶ παρὰ τοῖς τῆς πίστεως οἰκείοις; πῶς οὖν ἄν τις ἐνέγκοι τοσαύτην αἰσχύνην, ὅταν αὐτοῦ μὲν φθεγγομένου πάντες σιγῶσι, καὶ ″διενοχλεῖσθαι νομίζωσι, καὶ τοῦ λόγου τὸ τέλος, ὥσπερ τινὰ πόνων ἀνάπαυσιν, περιμένωσι· θατέρου δὲ καὶ μακρὰ λέγοντος μετὰ ″προθυμίας ἀκούωσι, καὶ ″παύεσθαι μέλλοντος δυσχεραίνωσι, καὶ σιγᾶν βουλομένου παροξύνωνται; ταῦτα γὰρ εἰ καὶ μικρά σοι δοκεῖ νῦν εἶναι καὶ εὐκαταφρόνητα διὰ τὸ ″ἀπείρατον, ἀλλ' ἱκανά γέ ἐστι προθυμίαν σβέσαι, καὶ ψυχῆς παραλῦσαι δύναμιν, ἂν μὴ πάντων τις ἑαυτὸν τῶν ἀνθρωπίνων ἀπασπάσας παθῶν, ὁμοίως ταῖς ἀσωμάτοις μελετήσῃ διακεῖσθαι δυνάμεσιν, αἳ μήτε φθόνῳ, μήτε δόξης ἔρωτι, μήτε ἑτέρῳ τινὶ τοιούτῳ θηρῶνται νοσήματι. εἰ μὲν οὖν τίς ἐστιν ἀνθρώπων τοιοῦτος, ὡς δύνασθαι τὸ δυσθήρατον τοῦτο καὶ ἀκαταγώνιστον καὶ ἀνήμερον θηρίον, τὴν τῶν πολλῶν δόξαν, καταπατεῖν, καὶ τὰς πολλὰς αὐτῆς ″ἐκτεμεῖν κεφαλάς, μᾶλλον δὲ μηδὲ φῦναι τὴν ἀρχὴν συγχωρεῖν, ″δυνηθήσεται εὐκόλως καὶ τὰς πολλὰς ταύτας ″ἀποκρούεσθαι προσβολάς, καὶ

εὐδίου

γρ. πεπαιδ. πάντων

γρ. ἐρῶν

γρ. δέῃ

γρ. τῇ ψυχῇ

γρ. λεπτόγειον

γρ. -τος

γρ. εὐκταῖον

γρ. διοχλεῖσθαι

γρ. μακροθυμ.

γρ. παύσεσθαι

γρ. ἀπείραστον,

γρ. ἐκτέμνειν

γρ. δυνήσεται

γρ. ἀποκρούεσθαι

εὐδίου τινὸς ἀπολαύειν λιμένος. ταύτης δὲ οὐκ ἀπηλλαγμένος, πόλεμόν τινα πολυειδῆ, καὶ θόρυβον συνεχῆ, καὶ ἀθυμίας καὶ τῶν λοιπῶν παθῶν τὸν ὄχλον ″κατασκεδάζει″ τῆς ἑαυτοῦ ψυχῆς. καὶ τί δεῖ τὰς λοιπὰς καταλέγειν δυσκολίας, ἃς οὔτε εἰπεῖν, οὔτε μαθεῖν δυνήσεταί τις, μὴ ἐπὶ τῶν πραγμάτων γενόμενος αὐτῶν;

γρ. κατασκεδάζει
γρ. τῇ ἑαυτοῦ ψυχῇ.

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ. Λογ. ς.

ΚΑὶ τὰ μὲν ἐνταῦθα τοιαῦτα, οἷάπερ ἤκουσας· τὰ δὲ ἐκεῖ πῶς οἰσόμεθα, ὅταν καθ' ἕκαστον τῶν πιστευθέντων ἀναγκαζώμεθα τὰς εὐθύνας ὑπέχειν; οὐ γὰρ μέχρις αἰσχύνης ἡ ζημία, ἀλλὰ καὶ αἰώνιος ἐκδέχεται κόλασις. τὸ γὰρ, Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε, ὅτι αὐτοὶ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν ὡς λόγον ἀποδώσοντες, εἰ καὶ πρότερον εἶπον, ἀλλ' οὐδὲ νῦν σιωπήσομαι. ὁ γὰρ φόβος ταύτης τῆς ἀπειλῆς συνεχῶς κατασείει μου τὴν ψυχήν. εἰ γὰρ τῷ μόνον ἕνα σκανδαλίζοντι καὶ ἐλάχιστον, συμφέρει ἵνα μύλος ὀνικὸς κρεμασθῇ εἰς τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ εἰς τὴν θάλατταν, καὶ πάντες ″οἱ τὴν συνείδησιν τῶν ἀδελφῶν τύπτοντες, εἰς αὐτὸν ἁμαρτάνουσι τὸν Χριστόν· ὁ μὴ μόνον ἕνα, ″μηδὲ δύο, μηδὲ τρεῖς, ἀλλὰ πλήθη τοσαῦτα ἀπολλύων, τί ποτε ἄρα πείσονται, καὶ ποίαν δώσουσι δίκην; οὐδὲ γὰρ ἀπειρίαν ἔστιν αἰτιάσασθαι, οὐδὲ εἰς ἄγνοιαν καταφυγεῖν, οὐδὲ ἀνάγκην προβαλέσθαι καὶ βίαν· ἀλλὰ θᾶττον ἄν τις τῶν ἀρχομένων, εἴ γε ἐνῆν, ἐν ταῖς οἰκείαις ἁμαρτίαις ἐχρήσατο ταύτῃ τῇ καταφυγῇ, ἢ ἐν ταῖς ἑτέρων οἱ προεστῶτες. τί δήποτε; ὅτι ὁ ταχθεὶς τὰς τῶν ἄλλων ἀγνοίας ἐπανορθοῦν, καὶ τὸν διαβολικὸν πόλεμον προμηνύειν ″ἐρχόμενον, οὐ δυνήσεται προβαλέσθαι τὴν ἄγνοιαν, οὐδὲ εἰπεῖν, οὐκ ἤκουσα τῆς σάλπιγγος, οὐ προεῖδον τὸν πόλεμον. ἐπὶ ″τούτῳ γὰρ ἐκάθισεν, ὡς ὁ Ἰεζεκιὴλ φησίν, ἵνα καὶ τοῖς ἄλλοις σαλπίζῃ, καὶ προμηνύῃ τὰ μέλλοντα δυσχερῆ. καὶ διὰ τοῦτο ἀπαραίτητος ἡ κόλασις, κἂν εἷς ὢν ὁ ἀπολωλὼς τύχῃ. Ἐὰν γὰρ τῆς ῥομφαίας ἐρχομένης μὴ σαλπίσῃ τῷ λαῷ, μηδὲ σημάνῃ (φησὶν) ὁ σκοπός, καὶ ἐλθοῦσα ἡ ῥομφαία λάβῃ ψυχήν· ″αὐτὴ μὲν διὰ τὴν ἀνομίαν αὐτῆς ἐλήφθη, τὸ δὲ αἷμα αὐτῆς ἐκ χειρὸς τοῦ σκοποῦ ἐκζητήσω, λέγει Κύριος. παῦσαι τοίνυν ἡμᾶς ὠθῶν εἰς οὕτως ἄφυκτον δίκην. ″οὐ γὰρ ὑπὲρ στρατηγίας, οὐδὲ ὑπὲρ βασιλείας ἡμῖν ὁ λόγος, ἀλλ' ὑπὲρ πράγματος ἀγγελικῆς ἀρετῆς δεομένου. καὶ γὰρ τῶν ἀκτίνων αὐτῶν καθαρωτέραν ″τῷ ἱερεῖ τὴν ψυχὴν εἶναι δεῖ· ἵνα ″μή ποτε ἔρημον αὐτὸν ″καταλιμπάνῃ τὸ πνεῦμα τὸ ἅγιον· ἵνα δύνηται λέγειν, Ζῶ δὲ οὐκ ἔτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. εἰ γὰρ οἱ τὴν ἔρημον οἰκοῦντες, καὶ πόλεως καὶ ἀγορᾶς καὶ τῶν ἐκεῖθεν ἀπηλλαγμένοι θορύβων, καὶ διαπαντὸς ″λιμένων καὶ γαλήνης ἀπολαύοντες, οὐκ ″ἐθέλουσι θαρρεῖν τῇ τῆς διαίτης ἐκείνης ἀσφαλείᾳ, ἀλλὰ καὶ μυρίας ἑτέρας προστιθέασι φυλακάς, πάντοθεν ἑαυτοὺς περιφράττοντες, καὶ μετὰ πολλῆς τῆς ἀκριβείας καὶ λέγειν ἅπαντα καὶ πράττειν σπουδάζοντες, ἵνα μετὰ παρρησίας καὶ καθαρότητος εἰλικρινοῦς, ὅσον εἰς ἀνθρωπίνην ἧκε δύναμιν, προσιέναι τῷ Θεῷ δυνῶνται· πόσης οἴει δεῖν τῷ ἱερωμένῳ καὶ δυνάμεως καὶ βίας, ὥστε δυνηθῆναι παντὸς ἐξαρπάσαι μολυσμοῦ τὴν ψυχήν, καὶ ἀσινὲς τὸ πνευματικὸν ″τηρῆσαι κάλλος; καὶ γὰρ πολλῷ μείζονος αὐτῷ δεῖ καθαρότητος, ἢ ἐκείνοις. καὶ ᾧ μείζονος δεῖ, οὗτος πλείοσιν ἀνάγκαις ἐκείνων ὑπόκειται ταῖς δυναμέναις αὐτὸν ῥυπῶσαι, ἂν μὴ τῇ διηνεκεῖ νήψει, καὶ τῷ πολλῷ τόνῳ χρησάμενος, ἄβατον αὐταῖς ″ἐργάσηται τὴν ψυχήν. καὶ γὰρ προσώπου εὐμορφία, καὶ κινημάτων διάθρυψις, καὶ βαδίσεως ἐπιτήδευσις, καὶ φωνῆς διάκλασις, καὶ ὀφθαλμῶν ὑπογραφαί, καὶ παρειῶν ″ἐπιτρίμματα, καὶ πλεγμάτων συνθέσεις, καὶ τριχῶν βαφαί, καὶ ἱματίων πολυτέλεια, καὶ χρυσίων ποικιλία, καὶ λίθων κάλλος, καὶ μύρων

Ἑβρ. ιγ. ιζ.
Ματθ. ιη. ς.
α. Κορ. η. ιβ.
Ἰεζεκ. λγ. ς.
Γαλ. β. κ.

γρ. ὅσοι τὴν συνείδ. τῶν ἀδ. τύπτουσι,
γρ. καὶ δύο καὶ τρεῖς,
γρ. ἀρχόμενοι,
γρ. τοῦτο
γρ. αὕτη
γρ. οὐ δὴ
γρ. τοῦ ἱερέως
γρ. μηδέποτε
γρ. ἐγκαταλ.
γρ. λιμένος
γρ. αἱ ἔχοντ
γρ. συντηρ.
γρ. ἐργάζηται
γρ. ἐπιγραφαί

μύρων "εὐωδία, καὶ τἄλλα πάντα, ἃ τὸ γυναικεῖον ἐπιτηδεύει γένος, ἱκανὰ θορυβῆσαι ψυχὴν, ἣν μὴ πολλὴ τῆς σωφροσύνης αὐστηρότητι ἀπεσκληκυῖα τύχῃ. ἀλλὰ τὸ μὲν ὑπὸ τούτων παρατεθῆναι, θαυμαστὸν οὐδέν· τὸ δὲ καὶ διὰ τῶν τούτοις ἐναντίων δύνασθαι βάλλειν τὸν διάβολον, καὶ κατατοξεύειν τὰς τῶν ἀνθρώπων ψυχὰς, τοῦτ' ἔστι τὸ πολλῆς ἐκπλήξεως καὶ ἀπορίας μεστόν. ἤδη γάρ τινες ταῦτα ἐκφυγόντες τὰ θήρατρα, τοῖς πολὺ τούτων ἀφεστηκόσιν ἑάλωσαν. καὶ γὰρ καὶ ἠμελημένη ὄψις, καὶ αὐχμῶσα κόμη, καὶ ῥυπῶσα στολὴ, καὶ σχῆμα ἀνεπίπλαστον, καὶ ἦθος ἁπλοῦν, καὶ ῥῆμα ἀφελὲς, καὶ βάδισις ἀνεπιτήδευτος, καὶ ἀσχημάτιστος φωνὴ, καὶ τὸ πενίᾳ συζῆν, καὶ τὸ καταφρονεῖσθαι, καὶ τὸ ἀπροστάτευτον, καὶ ἡ μόνωσις, πρῶτον μὲν εἰς ἔλεον τὸν ὁρῶντα, ἀπ' ἐκείνου δὲ εἰς τὸν ἔσχατον ἤγαγεν ὄλεθρον. καὶ πολλοὶ τὰ πρότερα ἐκφυγόντες δίκτυα, τὰ διὰ τῶν χρυσίων, καὶ τῶν μύρων, καὶ τῶν ἱματίων, καὶ τῶν λοιπῶν, ὧν εἶπον συγκείμενα, τούτοις τοῖς τοσοῦτον αὐτῶν ἀφεστηκόσιν εὐκόλως "ἐνέπεσαν καὶ ἀπώλοντο. ὅταν οὖν καὶ διὰ πενίας καὶ διὰ πλούτου, καὶ διὰ καλλωπισμοῦ καὶ διὰ σχήματος εἰκῇ κειμένου, καὶ διὰ τρόπων τῶν τε ἐπιτηδευτῶν καὶ τῶν ἀπλάστων, καὶ διὰ "πάντων ἁπλῶς, ὧν ἀπηριθμησάμην, ὁ πόλεμος ἀναρριπίζηται τῇ τοῦ θεωμένου ψυχῇ, καὶ τὰ μηχανήματα αὐτὸν περιστοιχίζῃ πανταχόθεν, πόθεν ἀναπνεῦσαι δυνήσεται, τοσούτων κύκλῳ περικειμένων "παγίδων; ποίαν καταδύσιν εὕροι, οὐ λέγω πρὸς τὸ μὴ κατὰ κράτος ἁλῶναι (τοῦτο μὲν γὰρ οὐ πάνυ χαλεπόν) ἀλλὰ καὶ πρὸς τὸ ἀτάραχον τῶν μιαρῶν λογισμῶν τὴν ἑαυτοῦ φυλάξαι ψυχήν; καὶ παρίημι τὰς τιμὰς, τὰς τῶν μυρίων αἰτίας κακῶν. αἱ μὲν γὰρ παρὰ τῶν γυναικῶν γινόμεναι τὸν τῆς σωφροσύνης λυμαίνονται τόνον, καὶ καταβάλλουσι δὲ πολλάκις, ὅταν τις μὴ διαπαντὸς ἀγρυπνεῖν εἰδῇ πρὸς τὰς τοιαύτας ἐπιβουλάς· τὰς δὲ παρὰ τῶν ἀνδρῶν ἣν μὴ μετὰ πολλῆς "δέξηταί τις τῆς μεγαλοψυχίας, δύο τοῖς ἐναντίοις ἁλίσκεται πάθεσι, τῇ τε τῆς θωπείας δουλοπρεπείᾳ, καὶ τῇ τῆς ἀλαζονείας "ἀνοίᾳ· τοῖς μὲν θεραπεύουσιν αὐτὸν ὑποκύπτειν ἀναγκαζόμενος· διὰ δὲ τὰς παρ' ἐκείνων τιμὰς, κατὰ τῶν ἐλαττόνων ἐξογκούμενος, καὶ εἰς τὸ τῆς ἀπονοίας ὠθούμενος βάραθρον. ταῦτα εἴρηται μὲν παρ' ἡμῶν· ὅσην δὲ ἔχει τὴν βλάβην, οὐκ ἄν τις ἄνευ τῆς πείρας μάθοι καλῶς. οὐ γὰρ δὴ ταῦτα μόνον, ἀλλὰ καὶ τὰ τούτων πολλῷ πλείονα καὶ σφαλερώτερα "τοῖς ἐν μέσῳ στρεφομένοις συμπίπτειν ἀνάγκη γένοιτ' ἄν. ὁ δὲ τὴν "ἐρημίαν στέργων, πάντων μὲν ἔχει τὴν ἀτέλειαν. εἰ δέ ποτε αὐτῷ καὶ λογισμὸς "ἄτοπος ὑπογράψῃ τι τοιοῦτον, ἀλλ' ἀσθενὴς ἡ φαντασία, καὶ ταχέως σβεσθῆναι δυναμένη, διὰ τὸ μὴ "προσκεῖσθαι ἔξωθεν τὴν ἀπὸ τῆς θεωρίας ὕλην τῇ φλογί. καὶ ὁ μὲν μοναχὸς ὑπὲρ ἑαυτοῦ μόνου δέδοικεν· εἰ δὲ καὶ ἑτέρων φροντίζειν ἀναγκασθείη, ἀλλ' εὐαριθμήτων λίαν. εἰ δὲ καὶ πλείονες εἶεν· ἀλλὰ τῶν ἐν ταῖς ἐκκλησίαις ἐλάττους τε εἰσὶ, καὶ τὰς ὑπὲρ ἑαυτῶν φροντίδας πολλῷ κουφοτέρας παρέχουσι τῷ "προεστῶτι, οὐ διὰ τὴν ὀλιγότητα μόνον, ἀλλ' ὅτι καὶ πάντες τῶν κοσμικῶν εἰσιν ἀπηλλαγμένοι πραγμάτων, καὶ οὔτε παῖδας, οὔτε γυναῖκα, οὔτε ἄλλο τι μεριμνᾶν ἔχουσι τοιοῦτον. τοῦτο δὲ αὐτοὺς λίαν τε εἶναι εὐπειθεῖς τοῖς ἡγουμένοις, καὶ τὸ κοινὴν τὴν οἴκησιν ἔχειν ἐποίησεν, ὡς δύνασθαι αὐτῶν τὰ "πταίσματα ἀκριβῶς συνορᾶν τε καὶ ἐπανορθοῦν, ὅπερ οὐ μικρὸν πρὸς ἀρετῆς "ἐπίδοσιν, ἐπιστασία "διδασκάλων διηνεκής. τῶν δὲ ὑπὸ τῷ ἱερεῖ τεταγμένων οἱ "πλέον βιωτικαῖς πεπέδηνται φροντίσι, καὶ τοῦτο αὐτοὺς ἀργοτέρους πρὸς τὴν τῶν πνευματικῶν ἐργασίαν καθίστησιν. ὅθεν ἀνάγκη τὸν διδάσκαλον σπείρειν καθ' ἑκάστην (ὡς εἰπεῖν) ἡμέραν, ἵνα τῇ γοῦν "συνεχείᾳ δυνηθῇ κρατηθῆναι παρὰ τοῖς ἀκούουσι τῆς διδασκαλίας ὁ λόγος. καὶ γὰρ πλοῦτος ὑπέρογκος, καὶ δυναστείας μέγεθος, καὶ ῥᾳθυμία ἀπὸ τρυφῆς προσγινομένη, καὶ πολλὰ ἕτερα πρὸς τούτοις, συμπνίγει τὰ καταβαλλόμενα σπέρματα. πολλάκις δὲ ἡ τῶν ἀκανθῶν πυκνότης, οὐδὲ μέχρι τῆς ἐπιφανείας ἀφίησι τὸν σπειρόμενον "πεσεῖν. ἤδη καὶ θλίψεως ὑπερβολὴ, καὶ πενίας ἀνάγκη,

δοσμία
λ. δοσμίας
χ. ἐνέπεσον
χ. ἁπάντων
χ. παγῶν
χ. τις δέξηται
χ. ἀπονοίᾳ
χ. τοῖς ἐν μέσῳ στρεφομένοις
χ. ἔρημον
χ. ἄτακτος
χ. προσκεῖσθαι
χ. προεστῶτι
χ. πράγματα
χ. -τασιν
χ. διδασκάλου
χ. πλεῖον
χ. συνηθείᾳ
χ. ἐμπεσεῖν

καὶ ἐπήρειαι συνεχεῖς, καὶ ἄλλα τοιαῦτα τοῖς προτέροις ἐνάντια, ἀπάγει τῆς περὶ τὰ θεῖα σπουδῆς. τῶν δὲ ἁμαρτημάτων οὐδὲ τὸ πολλοστὸν αὐτοῖς μέρος δυνατὸν γενέσθαι καταφανές. πῶς γάρ, ὧν τοὺς πλείονας οὐδὲ ἐκ προσώπου ἴσασι; καὶ τὰ μὲν πρὸς τὸν λαὸν αὐτῷ τοσαύτην ἔχει τὴν ἀμηχανίαν. εἰ δέ τις τὰ πρὸς τὸν Θεὸν ἐξετάσειεν, οὐδὲν ὄντα εὑρήσει ταῦτα· οὕτω μείζονος καὶ ἀκριβεστέρας ἐκεῖνα δεῖται τῆς σπουδῆς. ὁ γὰρ ὑπὲρ ὅλης τῆς πόλεως, καὶ τί λέγω, πόλεως, πάσης μὲν οὖν τῆς οἰκουμένης πρεσβεύοντα, καὶ δεόμενον ταῖς ἁπάντων ἁμαρτίαις ἵλεων γενέσθαι τὸν Θεόν, οὐ τῶν ζώντων μόνον, ἀλλὰ καὶ τῶν ἀπελθόντων, ὁποῖόν τινα εἶναι χρή; ἐγὼ μὲν γὰρ καὶ τὴν Μωϋσέως, καὶ τὴν Ἠλιοῦ παρρησίαν οὐδέπω πρὸς τὴν τοσαύτην ἱκετηρίαν ἀρκεῖν ἡγοῦμαι. καὶ γὰρ ὥσπερ τὸν ἅπαντα κόσμον πεπιστευμένος, καὶ αὐτὸς ὢν ἁπάντων πατήρ, οὕτω πρόσεισι τῷ Θεῷ, δεόμενος τοὺς ἁπανταχοῦ πολέμους σβεσθῆναι, λυθῆναι τὰς ταραχάς, εἰρήνην, εὐετηρίαν, πάντων τῶν ἑκάστῳ κακῶν ἐπικειμένων καὶ ἰδίᾳ καὶ δημοσίᾳ ταχεῖαν αὐτῶν ἀπαλλαγήν. δεῖ δὲ πάντων αὐτόν, ὑπὲρ ὧν δεῖται, τοσοῦτο διαφέρειν ἐν ἅπασιν, ὅσον τὸν προεστῶτα τῶν προστατευομένων εἰκός. ὅταν δὲ καὶ τὸ πνεῦμα τὸ ἅγιον καλῇ, καὶ τὴν φρικωδεστάτην ἐπιτελῇ θυσίαν, καὶ τοῦ κοινοῦ πάντων συνεχῶς ἐφάπτηται δεσπότου, ποῦ τάξομεν αὐτόν, εἰπέ μοι; πόσην δὲ αὐτῷ ἀπαιτήσομεν καθαρότητα, καὶ πόσην εὐλάβειαν; ἐννόησον γὰρ ὁποίας τὰς ταῦτα διακονουμένας χεῖρας εἶναι χρή, ὁποίαν τὴν γλῶτταν τὴν ἐκεῖνα προχέουσαν τὰ ῥήματα, τίνος δὲ οὐ καθαρωτέραν καὶ ἁγιωτέραν τὴν τοσοῦτο πνεῦμα ὑποδεξαμένην ψυχήν. τότε καὶ ἄγγελοι παρεστήκασι τῷ ἱερεῖ, καὶ οὐρανίων δυνάμεων ἅπαν τάγμα βοᾷ, καὶ ὁ περὶ τὸ θυσιαστήριον πληροῦται τόπος εἰς τιμὴν τοῦ κειμένου. καὶ τοῦτο ἱκανὸν μὲν καὶ ἐξ αὐτῶν πεισθῆναι τῶν ἐπιτελουμένων τότε. ἐγὼ δὲ καί τινος ἤκουσα διηγουμένου ποτέ, ὅτι αὐτῷ τις πρεσβύτης θαυμαστὸς ἀνήρ, καὶ ἀποκαλύψεις ὁρᾶν εἰωθώς, ἔλεγεν ὄψεως ἠξιῶσθαι τοιαύτης ποτέ, καὶ κατὰ τὸν καιρὸν ἐκεῖνον ἄφνω πλῆθος ἀγγέλων ἰδεῖν, ὡς αὐτῷ δυνατὸν ἦν, στολὰς ἀναβεβλημένων λαμπράς, καὶ τὸ θυσιαστήριον κυκλούντων, καὶ κάτω νευόντων, ὡς ἂν εἴ τις στρατιώτας παρόντος βασιλέως ἑστηκότας ἴδοι. καὶ ἔγωγε πείθομαι. καὶ ἕτερος δέ τις ἐμοὶ διηγήσατο, οὐ παρ᾽ ἑτέρου μαθών, ἀλλ᾽ αὐτὸς [ἰδεῖν] ἀξιωθεὶς καὶ ἀκοῦσαι, ὅτι τοὺς μέλλοντας ἐντεῦθεν ἀπαίρειν, ἂν τύχωσι τῶν μυστηρίων μετασχόντες ἐν καθαρᾷ συνειδήσει, ὅταν ἀποπνεῖν μέλλωσι, δορυφοροῦντες αὐτοὺς δι᾽ ἐκεῖνο τὸ ληφθὲν ἀπάγουσιν ἐντεῦθεν ἄγγελοι. σὺ δὲ οὔπω φρίττεις, εἰς οὕτως ἱερὰν τελετὴν τοιαύτην εἰσάγων ψυχήν; καὶ τὸν τὰ ῥυπαρὰ ἐνδεδυμένον ἱμάτια εἰς τὸ τῶν ἱερέων ἀναφέρων ἀξίωμα, ὃν καὶ τοῦ λοιποῦ τῶν δαιτυμόνων χοροῦ ἐξέωσεν ὁ Χριστός; φωτὸς γὰρ δίκην τὴν οἰκουμένην καταυγάζοντος λάμπειν δεῖ τοῦ ἱερέως τὴν ψυχήν· ἡ δὲ ἡμετέρα τοσοῦτον ἔχει περικείμενον αὐτῇ σκότος ἐκ τῆς πονηρᾶς συνειδήσεως, ὡς ἀεὶ καταδύεσθαι, καὶ μηδέποτε δύνασθαι μετὰ παρρησίας εἰς τὸν αὐτῆς ἀτενίσαι δεσπότην. οἱ ἱερεῖς τῆς γῆς εἰσὶν ἅλες· τὴν δὲ ἡμετέραν ἄνοιαν καὶ τὴν ἐν ἅπασιν ἀπειρίαν τίς ἂν ἐνέγκοι ῥᾳδίως, πλὴν ὑμῶν τῶν καθ᾽ ὑπερβολὴν ἡμᾶς ἀγαπᾶν εἰθισμένων; οὐ γὰρ μόνον καθαρὸν οὕτως, ὡς τηλικαύτης ἠξιωμένον διακονίας, ἀλλὰ καὶ λίαν συνετόν, καὶ πολλῶν ἔμπειρον εἶναι δεῖ, καὶ πάντα μὲν εἰδέναι τὰ βιωτικά, τῶν ἐν μέσῳ στρεφομένων οὐχ ἧττον· πάντων δὲ ἀπηλλάχθαι, μᾶλλον τῶν τὰ ὄρη κατειληφότων μοναχῶν. ἐπεὶ γὰρ ἀνδράσιν αὐτὸν ὁμιλεῖν ἀνάγκη καὶ γυναῖκας ἔχουσι, καὶ παῖδας τρέφουσι, καὶ θεράποντας κεκτημένοις, καὶ πλοῦτον περιβεβλημένοις πολύν, καὶ δημόσια πράττουσι, καὶ ἐν δυναστείαις οὖσι, ποικίλον αὐτὸν εἶναι δεῖ. ποικίλον δὲ λέγω, οὐχ ὕπουλον, οὐδὲ κόλακα καὶ ὑποκριτήν, ἀλλὰ πολλῆς μὲν ἐλευθερίας καὶ παρρησίας ἀνάμεστον, εἰδότα δὲ καὶ συγκατιέναι χρησίμως, ὅταν ἡ τῶν πραγμάτων ὑπόθεσις τοῦτο ἀπαιτῇ, καὶ χρηστὸν εἶναι ὁμοῦ καὶ αὐστηρόν. οὐ γὰρ ἔστιν ἑνὶ τρόπῳ χρῆσθαι τοῖς ἀρχομένοις ἅπασιν· ἐπεὶ μηδὲ

ἰατρῶν

Ματθ. κβ. ιβ.

Ματθ. ε. ιγ.

γρ. ‑χοῦ

γρ. ‑τον

γρ. ‑τον

γρ. τὸ βῆμα

γρ. πεισθῆναι

γρ. στολάς

γρ. ἰδεῖν

γρ. ὅτι ἐπὶ

γρ. εἰωθότων

γρ. οὐ κόλακα
οὐχ ὑποκριτ.

γρ. χρῆσθαι
τοῖς ἀρχομέ.
ἅπασι μάτην

ἰατρῶν παισὶν ἐνὶ νόμῳ τοῖς κάμνουσι προσφέρεσθαι καλόν· μηδὲ κυβερνήτῃ μέλλοντι οὐδὲν εἰδέναι τῆς πρὸς τὰ πνεύματα μάχης. καὶ γὰρ καὶ ταύτην τὴν ναῦν συνεχεῖς περιστοιχίζονται χειμῶνες. οἱ δὲ χειμῶνες οὗτοι οὐκ ἔξωθεν προσβάλλουσι μόνον, ἀλλὰ καὶ ἔνδοθεν τίκτονται· καὶ πολλῆς χρεία καὶ συγκαταβάσεως καὶ ἀκριβείας. πάντα δὲ ταῦτα τὰ διάφορα εἰς ἓν τέλος ὁρᾷ, τὴν τοῦ Θεοῦ δόξαν, τὴν τῆς ἐκκλησίας οἰκοδομήν. μέγας ὁ τῶν μοναχῶν ἀγών, καὶ πολὺς ὁ μόχθος. ἀλλ' εἴ τις τῇ καλῶς διοικουμένῃ ἱερωσύνῃ τοὺς ἐκεῖθεν ἱδρῶτας παραβάλλοι, τοσαύτην εὑρήσει τὴν διαφοράν, ὅσην ἰδιώτου καὶ βασιλέως τὸ μέσον. ἐκεῖ μὲν γὰρ εἰ καὶ πολὺς ὁ πόνος, ἀλλὰ κοινὸν τῆς ψυχῆς καὶ τοῦ σώματος τὸ ἀγώνισμα· μᾶλλον δὲ τὸ πλέον τῇ τοῦ σώματος κατορθοῦται κατασκευῇ. κἂν μὴ τοῦτο ἰσχυρὸν ᾖ, μένει καθ' ἑαυτὴν ἡ προθυμία, οὐκ ἔχουσα εἰς ἔργον ἐξελθεῖν (καὶ γὰρ καὶ νηστεία σύντονος, καὶ χαμευνία, καὶ ἀγρυπνία, καὶ ἀλουσία, καὶ ὁ πολὺς ἱδρώς, καὶ τὰ λοιπά, ὅσα πρὸς τὴν τοῦ σώματος ἐπιτηδεύουσι ταλαιπωρίαν, πάντα οἴχεται, τοῦ κολάζεσθαι μέλλοντος οὐκ ὄντος ἰσχυροῦ) ἐνταῦθα δὲ καθαρὰ τῆς ψυχῆς ἡ τέχνη, καὶ οὐδὲν τῆς τοῦ σώματος εὐεξίας προσδεῖται, ὥστε δεῖξαι τὴν αὐτῆς ἀρετήν. τί γὰρ ἡμῖν ἡ τοῦ σώματος ἰσχὺς συμβάλλεται πρὸς τὸ μήτε αὐθάδεις εἶναι, μήτε ὀργίλους, μήτε προπετεῖς, ἀλλὰ νηφαλίους, καὶ σώφρονας, καὶ κοσμίους, καὶ τἄλλα πάντα, δι' ὧν ἡμῖν ὁ μακάριος Παῦλος τὴν τοῦ ἀρίστου ἱερέως ἀνεπλήρωσεν εἰκόνα; ἀλλ' οὐκ ἐπὶ τῆς τοῦ μονάζοντος ἀρετῆς ἔχοι τις ἂν τοῦτο εἰπεῖν. ἀλλὰ καθάπερ τοῖς μὲν θαυματοποιοῖς ὀργάνων δεῖ πολλῶν καὶ τροχῶν καὶ σχοινίων καὶ μαχαιρῶν, ὁ δὲ φιλόσοφος ἅπασαν ἐν τῇ ψυχῇ κειμένην ἔχει τὴν τέχνην, τῶν ἔξωθεν οὐδενὸς δεόμενος, οὕτω δὴ καὶ ἐνταῦθα. ὁ μὲν γὰρ μοναχὸς καὶ τῆς σωματικῆς εὐπαθείας προσδεῖται, καὶ τόπων πρὸς τὴν διαγωγὴν ἐπιτηδείων· ἵνα μήτε ἄγαν ἀπῳκισμένοι τῆς τῶν ἀνθρώπων ὦσιν ὁμιλίας, καὶ τὴν ἀπὸ τῆς ἐρημίας ἔχωσιν ἡσυχίαν, ἔτι δὲ καὶ τῆς ἀρίστης μὴ ἀμοιρῶσι κράσεως τῶν ὡρῶν. οὐδὲν γὰρ οὕτως ἀφόρητον τοῖς κατατρυχομένοις νηστείαις, ὡς ἡ τῶν ἀέρων ἀνωμαλία. τῆς δὲ τῶν ἱματίων κατασκευῆς καὶ διαίτης ἕνεκεν, ὅσα πραγματεύεσθαι ἀναγκάζονται, πάντα αὐτουργεῖν αὐτοὶ φιλονεικοῦντες, οὐδὲν δέομαι λέγειν νῦν. ὁ δὲ ἱερεὺς οὐδενὸς τούτων εἰς τὴν ἑαυτοῦ δεήσεται χρείαν, ἀλλ' ἀπερίεργος καὶ κοινὸς ἐν ἅπασίν ἐστι τοῖς οὐκ ἔχουσι βλάβην, τὴν ἐπιστήμην ἅπασαν ἐν τοῖς τῆς ψυχῆς θησαυροῖς ἀποκειμένην ἔχων. εἰ δὲ τὸ μένειν ἐφ' ἑαυτοῦ, καὶ τὰς τῶν πολλῶν ὁμιλίας ἐκτρέπεσθαι θαυμάζοι τις, τῆς καρτερίας μὲν τοῦτο σημεῖον καὶ αὐτὸς φαίην ἄν· οὐ μὴν ἁπάσης τῆς ἀνδρείας τῆς ἐν τῇ ψυχῇ τεκμήριον ἱκανόν. ὁ μὲν γὰρ εἴσω λιμένων ἐπὶ τῶν οἰάκων καθήμενος, οὔπω τῆς τέχνης ἀκριβῆ δίδωσι βάσανον· τὸν δὲ ἐν μέσῳ τῷ πελάγει καὶ τῷ χειμῶνι δυνηθέντα διασῶσαι τὸ σκάφος, οὐδεὶς ὅστις οὐκ ἂν εἶναι φαίη κυβερνήτην ἄριστον. οὐ τοίνυν ἡμῖν οὐδὲ τὸν μοναχὸν θαυμαστὸν ἂν εἴη λίαν καὶ μεθ' ὑπερβολῆς, ὅτι μένων ἐφ' ἑαυτοῦ οὐ ταράττεται, οὐδὲ διαμαρτάνει πολλὰ καὶ μεγάλα ἁμαρτήματα (οὐδὲ γὰρ ἔχει τὰ παροξύνοντα καὶ διεγείροντα τὴν ψυχήν) ἀλλ' εἴ τις πλήθεσιν ὅλοις ἑαυτὸν ἐκδεδωκώς, καὶ τὰς τῶν πολλῶν φέρειν ἁμαρτίας ἀναγκασθείς, ἔμεινεν ἀκλινὴς καὶ στερρός, ὥσπερ ἐν γαλήνῃ τῷ χειμῶνι τὴν ψυχὴν διακυβερνῶν, οὗτος κροτεῖσθαι καὶ θαυμάζεσθαι παρὰ πάντων ἂν εἴη δίκαιος. ἱκανὴν γὰρ τῆς οἰκείας ἀνδρείας τὴν δοκιμασίαν ἐπεδείξατο. μὴ τοίνυν μηδὲ αὐτὸς θαυμάσῃς, εἰ τὴν ἀγορὰν φεύγοντες ἡμεῖς καὶ τὰς τῶν πολλῶν συνουσίας, οὐκ ἔχομεν τοὺς κατηγοροῦντας πολλούς. οὐδὲ γὰρ εἰ καθεύδων οὐχ ἡμάρτανον, οὐδ' εἰ μὴ παλαίων οὐκ ἔπιπτον, οὐδ' εἰ μὴ μαχόμενος οὐκ ἐβαλλόμην, θαυμάζειν ἐχρῆν. τίς γάρ, εἰπέ, τίς δυνήσεται κατειπεῖν καὶ ἀποκαλύψαι τὴν μοχθηρίαν τὴν ἐμήν; ὁ ὄροφος οὗτος καὶ ὁ οἰκίσκος; ἀλλ' οὐκ ἂν δύναιντο ῥῆξαι φωνήν. ἀλλ' ἡ μήτηρ ἡ μάλιστα πάντων εἰδυῖα τὰ ἐμά; μάλιστα μὲν οὐδὲ πρὸς αὐτήν ἐστί μοί τι κοινόν, οὐδὲ εἰς φιλονεικίαν ἤλ-

θομεν

ἑνὶ μόνῳ
τῷ ποσὶ
ῖς κάμν.
πρὸς
στεία
νοι
ίαι
πνία,
σία,
ὅδηγ
νηφαλίους,
αὐτοῦ πο-
ν
σχοίνων
κειμένην
ἑαυτῷ,
θαυμαστὸν
ἂν εἴη λέγειν
μὲν
ἐκεῖ
ὅτι
κατηγόρους

α. Τιμ. γ. ϛ.

θόμην πώποτε. εἰ δὲ καὶ τοῦτο ἦν συμβαῖν, οὐδεμία οὕτως ἐστὶ μήτηρ ἄστοργος καὶ μισότεκνος, ὡς τοῦτον, ὃν ὤδινε καὶ ἔτεκε καὶ διέθρεψε, μηδεμιᾶς ἀναγκαζούσης προφάσεως, μηδὲ βιαζομένου τινός, κακίζειν καὶ διαβάλλειν παρὰ πᾶσιν. ἐπεὶ ὅτι γε, εἴ τις τὴν ἡμετέραν πρὸς ἀκρίβειαν ἐθέλοι βασανίζειν ψυχήν, πολλὰ αὐτῆς εὑρήσει τὰ σαθρά, οὐδὲ αὐτὸς ἀγνοήσῃ ὁ μάλιστα πάντων ἡμᾶς τοῖς ἐγκωμίοις ἐπαίρειν παρὰ πᾶσιν εἰωθώς. καὶ ὅτι γε οὐ μετριάζων ταῦτα λέγω νῦν, ἀνάμνησον σαυτόν, ὁσάκις εἶπον πρὸς σέ, λόγου τοιούτου γινομένου πολλάκις ἡμῖν· ὅτι, εἴ τις αἵρεσίν μοι προὔθηκε, ποῦ μᾶλλον βουλοίμην εὐδοκιμεῖν, ἐν τῇ τῆς ἐκκλησίας προστασίᾳ, ἢ κατὰ τὸν τῶν μοναχῶν βίον, μυρίαις ἂν ψήφοις τὸ πρότερον ἐδεξάμην ἔγωγε. οὐ γὰρ διέλιπόν ποτε μακαρίζων πρὸς σὲ τοὺς ἐκείνης τῆς διακονίας προστῆναι δυνηθέντας καλῶς. ὅτι δὲ ὅπερ ἐμακάριζον, οὐκ ἂν ἔφυγον, ἱκανῶς ἔχων μετελθεῖν, οὐδεὶς ἀντερεῖ. ἀλλὰ τί πάθω; οὐδὲν γὰρ οὕτως ἄχρηστον εἰς ἐκκλησίας προστασίαν, ὡς αὕτη ἡ ἀργία καὶ ἡ ἀμελετησία, ἣν ἕτεροι μὲν ἄσκησίν τινα θαυμαστὴν εἶναι νομίζουσιν· ἐγὼ δὲ αὐτὴν ὥσπερεὶ παραπέτασμα τῆς οἰκείας ἔχω φαυλότητος, τὰ πλείονα τῶν ἐλαττωμάτων τῶν ἐμαυτοῦ ταύτῃ συγκαλύπτων, καὶ οὐκ ἐῶν φαίνεσθαι. ὁ γὰρ ἐθισθεὶς τοσαύτης ἀπολαύειν ἀπραγμοσύνης, καὶ ἐν ἡσυχίᾳ διάγειν πολλῇ, κἂν μεγάλης ᾖ φύσεως, ὑπὸ τῆς ἀνασκησίας θορυβεῖται καὶ ταράττεται, καὶ τῆς οἰκείας δυνάμεως περικόπτει μέρος οὐ μικρὸν τὸ ἀγύμναστον. ὅταν δὲ ὁμοῦ καὶ βραδείας ᾖ διανοίας, καὶ τῶν τοιούτων λόγων καὶ ἀγώνων ἄπειρος (τοῦτο δὴ τὸ ἡμέτερον) τῶν λίθων οὐδὲν διοίσει, ταύτην δεξάμενος τὴν οἰκονομίαν. διὰ τοῦτο τῶν ἐξ ἐκείνης ἐρχομένων τῆς παλαίστρας εἰς τοὺς ἀγῶνας τούτους ὀλίγοι διαφαίνονται· οἱ δὲ πλείους ἐλέγχονται, καὶ καταπίπτουσι, καὶ πράγματα ὑπομένουσιν ἀηδῆ καὶ χαλεπά. καὶ οὐδὲν ἀπεικός. ὅταν γὰρ μὴ περὶ τῶν αὐτῶν οἵ τε ἀγῶνες ὦσι καὶ τὰ γυμνάσια, τῶν ἀγυμνάστων ὁ ἀγωνιζόμενος οὐδὲν διενήνοχε. δόξης μάλιστα δεῖ καταφρονεῖν τὸν εἰς τοῦτο ἐρχόμενον τὸ στάδιον, ὀργῆς ἀνώτερον εἶναι, συνέσεως ἔμπλεων πολλῆς. τούτῳ δὲ τῷ τὸν μονήρη στέργοντι βίον οὐδεμιᾶς γυμνασίας ὑπόθεσις πρόκειται. οὔτε γὰρ τοὺς παροξύνοντας ἔχει πολλούς, ἵνα μελετήσῃ κολάζειν τοῦ θυμοῦ τὴν δύναμιν· οὔτε τοὺς θαυμάζοντας καὶ κροτοῦντας, ἵνα παιδευθῇ τοὺς παρὰ τῶν πολλῶν διαπτύειν [ὧδε] ἐπαίνους. τῆς τε ἐν ταῖς ἐκκλησίαις ἀπαιτουμένης συνέσεως οὐ πολὺς αὐτοῖς ὁ λόγος. ὅταν οὖν ἔλθωσιν εἰς τοὺς ἀγῶνας, ὧν μὴ μεμελετήκασι τὴν πεῖραν, ἀποροῦνται, ἰλιγγιῶσιν, εἰς ἀμηχανίαν ἐκπίπτουσι· καὶ πρὸς τῷ μηδὲν ἐπιδοῦναι πρὸς ἀρετήν, καὶ ἅπερ ἔχοντες ἦλθον, πολλοὶ πολλάκις ἀπώλεσαν.

ΒΑΣ. Καὶ ὁ Βασίλειος· ΤΙ οὖν; τοὺς ἐν τῷ μέσῳ στρεφομένους, καὶ πραγμάτων φροντίζοντας βιωτικῶν, καὶ τετριμμένους πρὸς μάχας καὶ λοιδορίας, καὶ μυρίας δεινότητος γέμοντας, καὶ τρυφᾶν εἰδότας ἐπιστήσομεν τῇ τῆς ἐκκλησίας οἰκονομίᾳ;

ΧΡΥΣ. ΕΥΦΗΜΕΙ, ἔφην, ὦ μακάριε σύ. τούτους γὰρ οὐδὲ εἰς νοῦν βάλλεσθαι δεῖ, ὅταν ἱερέων ἐξέτασις ᾖ. ἀλλ᾽ εἴ τις μετὰ τοῦ πᾶσιν ὁμιλεῖν καὶ συναναστρέφεσθαι δύναιτο τὴν καθαρότητα καὶ τὴν ἀταραξίαν τήν τε ἁγιωσύνην καὶ [τὴν] καρτερίαν καὶ νῆψιν καὶ τὰ ἄλλα τὰ τοῖς μοναχοῖς προσόντα ἀγαθὰ φυλάττειν ἀκέραια καὶ ἀπαρασάλευτα, μᾶλλον τῶν μεμονωμένων ἐκείνων. ὡς ὅ γε πολλὰ μὲν ἔχων ἐλαττώματα, δυνάμενος δὲ αὐτὰ τῇ μονώσει καλύπτειν, καὶ ποιεῖν ἄπρακτα τῷ μηδενὶ καταμιγνύναι ἑαυτόν, οὗτος εἰς μέσον ἐλθών, οὐδὲν ἕτερον ἢ τὸ καταγέλαστος γενέσθαι κερδανεῖ, καὶ κινδυνεύσει μειζόνως· ὃ μικροῦ δεῖν ἐπάθομεν ἂν ἡμεῖς, εἰ μὴ ἡ τοῦ Θεοῦ κηδεμονία τὸ πῦρ ταχέως ἀνέσχε τῆς ἡμετέρας κεφαλῆς. οὐ γὰρ ἔστι λαθεῖν τὸν οὕτω διακείμενον, ὅταν ἐν τῷ φανερῷ καταστῇ, ἀλλὰ πάντοτε ἐλέγχεται. καὶ καθάπερ τὰς μεταλλικὰς ὕλας δοκιμάζει τὸ πῦρ· οὕτω καὶ ἡ τοῦ κλήρου βάσανος τὰς τῶν ἀνθρώπων διακρίνει ψυχάς. κἂν ὀργίλος τις ᾖ, κἂν μικρόψυχος, κἂν

φιλόδοξος

γρ. ἔθρεψ
γρ. αὐτὸς
τοῖς
γρ. αὐτὴ
γρ. ὥσπερ
γρ. ἐνεθισθεὶς
γρ. λίθων
γρ. τοῦτο
γρ. μακαρίζ.
γρ. -ίας
γρ. ἐμπίπτ.
γρ. τοῦτο
γρ. πάντα τὰ
γρ. ἐλέγχει

φιλόδοξος, κἂν ἀλαζὼν, κἂν ὅ,τι δήποτε ἕτερον, ἅπαντα ἐκκαλύπτει καὶ γυμνοῖ ταχέως τὰ ἐλαττώματα. οὐ γυμνοῖ δὲ μόνον, ἀλλὰ καὶ χαλεπώτερα καὶ ἰσχυρότερα αὐτὰ καθίστησι. καὶ γὰρ τὰ τοῦ σώματος τραύματα περιξεόμενα, δυσίατα γίνεται· καὶ τὰ τῆς ψυχῆς πάθη κνιζόμενα καὶ παροξυνόμενα, μᾶλλον ἀγριαίνεσθαι πέφυκε, καὶ τοὺς ἔχοντας αὐτὰ πλείονα ἁμαρτάνειν βιάζεται. καὶ γὰρ καὶ εἰς ἔρωτα δόξης ἐπαίρει τὸν μὴ προσέχοντα, καὶ εἰς ἀλαζονείαν, καὶ εἰς χρημάτων ἐπιθυμίαν· ὑποσύρει δὲ καὶ εἰς τρυφὴν καὶ εἰς ἄνεσιν καὶ ῥαθυμίαν, καὶ κατὰ μικρὸν εἰς τὰ περαιτέρω τούτων ἐκ τούτων τικτόμενα κακά. πολλὰ γάρ ἐστιν ἐν τῷ μέσῳ τὰ δυνάμενα ψυχῆς ἀκρίβειαν ἐκλῦσαι, καὶ τὸν ἐπὶ Θεὸν διακόψαι δρόμον. καὶ πρῶτον ἁπάντων, αἱ πρὸς τὰς γυναῖκας ὁμιλίαι. οὐδὲ γάρ ἐστι τὸν προεστῶτα καὶ παντὸς τοῦ ποιμνίου κηδόμενον, τοῦ μὲν τῶν ἀνδρῶν ἐπιμελεῖσθαι μέρους, τὸ δὲ τῶν γυναικῶν παρορᾶν, ὃ μάλιστα δεῖται προνοίας πλείονος, διὰ τὸ πρὸς ἁμαρτίαν εὐόλισθον· ἀλλὰ δεῖ καὶ τῆς τούτων ὑγιείας, εἰ καὶ μὴ ἐκ πλείονος, ἀλλ' οὖν ἐξ ἴσης φροντίζειν τῆς μοίρας τὸν λαχόντα τὴν ἐπισκοπὴν διοικεῖν. καὶ γὰρ ἐπισκέπτεσθαι αὐτὰς, ἡνίκα ἂν κάμνωσι, καὶ παρακαλεῖν, ἡνίκα ἂν πενθῶσι, καὶ ἐπιπλήττειν ῥαθυμούσαις, καὶ ἐπιβοηθεῖν καταπονουμέναις ἀνάγκη. τούτων δὲ γινομένων πολλὰς ἂν εὕροι τὰς παρεισδύσεις ὁ πονηρὸς, εἰ μὴ ἠκριβωμένῃ τις ἑαυτὸν τειχίσειε φυλακῇ. καὶ γὰρ ὀφθαλμὸς βάλλει καὶ θορυβεῖ ψυχὴν, οὐχ ὁ τῆς ἀκολάστου μόνον, ἀλλὰ καὶ ὁ τῆς σώφρονος· καὶ κολακεῖαι μαλάσσουσι, καὶ τιμαὶ καταδουλοῦνται· καὶ ἀγάπη ζέουσα (τοῦτο δὴ τὸ πάντων αἴτιον τῶν ἀγαθῶν) μυρίων γέγονεν αἴτιον κακῶν τοῖς οὐκ ὀρθῶς χρησαμένοις αὐτῇ. ἤδη δὲ καὶ φροντίδες συνεχεῖς ἤμβλυναν τὸ τῆς διανοίας ὀξὺ, καὶ μολύβδου βαρύτερον τὸ πτηνὸν ἀπειργάσαντο, καὶ θυμὸς δὲ προσπεσὼν καπνοῦ δίκην τὰ ἔνδον κατέσχεν ἅπαντα. τί ἄν τις λέγοι τὰς λοιπὰς βλάβας, τὰς ὕβρεις, τὰς ἐπηρείας, τὰς μέμψεις, τὰς παρὰ τῶν μειζόνων, τὰς παρὰ τῶν ἐλαττόνων, τὰς παρὰ τῶν συνετῶν, τὰς παρὰ τῶν ἀσυνέτων; τοῦτο γὰρ δὴ μάλιστα τὸ γένος τῆς ὀρθῆς ἀπεστερημένον κρίσεως, μεμψίμοιρόν τέ ἐστι, καὶ οὐκ ἂν εὐκόλως ἀπολογίας ἀνάσχοιτό ποτε. τὸν δὲ προεστῶτα καλῶς, οὐδὲ τούτων δεῖ καταφρονεῖν· ἀλλὰ πρὸς ἅπαντας, περὶ ὧν ἂν ἐγκαλῶσι, διαλύεσθαι μετὰ πολλῆς τῆς ἐπιεικείας καὶ πραότητος, συγγινώσκοντα μᾶλλον αὐτοῖς τῆς ἀλόγου μέμψεως, ἢ ἀγανακτοῦντα καὶ ὀργιζόμενον. εἰ γὰρ ὁ μακάριος Παῦλος, μὴ κλοπῆς ὑπόνοιαν λάβῃ παρὰ τοῖς μαθηταῖς, ἔδεισε, καὶ διὰ τοῦτο προσέλαβε καὶ ἑτέρους εἰς τὴν τῶν χρημάτων διακονίαν, ἵνα Μή τις ἡμᾶς μωμήσηται, φησὶν, ἐν τῇ ἁδρότητι ταύτῃ τῇ διακονουμένῃ ὑφ' ἡμῶν, πῶς ἡμᾶς οὐ πάντα δεῖ ποιεῖν, ὥστε τὰς πονηρὰς ἀναιρεῖν ὑποψίας, κἂν ψευδεῖς, κἂν ἀλόγιστοι τυγχάνωσιν οὖσαι, κἂν σφόδρα τῆς ἡμετέρας ἀπέχωσι δόξης; οὐδενὸς γὰρ ἁμαρτήματος τοσοῦτον ἡμεῖς ἀφεστήκαμεν, ὅσον κλοπῆς ὁ Παῦλος. ἀλλ' ὅμως καὶ τοσοῦτον ἀφεστηκὼς τῆς πονηρᾶς ταύτης πράξεως, οὐδὲ οὕτως ἠμέλησε τῆς τῶν πολλῶν ὑπονοίας, καίτοι λίαν οὔσης ἀλόγου καὶ μανιώδους. μανία γὰρ ἦν, τοιοῦτον ὑποπτεῦσαί τι περὶ τῆς μακαρίας καὶ θαυμαστῆς ἐκείνης κεφαλῆς. ἀλλ' ὅμως οὐδὲν ἧττον καὶ ταύτης τῆς ὑποψίας τῆς οὕτως ἀλόγου, καὶ ἣν οὐδεὶς ἂν μὴ παραπαίων ὑπώπτευσε, πόρρωθεν ἀναιρεῖ τὰς αἰτίας, καὶ οὐ διέπτυσε τὴν τῶν πολλῶν ἄνοιαν, οὐδὲ εἶπε· τίνι γὰρ ἂν ἐπέλθοι ποτὲ τοιαῦτα περὶ ἡμῶν ὑπονοεῖν, καὶ ἀπὸ τῶν σημείων, καὶ ἀπὸ τῆς ἐπιεικείας τῆς ἐν τῷ βίῳ πάντων ἡμᾶς καὶ τιμώντων καὶ θαυμαζόντων; ἀλλὰ πᾶν τοὐναντίον, καὶ ὑπείδετο καὶ προσεδόκησε ταύτην τὴν πονηρὰν ὑπόνοιαν, καὶ πρόρριζον αὐτὴν ἀνέσπασε, μᾶλλον δὲ οὐδὲ φῦναι τὴν ἀρχὴν ἀφῆκε. διὰ τί; Προνοοῦμεν γὰρ, φησὶ, καλὰ οὐ μόνον ἐνώπιον Κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων. τοσαύτῃ δεῖ, μᾶλλον δὲ καὶ πλείονι κεχρῆσθαι σπουδῇ, ὥστε μὴ μόνον αἰρομένας καταπαύειν καὶ κωλύειν τὰς φήμας τὰς οὐκ ἀγαθὰς, ἀλλὰ καὶ πόρρωθεν, ὅθεν ἂν γένοιντο, προορᾷν, καὶ τὰς προφάσεις, ἐξ ὧν τίκτονται, προαναιρεῖν, καὶ μὴ περιμένειν αὐτὰς

β. Κορ. η. κ.

Ῥωμ. ιβ. ιζ.

συστῆναι, καὶ ἐν τοῖς τῶν πολλῶν διαθρυλληθεῖσαι στόμασι. τηνικαῦτα γὰρ οὔτε εὔπορον αὐτὰς ἀφανίσαι λοιπόν, ἀλλὰ καὶ λίαν δυσχερές, τάχα δὲ καὶ ἀδύνατον· οὔτε ἀζήμιον, "τῷ μετὰ τὴν τῶν πολλῶν βλάβην τοῦτο γενέσθαι. ἀλλὰ γὰρ μέχρι τίνος οὐ στήσομαι διώκων ἀκίχητα; τὸ γὰρ ἁπάσας τὰς ἐκεῖ δυσχερείας καταλέγειν, οὐδὲν ἕτερόν ἐστιν, ἢ πέλαγος ἀναμετρεῖν. καὶ γὰρ ὅταν τις αὐτὸς παντὸς καθαρεύσῃ πάθους (ὃ τῶν ἀδυνάτων ἐστὶν) ἵνα τὰ τῶν ἄλλων ἐπανορθώσῃ πταίσματα, μυρία ὑπομένειν ἀναγκάζεται δεινά. προστεθέντων δὲ καὶ τῶν οἰκείων νοσημάτων, θέα τὴν ἄβυσσον τῶν πόνων καὶ τῶν φροντίδων, καὶ ὅσα πάσχειν ἀνάγκη τὸν τε οἰκείων καὶ τῶν ἀλλοτρείων βουλόμενον περιγενέσθαι κακῶν. καὶ ὁ Βασίλειος·

χ. τὸ

ΒΑΣ. ΝΥΝ δέ, φησιν, "οὐδέ σοι πόνων, οὐδὲ φροντίδας ἔχεις, κατὰ σαυτὸν ὤν.

χ. ἰδίᾳ τῶν πόνων ἀγὼν

ΧΡΥΣ. ΕΧΩ μέν, ἔφην, καὶ νῦν. πῶς γάρ ἐστιν, ἄνθρωπον ὄντα καὶ τὸν "πολύμοχθον τοῦτον βιοῦντα βίον, φροντίδων ἀπηλλάχθαι καὶ ἀγωνίας; ἀλλ' οὐκ ἔστιν ἴσον εἰς πέλαγος ἄπειρον ἐμπεσεῖν, καὶ ποταμὸν διαπλεῖν. τοσοῦτο γὰρ τούτων κἀκείνων τῶν φροντίδων τὸ μέσον. νῦν μὲν γὰρ εἰ μὲν δυνηθείην καὶ ἑτέροις γενέσθαι χρήσιμος, βουλοίμην ἂν καὶ αὐτός, καὶ πολλῆς μοι τοῦτο ἔργον εὐχῆς· εἰ δὲ οὐκ ἔστιν ἕτερον * ὀνῆσαι, ἐμαυτὸν γοῦν ἐὰν ἐξέσται διασῶσαι, καὶ τοῦ κλύδωνος ἐξελεῖν, ἀρκεσθήσομαι τούτῳ.

χ. μοχθηρὸν

* μοι

ΒΑΣ. ΕΙΤΑ, τοῦτο οἴει μέγα, φησίν, εἶναι, ὁ Βασίλειος, ὅλως δὲ καὶ σωθήσεσθαι νομίζεις, ἑτέρῳ μηδενὶ γενόμενος χρήσιμος;

ΧΡΥΣ. ΕΥ γε καλῶς, ἔφην, εἴρηκας. οὐδὲ γὰρ αὐτὸς τοῦτο πιστεύειν ἔχω, ὅτι σώζεσθαι ἔνεστι * τὸν οὐδὲν εἰς τὴν τοῦ πλησίον κάμνοντα σωτηρίαν. οὐδὲ γὰρ ἐκεῖνον τὸν δείλαιον ὤνησέ τι, τὸ μὴ μειῶσαι τὸ τάλαντον, ἀλλὰ καὶ ἀπώλεσε τὸ μὴ πλεονάσαι καὶ διπλοῦν "προσενεγκεῖν. πλὴν ἀλλ' ἐπιεικεστέραν μοι τὴν τιμωρίαν οἶμαι ἔσεσθαι ἐγκαλουμένῳ, διατί μὴ καὶ ἑτέρους ἔσωσα, ἢ "εἰ καὶ ἑτέρους καὶ ἐμαυτὸν προσαπώλεσα, πολὺ χείρων γενόμενος μετὰ τὴν τοσαύτην τιμήν. νῦν μὲν γὰρ τοσαύτην ἔσεσθαί μοι πιστεύω τὴν κόλασιν, ὅσην ἀπαιτεῖ τῶν ἁμαρτημάτων τὸ μέγεθος· μετὰ δὲ τὸ δέξασθαι τὴν ἀρχήν, οὐ διπλῆν μόνον καὶ τριπλῆν, ἀλλὰ καὶ πολλαπλασίονα, τῷ τε πλείονας σκανδαλίσαι, καὶ τῷ μετὰ μείζονα τιμὴν προσκροῦσαι τῷ τετιμηκότι Θεῷ. διά τοι τοῦτο καὶ τῶν Ἰσραηλιτῶν σφοδρότερον κατηγορῶν, τοῦτο δείκνυσιν αὐτοὺς μείζονος ὄντας κολάσεως ἀξίους, τῷ μετὰ τὰς παρ' αὐτοῦ γενομένας εἰς αὐτοὺς τιμὰς ἁμαρτεῖν, ποτὲ μὲν λέγων· Πλὴν ὑμᾶς ἔγνων ἐκ πασῶν τῶν φυλῶν τῆς γῆς· διὰ τοῦτο ἐκδικήσω ἐφ' ὑμᾶς τὰς "ἀσεβείας ὑμῶν· ποτὲ δέ, Ἔλαβον ἐκ τῶν υἱῶν ὑμῶν εἰς προφήτας, καὶ ἐκ τῶν νεανίσκων ὑμῶν εἰς "ἁγιασμόν. καὶ πρὸ τῶν προφητῶν, ἐπὶ τῶν θυσιῶν δεῖξαι βουλόμενος, ὅτι τὰ ἁμαρτήματα μείζονα ἐκδέχεται πολλῷ τὴν τιμωρίαν, ὅταν ὑπὸ τῶν ἱερέων γίνηται, ἢ ὅταν ὑπὸ τῶν ἰδιωτῶν, προστάττει τοσαύτην ὑπὲρ τῶν ἱερέων προσάγεσθαι τὴν θυσίαν, ὅσην ὑπὲρ παντὸς τοῦ λαοῦ. τοῦτο δὲ οὐδὲν ἕτερον δηλοῦντός ἐστιν, ἢ ὅτι μείζονος βοηθείας δεῖται τὰ τοῦ ἱερέως τραύματα, καὶ τοσαύτης, ὅσης ὁμοῦ τὰ παντὸς τοῦ λαοῦ. μείζονος δὲ οὐκ ἂν ἐδεῖτο, εἰ μὴ χαλεπώτερα ἦν. χαλεπώτερα δὲ γέγονεν, οὐ τῇ φύσει, ἀλλὰ "τῇ ἀξίᾳ τοῦ τολμῶντος αὐτὰ ἱερέως βαρούμενα. καὶ τί λέγω τοὺς ἄνδρας τοὺς τὴν λειτουργίαν μετιόντας; αἱ γὰρ θυγατέρες τῶν ἱερέων, αἷς οὐδεὶς πρὸς τὴν ἱερωσύνην λόγος, ὅμως διὰ τὸ πατρικὸν ἀξίωμα, τῶν αὐτῶν ἁμαρτημάτων πολὺ πικροτέραν ὑπέχουσι τὴν τιμωρίαν. καὶ τὸ μὲν πλημμέλημα ἴσον αὐταῖς καὶ ταῖς τῶν ἰδιωτῶν θυγατράσι (πορνεία γὰρ ἀμφότερα) τὸ δὲ ἐπιτίμιον πολλῷ τούτων χαλεπώτερον. ὁρᾷς μεθ' ὅσης σοι δείκνυσιν "ὑπερβολῆς ὁ Θεός, ὅτι πολλῷ πλείονα τῶν ἀρχομένων ἀπαιτεῖ τὸν ἄρχοντα τιμωρίαν; οὐ γὰρ δή που ὁ τὴν ἐκείνου θυγατέρα δι' ἐκεῖνον μειζόνως τῶν ἄλλων κολάζων, τὸν καὶ ἐκείνης τῆς προσθήκης τῶν βασάνων αἴτιον, ἴσην τοῖς "πολλοῖς εἰσπράξεται

Ματθ. κε. κδ.

Ἀμὼς γ β.

Ἀμὼς β ια.

Λευϊτ. δ. γ. ιδ.

Λευϊτ κα θ.

Δευτ. κβ.

* τινα

χ. προσενεγκεῖν.

χ. διὰ τί

χ. ἀδικίας

χ. ἁγιασμοῦ

χ. ὑπὸ τῆς ἀξίας

χ. τῆς δεσπότης

χ. ἄλλοις

ὑπεισέρχεται δίκην, ἀλλὰ πολλῷ μείζονα. καὶ μάλα γε εἰκότως. οὐ γὰρ εἰς αὐτὸν περιίσταται μόνον ἡ ζημία, ἀλλὰ καὶ τὰς τῶν ἀσθενεστέρων καὶ εἰς αὐτὸν βλεπόντων καταβάλλει ψυχάς. τοῦτο καὶ ὁ Ἰεζεκιὴλ "δεῖξαι βουλόμενος, διΐστησιν ἀπ' ἀλλήλων τὴν τῶν κριῶν καὶ τὴν τῶν προβάτων κρίσιν. ἆρά σοι δοκοῦμεν λόγον ἔχοντα πεφοβῆσθαι φόβον; πρὸς γὰρ τοῖς εἰρημένοις, νῦν μὲν εἰ καὶ πολλοῦ μοι δεῖ πόνου πρὸς τὸ μὴ δὴ καταγωνισθῆναι τέλεον ὑπὸ τῶν τῆς ψυχῆς παθῶν, ἀλλ' ὅμως ἀνέχομαι τὸν πόνον, καὶ οὐ φεύγω τὸν ἀγῶνα. καὶ γὰρ ὑπὸ κενοδοξίας ἁλίσκομαι μὲν καὶ νῦν, ἀναφέρω δὲ πολλάκις· καὶ ὅπῃ ἑάλων, συνορῶ· ἔστι δὲ ὅτε καὶ ἐπιτιμῶ τῇ δουλωθείσῃ ψυχῇ. ἐπιθυμίαι μοι προσπίπτουσι μὲν ἄτοποι καὶ νῦν· ἀλλὰ ἀργοτέραν ἀνάπτουσι τὴν φλόγα, τῶν ὀφθαλμῶν ἔξωθεν οὐκ ἐχόντων ἐπιλαβέσθαι τῆς τοῦ πυρὸς ὕλης. τοῦ δὲ κακῶς τινα λέγειν, καὶ λεγόμενον ἀκούειν, ἀπήλλαγμαι παντελῶς, τῶν διαλεγομένων οὐ παρόντων. οὐ γὰρ δὴ οὗτοι οἱ τοῖχοι δύναιντ' ἂν "ἀφιέναι φωνήν. ἀλλ' οὐχὶ καὶ τὴν ὀργὴν ὁμοίως δυνατὸν διαφυγεῖν, καίτοι γε τῶν παροξυνόντων οὐκ ὄντων. μνήμη γὰρ πολλάκις ἀνδρῶν ἀτόπων προσπεσοῦσα, καὶ τῶν ὑπ' αὐτῶν "γινομένων, ἐξοιδεῖν "μοι τὴν καρδίαν ποιεῖ, πλὴν ἀλλ' οὐκ εἰς τέλος. ταχέως γὰρ αὐτὴν φλεγμαίνουσαν καταστέλλομεν, καὶ πείθομεν ἡσυχάζειν, εἰπόντες ὅτι λίαν ἀσύμφωνον, καὶ τῆς ἐσχάτης ἀθλιότητος, τὰ οἰκεῖα ἀφέντας κακὰ, τὰ τῶν πλησίον περιεργάζεσθαι. ἀλλ' οὐκ εἰς τὸ πλῆθος ἐλθὼν, καὶ ταῖς μυρίαις "ἐναποληφθεὶς ταραχαῖς δυνήσομαι ταύτης "ἀπολαύειν τῆς νουθεσίας, οὐδὲ εὑρεῖν τοὺς ταῦτα παιδαγωγοῦντάς με λογισμοὺς εὑρεῖν. ἀλλ' ὥσπερ οἱ κατὰ κρημνῶν ὑπό τινος ῥεύματος ἢ καὶ ἑτέρας ἀνάγκης ὠθούμενοι, τὴν μὲν ἀπώλειαν, εἰς ἣν τελευτῶσι, προορᾶν δύνανται, βοήθειαν δέ τινα ἐπινοεῖν οὐκ ἔχουσιν· οὕτω καὶ αὐτὸς εἰς τὸν πολὺν τῶν παθῶν θόρυβον ἐμπεσὼν, τὴν μὲν κόλασιν καθ' ἑκάστην αὐξομένην μοι τὴν ἡμέραν δυνήσομαι συνορᾶν· τὸ ἐμαυτοῦ δὲ γενέσθαι, καθάπερ καὶ νῦν, καὶ ἐπιτιμῆσαι λυττῶσι πάντοθεν τοῖς νοσήμασι τούτοις, οὐκ ἔτι ὁμοίως εὐπορῶ, καθάπερ καὶ πρότερον. ἐμοὶ γὰρ ψυχή τις ἐστὶν ἀσθενὴς, καὶ μικρὰ, καὶ εὐχείρωτος οὐ τούτοις μόνον τοῖς πάθεσιν, ἀλλὰ καὶ τῷ πάντων πικροτέρῳ φθόνῳ· καὶ οὔτε ὕβρεις, οὔτε τιμὰς μετρίως ἐπίσταται φέρειν, ἀλλὰ μεθ' ὑπερβολῆς αὗταί τε ἐπαίρουσιν αὐτὴν, καὶ ταπεινοῦσιν ἐκεῖναι. ὥσπερ οὖν θηρία χαλεπὰ, ὅταν μὲν εὐσωματῇ καὶ σφριγᾷ, τῶν πρὸς αὐτὰ μαχομένων κρατεῖ, καὶ μάλιστα, ὅταν ἀσθενεῖς ὦσι καὶ ἄπειροι· εἰ δέ τις "αὐτὰ λιμῷ κατατήξειε, τόν τε θυμὸν αὐτῶν ἐκοίμισε, καὶ τῆς δυνάμεως τὸ πλέον ἔσβεσεν, ὡς καὶ τὸν μὴ λίαν γενναῖον ἀναδέξασθαι τὸν πρὸς ταῦτα ἀγῶνα καὶ πόλεμον· οὕτω καὶ τὰ πάθη τῆς ψυχῆς, ὁ μὲν ἀσθενῆ ποιῶν, "ὑποχείρια τοῖς ὀρθοῖς αὐτὰ τίθησι λογισμοῖς· ὁ δὲ τρέφων ἐπιμελῶς, χαλεπωτέραν αὐτῷ τὴν πρὸς "αὐτὰ καθίστησι μάχην, καὶ οὕτως αὐτῷ φοβερὰ ἀπεργάζεται, ὡς ἐν δουλείᾳ καὶ δειλίᾳ τὸν πάντα χρόνον βιοῦν. τίς οὖν τῶν θηρίων τούτων ἡ τροφή; κενοδοξίας μὲν, τιμαὶ καὶ ἔπαινοι· ἀπονοίας δὲ, ἐξουσία καὶ δυναστείας μέγεθος· βασκανίας δὲ, αἱ τῶν πλησίον εὐδοκιμήσεις· φιλαργυρίας, αἱ τῶν παρεχόντων φιλοτιμίαι· ἀκολασίας, τρυφὴ καὶ αἱ συνεχεῖς τῶν γυναικῶν ἐντεύξεις· καὶ ἕτερον ἑτέρου. πάντα δὲ ταῦτα εἰς μὲν τὸ μέσον ἐλθόντι σφοδρῶς ἐπιθήσεται, καὶ σπαράξει "μοι τὴν ψυχὴν, καὶ "φοβερὰ ἔσται, καὶ χαλεπώτερόν μοι τὸν πρὸς "ταῦτα ποιήσει πόλεμον. ἐνταῦθα δὲ καθημένῳ, μετὰ πολλῆς μὲν καὶ οὕτως ὑποταγήσεται βίας· ὑποταγήσεται δ' οὖν ὅμως τῇ τοῦ Θεοῦ χάριτι, καὶ τῆς ὑλακῆς αὐτοῖς οὐδὲν ἔσται πλέον. διὰ ταῦτα τὸν οἰκίσκον φυλάττω τοῦτον, καὶ ἀπρόϊτος καὶ ἀκοινώνητός εἰμι καὶ ἀσυνουσίαστος, καὶ μυρίας ἑτέρας τοιαύτας μέμψεις ἀκούειν ἀνέχομαι, ἡδέως μὲν ἂν αὐτὰς ἀποτριψάμενος, τῷ δὲ μὴ δύνασθαι δακνόμενος καὶ ἀλγῶν. οὐδὲ γὰρ εὔπορόν μοι ὁμιλητικόν τε ὁμοῦ γενέσθαι, καὶ ἐπὶ τῆς παρούσης ἀσφαλείας μένειν. διὸ καὶ αὐτόν σε παρακαλῶ, τὸν ὑπὸ τοσαύτης δυσχερείας ἀπειλημμένον ἐλεεῖν μᾶλλον, ἢ διαβάλλειν.

Ιεζεκ. λδ. δ.

γ. διδάξαι

γ. ἀφεῖναι

γ. γινομ.

γ. μυ

γ. ὑποληφ-
θεὶς

γ. ἀπολαῦσαι

γ. ἑτέρως

γ. ταῦτα

ὑπὸ τοῖς
ὀρθοῖς αὐτὰ
τίθησι

γ. ταῦτα

μυ

φοβερώ-
τερα

αὐτά

ἀλλ' οὐδέπω σε πείθομεν. ἄκουσον ὥρα σοι λοιπὸν, ὃ μόνον εἶχον ἀπόρρητον, πρὸς σὲ καὶ
τοῦτο ἐκβαλεῖν. καὶ ἴσως μὲν ἄπιστον εἶναι δόξει πολλοῖς· ἐγὼ δὲ αὐτὸ οὐδὲ οὕτως εἰς μέσον
ἐνεγκεῖν αἰσχυνθήσομαι. εἰ γὰρ καὶ πονηρᾶς συνειδήσεως, καὶ μυρίων ἁμαρτημάτων ἔλεγχος
τὰ λεγόμενα, τοῦ μέλλοντος ἡμᾶς κρίνειν Θεοῦ πάντα εἰδότος ἀκριβῶς, τί πλέον ἡμῖν
ἐκ τῆς τῶν ἀνθρώπων ἀγνοίας ἐγγενέσθαι δυνήσεται; τί οὖν ἐστι τὸ ἀπόρρητον; ἀπὸ τῆς
ἡμέρας ἐκείνης, ἐν ᾗ ταύτην ἐνέθηκάς μοι τὴν ὑποψίαν, πολλάκις ἐκινδύνευσέ μοι
παραλυθῆναι τὸ σῶμα τέλεον. τοσοῦτος μὲν φόβος, τοσαύτη δὲ ἀθυμία κατεῖχέ μου τὴν
ψυχήν. τῆς γὰρ Χριστοῦ νύμφης τὴν δόξαν ἐννοῶν, τὴν ἁγιωσύνην, τὸ κάλλος τὸ πνευματικὸν, τὴν σύνεσιν, τὴν εὐκοσμίαν, καὶ τὰ ἐμαυτοῦ λογιζόμενος κακὰ, οὐ διελίμπανον
ἐκείνην τε πενθῶν, καὶ ἐμαυτὸν ταλανίζων, καὶ στένων συνεχῶς, καὶ διαπορῶν, πρὸς ἐμαυτὸν
ἔλεγον ταῦτα· τίς ἄρα ταῦτα συνεβούλευσε; τί τοσοῦτον ἥμαρτεν ἡ τοῦ Θεοῦ ἐκκλησία; τί
"τηλικοῦτο παρώξυνε τὸν αὐτῆς δεσπότην, ὡς τῷ πάντων ἀτιμοτάτῳ παραδοθῆναι ἐμοὶ, χ. -τὸν
καὶ τοσαύτην ὑπομεῖναι αἰσχύνην; ταῦτα πολλάκις κατ' ἐμαυτὸν λογιζόμενος, καὶ τοῦ λίαν
ἀτόπου μηδὲ τὴν ἐνθύμησιν δυνάμενος ἐνεγκεῖν, ὥσπερ οἱ παραπλῆγες, ἐκείμην ἀχανὴς, οὔτε ὁρᾶν, οὔτε ἀκούειν τι δυνάμενος. τῆς δὲ ἀμηχανίας με τῆς τοσαύτης ἀφιείσης
(καὶ γὰρ ἔστιν ὅτε καὶ ὑπεξίστατο) διεδέχετο δάκρυα καὶ ἀθυμία· καὶ μετὰ τὸν τῶν δακρύων
κόρον ἀντεισῄει πάλιν ὁ φόβος ταράττων, καὶ θορυβῶν, καὶ διασείων "μοι τὴν διάνοιαν. χ. μου
τοσαύτῃ ζάλῃ τὸν παρελθόντα συνέζων χρόνον· σὺ δὲ ἠγνόεις, καὶ ἐν γαλήνῃ με διάγειν ἐνόμιζες. ἀλλὰ νῦν σοι ἀποκαλύψαι πειράσομαι τὸν χειμῶνα τῆς ἐμῆς ψυχῆς. τάχα γάρ
μοι καὶ ἀπὸ τούτου συγγνώσῃ, τὰ ἐγκλήματα ἀφείς. πῶς οὖν σοι, πῶς αὐτὸν "ἐκκαλύψομεν; χ. -σομαι
εἰ μὲν σαφῶς ἐθέλοις ἰδεῖν, ἑτέρως οὐκ "ἂν εἴη, ἀλλ' ἢ τὴν καρδίαν "ἀπογυμνώσαντα χ. ἐθέλῃς,
τὴν ἐμήν. ἐπειδὴ δὲ τοῦτο ἀδύνατον, δι' ἀμυδρᾶς τινος εἰκόνος, ὡς ἂν οἷός τε ὦ, πειράσομαί σοι τὸν τῆς ἀθυμίας τέως ὑποδεῖξαι καπνόν. "σοὶ δὲ ἐκ τῆς εἰκόνος ἔνεστι τὴν ἀθυ- χ. γυμν.
μίαν" συλλέγειν μόνον. ὑποθώμεθα εἶναί τινι μνηστὴν τοῦ πάσης τῆς ὑφ' "ἥλιον κειμένης γῆς χ. σὺ δὲ ἐκ τ. εἰκ. τ. ἀ.
"βασιλεύοντος θυγατέρα· ταύτην τε τῆς κόρης κάλλος τι ἔχειν ἀμήχανον, οἷον καὶ τὴν ἀνθρωπείαν ὑπερβαίνειν φύσιν, καὶ τούτῳ τὸ τῶν γυναικῶν ἁπασῶν φῦλον ἐκ πολλοῦ τοῦ διαστήματος νικᾶν, χ. συλλεγομένην ὁρᾶ. χ. ἡλίῳ χ. βασιλεύοντος
καὶ ψυχῆς ἀρετὴν τοσαύτην, ὡς καὶ τὸ τῶν ἀνδρῶν γένος, τῶν τε γενομένων, τῶν τε ἐσομένων
ποτὲ, πολλῷ τῷ μέτρῳ κατόπιν ἀφεῖναι· καὶ πάντας μὲν ὑπερβῆναι φιλοσοφίας ὅρους τῇ τῶν
τρόπων εὐκοσμίᾳ, πᾶσαν δὲ κρύψαι σώματος ὥραν τῷ τῆς οἰκείας ὄψεως κάλλει. τὸν δὲ ταύτης μνηστῆρα, μὴ διὰ ταῦτα μόνον ἐπικεκλῆσθαι τῆς παρθένου, ἀλλὰ καὶ χωρὶς τούτων πάσχειν
τι πρὸς αὐτὴν, καὶ τῷ πάθει τούτῳ τοὺς μανικωτάτους τῶν πώποτε γενομένων ἀποκρύψαι ἐραστῶν. εἶτα μεταξὺ τῷ φίλτρῳ καιόμενον ἀκοῦσαί ποθεν, ὅτι τὴν θαυμαστὴν ἐρωμένην
ἐκείνην τῶν εὐτελῶν τις καὶ ἀπερριμμένων ἀνδρῶν, [καὶ] δυσγενὴς, καὶ τὸ σῶμα ἀνάπηρος, καὶ
πάντων τῶν ὄντων μοχθηρότατος μέλλοι πρὸς γάμον "ἀγαγέσθαι. ἆρά σοι μικρόν τι μέ- χ. ἄγεσθ.
ρος τῆς ἡμετέρας ὀδύνης παρεστήσαμεν, καὶ ἀρκεῖ μέχρι τούτου στῆσαι τὴν εἰκόνα; τῆς
μὲν ἀθυμίας ἕνεκεν ἀρκεῖν οἶμαι (καὶ γὰρ διὰ τοῦτο μόνον αὐτὴν παρειλήφαμεν) ἵνα
δέ σοι καὶ τοῦ φόβου καὶ τῆς ἐκπλήξεως "παραστήσω τὸ μέτρον, ἐφ' ἑτέραν πάλιν ἴωμεν χ. ὑποδείξ
ὑπογραφήν. καὶ ἔστω στρατόπεδον ἐκ πεζῶν καὶ ἱππέων καὶ ναυμάχων συνειλεγμένον ἀνδρῶν·
καὶ καλυπτέτω μὲν τὴν θάλατταν ὁ τῶν τριήρων ἀριθμὸς, καλυπτέτωσαν δὲ τὰ τῶν πεδίων
πλήθη καὶ τὰς τῶν ὀρῶν κορυφὰς αἱ τῶν πεζῶν καὶ ἱππέων φάλαγγες· καὶ ἀντιλαμπέτω
μὲν ἡλίῳ τῶν ὅπλων ὁ χαλκὸς, καὶ ταῖς ἐκεῖθεν "πεμπομέναις ἀκτῖσιν ἡ τῶν περικεφαλαίων καὶ τῶν ἀσπίδων ἀνταφιέσθω μαρμαρυγή. ὁ δὲ τῶν δοράτων κτύπος, καὶ ὁ τῶν ἵππων χ. αἱ πεμπομ.
χρεμετισμὸς πρὸς αὐτὸν φερέσθω τὸν οὐρανόν· καὶ μήτε θάλασσα φαινέσθω, μήτε
γῆ, ἀλλὰ χαλκὸς καὶ σίδηρος πανταχοῦ. ἀντιπαρατεταχθωσαν δὲ αὐτοῖς καὶ πολέμιοι,

ἄγριοί τινες ἄνδρες καὶ ἀνήμεροι· ἐνεστηκέτω δὲ ἤδη καὶ ὁ τῆς συμβολῆς καιρός. Εἶτα, ἁρπάσας τις ἐξαίφνης μειράκιον τῶν ἐν * ἀγρῷ τραφέντων, καὶ τῆς πηκτίδος καὶ τῆς καλαύροπος πλέον "εἰδότων οὐδέν, καθοπλιζέτω μὲν αὐτὸ ὅπλοις χαλκοῖς, περιαγέτω δὲ τὸ στρατόπεδον ἅπαν, καὶ δεικνύτω λόχους, καὶ λοχαγούς, τοξότας, σφενδονήτας, ταξιάρχους, στρατηγούς, ὁπλίτας, ἱππέας, ἀκοντιστάς, τριήρεις, τριηράρχους, τοὺς ἐκεῖ πεφραγμένους στρατιώτας, τῶν ἐν ταῖς ναυσὶν ἀποκειμένων μηχανημάτων τὸ πλῆθος. δεικνύτω δὲ καὶ τὴν τῶν πολεμίων παράταξιν ἅπασαν, καὶ ὄψεις ἀποτροπαίους τινάς, καὶ σκευὴν ὅπλων ἐξηλλαγμένην, καὶ πλῆθος ἄπειρον, καὶ φάραγγας, καὶ κρημνοὺς βαθεῖς, καὶ "δυσχερείας ὀρῶν. δεικνύτω δὲ [ἐπὶ] παρὰ τοῖς ἐναντίοις καὶ πετομένους ἵππους διά τινος μαγγανείας, καὶ ὁπλίτας δι᾽ ἀέρος φερομένους, καὶ πάσης γοητείας δύναμίν τε καὶ ἰδέαν. καταλεγέτω δὲ καὶ τὰς τοῦ πολέμου συμφοράς, τῶν ἀκοντίων τὸ νέφος, τῶν βελῶν τὰς νιφάδας, τὴν πολλὴν ἀχλὺν ἐκείνην, καὶ τὴν ἀορασίαν, τὴν ζοφωδεστάτην νύκτα, ἣν τὸ τῶν τοξευμάτων συνίστησι πλῆθος ἀποστρέφον τῇ πυκνότητι τὰς ἀκτῖνας, τὴν κόνιν οὐχ ἧττον τοῦ σκότους τοὺς ὀφθαλμοὺς ἀμαυροῦσαν, τοὺς τῶν αἱμάτων χειμάρρους, τῶν πιπτόντων τὰς οἰμωγάς, τῶν ἑστώτων τοὺς ἀλαλαγμούς, τῶν κειμένων "τὰς σωρείας, τροχοὺς αἵματι βαπτιζομένους, ἵππους αὐτοῖς ἀναβάταις πρηνεῖς φερομένους ἀπὸ τοῦ πλήθους τῶν κειμένων νεκρῶν, τὴν γῆν φύρδην ἅπαντα ἔχουσαν, αἷμα, καὶ τόξα, καὶ βέλη, ἵππων ὁπλάς, καὶ ἀνθρώπων κεφαλὰς ὁμοῦ κειμένας, καὶ "βραχίονας, καὶ "τράχηλον, καὶ κνημῖδα, καὶ στῆθος διακοπέν, ἐγκεφάλους ξίφεσι "προσπεπλασμένους, ἀκίδα βέλους "ἐκκεκλασμένην καὶ ὀφθαλμὸν ἔχουσαν ἐμπεπερονημένον. καταλεγέτω καὶ τὰ τοῦ ναυτικοῦ πάθη, τριήρεις, τὰς μὲν ἐν μέσοις ἀναπτομένας τοῖς ὕδασι, τὰς δὲ αὐτοῖς ὁπλίταις καταδυομένας, καὶ τὸν τῶν ὑδάτων ἦχον, καὶ τὸν τῶν ναυτῶν θόρυβον, τὴν τῶν στρατιωτῶν βοήν, τὸν κυμάτων καὶ τῶν αἱμάτων ὁμοῦ μιγνύμενον τὸν ἀφρόν, καὶ ὁμοῦ τοῖς πλοίοις "ἐπεισιόντα πᾶσι· τοὺς ἐπὶ τῶν καταστρωμάτων νεκρούς, τοὺς καταποντιζομένους, τοὺς ἐπιπλέοντας, τοὺς εἰς τοὺς αἰγιαλοὺς ἐκβρασσομένους, τοὺς ἔνδον τοῖς κύμασι περικλυζομένους καὶ ταῖς ναυσὶν ἀποφράττοντας τὴν ὁδόν. καὶ πάσας ἀκριβῶς διδάξας τὰς τοῦ πολέμου τραγῳδίας, προστιθέτω καὶ τὰ τῆς αἰχμαλωσίας "δεινά, καὶ τὴν παντὸς θανάτου χαλεπωτέραν δουλείαν. καὶ ταῦτα εἰπών, κελευέτω τὸν ἵππον ἀναβαίνειν εὐθέως, καὶ τοῦ στρατοπέδου παντὸς ἐκείνου στρατηγεῖν. ἆρα οἴει πρὸς τὴν "διοίκησιν ἐκείνην ἀρκέσειν τὸ μειρακίσκιον ἐκεῖνο, ἀλλ᾽ οὐκ ἀπὸ πρώτης ὄψεως εὐθέως ἀφήσειν τὴν ψυχήν; καὶ μή τοι με νομίσῃς ἐπαίρειν τὸ πρᾶγμα τῷ λόγῳ· μηδ᾽ ὅτι τῷ σώματι τούτῳ, καθάπερ τινὶ δεσμωτηρίῳ, κατακλεισθέντες, τῶν ἀοράτων οὐδὲν δυνάμεθα ἰδεῖν, μεγάλα τὰ εἰρημένα εἶναι "νόμιζε. πολὺ γὰρ ταύτης τῆς μάχης μείζονα καὶ "φρικωδεστέραν εἶδες ἄν, εἰ τοῦ διαβόλου τὴν ζοφωδεστάτην παράταξιν, καὶ τὴν μανιώδη συμβολὴν τούτοις τοῖς ὀφθαλμοῖς ἰδεῖν ἠδυνήθης ποτέ. οὐ γὰρ χαλκὸς ἐκεῖ καὶ σίδηρος, οὐδὲ ἵπποι καὶ ἅρματα καὶ τροχοί, οὐδὲ πῦρ καὶ βέλη ταῦτα τὰ ὁρατά· ἀλλ᾽ ἕτερα πολὺ τούτων φοβερώτερα μηχανήματα.- οὐ δεῖ τούτοις τοῖς πολεμίοις θώρακος καὶ ἀσπίδος, οὐδὲ ξιφῶν καὶ δοράτων· ἀλλ᾽ ἀρκεῖ μόνη ἡ ὄψις τῆς ἐπαράτου στρατιᾶς ἐκείνης παραλῦσαι τὴν ψυχήν, ἂν μὴ λίαν οὖσα γενναία τύχῃ, καὶ πρὸ τῆς οἰκείας ἀνδρείας πολλῆς ἀπολαύσῃ τῆς παρὰ τοῦ Θεοῦ προνοίας. καὶ εἴ γε ἦν δυνατὸν τὸ σῶμα ἀποδύντα τοῦτο, ἢ καὶ μετὰ * τοῦ σώματος δυνηθῆναι καθαρῶς καὶ ἀφόβως ἅπασαν τὴν ἐκείνου παράταξιν, καὶ τὸν πρὸς ἡμᾶς πόλεμον ὀφθαλμοφανῶς ἰδεῖν, εἶδες ἂν οὐ χειμάρρους αἱμάτων, οὐδὲ σώματα νεκρά, ἀλλὰ ψυχῶν πτώματα τοσαῦτα, καὶ τραύματα οὕτω χαλεπά, ὡς ἅπασαν ἐκείνην τοῦ πολέμου τὴν ὑπογραφήν, ἣν ἄρτι διῆλθον πρὸς σέ, παίδων "ἵνα ἀθύρματα εἶναι νομίσαι, καὶ παιδιὰν μᾶλλον ἢ πόλεμον· τοσοῦτοι καὶ καθ᾽ ἑκάστην πληττόμενοι τὴν ἡμέραν. τὰ δὲ τραύματα οὐκ ἴσην ἐργάζεται τὴν νέκρωσιν, ἀλλ᾽ ὅσον ψυχῆς καὶ σώματος τὸ μέσον,

πό

γ. -δὲς

γ. δυσχωρίας

γ. τοῦ σωροῦ

γ. -να

γ. τραχὸν

γ. περιπεπλεγμένους,

γ. ἐγκεκλασ.

γ. ἐπιόντα

γ. κατὰ

γ. διήγησιν τὸ μόνον ἀρκεῖν τὸ μειρακίσκιον ἐκεῖνον,

γ. νομίσῃς

γ. φρικωδέστερα

* τότε

γ. ἰδεῖν

τοσοῦτον ἐκείνης καὶ ταύτης τὸ διάφορον. ὅταν γὰρ λάβῃ τὴν πληγὴν ἡ ψυχή, καὶ πέσῃ, οὐ κεῖται καθάπερ τὸ σῶμα ἀνεπαισθήτως, ἀλλὰ βασανίζεται μὲν ἐντεῦθεν ἤδη τῇ πονηρᾷ συνειδήσει τηκομένη· μετὰ δὲ τὴν ἐνθένδε ἀπαλλαγήν, κατὰ τὸν τῆς κρίσεως καιρὸν ἀθανάτῳ παραδίδοται τιμωρίᾳ. εἰ δέ τις ἀναλγήτως ἔχοι πρὸς τὰς τοῦ διαβόλου πληγάς, μεῖζον ὑπὸ τῆς ἀναισθησίας ἐκείνῳ γίνεται τὸ δεινόν. ὁ γὰρ ἐπὶ τῇ προτέρᾳ πληγῇ μὴ ἀλγηθείς, εὐκόλως δέξεται καὶ δευτέραν, καὶ μετ' ἐκείνην ἑτέραν. οὐ γὰρ διαλιμπάνει μέχρι καὶ τῆς ἐσχάτης ἀναπνοῆς παίων ὁ μιαρός, ὅταν εὕρῃ ψυχὴν ὑπτίαν καὶ τῶν προτέρων καταφρονοῦσαν πληγῶν. εἰ δὲ καὶ τῆς συμβολῆς τὸν τρόπον ἐξετάζειν ἐθέλοις, πολὺ ταύτην σφοδροτέραν καὶ ποικιλωτέραν ἴδοις ἄν. οὔτε γὰρ κλοπῆς καὶ δόλου τοσαύτας τις οἶδεν ἰδέας, ὅσας ἐκεῖνος ὁ μιαρός (ταύτῃ γοῦν τὴν πλείονα κέκτηται δύναμιν) οὔτε ἔχθραν τις οὕτως ἀκήρυκτον δύναται ἔχειν πρὸς τοὺς ἄγαν πολεμιωτάτους αὐτῷ, ὅσην πρὸς τὴν ἀνθρωπίνην φύσιν ὁ πονηρὸς δαίμων ἐκεῖνος. καὶ τὴν προθυμίαν δὲ εἴ τις ἐξετάζοι, μεθ' ἧς μάχεται ἐκεῖνος, ἀνθρώποις μὲν ἐνταῦθα καὶ γελοῖον παραβαλεῖν. εἰ δέ τις τὰ ὀργιλώτατα καὶ ἀπηνέστατα τῶν θηρίων ἐκλεξάμενος, ἀντιθεῖναι θέλοι τῇ τούτου μανίᾳ, πρᾳότατα ὄντα καὶ ἡμερώτατα εὑρήσει* τῇ παραβολῇ. τοσοῦτον ἐκεῖνος πνεῖ θυμόν, ταῖς ἡμετέραις προσβάλλων ψυχαῖς. καὶ ὁ τῆς μάχης δὲ χρόνος ἐνταῦθα μὲν βραχύς, καὶ ἐν τῷ βραχεῖ δὲ αὐτῷ πολλαὶ αἱ ἀνακωχαί. καὶ γὰρ καὶ νὺξ ἐπελθοῦσα, καὶ ὁ τοῦ σφάζειν κάματος, καὶ τροφῆς καιρός, καὶ πολλὰ ἕτερα διαναπαύειν τὸν στρατιώτην πέφυκεν, ὡς καὶ ἀποδῦσαι τὴν πανοπλίαν, καὶ διαναπνεῦσαι μικρόν, καὶ σίτῳ καὶ ποτῷ ἀναψύξαι, καὶ ἑτέροις πολλοῖς τὴν προτέραν ἀνακλήσασθαι δύναμιν. ἐπὶ δὲ τοῦ πονηροῦ οὐκ ἔστι τὰ ὅπλα καταθέσθαι ποτέ, οὐκ ἔστιν ὕπνον ἀράσθαι τὸν βουλόμενον ἄτρωτον μένειν διαπαντός. ἀνάγκη γὰρ δυοῖν θάτερον, ἢ πεσεῖν καὶ ἀπολέσθαι γυμνωθέντα, ἢ διαπαντὸς καθωπλισμένον ἑστάναι καὶ ἐγρηγορότα. καὶ γὰρ ἐκεῖνος διαπαντὸς ἕστηκε μετὰ τῆς αὐτοῦ παρατάξεως, τὰς ἡμετέρας ῥαθυμίας παρατηρῶν, πλείονά τε εἰσφέρων σπουδὴν εἰς τὴν ἡμετέραν ἀπώλειαν, ἢ εἰς τὴν σωτηρίαν ἡμεῖς τὴν ἑαυτῶν. καὶ τὸ μὴ ὁρᾶσθαι δὲ αὐτὸν ὑφ' ἡμῶν, καὶ τὸ ἐξαπίνης ἐπιτίθεσθαι (ἃ μάλιστα τῶν μυρίων ἐστὶν αἴτια κακῶν) τοῖς οὐκ ἐγρηγορόσι διαπαντὸς πολὺ τοῦτον ἀπορώτερον ἐκείνου δείκνυσι τὸν πόλεμον. ἐνταῦθα οὖν ἡμᾶς ἤθελες στρατηγεῖν τοῖς στρατιώταις τοῦ Χριστοῦ; ἀλλὰ τῷ διαβόλῳ τοῦτο ἦν στρατηγεῖν. ὅταν γὰρ ὁ διατάττειν καὶ διακοσμεῖν τοὺς λοιποὺς ὀφείλων, πάντων ἀπειρότατος καὶ ἀσθενέστατος ᾖ, προδοὺς ὑπὸ τῆς ἀπειρίας τοὺς πιστευθέντας, τῷ διαβόλῳ μᾶλλον ἐστρατήγησεν, ἢ τῷ Χριστῷ. ἀλλὰ τί στένεις; τί δακρύεις; οὐ γὰρ θρήνων ἄξια τὰ κατ' ἐμὲ νῦν, ἀλλ' εὐφροσύνης καὶ χαρᾶς.

γρ. ἐνταῦθα
γρ. --νης
γρ. δέχεται
γρ. -της
γρ. δυνήσεται
γρ. παραβάλλειν.
*ἐν
γρ. ἀναπνεῦσ
γρ. σιτίῳ
γρ. διαναψύξαι
γρ. κοσμεῖν

ΒΑΣ. ΑΛΛ' οὐχὶ καὶ τὰ ἐμά, φησίν, ἀλλὰ μυρίων ἄξια ταῦτα κοπετῶν. νῦν γὰρ μόλις ἠδυνήθην συνιδεῖν, οἷ τῶν κακῶν με ἤγαγες. ἐγὼ μὲν γὰρ εἰσῆλθον πρὸς σέ, ὅ, τι ποτὲ ὑπὲρ σοῦ πρὸς τοὺς ἐγκαλοῦντας ἀπολογήσομαι, δεόμενος μαθεῖν· σὺ δέ με ἐκπέμπεις ἑτέραν ἀνθ' ἑτέρας φροντίδα ἐνθείς. οὐ γὰρ ἔτι μοι μέλει, τί πρὸς ἐκείνους ὑπὲρ σοῦ, ἀλλὰ τί πρὸς τὸν Θεὸν ὑπὲρ ἐμαυτοῦ καὶ τῶν ἐμῶν ἀπολογήσομαι κακῶν. πλὴν ἀλλά σου δέομαι καὶ ἀντιβολῶ, εἴ τι σοι μέλει τῶν ἐμῶν, εἴ τις παράκλησις ἐν Χριστῷ, εἴ τι παραμύθιον ἀγάπης, εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοί (καὶ γὰρ οἶδας, ὅτι με μάλιστα πάντων αὐτὸς εἰς τοῦτον τὸν κίνδυνον ἤγαγες) χεῖρα ὄρεξον, καὶ λέγων καὶ πράττων τὰ δυνάμενα ἡμᾶς ἀνορθοῦν, μηδὲ ἀνάσχῃ πρὸς γοῦν τὸ βραχύτατον ἡμᾶς ἀπολιπεῖν, ἀλλὰ νῦν μᾶλλον ἢ πρότερον κοινὰς ποιεῖσθαι τὰς διατριβάς.

Φιλιπ. β α.

ΧΡΥΣ. Ἐγὼ δὲ μειδιάσας, ΚΑΙ τί συμβαλέσθαι, ἔφην, τί δέ σε ὀνῆσαι δυνήσομαι πρὸς τὸν τοσοῦτον πραγμάτων ὄγκον; πλὴν ἀλλ' ἐπειδή σοι τοῦτο ἡδύ, θάρρει, ὦ φίλη κεφαλή. τὸν γὰρ

γρ. -των

καιρόν,

καιρὸν, καθ' ὃν ἂν δέξῃ σοι τῶν ἐκεῖθεν φροντίδων ἀνάπαυσιν, καὶ παρέσομαι, καὶ παρακαλέσω, καὶ τὴν εἰς δύναμιν τὴν ἐμὴν ″ἐλλείψω οὐδέν.

γ. ἐνλείψει

Ἐπὶ τούτοις πλέον ἐκεῖνος δακρύσας, ἀνίσταται· ἐγὼ δὲ αὐτῷ περιχυθεὶς, καὶ καταφιλήσας τὴν κεφαλὴν, προὔπεμπον, παρακαλῶν γενναίως φέρειν τὸ συμβεβηκός. πιστεύω γὰρ, ἔφην, τῷ καλέσαντί σε Χριστῷ, καὶ τοῖς ἰδίοις ἐπιστήσαντι προβάτοις, ὅτι τοσαύτην ἐκ τῆς διακονίας ταύτης κλήσῃ τὴν παρρησίαν, ὡς καὶ ἡμᾶς κατὰ τὴν ἡμέραν ἐκείνην κινδυνεύοντας, εἰς τὴν αἰώνιόν σου δέξασθαι σκηνήν.

Λυκ. ις. θ.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΠΡΟΣ ΤΟΝ ΘΕΟΔΩΡΟΝ ΕΚΠΕΣΟΝΤΑ ΤΟΥ ἐναρέτου βίου.

Λογ. α.

Εἰ καὶ δάκρυα καὶ στεναγμοὺς ἦν διὰ γραμμάτων δηλωθῆναι, τούτων ἂν σοὶ τὴν ἐπιστολὴν ἐμπλήσας ἀπέστειλα. δακρύω δὲ, οὐχ ὅτι φροντίζεις πραγμάτων πατρῴων, ἀλλ' ὅτι τοῦ καταλόγου τῶν ἀδελφῶν σεαυτὸν ἐξήλειψας, ὅτι τὰς πρὸς τὸν Χριστὸν συνθήκας ἐπάτησας· ταῦτα φρίττω, ἐπὶ τούτοις ἀλγῶ, διὰ ταῦτα φοβοῦμαι καὶ τρέμω. [Εἰδὼς ὡς ἡ τούτων ἀθέτησις μεγάλην ἐπάξει τὴν καταδίκην τοῖς εἰς τὴν καλὴν ἀπογεγραμμένοις στρατείαν, καὶ διὰ ῥαθυμίαν τὴν οἰκείαν τάξιν ἀπολιποῦσιν. ὅτι δὲ τοῖς τοιούτοις ἡ κόλασις βαρυτέρα, δῆλον ἐντεῦθεν.] ἰδιώτην μὲν γὰρ ἀστρατείας οὐδεὶς ἄν ποτε γράψαιτο· ὁ δὲ στρατιώτης ἅπαξ γενόμενος, ἂν ἁλῷ ″λειποτακτήσας, περὶ τῶν ἐσχάτων ὁ κίνδυνος. οὐ δεινὸν, ὦ φίλε Θεόδωρε, τὸ τὸν παλαίοντα πεσεῖν, ἀλλὰ τὸ μεῖναι ἐν τῷ πτώματι· οὐδὲ χαλεπὸν τὸ πολεμοῦντα τρωθῆναι, ἀλλὰ τὸ μετὰ τὴν πληγὴν ἀπογνῶναι καὶ ἀμελῆσαι τοῦ τραύματος. οὐδεὶς ἔμπορος ἅπαξ ναυαγίῳ περιπεσὼν καὶ τὸν φόρτον ἀπολέσας ἀπέστη τοῦ πλεῖν, ἀλλὰ πάλιν τὴν θάλατταν * καὶ τὰ μακρὰ ″διαβαίνει πελάγη, καὶ τὸν πρότερον ἀνακτᾶται πλοῦτον. πολλάκις καὶ ἀθλητὰς θεωροῦμεν μετὰ πολλὰ πτώματα στεφανίτας γενομένους. ἤδη δὲ καὶ στρατιώτης πολλάκις φυγὼν, ἔσχατον ἀριστεὺς ἀπεδείχθη, καὶ τῶν πολεμίων ἐπεκράτησε. πολλοὶ δὲ καὶ τὸν Χριστὸν ἀρνησάμενοι διὰ τὸν τῶν βασάνων ″φόβον, ἀνεμαχέσαντο πάλιν *, καὶ τὸν τοῦ μαρτυρίου στέφανον ἀπῆλθον ἀναδησάμενοι. Εἰ δὲ τούτων ἕκαστος ἐκ τῆς προτέρας πληγῆς ἀπέγνω, οὐκ ἂν τῶν δευτέρων ἀπήλαυσεν ἀγαθῶν. οὕτω καὶ νῦν, ὦ φίλε Θεόδωρε, μὴ διότι μικρόν σε τῆς στάσεως παρεσάλευσεν ὁ ἐχθρὸς, ἤδη καὶ σαυτὸν ὤσῃς ἐπὶ τὸ βάραθρον, ἀλλὰ στῆθι γενναίως, καὶ ἐπάνελθε ταχέως ὅθεν ἐξῆλθες, μηδὲ ″ὄνειδον ἵνα νομίσῃς τὴν πρὸς ὀλίγον ταύτην πληγὴν εἶναι). οὐδὲ γὰρ στρατιώτην ἰδὼν ″ἐπανήκοντα μετὰ τραύματος ἀπὸ πολέμου ὠνείδισας ἄν. ὄνειδος γὰρ τὸ ὅπλα ῥίψαι, καὶ τῶν πολεμίων ἔξω γενέσθαι. ἕως δ' ἂν ἵσταταί τις μαχόμενος, κἂν βάλληται, κἂν ὑποχωρῇ πρὸς βραχὺ, οὐδεὶς οὕτως ἀγνώμων, οὐδὲ τῶν πολεμικῶν ἄπειρος, ὃς ἐγκαλέσει ποτὲ ἐκείνῳ. τῶν μὴ μαχομένων ἐστὶ, τὸ μὴ τιτρώσκεσθαι· τοὺς δὲ πολλῷ τῷ θυμῷ κατὰ τῶν πολεμίων χωροῦντάς ἐστι καὶ βληθῆναί ποτε καὶ καταπεσεῖν, οἷς καὶ ἐπὶ σοῦ γέγονε νῦν. ἀθρόως γὰρ τὸν ὄφιν ἀνελεῖν ἐπιχειρήσας, ἐδήχθης, ἀλλὰ θάρσει. μικρᾶς σοι χρεία ἰήσεως, καὶ οὐδὲ ἴχνος λελείψεται τοῦ τραύματος ἐκείνου, μᾶλ-

γ. λειποταξίου,
* τὰ κύματα
γ. διαπερᾷ
γ. αἰάγνην
* τὴν ἧτταν,
γ. ὄνειδός τι νομίσῃς τὴν ἀπὸ τῆς πληγῆς ἐπάνοδον.
γ. ἐπανιόντα

λον δὲ Θεοῦ ζῆλον καὶ αὐτὸς τοῦ πονηροῦ συντρίψεις τὴν κεφαλήν. μηδέ σε παραλυέτω τὸ ταχέως καὶ παρ' αὐτὴν ἐμποδισθῆναι τὴν ἀρχήν. εἶδε γάρ, εἶδεν ὀξέως ὁ πονηρὸς τῆς σῆς ψυχῆς τὴν ἀρετήν, καὶ γενναῖον αὐτῷ πολέμιον αὐξηθήσεσθαι ἐκ πολλῶν ἐστοχάσατο. τὸν γὰρ εὐθέως τοσαύτῃ καὶ τηλικαύτῃ χρησάμενον κατ' αὐτοῦ τῇ σπουδῇ, τοῦτον εἰ παραμείνειε ῥᾳδίως αὐτὸν καταπολεμήσειν ἤλπισεν. ἐγρηγόρησε διὰ τοῦτο, ἔσπευσεν, ἠγέρθη πολὺς κατὰ σοῦ, μᾶλλον δὲ κατὰ τῆς ἑαυτοῦ κεφαλῆς, ἐὰν θελήσῃς στῆναι γενναίως. τίς γάρ σου τὴν ὀξεῖαν καὶ εἰλικρινῆ καὶ ζέουσαν ἐπὶ τὰ ἀγαθὰ μετάθεσιν οὐκ ἐθαύμασεν; ἐδεσμάτων μὲν γὰρ τρυφὴ παρεωρᾶτο, πολυτέλεια δὲ ἐσθῆτος κατεφρονεῖτο, πᾶς τῦφος καταπεπάτητο, πᾶσα ἡ περὶ τὴν ἔξωθεν σοφίαν σπουδὴ ἀθρόως ἐπὶ τὰ θεῖα μετενήνεκτο λόγια· ὅλαι μὲν εἰς ἀνάγνωσιν ἡμέραι, ὅλαι δὲ εἰς εὐχὰς ἀνηλίσκοντο νύκτες. οὐκ ἀξίας ἦν μνησθῆναι πατρικῆς, οὐ πλοῦτον ἐν νῷ λαβεῖν. τὸ δὲ γονάτων ἅπτεσθαι καὶ ποσὶ προστρέχειν ἀδελφῶν, τοῦτο πάσης εὐγενείας λαμπρότερον ἤδεις. ταῦτα ἔθλιψε τὸν πονηρόν, ταῦτα πρὸς μάχην σφοδροτέραν ἐξήγειρεν, ἀλλ' οὐ καιρίαν ἔδωκε τὴν πληγήν. εἰ μὲν γὰρ μετὰ χρόνον πολύν, νηστείας τε συνεχοῦς, καὶ τὴν χαμευνίαν, καὶ τὴν ἄλλην ἄσκησιν κατέβαλεν, ἦν μὲν οὐδὲ τότε ἀπογνῶναι· πλὴν δὲ πολλήν τις ἂν ἔφη τὴν ζημίαν γεγενῆσθαι, μετὰ πολλοὺς ἱδρῶτας καὶ πόνους καὶ νίκας τῆς ἥττης γενομένης. ἀλλ' ἐπειδὴ ἅμα τῷ ἀποστῆναι καὶ ἀποδύσασθαι πρὸς αὐτὸν ὑπεσκέλισε, τοσοῦτον ἴσχυσε μόνον, ὅσον σπουδαιότερον πρὸς τὴν κατ' αὐτοῦ μάχην ἐργάσασθαι. ἄρτι γάρ σοι ἐκπλέοντι, καὶ οὐκ ἐκ τῆς ἐμπορείας ἐπανελθόντι, οὐδὲ πλήρη τὸν φόρτον ἐπιφερομένῳ ὁ δεινὸς ἐπέθετο πειρατής. καὶ καθάπερ λέοντα γενναῖον [ἄν] τις ἀνὴρ ἐπιχειρήσας, ἐπειδὰν τὴν δορὰν νύξειε μόνον, ἐκεῖνον μὲν ἔβλαψεν οὐδέν, ἤγειρε δὲ καθ' ἑαυτοῦ μᾶλλον, καὶ ἀσφαλέστερον καὶ δυσάλωτον τοῦ λοιποῦ πεποίηκε τὸ θηρίον· οὕτω δὴ καὶ ὁ κοινὸς πάντων ἐχθρὸς βαθεῖαν ἐπιχειρήσας πλῆξαι πληγήν, τούτου μὲν ἀπέτυχεν, ἐγρηγορέναι δὲ καὶ νήφειν τοῦ λοιποῦ παρεσκεύασε μᾶλλον. ὀλισθηρὸν γὰρ ἡ ἀνθρωπίνη φύσις· καὶ ὀξὺ μὲν κλαπῆναι, ὀξύτερον δὲ ἀνενεγκεῖν ἐκ τῆς ἀπάτης· καὶ ὥσπερ πίπτει ταχέως, οὕτω καὶ θᾶττον ἀνίσταται. καὶ γὰρ ὁ μακάριος, ὁ ἐκλεκτὸς βασιλεὺς καὶ προφήτης, ἡνίκα πολλὰ κατώρθωσεν, οὐκ ἔλαθεν ἄνθρωπος ὤν, ἀλλ' ἠράσθη ποτὲ γυναικὸς ἀλλοτρίας· καὶ οὐκ ἔστη μέχρι τούτου· ἀλλ' εἰργάσατο μοιχείαν διὰ τὴν ἐπιθυμίαν, εἰργάσατο δὲ καὶ φόνον διὰ τὴν μοιχείαν. ἀλλ' οὐκ ἐπειδὴ τηλικαύτας ἔλαβε δύο πληγάς, ἤδη καὶ τρίτην ἑαυτῷ δοῦναι ἐπεχείρησεν· ἀλλ' εὐθέως πρὸς τὸν ἰατρὸν ἔτρεχε, καὶ τὰ φάρμακα ἐπετίθει, νηστείαν, δάκρυα, θρήνους, εὐχὰς συνεχεῖς, τὸ τὴν ἁμαρτίαν πολλάκις ἀναγγέλλειν. καὶ οὕτω διὰ τούτων ἵλεω κατέστησε τὸν Θεόν, ὡς ἐπὶ τὴν προτέραν ἐπανελθεῖν ἀξίαν, ὥστε μετὰ μοιχείαν καὶ φόνον πάλιν ἐπισκιάσαι πως δυνηθῆναι τῇ τοῦ παιδὸς εἰδωλολατρείᾳ τὴν τοῦ πατρὸς μνήμην. ὁ γὰρ υἱὸς ὁ τούτου, Σολομὼν ἦν ὄνομα αὐτῷ, διὰ τῆς αὐτῆς ἑάλω παγίδος, ἧσπερ καὶ ὁ πατήρ, καὶ γυναιξὶ χαριζόμενος ἀπέστη τοῦ πατρῴου Θεοῦ. ὁρᾷς πόσον κακὸν τὸ μὴ κρατεῖν ἡδονῆς, ἀλλὰ τὴν τῆς φύσεως ἀνατρέπειν ἀρχήν, καὶ ἄνδρα ὄντα γυναικῶν εἶναι δοῦλον; αὐτὸν δὴ τοῦτον τὸν Σολομῶντα δι' ἁμαρτίαν δίκαιον ὄντα πᾶσαν ἀφαιρεθῆναι τὴν βασιλείαν, διὰ τὴν τοῦ πατρὸς εὐδοκίμησιν τὸ τῆς ἀρχῆς ἔλαττον μέρος ἀφῆκεν ἔχειν ὁ Θεός.

Εἰ μὲν οὖν ἡ σπουδή σου περὶ τοὺς ἔξωθεν λόγους ἦν, εἶτα ἀπερραθύμησας, δικαστηρίων καὶ βήματος καὶ τῶν ἐκεῖθεν στεφάνων καὶ τῆς παρρησίας ἀναμιμνήσκων, παρεκάλεσα ἂν ἐπανελθεῖν εἰς τοὺς ὑπὲρ ἐκείνων πόνους· ἐπειδὴ δὲ ὑπὲρ τῶν ἐν οὐρανοῖς τρέχομεν, καὶ τῶν ἐπὶ* γῆς ἡμῖν λόγος οὐδείς, ἑτέρου σε ἀναμιμνήσκω δικαστηρίου καὶ βήματος φοβεροῦ καὶ φρικώδους. Πάντας γὰρ ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ*. κριτὴς δὲ καθήσεται τότε, ὁ νῦν ἀθετούμενος ὑπὸ σοῦ. τί οὖν ἐροῦμεν τότε, εἰπέ μοι; τί δὲ καὶ ἀπολογησόμεθα;

β. Κορ. ε. ι.

γρ. ῥᾳδίως αὐτὸν καὶ καταπαλαίσειν, εἰ παραμένει, προσεδόκησε.

γρ. κατεπεφρόνητο,

γρ. ἤγειρεν,

γρ. ἐκπλεύσαντι,

γρ. ὀπτίσειεν

γρ. τὸν μακάριον Δαβὶδ τὸν ἐκλεκτὸν, βασιλέα καὶ προφήτην, ἡνίκα πολλὰ κατώρθωσεν, οὐκ ἔλαθεν ἄνθρωπον ὄντα,

γρ. λαβεῖν ῥᾳθύμησιν·

* τῆς

* ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν.

ἀπολογησόμεθα, ἐὰν ἐπιμένωμεν ἀθετοῦντες; τί οὖν ἐροῦμεν; πραγμάτων φροντίδας "προφασισόμεθα; ἀλλὰ προλαβὼν εἶπε, Τί ὠφελήσει ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἀλλὰ τὸ ὑφ' ἑτέρων ἠπατῆσθαι; ἀλλ' οὐδὲ τὸν Ἀδὰμ πρὸς ἀπολογίαν ὤνησε τὸ παραδεῖξαι τὴν γυναῖκα, καὶ εἰπεῖν, Ἡ γυνὴ, ἣν ἔδωκάς μοι, αὕτη με ἠπάτησεν, ὥσπερ οὐδὲ τὴν γυναῖκα ὁ ὄφις. φοβερὸν, ὦ φίλε Θεόδωρε, τὸ δικαστήριον ἐκεῖνο, οὐ "κατηγόρου δεόμενον, οὐ μάρτυρας περιμένον. πάντα γὰρ γυμνὰ καὶ τετραχηλισμένα ἐστὶ τῷ δικάζοντι· καὶ οὐ πράξεων μόνον, ἀλλὰ καὶ ἐννοιῶν εὐθύνας ὑπέχειν δεῖ. κριτικὸς γάρ ἐστιν ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας ὁ δικαστὴς ἐκεῖνος. ἀλλ' ἴσως ἀσθένειαν φύσεως ἐρεῖς, καὶ τὸ μὴ δυνηθῆναι ἐνεγκεῖν τὸν ζυγόν; καὶ ποία αὕτη ἀπολογία, ζυγὸν μὴ ἰσχῦσαι τὸν χρηστὸν ἐνεγκεῖν, φορτίον μὴ δυνηθῆναι βαστάσαι τὸ ἐλαφρόν; βαρὺ πρᾶγμα καὶ φορτικὸν ἡ τῶν κόπων ἀνάκλησις; ἐπὶ ταῦτα γὰρ πάντα καλεῖ ὁ Χριστὸς λέγων, Δεῦτε πρὸς μὲ πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. καὶ πάλιν, Ἄρατε τὸν ζυγόν μου, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ. ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι. τί γὰρ ἐλαφρότερον, εἰπέ μοι, τοῦ φροντίδων καὶ πραγμάτων καὶ φόβων καθημερινῶν καὶ πόνων ἀπηλλάχθαι, ἔξω τε τῶν τοῦ βίου κυμάτων ἑστάναι καὶ "ἐν εὐδίῳ διάγειν λιμένι; εἰπὲ δή μοι, τί σοι δοκεῖ τῶν ἐν κόσμῳ "μακαριστὸν εἶναι καὶ ζηλωτόν; ἀρχὴν πάντως ἐρεῖς καὶ πλοῦτον καὶ τὸ παρὰ ἀνθρώποις εὐδοκιμεῖν. καὶ τί τούτων ἀθλιώτερον, ὅταν πρὸς τὴν χριστιανῶν ἐλευθερίαν συγκρίνηται; ὁ μὲν γὰρ ἄρχων δήμων ὑπόκειται θυμῷ, καὶ πλήθους ὁρμαῖς ἀλόγοις, φόβῳ τε ἀρχόντων μειζόνων, καὶ ταῖς ὑπὲρ τῶν ἀρχομένων φροντίσι· καὶ ὁ χθὲς ἄρχων, σήμερον ἰδιώτης. σκηνῆς γὰρ οὐδὲν ὁ παρὼν διενήνοχε βίος. ἀλλὰ καθάπερ ἐκεῖ βασιλέως μὲν οὗτος, στρατηγοῦ δὲ ἐκεῖνος, ἕτερος δὲ στρατιώτου τάξιν πληροῖ, τῆς δὲ ἑσπέρας καταλαβούσης οὔτε ὁ βασιλεὺς βασιλεὺς, οὔτε ὁ ἄρχων ἄρχων, οὔτε ὁ στρατηγὸς στρατηγός· οὕτω καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἀπὸ τοῦ προσώπου, ἀλλ' ἀπὸ τῶν ἔργων ἕκαστος λήψεται τὴν "ἀξίαν ἀμοιβήν. ἀλλὰ δόξα τίμιον; τὸ καταπῖπτον, ὡς ἄνθος χόρτου; ἀλλὰ πλοῦτος, ὃν οἱ κεκτημένοι ταλανίζονται; Οὐαὶ γὰρ τοῖς πλουσίοις, φησί· καὶ πάλιν, Οὐαὶ οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι. ὁ χριστιανὸς οὐδέποτε ἐξ ἄρχοντος ἰδιώτης γίνεται, οὐδὲ ἀπὸ πλουσίου πένης, οὐδὲ ἄδοξος ἀπὸ ἐνδόξου, ἀλλὰ μάλιστα πλουτεῖ ὅταν πτωχεύῃ, καὶ ὑψοῦται, ὅταν ταπεινοῦν ἑαυτὸν σπουδάζῃ, καὶ τῆς ἀρχῆς, ἧς ἄρχει, οὐκ ἀνθρώπων, ἀλλὰ τῶν ἀρχόντων τῶν ὑπὸ τὴν ἐξουσίαν τοῦ κοσμοκράτορος τοῦ σκότους, οὐδεὶς αὐτὸν παραλῦσαι δύναται. καλὸς ὁ γάμος; σύμφημι κἀγώ. Τίμιος, φησὶ, γὰρ ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος, πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός. σοὶ δὲ οὐκέτι δυνατὸν τὰ δίκαια φυλάξαι τοῦ γάμου. τὸν γὰρ ἐπουρανίῳ συναφθέντα νυμφίῳ, τοῦτον μὲν ἐᾶσαι, γυναικὶ δὲ ἑαυτὸν συνάψαι, μοιχεία τὸ πρᾶγμά ἐστι, κἂν μυριάκις αὐτὸ γάμον καλῇς· μᾶλλον δὲ καὶ μοιχείας τοσούτῳ δεινότερον, ὅσῳ κρείττων ἀνθρώπων Θεός.—μηδείς σε ἀπατάτω λέγων, γαμεῖν οὐκ ἐκώλυσεν ὁ Θεός. οἶδα τοῦτο κἀγώ. γαμεῖν * οὐκ ἐκώλυσεν, ἀλλὰ μοιχεύειν ἐκώλυσεν, ὃ σὺ ποιεῖν ἐθέλεις, ὃ μὴ γένοιτό σε ὁμιλῆσαι γάμῳ ποτέ. καὶ τί θαυμάζεις, εἰ γάμος ὡς μοιχεία κρίνεται, ὅταν ἀθετῆται Θεός; φόνος δικαιοσύνην ἤνεγκε διὰ τοῦ Φινεὲς, καὶ φιλανθρωπία μᾶλλον φόνου κατέκρινεν. ἐπειδὴ τὸ μὲν κατὰ γνώμην, τὸ δὲ κωλύοντος ἐγένετο τοῦ Θεοῦ. καὶ τῷ μὲν Φινεὲς ἐλογίσθη εἰς δικαιοσύνην τὸ τὴν πεπορνευμένην γυναῖκα μετὰ τοῦ πορνεύοντος ἐκκεντῆσαι· τὸν δὲ Σαοὺλ ὁ ἅγιος τοῦ Θεοῦ Σαμουὴλ ὅλας νύκτας πενθῶν καὶ δακρύων καὶ παρακαλῶν οὐκ ἴσχυσεν ἐξελέσθαι τῆς καταδίκης, ἣν ἐξήνεγκε κατ' αὐτοῦ ὁ Θεός, ἐπειδὴ τὸν τῶν ἀλλοφύλων βασιλέα, ὃν δέον ἀνελεῖν, ἔσωσε παρὰ γνώμην Θεοῦ. εἰ τοίνυν φιλανθρωπία μᾶλλον φόνου κατέκρινε, διὰ τὸ παρακουσθῆ-

ναι

γ. σκηψόμε- α;

γ. κατηγόρων

γ. ἐπ'

γ. μακάριον

γ. οἰκείαν

* νομίμως

Ματθ. ις. κϛ.

Γεν. γ. ιϛ.

Ματθ. ια. κη.

Λυκ. ϛ. κδ.

Ψαλμ. μη. ϛ

Εβρ. ιγ. δ.

ναι Θεόν, τί θαυμαστὸν, εἰ γάμος μοιχείας καταδικάζει μᾶλλον διὰ τὸ ἀθετηθῆναι τὸν Χριστόν. ὅπερ γὰρ τὴν ἀρχὴν ἔφην, εἰ μὲν ἰδιώτης ἦς, οὐδείς ἄν σε ἀστρατείας ἐγράψατο· νυνὶ δὲ οὐκέτι κύριος εἶ σαυτοῦ, βασιλεῖ τηλικούτῳ στρατευόμενος. α. Κορ. ζ. δ. Εἰ γὰρ ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνὴρ, πολλῷ μᾶλλον οἱ ἐν Χριστῷ ζῶντες οὐκ ἂν εἶεν τοῦ σώματος ἑαυτῶν κύριοι. ὁ καταφρονηθεὶς νῦν, αὐτός ἐστιν ὁ τότε ὁ δικάζων. τοῦτον ἐννόει διόλου, καὶ τὸν ποταμὸν τοῦ πυρός. Δαν ζ. ι. Ποταμὸς γὰρ, φησι, πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ. οὐκ ἔστι γὰρ * τὸν ἐκείνου παραδοθέντα τῷ πυρὶ προσδοκῆσαι κολάσεως τέλος. ἀλλ' αἱ μὲν ἄτοποι τοῦ βίου ἡδοναὶ τῶν σκιῶν καὶ ὀνειράτων διαφέρουσιν οὐδὲν (πρὶν γὰρ ἢ τελεσθῆναι τὰ τῆς ἁμαρτίας, σβέννυται τὰ τῆς ἡδονῆς) αἱ δὲ ὑπὲρ τούτων κολάσεις τέλος οὐκ ἔχουσι· καὶ τὸ μὲν ἡδὺ πρὸς ὀλίγον, τὸ δὲ ἀνιαρὸν αἰώνιον. τί βέβαιον τῶν ἐν τῷ κόσμῳ, εἰπέ μοι; πλοῦτος, ὁ μηδὲ μέχρις ἑσπέρας μείνας πολλάκις; ἀλλὰ δόξα; ἀλλ' ἄκουε τινὸς λέγοντος δικαίου· Ιωϐ. θ κε. Ὁ βίος μου ἐστὶν ἐλαφρότερος δρομέως. ὥσπερ γὰρ ἐκεῖνοι πρὶν ἢ στῆναι μεταπηδῶσιν, οὕτω καὶ αὕτη πρὶν ἢ παραγενέσθαι ἀφίπταται. οὐδὲν ψυχῆς τιμιώτερον, καὶ οὐδὲ οἱ μωρίας εἰς ἔσχατον ἐλάσαντες, ἠγνόησαν τοῦτο. --- Ψυχῆς, γὰρ, ἀντάξιον οὐδὲν,
Καὶ τῶν ἔξωθεν ποιητής τις ἔφη.

Οἶδα ὅτι πολὺ πρὸς τὴν τοῦ πονηροῦ πάλην ἀσθενέστερος γέγονας, οἶδα ὅτι ἐν μέσῃ τῶν ἡδονῶν ἕστηκας τῇ φλογί. ἀλλ' ἐὰν εἴπῃς πρὸς τὸν ἐχθρὸν, ὅτι ταῖς ἡδοναῖς σου οὐ λατρεύομεν, καὶ τῇ ῥίζῃ πάντων τῶν κακῶν σου οὐ προσκυνοῦμεν, ἂν τείνῃς ἄνω τὸ ὄμμα, τινάξει κάτω καὶ νῦν τὴν φλόγα ὁ σωτήρ· καὶ τοὺς μὲν ἐκβάλλοντάς σε εἰς τὸ πῦρ κατακαύσει, σοὶ δὲ ἐν μέσῃ καμίνῳ νεφέλην καὶ δρόσον καὶ πνεῦμα διασυρίζον ἀποστελεῖ, ὡς μηδὲ τῶν λογισμῶν σου καὶ τῆς συνειδήσεώς σου ἅψασθαι τὸ πῦρ· μόνον μὴ σαυτὸν κατακαύσῃς. καὶ γὰρ τὰς ὀχυρὰς τῶν πόλεων ὅπλα μὲν πολλάκις καὶ μηχανήματα τῶν ἔξωθεν οὐκ ἴσχυσε καθελεῖν, προδοσία δὲ ἑνὸς ἢ δύο τῶν ἔνδον οἰκούντων πολιτῶν ἀπονητὶ παρέδωκε τοῖς ἐχθροῖς. καὶ νῦν εἰ μηδείς σε τῶν ἔνδον προδῷ λογισμῶν, κἂν μυρία προσαγάγῃ μηχανήματα ἔξωθεν ὁ πονηρὸς, προσάξει μάτην. πολλοὺς ἔχεις χάριτι Θεοῦ καὶ μεγάλους τοὺς συναλγοῦντας, τοὺς ἀλείφοντας, τοὺς ὑπὲρ τῆς σῆς τρέμοντας ψυχῆς· τὸν ἅγιον τοῦ Θεοῦ Φαλλέριον, τὸν πάντα αὐτοῦ ἀδελφὸν Φλωρέντιον, τὸν τὴν τοῦ Χριστοῦ σοφίαν σοφὸν Πορφύριον, καὶ ἑτέρους πολλούς. οὗτοι καθ' ἑκάστην ὀλοφύρονται τὴν ἡμέραν ὑπὲρ σοῦ, καὶ εὐχόμενοι οὐκ ἐπαύσαντο. καὶ ἔτυχον ὧν ἂν ἐδέοντο πάλαι, εἰ μικρὸν γοῦν ἀποστῆσαι σαυτὸν ἠθέλησας τῶν τοῦ πολεμίου χειρῶν. πῶς οὖν οὐκ ἄτοπον ἑτέρους μὲν μηδὲ νῦν ἀπογνῶναί σου τὴν σωτηρίαν, ἀλλὰ διόλου τὸ μέλος αὐτῶν ἀπολαβεῖν εὔχεσθαι, σὲ δὲ ἅπαξ πεσόντα μὴ θέλειν ἀναστῆναι, ἀλλὰ κεῖσθαι, μονονουχὶ βοῶντα πρὸς τὸν ἐχθρόν, σφάττε, παῖε, μὴ φείσῃ; Ιερ η. δ. Μὴ ὁ πίπτων οὐκ ἀνίσταται, ὁ θεῖος ἔφη χρησμός; σὺ δὲ μάχῃ τούτῳ καὶ ἀντιλέγεις; τὸν γὰρ πεσόντα ἀπογνῶναι οὐδὲν ἄλλο ἐστὶν εἰπεῖν, ἢ ὅτι ὁ πίπτων οὐκ ἀνίσταται. μὴ, παρακαλῶ, μὴ τοσοῦτον ἀδικήσῃς σαυτὸν, μὴ τοσαύτην ἡμῖν καταχέῃς ὀδύνην. οὐ λέγω νῦν, ὅτι οὔπω εἰκοστὸν ἄγεις ἔτος, ἀλλ' εἰ πολλὰ ποιήσας καὶ τὸν ἅπαντα βίον ἐν Χριστῷ ζήσας, ἐν ἐσχάτῳ γήρᾳ ταύτην ἔπαθες τὴν ἐπήρειαν, ἦν μὲν οὐδὲ τότε ἀπογνῶναι καλὸν, ἀλλ' ἐν νῷ λαβεῖν τὸν ἐν τῷ σταυρῷ δικαιωθέντα λῃστὴν, τοὺς περὶ τὴν ἑνδεκάτην ὥραν ἐργασαμένους, καὶ τῆς ὅλης ἡμέρας ἀπειληφότας τὸν μισθόν. ὥσπερ δὲ οὐ καλὸν τοὺς ἐν ἐσχάτῳ τέρματι πεσόντας ἀπελπίζειν, ἐὰν σωφρονῶσιν, οὕτως οὐκ ἀσφαλὲς ταύτῃ τρέφεσθαι τῇ ἐλπίδι καὶ λέγειν, ὅτι ἔα ταῦτα, τέως μὲν ἀπολαύσω τῶν ἡδέων τοῦ βίου, ὕστερον δὲ ὀλίγον πονέσας χρόνον, τοῦ παντὸς ἀπολήψομαι χρόνου τοὺς μισθούς. καὶ γὰρ μέμνημαί σου πολλάκις εἰρηκότος, ἡνίκα σοι πολλὰ παρῄνουν εἰς μουσεῖα φοιτῶντι, τί δὲ, ἐὰν ἐν τῷ βραχεῖ χρόνῳ κακῶς καταλύσω τὸν βίον, πῶς ἀπελυσόμεθα πρὸς τὸν εἰρηκότα, Μὴ ἀνάμενε ἐπιστρέψαι πρὸς τὸν Θεόν, μηδὲ ἀναβάλλου ἡμέραν ἐξ ἡμέρας; τοῦτον ἀνάκτησαι τὸν λογισμόν, καὶ δεῖσον τὸν κλέπτην. οὕτω γὰρ ὁ Χριστὸς τὴν ἐντεῦθεν ἡμῶν ἔξοδον καλεῖ, διὰ τὸ ἀγνοοῦσιν ἐφίστασθαι. ἐννόησον τὰς τοῦ βίου φροντίδας τὰς ἰδίᾳ καὶ κοινῇ γινομένας, τοὺς τῶν ἀρχόντων φόβους, τὸν τῶν πολιτῶν φθόνον, τοὺς μέχρι τῶν ἐσχάτων πολλάκις ἐπιτιθέντας κινδύνους, τοὺς πόνους, τὰς λειτουργίας, τὰς κολακείας τὰς δουλοπρεπεῖς καὶ οὐδὲ τῶν ἀνδραπόδων τοῖς σπουδαίοις προσηκούσας, τὸ τὸν τῶν πόνων τὸν καρπὸν ἐνταῦθα τελευτᾷν· οὗ τί γένοιτ' ἂν ἀλγεινότερον; πολλοῖς δὲ οὐδὲ ἀπολαῦσαι ὑπὲρ ὧν ἐπόνησαν συνέβη, ἀλλὰ τὴν πρώτην ἡλικίαν πόνοις καὶ κινδύνοις ἀναλώσαντες, ἡνίκα ἤλπισαν ἀπολήψεσθαι τοὺς μισθούς, ἀπῆλθον μηδὲν ἔχοντες μεθ' ἑαυτῶν. Εἰ γὰρ τὸν ἐπὶ τῆς γῆς βασιλέα, μετὰ τὸ πολλοὺς μὲν ὑπομεῖναι κινδύνους, πολλοὺς δὲ διαλῦσαι πολέμους, μόλις τις ὄψεται μετὰ παρρησίας, πῶς τὸν οὐράνιον ἰδεῖν δυνήσεταί τις τὸν ἅπαντα χρόνον ἑτέρῳ ζήσας καὶ στρατευσάμενος; Εἴπω βούλει καὶ τὰς οἴκοι φροντίδας, τὰς τῆς γυναικός, τὰς τῶν παίδων, τὰς τῶν οἰκετῶν; ἀλγεινὸν κτήσασθαι παῖδας, ἀλγεινὸν μὴ κτήσασθαι. τὸ μὲν γὰρ πικρὰν ὑπομεῖναι δουλείαν, τὸ δὲ μάτην ἐστὶ γεγαμηκέναι. ἠρρώστησε τὸ παιδίον; φόβος οὐ μικρός. ἀπῆλθεν ἄωρον; πένθος ἀπαραμύθητον· καὶ καθ' ἑκάστην ἡλικίαν διάφοροι φροντίδες ὑπὲρ αὐτῶν, καὶ φόβοι καὶ πόνοι πολλοί. δεινὸν πενεστέραν λαβεῖν γυναῖκα, δεινὸν εὐπορωτέραν. τὸ μὲν γὰρ εἰς τὴν οὐσίαν ἔβλαψε, τὸ δὲ εἰς αὐθεντίαν καὶ ἐλευθερίαν τὸν ἄνδρα. τί δεῖ λέγειν τὰς τῶν οἰκετῶν μοχθηρίας; βίος οὖν ἄρα οὗτος, Θεόδωρε, εἰς τοσαῦτα μερίζεσθαι ψυχὴν μίαν; τοσούτοις δουλεύειν; τοσούτοις ζῆν, ἑαυτῷ δὲ μηδέποτε; οὐδὲν τούτων ἐστὶ παρ' ἡμῖν, ὦ φίλε Θεόδωρε, καὶ αὐτόν σε μάρτυρα καλῶ. ὅτε γὰρ τὸν βραχὺν ἐκεῖνον χρόνον ἀνακύψαι τῶν κυμάτων ἠθέλησας, οἶσθα πόσης εὐφροσύνης ἀπέλαυσας καὶ χαρᾶς. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἐλεύθερος, ἀλλ' ἢ μόνος ὁ Χριστῷ ζῶν. οὗτος ἁπάντων ἀνώτερος ἕστηκε τῶν "δεινῶν. κἂν αὐτὸς ἑαυτὸν ἀδικῆσαι μὴ βούληται, ἕτερος τοῦτον οὐκ ἰσχύσει * ποτέ· ἀλλ' ἕστηκεν ἀνάλωτος, οὐ ζημίᾳ χρημάτων δακνόμενος (ἔμαθε γὰρ ὅτι οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον, οὔτε ἐξενεγκεῖν τι δυνάμεθα) οὐ πόθῳ φιλοτιμίας καὶ δόξης ἁλισκόμενος. ἔμαθε γὰρ ὅτι ἐν "οὐρανῷ ἡμῖν τὸ πολίτευμα. οὐ λοιδορῶν τις αὐτὸν λυπεῖ, οὐ τύπτων παροξυνεῖ. μία συμφορὰ χριστιανοῖς μόνη, τὸ προσκροῦσαι Θεῷ· τὰ δὲ ἄλλα, οἷον "κτημάτων* ἀποβολήν, πατρίδος στέρησιν, τοὺς ὑπὲρ τῶν ἐσχάτων κινδύνους, οὐδὲ εἶναί τι νομίζει δεινόν· καὶ ὃ πάντες πεφρίκασι, τὸ ἐντεῦθεν ἀπελθεῖν ἐκεῖ, τοῦτο ἐκείνῳ τοῦ ζῆν ἥδιον. ὥσπερ γὰρ ἄν τις εἰς ἄκρον σκόπελον ἀνελθών, θεωρῇ τὴν θάλατταν καὶ τοὺς ταύτην πλέοντας, τοὺς μὲν ὑπὸ κυμάτων βαπτιζομένους, τοὺς δὲ ὑφάλοις "προσαρράσσοντας, ἄλλους δὲ ἑτέρωθι μὲν σπεύδοντας, ἑτέρωθι δὲ ἀγομένους, ὥσπερ δεσμίους τῇ τοῦ πνεύματος ῥύμῃ, καὶ πολλοὺς μὲν ὑποβρυχίους γινομένους, πολλοὺς δὲ ἐπὶ σανίδος μιᾶς, ἢ "ἀπό τινος τῶν ἀπὸ τοῦ πλοίου φερομένους, καὶ τοὺς μὲν ἀντὶ πλοίου καὶ πηδαλίου ταῖς χερσὶ χρωμένους μόναις, ἄλλους δὲ νεκροὺς ἐπιπλέοντας, πολυειδῆ τινα καὶ πολυπρόσωπον συμφοράν· οὕτω δὴ καὶ ὁ Χριστῷ στρατευόμενος, τῆς ταραχῆς τοῦ βίου καὶ τῶν κυμάτων ἑαυτὸν "ἐξαγαγὼν κάθηται ἐπ' ἀσφαλεῖ καὶ ὑψηλῷ χωρίῳ. τί γὰρ ἀσφαλέστερον καὶ ὑψηλότερον τοῦ μίαν ἔχειν φροντίδα πῶς ἀρέσαι δεῖ τῷ Θεῷ; Εἶδες, Θεόδωρε, τὰ ναυάγια τῶν ταύτην τὴν θάλατταν πλεόντων. διό, παρακαλῶ, φεῦγε τὸ πέλαγος, φεῦγε τὰ κύματα, καὶ ὑψηλὸν κατάλαβε χωρίον, ἔνθα οὐκ ἔστιν ἁλῶναι. ἀνάστασίς ἐστι, Θεόδωρε, κρίσις ἐστί, κριτήριον ἡμᾶς φοβερὸν ἔνθεν ἐξελθόντας μένει· πάντας παραστῆναι δεῖ τῷ βήματι τοῦ Χριστοῦ. οὐ μάτην ἠπείληται γέεννα, οὐκ εἰκῇ τοσαῦτα ἡτοίμασται ἀγαθά. σκιᾶς καὶ σκιᾶς οὐδαμινέστερα τὰ τοῦ βίου πράγματα, πολλῶν μὲν γέμοντα φόβων, πολλῶν δὲ κινδύνων, ἐσχάτης δὲ δουλείας. μὴ δὴ ζημιωθῇς κἀκεῖνα τὰ αἰώνια καὶ ταῦτα, ἐξὸν ἀμφοτέρων κερδᾶναι.

Σειρ. ε. η.

ἡδονῶν.
βλάψαι
ἱεραῖς
χρημάτων
προσαρρασσομένους.
ἐπὶ
ἐξάξαγ.

δεῖξαι, εἰ βούλοιο. Ὅτι δὲ καὶ τὰ ἐνταῦθα κερδανοῦσιν οἱ ἐν Χριστῷ ζῶντες, διδάσκει λέγων ὁ Παῦλος· Ἐγὼ δὲ ὑμῶν φείδομαι· καὶ πάλιν, Τοῦτο δὲ λέγω πρὸς τὸ ὑμῖν συμφέρον. ὁρᾷς ὅτι καὶ ἐνταῦθα τοῦ γεγαμηκότος ἡδιώτερος ὁ τὰ τοῦ Κυρίου μεριμνῶν; οὐκ ἔστιν ἀπελθόντα ἐκεῖ μετανοῆσαι. οὐδεὶς ἀθλητής, ἐπειδὰν ἐξέλθῃ τὸ στάδιον, καὶ λυθῇ τὸ θέατρον, παλαίειν δύναται. Ταῦτα ἀεὶ λογίζου, καὶ τὴν ὀξεῖαν τοῦ πονηροῦ μάχαιραν "συντρίψεις, δι' ἧς πολλοὺς ἀναιρεῖ. αὕτη δέ ἐστιν ἡ ἀπόγνωσις, ἡ τοὺς καταβληθέντας ἐκκόπτει τῆς ἐλπίδος. ἰσχυρὸν τοῦτο τοῦ ἐχθροῦ τὸ ὅπλον, καὶ τοὺς ἁλόντας ἑτέρως οὐ "κατέχει, ἀλλ' ἢ τούτῳ τῷ δεσμῷ δεσμεύων, ὃν, ἐὰν ἐθέλωμεν, Θεοῦ χάριτι διαρρῆξαι δυνησόμεθα ταχέως. οἶδα τὸ μέτρον ἐξελθὼν τῆς ἐπιστολῆς, ἀλλὰ σύγγνωθι. οὐ γὰρ ἑκὼν τοῦτο ἔπαθον, ἀλλ' ὑπὸ τῆς λύπης καὶ τῆς ἀγάπης ἀναγκασθείς, δι' ἣν καὶ ταύτην ἐβιασάμην ἐμαυτὸν γράψαι τὴν ἐπιστολὴν πολλῶν κωλυόντων. παῦσαι ματαιοπονῶν καὶ κατὰ πετρῶν σπείρων, ἔλεγόν μοι πολλοί· ἐγὼ δὲ οὐδενὸς ἤκουον. ἐλπὶς γάρ, ἔφην πρὸς ἐμαυτόν, Θεοῦ θέλοντος, ἀνύσειν τι τὰ γράμματα. Εἰ δ' (ὅπερ ἀπευχόμεθα) συμβαίη, τὸ γοῦν ἑαυτοῖς μὴ ἐγκαλεῖν κερδανοῦμεν, καὶ οὐκ ἐσόμεθα τῶν τὴν θάλατταν πλεόντων χείρους, οἳ, ὅταν ἴδωσι, τῆς νηὸς ὑπὸ τῶν πνευμάτων καὶ τῶν κυμάτων διαλυθείσης, ἐπὶ σανίδος φερομένους, ἱστία καθελόντες καὶ ἀγκύρας χαλάσαντες καὶ εἰς ἀκάτιον ἐμβάντες, ἀνθρώπους ἀγνώστους, ἀπὸ δὲ τῆς συμφορᾶς γινωσκομένους μόνον, διασώζειν ἐπιχειροῦσιν. Εἰ δὲ μὴ βούλοιντο ἐκεῖνοι, οὐδεὶς ἂν αὐτῶν τῆς ἀπωλείας τοὺς ἐπιχειρήσαντας σῶσαι αἰτιάσαιτο. Ταῦτα τὰ παρ' ἡμῶν, πιστεύομεν δὲ ὅτι Θεοῦ χάριτι ὑπάρξει καὶ τὰ παρὰ σοῦ, καὶ πάλιν σε διαπρέποντα κατὰ τὴν * ἀγέλην ὀψόμεθα τοῦ Χριστοῦ. ὑγιαίνοντά σε τὴν ἀληθῆ ὑγίειαν θᾶττον ἀπολάβοιμεν εὐχαῖς ἁγίων, ὦ φίλη κεφαλή. Εἴ τις σοι λόγος ἡμῶν ἐστι, καὶ μὴ παντάπασι τῆς μνήμης ἡμᾶς ἐξέβαλες τῆς σῆς, ἀντιγράψαι ἀξίωσον ἡμῖν. πολὺ γὰρ ἡμᾶς εὐφρανεῖς ἐν τούτῳ.

α. Κορ. ζ. κη. λε.

" κ. σύντριψ

" κ. ἐπέχει

* πημάν

ΠΡΟΣ ΘΕΟΔΩΡΟΝ ΕΚΠΕΣΟΝΤΑ ΤΟΥ ΕΝΑΡΕΤΟΥ βίου Λογ. β.

Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων, εὔκαιρον καὶ ἡμῖν νῦν εἰπεῖν, καὶ πολλῷ μᾶλλον, ἢ τῷ προφήτῃ ἐκείνῳ τότε. Εἰ γὰρ καὶ μὴ πόλεις πολλάς, μηδὲ ὁλόκληρα ἔθνη μέλλοιμι πενθεῖν, ὡς ἐκεῖνος, ἀλλὰ πολλῶν τοιούτων ἐθνῶν ψυχὴν ἀντάξιον, μᾶλλον δὲ καὶ τιμιωτέραν. καὶ γὰρ εἰ κρείττων εἷς ποιῶν τὸ θέλημα Κυρίου, ἢ μύριοι παράνομοι, κρείττων ἄρα ἦσθα καὶ σὺ πρότερον τῶν μυριάδων τῶν Ἰουδαϊκῶν. ὥστε οὐδεὶς ἄν μοι μέμψοιτο νῦν, εἰ καὶ θρήνους τῶν ἐν τῷ προφήτῃ κειμένων πλείονας ἀναγράψαιμι, καὶ σφοδροτέρους ἐπιδείξαιμι ὀδυρμούς. οὐ γὰρ πόλεως πενθῶ κατασκαφήν, οὐδὲ παρανόμων ἀνδρῶν αἰχμαλωσίαν, ἀλλὰ ψυχῆς ἐρήμωσιν ἱερᾶς, καὶ ναοῦ Χριστοφόρου καθαίρεσιν καὶ ἀφανισμόν. Τὸν γὰρ κόσμον τῆς διανοίας τῆς σῆς, ὃν κατέφλεξεν ὁ διάβολος νῦν, εἴ τις, ὅτε ἔλαμπεν, ᾔδει καλῶς, οὐκ ἂν ἐστέναξε, τοὺς θρήνους ἐπερχόμενος τοῦ προφήτου καὶ ἀκούων, ὅτι χεῖρες βαρβαρικαὶ τὰ ἅγια τῶν ἁγίων ἐμόλυνον, καὶ πῦρ ἐπαφεῖσαι πάντα κατέκαυσαν, τὰ χερουβίμ, τὴν κιβωτόν, τὸ ἱλαστήριον, τὰς πλάκας τὰς λιθίνας, τὴν στάμνον τὴν χρυσῆν ἱερατικὸν ἅγιον ἔχουσαν, τὸ μάννα; αὕτη γάρ, αὕτη ἡ συμφορὰ πικροτέρα ἐκείνης, ὅσῳ καὶ πολλῷ τιμιώτερα τούτων σύμβολα εἰς τὴν σὴν ἐναπέκειτο ψυχήν. οὗτος ἁγιώτερος ἐκείνου ὁ ναός. οὐδὲ γὰρ χρυσῷ καὶ ἀργύρῳ, ἀλλὰ τῇ τοῦ πνεύματος ἐναπέστιλβε χάριτι· καὶ ἀντὶ τῶν χερουβὶμ καὶ τῆς κι-

Ἱερ. θ. α.

ἑαυτοῦ τὸν Χριστὸν καὶ τὸν τούτου πατέρα καὶ τὸν παράκλητον εἶχεν ἱδρυμένους ἑαυτῷ. ἀλλὰ νῦν οὐκέτι· ἀλλ' ἔρημος μὲν καὶ γυμνὸς τοῦ κάλλους ἐκείνου καὶ τῆς εὐπρεπείας ἐστί, τὸν θεῖον καὶ ἄρρητον ἀπογυμνωθεὶς κόσμον, ἔρημος δὲ ἀσφαλείας ἁπάσης καὶ φυλακῆς· καὶ οὔτε θύρα, οὔτε μοχλός, ἀλλὰ πᾶσιν ἀνέῳκται τοῖς ψυχοφθόροις καὶ αἰσχροῖς λογισμοῖς. κἂν ὁ τῆς ἀλαζονείας, κἂν ὁ τῆς πορνείας, κἂν ὁ τῆς φιλαργυρίας, κἂν οἱ τούτων μιαρώτεροι βουληθῶσιν ἐπεισελθεῖν, ὁ κωλύσων οὐδείς. πρότερον δὲ καθάπερ ὁ οὐρανὸς τούτοις ἐστὶν ἅπασιν ἄβατος, οὕτω καὶ ἡ καθαρότης τῆς σῆς διανοίας. καὶ τάχα ἄπιστα δόξω λέγειν τισὶ τοῖς νῦν τὴν ἐρημίαν καὶ τὴν καταστροφὴν ὁρῶσι τὴν σήν. διὰ γὰρ τοῦτο κόπτομαι καὶ πενθῶ· καὶ τοῦτο ποιῶν οὐ παύσομαι, ἕως ἂν σε πάλιν ἐπὶ τῆς προτέρας ἴδω φαιδρότητος. εἰ γὰρ καὶ τοῖς ἀνθρώποις ἀδύνατον εἶναι τοῦτο δοκεῖ, ἀλλὰ Θεῷ πάντα δυνατά. αὐτὸς γάρ ἐστιν ὁ ἐγείρων ἀπὸ γῆς πτωχόν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα, τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων, μετὰ ἀρχόντων λαοῦ αὐτοῦ· αὐτός ἐστιν ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ μητέρα ἐπὶ τέκνοις εὐφραινομένην. μὴ τοίνυν ἀπογνῷς τὴν ἀρίστην μεταβολήν. εἰ γὰρ ὁ διάβολος τοσοῦτον ἴσχυσεν, ὡς ἀπὸ τῆς κορυφῆς ἐκείνης καὶ τοῦ ὕψους τῆς ἀρετῆς εἰς ἔσχατόν σε κακίας κατενεγκεῖν, πολλῷ μᾶλλον ὁ Θεὸς ἰσχύσει πρὸς ἐκείνην σε πάλιν ἀνελκύσαι τὴν ″ἀρετήν· καὶ οὐ τοιοῦτον μόνον, ἀλλὰ καὶ πολλῷ μακαριώτερον ἐργάσασθαι τοῦ προτέρου. μόνον μὴ καταπέσῃς, μηδὲ τὰς χρηστὰς ἐλπίδας ἐκκόψῃς, μηδὲ πάθῃς τὰ τῶν ἀσεβῶν. οὐ γὰρ τὸ τῶν ἁμαρτημάτων πλῆθος εἰς ἀπόγνωσιν ἐμβάλλειν εἴωθεν, ἀλλὰ τὸ ψυχὴν ἔχειν ἀσεβῆ. διὰ τοῦτο ὁ Σολομὼν οὐχ ἁπλῶς εἶπε, Πᾶς τις ἐλθὼν εἰς βάθος κακῶν καταφρονεῖ, ἀλλ', ὁ ἀσεβὴς μόνος. ἐκείνων γὰρ μόνων τοῦτο τὸ πάθος ἐστίν, ἐπειδὰν εἰς τὸ βάθος ἔλθωσι τῶν κακῶν. καὶ τοῦτό ἐστιν ὅπερ αὐτοὺς οὐκ ἀφίησιν ἀναβλέψαι καὶ ἐπανελθεῖν ὅθεν ἐξέπεσον. ὁ γὰρ μιαρὸς ἐκεῖνος λογισμός, καθάπερ τις κύφων, ἐπικείμενος ἐπὶ τὸν αὐχένα τῆς ψυχῆς, καὶ κάτω νεύειν καταναγκάζων αὐτήν, κωλύει πρὸς τὸν δεσπότην ἀναβλέψαι τὸν ἑαυτῆς. ἀνδρὸς δέ ἐστι γενναίου καὶ θαυμαστοῦ συντρίψαι τοῦτο τὸ ξύλον, καὶ τὸν ἐπιθέντα αὐτῷ δαίμονα ἀποκρούσασθαι, καὶ τὰ τοῦ προφήτου φθέγξασθαι ῥήματα· Ὡς γὰρ ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς. ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως. θεῖα ἀληθῶς ταῦτα τὰ παιδεύματα, καὶ τῆς ἀνωτάτω″ σοφίας τὰ δόγματα. ἐνεπλήσθημεν, φησιν, ἐξουδενώσεως, καὶ μυρία ὑπέστημεν χαλεπά. ἀλλ' ὅμως καὶ οὕτω διακείμενοι, τοῦ πρὸς τὸν Θεὸν ἀναβλέπειν οὐκ ἀποστησόμεθα, οὐδέ, πρὶν ἢ λαβεῖν τὴν αἴτησιν, παυσόμεθα ἱκετεύοντες αὐτόν. τοῦτο * γὰρ γενναίας ψυχῆς, * μὴ καταπίπτειν, μηδὲ ἀπαγορεύειν πρὸς τὸ πλῆθος τῶν κατεχόντων δεινῶν· μηδὲ πολλάκις αἰτοῦντας καὶ ἀποτυγχάνοντας ἀναχωρεῖν, ἀλλ' ἐπιμένειν, ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς, καθὼς καὶ ὁ μακάριος Δαβὶδ φησι. διὰ τοῦτο γὰρ καὶ ὁ διάβολος ἡμᾶς εἰς τοὺς τῆς ἀπογνώσεως ἐμβάλλει λογισμούς, ἵνα ἐκκόψῃ τὴν ἐλπίδα τὴν πρὸς τὸν Θεόν, τὴν ἄγκυραν τὴν ἀσφαλῆ, τὴν ὑπόθεσιν τῆς ἡμετέρας ζωῆς, τὴν χειραγωγὸν τῆς πρὸς τὸν οὐρανὸν ἀναφερούσης ὁδοῦ, τὴν σωτηρίαν τῶν ἀπολλυμένων ψυχῶν. Τῇ ἐλπίδι γὰρ ἐσώθημεν. αὕτη γάρ, αὕτη καθάπερ τις χρυσῆ σειρὰ τῶν οὐρανῶν ἐξαρτηθεῖσα, τὰς ἡμετέρας διαβαστάζει ψυχὰς κατὰ μικρόν, εἰς τὸ ὕψος ἐκεῖνο ἀνέλκουσα τοὺς σφόδρα ἐχομένους αὐτῆς, καὶ τοῦ κλύδωνος ἡμᾶς τῶν βιωτικῶν ὑπεξαιροῦσα κακῶν. ἂν οὖν τις μεταξὺ μαλακισθεὶς ἀφῇ τὴν ἄγκυραν ταύτην τὴν ἱεράν, κατέπεσέ τε εὐθέως καὶ ἀπεπνίγη, εἰς τὴν ἄβυσσον τῆς κακίας ἐλθών. ὅπερ εἰδὼς ὁ πονηρός, ἐπειδὰν ἡμᾶς αὐτοὺς τῷ τῶν πονηρῶν πράξεων βαρυνομένους συνειδότι ἴδῃ, ἐπελθὼν καὶ αὐτός, τὸν ἀπὸ τῆς ἀπογνώσεως λογισμὸν ὄντα μολύβδου βαρύτερον ἐπιτίθησι. κἂν αὐτὸν παραδεξώμεθα, ἀνάγκη λοιπὸν κατασπασθέντας εὐθέως τῷ βάρει, καὶ τῆς σειρᾶς ἀπορρα-

παῤῥησίαν

Ψαλ. ριβ. ζ.

Παροιμ. ιη. γ.

Ψαλ. ρκβ. β.

φιλοσοφίας

ἴδιον τὸ

Ρωμ. η. κδ.

γμύτας ἐκείνης, κατελθεῖν εἰς τὸ βάθος τῶν κακῶν· ἔνθα καὶ αὐτὸς γέγονας νῦν, τοῦ μὲν πρᾴου καὶ ταπεινοῦ δεσπότου τὰ προστάγματα ἀφείς, τοῦ δὲ ὠμοῦ καὶ τυράννου καὶ ἀσπόνδου καὶ τῆς ἡμετέρας "ψυχῆς ἐχθροῦ τὰ ἐπιτάγματα ἐξανύων ἅπαντα· καὶ τὸν χρηστὸν διαρρήξας ζυγόν, καὶ τὸ φορτίον ῥίψας τὸ ἐλαφρόν, καὶ τοὺς σιδηροῦς αὐτ' ἐκείνων κλοιοὺς περιθεὶς σεαυτῷ, ἔτι καὶ τὸν μύλον ἐξήρτησας τὸν ὀνικὸν τῷ τραχήλῳ τῷ σῷ.

Ποῦ οὖν στήσῃ λοιπὸν τὴν ἀθλίαν σὺ καταποντίζων ψυχήν, τοῦ κάτω φέρεσθαι διηνεκῶς τοιαύτην σαυτῷ τὴν ἀνάγκην ἐπιθείς; ἡ μὲν οὖν τὴν μίαν δραχμὴν εὑροῦσα γυνή, τὰς γείτονας ἐκάλει τῆς εὐφροσύνης κοινωνούς, Συγχάρητέ μοι, λέγουσα· ἐγὼ δὲ τοὺς φίλους ἅπαντας, τούς τε ἐμούς, καὶ τοὺς σοὺς ἐπὶ τοῖς ἐναντίοις παρακαλέσω νῦν, οὐ, συγχάρητέ μοι, λέγων, ἀλλά, Συμπενθήσατε, καὶ θρῆνον ἀναλάβεσθε τὸν αὐτόν, καὶ πικρὸν σὺν ἡμῖν ἀνακράξατε. ζημία γὰρ ἡμᾶς ἐσχάτη κατείληφεν, οὐχ ὅτι χρυσοῦ τάλαντα τόσα καὶ τόσα τῆς ἐμῆς ἐξέπεσε χειρός, οὐδ' ὅτι λίθων τιμίων πολὺς ἀριθμός, ἀλλ' ὅτι τούτων ἁπάντων ὁ τιμιώτερος, συμπλέων ἡμῖν τὴν θάλασσαν ταύτην τὴν μεγάλην καὶ εὐρύχωρον, οὐκ οἶδα πῶς ἐξολισθήσας, πρὸς αὐτὸν τῆς ἀπωλείας τὸν πυθμένα κατέπεσεν. Εἰ δέ τινες με τοῦ θρηνεῖν ἀπάγειν πειρῶνται, τὰ τοῦ προφήτου φθέγξομαι πρὸς αὐτοὺς ῥήματα· Αφετέ με, πικρῶς κλαύσομαι· μὴ κατισχύσητε παρακαλεῖν με. οὐ γὰρ τοιοῦτον πένθος πενθῶ νῦν, ὡς καὶ κατάγνωσιν φέρειν ἡμῖν τὴν ἀμετρίαν τῶν ὀδυρμῶν· ἀλλ' ὑπὲρ οὗ, κἂν εἰ Παῦλος ἦν, κἂν εἰ Πέτρος, οὐκ ἂν ᾐσχύνθησαν κλαίοντες καὶ πενθοῦντες καὶ πᾶσαν παράκλησιν διωθούμενοι. τοῖς μὲν γὰρ τὸν κοινὸν τοῦτον θάνατον ὀδυρομένοις εἰκότως ἄν τις ἐγκαλέσειε μικροψυχίαν πολλήν· ὅταν δὲ ἀντὶ σώματος ψυχὴ πρόκειται νεκρά, μυρίας ἔχουσα τὰς ὠτειλάς, καὶ ἐν αὐτῇ τῇ νεκρότητι τὴν "εὐφυΐαν αὐτῆς ἐμφαίνουσα τὴν προτέραν καὶ τὴν εὐεξίαν καὶ τὸ κάλλος τὸ ἀποσβεσθέν, τίς οὕτως ὠμὸς καὶ ἀσυμπαθής, ὡς ἀντὶ θρήνων καὶ ὀδυρμῶν "παραμυθητικοὺς λόγους "εἰσάγειν; ὥσπερ γὰρ ἐκεῖ τὸ μὴ πενθεῖν, οὕτως ἐνταῦθα τὸ πενθεῖν φιλοσοφίας ἐστίν. ὁ πρὸς τὸν οὐρανὸν φθάσας, ὁ τῆς τοῦ βίου ματαιότητος καταγελῶν, ὁ τὰ κάλλη τῶν σωμάτων ὡς τὰ ἐν λίθοις ὁρῶν, ὁ χρυσοῦ μὲν ὡς πηλοῦ, τρυφῆς δὲ ἁπάσης ὡς βορβόρου καταφρονῶν, οὗτος ἡμῖν ἐξαίφνης πυρετῷ καταληφθεὶς ἐπιθυμίας ἀτόπου, καὶ τὴν ὑγίειαν καὶ τὴν ἀνδρείαν καὶ τὴν ὥραν ἅπασαν διέφθειρε, καὶ δοῦλος γέγονε τῶν ἡδονῶν. τοῦτον οὖν οὐ δακρύσομεν, εἰπέ μοι, καὶ κοψόμεθα, ἕως ἀνακτησώμεθα πάλιν αὐτόν; καὶ ποῦ ταῦτα ἀνθρωπίνης ψυχῆς; τὴν μὲν γὰρ τοῦ σώματος νεκρώσεως τὴν λύσιν οὐκ ἔστιν ἐνταῦθα εὑρεῖν, καὶ ὅμως οὐδὲ τοῦτο τοὺς πενθοῦντας τῶν θρήνων ἀφίστησι· ψυχῆς δὲ νέκρωσιν ἐνταῦθα μόνον ἐστὶν ἀφανίσαι δυνατόν· Εν γὰρ τῷ ᾅδῃ, φησί, τίς ἐξομολογήσεταί σοι; πῶς οὖν οὐ πολλῆς βλακείας ἐστί, τοὺς μὲν τὸν τοῦ σώματος θάνατον πενθοῦντας οὕτω σφοδροτέρως τοῦτο ποιεῖν, καὶ ταῦτα εἰδότας ὅτι οὐκ ἀναστήσουσι τὸν κείμενον τοῖς ὀδυρμοῖς, ἡμᾶς δὲ μηδὲν τοιοῦτον ἐπιδείκνυσθαι, καὶ ταῦτα ἐπισταμένους, ὅτι πολλάκις ἐστὶν ἐλπὶς τὴν ἀπολωλυῖαν ψυχὴν εἰς τὴν προτέραν ζωὴν ἐπαναγαγεῖν; πολλοὶ γὰρ καὶ νῦν καὶ ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων ἐκ τῆς "ὀρθῆς περιτραπέντες στάσεως, καὶ ἐκ τῆς "ἐστενοχωρημένης καταχρημνισθέντες ὁδοῦ, οὕτω διανέστησαν πάλιν, ὡς ἀποκρύψαι τοῖς δευτέροις τὰ πρότερα, καὶ τὸ βραβεῖον λαβεῖν, καὶ τὸν στέφανον ἀναδήσασθαι, καὶ μετὰ τῶν νικώντων ἀνακηρυχθῆναι, καὶ εἰς τὸν τῶν ἁγίων ἀριθμηθῆναι χορόν. ἕως μὲν γὰρ ἂν ἐν τῇ καμίνῳ τις ἕστηκε τῶν ἡδονῶν, κἂν μυρία τοιαῦτα ὑποδείγματα ἔχῃ, ἀδύνατον αὐτῷ τὸ πρᾶγμα εἶναι δοκεῖ. ἐὰν δὲ ἀρχὴν βραχεῖαν λάβοι μόνον τῆς ἐκεῖθεν ἐξόδου, προϊὼν ἀεί, τὸ μὲν σφοδρότερον τοῦ πυρὸς κατόπιν ἀφίησι, τὰ δὲ ἔμπροσθεν καὶ πρὸ τῶν ποδῶν, δρόσου καὶ πολλῆς γέμοντα τῆς εὐκολίας ὄψεται. μόνον μὴ ἀπογνῶμεν, μηδὲ ἀπαγορεύσωμεν τὴν ἐπάνοδον. ὁ γὰρ τοῦτο παθών, κἂν μεγάλην ἰσχὺν καὶ προθυμίαν κεκτημένος ᾖ, μάτην κέκτηται. τὴν γὰρ θύραν ἅπαξ ἀποκλείσας ἑαυτῷ τῆς μετανοίας, καὶ τὴν εἰς τὸ στάδιον εἴσοδον ἀποτειχίσας,

Λουκ. ιε. θ.

Ησ. κβ. δ.

Ψαλμ. ϛ. ϛ.

χ. σωτῆ

χ. συμφορ

χ. πνευ

τικὺς

χ. ὀρθῆς

ως,

χ. στενῆς

τειχίσας, πῶς δυνήσεται ἔξω μένων ἢ μικρὸν ἢ μέγα ἐργάσασθαι ἀγαθόν; διὰ τοῦτο πάντα μηχανᾶται ὁ πονηρός, ἵνα τοῦτον ἐν ἡμῖν φυτεύσῃ τὸν λογισμόν. οὐκ ἔτι γὰρ αὐτῷ ἱδρώτων δεήσει καὶ πόνων πρὸς τὴν ἡμετέραν ἀντίστασιν. πῶς γάρ, τῶν κειμένων καὶ πεπτωκότων καὶ ἀνταίρειν οὐκ ἐθελόντων αὐτῷ; ὁ μὲν γὰρ δυνηθεὶς διαλῦσαι τοῦτον τὸν δεσμόν, καὶ τὴν ἰσχὺν ἀνακτήσεται τὴν ἑαυτοῦ, καὶ εἰς ἐσχάτας αὐτῷ οὐ παύσεται παλαίων ἀναπνοάς. κἂν ἄλλα μυρία πέσῃ πτώματα, ἀναστήσεται καὶ πάλιν καὶ συγκόψει τὸν ἐχθρόν. ὁ δὲ τῷ τῆς ἀπογνώσεως δεθεὶς λογισμῷ, καὶ τὴν ἰσχὺν παραλύσας τὴν ἑαυτοῦ, πῶς δυνήσεται ἀντιστῆναι καὶ περιγενέσθαι, ἐξ ἐναντίας φυγών; καὶ μή μοι τοὺς ὀλίγα ἡμαρτηκότας εἴπῃς· ἀλλ᾽ ἔστω τις πάσης κακίας ἀνάμεστος, καὶ ἅπαντα πραττέτω τὰ ἀποκλείοντα τῆς βασιλείας τῶν οὐρανῶν αὐτόν, καὶ οὐδὲ μὴ τῶν ἐξ ἀρχῆς ἀπίστων, ἀλλὰ τῶν πιστῶν καὶ εὐηρεστηκότων Θεῷ πρότερον ὤν, ὕστερον γενέσθω πόρνος, μοιχός, μαλακός, ἀρσενοκοίτης, κλέπτης, μέθυσος, λοίδορος, καὶ τὰ ἄλλα τὰ τούτοις ὅμοια· οὐδὲ γὰρ ἐγὼ τοῦτον ἀποδέξομαι ἀπογινώσκοντα ἑαυτοῦ, κἂν εἰς ἔσχατον γῆρας ἐλάσῃ μετὰ τῆς ἀφάτου ταύτης κακίας. εἰ μὲν γὰρ πάθος ἦν ἡ ὀργὴ τοῦ Θεοῦ, καλῶς ἄν τις ἀπέγνω, ὡς οὐ δυνάμενος λοιπὸν σβέσαι τὴν φλόγα, ἣν διὰ τῶν τοσούτων ἀνῆψε κακῶν· ἐπειδὴ δὲ τὸ θεῖον ἀπαθές ἐστι, κἂν κολάζῃ, κἂν τιμωρῆται, οὐ μετ᾽ ὀργῆς τοῦτο ποιεῖ, ἀλλὰ μετὰ φιλανθρωπίας καὶ κηδεμονίας πολλῆς. διὸ σφόδρα θαρρεῖν καὶ πεποιθέναι χρὴ τῇ τῆς μετανοίας δυνάμει. καὶ γὰρ τοῖς εἰς αὐτὸν ἡμαρτηκόσιν οὐ δι᾽ ἑαυτὸν εἴωθεν ἐπεξέρχεσθαι (οὐδεμία γὰρ εἰς τὴν φύσιν ἐκείνην διαβαίνει βλάβη) ἀλλὰ πρὸς τὸ συμφέρον ἡμῖν σκοπῶν, καὶ ὑπὲρ τοῦ μὴ χείρονα γίνεσθαι τὴν διαστροφὴν τὴν ἡμετέραν, μελλεπόντων αὐτοῦ καταφρονεῖν καὶ ὑπερορᾶν. καθάπερ γὰρ ὁ τοῦ φωτὸς ἐκτὸς ποιῶν ἑαυτόν, ἐκεῖνο μὲν ἐζημίωσεν οὐδέν, ἑαυτὸν δὲ τὰ μέγιστα ἐν σκότει κατακλεισθείς· οὕτω καὶ ὁ τῆς πολυαλκοῦς ἐκείνης δυνάμεως καταφρονεῖν ἐθισθείς, ἐκείνην μὲν οὐδὲν ἔβλαψεν, ἑαυτὸν δὲ τὴν ἐσχάτην ἔβλαψε βλάβην. καὶ διὰ τοῦτο ὁ Θεὸς τὰς τιμωρίας ἡμῖν καὶ ἀπειλεῖ καὶ ἐπάγει πολλάκις, οὐχ ἑαυτὸν ἐκδικῶν, ἀλλ᾽ ἡμᾶς ἕλκων πρὸς ἑαυτόν. καὶ γὰρ καὶ ἰατρὸς ἐπὶ ταῖς τῶν παραπαιόντων ὕβρεσιν οὐκ ἀλγεῖ μέν, οὐδὲ δάκνεται, ὅμως δὲ ἅπαντα πράττει καὶ πραγματεύεται ὑπὲρ τοῦ παῦσαι τοιαῦτα ἀσχημονοῦντας ἐκείνους, οὐ τὸ ἑαυτοῦ σκοπῶν, ἀλλὰ τὴν ἐκείνων ὠφέλειαν· κἂν ἐπιδείξωνται μικρόν τι σωφροσύνης καὶ νήψεως, χαίρει καὶ εὐφραίνεται, καὶ πολλῷ σφοδρότερον τὰ φάρμακα ἐπιτίθησιν, οὐχ ὑπὲρ τῶν προτέρων αὐτοὺς ἀμυνόμενος, ἀλλὰ τὴν ὠφέλειαν ταύτην αὐξῆσαι θέλων καὶ πρὸς καθαρὰν ὑγίειαν ἐπαναγαγεῖν· οὕτω καὶ ὁ Θεός, ὅταν εἰς τὴν ἐσχάτην μανίαν ἐκπέσωμεν, οὐκ ἀμυνόμενος ὑπὲρ τῶν προτέρων, ἀλλ᾽ ἀπαλλάξαι τῆς νόσου βουλόμενος, ἅπαντα καὶ λέγει καὶ ποιεῖ. καὶ τοῦτο ἰσχυρὸν μὲν καὶ ἀπὸ τῶν ὀρθῶν λογισμῶν συνιδεῖν. εἰ δέ τις ἡμῖν ἀμφισβητοίη τούτου ἕνεκεν, καὶ ἀπὸ τῶν θείων πιστωσώμεθα τῶν λογίων. τίς γάρ, εἰπέ μοι, τοῦ Βαβυλωνίων βασιλέως γέγονε μιαρώτερος, ὃς τοσαύτην τῆς τοῦ Θεοῦ δυνάμεως πεῖραν λαβών, ὡς τὸν προφήτην προσκυνῆσαι τὸν αὐτοῦ καὶ κελεῦσαι αὐτῷ μαναὰ σπεῖσαι καὶ θεῖον, πάλιν εἰς τὸν πρότερον ὀξέως ἦλθε τῦφον, καὶ τοὺς μὴ προτιμήσαντας αὐτὸν τοῦ Θεοῦ εἰς τὴν κάμινον ἔβαλλε δεδεμένους; ἀλλ᾽ ὅμως τὸν οὕτως ὠμὸν καὶ ἀσεβῆ καὶ θηρίον μᾶλλον ἢ ἄνθρωπον, εἰς μετάνοιαν προσκαλεῖται, καὶ δίδωσιν αὐτῷ καὶ ἑτέρας τοῦ μεταβάλλεσθαι ἀφορμάς· πρῶτον μὲν αὐτὸ τὸ ἐν τῇ καμίνῳ θαῦμα γενόμενον· μετὰ δὲ ἐκεῖνο, τὴν ὄψιν, ἣν εἶδε μὲν ὁ βασιλεύς, ἡρμήνευσε δὲ ὁ Δανιήλ, ἱκανὴν οὖσαν καὶ λιθίνην κάμψαι ψυχήν. πρὸς τούτοις, μετὰ τὴν ἐκ τῶν πραγμάτων παραίνεσιν καὶ αὐτὸς ὁ προφήτης συνεβούλευσε λέγων· Διὰ τοῦτο, βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι, καὶ τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις κάθαρον, καὶ τὰς ἀνομίας σου ἐν οἰκτιρμοῖς πενήτων· ἴσως ἔσται μακροθυμία τοῖς παραπτώμασί σου. τί λέγεις, ὦ σοφὲ καὶ μακάριε; ἔστι μετὰ τὴν τοσαύτην ἀπόπτωσιν ἐπάνοδος πάλιν; ἔστι μετὰ τὴν τοσαύτην

γινέσθω

λύτρωσαι

Δαν. δ. κδ.

νόσοι ὑγίεια; ἔστι μετὰ τὴν μανίαν ἐλπίσαι σωφροσύνην τινά; πάσης ἑαυτὸν περιλαβὼν ἀπολογίας ἀπεστέρησεν ὁ βασιλεύς· πρῶτον μὲν ἀγνοήσας τὸν ποιήσαντα αὐτὸν, καὶ εἰς τὴν τιμὴν ἀγαγόντα ἐκείνην, καίτοι τῆς δυνάμεως αὐτοῦ καὶ τῆς προνοίας τεκμήρια διηγεῖσθαι ἔχων καὶ ἐπ' αὐτοῦ, καὶ ἐπὶ τῶν προγόνων αὐτοῦ γεγενημένα πολλά. μετὰ δὲ τοῦτο πάλιν τῆς σοφίας αὐτοῦ καὶ τῆς προγνώσεως ἐναργῆ σημεῖα λαβὼν, καὶ μαγικὴν καὶ ἀστρονομικὴν καὶ πάσης τῆς διαβολικῆς μαγγανείας τὴν σκηνὴν ἀνατραπεῖσαν ἰδὼν, χαλεπώτερα τῶν προτέρων ἐπεδείξατο. ἃ γὰρ οἱ σοφοὶ μάγοι καὶ γαζαρηνοὶ διασαφῆσαι οὐκ ἴσχυσαν, ἀλλ' ὡμολόγησαν μείζονα ἢ κατὰ ἀνθρωπίνην φύσιν εἶναι, ταῦτα παιδίον αἰχμάλωτον ἐπιλύσασθαι ποιήσας αὐτῷ, οὕτως αὐτὸν ἐπηγάγετο ἐκείνῳ τῷ θαύματι, ὡς μὴ μόνον αὐτὸν πιστεῦσαι, ἀλλὰ καὶ τῇ οἰκουμένῃ πάσῃ τοῦ δόγματος τούτου γενέσθαι κήρυκα καὶ διδάσκαλον σαφῆ. ὥστε εἰ καὶ πρὶν ἢ σημεῖον τοιοῦτον λαβεῖν ἀσύγγνωστος ἦν, ἀγνοῶν τὸν Θεὸν, πολλῷ μᾶλλον μετ' ἐκεῖνο τὸ θαῦμα καὶ τὴν ὁμολογίαν αὐτοῦ, καὶ τὴν διδασκαλίαν τὴν εἰς ἑτέρους γεγενημένην. οὐ γὰρ ἂν μὴ πιστεύσας καλῶς, ὅτι μόνος ἐστὶν ὁ Θεὸς ἀληθὴς, τοσαύτην εἰς τὸν ἐκείνου θεράποντα τιμὴν ἐπεδείξατο, καὶ τοιαῦτα τοῖς ἄλλοις ἐνομοθέτησεν. ἀλλ' ὅμως μετὰ τὴν τοσαύτην ὁμολογίαν εἰς εἰδωλολατρείαν πάλιν ἐξέπεσε· καὶ ὁ πεσὼν ἐπὶ πρόσωπον, καὶ τοῦ Θεοῦ προσκυνήσας τὸν δοῦλον, οὗτος εἰς τοσοῦτον ἐξεβακχεύθη μανίας, ὥστε τοὺς τοῦ Θεοῦ δούλους μὴ προσκυνοῦντας αὐτὸν εἰς κάμινον ἐμβαλεῖν.

Τί οὖν; μετῆλθεν ὁ Θεὸς τὸν ἀποστάτην, ὡς μετελθεῖν ἔδει; μείζονα μὲν οὖν αὐτῷ τεκμήρια τῆς οἰκείας δυνάμεως παρέσχε, μετὰ τὴν τοσαύτην ἀπόνοιαν ἕλκων ἐπὶ τὰ πρότερα πάλιν αὐτόν. καὶ τὸ δὴ θαυμαστότερον. ἵνα γὰρ μὴ ἀπιστῆται διὰ τὴν ὑπερβολὴν τῶν θαυμάτων τὰ γινόμενα πάλιν, οὐκ ἐν ἄλλῳ τινὶ τὸ σημεῖον ἐποίησεν, ἀλλ' ἐπὶ τῆς καμίνου, ἣν ἀνῆψεν αὐτὸς, ἐπὶ τῶν παίδων, οὓς ἔδησε καὶ ἔβαλεν ἐν αὐτῇ. ἦν μὲν καὶ τὸ σβέσαι τὴν φλόγα φοβερὸν καὶ παράδοξον· ὁ δὲ φιλάνθρωπος, ὑπὲρ τοῦ μείζονα ἐνθεῖναι φόβον καὶ πλείονα ποιῆσαι τὴν ἔκπληξιν καὶ πᾶσαν αὐτοῦ λῦσαι τὴν πώρωσιν, τὸ τούτου μεῖζον ἐποίησε καὶ παραδοξότερον. ἀφεὶς γὰρ αὐτὴν ἐκκαυθῆναι τοσοῦτον, ὅσον ἐκεῖνος ἠθέλησεν, οὕτω τὴν οἰκείαν ἐνδείκνυται δύναμιν, οὐ καταλύων τὰ μηχανήματα τῶν ἐχθρῶν, ἀλλ' ἑστῶτα ἄκυρα ποιῶν. ἵνα δὲ μή τις αὐτοὺς ἰδὼν περιγενομένους τῆς φλογὸς, φάντασμα εἶναι νομίσῃ, συνεχώρησε καυθῆναι τοὺς ἐμβαλόντας αὐτοὺς, δεικνὺς ὅτι πῦρ μὲν ἦν ἀληθῶς τὸ ὁρώμενον· οὐ γὰρ ἂν νάφθαν καὶ στυππεῖον καὶ κληματίδας καὶ τοσαῦτα κατέφαγε σώματα. τῆς δὲ αὐτοῦ προσταγῆς ἰσχυρότερον οὐδὲν, ἀλλ' ἕπεται τῶν ὄντων ἁπάντων ἡ φύσις τῷ ἐκ τοῦ μὴ ὄντος αὐτὴν εἰς τὸ εἶναι παραγαγόντι, ὅπερ οὖν καὶ τότε ἐδείκνυτο. σώματα γὰρ ἡ φλὸξ ἀπολαβοῦσα φθαρτὰ, καθάπερ ἀφθάρτων ἀπείχετο, καὶ σώαν τὴν παρακαταθήκην ἀπέδωκε, καὶ μετὰ πολλῆς τῆς λαμπρότητος. ὥσπερ γὰρ ἐκ βασιλείων τινὲς βασιλεῖς, οὕτως ἀπὸ τῆς καμίνου προῆλθον οἱ παῖδες ἐκεῖνοι, οὐδενὸς εἰς τὸν βασιλέα λοιπὸν ἀνεχομένου ὁρᾷν, ἀλλὰ πάντων ἀπ' ἐκείνου τοὺς ὀφθαλμοὺς μεταθέντων ἐπὶ τὴν παράδοξον θεωρίαν. καὶ οὔτε τὸ διάδημα, οὔτε ἡ ἁλουργὶς, οὔτε ἄλλο τι τῆς βασιλικῆς φαντασίας τοὺς ὄχλους οὕτως ἐπέστρεφεν, ὡς ἡ θέα τῶν πιστῶν ἐκείνων, ἐγχρονισάντων μὲν τῷ πυρὶ, οὕτω δὲ ἐξελθόντων [ἐκείνων] ἐκεῖθεν, ὡς τοὺς ἐν ὀνείροις παθόντας τοῦτο εἰκὸς ἦν. καὶ γὰρ ὁ πάντων εὐθραυστότερόν ἐστι τῶν ἐν ἡμῖν, ἡ τῶν τριχῶν φύσις, τότε ἀδάμαντος ἰσχυρότερον ἐκράτει τῆς παμφάγου φλογός. καὶ οὐ τοῦτο μόνον ἦν τὸ θαυμαστὸν, ὅτι εἰς μέσον ἀποληφθέντες ἔπαθον οὐδὲν, ἀλλ' ὅτι καὶ φθεγγόμενοι ἦσαν διαπαντός. ἴσασι δὲ πάντες, ὅσοι τοῖς καιομένοις παραγεγόνασιν, ὡς ἕως μὲν ἂν ἔχωσι μεμυκότα ἐκεῖνοι τὰ χείλη, κἂν βραχὺ γοῦν ἀντέχουσι πρὸς τὸν ἐμπρησμόν· εἰ δὲ συμβαίη τὸ στόμα διᾶραι αὐτοὺς, εὐθέως ἀφίσταται τοῦ σώματος ἡ ψυχή. ἀλλ' ὅμως τοσούτων γινομένων θαυμάτων, καὶ πάντων καταπλαγέντων τῶν παρόντων

γρ. ἀστρονομ

γρ. μαζαρ

καὶ θεωμένων, καὶ τῶν ἁπάντων διὰ γραμμάτων τοῦτο μεμαθηκότων, ὁ δὲ τοὺς ἄλλους διδάξας βασιλεὺς, ἀδιόρθωτος ἔμεινε, καὶ πάλιν ἐπὶ τὴν προτέραν ἐπανῄει κακίαν. καὶ οὐδὲ οὕτως αὐτὸν ὁ Θεὸς ἐκόλασεν, ἀλλ' ἐμακροθύμει ἔτι καὶ δι' ὀνείρατος καὶ διὰ τοῦ προφήτου συμβουλεύων αὐτῷ. ἐπειδὴ δὲ οὐδενὶ τούτων βελτίων ἐγένετο, τότε καὶ ἐπάγει τὴν τιμωρίαν λοιπὸν, οὐχ ὑπὲρ τῶν ἤδη γεγενημένων ἀμυνόμενος, ἀλλὰ τὰ μέλλοντα ἐκκόπτων σημεῖα, καὶ τὴν εἰς τὸ ἔμπροσθεν ἀναστέλλων κακίαν. καὶ οὐδὲ τοῦτο εἰς τέλος, ἀλλ' ἐπ' ὀλίγοις αὐτὸν παιδεύσας ἔτεσι, τῇ προτέρᾳ πάλιν αὐτὸν ἀπέδωκε τιμῇ, ζημιωθέντα μὲν ἀπὸ τῆς κολάσεως οὐδὲν, κερδάναντα δὲ τὸ πάντων μέγιστον τῶν ἀγαθῶν, τὸ στεῤῥῶς τῆς εἰς τὸν Θεὸν ἔχεσθαι πίστεως, καὶ μεταγνῶναι ἐπὶ τοῖς προτέροις ἡμαρτημένοις αὐτῷ. τοιαύτη γὰρ ἡ τοῦ Θεοῦ φιλανθρωπία. οὐδέποτε μετάνοιαν γινομένην εἰλικρινῶς ἀποστρέφεται· ἀλλὰ κἂν πρὸς αὐτό τις τῆς κακίας ἐλάσῃ τὸ πέρας, κἀκεῖθεν ὑποστρέψαι πάλιν ἕληται πρὸς τὴν τῆς ἀρετῆς ὁδὸν, καὶ δέχεται καὶ προσίεται τοῦτον, καὶ πάντα ποιεῖ, ὥστε αὐτὸν εἰς τὴν προτέραν κατάστασιν ἐπαναγαγεῖν. καὶ τὸ πολλῷ τούτου φιλανθρωπότερον. κἂν γὰρ μὴ πᾶσάν τις ἐπιδείξηται τὴν μετάνοιαν, οὐδὲ τὴν βραχεῖαν καὶ πρὸς ὀλίγον γεγενημένην παραπέμπεται, ἀλλὰ καὶ ταύτης πολὺν τίθησι τὸν μισθόν. καὶ τοῦτο δῆλον, ἐξ ὧν ὁ προφήτης Ἡσαΐας περὶ τοῦ λαοῦ τῶν Ἰουδαίων οὑτωσί πως φησί· Δι' ἁμαρτίαν βραχύ τι ἐλύπησα αὐτὸν, καὶ ἐπάταξα αὐτὸν, καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ' αὐτοῦ, καὶ ἐλυπήθη καὶ ἐπορεύθη στυγνός· καὶ ἰασάμην αὐτὸν, καὶ παρεκάλεσα αὐτόν. μαρτυρήσειε δ' ἂν ἡμῖν καὶ ὁ ἀσεβέστατος βασιλεὺς ἐκεῖνος, ὁ γεγονὼς μὲν ἔκδοτος τοῖς ἁμαρτήμασιν ὑπὸ τῆς γυναικός. ἐπειδὴ δὲ μόνον ἐπένθησε, καὶ σάκκον περιεβάλετο, καὶ κατέγνω τῶν πλημμεληθέντων αὐτῷ, οὕτως ἐπεσπάσατο τοῦ Θεοῦ τὸν ἔλεον, ὡς πάντων αὐτὸν ἀπαλλάξαι τῶν ἐπηρτημένων κακῶν. εἶπε γὰρ ὁ Θεὸς τῷ Ἠλίᾳ· Ἑώρακας πῶς κατενύγη Ἀχαὰβ ἀπὸ προσώπου μου; ἀνθ' ὧν ὅτι ἔκλαυσεν ἀπὸ προσώπου μου, οὐκ ἐπάξω τὴν κακίαν ἐν ταῖς ἡμέραις αὐτοῦ. καὶ μετὰ τοῦτον πάλιν ὁ Μανασσῆς πάντας καὶ τῇ μανίᾳ καὶ τῇ τυραννίδι παρελάσας, καὶ τὴν νομικὴν ἀνατρέψας λατρείαν, καὶ τὸν ναὸν ἀποκλείσας, καὶ τὴν τῶν εἰδώλων πλάνην ποιήσας ἀνθεῖν, καὶ πάντων τῶν ἔμπροσθεν γενόμενος ἀσεβέστερος, ἐπειδὴ μετενόησεν ὕστερον, εἰς τοὺς τοῦ Θεοῦ κατετάττετο φίλους. εἰ δὲ εἰς τὸ μέγεθος ἀπιδὼν τῶν ἰδίων ἀνομιῶν, ἀπέγνω τὴν ἐπάνοδον καὶ τὴν μεταβολὴν, πάντων ἂν ἐξέπεσεν, ὧν μετὰ ταῦτα ἐπέτυχε. νῦν δὲ ἀντὶ τῆς ὑπερβολῆς τῶν ἡμαρτημένων αὐτῷ, εἰς τὸ ἄπειρον πλῆθος τῆς εὐσπλαγχνίας τοῦ Θεοῦ ἰδὼν, καὶ τὰ δεσμὰ τοῦ διαβόλου διαῤῥήξας, διανέστη καὶ ἠγωνίσατο καὶ τὸν δρόμον ἐτέλεσε τὸν καλόν. οὐ μόνον δὲ διὰ τῶν εἰς τούτους γεγενημένων, ἀλλὰ καὶ διὰ τῶν τοῦ προφήτου ῥημάτων ἐκκόπτει τοὺς τῆς ἀπογνώσεως λογισμοὺς ὁ Θεὸς, οὑτωσὶ λέγων· Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ. τὸ δὲ, σήμερον, ἐν παντὶ τῷ βίῳ λέγεσθαι δυνατὸν, καὶ πρὸς αὐτῷ δὲ, εἰ βούλει, τῷ γήρᾳ. οὐ χρόνου γὰρ ποσότητι, ἀλλὰ διαθέσει ψυχῆς ἡ μετάνοια κρίνεται. καὶ γὰρ οἱ Νινευῖται οὐ πολλῶν ἐδεήθησαν ἡμερῶν, ὥστε ἐξαλεῖψαι τὴν ἁμαρτίαν ἐκείνην· ἀλλ' ἴσχυσε βραχύς τις ἡμέρας καιρὸς ἅπασαν ἀφανίσαι τὴν ἀνομίαν αὐτῶν. καὶ ὁ λῃστὴς δὲ οὐκ ἐν χρόνῳ μακρῷ τὴν εἰς τὸν παράδεισον εἴσοδον ἤνυσεν· ἀλλ' ὅσην ἄν τις ἀναλώσειεν ὥραν ῥῆμα φθεγγόμενος, ἐν τοσαύτῃ ῥοπῇ τὰ ἐν παντὶ τῷ βίῳ ἡμαρτημένα ἀπολουσάμενος, καὶ πρὸ τῶν ἀποστόλων τὸ τῆς εὐδοκιμήσεως βραβεῖον ἐλάμβανεν. ὁρῶμεν δὲ καὶ τοὺς μάρτυρας οὐκ ἐν πολλοῖς ἔτεσιν, ἀλλ' ἐν ἡμέραις ὀλίγαις, πολλάκις δὲ καὶ ἐν μιᾷ μόνῃ τοὺς λαμπροὺς ἐπιτιθεμένους στεφάνους. ὥστε προθυμίας ἡμῖν χρεία πανταχοῦ καὶ διαθέσεως πολλῆς. κἂν οὕτω τὸ συνειδὸς παρασκευάσωμεν, ὥστε μετὰ τοσαύτης σφοδρότητος καὶ τὴν προτέραν μισῆσαι κακίαν, καὶ τὴν ἐναντίαν ἐλέ-

ἐπανίεσι

ὀνειράτων

Ἡσ. νζ. ιζ.

Γ. Βασ. κα. κη.

Ψαλ. ϟδ. θ.

ασθαι ὁδὸν, μεθ᾽ ὅσης ὁ Θεὸς βούλεται καὶ ἀπαιτεῖ, οὐδὲν ἀπὸ τῶν χρόνων ἔλαττον ἕξομεν.
πολλοὶ γοῦν ἔσχατοι γενόμενοι, τοὺς πρώτους οὕτως ὑπερηκόντισαν. οὔτε γὰρ τὸ πεσεῖν το-
σοῦτον χαλεπὸν, ἀλλὰ τὸ πεσόντα κεῖσθαι καὶ μὴ ἀνίστασθαι, ἀλλ᾽ ἐθελοκακοῦντα καὶ βλα-
κεύοντα τοῖς τῆς ἀπογνώσεως λογισμοῖς τὴν τῆς προαιρέσεως ἀποκρύπτειν ἀσθένειαν.
Ιερ η. δ. πρὸς οὓς ὁ προφήτης ″διαπορούμενος ἔλεγε· Μὴ ὁ πίπτων οὐκ ἀνίσταται; ἢ ὁ ἀποστρέφων — γ. διαπ
οὐκ ἐπιστρέφει; Εἰ δέ τινας τῶν μετὰ τὸ πιστεῦσαι πάλιν ἐκπεσόντων ζητοίης παρ᾽ ἡμῶν, καὶ
ταῦτα μὲν ἅπαντα ὑπὲρ τούτων εἴρηται. ὁ γὰρ πεσὼν, τῶν ἑστώτων πρότερον ἦν, οὐ τῶν
κειμένων. πῶς γὰρ ἂν ὁ τοιοῦτος πέσοι;

Εἰρήσεται δὲ καὶ ἕτερα, τὰ μὲν διὰ παραβολῶν, τὰ δὲ διὰ σαφεστέρων πράξεών τε καὶ
λόγων. καὶ γὰρ τὸ πρόβατον ἐκεῖνο τὸ τῶν ἐνενήκοντα καὶ ἐννέα ἀποσχισθὲν, εἶτα πάλιν ἐπα-
ναχθὲν, οὐδὲν ἕτερον ἡμῖν, ἢ τὴν τῶν πιστῶν δείκνυσιν ἔκπτωσίν τε καὶ ἐπάνοδον. πρόβατον γὰρ
ἦν καὶ αὐτὸ, οὐχ ἑτέρας ποίμνης τινὸς, ἀλλὰ τοῦ τῶν λοιπῶν ἀριθμοῦ, καὶ ὑπὸ τῷ ποιμένι
πρότερον ἐνέμετο, καὶ ἐπλανήθη πλάνην οὐ τὴν τυχοῦσαν, ἀλλ᾽ ἐπὶ τὰ ὄρη καὶ τὰς νάπας,
τουτέστι, μακράν τινα ὁδὸν καὶ πολλῷ τῆς εὐθείας ἀπέχουσαν. ″ἆρα οὖν ἀφῆκεν αὐτὸ πλανη-
θῆναι; οὐδαμῶς· ἀλλ᾽ ἐπανήγαγε καὶ συνήγαγεν, οὐκ ἐλάσας οὐδὲ μαστίξας, ἀλλ᾽ ἐπὶ — γ. ἄρα ... ἐπὶ πλάνης αὐ
τῶν ὤμων λαβών. καθάπερ γὰρ οἱ τῶν ἰατρῶν ἄριστοι ″τῶν νοσούντων τινὰ νόσον μακρὰν — γ. πάνυ νο-
μετὰ πολλῆς τῆς θεραπείας ἐπὶ τὴν ὑγείαν ἐπανάγουσιν, οὐ μόνον κατὰ τοὺς τῆς ἰατρείας νόμους — σοῦντας
αὐτοὺς θεραπεύοντες, ἀλλ᾽ ἔστιν ὅπου καὶ χαριζόμενοι· οὕτω καὶ ὁ Θεὸς τοὺς σφόδρα διεφθαρέν-
τας οὐ μετὰ πολλῆς ἄγει τῆς σφοδρότητος ἐπὶ τὴν ἀρετὴν, ἀλλ᾽ ἠρέμα καὶ κατὰ μικρὸν καὶ
διαβαστάζων* πανταχοῦ, ὥστε μήτε πλέον γενέσθαι τὸ σχίσμα, μηδὲ μακροτέραν τὴν — * αὐτὸ
πλάνην. οὐκ αὕτη δὲ μόνη ἡμῖν ἡ παραβολὴ τοῦτο ἠνίξατο, ἀλλὰ καὶ ἡ τοῦ παιδὸς τοῦ ἀσώτου.
καὶ γὰρ καὶ οὗτος οὐκ ἀλλότριός τις ἦν, ἀλλ᾽ υἱὸς καὶ ἀδελφὸς τοῦ εὐαρεστηκότος παιδὸς, καὶ εἰς
κακίαν οὐ τὴν τυχοῦσαν ἐξώκειλεν, ἀλλ᾽ εἰς αὐτὸ τὸ πέρας, ὡς ἄν τις εἴποι, τῶν κακῶν,
ὁ πλούσιος καὶ ἐλεύθερος καὶ εὐγενὴς, οἰκετῶν καὶ ξένων καὶ μισθωτῶν ἀθλιώτερον διατεθείς. ἀλλ᾽
ὅμως πάλιν εἰς τὸ ἐξ ἀρχῆς ἐπανῆλθε, καὶ τὴν προτέραν δόξαν ἀπέλαβεν. εἰ δὲ ἀπε-
γνώκει τῆς ἑαυτοῦ ζωῆς, καὶ τοῖς συμβεβηκόσιν αὐτῷ ἀπαγορεύσας ἔμεινεν ἐπὶ [γῆς] ἀλλοτρίας,
οὐκ ἂν ἔτυχεν ὧνπερ καὶ ἔτυχεν, ἀλλὰ λιμῷ διαφθαρεὶς, τὸν ἁπάντων οἴκτιστον ″ὑπέμεινε
θάνατον. ἐπειδὴ δὲ μετενόησε, καὶ οὐκ ἀπέγνω μετὰ τὴν τοσαύτην ″διαφθορὰν, ἐπὶ τῆς προ-
τέρας λαμπρότητος γέγονε πάλιν, καὶ τὴν καλλίστην περιβάλλεται στολὴν, καὶ μειζόνων ἀπο-
Λυκ ε. κθ. λαύει τοῦ μὴ καταπεσόντος ἀδελφοῦ. Τοσαῦτα γὰρ, φησὶν, ἔτη δουλεύω σοι, καὶ οὐδέποτε
ἐντολήν σου παρῆλθον· καὶ ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον, ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ.
ὅτε δὲ ὁ υἱός σου οὗτος ὁ καταφαγὼν τὸν βίον σου μετὰ πορνῶν ἦλθεν, ἔθυσας αὐτῷ τὸν μόσχον τὸν
σιτευτόν· τοσαύτη ἡ τῆς μετανοίας ἰσχύς. ″ταῦτα οὖν ἔχοντες τὰ ὑποδείγματα, μὴ πα-
ραμείνωμεν τοῖς κακοῖς, μηδὲ ἀπογνῶμεν τὴν καταλλαγήν· ἀλλ᾽ εἴπωμεν καὶ αὐτοὶ,
″πορεύσομαι πρὸς τὸν πατέρα μου, καὶ ″ἐγγίσω τῷ Θεῷ μου. αὐτὸς γὰρ ἡμᾶς οὐδέποτε
Ιερ. κγ κγ. ἀποστρέφεται, ἀλλ᾽ ἡμεῖς ἐσμεν οἱ μακρύνοντες ἑαυτούς. Θεὸς γὰρ, φησὶν, ἐγγίζων ἐγώ εἰ-
μι, καὶ οὐ Θεὸς πόρρωθεν. καὶ διὰ τοῦ αὐτοῦ δὴ τούτου προφήτου πάλιν ἐγκαλῶν αὐτοῖς ἔλεγεν·
Οὐχὶ αἱ ἁμαρτίαι ὑμῶν διϊστῶσιν ἀνὰ μέσον ἐμοῦ τε καὶ ὑμῶν; ἐπεὶ οὖν τοῦτό ἐστι τὸ πόρρωθεν
ποιοῦν ἡμᾶς τοῦ Θεοῦ, ″περιαιρῶμεν τὸ χαλεπὸν τοῦτο διάφραγμα, καὶ τὸ κωλῦον οὐδὲν
α. Κορ ε. α. ἔσται γενέσθαι. ἄκουσον δὲ καὶ ἐπ᾽ αὐτῶν τῶν πραγμάτων τοῦτο γεγονός. παρὰ Κορινθίοις
ἐπίσημός τις ἀνὴρ ἁμαρτίαν εἰργάσατο τοιαύτην, οἵα οὐδὲ ἐν τοῖς ἔθνεσιν ὠνομάζετο.
πιστὸς δὲ οὗτος ἦν, καὶ τῶν ᾠκειωμένων τῷ Χριστῷ. τινὲς δὲ αὐτὸν καὶ τῶν ἱερωμένων εἶναί
φασι. τί οὖν; ἆρα ἐξέκοψεν αὐτὸν τῆς τῶν σωζομένων μερίδος ὁ Παῦλος; οὐδαμῶς.
αὐτὸς μὲν γάρ ἐστιν ὁ μυρία ἄνω καὶ κάτω Κορινθίοις ἐγκαλῶν, ὅτι αὐτὸν εἰς μετάνοιαν οὐ
κατέστησαν.

κατέστησαν. βουλόμενος δὲ δεῖξαι ἡμῖν, ὅτι οὐκ ἔστιν ἁμάρτημα, ὃ οὐ δύναται ἰαθῆναι, πά-
λιν ἔλεγε περὶ αὐτοῦ τοῦ χαλεπώτερα τῶν ἐθνῶν ἡμαρτηκότος· Παράδοτε τὸν τοιοῦτον τῷ α. Κορ. ε. ε.
Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ. ἀλλὰ τοῦτο μὲν πρὸ τῆς μετανοίας· ἐπειδὴ δὲ μετενόησεν, Ἱκανὸν τῷ τοιούτῳ, β. Κορ. β. ϛ.
γ. πολλῶν. φησίν, ἡ ἐπιτιμία αὕτη ἡ ὑπὸ τῶν πλειόνων. καὶ ἐπέστελλε παρακαλέσαι πάλιν αὐτόν, καὶ
προσίεσθαι τὴν μετάνοιαν, ὥστε αὐτὸν μὴ πλεονεκτηθῆναι ὑπὸ τοῦ Σατανᾶ. καὶ ἔθνος δὲ
ὁλόκληρον τὸ τῶν Γαλατῶν, μετὰ τὸ πιστεῦσαι καὶ σημεῖα ἐργάσασθαι καὶ πολλοὺς πειρασμοὺς
ὑπενεγκεῖν διὰ τὴν πίστιν τὴν εἰς Χριστὸν καταπεσόντας πάλιν ἀνέστησεν. ὅτι μὲν γὰρ ἐ-
θαυματούργουν, ἐδήλωσεν εἰπών· Ὁ οὖν ἐπιχορηγῶν ὑμῖν τὸ πνεῦμα, καὶ ἐνεργῶν δυνά- Γαλ. γ. ε.
μεις ἐν ὑμῖν. ὅτι δὲ πολλὰ τῆς πίστεως ἕνεκεν ἤθλησαν, καὶ τοῦτο ἐδήλωσε λέγων· Τοσαῦτα Γαλ. γ. δ.
ἐπάθετε εἰκῇ, εἴγε καὶ εἰκῇ. ἀλλ' ὅμως μετὰ τὴν τοσαύτην ἐπίδοσιν, ἁμαρτίαν ἥμαρτον
ἱκανὴν ἀλλοτριῶσαι αὐτοὺς τοῦ Χριστοῦ, περὶ ἧς καὶ αὐτὸς οὕτως ἀποφαίνεται λέγων· Ἴδε ἐγὼ Γαλ. ε. β. καὶ δ.
Παῦλος λέγω ὑμῖν, ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. καὶ πάλιν, Οἵ-
τινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε. καὶ μετὰ τὴν τοσαύτην ὅμως παράπτωσιν
προσίεται αὐτοὺς λέγων· Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑ- Γαλ. δ. ιθ.
μῖν. τοῦτο δὲ ποιεῖ, δεικνὺς ὅτι καὶ μετὰ τὴν ἐσχάτην διαφθορὰν δυνατὸν πάλιν ἄνωθεν τὸν
Χριστὸν μορφωθῆναι ἐν ἡμῖν. Οὐ γὰρ θέλει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέ- Ιεζεκ. λγ. ια.
ψαι καὶ ζῆν αὐτόν. ἐπιστρέψωμεν οὖν, ὦ φίλη κεφαλή, καὶ τὸ θέλημα ἐξανύσωμεν τοῦ Θεοῦ.
διὰ γὰρ τοῦτο ἡμᾶς ἔκτισε καὶ εἰς τὸ εἶναι παρήγαγεν, ἵνα τῶν αἰωνίων ποιήσῃ ἡμᾶς μετα-
σχεῖν ἀγαθῶν, ἵνα τὴν βασιλείαν ἡμῖν παράσχῃ τῶν οὐρανῶν, οὐχ ἵνα εἰς γέενναν ἐμβάλῃ
καὶ τῷ πυρὶ παραδῷ. τοῦτο γὰρ οὐ δι' ἡμᾶς, ἀλλὰ διὰ τὸν διάβολον γέγονεν· ἡ βασιλεία δὲ
γ. ἐκπαλαι ἡμῖν εὐτρέπισται καὶ προεσκεύασται πάλαι· καὶ ταῦτα ἀμφότερα ἐπιδεικνὺς ἔλεγε, τοῖς μὲν ἐκ
δεξιῶν· Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βα- Ματθ. κε. λδ.
σιλείαν ἀπὸ καταβολῆς κόσμου· τοῖς δὲ ἐξ εὐωνύμων, Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι
εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον, οὐχ ὑμῖν, ἀλλὰ τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. οὕ-
τως οὐ δι' ἡμᾶς ἡ γέεννα γέγονεν, ἀλλὰ δι' ἐκεῖνον καὶ ἀγγέλους αὐτοῦ· ἡ δὲ βασιλεία πρὸ κα-
ταβολῆς κόσμου ἡμῖν προεσκεύασται.

Μὴ τοίνυν ἀναξίους ἑαυτοὺς τῆς εἰσόδου τοῦ νυμφῶνος παρασκευάσωμεν. ἕως μὲν γὰρ
ὦμεν ἐνταῦθα, κἂν μυρία ἁμάρτωμεν, ἔστιν ἅπαντα ἀπολούσασθαι, μετάνοιαν τῶν ἡμαρτη-
μένων ἐπιδειξαμένους ἀξίαν· ἐπειδὰν δὲ ἂν ἀπαρθῶμεν ἐκεῖ, οὐδ', ἂν σφοδροτάτην ἐπιδει-
ξώμεθα τὴν μετάνοιαν, ἔσται τι πλέον λοιπόν. ἀλλὰ κἂν τοὺς ὀδόντας βρύχωμεν, κἂν κο-
πτώμεθα, κἂν μυρία παρακαλῶμεν, οὐδὲ ἄκρῳ τις ἐπιστάξει τῷ δακτύλῳ φλεγομένοις
ἡμῖν· ἀλλ' ἀκουσόμεθα ταῦτα, ἅπερ καὶ ὁ πλούσιος ἐκεῖνος, ὅτι Χάσμα μέγα ἐστήρικται μετα- Λουκ. ιϛ. ιϛ.
ξὺ ἡμῶν καὶ ὑμῶν. ἀνανήψωμεν οὖν ἐνταῦθα, παρακαλῶ, καὶ τὸν δεσπότην ἐπιγνῶμεν τὸν ἑαυτῶν,
ὡς ἐπιγνῶναι χρή. τότε μόνον γὰρ ἀπογνῶναι δεῖ τὴν ἀπὸ τῆς μετανοίας ἐλπίδα, ὅταν ἐν
τῷ ᾅδῃ γενώμεθα. ἐκεῖ γὰρ μόνον τὸ φάρμακον ἄχρηστον τοῦτο καὶ ἀσθενές· ἐνταῦθα δὲ ὄν-
των ἡμῶν, κἂν ἐν αὐτῷ τῷ γήρᾳ ἐπιτεθῇ, πολλὴν ἐπιδείκνυται τὴν ἰσχύν. διὸ καὶ ὁ διάβο-
λος πάντα κινεῖ, ἵνα τὸν τῆς ἀπογνώσεως ἐν ἡμῖν ῥιζώσῃ λογισμόν. οἶδε γὰρ ὅτι κἂν μικρὸν
μετανοήσωμεν, οὐκ ἀμισθὶ τοῦτο πράξομεν· ἀλλ' ὥσπερ ὁ ποτήριον ψυχροῦ ἐπιδοὺς,
ἀποκειμένην ἔχει τὴν ἀμοιβήν, οὕτω καὶ ὁ μετανοήσας ἐφ' οἷς ἔπραξε δεινοῖς, κἂν μὴ τῶν
ἁμαρτημάτων ἀξίαν ἐπιδείξηται τὴν μετάνοιαν, καὶ αὐτῆς ταύτης ἕξει τὴν ἀντίδοσιν. οὐ-
δὲν γὰρ ὅλως τῶν ἀγαθῶν, κἂν μικρὸν ᾖ, παροφθήσεται παρὰ τοῦ δικαίου κριτοῦ. εἰ γὰρ τὰ
ἁμαρτήματα μετὰ τοσαύτης ἐξετάζεται τῆς ἀκριβείας, ὡς καὶ ῥημάτων καὶ ἐνθυμη-
μάτων τιννύειν τιμωρίας ἡμᾶς, πολλῷ μᾶλλον τὰ κατορθώματα, κἂν μεγάλα ᾖ, κἂν μι-

κρά,

χειρί, λογισθήσεται ἡμῖν κατ' ἐκεῖνον τὸν καιρόν. ὥστε κἂν μὴ πρὸς αὐτὴν τὴν ἀκρίβειαν πάλιν ἐπανελθεῖν δυνηθῇς, ἀλλὰ τὸ τυχὸν γοῦν τῆς παρούσης νόσου καὶ ἀσελγείας ἀποστήσῃς σαυτόν, οὐδὲ τοῦτο ἔσται ἀνόνητον· μόνον ἀρχὴν ἐπίθες τῷ πράγματι, καὶ τὴν εἰς τοὺς ἀγῶνας εἴσοδον ἄνοιξον. ἕως μὲν γὰρ ἔξω μένῃς, εἰκότως δύσκολον καὶ ἄπορον τοῦτό σοι φαίνεται. πρὸ γὰρ τῆς πείρας, κἂν σφόδρα ᾖ τὰ πράγματα κοῦφα καὶ φορητά, ὅμως ἔμφασιν ἡμῖν πάλιν παρέχειν εἴωθε δυσκολίας πολλῆς. ὅταν δὲ ἐν αὐτοῖς διὰ τῆς πείρας γινώμεθα καὶ κατατολμήσωμεν, τὸ πλέον τῆς ἀγωνίας ἐξίσταται καὶ τὸ θάρρος ἀντὶ τοῦ ἀπογινώσκειν καὶ τρέμειν ἐπεισελθὸν ἐλαττοῖ μὲν τὸν φόβον, αὔξει δὲ τὴν εὐθυμίαν, καὶ τὰς χρηστὰς ἐλπίδας ἰσχυροτέρας ποιεῖ. διὰ τοῦτο καὶ τὸν Ἰούδαν ἐντεῦθεν "ἐπήγαγεν ὁ πονηρός, ἵνα μὴ τῆς προσηκούσης λαβόμενος ἀρχῆς, ἐπανέλθοι διὰ τῆς μετανοίας, ὅθεν ἐξέπεσεν. ἐγὼ γάρ, εἰ καὶ παράδοξον τὸ λεγόμενον, οὐδὲ ἐκεῖνο τὸ ἁμάρτημα εἴποιμι ἂν μεῖζον εἶναι τῆς ἀπὸ τῆς μετανοίας βοηθείας ἐγγινομένης ἡμῖν. διὸ δέομαι καὶ ἀντιβολῶ πᾶσαν τὴν σατανικὴν ἔννοιαν ἐξορίσαντα τῆς ψυχῆς, ἐπὶ τὴν σωτηρίαν ταύτην ἐλθεῖν. εἰ μὲν γὰρ ἀθρόως ὁμοῦ πρὸς ἐκείνην σε πάλιν τὴν κορυφὴν ἀναβῆναι ἐκέλευον, ἔνθα ἦς, εἰκότως ἂν ἐδυσχέραινες, ὡς πολλῆς τῆς δυσκολίας οὔσης ἐν τούτῳ· εἰ δὲ τοσοῦτον ἀπαιτῶ μόνον νῦν, ὥστε μὴ προσθεῖναι τοῖς παροῦσι κακοῖς, ἀλλ' ἀναστάντα ἐντεῦθεν τὴν ἐναντίαν ὑποστρέψαι πάλιν, τίνος ἕνεκεν ὀκνεῖς καὶ ἀναδύῃ, καὶ εἰς τοὐπίσω καθέλκεις σεαυτόν; οὐχ ἑώρακας τοὺς ἐν τρυφῇ καὶ μέθῃ καὶ ἀδηφαγίᾳ καὶ τῇ λοιπῇ τελευτήσαντας χλευασίᾳ "τοῦ βίου; ποῦ νῦν εἰσιν οἱ μετὰ πολλοῦ μὲν τοῦ τύφου, πολλῶν δὲ τῶν ἀκολούθων σοβοῦντες ἐπὶ τῆς ἀγορᾶς; οἱ τὰ σηρικὰ ἐνδεδυμένοι, καὶ μύρων πνέοντες, καὶ παρασίτους τρέφοντες, καὶ τῇ σκηνῇ προσηλωμένοι διαπαντός; ποῦ τούτων ἡ φαντασία ἐκείνη νῦν; οἴχεται ἡ τῶν δείπνων πολυτέλεια, τὸ τῶν μουσικῶν πλῆθος, ἡ τῶν κολάκων θεραπεία, ὁ γέλως ὁ πολύς, ἡ τῆς ψυχῆς ἄνεσις, ἡ τῆς διανοίας διάχυσις, ὁ βίος ὁ ὑγρὸς καὶ ἀνειμένος καὶ περιττός. ποῦ νῦν "ἀπέπτη πάντα ἐκεῖνα; τί γέγονε τὸ τοσαύτης ἀπολαῦον θεραπείας σῶμα καὶ "καθαρότητος; ἄπιθι πρὸς τὴν σορόν, καὶ θέασαι τὴν κόνιν, τὴν τέφραν, τοὺς σκώληκας, τοῦ τύμβου τὸ εἰδεχθές· θέασαι καὶ στέναξον πικρόν. καὶ εἴθε μέχρι τῆς τέφρας ἡ ζημία ἦν. νῦν δὲ * ἀπὸ τῆς σοροῦ καὶ τῶν σκωλήκων τούτων μετάγαγε τὸν λογισμὸν ἐπὶ τὸν ἀτελεύτητον ἐκεῖνον σκώληκα, ἐπὶ τὸ πῦρ τὸ ἄσβεστον, ἐπὶ τὸν βρυγμὸν τῶν ὀδόντων, ἐπὶ τὸ σκότος τὸ ἐξώτερον, ἐπὶ τὴν θλῖψιν καὶ στενοχωρίαν, ἐπὶ τὴν παραβολὴν τὴν τοῦ Λαζάρου καὶ τοῦ πλουσίου, ὃς τοσούτων χρημάτων κύριος ὤν, καὶ πορφύραν ἐνδιδυσκόμενος, οὐδὲ σταγόνος ὕδατος κύριος ἐκεῖ γέγονε, καὶ ταῦτα ἐν ἀνάγκῃ τοσαύτῃ καθεστώς. "τί τῶν ὀνειράτων ἄμεινον τὰ ἐνταῦθα διάκειται; καθάπερ γὰρ οἱ τὰ μέταλλα ἐργαζόμενοι, ἢ καὶ ἑτέραν τινὰ τιννύοντες κόλασιν ταύτης χαλεπωτέραν, ὅταν ὑπὸ τῶν μόχθων τῶν πολλῶν ἐκείνων καὶ τῆς πικροτάτης ζωῆς ἀπονυστάξαντες, ἴδωσιν ἐν ὀνείροις ἐν τρυφαῖς καὶ εὐθυμίαις ἑαυτούς, οὐδεμίαν μετὰ τὸ ἐγερθῆναι τοῖς ὀνείρασιν ἴσασι χάριν· οὕτω καὶ ὁ πλούσιος ἐκεῖνος, καθάπερ ἐν ὀνείρῳ τῷ παρόντι βίῳ πλουτήσας, μετὰ τὴν "ἐντεῦθεν ἀποδημίαν τὴν πικρὰν ἐκείνην ἐκολάζετο κόλασιν. ταῦτα ἐννόησον, καὶ τὸ πῦρ ἀντιστήσας ἐκεῖνο τῷ κατέχοντί σε νῦν τῷ τῶν ἐπιθυμιῶν ἐμπρησμῷ, ἀπαλλάγηθι τῆς καμίνου ποτέ. ὁ μὲν γὰρ ταύτην ἐνθάδε ἀποσβέσας καλῶς, οὐδὲ ἐκείνης λήψεται πεῖραν. εἰ δέ τις ταύτης μὴ περιγένοιτο, σφοδρότερον αὐτὸν ἀπελθόντα ἐνθένδε καθέξει τότε ἐκείνη.

Πόσον βούλει σοι "παρεκταθῆναι τοῦ παρόντος βίου τὴν ἀπόλαυσιν χρόνον; ἐγὼ μὲν γὰρ οὐκ οἴομαί σοι πλέον ἢ πεντήκοντα ἔτη λείπεσθαι, ὥστε πρὸς ἔσχατον γῆρας ἐλθεῖν· μᾶλλον δὲ οὐδὲ τοῦτό που δῆλόν ἐστιν ἡμῖν. οἱ γὰρ μήτε μέχρι τῆς ἑσπέρας ἔχοντες ὑπὲρ τῆς ζωῆς τῆς ἑαυτῶν θαρρεῖν, πῶς ἂν ὑπὲρ τοσούτων ἰσχυρίσαιντο ἐτῶν; καὶ οὐ τοῦτο μόνον ἐστὶν ἄδηλον,

ἀλλὰ

ἴσ. ἀπήγαγ

ἴσ. τὸν βίον

γρ. ἀπέστη

γρ. ἐπιμελείας

* μετὰ ταύτην καὶ τὰ ἐκεῖθεν ἡμᾶς δεσμωτήρια μένει.

γρ. ὄντως τί

γρ. ἐνθένδ

γρ. παραμεῖναι

ἀλλὰ καὶ διὰ τῆς τῶν πραγμάτων μεταβολῆς. πολλάκις γὰρ τῆς ζωῆς ἐκταθείσης εἰς χρόνον μακρὸν, οὐ συνεξετάθη τὰ τῆς τρυφῆς, ἀλλ' ὁμοῦ καὶ ἔπεσε καὶ ἀπεπήδησε. πλὴν ἀλλ', εἰ βούλει, κείσθω τῷ λόγῳ καὶ ζήσεσθαι ἔτη τοσαῦτα, καὶ μηδεμίαν ὑποστήσεσθαι τὴν μεταβολήν. τί τοῦτο πρὸς τοὺς ἀτελευτήτους αἰῶνας, καὶ τὰς κολάσεις τὰς πικρὰς καὶ ἀφορήτους ἐκείνας; ἐνταῦθα μὲν γὰρ καὶ τὰ ἀγαθὰ, καὶ τὰ χαλεπὰ τέλος ἔχει, καὶ τοῦτο τάχιστον· ἐκεῖ δὲ ἀθανάτοις ἀμφότερα παρεκτείνεται αἰῶσι· καὶ τῇ ποιότητι δὲ τοσοῦτον τῶν νῦν διενήνοχεν, ὅσον οὐδέ ἐστιν εἰπεῖν. μηδὲ γὰρ, ἐπειδὴ πῦρ ἤκουσας, τοιοῦτον εἶναι νομίσῃς ἐκεῖνο τὸ πῦρ. τοῦτο μὲν γὰρ, ὅπερ ἂν λάβοι, κατέκαυσε, καὶ ἔληξεν· ἐκεῖνο δὲ τοὺς ἅπαξ καταληφθέντας καίει διαπαντὸς, καὶ οὐδέποτε παύεται· διὰ τοῦτο καὶ ἄσβεστον εἴρηται. καὶ γὰρ καὶ τοὺς ἡμαρτηκότας ἀφθαρσίαν ἐνδύσασθαι δεῖ, οὐ πρὸς τιμὴν, ἀλλ' ὥστε διηνεκὲς ἐφόδιον ἔχειν τῆς τιμωρίας ἐκείνης. τοῦτο δὲ ὅσον ἐστὶ δεινὸν, ὁ μὲν λόγος οὐκ ἂν ἰσχύσειε παραστῆσαί ποτε· ἀπὸ δὲ τῆς πείρας τῶν μικρῶν δυνατὸν βραχεῖάν τινα ἔννοιαν τῶν μεγάλων ἐκείνων λαβεῖν. εἰ γάρ ποτε ἐν βαλανείῳ γέγονας σφοδρότερον ἐκκεκαυμένῳ τοῦ δέοντος, τότε μοι τὸ τῆς γεέννης ἐννόησον πῦρ. καὶ εἴ ποτε πάλιν ὑπὸ πυρετοῦ κατεφλέχθης χαλεποῦ, πρὸς ἐκείνην τὸν νοῦν τὴν φλόγα μετάστησον· καὶ τότε διὰ βραχέος δυνήσῃ διαστεῖλαι καλῶς. εἰ γὰρ βαλανεῖον καὶ πυρετὸς οὕτως ἡμᾶς θλίβει καὶ θορυβεῖ, ὅταν εἰς τὸν ποταμὸν τοῦ πυρὸς ἐμπέσωμεν ἐκεῖνον τὸν ἑλκόμενον πρὸ τοῦ βήματος τοῦ φοβεροῦ, πῶς τότε διακεισόμεθα; ἆρα βρύξομεν τοὺς ὀδόντας ἀπὸ τῶν πόνων καὶ τῶν ἀφορήτων ἀλγηδόνων ἐκείνων, ὁ δὲ ἐπαμύνων ἔσται οὐδείς· καὶ οἰμώξομεν μέγα, σφοδρότερον ἐπιτιθεμένης ἡμῖν τῆς φλογὸς, ὀψόμεθα δὲ οὐδένα, πλὴν τῶν κολαζομένων μεθ' ἡμῶν καὶ τῆς ἐρημίας τῆς πολλῆς. τί ἄν τις εἴποι τὰ ἀπὸ τοῦ σκότους δείματα, τὰ ταῖς ἡμετέραις ἐγγινόμενα ψυχαῖς; ὥσπερ γὰρ οὐκ ἔστιν ἀναλωτικὸν ἐκεῖνο τὸ πῦρ, οὕτως οὐδὲ φωτιστικόν. οὐδὲ γὰρ ἂν σκότος ἦν. τὸν τοίνυν ἀπὸ τούτου θόρυβον ἐγγινόμενον τότε ἡμῖν καὶ τὸν τρόμον καὶ τὴν παράλυσιν καὶ τὴν ἔκστασιν τὴν πολλὴν ἐκείνην ἐκεῖνος σαφῶς παραστῆσαι μόνος ἱκανὸς ὁ καιρός. πολλὰ γὰρ καὶ ποικίλα ἐκεῖ τὰ βασανιστήρια, καὶ νιφάδες πάντοθεν κολάσεων ἐπάγονται τῇ ψυχῇ. εἰ δὲ λέγοι τις, καὶ πῶς ἀρκέσαι δύναιτ' ἂν ἡ ψυχὴ πρὸς τοσοῦτον πλῆθος τιμωριῶν, καὶ ἀτελευτήτους αἰῶνας διαμένειν κολαζομένη ἡ σάρξ; ἐννοησάτω τὰ ἐνταῦθα γινόμενα, πῶς πολλοὶ πολλάκις πρὸς νόσον μακρὰν καὶ χαλεπὴν ἐπήρκεσαν. εἰ δὲ καὶ ἐτελεύτησαν, οὐ τῆς ψυχῆς ἀναλωθείσης, ἀλλὰ τοῦ σώματος ἀπαγορεύσαντος. ὡς εἴγε ἐκεῖνο μὴ ἐνεδίδου, οὐκ ἂν ἐπαύσατο βασανιζομένη ἡ ψυχή. ὅταν οὖν ἄφθαρτον τοῦτο λάβῃ καὶ ἀνάλωτον, οὐδὲν τὸ κωλύον εἰς ἄπειρον ἐκταθῆναι τὴν κόλασιν. ἐνταῦθα μὲν γὰρ οὐκ ἔστιν ὁμοῦ τὰ ἀμφότερα συνελθεῖν, σφοδρότητα λέγω κολάσεων καὶ παραμονήν· ἀλλὰ θάτερον θατέρῳ μάχεται, διὰ τὸ τὴν τοῦ σώματος φύσιν εἶναι φθαρτὴν, καὶ μὴ φέρειν ἀμφοτέρων τὴν σύνοδον. τῆς ἀφθαρσίας δὲ ἐπεισελθούσης, λοιπὸν τῆς μάχης ταύτης διάλυσις γένοιτ' ἄν, καὶ μετὰ πολλῆς τῆς ἐξουσίας εἰς ἄπειρον ἡμᾶς ἀμφότερα καθέξει τὰ δεινά. μὴ τοίνυν ὡς τῆς ὑπερβολῆς τῶν κολαστηρίων ἀναλισκούσης ἡμῖν τὴν ψυχὴν, οὕτω διατιθώμεθα νῦν. οὐδὲ γὰρ τὸ σῶμα τοῦτο δυνήσεται ἐν ἐκείνῳ παθεῖν τῷ καιρῷ, ἀλλὰ μένει μετὰ τῆς ψυχῆς αἰωνίως κολαζόμενον, καὶ πέρας ἕτερον ἔσται οὐδέν. πόσην οὖν βούλει τρυφὴν, καὶ πόσον χρόνον ἀντιθεῖναι ταύτῃ τῇ κολάσει καὶ τιμωρίᾳ; βούλει χρόνον ἐτῶν ἑκατὸν καὶ δὶς τοσοῦτον; καὶ τί τοῦτο πρὸς τοὺς ἀτελευτήτους αἰῶνας; ὅπερ γὰρ ὄναρ ἡμέρας μιᾶς ἐν τῷ βίῳ παντὶ, τοῦτο ἡ τῶν ἐνθάδε ἀπόλαυσίς ἐστι πρὸς τὴν τῶν μελλόντων κατάστασιν. ἔστιν οὖν ἄρα, ὅστις ὑπὲρ τοῦ χρηστὸν ὄναρ ἰδεῖν διαπαντὸς κολάζεσθαι ἕλοιτ' ἄν; καὶ τίς οὕτως ἀνόητος, ὡς ἐπὶ ταύτην ἐλθεῖν τὴν ἀντίδοσιν; οὔπω γὰρ διαβάλλω τὴν τρυφὴν, οὐδὲ τὴν ἐν αὐτῇ κειμένην πικρίαν ἀποκαλύπτω νῦν. οὐ γὰρ οὗτος τῶν λόγων τούτων ὁ καιρὸς, ἀλλ' ὅταν αὐτὴν ἐκφυγεῖν δυνηθῇς.

ἀπορρή-
λάβῃ
ἀπίλλα-
παύσεται
κατεσκαλ-μένῳ
διανα-παῦσαι
ἀπὸ
καὶ αἰτεῖ
ομένοις πα-ραμυθίας.
βασανι-στηρίων
ἐλάμβανος;

νηθῆς. νῦν μὲν γὰρ ἐνεχόμενος τῷ πάθει, καὶ λήρους ἡμᾶς ὑποπτεύσεις, εἰ τὴν ἡδονὴν ἀποκαλοίημεν πικράν. ὅταν δὲ ἀπαλλαγῇς τῇ τοῦ Θεοῦ χάριτι τοῦ νοσήματος, τότε εἴσῃ καὶ τὴν κακίαν αὐτοῦ καλῶς. διὰ τοῦτο ἐν ἑτέρῳ καιρῷ ταμιευσάμενοι τοὺς λόγους, ἐκεῖνο ἐροῦμεν νῦν. ἔστω εἶναι τρυφὴν τὴν τρυφὴν, καὶ ἡδονὴν τὴν ἡδονὴν, καὶ μηδὲν ἔχειν μιαρὸν μηδὲ ἐπονείδιστον. τί πρὸς τὴν ἀποκειμένην κόλασιν ἐροῦμεν; τί δὲ τότε πράξομεν, ἡσθέντες μὲν ὡς ἐν σκιᾷ καὶ εἰκόνι τὰ νῦν, ἔργῳ δὲ αἰωνίαν τὴν κόλασιν τιννύντες ἐκεῖ; καὶ ταῦτα ἐξὸν ἐν βραχεῖ χρόνῳ τά τε εἰρημένα στρεβλωτήρια διαφυγεῖν, καὶ τῶν ἀποκειμένων ἀπολαῦσαι καλῶν; καὶ γὰρ καὶ τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐστὶ, τὸ μὴ εἰς μῆκος ἡμῖν ἐκταθῆναι τοὺς ἀγῶνας μακρὸν, ἀλλ' ἐν βραχεῖ καὶ ἐν ἀκαρεῖ καὶ ἐν ὀφθαλμοῦ ῥιπῇ (τοῦτο γὰρ ἡ παροῦσα ζωὴ πρὸς ἐκείνην) ἀγωνισαμένους ἐν τοῖς ἀπείροις στεφανοῦσθαι αἰῶσιν. οὐχ ὡς ἔτυχε δὲ καὶ τοῦτο τότε τὰς τῶν κολαζομένων διάσει ψυχάς. καὶ γὰρ ὅταν ἐννοήσωσιν ὅτι παρὸν ἐν ταῖς ὀλίγαις ταύταις ἡμέραις κατορθῶσαι τὸ πᾶν, ἀμελήσαντες τοῖς ἀθανάτοις παρέδωκαν ἑαυτοὺς κακοῖς. ὅπερ ἵνα μὴ πάθωμεν, διαναστῶμεν ἕως καιρὸς εὐπρόσδεκτος, ἕως ἡμέρα σωτηρίας, ἕως πολλὴ τῆς μετανοίας ἡ ἰσχύς. οὐδὲ γὰρ τὰ εἰρημένα ἡμᾶς ἐκδέξεται μόνον ῥαθυμήσαντας κακὰ, ἀλλὰ καὶ ἕτερα πολλῷ τούτων χαλεπώτερα.

γρ. στεφανωθῆναι

Ταῦτα μὲν γὰρ ἐν τῇ γεέννῃ καὶ τὰ τούτων πικρότερα· ἡ δὲ τῶν ἀγαθῶν ἀπόπτωσις τοσαύτην ἔχει τὴν ὀδύνην, τοσαύτην τὴν θλῖψιν καὶ τὴν στενοχωρίαν, ὡς εἰ καὶ μηδεμία τιμωρία τοῖς ἐνταῦθα ἁμαρτάνουσιν ἔκειτο, αὐτὴν καθ' ἑαυτὴν ἀρκέσαι τῶν ἐν τῇ γεέννῃ βασανιστηρίων πικρότερον δάκνειν καὶ συνταράξαι τὰς ἡμετέρας ψυχάς. ἐννόησον γάρ μοι τῆς ζωῆς τὴν κατάστασιν ἐκείνης, καθ' ὅσον ἐννοῆσαι δυνατόν. πρὸς γὰρ τὴν ἀξίαν ἡμῖν οὐδεὶς ἀρκέσει λόγος· ἀλλ' ἐξ ὧν ἀκούομεν, ὥσπερ διά τινων αἰνιγμάτων, λάβωμέν τινα φαντασίαν ἀμυδρὰν αὐτῆς. Ἀπέδρα, φησὶν, ὀδύνη καὶ λύπη καὶ στεναγμός. τί οὖν ταύτης μακαριώτερον γένοιτ' ἂν τῆς ζωῆς; οὐκ ἔστιν ἐκεῖ δεῖσαι πενίαν καὶ νόσον, οὐκ ἔστιν ἀδικοῦντα οὐδὲ ἀδικούμενον ἰδεῖν, οὐ παροξύνοντα καὶ παροξυνόμενον, οὐκ ὀργιζόμενον, οὐδὲ βασκαίνοντα, οὐκ ἐπιθυμίᾳ ἀτόπῳ φλεγόμενον, οὐχ ὑπὸ τῆς τῶν ἀναγκαίων ἀλύοντα χορηγίας, οὐχ ὑπὸ ἀρχῆς καὶ δυναστείας κοπτόμενον. πᾶσα γὰρ ἡ ζάλη τῶν ἐν ἡμῖν παθῶν σβεσθεῖσα ἀπόλλυται, καὶ πάντα εἰρήνη ἔσται καὶ εὐφροσύνη καὶ χαρὰ, πάντα εὔδια καὶ γαληνὰ, πάντα ἡμέρα καὶ λαμπρότης καὶ φῶς· φῶς, οὐ τοῦτο τὸ νῦν, ἀλλ' ἕτερον τούτου τοσοῦτον λαμπρότερον, ὅσον τοῦ λυχνιαίου τούτου φαιδρότερον. οὔτε γὰρ ἐκεῖ νυκτὶ, οὔτε συνδρομῇ καλύπτεται νεφῶν. οὐ καίει καὶ φλέγει τὰ σώματα. οὔτε γὰρ νὺξ, οὔτε ἑσπέρα ἐκεῖ, οὐ κρυμοὶ, οὐ θάλπος, οὐκ ἄλλη τις τροπῶν μεταβολὴ, ἀλλ' ἑτέρα τις κατάστασις τοιαύτη, ἣν οἱ καταξιωθέντες εἴσονται μόνοι. οὐκ ἔστι γῆρας ἐκεῖ, οὔτε τὰ τοῦ γήρως κακὰ, ἀλλὰ πάντα ἐκποδὼν γέγονε τὰ τῆς φθορᾶς, τῆς ἀφθάρτου δόξης κρατούσης πανταχοῦ. τὸ δὲ τούτων ἁπάντων μεῖζον, τὸ τῆς πρὸς τὸν Χριστὸν ὁμιλίας ἀπολαύειν διηνεκῶς μετὰ ἀγγέλων, μετὰ τῶν ἀνωτέρων δυνάμεων. ἴδε τὸν οὐρανὸν νῦν, καὶ διάβηθι τῷ λογισμῷ πρὸς τὰ ὑπὲρ τὸν οὐρανόν· λόγισαι τῆς κτίσεως ἁπάσης τὸν μετασχηματισμόν. οὐ γὰρ τοιαύτη μενεῖ, ἀλλὰ πολλῷ καλλίων ἔσται καὶ φαιδροτέρα. τί λέγω; ὅσον μολίβδου πρὸς χρυσὸν ἀποστίλβοντα τὸ μέσον, τοσοῦτον τῆς κατασκευῆς ἔσται ταύτης βελτίων ἡ τότε· καθὼς καὶ ὁ μακάριος Παῦλός φησιν, ὅτι Καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς. νῦν μὲν γὰρ ἅτε φθορᾶς μετέχουσα πολλὰ πάσχει, οἷα τὰ τοιαῦτα πάσχειν σώματα εἰκός· τότε δὲ ταῦτα ἀποδυσαμένη πάντα, ἄφθαρτον ἡμῖν ἐπιδείξεται τὴν εὐπρέπειαν. ἐπειδὴ γὰρ ἄφθαρτα μέλλει δέχεσθαι σώματα, καὶ αὐτὴ λοιπὸν ἐπὶ τὸ κρεῖττον μετασχηματισθήσεται. οὐδαμοῦ τότε στάσις καὶ μάχη. πολλὴ γὰρ ἡ συμφωνία τοῦ χοροῦ τῶν ἁγίων, πάντων ὁμογνωμονούντων

Ησ. λε. ι.

γρ. ἐξουσίας

Ρωμ. η κα.

ἀλλήλοις ἀεί. οὐκ ἔστιν ἐκεῖ διάβολον δεῖσαι καὶ δαιμόνων ἐπιβουλάς, οὐ γεέννης ἀπειλήν, οὐ θάνατον τοῦτον τὸν νῦν, οὐ τὸν πολλῷ τούτου χαλεπώτερον ἐκεῖνον· ἀλλ᾽ ἅπας ὁ τοιοῦτος λέλυται φόβος. καὶ καθάπερ παιδίον βασιλικὸν πρότερον ἐν εὐτελεῖ τρεφόμενον σχήματι, καὶ ὑπὸ φόβον καὶ ἀπειλὰς ὄν, ὥστε μὴ τῇ αἱρέσει γενέσθαι χεῖρον καὶ τῆς πατρικῆς ἀνάξιον κληρονομίας, ἐπειδὰν εἰς τὸ βασιλικὸν ἀξίωμα δέῃ προελθεῖν, πάντα ἐκεῖνα ἀθρόως μεταμφιασάμενον, ἐξαίφνης μετὰ τῆς ἁλουργίδος καὶ τοῦ διαδήματος καὶ τοῦ πλήθους τῶν δορυφόρων μετὰ πολλῆς προκάθηται τῆς παρρησίας, τὰ ταπεινὰ καὶ κατηφῆ ῥίψαν ἀπὸ τῆς ψυχῆς, καὶ ἕτερα ἀντ᾽ ἐκείνων λαβόν· οὕτω καὶ τότε συμβήσεται τοῖς ἁγίοις ἅπασι. καὶ ὅτι οὐ κόμπος τὰ ῥήματα, πορευθῶμεν ἐπὶ τὸ ὄρος τῷ λόγῳ, ἔνθα μετεμορφώθη Χριστός· ἴδωμεν αὐτὸν λάμποντα, ὥσπερ ἔλαμψε. καίτοιγε οὐδὲ οὕτω πᾶσαν ἡμῖν ἔδειξε τὴν τοῦ μέλλοντος αἰῶνος λαμπρότητα. ὅτι γὰρ συγκατάβασις τὸ φαινόμενον ἦν, ἀλλ᾽ οὐκ ἐπίδειξις τοῦ πράγματος ἀκριβής, ἀπ᾽ αὐτῶν δῆλον τῶν ῥημάτων τοῦ εὐαγγελιστοῦ. τί γάρ φησιν; Ἔλαμψεν ὡς ὁ ἥλιος. ἡ δὲ τῶν ἀφθάρτων σωμάτων δόξα οὐ τοσοῦτον ἀφίησι τὸ φῶς, ὅσον τὸ σῶμα τοῦτο φθαρτόν, οὐδὲ τοιοῦτον, οἷον καὶ θνητοῖς ὄμμασι γενέσθαι χωρητόν, ἀλλ᾽ ἀφθάρτων καὶ ἀθανάτων δεόμενον ὀφθαλμῶν πρὸς τὴν θέαν αὐτοῦ. τότε δὲ ἐπὶ τοῦ ὄρους τοσοῦτον αὐτοῖς ἀπεκάλυψεν, ὅσον ἰδεῖν δυνατὸν ἦν, καὶ μὴ βλαβῆναι τὰς τῶν ὁρώντων ὄψεις. καὶ οὐδὲ οὕτως ἤνεγκαν, ἀλλ᾽ ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν. εἰπέ μοι δέ, εἴ τις σε εἰς θέατρον ἤγαγεν, ἔνθα πάντες ἐκάθηντο χρυσᾶς ἀναβεβλημένοι στολάς, καὶ ἐν μέσῳ τῷ πλήθει ἕτερόν τινα ἐπέδειξεν ἀπὸ λίθων τιμίων μόνον καὶ τὰ ἱμάτια, καὶ τὸν στέφανον ἔχοντα τὸν ἐπὶ τῆς κεφαλῆς, εἶτά σε ἐπηγγείλατο εἰς ἐκεῖνον κατατάξαι τὸν δῆμον, ἆρα οὐκ ἂν ἅπαντα ἔπραξας, ὥστε τῆς ἐπαγγελίας ταύτης τυχεῖν; ἀναπέτασον οὖν καὶ νῦν τοῦ νοῦ σου ὀφθαλμούς, καὶ βλέψον εἰς ἐκεῖνο τὸ θέατρον, οὐκ ἀπὸ τῶν τοιούτων συγκείμενον ἀνδρῶν, ἀλλ᾽ ἀπ᾽ ἐκείνων, οἳ καὶ τοῦ χρυσίου καὶ τῶν λίθων τῶν τιμίων καὶ τῶν ἀκτίνων τῶν ἡλιακῶν καὶ πάσης τῆς ὁρωμένης φαιδρότητός εἰσι τιμιώτεροι· καὶ οὐκ ἐξ ἀνθρώπων δὲ μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν τούτων πολλῷ τιμιωτέρων, ἀγγέλων, ἀρχαγγέλων, θρόνων, κυριοτήτων, ἀρχῶν, ἐξουσιῶν. περὶ γὰρ τοῦ βασιλέως οὐδὲ εἰπεῖν ἔνι οἷός ἐστιν· οὕτως ἅπαντα λόγον καὶ νοῦν ἐκεῖνο διαφεύγει τὸ κάλλος, ἡ ὡραιότης, ἡ λαμπρότης, ἡ δόξα, ἡ μεγαλωσύνη, ἡ μεγαλοπρέπεια. τοσούτων οὖν ἀγαθῶν καὶ τηλικούτων ἀποστερήσομεν ἑαυτούς, εἰπέ μοι, ἵνα μὴ μικρὸν πονέσωμεν χρόνον; εἰ γὰρ μυρίους θανάτους καθ᾽ ἑκάστην ἐχρῆν ἡμέραν ὑπομένειν, εἰ γὰρ τὴν γέενναν αὐτὴν ὑπὲρ τοῦ τὸν Χριστὸν ἰδεῖν ἐρχόμενον ἐν τῇ δόξῃ αὐτοῦ, καὶ εἰς τὸν τῶν ἁγίων καταταγῆναι χορόν, οὐκ ἐχρῆν ἅπαντα ὑπομένειν ἐκεῖνα; ἄκουσον τί φησιν ὁ μακάριος Πέτρος· Καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι. εἰ δὲ ἐκεῖνος ἀμυδράν τινα εἰκόνα τῶν μελλόντων ἰδών, πάντα ἐξαίφνης ἔρριψεν ἀπὸ τῆς ψυχῆς διὰ τὴν ἀπὸ τῆς ὄψεως ἐκείνης ἡδονὴν ἐντεθεῖσαν αὐτοῦ τῇ ψυχῇ, τί ἄν τις εἴποι, ὅταν αὐτὴ ἡ ἀλήθεια τῶν πραγμάτων παραγένηται, ὅταν τῶν βασιλείων ἀνοιχθέντων κατοπτεύειν ἐξῇ τὸν βασιλέα αὐτόν, μηκέτι ἐν αἰνίγματι, μηδὲ δι᾽ ἐσόπτρου, ἀλλὰ πρόσωπον πρὸς πρόσωπον, μηκέτι διὰ πίστεως, ἀλλὰ διὰ εἴδους;

Οἱ μὲν οὖν πολλοὶ τῶν ἀλογωτέρως διακειμένων τὸ ἀπαλλαγῆναι τῆς γεέννης ἀγαπητὸν τίθενται μόνον· ἐγὼ δὲ πολλῷ τῆς γεέννης χαλεπωτέραν κόλασιν εἶναί φημι, τὸ μὴ γενέσθαι ἐν ἐκείνῃ τῇ δόξῃ· καὶ τὸν ἐκπεσόντα ἐκεῖθεν οὐχ οὕτως οἶμαι δεῖν πενθεῖν τὰ ἐν τῇ γεέννῃ κακά, ὡς τὴν ἀπόπτωσιν τὴν ἐκ τῶν οὐρανῶν. τοῦτο γὰρ μόνον ἁπάντων χαλεπώτερον εἰς κολάσεως λόγον ἐστί. νῦν δὲ βασιλέα μὲν πολλάκις ὁρῶντες μετὰ πολλῶν τῶν δορυφόρων εἰς τὰ βασίλεια εἰσελαύνοντα, τοὺς πλησίον ὄντας αὐτοῦ, καὶ λόγου καὶ γνώμης κοινωνοῦντας αὐτῷ, καὶ τῆς δόξης μετέχοντας τῆς λοιπῆς μακαρίζομεν, κἂν μυρία ἔχωμεν ἀγαθά, ταλανίζομεν ἑαυτοὺς καὶ οὐδενὸς ἐκείνων λαμβανόμενοι αἴσθησιν, εἰς τὴν δόξαν ἀφορῶντες

όβοις καὶ
λαῖς
ειρηνέας
έδειξε
αὐτῶν.
κατατάξειν
καταταγ.

Ματθ. ιζ. ϐ.
Ματθ. ιζ. δ.

ρῶντες τὴν περὶ αὐτόν, καίτοιγε εἰδότες ἐπισφαλῆ καὶ ἀβέβαιον τὴν τοιαύτην λαμπρό- γρ. πολέμ
τητα, καὶ διὰ τοὺς πολεμίους, καὶ διὰ τὰς ἐπιβουλὰς καὶ βασκανίας, καὶ διὰ τὸ καὶ χωρὶς τούτων
αὐτὴν καθ' ἑαυτὴν οὐδενὸς εἶναι λόγου ἀξίαν· ἐπὶ δὲ τοῦ βασιλέως πάντων, τοῦ κατέχοντος
οὐ μέρος γῆς, ἀλλὰ πάντα τὸν γῦρον τῆς γῆς, μᾶλλον δὲ τοῦ πᾶσαν αὐτὴν περιλαμβάνοντος
ἐν δρακί, καὶ τοὺς οὐρανοὺς μετροῦντος σπιθαμῇ, τοῦ φέροντος τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ
τὰ σύμπαντα, ᾧ πάντα τὰ ἔθνη ὡς οὐδὲν καὶ ὡς σίελος ἐλογίσθησαν, ἐπὶ τούτου δὴ οὐχ ἡγη-
σόμεθα ἐσχάτης εἶναι κολάσεως τὸ μὴ καταταχθῆναι εἰς τὸν χορὸν ἐκεῖνον τὸν περὶ αὐτόν, γρ. τὸν
ἀλλὰ στέρξομεν, ἂν μόνον τῆς γεέννης ἀπαλλαγῶμεν; καὶ τί ταύτης ἐλεεινότερον γένοιτ' ἂν τῆς
ψυχῆς; οὐ γὰρ ὁ βασιλεύς, οὐ ζεῦγος ἔχων ἡμιόνων λευκῶν, οὐδὲ ὄχημα χρυσοῦν, οὐδὲ
ἁλουργίδα καὶ διάδημα περικείμενος, οὕτως ἔρχεται κρῖναι τὴν γῆν· ἀλλὰ πῶς; ἄκουσον
Ψαλ. μθ. γ. τῶν προφητῶν βοώντων καὶ λεγόντων, ὡς ἀνθρώποις εἰπεῖν δυνατόν. ὁ μὲν γάρ φησιν· Ὁ
Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται. πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ
κύκλῳ αὐτοῦ καταιγὶς σφοδρά. προσκαλέσεται τὸν οὐρανὸν ἄνω, καὶ τὴν γῆν τοῦ διακρῖ-
Ησ. ιγ. θ. ναι τὸν λαὸν αὐτοῦ. ὁ δὲ Ἡσαΐας καὶ τὴν κόλασιν ἡμῖν αὐτὴν προστίθησιν, οὑτωσὶ λέγων· Ι-
δοὺ ἡμέρα Κυρίου ἔρχεται ἀνίατος θυμοῦ καὶ ὀργῆς, θεῖναι τὴν οἰκουμένην ὅλην ἔρημον, καὶ
τοὺς ἁμαρτωλοὺς ἀπολέσαι ἐξ αὐτῆς. οἱ γὰρ ἀστέρες τοῦ οὐρανοῦ καὶ ὁ Ὠρείων καὶ πᾶς ὁ κό-
σμος τοῦ οὐρανοῦ τὸ φῶς αὐτῶν οὐ δώσουσι, καὶ σκοτισθήσεται ὁ ἥλιος ἐν τῇ ἐξόδῳ αὐτοῦ, καὶ ἡ
σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς. καὶ ἐντελοῦμαι τῇ οἰκουμένῃ ὅλῃ κακά, καὶ τοῖς ἀσε-
βέσι τὰς ἁμαρτίας αὐτῶν· καὶ ἀπολῶ ὕβριν ἀνόμων, καὶ ὕβριν ὑπερηφάνων ταπεινώσω·
καὶ ἔσονται οἱ καταλελειμμένοι ἔντιμοι μᾶλλον, ἢ τὸ χρυσίον τὸ ἄπυρον· καὶ ἄνθρωπος ἔσται
ἔντιμος μᾶλλον, ἢ ὁ λίθος ὁ ἐκ Σουφείρ. ὁ γὰρ οὐρανὸς σαλευθήσεται, καὶ ἡ γῆ σεισθήσεται ἐκ
τῶν θεμελίων αὐτῆς διὰ θυμὸν ὀργῆς Κυρίου σαβαώθ, ἐν τῇ ἡμέρᾳ ᾗ ἂν ἐπέλθῃ ὁ θυμὸς γρ. ἐπῆλθ
Ησ. κδ. ιθ. αὐτοῦ. καὶ πάλιν, Θυρίδες, φησίν, ἐκ τοῦ οὐρανοῦ ἀνοιχθήσονται, καὶ σεισθήσεται ἡ γῆ· ὡς ὁ
μεθύων καὶ κραιπαλῶν σεισθήσεται ἡ γῆ. ἀπορίᾳ ἀπορηθήσεται ἡ γῆ, καὶ κλονουμένη κλο-
νηθήσεται ἡ γῆ· ὡς ὀπωροφυλάκιον ἡ γῆ πεσεῖται, καὶ οὐ μὴ δυνήσεται στῆναι. κατίσχυσε
γὰρ ἐπ' αὐτῆς ἡ ἀνομία. καὶ ἐπάξει ὁ Θεὸς ἐπὶ τὸν κόσμον τοῦ οὐρανοῦ ἐν τῷ ὕψει τὴν χεῖρα γρ. αὐτῶν
αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἐπὶ τὰς βασιλείας τῆς γῆς, καὶ συνάξουσι συναγωγὴν αὐτοῖς
εἰς δεσμωτήριον, καὶ ἀποκλείσουσιν εἰς ὀχύρωμα. καὶ ὁ Μαλαχίας σύνῳδα τούτοις φθεγ-
Μαλ. γ. β. γόμενος ἔλεγεν· Ιδοὺ ἔρχεται Κύριος παντοκράτωρ, καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου
αὐτοῦ; ἢ τίς ὑποστήσεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ; διότι αὐτὸς εἰσπορεύεται, ὡς πῦρ χωνευ-
τηρίου, καὶ ὡς πόα πλυνόντων, καὶ καθιεῖται χωνεύων καὶ καθαρίζων, ὡς τὸ ἀργύριον καὶ
Μαλ. δ. α. τὸ χρυσίον. καὶ πάλιν, Ιδού, φησιν, ἡμέρα Κυρίου ἔρχεται, ὡς κλίβανος καιομένη, καὶ φλέξει γρ. καταφλέξ
αὐτούς, καὶ ἔσονται πάντες οἱ ἀλλογενεῖς καὶ πάντες οἱ ποιοῦντες ἄνομα, ὡς καλάμη· καὶ
ἀνάψει αὐτοὺς ἡ ἡμέρα ἡ ἐρχομένη, λέγει Κύριος παντοκράτωρ, καὶ οὐ μὴ ὑπολειφθῇ ἡ
Δαν. ζ. θ. ῥίζα ἢ κλῆμα. ὁ δὲ ἀνὴρ τῶν ἐπιθυμιῶν, Ἐθεώρουν, φησίν, ἕως οὗ θρόνοι ἐτέθησαν, καὶ ὁ
παλαιὸς τῶν ἡμερῶν ἐκάθητο· καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών, καὶ ἡ θρὶξ τῆς κε-
φαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρόν· ὁ θρόνος αὐτοῦ, φλὸξ πυρός· οἱ τροχοὶ αὐτοῦ, πῦρ φλέγον·
ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ πορευόμενος· χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ
μυρίαι μυριάδες παρειστήκεισαν ἐνώπιον αὐτοῦ· κριτήριον ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν.
Εἶτα μετὰ μικρόν, Ἐθεώρουν, φησίν, ἐν ὁράματι τῆς νυκτός, καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ
οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος ἦν, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασε, καὶ ἐνώ-
πιον αὐτοῦ προσηνέχθη αὐτῷ· καὶ αὐτῷ ἐδόθη ἡ ἀρχή, καὶ ἡ τιμή, καὶ ἡ βασιλεία· καὶ πάντες
οἱ λαοί, φυλαί, γλῶσσαι αὐτῷ δουλεύσουσι· καὶ ἡ ἐξουσία αὐτοῦ, ἐξουσία αἰώνιος, ἥτις οὐ πα-
ρελεύσεται, καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται. ἔφριξε τὸ πνεῦμά μου, ἐγὼ Δανιὴλ ἐν
τῇ

τῇ ἕξει μου· καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου συνετάρασσόν με. τότε ἀναπετάννυνται) πᾶσαι τῶν οὐρανίων ἁψίδων αἱ πύλαι, μᾶλλον δὲ καὶ αὐτὸς ἐκ μέσου λαμβάνεται ὁ οὐρανός. Ὁ γὰρ οὐρανὸς εἱληθήσεται, φησίν, ὡς βιβλίον, καθάπερ τινὸς σκηνῆς διφθέρα καὶ παραπέτασμα συστελλόμενον ἐκ τοῦ μέσου, ὥστε μετασχηματισθῆναι εἰς τὸ βέλτιον. τότε πάντα ἐκστάσεως γέμει καὶ φρίκης καὶ τρόμου· τότε καὶ αὐτοὺς ἔχει τοὺς ἀγγέλους πολὺς φόβος, οὐκ ἀγγέλους δὲ μόνον, ἀλλὰ καὶ ἀρχαγγέλους, καὶ θρόνους, καὶ κυριότητας, καὶ ἀρχάς, καὶ ἐξουσίας. Σαλευθήσονται γάρ, φησιν, αἱ δυνάμεις τῶν οὐρανῶν διὰ τὸ τοὺς ὁμοδούλους ἀπαιτεῖσθαι τὰς εὐθύνας τῆς ἐνθάδε ζωῆς. καὶ μὴ θαυμάσῃς. εἰ γὰρ πόλεως μιᾶς κρινομένης ἐπὶ τούτων τῶν ἀρχόντων, πεφρίκασιν ἅπαντες καὶ οἱ κινδύνων ὄντες ἐκτός· τῆς οἰκουμένης ἁπάσης δικαζομένης ἐπὶ τούτων παρὰ κριτῇ οὐ μαρτύρων δεομένῳ, οὐκ ἐλέγχων, ἀλλὰ χωρὶς τούτων ἁπάντων καὶ πράξεις καὶ ῥήματα καὶ ἐνθυμήματα παριστῶντι εἰς μέσον, καὶ πάντα, ὡς ἐν εἰκόνι τινί, τοῖς τε ἡμαρτηκόσιν αὐτὰ καὶ τοῖς ἀγνοοῦσιν ἐπιδεικνύντι, πῶς οὐκ εἰκὸς ἅπασαν κλονεῖσθαι δύναμιν καὶ σαλεύεσθαι; εἰ γὰρ καὶ μὴ ποταμὸς εἷλκεν πυρός, μηδὲ ἄγγελοι παρειστήκεισαν φοβεροί, μόνον δὲ καλούμενοι τῶν ἀνθρώπων οἱ μὲν ἐπῃνοῦντο καὶ ἐθαυμάζοντο, οἱ δὲ παρεπέμποντο ἀτίμως ἵνα μὴ ἴδωσι τὴν δόξαν τοῦ Θεοῦ (Αρθήτω γάρ, φησιν, ὁ ἀσεβής*) καὶ τοῦτο μόνον ἡ κόλασις ἦν, ἆρα οὐκ ἂν πάσης γεέννης πικροτέρα ἡ τῶν τοσούτων ἔκπτωσις ἀγαθῶν τὰς τῶν ἀπεστερημένων ἔδακνε ψυχάς; τοῦτο γοῦν ὅσον κακόν, νῦν μὲν οὐ δυνατὸν παραστῆσαι τῷ λόγῳ, τότε δὲ ἐπὶ τῶν πραγμάτων εἰσόμεθα σαφῶς. σὺ δέ μοι πρόσθες νῦν καὶ τὴν κόλασιν, καὶ μὴ μόνον αἰσχυνομένους, μηδὲ ἐγκαλυπτομένους καὶ κάτω νεύοντας, ἀλλὰ καὶ τὴν ἐπὶ τὸ πῦρ ἑλκομένους ὁδὸν καὶ πρὸς αὐτὰ συρομένους τὰ βασανιστήρια, καὶ ταῖς ἀποτόμοις παραδιδομένους δυνάμεσι, καὶ ταῦτα πάσχοντας κατὰ τὸν καιρόν, καθ' ὃν στεφανοῦνται καὶ ἀνακηρύττονται καὶ τῷ θρόνῳ παρίστανται τῷ βασιλικῷ πάντες, οἱ τὰ ἀγαθὰ πράξαντες, καὶ ἄξια τῆς αἰωνίου ζωῆς ποιήσαντες.

Ησ. λδ. δ.

Ματθ. κδ. κθ.

Καὶ ταῦτα μὲν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· τὰ δὲ ἑξῆς λοιπὸν τίς ἡμῖν παραστήσει λόγος, τὸ μετὰ τοῦ Χριστοῦ λέγω συνουσίας τὴν ἡδονήν, τὴν ὠφέλειαν, τὴν χαράν*; ψυχὴ γὰρ εἰς τὴν οἰκείαν εὐγένειαν ἐπανελθοῦσα, καὶ μετὰ παρρησίας λοιπὸν δυνηθεῖσα τὸν ἑαυτῆς δεσπότην ὁρᾶν, οὐκ ἔστιν εἰπεῖν ὅσην καρποῦται τὴν ἡδονήν, ὅσον τὸ κέρδος, οὐ τοῖς ἐν χερσὶ μόνον χαίρουσα ἀγαθοῖς, ἀλλὰ καὶ τῷ πεπεῖσθαι λοιπόν, ὅτι οὐδαμῶς ταῦτα τελευτήσει τὰ καλά. πᾶσαν μὲν οὖν τὴν εὐφροσύνην ἐκείνην οὔτε λόγῳ παραστῆσαί ἐστιν, οὔτε νῷ*· ἀμυδρῶς δέ, καὶ ὡς ἄν τις διὰ μικρῶν μεγάλα δεικνύῃ, πειράσομαι ποιῆσαι φανερόν. ἐξετάσωμεν γάρ, εἰ δοκεῖ, τοὺς ἐν τῷ παρόντι βίῳ τῶν τοῦ κόσμου καλῶν ἀπολαύοντας, πλούτου λέγω καὶ δυναστείας καὶ δόξης, πῶς ὑπὸ τῆς εὐθυμίας γαυρούμενοι οὐδὲ ἐπὶ τῆς γῆς εἶναι νομίζουσι, καὶ ταῦτα, οὔτε ὁμολογουμένων ἀπολαύοντας καλῶν, οὔτε παραμενόντων αὐτοῖς, ἀλλ' ἀφιπταμένων ὀνείρου ταχύτερον, εἰ δέ ποτε καὶ σταίη μικρόν, μέχρι τῆς παρούσης ζωῆς τὴν εὔνοιαν ἐπιδεικνυμένων, περαιτέρω δὲ οὐκ ἰσχυόντων συνεξελθεῖν. εἰ δὲ ταῦτα εἰς τοσαύτην αἴρει τοὺς ἔχοντας χαράν, τί οἴει ~~γίνεσθαι ἐκείνας τὰς~~ ψυχὰς τὰς καλουμένας ἐπὶ τὰ μυρία ἀγαθὰ τὰ ἐν τοῖς οὐρανοῖς, τὰ πεπηγότα, καὶ ἑστῶτα, καὶ βέβαια διαπαντός; οὐδὲ γὰρ τούτῳ μόνον, ἀλλὰ καὶ τῇ ποσότητι καὶ τῇ ποιότητι τοσούτῳ κρείττω τῶν παρόντων εἰσὶν ἐκεῖνα, ὡς μηδὲ ἐπὶ καρδίαν ἀνθρώπου ἀναβῆναί ποτε. νῦν μὲν γάρ, καθάπερ παιδίον ἐν μήτρᾳ, οὕτως ἐν τῷ κόσμῳ τούτῳ διάγομεν στενοχωρούμενοι, καὶ τοῦ μέλλοντος αἰῶνος τὴν λαμπρότητα καὶ τὴν ἐλευθερίαν οὐ δυνάμενοι συνιδεῖν. ὅταν δὲ ὁ καιρὸς ἐπιστῇ τῶν ὠδίνων, καὶ ἀποτέκῃ κατὰ τὴν τῆς κρίσεως ἡμέραν, οὓς ὑπεδέξατο πάντας ἀνθρώπους ὁ βίος ὁ παρών, τὰ μὲν ἐξαμβλωθέντα ἀπὸ σκότους εἰς σκότος ἔρχεται, ἀπὸ θλίψεως εἰς θλῖψιν χαλεπωτέραν· τὰ δὲ ἄρτια, καὶ τῆς βασιλικῆς εἰκόνος τοὺς χαρακτῆρας διαφυλάξαντα, παραστήσονται τῷ βασιλεὺς καὶ τὴν λειτουργίαν ἀναδέξονται ἐκείνην, ἣν ἄγγελοι καὶ ἀρχάγγελοι τῷ πάντων διακονοῦνται Θεῷ. μὴ τοίνυν εἰς τέλος τούτους ἡμῖν ἀφανίσῃς τοὺς χαρακτῆρας, ὦ φίλε, ἀλλὰ ταχέως αὐτοὺς ἀνακτησάμενος, ἐπὶ τὸ βέλτιον διατύπωσον. τὸ μὲν γὰρ κάλλος τὸ σωματικὸν εἴσω τῶν τῆς φύσεως ὅρων συνέκλεισεν ὁ Θεός· ἡ δὲ τῆς ψυχῆς ὥρα τῆς μὲν ἐκεῖθεν ἀνάγκης καὶ δουλείας ἀπήλλακται, ἅτε δὴ πολλῷ βελτίων οὖσα τῆς σωματικῆς εὐμορφίας, ἐφ' ἡμῖν δὲ πᾶσα κεῖται καὶ τῇ ῥοπῇ τοῦ Θεοῦ. φιλάνθρωπος γὰρ ὢν ὁ δεσπότης ἡμῶν, καὶ τούτῳ μάλιστα ἐτίμησε τὸ ἡμέτερον γένος, τὰ μὲν ἐλάττονα καὶ οὐδὲν μέγα συντελοῦντα ἡμῖν, ἀλλ' ὅπως ἂν πέσῃ ἀδιάφορα ὄντα, τῇ τῆς φύσεως ἐπιτρέψας ἀνάγκῃ, τῶν δὲ ὄντως καλῶν ἡμᾶς ποιήσας δημιουργοὺς εἶναι. εἰ μὲν οὖν καὶ τοῦ σωματικοῦ κάλλους ἡμᾶς ὁ Θεὸς ἐποίησεν εἶναι κυρίους, καὶ φροντίδα περιττὴν ἀνεδεξάμεθα ἄν, καὶ ἐν τοῖς οὐδὲν ὠφελοῦσι τὸν ἅπαντα ἂν ἀπησχολήσαμεν χρόνον, καὶ τῆς ψυχῆς σφόδρα ἂν ἠμελήσαμεν. ὅπου γὰρ νῦν οὐκ οὔσης ἐν ἡμῖν τῆς ἐξουσίας ταύτης ἅπαντα περιπτόμεθα καὶ βιαζόμεθα καὶ σκιαγραφίαις ἑαυτοὺς ἐκδίδαμεν, καὶ ἐπειδὴ τῇ ἀληθείᾳ μὴ δυνάμεθα, καὶ χρώμασι, καὶ βαφαῖς, καὶ συνθέσει τριχῶν, καὶ ἱματίων περιβολαῖς, καὶ γραφαῖς ὀφθαλμῶν, καὶ πολλοῖς ἑτέροις μηχανήμασι τοιαῦτα σοφιζόμεθα κάλλη, τίνα ἂν τῇ ψυχῇ * σχολὴν ἀπενείμαμεν, εἰ πρὸς τὴν ὄντως αὐτὴν εὐμορφίαν μεταθεῖναι εἴχομεν; τάχα γὰρ οὐδὲ ἂν ἐγένετο ἡμῖν ἔργον ἕτερόν τι ἐν τῷ βίῳ, εἰ τοῦτο ἔργον ἡμέτερον ἦν· ἀλλὰ πάντα τὸν χρόνον ἂν ἀνηλώσαμεν, τὴν δούλην καλλωπίζοντες μυρίοις καλλωπισμοῖς, τὴν δὲ ταύτης κυρίαν πάντως ἀνδράποδον μᾶλλον ἐν ἀμορφίᾳ καὶ ῥᾳθυμίᾳ ἐῶντες κεῖσθαι διαπαντός. διὰ τοῦτο ταύτης τῆς κακοσχολίας ἡμᾶς ἀπαλλάξας ὁ Θεός, τῆς βελτίονος ἡμῖν τὴν τέχνην ἐνέθηκε· καὶ ὁ τὸ σῶμα μὴ δυνάμενος εὔμορφον ποιῆσαι ἐξ εἰδεχθοῦς, οὗτος τὴν ψυχήν, κἂν εἰς ἐσχάτην δυσειδίαν κατενεχθῇ, εἰς αὐτὴν τῆς ὥρας ἀναγαγεῖν δυνήσεται τὴν κορυφήν, καὶ οὕτως ἐράσμιον καὶ ἐπέραστον ποιῆσαι καὶ ποθεινήν, ὥστε μὴ μόνον τοὺς ἄνδρας τοὺς ἀγαθοὺς εἰς ἐπιθυμίαν αὐτῆς ἐλθεῖν, ἀλλὰ καὶ αὐτὸν τῶν ἁπάντων Θεὸν καὶ βασιλέα, καθὼς καὶ ὁ ψαλμῳδὸς περὶ τούτου τοῦ κάλλους διαλεγόμενος ἔλεγε· Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. οὐχ ὁρᾷς καὶ ἐν τοῖς χαμαιτυπείοις τῶν γυναικῶν ὅτι αἱ μὲν εἰδεχθεῖς καὶ ἀναισχύντους μονομάχοι καὶ θελομάχοι καὶ δραπέται μόλις ἂν προσίενται· εἰ δέ πού τις εὔμορφος καὶ εὐγενὴς καὶ αἰσχύνην ἔχῃ, κατά τινα δὲ περίστασιν εἰς ταύτην ἔλθοι τὴν ἀνάγκην, οὐδὲ τῶν σφόδρα λαμπρῶν καὶ μεγάλων ἀνδρῶν τὸν ἐκείνης τις γάμον ἐρυθριάσειεν; εἰ δὲ παρὰ ἀνθρώποις τοσοῦτος ἔλεος καὶ τοσαύτη δόξης ὑπεροψία, ὥστε τὰς πολλάκις καταισχυνθείσας ἐπὶ τοῦ τέλους ἀπαλλάξαι τῆς δουλείας ἐκείνης, καὶ ἐν τάξει ἔχειν γυναικῶν· πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ τοῦτο ἔσται, καὶ τῶν ψυχῶν τῶν ἀπὸ τῆς ἄνωθεν εὐγενείας καὶ εὐπρεπείας " κατὰ τὴν τοῦ διαβόλου " τυραννίδα εἰς τὸ τοῦ παρόντος βίου χαμαιτυπεῖον κατενηνεγμένων. καὶ τούτων εὑρήσεις τῶν παραδειγμάτων τοὺς προφήτας " πεπληρωμένους, ὅταν διαλέγωνται τῇ Ἱερουσαλήμ. καὶ γὰρ ἐκείνην εἰς πορνείαν ἐκπεσοῦσαν (πορνείαν τινὰ καινοτέραν, καθὼς καὶ ὁ Ἰεζεκιὴλ φησί, Πάσαις πόρναις δίδοται μισθώματα· σὺ δὲ προσέδωκας μίσθωμα, καὶ ἐγένετο ἐν σοὶ διεστραμμένον παρὰ τὰς γυναῖκας. καὶ πάλιν ἕτερος, Ἐκάθισας προσδοκῶσα αὐτοὺς ὡσεὶ κορώνη ἐν ἐρήμῳ μόνη) ταύτην οὖν τὴν οὕτω πορνεύσασαν ἀνακαλεῖται πάλιν ὁ Θεός. καὶ γὰρ ἡ αἰχμαλωσία ἡ γενομένη οὐ τιμωρίας τοσοῦτον ἦν, ὅσον ἐπιστροφῆς καὶ διορθώσεως. ἐπεὶ εἰ κολάσαι αὐτοὺς ὁ Θεὸς ἐβούλετο ἅπαξ, οὐκ ἂν πάλιν ἐπανήγαγεν οἴκαδε, οὐκ ἂν μείζονα καὶ λαμπροτέραν καὶ τὴν πόλιν καὶ τὸν ναὸν κατεσκεύασεν. Ἔσται γάρ, φησίν, ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν ἔμπροσθεν. εἰ δὲ τὴν πολλάκις ἐκπορνεύσασαν οὐκ ἀπέκλεισε τῆς μετανοίας ὁ Θεός, πολλῷ μᾶλλον τῆς σῆς ἀνθέξεται ψυχῆς τοῦτο πρῶτον πεσούσης τὸ πτῶμα. οὐδεὶς γάρ, οὐδεὶς

σωμάτων

Ψαλμ. μδ. ιγ.

Ιεζεκ. ις. λγ.

Ιερ. γ. β.

Αγγ. β. ι.

* καὶ τῆς σπουδαίας

" γρ. ὑπὸ τῆς

" γρ. τυραννίδ

" γρ. πλήρεις

σωμάτων ἐραστής, κἂν σφόδρα ᾖ μανικός, οὕτω τῆς ἐρωμένης περιέχεται τῆς αὐτοῦ, ὡς ὁ Θεὸς ἐφίεται τῶν ἡμετέρων ψυχῶν. καὶ τοῦτο ἔνεστι μὲν καὶ ἐκ τῶν καθ' ἑκάστην ἡμέραν γινομένων ἰδεῖν· ἔνεστι δὲ καὶ ἀπὸ τῶν θείων γραφῶν. ὅρα γοῦν καὶ ἐν τοῖς προοιμίοις τοῦ Ιερεμίου, καὶ πολλαχοῦ δὲ τῶν προφητῶν, καταφρονούμενον αὐτὸν καὶ ὑπερορώμενον, καὶ πάλιν ἐπιτρέχοντα καὶ διώκοντα τὴν φιλίαν τῶν ἀποστρεφομένων αὐτόν. ὅπερ καὶ αὐτὸς ὁ Χριστὸς ἐδήλωσεν ἐν τοῖς εὐαγγελίοις λέγων· Ιερουσαλήμ, Ιερουσαλήμ, ἡ ἀποκτείνασα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας αὐτῆς, καὶ οὐκ ἠθελήσατε. καὶ Παῦλος δὲ Κορινθίοις ἐπιστέλλων ἔλεγεν, ὅτι Θεὸς ἦν ἐν Χριστῷ κόσμον καταλλάσσων ἑαυτῷ, μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα αὐτῶν, καὶ θέμενος ἐν ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς, φησίν· ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν. δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ. τοῦτο καὶ πρὸς ἡμᾶς εἰρῆσθαι νόμιζε νῦν. οὐ γὰρ ἀπιστία μόνον, ἀλλὰ καὶ βίος ἀκάθαρτος τὴν ἀπευκτὴν ταύτην ἔχθραν ἱκανὸς ἐργάσασθαι. Τὸ γὰρ φρόνημα, φησί, τῆς σαρκὸς, ἔχθρα εἰς Θεόν. καταλύσωμεν οὖν τοῦτο τὸ διάφραγμα, καὶ διέλωμεν καὶ θῶμεν νεκρόν, ἵνα τῆς μακαρίας τύχωμεν καταλλαγῆς, ἵνα γενώμεθα πάλιν ἐράσμιοι, ἐπέραστοι καὶ ποθεινοὶ τῷ Θεῷ.

Ματθ. κγ. λζ.

β. Κορ. ε. ιθ.

Ρωμ. η. ζ.

…ἐλωμεν

Οἶδα ὅτι θαυμάζεις τὴν Ερμιόνης ὥραν νῦν, καὶ τῆς εὐμορφίας ἐκείνης ὅμοιον οὐδὲν κρίνεις εἶναι ἐπὶ τῆς γῆς. ἀλλ' ἐὰν ἐθέλῃς, ὦ φίλε, τοσοῦτον αὐτῆς εὐπρεπέστερος ἔσῃ καὶ ὡραιότερος, ὅσῳ τῶν πηλίνων οἱ χρυσοῦ βελτίους ἀνδριάντες εἰσίν. Εἰ γὰρ ἐπὶ τοῦ σώματος ὂν τὸ κάλλος, οὕτω τὰς τῶν πολλῶν ἐκπλήττει ψυχὰς καὶ ἀναπτερεῖ, ὅταν ἐν τῇ ψυχῇ τοῦτο ἀποστίλβοι, τί ἴσον τοῦ οὕτω καλοῦ καὶ ὡραίου γένοιτ' ἄν; ἡ μὲν γὰρ τούτου τοῦ κάλλους ὑπόστασις οὐδὲν ἕτερόν ἐστιν, ἢ φλέγμα, καὶ αἷμα, καὶ ῥεῦμα, καὶ χολή, καὶ τῆς τροφῆς διαμασηθείσης χυλός. τούτοις γὰρ καὶ οἱ ὀφθαλμοὶ καὶ αἱ παρειαὶ καὶ τὰ λοιπὰ πάντα ἄρδεται. κἂν μὴ καθ' ἑκάστην ἡμέραν δέξηται τὴν ἀρδείαν ἐκείνην ἀπὸ τῆς γαστρὸς καὶ τοῦ ἥπατος ἀνιοῦσαν, τοῦ δέρματος παρὰ τὸ προσῆκον ὑφιζάνοντος, τῶν τε ὀφθαλμῶν κοιλαινομένων, εὐθέως ἡ πᾶσα ἀφίπταται τῆς ὄψεως ὥρα. ὥστε ἂν ἐννοήσῃς, τί μὲν τῶν καλῶν ἔνδον ἀπόκειται ὀφθαλμῶν, τί δὲ τῆς εὐθείας ῥινός, τί δὲ καὶ τοῦ στόματος καὶ τῶν παρειῶν, οὐδὲν ἕτερον, ἢ τάφον κεκονιαμένον εἶναι φήσεις τοῦ σώματος τὴν εὐμορφίαν. τοσαύτης ἀκαθαρσίας τὰ ἔνδον ἐστὶ μεστά. Εἶτα ῥάκος μὲν ἰδὼν ἔχον τι τούτων, οἷον ἢ φλέγμα, ἢ σίελον, οὐδὲ ἄκροις ψαῦσαι τοῖς δακτύλοις ὑπομένεις, ἀλλ' οὐδὲ ἰδεῖν ἀνέχῃ· πρὸς δὲ τὰ ταμιεῖα τούτων καὶ τὰς ἀποθήκας ἐπτόησαι; ἀλλ' οὔτοι γε σὸν κάλλος τοιοῦτον ἦν, ἀλλ' ὅσον βελτίων τῆς γῆς ὁ οὐρανός, μᾶλλον δὲ καὶ πολλῷ τούτου λαμπρότερόν τε καὶ ἄμεινον. ψυχὴν γὰρ καθ' ἑαυτὴν σώματος γεγυμνωμένην οὐδεὶς εἶδεν οὐδαμοῦ· ὅμως δὲ καὶ οὕτως ἑτέρωθέν σοι παραστῆσαι τὸ ταύτης κάλλος πειράσομαι ἀπὸ τῶν δυνάμεων τῶν μειζόνων. ἄκουσον γοῦν πῶς τὸν ἄνδρα τῶν ἐπιθυμιῶν ἡ τούτων ὡραιότης ἐξέπληξε. βουλόμενος γὰρ αὐτῶν παραστῆσαι τὸ κάλλος, καὶ οὐκ ἔχων σῶμα τοιοῦτον εὑρεῖν, ἐπὶ τὰς μεταλλικὰς ὕλας κατέφυγε. καὶ οὐδὲ ταύταις ἠρκέσθη μόνον, ἀλλὰ καὶ τὴν τῆς ἀστραπῆς λαμπρότητα εἰς τὸ ὑπόδειγμα παρελάμβανεν. Εἰ δὲ μὴ καθαρῶς, μηδὲ γυμνὰς φαύσασαι τὰς ἑαυτῶν οὐσίας ἐκεῖναι, ἀλλ' ἀμυδρῶς σφόδρα καὶ συνεσκιασμένως, ὅμως οὕτω διέλαμψαν, ὁποίας αὐτὰς εἰκὸς παντὸς ἀπηλλαγμένας παραπετάσματος φαίνεσθαι; τοιοῦτόν τι καὶ περὶ τοῦ κάλλους τῆς ψυχῆς φαντάζεσθαι χρή. Ἔσονται γάρ, φησιν, ἰσάγγελοι. καὶ ἐπὶ τῶν σωμάτων δὲ τὰ λεπτότερα καὶ κουφότερα, καὶ πρὸς τὴν ἐπὶ τὰ ἄσωμα φέρουσαν ὁδὸν ἀνακεχωρηκότα, πολλῷ μᾶλλον βελτίω καὶ θαυμαστότερα τῶν μὴ τοιούτων ἐστί. τῆς γοῦν γῆς ὁ οὐρανός, καὶ τοῦ ὕδατος τὸ πῦρ, καὶ οἱ ἀστέρες τῶν λίθων εἰσὶν ὡραιότεροι. καὶ τὴν ἴριν δὲ πολλῷ πλέον ἴων καὶ ῥόδων καὶ τῶν ἄλλων ἀνθῶ-

…ἀποςίλβοι
…πιότου

…πόθεν οὖν
…δείξω τὸ
…ἀπὸ τῶν
…νίαν δυ-
…μεων. καὶ ἀ-
…πῶς τὴν τῶν
…τρυῶν ἑ-
…θην, τὴν
…ρα τ. ε.
…ασαι

Λουκ. κ. λς.

…τῶν ἑτέρων

των τῶν ἐπὶ τῆς γῆς θαυμαζομένων ἀνθέων. καὶ ὅλως εἴγε ἐνῆν τοῖς σωματικοῖς ὀφθαλμοῖς τὸ τῆς ψυχῆς κάλλος ἰδεῖν, κατεγέλασας ἂν τούτων τῶν σωματικῶν ὑποδειγμάτων, οὕτως ἀσθενῶς ἡμῖν παραστησάντων τὴν τῆς ψυχῆς ὡραιότητα. μηδὲ τοιούτου κλήματος, μηδὲ τοσαύτης μακαριότητος ἀμελήσωμεν, καὶ μάλιστα, ὅτε εὔκολος ἡμῖν ἡ ἔφοδος πρὸς ἐκεῖνο τὸ κάλλος ταῖς τῶν μελλόντων ἐλπίσι γίνεται. Τὸ γὰρ παραυτίκα, φησίν, ἐλαφρὸν τῆς θλίψεως, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. τὰ γὰρ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια. Εἰ δὲ αἱ θλίψεις, ὡς οἶδας, ἐλαφρὰς ἐκάλεσε καὶ κούφας ὁ μακάριος Παῦλος διὰ τὸ μὴ σκοπεῖν τὰ βλεπόμενα, πολλῷ μᾶλλον τὸ παύσασθαι ἀσελγαίνοντα φορητόν. οὐδὲ γὰρ ἐπὶ τοὺς κινδύνους σε καλοῦμεν τέως ἐκείνους, οὐδὲ ἐπὶ τοὺς θανάτους τοὺς καθημερινούς, τὰς πληγὰς τὰς συνεχεῖς, τὰς μάστιγας, τὰ δεσμά, τὴν πρὸς τὴν οἰκουμένην ἀπέχθειαν, τὸ παρὰ τῶν οἰκείων μῖσος, τὰς ἀγρυπνίας τὰς ἐπαλλήλους, τὰς ὁδοιπορίας τὰς μακράς, τὰ ναυάγια, τὰς τῶν λῃστῶν ἐφόδους, τὰς παρὰ τῶν συγγενῶν ἐπιβουλάς, τὰς ὑπὲρ τῶν φίλων ὠδῖνας, τὸν λιμόν, τὸν κρυμόν, τὴν γυμνότητα, τὴν πύρωσιν, τὴν ἀθυμίαν τὴν ὑπὲρ τῶν αὐτοῦ, τὴν ὑπὲρ τῶν οὐκ αὐτοῦ, οὐδὲν τούτων ἀπαιτοῦμεν τέως· ἀλλὰ τοσοῦτον ἀξιοῦμεν μόνον, τῆς ἐπαράτου δουλείας ἀπαλλαγῆναι, καὶ πρὸς τὴν προτέραν ἐλευθερίαν ἐπανελθεῖν, ἐννοήσαντα καὶ τὴν ἐκ τῆς ἀσελγείας κόλασιν, καὶ τὴν ἐκ τοῦ προτέρου βίου τιμήν.

Τὸ μὲν οὖν τοὺς ἀπιστοῦντας τῷ τῆς ἀναστάσεως λόγῳ ῥαθύμως διακεῖσθαι, καὶ μηδέποτε ἐν τοιούτῳ γενέσθαι φόβῳ, θαυμαστὸν οὐδέν· τὸ δὲ ἡμᾶς τοὺς περὶ τῶν ἐκεῖ μᾶλλον ἢ ἐνταῦθα πεπεισμένους, οὕτως ἀθλίως διάγειν καὶ ταλαιπώρως, καὶ μηδὲν ἀπὸ τῆς μνήμης παθεῖν ἐκείνων, ἀλλ' εἰς ἐσχάτην ἀναισθησίαν καταπεσεῖν, τοῦτο πολλῆς ἀλογίας γέμον ἐστίν. ὅταν γὰρ οἱ πιστεύοντες τὰ τῶν ἀπίστων πράττωμεν, μᾶλλον κἀκείνων ἀθλιώτερον διακείσομεθα. εἰσὶ γὰρ * ἐν αὐτοῖς, οἱ κατὰ τὴν τοῦ βίου διέλαμψαν ἀρετήν. τίς οὖν ἡμῖν ἔσται παράκλησις; ποία συγγνώμη λοιπόν; καὶ ναυαγίῳ μὲν πολλοὶ τῶν ἐμπόρων περιπεσόντες οὐκ ἀνέπεσον, ἀλλὰ πάλιν ἐπέβησαν τῆς αὐτῆς ὁδοῦ, καὶ ταῦτα οὐ παρὰ τὴν οἰκείαν ῥαθυμίαν, ἀλλὰ παρὰ τὴν τῶν ἀνέμων ἀνάγκην τῆς ζημίας γεγενημένης αὐτοῖς. ἡμεῖς δὲ τὸ περὶ τοῦ τέλους θαρρεῖν ἔχοντες, καὶ ἀκριβῶς εἰδότες ὅτι μὴ βουλομένων ἡμῶν οὔτε ναυάγιον, οὔτε ἡ περὶ τὸ τυχὸν ἡμῖν ζημία συμβήσεται, οὐχ ἁψόμεθα πάλιν αὐτῶν, καὶ ἐμπορευσόμεθα, καθάπερ καὶ τὸ πρότερον, ἀλλὰ κεισόμεθα ἀργοῦντες, καὶ τὰς χεῖρας παρ' ἑαυτοῖς ἔχοντες; καὶ εἴθε παρ' ἑαυτοῖς μόνον, καὶ μὴ καθ' ἑαυτῶν, ὅπερ λαμπρᾶς μανίας ἐστί. καὶ γὰρ εἴ τις τῶν πυκτευόντων τὸν ἀνταγωνιστὴν ἀφεὶς, κατὰ τῆς ἑαυτοῦ κεφαλῆς τρέποι τὰς χεῖρας, καὶ τὴν οἰκείαν ὄψιν συγκόπτοι, οὐ μετὰ τῶν μαινομένων αὐτὸν κατατάξομεν, εἰπέ μοι; ὑπεσκέλισεν ἡμᾶς ὁ διάβολος καὶ κατέβαλεν; οὐκοῦν ἀναστῆναι δεῖ, οὐχ ὑποσύρεσθαι πάλιν, καὶ κατακρημνίζειν ἑαυτούς, καὶ ταῖς παρ' ἐκείνου πληγαῖς προστιθέναι τὰς παρ' ἑαυτῶν. καὶ γὰρ καὶ ὁ μακάριος Δαβὶδ ἔπεσε πτῶμα τοιοῦτον, ὅπερ καὶ σὺ νῦν· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερον ἐφεξῆς, τὸ τοῦ φόνου λέγω. τί οὖν; ἔμεινε κείμενος, καὶ οὐ διανέστη πάλιν, καὶ παρετάξατο πρὸς τὸν ἐχθρόν; οὐ μὲν οὖν· ἀλλ' ἤλασε, καὶ γενναίως αὐτὸν κατεπάλαισεν, ὡς καὶ τελευτήσαντα τὸν μακάριον προστῆναι τῶν ἐκγόνων αὐτοῦ. τῷ γὰρ Σολομῶντι τὴν μεγάλην παρανομίαν ἐκείνην τετολμηκότι, καὶ μυρίων ἀξίῳ γενομένῳ θανάτων, διὰ τὸν Δαβίδ φησιν ὁ Θεὸς ἀφεῖναι τὴν βασιλείαν αὐτῷ ὁλόκληρον, οὑτωσὶ λέγων· Διαῤῥήσσων διαῤῥήξω τὴν βασιλείαν σου ἐκ χειρός σου, καὶ δώσω αὐτὴν τῷ δούλῳ σου. πλὴν ἐν ταῖς ἡμέραις σου οὐ ποιήσω ταῦτα. διὰ τί; διὰ Δαβὶδ τὸν πατέρα σου. ἐκ χειρὸς τοῦ υἱοῦ σου λήψομαι αὐτήν. καὶ τῷ Ἐζεκίᾳ δὲ μέλλοντι κινδυνεύειν ὑπὸ τῶν ἐσχάτων, καίτοιγε ὄντι δικαίῳ, πα-

β. Κορ. δ. ιζ.

γ. Βασ. ια. ια.

λιν διὰ τὸν μακάριον ἐκεῖνον βοηθεῖν ἔλεγεν. Ὑπερασπιῶ γάρ, φησίν, ὑπὲρ τῆς πόλεως ταύτης τοῦ σῶσαι αὐτὴν δι᾽ ἐμὲ καὶ διὰ Δαβὶδ τὸν παῖδά μου. τοσαύτη τῆς μετανοίας ἡ ἰσχύς. Εἰ δὲ ἐκεῖνος ταῦτα ἐβουλεύσατο, ἅπερ καὶ σὺ νῦν, ὅτι ἀδύνατον λοιπὸν ἐξιλεώσασθαι τὸν Θεόν, καὶ εἰ ἐν ἑαυτῷ εἶπεν· ἐτίμησε γάρ με ὁ Θεὸς τιμὴν μεγάλην, καὶ εἰς προφήτας ἐνέταξε, καὶ τὴν ἀρχὴν τῶν ὁμοφύλων ἐνεχείρισε, καὶ μυρίων κινδύνων ἐξήρπασε· πῶς οὖν δυνήσομαι μετὰ ″ τοσαύτας εὐεργεσίας προσκεκρουκώς, καὶ τὰ τῶν ″ αἰσχίστων τολμήσας, ἵλεω πάλιν καταστῆσαι αὐτόν; Εἰ ταῦτα ἐνενόησεν, ἔμεινεν ἂν ἐν τῇ πληγῇ ἀνίατα νοσῶν*. οὐδὲ γὰρ τὰ ἐν τοῖς σώμασι μόνον τραύματα θάνατον ἐργάζονται ἀμελούμενα, ἀλλὰ καὶ τὰ τῆς ψυχῆς. καὶ ὅμως εἰς τοσοῦτον ἀνοίας ἠλάσαμεν ἡμεῖς, ὡς ἐκείνων μὲν ἐπιμελεῖσθαι σφοδρῶς, τούτων δὲ ὑπερορᾷν. καίτοι ἐπὶ μὲν ″ τῶν σωμάτων ″ ἀνίατα πολλὰ πολλάκις συμβαίνειν εἰκός, καὶ οὐδὲν ἀπαγορεύομεν· ἀλλὰ συνεχῶς τῶν ἰατρῶν λεγόντων ἀκούοντες, ὅτι τοῦτο τὸ πάθος φαρμάκοις ἀφανίσαι οὐκ ἔνι, ὅμως ἐπικείμεθα παρακαλοῦντες παραμυθίαν γοῦν τινα ἐπινοῆσαι μικράν· ἐπὶ δὲ τῶν ψυχῶν, ἔνθα οὐδέν ἐστιν ἀνίατον νόσημα (οὐδὲ γὰρ ὑπὸ τὴν τῆς φύσεως ἀνάγκην ἐστὶν) ἐνταῦθα ὡς ἀλλοτρίων ὄντων τῶν ″ κακῶν, οὕτως ἀμελοῦμεν καὶ ἀπογινώσκομεν. καὶ ἔνθα μὲν ἡ τῶν νοσημάτων φύσις εἰς ἀπόγνωσιν ἡμᾶς ἐμβάλλειν εἴωθε, καθάπερ τῶν πολλὰς ἐλπίδας ἐχόντων ὑγιείας ἐπιμελούμεθα· ἔνθα δὲ οὐδέν ἐστιν ὅπερ ἀπαγορεῦσαι χρή, ὥσπερ τῶν ἀπεγνωσμένων ἀφιστάμεθα καὶ παραμελοῦμεν. τοσούτῳ πλείονα τοῦ σώματος οἱ ἄθλιοι ἢ τῆς ψυχῆς λόγον ἔχομεν· διά τοι τοῦτο οὐδὲ τὸ σῶμα διασῶσαι δυνάμεθα. ὁ μὲν γὰρ τοῦ προηγουμένου παραμελῶν, καὶ περὶ τὸ ἔλαττον ἅπασαν τὴν σπουδὴν ἐπιδεικνύμενος, ἀμφότερα καταλύει καὶ ἀπόλλυσιν· ὁ δὲ τὴν τάξιν φυλάττων, καὶ τὸ κυριώτερον διασώζων καὶ θεραπεύων, κἂν ἀμελήσῃ τοῦ δευτέρου, διὰ τῆς τοῦ προτέρου σωτηρίας καὶ τοῦτο διέσωσεν. ὅπερ καὶ ὁ Χριστὸς ἡμῖν παραδηλῶν ἔλεγε· Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. Ματθ. ι. κη. φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ.

Ἆρά σε πείθομεν ὅτι οὐδέποτε τῶν τῆς ψυχῆς ὡς ἀνιάτων ἀπογινώσκειν δεῖ παθῶν, ἢ καὶ ἑτέρους πάλιν λογισμοὺς ἀνακινῆσαι χρή; κἂν γὰρ μυριάκις ἀπογνῷς σεαυτοῦ, ἡμεῖς οὐκ ἀπογνωσόμεθά σου ποτέ, οὐδέ, ὅπερ ἑτέροις ἐγκαλοῦμεν, αὐτοὶ πεισόμεθα. καίτοιγε οὐκ ἔστιν ἴσον τινὰ ἀπελπίζειν ″ ἑαυτόν, καὶ ἕτερον αὐτόν. ὁ μὲν γὰρ ″ ὑπὲρ ἑτέρου ταύτην ἔχων τὴν ὑπόνοιαν, κἂν συγγνωσθείη ταχέως· ὁ δὲ αὐτὸς περὶ ἑαυτοῦ οὐκ ἔτι. τί δήποτε; ὅτι ἐκεῖνος μὲν οὐκ ἔστι κύριος τῆς ἐκείνου σπουδῆς καὶ μετανοίας· τῆς δὲ ἑαυτοῦ τὴν ἐξουσίαν ἔχει μόνος αὐτός. ἀλλ᾽ ὅμως οὐδ᾽ οὕτως ἀπογνωσόμεθά σου, κἂν μυριάκις σὺ τοῦτο πάθῃς. ἴσως γάρ, ἴσως ἔσται τις ἐπάνοδος πρὸς τὴν ἀρετὴν [καὶ τὴν καταλλαγὴν τῆς προτέρας φιλίας] καὶ τὸν πρότερον βίον. ἄκουε δὲ καὶ τῶν ἑξῆς. οἱ Νινευῖται τοῦ προφήτου διατεινομένου καὶ σαφῶς ἀπειλοῦντος ἀκούσαντες, Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευῒ καταστραφήσεται, οὐδ᾽ οὕτως ἀνέπεσον. Ἰων. γ. δ. ἀλλὰ καί τοι μὴ θαῤῥοῦντες ὅτι πείσουσι τὸν Θεόν, μᾶλλον δὲ καὶ τοὐναντίον ὑποπτεύειν ἔχοντες ἀπὸ τοῦ χρησμοῦ (οὐ γὰρ μετὰ διορισμοῦ τινος εἴρητο τὸ λεχθέν, ἀλλ᾽ ″ ἀποφάσει καθαρᾷ) καὶ οὕτω τὴν μετάνοιαν ἐπεδείκνυντο, λέγοντες· Τίς οἶδεν εἰ μετανοήσει καὶ παρακληθήσεται Κύριος ὁ Θεός, καὶ ἀποστρέψει ἀπὸ ὀργῆς θυμοῦ αὐτοῦ, καὶ οὐ μὴ ἀπολώμεθα;* καὶ εἶδεν ὁ Θεὸς τὰ ἔργα αὐτῶν, ὅτι ἀπέστρεψαν ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν, καὶ μετενόησεν ὁ Θεὸς ἐπὶ τῇ κακίᾳ, ᾗ ἐλάλησε* ποιῆσαι αὐτοῖς, καὶ οὐκ ἐποίησεν. Εἰ δὲ ἄνθρωποι ἀλόγιστοι καὶ βάρβαροι τοσοῦτον ἠδυνήθησαν συνιδεῖν, πολλῷ ″ πλέον τοῦτο ποιεῖν ἡμᾶς χρὴ τοὺς τὰ θεῖα δόγματα παιδευθέντας, καὶ τῶν τοιούτων παραδειγμάτων καὶ ἐν ῥήμασι καὶ ἐν πράγμασι πολὺ τὸ πλῆθος ἑωρακότας. Οὐ γάρ εἰσιν αἱ βουλαί μου, φησίν, ὥσπερ αἱ βουλαὶ ὑμῶν· ἀλλ᾽ ″ Ἡσ. νε. θ. ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, τοσοῦτον ἀπέχει τὰ διανοήματά μου ἀπὸ τῆς διανοίας ὑ-

μεν, καὶ αἱ βουλαὶ ὑμῶν ἀπὸ τῶν βουλῶν μου. Εἰ δὲ ἡμεῖς τοὺς πολλάκις προσκεκρουκότας
τῶν οἰκετῶν, ἂν ἐπαγγέλλοιντο γίνεσθαι βελτίους, καὶ προσιέμεθα πάλιν, καὶ ἐπὶ τῆς προτέ-
ρας ἄγομεν τιμῆς, πολλάκις δὲ καὶ πλείονος αὐτοῖς τῆς παρρησίας μεταδίδομεν, πολλῷ
μᾶλλον αὐτὸς ἐποίησε καὶ ποιήσει. Εἰ μὲν γὰρ διὰ τοῦτο ἡμᾶς ἐποίησεν, ἵνα κολάσῃ, κα-
λῶς ἂν ἀπεγνώκεις καὶ ἠμφισβήτεις ὑπὲρ τῆς σωτηρίας τῆς ἑαυτοῦ. Εἰ δὲ δι' οὐδὲν ἕτερον,
δι' ἀγαθότητα δὲ μόνην ἡμᾶς ἐδημιούργησε, καὶ ἵνα τῶν αἰωνίων ἀπολαύσωμεν καλῶν, καὶ
πάντα ὑπὲρ τούτου ποιεῖ καὶ πραγματεύεται ἐκ πρώτης ἡμέρας, καὶ * εἰς τὸ παρόν, τί ποτέ
ἐστι τὸ ποιοῦν ἐνδοιάζειν ἡμᾶς; σφόδρα αὐτὸν παρωργίσαμεν, καὶ ὡς οὐδεὶς ἕτερος τῶν ἀν-
θρώπων; οὐκοῦν διὰ τοῦτο μάλιστα ἀποστῆναι τῶν παρόντων δεῖ, καὶ μεταγνῶναι ἐπὶ τοῖς
προγεγενημένοις, καὶ πολλὴν ἐπιδείξασθαι τὴν μεταβολήν. οὐδὲ γὰρ οὕτω τὸ ἅπαξ
τολμηθὲν ὑφ' ἡμῶν παροξῦναι δύναιτ' ἂν τὸν Θεόν, ὡς τὸ μὴ θελῆσαι μεταβάλλεσθαι λοι-
πόν. τὸ μὲν γὰρ ἁμαρτεῖν ἴσως ἀνθρώπινον, τὸ δὲ ἐπιμεῖναι τοῖς αὐτοῖς, τοῦτο οὐκ ἀνθρώπινον
λοιπόν, ἀλλὰ σατανικὸν ὅλον. ὅρα γοῦν καὶ διὰ τοῦ προφήτου πῶς τοῦτο μᾶλλον ἐκείνου
μέμφεται ὁ Θεός. Καὶ εἶπον γάρ, φησι, μετὰ τὸ πορνεῦσαι αὐτὴν ταῦτα πάντα, πρός με
Ιερ. γ. ζ. ἀνάστρεψον, καὶ οὐκ ἀνέστρεψε. καὶ ἑτέρωθι πάλιν τὴν πολλὴν ῥοπήν, ἣν ἔχει πρὸς τὴν
σωτηρίαν τὴν ἡμετέραν, ἐπιδεῖξαι βουλόμενος, ἐπειδὴ μετὰ τὰς πολλὰς παρανομίας ἐπηγ-
γείλατο τὴν ὀρθὴν βαδίζειν ὁδόν, ἀκούσας, φησίν, εἶπε· Τίς δώσει εἶναι οὕτω τὴν καρδίαν
Δευτ. ε. κθ. αὐτῶν ἐν αὐτοῖς, ὥστε φοβεῖσθαί με, καὶ φυλάττεσθαι τὰς ἐντολάς μου πάσας τὰς ἡμέρας αὐ-
τῶν, ἵνα εὖ ᾖ αὐτοῖς καὶ τοῖς υἱοῖς αὐτῶν δι' αἰῶνος; καὶ ὁ Μωϋσῆς δὲ διαλεγόμενος αὐτοῖς ἔλεγε·
Δευτ. ι. ιβ. Καὶ νῦν, Ἰσραήλ, τί Κύριος ὁ Θεός σου αἰτεῖ παρὰ σοῦ, ἀλλ' ἢ φοβεῖσθαι Κύριον τὸν Θεόν
σου, καὶ πορεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ἀγαπᾶν αὐτόν; ὁ τοίνυν σπουδάζων φι-
λεῖσθαι παρ' ἡμῶν, καὶ πάντα ὑπὲρ τούτου ποιῶν, καὶ μηδὲ τοῦ μονογενοῦς ὑπὲρ τῆς ἡμετέρας
φεισάμενος φιλίας, καὶ ὅτε δή ποτε ἂν καταλλαγῶμεν αὐτῷ, τὸ πρᾶγμα τιθέμενος ἀγα-
πητόν, πῶς μετανοοῦντας οὐ δέξεται καὶ φιλήσει; ἄκουε γοῦν καὶ διὰ τοῦ προφήτου τί φησι.
Ησ. μγ. κϛ. Λέγε σὺ πρῶτος τὰς ἀνομίας σου, ἵνα δικαιωθῇς. καὶ τοῦτο δὲ ὑπὲρ τοῦ σφοδρὰν γλυκεῖαν πρὸς
αὐτὸν τὴν φιλίαν ἀπαιτεῖ παρ' ἡμῶν. ὅταν γὰρ ὁ φιλῶν πολλὰ παρὰ τῶν φιλουμένων ὑ-
βρισθεὶς μηδὲ οὕτω σβέσῃ τὸν πόθον, δι' οὐδὲν ἕτερον εἰς μέσον ἐνεχθῆναι τὰς ὕβρεις ἐκεί-
νας παρασκευάζει, ἀλλ' ἵνα τὸ στερρὸν αὐτοῦ τῆς φιλίας ἐπιδειξάμενος, εἰς πλείονα ἐπι-
σπάσηται καὶ συντονωτέραν ἀγάπην ἐκείνους.

Εἰ δὲ τὸ ὁμολογῆσαι τὰ ἁμαρτήματα, τοσαύτην ἔχει τὴν παραμυθίαν, πολλῷ μᾶλλον
τὸ διὰ τῶν ἔργων αὐτὰ ἀπονίψασθαι. ἐπεὶ εἰ μὴ τοῦτο ἦν, ἀλλὰ τοὺς ἅπαξ τῆς εὐθείας
παρατραπέντας ὁδοῦ ἐπὶ τὰ πρότερα ἐκώλυε πάλιν ἐπανελθεῖν, οὐδεὶς ἂν τάχα, πλὴν
ὀλίγων καὶ εὐαριθμήτων σφόδρα, εἰς τὴν τῶν οὐρανῶν βασιλείαν εἰσῆλθέ ποτε. νῦν δὲ
τοὺς μάλιστα λάμψαντας ἀπὸ τῶν πτωμάτων τούτων ὄντας εὑρήσομεν. οἱ γὰρ ἐν τοῖς
κακοῖς πολλὴν ἐπιδειξάμενοι τὴν σφοδρότητα, καὶ ἐν τοῖς ἀγαθοῖς τὴν αὐτὴν ἐπιδείξον-
ται πάλιν, συνειδότες ὅσων ἑαυτοὺς ὀφλημάτων ὑπευθύνους κατέστησαν. ὅπερ οὖν καὶ ὁ
Λουκ. ζ. μδ. Χριστὸς ἐδήλωσεν, ὅτε τῷ Σίμωνι περὶ τῆς γυναικὸς ἔλεγε· Βλέπεις γάρ, φησι, τὴν γυ-
ναῖκα ταύτην; εἰσῆλθόν σου εἰς τὴν οἰκίαν· ὕδωρ μοι ἐπὶ τοὺς πόδας οὐκ ἔδωκας, αὕτη δὲ
τοῖς δάκρυσι τοὺς πόδας μου ἔβρεξε, καὶ ταῖς θριξὶν αὐτῆς ἐξέμαξε· φίλημά μοι οὐκ ἔδωκας,
αὕτη δὲ ἀφ' ἧς εἰσῆλθον, οὐ διέλιπε τοὺς πόδας μου καταφιλοῦσα· ἐλαίῳ τὴν κεφαλήν
μου οὐκ ἤλειψας, αὕτη δὲ μύρῳ ἤλειψε τοὺς πόδας μου. οὗ χάριν λέγω σοι, ἀφέωνται αὐτῆς
αἱ ἁμαρτίαι αἱ πολλαί, ὅτι ἠγάπησε πολύ. ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ. Εἶπε δὲ
αὐτῇ, ἀφέωνταί σου αἱ ἁμαρτίαι. διὰ τοῦτο καὶ ὁ διάβολος εἰδώς, ὅτι οἱ τὰ μεγάλα ἐρ-
γασάμενοι κακά, ὅταν ἄρχωνται μετανοεῖν, μετὰ πολλοῦ τοῦ τόνου τοῦτο πράττουσιν, ἅτε εἰ-

δότες τὰ πλημμεληθέντα αὖθις, δέδοικε καὶ τρέμει μήποτε ἵνα ἀρχὴν τοῦ πράγματος λάβωσι. μετὰ γὰρ τὸ λαβεῖν, ἀκάθεκτοι λοιπόν εἰσι, καὶ πυρὸς δίκην ὑπὸ τῆς μετανοίας ἀναζέσαντες, χρυσίου καθαροῦ καθαρωτέρας τὰς ἑαυτῶν ψυχὰς ἀπεργάζονται, καθάπερ ὑπό τινος πνεύματος σφοδροῦ, τοῦ συνειδότος, καὶ τῆς μνήμης τῶν προτέρων ἁμαρτημάτων εἰς τὸν τῆς ἀρετῆς λιμένα ὠθούμενοι. καὶ τοῦτό ἐστιν ᾧ πλεονεκτοῦσι τῶν οὐδαμοῦ καταπεσόντων, ὅτι σφοδροτέρᾳ κέχρηνται τῇ προθυμίᾳ· μόνον, ὅπερ ἔφην, ἂν τῆς ἀρχῆς ἐπιλάβωνται. τὸ γὰρ δυσχερὲς καὶ δυσκατόρθωτον τοῦτό ἐστι, τὸ δυνηθῆναι ἐπιβῆναι τῆς εἰσόδου, καὶ τῶν προθύρων ἅψασθαι τῆς μετανοίας, καὶ τὸν ἐχθρὸν ἐκεῖ πολὺ πνέοντα καὶ ἐγκείμενον ἀπώσασθαι καὶ καταβαλεῖν. μετὰ δὲ ταῦτα οὐκ ἔτι ἐκεῖνος τοσαύτην ἐπιδείξεται τὴν μανίαν ἅπαξ ἡττηθεὶς, καὶ ἔνθα ἦν ἰσχυρὸς, καταπεσών· ἡμεῖς δὲ μείζονα τὴν προθυμίαν ληψόμεθα, καὶ μετὰ πολλῆς τῆς εὐκολίας δραμούμεθα τὸν καλὸν τοῦτον ἀγῶνα. ἐπιλαβώμεθα τοίνυν τῆς ἐπανόδου λοιπὸν, ἀναδράμωμεν εἰς τὴν πόλιν τὴν ἐν τοῖς οὐρανοῖς, ἐν ᾗ καὶ ἀπεγράφημεν, ἐν ᾗ καὶ πολιτεύεσθαι προστετάγμεθα. τὸ γὰρ ἀπογινώσκειν ἑαυτῶν, οὐ τοῦτο μόνον ἔχει τὸ κακόν, ὅτι τὰς πύλας ἡμῖν ἀποκλείει τῆς πόλεως ἐκείνης, οὐδ' ὅτι εἰς μείζονα ῥαθυμίαν ἄγει καὶ καταφρόνησιν, ἀλλ' ὅτι καὶ εἰς ἀπόνοιαν ἐμβάλλει σατανικήν. καὶ γὰρ καὶ ὁ διάβολος οὐδαμόθεν ἑτέρωθεν τοιοῦτος ἐγένετο, ἀλλ' ἢ ἐκ τοῦ πρότερον μὲν ἀπογνῶναι, ὕστερον δὲ ἀπὸ τῆς ἀπογνώσεως εἰς ἀπόνοιαν ἐμπεσεῖν. ψυχὴ γὰρ ἐπειδὰν ἅπαξ ἀπαγορεύσῃ τὴν σωτηρίαν ἑαυτῆς, οὐδὲ αἰσθήσεται λοιπὸν ὅπως κατακρημνίζεται, πάντα αἱρουμένη καὶ λέγειν καὶ ποιεῖν τὰ κατὰ τῆς σωτηρίας τῆς ἑαυτῆς. καὶ καθάπερ οἱ μαινόμενοι, ἐπειδὰν ἅπαξ τῆς ὑγιοῦς ἐκπέσωσι καταστάσεως, οὐδένα δεδοίκασιν, οὐδὲ αἰσχύνονται, ἀλλ' ἀδεῶς ἅπαντα τολμῶσι καὶ πράττουσι, κἂν εἰς πῦρ μέλλωσιν ἐμπίπτειν, κἂν εἰς πέλαγος, κἂν εἰς κρημνόν· οὕτω καὶ οἱ τῇ τῆς ἀπογνώσεως ληφθέντες παραφροσύνῃ, ἀφόρητοί εἰσι λοιπὸν πανταχοῦ τῆς κακίας διατρέχοντες, κἂν μὴ θάνατος αὖθις ἐπελθὼν κωλύσῃ τῆς μανίας ἐκείνης καὶ τῆς ''φθορᾶς, μυρία ἑαυτοῖς ἐργάζονται δεινά. διὰ τοῦτο παρακαλῶ, πρὶν ἢ βαπτισθῆναι ὑπὸ ταύτης τῆς μέθης, ἀνανῆψαι καὶ διεγερθῆναι καὶ τὴν σατανικὴν κραιπάλην ἀπώσασθαι· καὶ, εἰ μὴ δυνατὸν ἀθρόως, ἀλλ' ἠρέμα καὶ κατὰ μικρόν. ἐμοὶ μὲν γὰρ εὐκολώτερον φαίνεται εἶναι τὸ πάντων ὁμοῦ τῶν κατεχόντων ἀποσπασθέντα σχοινίων μεταθεῖναι ἑαυτὸν εἰς τὸ τῆς μετανοίας γυμνάσιον· εἰ δέ σοι τοῦτο δύσκολον εἶναι δοκεῖ, ὡς ἂν ἐθέλοις, ἅψαι τῆς ὁδοῦ τῆς ἐπὶ τὰ κρείττονα φερούσης· μόνον ἅψαι, καὶ ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς. ναὶ, δέομαι καὶ ἀντιβολῶ, πρὸς τῆς εὐδοκιμήσεως τῆς προτέρας, πρὸς τῆς παρρησίας ἐκείνης, οὕτω πάλιν σε ἐπὶ τῆς κορυφῆς καὶ τῆς καρτερίας ἴδωμεν τῆς αὐτῆς. φεῖσαι τῶν σκανδαλιζομένων διὰ τὴν σὴν κεφαλὴν, τῶν καταπιπτόντων, τῶν γινομένων ῥαθυμοτέρων, τῶν ἀπογινωσκόντων τὴν τῆς ἀρετῆς ὁδόν. νῦν μὲν γὰρ κατήφεια τὸν τῶν ἀδελφῶν ἔχει χορὸν, ἡδονὴ δὲ καὶ εὐθυμία τὰ τῶν ''ἀπιστούντων συνέδρια, καὶ τὰ τῶν νέων τῶν ῥαθυμοτέρων. ἂν δὲ ἐπανέλθῃς πάλιν ἐπ' ἐκείνην τὴν ἀκρίβειαν τοῦ βίου, τοὐναντίον γενήσεται· καὶ ἡ μὲν ἡμετέρα αἰσχύνη εἰς ἐκείνους μεταστήσεται, ἡμεῖς δὲ ἐν παρρησίᾳ ἐσόμεθα πολλῇ, μετὰ πλείονος λαμπρότητος στεφανούμενόν σε καὶ ἀνακηρυττόμενον ὁρῶντες πάλιν. μείζονα γὰρ αἱ τοιαῦται νῖκαι δόξαν καὶ νίκην φέρουσι, καὶ τὴν εὐδοκίμησιν, καὶ τὴν ἡδονήν. οὐδὲ γὰρ τῶν οἰκείων κατορθωμάτων μόνον λήψῃ τὸν μισθὸν, ἀλλὰ καὶ τῆς ἑτέρων παρακλήσεως καὶ παραμυθίας, ὑπόδειγμα μέγιστον ἐγκείμενος, εἴ ποτέ τις τοῖς αὐτοῖς περιπέσοι*, πρὸς τὸ διαναστῆναι πάλιν καὶ ἀνακτήσασθαι ἑαυτόν. μὴ δὴ κέρδος παρίδῃς τοσοῦτον, μηδὲ εἰς ᾅδου μετὰ λύπης τὰς ἡμετέρας ψυχὰς παραπέμψῃς· ἀλλὰ δὸς ἡμῖν ἀναπνεῦσαι, καὶ τὸ κατέχον ἡμᾶς διὰ σὲ τῆς ἀθυμίας ἀποσείσασθαι νέφος. νῦν μὲν γὰρ τὰ οἰκεῖα παρέντες κακὰ, τὰς σὰς θρηνοῦμεν συμφοράς· ἂν δὲ θελήσῃς ἀνανῆψαι ''καὶ τῆς στρατιᾶς ἐπιλαβέσθαι τῆς ἀγγελικῆς, καὶ τούτ

τῶν

φθορᾶς

ἀπίστων

κοιναῖς

καὶ διαβλέ-
ψῃς καὶ τῆς πο-
τείας πάλιν
λέσθαι

τοῦ πένθους ἀπαλλάξεις ἡμᾶς, καὶ τῶν ἡμετέρων ἁμαρτημάτων τὸ πλέον ἀρεῖς. ὅτι γὰρ ἔστι καὶ τοὺς ἐκ μετανοίας πάλιν ἐπανελθόντας λάμψαι μέγα καὶ φαιδρὸν καὶ πλέον πολλάκις τῶν μηδέπω πεσόντων τὴν ἀρχὴν, ἀπεδείξαμεν καὶ ἀπὸ τῶν θείων γραφῶν. οὕτω γοῦν καὶ οἱ τελῶναι καὶ αἱ πόρναι τὴν βασιλείαν κληρονομήσουσι τῶν οὐρανῶν· οὕτω πολλοὶ τῶν ἐσχάτων τῶν πρώτων ἔμπροσθεν τίθενται.

Ἐρῶ δέ σοι καὶ τὰ ἐφ' ἡμῶν γεγενημένα, καὶ ὧν δυνήσῃ γενέσθαι μάρτυς αὐτός. οἶσθά που τὸν νέον ἐκεῖνον, τὸν Οὐρβανοῦ παῖδα, τὸν Φοίνικα, τὸν ἐν ὀρφανίᾳ μὲν καταλειφθέντα ἀώρῳ, κύριον δὲ πολλῶν χρημάτων καὶ οἰκετῶν γενόμενον καὶ ἀγρῶν. οὗτος τὸ μὲν πρῶτον ἐρρῶσθαι πολλὰ ταῖς ἐν τοῖς μουσείοις διατριβαῖς εἰπὼν, καὶ τὴν λαμπρὰν ἐκείνην ἀμφίασιν ἀφεὶς καὶ τὸν τῦφον ἅπαντα τὸν βιωτικόν, ἐξαίφνης ἱμάτιον εὐτελὲς περιθέμενος, καὶ πρὸς τὴν ἐν τοῖς ὄρεσιν ἐρημίαν ἀναχωρήσας, πολλὴν ἐπεδείξατο τὴν φιλοσοφίαν, οὐ κατὰ τὴν ἡλικίαν μόνον τὴν ἑαυτοῦ, ἀλλ' ὅσην ἄν τις τῶν μεγάλων ἀνδρῶν καὶ θαυμαστῶν. μετὰ δὲ ταῦτα καὶ τῆς ἱερᾶς τελετῆς τῶν μυστηρίων ἀξιωθείς, πολλῷ μᾶλλον ἐπεδίδου πρὸς ἀρετήν. καὶ πάντες ἔχαιρον, καὶ ἐδόξαζον τὸν Θεὸν, ὅτι καὶ ἐν πλούτῳ πολλῷ τραφείς, καὶ προγόνους ἔχων λαμπρούς, καὶ σφόδρα ἔτι νέος ὤν, οὕτως ἐξαίφνης ἅπασαν τοῦ βίου τὴν φαντασίαν καταπατήσας, πρὸς τὸ ὕψος ἔδραμε τὸ ἀληθινόν. ἐν τούτῳ δὲ αὐτὸν ὄντα καὶ θαυμαζόμενον, φθοροί τινες ἄνδρες κατὰ τὸν τῆς συγγενείας ἐπισκοποῦντες νόμον, αὖθις ἐπὶ τὸν πρότερον οἱ κακόφρονες κλύδωνα ἐπανήγαγον. καὶ πάντα ῥίψας ἐκεῖνα, πάλιν ἀπὸ τῶν ὀρέων εἰς μέσην εὐθέως κατέβη τὴν ἀγοράν, καὶ ἵππῳ ὀχούμενος καὶ ἀκολούθους ἔχων πολλούς, οὕτω περιῄει τὴν πόλιν ἅπασαν, καὶ οὐδὲ σωφρονεῖν λοιπὸν ἤθελεν. ὑπὸ γὰρ τῆς πολλῆς ἐκκαιόμενος τρυφῆς, καὶ εἰς ἔρωτας ἐμπίπτειν ἀτόπους ἠναγκάζετο, καὶ οὐδεὶς ἦν τῶν ἐν μέσῳ στρεφομένων, ὅστις τὴν σωτηρίαν οὐκ ἀπηγόρευσε τὴν ἐκείνου. τοσοῦτος αὐτὸν συνεῖχε κολάκων ἑσμός. καὶ προσῆν ἥ τε ὀρφανία καὶ νεότης καὶ πλοῦτος πολύς. οἱ τοίνυν τὰ πάντα εὐκόλως μεμφόμενοι, τῶν ἐπὶ τούτῳ τὴν ἀρχὴν ἀγαγόντων αὐτὸν κατηγόρουν λέγοντες, ὅτι καὶ τῶν πνευματικῶν διήμαρτε, καὶ οὐδὲ τοῖς αὐτοῦ πράγμασι χρήσιμος ἔσται λοιπόν, πρὸ ὥρας τῶν περὶ τοὺς λόγους πόνων ἀποπηδήσας, καὶ μηδὲν ἐκεῖθεν καρπώσασθαι δυνηθείς. τούτων δὲ λεγομένων, καὶ πολλῆς τῆς αἰσχύνης οὔσης, ἅγιοί τινες ἄνδρες καὶ πολλάκις τοιαύτης θήρας ἐπιτυχόντες, καὶ διὰ τῆς πείρας μαθόντες καλῶς, ὅτι οὐ δεῖ τῶν τοιούτων ἀπογινώσκειν χρηστὰς εἰς Θεὸν ὁπλιζομένους ἐλπίσι, παρατηροῦντες αὐτὸν συνεχῶς, εἴ ποτε εἶδον φανέντα ἐπὶ τῆς ἀγορᾶς, καὶ προσῄεσαν καὶ ἠσπάζοντο. καὶ τὸ μὲν πρῶτον, ἐκεῖνος ἄνωθεν αὐτοῖς ἀπὸ τοῦ ἵππου παρακολουθοῦσιν ἐκ πλαγίων διελέγετο. τοσαύτη κατεῖχεν αὐτὸν ἀναισχυντία τὴν ἀρχήν. οἱ δὲ εὔσπλαγχνοι καὶ φιλόπαιδες ἐκεῖνοι τούτων μὲν ἠσχύνοντο οὐδὲν, εἰς ἓν μόνον ὁρῶντες, ὅπως τῶν λύκων τὸ ἀρνίον ἀποσπάσωσιν. ὅπερ οὖν καὶ διὰ τῆς καρτερίας ἤνυσαν. ὕστερον γὰρ, ὥσπερ ἔκ τινος παραπληξίας, ἐν ἑαυτῷ γενόμενος ἐκεῖνος, καὶ τὴν πολλὴν αὐτῶν προσεδρίαν ἐρυθριάσας, εἴ ποτε αὐτοὺς πόρρωθεν προσιόντας εἶδεν, ἀπεπήδα τε εὐθέως, καὶ κάτω νεύων, οὕτω μετὰ σιγῆς τὰ παρ' ἐκείνων ἤκουεν ἅπαντα, καὶ προσιὼν, πλείονα τὴν πρὸς αὐτοὺς αἰδῶ καὶ τιμὴν ἐπεδείκνυτο. καὶ οὕτως αὐτὸν κατὰ μικρὸν τῇ τοῦ Θεοῦ χάριτι, πάντων ἐκείνων ἐξελκύσαντες τῶν δικτύων, τῇ προτέρᾳ πάλιν ἐρημίᾳ καὶ φιλοσοφίᾳ παρέδωκαν. καὶ ἐπὶ τοσοῦτον ἔλαμψε νῦν, ὡς τὸν πρότερον αὐτοῦ βίον τῷ μετὰ τὴν ἔκπτωσιν παραβαλλόμενον, μηδὲν εἶναι δοκεῖν. συνιδὼν γὰρ ἀπὸ τῆς πείρας καλῶς τὸ δέλεαρ, καὶ πάντα εἰς τοὺς δεομένους ἀναλώσας τὸν πλοῦτον, καὶ τῶν φροντίδων ἀπολύσας ἑαυτὸν ἐκείνων, πᾶσαν τοῖς βουλομένοις ἐπιβουλεύειν ἐξέκοψε πρόφασιν, καὶ νῦν τὴν ἐπὶ τὸν οὐρανὸν βαδίζων ὁδὸν, πρὸς αὐτὸ λοιπὸν ἔφθασε τὸ τέλος τῆς ἀρετῆς. ἀλλ' οὗτος μὲν ἔτι νέος ὢν καὶ κατέπεσε, καὶ ἀνέστη. ἕτερος δέ τις μετὰ τοὺς πολλοὺς ἱδρῶτας, οὓς ἐν ταῖς ἐρημίαις διατρίβων ἤνεγκεν,

γ. καὶ τῇ
τοῖς ὄρεσι
ἐρημίᾳ

γ. ἀνδρ

γ. ἥ τε ὀρ
φανία
γ. τούτῳ
ταύτην

γ. ὅτι οὐ δεῖ
τοιούτων ἀπ
γινώσκειν
τοὺς εἰς τὸν
Θεὸν ἐλπί
θαρροῦντ

ἕνα συνοικοῦντα μόνον ἔχων καὶ ἀγγελικὸν βίον βιούς, καὶ πρὸς γῆρας ἐλαύνων λοιπόν, οὐκ οἶδα πῶς ὑπὸ σατανικῆς τινος περιστάσεως καὶ τοῦ ἀπονυστάξαι μικρὸν πρόσοδον δοὺς τῷ πονηρῷ, εἰς ἐπιθυμίαν τῆς πρὸς γυναῖκα ὁμιλίας ἐνέπεσεν, ὁ μηδέποτε γυναῖκα ἰδὼν ἐξ οὗ πρὸς τὸν τῶν μοναχῶν βίον μετέθηκεν ἑαυτόν. καὶ πρῶτον μὲν ἠξίου τὸν συνοικοῦντα κρέα καὶ οἶνον αὐτῷ παρασχεῖν, καὶ ἠπείλει, εἰ μὴ λάβοι, καταβήσεσθαι εἰς τὴν ἀγοράν. ταῦτα δὲ οὐχ ὅτι κρεῶν ἐπιθυμῶν ἔλεγεν, ἀλλ᾽ ὡς ἀφορμήν τινα καὶ πρόφασιν βουλόμενος λαβεῖν τῆς εἰς τὴν πόλιν καθόδου. ἐπὶ τούτοις ἐκεῖνος ἀπορούμενος καὶ δεδοικώς, μὴ τοῦτο κωλύσας ἐπὶ μέγα κακὸν ὤσῃ αὐτόν, δίδωσιν ἐμφορηθῆναι τῆς ἐπιθυμίας αὐτῷ. ὡς δ᾽ οὖν ἔγνω τὸ σοφὸν τοῦτο ἕωλον γεγονός, φανερῶς ἀναισχυντήσας λοιπὸν ἀπεκάλυψε τὴν ὑπόκρισιν, καὶ δεῖν ἔλεγε πάντως αὐτὸν εἰς τὴν πόλιν κατελθεῖν. ὡς δὲ οὐδὲν ἴσχυε κωλύων ἐκεῖνος, τέλος ἀφῆκε, καὶ πόρρωθεν ἀκολουθῶν ἐπετήρει, τί ποτε ἄρα αὐτῷ βούλεται " αὕτη ἡ κάθοδος. ἰδὼν δὲ εἰς χαμαιτυπεῖον εἰσελθόντα, καὶ γνοὺς ὅτι πόρνῃ συγγίνεται γυναικί, παραμείνας μετὰ τὸ πληρῶσαι τὴν ἄτοπον ἐκείνην ἐπιθυμίαν ἐξελθόντα ὑπτίαις δέχεται χερσί, καὶ περιχυθεὶς καὶ καταφιλήσας θερμῶς, καὶ ὑπὲρ τῶν γινομένων ἐγκαλέσας οὐδέν, παρεκάλει μόνον, ἐπειδὴ τὴν ἐπιθυμίαν ἐπλήρωσε τὴν ἑαυτοῦ, πάλιν ἐπὶ τὸ τῆς ἐρημίας οἰκητήριον ἐπανελθεῖν. ὁ δὲ τὴν πολλὴν ἐπιείκειαν αἰσχυνθείς, ἐπλήγη τε ἀθρόως τὴν ψυχήν, καὶ κατανυγεὶς ἐπὶ τοῖς τολμηθεῖσιν, εἵπετο πρὸς τὸ ὄρος αὐτῷ. καὶ γενόμενος ἐκεῖ δεῖται τἀνδρὸς ἐν οἰκίσκῳ τε αὐτὸν καθεῖρξαι ἑτέρῳ, καὶ τὰς " θύρας ἀποκλείσαντα τοῦ δωματίου, ἄρτον αὐτῷ παρέχειν καὶ ὕδωρ δι᾽ ἡμερῶν *, καὶ τοῖς ἐπιζητοῦσιν αὐτὸν ἠξίου λέγειν, ὅτι " τέθνηκε. καὶ ταῦτα εἰπὼν καὶ πείσας, καθεῖρξεν ἑαυτόν. καὶ ἦν ἐκεῖ διαπαντὸς νηστείαις καὶ δεήσεσι καὶ δάκρυσι τὸν τῆς ἁμαρτίας ῥύπον ἀποσμήχων τῆς ψυχῆς. χρόνου δὲ παρελθόντος οὐ πολλοῦ, καὶ αὐχμοῦ τὴν πλησίον χώραν καταλαβόντος, καὶ τῶν ἐν τῇ χώρᾳ πάντων ὀδυρομένων, ἐκελεύσθη τις δι᾽ ὀνείρατος ἀπελθεῖν καὶ τὸν ἄνδρα ἐκεῖνον παρακαλέσαι τὸν καθειργμένον, ὥστε εὔξασθαι, καὶ λῦσαι τὸν αὐχμόν. ὡς δὲ ἀπῆλθεν ἑτέρους παραλαβών, καὶ τὸν συνοικοῦντα αὐτῷ πρότερον μόνον εὗρον ἐκεῖ, περὶ ἐκείνου δὲ ἐρωτῶντες ἐμάνθανον ὅτι τέθνηκε, νομίσαντες ἠπατῆσθαι, εἰς προσευχὰς αὖθις ἐτρέποντο. καὶ πάλιν " διὰ τῆς αὐτῆς ὄψεως τὰ αὐτὰ τοῖς " πρότερον ἤκουον. καὶ τότε τὸν ἀληθῶς ἀπατήσαντα περιστάντες, παρεκάλουν ἐπιδεῖξαι τὸν ἄνδρα αὐτοῖς. οὐδὲ γὰρ τεθνηκέναι αὐτόν, ἀλλὰ ζῆν ἔλεγον. ταῦτα ἀκούσας ἐκεῖνος, καὶ τὰς συνθήκας ἐξεληλεγμένας ἰδών, ἀπάγει αὐτοὺς πρὸς τὸν ἅγιον ἐκεῖνον. καὶ διελόντες τὸν τοῖχον (καὶ γὰρ καὶ τὴν εἴσοδον ἔτυχεν ἀποφράξας) καὶ ἐπεισελθόντες ἅπαντες, τῶν ποδῶν αὐτοῦ ἁψάμενοι, καὶ τὰ γεγενημένα ἀπαγγείλαντες, παρεκάλουν αὐτὸν ἐπαμῦναι τῷ λιμῷ. ἐκεῖνος δὲ τὸ μὲν πρότερον ἀντέτεινε, πόρρω ταύτης ἑαυτὸν εἶναι λέγων τῆς παρρησίας. καὶ γὰρ ὡς εὐθέως γεγενημένην τὴν ἁμαρτίαν, οὕτω πρὸ τῶν ὀφθαλμῶν εἶχεν ἀεί. ὡς δὲ τὰ συμβάντα αὐτοῖς ἅπαντα διηγήσαντο, τότε ἐπείσθη εὔξασθαι· καὶ εὐξάμενος ἔλυσε τὸν αὐχμόν. τὰ δὲ κατὰ τὸν νέον ἐκεῖνον, τὸν πρότερον μὲν Ἰωάννου τοῦ Ζεβεδαίου γενόμενον μαθητήν, ὕστερον δὲ ἐπὶ πολὺ λῃσταρχήσαντα χρόνον, καὶ πάλιν ὑπὸ τῶν ἁγίων τοῦ μακαρίου θηρευθέντα χειρῶν, ἀπὸ τῶν καταδύσεων καὶ σπηλαίων τῶν λῃστρικῶν ἐπὶ τὴν προτέραν ἐπανελθόντα ἀρετήν, οὐδὲ αὐτὸς ἀγνοεῖς, ἀλλ᾽ οἶσθα ἡμῶν οὐχ ἧττον ἅπαντα ἀκριβῶς. καὶ σοῦ θαυμάζοντος ἤκουσα πολλάκις τοῦ μακαρίου τὴν συγκατάβασιν τὴν πολλήν, τήν τε ἄλλην, καὶ ὅτι τὴν αἱμαχθεῖσαν πρότερον ἐφίλησε δεξιὰν τῷ νέῳ περιχυθείς, καὶ οὕτως αὐτὸν ἐπὶ τὰ πρότερα ἐπανήγαγε. καὶ ὁ μακάριος δὲ Παῦλος τὸν Ὀνήσιμον, τὸν ἄχρηστον, τὸν δραπέτην, τὸν κλέπτην, τοῦτον οὐ μόνον αὐτὸς περιπλέκεται, ἐπειδὴ μετεβάλλετο, ἀλλὰ καὶ τὸν δεσπότην ἀξιοῖ ἐν ἴσῃ τοῦ διδασκάλου τὸν μετανοήσαντα ἄγειν τιμῇ, οὑτωσὶ λέγων· Παρακαλῶ σε, φησί, περὶ τοῦ Φιλημ. 1.

τέκνου

* ὃν ἐπιμ πρὸς σέ.

γρ. ἤδη

β. Κορ. ιβ. κα.
β. Κορ. ιγ. β.

τέκνου μου, ὃν ἐγέννησα ἐν τοῖς δεσμοῖς μου, Ὀνήσιμον, τόν ποτέ σοι ἄχρηστον, νυνὶ δὲ καὶ ἐμοὶ καὶ σοὶ εὔχρηστον ὄντα *. σὺ δὲ αὐτόν, τουτέστι, τὰ ἐμὰ σπλάγχνα, προσλαβοῦ, ὃν ἐγὼ ἐβουλόμην πρὸς ἐμαυτὸν κατέχειν, ἵνα ὑπὲρ σοῦ διακονῇ μοι ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου· χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν ἠθέλησα ποιῆσαι, ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν σου ᾖ, ἀλλὰ καθ' ἑκούσιον. τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν, ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς, οὐκέτι ὡς δοῦλον, ἀλλ' ὑπὲρ δοῦλον καὶ ἀδελφὸν ἀγαπητόν, μάλιστα ἐμοί, πολλῷ δὲ μᾶλλόν σοι, καὶ ἐν σαρκὶ, καὶ ἐν Κυρίῳ. εἰ οὖν με ἔχεις κοινωνόν, προσλαβοῦ αὐτὸν ὡς ἐμέ. καὶ Κορινθίοις δὲ ἐπιστέλλων ὁ αὐτὸς ἔλεγε· Μή πως ἐλθὼν πενθήσω πολλοὺς τῶν προημαρτηκότων καὶ μὴ μετανοησάντων. καὶ πάλιν, Ὡς προείρηκα, καὶ πάλιν λέγω· ὅτι, ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι. ὁρᾷς τίνας πενθεῖ, καὶ τίνων οὐ φείδεται; οὐ τῶν ἡμαρτηκότων, ἀλλὰ τῶν μὴ μετανοησάντων· καὶ οὐχ ἁπλῶς τῶν μὴ μετανοησάντων, ἀλλὰ τῶν καὶ ἅπαξ καὶ δεύτερον ἐπὶ τούτῳ παρακληθέντων, καὶ πεισθῆναι μὴ βουληθέντων. τὸ γάρ, προείρηκα καὶ προλέγω, ὡς παρών, τὸ δεύτερον καὶ ἀπὼν γράφω, οὐδὲν ἕτερον, ἢ τοῦτο αἰνίττεται. ὅπερ δέος μὴ καὶ ἐφ' ἡμῶν γένηται νῦν. εἰ γὰρ καὶ μὴ Παῦλος πάρεστιν ὁ τότε Κορινθίοις ἀπειλῶν, ἀλλ' ὁ Χριστὸς πάρεστιν ὁ δι' ἐκείνου λαλῶν. κἂν ἐπιμείνωμεν ἀνενδότως ἔχοντες, οὐ φείσεται ἡμῶν, ἀλλὰ πατάξει πληγῇ μεγάλῃ καὶ ἐνταῦθα καὶ ἐκεῖ.

Σειρ. κα. α.
Παρ. ιη. ιζ.

Προφθάσωμεν οὖν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, ἐκχέωμεν ἐνώπιον αὐτοῦ τὰς καρδίας ἡμῶν. Ἥμαρτες γάρ, φησι· μὴ προσθῇς μηκέτι, καὶ περὶ τῶν προτέρων σου δεήθητι. καὶ πάλιν, Δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ. μὴ τοίνυν περιμείνωμεν τὸν κατήγορον, ἀλλὰ τὴν ἐκείνου προαρπάσωμεν τάξιν, καὶ οὕτως ἡμερώτερον διὰ τῆς εὐγνωμοσύνης καταστήσωμεν τὸν κριτήν. σὺ δὲ ὅτι μὲν ὁμολογεῖς τὰ ἁμαρτήματά σου, καὶ ταλανίζεις σαυτὸν ὑπὲρ τὸ μέτρον, οἶδα σαφῶς. ἀλλ' οὐ τοῦτο βούλομαι μόνον, ἀλλ' ὅτι γε καὶ δικαιῶσαι τὸ πρᾶγμα δύναται, πεισθῆναι ἐπιθυμῶ. ἕως γὰρ ἂν μὴ ἀπὸ καρδίας ποιῇς τὴν ἐξομολόγησιν ταύτην, κἂν κατηγορήσῃς σεαυτοῦ, οὐδὲ ἀποστῆναι δυνήσῃ τῶν ἁμαρτιῶν τῶν ἑξῆς. οὐδὲ γὰρ οὐδεὶς μετὰ προθυμίας καὶ τοῦ προσήκοντος θεσμοῦ δυνήσεται ποιεῖν, ὅταν μὴ πρότερον ἑαυτὸν πεπεικὼς ᾖ, ὅτι ἐπ' ὠφελείᾳ τοῦτο ποιεῖ. καὶ γὰρ ὁ σπείρων, μετὰ τὸ ῥῖψαι τὰ σπέρματα ἂν μὴ προσδέχηται τὸν ἄμητον, οὐκ ἀμήσει ποτέ. τίς γὰρ ἂν ἕλοιτο μάτην κόπτεσθαι, μηδὲν ἀπὸ τοῦ πονεῖν κερδαίνων ἀγαθόν; οὕτως οὖν καὶ ὁ ῥήματα σπείρων καὶ δάκρυα καὶ ἐξομολόγησιν, ἂν μὴ μετ' ἐλπίδος τοῦτο ποιῇ χρηστῆς, οὐδὲ ἀποστῆναι τοῦ ἁμαρτάνειν δυνήσεται, ἔτι τῷ τῆς ἀπογνώσεως κατεχόμενος κακῷ. ἀλλ' ὥσπερ ὁ γεωργὸς ἐκεῖνος ὁ τῆς τῶν καρπῶν φορᾶς ἀπογνούς, οὐδὲν τῶν λυμαινομένων τοῖς σπέρμασι κωλύει λοιπόν· οὕτω καὶ οὗτος σπείρων μὲν τὴν διὰ τῶν δακρύων ἐξομολόγησιν, οὐδὲν δὲ ἀπὸ ταύτης προσδεχόμενος κέρδος, οὐδὲ ἀνατρέψαι δυνήσεται τὰ διαφθείροντα τὴν μετάνοιαν. διαφθείρει δὲ τὴν μετάνοιαν τὸ πάλιν τοῖς αὐτοῖς ἐνέχεσθαι κακοῖς. Εἷς γάρ, φησιν, οἰκοδομῶν, καὶ εἷς καθαιρῶν, τί ὠφέλησαν πλέον ἢ κόπον; καὶ μετ' ὀλίγον, Βαπτιζόμενος ἀπὸ νεκροῦ, καὶ πάλιν ἁπτόμενος αὐτοῦ, τί ὠφέλησεν ἐν τῷ λουτρῷ αὐτοῦ; οὕτως ἂν ἄνθρωπος νηστεύων ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ, καὶ πάλιν πορευόμενος καὶ τὰ αὐτὰ ποιῶν, τῆς προσευχῆς αὐτοῦ τίς εἰσακούσεται; καὶ πάλιν, Ἐπανάγων, φησίν, ἀπὸ δικαιοσύνης εἰς ἁμαρτίαν, ὁ Κύριος ἑτοιμάσει εἰς ῥομφαίαν αὐτόν. καὶ ὥσπερ κύων, ὅταν ἐπανέλθῃ ἐπὶ τὸν ἔμετον αὐτοῦ καὶ μισητὸς γένηται, οὕτως ἄφρων τῇ ἑαυτοῦ κακίᾳ ἀναστρέψας ἐπὶ τὴν * ἁμαρτίαν. μὴ τοίνυν ὡς κατηγορῶν σαυτοῦ μόνον τὴν ἁμαρτίαν ἐκπόμπευε, ἀλλὰ καὶ ὡς δικαιωθῆναι ὀφείλων διὰ τοῦ τρόπου τῆς μετανοίας. οὕτω γὰρ δυνήσῃ καὶ τὴν ἐξομολογουμένην ἐντεῖναι ψυχὴν μηκέτι τοῖς αὐτοῖς περιπίπτειν. τὸ μὲν γὰρ σφόδρα καταδικάζειν ἑαυτοὺς καὶ ἁμαρτωλοὺς καλεῖν, κοινόν, ὡς εἰπεῖν, καὶ τοῖς ἀπίστοις ἐστί. πολλοὶ γοῦν καὶ τῶν ἀπὸ τῆς σκηνῆς καὶ ἄνδρες καὶ γυναῖκες,

Σειρ. λδ. κη.

Σειρ. κς. κγ.
Παρ. κς. ια.

γρ. ἐπέλθῃ
* ἑαυτοῦ

γυναῖκες, τὸ μάλιστα ἀναισχυντίαν μελετῶντες ταλανίζουσιν ἑαυτούς, ἀλλ' οὐ μετὰ σκοποῦ τοῦ προσήκοντος. διόπερ οὐδ' ἂν εἴποιμι τοῦτο ἐξομολόγησιν ἐγώ. οὐδὲ γὰρ μετὰ τοῦ κατανύξαι ψυχήν, οὐδὲ μετὰ τοῦ δακρῦσαι πικρόν, οὐδὲ μετὰ τοῦ μεταβαλέσθαι, τὰς ἁμαρτίας οὕτως ἐξαγγέλλουσι τὰς αὐτῶν, ἀλλ' αὐτὸ τοῦτο τὴν δόξαν παρὰ τῶν ἀκουόντων ἐπὶ τῇ τῶν λόγων εὐγνωμοσύνῃ θηρώμενοι. οὐδὲ γὰρ ὁμοίως φαίνεται τὰ ἁμαρτήματα χαλεπά, ὅταν ἕτερός τις αὐτὰ ἀπαγγέλλῃ, καὶ ὅταν αὐτὸς ὁ τετολμηκώς. τὸ δὲ ἀπὸ τῆς σφοδρᾶς ἀπογνώσεως εἰς ἀναισχυντίαν ἐκπεσόντες, καὶ τῆς τῶν ἀνθρώπων δόξης καταφρονήσαντες, μετὰ πολλῆς τῆς ἀδείας λοιπόν, ὥσπερ ἀλλότρια, τὰ οἰκεῖα πᾶσιν ἐξαγορεύουσι κακά. ἀλλὰ σὲ τούτων οὐδένα εἶναι οὐ βούλομαι, οὐδὲ ἐξ ἀπογνώσεως ἐπὶ τὴν ἐξομολόγησιν ἔρχεσθαι, ἀλλὰ μετὰ προσδοκίας ἀγαθῆς· καὶ τὴν ῥίζαν τῆς ἀπογνώσεως ἐκκόψαντα πᾶσαν, τὴν ἐναντίαν ἐνδείκνυσθαι σπουδήν. τίς δὲ ἡ ταύτης ῥίζα ἐστὶ καὶ μήτηρ; ἡ ῥᾳθυμία. μᾶλλον δὲ οὐκ ἄν τις ῥίζαν καλέσειε μόνον αὐτήν, ἀλλὰ καὶ τροφὸν καὶ μητέρα. καθάπερ γὰρ ἐπὶ τῶν ἐρίων τίκτει μὲν τοὺς σκώληκας ἡ φθορά, αὔξεται δὲ πάλιν ὑπ' αὐτῶν· οὕτω καὶ ἐνταῦθα τίκτει μὲν ἡ ῥᾳθυμία τὴν ἀπόγνωσιν, τρέφεται δὲ πάλιν ὑπὸ τῆς ἀπογνώσεως αὕτη, καὶ ἀλλήλαις τὴν ἐπάρατον ταύτην παρέχουσαι ἀντίδοσιν, δύναμιν οὐ μικρὰν προσλαμβάνουσιν. ἂν οὖν τὴν ἑτέραν τις ἀποτέμῃ καὶ ἀποκόψῃ, δυνήσεται καὶ τῆς λειπομένης περιγενέσθαι εὐκόλως. οὔτε γὰρ ὁ μὴ ῥᾳθυμῶν εἰς ἀπόγνωσιν ἂν πέσοι ποτέ, οὔτε ὁ τρεφόμενος ἐλπίσι χρησταῖς καὶ μὴ ἀπογινώσκων ἑαυτοῦ, εἰς ῥᾳθυμίαν δυνήσεται ἐμπεσεῖν. ταύτην οὖν μοι τὴν ξυνωρίδα διάσπασον, καὶ τὸν ζυγὸν σύγκλασον, τὸν λογισμὸν λέγω τὸν ποικίλον καὶ βαρύν. οὐ γὰρ μονοειδὴς ὁ ταῦτα συνέχων ἐστίν, ἀλλὰ πολυειδὴς καὶ παντοδαπός. τίς δὲ οὗτός ἐστι; συμβαίνει τινὰ μεταγνόντα κατορθῶσαι πολλὰ καὶ μεγάλα· μεταξὺ δὲ καὶ ἁμαρτεῖν πάλιν τῶν κατορθωμάτων ἐκείνων ἁμαρτίαν ἀντίρροπον, καὶ τοῦτο μάλιστα ἱκανὸν εἰς ἀπόγνωσιν ἐμβαλεῖν, ὡς τῶν οἰκοδομηθέντων καθαιρεθέντων, καὶ πάντων ἐκείνων μάτην καὶ εἰς κενὸν πονηθέντων αὐτῷ. δεῖ δὲ ἐκεῖνο λογίζεσθαι, καὶ τοῦτον ἐκκρούειν τὸν λογισμόν, ὅτι εἰ μὴ φθάσαντες κατορθωμάτων μέγεθος ἀντίρροπον τοῖς μετὰ ταῦτα γινομένοις ἁμαρτήμασι προαπεθέμεθα, οὐδὲν ἂν ἡμᾶς σφόδρα καὶ ὁλοσχερῶς καταδῦναι ἐκώλυσε. νῦν δέ, καθάπερ τις θώραξ ἰσχυρὸς βέλος ὀξὺ καὶ πικρὸν δεξάμενος, οὐκ ἀφῆκεν ἐργάσασθαι τὸ αὐτοῦ, ἀλλ' αὐτὸς διατμηθείς, τὸν πολὺν ἤμυνε τῷ σώματι κίνδυνον. ὁ μὲν γὰρ μετὰ πολλῶν ἔργων καὶ ἀγαθῶν καὶ πονηρῶν ἀπερχόμενος ἐκεῖ, ἕξει τινὰ παραμυθίαν ἐν τῇ κολάσει καὶ τοῖς βασανιστηρίοις ἐκείνοις· ὁ δὲ τούτων μὲν ἔρημος, ἐκεῖνα δὲ μόνον ἐπάγων, οὐδὲ ἔνεστιν εἰπεῖν ὅσα πείσεται πρὸς τὴν ἀθάνατον παραπεμπόμενος κόλασιν. καὶ γὰρ ἀντιστάθμησις ἔσται ἐκεῖ καὶ τῶν πονηρῶν πράξεων καὶ τῶν οὐ τοιούτων. κἂν μὲν γὰρ αὗται καθελκύσωσι τὸν ζυγόν, ἔσωσαν οὐ μικρῶς τὸν ἐργάτην τὸν ἑαυτῶν· καὶ οὐ τοσοῦτον ἰσχύσει ἡ τῆς τῶν πονηρῶν πράξεων ἐργασίας βλάβη, ὅσον κατασπάσαι τῆς προτέρας χώρας αὐτόν. ἂν δὲ ἐκεῖναι περιγίνωνται, εἰς τὸ τῆς γεέννης ἀπάγουσι πῦρ, διὰ τὸ μὴ τοσοῦτον εἶναι τὸ πλῆθος τῶν κατορθωμάτων, ὡς καὶ δυνηθῆναι στῆναι πρὸς τὸν βίαιον ἐκεῖνον ὠθισμόν. καὶ ταῦτα οὐχ ὁ ἡμέτερος μόνον ὑποβάλλει λογισμός, ἀλλὰ καὶ τὰ θεῖα λόγια. αὐτὸς γάρ φησιν, Ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Ῥωμ. β. ς. καὶ οὐκ ἐν τῇ γεέννῃ μόνον, ἀλλὰ καὶ ἐν τῇ βασιλείᾳ πολλάς ἄν τις εὕροι διαφοράς. Μοναὶ γάρ, φησι, πολλαί εἰσι παρὰ τῷ πατρί μου· Ἰωαν. ιδ. β. καί, Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης. α. Κορ. ιε. μα. καὶ τί θαυμαστόν, εἰ μέχρι τοσούτου ἠκριβολογήσατο, ὅπου γε καὶ τὴν ἀστέρος πρὸς ἀστέρα διαφορὰν εἶναί φησιν ἐκεῖ; ταῦτα οὖν ἅπαντα εἰδότες, μηδέποτε τῆς τῶν ἀγαθῶν ἐργασίας ἀποστῶμεν, μηδὲ ἀποκάμωμεν, μηδ', ἐπειδὴ εἰς τὴν τοῦ ἡλίου τάξιν ἢ τῆς σελήνης ἐλθεῖν μὴ δυνηθῶμεν, καὶ τῆς τῶν ἀστέρων καταφρονήσωμεν. ἕως γὰρ ἂν τοσαύτην ἀρετὴν ἐπιδείξωμεν, δυνησόμεθα εἶναι ἐν τῷ οὐρανῷ. κἂν χρυσός, κἂν λίθος τίμιος μὴ γινώμεθα, τὴν γοῦν τοῦ ἀργυρείου τάξιν ἐπέχοντες, ἐν τῷ θεμελίῳ μένωμεν. μόνον μὴ πρὸς ἐκείνην πάλιν τὴν ὕλην παλινδρομήσωμεν, ἣν εὐχερῶς καταφλέγει τὸ πῦρ· μηδέ, ὅταν μεγάλα κατορθῶσαι μὴ δυνηθῶμεν, καὶ τῶν μικρῶν ἀποσχώμεθα. ἐσχάτης γὰρ ἀνοίας ταῦτά ἐστιν, ὅπερ μὴ πάθωμεν. ὥσπερ γὰρ ὁ πλοῦτος ὁ σωματικὸς αὔξεται τῷ μηδὲ ἐλαχίστων κερδῶν καταφρονεῖν τοὺς ἐραστὰς τοὺς ἐκείνου, οὕτω καὶ ὁ πνευματικός. ἢ γὰρ ἄτοπον τὸν μὲν κριτὴν μηδὲ ψυχροῦ ποτηρίου μισθὸν παρορᾶν, ἡμᾶς δέ, εἰ μὴ πάνυ μεγάλα εἴη τὰ κατορθώματα, καὶ τῆς τῶν μικρῶν ἐργασίας ἀμελεῖν. ὁ μὲν γὰρ τῶν ἐλαττόνων μὴ καταφρονῶν, πολλῇ καὶ ἐπὶ τὰ μέγιστα χρήσεται σπουδῇ· ὁ δὲ ταῦτα παρορῶν, κἀκείνων ἀποστήσεταί ποτε. ὅπερ ἵνα μὴ γένηται, καὶ τούτων μεγάλους τοὺς μισθοὺς ὥρισεν ὁ Χριστός. τί γὰρ τοῦ ἐπισκέπτεσθαι τοὺς κάμνοντας εὐκολώτερον; ἀλλ' ὅμως καὶ τούτου μεγάλην ἡμῖν ἀποδίδωσι τὴν ἀμοιβήν. ἐπιλαβοῦ τοίνυν τῆς αἰωνίου ζωῆς, κατατρύφησον τοῦ Κυρίου, καὶ ἱκέτευσον αὐτόν, πάλιν τὸν ζυγὸν ἀναδέξαι τὸν χρηστόν, ὕπελθε τὸ φορτίον τὸ ἐλαφρόν, ἐπίθες ἄξιον τῆς ἀρχῆς τὸ τέλος, μὴ δὴ περιίδῃς τοσοῦτον διαρρυέντα πλοῦτον. ἂν μὲν γὰρ ἐπιμένῃς προσκρούων τὸν Θεὸν δι' ὧν ποιεῖς, σαυτὸν ἀπολεῖς· ἂν δὲ πρὶν ἢ πολλὴν γενέσθαι τὴν ζημίαν καὶ πᾶν ἐπικλυσθῆναι τὸ γεώργιον, ἀποφράξῃς τῆς κακίας τοὺς ὀχετούς, καὶ τὰ διαφθαρέντα ἀνακλήσασθαι δυνήσῃ πάλιν, καὶ ἑτέραν αὖθις προσθεῖναι φορὰν οὐ μικράν. ἅπερ ἅπαντα λογισάμενος, ἀποτίναξαι τὸν χοῦν, ἀνάστηθι ἀπὸ τῆς γῆς, καὶ φοβερὸς ἔσῃ τῷ ἀνταγωνιστῇ. αὐτὸς μὲν γάρ σε κατέβαλεν, ὡς οὐκ ἀναστησόμενον λοιπόν. ἂν δὲ ἴδῃ πάλιν τὰς χεῖρας ἀνταίροντα, τῷ ἀπροσδοκήτῳ πληγεὶς ὀκνηρότερος ἔσται πρὸς τὸ ὑποσκελίσαι σε πάλιν· αὐτὸς δὲ ἀσφαλέστερος ἔσῃ πρὸς τὸ μηκέτι τραῦμα τοιοῦτον λαβεῖν. εἰ γὰρ αἱ τῶν ἄλλων ἡμᾶς ἱκαναὶ παιδεῦσαι συμφοραί, πολλῷ μᾶλλον αἷς ὑπεμείναμεν αὐτοί. ὅπερ καὶ ἐπὶ τῆς σῆς προσδοκῶ ταχέως ὄψεσθαι κεφαλῆς, καὶ πάλιν τῇ τοῦ Θεοῦ ῥοπῇ φαιδρότερόν σε γενέσθαι, καὶ τοσαύτην ἐπιδείξασθαι τὴν ἀρετήν, ὡς καὶ ἑτέρων προστῆναι ἐκεῖ. μόνον μὴ ἀπογνῷς, μηδὲ ἀναπέσῃς. τοῦτο γάρ σοι καὶ παρὰ πάντα λέγων, καὶ ὅπου δ' ἂν ἴδω, καὶ δι' ἑτέρων οὐ παύσομαι ἐπιλέγων. κἂν ʺτοῦτο ἀκούσῃς, οὐκέτι δεήσῃ φαρμάκων ἑτέρων.

γ. τέτο

ΧΡΥΣΟΣΤΟΜΟΥ ΠΡΟΣ ΣΤΑΓΕΙΡΙΟΝ ΔΑΙΜΟΝΩΝΤΑ ΛΟΓΟΣ

παραμυθητικὸς α.

Ἔδει μὲν ἡμᾶς, ὦ φίλτατε πάντων ἐμοὶ Σταγείριε, καὶ παρεῖναί σοι νῦν καὶ συνδιαταλαιπωρεῖσθαι, καὶ λόγῳ παρακαλοῦντα, καὶ ἔργῳ διακονούμενον, καὶ τὰ ἄλλα πάντα συλλαμβάνοντα, μέρος τι τῆς ἀθυμίας ἐπικουφίζειν, ὅσον ἡμῖν δυνατὸν ἦν. ἐπειδὴ δὲ ἡ τοῦ σώματος ἀσθένεια, καὶ τὸ κατασκῆψαν τῇ κεφαλῇ κακὸν οἴκοι μένειν καταναγκάσαν, διακονίαν τοσοῦτον ἔχουσαν κέρδος ἡμᾶς ἀφείλετο, ὅσον ἐστὶν ὑπόλοιπον καὶ πρὸς παραμυθίαν τὴν σὴν, καὶ πρὸς ὠφέλειαν τὴν ἡμετέραν, τοῦτο κατὰ δύναμιν εἰσενεγκεῖν οὐκ ʺὀκνήσομεν. ἴσως μὲν γὰρ ἔσται τι πλέον πρὸς τὸ τὰ παρόντα σε φέρειν γενναίως. ἂν δ' ἄρα μηδέν τι τοιοῦτον ἀνύσωμεν, τό γε οὖν τῶν εἰς ἡμᾶς ἡκόντων ἐλλειφθῆναι μηδέν, ῥᾷον ἡμᾶς διακεῖσθαι ποιήσει τοῦ λοιποῦ. ὁ γὰρ ἅπαντα ἀναπληρώσας, ὅσαπερ ἂν οἷόν τε πρὸς λύσιν φέρειν τῶν κατεχόντων ἀνιαρῶν, κἂν μηδὲν περάνῃ, τῆς γοῦν ἀπὸ τῶν λογισμῶν αἰτίας ἀφεῖται· καὶ τὸ τῶν ἐγκλημάτων ἄχθος ἀποθέμενος, τὸ τῆς

γ. [illegible]

ἀθυμίας φέρειν ἀναγκάζεται μόνον. Εἰ μὲν οὖν τῶν εὐδοκιμούντων παρὰ Θεῷ καὶ μεγάλα δυναμένων ἐτύγχανον ὤν, οὐκ ἂν διέλιπον δεόμενος καὶ ἱκετεύων ὑπὲρ τῆς τιμίας ἐμοὶ κεφαλῆς· ἐπειδὴ δέ με τὴν παῤῥησίαν ἐκείνην καὶ τὴν ἰσχὺν τὸ τῶν ἁμαρτημάτων πλῆθος περιῄρηται, τὴν διὰ ῥημάτων παράκλησιν πειράσομαί σοι προσαγαγεῖν. καὶ γὰρ ἐπὶ τῶν τὰ σώματα καμνόντων, ἰατρῶν μὲν ἀφανίσαι τὰς ἀλγηδόνας καὶ παῦσαι τὴν νόσον· τὸ δὲ παρακαλεῖν οὐδὲ τῶν οἰκετῶν οἱ περὶ τὴν θεραπείαν ὄντες ἀφῄρηνται, ἀλλ' οὗτοι μάλιστά εἰσιν οἱ τοὺς πολλοὺς ὑπὲρ τούτων ἀναλίσκοντες λόγους, ὅταν εὔνοοι τοῖς κεκτημένοις αὐτοὺς τύχωσιν ὄντες. ἂν μὲν γάρ τι λεχθῇ παρ' ἡμῶν τῶν δυναμένων σβέσαι τὴν ἄμετρον ταύτην ὀδύνην, ἅπερ εὐχόμεθα γέγονεν· ἂν δὲ μηδὲν εὕρωμεν φθέγξασθαι τοιοῦτον, τῆς γοῦν προθυμίας ἡμᾶς ἀποδέξεται πάντως ὁ κελεύσας διὰ τοῦ μακαρίου Παύλου, Κλαίειν μετὰ κλαιόντων, καὶ συναπάγεσθαι τοῖς ταπεινοῖς. δοκεῖ μὲν οὖν μία σοι τῆς ἀθυμίας εἶναι ὑπόθεσις, τοῦ πονηροῦ τούτου δαίμονος ἡ μανία· πολλὰ δ' ἂν εὕροι τις ἐφεξῆς τὰ ἀπὸ τῆς ῥίζης ταύτης τικτόμενα λυπηρά. καὶ ταῦτα οὐκ ἀπ' ἐμαυτοῦ λέγω νῦν, ἀλλ' ἐξ ὧν ἀποδυρομένου σου πολλάκις ἤκουσα πρὸς ἡμᾶς, ἡνίκα σὺν ἡμῖν ἦσθα. καὶ πρῶτον μὲν, τὸ βιωτικώτερον ζῶντα τὸν ἔμπροσθεν χρόνον μηδὲν τοιοῦτον παθεῖν, ἀλλ' ἡνίκα ἐσταύρωσας τῷ κόσμῳ σαυτὸν, τηνικαῦτα αἴσθησιν τῆς νόσου λαβεῖν, ἱκανὸν θορυβῆσαι καὶ εἰς ἀμηχανίαν ἐμβαλεῖν. δεύτερον δὲ, τὸ πολλοὺς μὲν καὶ τρυφῶντας τῶν τὰ αὐτά σοι νενοσηκότων, μικρὸν καρτερήσαντας χρόνον, ταύτης ἀπαλλαγῆναι τῆς ἀῤῥωστίας, καὶ οὕτως εἰς τελείαν ὑγείαν ἐπανελθεῖν, ὡς καὶ ὁμιλῆσαι γάμοις, καὶ πατέρας γενέσθαι πολλῶν παίδων, καὶ τῶν ἡδέων τοῦ παρόντος ἀπολαῦσαι βίου, καὶ μηδὲν τοιοῦτον πάλιν παθεῖν· σὲ δὲ τοσοῦτον ἕλκοντα χρόνον ἐν νηστείαις καὶ παννυχίσι καὶ τῇ λοιπῇ σκληραγωγίᾳ, μηδεμίαν λύσιν εὑρέσθαι τῶν κατεχόντων δεινῶν. τρίτον πρὸς τούτοις, τὸ τὸν ἅγιον ἐκεῖνον τοσαύτην ἐν ἄλλοις ἀνδράσι δύναμιν ἐπιδειξάμενον, μηδὲν ἐπὶ τῆς σῆς ἀγάπης δυνηθῆναι πρᾶξαι τοιοῦτον, μήτε ἐκεῖνον, μήτε τοὺς μετ' ἐκεῖνον, καὶ ταῦτα δυνατωτέρους ὄντας αὐτοῦ, ἀλλὰ πάντας ὁμοίως ἐρυθριάσαντας ἀπελθεῖν. μετὰ δὲ τούτων καὶ ἑτέρως σφόδρα ἔφης ἀλγεῖν, ὅτι οὕτω σου τῆς ψυχῆς ἡ τῆς ἀθυμίας περιεγένετο τυραννὶς, ὡς μικροῦ πολλάκις καὶ ἐπὶ βρόχον ὁρμῆσαι ἐλθεῖν, καὶ ἐπὶ ποταμὸν καὶ ἐπὶ κρημνόν. ἔστι δέ τι καὶ πέμπτον ἐπὶ τούτοις, τὸ τοὺς μὲν ὁμήλικας καὶ μετὰ σοῦ ταύτης ἠργμένους τῆς πολιτείας ὁρᾶν ἐν εὐθυμίᾳ διάγοντας, σαυτὸν δὲ ἐν χαλεπωτάτῳ κλύδωνι κείμενον ἔτι, καὶ δεσμωτήριον οἰκοῦντα τὸ πάντων ἐλεεινότερον. οὐ γὰρ οὕτω τοὺς δεδεμένους σιδήρῳ δακρύειν ἔφης δεῖν, ὡς τοὺς ταύτῃ περικειμένους τὴν ἅλυσιν. ἔλεγες δέ μοι καὶ ἕτερον εἶναι πρὸς τούτοις τὸ μάλιστά σε θορυβοῦν· δεδοικέναι γὰρ ὑπὲρ τοῦ πατρὸς καὶ τρέμειν, μήποτε αἰσθόμενος, μεγάλα τοὺς ὑποδεξαμένους σε τὴν ἀρχὴν ἁγίους ἐργάσηται δεινά· τῇ τε γὰρ δυνάμει καὶ τῷ πλούτῳ θαῤῥοῦντα, καὶ ὑπὸ τῆς ἀθυμίας κρατούμενον, πάντα τολμήσειν εἰς αὐτοὺς, καὶ οὐδενὸς ἀφέξεσθαι τῶν ἐμπιπτόντων αὐτῷ· καὶ μέχρι μὲν τοῦ παρόντος δυνηθῆναι τὴν μητέρα καὶ συγκαλύψαι τὸ γεγονὸς, καὶ ἐπιζητοῦντά σε παρακρούσασθαι πολλάκις αὐτόν· εἰ δὲ χρόνος ἐγγένηται πλείων, φωραθήσεσθαι τῆς μητρὸς τὴν ὑπόκρισιν, καὶ ἀφόρητον αὐτὸν ἐκείνῃ τε ἔσεσθαι καὶ τοῖς μοναχοῖς. ὁ δὲ τῶν κακῶν κολοφὼν, τὸ μηδὲ ὑπὲρ τῶν μελλόντων ἔχειν θαῤῥεῖν, μηδὲ εἰδέναι σαφῶς, εἴ ποτε ἔσται λύσις τῆς νόσου ταύτης καὶ ἀπαλλαγὴ, διὰ τὸ πολλάκις τοῦτο προσδοκήσαντα πάλιν τοῖς αὐτοῖς περιπεσεῖν. ἱκανὰ γοῦν ταῦτα θορυβῆσαι ψυχὴν, καὶ πολλῆς ἐμπλῆσαι ταραχῆς, ἀλλὰ ψυχὴν τὴν παρειμένην καὶ ἀπαίδευτον καὶ νωθράν. ἡμεῖς δὲ ἂν ἐθελήσωμεν διαβλέψαι μικρὸν, καὶ λογισμοὺς ἀνακινῆσαι τοὺς εὐσεβεῖς, ὥσπερ τινὰ κόνιν λεπτὴν, ταύτας ἀποτιναξόμεθα τῆς ἀθυμίας τὰς ὑποθέσεις. καὶ ὅπως μή τοι με νομίσῃς, διὰ τὸ ἔξω τοῦ πόνου καὶ τῆς ζάλης ταύτης ἑστάναι, ταῦτα ἐπαγγέλλεσθαί σοι μετ' εὐκολίας νυνί. Εἰ γὰρ

Ρωμ. ιβ. ιε.

καὶ ἄπιστα δόξω λέγειν τισίν, ἀλλ' ὅμως ἐρῶ. οὐ γὰρ δὴ μετὰ τῶν ἄλλων καὶ αὐτὸς ἀπιστήσεις ἡμῖν. ἐπειδὴ γὰρ ἐπεπήδησέ σου τῇ ψυχῇ παρὰ τὴν ἀρχὴν ὁ μιαρὸς δαίμων ἐκεῖνος, καὶ μεταξὺ πάντων εὐχομένων κατέβαλεν, οὐκ ἔτυχον μὲν παρών, καὶ χάριν ἔχω τῷ φιλανθρώπῳ Θεῷ· ἔμαθον δὲ ἅπαντα μετὰ ἀκριβείας, ὥσπερ ἂν εἰ παρών. ὁ γὰρ ἐμὸς φίλος καὶ σὸς Θεόφιλος ὁ Ἐφέσιος ἐλθὼν ἅπαντά μοι σαφῶς διηγήσατο, τὴν στρέβλωσιν τῶν χειρῶν, τὴν διαστροφὴν τῶν ὀφθαλμῶν, τὸν ἀπὸ τοῦ στόματος ἀφρόν, τὴν ἄτοπον καὶ ἄσημον ἐκείνην φωνήν, τὸν τοῦ σώματος τρόμον, τὴν ἀναισθησίαν τὴν ἐπὶ πολύ, τὸ ὄναρ τὸ κατὰ τὴν νύκτα ἐκείνην φανέν. ἄγγελον γάρ τινα σὺν βορβόρῳ μολυνθέντα πολλῷ συνεχῶς ἐπιπηδᾶν σοι καὶ παρασαλεύειν ἔφη· εἶτα τὸν παρακαθεύδοντα ὑπὸ τῆς ὄψεως ταραχθέντα διεγερθῆναί τε καὶ πάλαι σε κινούμενον ὑπὸ τοῦ δαίμονος εὑρεῖν. ἐπειδὴ οὖν ταῦτα ἀπήγγειλεν ἐκεῖνος, τοσαύτην ἡμῖν κατέχεε τὴν ἀχλύν, ὅσην ὁ δαίμων οὗτος τῇ ἀγάπῃ τῇ σῇ. ὡς δὲ μετὰ πολλὴν ἀνήνεγκα χρόνον, οὐδὲν ἐμοὶ λοιπὸν τῶν ἐν τῷ κόσμῳ τούτῳ δεινῶν ἐδόκει εἶναι δεινόν, οὔτε τῶν ἡδέων ἡδύ· ἀλλὰ πολλὴν καὶ πάλαι τὴν ἐν τῷ βίῳ ματαιότητα κατεγνωκώς, πολλῷ πλέον τοῦτο ἔπαθον τότε, καὶ μείζων με πόθος εἰσῄει τῆς εὐλαβείας τῆς σῆς. τοιαύτη γὰρ ἡ φύσις τῶν ἀνιαρῶν· ἐπιτείνειν εἴωθε τὰς φιλίας ἀεί. καὶ δῆλον ἐκ τοῦ καὶ τὰς ἔχθρας δύνασθαι διαλύειν εὐκόλως. οὐδὲ γάρ ἐστί τις οὕτως ἄθλιος, οὐδὲ ἠλίθιος, ὃς ὁρῶν ἀλγοῦντα τὸν ἐχθρόν, δυνήσεται φυλάξαι τὴν ἀπέχθειαν τὴν πρὸς αὐτόν. εἰ δὲ ἐχθροὺς ἐλεοῦμεν καὶ φίλους ποιούμεθα, ὅταν τι τῶν ἀβουλήτων ὑπομείναντας ἴδωμεν· ἐννόησον τί πάσχειν εἰκὸς ἦν με, τὸν ἁπάντων μοι φίλτατον, καὶ ὃν ἴσον ἄγω τῆς ἐμαυτοῦ κεφαλῆς, ἐν τοῖς ἀνηκέστοις ὁρῶντα, κατὰ τὸν τῆς ἀθυμίας λόγον. μηδὲ νομίσῃς ἡμᾶς ἔξω τῆς θλίψεως ἑστάναι τῆς σῆς, μηδὲ διὰ τοῦτο τὴν παράκλησιν ὑποπτεύσῃς τὴν ἐμήν. εἰ γὰρ καὶ τοῦ σπαράττεσθαι καὶ καταβάλλεσθαι παρὰ τοῦ πονηροῦ δαίμονος διὰ τὴν τοῦ Θεοῦ χάριν ἀπήλλαγμαι, τῆς γοῦν ἀθυμίας τῆς διὰ ταῦτα καὶ τῆς ὀδύνης τὸ ἴσον σοι φέρω μέρος. καὶ οὐδεὶς ἂν ἀπιστήσειέ μοι τῶν εἰδότων φιλεῖν, ὡς χρὴ φιλεῖν.

Φέρε οὖν, ἀποτιναξώμεθα τὴν κόνιν. οὕτω γὰρ ἔσται φορητὴ καὶ κούφη τῆς ἀθυμίας ταύτης ἡ φύσις· μόνον ἂν μὴ θελήσωμεν ἁπλῶς ἐκδόντες ἑαυτοὺς τῷ πάθει σύρεσθαι κατὰ κρημνῶν, ἀλλὰ καὶ ἀνανῆψαι καὶ λογίσασθαί τι τῶν δεόντων σπουδάσωμεν. πολλὰ γὰρ τῶν δοκούντων εἶναι δεινῶν μεγάλα μὲν φαίνεται καὶ ἀφόρητα, πρὶν ἢ ἐξετασθῆναι καλῶς· ἐὰν δέ τις αὐτὰ τῷ λογισμῷ διασκέψηται, εὑρήσει πολλῷ τῆς ὑπονοίας ὄντα καταδεέστερα· ὅπερ καὶ νῦν ἐλπίζω γενήσεσθαι. ἀλλὰ διανάστησον σαυτόν, καὶ μὴ τῇ ματαίᾳ καὶ ἀλόγῳ τῶν πολλῶν ἑπόμενος δόξῃ, σφοδρότερον ἐργάσῃ καθ' ἡμῶν τὸν ἐχθρόν. εἰ μὲν οὖν πρός τινά μοι τῶν ἀπίστων ὁ λόγος ἦν, ἢ τῶν αὐτομάτως ἅπαντα φέρεσθαι νομιζόντων, ἢ τῶν πονηροῖς δαιμονίοις τοῦ κόσμου τὴν πρόνοιαν ἀνατιθέντων, πολλῆς ἄν μοι πραγματείας ἐδέησεν, ἵνα πρότερον τὴν πεπλανημένην δόξαν ἐκβαλών, καὶ πείσας εἰδέναι τὴν ἀληθῆ τοῦ πάντος πρόνοιαν, οὕτως ἐπὶ τὸ παρακαλεῖν τρέψω τὸν λόγον. ἐπειδὴ δὲ τῇ τοῦ Θεοῦ χάριτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας, καὶ τὰ ἀληθῆ καὶ σωτήρια δόγματα διαδεξάμενος ἐκ προγόνων πιστεύεις ἀκριβῶς, ὅτι μέλει περὶ πάντων τῷ Θεῷ, καὶ μάλιστα τῶν πιστευόντων αὐτῷ, τοῦτο ἀφέντες τὸ μέρος, ἑτέρωθεν ποιησώμεθα τὴν ἀρχήν. ἐπειδὴ τοὺς ἀγγέλους ἐποίησεν ὁ Θεός· μᾶλλον δὲ ἀνωτέρω τὸν λόγον ἀγάγωμεν· πρὶν τοὺς ἀγγέλους γενέσθαι καὶ τὰς ἄλλας δυνάμεις τὰς ἐν οὐρανοῖς, ἦν ὁ Θεός, ἀρχὴν οὐδέποτε τοῦ εἶναι λαβών, ἀνενδεὴς δὲ ὢν ἀεί. τοιοῦτον γὰρ τὸ θεῖον. ἐποίησεν ἀγγέλους, ἀρχαγγέλους, καὶ τὰς ἄλλας τῶν ἀσωμάτων οὐσίας. ἐποίησε δὲ δι' ἕτερον μὲν οὐδέν, δι' ἀγαθότητα δὲ μόνην. ὧν γὰρ τῆς θεραπείας οὐκ ἔχρῃζε, τούτων οὐδ' ἂν δημιουργὸς ἐγένετο, μὴ σφόδρα ὢν ἀγαθός. μετὰ δὲ τὴν τούτων δημιουργίαν ποιεῖ καὶ τὸν ἄνθρωπον διὰ τὴν αὐτὴν ταύτην πάλιν αἰτίαν, καὶ τὸν κόσμον ἅπαντα

τοῦτον

γρ. εὐχ

γρ. συγ

γρ. [illegible]

τοῦτον, καὶ μυρίων αὐτὸν ἐμπλήσας ἀγαθῶν, τὸν μικρὸν ἐκεῖνον καὶ εὐτελῆ τοῖς τοσούτοις ἔργοις ἐπέστησε, τοῦτον αὐτὸν ἀποφήνας ἐπὶ τῆς γῆς, ὅπερ ἐστὶν αὐτὸς ἐν τοῖς οὐρανοῖς. τὸ γάρ, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, οὐδὲν ἕτερόν ἐστιν, ἢ τὸ καὶ αὐτὸν τὴν ἀρχὴν ἀνῃρῆσθαι τῶν ἐν τῇ γῇ. ποιήσας δὲ αὐτόν, καὶ ἐν τοσαύτῃ καταστήσας τιμῇ, καθάπερ βασίλεια βασιλεῖ, τὸ κάλλιστον τῶν ἐπὶ τῆς γῆς ἀπέταξε τὸν παράδεισον. καὶ πρὸς τούτοις, βουλόμενος αὐτῷ δεῖξαι καὶ ἑτέρωθεν ὅσον τῶν λοιπῶν ἀναβέβηκε ζώων, ἄγει πρὸς αὐτὸν ἅπαντα, καὶ ὀνόματα ἐπιθεῖναι κελεύει πᾶσιν αὐτοῖς· καὶ ὅμως οὐδὲν ἐξ αὐτῶν δίδωσιν αὐτῷ πρὸς βοήθειαν. καὶ τὴν αἰτίαν προστίθησιν· Οὐ γὰρ εὑρέθη, φησί, βοηθὸς ὅμοιος αὐτῷ. διδάξας δὲ αὐτὸν καὶ διὰ τούτων τὸ μέσον ἑκατέρας τῆς φύσεως, καὶ ὅτι πάντων αὐτὸς τιμιώτερος, καὶ οὐδὲν ἐν τοσούτῳ πλήθει ἴσον αὐτῷ, τότε δὴ κτίζει καὶ τὴν γυναῖκα, κἀν τούτῳ πάλιν τιμῶν αὐτόν, καὶ φανερὸν ποιῶν ὅτι δι' αὐτὸν γέγονε, καθὼς καὶ ὁ Παῦλός φησιν· Οὐ γὰρ ἐκτίσθη ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα. οὐ τούτοις δὲ μόνοις αὐτὸν ἀπεσέμνυνεν, ἀλλὰ καὶ λόγον αὐτῷ μόνῳ τῶν πάντων ἐχαρίσατο, καὶ τῆς αὐτοῦ γνώσεως κατηξίωσε, καὶ τῆς πρὸς αὐτὸν ὁμιλίας ἀπολαύειν ἔδωκεν, ὡς ἀπολαύειν ἐκείνῳ δυνατὸν ἦν, καὶ ἀθανασίαν παρέξειν ὑπέσχετο, καὶ πολλῆς τῆς σοφίας ἐνέπλησε, καὶ πνευματικὴν χάριν ἐνέθηκεν, ὡς καὶ προφητεῦσαί τινα· καὶ ταῦτα πάντα ἐδωρήσατο, οὐδενὸς προϋπηργμένου κατορθώματος παρ' αὐτοῦ. τί οὖν ἐκεῖνος μετὰ τοσαῦτα καὶ τηλικαῦτα ἀγαθά; πιστότερον τοῦ ταῦτα δωρησαμένου τὸν ἐχθρὸν ἐνόμισε, καὶ τῆς ἐντολῆς τοῦ ποιήσαντος ἀλογήσας, προετίμησε τὴν ἀπάτην τοῦ παντελῶς αὐτὸν ἀφανίσαι σπουδάσαντος, καὶ πάντων ἀθρόως ἐκβαλεῖν τῶν ἀγαθῶν, καὶ προετίμησεν, οὐδὲν οὔτε μέγα, οὔτε μικρὸν εὐεργεσίας ἕνεκεν ἐπιδειξαμένου πρὸς αὐτὸν ἐκείνου, ἀλλὰ ῥήματα προσενέγκαντος μόνον αὐτῷ. τί οὖν ἐξήλειψεν, εἰπέ μοι, αὐτὸν ὁ Θεός, τοσαύτην ἀγνωμοσύνην ἐξ ἀρχῆς καὶ ἀπ' αὐτῆς, ὡς εἰπεῖν, γραμμῆς ἐπιδειξάμενον; τοῦτο μὲν γὰρ κατὰ τὸν τοῦ δικαίου λόγον ἀκόλουθον ἦν, τὸν μυρία μὲν παθόντα καλά, ἀντὶ δὲ τούτων ἀπὸ παρακοῆς καὶ ἀμελείας εὐθέως τὰ προοίμια τοῦ βίου πεποιημένον, ἀπολέσαι καὶ ἐκ μέσου βαλεῖν. ὁ δὲ Θεὸς οὐχ ἧττον ἢ πρότερον αὐτὸν εὐεργετῶν διετέλεσε, δεικνὺς ὅτι κἂν μυριάκις ἁμαρτάνωμεν καὶ ἀποστραφῶμεν αὐτόν, τὰ πρὸς σωτηρίαν ἡμῖν αὐτὸς οἰκονομῶν οὐ παύεται, ἵν', ἂν μὲν ἐπιστρέψωμεν, καὶ σωθῶμεν· ἂν δὲ ἐπιμένωμεν τῇ κακίᾳ, τὸ γοῦν αὐτὸν τὰ αὐτοῦ πράττειν ἐκ τούτου περιγένηται. δοκεῖ μὲν οὖν τὸ ἐκβαλεῖν τοῦ παραδείσου, καὶ τὸ κωλῦσαι τοῦ ξύλου τῆς ζωῆς, καὶ τὸ παραδοῦναι τῷ θανάτῳ, κολάζοντος εἶναι καὶ τιμωρουμένου, τὸ δὲ προνοοῦντός ἐστιν οὐχ ἧττον ἢ καὶ πρότερον. εἰ γὰρ καὶ παράδοξον εἶναι δοκεῖ τὸ λεγόμενον, ἀλλ' ὅμως ἀληθές. τὰ μὲν γὰρ γινόμενα ἐναντία ἀλλήλοις ἦν, τὰ δὲ ἀμφοτέρων τέλη σύμφωνα καὶ ἀκόλουθα. οἷον τί λέγω· τὸ ἀποικίσαι τοῦ παραδείσου, τὸ κατοικίσαι ἐναντίον, τὸ ἀποτρέψαι τοῦ ξύλου τῆς ζωῆς, τὸ κωλῦσαι, τὸ ποιῆσαι θνητόν, τὸ τέως ἀνώτερον ἀποφῆναι τῆς ἀποφάσεως· πάντα δὴ καὶ τὰ ἐξ ἐκείνων καὶ τὰ ἐκ τούτων ὑπὲρ τῆς τούτου σωτηρίας ἐγίνετο καὶ τιμῆς. καὶ ὑπὲρ μὲν τῶν προτέρων οὐδ' ἂν εἴποιμι (παντὶ γὰρ δῆλόν ἐστι) δεῖ δὲ τὸν ὑπὲρ τῶν μετὰ ταῦτα δοῦναι λόγον. -- —

Πῶς οὖν εἰσόμεθα ὅτι καὶ τὰ δεύτερα ὑπὲρ τῶν ἐκείνῳ συμφερόντων ἦν; ἂν ἐννοήσωμεν τί τούτων μὴ γενομένων ἂν ἔπαθε. τί οὖν ἂν ἔπαθεν; εἰ τοῦ διαβόλου μετὰ τὴν παράβασιν ἐπαγγειλαμένου δείξειν αὐτοὺς ἰσοθέους ἐπὶ τῆς αὐτῆς ἔμεινε τιμῆς, προσὶν ἂν περιέπεσε τοῖς ἐσχάτοις κακοῖς. πρῶτον μὲν γὰρ τὸν Θεὸν ἂν ἐνόμισεν εἶναι βάσκανον καὶ ἀπατεῶνα καὶ ψεύστην· δεύτερον δέ, τὸν ἀληθῶς ἀπατεῶνα καὶ τοῦ ψεύδους καὶ τῆς βασκανίας πατέρα, καὶ εὐεργέτην καὶ φίλον· καὶ πρὸς τούτοις, ἀθάνατα ἂν διετέλεσεν ἁμαρτάνων τοῦ λοιποῦ. τούτων δὲ ἁπάντων αὐτὸν ἀπήλλαξεν ἐκβαλὼν τοῦ παραδείσου τότε. οὕτω που καὶ ἰατρός, ἀφεὶς μὲν τὸ ἕλκος, μείζονα τὴν σηπεδόνα ἐργάζεται· ἐκκόπτων δέ, κωλύει περαιτέρω προελθεῖν τοῦ

Γεν. α. κϛ.

Γεν. β. κ.

α. Κορ. θ. λθ.

τραύματος τὴν κακίαν. τί οὖν φησιν; οὐκ ἔστη μέχρι "τούτων, ἀλλὰ καὶ ἱδρῶτας καὶ πόνους γ. τίπ
προσέθηκεν. ὅτι οὐδὲν οὕτω πρὸς ἄνεσιν ἄχρηστον, ὡς ἡ τῶν ἀνθρώπων φύσις ἐστίν. εἰ
γὰρ καὶ τούτων ἐπικειμένων οὐ διαλιμπάνομεν ἁμαρτάνοντες, τί οὐκ ἂν ἐτολμήσαμεν, εἰ
Σειρ λγ. λβ. πρὸς τρυφὴν καὶ ἀργίαν ἀνῆκεν ἡμᾶς ὁ Θεός; Πᾶσαν γὰρ κακίαν, φησίν, ἐδίδαξεν ἡ ἀργία.
καὶ μαρτυρεῖ τῷ λόγῳ τὰ καθ' ἡμέραν γινόμενα, καὶ τὰ ἐπὶ τῶν προγόνων δὲ συμβάντα
Ἐξοδ. λβ. ϛ. τῶν ἡμετέρων. Ἐκάθισε γὰρ ὁ λαός, φησι, φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν. καὶ πάλιν, Ἐλιπάνθη,
Δευτ. λβ. ιε. ἐπαχύνθη, ἐπλατύνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος. σύμφωνα δὲ τούτοις καὶ ὁ
Ψαλ. οζ. λδ. μακάριος Δαβὶδ φθέγγεται λέγων· Ὅταν ἀπέκτεινεν αὐτούς, τότε ἐξεζήτουν αὐτόν, καὶ ἐπέστρεφον,
Ἱερ. ϛ. η. καὶ ὤρθριζον πρὸς τὸν Θεόν. καὶ τῇ Ἱερουσαλὴμ διὰ τοῦ Ἱερεμίου φησὶν ὁ Θεός, Διαπαντὸς
παιδεύθητι, Ἱερουσαλήμ, ὅπως μὴ ἀποστῇ ἡ ψυχή μου ἀπὸ σοῦ. ὅτι δὲ οὐ τοῖς μοχθηροῖς
μόνον, ἀλλὰ καὶ τοῖς χρηστοῖς τὸ ταπεινοῦσθαι καὶ κάμπτεσθαι πρὸς σωτηρίαν ἐστί, πάλιν ὁ
Ψαλ. ριη. οα. προφήτης φησίν· Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου. καὶ
Θρην. γ. κζ. μετὰ τοῦτον δὲ ὁ Ἱερεμίας τὰ αὐτὰ δὴ ταῦτα ἐκβοᾷ, εἰ καὶ μὴ ῥήμασι τοῖς αὐτοῖς· Ἀγαθὸν ἀνδρί,
ὅταν ἄρῃ ζυγὸν βαρὺν ἐκ νεότητος αὐτοῦ· καθίσεται κατὰ μόνας, καὶ σιωπήσεται. καὶ περὶ
Ἱερ. ιζ. ιζ. ἑαυτοῦ δὲ τοῦ Θεοῦ δεῖται λέγων· Μὴ γένῃ φειδόμενός μου εἰς ἀλλοτρίωσιν ἐν ἡμέρᾳ πονηρᾷ.
καὶ ὁ μακάριος δὲ Παῦλος, ὁ τοσοῦτον ἐν τῇ χάριτι διαλάμψας, καὶ τὴν ἀνθρωπίνην φύσιν
β Κορ. ιβ. ζ. ὑπερβάς, ὅμως καὶ αὐτὸς ἐδεῖτο τῆς ὠφελείας τούτου τοῦ καλοῦ. διὸ καὶ ἔλεγεν, Ἐδόθη μοι
σκόλοψ τῇ σαρκί, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι. ὑπὲρ τούτου
τρὶς τὸν Κύριον παρεκάλεσα*, καὶ εἶπέ μοι, Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν * ἵνα ἀποστῇ
ἀσθενείᾳ τελειοῦται. καίτοιγε ἐνῆν καὶ χωρὶς διωγμῶν καὶ θλίψεων καὶ πόνων καὶ ἱδρώτων κατορθωθῆναι ἀπ' ἐμοῦ
τὸ κήρυγμα, ἀλλ' ὅμως οὐκ ἠθέλησεν ὁ Χριστός, τῶν κηρυττόντων φειδόμενος. διὰ
Ἰωαν. ιϛ. λγ. τοῦτό φησιν αὐτοῖς, Ἐν τῷ κόσμῳ θλίψιν ἕξετε· καὶ τοῖς βουλομένοις δὲ εἰς τὴν βασιλείαν
Ματθ. ζ. ιγ. "εἰσελθεῖν διὰ τῆς ἐστενοχωρημένης κελεύει τοῦτο ποιεῖν ὁδοῦ, ὡς οὐκ ἐνὸν ἑτέρωθεν ἐκεῖσε "ἐλθεῖν. γρ. βασιλ γρ. εἰσελθ
οὕτως αἱ θλίψεις καὶ οἱ πειρασμοὶ καὶ τὰ συμβαίνοντα ἡμῖν ἀνιαρὰ τῶν χρηστῶν οὐχ ἧττον
τὴν κηδεμονίαν τοῦ Θεοῦ ἡμῖν ἐνδείκνυνται. καὶ τί λέγω τὰς θλίψεις τὰς ἐνταῦθα; τῆς
γὰρ βασιλείας τῶν οὐρανῶν οὐκ ἔλαττον ἡ τῆς γεέννης ἀπειλὴ παρίστησι τὴν φιλανθρωπίαν
τοῦ Θεοῦ. εἰ γὰρ μὴ γέεννα ἠπείλητο, οὐκ ἄν τις ταχέως ἐπέτυχε τῶν ἐν τοῖς οὐρανοῖς
ἀγαθῶν. οὐδὲ γὰρ ἀρκεῖ μόνη ἡ τῶν χρηστῶν ἐπαγγελία προτρέψαι εἰς ἀρετήν, μὴ καὶ
τοῦ φόβου τῶν δεινῶν ὠθοῦντος τοὺς ῥαθυμότερον πρὸς ἐκείνην διακειμένους. διὰ τοῦτο καὶ
τοῦ παραδείσου τὴν ἀρχὴν ἐξέβαλε τὸν πρωτόπλαστον, ὅτι ἡ παρασχεθεῖσα αὐτῷ τιμὴ
χείρονα αὐτὸν ἀπειργάζετο ἄν, εἴπερ ἔμενεν ἀσάλευτος καὶ βεβαία ἐκείνη, τῆς ἐντολῆς κινηθείσης.
καὶ τί λέγω τὸν Ἀδάμ; τί γὰρ οὐκ ἂν ἐποίησεν ὁ Κάϊν ἐν παραδείσῳ τρεφόμενος,
καὶ τρυφῆς ἀπολαύων τοσαύτης, ὅπουγε καὶ τούτων ἐστερημένος, καὶ τοῦ πατρὸς τὴν τιμωρίαν παρὰ
πόδας ὁρῶν, οὐδὲ οὕτως ἐσωφρονίζετο, ἀλλ' εἰς μείζονα κακίαν ἐξέπιπτε, φόνον πρῶτος
αὐτὸς καὶ εὑρὼν καὶ τολμήσας, καὶ φόνον τὸν πάντων ἐναγέστερον; οὐδὲ γὰρ κατὰ μικρόν, οὐδ' ἐν
χρόνῳ πολλῷ προσῆλθε τῷ καινῷ τούτῳ μιάσματι, ἀλλ' ἀθρόως καὶ ἐξαίφνης πρὸς αὐτὴν
εὐθέως ἀνεπήδησε τὴν κορυφήν, τὸν κοινωνήσαντα τῶν αὐτῶν ὠδίνων αὐτῷ, τὸν ἠδικηκότα οὐδέν,
πλὴν εἰ τὸ τιμῆσαι τὸν Θεὸν ἀδίκημα ᾤετο, τοῦτον λοχήσας καὶ ἀνελών. σὺ δέ μοι
κἀνταῦθα πάλιν τοῦ Θεοῦ τὴν φιλανθρωπίαν κατάμαθε. ὅτε μὲν γὰρ εἰς αὐτὸν ὕβρισε,
διὰ τῶν λόγων αὐτὸν νουθετεῖ, καὶ παραμυθεῖται λυπούμενον· ὅτε δὲ ἐμάνη κατὰ τοῦ ἀδελφοῦ,
τότε δὴ ἐπεξέρχεται καὶ τὴν τιμωρίαν ἐπάγει. καίτοι καὶ τὰ πρότερα τῆς αὐτῆς κολάσεως,
μᾶλλον δὲ καὶ χαλεπωτέρας ἄξια ἦν. εἰ γὰρ ἐπ' ἀνθρώπων, ὅταν τις τῶν οἰκετῶν τὰ μὲν
ἀμείνω φυλάττοι ἑαυτῷ, τὰ δὲ φαυλότερα τῷ δεσπότῃ προσάγοι, δεινὸν τὸ πρᾶγμα καὶ
ὕβρις εἶναι δοκεῖ, πόσῳ μᾶλλον ἐπὶ Θεοῦ; ὁ δὲ Κάϊν οὐ τοῦτο μόνον ἥμαρτεν, ἀλλὰ καὶ ἕτερον οὐχ
ἧττον,

ἧττον, τὸ δυσχεραίνειν τῇ τιμῇ τοῦ ἀδελφοῦ. Εἰ μὲν γὰρ ὡς ἁμαρτὼν μετεγίνωσκεν, ἀποδεκτὸς τῆς καλλίστης ταύτης μεταβολῆς ἦν· νῦν δὲ οὐ μετανοίας, ἀλλὰ καὶ ζήλου καὶ βασκανίας ἡ σύγχυσις ἦν. καὶ τὸ τέλος ἀπέδειξε. μόνον γὰρ οὐκ ὠργίζετο τῷ Θεῷ, ὅτι μὴ ἐτίμησεν αὐτὸν ὑβρισθεὶς, καὶ προὔθηκε τὸν ἀκόλαστον τοῦ ἐπιεικοῦς. ἀλλ᾽ ὅμως καὶ οὕτω σφοδρῶν τῶν ἁμαρτημάτων ἀπαιτούντων τὴν τιμωρίαν, ἔλαττον πολλῷ τῆς ἀξίας κέχρηται τῷ πεπλημμεληκότι, καὶ φλεγμαίνουσαν αὐτοῦ καταστέλλειν πειρᾶται τὴν ψυχήν. ἀπὸ γὰρ θυμοῦ ἡ ἀθυμία ἐκείνη ἦν· διὸ καί φησι πρὸς αὐτόν· Ἡσύχασον. Γεν. δ. ζ. Ταῦτα δὲ ἔλεγεν, εἰδὼς μὲν οὐ προβήσεται ″κακοῦ, βουλόμενος δὲ πᾶσαν τοῖς ἀγνωμονοῦσιν ἐκκόψαι πρόφασιν. Εἰ γὰρ ἐκολάσθη παρὰ τὴν ἀρχήν, πολλὰ ἂν εἶπον τοιαῦτα πολλοί· οὐ γὰρ ἐχρῆν παρακαλέσαι λόγῳ καὶ νουθετῆσαι καὶ ἐπιπλῆξαι πρότερον, καὶ τότε τοῖς αὐτοῖς ἐπιμένοντα μετελθεῖν; πολλῆς ὠμότητος καὶ ἀπηνείας αὕτη ἡ κόλασις. Διὰ τοῦτο μακροθυμεῖ ταῖς εἰς αὐτὸν ὕβρεσιν ὁ Θεὸς, ἅμα μὲν ἐπιστομίζων ἐκείνους, ἅμα δὲ καὶ δεικνὺς, ὅτι καὶ τὸν πατέρα τοῦ Κάϊν δι᾽ ἀγαθότητα ἐπαίδευσε· πρὸς δὲ, καὶ εἰς μετάνοιαν ἄγων αὐτὸν μετὰ ταῦτα διὰ τῆς τοιαύτης χρηστότητος αὐτοῦ. ἐπεὶ δὲ κατὰ τὴν σκληρότητα αὐτοῦ καὶ ἀμετανόητον καρδίαν ἐθησαύρισεν ἑαυτῷ τὴν ὀργὴν, τότε τηνικαῦτα ἐπεξέρχεται. Εἰ δὲ καὶ μετὰ τὸν φόνον ἔμεινεν ἀτιμώρητος, καὶ ἐφ᾽ ἕτερον μεῖζον ἂν προῆλθε δεινόν. οὐδὲ γάρ ἐστιν εἰπεῖν, ὅτι παρὰ ἄγνοιαν ἐπλημμέλησεν. ὁ γὰρ ὁ νεώτερος συνῆκε, πῶς ἂν οὗτος ἠγνόησε; πλὴν ἀλλ᾽ εἰ βούλει, κείσθω καὶ ἀγνοίας εἶναι τὸ πρότερον· μετὰ τὸ ἀκοῦσαι τὸ, ἡσύχασον, μετὰ τὸ συγγνώμης τυχεῖν, ἀπὸ ποίας ἀγνοίας ἐπὶ τὸν φόνον ἤρχετο, καὶ τὴν γῆν ἐμόλυνε, καὶ τοὺς τῆς φύσεως νόμους ἀνέτρεψεν; ὁρᾷς ὡς οὐδὲ τὰ πρότερα τοῦ ἀγνοεῖν ἦν, ἀλλὰ κακίας καὶ πονηρίας καὶ μιαρίας τῆς ἐσχάτης; τίς οὖν ἡ τούτων τιμωρία; Στένων ἔσῃ, φησὶ, καὶ τρέμων ἐπὶ τῆς γῆς. Γεν. δ. ιβ.

Δοκεῖ μὲν οὖν ἡ κόλασις εἶναι πικρά, ἀλλ᾽ οὐκ, ἐὰν τὸ ἁμάρτημα λογισώμεθα, καὶ αὐτὴν δὲ τὴν τιμωρίαν διασκεψώμεθα καλῶς. ὅρα γάρ. προσήνεγκε κακῶς, ἤλγησεν ὅτι ὑβρίσας οὐκ ἐτιμήθη παρὰ τοῦ ὑβρισθέντος Θεοῦ, νουθετοῦντα αὐτὸν διέπτυσε, φόνον ἐτόλμησε πρῶτος, μᾶλλον δὲ καὶ φόνου πολλῷ μίασμα ἐναγέστερον· ἐλύπησε τοὺς γεγεννηκότας, ἐψεύσατο τῷ Θεῷ· Μὴ γὰρ φύλαξ εἰμί, φησι, τοῦ ἀδελφοῦ μου ἐγώ; Γεν. δ. θ. καὶ ἀντὶ τούτων ἁπάντων φόβῳ κολάζεται μόνον καὶ τρόμῳ. ἀλλ᾽ ὅμως καὶ τὴν χρηστότητα τοῦ Θεοῦ οὐκ ἀπὸ τοῦ πραοτέραν εἶναι μόνον τῆς ἁμαρτίας τὴν τιμωρίαν εἴποιμι ἂν φαίνεσθαι, ἀλλὰ καὶ ἀπὸ τοῦ κέρδος αὐτὴν ἔχειν οὐ τὸ τυχόν. τὸ δὲ κέρδος ἦν, σωφρονίζεσθαι τοὺς ἑξῆς ἅπαντας καὶ γίνεσθαι βελτίους διὰ τῆς εἰς ἐκεῖνον ἐπιτιμήσεως. διὰ τοῦτο οὐκ ἀνεῖλεν αὐτόν. οὐδὲ γὰρ ἦν ἴσον, ἀκούειν ὅτι Κάϊν τις ἀνελὼν ἀδελφὸν ἀπέθανε, καὶ ὁρᾶν τὸν ἀνελόντα δίκην τίνοντα. τότε μὲν γὰρ κἂν ἠπιστήθη τοῦτο λεγόμενον, διὰ τὴν τοῦ μύσους ὑπερβολήν· νυνὶ δὲ φαινόμενος, καὶ περιών, καὶ πολλοὺς καὶ ἐπὶ πολὺν χρόνον μάρτυρας τῆς τιμωρίας ποιούμενος, κατάδηλον καὶ πιστὸν καὶ τοῖς τότε καὶ τοῖς ἐφεξῆς ″κατέστησε τὸ γεγονός. τί οὖν τοῦτο πρὸς ἐκεῖνον, φησι; μάλιστα μὲν καὶ τῆς αὐτοῦ προὐξένησε σωτηρίας, ὅτι προανέστελλεν αὐτοῦ τὴν λύσσαν, τό γε αὐτοῦ μέρος, διὰ τῆς τῶν λόγων παραινέσεως. Εἰ δὲ καὶ τὴν τιμωρίαν αὐτὴν τις ἐξετάσειε, καὶ ἐκ ταύτης πολλὴν ὄψεται τὴν ὠφέλειαν οὖσαν. Εἰ μὲν γὰρ αὐτὸν ἀπέκτεινεν εὐθέως ὁ Θεός, οὐκ ἂν τινὰ προθεσμίαν αὐτῷ μετανοίας καὶ βελτιώσεως ἔδωκε. τῷ τε δὲ τρόμῳ καὶ δέει συζῶν, εἰ μὴ λίαν ἀναίσθητος ἦν, καὶ θηρίον μᾶλλον ἢ ἄνθρωπος, πολλὰ ἂν ἀπὸ ταύτης ἐκέρδανε τῆς ζωῆς. χωρὶς δὲ τούτων, ἐλάττονα αὐτῷ τὴν μέλλουσαν κόλασιν διὰ ταύτης τῆς τιμωρίας εἰργάζετο. τὰ μὲν γὰρ ἐν τῷ παρόντι βίῳ ἐπαγόμενα ἡμῖν παρὰ τοῦ Θεοῦ λυπηρὰ ἢ κολαστήρια, τῶν ἐκεῖ βασάνων ὑποτέμνεται μέρος οὐ μικρόν. καὶ τούτου τὰς μαρτυρίας ἀπὸ τῶν θείων τις ἂν ἀγάγοι γραφῶν. ὁ μὲν γὰρ Χριστὸς τοῖς μαθηταῖς δια-

Λουκ. ις κε.

α. Κορ. ε. ε.

α. Κορ. ια λ.

λεγόμενος, καὶ τὰ κατὰ τὸν Λάζαρον διηγούμενος· φησὶ τὸν Ἀβραὰμ ἱκετευόμενον παρὰ τοῦ πλουσίου ἄκρῳ τῷ δακτύλῳ μικρὸν ἐπιστάξαι φλεγομένῃ τῇ γλώττῃ, εἰπεῖν πρὸς αὐτόν· Τέκνον, μνήσθητι ὅτι σὺ ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος τὰ κακά· νῦν δὲ οὗτος ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. ὁ δὲ Παῦλος (Παῦλον δὲ ὅταν εἴπω, τὰ τοῦ Χριστοῦ λέγω πάλιν προστάγματα· αὐτὸς γὰρ τὴν μακαρίαν ἐκείνην ἐκίνει ψυχήν) τοῖς Κορινθίοις ἐπιστέλλων ποτὲ περὶ τοῦ πεπορνευκότος, κελεύει τὸν τοιοῦτον παραδοθῆναι τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ τοῖς αὐτοῖς πάλιν ὑπὲρ τῶν ἀναξίως τοῖς μυστηρίοις κοινωνούντων διαλεγόμενος, Διὰ τοῦτο, φησί, πολλοὶ ἐν ὑμῖν ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί. Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. Εἶδες φιλανθρωπίαν ἄφατον, καὶ πλοῦτον χρηστότητος ἄπειρον; Εἶδες πῶς ἅπαντα πράττει καὶ πραγματεύεται ὁ Θεός, ἵνα καὶ ἁμαρτάνοντες δυνηθῶμεν πραοτέραν τῆς ὀφειλομένης ὑποστῆναι τὴν κόλασιν, ἢ καὶ ἀπαλλαγῆναι τέλεον; Εἰ δὲ λέγοι τις, τίνος ἕνεκεν οὖν οὐ τὸν ἐξ ἀρχῆς ἀπατήσαντα * ἠφάνισε; καὶ τοῦτο σφόδρα κηδόμενος ἡμῶν. Εἰ μὲν γὰρ πρὸς βίαν ὁ μιαρὸς ἐκεῖνος ἐκράτει, εἶχεν ἄν τινα λόγον τὸ ζητούμενον· εἰ δὲ ταύτης μὲν ἀφῄρηται τῆς δυνάμεως, πείθων δὲ μόνον, τὸ μὴ πεισθῆναι δὲ ἐφ' ἡμῖν, τίνος ἕνεκεν τῆς εὐδοκιμήσεως τὴν πρόφασιν περιαιρεῖς, καὶ τὴν τῶν στεφάνων ἐκκόπτεις ὑπόθεσιν; πρὸς δὲ τούτοις, εἰ μὲν εἰδὼς αὐτὸν ἀκαταγώνιστον ὄντα, καὶ πάντων μέλλοντα κρατεῖν, εἶτα ἀφῆκεν, ἦν μὲν οὐδὲ οὕτως ἄξιον ὑπὲρ τούτων ἀπορεῖν. καὶ γὰρ καὶ τότε παρ' ἡμᾶς ἐγίνετο τοῦ κρατεῖν ἐκεῖνον καὶ νικᾶν τοὺς οὐ βιαζομένους, ἀλλ' ἑκόντας ὑποκλινομένους αὐτῷ. πλὴν ἀλλ' ὅμως οὐδὲ τοῦτο ἤρκεσεν ἂν τοῖς βουλομένοις ἀγνωμονεῖν. Εἰ δὲ πολλοὶ μέν εἰσι τῶν περιγινόμενοι τῆς ἐκείνου δυνάμεως ἤδη, πολλοὶ δὲ τῶν περιεσόμενοι πάλιν, τί τοὺς μέλλοντας εὐδοκιμεῖν καὶ λαμπρὰν ἐπιδείκνυσθαι νίκην τοσαύτης ἀποστερεῖς τιμῆς; διὰ τοῦτο γὰρ εἴασεν, ἵνα αὐτὸν καταβάλλωσιν τῶν πρότερον ἡττηθέντες ὑπ' αὐτοῦ, ὃ πάσης αὐτῷ κολάσεως μεῖζον, καὶ πρὸς ἐσχάτην κατάκρισιν ἀγαγεῖν ἱκανόν. ἀλλ' οὐ πάντες αὐτοῦ περιέσονται, φησί. καὶ τί τοῦτο πρὸς τὸ λεγόμενον; πολλῷ γὰρ δικαιότερον τοὺς μὲν γενναίους λαμβάνειν ἀφορμάς, ἐν αἷς τὴν προαίρεσιν ἐπιδείξονται τὴν αὐτῶν, τοὺς δὲ οὐ τοιούτους ἀπὸ τῆς οἰκείας κολάζεσθαι ῥᾳθυμίας, ἢ διὰ τούτους ἐκείνους ἐπηρεάζεσθαι. νῦν μὲν γὰρ ὁ φαῦλος κἂν ἀδικῆται, ἀλλ' οὐ παρὰ τὸν ἀνταγωνιστήν, ἀλλὰ παρὰ τὴν αὐτοῦ νωθρείαν κρατούμενος. καὶ τοῦτο δηλοῖ τὸ πλῆθος τῶν νικώντων αὐτόν. τότε δὲ ἂν οἱ σπουδαῖοι διὰ τοὺς φαύλους ἐπηρεάσθησαν, οὐκ ἔχοντες ὅπου τῇ ἀνδρείᾳ χρήσονται δι' ἐκείνους, καὶ ἐγίνετο παρόμοιον, ὥσπερ ἂν εἴ τις ἀγωνοθέτης ἀθλητὰς ἔχων δύο, τὸν μὲν καὶ συμπλακῆναι ἕτοιμον τῷ ἀνταγωνιστῇ, καὶ καρτερίαν ἐπιδείξασθαι πολλήν, καὶ στέφανον ἀναδήσασθαι, τὸν δὲ τῆς ταλαιπωρίας ἐκείνης ἀργίαν προτιμῶντα καὶ τρυφήν, λαβὼν ἐκ μέσου τὸν ἀνταγωνιστήν, ἀμφοτέρους ἀπράκτους ἐκπέμψειε παρ' αὐτοῦ. οὕτω μὲν γὰρ ὁ σπουδαῖος διὰ τὸν φαῦλον ἐπηρεάσθη· ἐκεῖνος δὲ οὐκ ἔτι διὰ τὸν γενναῖον [ὁ] κακός, ἀλλὰ διὰ τὴν κακίαν τὴν αὐτοῦ.

Καὶ νῦν μὲν δοκεῖ τὸ ζητούμενον αὐτοῖς εἶναι περὶ τοῦ διαβόλου· κατὰ δὲ τὴν ἀκολουθίαν ὁ λόγος οὗτος προϊὼν τὴν αὐτοῦ, πολλοῖς ἐγκαλέσει καὶ μέμψεται τὴν πρόνοιαν, καὶ τὴν δημιουργίαν ἅπασαν διαβαλεῖ τοῦ Θεοῦ. καὶ γὰρ τῆς τοῦ στόματος, καὶ τῆς τῶν ὀφθαλμῶν κατηγορήσει διαπλάσεως. διὰ τούτων μὲν γὰρ ἐπιθυμοῦσιν ὧν οὐ δεῖ, καὶ εἰς μοιχείαν ἐμπίπτουσιν τῶν πολλοί· δι' ἐκείνου δὲ βλασφημοῦσι καὶ τὰ ὀλέθρια τῶν δογμάτων προφέρουσιν ἕτεροι. ἆρ' οὖν διὰ ταῦτα χωρὶς γλώττης καὶ ὀφθαλμῶν γενέσθαι τοὺς ἀνθρώπους ἐχρῆν; οὐκοῦν καὶ τοὺς πόδας ἐκκόψομεν, καὶ τὰς χεῖρας ἀποτεμοῦμεν, ἐπειδὴ αὗται μὲν αἱ-

μάτων

γρ. δύν

* ἐκ μέ
ἐποίησ

γρ. ἐπιδώ
σειν

γρ. ἐπηρεά
ζεσθαι

μετὰ πλήρεις εἰσίν, ἐκεῖνοι δὲ εἰς κακίαν τρέχουσιν. ἀλλ' οὐδὲ τὰ ὦτα τὴν ἀπήχησιν τοῦ λόγου τούτου δυνήσονται ἐκφυγεῖν. καὶ γὰρ ἀκοὴν ματαίαν παραδέχεται, καὶ τὴν τῶν δογμάτων φθορὰν παραπέμπει τῇ ψυχῇ· ὥστε καὶ ταῦτα ἀφαιρήσομεν. εἰ δὲ καὶ τοῦτο, καὶ σιτία, καὶ ποτά, καὶ οὐρανόν, καὶ γῆν, καὶ θάλατταν, καὶ ἥλιον, καὶ φῶς, καὶ σελήνην, καὶ τὸν τῶν ἄστρων χορόν, καὶ πάντων τῶν ἀλόγων τὰ γένη. ποῦ γὰρ ἔσται χρήσιμα ταῦτα, τοῦ δι' ὃν ἐγένετο πάντα κατακοπέντος οὕτως ἐλεεινῶς; ὁρᾷς τὸν γέλωτα καὶ τὴν ἀτοπίαν, εἰς ἣν ὁ λόγος οὗτος καταστρέφειν ἀναγκάζεται; ὁ γὰρ διάβολος ἑαυτῷ κακός, οὐχ ἡμῖν. ἡμεῖς γάρ, εἰ βουλοίμεθα, καὶ πολλὰ καρπωσόμεθα δι' αὐτοῦ καλά, ἄκοντος μὲν καὶ μὴ βουλομένου. ὃ δὲ θαῦμα καὶ ἐν τούτῳ μεῖζον, καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἡ ὑπερβολή. ὃ γάρ, βελτίους γίνεσθαι τοὺς ἀνθρώπους δάκνει μὲν αὐτόν, καὶ αὐτὸ καθ' ἑαυτὸ καὶ λυπεῖ· ὅταν δὲ καὶ δι' αὐτοῦ τοῦτο προξενῆται ἡμῖν, οὐδὲ ἐνεγκεῖν δυνήσεται τὴν ἐπήρειαν. πῶς οὖν προξενεῖται δι' αὐτοῦ; δεδοικότες αὐτοῦ τὴν ὠμότητα καὶ τὰς συνεχεῖς ἐπιβουλὰς καὶ τὰς ἐπαλλήλους μηχανάς, τὸν πολὺν ὕπνον ἀποκρουόμεθα, νήφομεν, μεμνήμεθα τοῦ Θεοῦ διαπαντός. καὶ ὅτι οὐκ ἐμός ἐστιν ὁ λόγος, ἀλλὰ τοῦ μακαρίου Παύλου, ἄκουσον πῶς διὰ τῶν αὐτῶν σχεδὸν ῥημάτων διεγείρει τοὺς καθεύδοντας τῶν πιστῶν. τοῖς γὰρ Ἐφεσίοις ἐπιστέλλων οὕτω πως φησίν· Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. ταῦτα δὲ ἔλεγεν, οὐ καταβαλεῖν αὐτούς, ἀλλὰ διαναστῆσαι βουλόμενος. καὶ ὁ Πέτρος δέ· Νήψατε, φησί, γρηγορήσατε· ὅτι ὁ ἀντίδικος ὑμῶν διάβολος, ὡς λέων ὠρυόμενος περιπατεῖ ζητῶν τίνα καταπίῃ, ᾧ ἀντίστητε στερεοὶ τῇ πίστει. τοῦτο δὲ εἶπε σφοδροτέρους ἐργάσασθαι θέλων καὶ πεῖσαι πλείονα πρὸς τὸν Θεὸν τὴν οἰκειότητα ἔχειν. ὁ γὰρ ἐφεστῶτα τὸν ἐχθρὸν ὁρῶν, μᾶλλον προστρέχει καὶ συμπλέκεται τῷ δυναμένῳ βοηθεῖν. οὕτω που καὶ τὰ παιδία τὰ μικρά, ὅταν μὲν ἴδῃ τι τῶν φοβερῶν, εἰς τὸν τῆς μητρὸς καταφεύγοντα κόλπον, καὶ ἐκκρεμασθέντα τῶν ἱματίων ἐκείνης, ἔχεται αὐτῶν ἀσφαλῶς, καὶ πολλῶν ἀνθελκόντων πολλάκις οὐκ ἀφίστανται· ὅταν δὲ μηδὲν ᾖ τὸ θορυβοῦν, οὐδὲ καλούσης ἐκείνης καὶ ἐφελκομένης ἀνέχεται, ἀλλὰ καὶ καλοῦσαν διαπτύει, καὶ πολλὰ πρὸς τὸ ἐπισπάσασθαι μηχανωμένην ἀποστρέφεται, καὶ τραπέζης κειμένης καταφρονεῖ. διὰ τοῦτο πολλαὶ τῶν μητέρων, ἐπειδὰν μηδὲν ἰσχύσωσι παρακαλοῦσαι, μορμολύκεια καὶ φόβητρα κατασκευάζουσαι, οὕτως αὐτῶν σοφίζονται τὴν ἐπάνοδον, καὶ πείθουσι προσδραμεῖν πάλιν αὐταῖς. τοῦτο δὲ οὐκ ἐπὶ τῶν παιδίων γίνεται μόνον, ἀλλὰ καὶ ἐφ' ἡμῶν. ὅταν γὰρ ὁ πονηρὸς ἡμᾶς φοβῇ καὶ ταράττῃ, τότε σωφρονιζόμεθα, τότε ἑαυτοὺς ἐπιγινώσκομεν, τότε μετὰ πολλῆς τῆς σπουδῆς τῷ Θεῷ προστρέχομεν. εἰ δὲ ἠφανίσθη παρὰ τὴν ἀρχὴν οὗτος, καὶ γέγονεν ἐκποδών, τάχα οὐδὲ ὑπὲρ τῶν προελθόντων ἂν ἐπίστευσαν οἱ πολλοί· οἶδ' ὅτι τὸν ἄνθρωπον ἠπάτησε, καὶ τῶν πολλῶν ἐκείνων ἐξέβαλεν ἀγαθῶν, ἀλλὰ τὸν Θεὸν φθόνῳ καὶ βασκανίᾳ τοῦτο πεποιηκέναι εἶπον ἄν. ὅπου γὰρ καὶ νῦν εἰσιν οἱ ταῦτα τολμῶντες μετὰ τὴν τοσαύτην ἀπόδειξιν τῆς ἀπάτης αὐτοῦ, εἰ μηδ' ὅλως πεῖραν ἔλαβον τῆς κακουργίας αὐτοῦ, τί οὐκ ἂν εἶπον; τί οὐκ ἂν ἐφθέγξαντο; ὅλως δὲ εἰ χρὴ μετὰ ἀκριβείας τοῖς γινομένοις προσέχειν, οὐδὲ εἰς ἄπαντα ἡμᾶς ὁ διάβολος ὠθεῖ· ἀλλὰ πολλὰ μὲν καὶ αὐτὸς ἐργάζεται κακά, πολλὰ δὲ καὶ ἡμεῖς ἑαυτοῖς ῥᾳθυμίᾳ καὶ καταφρονήσει μόνον. ποῦ γάρ, ἵνα πάλιν ἐπὶ τὴν ἀρχὴν ἐπανέλθωμεν, προσεπέλασεν ὁ διάβολος τῷ Κάϊν, καὶ τὸν φόνον πρᾶξαι παρῄνεσε; τῇ μὲν γὰρ τούτου μητρὶ φαίνεται διαλεγόμενος καὶ τὴν ἀπάτην κατασκευάζων, ἐνταῦθα δὲ οὐκ ἔτι. πλὴν εἴ τις αὐτὸν τοὺς πονηροὺς λογισμοὺς ὑποβεβληκέναι φαίη, καὶ τοῦτο δὲ παρὰ τὸν καταδεξάμενον καὶ πεισθέντα, καὶ τὴν ἀρχὴν αὐτῷ τῆς ἐφόδου παρεσχηκότα· ἀλλ' ὅμως οὐδὲ οὕτως αὐτὸν εἴασεν ὁ Θεός, ἀλλ' ἐπέμενε παιδεύων καὶ

Εφ ς. ιβ.

α. Πετ. ε. η.

νουθετῶν δι' ὧν ἐδόκει κολάζειν αὐτόν. καὶ τί λέγω τοῦ Κάϊν τὴν τιμωρίαν, ἀνδρὸς ἑνός, ὅπου γε καὶ ὁ κατακλυσμός, ἔνθα τοσούτων ἀνδρῶν ἀπώλεια, δύναιτ' ἂν ἡμῖν ἐμφῆναι τὴν κηδεμονίαν τοῦ Θεοῦ; πρότερον μὲν γάρ, οὐχ ἁπλῶς οὐδὲ ἀπροσδοκήτως ἐπήγαγεν ἐκεῖνα τὰ δεινά, ἀλλὰ καὶ προειπών, καὶ οὐ πρὸ χρόνου βραχέος, ἀλλὰ καὶ πρὸ εἴκοσι καὶ ἑκατὸν ἐτῶν. ἔπειτα, ἵνα μὴ διὰ τὸ μῆκος τῆς προρρήσεως εἰς λήθην ἐμπέσωσι καὶ ῥαθυμίαν, παρεσκεύασε τὴν κιβωτὸν τεκταίνεσθαι κατ' ὀφθαλμοὺς ἐκείνων αὐτῶν, πάσης φωνῆς λαμπρότερον βοῶσαν τοῦ Θεοῦ τὴν ἀπειλήν. ὁ μὲν γὰρ Κάϊν ἐξέπεσεν ἤδη τῆς τῶν ἀνθρώπων διανοίας· ἐκείνη δὲ πρὸ τῶν ὄψεων αὐτῶν κειμένη, συνεχῶς τῶν ἀπειληθέντων τὴν μνήμην διήγειρεν. ἀλλ' οὐδὲ οὕτως ἐσωφρονίσθησαν, ἀλλ' ἔμενον παρακαλούμενοι καὶ ἕλκοντες καθ' ἑαυτῶν τὰ κακά. ὁ γὰρ Θεὸς οὔτε ἀπειλῆσαι κατακλυσμόν, οὔτε ἐπαγαγεῖν ἠθέλησεν, ὥσπερ οὐδὲ τὴν γέενναν αὐτήν· ἀλλὰ πάντων ἡμεῖς αἴτιοι τούτων. ὅπερ καὶ σοφός τις συνιδὼν ἔλεγεν, Ὅτι ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων. Ιεζεκ. ιη. κδ. καὶ αὐτὸς δὲ ὁ Θεὸς διὰ τοῦ προφήτου οὕτω φησί· Μὴ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι αὐτὸν καὶ ζῆν; ὅταν δὲ μὴ ἐπιστραφῶμεν, τὴν ἀπώλειαν καὶ τὸν θάνατον ἡμεῖς καθ' ἑαυτῶν ἐπαγόμεθα, οὐχ ὁ μὴ βουλόμενος ἡμᾶς ἀπολέσθαι Θεός, καὶ τὴν τοῦ διαβόλου φυγεῖν ὁδὸν ὑποδεικνύς. ἆρ' οὖν τοῦτο μόνον ἔχομεν εἰπεῖν ὑπὲρ τοῦ κατακλυσμοῦ, κέρδος δὲ οὐδὲν εὑρήσομεν γενόμενον ἐξ αὐτοῦ; ἀλλ' οὐδέ ἐστιν εἰπεῖν ὅσον καὶ τοῖς τετελευτηκόσιν αὐτοῖς, καὶ τοῖς μετ' ἐκείνους γεγενημένοις ὑπῆρξεν. ἐκεῖνοι μὲν γὰρ περαιτέρω προελθεῖν τῆς κακίας ἐκωλύθησαν· οἱ δὲ μετ' ἐκείνους ἐκείνων μειζόνως ἐκέρδαινον, τῆς ζύμης, ὡς ἄν τις εἴποι, καὶ τῆς ὑποθέσεως τῶν κακῶν ἀφανισθείσης ἐκ μέσου μετὰ τῶν τολμησάντων αὐτῶν. εἰ γὰρ καὶ χωρὶς παραδείγματος εὐκόλως ἐδύναντ' ἂν εὑρεῖν οἱ ἄνθρωποι τὰ κακά, τί οὐκ ἂν ἔπραξαν, πολλῶν ὄντων τῶν παρακαλούντων αὐτοὺς ἐπὶ τὰς πράξεις τὰς πονηράς; ὅπερ ἵνα μὴ γένηται, μηδὲ τοσούτους διδασκάλους φαυλότητος ἔχωσιν οἱ μετὰ ταῦτα, πάντας αὐτοὺς ἄρδην ἀπώλεσεν.

Ἀλλὰ τίς ὁ σοφὸς λόγος, μᾶλλον δὲ ὁ ἀνόητος τῶν πράττειν μὲν οὐδὲν βουλομένων ἀγαθόν, πάντα δὲ ζητούντων καὶ λεγόντων, ἵνα τῶν οἰκείων ἁμαρτημάτων τὴν αἰτίαν ἐπὶ τὸν Θεὸν ἀνάγωσιν; Εἰ μὴ συνεχώρησε, φησίν, ὁ Θεός, οὐδ' ἂν προσῆλθεν ὁ διάβολος, οὐδ' ἂν ἠπάτησε τὴν ἀρχήν· ἀλλ' οὐδ' ἂν ἔμαθεν ὁ Ἀδὰμ ὅσον εἶχεν ἀγαθόν, οὐδ' ἂν ἐκ τῆς ἀπονοίας ἐκείνης κατέβη ποτέ. ὁ γὰρ τοσοῦτον ἑαυτὸν καταξιῶν, ὡς καὶ Θεὸς γενέσθαι προσδοκᾷν, τί οὐκ ἂν ἐτόλμησεν οὕτω μὴ σωφρονισθείς; θῶμεν δὲ μήτε συμβεβουλευκέναι τι τὸν διάβολον, μήτε ὅλως διειλέχθαι τῇ Εὔᾳ περὶ τοῦ ξύλου. ἆρα ἂν ἀπλανεῖς διετέλεσαν, μὴ γενομένου τούτου; οὐκ ἔστιν εἰπεῖν. ὁ γὰρ ὑπὸ τῆς γυναικὸς οὕτως εὐκόλως ἀναπεισθείς, οὐδὲ τοῦ διαβόλου οὐκ ὄντος, ταχέως ἂν ἀφ' ἑαυτοῦ πρὸς τὴν ἁμαρτίαν κατέπεσεν· ὃ καὶ μείζονα ἂν αὐτῷ τὴν τιμωρίαν ἐποίησε. χωρὶς δὲ τούτων οὐδὲ νῦν τῆς τοῦ διαβόλου μόνον ἀπάτης τὸ πτῶμά ἐστιν, ἀλλὰ καὶ ὑπὸ τῆς οἰκείας ἐπιθυμίας ἁλοῦσα κατέπεσεν ἡ γυνή. Γεν. γ. ϛ. καὶ τοῦτο ἡ γραφὴ παρεδήλωσεν εἰποῦσα· Καὶ εἶδεν ἡ γυνὴ ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν, καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν, καὶ ὡραῖόν ἐστι τοῦ κατανοῆσαι· καὶ λαβοῦσα τοῦ καρποῦ ἔφαγε. καὶ οὐ τὸν διάβολον ἀπαλλάττων τῶν τῆς ἐπιβουλῆς ἐγκλημάτων ταῦτα λέγω νῦν, ἀλλὰ δεῖξαι βουλόμενος, ὅτι εἰ μὴ ἑκόντες κατέπεσον, οὐδεὶς ἂν αὐτοὺς κατέβαλεν. ὁ γὰρ τὴν παρ' ἑτέρου δεξάμενος ἀπάτην οὕτως εὐκόλως, * οὗτος καὶ πρὸ τῆς ἀπάτης ῥαθύμως καὶ χαύνως διέκειτο. οὐδὲ γὰρ ἂν ἴσχυσε τοσοῦτον ἐκεῖνος, εἰ νηφούσῃ καὶ ἐγρηγορυίᾳ διελέγετο ψυχῇ. ἀλλ' εἰσί τινες, οἳ, ἐπειδὰν κατὰ τοῦτο διαλεχθῶσι τὸ μέρος, τὸν διάβολον ἀφέντες, ἐπὶ τὴν ἐντολὴν μεταβαίνουσι· καὶ τοὺς μὲν ἡμαρτηκότας ἀπέχονται, ἐγκαλοῦσι δὲ τῷ Θεῷ λέγοντες· τί γὰρ ἐδίδου πρόσταγμα, ἁμαρτήσοντας αὐτοὺς εἰδώς;

δῶς; καὶ ταῦτα δέ ἐστι διαβόλου τὰ ῥήματα, καὶ ἀσεβοῦς διανοίας εὑρέματα. ὅτι γὰρ καὶ τὸ δοῦναι τὴν ἐντολὴν μείζονος κηδεμονίας ἐστὶν, ἢ τὸ μὴ δοῦναι, δῆλον ἐκεῖθεν. ἔστω γὰρ ὁ Ἀδὰμ τὴν μὲν προαίρεσιν ἔχων οὕτω ῥᾴθυμον, ὡς τὸ τέλος ἀπέδειξε, δεχέσθω δὲ μηδεμίαν ἐντολὴν, ἀλλὰ μενέτω τρυφῶν. ἆρα ἡ ἀσθένεια καὶ ἡ ῥᾳθυμία ἀπὸ τῆς ἀνέσεως ταύτης ἐπὶ τὸ χεῖρον, ἢ ἐπὶ τὸ κρεῖττον ἐπέδωκεν ἄν; ἀλλὰ παντί που δῆλον, ὅτι πρὸς ἐσχάτην ἂν κατέπεσε κακίαν ἀφρόντις ὤν. ὁ γὰρ μηδέπω θαρρεῖν ὑπὲρ τῆς ἀθανασίας ἔχων, ἀλλ' ἔτι μετέωρον τὴν ἐλπίδα ταύτην οὖσαν εἰδὼς, καὶ πρὸς τοσοῦτον ἀλαζονείας καὶ ἀνοίας ἀρθεὶς, ὡς καὶ ἐλπίσαι γενέσθαι Θεὸς, καὶ ταῦτα οὐδαμόθεν τὸν ταῦτα ἐπαγγειλάμενον πιστὸν ὁρῶν, εἰ βεβαίαν εἶχε τὴν ἀθανασίαν, ποῦ οὐκ ἂν ἔφθασεν ἀπονοίας; τί δὲ οὐκ ἂν ἐξήμαρτε; πότε δὲ ἂν ὑπήκουσε τοῦ Θεοῦ; σὺ δὲ τὸ ὅμοιον ποιεῖς ἐγκαλῶν, ὥσπερ ἂν εἴ τις καὶ τὸν πορνεύειν ἀπαγορεύοντα μέμφοιτο, ἐπειδὴ οἱ ταῦτα ἀκουσάμενοι πορνεύειν ἔμελλον. καὶ πῶς οὐκ ἐσχάτης ταῦτα μανίας τὰ ῥήματα; εἰ γὰρ μὴ δεξαμένῳ τὴν ἐντολὴν προσελθὼν ὁ διάβολος ἀποστῆναι τοῦ Θεοῦ συνεβούλευσε, καὶ τούτῳ εὐκόλως ἂν ἔπεισεν. ὁ γὰρ μετὰ τὴν τοῦ προστάγματος δόσιν καταφρονήσας τοῦ δεδωκότος αὐτὸ, εἰ μηδὲν ὅλως ἠκηκόει παρ' αὐτοῦ, ταχέως ἂν ὅτι καὶ ὑπὸ δεσπότην ἐστὶν ἠγνόησε. διὰ τοῦτο προλαβὼν ὁ Θεὸς, δι' ὧν προσέταξεν ἐδίδαξεν, ὅτι καὶ Κύριον ἔχει, καὶ πάντα ὑπακούειν αὐτοῦ δεῖ. καὶ τί πλέον ἀπὸ τούτου γέγονε, φησί; μάλιστα μὲν εἰ καὶ μηδὲν ἕτερον, οὐδὲν τοῦτο παρὰ τὸν διδάξαντα Θεὸν, ἀλλὰ παρὰ τὸν μὴ δεξάμενον τὴν καλλίστην ταύτην παίδευσιν· νυνὶ δὲ οὐδὲ οὕτως ἀνόνητος γέγονε καὶ μετὰ τὴν παράβασιν ἡ δόσις τῆς ἐντολῆς. καὶ γὰρ τὸ κρυβῆναι, καὶ τὸ τὴν ἁμαρτίαν ὁμολογῆσαι, καὶ τὸ σπουδάζειν τὸν μὲν ἄνδρα ἐπὶ τὴν γυναῖκα, ἐκείνην δὲ ἐπὶ τὸν ὄφιν τὴν αἰτίαν τῶν γεγενημένων μεταγαγεῖν, δεδοικότων ἐστὶ, καὶ τρεμόντων, καὶ τὸ κῦρος ἐπιγνωκότων τοῦ Θεοῦ. ὅτι δὲ κέρδος ἦν ἀπὸ τῆς σατανικῆς ἐκείνης προσδοκίας εἰς τοσοῦτον μετατεθῆναι φόβον, οὐδεὶς ἀγνοεῖ. ὁ γὰρ ἰσοθεΐαν φαντασθεὶς, αὐτὸς οὕτως ἐταπεινοῦτο καὶ συνεστέλλετο, ὡς ὑπὲρ τιμωρίας καὶ κολάσεως τρέμειν, καὶ τὴν ἁμαρτίαν ἐξαγγέλλειν τὴν αὐτοῦ. τὸ δὲ μὴ ἁμαρτάνειν ἀνεπαισθήτως, ἀλλ' ἐπιγινώσκειν ταχέως καὶ συνορᾶν τὸ πλημμεληθὲν, οὐκ ἔστι μικρὸν, ἀλλ' ὁδός τις καὶ ἀρχὴ πρὸς διόρθωσιν ἄγουσα καὶ τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν. πᾶσαν μὲν οὖν τοῦ Θεοῦ τὴν εἰς ἡμᾶς ἀγαθότητα οὔτε μαθεῖν, οὔτε διηγήσασθαι δυνατόν· ὧν δὲ ἴσμεν τὸ κεφάλαιον ἐρῶ. μετὰ γὰρ τὴν τοσαύτην παρακοὴν, μετὰ τοσαῦτα ἁμαρτήματα, ὅτε πᾶσαν κατεῖχε τὴν οἰκουμένην ἡ τῆς ἁμαρτίας τυραννὶς, ὅτε τὴν ἐσχάτην ἔδει δοῦναι δίκην λοιπὸν καὶ ἀπολέσθαι παντελῶς, καὶ ἀνώνυμον τὸ τῶν ἀνθρώπων γενέσθαι γένος, τότε τὴν μεγίστην περὶ ἡμᾶς εὐεργεσίαν ἐπεδείξατο, ὑπὲρ τῶν ἐχθρῶν καὶ ἀπηλλοτριωμένων καὶ μισούντων αὐτὸν καὶ ἀποστρεφομένων τὸν μονογενῆ κατασφάξας τὸν ἑαυτοῦ, καὶ διὰ τούτου τὴν πρὸς αὐτὸν καταλλαγὴν ἐργασάμενος ἡμῖν, καὶ βασιλείαν οὐρανῶν καὶ ζωὴν αἰώνιον καὶ τὰ μυρία ἐπαγγειλάμενος δώσειν ἀγαθὰ, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη. τί ταύτης ἂν γένοιτο τῆς κηδεμονίας ἴσον, τῆς φιλανθρωπίας, τῆς ἀγαθότητος; διὰ ταῦτα καὶ αὐτός φησι, Καθὼς ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, οὕτως ἀπέχει ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν, καὶ τὰ διανοήματά μου ἀπὸ τῆς διανοίας ὑμῶν. καὶ ὁ πρᾳότατος δὲ Δαβὶδ περὶ τῆς φιλανθρωπίας αὐτοῦ διαλεγόμενος, φησί· Κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν. Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν. Καθὼς οἰκτείρει πατὴρ υἱοὺς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν· οὐχ ὅτι τοσοῦτον μόνον, ἀλλ' ὅτι παράδειγμα τῆς ἄκρας φιλοστοργίας ἕτερον μεῖζον οὐκ ἴσμεν. ἐπεὶ ὅτι καὶ τούτου πλεῖον, ὁ Ἡσαΐας ἐδίδαξε. τὴν γὰρ μητέρα εἰς τὸ ὑπόδειγμα παραλαβὼν, τὴν πολὺ τοῦ πατρὸς πρὸς τὰ ἔκγονα συμπα-

θεστέραν

νοίας

ρεῖδη

εἰς τοῦτο

μεταπεσεῖν

Ησ. νε. θ.

Ψαλ. ρβ. ια. ιβ.

Ησ. μθ. ιε. θερμοτέραν οὖσαν οὑτωσὶ λέγει· Μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς*; εἰ δὲ καὶ ἐπιλάθοιτο ταῦτα γυνή, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, λέγει Κύριος· δεικνὺς ὅτι καὶ τῆς φυσικῆς φιλοστοργίας ἀνωτέρος ἐστὶν ὁ ἔλεος τοῦ Θεοῦ.

* ἢ τὸ μὴ
ἦσαι τὰ
να τῆς
αὐτῆς

Καὶ ταῦτα μὲν ὁ προφήτης· τοῖς δὲ Ἰουδαίοις αὐτὸς διαλεγόμενος ἔλεγεν ὁ Χριστός· Εἰ δὲ ὑμεῖς πονηροὶ ὄντες οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Ματθ. ζ. ια. πατὴρ ὑμῶν ὁ οὐράνιος δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν· οὐδὲν ἄλλο ἐμφαίνων διὰ τούτων, ἀλλ' ἢ ὅτι ὅσον τῶν ἀγαθῶν καὶ τῶν πονηρῶν τὸ μέσον ἐστί, τοσοῦτον τῆς τοῦ Θεοῦ κηδεμονίας πρὸς τὴν πατρικὴν τὸ διάφορον. καὶ μηδὲ μέχρι τούτου πάλιν στῇς, ἀλλὰ τῷ νῷ καὶ περαιτέρω πρόελθε. καὶ γὰρ καὶ τοῦτο, ὅσον ἀκοῦσαί σε δυνατόν, εἴρηται. οὐ γὰρ ἡ σύνεσις ἄπειρος καὶ ἡ ἀγαθότης, δῆλον ὅτι καὶ ἡ φιλανθρωπία. εἰ δὲ μὴ καθ' ἕκαστον τῶν γινομένων αὐτὴν "ἐννοοῦμεν, καὶ τοῦτο τῆς ἀπειρίας αὐτῆς σημεῖον. πολλὰ γὰρ καὶ μεγάλα καθ' ἑκάστην ἡμέραν ὑπὲρ τῆς σωτηρίας οἰκονομεῖται τῆς ἡμετέρας, ἃ αὐτῷ μόνῳ ἐστὶ φανερά. ἐπειδὴ γὰρ δι' ἀγαθότητα τὸ ἡμέτερον γένος εὐεργετεῖ, οὔτε δὲ τῆς παρ' ἡμῶν δόξης δεόμενος, οὔτε ἀμοιβῆς χρῄζων τινὸς ἑτέρας, τὰ πλείονα ἀφίησι λανθάνειν ἡμᾶς· εἰ δέ ποτε καὶ ἀποκαλύψει, καὶ τοῦτο ἡμῶν ἕνεκεν ποιεῖ, ἵνα εὐχαρίστως διατεθέντες, πλείονα ἐπισπασώμεθα τὴν βοήθειαν. μὴ τοίνυν ὑπὲρ τούτων μόνον, ὧν ἴσμεν, ἀλλὰ καὶ ὑπὲρ ὧν οὐκ ἴσμεν, εὐχαριστῶμεν αὐτῷ. οὐ γὰρ ἑκόντας μόνον, ἀλλὰ καὶ ἄκοντας οἶδεν εὖ ποιεῖν· ὅπερ οὖν καὶ ὁ Παῦλος εἰδώς, πάντοτε καὶ ἐν παντὶ εὐχαριστεῖν παραινεῖ. ὅτι δὲ οὐ κοινῇ πάντων μόνον, ἀλλὰ καὶ ἰδίᾳ ἑκάστου Ματθ. ιη. ιδ. κήδεται, καὶ τοῦτο αὐτοῦ πάλιν ἄκουσον λέγοντος· Οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων, περὶ τῶν πιστευόντων εἰς αὐτὸν λέγων. βούλεται μὲν γὰρ καὶ τοὺς μὴ πιστεύοντας αὐτῷ σωθῆναι μεταβαλλομένους, καὶ πι- α Τιμ. β. δ. στεῦσαι πάντας, καθὼς καὶ ὁ Παῦλός φησιν, Ὅτι θέλει πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς Μαρκ. β. ιζ. ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. καὶ αὐτὸς δὲ τοῖς Ἰουδαίοις ἔλεγεν· Οὐκ ἦλθον καλέσαι δικαίους, Ωσ. ς. ς. ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. καὶ πάλιν διὰ τοῦ προφήτου, Ἔλεον θέλω, καὶ οὐ θυσίαν. ὅταν δὲ μηδὲ τοσαύτης ἐπιμελείας ἀπολαύσαντες ἐθελήσωσι γενέσθαι βελτίους καὶ ἐπιγνῶναι τὴν ἀλήθειαν, οὐδὲ οὕτως αὐτοὺς ἀφίησιν. ἀλλ' ἐπειδὴ τῆς οὐρανίου ζωῆς ἑαυτοὺς ἑκόντες ἀπεστέρησαν, τέως γοῦν εἰς τὸν παρόντα βίον ἅπαντα αὐτοῖς χορηγεῖ, τὸν ἥλιον ἀνατέλλων ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχων ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ τὰ ἄλλα πάντα τὰ πρὸς τὴν σύστασιν τῆς παρούσης παρέχων ζωῆς. εἰ δὲ ἐχθρῶν τοσαύτην πρόνοιαν ποιεῖται, τοὺς πιστεύοντας αὐτῷ καὶ θεραπεύοντας αὐτὸν κατὰ δύναμιν τὴν αὐτῶν, πῶς περιόψεταί ποτε; οὐκ Λουκ. ιβ. ζ. ἔστι ταῦτα, οὐκ ἔστιν· ἀλλ' ἐν πλείονι τούτων πάντων τούτους ἔχει σπουδῇ. Ὑμῶν γάρ, φησι, καὶ αἱ τρίχες τῆς κεφαλῆς ἅπασαι ἠριθμημέναι εἰσίν. ὥστε, ὅταν ἐννοήσῃς, ὅτι πατέρα καὶ οἰκίαν καὶ φίλους καὶ συγγενεῖς καὶ πλοῦτον ἄφατον καὶ δόξαν πολλὴν ῥίψας ἀπὸ τῶν χειρῶν διὰ τὸν Χριστόν, εἶτα τοσαύτην θλῖψιν ὑπομένεις νῦν, μὴ καταβάλλῃς σαυτόν. ἐξ ὧν γὰρ ἡ ἀπορία τίκτεται λογισμῶν, ἐκ τῶν αὐτῶν καὶ ἡ τῆς ἀπορίας ἡμῖν ἔσται λύσις. πῶς; ἀδύνατον ψεύσασθαι τὸν Θεόν. ἐπηγγείλατο δὲ τοῖς ταῦτα καταλιποῦσι ζωὴν αἰώνιον. κατέλιπες δὲ σὺ πάντα καὶ διέπτυσας. τί οὖν ἐστι λοιπὸν τὸ κωλῦόν σε θαρρεῖν ὑπὲρ τῆς ὑποσχέσεως; ὁ κατέχων σε πειρασμὸς νῦν; καὶ τί τοῦτο πρὸς τὴν ὑπόσχεσιν; οὐ γὰρ ἐνταῦθα τὴν αἰώνιον ἡμῖν ζωὴν ἐπηγγείλατο. εἰ δὲ καὶ ἐνταῦθα τὰ τῆς ἐπαγγελίας πληροῦσθαι ἔμελλεν, οὐδὲ οὕτως ἀσχάλλειν ἐχρῆν. τὸν γὰρ εὐλαβῆ καὶ πιστὸν ἄνδρα οὕτω βεβαίως διακεῖσθαι χρὴ πρὸς τὰς ἐπαγγελίας τοῦ Θεοῦ, ὥστε, κἂν ἐναντία αὐταῖς φαίνηται τὰ γινόμενα, μηδὲ οὕτω ταράττεσθαι, μηδὲ ἀπογινώσκειν τὴν ἔκβασιν. ὅρα γοῦν. ὁ πιστὸς Ἀβραὰμ τίνα μὲν ὑπόσχεσιν ἐδέξατο; τίνα δὲ πράττειν ἠναγκάζετο; ἡ μὲν ὑπόσχεσις ἦν, ἀπὸ τοῦ Ἰσαὰκ πᾶσαν ἐμπλήσειν τὴν οἰκουμένην· τὸ δὲ πρόσταγμα, αὐτὸν τοῦτον καταθῦσαι τὸν Ἰσαάκ, ἐξ οὗ ἔμελλε

γρ. ἐπιστ
μεν

πᾶσα πληρωθῆναι ἡ γῆ. τί οὖν; ἐθορύβει τοῦτο τὸν δίκαιον; οὐδαμῶς. ἀλλὰ καὶ τοσαύτης διαφωνίας οὔσης καὶ μάχης τῇ κελεύσει πρὸς τὴν ἐπαγγελίαν, οὐκ ἐταράχθη, οὐδὲ ἰλιγγίασεν, οὐδὲ εἶπέ τι τοιοῦτον ἐκεῖνος· ἕτερα ἐπηγγείλατο ὁ Θεός, καὶ ἕτερα με πράττειν ἀναγκάζει νῦν ὁ Θεός; ἀπὸ τοῦ παιδὸς τούτου δὲ πολύ μοι τῶν ἐκγόνων ὑπέσχετο πλῆθος, καὶ τοῦτον κατασφάξαι κελεύει νῦν; πῶς οὖν τοῦτο ἔσται, τῆς ῥίζης ἐκκεκομμένης; ἠπάτησέ με ἄρα καὶ διέπαιξεν. οὐδὲν τούτων εἶπεν, ἀλλ' οὐδὲ ἐνενόησε. καὶ μάλα γε εἰκότως. ὅταν γὰρ Θεὸς ὁ ὑπισχνούμενος ᾖ, κἂν μυρία δοκῇ τὴν ἐπαγγελίαν ἀναιρεῖν, οὐ χρὴ θορυβεῖσθαι περὶ τοῦ τέλους, οὐδὲ ἀμφισβητεῖν. τοῦτο γὰρ αὐτὸ μάλιστα τῆς τοῦ Θεοῦ δυνάμεώς ἐστι, πόρον ἐκ τῶν ἀπόρων εὑρεῖν· καθάπερ ὁ μακάριος ἐκεῖνος τότε ἐλογίζετο. διόπερ αὐτοῦ καὶ κατεπλάγη τὴν πίστιν ὁ Παῦλος οὕτως εἰπών· Πίστει προσενήνοχε τὸν Ἰσαὰκ πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας δεξάμενος, αὐτὰ δὴ ταῦτα ἐμφαίνων καὶ αἰνιττόμενος, ἅπερ εἶπον ἐγὼ νῦν. Ἑβρ. ια. ιζ. οὐκ ἐκεῖνος δὲ μόνος, ἀλλὰ καὶ ὁ τούτου πάλιν ἀπόγονος Ἰωσήφ, διὰ μακροῦ χρόνου καὶ πολλῶν πραγμάτων κινδυνεύουσαν ὁρῶν τὴν ἐπαγγελίαν, ἔμενεν ἀκλινής· πρὸς γὰρ τὸν ἐπαγγειλάμενον ἑώρα μόνον. εἰ δὲ εἰς ἀνθρωπίνους κατέπεσε λογισμούς, κἂν ἀπέγνω τοῦ τέλους. ἡ μὲν γὰρ δειχθεῖσα ὄψις αὐτῷ, καὶ τῶν ἀδελφῶν καὶ τῶν γεννησαμένων τὴν προσκύνησιν προὔλεγε· τὰ δὲ γινόμενα οὐ τοιαῦτα ἦν, ἀλλὰ πολὺ τούτων ἀπέχοντα. πρῶτον μὲν γὰρ αὐτοὶ οἱ προσκυνεῖν μέλλοντες, εἰς λάκκον αὐτὸν ἐμβάλλουσι, καὶ ἀνδράσιν ἀποδόμενοι βαρβάροις, εἰς ἀλλοτρίαν καὶ πόρρω κειμένην πέμπουσι γῆν. καὶ οὕτως ἐναντία τοῖς δειχθεῖσιν ἐδόκει τὰ γινόμενα εἶναι, ὡς καὶ αὐτοὺς τοὺς ἀθλίους ἐκείνους διαχλευάζειν αὐτὸν καὶ λέγειν· Ἰδοὺ γάρ, φησιν, ὁ ἐνυπνιαστὴς ἐκεῖνος ἔρχεται· νῦν οὖν δεῦτε, Γεν. λζ. ιθ. ἀποκτείνωμεν αὐτόν, καὶ ῥίψωμεν αὐτὸν εἰς ἕνα τῶν λάκκων, καὶ εἴπωμεν, θηρίον πονηρὸν κατέφαγεν αὐτόν· καὶ ὀψόμεθα τί ἔσται τὰ ἐνύπνια αὐτοῦ. μετὰ δὲ ταῦτα οἱ πριάμενοι, οὐδὲ ἐλευθέρῳ τινί, ἀλλὰ δούλῳ πάλιν αὐτὸν ἀποδίδονται βασιλικῷ. καὶ οὐδὲ μέχρι τούτων ἔστη τὰ δεινά· ἀλλὰ συκοφαντίᾳ δεσποίνης περιπεσὼν καὶ κατακριθείς, ᾤκει τὸ δεσμωτήριον ἔτη πολλά, καὶ διαφυγόντων ἑτέρων, αὐτὸς πλείονα μένει χρόνον ἐκεῖ· καὶ τοσούτων ὄντων τῶν δυναμένων θορυβῆσαι τὴν ἐκείνου ψυχήν, ἔμενε τούτοις ἅπασιν ἀπερίτρεπτος. λίπει καὶ τοιαῦτα'' δὲ καὶ τὰ ἡμέτερα, μᾶλλον δὲ καὶ πολλῷ τούτων ἀπορώτερα. ἃ μὲν γὰρ ἐπηγγείλατο, βασιλεία οὐρανῶν καὶ αἰώνιος ζωὴ καὶ ἀφθαρσία καὶ τὰ μυρία ἀγαθά· τὰ δὲ γινόμενα τέως καὶ συμβαίνοντα πολὺ τούτων ἀφέστηκε. θάνατος γάρ ἐστι καὶ φθορὰ καὶ τιμωρία καὶ κόλασις καὶ θλίψεις διάφοροι καὶ συνεχεῖς.

Τίνος οὖν ἕνεκεν ὁ Θεὸς τοῦτο ποιεῖ, καὶ τὰ ἐναντία ταῖς ἐπαγγελίαις ἐκβῆναι συγχωρεῖ; δύο τὰ μέγιστα κατορθῶν, ἓν μὲν τῆς αὐτοῦ δυνάμεως τεκμήριον ἀναμφισβήτητον παρέχων ἡμῖν, ὅτι καὶ ἐξ ἀπεγνωσμένων δύναιτ' ἂν εἰς πέρας τὰς ὑποσχέσεις ἀγαγεῖν· ἕτερον δὲ τὴν ἡμετέραν παιδεύων ψυχὴν πάντα πιστεύειν αὐτῷ, κἂν ἐναντία τοῖς εἰρημένοις τὰ γινόμενα φαίνηται. τοιαύτη γὰρ ἡ τῆς ἐλπίδος ἰσχύς· οὐ καταισχύνει τὸν ἀντεχόμενον αὐτῆς εἰλικρινῶς. εἰ γὰρ οἱ τὰς ὑποσχέσεις ἐνταῦθα λαβόντες οὕτω διετέθησαν, πολλῷ μᾶλλον ἡμᾶς τοῦτο χρὴ ποιεῖν, τοὺς οὐ κατὰ τὸν παρόντα βίον, ἀλλ' εἰς ἑτέρους αἰῶνας προσδοκῶντας τὴν ἔκβασιν τῶν χρηστῶν. ἃ γὰρ ἐνταῦθα πρόσεστι, θλίψις ἐστὶ καὶ στενοχωρία. τί οὖν ἐστι τὸ θορυβοῦν σε; πόθεν τὴν ὑπόσχεσιν ὑποπτεύεις τοῦ Θεοῦ; τὸ γὰρ καταφρονῆσαι μὲν δι' αὐτὸν τοῦ κόσμου παντός, λέγειν δὲ πάλιν ἠμελῆσθαι παρ' αὐτοῦ, οὐδὲν ἕτερόν ἐστιν, ἢ ἀπιστοῦντος καὶ ὑποπτεύοντος, καὶ ἀπάτην τὴν ἐπαγγελίαν ἐκείνην εἶναι νομίζοντος, ὅπερ ἀληθῶς ἐστι δαιμονᾶν, καὶ τὸ τῆς γεέννης προσκαλεῖσθαι πῦρ. ἀλλ' εἰσί τινες, οἱ βιωτικοῖς ἐνστρεφόμενοι πράγμασιν ἐν ἀνέσει διάγουσι. καὶ γὰρ καὶ τοῦτο προεῖπεν ὁ Χριστός. Ἰωαν. ιϛ. κ. Ἀμὴν γάρ, ἀμὴν λέγω ὑμῖν, φησιν, ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς· ὁ δὲ κόσμος χαρήσεται. καὶ ἐπὶ τῶν προτέρων δὲ γενεῶν, Βαβυλώνιοι μὲν, οἱ μηδὲ τὸν Θεὸν εἰδότες, ἐν πλούτῳ καὶ δυναστείᾳ ἦσαν καὶ τιμῇ· Ἰουδαῖοι δὲ ἐν αἰχμαλωσίᾳ καὶ δουλείᾳ καὶ τοῖς ἐσχάτοις κακοῖς· καὶ Λάζαρος μὲν, ὁ τῶν οὐρανῶν ἄξιος καὶ τῆς βασιλείας τῆς ἐκεῖ, ἡλκωμένος ταῖς τῶν κυνῶν παρέκειτο γλώτταις, λιμῷ μαχόμενος διηνεκεῖ· ὁ δὲ πλούσιος ἐν τιμῇ καὶ δορυφορίᾳ καὶ ἀνέσει καὶ τρυφῇ. ἀλλ' ὅμως οὐδὲν οὔτε οὗτος ἐν τῇ γεέννῃ τούτων ἀπώνατο, οὔτε ὁ Λάζαρος ἀπὸ τοῦ λιμοῦ καὶ τῶν τραυμάτων εἰς τὴν ἀκρίβειαν τοῦ παρόντος παρεβλάβη βίου· ἀλλ' ὥσπερ τις γενναῖος ἀθλητὴς ἐν αὐχμῷ καὶ πνίγει βαρυτάτῳ παλαίων, καὶ ἐνίκησε καὶ ἐστεφανώθη. διὰ τοῦτο καὶ Σειρ. β. α. ε. τις σοφώτατός φησι· Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν, εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον· καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς. καὶ μετ' ὀλίγα φησὶν, ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσὸς· καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως. Παροιμ. γ. ια. καὶ πάλιν ἀλλαχοῦ λέγει· Τέκνον, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. ὁ γὰρ τὸ χρυσίον εἰς τὴν κάμινον ἐμβάλλων, οἶδε καὶ μέχρι τίνος αὐτὸ πυρωθῆναι δεῖ, καὶ πότε ἀνασπασθῆναι. διὰ τοῦτο ἐκεῖνος μέν φησι, μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς· ὁ δὲ Σολομὼν τὸ αὐτὸ διδάσκων ἔλεγε, Μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. μέγα γὰρ ἡ θλῖψις, μέγα πρὸς τὸ δόκιμον ἐργάσασθαι ἄνδρα, καὶ παιδεῦσαι τῆς ὑπομονῆς τὴν ἀρετήν. τί οὖν, φησιν, ἂν περιτρέψῃ καὶ καταβάλλῃ διὰ τῆς ὑπερβολῆς; ἀλλ' οὐκ ἀφήσει τοῦτο παθεῖν ὁ Θεός, ἂν εὐχαρίστως ἡμᾶς ὑποφέροντας ἴδῃ τὸν πειρασμόν. α Κορ. ι. ιγ. ὅτι δὲ οὐκ ἀφίησι, μαρτυρεῖ Παῦλος λέγων· Πιστὸς ὁ Θεός, ὃς οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα, ἀλλὰ σὺν τῷ πειρασμῷ ποιήσει καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ἡμᾶς ἐπενεγκεῖν. εἰ γὰρ ἐξ ἀγάπης μὲν ἡ παιδεία, ἡ δὲ ἐγκατάλειψις ἀπὸ μίσους, οὐκ ἔστι δὲ τοῦ αὐτοῦ φιλεῖν ὁμοῦ καὶ μισεῖν τὸν αὐτόν, οὐδὲ παιδεύειν ὁμοῦ καὶ ἐγκαταλιμπάνειν τὸν αὐτὸν οἷόν τε. πῶς οὖν πολλοὶ κατέπεσον, φησιν; ἑαυτοὺς ἀποστερήσαντες τοῦ Θεοῦ, οὐ κατα- Ψαλ. οβ. κζ. λειφθέντες ὑπ' αὐτοῦ (Ἰδοὺ γὰρ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνται· μακρύνουσι δὲ οἱ μὴ φέροντες τὰς τοῦ Θεοῦ παιδείας) ἀλλ' ὀργιζόμενοι καὶ δυσανασχετοῦντες. καὶ καθάπερ οἱ μοχθηροὶ τῶν παίδων, τῶν πατέρων αὐτοὺς πρὸς διδασκάλους πεμπόντων, ἂν τοὺς ἐκεῖ πόνους καὶ τὰς ὀλίγας φεύγοντες πληγάς, τῆς τῶν γονέων ἀποπηδήσωσιν ὄψεως, ἐκέρδανόν τε οὐδέν, καὶ χείροσιν ἑαυτοὺς περιέπειραν κακοῖς, ἐν ἀλλοτρίᾳ λιμώττειν καὶ ἀλᾶσθαι καὶ νοσεῖν καὶ ἀτιμάζεσθαι καὶ δουλεύειν ἀναγκαζόμενοι· οὕτω καὶ οἱ τὴν τοῦ Θεοῦ παιδείαν εὐχαρίστως μὴ φέροντες, ἀλλὰ δυσανασχετοῦντες, πρὸς τῷ μηδὲν ἐξ αὐτῆς καρπώσασθαι, καὶ ταῖς ἐσχάταις ἑαυτοὺς περιβάλλουσι συμφοραῖς. διὰ τοῦτο * καρτερεῖν παρηγγέλμεθα, καὶ τὴν καρδίαν εὐθύνειν τὴν ἑαυτῶν. ἀλλὰ πολλῷ χαλεπώτερα πέπονθας; * οὐδὲ γὰρ οἱ παιδοτρίβαι πάντας ὁμοίως καὶ ἑνὶ τρόπῳ γυμνάζουσιν, ἀλλὰ τοῖς μὲν ἀσθενεστέροις ἀσθενεῖς, τοῖς δὲ γενναίοις τοιούτους παρέχουσιν ἀνταγωνιστάς. ὁ γὰρ ἐλάττω τῆς οἰκείας δυνάμεως λαβὼν τὸν ἀνταγωνιστὴν, κἂν δι' ὅλης αὐτῷ συμπλέκηται τῆς ἡμέρας, ἐκεῖνος ἀγύμναστος ἔμεινε. πῶς οὖν, φησι, τοὺς τὸν αὐτὸν ἐπανῃρημένους βίον οὐ "τοῖς αὐτοῖς ἄθλοις ἐποίησε" πόνοις; ὅτι οὐ μία παρὰ τῷ Θεῷ γυμνασίας ἰδέα, οὐδὲ τῶν αὐτῶν ἅπαντες δέονται, κἂν ἐν τοῖς αὐτοῖς ὦσι. καὶ γὰρ νοσοῦντες πολλοὶ ταῖς αὐταῖς νόσοις, οὐ τῶν αὐτῶν ἐδεήθησαν φαρμάκων, ἀλλ' ἑτέρων μὲν οὗτοι, ἑτέρων δὲ ἐκεῖνοι. διὰ τοῦτο ποικίλοι καὶ διάφοροι τῶν μαστίγων οἱ τρόποι· καὶ ὁ μὲν νόσῳ δοκιμάζεται μακρᾷ, ὁ δὲ βαρυτάτῃ πενίᾳ, τῷ βιάζεσθαι καὶ ἀδικεῖσθαι ἕτερος, ἄλλος τῷ συνεχεῖς καὶ ἐπαλλήλους θανάτους καὶ παίδων καὶ τῶν αὐτῷ προσηκόντων ἰδεῖν· καὶ οὗτος μὲν τῷ παρὰ πάντων" ἀπορρίπτεσθαι καὶ μηδενὸς ἀξιοῦσθαι λόγου· ἐκεῖνος δὲ τῷ διαβάλλεσθαι ἐφ' οἷς οὐδὲν σύνοιδεν ἑαυτῷ, καὶ πονηρᾶς δόξης ἀνέχεσθαι βάρος· καὶ ἄλλος ἄλλως. οὐδὲ γὰρ δυνατὸν ἅπαντα μετ' ἀκριβείας ἐξαριθμήσασθαι νῦν. τούτων" δὲ ἕκαστον δοκεῖ μὲν ὅσον πρὸς τὴν τῶν σῶν παράθεσιν συμφορῶν κοῦφον εἶναι καὶ οὐδέν· εἰ δὲ ἐν πεί-

χ. ὁ δὲ πα
τοῦτο ἐπη
μενος ἐπ
γὰρ ὃν γὰ
παρὰ Κυρι
παιδεύει

* ὑπὸ τοῦ
φοῦ
* καὶ τί τοῦ
ἀλλὰ μᾶλ
σοι ἔστω καὶ
μαθεῖς.

χ. τοὺς αὐ
χ. πόνοις

χ. ἀπορρίπτε
σθαι

χ. τὸ εἶν

ρα κατέστησας αὐτήν, ἔμαθες ἂν ὅτι τοῦτο, ἐφ' ᾧ σὺ νῦν ἀλύεις, ἐκείνων πολλῷ φορητότερον.

Εἰ δὲ καὶ εἰσί τινες ἐλάττονι ἡμῶν παιδευόμενοι, μὴ σκανδαλιζώμεθα ἐπὶ τούτῳ. ἡ γὰρ τῶν πόνων ἐπίτασις μισθῶν ἐπίτασίς ἐστι, καὶ ἔρεισμα ἀσφαλὲς πρὸς τὸ μηκέτι ἑκόντας ἐκπεσεῖν. καὶ γὰρ τῦφον καταστέλλει, καὶ ῥαθυμίαν ἀποστρέφει, καὶ φρονιμωτέρους ποιεῖ, καὶ εὐλαβεστέρους ἐργάζεται· καὶ ὅλως εἰ βούλοιτό τις ἐξαριθμεῖν ἅπαντα, πολλὰ ἂν εὕρῃ τὰ κέρδη τῶν πειρασμῶν. καὶ οὐκ ἔστιν οὐδεὶς ὢν πολὺς παρὰ τῷ Θεῷ λόγου θλίψεως ἐκτός, κἂν ἡμῖν οὕτω * φαίνηται. Εἰ γὰρ ὁ μακάριος Παῦλος " πολὺ τὸ πρᾶγμα ὑπέμεινεν, οὐδεὶς δὲ ἐκείνου μείζων, ἀλλ' οὐδὲ ἴσος ἐστί, πῶς ἔνι μὴ δεηθῆναι τῆς βοηθείας ταύτης ἄλλους; Εἰ δέ τινες οὐδὲ ταῖς θλίψεσι ταύταις ἐσωφρονίσθησαν, οὐκέτι τοῦτο παρὰ τὴν αἰτίαν τοῦ τὴν παιδείαν ἐπαγαγόντος, ἀλλὰ παρὰ τὴν ὀλιγωρίαν ἐκείνων. Εἰ δὲ μὴ ἐπετέθη τὸ φάρμακον, παρὰ τὸ ἠμελῆσθαι, ἔδοξαν ἂν ἀπολωλέναι· νῦν δὲ οὐ μικρὰν ἰσχύσαι τὸ μηδένα αἰτιᾶσθαι τὸν ἰατρόν, ἀλλὰ αὐτοὺς κάμνοντας καὶ τὴν ἀπροσεξίαν αὐτῶν. Εἰ δέ τινες πρὸ τῶν πειρασμῶν ὀρθὰ βαδίζοντες μετὰ τὴν τούτων ἐπαγωγὴν κατέπεσον, καὶ πάλιν ἕτεροι πᾶσαν ἐπερχόμενοι κακίαν οὐδεμιᾶς θλίψεως ἐπειράσθησαν, ἄλλοι δὲ ἐκ πρώτης ἡλικίας εἰς ἐσχάτας ἀναπνοὰς μυρίαις πευχόμενοι συμφοραῖς διετέλεσαν, μηδενὶ τούτων θορυβώμεθα, μηδὲ καταπίπτωμεν. Εἰ μὲν γὰρ ἅπασαν δυνάμενοι καὶ ὀφείλοντες τῆς προνοίας αὐτοῦ τὴν οἰκονομίαν εἰδέναι, ταῦτα ἠγνοοῦμεν, ἐχρῆν ἀθυμεῖν καὶ ταράττεσθαι· εἰ δὲ καὶ ὁ τοσούτων κοινωνήσας ἀπορρήτων, καὶ εἰς τρίτον οὐρανὸν ἀνελθὼν ἰλιγγιάσει πρὸς ταύτην τὴν ἄβυσσον, καὶ διακύψας πρὸς τὸ βάθος τοῦ πλούτου καὶ τῆς σοφίας καὶ τῆς γνώσεως τοῦ Θεοῦ, κατεπλάγη μόνον καὶ εὐθὺς ἀνεχώρησε, τί μάτην κόπτομεν ἑαυτοὺς πολυπραγμονοῦντες τὰ ἀνεξερεύνητα, καὶ ζητοῦντες τὰ ἀνεξιχνίαστα; καὶ ἰατρῷ μὲν τοῖς φαινομένοις ἡμῖν συμφέρουσι πολλάκις ἐναντία προστάττοντι, καὶ τὸ καταψυχθὲν μέλος ἀποτμηθῆναι κελεύοντι κρουῶν, καὶ ἄλλα πολλὰ τοιαῦτα ἐργαζομένῳ παράδοξα οὐκ ἀντιλέξομεν, ἀλλ' ἐπειδὴ φθάσαντες ἐπείσαμεν ἑαυτούς, ὅτι τῷ τῆς τέχνης λόγῳ τοῦτο ποιεῖ, μετὰ προθυμίας εἴκομεν, καίτοιγε διαμαρτάνοντι πολλάκις· τὸν δὲ Θεὸν τὸν τοσοῦτον ἡμῶν ἀφεστηκότα ἐν ἅπασι, τὸν αὐτοσοφίαν ὄντα, τὸν οὐδέποτε " διαμαρτάνοντα πολυπραγμονήσομεν; καὶ ὃν μὲν ἔδει λογισμοὺς ἀπαιτεῖν, τούτῳ πιστεύσομεν ἁπλῶς· ᾧ δὲ ἔδει μόνῳ πιστεύειν, τούτου εὐθύνας καὶ λόγους τῶν πραττομένων ἀπαιτήσομεν, καὶ δυσχεραίνομεν τὴν ἄγνοιαν; καὶ ποῦ ταῦτα ψυχῆς εὐλαβοῦς; μή, δέομαι καὶ ἀντιβολῶ, μὴ πρὸς τοσοῦτον μανίας ἔλθωμεν· ἀλλ' ἐν ἅπασιν, * οἷς ἂν ἀπορῶμεν, ἐκεῖνο ἐπιλέγωμεν, Τὰ κρίματά σου ἄβυσσος πολλή. Ψαλ. λε. ε. καὶ γὰρ καὶ τοῦτο αὐτὸ τῆς τοῦ Θεοῦ σοφίας ἐστί, τὸ μὴ πάντα ἡμᾶς εἰδέναι σαφῶς. Εἰ μὲν γὰρ ἐπιστάμενοι τὰς αἰτίας τῶν γινομένων, οὕτως ἐπειθόμεθα τῷ Θεῷ, οὐκ ἦν πολὺς ἡμῖν ὁ μισθός, οὐδὲ πίστεως τὸ πρᾶγμα ὑπῆρξεν ἐπίδειξις· ὅταν δὲ μηδὲν τούτων εἰδότες, καὶ οὕτω στέργομεν εἴκειν ἅπασιν αὐτοῦ τοῖς προστάγμασι, καὶ εἰς ὑπακοὴν γνησίαν καὶ εἰς πίστιν εἰλικρινῆ, μέγιστα τὰς ἡμετέρας ὠφελοῦμεν ψυχάς. καὶ γὰρ ἓν μόνον πεπεῖσθαι χρή, ὅτι συμφερόντως ἡμῖν ἅπαντα ἐπάγεται παρὰ τοῦ Θεοῦ· τὸν δὲ τρόπον μηκέτι ζητεῖν, μηδὲ ἀγνοοῦντας ἀσχάλλειν ἢ ἀθυμεῖν. οὔτε γὰρ δυνατὸν ταῦτα εἰδέναι, οὔτε συμφέρον, τὸ μέν, διὰ τὸ θνητοὺς εἶναι, τὸ δέ, διὰ τὸ ταχέως εἰς ἀπόνοιαν αἴρεσθαι. πολλὰ καὶ ἡμεῖς πράττομεν τῶν τοῖς παισὶ τοῖς ἡμετέροις δοκούντων μὲν εἶναι βλαβερῶν, συμφερόντων δὲ ὅμως· καὶ οὔτε ἐκεῖνοι τὴν αἰτίαν ἀξιοῦσι μαθεῖν, οὔτε ἡμεῖς, * πρότερον αὐτοὺς πείσαντες ὅτι συμφέρει τὸ γινόμενον, οὕτως ἐπὶ τὸ πράττειν ἐρχόμεθα, " καὶ εἰς τοῦτο μόνον αὐτοὺς παιδαγωγοῦμεν, εἴκειν οἷς ἂν ἐπιτάξωσιν οἱ πατέρες, καὶ μηδὲν περαιτέρω ζητεῖν. Εἶτα πρὸς μὲν τοὺς γονεῖς καὶ τῆς αὐτῆς ἡμῖν φύσεως ὄντας οὕτω διακεισόμεθα, καὶ οὐκ ἀγανακτήσομεν· πρὸς δὲ τὸν Θεόν, οὗ τὸ μέσον τοσοῦτόν ἐστιν, ὅσον Θεοῦ πρὸς ἀνθρώπους, δυσχεραίνομεν ὅτι μὴ πάντα ἴσμεν;

καὶ τί ταύτης τῆς ἀσεβείας ἴσον; πρὸς γὰρ τοὺς τοιούτους ὁ μακάριος Παῦλος ἀγανακτῶν ἔλεγε·
Ρωμ. θ κ. Μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; μὴ ἐρεῖ τὸ πλάσμα
τῷ πλάσαντι, τί με ἐποίησας οὕτω; καὶ ἐγὼ μὲν τὸ τῶν παίδων ἔφην ὑπόδειγμα, ἐκεῖνος
δὲ πολλῷ τούτου μεῖζον ἔθηκε, τὸ τοῦ κεραμέως καὶ τοῦ παρ' αὐτοῦ πλαττομένου πηλοῦ. καθάπερ
γὰρ ὁ πηλὸς, ἧπερ ἂν ἄγωσιν αἱ χεῖρες τοῦ διατυποῦντος αὐτὸν, ἕπεται· οὕτω καὶ τὸν ἄνθρωπον,
ἧπερ ἂν ὁ Θεὸς κελεύῃ, ταύτῃ ἕπεσθαι δεῖ, καὶ ἅπερ ἂν ἐπάγῃ, ταῦτα μετ' εὐχαριστίας
δέχεσθαι χρὴ, οὐδὲν ἀντιλέγοντα, οὐδὲ περιεργαζόμενον ὑπὲρ τοῦ μαθεῖν. οὐδὲ γὰρ
ἡμῖν ταῦτα μόνοις ἐστὶν ἄπορα, ἀλλὰ καὶ τοῖς πρὸ ἡμῶν ἁγίοις ἀνδράσι μεγάλοις ἐκείνοις
Ιὼβ κα. ζ. καὶ θαυμαστοῖς. ὁ μὲν γὰρ Ἰὼβ ἔλεγε· Διὰ τί ἀσεβεῖς ζῶσι, πεπαλαίωνται δὲ πλούτῳ, καὶ
Ψαλ. οβ. β. τὰ ἑξῆς; ὁ δὲ μακάριος Δαβὶδ, Παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου, ὅτι ἐζήλωσα
ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν· ὅτι οὐκ ἔστιν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν,
καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν· ἐν κόποις ἀνθρώπων οὐκ εἰσὶ, καὶ μετὰ ἀνθρώπων οὐ
Ιερ. ιβ. α. μαστιγωθήσονται. καὶ μετὰ τοῦτον δὲ ὁ Ἱερεμίας ἔλεγε· Δίκαιος εἶ, Κύριε, πλὴν κρίματα λαλήσω
πρὸς σέ. τί ὅτι ὁδὸς ἀσεβῶν εὐθηνεῖται; ἠπόρουν μὲν οὖν καὶ οὗτοι, καὶ ἐζήτουν· ἀλλ'
οὐκ ἐξ ἴσης τοῖς ἀσεβέσιν, οὐδὲ ἐγκαλοῦντες τῷ Θεῷ, οὐδὲ καταγινώσκοντες ἀδικίαν ἐκ
Ψαλ. λε. ς. τῶν γινομένων αὐτοῦ. ὁ μὲν γὰρ ἔλεγεν, Ἡ δικαιοσύνη σου ὡς ὄρη Θεοῦ, τὰ κρίματά σου ἄβυσσος
Ιὼβ α. κβ. πολλή· περὶ δὲ τοῦ μυρία παθόντος Ἰὼβ, Ἐν πᾶσι τούτοις οὐχ ἥμαρτεν ἐν τοῖς χείλεσιν
αὐτοῦ, καὶ οὐκ ἔδωκεν ἀφροσύνην τῷ Θεῷ. καὶ μεταξὺ δὲ τοῦ βιβλίου ἔλεγε τὸ ἀκατάληπτον
αὐτοῦ τῆς σοφίας καὶ τῆς οἰκονομίας ὁ συγγραφεὺς ἐξηγούμενος, ἐπειδὴ περὶ τῆς δημιουργίας
Ιὼβ κς. ιδ. διελέχθη, Ἰδοὺ ταῦτα μέρη ″ὁδῶν αὐτοῦ, καὶ [ἐπὶ] ἰκμάδα λόγου ἀκουσόμεθα ἐν αὐτῷ. ὁ δὲ γρ.
Ἱερεμίας αὐτὸ τοῦτο προορώμενος, μή τις ὑποπτεύσῃ ποτὲ, προστίθησι τῆς ἐρωτήσεως
Ιερ. ιβ. α. τὴν ἑαυτοῦ κρίσιν εἰπὼν, Δίκαιος εἶ, Κύριε· τουτέστιν, οἶδα μὲν ὅτι δικαίως ἅπαντα γίνεται
παρὰ σοῦ, τὸν δὲ τρόπον οὐκ ἐπίσταμαι καθ' ὃν γίνεται. τί οὖν; ἔμαθόν τι πλέον ἐκεῖνοι; ἀλλ'
Ψαλ. οβ. ιζ. οὐδὲ ἀποκρίσεως μὲν οὖν ὑπὲρ τούτων ἔτυχον. ὃ καὶ δηλῶν ὁ μακάριος Δαβὶδ ἔλεγε, Καὶ
ὑπέλαβον τοῦ γνῶναι, ὅτι τοῦτο κόπος ἐστὶν ″ἐνώπιόν μου. οὐκ ἔτυχον δὲ ἀποκρίσεως, ἵνα τοὺς γρ.
μετὰ ταῦτα παιδεύσωσι μηδὲ ἐρωτᾶν. καὶ ἐκεῖνοι μὲν ἓν μόνον ἐζήτουν, διὰ τί οἱ ἀσεβεῖς
ἐν εὐθηνίᾳ καὶ πλούτῳ, καὶ οὐδὲ οὕτως ἐμάνθανον· οἱ δὲ νῦν πολλῷ πλείονα
πολυπραγμονοῦσιν ἐκείνων. ταῦτα γὰρ τὰ νῦν προτιθέμενα πολλῷ πλείονα ἐκείνων
ἐστίν.

Ὁ μὲν οὖν σαφὴς λόγος τούτων ἐπιτετράφθω τῷ πάντα εἰδότι πρὶν γενέσεως αὐτῶν.
εἰ δὲ χρὴ καὶ αὐτοὺς ἡμᾶς ἐκ τῶν ἤδη γεγενημένων * γνωρίμων ἡμῖν ἐπινοῆσαι λύσιν καὶ * ἢ
παραμυθίαν τοῖς ζητουμένοις τινὰ διὰ τοὺς σφόδρα ταῦτα περιεργαζομένους, ἐκεῖνό φημι·
ὅτι τὸ μὲν τοὺς δικαίους ἐν θλίψεσιν εἶναι, ἐν ἀνέσει δὲ τοὺς πονηροὺς, οὐδὲ ζητήσεως ἄξιον λοιπὸν,
τῆς βασιλείας ἀποκαλυφθείσης, καὶ τῆς κατὰ τὸν μέλλοντα αἰῶνα ἀντιδόσεως δειχθείσης
ἡμῖν. τοῦ γὰρ κατ' ἀξίαν ἐκεῖ μένοντος ἕκαστον, τί χρὴ ταράττεσθαι τοῖς γινομένοις ἐνταῦθα
καλοῖς ἢ κακοῖς; τοὺς μὲν γὰρ αὐτῷ προσέχοντας ὁ Θεὸς, ἅτε γενναίους ἀθλητὰς, τούτοις γυμνάζει
τοῖς πόνοις· τοὺς δὲ ἀσθενεστέρους καὶ μηδὲν τῶν ″βαρυτέρων δυναμένους ἐνεγκεῖν, γρ.
πρότερον εἰς τὴν τῶν ἀγαθῶν ἔργων ἐνάγει προτροπήν. εἰ δὲ καὶ τοὐναντίον συμβαίνει
πολλάκις, καὶ πολλοὶ μὲν τῶν δικαίων ἐν ἀνέσει διάγουσι καὶ τιμῇ, τῶν δὲ πονηρῶν ἐν ἀτιμίᾳ καὶ
τοῖς ἐσχάτοις κακοῖς, τέως μὲν ἡμῖν ἡ προτέρα ἀντίθεσις ἡ λέγουσα κακοῦσθαι μὲν τοὺς δικαίους,
τοὺς δὲ ἀδίκους τρυφᾶν, ἀνατέτραπται τῷ λόγῳ. εἰ δὲ καὶ ταύτην ἐπιλύσασθαι δεῖ,
ἐκεῖνο ἂν εἴποιμι· ὅτι οὐχ ἑνὶ τρόπῳ τὰ καθ' ἡμᾶς ὁ Θεὸς οἰκονομεῖν εἴωθεν, ἀλλ' εὔπορος
ὢν, πολλὰς ἡμῖν τέμνει τὰς πρὸς σωτηρίαν ὁδούς. ἐπειδὴ γὰρ πολλοὶ τὸν περὶ τῶν μελλόντων
καὶ τῆς ἀναστάσεως οὐκ ἀνέχονται δέξασθαι λόγον, διὰ τοῦτο ἐν βραχεῖ τῆς κρίσεως

τὴν εἰκόνα ἐνταῦθα δείκνυσιν, ὅταν κολάζῃ μὲν τοὺς πονηρούς, εὐεργετῇ δὲ τοὺς χρηστούς. τοῦτο γὰρ ὁλοσχερῶς μὲν ἐν τῇ κρίσει γίνεται, ἐκ μέρους δὲ καὶ ἐνταῦθα νῦν· ἵνα οἱ πρὸς τὸν μακρὸν ἐκεῖνον διαπεπτωκότες χρόνον, τοῖς γοῦν ἐν τῷ παρόντι δρωμένοις ἐπιεικέστεροι γίνωνται. εἴτε γὰρ μηδεὶς ὅλως ἐκολάζετο τῶν πονηρῶν, μηδὲ ἐτιμᾶτο τῶν χρηστῶν, πολλοὶ τῶν διαπιστούντων τῷ τῆς ἀναστάσεως λόγῳ, τὴν μὲν ἀρετὴν ὡς αἰτίαν κακῶν ἔφυγον, τὴν δὲ πονηρίαν ὡς ἀγαθῶν πρόξενον ἐδίωκον· εἴτε πάλιν ἐνταῦθα τὸ κατ' ἀξίαν ἅπαντες ἀπελάμβανον, περιττὸν ἂν ἡγήσαντο εἶναι καὶ ψευδῆ τὸν τῆς κρίσεως λόγον. ἵν' οὖν μήτε οὗτος διαπιστῆται, μήτε ὁ πολὺς καὶ χυδαῖος λαὸς φαυλότερος γίνηται καταφρονῶν, ἐπεξέρχεται καὶ ἐνταῦθα τῶν ἁμαρτανόντων πολλούς, καὶ ἀμείβεται τῶν κατορθούντων ἐνίους, τῷ μὲν μὴ εἰς πάντας τοῦτο ποιεῖν, τὸν τῆς κρίσεως πιστούμενος λόγον, τῷ δὲ καὶ πρὸ τῆς κρίσεως κολάζειν τινάς, τοὺς πολὺν ὕπνον καθεύδοντας διεγείρων. ἀπὸ μὲν γὰρ τοῦ τιμωρεῖσθαι τοὺς πονηρούς, διανίστανται πολλοὶ τῷ φόβῳ τοῦ μὴ τὰ αὐτὰ παθεῖν· ἀπὸ δὲ τοῦ μὴ πάντας ἐνταῦθα τὰ κατ' ἀξίαν ἀπολαβεῖν, ἀναγκάζονται λογίζεσθαι, ὅτι εἰς ἕτερόν τινα τοῦτο ταμιεύεται καιρόν. οὐ γὰρ ἂν δήπου δίκαιος ὢν ὁ Θεὸς περιεῖδε τοσούτους καὶ τῶν κακῶν ἀτιμωρήτους ἀπελθόντας, καὶ τῶν ἀγαθῶν μυρίοις κολασθέντας δεινοῖς, εἰ μὴ ἄλλην τινὰ αἰῶνος ἑκατέροις παρεσκευάκει κατάστασιν. διὸ οὐ πάντας, ἀλλ' ἐνίους κολάζει καὶ τιμᾷ, ὥσπερ ἐπὶ τοῦ Πέρσου, ὥσπερ ἐπὶ τοῦ Ἐζεκίου. καίτοι πολλοὶ καὶ τῷ Ἀσσυρίῳ γεγόνασιν ἀσεβεῖς ἐξίσης, καὶ κατὰ τὸν Ἐζεκίαν ἐνάρεστοι, ἀλλ' οὐκ ἐπὶ πάντων τοῦτο πεποίηκε. τὸ δὲ αἴτιον ὅπερ ἔφην ἐστί, τὸ μηδέπω παρεῖναι τῆς κρίσεως τὸν καιρόν. καὶ ὅτι οὐκ ἐμὸς οὗτος ὁ λόγος, αὐτοῦ τοῦ κρίνειν ἡμᾶς τότε μέλλοντος ἄκουσον. ἐπειδὴ γὰρ προσῆλθον αὐτῷ οἱ τὴν τελευτὴν τῶν ὑπὸ τοῦ πύργου καταχωσθέντων καὶ τὴν τοῦ Πιλάτου μανίαν ἀπαγγέλλοντες, ἣν εἰς τοὺς τετελευτηκότας ἐπεδείξατο ταῖς θυσίαις αὐτῶν ἀναμίξας τὸ αἷμα, τί φησι; Δοκεῖτε ὅτι οἱ Γαλιλαῖοι οὗτοι ἁμαρτωλοὶ παρὰ πάντας τοὺς Γαλιλαίους ἐγένοντο, ὅτι τοιαῦτα πεπόνθασιν; οὐχί, λέγω ὑμῖν, ἀλλ', ἐὰν μὴ μετανοήσητε, πάντες ὁμοίως ἀπολεῖσθε. ἢ ἐκεῖνοι οἱ δέκα καὶ ὀκτώ, ἐφ' οὓς ἔπεσεν ὁ πύργος ἐν τῷ Σιλωάμ, καὶ ἀπέκτεινεν αὐτούς, δοκεῖτε ὅτι αὐτοὶ ὀφειλέται ἐγένοντο παρὰ πάντας τοὺς κατοικοῦντας Ἱερουσαλήμ; οὐχί, λέγω ὑμῖν, ἀλλ', ἐὰν μὴ μετανοήσητε, πάντες ὡσαύτως ἀπολεῖσθε. αὕτη τῆς ἀναβολῆς ἡ αἰτία· διὰ τοῦτο τοὺς τῶν αὐτῶν ἀξίους οὐχ ὁμοῦ πάντας κολάζειν εἴωθεν, ἵνα οἱ λειπόμενοι βελτίους ταῖς ἐκείνων γίνωνται συμφοραῖς.

άρεστοι

Λουκ. ιγ. β.

Καὶ ταῦτα μὲν ἡμῖν οὕτως ἐπιλελύσθω. σὺ δὲ ἴσως καὶ τὰ νῦν προτιθέμενα ζητεῖς, ἃ πολλῷ τούτων ἐστὶν ἀπορώτερα. πλὴν ἀλλὰ τούτων ἡμῖν κατὰ δύναμιν γινομένων φανερῶν, καὶ τῆς ἐκείνων λύσεως οἶμαί τινα προκαταβεβλῆσθαι διὰ τούτων ἀρχήν. τί οὖν ἐστιν, ὅπερ ἀπορεῖς; ὅτι πολλοὶ μέχρι τελευτῆς ἐκ πρώτης ἡλικίας πολλαῖς προσεπάλαισαν συμφοραῖς. ἐγὼ δὲ καὶ περὶ τούτων εἴποιμι ἂν καὶ περὶ τῶν προτέρων, ὅτι προηγουμένως μὲν διὰ τὴν οἰκείαν αὐτοὺς κολάζει πονηρίαν· ἔπειτα δέ, ἵνα καὶ ἕτεροι κερδάνωσιν ἐκ τῶν τούτοις συμβαινόντων κακῶν. εἰ δὲ μὴ ἐπὶ πάντων γίνεται τοῦτο, οὔπω τῆς κρίσεως ὁ καιρός. τί οὖν, φησίν, ὅταν πρὶν ἐλθεῖν εἰς τὴν ἡλικίαν τὴν διαγνωστικὴν τῶν καλῶν καὶ τῶν οὐ τοιούτων, ὡς μεγάλα ἠδικηκότες τινὲς κολάζονται; τούτου μὲν οὐ μία τίς ἐστιν αἰτία, ἀλλὰ πολλαὶ καὶ διάφοροι. καὶ γὰρ παρὰ τὴν τῶν γεννησαμένων ἀκρασίαν, καὶ παρὰ τὴν τῶν θρεψάντων ῥαθυμίαν, καὶ παρὰ τὴν τῶν ἀέρων ἀνωμαλίαν, καὶ παρὰ πολλὰ ἕτερα τοιαῦτα συμπτώματα τοῦτο γένοιτ' ἄν. πρὸς δὲ τούτοις, πολλοὺς αὐτῶν οἶδεν ὁ Θεὸς ἐσομένους πονηρούς· εἶτα, ὥσπερ τισὶ πέδαις, προκατέχει ταῖς τιμωρίαις ταύταις αὐτούς. ἢ οὐχ ὁρᾷς καὶ τῶν ἐπαιτῶν πολλοὺς καὶ ἐν αὐτῇ τῇ θλίψει μυρία ἐργαζομένους δεινά, οὐ διὰ τὴν θλῖψιν, οὐδὲ διὰ τὸν λιμόν, ἀλλὰ διὰ τὴν οἰκείαν πονηρίαν μόνον; ἐγὼ γὰρ ἤκουσά τινων λεγόντων ποτέ, ὅτι γυναῖκα ἐλευθέραν καὶ κοσμίαν ἀπολαβόντες, ἐπ' ἐρημίας ἐνύβρισαν. καίτοι ποίας τοῦτο ἀνάγκης, ποίας θλίψεως ἔργον; τί δὲ οὐκ ἂν ἔπραξαν οὔτι δεινόν, εἰ μὴ τοσούτῳ κατείχοντο δεσμῷ; τῶν δὲ τὸ δεσμωτήριον οἰκούντων τὴν μανίαν καὶ τὴν λύτταν τίς ἂν ἐνέγκοι ῥαδίως; καὶ οἱ δαιμονῶντες δὲ οὐκ ἐλάττονα τούτων ἐργάζονται. οὐ λέγω ταῦτα, ἅπερ κατὰ τὸν καιρὸν τῆς τοῦ δαίμονος πράττουσι κατοχῆς, ἀλλὰ τὰ μετὰ ταῦτα, τῆς βακχείας παυσαμένης ἐκείνης. καὶ γὰρ ἀδηφαγοῦσι, καὶ κλέπτουσι, καὶ μεθύουσι, καὶ πολλῷ τούτων αἰσχρότερα πράττουσι. καθάπερ οὖν ἐπὶ τῶν κακούργων, τοὺς μὲν πολλοὺς ἀφίησι τὸ δεσμωτήριον οἰκεῖν ὁ κριτής, ὡς καὶ ἐκεῖ καταλῦσαι τὸν βίον πολλάκις· ὅταν δέ τινας τῶν πολλῶν νουθετῆσαι βούληται, ἕνα που καὶ δεύτερον ἐξ ἐκείνων λαβών, καὶ ἐφ' ὑψηλοῦ καθίσας τοῦ βήματος, παρεστώτων ἁπάντων, οὕτως αὐτὸν κελεύει τὴν ἐπὶ θάνατον ἄγεσθαι, καὶ οὐ πάντων αὐτῷ πρὸς τὸν τῶν λοιπῶν φόβον χρεία τῶν πονηρῶν· οὕτω καὶ τῷ Θεῷ οὐ πάντων τῶν μοχθηρῶν, ὅταν ἡμᾶς σωφρονίσαι βούληται, δεῖ, ἀλλ' ἐνίους ἐξ αὐτῶν ἀπολαβών, οὓς οἶδεν ἀδιορθώτως ἔχοντας, ἐνδείκνυται τὴν δύναμιν καὶ τὴν ὀργήν, πολλὰ ἐκ τούτου κατορθῶν. τούς τε γὰρ πονηροὺς οὕτως ἐπὶ τὴν μεταβολὴν τῆς πονηρίας, εἰ βούλοιντο, παρακαλεῖ· τούς τε ἀγαθοὺς προσεκτικωτέρους ἐργάζεται, τήν τε μακροθυμίαν ἐπιδείκνυται τὴν αὐτοῦ, καὶ τὸν περὶ τῆς ἀναστάσεως λόγον (ὅπερ ἔφθην εἰπών) ἅπασι καθίστησι φανερόν. τί οὖν ταῦτα, φησί, πρὸς τοὺς ἐν συμφοραῖς ἅπασαν τὴν πρώτην τραφέντας ἡλικίαν, καὶ πρὶν ἐλθεῖν ἐπὶ τὸ διαγινώσκειν ἀγαθὸν ἢ κακὸν ἀποπνεύσαντας; καὶ τί πάσχουσιν οὗτοι δεινόν, εἰπέ μοι, οὔπω τὴν αἴσθησιν ὧν πάσχουσιν ἔχοντες, οὐδὲ τὸ λυπεῖσθαι καὶ χαίρειν μεμαθηκότες; ἐγὼ δὲ οὐ τούτῳ μόνον τὸν λόγον ἐπιλύομαι τοῦτον, ἀλλ' ὅτι καὶ γονεῖς καὶ συγγενεῖς καὶ ἀδελφοὶ ἐκ τῶν τοιούτων ἐσωφρονίσθησαν συμφορῶν. τοῦτο δὲ κέρδος οὐ μικρόν, ἐξ ὧν ἕτερος ἠδίκηται οὐδέν, ὠφελεῖσθαι τὰ μέγιστα ἑτέρους. εἰκὸς δὲ καὶ ἄλλην αἰτίαν τινὰ ἄρρητον εἶναι μόνῳ τῷ ποιήσαντι ἡμᾶς φανεράν. εἷς ἔτι λείπεται λόγος, τί δήποτε οἱ τὰ ὀρθὰ βαδίζοντες πρὸ τῶν πειρασμῶν μετὰ τοὺς πειρασμοὺς κατέπεσον; τίς οὖν ὁ καλῶς τοὺς τὰ ὀρθὰ βαδίζοντας ἐπιστάμενος, πλὴν τοῦ πλάσαντος κατὰ μόνας τὰς καρδίας ἡμῶν, καὶ συνιέντος εἰς πάντα τὰ ἔργα ἡμῶν; πολλοὶ γὰρ πολλάκις τῶν δοκούντων ἡμῖν εἶναι χρηστῶν, πάντων εἰσὶ πονηρότεροι. καὶ τοῦτο ἀπεδείχθη μὲν ἤδη καὶ ἐν τῷ παρόντι βίῳ, ἀλλ' ἐπ' ἐνίων, περιστάσεώς τινος γινομένης καὶ ἀνάγκης. ὅταν δὲ ὁ δοκιμάζων τὰς καρδίας καὶ τοὺς νεφρούς, ὁ ζῶν καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, ὁ διϊκνούμενος μέχρι μερισμοῦ ψυχῆς καὶ σώματος, ἁρμῶν τε καὶ μυελῶν, ὁ κριτικὸς ἐννοιῶν καὶ ἐνθυμήσεων καθέζηται δικάζων ἡμῖν, τότε δή, τότε οὐκ ὀλίγους τινὰς ἐκ πολλῶν, ἀλλὰ πάντας ἐγκαλυπτομένους ὄψει τοὺς τοιούτους. καὶ οὔτε δορὰ προβάτου τὸν λύκον δύναιτ' ἄν, οὔτε κονίασις τάφου τὸν ἔνδον ἀποκρύψαι μολυσμόν. οὐκ ἔστι γὰρ κτίσις ἀφανὴς ἐνώπιον τοῦ τότε κρίνοντος, ἀλλὰ πάντα γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ. ὅπερ καὶ ὁ Παῦλος δηλῶν Κορινθίοις ἔλεγεν· Ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν. ἵνα δὲ καὶ τοὺς ὑποκριτὰς ἀφέντες, ἐπὶ τοὺς ὀρθῶς βιοῦντας ἔλθωμεν τῷ λόγῳ, πόθεν δῆλον, εἰ τὰ μὲν ἄλλα αὐτοῖς κατώρθωται, τὸ δὲ κεφάλαιον ἠμέληται τῶν ἀγαθῶν, ἡ ταπεινοφροσύνη; καὶ διὰ τοῦτο αὐτοὺς ἀφῆκεν ὁ Θεός, ἵνα μάθωσιν ὅτι οὐ τῇ οἰκείᾳ δυνάμει κατώρθουν ἐκεῖνα, ἀλλὰ τῇ χάριτι τοῦ Θεοῦ. εἰ δὲ λέγοι τις, βέλτιον εἶναι κατορθοῦντας ἐπαίρεσθαι, ἢ ταπεινωθῆναι πεσόντας, πολὺ καὶ τῆς ἀλαζονείας ἀγνοεῖ τὴν ζημίαν, καὶ τῆς ταπεινοφροσύνης τὸ κέρδος. εὖ γὰρ ἴσθι σαφῶς, ὅτι ἄνθρωπος μετὰ ἀπονοίας κατορθῶν, εἴπερ ὅλως τοῦτο ἐστὶ κατορθοῦν, ταχέως ἐμπεσεῖται εἰς τὴν ἐσχάτην ἀπώλειαν· καὶ ὁ μὲν ὀλισθῆσαι συγχωρηθεὶς καὶ μετριάζειν μαθών, ἀπὸ τοῦ πτώματος καὶ ἀναστήσεται καὶ ἀνακτήσεται ἑαυτὸν θᾶττον, εἴπερ βούλοιτο· ὁ δὲ δοκῶν μὲν εὖ πράττειν μετὰ ἀλαζονείας, μηδὲν δὲ πάσχων δεινόν, οὔτε αἴσθησιν τῆς οἰκείας παρανομίας λήψεταί ποτε, ἀλλὰ καὶ αὐξήσει

γ. ωιδ
ται,

γ. ἐκ μι

Ἑβρ. δ. ιβ.

γ. ἐσφ

γ. ἰχῶ

α. Κορ. δ. ε.

τὸ δεινόν, καὶ λήσεται κενὸς ἐντεῦθεν ἀπελθών· καθάπερ ἐκεῖνος ὁ Φαρισαῖος, ἀνῆλθε μὲν δοκῶν τοῖς ἀγαθοῖς πλουτεῖν ἅπασι, κατῆλθε δὲ μαθὼν ὅτι καὶ τοῦ τελώνου πενέστερος ἦν. ἔστι δὲ καὶ ἕτερον εἶδος πολλὴν ἔχον ἰσχὺν πρὸς τὸ κενῶσαι τὰ μετὰ πολλῶν ἱδρώτων καὶ πόνων συναχθέντα καλά, ὁ τῆς κενοδοξίας ἄνεμος· καθάπερ γὰρ ἄνεμος ἀληθῶς εἰσελθών, ἐκφυσᾷ ἅπαντας τοὺς τῆς ἀρετῆς θησαυρούς. ἰδοὺ οὖν καὶ δευτέρα πρόφασις ἡμῖν ἀνεφάνη τῶν τὰ ὀρθὰ βαδιζόντων, ὡς ἔφης. πολλοὶ γὰρ παρ' ἡμῖν δοκοῦντες πολλοὺς ὑπὲρ τῆς ἀρετῆς ὑπομεμενηκέναι πόνους, καὶ ὑπομένοντες δέ, ἐπειδὴ πρὸς τὴν παρὰ ἀνθρώπων ὁρῶντες τιμήν, καὶ οὐ πρὸς τὸν Θεὸν ἅπαντα ἔπραττον, ἀφείθησαν πειρασμῷ περιπεσεῖν· ἵνα τῆς παρὰ τῶν πολλῶν ἀποστερηθέντες δόξης, δι' ἣν ἅπαντα ἐζημιώθησαν, καὶ μαθόντες τὴν φύσιν αὐτῆς, ὡς οὐδὲν ἄμεινον ἄνθους χόρτου διάκειται), τῷ Θεῷ μόνῳ προσέχωσι τοῦ λοιποῦ, καὶ δι' αὐτὸν ἅπαντα πράττωσι. καὶ ἕτεροι δὲ πρὸς τούτοις εἰσὶ λόγοι τούτων πολλῷ πλείους, ἡμῖν μὲν ἄδηλοι, ὡς ἔφην, γνώριμοι δὲ τῷ πεποιηκότι αὐτοὺς Θεῷ.

Μὴ τοίνυν ἀσχάλλωμεν ἐπὶ τοῖς γινομένοις, ἀλλ' εὐχαριστῶμεν. τοῦτο γὰρ οἰκετῶν ἀγνωμόνων ἐστί. σὺ δὲ θαυμάζων, ὅτι μὴ πρότερον ἡνίκα ἐτρύφας καὶ τὴν κοσμικὴν περιέκεισο φαντασίαν, ἀλλὰ νῦν, ὅτε πάντα ἐκεῖνα ἔρριψας, καὶ σαυτὸν ὅλον ἀνέθηκας τῷ Θεῷ, τότε * ἐπεπήδησέ σοι οὗτος ὁ μιαρός, παραπλήσιον ποιεῖς, ὥσπερ ἂν εἰ ἐθαύμαζες, τί δήποτε τοῖς μὲν θεαταῖς οὐδεὶς ἐνοχλεῖ, τῷ δὲ ἀπογραψαμένῳ πρὸς τὸ πυκτεύειν καὶ γυμνωθέντι καὶ εἰς τὸν ἀγῶνα καθέντι τούτῳ μόνῳ πάντως ἔπεισιν ὁ ἀνταγωνιστής, πατάσσων τὴν κεφαλήν, καὶ κόπτων τὸ πρόσωπον. οὐ δὴ τοῦτο ἐστὶ θαυμαστόν, οὐδὲ ἀθυμίας ἄξιον, εἰ πυκτεύειν ἡμῖν ἑλομένοις ἐκεῖνος θλίβει καὶ ἀνιᾷ καὶ βαρύνει (οὗτος γὰρ τῶν πυκτευόντων ὁ νόμος) ἀλλ' εἰ περιτρέπει καὶ καταβάλλει καὶ τὸ βραβεῖον ἀφαιρεῖται, τοῦτο ἐστὶ τὸ δεινόν. ἕως δ' ἂν τοῦτο μὴ δύνηται, οὐ μόνον οὐδὲν ἔβλαψεν, ἀλλὰ καὶ τὰ μέγιστα ὤνησε, τῇ σφοδρᾷ συμπλοκῇ στερρoτέρους ἡμᾶς ποιήσας. καὶ γὰρ ἐν τοῖς στρατοπέδοις ἐκεῖνός ἐστιν ὁ πάντων ἀμείνων, ὁ πλείονα τραύματα ἐπιδεῖξαι ἔχων, καὶ τὰς μονομαχίας πρὸς τοὺς εὐτονωτέρους τῶν πολεμίων ἀναδεξάμενος· καὶ τῶν ἀθλητῶν δὲ τοὺς τοῖς "ἀκαθέκτοις συμπλεκομένους (οὕτω γὰρ τοὺς φιλονεικοτέρους καλοῦσι τῶν ἀνταγωνιστῶν) θαυμάζομεν, καὶ κυνηγέτης οὗτος μάλιστά ἐστιν ὁ κροτούμενος ὁ τὰ "δυσθάνατα τῶν θηρίων καταδεξάμενος. ἀναιδής ἐστι καὶ ἀκατάπληκτος οὗτος ὁ δαίμων; διὰ τοῦτό σε ἐκπληττόμενος καὶ θαυμάζων οὐ παύομαι, ὅτι πρὸς τοιοῦτον κληρωθεὶς ἀνταγωνιστὴν οὐ κατέπεσας, οὐδὲ ἐξέδωκας σεαυτόν, ἀλλ' ἔμεινας ἀκλινὴς μηδαμόθεν περιτρεπόμενος. καὶ ὅτι σε οὐ κολακεύων ταῦτα λέγω νῦν, ἀλλὰ ἀληθῶς τὰ μέγιστα ἀπὸ τῆς θλίψεως ταύτης ἐκαρπώσω, ἀνάσχου μετὰ παρρησίας λεγόντων ἡμῶν. οὐδὲ γὰρ ἂν ἄλλως δυναίμην τούτου παρασχεῖν τὴν ἀπόδειξιν. οἶσθά που καὶ μέμνησαι τὴν προτέραν σου διαγωγήν, τὴν πρὸ τούτου λέγω τοῦ πειρασμοῦ; ἐκ νοῦ ἐξέτασον ἐκείνην καλῶς, καὶ ἀντίθες τῇ παρούσῃ τῇ μετὰ τὸν πειρασμόν, καὶ τότε ὄψει τὸ κέρδος ὅσον ἀπὸ ταύτης σοι γέγονε τῆς συμπλοκῆς. νῦν μὲν γὰρ καὶ ἐν νηστείαις, καὶ παννυχίσι, καὶ τῇ περὶ τὴν ἀνάγνωσιν σπουδῇ, καὶ τῇ περὶ τὰς εὐχὰς καρτερίᾳ πολλὴ γέγονεν ἡ ἐπίτασις, καὶ τὸ ἀδιάχυτον δὲ καὶ ταπεινὸν μεθ' ὑπερβολῆς σοι κατώρθωται. πρότερον δέ σοι βιβλίων λόγος ἦν οὐδείς· πᾶσα δέ σοι φροντὶς καὶ πόνος εἰς τὴν ἐπιμέλειαν ἀνηλίσκετο τῶν ἐν τῷ παραδείσῳ φυτῶν. πολλῶν δέ σε καὶ εἰς ἀπόνοιαν σκωπτόντων ἤκουον τότε, καὶ ταύτην τὴν τοῦ γένους αἰτιωμένων λαμπρότητα, καὶ τὴν τοῦ πατρὸς δόξαν, καὶ τὸ ἐν πλούτῳ τετράφθαι πολλῷ. τὴν δὲ ἐν ταῖς παννυχίσι ῥαθυμίαν καὶ αὐτὸς οἶδα σαφῶς. πολλάκις γὰρ ἄλλων μετὰ τὴν βαθεῖαν ἑσπέραν ἀνισταμένων εὐθέως, αὐτὸς ἔμενες ὕπνῳ κατεχόμενος βαθεῖ, καὶ πρὸς τοὺς διεγείροντας ἐδυσχέραινες. ἀλλὰ νῦν πάντα λέλυται ἐκεῖνα καὶ πρὸς τὸ βέλτιον μεταβέβληται, ἐξ οὗ τὴν μάχην καὶ τὸν πόλεμον ἀνεδέξω τοῦτον. εἰ δὲ ἔροιό με, τί δήποτέ σοι τρυφῶντι καὶ πρὸς

ἀκαθάρτοις

δυσάλωτα

τὰ τοῦ κόσμου πράγματα ἐπτοημένῳ οὐ συνεχώρησεν αὐτῆς εἶναι τὸν δαίμονα τοῦτον ὁ Θεός, ἐκεῖνο ἂν ἀποκρινοίμην ἐγώ· ὅτι καὶ τοῦτο τῆς αὐτοῦ κηδεμονίας ἦν. ᾔδει γὰρ ὅτι σε τότε εὐκαταγώνιστον εὑρών, ταχέως ἀπολεῖ. διὰ τοῦτο οὐδὲ εὐθέως ἐπὶ τὸν τῶν μοναχῶν ἐλθόντα βίον πρὸς τὴν πάλην ταύτην ἐκάλεσεν, ἀλλ' ἀφῆκεν ἐγγυμνασθῆναι καὶ χρόνον ἀναμεῖναι μακρόν· εἶθ' ὅτε καρτερικώτατος γέγονας, τηνικαῦτα πρὸς τὸ ἐπίπονον τοῦτο στάδιον εἵλκυσεν. ἔτι οὖν τῶν ἐν τῷ κόσμῳ στρεφομένων μέμνησαι, καὶ τὸν οἰκέτην ἄξεις εἰς μέσον τὸν σόν. ἐκεῖνοι μὲν γάρ σε οἶμαι ἀντίθεσθαι, ὅταν λέγῃς, ὅτι πολλοὶ τῶν βιωτικῶν ἀνδρῶν ταύτῃ περιπεσόντες τῇ νόσῳ, ταχίστης καὶ τελείας ἔτυχον ἀπαλλαγῆς. ἀλλ' ὁ οἰκέτης, ὦ φίλτατε, ὁ σός, καὶ ὅσοι τῶν αὐτῶν ἔτυχον ἐκείνῳ, οὐκ ἐπὶ τοῖς αὐτοῖς αὐτῷ προσεπλάκησαν, οἷσπερ καὶ σὺ νῦν. ἐκείνῳ μὲν γὰρ καὶ τοῖς τοιούτοις ὑπὲρ τοῦ φοβῆσαι μόνον, καὶ τῷ φόβῳ ποιῆσαι βελτίους τοῦτο ἐπαφῆκε τὸ θηρίον ὁ Θεός· σοὶ δέ, ὥστε ἀγωνίσασθαι γενναίως, καὶ νικῆσαι λαμπρῶς, καὶ τὸν τῆς ὑπομονῆς ἀναδήσασθαι στέφανον. νίκη δέ ἐστιν, οὐχ ὅταν τις, τοῦ θεάτρου ἔτι συνεστῶτος, παλαίοντα ἑαυτὸν ἑλκύσας ἀπαγάγῃ τοῦ ἀνταγωνιστοῦ, ἀλλ' ὅταν ἀφῇ συμπλακῆναι διαπαντός· εἶτα παλαίων, καὶ διὰ τῆς ἀθυμίας εἰς μυρίας ἐνθυμήσεις ἀτόπους ἄγων ἰσχύσῃ μηδέν. καὶ ὅτι οὕτω ταῦτα ἔχει, ἐκεῖθεν σε συλλογιοῦμαι. καλῶς παντί που δῆλόν ἐστι, κἂν αὐτὸς μετριάζειν ἐθέλῃς, ὅσον τῆς τοῦ οἰκέτου ζωῆς βελτίων ἡ σὴ διενήνοχεν· οὐκοῦν καὶ λόγος σου τῷ Θεῷ πλείων καὶ φροντίς, ἢ ἐκείνου. τούτου δὲ ὄντος δήλου, κἀκεῖνο ὁμοίως ἔσται φανερόν, ὅτι εἰ μίσους τοσαύτη ἡ συγχώρησις ἦν, οὐκ ἂν εἰς ὃν μᾶλλον ἠγάπα ταύτην ἐξέτεινε, τὸν ἥττονα πολὺ ὄντα τούτου τοῦ δαίμονος ταχέως ἐξαρπάσας. καὶ οὐκ ἀπὸ τούτου μόνον τοῦτο ἰσχυρισαίμην ἂν ἔγωγε, ἀλλὰ καὶ ἐξ αὐτῶν ὧν ἐγκαταλελεῖφθαι δοκεῖς, ἐκ τούτων μάλιστα ὅτι σφόδρα μέλει τῷ Θεῷ τῶν σῶν, ἀποδεῖξαι πειράσομαι. εἰ μὲν γὰρ μὴ πολλὴν ἐποιήσω σπουδήν, μηδὲ ἀποδημίας ἐστείλω μακράς, ὥστε συγγενέσθαι ἀνδράσιν ἁγίοις καὶ ἱκανοῖς τὰ τοιαῦτα λύειν δεσμά, ἴσως ἄν τις ἠπόρησε τῶν πολλῶν, * οὐ σφόδρα τῆς αἰτίας οὔσης ἐναργοῦς, δι' ἣν τοσοῦτον εἴασε χρόνον. ἐπειδὴ δὲ καὶ τόπους μαρτύρων καταλαβών, * ἔνθα πολλοὶ καὶ τῶν ἀνθρώπους ἐσθιόντων ἰάθησαν, καὶ τοῖς θαυμαστοῖς καὶ γενναίοις ἐκείνοις καὶ μηδέποτε διημαρτηκόσι πολλὴν ὑπὲρ τούτου συνῴκησας χρόνον, καὶ μηδὲν ὅλως παραλιπὼν τῶν φερόντων εἰς τὴν τοῦ πάθους ἀπαλλαγὴν ἐπανῆλθες πάλιν, τὸν πολέμιον ἔχων μετὰ σαυτοῦ, φανερὰν καὶ ἐναργῆ καὶ τοῖς σφόδρα ἀνοήτοις τῆς περὶ σὲ τοῦ Θεοῦ προνοίας ἐκόμισας τὴν ἀπόδειξιν. οὐδὲ γὰρ ἂν τοσαύτην χάριν ἐνεπόδισεν, οὐδ' ἂν τοὺς αὐτοῦ δούλους αἰσχυνθῆναι ἠνέσχετο, εἰ μὴ σφόδρα πρὸς τὴν εὐδοκίμησιν καὶ τὴν ὠφέλειαν μᾶλλον ἑώρα τὴν σήν. ὥστε ὅπερ δοκεῖ σημεῖον εἶναι τῆς ἐγκαταλείψεως τοῦ Θεοῦ, τοῦτο τῆς πολλῆς αὐτοῦ περὶ σὲ φιλοστοργίας καὶ σπουδῆς σημεῖόν ἐστι.

γρ. καρτερ- κώτατος

* ὡς

* καὶ

ΠΡΟΣ ΤΟΝ ΣΤΑΓΕΙΡΙΟΝ ΔΑΙΜΟΝΩΝΤΑ. Λογ. β.

ΤΑῦτα μὲν ἡμῖν ὑπὲρ τῆς τοῦ Θεοῦ προνοίας εἰρήσθω, καὶ ὅτι οὐκ ἀποστρεφόμενος οὐδὲ μισῶν, ἀλλὰ καὶ λίαν ἀγαπῶν, τούτῳ γυμνάζει σε τῷ τρόπῳ. ἐπειδὴ δὲ καὶ ἑτέρως σφόδρα ἔφης ἀλγεῖν, τῷ πολλάκις σε ἀναπείθειν τὸν δαίμονα εἰς πέλαγος ἢ κατὰ κρημνῶν ῥῖψαι σαυτόν, ἢ ἄλλῳ τινὶ τοιούτῳ τρόπῳ τὴν παροῦσαν καταλῦσαι ζωήν, καὶ ὑπὲρ τούτων μικρὰ διαλεχθῆναι βούλομαι τῶν λογισμῶν. οὐ γὰρ ἐκείνου μόνον ἐστὶν αὕτη ἡ συμβουλή, ἀλλὰ καὶ τῆς ἀθυμίας τῆς σῆς, καὶ ταύτης μᾶλλον ἢ ἐκείνου, τάχα δὲ καὶ μόνης ταύτης. καὶ δῆλον ἐξ ὧν πολλοὶ καὶ τῶν μὴ δαιμονώντων, ἀπὸ δὲ τοῦ λυ-

γρ. ἀρ

πεῖσθαι μόνον, τοιαῦτα βουλεύονται. ταύτην οὖν ἔκβαλλε καὶ ἀπέλασον τῆς ψυχῆς, καὶ οὐδεμίαν ἕξει λοιπὸν ἐκεῖνος ἰσχὺν, οὐ μόνον πρὸς τὸ πείθειν τὰ τοιαῦτα, ἀλλ' οὐδὲ πρὸς τὸ παραινεῖν τὴν ἀρχήν. νῦν μὲν γὰρ καθάπερ οἱ τοιχωρύχοι, καταλαμβανούσης νυκτὸς, τὸ φῶς ἀποσβέσαντες, καὶ ὑφελέσθαι τὰ ὄντα, καὶ αὐτοὺς τούτων κυρίους μετὰ πολλῆς ἀποσφάξαι τῆς εὐκολίας δύναιντ' ἄν· οὕτω καὶ οὗτος ἀντὶ νυκτὸς καὶ σκότους τὴν ἀθυμίαν κατασκεδάσας, πάντας ὑφελέσθαι πειρᾶται τοὺς πρὸς ἀσφάλειαν λογισμοὺς, ἵνα ἐρήμην καὶ ἀβοήθητον λαβὼν τὴν ψυχὴν, μυρίαις καταστρώσῃ πληγαῖς. ὅταν δέ τις τῇ πρὸς τὸν Θεὸν ἐλπίδι τοῦτο διασκεδάσας τὸ σκότος, καὶ πρὸς τὸν ἥλιον τῆς δικαιοσύνης καταφυγὼν, σπεύσῃ τὰς ἀκτῖνας ἐκείνας εἰς τὴν ἑαυτοῦ καταθεῖναι ψυχὴν, ἀπὸ τῶν οἰκείων λογισμῶν ἐπὶ τὸν λῃστὴν μεταθήσει τὸν θόρυβον. καὶ γὰρ οἱ τὰ τοιαῦτα κακουργοῦντες, ὅταν αὐτοὺς ἐλέγξῃ τις καὶ δείξῃ τὸ φῶς, τρέμουσιν, ἰλιγγιῶσι, ταράττονται. καὶ πῶς ἄν τις, φησὶ, ταύτης ἀπαλλαγείη τῆς ὀδύνης, μὴ πρότερον τοῦ κινοῦντος αὐτὴν δαίμονος ἀπαλλαγείς; οὐχ ὁ δαίμων ἐστὶν ὁ τὴν ἀθυμίαν κινῶν, ἀλλ' ἐκείνη ἡ ποιοῦσα τὸν δαίμονα ἰσχυρὸν, καὶ τοὺς λογισμοὺς ὑποβάλλουσα τοὺς πονηρούς. καὶ μαρτυρήσειεν ἂν ἡμῖν ἐνταῦθα ὁ μακάριος Παῦλος· οὐ γὰρ δαίμονά τινα, ἀλλὰ τὴν τῆς ἀθυμίας ἀμετρίαν δεδοικὼς, ἐπέστελλε Κορινθίοις φείσασθαι λοιπὸν τοῦ πεπλημμεληκότος ἐφ' οἷς ἐξήμαρτε, Μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. εἰ δὲ βούλει, τῷ λόγῳ τέως ὑποθώμεθα τὸν μὲν δαίμονα ἐπικεῖσθαι, τὴν δὲ ἀθυμίαν ἐξηλάσθαι τῆς ψυχῆς τῆς σῆς. τίς ἔσται βλάβη λοιπόν; τί καθ' ἑαυτὸν οὗτος ἢ μικρὸν ἢ μέγα ἀδικῆσαι δύναιτ' ἂν ἡμᾶς; ἐκείνη δὲ καὶ τούτου μὴ παρόντος πολλὰ ἂν ἐργάσαιτο δεινά· καὶ τοὺς πλείονας δὲ τῶν βρόχους ἀναψάντων, ἢ ξίφει διαφθαρέντων, ἢ ποταμοῖς ἀποπνιγέντων, ἢ καὶ ἑτέρως πως ἀπολεσάντων ἑαυτοὺς, ἀπὸ τῆς ἀθυμίας ἐπὶ τοὺς βιαίους τούτους θανάτους ὠθέντας εὑρήσομεν. εἰ δέ τινες καὶ τῶν δαιμονώντων εἶεν ἐν τούτοις, καὶ τούτων τὴν ἀπώλειαν οὐ τῷ δαίμονι λογιστέον, ἀλλὰ τῇ τῆς ἀθυμίας τυραννίδι καὶ βίᾳ. καὶ πῶς ἔνεστι, φησὶ, μὴ ἀθυμεῖν; ἂν τῆς τῶν πολλῶν περὶ τοῦ πράγματος δόξης ἀποστῇς, τὰ ἄνω φρονῇς. νῦν μὲν γὰρ, ἐπειδὴ τοῖς πολλοῖς τὸ πρᾶγμα δεινὸν εἶναι νομίζεται, καὶ σοὶ δοκεῖ. εἰ δὲ θελήσῃς αὐτὸ καθ' ἑαυτὸ, τῆς ματαίας καὶ πεπλανημένης προλήψεως ἀπαλλαγεὶς, μετὰ ἀκριβείας κατιδεῖν, εὑρήσεις οὐδεμίαν ἔχον ἀθυμίας ἀφορμὴν, ὡς καὶ ἤδη πολλάκις ἡμῖν ἀποδέδεικται. τῶν δὲ ὁμηλίκων ἕνεκεν (καὶ γὰρ τὴν ἐκείνων εὐφροσύνην καὶ τὴν πρὸς τοὺς ἀδελφοὺς παρρησίαν ὁρῶντά σε ἡγοῦμαι συγχεῖσθαι καὶ καταπίπτειν) ἐκεῖνο ἂν εἴποιμι· ὅτι εἰ μὲν τούτων ἐν ἐγκρατείᾳ καὶ κοσμιότητι καὶ τῇ λοιπῇ τοῦ βίου φιλοσοφίᾳ διαγόντων, αὐτὸς ἐν χαμαιτυπείοις καὶ κύβοις καὶ κώμοις τὸν ἅπαντα χρόνον ἀνήλισκες, λόγον ἂν εἶχεν ἡ τῆς ἀθυμίας πρόφασις. εἰ δὲ τὴν αὐτὴν αὖθις ἔτι βαδίζεις ὁδὸν, τί ποτέ ἐστι τό σε λυποῦν; ἐγὼ γὰρ, εἰ μὲν πρὸς ἕτερόν τινά μοι τῶν εὐκόλως ἐπαιρομένων ὁ λόγος ἦν, κἂν ἀπεσιώπησα ταῦτα, ἃ μέλλω πρὸς σὲ νῦν ἐρεῖν. ἐπειδὴ δὲ σφόδρα θαρρῶ ὅτι, κἂν μυρία σέ τις ἐπαινῇ καὶ θαυμάζῃ, τοῦ μετριάζειν ~~οὐκ ἀποστήσῃ ποτέ~~, ἀλλὰ μενεῖς καὶ οὕτως ἐν τοῖς ἐσχάτοις τάττων σαυτὸν, οὐδὲν ὑποστελλόμενος ἅπαντα ἐρῶ. τοσαύτην γὰρ ἀκούω τὴν ἐπίδοσιν τῆς εὐλαβείας γεγενῆσθαι τῆς σῆς, ὡς μηκέτι σοι πρὸς ἐκεῖνα τὰ μειράκια, ἀλλὰ πρὸς τοὺς μεγάλους ἄνδρας καὶ θαυμαστοὺς εἶναι τὴν ἅμιλλαν. οὐδὲν γὰρ ἐκείνων σε ἀποδεῖν λέγουσιν, οὐ κατὰ τὸν τῆς νηστείας λόγον· πῶς γάρ; ὕδατι καὶ ἄρτῳ μόνον, καὶ ταῦτα ἡμέραν παρ' ἡμέραν τρεφόμενον· οὐ κατὰ τὸν τῶν παννυχίδων καιρὸν, ἀλλ' ὁμοίως αὖθις πολλὰς ἐφεξῆς νύκτας ἀΰπνους " παρέλκειν· τῇ δὲ μεθ' ἡμέραν διαγωγῇ πολλοὺς αὐτῶν ἤδη καὶ ἀποκρύψαι φασί. καὶ γὰρ τῶν ἐκεῖθεν ἐρχομένων ἀκούω διηγουμένων, ὅτι σοὶ πᾶς ὁ καιρὸς εἰς εὐχὰς καὶ δάκρυα ἀναλίσκεται). καὶ καθάπερ οἱ σιγὴν ἀσκοῦντες, ἢ καὶ μόνους ἐν οἰκίσκῳ κατακλείσαντες ἑαυτοὺς, πρὸς οὐδένα οὐδὲν φθέγγονται· οὕτω καὶ σὲ λέγουσιν ἐν πλήθει τοσούτῳ στρεφόμενον διατελεῖν.

β. Κορ. c. ζ.

" παρελθεῖν·

τελεῖν· τὸν δὲ τῆς καρδίας σου συντετριμμένον καὶ τὸν αὐχμὸν καὶ τὴν ἀλγηδόνα καὶ πεφρίκασι διηγούμενοι, καὶ πολλοὺς ἐνταῦθα τὰ σὰ κατένυξαν ἀπαγγέλλοντες. οὐκ ἀναβλέπει, φησίν, οὐδενὶ τῶν εἰσιόντων ἐκεῖ· οὐκ ἀνίησι τῶν συνεχῶν πόνων ἑαυτόν· πολλάκις ἐδεισάμεθα μὴ πηρώσῃ τοὺς ὀφθαλμοὺς τοῖς ὀδυρμοῖς, μὴ πλήξῃ τὰς μήνιγγας τῇ σφοδρότητι τῆς ἀγρυπνίας, καὶ τῇ ἀνενδότῳ καὶ διηνεκεῖ περὶ τὴν ἀνάγνωσιν σπουδῇ.

Ταῦτα οὖν σε λυπεῖ καὶ θορυβεῖ, ὅτι τοσοῦτον παρήλασας τοὺς ὁμήλικας, ὅτι καὶ σφοδρὸν καὶ ἀναίσχυντον ἔχων τὸν ἀνταγωνιστήν, πολλῷ τῷ μέτρῳ τοὺς μετὰ σοῦ τρέχοντας ὑπερηκόντισας; ἆρ' οὐκ εἰκότως ἔλεγον, ὅτι ἡ ἀθυμία αὕτη παραλήψεως μόνον ἐστίν, ἐρευνωμένη δὲ καὶ εὐθυμίας ἡμῖν ὑποθέσεις παρέχει πολλάς; τί γὰρ ὄφελος, εἰπέ μοι, τοῦ μὴ δαιμονᾶν, ὅταν ὁ βίος ἠμελημένος ᾖ; ποῖον δὲ βλάβος ἀπὸ τοῦ δαιμονᾶν, ὅταν τὰ τῆς πολιτείας ἠκριβωμένα τύχῃ καὶ συγκεκροτημένα καλῶς; ἀλλ' ἴσως αἰσχύνῃ καὶ ἐρυθριᾷς, ὅταν σε καταβάλλῃ παρόντων τινῶν; ἀλλὰ τοῦτό σοι πάλιν ἀπὸ τῆς ὑποθέσεως συμβαίνει τῆς αὐτῆς, ὅτι τῇ τῶν πολλῶν δόξῃ, λογισμῷ δὲ οὐδέποτε τὸ πρᾶγμα ἐπέτρεψας. τὸ γὰρ καταπεσεῖν, οὐ τοῦτό ἐστιν, ὃ σὺ πάσχειν φῄς, ἀλλὰ τὸ ἁμαρτίᾳ περιπεσεῖν. ἐπὶ ταύτῃ τῇ πτώσει καλὸν αἰσχύνεσθαι καὶ ἀλγεῖν. νῦν δὲ ἐπὶ μὲν τοῖς οὐδεμίαν ἔχουσιν αἰσχύνην καταδυόμεθα· τὰ δὲ ὄντως αἰσχρὰ καὶ πολλοῦ γέμοντα γέλωτος καὶ κολάσεως τῆς ἐσχάτης, ταῦτα δρῶντες οὐδὲν ἡγούμεθα δεινὸν πάσχειν· ἀλλά, τῆς μὲν ψυχῆς καθ' ἑκάστην ἡμέραν ὑπὸ τῆς τῶν ἁμαρτημάτων ἐνεργείας πιπτούσης, οὐδεὶς ὁ πενθῶν· εἰ δέ ποτε τὸ σῶμα τοῦτο πάθοι, δεινὸν καὶ ἀφόρητον εἶναι δοκεῖ. ἆρα οὐ τοῦτό ἐστι τὸ δαιμονᾶν, τὸ οὕτω διακεῖσθαι τὴν ψυχήν, καὶ περὶ τὴν τῶν πραγμάτων σφάλλεσθαι κρίσιν; εἰ μὲν γὰρ ὑπὸ μέθης τοῦτο ἔπασχες, ἐχρῆν καταδύεσθαι καὶ ἀθυμεῖν (προαιρέσεως γὰρ τὸ ἔγκλημα ἦν) εἰ δὲ τῆς ἑτέρου βίας τὸ πρᾶγμα ἐστιν, οὐ τὸν ἐπηρεαζόμενον, οὐδὲ τὸν ὑπομένοντα τὴν βίαν, ἀλλὰ τὸν δρῶντα αἰσχύνεσθαι ἄξιον. καὶ γὰρ ἐν ἀγορᾷ εἴ ποτε γενομένης μάχης ἕτερος τὸν ἕτερον ὤσας κατέβαλε, τὸν καταβαλόντα, οὐ τὸν πεσόντα ἅπαντες αἰτιώμεθα. καλὸν τὸ ἐρυθριᾶν· ἀλλ' ὅταν τι πράττωμεν τῶν κόλασιν φερόντων ἡμῖν παρὰ τῷ τότε μέλλοντι κρίνειν ἡμᾶς. ἕως δ' ἂν μηδὲν τοιοῦτον ὦμεν συνειδότες ἑαυτοῖς, τίνος ἕνεκεν ἐγκαλυπτόμεθα; οὐδὲ γάρ, εἴ τίς σε μόνον ἀπολαβὼν ἔτυπτεν ἁπλῶς καὶ μηδὲν ἔχων ἐγκαλεῖν, ἢ πάλιν κατέρριπτεν εἰς τὴν γῆν, σὺ δὲ πράως πάντα ἐνεγκὼν ἀπηλλάγης, αἰσχύνης τὸ πρᾶγμα ἦν, ἀλλὰ φιλοσοφίας καὶ τῶν μεγίστων ἐπαίνων. εἶτα, ἀνθρώπων μὲν ἐπηρεαζόντων, τὸ φέρειν τὴν ἐπήρειαν ἔπαινος· τοῦ δὲ τούτων πονηροτέρου τὸ αὐτὸ τοῦτο ποιοῦντος, ὁ τὴν ἐκείνου μανίαν γενναίως ἐνεγκὼν καταδύσεται), ὡς ἐπίψογον πρᾶγμα ποιῶν; καὶ τί ταύτης τῆς ἐννηπιώσεως ἀλογώτερον γένοιτ' ἄν; εἰ μὲν γὰρ ἀπὸ τῆς πτώσεως ἀναστὰς ἐκείνης, ἄτοπόν τι πρᾶξαι προήχθης ἢ εἰπεῖν, οὐδὲ αὐτὸς ἂν ἐκώλυσα ὑπὲρ τούτων κατακόπτεσθαι καὶ ἀλγεῖν· εἰ δὲ μετ' εὐχαριστίας ἅπαντα φέρεις, καὶ εἰς προσευχὰς εὐθέως τρέπεις σαυτόν, τί ποτ' οὖν ἐστι τ ποιοῦν τὴν αἰσχύνην; ἀλλ' ἴσως ἀλγεινὰ τὰ παρὰ τῶν ἄλλων ὀνείδη. καὶ τί τούτων ἐπονειδιστότερον γένοιτ' ἄν, οἳ μηδὲ ἅπερ ὀνειδίζειν χρὴ δύναιντ' ἂν εἰδέναι καλῶς; οὗτοι γὰρ ἀληθῶς εἰσιν οἱ μαινόμενοι καὶ δαιμονῶντες, οἱ τὰ πράγματα, ὡς ἔχει φύσιν, μὴ μεμαθηκότες ὁρᾶν· ἀλλὰ τὰ μὲν ἐπαίνων ἄξια ψέγοντες, τὰ δὲ ἐπονείδιστα εἰς τὴν τῶν ἐπαινουμένων τάξιν μετατιθέντες. πολλὰ καὶ οἱ τὴν φρενῖτιν νοσοῦντες λέγουσι τοὺς παρόντας κακά, ἀλλ' οἱ ἀκούοντες οὐχ ἡγοῦνται ὑβρίζεσθαι. μὴ τοίνυν μηδὲ σὺ τῶν ἐξεστηκότων ἐκείνων ἀκούων, αἰσχύνην καὶ ὕβριν τὸ πρᾶγμα εἶναι νόμιζε, ἵνα μήποτε ἀληθῶς ἐπονείδιστον καταστήσῃς σαυτόν, προσκρούων τὸν Θεόν. ὅταν γὰρ τὰ πρὸς παιδείαν καὶ ὠφέλειαν ἐπαγόμενα παρὰ τοῦ Θεοῦ, ταῦτα ὄνειδος εἶναι νομίσῃς, ὅρα ποῦ τελευτᾷ τὸ κακόν. εἰ γὰρ βούλει τοὺς ἀληθῶς αἰσχύνης καὶ ὀνείδους ἀξίους ἰδεῖν, ἐγώ σοι πειράσομαι ἐκ τῶν πολλῶν ὀλίγους ὑπο-

Γρ. δεῖ.

Γρ. ὀνειδῶν

δεῖξαι τῷ λόγῳ. θέασαι τοὺς περὶ τὰς εὐμορφίας ἐπτοημένους τῶν γυναικῶν, τοὺς περὶ χρήματα μαινομένους, τοὺς δυναστείας καὶ δόξης ἐρῶντας καὶ πάντα ὑπὲρ τούτων καὶ πρᾶξαι καὶ παθεῖν αἱρουμένους, τοὺς ὑπὸ βασκανίας τηκομένους, τοὺς ἐπιβουλεύοντας τοῖς ἠδικηκόσιν οὐδὲν, τοὺς μελαγχολῶντας ἁπλῶς, τοὺς περὶ τὰ μάταια τοῦ βίου λυττῶντας ἀεί. ταῦτά ἐστι καὶ τὰ τοιαῦτα μανίας ἔργα καὶ κολάσεων ἄξια, ταῦτα ὀνείδους καὶ αἰσχύνης καὶ γέλωτος. εἰ δέ τις ὑπὸ δαίμονος ἐνοχλούμενος, φιλοσοφίαν καὶ οὕτως ἐν τῷ βίῳ πολλὴν ἐπιδείκνυται, οὐ μόνον οὐκ ὀνειδίζεσθαι, ἀλλὰ καὶ θαυμάζεσθαι καὶ στεφανοῦσθαι παρὰ πάντων ἂν εἴη δίκαιος, μετὰ τοιούτων δεσμῶν δρόμον οὕτως ἐπίπονον τρέχων, καὶ τὴν ἀνάντη καὶ τραχεῖαν τῆς ἀρετῆς ἀναβαίνων ὁδόν.

Ἀλλὰ γὰρ οὐκ οἶδ' ὅπως καὶ ἑτέρῳ, μικροῦ δεῖν, με παρελήλυθεν, τῷ πλεονεκτεῖσθαι τῶν ἀδελφῶν. τοῦτο δέ ἐστι, τὸ ῥᾳδίως, εἴ καὶ τί σοι πεπλημμέληται, διὰ τῆς θλίψεως ταύτης καὶ ταῦτα ἀποδύσασθαι τὰ ἁμαρτήματα. καὶ τοῦτο γέγονε δῆλον ἡμῖν, ἐξ ὧν ἔφθην ἤδη διηγηθεὶς, ὅτε περὶ τοῦ Λαζάρου καὶ τοῦ παρὰ τοῖς Κορινθίοις πεπορνευκότος ἔλεγον. ἀλλ' ὑπὲρ τοῦ πατρὸς δέδοικα, φησι. κἂν γὰρ τὰ ἐμαυτοῦ πρᾴως ἐνεγκεῖν δυνηθῶ, τὰς ἐκείνου συμφορὰς καὶ τὴν μανίαν πῶς οἴσω ῥᾳδίως, εἴ ποτε αἴσθοιτό τι τούτων; πῶς μὲν οὐκ ᾔσθετο· πολλῆς δὲ μικροψυχίας ἐστὶν ὑπὲρ τῶν ὕστερόν ποτε συμβησομένων, ἢ μηδὲ ὅλως συμβησομένων, τὴν ἀθυμίαν ἤδη καρποῦσθαι καὶ κόπτεσθαι. πόθεν γὰρ ὅτι καὶ αἰσθήσεται δῆλον ἡμῖν; μᾶλλον δὲ ἔστω δῆλον, καὶ συγκεχωρήσθω, εἰ βούλει, καὶ αἰσθήσεσθαι αὐτὸν, καὶ μεγάλα ἐργάσασθαι δεινά. ἐπαινῶ μέν σε ἀλγοῦντα ὑπὲρ τῶν ἐκείνου κακῶν· οὐκ ἀξιῶ δὲ μετὰ τῆς σαυτοῦ ζημίας τοῦτο ποιεῖν. τοὺς γὰρ τὰ ἄνω φρονοῦντας, καὶ μὴ τὰ ἐπὶ τῆς γῆς, οὐ θυμοῦ μόνον καὶ ἐπιθυμίας καὶ τῶν ἄλλων παθῶν, ἀλλὰ καὶ ἀθυμίας κρατεῖν δεῖ. καὶ γὰρ καὶ τοῦτο πλείονα ἡμᾶς ἐκείνων ἐργάσεται δεινὰ, καὶ χρὴ πρὸς αὐτὸ γενναίως ἐνίστασθαι μὴ μέλλοντας ἀπόλλυσθαι παντελῶς. εἰ μὲν γὰρ αὐτὸς ἔμελλες αἴτιος ἔσεσθαι τῶν τῷ πατρὶ συμβαινόντων ἀνιαρῶν, καλῶς ἂν ἐδεδοίκεις καὶ ἔτρεμες, τοσαύτης ἀπωλείας γενόμενος αἴτιος· εἰ δὲ αὐτὸς ἑαυτὸν περιπείρειν βούλεται τοῖς ἐσχάτοις κακοῖς, οὐδεὶς πρὸς σὲ τούτων λόγος, πλὴν ὅσον πατρὶ συναλγεῖν χρή. χωρὶς δὲ τούτων, οὐδὲ ἴσμεν ὅπως οἴσει ταύτην τὴν ἀκοήν. πολλὰ γὰρ ἐναντία τοῖς προσδοκηθεῖσιν ἐξέβη πολλάκις. κἀκεῖνο μὲν τῶν παραδόξων καὶ σπανίως συμβαινόντων ἐστὶ, τοῦτο δὲ καὶ τῶν εἰκότων καὶ τῶν σφόδρα ἐνδεχομένων. πόθεν δὴ τοῦτο δῆλον; πολλὴν τῶν νόθων ποιεῖται λόγον, καὶ ὁ πρὸς ἐκείνους φίλτρον ἱκανὸν ταύτην αὐτοῦ συσκιάσαι τὴν ἀθυμίαν. μὴ δὴ μάτην ὀδύνα σαυτὸν ταῖς φροντίσιν. εἰ δὲ καὶ ἀλγεῖν ὑπὲρ τοῦ πατρὸς χρὴ, ἐπὶ ταῖς ἀλόγοις δαπάναις τοῦτο ποιεῖν δεῖ, ἐπὶ τοῖς κώμοις, καὶ ἐπὶ τῷ τύφῳ καὶ τῇ τυραννίδι, ἐπὶ τῇ μοιχείᾳ τῇ νῦν. ἢ μικρὸν οἴει κακὸν, τὸ, γυναικὸς ἔνδον οὔσης τῆς ὑμετέρας μητρὸς, ἑτέρᾳ προσφθείρεσθαι κόρῃ, καὶ παιδοποιεῖν ἐκ παρανόμων γάμων; ταῦτα πένθους ἄξια, ταῦτα δακρύων, τὰ φανερὰ καὶ εἰς τέλος ἐκβάντα κακά. τὰ δὲ ἐπὶ σοὶ συμβησόμενα ἴσως μὲν ἔσται δεινὰ, ἴσως δὲ οὐ δεινά· πολλῆς δὲ ἀλογίας, ὑπὲρ τῶν οὕτως ἀδήλων ὡμολογημένην ὑπομένειν ἤδη βάσανον. θῶμεν δὲ αὐτὰ καὶ μετὰ πολλῆς τῆς σφοδρότητος ἀπαντήσεσθαι. ἀλλ' ἐννόησον, ὅτι τάχιστα τέλος ἕξει, καὶ πρὶν ἢ καλῶς ἐξαφθῆναι σβεσθήσεται. ἄνθρωπος γὰρ προσέχων τοσαύτῃ τρυφῇ, καὶ πραγμάτων ἐπιμελούμενος πολλῶν, καὶ παρασίτους τρέφων καὶ κόλακας, καὶ οὕτω τῆς κόρης ἐκείνης περικαιόμενος, ἐξ ἧς ἔχει τοὺς ἐξ ἡμισείας ὑμῖν ἀδελφοὺς, κἂν λάβῃ τὴν σὴν αἴσθησιν, βραχεῖαν λήψεται καὶ οὐδενὸς ἀξίαν. καὶ τοῦτο οὐχ οἷς εἶπον μόνον, ἀλλὰ καὶ τοῖς ἤδη γεγενημένοις στοχάζομαι. οἶσθα γὰρ, οἶσθα σαφῶς, ὅτι σφόδρα σε πρὸ τούτου φιλῶν, καὶ ἀντὶ πάντων τὴν σὴν ἡγούμενος κεφαλὴν, ἐπειδὴ πρὸς τὸν τῶν μοναχῶν μετέστης βίον, πάντα τὸν πόθον ἐκεῖνον ἔσβεσε, καὶ τὸ πρᾶγμα αἰσχρὸν ἡγήσατο καὶ τῆς τῶν προγόνων λαμπρότητος ἀνάξιον.

ξιον, καὶ τὴν αὐτοῦ δόξαν καταισχύνειν σε ἔλεγε. καὶ εἰ μὴ ἡ τῆς φύσεως αὐτὸν ἀνάγκη κατεῖχε, τάχα ἄν σε καὶ ἀπεκήρυξεν. ὥστε εἰ μὴ σφόδρα ἀναίσθητον τὸ λεγόμενον, οἶμαι αὐτὸν καὶ ἥδειν καὶ ἠσθῆναι τῇ σῇ γενναιότητι, ὡς δίκην σου δεδωκότος, ὑπὲρ ὧν πολλάκις παρακαλοῦντος καὶ ἀπαγαγεῖν βουλομένου ταύτης τοῦ βίου τῆς καρτερίας, οὐδὲ μέχρι ῥήματος ἠνέσχου τῆς συμβουλῆς. χ. τῇ συμβουλῇ. καὶ περὶ μὲν τοῦ πατρὸς καὶ τοῦ φόβου, ὃν ὑπὲρ ἐκείνου δέδοικας, ταῦτα ἂν ἔχοιμι λέγειν, ἱκανά γε ὄντα, ὡς οἶμαι, πάντα τὸν ὑπὲρ τούτων σοι γενόμενον λῦσαι φόβον. ἐπειδὴ δὲ τὸ κεφάλαιον ἔλεγες εἶναι τῶν κακῶν, τὸ μηδὲ ὑπὲρ τῶν μελλόντων ἔχειν θαρρεῖν, μηδὲ εἰδέναι πότερον ἔσται τις λύσις τούτων ποτὲ, ἢ καὶ μέχρι τελευτῆς βουλήσεταί σοι πυκτεύειν ὁ Θεὸς ἀγῶνά σοι τοῦτον θεὶς, ἀκριβὲς μὲν οὐδὲν οὐδὲ αὐτὸς ὑπὲρ τούτων ἔχω λέγειν, οὐδὲ ἀποφαίνεσθαι ὑπὲρ τῶν μελλόντων· ἐκεῖνο μέντοι οἶδα σαφῶς, καὶ αὐτόν δέ σε οὕτω πεπεῖσθαι ἀξιῶ, ὅτι ὁπότερον ἂν γένηται τούτων, συμφερόντως ἔσται καὶ πρὸς ἡμῶν. χ. δεῖ. κἂν οὕτω δὲ διακείμενος ἦς, ταχέως καὶ τὸν κολοφῶνα τούτων, ὡς λέγεις, ἀποκρούσῃ τῶν δεινῶν. πρὸς δὲ τούτῳ, κἀκεῖνο λογίζεσθαι χρὴ, ὅτι ὁ μὲν τῶν ἐπάθλων καὶ τῶν στεφάνων καιρὸς, ὁ μέλλων ἐστὶν αἰών· τῶν δὲ παλαισμάτων καὶ τῶν ἱδρώτων, ὁ παρών. καὶ τοῦτο ποιῆσαι δῆλον ἡμῖν βουλόμενος ὁ μακάριος Παῦλος ἔλεγεν· α. Κορ. θ. κζ. Οὕτω τρέχω, ὡς οὐκ ἀδήλως· οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων· ἀλλ' ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. ἐπειδὴ δὲ πρὸς τὴν τελευτὴν ἔφθασε, τηνικαῦτα τὴν μακαρίαν ἐκείνην ἀφῆκε φωνήν· β. Τιμ. δ. ζ. Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, δεικνὺς ὅτι πάντα τὸν βίον ἐναγώνιον ἡμῖν εἶναι δεῖ καὶ ἐπίπονον, εἴπερ μέλλοιμεν τῆς ἀναπαύσεως τῆς αἰωνίου καὶ τῶν μυρίων ἀπολαύσεσθαι ἀγαθῶν. εἰ δὲ βούλοιτό τις ῥαθυμεῖν καὶ τῶν ἐνταῦθα ἀπολαύειν ἡδέων, καὶ τῶν ἐκεῖ τοῖς πονοῦσιν ἀποκειμένων ἀγαθῶν, ἑαυτὸν παρακρούεται καὶ ἀπατᾷ. χ. ῥᾳθυμῶν. χ. μὲν. καὶ καθάπερ ἐπὶ τῶν ἀθλητῶν, ὁ μὲν ἐπὶ τοῦ καιροῦ τῶν ἀγώνων ἄνεσιν ἐπιζητῶν, αἰσχύνην καὶ ἀδοξίαν διὰ παντὸς τοῦ χρόνου ἑαυτῷ προξενεῖ· ὁ δὲ ἐν τῷ σταδίῳ πάντα πόνον γενναίως ἐνεγκὼν, στεφάνους καὶ δόξαν καὶ ἔπαινον καὶ ἐν αὐτοῖς τοῖς ἀγῶσι καὶ λυθέντων αὐτῶν καρποῦται παρὰ τῶν θεατῶν, οὕτω καὶ ἐφ' ἡμῶν. ὁ μὲν τὸν καιρὸν τῶν πόνων ἀνέσεως ποιούμενος καιρὸν, ὅταν ἀναπαύσασθαι δέῃ τὴν ἀγήρω ἐκείνην ἄνεσιν, τηνικαῦτα οἰμώξεται καὶ βρύξει τοὺς ὀδόντας καὶ τὰ ἔσχατα πείσεται δεινά· ὁ δὲ ἐνταῦθα τὰς θλίψεις προθύμως ἐνεγκὼν, καὶ ἐνταῦθα καὶ ἐκεῖ λαμπρὸς ἔσται καὶ ἐπίδοξος δόξαν τὴν ἀθάνατον καὶ ἀληθῆ. εἰ γὰρ ἐπὶ τῶν βιωτικῶν ὁ τὴν εὐκαιρίαν τῶν πραγμάτων συγχέων, πάντων ἐκπεσεῖται τῶν προκειμένων αὐτῷ, καὶ μυρίαις ἑαυτὸν περιβαλεῖ συμφοραῖς, πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν τοῦτο πείσεται ὁ τὴν τάξιν τῶν καιρῶν οὐκ εἰδώς. Ιωαν. ις. λγ. Εἶπεν ὁ Χριστὸς, Ὅτι θλίψιν ἕξετε ἐν τῷ κόσμῳ· β. Τιμ. γ. ιβ. Εἶπεν ὁ μακάριος Παῦλος, Καὶ πάντες δὲ οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται, οὐ τὰς παρὰ τῶν ἀνθρώπων διώξεις λέγων μόνον, ἀλλὰ καὶ τὰς παρὰ τῶν δαιμόνων ἐπιβουλάς. Ιωβ. ζ. α. Εἶπεν ὁ Ἰὼβ, ὅτι Πειρατήριόν ἐστιν ὁ βίος τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς. τί τοίνυν ἀσχάλλεις, ἐν τῷ τῆς ταλαιπωρίας θλιβόμενος καιρῷ; τότε γὰρ ἀλγεῖν ἐχρῆν, εἰ ἐν ᾧ προεῖπεν ὁ Χριστὸς θλίψεως εἶναι χρόνον, τοῦτον ἐποιούμεθα τρυφῆς καὶ ἀναπαύσεως καιρόν· εἰ καθ' ὃν ἀγωνίζεσθαι καὶ πονεῖν προσετάχθημεν, κατὰ τοῦτον ἀναπεπτώκειμεν· εἰ τὴν εὐρύχωρον ἐβαδίζομεν ὁδὸν, αὐτοῦ τὴν τεθλιμμένην βαδίζειν κελεύσαντος. οὕτω γὰρ ἂν ἐξ ἀνάγκης λοιπὸν εἵπετο ἡμῖν τὸ ἐν τοῖς αἰῶσι κολάζεσθαι ἐκείνοις.

Τί οὖν ἂν εἴποις, φησὶ, πρὸς τοὺς καὶ ἐνταῦθα μετ' εὐρυχωρίας βαδίζοντας, καὶ ἐκεῖ μέλλοντας ἀναπαύεσθαι; καὶ τίς οὗτός ἐστιν; ἐγὼ γὰρ τῷ τοῦ Χριστοῦ πείθομαι λόγῳ μόνον τῷ λέγοντι, Ματθ. ζ. ιδ. ὅτι Στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν. ὅτι δὲ οὐκ ἔνι διὰ τῆς στενῆς ἐν εὐρυχωρίᾳ βαδίσαι ποτὲ, παντί που δῆλόν ἐστιν. ὅπου γὰρ ἐπὶ τῶν ἔξωθεν ἀγώνων οὐδεὶς ἱδρώτων χωρὶς στέφανον ἀνεδήσατο, καὶ ταῦτα τῆς αὐτῆς φύσεως κοινωνοῦντας ἔχων τοὺς ἀνταγωνιστάς· ἔνθα πονηραὶ δυνάμεις ἡμῖν ἀντιτάττονται, πῶς ἔνι θλίψεως καὶ στενοχωρίας ἐκτὸς περιγενέσθαι τῆς μανίας ἐκείνων; ἀλλὰ μέχρι τίνος ἀπὸ λογισμῶν ταῦτα ἐξετάζομεν, ἐξὸν ἐπὶ τοὺς μακαρίους καὶ γενναίους ἀθλητὰς καταφυγεῖν, τοὺς ἐπὶ τῶν προτέρων γεγενημένους χρόνων; ἐξέτασον γὰρ ἅπαντας τοὺς τότε ὀνομαστούς, καὶ πάντας ἀπὸ τῶν θλίψεων ὄψει παῤῥησίαν ἐσχηκότας πρὸς τὸν Θεόν. καὶ εἰ βούλει γε, ἐπὶ τὸν τοῦ πρωτοπλάστου πρῶτον ἔλθωμεν παῖδα, τὸ ἀρνίον τοῦ Χριστοῦ, τὸν Ἄβελ, τὸν ἠδικηκότα μὲν οὐδέν, τὰ δὲ τῶν δεινότατα ἐργασαμένων ὑπομείναντα. ἡμεῖς μὲν γὰρ ἁμαρτιῶν τινόμεθα δίκας τοὺς πειρασμούς· ὁ δὲ δίκαιος ἐκεῖνος δι᾽ οὐδὲν ἕτερον ἐκολάζετο, ἀλλ᾽ ὅτι δίκαιος ἦν. καὶ ἕως μὲν οὐδὲν μέγα ἐπεδείκνυτο, ἐπεγίνωσκεν αὐτὸν ὁ ἀδελφός· ἐπειδὴ δὲ ἀπὸ τῆς θυσίας διέλαμψε, καὶ τὴν φύσιν αὐτὴν ἠγνόησεν ὑπὸ τοῦ φθόνου πηρωθείς. πόθεν οὖν οἶδας, εἰ καὶ νῦν ἡ αὐτὴ αἰτία τὸν διάβολον ἤγειρε, καὶ τοῦ βίου σου τὸ λαμπρὸν πρὸς τὴν μάχην αὐτὸν ταύτην ἐξεκαλέσατο; εἰ δὲ γελᾷς ταυτί μου τὰ ῥήματα, ἐπαινῶ μέν σε τῆς ταπεινοφροσύνης ἕνεκα, οὐ μὴν τοῦ οὕτω διακεῖσθαι παύσομαι. εἰ γὰρ στέαρ προσενεγκών, οὕτως εὐδοκίμησεν ἐκεῖνος, ὁ μηδὲν τῶν ἔξωθεν, ἀλλ᾽ ὅλον ἑαυτὸν ἀναθεὶς τῷ Θεῷ, πολλῷ μᾶλλον ἂν παρώξυνας καθ᾽ ἑαυτοῦ τὸν ἐχθρόν. καὶ διατί, φησιν, ὁ Θεὸς συνεχώρησεν αὐτὸν ἐπελθεῖν; ὅτι οὐδὲ τότε τὸν φόνον γενέσθαι ἐκώλυσεν, ἀλλ᾽ ἀφῆκεν εἰς τὰς τοῦ μιαιφόνου χεῖρας τὸν δίκαιον ἐμπεσεῖν, καὶ οὐκ ἐξήρπασε τὸν δι᾽ αὐτὸν καὶ διὰ τὴν εἰς αὐτὸν ἀναιρούμενον τιμήν. οὐδὲ γὰρ ἐβούλετο ἐλαττωθῆναι τοὺς στεφάνους αὐτῷ. διὰ τοῦτο μέχρι τέλους ἀφῆκεν αὐτὸν δραμεῖν. καὶ ποία κόλασις ὁ θάνατος, φησιν; εἴθε μὲν οὖν κἀγὼ ταύτην τὴν τιμωρίαν ὑπέμεινα νῦν. ταῦτα λέγεις, ἀγαπητέ, νῦν· πρότερον δὲ πάντων τὸ πρᾶγμα ἐδόκει εἶναι χαλεπώτατον, καὶ πάσης τιμωρίας ἐλεεινότερον. διὸ καὶ ἐν τῷ νόμῳ Μωϋσέως, οἱ τὰ μέγιστα ἠδικηκότες καὶ συγγνώμης μείζονα, ταύτην ὑπεῖχον τὴν κόλασιν· καὶ παρὰ τοῖς ἔξωθεν νομοθέταις ἔτι καὶ νῦν οὐδαμῶς ἑτέρως κολάζονται πάντες, ὅσοιπερ ἂν ἐπὶ τοῖς αἰσχίστοις ἁλῶσι κακοῖς. ἀλλ᾽ ὅμως τὰ αὐτὰ τοῖς παρανόμοις ὁ δίκαιος ἔπασχε, μᾶλλον δὲ καὶ πολλῷ χαλεπώτερα, ὅσῳ καὶ παρὰ ἀδελφικῆς δεξιᾶς ἐδέχετο τὴν πληγήν. τί δὲ ὁ Νῶε; καὶ γὰρ καὶ οὗτος δίκαιος καὶ τέλειος ἦν, καὶ πάντων διεφθαρμένων μόνος εὐηρέστει τῷ Θεῷ, πάντων τῶν ἄλλων προσκεκρουκότων αὐτῷ. μυρίας μὲν οὖν θλίψεις ὑπέμεινε, πολλὰς καὶ κακάς. οὐ γὰρ ἀπέθανεν οὗτος εὐθέως, καθάπερ ἐκεῖνος, οὐδὲ ἔπαθε τοῦτο, ὃ κοῦφον εἶναί σοι φαίνεται, ἀλλὰ μακρᾶς ἐνείχετο ζωῆς, ἐν τοῖς τοσούτοις ἔτεσι τῶν ἀχθοφορούντων καὶ βαρυτάτῳ φορτίῳ πιεζομένων διὰ παντὸς οὐδὲν ἄμεινον διακείμενος. καὶ τοῦτο αὐτίκα σοι μάλα ποιήσω φανερόν, πρότερον ἐκεῖνο εἰπών· ἐνιαυτὸν ὅλον αὐτὸς δεσμωτήριον ᾤκησε, δεσμωτήριον ξένον καὶ φοβερόν. ἵνα γὰρ τὸ πλῆθος ἀφῶ τῶν θηρίων καὶ τῶν ἑρπετῶν, οἷς τοσοῦτον συνέζη χρόνον εἰς τοιαύτην ἀπειλημμένος στενοχωρίαν, τί οἴει πάσχειν αὐτὸν ὑπὸ τοῦ πατάγου τῶν βροντῶν, ὑπὸ τοῦ ψόφου τῶν ὑετῶν; ἄβυσσος ἡ μὲν κάτωθεν διεῤῥήγνυτο, ἡ δὲ ἄνωθεν κατεφέρετο· ὁ δὲ ἔνδον ἐκάθητο μόνος μετὰ τῶν ἀλόγων. εἰ γὰρ καὶ ὑπὲρ τοῦ τέλους εἶχε θαῤῥεῖν, ἀλλὰ τῇ τῶν γινομένων σφοδρότητι προσαπετεθνήκει τῷ δέει. ὅταν γὰρ ἡμεῖς οἰκίας ἔχοντες ἡδρασμένας ἐπὶ τῆς γῆς, καὶ πόλεις οἰκοῦντες, ὅμως ὅταν ἴδωμεν κατενεχθέντα σφοδρότερον ὀλίγον τὸν ὑετὸν τοῦ συνήθους, καταπίπτομεν καὶ συστελλόμεθα· τί οὐκ ἂν ἐκεῖνος ἔπαθε, μόνος ἔνδον ὤν, καὶ τὴν φρικωδεστάτην ἄβυσσον ἐκείνην ἐννοῶν, καὶ τῶν ἀποπνιγομένων τὰ διάφορα γένη λογιζόμενος; ἱκανὸν μὲν οὖν ἐκπλῆξαι ψυχὴν καὶ τὸ πόλιν μίαν ἢ καὶ οἰκίαν μόνην ἐπικλυσθεῖσαν κατακαλυφθῆναι τοῖς κύμασι· τὸ δὲ τὴν οἰκουμένην ἅπασαν τοῦτο παθεῖν, οὐδέ ἐστιν εἰπεῖν πῶς ἂν διέθηκε τὸν ἐν μέσῳ τῷ κλυδωνίῳ περιφερόμενον. τὸν μὲν οὖν ἐνιαυτὸν ἐκεῖνον τοιούτῳ συνείχετο δέει. ἐπειδὴ δέ ποτε ὁ κατακλυσμὸς ἐπαύσατο, ὁ μὲν φόβος ἐνεδίδου λοιπὸν, ἐπετείνετο δὲ τὰ τῆς ἀθυμίας αὐτῷ, καὶ τῆς κιβωτοῦ προκύψαντα χειμὼν ἕτερος διεδέχετο τοῦ προτέρου οὐχ ἥττων, τὴν πολλὴν ἐρημίαν ὁρῶντα, καὶ τὸν βίαιον θάνατον ἐκεῖνον, καὶ τῶν διαιρεθέντων τὰ σώματα τῇ ἰλύϊ πεφυρμένα καὶ τῷ πηλῷ, καὶ πάντας ὁμοῦ ἀνθρώπους τε καὶ ὄνους καὶ τὰ τούτων ἀτιμότερα γένη μιᾷ τῇ ἐλεεινοτάτῃ καταχωσθέντα ταφῇ. εἰ γὰρ καὶ σφόδρα ἁμαρτωλοὶ οἱ ταῦτα πεπονθότες ἦσαν, ἀλλ᾽ ὅμως ἄνθρωπος ἦν ὁ Νῶε, καὶ ἔπασχέ τι πρὸς τὸ ὁμόφυλον. καὶ γὰρ ὁ Ἰεζεκιὴλ δίκαιος ὢν καὶ τοὺς Ἰσραηλίτας μάλιστα πάντων πονηροτάτους εἰδὼς, ὅτε κατασφαττομένους εἶδε καὶ καταπίπτοντας, ἔπαθε τοῦτο τὸ κοινὸν, καὶ ἐδάκρυσε· καίτοι διὰ τοῦτο προλαβὼν ὁ Θεὸς ἅπασαν αὐτῷ τὴν ἀσέβειαν αὐτῶν ἐξεκάλυψε, καὶ αὐτοῖς ὀφθαλμοῖς "αὐτὴν ἐποπτεῦσαι παρεσκεύασεν, ἵν᾽, ὅταν αὐτοὺς κολαζομένους ἴδῃ, γενναίως ἐνέγκῃ τὴν συμφοράν. ἀλλ᾽ ὅμως καὶ τοσαύτης παραμυθίας προπαρασκευασθείσης αὐτῷ καὶ οὕτως ἠλέγχετο, καὶ πεσὼν ἐβόα λέγων· Οἴμοι, Κύριε, ἐξαλείφεις σὺ τὸ κατάλοιπον τοῦ Ἰσραήλ; οὐχ ἅπαξ δὲ τοῦτο ἔπαθε μόνον, ἀλλὰ καὶ πάλιν ὅτε τὸν Ἰεχωνίαν εἶδεν ἀναιρούμενον. ὥστε καὶ ὁ Νῶε, εἰ καὶ μυρία αὐτοῖς συνῄδει κακὰ, οὐκ ἦν οὔτε τούτου, οὔτε τοῦ Μωϋσέως ἀνδρειότερος. καὶ γὰρ κἀκεῖνος τὰ αὐτὰ τῷ προφήτῃ πολλάκις ἔπαθε· καὶ ἁμαρτάνοντας ὁρῶν, ὅτε τιμωρεῖσθαι ἔδει, ἠλέει, καὶ μᾶλλον ἤλγει καὶ ὠδυνᾶτο τῶν κολαζομένων αὐτῶν. ἐπὶ δὲ τοῦ Νῶε καὶ ἡ συμφορὰ χαλεπωτέρα ἦν· μόνος γὰρ ἐκεῖνος τοιοῦτος ἐγένετο θάνατος.

Ἰεζεκ. θ. η.

γρ. αὐτὴν

Τοσούτοις τοίνυν συνεχόμενος κακοῖς, τῇ μονώσει, τῇ πρὸς τὸ ὁμόφυλον συμπαθείᾳ, τῷ πλήθει τῶν ἀπολωλότων, τῷ τρόπῳ τῆς τελευτῆς, τῇ τῆς γῆς ἐρημίᾳ, καὶ πάντοθεν αὐτῷ τῆς ἀθυμίας αἰρομένης καὶ ἀκμαζούσης σφοδρῶς, ἐπιτίθεται εὐθέως καὶ ἡ τοῦ παιδὸς ὕβρις, πρᾶγμα ἀφόρητον, καὶ πολλῆς μὲν αἰσχύνης, πολλῆς δὲ γέμον ὀδύνης. ὅσῳ γὰρ τῶν ἐχθρῶν τὰ παρὰ τῶν φίλων ὀνείδη βαρύτερα, τοσούτῳ τούτων αὐτῶν τὰ παρὰ τῶν παίδων*. ὅταν γὰρ ὃν ἐγέννησεν, ὃν ἔθρεψεν, ὃν ἐπαίδευσεν, ὑπὲρ οὗ πολλοὺς μόχθους καὶ κόπους καὶ φροντίδας ἠνέσχετο, τοῦτον ἁπάντων ὑβριστικώτερον αὐτῷ κεχρημένον ἴδῃ, οὐδὲ ἐνεγκεῖν τὸ πολὺ πένθος δυνήσεται τῆς ψυχῆς ὁ τοῦτο παθών. ἡ γὰρ ὕβρις τοῖς ἐλευθέροις καὶ καθ᾽ ἑαυτὴν μέν ἐστιν ἀφόρητος· ὅταν δὲ καὶ παρὰ τῶν παίδων γίνηται, κἂν εἰς ἔσχατον "ἀγάγῃ τὸν πάσχοντα*. σὺ δέ μοι μὴ μόνον ἐκεῖνο τὸ τόλμημα ἐννόει, ἀλλὰ ἀπὸ τούτου μάνθανε, πῶς αὐτῷ καὶ τὸν ἔμπροσθεν ἅπαντα χρόνον ἐχρῆτο οὗτος ὁ ὑβριστής. ὁ γὰρ ἐν χερσὶν ἔτι τὸν φόβον τῶν γεγενημένων ἔχων, καὶ ἄρτι τῆς εἱρκτῆς ἐκείνης ἀπαλλαγεὶς, καὶ τῆς οἰκουμένης τὰς συμφορὰς ἔτι θεωρῶν, καὶ μηδὲ οὕτω σωφρονισθεὶς, ἀλλ᾽ ὑβρίσας εἰς ὃν ἥκιστα πάντων ἐχρῆν, καὶ μηδὲ τῷ θανάτῳ τῶν πολλῶν, μήτε τῇ ἐρημίᾳ, μήτε τῇ ὀργῇ τοῦ Θεοῦ, μηδὲ ἄλλῳ τινὶ τῶν τότε συμβεβηκότων βελτίων γενόμενος, τίς ἦν πρὸ τοῦ κατακλυσμοῦ, ὅτε καὶ πολλοὺς εἶχε τοὺς παρακαλοῦντας ἐπὶ τὴν κακίαν αὐτόν; τότε "γὰρ, τότε χαλεπώτερον κλυδώνιον ὑπέμενεν ὁ δίκαιος ἐκεῖνος τοῦ μετὰ ταῦτα ἐπὶ τοῦ κατακλυσμοῦ γενομένου, καὶ διὰ τοῦτον καὶ διὰ τοὺς ἄλλους ἅπαντας. ἐπὶ μὲν γὰρ τοῦ κατακλυσμοῦ πλῆθος ὑδάτων "αὐτῷ περιεῖχε μόνον, πρὸ δὲ τούτου κακίας ἀβύσσῳ πάντοθεν συνείχετο, καὶ τῶν κυμάτων αὐτῷ σφοδρότερον αἱ τῶν πονηρῶν ἀνδρῶν ἐπιβουλαὶ προσερρήγνυντο. μόνος γὰρ εἰς τοσοῦτον πλῆθος ἀπολειφθεὶς ἀνδρῶν παρανόμων καὶ μιαρῶν, εἰ δὲ μηδὲν ἔπασχε δεινὸν, ἀλλ᾽ ὅμως πολὺν τὸν γέλωτα καὶ πολλὰ τὰ σκώμματα ἔφερεν, εἰ καὶ μὴ πρότερον, ἀλλ᾽ ὅτε περὶ τῆς κιβωτοῦ καὶ τῶν μελλουσῶν αὐτοῖς διελέγετο συμφορῶν. τοῦτο δὲ ὅσην ἔχει δύναμιν πρὸς τὸ ταράξαι ψυχὴν, μαρτυρήσειεν ἂν ἡμῖν ὁ ἐκ κοιλίας ἁγιασθεὶς, ὁ διὰ τοῦτο καὶ τῆς προφητείας μέλλων ἀφίστασθαι. Εἶπον γὰρ, φησιν, οὐ μὴ προφητεύσω. χωρὶς δὲ τούτων, αὐτὸ "μόνον τὸ μηδένα ὁμόψυχον, μηδὲ ὁμότροπον ἔχειν, πόσην ἀκηδίαν, πόσην αὐτῷ κατεσκέδαζε τὴν ἀθυμίαν; οὐ τούτῳ δὲ μόνον, ἀλλὰ καὶ τῷ συναλγεῖν αὐτοῖς

μυρία

* ἐπιμαν

ἀφορητότ

γρ. ἀγάγῃ

* ὑπὸ βαρ

τέρα ἐστί.

γρ. γοῦν

γρ. αὐτὸν

ἴσ. αὐτὸν

γρ. τὸ

μωρία ἔπραξε δεινά. οὐ γὰρ δήπου τελευτῶντας μὲν ὁρῶντες οὕτως ἀλγοῦσιν οἱ δίκαιοι τοὺς πονηρούς, ἁμαρτάνοντας δὲ οὐκέτι· ἀλλὰ πολλῷ μᾶλλον τούτῳ δάκνονται, ἢ ἐκείνῳ. καὶ τοῦτο δὲ ἀπὸ τῶν προφητῶν ἄν τις μάθοι καλῶς. ὁ μὲν γὰρ ἐβόα πικρόν· Οἴμοι ψυχή, ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς, καὶ ὁ κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει· ἕτερος δὲ ἔλεγε πρὸς τὸν Θεόν· Ἵνα τί μοι ἔδειξας κόπους καὶ πόνους ἐπιβλέπειν; καὶ ὑπὲρ τῶν ἀδικουμένων δὲ σφόδρα κοπτόμενος ″ἐθρήνει λέγων, Ποιήσεις τοὺς ἀνθρώπους ὡς τοὺς ἰχθύας τῆς θαλάσσης οὐκ ἔχοντας ἡγούμενον. Εἰ δὲ τότε ταῦτα ἐγίνετο, καὶ νόμων ὄντων, καὶ ἀρχόντων, καὶ δικαστηρίων, καὶ ἱερέων, καὶ προφητῶν, καὶ κολάσεων, ἐννόησον μεθ' ὅσης ὑπερβολῆς ἅπαντα ἐτόλμων ἐπὶ τοῦ Νῶε, ὅτε τούτων οὐδὲν κατεῖχεν αὐτούς. καὶ ἐπὶ μὲν τῶν προφητῶν, οὐδὲ πολὺς ὁ τῆς ζωῆς χρόνος ἦν, ἀλλ' ἑβδομήκοντα ἔτη καὶ ὀγδοήκοντα· τότε δὲ καὶ εἰς ἑξακόσια ἔτη καὶ πλείονα ὁ τῶν ἀνθρώπων ″παρετείνετο βίος. ἵν' οὖν πάντα τὰ εἰρημένα παρῶ, πόσα πράγματα ἔχειν ἠναγκάζετο οὕτω μακρὰν ὁδεύων ὁδόν, καὶ μηδὲ μικρὸν ἐν τοσούτῳ μήκει παρατραπῆναι σπουδάζων, καὶ ταῦτα πολλῶν ἐν τῷ μεταξὺ κωλυμάτων ὄντων; καὶ τί λέγω πολλῶν, πάσης μὲν οὖν δι' ὅλου τοιαύτης οὔσης τῆς ὁδοῦ, ἀπὸ τῶν τερμάτων τῆς γῆς ἐπὶ τὰ τέρματα, πάσης σκοπέλων καὶ ἀκανθῶν καὶ θηρίων καὶ αὐχμοῦ καὶ λιμοῦ καὶ κρυμοῦ καὶ κακούργων πεπληρωμένης; καὶ γὰρ εὐκολώτερον *″τετριμμένην ἀτραπὸν ἐν τῷ βαθυτάτῳ τῆς νυκτὸς ὁδεύειν διαπαντός, ἢ τὴν τῆς ἀρετῆς ὁδὸν κατ' ἐκείνους τοὺς καιρούς. τοσοῦτοι οἱ τὰ διαβήματα αὐτοῦ ἐκβιαζόμενοι παρατρέπειν ἦσαν. ἐπεὶ γὰρ ἅπασιν ἅπερ ἂν ἐθέλωσι πράττειν ἐξῆν, εἷς δὲ μόνος ὁ τὴν ἐναντίαν αὐτοῖς βαδίζων ἦν, πῶς δυνήσεται πρὸς τὸ τέλος ἐλθεῖν, πάντων ὠθούντων ὀπίσω καὶ ἀνακρουόντων αὐτόν; ὅσην γὰρ ″ἔχει δυσκολίαν τὸ μετὰ πολλῶν ὄντας κατορθοῦν, δηλοῦσιν οἱ τὰς ἐρημίας κατειληφότες νῦν, ὅτε τῇ τοῦ Θεοῦ χάριτι τὴν ″εὐζωΐαν πανταχοῦ διεσπαρμένην ἐστὶν ἰδεῖν, ὅτε καὶ ὁμόνοιαν καὶ φιλοστοργίαν πρὸς ἀλλήλους οὐ μικράν. ἀλλ' οὐ τότε τούτων οὐδὲν ἦν, ἀλλὰ καὶ θηρίων ἀγριώτεροι πάντες διέκειντο πρὸς αὐτόν. τί οὖν τούτου γένοιτ' ἂν ὀδυνηρότερον τοῦ βίου; τί ταύτης μοχθηρότερον τῆς ζωῆς; ἐγὼ μὲν οὖν τῶν ἀχθοφορούντων διαπαντὸς καὶ μηδέποτε ἀναπνεόντων ἐπηγγειλάμην ″δείξειν αὐτὸν οὐδὲν ἄμεινον διακείμενον· ὁ δὲ λόγος πολλῷ πλέον ἐποίησεν, οὐ μόνον οὐδὲν ἄμεινον, ἀλλὰ καὶ πολλῷ φορτικώτερον ἐκείνων ἔχοντα ἀποφήνας ἡμῖν.

Μιχ. ζ. β.

Ἀμβ. α. γ. ιδ.

ροστίθει

τείνετο

ῶ
αιατε-
μμένην

φέρει

εὐνομίαν

δεῖξαι

Δοκεῖ μὲν οὖν πολλοῖς ὁ Ἀβραὰμ ἐν εὐθυμίᾳ τὸν ἅπαντα διατετελεκέναι χρόνον· ὅθεν καὶ τοὺς εὐημεροῦντας καὶ πανταχόθεν κομῶντας αὐτῷ παραβάλλειν εἰώθασι. φέρε οὖν ἐξετάσωμεν τὰ συμβεβηκότα αὐτῷ. ἐμοὶ γὰρ οὗτος πολλῷ καὶ τοῦ Νῶε καὶ τοῦ Ἄβελ· μᾶλλον δὲ οὐδὲν ἐρῶ, ἕως ἂν ἡ τῶν πραγμάτων ἐξέτασις ″θῆται τὴν ψῆφον ἡμῖν. τὰ μὲν οὖν ἐν Περσίδι, καὶ εἴ τι μέχρι τῶν ἑβδομήκοντα ἐτῶν αὐτῷ συνέβη λυπηρόν, οὐδεὶς δύναιτ' ἂν εἰδέναι σαφῶς. οὐδὲ γὰρ ὁ μακάριος Μωϋσῆς ἐκείνου τοῦ χρόνου τὴν ἱστορίαν ἔγραψεν, ἀλλὰ πᾶσαν τὴν ἡλικίαν ταύτην ἀφείς, ἀπὸ τῶν μετὰ ταῦτα πεποίηται τοῦ διηγήματος τὴν ἀρχήν. ὅτι δὲ καὶ αὐτὸν τὰ αὐτὰ τῷ Νῶε πάσχειν εἰκὸς ἦν, μεταξὺ τοσούτων ἀσεβῶν καὶ βαρβάρων μόνον βουλόμενον εὐσεβεῖν, τοῦτο οὐκ ἔτι τοῖς ἄλλοις ὁμοίως ἐστὶν ἄδηλον, ἀλλὰ καὶ οἱ σφόδρα ἀνόητοι στοχάσαιντο ῥᾳδίως αὐτοῦ. πλὴν ἀλλὰ καὶ ταῦτα παρείσθω νῦν. ἀπὸ δὲ τῆς ἀποδημίας αὐτοῦ ποιησώμεθα τὴν ἀρχὴν τοῦ λόγου, πρότερον ἐκεῖνο ἐξετάσαντες, πόσον ἡ τῶν Χαλδαίων γῆ τῆς Παλαιστίνης ἀφέστηκεν, ἢ ποία τις ἦν ἡ τῶν ὁδῶν κατασκευή, πῶς τοῖς ἀνθρώποις τὰ τῆς ἐπιμιξίας διέκειτο τῆς πρὸς ἀλλήλους, τίς ὁ τῆς πολιτείας τρόπος ἦν. μὴ γάρ, ἐπειδὴ εὐκόλως ὁ δίκαιος ὑπήκουσεν ἐκεῖνος, καὶ τὸ πρᾶγμα εὔκολον εἶναι δοκείτω νῦν· μηδέ, ὅτι συντόμως καὶ ἐν βραχεῖ τὸ γεγονὸς διηγήσατο ὁ Μωϋσῆς, καὶ τὸ ἔργον τὴν τῶν ῥημάτων βραχύτητα μιμεῖσθαι νόμιζε. Εἰπεῖν μὲν γὰρ ταῦτα

δὴ

καὶ διηγήσασθαι ῥᾴδιον, πρᾶξαι δὲ οὐκ ἔτι ὁμοίως εὔπορον, ἀλλὰ καὶ σφόδρα χαλεπόν. τὸ μὲν οὖν τῆς ὁδοῦ μῆκος καὶ ὅσον τούτων τὸ μέσον ἐστὶ τῶν χωρίων, μετ᾽ ἀκριβείας ἂν εἴποιεν, ὅσοι πρὸς ἡμᾶς ἐκεῖθεν διέβησαν, εἴ δή τινές εἰσιν· ἡμεῖς δὲ ἐκείνων μὲν οὐδενὶ, τῶν δὲ εἰς τὴν ἐξωτέραν χώραν ἀφικομένων συγγενόμενοί τινι, καὶ τὸν χρόνον αὐτὸν ἐρωτήσαντες ὅσον ὁδοιπορεῖν ἠναγκάσθη, ἠκούσαμεν ὅτι τεσσαράκοντα πέντε ἡμερῶν ἀριθμόν· καὶ Βαβυλῶνα μὲν οὐκ εἰδέναι ἔφη, τῶν δὲ ἐκεῖ γινομένων ἀκηκοέναι, ὅτι ἑτέρα τοσαύτη πάλιν ἐκεῖθέν ἐστιν ὁδός. καὶ τὸ μὲν διάστημα τοσοῦτον καὶ τότε ἦν, καὶ νῦν ἐστιν· ἡ δὲ κατασκευὴ τῶν ὁδῶν οὐκ ἔτι ὁμοίως καὶ νῦν καὶ τότε διάκειται. νῦν μὲν γὰρ καὶ σταθμοῖς διείληπται συνεχέσι καὶ πόλεσι καὶ ἀγροῖς, καὶ ὁδοιπόροις δὲ βαδίζων ἄν τις ἐντύχοι πολλοῖς, ὅπερ καὶ σταθμοῦ καὶ πόλεως καὶ ἀγροῦ οὐχ ἧττον εἰς ἀσφαλείας λόγον ἐστί. πρὸς δὲ τούτοις, καὶ οἱ τῶν πόλεων ἄρχοντες ἄνδρας καὶ ῥώμῃ σώματος τῶν ἄλλων διαφέροντας, καὶ ἀκοντίῳ καὶ σφενδόνῃ τοσοῦτον δυναμένους ἀρκεῖν, ὅσον τοῖς βέλεσι μὲν οἱ τοξόται, οἱ δὲ ὁπλῖται τοῖς δόρασι, τούτους συντάξαντες καὶ ἄρχοντας αὐτοῖς ἐπιστήσαντες εἰς οὐδὲν ἕτερον ἀπησχόλησαν, ἀλλὰ μόνον τὴν τῶν ὁδῶν ἐπέτρεψαν φυλακήν. μετὰ δὲ τούτων καὶ ἑτέραν πάλιν τούτων ἀκριβεστέραν ἀσφάλειαν ἐπενόησαν. οἰκήματα γὰρ κατὰ χιλίων βημάτων διάστημα δειμάμενοι παρὰ τὴν ὁδόν, νυκτερινοὺς αὐτοῖς ἐγκατέστησαν φύλακας, τὴν ἐκείνων ἀγρυπνίαν καὶ τὴν σχολὴν, μέγιστον κώλυμα ταῖς τῶν κακούργων ἐφόδοις ἐπιτειχίσαντες. τότε δὲ οὐδὲν τούτων ἦν, οὐκ ἀγροὶ συνεχεῖς, οὐ πόλεις, οὐ σταθμοὶ, οὐ καταγώγιον, οὐ τὸ συνοδοιπόρους ταχέως ἰδεῖν, οὐκ ἄλλο τι τούτων οὐδέν. τὴν γὰρ τῆς ἀτραποῦ τραχύτητα καὶ τὴν τῶν ἀέρων ἀνωμαλίαν παρίημι νῦν, καίτοιγε ἐκείνων μὴ προσόντων, λυπῆσαι τοὺς ὁδοιποροῦντας τῶν λοιπῶν ἱκανῶν. καὶ μαρτυρήσαιεν ἄν μοι οἱ ζεύγεσι καὶ ὑποζυγίοις χρώμενοι, καὶ μηδὲ οὕτω τῆς συνήθους τολμῶντες ἐπιβαίνειν ὁδοῦ, εἰ μὴ πρότερον αὐτὴν στορέσαιεν λίθοις, καὶ τὰς ἀπὸ τῶν ῥυάκων χαράδρας ἀναπληρώσαντες, ἰσόπεδον οὕτως ἐργάσαιντο. τότε μὲν οὖν ἐρημοτέρα μὲν τῶν ἀοικήτων ἦν, ἀπορωτέρα δὲ τῶν ὀρῶν, σφαλερωτέρα δὲ τῶν βαράθρων καὶ τῶν κρημνῶν. καὶ τὸ πάντων δὲ χαλεπώτερον οὐκ εἶπον, πῶς τὰ τῆς ἐπιμιξίας διέκειτο· ὃ καὶ τῆς ὁδοῦ πολλῷ πλείονα καὶ μείζονα πράγματα παρεῖχεν αὐτοῖς, κατὰ ἔθνη, μᾶλλον δὲ κατὰ πόλιν ἁπάντων διῃρημένων. οὐ γὰρ ὥσπερ νῦν μία ἀρχὴ κατὰ τὸ πλεῖστον τῆς οἰκουμένης τέταται μέρος, καὶ ἑνὶ πάντες δουλεύουσιν ἀνθρώπῳ, καὶ τοῖς αὐτοῖς διοικοῦνται νόμοις, οὕτω καὶ τότε ἦν· ἀλλ᾽ ὥσπερ σῶμα ἓν εἰς πολλὰ μέρη κατατμηθὲν, οὕτω καὶ τὸ τῶν ἀνθρώπων διέσπαστο γένος, καὶ πολεμίους ἐκ πολεμίων ἀμείβειν ὁ δίκαιος ἠναγκάζετο, πρὶν ἢ τοὺς προτέρους διαφυγεῖν, ἑτέροις ἐμπίπτων ἀεί, πῇ μὲν πολυαρχίας, πῇ δὲ ἀναρχίας οὔσης. τί οὖν ταύτης χαλεπώτερον τῆς ζωῆς; οὐδὲ γὰρ ὑπὲρ ἑαυτοῦ μόνον ἐδεδοίκει καὶ ἔτρεμεν, ἀλλὰ καὶ ὑπὲρ παιδὸς, καὶ ὑπὲρ γυναικὸς, καὶ ὑπὲρ ἀδελφιδοῦ. ἦν δὲ οὐδὲ ἡ τῶν οἰκετῶν φροντὶς μικρά, εἰ καὶ ἐπὶ τῆς οἰκείας ἐτύγχανον ὄντες, μή ὅτι γε ὅτε ἐπὶ τῆς ἀλλοτρίας ἠναγκάζοντο εἶναι διαπαντός. καὶ εἰ μὲν ᾔδει σαφῶς ὅποι στήσεται τὰ τῆς πλάνης αὐτῷ, οὐκ ἦν οὕτω τὸ τῶν φροντίδων ἀφόρητον· νῦν δὲ ἁπλῶς καὶ ἀδιορίστως ἀκούσας γῆν, οὐ τήνδε, ἢ τήνδε, ἀλλ᾽ ἣν ἄν σοι δείξω, πανταχοῦ περιῄει τῷ νῷ, καὶ πολὺν ἐδέχετο θόρυβον τῇ ψυχῇ, μηδαμοῦ τῷ λογισμῷ στῆναι δυνάμενος, ἀλλὰ πολλὰ ὑποπτεύειν ἔχων καὶ μεριμνᾶν ἀναγκαζόμενος. εἰκὸς γὰρ αὐτὸν καὶ πρὸς αὐτὰ τῆς οἰκουμένης τὰ πέρατα ἀφίξεσθαι προσδοκᾶν, καὶ πρὸς αὐτὸν τὸν ὠκεανόν· ὥστε εἰ καὶ μὴ πᾶσαν ἐπῆλθε τὴν γῆν, ἀλλὰ τὴν φροντίδα τῆς τοσαύτης ὁδοιπορίας ὑπέμεινεν. οὐ γὰρ ὡς μέχρι τῆς Παλαιστίνης ἥξων, οὕτω παρεσκευάκει τὴν ψυχὴν, ἀλλ᾽ ὡς ἑψόμενος πανταχοῦ, κἂν τὴν οἰκουμένην ἐκβῆναι κελεύηται, κἂν εἰς τὰς ἐκτὸς ταύτης νήσους ἐλθεῖν. εἰ δὲ καὶ τἀναντία προσδοκᾶν ἔπειθε τὸ τοῦ προστάγματος ἀδιόριστον, καὶ τοῦτο πάλιν χαλεπόν. τὸ γὰρ μέλλοντά τι φορτικὸν ὑπομένειν, πολλῷ κουφότερον

εἰδέναι σαφῶς ὅπερ ἀποστήσεται καὶ πρὸς ὃ παρεσκεύασται, ἢ πολὺ ταχὺ ῥέμβεσθαι τῷ λογισμῷ, καὶ νῦν μὲν τὰ χρηστά, νῦν δὲ τἀναντία προσδοκᾶν, καὶ ὑπὲρ μηδενὸς τούτων ἔχειν θαρρεῖν, ἀλλ' ἀμφοτέροις ὁμοίως ἀπιστεῖν.

Καὶ ταῦτα μὲν πρὶν ἐλθεῖν εἰς τὴν ἐπαγγελθεῖσαν γῆν· ἐπειδὴ δέ ποτε τῆς Παλαιστίνης ἐπελάβετο, καὶ λοιπὸν ἀναπαύσασθαι προσεδόκησε, τότε δὴ μείζονα ἐν τῷ λιμένι τὸν χειμῶνα εὕρισκεν. οὐ μικρὸν δὲ τοῦτο εἰς ὀδύνης λόγον, ἀλλὰ καὶ πάντων ἀφορητότερον, ὅταν τις ἀπηλλάχθαι νομίσας, καὶ πρὸς τὸ τέλος ἥκειν αὐτὸ, καὶ φροντίδα καὶ μέριμναν ἅπασαν ἀποθέμενος, πάλιν ἄνωθεν ἀρχὴν ἑτέραν εὕρῃ τῆς δυσχερείας. ὁ μὲν γὰρ ἔτι παρεσκευασμένος πρὸς τὰ δεινὰ, ῥᾷον ἂν ἐνέγκοι τὴν τούτων ἐπαγωγήν· ὁ δὲ διαπεσὼν, καὶ τῶν φροντίδων ἀπολύσας τοὺς λογισμοὺς, ἂν συμβῇ τι τοιοῦτον πάλιν, οἷα καὶ πρότερον, διπλῇ πως ταράττεται καὶ εὐχείρωτος γίνεται, τῷ τε ἀπροσδοκήτῳ, καὶ τῷ διαλελύσθαι τὴν σπουδὴν ἅπασαν αὐτῷ καὶ τὴν παρασκευήν. τίς οὖν ἦν ὁ χειμών; λιμὸς οὕτω σφοδρὸς τὴν Παλαιστίνην κατέλαβε τότε, ὡς ἀναστῆσαι εὐθέως αὐτὸν ἐκεῖθεν, καὶ εἰς τὴν Αἴγυπτον καταγαγεῖν. ἐλθὼν δὲ ἐκεῖ ὡς λύσιν εὑρήσων τοῦ κακοῦ [τοῦ λιμοῦ], πάλιν χαλεπωτέρᾳ περιέπεσε συμφορᾷ, περὶ τῶν ἐσχάτων κινδυνεύειν ἀναγκαζόμενος, καὶ εἰς τοσοῦτον τότε κατέστη φόβον, ὥστε ὃ πάντων ἐστὶν ἀφορητότερον, τὸ τὰς γυναῖκας ὑβρίζεσθαι τὰς αὐτῶν, τοῦτο ἑλέσθαι. εἰς τοσαύτην γὰρ τότε ἦλθεν ἀνάγκην, ὡς καὶ ὑπηρετήσασθαι τῇ ὑποκρίσει, οὗ τί γένοιτ' ἂν ἐλεεινότερον; ὁποίαν γὰρ αὐτὸν ἔχειν νομίζεις ψυχὴν, ὅτε τῇ γυναικὶ τοιαῦτα συμβουλεύειν ἠναγκάζετο· Γινώσκω ἐγὼ, ὅτι γυνὴ εὐπρόσωπος εἶ. ἔσται οὖν, ὡς ἂν ἴδωσί σε οἱ Αἰγύπτιοι, ἐροῦσιν ὅτι γυνὴ αὐτοῦ αὕτη, καὶ ἀποκτενοῦσί με, σὲ δὲ περιποιήσονται. εἰπὲ οὖν, ὅτι ἀδελφὴ αὐτοῦ εἰμι, ἵνα εὖ μοι γένηται, καὶ ζήσεται ἡ ψυχή μου διὰ σέ. καὶ ταῦτα ἐφθέγγετο τὰ ῥήματα ὁ διὰ τὸν Θεὸν καὶ πατρίδα καὶ οἰκίαν καὶ φίλους καὶ συγγενεῖς καὶ τὰ ἄλλα πάντα ἐπὶ τῆς οἰκίας ἀφεὶς, ὁ τοσαύτην ταλαιπωρίαν καὶ τοσοῦτον πόνον ἐν τῷ μακρῷ τούτῳ χρόνῳ κατὰ τὴν ὁδοιπορίαν ὑποστὰς, καὶ ὅμως οὐδὲν τούτων εἶπεν, οἷον, ὅτι ἐγκατέλιπέ με ὁ Θεὸς, ἀπεστράφη, καὶ τῆς οἰκείας προνοίας ἐξέβαλεν· ἀλλ' ἔφερε πάντα γενναίως καὶ πιστῶς. καὶ ὃν ἐχρῆν μάλιστα πάντων ὑβριζομένης ὀργίζεσθαι τῆς γυναικὸς ὑπὸ τῆς πολλῆς βίας, ὅπως μηδὲ φανερὰ γένηται ἡ ὕβρις, ἅπαντα ἔπραττε. τοῦτο δὲ ὅσην ἀθυμίαν ἔχει καὶ ὀδύνην, λόγῳ μὲν παραστῆσαι οὐ δυνατὸν, ἴσασι δὲ ὅσοι γυναῖκας ἔσχον, καὶ εἰς ζηλοτυπίας ὑποψίαν ἐνέπεσον. μαρτυρεῖ δὲ τῷ πάθει τούτῳ καὶ ὁ Σολομῶν οὑτωσὶ λέγων· Μεστὸς γὰρ ζήλου θυμὸς ἀνδρὸς αὐτῆς. οὐ φείσεται ἐν ἡμέρᾳ κρίσεως, οὐκ ἀνταλλάξεται οὐδενὸς λύτρου τὴν ἔχθραν, οὐδὲ μὴ διαλυθῇ πολλῶν δώρων. καὶ πάλιν, Κραταιὰ ὡς θάνατος ἡ ἀγάπη, σκληρὸς ὡς ᾅδης ὁ ζῆλος. εἰ δὲ ὁ ζηλοτυπῶν οὕτως ἐκκαίεται, ὁ τοσούτοις κρατούμενος κακοῖς, ὡς ἀναγκάζεσθαι καὶ κολακεύειν τὸν ὑβριστὴν, καὶ ὃν ἀμύνασθαι ἔδει, πάντα ποιεῖν ὅπως ῥᾷστα ἀπολαύσηται τῆς αὐτοῦ γυναικὸς ὁ μοιχὸς, τίνος οὐκ ἐλεεινότερος ἦν; λαβόντων δὲ καὶ τούτων πέρας τῶν κακῶν, ἕτερα πάλιν ἐτίκτετο δεινὰ, καὶ τὸν λιμὸν ἐκεῖνον διεδέχετο πόλεμος. τὴν γὰρ τῶν ποιμένων μάχην, καὶ τὴν πρὸς τὸν ἀδελφιδοῦν διανομὴν ἀφίημι νῦν· καίτοιγε ἐπ' ἄλλων ταῦτα ἐξεταζόμενα ἱκανὰ πολλὴν ἀθυμίαν ἐμβαλεῖν. ὅταν γὰρ ὁ διασωθεὶς ὑπ' αὐτοῦ, καὶ τοσούτων γενόμενος κύριος ἀγαθῶν, καὶ ὃν ἐχρῆν ἐκστῆναι πάντων αὐτῷ, καὶ τοῖς ποιμέσιν ἐπιτιμῆσαι τοῖς αὐτοῦ, οὐ τοῦτο προτεινομένης αἱρέσεως ἐπιτρέχῃ τοῖς εὐφορωτέροις τῶν χωρίων, καὶ τὰ ἐρημότερα ἐκείνῳ καταλιμπάνῃ μέρη· τίς ἂν ἐνέγκοι ῥᾳδίως; οὐ τὴν ζημίαν λέγω, ἀλλὰ τὸ τιμήσαντα ἀτιμασθῆναι καὶ τὸ ἔλαττον ἐνεγκεῖν, ὃ πάσης ζημίας χαλεπώτερον εἶναι δοκεῖ. ἀλλ' ὅμως ἅπαντα ταῦτα παρίημι νῦν. περὶ γὰρ τοῦ πατριάρχου, οὐ περί τινος τῶν πολλῶν ὁ λόγος ἐστὶν ἡμῖν. διαδέχεται δὴ τὸν λιμὸν ἐκεῖνον ὁ πόλεμος τῶν Περσῶν, καὶ ἀναγκάζεται ἐπιστρατεύειν αὐτοῖς, οὐ παρὰ τὴν ἀρχὴν αὐτὴν, ἀκε-

Γεν. ιβ. ια.

Παρ. ς. λδ.

Ασμ. η. ς.

καὶ διηγήσασθαι ῥᾴδιον, πρᾶξαι δὲ οὐκ ἔτι ὁμοίως εὔπορον, ἀλλὰ καὶ σφόδρα χαλεπόν. τὸ μὲν οὖν τῆς ὁδοῦ μῆκος καὶ ὅσον τούτων τὸ μέσον ἐστὶ τῶν χωρίων μετὰ ἀκριβείας ἂν εἴποιεν, ὅσοι πρὸς ἡμᾶς ἐκεῖθεν διέβησαν, εἴ δή τινές εἰσιν· ἡμεῖς δὲ ἐκείνων μὲν οὐδενί, τῶν δὲ εἰς τὴν ἐξωτέραν χώραν ἀφικομένων συγγενόμενοί τινι, καὶ τὸν χρόνον αὐτὸν ἐρωτήσαντες ὅσον ὁδοιπορεῖν ἠναγκάσθη, ἠκούσαμεν ὅτι τριάκοντα πέντε ἡμερῶν ἀριθμόν· καὶ Βαβυλῶνα μὲν οὐκ εἰδέναι ἔφη, τῶν δὲ ἐκεῖ γινομένων ἀκηκοέναι, ὅτι ἑτέρα τοσαύτη πάλιν ἐκεῖθέν ἐστιν ὁδός. καὶ τὸ μὲν διάστημα τοσοῦτον καὶ τότε ἦν, καὶ νῦν ἐστιν· ἡ δὲ κατασκευὴ τῶν ὁδῶν οὐκ ἔτι ὁμοίως καὶ νῦν καὶ τότε διάκειται. νῦν μὲν γὰρ καὶ σταθμοῖς διείληπται συνεχέσι καὶ πόλεσι καὶ ἀγροῖς, καὶ ὁδοιπόροις δὲ βαδίζων ἄν τις ἐντύχοι πολλοῖς, ὅπερ καὶ σταθμοῦ καὶ πόλεως καὶ ἀγροῦ οὐχ ἧττον εἰς ἀσφαλείας λόγον ἐστί. πρὸς δὲ τούτοις, καὶ οἱ τῶν πόλεων ἄρχοντες ἄνδρας καὶ ῥώμῃ σώματος τῶν ἄλλων διαφέροντας, καὶ ἀκοντίῳ καὶ σφενδόνῃ τοσοῦτον δυναμένους ἀρκεῖν, ὅσον τοῖς βέλεσι μὲν οἱ τοξόται, οἱ δὲ ὁπλῖται τοῖς δόρασι, τούτους συντάξαντες καὶ ἄρχοντας αὐτοῖς ἐπιστήσαντες εἰς οὐδὲν ἕτερον ἀπησχόλησαν, ἀλλὰ μόνον τὴν τῶν ὁδῶν ἐπέτρεψαν φυλακήν. μετὰ δὲ τούτων καὶ ἑτέραν πάλιν τούτων ἀκριβεστέραν ἀσφάλειαν ἐπενόησαν. οἰκήματα γὰρ κατὰ χιλίων βημάτων διάστημα δειμάμενοι παρὰ τὴν ὁδόν, νυκτερινοὺς αὐτοῖς ἐγκατέστησαν φύλακας, τὴν ἐκείνων ἀγρυπνίαν καὶ τὴν σχολήν, μέγιστον κώλυμα ταῖς τῶν κακούργων ἐφόδοις ἐπιτειχίσαντες. τότε δὲ οὐδὲν τούτων ἦν, οὐκ ἀγροὶ συνεχεῖς, οὐ πόλεις, οὐ σταθμοί, οὐ καταγώγιον, οὐ τὸ συνοδοιπόρον ταχέως ἰδεῖν, οὐκ ἄλλο τι τούτων οὐδέν. τὴν γὰρ τῆς ἀτραποῦ τραχύτητα καὶ τὴν τῶν ἀέρων ἀνωμαλίαν παρίημι νῦν, καίτοιγε ἐκείνων μὴ προσόντων, λυπῆσαι τοὺς ὁδοιποροῦντας τῶν λοιπῶν ἱκανῶν. καὶ μαρτυρήσαιεν ἄν μοι οἱ ζεύγεσι καὶ ὑποζυγίοις χρώμενοι, καὶ μηδὲ οὕτω τῆς συνήθους τολμῶντες ἐπιβαίνειν ὁδοῦ, εἰ μὴ πρότερον αὐτὴν στορέσαιεν λίθοις, καὶ τὰς ἀπὸ τῶν ῥυάκων χαράδρας ἀναπληρώσαντες, ἰσόπεδον οὕτως ἐργάσαιντο. τότε μὲν οὖν ἐρημοτέρα μὲν τῶν ἀοικήτων ἦν, ἀπορωτέρα δὲ τῶν ὀρῶν, σφαλερωτέρα δὲ τῶν βαράθρων καὶ τῶν κρημνῶν. καὶ τὸ πάντων δὲ χαλεπώτερον οὐκ εἶπον, πῶς τὰ τῆς ἐπιμιξίας διέκειτο· ὃ καὶ τῆς ὁδοῦ πολλῷ πλείονα καὶ μείζονα πράγματα παρεῖχεν αὐτοῖς, κατὰ ἔθνη, μᾶλλον δὲ κατὰ πόλιν ἁπάντων διῃρημένων. οὐ γὰρ ὥσπερ νῦν μία ἀρχὴ κατὰ τὸ πλεῖστον τῆς οἰκουμένης τέταται μέρος, καὶ ἑνὶ πάντες δουλεύουσιν ἀνθρώπῳ, καὶ τοῖς αὐτοῖς διοικοῦνται νόμοις, οὕτω καὶ τότε ἦν· ἀλλ' ὥσπερ σῶμα ἓν εἰς πολλὰ μέρη κατατμηθέν, οὕτω καὶ τὸ τῶν ἀνθρώπων διέσπαστο γένος, καὶ πολεμίους ἐκ πολεμίων ἀμείβειν ὁ δίκαιος ἠναγκάζετο, πρὶν ἢ τοὺς προτέρους διαφυγεῖν, ἑτέροις ἐμπίπτων ἀεί, πῆ μὲν πολυαρχίας, πῆ δὲ ἀναρχίας οὔσης. τί οὖν ταύτης χαλεπώτερον τῆς ζωῆς; οὐδὲ γὰρ ὑπὲρ ἑαυτοῦ μόνον ἐδεδοίκει καὶ ἔτρεμεν, ἀλλὰ καὶ ὑπὲρ πατρός, καὶ ὑπὲρ γυναικός, καὶ ὑπὲρ ἀδελφιδοῦ. ἦν δὲ οὐδὲ ἡ τῶν οἰκετῶν φροντὶς μικρά, εἰ καὶ ἐπὶ τῆς οἰκείας ἐτύγχανον ὄντες, μὴ ὅτι γε ὅτε ἐπὶ τῆς ἀλλοτρίας ἠναγκάζοντο εἶναι διαπαντός. καὶ εἰ μὲν ᾔδει σαφῶς ὅποι στήσεται τὰ τῆς πλάνης αὐτῷ, οὐκ ἦν οὕτω τὸ τῶν φροντίδων ἀφόρητον· νῦν δὲ ἁπλῶς καὶ ἀδιορίστως ἀκούσας γῆν, οὐ τήνδε, ἢ τήνδε, ἀλλ' ἣν ἄν σοι δείξω, πανταχοῦ περιῄει τῷ νῷ, καὶ πολὺν ἐδέχετο θόρυβον τῇ ψυχῇ, μηδαμοῦ τῷ λογισμῷ στῆναι δυνάμενος, ἀλλὰ πολλὰ ὑποπτεύειν ἔχων καὶ μεριμνᾶν ἀναγκαζόμενος. εἰκὸς γὰρ αὐτὸν καὶ πρὸς αὐτὰ τῆς οἰκουμένης τὰ πέρατα ἀφίξεσθαι προσδοκᾶν, καὶ πρὸς αὐτὸν τὸν ὠκεανόν· ὥστε εἰ καὶ μὴ πᾶσαν ἐπῆλθε τὴν γῆν, ἀλλὰ τὴν φροντίδα τῆς τοσαύτης ὁδοιπορίας ὑπέμεινεν. οὐ γὰρ ὡς μέχρι τῆς Παλαιστίνης ἥξων, οὕτω παρεσκεύακει τὴν ψυχήν, ἀλλ' ὡς ἑψόμενος πανταχοῦ, κἂν τὴν οἰκουμένην ἐκβῆναι κελεύηται, κἂν εἰς τὰς ἐκτὸς ταύτης νήσους ἐλθεῖν. εἰ δὲ καὶ τἀναντία προσδοκᾶν ἔπειθε τὸ τοῦ προστάγματος ἀδιόριστον, καὶ τοῦτο πάλιν χαλεπόν. τὸν γὰρ μέλλοντά τι φορτικὸν ὑπομένειν, πολλῷ κουφότερον

εἰδέναι σαφῶς ὅπερ ἀποστήσεται καὶ πρὸς ὃ παρασκευάσεται, ἢ πάλιν ταχὺ ῥέμβεσθαι τῷ λογισμῷ, καὶ νῦν μὲν τὰ χρηστὰ, νῦν δὲ τἀναντία προσδοκᾷν, καὶ παρὰ μηδενὸς τούτων ἔχειν θαῤῥεῖν, ἀλλ' ἀμφοτέροις ὁμοίως ἀπιστεῖν.

Καὶ ταῦτα μὲν πρὶν ἐλθεῖν εἰς τὴν ἐπαγγελθεῖσαν γῆν. ἐπεὶ δέ ποτε τῆς Παλαιστίνης ἐπελάβετο, καὶ λοιπὸν ἀναπαύσασθαι προσεδόκησε, τότε δὴ μείζονα ἐν τῷ λιμένι τὸν χειμῶνα εὕρισκεν. οὐ μικρὸν δὲ τοῦτο εἰς ὀδύνης λόγον, ἀλλὰ καὶ πάντων ἀφορητότερον, ὅταν τις ἀπηλλάχθαι νομίσας, καὶ πρὸς τὸ τέλος ἥκειν αὐτῶν, καὶ φροντίδα καὶ μέριμναν ἅπασαν ἀποθέμενος, πάλιν ἄνωθεν ἀρχὴν ἑτέραν εὕρῃ τῶν δυσχερῶν. ὁ μὲν γὰρ ἔτι προεσκευασμένος πρὸς τὰ δεινὰ, ῥᾷον ἂν ἐνέγκοι τὴν τούτων ἐπαγωγήν· ὁ δὲ διαπεσὼν, καὶ τῶν φροντίδων ἀπολύσας τοὺς λογισμοὺς, ἂν συμβῇ τι τοιοῦτον πάλιν, οἷα καὶ πρότερον, διπλῆ πως ταράττεται καὶ εὐχείρωτος γίνεται, τῷ τε ἀπροσδοκήτῳ, καὶ τῷ διαλελύσθαι τὴν σπουδὴν ἅπασαν αὐτῷ καὶ τὴν παρασκευήν. τίς οὖν ἦν ὁ χειμών; λιμὸς οὕτω σφοδρὸς τὴν Παλαιστίνην κατέλαβε τότε, ὡς ἀναστῆσαι εὐθέως αὐτὸν ἐκεῖθεν, καὶ εἰς τὴν Αἴγυπτον καταναγκάσαι. ἐλθὼν δὲ ἐκεῖ ὡς λύσιν εὑρήσων τοῦ κακοῦ [τοῦ λιμοῦ], πάλιν χαλεπωτέρᾳ περιέπεσε συμφορᾷ, περὶ τῶν ἐσχάτων κινδυνεύειν ἀναγκαζόμενος, καὶ εἰς τοσοῦτον τότε κατέστη φόβον, ὥστε ὃ πάντων ἐστὶν ἀφορητότερον, τὸ τὰς γυναῖκας ὑβρίζεσθαι τὰς αὐτῶν, τοῦτο ἑλέσθαι. εἰς τοσαύτην γὰρ τότε ἦλθεν ἀνάγκην, ὡς καὶ ὑπηρετήσασθαι τῇ ὑποκρίσει, οὗ τί γένοιτ' ἂν ἐλεεινότερον; ὁποίαν γὰρ αὐτὸν ἔχειν νομίζεις ψυχὴν, ὅτε τῇ γυναικὶ τοιαῦτα συμβουλεύειν ἠναγκάζετο· Γινώσκω ἐγὼ, ὅτι γυνὴ εὐπρόσωπος εἶ. ἔσται οὖν, ὡς ἂν ἴδωσί σε οἱ Αἰγύπτιοι, ἐροῦσιν ὅτι γυνὴ αὐτοῦ αὕτη, καὶ ἀποκτενοῦσί με, σὲ δὲ περιποιήσονται. εἰπὲ οὖν, ὅτι ἀδελφὴ αὐτοῦ εἰμι, ἵνα εὖ μοι γένηται, καὶ ζήσεται ἡ ψυχή μου διὰ σέ. καὶ ταῦτα ἐφθέγγετο τὰ ῥήματα ὁ διὰ τὸν Θεὸν καὶ πατρίδα καὶ οἰκίαν καὶ φίλους καὶ συγγενεῖς καὶ τὰ ἄλλα πάντα ἐπὶ τῆς οἰκίας ἀφεὶς, ὁ τοσαύτην ταλαιπωρίαν καὶ τοσούτους πόνους ἐν τῷ μακρῷ τούτῳ χρόνῳ κατὰ τὴν ὁδοιπορίαν ὑποστὰς, καὶ ὅμως οὐδὲν τούτων εἶπεν, οἷον, ὅτι ἐγκατέλιπέ με ὁ Θεὸς, ἀπεστράφη, καὶ τῆς οἰκείας προνοίας ἐξέβαλεν· ἀλλ' ἔφερε πάντα γενναίως καὶ πιστῶς. καὶ ὃν ἐχρῆν μάλιστα πάντων ὑβριζομένης ὀργίζεσθαι τῆς γυναικὸς ὑπὸ τῆς πολλῆς βίας, ὅπως μηδὲ φανερὰ γένηται ἡ ὕβρις, ἅπαντα ἔπραττε. τοῦτο δὲ ἴσην ἀθυμίαν ἔχει καὶ ὀδύνην, λόγῳ μὲν παραστῆσαι οὐ δυνατὸν, ἴσασι δὲ ὅσοι γυναῖκας ἔχοντες, καὶ εἰς ζηλοτυπίας ὑποψίαν ἐνέπεσον. μαρτυρεῖ δὲ τῷ πάθει τούτῳ καὶ ὁ Σολομῶν οὑτωσὶ λέγων· Μεστὸς γὰρ ζήλου θυμὸς ἀνδρὸς αὐτῆς, οὐ φείσεται ἐν ἡμέρᾳ κρίσεως, οὐκ ἀνταλλάξεται οὐδενὸς λύτρου τὴν ἔχθραν, οὐδὲ μὴ διαλυθῇ πολλῶν δώρων. καὶ πάλιν, Κραταιὰ ὡς θάνατος ἡ ἀγάπη, σκληρὸς ὡς ᾅδης ὁ ζῆλος. εἰ δὲ ὁ ζηλοτυπῶν οὕτως ἐκκαίεται, ὁ τοσούτοις κρατούμενος κακοῖς, ὡς ἀναγκάζεσθαι καὶ κολακεύειν τὸν ὑβριστὴν, καὶ ὃν ἀμύνασθαι ἔδει, πάντα ποιεῖν ὅπως ῥᾷστα ἀπολαύσηται τῆς αὐτοῦ γυναικὸς ὁ μοιχὸς, τίνος οὐκ ἐλεεινότερος ἦν; λαβόντων δὲ καὶ τούτων πέρας τῶν κακῶν, ἕτερα πάλιν ἐτίκτετο δεινὰ, καὶ τὸν λιμὸν ἐκεῖνον διεδέχετο πόλεμος. τὴν γὰρ τῶν ποιμένων μάχην, καὶ τὴν πρὸς τὸν ἀδελφιδοῦν διανομὴν ἀφίημι νῦν· καίτοιγε ἐπ' ἄλλων ταῦτα ἐξεταζόμενα ἱκανὰ πολλὴν ἀθυμίαν ἐμβαλεῖν. ὅταν γὰρ ὁ διασωθεὶς ὑπ' αὐτοῦ, καὶ τοσούτων γενόμενος κύριος ἀγαθῶν, καὶ ὃν ἐχρῆν ἐκστῆναι πάντων αὐτῷ, καὶ τοῖς ποιμέσιν ἐπιτιμῆσαι τοῖς αὐτοῦ, οὗτος προτεινομένης αἱρέσεως ἐπιτρέχει τοῖς εὐφορωτέροις τῶν χωρίων, καὶ τὰ ἐρημότερα ἐκείνῳ καταλιμπάνει μέρη· τίς ἂν ἐνέγκοι ῥᾳδίως; οὐ τὴν ζημίαν λέγω, ἀλλὰ τὸ τιμήσαντα ἀτιμασθῆναι καὶ τὸ ἔλαττον ἐνεγκεῖν, ὃ πάσης ζημίας χαλεπώτερον εἶναι δοκεῖ. ἀλλ' ὅμως ἅπαντα ταῦτα παρίημι νῦν. περὶ γὰρ τοῦ πατριάρχου, οὐ περί τινος τῶν πολλῶν ὁ λόγος ἐστὶν ἡμῖν. διαδέχεται δὴ τὸν λιμὸν ἐκεῖνον ὁ πόλεμος τῶν Περσῶν, καὶ ἀναγκάζεται ἐπιστρατεύειν αὐτοῖς, οὐ παρὰ τὴν ἀρχὴν αὐτὴν, ἀκε-

Γεν. ιβ. ια.

Παρ. ϛ. λδ.

Ασμ. η. ϛ.

ραίων ἑκατέρων ἔτι μενόντων τῶν μερῶν, ἀλλὰ προεξεπωθέντων ἁπάντων, καὶ τῆς νίκης παρὰ τοῖς πολεμίοις οὔσης, καὶ οὐδενὸς αὐτοὺς ἔτι ἐνεγκεῖν δυναμένου, τῶν μὲν ἄρδην κατακοπέντων, τῶν δὲ "κρυπτομένων, τῶν δὲ δουλευόντων παρ' αὐτοῖς. ἀλλ' ὅμως οὐδὲν αὐτὸν τούτων οἴκοι μένειν ἔπεισεν· ἀλλ' ὑπὸ τῆς σφοδρᾶς ἀθυμίας τῶν γενομένων πληγεὶς, ἀπῄει κοινωνήσων αὐτοῖς τῶν κακῶν, καὶ εἰς προὖπτον ῥίψων θάνατον ἑαυτόν. ὁ γὰρ μετὰ τριακοσίων οἰκετῶν [καὶ μικρῷ πλέον] πρὸς τοσαύτην παρατάττεσθαι στρατιὰν, οὐδὲν ἕτερον ἢ ταῦτα λογιζομένου ἦν, καὶ πρὸς αἰχμαλωσίαν καὶ πρὸς τιμωρίαν καὶ πρὸς μυρίους παρεσκευασμένου θανάτους. ἀπῆλθε μὲν οὖν ὡς καὶ αὐτὸς τῆς βαρβαρικῆς ἀπολαύσων ὠμότητος, τῇ δὲ τοῦ Θεοῦ φιλανθρωπίᾳ διασωθεὶς, καὶ ἐπανελθὼν μετὰ τῆς λείας καὶ τοῦ συγγενοῦς, ἠναγκάζετο πάλιν τὰ οἰκεῖα θρηνεῖν κακὰ, τὴν ἀπαιδίαν λέγω, καὶ τὸ μηδένα ἔχειν τοῦ κλήρου διάδοχον. μὴ γὰρ, ἐπειδὴ τότε ἤκουσας ἀποδυρομένου πρὸς τὸν Θεὸν καὶ λέγοντος, Τί μοι δώσεις; ἐγὼ δὲ ἀπόλλυμαι ἄτεκνος, διὰ τοῦτο καὶ πρόσφατον εἶναι τὴν "λύπην νόμιζε. ἡ γὰρ μέριμνα αὕτη καὶ ἡ φροντὶς μετὰ τῆς νύμφης εἰσῆλθεν εἰς τὴν οἰκίαν τοῦ δικαίου, μᾶλλον δὲ καὶ πρὸ τῆς νύμφης αὐτῆς. ἔθος γὰρ ἡμῖν ἅπασιν, ὅταν μόνον ἀρξώμεθα βουλεύεσθαι καὶ διαλέγεσθαι περὶ γάμου, πάσαις ταῖς τοῦ πράγματος ὑποδύεσθαι φροντίσιν, ὧν ἁπασῶν τὸ κεφάλαιον, τὸ τῶν παίδων ἐστί· καὶ ὁ φόβος οὗτος ἀπὸ τῆς ἡμέρας ἐκείνης ταῖς ἡμετέραις κατασείει ψυχάς. εἰ δὲ συμβαίη, γενομένων τῶν γάμων, πρῶτον ἔτος ἢ δεύτερον ἢ καὶ τρίτον παρελθεῖν, ἐπιτείνεται μὲν τὰ τῆς ἀθυμίας, τὰ δὲ τῶν χρηστοτέρων ἐλπίδων ἀτονώτερα γίνεται. ἐπειδὰν δὲ προστεθέντος πλείονος χρόνου, παντελῶς λοιπὸν ἀφίστανται μὲν ἐκεῖναι, κρατεῖ δὲ τῆς ψυχῆς αὕτη, πᾶσιν ἐπισκοτοῦσα τοῖς ἡδίστοις, καὶ μηδενὸς αἴσθησιν συγχωροῦσα λαβεῖν. ὥστε εἰ καὶ μηδὲν αὐτῷ συμβεβήκει τῶν τοσούτων ἀνιαρῶν, ἀλλὰ πάντα κατὰ νοῦν ἐγεγόνει, ἱκανὴ ἡ τῆς ἀπαιδίας ἀθυμία πᾶσι παρακολουθοῦσα τοῖς γινομένοις συσκιάσαι πᾶσαν εὐθυμίαν καὶ καταβαλεῖν. ἡ γὰρ ἐπαγγελία τοῦ Θεοῦ πρὸς ἔσχατον γῆρας, ὅτε τὰ τῆς φύσεως ἀπέγνωστο, τότε ἐγένετο· τὸν δὲ ἔμπροσθεν ἅπαντα χρόνον τοσοῦτον ὄντα ἀλγῶν καὶ κοπτόμενος διετέλει· καὶ "ὅσον τὸν πλοῦτον αὐξόμενον ἑώρα, "τοσοῦτον μᾶλλον ἐπένθει, τοῦ διαδεξαμένου τοῦτον οὐκ ὄντος. τί δαὶ οἴει παθεῖν αὐτὸν, ὅτε ἤκουσε, Πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ, καὶ δουλώσουσιν αὐτὸ καὶ κακώσουσι καὶ ταπεινώσουσιν ἔτη τετρακόσια; ἡ δὲ γυνὴ πάλιν νῦν μὲν κελεύουσα λαβεῖν τὴν ἑαυτῆς παιδίσκην, νῦν δὲ ἐπειδὴ ἔλαβεν ἐγκαλοῦσα καὶ μεμφομένη καὶ τὸν Θεὸν καλοῦσα κατ' αὐτοῦ, καὶ ἀναγκάζουσα τὴν τῆς εὐνῆς κεκοινωνηκυῖαν, καὶ παῖδα αὐτῷ μέλλουσαν τίκτειν λοιπὸν "ἐκβάλλειν, τίνα οὐκ ἂν εἰς ἀθυμίαν τὴν ἐσχάτην ἐνέβαλε; ταῦτα γὰρ εἰ καί τινι μικρὰ εἶναι δοκεῖ νῦν, λογισάμενος ὅτι ὁλόκληροι οἰκίαι τούτων ἕνεκεν ἀνετράπησαν, θαυμαζέτω τὸν δίκαιον. εἰ γὰρ καὶ γενναίως ἔφερε διὰ τὸν τοῦ Θεοῦ φόβον, ἀλλ' ὅμως ἄνθρωπος ἦν, καὶ ὑπὸ πάντων τούτων ἐδάκνετο καὶ ὠδυνᾶτο.

Γεν. ιε. β.

Γεν. ιε. ιγ.

γ. κρυ
μένων

ἴσ. λύπ

γ. ὅσο

γ. ποιή

γ. ἐκβαλ

Ἐπανέρχεται δὲ πάλιν εἰς τὴν οἰκίαν ἡ θεράπαινα τοῦ δεσπότου, καὶ τίκτει τὸν νόθον αὐτῷ, καὶ γίνεται πατὴρ ὁ Ἀβραὰμ μετὰ τὸν μακρὸν χρόνον ἐκεῖνον. καὶ εἶχε μέν τινα τὸ πρᾶγμα ἡδονὴν, μείζονα δὲ τὴν ἀθυμίαν. ὁ γὰρ νόθος αὐτὸν ὑπεμίμνησκε τοῦ γνησίου, καὶ μείζονα τοῦ πράγματος ἐπιθυμίαν ἐνέβαλλε. τὸ γὰρ, Οὐ κληρονομήσει σε οὗτος, ἀλλ' ὃς ἐξελεύσεται ἐκ σοῦ, περὶ τοῦ Ισμαὴλ εἰρῆσθαι ἐνόμισεν. οὐδὲν γὰρ οὐδέπω περὶ τῆς Σάῤῥας εἴρητο. ἐπειδὴ δὲ λοιπὸν καὶ τρανωτέραν ἐλάμβανεν ἐπαγγελίαν περὶ τοῦ Ισαὰκ, καὶ χρόνος ὡρίζετο τῷ τόκῳ, πρὶν ἢ πάλιν αὐτὸν ἡσθῆναι ταῖς ἐλπίσι ταύταις, τὰ τῶν Σοδομιτῶν πάθη πολλὴν "αὐτοῦ κατέχεεν ἀθυμίας ἀχλύν. ὅτι γὰρ οὐχ ὡς ἔτυχε τὸ πρᾶγμα τὸν δίκαιον διετάραξεν, ἐκ τῶν ῥημάτων αὐτῶν καὶ τῆς ἱκετηρίας, ἣν ὑπὲρ αὐτῶν ἔθηκε πρὸς τὸν Θεὸν, παντί που δῆλόν ἐστιν. ὅτε δὲ καὶ κατενεχθέντα τὸν φρικωδέστατον ἐκεῖνον εἶδεν ὑετὸν, καὶ πάντα κόνιν καὶ τέφραν ἐξαίφνης γεγενημένα, οὐδὲ ἐν ἑαυτῷ λοιπὸν ἦν. εἰ γὰρ οἰκίας ὁρῶντες

Γεν. ιε. δ.

γ. αὐτ

πόῤῥωθεν καιομένας ἐξιστάμεθα, καὶ καταπίπτομεν ὑπὸ τῆς ἀθυμίας καὶ τοῦ φόβου, τί οὐκ ἂν ἔπαθεν ἐκεῖνος, πόλεις ὅλας καὶ χώρας μετὰ τῶν οἰκητόρων οὐκ ἐμπρησμῷ τινὶ συνήθει, ἀλλὰ ξένῳ καὶ φοβερῷ κατακαιομένας ὁρῶν; ἆρα οὐ δοκεῖ σοι τοῦ δικαίου τὰ πάθη τῶν ἐπαλλήλων ἐν τῇ θαλάττῃ κυμάτων μιμεῖσθαι τὸ συνεχές; καθάπερ ἐκεῖ οὔπω τῶν προτέρων ἀφανισθέντων κορυφοῦται τὰ δεύτερα, οὕτω καὶ ἐπὶ τῆς τοῦ δικαίου τούτου ζωῆς δι' ὅλου συνέβαινε. καὶ γὰρ ἔτι τῶν ἐν Σοδόμοις ἀκμαζόντων κακῶν, ὁ τῶν Γεράρων βασιλεὺς τὰ αὐτὰ τῷ Φαραὼ τολμῆσαι κατὰ τῆς Σάῤῥας ἐπεχείρησε, καὶ πάλιν ἡ γυνὴ τὴν ἐλεεινὴν ὑπόκρισιν ὑποκρίνεσθαι ἠναγκάζετο, καὶ ἡ ὕβρις εἰς ἔργον ἐξῆλθεν ἂν, εἰ μὴ πάλιν ὁ Θεὸς διεκώλυσεν. ὁμοῦ δὲ τοῦ παιδὸς καὶ τῆς γυναικὸς καὶ τῆς οἰκίας ἁπάσης εὐφραινομένης ἐπὶ τῷ τοῦ παιδὸς τόκῳ, μόνος ὁ δίκαιος ἐν ἡδονῇ τοσαύτῃ λυπεῖσθαι ἠναγκάζετο καὶ ἀθυμεῖν, τὴν παλλακὴν μετὰ τοῦ παιδὸς ἐκβάλλειν ἀναγκαζόμενος. εἰ γὰρ καὶ νόθος ἦν ὁ Ἰσμαὴλ καὶ ἐκ τῆς παιδίσκης, ἀλλ' ὅμως ἡ τῆς φύσεως τυραννὶς οὐδὲν ἀπὸ τῆς ἀξίας ἥττων ἐγίνετο, οὐδὲ ἀσθενεστέραν ἐποίει τὴν τῶν πατρικῶν σπλάγχνων ἀνάγκην ἡ δυσγένεια τῆς μητρός· καὶ τοῦτο ἀπ' αὐτῆς τῆς βίβλου ἔστι μαθεῖν. ὁ γὰρ στεῤῥὸς καὶ ἀνδρεῖος, ὁ τὸν μονογενῆ ταῖς οἰκείαις καταδεξάμενος σφάξαι χερσὶν, οὗτος ἤλγει ὅτε αὐτῷ ταῦτα ἐπέταττεν ἡ γυνή. καὶ οὐκ ἂν εἶξεν, οὐδ' ἂν ἐπείσθη τῇ Σάῤῥᾳ, καίτοι πλείονα τότε παῤῥησίαν ἐχούσῃ καὶ δίκαια λεγούσῃ πρὸς αὐτὸν, εἰ μὴ σφόδρα αὐτὸν ὁ τοῦ Θεοῦ φόβος κατέκαμψεν. ὥστε ὅταν ἀκούσῃς ὅτι τοῦ Θεοῦ κελεύσαντος ἐξέπεμψε, μὴ τὴν ὀδύνην λελύσθαι νόμιζε (τοῦτο γὰρ ἀδύνατον ἦν) ἀλλὰ τὴν σφοδρὰν ὑπακοὴν θαύμασον, ὅτι καὶ ὑπὸ τῆς συμπαθείας διακοπτόμενος οὐκ ἀντέλεγε τῷ Θεῷ, ἀλλ' ἐξέπεμπε μετὰ τὸ παιδίον μετὰ τῆς μητρός; οὐδὲ ὅποι πορεύεται εἰδὼς, ἐκαρτέρει δὲ καὶ ἠνείχετο ὀδυνώμενος. οὐδὲ γὰρ τῆς φύσεως κρείττων ἦν. τοῦτο δὲ καὶ ἐπὶ τοῦ γνησίου παιδὸς ἔπαθε. μὴ γάρ τις λεγέτω, ὅτι οὐκ ἤλγει, οὐδὲ τὰ τῶν πατέρων ὑπέμεινε, μηδὲ πέρα τοῦ μέτρου δόξαι βουλόμενος φιλοσοφοῦντα, τὸ κεφάλαιον ἀποστερείτω τῶν ἐγκωμίων αὐτόν. εἰ γὰρ τοὺς ἐπὶ τοῖς αἰσχίστοις ἁλόντας, καὶ πολὺν χρόνον ταύτης ἀπολαύσαντας τῆς ζωῆς, καὶ ἀγνῶτας ὄντας, καὶ οὐδὲ ὀφθέντας ἡμῖν ποτε, τούτους ἐξαίφνης ὁρῶντες ἐπὶ τῆς ἀγορᾶς τὴν ἐπὶ θάνατον ἀπαγομένους, συστελλόμεθα καὶ ἀλγοῦμεν, πολλάκις δὲ καὶ δακρύομεν· ὁ τὸν υἱὸν τὸν ἑαυτοῦ, τὸν γνήσιον, τὸν μονογενῆ, τὸν παρ' ἐλπίδας τεχθέντα, τὸν μετὰ χρόνον τοσοῦτον, τὸν πρὸς ἐσχάτῳ γήρᾳ (καὶ γὰρ καὶ ταῦτα μείζονα αἴρει τὴν φλόγα) τοῦτον ἔτι νέον ὄντα ταῖς ἑαυτοῦ χερσὶ καταθῦσαι καὶ κατακαῦσαι κελευόμενος οὐδὲν ἂν ἀνθρώπινον ἔπαθε; καὶ τί τῶν ταῦτα λεγόντων καταγελαστότερον; εἰ γὰρ λίθος ἦν, εἰ γὰρ σίδηρος, εἰ γὰρ αὐτὸς ἀδάμας, οὐκ ἂν ἐπεκάμφθη καὶ κατεκλάσθη πρὸς τὴν ὥραν τοῦ παιδὸς (καὶ γὰρ ἦν αὐτὸ τῆς ἡλικίας ἄγων τὸ ἄνθος) πρὸς τὴν σύνεσιν τῶν ῥημάτων, πρὸς τὴν εὐλάβειαν τῆς ψυχῆς; ἠρώτησεν οὖν τὸν πατέρα λέγων, Ἰδοὺ τὰ ξύλα καὶ τὸ πῦρ· ποῦ τὸ πρόβατον; ἤκουσεν ὅτι, ὁ Θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, ὦ τέκνον, καὶ οὐδὲν περιειργάσατο πλέον. ἑώρα τὸν πατέρα δεσμεύοντα αὐτὸν, καὶ οὐκ ἀντέτεινεν· ἐπετάθη τοῖς ξύλοις, καὶ οὐκ ἀπεπήδησεν· εἶδε τὴν μάχαιραν κατ' αὐτοῦ φερομένην, καὶ οὐκ ἐταράχθη. τί ταύτης εὐλαβεστέρα γένοιτ' ἂν τῆς ψυχῆς; ἔτι οὖν τολμήσει τις εἰπεῖν, ὡς οὐδὲν ὑπὸ τούτων ἁπάντων ἔπαθεν ὁ Ἀβραάμ; εἰ γὰρ ἐχθρὸν καὶ πολέμιον καταθύειν ἤμελλεν, εἰ γὰρ θηρίον ἦν, ἆρα ἂν ἀναλγητὶ ταῦτα ἐποίησεν; οὐκ ἔστι ταῦτα, οὐκ ἔστι. μὴ δὴ τοσαύτην ὠμότητα καταγνῷς τοῦ δικαίου. καὶ γὰρ ἤλγει καὶ διεκόπτετο. ὁ Θεὸς, φησὶν, ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, ὦ τέκνον. πόσης οἴει συμπαθείας ταῦτα εἶναι τὰ ῥήματα; ἀλλ' ὅμως κατεῖχε κάτω τὴν ὀδύνην καὶ ἐπίεζε, καὶ μετὰ τοσαύτης ἅπαντα τῆς προθυμίας ἔπραττε, μεθ' ὅσης ἂν μηδενὶ τούτων κατεχόμενοι τῶν κωλυμάτων. καταθύσας τοίνυν αὐτὸν (καὶ γὰρ κατέθυσε τῇ προ-

ἔζων

ὐτὶς δ

Γεν κβ. ζ.

θυμία) παραδίδωσιν ὑγιῆ καὶ σῶον τῇ μητρί. λαβοῦσα δὲ ἐκείνη, πρὶν ἐμπλησθῆναι καλῶς τοῦ παιδὸς, καταλύει τὸν βίον. κἀκεῖνο δὲ οὐ μικρῶς ἐλύπει τὸν Ἀβραάμ. εἰ γὰρ καὶ πολὺν αὐτῷ συνεγεγόνει χρόνον, οὐδὲν ἦν ἱκανὸν πεῖσαι ῥᾷον ἐνεγκεῖν τὴν συμφοράν· αὐτὸ μὲν οὖν τοῦτο πλείονα αὐτῷ τὴν ἀθυμίαν παρεῖχε. τοὺς γὰρ ἐπὶ πολὺ συνοικήσαντας, καὶ πολλὴν τῆς ἑαυτῶν καὶ φιλίας καὶ ἀρετῆς δεδωκότας πεῖραν ἡμῖν, τούτους μάλιστα πάντων ζητοῦμεν. καὶ ὅτι ταῦθ' οὕτως ἔχει, αὐτὸς ἐδήλωσεν ὁ πατριάρχης πενθήσας καὶ θρηνήσας αὐτήν.

Τί δ' ἄν τις λέγοι τὰς ὑπὲρ τοῦ παιδὸς φροντίδας, τὰς ὑπὲρ τῆς τούτου γυναικὸς, τὰς ὑπὲρ τῶν ἀδελφιδῶν τῶν τούτου, τὰ ἄλλα ἅπαντα; ἅπερ εἰ κατὰ ἀκρίβειάν τις ἐξετάζειν ἐθέλοι, πολὺ″ τοῦ νῦν διαλεχθέντος ὀδυνηρότερον ὄψεται τοῦ δικαίου τὸν βίον, καὶ πλειόνων γέμοντα φροντίδων. τὰ γὰρ κεφαλαιωδέστερα μόνον εἰποῦσα ἡ θεία γραφὴ, τὰ ἄλλα πάντα παρῆκεν ἐξετάζειν ἡμῖν, ὅσα καθ' ἑκάστην ἡμέραν γίνεσθαι εἰκὸς ἐν οἰκίᾳ, ἔνθα οἰκετῶν πλῆθος, καὶ ἀνὴρ, καὶ γυνὴ, καὶ παιδία, καὶ πραγμάτων ἐπιμέλεια πολλῶν. ναί, φησιν, ἀλλ' ἐκείνῳ μεγίστην παραμυθίαν καθ' ἕκαστον τούτων ἔφερε τῶν λυπηρῶν τὸ διὰ τὸν Θεὸν πάντα ὑπομένειν ἐκεῖνα. οὐκοῦν καί σε τοῦτο″ παραμυθείσθω νῦν. καὶ γὰρ σοι τὸν πειρασμὸν τοῦτον ὁ συγχωρήσας ἐπελθεῖν οὐδείς ἕτερός ἐστιν, ἀλλ' ὁ Θεός. εἰ γὰρ χοίροις ἐπιπηδῆσαι οὐκ ἂν ἐτόλμησαν οἱ πονηροὶ δαίμονες ἐκεῖνοι, μὴ ἐπιτρέψαντος αὐτοῦ τότε, πολλῷ μᾶλλον τῇ σῇ τιμίᾳ ψυχῇ. ὥσπερ οὖν ἐκείνῳ τὸ γενναίως ἅπαντα φέρειν καὶ εὐχαρίστως πολὺν ἤνεγκε τὸν μισθὸν, οὕτως οἴσει καί σοι, μόνον ἂν μὴ δυσχεραίνῃς, μηδὲ ἀγανακτῇς, ἀλλ' ὑπὲρ ἁπάντων εὐχαριστῇς τῷ φιλανθρώπῳ Θεῷ. ἐπεὶ καὶ ὁ μακάριος Ἰὼβ ἔπαθε μὲν, ἅπερ ἔπαθε, συγχωρήσαντος τοῦ Θεοῦ· ἔφερε δὲ αὐτῷ τοὺς στεφάνους οὐ τὸ παθεῖν μόνον, ἀλλὰ καὶ τὸ γενναίως πρὸς ἅπαντα στῆναι τὰ δεινά. καὶ θαυμάζομεν αὐτὸν ἅπαντες, οὐκ ἐπειδὴ πάντων αὐτὸν ἀπεστέρησεν ὁ διάβολος, ἀλλ' ἐπειδὴ ἐν πᾶσι τούτοις οὐχ ἥμαρτεν οὐδὲ ἐν τοῖς χείλεσιν αὐτοῦ. ἐπειδὴ δὲ ἐμνήσθην τοῦ Ἰὼβ, ἐβουλόμην μὲν καὶ τοὺς θρήνους αὐτοῦ τοὺς μακροὺς, καὶ τῶν παθῶν τὴν σφοδρότητα ἐνθεῖναι τῷ λόγῳ, ὑπὲρ δὲ τοῦ μὴ πολὺ ποιῆσαι τὸ μῆκος ἐπάνειμι πρὸς τὸν Ἰσαάκ. σὺ δὲ*, εἰ βούλει μετὰ ἀκριβείας τὰ ἐκείνου μαθεῖν, τὸ βιβλίον αὐτοῦ μετὰ χεῖρας λαβὼν, διάκυψον πρὸς τὴν ἄβυσσον τῶν συμφορῶν, καὶ πολλὴν″ ἐν ἐκείνοις παραμυθίαν εὑρήσεις τῶν σῶν. εἰ γὰρ καὶ πολλῷ βελτίων ἡμῶν ὁ δίκαιος, ἀλλὰ καὶ πρὸς πολλῷ μείζονα τὴν ἐνέργειαν παρετάξατο, καὶ σφοδρότερον ἐπνευσε κατ' ἐκείνου τότε ὁ πονηρός. τὰ δὲ κατορθώματα οὐ τῷ μέτρῳ τῶν πειρασμῶν, ἀλλὰ τῇ τῶν πραττομένων δυνάμει κρίνεται. ὥστε κἂν ἐλάττων ὁ σὸς νῦν ὁ ἀγὼν, οὐδέν σε τοῦτο εἰς τοὺς στεφάνους παραβλάψαι δυνήσεται. ἐπεὶ καὶ ὁ τὰ δύο τάλαντα προσενεγκὼν, οὐκ ἔλαττον προσήνεγκε τοῦ τὰ πέντε″ ἐπιδειξαμένου. διὰ τί; ὅτι εἰ καὶ ἡ πρόσοδος οὐχ ἡ αὐτὴ, ἀλλ' ἡ προθυμία ἡ αὐτή· ὅθεν καὶ τῆς αὐτῆς ἑκάτερος ἔτυχε τιμῆς ἀκούσας, Εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου. τί οὖν ὁ Ἰσαάκ; ἀποδημίαν μὲν οὐκ ἐστείλατο μακρὰν, καθάπερ ὁ πατὴρ, οὐδὲ τὴν οἰκείαν ἀφεῖναι ἠναγκάσθη γῆν, καθάπερ ἐκεῖνος· τὸ δὲ κεφάλαιον τῶν κακῶν καὶ αὐτὸς ὑπέμεινε, τῆς ἀπαιδίας τὸν φόβον. ὡς δὲ ἔλυσε τὸ δεινὸν εὐξάμενος, ἕτερος αὐτὸν διεδέξατο φόβος ἐκείνου μείζων. οὐδὲ γὰρ ἦν ἴσον ὑπὲρ ἀπαιδίας τρέμειν, καὶ ὑπὲρ τῆς ῥίζης αὐτῆς. οὕτω γὰρ αὕτη διεκόπτετο ταῖς ὠδῖσιν, ὡς πικροτέραν θανάτου παντὸς ὑπομένειν ζωήν. καὶ τοῦτο αὐτῆς ἄκουσον λεγούσης, Εἰ οὕτω μοι μέλλει γίνεσθαι, ἵνα τί μοι τὸ ζῆν; λιμοῦ δὲ πεῖραν ἔλαβε μὲν καὶ αὐτός. εἰ δὲ μὴ κατῆλθεν εἰς Αἴγυπτον, ἀλλ' ἅπερ ὁ πατὴρ μικροῦ δεῖν ἔπαθεν ἐκεῖ, ταῦτα καὶ αὐτὸς ὑπέμεινε καὶ ἐκινδύνευσεν ὑπὲρ τῆς αὐτοῦ γυναικός. καὶ τὸν μὲν πατέρα ἐτίμων οἱ πρόσοικοι πάντες, τοῦτον δὲ ὡς ἐχθρὸν καὶ πολέμιον ἤλαυνον, καὶ τῶν οἰκείων αὐτὸν οὐκ ἠφίεσαν ἀπολαῦσαι πόνων

ἀλλ'

Ματθ. κε. κα.

Γεν. κε. κβ.

γ. τῶ

γ. παρ

* μοι

γ. ἐ

γ. ἰσο
τῷ.

ἀλλ' ἐκεῖνοι ἐν ξενοχωρείᾳ καθεστῶτες πολλῇ, αὐτοὶ μετ' ἐξουσίας ἐν τοῖς μόχθοις ἐτρύφων τοῖς ἐκείνου. ὡς δέ ποτε καὶ τούτους αὐτὸς φίλους ἐκτήσατο, καὶ ἐν ἡλικίᾳ τοὺς παῖδας εἶδε γενομένους τοὺς αὐτοῦ, τότε δή, τότε, ὅτε πολλὴν προσεδόκησε τὴν παραμυθίαν εὑρήσειν, καὶ γηροκόμους ἕξειν καλούς, εἰς τὴν ἐσχάτην ἀθυμίαν ἐνέπεσε. πρῶτον μὲν γὰρ ἀπὸ τῶν ἀλλοφύλων ὁ πρεσβύτερος γυναῖκα λαβὼν παρὰ τὸ τῷ πατρὶ δοκοῦν, τούτῳ γε αὐτῷ σφόδρα ἠνίασεν αὐτόν, καὶ τὴν μάχην καὶ πόλεμον εἰς τὴν οἰκίαν εἰσήγαγεν. μυρίοις γὰρ αἱ γυναῖκες ἐκεῖναι περιέβαλλον αὐτοὺς κακοῖς. ἅπερ ἅπαντα εἰπεῖν παραιτουμένη ἡ γραφή, δι' ἑνὸς ῥήματος τὸ πᾶν ᾐνίξατο εἰποῦσα, Ὅτι ἤριζον τῇ Ῥεβέκκᾳ, καὶ τοῖς οἰκίας ἔχουσι καὶ παῖδας ἤδη γεγαμηκότας κατέλιπεν εἰδέναι τὸ λεχθέν. ἐκεῖνοι γὰρ μάλιστα πάντων ἴσασιν ἀκριβῶς, ὅσον ἐστὶ κακὸν ἐμφιλονείκως διατεθῆναι τὴν τοῦ νυμφίου μητέρα καὶ τὴν νύμφην, καὶ μάλιστα ὅταν οἰκίαν οἰκῶσιν ἀμφότεραι μίαν. τοῦτο μὲν οὖν διηνεκὲς ἦν τὸ δεινόν. τὸ δὲ ἐπὶ τούτοις συμβάν, ἡ τῶν ὀφθαλμῶν πήρωσις, ὅσον ἐστὶ κακόν, οἱ παθόντες ἴσασι μόνον. μετὰ δὲ τοῦτο, ἡ περὶ τὰς εὐλογίας ἀποτυχία τοῦ παιδός· ὑφ' ἧς οὕτως ἐπλήγη τὴν ψυχήν, ὡς αὐτοῦ πικρότερον ἀναβοῆσαι τοῦ τὴν ἀπάτην ὑπομείναντος, καὶ ἀπολογήσασθαι πρὸς αὐτόν. οὐ γὰρ ἑκὼν ἠδικηκέναι ἔλεγεν, ἀλλ' ἀπατηθείς. τὰ δὲ ἐντεῦθεν τὴν ἐπὶ τῆς σκηνῆς ἐδείκνυ τραγῳδίαν, καὶ τὸ δρᾶμα τῶν Θηβαίων" ἀνετυποῦτο μειρακίων. καὶ γὰρ καὶ ἐνταῦθα τῆς τοῦ παιδὸς ἡλικίας καὶ πηρώσεως καταφρονήσας ὁ πρεσβύτερος ἐξέβαλε τῆς οἰκίας τὸν νεώτερον ἀδελφόν. εἰ δὲ μὴ ἀπέκτεινε, καθάπερ ὁ Κάϊν ἐκεῖνος, ἡ τῆς μητρὸς σοφία τοῦτο διεκώλυσεν. ἠπείλησε μὲν γὰρ καὶ αὐτὸς τὸν φόνον, καὶ τὴν τελευτὴν ἀνέμενε τοῦ πατρός. μαθοῦσα δὲ ἡ μήτηρ, καὶ τῷ πατρὶ διαλεχθεῖσα, ἐξήρπασεν αὐτὸν τῶν ἐκείνου χειρῶν. καὶ τὸν μὲν θεραπεύοντα αὐτοὺς καὶ εὐνοϊκῶς διακείμενον φυγαδεύειν ἠναγκάζοντο, τὸν δὲ μοχθηρὸν καὶ ἀβίωτον αὐτοῖς καθιστῶντα βίον (τοῦτο γὰρ αὐτή φησιν ἡ Ῥεβέκκα) παρ' ἑαυτοῖς κατεῖχον διηνεκῶς. ἀποδράντος τοίνυν ἐκείνου τοῦ διαπαντὸς ἐπὶ τῆς οἰκίας τραφέντος (ἦν γὰρ ἄπλαστος, οἰκῶν οἰκίαν) καὶ τὰ πολλὰ μετὰ τῆς μητρὸς οἰκουροῦντος, πόσα μὲν εἰκὸς ἦν τὴν Ῥεβέκκαν ἀποδύρεσθαι καὶ θρηνεῖν, μεμνημένην τοῦ παιδὸς διαπαντός, καὶ τὸν ἄνδρα ὁρῶσαν οὐδὲν τῶν νεκρῶν ἄμεινον διακείμενον, καὶ διὰ τὴν ἡλικίαν καὶ διὰ τὴν νόσον; πόσῳ δὲ τὸν γέροντα πένθει κατέχεσθαι, μετὰ τῶν οἰκείων καὶ τὰς τῆς γυναικὸς ἀναγκαζόμενον θρηνεῖν συμφοράς; ὅτε δὲ ἔμελλε τελευτᾶν ἐκείνη, τί ἄρα οὐκ εἶπε; τί δὲ οὐκ ἐφθέγξατο, ὃ καὶ λίθον ἦν τῆξαι ἱκανόν, οὐχ ὁρῶσα τὸν παῖδα παρεστῶτα, καὶ δακρύοντα, καὶ καθαιροῦντα ὀφθαλμούς, καὶ συλλαμβάνοντα στόμα καὶ περιστέλλοντα, καὶ τὰ ἄλλα πάντα ἐπιμελούμενον, ἅπερ αὐτοῦ τοῦ θανάτου πικρότερα τοῖς γεγεννηκόσιν εἶναι δοκεῖ; ὁ δὲ Ἰσαὰκ οὕτως αὐτὴν ἀποπνέουσαν ὁρῶν, ὁποίαν ἐκέκτητο ψυχὴν καὶ τότε καὶ μετὰ τὴν ἐκείνης τελευτήν; τοιοῦτος ἡμῖν ὁ πολλῶν εὐθυμότερος εἶναι δοκῶν ἀποπέφανται.

Γεν. κϛ. λε.

Γεν. κζ. μϛ.

ἐτύπου

Τὸν δὲ τοῦ Ἰακὼβ βίον ἀρκεῖ μὲν καὶ χωρὶς ἐξετάσεως δεῖξαι καὶ αὐτὴ ἡ τοῦ Ἰακὼβ ἀπόφασις. τῷ γὰρ Φαραὼ τότε διαλεγόμενος ἔλεγε· Μικραὶ καὶ πονηραὶ αἱ ἡμέραι μου, καὶ οὐκ ἀφίκοντο εἰς τὰς ἡμέρας τῶν πατέρων μου, τουτέστι, καὶ βραχύτερον καὶ μοχθηρότερον ἐβίωσα βίον. χωρὶς δὲ τῆς ἀποφάσεως οὕτως εἰσὶ περιφανεῖς αὐτοῦ αἱ συμφοραί, ὡς μηδὲ τῶν πολλῶν τινας αὐτὰς ἀγνοεῖν. ὁ μὲν γὰρ πάππος ὁ τούτου, εἰ καὶ μακρὰν ἐστείλατο τὴν ἀποδημίαν, ἀλλὰ τοῦ Θεοῦ κελεύσαντος, ὅπερ παραμυθίαν αὐτῷ τὴν μεγίστην ἔφερεν· αὐτὸς δὲ ἀδελφὸν φεύγων ἐπιβουλεύοντα καὶ φονῶντα κατ' αὐτοῦ. κἀκεῖνος μὲν οὐδέποτε ὑπὲρ τῆς τῶν ἀναγκαίων χορηγίας ὠδύρετο, αὐτὸς δὲ ἀγαπητὸν ἡγεῖτο καὶ" εὐκτὸν τὸ ἱματίου καὶ ἄρτου διευπορῆσαι μόνου. διασωθεὶς δέ, καὶ τῶν τῆς ὁδοιπορίας κακῶν ἀπαλλαγείς, καὶ πρὸς τοὺς συγγενεῖς ἐλθὼν τοὺς αὐτοῦ, ἠναγκάζετο δουλεύειν ὁ ἐν ἀφθονίᾳ τοσαύτῃ τραφείς. οἶσθα δὲ ὅτι πολλαχοῦ μὲν ἡ δουλεία πικρόν· ὅταν δέ τις παρὰ τοῖς ὁμοτίμοις τὰ τῶν οἰκετῶν ὑπο-

Γεν. μζ. θ.

υκτῶον

μένει

μθόειν διαγκάζηται, καὶ ταῦτα μηδέποτε τοῦ πράγματος πεῖραν λαβὼν, ἀλλ' ἐν ἐλευθερίᾳ καὶ τρυφῇ τὴν προτέραν ἅπασαν ἡλικίαν διαγαγὼν, ἀφόρητον γὰρ τὸ δεινόν. ἀλλ' ὅμως ἔφερε πάντα γενναίως. καὶ τὰς ἐν τῇ ποιμαντικῇ ταλαιπωρίας αὐτοῦ ἀκούεις διηγουμένου καὶ λέγοντος· Γεν λα. λθ. Ἐγὼ ἀπετίννυον παρ' ἐμαυτοῦ κλέμματα ἡμέρας καὶ κλέμματα νυκτὸς, ἐγενόμην τῆς ἡμέρας συγκαιόμενος τῷ καύματι, καὶ τῷ παγετῷ τῆς νυκτός· καὶ ἀφίστατο ὁ ὕπνος ἀπὸ τῶν ὀφθαλμῶν μου, ταῦτά μοι εἴκοσιν ἔτη. ταῦτα ἔπασχεν ὁ τὸν ἄπλαστον βίον βεβιωκὼς, ὁ οἰκίαν οἰκήσας διαπαντός. καὶ μετὰ τοὺς τοσούτους πόνους καὶ τοὺς μόχθους καὶ τὰς ζημίας καὶ τὸν πολὺν χρόνον ἐκεῖνον τὴν πικρὰν ἀπάτην ὑπέμεινε τὴν ἐπὶ τῇ γυναικί. εἰ γὰρ μὴ δεδουλώκει τὰ ἑπτὰ ἔτη, εἰ γὰρ μηδὲν ὢν ἀπωδύρατο πρὸς τὸν κηδεστὴν ἔπαθεν, εἰ γὰρ μὴ ἤρα τῆς παιδὸς, ἀλλὰ μόνον τὸ κατεγγυηθῆναι μὲν αὐτῷ τὴν ἀμείνω, δοθῆναι δὲ τὴν φαυλοτέραν ἀντ' ἐκείνης, πόσην ἀθυμίαν, πόσον θυμὸν, πόσην ἐπήρειαν παρεῖχε τῷ μακαρίῳ τότε ἐκείνῳ; ἄλλος μὲν οὖν εἴ τις ἦν, οὐκ ἂν εὐκόλως τὴν ἐπήρειαν ἤνεγκεν, ἀλλὰ πᾶσαν τὴν τῶν κηδεστῶν ἀνέτρεψεν ἂν τὴν οἰκίαν, συσφάξας ἑαυτὸν ἐκείνοις, ἢ καὶ ἄλλῳ τινὶ συνδιαφθείρας τρόπῳ. ἐπειδὴ δὲ ἀνεξίκακος καὶ μακρόθυμος ἦν ὁ Ἰακὼβ, τοῦτο μὲν οὐκ ἐποίησεν, ἀλλ' οὐδὲ ἐβουλεύσατο τὴν ἀρχήν· κελευσθεὶς δὲ ἑπτὰ ἕτερα ἔτη δουλεῦσαι, πάλιν ὑπήκουσεν ἑτοίμως· οὕτως ἦν πρᾶος καὶ ἐπιεικής. εἰ δὲ ὁ τῆς κόρης ἔρως συναντελαμβάνετο τῇ τῶν τρόπων ἐπιεικείᾳ, πάλιν μοι τῆς ἀθυμίας λέγε τὴν ὑπερβολήν. ἐννόησον γὰρ ὅσην ὀδύνην ὑπέμεινεν, ὅτε τῆς οὕτως ἀγαπωμένης ἀπεστέρητο, καὶ προσδοκῶν αὐτὴν ἔνδον ἔχειν, εἰς ἑπτὰ πάλιν ἐτῶν ἀναβολὴν ἐξεκρούετο, καὶ τοὺς κρυμοὺς, καὶ τὰ θάλπη, καὶ τὰς ἀγρυπνίας, καὶ τὰς ζημίας τὰς συνεχεῖς. λαβὼν δὲ καὶ ταύτην ὕστερον, καὶ ζῶν παρὰ τῷ κηδεστῇ βίον ταλαίπωρον καὶ ἐπίμοχθον, ἐφθονεῖτο καὶ οὕτω, καὶ δευτέραν ἀπάτην ὑπέμενεν ἐπὶ τοῖς μισθοῖς, ὡς καὶ αὐτὸς αὐτὸν διήλεγχε λέγων· Γεν. λα. μα. Ὅτι παρελογίσω με δέκα ἀμνάσι. μετὰ δὲ τοῦ κηδεστοῦ καὶ οἱ τῶν γυναικῶν ἀδελφοὶ τοῦ κηδεστοῦ μᾶλλον ἐξεθηριώθησαν πρὸς αὐτόν. τὸ δὲ πάντων χαλεπώτερον ἦν, ἡ ἐρωμένη, καὶ δι' ἣν ἔτη δὶς ἑπτὰ δουλεύειν εἵλετο, ὑπὸ τῆς ἀθυμίας ἀπεπνίγετο, τὴν μὲν ἀδελφὴν τίκτουσαν ὁρῶσα, ἑαυτὴν δὲ οὐδὲ ἐλπίδα τοῦ πράγματος ἔχουσαν. καὶ εἰς τοσαύτην ἔκστασιν ἀπὸ τῆς ἀθυμίας ἐξηνέχθη ποτὲ, ὡς ἐγκαλεῖν καὶ μέμφεσθαι τῷ ἀνδρὶ, καὶ θάνατον ἀπειλεῖν καθ' ἑαυτῆς, εἰ μὴ τέκοι. Γεν. λ. α. Δός μοι γὰρ τέκνα, φησίν· εἰ δὲ μὴ, τελευτήσω ἐγώ. τί τοίνυν αὐτὸν εὐφρᾶναι δυνατὸν ἦν, τῆς μὲν οὕτω ποθουμένης τοιαῦτα ὀδυρομένης, τῶν δὲ ταύτης ἀδελφῶν ἐπιβουλευόντων αὐτῷ, καὶ πάντα πραττόντων, ὅπως εἰς τὴν ἐσχάτην ἔλθῃ πενίαν. εἰ δὲ τὰ χωρὶς ἱδρώτων ἐπιδιδόμενα ταῖς γυναιξὶν ὅταν ἀφαιρῆται πολλὴν φέρει τὴν ἀθυμίαν, ὁ κινδυνεύων ὑπὲρ τῶν πόνοις κτηθέντων οἰκείοις,. πῶς ἂν πράως ταύτην ἤνεγκε τὴν ζημίαν; αἰσθόμενος τοίνυν ὅτι δι' ὑποψίας εἶχον αὐτὸν καὶ ὑπεβλέποντο, λαθὼν ἀνεχώρησεν ὡς φυγάς, οὗ τί γένοιτ' ἂν ἐλεεινότερον; καὶ γὰρ ἐκ τῆς οἰκείας, καὶ ἐκ τῆς ἀλλοτρίας μετὰ φόβων καὶ κινδύνων " ἀποδημήσας, εἰς τὰ αὐτὰ πάλιν ἐμπίπτειν βάραθρα ἠναγκάζετο. τὸν μὲν γὰρ ἀδελφὸν φυγὼν, ἦλθε πρὸς τὸν κηδεστήν· ὑπὸ δὲ τούτου πάλιν ἐλαυνόμενος, εἰς τὸν ἀδελφὸν ἐμπίπτειν ἐβιάζετο· καὶ τὸ προφητικὸν ἐκεῖνο ὑπέμενεν, ὃ περὶ τῆς ἡμέρας Κυρίου φησὶν ὁ Ἀμώς, Αμ. ε 19. Ὃν τρόπον ἐάν τις ἐκφύγῃ ἄνθρωπος ἀπὸ προσώπου τοῦ λέοντος, καὶ ἐμπέσῃ αὐτῷ ἡ ἄρκτος, καὶ ἐπιπηδήσῃ εἰς τὴν οἰκίαν αὐτοῦ, καὶ ἀπερείσῃ τὴν χεῖρα αὐτοῦ εἰς τὸν τοῖχον, καὶ δάκῃ αὐτὸν ὁ ὄφις.

Τί δὲ δεῖ λέγειν τὸν τρόμον ὃν ὑπέστη καταληφθεὶς ὑπὸ τοῦ Λάβαν; τὰς θλίψεις τὰς κατὰ τὴν ὁδοιπορίαν, θρεμμάτων τοσούτων καὶ " παιδίων ἀκολουθούντων αὐτῷ; ἀλλ' ἐπειδὴ τὴν ἀδελφικὴν ὄψιν ὁρᾶν ἔμελλεν, οὐ ταὐτὸν ἔπασχε τοῖς ὁρῶσι τὴν παρὰ τοῖς ποιηταῖς ἀναπλαττομένην ὑπ' ἐκείνων Γοργόνης κεφαλήν; οὐχ ὡς τὴν ἐπὶ θάνατον ἀπιὼν, οὕτως ἀποδυ-

τα διετάττετο; ἄκουσον τῶν ῥημάτων αὐτοῦ, καὶ μάθε τὴν ἐναποκειμένην αὐτοῦ τῇ ψυχῇ φλόγα.

Γεν. λβ. ια.

Ἐξελοῦ με, φησιν, ἐκ χειρὸς Ἠσαῦ, ἐκ χειρὸς τοῦ ἀδελφοῦ μου, ὅτι φοβοῦμαι ἐγὼ αὐτόν, μή ποτε ἐλθὼν πατάξῃ με καὶ μητέρα ἐπὶ τέκνοις. σὺ δέ μοι εἶπας, εὖ σε ποιήσω. πόσην οὐκ ἂν ἐξέβαλεν εὐφροσύνην τοσοῦτος ὁ φόβος, εἰ καὶ πάντα τὸν ἔμπροσθεν χρόνον ἐν εὐθυμίᾳ διατετελεκὼς ἦν; νυνὶ δὲ ἅπας ὁ βίος αὐτῷ καὶ ἐξ ἐκείνης τῆς ἡμέρας, ἐν ᾗ μέλλων τὰς εὐλογίας λαμβάνειν παρ᾽ ἀποτεθνήκει τῷ δέει, διὰ συμφορῶν ἐπλέκετο καὶ ἐπιβουλῶν. τοσοῦτον γὰρ αὐτὸν τότε δέος κατεῖχεν, ὡς μηδὲ μετὰ τὴν συντυχίαν, καίτοιγε χρηστῶς καὶ φιλανθρώπως αὐτῷ χρησαμένου τοῦ ἀδελφοῦ, θαρρῆσαι καὶ ἀποθέσθαι τὴν ἀγωνίαν. παρακαλοῦντος γοῦν ἐκείνου συναπελθεῖν, καθάπερ θηρίου τινὸς ἀπαλλάττεσθαι μέλλων, οὕτως ἠξίου καὶ ἐσοφίζετο τὴν ἀναχώρησιν λέγων,

Γεν. λγ. ιγ.

Ὁ κύριός μου, γινώσκεις ὅτι τὰ παιδία ἁπαλώτερα, καὶ τὰ πρόβατα καὶ οἱ βόες λοχεύονται ἐπ᾽ ἐμέ· καὶ ἐὰν καταδιώξω αὐτά, ἐν ἡμέρᾳ μιᾷ ἀποθανοῦνται πάντα τὰ κτήνη. προελθέτω ὁ κύριός μου ἔμπροσθεν τοῦ παιδὸς αὐτοῦ· ἐγὼ δὲ ἐνισχύσω ἐν τῇ ὁδῷ κατὰ σχολὴν τῆς πορεύσεως τῆς ἐναντίον μου καὶ κατὰ πόδας τῶν παιδαρίων, ἕως τοῦ ἐλθεῖν με πρὸς τὸν κύριόν μου εἰς Σηείρ. καὶ ἀναπνεύσας μικρὸν ἀπὸ τῶν κινδύνων ἐκείνων, εἰς ἕτερον πολλῷ χαλεπώτερον ἐνέπεσε πάλιν φόβον. τῆς γὰρ θυγατρὸς ἁρπαγείσης, τὸ μὲν πρῶτον ἤλγει* τῇ ὕβρει τῆς παιδός· ὡς δὲ παρεμυθεῖτο τὸ γεγονὸς ὁ τοῦ βασιλέως υἱός, νόμῳ γάμου λήψεσθαι γυναῖκα αὐτὴν ὑποσχόμενος, καὶ ἐπῄνεσε τὴν γνώμην ὁ Ἰακώβ, συνέχεον τὰς συνθήκας οἱ περὶ τὸν Λευΐ, καὶ τὴν πόλιν αὔτανδρον ἀνελόντες, εἰς τοσοῦτον τὸν γεγηρακότα κατέστησαν τρόμον, ὡς καὶ μετοικῆσαι ἐκεῖθεν αὐτόν, διὰ τὸ πάντας ἐκπολεμωθῆναι πρὸς αὐτόν.

Γεν. λδ. λ.

Εἶπε γάρ, φησιν, ὁ Ἰακὼβ τῷ Συμεὼν καὶ τῷ Λευΐ· μισητόν με πεποιήκατε, ὥστε πονηρόν με εἶναι πᾶσι τοῖς κατοικοῦσι τὴν γῆν, ἔν τε τοῖς Χαναναίοις καὶ ἐν τοῖς Φερεζαίοις· ἐγὼ δὲ ὀλιγοστός εἰμι ἐν ἀριθμῷ, καὶ συναχθέντες ἐπ᾽ ἐμὲ συγκόψουσί με, καὶ ἐκτριβήσομαι καὶ ἐγὼ καὶ ὁ οἶκός μου. καὶ γὰρ ἂν πάντας αὐτοὺς κατέσφαξαν ἄρδην οἱ πρόσοικοι, εἰ μὴ ἡ τοῦ Θεοῦ φιλανθρωπία κατέσχεν ἐκείνων τὸν θυμόν, καὶ πέρας ἐκείνοις ἐπέθηκε τοῖς κακοῖς.

Γεν. λε. ε.

Ἐγένετο γάρ, φησι, φόβος Θεοῦ ἐπὶ πάσας τὰς πόλεις τὰς περικύκλῳ αὐτῶν, καὶ οὐ κατεδίωξαν ὀπίσω τῶν υἱῶν Ἰσραήλ. Ἀλλ᾽ οὔπω μετὰ τὴν τούτων ἀπαλλαγὴν, ἆρα ἀνέπνευσε; τότε μὲν οὖν ἐπῆλθεν αὐτῷ τῶν κακῶν [τὸ πέρας,] ὁ κολοφών, ὁ τῆς ἐρωμένης θάνατος, ἄωρός τε ὁμοῦ καὶ βίαιος ὤν.

Γεν. λε. ιζ.

Ἔτεκε γάρ, φησι, Ῥαχήλ, καὶ ἐδυστόκησεν ἐν τῷ τοκετῷ· ἐγένετο δὲ ἐν τῷ σκληρῶς αὐτὴν τίκτειν εἶπεν αὐτῇ ἡ μαῖα, θάρσει· καὶ γὰρ οὗτός ἐστί σοι υἱός. ἐγένετο δὲ ἐν τῷ ἀφιέναι αὐτὴν τὴν ψυχὴν (ἀπέθνησκε γὰρ) ἐκάλεσε τὸ ὄνομα αὐτοῦ, υἱὸς ὀδύνης μου. καὶ τοῦ πένθους ἀκμάζοντος ἔτι προσετέθη τῇ ἀθυμίᾳ ὁ Ῥουβίμ, εἰς τὴν τοῦ πατρὸς ἐνυβρίσας εὐνήν, ὅπερ οὕτως ἔφερε χαλεπῶς, ὡς καὶ τελευτῶν ἐπαράσασθαι τῷ παιδί, ὅτε μάλιστα συμπαθέστερον ἔχουσι πρὸς τὰ ἔκγονα οἱ γονεῖς, καὶ ταῦτα πρωτοτόκῳ πάντων ὄντι τῶν ἄλλων. οὐ μικρὸν δὲ τοῦτο πρὸς φιλοστοργίας δύναται λόγον. ἀλλ᾽ ὅμως ἅπαντα ταῦτα ἡ τῆς ἀθυμίας παρώσατο βία, καὶ καλέσας αὐτὸν ἔλεγε·

Γεν. μθ. γ.

Ῥουβὶμ πρωτότοκός μου, ἰσχύς μου, καὶ ἀρχὴ τέκνων μου, σκληρῶς φέρεσθαι καὶ σκληρῶς αὐθάδης· ἐξύβρισας, ὡς ὕδωρ, μὴ ἐκζέσῃς. ἀνέβης γὰρ ἐπὶ τὴν κοίτην τοῦ πατρός σου· τότε ἐμίανας τὴν στρωμνήν, οὗ ἀνέβης. ὡς δὲ ἐν ἡλικίᾳ γέγονεν ὁ τῆς ἀγαπωμένης γυναικὸς υἱός, καὶ παραμυθίαν αὐτὸν ἕξειν προσεδόκησε τῆς ἐπ᾽ ἐκείνῃ λύπης, τότε αὐτῷ πολύτροποι διὰ τούτου κατεσκευάζοντο συμφοραί. οἱ γὰρ ἀδελφοὶ τὸν χιτωνίσκον τὸν ἐκείνου βάψαντες αἵματι, καὶ ἐπιδείξαντες τῷ πατρί, ποικίλον αὐτῷ τὸ πένθος εἰργάσαντο. οὐ γὰρ τὴν τελευτὴν ἐπένθει μόνον, ἀλλὰ καὶ τὸν τρόπον τῆς τελευτῆς. καὶ πολλὰ ἦν τὰ συγχέοντα αὐτοῦ τὴν ψυχήν, ὅτι ὁ τῆς φιλουμένης υἱός, ὅτι ὁ τῶν ἄλλων ἁπάντων βελτίων, ὅτι ὁ μάλιστα ἀγαπώμενος, ὅτι ἐν αὐτῷ τῷ τῆς ἡλικίας ἄνθει, ὅτι παρ᾽ αὐτοῦ πεμφθείς, ὅτι μηδὲ ἐπὶ τῆς οἰκίας,

μηδὲ ἐπὶ τῆς κλίνης, μηδὲ παρεστῶτος τοῦ παιδὸς, μηδὲ εἰπὼν ἢ ἀκούσας, ὅτι μὴ τῷ κοινῷ
πάντων θανάτῳ, ὅτι ζῶν ὑπὸ τῆς τῶν θηρίων ὠμότητος ἐσπαράττετο, ὅτι μηδὲ τὰ λεί-
ψανα συναγαγεῖν εὕρισκε καὶ παραδοῦναι τῇ γῇ, ὅτι μηδὲ ἐν νεότητι ταῦτα ὑπέμεινεν,
ὅτε ἐνεγκεῖν ταῦτα δυνατὸν ἦν, ἀλλ' ἐν ἐσχάτῳ γήρᾳ. καὶ ἦν θέαμα πάντων ἐλεεινότερον
ἰδεῖν πολιὰν αἰσχυνομένην κόνει, καὶ στῆθος γηραλέον διαρρηγνυμένου τοῦ χιτῶνος γυμνούμενον,
Γεν. λζ. λγ. καὶ θρήνους παρακλήσεως μείζονας. Διέρρηξε γὰρ, φησὶν, ὁ Ἰακὼβ τὰ ἱμάτια αὐτοῦ, καὶ
περιεβάλλετο σάκκον ἐπὶ τὴν ὀσφὺν αὐτοῦ, καὶ ἐπένθει τὸν υἱὸν αὐτοῦ ἡμέρας πολλάς. συν-
ήχθησαν δὲ πάντες οἱ υἱοὶ αὐτοῦ καὶ αἱ θυγατέρες αὐτοῦ παρακαλέσαι αὐτὸν, καὶ οὐκ ἤθελε
παρακληθῆναι, λέγων· καταβήσομαι πρὸς τὸν υἱόν μου πενθῶν εἰς ᾅδου.

Ὥσπερ δὲ δέον μηδέποτε καθαρεύειν αὐτοῦ τὴν ψυχὴν ἀθυμίας, οὕτως, ἀρξαμένης
ταύτης θεραπεύεσθαι τῆς πληγῆς, λιμὸς ἐπελθὼν καὶ τὴν γῆν πᾶσαν κατασχὼν, ἐλύπει
μὲν αὐτὸν σφόδρα τοῦ προτέρου οὐχ ἧττον. ὡς δὲ ἀνελθόντες ἀπὸ τῆς Αἰγύπτου οἱ υἱοὶ πα-
ραμυθίαν εὑρεῖν ἐνόμισαν τοῦ κακοῦ, ἑτέρᾳ λύπῃ ταύτην ἀναμίξαντες ἤγαγον, καὶ τὴν ἀπὸ
τῆς τοῦ λιμοῦ λύσεως ἡδονὴν συνέχεεν ἡ τοῦ παιδὸς ἀποδημία· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι
καὶ τὸν Βενιαμὶν ἀπῄτουν αὐτὸν, ὃν μόνον εἶχε παραψυχὴν * καὶ τῆς ἀπελθούσης γυναικὸς
καὶ τοῦ θηριοβρώτου παιδός. οὐ ταῦτα δὲ μόνον ἀλγύνεσθαι αὐτὸν ἐποίει τοῦ Βενιαμὶν, ἀλλὰ καὶ
Γεν. μβ. λη. τὰ τῆς ἡλικίας, καὶ τὰ τῆς ἀνατροφῆς. Οὐ καταβήσεται γὰρ, φησὶν, ὁ υἱός μου μεθ' ὑμῶν, ὅτι
ὁ ἀδελφὸς αὐτοῦ ἀπέθανε, καὶ αὐτὸς μόνος καταλέλειπται· καὶ συμβήσεται αὐτὸν μαλακισθῆναι
ἐν τῇ ὁδῷ, ᾗ ἂν πορεύησθε, καὶ κατάξετέ μου τὸ γῆρας μετὰ λύπης εἰς ᾅδου. τὸ μὲν οὖν πρῶτον
διὰ ταῦτα πάντα παρῃτεῖτο, καὶ οὐκ ἔφασκε δώσειν αὐτόν· ἐπειδὴ δὲ σφοδρῶς ἐπέπεσεν ὁ λιμὸς,
Γεν. μγ. ς. καὶ μείζονος τῆς ἀνάγκης ᾔσθετο, καίτοι σφόδρα ἀποδυρόμενος (Τί γάρ με ἐκακοποι-
ήσατε, φησὶν, ἀπαγγείλαντες τῷ ἀνθρώπῳ εἰ ἔστιν ὑμῖν ἀδελφός;) καὶ τοῦτο πάντων ἀ-
Γεν. μβ. λς. δυνηρότερον ὑπέμεινε, τὰ ἐλεεινότερα ῥήματα φθεγγόμενος ὁ Ἰακώβ· Ἰωσὴφ οὐκ ἔστι,
Συμεὼν οὐκ ἔστι· καὶ τὸν Βενιαμὶν λήψεσθε; ἐπ' ἐμὲ γέγονε ταῦτα πάντα. καὶ ὀδυρόμε-
νος ὅτι μετὰ τὸν Ἰωσὴφ καὶ τὸν Συμεὼν ἐπεχείρουν καὶ τὸν Βενιαμὶν ἀποσπάσαι αὐτοῦ, καὶ
ἐνδακρυόμενος ὅτι πάντα πείσεται μᾶλλον, ἢ ἀφέξεται τοῦ παιδὸς, νικηθεὶς ὕστερον, αὐτὸς αὐτὸν
Γεν. μγ. ιγ. ταῖς ἑαυτοῦ χερσὶν ἐξεδίδου, λέγων· Καὶ τὸν ἀδελφὸν ὑμῶν λάβετε, καὶ ἀναστάντες κατάβητε
πρὸς τὸν ἄνθρωπον. ὁ δὲ Θεός μου δῴη ὑμῖν χάριν ἐναντίον τοῦ ἀνθρώπου τοῦ ἀποστεῖλαι
τὸν ἀδελφὸν ὑμῶν τὸν ἕνα, καὶ τὸν Βενιαμίν. ἐγὼ γὰρ καθὰ ἠτέκνωμαι, ἠτέκνωμαι. οὕτω
σφόδρα τοῖς πολλοῖς ἐκρατήθη κακοῖς, ὡς, καὶ τῶν σπλάγχνων σπαραττομένων, καὶ κατὰ μι-
κρὸν ἐλαττουμένων αὐτῷ τῶν παίδων, ἅπαντα ὑπομένειν τῇ τῶν μειζόνων ὑπερβολῇ. καὶ
γὰρ μείζων αὐτὸν ἀθυμία κατεῖχεν ὑπὲρ τούτου ἢ τοῦ Ἰωσήφ. ἡ μὲν γὰρ οὐκ ἔχουσα προσ-
δοκίαν ἐπανορθώσεως συμφορὰ, εἰ καὶ σφοδρὰς φέρει τὰς ἀθυμίας ἡμῖν, ἀλλὰ ταχέως αὐ-
τὰς ἐξωθεῖ, εἰς ἀπόγνωσιν ἐμβαλοῦσα τὸν λογισμόν· ἡ δὲ ἔτι μετέωρος οὖσα, οὐκ ἀφίησιν
ἀναπαύσασθαι τὴν ψυχὴν, τῇ τῶν μελλόντων ἀδηλίᾳ ἐπιτείνουσα ἀεὶ καὶ ἀνανεοῦσα τὴν
ἀγωνίαν ἡμῖν. καὶ τοῦτο ἄν τις μάθοι καλῶς ἀπὸ τοῦ μακαρίου Δαβὶδ, ὃς, ἐπειδὴ ζῶντος μὲν
β. Βασ. ιβ. ἐθρήνει τοῦ παιδὸς, τελευτήσαντος δὲ ἀνῆκε τοῦ πένθους ἑαυτὸν, ἀπορούντων ὑπὲρ τούτου τῶν
παίδων, καὶ τὴν αἰτίαν ἐρωτώντων αὐτὸν, τοῦτον εἶπε τὸν λογισμὸν, ὅνπερ ἐγὼ νῦν. εἰκότως
οὖν κἀκεῖνος ὑπὲρ τούτου ἐδεδοίκει μᾶλλον καὶ ἔτρεμεν. ἀλλ' ἡ ποθεινὴ θέα, τὸ τὸν Ἰωσὴφ ἰ-
δεῖν, ἀθυμίαν αὐτῷ παρέσχεν ὕστερον. καὶ τί τὸ ὄφελος; καθάπερ γὰρ τὰ σφοδρῷ κατα-
φλεχθέντα μὲν πυρὶ, κἂν μυριάκις καταψύξῃ τις, οὐδὲν ὀνίνησιν· οὕτω καὶ τὴν ψυχὴν κα-
τώδυνον γενομένην ἐκείνῳ, καὶ τῇ τῆς ἀθυμίας σφοδρᾷ κατακαυθεῖσαν φλογὶ οὐδὲν ἦν ἀ-
νακτήσασθαι ἰσχῦον· καὶ μάλιστα ὅτε οὐδὲ τὴν αἴσθησιν εἰκὸς εἶναι τῆς ἡδονῆς. ὅπερ καὶ ὁ Βερ-
β. Βασ. ιθ. λε. ζελλὶ παραιτούμενος τὸν Δαβὶδ, ἔλεγε· Πόσαι αἱ ἡμέραι ἐτῶν τῆς ζωῆς μου ἔσονταί μοι ἐκεῖ,

ἵνα ἀναβῶ μετὰ τοῦ βασιλέως εἰς Ἱερουσαλήμ; υἱὸς ὀγδοήκοντα ἐτῶν εἰμι σήμερον· εἰ γνώσομαι ἀνὰ μέσον ἀγαθοῦ, καὶ ἀνὰ μέσον κακοῦ; εἰ γεύσεται ὁ δοῦλός σου ὅσα ἂν ἐσθίῃ, ἢ ὅσα ἂν πίνῃ; εἰ ἀκούσομαι φωνὴν ᾀδόντων καὶ ᾀδουσῶν; καὶ ἵνα τί ἔσται ὁ δοῦλός σου φορτίον ἐπὶ τὸν κύριόν μου τὸν βασιλέα; ἀλλὰ τί χρὴ ἀφ' ἑτέρων ταῦτα στοχάζεσθαι, αὐτοῦ παρὸν ἀκοῦσαι τοῦ πεπονθότος; μετὰ γὰρ τὸ τὸν υἱὸν ἰδεῖν, ἐρωτώμενος ὑπὸ τοῦ Φαραὼ περὶ τῆς ζωῆς τῆς αὐτοῦ, Μικραί, φησι, καὶ πονηραὶ αἱ ἡμέραι μου, καὶ οὐκ ἀφίκοντο εἰς τὰς ἡμέρας τῶν πατέρων μου. οὕτως ἐνακμάζουσαν αὐτοῦ τῇ ψυχῇ τὴν μνήμην τῶν γεγενημένων εἶχε διαπαντός.

Γεν μζ. θ.

Ἀλλ' ὁ λαμπρός ἐστι καὶ ἐπίδοξος, αὐτός ἐστιν ὁ Ἰωσήφ, ἵνα οὐκ ἀπέκρυψε ταῖς συμφοραῖς; ὁ μὲν γὰρ πατὴρ ὁ τούτου ἕνα μόνον εἶχεν ἀδελφὸν ἐπιβουλεύοντα, οὗτος δὲ πολλῷ πλείους· καὶ ὁ μὲν τὴν πρώτην ἡλικίαν ἅπασαν ἐν ἀφθονίᾳ ἐτρέφετο καὶ ἀνέσει πολλῇ· ὁ δὲ ἐπὶ τῆς ἀλλοτρίας, καὶ ἔτι παιδίον ὢν τὰς τῆς ὁδοιπορίας ἠναγκάζετο φέρειν ταλαιπωρίας. καὶ τῷ μὲν Ἰακὼβ παρῆν ἡ μήτηρ ἐπικουφίζουσα τὴν ἐπιβουλήν, οὗτος δὲ ἔτι νέος ὢν καὶ ὅτε μάλιστα ἔχρῃζε τῆς μητρός, τότε ἐν ἐρημίᾳ ταύτης τῆς βοηθείας καθίστατο. πρὸς τούτοις, ὁ μὲν Ἠσαῦ μέχρις ἀπειλῆς μόνης ἐλύπησε τὸν Ἰακώβ, οὗτοι δὲ καὶ εἰς ἔργον ἐξήγαγον τὴν ἐπιβουλήν, καὶ πρὸ τῆς ἐπιβουλῆς φθονοῦντες καὶ διαβάλλοντες αὐτὸν διετέλουν, οὗ τί γένοιτ' ἂν χαλεπώτερον τοῦ συνοικοῦντας ἔχειν πολεμίους ἀεί; καὶ γὰρ ψόγον ἐπήνεγκαν κατ' αὐτοῦ πονηρόν· καὶ ἰδόντες ὅτι αὐτὸν ὁ πατὴρ αὐτοῦ φιλεῖ ὑπὲρ τοὺς ἄλλους υἱοὺς αὐτοῦ, ἐμίσησαν αὐτόν, καὶ οὐκ ἠδύναντο λαλεῖν αὐτῷ οὐδὲν εἰρηνικόν. οὔτε γὰρ τὸ ὑπὸ τοῖς ἐμπόροις γενέσθαι, οὔτε τὸ ὑπὸ τῷ σπάδοντι τοσοῦτον εἶναι φαίην ἂν κακόν· πολὺ γὰρ αὐτῷ φιλανθρωπότερον ἐχρήσαντο οὗτοι τῶν ἀδελφῶν. ἀλλ' ὅμως οὐδὲ οὕτως ἡμερώτερος γέγονε τῶν συμφορῶν ὁ χειμών. σφοδροτέρα γὰρ ἐμπεσοῦσα καταιγὶς πάλιν αὐτὸν κατέδυσε. τάχα μέν τις οἴεται τὴν ἐπιβουλὴν τῆς δεσποίνης ἐρεῖν· ἐγὼ δὲ παρὰ ταύτης χαλεπωτέραν ἄλλην ἐρῶ. δεινὸν μὲν γὰρ ἀληθῶς, δεινὸν καὶ τὸ συκοφαντηθῆναι ἐπὶ τοιούτοις, καὶ τὸ κατακριθῆναι, καὶ τὸ δεσμωτήριον οἰκῆσαι χρόνον οὕτω μακρόν, παῖδα ἐλεύθερον καὶ εὐγενῆ καὶ ταύτης ἄπειρον τῆς ἀνάγκης· πολὺ δὲ τούτων ἁπάντων βαρύτερον, τὸν ἀπὸ τῆς ἡλικίας χειμῶνα [οἶμαι] γεγενῆσθαι αὐτῷ. εἰ μὲν γὰρ ὑπὸ μηδεμιᾶς ἐπιθυμίας ἐνοχλούμενος διέπτυσε τὸν ἐκείνης ἔρωτα, οὐ σφόδρα ἐπαινῶ, οὐδὲ θαυμάζω ἐγὼ τὸν ἄνδρα πειθόμενος τῷ Χριστῷ. οὐδὲ γὰρ τοὺς ὑπὸ τῆς φύσεως εὐνουχισθέντας, ἀλλὰ τοὺς ἑαυτοὺς εὐνουχίσαντας ἀξιοῦσθαί φησι τῆς βασιλείας τῶν οὐρανῶν. εἰ δὲ μὴ τοῦτο ἦν, ποίαν ἂν ἤρατο νίκην; κατὰ τίνος στέφανον ἀνεδήσατο; τίνα καταγωνισάμενος ἀνεκηρύττετο, οὐδενὸς ὄντος τοῦ προσπαλαίοντος αὐτῷ καὶ ἐπιχειροῦντος καταβαλεῖν; οὐδὲ γὰρ τοὺς ἀλόγους μὴ μιγνυμένους εἰς σωφροσύνης ἐπαινοῦμεν λόγον, διὰ τὸ μηδὲ ἐγκεῖσθαι τῇ φύσει τῆς μίξεως τὴν ἐπιθυμίαν ἐκείνης. εἰ τοίνυν μηδὲ τῷ μακαρίῳ τότε ἐκείνῳ τοῦτο ἠνώχλει τὸ πῦρ, τίνος ἕνεκεν ἐπὶ σωφροσύνην αὐτὸν θαυμάζομεν; εἰ δὲ ὅτε πάντων τῶν καιρῶν ἡ φλὸξ σφοδρότερον αἴρεται (εἰκοστὸν γὰρ λοιπὸν ἔτος ἦγε) καὶ ὅτι ἀνυπόιστός ἐστιν ἡ τυραννὶς καὶ μηδενὸς αὐτὴν αὔξοντος, τότε ἡ ἀκόλαστος ἐπέθετο τῷ μειρακίῳ, τοσαύτην ἀπὸ τῶν αὐτῆς μαγγανευμάτων καὶ καλλωπισμάτων προσθεῖσα τῇ φλογὶ τὴν ἰσχύν, ὅσην ἀπὸ τῆς φύσεως εἶχε, πῶς ἄν τις τὸν χειμῶνα διηγήσαιτο τῆς ψυχῆς καὶ τὸν θόρυβον καὶ τὴν ἀγωνίαν, τῆς φύσεως καὶ τῆς ἡλικίας ἔνδοθεν ταραττούσης αὐτόν, καὶ τῶν παρὰ τῆς Αἰγυπτίας μηχανημάτων ἔξωθεν προσβαλλόντων, καὶ ταῦτα οὐ μέχρι μιᾶς ἡμέρας, οὐδὲ δευτέρας, ἀλλ' ἐπὶ χρόνον πολύν; ἐγὼ γὰρ αὐτὸν οὐχ ὑπὲρ ἑαυτοῦ τρέμειν οἴομαι τότε μόνον, ἀλλὰ καὶ ὑπὲρ ἐκείνης ἀλγεῖν πρὸς τοσοῦτον κρημνὸν ἐπειγομένης ἐλθεῖν. καὶ τοῦτο, ἐξ ὧν μετὰ πολλῆς ἐπιεικείας ἀποκρίνεται πρὸς αὐτήν, δῆλον ἡμῖν. καὶ γὰρ ἐνῆν, εἴπερ ἐβούλετο, καὶ ὑβριστικώτερον καὶ θρασύτερον

Ματθ. 19. 12.

σύ περὶ διαλεχθῆναι πρὸς αὐτήν (ἐπεὶ γὰρ ἂν εὐκόλως πάντα ἤνεγκεν ἐκείνη διὰ τὸν ἔρωτα) ἀλλ' οὐδὲν τοιοῦτον οὔτε ἐφθέγξατο, οὔτε ἐνενόησεν· ἀλλὰ λογισμοὺς ἀνακινήσας εὐσεβεῖς, καὶ δι' ὧν ᾤετο μόνον ἀνατρέψειν αὐτήν, οὐδὲν πλέον προσέθηκεν. Γεν. λθ. η. Ἰδοὺ γάρ, φησιν, ὁ κύριός μου οὐ γινώσκει δι' ἐμὲ οὐδὲν τῶν ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ πάντα ὅσα ἐστὶν αὐτῷ δέδωκεν εἰς χεῖράς μου, καὶ οὐχ ὑπερέχει ἐν τῇ οἰκίᾳ ταύτῃ οὐδὲν ἐμοῦ, οὐδὲ ὑπεξῄρηται ἀπ' ἐμοῦ οὐδέν, πλὴν σοῦ, διὰ τὸ σὲ γυναῖκα αὐτοῦ εἶναι. καὶ πῶς ποιήσω τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο, καὶ ἁμαρτήσομαι ἐνώπιον τοῦ Θεοῦ; καὶ μετὰ τὴν τοσαύτην ἐπιείκειαν καὶ τὴν τῆς σωφροσύνης ἐπίδειξιν ἐσυκοφαντήθη, καὶ συνεχώρησεν ὁ Θεός· ἐδέθη, καὶ οὐδὲ οὕτως ἤλεγξε τὴν ἐπιβουλὴν καὶ τὴν ἄδικον διαβολὴν τῆς γυναικός. ἐβούλετο γὰρ καὶ πολλοὺς αὐτοῦ τοὺς μισθούς, καὶ λαμπροτέρους γενέσθαι τοὺς στεφάνους· καὶ διὰ τοῦτο καὶ τῶν δούλων τοῦ βασιλέως ἀφεθέντων, αὐτὸς ἔμεινεν ἔνδον ἔτι. σὺ δέ μοι μὴ τὴν φιλανθρωπίαν τοῦ δεσμοφύλακος εἴπῃς, ἀλλ' ἐξέτασον αὐτοῦ τὰ ῥήματα, καὶ ὄψει τὴν ὀδύνην τῆς ψυχῆς. μετὰ γὰρ τὸ ἐπιλῦσαι τὸ Γεν. μ. ιδ. ὄναρ ἔλεγε πρὸς τὸν οἰνοχόον· Ἀλλὰ μνήσθητί μου διὰ σεαυτοῦ, ὅταν εὖ σοι γένηται· καὶ ποιήσῃς εἰς ἐμὲ ἔλεος, καὶ μνησθήσῃ περὶ ἐμοῦ πρὸς Φαραώ, καὶ ἐξάξεις με ἐκ τοῦ ὀχυρώματος τούτου· ὅτι κλοπῇ ἐκλάπην ἐκ γῆς Ἑβραίων, καὶ ὧδε οὐκ ἐποίησα οὐδέν, ἀλλ' ἐνέβαλόν με εἰς τὸν οἶκον τοῦ λάκκου τούτου. εἰ γὰρ καὶ τὸ καθεῖρχθαι ἔφερεν εὐκόλως, τὸ γοῦν τοιούτοις συζῆν ἀνδράσι, τυμβωρύχοις, κλέπταις, πατραλοίαις, μοιχοῖς, ἀνδροφόνοις (τούτων γὰρ ἁπάντων καὶ τῶν τοιούτων τὸ οἴκημα τοῦτο ἐμπέπληστο) πάντων αὐτῷ βαρύτερον ἦν. καὶ οὐ τοῦτο μόνον αὐτὸν ἐλύπει καὶ ἔθλιβεν, ἀλλὰ καὶ τὸ πολλοὺς ὁρᾶν εἰκῇ καὶ μάτην ταριχευομένους ἐκεῖ. ἀλλ' ὅμως ὁ μὲν οἰκέτης, ὅπερ ἀποδύρῃ, καὶ ὅπερ ἀπόκεισαι σὺ νῦν, ἀπηλλάττετο τῶν δεσμῶν· ὁ δὲ ἐλεύθερος ἔμεινε ταλαιπωρούμενος ἔτι. Εἰ δὲ τὴν βασιλείαν λέγοι τις, πάλιν μοι τὸν ἑσμὸν τῶν φροντίδων καὶ τῆς ἀγρυπνίας καὶ τῶν μυρίων πραγμάτων ἐρεῖ· ἅπερ ἅπαντα τοῖς τὸν ἡσύχιον καὶ ἀπράγμονα βίον ἀσπαζομένοις οὐ σφόδρα ἐστὶ καθ' ἡδονήν. χωρὶς δὲ τούτων, ἐκείνοις μὲν εἰ καί τι χρηστὸν ἐγίνετο, ἀλλ' οὔπω τῆς βασιλείας τετρανωμένης, οὐδὲ τῆς τῶν μελλόντων ἐπαγγελίας οὔσης φανερᾶς· ἐνταῦθα δέ, ἔνθα τοσαῦτα πρόκειται ἀγαθά, καὶ πᾶσι τὸ πρᾶγμα δῆλόν ἐστιν, ἀλγήσει τις, εἰπέ μοι, εἰ καὶ μηδενὸς κατὰ τὸν παρόντα βίον ἀπολαύσεται χρηστοῦ, ὅλως δὲ χρηστὸν ἡγήσαιτό τι τῶν ἐνθάδε γινομένων ἐκεῖνα εἰδώς; καὶ τί ταύτης ταπεινότερον ἂν γένοιτο τῆς ψυχῆς, εἰ προσδοκῶσα μικρὸν ὕστερον μεταστήσεσθαι πρὸς τὸν οὐρανόν, τὰς ἐνταῦθα ἀνέσεις ἐπιζητοίη, καὶ Εκκλησ. α. β. τὴν σκιᾶς οὐδὲν διαφέρουσαν εὐθυμίαν, Ματαιότης γάρ, φησι, ματαιοτήτων, τὰ πάντα ματαιότης. Εἰ δὲ ὁ μάλιστα πάντων ἀνθρώπων πεῖραν τῆς τοῦ βίου λαβὼν ἡδονῆς, τοιαύτην ἐξήνεγκε καὶ αὐτῆς τὴν ἀπόφασιν, πολλῷ μᾶλλον ἡμᾶς οὕτω διακεῖσθαι καὶ φρονεῖν χρή, τοὺς οὐδὲν μὲν κοινὸν πρὸς τὴν γῆν ἔχοντας, εἰς δὲ τὴν ἄνω πόλιν ἐγγραφέντας, καὶ πάντα μετοικῆσαι τὸν νοῦν κελευσθέντας ἐκεῖ.

ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ ΣΤΑΓΕΙΡΙΟΝ. Λογ. γ.

ΙΚανὰ μὲν οὖν καὶ τὰ εἰρημένα σβέσαι τῆς ἀθυμίας τὴν φλόγα, καὶ πεῖσαι ῥᾷον διακεῖσθαι τὴν ψυχήν· ὥστε δὲ ἐκ περιουσίας γενέσθαι τὴν παραμυθίαν, καὶ τοῦτον ἔγνωκά σοι προσθεῖναι τὸν λόγον, ἐκεῖνό σε πρότερον ἐρόμενος. Εἰπὲ γάρ μοι, εἴ τίς σε εἰς βασιλείαν ἐκάλει τὴν ἐν τῇ γῇ, εἶτα πρὶν εἰς τὴν πόλιν εἰσελθεῖν, ἐν ᾗ τὸν στέφανον ἀναδήσασθαι ἔμελλες, ἐν πανδοχείῳ καταλῦσαι ἐχρῆν, ἐν ᾧ καὶ βόρβορος, καὶ καπνός, καὶ ὁδοιπόρων θόρυβος, καὶ λῃστῶν ταραχή, καὶ στενοχωρία καὶ θλῖψις πολλή, ἆρα ἂν ἐπεστράφης πρὸς ἐκεῖνα τὰ λυπηρὰ, ἀλλ' οὐκ ἂν ἁπάντων αὐτῶν ὡς οὐδὲν ὄντων καταφρόνησας; πῶς οὖν οὐκ ἄτοπον τῆς μὲν γῆς μέλλοντα κρατεῖν, μηδενὶ τῶν ἐμπιπτόντων συστέλλεσθαι δυσχερῶν, ταῖς τῆς βασιλείας ἐλπίσι γαυρούμενον, πρὸς δὲ τοὺς οὐρανοὺς στελλόμενον καταπίπτειν καὶ θορυβεῖσθαι ἐφ' ἑκάστῳ τῶν ἐν τῷ καταγωγίῳ τούτῳ συμβαινόντων ἡμῖν ″ λυπηρῶν; καταγωγίου γὰρ καὶ τῆς ἐν τῷ πανδοχείῳ μονῆς οὐδὲν αὕτη ἡ τοῦ βίου τούτου κατάστασις διενήνοχε. καὶ τοῦτο οἱ ἅγιοι δεῖξαι βουλόμενοι, ξένους καὶ παρεπιδήμους ἐκάλουν ἑαυτοὺς, διὰ τούτων παιδεύοντες ἡμᾶς τῶν ῥημάτων, καὶ τῶν χρηστῶν καὶ τῶν ἀνιαρῶν τῶν ἐν τῷ παρόντι βίῳ καταγελᾶν, καὶ τῆς γῆς ἀπαλλαγέντας, ὅλην προσδῆσαι τῷ οὐρανῷ τὴν ψυχήν. φέρε οὖν ἐπ' αὐτοὺς τοὺς ἁγίους ἔλθωμεν, ἀπὸ τοῦ Ἰωσὴφ ἐπὶ τὸν Μωϋσέα μεταθέντες τὸν λόγον. οὗτος γὰρ, ὁ πάντων πραότατος τῶν ἐπὶ τῆς γῆς, ἤκλεται μὲν τῶν οἰκείων πραττόντων κακῶς, ἀλλοτριωθεὶς δὲ τῶν τεκόντων αὐτὸν, καὶ τοὺς γεννησαμένους ἀγνοήσας, πᾶσαν τὴν πρώτην ἡλικίαν ὑπὸ βαρβάρων ἀνδρῶν ἀνατρέφεται· οὗ τί γένοιτ' ἂν χαλεπώτερον Ἑβραίῳ μειρακίῳ καὶ *νοῦν ἔχοντι, κἂν μυριάκις εἶναι δοκῇ βασιλέως υἱός; τότε δὲ οὐ μόνον τοῦτο ἦν τὸ δεινὸν, ἀλλ' ὅτι καὶ τὸ ὁμόφυλον ἅπαν ἐν ταῖς ἐσχάταις ἑώρα συμφοραῖς. ὁ ″ γὰρ μηδὲ ζῆν ἀνεχόμενος, μηδὲ ἐν τῇ βίβλῳ γεγράφθαι τοῦ Θεοῦ τῆς σωτηρίας τῆς ἐκείνων χωρὶς, πῶς ἂν τῶν ἐν τοῖς βασιλείοις ἀπήλαυσε καλῶν, ἐν τοσούτῳ κλύδωνι κειμένους πάντας ὁρῶν; εἰ γὰρ ἡμᾶς τοὺς μετὰ τοσοῦτον χρόνον γεγενημένους, καὶ οὐδὲν τοιοῦτον δικαίωμα συμπαθείας πρὸς Ἰουδαίους ἔχοντας, τοσοῦτος ἔλεος εἰσέρχεται τῆς παιδοκτονίας ἐκείνης, τί οὐκ ἂν ὁ μακάριος ἐκεῖνος ἔπαθε, πολλῷ μὲν τῷ πόθῳ πρὸς πᾶν τὸ ἔθνος συνδεδεμένος, ὄψεσι δὲ τὰς ἐκείνων παραλαμβάνων συμφορὰς, καὶ τοὺς ταῦτα ἐργαζομένους τὰ κακὰ γονεῦσι ἐπιγράφεσθαι ἀναγκαζόμενος; ἐγὼ γὰρ αὐτὸν καὶ τῶν τεκόντων μᾶλλον τοὺς ἀθλίους παῖδας ἐκείνους οἶμαι τότε πενθεῖν. καὶ τοῦτο δῆλον ἐξ ὧν μετὰ ταῦτα ἔπραξεν. ἐπειδὴ γὰρ οὔτε πείθειν εἶχεν, οὔτε ἀναγκάζειν ἠδύνατο τὸν δοκοῦντα εἶναι πατέρα καταλύειν τὸ θηριῶδες καὶ τυραννικὸν ἐπίταγμα, αὐτὸς ὁμόσε λοιπὸν τοῖς ἐκείνων ἐχώρει κακοῖς. καὶ οὐ τοῦτο θαυμάζω τοσοῦτον νῦν, ἀλλ' ἀπὸ τοῦ φόνου στοχαζόμενος, ὅσην ἐν τῷ παρελθόντι χρόνῳ φλόγα ἀθυμίας ἔτρεφε, ταύτῃ μᾶλλον ἐκπλήττομαι. ὁ γὰρ εἰς φόνον ἀπορρήξας τὴν ὠδῖνα ἐκείνην, ἐδήλωσε διὰ τῶν ἐσχάτων τὰ πρότερα. οὐ γὰρ ἂν μετὰ τοσαύτης ἀδείας σφοδρότητος ἤμυνεν, εἰ μὴ τῶν πατέρων μᾶλλον τοῖς ἐκείνων ἐτήκετο κακοῖς. τί οὖν; ἐπειδὴ ἤμυνε, καὶ τὴν ψυχὴν ἀνέπαυσε μικρὸν ἀπὸ τῆς ἀθυμίας ἐκείνης, ἆρα ἠδυνήθη ″ τέλεον ἀπολαῦσαι τῆς παραμυθίας τῆς ἀπὸ τῆς ἐκδικήσεως γεγενημένης; οὐδαμῶς. δευτέρα μὲν οὖν οὐκ ἔφθασεν ἡμέρα, καὶ τῆς προτέρας ἑτέρα χαλεπωτέρα διεδέχετο τὸν μακάριον ἐκεῖνον ὀδύνη καὶ φόβος τοσοῦτος, ὡς καὶ ἀπελάσαι τῆς Αἰγύπτου πάσης αὐτόν. δεινὸν μὲν οὖν ἐστι τὸ ὑφ' οὑτινοσοῦν ἀκούειν κακῶς· ὅταν δὲ καὶ τῶν εὐεργετηθέντων τις ὁ τοῦτο ποιῶν ᾖ, καὶ τὰς εἰς αὐτὸν εὐεργεσίας ὀνειδίζῃ καὶ προφέρῃ (Μὴ ἀνελεῖν με γὰρ, φησι, θέλεις, ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον;) τότε δὴ, τότε ἡ ὕβρις ἀφόρητος γίνεται, καὶ δύναιτ' ἂν καὶ ἀποπνῖξαι τὸν ὑβριζόμενον. τοσοῦτον μετὰ τῆς ἀθυμίας ἐπάγει καὶ τὸν θυμόν. ἐπὶ δὲ τοῦ Μωϋσέως καὶ τρίτον ἕτερον τούτοις προσῆν, ὁ τοῦ βασιλέως φόβος· ὃς οὕτως ἐκράτησε τῆς τοῦ δικαίου ψυχῆς, ὡς καὶ τῆς χώρας αὐτὸν ἁπάσης ἐκβαλεῖν. γέγονε δὴ οὖν φυγὰς ὁ τοῦ βασιλέως υἱός. ὥστε εἴ τις αὐτὸν μακαρίζει διὰ τὴν ἐν τοῖς βασιλείοις ἀνατροφὴν, νῦν μνημονευέτω τῆς ἀφθονίας ἐκείνης, καὶ ″ μυρίας αὐτὴν ὄψεται ″ δυσκολίας καὶ ἀθυμίας ὑπόθεσιν τῷ δικαίῳ γεγενημένην. οὐ γὰρ ἔστιν ἴσον ἐν ἰδιωτικῇ τραφέντα οἰκίᾳ, καὶ πολλοῖς μὲν μόχθοις, πολλαῖς δὲ ἀποδημίαις καὶ ταλαιπωρίαις ὑπομείναντα, ″ πλάνους ἀνέχεσθαι ″ μακροὺς, καὶ τὰ τῆς ἀλλοτρίας ὑπομένειν κακὰ, καὶ μηδὲ εἰς βραχεῖαν πεῖραν τούτων ἐλθόντα ποτὲ, ἀλλ' ἐν πολυτελείᾳ αὐτὸν τὸν ἅπαντα διατελέσαντα χρόνον, τὸ αὐτὸ δὴ τοῦτο παθεῖν. πολλῷ γὰρ οὗτος ἐκείνου χαλεπωτέρας αἰσθήσεται τῆς φυγῆς, εἰ πο-

Ἐξοδ. β. ιδ.

τι εἰς ταύτην καταστῆναι συμβαίη τὴν ἀνάγκην αὐτὸν, ὃ δὴ κἀκείνῳ τότε συνέβαινε. καὶ γενόμενος φυγὰς κατάγεται μὲν παρὰ ἀνδρὶ εἰδωλολάτρῃ καὶ ἀλλοφύλῳ. καὶ τοῦτο δὲ εἰς ἀθυμίας λόγον οὐ μικρὸν, ξενίζεσθαι παρὰ τῷ δαιμονίοις ἱερωμένῳ χρόνον οὕτω μακρόν. ἐγχειρισθεὶς δὲ τὴν τῶν ποιμνίων ἐπιμέλειαν τῶν ἐκείνου, οὕτω τὰ τεσσαράκοντα ἔτη διετέλεσεν.

Εἰ δέ τινι τοῦτο μηδὲν εἶναι δοκεῖ δεινὸν, ἐξετάσωμεν τοὺς μὴ διὰ φόβον καὶ δέος ἀποδημοῦντας καὶ κρυπτομένους, ἀλλὰ τοὺς ἑκόντι μικρὸν τῆς οἰκίας ἀποσπωμένους, πῶς ἀλύουσι, πῶς δυσχεραίνουσι, πόσον ἀγαθὸν τὴν ἐπάνοδον ἡγοῦνται. ὅταν δὲ καὶ φόβος προσῇ καὶ βίος ταλαίπωρος, καὶ τὰ φορτικὰ ταῦτα καὶ ἐπαχθῆ τῆς ἡδίστης ἐπανόδου κουφότερα φαίνηται, θέα μοι τὸ ποικίλον τῆς συμφορᾶς. μὴ γὰρ ἁπλῶς ἀκούσῃς τὸ, ἐποίμαινεν, ἀλλὰ ἀνα- Γεν. λα. λθ. μνήσθητι νῦν τῶν ῥημάτων τοῦ Ἰακὼβ, ὧν πρὸς τὸν κηδεστὴν ἀπωδύρετο λέγων, Ἐγὼ ἀπετίννυον παρ' ἐμαυτοῦ κλέμματα ἡμέρας, καὶ κλέμματα νυκτός· ἐγενόμην τῆς ἡμέρας συγκαιόμενος τῷ καύματι καὶ τῷ παγετῷ τῆς νυκτὸς, καὶ ἀφίστατο ὁ ὕπνος ἀπὸ τῶν ὀφθαλμῶν μου. ταῦτα γὰρ ἅπαντα καὶ τούτῳ συμβαίνειν εἰκὸς ἦν, καὶ ἐπὶ πλείοσιν ἔτεσι, καὶ μετὰ μείζονος τῆς σφοδρότητος, ὅσῳ καὶ ἡ χώρα τῆς χώρας ἐρημοτέρα. εἰ δὲ μὴ ἀπωδύρατο ταῦτα ὁ Μωϋσῆς*. οὐδὲ γὰρ ὁ μακάριος ἐκεῖνος εἶπεν ἂν, εἰ μὴ εἰς πολλὴν τοῦ πράγματος κατέστη τὴν ἀνάγκην, καὶ ὑπὸ τῆς ἀγνωμοσύνης τοῦ κηδεστοῦ εἰς ταῦτα ἐλθεῖν ἐβιάσθη τὰ ῥήματα. ἱκανὴ μὲν οὖν καὶ αὐτὴ καθ' ἑαυτὴν ἡ ἀλλοτρία ταπεινῶσαι τὸν ἄνδρα, τὸν καὶ χρεί- Παροιμ. κζ. η. ας ἕνεκεν ἀποδημοῦντα μόνον. Ὡς γὰρ ἂν ὄρνεον, φησὶν, ἐκπετασθῇ ἐκ τῆς νοσσιᾶς αὐτοῦ, οὕτως ἄνθρωπος δουλοῦται, ὅταν ἀποξενωθῇ ἀπὸ τῶν ἰδίων τόπων. τότε δὲ πρὸς τούτῳ οὐδὲ ὑπὲρ τῆς ἰδίας ζωῆς εἶχε θαρρεῖν· ἀλλ' ὥσπερ τις οἰκέτης ὠμὸν δεσπότην ἀποδρὰς, τρέμει διαπαντὸς καὶ δέδοικε μὴ ἁλῷ, οὕτω καὶ ὁ μακάριος Μωϋσῆς φόβῳ συνέζη διηνεκεῖ. καὶ δῆλον ἐξ ὧν καὶ τοῦ Θεοῦ μετὰ τοσοῦτον χρόνον κελεύοντος ἀπελθεῖν, ἀναδύεται καὶ ὀκνεῖ, καὶ ταῦτα, ἀκούσας ὅτι ὁ ζητῶν τὴν ψυχὴν αὐτοῦ τετελεύτηκεν. ἐπειδὴ δέ ποτε ἐπείσθη καὶ ἀπῆλθε καὶ τὴν γυναῖκα καὶ τοὺς παῖδας ἠναγκάσθη καταλιπεῖν, πάλιν μέμψεις καὶ ὕβρεις καὶ ἀπειλαὶ παρὰ τοῦ κρατοῦντος τῆς Αἰγύπτου τότε, καὶ κατηγορίαι δὲ καὶ ἀραὶ Ἐξοδ. ε. δ. παρὰ τῶν εὐεργετουμένων αὐτῶν. ὁ μὲν γὰρ ἔλεγεν, Ἵνα τί, Μωϋσῆ καὶ Ἀαρὼν, διαστρέφετε τὸν λαὸν ἀπὸ τῶν ἔργων αὐτῶν; ἀπέλθετε ἕκαστος ὑμῶν πρὸς τὰ ἔργα αὐτοῦ. οἱ δὲ Ἰσραηλῖται, Ἐξοδ. ε. κα. Ἴδοι, φασὶν, ὁ Θεὸς ὑμᾶς, καὶ κρίναι, ὅτι ἐβδελύξατε τὴν ὀσμὴν ἡμῶν ἐνώπιον Φαραὼ καὶ ἐνώπιον τῶν θεραπόντων αὐτοῦ, δοῦναι ῥομφαίαν εἰς τὰς χεῖρας αὐτῶν ἀποκτεῖναι ἡμᾶς. λυπηρὰ μὲν οὖν ταῦτα καὶ ἐπαχθῆ· τὸ δὲ πάντων φορτικώτερον ἐκεῖνο ἦν, ὅτι εἰσελθὼν καὶ μυρία ἐπαγγειλάμενος ἀγαθὰ, ἐλευθερίαν, ἀπαλλαγὴν τῶν ἐπικειμένων κακῶν, ἔδοξεν εἶναι ἀπατεών. οὐ γὰρ μόνον αὐτοῖς οὐκ ἐπεκουφίσθη τὸ τῆς ἐπικειμένης δουλείας βάρος, ἀλλὰ καὶ πρὸς τὸ χαλεπώτερον ἐπετείνετο· καὶ ὁ προσδοκηθεὶς ἐλευθερωτὴς ἔσεσθαι τοῦ παντὸς ἔθνους, καὶ τοῦτο ἐπαγγειλάμενος, τῶν στρεβλώσεων καὶ τῶν μαστίγων αἴτιος ἔδοξεν εἶναι, καὶ ἐπίβουλος, καὶ λυμεών. τίς οὐκ ἂν ὑπὸ τοσαύτης ἀθυμίας κατεπόθη ῥᾳδίως, ὑποσχόμενος μὲν λύσιν τῶν τοσούτων κακῶν, μετὰ δὲ τὴν ὑπόσχεσιν προσθήκην ἑτέρων χαλεπωτέρων ὁρῶν; ἠθύμει μὲν οὖν, ὡς ἀθυμεῖν εἰκὸς τὸν ταῦτα ἀκούοντα καὶ ὁρῶντα· οὐ μετετρέπετο δὲ ὑπὸ τοῦ πάθους, ἀλλ' ἔμενεν ἀκλινὴς, καίτοι ταῖς ἐπαγγελίαις τῶν γινομένων οὐ συμβαινόντων, ἀλλὰ καὶ μαχομένων. προσελθὼν δὲ τῷ Θεῷ, καὶ διαλεχθεὶς ὑπὲρ τούτων, καὶ Ἐξοδ. ε. κβ. ἀποδυράμενος πολλὰ, Εἶπε γὰρ, φησὶ, Κύριε, διὰ τί ἐκάκωσας τὸν λαόν σου; καὶ ἵνα τί ἀπέσταλκας ἡμᾶς; καὶ ἀφ' οὗ εἰσπεπόρευμαι πρὸς Φαραὼ λαλῆσαι ἐπὶ τῷ σῷ ὀνόματι, ἐκάκωσε τὸν λαὸν τοῦτον, καὶ οὐκ ἐρρύσω αὐτούς. ταῦτα δὴ οὖν θρηνήσας, καὶ τὰ αὐτὰ πάλιν ἀκούσας, ἅπερ καὶ πρότερον, ἀπαγγέλλει μὲν αὐτὰ τοῖς Ἰσραηλίταις πάλιν, οὐ παραδέ-

χονται

ζοιται δὲ ἐκεῖνοι πρὸ τοῦ κρατεῖσθαι τὰς ψυχὰς ὑπὸ τοῦ κόματος καὶ τῆς ἀθυμίας αὐτοῖς. οὐκ ἤκουσαν γὰρ Μωϋσῆν ἀπὸ τῆς ἀθυμίας καὶ ἀπὸ τῶν ἔργων τῶν σκληρῶν. καὶ τοῦτο δὲ οὐχ ὡς ἔτυχεν αὐτὸν ἔθλιβεν. ὡς δὲ ἐπὶ τῶν σημείων ἐγίνετο, καὶ πολλάκις ὑπὸ τοῦ Φαραὼ διαπαιχθεὶς, ἤνεγκε καὶ ταύτην γενναίως τὴν χλευασίαν, ἀπαλλαγεὶς τῆς Αἰγύπτου καὶ θαῤῥήσας μετὰ τῶν Ἰουδαίων λοιπὸν, πρὶν ἀναπνεῦσαι τέλεον, τῷ προτέρῳ, μᾶλλον δὲ καὶ πολλῷ μείζονι τοῦ προτέρου κατελαμβάνετο φόβῳ. οὔπω γὰρ ὅλαι τρεῖς ἡμέραι, καὶ τοὺς βαρβάρους ἀπαντῶντας μετὰ τῶν ὅπλων εἶδον πλησίον ἑστῶτας αὐτῶν. καὶ ταὐτὸν ἔπαθον, οἷον εἰ δραπέται τινὲς ἐπὶ τῆς ἀλλοτρίας ἄφνω τοῖς τῶν δεσποτῶν ἐμπεσόντες ὀφθαλμοῖς, ἢ εἰ καθάπερ αὐτοὶ δὴ οὗτοι, εἴ ποτε συμβαίη, χρηστοῖς ὀνείρασιν ἐντρυφήσαντες, καὶ ταύτην φαντασθέντες τὴν ἀπαλλαγὴν, εἶτα διεγερθέντες εὕροιεν ἑαυτοὺς ἐν Αἰγύπτῳ πάλιν, καὶ τοῖς ὁμοίοις κακοῖς. μᾶλλον δὲ οὐκ οἶδα τί ἄν τις αὐτοὺς φαίη νομίζειν ὄναρ, τὰς τρεῖς ἡμέρας τῆς ἀπαλλαγῆς, ἢ τὴν προσιοῦσαν ὄψιν ἐκείνην τὴν φρικώδη καὶ φοβεράν. τοσαύτη κατεσκεδάσθη τοῖς ἁπάντων ὀφθαλμοῖς ἀθυμίας ἀχλύς· ὁ δὲ Μωϋσῆς καὶ μείζονι σκότῳ συνεχόμενος ἦν. οὐ γὰρ τοὺς Αἰγυπτίους ἐδεδοίκει μόνον, καθάπερ καὶ οἱ λοιποὶ Ἰσραηλῖται, ἀλλὰ καὶ τούτους μετ' ἐκείνων. ἀμφότεροι γὰρ ὡς ἀπατεῶνι καὶ εἴρωνι προσεῖχον λοιπόν· οἱ μὲν μετὰ τοῦ καταγελᾶν καὶ ἐπεμβαίνειν, οἱ δὲ μετὰ τοῦ δακρύεσθαι καὶ ἀθυμεῖν.

Ἀλλὰ τί χρὴ τούτοις τεκμαίρεσθαι τὴν ἀθυμίαν τἀνδρὸς, παρὸν ἐκ τῆς ἄνωθεν ἐνεχθείσης φωνῆς πᾶσαν αὐτοῦ τὴν ὀδύνην καταμαθεῖν; σιγῶντι γὰρ καὶ μηδὲ διᾶραι τολμῶντι τὰ χείλη φησὶν ὁ Θεός, Τί βοᾷς πρός με, τὸν θόρυβον τῆς ψυχῆς αὐτοῦ δι' ἑνὸς τούτου τοῦ ῥήματος ἐμφαίνων ἡμῖν. ἐπειδὴ δὲ καὶ τοῦτο ἐλύθη τὸ δέος, μείζονα πάλιν ἤρετο τὰ δεινά. καὶ γὰρ καὶ τῶν Αἰγυπτίων καὶ τοῦ Φαραὼ χαλεπώτεροι αὐτῷ δι' ὅλης ἐκέχρηντο τῆς ὁδοῦ οἱ παρ' αὐτοῦ δημαγωγούμενοι, καὶ δι' αὐτοῦ μυρίων ἀπολαύσαντες ἀγαθῶν. καὶ πρότερον μὲν ἐπέκειντο σφοδρῶς ἄγχοντες, καὶ κρέα ἀπαιτοῦντες αὐτὸν τὰ ἐν Αἰγύπτῳ, καὶ τοῖς μὲν προσοῦσιν ἀχαριστοῦντες, τὰ δὲ περιττὰ ἐπιζητοῦντες, ὃ πάντων βαρύτερον ἦν. τί γὰρ ἂν χαλεπώτερον ἔπαθεν, εἰ παραπαιόντων καὶ μαινομένων ἀνδρῶν ἐπετέτραπτο στρατηγεῖν; ἀλλ' ὅμως ταῦτα πάντα γενναίως ἔφερεν ὁ μακάριος ἐκεῖνος ἀνήρ. καὶ εἰ μὲν μὴ φιλοστόργως εἶχε πρὸς αὐτοὺς, φορητὸν ἂν ἦν τὸ δεινὸν, καὶ ὑπὲρ τῶν εἰς αὐτὸν γινομένων μόνον παρεῖχεν ἀλγεῖν· νυνὶ δὲ τῶν γονέων μᾶλλον περὶ αὐτοὺς διατεθεὶς, ἀπὸ τῆς κηδεμονίας ταύτης καὶ ἑτέραν εἶχεν ἀθυμίας ἀνάγκην, τὴν ὑπὲρ τῆς ἐκείνων διαστροφῆς καὶ μιαρίας. οὐδὲ γὰρ οὕτως ἔδακνεν αὐτὸν τὸ ὑβρίζεσθαι, ὡς τὸ ἐκείνους εἶναι τοὺς ὑβρίσαντας. δεινὸν μὲν οὖν καὶ τὸ περὶ τῆς χορηγίας τῆς παραδόξου τροφῆς ἐκείνης ἀχαριστεῖν· οἱ δὲ καὶ ἐν μέσοις τοῖς θαύμασι τὴν κακίαν ἐπεδείκνυντο τὴν αὐτῶν, καὶ τὴν παρανομίαν, καὶ τὴν πλεονεξίαν τὴν περὶ τὴν συλλογήν. καὶ μικρὸν προελθόντες πάλιν ἐγόγγυζον, πάλιν ἐμέμφοντο τὴν εὐεργεσίαν τοῦ Θεοῦ. καθ' ἑκάστου δὲ τούτων μᾶλλον τῶν ἁμαρτανόντων ὁ μακάριος ἐκεῖνος ἐκόπτετο καὶ ἠθύμει. καὶ γὰρ ὅτε τὸν μόσχον εἰργάσαντο, αὐτοὶ μὲν ἔπαιζον καὶ ἐτρύφων, ὁ δὲ πενθῶν καὶ ἀνιώμενος καὶ καταρώμενος ἑαυτῷ τὴν χαλεπὴν ἐκείνην ἀρὰν Μωϋσῆς ἦν· καὶ οὐδὲν αὐτὸν ὅλως ἔπειθεν ἀποστῆναι τῆς συμπαθείας τῆς πρὸς αὐτούς. τοὺς δὲ οὕτως ὑπ' αὐτοῦ ποθουμένους ἐπὶ τὸ χεῖρον ἀεὶ προβαίνοντας ὁρῶν, πόσῃ μὲν λύπῃ, πόσοις δὲ ἄρα συνεστρέφετο δάκρυσιν; εἰ γὰρ ἕνα τις υἱὸν ἔχων οὐκ ἂν δύναιτο ζῆν, εἴ ποτε αἴσθοιτο πρὸς κακίαν αὐτὸν ἀποκλίναντα, καὶ εἰ πάντων αὐτὸς πονηρότερος ὢν τύχῃ, τὸν μυριάδας τοσαύτας ἐν τάξει παίδων κεκτημένον, μᾶλλον δὲ καὶ ὑπὲρ παῖδας φιλοῦντα (οὐδεὶς γὰρ ἂν ηὔξατο πατὴρ συναπολέσθαι παιδὶ μηδὲν ἡμαρτηκὼς, καθάπερ ἐκεῖνος) τὸν δὴ οὕτω παῖδας κεκτημένον τοσούτους, μισοπόνηρόν τε ὄντα καὶ φιλάγαθον, τί οἴει παθεῖν, πάντας αὐτοὺς ὥσπερ ἔκ τινος συνθήματος εἰς τὸν τῆς κακίας κρημνὸν καταδραμόντας ἰδόντα; οὐ γὰρ ἂν, εἰ μὴ σφόδρα αὐτὸν ἐσκό-

Γεν. ιδ. ιε.

πασε, καὶ ἐκ βάθρων αὐτοῦ τὴν ψυχὴν ἀνέτρεψεν ὁ τῆς ἀθυμίας ἐκείνης ἴλιγγος, τὰς πλάκας
ἂν ἔρριψεν ἀπὸ τῶν χειρῶν καὶ συνέτριψεν, ἀλλ᾽ ἰάσατο ταχέως τὴν συμφοράν. ἀλλὰ
τί ποιήσας, εἰπέ; καὶ γὰρ ὁ τῆς ἰατρείας τρόπος, εἰ καὶ παρεμυθήσατο τὸ γεγονός, ἀλλ᾽ ὅμως
καὶ αὐτὸς πολλῶν ἔγεμε δακρύων· καὶ οὐδεὶς οὕτω λίθινος ἦν, ὡς μηδὲν παθεῖν, ἀδελφοὺς καὶ
συγγενεῖς ὑπὸ τῶν οἰκείων σφαττομένους ὁρῶν, καὶ εἰς τρισχιλίων σωμάτων ἀριθμὸν τὴν ἐλεεινὴν
ταύτην ἐκτεινομένην σφαγήν. καὶ γὰρ ἡμεῖς τοὺς παῖδας τοὺς ἑαυτῶν ὅταν ἐπί
τινι λαμβάνωμεν δεινῷ, στρεβλοῦμεν μὲν καὶ μαστιγοῦμεν, οὐκ ἀναλγητὶ δὲ τοῦτο πράττομεν,
ἀλλὰ μετὰ θλίψεως οὐκ ἐλάττονος τῶν πασχόντων αὐτῶν. πολλοῦ δὴ τότε πένθους αὐτὸν καὶ τὸ
στρατόπεδον ἔχοντος, ἑτέρα πάλιν ἀγωνία προσετίθετο. οὐκέτι γὰρ αὐτοῖς στρατηγήσειν, γρ. αὐτὸν
ἀλλ᾽ ἐγκαταλείψειν αὐτόν, καὶ ἀγγέλῳ παραδώσειν τὴν προστασίαν αὐτῶν ἠπείλησεν ὁ Θεός,
Ἐξοδ. λγ. ιε. ὃ πάντων ἀφορητότερον ἦν τῷ Μωϋσῇ. ἄκουσον γοῦν οἷά φησι πρὸς τὸν Θεόν· Εἰ μὴ
σὺ αὐτὸς συμπορεύῃ μοι, μή με ἀναγάγῃς ἐντεῦθεν. ὁρᾷς πῶς φόβοι φόβους, καὶ λῦπαι διεδέχοντο
λύπας; καὶ οὐδὲ μέχρι τούτων ἵστατο τὰ δεινά· ἀλλ᾽ ἐπειδὴ καὶ τοῦτο ἔπεισε τὸν Θεόν,
καὶ ἐπένευσεν ὁ φιλάνθρωπος, καὶ τὴν χάριν ἔδωκε. πάλιν ἑτέραις αὐτὸν περιέβαλλον ὀδύναις,
τὸν ἵλεων γινόμενον παροξύνοντες, καὶ ταῖς ἐσχάταις ἑαυτοὺς περιπείροντες συμφοραῖς. μετὰ γὰρ
τὴν σφαγὴν τὴν πολύδακρυν, οὕτω προσέκρουσαν πάλιν, ὡς ἐκκαλέσασθαι καθ᾽ ἑαυτῶν τὸν ἐμπρησμὸν
ἐκεῖνον, ὃ μικροῦ πάντας ἀνάλωσεν ἄν*. τῷ δὲ Μωϋσῇ διπλῆν ἐν ἅπασιν εἶναι τὴν
ἀθυμίαν συνέβαινε, τῷ τε ἐκείνους ἀπόλλυσθαι, καὶ τῷ τοὺς ὑπολειπομένους ἀδιορθώτους
μένειν, καὶ μηδὲν ἐκ τῆς ἐκείνων κερδαίνειν συμφορᾶς. οὔπω γὰρ τέλος εἶχεν οὗτος ὁ θάνατος,
Ἀριθ. ια. ε. καὶ οἱ περιλειφθέντες τῶν κρομμύων ἐμέμνηντο, καὶ τοῖς παροῦσιν ἐδυσχέραινον, λέγοντες· Τίς
ἡμᾶς ψωμιεῖ κρέας; ἐμνήσθημεν γὰρ τοὺς ἰχθύας, οὓς ἠσθίομεν ἐν Αἰγύπτῳ δωρεάν, καὶ τοὺς
σικυούς, καὶ τοὺς πέπονας, καὶ τὰ σκόρδα, καὶ τὰ πράσα, καὶ τὰ κρόμμυα· νυνὶ δὲ ἡ ψυχὴ ἡμῶν
κατάξηρος. οὐδέν, πλὴν εἰς τὸ μάννα, οἱ ὀφθαλμοὶ ἡμῶν. ἐνταῦθα μηκέτι φέρων αὐτῶν
τὴν ἀγνωμοσύνην ὁ Μωϋσῆς, παραιτεῖται τὴν προστασίαν, νικηθεὶς ὑπὸ τῆς ἀθυμίας, καὶ
Ἀριθ. ια. ια. θάνατον εὔχεται ἀντὶ τῆς πικρᾶς ἐκείνης ζωῆς. ἐπάκουσον δὴ καὶ τῶν ῥημάτων αὐτῶν. Καὶ
εἶπε, φησί, Μωϋσῆς πρὸς Κύριον· ἵνα τί ἐκάκωσας τὸν θεράποντά σου; καὶ διατί οὐχ εὕρηκα
χάριν ἐναντίον σου, ἐπιθεῖναι τὴν ὁρμὴν τοῦ λαοῦ τούτου ἐπ᾽ ἐμέ; μὴ ἐγὼ ἐν γαστρὶ ἔλαβον
πάντα τὸν λαὸν τοῦτον, ἢ ἐγὼ ἔτεκον αὐτούς, ὅτι λέγεις μοι, λάβε αὐτὸν εἰς τὸν κόλπον
σου, ὡσεὶ ἄραι τιθηνὸς τὸν θηλάζοντα, εἰς τὴν γῆν ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν;
πόθεν μοι κρέα δοῦναι παντὶ τῷ λαῷ τούτῳ, ὅτι κλαίουσιν ἐπ᾽ ἐμὲ λέγοντες, δὸς ἡμῖν κρέα, γρ. ἡμῶν
ἵνα φάγωμεν; οὐ δυνήσομαι ἐγὼ μόνος φέρειν τὸν λαὸν τοῦτον, ὅτι βαρύτερόν μοί ἐστι τὸ ῥῆμα
τοῦτο. εἰ δὲ οὕτως σὺ ποιεῖς μοι, ἀπόκτεινόν με ἀναιρέσει, εἰ εὕρηκα χάριν ἐναντίον σου. ταῦτα
Ἐξοδ. λβ. λα. ἐκεῖνος ἐφθέγξατο εἰπών, Καὶ νῦν εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν αὐτῶν, ἄφες· εἰ δὲ μή,
ἐξάλειψόν με ἐκ τῆς βίβλου ἧς ἔγραψας. οὕτως αὐτὸν ἡ ἀθυμία περιέτρεψεν ὅπερ πάσχουσι
οἱ γονεῖς πολλάκις δυσαναχετοῦντες τοῖς γινομένοις ὑπὸ τῶν παίδων.

Ὅτι γὰρ καὶ μετὰ τὰ ῥήματα ταῦτα οὐκ ἐπαύσατο τῆς συμπαθείας τῆς πρὸς αὐτούς, ἐξ ὧν
μετὰ ταῦτα ἐποίησε, δῆλον ἡμῖν. ἐπειδὴ γὰρ μετὰ τοὺς κατασκόπους ἀνελθεῖν ἐπεχείρησαν καὶ λίθοις
αὐτὸν ἔβαλλον, διαφυγὼν τὰς χεῖρας αὐτῶν, ἐπὶ τὴν ὑπὲρ αὐτῶν πάλιν εὐχὴν ἐτρέπετο,
καὶ τὸν Θεὸν παρεκάλει ἵλεων γενέσθαι τοῖς βουλομένοις αὐτὸν ἀνελεῖν. οὕτω καὶ τῆς φυσικῆς
φιλοστοργίας σφοδρότερον αὐτῷ τὸ φίλτρον ἐνέκειτο. τῶν τοίνυν κατασκόπων ἀποθανόντων,
καὶ τοῦ πένθους ἀκμάζοντος, οὐδέπω παρελθόντος χρόνου, πάλιν ἑτέρας ἔπλεκον ἀθυμίας
ὑποθέσεις αὐτῷ, πρῶτον μὲν οὐκ ἀναχόμενοι κωλύοντος πολεμεῖν, δεύτερον δὲ κατακοπέντες
ὑπὸ τῶν Ἀμαληκιτῶν. ἦσαν δὲ καὶ πρὸ τοῦ πολέμου τούτου τῇ χολέρᾳ καὶ τῇ
Ψαλ. οζ. λδ. γαστριμαργίᾳ δαπανηθέντες ἱκανῶς. Καὶ γὰρ ἀπέκτεινε, φησίν, ἐν τοῖς πλείοσιν αὐτῶν ἐ-

* ἡ μέ… πολλὴ… τοῦ… θρηνῆ…

τι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν. θαψάμενος δὲ καὶ τὸν θάνατον ἐκείνων τὸν πολλήν, οὔπω τῆς ἀθυμίας τῆς ἐπὶ τούτῳ παυσαμένης ἑτέροις πάλιν ἐβάλλετο πένθεσι, καὶ εἰς τοιαύτην ἀνάγκην καθίστατο, ὡς τοὺς ἀγαπητοὺς καὶ φιλτάτους τούτους εὔξασθαι ξένῳ τινὶ καὶ παραδόξῳ θανάτῳ καταλῦσαι τὸν βίον. οὕτως οἱ μὲν πυρὸς ἀφθέντος ἐξαίφνης ἐκαύθησαν, οἱ δὲ γινομένου χάσματος κατεπόθησαν· καὶ οὐδὲ εὐαρίθμητοί τινες, ἀλλὰ πεντεκαίδεκα χιλιάδων ἀνδρῶν πλείους οἱ ταῦτα παθόντες ἦσαν. τούτου δὲ γινομένου, πῶς τοὺς ἐκείνων συγγενεῖς, πῶς τοὺς φίλους πρὸς τὸν Μωϋσέα διακεῖσθαι εἰκὸς ἦν; πῶς δὲ αὐτὸν τὸν Μωϋσῆν ὁρῶντα καὶ παῖδας ὀρφανοὺς καὶ γυναῖκας χήρας ἀπὸ ταύτης γεγενημένας τῆς συμφορᾶς, καὶ τὴν ἀδελφὴν καὶ τὸν ἀδελφὸν τελευτήσαντας, καὶ τοὺς υἱοὺς τοὺς ἐκείνου καυθέντας ὑπὸ παρανομίας τινός; τούτων δὲ ἕκαστον ἱκανὸν καὶ μηδὲν πεπονθυῖαν θλῖψαι ψυχήν, μήτιγε τοσούτοις ἤδη κατεργασθεῖσαν κακοῖς. ὡς δὲ τὸν Χαναναῖον εἷλον καὶ μακρὰν ἐκύκλουν ὁδόν, πάλιν ἐγόγγυζον οἱ Ἰουδαῖοι, καὶ πάλιν ἀπώλλυντο, νόσῳ μὲν οὐκ ἔτι, καθάπερ καὶ πρότερον, οὐδὲ πυρὶ καὶ χάσματι, καθάπερ καὶ πρότερον, ἰοβόλων δὲ δήγμασιν ὄφεων, οἳ πάντας ἂν αὐτοὺς ἀπώλεσαν, εἰ μὴ πάλιν ὁ Μωϋσῆς προσελθὼν ἱκέτευσε τὸν Θεόν. ἐπειδὴ δὲ καὶ ταύτης ἀπηλλάγησαν τῆς φθορᾶς, καὶ τὰς ἀρὰς τοῦ μάντεως ἐξέφυγον, πάλιν ἑαυτοὺς ἔρριψαν κατὰ τῶν χαλεπωτάτων κρημνῶν· καὶ μετὰ τὰς εὐλογίας τοῦ Βαλαάμ, μᾶλλον δὲ τοῦ Θεοῦ (οὐ γὰρ τῆς ἐκείνου προαιρέσεως ἦν τὰ ῥήματα, ἀλλὰ τῆς κινούσης αὐτὸν δυνάμεως) ἐπόρνευσαν εἰς τὰς τῶν ἀλλοφύλων γυναῖκας καὶ θυγατέρας, καὶ ἐτελέσθησαν τῷ Βεελφεγώρ. ὁ δὲ Μωϋσῆς τὴν τοσαύτην ὁρῶν αἰσχύνην καὶ τὸν γέλωτα, πάλιν αὐτοὺς ἀλλήλους κατακόπτειν ἐκέλευε, λέγων· Ἀποκτείνατε ἕκαστος τὸν πλησίον αὐτοῦ τὸν τετελεσμένον τῷ Βεελφεγώρ.* Αριθ. κε. ε. καθάπερ ἐπί τινος τραύματος, πολλὰς μὲν λαβόντος τομὰς καὶ καύσεις, οὐδὲν δὲ ἄμεινον ταύτῃ διατεθέντος, κελεύει τις πάλιν καίειν καὶ τέμνειν τὸ περιλειφθέν. σὺ δὲ ταύτας ἀκούων τὰς δυσκολίας, μὴ ταύτας μόνον συμβεβηκέναι νόμιζε· καίτοι καὶ τῶν κειμένων οὐκ ὀλίγας παρέλιπον, τοὺς πολέμους, τὰς τῶν ἐχθρῶν ἐναντιώσεις, τὰς μακρὰς ὁδοιπορίας, τῆς ἀδελφῆς τὴν ὕβριν καὶ τὴν τιμωρίαν, ἐφ' ᾗ μᾶλλον ἐκείνης ὁ πρᾳότατος ἤλγησε Μωϋσῆς. ἀλλ' ὅμως κἂν ἅπαντά τις συναγάγῃ μετὰ ἀκριβείας, οὐδὲ μυριοστὸν μέρος τὰ γεγραμμένα τῶν γεγενημένων ἐστίν. εἰ γὰρ οἰκετῶν τις ὀλίγων ἐν οἰκίᾳ προεστὼς, καὶ παροξυσμῶν καὶ λύπης μυρίας ἔχει προφάσεις· ὁ μυριάδων τοσούτων ἐπὶ τεσσαράκοντα ἔτεσιν ἐπιτροπεῦσαι καταναγκασθεὶς, καὶ ἐν ἐρήμῳ, ἔνθα μήτε ἀὴρ μήτε ὕδωρ ἦν, πόσα πράγματα ἠναγκάζετο καθ' ἑκάστην ἔχειν τὴν ἡμέραν; πόσας φροντίδας; πόσας ἀθυμίας καὶ ζώντων καὶ τελευτησάντων; καὶ γὰρ καὶ τελευτήσαντας πάντας εἶδεν οὓς ἐξήγαγε, πλὴν ἀνδρῶν δύο μόνων, καὶ τοὺς ἀπ' ἐκείνων γενομένους. οὐκ ἠξιώθη εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσαγαγεῖν· ἀλλ' εἶδε μὲν αὐτὴν ἀπὸ τῆς κορυφῆς τοῦ ὄρους Ναβαῦ, καὶ τὴν φύσιν αὐτῆς ἐδιδάχθη καλῶς, ἀπολαῦσαι δὲ αὐτῆς οὐ συνεχωρήθη μετὰ τῶν λοιπῶν Ἰσραηλιτῶν, ἀλλ' ἔμενεν ἔξω καὶ ἀπέθνησκεν· ἐφ' ᾧ καὶ αὐτὸς ἀπωδύρετο πρὸς τοὺς Ἰσραηλίτας, λέγων· Καὶ Κύριος ὁ Θεὸς ἐθυμώθη κατ' ἐμοῦ περὶ τῶν λεγομένων ὑφ' ὑμῶν, καὶ ὤμοσεν ἵνα μὴ διαβῶ τὸν Ἰορδάνην τοῦτον, καὶ ἵνα μὴ εἰσέλθω εἰς τὴν γῆν, ἣν Κύριος ὁ Θεὸς δίδωσί σοι ἐν κλήρῳ. Δευτ. δ. κα. ἐγὼ γὰρ ἀποθνήσκω ἐν τῇ γῇ ταύτῃ, καὶ οὐ διαβαίνω τὸν Ἰορδάνην τοῦτον· ὑμεῖς δὲ διαβήσεσθε, καὶ κληρονομήσετε τὴν γῆν ταύτην τὴν ἀγαθήν. καὶ τὸ δὴ πάντων δεινότερον, ὅτι μετὰ λύπης αὐτὸν εἰς ᾅδου κατήγαγε. τὰ γὰρ μέλλοντα τοὺς Ἰουδαίους διαδέξασθαι προέμαθε κακὰ, τὴν εἰδωλολατρείαν, τὴν αἰχμαλωσίαν, τὰς ἀφάτους συμφοράς· ὡς μηκέτι μόνον αὐτὸν οἷς ἑώρα καὶ τοῖς γεγενημένοις, ἀλλὰ καὶ τοῖς μηδέπω συμβεβηκόσι κατατρύχεσθαι τὴν ψυχήν. ἀπὸ γὰρ πρώτης ἡλικίας ἀρξάμενος ὀδυνᾶσθαι καὶ ἀδημονεῖν, μετὰ τῆς ἀθυμίας τὸν βίον κατέλυσεν.

Ὁ γοῦν διαδεξάμενος αὐτὸν Ἰησοῦς, συναπέλαυσε μὲν αὐτῷ πάντων, ὡς εἰπεῖν, τῶν ἀνιαρῶν· εἰ δέ τι διὰ τὸ νέον τῆς ἡλικίας ἐξέφυγε, τοῦτο μετὰ τὴν ἐκείνου τελευτὴν ἀνεπλήρωσεν. οὐ γὰρ ὅτε μόνον ἔζη ὁ Μωϋσῆς, τὰ ἱμάτια διέρρηξε καὶ σποδὸν κατεπάσατο, ἀλλὰ καὶ τελευτήσαντος πάλιν εἰς τὴν αὐτήν, μᾶλλον δὲ εἰς μείζονα κατέστη ταύτης ἀνάγκην, οὐ χρόνον βραχύν, ἀλλὰ δι' ὅλης ἡμέρας πρηνὴς κείμενος ἐπὶ τῆς γῆς. ἄκουσον δὴ καὶ τῶν ῥημάτων αὐτοῦ καὶ τῶν ὀδυρμῶν. Καὶ διέρρηξε, φησιν, Ἰησοῦς τὰ ἱμάτια αὐτοῦ, καὶ ἔπεσεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν ἐναντίον Κυρίου ἕως ἑσπέρας, αὐτὸς καὶ οἱ πρεσβύτεροι τοῦ Ἰσραήλ, καὶ ἐπεβάλλοντο χοῦν ἐπὶ τὴν κεφαλὴν αὐτῶν. Καὶ εἶπεν Ἰησοῦς· δέομαι, Κύριε, ἵνα τί διεβίβασεν ὁ παῖς σου τὸν λαὸν τοῦτον τὸν Ἰορδάνην, παραδοῦναι αὐτὸν τῷ Ἀμορραίῳ ἀπολέσαι ἡμᾶς; καὶ εἰ κατεμείναμεν καὶ κατῳκίσθημεν παρὰ τὸν Ἰορδάνην. Καὶ τί ἐρῶ, ἐπεὶ μετέβαλεν Ἰσραὴλ τὸν αὐχένα αὐτοῦ ἀπέναντι τοῦ ἐχθροῦ αὐτοῦ; καὶ ἀκούσας ὁ Χαναναῖος, καὶ πάντες οἱ κατοικοῦντες τὴν γῆν, περικυκλώσουσιν ἡμᾶς, καὶ ἐκτρίψουσιν ἡμᾶς ἀπὸ τῆς γῆς. Ταῦτα ἀκούσας ὁ Θεός, ἐνέφηνεν αὐτῷ τῆς ἥττης τὸν αἴτιον. καὶ μαθών, πάντας ἄρδην ἀπώλεσεν, οὐ τὸν ἡμαρτηκότα μόνον, ἀλλὰ καὶ συγγενεῖς καὶ οἰκείους καὶ τῶν θρεμμάτων τὸ πλῆθος, ὅπερ οὐχ ὡς ἔτυχεν αὐτῷ τὴν ψυχὴν διετάραξεν. Εἰ γὰρ ἡμεῖς τοὺς οὐδαμῶς οὐδαμόθεν ἡμῖν προσήκοντας τὴν ἐπὶ θάνατον ἀγομένους ὁρῶντες, κολαζομένους οὐδὲ ἰδεῖν ἀνεχόμεθα, τί οὐκ ἂν ἔπαθεν ἐκεῖνος, τοὺς ὁμοφύλους καὶ συστρατιώτας τοιούτοις περιβάλλων κακοῖς; τί δὲ ἡ τῶν Γαβαωνιτῶν ἀπάτη, καὶ ἡ γενομένη κατὰ τῶν πέραν τοῦ Ἰορδάνου κατοικησάντων φυλῶν ὑποψία; τί δὲ τὸ πολέμοις καὶ μάχαις συνδιαστρέφεσθαι διαπαντός; καὶ ποίαν ἂν ἀφῆκεν ἐν καταστάσει ψυχὴν γενέσθαι; εἰ γὰρ καὶ νικῶν διετέλει, ἀλλ' ὅμως τὴν ἀπὸ τῶν τροπαίων ἡδονὴν ἡ τῶν ὑπολειπομένων πολέμων φροντὶς συνετάραττε. καὶ ἡ τῶν κλήρων δὲ διανομὴ πολλὴν μὲν πόνον, πολλὰς δὲ παρεῖχεν αὐτῷ τὰς δυσκολίας. καὶ ἴσασιν ὅσοι καὶ τὴν τυχοῦσαν οὐσίαν διανεῖμαι ἐπεχείρησαν ἀδελφοῖς, ἢ τοῖς ἑτέρωθεν γενομένοις κληρονόμοις τινός. Τὰς γὰρ λοιπὰς τοῦ λαοῦ συμφορὰς οὐδὲ οἶμαι δεῖν λέγειν. οὐ γὰρ εἴ τις ὀδυνηρὸν βίον διήγαγε, πρόκειται νῦν εἰπεῖν, ἀλλ' εἴ τις τῶν σφόδρα εὐηρεστηκότων τῷ Θεῷ. διόπερ, εἰ δοκεῖ, τὸν Ἠλὶ παρέλθωμεν· καὶ γὰρ καὶ οὗτος τῶν προσκεκρουκότων ἐστὶ διὰ τὴν τῶν παίδων κακίαν, μᾶλλον δὲ διὰ τὴν αὐτοῦ ῥᾳθυμίαν. οὐ γὰρ ὅτι πονηροὺς παῖδας εἶχεν ἐκολάζετο, ἀλλ' ὅτι πέρα τοῦ δέοντος φιλόπαις ἦν, καὶ τοῖς τοῦ Θεοῦ νόμοις ἐνυβριζομένοις οὐκ ἤμυνεν, ἅπερ καὶ αὐτὸς συνιδών, μετὰ τῆς σφοδρᾶς ἀπειλῆς ἔλεγε· Κύριος αὐτὸς τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ ποιήσει. διὸ δὴ τοῦτον παρελθόντες, ἔλθωμεν ἐπὶ τὸν Σαμουήλ, ὃς ἐτράφη μὲν ἐν τῷ ναῷ ἐκ παιδός, ηὐδοκίμει δὲ διαπαντὸς ἐνώπιον τοῦ Θεοῦ· τοσαύτην δὲ ἐκ πρώτης ἡλικίας ἐπεδείξατο τὴν ἀρετήν, ὡς, πρὶν εἰς ἄνδρας ἐλθεῖν, τοῖς θαυμαστοῖς ἐγκριθῆναι προφήταις, καὶ ταῦτα τοῦ πράγματος ἐπιλελοιπότος τότε. Οὐ γὰρ ἦν, φησιν, ὅρασις διαστέλλουσα, καὶ ῥῆμα τίμιον οὐκ ἦν. οὗτος δὴ οὖν ὁ Σαμουήλ, ὁ μετὰ πολλῶν δακρύων τεχθείς, πρῶτον μὲν ὁρῶν ἑαυτοῦ τὸν διδάσκαλον ἐκεῖνον τῷ ἐλεεινῷ ἀπενεχθέντα θανάτῳ, οὕτω συνεχύθη καὶ ἐταράχθη, ὡς εἰκὸς εὐγνώμονα μαθητὴν καὶ φιλόστοργον. μετὰ δὲ τοῦτο καὶ τὰς Ἰουδαϊκὰς ἠναγκάζετο συνεχῶς θρηνεῖν συμφοράς. οἱ δὲ παῖδες αὐτοῦ ἄδικοι ὄντες καὶ μοχθηροὶ καὶ εἰς ἔσχατον πονηρίας ἐλάσαντες, τούτῳ τε ἐλύπουν αὐτόν, καὶ τῷ μὴ δύνασθαι κληρονομῆσαι τῆς ἐκείνου παραχθείσης τιμῆς. ταύτην διαδέχεται τὴν ἀθυμίαν, μᾶλλον δὲ οὐ διαδέχεται (οὐ γὰρ ἐπαύσατο) ἀλλὰ προστίθεται ταύτῃ ἡ τῆς τῶν Ἰσραηλιτῶν αἰτήσεως παρανομία, ἔνθα οὕτω κατέπεσεν, ὡς καὶ παρακλήσεως δεηθῆναι πολλῆς. ἄκουσον γοῦν τί αὐτῷ φησιν ὁ Θεός· Οὐ σὲ ἐξουθενήκασιν, ἀλλ' ἢ ἐμέ. ἀλλ' ὅμως καὶ μετὰ ταῦτα οὕτως αὐτῶν ἐκήδετο, ὡς εἰπεῖν πρὸς αὐτούς, Ἐμοὶ δὲ μὴ γένοιτο ἁμαρτεῖν τοῦ διαλείπειν εὐχόμενον ὑπὲρ ὑμῶν. τούτους δὴ οὖν ὁρῶν τοὺς οὕτως ἀγαπωμένους ὑπ' αὐτοῦ, κακῶς

Ἰησ. ζ. ς.

α. Βασ. γ. ιη.

α. Βασ. γ. α.

α Βασ. η. ζ.
ιβ. κγ.

προσπταίοντας, καὶ παίοντας ἐν πολέμοις, καὶ παροργίζοντας τὸν Θεὸν, τίνος ἂν ἥσθετο ἡδονῆς; ποίου δ' ἂν καιροῦ ἀθυμίας καὶ δακρύων διήγαγεν ἐκείνους; ἐπεὶ δὲ καὶ κατέστησε βασιλέα τὸν Σαοὺλ, ἐπάλληλοι πάλιν αὐτῷ ὀδύναι καὶ συνεχεῖς προσετίθεντο. καὶ γὰρ ὅτε τὴν θυσίαν ἀνήνεγκε παρὰ τὸ τῷ Θεῷ δοκοῦν, καὶ ὅτε τοὺς Ἀμαληκίτας κρατήσας, ἐφείσατο τοῦ βασιλέως αὐτῶν, καὶ τοῦτο παρὰ τὸ κελευσθὲν, οὕτως ἐπλήγη τὴν ψυχὴν, ὡς μηκέτι τὸν ἄνδρα ἰδεῖν, ἀλλ' ἐξ ἐκείνου μέχρι τῆς ἐσχάτης ἡμέρας πενθεῖν καὶ δακρύειν αὐτόν· ὅτε καὶ ἐπετιμήθη διὰ τὸ τῆς ἀθυμίας σφοδρόν, Ἕως πότε γὰρ, φησὶ, σὺ πενθεῖς ἐπὶ Σαοὺλ, κἀγὼ ἀπῶσμαι αὐτόν; Εἰ δὲ τούτων γεγενημένων ἐπένθει, τίς ἦν ἄρα, ὅτε τοὺς τοσούτους ἔσφαξεν ἱερέας ἐκεῖνος εἰκῆ καὶ μάτην, ὅτε τὸν εὐεργέτην καὶ οὐδὲν ἠδικηκότα, τὸν Δαβὶδ λέγω, διώκων ἤθελεν ἀνελεῖν, ὅτε γυμνὸν αὐτὸν εἶδε προφητεύοντα καὶ καταπίπτοντα, ὅτε τοῦ Δαβὶδ ἤκουε μυρία πρὸς αὐτὸν ἀποδυρομένου καὶ ἐντυγχάνοντος;

α Βασ. ιε. α.

Ἐπειδὴ δὲ τοῦ Δαβὶδ ἐμνήσθην, οὐκ οἶδα τί πράξω· πότερον τοὺς θρήνους αὐτοῦ τοὺς μακροὺς καὶ συνεχεῖς, τοὺς ἐν τοῖς ψαλμοῖς ἀναγεγραμμένους εἰς μέσον ἀγάγω νῦν, ἢ τούτους ἀφεὶς ἀναλέξασθαί σοι κατὰ σχολὴν, αὐτὰς τὰς ἐκείνου συμφορὰς διέλθω. οὗτος τοίνυν ὁ Δαβὶδ πολλὰ μὲν καὶ ἐν τῇ ποιμενίᾳ ὑπέμεινε δεινὰ, καὶ ταῖς τῶν ἀέρων ἀνωμαλίαις, καὶ τῇ τῶν θηρίων ἀγριότητι μαχόμενος. καὶ τὰ μὲν ἐξ ὧν ἔφησεν ὁ Ἰακὼβ ἔστιν ἰδεῖν, τὰ δὲ ἐξ ὧν αὐτὸς πρὸς τὸν Σαοὺλ διελέγετο. ἐπεὶ δὲ τὸν βίον ἀφεὶς ἐκεῖνον πρὸ ὥρας εἰς τὰ τοῦ πολέμου πράγματα ἐνέπιπτε, τὴν μὲν τῶν ἀδελφῶν βασκανίαν ἀφίημι, εἰ καὶ σφόδρα τοῦτο ἐστὶ φορτικόν· ἀλλ' ἐπεὶ κατώρθωσε τὴν λαμπρὰν νίκην ἐκείνην καὶ θαυμαστὴν, εὗρε τοῦ καταβληθέντος Γολιὰθ σφοδρότερον ἐχθρὸν τὸν εὐεργετηθέντα Σαούλ. οὐ γὰρ ἐκ τοῦ φανεροῦ πρὸς αὐτὸν παρετάττετο, ἀλλὰ τὸ τῶν φιλούντων προσωπεῖον ὑποδὺς, καὶ τὸν τιμῶντα καὶ κηδόμενον ὑποκρινάμενος, οὕτως αὐτὸν διετίθει τὰ τῶν ἐχθρῶν. τοῦτο δὲ ὅσον ἐστὶ κακὸν, ἀντὶ ἀγαθῶν ἀπολαμβάνειν κακὰ, ἄκουσον τοῦ μακαρίου προφήτου τοῦτο συνεχῶς θρηνοῦντος καὶ δυσανασχετοῦντος καὶ λέγοντος· Εἰ ἀνταποδίδοταί μοι κακὰ ἀντὶ ἀγαθῶν. μάλιστα μὲν οὖν καὶ μηδενὸς προσόντος δεινοῦ τοῦτο αὐτὸ καθ' ἑαυτὸ πολλῆς ἀθυμίας ἄξιον, δι' ὑποψίας εἶναι τὸν στρατηγὸν τῷ βασιλεῖ, καὶ ἀηδῶς ὁρᾶσθαι ὑπ' αὐτοῦ. καὶ τί λέγω στρατηγὸν βασιλεῖ; κἂν γὰρ παρὰ τῶν οἰκετῶν ἡμεῖς τοῦτο πάθωμεν, δυσχεραίνομεν. ὅταν δὲ καὶ ἐπιβουλαὶ ῥάπτωνται κατὰ τῆς τοῦ μισουμένου ζωῆς, τίς ἂν γένοιτο βίος τούτου πικρότερος; ἀλλ' ὅμως ἅπαντα ἔφερε καὶ ἠνείχετο, καὶ συνῆν τῷ φονῶντι κατ' αὐτοῦ, καὶ ἐστρατήγει τοὺς ἐκείνου πολέμους. ἐπεὶ δέ ποτε ἀπεπήδησε, καὶ πόρρω τοῦ πολεμίου κατέστησεν ἑαυτὸν, τοῦτο μὲν αὐτὸ τὸ πόρρω εἶναι, καὶ τὴν ἔχθραν ποιῆσαι φανεράν, εἶχέ τι πλέον εἰς τὸν τοῦ θαρρεῖν λόγον· μετὰ δὲ τετρακοσίων ἀνδρῶν πρὸς τοσαύτην ἀναγκαζόμενος παρατάττεσθαι στρατιὰν, ἔτρεμε πλέον ἢ πρότερον. ὁ γὰρ μήτε πόλιν, μήτε φρούριον, μήτε συμμάχους, μήτε προσόδους κεκτημένος, ἐννόησον τίς ἦν πρὸς τὸν ταῦτα ἔχοντα πάντα ἀναγκαζόμενος πολεμεῖν, καὶ πλὴν τῆς ἐρήμου καὶ τῶν ἐκεῖ σπηλαίων, οὐδὲ ὅποι καταφύγοι, δυνάμενος εὑρεῖν. καὶ γὰρ τὴν Ἡλᾶ πόλιν οὕτω καλουμένην λαβὼν, εὐθέως αὐτὴν ἀπεπήδησε, τῶν ἱερέων εἰπόντων, ὅτι αὐτὸν ὁ Θεὸς ἐκδιδόμενον τῶν τοῦ Σαοὺλ οὐκ ἐξαρπάσει χειρῶν. ὁ δὲ ἱερεὺς ἐκεῖνος ὁ τὰς τοῦ Σαοὺλ χεῖρας διαδρὰς, τὴν ἐν Νομβᾶ γενομένην τραγῳδίαν ἀπαγγείλας τῷ βασιλεῖ· ὅτε καὶ τὴν πικρὰν ἐκείνην ἔρρηξε φωνήν· Ἐγὼ γάρ εἰμι, φησὶν, αἴτιος τῶν ψυχῶν ὅλου τοῦ οἴκου τοῦ πατρός σου. ὥστε συνὼν αὐτῷ διαπαντὸς, οὐδὲν ἕτερον, ἀλλ' ἢ τῆς ἀθυμίας ἐκείνης ὑπόμνησις ἦν. βλέπων γὰρ εἰς αὐτὸν ἀεὶ, τῆς ἀπωλείας ἐμνημόνευε τῶν ἱερέων· μνημονεύων δὲ τῆς ἀπωλείας καὶ τῆς τοσαύτης σφαγῆς, τὴν αἰτίαν ἀνατιθεὶς ἑαυτῷ, καταδίκου παντὸς ἀθλιώτερον ἔζη βίον. καὶ γὰρ εἰ μηδὲν ἕτερον τὸ ἐνοχλοῦν ἦν, ἱκανὸν τρῶσαι ψυχὴν καὶ ἄγχειν, τὸ ἱερέων σφαγέα λογίζεσθαι τοσούτων ἑαυτόν. πληγεὶς δὲ τούτῳ τῷ λογισμῷ

Ιερ ιη. κ.

α. Βασ. κϐ. κϐ

ὥσ

δὲ καὶ "νύκτωρ καὶ μεθ' ἡμέραν οὕτως μᾶλλον αὐτοῦ διετρώγει τὴν ψυχήν, καὶ ἄλλα ἐφεξῆς ἐδέχετο τραύματα συνεχῆ καὶ ἐπάλληλα. καὶ γὰρ καὶ ὅτε αὐτὸν ὁ Ναβὰλ διὰ τῶν οἰκετῶν ὕβρισε, καὶ δραπέτην καὶ φυγάδα καὶ ἀγνώμονα δοῦλον ἐκάλεσεν, οὐκ ἀναλγητὶ τὰ ῥήματα ἤνεγκε· καὶ ὅτε πρὸς τὸν Ἀγχοὺς ἀπελθὼν τοὺς μαινομένους ὑπεκρίνετο, καὶ κατέπιπτε, τά τε ὄμματα διαστρέφων, καὶ πολὺν ἐκ τοῦ στόματος ἀφρὸν ἀφιείς, τῶν ἀληθῶς δαιμονώντων μᾶλλον ἐτήκετο, λογιζόμενος εἰς οἵαν ἀνάγκην κατέστησεν αὐτὸν ὁ τοσαῦτα εὐεργετηθείς. ἐπειδὴ δὲ μικρὸν ἀνέθη παρὰ τοῖς πολεμίοις γενόμενος, ἔδει μὲν καὶ ἐπιστρατεύειν τοῖς ἐκείνων ἐχθροῖς· διαφθονούμενοι δὲ αὐτῷ οἱ σατράπαι, καὶ "διαβαλεῖν πρὸς τὸν βασιλέα βουλόμενοι, ἐξέπεμπον αὐτὸν τῆς στρατιᾶς ὡς ἄχρηστον αὐτοῖς καὶ ἐπίβουλον καὶ προδότην ἐσόμενον. Ἐθυμώθησαν γάρ, φησιν, ἐπ' αὐτῷ οἱ σατράπαι τῶν ἀλλοφύλων, καὶ λέγουσιν αὐτῷ· ἀπόστρεψον τὸν ἄνδρα, καὶ ἀποστραφήτω εἰς τὸν τόπον, οὗ κατέστησας αὐτὸν ἐκεῖ, καὶ μὴ ἐρχέσθω μεθ' ἡμῶν εἰς πόλεμον, καὶ μὴ γινέσθω ἐπίβουλος τῇ παρεμβολῇ. καὶ ἐν τίνι διαλλαγήσεται οὗτος τῷ κυρίῳ αὐτοῦ; ἢ οὐχὶ ἐν ταῖς κεφαλαῖς τῶν ἀνδρῶν ἐκείνων; ὁ δὲ τοῖς ῥήμασι τούτοις πληγείς, ἀνεχώρει μὲν μετὰ πολλῆς τῆς ὕβρεως καὶ τῆς ἀθυμίας· ἐλθὼν δὲ οἴκοι τοσαῦτα εὗρε κακά, ὡς μικροῦ δεῖν καὶ ἀποπνιγῆναι τῇ λύπῃ. τὰ γὰρ τότε συμβεβηκότα δεινὰ ἦν μὲν ἱκανὰ καὶ προμελετηθέντα τὴν ἐκείνου σκοτῶσαι ψυχήν· τοῦ δὲ ἀπροσδοκήτου προστεθέντος καὶ παρὰ τὰς ἐλπίδας, διπλάσια τῶν ὄντων ἐφαίνετο, καὶ οὐκ ἔτι ἦν φορητά. ἀπῄει μὲν γὰρ ὡς ἀναπαυσόμενος οἴκοι, καὶ τῆς ἀθυμίας ἐκείνης εὑρήσων παραμυθίαν, τὰ παιδία καὶ τὰς γυναῖκας· ἐπιστὰς δὲ ἄφνω, ἤκουσε μὲν ὅτι οὗτοι παρὰ τοῖς πολεμίοις δουλεύουσιν· ἐθεώρει δὲ πῦρ καὶ καπνὸν καὶ αἷμα καὶ νεκρούς. καὶ πρὶν ἢ τούτοις "ἀλγῆσαι καὶ τὴν αἰχμαλωσίαν ὀδύρεσθαι, θηρίων χαλεπώτερον ἐπέπεσον οἱ τὴν πόλιν οἰκοῦντες αὐτῷ, ἀπὸ τῆς ἐκείνου κεφαλῆς ἕκαστος τῶν οἰκείων κακῶν εὑρέσθαι παραμυθίαν ζητῶν. καὶ καθάπερ ἐναντίων ἀνέμων εἰς τὴν θάλασσαν ἐμπεσόντων, πολὺς καὶ ἄγριος ἀπὸ τῆς μάχης ἐκείνης γίνεται ὁ χειμών· οὕτω καὶ τότε καὶ ἀθυμίας καὶ φόβου τὴν τοῦ δικαίου διακοπτόντων ψυχήν, πολλὴ ἦν ἡ ζάλη καὶ ὁ θόρυβος τῶν παθῶν τούτων ἐπαλλήλων κρατούντων καὶ κρατουμένων συνεχῶς. δυνηθεὶς δὲ ταῦτα διαδῦναι τὰ κακά, καὶ τὰς γυναῖκας ἀπολαβεῖν καὶ τὴν αἰχμαλωσίαν ἅπασαν, πρὶν ἢ πάλιν αἰσθέσθαι τῆς νίκης ἐκείνης, πλήττεται ἀγγελίᾳ πικρᾷ τῇ περὶ τοῦ Ἰωνάθαν τελευτῇ, ἣ τὴν ψυχὴν οὕτω "κατέτρωσε τὴν ἐκείνου, ὡς ἔστιν ἐκ τῶν θρήνων μαθεῖν. Ἐπέπεσε γάρ, φησιν, ἐπ' ἐμὲ ἡ ἀγάπησίς σου, ὡς ἡ ἀγάπησις τῶν γυναικῶν. καὶ τί λέγω τῶν θρήνων; ὁ γὰρ τὸν ἐκείνου πατέρα τὸν ἐχθρὸν τὸν ἑαυτοῦ καὶ ἐπίβουλον, καὶ μυριάκις τῆς ἀπωλείας ἐπιθυμήσαντα τῆς αὐτοῦ οὕτω δακρύσας, τί * ἂν ἔπαθε, τὸν "ἐν ἐκείνοις παραστάντα τοῖς κινδύνοις αὐτῷ, καὶ πολλάκις αὐτὸν τῆς τοῦ πατρὸς ἐπιβουλῆς ἐξελόμενον, καὶ ἀπορρήτων κοινωνήσαντα, καὶ συνθήκας ὑπὲρ πολλῶν θέμενον πρὸς αὐτόν, τοῦτον, ὅτε αὐτῷ τὰς ἀμοιβὰς ἀποδοῦναι τῶν εὐεργεσιῶν ἐκείνων ἠδύνατο, τότε ἐξαρπασθέντα τοῦ βίου μαθών; ἀκμάζοντος δὴ τούτου τοῦ πάθους, ἑτέρα περιβάλλει πάλιν αὐτὸν ὁ στρατηγὸς ἀθυμία, τὸν ἀπονητὶ καὶ μετὰ πάσης εὐκολίας πᾶσαν αὐτῷ παραδοῦναι τὴν στρατιὰν ἐπαγγειλάμενον, τοῦτον παρεναρπάσας τῆς ὑποσχέσεως καὶ δόλῳ διαχρησάμενος. τοσοῦτον γὰρ ἤλγησεν ἐκείνῃ τῇ σφαγῇ, ὡς καὶ τότε καταράσασθαι τὸν Ἰωάβ, καὶ περὶ αὐτὸν τῆς τελευτῆς τὸν καιρὸν ἐπισκῆψαι τῷ ἑαυτοῦ παιδὶ δίκην ταύτην εἰσπράξασθαι τῆς μιαιφονίας αὐτόν. καὶ τὰ ῥήματα δέ, ἅπερ αὐτὸν ἀνακαλῶν ἐθρήνησεν, ἱκανὰ τὸ πάθος ἡμῖν παραστῆσαι τῆς ψυχῆς. Ἐπῆρε γάρ, φησιν, ὁ βασιλεὺς τὴν φωνὴν αὐτοῦ, καὶ ἔκλαυσεν ἐπὶ τῷ τάφῳ Ἀβεννήρ, καὶ εἶπεν· εἰ κατὰ τὸν θάνατον Ναβὰλ ἀποθανεῖται Ἀβεννήρ; αἱ χεῖρές σου οὐκ ἐδέθησαν, οὐδὲ οἱ πόδες σου ἐν πέδαις, οὐδὲ προσήγαγες ὡς Ναβάλ· ἐνώπιον υἱοῦ ἀδικίας ἔπεσες. τί δὲ μετὰ τοῦτο; δολοφονεῖται μὲν ὁ "Μεμφιβοσθαί. καὶ τῇ διὰ τοῦτον αὐτῷ γεγενημένῃ λύπῃ (καὶ

α. Βασ. κθ.

β. Βασ. α. κϛ.

β. Βασ. γ. λδ.

γὰρ ἐπὶ τούτῳ πάλιν ἤλγησεν, ὡς καὶ ἀνελεῖν τοὺς φονεύσαντας) ἡ τῶν χωλῶν καὶ κυλλῶν ἀντίστασις προστεθεῖσα, σφόδρα αὐτὸν διετάραξε. κρατήσας δὲ καὶ τούτων καὶ ἑτέρων πολεμίων, ἀνάγει μὲν τὴν κιβωτὸν μετὰ πολλῆς τῆς εὐφροσύνης. ἔτι δὲ αὐτῆς ἀναγομένης καὶ πάντων χαιρόντων, ἐν μέσῳ τῆς εὐθυμίας πρᾶγμα συμβὰν πάντων ἠμαύρωσε τὴν ἡδονὴν, καὶ ἀθυμίᾳ καὶ φόβῳ πολλῷ τὴν τοῦ βασιλέως ἔβαλε ψυχήν. τὸν γὰρ Ὀζὰν βουληθέντα περιτρεπομένην ὀρθῶσαι τὴν κιβωτὸν, παραχρῆμα ἐπάταξε καὶ νεκρὸν ἔθηκεν ἡ ὀργὴ τοῦ Θεοῦ. καὶ οὕτως ἐπὶ πολὺ κατέσεισε τοῦ Δαβὶδ τὴν ψυχὴν τοσοῦτος ὁ φόβος, ὡς μὴ περαιτέρω τολμῆσαι πρὸς ἑαυτὸν εἰσενεγκεῖν τὴν κιβωτὸν, πρὶν ἢ μαθεῖν ὅπως χρήσαιτο τῷ τότε αὐτὴν ὑποδεξαμένῳ Ἀβεδδαρά. μετὰ δὲ ταῦτα τελευτήσαντος τοῦ Ἀμμανιτῶν βασιλέως, πρᾶγμα ἀνδρὸς χρηστοῦ καὶ φιλανθρώπου ποιῶν, ἔπεμψε παραμυθησόμενος τὸν υἱὸν τὸν ἐκείνου, καὶ πείθων πράως ἐνεγκεῖν τὴν τοῦ πατρὸς τελευτήν. ὁ δὲ ἀντὶ τῆς τιμῆς ταύτης ὑβρίσας τοὺς ἀπελθόντας ἄνδρας, οὕτως ἀπέπεμψε τῷ βασιλεῖ. ἆρά σοι μικρὸν εἶναι τοῦτο δοκεῖ πρὸς τὸ πλῆξαι ψυχὴν καὶ καταβαλεῖν; ἆρ' οὐχ ὁ πόλεμος ἐκεῖνος ὁ τότε δεικνεσιν, ὁ μηδαμόθεν ἑτέρωθεν τὴν ὑπόθεσιν ἐσχηκὼς, καὶ πρὸς τοσαύτην σφοδρότητα ἐκταθεὶς, ὡς μυρίοις αὐτὸν περιβαλεῖν κακοῖς;

Ἱκανὰ μὲν οὖν καὶ ταῦτα, κἂν μυρίας τις αὐτοῖς ἀναμιγνύῃ τὰς ἡδονὰς, εἰς τὸν τῶν ὀδυνηρῶν βίον καταλέξαι τὴν ἐκείνου ζωήν. νῦν δὲ τοιαῦτα τὰ μετὰ ταῦτά ἐστιν, ὡς μηδὲ ἦρχθαι τῶν ἀληθῶς λυπηρῶν. πάντα γὰρ μῦθον καὶ τραγῳδίαν πᾶσαν ἐνίκησε τὰ τοῦ βασιλέως τούτου πάθη. οὕτως ἀλλόκοτα καὶ ἐπάλληλα περιέπεσεν αὐτοῦ τῇ οἰκίᾳ τὰ δεινὰ, κακῷ τὸ κακὸν ἀεὶ ἰάσασθαι σπουδαζόντων αὐτῶν. ὅρα γάρ. ἠράσθη τῆς ἀδελφῆς ὁ Ἀμνὼν τῆς ἑαυτοῦ· ἐρασθεὶς ὕβρισεν εἰς αὐτήν· ὑβρίσας ἐμίσησε * καὶ τὴν ὕβριν ἐξεπόμπευσε καὶ τὴν μίξιν, εὐθέως προστάξας ἑνὶ τῶν οἰκετῶν ἐκβαλεῖν ἄκουσαν τῆς οἰκίας, καὶ παραπέμψαι διὰ τῆς ἀγορᾶς βοῶσαν καὶ ὀδυρομένην. ταῦτα μαθὼν ὁ Ἀβεσσαλὼμ, καὶ καλέσας ἐπ' ἄριστον τοὺς ἀδελφοὺς ἅπαντας, ἐν οἷς ἦν κἀκεῖνος ὁ ὑβριστὴς, ἑστιώμενον αὐτὸν μεταξὺ καὶ πίνοντα κατασφάττει διὰ τῶν οἰκετῶν. εἶτα ἐξελάσας τις ἐκεῖθεν, καὶ τὸ σαφὲς οὐ μαθὼν διὰ τὸν θόρυβον, ἀπήγγειλε τῷ βασιλεῖ ὅτι τεθνήκασι πάντες οἱ παῖδες αὐτοῦ. καὶ ἐκάθητο θρηνῶν τὸν ἁπάντων φόνον τὸν οὐ γεγενημένον. ὡς δὲ ἔγνω τὸ σαφὲς, ἠπείλει μὲν τῷ παιδὶ, καὶ ἀναιρήσειν ἔλεγεν· ἀποδράντι δὲ καὶ ἐπὶ τῆς ἀλλοτρίας τριῶν διατρίψαντι περίοδον ἐτῶν, πάντα τὸν χρόνον ἐκεῖνον ἔμενεν ὀργιζόμενος· καὶ οὐδ' ἄν ποτε αὐτὸν ἐκάλεσεν, εἰ μὴ ἡ τοῦ στρατηγοῦ σοφία καὶ ἄκοντα αὐτὸν εἰς ταύτην ἐνέβαλε τὴν ὑπόσχεσιν. καλέσας δὲ, οὐδὲ οὕτως ἔσβεσε τῆς καρδίας τὴν πληγήν· ἀλλ' ἕτερα πάλιν δύο ἔτη αὐτὸν τῆς ὄψεως ἀποστερήσας τῆς αὐτοῦ, μόλις μετὰ τὸν μακρὸν χρόνον τοῦτον πάλιν ἀξιωθεὶς ὑπὸ τοῦ στρατηγοῦ παρρησίας μετέδωκεν. ὁ δὲ ὑπὲρ τούτων μνησικακῶν, ἢ καὶ ἄλλως τῆς τυραννίδος ἐρῶν, ἐπανίστατο τῷ πατρὶ, καὶ πάλιν αὐτὸν εἰς τοὺς πλάνους καὶ τὰς φυγὰς, ἃς ὑπέμεινεν ὑπὸ τοῦ Σαοὺλ, ἐπανήγαγε· μᾶλλον δὲ καὶ πολλῷ τοῦ τότε ἐκείνου χαλεπωτέραν ἀπέδειξε τὸν καιρόν. τότε μὲν γὰρ στρατηγὸς ὢν ταῦτα ἔπασχε· νῦν δὲ μετὰ τὸ χρόνους ἐν τῇ βασιλείᾳ ποιῆσαι πολλοὺς, καὶ κρατῆσαι τῶν πολεμίων ἁπάντων, ὡς εἰπεῖν, μεταναστεύειν ἠναγκάζετο. ὁ δὲ ἀναγκάζων, οὐκ ἀλλότριός τις ἦν, οὐδὲ πολέμιος, ἀλλ' ὁ ἐκ τῆς κοιλίας, ὡς αὐτὸς ἀπωδύρετο λέγων, ἐξελθὼν τῆς αὐτοῦ. καὶ τότε μὲν ἐν ἀκμῇ τῆς ἡλικίας ἦν, καὶ φέρειν ἠδύνατο πάντα γενναίως· νυνὶ δὲ παρὰ τὸν καιρὸν, ὅτε γηροτροφεῖσθαι αὐτὸν ἐχρῆν ὑπ' ἐκείνου τοῦ μιαροῦ, τότε ἐπεβουλεύετο καὶ ἐπολεμεῖτο, καὶ ἐξῄει μετὰ ὀλίγων τινῶν ἀνυπόδετος ὁ βασιλεὺς, ἐγκαλυπτόμενος καὶ δακρύων. οὐ γὰρ συμφορᾶς αὐτῷ μόνον, ἀλλὰ καὶ αἰσχύνης ὑπόθεσιν εἶχεν ὁ πόλεμος. τοσούτῳ γὰρ τοῦ Σαοὺλ ὑβριστικωτέρως ὁ υἱὸς ἐχρήσατο τῷ μακαρίῳ τότε ἐκείνῳ, ὡς καὶ εἰς τὰς παλλακὰς ἐνυβρίσαι τοῦ

β. Βασ. ε. η.

β. Βασ. ιϛ. ια.

πατρός· καὶ ταῦτα οὐ λάθρα, ἀλλ' ἐπὶ τοῦ δώματος, ὁρώντων ἁπάντων, καὶ τοὺς τῆς φύσεως θεσμοὺς, καὶ τοὺς τῆς μίξεως νόμους διὰ τὴν κατὰ τοῦ πατρὸς ὕβριζε μανίαν. καὶ ὑπὸ τῆς ἀπονοίας μεθύων, ἔτι τοῦ πολέμου συνεστῶτος, τὰ τῶν ἤδη νενικηκότων καὶ λαβόντων αἰχμαλώτους τοὺς ἐναντίους ἐτόλμα καὶ ἐπεδείκνυτο. οὕτω τοίνυν ὄντα κατώδυνον καὶ φοβούμενον ὁρῶν ὁ Σιβὰ, συνετάραξε πλέον, καταψευσάμενος τοῦ δεσπότου καὶ εἰπὼν, ὅτι τὰ τοῦ τυράννου φρονεῖ. τοῦτον διαδέχεται ὁ Σεμεεὶ, μιαρός τις ἀνὴρ καὶ ἀχάριστος, καὶ μυρίοις ὀνείδεσιν ἔβαλε καὶ λίθοις, μετὰ τῶν ῥημάτων ἐκείνων· Ἔξελθε, φησὶν, ἀνὴρ αἱμάτων, καὶ ἀνὴρ ὁ παράνομος. ἐπέστρεψεν *ἐπὶ σὲ Κύριος πάντα τὰ αἵματα τοῦ οἴκου Σαοὺλ, ἀνθ' ὧν ἐβασίλευσας ἀντ' αὐτοῦ· καὶ ἔδωκε Κύριος τὴν βασιλείαν εἰς χεῖρας Ἀβεσσαλὼμ τοῦ υἱοῦ σου, καὶ ἔδειξέ σοι τὴν κακίαν σου, ὅτι ἀνὴρ αἱμάτων σὺ εἶ. ὁ δὲ ἐτήκετο μὲν ταῦτα ἀκούων καὶ πάσχων, ὡς καὶ ἀπ' αὐτῶν τῶν θρηνῶν τοῦτο ἐδήλου· οὐδὲν δὲ ἐτόλμα περαιτέρω ποιεῖν· ἀλλ' εἰπὼν, Ἄφες αὐτὸν καταρᾶσθαι, ὅτι Κύριος εἴρηκεν αὐτῷ, ὅπως ἴδῃ τὴν ταπείνωσίν μου, καὶ ἀποδώσῃ μοι Κύριος ἀγαθὰ ἀντὶ τῆς κατάρας τῆς ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀφῆκε ζῶντα ἀπελθεῖν· αὐτὸς δὲ περιέμενε τὰ περὶ τοῦ Χουσὶ μεριμνῶν καὶ τρέμων, τί ποτε ἄρα ἔσται τὸ τέλος. ὡς δὲ ἀπηγγέλθη καὶ ταῦτα, συνεκροτεῖτο ὁ πόλεμος πάντων πολέμων τῶν πώποτε γενομένων καινότατος ὢν, καὶ αἰνίγματι μᾶλλον ἐοικώς. τὸν γὰρ αἴτιον τῶν τοσούτων κακῶν, καὶ ἐκείνῃ τῇ μάχῃ παρασχόντα τὴν ὑπόθεσιν ἅπασαν, καὶ οὗ πεσόντος ἅπαντα λέλυτο τὰ δεινὰ, τοῦτον ἔχων ἐν πολλῇ προνοίᾳ καὶ φειδοῖ τοὺς στρατηγοὺς παρεκάλει τοὺς αὐτοῦ συνεχῶς ἐπιλέγων· Φείσασθέ μου τοῦ παιδαρίου τοῦ Ἀβεσσαλώμ. τί ταύτης ἂν γένοιτο τῆς ἀπορίας χεῖρον; τί τῆς ἀμηχανίας ἐλεεινότερον; πόλεμον μὲν δέξασθαι ἠναγκάζετο, ἐν ᾧ καὶ τὸ νικῆσαι καὶ τὸ κρατηθῆναι ὁμοίως ἀπεχθὲς ἦν αὐτῷ. οὔτε γὰρ ἔλαττον ἔχειν ἤθελεν (οὐδὲ γὰρ ἂν τοσοῦτον ἐξέπεμψε στρατὸν) οὔτε περιγενέσθαι. οὐδὲ γὰρ ἂν τὸν συνέχοντα καὶ συγκροτοῦντα τὴν τῆς μάχης παράταξιν ἐκώλυσεν ἀνελεῖν. κριθέντος δὲ τοῦ πολέμου καὶ τέλος λαβόντος, ὅπερ ἤθελεν ὁ Θεὸς, καὶ τοῦ πατραλοίου πεσόντος ἐκείνου, οἱ μὲν λοιποὶ πάντες ἦσαν ἐν εὐφροσύνῃ καὶ χαρᾷ· μόνος δὲ ἐκεῖνος ἐπένθει καὶ ἐδάκρυε. καὶ καθείρξας ἑαυτὸν, ἀνεκαλεῖτο τὸν τεθνηκότα, καὶ ἐδυσχέραινεν ὅτι μὴ ἀντ' ἐκείνου τὴν τελευτὴν ἐδέξατο. Τίς δώσει γάρ μοι, φησὶ, θάνατον ἀντὶ σοῦ, Ἀβεσσαλὼμ υἱέ μου; τί ταύτης ἠκούσθη πολυπλοκώτερον τῆς συμφορᾶς; ὅτε μὲν τὸν ἀδελφὸν ἀνεῖλεν, ἀνελεῖν αὐτὸν ἐσπούδαζεν· ὅτε δὲ ἐμάνη κατ' αὐτοῦ, τότε φείδεται τοῦ παιδός. καὶ οὐκ ἂν ἐπαύσατο θρηνῶν ἐπὶ πολὺ τὸν νεκρὸν, εἰ μὴ εἰσῆλθεν ὁ Ἰωὰβ, καὶ τὴν ἀτοπίαν τοῦ πράγματος "ἔδειξε, καὶ σφοδρότερον διαλεχθεὶς ἀνέστησέ τε αὐτὸν, καὶ ἐν σχήματι τῷ προσήκοντι δέξασθαι τὴν στρατιὰν παρεσκεύασε. καὶ οὐδὲ τότε αὐτῷ τὰ τῶν δεινῶν τέλος ἐλάμβανεν, ἀλλὰ πρότερον μὲν ἐστασίασαν πρὸς ἀλλήλους οἱ στρατιῶται καὶ διηρέθησαν. ὡς δὲ μόλις καὶ μετὰ πολλῆς τῆς κολακείας εἶξαν τῷ βασιλεῖ, πάλιν ἀποπηδήσαντες προσετέθησαν τῷ Σαβεέ, καὶ πάλιν ἐξ ἀρχῆς ἕτερος ἐπίκειτο πόλεμος, τῶν τοῦ προτέρου λειψάνων μενόντων ἔτι. ὑφ' ὧν θορυβηθεὶς ὁ Δαβὶδ, καὶ συγκροτήσας τοὺς στρατιώτας ἐξέπεμψε μετὰ τῶν στρατηγῶν. ὁ δὲ Ἰωὰβ καταπαυσάμενος καὶ τοῦτον τὸν πόλεμον, οὐκ ἀφῆκε καθαρὰν ἀθυμίας γενέσθαι τὴν ἀπὸ τῆς νίκης ἡδονήν. τὸν γὰρ συστράτηγον τὸν αὐτοῦ, καὶ πάντα τὸν λαὸν ὑποτάξαντα τῷ Δαβὶδ, τοῦτον ἁπλῶς καὶ οὐδὲν ἔχων ἐγκαλεῖν, ὑπὸ βασκανίας "μανεὶς, ἀνεῖλε καὶ "διεχρήσατο. ὅπερ οὕτω διετάραξε τὸν βασιλέα καὶ συνέχεεν, ὡς καὶ περὶ τούτου τελευτῶντα ἐπισκῆψαι τῷ παιδὶ, καὶ δεηθῆναι μὴ περιϊδεῖν ἀτιμώρητον ἀπελθόντα τὸν Ἀμιασᾶ. καὶ τὸ δὴ χαλεπώτερον, οὕτω διακείμενος οὐδὲ ἐξειπεῖν ἐτόλμα τῆς ἀθυμίας τὴν ὑπόθεσιν, διὰ τὸ μυρίοις αὐτὸν ἤδη "προσπεπαλαικέναι κακοῖς. καὶ γὰρ καὶ μετὰ τοὺς πολέμους τούτους διεδέξατο λιμὸς τὴν χώραν ἅπασαν· καὶ τοῦ κακοῦ ζητῶν λύσιν εὑρεῖν, ἠναγκάζετο τοὺς τοῦ Σαοὺλ παῖδας ἐκδοῦναι εἰς σφαγήν. τοῦτο γὰρ

ἔλεγεν

β. Βασ. ις. ζ.

*, 8

β. Βασ. ιη. λγ.

χ. ἐδίδ

χ. μων

χ. διεχ

σατο.

χ.

λαιπωρ

ἔλεγεν ὁ χρησμός, Ἐπὶ Σαὺλ, φησὶ, καὶ ἐπὶ τὸν οἶκον αὐτοῦ ἡ ἀδικία αὕτη, διὰ τὸ θανατῶσαι β Βασ κα α.
αὐτὸν τοὺς Γαβαωνίτας. Εἰ δέ τις μέμνηται πῶς τὸν Σαοὺλ ἐθρήνησεν, οἶδε τί καὶ τότε ἔπαθε
παραδιδοὺς τοῖς Γαβαωνίταις αὐτούς. Ἀλλ' ὅμως καὶ ταῦτα ἔφερε, καὶ περαιτέρω πάλιν
προῄει τὰ τῶν συμφορῶν. Μετὰ γὰρ τὸν λιμὸν ἐπέστη λοιμὸς, καὶ πίπτουσιν ἑβδομήκοντα χι-
λιάδες ἀνδρῶν ἐν τῷ τῆς ἡμέρας ἡμίσει χρόνῳ, ὅτε καὶ τὰ ἐλεεινὰ ἐκεῖνα φθέγγεται ῥήματα ὁ
ατμιέν. βασιλεύς. Ἰδὼν γὰρ τὸν ἄγγελον ἐσπασμένον τὴν ῥομφαίαν, ἔλεγεν· Ἰδοὺ ἐγὼ ἥμαρτον, καὶ ἐγὼ ὁ β Βασ. κδ. ιζ.
ποιμὴν ἐκακοποίησα· καὶ οὗτοι τὸ ποίμνιον τί ἐποίησαν; γενέσθω ἐν ἐμοὶ ἡ χείρ σου καὶ ἐν τῷ
οἴκῳ τοῦ πατρός μου. Πάσας μὲν οὖν αὐτοῦ τὰς ἀθυμίας πρὸς ἀκρίβειαν οὐ δυνατὸν ἡμῖν ἐξει-
πεῖν (οὐδὲ γάρ εἰσιν ἀνάγραπτοι πᾶσαι) ἀπὸ δὲ τῶν θρήνων αὐτοῦ καὶ τῶν ὀδυρμῶν, δυνα-
τὸν στοχάσασθαι καὶ τῶν παραλειφθεισῶν τὸ μέγεθος, καὶ ὡς οὐδέποτε διελίμπανε κοπτόμενος
καὶ ἀλύων ὁ δίκαιος. Τί γάρ φησιν; Αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη. Ἐ- Ψαλ. πθ. ι.
ὰν δὲ ἐν δυναστείαις ὀγδοήκοντα ἔτη, καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος. [Εἰ δὲ λέγοις ὅτι τῆς
κοινῆς τοῦτο κατέγνω ζωῆς, οὐ τῆς αὐτοῦ μόνον, μεῖζον, ἢ ἐγὼ αὐτὸς βούλομαι, λέγεις, καὶ λέ-
γων ἡμᾶς ἀπαλλάττεις πολλῶν αὐτὸς ὁμολογῶν, ὅτι οὐ μόνον ἐκείνου, ἀλλ' οὐδὲ ἑτέρου τι-
νὸς βίον ἐστὶν εὑρεῖν μὴ πολλῷ πλείονα τῶν χρηστῶν ἔχοντα τὰ δυσχερῆ. Καὶ γὰρ, ὥσπερ οὖν
καὶ αὐτὸς ἔφης καλῶς, οὐ τὰ αὐτοῦ μόνον ἐκεῖνος, ἀλλὰ καὶ τὰ τῶν ἄλλων διασκεψάμενος,
οὕτω ταύτην ἐξήνεγκε τὴν ἀπόφασιν, τὰ μὲν αὐτὰ τῷ πατριάρχῃ φθεγγόμενος, μετὰ δὲ
μείζονος τῆς σφοδρότητος. Ὁ γὰρ ἐκεῖνος ἐπὶ μέρους, τοῦτο καθόλου αὐτὸς ὕστερον ἀπε-
φήνατο. Ὁ μὲν γὰρ ἔλεγε, Μικραὶ καὶ πονηραὶ αἱ ἡμέραι μου· οὗτος δὲ, αἱ ἡμέραι τῶν ἐ-
τῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη, τουτέστιν, ἁπάντων ἀνθρώπων, καὶ τὸ πλεῖον αὐτῶν κό-
πος καὶ πόνος.]

Ἀλλὰ ταῦτα μὲν, ἅπερ ἔφην, ἀφίημί σοι μετ' ἀκριβείας ἁπάσης καὶ κατὰ σχολὴν ἐπελ-
θεῖν· ἐγὼ δὲ ἐπὶ τοὺς λοιποὺς ἥξω προφήτας· καίτοιγε οὐδαμοῦ τὸν βίον αὐτῶν ἀνάγραπτον
ἀφῆκαν ἡμῖν, ἀλλ' ὅμως καὶ εἰς τοσαύτην στενοχωρίαν ἐμπεσόντες διὰ τὴν ὑπερβολὴν
τῶν κατασχόντων αὐτοὺς κακῶν. Καὶ ἀπὸ ῥήματος ἑνὸς οἶμαι δυνήσεσθαι δεῖξαι πάντα τὸν
βίον αὐτῶν ὄντα κατώδυνον. Καὶ πρότερον μὲν, ὃ κοινὸν πᾶσιν ὑπῆρχεν αὐτοῖς, στρεβλού-
μενοι, μαστιζόμενοι, λιθαζόμενοι, φυλακιζόμενοι, ἐν φόνῳ μαχαίρας ἀποθνήσκοντες, περιερ-
ζόμενοι, χόμενοι ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι *, κακουχούμενοι τὸν ἅπαντα βίον
διετέλουν. Μετὰ δὲ τοῦτο καὶ ἑτέραν εἶχον ἀθυμίας προσθήκην ταύτης χαλεπωτέραν, τὸ
τὴν κακίαν ὁρᾶν προβαίνουσαν τῶν ταῦτα διατιθέντων αὐτοὺς, ἐφ' ᾧ μᾶλλον τῶν οἰκείων ἐ-
δάκνοντο θλίψεων. Καὶ ὁ μὲν ἔλεγεν, Ἀρὰ καὶ ψεῦδος καὶ κλοπὴ καὶ μοιχεία καὶ φόνος κέχυται Ωσ. δ. β.
ἐπὶ τῆς γῆς καὶ αἵματα ἐφ' αἵμασι, τὸ ἀδεὲς καὶ πολύπλοκον καὶ δαψιλὲς τῆς κακίας ἐμφαί-
νων ἡμῖν. Ἕτερος δὲ ἐβόα πάλιν· Οἴμοι ὅτι ἐγενόμην ὡς συνάγων καλάμην ἐν ἀμήτῳ, Μιχ. ζ. α.
καὶ ὡς ἐπιφυλλίδα ἐν τρυγήτῳ οὐχ ὑπάρχοντος βότρυος, τὸ σπάνιον τῶν ἀγαθῶν ἀνδρῶν
διὰ τούτων θρηνῶν. Ἄλλος δὲ πάλιν ἑτέρα τοιαῦτα ἀποδύρεται· ὁ δὲ αἰπόλος οὐ τὰς κακίας
αὐτῶν ἐπένθει μόνον, ἀλλὰ καὶ τὰς συμφορὰς μᾶλλον τῶν οἰκείων ἐθρήνει πειρασμῶν, καὶ τοῦ
Θεοῦ ἐδεῖτο, λέγων· Ἵλεως γενοῦ, Κύριε, τίς ἀναστήσει τὸν Ἰακὼβ, ὅτι ὀλιγοστός ἐστι; με- Αμ. ζ. β.
τανόησον, Κύριε, ἐπὶ τούτῳ. Καὶ οὐδὲ οὕτω τυγχάνει τῆς ἱκετηρίας. Εἶπε γὰρ, καὶ οὐ
μὴ γένηται, λέγει Κύριος παντοκράτωρ. Ὁ δὲ Ἡσαΐας ἀκούσας ὅτι ἔρημος ἔσται πᾶσα ἡ
γῆ, οὐδὲ παρακαλεῖσθαι ἤθελεν, ἀλλ' ἐπένθει διηνεκῶς καὶ ἔλεγεν· Ἄφετέ με, πι- Ησ. κβ. δ.
κρῶς κλαύσομαι· μὴ κατισχύσητε παρακαλεῖν με. Ὁ γὰρ τοῦ θανάτου τρόπος πᾶσαν
ὑπερβαίνει συμφοράν. Τοῦ δὲ Ἱερεμίου τοὺς θρήνους, καὶ τοὺς ἰδίᾳ συντεταγμένους,
καὶ τοὺς πανταχοῦ τῆς προφητείας διεσπαρμένους, τούς τε ὑπὲρ τῆς πόλεως,

τοὺς

Ιερ. θ. α. β. τοῖς τε ὑπ' αὐτοῦ, τίς ἀδακρυτὶ δυνήσεται ἐπελθεῖν; νῦν μὲν γὰρ ἔλεγε, Τίς δώσει τῇ κεφαλῇ
μου ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων, καὶ κλαύσομαι τὸν λαὸν τοῦτον ἡμέρας
καὶ νυκτός; νῦν δὲ, Τίς δώσει μοι ἐν τῇ ἐρήμῳ σταθμὸν ἔσχατον, καὶ καταλείψω τὸν λαὸν τοῦτον, καὶ
Ιερ. ιε. ι. ἀπελεύσομαι ἀπ' αὐτῶν, ὅτι πάντες μοιχῶνται. καὶ ποτὲ μὲν σχετλιάζων ἐβόα· Οἴμοι ἐγὼ,
μῆτερ, ὡς τινά με ἔτεκες ἄνδρα δικαζόμενον καὶ διακρινόμενον πάσῃ τῇ γῇ· ποτὲ δὲ καὶ τὴν ἡμέραν
Ιερ. κ. ιδ. τῆς γενέσεως τῆς αὐτοῦ κατηρᾶτο λέγων· Ἐπικατάρατος ἡ ἡμέρα ἐν ᾗ ἐγεννήθην ἐν αὐτῇ.
ὁ δὲ τοῦ βορβόρου λάκκος, καὶ αἱ τῶν δεσμῶν θλίψεις, καὶ αἱ μάστιγες, καὶ αἱ ἐπιβουλαὶ, καὶ
ὁ γέλως ὁ διηνεκὴς οὕτως αὐτὸν διέθηκαν, ὡς καὶ ἀπαγορεῦσαι λοιπόν. τί δὲ, ἡνίκα
τῆς πόλεως ἁλούσης προνοίας ἔτυχε καὶ τιμῆς παρὰ τῶν βαρβάρων; ἆρα ἥδετο
τούτοις; τότε μὲν οὖν καὶ τοὺς πικροὺς θρήνους ἔγραψε τοὺς ἀπελθόντας πενθῶν, καὶ τῶν περιελθόντων
δὲ οὐκ ἐλάττονα εἶδε δεινὰ, αὐτῶν τῶν ἀπὸ τοῦ πολέμου ὑπολειφθέντων προσκυνούντων
τὸν Θεόν. ἐπαγγειλάμενοι γὰρ πάντα αὐτῷ πεισθήσεσθαι καὶ μηδὲν ἀντερεῖν, εἰς Αἴγυπτον
πάλιν κατῆρσαν, τοῦ χρησμοῦ τἀναντία λέγοντος, καὶ τὸν προφήτην κατῆγον μεθ'
ἑαυτῶν, καὶ χαλεπώτερα τῶν προτέρων αὖθις ἠνάγκαζον προσαναφωνεῖν διὰ τῆς ἀγνωμοσύνης
τῆς αὐτῶν. τί δὲ ὁ Ἰεζεκιήλ; τί δὲ ὁ Δανιήλ; οὐκ ἐν αἰχμαλωσίᾳ τὸν ἅπαντα χρόνον
διήγαγον; καὶ ὁ μὲν λιμῷ καὶ δίψει ὑπὸ τῶν ἀλλοτρίων ἐκολάζετο κακῶν, καὶ τῆς γυναικὸς
ἀπελθούσης, τοσαύτην συμφορὰν ἀδακρυτὶ προσετέτακτο φέρειν, οὗ τί βαρύτερον γένοιτ'
ἄν, τὸ μηδὲ θρηνεῖν συγχωρεῖσθαι τὰ οἰκεῖα κακά; τὸ γὰρ ἐπὶ βολβίτων ἀναγκάζεσθαι
τὸν ἄρτον ἐσθίειν τὸν αὐτοῦ, καὶ ἐπὶ τῆς μιᾶς πλευρᾶς κατακλίνεσθαι ἐπὶ ἐνενήκοντα ἡμέρας
καὶ ἑκατὸν, καὶ ὅσα ἕτερα τοιαῦτα ἐκελεύετο ὑπομένειν, παρίημι νῦν. εἰ γὰρ καὶ μηδὲν
αὐτῷ συμβεβήκει τῶν ἀνιαρῶν, τῶν τε παραλειφθέντων ὑφ' ἡμῶν, τῶν τε λεχθέντων νῦν,
αὐτὸ μόνον τὸ μεταξὺ τῶν πολεμίων εἶναι καὶ βαρβάρων καὶ ἀνδρῶν ἀκαθάρτων τὸν δίκαιον καὶ
καθαρὸν, πάσης τιμωρίας χαλεπώτερον ἦν. ὁ δὲ Δανιὴλ ἔδοξε μὲν τιμῆς ἀπολαύειν πολλῆς,
καὶ οὐχ ὡς ἐν αἰχμαλωσίᾳ ζῆν, ἐν τοῖς βασιλείοις ἀναστρεφόμενος, καὶ ἐν δυναστείαις ὤν.
εἰ δέ τις αὐτοῦ τῆς εὐχῆς ἐπακούσειε, καὶ τὴν νηστείαν καταμάθοι, καὶ τοῦ προσώπου τὴν ἀλλοίωσιν,
καὶ τὰς ἱκετηρίας τὰς συνεχεῖς, καὶ ὑπὲρ ὧν ταῦτα ἔπραττε γνοίη καλῶς, εἴσεται
πάντων τοῦτον μάλιστα ἐν ὀδύναις ὄντα καὶ ἀθυμίαις. οὐ γὰρ τὰ παρόντα μόνον αὐτὸν ἠνία
κακὰ, ἀλλὰ καὶ τὰ μέλλοντα συνετάραττεν, ἅπερ καὶ μηδέπω γεγενημένα κατηξιώθη μαθεῖν
προφητικοῖς ὀφθαλμοῖς. καὶ τῆς προτέρας οὐδέπω δουλείας ἀπαλλαγέντας ἰδὼν τοὺς
Ἰουδαίους, ἑτέραν αὐτῶν αἰχμαλωσίαν ἠναγκάζετο προορᾶν, καὶ τὴν οὔπω κατασκευασθεῖσαν
πόλιν ταύτην ἁλισκομένην ἔβλεπε, καὶ ταῖς θυσίαις μολυνόμενον τὸν ναὸν καὶ ἐρημούμενον,
Δαν. θ. η. καὶ τὴν " ἁγιαστίαν ἀνατρεπομένην ἅπασαν. διόπερ ἐπένθει καὶ ἐδάκρυε λέγων· Ἡμῖν γρ. ἀχρεία
ἡ αἰσχύνη τοῦ προσώπου, καὶ τοῖς βασιλεῦσιν ἡμῶν καὶ τοῖς ἄρχουσι, καὶ τοῖς πατράσιν ἡμῶν, οἵτινες
ἡμάρτομέν σοι τῷ Κυρίῳ. ἀλλὰ γὰρ οὐκ οἶδα πῶς μεταξὺ τῶν προφητῶν παρέδραμον
τὴν οὐρανομήκη ψυχὴν, τὸν οὕτως " οἰκήσαντα τὴν γῆν ὡς τὸν οὐρανόν. οὐδὲ γὰρ αὐτῷ γρ. οἰκου
τῆς μηλωτῆς πλέον ἦν. τί οὖν οὗτος ὁ μέγας καὶ θαυμαστὸς ἀνὴρ, εἴγε ἄνδρα δεῖ αὐτὸν καλεῖν;
μετὰ τὴν παρρησίαν τὴν πρὸς τὸν Ἀχαάβ, μετὰ τὴν τοῦ πυρὸς καταπομπὴν, μετὰ τὴν
τῶν ἱερέων κατασφαγὴν, μετὰ τὸ κλεῖσαι καὶ ἀνοῖξαι τὸν οὐρανὸν, καθ' ὃν ἐβούλετο ἀμφότερα
χρόνον, μετὰ τοσαῦτα καὶ τηλικαῦτα κατορθώματα οὕτως " ἐκρατεῖτο τῷ φόβῳ καὶ τῇ τῆς γρ. ἐκρατ
ἀθυμίας ὑπερβολῇ, ὡς ταῦτα τὰ ῥήματα " φθέγγεσθαι, Λάβε τὴν ψυχήν μου ἀπ' ἐμοῦ, γρ. φθέγ
ὅτι οὐ κρείττων εἰμὶ ἐγὼ " παρὰ τοὺς πατέρας μου. ταῦτα ἐκεῖνος, ὁ μηδέπω καὶ νῦν τετελευτηκώς, γρ. ἰδέ
καὶ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ ἀπελθὼν εἰς τὴν ἔρημον ἐκάθευδεν ὑπὸ τῆς
βαρυθυμίας κατακαμφθείς. ὁ δὲ μαθητὴς ὁ τούτου οὗ τὸ πνεῦμα διπλοῦν ἔλαβε τοῦ διδασ-

κάλου

καλοῦ μόνον, ἀλλὰ καὶ τὰς θλίψεις πολλῷ μείζονας. τούτοις γοῦν ἡμῖν παρὰ μικρὸν ὁ μακάριος Παῦλος παραδεικνὺς, καὶ τὰς ταλαιπωρίας αὐτῶν ἀπαριθμούμενος ἔλεγεν· Ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος.

Ἑβρ. ια. λη.

Εὐκαίρως δὲ ἡμῖν ὁ μακάριος ἐπεισῆλθεν οὗτος. ὁ γὰρ καὶ μόνος ὀφθεὶς καὶ ἀρκέσας πρὸς παράκλησιν, οὗτος μετὰ τοὺς ἄλλους εἰσελθὼν, τίνα οὐκ ἂν ἀφανίσειεν ἀθυμίαν καὶ λύπην; τὸν μὲν οὖν λιμὸν, καὶ τὸ δίψος, καὶ τὴν γύμνωσιν, καὶ τὰ ναυάγια, καὶ τὰς ἐν ταῖς ἐρήμοις διατριβὰς, καὶ τοὺς φόβους, καὶ τοὺς κινδύνους, καὶ τὰς ἐπιβουλὰς, καὶ τὰ δεσμωτήρια, καὶ τὰς πληγὰς, καὶ τὰς ἀγρυπνίας, καὶ τοὺς μυρίους θανάτους, καὶ τὰ ἄλλα, ὅσα τοῦ κηρύγματος ἕνεκεν ὑπέμεινεν, οὐδὲ λέγειν οἶμαι δεῖν. ταῦτα γὰρ, εἰ καὶ θλίψεις τινὰς, ἀλλ' ὅμως καὶ ἡδονὰς παρεῖχεν αὐτῷ. ἀλλ' ὅτε ἀπεστράφησαν αὐτὸν πάντες οἱ ἐν τῇ Ἀσίᾳ, ὅτε Γαλάται διεστράφησαν, ἔθνος ὁλόκληρον καὶ εὐδοκιμηκὸς, ὅτε Κορίνθιοι τὴν παρ' αὐτοῖς ἐκκλησίαν εἰς πολλὰ διέτεμον μέρη, καὶ τὸν πορνεύσαντα κολακεύσαντες εἰς ἀναισθησίαν ἤγαγον, τί αὐτὸν οἴει παθεῖν; πόσῳ καταχεθῆναι σκότῳ τὴν ψυχήν; ἀλλὰ γὰρ τί δεῖ λογισμῶν ἡμῖν, παρὸν ἀκοῦσαι τῶν ῥημάτων αὐτῶν; Κορινθίοις μὲν γὰρ ἐπιστέλλων ἔλεγεν· ὅτι Ἐκ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων· καὶ πάλιν, Μήπως ἐλθόντα με ταπεινώσῃ ὁ Θεὸς, καὶ πενθήσω τινὰς τῶν προημαρτηκότων καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀκαθαρσίᾳ. Γαλάταις δέ· Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. περὶ δὲ τῶν Ἀσιανῶν πρὸς τὸν μαθητὴν ἀποδύρεται. οὐ ταῦτα δὲ μόνον αὐτὸν ἠνία, ἀλλὰ καὶ ὁ σκόλοψ ὁ δοθεὶς αὐτῷ οὕτως αὐτὸν ἔθλιβε καὶ ἐστενοχώρει, ὡς πολλάκις ὑπὲρ τῆς τούτου λύσεως δεήσασθαι τοῦ Θεοῦ. τὸ γὰρ, τρὶς, ἐνταῦθα, ἀντὶ τοῦ, πολλάκις, ἐστίν. ὅλως δὲ πότε ἀναπνεῦσαι ἴσχυσεν ὁ καὶ ἐπὶ ἀπουσίᾳ ἀδελφοῦ κοπτόμενος; Τῷ μὴ με εὑρεῖν, φησὶ, Τίτον τὸν ἀδελφόν μου, οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου. καὶ ἐπὶ νόσῳ πάλιν δὲ αὐτοῦ τοῦτο πάσχων· Ἀλλ' ὁ Θεὸς, φησὶν, αὐτὸν ἠλέησε (περὶ τοῦ Ἐπαφροδίτου Φιλιππησίοις γράφων ἔλεγεν) οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ ἐμὲ, ἵνα μὴ λύπην ἐπὶ λύπῃ σχῶ. καὶ ἐπὶ τοῖς ἀπατῶσι καὶ ἀντιλέγουσιν αὐτῷ σφόδρα βαρυθυμῶν, Τιμοθέῳ ἐπιστέλλων ἔλεγεν· Ἀλέξανδρος ὁ χαλκεὺς πολλά κακά μοι ἐνεδείξατο· ἀποδώσει αὐτῷ Κύριος κατὰ τὰ ἔργα αὐτοῦ. ἵνα οὖν ἀθυμίας καὶ ὀδύνης μικρὰν γοῦν ἔχειν ἀνακωχὴν ἠδύνατο; οὐδὲ γὰρ τὰ εἰρημένα μόνον ἦν τὰ πολιορκοῦντα τὴν ἐκείνου ψυχὴν, ἀλλὰ καὶ ἕτερα πρὸς τούτοις ἦσαν, ἃ διηνεκῆ παρεῖχε τὴν ἀθυμίαν αὐτῷ. καὶ ταῦτα πάλιν αὐτὸς ἐξεκάλυψεν εἰπών· Χωρὶς τῶν παρεκτὸς, ἡ ἐπισύστασίς μου ἡ καθ' ἡμέραν, ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν. τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; εἰ τοίνυν καθ' ἕκαστον τῶν σκανδαλιζομένων αὐτὸς ἐπυροῦτο, οὐκ ἐνῆν σβεσθῆναι τὴν πύρωσιν ταύτην λοιπὸν ἀπὸ τῆς ἐκείνου ψυχῆς. οὐ γὰρ διελίμπανον οἱ σκανδαλιζόμενοι, καὶ τὴν ὑπόθεσιν παρέχοντες τῷ πυρί. ὅπου γὰρ πόλεις καὶ ἔθνη [δὲ] πολλάκις ὁλόκληρα διέπεσε, πολλῷ μᾶλλον ἕνα καὶ δεύτερον εἶναι διαπίπτοντας τοὺς τοῦτο πάσχοντας εἰκὸς ἦν, τοσούτων ἐκκλησιῶν κατὰ τὴν οἰκουμένην οὐσῶν. θῶμεν δὲ, εἰ βούλει, τῷ λόγῳ, μηδὲ σκανδαλισθῆναί τινα, μηδὲ διαζευχθῆναι αὐτοῦ ποτε, μηδὲ ἄλλο τι τούτων αὐτῷ συμβεβηκέναι τῶν λυπηρῶν. οὐδὲ γὰρ οὕτως αὐτὸν δύναμαι καθαρὸν ἀθυμίας εὑρεῖν, κἂν τούτῳ οὐδένα δέομαι ἕτερον μάρτυρα λαβεῖν, ἀλλὰ τὸν πεπονθότα αὐτόν. τί γάρ φησιν; Ηὐχόμην ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου τῶν κατὰ σάρκα, οἵτινές εἰσιν Ἰσραηλῖται. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· ποθεινότερον ἦν μοι εἰς γέενναν ἐμπεσεῖν, ἢ τοὺς Ἰσραηλίτας ἀπιστοῦντας ὁρᾶν. τὸ γὰρ, ηὐχόμην ἀνάθεμα εἶναι, τοῦτό ἐστιν. ὁ δὲ τὴν ἐν τῇ γεέννῃ κόλασιν ἑλόμενος ὑπὲρ τοῦ δυνηθῆναι προσαγαγέσθαι τοὺς Ἰουδαίους ἅπαντας, εὔδηλον ὅτι τούτου μὴ τυχὼν, τῶν ἐν τῇ γεέννῃ κολαζομένων διῆγε βαρύτερον, ἐπείπερ ἐκεῖνο μᾶλλον αὐτῷ κατὰ γνώμην, ἢ τοῦτο ἦν.

β. Κορ. β. δ.
ιβ. κα.
Γαλ. δ. ιθ.
β. Κορ. ιε. ζ.
β. Κορ. β. ιγ.
Φιλιπ. β. κζ.
β. Τιμ. δ. ιδ.
β. Κορ. ια. κη.
Ρωμ. θ. γ.

Σὺ δέ μοι καθ' ἕκαστον τῶν εἰρημένων μὴ τὴν ὑπόθεσιν λογίζου μόνον, ἐξ ἧς ἡ ἀθυμία τοῖς ἀνδράσιν ἐκείνοις ἐπέκειτο, ἀλλὰ καὶ τὸ μέγεθος τῆς λύπης· καὶ πολλῷ ταῦτα μείζονα ὄψει τῆς ὀδύνης τῆς σῆς. ὃ γὰρ ἐξεταζόμενον νῦν τοῦτό ἐστιν, εἰ χαλεπώτερα ἤλγησαν ἐκεῖνοι. μέγεθος δὲ ἀθυμίας, οὐκ ἀπὸ τῆς τικτούσης αὐτὴν προφάσεως μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ῥημάτων, καὶ ἀπὸ τῶν πραγμάτων δοκιμάζεσθαι πέφυκε. πολλοὶ γοῦν χρήματα ἀπολέσαντες μόνον, μειζόνως ἤλγησαν τῆς ἀγάπης τῆς σῆς. καὶ οἱ μὲν εἰς πέλαγος ἔρριψαν ἑαυτούς, οἱ δὲ καὶ βρόχων ἥψαντο οὐκ ἐνεγκόντες τὴν ζημίαν, ἑτέρων δὲ καὶ τοὺς ὀφθαλμοὺς ἔσβεσεν ἡ τῆς ἀθυμίας ταύτης ὑπερβολή. καίτοι δοκεῖ τὸ χρήματα ἀπολέσαι, τοῦ παρὰ δαίμονος ἐνοχληθῆναι ἔλαττον εἶναι καὶ κουφότερον· ἀλλ' ὅμως πολλοὶ τοῦτο μὲν ἤνεγκαν, ὑπ' ἐκείνου δὲ ἡττήθησαν. μὴ γὰρ ἀπὸ τῆς σεαυτοῦ ψυχῆς ταῦτα δοκίμαζε νῦν, μηδ', ὅτι σὺ καταγελᾷς τῆς τῶν χρημάτων ζημίας ἤδη, καὶ τοὺς ἄλλους οὕτω διακεῖσθαι νόμιζε. πολλοὺς γὰρ καὶ εἰς παραπληξίαν καὶ τὴν ἐσχάτην μανίαν ἡ τούτων ἀφαίρεσις ἤγαγε. γενναίαν μὲν γὰρ ψυχὴν οὐδέτερον τούτων δύναται καταβαλεῖν, ἡ δὲ ἀσθενὴς καὶ βιωτικώτερον διακειμένη ἐκείνῳ μᾶλλον ἢ τούτῳ δάκνεται. τί δήποτε; ὅτι οὐκ ἔστιν ἴσον λιμὸν δεδοικέναι διηνεκῶς, καὶ δι' ἡμερῶν τινων ἐνοχλεῖσθαι παρὰ τοῦ νοσήματος τούτου. ἐνταῦθα μὲν γὰρ ἐν βραχεῖ μέρει καιροῦ πᾶσά ἐστιν ἡ βία, καθάπερ πυρετοῦ τινος, ἢ φρίκης, ἢ καὶ ἑτέρας προσβαλούσης τινὸς περιόδου· μᾶλλον δὲ καὶ τούτων ἐλάττονα πολλῷ κατέχει καιρόν. εἰ δὲ τῇ σφοδρότητι νικᾷ πολλοὺς τῶν πυρεττόντων, ἔχοιμι ἂν δεῖξαι ἐγὼ πολλῷ τῶν δαιμονώντων μᾶλλον ἐξισταμένους, ὅταν ἐκείνῳ καταληφθῶσι τῷ πυρί. ἐπὶ δὲ τῆς ἐνδείας ὁ φόβος τῆς τῶν ἀναγκαίων ἀπορίας, καθάπερ σὴς διηνεκής, οὕτω διηνεκῶς* προσεδρεύων κατεσθίει τὴν τῶν πενομένων ψυχήν. καὶ τί λέγω πενίαν; εἰ γὰρ βουλοίμεθα πάσας τὰς ἀνθρωπίνας ἀπαριθμεῖσθαι συμφοράς, οὐχ ἡμεῖς μόνον, ἀλλὰ καὶ αὐτὸς τάχα γελάσεις τοὺς σαυτοῦ θρήνους καὶ τὰς οἰμωγάς. πάσας μὲν οὖν, μᾶλλον δὲ οὐδὲ τὸ πολλοστὸν μέρος αὐτῶν εἰπεῖν ἡμῖν δυνατόν. οὔτε γὰρ ἴσμεν αὐτάς, οὔτε, εἰ ἴσμεν, ὅλος ὁ χρόνος ἂν ἡμῖν πρὸς τὴν διήγησιν ἤρκεσεν. ὀλίγας δὲ ἐκ πολλῶν ἀναλεξάμενος, ἐκ τούτων σοι παρέξω κατὰ δύναμιν καὶ τὰς οὐκ εἰρημένας στοχάσασθαι. ἀναμνήσθητι γὰρ τὸν φίλτατον γέροντα ἐκεῖνον, Δημόφιλον λέγω, τὸν ἐκ τῆς μεγάλης καὶ λαμπρᾶς οἰκίας. οὗτος πέμπτον καὶ δέκατον ἔτος ἔχει λοιπόν, ἐξ οὗ τῶν μὲν νεκρῶν οὐδὲν ἄμεινον διάκειται πρὸς τὸ ἐνεργεῖν, πλὴν ὅσον τρέμει διηνεκῶς, καὶ φθέγγεται, καὶ τὴν αἴσθησιν τρανὴν τῶν οἰκείων ἔχει κακῶν· πενίᾳ δὲ ἐσχάτῃ συζῇ καὶ τὸν διακονούμενον ἔχει νεανίσκον ἕνα, χρηστὸν μὲν καὶ φιλοδέσποτον, οὐ μὴν ἱκανὸν τὴν συμφορὰν παραμυθήσασθαι ἐκείνην. οὔτε γὰρ τῇ πενίᾳ ἀμύνειν ἔχει, οὔτε τὸν τῆς παρέσεως καταπαῦσαι τρόμον, ἀλλὰ ψωμὸν ἐνθεῖναι μόνον τῷ στόματι τοῦ δεσπότου (οὐδὲ γὰρ πρὸς τοῦτον ἀρκοῦσι βοηθῆσαι αἱ χεῖρες αὐτῷ) καὶ ποτήριον προσαγαγεῖν, καὶ κορυζῶντα ἀπομύξαι δύναιτ' ἄν· ἕτερον δὲ τούτων εἰσενεγκεῖν πλέον οὐδέν. ἀλλ' οὗτος μὲν πεντεκαίδεκα ἔτη ἔχει λοιπὸν *ταλαιπωρούμενος οὕτως, ὡς ἔφθην εἰπών· ἐγὼ δὲ ἐννοῶ τὸν ὀκτὼ καὶ τριάκοντα ἔτη εἰς τοῦτο καταναλώσαντα τὸ πάθος. σὺ δέ μοι πρὸς τούτοις καὶ Ἀριστόξενον λόγισαι τὸν Βιθυνόν. τούτῳ γὰρ τὸ μὲν σῶμα οὐ διαλέλυται, καθάπερ ἐκείνῳ τῷ γέροντι· νόσος δὲ ἐπίκειται πολλῷ τῆς παραλύσεως ἐκείνης χαλεπωτέρα. διὰ γὰρ τοῦ ἥπατος σπασμοί τινες καὶ πάσης ἀλγηδόνος πικρότεροι πόνοι, ποτὲ μὲν ὀβελίσκων χεῖρον διαπείροντες, ποτὲ δὲ πυρὸς σφοδρότερον διατρώγοντες, καὶ καθ' ἑκάστην ἡμέραν καὶ νύκτα διενοχλοῦντες, παρὰ τοῖς οὐκ εἰδόσι τὸ πάθος μαινομένου περιτιθέασι δόξαν αὐτῷ. οὕτω διαστρέφοντες τὰς κόρας, οὕτω στραγγαλοῦντες τὰς χεῖρας μετὰ τῶν ποδῶν, τιθέασιν ἄφωνοι. αἱ δὲ κραυγαὶ καὶ οἱ κωκυτοὶ (καὶ γὰρ καὶ ἀνακράζει πολλάκις μετὰ τὴν ἀφωνίαν ἐκείνην) τὰς τῶν ὠδινουσῶν νικῶσιν ὀλολυγάς. καὶ πολλάκις τῶν πόῤῥωθεν οἰκούντων ἀῤῥώστους ἔχοντες, καὶ ὑπὸ πολλῆς ἀγρυπνίας ἐνοχλουμένους ἔπεμψαν ἐγκαλοῦντες ὑπὲρ τῶν καμνόντων,

γ. πο

γ. ζω

γ. ἐρημ

γ. ἐχόντ

ὡς χρόνον ἀπὸ τῆς τοῦ ἰοῦ διατεθέντων φωνῆς. γίνεται δὲ αὐτῷ οὐκ ἐκ διαλειμμάτων μακρῶν, ἀλλὰ πολλάκις μὲν τῆς ἡμέρας, πολλάκις δὲ τῆς νυκτός. καὶ λοιπὸν ἕκτος ἐστὶν οὗτος ἐνιαυτὸς, ἐξ οὗ τῇ πονηρᾷ ταύτῃ παραδέδοται μάστιγι. καὶ οὔτε οἰκέτης πάρεστιν ὁ θεραπεύσων αὐτὸν, οὔτε ἰατρὸς παραμυθησόμενος, τοῦτο μὲν διὰ τὴν πενίαν, τοῦτο δὲ διὰ τὸ τὴν τέχνην αὐτοῖς ἐλεγχθῆναι τῷ πάθει. πολλὰ γὰρ πολλοὶ λαβόντες (καὶ γὰρ ἔτυχε πρὸ τούτου χρήματα ἔχων ἐκεῖνος) ὤνησαν οὐδέν. καὶ τὸ δὴ δεινότερον, οὐδὲ τῶν φίλων τις αὐτὸν ὁρᾶν ἐθέλει λοιπόν, ἀλλ᾽ ἅπαντες αὐτὸν ἐγκατέλιπον, καὶ τῶν πολλὰ πρότερον εὐεργετηθέντων παρ᾽ αὐτοῦ. εἰ δέ τις καὶ εἰσέλθοι ποτὲ, εὐθέως ἀπεπήδησε· τοσαύτης δυσωδίας τὸ δωμάτιον ἐμπέπλησται, ὥστε μηδένα τὸν ἐπιμελόμενον εἶναι. μία γὰρ αὐτῷ παιδίσκη παρακάθηται μόνη, τοσαῦτα διακονοῦσα, ὅσα εἰκὸς δύνασθαι γυναῖκά τε οὖσαν, καὶ μόνην, καὶ ἐκ τῆς ἐργασίας διατρεφομένην τῶν χειρῶν. πόσων οὖν δαιμόνων χαλεπώτερα τὰ ἐκείνου κακά; εἰ γὰρ καὶ μηδὲν αὐτὸν ἠνώχλει τούτων, τί οὐκ ἂν ἔπαθεν, ἐννοῶν τὸν χρόνον τὸν μακρὸν, ὃν ἐπὶ τῆς κλίνης κατάκειται, τὴν δαπάνην τὴν πολλὴν καὶ εἰς ἐσχάτην αὐτὸν ἐμβαλοῦσαν πενίαν, τῶν φίλων τὴν καταφρόνησιν, τῶν θεραπευόντων τὴν ἐρημίαν, τὸ μηδὲ, εἰ στήσεταί ποτε τὰ δεινὰ ταῦτα, εἰδέναι (ὅπερ ἀεὶ σὺ πενθεῖς) μᾶλλον δὲ τὸ πεπεῖσθαι ἀκριβῶς, ὅτι οὐδὲ στήσεταί ποτε, ζῶντος αὐτοῦ καὶ ἐμπνέοντος ἔτι; ἡ γὰρ ἐπίτασις τοῦ νοσήματος, καὶ τὸ καθ᾽ ἑκάστην ἡμέραν ἐπὶ τὸ χεῖρον αὐτῷ προβαίνειν τὸ δεινὸν, τοῦτό φησιν. ἵνα δὲ μὴ καθ᾽ ἕκαστον τοὺς τὰ τοιαῦτα δεδυστυχηκότας ἀπαριθμῶν, δόξω σου ἀκούοντος ἀποκναίειν, ἄπιθι πρὸς τὸν ἐπιτραπέντα τὴν τοῦ ξενῶνος ἐπιστασίαν, καὶ κέλευσον εἰσαγαγεῖν σε πρὸς τοὺς κατακειμένους ἐκεῖ, ἵνα πᾶσαν ἴδῃς ῥίζαν παθῶν, καὶ ξένους [illegible], καὶ παντοδαπὰς ἀθυμιῶν ὑποθέσεις. ἐκεῖθεν εἰς τὸ δεσμωτήριον ἐλθὼν, καὶ πάντα τὰ ἐν τῷ οἰκήματι τούτῳ καταμαθὼν, βάδισον ἐπὶ τὰ προπύλαια τῶν βαλανείων, ἔνθα [ ] κόπρῳ καὶ καλάμῃ ἀντὶ ἱματίων καὶ οἰκιῶν κεχρημένοι τινὲς κατάκεινται) γυμνοὶ κρυμῷ καὶ νόσῳ καὶ λιμῷ πολιορκούμενοι διηνεκῶς, τῇ ὄψει μόνῃ καὶ τῷ τρόμῳ τοῦ σώματος καὶ τῷ ψόφῳ τῶν συγκρουόντων ὀδόντων παρακαλοῦντες τοὺς παριόντας, καὶ οὔτε φωνὴν ἀφεῖναι, οὔτε χεῖρας ἐκτεῖναι δυνάμενοι, τῷ σφόδρα ἤδη τοῖς τοσούτοις ἐκτετρῦχθαι κακοῖς. ἀλλὰ μηδὲ μέχρι τούτων στῇς, ἀλλὰ καὶ πρὸς τὸ τῶν πτωχῶν καταγώγιον τὸ πρὸ τῆς πόλεως ἔξιθι· καὶ τότε ὄψει καλῶς, ὅτι ἡ δοκοῦσά σε συνέχειν ἀθυμία νῦν λιμένος εὐδίας ἐστί. τί γὰρ ἄν τις εἴποι τοὺς ἐλεφαντιῶντας κατὰ μικρὸν ἀναλισκομένους ἄνδρας; τὰς καρκίνῳ κατεσθιομένας γυναῖκας; ταῦτα γὰρ ἀμφότερα τὰ νοσήματα μακρά τέ ἐστι καὶ ἀνίατα· θάτερον δὲ αὐτῶν καὶ τῆς πόλεως ἀπελαύνει τοὺς ἔχοντας, καὶ οὔτε λουτρῶν, οὔτε ἀγορᾶς, οὔτε ἄλλου τινὸς τῶν ἐν αὐτοῖς μετασχεῖν θέμις αὐτοῖς ἐστι. καὶ οὐ τοῦτο μόνον τὸ δεινόν, ἀλλ᾽ ὅτι οὐδὲ ὑπὲρ τῆς τῶν ἀναγκαίων ἔχουσιν ἀφθονίας θαρρεῖν. τί δὲ τοὺς τὰ μέταλλα πολλάκις εἰκῇ καὶ μάτην καταδικασθέντας οἰκεῖν; οὗτοι γὰρ ἅπαντες πολλῷ μείζονα τῶν δαιμονώντων τὴν ὀδύνην ἔχουσιν. εἰ δὲ ἀπιστεῖς, οὐδὲ θαυμαστόν. οὐ γὰρ τῇ αὐτῇ γνώμῃ τά τε οἰκεῖα καὶ τὰ ἀλλότρια κρίνειν εἰώθαμεν κακά· ἀλλ᾽ ἐκεῖνα μὲν λόγῳ καὶ ὄψει μόνον μαθόντες, ταῦτα δὲ τῇ πείρᾳ καὶ τῇ αἰσθήσει καὶ μετὰ τῆς συμπαθείας τῆς ἑαυτῶν. διόπερ αὐτὰ ἀφορητότερα ἐκείνων εἶναι νομίζομεν, κἂν λίαν ᾖ κοῦφα καὶ φορητά. εἰ δέ τις τούτων πάντων ἀπαλλαγεὶς, τήν τε φύσιν αὐτῶν καταμάθοι, καὶ τοὺς ἐμπεσόντας αὐτοῖς διασκέψαιτο, οὗτος ἀδέκαστον μὲν ὑπὲρ τούτων οἴσει τὴν ψῆφον ἡμῖν.

Ἀλλ᾽ ἴσως ἐκεῖνο ἐρεῖς, ὅτι πάντα μὲν ἐκεῖνα τὰ πάθη περὶ τὸ σῶμα στρέφεται μόνον· αὕτη δὲ τῆς ψυχῆς ἅπτεται ἡ νόσος, καὶ τούτων πάντων ἐστὶ χαλεπωτέρα. αὐτὸ μὲν οὖν τοῦτο μάλιστα αὐτὴν εὑρήσομεν ἐκείνων κουφοτέραν τυγχάνουσαν. αὕτη μὲν γὰρ οὐδὲ τὸ σῶμα διαφθείρει, καθάπερ ἐκείνη, καὶ τῇ ψυχῇ πρὸς βραχὺν ἐνοχλεῖ χρόνον· ἃς δὲ ἀπηειθμη πάλιθανιῶ, φύονται μὲν ἐν τῇ σαρκί, τὴν δὲ λύμην ἅπασαν οὐ μέχρις ἐκείνης ἱστῶσιν, ἀλλὰ καὶ ἐπὶ τὴν ψυχὴν παραπέμπουσι, στρεβλοῦσαι αὐτὴν συνεχῶς, καὶ διαφθείρουσαι διὰ τῆς ὀδύνης καὶ τῆς ἀθυμίας τῆς πολλῆς. Ὥσπερ γάρ, φησιν, ὄξος ἕλκει ἀσύμφορον, οὕτω προσπεσὸν πάθος σώματι καρδίαν λυπεῖ. μὴ τοίνυν ὅτι ἀπὸ τοῦ σώματος τίκτεται τοῦτο λέγε μόνον, ἀλλ' εἰ μὴ παραπέμπει τὴν λύμην ἅπασαν καὶ τὴν φθορὰν τῇ ψυχῇ, τοῦτο ἐπίδειξον. ἐπεὶ καὶ ὁ λοιμὸς οὐκ ἀπὸ τῶν σωμάτων τικτόμενος φθείρει τὰ σώματα, καὶ ὁ τῶν ἑρπετῶν ἰὸς πρόεισι μὲν ἐξ ἐκείνων, λυμαίνεται δὲ ἡμᾶς· οὕτω καὶ ἐπὶ τούτων τῶν παθῶν· τίκτεται μὲν ἀπὸ τοῦ σώματος, τὸν δὲ ἰὸν τῆς οἰκείας κακίας εἰς τὴν ψυχὴν τὴν ἡμετέραν ἐκχεῖ. πάσης γὰρ δαιμονικῆς ἐνεργείας βλαβερωτέρα ἡ τῆς ἀθυμίας ὑπερβολή· ἐπεὶ καὶ ὁ δαίμων, ἐν οἷς ἂν κρατῇ, διὰ ταύτης κρατεῖ. κἂν ταύτην ἀφέλῃς, οὐδὲν παρ' ἐκείνου πείσεταί τις δεινόν. καὶ πῶς ἔνι μὴ ἀθυμεῖν, φησιν; ἐγὼ δέ σε ἐρήσομαι, πῶς οὐκ ἔνι μὴ ἀθυμεῖν; εἰ μὲν γὰρ μοιχεία καὶ φόνος, ἢ ἄλλο τί σοι τοιοῦτον τετόλμηται τῶν ἐκκλειόντων τῆς βασιλείας τῶν οὐρανῶν, ἀθύμει καὶ πένθει, ὁ κωλύσων οὐδείς· εἰ δὲ τούτων τῇ τοῦ Χριστοῦ χάριτι πάντων πόρρωθεν ἕστηκας, τί μάτην κόπτεις σαυτόν; τὴν γὰρ ἀθυμίαν ἐνέθηκεν ἡμῖν ὁ Θεὸς τῇ φύσει, οὐχ ἵνα ἁπλῶς καὶ ἀκαίρως καὶ ἐν τοῖς ἐναντίοις αὐτῇ χρώμεθα πράγμασιν, οὐχ ἵνα φθείρωμεν ἑαυτούς, ἀλλ' ἵνα τὰ μέγιστα κερδαίνωμεν ἐξ αὐτῆς. πῶς δὲ κερδᾶναί ἐστιν; ὅταν εἰς καιρὸν αὐτὴν παραλαμβάνωμεν. καιρὸς δὲ ἀθυμίας, οὐχ ὅταν πάσχωμεν κακῶς, ἀλλ' ὅταν δρῶμεν κακῶς. ἡμεῖς δὲ τὴν τάξιν ἀνεστρέψαμεν, καὶ τοὺς καιροὺς ἀντηλλάξαμεν. καὶ ποιοῦντες μὲν μυρία κακά, οὐδὲ πρὸς βραχὺ συστελλόμεθα· ἐὰν δὲ μικρόν τι παρ' ἑτέρου πάθωμεν, καταπίπτομεν, συστελλόμεθα, ἰλιγγιῶμεν, ἀποστῆναι τοῦ βίου σπεύδομεν. τοιγάρτοι διὰ τοῦτο φορτικὸν καὶ βαρὺ τὸ πρᾶγμα ἡμῖν εἶναι δοκεῖ, ὅπερ οὖν καὶ ὁ θυμὸς καὶ ἡ ἐπιθυμία. καὶ γὰρ καὶ ταῦτα, τῷ μὴ χρήσασθαι καλῶς μηδὲ εἰς δέον, διέβαλον. καὶ συμβαίνει ταὐτόν, οἷον ἐπὶ τῶν φαρμάκων τῶν παρὰ τῶν ἰατρῶν διδομένων. καὶ γὰρ ἐκεῖνα, ὅταν μὴ τοῖς καταλλήλοις καὶ ὑπὲρ ὧν κατεσκεύασται, ἀλλ' ἑτέροις ἀνθ' ἑτέρων ἐπιτεθῇ πάθεσιν, οὐ μόνον οὐκ ἀπήλλαξε τοῦ λυποῦντος τὸν κάμνοντα, ἀλλὰ καὶ μᾶλλον ἐπέτεινε τὸ νόσημα· ὅπερ οὖν καὶ ἡ ἀθυμία ποιεῖ, καὶ εἰκότως. αὐστηρὸν γὰρ οὖσα καὶ διαβρωτικὸν φάρμακον, καὶ ὡς ἂν εἴποι τις, καθαρτήριον τῆς πονηρίας τῆς ἐν ἡμῖν, ὅταν μὲν ἀσελγούσῃ ψυχῇ καὶ τρυφώσῃ καὶ πολλὴν ἐχούσῃ τὸν τῶν ἁμαρτημάτων φόρτον παρέχηται, μέγιστα τὸν δεξάμενον ὤνησεν· ὅταν δὲ ἀθλούσῃ καὶ ἀγωνιζομένῃ καὶ πονούσῃ καὶ μεμεριμνημένῃ καὶ πασχούσῃ κακῶς, πρὸς τὸ μηδὲν ὠφελῆσαι, καὶ τὰ μέγιστα ἔβλαψεν, ἀσθενεστέραν ἐργασαμένη καὶ εὐκαταγώνιστον. διὰ τοῦτο τοῖς μὲν ἑστηκόσι καὶ ἀγωνιζομένοις ὁ Παῦλος γράφων ἔλεγε· Χαίρετε ἐν Κυρίῳ πάντοτε, πάλιν ἐρῶ χαίρετε· τοῖς δὲ διαχυθεῖσι καὶ πολλὴν ἔχουσι τὴν φλεγμονήν· Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε. ὁ μὲν γὰρ λιπαινόμενος τῷ τῶν ἁμαρτημάτων λιπασμῷ ἰσχνούσθω, καταξαινέσθω τῷ φαρμάκῳ τούτῳ· ὁ δὲ εὐεκτῶν καὶ ἐν τῇ προσηκούσῃ καταστάσει διατηρῶν ἑαυτόν, τίνος ἕνεκεν ἂν φθείρει τὴν εὐεξίαν διὰ τῆς ἀθυμίας; οὕτω γάρ ἐστιν αὕτη δραστήριος, ὡς καὶ τοῖς δεομένοις αὐτῆς πλείονα τοῦ δέοντος ἐπιτεθεῖσα χρόνον μεγάλα ἐργάσασθαι κακά. ὅπερ καὶ ὁ μακάριος Παῦλος δεδοικώς, ταχέως αὐτὴν ἐκέλευσεν ἀφεῖσθαι μετὰ τὸ πρᾶξαι τὸ ἑαυτῆς· καὶ τὴν αἰτίαν προσετίθει ταύτην, ἣν ἐγὼ λέγω νῦν· Μήπως γάρ, φησι, τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. εἰ δὲ τοὺς ἐν χρείᾳ καθεστῶτας οἶδεν ἀπολλύναι προσπεσοῦσα μεθ' ὑπερβολῆς, τί ποτε ἐργάσεται τοὺς οὐδὲ ὅλως δεομένους αὐτῆς, ὅταν αὐτὴν πολλὴν ἐπισπάσωνται; ναί, φησιν, οἶδα τοῦτο καὶ αὐτός· ἀλλὰ πῶς αὐτὴν ἀποκρούσομαι καὶ ἀποστήσω τῆς ἐμαυτοῦ ψυχῆς, οὐκ οἶδα. καὶ ποίας τοῦτο δυσκολίας, ὦ φίλε; εἰ μὲν γὰρ ἐπιθυμία τις ἦν καὶ σωμάτων ἔρως ἄτοπος, ἢ κενοδοξίας τυραννὶς τὸ δυσκαταγώνιστον κακόν, ἢ ἄλλο τι τῶν τοιούτων παθῶν, καλῶς

ἂν

Παροιμ. κε. κ.

Φιλιπ. δ. δ.

α. Κορ. ε. β.

β. Κορ. β. ζ.

ἂν ἠπόρεις περὶ τῆς ἀπαλλαγῆς. τοὺς γὰρ τοιούτοις ἁλόντας ἀδύνατον μὲν οὐδαμῶς, δύσκολον δὲ ὅμως ἀποδρᾶναι τὰ δίκτυα. τί δήποτε; ὅτι τὴν ἡδονὴν ἔχουσι συμπαρατάττουσαν καὶ βοηθοῦσαν αὐτοῖς· καὶ αὕτη ἐστὶν ἡ τὰ πολλὰ πανταχόθεν περιβάλλουσα τοῖς ἑαλωκόσι σχοινία, καὶ τοῦτο πρῶτον ἔχει πρὸς τὸ κατορθωθῆναι χαλεπόν, πεῖσαι τὴν ψυχὴν ὅλως θελῆσαι καὶ βουληθῆναι τὴν ἀπαλλαγήν. καὶ γίνεται παρόμοιον, ὥσπερ ἂν εἴ τις ψώραν, ἢ κνησμονὴν ἀποθέσθαι ὀφείλων, ἐνδιδοῖτο τῷ νοσήματι, καὶ εἴσω τοῦ πάθους ἑαυτὸν εἰσωθοίη. πρὸς δὲ τὴν τῆς λύπης ἀναχώρησιν οὐ μικρὸν ἡμῖν τοῦτο ἰσχῦσαι, τὸ πῶς ἀηδῶς ἔχειν πρὸς αὐτήν. ὁ γάρ τινι βαρυνόμενος, καὶ ἀπορρῖψαι σπουδάσει ταχέως αὐτό. τί οὖν ἂν σπεύδῃ μέν, μὴ δύνηται δέ; μὴ παυέσθω σπουδάζων, καὶ ταχέως δυνήσεται. ἐννόησον γὰρ ὅτι τὸν χριστιανόν, εἴ ποτε λυποῖτο, δύο μόνον ὑποθέσεις ἀθυμίας ἔχειν δεῖ, ἢ ὅταν αὐτός, ἢ ὅταν ὁ πλησίον προσκρούσῃ τῷ Θεῷ. τῆς δὲ παρούσης λύπης οὐδεμίαν τῶν προφάσεων τούτων ῥίζαν ἐχούσης, εἰκῇ σαυτὸν ὀδυνᾷς. καὶ πόθεν τοῦτο δῆλόν, φησιν, ὅτι οὐ παρασκευασμάτων ταύτην τίνομεν δίκην; μάλιστα μὲν δῆλόν ἐστι· πλὴν τέως οὐκ ἰσχυρίζομαι τοῦτο· ἀλλ' ἔστω, εἰ βούλει, μηδὲ ἄδηλον, ὡς ἔφης, ἀλλὰ καὶ σφόδρα δῆλον, ὅτι ἁμαρτημάτων ἐστὶ τοῦτο ἀνταπόδοσις. διὰ τοῦτο οὖν ἀλγεῖς, εἰπέ μοι; καὶ μὴν εὐθυμίας ἄξιον τὸ ἐν τούτῳ διαλύσασθαι τὰ ἁμαρτήματα, καὶ μὴ σὺν τῷ κόσμῳ κατακρίνεσθαι. τὸν γὰρ ἀλγοῦντα, οὐχ ὑπὲρ ὧν κολάζεται, ἀλλ' ὑπὲρ ὧν ἁμαρτάνων παρώξυνε τὸν Θεόν, ἀλγεῖν δεῖ. τὰ μὲν γὰρ ἁμαρτήματα ἀφίστησιν ἡμῶν τὸν Θεὸν καὶ ἐχθρὸν ποιεῖ· τὰ δὲ τῶν κολάσεων καταλλάττει τε αὐτὸν ἡμῖν καὶ παρασκευάζει ἵλεων εἶναι καὶ ἐσίες. ὅτι δὲ οὔτε ἁμαρτημάτων ἐστὶν ἀντίδοσις, ἀλλὰ στεφάνων καὶ βραβείων ὑπόθεσις οὗτος ὁ ἱδρὼς καὶ πόνος, δῆλον ἐκεῖθεν. εἰ μὲν γὰρ αἰσχρῶς καὶ ἀσώτως τὸν πρότερον βίον βιούς, οὕτως ἐπὶ τὴν τῶν μοναχῶν πολιτείαν μετέθηκας σεαυτόν, κἂν μὲν οὐδὲ οὕτω ταύτην ὑποπτεῦσαι τὴν ὑποψίαν. εἰ γὰρ διὰ τοῦτο ἐπάγει τὰς τιμωρίας ὁ Θεός, ἵνα τρέψῃ πρὸς μετάνοιαν τοὺς ἀνενδότως ἔχοντας, τῆς μετανοίας ἐπιδειχθείσης, περιττὰ λοιπὸν τὰ τῆς τιμωρίας τούτου γε ἕνεκεν ἐστί. τοσοῦτον γὰρ ἀπέχει τοῦ βούλεσθαι κολάζειν ἡμᾶς ὁ Θεός, ὡς καὶ πολλάκις τιμωρίας ἄξια πράττοντας, καὶ πολλῆς δεομένους ἐπιστροφῆς, δι' ἀπειλῆς μόνον καὶ ῥημάτων φοβερῶν σωφρονίζειν ἡμᾶς. καὶ τοῦτ' ἔστιν ἰδεῖν ἐπί τε τοῦ Ἰσραήλ, ἐπί τε τῆς πόλεως τῶν Νινευιτῶν. οὐ γὰρ μόνον τὴν τιμωρίαν οὐκ ἐπήγαγε, τὴν μετάνοιαν ἐπιδειξαμένων ἐκείνων, ἀλλὰ καὶ τὴν ἀπειλὴν εὐθέως ἔλυσε. πολλῷ γὰρ ἡμῶν αὐτῶν αὐτὸς βούλεται μᾶλλον μηδὲν ἡμᾶς πάσχειν κακόν· καὶ οὐδεὶς οὕτως ἑαυτοῦ φείσαιτ' ἄν, ὡς πάντων ἡμῶν ὁ Θεός. εἶτα ὁ τοὺς πολλάκις μὲν ἡμαρτηκότας ῥήμασι φοβῶν, μετανοήσαντας δὲ καὶ ταύτης ἀπαλλάττων τῆς ἀγωνίας, σὲ τὸν τοσαύτην ἐπιδειξάμενον εὐλάβειάν τε καὶ ἀρετήν, οὐ μόνον τῆς ἀπειλῆς οὐκ ἀπήλλαξεν, ἀλλὰ καὶ τῇ διὰ τῶν ἔργων παρεδίδου κολάσει; καὶ πῶς ἄν τις τοῦτο πιστεύσειε; πλὴν ἀλλ' εἰ μὲν διέφθαρτό σοι, καὶ πονηρὸς (ὅπερ ἔφην) ὁ πρὸ τούτου βίος ἦν, κἂν εἰς ἔννοιαν τούτου ἐλθεῖν τινι δυνατὸν ἦν· νῦν δὲ τοῦ μὲν παρόντος ἐλάττων ἐκεῖνος, κόσμιος δὲ καὶ αὐτὸς καὶ πολλῆς γέμων σεμνότητος ἦν. ὥστε πάντοθεν ἡμῖν ἐστι φανερόν, ὅτι στεφάνων καὶ μείζονος ὑποθέσεώς ἐστι ταυτὶ τὰ παλαίσματα. δεῖ μὲν οὖν, ὅπερ ἔφην, καὶ τούτους καὶ τοὺς τοιούτους ἀνακινεῖν λογισμούς· δεῖ δὲ μετὰ τούτων, μᾶλλον δὲ καὶ πρὸ τούτων, εὐχαῖς καὶ ἱκετηρίαις τοῦτο διασκεδάζειν τὸ σκότος. καὶ γὰρ ὁ μακάριος Δαβίδ, ὁ θαυμαστὸς ἐκεῖνος καὶ μέγας ἀνήρ, τούτοις ἐχρήσατο τοῖς φαρμάκοις συνεχῶς, καὶ οὕτω τὰς πολλὰς τῶν θλίψεων ἀπεκρούετο ὀδύνας, νῦν μὲν εὐχόμενος καὶ λέγων, Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν, ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με· νῦν δὲ λογισμοὺς ἀνακινῶν εὐσεβεῖς· Ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ· καὶ πάλιν ἀπὸ τῶν λογισμῶν τρεπόμενος ἐπὶ τὰς εὐχάς· Ἄνες μοί, φησιν.

Ψαλ. κδ. ιη.

Ψαλ. μβ γ.

Ψαλ. λη ιη.

Ψαλ. οβ. κε. φησιν, ἵνα ἀναψύξω πρὸ τοῦ με ἀπελθεῖν· καὶ ἀπὸ τῶν εὐχῶν ἐπὶ τοὺς λογισμούς· Τί γάρ
μοι ὑπάρχει ἐν τῷ οὐρανῷ, καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς; οὕτω καὶ ὁ Ἰὼβ πρὸς
μὲν τὴν γυναῖκα παραινοῦσαν τὰ Σατανικὰ ῥήματα, λογισμοῖς ἀπεμάχετο καὶ ἐπετίμα
Ἰὼβ β. ι. λέγων· Ἵνα τί ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν, οὕτως ἐλάλησας; Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα
ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; πρὸς δὲ τὸν Θεὸν ἱκετηρίαις ἐκέχρητο.
καὶ ὁ μακάριος δὲ Παῦλος ἀμφοτέροις τούτοις ἐβοήθει τοῖς ἐν θλίψεσιν οὖσι καὶ πειρασμοῖς,
Ἑβρ ιβ. η. νῦν μὲν λέγων· Εἰ δὲ χωρίς ἐστε παιδείας, ἄρα νόθοι ἐστὲ, καὶ οὐχ υἱοί. τίς γάρ ἐστιν υἱὸς, ὃν οὐ
α. Κορ ι. ιγ. παιδεύει πατήρ; νῦν δὲ εὐχόμενος· Πιστὸς γάρ, φησιν, ὁ Θεὸς, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι
β. Θεσ α. ς. ὑπὲρ ὃ δύνασθε. καὶ πάλιν, Εἴπερ δίκαιον παρὰ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν
ὑμᾶς θλίψιν, καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν. ἂν οὖν τούτοις καὶ αὐτὸς θέλῃς χρῆσθαι
τοῖς ὅπλοις, καὶ περιφράξῃς σεαυτὸν πανταχόθεν καλῶς, τοῖς μὲν λογισμοῖς ἀποτειχίζων
τῆς ἀθυμίας τὴν ἔφοδον, ταῖς δὲ εὐχαῖς καὶ ταῖς σαυτοῦ καὶ ταῖς ἑτέρων τοῦτο ἰσχυρὸν τὸ τεῖχος
ποιῶν, ταχέως αἰσθήσῃ τὸν καρπὸν τῆς παιδείας. οὐ γὰρ τοῦτο μόνον κερδανεῖς, τὸ τὰ παρόντα
γενναίως ἐνεγκεῖν, ἀλλ' ἐγγυμνασάμενος αὐτοῖς καλῶς, καὶ πρὸς ἅπαντα λοιπὸν ἀνάλωτος
ἔσῃ τὰ τοῦ βίου λυπηρά.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΠΡΟΣ ΔΗΜΗΤΡΙΟΝ ΜΟΝΑΖΟΝΤΑ

* περὶ κατανύξεως.

Ἐγώ σε ὁρῶν, ὦ μακάριε Δημήτριε, συνεχῶς ἐγκείμενον ἡμῖν, καὶ μετὰ πολλῆς τῆς σφοδρότητος τοὺς περὶ κατανύξεως ἀπαιτοῦντα λόγους, ἐμακάρισά τε ἀεὶ καὶ ἐθαύμασα τὴν ἐν τῇ σῇ ψυχῇ καθαρότητα. οὐδὲ γάρ ἐστι μὴ πρότερον ἐκκαθαρθέντα καλῶς, καὶ τῶν βιωτικῶν ἁπάντων ἀνώτερον γενόμενον, εἰς ταύτην τῶν λόγων τὴν ἐπιθυμίαν ἐλθεῖν. καὶ τοῦτο ῥᾴδιον συνιδεῖν ἐκ τῶν καὶ πρὸς ὀλίγον τούτῳ κατεχομένων τῷ πόθῳ, ὅτι τοσαύτην ἀθρόως δέχονται τὴν μεταβολὴν, ὡς εὐθέως πρὸς τὸν οὐρανὸν μεταστῆναι. καθάπερ γάρ τινων δεσμῶν χαλεπῶν, τῶν τοῦ κόσμου φροντίδων ἀπολύσαντες τὴν ψυχὴν, οὕτως ἀφιᾶσι πέτεσθαι πρὸς τὸν οἰκεῖον αὐτῇ τόπον καὶ συγγενῆ. ἀλλὰ τοῖς μὲν πολλοῖς τοῦτο ὀλιγάκις τοῦ παντὸς χρόνου συμβαίνειν εἴωθε· σὲ δὲ, ὦ θεία κεφαλὴ, διαπαντὸς οἶδα τούτῳ κατεχόμενον τῷ πυρὶ τῆς κατανύξεως. καὶ μαρτυρήσειαν ἄν μοι αἵ τε ἄυπνοι νύκτες, καὶ αἱ τῶν δακρύων πηγαὶ, καὶ ὁ τῆς ἐρημίας ἔρως ἐνιζάνων τε ἀεὶ καὶ ἐνακμάζων σου τῇ ψυχῇ. τί οὖν ἄν σοι γένοιτο πλέον παρὰ τῶν ἡμετέρων λόγων; καὶ γὰρ καὶ αὐτὸ τοῦτο, τὸ πρὸς αὐτὴν μὲν ἥκειν τὴν κορυφὴν, οἴεσθαι δὲ ἔτι μετὰ τῶν χαμαὶ ἐρχομένων εἶναι, καὶ τὴν πεπυρωμένην ψυχὴν λιθίνην καλεῖν, καὶ συνεχῶς τῆς δεξιᾶς ἁπτόμενον τῆς ἐμῆς, καὶ φιλοῦντα καὶ δακρύοντα λέγειν, σύντριψόν μου τὴν καρδίαν τὴν πεπωρωμένην, πόσης μὲν εὐλαβείας, πόσης δὲ πυρώσεως ἄν τις θείη εἶναι τεκμήρια; Εἰ μὲν οὖν ἡμᾶς καθεύδοντας διυπνίσαι βουλόμενος, ἐπὶ ταύτην εἵλκυσας τὴν ὑπόθεσιν, καὶ τῆς φιλοσοφίας καὶ τῆς προνοίας ἀποδέχομαι τῆς πολλῆς· Εἰ δὲ ἀληθῶς τὸ σαυτοῦ σκοπῶν, καὶ τοῦ διαναστήσοντος δεῖσθαι νομίζων, οὐκ οἶδα πῶς ἂν ἑτέρως ἡμᾶς ἐδίδαξας, ὅτι σοι τῶν παρ' ἡμῶν οὐδενὸς δεῖ. πλὴν ἀλλὰ καὶ οὕτως εἰξόμεθά σοι, καὶ πεισθησόμεθα πάντων ἕνεκεν, καὶ τῆς παῤῥησίας τῆς πρὸς τὸν Θεὸν, καὶ τῆς περὶ τὴν αἴτησιν σπουδῆς, καὶ τῆς φιλίας τῆς πρὸς ἡμᾶς. σὺ δὲ ἡμᾶς ἀντὶ τούτων ταῖς εὐχαῖς ταῖς σαῖς ἀμείβου· ὥστε ἡμῖν καὶ τὸν βίον ὀρθωθῆναι τοῦ λοιποῦ, καὶ ἐν τῷ παρόντι δυνηθῆναί τι γενναῖον εἰπεῖν, καὶ ἱκανὸν τάς τε κειμένας ἀναστῆσαι, καὶ τὰς περικειμένας ἐπισφίγξαι καὶ συγκροτῆσαι ψυχάς. πόθεν οὖν ἡμῖν, πόθεν ἀρκτέον τούτου τοῦ λόγου; τίνα αὐτῷ θεμέλιον, ποίαν κρηπῖδα θήσομεν; ἢ δῆλον ὅτι τὰ τοῦ Χριστοῦ ῥήματα, δι᾽ ὧν ταλανίζει μὲν τοὺς γελῶντας, ἐν δὲ τοῖς μακαριζομένοις τίθησι τοὺς πενθοῦντας, οὑτωσὶ λέγων· Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται· καὶ οὐαὶ οἱ γελῶντες νῦν, ὅτι πενθήσετε καὶ κλαύσετε· καὶ μάλα εἰκότως. πένθους γὰρ ἀληθῶς, πένθους καὶ ὀδυρμῶν ὁ παρὼν ἅπας καιρός. τοιαύτη συμφορὰ τὴν οἰκουμένην κατείληφεν ἅπασαν· τοιαῦτα ἅπαντας ἀνθρώπους συνέχει κακά, ἅπερ εἴ τις μετ᾽ ἀκριβείας ἐξετάζειν ἐθέλοι, εἴγε δυνατὸν μετ᾽ ἀκριβείας *, οὐ παύσεται ὀδυρόμενος καὶ πενθῶν. οὕτως ἅπαντα ἀνατέτραπται καὶ συγκέχυται, καὶ ἀρετῆς ἴχνος οὐδαμοῦ· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι τῶν συνεχόντων ἡμᾶς δεινῶν αἴσθησιν οὔτε αὐτοὶ ἔχομεν, οὔτε ἄλλοις παρέχομεν· ἀλλ᾽ ἐοίκαμεν σώματι ἔξωθεν μὲν ἀνθοῦντι, πολλῷ δὲ ἔνδοθεν τηκομένῳ πυρί. τῆς δὲ ἀναλγησίας ἕνεκεν οὐδὲν τῶν παραπαιόντων διενηνόχαμεν, οἳ πολλὰ μὲν ἐπικίνδυνα καὶ αἰσχρὰ καὶ λέγουσι καὶ πράττουσιν ἀδεῶς, αἰσθάνονται δὲ τούτων οὐδέν, ἀλλὰ καὶ ἐναβρύνονται, καὶ τῶν καθεστηκότων μᾶλλον ὑγιαίνειν νομίζουσιν. οὕτω δὴ καὶ ἡμεῖς τὰ τῶν νοσούντων ἅπαντα πράττοντες, οὐδὲ αὐτὸ τοῦτο, ὅτι νοσοῦμεν, ἴσμεν. ἀλλ᾽ ἐπὶ μὲν τοῦ σώματος, κἂν τὸ τυχὸν ἡμᾶς ἐνοχλήσῃ πάθος, καὶ ἰατροὺς καλοῦμεν, καὶ χρήματα ἀναλίσκομεν, καὶ καρτερίαν ἐπιδεικνύμεθα, καὶ οὐ πρότερον ἀφιστάμεθα ἅπαντα πράττοντες, ἕως ἂν ἀπωσώμεθα τὸ λυποῦν· τῆς δὲ ψυχῆς καθ᾽ ἑκάστην ἡμέραν κεντουμένης, σπαραττομένης τοῖς πάθεσι τοῖς σωματικοῖς, καιομένης, κρημνιζομένης, καὶ πάντα τρόπον ἀπολλυούσης ἑαυτήν, οὐδὲ βραχὺν ἔχομεν λόγον. τὸ δὲ αἴτιον, ὅτι ἅπαντας ἡ νόσος κατείληφε. καὶ καθάπερ ἐπὶ τῶν καμνόντων τὰ σώματα, εἰ συμβαίη μηδένα περιεῖναι τῶν ὑγιαινόντων αὐτοῖς, οὐδὲν τὸ κωλύον ἅπαντας εἰς τὴν ἐσχάτην καταπεσεῖν φθοράν, μηδενὸς αὐτῶν τὰς ἀλόγους ἐπιθυμίας κατέχοντος· οὕτω καὶ ἐφ᾽ ἡμῶν, διὰ τὸ μηδένα εἶναι τῶν ὑγιαινόντων καθαρῶς, ἀλλὰ πάντας ἀρρωστεῖν, τοὺς μὲν ἐκ πλείονος, τοὺς δὲ ἐξ ἐλάττονος μοίρας, οὐδεὶς ὁ τοῖς κειμένοις ἐπαρκέσων ἐστίν. εἰ γάρ τις ἔξωθέν ποθεν ἡμῖν ἐπιστάς, καὶ τοῦ Χριστοῦ τὰ προστάγματα, καὶ τῆς πολιτείας τῆς ἡμετέρας τὴν σύγχυσιν καταμάθοι καλῶς, οὐκ οἶδα εἴ τινας ἑτέρους μᾶλλον ἡμῶν ἐχθροὺς ὑπολήψεται εἶναι τοῦ Χριστοῦ. καθάπερ γὰρ ἐσπουδακότες τὴν ἐναντίαν αὐτοῦ ἐλθεῖν τοῖς ἐπιτάγμασιν, οὕτω ταύτην ὡδεύσαμεν τὴν ὁδόν.

Ματθ. ε. δ.

σκοπεῖν,

Καὶ ἵνα μή τις ὑπερβολῆς εἶναι νομίσῃ τὰ παρ᾽ ἡμῶν ῥήματα, ἤδη ἐπαγαγεῖν πειράσομαι τὴν ἀπόδειξιν, ἑτέρωθεν μὲν οὐδαμόθεν, ἀπὸ δὲ αὐτῶν τῶν ἐντολῶν τοῦ Χριστοῦ. τί οὖν φησιν ὁ Χριστός; Ἐρρέθη τοῖς ἀρχαίοις, οὐ φονεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἔνοχος ἔσται τῇ κρίσει· ὃς δ᾽ ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ, ῥακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ· ὃς δ᾽ ἂν εἴπῃ, μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. ταῦτα μὲν οὖν ὁ Χριστός· ἡμεῖς δὲ τῶν ἀπιστούντων αὐτῷ μᾶλλον τὸν νόμον τοῦτον κατεπατήσαμεν, καθ᾽ ἑκάστην ἡμέραν μυρίαις τοὺς ἀδελφοὺς πλύνοντες λοιδορίαις· καὶ τὸ δὴ καταγελαστότερον, ὅτι τό, μωρός, ὄνομα παραφυλαττόμενοι πολλάκις, ἑτέρας τούτων ὕβρεις πικροτέρας ἐκφέρομεν, ὡς ἐκείνου τοῦ ῥήματος τὴν κόλασιν ἔχοντος. τὸ δὲ οὐ τοιοῦτόν ἐστιν, ἀλλὰ τὸν ὑβριστὴν καθάπαξ κολάζων, τοῦτο τέθεικε τὸ ἐπιτίμιον. καὶ δῆλον ἐξ ὧν καὶ Παῦλός φησιν, οὑτωσὶ λέγων· Μὴ πλανᾶσθε· οὔτε ″πόρνος, οὔτε ″εἰδωλολάτρης, οὐ μοιχοί, οὐ μαλακοί, οὐκ ἀρσενοκοῖται, οὐ κλέπται, οὐ πλεονέκται, οὐ μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ κληρονομήσουσιν. εἰ δὲ ὁ μωρὸν λέγων τὸν ἀδελφὸν αὐτοῦ, τῆς ἐσχάτης κολάσεώς ἐστιν ἄξιος, ὁ κακοῦργον, καὶ βάσκανον, καὶ δυσχερῆ, καὶ κενόδοξον, καὶ μυρία ἄλλα τοιαῦτα ″κακηγορῶν, πόσον ἑαυτῷ τὸ τῆς γεέννης συνάγει πῦρ; τὸ γάρ, μωρὲ καὶ ῥακά, τῶν εἰρημένων πολλῷ

κουφότερον

Ματθ. ε. κα.

α. Κορ. ϛ. θ.

όρνοι

δωλολά-

τηγορῶν,

Λογ. ιε.

κουφότερον εἰς ὕβρεως λόγον ἐστί. διόπερ ἐκεῖνο παρεὶς, τοῦτο τέθεικεν ὁ Χριστὸς, ἵνα μάθῃς, ὅτι εἰ τὸ φορητότερον λεχθὲν τὴν γέενναν ἐπισπᾶται κατ' αὐτοῦ τοῦ λέγοντος, πολλῷ μᾶλλον τὰ βαρύτερα καὶ ἀφορητότερα τοῦτο ἐργάσεται. εἰ δέ τινες ὑπερβολὴν τοῦ λόγου καταγινώσκουσι (καὶ γάρ τινας οἶδα τοῦτο παθόντας ἐγὼ, καὶ νομίζοντας ὑπὲρ τοῦ φοβῆσαι μόνον ταύτην εἰρῆσθαι τὴν ἀπειλὴν) ὥρα αὐτοὺς τοὺς μοιχοὺς, τοὺς ἀρσενοκοίτας, τοὺς μαλακοὺς, τοὺς εἰδωλολάτρας τῆς εἰρημένης ἀπαλλάττειν κολάσεως. εἰ γὰρ φόβου μόνον ἕνεκεν τοῖς λοιδόροις ἠπείλησε, δῆλον ὅτι κἀκείνοις. ὁμοῦ γὰρ ἅπαντας συναγαγὼν, οὕτως ἐπήγαγε τῆς βασιλείας τὴν ἔκπτωσιν. τί οὖν, φησιν, ὁ λοίδορος μετὰ τοῦ μοιχοῦ καὶ μαλακοῦ καὶ πλεονέκτου καὶ εἰδωλολάτρου κείσεται; εἰ μὲν τὴν αὐτὴν αὐτοῖς δώσει δίκην, ἑτέρου τοῦτο ζητῆσαι καιροῦ· ὅτι δὲ τῆς βασιλείας ὁμοίως ἐκπεσεῖται ἐκείνοις, τῷ Παύλῳ πείθομαι λέγοντι, μᾶλλον δὲ τῷ ἐνεργοῦντι δι' αὐτοῦ Χριστῷ, ὅτι οὔτε οὗτοι, οὔτε ἐκεῖνοι βασιλείαν Θεοῦ κληρονομήσουσιν. οὐκ ἐπὶ τούτου δὲ μόνον, ἀλλὰ καὶ ἐπὶ πολλῶν πολλοὶ τοῦτο πάσχουσι, καὶ τὰ πάντως ἐκβησόμενα ὑπερβολικῶς εἰρῆσθαι νομίζουσι. διαβολικὴ δέ ἐστιν αὕτη ἡ παγίς. ἵνα γὰρ τὸν φόβον τῆς μελλούσης ἐκλύσῃ κολάσεως, καὶ χαυνοτέρους ἐργάσηται περὶ τὴν ὑπακοὴν τῆς ἐντολῆς, τὴν ἀπὸ τῆς ὑπερβολῆς παραμυθίαν εἰσήγαγεν, εἰς μὲν τὸ παρὸν ἱκανὴν [illegible] ταῖς ῥαθυμοτέραις ψυχαῖς ἀπάτην, ἐλεγχθησομένην δὲ καὶ κατὰ τὸν τῆς κρίσεως καιρὸν, ὅτε κέρδος οὐδέν. τί γὰρ ὄφελος, εἰπέ μοι, νῦν ἀπατηθέντας, τότε συνιδεῖν τὴν ἀπάτην, ὅταν μηδὲν ᾖ ἀπὸ τῆς μετανοίας εἰς τὸν τῆς ἀναστάσεως ἀπόνασθαι λόγον; μὴ δὴ μάτην ἀπατῶμεν ἑαυτοὺς, καὶ παραλογιζώμεθα ἐπὶ κακῷ, μηδὲ ἑτέραν προσκαλώμεθα τιμωρίαν τὴν ἐκ τῆς ἀπιστίας. οὐ γὰρ μόνον τὸ μὴ εἴκειν ταῖς ἐντολαῖς τοῦ Χριστοῦ, ἀλλὰ καὶ τὸ ἀπιστεῖν αὐταῖς χαλεπωτάτην ἐπάγει τὴν κόλασιν. τὸ δὲ ἀπιστεῖν αὐταῖς, ἐκ τοῦ πρὸς τὴν ἐκπλήρωσιν ἐκλελύσθαι τῶν ἐντολῶν γίνεται. ὅταν γὰρ τὴν ἐκ τῆς ὑπακοῆς ἀσφάλειαν μὴ ἐθελήσωμεν ἑαυτοῖς ποιήσασθαι, μηδὲ τὰ προστεταγμένα ποιεῖν, ὥστε ἀπαλλάξαι τοῦ φόβου τῶν μελλόντων τὸν λογισμὸν, βαρυνόμενοι τῷ συνειδότι, καὶ ἀγχόμενοι, καὶ τὸν πολὺν τῶν κειμένων κολάσεων φόβον ἀπορρίψαι σπουδάζοντες, εἰς ἕτερον ἑαυτοὺς καταβάλλομεν βάραθρον, ἀπιστοῦντες τοῖς κολαστηρίοις ἐκείνοις. καὶ καθάπερ οἱ πολλῷ συνεχόμενοι πυρετῷ, καὶ κατὰ τῶν ψυχρῶν πηδῶντες ὑδάτων, οὐκ ἀποτινάσσονται τὸ πνῖγος, ἀλλ' ἕτερον ἑαυτοῖς προστιθέασι πῦρ· οὕτω καὶ ἡμεῖς κεντούμενοι τῷ τῶν ἁμαρτημάτων συνειδότι, εἰς τὸν τῆς ὑπερβολῆς βυθὸν καταποντίζειν ἑαυτοὺς ἀναγκαζόμεθα, ἵνα πάντα ἀδεῶς ἁμαρτάνωμεν τοῦ λοιποῦ. οὐδὲ γὰρ μόνον προδοῦσιν ὀργιζόμεθα τοῖς ἀδελφοῖς, ἀλλὰ καὶ ἀποδοῦσι πολλάκις μαχόμεθα· ὅπερ ὑπερβολὴ θηριωδίας ἐστί. καὶ τοὺς μὲν μείζους ἑαυτῶν καὶ δυνατωτέρους, καὶ ἀδικοῦντας καὶ ὑβρίζοντας φέρομεν μετ' ἐπιεικείας πολλῆς, διὰ τὸν παρ' αὐτῶν φόβον, πρὸς δὲ τοὺς ὁμοτίμους καὶ ἐλάττονας οὐδὲν λελυπηκότας ἀπεχθανόμεθα. τοσοῦτον ὁ παρὰ τῶν ἀνθρώπων φόβος τοῦ παρὰ τοῦ Χριστοῦ μείζονα ἔχει τὴν ἰσχύν. ἔστιν οὖν ἡμῖν σωτηρίας ἐλπὶς, τοσαύτην ἐνδεικνυμένοις ὀλιγωρίαν καὶ καταφρόνησιν; πόθεν, εἰπέ μοι; τί τοίνυν φορτικὸν ἀπῄτησε, τί δαὶ ἐπαχθὲς παρ' ἡμῶν ὁ Χριστός; μὴ ὀργίζου, φησὶ, τῷ ἀδελφῷ σου εἰκῆ. πολὺ δὲ τοῦτο εὐκολώτερον τοῦ φέρειν ἕτερον ὀργιζόμενον εἰκῆ. ἐκεῖ μὲν γὰρ συνῆπται ἤδη τοῦ πυρὸς ἡ ὕλη, ἐνταῦθα δὲ, οὐδενὸς ὑποκειμένου, τὴν φλόγα ἀνάπτεις αὐτός. οὐκ ἔστι δὲ ἴσον, ἑτέρου λαμπάδα προσάγοντος καρτερεῖν καὶ μὴ πίμπρασθαι, καὶ μηδενὸς παρακινοῦντος ἡσυχάζειν καὶ ἠρεμεῖν. ὁ μὲν γὰρ ἐκείνου κρατήσας, μεγίστης φιλοσοφίας βάσανον ἐπεδείξατο· ὁ δὲ τοῦτο κατορθῶν, οὐδενὸς ἂν εἴη θαυματος ἄξιος. ὅταν οὖν τὸ μεῖζον διὰ τὸν τῶν ἀνθρώπων φόβον λύοντες, διὰ τὸν τοῦ Θεοῦ μηδὲ τὸ ἔλαττον βουλώμεθα, ἐννόησον ὅσης κολάσεως καὶ τιμωρίας ἀξίους καθιστῶμεν ἑαυτούς. τὸν τοίνυν ἀδελφὸν, μὴ τὸν ἐλεύθερον νομίσῃς εἶναι καὶ τὸν ὁμότιμον μόνον, ἀλλὰ καὶ τὴν οἰκέτην. Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε δοῦλος, οὔτε ἐλεύθερος κατὰ τὸν ἀπόστολον. ὥστε κἂν Γαλ. γ. κη. πρὸς τοὺς δούλους ἀγριαίνωμεν εἰκῇ, τὴν αὐτὴν ὑποστησόμεθα δίκην. ἀδελφὸς γὰρ κἀκεῖνός ἐστι, καὶ ἐλευθερίας ἠξίωται τῆς ἀληθοῦς.

Τίς οὖν λοιδορίας καθαρὸν τὸν ἑαυτοῦ βίον καὶ ὀργῆς ἀλόγου καὶ ματαίας ἐπιδεῖξαι δυνήσεται; μὴ γάρ μοι τὸν ὀλιγάκις τοῦτο πάσχοντα εἴπῃς, ἀλλὰ τὸν μηδὲ ὅλως ἁλόντα ποτέ. ἕως δ' ἂν μὴ τοῦτο δείξῃς ἡμῖν, οὐδὲ τὴν ἀπειλὴν λῦσαι δυνήσῃ διὰ τὸ μὴ συνεχῶς τοῦτο παθεῖν. καὶ γὰρ ὁ κλέπτων καὶ ὁ πορνεύων, κἂν ἅπαξ μόνον τὴν ἁμαρτίαν ἐκείνην ἐργάσωνται, οὐκ ἐπειδὴ μὴ πολλάκις τοῦτο τετολμήκασιν, ἀφίενται τῆς τιμωρίας· ἀλλ' ἐπειδὴ τετολμήκασιν ὅλως, κολάζονται. τὸ δὲ ἐφεξῆς τούτῳ κείμενον τίς οὐκ ἂν τῶν ἀπίστων καὶ μῦθον εἶναι νομίσειε, μετὰ τοσαύτης σφοδρότητος ἀνατετραμμένον ὁρῶν ὑφ' ἡμῶν; τοῦ γὰρ Θεοῦ εἰπόντος, Ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει Ματθ. ε. κγ. τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου· ἡμεῖς ἐκπεπολεμωμένοι πρὸς ἀλλήλους καὶ ὑπούλως διακείμενοι τοῖς θυσιαστηρίοις προσίμεν. καὶ ὁ μὲν Θεὸς τοσαύτην τῆς ἡμετέρας καταλλαγῆς πεποίηται σπουδήν, ὡς ἀνέχεσθαι τὴν αὐτοῦ θυσίαν μένειν ἀτέλεστον, καὶ τὴν ὑπηρεσίαν ἐγκόπτεσθαι, ὑπὲρ τοῦ τὴν πρὸς ἀλλήλους ἀπέχθειαν καταλῦσαι, καὶ τὴν ὀργήν· ἡμεῖς δὲ οὕτω τοῦ πράγματος ἀλογοῦμεν, ὡς καὶ ἡμέρας πολλὰς τὴν ἔχθραν διατηρεῖν κατὰ τῆς ἑαυτῶν κεφαλῆς. οὐδὲ γὰρ τοὺς μνησικακοῦντας κολάζει μόνον ὁ Χριστός, ἀλλὰ καὶ τοὺς τούτου μὲν ἀπηλλαγμένους τοῦ πάθους, πεπληγμένων δὲ καταφρονοῦντας τῶν ἀδελφῶν. ἐπειδὴ γὰρ τῶν ἠδικημένων ἐστὶ τὸ μνησικακεῖν, ὁ δὲ ἀδικήσας οὐκ ἂν ῥᾳδίως ληφθείη τούτῳ τῷ πάθει, τούτου χάριν τοῦτον ἤγαγε πρὸς ἐκεῖνον, δεικνὺς ὅτι τῆς τιμωρίας τῆς ἐκείνου μᾶλλον ὑπεύθυνός ἐστιν ὁ καὶ τὴν ῥίζαν τῷ ἁμαρτήματι παρασχών. ἀλλ' ἡμεῖς οὐδὲ οὕτω παιδευόμεθα, ἀλλὰ λυποῦμεν καὶ ὑπὸ τῶν τυχόντων τοὺς ἀδελφοὺς· εἶτα, ὥσπερ οὐδενὸς γενομένου δεινοῦ, οὕτως ἀμελοῦμεν καὶ ἐπιλανθανόμεθα τῶν λυπηθέντων παρ' ἡμῶν, καὶ τὴν ἔχθραν εἰς μακρὸν ἐκτεινομένην χρόνου μῆκος περιορῶμεν, οὐκ εἰδότες ὅτι τοσούτῳ μείζονα τισόμεθα κόλασιν, ὅσῳ πλείονας ἂν ἀφῶμεν ἐπεισελθεῖν ἡμέρας τῇ λύπῃ, τούτῳ δὲ αὐτῷ, καὶ τῷ δυσκολωτέραν ἡμῖν γενέσθαι λοιπὸν τὴν καταλλαγήν. ὥσπερ γὰρ φιλίας συνεχούσης ἡμᾶς, οὐδὲν εὐκόλως τῶν διαιρούντων ἰσχῦσαι καὶ πιστευθῆναι δυνήσεται, οὕτως ἔχθρας προκαταλαβούσης ἡμῶν τὰς ψυχάς, πάντα εὔκολα καὶ ῥᾷστα τοῖς βουλομένοις ἡμᾶς συγκρούειν ἐπὶ πλεῖόν ἐστι, τῶν μὲν χρηστῶν ἀπιστουμένων, πιστευομένων δὲ μόνον τῶν πονηρῶν. διὰ ταῦτα κελεύει τὸ δῶρον ἀφέντας ἐπὶ τοῦ θυσιαστηρίου, πρότερον διαλλαγῆναι τῷ ἀδελφῷ· ἵνα μάθωμεν, ὅτι εἰ ἐν ἐκείνῳ τῷ καιρῷ ἀναβάλλεσθαι τὴν καταλλαγὴν ταύτην οὐ χρή, πολλῷ μᾶλλον ἐν ἑτέροις. ἡμεῖς δὲ τὰ μὲν σύμβολα τῶν πραγμάτων κατέχομεν, τῆς δὲ ἀληθείας αὐτῆς ἐκπεπτώκαμεν, ἀσπαζόμενοι μὲν ἀλλήλους, μέλλοντος τοῦ δώρου προσφέρεσθαι, χείλεσι δέ, ὡς ἐπὶ τὸ πολύ, καὶ στόματι τοῦτο ποιοῦντες μόνον. ὁ δὲ Κύριος οὐ τοῦτο βούλεται, ἀλλὰ τὸ ἀπὸ τῆς ψυχῆς φίλημα, καὶ τὸν ἀπὸ τῆς καρδίας ἀσπασμὸν διδόναι τῷ πλησίον ἡμᾶς. τοῦτο γάρ ἐστιν ἀσπάσασθαι ἀληθῶς· ἐκεῖνο δὲ σκηνή τις καὶ ὑπόκρισις, καὶ παροξύνειε μᾶλλον ἂν τὸν Θεόν, ἢ καταλλάξειεν ὁ οὕτω φιλῶν. τὴν γὰρ εἰλικρινῆ καὶ ἐρριζωμένην φιλίαν ἐπιζητεῖ παρ' ἡμῶν, οὐ ταύτην, ἧς τὸ μὲν σχῆμα πολὺ καὶ τὴν μόρφωσιν περιφέρομεν, τὴν δὲ δύναμιν πᾶσαν ἐσβέσαμεν· ὅπερ καὶ αὐτὸ τεκμήριον τῶν κατεχουσῶν ἡμᾶς ἀνομιῶν ἐστι. Διὰ γὰρ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, φησί, ψυγήσεται ἡ ἀγάπη τῶν Ματθ. κδ. ιβ. πολλῶν. καὶ ταῦτα πράττομεν ἄνθρωποι, μήτε ὀργίζεσθαι, μήτε ἐχθροὺς ἔχειν κελευσθέντες τινάς· εἰ δέ ποτε καὶ σχοίημεν, ἐφ' ἡμέρας μόνον. Ὁ ἥλιος γάρ, φησι, μὴ ἐπιδυέτω ἐπὶ Ἐφ. δ. κϛ. τῷ παροργισμῷ ὑμῶν. καὶ οὐδὲ μέχρι τούτου ἱστάμεθα, ἀλλὰ καὶ ἐπιβουλὰς κατ' ἀλλήλων ῥάπτομεν.

ῥάπτομεν, καὶ δι' ὧν λέγομεν, καὶ δι' ὧν πράττομεν, δάκνοντες τὰ οἰκεῖα μέλη καὶ κατεσθίοντες· ὅπερ ἐσχάτης μανίας ἐστί. καὶ γὰρ τοὺς ἀνιάτως δαιμονῶντας καὶ μαινομένους ἀπὸ τούτου μάλιστα δοκιμάζομεν. τί δαὶ ὁ περὶ τοῦ ἀντιδίκου νόμος, καὶ ὁ περὶ τῆς ἐπιθυμίας τῆς ἀτόπου καὶ τῶν ἀκολάστων ὀφθαλμῶν, καὶ τῆς ἀλόγου φιλίας καὶ ἐπιβλαβοῦς; ὁ γὰρ δεξιὸς ὀφθαλμὸς καὶ ἡ δεξιὰ χεὶρ οὐδὲν ἡμῖν ἕτερον αἰνίττεται, ἢ τοὺς ἐπὶ βλάβῃ φιλοῦντας ἡμᾶς. καὶ ὁ περὶ τῶν ἀπολελυμένων δὲ γυναικῶν, ὑπὸ τίνος οὐ παρεβάθη, καὶ κατεπατήθη πολλάκις; τοὺς γὰρ περὶ τοῦ μὴ δεῖν ὀμνύναι κειμένους καὶ αἰσχύνομαι λέγειν, οὐ διὰ τὰς ὁρκωμοσίας μόνον, ἀλλὰ καὶ διὰ τὰς ἐπιορκίας τὰς συνεχεῖς. εἰ γὰρ καὶ τὸ ὀμνύναι, κἂν εὐορκῇ τις, ἔγκλημα καὶ ἐντολῆς παράβασις, ποῦ τὴν ἐπιορκίαν θήσομεν; εἰ γὰρ τὸ περισσὸν τοῦ ναὶ καὶ τοῦ οὔ, ἐκ τοῦ πονηροῦ, τὸ καὶ τούτου περισσότερον τίνος ἔσται λοιπόν; εἶτα πάλιν φησίν, Ἐάν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην· καὶ τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον· καὶ ἐάν τίς σε ἀγγαρεύσῃ μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο· καὶ τῷ αἰτοῦντί σε δίδου, καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς. τί ἄν τις εἴπῃ πρὸς ταῦτα; ἐφ' ἑκάστου γὰρ τῶν εἰρημένων δακρύειν μόνον, καὶ ἐγκαλύπτεσθαι λείπεται· οὕτως ἐκ διαμέτρου πρὸς τὴν ἐναντίαν ἀντεταξάμεθα, εἰς κρίσεις, καὶ μάχας, καὶ δίκας, καὶ ἀμφισβητήσεις τὸν ἅπαντα χρόνον ἀναλίσκοντες, καὶ μηδὲ βραχεῖαν ἐπήρειαν φέροντες, μὴ τὴν ἀπὸ τῶν πραγμάτων, μὴ τὴν ἀπὸ τῶν ῥημάτων, ἀλλὰ καὶ πρὸς τὸ τυχὸν ἐκθηριούμενοι. εἰ δὲ ἔχεις τινὰς λέγειν τῶν πολλὰ μὲν ἀναλωκότων εἰς πένητας, καταφρονουμένων δὲ διὰ τὴν πενίαν ὕστερον, καὶ μυρία παθόντων κακά, ὀλίγους μὲν τούτους καὶ εὐαριθμήτους ὄψεις· πλὴν ἀλλ' οὐδὲ οὕτω τὸν ἐν εὐαγγελίοις ἀναγεγραμμένον ἡμῖν φιλόσοφον ἔδειξας. πολὺ γὰρ οὗτος ἐκείνου τοῦ βίου πνευματικώτερος. οὐδὲ γάρ ἐστιν ἴσον ἑκόντα δοῦναι, καὶ ἀποστερούμενον πάντων ἐνεγκεῖν. τί δὲ λέγω ἐνεγκεῖν; ὃ γὰρ ὁ Χριστὸς εἶπε, πολλῷ τούτου πάλιν μεῖζόν ἐστι. τοσοῦτον δὲ ἀπέστησεν ὁ λόγος τῶν ἀδικουμένων τὰς ψυχὰς τῆς πρὸς τοὺς ἀδικοῦντας ὀργῆς, ὡς μὴ μόνον ὑπὲρ τῶν ἤδη ληφθέντων μὴ δυσχεραίνειν, ἀλλὰ καὶ τῶν ὑπολειφθέντων ἑκόντας παραχωρεῖν, καὶ τῆς ἐκείνων μανίας περὶ τὸ κακῶς ποιεῖν μείζονα περὶ τὸ κακῶς παθεῖν ἐπιδείκνυσθαι τὴν προθυμίαν ἡμᾶς. ὅταν γὰρ ὁ βουλόμενος ἀδικεῖν εὕρῃ τὸν ἀδικούμενον πλέον παρεσκευασμένον πρὸς τὸ παθεῖν, ἤπερ ἐκεῖνος ἐβούλετο, καὶ τὴν ἐπιθυμίαν ἐμπλήσας τὴν ἑαυτοῦ, τὸν ἐπηρεασθέντα ἐκ περιουσίας ἤδη φιλοτιμούμενον, ἄπεισιν ἡττημένος, τὴν ὑπερβολὴν τῆς ἀνεξικακίας ἐρυθριάσας. κἂν γοῦν θηρίον ᾖ, κἂν ἕτερόν τι τούτου χαλεπώτερον, μετριώτερος ἔσται τοῦ λοιποῦ, τήν τε αὐτοῦ κακίαν, καὶ τὴν ἀρετὴν ἐκείνου καλῶς ἀπὸ τῆς συγκρίσεως ταύτης ἰδών.

Τοῦτον ἐγὼ τὸν βίον ἐπιζητῶ νῦν, ὃν μόνον ἐν ταῖς γραφαῖς κείμενον ὁρῶ, ἀλλαχοῦ δὲ καὶ ἐπὶ τῶν ἔργων οὐδαμοῦ. μὴ γάρ μοι τὸν ἠδικημένον εἴπῃς καὶ στέργοντα (συμβαίνει γὰρ καὶ παρὰ ἀδυναμίαν τοῦτο παθεῖν) εἰ δὲ καὶ πρὸς τοὺς ὁμοτίμους, καὶ οἷς δυνατὸν ἐπεξελθεῖν ἐπεδείξατο τοῦτο, ἀλλ' οὐ μέχρι τοσούτου, ὡς καὶ τὴν ἐπιθυμίαν ὑπερακοντίσαι τὴν ἐκείνου, καὶ πλέον ὧν ἐβούλετο δοῦναι, καὶ τοῖς ἑκοντὶ προστεθεῖσι τὴν ἐπὶ τοῖς βίᾳ ἀποσπασθεῖσι δεῖξαι μακροθυμίαν. τὸ δὲ τούτων πάλιν ἀνώτερον καὶ αὐτῆς ἁπτόμενον τῆς κορυφῆς, τοὺς τὰ τοιαῦτα ἐργαζομένους εἰς ἡμᾶς καὶ ἐπηρεάζοντας καὶ σώμασι καὶ τοῖς ἄλλοις ἅπασιν, ἐν φίλων τάξει, καὶ φίλων τῶν γνησίων κατατάττειν ἐκέλευσεν ὁ Χριστός. μὴ γὰρ προσδίδου μόνον τῷ ἁρπάζοντι καὶ πλεονεκτοῦντι, φησίν, ἀλλὰ καὶ φίλει τοῦτον φιλίᾳ τῇ σφοδροτάτῃ καὶ εἰλικρινεῖ. τοῦτο δή, τοῦτο καὶ παραστῆσαι βουλόμενος εἶπεν εὔχεσθαι ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, ὅπερ ἐπὶ τῶν σφόδρα ἀγαπωμένων ποιεῖν εἰώθαμεν μόνον. καὶ ἵνα μὴ πάλιν ὑπερβολῆς νομίσῃς εἶναι τὰ ῥήματα, καὶ τὴν διαβολικὴν ἐπεισαγάγῃς ἀπάτην,

Ματθ. ε. λθ.

Ματθ. ε. μδ.

προστίθησι τῷ προστάγματι λογισμὸν καὶ αἰτίαν δικαίαν, λέγων· Ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς, ἵνα μισθὸν ἔχετε; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ τοῦτο ποιοῦσι; καὶ ἐὰν ἀσπάσησθε τοὺς ἀσπαζομένους ὑμᾶς, τί περισσὸν ποιεῖτε; οὐχὶ καὶ οἱ ἐθνικοὶ τοῦτο ποιοῦσιν; ὅταν οὖν τῶν τελωνῶν καὶ τῶν ἐθνικῶν μηδὲν κατὰ τοῦτο διαφέρωμεν, πῶς οὐ πενθεῖν ἄξιον καὶ κατακόπτεσθαι; καὶ εἴθε τοῦτο μόνον ἦν τὸ δεινόν· νῦν δὲ τοσούτου ἀποδέομεν τοὺς ἐχθροὺς ἀγαπᾶν, ὡς καὶ τοὺς ἀγαπῶντας ἀποστρέφεσθαι καὶ μισεῖν. τὸ γὰρ βασκαίνειν καὶ φθονεῖν, καὶ δι' ὧν πράττομεν, καὶ δι' ὧν λέγομεν τὴν δόξαν αὐτῶν καθαιρεῖν καὶ τὴν εὐδοκίμησιν, τῶν σφόδρα μισούντων καὶ ἀποστρεφομένων ἐστίν· οὕτως οὐ μόνον τῶν ἐθνικῶν οὐδὲν διαφέρομεν, ἀλλὰ καὶ πολλῷ χεῖρον αὐτῶν ἐν τούτῳ διακείμεθα. καὶ ὁ μὲν Χριστὸς εὔχεσθαι ὑπὲρ τῶν ἐπηρεαζόντων ἐκέλευσεν· ἡμεῖς δὲ δόλους ῥάπτομεν, καὶ τοὺς καταρωμένους εὐλογεῖν κελευσθέντες, μυρίαις ἀραῖς περιβάλλομεν. τί ταύτης σφοδρότερον τῆς ἐναντιώσεως γένοιτ' ἄν, καὶ τῆς μάχης, ἣν μαχόμεθα τῷ ταῦτα νομοθετήσαντι, πᾶσιν αὐτοῦ τοῖς προστάγμασιν ἐξεναντίας ἱστάμενοι; τὴν γὰρ τῆς κενοδοξίας τυραννίδα, ἣν αὐτὸς μετὰ διὰ τῶν ἑξῆς ῥημάτων κατέλυσεν, ἡμεῖς δὲ ηὐξήσαμεν, οὐκ ἐπὶ τὰς εὐχὰς μόνον καὶ νηστείας καὶ τὰς ἐλεημοσύνας, ἀλλὰ καὶ ἐπὶ τὰ ἄλλα πάντα ἑλκύσαντες αὐτῆς τὴν ἀρχήν, καὶ παντὸς μᾶλλον ἀργυρωνήτου τῇ μανίᾳ ταύτης ὑποθέντες ἑαυτούς, διὰ τὸ πᾶσιν εἶναι δῆλον παρίημι, τοσοῦτον εἰπών· ὅτι τῶν ἀνθρώπων οἱ μὲν εἰς ἐσχάτην καταφρόνησιν ἐκδόντες ἑαυτούς, οὐδενὶ τῶν προστεταγμένων προσέχουσιν· οἱ δὲ, ἐκ βραχείας μοίρας ὑπακούειν θελήσαντες, καὶ τινὰς τῶν ἐντολῶν φυλάξαι σπουδάσαντες, καὶ οὗτοι πάλιν εἰς τὴν αὐτὴν ἐκείνοις ζημίαν κατέστρεψαν, διὰ τὸ μὴ θελῆσαι τῆς κενοδοξίας ἀποδύσασθαι τοὺς δεσμούς. καὶ ὁ μὲν οὐδὲ ὅλως δίδωσιν ἐλεημοσύνην, ὁ δὲ παρέχει μὲν τοῖς δεομένοις τινὰ τῶν ἑαυτοῦ, μετὰ κενοδοξίας δὲ τοῦτο ποιῶν, οὐδὲν ἄμεινον τοῦ μὴ δεδωκότος διάκειται. οὕτω πάντας πανταχόθεν εἰς τὰς ἑαυτοῦ παγίδας ἐνέβαλεν ὁ πονηρός. εἰ δέ τις καὶ ταύτην διεκδῦναι δυνηθείη τὴν βλάβην, ὑπὸ τῆς ἀπονοίας κατασχεθείς, πάλιν τὸ αὐτὸ πτῶμα κατέπεσε, μᾶλλον δὲ καὶ πολλῷ χαλεπώτερον. οὐ γὰρ τοῦτο ζημιωθεὶς μόνον, ὅπερ ἐποίησεν, ἄπεισιν, ἀλλὰ καὶ κακόν τι προσλαβών. πολλοὺς δὲ ἔγωγε οἶδα οὐ ταύταις μόνον ἁλισκομένους ταῖς αἰτίαις, ἀλλὰ καὶ διὰ τὸ φιλεῖν, καὶ διὰ τὸ δυσωπεῖσθαι, καὶ δι' ἑτέρας πολλὰς τοιαύτας ἐπικινούσας προφάσεις τοῖς δεομένοις, οὐ διὰ τὸν τοῦ Θεοῦ φόβον καὶ τὴν ἐντολήν. τοσούτων οὖν ὄντων τῶν λυμαινομένων ταῖς πράξεσι ταῖς ἀγαθαῖς, τίς ταχέως σωθῆναι δυνήσεται τῶν τούτοις περιπεπτωκότων τοῖς κακοῖς; τὸ δὲ, Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, τίς ἄρα ὁ μετὰ παρρησίας ἐρῶν; κἂν γὰρ μηδὲν ἀδικήσωμεν τοὺς ἐχθρούς, ἀλλ' ὅμως τὴν πληγὴν ἀνίατον ἔχομεν. ὁ δὲ Χριστὸς οὐχ οὕτως ἀφιέναι βούλεται μόνον, ἀλλὰ καὶ εἰς τοὺς πρώτους τῶν φίλων αὐτοὺς ἀριθμεῖν. διὰ τοῦτο γοῦν, καθὼς ἔφθην εἰπών, καὶ ὑπερεύχεσθαι τούτων προσέταξεν. ἐὰν δὲ ἀδικῇς μὲν μηδέν, ἀποστρέφῃ δὲ, καὶ οὐχ ἡδέως ὁρᾷς, καὶ τὸ τραῦμα ἔχῃς ἐνακμάζον σου τῇ ψυχῇ, οὔπω τὴν ἐντολὴν ἐποίησας, ἣν προσέταξέ σοι ὁ Χριστός. πῶς οὖν αὐτὸς ἵλεων γενέσθαι τὸν Θεὸν παρακαλεῖς, τοῖς εἰς σὲ πεπλημμεληκόσιν οὔπω γενόμενος ἵλεως αὐτός; τὸ τοιοῦτον καί τις σοφὸς διασύρων, φησίν· Ἄνθρωπος ἀνθρώπῳ συντηρεῖ ὀργήν, καὶ παρὰ Κυρίου ζητεῖ ἴασιν. ἐπ' ἄνθρωπον τὸν ὁμότιμον αὐτοῦ οὐκ ἔχει ἔλεος, καὶ περὶ τῶν ἁμαρτιῶν αὐτοῦ δεῖται· αὐτὸς σὰρξ ὢν διατηρεῖ μῆνιν, καὶ τίς ἐξιλάσεται τὰς ἁμαρτίας αὐτοῦ; ἐβουλόμην σιγῆσαι λοιπόν, καὶ μέχρι τῶν εἰρημένων στῆσαι τὸν λόγον· οὕτως αἰσχύνομαι καὶ ἐρυθριῶ περαιτέρω προελθεῖν. τὸν γὰρ πόλεμον τοῦτον, ὃν ἠράμεθα πρὸς τὰς ἐντολὰς τοῦ Χριστοῦ, καὶ τὴν ἔχθραν τὴν ἀκήρυκτον περιιὼν ὁ λόγος τρανότερον δείκνυσιν. ἀλλὰ τί τὸ κέρδος ἀπὸ τῆς ἡμετέρας σιγῆς, τῶν πραγμάτων οὕτω βοώντων τὴν μάχην, καὶ περὶ τῶν πραγμάτων δὲ αὐτῶν τοῦ μέλλοντος κρινεῖν ἡμᾶς

Σειρ. κη. γ'

πάντα εἰδότος σαφῶς; τὸ μὲν οὖν μὴ θησαυρίζειν ἐπὶ τῆς γῆς, ἀλλ᾽ ἐν οὐρανῷ, εἰ καὶ ὀλίγοι, ὅμως εὕροι τις ἂν κατωρθωκότας καλῶς. οἱ γὰρ λοιποὶ πάντες, ὥσπερ τοὐναντίον ἀκούσαντες, καὶ παραγγελθέντες θησαυρίζειν ἐπὶ τῆς γῆς, οὕτως ἀφέντες τὸν οὐρανὸν, προσετήκασιν ἅπασι τοῖς ἐν τῇ γῇ, καὶ περὶ τὴν τῶν χρημάτων μόνον εἰσὶ συλλογὴν, καὶ τὸν Θεὸν μισήσαντες ἀγαπῶσι τὸν μαμωνᾶν. τὸ δὲ, Μὴ μεριμνήσητε περὶ τὴν αὔριον, οὐδένα οὔτε Ματθ. ς. λδ. ἀκούσαντα, οὔτε πεισθέντα οἶδα ἐγώ. διὰ τοῦτο ταύτην ἐγκαλυψάμενος παρελεύσομαι τὴν ἐντολήν. ἔδει μὲν γὰρ καὶ ἁπλῶς ἀποφαινόμενον πιστεύεσθαι τὸν Χριστόν· νῦν δὲ οὐδὲ λογισμοὺς ἀναντιρρήτους εἰπὼν, καὶ ὑποδείγματα παραγαγὼν, τό τε τῶν ὀρνίθων καὶ τοῦ χόρτου, πιστεύεται παρ᾽ ἡμῶν· ἀλλ᾽ ὁμοίως τοῖς ἔθνεσι, τάχα δὲ καὶ μικροψυχότεροι, ὑπὲρ τῆς τούτων φροντίδος δαπανώμεθα· καὶ μηδὲ εὔχεσθαι ὑπὲρ αὐτῶν κελευσθέντες, ἅπασαν περὶ ταῦτα τὴν σπουδὴν ἀναλίσκομεν.

Ταύτην οὖν, ὅπερ ἔφην, ἐρυθριάσας παρελεύσομαι τὴν ἐντολήν· ἐπὶ δὲ τοῖς μετὰ ταῦτα ἥξω, εἴ πως τινὰ τῆς αἰσχύνης ταύτης εὕρω παραμυθίαν μικράν. τί τοίνυν μετὰ ταῦτα Ματθ. ζ. α. λέγει; Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. ἐγὼ μὲν οὖν παραμυθίαν ᾤμην εὑρήσειν τῆς ἡμετέρας αἰσχύνης· ὁρῶ δὲ προσθήκην οὐκ ἐλάττονα τῶν προτέρων. εἰ γὰρ καὶ μηδὲν ἕτερον ἡμῖν πεπλημμέλητο, τοῦτο ἱκανὸν εἰς ἐσχάτην γέενναν ἐμβαλεῖν. οὕτω τῶν μὲν ἑτέροις ἁμαρτανομένων πικροὶ καθήμεθα δικασταὶ, τὰς δὲ ἑαυτῶν δοκοὺς παρορῶμεν· καὶ εἰς τοῦτο τὰ τῶν ἄλλων πολυπραγμονεῖν καὶ καταδικάζειν δαπανᾶται ἡμῖν ἅπας ὁ βίος· καὶ οὐδένα ἂν εὕροις ταχέως, οὐ βιωτικὸν ἄνδρα, οὐ μονάζοντα ταύτης ἐλεύθερον τῆς ἁμαρτίας, καίτοιγε τοσαύτης ἀπει- Ματθ. ζ. β. λῆς κειμένης αὐτῇ. Ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε, φησί· καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν. ἀλλ᾽ ὅμως κόλασιν μὲν τοσαύτην, ἡδονὴν δὲ τῆς ἁμαρτίας οὐδεμίαν ταύτης ἐχούσης, ἅπαντες ἐπιτρέχομεν τῷ κακῷ, καθάπερ σπουδάζοντες καὶ φιλονεικοῦντες, μὴ μόνον διὰ μιᾶς, ἀλλὰ καὶ διὰ πολλῶν ὁδῶν εἰς τὴν τῆς γεέννης κάμινον εἰσελθεῖν. καὶ οὐ πρὸς τὰ δοκοῦντα ἐπίπονα εἶναι μόνον, ἀλλὰ καὶ πρὸς τὰ κουφότερα τούτων ὁμοίως ἀναπεπτώκαμεν, ἐπίσης καὶ ταῦτα, κἀκεῖνα παραβαίνοντες, καὶ δεικνύντες διὰ τῶν γ. [illegible] ῥᾴστων, ὅτι καὶ τὰ ἐπιπονώτερα διὰ τὴν οἰκείαν καταφρόνησιν, οὐ διὰ τὸ βαρὺ τῶν προσταγμάτων οὐκ ἐξανύομεν. ποῖον γὰρ, εἰπέ μοι, πόνον ἔχει τὸ μὴ πολυπραγμονεῖν τὰ ἀλλότρια, μηδὲ καταδικάζειν τὰ τῶν πλησίον πλημμελήματα; τοὐναντίον μὲν οὖν, πόνου δεῖται τὸ περιεργάζεσθαι καὶ κρίνειν ἑτέρους. τίς οὖν ταῦτα ἀκούσας πιστεύσει ποτὲ, ὅτι ῥᾳθυμίᾳ, ἀλλ᾽ οὐκ ἀπὸ σπουδῆς καὶ τοῦ μὴ βούλεσθαι πρὸς τὸ παρακούειν ἤλθομεν; ὅταν γὰρ ἃ μὲν ἐπιτάττει ποιεῖν, εὔκολα καὶ ῥᾷστα τοῖς βουλομένοις, ἃ δὲ ἀπαγορεύει, χαλεπώτερα καὶ ἐπίπονα, ἡμεῖς δὲ τὰ προστεταγμένα ἀφέντες, τὰ κεκωλυμένα πράττωμεν, ἆρ᾽ οὐχ ὡς φιλονεικοῦντας αὐτῷ ταῦτα ἁμαρτάνειν φήσουσιν ἡμᾶς οἱ ἐχθροί; καὶ γὰρ ὅτι πόνον οὐδένα ἔχει τὰ γ. κού Ματθ. ια. κθ. ἐπιτάγματα τοῦ Χριστοῦ, αὐτὸς δείκνυσι λέγων· Ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς. ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν. ἀλλ᾽ ἡμεῖς ὑπὸ τῆς ἀφάτου ῥᾳθυμίας φορτικὰ τὰ κοῦφα ποιοῦμεν φαίνεσθαι τοῖς πολλοῖς. τῷ μὲν οὖν ἀλγεῖν καὶ καθεύδειν βουλομένῳ διαπαντὸς, καὶ τὸ σιτίων μεταλαβεῖν καί ποτε ἐπίπονον εἶναι δοκεῖ· οἱ δὲ ἐγρηγορότες καὶ νήφοντες, οὐδὲ πρὸς τὰ πάνυ θαυμαστὰ καὶ δυσκατόρθωτα ἀναδύονται· ἀλλὰ μετὰ πλείονος οὗτοι θάρσους κατατολμῶσιν, ἢ τῶν σφόδρα εὐκόλων οἱ παρειμένοι καὶ ὑπνηλοί. οὐδὲν γὰρ, οὐδὲν οὕτως ἐστὶ ῥᾴδιον, ὃ μὴ σφόδρα βαρὺ καὶ ἐπαχθὲς ὁ πολὺς δείκνυσιν ὄκνος ἡμῖν· ὥσπερ ἐπίπονον καὶ δυσχερὲς, ὃ μὴ λίαν εὔκολον ἡ σπουδὴ καὶ ἡ προθυμία. τί γὰρ, εἰπέ μοι, τοῦ καθ᾽ ἑκάστην ἡμέραν κινδυνεύειν κινδύνους θανάτου ἀπειλοῦντας χαλεπώτερον ἦν; ἀλλ᾽ β. Κορ. δ. ιζ. ὅμως ἐλαφρὸν τοῦτο ὁ μακάριος ἐκάλεσε Παῦλος, οὑτωσὶ λέγων· Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως καθ᾽ ὑπερβολὴν εἰς ὑπερβολὴν, αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν. Εἰ γὰρ καὶ τῇ φύσει τὸ πρᾶγμα βαρύ, ἀλλὰ τῇ τῶν μελλόντων ἐλπίδι γίνεται κοῦφον· ἣν δὲ καὶ αὐτὸς αἰτίαν τέθεικεν εἰπών, Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. ἴδωμεν δὲ καὶ τὰ ἑξῆς· Μὴ δῶτε τὰ ἅγια τοῖς κυσί, μηδὲ ῥίψητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων. (Ματθ. ζ ϛ.) ὁ μὲν οὖν Χριστὸς καὶ ἐν προστάγματος τάξει τὴν ἐντολὴν δέδωκεν· ἡμεῖς δὲ ὑπὸ κενοδοξίας καὶ φιλοτιμίας ἀλόγου καὶ τοῦτο τὸ πρόσταγμα ἀνετρέψαμεν, ἀνθρώπους φθορεῖς καὶ ἀπίστους καὶ μυρίων γέμοντας κακῶν, ἁπλῶς καὶ ἀνεξετάστως εἰς τὴν τῶν μυστηρίων παραδεχόμενοι κοινωνίαν, καὶ πρὶν ἢ τῆς οἰκείας γνώμης δοῦναι βάσανον ἀκριβῆ, πάντα τὸν περὶ τῶν δογμάτων αὐτοῖς ἐκκαλύπτοντες λόγον, καὶ τὰ προπύλαια οὔπω δυνηθέντας ἰδεῖν εἰς τὰ ἄδυτα ἄγοντες. διὰ γοῦν τοῦτο τῶν οὕτω τελεσθέντων τινὲς ταχέως ἀποπηδήσαντες, μυρία εἰργάσαντο δεινά· καὶ οὐκ ἐπὶ τῶν ἄλλων μόνον, ἀλλὰ καὶ ἐφ' ἡμῶν αὐτῶν τὴν φρικωδεστάτην ταύτην παραβλέπομεν ἐντολήν, ἡνίκα ἂν τῶν ἀθανάτων μυστηρίων δέοι μεταλαχεῖν, μετὰ τῆς ἐγκειμένης ἡμῖν ἀκαθαρσίας τε καὶ ἀναισχυντίας τοῦτο ποιοῦντες πολλάκις. οὐ ταύτας δὲ μόνον τὰς ἐντολάς, ἀλλὰ καὶ τὰς ἑξῆς ὑπὸ πάντων ὁλοκλήρως ἀνατετραμμένας ἴδοι τις ἄν. Εἰπόντος γὰρ τοῦ Χριστοῦ, Ὅσα ἐὰν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· (Ματθ. ζ ιϛ.) ἡμεῖς πάντα ποιοῦμεν ἃ πάσχειν μὴ θέλομεν· καὶ κελευσθέντες διὰ τῆς στενῆς πύλης εἰσελθεῖν, τὴν εὐρύχωρον ἐπιζητοῦμεν πανταχοῦ. καὶ τὸ μὲν τῶν βιωτικῶν τινας ταύτην ἀσπάζεσθαι καὶ φιλεῖν, οὐ σφόδρα ἐστὶ θαυμαστόν· τὸ δὲ ἄνδρας ἐσταυρῶσθαι δοκοῦντας πλέον ἐκείνων ἀνιχνεύειν αὐτήν, τοῦτό ἐστι τὸ πολλῆς ἐκπλήξεως γέμον· μᾶλλον δὲ καὶ αἰνίγματι ἔοικε τὸ πρᾶγμα. τῶν γὰρ μοναχῶν ὡς ἐπὶ πολὺ πάντων ταῦτα εὐθέως πρῶτον ἀκούσῃ τὰ ῥήματα, εἴ ποτε αὐτοὺς εἰς οἰκονομίαν τινὰ παρακαλέσεις ἐλθεῖν, ἐρωτώντων, εἴγε ἀνάπαυσίν ἐστιν εὑρεῖν, καὶ εἴγε δύναται ἀναπαῦσαι ὁ καλῶν, καὶ ἄνω καὶ κάτω πολὺ τὸ τῆς ἀναπαύσεως ὄνομα. τί λέγεις; τὴν τεθλιμμένην κελευσθεὶς βαδίζειν ὁδόν, περὶ ἀναπαύσεως ἐρωτᾷς; καὶ διὰ τῆς ἐστενοχωρημένης προσταχθεὶς πύλης εἰσελθεῖν, εὐρύχωρον ἐπιζητεῖς; καὶ τί ταύτης τῆς διαστροφῆς χεῖρον γένοιτ' ἄν;

Ἵνα δὲ μὴ νομίσῃς ἑτέρους με καταδικάζοντα ταῦτα λέγειν νῦν, τὸ ἐμαυτοῦ σοι ἐρῶ. ὅτε γὰρ πρώην ἐγνώκειν τὴν πόλιν ἀφεὶς ἐπὶ τὰς σκηνὰς τῶν μοναχῶν ἐλθεῖν, πολὺς ἤμην τοῦτο ἐρευνῶν καὶ πολυπραγμονῶν, πόθεν ἡ τῶν ἀναγκαίων ἔσται χορηγία, καὶ εἰ δυνατὸν ἄρτον ἐσθίειν ἐφήμερόν τε καὶ νεαρόν, καὶ εἰ μή τις ὁ καταναγκάζων ἐλαίῳ μὴ χρῆσθαι τῷ αὐτῷ πρὸς λύχνον τε καὶ τροφήν· εἰ μή τις ὁ πρὸς τὴν τῶν ὀσπρίων ταλαιπωρίαν ὠθῶν, καὶ εἰς ἔργον ἐμβάλλων χαλεπόν, οἷον σκάπτειν, ἢ ξυλοφορεῖν κελεύων, ἢ ὑδροφορεῖν, καὶ τὰ ἄλλα πάντα τὰ τοιαῦτα ὑπηρετεῖν. καὶ ὅλως ὁ περὶ τῆς ἀναπαύσεως λόγος ἦν πολὺς ἡμῖν. καὶ οἱ μὲν τὰς τῶν ἀρχόντων ὑπηρεσίας καὶ τὰς τῶν δημοσίων διοικήσεις διαδεχόμενοι, τούτων πολυπραγμονοῦσιν οὐδέν. ἀλλ' εἰ μόνον κέρδος ἔχοι τὸ πρᾶγμα, κέρδος ἐπίχειρον, κἂν ὑπὲρ τούτου θαρρῆσαι δυνηθῶσί ποτε, οὐ πόνους, οὐ κινδύνους, οὐκ ἀτιμίας, οὐ διακονίας δουλοπρεπεῖς, οὐκ ἀποδημίας μακράς, οὐ τὴν ἐν ἀλλοτρίᾳ διαγωγήν, οὐχ ὕβρεις, οὐ βασάνους, οὐ καιρῶν μεταβολήν, οὐ τὸ πρὸς τῷ τέλει σφαλῆναι τῆς ἐλπίδος πολλάκις, οὐ θανάτους ἀώρους, οὐ τὸν τῶν οἰκείων χωρισμόν, οὐ γυναικὸς ἐρημίαν καὶ παίδων, οὐκ ἄλλο οὐδὲν τῶν δυσχερῶν ἐννοοῦσι λοιπόν, ἀλλ' ὑπὸ τῆς τῶν χρημάτων ἐπιθυμίας ἐκβακχευθέντες, πάντα ὑπομένουσι, δι' ὧν ταύτης ἐπιτεύξεσθαι προσδοκῶσιν. ἡμεῖς δέ, οὐ χρημάτων, οὐδὲ γῆς προκειμένης ἡμῖν, ἀλλ' οὐρανῶν, καὶ τῶν ἐν τοῖς οὐρανοῖς ἀγαθῶν, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, περὶ ἀναπαύσεως πυνθανόμεθα. τοσοῦτόν ἐσμεν ἐκείνων ἐλεεινότεροι καὶ μαλακώτεροι. τί φής, ἄνθρωπε; πρὸς τὸν οὐρανὸν στέλλεσθαι μέλλων, καὶ τὴν βασιλείαν τὴν ἐκεῖ λαμβάνειν, ἐρωτᾷς, εἴ τι δυσχερές κατὰ τὴν ὁδὸν ταύτην καὶ τὴν ἀποδημίαν ἐστί, καὶ οὐκ αἰσχύνῃ, οὐδὲ ἐρυθριᾷς, οὐδὲ ἀπελθὼν κατορύττεις σαυτόν; κἂν γὰρ ἅπαντα ᾖ τὰ ἐν ἀνθρώποις δεινά, κἂν λοιδορία καὶ ὕβρεις, κἂν ἀτιμίαι, κἂν συκοφαντίαι, κἂν ξίφος, κἂν πῦρ, κἂν σίδηρος καὶ θηρία καὶ καταποντισμοί, κἂν λιμὸς καὶ νόσος, καὶ ὅσα ἐξ ἀρχῆς εἰς τὸ παρὸν ὁ βίος ἤνεγκε χαλεπά, οὐ καταγελάσεις πάντων, εἰπέ μοι, καὶ καταφρονήσεις, ἐννοήσεις δὲ ὅλως ταῦτα; καὶ τί ταύτης γραωδέστερον γένοιτ' ἂν τῆς ψυχῆς; τί δαὶ ταπεινότερόν τε καὶ ἀθλιώτερον; τὸν γὰρ τῇ τῶν οὐρανίων ἐπιθυμίᾳ ληφθέντα, οὐ λέγω μόνον ὅτι ἀνάπαυσιν οὐ χρὴ ζητεῖν, ἀλλ' οὐδὲ παρούσης αἰσθάνεσθαι. ἢ πῶς οὐκ ἄτοπον τοὺς μὲν ἀτόπως ἐρῶντας, οὕτως εἶναι τῶν ἐρωμένων ὅλους, ὡς πλὴν ἐκείνων καὶ τῆς ἐκείνων συνουσίας, μηδὲν ἡγεῖσθαι ἕτερον ἡδὺ τῶν ἐν τῷ παρόντι βίῳ, καίτοιγε ὄντων πολλῶν· ἡμᾶς δὲ οὐκ ἀτόπῳ τινί, ἀλλὰ τῷ πάντων ἀνωτέρῳ ληφθέντας ἔρωτι, μὴ μόνον παρούσης ἀναπαύσεως μὴ καταφρονεῖν, ἀλλὰ καὶ ἀποῦσαν ἐπιζητεῖν; οὔπω οὐδένα, ἀγαπητέ, τῶν οὐρανίων ἔλαβεν ἐπιθυμία καλῶν, καθὼς λαβεῖν χρή. ἦ γὰρ ἂν πάντα τὰ δοκοῦντα εἶναι χαλεπά, σκιὰν ἐνόμισε καὶ γέλωτα πολύν. ὁ μὲν οὖν τὰ παρόντα θαυμάζων, οὐκ ἂν ἀξιωθείη τῆς τῶν μελλόντων θεωρίας ποτέ· ὁ δὲ τούτων ὑπερορῶν, καὶ οὐδὲν ἄμεινον σκιᾶς καὶ ὀνείρατος διακεῖσθαι πάντα νομίζων, ταχέως ἐπιτεύξεται τῶν μεγάλων ἐκείνων καὶ πνευματικῶν. καὶ γὰρ οἷς ἂν γνησίως τοῦτο παραγένηται τὸ καλόν, τοσαύτην ἐπιδείκνυται τὴν ἰσχύν, ὅσην ἐν ταῖς ἀκάνθαις τὸ πῦρ. κἂν ὑπὸ μυρίων ἀγχόμενον εὕρῃ κακῶν, κἂν πολλὰ τὰ σχοινία τῶν ἁμαρτημάτων περικείμενον, κἂν σφόδρα τῶν ἐπιθυμιῶν τὴν φλόγα καίουσαν, καὶ πολὺν τῶν βιωτικῶν πραγμάτων περιεστῶτα τὸν θόρυβον, πάντα εὐθέως ἐκεῖνα σφοδρᾷ τινι μάστιγι καθάπερ ἐλαύνουσα, πόρρω καθίστησι τῆς ψυχῆς· καὶ καθάπερ πρὸς ἀνέμου βίαν ῥαγδαίου οὐκ ἄν ποτε σταίη κόνις λεπτή· οὕτως οὐδὲ ἀτόπων ἐπιθυμιῶν πλῆθος κατανύξεως ῥύμην ἐμπεσοῦσαν δυνήσεται ἐνεγκεῖν, ἀλλ' ἀφανίζεται καὶ διαχεῖται κόνεως καὶ καπνοῦ θᾶττον παντός. εἰ δὲ ὁ τῶν σωμάτων ἔρως οὕτω δουλοῦται ψυχήν, ὡς πάντων αὐτὴν ἀπαγαγεῖν, καὶ τῇ τῆς ἐρωμένης προσηλῶσαι τυραννίδι μόνῃ, τί οὐκ ἂν ὁ τοῦ Χριστοῦ πόθος ἐργάσαιτο, καὶ τὸ δέος τῆς ἐκεῖθεν ἀλλοτριώσεως; ὥσπερ γὰρ χαλεπόν, μᾶλλον δὲ καὶ ἀδύνατον ἀναμίξαι ὕδατι πῦρ, οὕτως οἶμαι τρυφὴν καὶ κατάνυξιν εἰς ταὐτὸ συναγαγεῖν. ἐναντία γὰρ ταῦτα, καὶ ἀλλήλων εἰσὶν ἀναιρετικά. ἡ μὲν γὰρ δακρύων ἐστὶ μήτηρ καὶ νήψεως, ἡ δὲ γέλωτος καὶ παραφορᾶς· καὶ ἡ μὲν κούφην καὶ ὑπόπτερον ἐργάζεται τὴν ψυχήν, ἡ δὲ αὐτὴν μολύβδου παντὸς βαρυτέραν καθίστησι. καὶ τοῦτο οὐκ ἀπὸ τῶν ἐμαυτοῦ λόγων, ἀλλ' ἀπ' αὐτοῦ τοῦ κατασχεθέντος τῇ ἐπιθυμίᾳ ταύτῃ τῇ καλῇ παραστῆσαι πειράσομαι. τίς οὖν οὗτός ἐστιν; ὁ διάπυρος ἐραστὴς τοῦ Χριστοῦ Παῦλος, ὃς οὕτως ἐτρώθη τούτῳ τῷ πόθῳ, ὥστε στένειν μὲν ἐπὶ τῇ μελλήσει καὶ διατριβῇ τῆς ἐντεῦθεν ἀποδημίας (Καὶ γὰρ οἱ ὄντες, φησίν, ἐν τῷ σκήνει τούτῳ στενάζομεν) βούλεσθαι δὲ καὶ ἐπιθυμεῖν ἔτι μένειν ἐνταῦθα διὰ τὸν Χριστόν. Τὸ γὰρ ἐπιμένειν μέ, φησι, τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς, τουτέστιν, ἵνα ἐπιδοθῇ ἡ πίστις ἡ εἰς τὸν Χριστόν. διὰ τοῦτο καὶ λιμὸν καὶ δίψαν καὶ γυμνότητα καὶ δεσμὰ καὶ θανάτους καὶ διαποντίους ἀποδημίας καὶ ναυάγια καὶ τὰ ἄλλα πάντα, ἃ κατέλεξεν, ἔφερε· καὶ οὐ μόνον οὐκ ἐβαρύνετο τούτοις, ἀλλὰ καὶ ἔχαιρε. τὸ δὲ αἴτιον ἦν, ἡ ἀγάπη τοῦ Χριστοῦ. διὸ καὶ ἔλεγεν, Ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς. καὶ μὴ θαυμάσῃς. εἰ γὰρ ἀνθρώπων φιλία θανάτου πολλάκις κατατολμῆσαι ἐποίησε, τί οὐκ ἂν ἐργάσαιτο ἡ τοῦ Χριστοῦ; ποίαν δυσχέρειαν οὐκ ἂν ἐξευμαρίσειεν; οὕτως ἐκείνῳ πάντα φορητὰ ἦν πρὸς τὸν ποθούμενον ὁρῶντι μόνον, καὶ διὰ τὸν ἐκεῖνον ἅπαντα πάσχειν, πάσης ἡδονῆς καὶ ἀπολαύσεως ἡγουμένῳ μεῖζον, ὥσπερ οὖν καὶ ἔστιν. οὐδὲ γὰρ ἐνόμιζεν εἶναι ἐν τῇ γῇ, οὐδὲ ἐν τῷ παρόντι βίῳ, οὐδὲ μετὰ ἀνθρώπων στρέφεσθαι, ἀλλ' ὡς ἤδη τὴν οὐράνιον λῆξιν ἔχων, καὶ μετὰ ἀγγέλων πολιτευόμενος, καὶ τὴν βασιλείαν ἀπολα-

βὼν

β. Κορ. ε. δ.

Φιλιπ. α. κδ.

Ρωμ. η λζ.

βῶν, καὶ πρόσωπον πρὸς πρόσωπον ἀπολαύων, οὕτω κατεφρόνει τῶν ἐν τῷ παρόντι ἡδέων τε καὶ λυπηρῶν. τῆς ἀναπαύσεως αὐτοῦ λόγος οὐδεὶς ἦν, ὃ συνεχῶς ἐπιζητεῖται παρ' ἡμῶν· ἀλλ' ἐβόα λέγων, Μέχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν καὶ κοπιῶμεν, ἐργαζόμενοι ταῖς ἰδίαις χερσί, λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, βλασφημούμενοι παρακαλοῦμεν. καὶ πάλιν, Ὡσπερεὶ καθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα ἕως ἄρτι. καθάπαξ γὰρ τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς στρέψας εἰς τὸν οὐρανόν, καὶ τὸ ἐκεῖ κάλλος καταπλαγείς, οὐκ ἠνέσχετο πρὸς τὴν γῆν ὑποστρέψαι πάλιν· ἀλλ' ὥσπερ τις πτωχὸς καὶ πένης, ἐν οἰκίσκῳ γνοφώδει καὶ ταπεινῷ τὸν ἅπαντα χρόνον κατακλεισθείς, ἐπειδὰν ἴδῃ βασιλέα χρυσῷ τε πολλῷ καὶ λίθων ἀστραπαῖς ἀποστίλβοντα, οὐκ ἂν ἕλοιτο λοιπὸν οὐδὲ εἰς νοῦν τὴν τῆς οἰκείας πτωχείας οἰκίαν λαβεῖν, ἀλλὰ πάντα πραγματεύσεται ὑπὲρ τοῦ μεταστῆναι πρὸς ἐκείνην τὴν οἴκησιν, ἂν ἐξῇ· οὕτω καὶ ὁ μακάριος ἐκεῖνος κατοπτεύσας τὰ ἐν τοῖς οὐρανοῖς, κατεφρόνει τῆς ἐνταῦθα πενίας· καὶ τοῖς ἀνθρώποις διὰ τὴν τοῦ σώματος ἀνάγκην συναναστρεφόμενος, πρὸς οὐδὲν τῶν ἐνταῦθα ἐπεστρέφετο, ἀλλ' ὅλον ἑαυτὸν πρὸς τὴν πόλιν ἐκείνην μετέθηκε. καὶ τί λέγω τὰ ἐν τῷ παρόντι βίῳ λυπηρά; τοσοῦτον ἐπήνθησεν εἰς αὐτὸν ὁ τοῦ Χριστοῦ πόθος, ὡς, εἴγε προέκειτο καὶ τὰς ἀθανάτους κολάσεις ἐκείνας ὑπενεγκεῖν ἕνεκεν τοῦ Χριστοῦ, μηδ' ἂν τοῦτο παραιτήσασθαί ποτε. οὐ γὰρ ὥσπερ ἡμεῖς οἱ μισθωτοὶ γέενναν δεδοικότες καὶ τῆς βασιλείας ἐφιέμενοι, οὕτω κἀκεῖνος ἐδούλευε τῷ Χριστῷ· ἀλλ' ἑτέρῳ τινὶ πολλῷ τούτου βελτίονι καὶ μακαριωτέρῳ πόθῳ ληφθείς, ἔπασχέ τε καὶ ἔπραττεν ἅπαντα, δι' ἕτερον μὲν οὐδέν, ἵνα δὲ παραμυθήσεται τὸν ἔρωτα μόνον, ὃν εἶχεν εἰς τὸν Χριστόν· ὃς οὕτως αὐτοῦ κατὰ κράτος εἷλε τὸν λογισμόν, ὡς καὶ ὃ πάντων αὐτῷ τιμιώτερον ἦν, τὸ συνεῖναι τῷ Χριστῷ λέγω, ὑπὲρ οὗ καὶ γεέννης κατεφρόνησε καὶ βασιλείας οὐρανῶν, τούτου πάλιν ἀλλοτριωθῆναι μετὰ πολλῆς ἑλέσθαι τῆς προθυμίας, καὶ τὴν τοιαύτην ἔκπτωσιν διὰ τὸν Χριστόν, ὡς ἕν τι τῶν εὐκταιοτάτων, ἀσπάζεσθαι καὶ μετὰ πολλῆς ἑλέσθαι τῆς προθυμίας. καὶ τάχα νῦν μὲν ἀσαφὲς εἶναι δοκεῖ πολλοῖς τὸ λεχθέν. ὅταν δὲ αὐτὸ σαφέστερον εἴπω, τότε πάλιν ἄπιστον εἶναι δόξει τούτοις, οἷς πρότερον ἦν ἀσαφές. καὶ οὐδὲν θαυμαστόν. καὶ γὰρ καὶ ὁ μακάριος ἐκεῖνος προσδοκήσας ἀπιστηθήσεσθαι περὶ τούτων, διὰ τοῦτο προλαβὼν ἔλεγεν, Ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, συμμαρτυρούσης μοι τῆς συνειδήσεώς μου ἐν πνεύματι ἁγίῳ. καὶ ὅμως τοσαῦτα τῷ λόγῳ προσθείς, καὶ μάρτυρας αὐτοῦ τῆς συνειδήσεως καλέσας τοιούτους, ἀπιστεῖται καὶ νῦν ἔτι. τί ποτ' οὖν τοῦτό ἐστιν, ὅ φησιν, ἄκουε. διαλεχθεὶς περὶ τῶν ἐν τῷ κόσμῳ τούτῳ δεινῶν, καὶ εἰπών, ὅτι Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλίψις, ἢ στενοχωρία, ἢ διωγμός, ἢ λιμός, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; καὶ πάντα διελθὼν τὰ ἐπὶ τῆς γῆς, ἄνεισιν εἰς τὸν οὐρανόν· καὶ δεῖξαι βουλόμενος ὅτι οὐδὲν μέγα τὸ ἐνταῦθα κολαστηρίων καταφρονεῖν διὰ τὸν Χριστόν, ἐπήγαγεν, ὅτι Οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐ μόνον ἄνθρωποι οὐ δυνήσονται ταύτης διασπᾶσαί με τῆς φιλίας, ἀλλ' οὐδὲ ἄγγελοι, οὐδ' ἂν εἰ πᾶσαι τῶν οὐρανίων συνέλθοιεν εἰς ταὐτὸ δυνάμεις, τοῦτο ἰσχύσουσι. τί λέγω; οὐδ' ἂν βασιλείας ἐκπεσεῖν δέῃ, οὐδ' ἂν εἰς γέενναν ἐμπεσεῖν διὰ τὸν Χριστόν, οὐδὲ τοῦτό μοι φοβερόν. τὸ γὰρ ὕψωμα καὶ βάθος καὶ ζωὴ καὶ θάνατος οὐδὲν ἕτερον, ἢ τοῦτο ἐμφαίνει. ταῦτα δὲ ἔλεγεν, οὐχ ὡς ἀγγέλων ἐπιχειρησόντων αὐτὸν διασπᾶσαι τοῦ Χριστοῦ, ἀλλὰ καὶ τὰ μηδόλως ἐκβησόμενά ποτε ὑποτίθεται τῷ λόγῳ· ἵνα δυνηθῇ τὸν πολὺν πόθον, ὃν εἶχε, παραστῆσαι, καὶ ποιῆσαι κατάδηλον ἅπασι. τοιοῦτον γὰρ τὸ τῶν φιλούντων ἔθος· οὐ στέγουσι σιγῇ κατέχειν τὸν ἔρωτα, ἀλλ' εἰς τοὺς ἐπιτηδείους ἅπαντας τὴν φλόγα ἐκφέρουσι, τῷ συνεχῶς διηγεῖσθαι τοῦ πόθου τὴν ὑπερβολὴν δια-

α. Κορ. δ. ια.
α. Κορ. δ. ιγ.
Ρωμ. θ. α.
Ρωμ. η. λθ.

ναπαύοντες αὐτῶν τὴν ψυχήν. ὅπερ οὖν καὶ ὁ μακάριος ἐκεῖνος τότε ἐποίησε, καὶ πάντα τῷ λόγῳ περιλαβὼν, τὰ ὄντα, τὰ ἐσόμενα, τὰ συμβάντα, τὰ μηδέποτε συμβησόμενα, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, καὶ πᾶσαν κόλασιν, καὶ πᾶσαν ἀνάπαυσιν, ὥσπερ οὐκ ἀρκούντων τούτων αὐτῷ πρὸς τὴν τοῦ πάθους παράστασιν, ἕτερα τοσαῦτα πάλιν οὐχ ὑφεστῶτα ὑποστησάμενος τῷ λόγῳ, οὕτως ἐπήγαγε, δηλῶν ὅτι πάντων τῶν εἰρημένων οὐδὲν ἡμᾶς χωρίσαι δυνήσεται τῆς ἀγάπης τοῦ Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Καὶ ἐκεῖνος μὲν πρὸς τοσοῦτον ὕψος τὸν ἑαυτοῦ πόθον ἀνῆξεν· ἡμεῖς δὲ οἱ κελευσθέντες εἶναι αὐτοῦ μιμηταὶ, οὐδὲ τὰς ἐνθάδε θλίψεις φέρομεν εὐχερῶς, ἀλλὰ ἀλύομεν καὶ δυσαναχετοῦμεν τῶν πυρεττόντων οὐκ ἔλαττον. ἡ γὰρ μακρὰ αὕτη νόσος ἡ καταλαβοῦσα τὰς ἡμετέρας ψυχὰς ἀνίατος τῷ χρόνῳ γέγονεν, ὡς εἰπεῖν, καὶ τῆς εἰλικρινοῦς ὑγείας οὐδὲ ἔννοιαν δυνάμεθα λαβεῖν, ἀλλὰ καὶ ἀδύνατος εἶναι δοκεῖ ἡμῖν λοιπὸν ἡ ταύτης ἀνάκλησις. κἂν ἀκούσωμέν τινος τοὺς ἀποστόλους εἰς μέσον ἄγοντος, καὶ τὰ ἐκείνων κατορθώματα λέγοντος, δέον εὐθέως καὶ πενθῆσαι ἑαυτοὺς, ὅτι τοσοῦτον αὐτῶν ἀφεστήκαμεν, οὐδὲ ἁμάρτημα τὸ πρᾶγμα εἶναι νομίζομεν· ἀλλ' ὡς οὐδὲ δυνατὸν πρὸς ἐκεῖνο φθάσαι τὸ ὕψος, οὕτω διακείμεθα. κἂν ἔρηταί τις τὴν αἰτίαν, εὐθέως τοῦτο προβαλλόμεθα λέγοντες· ἐκεῖνος Παῦλος ἦν, κἀκεῖνος Πέτρος ἦν, κἀκεῖνος Ἰωάννης. τί ἐστιν, ἐκεῖνος Παῦλος ἦν; ἐκεῖνος Πέτρος ἦν; οὐ τῆς αὐτῆς φύσεως, εἰπέ μοι, καὶ οὗτοι μετεῖχον; οὐ διὰ τῆς αὐτῆς ὁδοῦ παρήχθησαν εἰς τὸν βίον ἡμῖν; οὐ ταῖς αὐταῖς ἐτράφησαν τροφαῖς; οὐ τὸν αὐτὸν ἀνέπνευσαν ἀέρα; οὐ πράγμασιν ἐχρήσαντο τοῖς αὐτοῖς; οὐχ οἱ μὲν αὐτῶν καὶ γυναῖκας εἶχον καὶ παῖδας, οἱ δὲ καὶ τέχνας βιωτικάς; ἕτεροι δὲ καὶ εἰς αὐτὸ τῆς κακίας τὸ βάραθρον κατηνέχθησαν; ἀλλὰ πολλῆς ἀπέλαυσαν, φησὶ, τῆς τοῦ Θεοῦ χάριτος. ἀλλ' εἰ μὲν νεκροὺς ἀναστῆσαι ἐκελευόμεθα, ἢ ὀφθαλμοὺς ἀνοῖξαι τυφλῶν, ἢ καθαρίσαι λεπροὺς, ἢ χωλοὺς ἀνορθῶσαι, ἢ δαίμονας ἐκβαλεῖν, καὶ τὰς ἄλλας τὰς τοιαύτας ἰᾶσθαι νόσους, καιρὸν ἂν εἶχε τὰ τῆς ἀπολογίας ταύτης ἡμῖν. εἰ δὲ πολιτείας ἐξέτασις πρόκειται νῦν, καὶ ὑπακοῆς ἐπίδειξις, ποῖον ταῦτα πρὸς ἐκεῖνον ἂν ἔχοι λόγον; καὶ γὰρ καὶ σὺ θείας ἀπέλαυσας χάριτος βαπτιζόμενος, καὶ πνεύματος μετέσχες, εἰ καὶ μὴ πρὸς τὸ τὰ σημεῖα ποιεῖν, ἀλλ' ὅσον ἀρκεῖ πρὸς τὸ πολιτείαν ὀρθὴν καὶ ἠκριβωμένην λαβεῖν· ὥστε ῥαθυμίας μόνον τῆς ἡμετέρας ἐστὶν ἡ διαστροφή. καὶ ὁ Χριστὸς δὲ κατὰ τὴν ἡμέραν ἐκείνην οὐ τοῖς τὰ σημεῖα ἐργασαμένοις ἁπλῶς τὰ ἔπαθλα δίδωσιν, ἀλλὰ τοῖς τὰ προστάγματα πεποιηκόσι τὰ αὐτοῦ. Ματθ. κε. λδ. Δεῦτε γὰρ, φησὶν, οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· οὐχ ὅτι ἐθαυματουργήσατε, ἀλλ', ὅτι ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνὸς, καὶ περιεβάλετέ με· ἠσθένησα, καὶ ἐπεσκέψασθέ με· ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρὸς μέ. καὶ ἐν τοῖς μακαρισμοῖς δὲ οὐδαμοῦ τοὺς τὰ θαύματα ποιοῦντας τίθησιν, ἀλλὰ τοὺς βίον ἔχοντας ὀρθόν. ὥστε εἰ καὶ ἐκείνη συνέσταλται νῦν ἡ χάρις, οὐδὲν ἡμᾶς παραβλάψαι τοῦτο δυνήσεται, ἀλλ' οὐδὲ ἀπολογήσασθαι ὑπὲρ ἡμῶν, ὅταν τὰς εὐθύνας ὑπέχωμεν τῶν πεπραγμένων. καὶ γὰρ τοὺς μακαρίους ἐκείνους οὐ διὰ τὰ σημεῖα θαυμάζομεν (τοῦτο γὰρ ὅλον τῆς τοῦ Θεοῦ δυνάμεως ἦν) ἀλλ' ὅτι πολιτείαν ἐπεδείξαντο ἀγγελικήν. τοῦτο δὲ μετὰ τῆς ἄνωθεν ῥοπῆς, καὶ τῆς αὐτῶν σπουδῆς ἔργον ἐστί. καὶ οὐκ ἐγὼ τοῦτο λέγω νῦν, ἀλλὰ καὶ αὐτὸς ἐκεῖνος ὁ τοῦ Χριστοῦ μιμητής. ὅτε γὰρ πρὸς τοὺς ψευδαποστόλους διετείνετο, γράφων τοῖς μαθηταῖς, καὶ τὸ μέσον τοῦ δοκίμου τε καὶ κιβδήλου διακονίας παραστῆσαι ἐβούλετο, οὐκ ἀπὸ τῶν σημείων, ἀλλ' ἀπὸ τῶν κατορθωμάτων αὐτοῦ τοῦτο ἐποίησεν, οὑτωσὶ β. Κορ. ια. κγ. λέγων· Διάκονοι Χριστοῦ εἰσι; (παραφρονῶν λαλῶ) ὑπὲρ ἐγώ. ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως, ἐν θανάτοις πολλάκις. ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον, τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα· ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ, κινδύνοις ἐν ψευδαδέλφοις· ἐν κόπῳ, ἐν μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις· ἐν λιμῷ καὶ δίψει, ἐν νηστείαις πολλάκις, ἐν ψύχει καὶ γυμνότητι· χωρὶς τῶν παρεκτὸς, ἡ ἐπισύστασίς μου ἡ καθ' ἡμέραν, ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν. τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; διὰ ταῦτα θαυμάζω τὸν ἀπόστολον ἐγώ· ὡς οἵ γε τούτων χωρὶς ἐπιδειξάμενοι σημεῖα διά τινος οἰκονομίας συγχωρηθέντες, οὐ μόνον οὐκ ἐγένοντο θαυμαστοὶ, ἀλλὰ καὶ ἀδόκιμοι, καθὼς καὶ ὁ Χριστὸς δείκνυσι λέγων· Πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλλομεν, καὶ τῷ σῷ ὀνόματι πολλὰς δυνάμεις ἐποιήσαμεν; καὶ ἐρῶ αὐτοῖς, ἀποχωρεῖτε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· οὐδέποτε ἔγνων ὑμᾶς. διὰ τοῦτο καὶ τοῖς μαθηταῖς παρῄνει λέγων, Μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται, ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς. πολιτεία μὲν γὰρ ὀρθὴ καὶ τούτων χωρὶς ἀπολήψεται τοὺς στεφάνους, καὶ οὐδὲν ἔλαττον ἕξει παρὰ τοῦτο· βίος δὲ παράνομος οὐδὲ μετὰ σημείων δυνήσεται τὴν κόλασιν ἐκφυγεῖν. ὥστε περιττὸς ἡμῖν ὁ λόγος οὗτός ἐστιν· οὐ περιττὸς δὲ μόνον, ἀλλὰ καὶ ἐπικίνδυνος, καὶ πολλοῖς τῶν αἱρετικῶν παρέχων λαβάς. εἰ γὰρ μὴ διὰ τὴν οἰκείαν ἐκεῖνοι προαίρεσιν οὕτως ἐγένοντο θαυμαστοὶ, ἀλλὰ διὰ τὴν τοῦ Χριστοῦ χάριν μόνον, τί τὸ κωλῦον ἅπαντας τοιούτους γενέσθαι; ἡ γὰρ χάρις, εἰ μὴ τὰ παρ' ἡμῶν πρότερον ἐζήτει, ἀφθόνως ἂν εἰς τὰς ἁπάντων ἐξεχύθη ψυχάς. οὐ γάρ ἐστι προσωπολήπτης ὁ Θεός. ἐπειδὴ δὲ τὰ παρ' ἡμῶν ζητεῖ, διὰ τοῦτο τοῖς μὲν ἔπεισι καὶ παραμένει, τῶν δὲ ἀφίσταται, εἰς δὲ τοὺς οὐδὲ τὴν ἀρχὴν καθικνεῖται. ὅτι δὲ προαίρεσιν πρότερον ἐξετάσας, οὕτω τὴν χάριν ἔδωκεν ὁ Θεὸς, πρὶν ἤ τι θαυμαστὸν ἐπιδείξασθαι τὸν μακάριον ἐκεῖνον, ἄκουσον τί περὶ αὐτοῦ φησι· Σκεῦος ἐκλογῆς μοί ἐστι τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν τε καὶ βασιλέων καὶ παντὸς γένους Ἰσραήλ. ταῦτα οὔπω τῆς χάριτος παρούσης ἐμαρτύρησεν ὁ τὰς καρδίας ἐμβατεύων ἡμῶν. μὴ δὴ σφάλλωμεν ἑαυτοὺς, ἀγαπητοὶ, ἀδύνατον εἶναι λέγοντες γενέσθαι κατὰ Παῦλόν τινα. τῆς μὲν γὰρ χάριτος καὶ τῶν σημείων ἕνεκεν οὐκέτι Παῦλος ἕτερος ἔσται λοιπόν· τῆς δὲ ἀκριβείας τοῦ βίου, τῶν βουλομένων ἕκαστος τοιοῦτος γένοιτ' ἄν. εἰ δὲ μή εἰσι, παρὰ τὸ μὴ βούλεσθαι μόνον.

Ματθ. ζ. κϐ.

Λουκ. ι. κ.

Πράξ. θ. ιε.

Ἀλλὰ γὰρ οὐκ οἶδα πῶς εἰς τοῦτο ἀλογίας ἐξέπεσον, κατὰ Παῦλον ζητῶν τινας τῶν νῦν, οὐδὲ κατὰ τοὺς τρίτους ἢ τοὺς τετάρτους μετ' ἐκεῖνον δυνάμενος ἰδεῖν. διὰ ταῦτα πενθεῖν δὴ χρὴ καὶ δακρύειν καὶ ὀδύρεσθαι, οὐ μίαν, οὐδὲ δευτέραν ἡμέραν μόνον, ἀλλὰ τὸν βίον ἅπαντα. εἰ γάρ τις εἰς ταύτην τὴν ἕξιν καταστήσειεν ἑαυτὸν, δυσκόλως ἁμαρτήσεται τοῦ λοιποῦ. καὶ εἰ διαπιστεῖς τῷ λόγῳ, τοὺς πενθοῦντας ἐξέτασον, πένθη λέγω τὰ κοσμικὰ, μὴ τοῦτον τινὰ τῶν πολλῶν καὶ τὸν ἐπίπονον ζώντων βίον, ἀλλ' ἐκείνων τῶν ἁβρῶν καὶ οὐδὲν ἕτερον εἰδότων ἢ τρυφᾶν. οὗτοι γὰρ, οὗτοι οἱ μεθύειν μελετῶντες καὶ γαστρίζεσθαι, οἱ τὰ μὲν ἄριστα μελετῶντες μέχρις ἑσπέρας, τὰ δὲ δεῖπνα εἰς μέσας νύκτας ἐκτείνοντες, οἱ τὰ τῶν ἄλλων ἁρπάζοντες, καὶ οὔτε χήρας, οὔτε πένητος, οὔτε ἀδυνάτου φειδόμενοι, οἱ πολλὴν ὠμότητα ἐπιδεικνύμενοι, εἴ ποτε πένθει ληφθεῖεν σφοδρῷ, δυναμένῳ κάτωθεν ἀναστρέψαι καὶ διεγεῖραι ψυχὴν, πάσας ἐκείνας τὰς βλακώδεις ἐπιθυμίας καὶ παρανόμους ἐκβαλόντες, εἰς τὸν τῶν φιλοσόφων μετατίθενται βίον, σκληραγωγίαν, ἀγρυπνίαν, χαμευνίαν, καρτερίαν, νηστείαν, σιγὴν, ἐπιείκειαν, ταπεινότητα, φιλανθρωπίαν ἐπιδεικνύμενοι πολλήν. καίτοι γε τὰ ἑτέρων ἁρπάζοντες, καὶ τὰ ἑαυτῶν ἡδέως ἂν προοῖντο κατ' ἐκεῖνον τὸν καιρὸν, κἂν πῦρ ἀφεῖναί τις ἐθέλοι τοῖς ὑπάρχουσι μετὰ τῆς οἰκίας πάσης, οὐ παροξύνονται. πολλοὺς δὲ ἔγωγε οἶδα μετὰ τὴν τῶν φιλτάτων ἀποβολὴν, τοὺς μὲν τὴν ἐν ἀγροῖς δίαιταν τῆς πόλεως ἐνδιαλλαξαμένους καὶ τῶν ἐν ταύτῃ καλῶν, ἐστὶ δὲ παρὰ τὰ μνήματα τῶν ἀπελθόντων τὰς οἰκίας δειμαμένους, καὶ τὸν βίον ἐκεῖ καταλύσαντας. ἀλλὰ ταῦτα μὲν ὕστερον· ἕως δ' ἂν ἀκμάζῃ τὸ πένθος, οὐδενὸς αὐτοῖς τῶν παρόντων λόγος ἐστὶν, ἀλλὰ τὴν μανίαν, ἣν περὶ τὴν ἐπιμέλειαν καὶ τὴν συλλογὴν τῶν χρημάτων εἶχον, ἣν περὶ τὴν κτῆσιν τῆς δυναστείας καὶ τῆς δόξης τῆς παρὰ τῶν πολλῶν, ὥσπερ τινὰ χόρτον, ἢ τὸ ἄνθος χόρτου, τῇ φλογὶ τῆς ἀθυμίας καταφλέξαντες, ἔρριψαν ἀπὸ τῆς ψυχῆς, καὶ πρὸς τοσαύτην τότε ἡ διάνοια φιλοσοφίαν μεθίσταται, ὡς μηδὲ μέχρι ῥημάτων ἀνέχεσθαι τινὸς τῶν κατὰ τὸν παρόντα βίον ἡδέων· ἀλλὰ πάντα τὰ πρὸς ἡδονὴν εἶναι δοκοῦντα πρότερον, προσίστασθαί τε αὐτοῖς καὶ πικρότερα φαίνεσθαι. καὶ οὐδεὶς ἂν οὔτε τῶν οἰκετῶν, οὔτε τῶν φίλων τολμήσειε τότε ὑπὲρ τῶν ἐν τῷ κόσμῳ τούτῳ σφόδρα κατεπειγόντων ῥῆξαι φωνήν. πάντα γὰρ ἐκποδὼν γινόμενα παραχωρεῖ τοῖς περὶ φιλοσοφίας λόγοις, τῆς ψυχῆς διὰ τοῦ πένθους τότε καθάπερ ἐν ἱερῷ τινι τόπῳ παιδευομένης τῆς ἀνθρωπίνης φύσεως τὴν οὐδένειαν, τοῦ παρόντος αἰῶνος τὸ ἐπίκηρον, τῶν βιωτικῶν τὸ εὔφθαρτόν τε καὶ ἄστατον, τῆς σκηνῆς τῶν γινομένων τὴν ὑπόκρισιν. τότε ὑπεροψία χρημάτων πολλὴ, τότε ὀργῆς ἀναίρεσις, τότε ὀλιγωρία φιλοτιμίας· καὶ οὔτε φθόνος ἐμφωλεῦσαι, οὐ τῦφος ἐκβακχεῦσαι τὸν ὑπὸ τοῦ πένθους συντριβέντα δύναιτ' ἄν· οὐκ ἐπιθυμία ἐμπιπρῆσι τὸν ἀκόλαστον, ἀλλὰ πάντων τούτων φυγαδευθέντων ἐκεῖθεν, εἷς μόνος κατοικίζεται λογισμὸς, ὁ τὴν εἰκόνα τοῦ τετελευτηκότος διαγράφων συνεχῶς. τοῦτο καὶ σῖτα καὶ ποτὸς καὶ ὕπνος καὶ ἡδονὴ καὶ ἀνάπαυσις καὶ παραμυθία πολλή· τοῦτο δόξα καὶ πλοῦτος καὶ δυναστεία καὶ τρυφή. οὕτως ἡμᾶς ἐχρῆν τὴν ἀποβολὴν τῆς σωτηρίας τῆς ἡμετέρας πενθεῖν, ἵνα μηδὲν εἴπω πλέον. μετὰ τοσούτου πόθου καὶ προθυμίας ἔδει πάντων ἐκεῖ τετάσθαι τὸ ὄμμα τῆς ψυχῆς, καὶ πάντα ἡμῖν τὴν ἐκείνης εἶναι μνήμην καὶ ἀνατύπωσιν. νῦν δὲ οἱ μὲν παῖδας καὶ γυναῖκας ἀποβαλόντες, πρὸς οὐδὲν ἕτερον ἀπασχολοῦσι τὸν νοῦν, ἢ πρὸς τὸ φαντάζεσθαι τοὺς ἀποσπασθέντας αὐτῶν· ἡμεῖς δὲ οἱ βασιλείαν ἀπολέσαντες οὐρανῶν, πάντα μᾶλλον ἢ ταύτην διανοούμεθα. καὶ ἐκείνων μὲν οὐδεὶς, κἂν τοῦ βασιλικωτάτου τύχῃ γένους, τῷ τοῦ πένθους αἰσχύνεται νόμῳ, ἀλλὰ καὶ ἐπ' ἐδάφους καθίσεται, καὶ θρηνήσει πικρὸν, καὶ τὴν ἐσθῆτα μεταβαλεῖ, καὶ τὰ ἄλλα πάντα μετὰ πολλῆς ὑποστήσεται προθυμίας τὰ τῆς τιμωρίας ἐκείνης, καὶ οὔτε ἀνατροφὴν, οὔτε σώματος ἕξιν, οὐ τὰς μετὰ ταῦτα λογίζεται νόσους τὰς ἀπὸ τῆς ταλαιπωρίας ἐκείνης, ἀλλὰ μετὰ πολλῆς τότε οἴσει τῆς εὐκολίας. γρ. βα τίμε καὶ ταῦτα μὲν οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ γυναῖκες, κἂν σφόδρα ἀσθενεῖς ὦσιν, ἐπιδείκνυνται, καὶ τούτων πλείονα· ἡμεῖς δὲ οὐ παῖδας, οὐ γυναῖκας, ἀλλὰ ψυχῆς ἀπώλειαν πενθοῦντες, ψυχῆς οὐκ ἀλλοτρίας, ἀλλὰ τῆς ἡμετέρας, σκηπτόμεθα προφασιζόμενοι σώματος ἀσθένειαν, καὶ ἀνατροφῆς ἁπαλότητα. καὶ εἴθε τοῦτο μόνον ἦν τὸ δεινόν· νῦν δὲ οὐδὲ ἐκεῖνα πράττομεν, ἐν οἷς οὐδὲν τῆς τοῦ σώματος ἐνεργείας δεόμεθα. ποῦ γὰρ, εἰπέ μοι, σωματικῆς χρεία δυνάμεως, ὅταν συντρῖψαι δέῃ καρδίαν, ὅταν εὔξασθαι, ὅταν ἀναλογίσασθαι τὰ ἁμαρτήματα, ὅταν καταλῦσαι τῦφον καὶ ἀπόνοιαν, ὅταν ταπεινῶσαι λογισμόν; ταῦτα γάρ ἐστιν, ἃ καὶ τὸν Θεὸν ἵλεων ἡμῖν καθίστησι, καὶ οὐ πολλοῦ δεῖται πόνου· καὶ οὐδὲ ταῦτα πράττομεν. οὐδὲ γὰρ σάκκου περιβολὴ, οὐδὲ τὸ ἐν οἰκίσκῳ κατακλεῖσαι ἑαυτὸν, οὐδὲ τὸ καθίσαι ἐν σκότῳ, τοῦτο μόνον ἐστὶ τὸ πενθεῖν, ἀλλὰ τὸ διαπαντὸς τὴν μνήμην τῶν οἰκείων ἀναστρέφειν κακῶν, καὶ βασανίζειν τὸ συνειδὸς τούτοις τοῖς λογισμοῖς, τὸ συνεχῶς ἀναμετρεῖν τῆς ὁδοῦ τὸ μῆκος, ὅσον ἀπολειπόμεθα τῆς βασιλείας τῶν οὐρανῶν. καὶ πῶς τοῦτο ἔσται, φησί; πῶς; ἂν τὴν γέενναν ἔχωμεν ἀεὶ πρὸ τῶν ὀφθαλμῶν, καὶ τοὺς πανταχοῦ τότε διατρέχοντας ἀγγέλους, καὶ συνάγοντας ἐκ τῆς οἰκουμένης ἁπάσης τοὺς ἐν τῇ γεέννῃ ἀπαχθήσεσθαι μέλλοντας· ἂν τὴν ἔκπτωσιν λογισώμεθα τῆς βασιλείας, ὅσον κακὸν καὶ τῆς γεέννης χωρίς. καὶ γὰρ εἰ μὴ τὸ πῦρ ἐκεῖνο ἠπείλητο ἡμῖν, μηδὲ ἀθάνατοι κολάσεις ἡμᾶς

ἔμενον,

ἔμελλον, ἀλλὰ μόνον τὸ ἀλλοτριωθῆναι τοῦ Χριστοῦ τοῦ πράου καὶ φιλανθρώπου, τοῦ παραδόντος ἑαυτὸν ὑπὲρ ἡμῶν εἰς θάνατον, καὶ πάντα παθόντος, ἵνα ἡμᾶς ἐξαιρήσηται τῆς κολάσεως ἐκείνης, καὶ καταλλάξῃ ἡμᾶς τῷ ἑαυτοῦ πατρὶ ἐχθροὺς ὄντας τοῖς πταίσμασι, καὶ τῶν προκειμένων ἀγαθῶν γενέσθαι ἐκτός, πάσης κολάσεως μεῖζόν ἐστι, καὶ ἱκανὸν διεγεῖραι ψυχάς, καὶ πεῖσαι νήφειν διαπαντός. Εἰ γὰρ ἀναγινώσκοντες μόνον τὸ ὑπόδειγμα τῶν πέντε παρθένων, ἃς ἔξω τοῦ νυμφῶνος ἡ τοῦ ἐλαίου σπάνις ἀπέκλεισεν, ἐξ ἴσης ἐκείναις αὐταῖς ἀλγοῦμεν ἐπὶ τοῖς ἐκείνων κακοῖς, καὶ θορυβούμεθα ἂν ἐννοήσωμεν ὅτι καὶ αὐτοὶ τοῦτο πεισόμεθα ῥᾳθυμήσαντες, τίς οὕτως ἔσται λίθινος λοιπόν, ὡς τοῦ παραδείγματος ″ αὐτοῦ τοῦ συνεχῶς στρέφοντος τὴν ψυχήν, εἰς ὀλιγωρίαν ἐμπεσεῖν; ἐκεῖνο μὲν οὖν δεῖ εἰς μεῖζον μῆκος ἐκτεῖναι τὸν λόγον· ἀλλ' ἐπεὶ μόνον ὑπακοῆς, καὶ οὐκ ἄλλης χρείας ἕνεκεν ἡμῖν εἴρηται, καὶ ταῦτα πέρα τοῦ δέοντος γέγραπται. εὖ γὰρ οἶδα ὅτι πᾶσαν τῆς κατανύξεως τὴν ἀρετὴν αὐτός τε ἔχεις ἀκριβῶς, καὶ ἄλλοις ἂν μεταδοίης καὶ σιωπῶν, ἂν μόνον βραχὺ τῇ εὐλαβείᾳ συζῆσαι ἀξιωθεῖεν τῇ σῇ, καὶ τὸν ἐσταυρωμένον βίον ἰδεῖν. ὥστε εἰ χρὴ κατάνυξιν μαθεῖν, σοῦ μὲν νῦν ζῶντας εἰς τὸ σὸν βαδίζειν δεῖ καταγώγιον· σοῦ δὲ μετὰ ταῦτα, ἀκούειν τὰ σά. πολλὴν γὰρ οἶμαι ῥοπὴν παρέξειν πρὸς τοῦτο τὴν διήγησιν μόνον τοῦ βίου τοῦ σοῦ. διὸ δέομαι καὶ παρακαλῶ τὴν ἀμοιβὴν ἡμῖν ἀποτίσαι λοιπόν, καὶ τὰς εὐχὰς ἀντιδοῦναι τὰς σάς, ὥστε μὴ λέγειν περὶ κατανύξεως μόνον, ἀλλὰ καὶ διὰ τῶν ἔργων τὸ πρᾶγμα ἐπιδείκνυσθαι τοῦτο· ἐπεὶ τὸ διδάσκειν ἄνευ τοῦ ποιεῖν, οὐ μόνον κέρδος οὐδέν, ἀλλὰ καὶ ζημίαν πολλὴν καὶ κατάκρισιν φέρει τῷ μετὰ τοσαύτης ἀπροσεξίας διοικοῦντι τὸν βίον τὸν ἑαυτοῦ. Οὐ γὰρ πᾶς, φησίν, ὁ λέγων μοι, Κύριε, Κύριε, ἀλλ' ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

τούτ

ΧΡΥΣΟΣΤΟΜΟΥ ΠΡΟΣ ΣΤΕΛΕΧΙΟΝ, ΚΑΙ ΠΕΡΙ κατανύξεως.

ΚΑὶ πῶς ἔνι γενέσθαι τοῦτο ὅπερ ἐπέταξας, ἅγιε τοῦ Θεοῦ ἄνθρωπε Στελέχιε, καὶ παρὰ ψυχῆς οὕτως ἀσθενοῦς καὶ ψυχρᾶς τοὺς περὶ κατανύξεως ἀποτεχθῆναι λόγους; δεῖ γὰρ οἶμαι τὸν μέλλοντά τι γενναῖον εἰς τὴν ὑπόθεσιν ταύτην ἐρεῖν, αὐτὸν πρὸ τῶν ἄλλων ἁπάντων μάλιστα πεπυρῶσθαι τῷ καλῷ τούτῳ καὶ ἀνάξειν· ὥστε τοὺς περὶ τούτων προφερομένους λόγους πάντως πεπυρακτωμένου σιδήρου σφοδρότερον εἰς τὰς τῶν ἀκουόντων ἐμπίπτειν ψυχάς. ἡμῖν δὲ τοῦτο οὐ πάρεστι τὸ πῦρ, ἀλλὰ πάντα τὰ ἔνδον τέφρα καὶ κόνις. πόθεν οὖν, εἰπέ μοι, πόθεν τὴν φλόγα ταύτην ἀνακαύσωμεν, μήτε σπινθῆρος ὄντος ἡμῖν, μήτε ὕλης ὑποκειμένης, μήτε πνεύματος τοῦ ταύτην ἀναρριπίζοντος παραγινομένου διὰ τὴν πολλὴν ἀχλύν, ἣν τὸ τῶν ἁμαρτημάτων πλῆθος κατεσκέδασεν ἡμῶν τῆς ψυχῆς, ἐγὼ μὲν οὐκ οἶδα· ″ σοὶ δ' ἂν εἴη λοιπὸν τοῦ προστάττοντος εἰπεῖν, ὅπως εἰς ἔργον ἔλθοι τὸ ἐπίταγμα, καὶ τὸ προσῆκον ἀπολάβοι τέλος. ἡμεῖς μὲν γὰρ τὴν ἀπὸ τῆς γλώττης παρεξόμεθα διακονίαν· σὺ δὲ παρακάλει τὸν ἰώμενον τοὺς συντετριμμένους τὴν καρδίαν, τὸν διδόντα τοῖς ὀλιγοψύχοις μακροθυμίαν, τὸν ἐγείροντα ἀπὸ τῆς γῆς πτωχόν, ἀνάψαι τὸ πῦρ ἐκεῖνο παρ' ἡμῖν· ὃ πᾶσαν μὲν ἀνθρωπίνην ἀσθένειαν ἀναλίσκειν εἴωθε, πάντα δὲ ὕπνον καὶ ἀκηδίαν καὶ βαρύτητα σαρκικὴν περικόψαι, μετεωρίζει μὲν

τῆς

πόλεως ἐρημίαν ἀλλαξαμένους καὶ τῶν ἐν ταύτῃ καλῶν, οὐδὲ γὰρ παρὰ τὰ μνήματα τῶν ἀπελθόντων τὰς οἰκίας δειμαμένους, καὶ τὸν βίον ἐκεῖ καταλύσαντας. ἀλλὰ ταῦτα μὲν ὕστερον· ἕως δ' ἂν ἀκμάζῃ τὸ πένθος, οὐδενὸς αὐτοῖς τῶν παρόντων λόγος ἐστὶν, ἀλλὰ τὴν μανίαν, ἣν περὶ τὴν ἐπιμέλειαν καὶ τὴν συλλογὴν τῶν χρημάτων εἶχον, ἣν περὶ τὴν κλῆσιν τῆς δυναστείας καὶ τῆς δόξης τῆς παρὰ τῶν πολλῶν, ὥσπερ τινὰ χόρτον, ἢ καὶ ἄνθος χόρτου, τῇ φλογὶ τῆς ἀθυμίας καταφλέξαντες, ἔρριψαν ἀπὸ τῆς ψυχῆς, καὶ πρὸς τοσαύτην τότε ἡ διάνοια φιλοσοφίαν μεθίσταται, ὡς μηδὲ μέχρι ῥημάτων ἀνέχεσθαι τινὸς τῶν κατὰ τὸν παρόντα βίον ἡδέων· ἀλλὰ πάντα τὰ πρὸς ἡδονὴν εἶναι δοκοῦντα πρότερον, προσίστασθαί τε αὐτοῖς καὶ πικρότερα φαίνεσθαι. καὶ οὐδεὶς ἂν οὔτε τῶν οἰκετῶν, οὔτε τῶν φίλων τολμήσειε τότε ὑπὲρ τῶν ἐν τῷ κόσμῳ τούτῳ σφόδρα κατεπειγόντων ῥῆξαι φωνήν. πάντα γὰρ ἐκποδὼν γινόμενα παραχωρεῖ τοῖς περὶ φιλοσοφίας λόγοις, τῆς ψυχῆς διὰ τοῦ πένθους τότε καθάπερ ἐν ἱερῷ τινι τόπῳ παιδευομένης τῆς μὲν ἀνθρωπίνης φύσεως τὴν οὐδένειαν, τοῦ παρόντος αἰῶνος τὸ ἐπίκηρον, τῶν βιωτικῶν τὸ εὔφθαρτόν τε καὶ ἄστατον, τῆς σκηνῆς τῶν γινομένων τὴν ὑπόκρισιν. τότε ὑπεροψία χρημάτων πολλὴ, τότε ὀργῆς ἀναίρεσις, τότε ὀλιγωρία φιλοτιμίας· καὶ οὔτε φθόνος ἐμφωλεῦσαι, οὐ τῦφος ἐκβακχεῦσαι τὴν ὑπὸ τοῦ πένθους συντριβεῖσαν δύναιτ' ἄν· οὐκ ἐπιθυμία ἐμπιπρήσει τὴν ἀκόλαστον, ἀλλὰ πάντων τούτων φυγαδευθέντων ἐκεῖθεν, εἷς μόνος κατοικίζεται λογισμὸς, ὁ τὴν εἰκόνα τοῦ τετελευτηκότος διαχαράττων συνεχῶς. τοῦτο καὶ σῖτα καὶ ποτὸς καὶ ὕπνος καὶ ἡδονὴ καὶ ἀνάπαυσις καὶ παραμυθία πολλή· τοῦτο δόξα καὶ πλοῦτος καὶ δυναστεία καὶ τρυφή. οὕτως ἡμᾶς ἐχρῆν τὴν ἀποβολὴν τῆς σωτηρίας τῆς ἡμετέρας πενθεῖν, ἵνα μηδὲν εἴπω πλέον. μετὰ τοσούτου πόθου καὶ προθυμίας ἔδει πάντων ἐκεῖ τετάσθαι τὸ ὄμμα τῆς ψυχῆς, καὶ πάντα ἡμῖν τὴν ἐκείνης εἶναι μνήμην καὶ ἀνατύπωσιν. νῦν δὲ τοὺς μὲν παῖδας καὶ γυναῖκας ἀποβαλόντες, πρὸς οὐδὲν ἕτερον ἀπαγορεύουσι τὸν νοῦν, ἢ πρὸς τὸ φαντάζεσθαι τοὺς ἀποσπασθέντας αὐτῶν· ἡμεῖς δὲ τὴν βασιλείαν ἀπολέσαντες οὐρανῶν, πάντα μᾶλλον ἢ ταύτην διανοούμεθα. καὶ ἐκείνων μὲν οὐδεὶς, κἂν τοῦ βασιλικωτάτου τύχῃ γένους, τῷ τοῦ πένθους αἰσχύνεται νόμῳ, ἀλλὰ καὶ ἐπ' ἐδάφους καθίσταται, καὶ θρηνήσει πικρὸν, καὶ τὴν ἐσθῆτα μεταβαλεῖ, καὶ τὰ ἄλλα πάντα μετὰ πολλῆς ὑποστήσεται προθυμίας τὰ τῆς τιμωρίας ἐκείνης, καὶ οὔτε ἀνατροφὴν, οὔτε σώματος ἕξιν, οὐ τὰς μετὰ ταῦτα λογίζεται νόσους τὰς ἀπὸ τῆς ταλαιπωρίας ἐκείνης, ἀλλὰ μετὰ πολλῆς τότε οἴσει τῆς εὐκολίας. καὶ ταῦτα μὲν οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ γυναῖκες, κἂν σφόδρα ἀσθενεῖς ὦσιν, ἐπιδείκνυνται, καὶ τούτων πλείονα· ἡμεῖς δὲ οὐ παῖδας, οὐ γυναῖκας, ἀλλὰ ψυχῆς ἀπώλειαν πενθοῦντες, ψυχῆς οὐκ ἀλλοτρίας, ἀλλὰ τῆς ἡμετέρας, σκηπτόμεθα προφασιζόμενοι σώματος ἀσθένειαν, καὶ ἀνατροφῆς ἁπαλότητα. καὶ εἴθε τοῦτο μόνον ἦν τὸ δεινόν· νῦν δὲ οὐδὲ ἐκεῖνα πράττομεν, ἐν οἷς οὐδὲν τῆς τοῦ σώματος ἐνεργείας δεόμεθα. ποῦ γὰρ, εἰπέ μοι, σωματικῆς χρεία δυνάμεως, ὅταν συντρῖψαι δέῃ καρδίαν, ὅταν εὔξασθαι, ὅταν ἀναλογίσασθαι τὰ ἁμαρτήματα, ὅταν καταλῦσαι τῦφον καὶ ἀπόνοιαν, ὅταν ταπεινῶσαι λογισμόν; ταῦτα γάρ ἐστιν, ἃ καὶ τὸν Θεὸν ἵλεων ἡμῖν καθίστησι, καὶ οὐ πολλοῦ δεῖται πόνου· καὶ οὐδὲ ταῦτα πράττομεν. οὐδὲ γὰρ σάκκου περιβολὴ, οὐδὲ τὸ ἐν οἰκίσκῳ κατακλεῖσαι ἑαυτὸν, οὐδὲ τὸ καθίσαι ἐν σκότῳ, τοῦτο μόνον ἐστὶ τὸ πενθεῖν, ἀλλὰ τὸ διαπαντὸς τὴν μνήμην τῶν οἰκείων ἀναστρέφειν κακῶν, καὶ βασανίζειν τὸ συνειδὸς τούτοις τοῖς λογισμοῖς, τὸ συνεχῶς ἀναμετρεῖν τῆς ὁδοῦ τὸ μῆκος, ὅσον ἀπολειπόμεθα τῆς βασιλείας τῶν οὐρανῶν. καὶ πῶς τοῦτο ἔσται, φησί; πῶς; ἂν τὴν γέενναν ἔχωμεν ἀεὶ πρὸ τῶν ὀφθαλμῶν, καὶ τοὺς πανταχοῦ τότε διατρέχοντας ἀγγέλους, καὶ συνάγοντας ἐκ τῆς οἰκουμένης ἁπάσης τοὺς ἐν τῇ γεέννῃ ἀπαχθήσεσθαι μέλλοντας· ἂν τὴν ἔκπτωσιν λογισώμεθα τῆς βασιλείας, ὅσον κακὸν καὶ τῆς γεέννης χεῖρον. καὶ γὰρ εἰ μὴ τὸ πῦρ ἐκεῖνο ἠπείλητο ἡμῖν, μηδὲ ἀθάνατοι κολάσεις ἡμᾶς ἔμελλον,

γρ. βασιλικωτέρου

ἔμπυρον, ἀλλὰ μόνον τὸ ἀλλοτριωθῆναι τοῦ Χριστοῦ τοῦ πρᾴου καὶ φιλανθρώπου, τοῦ παραδόντος ἑαυτὸν ὑπὲρ ἡμῶν εἰς θάνατον, καὶ πάντα παθόντος, ἵνα ἡμᾶς ἐξαιρήσηται τῆς κολάσεως ἐκείνης, καὶ καταλλάξῃ ἡμᾶς τῷ ἑαυτοῦ πατρὶ ἐχθροὺς ὄντας τοῖς πταίσμασι, καὶ τῶν προκειμένων ἀγαθῶν γενέσθαι ἐκτὸς, πάσης κολάσεως μεῖζόν ἐστι, καὶ ἱκανὸν διεγεῖραι ψυχὰς, καὶ πεῖσαι νήφειν διαπαντός. Εἰ γὰρ ἀναγινώσκοντες μόνον τὸ ἀπόφθεγμα τῶν πέντε παρθένων, ἃς ἔξω τοῦ νυμφῶνος ἡ τοῦ ἐλαίου σπάνις ἀπέκλεισεν, ἐξ ἴσης ἐκείναις αὐταῖς ἀλγοῦμεν ἐπὶ τοῖς ἐκείνων κακοῖς, καὶ θορυβούμεθα ἂν ἐννοήσωμεν ὅτι καὶ αὐτοὶ τοῦτο πεισόμεθα ῥαθυμήσαντες, τίς οὕτως ἔσται λίθινος λοιπὸν, ὡς τοῦ παραδείγματος αὐτοῦ τοῦτο συνεχῶς στρέφοντος τὴν ψυχὴν, εἰς ὀλιγωρίαν ἐμπεσεῖν; ἐχῆν μὲν οὖν καὶ εἰς μεῖζον μῆκος ἐκτεῖναι τὸν λόγον· ἀλλ' ἐπειδὴ μόνον ὑπακοῆς, καὶ οὐκ ἄλλης χρείας ἕνεκεν ἡμῖν εἴρηται, καὶ ταῦτα πέρα τοῦ δέοντος γέγραπται. εὖ γὰρ οἶδα ὅτι πᾶσαν τῆς κατανύξεως τὴν ἀρετὴν αὐτός τε ἔχεις ἀκριβῶς, καὶ ἄλλοις ἂν μεταδοίης καὶ σιωπῶν, οὐ μόνον βραχὺ τῇ εὐλαβείᾳ συζῆσαι ἀξιωθεῖσι τῇ σῇ, καὶ τὸν ἐσταυρωμένον βίον ἰδεῖν. ὥστε εἰ χρὴ κατάνυξιν μαθεῖν, τοὺς μὲν νῦν ζῶντας εἰς τὸ σὸν βαδίζειν δεῖ καταγώγιον· τοὺς δὲ μετὰ ταῦτα, ἀκούειν τὰ σά. πολλὴν γὰρ οἶμαι ῥοπὴν παρέξειν πρὸς τοῦτο τὴν διήγησιν μόνον τοῦ βίου τοῦ σοῦ. διὸ δέομαι καὶ παρακαλῶ τὴν ἀμοιβὴν ἡμῖν ἀποτίσαι λοιπὸν, καὶ τὰς εὐχὰς ἀντιδοῦναι τὰς σὰς, ὥστε μὴ λέγειν περὶ κατανύξεως μόνον, ἀλλὰ καὶ διὰ τῶν ἔργων τὸ πρᾶγμα ἐπιδείκνυσθαι τοῦτο· ἐπεὶ τὸ διδάσκειν ἄνευ τοῦ ποιεῖν, οὐ μόνον κέρδος οὐδὲν, ἀλλὰ καὶ ζημίαν πολλὴν καὶ κατάκρισιν φέρει τῷ μετὰ τοσαύτης ἀπροσεξίας διοικοῦντι τὸν βίον τὸν ἑαυτοῦ. Οὐ γὰρ πᾶς, φησὶν, ὁ λέγων μοι, Κύριε, Κύριε, ἀλλ' ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΠΡΟΣ ΣΤΕΛΕΧΙΟΝ, ΚΑΙ ΠΕΡΙ κατανύξεως.

ΚΑὶ πῶς ἔνι γενέσθαι τοῦτο ὅπερ ἐπέταξας, ἅγιε τοῦ Θεοῦ ἄνθρωπε Στελέχιε, καὶ παρὰ ψυχῆς οὕτως ἀσθενοῦς καὶ ψυχρᾶς τοὺς περὶ κατανύξεως ἀποτεχθῆναι λόγους; δεῖ γὰρ οἶμαι τὸν μέλλοντά τι γενναῖον εἰς τὴν ὑπόθεσιν ταύτην ἐρεῖν, αὐτὸν πρὸ τῶν ἄλλων ἁπάντων μάλιστα πεπυρῶσθαι τῷ καλῷ τούτῳ καὶ ἀναζεῖν· ὥστε τοὺς περὶ τούτων προφερομένους λόγους παρ' αὐτοῦ πεπυρακτωμένου σιδήρου σφοδρότερον εἰς τὰς τῶν ἀκουόντων ἐμπίπτειν ψυχάς. ἡμῖν δὲ τοῦτο οὐ πάρεστι τὸ πῦρ, ἀλλὰ πάντα τὰ ἔνδον τέφρα καὶ κόνις. πόθεν οὖν, εἰπέ μοι, πόθεν τὴν φλόγα ταύτην ἀνακαύσωμεν, μήτε σπινθῆρος ὄντος ἡμῖν, μήτε ὕλης ὑποκειμένης, μήτε πνεύματος τοῦ ταύτην ἀναρριπίζοντος παραγινομένου διὰ τὴν πολλὴν ἀχλὺν, ἣν τὸ τῶν ἁμαρτημάτων πλῆθος κατεσκέδασεν ἡμῶν τῆς ψυχῆς, ἐγὼ μὲν οὐκ οἶδα· σὸν δ' ἂν εἴη λοιπὸν τοῦ προστάττοντος εἰπεῖν, ὅπως εἰς ἔργον ἔλθοι τὸ ἐπίταγμα, καὶ τὸ προσῆκον ἀπολάβοι τέλος. ἡμεῖς μὲν γὰρ τὴν ἀπὸ τῆς γλώττης παρεξόμεθα διακονίαν· σὺ δὲ παρακάλει τὸν ἰώμενον τοὺς συντετριμμένους τὴν καρδίαν, τὸν διδόντα τοῖς ὀλιγοψύχοις μακροθυμίαν, τὸν ἐγείροντα ἀπὸ τῆς γῆς πτωχὸν, ἀνάψαι τὸ πῦρ ἐκεῖνο παρ' ἡμῖν· ὃ πᾶσαν μὲν ἀνθρωπίνην ἀσθένειαν ἀναλίσκειν εἴωθε, πάντα δὲ ὕπνον καὶ ἀκηδίαν καὶ βαρύτητα σαρκικὴν περικόψαι, μετεωρίζει μὲν τῆς ψυχῆς τὸ πτερὸν πρὸς οὐρανόν, δείκνυσι δὲ ἀπὸ τῆς ἀψῖδος ἐκείνης, καθάπερ ἔκ τινος ἀποτόμου κορυφῆς, ἅπασαν τοῦ παρόντος βίου τὴν φαντασίαν καὶ τὴν ὑπόκρισιν. τὸν γὰρ μὴ δυνηθέντα ἀναπτῆναι ἐκεῖ, μηδὲ ἐν ταύτῃ καθίσαι τῇ περιωπῇ, οὐκ ἔνι τὴν γῆν ἰδεῖν, οὐδὲ τὰ ἐν τῇ γῇ πράγματα οὕτως ὡς ἰδεῖν ἄξιον. ἐπεὶ γὰρ πολλὰ μὲν τὰ ἐπισκοτοῦντα τῇ ὄψει, πολλὰ δὲ τὰ θορυβοῦντα τὴν ἀκοήν, καὶ τὴν γλῶτταν ὑποσκελίζοντα, δεῖ πάσης ἑαυτὸν ὑπεξαγαγόντα τῆς ταραχῆς καὶ τοῦ καπνοῦ, πρὸς ἐκείνην ἀναχωρῆσαι τὴν ἐρημίαν, ἔνθα πολλὴ μὲν ἡ γαλήνη, λαμπρὰ δὲ ἡ αἰθρία, θόρυβος δὲ οὐδείς· ἀλλὰ πεπήγασι μὲν ἀκλινεῖς οἱ ὀφθαλμοὶ πρὸς τὸν τοῦ Θεοῦ πόθον ἐνορῶντες ἀτενές, ἑστήκασι δὲ ἀτρεμεῖς αἱ ἀκοαί, πρὸς ἓν μόνον ἠσχολημέναι τὴν τῶν θείων λογίων ἀκρόασιν, καὶ τῆς παναρμονίου καὶ πνευματικῆς ἐπακούουσαι συμφωνίας, ἧς ἡ τυραννὶς οὕτω κρατεῖ τῆς ἅπαξ ἁλούσης ψυχῆς, ὡς μήτε σῖτα, μήτε ποτόν, μήτε ὕπνον αἱρεῖσθαι μεθ' ἡδονῆς τὴν ὑπ' ἐκείνης ἐφελκυσθέντα τῆς μελῳδίας. οὐκοῦν οὔτε πραγμάτων θόρυβος βιωτικῶν, οὔτε σωματικῶν ὄχλος πολλῶν χαλάσαι τὸν τόνον ἐκεῖνον ἰσχύσειεν ἄν. οὐδὲ γὰρ ἐξικνεῖται πρὸς τοῦτο τῆς ψυχῆς τὸ ὕψος ἡ ἐκ τῆς κάτω γινομένης ζάλης ἀνιοῦσα κραυγή· ἀλλ' ὥσπερ οἱ πρὸς τὰ ὑψηλότατα τῶν ὀρῶν μεταναστάντες, οὐδὲν ἂν ἔτι ἀκούσαιεν, οὐδὲ θεάσαιντο τῶν ἐν τῇ πόλει γινομένων ἢ λεγομένων, ἀλλ' ἀσήμου τινὸς μόνον καὶ ἀτερποῦς ὑπακούσαιεν κραυγῆς, καὶ σφηκῶν βομβούντων οὐδὲν ἥδιον· οὕτως οἱ τῶν βιωτικῶν ἑαυτοὺς ἐξαγαγόντες, καὶ πρὸς τὸ ὕψος τῆς πνευματικῆς ἀναπτάντες φιλοσοφίας, οὐδενὸς ἐπαισθάνονται τῶν παρ' ἡμῖν. τὸ γὰρ σῶμα καὶ αἱ τοῦ σώματος αἰσθήσεις, ἕως μὲν ἂν περὶ γῆν ἡ ψυχὴ στρέφεται, μυρίοις αὐτὴν περιβάλλουσι τοῖς δεσμοῖς, πάντοθεν τὸν χαλεπὸν τῶν ἐπικήρων τέρψεων χειμῶνα συνάγουσαι. καὶ γὰρ ἀκοὴ καὶ ὄψις καὶ ἁφὴ καὶ ὄσφρησις καὶ γλῶττα πολλὰ τῶν ἔξωθεν εἰς αὐτὴν ἐναποτίθενται κακῶν. ὅταν δὲ μετέωρος γένηται, καὶ πρὸς τὰ πνευματικὰ τὴν ἑαυτῆς μεταγάγῃ σχολήν, ἀπετείχισε ταῖς πονηραῖς φαντασίαις τὴν εἴσοδον, οὐκ ἐμφράξασα τὰς αἰσθήσεις, ἀλλὰ τὴν ἀκολούθησιν αὐτῶν πρὸς ἐκεῖνο μεταγαγοῦσα τὸ ὕψος. καθάπερ γὰρ δέσποινα φοβερά τε καὶ ἐμβριθὴς μῦρον ἐργαζομένη [ποικίλον] βαρύτιμον καὶ πολυτελές, [καὶ] πολλῶν εἰς τοῦτο δεομένη τῶν διακονησομένων χειρῶν, τὰς θεραπαίνας αὐτῆς ἀναστήσασα, καὶ πρὸς ἑαυτὴν ἀγαγοῦσα, τὴν μὲν κοσκίνῳ τὸ μηδέπω κατειργασμένον τῶν ἀρωμάτων ἀποκρίνειν ἐκέλευσε, τὴν δὲ ζυγὰ καὶ σταθμὰ λαβοῦσαν σκοπεῖν ἀκριβῶς, ὅπως μήτε ἔλαττον, μήτε πλέον τοῦ δέοντος ἐπεισελθὸν, τῆς τοῦ παντὸς κατασκευῆς τὴν συμμετρίαν λυμήνηται, καὶ τὴν μὲν ἕψειν τὰ τούτου δεόμενα, τὴν δὲ τρίβειν ὅσα μὴ καλῶς ἔχει, τὴν δὲ ἕτερα φύρειν καὶ ἀναμιγνύναι τοῖς ἄλλοις, τὴν δὲ ἀλάβαστρον ἔχουσαν ἑστάναι, τὴν δὲ ἄλλος ἕτερον, καὶ ἄλλην ἄλλο τι μεταχειρίζειν, καὶ οὕτως αὐτῶν τήν τε διάνοιαν καὶ τὰς χεῖρας ἐκείνῳ προσηλώσασα τῷ ἔργῳ, οὐκ ἐᾷ διαφθαρῆναί τι, τῇ σπουδῇ ἐφεστῶσα διόλου, καὶ μὴ συγχωροῦσα πλανᾶσθαι ἔξω καὶ κεχηνέναι τὰς ὄψεις· οὕτω καὶ ἡ ψυχὴ τὸ πολυτελὲς τοῦτο μῦρον κατασκευάζουσα, τὴν κατάνυξιν λέγω, τὰς αἰσθήσεις ἄγει πρὸς ἑαυτήν, τὴν ῥᾳθυμίαν αὐτῶν περικόπτουσα. αὐτίκα γοῦν, εἴ ποτε συμβαίη συστρέψασαν ἑαυτὴν λογίζεσθαί τι τῶν δεόντων καὶ θεοφιλῶν, ἐρήμους τῶν ἐνεργειῶν τὰς αἰσθήσεις καθίστησιν, ὥστε μηδὲν τῶν περιττῶν ἐπεισαγούσας ἀκαίρως διαταράξαι τὴν ἔνδον γινομένην ἡσυχίαν αὐτῇ. διὸ καὶ προσπίπτουσι μὲν φωναὶ ταῖς ἀκοαῖς, καὶ θεωρίαι ταῖς ὄψεσι· διαπέμπεται δὲ ἔνδον οὐδέν, τῆς ἑκάστου τούτων ἐνεργείας τῶν μελῶν ἐστραμμένης πρὸς τὴν ψυχήν. καὶ τί λέγω φωνὰς καὶ θεωρίας, ὅπουγε πολλοὶ τῶν ἐν ταύτῃ γενομένων τῇ καταστάσει, οὐ μόνον τοὺς παριόντας παρὰ τῶν ὀφθαλμῶν, ἀλλὰ καὶ τοὺς ἐνωθοῦντας αὐτοῖς ἀπῆλθον μὴ αἰσθόμενοι; τοσαύτη γὰρ τῆς ψυχῆς ἡ ἀρετή, ὡς εἶναι ῥᾴδιον τῷ βουλομένῳ διατρίβειν μὲν ἐπὶ τῆς γῆς, ὥσπερ δὲ ἐν οὐρανῷ καθημένῳ, μηδενὸς ἐπαισθάνεσθαι

γ. φέρειν

σθαι τῶν γινομένων ἐπὶ τῆς γῆς. Τοιοῦτος ὁ μακάριος Παῦλος ἦν, ὃς τοσοῦτον ἀφειστήκει τῶν παρόντων ἁπάντων ἐν μέσαις στρεφόμενος πόλεσιν, ὅσον τῶν νεκρῶν ἀφεστήκαμεν σωμάτων ἡμεῖς. ὅταν γὰρ λέγῃ, Εμοὶ κόσμος ἐσταύρωται, ταύτην λέγει τὴν ἀναισθησίαν μᾶλλον δὲ οὐ ταύτην μόνην, ἀλλὰ καὶ ἑτέραν τοιαύτην, ὡς εἶναι τὴν προειρημένην διπλῆν. οὐ γὰρ εἶπε μόνον, ἐμοὶ κόσμος ἐσταύρωται, καὶ ἐσιώπησεν, ἀλλὰ διὰ τῆς ἐπαγωγῆς καὶ ἑτέραν ἐδήλωσεν εἰπών· ὅτι κἀγὼ τῷ κόσμῳ. μεγάλη μὲν οὖν φιλοσοφία, καὶ τὸ νομίζειν νεκρὸν εἶναι τὸν κόσμον· πλείων δὲ ταύτης καὶ πολλῷ μείζων, τὸ καὶ αὐτὸν ὡς τεθνηκότα διακεῖσθαι πρὸς ἐκεῖνον. ὅπερ οὖν ὁ Παῦλος ἐνέφηνε, τοιοῦτον δή τί ἐστι. λέγει γὰρ οὐ τοσοῦτον ἀπέχειν τῶν παρόντων, ὅσον οἱ ζῶντες τῶν νεκρωθέντων, ἀλλ' ὅσον οἱ νεκροὶ τῶν νεκρῶν· διότι ὁ μὲν ζῶν, εἰ καὶ ἐπιθυμεῖ τοῦ τετελευτηκότος, ἀλλ' ἑτέρως αἰσθάνεται, ἢ καὶ θαυμάζων ἔπι τὸ κάλλος τοῦ κειμένου, ἢ καὶ ἐλεῶν αὐτὸν καὶ δακρύων· ὁ δὲ νεκρὸς πρὸς τὸν ἀπελθόντα οὐδὲ ταύτην ἔχει τὴν σχέσιν καὶ τὴν διάθεσιν. τοῦτο τοίνυν ἐμφῆναι βουλόμενος εἰπών, ἐμοὶ κόσμος ἐσταύρωται, ἐπήγαγε, κἀγὼ τῷ κόσμῳ. ὁρᾷς πόσον ἀφειστήκει τῆς οἰκουμένης, πῶς ἐν τῇ γῇ βαδίζων, πρὸς αὐτὴν ἀνεπεπηδήκει τοῦ οὐρανοῦ τὴν κορυφήν; μὴ γάρ μοι ἀκρωρείας εἴπῃς τῶν ὀρῶν, μηδὲ νάπας καὶ φάραγγας καὶ ἐρημίαν ἄβατον, οὐδὲ ἱκανὰ ταῦτα μόνα ψυχῆς θόρυβον ἐξελεῖν· ἀλλὰ διὰ τῆς φλογὸς ἐκείνης, ἣν ἀνῆψε μὲν ὁ Χριστὸς ἐν τῇ τοῦ Παύλου ψυχῇ, ἔτρεφε δὲ ὁ μακάριος ἐκεῖνος διὰ τούτου τοῦ πνευματικοῦ λογισμοῦ, καὶ πρὸς τοσοῦτον ὕψος ἐπῆρεν, ὡς κάτωθεν ἀρξαμένην ἀπὸ τῆς γῆς, πρὸς αὐτὸν φθάσαι τὸν οὐρανόν, καὶ τὸν ὑπὲρ τοῦτον οὐρανόν, καὶ τὸν μετ' ἐκεῖνον πάλιν. αὐτὸς μὲν γὰρ ἕως τρίτου ἡρπάγη οὐρανοῦ· ὁ δὲ πόθος αὐτοῦ καὶ ἡ πρὸς τὸν Χριστὸν ἀγάπη οὐ τρεῖς μόνον, ἀλλὰ καὶ πάντας τοὺς ὄντας ὑπερηκόντισε. τὸ μὲν οὖν σῶμα βραχὺς ἦν, καὶ πλέον ἡμῶν κατὰ τοῦτο εἶχεν οὐδέν· τῇ δὲ πνευματικῇ διαθέσει πάντας τοὺς ὄντας ἀνθρώπους ἐπὶ τῆς γῆς ἐκ πολλοῦ τοῦ περιόντος παρήλασε. καὶ οὐκ ἄν τις ἁμάρτοι τούτου γε ἕνεκα τοιαύτῃ τινὶ τὸν ἅγιον ἐκεῖνον εἰκόνι παραβαλών· ὥσπερ ἂν εἴ τις φλὸξ τὰ νῶτα πάσης ἐπιθέουσα τῆς γῆς, καὶ πρὸς ὕψος ἀρθεῖσα πάντοθεν περιέλθῃ τὴν οὐράνιον ἀψῖδα, καὶ τὸν ὑπὲρ ταύτης ἀέρα διαδραμοῦσα (εἴτε ἀήρ ἐστιν, εἴθ' ὅ, τι ποτὲ) πληρώσαι τοῦ πυρὸς τὸ μέσον τῶν δύο τούτων οὐρανῶν, καὶ μηδὲ ἐνταῦθα σταίη τοῦ δρόμου, ἀλλὰ καὶ πρὸς τὸν τρίτον ἀθρόως ἐκπηδήσασα ἀναβαίη, καὶ πάντα ἐργάσαιτο μίαν πυράν, τοσοῦτον μὲν ἔχουσαν πλάτος, ὅσον τὸ εὖρος πάσης τῆς γῆς, τοσοῦτον δὲ ὕψος, ὅσον ἀπὸ τοῦ τρίτου οὐρανοῦ πρὸς ἡμᾶς· μᾶλλον δὲ οὐδὲ τὸ πολλοστὸν τῆς ἀγάπης αὐτοῦ μέρος εἰρηκέναι μοι δοκῶ. καὶ ὅτι οὐχ ὑπερβολή ἐστι τὰ ῥήματα, εἴσεταί τις ἀκριβῶς, τὰ πρὸς Δημήτριον ἡμῖν ταύτης ἕνεκεν γραφέντα τῆς ὑποθέσεως ἐπελθών. οὕτω δεῖ φιλεῖν τὸν Χριστόν, οὕτω τῶν παρόντων ἀφεστάναι πραγμάτων. τοιαύτας εἶχον καὶ οἱ ἅγιοι προφῆται ψυχάς· διὰ τοῦτο καὶ ἑτέρους ἔλαβον ὀφθαλμούς. τὸ μὲν οὖν ἀποστῆσαι τῶν παρόντων ἑαυτούς, τῆς ἐκείνων σπουδῆς ἦν· τὸ δὲ μετὰ ταῦτα ἑτέρας ἀνοιγῆναι πρὸς τὴν τῶν μελλόντων θεωρίαν ὄψεις αὐτοῖς, τῆς τοῦ Θεοῦ λοιπὸν ἐγίνετο χάριτος. Τοιοῦτος Ελισσαῖος ἦν, ὅς, ἐπειδὴ πάντων ἀπέστη τῶν βιωτικῶν, καὶ τῆς βασιλείας ἠράσθη τῆς ἐν τῷ οὐρανῷ, καὶ τὰ παρόντα διέπτυσεν ἅπαντα, βασιλείαν καὶ δυναστείαν καὶ δόξαν λέγω καὶ τὴν παρὰ πάντων τιμήν, εἶδεν ἃ μηδεὶς ἕτερος εἶδέ ποτε, ὄρος ὁλόκληρον ἵππων πυρίνων καὶ ἁρμάτων καὶ στρατιωτῶν τοιούτων παρατάξει κρυπτόμενον.

Γαλατ. ϛ. ιδ.

Ὁ μὲν γὰρ τὰ παρόντα θαυμάζων, οὐκ ἂν ἀξιωθείη τῆς τῶν μελλόντων θεωρίας ποτέ· ὁ δὲ τούτων ὑπερορῶν, καὶ οὐδὲν ἄμεινον σκιᾶς καὶ ὀνείρατος αὐτὰ διακεῖσθαι νομίζων, ταχέως ἐπιτεύξεται τῶν μεγάλων ἐκείνων καὶ πνευματικῶν. ἐπεὶ καὶ ἡμεῖς τότε τὸν πλοῦτον τὸν ἀνδράσι προσήκοντα, τοῖς παισὶν ἐπιδείκνυμεν τοῖς ἡμετέροις, ὅταν ἄνδρας αὐτοὺς γενομένους ἴδωμεν, καὶ τῶν παιδικῶν ὑπερορῶντας ἁπάντων· ἕως δ' ἂν ἐκεῖνα θαυμάζωσιν, ἀναξίους [illegible] νομίζομεν. ψυχὴ γὰρ μὴ μελετήσασα τὴν μικρὰν καὶ βιωτικὴν καταφρονεῖν, οὐ δυνήσεται θαυμάσαι τὰ ἐν τοῖς οὐρανοῖς· ὥσπερ ἐκεῖνα θαυμάζουσα, οὐ δυνήσεται τούτων μὴ καταγελᾶν. τοῦτο καὶ ὁ μακάριος Παῦλος ἔλεγεν. εἰ γὰρ καὶ περὶ δογμάτων εἴρηται τὸ λεχθὲν, ἔχοι δ' ἂν καιρὸν καὶ περὶ τρόπων εἰρῆσθαι καὶ δωρεῶν· ὅτι ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος. ὅπερ οὖν ἔφην, ἐρημίας ἐπιζητῶμεν, μὴ τὰς ἐκ τόπων μόνον, ἀλλὰ καὶ τὰς ἀπὸ τῆς προαιρέσεως, καὶ πρὸ τῶν ἄλλων ἁπάντων τὴν ψυχὴν εἰς αὐτὴν ἄγωμεν τὴν ἀοίκητον. μετὰ γὰρ τῆς τοιαύτης καταστάσεως καὶ ὁ μακάριος Δαβὶδ πόλιν οἰκῶν, καὶ βασιλείαν οἰκονομῶν, καὶ μυρίαις περιβεβλημένος φροντίσι, τῶν τὰς ἐρημίας κατειληφότων θερμότερον συνείχετο τῷ τοῦ Χριστοῦ πόθῳ. τὰ γὰρ δάκρυα καὶ τὰς οἰμωγὰς καὶ τοὺς ὀλοφυρμοὺς ἐκείνους, τοὺς ἐν ἡμέρᾳ, τοὺς ἐν νυκτὶ, μόλις ἕνα που καὶ δεύτερον τῶν νῦν ἐσταυρωμένων ἐπιδεικνύμενον ἴδοι τις ἂν, εἴ γέ τις ὅλως ἐστί. μὴ γὰρ τοὺς θρήνους ἐξετάσωμεν μόνον, ἀλλὰ καὶ τίς ὢν ἐποιεῖτο τούτους ἴδωμεν ἀκριβῶς. οὐ γάρ ἐστιν ἴσον, ἐν ἀξιώματι τοσούτῳ τυγχάνοντα, καὶ παρὰ πάντων θεραπευόμενον, καὶ μηδένα τὸν ἐπιτιμῶντα ἔχοντα, ταπεινοῦσθαι καὶ κάμπτεσθαι καὶ κατεσθίειν ἑαυτὸν, καὶ πάντων τούτων ἀπεστερημένον τὸ αὐτὸ δὴ τοῦτο ποιεῖν. ὁ μὲν γὰρ βασιλεὺς πολλὰ ἔχει τὰ πρὸς διάχυσιν αὐτὸν ἐξάγοντα, καὶ συστεῖλαι κωλύοντα τὴν ψυχήν. καὶ γὰρ ὑπὸ τῆς καθημερινῆς τρυφῆς διαλύεται καὶ χαῦνος γίνεται, καὶ ὑπὸ τῆς ἐξουσίας φυσᾶται καὶ πρὸς ἀπόνοιαν αἴρεται. ἐκκαίει δὲ καὶ ὁ τῆς δόξης ἔρως αὐτὸν, καὶ ὁ τῶν σωμάτων οὐχ ἧττον, ὑπὸ μὲν τῆς ἐξουσίας τικτόμενος, τρεφόμενος δὲ ὑπὸ τῆς τρυφῆς. πρὸς τούτοις, αἱ τῶν φροντίδων νιφάδες πάντοθεν αὐτὸν βάλλουσαι, τῶν παθῶν ἐκείνων οὐκ ἔλαττον θορυβοῦσιν αὐτοῦ τὴν ψυχήν· ὅθεν οὐδὲ μικρὰν παρείσδυσιν ἡ κατάνυξις εὑρεῖν δυνήσεται, τοσούτοις εἰργομένη τειχίσμασιν. ἀγαπητὸν γὰρ καὶ πάντων τούτων ἀπηλλαγμένην δυνηθῆναι ἐν αὐτῇ τοῦτο φυτεῦσαι τὸ καλόν. ὁ δὲ ἰδιώτης, πάσης ταύτης ἔξω τῆς ταραχῆς ἑστηκὼς, ἂν μὴ λίαν ᾖ διεστραμμένος, μετ' ἐλάττονος δυσκολίας ἐπὶ τὸ πρᾶγμα δυνήσεται ἐλθεῖν· ἀλλ' οὐχ ὁ ἐν δυναστείᾳ καὶ ἀρχῇ καὶ θεραπείᾳ τοσαύτῃ. καὶ ὥσπερ χαλεπὸν, μᾶλλον δὲ ἀδύνατον ἀναμίξαι ὕδατι πῦρ, οὕτως οἶμαι τρυφὴν καὶ κατάνυξιν εἰς ταυτὸ συναγαγεῖν. ἐναντία γὰρ ταῦτα, καὶ ἀλλήλων ἐστὶν ἀναιρετικά. ἡ μὲν γὰρ δακρύων ἐστὶ μήτηρ καὶ νήψεως, ἡ δὲ γέλωτος καὶ παραφορᾶς· καὶ ἡ μὲν κούφην καὶ ὑπόπτερον ἐργάζεται τὴν ψυχὴν, ἡ δὲ αὐτὴν παντὸς μολύβδου βαρυτέραν καθίστησι. καὶ οὔπω δὴ τὸ πάντων μεῖζον εἶπον, ὅτι ὁ μὲν ἐν χρόνοις ἐπολιτεύετο οὐδὲν μέγα ἀπαιτοῦσιν εἰς πολιτείας ἀκρίβειαν· ἡμεῖς δὲ τότε εἰς τὸν ἀγῶνα καθήκαμεν, ὅτε οὐ μόνον τὰ ἄλλα, ἀλλὰ καὶ αὐτὸ τὸ γελᾶν πολλὴν ἔχει τὴν κόλασιν, ἐπαινεῖται δὲ πανταχοῦ τὸ πενθεῖν καὶ τὸ θλίβεσθαι. ἀλλ' ὅμως ὁ μακάριος ἐκεῖνος πάντα ταῦτα διακόψας τὰ κωλύματα, οὕτως αὐτῆς ἐπελάβετο σφοδρῶς, ὡς τῶν πολλῶν εἷς ὢν, καὶ μηδὲ ὄναρ ποτὲ βασιλείαν, μηδὲ τὴν ἐν βασιλείοις πολυτέλειαν θεασάμενος, καὶ τοσαύτην ἐν ἁλουργίδι καὶ διαδήματι καὶ θρόνῳ βασιλικῷ τὴν κατάνυξιν ἐπεδείξατο, ὅσην ὁ ἐν σάκκῳ καὶ σποδῷ καὶ ἐν ἐρημίᾳ καθήμενος. καὶ γὰρ οἷς ἂν γνησίως τοῦτο παραγένηται τὸ καλὸν, τοσαύτην ἐπιδείκνυται τὴν ἰσχὺν, ὅσην ἐν ταῖς ἀκάνθαις τὸ πῦρ. τοῦτο κἂν ὑπὸ μυρίων ἀγχόμενον εὕρῃ καρδίαν, κἂν πολλὰ τὰ φορτία τῶν ἁμαρτημάτων περικείμενον, κἂν σφοδρὰν τῶν ἐπιθυμιῶν τὴν φλόγα καίουσαν, κἂν πολὺν τῶν βιωτικῶν πραγμάτων περιεστῶτα θόρυβον, πάντα ἐκεῖνα εὐθέως σφοδρᾷ τινι μάστιγι κατάκρας ἐλαύνουσα, πόρρω καθίστησι τῆς ψυχῆς· καὶ καθάπερ πρὸς ἀνέμου βίαν ῥαγδαίου οὐκ ἄν ποτε σταίη κόνις λεπτὴ, οὕτως οὐδὲ τὸ τῶν ἐπιθυμιῶν πλῆθος κατανύξεως ῥύμην ἐμπεσοῦσαν δυνήσεται ἐνεγκεῖν, ἀλλ' ἀφανίζεται καὶ διαχεῖται καὶ κόνεως καὶ καπνοῦ θᾶττον πάντως. εἰ γὰρ ὁ τῶν σωμάτων ἔρως ὑποδουλοῦται τὴν ψυχὴν, ὡς πάντων αὐτὴν ἀπαγαγεῖν, καὶ τῇ τῆς ἐρωμένης προσηλῶσαι τυραννίδι μόνῃ, τί οὐκ ἂν ὁ τοῦ Χριστοῦ πόθος ἐργάσαιτο, καὶ τὸ δέος τῆς ἐκείνου ἀλλοτριώσεως;

α. Κορ. β. ιδ.

γρ. εἰργομένοις

ἅπερ ἀμφότερα ταῦτα οὕτως ἔστρεφε τοῦ προφήτου τὴν ψυχήν, ὥς ποτε μὲν λέγειν, Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός· καὶ πάλιν, Ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι· καί, Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου· ποτὲ δέ, Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Ψαλμ. μα. α.
ρμβ. ϛ.
ξβ. η.
ϛ. α.

Καὶ μή μοι λεγέτω τις, ὅτι τὴν ἁμαρτίαν αὐτοῦ πενθῶν, τοῦτον ἔγραψε τὸν ψαλμόν. οὐ γὰρ ἀληθὲς τοῦτο, οὐδὲ ἀφίησιν ὑποπτεῦσαί τι τοιοῦτον τὰ ἐπιγεγραμμένα ἄνωθεν γράμματα. εἰ μὲν γὰρ μηδεὶς εἶχε τὴν ὑπόθεσιν δεῖξαι προεπιγεγραμμένην, ἐνῆν τῷ βουλομένῳ τοῦτον ἐκείνοις ἁρμόσαι τοῖς πράγμασι τὸν ψαλμόν. εἰ δὲ ὁ ἐπ᾽ ἐκείνοις λεχθεὶς δῆλός ἐστιν, οὗτος δὲ ἑτέραν ἔχει τὴν ὑπόθεσιν, μή, παρακαλῶ, μὴ συγχέωμεν τὰ θεῖα, μηδὲ τῶν ὑπὸ πνεύματος εἰρημένων δογμάτων κυριωτέρους εἶναι τοὺς ἡμετέρους ψηφιζώμεθα λογισμούς. τίς οὖν ἐστιν ἡ ἐπιγραφή; ΥΠΕΡ ΤΗΣ ΟΓΔΟΗΣ, φησί. τίς δέ ἐστιν ἡ ὀγδόη, ἀλλ᾽ ἢ ἡ ἡμέρα τοῦ Κυρίου, ἡ μεγάλη καὶ ἐπιφανής, ἡ ὡς κλίβανος καιομένη, ἡ καὶ τὰς ἄνω δυνάμεις τρέμειν παρασκευάζουσα (Σαλευθήσονται γάρ, φησί, καὶ δυνάμεις τῶν οὐρανῶν) ἡ πῦρ δεικνύουσα προτρέχον τοῦ βασιλέως τότε ἐκείνου. ὀγδόην δὲ αὐτὴν ἐκάλεσε, τὸ τῆς καταστάσεως ἐνηλλαγμένον ἐμφαίνων, καὶ τῆς μελλούσης ζωῆς τὴν ἀνανέωσιν. ὁ μὲν γὰρ παρὼν βίος οὐδὲν ἕτερόν ἐστιν, ἀλλ᾽ ἢ ἑβδομὰς μία, ἀρχόμενος μὲν ἀπὸ τῆς πρώτης ἡμέρας, τελευτῶν δὲ εἰς τὴν ἑβδόμην, καὶ πάλιν τοῖς αὐτοῖς ἀνακυκλούμενος διαστήμασι, καὶ εἰς τὴν αὐτὴν ἀνιὼν ἀρχήν, καὶ καταβαίνων εἰς τὴν τελευτήν. διὸ ὀγδόην ἡμέραν οὐκ ἄν τις εἴποι ποτὲ τὴν Κυριακήν, ἀλλὰ πρώτην. οὐ γὰρ ἐκτείνεται εἰς ὄγδοον ἀριθμὸν ὁ τῆς ἑβδομάδος κύκλος. ὅταν δὲ ταῦτα πάντα παύσηται καὶ καταλυθῇ, τότε ὁ τῆς ὀγδοάδος δρόμος εἰς μέσον ἄγεται. οὐ γὰρ ἀνατρέχει πάλιν ἐπὶ τὴν ἀρχήν, ἀλλὰ τῶν ἑξῆς ἔχεται διαστημάτων. ὁ τοίνυν προφήτης ὑπὸ πολλῆς κατανύξεως ἐγγεγραμμένην τῆς κρίσεως τὴν μνήμην εἶχε διαπαντός, καὶ τὴν ἡμέραν ἐκείνην ἐν τοσαύτῃ θεραπείᾳ καὶ τρυφῇ διηνεκῶς ἔστρεφε παρ᾽ ἑαυτῷ, ἣν ἐν ταῖς θλίψεσι μόλις ἡμεῖς εἰς μνήμην λαμβανόμεθα· καὶ τὰ κρίματα αὐτοῦ συνεχῶς ἀναλογιζόμενος, τοῦτον ἔγραψε τὸν ψαλμόν. καὶ τί φησι; Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με, θυμὸν καὶ ὀργὴν λέγων τὴν ἐπίτασιν τῆς τιμωρίας (οἶδε γὰρ παντὸς πάθους τὸ θεῖον ἀπηλλαγμένον) καίτοιγε ἑαυτῷ συνειδώς, οὐ κολάσεως, οὐδὲ τιμωρίας, ἀλλὰ τιμῆς ἄξια καὶ στεφάνων. ἥ τε γὰρ πίστις, δι᾽ ἧς κατήνεγκε τὸν τῶν ἀλλοφύλων πύργον, καὶ τὸ πᾶν τῶν Ἰουδαίων ἔθνος ἐξήρπασε τῶν τοῦ θανάτου πυλῶν, ἥ τε εἰς τὸν ἠδικηκότα εὐεργεσία γινομένη, καὶ ἅπαξ, καὶ δίς, καὶ πολλάκις, καὶ πρὸ τούτων ἡ τοῦ Θεοῦ περὶ αὐτοῦ ψῆφος ἐξενεχθεῖσα πᾶσαν ἱκανὴ δεῖξαι τοῦ ἀνδρὸς τὴν ἀρετήν, καὶ τῶν κατορθωμάτων μᾶλλον αὐτῶν. τὰ μὲν γὰρ ἔργα, κἂν ᾖ μεγάλα καὶ θαυμαστά, ὅμως πονηρὰ ὑποπτευθῆναι δύναιτ᾽ ἄν, εἰ καὶ τὰ μάλιστα πάσης ὑποψίας ἀπήλλακτο τοῦ δικαίου τὰ κατορθώματα. ὅταν δὲ ὁ Θεὸς ὁ μαρτυρῶν ᾖ, πάσης ἐκτὸς ὑποψίας ἡ ψῆφός ἐστιν. οὐ γάρ, εἰ μὴ τὴν ἀκριβεστάτην βάσανον τῆς ἀρετῆς ἐπεδείξατο, τῆς ἐν τοῖς οὐρανοῖς ἀνακηρύξεως ἔτυχεν ἄν. τί οὖν ὁ Θεός φησι περὶ αὐτοῦ; Εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαί, ἄνδρα κατὰ τὴν καρδίαν μου. ἀλλ᾽ ὅμως μετὰ τὴν τοιαύτην κρίσιν καὶ τὰς τοσαύτας ἀνδραγαθίας, τὰ τῶν κατεγνωσμένων ἐφθέγγετο ῥήματα, καὶ οὐδεμίαν ἐχόντων παρρησίαν πρὸς τὸν Θεόν, πληρῶν ἐκεῖνο τὸ εὐαγγελικόν· Ὅταν πάντα ποιήσητε, λέγετε, ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν. τί τούτων πλέον ἐφθέγξατο ὁ οὕτως μυρίων γέμων κακῶν ὁ τελώνης ἐκεῖνος, ὁ μηδὲ ἀναβλέψαι εἰς τὸν οὐρανὸν ὑπομένων, μηδὲ μακρὸν κατατεῖναι λόγον, μηδὲ πλησίον στῆναι τοῦ Φαρισαίου τολμῶν; ὁ μὲν γὰρ ὠνείδισεν αὐτὸν λέγων· Ὅτι οὐκ εἰμὶ ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί, ἢ καὶ ὡς οὗτος ὁ τελώνης. ὁ δὲ ὡς μηδὲν ἀκούσας δυσχερές, καὶ καταδεξάμενος τὸ λεχθέν, καὶ οὐ μόνον οὐκ ἠγανάκτησεν, ἀλλὰ καὶ τὰς ὕβρεις τὰς ἐκεί-

Λουκ. κα. κϛ.
Ψαλ. ϛ. α.
α Βασ. ιγ. ιδ
Πραξ. ιγ. κβ
Λουκ. ιζ. ι.
Λουκ. ιη. ια.

νον καὶ ἀλαζόνα τοσαύτῃ τετίμηκε τιμῇ, ὡς μηδὲ τῆς πατουμένης ὑπ' ἐκείνου γῆς ἄξιον
εἶναι νομίζειν ἑαυτόν. καὶ ῥῆμα μὲν εἶπεν οὐδέν, πλὴν ὅσον τὰς ἁμαρτίας ὁμολογῆσαι τὰς
ἑαυτοῦ· τὰ δὲ στέρνα τύπτων σφοδρῶς, οὕτω παρεκάλει ἵλεων γενέσθαι τὸν Θεόν. ἀλλὰ τὸ
μὲν ἐκεῖνον ταῦτα ποιεῖν οὐδὲν θαυμαστὸν (τὸ γὰρ τῶν ἁμαρτημάτων πλῆθος καὶ ἑκόντα αὐτὸν
καὶ ἄκοντα κάτω κύπτειν ἠνάγκαζε) τὸ δὲ τὸν δίκαιον, καὶ μηδὲν ἑαυτῷ συνειδότα τοιοῦτον,
μετὰ τῆς αὐτῆς τῷ τελώνῃ προσιέναι καταγνώσεως, τοῦτό ἐστι τὸ παράδοξον καὶ ψυχῆς ὄντως
Λουκ. ιη. ιγ. συντετριμμένης σημεῖον. τοῦ γάρ, Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, τί διενήνοχε τό, Κύριε,
Ψαλ. ϛ. α. μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με; μᾶλλον δὲ τοῦτο ἐκείνου καὶ πολλῷ
πλέον ἐστί. ὁ μὲν γὰρ τελώνης ἀναβλέψαι εἰς τὸν οὐρανὸν οὐκ ἐτόλμησεν· ὁ δὲ δίκαιος
τούτου μεῖζον ἐποίησεν. ἐκεῖνος μὲν γὰρ ἔλεγεν, Ἱλάσθητί μοι· οὗτος δὲ οὐδὲ τοῦτο ἐθάρρησεν
εἰπεῖν. οὐ γὰρ εἶπε, μὴ ἐλέγξῃς με, ἀλλά, μὴ τῷ θυμῷ σου· οὐδέ, μὴ παιδεύσῃς με,
ἀλλά, μὴ τῇ ὀργῇ σου, οὐ τὸ μὴ κολασθῆναι, ἀλλὰ τὸ μὴ σφόδρα τοῦτο παθεῖν αἰτῶν. ὥστε
πανταχόθεν αὐτοῦ τὸ ταπεινὸν τῆς ἀξίας ἐστὶν ἰδεῖν, ἀπό τε τοῦ τοσαύτης ἑαυτὸν κολάσεως ἄξιον
εἶναι νομίζειν, ἀπό τε τοῦ μὴ τολμᾶν ὑπὲρ παντελοῦς συγχωρήσεως ἀξιοῦν τὸν Θεόν· ὃ
τῶν σφόδρα κατεγνωσμένων ἐστί, καὶ πεπεικότων ἑαυτούς, ὅτι πάντων εἰσὶ τῶν ἀνθρώπων
ἁμαρτωλότεροι, καὶ τὸ δὴ τούτου μεῖζον, ὅτι καὶ αὐτὸ τὸ μὴ σφόδρα κολασθῆναι, ἀπὸ τοῦ ἐλέους
Ψαλ. ϛ. β. καὶ τῆς φιλανθρωπίας τοῦ Θεοῦ λαβεῖν, ὡς ἐξησθενηκώς, ἀξιοῖ. Ἐλέησον γάρ με, φησίν,
ὅτι ἀσθενής εἰμι. τί τοῦτο; ὁ τοιαύτης ἀπολαύσας μαρτυρίας, καὶ τὰ κρίματα τοῦ Θεοῦ
Ψαλ. ριη. λ. μὴ ἐπιλανθανόμενος (Τὰ κρίματά σου γάρ, φησιν, οὐκ ἐπελαθόμην) ὁ τοῦ ἡλίου φαιδρότερον
λάμπων, οὗτος τοιαῦτα φθέγγεται ῥήματα; ναί. τοῦτο γάρ ἐστι τὸ θαυμαστόν, ὅτι οὕτω μεγάλα
κατορθῶν, οὐδὲν οὐδέποτε μέγα οὔτε εἶπέ τι, οὔτε ἐνόμισε περὶ ἑαυτοῦ, ἀλλὰ πάντων
ἔσχατον ἑαυτὸν εἶναι ἐδόκει, καὶ ἀπὸ μόνης ἠξίου τῆς τοῦ Θεοῦ σώζεσθαι φιλανθρωπίας·
ὡσανεὶ ἔλεγεν, ἄξιος μὲν εἰμι τιμωρίας ἀπαραιτήτου, καὶ τοῦ κολασθῆναι ἀθάνατα, διὰ δὲ
τὸ μηκέτι δύνασθαι φέρειν, ἀξιῶ μοι λύσιν γενέσθαι τῶν παρόντων κακῶν. καθάπερ τῶν
οἰκετῶν οἱ μυρία ἐργασάμενοι δεινά, ὅτι μὲν οὐχ ἥμαρτον οὐκ ἔχουσιν εἰπεῖν· διὰ δὲ τὸ τὴν
ὀδύνην ἀφόρητον εἶναι τὴν ἀπὸ τῶν μαστίγων, ἀξιοῦσιν ἀνεθῆναι λοιπὸν τῶν πληγῶν. ἐγὼ
δὲ αὐτὸν καὶ ἄλλην ἀσθένειαν οἶμαι αἰνίττεσθαι νῦν. τίνα δὴ ταύτην; τὴν ἀπὸ τῆς ἀθυμίας
καὶ τῶν ὀδυρμῶν ἐγγινομένην αὐτῷ. εἴωθε γὰρ ἡ τῆς λύπης ὑπερβολή, ὅταν ἡμῖν ἐπισκήψῃ
σφοδρότερον, ἅπασαν περιτρώγειν τῆς ψυχῆς τὴν ἰσχύν· ὅπερ οἶμαι καὶ τὸν δίκαιον πεπονθέναι
ἐκ τοῦ σφόδρα καταγινώσκειν ἑαυτοῦ, καὶ μηδέποτε χρηστὰς ἑαυτῷ ὑποτείνειν ἐλπίδας,
ἀλλὰ τὰς ἐναντίας ἀεί. τοῦτο γοῦν καὶ ἐκ τῶν ἑξῆς δῆλον ποιεῖ. Ἐλέησον γάρ με, ἐπήγαγεν,
ὅτι ἀσθενής εἰμι· ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου ἐταράχθη
σφόδρα, πρότερον εἰπών, Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με. Εἰ δὲ ὁ συνειδὸς ἔχων οὕτω
καθαρόν, ἀξιοῖ μὴ γενέσθαι τῶν πεπραγμένων ἐξέτασιν ἀκριβῆ, τί ποιήσομεν ἡμεῖς
οἱ τοσούτοις ἐναπειλημμένοι κακοῖς, καὶ τοσοῦτον ἀπᾴδοντες τῆς παρρησίας ἐκείνου, καὶ
μηδὲ τὸ πολλοστὸν τῆς ἐξομολογήσεως ἐκείνης ἐπιδειξάμενοι μέρος; πόθεν οὖν ὁ μακάριος
οὕτως ἐξωμολογεῖτο; πεπαίδευτο ὅτι οὐδεὶς δίκαιος ἐνώπιον τοῦ Θεοῦ, καὶ ὅτι καὶ ὁ δίκαιος
Ψαλ. ρμβ. β. μόλις σώζεται. διὰ τοῦτο ποτὲ μὲν παρακαλεῖ λέγων, Μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ
δούλου σου· ποτὲ δέ, ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι. τοῦτο γὰρ ἄξιον πανταχοῦ σκοπεῖν,
πῶς οὐδαμοῦ μέμνηται τῶν οἰκείων κατορθωμάτων, ἀλλ' ἐπὶ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ
ῥίπτει τὴν σωτηρίαν τὴν ἑαυτοῦ. τοῦτο γὰρ συντετριμμένης ψυχῆς, τοῦτο τεταπεινωμένου
πνεύματος, τοῦτο ποιεῖ μεγάλα κατορθοῦν τὸν ἁμαρτωλόν, μᾶλλον δὲ δεδοικέναι καὶ τρέμειν.
Ψαλμ. ρκθ. γ. ὅτι γὰρ ἔτρεμε καὶ ἐδεδοίκει, ἄκουσον αὐτοῦ λέγοντος· Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε,
τίς ὑποστήσεται; ᾔδει γάρ, ᾔδει σαφῶς, ὅτι πολλῶν ἐσμεν ὀφλημάτων ὑπεύθυνοι

πα

τῷ Θεῷ, καὶ ὅτι τὰ μικρότατα τῶν ἁμαρτημάτων μεγάλης ἀξιοῦται τιμωρίας, ἔγνω, περιορᾶν ἄνωθεν, ἅπερ ἔμελλε νομοθετεῖν ὁ Χριστὸς ἐλθὼν, οὐ φόνων μόνον, ἀλλὰ καὶ ὕβρεων καὶ λοιδοριῶν καὶ ἐννοιῶν αἰσχρῶν καὶ γέλωτος καὶ ἀκαίρου λόγου καὶ εὐτραπελίας χαλεπωτάτην κεῖσθαι τὴν δίκην ἐπίστευσε.

α. Κορ δ δ.

Διὰ τοῦτο καὶ ὁ Παῦλος, καίτοι μηδὲν ἑαυτῷ συνειδὼς, ἔλεγεν, Οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι. τί δήποτε; ὅτι καὶ εἰ μηδὲν κακὸν αὐτῷ εἴργαστο, ὥσπερ οὖν οὐδὲ εἴργαστο, τῆς γοῦν εἰς τὸν Θεὸν ὀφειλομένης εὐνοίας οὐχ ἡγεῖτο πεπληρωκέναι τὸ μέτρον. κἂν γὰρ μυριάκις ἀποθάνωμεν, κἂν πᾶσαν ἀρετὴν ἐπιδειξώμεθα, οὐδὲ [τὴν ἀξίαν] τὸ πολλοστὸν ἀποδεδώκαμεν τῶν εἰς ἡμᾶς ὑπηργμένων παρὰ τοῦ Θεοῦ τιμῶν. ὅρα γάρ· οὐδενὸς τῶν παρ' ἡμῶν δεόμενος, ἀλλ' αὐτὸς ἀρκῶν ἑαυτῷ, οὐκ ὄντας ἡμᾶς εἰς τὸ εἶναι παρήγαγε, ψυχὴν ἐνέπνευσεν, οἵαν οὐδενὶ ἐπὶ τῆς γῆς, παράδεισον ἐφύτευσεν, οὐρανὸν ἔτεινε, γῆν ὑπεστόρεσε, φωστῆρας αὐτῷ λαμπροὺς, καὶ τὴν μὲν γῆν λίμναις καὶ πηγαῖς καὶ ποταμοῖς καὶ ἄνθεσι κατεκόσμησε καὶ φυτοῖς, τὸν δὲ οὐρανὸν τῷ ποικίλῳ τῶν ἄστρων κατέστιξε χορῷ, τῆς ἡμέρας ἡμῖν οὐχ ἧττον τὴν νύκτα χρησιμωτέραν εἰργάσατο, ἀνάπαυσιν καὶ ἴασιν ἀπὸ τοῦ ὕπνου παρέχουσαν. τῶν γὰρ σιτίων οὐχ ἧττον οὗτος τρέφει τὰ σώματα· καὶ δῆλον ἐκεῖθεν. λιμοῦ μὲν γὰρ πολλάκις ἴδοι τις ἂν πολλὰς κατατολμῶντας ἡμέρας, ὕπνου δὲ οὐδὲ ὀλίγας δυνατόν. καὶ τὴν ἐν ἡμέρᾳ δὲ γινομένην φλόγα, τήν τε ἀπὸ τῆς ἀκτῖνος, τήν τε ἀπὸ τῶν μόχθων τῶν μεθημερινῶν καταψύχων καὶ διαλύων, οὕτως ἀκμάζοντας πάλιν ἡμᾶς πρὸς τοὺς πόνους ἀνίστησι· χειμῶνος δὲ ὥρα τῷ μήκει τοῦ δρόμου καὶ ἐπιπλέον ἡμῖν παρέχει τὴν ἀνάπαυσιν, [καὶ τὸ θάλπος] ὑπωροφίους εἶναι καταναγκάζων. καὶ τὸ σκότος δὲ οὐχ ἁπλῶς, οὐδὲ εἰκῆ τούτῳ συγκεκλήρωται τῷ καιρῷ, ἀλλ' ὑπὲρ ἀναπαύσεως πλείονος. ὥσπερ οὖν αἱ φιλόστοργοι τῶν μητέρων ὅταν κατευνάσαι τὰ παιδία βουληθῶσιν ἀλύοντα, ὑπὸ τὰς ἀγκάλας θεῖσαι τὰς ἑαυτῶν, καὶ τῷ χιτωνίσκῳ τὰς ὄψεις περιβάλλουσαι, κατακοιμίζουσιν· οὕτω καὶ ὁ Θεὸς, καθάπερ τι καταπέτασμα, τὸ σκότος ἁπλώσας, παύει τοὺς ἀνθρώπους τῶν πόνων. εἰ δὲ μὴ τοῦτο ἦν, ὑπὸ τῆς φιλοπραγμοσύνης τῆς ἄγαν, καὶ ὑπὸ τῶν πόνων ἅπαντες ἂν διεσπαράχθημεν· νυνὶ δὲ καὶ ἄκοντας ἡμᾶς τῶν ἱδρώτων ἀνίησιν. οὐ τὰ σώματα δὲ ἡμῖν ἀνίησι μόνον, ἀλλὰ καὶ τὴν ψυχὴν οὗτος τῶν σωμάτων οὐχ ἧττον. τί ἄν τις λέγοι τὴν ἐν τῷ καιρῷ τούτῳ γαλήνην, τὴν ἡσυχίαν, καὶ πῶς ἅπαντα γέμει σιγῆς, καὶ θορύβων ἐστὶ καθαρὰ, καὶ οὐκ ἔστιν ἀκοῦσαι κραυγῆς τινος, καθάπερ ἐν ἡμέρᾳ, τῶν μὲν πενίαν ὀδυρομένων, τῶν δὲ ἐπήρειαν καταβοώντων, τῶν δὲ ἀρρωστίαν σώματος καὶ πηρώσεις θρηνούντων, καὶ τῶν μὲν θάνατον τῶν οἰκείων, τῶν δὲ ζημίαν χρημάτων, τῶν δὲ ἄλλο τι τῶν ἀνθρωπίνων (πολλὰ δὲ ταῦτά ἐστιν) ὧν τούτων ἁπάντων καθάπερ τρικυμιῶν ἐξαρπάσασα, πρὸς τὸν αὐτῆς ἀναπαύει λιμένα τὸ τῶν ἀνθρώπων γένος ἡ νύξ. καὶ διὰ μὲν τῆς νυκτὸς τοσαῦτα ἡμῖν τὰ ἀγαθά· διὰ δὴ τῆς ἡμέρας ταῦτα, ἅπερ ἅπαντες ἴσμεν. τί ἄν τις εἴποι τὴν πρὸς τὰς ἐπιμιξίας εὐκολίαν γινομένην ἡμῖν; ἵνα γὰρ μὴ τῆς ὁδοιπορίας τὸ μῆκος ἀποτροπὴ γίγνοιτο τῆς συνουσίας τῆς πρὸς ἀλλήλους, ἐπιτομωτέραν ὁδὸν τὴν θάλατταν ἀνῆκε πανταχοῦ τῆς γῆς ὁ Θεός· ἵν', ὥσπερ οἶκον ἕνα, τὴν οἰκουμένην οἰκοῦντες, οὕτω θαμινὰ παρ' ἀλλήλους βαδίζωμεν, καὶ τῶν παρ' ἑαυτῷ ἕκαστος τῷ πλησίον μεταδιδοὺς, εὐκόλως ἀντιλαμβάνῃ τὰ παρ' ἐκείνου, καὶ μικρὸν τῆς γῆς μέρος κατέχων, ὥσπερ ἁπάσης κύριος ὢν, τῶν πανταχοῦ γινομένων ἀπολαύῃ καλῶν· καὶ νῦν ἔξεστι, καθάπερ ἐπὶ τραπέζης πλουσίας, ἕκαστον τῶν δαιτυμόνων τὸ παρατεθειμένον αὐτῷ δόντα τῷ πόρρωθεν κατακειμένῳ, τὸ παρακείμενον ἀντιλαβεῖν, τὴν χεῖρα μόνον ἐκτείναντα. εἰ δέ τις καὶ τὰ ἄλλα πάντα ἐπελθεῖν ἐπιχειρήσειε τῷ λόγῳ, εἰς ἄφατον ἐμπεσεῖται μῆκος, καὶ οὐδὲ μικρὸν ἐπελεύσεται μέρος. πῶς γὰρ, ἄνθρωπος ὢν, καὶ τὴν ἄπειρον τοῦ Θεοῦ σοφίαν ἀναμετρεῖν ἐπι-

χείρων; ἐννόησόν μοι ὅτι τὰ ὁρώμενα δι' ἡμᾶς, οὐρανός, θάλαττα, γῆ, τὰ ἐν τούτοις ἅπαντα. μάθε τὰς τῶν φυτῶν διαφοράς, τῶν καρποφόρων, τῶν ἀκάρπων, τῶν ἐν ἐρήμοις, τῶν κατὰ τὴν οἰκουμένην, τῶν ἐν ὄρεσι, τῶν ἐν πεδίοις. ἴδε τὴν ἐν τοῖς σπέρμασι ποικιλίαν, τὴν ἐν ταῖς βοτάναις, τὴν ἐν τοῖς ἄνθεσι, τὴν ἐν τοῖς ζώοις, τοῖς χερσαίοις, τοῖς ἀμφιβίοις, τοῖς νηκτοῖς. καθάπερ γάρ τις βασίλεια ἑαυτῷ λαμπρὰ κατασκευάσας, οἶκον βασιλικὸν καὶ περιφανῆ καὶ μετὰ δαψιλείας πολλῆς, πολλῷ μὲν ἀποστίλβοντα τῷ χρυσῷ, πολλῇ δὲ λάμποντα τῇ τῶν λίθων αἴγλῃ· οὕτω τὸν κόσμον τεκτηνάμενος ὁ Θεός, ἤγαγε τὸν ἄνθρωπον βασιλεύσοντα ἐν αὐτῷ. καὶ τὸ πολλῷ θαυμασιώτερον, τούτου τοῦ οἴκου οὐκ ἀπὸ λίθων κατασκευάσας τὸν ὄροφον, ἀλλ' ἐξ ἑτέρας ὕλης τιμιωτέρας αὐτὸν συμπηξάμενος, * παρέχει τῷ μηδὲν οὐδέπω ἐπιδειξαμένῳ καλόν· ὃν μετὰ τὴν τοσαύτην δωρεὰν ἀγνώμονα περὶ τὸν εὐεργέτην γενόμενον, οὐδὲ οὕτως ἐστέρησε τῆς τιμῆς, ἀλλ' ἐκβαλὼν μόνον τοῦ παραδείσου, τούτῳ κολάζει, περαιτέρω προβῆναι τὴν ἀγνωμοσύνην κωλύων, καὶ τὴν ἐπὶ τὸ χεῖρον ἀναστέλλων ῥοπήν.

Ταῦτα δὴ πάντα ἀναλογιζόμενος ὁ ἀπόστολος, τά τε ἐξ ἀρχῆς, τά τε καθ' ἑκάστην ἡμέραν, τά τε εἰς ἕνα ἕκαστον, τά τε εἰς ἅπαντας κοινῇ γινόμενα, καὶ ἔτι τὰ κατὰ τὴν οἰκονομίαν τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ ἐννοήσας, ὥσπερ εἰς πέλαγος ἐμπεσὼν ἀχανές, οὕτως ἐμάνθανεν, ὅσων τε καὶ ἡλίκων ὑπεύθυνος ἦν. τὰ μὲν γὰρ μικρὰ τῶν ἁμαρτημάτων μετὰ πολλῆς ἐξήταζε τῆς ἀκριβείας· τὰ δὲ κατορθώματα λήθῃ παρέπεμπεν. ἀλλ' οὐχ ἡμεῖς, οἳ τῶν μὲν πλημμελημάτων καὶ πολλῶν ὄντων καὶ μεγάλων οὔτε λόγον, οὔτε μνήμην ποιούμεθα· ἂν δέ τι μικρὸν κατορθώσωμεν, τοῦτο ἄνω καὶ κάτω στρέφομεν, καὶ οὐ πρότερον ἀφιστάμεθα γαυρούμενοι καὶ φυσώμενοι, ἕως ἂν καὶ αὐτὸ τὸ μικρὸν διὰ τῆς ἀλαζονείας κενώσωμεν. Ταῦτα καὶ Δαβὶδ κατανοήσας ἔλεγε· Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; οὐ μόνον δέ, ἀλλὰ καὶ τῆς αὐτοῦ ἀγνωμοσύνης κατηγορῶν, Ἄνθρωπος, φησίν, ἐν τιμῇ ὤν, οὐ συνῆκε· παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. τοῦτο οἰκέτου εὐγνώμονος, τὰς εἰς τὸ κοινὸν εὐεργεσίας ἰδίας ποιεῖσθαι, καὶ ὡς τοῦ παντὸς ὀφειλέτην ὄντα φροντίζειν καὶ μεριμνᾷν· ὅπερ καὶ ὁ Παῦλος ἐποίησε (καλὸν γὰρ πάλιν αὐτοῦ μνημονεῦσαι) διὰ τὸν Χριστὸν τεθνηκότα ἑαυτῷ δεικνύναι πειρᾶται, οὕτω λέγων· Ὃ δὲ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ Θεοῦ τοῦ ἀγαπήσαντός με, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. Ταῦτα δὲ ἔλεγεν οὐ συστεῖλαι βουλόμενος τοῦ Χριστοῦ τὴν δωρεάν, ἀλλὰ τοῦ παντὸς ἑαυτὸν ὑπεύθυνον καταστῆσαι σπεύδων, καὶ ἕκαστον οὕτω διακεῖσθαι πείθων. εἰ γὰρ καὶ δι' ἕνα παρεγένετο ἄνθρωπον ὁ Χριστός, οὐ μόνον οὐκ ἐλαττοῦται τούτῳ ἡ δωρεά, ἀλλὰ καὶ μείζων δείκνυται. πῶς; ὅτι καὶ ὑπὲρ ἑνὸς τοσαύτην φαίνεται τὴν σπουδὴν ἐπιδεικνύμενος, ὅσην ὁ τὸ ἓν πρόβατον ἐπιζητῶν. διὰ ταῦτα ἐταράττετο, διὰ ταῦτα ἐθρήνει. οἱ γὰρ χρήματα δανεισάμενοι, καὶ οὐκ ἔχοντες ἀποτῖσαι, ἀλλὰ πολλῷ καταβαπτιζόμενοι τῷ τῶν ὀφλημάτων βυθῷ, οὔτε ἐσθίουσιν, οὔτε καθεύδουσιν ὑπὸ τῆς φροντίδος δακνόμενοι. ὁ δίκαιος ὁρῶν οὐκ ἐν χρήμασιν, ἀλλ' ἐν πράξεσιν οὖσαν τὴν ὀφειλήν, τί οὐκ ἂν ἔπαθεν; ἀλλ' οὐχ ἡμεῖς οὕτως· ἀλλὰ κἂν μικρὸν ἐκτίσωμεν, ὡς τὸ πᾶν ἐκτετικότες διακείμεθα· μᾶλλον δὲ καὶ ὑπερβαλλόμενοι. καὶ οὐδὲ τὸ μικρὸν τοῦτο μετὰ προθυμίας τῆς προσηκούσης ἐλευθέροις πράττομεν, ἀλλὰ πρότερον ἐξετάζομεν εἰ μισθὸν ἔχει, καὶ εἰ πολὺν τὸν μισθόν, καὶ εἰ ἡμῖν αὐτοῖς λογίζεται, ἀνελευθέρων τινῶν καὶ μισθωτῶν φθεγγόμενοι ῥήματα. τί λέγεις, ἄνθρωπε μικρόψυχε καὶ ταλαίπωρε, πρόκειταί σοι πρᾶξαι τῶν ἀρεσκόντων Θεῷ, καὶ σὺ περὶ μισθοῦ φροντίζων ἕστηκας; εἰ γὰρ πράξαντά σε εἰς γέενναν ἐμπεσεῖν προὔκειτο, ἀναδύσασθαι ἐχρῆν, ἀλλ' οὐχὶ μετὰ πολλῆς καὶ οὕτω τῆς προθυμίας ἅπτεσθαι τῆς τῶν καλῶν ἐργασίας; πράττεις τι τῶν τῷ Θεῷ φίλων, καὶ μισθὸν ἕτερον ἐπιζητεῖς; ὄντως ἀγνοεῖς, ὅσον ἐστὶν ἀγαθὸν ἀρέσαι Θεῷ. εἰ γὰρ ᾔδεις, οὐδεμίαν

Ψαλ. η.

Ψαλ. μη. κα.

Γαλατ. β. κ.

*οὐδὲ λυχνί
χρυσῆς φλό
ἀνάψας, ἀλ
ἄνωθεν τὰς
λαμπάδας
ἀφεὶς διαπ
χειν, τούτου τ
οἴκου τὴν σ
γην ἐκέλευ
σεν, ὡς μὴ
χρήσιμον μό
νον, ἀλλὰ
πολλὴν ὁμοῦ
τὴν ἡδο
νήν· τί γὰρ
διαφανὴ αὐτ
στραπῆς ἀ
ὗχε πολυτε
λοῦς, καὶ πάν

πολλὴν ἂν ἑτέραν ἐνόμισας εἶναι ἴσην ἀμοιβήν. Οὐκ οἶδας, ὅτι σοι ὁ μισθὸς αὔξεται, ὅταν μὴ ἐπ' ἐλπίδι τῶν μισθῶν πράξεις τὰ δέοντα; οὐχ ὁρᾷς, ὅτι καὶ ἐπὶ τῶν ἀνθρώπων τούτους μάλιστα τιμῶσιν ἅπαντες, οὓς ἂν ἴδωσι πρὸ τῶν μισθῶν εἰς τὸ ἐκείνοις ἀρέσκειν ὁρῶντας, καὶ ὑπὲρ τούτου μᾶλλον σπουδάζοντας, ἢ τῆς παρ' αὐτῶν τιμῆς; Εἶτα ἄνθρωποι μὲν οὕτως εὐγνωμόνως πρὸς τοὺς ὁμοδούλους διάκεινται, σὺ δὲ ὁ τοσαῦτα εὐεργετηθεὶς παρὰ τοῦ δεσπότου, καὶ τοσαῦτα προσδοκῶν ἀγαθά, ὀκνεῖς ἄν τι δέῃ πρᾶξαι τῶν εἰς σωτηρίαν ἡκόντων τὴν σήν, πρὸ τῆς πράξεως τὸν μισθὸν περιεργάζῃ; διὰ ταῦτα πάντα ψυχροὶ καὶ ταλαίπωροι καὶ πρὸς οὐδεμίαν τῶν γενναίων ἐσμὲν παρεσκευασμένοι πράξεων· διὰ τοῦτο οὔτε ἐν κατανύξει γενέσθαι δεδυνήμεθά ποτε, οὔτε μικρόν τι συστεῖλαι τὴν ψυχὴν τὴν ἡμετέραν. οὔτε γὰρ τὰ ἁμαρτήματα ἡμῶν ἀναλογιζόμεθα μετ' ἀκριβείας, οὔτε τὰς τοῦ Θεοῦ εὐεργεσίας ἐξετάζομεν, οὔτε πρὸς τοὺς τὰ μέγιστα κατορθωκότας ὁρῶμεν. διὰ τοῦτο τῶν ἀγαθῶν ἔργων ἐπιλανθανόμεθα, ὅτι οὔτε μετρίως τὰς εὐπραγίας φέρομεν, οὔτε, οἷς συνεχῶς λέγομεν, ἁμαρτωλοὺς ἑαυτοὺς καλοῦντες, μετ' ἀληθείας φθεγγόμεθα. καὶ δῆλον ἐκεῖθεν. ὅταν γὰρ παρ' ἑτέρων ταῦτα ἀκούσωμεν, ἀγριαίνομεν, ἐκθηριούμεθα, ὕβριν τὸ πρᾶγμα εἶναι φαμέν. οὕτω πάντα ὑπόκρισις τὰ παρ' ἡμῶν, καὶ οὐδὲ τὸν τελώνην μιμούμεθα, ὃς, ἑτέρου τὸ τῶν ἁμαρτημάτων ὀνειδίζοντος αὐτῷ πλῆθος, καταδεξάμενος τὰ ὀνείδη, διὰ τῶν ἔργων τὸ κέρδος ἐκαρπώσατο. Κατῆλθε γὰρ δεδικαιωμένος μᾶλλον ὑπὲρ τὸν Φαρισαῖον. Λουκ. ιη. ιδ. ἡμεῖς δὲ οὐδὲ ὅ,τι ποτέ ἐστιν ἐξομολόγησις, ἴσμεν· καὶ ταῦτα μυρίων γέμοντες κακῶν. ἔδει δὲ μὴ μόνον πεπεῖσθαι, ὅτι μυρία ἡμῖν πεπλημμέληται, ἀλλὰ καὶ πάντα ἡμῶν τὰ ἁμαρτήματα, τά τε μικρά, τά τε μεγάλα, ὥσπερ ἐν βίβλῳ, τῇ καρδίᾳ γράφοντας ἔχειν, καὶ ὡσανεὶ γεγλυμμένα πενθεῖν. οὕτω γὰρ ἂν καὶ τὸ φρόνημα τῆς ψυχῆς κατεστείλαμεν, συνεχῶς αὐτὴν τῶν οἰκείων ἀναμιμνήσκοντες κακῶν.

Τοσοῦτόν ἐστιν ἀγαθὸν μνημονεύειν ἁμαρτημάτων οἰκείων, ὥστε καὶ τὰ ἀφανισθέντα ἐγκλήματα συνεχῶς φέρειν εἰς μέσον τὸν μακάριον Παῦλον. ἐπειδὴ γὰρ τὰ πρότερα ἀπενίψατο πάντα διὰ τοῦ βαπτίσματος, καὶ μετὰ ταῦτα ἐβίου καθαρῶς οὕτως, ὡς μηδὲν ἑαυτῷ συνειδέναι, καὶ οὐκ εἶχεν ὑπὲρ ὧν στενάξειεν ἁμαρτημάτων, τῶν πρὸ τοῦ βαπτίσματος ἐξηλειμμένων ἐμέμνητο λέγων, Ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. α. Τιμ. α. ιε. ιγ. καὶ πάλιν, Πιστόν με ἡγήσατο θέμενος εἰς διακονίαν, τὸν πρότερον ὄντα βλάσφημον, καὶ διώκτην, καὶ ὑβριστήν. καθ' ὑπερβολὴν γὰρ ἐδίωκον τὴν ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἐπόρθουν αὐτήν. καὶ πάλιν, Οὐκ εἰμὶ ἄξιος καλεῖσθαι ἀπόστολος. α. Κορ. ιε. θ. εἰ γὰρ καὶ εὐθυθύνους ἡμᾶς ἀφίησιν ἐκεῖνα τὰ ἁμαρτήματα, ἀλλ' ὅμως ἐστὶν ἱκανὰ ψυχὴν ἐντρέψαι, καὶ πεῖσαι σφοδρῶς ἀγαπᾶν τὸν Θεόν. καὶ γὰρ ἐρωτηθεὶς ὁ Σίμων ὑπὸ τοῦ Κυρίου, τίς τῶν δύο Λουκ. ζ. μγ. χρεωφειλετῶν τὸν δεδανεικότα ἀγαπήσει πλέον, καὶ εἰπών, ὅτι νομίζω ᾧ τὸ πλέον ἐχαρίσατο, ἤκουσεν, * ὀρθῶς ἔκρινας. ὅταν γὰρ ἐννοήσωμεν τὸ πλῆθος τῶν παρελθόντων ἁμαρτημάτων, τότε εἰσόμεθα τῆς τοῦ Θεοῦ χάριτος τὴν ὑπερβολήν· τότε κατανυσσόμεθα, τότε συσταλησόμεθα. ὅσῳ γὰρ μειζόνων ἐσμὲν ὑπεύθυνοι πλημμελημάτων, τοσούτῳ μᾶλλον ἐντραπησόμεθα. Παῦλος μὲν οὖν κἀκείνων ἐμέμνητο, ἡμεῖς δὲ οὐδὲ τὰ μετὰ τὸ βάπτισμα ἀναμνησθῆναι βουλόμεθα, τὰ κίνδυνον ἔχοντα, καὶ τῆς ἐπ' αὐτοῖς ἐξετάσεως ὑπευθύνους ἡμᾶς καθιστῶντα· ἀλλά, κἂν εἰς ἔννοιαν τοιούτου τινὸς ποτὲ ἐμπέσωμεν, εὐθέως ἀποπηδῶμεν, οὐδὲ τὸ πρὸς βραχὺ τῇ μνήμῃ λυπῆσαι βουλόμενοι τὴν ψυχήν. τοιγάρτοι μυρία ἀπὸ ταύτης τῆς ἀνωφελοῦς χάριτος ἡμῖν τίκτεται τὰ κακά. οὔτε γὰρ ἀδηγήτως ἔχοντες καὶ μαλακῶς, οὔτε ὑπὲρ τῶν προτέρων ἐξομολογήσασθαι δυνάμεθα (πῶς γάρ, ὧν οὐδὲ τὴν μνήμην ἀνέχεσθαι ἐθίζομεν ἑαυτούς;) καὶ πρὸς τὰ μέλλοντα προχείρως καταφερόμεθα. ἀ-

γαπητοί· γὰρ τῆς μνήμης ἐκείνης ἐνακμαζούσης ἡμῖν ἀεί, καὶ τοῦ φόβου κατασείοντος τὴν διάνοιαν, δυνηθῆναι τὸ χαῦνον αὐτῆς καὶ διακεχυμένον ἐξελεῖν. εἰ δὲ καὶ τοῦτον ἀφέλοι τὸν χαλινόν, τίς αὐτὴν καθέξει λοιπὸν ἀδεῶς κατὰ κρημνῶν φερομένην, καὶ εἰς τὰ τῆς ἀπωλείας ἐμπίπτουσαν βάραθρα; διὰ ταῦτα ὁ δίκαιος ἐκεῖνος τὴν μέλλουσαν ὑπέγραφε κόλασιν, διὰ ταῦτα ἐθρήνει, διὰ ταῦτα ἔστενε. ταῦτα ἐκ περιουσίας τοῖς μὲν μεγάλοις ὑμῖν ἀρκεῖ πρὸς τὸ κατανυγῆναι, τὸ τῶν εὐεργεσιῶν ἀναμνησθῆναι τοῦ Θεοῦ, τὸ μὴ μεμνῆσθαι τῶν οἰκείων κατορθωμάτων, τὸ μετὰ πολλῆς ἀκριβείας ἐξετάζειν, εἴ πού τι καὶ μικρὸν ὑμῖν τύχοι πλημμεληθέν, τὸ πρὸς τοὺς μεγάλους ἄνδρας ὁρᾶν καὶ σφόδρα εὐηρεστηκότας Θεῷ, τὸ μετὰ ταῦτα ἅπαντα ἐννοεῖν τὸ τοῦ μέλλοντος ἄδηλον, τὸ πρὸς τὴν κατάπτωσιν καὶ τὴν ἁμαρτίαν ὀξύρροπον, ὅπερ καὶ ὁ Παῦλος ἐδεδοίκει καὶ ἔλεγε, Φοβοῦμαι μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι· καὶ τό, Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ. οὕτω καὶ ὁ Δαβὶδ ταῦτα πάντα ἔστρεφε παρ' αὐτῷ· τὰς μὲν εὐεργεσίας τοῦ Θεοῦ λογιζόμενος, ἔλεγε· Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν· τῶν δὲ κατορθωμάτων οὕτως ἐπελέληστο τῶν αὐτοῦ, ὡς μετὰ τὴν μυρίαν φιλοσοφίαν ἐκείνην εἰπεῖν, Τίς εἰμι ἐγώ, Κύριέ μου, Κύριε, καὶ τίς ὁ οἶκος τοῦ πατρός μου; ὅτι ἠγάπησάς με ἕως τούτων, καὶ κατεσμίκρυνται ταῦτα ἐνώπιόν σου, Κύριέ μου, καὶ ἐλάλησας ὑπὲρ τοῦ οἴκου τοῦ δούλου σου εἰς μακράν; οὗτος δὲ ὁ νόμος τοῦ ἀνθρώπου, Κύριέ μου, Κύριε, πρὸς σέ. καὶ τί προσθήσει Δαβὶδ ἔτι τοῦ λαλῆσαι πρὸς σέ; καὶ τῶν προγόνων συνεχῶς τὴν ἀρετὴν ἐννοῶν, τὸ μηδὲν πρὸς ἐκείνους ἑαυτὸν ἐξετάζων εἶναι ἐνόμιζε. μετὰ γὰρ τὸ εἰπεῖν, Ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν, περὶ ἑαυτοῦ λέγων, ἐπήγαγε· Ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος. τὸ δὲ τοῦ μέλλοντος ἄδηλον οὕτως εἶχε πρὸ τῶν ὀφθαλμῶν, ὡς λέγειν· Φώτισον τοὺς ὀφθαλμούς μου, μή ποτε ὑπνώσω εἰς θάνατον. καὶ ἁμαρτημάτων δὲ οὕτω πολλῶν ὑπεύθυνον ἑαυτὸν εἶναι ἐνόμιζεν, ὡς λέγειν· Ἱλάσθητι τῇ ἁμαρτίᾳ μου· πολλὴ γάρ ἐστιν. ὑμῖν μὲν οὖν τοῖς μεγάλοις ἀρκεῖ καὶ ταῦτα· ἡμῖν δὲ καὶ μετὰ τούτων τῶν φαρμάκων ἐστὶν ἀνάγκη ἰσχυρὰ καὶ ἱκανὴ καθελεῖν τὸ φρόνημα καὶ τὴν ἀλαζονείαν ἅπασαν. τί δὴ τοῦτό ἐστι; τὸ τῶν ἁμαρτημάτων πλῆθος, τὸ συνειδὸς τὸ πονηρόν, ὅπερ ἐπειδὰν ἡμῶν ἐπιλάβηται, οὐδὲ ἑκόντας ἀφίησιν ἀρθῆναι πρὸς τὸ ὕψος. ἐγὼ δὴ δέομαι καὶ ἀντιβολῶ πρὸς τῆς παρρησίας αὐτῆς, ἧς διὰ τῶν κατορθωμάτων ἐκτήσω πρὸς τὸν Θεόν, χεῖρα ἡμῖν ὀρέγειν συνεχῶς δεομένοις, ὥστε δυνηθῆναι καὶ πενθῆσαι τὸν φόρτον τῶν τοσούτων κακῶν κατ' ἀξίαν, καὶ πενθήσαντας ἐπιλαβέσθαι τινὸς ὁδοῦ φίλης καὶ πρὸς τὸν οὐρανὸν φερούσης ἡμᾶς· ἵνα μὴ ἀπελθόντες εἰς τὸν ᾅδην, ἔνθα οὐδεὶς ἐξομολογεῖσθαι δύναται, τὰ τῶν ἠτιμωμένων πάθωμεν, οὐδενὸς ἡμᾶς ἐξαιρουμένου λοιπόν. ἕως μὲν γὰρ ἂν ἐνταῦθα ὦμεν, καὶ ἡμεῖς παρ' ὑμῶν μεγάλα καρπώσασθαι δυνησόμεθα, καὶ ὑμεῖς ἡμᾶς εὐεργετῆσαι τὰ μέγιστα· ἐπειδὰν δὲ ἀπέλθωμεν ἐκεῖ, ἔνθα μήτε φίλος, μήτε ἀδελφός, μήτε πατὴρ ἐπαρκέσαι δυνήσεται, μήτε προστῆναι κολαζομένοις ἡμῖν, ἀνάγκη λοιπὸν ἐν ἀπορίᾳ καὶ σκότῳ βαθεῖ καὶ πολλῇ τῶν παραμυθησομένων ἐρημίᾳ τὴν ἀθάνατον τίνειν δίκην, ἀνηλεῶς τροφὴ παμφάγῳ γινομένους φλογί.

α Κορ θ. κζ.
ι. ιϛ.
Ψαλ η ε.
β. Βασ. ζ ιη.
Ψαλ κα ϛ.
Ψαλ. ιϛ. δ.
Ψαλ κδ. ιϛ.
Ψαλ ϛ. ϛ.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΠΡΟΣ ΤΟΥΣ ΠΟΛΕΜΟΥΝΤΑΣ ΤΟΙΣ ΕΠΙ τὸ μονάζειν ἐνάγουσιν.

Ὅτε τὸν ἐν Ἱεροσολύμοις νεὼν πολλῶν ἐτῶν χαμαὶ κείμενον, ἀπὸ τῆς μακρᾶς ἐπανελθόντες αἰχμαλωσίας ἐγείρειν ἤθελον τῶν Ἑβραίων οἱ παῖδες, τότε δὴ βάρβαροί τινες καὶ ἀνήμεροι ἄνθρωποι, μήτε τὸν Θεὸν αἰδεσθέντες, οὗ τὸν ναὸν ἤγειραν ἐκεῖνοι, μήτε πρὸς τὴν τῶν ἀνθρώπων κατακλασθέντες συμφοράν, ἀφ᾽ ἧς ὀψέ ποτε καὶ μόλις ἀνήνεγκαν, μήτε τὴν παρὰ Θεοῦ τοῖς τὰ τοιαῦτα τολμῶσιν ἑπομένην φοβηθέντες δίκην, τὸ μὲν πρῶτον δι᾽ ἑαυτῶν ἐπεχείρουν κωλύειν οἰκοδομοῦντας αὐτούς· ὡς δὲ οὐδὲν ἤνυον, γράμματα πέμψαντες ὡς βασιλέα τὸν αὐτῶν, ἐν οἷς ἀποστάτιν καὶ νεωτεροποιὸν καὶ φιλοπόλεμον τὴν πόλιν ἐκάλουν ἐκείνην, ἔπεισαν ἐπιτρέψαι κωλῦσαι σφίσι τὴν οἰκοδομήν. καὶ λαβόντες ταύτην παρ᾽ ἐκείνου τὴν ἐξουσίαν, καὶ μετὰ πολλῶν αὐτοῖς ἐπιθέμενοι τῶν ἱππέων, διέκοψάν τε τὸ ἔργον τέως, καὶ ἐφρόνουν ἐπὶ τῇ νίκῃ μέγα, ἐφ᾽ ᾗ κατακόπτεσθαι ἔδει. καὶ πέρας αὐτοῖς ἔχειν ᾤοντο τὴν ἐπιβουλήν· τὸ δὲ ἦν ἄρα προοίμιον καὶ ἀρχὴ τῶν αὐτίκα δὴ μάλα αὐτοὺς καταληψομένων κακῶν. τό τε γὰρ ἔργον ἠνύετο καὶ λαμπρὸν ἀπελάμβανε τέλος, ἐκεῖνοί τε ἐμάνθανον, καὶ δι᾽ ὧν ἐκείνων ἀπολαύοντες, ὅτι οὐκ ἄρα ἀνθρώποις ἐπολέμουν, οὔτε Μιθριδάτης τότε, οὐδὲ ἄλλος οὐδείς, ὃς ἂν ἀνθρώποις ἕληται πολεμεῖν ἀγαθόν τι προαιρουμένοις ποιεῖν, ἀλλ᾽ αὐτῷ παρ᾽ ἐκείνων τῷ δι᾽ ἐκείνων τιμωμένῳ Θεῷ. τὸν δὲ Θεῷ πολεμοῦντα οὐκ ἔνι ποτὲ εἰς χρηστὸν καταστρέψαι τέλος· ἀλλ᾽ ὁ τοιοῦτος ἐν ἀρχῇ μὲν τῆς τόλμης οὐδὲν ἴσως πείσεται δεινόν· ἂν δ᾽ ἄρα μὴ πάθοι, τοῦ Θεοῦ καλοῦντος αὐτὸν εἰς μετάνοιαν, καὶ διδόντος ὥσπερ ἔκ τινος μέθης ἀνενεγκεῖν, εἶτα ἐπιμένῃ τῇ παρανοίᾳ, μηδὲν ἀπὸ τῆς τοσαύτης ἀνεξικακίας κερδαίνων, ἑτέρους γοῦν ὀνήσει τὰ μέγιστα, διὰ τῆς εἰς αὐτὸν τιμωρίας παιδεύων, μηδέποτε τῆς πρὸς τὸν Θεὸν ἅπτεσθαι μάχης, ὡς οὐκ ἐνὸν τὴν ἀήττητον ἐκείνην χεῖρα διαφυγεῖν. τοιαῦται γοῦν εὐθέως αὐτοὺς κατελάμβανον συμφοραί, ὡς ἀποκρύψαι τῷ μεγέθει τῆς τραγῳδίας πάσας τὰς ἄλλας συμφοράς. μετὰ γὰρ τοὺς φόνους καὶ τὰς μυρίας σφαγάς, ἃς αἱ τῶν τότε κωλυομένων Ἰουδαίων εἰς αὐτοὺς εἰργάσαντο χεῖρες, ἐβρέχετο μὲν τῷ τῶν ἀνῃρημένων αἵματι διὰ πολλοῦ τοῦ βάθους ἡ γῆ, καὶ πολὺς ἀπὸ τούτου τοῦ αἵματος ἐγίνετο πηλός· τῶν δὲ σωμάτων, τῶν τε ἱππέων, τῶν τε ἀνθρωπίνων ὁμοῦ πεφυρμένων, ἐκ τούτων καὶ τῶν ἐν τούτοις προστειβουμένων ὠτειλῶν, τοσοῦτον σκωλήκων ἐτίκτετο πλῆθος, ὡς τὴν μὲν γῆν τῷ πλήθει κρύπτεσθαι τῶν νεκρῶν, τούτους δὲ αὐτοὺς πάλιν τῷ τῶν σκωλήκων. εἶπεν ἄν τις ἐκεῖνο τὸ πεδίον ἰδών, οὐ σώματα κάτωθεν ἀποκεῖσθαι νεκρῶν, ἀλλὰ πηγὰς εἶναι πολλὰς καὶ πολλαχόθεν ἐκεῖνο φερούσας τῶν ζώων τὸ γένος· οὕτω πάσης ἐπιρροῆς σφοδρότερον ἀπὸ τῆς σηπεδόνος ἐκείνης ἀνέβλυζεν ἡ τῶν σκωλήκων φορά. τοῦτο δὲ οὐκ ἐπὶ δέκα καὶ εἴκοσιν ἡμέραις ἐγίνετο μόνον, ἀλλ᾽ ἐπὶ πολλῷ τῷ χρόνῳ. καὶ τὰ μὲν ἐνταῦθα, τοιαῦτα· τὰ δὲ ἐκεῖ διαδεξόμενα αὐτοὺς πολλῷ τούτων ἐστὶ χαλεπώτερα. οὐ γὰρ εἰς χίλια ἔτη, οὐδὲ εἰς μύρια μόνον, οὐδὲ εἰς δὶς τοσαῦτα καὶ τρίς, ἀλλ᾽ εἰς ἀπείρους αἰῶνας ψυχωθέντα τὰ σώματα τότε δέχεται τὰς βασάνους, καὶ τὰς ἀρρήτους ἀλγηδόνας ἐκείνας. καὶ ταῦτα ἀμφότερα οἶδε μὲν ὁ μακάριος Ἠσαΐας· οἶδε δὲ ὁ τῶν παραδόξων ὄψεων θεωρὸς Ἰεζεκιήλ· οἳ καὶ τῶν ἀνθρώπων τούτων διανειμάμενοι τὴν κόλασιν, ὁ μὲν τὴν ἐνταῦθα, ὁ δὲ τὴν ἐκεῖ διηγήσατο. ἐγὼ δὲ αὐτῶν οὐχ ἁπλῶς

C. Ἐσδ. δ.

ἐμνημόνευσα νῦν, ἀλλ᾽ ἐπειδή τις ἐλθὼν ἡμῖν ἀπήγγειλεν ἀγγελίαν πικράν τινα καὶ χαλεπὴν, καὶ πολλὴν εἰς τὸν Θεὸν τὴν ὕβριν ἔχουσαν. εἰσὶ γάρ τινες ἄνθρωποι καὶ νῦν τὰ αὐτὰ τοῖς βαρβάροις τολμῶντες ἐκείνοις· μᾶλλον δὲ καὶ παρανομώτερα ἐκείνων πολλῷ. τοὺς γὰρ εἰς τὴν καθ᾽ ἡμᾶς φιλοσοφίαν ἄγοντας πάντοθεν ἐλαύνειν, καὶ μετὰ πολλῆς τῆς ἀπειλῆς ἀπαγορεύειν καθόλου μὴ φθέγγεσθαι, μηδὲ διδάσκειν μηδένα ποτὲ ἀνθρώπων τοιοῦτον μηδέν. ἐγὼ μὲν οὖν ἀνέκραξά τε εὐθέως ἀκούσας, καὶ τὸν εἰπόντα συνεχῶς ἠρώτων, εἰ μὴ παίζοι ταῦτα λέγων. ὁ δὲ, ἄπαγε, ἔφη· μὴ γὰρ ἄν ποτε παίζοιμι ταῦτα, μηδ᾽ ἂν εἰπεῖν καὶ πλάσαι τοιαῦτα τῷ λόγῳ, ἃ πολλοῦ ἂν ἐπριάμην, καὶ πολλάκις ηὐξάμην μηδὲ νῦν, ὅτε γέγονεν, ἐν ἀκοῇ γοῦν δέξασθαι μόνῃ. τότε δὴ καὶ πικρότερον ἀνοιμώξας, ὄντως, ἔφην, τῶν περὶ Μιθριδάτην καὶ πᾶσιν ἐκείνοις τολμηθέντων τοσούτῳ ταῦτα ἀνοσιώτερα, ὅσῳ καὶ σεμνότερος πολλῷ καὶ ἁγιώτερος ὁ ναὸς οὗτος ἐκείνου. ἀλλὰ τίνες, εἰπέ μοι, καὶ πόθεν οἱ ταῦτα τολμήσαντες, καὶ διὰ τί, καὶ ἐκ ποίας αἰτίας, καὶ πρὸς τί βλέποντες, οὗτοι λίθους εἰς τὸ ὕψος βάλλουσι, καὶ πρὸς τὸν οὐρανὸν ἀκοντίζουσι τὰ βέλη, καὶ τῷ τῆς εἰρήνης πολεμοῦσι Θεῷ; Σαμαρεῖς μὲν γὰρ, καὶ οἱ Φαραθαῖοι, καὶ οἱ ἄρχοντες Ἀσσυρίων, καὶ πάντες ἐκεῖνοι, βάρβαροί τε ἦσαν, ὡς καὶ ἀπ᾽ αὐτῶν τῶν ὀνομάτων ἐστὶν ἰδεῖν, καὶ τῆς Ἰουδαϊκῆς μακρὰν ἐσκήνηντο πολιτείας, καὶ οὐκ ἐβούλοντο προσοικοῦντας αὐτοῖς ἀνθρώπους αὐξομένους ὁρᾷν. τὴν γὰρ δύναμιν τὴν ἐκείνων τῇ σφῶν αὐτῶν ἐξουσίᾳ λοιπὸν ἐπισκοτεῖν ᾤοντο· οὗτοι δὲ, ποίας αὐτοῖς ἐλευθερίας ἐλαττουμένης, ποίας ἐκκοπτομένης ἀδείας, τίνας τῶν κρατούντων συμπράττοντας ἔχοντες, ταῦτα ἐτόλμησαν; ἐκεῖνοι μὲν γὰρ εἶχον τοὺς Περσῶν βασιλεῖς ταῦτα βουλομένους αὐτοῖς· οἱ δὲ ἡμέτεροι τἀναντία τούτων, ὡς ἐμαυτὸν πείθω, καὶ ἐπιθυμοῦσι καὶ εὔχονται. ὅθεν καὶ πολλῆς ἐμπέπλησμαι τῆς ἀπορίας, ὅτι τῶν βασιλέων ἐν εὐσεβείᾳ ζώντων, τοιαῦτα σὺ λέγεις ἐν μέσαις τολμᾶσθαι ταῖς πόλεσιν. ὁ δέ φησιν· ἂν καὶ τὸ τούτου παραδοξότερον μάθῃς, ὅτι καὶ οἱ ταῦτα δρῶντες εὐσεβεῖς τε εἶναι βούλονται, καὶ χριστιανοὺς καλοῦσιν αὑτούς· πολλοὶ δὲ αὐτῶν καὶ τῶν ἤδη μεμυημένων εἰσί. καί τις αὐτῶν δὴ τούτων, πολλοῦ τοῦ διαβόλου πνεύσαντος εἰς αὐτὸν, διὰ τῆς μιαρᾶς γλώσσης ἐκείνης ἐτόλμησεν εἰπεῖν, ὅτι καὶ τῆς πίστεως ἀποστήσεται καὶ ″θύσεται δαίμοσιν. ἀποπνίγεσθαι γὰρ ὁρῶν ἀνθρώπους ἐλευθέρους καὶ εὐγενεῖς καὶ δυναμένους ἐν τρυφῇ ζῆν, ἐπὶ τὸν σκληρὸν τοῦτον ἀγομένους βίον.

κ. θύειν

Ταῦτα ἀκούσας ἐγὼ, ἐπλήγην τὴν πληγὴν χαλεπωτέραν, καὶ ὅσα ἀπὸ τούτου κακὰ στοχαζόμενος, τὴν τε οἰκουμένην ἐθρήνουν ἅπασαν. καὶ πρὸς τὸν Θεὸν ἔλεγον· ἆρον τὴν ψυχήν μου ἀπ᾽ ἐμοῦ, καὶ ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με, καὶ ἀπάλλαξον τῆς ″ἐπικήρου ταύτης ζωῆς, καὶ πρὸς τὸν χῶρον μετάστησον ἐκεῖνον, ἔνθα τοιοῦτον οὐδὲν οὔτε ἕτερος ἐρεῖ τις, οὔτε ἀκούσομαι ἐγώ. οἶδα μὲν γὰρ ὅτι ἀπελθόντα ἐντεῦθεν τὸ σκότος διαδέξεται τὸ ἐξώτερον, ἔνθα πολὺς ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. ἀλλ᾽ ἥδιον ἐμοὶ βρυχόντων ἀκούειν ὀδόντων, ἢ τοιαῦτα ἠχούντων ῥήματα. ἰδὼν δέ με πενθοῦντα ἐκεῖνος σφοδρῶς, ἀλλ᾽ οὐ τούτων, φησὶν, ὁ καιρὸς νῦν. οὐδὲ γὰρ δὴ τοὺς ἀπολωλότας καὶ ἀπολλυμένους τοῖς δάκρυσι τούτοις ἀνακτήσασθαι δυνήσῃ ποτέ. καὶ γὰρ οἶμαι μὴ στήσεσθαι τὸ δεινόν. χρὴ δὲ ὁρᾷν, ὅπως σβέσωμεν τὴν πυρὰν, καὶ στήσωμεν τὸν λοιμὸν, τό γε ἡμέτερον μέρος. καὶ εἴ γε μοί τι πείθοιο, τῶν ὀδυρμῶν τούτων ἀφέμενος, ἐργάσαι λόγον παραίνεσιν ἔχοντα τοῖς νοσοῦσι, καὶ στασιάζουσι πρός τε τὴν ἑαυτῶν, πρός τε τὴν κοινὴν ἁπάντων σωτηρίαν ἀνθρώπων· καὶ τὸ βιβλίον ἐγὼ τοῦτο λαβὼν, ἀντ᾽ ἄλλου τινὸς φαρμάκου, ταῖς τῶν καμνόντων φέρων ἐνθήσω χερσί. καὶ γάρ εἰσί μοι τῶν τὰ τοιαῦτα νοσούντων φίλοι πολλοὶ, καὶ ἀνέξονται ἐπελθεῖν, καὶ ἅπαξ, καὶ δὶς, καὶ πολλάκις· καὶ οἶδα ὅτι ταχέως ἀπαλλάξονται τοῦ λοιμοῦ. σὺ μὲν, ἔφην, πρὸς τὸ μέτρον τῆς ἀγάπης καὶ τὰ τῆς δυνάμεως τῆς ἡμετέρας μετρεῖς· ἐμοὶ δὲ οὔτε πάρεστί τις

γρ. ἐπικήρου

λόγων ἰσχὺς, τῇ τε εἶναι δοκούσῃ χρήσασθαι εἰς ὑπόθεσιν τοιαύτην αἰσχυνόμενος· ἀλλ' ἄλλων μὲν οὐδένα τοσοῦτον, Ἕλληνας δὲ ἁπλῶς, τούς τε ὄντας, τούς τε ἐπιγινομένους, οἷς ἀεὶ τῶν δογμάτων οὐχ ἧττον ἐπὶ τῇ τοῦ βίου διασύρων ῥαθυμίᾳ, νῦν τὰ ἡμέτερα ἀναγκάζομαι διδάξαι κακά. Εἰ γὰρ αἴσθοιντό τινες ἐκείνων, ὅτι παρὰ χριστιανοῖς εἰσί τινες ἄνθρωποι οὕτω πρὸς ἀρετὴν καὶ φιλοσοφίαν ἐκπεπολεμωμένοι, ὡς μὴ μόνον τῶν ὑπὲρ ταύτης ἀφίστασθαι πόνων, ἀλλὰ μηδὲ τῶν ὑπὲρ τούτων ἀνέχεσθαι λόγων· καὶ οὐδὲ ἐνταῦθα στῆναι τῆς μανίας ἀνέχονται, ἀλλὰ κἂν ἕτερός τις ταῦτα συμβουλεύῃ καὶ διαλέγηται, καὶ τοῦτον πάντοθεν ἐλαύνουσιν· ἂν ταῦτα αἴσθωνται, δέδοικα μή ποτε οὔτε ἀνθρώπους ἡμᾶς εἶναι νομίσωσιν, ἀλλὰ θηρία καὶ τέρατα ἀνθρωπόμορφα, καὶ δαίμονάς τινας ἀλάστορας, καὶ τῆς κοινῆς φύσεως ἐχθρούς· καὶ ταύτην οὐ περὶ τῶν ὑπευθύνων μόνον, ἀλλὰ καὶ περὶ παντὸς ἡμῶν τοῦ ἔθνους τὴν ψῆφον ἐνέγκωσι. καὶ γελάσας ἐκεῖνος, παίζεις, ἔφη, ταῦτα λέγων. ἐγὼ γὰρ νῦν τούτου σοι δικαιότερον ἐρῶ, εἴγε δέδοικας μὴ παρὰ τῶν σῶν λόγων μάθωσιν, ἃ διὰ τῶν ἔργων ἔμαθον ἅπαντες πάλαι. ὥσπερ γάρ τινος πονηροῦ πνεύματος τὰς ἁπάντων πεπληρωκότος ψυχὰς, οὕτω τὰ πάντων στόματα τούτων γέμει τῶν λόγων. κἂν εἰς ἀγορὰν ἐμβάλῃς, ὄψει, κἂν ἐν τοῖς ἰατρείοις, κἂν ἐν παντὶ μέρει τῆς πόλεως, ἔνθα συνεδρεύειν εἰώθασιν οἱ πράττειν οὐδὲν ἐθέλοντες, πολὺν γέλωτα παρὰ πάντων κινούμενον. ἡ δὲ τοῦ γέλωτος τούτου καὶ τῆς κωμῳδίας ὑπόθεσις, τῶν εἰς τοὺς ἁγίους ἄνδρας εἰργασμένων ἐστὶ τὰ διηγήματα. καθάπερ γάρ τινες πολεμισταὶ πολλὰς ἠνυκότες μάχας, καὶ τρόπαια στήσαντες, τὰς ἑαυτῶν ἀριστείας διηγούμενοι χαίρουσιν· οὕτω δὴ καὶ οὗτοι γαυριῶνται ἐπὶ τοῖς τολμήμασι τοῖς ἑαυτῶν· καὶ ἀκούσῃ τοῦ μὲν λέγοντος, ὅτι ἐγὼ πρῶτος τὰς χεῖρας ἐπέβαλον ἐπὶ τὸν δεῖνα τὸν μοναχὸν καὶ πληγὰς ἐνέτεινα· ἑτέρου δὲ, ὅτι τὸ καταγώγιον πρὸ τῶν ἄλλων εὗρον αὐτός· ἀλλὰ τὸν δικαστὴν ἐγὼ μᾶλλον τῶν ἄλλων παρώξυνα, φησὶν ἕτερος· ἄλλος τὸ δεσμωτήριον, καὶ τὰ ἐν τῷ δεσμωτηρίῳ δεινὰ, καὶ τὸ διὰ τῆς ἀγορᾶς ἑλκύσαι τοὺς ἁγίους ἐκείνους ἐν ἐγκωμίου τίθεται μέρει, καὶ ἄλλος ἄλλο· εἶτα πάντες ἀνακαγχάζουσιν ἐπὶ τούτοις. καὶ ταῦτα μὲν ἐν τοῖς τῶν χριστιανῶν συνεδρίοις· οἱ δὲ Ἕλληνες καὶ τούτους γελῶσι, καὶ τοὺς ὑπ' αὐτῶν γελωμένους· τοὺς μὲν, ἐφ' οἷς ἔδρασαν, τοὺς δὲ, ἐφ' οἷς ἔπαθον. καὶ πολέμου τινὸς ἐμφυλίου τὰ πάντα ἐμπέπλησται· μᾶλλον δὲ ταῦτα ἐκείνου πολλῷ χαλεπώτερα. ἐκεῖνοι μὲν γὰρ οἱ πολεμήσαντες τὸν πόλεμον, ὅταν ποτὲ ὕστερον ἀναμνησθῶσιν αὐτοῦ, τοῖς τε κεκινηκόσιν αὐτὸν ἐπαρῶνται πολλὰ, καὶ δαίμονί τινι πονηρῷ τὰ ἐν αὐτῷ γενόμενα ἅπαντα ἀνατιθέασι· κἀκεῖνοι μὲν πλέον τῶν ἄλλων αἰσχύνονται, ὅσῳπερ ἂν ἐν αὐτῷ πλέον τι τῶν ἄλλων ἐργάσωνται· οὗτοι δὲ καὶ ἐγκαλλωπίζονται τοῖς τολμήμασι. καὶ οὐ τοῦτο μόνον, ὅτι ἐναγέστερος οὗτος ἐκείνου ὁ πόλεμος, οὐδὲ ὅτι πρὸς ἁγίους καὶ οὐδὲν ἠδικηκότας γέγονε μόνον, ἀλλ' ὅτι καὶ πρὸς ἀνθρώπους ποιεῖν μὲν οὐδένα εἰδότας κακῶς, πάσχειν δὲ παρεσκευασμένους μόνον. ἐπίσχες, ἔφην, ἐπίσχες. καὶ γὰρ καὶ τούτων ἡμῖν ἅλις τῶν διηγημάτων, εἴγε μὴ παντελῶς με ἐκπνεῦσαι δέοι, ἀλλὰ μικρὸν γοῦν τινα ἔχοντα ἰσχὺν ἀπελθεῖν*. σὺ μὲν οὖν πάντως ὅπερ ἐπέταξας γενήσεται, μόνον μηδὲν ἕτερον ἡμῖν προσθῇς διήγημα· ἀλλ' ἀπελθὼν εὔχου σκεδασθῆναί μοι τῆς ἀθυμίας τὸ νέφος, καὶ λαβεῖν τινα παρὰ τοῦ πολεμουμένου Θεοῦ ῥοπὴν εἰς τὴν ἰατρείαν τῶν πολεμούντων αὐτόν. δώσει δὲ πάντως, φιλάνθρωπός τε ὤν, καὶ τὸν θάνατον μὴ βουλόμενος τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι αὐτὸν καὶ ζῆν.

Οὕτως ἀποπέμψας ἐκεῖνον, τῶν λόγων ἡπτόμην τούτων. καὶ γὰρ εἰ μὲν τοῦτο μόνον ἦν τὸ δεινὸν, τὸ τοὺς ἁγίους τοῦ Θεοῦ καὶ θαυμαστοὺς ἄνδρας ἐκείνους ἕλκεσθαι καὶ σπαράττεσθαι, συρομένους εἰς δικαστήρια, καὶ τυπτομένους, καὶ τὰ ἄλλα πάσχοντας, ἅπερ διηγησάμην ἄρτι, μηδεμία δὲ ἀπὸ τούτων εἰς τὴν τῶν ταῦτα τολμώντων κεφαλὴν ἐτρέπετο βλάβη, τοσοῦτον ἀπέχον ἀλγῆσαι τοῖς γινομένοις, ὅτι κἂν ἐγέλασα σφόδρα ἡδὺ καὶ δαψιλὲς ἐπ' αὐτοῖς· ἐπεὶ καὶ τὰ παιδία τὰ μικρὰ, ὅταν μὲν ἀκινδύνως πλήττῃ τὰς μητέρας, πολὺν κινεῖ τὸν γέλωτα ταῖς πληττομέναις αὐταῖς· καὶ ὅσωπερ ἂν ἐκ πλείονος τοῦτο ἐργάζηται τοῦ θυμοῦ, τοσούτῳ μᾶλλον αὐταῖς ἐπιτείνει τὴν ἡδονὴν, ὡς καὶ διαχεῖσθαι καὶ ἀνακλᾶσθαι τῷ γέλωτι. εἰ δὲ τῷ συνεχῶς καὶ ῥαγδαίως τοῦτο ποιεῖν τρωθείη ποτὲ, ἢ βελόνης τῷ χιτωνίσκῳ τῆς μητρὸς περὶ τὴν ζώνην ἐμπεπερονημένης, ἢ τῆς κερκίδος περὶ τῶν στέρνων τὴν μητρικὴν τὴν χεῖρα τοῦ παιδὸς δεξαμένης, τότε δὴ, τότε τὸν γέλωτα ἀφεῖσα ἡ μήτηρ, μείζονι τοῦ πληγέντος περιωδυνίᾳ κατέχεται· καὶ τέως μὲν θεραπεύει τὸ τραῦμα, τοῦ λοιποῦ δὲ μετὰ σφοδρᾶς ἀπαγορεύει τῆς ἀπειλῆς τὰ τοιαῦτα μὴ ποιεῖν, ὡς μηκέτι παθεῖν τὰ αὐτά. καὶ ἡμεῖς τοίνυν τὰ αὐτὰ ἂν ἐδράσαμεν, εἰ τὸν παιδικὸν τοῦτον ἑωρῶμεν θυμὸν, καὶ τὴν τῶν νηπίων πληγὴν μὴ μεγάλην αὐτοῖς τὸν ὄλεθρον φέρουσαν. ἐπειδὴ δὲ μικρὸν ὕστερον, κἂν μὴ νῦν αἴσθωνται τῷ θυμῷ κατεχόμενοι, κλαύσονται καὶ οἰμώξονται καὶ ὀδυροῦνται, οὐ τοιοῦτον ὀδυρμὸν, οἷον τὰ παιδία τὰ μικρὰ, ἀλλὰ τὸν ἐν τῷ σκότει τῷ ἐξωτέρῳ, τὸν ἐν τῷ πυρὶ τῷ ἀσβέστῳ, τὸ αὐτὸ πάλιν ταῖς μητράσι ποιήσωμεν, τοσοῦτον αὐτῶν διαλλάττοντες, ὅσον οὐ μετὰ ἀπειλῆς καὶ ὕβρεως, καθάπερ ἐκεῖναι, ἀλλὰ μετὰ κολακείας καὶ προσηνείας πολλῆς πρὸς τὰ παιδία ταῦτα διαλεξόμεθα· ἐπεὶ ὅτι γε τοῖς ἁγίοις οὐδεμία ἀπὸ τούτων ἡ βλάβη, ἀλλὰ καὶ μείζων ὁ μισθὸς καὶ πλείων ἡ παρρησία. ἂν μὲν τὰ μέλλοντα εἴπωμεν ἀγαθὰ, τάχα καὶ γελάσεσθε μέγα, ἅτε τοιοῦτοι ἀεὶ γέλωτα μελετῶντες εἶναι· τοῖς δὲ παροῦσι, κἂν μυριάκις ἦτε φιλογέλωτες, οὐκ ἀπιστήσετε. οὐδὲ γὰρ, ἂν ἐθέλητε, δυνήσεσθε, τῶν πραγμάτων ὑμῖν οὕτως ἀνθυποφθεγγομένων αὐτῶν. τὸν Νέρωνα πάντως ἀκούετε. καὶ γὰρ ἐπίσημος ὁ ἀνὴρ ἀπὸ τῆς ἀσελγείας ἐγένετο, πρῶτος καὶ μόνος εὑρὼν ἐν ἀρχῇ τοιαύτῃ καινούς τινας ἀκολασίας καὶ ἀσχημοσύνης τρόπους. οὗτος ὁ Νέρων τὸν μακάριον Παῦλον (καὶ γὰρ ἔτυχε κατὰ τοὺς αὐτοὺς ἐκείνῳ γενόμενος χρόνους) τοιαῦτα ἐγκαλῶν, οἷάπερ ὑμεῖς τοῖς ἁγίοις τούτοις ἀνδράσι (παλλακίδα γὰρ αὐτοῦ σφόδρα ἐπέραστον πείσας τὸν περὶ τῆς πίστεως δέξασθαι λόγον, ἔπεισεν ὁμοῦ καὶ τῆς ἀκαθάρτου συνουσίας ἀπαλλαγῆναι ἐκείνης) τοιαῦτα γοῦν ἐγκαλῶν ἐκεῖνος, καὶ λυμεῶνα καὶ πλάνον, καὶ τὰ αὐτὰ ἅπερ ὑμεῖς φθέγγεσθε, τὸν Παῦλον ἀποκαλῶν, τὸ μὲν πρῶτον ἔδησεν· ὡς δὲ οὐκ ἔπειθε τῆς πρὸς τὴν κόρην ἀπέχεσθαι συμβουλῆς, τέλος ἀπέκτεινε. τί οὖν ἀπὸ τούτου γέγονε βλάβος τῷ παθόντι κακῶς; τί δὲ ὄφελος τῷ δράσαντι κακῶς; τί μὲν οὐκ ὄφελος τῷ τότε ἀναιρεθέντι Παύλῳ; τί δὲ οὐ βλάβος τῷ ἀνελόντι Νέρωνι; οὐχ ὁ μὲν, ὥσπερ ἄγγελος, πανταχοῦ τῆς οἰκουμένης ᾄδεται (τὰ γὰρ παρόντα τέως ἐρῶ) ὁ δὲ, ὥσπερ ὄντως λυμεὼν καὶ δαίμων ἄγειος, πρὸς πάντας διαβέβληται; τὰ δὲ ἐκεῖ, κἂν ὑμεῖς ἀπιστήσητε, διὰ τοὺς πιστεύοντας ἀναγκαῖον εἰπεῖν. καίτοι ὑμᾶς ἀπὸ τῶν παρόντων κἀκείνοις πιστεύειν ἐχρῆν. πλὴν ἀλλ' ὅπως ἂν πρὸς αὐτὰ διάκεισθε, εἰρήσεται παρ' ἡμῶν, καὶ οὐ κεκρύψεται. τίνα οὖν ἔσται τὰ ἐκεῖ; ὁ μὲν ἄθλιος καὶ ταλαίπωρος ἐκεῖνος, αὐχμῶν καὶ κατηφὴς, αἰσχύνης γέμων καὶ ζόφου, καὶ κάτω νεύων ἀπαχθήσεται, ἔνθα ὁ σκώληξ ὁ ἀτελεύτητος καὶ τὸ πῦρ τὸ ἄσβεστον· ὁ δὲ μακάριος Παῦλος μετὰ πολλῆς στήσεται τῆς παρρησίας παρ' αὐτὸν τοῦ βασιλέως τὸν θρόνον λαμπρῶς ἀποστίλβων, καὶ δόξαν ἠμφιεσμένος τοσαύτην, ὡς μηδὲν τῶν ἀγγέλων καὶ τῶν ἀρχαγγέλων ἀποδεῖν· καὶ τοσοῦτον λήψεται τὸν μισθὸν, ὅσον εἰκὸς ἄνθρωπον σῶμα καὶ τὴν ψυχὴν τῶν τῷ Θεῷ δοκούντων ἕνεκεν ἐπιδόντα. καὶ γὰρ οὕτως ἔχει. ἔσται μὲν πολλὴ τοῖς τὰ ἀγαθὰ ἐργασαμένοις ἀντίδοσις, μείζων δὲ αὕτη καὶ πλείων γίνεται, ὅταν καὶ διὰ κινδύνων ἴωσι, καὶ ἀτιμίας πολλῆς οἱ ταῦτα ἐργασάμενοι τὰ ἀγαθά. κἂν τὸ κατόρθωμα ἴσον ᾖ τῷ τε ἀπονητὶ καὶ τῷ μετὰ πόνων αὐτὸ κατορθωκότι, τὰ τῆς τιμῆς οὐκ ἔσται ἴσα καὶ τὰ τῶν στεφάνων· ἐπεὶ καὶ ἐν τοῖς πολέμοις στεφανοῦνται μὲν ὁ τρόπαιον στήσας, πολλῷ δὲ ἔτι μειζόνως ὁ καὶ τὰ τραύματα ἐπιδεῖξαι ἔχων, δι' ὧν τὸ τρόπαιον ἔστησε. καὶ τί λέγω περὶ τῶν ζώντων; ὅπουγε καὶ οἱ τοῦτο μόνον ἐπιδειξάμενοι, τὸ καλῶς ἀποθανεῖν ἐν πολέμῳ, μηδὲν δὲ πλέον τοὺς αὐτῶν ὠφελήσαντες, καθάπερ

χ. αὐτ

χ. θαύματ

καθάπερ σωτῆρες καὶ προστάται πανταχοῦ τῆς Ἑλλάδος ᾄδονται. εἰ καὶ ταῦτα ὑμεῖς ἀγνοεῖτε, τῷ γέλωτι καὶ τῇ τρυφῇ διαπαντὸς προσανέχοντες. εἰ δὲ Ἕλληνες, ἄνθρωποι καὶ μηδὲν ὅλως ὑγιὲς ἐννοοῦντες, τοῦτο ἠδυνήθησαν συνιδεῖν, καὶ πολλῇ τετιμήκασι τῇ τιμῇ τοὺς ἀποθανόντας μόνον ὑπὲρ αὐτῶν, μηδὲν δὲ ἐργασαμένους πλέον, πόσῳ μᾶλλον ὁ Χριστὸς τοῦτο ἐργάσεται, ὁ πανταχοῦ τοὺς δι' αὐτὸν κινδυνεύοντας ἐκ πολλοῦ τοῦ περιόντος ταῖς τῶν δωρεῶν νικῶν ἀντιδόσεσιν; οὐ γὰρ διωγμῶν μόνον, οὐδὲ πληγῶν, οὐδὲ δεσμωτηρίων καὶ φόνων καὶ σφαγῆς, ἀλλὰ καὶ ὕβρεως μόνης καὶ ῥήματος ὀνειδιστικοῦ πολὺν ἔθηκε τὸν μισθόν. Μακάριοι γάρ, φησίν, ἐστὲ ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν, ὡς πονηρόν, ἕνεκεν τοῦ υἱοῦ τοῦ ἀνθρώπου. χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ. Εἰ τοίνυν τὸ κακῶς παθεῖν, καὶ τὸ κακῶς ἀκοῦσαι ἐπιτείνει τὸν μισθὸν καὶ τοῖς πάσχουσι καὶ τοῖς ἀκούουσι κακῶς, ὁ κωλύων αὐτοὺς παθεῖν καὶ ἀκοῦσαι κακῶς, οὐχὶ τούτους, ἀλλὰ τοὺς λέγοντας καὶ τοὺς ποιοῦντας ὠφέλησε, τούτους δὲ ἔβλαψε, τοῦ μισθοῦ τὸ πλέον ἐκκόπτων αὐτοῖς, καὶ τῆς χαρᾶς καὶ τῶν πολλῶν σκιρτημάτων ἀναιρῶν τὴν ὑπόθεσιν. ὥστε τούτων μὲν ἕνεκεν καὶ σιγῆσαι ἐχρῆν καὶ ἀφεῖναι γενέσθαι ταῦτα, τὰ πολὺν αὐτοῖς τὸν πλοῦτον ποιοῦντα τῶν ἀγαθῶν, καὶ μείζω τὴν παρρησίαν κατασκευάζοντα. ἐπειδὴ δὲ ἀλλήλων ἐσμὲν μέλη, κἂν αὐτοὶ πάλιν ἀρνῶνται τὴν χάριν, οὐ χρὴ τοὺς οὕτω διακειμένους ἑνὸς μὲν προνοεῖν μέρους, ἑτέρου δὲ περιορᾶν. ἐκείνοις μὲν γὰρ ἔσται καὶ ἑτέρας εὐδοκιμήσεως ὑπόθεσις, κἂν μὴ νῦν πάθωσι κακῶς· οὗτοι δέ, ἂν μὴ τῆς μάχης ἀπόσχωνται ταύτης, οὐκ ἔτι σωθῆναι δυνήσονται. τούτου δὴ χάριν παριδὼν τὸ ἐκείνων, πρὸς τὸ ὑμέτερον ἵσταμαι, καὶ δέομαι καὶ ἀντιβολῶ πεισθῆναί τε ἡμῖν παρακαλοῦσι, καὶ μηκέτι καθ' ἑαυτῶν τὸ ξίφος ὠθεῖν, μηδὲ πρὸς κέντρα λακτίζειν, μηδὲ νομίζοντας ἀνθρώπους ἀνιᾶν, λυπεῖν τὸ πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ.

Λυκ. ς. κϛ.

Ὅτι μὲν γὰρ ἐπαινέσεσθε ταύτην ἡμῶν τὴν γνώμην, κἂν μὴ νῦν, ἀλλ' αὖθις, οἶδα καὶ πέπεισμαι. βούλομαι δὲ ὑμᾶς τοῦτο ποιῆσαι νῦν, ἵνα μὴ μάτην αὐτὸ μετὰ ταῦτα ποιῆτε. ἐπεὶ καὶ ὁ πλούσιος ἐκεῖνος, ὅτε μὲν ἦν ἐνταῦθα, τοὺς προφήτας καὶ τὸν νόμον καὶ τὴν ἐκ τούτων παράκλησιν μῦθόν τινα ἡγεῖτο καὶ λῆρον· ἐπειδὴ δὲ ἀπῆλθεν ἐκεῖ, οὕτως ἐθαύμασεν αὐτῶν τὴν παραίνεσιν, ὡς, ἐπειδὴ συνεῖδε μηδὲν αὐτὸν ἀπὸ τῶν ἐπαίνων ὠφεληθῆναι δυνάμενον, παρακαλέσαι τὸν πατριάρχην πέμψαι τινὰ τῶν ἐν ᾅδου τοῖς ὑπὲρ γῆς ἀπαγγέλλοντα, ἐκεῖνο δεδοικώς, μήποτε καὶ αὐτοὶ τὸ αὐτὸ πάθωσι, καὶ καταγελάσαντες τῶν θείων γραφῶν, τότε αὐτὰς θαυμάσωσιν, ὅταν αὐτοῖς ὄφελος οὐδὲν ἀπὸ τοῦ θαύματος. καίτοιγε οὐδὲν ἐκεῖνος τοιοῦτον εἰργάσατο, οἷον ὑμεῖς. ἐκεῖνος γὰρ τῶν ἑαυτοῦ οὐ μετέδωκε τῷ Λαζάρῳ, οὐ μὴν καὶ ἑτέρους βουληθέντας μεταδοῦναι ἐκώλυσεν ἢ ἀπήλασε, καθάπερ ὑμεῖς νῦν. καὶ οὐ ταύτῃ μόνον αὐτὸν ἀπεκρύψατε τῇ ὠμότητι, ἀλλὰ καὶ ἑτέρῳ. ὥσπερ γὰρ οὐκ ἔστιν ἴσον αὐτὸν μηδὲν ποιεῖν ἀγαθόν, καὶ ἑτέρους βουλομένους κωλύειν ποιεῖν, οὕτως οὐκ ἔστιν ἴσον τροφῆς τε ἀποστερεῖν σωματικῆς, καὶ ἐν πολλῷ τῷ τῆς φιλοσοφίας λιμῷ κειμένους κωλύειν τρέφεσθαι παρ' ἑτέρων. ὥστε διπλῇ παρελάσατε τὸν ὠμὸν πλούσιον ἐκεῖνον, τῷ τε ἑτέρους κωλῦσαι σβέσαι τὸν λιμόν, καὶ ἐπὶ τῆς ψυχῆς ἀγχομένης τὴν ἀπανθρωπίαν ἐπιδείκνυσθαι ταύτην. τοῦτο καὶ Ἰουδαῖοί ποτε ἐποίησαν, καὶ ἐκώλυον τοὺς ἀποστόλους τοῖς ἀνθρώποις τὰ πρὸς σωτηρίαν λαλεῖν· πλὴν ἀλλὰ καὶ τούτων χείρους ὑμεῖς. οἱ μὲν γὰρ δὴ τὴν τῶν ἐχθρῶν ἀναδεξάμενοι τάξιν, οὕτως ἅπαντα ἔπραττον ἐκεῖνα, ὑμεῖς δὲ τὸ τῶν φίλων ὑποδύντες προσωπεῖον, τὰ τῶν ἐχθρῶν ἐπιδείκνυσθε. ἐμάστιξαν καὶ ὕβρισαν καὶ πονηρᾷ περιέβαλον δόξῃ τοὺς ἁγίους ἀποστόλους τότε ἐκεῖνοι, γόητας καὶ πλάνους καλοῦντες αὐτούς. ἀλλὰ τοιαύτη κατέλαβεν αὐτοὺς δίκη, ὡς μηδεμίαν λοιπὸν δυνηθῆναι τοῖς ἐκείνων ἐγγόνοις παρισωθῆναι συμφοράν. περιφανῶς γὰρ οὗτοι καὶ μόνοι τῶν ὑφ' ἡλίῳ πάντων ἀνθρώπων τοιαῦτα ἔπαθον, οἷα οὐδεὶς ἕτερος.

Ματθ. κδ. κα.

ἕτερος. καὶ τούτων μάρτυς ἀξιόπιστος ὁ Χριστὸς οὕτω λέγων· Ἔσται θλίψις μεγάλη, οἵα οὐ γέγονεν ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν, οὐδὲ μὴ γένηται. πάντα μὲν οὖν αὐτῶν τὰ πάθη διελθεῖν, οὐ τοῦ παρόντος καιροῦ· ὀλίγα δὲ ἐκ πολλῶν ἀναγκαῖον εἰπεῖν. ἐρῶ δὲ οὐκ ἐμὸν λόγον, ἀλλ' ἀνδρὸς Ἰουδαίου τοῦ τὰ ἐκείνων ἱστορηκότος ἀκριβῶς. τί ποτε οὖν οὗτός φησιν; ἐπειδὴ τὸν ἐμπρησμὸν διηγήσατο τοῦ ἱεροῦ, καὶ τὰς καινὰς ἐκείνας ἀπήγγειλε συμφοράς,

Ἰώσηπ. ἁλώσ. λόγ. ς. κεφ. κ.

Τὰ μὲν περὶ τὸ ἱερὸν, φησιν, ἐν τούτοις ἦν. τῶν δὲ ὑπὸ τοῦ λιμοῦ φθειρομένων κατὰ τὴν πόλιν ἄπειρον μὲν ἔπιπτε τὸ πλῆθος, ἀδιήγητα δὲ συνέβαινε τὰ πάθη. καθ' ἑκάστην γὰρ οἰκίαν, εἴ που τροφῆς παραφανείη σκιὰ, πόλεμος ἦν, καὶ διὰ χειρῶν ἐχώρουν οἱ φίλτατοι πρὸς ἀλλήλους, ἐξαρπάζοντες τὰ ταλαίπωρα τῆς ψυχῆς ἐφόδια. πίστις δὲ ἀπορίας οὐδὲ τοῖς θνήσκουσιν ἦν· ἀλλὰ καὶ τοὺς ἐκπνέοντας οἱ λῃσταὶ διηρεύνων, μή τις ὑπὸ τὸν κόλπον ἔχων τροφὴν, σκήπτοιτο τὸν θάνατον ἑαυτῷ. οἱ δὲ ὑπ' ἐνδείας κεχηνότες, ὥσπερ λυττῶντες κύνες, ἐσφάλλοντο καὶ περιεφέροντο, ταῖς θύραις ἐνσειόμενοι μεθυόντων τρόπον· ὑπὸ ἀμηχανίας δὲ εἰς τοὺς αὐτοὺς οἴκους εἰσεπήδων δὶς ἢ τρεῖς ὥραν μίαν. πάντα δὲ ὑπ' ὀδόντας ἦγεν ἡ ἀνάγκη, καὶ τὰ μηδὲ τοῖς ῥυπαρωτάτοις τῶν ζώων πρόσφορα συλλέγοντες, ἐσθίειν ὑπέφερον, ζωστήρων ″ δὲ καὶ ὑποδημάτων τὸ τελευταῖον οὐκ ἀπέχοντο, καὶ τὰ δέρματα τῶν θυρεῶν ″ ἀποσπῶντες ἐμασῶντο. τροφὴ δὲ ἦν τισι καὶ χόρτου παλαιοῦ σπαράγματα. τὰς γὰρ ἶνας ἔνιοι συλλέγοντες ἐλάχιστον σταθμὸν ἐπώλουν Ἀττικῶν τεσσάρων. καὶ τί δεῖ τὴν ἐπ' ἀψύχοις ἀναίδειαν τοῦ λιμοῦ λέγειν; εἶμι γὰρ αὐτοῦ δηλώσων ἔργον, ὃ μήτε παρ' Ἕλλησι, μήτε παρὰ βαρβάροις ἱστόρηται, φρικτὸν μὲν εἰπεῖν, ἄπιστον δὲ ἀκοῦσαι. καὶ ἔγωγε, μὴ δόξαιμι τερατεύεσθαι τοῖς αὖθις ἀνθρώποις, κἂν παρέλιπον τὴν συμφορὰν ἡδέως, εἰ μὴ τῶν κατ' ἐμαυτὸν εἶχον ἀπείρους μάρτυρας· ἄλλως τε, καὶ ψυχρὰν ἂν ″ καταθείμην τῇ πατρίδι χάριν, καθυφέμενος ″ τῶν λόγων, ὧν πέπονθε τὰ ἔργα. γυνή τις τῶν ὑπὲρ τὸν Ἰορδάνην κατοικούντων, Μαρία τοὔνομα, πατρὸς Ἐλεαζάρου, κώμης ″ Βηθεζὼ (σημαίνει δὲ τοῦτο οἶκος ὑσσώπου) διὰ γένος καὶ πλοῦτον ἐπίσημος, μετὰ τοῦ λοιποῦ πλήθους εἰς τὰ Ἱεροσόλυμα καταφυγοῦσα συνεπολιορκεῖτο. ταύτης τὴν μὲν ἄλλην κτῆσιν οἱ τύραννοι διήρπασαν, ὅσην ἐκ τῆς Περαίας μετασκευασαμένη μετήνεγκεν εἰς τὴν πόλιν· τὰ δὲ λείψανα τῶν κειμηλίων, κἂν εἴ τι τροφῆς ἐπινοηθείη, καθ' ἡμέραν εἰσπηδῶντες ἥρπαζον οἱ δορυφόροι. δεινὴ δὲ τὸ γύναιον ἀγανάκτησις εἰσῄει· καὶ πολλάκις λοιδοροῦσα, καὶ καταρωμένη τοὺς ἅρπαγας ἐφ' ἑαυτὴν ἠρέθιζεν. ὡς δὲ οὔτε παροξυνόμενός τις, οὔτε ἐλεῶν αὐτὴν ἀνῄρει· καὶ τὸ μὲν εὑρεῖν τι σιτίον ἄλλοις ἐκοπία, πανταχόθεν δὲ ἄπορον ἦν ἤδη καὶ τὸ εὑρεῖν, ὁ δὲ λιμὸς διὰ σπλάγχνων καὶ μυελῶν ἐχώρει, καὶ τοῦ λιμοῦ μᾶλλον ἐξέκαιον οἱ θυμοὶ, σύμβουλον λαβοῦσα τὴν ὀργὴν, μετὰ τῆς ἀνάγκης ἐπὶ τὴν φύσιν ἐχώρει, καὶ τὸ τέκνον (ἦν δὲ αὐτῇ παῖς ὑπομάζιος) ἁρπασαμένη, Βρέφος, εἶπεν, ἄθλιον, ἐν πολέμῳ καὶ λιμῷ καὶ στάσει τίνι σε τηρήσω; τὰ μὲν παρὰ Ῥωμαίοις δουλεία, κἂν ζήσωμεν ἐπ' αὐτοῖς· φθάνει δὲ καὶ δουλείαν ὁ λιμός· οἱ στασιασταὶ δὲ ἀμφοτέρων χαλεπώτεροι. ἴθι, γενοῦ μοι τροφὴ, καὶ τοῖς στασιασταῖς ἐριννὺς, καὶ τῷ βίῳ μῦθος ὁ μόνος ἐλλείπων ταῖς Ἰουδαίων συμφοραῖς. καὶ ταῦθ' ἅμα λέγουσα κτείνει τὸν υἱὸν, ἔπειτα ὀπτήσασα, τὸ μὲν ἥμισυ κατεσθίει, τὸ δὲ λοιπὸν ″ καταλείψασα ἐφύλαττεν. εὐθέως δὲ οἱ στασιασταὶ παρῆσαν, καὶ τῆς ἀθεμίτου κνίσσης σπάσαντες ἠπείλουν, εἰ μὴ δείξειε τὸ παρασκευασθὲν, ἀποσφάξειν αὐτὴν εὐθέως. ἡ δὲ καὶ μοῖραν αὐτοῖς καλὴν εἰποῦσα τετηρηκέναι, τὰ λείψανα τοῦ τέκνου διεκάλυψε. τοὺς δὲ εὐθέως φρίκη τε καὶ φρενῶν ἔκστασις ᾕρει, καὶ πρὸς τὴν ὄψιν ἐπεπήγεσαν. ἡ δὲ, ἐμὸν, ἔφη, τοῦτο τέκνον γνήσιον, καὶ τὸ ἔργον ἐμόν· φάγετε, καὶ γὰρ ἐγὼ βέβρωκα· μὴ γένησθε μήτε μαλακώτεροι γυναικὸς, μήτε συμπαθέστεροι μητρός. εἰ δὲ ὑμεῖς εὐσεβεῖς, καὶ τὴν ἐμὴν ἀποστρέφεσθε θυσίαν, ἐγὼ μὲν οὖν βέβρωκα, καὶ τὸ λοιπὸν ἐμοὶ μεινάτω. μετὰ ταῦτα οἱ μὲν τρέμοντες ἐξῄεσαν, πρὸς ἓν τοῦτο δειλοὶ, καὶ ″ μόνης ταύτης τῆς ″ τρυφῆς τῇ μητρὶ παραχωρήσαντες.

γρ. γοῦν
γρ. ἀποδέροντες
γρ. καταθοίμην
γρ. τῶν λόγων, ὧν
γρ. Βαθεχώρ
γρ. κατακαλύψασα
γρ. μόλις
γρ. τροφῆς

χωρήσαντες. ἐνεπλήσθη δὲ ὅλη εὐθέως τοῦ μύσους ἡ πόλις, καὶ πρὸ ὀμμάτων τὸ πάθος λαμβάνων ἕκαστος, ὥσπερ αὐτῷ τολμηθὲν, ἔφριττε. σπουδὴ δὲ τῶν λιμωττόντων ἐπὶ τὸν θάνατον ἦν, καὶ μακαρισμὸς τῶν φθασάντων, πρὶν ἀκοῦσαι καὶ θεάσασθαι τηλικαῦτα κακά. ταχέως δὲ καὶ Ῥωμαίοις διηγγέλθη τὸ πάθος. τῶν δὲ τὸ μὲν ἠπίστουν, τὸ δὲ ᾤκτειρον, τοὺς δὲ πολλοὺς εἰς μῖσος τοῦ ἔθνους συνέβη περιελθεῖν σφοδρότερον.

Ταῦτα δὲ ἔπασχον, καὶ πολλῷ τούτων χαλεπώτερα, οὐκ ἐπειδὴ τὸν Χριστὸν ἐσταύρωσαν μόνον, ἀλλ' ἐπειδὴ καὶ μετὰ ταῦτα τοὺς ἀποστόλους ἐκώλυον τὰ πρὸς σωτηρίαν λαλεῖν τὴν ἡμετέραν. ὅπερ οὖν καὶ ὁ μακάριος Παῦλος αὐτῶν κατηγορήσας, ταῦτα αὐτοῖς προεφήτευσε τὰ κακὰ, εἰπών, Ὅτι ἔφθασεν ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος. καὶ τί ταῦτα πρὸς ἡμᾶς, φησίν; οὐ γὰρ δὴ τῆς πίστεως ἀπαγόμεθα, οὐδὲ τοῦ κηρύγματος. καὶ τί τῆς πίστεως ὄφελος, εἰπέ μοι, βίου μὴ ὄντος καθαροῦ; ἀλλ' ὑμεῖς μὲν ἴσως ἀγνοεῖτε καὶ ταῦτα, ἅτε καὶ τῶν ἡμετέρων ὄντες ἀνήκοοι πάντων· ἐγὼ δὲ ὑμῖν ἀπαριθμήσομαι τοῦ Χριστοῦ τὰς ἀποφάσεις· καὶ παρατηρεῖτε ὑμεῖς, εἰ μηδαμοῦ βίος ἐγκαλεῖται τότε, ἀλλ' ὑπὲρ πίστεως μόνης καὶ δογμάτων τὰ τῶν κολάσεων ὥρισται. ἐπειδὴ γὰρ εἰς τὸ ὄρος ἀνῆλθε, πολὺν ἰδὼν ὄχλον περιρρέοντα αὐτὸν, μετὰ τὰς ἄλλας παραινέσεις, ἔλεγεν· Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου· καί, πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; καὶ τότε ὁμολογήσω αὐτοῖς, ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· οὐκ οἶδα ὑμᾶς. καὶ τοὺς ἀκούοντας μὲν, οὐ ποιοῦντας δὲ τοὺς λόγους αὐτοῦ ὅμοιον ἔφησεν ἀνδρὶ μωρῷ εἶναι τὴν οἰκίαν ἐπὶ τὴν ψάμμον οἰκοδομοῦντι, καὶ ποταμοῖς καὶ ὑετοῖς καὶ ἀνέμοις εὐχείρωτον αὐτὴν κατασκευάζοντι. καὶ ἐν ἄλλῳ δὲ τόπῳ δημηγορῶν, καθάπερ οἱ ἁλιεῖς, φησίν, ὅταν τὴν σαγήνην ἑλκύσωσι, τοὺς φαύλους ἀποκρίνουσι τῶν ἰχθύων, οὕτω κατ' ἐκείνην ἔσται τὴν ἡμέραν, τῶν ἀγγέλων εἰς τὴν κάμινον ἐμβαλλόντων τοὺς ἡμαρτηκότας ἅπαντας. καὶ περὶ τῶν ἀσελγῶν δὲ καὶ ἀκαθάρτων ἀνθρώπων διαλεγόμενος ἔλεγεν, ὅτι ἀπελεύσονται ὅπου ὁ σκώληξ ὁ ἀτελεύτητος, καὶ τὸ πῦρ τὸ ἄσβεστον· καὶ πάλιν, Βασιλεύς, φησίν, ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ· καὶ ἰδὼν ἄνθρωπον ἐνδεδυμένον ἱμάτια ῥυπαρὰ, πρὸς αὐτὸν εἶπεν· ἑταῖρε, πῶς εἰσῆλθες ὧδε, μὴ ἔχων ἔνδυμα γάμου; ὁ δὲ ἐφιμώθη. τότε λέγει τοῖς διακόνοις αὐτοῦ, δήσαντες αὐτοῦ χεῖρας καὶ πόδας, βάλετε αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον, τοῖς ἀκολάστοις καὶ ἀσελγέσι ταῦτα ἀπειλῶν. καὶ παρθένοι δὲ αἱ τοῦ νυμφῶνος ἀποκλεισθεῖσαι δι' ὠμότητα καὶ ἀπανθρωπίαν τοῦτο ἔπαθον· καὶ ἕτεροι δὲ πάλιν διὰ τὴν αὐτὴν αἰτίαν πορεύονται εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· καὶ οἱ ἁπλῶς καὶ εἰκῇ φθεγγόμενοι καταδικάζονται. Ἐκ γὰρ τῶν λόγων σου, φησί, δικαιωθήσῃ, καὶ ἐκ τῶν ἔργων σου καταδικασθήσῃ. ἆρά σοι δοκοῦμεν μάτην ὑπὲρ βίου πεφοβῆσθαι, καὶ πολλὴν τοῦ ἠθικωτέρου μέρους τῆς φιλοσοφίας ποιεῖσθαι σπουδήν; οὐκ ἔγωγε οἶμαι, πλὴν εἰ καὶ τὸν Χριστὸν ταῦτα πάντα εἰκῇ εἰρηκέναι φαίης, καὶ τὰ τούτων πλείονα. οὐδὲ γὰρ ἅπαντα εἴρηται. εἰ δὲ μὴ ὤκνουν μακρὸν ποιῆσαι τὸν λόγον, καὶ ἀπὸ τῶν προφητῶν, καὶ ἀπὸ τοῦ μακαρίου Παύλου, καὶ ἐκ τῶν ἄλλων ἀποστόλων ἐδίδαξα ἄν, ὅσην ὑπὲρ τούτου τοῦ μέρους πεποίηται σπουδὴν ὁ Θεός· πλὴν ἀλλὰ καὶ ταῦτα ἀποχρῆν οἶμαι· μᾶλλον δὲ οὐδὲ ταῦτα μόνον, ἀλλὰ καὶ μικρὸν τῶν εἰρημένων μέρος. ὅταν γὰρ ὁ Θεὸς ἀποφαίνηται, κἂν ἅπαξ εἴπῃ, ὡς πολλάκις εἰρημένον, οὕτω δέχεσθαι χρὴ τὸ λεχθέν. τί οὖν, οἱ οἴκοι μένοντες, φησίν, οὐ δυνήσονται ταῦτα κατορθοῦν, ἃ μὴ κατορθούμενα τοσαύτην φέρει τὴν κόλασιν; ἐβουλόμην καὶ αὐτὸς οὐχ ἧττον ὑμῶν, ἀλλὰ καὶ πολὺ πλέον, καὶ πολλάκις ηὐξάμην τῶν μοναστηρίων ἀναιρεθῆναι τὴν χρείαν, καὶ τοσαύτην ἐν ταῖς πόλεσι γενέσθαι τὴν εὐνομίαν, ὡς μηδένα δεηθῆναί ποτε τῆς εἰς τὴν ἔρημον καταφυγῆς.

α. Θεσ. β. ιϛ.

Ματθ. ζ. κα.

Ματθ. ιγ. μζ.

Μαρκ. θ. μδ.

Ματθ. κβ. β.

Ματθ. ιβ. λζ.

τῆς φυγῆς. ἐπεὶ δὲ τὰ ἄνω κάτω γέγονε, καὶ αἱ μὲν πόλεις, ἔνθα δικαστήρια καὶ νόμοι, πολλῆς γέμουσι παρανομίας καὶ ἀδικίας, ἡ δὲ ἐρημία πολλῷ βρύει τῷ τῆς φιλοσοφίας καρπῷ, οὐχ οἱ τῆς ζάλης ταύτης καὶ τῆς ταραχῆς τοὺς σωθῆναι βουλομένους ἐξάγοντες, καὶ πρὸς τὸν τῆς ἡσυχίας ὁδηγοῦντες λιμένα, δικαίως ἂν ἐγκαλοῖντο παρ' ὑμῶν· ἀλλ' οἱ πόλιν ἑκάστην οὕτως ἄβατον ἐργαζόμενοι καὶ πρὸς φιλοσοφίαν ἀνεπιτήδειον, ὡς ἀναγκάζεσθαι τοὺς σωθῆναι βουλομένους τὰς ἐρημίας μεταδιώκειν. Εἰπὲ γάρ μοι, εἴ τις μεσονύκτιον λαμπάδα λαβὼν, οἰκίαν ἐνέπρησε μεγάλην καὶ πολυάνθρωπον, τοῖς ἔνδον καθεύδουσιν ἐπιβουλεύων, τίνα ἂν ἔφαμεν εἶναι κακόν, τὸν διεγείροντα τοὺς καθεύδοντας καὶ τῆς οἰκίας ἐξάγοντα ἐκείνης, ἢ τὸν ἀνάψαντα τὸ πῦρ ἐξ ἀρχῆς, καὶ τοσαύτην ἀνάγκην αὐτοῖς τε ἐκείνοις καὶ τῷ τούτους ἐξαγαγόντι περιστήσαντα; τί δὲ εἴ τις τυραννουμένην πόλιν ἰδὼν καὶ νοσοῦσαν καὶ στασιάζουσαν, ἔπεισεν οὓς ἠδύνατο τῶν τὴν πόλιν ταύτην οἰκούντων ἀναδραμεῖν πρὸς τὰς τῶν ὀρῶν κορυφὰς, καὶ πείσας ὁμοῦ καὶ συνέπραξε πρὸς ταύτην αὐτοῖς τὴν ἀναχώρησιν, τίνος ἂν κατηγόρησας, τοῦ μεταθέντος ἀπὸ ταύτης τῆς ταραχῆς πρὸς τὴν γαλήνην ἐκείνην τοὺς ἐν μέσῳ χειμαζομένους ἀνθρώπους, ἢ τοῦ ταῦτα ἐργασαμένου τὰ ναυάγια; μὴ γάρ τοι νομίσῃς ἄμεινον τυραννουμένης πόλεως τὰ τῶν ἀνθρώπων πράγματα διακεῖσθαι νῦν, ἀλλὰ καὶ πολλῷ χαλεπώτερον. οὐ γὰρ ἄνθρωπος, ἀλλά τις πονηρὸς δαίμων, καθάπερ τύραννος ἄγριος, τὴν οἰκουμένην ἅπασαν καταλαβὼν, μετὰ πάσης αὐτοῦ τῆς φάλαγγος εἰς τὰς τῶν ἀνθρώπων εἰσεκώμασε ψυχάς. εἶτα ἐκεῖθεν, ὥσπερ ἔκ τινος ἀκροπόλεως, τὰ μιαρὰ καὶ ἐναγῆ καθ' ἑκάστην ἡμέραν ἐπιτάγματα καταπέμπει πᾶσιν, οὐ γάμους διασπῶν, οὐδὲ χρήματα πόμπων καὶ φέρων μόνον, οὐδὲ σφαγὰς ἐργαζόμενος ἀδίκους, ἀλλὰ τὰ πολλῷ τούτων χαλεπώτερα, τὰς ἅπαξ ἁρμοσθείσας τῷ Θεῷ ψυχὰς τῆς μὲν πρὸς ἐκεῖνον ὁμιλίας ἀπάγων, ἐκδιδοὺς δὲ τοῖς ἀκαθάρτοις αὐτοῦ δορυφόροις, καὶ συγκατακλίνεσθαι καταναγκάζων αὐτοῖς, οἵπερ, ἐπειδὰν ἅπαξ αὐτὴν παραλάβωσιν, οὕτως αὐτῇ συγγίνονται αἰσχρῶς καὶ ὑβριστικῶς, ὡς εἰκὸς δαίμονας πονηροὺς σφοδρῶς καὶ μανικῶς τῆς τε ἀπωλείας καὶ τῆς ἀσχημοσύνης ἐρῶντας τῆς ἡμετέρας. ἀποδύσαντες γὰρ αὐτὴν πάντων τῶν τῆς ἀρετῆς ἱματίων, καὶ τὰ τῆς κακίας ῥάκια [πάθη] περιθέντες τὰ ῥυπῶντα καὶ διερρηγμένα καὶ δυσώδη, καὶ τῆς γυμνότητος αἰσχροτέραν αὐτὴν ἀποφαίνοντα, καὶ πάσης τῆς οἰκείας προσαναπλήσαντες ἀκαθαρσίας, οὐ παύονται ταῖς εἰς αὐτὴν ἐμπομπεύοντες ὕβρεσιν. οὐδὲ γὰρ ἴσασί τινα κόρον τῆς μιαρᾶς ταύτης καὶ παρανόμου μίξεως. ἀλλ' ὥσπερ οἱ μεθύοντες, ὅταν ἐμφορηθῶσι πολλοῦ τοῦ πόματος, τότε μᾶλλον ἐκκαίονται· οὕτω καὶ οὗτοι τότε μάλιστα μαίνονται, σφοδρότερόν τι αὐτῇ καὶ ἀγελαιότερον ἐναλλόμενοι, ὅταν μάλιστα αὐτῇ παραχρήσωνται, κατακεντοῦντες πάντοθεν καὶ δάκνοντες καὶ τὸν οἰκεῖον εἰς αὐτὴν ἐκχέοντες ἰὸν, καὶ οὐ πρότερον διαλιμπάνοντες, ἕως ἂν εἰς τὴν οἰκείαν μεταστήσωσιν ἕξιν, ἢ τοῦ σώματος ἴδωσιν ἀποδυθεῖσαν αὐτήν.

γ. παράγ.

γ. ἐμπαι- ζίζοντες

Ποίας οὖν τυραννίδος, ποίας αἰχμαλωσίας, ποίας ἀναστατώσεως, τίνος ἀνδραποδισμοῦ, ποίου πολέμου, τίνος ναυαγίου, ποίου λιμοῦ ταῦτα οὐ χαλεπώτερα; τίς οὕτως ὠμὸς καὶ ἀνήμερος, τίς οὕτως ἠλίθιος καὶ ἀπάνθρωπος καὶ ἀσυμπαθὴς καὶ ἀνάλγητος, ὡς τὴν τὰ τοιαῦτα ὑβριζομένην καὶ ἐπηρεαζομένην ψυχὴν μὴ θελῆσαι, τό γε εἰς αὐτὸν ἧκον, τῆς ἐναγοῦς ἐκείνης ἀπαλλάξαι μανίας καὶ ὕβρεως, ἀλλὰ τοιαῦτα πάσχουσαν περιορᾶν; εἰ δὲ τοῦτο ἀπηνοῦς καὶ λιθίνης ψυχῆς, ποῦ θήσομεν, εἰπέ μοι, τούτους, οἳ πρὸς τῷ περιορᾶν καὶ ἕτερον πολλῷ μεῖζον τούτου ἐργάζονται κακὸν, τοὺς προθυμουμένους εἰς μέσους πηδῆσαι τοὺς κινδύνους, καὶ μὴ παραιτουμένους εἰς αὐτὸν τοῦ θηρίου τὸν λαιμὸν καθεῖναι τὰς χεῖρας, ἀλλὰ καὶ δυσωδίας καὶ κινδύνων ἀνεχομένους, ἵνα τὰς ἤδη καταποθείσας ψυχὰς ἐξ αὐτῆς τοῦ δαίμονος τῆς φάρυγγος ἀνασπάσωσιν, οὐ μόνον οὐκ ἐπαινοῦντες, οὐδὲ ἀποδεχόμενοι, ἀλλὰ καὶ ἐλαύνον-

γ. ἄθλιος

τες πάντοθεν καὶ πολεμοῦντες; τί οὖν, φησί; πάντες οἱ τὰς πόλεις οἰκοῦντες ἀπολώλασι, καὶ χειμάζονται, καὶ διὰ τοῦτο τὰς πόλεις ἀφέντας καὶ ἐρημώσαντας πρὸς τὴν ἔρημον μεταστῆναι, καὶ τῶν ὀρῶν τὰς κορυφὰς οἰκίζειν, καὶ σὺ ταῦτα κελεύεις καὶ νομοθετεῖς; ἄπαγε· τοὐναντίον γάρ, καθάπερ καὶ ἔφθην εἰπών, καὶ ἐβουλόμην καὶ εὔχομαι, τοσαύτης ἡμᾶς ἀπολαύειν εἰρήνης, καὶ τὴν τυραννίδα τῶν κακῶν τούτων εἰς τοσοῦτον καταλυθῆναι, ὡς μὴ μόνον τοῖς ἐν ταῖς πόλεσιν ἀνάγκην μὴ γίνεσθαι τὰ ὄρη καταλαβεῖν, ἀλλὰ καὶ τοὺς τὰς ἐρημίας οἰκοῦντας, καθάπερ τινὰς φυγάδας, διὰ μακροῦ τοῦ χρόνου πρὸς τὴν αὐτῶν πόλιν καταγαγεῖν. ἀλλὰ τί πάθω; δέδοικα μὴ τῇ πατρίδι σπουδάζων αὐτοὺς ἀποδοῦναι, ἀντὶ ταύτης ταῖς τῶν πονηρῶν δαιμόνων χερσὶ παραδῶ, καὶ βουλόμενος ἀπαλλάξαι ἐρημίας καὶ φυγῆς, φιλοσοφίας καὶ ἡσυχίας παρασκευάσω πάσης ἐκπεσεῖν. εἰ δέ με, τὸ πλῆθος τῶν ἐν τῇ πόλει προφέρων, ταύτῃ δυσωπήσειν οἴει καὶ δεδίξεσθαι, ὡς οὐκ ἀνεξόμενον καταδικάσαι τὴν οἰκουμένην ἅπασαν, τοῦ Χριστοῦ τὴν ἀπόφασιν λαβών, μετ' αὐτῆς στήσομαι πρὸς ταύτην σου τὴν ἀντίθεσιν. οὐδὲ γὰρ ἂν ἔξῃ πρᾶγμα τοσαύτης γέμον ὑπομεῖναι τόλμης, ὡς πρὸς τὴν ψῆφον ἀντιβλέψαι τοῦ τότε μέλλοντος κρίνειν ἡμᾶς. τί οὖν οὗτος φησίν; Ὅτι στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν. εἰ δὲ οἱ εὑρίσκοντες ὀλίγοι, πολλῷ μᾶλλον οἱ πρὸς τὸ τέλος αὐτῆς φθάσαι δυνάμενοι. οὐ γὰρ δὴ πάντες, ὅσοι τῆς ἀρχῆς ἐπέβησαν, καὶ πρὸς τὸ πέρας αὐτῆς ἴσχυσαν στῆναι· ἀλλ' οἱ μὲν ἐν τοῖς προοιμίοις, οἱ δὲ ἐν τῷ μέσῳ, πολλοὶ δὲ καὶ πρὸς αὐτῷ τῷ λιμένι κατεποντίσθησαν. καὶ πάλιν πολλοὺς εἶναί φησι τοὺς κλητούς, ὀλίγους δὲ τοὺς ἐκλεκτούς. ὅταν οὖν ὁ Χριστὸς τὸ μὲν πλέον εἶναι τῆς ἀπωλείας, ἐν δὲ τοῖς ὀλίγοις περιωρίσθαι τὴν σωτηρίαν ἀποφαίνηται, τί πρὸς ἐμὲ μάχῃ; ταὐτὸν γὰρ ποιεῖς, ὥσπερ ἂν εἰ καὶ περὶ τῶν κατὰ τὸν Νῶε συμβεβηκότων λόγων γινομένων ἡμῖν ἐθαύμαζες, εἰ πάντες μὲν ἀπολώλασι, δύο δὲ καὶ τρεῖς ἄνθρωποι μόνοι τὴν τοσαύτην διέφυγον κόλασιν, ταύτῃ προσεδόκων ἐμφράξαι ἡμῶν τὸ στόμα, ὡς οὐ τολμώντων καταδικάσαι τὸ πλῆθος. ἀλλ' οὐ πεισόμεθα τοῦτο, οὐδὲ τῆς ἀληθείας τοὺς πολλοὺς προτιμήσομεν. οὐδὲ γὰρ τῶν τότε συμβεβηκότων ἐλάττω τὰ νῦν, ἀλλὰ καὶ πολλῷ μιαρώτερα, ὅσῳ καὶ γέεννα τούτοις ἠπείληται, καὶ τὰ τῆς κακίας οὐδὲ οὕτως ἐκκόπτεται. τίς γάρ, εἰπέ μοι, μωρὸν οὐ καλεῖ τὸν ἀδελφόν; τοῦτο δὲ ὑπεύθυνον ποιεῖ τῷ τῆς γεέννης πυρί. τίς οὐκ εἶδεν ἀκολάστοις ὀφθαλμοῖς εἰς γυναῖκα; καὶ τοῦτο δὲ μοιχεία ἀπηρτισμένη· τὸν δὲ μοιχὸν πάλιν εἰς τὴν αὐτὴν ἀνάγκη ἐμπίπτειν γέενναν. τίς οὐκ ὤμοσε; τοῦτο δὲ ἐκ τοῦ πονηροῦ πάντως· τὸ δὲ ἐκ τοῦ πονηροῦ, καὶ αὐτῆς κολάσεως πάντως. τίς οὐκ ἐβάσκηνε φίλῳ ποτέ; τοῦτο δὲ καὶ ἐθνικῶν καὶ τελωνῶν χείρους ποιεῖ. τοὺς δὲ ἐκείνων χείρους ὅτι οὐκ ἔνι κόλασιν διαφυγεῖν, παντί που δῆλόν ἐστι. τίς ἐκ καρδίας ἅπασαν μῆνιν ἐξήλασε, καὶ τὰ πάντων εἰς αὐτὸν πεπλημμεληκότων εἴασεν ἁμαρτήματα; τὸν δὲ οὐκ ἀφέντα ὅτι τοῖς βασανισταῖς ἀνάγκη παραδοθῆναι, τῶν ἀκηκοότων τοῦ Χριστοῦ οὐδεὶς ἀγνοεῖ. τίς δὲ οὐκ ἐδούλευσε τῷ μαμωνᾷ; τὸν δὲ ἐκείνῳ δουλεύσαντα ἀνάγκη παραιτήσασθαι τοῦ Χριστοῦ τὴν δουλείαν· ἐκείνην δὲ ἀρνησάμενον καὶ τὴν οἰκείαν ἀνάγκη σωτηρίαν ἀρνήσασθαι. τίς οὐ κακηγόρησε λάθρα; τούτους δὲ καὶ ἡ παλαιὰ ἀποκτίννυσθαι κελεύει καὶ κατασφάττεσθαι. ἀλλὰ τίς ἡ παραμυθία τῶν οἰκείων κακῶν, τὸ πάντας, ὥσπερ ἔκ τινος συνθήματος, πρὸς τὸ τῆς κακίας ὀλισθῆσαι βάραθρον; ὃ καὶ αὐτὸ τῆς κατεχούσης νόσου τεκμήριόν ἐστι μέγιστον, ὅταν τοῦτο παραμυθίαν φέρῃ τῶν κακῶν ὑμῖν, ὃ μείζονος ὀδύνης ὑπόθεσιν εἶναι ἐχρῆν. οὐ γὰρ δὴ τὸ πολλοὺς ἔχειν κοινωνοὺς τῶν ἁμαρτημάτων, ἀπαλλάττει τῶν ἐγκλημάτων ὑμᾶς καὶ τῶν τιμωριῶν. εἰ δέ τις ἐπὶ τοῖς εἰρημένοις ἀπέγνω, μικρὸν ἀναμενάτω, καὶ τότε ἀπογνώσεται πλέον, ὅταν τὰ πολλῷ τούτων εἴπωμεν χαλεπώτερα, οἷον τὰς ἐπιορκίας. εἰ γὰρ τὸ ὀμόσαι διαβολικόν, τὸ καὶ τοὺς

Ματθ. ζ. ιδ.

Ματθ. κ. ιϛ.

ὅρκους πατῆσαι, ποίαν οἴσει τιμωρίαν ὑμῖν; εἰ δὲ μωρὸν καλέσαι, γέενναν ἐφέλκεται, τὸ καὶ μυρίοις ὀνείδεσιν αἰσχῦναι τὸν ἀδελφὸν τὸν οὐδὲν ἠδικηκότα πολλάκις, τί οὐκ ἂν ἐργάσηται; εἰ τὸ μνησικακεῖν μόνον τιμωρίας ἄξιον, τὸ καὶ ἐπεξιέναι πόσην ἕξει τὴν βάσανον; ἀλλὰ μήπω περὶ τούτων· ἀλλ᾽ ἐν τῷ οἰκείῳ ταῦτα φυλαττέσθω τόπῳ. ἵνα γὰρ τὰ ἄλλα παρῶ, αὐτὸ δὴ τοῦτο τὸ καταναγκάσαι ἡμᾶς εἰς τοῦτον καθεῖναι τὸν λόγον, οὐχ ἱκανὸν καὶ μόνον τῆς κατεχούσης νόσου τὴν κακίαν ἐνδείξασθαι; εἰ γὰρ τὸ τῶν οἰκείων ἁμαρτημάτων μὴ ἐπαισθάνεσθαι, ἀλλ᾽ ἀναλγήτως πλημμελεῖν, ἔσχατος ὅρος κακίας ἐστί, ποῦ τάξομεν τοὺς νέους τούτους νομοθέτας τῆς καινῆς ταύτης καὶ ἀτοπωτάτης νομοθεσίας, οἳ μετὰ πλείονος τῆς παρρησίας τοὺς τῆς ἀρετῆς ἀπελαύνουσι διδασκάλους, ἢ τοὺς τῆς κακίας ἑτέρους, καὶ τῶν πλημμελησάντων πλέον τοῖς ἐπανορθοῦν βουλομένοις ἐκπεπολέμωνται; μᾶλλον δὲ πρὸς ἐκείνους μὲν οὔτε αἰδῶς ἔχουσιν, οὔτ᾽ ἐγκαλοῦσί ποτε· τούτων δὲ κἂν ἀπογεύσαιντο ἡδέως, μονονουχὶ βοῶντες, καὶ δι᾽ ὧν λέγουσι, καὶ δι᾽ ὧν ποιοῦσιν, ὅτι δεῖ τῆς κακίας ἀπρὶξ ἔχεσθαι, καὶ μηδέποτε ἐπανελθεῖν πρὸς ἀρετὴν, ὡς οὐ μόνον τοὺς μετιόντας αὐτὴν, ἀλλὰ καὶ τοὺς φωνὴν ὑπὲρ ταύτης ῥῆξαι τολμῶντας ἀμύνεσθαι δέον.

ΠΡΟΣ ΑΠΙΣΤΟΝ ΠΑΤΕΡΑ.

Ἱκανὰ μὲν οὖν καὶ ταῦτα ἔκστασιν ἐργάσασθαι καὶ φρίκην· κἂν τὸ προφητικὸν τις ἐκεῖνο ἐπὶ τούτοις φθέγξηται νῦν, Ὅτι ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἡ γῆ ἐπὶ πλεῖον σφόδρα· καὶ ὅτι ἔκστασις καὶ φρικτὰ ἐγενήθη ἐπὶ τῆς γῆς, εὐκαίρως πάντα τὰ τοιαῦτα ἐρεῖ. τὸ δὲ τούτων χαλεπώτερον, ὅτι οὐ μόνον ἀλλότριοί τινες, καὶ οὐδὲν τοῖς συμβουλευομένοις προσήκοντες τοιαῦτα ἀγανακτοῦσι καὶ δυσχεραίνουσιν, ἀλλὰ συγγενεῖς καὶ πατέρες ἔμαθον ὑπὲρ τούτων ὀργίζεσθαι. καίτοιγε οὐκ ἀγνοῶ ὅτι πολλοὶ πρὸς μὲν τοὺς πατέρας τοῦτο ποιοῦντας οὐ σφόδρα ἐκπλήττονται, ἀποπνίγεσθαι δέ φασι τῷ θυμῷ, ὅταν ἴδωσι τοὺς μήτε πατέρας, μήτε φίλους, μήτε συγγενεῖς, μήτε ἄλλοθέν ποθεν ἐπιτηδείους, πολλάκις δὲ καὶ ἀγνῶτας ὄντας τοῖς φιλοσοφεῖν αἱρουμένοις, τὸ αὐτὸ τοῦτο πάσχοντας, καὶ μᾶλλον τῶν πατέρων δακνομένους καὶ πολεμοῦντας, καὶ κατηγοροῦντας τῶν ἀναπεισάντων αὐτούς. ἐμοὶ δὲ τοὐναντίον εἶναι δοκεῖ θαυμαστόν. τοὺς μὲν γὰρ μήτε κηδεμονίας, μήτε φιλίας ἔχοντάς τι δικαίωμα, οὐδὲν ἀπεικός ἐστιν ἐπὶ τοῖς ἀλλοτρίοις ἀλγεῖν ἀγαθοῖς, πῆ μὲν ὑπὸ βασκανίας ἁλισκομένους, πῆ δὲ τῆς οἰκείας κακίας, τὴν τῶν ἄλλων ἀπόλαυσιν, ἀτυχίαν εἶναι νομίζοντας, ἀθλίως μὲν καὶ ταλαιπώρως, νομίζοντας δ᾽ οὖν ὅμως. τὸ δὲ τοὺς γεννησαμένους, τοὺς ἀναθρεψαμένους, τοὺς καθ᾽ ἑκάστην εὐχομένους ἡμέραν εὐδοκιμωτέρους σφῶν αὐτῶν τοὺς παῖδας ἰδεῖν, τοὺς πάντα διὰ τοῦτο καὶ ποιοῦντας καὶ πάσχοντας, τούτους δὲ ὥσπερ ἔκ τινος μέθης ἐξαίφνης μεταβαλλομένους ἀλγεῖν ἐπὶ φιλοσοφίᾳ τῶν παίδων ἀρχομένων αὐτοῖς, τοῦτο ἐστιν ὃ μάλιστα πάντων ἐγὼ θαυμάζω, καὶ τοῦ πάντα διεφθάρθαι τεκμήριον εἶναί φημι ἱκανόν. τοῦτο γὰρ οὐδὲ ἐπὶ τῶν ἔμπροσθεν χρόνων ἔχοι τις ἂν γεγενημένον εἰπεῖν, ὅτε καὶ τὰ τῆς πλάνης ἐκράτει λαμπρῶς· ἀλλ᾽ ἐγένετο μὲν ἅπαξ ἐν Ἑλληνίδι πόλει, τυραννουμένῃ δέ. οὐδὲ γὰρ δὴ τότε τῶν γονέων τις, καθάπερ νῦν, ἀλλ᾽ οἱ τὴν ἀκρόπολιν καταλαβόντες, μᾶλλον δὲ οὐδὲ οὗτοι πάντες, ἀλλὰ καὶ τούτων αὐτῶν ὁ μιαρώτατος, τὸν Σωκράτην καλέσας, ἐκέλευε τῶν ὑπὲρ φιλοσοφίας ἀποστῆναι λόγων. ἀλλ᾽ ἐκεῖνος μὲν καὶ τύραννος, καὶ ἄπιστος, καὶ ὠμὸς, καὶ ἐπ᾽ ἀνατροπῇ τῆς πολιτείας ἅπαντα πράττων, καὶ τοῖς ἀλλοτρίοις ἐντρυφῶν κακοῖς, καὶ εἰδὼς ὅτι πολιτείαν ἀρίστην οὐδὲν ἕτερον ἀνατρέψαι δύναται, ὡς δὲ τοιοῦτον ἐπίταγμα, ταῦτα ἐτόλμησεν. οὗτοι δὲ

Ιερ. β. ιβ.

πιστοὶ, καὶ ἐν εὐνομουμέναις δῆθεν πόλεσι ζῶντες, καὶ περὶ παίδων τῶν αὐτῶν βουλευόμενοι, ταῦτα φθέγγεσθαι τολμῶσιν, ἃ περὶ τῶν τυραννουμένων ὁ τύραννος, καὶ οὐκ αἰσχύνονται· ὥστε ὑπὲρ τούτων μᾶλλον δυσχεραινόντων, ἢ τῶν ἄλλων θαυμάζειν χρή. καὶ διὰ τοῦτο καὶ αὐτὸς ἐκείνων ἀφέμενος, τούτοις, οἷς μάλιστα μέλει τῶν παίδων, μᾶλλον δὲ οἷς μέλειν μὲν ἔδει, μέλει δὲ οὐδαμῶς, διαλέξομαι προσηνῶς καὶ μετ᾽ ἐπιεικείας πολλῆς· τοσοῦτον αὐτοὺς παραιτησάμενος, μὴ δυσχεραίνειν μηδὲ ἀγανακτεῖν, εἴ τις τὸ λυσιτελὲς τοῖς ἐκείνων παισὶ μᾶλλον αὐτῶν ἐκείνων εἰδέναι λέγει. οὐ γὰρ ἀρκεῖ τὸ σπεῖραι παῖδα, καὶ τὸ συμφέρον τὸν γεννηθέντα διδάξαι τὸν γεννησάμενον, ἀλλὰ πρὸς μὲν τὴν φιλοστοργίαν τοῦ τεχθέντος μεγάλα ἂν τοῦτο συμβάλλοιτο, πρὸς δὲ τὸ μαθεῖν αὐτοῦ τὸ λυσιτελὲς ἀκριβῶς οὔτε τὸ σπείρειν, οὔτε τὸ φιλεῖν ἀρκέσειεν ἄν. ἐπεὶ εἰ τοῦτο ἦν, οὐδένα ἂν ἀνθρώπων πατρὸς μᾶλλον τὸ χρήσιμον ἐχρῆν ὁρᾶν τῷ παιδὶ, ἐπειδὴ μήτε φιλεῖν μᾶλλον αὐτοῦ τῶν ἄλλων δύναιτό τις τοῦτον. νυνὶ δὲ καὶ αὐτοὶ οἱ πατέρες, δι᾽ ὧν ποιοῦσιν, ὁμολογοῦσι τοῦτο ἀγνοεῖν, ὅταν πρὸς διδασκάλους ἄγωσιν, ὅταν παιδαγωγοῖς ἐγχειρίζωσιν, ὅταν μυρίους παραλαμβάνωσι συμβούλους, περὶ τῆς τοῦ βίου προαιρέσεως, ἐφ᾽ ἣν τὸν παῖδα ἄγειν δεῖ, βουλευόμενοι. καὶ οὐ τοῦτό πω θαυμαστὸν, ἀλλ᾽ ὅτι πολλάκις, βουλῆς γινομένης, τὴν αὐτῶν ἀκυρώσαντες, τὴν ἑτέρων ἔστησαν, ὑπὲρ τῶν οἰκείων βουλευόμενοι παίδων. μὴ τοίνυν, μηδὲ πρὸς ἡμᾶς δυσχερῶς ἐχέτωσαν, εἰ λέγοιμεν τὸ συμφέρον αὐτοῖς εἰδέναι μᾶλλον· ἀλλ᾽ εἰ μὴ διὰ τῶν λόγων ἀποδείξαιμεν, τότε κατηγορείτωσαν, τότε διαβαλλέτωσαν, ὡς ἀλαζόνας ὄντας, καὶ λυμεῶνας, καὶ τῆς φύσεως ἁπάσης ἐχθρούς.

Πῶς οὖν τοῦτο ἔσται δῆλον; καὶ πόθεν εἰσόμεθα, τίς μὲν ὁ τὸ συμφέρον ὄντως ὁρῶν, τίς δὲ ὁ δοκῶν μὲν ὁρᾶν, ὁρῶν δὲ οὐδαμῶς; ἂν τοὺς παρ᾽ ἐμοῦ λόγους, καθάπερ τινὰς ἀνταγωνιστὰς, εἰς ἐξέτασιν καθιέναι καταναγκάσαντες καὶ συμπλακῆναι, περὶ τούτων ἀδεκάστοις κριταῖς ἐπιτρέψωμεν τὴν ἐξέτασιν. ὁ μὲν οὖν τοῦ ἀγῶνος νόμος πρὸς τὸν Χριστιανὸν ἀποδύεσθαι κελεύει, καὶ πρὸς ἐκεῖνον ἀγωνίζεσθαι μόνον, καὶ πλεῖον οὐδὲν ἀπαιτεῖ παρ᾽ ἡμῶν. Τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν, ὁ μακάριος Παῦλός φησιν; ἀλλ᾽ ἐπειδὴ συμβαίνει πολλοὺς καὶ ἀπίστους εἶναι τῶν πρὸς τὸν οὐρανὸν ἑλκομένων παίδων πατέρας, καίτοιγε τοῦ νόμου τῶν ἀγώνων ἀφιέντος ἡμᾶς τῆς πρὸς τούτους μάχης, ἑκόντες αὐτοὶ καὶ μετὰ προθυμίας καὶ πρὸς τούτους ἀποδυσόμεθα πρώτοις. καὶ εἴθε πρὸς τούτους μόνον ἦν ἡμῖν ὁ ἀγών· καίτοιγε δυσχερέστερός τέ ἐστι, καὶ πλείονας ἔχει λαβάς. Ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος· μωρία γὰρ αὐτῷ ἐστι. καὶ συμβαίνει ταυτὸν, οἷον ἂν εἴ τις βασιλείας ἐρᾶν πείθῃ τὸν οὐκ ἐθέλοντα πεισθῆναι πρότερον, ὅτι τὸ πρᾶγμα ὑφέστηκεν. ἀλλ᾽ ὅμως καὶ οὕτως εἰς στενὸν ἡμῖν κατακεκλεισμένων τῶν λόγων, πρὸς τούτους ἠθέλησα ἂν μόνους τὸν ἀγῶνά μοι γενέσθαι τοῦτον. ἐπεὶ μὲν γὰρ τοῦ πιστοῦ, πολλὰ μὲν ἡμῖν τὰ δικαιώματα· ἀλλ᾽ ὅμως τὴν ἐκ τῆς τῶν δικαίων περιουσίας ἡδονὴν συσκιάζει τῆς αἰσχύνης ἡ ὑπερβολή. αἰσχύνομαι γὰρ, ὅταν καὶ πρὸς ἐκεῖνον ὑπὲρ τούτων ἀποτείνεσθαι ἀναγκάζωμαι· καὶ δέδοικα μὴ τοῦτό μοι μόνον ὁ Ἕλλην ἔγκλημα δίκαιον ἔχοι προβάλλεσθαι· ἐπεὶ τοῖς γε ἄλλοις αὐτὸν, τῇ τοῦ Θεοῦ χάριτι, ῥᾳδίως αἱρήσομεν. κἂν εὐγνώμων εἶναι ἐθέλοι, ταχέως αὐτὸν οὐ πρὸς τὸν ἔρωτα τοῦ βίου τούτου μεταστήσομεν μόνον, ἀλλὰ καὶ πρὸς αὐτὴν τῶν δογμάτων τὴν ἐπιθυμίαν, ἀφ᾽ ἧς ὁ βίος ἔχει τὴν ὑπόθεσιν οὗτος. τοσοῦτον γὰρ ἀπέχω φοβηθῆναι τὸν πρὸς αὐτὸν ἀγῶνα, ὅτι καὶ χαλεπώτερον αὐτὸν πρότερον καταστήσας τῷ λόγῳ, οὕτως ἅψομαι τῶν παλαισμάτων. κείσθω γὰρ μὴ μόνον Ἕλληνα εἶναι τοῦτον τὸν πατέρα, ἀλλὰ καὶ πλούσιον ὑπὲρ πάντας ἀνθρώπους, καὶ ἀπόβλεπτον, καὶ ἐν δυναστείᾳ καθεστάναι μεγάλῃ· καὶ πολλοὺς μὲν ἀγροὺς ἐχέτω, πολλὰς δὲ οἰκίας, μυρία δὲ χρυσίου τάλαντα· ἔστω δὲ καὶ πατρίδος τῆς βασιλικωτάτης, καὶ γένους τοῦ περιφανεστάτου· καὶ μήτε ἐχέτω παῖδας ἑτέρους, μήτε ἕξειν ἐλπιζέτω τοῦ λοιποῦ, ἀλλ᾽ ἐν τούτῳ σαλευέτω

α. Κορ. ε. ιβ.

α. Κορ. β. ιδ.

μόνον. ἔστω δὲ καὶ αὐτὸς οὗτος ἐν ἐλπίσι χρησταῖς, καὶ ταχέως ἐπὶ τὴν αὐτὴν ἀρχὴν ἀναβήσεσθαι προσδοκάσθω, καὶ λαμπρότερον αὐτοῦ φανήσεσθαι, καὶ πᾶσιν αὐτὸν ἀποκρύψειν τοῖς βιωτικοῖς. εἶτα, ἐν μέσῳ τῶν ἐλπίδων τούτων προσερχέσθω τις, καὶ διαλεγέσθω περὶ ταύτης αὐτῷ τῆς φιλοσοφίας, καὶ πειθέτω πάντων ἐκείνων καταγελάσαντα περιβαλέσθαι ἱμάτιον ἁδρόν, καὶ τὴν πόλιν ἀφέντα πρὸς τὸ ὄρος φυγεῖν, καὶ φυτεύειν ἐκεῖ καὶ ἄρδειν καὶ ὑδροφορεῖν, καὶ τὰ ἄλλα δὴ πάντα τὰ τῶν μοναχῶν ποιεῖν, τὰ δοκοῦντα εἶναι καὶ εὐτελῆ καὶ ἐπονείδιστα. ἔστω δὲ καὶ ἀνυπόδετος καὶ χαμαὶ καθευδέτω· γινέσθω δὲ καὶ λεπτὸς καὶ ὠχρὸς ὁ καλὸς νεανίας οὗτος, ὁ ἐν τοσαύτῃ τρυφῇ καὶ τιμῇ διατελῶν, καὶ τοιαύτας ἔχων ἐλπίδας, καὶ τῶν οἰκετῶν τῶν ἑαυτοῦ εὐτελεστέραν περικείσθω στολήν. ἆρα ἱκανὰς ἐδώκαμεν τῷ κατηγόρῳ τὰς λαβάς, καὶ ἀρκούντως συνεπλασάμεθα τὸν ἀνταγωνιστήν; εἰ δὲ μὴ ἀρκούντως, καὶ ἑτέρας αὐτῷ παρέξομεν προφάσεις. μετὰ γὰρ τούτων, καὶ πάντα κινείτω τὰ μηχανήματα πρὸς τὸ μεταπεῖσαι τὸν υἱόν, καὶ πάντα εἰκῇ, καθάπερ ἐπὶ πέτρας ἑστῶτος αὐτοῦ τοῦ παιδός, καὶ τῶν ποταμῶν καὶ τοῦ ὑετοῦ καὶ τῶν πνευμάτων ἀνωτέρου γινομένου. θρηνείτω δὲ ὁ τοιοῦτος, καὶ προβαλέτω δάκρυα, ὥστε μᾶλλον ἐμπρῆσαι τὸν καθ' ἡμῶν θυμόν· καὶ πρὸς πάντας τοιαῦτα κατηγορείτω συνεχῶς ἐντυγχάνων, ἐφύτευσα, ἔθρεψα, ἐταλαιπωρήθην διὰ πάσης τῆς ἡλικίας πάντα ποιῶν καὶ πάσχων, ἅπερ ἐκ τῆς παιδοποιίας ταύτης συμβαίνειν εἰκός, χρηστὰς εἶχον ἐλπίδας, διελέχθην παιδαγωγοῖς, παρεκάλεσα διδασκάλους, ἀνάλωσα χρήματα, ἠγρύπνησα πολλάκις ὑπὲρ εὐκοσμίας φροντίζων, ὑπὲρ παιδεύσεως, ὅπως μηδενὸς οὕτω τῶν προγόνων λείποιτο τῶν αὐτοῦ, ὅπως ἁπάντων φανείη λαμπρότερος. συνδιοίσειν μοι τοῦτον τὸ γῆρας προσεδόκησα, προϊόντος τοῦ χρόνου περὶ γυναικὸς ἐβουλευόμην καὶ γάμου, περὶ ἀρχῆς καὶ δυναστείας· ἀλλ' ἐξαίφνης, ὥσπερ τις σκηπτὸς ἢ καταιγίς ποθεν ἐπιπεσοῦσα, μυριαγωγὸν ὁλκάδα καὶ πολλῶν γέμουσαν φορτίων καὶ μακρὸν διανύσασαν πέλαγος, καὶ ἐξ οὐρίας πλέουσαν, καὶ πρὸς αὐτῷ λοιπὸν οὖσαν τῷ λιμένι, μικρὸν παρὰ τοῦ στόματος αὐτοῦ κατέκλυσε· καὶ μὴ μόνον πενίας τῆς ἐσχάτης, ἀλλὰ καὶ θανάτου τοῦ ἐλεεινοῦ καὶ ἀπωλείας δέος, μὴ τῇ τοῦ τὰ τοιαῦτα πεπλουτηκότος κεφαλῇ περιστήσειεν ὁ χειμών· οὕτω δή μοι συμβέβηκε νῦν. οἱ γὰρ ἐπάρατοι καὶ λυμεῶνες καὶ πλάνοι (λεγέσθω γὰρ δὴ καὶ ταῦτα, οὐ διοισόμεθα) ἐκ τῶν τοσούτων ἐλπίδων ἀναρπάσαντές μοι τὸν γηροτρόφον, καθάπερ τινὲς λῄσταρχοι, πρὸς τὰς αὐτῶν καταλύσεις ἀπήγαγον, καὶ οὕτω ταῖς αὐτῶν κατεγοήτευσαν ἐπῳδαῖς, ὡς ἑλέσθαι καὶ πρὸς σίδηρον καὶ πρὸς πῦρ καὶ πρὸς θηρία καὶ πρὸς πάντα ὁτιοῦν στῆναι γενναίως, ἢ πρὸς τὴν προτέραν εὐπραγίαν ἐπανελθεῖν. καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ ταῦτα πείσαντες μᾶλλον ἡμῶν προσποιοῦνται τὸ συμφέρον ὁρᾶν. ἔρημοι μὲν οἰκίαι, ἔρημοι δὲ ἀγροί, κατηφείας δὲ καὶ αἰσχύνης μεστοὶ μὲν οἱ γεωργοί, μεστοὶ δὲ οἰκέται· καὶ φαιδροὶ μὲν ἐπὶ τοῖς κακοῖς τοῖς ἐμοῖς ἐχθροί, ἐγκαλύπτονται δὲ οἱ φίλοι. παρ' ἐμοὶ δὲ οὐδεμία γνώμη κρατεῖ, ἀλλ' ἢ ὥστε πῦρ ἐπαφεῖναι καὶ φλέξαι πάντα, καὶ οἰκίας, καὶ ἀγρούς, καὶ ἀγέλας βοῶν, καὶ ποίμνια προβάτων. ποῦ γὰρ ἔσται μοι χρήσιμα ταῦτα λοιπόν, ἐκείνου τοῦ χρησομένου τούτοις οὐκ ὄντος, ἀλλ' αἰχμαλώτου γενομένου, καὶ παρὰ βαρβάροις ἀνημέροις δουλεύοντος θανάτου παντὸς πικροτέραν δουλείαν; περιέβαλον μελαίνῃ στολῇ τοὺς οἰκέτας ἅπαντας, κατέπασα τέφρᾳ τὰς κεφαλάς, χοροὺς ἔστησα γυναικῶν, ἐκέλευσα χαλεπώτερον αὐτὰς κατακόπτεσθαι, ἢ εἰ νεκρὸν ἑώρων. σύγγνωτε δέ μοι τοῦτο ποιοῦντι. μεῖζον ″ τοῦτο ἐκείνου τοῦ πένθους ἐμοί. παρενοχλεῖσθαι δοκῶ λοιπὸν ὑπὸ τοῦ φωτός, καὶ πρὸς αὐτὰς ἀηδῶς ἔχω τὰς ἀκτῖνας, ὅταν εἰς νοῦν λάβω τὸ σχῆμα τοῦ ταλαιπώρου παιδὸς ἐκείνου. ὅταν τῶν εὐτελεστέρων ἀγροίκων ἐκείνων ἀτιμότερον αὐτὸν ἠμφιεσμένον ἴδω, καὶ τὰ ἔργα ἀτιμότερα τούτων ″ προσπεμπόμενον, ὅταν ἐννοήσω αὐτοῦ τὸ ἀκαμπές, κατακαίομαι, διασπῶμαι, διαρρήγνυμαι. ταῦτα λέγων, καὶ προσκυλινδείσθω τῶν ποδῶν τῶν ἀκουόντων, καὶ καταπασάσθω τέφραν ″ ἐ-

χ. τότε ἐκ
το τὸ πέ
ἐμοί.

χ. πεμπό

χ. τ

πι

πὶ τῆς κεφαλῆς, καὶ αἰσχυνέτω τῇ κόνει τὸ πρόσωπον, καὶ παρακαλείτω πάντας ὀρέξαι χεῖρα, καταπιλλέτω τὴν πολιάν. τάχα ἡμῖν καλῶς ὁ κατήγορος ἀπηκρίβωται, πρὸς δὲ τοὺς ἀκούοντας ἐμπρῆσαι ἅπαντας, καὶ πεῖσαι κατὰ κρημνῶν τοὺς τὰ τοιαῦτα ἐργασαμένους ἐμβαλεῖν. διὰ γὰρ τοῦτο πρὸς ἄκρον ἁπασῶν τῶν αἰτιῶν τὸν λόγον ἤγαγον, ἵνα τούτου τοῦ οὕτω κατασκευασθέντος ἡττηθέντος ὑφ' ἡμῶν τῇ τοῦ Θεοῦ χάριτι, μηδεὶς τοῖς λοιποῖς γένοιτο λόγος. τοῦ γὰρ πάντα ὁμοῦ ἔχοντος ταῦτα ἐπιστομισθέντος, ὁ μὴ πάντα ἔχων ὁμοῦ (οὐδὲ γὰρ πάντα οἷόν τε συνελθεῖν) εὐκόλως ἡμῖν παραχωρήσει τῆς νίκης λοιπόν. ἐκεῖνος μὲν οὖν ταῦτα λεγέτω, καὶ τούτων πλείονα. ἐγὼ δὲ παραιτήσομαι τοὺς δικάζοντας μὴ νῦν ἐλεεῖν τὸν γέροντα τοῦτον, ἀλλ' ὅταν αὐτὸν δείξωμεν πενθοῦντα τὸν υἱόν, δεινὸν μὲν οὐδὲν πεπονθότα, τῶν δὲ μεγάλων ἀγαθῶν ἀπολαύσαντα, καὶ ὧν ἐπέκεινα ἕτερα οὐκ ἔστιν εὑρεῖν. τότε γὰρ ὄντως ἄξιος ἐλέου καὶ δακρύων ἂν εἴη, μηδὲ συνιδεῖν τὴν εὐπραγίαν δυνάμενος τοῦ παιδός, ἀλλὰ τοσοῦτον ἀπέχων αὐτός, ὡς καὶ ἐπὶ μεγίστοις θρηνεῖν τοῖς κακοῖς.

Πόθεν οὖν ἀρξόμεθα τοῦ λόγου τοῦ πρὸς αὐτόν; ἀπὸ τοῦ πλούτου καὶ τῶν χρημάτων, ἐπειδὴ καὶ αὐτὸς τοῦτο μάλιστα πάντων ὀδύρεται, καὶ πᾶσι τοῦτο αὐτὸ εἶναι) δοκεῖ τὸ δεινότατον, εἰ πλουτοῦντες παῖδες ἐπὶ τοῦτον ἕλκοιντο τὸν βίον; εἰπὲ οὖν μοι, τίνα μακαρίζομεν ἅπαντες καὶ ζηλωτὸν εἶναί φαμεν; τὸν ἐν δίψει καθεστῶτα ἀεί, καὶ πρὶν ἢ τῆς προτέρας ἐμφορηθῆναι κύλικος, δεόμενον πάλιν ἑτέρας, καὶ ἐν τούτῳ ὄντα διαπαντός, ἢ τὸν ἀνωτέρω καθεστῶτα τῆς ἀνάγκης ἐκείνης, καὶ ἄδιψον ἀεὶ μένοντα καὶ οὐδέποτε εἰς τὴν τοῦ πόματος τούτου καθελκόμενον χρείαν; οὐχ ὁ μὲν πυρέττοντι προσέοικε καὶ χαλεπωτάτην ἀνάγκην ἔχοντι, κἂν ἐκ πηγῶν ἀρύεσθαι ἔχῃ τὰ νάματα· ὁ δὲ ἐλεύθερός τέ ἐστι τὴν ὄντως ἐλευθερίαν, καὶ ὑγιαίνει τὴν ὄντως ὑγίειαν, καὶ μείζων ἢ κατὰ ἀνθρωπίνην γέγονε φύσιν; τί δαί; εἴ τις γυναικὸς ἐρῶν, συγγίνοιτο μὲν αὐτῇ διηνεκῶς, μειζόνως δὲ μετὰ τὴν συνουσίαν φλέγοιτο ταύτην, ἕτερος δὲ ταύτης ἐκτὸς τῆς μανίας ἑστήκοι, καὶ μηδὲ ὄναρ ἁλίσκοιτο τῷ κακῷ, τίς πάλιν ἡμῖν ὁ ζηλωτὸς καὶ μακάριος; οὐκ ἐκεῖνος; τίς δὲ ἄθλιος καὶ ταλαίπωρος; οὐχ ὁ νοσῶν τὸν καινὸν ἐκεῖνον ἔρωτα, καὶ μηδαμοῦ σβεσθῆναι δυνάμενον, ἀλλὰ τοῖς ἐπινενοημένοις φαρμάκοις ἐπιτριβόμενος μᾶλλον; εἰ δὲ πρὸς τοῖς εἰρημένοις μακαρίζει μὲν ἑαυτὸν ἐπὶ τῇ νόσῳ, καὶ μήτε αὐτὸς ἐκείνης τῆς ἀνάγκης ἀπαλλάττεσθαι βούλοιτο, τούς τε ἀπηλλαγμένους τοῦ πάθους ἀποδύροιτο, ὥσπερ οὗτος νῦν, οὐχὶ ταύτῃ πάλιν ἐλεεινότερος ἔσται καὶ ἀθλιώτερος, μὴ μόνον νοσῶν, ἀλλὰ μηδὲ αὐτὸ τοῦτο εἰδὼς ὅτι νοσεῖ, καὶ διὰ τοῦτο μήτε ἀπαλλαγῆναι βουλόμενος, καὶ τοὺς ἀπηλλαγμένους θρηνῶν; ἀγάγωμεν δὴ τὸν λόγον τοῦτον καὶ ἐπὶ τὴν τῶν χρημάτων κτῆσιν, καὶ ὀψόμεθα τίς ὁ ἄθλιος καὶ ταλαίπωρος. ἐκείνων μὲν γὰρ τῶν ἐρώτων σφοδρότερος οὗτός ἐστι καὶ μανικώτερος. οὐκοῦν καὶ πλέον ὀδυνῆσαι δύναιτ' ἄν, οὐ τούτῳ μόνον, ὅτι τὴν λαμπάδα δριμυτέραν ἔχει, ἀλλ' ὅτι καὶ πρὸς τὴν ἐπινενοημένην παραμυθίαν ἀνένδοτός ἐστι, καὶ σκληρότερος πλέον ἐκείνων. μᾶλλον γὰρ οἱ ποτοῦ καὶ σωμάτων ἐρῶντες μετὰ τὴν ἀπόλαυσιν λήψονται κόρον, ἢ οἱ περὶ πλοῦτον μαινόμενοι. ὅθεν ἐκείνοις μὲν καὶ τῷ λόγῳ συμπλάσαι ἠναγκάσθημεν, διὰ τὸ μὴ ταχέως ἐπὶ τῆς πείρας ὁρᾶν αὐτὸ φαινόμενον· τούτου δὲ τοῦ νοσήματος ἀπὸ τῶν πραγμάτων πολλὰ ἔξομεν παρασχεῖν τὰ ὑποδείγματα. διὰ ταῦτα οὖν, εἰπέ μοι, θρηνεῖς τὸν υἱόν, ὅτι μανίας καὶ τοσαύτης ἀμηχανίας ἀπήλλακται; ὅτι ἔρωτα ἀνίατον οὐκ ἐρᾷ; ὅτι τοῦ πολέμου καὶ τῆς μάχης ταύτης ἕστηκεν ἐκτός; ἀλλ' οὐκ ἂν ἔπαθε τοῦτο, φησίν, οὐδ' ἂν ἡττήθη τοῦ πλείονος, ἀλλ' ἀπέχρησεν ἂν αὐτῷ τῶν παρόντων ἡ ἀπόλαυσις. μάλιστα μὲν πρᾶγμα λέγεις ἐναντίον, ὡς εἰπεῖν, τῇ φύσει· πλὴν ἀλλὰ καὶ τοῦτο ἔστω, καὶ συγκεχωρήσθω τῷ λόγῳ, μὴ ἂν αὐτὸν ἐθελῆσαι προσθεῖναι τοῖς οὖσι, μηδὲ ὑπὸ τῆς ἐπιθυμίας ἁλῶναι ἐκείνης. ἐγὼ γὰρ αὐτὸν καὶ οὕτως ἐπιδείξω ἐν μείζονι νῦν ὄντα ἀνέσει καὶ ἡδονῇ. τί γὰρ κουφότερον, ὑπὲρ τοσούτων φροντίζειν, καὶ τοιαύτῃ προσδεδιέναι φυλακῇ καὶ δουλείᾳ, καὶ δεδοικέναι μὴ διαπόληταί τι τῶν ὄντων, ἢ καὶ τούτων ἀπηλλάχθαι τῶν δεσμῶν; κείσθω γὰρ αὐτὸν μὴ ἐπιθυμεῖν φορτίων ἑτέρων· ἀλλὰ πολλῷ βέλτιον καὶ τῶν ἐπιτεθέντων ἤδη καταφρονεῖν. εἰ γὰρ τὸ μὴ δύνασθαι πλειόνων συνωμολόγηται μέγιστον εἶναι ἀγαθόν, τὸ καὶ τῆς τῶν ὄντων χρείας ἐξώτερον εἶναι μείζονος εὐπορίας ἂν εἴη. ὁ γὰρ ἄδιψος ἐκεῖνος καὶ ἀνέραστος (οὐδὲν γὰρ κωλύει πάλιν ἐπὶ τὰ αὐτὰ ἐλθεῖν ὑποδείγματα) οὐ τῶν ἀεὶ διψώντων μόνον, οὐδὲ τῶν ἐρώντων ἀεί, ἀλλὰ καὶ τῶν ἐν βραχεῖ τοῦτο παθόντων, καὶ πληρωσάντων τὴν ἐπιθυμίαν, πολλῷ μακαριώτερος ὢν ἀποδέδεικται) ὁ μηδὲ εἰς πεῖραν ἐμπεσὼν τῆς τοιαύτης ἀνάγκης. ἐρήσομαι δέ σε πάλιν, εἰ καὶ ὑπερβαλέσθαι τῷ πλούτῳ πάντας, καὶ τῶν ἀπὸ τοῦ πλούτου κακῶν ἀπαλλαγῆναι ἐνῆν, ἆρα οὐκ ἂν μυριάκις ταύτην εἵλου τὴν περιουσίαν, ὥστε μήτε βασκανίας, μήτε συκοφαντίας, μήτε φροντίδος, μήτ' ἄλλου μηδενὸς τῶν τοιούτων ἀνέχεσθαι; ἂν τοίνυν καὶ τοῦτο ἔχοντα δείξωμεν τὸν υἱόν, καὶ μειζόνως εὐπορώτερον ὄντα νῦν, παύσῃ θρηνῶν πάντως καὶ ὀλοφυρόμενος οὕτω πικρῶς. ὅτι μὲν οὖν φροντίδων ἀπήλλακται καὶ τῶν ἄλλων τῶν ἐπισυρομένων τῷ πλούτῳ κακῶν, οὐδὲ αὐτὸς ἀντερεῖς. διόπερ οὐδὲ ἡμῖν περὶ τούτων ἀνάγκη πρὸς σὲ διαλέγεσθαι. ζητεῖς δὲ μαθεῖν, πῶς εὐπορώτερος τοῦ τοσαῦτα ἔχοντός σου. τοῦτο δή σε διδάξομεν, καὶ δείξομεν, ὅτι ὅπερ ἡγῇ ἐκεῖνον νῦν εἶναι ἐν πενίᾳ τῇ ἐσχάτῃ, τοῦτο αὐτὸς πρὸς ἐκεῖνον ἐξεταζόμενος πέπονθας. καὶ μή τοι νομίσῃς τὰ ἐν τοῖς οὐρανοῖς ἡμᾶς ἐρεῖν ἀγαθά, καὶ τὰ μετὰ τὴν ἐνθένδε ἀποδημίαν. ἀπὸ γὰρ τῶν ἐν χερσὶ τέως ποιησόμεθα τὴν ἀπόδειξιν. σὺ μὲν οὖν τῶν σαυτοῦ κύριος εἶ μόνον, ἐκεῖνος δὲ τῶν κατὰ τὴν οἰκουμένην ἁπάσαν. εἰ δὲ ἀπιστεῖς, δεῦρό σε ἀγάγωμεν εἰς αὐτόν, καὶ πείσωμεν αὐτὸν κατελθόντα ἀπὸ τοῦ ὄρους, μᾶλλον δὲ ἐκεῖ μένοντα σημᾶναι τινὶ τῶν σφόδρα πλουτούντων καὶ εὐλαβῶν, πέμψαι χρυσοῦ σταθμὸν ὅσον ἐθέλεις. μᾶλλον δὲ τοῦτο μὲν οὐκ ἀνέξεται, δοῦναι δὲ τῷ δεῖνι δεομένῳ κελευέτω· καὶ προθυμότερον ὄψει τὸν πλουτοῦντα ὑπακούοντα καὶ ἐκκομίζοντα, ἢ τῶν οἰκονόμων τινὰ τῶν σῶν. οὗτος μὲν γάρ, ὅταν ἀναλίσκειν κελεύηται,* κατηφής τε ἐστὶ καὶ σκυθρωπός· ἐκεῖνος δέ, ὅταν μὴ ἀναλίσκῃ, τότε δέδοικε μή ποτε προσκεκρουκὼς ᾖ, ἅτε τοιοῦτον ἐπιταττόμενος οὐδέν. καὶ πολλοὺς ἐπιδεῖξαι ἔχω οὐ τῶν "εὐδοκίμων τούτων, ἀλλὰ καὶ τῶν εὐτελεστέρων τοσαύτην ἔχοντας δύναμιν. καὶ σὺ μέν, ἂν οἱ οἰκονόμοι ἀναλώσωσι τὰ πιστευθέντα, οὐκ ἔχεις ἀπαιτῆσαι ἕτερον· ἀλλ' εὐθέως σοι εἰς πενίαν ὁ πλοῦτος μεταπεσεῖται ὑπὸ τῆς κακουργίας ἐκείνων· παρὰ δὲ τῷ παιδὶ τῷ σῷ τοῦτο οὐκ ἔστι τὸ δέος. ἂν γὰρ οὗτος γένηται πένης, ἐπιτάξει πάλιν ἑτέρῳ· κἂν ἐκεῖνος πάθῃ τι τοιοῦτον, ἐφ' ἕτερον μεταβήσεται· καὶ τὰς τῶν ὑδάτων πηγὰς πρότερον ἐπιλιπεῖν εἰκός, ἢ τῶν ταῦτα ὑπακουσομένων τινά. καὶ εἰ μὲν τὰ ἡμέτερα ἐφρόνεις, διηγησάμην ἄν σοι πολλὰ καὶ μεγάλα τοιαῦτα διηγήματα. ἐπεὶ δὲ τὰ Ἑλλήνων πρεσβεύεις, οὐδὲ ἐκεῖθεν ἀπορήσω τοῦ παραδείγματος. ἄκουσον γὰρ τί πρὸς τὸν Σωκράτην ὁ Κρίτων φησί.

Πλατ. Κριτ.

“ Σοὶ δὲ ὑπάρχει μὲν τὰ ἐμὰ χρήματα, ὡς ἔγωγε οἶμαι, ἱκανά. ἔπειτα δέ, καὶ εἴ τι ἐμοῦ κηδόμενος οὐκ οἴει ἀναλίσκειν τὰ ἐμά, ξένοι οὗτοι ἐνθάδε ἕτοιμοι ἀναλίσκειν. "εἰσκεκόμικε δὲ ἐπ' "αὐτῷ τούτῳ ἀργύριον ἱκανὸν Σιμμίας ὁ Θηβαῖος, ἕτοιμος δὲ καὶ Κέβης καὶ ἄλλοι πολλοί· ὥστε, ὅπερ ἔλεγον, μὴ ταῦτα φοβούμενος ἀποκάμῃς σῶσαι σαυτόν, μήτε, ὃ ἔλεγες ἐν τῷ δικαστηρίῳ, δυσχερές σοι γενέσθω, ὅτι οὐκ ἂν ἔχοις ἐξελθὼν ὅ,τι χρῷο σαυτῷ. πολλαχοῦ μὲν γὰρ καὶ ἄλλοσε, ὅπου ἂν ἀφίκῃ, ἀγαπήσουσί σε· ἐὰν δὲ βούλῃ εἰς Θετταλίαν ἰέναι, εἰσὶν ἐμοὶ ἐκεῖ ξένοι, οἵ σε περὶ πολλοῦ ποιήσονται, καὶ ἀσφάλειάν σοι παρέξονται· ὥστε "σοι μηδὲν ἐλλείπειν τῶν κατὰ Θετταλίαν.

Τί ταύτης τῆς εὐπορίας ἥδιον; ἀλλὰ ταῦτα μὲν ὡς πρὸς ἄνδρα βιωτικόν. εἰ δὲ φιλοσοφώτερον αὐτοῦ τὸν πλοῦτον ἐξετάζειν ἐθέλοιμεν, σὺ μὲν ἴσως οὐ παρακολουθήσεις τῷ λόγῳ· "ἐμοὶ δὲ ἀναγκαῖον διὰ τοὺς δικάζοντας εἰπεῖν. τοσοῦτος γὰρ ὁ τῆς ἀρετῆς πλοῦτός ἐστιν, οὕ-

γρ. ὑφ'

* πη

γρ. εὐδοκιμούντων

γρ. ἔστι καὶ κεκόμικε

γρ. αὐτὸ τοῦτο

γρ. σε μηδὲ λυπεῖν

γρ. ὑμῶν

τως ἡδίων, οὕτω ποθεινότερος τοῦ παρ' ὑμῖν, ὡς μηδ' ἂν ποτε ἐθελῆσαι τοὺς ἔχοντας αὐτὸν, τὴν ἅπασαν γῆν, εἰ χρυσὸς γένοιτο μετὰ τῶν ὀρῶν καὶ τῆς θαλάσσης καὶ τῶν ποταμῶν, ἀντ' ἐκείνου λαβεῖν. καὶ εἴγε ἦν δυνατὸν τοῦτο γενέσθαι, ἔμαθες ἂν ἀπὸ τῆς πείρας αὐτῆς, ὡς οὐκ ἀλαζονείας τὰ ῥήματα, ἀλλὰ πολλῷ πλείω καὶ μείζω εὑρόντες καταφρονήσουσιν ἐκείνου, καὶ οὐκ ἄν ποτε αὐτοῦ ἀλλάξαιντο τούτου. καὶ τί λέγω, ἀλλάξαιντο; οὐδὲ μεθ' ἐκείνου μὲν οὖν λαβεῖν αὐτὸν ἕλοιντο ἄν. καίτοι ὑμῖν εἴ τις ἐδίδου τὸν τῆς ἀρετῆς πλοῦτον μετὰ τῶν χρημάτων, ὑπτίαις ἂν ἐδέξασθε χερσίν· οὕτως ὁμολογεῖτε μέγαν τινὰ ἐκεῖνον καὶ θαυμαστόν. οὗτοι δὲ οὐκ ἂν ἕλοιντο τὸν ἡμέτερον μετὰ τοῦ οἰκείου· οὕτως ἴσασιν ὅτι πρᾶγμά ἐστιν εὐκαταφρόνητον. καὶ τοῦτο πάλιν ἀπὸ τῶν ὑμετέρων παραδειγμάτων ποιήσω φανερόν. πόσα γὰρ οἴει χρήματα τὸν Ἀλέξανδρον τῷ Διογένει, εἴγε ἤθελε δέξασθαι, δοῦναι ἄν; ἀλλ' οὐκ ἠθέλησεν· ἐκεῖνος δὲ ἐφιλονείκει καὶ πάντα ἔπραττεν, ὥστε δυνηθῆναί ποτε ἐπὶ τὸν πλοῦτον ἐλθεῖν τὸν τούτου. βούλει δὲ καὶ ἑτέρωθέν σου τὴν πενίαν ἰδεῖν, καὶ τοῦ παιδὸς τὴν εὐπορίαν τοῦ σοῦ; οὐκοῦν ἄπελθε καὶ ἀφελοῦ αὐτοῦ τὸ ἱμάτιον, ὅπερ ἔχει μόνον, καὶ τῆς καλύβης ἐξάγαγε, καὶ κάθελε τὸ καταγώγιον· καὶ οὐδὲ οὕτως ὄψει δυσχεραίνοντα οὐδὲ ἀλγοῦντα· ἀλλά σοι καὶ χάριν εἴσεται τούτων, ὅσον πρὸς φιλοσοφίαν πλέον ὠθεῖς αὐτόν. σὺ δὲ ἄν τις δέκα δραχμὰς ἀφέληται μόνον, θρηνῳδεῖς καὶ ὀδυρόμενος οὐ διαλείψεις ποτέ. τίς οὖν εὔπορος, ὁ τοῖς μικροῖς δακνόμενος, ἢ ὁ πάντων τῶν ὄντων καταφρονῶν; καὶ μὴ τοῦτο ποιήσῃς μόνον, ἀλλὰ καὶ τῆς χώρας ἁπάσης ἀπέλασον, καὶ ὄψει γελῶντα ἐπὶ τούτοις, καθάπερ ἐπὶ παιδίου παίζοντος. σὲ δὲ ἂν τῆς πατρίδος ἀπελάσῃ τις μόνον, τὰ δεινότατα πείσῃ, καὶ οὐδὲ οἴσεις τὴν συμφοράν· ἐκεῖνος δὲ, ἅτε πάσης τῆς γῆς οὔσης αὐτοῦ καὶ τῆς θαλάσσης, οὕτως εὐκόλως καὶ ἀλύπως ἀπὸ τούτων ἐφ' ἕτερα μεταστήσεται, καθάπερ σὺ διὰ τῶν οἰκείων ὁδεύων ἀγρῶν, μᾶλλον δὲ καὶ εὐκολώτερον. σοὶ μὲν γὰρ, εἰ καὶ διὰ τῶν σῶν βαδίζειν ἔξεστιν, ἀλλ' ὅμως καὶ δι' ἀλλοτρίων ἀνάγκη· ἐκεῖνος δὲ διὰ πάσης τῆς αὐτοῦ πορεύσεται γῆς. καὶ ποτὸν μὲν αὐτῷ πανταχόθεν δαψιλῶς παρέχουσι λίμναι καὶ ποταμοὶ καὶ πηγαί· τροφὴ δὲ αὐτῷ λάχανα, καὶ βοτάναι, καὶ ἄρτοι δὲ πολλαχόθεν. οὔπω γάρ σοι λέγω, ὅτι καὶ τῆς γῆς ἁπάσης καταφρονεῖ, πόλιν ἔχων τὸν οὐρανόν. κἂν τελευτῆσαι δέῃ, τῆς τρυφῆς ὑμῶν ἥδιον οἴσει τὴν τελευτὴν, καὶ εὔξεται οὕτως ἀποθανεῖν μᾶλλον, ἢ ὑμεῖς ἐπὶ τῆς πατρίδος καὶ τῆς εὐνῆς. ὥστε καὶ πλάνον τὸν φυγάδα καὶ ἀλήτην τὴν πόλιν ἔχοντα καὶ οἰκίαν οἰκοῦντα, ἀλλ' οὐκ ἐκεῖνον εἴποι τις ἂν τὸν πάντων τούτων ἀπηλλαγμένον. οὔτε γὰρ τῆς πατρίδος αὐτὸν ἐξαγαγεῖν δυνήσῃ, ἕως ἂν μὴ ἐξαγάγῃς τῆς γῆς ἁπάσης (τέως γὰρ οὕτως εἰρήσθω· ἐπεὶ κατὰ τὸν ἀληθῆ λόγον τότε μάλιστα αὐτὸν εἰς τὴν πατρίδα ἀποπέμψεις, ὅταν ἀπὸ τῆς γῆς ἐξαγάγῃς. ἀλλ' οὔπω τοῦτο πρὸς σὲ, τὸν οὐδὲν πλέον τῶν ὁρωμένων εἰδότα) οὐδὲ γυμνὸν δεῖξαι δυνήσῃ, ἕως ἂν τὰ τῆς ἀρετῆς ἱμάτια περικείμενος ᾖ· οὔτε λιμῷ διαφθείρειν, ἕως ἂν εἰδῇ τὴν οὕτως τροφήν. ἀλλὰ πᾶσι τούτοις οἱ πλουτοῦντές εἰσιν ἁλώσιμοι. ὥστε καὶ κατὰ τοῦτο οὐκ ἄν τις ἁμάρτοι τούτους μὲν πένητας προσειπὼν, καὶ σφόδρα πένητας, εὐπόρους δὲ ἐκείνους ἀκριβῶς. ὁ γὰρ καὶ τροφῆς καὶ ποτοῦ καὶ οἰκίας καὶ ἀναπαύσεως πανταχοῦ δυνάμενος εὐπορεῖν, καὶ οὐ μόνον μὴ ἀλύων, ἀλλὰ καὶ ἥδιον ἐν τούτοις, ἢ ὑμεῖς ἐν τοῖς ὑμετέροις, διάγων, εὔδηλον ὅτι πάντων ὑμῶν τῶν πλουτούντων ἐστὶν εὐπορώτερος τῶν ἐπὶ τῆς οἰκίας μόνης τούτων δυναμένων εὐπορεῖν. ὅθεν οὐδὲ πενίαν οἶδεν ἐκεῖνος θρηνῆσαί ποτε. οὐδὲ γὰρ τῇ ἀφθονίᾳ μόνον οὗτος ὁ πλοῦτος βελτίων, οὐδὲ τῇ ἡδονῇ, ἀλλὰ καὶ τῷ ἀνάλωτος εἶναι, καὶ εἰς πτωχείαν μὴ μεταβάλλειν ποτὲ, μηδὲ ὑποκεῖσθαι τῷ τοῦ μέλλοντος ἀδήλῳ, μηδὲ φροντίδας ἔχειν, μηδὲ βασκανίᾳ χειροῦσθαι, ἀλλὰ θαῦμα καὶ ἔπαινον καὶ εὐφημίαν κεκτῆσθαι πᾶσαν. καίτοιγε ἐφ' ὑμῶν τοὐναντίον ἐστὶν ἰδεῖν. οὐ γὰρ μόνον ὑμᾶς οὐκ ἐπαινοῦσι διὰ τὸν πλοῦτον, ἀλλὰ καὶ μισοῦσι καὶ ἀποστρέφονται, καὶ βασκαίνουσι δὲ ὑμῖν, καὶ ἐπιβουλεύουσιν οἱ πολλοί. ἔστι δὲ, ἔστι πλουτεῖν πλοῦτον τὸν ἀληθῆ, διὸ τοῦτο θαυμάζεται μάλιστα, καὶ διὰ τοῦτο οὐ φθονεῖται, οὐδὲ ἐπιβουλεύεται. ἀλλ' ἆρα πρὸς ὑγίειαν οἷς ἐπιτηδειότερος; οὐχ ὁ μὲν ἐκεῖνον ἔχων, καθάπερ τὰ ἄγρια τῶν ζώων, εὐσωματεῖ καὶ σφριγᾷ, ἅτε ἀέρος ἀπολαύων καθαροῦ, καὶ ναμάτων ὑγιεινῶν, καὶ φυτῶν, καὶ λειμώνων, καὶ εὐωδίας εἰλικρινοῦς· ὁ δὲ, ὥσπερ ἐν βορβόρῳ κείμενος, μαλακώτερός τέ ἐστι καὶ μᾶλλον ἐπίνοσος; εἰ δὲ ἐν ὑγιείᾳ τὰ πρῶτα παρὰ τούτῳ, δῆλον ὅτι καὶ ἐν ἡδονῇ. τίνα γὰρ οἴει μᾶλλον τρυφᾶν, τὸν ἐπὶ βαθείας κατακεκλιμένον πόας παρὰ πηγὴν καθαρὰν, ὑπὸ σκιαῖς δένδρων ἀμφιλαφῶν, καὶ τὸν ὀφθαλμὸν ἑστιῶντα τῇ θέᾳ, καὶ καθαρωτέραν ἔχοντα τοῦ οὐρανοῦ τὴν ψυχὴν, καὶ ταραχῆς καὶ θορύβου πόρρω καθήμενον, ἢ τὸν ἐν οἰκίσκῳ κατακεκλεισμένον; οὐ γὰρ δὴ τοῦ ἀέρος τὰ μέλαθρα καθαρώτερα, οὐδὲ τῆς σκιᾶς τῆς ἀπὸ τῶν δένδρων ἡ ἀπὸ τῆς ὀροφῆς ἡδίων, οὐδὲ ἡ ψηφὶς ἐδάφους ἄνθεσι καλλωπιζομένου ποικίλοις. καὶ τούτων αὐτῶν ὑμεῖς οἱ πλουτοῦντες μάρτυρες, οἷς εἴγε ἐνῆν ἐπὶ τῶν ὑπορόφων δένδρα ἔχειν, καὶ τὴν ἀπὸ τῶν λειμώνων παραμυθίαν, μᾶλλον ἂν εἵλεσθε τῆς στέγης τῆς χρυσῆς καὶ τῶν τοίχων τῶν θαυμαστῶν. ὅταν γοῦν ἐκ πολλῶν πόνων πρὸς ἄνεσιν ἑαυτοὺς ἀφεῖναι ἐπιθυμήσητε, ταῦτα ἀφέντες, πρὸς ἐκεῖνα βαδίζετε.

Ἀλλ' ὑπὲρ δόξης ἴσως ἀθυμεῖς τῆς πολλῆς ἐκείνης καὶ μεγάλης * οὐδαμοῦ φαινομένης ἐνταῦθα. τὰ γὰρ βασίλεια τῇ ἐρημίᾳ παραβάλλων, καὶ τὰς ἐλπίδας τὰς ἐκεῖθεν ταῖς ἐντεῦθεν, ἐξ αὐτοῦ οἴει τοῦ οὐρανοῦ καταπεπτωκέναι τὸν υἱόν. ἐκ κοινοῦ τοῦτο δεῖ πρῶτον μαθεῖν, ὡς οὔτε ἡ ἐρημία ἄτιμον ποιεῖ, οὔτε λαμπρὸν καὶ περιφανῆ τὰ βασίλεια. καὶ πρὶν ἐπὶ λογισμοὺς ἐλθεῖν, ἐκ παραδειγμάτων σε ἀπαλλάξω τῆς ὑποψίας, παραδειγμάτων, οὐ τῶν παρ' ἡμῖν, ἀλλὰ τῶν ὑμετέρων. Διονύσιον ἴσως ἀκούεις τὸν Σικελίας τύραννον, ἀκούεις δὲ καὶ Πλάτωνα τὸν Ἀρίστωνος. τίς οὖν, εἰπέ μοι, λαμπρότερος γέγονε; τίς δὲ ᾄδεται, καὶ ἐν τοῖς τῶν πολλῶν κεῖται στόμασιν; οὐχ ὁ φιλόσοφος τοῦ τυράννου μᾶλλον; καίτοι ὁ μὲν τῆς τε Σικελίας ἁπάσης ἐκράτει, καὶ ἐν τρυφῇ διῆγε, καὶ μετὰ πολλοῦ τοῦ πλούτου καὶ τῶν δορυφόρων καὶ τῆς ἄλλης φαντασίας διετέλεσε ζῶν· ὁ δὲ ἐν τῷ τῆς Ἀκαδημίας κήπῳ διέτριβεν, ἄρδων τε καὶ φυτεύων καὶ ἐλαίας ἐσθίων, καὶ εὐτελῆ παρατιθέμενος τράπεζαν, καὶ πάσης ἐκείνης τῆς φαντασίας ἐκτὸς ὤν. καὶ οὐ τοῦτό πω θαυμαστὸν, ἀλλ' ὅτι καὶ δοῦλος γενόμενος, καὶ κατὰ τὴν τοῦ τυράννου γνώμην ἀπεμποληθεὶς, τοσοῦτον ἀπέσχεν ἀτιμότερος ἐκείνου φανῆναι διὰ ταῦτα, ὡς καὶ αὐτῷ τῷ τυράννῳ ἐκ τούτου φανῆναι αἰδέσιμος. τοιοῦτόν ἐστιν ἀρετὴ, οὐ δι' ὧν ἐργάζεται μόνον, ἀλλὰ καὶ δι' ὧν πάσχει κακῶς, οὐχ ἑαυτὴν, ἀλλὰ καὶ τοὺς ποιοῦντας οὐκ ἀφίησι κρύπτεσθαι καὶ λανθάνειν. τί δὲ ὁ τούτου διδάσκαλος Σωκράτης, πόσῳ Ἀρχελάου λαμπρότερος ἦν; καίτοι ὁ μὲν βασιλεὺς ἦν, καὶ ἐν πολλῷ πλούτῳ διῆγεν· ὁ δὲ ἐν Λυκείῳ διέτριβε, καὶ ἑνὸς ἱματίου πλέον εἶχεν οὐδὲν, καὶ τοῦτο μόνον καὶ χειμῶνος καὶ θέρους καὶ ἐν πάσαις ταῖς ὥραις τοῦ ἔτους περιβεβλημένος ἐφαίνετο, ἀνυπόδετός τε ἔζη διαπαντὸς, καὶ ἄσιτος ἅπασαν διεκαρτέρει τὴν ἡμέραν, ἄρτον τε ἐσιτεῖτο μόνον, καὶ τοῦτο ἦν αὐτῷ ὄψον καὶ σιτίον· καὶ οὐδὲ ταύτην οἴκοθεν παρετίθετο τὴν τράπεζαν, ἀλλὰ παρὰ ἑτέρων λαμβάνων (οὕτως ἐσχάτῃ συνέζη πενίᾳ) καὶ τοσοῦτον ἦν τοῦ βασιλέως λαμπρότερος, ὡς πολλάκις αὐτὸν καλοῦντος ἐκείνου πρὸς ἑαυτὸν, μὴ θελῆσαι τὸ Λύκειον ἀφεῖναι, καὶ πρὸς τὴν ἐκείνου πενίαν ἐλθεῖν. καὶ ἀπὸ τῆς δόξης δὲ τῆς κρατούσης νῦν καὶ τὰ πρότερα φαίνεται. τούτων μὲν γὰρ τὰ ὀνόματα πολλοῖς γνώριμα, ἐκείνων δὲ οὐδενί. ὁ δὲ Σινωπεὺς πάλιν, ἕτερος οὗτος φιλόσοφος, τοσούτῳ καὶ τούτων καὶ ἑτέρων μυρίων τοιούτων βασιλέων εὐπορώτερος ἦν, καὶ ταῦτα ῥακίοις συζῶν, ὡς τὸν Φιλίππου τὸν Μακεδόνα στρατιὰν ἐπὶ Πέρσας ἄγοντα, πολλὰ ἀφέντα, ἰδόντα αὐτὸν ἀπελθεῖν, καὶ ἐρέσθαι δι' ἑαυτοῦ, μή τινος δέοιτο, καὶ εἴ τι κελεύοι αὐτῷ δὲ, οὐδὲν ἀπαγγεῖλαι. ἆρά σοι τῶν παραδειγμάτων ἅλις, ἢ βούλει καὶ ἑτέρων ἐπιμνησθῶμεν;

* αἰ

μεν; οὗτοι γὰρ οὐχὶ τῶν ἐν βασιλείοις μόνον λαμπρῶν, ἀλλ' αὐτοῦ τοῦ βασιλεύοντος γεγόνασι λαμπρότεροι, τὸν ἰδιωτικὸν ἑλόμενοι βίον καὶ ἀπράγμονα, καὶ πολιτείας οὐδὲ ἐγγὺς βουληθέντες ἐλθεῖν. καὶ ἐν αὐτῇ δὲ τῇ πολιτείᾳ οὐκ ἐκείνους ὄψει λαμπρούς, τοὺς ἐν πλούτῳ καὶ τρυφῇ καὶ περιουσίᾳ, ἀλλὰ καὶ τοὺς ἐν πενίᾳ, τοὺς ἐν εὐτελείᾳ, τοὺς ἐν ἀτύφῳ ζῶντας βίῳ. παρὰ μὲν Ἀθηναίοις Ἀριστείδης, ὃν καὶ τελευτήσαντα ἡ πόλις ἔθαψε, καὶ πλούτῳ, καὶ γένει, καὶ τρυφῇ, καὶ δυνάμει λόγων, καὶ ῥώμῃ σώματος, καὶ εὐγενείᾳ, καὶ τοῖς ἄλλοις πᾶσιν Ἀλκιβιάδου κρατοῦντος τοσοῦτον λαμπρότερος ἦν, ὅσον παιδίου τινὸς εὐτελοῦς φιλόσοφος θαυμαστός. παρὰ Θηβαίοις Ἐπαμινώνδας, ἄνθρωπος εἰς ἐκκλησίαν καλούμενος, καὶ διὰ τοῦτο μὴ δυνάμενος ἐλθεῖν, ἐπειδὴ αὐτῷ τὸ ἱμάτιον ἔτυχε πλυνόμενον, καὶ ἕτερον περιθέσθαι οὐκ εἶχε, πάντων τῶν γενομένων αὐτόθι στρατηγῶν ἐπισημότερος ἦν. μὴ τοίνυν μοι τὴν ἐρημίαν εἴπῃς, μηδὲ τὰ βασίλεια. οὐ γὰρ ἐν τόποις τὰ τῆς λαμπρότητος καὶ τὰ τῆς περιφανείας, οὐδὲ ἐν ἱματίοις, οὐδὲ ἐν ἀξιώματι, οὐδὲ ἐν δυναστείᾳ, ἀλλ' ἐν ἀρετῇ ψυχῆς καὶ φιλοσοφίᾳ μόνον. ἀλλ' ἐπειδὴ τὰ παραδείγματα οὐ τοσαύτην ἔχει τὴν ἰσχύν, ἀπ' αὐτοῦ τοῦ σοῦ παιδὸς ποιησόμεθα τὴν ἐξέτασιν. εὑρήσομεν γὰρ αὐτὸν οὐ μόνον λαμπρότερον ὄντα νῦν, ἀλλὰ καὶ δι' ἐκεῖνα τιμιώτερον, δι' ἅπερ ἄτιμον εἶναι φὴς καὶ εὐτελῆ. εἰ γὰρ βούλει, πείσαντες αὐτὸν ἀπὸ τοῦ ὄρους κατελθεῖν, πείσωμεν καὶ εἰς ἀγορὰν ἐμβαλεῖν, καὶ ὄψει πᾶσαν ἐπιστρεφομένην τὴν πόλιν, καὶ ὑποδεικνύντας αὐτὸν ἅπαντας καὶ θαυμάζοντας καὶ ἐκπληττομένους, ὡς ἀγγέλου τινὸς ἐξ οὐρανοῦ παραγενομένου νῦν. ἢ ἕτερόν σοι τὰ τῆς δόξης τι εἶναι δοκεῖ; οὐ γὰρ δὴ τῶν ἐν βασιλείοις ἔσται περιφανέστερος μόνον, ἀλλὰ καὶ αὐτοῦ τοῦ τὸ διάδημα περικειμένου, διὰ τὰ ἱμάτια ἐκεῖνα τὰ εὐτελῆ καὶ κατατετριμμένα. οὐ γὰρ ἂν οὕτως ἅπαντας ἐξέπληττε χρυσοφορῶν, μᾶλλον δὲ καὶ ἁλουργίδα, καὶ αὐτὸν τὸν στέφανον περικείμενος ἐπὶ τῆς κεφαλῆς, καὶ τοῖς σηρικοῖς ἐπικαθήμενος στρώμασι, καὶ ὑπὸ τῶν ἡμιόνων ἑλκόμενος, καὶ τοὺς χρυσοφοροῦντας δορυφόρους ἔχων, ὡς νῦν ῥυπῶν καὶ αὐχμῶν καὶ παχὺ περιβεβλημένος ἱμάτιον, καὶ μηδένα ἀκολουθοῦντα ἐπαγόμενος, καὶ ἀνυπόδετος ὤν. ἐκεῖνα μὲν γὰρ τοῖς τοῦ βασιλέως νόμοις τε ὥρισται, καὶ συνηθείας ἐστί. καὶ διὰ ταῦτα κἂν εἴποι τις θαυμάζων τὸν βασιλέα, ὅτι στολὴν περιβέβληται χρυσῆν, οὐ μόνον οὐ θαυμαζόμεθα, ἀλλὰ καὶ γελῶμεν τὸ λεχθέν, ὡς οὐδὲν ἔχον παράδοξον. περὶ δὲ τοῦ παιδίου τοῦ σοῦ ἂν ἐλθών τις ἀπαγγείλῃ, ὅτι πλούτου καταγελάσας τοῦ πατρικοῦ, καὶ τὴν βιωτικὴν καταπατήσας φαντασίαν, καὶ τῶν κοσμικῶν ἐλπίδων ἀνώτερος γενόμενος, πρὸς τὴν ἐρημίαν μετέστη, καὶ χιτωνίσκον σαπρὸν ἐνέδυ καὶ φαῦλον, πάντες εὐθέως συνδραμοῦνται, καὶ θαυμάσουσι, καὶ κροτήσουσιν ὑπὲρ τῆς μεγαλοψυχίας αὐτόν. καὶ τῶν μὲν βασιλέων μυρία κατηγορουμένων οὐδεὶς τὰ ἱμάτια περιεστήσεται τὰ χρυσᾶ, τοσοῦτον ἀπέχει θαυμαστοὺς δεῖξαι ὄντας αὐτούς· τοῦτον δὲ καὶ ἀπὸ τῶν ἱματίων πολλὰς ἔχει τοῦ θαυμάζεσθαι τὰς ἀφορμάς. ὥστε αὕτη ἡ στολὴ τῆς βασιλικῆς μᾶλλον αὐτὸν ἀποβλεπτότερον ἀπέφηνε καὶ περιφανῆ, εἴγε δι' ἐκείνην μὲν οὐδεὶς βασιλέα ἐθαύμασε, διὰ δὲ ταύτην ἅπαντες τὸν περικείμενον ἐκπλαγήσονται.

Καὶ τί μοι, φησί, τῆς τῶν πολλῶν ὑπονοίας ὄφελος, καὶ τῶν ἐπαίνων; καὶ μὴν δόξα οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ ταῦτα. ἀλλ' οὐ δέομαι, φησί, ταύτης, δυναστείαν δὲ ζητῶ καὶ τιμήν. ἀλλ' οἱ ἐπαινοῦντες καὶ τιμήσουσι πάντως. εἰ δὲ δυναστείαν βούλει καὶ προστασίαν, καὶ ταύτην οὐχ ἧττον τῶν προτέρων παρὰ τούτοις οὖσαν μᾶλλον εὑρήσομεν. καὶ ἔχομεν μὲν αὐτὸ καὶ ἐκ παραδειγμάτων ποιῆσαι φανερόν· ἐπὶ δὲ τὸν μάλιστά σε παραμυθούμενον τρόπον ἐλθόντες, οὐκ ἐπ' ἄλλων τινῶν, ἀλλ' ἐπ' αὐτοῦ τοῦ σοῦ παιδὸς τὸν λόγον ἐξετάσωμεν τοῦτον. τί γὰρ δυνάμεως τῆς μεγίστης τεκμήριον εἶναι φής; οὐ τὸ δύνασθαι μὲν ἀμύνεσθαι τοὺς λυποῦντας*, δύνασθαι δὲ τοὺς εὐεργετοῦντας ἀμείβεσθαι; καίτοιγε ταύτην ἅπασαν οὐδὲ παρὰ τῷ βασιλεύοντι ἴδοι τις ἄν. καὶ γὰρ πολλοὺς ἔχει τοὺς λυποῦντας, οὓς οὐκ ἂν δύναιτο λυπεῖν, καὶ πολλοὺς τῶν εὖ ποιούντων, οὓς οὐκ ἂν εὐκόλως ἀμείψαιτο. καὶ γὰρ ἐν πολέμοις πολλάκις λυπήσαντας πολεμίους, καὶ μυρία αὐτὸν εἰργασμένους κακὰ ἀμύνασθαι ἐπεθύμησε μὲν, οὐκ ἴσχυσε δέ· καὶ φίλους δὲ μεγάλα ἐπιδειξαμένους ἐκεῖ κατορθώματα οὐκ ἔσχε τοῖς ἴσοις ἀμείψασθαι, προαναρπασθέντας τῆς ἀντιδόσεως, καὶ ἐν αὐτῷ τῷ πολέμῳ πεσόντας. τί οὖν, ἂν ταύτης τῆς δυνάμεως, ἧς οὐδὲ βασιλεῖς ἀπολαύουσιν, ὡς ὁ λόγος ἀπέδειξεν, ἑτέραν πολλῷ μείζονα καὶ τὸν υἱὸν ἔχοντα ἀποδείξωμεν τὸν σόν; καὶ μηδεὶς ἴσως τὰ ἐν τοῖς οὐρανοῖς ἀγαθὰ ὑπολάβοι λεγόντων ἡμῶν, οἷς ἀπιστεῖς (οὐχ οὕτως ἐπιλελήσμεθα τῶν ὑποσχέσεων) ἀλλ' ἀπὸ τῶν ἐνταῦθα γινομένων παρεξόμεθα τὴν ἀπόδειξιν. εἰ γὰρ δύναμις αὕτη μεγίστη τὸ λυποῦντας δύνασθαι ἀμύνεσθαι, πολλῷ μεῖζον ταύτης τὸ τοιαύτην εὑρεῖν τοῦ βίου κατάστασιν, ἐν ᾗ μηδὲ, ἂν ἐθέλῃ τις, λυπῆσαι δυνήσεται. ὅτι γὰρ τοῦτο ἐκείνου μεῖζον, ἂν ἐφ' ἕτερον παράδειγμα τὸν λόγον ἀγάγωμεν, δῆλον ἡμῖν ἔσται καὶ φανερόν. εἰπὲ γάρ μοι, τί βέλτιον, οὕτως ἔμπειρον εἶναι τὰ πολεμικὰ, ὡς μηδένα τῶν τιτρωσκόντων ἡμᾶς ἄτρωτον διαφυγεῖν, ἢ σῶμα κεκτῆσθαι τοιοῦτον, ὡς μηδένα, κἂν μυρία ποιῇ, δύνασθαι πλῆξαι τὸ σῶμα; παντί που δῆλον, ὅτι τοῦτο ἐκείνου καὶ δυνατώτερον καὶ ἡδύτερον. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ὃ πολλῷ τούτου ἀνώτερον. ποῖον δὴ τοῦτο; τὸ φάρμακα εἰδέναι, δι' ὧν ἀφανισθήσεται τὰ τραύματα πάντα. τριῶν τοίνυν τρόπων ὄντων, ἑνὸς μὲν, τοῦ δύνασθαι τοὺς ἀδικοῦντας ἀμύνεσθαι, ἑτέρου δὲ ἀνωτέρου, τοῦ καὶ τὰ οἰκεῖα τραύματα θεραπεύειν (οὐ γὰρ ἕπεται τοῦτο πάντως ἐκείνῳ) τρίτου δὲ, τοῦ μηδενὶ τῶν ὄντων * εὐχείρωτον εἶναι, ὃ δὴ καὶ μεῖζον φύσεως ἀνθρωπίνης ἐστὶ, τοῦτο τὸν υἱὸν τὸν σὸν ἔχοντα ἀποδείξομεν. καὶ ὅτι οὐ ψόφος ταῦτα τὰ ῥήματα, καὶ ταύτης τῆς μεγάλης δυνάμεως ἑτέραν πάλιν μείζονα μεταξὺ ζητοῦντες εὑρήκαμεν. οὐ γὰρ δὴ μόνον οὐ δυναμένους, ἀλλ' οὐδὲ βουλομένους ἐκεῖνον βλάψαι τινὰς ὄψεταί τις, ὥστε διπλᾶ τὰ τῆς ἀσφαλείας αὐτῷ. τί οὖν θειότερον γένοιτ' ἂν ταύτης τῆς ζωῆς, ἐν ᾗ μηδεὶς μήτε ἐθελήσει, μήτε, ἂν ἐθέλῃ, δυνήσεται ποιῆσαι κακῶς; καὶ μάλιστα, ὅταν τὸ μὴ θέλειν οὐκ ἐκ τοῦ μὴ δύνασθαι γίνηται, καθάπερ ἐπὶ πολλῶν, ἀλλ' ἐκ τοῦ μηδεμίαν αἰτίαν εὑρεῖν. ἐπεὶ εἴγε τοῦτο ἦν καθ' ἑαυτὸ, τὸ μὴ δύνασθαι λέγω, οὐδὲν τοσοῦτον ἦν. μῖσος γὰρ ἂν ἐτέχθη πολὺ τοῖς θέλουσι μὲν, οὐ δυναμένοις δὲ ἀδικεῖν. οὐ μικρὸς δὲ καὶ οὗτος μακαριότητος τρόπος. αὐτὸ δὴ οὖν τοῦτο ἐξετάσωμεν, εἰ δοκεῖ, πρότερον. τίς οὖν, εἰπέ μοι, τὸν οὐδὲν κοινὸν ἔχοντα πρὸς ἀνθρώπους, οὐ συμβολαίων ἕνεκεν, οὐ γῆς, οὐ χρημάτων, οὐ πραγμάτων, οὐκ ἄλλου οὐδενὸς, ἐθελήσει βλάψαι ποτέ; ὑπὲρ ποίας χώρας φιλονεικήσει πρὸς αὐτόν; ὑπὲρ, τίνων ἀνδραπόδων; ὑπὲρ ποίας δόξης; τί δεδοικώς; ὑπὸ τίνος δακνόμενος; ἢ γὰρ φθόνῳ, ἢ δέει, ἢ ὀργῇ κινούμεθα πρὸς τὸ βλάπτειν ἑτέρους. ἀλλ' οὗτος ὁ βασιλικώτατος, πάντων ἐστὶν ἀνώτερος. τίς γὰρ φθονήσει τῷ πάντων καταγελῶντι τούτων, περὶ ἃ κόπτονται ἕτεροι καὶ σπουδάζουσι; τίς δὲ ὀργιεῖται, μηδὲν ἠδικημένος; τίς δὲ φοβηθήσεται, μηδὲν ὑποπτεύων; οὐκοῦν ὅτι μὲν οὐ βουλήσονταί τινες ἀδικεῖν, ἐκ τούτου δῆλον· ὅτι δὲ οὐδ', ἂν ἐθέλωσι, δυνήσονται, καὶ τοῦτο ὁμοίως ἐκεῖνο δηλοῖ. οὐ γὰρ ἔχει τὰς ἀφορμὰς, οὐδὲ τὰς λαβὰς, ὅθεν ἄν τις αὐτὸν κατάσχοι· ἀλλ' ὥσπερ ἀετὸς ὑψηλὰ πετόμενος, παγίδι στρουθῶν οὐκ ἂν ἁλῴη ποτὲ, οὕτω καὶ οὗτος. πόθεν γὰρ αὐτόν τις βλάψαι δυνήσεται; χρήματα οὐκ ἔστι παρ' αὐτῷ, ἵνα ἀπειλήσῃ ζημίαν· πατρίδα οὐκ ἔχει, ἵνα τὴν ὑπερορίαν ἐπανατείνηται· δόξης οὐκ ἐφίεται, ἵνα εἰς ἀτιμίαν ἀγάγῃ. ἕν ἐστι τὸ λειπόμενον, θάνατος. ἀλλ' ἐνταῦθα μάλιστα οὐ δυνήσεται αὐτὸν λυπῆσαί ποτε, ἀλλὰ καὶ ὠφελήσει τὰ μέγιστα. πρὸς γὰρ ἑτέραν αὐτὸν πέμπει ζωὴν, τὴν ποθουμένην αὐτῷ, καὶ δι' ἣν ἅπαντα πράττει καὶ πραγματεύεται. ὥστε τοῦτο ἀπαλλαγὴ πόνων ἐστὶ, καὶ οὐ τιμωρία, ἀλλ' ἱδρώτων λύσις καὶ ἀνάπαυλα. βούλει καὶ ἕτερον τρόπον τῆς δυνάμεως αὐτοῦ μαθεῖν πολλῷ τούτου φιλοσοφώτερον; κἂν γὰρ μυρία τις αὐτὸν ἐργάσηται δεινὰ, κἂν μαστίξῃ, κἂν δήσῃ, τὸ μὲν σῶμα πλήττεται διὰ

* ἀνθρώπω

τὴν φύσιν, ἡ δὲ ψυχὴ ἄπληκτος διὰ τὴν φιλοσοφίαν μένει. οὐδὲ γὰρ ἁλίσκεται θυμῷ, οὐ χρῆται μίσει, οὐκ ἀπεχθείᾳ καταγωνίζεται. καὶ οὔπω τοῦτο μέγα· ἀλλὰ τὸ πολλῷ τούτου θαυμαστότερον. καθάπερ γὰρ εὐεργέτας καὶ προστάτας, οὕτω φιλεῖ τοὺς τὰ τοιαῦτα ἐργασαμένους, οὕτως εὔχεται πάντα αὐτοῖς γενέσθαι τὰ ἀγαθά. καίτοι τί τοσοῦτον ἔδωκας ἂν αὐτῷ, εἰ μυριάκις αὐτὸν βασιλέα τῆς οἰκουμένης ἐποίησας, καὶ ἐπὶ μυρίοις ἔτεσι τὴν βασιλείαν ἐξέτεινας; πόσης ἁλουργίδος τοῦτο τὸ κτῆμα, πόσης ἀρχῆς, πόσης δόξης οὐ τιμιώτερον; τί οὐκ ἂν τις προσήκατο, ὥστε ψυχὴν τοιαύτην λαβεῖν; ἐμοὶ δοκεῖ καὶ τοὺς σφόδρα φιλοσωμάτους ἑλεῖν ἂν ταύτης τῆς ζωῆς τὴν ἐπιθυμίαν.

Βούλει καὶ ἑτέρωθεν τὴν δύναμιν ἰδεῖν τοῦ ἀνδρὸς θαυμαστοτέραν καὶ ἡδίστην, ἀπὸ μέρους ταπεινοτέρου μέν, σοὶ δὲ μάλιστα ἡδίστου; τὰ μὲν γὰρ εἰρημένα δείκνυσιν αὐτὸν ἀχείρωτον ὄντα καὶ ἀνάλωτον· ὅτι δὲ καὶ ἑτέρων περιστήσεται, καὶ ἐν ἀσφαλείᾳ καταστήσει πολλῇ, τοῦτο ἴσως ζητεῖς μαθεῖν. τοῦτο μὲν οὖν πρώτη ἐστὶ προστασία, τὸ καὶ ἑτέρους εἰς τὸν αὐτὸν ζῆλον ἀγαγεῖν, καὶ οὕτω πεῖσαι ἰσχυρῶς. εἰ δὲ μὴ θέλοιεν, ἀλλὰ τὴν ἀνθρωπινωτέραν ταύτην καὶ γηΐνην μετέρχοιντο ζωήν, καὶ ἐν ταύτῃ πάλιν ὄψει δύναμιν αὐτὸν ἔχοντα τοῦ πλουτοῦντός σου μείζονα τὸν μηδὲν ἔχοντα, δι' αὐτὸ τοῦτο μάλιστα τὸ μηδὲν ἔχειν. τίς γὰρ μετὰ πλείονος ἐξουσίας διαλέξεται βασιλεῖ, καὶ ἐπιτιμήσει; σὺ ὁ τοσαῦτα κεκτημένος καὶ ὑπεύθυνος ὢν διὰ ταῦτα καὶ τοῖς ἐκείνου δούλοις, καὶ παρ' ἁπάντων τρέμων, καὶ μυρίας αὐτῷ παρέχων λαβάς, εἰ βούλοιτό σε ἀδικεῖν ἐρεθισθείς, ἢ οὗτος ὁ τῶν ἐκείνου χειρῶν ἀνώτερος ὤν; βασιλεῦσι μὲν γὰρ οὗτοι μάλιστα διελέχθησαν μετ' ἐξουσίας πολλῆς, ὅσοι πάντων ἐγένοντο τῶν βιωτικῶν ἐκτός. τίνι δὲ μᾶλλον εἴξει καὶ ὑπακούσεται ὁ ἐν δυνάμει ὤν, καὶ ἐν τοῖς βασιλείοις τρεφόμενος, τῷ πλουτοῦντί σοι, καὶ ὃν ὑποστελεῖ ἕνεκα χρημάτων πολλὰ πολλάκις ποιεῖν, ἢ τῷ μηδὲν ἔχοντι τὴν τῶν ἐπιταγμάτων ὑπόθεσιν, τὴν εἰς τοὺς ἄλλους φιλανθρωπίαν; τίνα τιμήσει καὶ θαυμάσεται; περὶ οὗ μηδὲν ταπεινὸν ὑποπτεῦσαι δύναιτ' ἄν, ἢ τὸν καὶ τῶν οἰκετῶν ταπεινότερον εἶναι νομιζόμενον τῶν αὐτοῦ; καθάπερ γὰρ ἐν χρήμασιν, ὅταν ἀναλίσκειν δέῃ, ἐκείνοις ὑπακούουσι μᾶλλον, οὕτω καὶ προστῆναι κελεύουσιν. εἰ δὲ βούλει, μηδὲν δι' ἑτέρων ἀνυέτω, ἀλλὰ δι' ἑαυτοῦ· καὶ τὸν κακῶς παθόντα καὶ πρὸς τοῦτον ἀγάγωμεν, καὶ πρὸς σέ· μᾶλλον δὲ μηδὲ πρὸς σέ, ἀλλὰ πρὸς αὐτὸν τὸν βασιλεύοντα· εἶτα ἴδωμεν τίς μᾶλλον προνοῆσαι δυνήσεται τούτου. καὶ πρῶτος ἀγέσθω τῶν ἄλλων ὁ πάντων δεινότατα πεπονθώς. ἔστω γάρ τις υἱὸν ἔχων μονογενῆ, καὶ ἐν ἀκμῇ τῆς ὥρας αὐτὸν ἀποβαλλέτω. τοῦτον οὔτε ἄρχων, οὔτε βασιλεύς, οὔτε ἄλλος τις ὠφελῆσαι δυνήσεται, μήτιγε σύ. οὐδὲν γὰρ αὐτῷ δώσεις τοιοῦτον, οἷον ἀπολώλεκεν. ἐὰν δὲ πρὸς τὸν υἱὸν ἀγάγῃς τὸν σόν, πρῶτον μὲν αὐτὸν ἀπό τε τῆς ὄψεως, ἀπό τε τοῦ σχήματος, ἀπό τε τῆς οἰκήσεως ἀναστήσει ταχέως, καὶ πείσει μηδὲν ἡγεῖσθαι τὰ ἀνθρώπινα. ἔπειτα δὲ καὶ λόγοις ἀπελάσει τὸ νέφος εὐκόλως. ἀπὸ δὲ τῆς σῆς οἰκίας καὶ πλέον ἕξει τὸ πένθος ἐκεῖνος. ὅταν γὰρ ἴδῃ ταύτην καθαρὰν οὖσαν κακῶν, καὶ πολλῆς εὐπραγίας γέμουσαν, καὶ κληρονόμον ἔχουσαν, μᾶλλον κατακαήσεται· ἐκεῖθεν δὲ ἡμερώτερος ἔσται καὶ φιλοσοφώτερος. ὁρῶν γὰρ τοσαύτης μὲν οὐσίας ὑπερορῶντα τὸν σὸν υἱόν, τοσαύτης δὲ δόξης καὶ λαμπρότητος, οὐκ ἀλγήσει τῷ τελευτήσαντι τοσοῦτον. πῶς γὰρ αὐτὸν δήξεται τὸ μηδένα κληρονόμον ἔχειν τῶν αὐτοῦ, ὅταν ἴδῃ τοῦτον τῶν πλούτων καταφρονοῦντα ἑτέρου; καὶ τοὺς περὶ φιλοσοφίας δὲ λόγους εὐκολώτερον παρ' ἐκείνου ἀκούσεται τοῖς ἔργοις ἐπαληθεύοντος. σὺ δὲ ἂν χλευάσαι τολμήσῃς μόνον, καὶ ἀθυμίας αὐτὸν ἐμπλήσεις πολλῆς, ἅτε ἐπ' ἀλλοτρίοις φιλοσοφῶν κακοῖς· ἐκεῖνος δὲ αὐτὸν διὰ τῶν πραγμάτων διδάσκων, πείσει ῥᾳδίως, ὅτι οὐδὲν ὕπνου πλέον ὁ θάνατος ἔχει. οὐ γὰρ πολλοὺς ἀριθμήσει πατέρας τὰ αὐτὰ πεπονθότας ἐκείνῳ, ἀλλ' ἑαυτὸν δείξει καθ' ἑκάστην ἡμέραν ἐν τῷ στόματι μελετῶντα τὴν τελευτήν, καὶ πρὸς ταύτην παρεσκευασμένον ἀεί, καὶ τοὺς περὶ τῆς ἀναστάσεως λόγους πιστοτέρους ποιήσας, οὕτως ἀποπέμψεις τὸ πολὺ τῆς ὀδύνης ἀποθέμενον βάρος· καὶ τῶν συνδείπνων καὶ περιδείπνων πολλῷ μᾶλλον τὰ τούτου ῥήματα, καὶ ἡ διὰ τῶν πραγμάτων ἐπίδειξις "ῥᾷον τὸν παθόντα διαθεῖναι δυνήσεται. καὶ τοῦτον μὲν οὕτως ἰάσεται· ἀγέσθω δὲ πρὸς αὐτὸν καὶ ἕτερος, εἰ βούλει, νόσῳ μακρᾷ τοὺς ὀφθαλμοὺς ἐκκοπείς. τί τούτου δυνήσῃ παραστῆναι; ἐκεῖνος μὲν γὰρ δεικνὺς, ὅτι οὐδὲν τοῦτο δεινόν, κατακεκλεισμένος "τε ἐν οἰκίσκῳ μικρῷ, καὶ πρὸς ἕτερον ἐπειγόμενος φῶς, καὶ τὸ παρὸν "οὐδὲν μέγα πρὸς ἐκεῖνο ἡγούμενος, παιδεύσει γενναίως τὴν συμφορὰν ἐνεγκεῖν. ἀλλὰ τοὺς ἐπηρεαζομένους πεῖσαι δυνήσῃ φιλοσοφεῖν; οὐδαμῶς· ἀλλὰ καὶ ἐνοχλήσεις μᾶλλον. τὰ γὰρ οἰκεῖα κακὰ ἐν τοῖς τῶν πέλας ἀγαθοῖς ἀκριβέστερον εἰώθαμεν καθορᾶν. ὁ δὲ υἱὸς ὁ σὸς καὶ τούτους εὐκολώτερον ἀνακλήσεται. παρίημι τὴν ἀπὸ τῶν εὐχῶν βοήθειαν, πολλῷ τούτων ἁπάντων οὖσαν μείζονα· παρίημι δέ, ἐπειδὴ πρὸς σέ μοι νῦν ὁ λόγος ἐστίν. εἰ δὲ τιμᾶσθαι βούλει διὰ τὸν υἱόν, καὶ μὴ καταφρονεῖσθαι (εἰκὸς γάρ σε καὶ τούτων ἐρᾶν) οὐκ οἶδα πῶς ἂν ἑτέρως μᾶλλον ἔτυχες τούτου, ἢ παῖδα κτησάμενος τὴν ἀνθρωπίνην ὑπερβαίνοντα φύσιν, καὶ λαμπρὸν οὕτω πανταχοῦ τῆς οἰκουμένης φαινόμενον, καὶ μετὰ τῆς εὐδοκιμήσεως ταύτης οὐδὲ ἐχθρόν τινα ἔχοντα. ἐν ἐκείνῃ μὲν γὰρ ὢν τῇ δυναστείᾳ, πολλοῖς μὲν αἰδέσιμος, πολλοῖς δὲ καὶ μισητὸς ἦν· ἐνταῦθα δὲ πάντες αὐτὸν οἱ τιμῶντες, μεθ' ἡδονῆς τοῦτο πράττουσιν. εἰ γὰρ ταπεινοὶ, καὶ ἐκ ταπεινῶν ὄντες τινές, ἀγροίκων υἱοὶ καὶ χειροτεχνῶν, ἐπὶ τὴν φιλοσοφίαν ταύτην ἐλθόντες, οὕτως ἐγένοντο τίμιοι πᾶσιν, ὡς μηδένα τῶν ἐν τοῖς μεγάλοις ὄντων ἀξιώμασιν αἰσχύνεσθαι πρὸς τὸ καταγώγιον τούτων ἐλθεῖν, καὶ λόγων μετασχεῖν, καὶ τραπέζης, ἀλλ' ὥσπερ μεγάλων τινῶν ἀγαθῶν, ὅπερ οὖν καὶ ἔστιν, "ἀπολαύσοντας, οὕτω διατεθῆναι· πολλῷ μᾶλλον, ὅταν ἀπὸ λαμπροῦ μὲν ὁρμωμένους γένους, λαμπρᾶς δὲ οὐσίας, τοσούτων δὲ ἐλπίδων, πρὸς ἐκείνην ἴδωσιν ἐλθόντα τὴν ἀρετήν, τοῦτο ἐργάσονται). ὥστε, ὃ μᾶλλον πενθεῖς, τὸ ἐκ τοιούτων ἐπ' ἐκεῖνα βαδίσαι, τοῦτό ἐστιν ὃ μάλιστα πάντων αὐτὸν εὐδόκιμον ποιεῖ, καὶ πάντας οὐχ ὡς ἂν ἀνθρώπῳ, ἀλλ' ὡς ἀγγέλῳ τινὶ προσέχειν ἀναπείθει λοιπόν. οὐ γὰρ δὴ ταῦτα, ἃ περὶ τῶν ἄλλων ὑποπτεύουσιν, ὑπονοήσουσι καὶ περὶ τούτου, ὅτι τιμῆς ἐρῶν, καὶ χρημάτων ἐφιέμενος, καὶ λαμπρὸς ἐκ ταπεινοῦ γενέσθαι ἐπιθυμῶν, ταύτην εἵλετο τὴν ὁδόν. ταῦτα γάρ, εἰ καὶ περὶ τῶν ἄλλων λεγόμενα ψευδῆ τέ ἐστι καὶ πονηρίας ῥήματα, ἐπὶ τοῦ σοῦ παιδὸς οὔτε ὑπόνοιαν δυνήσεται παρασχεῖν. καὶ μήτοι νομίσῃς βασιλέων ὄντων εὐσεβῶν ταῦτα γίνεσθαι μόνον· ἀλλὰ κἂν μεταπέσῃ τὰ τῆς ἀρχῆς, καὶ οἱ κρατοῦντες ἄπιστοι γένωνται, καὶ τότε τὰ τοῦ παιδὸς ἔσται λαμπρότερα. οὐ γὰρ δὴ οἷα τὰ τῶν Ἑλλήνων, τοιαῦτα καὶ τὰ παρ' ἡμῖν· οὐδὲ ταῖς τῶν κρατούντων ἕπεται γνώμαις, ἀλλ' ἕστηκεν ἐπὶ τῆς οἰκείας ἰσχύος, καὶ τότε μάλιστα φαίνεται, ὅταν μάλιστα πολεμῆται. ἐπεὶ καὶ ὁ στρατιώτης εὐδόκιμος μέν ἐστι καὶ εἰρήνης οὔσης, λαμπρότερος δὲ ἔσται καταλαβόντος πολέμου. ὥστε καὶ Ἑλλήνων κρατούντων, ὁμοίως ἔσται σοι καὶ μειζόνως τὰ τῆς τιμῆς. οἱ γὰρ δὴ τότε τὸν υἱὸν αἰδούμενοι τὸν σόν, πολλῷ μᾶλλον τοῦτο ποιήσουσιν, ὅταν "παραταττόμενον ἴδωσι, καὶ πλείονι κεχρημένον τῇ παρρησίᾳ, καὶ πολλὰς τῆς εὐδοκιμήσεως ἔχοντα τὰς ἀφορμάς.

Βούλει καὶ τὰ πρὸς σὲ ἐξετάσωμεν, ἢ περιττὸς οὗτος ὁ λόγος; ὁ γὰρ πρὸς ἑτέρους οὕτως ἥμερος ὢν καὶ πρᾷος, ὡς μηδενὶ λαβὴν παρασχεῖν, πολλῷ μᾶλλον ἐν πολλῇ τὸν πατέρα ἕξει τιμῇ, καὶ θεραπεύσει πολλῷ πλέον, "ἢ εἰ δυναστείαν μετῆλθε κοσμικήν. ἐν ἀρχῇ μὲν γὰρ μεγάλῃ γενόμενος, ἄδηλον, εἰ μὴ καὶ τοῦ πατρὸς ἔμελλεν ὑπερορᾶν· νῦν δὲ βίον εἵλετο, δι' ὃν καὶ τοῦ βασιλέως βασιλικώτερος ὢν, πάντων ἔσται πρὸς σὲ ταπεινότερος. τοιαύτη γὰρ ἡ παρ' ἡμῖν φιλοσοφία. τὰ δοκοῦντα ἐναντία εἶναι, μετριοφροσύνην, καὶ ὕψος, συνάγει εἰς μίαν ψυχήν. καὶ τότε μέν, ἅτε χρημάτων ἐρῶν, καὶ ἠσμένισεν ἂν σου τὴν τελευτήν· νῦν δὲ καὶ εἰς μῆκος ἐκταθῆναι "σοι τὴν ζωὴν εὔχεται· ὥστε καὶ ἐν τούτῳ λαμπροὺς αὐτῷ γενέσθαι

γρ. ῥᾷον

γρ. δ'

γρ. μηδὲν

γρ. ἀπολαύσαντας,

γρ. παρεστημένον

γρ. ἢ ἐν ταῖς ἀρχαῖς

γρ. σου

σθαι τοὺς στεφάνους. οὐ γὰρ δὴ μικρὸς ἡμῖν κεῖται μισθὸς τοῖς τοὺς γεγεννηκότας τιμῶσιν, ἀλλ' ὡς δεσπότας αὐτοὺς ἡγεῖσθαι κελευόμεθα, λόγῳ τε καὶ ἔργῳ θεραπεύειν, ὅταν μηδὲ τὰ τῆς εὐσεβείας παραβλάπτηται. Τί γάρ, φησιν, αὐτοῖς ἀνταποδώσεις, καθὼς αὐτοί σοι; Σειρ. ζ. κθ. ἐννόησον οὖν τὸν ἐν τοῖς ἄλλοις ἅπασι πρὸς ἄκρον ἥκοντα τῆς ἀρετῆς, πῶς εἰκὸς καὶ τοῦτο μετὰ πολλῆς φυλάξεται τῆς ὑπερβολῆς τὸ καλόν. κἂν γὰρ ἀποθανεῖν ὑπὲρ τῆς σῆς δέον κεφαλῆς, οὐ παραιτήσεται, ἅτε οὐ μόνον διὰ τὸν παρὰ τῆς φύσεως κείμενον νόμον θεραπεύων σε καὶ τιμῶν, ἀλλὰ πρὸ τῶν ἄλλων διὰ τὸν Θεόν, δι' ὃν καὶ πάντων τῶν ἄλλων ὁμοῦ κατεφρόνησεν. ὅταν οὖν καὶ εὐδοκιμώτερος ᾖ νῦν, καὶ εὐπορώτερος, καὶ δυνατώτερος, καὶ ἐλευθεριώτερος, καὶ μᾶλλόν σου δοῦλος ἢ πρότερον μετὰ τῆς τοσαύτης μεγαλονοίας, τίνος ἕνεκεν, εἰπέ μοι, θρηνεῖς, ὅτι καθ' ἑκάστην οὐ τρέμεις τὴν ἡμέραν, μή ποτε ἐν πολέμῳ πέσῃ; μή ποτε προσκρούσῃ βασιλεῖ; μή ποτε βασκανίᾳ τῶν συστρατευομένων ἁλῷ; ἢ οὐχὶ καὶ ταῦτα καὶ τούτων πλείονα δεδοίκασι τῶν εὐδοκιμούντων οἱ πατέρες; καθάπερ γὰρ οἱ παιδίον ἐφ' ὑψηλοῦ τινος στήσαντες τόπου, τρέμειν ἀναγκάζονται μὴ καταπέσῃ, οὕτω καὶ οἱ πρὸς μεγάλην ἀρχὴν ἀνάγοντες τοὺς υἱεῖς. ἀλλ' ἔχει τινὰ ἡδονὴν ἡ ζώνη, καὶ ἡ χλαμύς, καὶ ἡ τοῦ κήρυκος φωνή. καὶ μέχρι πόσων ἡμερῶν ταῦτα, εἰπέ μοι; μέχρι τριάκοντα καὶ ἑκατὸν καὶ δὶς τοσοῦτον· καὶ τί μετὰ ταῦτα; οὐχ ὥσπερ ὄναρ; οὐχ ὥσπερ μῦθος; οὐχ ὥσπερ σκιὰ πάντα διῆλθον ἐκεῖνα; νῦν δὲ αὐτῷ μέχρι τέλους τὰ τῆς τιμῆς, μᾶλλον δὲ καὶ μετὰ τὴν τελευτήν, καὶ πολλῷ πλέον τότε. καὶ ταύτην αὐτὸν οὐδεὶς ἀφαιρήσεται τὴν ἀρχήν, ἅτε οὐχ ὑπὸ ἀνθρώπων, ἀλλ' ὑπὸ αὐτῆς χειροτονηθέντα τῆς ἀρετῆς. ἀλλ' ἐβούλου πολυτελῆ φοροῦντα ἱμάτια καὶ ἐφ' ἵππου φερόμενον ὁρᾶν, καὶ πλῆθος ἔχοντα οἰκετῶν, καὶ παρασίτους τρέφοντα καὶ κόλακας; τίνος ἕνεκεν ταῦτα ἤθελες, οὐχ ἡδονὴν αὐτῷ διὰ τούτων ἁπάντων κατασκευάζων; ἂν οὖν ἀκούσῃς αὐτοῦ λέγοντος (ἡμῖν γὰρ ἴσως οὐ πείσῃ) ὅτι τῶν ἐν τρυφῇ ζώντων, καὶ πορνείαις, καὶ μουσικῇ, καὶ παρασίτοις, καὶ κόλαξι, καὶ τῇ ἄλλῃ βλακείᾳ, τοσούτῳ τὸν βίον ἡγεῖται τοῦτον ἡδίω, ὡς ἑλέσθαι μυρίους θανάτους πολλάκις, εἴ τις κελεύοιτο ταύτην τὴν ἡδονὴν ἀφέντα πρὸς ἐκείνην μεταπηδῆσαι, τί πρὸς ταῦτα ἐρεῖς; οὐκ οἶδας ὅσην ὁ ἀπράγμων βίος ἔχει τὴν ἡδονήν; τάχα οὐδὲ ἄλλος ἀνθρώπων οὐδείς, ἅτε μηδέπω ταύτης γευσάμενος καθαρῶς. ὅταν δὲ καὶ λαμπρότης προσῇ, καὶ τὰ ἄμικτα ταῦτα πάλιν συνέρχηται, ἀσφάλειά τε καὶ εὐδοκίμησις, τί ταύτης βέλτιον γένοιτ' ἂν τῆς ζωῆς; ἀλλὰ τί μοι ταῦτα διαλέγῃ, φησί, πόρρω φιλοσοφίας ἑστῶτι; τί οὖν καὶ τὸν υἱὸν κωλύεις γενέσθαι ταύτης ἐγγύς; ἀρκεῖ μέχρι σοῦ στῆναι τὰ τῆς ζημίας. οὐχ ἡγῇ μεγίστην εἶναι ζημίαν, ὅταν πρὸς ἔσχατον γῆρας ἐλάσαντες, ἅτε μηδὲν ἐπὶ τῆς προτέρας ἡλικίας καρπωσάμενοι χρηστόν, δυσχεραίνητε πρὸς τὸ γῆρας; καὶ μὴν διὰ τοῦτό, φησιν, αὐτὸ δυσχεραίνομεν, ὅτι μεγάλα ἡμᾶς ὤνησεν ἡ νεότης. ποῖα μεγάλα; δεῖξον ἔχοντα τὸν γέροντα τὰ μεγάλα ἐκεῖνα. εἰ γὰρ εἶχεν αὐτά, καὶ μεμενήκει διαρκῆ, οὐκ ἂν ὡς ἔρημος ὢν ἁπάντων τούτων, οὕτως ὠδύρετο. εἰ δὲ ἀπέπτη καὶ ἐμαράνθη, ποῖα μεγάλα τὰ οὕτω ταχέως σβεννύμενα; ἀλλ' οὐχ ὁ παῖς τοῦτο πείσεται ὁ σός· ἀλλ', εἴ ποτε εἰς γῆρας ἔλθοι μακρόν, οὐκ ὄψει ταῦτα ἀποδυσπετοῦντα, ἅπερ καὶ ὑμεῖς, ἀλλὰ χαίροντα καὶ γανύμενον καὶ ἀγαλλόμενον. τὰ γὰρ ἀγαθὰ αὐτῷ τότε ἀκμάζει μᾶλλον. ὁ δὲ πλοῦτος ὁ ὑμέτερος, κἂν μυρία ἀγαθὰ κεκτημένος ᾖ, ἐπὶ τῆς προτέρας αὐτὰ συνέστειλεν ἡλικίας. τοῦτο δὲ οὐχ οὕτως, ἀλλὰ μένει καὶ ἐν γήρᾳ, ἀλλὰ μετὰ τὴν τελευτὴν καὶ συναπέρχεται. διὰ ταῦτα ὑμεῖς μὲν τὴν οὐσίαν ὑμῖν αὐξανομένην ὁρῶντες ἐν γήρᾳ, καὶ πολλὰς καὶ δόξης καὶ τρυφῆς ὑποθέσεις ἔχοντες, ἐπηρεάζεσθε, ἅτε οὐκ ἀρκούσης τῆς ἡλικίας πρὸς τὴν ἀπόλαυσιν. διὰ τοῦτο καὶ πρὸς τὴν τελευτὴν φρίττετε, καὶ πάντων ἐλεεινότεροι εἶναί φατε τότε μάλιστα, ὅταν εὐδοκιμῆτε. ἐκεῖνος δὲ τότε ἀναπαύσεται μάλιστα, ὅταν γηράσῃ, ἅτε εἰς λιμένα ἐπειγόμενος ἐλθεῖν, καὶ νεότητα μὲν ἀεὶ ἀκμάζουσαν, εἰς γῆρας δὲ οὐδέποτε ἐπείγουσαν. σὺ δὲ τοιαύτην τρυφὴν τὸν υἱὸν ἐβούλου τρυφᾶν, δι' ἣν ἂν μετενόησε μυριάκις καὶ ἤλγησεν ἐν γήρᾳ γενόμενος. ἀλλὰ μὴ γένοιτο μηδὲ τοῖς ἐχθροῖς τοῖς ὑμετέροις τοιαῦτα τρυφῆσαί ποτε. καὶ τί λέγω τὸ γῆρας; ἐν γὰρ ἡμέρᾳ μιᾷ σβέννυται τὰ τῆς ἡδονῆς ἐκείνης· μᾶλλον δὲ οὐκ ἐν ἡμέρᾳ, οὐδὲ ἐν ὥρᾳ, ἀλλὰ καὶ ἐν μικρᾷ καὶ ἀκαριαίᾳ ῥοπῇ. τί γάρ ἐστιν ἡδονή; οὐ τὸ γαστρίζεσθαι, καὶ Συβαριτικὰς παρατίθεσθαι τραπέζας, καὶ γυναιξὶν ὡραίαις συγγίνεσθαι, καθάπερ τινὰς χοίρους ἐν βορβόρῳ κυλινδουμένους; ἀλλὰ γὰρ μήπω τοῦτο· τὴν δὲ ἡδονὴν ἐξετάσωμεν τέως, εἰ μὴ ψυχρά τις ἐστὶ καὶ εὐτελής· καί, εἰ βούλει, πρώτην τὴν ἡδίω δοκοῦσαν εἶναι τὴν τῆς τρυφῆς. δεῖξον οὖν μοι τὸν ταύτης καιρόν, καὶ πόσον κατέχειν ὑμᾶς δύναιτ' ἂν μέρος ἡμέρας. τοσοῦτον, ὅσον οὐδὲ ὀφθῆναι καλῶς. ἅμα τε γὰρ ἐνεπλήσθη τις, καὶ τὴν ἡδονὴν ἔσβεσε, καὶ περὶ τῆς πλησμονῆς δέ, ῥεύματος θᾶττον παρέρχεται, πρὸς αὐτὸν ἀφανιζομένη τὸν λαιμόν, καὶ οὐδὲ τοῖς σιτίοις ἀρκοῦσα συγκατελθεῖν. ὁμοῦ τε γὰρ παρῆλθε τὴν γλῶτταν, καὶ συγκατέλυσε τὴν ἰσχύν. καὶ σιωπῶ τὰ λοιπὰ κακά, καὶ ὅσος ἀπὸ ταύτης γίνεται τῆς τρυφῆς ὁ χειμών. οὐ γὰρ μόνον ἡδίων ὁ μὴ τρυφήσας, ἀλλὰ καὶ κουφότερος, καὶ ῥᾷον διακείσεται τοῦ διασπασθέντος ὑπὸ τῆς πλησμονῆς. Ὕπνος γάρ, φησιν, ὑγείας ἐν σπλάγχνῳ μετρίῳ. τί δεῖ λέγειν τὰς νόσους, τὰς ἀηδίας, τὰς συμφοράς, τὰς δαπάνας τὰς εἰκῆ; ὅσαι αἱ αἰτιάσεις, ὅσαι αἱ ἐπιβουλαί, ὅσαι αἱ ἀπὸ τούτων ἐπήρειαι τῶν συμποσίων βλαστάνουσιν;

Ἀλλὰ τὸ πόρναις γυναιξὶν ὁμιλεῖν ἡδύ. καὶ ποία μετὰ τοσαύτης αἰσχύνης ἡδονὴ γένοιτ' ἄν; μάλιστα δὲ μηδὲ ἐνταῦθα τοῦτο ἐξετάζωμεν τέως, μηδὲ τὰς ἐκ τῶν ἐραστῶν μάχας, μηδὲ τοὺς ἐκ τῶν ἀντεραστῶν πολέμους, μηδὲ τὰς κατηγορίας. ἀλλ' ἔστω τις μετ' ἐξουσίας ἀπολαύων τῆς ἀσελγείας ἐκείνης, καὶ μήτε ἀντεραστὴν ἐχέτω, μήτε ὑπεροράσθω παρὰ τῆς ἐρωμένης· τά τε χρήματα, ὥσπερ ἐκ πηγῶν, ἀναλισκέτω· καίτοι οὐδαμοῦ ταῦτα συμβεβηκέναι πάντα ἂν δυνατόν. ἀλλὰ δεῖ τὸν μὲν μὴ μέλλοντα ἔχειν ἀντεραστήν, τὴν οὐσίαν καταλῦσαι πᾶσαν, νικῶντα τῇ φιλοτιμίᾳ τοὺς ἄλλους ἅπαντας· τὸν δὲ μὴ βουλόμενον ἀπορεῖν, ὑπερορᾶσθαι παρὰ τῆς πόρνης καὶ διαπτύεσθαι πάλιν. πλὴν ἀλλὰ μηδὲν ἔστω τούτων· ἀλλὰ πάντα αὐτῷ κατὰ νοῦν προχωρείτω. ποῦ τὴν ἐκ τούτων ἡδονὴν ἐπιδεῖξαι ἔχεις ἡμῖν; οὐδὲ γὰρ ἂν ἐν αὐτῷ τῷ τῆς μίξεως φανεῖται καιρῷ. ἀλλ' ὁ μὲν πληρώσας τὴν συνουσίαν, καὶ τὴν ἡδονὴν ἔσβεσεν· ὁ δὲ ἐν τῇ μίξει ὤν, οὐκ ἔστιν ἐν ἡδονῇ, ἀλλ' ἐν θορύβῳ καὶ ταραχῇ καὶ οἴστρῳ καὶ μανίᾳ καὶ κλόνῳ πολλῷ καὶ βρασμῷ. ἀλλ' οὐχ ἡ παρ' ἡμῖν ἡδονὴ τοιαύτη (μὴ γένοιτο) ἀλλὰ διαπαντὸς ἀχείμαστον τηρεῖ τὴν ψυχήν, καὶ θόρυβον οὐδένα, οὐδὲ κλόνον ἐπάγει· καθαρὰν δέ τινα εὐφροσύνην καὶ εἰλικρινῆ καὶ ἔνδοξον καὶ τέλος οὐκ ἔχουσαν, δυνατωτέραν τε πολλῷ καὶ σφοδροτέραν τῆς παρ' ὑμῖν. ὅτι γὰρ ἡδίων αὕτη ἡ ἡδονή· τὴν μὲν ὑμετέραν ἱκανὸς ἀποστῆσαι φόβος. κἂν βασιλεὺς γράμματα καταπέμψῃ θάνατον ἀπειλοῦντα, τὸ πλέον τῶν ἀνθρώπων ἐκστήσεται ταύτης τῆς ἡδονῆς· ἐκείνης δέ, κἂν μυρίους θανάτους τις ἐπιφέρῃ, οὐ πείσει καταφρονεῖν, ἀλλὰ καὶ ἡσθήσεται μᾶλλον. οὕτω τυραννικωτέρα τε αὕτη ἐστὶν ἐκείνης καὶ ἡδίων, καὶ οὐδ' ἂν σύγκρισιν δέξαιτο πρὸς ἐκείνην. μὴ δὴ βασκήνῃς τῷ παιδί, ἀπὸ τῶν ῥεόντων ἀγαθῶν, μᾶλλον δὲ οὐδὲ ὄντων, ἐπὶ τὰ ὄντα καὶ μένοντα διαβαίνοντι· μηδὲ θρήνει τὸν μακαρίζεσθαι ἄξιον, ἀλλ' εἴ τις μὴ τοιοῦτος, καθάπερ ἐν εὐρίπῳ τῷ παρόντι βίῳ φερόμενος. καὶ τὸ δὲ κεφάλαιον· εἰ γὰρ καὶ ἄπιστος σὺ καὶ Ἕλλην, ὅμως κἂν τοῦτον παραδέξῃ τὸν λόγον. ἀκούεις Κωκυτὸν πάντως, καὶ Πυριφλεγέθοντας ποταμούς, καὶ Στυγὸς ὕδωρ, καὶ τάρταρον, τοσοῦτον ἀπέχοντα τῆς γῆς, ὅσον αὕτη τοῦ οὐρανοῦ, καὶ πολλοὺς κολάσεων τρόπους. εἰ γὰρ καὶ μετὰ ἀληθείας, ὡς ἔχει ταῦτα, εἰπεῖν οὐκ ἠδυνήθησαν Ἕλληνες, ἅτε ἀπὸ λογισμῶν κινηθέντες, καὶ παρακουσμάτων τῶν παρ' ἡμῖν, ἀλλ' ὅμως εἰκόνα τινὰ κρίσεως ἔλαβον, καὶ ποιητὰς καὶ φιλοσόφους καὶ λογοποιοὺς καὶ πάντας εὑρήσεις παρὰ τούτων φιλοσοφοῦντας τῶν δογμάτων.

γρ. ἐπὶ

γρ. ἴσ'

γρ. δέξεται

γρ. μηδὲ

γρ. περιφ.

ἀκούεις δὲ τὸ Ηλύσιον πεδίον, καὶ μακάρων νήσους, καὶ λειμῶνας, καὶ μυρσίνας, καὶ λεπτὴν αὔραν, καὶ εὐωδίαν πολλήν, τὰς χορείας ἐκεῖ διατρίβοντας, τὰς λευκὴν περιβεβλημένους στολήν, χορεύοντάς τε καὶ ᾄδοντας ὕμνους τινάς, καὶ ὅλως καὶ πονηροῖς καὶ ἀγαθοῖς ἀποκειμένην ἀντίδοσιν μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν. πῶς οὖν οἴει μετὰ τοιούτων βιοῦν τῶν λογισμῶν τούς τε ἀγαθούς, τούς τε οὐ τοιούτους; οὐχ οἱ μὲν ταῦτα στρέφοντες, κἂν ἀλύπως αὐτοῖς καὶ μετὰ πολλῆς τῆς ἡδονῆς τὰ τοῦ παρόντος παραχωρῇ βίου, καθάπερ ὑπό τινος ἐλαύνονται μάστιγος, τοῦ συνειδότος, καὶ τῆς προσδοκίας τῶν δεξομένων αὐτοὺς δεινῶν; οἱ δὲ ἀγαθοί, κἂν μυρία πάσχωσι κακά, κατὰ Πίνδαρον, ἐλπίδα κουροτρόφον ἔχουσιν, οὐκ ἀφιεῖσαν τὴν τῶν παρόντων κακῶν αἴσθησιν λαβεῖν; ὥστε καὶ κατὰ τοῦτο μείζων ἐκείνη ἡ ἡδονή. πολλῷ γὰρ βέλτιον ἀπὸ πόνων προσκαίρων ἀρξάμενον πρὸς ἀνάπαυσιν ἄπειρον τελευτᾶν, ἢ τῶν δοκούντων εἶναι ἡδίστων ἐν βραχεῖ γευσάμενον, ἐπὶ τὰ πικρότερα καὶ φορτικώτερα λῆξαι κακά. ὅταν δὲ πρὸς τούτῳ καὶ ὡμολογημένον ᾖ, ὅτι καὶ ἐνταῦθα οὗτος ὁ βίος ἡδίων, οὐχὶ τοῦτο, ὅπερ ἀρχόμενος ἔφην, ἀνάγκη νῦν ποιεῖν, ἐλεεῖν τοὺς τὰ τοιαῦτα δακρύοντας ἀγαθά; οὐ δὴ θρήνων ἄξιος ὁ παῖς ὁ σός, ἀλλὰ κρότων καὶ στεφάνων, ἐπὶ τὴν ἀκύμαντον ζωὴν καὶ τὸν εὔδιον λιμένα ἐλθών. ἀλλ' ὀνειδίζουσί" σε πατέρες πολλοὶ υἱοὺς ἔχοντες ἐν τῷ παρόντι" στεφανουμένους βίῳ, καὶ" δακρύουσί σε, ὅταν ἴδωσιν, ἕτεροι, καὶ γελῶσιν ἄλλοι. διὰ τί δὲ μὴ τούτους σὺ μᾶλλον καταγελᾷς καὶ πενθεῖς; μὴ γὰρ δὴ τοῦτο σκοπῶμεν, εἰ σκώπτουσιν ἡμᾶς· ἀλλ' εἰ καλῶς καὶ δικαίως. κἂν μὲν τοῦτο ᾖ, καὶ μὴ γελώντων ἐκείνων ἡμεῖς δακρύωμεν· ἐὰν δὲ ἀδίκως τοῦτο πράττωσι, κἂν ἅπαντες γελῶσιν, ἡμεῖς μὲν ἑαυτοὺς μακαρίζωμεν, ἐκείνους δὲ θρηνῶμεν, ἅτε πάντων ἀθλιωτέρους ὄντας, καὶ τῶν μαινομένων οὐδὲν διαφέροντας. τὸ γὰρ γελᾶν τὰ πολλῶν ἐπαίνων ἄξια καὶ στεφάνων, μαινομένων ἐστί, καὶ τῶν τὰ αὐτὰ νοσούντων αὐτοῖς. εἰπὲ γάρ μοι· εἰ περὶ τὴν τῶν ἐργαζομένων καὶ τὴν τῶν ἡνιόχων μανίαν ἐπτοημένου τοῦ παιδός, ἐπῄνουν σε καὶ ἐθαύμαζον ἅπαντες, καὶ μακαριστὸν εἶναι ἔλεγον, οὐχὶ χλεύην εἶναι τὸ πρᾶγμα ἐνόμισας; τί δέ, εἰ γυναικῶν τι καὶ ἐπαίνων ἄξιον πράττοντος ἔργων ἐκεῖνοι καὶ ὠνείδιζον, οὐχὶ παραπαίειν αὐτοὺς ἂν ἔφης; τοῦτο δὴ ποιῶμεν καὶ νῦν, μὴ τῇ τῶν πολλῶν ὑπονοίᾳ, ἀλλ' ἀκριβεῖ λογισμῶν ἐξετάσει, τὴν περὶ τοῦ παιδὸς ἐπιτρέποντες ψῆφον· καὶ ὄψει τοὺς γελῶντας τούτους ἀνδραπόδων μᾶλλον, ἢ ἐλευθέρων, ὄντας παίδων πατέρας, ὅταν πρὸς τὸν υἱὸν ἐξετάζωνται ἐκεῖνοι τὸν σόν. νῦν μὲν γὰρ ὑπὸ τοῦ πάθους σκοτούμενος, οὐδὲ διαβλέψαι πρὸς ταῦτα δυνήσῃ· ὅταν δὲ μικρὸν ἀναπαύσῃ, καὶ ὁ υἱὸς πολλὴν ἐπιδείξηται τὴν ἀρετήν, οὐκ ἔτι σοι λόγων δεήσῃ, ἀλλὰ ταῦτα σὺ πρὸς ἑτέρους ἐρεῖς, καὶ πλείονα τούτων· καὶ οὐχ ἁπλῶς σοι ταῦτα μαντεύομαι, ἀλλ' ἀπὸ τῆς πείρας αὐτῆς. καὶ γὰρ ἐμοὶ γέγονεν ἑταῖρος, πατέρα ἄπιστον ἔχων πλουτοῦντα, καὶ εὐδόκιμον, καὶ πάντοθεν λαμπρόν. καὶ οὗτος ὁ πατὴρ τὸ μὲν πρῶτον καὶ ἄρχοντας ἐκίνησε, καὶ δεσμὰ ἠπείλησε, καὶ πάντων αὐτὸν ἀποδύσας, ἐπὶ τῆς ἀλλοτρίας εἴασε γῆς καὶ τῆς ἀναγκαίας δεόμενον τροφῆς, ὡς ταύτῃ πείσων πρὸς τὴν βιωτικωτέραν ζωὴν ἐπανελθεῖν. ἐπειδὴ δὲ εἶδε πρὸς οὐδὲν τούτων ἐνδόντα, ἡττηθεὶς παλινῳδίαν ᾖσε, καὶ νῦν τιμᾷ τὸν υἱόν, καὶ αἰδεῖται μᾶλλον πατρός· καὶ πολλοὺς ἔχων ἑτέρους παῖδας εὐδοκιμοῦντας, οὔτε δούλους ἐκείνους τούτου φησὶν εἶναι ἐπιτηδείους, καὶ αὐτὸς δὲ πολλῷ λαμπρότερός ἐστι διὰ τὸν υἱόν. ταῦτα καὶ ἐπὶ τοῦ παιδὸς ὀψόμεθα τοῦ σοῦ. καὶ ὅτι οὐ ψεύδομαι, διὰ τῶν ἔργων αὐτῶν εἴσῃ καλῶς. διὸ σιγήσομαι λοιπόν, τοσοῦτόν σου δεηθείς· ἐνιαυτὸν ἀνάμεινον μόνον, ἢ καὶ ἐλάττονα χρόνον (οὐδὲ γὰρ δεῖται πολλῶν ἡμερῶν ἡ παρ' ἡμῖν ἀρετή, ἅτε δὴ θείᾳ βλαστάνουσα χάριτι) καὶ ὄψει πάντα τὰ εἰρημένα ἐπὶ τῶν πραγμάτων αὐτῶν δεικνύμενα· καὶ οὐ μόνον ἐπαινέσεις τὰ γεγενημένα, ἀλλὰ κἂν μικρὸν διαναστῆναι θελήσῃς, ταχέως καὶ πρὸς τὸν αὐτὸν ἥξεις ζῆλον ἐκείνῳ, διδάσκαλον ἔχων τῆς ἀρετῆς τὸν υἱόν.

ΠΡΟΣ ΠΙΣΤΟΝ ΠΑΤΕΡΑ

Φέρε δὴ λοιπὸν καὶ τὸν πιστὸν πατέρα διδάξωμεν, ὅτι τοῖς ἐνάγουσιν αὐτοῦ τὸν υἱὸν πρὸς τὸ τῷ Θεῷ δουλεύειν πολεμεῖν οὐ χρή. καίτοιγε κινδυνεύει λοιπὸν καὶ περιττὸς ἡμῖν ἐκ περιουσίας ὁ λόγος γίνεσθαι, καὶ τοὐναντίον ἐκβαίνειν, ὅπερ ἔμπροσθεν ἔλεγον. τότε μὲν γὰρ ἔφην, ὅτι με τοῦ ἀγῶνος τούτου ὁ νόμος οὐκ ἀναγκάζει πρὸς τὸν ἕλληνα ἀποδύσασθαι, ἀλλὰ τοὺς ἔσω κρίνειν μόνον κελεύσας ὁ ἀπόστολος Παῦλος, τῆς πρὸς τοὺς ἔξωθεν μάχης ἀφῆκεν ἐλευθέρους ἡμᾶς. νυνὶ δὲ, ὡς ἔοικεν, οὐδὲ τούτων ἐσμὲν ὑπεύθυνοι τῶν παλαισμάτων. Εἰ γὰρ καὶ περὶ τούτου πρὸς τὸν χειρισμὸν ὑπὲρ τούτων διαλέγεσθαι αἰσχρὸν εἶναι ἐδόκει, πολλῷ μᾶλλον νῦν. πῶς γὰρ οὐ καταδύσεται ὁ πιστὸς ὑπὲρ τούτων δεόμενος παραινέσεως, ὑπὲρ ὧν οὐδὲν ἂν ἡμῖν ἀντειπεῖν ὁ ἄπιστος ἔχοι; τί οὖν; σιγήσομεν διὰ τοῦτο, καὶ οὐδὲν ἐροῦμεν; οὐδαμῶς. Εἰ γὰρ ἦν τις ὁ τὸ μέλλον ἐγγυησόμενος καὶ καταστήσων δῆλον ἡμῖν, ὡς οὐδεὶς ἔσται λοιπὸν ὁ τὰ τοιαῦτα τολμήσας, καὶ ἡμᾶς ἔδει τὴν ἡσυχίαν ἄγειν, καὶ τοῖς παρελθοῦσι χαρίσασθαι τὸ λαθεῖν. ἐπεὶ δὲ οὐδένα τούτων ἀξιόπιστον ἔχομεν ἐγγυητὴν, ἀναγκαία λοιπὸν ἡ τῶν λόγων παραίνεσις. ἂν μὲν γὰρ εὕρῃ τοὺς ταύτην νοσοῦντας τὴν νόσον, ἐργάσεται τὸ αὐτῆς· ἂν δὲ μηδεὶς τῇ ἀρρωστίᾳ περιπέσῃ, ὅπερ εὐχόμεθα γένοιτο. καὶ γὰρ τοῖς ἰατροῖς μετὰ τὸ παρασκευάσασθαι τοῖς ἀρρωστοῦσι τὰ φάρμακα, εὐχῆς ἔργον ἐστὶ μηδὲ εἰς χρείαν αὐτῶν καταστῆναι τὸν κάμνοντα. καὶ ἡμεῖς τοίνυν εὐχόμεθα μὲν μηδενὶ τῶν ἀδελφῶν τῶν ἡμετέρων χρείαν ταύτης γενέσθαι τῆς παραινέσεως· εἰ δὲ ἄρα γένοιτο, ὃ μὴ γένοιτο, ὁ δεύτερος κατὰ τὴν παροιμίαν αὐτοὺς οὐ διαφεύξεται πλοῦς. Διαπλαττέσθω τοίνυν καὶ ὁ πιστὸς ἡμῖν ἤδη τοιοῦτος, οἷος ὁ ἄπιστος, καὶ πάντα ἐκείνῳ προσεοικέτω, πλὴν τῆς περὶ τὸ θεῖον δόξης· καὶ θρηνείτω ὅμοια, καὶ προσκυλινδείσθω τῶν ποδῶν τῶν ἁπάντων, καὶ τὴν πολιὰν προβαλλέσθω καὶ τὸ γῆρας καὶ τὴν ἐρημίαν, καὶ πάντα ἐκεῖνα λεγέτω, καὶ κινείτω πρὸς ὅσον βούλεται ὀργῆς τοὺς δικάζοντας. μᾶλλον δὲ καὶ πρὸς τοῦτον οὐκ ἔτι ἡμῖν ἐπ' ἀνθρώπων ἐστὶν ἡ δίκη. ἤκουσε γὰρ, ὅσα ἐφιλοσόφησαν πρὸ ἡμῶν οἱ τοῦ θείου πληρωθέντες πνεύματος ἄνθρωποι περὶ τοῦ φρικτοῦ καὶ φοβεροῦ δικαστηρίου τοῦ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν· καὶ δεῖ πρὸ τῶν ἄλλων ἁπάντων, ἐκείνης αὐτὸν ἀναμνῆσαι τῆς ἡμέρας, καὶ τοῦ ποταμηδὸν ῥέοντος πυρὸς, τῆς οὐδέποτε σβεννυμένης φλογὸς, τῆς ἀφανιζομένης ἀκτῖνος, τῆς κρυπτομένης σελήνης, τῶν πιπτόντων ἄστρων, τῶν ἑλισσομένων οὐρανῶν, τῶν κλονουμένων δυνάμεων, τῆς τινασσομένης πανταχόθεν καὶ ἀναβρασσομένης γῆς, τῆς φοβερᾶς καὶ ἐπαλλήλου τῶν σαλπίγγων ἠχῆς, τῶν διατρεχόντων τὴν οἰκουμένην ἀγγέλων, τῶν παρεστηκυιῶν χιλιάδων, τῶν λειτουργουσῶν μυριάδων, τῶν μετ' αὐτοῦ τοῦ κριτοῦ παραγινομένων στρατοπέδων, τοῦ ἔμπροσθεν λάμποντος σημείου τοῦ τιθεμένου θρόνου, τῶν ἀνοιγομένων βίβλων, τῆς ἀπροσίτου δόξης, τῆς φοβερᾶς καὶ φρικτῆς τοῦ δικάζοντος φωνῆς, τοὺς μὲν εἰς τὸ πῦρ πέμποντος τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, τοὺς δὲ τῶν θυρῶν ἀποκλείοντος μετὰ τὸν πολὺν τῆς παρθενίας πόνον, καὶ τῶν διακόνων αὐτοῦ τοῖς μὲν ἐπιτάττοντος τὰ ζιζάνια δῆσαι καὶ εἰς τὴν κάμινον ἐμβαλεῖν, τοῖς δὲ ἄλλους τινὰς συμποδίσαι καὶ τὼ χεῖρε στραγγαλῶσαι, καὶ ἀπαγαγεῖν εἰς τὸ σκότος τὸ ἐξώτερον, καὶ τῷ ἀνηκέστῳ παραδοῦναι τῶν ὀδόντων βρυγμῷ· καὶ τὸν μὲν ὑπὲρ ἀκολάστων ὀφθαλμῶν μόνον, τὸν δὲ ὑπὲρ ἀκαίρου γέλωτος, τὸν δὲ ὅτι τὸν πλησίον κατεδίκαζεν ἀνεξετάστως, τὸν δὲ ὅτι μόνον κατηγόρησε σφοδροτάτῃ καὶ χαλεπωτάτῃ μετιόντος κολάσει. ὅτι γὰρ καὶ τούτων κεῖται τιμωρία, αὐτοῦ τοῦ μέλλοντος ἐπάγειν τὰ βασανιστήρια ἐστὶν ἀκοῦσαι λέγοντος καὶ ἀπειλοῦν-

α. Κορ. ε. ιβ.

ἴσ. ἔμπρ

γ. ἐλάσ

γ. εὕροι

γ. τὸ φάρμακον

γ. διαπτύων

γ. τῶν δυνάμεων

γ. ταῖς δ'

τος. πρὸς τοῦτον ἅπαντας ἡμᾶς ἐντεῦθεν ἀπελθεῖν ἀνάγκη, τὸ δικαστήριον, καὶ τὴν ἡμέραν ἐκείνην ἰδεῖν, καθ' ἣν γυμνὰ καὶ τετραχηλισμένα πάντα, οὐ τὰ πράγματα λέγω, οὐδὲ τὰ ῥήματα μόνον, ἀλλὰ καὶ αὐτὰ τὰ νοήματα. καὶ γὰρ τῶν δοκούντων εἶναι μικρῶν νῦν τότε φοβερὰς ὑφέξομεν τὰς εὐθύνας. οὕτως ὁ κριτὴς μετὰ τῆς αὐτῆς ἀκριβείας τήν τε ἡμετέραν καὶ τὴν τῶν πλησίον ἡμᾶς ἀπαιτεῖ σωτηρίαν. διὰ τοῦτο ὁ Παῦλος πανταχοῦ παραινεῖ μὴ τὸ ἑαυτοῦ ζητεῖν, ἀλλὰ τὸ τοῦ πλησίον ἕκαστον. διὰ τοῦτο καὶ Κορινθίοις σφόδρα ἐπιτιμᾷ, ὅτι μὴ προενόησαν, μηδὲ ἐπεμελήσαντο τοῦ πεπορνευκότος, ἀλλ' ὑπερεῖδον αὐτοῦ τὸ τραῦμα ἐπιτριβόμενον. καὶ Γαλάταις δὲ ἐπιστέλλων ἔλεγεν· Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον. καὶ Θεσσαλονικεῦσι δὲ περὶ τούτων τὰ αὐτὰ ταῦτα παραινεῖ, λέγων· Ὥστε παρακαλεῖτε εἷς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε. καὶ πάλιν, Νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν. ἵνα γὰρ μή τις λέγῃ, τί μοι καὶ τῆς τῶν ἄλλων προνοίας; ὁ ἀπολλύμενος ἀπολλύσθω, καὶ ὁ σωζόμενος σωζέσθω, οὐδὲν τούτων πρὸς ἐμέ, τὰ ἐμαυτοῦ σκοπεῖν ἐπιτέταγμαι· ἵνα μή τις ταῦτα λέγῃ, τὴν θηριώδη ταύτην καὶ ἀπάνθρωπον ἔννοιαν ἀναιρῶν, ἐπετείχισεν αὐτῇ τούτους τοὺς νόμους, πολλὰ τῶν οἰκείων κελεύων ὑπερορᾷν, ὥστε τὰ τῶν πλησίον ἱστᾷν, καὶ βίου ταύτην ἀκρίβειαν πανταχοῦ εἶναι διορίζεται. καὶ Ῥωμαίοις δὲ γράφων, πολλὴν τοῦ μέρους τούτου κελεύει ποιεῖσθαι πρόνοιαν, τοὺς ἰσχυροὺς τοῖς ἀσθενέσιν ὥσπερ πατέρας ἐφιστάς, καὶ μεριμνᾷν ἀναπείθων τὴν σωτηρίαν αὐτῶν. ἀλλ' ἐνταῦθα μὲν, ἐν παραινέσεως τάξει καὶ συμβουλῆς ταῦτά φησιν· ἑτέρωθι δὲ, καὶ μετὰ πολλῆς τῆς σφοδρότητος τὰς τῶν ἀκουόντων κατασείει ψυχάς. τοὺς γὰρ ἀμελοῦντας τῆς τῶν ἀδελφῶν σωτηρίας εἰς αὐτὸν ἁμαρτάνειν φησὶ τὸν Χριστόν, καὶ τοῦ Θεοῦ κατασκάπτειν τὴν οἰκοδομήν. καὶ ταῦτα οὐ παρ' ἑαυτοῦ, ἀλλὰ παρὰ τοῦ διδασκάλου μαθὼν ἔλεγε. καὶ γὰρ ὁ τοῦ Θεοῦ μονογενὴς διδάξαι βουλόμενος, ὡς ἀναγκαῖον τοῦτό ἐστι τὸ ὄφλημα, καὶ τοὺς μὴ βουλομένους αὐτὸ καταθεῖναι μεγάλα ἐκδέξεται κακά, ἔλεγεν· Ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων, συμφέρει αὐτῷ, ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης. καὶ ὁ τὸ τάλαντον δὲ προσενεγκὼν, οὐχ ὅτι τῶν οἰκείων τι παρεῖδεν, ἀλλ' ὅτι τῆς τῶν πλησίον σωτηρίας ἠμέλησεν, ἐκείνῃ τῇ τιμωρίᾳ κολάζεται. ὥστε, κἂν ἅπαντα ἡμῖν καλῶς ᾖ διηκριβωμένα τὰ κατὰ τὸν ἡμέτερον βίον, οὐδὲν ὄφελος ἡμῖν, ταύτης τῆς ἁμαρτίας ἱκανῆς οὔσης ἡμᾶς εἰς τὸ τῆς γεέννης καταποντίσαι πέλαγος. εἰ γὰρ τοὺς ἐν τοῖς σωματικοῖς μὴ βουληθέντας βοηθεῖν τῷ πλησίον οὐδεὶς ἐξαιρήσεται λόγος, ἀλλὰ, κἂν παρθενίαν ἠσκηκότες ὦσιν, ἔξω τοῦ ῥιφήσονται τοῦ νυμφῶνος, ὁ τὸ πολλῷ μεῖζον ἐκλελοιπὼς (πολλῷ γὰρ μεῖζον ἡ τῆς ψυχῆς προστασία) πῶς οὐκ εἰκότως ἅπαντα πείσεται τὰ δεινά; τὸν γὰρ ἄνθρωπον οὐχ ἑαυτῷ μόνον αὐταρκεῖν κατεσκεύασεν ὁ Θεός, ἀλλὰ καὶ ἑτέροις πολλοῖς. διὰ τοῦτο καὶ φωστῆρας ὁ Παῦλος καλεῖ τοὺς πιστούς, ἐνδεικνύμενος ὅτι καὶ ἑτέροις χρησίμους εἶναι δεῖ αὐτούς. ὁ γὰρ φωστὴρ, ἕως ἂν ἑαυτὸν φωτίζῃ μόνον, οὐκ ἂν εἴη φωστήρ. διὰ τοῦτο καὶ ἑλλήνων εἶναι χείρους φησὶ τοὺς τῶν πλησίον ἀμελοῦντας, οὑτωσὶ λέγων· Εἰ δέ τις τῶν ἰδίων, καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων. τί γὰρ βούλει τὴν πρόνοιαν ἐνταῦθα δηλοῦσθαι; ἆρα τὴν τῶν ἀναγκαίων χορηγίαν; ἐγὼ μὲν γὰρ αὐτὸν οἶμαι τὴν τῆς ψυχῆς ἐπιμέλειαν λέγειν. εἰ δὲ φιλονεικοίης, καὶ οὕτω τὸ ἐμὸν στήσεται μᾶλλον. εἰ γὰρ περὶ σώματος ταῦτά φησι, καὶ τὸν μὴ παρέχοντα τὴν ἐφήμερον ταύτην τροφὴν τοσαύτῃ κολάσει παρέδωκε, καὶ τῶν ἑλλήνων ἔφησεν εἶναι χείρω, ποῦ κείσεται ὁ τὸ μεῖζον καὶ ἀναγκαιότερον παρορῶν;

α. Κορ ι κδ.
Γαλ. ϛ. α.
α. Θεσ. ε. ια. ιδ.
α. Κορ. η. ιβ.
Ματθ ιη. ϛ.
Φιλιπ. β. ιε.
α. Τιμ. ε. η

Φέρε οὖν, συλλογισώμεθα λοιπὸν τῆς ἁμαρτίας ἡμῶν τὸ μέγεθος, καὶ κατὰ μικρὸν ἀναβαίνοντες δείξομεν, ὅτι πολλῷ τῶν ἐπέκεινα τῶν ἁμαρτημάτων ἐστὶν ἡ περὶ τοὺς παῖδας ὀλιγωρία, καὶ πρὸς αὐτὴν ἥκει τῆς πονηρίας τὴν κορυφήν. ἔστι τοίνυν πρῶτος κακίας καὶ πονηρίας βαθμὸς καὶ ὠμότητος, τὸ τοὺς φίλους περιορᾶν. μᾶλλον δὲ κατωτέρω τὸν λόγον ἀγάγωμεν. τοῦτο γὰρ οὐκ οἶδ' ὅπως μικροῦ δεῖν με παρέλαθεν, ὅτι ὁ πρότερος νόμος, ὁ τοῖς Ἰουδαίοις δοθεὶς, οὐδὲ τὰ ὑποζύγια τῶν ἐχθρῶν ἀφίησι περιορᾶν, οὔτε πεπτωκότα, οὔτε πλανώμενα· ἀλλὰ τὰ μὲν ὁδηγῆσαι, τὰ δὲ συνδιαναστῆσαι κελεύει. ἔστιν οὖν πρῶτος μὲν κάτωθεν ἀναβαίνων κακίας καὶ ὠμότητος βαθμὸς, τὸ τὰ τῶν ἐχθρῶν κτήνη καὶ θρέμματα κακῶς πάσχοντα παρατρέχειν. δεύτερος δὲ μετ' ἐκεῖνον ἀνώτερος, τὸ τῶν ἐχθρῶν ἀμελεῖν. ὅσῳ γὰρ ἄνθρωπος ἀλόγου τιμιώτερος, τοσούτῳ μείζων ἐκείνης αὕτη ἡ ἁμαρτία. τρίτος δὲ μετὰ τοῦτον, τὸ τῶν ἀδελφῶν καταφρονεῖν, κἂν ἀγνῶτες ὄντες τυγχάνωσι. τέταρτος, τὸ τοὺς οἰκείους περιορᾶν. πέμπτος, ὅταν μὴ σώματος αὐτοῖς μόνον, ἀλλὰ καὶ τῆς ψυχῆς ἀπολλυμένης καταφρονῶμεν. ἕκτος, ὅταν μὴ τῶν οἰκείων, ἀλλὰ καὶ τῶν παίδων ἡμῖν διαφθειρομένων ὀλιγωρῶμεν. ἕβδομος, ὅταν μηδὲ ἑτέρους τοὺς ἐπιμελησομένους ζητῶμεν. ὄγδοος, ὅταν καὶ ἀφ' ἑαυτῶν τοῦτο βουλομένους ποιεῖν κωλύωμεν καὶ ἀπείργωμεν. ἔνατος, ὅταν μὴ κωλύωμεν μόνον, ἀλλὰ καὶ πολεμῶμεν. ὥστε εἰ τῷ πρώτῳ καὶ τῷ δευτέρῳ καὶ τρίτῳ τῆς κακίας ταύτης βαθμῷ τοσαύτη κόλασις ἕπεται, τῷ πάντας ἀναβεβηκότι τούτους, τούτῳ δὴ τῷ ὑμετέρῳ, πόσον ἕψεται πῦρ, ἐνάτῳ μετ' ἐκεῖνον τυγχάνοντι; μᾶλλον δὲ οὐκ ἔνατον μόνον, οὐδὲ δέκατον, ἀλλὰ καὶ ἑνδέκατον οὐκ ἄν τις ἁμάρτοι τοῦτον προσειπών. τί δή ποτε; ὅτι οὐ τῇ φύσει πολλῷ μεῖζον τὸ ἁμάρτημα τῶν προειρημένων ἐστὶ μόνον, ἀλλὰ καὶ ἀπὸ τοῦ χρόνου χαλεπώτερον. τί δὲ τοῦτό ἐστι, τὸ ἀπὸ τοῦ χρόνου; ὅτι τὰ αὐτὰ ἁμαρτάνουσιν ἡμῖν νῦν τοῖς ἐν τῷ νόμῳ, οὐ τὰ αὐτὰ κείσεται βασανιστήρια· ἀλλὰ πολλῷ χαλεπώτερα, ὅσῳ καὶ μείζονος ἀπελαύσαμεν δωρεᾶς, καὶ τελεωτέρας διδασκαλίας μετέσχομεν, καὶ πλείονι τετιμήμεθα τιμῇ. ὅταν οὖν καὶ τῇ φύσει καὶ τῷ χρόνῳ σφοδρὸν οὕτω τὸ ἁμάρτημα γίνηται τοῦτο, ἐννόησον ὅσην οἴσει τὴν φλόγα ἐπὶ τὴν τῶν τετολμηκότων αὐτὸ κεφαλήν. καὶ ὅτι οὐχ ἁπλῶς ταῦτα συλλογίζομαι, καὶ ἀπ' αὐτοῦ τοῦ πράγματος ἐπιδείξω τοῦ συμβάντος· ἵν' εἰδῆτε, ὅτι κἂν τὰ ἡμέτερα ἡμῖν ἅπαντα ᾖ διῳκημένα, τῆς δὲ νῦν τῶν παίδων ἀμελοῦντες σωτηρίας, τὴν ἐσχάτην τίσομεν δίκην. ἐρῶ δὲ ὑμῖν τινα λόγον, οὐκ ἐμόν, ἀλλ' ἐν ταῖς θείαις κείμενον γραφαῖς. ἱερεύς τις ἦν παρὰ τοῖς Ἰουδαίοις, μέτριος ἄνθρωπος καὶ ἐπιεικής, Ἠλεὶ τούτῳ ὄνομα ἦν. οὗτος ὁ Ἠλεὶ γενόμενος δύο παίδων πατήρ, καὶ ὁρῶν αὐτοὺς ἐπὶ κακίαν βαδίζοντας, οὐ κατεῖχεν, οὐδὲ ἐκώλυε· μᾶλλον δὲ κατεῖχε μὲν καὶ ἐκώλυεν, οὐ μετὰ πάσης δὲ τοῦτο ἐποίει σπουδῆς. τὰ ἐγκλήματα δὲ τῶν παίδων τούτων ἦν, πορνεία τε καὶ γαστριμαργία. Ἤθελον γάρ, φησι, πρὸ τοῦ καθαγιασθῆναι τὰ κρέα τὰ ἱερά, καὶ τὴν θυσίαν ἀνενεχθῆναι τῷ Θεῷ. ταῦτα δὲ ἀκούων ὁ πατήρ, τιμωρίαν μὲν οὐκ ἐπέθηκε, λόγῳ δὲ καὶ παραινέσει ἐπειρᾶτο τῆς πονηρίας ταύτης ἀπάγειν αὐτούς, καὶ τοιαῦτα συνεχῶς πρὸς αὐτοὺς ἔλεγε ῥήματα· Μή, τέκνα, μὴ ποιῆτε οὕτως· ὅτι οὐκ ἀγαθὴ ἡ ἀκοή, ἣν ἐγὼ ἀκούω περὶ ὑμῶν, τοῦ ποιεῖν τὸν λαὸν μὴ λατρεύειν τῷ Κυρίῳ. ἐὰν ἁμαρτὼν ἁμάρτῃ ἀνὴρ εἰς ἄνδρα, προσεύξονται περὶ αὐτοῦ πρὸς Κύριον· ἐὰν δὲ τῷ Κυρίῳ ἁμάρτῃ ἄνθρωπος, τίς προσεύξεται περὶ αὐτοῦ; καίτοι πολλὴ ἡ τῶν ῥημάτων βαρύτης καὶ ἡ ἐντροπή, καὶ τὸν νοῦν ἔχοντα ἱκανὴ ἀνακτήσασθαι. τό τε γὰρ ἁμάρτημα ἐπῇρε, καὶ φοβερὸν ἔδειξε, τήν τε ἐπικειμένην δίκην ἀφόρητον ἀπέφηνε καὶ φρικτήν· ἀλλ' ὅμως, ἐπειδὴ μὴ πᾶν, ὅσον ἐχρῆν, ἐπεδείξατο, καὶ αὐτὸς μετ' ἐκείνων ἀπώλετο. καὶ γὰρ ἀπειλὰς προσθεῖναι ἐχρῆν, καὶ ἐξ ὄψεως ποιῆσαι τῆς ἑαυτοῦ, καὶ μάστιγας ἐπιθεῖναι, καὶ βαρύτερον πολλῷ χρήσασθαι καὶ χαλεπώτερον. ἐπειδὴ οὖν τούτων οὐδὲν ἐποίησεν, ἑαυτῷ τε κἀκείνοις ἐξεπολέμωσε τὸν Θεὸν καὶ φεισάμενος αὐτοῦ τῶν παίδων ἀκαίρως, μετὰ τῶν παίδων καὶ τὴν ἑαυτοῦ προσαπώλεσε σωτηρίαν. ἄκουσον γοῦν τί φησι πρὸς αὐτὸν ὁ Θεός· μᾶλλον δὲ πρὸς αὐτὸν μὲν οὐκ ἔπ(οὐδὲ γὰρ

α. Βασ. β. ιε.

α. Βασ. β. κδ.

ἀποκρίσεως αὐτὸν ἄξιον ἔκρινεν εἶναι λοιπόν) ἀλλ' ὥσπερ τινὰ οἰκέτην τὰ μέγιστα προσκεκρουκότα, δι' ἑτέρου ποιεῖ μαθεῖν τὰ καταληψόμενα αὐτὸν κακά. τοσαύτη ἦν ἡ τοῦ Θεοῦ τότε ὀργή. ἄκουσον γοῦν τί φησι πρὸς τὸν ἐκείνου μαθητὴν περὶ τοῦ διδασκάλου. καὶ γὰρ καὶ τῷ μαθητῇ, καὶ ἑτέρῳ προφήτῃ, καὶ πᾶσιν ὑπὲρ τῶν ἐκείνου μᾶλλον διελέγετο κακῶν, ἢ ἐκείνῳ. οὕτως αὐτὸν εἰς τέλος ἀπεστρέφετο. τί δὴ οὖν φησι τῷ Σαμουήλ; Ἔγνω ὅτι κακολογοῦντες Θεὸν οἱ υἱοὶ αὐτοῦ, καὶ οὐκ ἐνουθέτει αὐτούς. καὶ οὐχ οὕτω· καὶ μὴν ἐνουθέτησεν. ἀλλ' οὐδὲ νουθεσίαν εἶναι τοῦτό φησιν ὁ Θεός. οὕτως αὐτῆς κατέγνω, ἐπειδὴ τὸ σφοδρὸν οὐκ εἶχε καὶ ἐπιτεταμένον. ὥστε κἂν προνοῶμεν τῶν παίδων, μὴ τοσοῦτον δὲ, ὅσον χρή, οὐδὲ πρόνοια τοῦτ' ἔστιν· ὥσπερ οὖν οὐδ' ἡ τοῦ Ἠλεὶ νουθεσία. εἰπὼν δὲ τὸ ἔγκλημα, καὶ τὴν κόλασιν ἐπάγει μετὰ πολλῆς τῆς ὀργῆς. Ὤμοσα γάρ, φησι, τῷ οἴκῳ Ἠλεί, εἰ ἐξιλάσεται ἡ ἁμαρτία τοῦ οἴκου Ἠλεί, ἢ ἐν θυμιάματι, ἢ ἐν θυσίαις ἕως τοῦ αἰῶνος. Εἶδες ἀγανάκτησιν ἐπιτεταμένην καὶ ἀσύγγνωστον κόλασιν; πάντως αὐτόν, φησιν, ἀπολέσθαι χρή, καὶ οὐκ αὐτὸν μόνον, οὐδὲ τοὺς παῖδας, ἀλλὰ καὶ τὴν οἰκίαν ἅπασαν μετ' ἐκείνου, καὶ οὐδὲν ἔσται φάρμακον, ὃ τὴν πληγὴν ταύτην ἰάσεται. καίτοι πλὴν τῆς εἰς τοὺς παῖδας ῥᾳθυμίας οὐδὲν ἕτερον εἶχεν ἐγκαλεῖν ὁ Θεὸς τῷ πρεσβύτῃ τότε ἐκείνῳ, ἀλλ' ἦν ἅπαντα τὰ ἄλλα θαυμαστός· καὶ τὴν φιλοσοφίαν αὐτοῦ πᾶσαν οὐκ ἐκ τῶν ἄλλων μόνον, ἀλλὰ καὶ ἀπ' αὐτῶν τῶν μετὰ τὴν συμφορὰν ταύτην ἐπισυμβάντων ἐστὶν ἰδεῖν. πρότερον μὲν γάρ, ἐπειδὴ ταῦτα πάντα ἤκουσε, καὶ πρὸς ἔσχατον τιμωρίας ἥκοντα εἶδεν ἑαυτόν, οὐκ ἀπεδυσπέτησεν, οὐκ ἐδυσχέρανεν, οὐκ εἶπέ τι τοιοῦτον, οἷα εἰκὸς τοὺς πολλούς. μὴ γὰρ ἐγὼ τῆς ἑτέρων κύριός εἰμι γνώμης; τῶν οἰκείων ἁμαρτημάτων ὀφείλω δίκας· οἱ παῖδες δὲ ἡλικίαν ἔχουσι, καὶ αὐτοὶ ἂν εἶεν δίκαιοι κολάζεσθαι μόνον. τούτων οὐδὲν οὔτε εἶπεν, οὔτε ἐνενόησεν· ἀλλ', ὥσπερ οἰκέτης εὐγνώμων, καὶ ἓν μόνον εἰδώς, τὰ παρὰ τοῦ δεσπότου εὐκόλως φέρειν, κἂν λυπηρὰ ὄντα τύχῃ, οὕτω τὰ πολλῆς γέμοντα φιλοσοφίας ἐφθέγγετο ῥήματα· Κύριος γάρ, φησιν, αὐτός· τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ ποιήσει. καὶ οὐκ ἐντεῦθεν μόνον, ἀλλὰ καὶ ἑτέρωθεν ἔστιν αὐτοῦ τὴν ἀρετὴν κατιδεῖν. πολέμου γὰρ καταλαβόντος τοὺς Ἰουδαίους, ἐπειδή τις ἐλθὼν ἀπήγγειλε τὰς ἐν τῷ πολέμῳ συμφοράς, καὶ πῶς οἱ παῖδες αὐτοῦ κατεκόπησαν αἰσχρῶς καὶ ἐλεεινῶς ἐν τῇ μάχῃ, ταῦτα μὲν οὖν ἀκούων ἡσύχαζεν. ὡς δὲ προσετέθηκεν ἐκεῖνος τῇ σφαγῇ ταύτῃ τῆς κιβωτοῦ τὴν ἁρπαγὴν τὴν ὑπὸ τῶν πολεμίων γενομένην, τότε δὴ σκοτωθεὶς ὑπὸ τῆς ἀθυμίας ὁ γέρων, ἔπεσεν ἀπὸ τοῦ δίφρου εἰς τὰ ὀπίσω ἐχόμενα τῆς πύλης, καὶ συνετρίβη ὁ νῶτος αὐτοῦ, ὅτι πρεσβύτης ἦν, καὶ βαρύς, καὶ ἔνδοξος· καὶ αὐτὸς ἔκρινε τὸν Ἰσραὴλ εἴκοσιν ἔτη. εἰ δὲ τὸν ἱερέα, τὸν πρεσβύτην, τὸν ἔνδοξον, τὸν εἴκοσιν ἔτη προστάντα ἀλήπτως τοῦ τῶν Ἑβραίων γένους, τὸν ἐν χρόνοις πολιτευόμενον οὐ πολλὴν ἀπαιτοῦσιν ἀκρίβειαν, οὐδὲν τούτων ἴσχυσε παραιτήσασθαι· ἀλλ', ἐπειδὴ τῶν παίδων οὐκ ἐπεμελήθη μετὰ ἀκριβείας, σφόδρα καὶ ἐλεεινῶς ἀπώλεσε, καὶ τῆς ὀλιγωρίας ταύτης ἡ ἁμαρτία, καθάπερ κῦμα ἄγριον καὶ μέγα, πάντα ὑπερέσχεν ἐκεῖνα, καὶ τὰ κατορθώματα ἔκρυψεν ἅπαντα, τίς ἡμᾶς λήψεται δίκη τοὺς ἐν χρόνοις γενομένους πολλῷ μείζονα ἀπαιτοῦσι φιλοσοφίαν, καὶ τῆς ἀρετῆς ἀποδέοντας τῆς ἐκείνου, καὶ τῶν παίδων οὐ μόνον οὐ προϊσταμένους, ἀλλὰ καὶ τοῖς βουλομένοις τοῦτο ποιεῖν ἐπιβουλεύοντας, καὶ πολεμοῦντας, καὶ βαρβάρου παντὸς χαλεπώτερον περὶ τὰ ἔκγονα διακειμένους; ἡ μὲν γὰρ ἐκείνων ὠμότης, μέχρι δουλείας καὶ ἀναστατώσεως καὶ ἀνδραποδισμοῦ τῆς πατρίδος, καὶ τῶν τοῦ σώματος ἔστηκε κακῶν· ὑμεῖς δὲ αὐτὴν καταδουλοῦτε τὴν ψυχήν, καὶ καθάπερ τινὰ αἰχμάλωτον δήσαντες, οὕτω δαίμοσι πονηροῖς καὶ ἀγρίοις καὶ τοῖς ἐκείνων παραδίδοτε πάθεσιν. ὅταν γὰρ μήτε αὐτοὶ παραινῆτέ τι πνευματικόν, μήτε ἑτέρους βουλομένους τοῦτο ποιεῖν ἀφῆτε, οὐδὲν ἕτερον, ἢ τοῦτο ἐργάζεσθε.

Καὶ μή μοι λεγέτω τις, ὅτι πολλοὶ μειζόνως τοῦ Ἠλεὶ τῶν οἰκείων ἀμελήσαντες παίδων,

α. Βασ. γ. ιγ.

α. Βασ. γ. ιη.

δων, οὐδὲν ἔπαθον οἷα ὁ Ἠλεί. ἔπαθον μὲν γὰρ καὶ πολλοὶ * πολλάκις καὶ χαλεπώτερα τούτων, καὶ διὰ ταύτην τὴν ἁμαρτίαν. πόθεν γὰρ ἄωροι θάνατοι; πόθεν νόσοι χαλεπαὶ καὶ συνεχεῖς καὶ ἡμῖν καὶ τοῖς παισὶν αὐτοῖς; πόθεν ζημίαι; πόθεν περιστάσεις; πόθεν ἐπήρειαι; πόθεν τὰ μυρία κακά; οὐκ ἐκ τοῦ μοχθηροὺς ὄντας τοὺς παῖδας περιορᾶν; καὶ ὅτι οὐ στοχασμὸς τοῦτό ἐστιν, ἱκανὰ μὲν καὶ τὰ τοῦ πρεσβύτου πιστώσασθαι πάθη. ἐγὼ δὲ ὑμῖν καὶ λόγον ὑπὲρ τούτων ἐρῶ σοφοῦ τινος ἀνδρὸς τῶν παρ᾽ ἡμῖν. περὶ γὰρ παίδων τούτων διαλεγόμενος, οὕτω πως φησί· Μὴ εὐφραίνου ἐπὶ υἱοῖς ἀσεβέσιν, εἰ μὴ ἔστι φόβος μετ᾽ αὐτῶν Θεοῦ· μὴ ἐμπιστεύσῃς τῇ ζωῇ αὐτῶν. στενάξεις γὰρ πένθει ἀώρῳ, καὶ ἐξάπινα αὐτῶν συντέλειαν γνώσῃ. πολλοὶ μὲν οὖν, ὅπερ ἔφην, πολλὰ τοιαῦτα πεπόνθασιν. εἰ δέ τινες καὶ διέφυγον, ἀλλ᾽ οὐκ εἰς τέλος ἐκφεύξονται, ἀλλ᾽ ἐπὶ κακῷ τῆς ἑαυτῶν κεφαλῆς· πικροτέραν γὰρ ἀπελθόντες ἐκεῖ δώσουσι δίκην. τίνος γὰρ ἕνεκεν, φησιν, οὐκ ἐνταῦθα πάντες κολάζονται; ὅτι ὥρισεν ἡμέραν ὁ Θεός, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην. αὕτη δὲ οὔπω πάρεστιν ἡ ἡμέρα· καὶ ἄλλως δέ, τοῦτο εἰ ἐγίνετο, προανήλωτο ἂν καὶ προανήρπαστο ἡμῶν ἅπαν τὸ γένος. ἀλλ᾽ ἵνα μήτε τοῦτο συμβῇ, μήτε ῥαθυμότεροι πολλοὶ γίγνωνται τῇ μελλήσει τῆς κρίσεως, λαμβάνων τινὰς ὑπευθύνους ἁμαρτήμασιν ὁ Θεός, καὶ κολάζων ἐνταῦθα, διδάσκει τοὺς λοιποὺς δι᾽ ἐκείνων τὰ μέτρα τῶν κειμένων αὐτοῖς τιμωριῶν, ἵνα ἐπίστωνται, ὅτι κἂν ἐνταῦθα μὴ δῶσι δίκην, ἀπελθόντες ἐκεῖ δώσουσι πάντως χαλεπωτέραν. μὴ γάρ, ἐπειδὴ προφήτην οὐ πέμπει νῦν, οὐδὲ προαγορεύει τὴν τιμωρίαν, καθάπερ ἐπὶ τοῦ Ἠλεί, διὰ ταῦτα ἀναισθητῶμεν. οὐ γάρ ἐστι προφητῶν καιρός· μᾶλλον δὲ πέμπει καὶ νῦν. τὰ γὰρ πρὸς ἐκείνους εἰρημένα, οὐχ ἧττον καὶ πρὸς ἡμᾶς εἴρηται· καὶ οὐχὶ τῷ Ἠλεὶ μόνον, ἀλλὰ καὶ πᾶσι τοῖς τὰ αὐτὰ ἁμαρτάνουσιν ἐκείνῳ δι᾽ ἐκείνου καὶ τῶν ἐκείνου διαλέγεται παθῶν. οὐδὲ γάρ ἐστι προσωπολήπτης ὁ Θεός, οὐδὲ ὁ τὸν ἐλάττονα ἁμαρτόντα οὕτω πανέστιον ἀνατρέψας, τοὺς χαλεπώτερα πεπλημμεληκότας ἀτιμωρήτους ἀφήσει. καὶ γὰρ οὐδὲ τοῦτό ἐστιν εἰπεῖν, ὅτι οὐ πολὺς αὐτῷ τοῦ πράγματος ὁ λόγος. πολλὴν γὰρ ὑπὲρ τῆς τῶν παίδων ἀνατροφῆς ποιεῖται σπουδήν. ἐπιθυμίαν τε γὰρ τοσαύτην τῇ φύσει διὰ τοῦτο ἐνέσπειρεν, ἵν᾽ ὥσπερ εἰς ἀνάγκην τινὰ ἄφυκτον τῆς περὶ τὰ τεχθέντα προνοίας καταστήσῃ τοὺς φυτευσαμένους αὐτά· νόμους τε εἰσενήνοχεν ὕστερον, ὑπὲρ τῆς τούτων ἐπιμελείας διαλεγόμενος ἡμῖν, καὶ ἑορτὰς δὲ τιθείς, κελεύει τὰ παιδία αὐτῶν διδάσκειν τὴν ὑπόθεσιν. περὶ γὰρ τοῦ πάσχα διαλεχθείς, ἐπήγαγε· Καὶ ἀπαγγελεῖς τῷ υἱῷ σου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγων· διὰ τοῦτο ἐποίησεν ὁ Θεός μοι, ὡς ἐξεπορευόμην ἐξ Αἰγύπτου. καὶ ἐπὶ τοῦ νόμου δὲ τὸ αὐτὸ τοῦτο ποιεῖ. περὶ γὰρ τῶν πρωτοτόκων εἰπών, προστίθησι πάλιν· Ἐὰν δὲ ἐρωτήσῃ σε ὁ υἱός σου μετὰ ταῦτα, λέγων, τί τοῦτο; ἐρεῖς πρὸς αὐτόν, ὅτι ἐν χειρὶ κραταιᾷ ἐξήγαγεν ἡμᾶς Κύριος ἐξ Αἰγύπτου, ἐξ οἴκου δουλείας. ἡνίκα δὲ ἐσκλήρυνε Φαραὼ ἐξαποστεῖλαι ἡμᾶς, ἀπέκτεινε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτου, ἀπὸ [πρωτοτόκων] ἀνθρώπων ἕως κτηνῶν. διὰ τοῦτο ἐγὼ θύω Κυρίῳ, πᾶν διανοῖγον μήτραν τὸ ἀρσενικόν· διὰ πάντων εἰς θεογνωσίαν κελεύων ἄγειν αὐτούς, καὶ αὖθις δὲ τοῖς παιδίοις πολλὰ περὶ τῶν γεγεννηκότων αἰδοῦς διατάττεται, τοὺς μὲν εὐνοϊκῶς διακειμένους τιμῶν, κολάζων δὲ τοὺς ἀγνώμονας, καὶ ταύτῃ πάλιν ″αὐτοὺς ποθεινοτέρους τοῖς φυτευσαμένοις ποιῶν. ὅταν γάρ τινος ποιήσῃ τις ἡμᾶς κυρίους, μεγίστην ἡμῖν ἀνάγκην τῆς ὑπὲρ αὐτοῦ προνοίας ἐπιτίθησι τὴν τιμήν. καὶ γὰρ εἰ μηδὲν ἕτερον, τοῦτο γοῦν ἡμᾶς δυσωπῆσαι ἱκανόν, τὸ πάντα τὰ ἐκείνου ἐν ταῖς ἡμετέραις κεῖσθαι χερσί. καὶ οὐκ ἂν ἀναδυοίμεθα προδοῦναι ταχέως τὸν οὕτως ἐμπιστευθέντα ἡμῖν. ὅταν δὲ μετὰ τοῦτο καὶ συνοργίζηται καὶ ἀγανακτῇ πλέον τῶν ὑβρισμένων αὐτῶν, καὶ χαλεπὸς γίνεται τιμωρός, καὶ ταύτῃ πολὺ πλέον ἐφέλκεται· ὅπερ οὖν ἐποίησε καὶ ὁ Θεὸς πρὸς τούτοις, καὶ τὸν ἀπὸ τῆς φύσεως τρίτον″ ἐπήγαγε δεσμόν, εἰ δὲ βούλει, πρῶτον. καὶ ἵνα μὲν τῶν προσταγμάτων αὐτοῦ μὴ καταφρονῶσιν οἱ πατέρες κελευόμενοι τρέφειν τοὺς παῖδας,

Σειρ. ις. α.

Ἐξοδ. ιγ. η.

Ἐξοδ. ιγ. ιδ.

* καὶ

γρ. αὐτοῖς

γρ. πρῶτον

τὴν ἀπὸ τῆς φύσεως ἐπέθηκεν ἀνάγκην. ἵνα δὲ μήποτε ταῖς τῶν παίδων ὕβρεσιν ἀσθενεστέρα γενομένη αὕτη διαῤῥήγνυται, τήν τε παρ' αὐτοῦ, καὶ τὴν παρ' αὐτῶν τῶν γεννησαμένων ἐπετείχισε τιμωρίαν, καὶ τούτους μετὰ ἀκριβείας ὑποτάσσων πολλῆς, κἀκείνων ταύτῃ ″ διεγείρων τὸν πόθον. οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ ἑτέρῳ τετάρτῳ τρόπῳ σφοδρῶς ἡμᾶς καὶ μετὰ ἀκριβείας αὐτοῖς συνέδησεν. οὐ γὰρ τοὺς παῖδας μόνον κακοὺς μὲν ὄντας περὶ τοὺς γεγεννηκότας κολάζει, γινομένους δὲ ἀγαθοὺς ἀποδέχεται, ἀλλὰ καὶ ἐπὶ τῶν πατέρων τὸ αὐτὸ δὴ τοῦτο ποιεῖ, κολάζων μὲν πικρῶς τοὺς ἀμελοῦντας αὐτῶν, τιμῶν δὲ καὶ ἐπαινῶν τοὺς ἐπιμελουμένους. καὶ γὰρ τὸν πρεσβύτην τοῦτον, καίτοι τἄλλα ὄντα λαμπρὸν, ἀπὸ ταύτης τῆς ὀλιγωρίας ἐτιμωρήσατο μόνης· καὶ τὸν πατριάρχην δὲ, τῶν ἄλλων οὐχ ἧττον, ἀπὸ ταύτης ἐτίμησε τῆς προνοίας. λέγων γὰρ τὰς πολλὰς καὶ μεγάλας δωρεὰς ἐκείνας, ἃς ὑπέσχετο δώσειν αὐτῷ, καὶ τὴν αἰτίαν τιθεὶς, ταύτην ἐτίθει. Ἤδειν γάρ, φησιν, ὅτι συντάξει Ἀβραὰμ τοῖς υἱοῖς αὐτοῦ, καὶ τῷ οἴκῳ αὐτοῦ μετ' αὐτὸν, καὶ φυλάξουσι τὰς ὁδοὺς Κυρίου τοῦ Θεοῦ, ποιεῖν δικαιοσύνην καὶ κρίσιν. ταῦτα δέ μοι εἴρηται νῦν, ἵνα μάθωμεν ὅτι οὐκ οἴσει πρᾴως ὁ Θεὸς ἀμελουμένων τῶν ὄντων περισπουδάστων αὐτῷ. οὐδὲ γάρ ἐστι τοῦ αὐτοῦ, τοσαῦτα μὲν ὑπὲρ τῆς τούτων πραγματεύεσθαι σωτηρίας, καταφρονουμένων δὲ αὐτῶν τούτων περιορᾶν. οὐ τοίνυν περιόψεται, ἀλλὰ καὶ ἀγανακτήσει καὶ ὀργιεῖται σφοδρῶς, καθάπερ ἀποδέδεικται διὰ τῶν πραγμάτων αὐτῶν. διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος παραινεῖ συνεχῶς λέγων· Οἱ πατέρες ἐκτρέφετε τὰ τέκνα ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου. εἰ γὰρ ἡμεῖς ἀγρυπνεῖν ὑπὲρ τῶν ψυχῶν αὐτῶν κελευόμεθα, ὡς λόγον ἀποδώσοντες, πολλῷ μᾶλλον ὁ πατὴρ, ὁ γεννησάμενος, ὁ θρεψάμενος, ὁ συνοικοῦντα ἔχων διαπαντός. ὥσπερ γὰρ ἐπὶ τῶν οἰκείων ἁμαρτημάτων οὐκ ἔχει καταφυγεῖν εἰς ἀπολογίαν καὶ συγγνώμην, οὕτως οὐδὲ ὑπὲρ τῶν τοῖς παισὶν ἁμαρτανομένων. καὶ τοῦτο πάλιν ὁ μακάριος Παῦλος κατέστησε φανερόν. νομοθετῶν γὰρ ὁποίους τινὰς εἶναι χρὴ τοὺς ἐπὶ τὴν τῶν ἄλλων ἐρχομένους ἀρχὴν, μετὰ τῶν ἄλλων ἁπάντων τῶν ἀναγκαίως αὐτοῖς ὀφειλόντων προσεῖναι, καὶ τὴν τῶν παίδων ἐπιμέλειαν ἀπαιτεῖ, ὡς οὐκ οὔσης ἡμῖν συγγνώμης, διαστραφέντων ἐκείνων· καὶ μάλα εἰκότως. εἰ μὲν γὰρ ἐκ φύσεως ἡ κακία τοῖς ἀνθρώποις προσῆν, εἰκότως ἄν τις πρὸς ἀπολογίαν ″ κατέφυγεν. ἐπειδὴ δὲ ἐκ προαιρέσεως καὶ φαῦλοι γινόμεθα, καὶ σπουδαῖοι, τίνα ἂν λόγον ″ ἔχοι εὐπρόσωπον εἰπεῖν ὁ τὸν μάλιστα πάντων ποθούμενον διαστραφῆναι καὶ γενέσθαι πονηρὸν ἀφιεὶς, ὅτι οὐκ ἐβούλετο ποιῆσαι χρηστόν; ἀλλ' οὐδεὶς ἂν τοῦτο εἴποι πατήρ. ἡ γὰρ φύσις ἐφέστηκε, πρὸς τοῦτο αὐτὸν διεγείρουσα συνεχῶς. ἀλλ' οὐκ ἠδύνατο; ἀλλ' οὐδὲ τοῦτο. καὶ γὰρ τὸ ἁπαλὸν ὄντα ἔτι λαβεῖν, καὶ τὸ πρῶτον καὶ μόνον τὴν ἐξουσίαν ἐγχειρισθῆναι τὴν ἐκείνου, καὶ τὸ διαπαντὸς ἔχειν ἔνδον, ῥᾳδίαν αὐτῷ καὶ σφόδρα εὔκολον ποιεῖ τὴν προστασίαν, ὥστε οὐδαμόθεν τὴν διαστροφὴν γίνεσθαι τῶν παίδων, ἀλλ' ἐκ τῆς περὶ τὰ βιωτικὰ μανίας. ″τὸ γὰρ πρὸς ἐκεῖνα μόνον ἀποβλέπειν, καὶ μηδὲν τούτων ἐθέλειν προτιμᾶν, καὶ τῶν παίδων μετὰ τῆς αὐτῶν ψυχῆς ἀναγκάζονται ἀμελεῖν. τούτους ἐγὼ τοὺς πατέρας (καὶ μή τις θυμοῦ τὸ λεγόμενον εἶναι νομιζέτω) καὶ αὐτῶν τῶν παιδοκτόνων χείρους εἶναι φαίην ἄν. ἐκεῖνοι μὲν γὰρ τὸ σῶμα τῆς ψυχῆς διϊστῶσιν· οὗτοι δὲ ταύτην μετ' ἐκείνου φέροντες, εἰς τὴν τῆς γεέννης ἐμβάλλουσι πυράν. κἀκεῖνον μὲν ἀνάγκη τὸν θάνατον καὶ παρὰ τῆς φύσεως δέξασθαι πάντως· τοῦτον δὲ ἐνῆν καὶ διαφυγεῖν, εἰ μὴ ἡ τῶν πατέρων αὐτῶν ἐπήγαγε ῥᾳθυμία. πρὸς τούτοις, τὴν μὲν τοῦ σώματος τελευτὴν ἀνάστασις ἐπελθοῦσα ταχέως ἀφανίσαι δυνήσεται· τὴν δὲ τῆς ψυχῆς ἀπώλειαν οὐδὲν ἔτι παραμυθήσεται. οὐ γὰρ σωτηρία αὐτὴν διαδέχεται λοιπὸν, ἀλλ' ἀθάνατα ἀνάγκη κολάζεσθαι· ὥστε οὐκ ἀπεικότως τῶν παιδοκτόνων τοὺς τοιούτους πατέρας χείρους ἂν εἴποιμεν εἶναι. οὐδὲ γάρ ἐστιν οὕτω δεινὸν ἀκονῆσαι ξίφος, καὶ δεξιὰν ὁπλίσαι, καὶ εἰς αὐτὸν τοῦ παιδὸς βαπτίσαι τὸν λαιμὸν, ὡς τὸ ψυχὴν ἀπολέσαι καὶ διαφθεῖραι. ταύ-

Ἐφεσ. ς. δ.

της γὰρ ἡμῖν ἴσον οὐδέν. τί οὖν; πόλιν οἰκοῦντα, καὶ οἰκίαν καὶ γυναῖκα ἔχοντα, οὐκ ἔνι σωθῆναι, φησι; μάλιστα μὲν οὐκ εἷς σωτηρίας τρόπος, ἀλλὰ πολλοὶ καὶ διάφοροι. καὶ τοῦτο λέγει μὲν ἀορίστως ὁ Χριστός, πολλὰς εἶναι μονὰς ἀποφαινόμενος παρὰ τῷ πατρί. λέγει δὲ μετὰ διορισμοῦ τινος ὁ Παῦλος οὕτω γράφων· Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων. ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οἱ μὲν ὡς ὁ ἥλιος λάμψουσιν, οἱ δὲ ὡς ἡ σελήνη, οἱ δὲ ὡς ἀστέρες. καὶ οὐδὲ ἐνταῦθα ἔστη τῆς διαφορᾶς· ἀλλὰ καὶ ἐν αὐτοῖς τούτοις πολλὴν δίδωσιν εἶναι τὴν ″ἐναλλαγήν, καὶ τοσαύτην, ὅσην ἐν ἀριθμῷ τοσούτῳ συμβαίνειν εἰκός. ἀστὴρ γάρ, φησιν, ἀστέρος διαφέρει ἐν δόξῃ. ἐννόησον τοίνυν ἀπὸ τοῦ ἡλιακοῦ μεγέθους πρὸς τὸν ἔσχατον πάντων ἀστέρα ὁδεύων, πόσους ἀξιωμάτων βαθμοὺς καταβαίνειν εἰκός. πῶς οὖν οὐκ ἄτοπον, εἰ μὲν εἰς ″βασιλέα τὸν υἱὸν ἦγες, ἅπαντα ποιεῖν τε καὶ πάσχειν, κἀκεῖνον ἀναπείθων ὁμοίως, ὥστε αὐτὸν ἐγγὺς ποιῆσαι τοῦ βασιλέως, καὶ μηδὲν ὅλως ὑπολογίζεσθαι, μὴ δαπάνην, μὴ κίνδυνον, μὴ θάνατον αὐτόν, περὶ δὲ τῆς ἐν τοῖς οὐρανοῖς στρατείας προκειμένης ἡμῖν τῆς σκέψεως, μὴ ἀλγεῖν, εἰ τὸν ἔσχατον λάβοι τόπον, καὶ πάντων ὕστατος γένοιτο;

Ιωαν. ιδ C.
α. Κορ. ιε μα.

χ. διαλλαγήν,
χ. βασιλεία
ἰσ. βασίλεια

Πλὴν ἀλλ᾽, εἰ δοκεῖ, καὶ αὐτὸ τοῦτο ἴδωμεν, εἰ δυνατὸν τὸν ἐν μέσῳ τρεφόμενον ταύτην γοῦν τὴν λῆξιν λαβεῖν. ὁ μὲν γὰρ μακάριος Παῦλος ἀπεφήνατο ἐν βραχεῖ περὶ τούτου, καὶ τοὺς τὰς γυναῖκας ἔχοντας οὐκ ἔφησεν ἄλλως δύνασθαι σώζεσθαι, πλὴν εἰ μὴ οὕτως αὐτὰς ἔχοιεν, ὡς οὐκ ἔχοντες, καὶ τῷ κόσμῳ μὴ καταχρῶντο. ἡμεῖς δὲ αὐτό, εἰ βούλει, καὶ τῷ λόγῳ ἐπέλθωμεν. ἔχεις οὖν εἰπεῖν, ὅτι ἢ σοῦ συμβουλεύοντος ἤκουσεν ὁ υἱός, ἢ ἀφ᾽ ἑαυτοῦ συνεῖδέ ποτε, ὅτι τὸν ὀμνύντα, κἂν εὐορκῇ, προσκρούειν ἔνι Θεῷ; τί δέ, ὅτι τὸν μνησικακοῦντα σωθῆναι οὐκ ἔνι; Ὁδοὶ γάρ, φησι, μνησικάκων εἰς θάνατον. ἀλλ᾽ ὅτι τὸν κατήγορον οὕτως ἠτίμωσεν ὁ Θεός, ὡς καὶ τῆς ἀναγνώσεως ἀπεῖρξαι τῶν θείων λόγων; τί δέ, ὅτι τὸν ἀλαζόνα καὶ ὑβριστὴν ἐξέβαλε τῶν οὐρανῶν, καὶ τῷ τῆς γεέννης παρέδωκε πυρί; τί δέ, ὅτι τὸν ἀκολάστοις ἐνορῶντα ὀφθαλμοῖς ὡς ἀπηρτισμένον οὕτως ἐκόλασε μοιχόν; ἀλλὰ τὸ προέχει τοῦτο πᾶσιν ἁμάρτημα, τὸ κρίνειν τοὺς πλησίον καὶ χαλεπωτέραν ἐπισπᾶσθαι τὴν κόλασιν, παρῄνεσάς ποτε φυγεῖν, καὶ τοὺς τοῦ Χριστοῦ περὶ τούτων κειμένους νόμους ἀνέγνως αὐτῷ; ἢ οὐδὲ οἶδας ὅτι ποτὲ ταῦτά ἐστι; πῶς οὖν αὐτὰ δυνήσεται κατορθοῦν ὁ υἱός, ὧν οὐδὲ τοὺς νόμους οἶδεν ὁ μέλλων αὐτὸν διδάξειν πατήρ; καὶ εἴθε τοῦτο μόνον ἦν τὸ δεινόν, τὸ μηδὲν τῶν χρησίμων συμβουλεύειν αὐτοῖς, καὶ οὐκ ἂν τοσοῦτον ἦν· νυνὶ δὲ αὐτοὺς καὶ πρὸς τἀναντία ὠθεῖτε. οὐδὲ γὰρ ἄλλο τι τῶν πατέρων ἐστὶν ἀκοῦσαι διαλεγομένων πρὸς τοὺς παῖδας, ὅταν αὐτοὺς παρακαλῶσιν ὑπὲρ τῆς τῶν λόγων σπουδῆς, ἀλλ᾽ ἢ ταυτὶ τὰ ῥήματα· ὁ δεῖνα, φησι, ταπεινὸς καὶ ἐκ ταπεινῶν τὴν ἀπὸ τῶν λόγων κτησάμενος δύναμιν, ἦρξε μεγίστας ἀρχάς, πλοῦτον ἐκτήσατο πολύν, γυναῖκα ἔλαβεν εὔπορον, οἰκίαν ᾠκοδόμησε λαμπράν, φοβερός ἐστιν ἅπασι καὶ ἐπίδοξος. πάλιν ἕτερος ὁ δεῖνα φησι, τὴν Ἰταλῶν γλῶσσαν ἐκπαιδευθείς, ἐν τοῖς βασιλείοις ἐστὶ λαμπρός, καὶ πάντα ἄγει καὶ φέρει τὰ ἔνδον. καὶ ἕτερος ἕτερον δείκνυσι πάλιν, πάντες δὲ τοὺς ἐπὶ γῆς εὐδοκίμους. τῶν δὲ ἐν τοῖς οὐρανοῖς οὐδὲ ἅπαξ τις μέμνηται, ἀλλά, κἂν μνησθῆναί τις ἐπιχειρήσῃ, ὡς πάντα ἀνατρέπων ἐλαύνεται. ὅταν οὖν ἐξ ἀρχῆς αὐτοῖς ταῦτα ″ἐπᾴδητε, οὐδὲν ἕτερον, ἀλλ᾽ ἢ τὴν ὑπόθεσιν αὐτοὺς πάντων διδάσκετε τῶν κακῶν, δύο τοὺς τυραννικωτάτους ἐνθέντες ἔρωτας, τὸν τῶν χρημάτων λέγω, καὶ τὸν τούτου παρανομώτερον, τὸν τῆς δόξης τῆς κενῆς καὶ ματαίας. τούτων δὲ ἑκάτερος καὶ καθ᾽ ἑαυτὸν μὲν πάντα ἀνατρέψαι ἰσχυρός· ὅταν δὲ καὶ ὁμοῦ συνελθόντες, εἰς τὴν τοῦ νέου ψυχὴν ἁπαλὴν οὖσαν ἐμπέσωσι, καθάπερ τινὲς χείμαρροι συναφθέντες, ἅπαντα διαφθείρουσι τὰ καλά, * τοσαύτην ἄμμον, τοσοῦτον ″ἐπισυνάγοντες τὸν φορυτόν, ὡς ἄκαρπόν τε καὶ ἄγονον τῶν ἀγαθῶν πάντων ″ἐκείνων ἐργάσασθαι τὴν ψυχήν. καὶ μαρτυρήσειαν ἂν ἡμῖν ὑπὲρ τούτων

χ. ἐπᾴδοντες

* ποιοῦντες
ἀχρεῖδας
χ. ἐπισυρ
χ. ἐκείνην

τούτων καὶ οἱ τῶν ἔξωθεν λόγοι. τούτων γὰρ τῶν παθῶν θάτερον, οὐχὶ συνημμένον, ἀλλὰ καὶ καθ' ἑαυτό, ὁ μὲν ἀκρόπολιν, ὁ δὲ κεφαλὴν προσεῖπε τῶν κακῶν. εἰ δὲ κεχωρισμένον ἀκρόπολίς ἐστι καὶ κεφαλή, ὅταν δὲ χαλεπώτερον πολλῷ προσλάβῃ καὶ δυνατώτερον, τὴν δοξομανίαν λέγω, καὶ μετ' ἐκείνου φερόμενον ἐμπέσῃ καὶ ῥιζωθῇ καὶ προκαταλάβῃ τὴν τοῦ νέου ψυχήν, τίς λοιπὸν ταύτην ἀναμοχλεῦσαι τὴν νόσον δυνήσεται· καὶ μάλιστα, ὅταν καὶ οἱ πατέρες, μὴ μόνον ὅπως διασαλευθείη, ἀλλ' ὅπως καὶ πάγια γένηται τὰ πονηρὰ ταῦτα φυτά, καὶ ποιῶσι πάντα καὶ λέγωσι; τίς οὖν οὕτως ἀνόητος, ὡς μὴ ἀπογνῶναι τῆς σωτηρίας, τοῦ τὰ τοιαῦτα παιδευομένου παιδός; ἀγαπητὸν γὰρ τῶν ἐναντίων ἀπολαύουσαν * ψυχὴν διαφυγεῖν πονηρίαν· ὅταν δὲ πανταχοῦ χρήματα τὰ ἔπαθλα ᾖ, καὶ ἄνδρες ἐναγεῖς εἰς ζῆλον προκείμενοι, ποίας σωτηρίας ἐλπίς; τοὺς γὰρ χρημάτων ἐρῶντας καὶ βασκάνους, καὶ κακοήθεις, καὶ πολυόρκους, καὶ ἐπιόρκους, καὶ θρασεῖς, καὶ λοιδόρους, καὶ κλέπτας, καὶ ἀναισχύντους, καὶ ἰταμούς, καὶ ἀγνώμονας, καὶ πάντα ἀνάγκη εἶναι τὰ κακά. καὶ μάρτυς τούτων ἀξιόπιστος ὁ μακάριος Παῦλος, ῥίζαν τῶν ἐν τῷ βίῳ κακῶν τὴν φιλαργυρίαν εἰπών. καὶ περὶ τούτου δὲ ὁ Χριστὸς αὐτὸ τοῦτο ἐδήλωσεν, ἀποφαινόμενος μὴ εἶναι δυνατὸν τῷ Θεῷ δουλεύειν τὸν ἐκείνῳ τῷ πάθει δουλεύοντα. ὅταν οὖν ἐξ ἀρχῆς ὁ νέος ἐπὶ ταύτην ἄγηται τὴν δουλείαν, πότε δυνήσεται γενέσθαι ἐλεύθερος; πότε ἀνασχεῖν τοῦ κλυδωνίου, πάντων ὠθούντων, πάντων καταδυόντων, καὶ εἰς πολλὴν τοῦ καταβαπτίζεσθαι καθιστώντων ἀνάγκην αὐτόν; εἰ γὰρ μηδενὸς ἐνοχλοῦντος, εἰ πολλῶν ὀρεγόντων χεῖρα, ἀναστῆναι δυνηθείη καὶ διαβλέψαι, καὶ τὴν ἅλμην ἀπονίψασθαι τῆς κακίας, οὐκ ἀγαπητόν; εἰ γὰρ πολλῷ τῷ χρόνῳ ταῖς θείαις ᾠδαῖς ἐπᾳδόμενος, ἰσχύσειε τὰ προσπεσόντα ἀπελάσαι νοσήματα, οὐκ ἐπαινεῖν αὐτὸν δεῖ καὶ στεφανοῦν μυριάκις; δεινὸν γὰρ συνήθεια, δεινὸν κρατῆσαι καὶ ἑλεῖν ψυχήν, καὶ μάλιστα ὅταν αὐτὴ μὲν ἡδονὴν ἔχῃ συμπράττουσαν, ἐκείνη δέ, πρὸς ἣν ἐπειγόμεθα καὶ μεθορμίσασθαι σπεύδομεν, πολλοὺς παρέχῃ τοὺς πόνους ἡμῖν. διὰ τοῦτο καὶ ὁ Θεὸς τῶν Ἑβραίων τοὺς παῖδας, ἐπειδὴ ἔδει τὴν παλαιὰν τῶν κακῶν ἀποθέσθαι συνήθειαν, τὴν ἐν Αἰγύπτῳ λέγω, λαβὼν καταμόνας αὐτοὺς ἐπὶ τῆς ἐρημίας, καὶ τῶν διαφθειρόντων ἀποστήσας, ὡς πορρωτάτω, καθάπερ ἐπὶ μοναστηρίου τινός, τῆς ἐρημίας, διέπλαττεν αὐτῶν τὰς ψυχάς, πᾶσαν ὁδὸν ἰατρείας κινῶν, καὶ τραχυτέραν καὶ προσηνεστέραν, καὶ οὐδὲν ὅλως παραλιμπάνων τῶν ὀφειλόντων εἰς τὴν θεραπείαν κατασκευασθῆναι τὴν ἐκείνων. καὶ οὐδὲ οὕτω διέφυγον τὴν κακίαν· ἀλλὰ μεταξὺ τοῦ μάννα κρόμμυα καὶ σκόροδα καὶ τὰ ἐν Αἰγύπτῳ πάντα ἐζήτουν κακά. τοσοῦτόν ἐστι συνήθεια κακόν. εἶτα Ἰουδαῖοι μέν, τοσαύτης ἀπολαύοντες ἐπιμελείας τῆς παρὰ τοῦ Θεοῦ, καὶ δημαγωγὸν ἔχοντες οὕτως ἄριστον καὶ γενναῖον, καὶ φόβῳ καὶ ἀπειλῇ καὶ εὐεργεσίᾳ καὶ κολάσει καὶ παντὶ τρόπῳ παιδαγωγούμενοι, καὶ τοσαῦτα ὁρῶντες θαύματα, οὐκ ἐγένοντο βελτίους· σὺ δὲ τὸν υἱὸν τὸν σόν, νέον ὄντα, ἐν Αἰγύπτῳ μέσῃ, μᾶλλον δὲ ἐν μέσῃ τῇ παρατάξει τοῦ διαβόλου στρεφόμενον, οὐδενός τι χρήσιμον συμβουλεύοντος ἀκούοντα, πάντας ἐπὶ τἀναντία αὐτὸν ἄγοντας ὁρῶν, καὶ πάντων μᾶλλον τοὺς γεννησαμένους καὶ θρεψαμένους, οἴει δυνήσεσθαι διαδῦναι τὰς τοῦ διαβόλου παγίδας; πόθεν; ἀφ' ὧν σὺ παραινεῖς; ἀλλ' ἐπὶ τἀναντία παρακαλεῖς, φιλοσοφίας μὲν οὔτε ὄναρ μεμνῆσθαι συγχωρῶν, ἄνω δὲ καὶ κάτω τὸν παρόντα βίον καὶ τὰ τούτου στρέφων, μειζόνως κλυδωνίζεσθαι παρασκευάζεις. ἀλλ' οἴκοθεν, καὶ παρ' ἑαυτοῦ; μάλιστα μὲν οὐχ ἱκανὸς ἑαυτῷ ὁ νέος πρὸς τὴν τῆς ἀρετῆς κατόρθωσιν. εἰ δ' ἄρα τι καὶ τέκοι γενναῖον, ταῖς τῶν λόγων ἐπομβρίαις τῶν παρὰ σοῦ, πρὶν ἢ βλαστῆσαι, ταχέως ἀποπνιγήσεται. ὥσπερ γὰρ σῶμα ὑγιαῖνον μὲν οὐκ ἀπολαῦον σιτίων, τοῖς δὲ νοσώδεσιν ἐντρεφόμενον, οὐκ ἔνι πρὸς μικρὸν γοῦν ἀρκέσαι χρόνον· οὕτως οὐδὲ ψυχὴν τοιαῦτα παιδευομένην γενναῖόν τι καὶ μέγα ἐννοῆσαί ποτε· ἀλλ' ἀνάγκη τὴν τοιαύτην ἀσθενοῦ-

σαι

α. Τιμ. ϛ. ι.

Ματθ. ϛ. κδ.

σαι καὶ μαλακιζομένην, * καθάπερ τινὶ φθόῃ, τῇ κακίᾳ συνεχομένην διηνεκῶς, οὕτως ὕστερον εἰς τὴν γέενναν καταστρέψαι, καὶ τὴν ἀπώλειαν τὴν ἐκεῖ.

* καὶ

Εἰ δὲ μὴ φῂς ταῦτα οὕτως ἔχειν, ἀλλὰ δυνατὸν εἶναι καὶ ἐν μέσῳ στρεφόμενον ″ πάντα κατορθοῦντα τῆς ἀρετῆς, καὶ μὴ παίζων, ἀλλὰ σπουδάζων ἀληθῶς ταῦτα λέγεις, μὴ κατοκνήσῃς ἡμᾶς διδάξαι τὸ καινὸν τοῦτο καὶ παράδοξον μάθημα. οὐδὲ γὰρ βούλομαι πράγματα εἰκῆ τοσαῦτα ἔχειν, οὐδὲ τοσούτοις ἀπέχεσθαι μάτην. ἀλλὰ γὰρ οὐ δύναμαι τοῦτο μαθεῖν. οὐ γὰρ ἐᾶτε ὑμεῖς, καὶ δι' ὧν λέγετε, καὶ δι' ὧν ποιεῖτε, ἀντιφθεγγόμενοι ταύτῃ τῇ ψήφῳ, καὶ τἀναντία παιδεύοντες. ὥσπερ γὰρ ἐξεπίτηδες ἀπολέσαι σπουδάζοντες τοὺς νέους, οὕτως ἅπαντα κελεύετε ποιεῖν, ἃ τοὺς ποιοῦντας σωθῆναι οὐκ ἔνι. ὅρα δὲ ἄνωθεν. Οὐαί, φησι, τοῖς γελῶσιν· ὑμεῖς δὲ πολλὰς αὐτοῖς παρέχετε γέλωτος ἀφορμάς. Οὐαὶ τοῖς πλουτοῦσιν· ὑμεῖς δὲ ὅπως χρηματίσαιντο, πάντα πράττετε. Οὐαί, ὅταν καλῶς εἴπωσιν ὑμᾶς πάντες οἱ ἄνθρωποι· ὑμεῖς δὲ καὶ οὐσίας ὁλοκλήρους ὑπὲρ τῆς τῶν δήμων εὐφημίας ἐκενώσατε πολλάκις. πάλιν δέ, Ὁ τὸν ἀδελφὸν ὑβρίζων, ὑπεύθυνός ἐστι τῇ γεέννῃ· ὑμεῖς δὲ καὶ ἀδρανεῖς εἶναι νομίζετε καὶ δειλοὺς τοὺς σιγῇ τὰς παρὰ τῶν ἑτέρων φέροντας ὕβρεις. μάχης κελεύει καὶ δίκης καταφρονεῖν ὁ Χριστός· ὑμεῖς δὲ αὐτοὺς ἐν τούτοις στρέφετε τοῖς κακοῖς διαπαντός. τὸν ὀφθαλμὸν πολλάκις ἐξορύττειν ἐκέλευσεν, ὅταν βλάπτῃ· ὑμεῖς δὲ τούτους μάλιστα ποιεῖτε φίλους, ὅσοιπερ ἂν δύνωνται χρήματα δοῦναι, κἂν τὴν ἐσχάτην παιδεύσωσι κακίαν. ἐκβαλεῖν γυναῖκα οὐκ ἀφῆκε, πλὴν ἐπ' αἰτίᾳ μόνῃ πορνείας· ὑμεῖς δέ, ὅταν ἐξῇ χρήματα λαβεῖν, καὶ ταύτης καταφρονεῖν κελεύετε τῆς ἐντολῆς. τὸν ὅρκον ἀπεῖρξε παντελῶς· ὑμεῖς δὲ ἂν ἴδητε φυλαττόμενον, καὶ γελᾶτε. ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ, φησιν, ἀπολέσει αὐτήν· ὑμεῖς δὲ αὐτοὺς πάντοθεν εἰς ταύτην ἐμβάλλετε τὴν φιλίαν. ἐὰν μὴ ἀφῆτε, φησι, τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὑμῖν ὁ πατὴρ ὑμῶν ἀφήσει ὁ οὐράνιος· ὑμεῖς δὲ καὶ ὀνειδίζετε, ὅταν τοὺς ἠδικηκότας μὴ θέλωσιν ἀμύνεσθαι, καὶ εἰς τὴν δύναμιν αὐτοὺς ταύτην ταχέως ἐπείγεσθε ἀγαγεῖν. τοὺς δόξης ἐρῶντας πάντα εἰκῆ ποιεῖν ἀπεφήνατο ὁ Χριστός, κἂν νηστεύωσι, κἂν εὔχωνται, κἂν ἐλεῶσιν· ὑμεῖς δέ, ὅπως ταύτης ἐπιτύχοιεν, ἅπαντα πραγματεύεσθε. καὶ τί δεῖ πάντα ἐπιέναι; ὅταν ″ γὰρ καὶ τὰ εἰρημένα μυρίας ἱκανὰ παρασκευάσαι γεέννας ᾖ, οὐχὶ πάντα ὁμοῦ συνελθόντα μόνον, ἀλλὰ καὶ καθ' ἑαυτὸ τούτων ἕκαστον· ὑμεῖς δὲ πάντα ὁμοῦ συμφορήσαντες, καὶ τὸ ἀφόρητον τῶν ἁμαρτημάτων ἐπιθέντες φορτίον, οὕτως εἰς τὸν τοῦ πυρὸς πέμπετε ποταμόν, πότε σωθῆναι δυνήσονται, τοσαύτην κομίζοντες τῷ πυρὶ τὴν τροφήν; καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, ὅτι τἀναντία τοῖς τοῦ Χριστοῦ παραινεῖτε προστάγμασιν, ἀλλ' ὅτι καὶ προσηγορίαις εὐφήμοις περιστέλλετε τὴν κακίαν, τὸ μὲν ἱπποδρόμοις καὶ θεάτροις προσκεῖσθαι διαπαντός, ἀστειότητα καλοῦντες· τὸ δὲ πλουτεῖν, ἐλευθερίαν· τὸ δὲ δόξης ἐρᾶν, μεγαλοψυχίαν· τὴν δὲ ἀπόνοιαν, παρρησίαν· καὶ τὴν μὲν ἀσωτίαν, φιλανθρωπίαν· τὴν δὲ ἀδικίαν, ἀνδρείαν. εἶτα ὥσπερ οὐκ ἀρκούσης ταύτης τῆς ἀπάτης, καὶ τὴν ἀρετὴν ἐναντίοις καλεῖτε ὀνόμασιν, ἀγροικίαν μὲν τὴν σωφροσύνην, δειλίαν δὲ τὴν ἐπιείκειαν, ἀνανδρίαν δὲ τὴν δικαιοσύνην ὀνομάζοντες· καὶ τὸ μὲν ἄτυφον δουλοπρεπές· τὴν δὲ ἀνεξικακίαν ἀσθένειαν, καθάπερ δεδοικότες, μὴ παρὰ ἑτέρων τὴν ἀληθῆ τούτων προσηγορίαν ἀκούσαντες, φύγωσι τὴν λύμην οἱ παῖδες. οὐδὲ γὰρ μικρὸν εἰς τὴν τῶν κακῶν ἀποτροπήν, τὸ γυμνὰς αὐτὰς καὶ κυρίας τῶν κακῶν περιφέρεσθαι τὰς ὀνομασίας· ἀλλὰ τοσαύτην ἔχει τὴν ἰσχὺν πρὸς τὸ πλῆξαι τοὺς ἁμαρτάνοντας, ὡς πολλοὺς πολλάκις ἐπὶ τοῖς αἰσχίστοις ὄντας περιφανεῖς, μὴ φέρειν πράως καλουμένους τοῦτο, ὅπερ εἰσίν, ἀλλ' ἀγριαίνειν καὶ ἐκθηριοῦσθαι, ὡς τὰ δεινότατα πάσχοντας. τὴν γοῦν ἡταιρηκυῖαν γυναῖκα, καὶ τὸν πεπορνευμένον παῖδα ἂν καλέσῃ τις ἀπὸ τῆς αἰσχίστης πράξεως ταύτης, ἀ-

κατάλλακτος

Λουκ. ϛ. κε. κδ. κϛ.

κ. πᾶν

κ. δ

ἀκατάλλακτος γέγονεν ἐχθρὸς, ἅτε τὰ μέγιστα ἠδικηκώς. καὶ οὐ τούτους μόνον, ἀλλὰ καὶ τὸν πλεονέκτην, καὶ τὸν μέθυσον, καὶ τὸν ἀλαζόνα, καὶ πάντας ἁπλῶς τοὺς τὰ δεινότερα ἐργασαμένους ἴδοι τις ἂν οὐχ οὕτως ἐπὶ τῷ πράττειν αὐτὰ καὶ τῇ παρὰ τῶν πολλῶν δόξῃ δακνομένους καὶ ἀλγοῦντας, ὡς ἐπὶ τοῖς τῶν οἰκείων ἔργων ὀνόμασι. πολλοὺς δὲ καὶ σωφρονισθέντας οἶδα τούτῳ τῷ τρόπῳ καὶ γενομένους τοῖς ὀνείδεσιν ἐπιεικεστέρους· ἀλλ᾽ ὑμεῖς καὶ ταύτην ἀνῃρήκατε τὴν παραμυθίαν. καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐ διὰ τῶν ῥημάτων μόνον, ἀλλὰ καὶ διὰ τῶν πραγμάτων ταύτην αὐτοῖς ποιεῖσθε τὴν παραίνεσιν, οἰκίας οἰκοδομοῦντες λαμπρὰς, ἀγροὺς ὠνούμενοι πολυτελεῖς, τὴν ἄλλην περιβάλλοντες φαντασίαν, καὶ διὰ πάντων πυκνῷ τινι νέφει συσκιάζοντες αὐτῶν τὴν ψυχήν. πόθεν οὖν δυνήσομαι πεισθῆναι, ὅτι σωθῆναι οἴονται τούτους, ὅταν ἴδω πρὸς ταῦτα παρακαλουμένους, ἃ τοὺς ποιοῦντας ὁ Χριστὸς ἀπεφήνατο πάντως ἀπολέσθαι; ὅταν θεάσωμαι τῆς μὲν ψυχῆς αὐτῶν, ὥσπερ τινὸς παρέργου, καταφρονοῦντας ὑμᾶς, τῶν δὲ ὄντως περιττῶν ὡς ἀναγκαίων καὶ προηγουμένων φροντίζοντας; ὅπως μὲν γὰρ οἰκέτης ἔσται, καὶ ὅπως ἵππος, καὶ ὅπως ἱμάτιον τῷ παιδὶ κάλλιστον, πάντα ποιεῖτε· ὅπως δὲ αὐτὸς γένοιτο καλὸς, οὐδὲ ἐννοῆσαί ποτε ἀνέχεσθε· ἀλλὰ καὶ ξύλων καὶ λίθων μέχρι τούτου προάγοντες τὴν σπουδὴν, τὴν ψυχὴν οὐδὲ τοῦ πολλοστοῦ τῆς ἐπιμελείας ταύτης ἀξιοῦτε μέρους. ἀλλ᾽ ἵνα μὲν ἄγαλμα ἐπὶ τῆς οἰκίας ἑστήκῃ θαυμαστὸν, καὶ ἡ στέγη γένηται χρυσῆ, πάντα ὑπομένετε· τὸ δὲ πάντων τιμιώτερον ἄγαλμα ἡ ψυχὴ, ὅπως γένηται χρυσῆ, οὐδὲ φροντίζειν ἐθέλετε. ἀλλ᾽ οὔπω τὸν κολοφῶνα τῶν κακῶν εἶπον, οὐδὲ τὸ κεφάλαιον ἐξεκάλυψα τῆς συμφορᾶς, πολλάκις μὲν ἐλθὼν εἰπεῖν καὶ ἐρυθριάσας, πολλάκις δὲ καὶ αἰσχυνθείς. τί ποτ᾽ οὖν ἐστι τοῦτο; τολμητέον γὰρ ἤδη καὶ λεκτέον αὐτό. καὶ γὰρ ἀνανδρίας ἂν εἴη πολλῆς μέλλοντάς τι κακὸν ἐξαίρειν, μηδὲ φωνὴν ἀφιέναι τολμᾶν ὑπὲρ αὐτοῦ, ὡς τῆς σιγῆς αὐτομάτως ἰασαμένης τὴν νόσον. οὐ τοίνυν σιγήσομεν, κἂν μυριάκις αἰσχύνεσθαι μέλλωμεν καὶ ἐρυθριᾶν. οὐδὲ γὰρ ἰατρὸς μέλλων σηπεδόνα καθαίρειν, παραιτήσεται μεταχειρίσασθαι σίδηρον, καὶ καθεῖναι δακτύλους εἰς αὐτὸν τοῦ τραύματος τὸν πυθμένα. οὐκοῦν οὐδὲ ἡμεῖς τὸν ὑπὲρ τούτων λόγον παραιτησόμεθα, ὅσῳ καὶ χαλεπωτέρα ἡ σηπεδών. τί ποτ᾽ οὖν ἐστι τὸ κακόν; ἔρως καινός τις καὶ παράνομος εἰς τὸν ἡμέτερον εἰσεκώμασε βίον, νόσημα ἐπέπεσε χαλεπὸν καὶ ἀνίατον, λοιμὸς κατέσκηψε πάντων λοιμῶν χαλεπώτερος, καινή τις παρανομία ἐπενοήθη καὶ ἀφόρητος. οὐ γὰρ οἱ θετοὶ μόνον, ἀλλὰ καὶ αὐτοὶ οἱ τῆς φύσεως ἀνατρέπονται νόμοι. μικρὸν εἰς ἀσελγείας λόγον πορνεία λοιπόν. καὶ καθάπερ ἐν ταῖς ὀδύναις, τὸ τυραννικώτερον πάθος τοῦ προτέρου τὴν αἴσθησιν ἔκρυψεν ἐπελθόν· οὕτω καὶ ἡ τῆς ὕβρεως ταύτης ὑπερβολὴ οὐκέτι ἀφόρητον ποιεῖ φαίνεσθαι τὸ ἀφόρητον, τὴν περὶ γυναῖκας ἀσέλγειαν. ἀγαπητὸν γὰρ εἶναι δοκεῖ τὸ δυνηθῆναι τὰ δίκτυα ταῦτα διαφυγεῖν, καὶ κινδυνεύει λοιπὸν περιττὸν εἶναι τὸ τῶν γυναικῶν γένος, τῶν νέων ἀντ᾽ ἐκείνων πάντα τὰ ἐκείνων πληρούντων. καὶ οὐ τοῦτό πω δεινὸν, ἀλλ᾽ ὅτι καὶ μετὰ πολλῆς τολμᾶται τῆς ἀδείας μῦσος τοσοῦτον, καὶ νόμος γέγονεν ἡ παρανομία. οὐδεὶς δέδοικεν, οὐδὲ τρέμει λοιπόν· οὐδεὶς αἰσχύνεται, οὐδὲ ἐρυθριᾷ, ἀλλὰ καὶ ἐγκαλλωπίζεται τῷ γέλωτι τούτῳ· καὶ μαίνεσθαι δοκοῦσιν οἱ σωφρονοῦντες, καὶ παραπαίειν οἱ νουθετοῦντες. κἂν μὲν ἀσθενέστεροι τύχωσιν ὄντες, συνεκόπησαν ταῖς πληγαῖς· ἂν δὲ δυνατώτεροι, χλευάζονται, γελῶνται, μυρίοις πλύνονται σκώμμασιν. οὐδὲν ὄφελος δικαστηρίων, οὐδὲ νόμων, οὐδὲ παιδαγωγῶν, οὐ πατέρων, οὐκ ἀκολούθων, οὐ διδασκάλων. τοὺς μὲν γὰρ ἴσχυσαν διαφθεῖραι χρήμασιν, οἱ δ᾽ ὅπως αὐτοῖς μισθὸς γένοιτο μόνον ὁρῶσι· τῶν δὲ ἐπιεικεστέρων καὶ φροντιζόντων τῆς τῶν ἐμπιστευθέντων αὐτοῖς σωτηρίας οἱ μὲν κλέπτονται ῥᾳδίως καὶ ἀπατῶνται· οἱ δὲ καὶ δεδοίκασι τῶν ἀκολάστων τὴν δύναμιν. ῥᾷον γὰρ ἄν τις ὑποπτευθεὶς ἐπὶ τυραννίδι διασωθείη, ἢ τῶν μιαρῶν ἐκείνων ἀπάγειν πειραθεὶς τὰς ἐκείνων διαφύγοι

ἀνδάρια δὲ

γυναῖκα

χεῖρας ποτέ. οὕτω, καθάπερ ἐπ' ἐρημίας πολλῆς, ἐν μέσαις ταῖς πόλεσιν, ἄρρενες ἐν ἄρσεσι τὴν ἀσχημοσύνην κατεργάζονται. εἰ δέ τινες ταύτας διέφυγον τὰς παγίδας, τὴν γοῦν πονηρὰν τῶν τὰ τοιαῦτα ὑβριζομένων δυσκόλως διαφεύξονται δόξαν. πρῶτον μὲν, ὅτι ὀλίγοι σφόδρα εἰσὶ, καὶ ταύτῃ ῥᾳδίως ἂν ἐν τῷ τῶν πονηρῶν κρύπτοιντο πλήθει· δεύτερον, ὅτι καὶ αὐτοὶ οἱ μιαροὶ καὶ ἐναγεῖς ἐκεῖνοι δαίμονες οὐκ ἔχοντες ἑτέρως ἀμύνασθαι τοὺς ὑπεριδόντας αὐτῶν, ταύτῃ σπουδάζουσιν ἀδικεῖν. ἐπεὶ γὰρ οὐκ ἴσχυσαν καιρίαν δοῦναι πληγὴν, οὐδ' αὐτῆς καθικέσθαι τῆς ψυχῆς, τὸν γοῦν ἔξωθεν αὐτοῖς περικείμενον τέως κόσμον ἐπιχειροῦσι, καὶ τὴν εὔκλειαν ἅπασαν ἀνελεῖν. ὅθεν καὶ πολλῶν θαυμαζόντων ἤκουσα, πῶς οὐδέπω καὶ τήμερον ὄμβρος ἕτερος κατηνέχθη πυρός· πῶς οὐδέπω τὰ τῶν Σοδόμων ἔπαθεν ἡμῖν ἡ πόλις, τοσούτῳ χαλεπωτέρας ἀξία κολάσεως οὖσα, ὅσον μηδὲ τοῖς ἐκείνων ἐσωφρονίσθη κακοῖς. ἀλλὰ καίτοι τῆς χώρας ἐκείνης ἐν δισχιλίοις λοιπὸν ἔτεσι, φωνῆς λαμπρότερον, διὰ τῆς ὄψεως πρὸς ἅπασαν βοώσης τὴν οἰκουμένην, μηδὲν τοιοῦτον τολμᾶν, οὐ μόνον οὐκ ὀκνηρότεροι περὶ τὴν ἁμαρτίαν ἐγένοντο ταύτην, ἀλλὰ καὶ ἰταμώτεροι, καθάπερ φιλονεικοῦντες τῷ Θεῷ, καὶ διὰ τῶν ἔργων δεῖξαι σπουδάζοντες, ὅτι τοσούτῳ τοῖς κακοῖς ἐπιθήσονται τούτοις, ὅσῳπερ ἂν αὐτοῖς μειζόνως ἀπειλῇ. πῶς οὖν οὐδὲν γέγονε τοιοῦτον, ἀλλὰ τὰ μὲν Σοδόμων ἁμαρτήματα τολμᾶται, τὰ δὲ Σοδόμων οὐ γίνεται πάθη; ὅτι πῦρ αὐτοὺς ἕτερον χαλεπώτερον μένει, καὶ κόλασις οὐκ ἔχουσα τέλος. καὶ γὰρ τῶν ὑπὸ τοῦ κατακλυσμοῦ διαφθαρέντων πολλῷ μιαρώτερα τολμησάντων ἑτέρων, τῶν μετὰ ταῦτα λέγω, οὐδεὶς ἐξ ἐκείνου γέγονεν ὄμβρος τοιοῦτος. κἀνταῦθα δὲ πάλιν ἡ αἰτία ἡ αὐτή. ἐπεὶ τίνος ἕνεκεν, οἱ μὲν περὶ τὴν ἀρχὴν γενόμενοι, ὅτε οὔτε δικαστήρια ἦν, οὐδὲ ἀρχόντων ἐπέκειτο φόβος, οὐ νόμος παρῆν ἀπειλῶν, οὐ προφητῶν χορὸς ῥυθμίζων, οὐ προσδοκία γεέννης, οὐ βασιλείας ἐλπὶς, οὐκ ἄλλη φιλοσοφία, οὐ τὰ θαύματα, τὰ καὶ λίθους διαναστῆσαι δυνάμενα, πῶς οὗτοι μὲν οἱ μηδενὸς τούτων ἀπολαύσαντες, ὑπὲρ ὧν ἥμαρτον τοσαύτην ἔδωκαν δίκην, οἱ δὲ πάντων τούτων μετεσχηκότες, καὶ μεταξὺ τοσούτου ζῶντες φόβου καὶ θείων δικαστηρίων καὶ ἀνθρωπίνων, οὐδέπω καὶ τήμερον τὰ αὐτὰ ἔπαθον ἐκείνοις, χαλεπωτέρας ὄντες ἄξιοι κολάσεως; ἆρ' οὐχὶ καὶ παιδὶ δῆλόν ἐστιν, ὅτι σφοδροτέρα τηρεῖται δίκη; εἰ γὰρ ἡμεῖς ὀργιζόμεθα οὕτω καὶ ἀγανακτοῦμεν, ὁ Θεὸς ὁ πάντων μάλιστα τοῦ τῶν ἀνθρώπων γένους κηδόμενος, καὶ τὴν κακίαν σφόδρα ἀποστρεφόμενος καὶ μισῶν, πῶς ἀνάσχοιτο ταῦτα τολμᾶσθαι ἀτιμωρητί; οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν, ἀλλ' ἐποίσει πάντως αὐτοῖς τὴν χεῖρα τὴν κραταιὰν, καὶ τὴν πληγὴν τὴν ἀφόρητον, καὶ τῶν βασανιστηρίων τὴν ὀδύνην ἐκείνων οὕτως οὖσαν χαλεπὴν, ὡς τὰ ἐν Σοδόμοις πάθη πρὸς ταῦτα παραβαλλόμενα παίγνια εἶναι νομίζεσθαι. τίνας γὰρ οὐ παρήλασαν οὗτοι βαρβάρους, ποίων θηρίων γένος διὰ τῆς ἀναισχύντου μίξεως ταύτης; ἔστιν ἐν τισὶ τῶν ἀλόγων οἶστρος πολὺς, καὶ ἐπιθυμία ἀφόρητος, μανίας οὐδὲν διαφέρουσα· ἀλλ' ὅμως τοῦτον οὐκ οἶδε τὸν ἔρωτα, ἀλλ' ἕστηκεν εἴσω τῶν τῆς φύσεως ὅρων· κἂν μυριάκις καχλάζῃ, τοὺς τῆς φύσεως οὐκ ἀνατρέπει νόμους. οἱ δὲ λογικοὶ δῆθεν, καὶ θείας ἀπολαύσαντες διδασκαλίας, καὶ τὸ πρακτέον, καὶ τὸ μὴ τοιοῦτον ἑτέροις διαγορεύοντες, καὶ γράμματα ἐξ οὐρανοῦ καταβάντων ἀκούσαντες, οὐχ οὕτως ἀδεῶς ταῖς πόρναις, ὥσπερ τοῖς νέοις συγγίνονται. καθάπερ γὰρ μήτε ἀνθρώπων ὄντων, μήτε προνοίας Θεοῦ ἐφεστώσης καὶ δικαζούσης τοῖς γινομένοις, ἀλλ' ὥσπερ σκότους πάντα καταλαβόντος, καὶ μηδενὸς μήτε ὁρῶντος ταῦτα, μήτε ἀκούοντος, οὕτω πάντα τολμῶσι, καὶ μετὰ τοσαύτης μανίας. οἱ δὲ τῶν ὑβριζομένων παίδων πατέρες φέρουσι ταῦτα σιγῇ, καὶ οὐ κατορύττουσι μετὰ τῶν παίδων ἑαυτοὺς, οὐδὲ ἐπινοοῦσί τινα παραμυθίαν τῶν κακῶν. εἰ γὰρ εἰς * ὑπερορίαν ἀπὸ ταύτης ἑλκῦσαι τῆς νόσου τοὺς υἱοὺς ἔδει, εἰ γὰρ εἰς θάλασσαν, εἰ γὰρ εἰς νήσους, εἰ γὰρ εἰς ἄβατον γῆν, εἰ γὰρ εἰς τὴν ὑπὲρ ἡμᾶς οἰκουμένην, οὐκ ἔδει πάντα ποιῆσαι καὶ παθεῖν, ὥστε μὴ ταῦτα γενέσθαι τὰ μιάσματα; ἀλλ' εἰ μὲν ἐπινο-

γρ. ἐκείνου

* τὴν

σόν που καὶ λοιμικόν ἐστι χωρίον, οὐκ ἀπάξομεν ἐκεῖθεν τοὺς υἱοὺς, κἂν μεγάλα κερδαίνειν μέλλωσι, κἂν σφόδρα ὑγιεινοὶ τυγχάνωσιν ὄντες; νυνὶ δὲ τοσαύτης τὰ πάντα κατεχούσης λύμης, οὐ μόνον αὐτοὶ πρὸς ταῦτα ἕλκομεν τὰ βάραθρα αὐτοὺς, ἀλλὰ καὶ τοὺς ἀπαλλάξαι βουλομένους, ὡς λυμεῶνας ἀπελαύνομεν. καὶ πόσης οὐκ ἄξια ταῦτα ὀργῆς, πόσων σκηπτῶν, ὅταν τὴν μὲν γλῶτταν αὐτοῖς ἐκκαθαίρειν διὰ τῆς ἔξωθεν σοφίας σπουδάζωμεν, τὴν δὲ ψυχὴν ἐν αὐτῷ τῆς ἀσελγείας τῷ βορβόρῳ κειμένην καὶ σηπομένην διαπαντὸς μὴ μόνον ὁρῶμεν, ἀλλὰ καὶ ἐγερθῆναι βουλομένην κωλύωμεν;

Ετι οὖν τολμήσει τις εἰπεῖν, ὅτι δυνατὸν σωθῆναι τοὺς ἐν τοιούτοις ὄντας κακοῖς; πόθεν; οἱ μὲν γὰρ τὴν τῶν ἀκολάστων διαφυγόντες μανίαν (ὀλίγοι δέ εἰσιν οὗτοι) τοὺς τυραννικοὺς ἐκείνους ἔρωτας καὶ τὰ πάντα διαφθείροντας, τοὺς τῶν χρημάτων, καὶ τοὺς τῆς δόξης οὐ διαφεύγουσιν· οἱ δὲ πλείους, καὶ τούτοις αὐτοῖς, καὶ τοῖς τῆς ἀσελγείας μετὰ πλείονος κατέχονται τῆς ὑπερβολῆς. εἶτα λόγους μὲν αὐτοῖς ἐνθεῖναι βουλόμενοι, οὐχὶ τὰ διακόπτοντα τὴν παίδευσιν ἀναιροῦμεν μόνον, ἀλλὰ καὶ τὰ συνιστῶντα κατασκευάζομεν, καὶ παιδαγωγοὺς καὶ διδασκάλους ἐφιστῶντες, καὶ χρήματα ἀναλίσκοντες, καὶ τὴν ἀπὸ τῶν ἄλλων πραγμάτων παρέχοντες σχολὴν, καὶ τῶν ἐν τοῖς Ὀλυμπιακοῖς ἀγῶσι παιδοτριβῶν συνεχέστερον ἐπιφωνοῦντες αὐτοῖς τήν τε ἐκ τῆς ἀπαιδευσίας πενίαν, καὶ τὸν ἀπὸ τῆς παιδεύσεως πλοῦτον, καὶ πάντα ποιοῦντες καὶ λέγοντες, καὶ δι' ἑαυτῶν, καὶ δι' ἄλλων, ὥστε αὐτοὺς εἰς τὸ τέλος ἀγαγεῖν τῆς προκειμένης σπουδῆς, καὶ οὐδὲ οὕτω πολλάκις περιγινόμεθα· τρόπων δὲ ἐπιείκειαν, καὶ πολιτείας ἀρίστης ἀκρίβειαν αὐτόματον οἰησόμεθα παραγενέσθαι, καὶ ταῦτα τοσούτων ὄντων τῶν διακοπτόντων αὐτήν; καὶ τί ταύτης τῆς ἀλογίας χεῖρον γένοιτ' ἂν, τὸ μὲν ῥᾷστον οὕτω μεγάλης ἀξιοῦν τιμῆς καὶ σπουδῆς, ὡς οὐκ ἐνὸν ταύτης ἄνευ αὐτὸ κατορθωθῆναί ποτε· ὃ δὲ πολλῷ δυσχερέστερόν ἐστι, τοῦτο καθεύδουσιν ἡμῖν ἐφίστασθαι νομίζειν, καθάπερ τι τῶν '' φαύλων καὶ οὐδαμινῶν; φιλοσοφία γὰρ ψυχῆς, λόγων παιδεύσεως τοσούτῳ δυσκολώτερόν τέ ἐστι καὶ ἐργωδέστερον, ὅσῳ τοῦ λέγειν τὸ πράττειν, καὶ ὅσῳ ῥημάτων ἔργα ἐστὶν ἐπιπονώτερα. καὶ τί δεῖ φιλοσοφίας, φησὶ, καὶ πολιτείας ἀκριβοῦς τοῖς ἡμετέροις παισί; τοῦτο γάρ ἐστι, τοῦτο, ὅπερ πάντα ἀπολώλεκεν, ὅτι πρᾶγμα οὕτως ἀναγκαῖον, καὶ τὴν ἡμετέραν συνέχον ζωὴν, περιττὸν εἶναι καὶ πάρεργον δοκεῖ. καὶ περὶ σῶμα μὲν κάμνοντα τὸν υἱόν τις ἰδὼν οὐκ ἂν εἴποι, τί δὲ αὐτῷ καθαρᾶς ὑγιείας δεῖ καὶ ἀκριβοῦς, ἀλλὰ πάντα ἂν πραγματεύσαιτο ὑπὲρ τοῦ τοσαύτην ἐγγενέσθαι τὴν εὐεξίαν, ὡς μηκέτι τὴν νόσον ἐπανελθεῖν· τῆς δὲ ψυχῆς ἀρρωστούσης, οὐδὲν δεῖν αὐτοῖς θεραπείας φασὶ, καὶ τολμῶσι μετὰ τὰ ῥήματα ταῦτα πατέρας καλεῖν ἑαυτούς. τί οὖν; φιλοσοφήσομεν πάντες, φησὶ, καὶ τὰ τοῦ βίου οἰχήσεται; οὐ τὸ φιλοσοφεῖν, ὦ βέλτιστε, ἀλλὰ τὸ μὴ τοῦτο ποιεῖν, πάντα ἀπώλεσε καὶ διέφθειρε. τίνες γὰρ, εἰπέ μοι, τὴν παροῦσαν κατάστασιν λυμαίνονται; οἱ μετρίως ζῶντες καὶ ἐπιεικῶς, ἢ οἱ καινοὺς καὶ παρανόμους ἐπινοοῦντες τρυφῆς τρόπους; οἱ τὰ πάντων περιβάλλεσθαι σπουδάζοντες, ἢ οἱ τοῖς οὖσιν ἀρκούμενοι; οἱ φάλαγγας οἰκετῶν ἔχοντες, καὶ σμήνη '' κολάκων περιάγοντες, ἢ οἱ μόνον οἰκέτην ἕνα ἀπαρκεῖν αὐτοῖς νομίζοντες; (οὔπω γὰρ τὴν ἄκραν τίθημι φιλοσοφίαν, ἀλλὰ τὴν τοῖς πολλοῖς ἐφικτήν) οἱ φιλάνθρωποι καὶ ἥμεροι καὶ μὴ δεόμενοι τῆς παρὰ τῶν πολλῶν τιμῆς, ἢ οἱ παντὸς ὀφλήματος μᾶλλον ταύτην παρὰ τῶν ὁμοφύλων ἀπαιτοῦντες, καὶ μυρίας ἐργαζόμενοι συμφορὰς, ἐπειδὰν μὴ ὑπανέστη, μηδὲ προσεῖπεν ὁ δεῖνα πρότερος, μηδὲ ὑπέκυψε, μηδὲ '' τὰ τῶν ἀνδραπόδων ἐπεδείξατο; οἱ μελετῶντες ἄρχεσθαι, ἢ οἱ δυναστειῶν ἐρῶντες καὶ ἀρχῶν, καὶ πάντα ὑπὲρ τούτου καὶ ποιῆσαι καὶ παθεῖν ἀνεχόμενοι; οἱ πάντων βελτίους εἶναι λέγοντες, καὶ διὰ τοῦτο πάντα καὶ λέγειν καὶ πράττειν ἑαυτοῖς ἐξεῖναι νομίζοντες, ἢ οἱ μετὰ τῶν ἐσχάτων ἀριθμοῦντες ἑαυτοὺς, καὶ '' ταύτῃ τὴν ἄλογον ἐξουσίαν τῶν παθῶν κολάζοντες; οἱ τὰς λαμπρὰς οἰκοδομούμενοι οἰκίας, καὶ τὰς πολυτελεῖς παρατιθέμενοι τραπέζας, ἢ οἱ μη-

φαυλοτέρων

[illegible] παρεστώτων

δὲν πλέον τῆς τροφῆς καὶ οἰκήσεως τῆς ἀναγκαίας ζητοῦντες; οἱ μυρία πλέθρα ἀποτεμνόμενοι γῆς, ἢ οἱ μηδὲ βῶλον μίαν ἀναγκαίαν αὐτοῖς πρὸς κλῆσιν εἶναι νομίζοντες; οἱ τόκους ἐπὶ τόκοις συλλέγοντες, καὶ πάσης ἐμπορείας κινοῦντες ὁδὸν ἄδικον, ἢ οἱ τὰς ἀδίκους ταύτας διασπῶντες συγγραφὰς, καὶ ἐκ τῶν ἐνόντων τοῖς δεομένοις ἐπικουροῦντες; οἱ τὸ εὐτελὲς τῆς ἀνθρωπίνης ἐπεσκεμμένοι φύσεως, ἢ οἱ μηδὲ τοῦτο αὐτὸ εἰδέναι θέλοντες, ἀλλ' ὑπὸ τῆς ἄγαν ἀλαζονείας, καὶ τὸ ἀνθρώπους αὑτοὺς νομίζειν ἀπολωλεκότες; οἱ πόρνας τρέφοντες, καὶ τοῖς ἀλλοτρίοις λυμαινόμενοι γάμοις, ἢ οἱ καὶ τῆς ἑαυτῶν ἀπεχόμενοι γυναικός; οὐχ οἱ μὲν, ὥσπερ οἰδήματα σώματι, καὶ πνεύματα ἄγρια θαλάττῃ, τῇ πολιτείᾳ τῆς οἰκουμένης ἐπιφύονται, καὶ τοὺς καθ' ἑαυτοὺς σώζεσθαι δυναμένους χειμάζοντες διὰ τὴν ἀκρασίαν τὴν ″αὐτῶν; οἱ δὲ, ὥσπερ ἐν σκότῳ βαθεῖ λαμπτῆρες φαιδροὶ, τοὺς ἐν μέσῳ ναυαγοῦντας πρὸς τὴν οἰκείαν καλοῦσιν ἀσφάλειαν, καὶ τὰς τῆς φιλοσοφίας λαμπάδας ἀφ' ὑψηλοῦ πόρρωθεν ἅψαντες, οὕτω τοὺς βουλομένους ἐπὶ τὸν τῆς ἀπραγμοσύνης χειραγωγοῦσι λιμένα; οὐ δι' ἐκείνους στάσεις, καὶ πόλεμοι, καὶ μάχαι, καὶ πόλεων ″κατασκαφαὶ, καὶ ἀνδραποδισμοὶ, καὶ δουλεῖαι, καὶ αἰχμαλωσίαι, καὶ ″φόνοι, καὶ τὰ μυρία ἐν τῷ ″βίῳ κακά, οὐ τὰ παρὰ ἀνθρώπων ἀνθρώποις ἐπαγόμενα μόνον, ἀλλὰ καὶ τὰ ἐκ τοῦ οὐρανοῦ πάντα, οἷον αὐχμοὶ, καὶ ἐπομβρίαι, καὶ σεισμοὶ, καὶ καταπλώσεις, καὶ πόλεων καταποντισμοὶ, καὶ λιμοὶ, καὶ λοιμοὶ, καὶ τὰ ἄλλα πάντα, ὅσα ἡμῖν ἐκεῖθεν ἐπάγεται; οὐκοῦν οὗτοι οἱ τὴν πολιτείαν ἀνατρέποντες, καὶ τοῖς κοινοῖς λυμαινόμενοι, οὗτοι καὶ ἑτέροις μυρίων αἴτιοι συμφορῶν, οἱ τοῖς βουλομένοις ἡσυχάζειν ἐνοχλοῦντες, καὶ πανταχόθεν ἕλκοντες καὶ σπαράττοντες. διὰ τούτους δικαστήρια, καὶ νόμοι, καὶ τιμωρίαι, καὶ διάφοροι κολάσεων τρόποι. καὶ καθάπερ ἐν οἰκίᾳ, ἔνθα πολλοὶ μὲν οἱ κάμνοντες, οἱ δὲ ὑγιαίνοντες ὀλίγοι, καὶ φάρμακα καὶ ἰατροὺς πολλοὺς εἰσελθόντας ἐστὶν εὑρεῖν· οὕτω καὶ ἐν τῇ οἰκουμένῃ οὐκ ἔστιν ἔθνος, οὐκ ἔστι πόλις, ἔνθα μὴ πολλοὶ μὲν οἱ νόμοι, πολλοὶ δὲ οἱ ἄρχοντες, πολλαὶ δὲ αἱ τιμωρίαι. οὐ γὰρ ἀρκεῖ τὰ φάρμακα αὐτὰ καθ' ἑαυτὰ ἀναστῆσαι τὸν κάμνοντα, ἀλλὰ δεῖ καὶ τῶν ἐπιτιθέντων αὐτὰ, οἵπερ εἰσὶν οἱ δικάζοντες, καὶ ἑκόντας καὶ ἄκοντας ἀναγκάζοντες δέχεσθαι τὴν ἰατρείαν αὐτούς. ἀλλ' ὅμως οὕτως ὑπερέχει ἡ νόσος, ὡς καὶ αὐτῆς τῆς τῶν ἰατρῶν κρατῆσαι τέχνης, καὶ αὐτοὺς ἐπελθεῖν τοὺς δικάζοντας. καὶ συμβαίνει ταυτὸ, οἷον ἂν εἴ τις πυρετῷ καὶ ὑδέρῳ συνεχόμενος καὶ μυρίοις ἑτέροις πάθεσι χαλεπωτέροις, τῶν μὲν οἰκείων μὴ περιγίνοιτο κακῶν, ἑτέρους δὲ τοῖς αὐτοῖς ἐνεχομένους δεινοῖς ἀπαλλάττειν φιλονεικοίη. ἡ γὰρ τῆς κακίας ἐπιρροὴ, καθάπερ τις χειμάρρους, ἅπαντα τὰ κωλύματα ἀναρρήξασα, σφοδρῶς ἐπὶ τὰς τῶν ἀνθρώπων ἐξεχύθη ψυχάς.

Καὶ τί λέγω πολιτείας ἀνατροπήν; κινδυνεύει γὰρ οὗτος ὁ λοιμὸς, ὁ παρὰ τῶν πονηρῶν τούτων ἀρθεὶς, καὶ τοὺς περὶ τῆς προνοίας τοῦ Θεοῦ τῶν πολλῶν ἀπελάσαι λόγους. οὕτω περίεισι, καὶ νέμεται, καὶ πάντα ″ἐπείγεται κατασχεῖν, καὶ τὰ ἄνω κάτω πεποίηκε, καὶ αὐτῷ λοιπὸν ἐπιστρατεύει τῷ οὐρανῷ, τὰς τῶν ἀνθρώπων γλώττας οὐκέτι κατὰ τῶν ὁμοδούλων, ἀλλ' ἤδη καὶ κατ' αὐτοῦ τοῦ πάντων κρατοῦντος ὁπλίζων δεσπότου. πόθεν γὰρ, εἰπέ μοι, ὁ πολὺς πανταχοῦ τῆς εἱμαρμένης λόγος; πόθεν ἄστρων ″ἀλόγων φορᾷ τὰ ὄντα ἀνατιθέασιν οἱ πολλοί; διὰ τί τύχην, διὰ τί δὲ αὐτόματόν τινες πρεσβεύουσι; πόθεν εἰκῇ καὶ ἁπλῶς πάντα νομίζουσι φέρεσθαι; διὰ τοὺς ἐπιεικῶς ζῶντας καὶ μετρίως, ἢ δι' ἐκείνους, οὓς σὺ μὲν συνέχειν ἔφης τὴν πολιτείαν, ἐγὼ δὲ κοινὴν οὖσαν ἀπέδειξα τῆς οἰκουμένης λύμην; δι' ἐκείνους δῆλον ὅτι. οὐδεὶς γὰρ ἀγανακτεῖ, ἐπειδὴ ὁ δεῖνα φιλοσοφεῖ, ″ἢ ὅτι ἐστὶν ὁ δεῖνα ἐπιεικὴς καὶ μέτριος καὶ σώφρων καὶ τῶν παρόντων ὑπερορᾷ πραγμάτων· ἀλλ' ὅτι ὁ δεῖνα πλουτεῖ, ὅτι τρυφᾷ, ὅτι πλεονεκτεῖ καὶ ἁρπάζει, ὅτι πονηρὸς ὢν καὶ μυρίων γέμων κακῶν, λαμπρός τέ ἐστι καὶ εὐημερεῖ. ταῦτα κατηγοροῦσι καὶ μέμφονται οἱ ἀπιστοῦντες Θεῷ, τούτοις προσπταίουσιν οἱ πολλοί.

γρ. ἑαυτῶν;
γρ. κατερειψ
γρ. φόβοι,
γρ. μέσῳ
γρ. ἐπείγει
γρ. ἀλήτων
γρ. ἰδ

πολλοί. ὡς τῶν γε ἐπιεικῶς ἕνεκεν ζώντων, οὐ μόνον οὐδεὶς φθέγξοιτο τῶν ῥημάτων τούτων, ἀλλὰ καὶ καταγνοίεν ἑαυτῶν, ἐφ' οἷς ἂν παρασχῶσι τῆς τοῦ Θεοῦ κατηγορῆσαι προνοίας. καὶ εἰ πάντες, ἢ καὶ οἱ πλείους ἐβούλοντο οὕτω ζῆν, οὐδ' ἄν τις ἐνενόησε ταῦτα τὰ ῥήματα, οὐδ' ἂν ὁ τῶν κακῶν τούτων ἐπεισῆλθε κολοφών, τὸ ζητεῖν πόθεν τὰ κακά. κακῶν γὰρ οὐκ ὄντων, οὐδὲ φαινομένων, τίς ἂν προήχθη τὴν αἰτίαν ζητῆσαι τῶν κακῶν, καὶ μυρίας ἀπὸ τῆς ζητήσεως ταύτης αἱρέσεις ἀνατέμνειν; καὶ γὰρ Μαρκίων καὶ Μάνης καὶ Οὐαλεντῖνος καὶ τῶν ἑλλήνων οἱ " πλείους, ἐντεῦθεν ἔλαβον τὴν ἀρχήν. εἰ δὲ πάντες ἐφιλοσόφουν, οὐκ ἂν ἐνῆν ταῦτα ζητεῖν· ἀλλ' εἰ καὶ μηδαμόθεν ἄλλοθεν, ἀπὸ γοῦν τῆς ἀρίστης ταύτης πολιτείας ἔμαθον ἂν ἅπαντες, ὅτι ὑπὸ Θεοῦ ζῶμεν βασιλέως, καὶ τὰ ἡμέτερα οὗτος διοικεῖ καὶ " κυβερνᾷ πράγματα κατὰ τὴν αὐτοῦ σοφίαν καὶ σύνεσιν· " ὃ κινεῖται μὲν καὶ νῦν, φαίνεται δὲ οὐ ῥᾳδίως διὰ τὴν πολλὴν ἀχλύν, ἣν κατεσκέδασαν οὗτοι τῆς οἰκουμένης ἁπάσης. εἰ δὲ μὴ τοῦτο ἦν, καθάπερ ἐν σταθερᾷ μεσημβρίᾳ καὶ λευκῇ γαλήνῃ πᾶσιν ἂν ἡ τοῦ Θεοῦ πρόνοια διεφάνη. εἰ γὰρ μήτε δικαστήρια ἦν, μήτε κατήγοροι, μήτε συκοφάνται, μὴ βάσανοι καὶ τιμωρίαι, μὴ δεσμωτήρια καὶ κολάσεις, μὴ δημεύσεις καὶ ζημίαι, μὴ φόβοι καὶ κίνδυνοι, μὴ ἔχθραι καὶ ἐπιβουλαί, μὴ λοιδορίαι καὶ μῖσος, μὴ λιμοὶ καὶ λοιμοί, μηδ' ἄλλο τι * τῶν ἀπηριθμημένων δεινῶν, ἀλλὰ πάντες μετ' ἐπιεικείας ἔζων τῆς προσηκούσης, τίς ἂν τῶν ζώντων ἁπάντων ἠμφισβήτησε περὶ τῆς τοῦ Θεοῦ προνοίας; οὐκ ἔστιν οὐδείς. νυνὶ δὲ ταὐτὸ συμβαίνει, οἷον ἂν εἰ, χειμῶνος καταλαβόντος, ἐργάζοιτο μὲν ὁ κυβερνήτης τὸ αὐτοῦ, καὶ " διασώζοι τὸ σκάφος, μὴ φαίνοιτο δὲ αὐτοῦ τῆς ἐπιστήμης ἡ ἀκρίβεια τοῖς ἐπιβάταις διὰ τὴν ταραχὴν καὶ τὸν φόβον καὶ τὴν ἀγωνίαν τῶν ἐπικρεμαμένων κακῶν. ἐπεὶ καὶ ὁ Θεὸς κυβερνᾷ μὲν τὸ πᾶν τοῦτο καὶ νῦν, οὐ φαίνεται δὲ τοῖς πολλοῖς διὰ τὸν τῶν πραγμάτων χειμῶνα, καὶ τὴν ταραχήν, ἣν οὗτοι δὴ μάλιστα πάντων ἐργάζονται. ὥστε οὐ μόνον πολιτείαν ἀνατρέπουσιν, ἀλλὰ καὶ εὐλάβειαν λυμαίνονται. καὶ οὐκ ἄν τις ἁμάρτοι κοινοὺς ἐχθροὺς τούτους προσειπών, οἳ κατὰ τῆς ἑτέρων ζῶσι σωτηρίας, δόγμασι μιαροῖς καὶ βίοις ἀκαθάρτοις τοὺς μεθ' ἑαυτῶν ἐμπλέοντας καταδύοντες. ἀλλ' ἐν τοῖς μοναστηρίοις τούτων οὐδέν ἐστιν ἰδεῖν· ἀλλὰ καίτοι χειμῶνος ἠρμένου τοσούτου, μόνοι κάθηνται ἐν λιμένι καὶ γαλήνῃ καὶ ἀσφαλείᾳ πολλῇ, καθάπερ ἐξ οὐρανοῦ, τὰ τῶν ἄλλων ἐπισκοποῦντες ναυάγια. καὶ γὰρ πολιτείαν οὐρανῷ πρέπουσαν εἵλοντο, καὶ ἀγγέλων οὐδὲν χεῖρον διάκεινται. ὥσπερ οὖν ἐν ἐκείνοις οὐκ ἔστιν ἀνωμαλία τις, οὐδὲ οἱ μὲν ἐν εὐημερίᾳ, οἱ δὲ ἐν ἐσχάτοις κακοῖς, ἀλλὰ πάντες ἐν εἰρήνῃ μιᾷ καὶ χαρᾷ καὶ δόξῃ, οὕτω δὴ καὶ ἐνταῦθα, οὐδεὶς ὀνειδίζει πενίαν, οὐδεὶς ἐπὶ πλούτῳ σεμνύνεται· τὸ σὸν καὶ τὸ ἐμόν, τοῦτο δὴ τὸ πάντα ἀνατρέπον καὶ θορυβοῦν, ἐξώρισται, καὶ πάντα αὐτοῖς κοινά, καὶ τράπεζα, καὶ οἴκησις, καὶ ἱμάτια. καὶ τί θαυμαστόν, ὅπου γε καὶ αὐτὴ ἡ ψυχὴ μία πᾶσι καὶ ἡ αὐτή· πάντες τὴν αὐτὴν εὐγένειαν εἰσὶν εὐγενεῖς, τὴν αὐτὴν δουλείαν δοῦλοι, τὴν αὐτὴν ἐλευθερίαν ἐλεύθεροι. εἷς ἐκεῖ πλοῦτος πᾶσιν, ὁ ὄντως πλοῦτος· μία δόξα, ἡ ὄντως δόξα. οὐ γὰρ ἐν ὀνόμασιν, ἀλλ' ἐν πράγμασιν αὐτοῖς τὰ ἀγαθά. μία ἡδονή, μία ἐπιθυμία, μία ἐλπὶς πᾶσι, καὶ καθάπερ ἀπὸ κανόνος τινὸς καὶ στάθμης, ἅπαντα διηκρίβωται· καὶ ἀνωμαλία μὲν οὐδεμία, τάξις δέ, καὶ ῥυθμός, καὶ ἁρμονία, καὶ πολλὴ τῆς συμφωνίας ἡ ἀκρίβεια, καὶ διηνεκὴς εὐθυμίας ὑπόθεσις. διὸ πάντες πάντα ποιοῦσι καὶ πάσχουσιν, ἵνα εὐθυμῶσί τε καὶ χαίρωσιν. ἐκεῖ γὰρ μόνον καθαρῶς συμβαῖνόν ἐστιν ἰδεῖν, ἄλλοθι δὲ οὐδαμοῦ, οὐ μόνον τὸ τῶν παρόντων ὑπερορᾶν, καὶ πᾶσαν ἐκκεκόφθαι στάσεως καὶ μάχης ὑπόθεσιν, καὶ λαμπρὰς αὐτοῖς εἶναι περὶ τῶν μελλόντων τὰς ἐλπίδας, ἀλλὰ καὶ τῷ τὰ συμβαίνοντα ἑκάστῳ λυπηρὰ καὶ χρηστὰ κοινὰ πάντων εἶναι νομίζειν. ἥ τε γὰρ " ἀθυμία ἀφανίζεται ῥᾳδίως, ἀναλόγως τῶν ἑνὶ συνδιαφερόντων τὸ φορτίον ἁπάντων, τῆς τε εὐθυμίας πολλὰς ἔχουσι τὰς " ἀφορμάς, οὐκ ἐπὶ τοῖς ἑαυτῶν μόνοις εὐφραινόμενοι καλοῖς, ἀλλὰ καὶ ἐπὶ τοῖς ἀλλήλων οὐχ ἧττον, ἢ ἐπὶ τοῖς ἑαυτῶν. πῶς οὖν ὑμῖν οἰχήσεται τὰ πράγματα, ἂν τούτους πάντες ζηλώσωμεν; νῦν γὰρ οἴχεται καὶ διέφθαρται διὰ τοὺς πόῤῥω τῆς πολιτείας ταύτης ἠσκημένους. σὺ δὲ τἀναντία ψηφιζόμενος, ταὐτὸ ποιεῖς, ὥσπερ ἂν εἴ τις καὶ λύραν μὲν ἀκριβῶς ἡρμοσμένην, ὡς ἄχρηστον διαβάλλοι· τὴν ἐναντίως δὲ ἔχουσαν, καὶ ἐπιτάσει καὶ ἀνέσει διεφθαρμένην ἀμέτρῳ, ταύτην ἐπιτηδείαν εἶναι καὶ πρὸς κρούματα καὶ πρὸς τέρψιν λέγοι τῶν θεατῶν. ἀλλ' οὐδὲν οὔτε τῆς ἀμουσίας τοῦ ταῦτα λέγοντος ἕτερον τούτου μεῖζον τεκμήριον ἐζητήσαμεν ἂν, οὔτε τῆς βασκανίας καὶ μισανθρωπίας τῶν τὰ τοιαῦτα ψηφιζομένων δεῖγμα σαφέστερον ἄλλο. γρ. ἠλκω

Ἀλλὰ τίς ὁ τῶν ἐπιεικεστέρων λόγος πατέρων; μαθέτωσαν, φασὶ, γράμματα πρότερον, καὶ τὴν τῶν λόγων προσλαβόντες δύναμιν, οὕτως ἐπὶ τὴν φιλοσοφίαν ἀγέσθωσαν ταύτην· τότε ὁ κωλύσων οὐδείς. καὶ πόθεν δῆλον, ὅτι πάντως εἰς ἄνδρας ἐκβήσονται; πολλοὶ γὰρ ἀώρῳ προαναρπασθέντες ἀπῆλθον θανάτῳ. ἀλλ' ἔστω καὶ τοῦτο εἶναι φανερόν· θῶμεν αὐτὸν καὶ εἰς ἄνδρας τελέσειν. τίς ἐγγυήσεται τὴν προτέραν ἅπασαν ἡλικίαν; οὔπω γὰρ οὐδὲν πρὸς φιλονεικίαν φθέγγομαι. ὅτι εἴ τις ὑπὲρ τούτων παρέχει θαῤῥεῖν, οὐδὲ κτησαμένους τὴν δύναμιν ταύτην ἐξήγαγον ἄν· ἀλλὰ τότε μάλιστα μένειν ἐκέλευσα, καὶ τοὺς φυγαδεύοντας αὐτοὺς οὐκ ἂν ἐπῄνεσα, ἀλλ' ὡς κοινοὺς τῆς πολιτείας ἐχθροὺς ἀπεστράφην ἄν, ὅτι τοὺς λύχνους κρύπτοντες, καὶ τοὺς φωστῆρας ἀπὸ τῆς πόλεως ἐπὶ τὴν ἐρημίαν ἄγοντες, τὰ μέγιστα τοὺς ἔνδον οἰκοῦντας ἐζημίουν ἀγαθά. εἰ δὲ οὐδεὶς ὁ ταῦτα ὑποσχησόμενος, τί τὸ ὄφελος πέμπειν εἰς διδασκάλους, ἔνθα πρὸ τῶν λόγων κακίαν εἴσονται, καὶ τὸ ἔλαττον βουλόμενοι λαβεῖν, τὸ μεῖζον ἀπολέσουσι, τῆς ψυχῆς τὴν ἰσχὺν καὶ τὴν εὐεξίαν ἅπασαν. τί οὖν; κατασκάψωμεν τὰ διδασκαλεῖα, φησίν; οὐ τοῦτο λέγω, ἀλλ' ὅπως μὴ τὴν τῆς ἀρετῆς καθέλωμεν οἰκοδομὴν, καὶ ζῶσαν κατορύξωμεν τὴν ψυχήν. σωφρονούσης μὲν γὰρ ταύτης, οὐδεμία ἀπὸ τῆς τῶν λόγων ἀπειρίας ἔσται ζημία· διεφθαρμένης δὲ, μεγίστη ἡ βλάβη, κἂν σφόδρα ἡ γλῶττα ἠκονημένη τυγχάνῃ, καὶ τοσούτῳ μείζων, ὅσῳπερ ἂν ἐκείνη προσῇ ἡ δύναμις. πονηρία γὰρ τὴν τοῦ λέγειν προσλαβοῦσα ἐμπειρίαν, πολλῷ χείρονα τῆς ἀμαθίας ἐργάζεται τὰ δεινά. γρ. πλείονα ἂν δὲ ἀπελθόντες ἐκεῖ, φησὶ, πρὸς τῷ τὴν γλῶσσαν ἀργοτέραν ἔχειν, καὶ τῆς ἀρετῆς ἐκπέσωσιν ἐκείνης; γρ. ἐκπίπτ ἂν δὲ μένοντες, εἰπέ μοι, πρὸς τῷ τὴν ψυχὴν διαφθεῖραι, μηδὲν εἰς εὐγλωττίαν ἀπόνωνται τῆς σχολῆς; ἐμοὶ γὰρ ἁρμόσει ταῦτα λέγειν μᾶλλον ἢ ἐκεῖνά σοι. τί δήποτε; ὅτι εἰ καὶ τὸ τοῦ μέλλοντος ἄδηλον ἑκατέρου, τὸ σὸν ἀδηλότερον. πῶς, καὶ διὰ τί; ὅτι ἡ μὲν τῶν λόγων σπουδὴ, τῆς ἀπὸ τῶν τρόπων ἐπιεικείας δεῖται· ἡ δὲ τῶν τρόπων ἐπιείκεια, οὐκ ἔτι τῆς ἀπὸ τῶν λόγων προσθήκης. σωφροσύνην μὲν γὰρ καὶ χωρὶς τῆς παιδεύσεως ταύτης κατορθῶσαι ἔνι· λόγων δὲ δύναμιν χωρὶς τρόπων χρηστῶν οὐδεὶς ἂν προσλάβῃ ποτὲ, παντὸς τοῦ χρόνου εἰς κακίαν καὶ ἀσέλγειαν ἀναλισκομένου. ὥστε, ὅπερ ἐκεῖ δέδοικας, τοῦτο καὶ ἐνταῦθα φοβεῖσθαι χρή· καὶ πολλῷ μᾶλλον ἐνταῦθα, ὅσῳ καὶ πυκνότεραι αἱ ἀποτυχίαι, καὶ περὶ τῶν μειζόνων ὁ κίνδυνος. κἀκεῖ μὲν πρὸς ἓν ἠσχολῆσθαι μόνον ἀνάγκη, ἐνταῦθα δὲ τὸ δύο κρατῆσαι πρόκειται, ὡς οὐκ ἐνὸν θάτερον χωρὶς θατέρου λαβεῖν, οὐδὲ σωφροσύνης χωρὶς τοὺς λόγους εἰδέναι. εἰ δὲ βούλει, καὶ τὸ ἀδύνατον τοῦτο θῶμεν εἶναι δυνατόν. τί γένοιτ' ἂν ἡμῖν ἀγαθὸν ἀπὸ τῆς τούτων ἐμπειρίας, περὶ τὰ καίρια λαμβανόντων τὴν πληγήν; τί δὲ κακὸν ἀπὸ τῆς ἀπειρίας, τῶν μεγίστων ἡμῖν κατορθουμένων; καὶ ταῦτα οὐ παρ' ἡμῖν μόνοις τοῖς καταγελῶσι τῆς ἔξωθεν σοφίας καὶ μωρίαν αὐτὴν εἶναι νομίζουσιν, ἀλλὰ καὶ παρ' αὐτοῖς ἔξωθεν φιλοσόφοις οὕτω συνωμολόγηται. καὶ διὰ τοῦτο οἱ μὲν πολλοὶ οὐ σφόδρα ἐπεμελήθησαν τοῦ πράγματος, οἱ δὲ καὶ τέλεον κατεφρόνησαν, καὶ διετέλεσαν ὄντες ἀμαθεῖς, καὶ τὸν ἅπαντα βίον ἐν τῷ τῆς φιλοσοφίας ἠθικωτέρῳ διατρίψαντες μέρει, σφόδρα ἔλαμψαν, καὶ γεγόνασι διαφανεῖς. καὶ γὰρ Ἀνάχαρσις καὶ Κράτης καὶ Διογένης οὐδεμίαν ἐποιήσαντο τούτου σπουδήν· φασὶ δέ τινες, οὐδὲ Σωκράτης. καὶ μαρτυρήσειεν ἂν ἡμῖν ὁ μάλιστα πάντων ἐν τῇ τέχνῃ ταύτῃ διενεγκὼν, καὶ τὰ ἐκείνου τῶν ἄλλων εἰδὼς ἀκριβέστερον. εἰσαγαγὼν γὰρ αὐτόν ποτε εἰς δικαστήριον * ἀπολογησόμενον, ἐν τῇ πρὸς τοὺς δικαστὰς ἀπολογίᾳ ἐποίησεν οὕτω λέγοντα. Ὑμεῖς δέ μου ἀκούσεσθε πᾶσαν τὴν ἀλήθειαν, οὐ μέντοι μὰ Δί', ὦ ἄνδρες Ἀθηναῖοι, κεκαλλιεπημένους γε λόγους, ὥσπερ οἱ τούτων ῥήμασί τε καὶ ὀνόμασιν, οὐδὲ κεκοσμημένους· ἀλλ' ἀκούσεσθε ἁπλῶς καὶ εἰκῇ λεγόμενα τοῖς ἐπιτυχοῦσιν ὀνόμασι. πιστεύω γὰρ δίκαια εἶναι, ἃ λέγω, καὶ μηδεὶς ὑμῶν προσδοκησάτω ἄλλως. οὐδὲ γὰρ ἂν δήπου πρέποι τῇ ἡλικίᾳ τῇδε, ὥσπερ μειρακίῳ πλάττοντι λόγους εἰς ὑμᾶς εἰσιέναι. Ταῦτα δὲ ἔλεγε, δεικνὺς ὅτι οὐ διὰ ῥᾳθυμίαν τινὰ, ἀλλὰ διὰ τὸ μὴ μέγα τὸ πρᾶγμα ἡγεῖσθαι, οὔτε ἔμαθεν, οὔτε ἐχρήσατο. οὐκ οὖν φιλοσόφων μὲν ἡ εὐγλωττία, καὶ ἀνδρῶν δὲ ἁπλῶς· μειρακίων δὲ παιζόντων ἡ φιλοτιμία, ὡς καὶ αὐτοῖς τοῖς φιλοσόφοις δοκεῖ, οὐ τοῖς ἄλλοις μόνον, ἀλλὰ καὶ τῷ πάντων μάλιστα ἐν τούτῳ κεκρατηκότι. τὸν γὰρ διδάσκαλον οὐκ ἀφίησι κοσμεῖσθαι τῷ πράγματι, αἰσχρὸν τῷ φιλοσόφῳ τὸν κόσμον τοῦτον εἶναι νομίζων. ἀλλὰ ταῦτα μὲν, ὡς πρὸς ἄπιστον, δικαίως ἄν τις εἴποι· μᾶλλον δὲ καὶ πρὸς πιστόν. πῶς γὰρ οὐκ ἄτοπον, ὅταν οἱ μὲν τὴν παρὰ τῶν πολλῶν δόξαν θηρώμενοι, καὶ οὐδὲ ἄλλοθεν φαίνεσθαι δυνάμενοι, ἀλλ' ἢ ἀπὸ τῆς ἔξωθεν σοφίας, μηδὲν αὐτὴν εἶναι νομίζωσιν, ἡμεῖς δὲ οὕτω θαυμάζωμεν καὶ ἐκπληττώμεθα, ὡς καὶ τῶν ἀναγκαιοτάτων διὰ ταύτην καταφρονεῖν. πρὸς μὲν οὖν τὸν ἄπιστον ταῦτα ἀρκεῖ· πρὸς δὲ τὸν πιστὸν καὶ ταῦτα, καὶ τὰ παρ' ἡμῖν ὑποδείγματα ἀναγκαῖον παραγαγεῖν. ποῖα δὴ ταῦτα; τοὺς μεγάλους ἄνδρας καὶ ἁγίους ἐκείνους τοὺς πρὸ τούτους, ὅτε γράμματα οὐκ ἦν· τοὺς μετ' ἐκείνους, ὅτε γράμματα μὲν ἦν, ἐμπειρία δὲ λόγων οὐδέπω· τοὺς μετὰ τούτους, ὅτε καὶ γράμματα ἦν, καὶ ἐμπειρία λόγων. ἀμφοτέρων δὲ ἦσαν τότε ἄπειροι ἐκεῖνοι. οὐ μόνον γὰρ τῆς τῶν λόγων παιδεύσεως, ἀλλὰ καὶ αὐτῆς τῆς τῶν γραμμάτων ἐμπειρίας ἐκτὸς ἦσαν. ἀλλ' ὅμως ἐν αὐτοῖς τούτοις, οἷς μάλιστα ἡ τῶν λόγων ἰσχὺς ἀναγκαία εἶναι δοκεῖ, μετὰ τοσαύτης περιουσίας τοὺς ἐν αὐτῇ κρατοῦντας περιήλασαν, ὡς παίδων ἀνοήτων αὐτοὺς φαίνεσθαι χείρους. ὅταν γὰρ τὸ πείθειν ἐν τοῖς λόγοις ᾖ, καὶ οἱ μὲν φιλόσοφοι μηδὲ ἑνὸς περιγίνωνται τυράννου, οἱ δὲ ἀγράμματοι καὶ ἰδιῶται τὴν οἰκουμένην ἐπιστρέφωσιν ἅπασαν, εὔδηλον ὅτι παρὰ τούτοις τὰ νικητήρια τῆς φιλοσοφίας ἐστὶ τοῖς ἀγραμμάτοις καὶ ἰδιώταις, οὐ παρ' ἐκείνοις τοῖς τὰ ἑκάτερα διηκριβωκόσιν. οὕτως ἡ ὄντως σοφία καὶ ἡ ὄντως παίδευσις οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ ὁ τοῦ Θεοῦ φόβος. καὶ μή με τις νομιζέτω νομοθετεῖν ἀμαθεῖς τοὺς παῖδας γίνεσθαι· ἀλλ' εἴ τις ὑπὲρ τῶν ἀναγκαίων παρέχοι θαρρεῖν, οὐκ ἂν ἑλοίμην κωλῦσαι καὶ τοῦτο ἐκ περιουσίας γενέσθαι. ὥσπερ γὰρ τῶν θεμελίων σαλευομένων, καὶ πάσης τῆς οἰκίας καὶ τῆς οἰκοδομῆς κινδυνευούσης καταπεσεῖν, ἐσχάτης ἀνοίας καὶ παραπληξίας ἐστὶ πρὸς τοὺς κονιῶντας, ἀλλὰ μὴ πρὸς τοὺς οἰκοδομοῦντας τρέχειν· οὕτω πάλιν ἀκαίρου φιλονεικίας, * τῶν τοίχων ἑστώτων ἀσφαλῶς καὶ βεβαίως, κωλύειν τὸν βουλόμενον κονιᾶν. καὶ ὅτι ταῦτα ἀπὸ ψυχῆς λέγω, ἅπερ ἐπὶ τῶν ἔργων ἐπεδειξάμην, ταῦτα ὑμῖν διηγήσομαι καὶ νῦν. νέος τις κομιδῇ πλούσιος ὢν ἐπεδήμησέ ποτε τῇ πόλει τῇ ἡμετέρᾳ κατὰ λόγων παίδευσιν ἑκατέραν, τήν τε Ἰταλῶν, τήν τε Ἑλλήνων. οὗτος ὁ νέος εἶχεν ἀκολουθοῦντα παιδαγωγὸν, ἓν ἔργον ἔχοντα μόνον, διαπλάττειν αὐτοῦ τὴν ψυχήν. τούτῳ προσελθὼν ἐγὼ τῷ παιδαγωγῷ (καὶ γὰρ τῶν ἐν ὄρεσι καθημένων ἐτύγχανεν ὢν) τὴν πρόφασιν ἐπεχείρουν μανθάνειν, δι' ἣν τοιαύτης ἐπειλημμένος σοφίας, εἰς τὸν τῶν παιδαγωγῶν βίον καθῆκεν ἑαυτόν. ὁ δὲ μικρὸν ἔφησεν ἑαυτῷ λείπεσθαι χρόνον ἐν τούτῳ, καὶ τὸ πᾶν ἡμῖν ἄνωθεν διηγήσατο. τῷ γὰρ παιδίῳ τούτῳ, φησὶ, πατὴρ μέν ἐστι σκληρὸς καὶ τραχὺς καὶ πρὸς τὰ βιωτικὰ πράγματα ἐπτοημένος, μήτηρ δὲ μετρία καὶ σώφρων καὶ ἐπιεικὴς καὶ πρὸς τὸν οὐρανὸν βλέπουσα μόνον. ἐκεῖνος μὲν οὖν, ἅτε καὶ ἐν πολέμοις πολλὰ κατωρθωκὼς, βούλεται τὸν υἱὸν ἐπὶ τὴν πατρῴαν τάξιν ἀγαγεῖν· ἡ δὲ μήτηρ ταῦτα μὲν οὐδὲ βούλεται,

Πλατ. Ἀπολογ.

ται, οὔτε ἐπιθυμεῖ, ἀλλὰ καὶ σφόδρα ἀπεύχεται· εὔχεται δὲ καὶ ἐπιθυμεῖ λαμπρὸν αὐτὸν ἰδεῖν ἐν τῇ τῶν μοναχῶν πολιτείᾳ. Ἀλλὰ ταῦτα μὲν πρὸς τὸν πατέρα εἰπεῖν οὐκ ἐτόλμησεν. ἐδεδοίκει γὰρ, μήποτε αὐτὸ τοῦτο ὑφορώμενος ἐκεῖνος, πρὸ ὥρας αὐτὸν ἤδη καταδήσῃ τοῖς τοῦ βίου σχοινίοις, καὶ ταύτης αὐτὸν ἀποστήσας τῆς σπουδῆς ἐπὶ τὴν ζώνην ἀγάγῃ, καὶ τὴν ἐξ ἐκείνης ῥαθυμίαν ἅπασαν, καὶ ἀδύνατον αὐτῷ τὴν μετὰ ταῦτα κατασκευάσῃ διόρθωσιν. ἑτέραν δέ τινα συντίθησι μηχανήν. καλέσασα γάρ με οἴκοι, καὶ ταῦτα πάντα κοινωσαμένη, καὶ τοῦ παιδίου λαβοῦσα τὴν δεξιὰν, ταῖς ἐμαῖς ἐντίθησι χερσίν. ὡς δὲ ἠρώτων, τίνος ἕνεκεν ταῦτα ποιεῖ, μίαν ταύτην ἔλεγεν ὑπολείπεσθαι μηχανὴν ἡμῖν πρὸς τὴν τοῦ παιδὸς σωτηρίαν, εἰ βουληθείην τε καὶ ἀνασχοίμην ἐν τάξει παιδαγωγοῦ τὸ παιδίον λαβὼν, ἐλθεῖν ἐνταῦθα. πείσειν γὰρ αὐτὴν τὸν πατέρα, ὡς καὶ τὸν στρατιωτικὸν ἑλομένῳ βίον χρήσιμος αὐτῷ τῶν λόγων ἡ παίδευσις. ἂν οὖν τοῦτο ἰσχύσαι δυνηθῶ, φησὶ, καταμόνας αὐτὸν ἔχων λοιπὸν ἐπὶ τῆς ἀλλοτρίας, οὔτε τοῦ πατρὸς ἐνοχλοῦντος, οὔτε τῶν οἰκείων τινὸς, μετὰ πολλῆς αὐτὸν τῆς ἐξουσίας διαπλάσαι δυνήσῃ, καὶ καθάπερ ἐν μοναστηρίῳ διάγοντα, οὕτω ποιῆσαι ζῆν. ἀλλ' ἐπίνευσον καὶ ὑπόσχου τὸ συνυποκρίνασθαί μοι τὸ δρᾶμα. οὐκ ἔστιν ὑπὲρ τῶν τυχόντων ὁ λόγος ἐμοί· ὑπὲρ τῆς τοῦ παιδίου μου ψυχῆς ὁ ἀγὼν καὶ ὁ κίνδυνος. μὴ δὴ περιίδῃς τὸν πάντων ἐμοὶ φίλτατον κινδυνεύοντα· ἀλλ' ἐξάρπασον αὐτὸν ἤδη τῶν πάντοθεν περικειμένων αὐτῷ παγῶν, τῆς ζάλης, τοῦ κλυδωνίου. εἰ δὲ οὐ θέλεις δοῦναι τὴν χάριν, τὸν Θεὸν ἤδη καλῶ μέσον ἡμῶν, καὶ μαρτύρομαι, ὅτι ἐγὼ μὲν οὐδὲν ἐνέλιπον τῶν εἰς τὴν σωτηρίαν τῆς τούτου ψυχῆς ἡκόντων, ἀλλ' εἰμὶ καθαρὰ ἀπὸ τοῦ αἵματος τοῦ παιδίου τούτου. εἰ δὲ συμβαίη τι παθεῖν, οἷα εἰκὸς νέον ὄντα καὶ ἐν τοσαύτῃ ζῶντα τρυφῇ καὶ ῥαθυμίᾳ, ἀπὸ σοῦ καὶ τῶν σῶν χειρῶν κατὰ τὴν ἡμέραν ἐκείνην ἐκζητήσει τοῦ παιδίου τούτου τὴν ψυχὴν ὁ Θεός. ταῦτα καὶ τούτων πλείονα προσθεῖσα ῥήματα, καὶ δακρύσασα σφοδρῶς καὶ ἐλεεινῶς, ἔπεισεν ἀναδέξασθαί με ταύτην τὴν πραγματείαν, καὶ μετὰ τούτων ἐξέπεμψε τῶν ἐντολῶν. καὶ οὐ γέγονεν αὕτη μάταιος ἡ μηχανή· ἀλλ' οὕτως ἐν βραχεῖ χρόνῳ τὸν παῖδα τοῦτον ὁ γενναῖος ἐκεῖνος ἤσκησε, καὶ τοσοῦτον αὐτῷ τῆς ἐπιθυμίας ταύτης ἀνῆψε τὸ πῦρ, ὥστε ἀθρόον ἅπαντα ῥῖψαι, καὶ ἐπὶ τὴν ἔρημον δραμεῖν, καὶ ἑτέρου δεῖσθαι χαλινοῦ πάλιν τοῦ δυνησομένου πρὸς τὴν σύμμετρον αὐτὸν ἄσκησιν ἀπὸ τῆς ἐπιτεταμένης ἀποστρέψαι ἐκείνης. καὶ γὰρ ἦν δέος, μὴ τῇ σπουδῇ ταύτῃ πρὸ καιροῦ τὸ δρᾶμα ἀποκαλύψας, καὶ τῇ μητρὶ καὶ τῷ παιδαγωγῷ καὶ τοῖς πανταχοῦ μοναχοῖς πόλεμον ἐγείρῃ χαλεπόν. εἰ γὰρ ᾔσθετο ταύτης τῆς φυγῆς ὁ πατὴρ, οὐκ ἂν ἀπέστη πάντα κινῶν, ὥστε ἀπελάσαι τοὺς ἁγίους ἐκείνους, οὐχὶ τοὺς ὑποδεξαμένους μόνον, ἀλλὰ καὶ τοὺς ἄλλους ἅπαντας. τοῦτον τοίνυν ἐγὼ τὸν παῖδα λαβὼν, καὶ ταῦτα καὶ τὰ τούτων πλείονα εἰπὼν, τὴν μὲν ἐπιθυμίαν τῆς φιλοσοφίας πάσης εἴασα μένειν, καὶ ἐπέτεινα δὲ πλέον· τὴν δὲ πόλιν οἰκεῖν ἠξίουν, καὶ τῆς τῶν λόγων ἔχεσθαι σπουδῆς. οὕτω γὰρ καὶ τοὺς ἡλικιώτας ὠφελήσειν τὰ μέγιστα, καὶ τὸν πατέρα λήσειν. ἀναγκαῖον δὲ τοῦτο εἶναι ἐνόμιζον, οὐ τῶν ἁγίων μόνον ἕνεκεν ἐκείνων, οὐδὲ τῆς μητρὸς, οὐδὲ τοῦ παιδαγωγοῦ, ἀλλὰ καὶ αὐτοῦ τοῦ παιδός. ἐν ἀρχῇ μὲν γὰρ ἐπιθέμενον αὐτῷ τὸν πατέρα, καὶ διασαλεύειν εἰκὸς ἦν τὰ τῆς φιλοσοφίας φυτὰ ἁπαλά τε ὄντα καὶ ἄρτι τεθέντα· εἰ δὲ χρόνος ἐγγένηται πολὺς, καὶ ῥιζωθείη καλῶς, σφόδρα ἐθάρρουν, ὅτι οὐκ ἂν οὐδ' ὁτιοῦν γένηται, δυνήσεται παραβλάψαι τὸν υἱὸν ἐκεῖνος· ὃ δὴ καὶ γέγονε, καὶ οὐ διήμαρτον τῆς ἐλπίδος. ὅ τε γὰρ πατὴρ αὐτοῦ προσβαλὼν ὕστερον, χρόνου παρελθόντος πολλοῦ, καὶ μετὰ σφοδρᾶς ἐνσείσας τῆς ῥύμης, οὐ μόνον οὐκ ἔκλινέ τι τῆς οἰκοδομῆς, ἀλλὰ καὶ ἰσχυροτέραν ἀπέφηνε· τῶν τε συμφοιτητῶν αὐτοῦ πολλοὶ τοσαῦτα τῆς ὁμιλίας ἀπώναντο τῆς ἐκείνου, ὡς καὶ πρὸς τὸν αὐτὸν αὐτῷ ζῆλον ἐλθεῖν. ἔχων γὰρ οἴκοι διαπαντὸς τὸν ῥυθμίζοντα, καθάπερ ἄγαλμα συνεχῶς ἀπολαῦον τῆς τοῦ τεχνίτου χειρὸς, οὕτω προσθήκην καθ' ἑκάστην ἡμέραν ἐλάμβανε τῶν κατὰ ψυχὴν κάλλους· καὶ τὸ δὴ θαυμαστὸν, ἔξω μὲν φαινόμενος, οὐδὲν διαφέρειν ἐδόκει τῶν πολλῶν. οὔτε γὰρ ἦθος εἶχεν ἠγριωμένον καὶ κατεσκληκὸς, οὔτε ἐξηλλαγμένην στολήν· ἀλλ' ἦν κοινὸς καὶ τῷ σχήματι καὶ τῷ βλέμματι καὶ τῇ φωνῇ καὶ τοῖς ἄλλοις ἅπασιν· ὅθεν καὶ πολλοὺς τῶν ὁμιλούντων αὐτῷ εἴσω τῶν αὐτοῦ δικτύων ἠδυνήθη λαβεῖν, πολλὴν ἔνδον ἔχων ἐγκεκρυμμένην τὴν φιλοσοφίαν. οἴκοι δὲ εἴ τις αὐτὸν εἶδεν, ἐνόμισεν ἂν ἕνα εἶναι τῶν ἐν τοῖς ὄρεσι καθημένων. καὶ γὰρ ἡ οἰκία αὐτῷ πρὸς ἀκρίβειαν μοναστηρίου πάντως διέκειτο, οὐδὲν ἔχουσα τῶν ἀναγκαίων πλέον· καὶ ὁ καιρὸς δὲ αὐτῷ ἅπας εἰς τὴν ἀνάγνωσιν τῶν ἁγίων ἀνηλίσκετο βιβλίων. καὶ γὰρ ὢν ὀξὺς μαθήματα προσλαβεῖν, τῇ μὲν ἔξωθεν παιδεύσει βραχὺ τῆς ἡμέρας ἀπένειμε μέρος, τὸ δὲ λοιπὸν ἅπαν εὐχαῖς συνεχέσι καὶ βιβλίοις ἀνέκειτο θείοις, καὶ ἄσιτος ἅπασαν διετέλει τὴν ἡμέραν· μᾶλλον δὲ οὐ μίαν, οὐδὲ δύο μόνον, ἀλλὰ καὶ πλείους. καὶ νύκτες δὲ αὐτῷ ταῦτα συνήδεσαν δάκρυα, καὶ εὐχὰς, καὶ τὴν " τοιαύτην ἀνάγνωσιν. ἅπερ ἡμῖν ἅπαντα ὁ παιδαγωγὸς λάθρα ἀπήγγειλε. καὶ γὰρ ἦν ἀφόρητος ὁ παῖς, εἴ τι τούτων ᾔσθετό ποτε ἐξενεχθέν. ἔλεγε τοίνυν οὗτος, ὅτι καὶ ἱμάτιον αὐτῷ ἀπὸ τριχῶν κατεσκεύαστο, καὶ τούτῳ τὰς νύκτας ἐγκαθεύδοι, σοφὴν ἵνα μηχανὴν τοῦ ταχέως ἐξανίστασθαι ταύτην εὑρών, καὶ τὰ ἄλλα δὲ αὐτῷ πρὸς τὴν ἀκρίβειαν τῶν μοναχῶν ἀπήρτιστο, καὶ τὸν Θεὸν ἐδόξαζε συνεχῶς ἐκεῖνος τὸν οὕτω κοῦφα τῆς φιλοσοφίας ταύτης ἐνθέντα αὐτῷ τὰ πτερά. ὥστε εἴ τις μοι ψυχὴν καὶ νῦν ἐδείκνυ τοιαύτην, καὶ παιδαγωγὸν παρεῖχε τοιοῦτον, καὶ τὰ ἄλλα πάντα ὁμοίως [ἐπιμελεῖσθαι] ἐπηγγείλατο, μυριάκις ἂν ηὐξάμην τοῦτο γενέσθαι μᾶλλον τῶν γεννησαμένων " αὐτῶν. ἡ γὰρ ἂν ἡμῖν ἡ θέα πλείων ἐγένετο, καὶ διὰ τὸν βίον, καὶ διὰ τὴν ἡλικίαν, καὶ διὰ τὴν συνεχῆ διατριβὴν τῶν τοιούτων δυναμένων τοὺς ἡλικιώτας θηρᾶν.

ποσαύτην

αὐτῷ

Ἀλλὰ γὰρ οὐδείς ἐστιν ὁ ταῦτα ὑποστησόμενος, οὐδὲ ποιήσων. οὐκ ὄντος δὲ, μυρίας ὠμότητος ἂν εἴη, τὸν οὐδὲ ἑαυτῷ δυνάμενον ἀμῦναι, ἀλλὰ κείμενον καὶ μυρία δεχόμενον τραύματα, καὶ τοὺς ἄλλους ἀσθενεστέρους ποιοῦντα, τοῦτον ἐν τῷ μέσῳ κατακόπτεσθαι ἐᾶν, δέον ἐξέλκειν ἀπὸ τῆς μάχης. καὶ γὰρ καὶ στρατηγὸν ὁμοίως ἄν τις κολάσειε τὸν τούς τε δυναμένους πολεμεῖν ἀπάγοντα τῆς παρατάξεως, τούς τε τρωθέντας καὶ κειμένους καὶ τοὺς ἄλλους συνταράττοντας κελεύοντα κεῖσθαι διαπαντὸς ἐν τῷ μέσῳ. ἐπεὶ δὲ πολλοὶ τῶν πατέρων, ἕκαστος ἔγκειται τὸν υἱὸν ἐπιθυμῶν ἐν λόγοις ζῶντα ὁρᾶν, ὡς ἀκριβῶς εἰδὼς ὅτι πρὸς τὸ τέλος πάντως ἥξει τῶν λόγων, ὑπὲρ τούτου μὲν μὴ φιλονεικῶμεν, μηδὲ ὅτι διαμαρτήσεται λέγωμεν· ἀλλὰ δῶμεν τῷ λόγῳ καὶ περιέσεσθαι πάντως αὐτὸν τῆς σπουδῆς, καὶ πρὸς ἄκρον ἀφίξεσθαι. ἔστω δὲ αἵρεσις ἡμῖν προκειμένη διπλῆ· καὶ εἰς " διδασκαλεῖα μὲν φοιτῶν, ὑπὲρ τῆς μαθήσεως ἐχέτω τὸν ἀγῶνα· εἰς δὲ ἐρημίας, ὑπὲρ τῆς ψυχῆς. ποῦ βέλτιον, εἰπέ μοι, κρατεῖν; ἂν μὲν γὰρ ἑκατέρωθεν συμβαίνῃ, κἀγὼ βούλομαι· ἂν δὲ θάτερον λείπηται, βέλτιον ἑλέσθαι τὸ κρεῖττον. ναί, φησιν. αὐτὸ δὲ τοῦτο πόθεν ἡμῖν ἔσται δῆλον, ὅτι στήσεται καὶ μενεῖ καὶ οὐ μεταπεσεῖται; πολλοὶ γὰρ οἱ πεσόντες. πόθεν δὲ δῆλον ὅτι οὐ στήσεται; οὐδὲ μενεῖ; πολλοὶ γὰρ οἱ στάντες, καὶ τῶν πεπτωκότων πλείους. ὥστε διὰ τούτους μᾶλλον θαρρεῖν χρὴ, ἢ δι' ἐκείνους φοβεῖσθαι. τίνος δὲ ἕνεκεν καὶ ἐπὶ τῶν λόγων αὐτὸ τοῦτο οὐ δέδοικας, ἔνθα μάλιστα δεδοικέναι ἐχρῆν; παρὰ μὲν γὰρ τοῖς μοναχοῖς ἐκ πολλῶν ὀλίγοι διήμαρτον· ἐν δὲ ταῖς τῶν λόγων διατριβαῖς, ἀπὸ πολλῶν ὀλίγοι κατώρθωσαν. καὶ οὐκ ἀπὸ τούτων μόνον, ἀλλὰ καὶ ἀφ' ἑτέρων πλειόνων εἰκότως ἄν τις ἐκεῖνα μᾶλλον φοβοῖτο. καὶ γὰρ παιδὸς ἀφυΐα, καὶ διδασκάλων ἀμαθία, καὶ παιδαγωγῶν ῥαθυμία, καὶ πατρὸς ἀσχολία, καὶ δαπανῶν καὶ μισθῶν ἔλλειψις, καὶ τρόπων διαφορὰ, καὶ συμφοιτητῶν κακία, καὶ φθόνος, καὶ βασκανία, καὶ πολλὰ ἕτερα τῷ τέλει λυμαίνεται· καὶ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ μετὰ τὸ τέλος, τούτων ἕτερα πλείονα. ὅταν γὰρ ἅπαντα ὑπερβὰς, πρὸς αὐτὸ τῆς παιδείας τὸ ἄκρον ἀφίκηται, μηδενὶ τούτων ὑποσκελισθεὶς, ἕτερα πάλιν κεῖται ἔνεδρα ἐκεῖ. καὶ γὰρ ἄρχοντος δυσμένεια,

διδασκαλί.

καὶ φθόνος τῶν ὁμοτέχνων, καὶ καιρῶν δυσκολία, καὶ φίλων ἐρημία, καὶ πενία πολλάκις τοῦ τέλους ἐξέκρουσεν. ἀλλ' οὐκ ἐπὶ τῶν μοναχῶν οὕτως· ἀλλ' ἑνὸς δεῖ μόνου, προθυμίας γενναίας καὶ ἀγαθῆς. κἂν τοῦτο παρῇ, οὐδὲν τὸ κωλῦον πρὸς τὸ τέλος ἐλθεῖν τῆς ἀρετῆς. πῶς οὖν οὐκ ἄδικον, ἔνθα μὲν τὰ τῶν χρηστῶν ἐλπίδων δῆλά τέ ἐστι καὶ ἐγγύτερα, ἀπογινώσκειν καὶ τρέμειν, ἔνθα δὲ τὰ τῶν ἐναντίων μακρότερα καὶ ὑπὸ πολλῶν κωλυμάτων διακοπτόμενα, μὴ ἀπογινώσκειν, εἰς δὲ τὰ τῶν δυσχερῶν σαφέστερα καὶ μᾶλλον πλείονα θαρσεῖν· καὶ ἐπὶ μὲν τῶν λόγων μὴ πρὸς τὰ πολλάκις συμβαίνοντα λυπηρὰ, ἀλλὰ πρὸς τὰ σπανίως ἐκβαίνοντα χρηστὰ ἀφορᾶν· ἐπὶ δὲ τῶν μοναχῶν τοὐναντίον ποιεῖν, καὶ ἔνθα μὲν αἱ τῶν ἀγαθῶν ἐλπίδες πολλαὶ, πρὸς τὰ λυπηρὰ ἀποκλίνειν μόνον, ἔνθα δὲ αἱ τῶν ἐναντίων, τὰς χρηστὰς ἀναλογίζεσθαι μόνας; καίτοι ἐκεῖ μὲν ὅταν ἅπαντα συνέλθῃ τὰ ὀφείλοντα συνδραμεῖν, πρὸς αὐτῷ τῷ τέλει πολλάκις θάνατος ἄωρος προσπεσὼν ἀπήνεγκεν ἀστεφάνωτον τὸν ἀθλητὴν μετὰ τοὺς μυρίους ἱδρῶτας· ἐνταῦθα δὲ κἂν ἐν μέσοις τοῖς ἀγῶσι τοῦτο γένηται, τότε δὴ μάλιστα λαμπρὸς καὶ ἐστεφανωμένος ἄπεισιν ἐκεῖσε. ὥστε εἰ τὸ μέλλον δέδοικας, ἐπὶ τῶν λόγων δεδοικέναι μᾶλλον ἔδει, ἔνθα πολλὰ τὰ κωλύματα πρὸς τὸ πέρας ἐλθεῖν. σὺ δὲ ἐκεῖ μὲν καὶ ἤδη χρόνον ἀναμένων μακρὸν, καὶ πρὸς οὐδὲν τῶν ἐν μέσῳ, δαπάνην λέγω καὶ ταλαιπωρίαν καὶ τὸ ἄδηλον, ἀλλὰ πρὸς τὸ τέλος μόνον ὁρῶν· ἐνταῦθα δὲ, οὔπω τῶν προθύρων τοῦ παιδὸς ἐπιβάντος, οὐδὲ ἁψαμένου τῆς καλῆς ταύτης φιλοσοφίας, δέδοικας καὶ τρέμεις εὐθέως, καὶ εἰς ἀπόγνωσιν ἐμβάλλεις τὸν λογισμόν. καὶ μὴν αὐτὸς ἔμπροσθεν ἔλεγες· τί γάρ; πόλιν οἰκοῦντα, καὶ οἰκίαν ἔχοντα σωθῆναι οὐκ ἔνι; οὐκοῦν εἰ μετὰ τῆς πόλεως καὶ τῆς οἰκίας καὶ τῆς γυναικὸς σωθῆναι δυνατὸν, πολλῷ μᾶλλον χωρὶς γυναικὸς καὶ τῶν ἄλλων τούτων. οὐ γάρ ἐστι τοῦ αὐτοῦ νῦν μὲν θαῤῥεῖν, καὶ εἰ ἐν τοῖς βιωτικοῖς ᾖ πράγμασιν ἐνδεδεμένος, ὡς δυνατῆς καὶ οὕτω τῆς σωτηρίας οὔσης, νῦν δὲ κἂν τούτων ἀπηλλαγμένος ᾖ, τρέμειν καὶ δεδοικέναι, ὡς οὐδὲ τούτων χωρὶς εὐδοκιμῆσαι ἐνόν. εἰ γὰρ πόλιν οἰκῶν ἠδύνατο σώζεσθαι, ὡς ἔφης, πολλῷ μᾶλλον τὴν ἐρημίαν καταλαβών. πῶς οὖν τὸ ἀδύνατον ἐνταῦθα δέδοικας, ἐκεῖ μὴ φοβηθεὶς, ἔνθα μᾶλλον ἐχρῆν; οὐ γάρ ἐστι, φησὶν, ἴσον βιωτικὸν ὄντα ἁμαρτεῖν, καὶ καθάπαξ ἀναθέντα ἑαυτὸν τῷ Θεῷ. οὐ γὰρ ἀπὸ τοῦ αὐτοῦ ὕψους ἀμφότεροι καταπίπτουσιν· ὅθεν οὐδὲ τὰ τραύματα αὐτοῖς ἴσα.

Σφόδρα ἀπατᾷς σαυτὸν, καὶ σφάλλεις, εἰ ἄλλα μὲν οἴει τὸν βιωτικὸν, ἕτερα δὲ ἀπαιτεῖσθαι τὸν μοναχόν. ἡ γὰρ διαφορὰ τούτοις ἐν τῷ γαμῆσαι, καὶ μή· τῶν δὲ ἄλλων ἕνεκεν ἁπάντων, κοινὰς ὑπέχουσι τὰς εὐθύνας. καὶ γὰρ ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, κἄν τε βιωτικὸς, κἄν τε μοναχὸς ᾖ, τῷ Θεῷ προσέκρουσεν ὁμοίως. καὶ ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἄν τε τοῦτο, ἄν τε ἐκεῖνο τυγχάνῃ, ὁμοίως ὑπὲρ τῆς μοιχείας τιμωρηθήσεται ταύτης. εἰ δὲ χρὴ καὶ ἀπὸ λογισμοῦ προσθεῖναι, ὁ βιωτικὸς ἀσυγγνωστότερος τοῦτο παθών. οὐ γάρ ἐστιν ἴσον γυναῖκα ἔχοντα, καὶ τοσαύτης ἀπολαύοντα παραμυθίας, κάλλει προσπταῖσαι γυναικὸς, καὶ ἁπάσης ταύτης ἀπεστερημένον τῆς βοηθείας, ἁλῶναι τῷ δεινῷ. πάλιν ὁ ὀμνύς, ἄν τε τοῦτο, ἄν τε ἐκεῖνο ᾖ, ὁμοίως καταδικάζεται. οὐδὲ γὰρ ὁ Χριστὸς, ὅτε περὶ τούτων διετάσσετο καὶ ἐνομοθέτει, τοῦτον ἐποιήσατο τὸν διορισμόν· οὐδὲ εἶπεν, ἐὰν μὲν μοναχὸς ὁ ὀμνύων ᾖ, ἐκ τοῦ πονηροῦ ὁ ὅρκος· ἐὰν δὲ μὴ μοναχὸς, οὐκέτι· ἀλλ' ἁπλῶς καὶ καθάπαξ ἅπασιν ἔλεγεν, Ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως. καὶ πάλιν εἰπὼν, οὐαὶ τοῖς γελῶσιν, οὐ προσέθηκε τοῖς μοναχοῖς, ἀλλ' ἁπλῶς ἐνομοθέτησεν ἅπασιν οὕτω. καὶ ἐν τοῖς ἄλλοις δὲ ἅπασιν οὕτως ἐποίησε τοῖς μεγάλοις καὶ θαυμαστοῖς παραγγέλμασι. καὶ γὰρ ὅτε λέγει, Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, οἱ πενθοῦντες, οἱ πρᾳεῖς, οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, οἱ ἐλεήμονες, οἱ καθαροὶ τῇ καρδίᾳ, οἱ εἰρηνοποιοὶ, οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, οἱ καὶ ῥητὰ καὶ ἄῤῥητα δι' αὐτὸν παρὰ τῶν ἔξωθεν ἀκούοντες κακὰ, οὔτε βιωτικοῦ, οὔτε μο-

Ματθ. ε λδ.

νάζοντος ὄνομα τίθησιν, ἀλλ' ἀπὸ τῆς τῶν ἀνθρώπων διανοίας τοῦτο εἰσενήνεκται ὁ διορισμός. αἱ δὲ γραφαὶ οὐδὲν ἴσασι τούτων, ἀλλὰ πάντας τὸν τῶν μοναχῶν βούλονται βίον ζῆν, κἂν γυναῖκας ἔχοντες τύχωσιν. ἄκουσον γοῦν καὶ ὁ Παῦλος τί φησιν· ὅταν δὲ Παῦλον εἴπω, τὸν Χριστὸν λέγω πάλιν. οὗτος τοίνυν ἐπιστέλλων ἀνθρώποις γυναῖκας ἔχουσι, καὶ παιδία τρέφουσι, πᾶσαν τὴν τοῖς μοναχοῖς προσήκουσαν ἀκρίβειαν'' αὐτοὺς ἀπαιτεῖ. τὴν γὰρ τρυφὴν ἐκκόπτων ἅπασαν, καὶ τὴν ἐν τοῖς ἱματίοις, καὶ τὴν ἐν τοῖς ἐδέσμασι, ταῦτα ἐπιστέλλει τὰ ῥήματα· Γυναῖκας ἐν καταστολῇ κοσμίῳ μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτάς, μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ. καὶ πάλιν· Ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκε. καὶ πάλιν, Ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. τί τούτων παρὰ τῶν μοναζόντων'' πλέον ἀπαιτήσειεν ἄν τις; γλώττης δὲ παιδεύων κρατεῖν ἑτέρους, ἀκριβεῖς πάλιν τίθησι νόμους, καὶ τοιούτους, οἵους καὶ τοῖς μοναχοῖς ἀνύσαι ἔργον ἐστίν. οὐ γὰρ αἰσχρότητα καὶ μωρολογίαν μόνον, ἀλλὰ καὶ εὐτραπελίαν ἀναιρεῖ· οὐ θυμὸν καὶ ὀργὴν καὶ πικρίαν μόνον, ἀλλὰ καὶ κραυγὴν ἐκκόπτει τοῦ τῶν πιστῶν στόματος. Πᾶσα γάρ, φησι, θυμός, καὶ ὀργή, καὶ κραυγή, καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ. ἆρά σοι μικρὰ ταῦτα εἶναι δοκεῖ; οὐκοῦν ἀνάμεινον, καὶ τὰ πολλῷ μείζονα τούτων ἀκούσῃ, ἃ περὶ ἀνεξικακίας'' διατάττεται πᾶσιν. Ὁ ἥλιος, φησι, μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν. ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινι ἀποδῷ, ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε καὶ εἰς ἀλλήλους καὶ εἰς πάντας. καὶ πάλιν, Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν. Εἶδες πρὸς αὐτὴν τὴν κορυφὴν ἀναβαίνουσαν τὴν τῆς φιλοσοφίας καὶ μακροθυμίας ἐπίτασιν; ἄκουσον καὶ ὅσα περὶ ἀγάπης διατάττεται, τοῦ κεφαλαίου τῶν ἀγαθῶν. ἐπάρας γὰρ αὐτήν, καὶ τὰ κατορθώματα αὐτῆς εἰπών, ἐδήλωσεν, ὅτι ταύτην ἀπαιτεῖ παρὰ τῶν βιωτικῶν, ἣν παρὰ τῶν μαθητῶν ὁ Χριστός. ὥσπερ γὰρ ὁ σωτὴρ τοῦτον ἔσχατον ὅρον ἔφησεν ἀγάπης εἶναι, τὸ τὴν ψυχὴν αὐτοῦ θεῖναι ὑπὲρ τῶν φίλων αὐτοῦ, οὕτω καὶ ὁ Παῦλος τὸ αὐτὸ τοῦτο ἠνίξατο εἰπών· Ἡ ἀγάπη οὐ ζητεῖ τὰ ἑαυτῆς, καὶ τὴν τοιαύτην κελεύει διώκειν. ὥστε εἰ καὶ τοῦτο μόνον εἴρητο, ἱκανὸν τεκμήριον ἦν τοῦ τὰ αὐτὰ ἀπαιτεῖσθαι τοὺς βιωτικοὺς τοῖς μοναχοῖς. ὁ γὰρ σύνδεσμος καὶ ἡ ῥίζα τῆς πολλῆς ἀρετῆς αὕτη ἐστί. νυνὶ δὲ καὶ κατὰ μέρος αὐτὴν τίθησι. τί τοίνυν μεῖζον ταύτης τῆς φιλοσοφίας ζητήσειεν ἄν τις; ὅταν γὰρ καὶ ὀργῆς καὶ θυμοῦ καὶ κραυγῆς καὶ χρημάτων ἐπιθυμίας καὶ γαστρὸς [καὶ] πολυτελείας καὶ δόξης κενῆς καὶ τῶν ἄλλων τῶν βιωτικῶν ἀνωτέρους εἶναι κελεύῃ, καὶ μηδὲν κοινὸν ἔχειν πρὸς τὴν γῆν, ὅταν νεκρῶσαι τὰ μέλη προστάττῃ, εὔδηλον ὅτι τὴν αὐτὴν ἡμᾶς ἀκρίβειαν ἀπαιτεῖ, ὅσην τοὺς μαθητὰς ὁ Χριστός· καὶ πρὸς τὰ ἁμαρτήματα οὕτως εἶναι βούλεται νεκρούς, ὡς τοὺς ἀποθανόντας καὶ ταφέντας ἤδη. διὰ τοῦτο γάρ φησιν· Ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. ἔστι δὲ'' ὅπου καὶ εἰς τὸν τοῦ Χριστοῦ ζῆλον διὰ τῆς παρακλήσεως ἡμᾶς ἄγει, οὐχὶ πρὸς τὸν τῶν'' μαθητῶν μόνον. καὶ γὰρ ὅταν ἀγαπᾶν παραινῇ, ἐκεῖθεν φέρει τὰ ὑποδείγματα· καὶ ὅταν'' μὴ μνησικακεῖν, καὶ ὅταν μετριάζειν. ὅταν οὖν μὴ μοναχοὺς μόνον, μηδὲ τοὺς μαθητάς, ἀλλὰ καὶ αὐτὸν κελεύῃ μιμεῖσθαι τὸν Χριστόν, καὶ τοῖς μὴ ζηλοῦσι κόλασιν τίθησι μεγίστην, πόθεν ἐκεῖνο μεῖζον ἔφης εἶναι τὸ ὕψος; τὸ γὰρ οὕτω πάντας ἀνθρώποις ἀναβιῶναι δεῖ, καὶ τὸ πᾶσαν ἀνατρέψαι τὴν οἰκουμένην τοῦτό ἐστιν, ὅτι μείζονος οἰόμεθα δεῖν ἀκριβείας τῷ μονάζοντι μόνῳ, τοῖς δὲ λοιποῖς ἐξεῖναι ῥαθύμως ζῆν. οὐ γάρ ἐστιν, οὐκ ἔστιν· ἀλλὰ τὴν αὐτὴν ἀπαιτούμεθα, φησι, πάντες φιλοσοφίαν. καὶ σφόδρα φαίην ἂν ἔγωγε, μᾶλλον δὲ οὐκ ἐγώ, ἀλλ' αὐτὸς ὁ μέλλων κρίνειν ἡμᾶς.

α. Τιμ. β. θ.
α. Τιμ. ε. ς.
ς. η.
Ἐφεσ. δ. λα.
Ἐφεσ. δ. κς.
Ρωμ. ιβ. κα.
α. Κορ. ιγ. ε.
Ρωμ. ς. ζ.

Εἰ δὲ θαυμάζεις [μθμῶν] ἔτι καὶ διαπορεῖς, φέρε σοι πάλιν τὴν ἀκοὴν ἀπὸ τῶν αὐτῶν'' ἀντλήσωμεν ναμάτων, ὥστε σοι τέλεον ἐκπλυθῆναι τῆς ἀπιστίας τὴν κηλῖδα ἅπασαν. ποιήσομαι δὲ τὴν ἀπόδειξιν ἀπὸ τῶν κολάσεων τῶν κατὰ τὴν ἡμέραν ἐκείνην. ὁ πλούσιος, οὐκ ἐπειδὴ μονάζων ἦν ὠμὸς διὰ τοῦτο ἐκολάζετο μειζόνως· ἀλλ' εἰ δέοι καὶ ἐφθαρόντα εἰπεῖν, ἐπειδὴ βιωτικὸς ὤν, καὶ ἐν πλούτῳ ζῶν καὶ ἐν πορφύρᾳ, περιεώρα τὸν Λάζαρον ἐν ἐσχάτῃ πενίᾳ. πλὴν οὔτε τοῦτο, οὔτε ἐκεῖνο ἐρῶ· ἀλλ' ὅτι μόνον ὠμὸς ἦν, διὰ τοῦτο ἔκειτο μειζόνως κολαζόμενος ἐν τῷ πυρί. καὶ αἱ παρθένοι δὲ, ἐπειδὴ περὶ τὴν φιλανθρωπίαν ὑστέρησαν, διὰ τοῦτο ἀπηλάθησαν ἀπὸ τοῦ νυμφῶνος. καὶ εἰ χρή τι καὶ παρ' ἑαυτῶν εἰπεῖν, οὐ μόνον αὐταῖς οὐκ ἐπετείνετο τὰ τῆς κολάσεως διὰ τὴν παρθενίαν, ἀλλὰ τάχα καὶ ἡμερωτέρα διὰ ταύτην ἐγένετο. οὐ γὰρ ἤκουσαν, Πορεύεσθε εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ἀλλὰ μόνον, Οὐκ οἶδα ὑμᾶς. εἰ δὲ λέγοι τις ταὐτὸν εἶναι τοῦτο ἐκείνῳ, οὐδὲν δεύτερον. ὃ γὰρ σπουδαζόμενόν μοι δεῖξαι νῦν, ὅτι οὐχ ὁ τῶν μοναχῶν βίος χαλεπωτέρας ποιεῖ τὰς κολάσεις, ἀλλὰ τῶν αὐτῶν εἰσιν ὑπεύθυνοι καὶ βιωτικοὶ, τὰ αὐτὰ ἁμαρτάνοντες ἐκείνοις. καὶ ὁ τὰ ῥυπαρὰ ἐνδεδυμένος ἱμάτια, καὶ ὁ τὰ δηνάρια τὰ ἑκατὸν ἀπαιτῶν, οὐκ ἐπειδὴ μονάζοντες ἦσαν, ἔπαθον, ἅπερ ἔπαθον· ἀλλ' ὁ μὲν διὰ τὴν πορνείαν, ὁ δὲ διὰ τὴν μνησικακίαν ἀπώλοντο. καὶ τοῖς ἄλλοις δὲ εἴ τις ἐπέλθοι τοῖς τότε κολαζομένοις, ἀπὸ τῶν ἁμαρτημάτων μόνον ὄψεται τὴν τιμωρίαν ὑπέχοντας. οὐκ ἐν ταῖς τιμωρίαις δὲ μόνον, ἀλλὰ καὶ ἐν ταῖς νουθεσίαις τοῦτο εὕροι τις ἄν. καὶ γὰρ ὅταν λέγῃ, Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν, οὐ τοῖς μονάζουσι διαλέγεται μόνον, ἀλλὰ καὶ πάσῃ τῇ τῶν ἀνθρώπων φύσει. καὶ ὅταν κελεύῃ διὰ τῆς στενῆς ὁδεύειν ὁδοῦ, οὐ πρὸς τούτους ἀποτείνει τὸν λόγον μόνους, ἀλλὰ πρὸς πάντας ἀνθρώπους. καὶ μισεῖν δὲ τὴν αὐτῶν ψυχὴν ἐν τῷ κόσμῳ τούτῳ, καὶ τὰ ἄλλα δὲ πάντα τὰ τοιαῦτα πᾶσιν ἐπέταξεν ὁμοίως. ὅταν δὲ μὴ πᾶσι διαλέγηται, μηδὲ νομοθετῇ, δῆλον ἡμῖν αὐτὸ ποιεῖ. ὅτε γοῦν περὶ παρθενίας ἔλεγεν, ἐπήγαγεν, Ὁ δυνάμενος χωρεῖν, χωρείτω, οὔτε τὸ, πᾶς, προσθεὶς, οὔτε ἐν ἐπιτάγματος τάξει τοῦτο εἰσενεγκών. οὕτω καὶ ὁ Παῦλος (τὸν γὰρ διδάσκαλον μιμούμενος πανταχοῦ φαίνεται) καὶ εἰς ταύτην ἐμπεσὼν τὴν ὑπόθεσιν ἔλεγε, Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω. ὅτι μὲν οὖν πρὸς τὴν ἴσην φθάσαι κορυφὴν καὶ τὸν βιωτικὸν ἀνάγκη καὶ τὸν μοναχὸν, καὶ ὅτι τὰ αὐτὰ λήψονται τραύματα πεσόντες ἀμφότεροι, οὐδὲ τὸν σφόδρα φιλόνεικον καὶ ἀναίσχυντον οἶμαι λοιπὸν ἀντερεῖν. τούτου δὲ ἀποδειχθέντος σαφῶς, φέρε δὴ κἀκεῖνο ἐξετάσωμεν, τίς εὐκολώτερον καὶ ῥᾷον πεσεῖται, ἢ ἐνταῦθα οὐδὲ ἐξετάσεως ἡμῖν δεῖ. σωφροσύνην μὲν γὰρ ὁ γυναῖκα ἔχων κατορθώσει ῥᾳδίως, ἅτε πολλῆς ἀπολαύων τῆς παραμυθίας· ἐν δὲ τοῖς ἄλλοις οὐ σφόδρα φαίνεται· πλὴν ἀλλὰ κἀνταῦθα πλείους ἂν ἴδοιμεν τῶν γεγαμηκότων, ἢ τῶν μοναχῶν πίπτοντας. οὔτε γὰρ τοσοῦτοι πρὸς τὸν γάμον ἀπὸ τῶν μοναστηρίων ἐκβαίνουσιν, ὅσοι πρὸς πόρνας ἀπὸ τῆς εὐνῆς ἀνίστανται τῶν γυναικῶν. εἰ δὲ ὅπου εὔκολα τὰ τῶν παλαισμάτων αὐτοῖς, μετὰ τοσαύτης πίπτουσιν ὑπερβολῆς, τί ποιήσουσιν ἐν τοῖς ἄλλοις πάθεσιν, ἐν οἷς μᾶλλον ἐνοχλοῦνται τῶν μοναχῶν; ἡ μὲν γὰρ ἐπιθυμία τούτοις σφοδρότερον ἔπεισιν, ἅτε τὴν πρὸς γυναῖκας οὐκ ἔχουσιν ὁμιλίαν· τὰ δὲ ἄλλα, τούτων μὲν οὐδὲ ἐγγὺς ἀφικέσθαι δύναιντ' ἄν· ἐκείνους δὲ κατὰ κράτος ἐλαύνει καὶ ἐπὶ κεφαλὴν ὠθεῖ. εἰ δὲ, ἐν οἷς σφοδρότερον ὁ πόλεμος πνεῖ, μᾶλλον τῶν μὴ τοῦτο πασχόντων κρατοῦσιν, εὔδηλον ὅτι πολλῷ ῥᾷον τούτων ἐν τοῖς ἄλλοις, ἐν οἷς οὐκ ἐνοχλοῦνται, στήσονται. καὶ γὰρ χρημάτων ἔρως, καὶ τρυφῆς ἐπιθυμία, καὶ δυναστείας, καὶ τῶν ἄλλων ἁπάντων εὐκολώτερον ὑπὸ τούτων, ἢ τῶν βιωτικῶν ἀνύεσθαι πέφυκεν. ὥσπερ οὖν ἐν παρατάξει καὶ μάχῃ τοῦτο τοῦ πολέμου τὸ μέρος χαλεπώτερον εἶναι φήσομεν, οὐχ ὅθεν ἐπάλληλοι καὶ συνεχεῖς πίπτουσιν οἱ νεκροὶ, ἀλλ' ὅθεν ὀλίγοι καὶ σπάνιοι, οὕτω καὶ περὶ τούτων ψηφίζεσθαι χρή. καὶ γὰρ πλεονεξίας οὐχ ὁ στρεφόμενος ἐν τῷ μέσῳ, ἀλλ' ὁ καθήμενος ἐν τοῖς ὄρεσιν εὐκολώτερον περιέσται· ἐπεὶ ἐκεῖ-

Ματθ. κε. ιγ.

Ματθ. ια. κη.

Ματθ. ιθ. ιϛ.

α Κορ. ζ. κε.

γρ. τρυφῆς

νός γε καὶ ἁλώσεται ῥᾳδίως· ἁλόντα δὲ πλεονεξίᾳ μετὰ τῶν εἰδωλολατρῶν ἀριθμεῖσθαι ἀνάγκη. καὶ τῶν οἰκείων ἕνεκεν μὲν οὐχ αἱρήσεται ὑπεριδεῖν, ἂν ἔχῃ χρήματα, ἀλλ' εὐκόλως αὐτοῖς πάντα παρήσεται· ἐκεῖνος δὲ οὐ περιόψεται μόνον αὐτούς, ἀλλὰ καὶ ἀδικήσει τῶν ἀλλοτρίων οὐχ ἧττον. τοῦτο δὲ πάλιν ἕτερος εἰδωλολατρείας τρόπος τοῦ προτέρου χαλεπώτερος. καὶ τί δεῖ τὰ ἄλλα πάντα λέγειν, τὰ τοῖς μονάζουσι μὲν ὄντα εὐκαταγώνιστα, τοὺς δὲ βιωτικοὺς μετὰ πολλῆς καταβάλλοντα τῆς σφοδρότητος; πῶς οὖν οὐ δέδοικας, οὐδὲ τρέμεις, ἐπὶ τοῦτον ἄγων τὸν βίον, ὅθεν ἁλώσιμος ἔσται τῇ κακίᾳ ταχέως; ἢ μικρὸν εἶναί σοι δοκεῖ εἰδωλολατρεία, καὶ τὸ τῶν ἀπίστων εἶναι χείρω, καὶ τὸ τοῦ Θεοῦ τὴν δουλείαν διὰ τῶν ἔργων ἐξόμνυσθαι, ἅπερ ἅπαντα πείσονται εὐκολώτερον τῶν μοναχῶν οἱ τῷ βίῳ προσδεδεμένοι; ὁρᾷς ὅτι σκῆψις ὁ φόβος ἐστίν. εἰ γὰρ δεδοικέναι ἐχρῆν, οὐχ ὑπὲρ τῶν τὰ κλυδώνια φευγόντων, οὐδὲ ὑπὲρ τῶν ἐπὶ τὸν λιμένα σπευδόντων, ἀλλ' ὑπὲρ τῶν ἐν χειμῶνι καὶ τῇ ζάλῃ κλυδωνιζομένων. ταχύτερον γὰρ ἐκεῖθεν τὰ ναυάγια, τῷ καὶ πλείονα εἶναι τὰ ἐνοχλοῦντα, καὶ ῥαθυμοτέρους τοὺς πρὸς ταῦτα στήσεσθαι μέλλοντας. ἐνταῦθα δὲ οὔτε τοσαῦτα κύματα· καὶ πολλὴ ἡ γαλήνη, καὶ ἡ σπουδὴ μείζων τῶν πρὸς ταῦτα μαχησομένων. διὰ τοῦτο καὶ ἡμεῖς ἐπὶ τὴν ἔρημον ἕλκομεν, οὐχ ἵνα σάκκοι ἁπλῶς περιβάλωνται, οὐδὲ ἵνα κλοιὰ περιθῶνται, οὐδ' ἵνα σποδὸν ὑποστορέσωνται, ἀλλ' ἵνα πρὸ τῶν ἄλλων ἁπάντων φύγωσι μὲν κακίαν, ἕλωνται δὲ ἀρετήν. τί οὖν; οἱ γεγαμηκότες, φησίν, ἀπολοῦνται πάντες; οὐ τοῦτο λέγω, ἀλλ' ὅτι μειζόνων δεήσονται πόνων, εἰ μέλλοιεν σώζεσθαι, διὰ τὴν ἐνεστῶσαν ἀνάγκην. τοῦ γὰρ δεδεμένου μᾶλλον ὁ λελυμένος δραμεῖται. οὐκοῦν καὶ πλείονα ἕξει τὸν μισθόν, καὶ λαμπροτέρους τοὺς στεφάνους; οὐδαμῶς. ἑαυτῷ γὰρ ταύτην περιτίθησι τὴν ἀνάγκην, ἐξὸν μὴ περιθεῖναι.

Ὥστε ἐπειδὴ σαφῶς ἡμῖν ἀποδέδεικται, ὅτι τῶν αὐτῶν ἐσμεν ὑπεύθυνοι τοῖς μοναχοῖς, ἐπὶ τὴν εὐκολωτέραν τρέχωμεν ὁδόν, καὶ τοὺς υἱοὺς ἐπὶ ταύτην ἕλκωμεν· ἀλλὰ μὴ καταποντίζωμεν, μηδὲ εἰς τὰ τῆς κακίας ἕλκωμεν βάραθρα, καθάπερ ἐχθροὶ καὶ πολέμιοι. ταῦτα γὰρ εἰ μὲν ἄλλοι τινὲς ἐποίουν, οὐκ ἦν οὕτω δεινόν· ὅταν δὲ οἱ γεγεννηκότες, οἱ τὴν βιωτικὴν πεῖραν εἰληφότες πάντων, οἱ διὰ τῶν ἔργων μαθόντες αὐτῶν, ὅτι ψυχρὰ τῶν παρόντων πραγμάτων ἡ ἡδονή, οὕτω μαίνωνται, ὡς ἑτέρους ἐπὶ ταῦτα ἕλκειν, ἐπειδὴ λοιπὸν ὑπὸ τῆς ἡλικίας αὐτοὶ κεκώλυνται, καὶ δέον ἑαυτοὺς ἐπὶ τοῖς προτέροις ταλανίζειν, οἱ δὲ καὶ ἑτέρους ἐμβάλλουσι, καὶ ταῦτα ἐγγὺς ἑστῶτες λοιπὸν τῆς τελευτῆς καὶ τοῦ δικαστηρίου καὶ τῶν εὐθυνῶν ἐκείνων, ποία αὐτοῖς ἀπολογία λελείψεται; ποία συγγνώμη; ποῖος ἔλεος; οὐ γὰρ δὴ μόνον τῶν οἰκείων ἁμαρτημάτων δώσουσι δίκην, ἀλλὰ καὶ τῶν τοῖς παισὶ τετολμημένων, ἄν τε δυνηθῶσι τοὺς υἱοὺς ὑποσκελίσαι, ἄν τε μή. ἀλλὰ παῖδας ἴσως ἐπιθυμεῖτε παίδων ἰδεῖν. καὶ πῶς οὔπω γενόμενοι πατέρες αὐτοί; οὐ γὰρ δὴ τὸ γεννῆσαι, πατέρα ποιεῖ· καὶ τοῦτο αὐτοὶ οἱ γεγεννηκότες συνομολογήσαιεν ἄν, οἳ, τοὺς υἱεῖς ὅταν ἴδωσιν εἰς ἔσχατον κακίας ἐλαύνοντας, ὡς οὐκ ὄντας αὐτῶν, ἐκβάλλουσι καὶ ἀπαλλοτριοῦσι· καὶ οὔτε φύσις, οὔτε γέννησις, οὔτε ἄλλο τῶν τοιούτων οὐδὲν κατασχεῖν αὐτοὺς δυνήσαιτ' ἄν. μὴ τοίνυν μηδὲ πατέρες ἀξιούσθωσαν εἶναι οἱ τοιοῦτοι, ὧν πολὺ κατὰ τὸν τῆς φιλοσοφίας λείπονται λόγον· ἀλλ' ἐπειδὰν αὐτοὺς τοῦτον τὸν τρόπον γεννήσωσι, τότε καὶ τοὺς ἐκγόνους ζητείτωσαν. τότε γὰρ αὐτοὺς καὶ ἰδεῖν δυνήσονται μόνον. εἰσὶ γὰρ αὐτοῖς παῖδες; εἰσίν, οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ' ἐξ αὐτοῦ γεννηθέντες τοῦ Θεοῦ. οὗτοι οἱ παῖδες οὐχ ὑπὲρ χρημάτων ἀναγκάζουσι κόπτεσθαι τοὺς πατέρας, οὐχ ὑπὲρ γάμου, οὐχ ὑπὲρ ἄλλου τινὸς τοιούτου· ἀλλὰ πάσης αὐτοὺς τῆς φροντίδος ἀτελεῖς ἀφέντες, τῶν φυσικῶν πατέρων μείζονι παρέχουσιν ἐντρυφᾶν ἡδονῇ. οὐ γὰρ ἐπὶ τοῖς αὐτοῖς τίκτονταί τε καὶ τρέφονται, * οἷσπερ κἀκεῖνοι, ἀλλ' ἐπὶ πολλῷ μείζοσι καὶ λαμπροτέροις· διὸ καὶ μᾶλλον τοὺς γεγεννηκότας εὐφραίνουσι. γω-

Λογ. ις.

εἰς δὲ τούτων κἀκεῖνο εἴποιμι ἄν, ὅτι τοὺς μὲν διαπιστοῦντας τῇ ἀναστάσει οὐδὲν ἀπεικὸς ὑπὲρ τούτων θρηνεῖν, ἅτε δὴ ταύτης μόνης καταλειπομένης τῆς παραμυθίας αὐτοῖς· ἡμᾶς δὲ τὸν θάνατον ὕπνον ἡγούμενοι, καὶ παιδευόμενοι τῶν ἐνταῦθα πάντων καταφρονεῖν, τίνος ἂν εἴημεν συγγνώμης ἄξιοι, θρηνοῦντες ὑπὲρ τούτων, καὶ παῖδας ἐπιζητοῦντες ἰδεῖν καὶ καταλιπεῖν ἐνθάδε, ὅθεν ἀποπηδᾷν ἐπειγόμεθα, καὶ ἐνταῦθα ὄντες στενάζομεν; καὶ ταῦτα μὲν ἡμῖν πρὸς τοὺς πνευματικωτέρους εἴρηται. εἰ δέ τινες εἶεν φιλοσώματοι, καὶ σφόδρα τῷ παρόντι προσηλωμένοι βίῳ, ἐκεῖνο ἂν εἴποιμι πρὸς αὐτούς, ὅτι πρῶτον ἄδηλον, εἰ καὶ παῖδας ἕξονται ἐκ τοῦ γάμου πάντως· δεύτερον, ὅτι καὶ γενομένων μείζων ἡ ἀθυμία. οὐ γὰρ τοσαύτην καρπούμεθα εὐφροσύνην, ὅσην λύπην ἀπὸ τῆς καθημερινῆς φροντίδος καὶ τῆς ἀγωνίας καὶ τῶν φόβων τῶν δι' αὐτούς. καὶ τίνι, φησί, καταλείψομεν τοὺς ἀγρούς, καὶ τὰς οἰκίας, καὶ τὰ ἀνδράποδα, καὶ τὸ χρυσίον; (καὶ γὰρ καὶ ταῦτα ἀκούω θρηνούντων αὐτῶν) τῷ καὶ πρὸ τούτων μέλλοντι κληρονομήσειν αὐτά· καὶ τοσούτῳ μᾶλλον νῦν, ἢ πρότερον, ὅσῳ καὶ φύλαξ καὶ κύριος ἀσφαλέστερος αὐτῶν ἔσται νῦν. τότε μὲν γὰρ πολλὰ ἦν αὐτοῖς τὰ λυμαινόμενα. καὶ γὰρ σῆτες, καὶ χρόνος μακρός, καὶ λῃσταί, καὶ συκοφάνται, καὶ βάσκανοι, καὶ τὸ τοῦ μέλλοντος ἄδηλον, καὶ τὸ τῶν ἀνθρώπων εὐμετάβλητον, καὶ τέλος ὁ θάνατος καὶ τῶν χρημάτων καὶ τῶν κτημάτων τούτων ἀπεστέρησεν ἂν τὸν υἱόν· νυνὶ δὲ πάντων τούτων ἀνωτέρω τὸν πλοῦτον ἀπέθετο, τόπον εὑρὼν ἄσυλον, καὶ οὐ μηδενὶ τῶν εἰρημένων ἐπιβῆναι θέμις. τοιοῦτον γὰρ χωρίον ὁ οὐρανός, πάσης μὲν ἄβατος ὢν ἐπιβουλῆς, πάσης δὲ εὐφορώτερος γῆς, καὶ μετὰ πολλῆς τῆς ἀφθονίας τῶν ἐν αὐτῷ τεθέντων χρημάτων παρέχων τοῖς παρακαταθεμένοις ἀμᾶσθαι τοὺς καρπούς. ὥστε οὐχὶ νῦν ἔδει ταῦτα λέγειν, ἀλλ' εἰ βιωτικὸν ἔμελλεν ἔσεσθαι τὸ παιδίον, τότε θρηνεῖν καὶ ταῦτα φθέγγεσθαι· τίνι τοὺς ἀγροὺς καταλείπωμεν; τίνι τὸ χρυσίον; τίνι τὰ λοιπὰ χρήματα; νῦν γὰρ τοσαύτη τῆς κυριότητος ἡ περιουσία, ὡς μηδὲ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἐκπίπτειν τῆς δεσποτείας αὐτῶν, ἀλλὰ τότε μάλιστα τοῦ κέρδους αὐτῶν ἀπολαύειν, ὅταν ἐντεῦθεν ἀπέλθωμεν. εἰ δὲ καὶ ἐνταῦθα βούλει κύριον ὄντα ἰδεῖν, καὶ τοῦτο τῷ μοναχῷ μᾶλλον, ἢ τῷ βιωτικῷ συμβαῖνον ἴδοι τις ἄν. τίς γάρ, εἰπέ μοι, κυριώτερος, ὁ δαπανῶν καὶ διδοὺς μετὰ ἀδείας πολλῆς, ἢ ὁ μηδὲ ἅψασθαι τολμῶν ὑπὸ τῆς φειδωλίας, ἀλλὰ κατορύττων αὐτά, καὶ ὡς ἀλλοτρίων ἀπεχόμενος τῶν αὐτοῦ; ὁ μάτην ἀναλίσκων καὶ εἰκῇ, ἢ ὁ δεόντως τοῦτο ποιῶν; ὁ σπείρων τὴν γῆν, ἢ ὁ τοῦτο ἐργαζόμενος ἐν οὐρανῷ; ὁ μὴ πάντα συγχωρούμενος τὰ ἑαυτοῦ διδόναι, οἷς ἂν ἐθέλοι, ἢ ὁ πάντων ἀπηλλαγμένος τῶν ἀπαιτούντων τὰς τοιαύτας εἰσφοράς; γεωργοῦντι μὲν γὰρ καὶ πραγματευομένῳ πολλοὶ πανταχόθεν ἐφίστανται φόρους ἀναγκάζοντες κατατιθέναι, καὶ τὸ ἑαυτοῦ μέρος ἕκαστος ἀπαιτοῦντες· τῷ δὲ εἰς τοὺς δεομένους ἀναλίσκειν ἐπιθυμοῦντι οὐδεὶς οὐδαμόθεν φαίνεται ταῦτα ἀπειλῶν. ὥστε καὶ ἐνταῦθα κυριώτερος οὗτός ἐστιν. ἢ ἂν μὲν πόρναις ἀναλίσκῃ καὶ γαστρὶ καὶ παρασίτοις καὶ κόλαξι, καὶ καταισχύνῃ τὴν ἑαυτοῦ δόξαν, καὶ ἀπολλύῃ τὴν σωτηρίαν, καὶ καταγέλαστος γίνηται, κύριον αὐτὸν εἶναι φῂς τῶν δαπανωμένων· ἂν δὲ εἰς δόξαν τὴν ἀληθῆ καὶ ὠφέλειαν καὶ τὸ τῷ Θεῷ δοκοῦν μετὰ πολλῆς αὐτὰ δαπανᾷ τῆς συνέσεως, οὐκέτι; οὐκοῦν ὅμοιον ποιήσεις, ὥσπερ ἂν εἰς μὲν ὀχετοὺς ἀμαρῶν ὁρῶν τινὰ ἐμβάλλοντα τὰ ἑαυτοῦ, κύριόν φῂς εἶναι, εἰς δὲ χρείας ἀναγκαίας τοῦτο ποιοῦντα, ὡς οὐκ ἔχοντα τῶν ἀναλισκομένων ἐξουσίαν θρηνεῖς. μᾶλλον δὲ οὐ τοῖς ἁπλῶς δαπανωμένοις, ἀλλὰ καὶ τοῖς ἐπὶ κακῷ τῆς ἑαυτῶν κεφαλῆς τοὺς τοιούτους παραβάλλειν χρή. ἐκεῖναι μὲν γὰρ αἱ δαπάναι, λαμπρότερον καὶ εὐπορώτερον καὶ ἀσφαλέστερον ποιοῦσιν· αὗται δὲ οὐκ αἰσχρὸν μόνον, οὐδὲ ἐπονείδιστον, ἀλλὰ καὶ ἀπωλείας ὑπεύθυνον τρόπῳ παντί.

Τί δὲ μετὰ γάμον, φησί, καὶ παῖδας οὐκ ἔνι ταύτης ἐπιλαβέσθαι τῆς φιλοσοφίας ἐν αὐτῷ τῷ γήρᾳ γενομένους; καὶ τίς ἡμῖν ἐγγυήσεται, πρῶτον μέν, ὅτι εἰς ἔσχατον ἥξομεν γῆρας;

δεύτερον, ὅτι ἐλθόντες πάντως ταύτην διατηρήσομεν τὴν γνώμην. οὔτε γὰρ τῆς ἐν τῇ ζωῇ κύριοι προθεσμίας ἐσμὲν (καὶ τοῦτο ἐπαίδευσεν ὁ Χριστὸς, λέγων· Ἡ ἡμέρα Κυρίου, ὡς κλέπτης ἐν νυκτὶ, οὕτως ἔρχεται) οὔτε ἐπὶ τῆς αὐτῆς ἀεὶ προθυμίας μένει τὰ τῶν λογισμῶν ἡμῖν· καὶ διὰ τοῦτο σοφός τις παραινεῖ, λέγων· Μὴ ἀνάμενε ἐπιστρέψαι πρὸς Κύριον, μηδὲ ἀναβάλλου ἡμέραν ἐξ ἡμέρας, μήποτε ὡς μέλλεις ἐκτριβήσῃ, καὶ ἐν καιρῷ ἐκδικήσεως ἐξολῇ. Εἰ δὲ καὶ μηδὲν τούτων ἄδηλον ἦν, οὐδὲ οὕτως ἀναβάλλεσθαι ἔδει οὐδ' ὑγιὲς, οὐδὲ τοσαύτην γινομένην ζημίαν περιορᾶν. καὶ γὰρ τῆς ἐσχάτης ἀλογίας ἂν εἴη, ὅταν μὲν δέηται βοηθείας ὁ υἱὸς, καὶ σφοδρὸς ὁ ἀνταγωνιστὴς ἐφεστήκῃ, κελεύειν τοῖς τοῦ βίου ἐμφύρεσθαι πράγμασιν, ὥστε γενέσθαι εὐχείρωτον· ὅταν δὲ λάβῃ μυρία τραύματα, καὶ μηδὲ τὸ τυχὸν ἔχῃ μέρος ὑγιὲς, τότε καθοπλίζειν, καὶ διεγείρειν κείμενον ἤδη καὶ ἐξησθενηκότα. ναί, φησι. τότε γὰρ εὔκολος ἡ πάλη, τότε ῥάων ἡ μάχη, τῶν ἐπιθυμιῶν σβεσθεισῶν. ποία μάχη, οὐδενὸς ὄντος ἡμῖν τοῦ πυκτεύοντος; διὰ γὰρ τοῦτο οὐδὲ οἱ στέφανοι λαμπροὶ λοιπὸν ἔσονται. Μακάριος γὰρ, ὃς ἦρε ζυγὸν ἐκ νεότητος αὐτοῦ· καθίσεται κατὰ μόνας, καὶ σιωπήσεται. οὗτος μυρίων ἐπαίνων ἄξιος καὶ μακαρισμῶν καὶ εὐφημιῶν ὁ μαινομένην χαλινῶν τὴν φύσιν, καὶ ἐν αὐτῇ τοῦ χειμῶνος τῇ ἀκμῇ διασώζων τὸ σκάφος. πλὴν ἀλλὰ μηδὲν ὑπὲρ τούτων φιλονεικῶμεν· ἀλλ' ἔστω μάχη καὶ τότε, εἰ βούλει. ἀλλ' εἰ μὲν ἐφ' ἡμῖν ἔκειτο ὁ τοῦ ἀγῶνος καιρὸς, καλῶς ἐκεῖνον ἀνεμένομεν τὸν χρόνον· εἰ δὲ πάντα τὸν παρόντα βίον ἀγωνίζεσθαι χρὴ ἐκ πρώτης ἡλικίας ἀρξάμενον εὐθέως, καὶ δεκαέτη γεγονότα (καὶ γὰρ ἐξ ἐκείνης ἀνάγκη τῆς ἡλικίας ἀπαιτεῖσθαι τῶν ἁμαρτημάτων εὐθύνας· καὶ δηλοῦσι τὰ καταβρωθέντα ὑπὸ τῶν ἄρκων παιδία ἐπὶ τοῖς εἰς τὸν Ελισσαῖον σκώμμασι) καὶ νῦν ἐκ ταύτης παλαίειν χρὴ τῆς ἡλικίας, ἐν ᾗ καὶ ἐφέστηκεν ὁ πόλεμος χαλεπὸν πνέων καθ' ἡμῶν, πόθεν σὺ τὸν καιρὸν ἐκεῖνον τοῖς ἀγῶσιν ὁρίζεις; εἰ μὲν γὰρ καὶ τῷ διαβόλῳ κύριος ἦς ἐπιτάττειν μὴ ἐπικεῖσθαι, μηδὲ πυκτεύειν, εἶχεν ἂν τινὰ σοι λόγον αὕτη ἡ παραίνεσις· εἰ δὲ ἐκεῖνον ἀφεὶς ἀγωνίζεσθαι καὶ τύπτειν, ἐμοὶ νομοθετεῖς ἡσυχάζειν, μᾶλλον δὲ καὶ ὑποκατακλίνεσθαι ἑκόντα, τί ταύτης τῆς ἐπηρείας χεῖρον γένοιτ' ἂν, τοῦ πολεμίου μαινομένου τὸν πολεμούμενον ἀφοπλίζειν, καὶ οὕτω ταῖς ἐκείνου χερσὶ παραδιδόναι; νέος ἐστὶ καὶ ἀσθενής; οὐκοῦν διὰ τοῦτο πλείονος ἀσφαλείας δεῖται· ἀσφαλείας δὲ δεόμενος, καὶ ἐπιμελείας δεήσεται πλείονος. τὸν δὲ τοιοῦτον ἐν γαλήνῃ διαπαντὸς καὶ ἡσυχίᾳ εἶναι δεῖ, οὐκ εἰς πράγματα ἐμβάλλεσθαι, οὐδὲ ἐν τῷ μέσῳ στρέφεσθαι, ἔνθα πολὺς ὁ θόρυβος καὶ ἡ ταραχή. σὺ δὲ οἷς ὁ πόλεμος χαλεπώτερος, καὶ διὰ τὴν ἡλικίαν, καὶ διὰ τὸν θόρυβον, καὶ διὰ τὴν ἀσθένειαν, καὶ διὰ τὴν ἀπειρίαν, καὶ διὰ τὴν ἐν μέσῳ διατροφὴν, τούτους ὡς ἤδη κατωρθωκότας καὶ γενομένους ἰσχυροὺς εἰς μέσον ἕλκεις, καὶ οὐκ ἐᾷς ἀπελθόντας γυμνάζεσθαι ἐπὶ τῆς ἐρημίας· ὥσπερ ἂν εἴ τις τὸν μὲν μυρία δυνάμενον στῆσαι τρόπαια, κελεύῃ τὰ πολεμικὰ μελετᾶν ἐφ' ἡσυχίας, τὸν δὲ ἄπειρον καὶ οὐδὲ εἰς μάχην παρακύψαι δυνάμενον, τυχὸν δὲ εὐθὺ τοῦτον ἐν τῇ μάχῃ στρέφεσθαι νομοθετῇ, ὡς δυσκατόρθωτον τὸ πρᾶγμα τοῦτο, μείζονα τὰ κωλύματα τιθείς. πρὸς δὲ τούτοις, κἀκεῖνο εἰδέναι χρὴ, ὅτι οὐκ ἔνι μετὰ γάμον κύριον ἑαυτοῦ εἶναι, ἀλλ' ἀνάγκη δυοῖν θάτερον, ἢ διαπαντὸς ὁμιλεῖν τῇ γυναικὶ, ἂν ἐκείνη τοῦτο βούληται, ἢ βουλομένης ἐγκρατεύεσθαι ὑποστάντα μοιχείᾳ ἁλίσκεσθαι. τί δεῖ λέγειν τὰς ἄλλας ἀνάγκας τῶν παίδων, τῆς οἰκίας τὰς φροντίδας, αἳ πᾶσαν προθυμίαν ἱκαναὶ ἀμβλῦναι, καὶ πολλὴν τῆς ψυχῆς κατασκεδάσαι νάρκην; διὸ βέλτιον κύριον ὄντα καὶ λελυμένον ἐκ πρώτης καθοπλίζειν τῆς ἡλικίας, οὐ τῶν εἰρημένων ἕνεκεν μόνον, ἀλλὰ καὶ τοῦ ῥηθήσεσθαι μέλλοντος οὐχ ἧττον, ἢ τούτων. ὁ μὲν γὰρ πρὸς τῷ τέλει τοῦ βίου τῆς φιλοσοφίας ἁψάμενος ταύτης, πάντα ἀναλίσκει τὸν χρόνον, ἵνα δυνηθῇ τὰ γενόμενα κατὰ τὴν ἔμπροσθεν ἡλικίαν ἁμαρτήματα ἀπονίψασθαι, καὶ πᾶσα εἰς τοῦτο ἡ σπουδὴ δαπανᾶται· καὶ οὐδὲ οὕτω πολλάκις ἀρκεῖ, ἀλλ' ἀ-

a Θεσσ. 1. β.

Σειρ. ε η.

Θρήν. γ. κζ.

πέρχεται λείψανα τῶν πληγῶν ἔχων. ὁ δὲ ἐκ πρώτης ἡλικίας ἀποδυσάμενος, οὐκ εἰς τὸ δαπανῆσαι τὸν χρόνον, οὐδὲ κάθηται τραύματα θεραπεύων, ἀλλ' ἐκ προοιμίων λαμβάνει τὰ βραβεῖα. κἀκείνῳ μὲν ἀγαπητὸν τὰς ἥττας ἀναμαχέσασθαι πάσας· οὗτος δὲ ἐκ βαλβῖδος αὐτῆς τρόπαια ἵστησι, καὶ νίκας συνάπτει νίκαις, * καθάπερ τις Ὀλυμπιονίκης ἐκ πρώτης ἡλικίας δι' ἀναρρήσεων ἐπὶ τὸ γῆρας ὁδεύων, οὕτως ἄπεισιν ἐκεῖ, μυρίοις τὴν κεφαλὴν ἀναδησάμενος στεφάνοις. τίνων οὖν βούλει εἶναι τὸν υἱόν; τῶν διὰ τὴν πολλὴν παρρησίαν, καὶ πρὸς αὐτοὺς τοὺς ἀρχαγγέλους ἀντιβλέψαι δυναμένων, ἢ ἐκείνων τῶν μετὰ πολύπων ἑστώτων, καὶ τὴν ἐσχάτην τηρούντων τάξιν; τὴν ἐσχάτην γὰρ λήψονται πάντως, καὶ ταύτην, ὅταν δυνηθῶσι πάντα τὰ κωλύματα διαδρᾶναι, ἅπερ ἀπηριθμησάμην νῦν, καὶ μήτε ἄωρος προαναρπάσῃ θάνατος, μήτε ὑπὸ γυναικὸς κωλυθῶσιν ὕστερον, μήτε τοσαῦτα τραύματα λάβωσιν, ὡς μὴ δυνηθῆναι αὐτοῖς τὸν τοῦ γήρως ἀρκέσαι χρόνον πρὸς τὴν θεραπείαν ἐκείνων, τήν τε γνώμην μένωσι διαπαντὸς τηροῦντες βεβαίαν καὶ ἀκίνητον. ὅταν γὰρ ταῦτα πάντα συνέλθῃ, τότε μόλις ἐν τοῖς ἐσχάτοις τετάξονται. τούτων οὖν βούλει εἶναι τὸν υἱόν, ἢ τῶν ἐν τῷ μετώπῳ τῆς φάλαγγος λαμπόντων; καὶ τίς οὕτω, φησὶν, ἄθλιος, ὡς ἐκεῖνα μᾶλλον, ἢ ταῦτα συνεύξασθαι τοῖς παισίν; ἀλλὰ συνήθειαν ἐπιζητοῦμεν, καὶ σὺν ἡμῖν αὐτοὺς εἶναι βουλόμεθα. τοῦτο καὶ αὐτὸς βούλομαι, καὶ ὑμῶν οὐχ ἧττον εὔχομαι τῶν γεννησαμένων εἰς τὴν πατρῴαν αὐτοὺς ἐπανελθεῖν οἰκίαν, καὶ τῶν τροφείων ἀποδοῦναι τὰς ἀμοιβάς, ὧν ἴσας οὐκ ἂν εὕροιεν ἑτέρας. ἀλλὰ μὴ νῦν αὐτοὺς τοῦτο ἀπαιτῶμεν. πῶς γὰρ οὐκ ἄτοπον, ἐπὶ '' λήψεις μὲν πέμποντας, πολὺν χρόνον καὶ τῆς πατρίδος ἐξορίζειν αὐτοὺς, καὶ τέχνην βάναυσόν τινα, ἢ καὶ ἑτέραν φαυλοτέραν μανθάνειν μέλλουσιν ἄβατον καθιστάναι τὴν οἰκίαν, ἐν διδασκάλου οἰκίᾳ καὶ ἀριστᾶν καὶ καθεύδειν κελεύοντας· τούτους δὲ οὐκ ἐπ' ἀνθρώπινον μέλλοντας ἔρχεσθαι μάθημα, ἀλλ' ἐπὶ τὴν οὐράνιον φιλοσοφίαν, εὐθέως '' ἀφέλκειν, πρὶν ἢ γενέσθαι ὅπερ εὐχόμεθα; καὶ χοῖνον μέν τις τεταγμένην διατρέχει διδασκόμενος, πολὺν χρόνον ἀποστήσεται τῶν αὐτοῦ· τοὺς δὲ μέλλοντας ἀπὸ τῆς γῆς πέτεσθαι εἰς τὸν οὐρανὸν συγκατακλείσομεν τοῖς γονεῦσι; καὶ τί ταύτης τῆς ἀλογίας χεῖρον γένοιτ' ἄν; οὐχ ὁρᾶτε τοὺς γεωργοὺς, ὅτι, κἂν σφόδρα ἐπείγωνται τῶν πόνων λαβεῖν τοὺς καρποὺς, ἀώρους αὐτοὺς οὐκ ἂν ἀνάσχοιντο τρυγῆσαί ποτε; μὴ τοίνυν μηδὲ ἡμεῖς πρὸ ὥρας ἀπάγωμεν τῆς κατὰ τὴν ἐρημίαν διατριβῆς τοὺς υἱούς· ἀλλ' ἐάσωμεν αὐτοῖς ἐμπαγῆναι τὰ μαθήματα, καὶ ῥιζωθῆναι τὰ φυτά· κἂν δέκα, κἂν εἴκοσιν ἔτη τρέφεσθαι αὐτοὺς ἐν μοναστηρίῳ δέῃ, μὴ θορυβώμεθα, μηδὲ ἀλύωμεν. ὅσῳ γὰρ ἂν ἐνδιατρίβῃ τῷ γυμνασίῳ πλέον, τοσούτῳ πλείονα κτήσεται τὴν ἰσχύν. μᾶλλον δὲ, εἰ δοκεῖ, μηδὲ χρόνον ὁρίζωμεν, ἀλλ' ὅρος ἐκεῖνος ἔστω μόνος, ὁ πρὸς τὴν ἀκμὴν ἄγων τοὺς ἐν αὐτῷ φυτευθέντας καρπούς· καὶ τότε ἐπανερχέσθω ἀπὸ τῆς ἐρήμου, πρότερον δὲ μή. οὐδὲ γάρ ἐστι τι πλέον ἀπὸ τῆς ταχύτητος ἡμῖν ταύτης, ἀλλ' ἢ τὸ μηδέποτε αὐτὸν γενέσθαι ὥριμον. ὁ γὰρ πρὸ ὥρας τῆς ἐν τῇ ῥίζῃ τροφῆς ἀποστερηθεὶς, οὐδὲ τοῦ καιροῦ παραγενομένου χρήσιμος ἔσται λοιπόν. ὅπερ ἵνα μὴ γένηται, καρτερῶμεν τὸν χωρισμὸν, καὶ μὴ μόνον μὴ κατεπείγωμεν, ἀλλὰ καὶ βουλομένους ἐλθεῖν πρὸ ὥρας κωλύωμεν. ἀπαρτισθεὶς μὲν γὰρ, κοινὸν ἔσται κέρδος καὶ πατρὶ καὶ μητρὶ καὶ οἰκίᾳ καὶ πόλει καὶ ''' ἔθνει· ἀτελέστερος δὲ παραγενόμενος, καταγέλαστος ἔσται καὶ ἐπονείδιστος, καὶ ἑαυτῷ, καὶ τοῖς ἄλλοις ἐπιβλαβής. μὴ δὴ τοσαύτην ἐργαζώμεθα ζημίαν. καὶ γὰρ εἰς ἀποδημίαν πέμποντες, τότε βουλόμεθα τοὺς υἱοὺς ἰδεῖν, ὅταν ὑπὲρ ὧν τὴν ἀποδημίαν πεποίηνται, κατωρθωκότες τύχωσιν· ἂν τε πρὸ τούτου παραγένωνται, οὐ τοσαύτην ἀπὸ τῆς ἐπιδημίας λαμβάνομεν τὴν ἡδονὴν, ὅσην ἀπὸ τοῦ μάτην ἐπανελθεῖν τὴν '' ἀθυμίαν. πῶς οὖν οὐκ ἐσχάτης βλακείας τοσαύτην τοῖς πνευματικοῖς μὴ παρέχειν σπουδὴν, ὅσην ἐπιδεικνύμεθα περὶ τὰ βιωτικά· ἀλλ' ἐκεῖ μὲν οὕτω φιλοσόφως φέρειν τῶν παίδων τὸν χωρισμὸν, ὡς καὶ εὔχεσθαι ἐπιταθῆναι τοῦτον, ὅταν ὑπὲρ

ζιος

* ἢ

γρ. λήξεις

γρ. ἐφέλκειν

γρ. ἴδιον

γρ. ζημία

Λογ. 15.

τινος γίνηται χρησίμου. ἐνταῦθα δὲ οὕτω μαλακίζεσθαι καὶ κατακλᾶσθαι πρὸς τὴν ἀποδημίαν, ὡς τοῖς μεγίστοις λυμαίνεσθαι διὰ τὴν μικροψυχίαν ταύτην ἀγαθοῖς, καὶ ταῦτα πλείονας παραμυθίας ἔχοντας, οὐ μόνον τὸ πρὸς μείζονα αὐτοὺς ἀποδύσασθαι, καὶ πάντως ἐπιτεύξεσθαι τοῦ τέλους, καὶ μηδὲν εἶναι τὸ διακόπτον τὰς ἐλπίδας, ἀλλὰ καὶ πρὸς αὐτὸν τὸν χωρισμόν; ἐν ἀποδημίᾳ μὲν γὰρ οὖσι μακρᾷ οὐκ εὔκολον συγγίνεσθαι, καὶ μάλιστα ὅταν γεγηρακότες τύχωσιν οἱ γονεῖς· ἐνταῦθα δὲ ἔνι συνεχῶς πρὸς αὐτοὺς ἀπιέναι. τοῦτο δὴ καὶ ποιῶμεν· ὅταν αὐτοῖς μηδέπω δυνατὸν ᾖ πρὸς ἡμᾶς ἐλθεῖν, αὐτοὶ βαδίζωμεν πρὸς ἐκείνους, καὶ συγγινώμεθα, καὶ διαλεγώμεθα. μέγα ἡμῖν ἐκ τούτου καὶ κέρδος ἔσται καὶ ἡδονή. οὐ γὰρ ἀπὸ τῆς ὄψεως τῶν ἀγαπωμένων μόνον παιδίων εὐφρανθησόμεθα, ἀλλὰ καὶ αὐτοὶ τὰ μέγιστα καρπωσάμενοι, πρὸς τὴν οἰκίαν ἐπανήξομεν· πολλάκις δὲ αὐτοῖς καὶ παραμενοῦμεν ἁλόντες τῷ τῆς φιλοσοφίας ἔρωτι. τότε οὖν αὐτοὺς καλῶμεν, ὅταν ἰσχυροὶ γένωνται, καὶ ἑτέροις οἷοί τε ὦσιν ὠφελεῖν· τότε αὐτοὺς ἕλκωμεν μόνον, ὥστε κοινὸν γενέσθαι τὸ φῶς, ὥστε ἐπὶ τῆς λυχνίας τεθῆναι τὸν λύχνον. τότε ὄψεσθε, τίνων μὲν παίδων πατέρες ὑμεῖς, τίνων δὲ οἱ μακαριζόμενοι παρ' ὑμῶν. τότε εἴσεσθε τῆς φιλοσοφίας τὰ κέρδη, ὅταν θεραπεύωσιν ἀνθρώπους ἀνίατα νοσοῦντας νοσήματα, ὅταν ὡς εὐεργέται κοινοὶ καὶ προστάται καὶ σωτῆρες ἀνακηρύττωνται, ὅταν ὡς ἄγγελοι τοῖς ἐπὶ γῆς ἀνθρώποις συμπεριπολῶσιν, ὅταν παρὰ πάντων ἀποβλέπωνται· μᾶλλον δὲ, ὅπερ ἂν εἴπωμεν, οὐδὲν τοιοῦτον, οἷον ἐπὶ τῆς πείρας αὐτῆς καὶ τῶν πραγμάτων ἐστὶν ἰδεῖν.

Ταῦτα καὶ τοὺς νομοθέτας ἔδει ποιεῖν, εἴ τι τῶν δεόντων ἐγίνετο, οὐκ ἀνδράσι γενομένοις τοῖς νέοις ἐπανατείνασθαι φόβους, ἀλλὰ παῖδας ὄντας ῥυθμίζειν καὶ διαπλάττειν, καὶ οὐκ ἂν τῶν μετὰ ταῦτα ἐδέησεν ἀπειλῶν· νυνὶ δὲ ταὐτὸ γίνεται, ὥσπερ ἂν εἴ τις ἰατρὸς ἀσθενοῦντι μὲν τῷ κάμνοντι μὴ λέγῃ μηδὲν, μήτε δεικνύῃ, δι' ὧν ἀπαλλάξοι τῆς νόσου· διαφθαρέντι δὲ καὶ ἀνιάτως ἔχοντι μυρίους τιθῇ νόμους λοιπόν. καὶ γὰρ οἱ νομοθέται τότε παιδαγωγοῦσιν ἡμᾶς, ὅταν διαστραφέντες τύχωμεν. ἀλλ' οὐχ ὁ Παῦλος οὕτως· ἀλλ' ἐξ ἀρχῆς καὶ ἐν ἡλικίᾳ πρώτῃ τοὺς διδασκάλους αὐτοῖς ἐφίστησι τῆς ἀρετῆς, κωλύων ἐπεισελθεῖν τὴν κακίαν. αὕτη γὰρ ἀρίστη διδασκαλία, οὐ συγχωρήσαντας πρότερον περιγενέσθαι τὴν πονηρίαν, ὕστερον ζητεῖν ὅπως αὐτὴν ἐξελάσωμεν· ἀλλὰ πάντα ποιεῖν καὶ πραγματεύεσθαι, ὥστε ἄβατον αὐτῇ γενέσθαι τὴν φύσιν τὴν ἡμετέραν. διὸ παραινῶ μὴ μόνον ἑτέρους βουλομένους τοῦτο ποιεῖν κωλύειν, ἀλλὰ καὶ αὐτοὺς συναντιλαμβάνεσθαι, καὶ σώζειν τὸ σκάφος, καὶ παρασκευάζειν ἐξ οὐρίας πλεῖν. καὶ γὰρ εἰ ταύτην ἦμεν πάντες ἀναδεξάμενοι τὴν γνώμην, καὶ παρὰ τῶν ἄλλων ἁπάντων εἰς ἀρετὴν αὐτοὺς ἤγομεν, τοῦτο μὲν ἔργον, τὰ δὲ ἄλλα νομίζοντες πάρεργα εἶναι, τοσαῦτα ἔμελλεν εἶναι τὰ ἀγαθὰ, ὅσα νῦν μὲν λέγων καὶ ἀλαζονεύεσθαι δόξω. εἰ δὲ θέλει τις μαθεῖν, ἐπὶ τῶν ἔργων εἴσεται καλῶς, καὶ πολλὴν μὲν ἡμῖν ὁμολογήσει χάριν, πολλὴν δὲ παρ' ἡμῶν τῷ Θεῷ, βλαστάνουσαν ὁρῶν ἐπὶ τῆς γῆς τὴν ἐν οὐρανοῖς πολιτείαν, καὶ τοὺς τῶν μελλόντων ἀγαθῶν, καὶ τοὺς τῆς ἀναστάσεως λόγους ἐντεῦθεν ἤδη πιστουμένους καὶ παρ' αὐτοῖς τοῖς ἀπίστοις. καὶ ὅτι οὐ κόμπος ταῦτα, δῆλον ἐκεῖθεν. ὅταν γὰρ αὐτοῖς τὴν πολιτείαν λέγωμεν τῶν ἐν ταῖς ἐρήμοις ὄντων, πρὸς μὲν ταύτην οὐδὲν ἔχουσιν ἀντειπεῖν· δοκοῦσι δὲ ἰσχυρίζεσθαι καὶ φιλονεικεῖν τῇ τῶν κατορθούντων ὀλιγότητι. εἰ δὲ ἐν ταῖς πόλεσι τὸν καρπὸν ἐφυτεύσαμεν τοῦτον, καὶ νόμον τινὰ καὶ ἀρχὴν τὰ τῆς εὐταξίας ἔλαβε, καὶ τοὺς παῖδας παρὰ τῶν ἄλλων ἁπάντων ἐπαιδεύομεν φίλους εἶναι τῷ Θεῷ, καὶ τὰ πνευματικὰ ἐδιδάσκομεν μαθήματα ἀντὶ τῶν ἄλλων, καὶ παρὰ τῶν ἄλλων ἁπάντων, πάντα ἂν ἀπεπήδησε τὰ λυπηρὰ, καὶ μυρίων ἀπηλλάγη κακῶν ὁ βίος ὁ παρών· καὶ ὃ περὶ τῆς μελλούσης λέγεται ζωῆς, ὅτι ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμὸς, ἐντεῦθεν ἂν ἐκαρπωσάμεθα πάντες. εἰ γὰρ μήτε χρημάτων, μήτε δόξης ἔρως ἡμᾶς εἰσῄει κενῆς, μήτε θάνατον ἐδεδίειμεν, μὴ πενίαν, μὴ τὸ κακῶς παθεῖν βλάβην ἡγούμεθα, ἀλλὰ καὶ κέρδος μέγιστον, μὴ ἀπεχθάνεσθαι, μὴ μισεῖν ᾔδειμεν, οὔτ' ἂν ὑπὸ τῶν ἰδίων παθῶν, οὔτ' ἂν ὑπὸ τῶν ἀλλοτρίων ἐπολεμήθημεν ποτε, ἀλλ' αὐτῶν τῶν ἀγγέλων ἐγγὺς ἂν τὸ τῶν ἀνθρώπων ἐγένετο γένος. καὶ τίς ἂν ἀνθρώπων ταῦτα κατώρθωσέ, φησιν; εἰκότως ἀπιστεῖς, ἅτε ἐν πόλεσιν οἰκῶν, καὶ ταῖς θείαις βίβλοις οὐχ ὡμιληκώς. εἰ δὲ καὶ τοὺς ἐν ταῖς ἐρήμοις οἶδας, καὶ τοὺς ἐν ταῖς πνευματικαῖς βίβλοις γενομένους πάλαι ἐγνώκεις, ἔμαθες ἂν ὅτι καὶ οἱ μοναχοὶ, καὶ οἱ πρὸ τούτων ἀπόστολοι, καὶ οἱ πρὸ ἐκείνων δίκαιοι, μετὰ ἀκριβείας ἁπάσης τὴν φιλοσοφίαν ἐπεδείξαντο ταύτην. ἵνα δέ σοι μὴ φιλονεικῶμεν, δῶμεν τῶν δευτέρων ἢ τρίτων ἀπ' ἐκείνων γενέσθαι τὸν υἱὸν τὸν σόν. οὐδὲ γὰρ οὕτω μικρῶν ἀπολαύσεται ἀγαθῶν. οὐ φθάνει πρὸς Πέτρον ἐλθεῖν, οὐδὲ Παῦλον, ἀλλ' οὐδὲ γενέσθαι αὐτῶν ἐγγύς· διὰ τοῦτο οὖν αὐτὸν καὶ τῆς μετ' ἐκείνων ἀποστερήσομεν τιμῆς; ταὐτὸν γὰρ ποιεῖς ταῦτα λέγων, ὡσανεὶ ἔλεγες, ἐπειδὴ λίθον τίμιον γενέσθαι οὐκ ἔνι, μενέτω σίδηρος ὤν, καὶ μήτε ἄργυρος γενέσθω, μήτε χρυσός. διὰ τί γὰρ μὴ καὶ ἐν τοῖς ἔξωθεν πράγμασι τοῦτον ἔχεις τὸν λογισμόν, ἀλλὰ τὸν ἐναντίον τούτῳ; καὶ γὰρ ἐπὶ λόγων μάθησιν πέμπων, οὐ πάντως αὐτὸν ἐπὶ τοῖς ἄκροις ὄψεσθαι προσδοκᾷς, ἀλλ' ὅμως οὐ διὰ ταῦτα ἀπάγεις τῆς περὶ ταῦτα σπουδῆς· ἀλλὰ πάντα πληροῖς τὰ παρὰ σαυτοῦ, ἀγαπητὸν εἶναι νομίζων, ἂν πέμπτον ἢ δέκατον ἀπὸ τῶν πρώτων συμβῇ γενέσθαι τὸν υἱὸν ἐν τῇ τῶν λόγων δυνάμει. καὶ βασιλεῖ δὲ στρατεύοντες τοὺς υἱούς, οὐ πάντως ἐπὶ τὸν τῶν ὑπάρχων αὐτοὺς ἀναβήσεσθαι προσδοκᾶτε θρόνον· ἀλλ' ὅμως οὐ διακελεύεσθε λῦσαι τὴν ζώνην, ἢ μηδὲ τὴν ἀρχὴν ἐπιβῆναι τῶν βασιλείων· ἀλλὰ πάντα πραγματεύεσθε, ὡς μηδέποτε αὐτοὺς τῆς ἐκεῖθεν διατριβῆς ἐκπεσεῖν, ἀρκεῖν ἡγούμενοι τὸ καὶ ἐν τοῖς μέσοις ἀριθμουμένους ὁρᾶν. τίνος οὖν ἕνεκεν ἐκεῖ μὲν, κἂν μὴ τῶν μειζόνων ἐξῇ λαβέσθαι, ὅμως ὑπὲρ τῶν ἐλαττόνων κόπτεσθε καὶ ταλαιπωρεῖσθε, κἂν τούτοις πάλιν τῆς ἐλπίδος οὔσης ἀδήλου· ἐνταῦθα δὲ ὀκνεῖτε καὶ ἀναδύεσθε; ὅτι ἐκείνων μὲν πολλὴν ἔχετε τὴν ἐπιθυμίαν, τούτων δὲ οὐδὲ βραχεῖαν. εἶτα αἰσχυνόμενοι τοῦτο ὁμολογῆσαι, σκήψεις ἐπενοήσατε καὶ προφάσεις· ὡς εἴγε ἀληθῶς ἐβούλεσθε, οὐδὲν ἂν ὑμᾶς τούτων ἐκώλυσε. καὶ γὰρ οὕτως ἔχει· ὅτου τις ἂν ἐρῶν τύχῃ γνησίως, κἂν μὴ τοῦ παντός, μηδὲ τοῦ ἀνωτάτω περιγένηται, τοῦ γοῦν μέσου, μᾶλλον δὲ καὶ τοῦ μετ' ἐκεῖνον μυριάκις ἂν ἕλοιτο ἐπιτυχεῖν. καὶ γὰρ ὁ φίλοινος καὶ φιλοπότης, κἂν μὴ τὸν ἡδὺν καὶ ἀνθοσμίαν ἐξῇ λαβεῖν οἶνον, οὐδὲ τοῦ φαυλοτάτου καταφρονήσει ποτέ· καὶ ὁ φιλοχρήματος πάλιν, κἂν μὴ λίθους τιμίους, μηδὲ χρυσίον, ἀλλ' ἀργύρειον αὐτῷ τις παρέχῃ, πολλὴν εἴσεται χάριν. τοιοῦτον γὰρ ἡ ἐπιθυμία, τυραννικόν τι πρᾶγμα, καὶ ἱκανὸν πάντα πεῖσαι τὸν ἁλόντα ὑπὲρ ὅτου νοσεῖ καὶ παθεῖν καὶ ὑπομεῖναι. ὥστε εἰ μὴ σκήψεις ταῦτα τὰ ῥήματα ἦν, συμπράττειν ἐχρῆν καὶ συμπονεῖν. τοῦ γὰρ ἐπιθυμοῦντός τι γενέσθαι, οὐ τὸ γενέσθαι κωλύειν ἐστὶν, ἀλλὰ τὸ πάντα ποιεῖν, ὅπως ἂν γένοιτο. καὶ γὰρ οἱ καθιέντες εἰς τοὺς Ὀλυμπιακοὺς ἀγῶνας, εἰδότες ὅτι ἐν πλήθει τοσούτῳ εἰς ἕνα τὰ τῆς νίκης περιστήσεται, ὅμως κόπτονται καὶ ταλαιπωροῦσι. καίτοιγε οὐδέν ἐστιν ἴσον ἐνταῦθα, κἀκεῖ, οὐ μόνον διὰ τὸ τῶν ἀγώνων τέλος, ἀλλ' ὅτι ἀνάγκη ἐκεῖ στεφανωθέντα μόνον ἕνα ἀπελθεῖν· ἐνταῦθα δὲ οὐκ ἐν τούτοις ἡ ὑπεροχὴ καὶ ἡ ἐλάττωσις, ἐν τῷ τοὺς μὲν ἀστεφανώτους ἀναχωρῆσαι, τοὺς δὲ ἐστεφανωμένους· ἀλλὰ τῷ τοὺς μὲν λαμπροτέρας, τοὺς δὲ ἐλάττονος τυχεῖν τῆς ἀνακηρύξεως· πάντας δὲ ὅμως τυχεῖν. ὅλως δὲ εἴπερ ἐβουλόμεθα καὶ ἐξ ἀρχῆς διαπλάττειν τοὺς παῖδας, καὶ τοῖς βουλομένοις ῥυθμίζειν παραδιδόναι, οὐκ ἦν ἀπεικὸς αὐτοὺς ἐν τῇ πρώτῃ στῆναι τάξει τοῦ στρατοπέδου. οὐ γὰρ ἂν περιεῖδεν ὁ Θεὸς τοσαύτην προθυμίαν καὶ σπουδὴν, ἀλλ' ἐπέδωκεν ἂν τὴν αὐτοῦ χεῖρα, καὶ ἥψατο τοῦ ἀγάλματος· ἐκείνης δὲ ἐργαζομένης τῆς χειρός, ἀμήχανον διαπεσεῖν τι τῶν γινομένων· μᾶλλον δὲ ἀμήχανον μὴ πρὸς ἄκρον λαμπρότητος καὶ δόξης ἐλθεῖν, μόνον εἰ τὰ παρ' ἡμῶν ἕποιτο. εἰ γὰρ

γυναῖκες

γρ. πκ.

γρ. τοῖς ὑμῶν

γρ. γένηται

γυναῖκες ἴσχυσαν πεῖσαι Θεὸν συνεφάψασθαι αὐταῖς τῆς τῶν παίδων ἐπιμελείας, πολλῷ μᾶλλον ἡμεῖς, ἂν ἐθέλωμεν, τοῦτο δυνησόμεθα.

Τὰς μὲν οὖν ἄλλας, ὥστε μὴ μακρὸν ποιῆσαι τὸν λόγον, παρήσω, καίτοι πολλὰς ἔχων εἰπεῖν· μιᾶς δὲ μόνον ἐπιμνησθήσομαι. Ἄννα τις ἦν Ἰουδαία γυνή. αὕτη ἡ Ἄννα παιδίον ἔτεκε, καὶ οὐ προσδοκῶσα τέξεσθαι ἕτερον. καὶ γὰρ καὶ τοῦτο μόλις καὶ μετὰ πολλῶν ἔλαβε τῶν δακρύων· στεῖρα γὰρ ἦν. ὁρῶσα δὲ τὴν ἀντίζηλον αὐτῆς διὰ τοῦτο πολλάκις ἐπεμβαίνουσαν αὐτῇ, οὐδὲ οὕτως ἔπαθέ τι τοιοῦτον, οἷον ὑμεῖς. ἀλλ' ἐπειδὴ τὸν υἱὸν ἔσχεν ἐκεῖνον, τοσοῦτον εἴασε παρ' ἑαυτῇ μεῖναι χρόνον, ὅσον γάλακτος τραφῆναι ἔδει μόνον. ἐπειδὴ δὲ οὐκέτι ταύτης ἐδεῖτο τῆς τροφῆς, λαβοῦσα αὐτὸν εὐθέως, ἀνέθηκε τῷ Θεῷ· καὶ τῆς πατρῴας οὐκ ἔτι ἐπιβῆναι παρεκάλεσεν οἰκίας, ἀλλ' ᾤκει διαπαντὸς ἐν τῷ ναῷ τοῦ Θεοῦ. καὶ εἴ ποτε αὐτὸν ἰδεῖν ἐπεθύμησεν, οἷα δὴ μήτηρ, οὐκ ἐκάλει παρ' ἑαυτὴν τὸ παιδίον, ἀλλ' αὐτὴ πρὸς ἐκεῖνον ἀνέβαινε μετὰ τοῦ πατρὸς, καθάπερ ὄντος ἀναθήματος ἀπεχομένη λοιπόν. καὶ οὕτω γενναῖος καὶ μέγας ὁ νεανίας ἐγένετο ἐκεῖνος, ὡς τὸν Θεὸν ἀποστραφέντα τὸ τῶν Ἑβραίων γένος διὰ τὴν κατακεχυμένην κακίαν, καὶ οὐ χρῶντα αὐτοῖς, οὐδὲ ὄψιν τινὰ φαίνοντα λοιπὸν, ἐπισπάσασθαι πάλιν διὰ τῆς ἀρετῆς, καὶ πεῖσαι παρέχειν τὰ αὐτὰ, ἅπερ καὶ πρότερον, καὶ τὴν προφητείαν ἀποπτᾶσαν ἀνακαλέσασθαι πάλιν. καὶ ταῦτα ἴσχυσεν, οὐκ ἐφ' ἡλικίας γενόμενος, ἀλλ' ἔτι παιδίον ὢν μικρόν. Οὐκ ἦν γὰρ, φησὶν, ὅρασις διαστέλλουσα, καὶ ῥῆμα τίμιον ἦν. α. Βασ. γ. α. ἀλλ' ὅμως καὶ τούτων τοιούτων ὄντων ἔχρα αὐτῷ συνεχῶς ὁ Θεός. τοσοῦτόν ἐστι κέρδος ἀεὶ τῶν οἰκείων παραχωρεῖν κτημάτων αὐτῷ, καὶ πάντων ἐξίστασθαι, οὐχὶ χρημάτων μόνον, οὐδὲ κτημάτων, ἀλλὰ καὶ τῶν τέκνων αὐτῶν. εἰ γὰρ ἐπὶ τῆς ἡμετέρας ψυχῆς κελευόμεθα τοῦτο ποιεῖν, πολλῷ μᾶλλον ἐπὶ τῶν ἄλλων ἁπάντων. τοῦτο * καὶ ὁ πατριάρχης ἐποίησεν Ἀβραάμ, μᾶλλον δὲ πολλῷ μεῖζον. διὸ καὶ μετὰ πλείονος δόξης ἀπέλαβε τὸν υἱόν. καὶ γὰρ τότε μάλιστα ἔχομεν τὰ ἡμέτερα παιδία, ὅταν αὐτὰ τῷ δεσπότῃ παραδῶμεν. πολλῷ γὰρ μειζόνως αὐτῶν ἐκεῖνος προστήσεται, ἐπειδὴ καὶ μειζόνως κήδεται. οὐχ ὁρᾶτε καὶ ἐν ταῖς οἰκίαις τῶν πλουτούντων ταῦτα γινόμενα; καὶ γὰρ ἐκεῖ τοὺς μὲν κάτω μετὰ τῶν πατέρων οἰκοῦντας οὐχ οὕτως ὄντας λαμπροὺς ἔστιν ἰδεῖν, οὐδὲ τοσαύτην ἔχοντας δύναμιν. ὅσους δ' ἂν τῶν γονέων ἀποστήσαντες οἱ δεσπόται προσνείμωσιν αὐτῶν τῇ διακονίᾳ καὶ τῇ φυλακῇ τῶν ταμιείων, οὗτοι δὴ καὶ εὐνοίας ἀπολαύουσι πλείονος, καὶ παρρησίας, καὶ τοσοῦτον τῶν ὁμοδούλων εἰσὶ λαμπρότεροι, ὅσον τῶν οἰκετῶν οἱ δεσπόται. εἰ δὲ ἄνθρωποι περὶ τοὺς διακονουμένους οὕτως εἰσὶ χρηστοὶ καὶ εὔνοι, πολλῷ μᾶλλον ἡ ἄφατος ἀγαθότης, τουτέστιν, ὁ Θεός. δῶμεν τοίνυν αὐτοῖς ὑπηρετεῖν, οὐκ εἰς ναὸν ἄγοντες, καθάπερ τὸν Σαμουὴλ, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν μετὰ τῶν ἀγγέλων, μετὰ τῶν ἀρχαγγέλων. ὅτι γὰρ μετ' ἐκείνων διακονήσονται πάντως καὶ ὑπηρετήσουσιν οἱ ταύτης ἐπειλημμένοι τῆς φιλοσοφίας, παντί που δῆλόν ἐστι· καὶ οὐχ ἑαυτῶν μόνον, ἀλλὰ καὶ ὑμῶν μετὰ πλείονος προστήσονται τῆς παρρησίας. εἰ γὰρ τινες διὰ πατέρας παραμυθίας ἔτυχόν τινος, πολλῷ μᾶλλον διὰ παῖδας πατέρες. ἐκεῖ μὲν γὰρ τὸ τῆς φύσεως μόνον δικαίωμά ἐστιν· ἐνταῦθα δὲ καὶ τὸ τῆς ἀνατροφῆς, πολλῷ τῆς φύσεως μεῖζον ὄν. καὶ ταῦτα ὑμῖν ἀμφότερα ἀπὸ τῶν θείων πιστώσομαι γραφῶν. τὸν γὰρ Ἐζεκίαν ἐνάρετον μὲν ὄντα καὶ εὐσεβῆ, οὐκ ἔχοντα δὲ τοσαύτην παρρησίαν ἀπὸ κατορθωμάτων, ὥστε καὶ πρὸς τοσοῦτον κίνδυνον στῆναι, ἀπὸ τῆς τοῦ πατρὸς ἔφησε σώζειν ἀρετῆς ὁ Θεός. Ὑπερασπιῶ γὰρ, φησὶ, τῆς πόλεως ταύτης τοῦ σῶσαι αὐτὴν δι' ἐμὲ, καὶ διὰ Δαβὶδ τὸν παῖδά μου. καὶ Τιμοθέῳ δὲ περὶ γονέων ἐπιστέλλων ἔλεγεν ὁ Παῦλος, ὅτι Σωθήσονται διὰ τῆς τεκνογονίας, ἐὰν μείνωσιν ἐν πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ σωφροσύνης. α. Τιμ. β. ιε. καὶ τὸν Ἰὼβ δὲ, ὥσπερ ἀπὸ τῶν ἄλλων, ἐπῄνεσεν ἡ γραφὴ, οἷον, ὅτι δίκαιος καὶ ἀληθινὸς καὶ θεοσεβὴς ἦν, οὕτω καὶ ἀπὸ τῆς περὶ τοὺς παῖδας ἐπιμελείας. αὕτη δὲ ἦν, οὐ χρυσὸν συνάγειν αὐτοῖς, οὐδὲ ἐπιδόξους ποιεῖν καὶ λαμπρούς, ἀλλὰ τί; ἄκουσον τῆς

γραφῆς

Ἰὼβ α. ε. γραφῆς λεγούσης· Ὅταν συνετελέσθησαν αἱ ἡμέραι τοῦ πότου αὐτῶν, ἀπέστελλεν Ἰὼβ, καὶ ἐκαθάριζεν αὐτούς· καὶ ἀνιστάμενος τὸ πρωῒ, προσέφερε περὶ αὐτῶν θυσίαν κατὰ τὸν ἀριθμὸν αὐτῶν, καὶ μόσχον ἕνα περὶ ἁμαρτίας ὑπὲρ τῶν ψυχῶν αὐτῶν. ἔλεγε γὰρ Ἰὼβ ἐν τῇ καρδίᾳ αὐτοῦ· μή ποτε οἱ υἱοί μου ἐν τῇ διανοίᾳ αὐτῶν κακὰ ἐνενόησαν πρὸς τὸν Θεόν. ἆρα ἔσται τις ἡμῖν ἀπολογία λοιπὸν τοιαῦτα τολμῶσιν; εἰ γὰρ ὁ πρὸ τῆς χάριτος, ὁ πρὸ τοῦ νόμου, ὁ μηδεμιᾶς ἀπολαύσας διδασκαλίας, τοσαύτην τῶν παίδων ἐποιεῖτο πρόνοιαν, ὡς καὶ ὑπὲρ τῶν ἀδήλων τρέμειν ἁμαρτημάτων, τίς ἡμᾶς ἐξαιρήσεται λοιπὸν, τοὺς ἐν τῇ χάριτι, τοὺς καὶ τοσούτων διδασκάλων τετυχηκότας, τοὺς τοιαῦτα ὑποδείγματα ἔχοντας, καὶ τοσαύτας παραινέσεις, οὐ μόνον ὑπὲρ τῶν ἀδήλων οὐ δεδοικότας, ἀλλὰ καὶ τῶν δήλων καταφρονοῦντας, καὶ οὐ καταφρονοῦντας μόνον, ἀλλὰ καὶ τοὺς βουλομένους αὐτὰ διορθοῦν ἐλαύνοντας; καὶ τὸν Ἀβραὰμ δὲ, καθάπερ ἔφθην εἰπὼν, μετὰ τῶν ἄλλων κατορθωμάτων καὶ τοῦτο λαμπρὸν ἐποίει. τοσαῦτα οὖν ἔχοντες ὑποδείγματα, κατασκευάζωμεν τῷ Θεῷ διακόνους καὶ λειτουργοὺς δοκίμους. εἰ γὰρ ἀθλητάς τις πόλεσι τρέφων, ἢ στρατιώτας βασιλεῦσιν ἀσκῶν, μεγάλῃ τιμηθήσεται τιμῇ· πόσην ἡμᾶς εἰκὸς λαβεῖν δωρεὰν, οὕτω γενναίους καὶ μεγάλους ἄνδρας, μᾶλλον δὲ ἀγγέλους τῷ Θεῷ τρέφοντας; πάντα οὖν πράττωμεν, ὥστε αὐτοῖς ἀφεῖναι τὸν τῆς εὐσεβείας πλοῦτον, τὸν μένοντα καὶ συναποδημοῦντα, καὶ οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐκεῖ μέγιστα ὀνῆσαι δυνάμενον. ὁ μὲν γὰρ βιωτικὸς οὔτε συμμεταστήσεται, καὶ ἐνταῦθα δὲ "προαπολεῖται, καὶ τοὺς ἔχοντας πολλάκις "προσαπολεῖ· οὗτος δὲ καὶ ἐνταῦθα, κἀκεῖ βέβαιος ἔσται, καὶ διατηρήσει μετὰ πολλῆς ἀσφαλείας τοὺς κεκτημένους αὐτόν. καὶ γὰρ οὕτως ἔχει. ὁ μὲν τὰ ἐν τῇ γῇ προτιμῶν τῶν πνευματικῶν, κἀκείνων ἐκπεσεῖται, καὶ τούτων· ὁ δὲ τῶν οὐρανίων ἐπιθυμῶν, καὶ τῶν ἐπὶ γῆς τεύξεται πάντως. καὶ οὐκ ἐμός ἐστιν ὁ λόγος, ἀλλ' αὐτοῦ τοῦ ταῦτα παρέχειν κυρίου.. Ματθ. ϛ. λγ. Ζητεῖτε γάρ, φησι, τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. τί ταύτης ἴσον γένοιτ' ἂν τῆς τιμῆς; φρόντιζε, φησιν, ὑπὲρ τῶν πνευματικῶν ἐμοὶ δὲ ἄφες πάντα τὰ σά. ὥσπερ ἂν εἴ τις πατὴρ φιλόστοργος οἰκίας ἐπιμέλειαν καὶ οἰκετῶν προστασίαν καὶ τῶν ἄλλων ἁπάντων μεταχειρίζοιτο, τῷ παιδὶ φιλοσοφίᾳ μόνῃ σχολάζειν παραινοίη· οὕτω δὴ καὶ ὁ Θεός. πειθώμεθα τοίνυν, καὶ ζητῶμεν τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ οὕτω πανταχοῦ τούς τε παῖδας δοκίμους ὀψόμεθα, καὶ αὐτοὶ μετ' ἐκείνων ἐσόμεθα λαμπροὶ, καὶ τῶν παρόντων ἀπολαυσόμεθα, ἂν τῶν μελλόντων καὶ οὐρανίων ἐρῶμεν μόνον. ταῦτα πειθομένοις "μὲν ὑμῖν μεγάλην οἴσει τὸν μισθὸν, ἀντιλέγουσι δὲ καὶ ἀπειθοῦσι χαλεπωτέραν τὴν τιμωρίαν. οὐδὲ γὰρ ἔνι καταφυγεῖν εἰς ἀπολογίαν, οὐδὲ εἰπεῖν ὅτι ὁ ταῦτα "διδάσκων οὐδεὶς ἦν. μάλιστα μὲν οὖν καὶ πρὸ τῶν ἡμετέρων λόγων ἡ ἀπολογία αὕτη ἀνῄρητο, τῆς τε φύσεως ἐχούσης ἀκριβὲς τὸ κριτήριον τῶν καλῶν, καὶ τῶν οὐ τοιούτων, τῆς τε φιλοσοφίας ταύτης πανταχοῦ προκειμένης, τῶν τε ἐν τῷ βίῳ κακῶν ἱκανῶν ὄντων καὶ τοὺς σφόδρα ἐρῶντας αὐτοῦ πρὸς τὴν ἐρημίαν "ἐλάσαι. καὶ σιγώντων μὲν οὖν, ὅπερ ἔφην, τὰ τῆς ἀπολογίας ἀνῄρητο· νυνὶ δὲ πολλῷ πλέον μετὰ τοὺς μακροὺς λόγους τούτους, καὶ τὴν τοσαύτην παραίνεσιν, τήν τε ἀπὸ τῶν πραγμάτων, τήν τε σαφεστέραν τὴν ἀπὸ τῶν θείων γραφῶν. καὶ εἰ μὲν ἦν οἴκοι μένοντας μὴ διαφθαρῆναι τέλεον, ἀλλὰ τὴν γοῦν ἐσχάτην τάξιν τῆς σωτηρίας λαχεῖν, μάλιστα μὲν οὐδὲ οὕτως ἂν τὴν κόλασιν διεφύγομεν, τοὺς ἐπὶ βίον ἀκριβέστερον βαδίζειν ἐπειγομένους κωλύοντες, καὶ ἐν τοῖς βιωτικωτέροις κατέχοντες πρὸς τὸν οὐρανὸν πτῆναι ἐπειγομένους· ὅταν δὲ μηδὲ τοῦτο ἐξῇ, ἀλλ' ἀνάγκη πάντως ἀπολέσθαι, καὶ περὶ τῶν ἐσχάτων ὁ κίνδυνος ᾖ, ἵνα συγγνώμην ἔχωμεν, τίνα δὲ ἀπολογίαν, οὐ μόνον τῶν οἰκείων ἁμαρτημάτων, ἀλλὰ καὶ τῶν μετὰ ταῦτα τοῖς παισὶν ἁμαρτανομένων τὰς εὐθύνας ἐφ' ἑαυτοὺς ἕλκοντες χαλεπωτέρας; οὐ γὰρ οὕτως ἐκεῖνοι οἶμαι τιμωρηθήσονται, ὑπὲρ ὧν πταίσωσι μετὰ ταῦτα, εἰς τὸ κλυδώνιον τοῦτο κατασπασθέντες, ὡς ὑμᾶς τοὺς τὴν ἀνάγκην περιστήσαντας ταύτην αὐτοῖς. εἰ γὰρ τῷ

γρ. συναπ

γρ. προαπ.

γρ. τὸν

γρ. διδάξων

καὶ αἰνι

ἕνα

ἵνα σκανδαλίζοντι συμφέρει μετὰ μύλης καταποντισθῆναι εἰς τὴν θάλασσαν, τοῖς τὴν ὠμότητα ταύτην καὶ ἀπήνειαν εἰς τοὺς παῖδας ἐνδεικνυμένοις, ποία τιμωρία ἀρκέσει καὶ κόλασις; διὸ παρακαλῶ καθυφεῖναι τῆς φιλονεικίας, καὶ γενέσθαι φιλοσόφων παίδων πατέρας. οὐδὲ γὰρ ἐκεῖνό ἐστιν εἰπεῖν, ὅπερ ἀκούω πολλοὺς σκηπτομένους. τί δὲ τοῦτο ἐστιν; ἀδυνατοῦντας, φασιν, εἰδότες πρὸς τὸ τέλος ἐλθεῖν, ἐκωλύσαμεν διὰ τοῦτο. εἰ γὰρ καὶ προῄδεις τοῦτο σαφῶς, καὶ μὴ στοχασμὸς τὸ πρᾶγμα ἦν (πολλοὶ γὰρ καὶ τῶν πεσεῖσθαι προσδοκηθέντων ἔστησαν) πλὴν ἀλλ' εἰ καὶ σφόδρα προῄδεις, οὐδὲ οὕτως αὐτὸν καθέλκειν ἐχρῆν. οὐδὲ γάρ, εἴ τινας πίπτειν μέλλοντας λαβόντες ὑποσκελίσαιμεν, ἀρκεῖ τοῦτο πρὸς ἀπολογίαν ἡμῖν· ἀλλ' αὐτὸ δὴ τοῦτο μάλιστά ἐστι τὸ καταδικάζον ἡμᾶς. διατί γὰρ μὴ συνεχώρησας τῆς ἐκείνου ῥᾳθυμίας γενέσθαι τὸ πτῶμα, ἀλλὰ προλαβὼν ἥρπασας τὴν ἁμαρτίαν, καὶ τὸ πᾶν ἤγαγες ἐπὶ τὴν σὴν κεφαλήν; μᾶλλον δὲ οὐδὲ συγχωρῆσαι ἐχρῆν. διατί γὰρ μὴ πάντα ἔπραξας ὑπὲρ τοῦ μὴ πεσεῖν τὸν υἱόν; ὥστε ἐπειδὴ μάλιστα ᾔδεις ὅτι πεσεῖται, διὰ τοῦτο μάλιστα τιμωρίας ἂν ἦς ἄξιος. τὸν γὰρ τοῦτο προειδότα οὐχὶ καταβάλλειν, ἀλλὰ χεῖρα ὀρέγειν χρή, καὶ μείζονα ἐνδείκνυσθαι τὴν σπουδήν, ὑπὲρ τοῦ τὸν μέλλοντα πίπτειν στῆναι γενναίως, εἴτε ἔμελλε στήσεσθαι, εἴτε μή. τὰ γὰρ παρ' ἡμῶν ἅπαντα πληρῶσαι δεῖ, κἂν ἕτεροι μηδὲν μέλλωσι καρποῦσθαι παρ' ἡμῶν. τίνος ἕνεκεν, καὶ διατί; ἵνα μηκέτι πρὸς ἡμᾶς, ἀλλὰ πρὸς ἐκείνους ὁ λόγος ᾖ τῷ Θεῷ· ὅπερ καὶ αὐτὸς ἔλεγεν ἐγκαλῶν τῷ μηδὲν εἰς τὸ τάλαντον ἐργασαμένῳ. Ἔδει γάρ σε, φησι, καταβαλεῖν τὸ ἀργύριόν μου ἐπὶ τοῖς τραπεζίταις, κἀγὼ ἐλθὼν μετὰ τόκου ἂν ἀπῄτησα αὐτό. Ματθ. κε. κζ. πειθώμεθα τοίνυν τῷ ταῦτα παραινοῦντι, ἵνα καὶ τὴν τιμωρίαν ἐκφύγωμεν. οὐ γὰρ δὴ καὶ τὸν Θεὸν μετὰ τῶν ἀνθρώπων παραλογίσασθαι δυνάμεθα, τὸν ἐρευνῶντα τὰς καρδίας, καὶ πάντα εἰς μέσον ἄγοντα, καὶ πανταχοῦ τῆς τῶν παίδων ὑπευθύνους ποιοῦντα σωτηρίας ἡμᾶς. εἰ γὰρ ὁ μὴ καταβαλὼν τὸ ἀργύριον, τοσαύτην ἔδωκε δίκην, ὁ καὶ τοὺς καταβαλεῖν βουλομένους κωλύων, τί πείσεται; οὐδὲ γὰρ κατακυλισθέντων τῶν παίδων εἰς τὰ τοῦ βίου πράγματα ἐκ τῆς ἡμετέρας συμβουλίας, ἀλλὰ καὶ γενναίως ἐνεγκόντων τὴν προσβολήν, καὶ τὰ ὄρη καταλαβόντων, πάλιν ἡ αὐτὴ κεῖται κόλασις τοῖς διακωλῦσαι βουλομένοις αὐτούς. ὥσπερ γὰρ ὁ πρὸς φιλοσοφίαν ἄγων, ἄν τε πείσῃ, ἄν τε μὴ πείσῃ, ἀπηρτισμένον ἔχει τὸν μισθόν (τὸ γὰρ αὐτοῦ πᾶν ἐποίησεν) οὕτω καὶ ὁ διαφθεῖραι βουληθείς, ἄν τε ἕλῃ, ἄν τε μὴ ἕλῃ, τὴν αὐτὴν ὑποστήσεται δίκην. τὸ γὰρ αὐτοῦ πᾶν καὶ οὗτος ἐπλήρωσεν. ὥστε κἂν μηδὲν ἰσχύσητε πρὸς τὸ ὑποσκελίσαι καὶ καθελεῖν τὰ γενναῖα τῶν παίδων φρονήματα, τῆς γοῦν ἐπιχειρήσεως μόνης τοσαύτην δώσετε δίκην, ὅσην οἱ καθελόντες ἐκεῖθεν αὐτούς. ταῦτ' οὖν ἐννοήσαντες ἅπαντα, καὶ τὰς σκήψεις ἀφέντες πάσας, σπουδάσωμεν γενναίων παίδων γενέσθαι πατέρες, Χριστοφόρων οἰκοδόμοι γενέσθαι ναῶν, ἀθλητῶν ἐπουρανίων ἐπιμεληταί, ἀλείφοντες, ὀρθοῦντες, πάντοθεν ἐργάζεσθαι τὴν ὠφέλειαν αὐτῶν, ἵνα καὶ τῶν στεφάνων αὐτοῖς ἐκείνοις κοινωνήσωμεν. ἂν δὲ φιλονεικῆτε, οἱ παῖδες μὲν ἂν ὦσι γενναῖοι, καὶ ἀκόντων ὑμῶν ἐπὶ ταύτην ἥξουσι τὴν φιλοσοφίαν, καὶ πάντων ἀπολαύσονται τῶν ἀγαθῶν· ὑμῖν δὲ περιέσται τὸ μυρίαν κόλασιν ἑαυτοῖς συναγαγεῖν, καὶ τότε ἐπαινέσαι τὰ παρ' ἡμῶν εἰρημένα, ὅτε τῶν ἐπαίνων ὄφελος ὑμῖν οὐδέν.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΠΡΟΣ ΤΟΥΣ ΕΧΟΝΤΑΣ ΠΑΡΘΕΝΟΥΣ συνεισάκτους.

Γεν. β. κδ.

Ἐπὶ μὲν τῶν προγόνων τῶν ἡμετέρων δύο τινὲς ἦσαν προφάσεις, αἳ τὰς γυναῖκας συγκατοικίζουσαι τοῖς ἀνδράσι· μία μὲν ἡ τοῦ γάμου, ἀρχαία τε καὶ δικαία καὶ εὔλογος, ἅτε τὸν Θεὸν ἔχουσα νομοθέτην. Ἀντὶ γὰρ τούτου, φησὶ, καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. ἑτέρα δὲ ἡ τῆς πορνείας, καὶ νεωτέρα ταύτης καὶ ἄδικος καὶ παράνομος, ἅτε παρὰ τῶν πονηρῶν εἰσενεχθεῖσα δαιμόνων. ἐπὶ δὲ τῆς γενεᾶς τῆς ἡμετέρας καὶ τρίτος τις ἐπενοήθη τρόπος, καινός τις καὶ παράδοξος, καὶ πολλὴν ἔχων τὴν ἀπορίαν τοῖς βουλομένοις τὴν αἰτίαν εὑρεῖν. Εἰσὶ γάρ τινες, οἳ γάμου καὶ συνουσίας χωρὶς κόρας ἀπειρογάμους ἀγόμενοι καθίζουσιν οἴκοι διαπαντὸς, καὶ εἰς ἔσχατον γῆρας ἑαυτοῖς συγκατακλείουσιν· οὔτε ἐπὶ παιδοποιΐᾳ (οὐ γάρ φασιν αὐταῖς συγγίνεσθαι) οὔτε διὰ ἀκολασίας (λέγουσι γὰρ αὐτὰς ἀκεραίους διατηρεῖν) ἀλλ' ἐάν τις ἔρηται τὴν αἰτίαν, ἔχουσι μὲν πολλὰς καὶ μεμελετήκασιν, εὔλογον δὲ, ὥς ἔγωγε οἶμαι, οὐδεμίαν, οὐδὲ σεμνήν. ἀλλὰ μήπω περὶ τούτων, μηδὲ τὰς ἐκείνων τέως λέγωμεν προφάσεις· ἀλλ' ἣν αὐτοὶ μάλιστα ὑποπτεύομεν εἶναι, ταύτην εἰς μέσον ἀγάγωμεν. τίς οὖν ἐστιν αὕτη; πάντως δὲ εἰ διαμάρτοιμι τοῦ σκοποῦ, ἔξεστιν ἐπιλαβέσθαι τοῖς βουλομένοις ὑμῶν. τίς οὖν ἐστιν ἡ πρόφασις; δοκεῖ μοί τινα ἡδονὴν ἔχειν, τὸ συνοικεῖν γυναιξὶν, οὐ νόμῳ γάμου μόνον, ἀλλὰ καὶ γάμου καὶ συνουσίας χωρίς. εἰ δὲ οὐκ ὀρθῶς δοκῶ, λέγειν οὐκ ἔχω. τὴν γὰρ ἐμαυτοῦ τέως ὑμῖν διηγοῦμαι γνώμην, τάχα δὲ οὐ τὴν ἐμαυτοῦ μόνον, ἀλλὰ καὶ τὴν αὐτῶν ἐκείνων. ὅτι γὰρ καὶ ἐκείνοις" οὕτω δοκεῖ, δῆλον ἐκεῖθεν. οὐ γὰρ ἂν τοσαύτης κατεφρόνησαν δόξης καὶ τοσούτων σκανδάλων, εἰ μὴ σφόδρα τις ἦν καὶ τυραννικὴ τῆς συνοικήσεως ταύτης ἡ ἡδονή. Εἰ δέ τινες δυσχεραίνοιεν ταῦτα λεγόντων ἡμῶν, παραιτήσομαι συγγινώσκειν ἡμῖν, καὶ μὴ ἀγανακτεῖν. οὐ γὰρ ἑκὼν, οὐδὲ ἁπλῶς τὴν ἀπέχθειαν ἀναδέξασθαι ταύτην εἱλόμην. οὐχ οὕτως ἄθλιος ἐγὼ καὶ ταλαίπωρος, ὡς εἰκῆ βούλεσθαι προσκρούειν ἅπασιν. ἀλλ' ὀδυνῶμαι σφόδρα καὶ ἀλγῶ, καὶ τὴν τοῦ Θεοῦ δόξαν ὑβριζομένην ὁρῶν, καὶ τὴν τῶν πολλῶν σωτηρίαν κατὰ μικρὸν ἀπορρέουσαν διὰ τὴν ἡδονὴν ταύτην. ὅτι γὰρ ἡδὺ τοῦτο, καὶ τοῦ νόμῳ γάμου συνοικεῖν δριμύτερον ἔχει τὸν ἔρωτα, νῦν μὲν ἴσως καὶ "θορυβεῖσθε ἀκούοντες· μετὰ δὲ τὴν ἀπόδειξιν καὶ αὐτοὶ συνομολογήσετε. ἐπὶ μὲν γὰρ τῆς ἐννόμου γυναικὸς ἡ μίξις ἀκώλυτος οὖσα, τόν τε πόθον παρεμυθήσατο, καὶ εἰς κόρον τὸν ἄνδρα * ἤγαγε, καὶ τὴν σφοδρὰν κατέλυσεν ἐπιθυμίαν. καὶ χωρὶς δὲ τούτων, καὶ ὠδῖνες καὶ τόκοι καὶ παιδοποιΐαι, καὶ τὰ ἐκ τούτων ἑπόμενα συνεχῆ νοσήματα πολιορκοῦντα τὸ σῶμα καὶ μαραίνοντα τὸ ἄνθος τῆς ὥρας, ἀσθενέστερον τὸ κέντρον ἐργάζεται τῆς ἡδονῆς· ἐπὶ δὲ τῆς παρθένου οὐδὲν τούτων ἔνι. οὔτε γὰρ μίξις ἐστὶ τὸν οἶστρον τῆς φύσεως δυναμένη χαλάσαι καὶ κατενεγκεῖν, οὔτε ὠδῖνες καὶ παιδοτροφίαι τὴν σάρκα μαραίνουσιν, ἀλλ' ἐπὶ πολὺ διασώζουσι τὴν ἀκμὴν, ἅτε ἀνέπαφοι μένουσαι * ἐντεῦθεν. τῶν μὲν γαμουμένων μετὰ τοὺς τόκους καὶ τὰς παιδοτροφίας ἀσθενέστερα τὰ σώματα γίνεται· αἱ δὲ καὶ εἰς τεσσαρακοστὸν ἔτος μένουσιν ἁμιλλώμεναι τῶν παρθένων ταῖς θαλαμευομέναις. ὅθεν διπλᾶ τὰ τῆς ἐπιθυμίας ἐγείρεται τοῖς συνοικοῦσιν αὐταῖς, "τό τε μὴ συγχωρεῖσθαι τῇ μίξει τὸν πόθον παραμυθεῖσθαι, καὶ "τὸ μένειν ἐπὶ πολὺ τοῦ πόθου τὴν ὑπόθεσιν ἰσχυροτέραν. ταύτην ὑποπτεύω πρόφα-

σιν

γ. τῶν

γρ. καθελεῖ

ζέσιν δίκην

* πολλάκις

* τῶν

ἴσ. τὸ π

ἴσ. τῷ

σιν εἶναι) ἐγὼ τῆς ὁμοσκηνίας ταύτης. ἀλλὰ μὴ ἀγανακτῶμεν πρὸς αὐτοὺς, μηδὲ δυσχεραίνωμεν. οὐδεὶς γὰρ τὸν κάμνοντα ἀναστῆσαι βουλόμενος, μετ᾽ ὀργῆς καὶ ἐπιπλήξεως τοῦτο ποιεῖ, ἀλλὰ μετὰ θεραπείας καὶ παρακλήσεως προσάγει τὰ φάρμακα. καὶ γὰρ εἰ μὲν κολάσαι προὔκειτο, καὶ τὴν τῶν δικαζόντων εἴχομεν τάξιν, ἐχρῆν καὶ ἀγανακτεῖν· εἰ δὲ ἐκείνην ἀφέντες, τὴν τῶν ἰατρῶν καὶ θεραπεῦσαι βουλομένων μεταλαμβάνομεν, παρακαλεῖν χρὴ καὶ δέεσθαι, καὶ αὐτῶν, εἰ δέοι, τῶν γονάτων ἅπτεσθαι, ὥστε ἀνύεσθαι τὸ σπουδαζόμενον. καθάπερ οὖν οἱ ἰατροὶ τῶν βλαπτόντων μὲν, ἡδονὴν δὲ ἐχόντων ἀπάγοντες, εἴτε σιτίων, εἴτε ποτῶν, τοῦτο περὶ τῶν ἄλλων πείθουσι τοὺς ἀῤῥώστους, ὅτι τὸ ποιοῦν μετὰ τῆς βλάβης πολλὴν ἔχει καὶ τὴν ἀηδίαν· οὕτω καὶ ἡμεῖς ποιῶμεν, δεικνύντες αὐτοῖς, ὅτι ἡ ἡδίστη αὕτη συνοίκησις πολλὴν ἔχει τὸν ὄλεθρον, καὶ τῶν δηλητηρίων οὐδὲν ἄμεινον φαρμάκων κατεσκεύασται, καὶ δοκεῖ μὲν εὐφροσύνην τινὰ ἔχειν, πολλὴν δὲ ἐναποκεκρυμμένην δριμύτητα καὶ πικρίαν καταχέει τῆς ἡδομένης ψυχῆς· ἐπεὶ καὶ αὐτὴ ἡ μετὰ πειθοῦς ἀναχώρησις ἀσφαλής. ὁ μὲν γὰρ φόβῳ τῆς φιλουμένης διαζευγνύμενος καὶ ἀνάγκῃ, σφοδρότερός τε ἐραστὴς γίνεται, καὶ ἴσως καὶ ἐπανήξει πάλιν· ὁ δὲ τοῦ πράγματος καταγνοὺς, καὶ οὕτω φυγὼν, ὡς ἐπιβλαβὲς καὶ πικρὸν, οὐδ᾽ ἂν ἐπιστρέψειεν αὖθις, τὴν ἐκ τῆς οἰκείας γνώμης ψῆφον πάσης ἀνάγκης ἔχων ἰσχυροτέραν.

Πῶς οὖν αὐτοὺς πείσομεν, ὅτι οὐ βλαβερὸν τοῦτο μόνον, ἀλλὰ καὶ πικρόν; πῶς δὲ ἄλλως, ἢ ἐξ αὐτῆς τῆς τῶν πραγμάτων τῆς φύσεως; ἐρώμεθα οὖν αὐτοὺς, εἴ τις πολυτελῆ τράπεζαν παραθεὶς, πολλῶν καὶ ἡδίστων γέμουσαν ἐδεσμάτων, ἀπηγόρευε μετὰ σφοδρᾶς τῆς ἀπειλῆς μὴ ἅπτεσθαί τινος τῶν προκειμένων, ἆρα ἄν τις εἵλετο τοιαύτῃ παρακαθῆσθαι τραπέζῃ, καὶ κολάζειν ἑαυτόν; οὐκ ἔγωγε οἶμαι. οὐδὲ γὰρ τοσαύτην ἀπὸ τῆς ὄψεως ἐκαρποῦτο τὴν ἡδονὴν, ὅσην ἀπὸ τῆς κωλύσεως ὑπέμενε τὴν ἀθυμίαν. τί δέ; εἰ διψῶντι καὶ καιομένῳ πηγήν τις ἐπιδείξας καθαράν τε καὶ διαυγῆ, μὴ μόνον αὐτῆς μὴ ἀπογεύεσθαι, ἀλλὰ μηδὲ ἄκροις θιγεῖν τοῖς δακτύλοις ἐπέτρεπεν, ἆρα ἂν ταύτης ἐγένετό τι πικρότερον τῆς κολάσεως; οὐδὲ ἐνταῦθα οἶμαί τινα δεύτερον. τοσοῦτον γάρ ἐστι τοῦτο κακὸν, ὅτι καὶ τῶν ἔξωθεν οἱ ταῦτα διασκέψασθαι μάλιστα ὄντες δεινοὶ, ἡδονῆς φύσιν λέγω καὶ λύπης, θελήσαντες ποιῆσαι κολαζομένους τινὰς σφοδρῶς, οὐκ ἄλλως ἐποίησαν, ἢ τούτῳ τῷ τρόπῳ. πλάσαντες γάρ τινα μῦθον ἄγουσιν ἐν τῷ μύθῳ τινὰ, ὃν ἔδει δοῦναι δίκην ἐσχάτην, καὶ ἕτερον μὲν οὐδὲν, πολυδαισίαν δὲ παραθέντες αὐτῷ, καὶ παραῤῥέον δείξαντες ὕδωρ, οὐδενὸς ἀπολαῦσαι τούτων συνεχώρησαν, ἀλλ᾽ ὁμοῦ τε ἐξέτεινε τὴν χεῖρα ἐκεῖνος, καὶ τὰ ὁρώμενα ἅπαντα ἀφίπτατο. καὶ τοῦτο ἐγίνετο διαπαντός. καὶ οὗτος τῆς κολάσεως ὁ τρόπος ἦν κατὰ τὸν μῦθον τῶν ἔξωθεν. καὶ φιλοσόφων δέ τις ἰδών τινα τῶν αὐτῷ συνόντων καταφιλήσαντα νέον εὔμορφον, ἐθαύμασεν εἰπὼν, ὅτι καὶ εἰς πῦρ οὗτος ῥᾳδίως ἂν κυβιστήσειεν, ὁ τοσαύτην τολμήσας διὰ τοῦ φιλήματος ἀνάψαι ἐν ἑαυτῷ κάμινον. ἐγὼ δὲ τοῦτο μὲν οὐκ ἂν εἴποιμι, ὅτι τὰς συνοικούσας φιλοῦσιν ἢ ἐπαφῶνται. εἰ δέ τινες ἕτεροι ταῦτα κατηγορεῖεν, δεῖξαι πειράσομαι ὅτι, κἂν μέχρι τούτου προΐωσι, πικροτέραν πάλιν καθ᾽ ἑαυτῶν τῆς προτέρας ἐπισπῶνται τὴν βάσανον. εἰ γὰρ ὄψις μόνη τοσαύτην ἐντίθησιν ὀδύνην, ὅταν καὶ ἁφὴ προσῇ, τῆς ὄψεως πολὺ παχυτέρα ἀπόλαυσις, μείζονα αἴρει τὴν φλόγα, καὶ δριμυτέραν ἐργάζεται τὴν ἀλγηδόνα, καὶ χαλεπώτερον ποιεῖ τὸ θηρίον. ὅσον γὰρ ἂν αὔξωμεν τὰ τῆς ἐπιθυμίας, καὶ ἰσχυροτέραν αὐτῇ παρέχωμεν τὴν τροφὴν, τοσοῦτον καὶ τὰ τῆς ὀδύνης ἡμῖν ἐπιτείνεται. καὶ καθάπερ ὁ τῇ τραπέζῃ καὶ τῇ πηγῇ παρακαθήμενος, οὐχ οὕτως ὁρῶν ὀδυνᾶται, ὡς ὅταν καὶ τῇ χειρὶ θιγεῖν ἐπιτραπεὶς, ἀπογεύσασθαι κωλυθῇ πάλιν· οὕτω δὴ καὶ οἱ τῶν παρθενικῶν σωμάτων ψαῦσαι ἐπιτρεπόμενοι, χαλεπώτερον τῆς θέας ἀπὸ τῆς ἁφῆς κολάζονται, πικροτέραν ἐφελκόμενοι τὴν ἐκ τῆς ἀποτυχίας ὀδύνην. καὶ τί δεῖ ταῦτα ἀπὸ

Ξενοφ. Απομνημ. α.

τῶν

τὴν ἔξωθεν πραγμάτων φιλοσοφεῖ; ἡ γὰρ τοῦ Θεοῦ ψῆφος, ἡ τούτων ἁπάντων ἰσχυροτέρα, αὕτη δείκνυσι τοῦτο τοιοῦτον ὄν. τὸν γὰρ Ἀδὰμ κολάσαι βουλόμενος, οὐ πόρρω τοῦ παραδείσου κατῴκισεν, ἀλλ' αὐτοῦ πλησίον ἐκείνου, ἵν' ἔχῃ διηνεκῆ κόλασιν, τὴν θέαν τοῦ ποθουμένου χωρίου, θεωρῶν μὲν αὐτὸ διαπαντὸς, ἀπολαῦσαι δὲ οὐκ ἐπιτρεπόμενος. ἀλλ' ἴσως εἴποι τις ἂν, καὶ πῶς, εἰ παρὰ τοῦτο οὕτως ἐστὶ τῇ φύσει, μετὰ τοσαύτης αὐτὸ οἱ πολλοὶ διώκουσι τῆς σπουδῆς; ἐγὼ δὲ πρὸς τοῦτο ἐκεῖνο ἂν εἴποιμι, ὅτι αὐτὸ μὲν οὖν τοῦτο μέγιστον τεκμήριον τῆς ἐσχάτης αὐτῶν ἀρρωστίας ἐστί. τοῦτο γὰρ τῶν νοσούντων τὸ ἔθος, ψυχράν τινα καὶ ὀλιγοχρόνιον ἡδονὴν καρποῦσθαι, καὶ μακρὰν ἑαυτοῖς ἐντεῦθεν κατασκευάζειν κόλασιν. τοῦτο καὶ ἐπὶ τῶν πυρεττόντων ἴδοι τις ἂν, οἳ, μὴ βουλόμενοι καρτερῆσαι μικρὸν, δι' ὀλιγοχρόνιόν τινα ψυχαγωγίαν καὶ ποτῶν καὶ σιτίων κεκωλυμένων ἁπτόμενοι, μακράν τινα καὶ χαλεπωτάτην ἑαυτοῖς ἐργάζονται νόσον. δεῖ δὲ τοὺς ὑγιαίνοντας οὐκ ἀπὸ τῶν νοσούντων λαμβάνειν τὰς περὶ τῶν πραγμάτων ψήφους· ἐπεὶ εἰ τούτοις ἑψόμεθα, καὶ ἰατρικῆς καὶ φιλοσοφίας καταγνωσόμεθα. οὐδὲ γὰρ [οὐδὲ] ἐπὶ πυρετῶν, οὐδὲ ἐπὶ γυναικῶν τοῦτο πάσχουσι μόνον, ἀλλὰ καὶ ἐπὶ χρημάτων, καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων οἱ τὰ τοιαῦτα νοσοῦντες. καὶ γὰρ οἱ περὶ τὰ χρήματα μεμηνότες, εἰδότες ὅτι οἱ τὰ μικρὰ ταῦτα ἐνταῦθα προέμενοι τοῖς δεομένοις, μυρία ἐκεῖ λήψονται ἀγαθὰ, κατέχουσιν ὅμως αὐτὰ καὶ κατορύττουσι, καὶ πάντων ἐκπεσεῖν αἱροῦνται τῶν ἀγαθῶν μᾶλλον διὰ τὴν ψυχρὰν ταύτην καὶ βραχεῖαν ἡδονὴν, ἢ τῆς αἰωνίου κολάσεως ἀπαλλαγῆναι, καὶ τὴν ἀθάνατον καρπώσασθαι ζωὴν διὰ τῆς προσκαίρου τούτων ὑπεροψίας. τοῦτο δὴ καὶ οὗτοι πάσχουσι· τῆς μικρᾶς ταύτης ἐπιθυμίας τῆς διὰ τῶν ὀφθαλμῶν οὐκ ἀνεχόμενοι μικρὸν ἑαυτοὺς ἀποστῆσαι· ἀφόρητον ἑαυτοῖς συνάγουσι πῦρ, καὶ ὅσῳπερ ἂν νομίζωσιν ἥδεσθαι, τοσούτῳ μᾶλλον ἐμπλέκονται τῷ κακῷ, τοῦ διαβόλου τοῦτο τεχνασαμένου πρὸς τὴν παραμονὴν τῆς φλογὸς καὶ ἐπίδοσιν. ὅθεν καιόμενοι, καὶ ἥδονται καὶ ἀλγοῦσιν, ἄτοπόν τινα κρᾶσιν ἐν ταῖς ἑαυτῶν καταφυτεύοντες ψυχαῖς. εἰ δέ τις ἡμῶν ἀκρασίαν καταγινώσκει τούτων τῶν ῥημάτων (τὸ γὰρ γενναίους ἄνδρας, καὶ γυναιξὶ συνοικοῦντας, μηδὲν πάσχειν, δεινὸν) μακαρίζω μὲν τοὺς τοιούτους, καὶ ἐβουλόμην ἂν καὶ αὐτὸς τοσαύτην λαβεῖν ἰσχύν. καὶ αὐτὸς μὲν ἴσως πείθομαι, ὅτι δυνατὸν εἶναι τοιούτους τινάς· ἐβουλόμην δὲ καὶ τοὺς ἐγκαλοῦντας ἡμῖν δυνηθῆναι πεῖσαι τοῦτο, ὅτι νέος σφριγῶντι τῷ σώματι κόρῃ συνοικῶν παρθένῳ, καὶ συγκαθήμενος, καὶ συνδειπνῶν, καὶ συνδιαλεγόμενος δι' ἡμέρας (τῶν γὰρ ἄλλων οὐδὲν προστίθημι, τοὺς ἀκαίρους γέλωτας, καὶ τὰς διαχύσεις, καὶ τὰ μαλακὰ ῥήματα, καὶ τὰ ἄλλα, ἃ μηδὲ λέγειν ἴσως καλὸν) ἀλλ' ὅτι τὴν αὐτὴν ἔχων οἰκίαν, καὶ τραπέζης καὶ λόγων κοινωνῶν, καὶ μετὰ παρρησίας πολλῆς καὶ μεταλαμβάνων πολλῶν καὶ μεταδιδοὺς, οὐδενὶ τῶν ἀνθρωπίνων ἁλίσκεται, ἀλλὰ καθαρὸς ἐπιθυμίας τε μένει πονηρᾶς καὶ ἡδονῆς. ἐβουλόμην ταῦτα δύνασθαι πείθειν τοὺς ἐγκαλοῦντας ἡμῖν· ἀλλ' οὐκ ἐθέλουσι πείθεσθαι, ἀλλὰ καὶ ἡμῶν τῶν ταῦτα ἀπολογουμένων καταβοῶσιν, ὡς ἀναισχύντων, καὶ τὰ αὐτὰ νοσούντων αὐτοῖς, καὶ τὴν οἰκείαν περιστελλόντων κακίαν. καὶ τί ταῦτα πρὸς ἡμᾶς, φησίν; οὐδὲ γὰρ τῆς ἑτέρων ἀνοίας ἡμεῖς ὑπεύθυνοι, οὐδ', εἴ τις ἀλόγως σκανδαλίζοιτο, δοῦναι δίκην ἄξιος ἐγὼ διὰ τὴν ἄνοιαν τὴν ἐκείνου. ἀλλὰ Παῦλος οὐκ εἶπε τοῦτο· ἀλλὰ κἂν ἀδίκως σκανδαλίζηταί τις, κἂν δι' ἀσθένειαν, βοηθεῖν ἐκέλευσε. τότε γὰρ μόνον ἀπαλλαττόμεθα τῆς ἐπὶ τοῖς σκανδαλιζομένοις τιμωρίας κειμένης, ὅταν ἐκ τοῦ σκανδάλου κέρδος ἕτερον τίκτηται τῆς ἀπὸ τοῦ σκανδάλου βλάβης μεῖζον. ὡς ἂν τοῦτο μὴ ᾖ, ἀλλ' ἓν μόνον συμβαίνῃ, τὸ σκανδαλίζεσθαι ἑτέρους, ἄν τε εὐλόγως, ἄν τε ἀλόγως σκανδαλίζωνται, ἄν τε ὡς ἀσθενεῖς, τὸ αἷμα αὐτῶν ἐπὶ τὴν κεφαλὴν τὴν ἡμετέραν, καὶ ἐκ τῶν χειρῶν τῶν ἡμετέρων ὁ Θεὸς τὰς τοιαύτας ἐκζητήσει ψυχάς. διά τοι τοῦτο, ἵνα μὴ πανταχοῦ μήτε φροντίζωμεν, μήτε καταφρονῶμεν τῶν σκανδαλιζομένων, ὅρους τινὰς ἡμῖν καὶ κανόνας ἔθηκε τούτου ὁ Χριστὸς, καὶ τοῦτο, κἀκεῖνο ποιήσας μετὰ τοῦ καιροῦ

γρ. αὐτὴ

γρ. μακρᾶς

ἴσ. ἧττον

γρ. τινες

γρ. καταγινώσκοιεν

τοῦ προσήκοντος. ὅτε μὲν γὰρ περὶ τῆς τῶν ἐδεσμάτων διελέγετο φύσεως, καὶ ἐδείκνυ καθαρὰν αὐτὴν οὖσαν, καὶ τῆς Ἰουδαϊκῆς ἀπήλλαττε παρατηρήσεως, εἰσελθόντος τοῦ Πέτρου καὶ εἰπόντος, ὅτι ἐσκανδαλίσθησαν, ἄφες αὐτούς, φησί. καὶ οὐ μόνον κατεφρόνησεν αὐτῶν, ἀλλὰ καὶ κατηγόρησεν εἰπών, Πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος, ἐκριζωθήσεται. Ματθ. ιε. ιγ. οὕτω τῶν νόμων ἠκύρωσε τὸν περὶ τῶν βρωμάτων. ἐπειδὴ δὲ οἱ τὰ δίδραχμα ἀπαιτοῦντες τῷ Πέτρῳ προσελθόντες ἔλεγον· Ὁ διδάσκαλός σου οὐ τελεῖ τὸ δίδραχμον, Ματθ. ιζ. κζ. οὐκ ἔτι τὸ αὐτὸ πεποίηκεν, ὅπερ ἐπ' ἐκείνων, ἀλλὰ φροντίζει τοῦ σκανδάλου, καί φησιν· Ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς, βάλε ἄγκιστρον εἰς τὴν θάλασσαν, καὶ τὸν ἀναβάντα ἰχθὺν ἆρον, καὶ εὑρήσεις ἐν τῷ στόματι αὐτοῦ στατῆρα· τοῦτον λαβών, δὸς ἀντὶ ἐμοῦ καὶ σοῦ. ὁρᾷς καὶ φροντίζοντα, καὶ μὴ φροντίζοντα. ἐνταῦθα μὲν γὰρ οὐκ ἦν κατεπεῖγον ἐκκαλυφθῆναι τοῦ μονογενοῦς τὴν δόξαν. πῶς γάρ, ὅπου καὶ ἐπετήδευεν αὐτὴν συσκιάζειν, καὶ ἐκέλευε πολλοῖς μὴ λέγειν, ὅτι αὐτὸς εἴη ὁ Χριστός; καὶ διὰ τοῦτο ἀπὸ μὲν τοῦ καταθεῖναι τὴν δραχμὴν οὐδὲν ἦν βλάβος, ἀπὸ δὲ τοῦ μὴ καταθεῖναι μεγάλα ἐτίκτετο κακά. ὡς γὰρ τύραννον, καὶ ἀνταίροντα, καὶ τῆς πόλεως ἁπάσης ἐχθρόν, καὶ εἰς τοὺς ἐσχάτους ἐμβάλλοντα κινδύνους, οὕτως ἂν ἀπεστράφησαν. διὰ δὴ τοῦτο καὶ βουλομένους αὐτοὺς ἁρπάσαι τε αὐτόν, καὶ βασιλέα ποιῆσαι, ἀπέφυγε πόρρωθεν, ἐκ πολλοῦ τοῦ περιόντος ταύτην ἀποκρουόμενος τὴν ὑπόληψιν. ἐκεῖ δὲ ἀναγκαῖον τὸ κατορθούμενον ἦν. διὸ χρησίμως τε καὶ εὐκαίρως καὶ ἐπὶ κατορθώματι μείζονι κατεφρόνησε τοῦ σκανδάλου. καὶ γὰρ εὔκαιρον ἦν λοιπὸν τοὺς μέλλοντας ἐπὶ τὴν ἀκροτάτην ἀναβαίνειν φιλοσοφίαν μὴ κωλύειν διὰ τὴν εἰς τοὺς Ἰουδαίους φειδώ, ἀλλ' ἀφιέναι λοιπόν, τοῦ καιροῦ καλοῦντος ἐπὶ τὴν τῆς ψυχῆς καθαρότητα, καὶ μὴ κατέχειν ἐν τῇ σωματικῇ παρατηρήσει, ἀλλὰ συγχωρεῖν τῆς καθαρότητος ἀπαλλάττεσθαι ἐκείνης. οὕτω καὶ Παῦλος καὶ καταφρονεῖ τῶν σκανδαλιζομένων, καὶ οὐ καταφρονεῖ, ἀκολουθῶν τῷ διδασκάλῳ, καί φησι· Πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ α. Κορ. ι. λγ. συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσιν. εἰ δὲ Παῦλος τὸ οἰκεῖον παρορᾷ συμφέρον, ἵνα τὸ τῶν ἄλλων εὕρῃ, πόσης οὐκ ἂν εἴημεν ἄξιοι κολάσεως, μηδὲ οἰκείας ἀποστῆναι βλάβης ἀνεχόμενοι ὑπὲρ τοῦ τὸ ἑτέρων συμφέρον εὑρεῖν, ἀλλ' ἡδέως μεθ' ἑαυτῶν καὶ ἑτέρους προσαπολλύντες, παρὸν καὶ ἑτέρους καὶ ἑαυτοὺς διασῶσαι; διὰ δὴ τοῦτο, ὅταν μὲν ἴδῃ πολὺ τὸ κέρδος καὶ τῆς τοῦ σκανδάλου βλάβης μεῖζον, καταφρονεῖ τῶν σκανδαλιζομένων· ὅταν δὲ κέρδος ᾖ μηδέν, τοῦτο δὲ μόνον τὸ σκανδαλίζεσθαι ἐκβῆναι, πάντα καὶ ποιεῖν καὶ πάσχειν αἱρεῖται, ὥστε μὴ τοῦτο γενέσθαι. καὶ οὐ φιλοσοφεῖ τοιαῦτα, οἷα ὑμεῖς, οὐδὲ λέγει, διὰ τί γάρ εἰσιν ἀσθενεῖς; διὰ τί γὰρ ἀλόγως ταῦτα πάσχουσιν; ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα αὐτῶν φείδεται, ἐπειδὴ ἀλόγως τοῦτο πάσχουσιν, ἐπειδὴ ἀσθενεῖς εἰσιν. εἰπὲ γάρ μοι, ποίαν ἔχει πρόφασιν εὔλογον εἰπεῖν ὁ σκανδαλιζόμενος ἐπὶ τῷ ἐσθίοντι κρέας, καὶ οἶνον πίνοντι; τούτων γὰρ * ὁ Θεὸς τὸν νόμον ἄνωθεν ἐξέθετο. ἀλλ' ὅμως κἂν ἐπὶ τούτοις σκανδαλίζηταί τις, καὶ τούτων ὁ Παῦλος ἀπέχεται. Οὐ γὰρ μὴ φάγω κρέας, φησίν, οὐδὲ πίω οἶνον, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω. α. Κορ. η. ιγ. καὶ οὐκ εἶπε ταῦτα, ἅπερ ὑμεῖς, οὐδὲ λέγει, διὰ τί ἐγὼ μέλλω τῆς ἑτέρων ἀλογίας ὑπεύθυνος εἶναι; καὶ ἐάν τις δόξῃ σκανδαλισθῆναι ἁπλῶς, ἐγὼ [ἔσομαι] ἄξιος δίκην δοῦναι; καίτοι καὶ εἰ εἶπε, δικαιότερον ἂν ὑμῶν εἶπε πολλῷ. ὁ μὲν γὰρ ἐπ' ἐκείνοις σκανδαλιζόμενος, ἀλόγιστος σφόδρα καὶ ἀνόητος· ὁ δὲ ἐπὶ τούτοις, πολλὰς ἂν ἔχοι δικαίας καὶ εὐλόγους αἰτίας εἰπεῖν. ἀλλ' ὅμως καὶ δικαιότερα ἂν ὑμῶν εἰπὼν ὁ Παῦλος, οὐκ εἶπεν· ἀλλ' εἰς ἓν μόνον εἶδε, τοῦ πλησίον τὴν σωτηρίαν. καὶ θέα τὴν ὑπερβολήν. οὐ γὰρ εἶπεν ἅπαξ, ἢ δίς, ἢ τόσον καὶ τόσον χρόνον, ἀλλ' εἰς τὸν αἰῶνα, φησιν, οὐ μὴ φάγω, εἰ σκανδαλίζοιτο ἕτερος. καὶ ἵνα μὴ νομίσῃς μέχρι τούτων αὐτὸν ἑστάναι, καὶ ἕτερόν τι προσέθηκε τούτου πλέον. εἰπὼν γάρ, Καλὸν τὸ μὴ φαγεῖν κρέας, μηδὲ πιεῖν οἶνον, συνῆψε κἀκεῖνο, μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει, ἢ σκανδαλίζεται, ἢ ἀσθενεῖ.

Καὶ πάλιν σκόπει μοι τὴν σοφίαν τοῦ διδασκάλου. τὸν μὲν γὰρ ἀσθενοῦντα ἀφεὶς, τὸν ἰσχυρὸν διορθοῦται περὶ ἐκείνου. οὗτος γὰρ αἴτιος τοῦ ἀσθενεῖν ἐκεῖνον, ὁ κύριος ὢν διορθῶσαι τὴν ἀῤῥωστίαν, καὶ μὴ τοῦτο ποιῶν. καὶ τί λέγω περὶ τῶν ἀσθενῶν ἀδελφῶν; καὶ γὰρ Ἰουδαίοις καὶ Ἕλλησι κελεύει ταύτην παρέχειν τὴν πρόνοιαν.
α. Κορ. ι. λβ.
Ἀπρόσκοποι γὰρ, φησὶ, γίνεσθε καὶ Ἰουδαίοις, καὶ Ἕλλησι, καὶ τῇ ἐκκλησίᾳ τοῦ Χριστοῦ. ὥστε ἴσως ἂν ἰσχυρότερον εἶναι λέγῃς σαυτὸν, καὶ μηδὲν ἀπὸ τῆς ὁμοσκηνίας βλάπτεσθαι ταύτης, τοσούτῳ μᾶλλον ὑπεύθυνον σαυτὸν καθιστᾷς τοῦ διασπάσαι τὸν δεσμόν. ὅσῳ γὰρ ἂν ᾖς ἰσχυρότερος, τοσούτῳ δικαιότερος ἂν εἴης τὸν ἀσθενέστερον διαβαστάσαι. ἂν μὲν οὖν ἀσθενὴς ᾖς, διὰ σαυτὸν ἀπόστηθι· ἐὰν δὲ ἰσχυρότερος, διὰ τὸν ἀσθενοῦντα. οὐ γὰρ ἑαυτῷ μόνον, ἀλλὰ καὶ ἑτέροις ἰσχυρὸν εἶναι χρὴ τὸν ἰσχύοντα. εἰ δὲ λέγων ἰσχύειν, τὴν ἀσθένειαν τὴν ἐκείνου περιορᾷς, διπλῆν δώσεις δίκην, ὅτι τε οὐκ ἐφείσω, καὶ ὅτι πολλὴν ἔχων τοῦ φείσασθαι δύναμιν. ὑπεύθυνος γὰρ ἕκαστος ἡμῶν τῆς τοῦ πλησίον σωτηρίας ἐστί. διὰ τοῦτο οὐχὶ τὰ ἑαυτῶν σκοπεῖν, ἀλλὰ τὰ τοῦ πλησίον ἐκελεύσθημεν. τιμῆς γὰρ ἠγοράσθημεν. ὁ δὲ ἀγοράσας ἡμᾶς, τοῦτο προσέταξεν ἐπὶ τῇ κοινῇ πάντων ἡμῶν λυσιτελείᾳ. οὐδὲ γὰρ τοῦτο μόνον συμβαίνει τὸ κέρδος, ὅτι τὰ οἰκεῖα σώζομεν μέλη, ἀλλ' ὅτι καὶ ἑαυτοὺς ἐν ἀσφαλείᾳ καθιστῶμεν πλείονι. κἂν γὰρ μυριάκις φιλοσοφῇς, δι' αὐτῶν ἐλέγχῃ τῶν πραγμάτων, οὐ τὴν τυχοῦσαν δεχόμενος βλάβην ἀπὸ τῆς συνοικήσεως ταύτης. ὅταν γὰρ ἴδω σε δυσαποσπάστως ἔχοντα, καὶ μυρίων βλασφημούντων καταφρονοῦντα, καὶ πολλῶν ἐγκαλούντων οὐδὲ ἐπιστρεφόμενον, ἀλλὰ καὶ τὴν δόξαν ἑαυτοῦ καταπατοῦντα, καὶ τῷ κοινῷ τῆς ἐκκλησίας προστριβόμενον κατηγορίαν πολλὴν, καὶ τὰ τῶν ἀπίστων ἀνοίγοντα στόματα, καὶ πάντας πονηρᾷ περιβάλλοντα δόξῃ· καὶ τοσαῦτα μὲν ἀπὸ τοῦ συνοικεῖν κακὰ, ἀγαθὸν δὲ μηδὲν ὑμῖν ἐγγινόμενον· ἀπὸ δὲ τοῦ χωρισμοῦ τούτων μὲν ἁπάντων τὴν ἀναίρεσιν τῶν κακῶν, πολλῶν δὲ ἑτέρων κτῆσιν ἀγαθῶν, εἶτα οὐκ αἱρούμενον ἀποπηδῆσαι, πῶς δυνήσομαι πεῖσαι τοὺς ἐγκαλοῦντας, ὅτι πάσης ἀπήλλαξαι συμπαθείας, καὶ ἐπιθυμίας εἶ πονηρᾶς καθαρός; μᾶλλον δὲ οὐδὲν ὑπὲρ τούτων φιλονεικῶ. ἀλλ' ἔστω σε εἶναι καὶ συνοικοῦντα καθαρόν. καίτοιγε ὁ μακάριος Ἰὼβ οὐκ ἐτόλμησε τοσαύτην ἑαυτῷ μαρτυρῆσαι δύναμιν καὶ φιλοσοφίαν· ἀλλ' ὁ πᾶσαν ἐπελθὼν ἀρετὴν, καὶ πάντων ὑπερενεχθεὶς τῶν τοῦ διαβόλου δικτύων, καὶ πρῶτος καὶ μόνος τοσαύτην ἐπιδειξάμενος καρτερίαν, καὶ πάντα σίδηρον καὶ ἀδάμαντα τῇ τῆς ψυχῆς παρελθὼν ἐγκρατείᾳ, καὶ κατακόψας τοῦ διαβόλου τὴν ἰσχὺν, οὕτως ἐδεδοίκει τὴν τοιαύτην πάλην, καὶ ἐνόμιζεν ἀδύνατον εἶναι συνοικοῦντα παρθένῳ μένειν ἀσινῆ καὶ καθαρὸν, ὡς μὴ μόνον τῆς συνοικήσεως ταύτης πόῤῥω καὶ μακρὰν ἑαυτὸν καταστῆσαι, ἀλλὰ καὶ τῆς ὄψεως τῆς ἁπλῶς καὶ ἀπὸ συντυχίας γινομένης, καὶ νόμον ἔθηκε τοῖς ὀφθαλμοῖς τοῖς αὐτοῦ μηδὲ ἁπλῶς εἰς παρθένον ἰδεῖν. ᾔδει γὰρ, ᾔδει σαφῶς, ὅτι οὐ μόνον τὸν συνοικοῦντα, ἀλλὰ καὶ τὸν βλέποντα περιέργως εἰς ὄψιν παρθενικὴν δύσκολον. τάχα δὲ καὶ ἀδύνατον τὴν ἐκεῖθεν διαφυγεῖν λαβήν. εἰ δὲ μικρός σοι πρὸς ἅμιλλαν ὁ Ἰὼβ, καίτοιγε οὐδὲ τῆς κοπρίας ἐσμὲν ἄξιοι τῆς ἐκείνου, πλὴν ἀλλ' εἰ ἔλαττόν σου νομίζεις τῆς μεγαλοψυχίας εἶναι τὸ ὑπόδειγμα, ἐννόησον τὸν μεγαλοφωνότατον κήρυκα τῆς ἀληθείας Παῦλον· ὃς ἅπασαν περιδραμὼν τὴν οἰκουμένην, καὶ δυνηθεὶς εἰπεῖν ἐκεῖνα τὰ πολλῆς γέμοντα φιλοσοφίας ῥήματα,
Γαλ. β. κ.
Ὅτι οὐκ ἔτι αὐτὸς εἴη ζῶν, ἀλλ' ὁ Χριστὸς ἐν αὐτῷ,
Γαλ. ς. ιδ.
καὶ, Ὅτι ἐσταύρωται τῷ κόσμῳ, καὶ ὁ κόσμος αὐτῷ,
α. Κορ. ιε. λα.
καὶ, Ὅτι καθ' ἡμέραν ἀποθνήσκει, μετὰ τὴν τοσαύτην τοῦ πνεύματος χάριν, καὶ τὴν τοσαύτην τῶν ἄθλων ἐπίδειξιν, μετὰ τοὺς ἀφάτους κινδύνους, μετὰ τὴν ἠκριβωμένην φιλοσοφίαν δεικνὺς ἡμῖν καὶ παραδηλῶν ὅτι, ἕως ἂν ἐμπνέωμεν, καὶ τὴν σάρκα ὦμεν περικείμενοι ταύτην, παλαισμάτων ἡμῖν χρεία καὶ πόνων, καὶ οὐκ ἔστιν ἀπραγμόνως κατορθῶσαι σωφροσύνην ποτὲ, ἀλλὰ πολλῶν ἱδρώτων ἡμῖν δεῖ καὶ

καμάτων

κάμψαι πρὸς τοῦτο τὸ τρόπαιον, οὕτως ἔλεγεν· Ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. ταῦτα δὲ ἔλεγε, δηλῶν τὴν ἐπανάστασιν τῆς σαρκὸς, καὶ τὴν ἀπὸ τῆς ἐπιθυμίας λύτταν, καὶ τὸν διηνεκῆ πόλεμον, καὶ τὸν ἐναγώνιον αὐτοῦ βίον. διὰ τοῦτο καὶ ὁ Χριστὸς τοῦ πράγματος δηλῶν τὴν δυσκολίαν, οὐδὲ ἐμβλέπειν ἁπλῶς ἠφίει εἰς τὰς τῶν γυναικῶν ὄψεις, ἀλλὰ καὶ τῇ τῶν μοιχῶν κολάσει τοὺς οὕτως ὁρῶντας κολάζειν ἠπείλησε. καὶ τῷ Πέτρῳ εἰπόντι, ὅτι οὐ συμφέρει γαμῆσαι, οὐκ ἐνομοθέτησε μὴ γαμεῖν, ἀλλὰ παρὰ δηλῶν τοῦ πράγματος τὸν ὄγκον, ἔλεγεν· Ὁ δυνάμενος χωρεῖν, χωρείτω. ἀκούομεν δὲ καὶ ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας, ὅτι πολλοὶ καὶ σιδήρῳ ἅπαν τὸ σῶμα καταδήσαντες, καὶ σάκκῳ περιβαλόντες, καὶ πρὸς τὰς ὀρῶν ἀναδραμόντες κορυφὰς, καὶ νηστείᾳ συζῶντες διηνεκεῖ καὶ παννυχίσι καὶ ἀγρυπνίαις, καὶ πᾶσαν ἐπιδεικνύμενοι σκληραγωγίαν, καὶ γυναιξὶν ἁπάσαις ἀπαγορεύσαντες ἐπιβαίνειν τοῦ δωματίου καὶ τῆς καλύβης τῆς ἑαυτῶν, καὶ τῷ τρόπῳ τούτῳ παιδαγωγοῦντες ἑαυτοὺς, μόλις περιγίνονται τῆς κατὰ τὴν ἐπιθυμίαν μανίας· σὺ δὲ λέγεις, ὅτι κἂν συνοικοῦντα ἴδῃς παρθένῳ, καὶ προσδεδεμένον, καὶ τρυφῶντα, καὶ τὴν ψυχὴν προϊέμενον μᾶλλον, ἢ τὴν σύνοικον, καὶ πάντα καὶ παθεῖν καὶ ποιῆσαι αἱρούμενον, ἢ χωρισθῆναι τῆς ποθουμένης, μή πως ὑπίδῃς τι πονηρὸν, μηδὲ ἐπιθυμίας εἶναι νομίσῃς τὸ πρᾶγμα, ἀλλὰ εὐλαβείας; ἀλλ᾽ οὐ περὶ τῶν σώματα ἐχόντων, ὦ θαυμάσιε, ἀλλὰ περὶ τῶν λίθοις συνοικούντων οὕτω διακεῖσθαι χρή. καί τοιγε πολλοὶ (καὶ σὺ μὲν ἴσως ἀπιστεῖς διὰ τὴν πολλὴν σωφροσύνην) ἐγὼ δὲ ἤκουσα διηγουμένων τινῶν, ὅτι πολλοὶ καὶ πρὸς ἀγάλματα καὶ λίθους ἔπαθόν τι. εἰ δὲ ἔνθα σκληρότης καὶ ἀντιτυπία, ἡ διάπλασις μόνη τοσοῦτον ἴσχυσεν· ὅταν μετὰ τῆς διαπλάσεως καὶ σῶμα ἁπαλὸν ὑποκείμενον ᾖ, τίνα οὐκ ἐργάζεται μανίαν; πῶς δὲ οὐ δόξωσιν εἰκότα λέγειν μᾶλλον οἱ κατηγοροῦντες, ἢ ὑμεῖς οἱ ἀπολογούμενοι; τί γὰρ εἰκὸς, εἰπέ μοι, ἐπιθυμεῖν ἄνδρα γυναικὸς, ἢ μὴ ἐπιθυμεῖν; πάντως ἂν εἴπωμεν ἐπιθυμεῖν. πάλιν τῶν μυρίων ὠθουσῶν ἔξω προφάσεων εὐλόγων οὐκ ἀνεχόμενον ἐξελθεῖν, ἀλλ᾽ εἰσωθοῦντα ἑαυτὸν ἐπ᾽ οὐδενὶ μὲν κατορθώματι, μυρίοις δὲ ὀνείδεσι καὶ βλάβαις οἰκείων τε καὶ ἀλλοτρίων, τί εἰκὸς, ἐξ ἀγαθῆς τοῦτο προαιρέσεως πάσχειν, ἢ ἐκ πονηρᾶς; τάχα ἂν ἐκ πονηρᾶς εἴποι τις μᾶλλον. πλὴν ἀλλὰ μηδὲν ὑπὲρ τούτων* ἀκριβολογώμεθα· ἀλλὰ κείσθω μήτε κατὰ λόγον σκανδαλίζεσθαι τοὺς σκανδαλιζομένους, μήτε δικαίως, ἀλλ᾽ εἰκῇ καὶ μάτην. τίνος ἕνεκεν συνοικεῖς, εἰπέ μοι, τῇ παρθένῳ; δι᾽ οὐδὲν γὰρ ἡ συνοίκησις αὕτη νενομοθέτηται), ἢ δι᾽ ἔρωτα καὶ πόθον. ἐπεὶ περίελε τοῦτον, καὶ ἀνῄρηται ἡ τοῦ πράγματος χρεία. τίς γὰρ ἂν ἕλοιτο ἀνὴρ ὢν, ταύτης χωρὶς τῆς ἀνάγκης, γυναικείας ἀνέχεσθαι, τρυφῆς καὶ ὕβρεως καὶ τῶν ἄλλων τῶν τοῦ γένους ἐλαττωμάτων ἐκείνου; διὰ τοῦτο καὶ ὁ Θεὸς ἐξ ἀρχῆς τὴν γυναῖκα ταύτῃ καθώπλισε τῇ ἰσχύϊ, εἰδὼς ὅτι σφόδρα εὐκαταφρόνητος ἔσται, μὴ ταύτην ἐπαγομένη τὴν ἀρχὴν, καὶ ὅτι οὐδεὶς ἂν ἕλοιτο αὐτῇ συνοικῆσαι, καθαρεύων ἐπιθυμίας. εἰ γὰρ καὶ τοσαύτης ἐπικειμένης ἀνάγκης νῦν καὶ πολλῆς ἑτέρας χρείας (καὶ γὰρ καὶ παιδοποιοῦσι καὶ οἰκουροῦσι καὶ ἕτερα διακονοῦνται πολλὰ πλείονα τούτων) εἰ δὲ τοιαῦται νῦν καὶ τοσαῦτα λειτουργοῦσαι τοῖς ἀνδράσιν, εὐκαταφρόνητοι πολλάκις ἐγένοντο, καὶ τῆς οἰκίας ἐξεβλήθησαν, πῶς ἂν ἐπιθυμίας χωρὶς ἦσαν ὑμῖν ποθειναὶ, καὶ ταῦτα τοσούτοις ὑμᾶς ὀνείδεσι περιβάλλουσαι; ἢ λέγετε τοίνυν τὴν αἰτίαν τῆς συνοικήσεως, ἢ οὐδεμίαν ὑποπτεύειν ἑτέραν ἀνάγκην, ἀλλ᾽ ἢ πονηρὰν ἐπιθυμίαν καὶ ἡδονὴν ἐπονείδιστον.

α' Κορ. θ. κζ.

Ματθ. ιθ. ιβ.

Τί οὖν; ἂν δυνηθῶμεν, φησιν, αἰτίαν εὔλογον καὶ δικαίαν εἰπεῖν, ἔσῃ μάτην ταῦτα περὶ ἡμῶν εἰρηκώς. μάλιστα μὲν οὐδεμίαν* ἐρεῖτε τοιαύτην· πλὴν ἀλλὰ καὶ οὕτως ἐβουλόμην μαθεῖν, εἴ τινα σκιὰν γοῦν ἔχετε εὐλόγου προφάσεως εἰπεῖν. ἀπροστάτευτός, φησιν, ἐστιν ἡ παρθένος, οὐκ ἄνδρα ἔχουσα, οὐ κηδεστὴν, πολλάκις δὲ οὐδὲ πατέρα, οὐκ ἀδελφόν· καὶ δεῖται τοῦ χεῖρα ὀρέξοντος, καὶ τὴν ἐρημίαν παραμυθησομένου, καὶ πανταχοῦ προβεβλημένου καὶ κατασπῶντος αὐτὴν ἐν ἀσφαλείᾳ πολλῇ καὶ λιμένι. ποίᾳ ἀσφαλείᾳ; ποίῳ λιμένι; τὸν γὰρ πρόβολον οὐκ εἴργοντα ὅρῳ τὰ κύματα, ἀλλ' ἐπεγείροντα· καὶ τὸν λιμένα οὐκ ἀναστέλλοντα τὸν χειμῶνα, ἀλλὰ καὶ τὰς οὐκ οὔσας τίκτοντα τρικυμίας. Εἶτα οὐκ αἰσχύνεσθε, οὐκ ἐγκαλύπτεσθε τοιαῦτα ἀπολογούμενοι; Εἰ γὰρ μηδεμία ἐκ ταύτης τῆς διακονίας ἐτίκτετο ″κατηγορία, μηδὲ βλάβη, μηδὲ σκάνδαλον, ἀλλὰ μετ' εὐφημίας ἐξῆν αὐτὸ τοῦτο ποιεῖν, τίνος οὐκ ἂν ἦτε ἐλεεινότεροι τὸν πλοῦτον αὐτῆς αὔξοντες, καὶ πρὸς φιλοχρηματίαν γυμνάζοντες, καὶ εἰς πράγματα ἐμβάλλοντες, καὶ πρὸς κοσμικὰς παιδοτριβοῦντες φροντίδας, οἰκονόμων τάξιν καὶ ἐπιτρόπων καὶ ἀγοραίων τινῶν ἀνταλλαττόμενοι; σφόδρα γε. οὐ γὰρ δυνήσεσθε περὶ ἀκτημοσύνης διαλεχθῆναι, καὶ πεῖσαι τῶν ὄντων καταφρονεῖν οἱ πάντα ποιοῦντες, ὅπως μένοι καὶ αὔξοιτο τὰ ὄντα, καὶ πόροι πόροις ἐπιγίγνοιντο, κάπηλοί τινες καὶ παλιγκάπηλοι δι' ἐκείνας γινόμενοι, ἄχρηστοί γε. οὐ γὰρ καὶ γυναῖκες ὑμῖν αἱ ἐλπίδες, οἱ τὸν σταυρὸν κελευσθέντες βαστάζειν, καὶ ἕπεσθαι τῷ Χριστῷ, ῥίψαντες τὸν σταυρὸν, καθάπερ στρατιῶται μαλακοὶ τὴν ἀσπίδα, ἠλακάτῃ παρακάθησθε καὶ καλαθίσκῳ, δι' ἑτέρας αἰσχροτέρας ″μεθόδου τὴν εἰς τὸν παρόντα βίον ἀνοίξαντες θύραν. οὐ γὰρ οὕτως αἰσχρὸν τὸ γεγαμηκότας ταῦτα οἰκονομεῖν, ὡς τὸ προσποιουμένους ὑμᾶς ἀποπεπηδηκέναι μὲν τῶν παρόντων, δι' ἑτέρου δὲ προσώπου πάλιν αὐτὰ ὑποδυομένους. διὰ τοῦτο λαιμάργων καὶ παρασίτων καὶ κολάκων καὶ γυναικοδούλων πανταχοῦ δόξαν λαμβάνομεν, ὅτι χαμαὶ τὴν εὐγένειαν πᾶσαν ῥίψαντες τὴν ἄνωθεν δοθεῖσαν ἡμῖν, ἀντικαταλλαττόμεθα τὴν ἀπὸ τῆς γῆς δουλοπρέπειάν τε καὶ εὐτέλειαν. καὶ χήραις μὲν διανεῖμαι χρήματα οὐκ εἵλοντο οἱ γενναῖοι τότε ἄνδρες ἐκεῖνοι, καὶ ταῦτα τοσαύτης βλασφημίας γινομένης διὰ τὸ μηδένα εἶναι τὸν οἰκονομοῦντα, ἀλλ' ἔλαττον τῆς αὐτῶν φιλοσοφίας εἶναι τοῦτο νομίσαντες ἑτέροις ἐπέτρεψαν· ἡμεῖς δὲ οὐκ αἰδούμεθα πλοῦτον ἀλλότριον αὔξοντες ἐπὶ λύμῃ τῶν κεκτημένων, τῶν εὐνούχων τῶν περὶ τὰ τοιαῦτα ἐσχολακότων οὐδὲν ἄμεινον διακείμενοι, οἳ καθ' ἑκάστην ἡμέραν τὸ αἷμα καὶ τὰς ψυχὰς ἐπὶ τῶν χειρῶν προστατόμενοι φέρειν ἀντὶ μεγάλων ὅπλων. τί οὖν; ἁρπαζόμενα πάντα τὰ τῆς παρθένου χρὴ περιιδεῖν, ἀγόμενά τε καὶ περιφερόμενα ὑπὸ συγγενῶν, ὑπὸ οἰκετῶν ἀλλοτρίων, ἢ καὶ ″οἰκείων; καλήν γε (οὐ γάρ;) ἀποδώσομεν τῇ παρθένῳ τὴν ἀμοιβὴν, ἀνθ' ὧν οὐκ ἔγημεν, οὐδὲ τὸν παρόντα κόσμον ἠγάπησεν, ἀλλ' ἀντὶ πάντων εἵλετο τὸν Χριστὸν, ἀφέντες αὐτὴν προεκδοῦναι τοῖς βουλομένοις τῶν ὄντων ἀποστερεῖν; καὶ πόσῳ βέλτιον ἦν ὁμιλῆσαι γάμῳ, καὶ τῷ συνοικοῦντι πρὸς τὴν τῶν πραγμάτων τούτων οἰκονομίαν κεχρῆσθαι, ἢ μένουσαν ἄγαμον πατῆσαι μὲν τὰς πρὸς τὸν Θεὸν συνθήκας, ὑβρίσαι δὲ εἰς πρᾶγμα οὕτω σεμνὸν καὶ φρικῶδες, καθελκῦσαι δὲ καὶ ἑτέρους πρὸς τὰ ναυάγια τῶν οἰκείων κακῶν; πῶς δὲ αὐτὴν ἀντὶ πάντων ἑλέσθαι λέγεις τὸν Χριστὸν, τοῦ Χριστοῦ βοῶντος καὶ λέγοντος, Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ; πῶς δὲ τὸν κόσμον μισῆσαι καὶ τὰ παρόντα, πρός γε τοῦ κόσμου πείθων ἐπτοῆσθαι ἐπιθυμίας; τίνι δέ ποτε τῶν ἄνδρα ἐχουσῶν δυνήσῃ παραινέσαι χρημάτων παριδεῖν, τῇ παρθένῳ συγκατασκευάζων τὸν πλοῦτον; αὐτὴν δὲ ταύτην πότε ἀφήσεις εὐπρόσεδρον εἶναι τῷ Κυρίῳ καὶ ἀπερίσπαστον, πάντα τὸν βίον καὶ τὴν σπουδὴν εἰς τὰ ἐκείνης ἀναλίσκων πράγματα; πότε δὲ δυνήσεται ἡ παρθένος φιλοσοφῆσαι, σὲ τὸν ἄνδρα ὁρῶσα δεινὸν ἡγούμενον εἶναι, εἰ τὰ ἐκείνης διασπασθείη χρήματα; πῶς δὲ ″ἀνέξεται ζημίας ὑπερορᾶν, πάντα σε καὶ ποιοῦντα καὶ πάσχοντα βλέπουσα, ὥστε ἐπιτείνειν αὐτῇ τὸν παρόντα πλοῦτον; οὐχ οὕτως ἡμᾶς ἀπηλλάχθαι βούλεται πραγμάτων ὁ Θεός· ἀλλ' ἐν τῷ τῶν ὄντων καταφρονεῖν, ″τῷ πάντων ἀπηρτίσθαι τῶν βιωτικῶν. ἀλλ' οὐκ ἐᾶτε ὑμεῖς, οὐδὲ συγχωρεῖτε τοῦ Θεοῦ τὸν νόμον ἰσχύειν. τί οὖν, ἂν τῆς ἑτέρων ″δέηται προστασίας, φησὶ, καὶ πολλὰ ἀνάξια ὑπομένῃ; νῦν γὰρ οὐκ ἀνάξια ταῦτα τῆς παρθένου; οὐδὲν

Ματθ. ς. κδ.

χ. κατηγορί

χ. εἰσόδου

χ. ἰδίων

χ. ὑπέστη

χ. τῷ πά
ἀπηρτίσθα
τὰ βιωτικ

χ. δεῖται

οὐδὲν οὕτως ἀνάξιον τῆς παρθένου, ὡς τὸ πλουτεῖν καὶ περιβεβλῆσθαι πραγμάτων πλῆθος. τί δέ, εἰ καὶ ἑτέρα πρὸς τοῦτον κελεύοι, οἷον δανείζειν χρυσίον, εἶτα καλέσασα ἡμᾶς εἰς τὰ συναλλάγματα μὴ πείθοι, καὶ μὴ πείσασα ἑτέρους λάβοι, ἡμεῖς ἐσόμεθα αἴτιοι; τί δέ; εἰ καπηλείας ἄλλας τινὰς ἀνελευθέρους καὶ ἀπρεπεῖς κατασκευάζοι, εἶτα μὴ βουλομένων ἡμῶν συμπράττειν, ἄλλων ζητεῖν τινῶν, ἐγκαλεῖσθαι ἂν εἴημεν ἄξιοι; οὐδαμῶς· ἀλλὰ καὶ ἐπαινεῖσθαι. τοὐναντίον γὰρ ἐκεῖνο ψόγου καὶ κατηγορίας, τὸ πρὸς τὰ τοιαῦτα συμβάλλεσθαι καὶ συμπράττειν αὐταῖς. βούλει μὴ φέρεσθαι, μηδὲ ἀγνοεῖσθαι τὰ χρήματα ἐκείνης; παραίνεσον αὐτῇ καταθεῖναι αὐτά, ἔνθα μηδὲ ἀνδρὸς δεῖσθαι πρὸς φυλακήν, καὶ ἀνάλωτα μένει διαπαντός. εἰ δὲ βούλοιτο πράγματα ἔχειν, τίνος ἕνεκεν παίζει ἐν οὐ παικτοῖς; τὸ γὰρ παρθένον οὖσαν τοιαῦτα πράττειν, παίζειν ἐστὶ παιδιάν, οὐχὶ τέρψιν, ἀλλὰ θάνατον ἔχουσαν. ὅταν γὰρ ὑπεύθυνον ἑαυτὴν καταστήσασα τῶν τοιούτων παλαισμάτων, ἀνάξια πάντα πράττῃ τῆς τοιαύτης ὑποσχέσεως, μείζων ἡ κόλασις, χαλεπωτέρα ἡ τιμωρία. οὐκ ἤκουσας οἷον αὐτῇ νόμον ἔθηκεν ὁ Παῦλος, μᾶλλον δὲ ὁ Χριστὸς εἰπὼν δι᾽ ἐκείνου· Ὅτι μεμέρισται ἡ γυνὴ καὶ ἡ παρθένος, καὶ ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι; ἀλλ᾽ ὑμεῖς οὐκ ἐᾶτε, πρὸς τὰς ἐπιθυμίας αὐτῶν πάσας ἀνδραπόδων ἀργυρωνήτων εὐκολώτερον ὑπακούοντες. ναί, φησι. τί οὖν ἂν ἐσχάτῃ πενίᾳ παλαίῃ; πρὸς μὲν γὰρ τὰς εὐπόρους ταῦτα καλῶς εἴρηταί σοι· τὰς δὲ ἐν πτωχείᾳ καὶ ἀμελείᾳ πολλῇ κειμένας ποῖον ἔγκλημα ἀνορθοῦν; εἴθε μὲν οὖν μὴ κατεβάλλετε, μηδὲ ὠθεῖτε πρὸς τὰ τῆς ἀπωλείας τὰ βάραθρα, καὶ ἀγαπητὸν ἦν. καὶ γὰρ εἰ τῷ κελεύσαντι πενήτων προΐστασθαι πειθόμενος ταῦτα ποιεῖς, ἔχεις ἀδελφοὺς μυρίους· ἐκεῖ τὴν καλὴν ταύτην ἐργασίαν ἐπίδειξον, ἔνθα μηδὲν ὑφορμεῖ τῶν σκανδαλίσαι δυναμένων. ὡς ἐνταῦθά γε πάσης καὶ ὠμότητος καὶ ἀπανθρωπίας χείρων ἡ ἐλεημοσύνη. τί γὰρ ὄφελος, ὅταν τὸ μὲν σῶμα διατρέφῃς, τὴν δὲ ψυχὴν καταδύσῃς; ὅταν ἱμάτιον δῷς, τὴν δὲ ὑπόληψιν τῶν γυμνῶν αἰσχροτέραν καταστήσῃς; ὅταν χρήσιμος ἐν τοῖς σωματικοῖς γινόμενος, πάντα λυμαίνῃ τὰ πνευματικά; ὅταν ἐξευμαρίσας αὐτῇ τὰ ἐπὶ τῆς γῆς, ἐκβάλλῃς τῶν οὐρανῶν; ποία δὲ ἐλεημοσύνη, ὅταν ἡ τοῦ Θεοῦ ὑβρίζηται δόξα; ὅταν ὀνείδη ᾖ καὶ αἰσχύνη καὶ σκώμματα καὶ λοιδορίαι καὶ τῆς ἐλεουμένης αὐτῆς, καὶ ἑτέρων πολλῶν τῶν δι᾽ ἐκείνης σκανδαλιζομένων; οὐκ ἀπὸ ἐλέου, ἀλλ᾽ ἀπανθρώπου ταῦτα γίνεται ψυχῆς καὶ ἀπηνοῦς. εἰ γὰρ ἐξ ἐλέους καὶ φιλανθρωπίας ἐγίνετο, πρὸς τοὺς ἄνδρας ταῦτα ἐπιδείκνυσθαι ἐχρῆν.

α Κορ. ζ. λγ.

Ἀλλ᾽ αἱ γυναῖκες πλείονος δέονται προστασίας, φησίν, οἱ δὲ ἄνδρες πολλὰς ἔχουσιν ἀπὸ τῆς φύσεως ἀφορμάς. καίτοι καὶ ἐν ἀνδράσιν εἰσὶ πολλοὶ γυναικῶν ἀσθενέστερον διακείμενοι καὶ διὰ γῆρας μακρόν, καὶ δι᾽ ἀρρωστίαν, καὶ διὰ πήρωσιν σώματος, καὶ διὰ νόσους χαλεπάς, καὶ δι᾽ ἑτέρας τινὰς τοιαύτας προφάσεις. πλὴν ἀλλ᾽ ἐπειδὴ μάλιστα τοῦ τῶν γυναικῶν κήδεσθε γένους, ἅτε ἀσθενεστέρου ὄντος, καὶ σφόδρα ἐλεήμονες καὶ συμπαθεῖς ἐστε πρὸς ἐκείνας, οὐδὲ ἐνταῦθα ταύτης ἀπορήσομεν τῆς προφάσεως, ἀλλὰ δείξομεν ὑποθέσεις ὑμῖν, αἳ καὶ κατηγορίας εἰσὶν ἀπηλλαγμέναι πάσης, καὶ πλείονα παρέξουσιν ὑμῖν τὸν μισθόν. εἰσὶ γὰρ γυναῖκες, αἱ μὲν ὑπὸ γήρως παραλελυμέναι, αἱ δὲ τὰς χεῖρας ἐκκεκομμέναι, αἱ δὲ τοὺς ὀφθαλμοὺς πεπηρωμέναι, αἱ δὲ ἄλλα πάθη ποικίλα καὶ παντοδαπὰ ἔχουσαι, καὶ τὴν τῶν παθῶν χαλεπωτέραν πενίαν. ἥ τε γὰρ πενία καὶ τὸ μηδὲν ὅλως ἔχειν ἐπιτείνει τοῦ σώματος αὐταῖς τὰ νοσήματα, αὐτή τε πάλιν ἡ πενία ὑπὸ τούτων χαλεπωτέρα γίνεται καὶ ἀφορητοτέρα. ἐπὶ τὴν τούτων ἔξελθε θήραν, καὶ ταύτας συνάγαγε. μᾶλλον δὲ οὐδὲ πόνου σοι δεῖ πρὸς τὴν συλλογήν· οὕτω πρόκεινται πᾶσιν ἕτοιμοι τοῖς βουλομένοις ὀρέξαι χεῖρα. κἂν χρήματα σχῇς, εἰς ταύτας δαπάνησον· κἂν ἰσχυρὸς ᾖς, ἐν ταύταις τὴν ἀπὸ τοῦ σώματος ὑπηρεσίαν εἰσένεγκε. πολλὰ καὶ ἐνταῦθα πράγματα ὄντα καὶ σωματικῆς δεόμενα ὑπηρε-

σίας, καὶ χρημάτων δαπάνης, καὶ περιδρομῆς. καὶ γὰρ οἰκήματα ποιῆσαι ταύταις ἔργον, καὶ φάρμακα κατασκευάσαι, καὶ κλίνην καὶ ἱμάτια πρίασθαι καὶ τροφὰς ἐπιτηδείας, καὶ τὰ ἄλλα ἅπαντα ''ἐπιμελήσασθαι, κἂν δέκα ὦσι μόναι αἱ τὰ τοιαῦτα νοσοῦσαι. νυνὶ δὲ ἡ πόλις ἡμῶν τούτων ἐμπέπλησαι, καὶ χιλίας καὶ δὶς τοσαύτας εὑρήσεις. αὗται * αἱ δεόμεναι προστασίας, αὗται αἱ ἔρημοι, αὗται αἱ χαμαὶ κείμεναι. τοῦτο ἐλεημοσύνη, τοῦτο φιλανθρωπία, τοῦτο εἰς δόξαν ''ἀναβαίνει Θεοῦ, καὶ τὴν τῶν ὁρώντων, καὶ τὴν τῶν πασχόντων, καὶ τὴν τῶν ποιούντων ὠφέλειαν κατασκευάζει. καὶ γὰρ τῶν ἰσχυρῶν αἱ ἀσθενέστεραι δικαιότερον ἂν βοηθοῖντο, καὶ τῶν νέων αἱ γεγηρακυῖαι, καὶ τῶν ὅλως εὐτελεία κεκλημένων αἱ ''μηδὲ τῆς ἀναγκαίας εὐποροῦσαι τροφῆς, καὶ τῶν παρὰ πολλοῖς ἐπεράστων αἱ βδελυκταὶ παρὰ πολλοῖς διὰ τὸ τῶν παθῶν δυσάγωγον, καὶ τῶν ὕβριν περιτριβομένων αἱ καὶ τὴν ''γινομένην ἀποτρέψαι δυνάμεναι καὶ εὐφημίαν προσθεῖναι. δεῖξον τοίνυν ὅτι διὰ τὸν Θεὸν ''τοῦτο ποιεῖς, καὶ τούτων ἐπιμελοῦ. ἂν δὲ ταύτας μὲν μηδὲ ὄναρ ἰδεῖν ἐθέλῃς, εὐπροσώπους δὲ καὶ νέας περιίῃς ἀγρεύων, καὶ τῆς ἀνελευθέρου ταύτης ἄγρας αἰτίαν μὲν ἑτέραν ἔχων οὐκ ἀνεκτὴν, προβαλλόμενος δὲ ἑτέραν δοκοῦσαν εἶναι εὐπρόσωπον, τὴν τῆς προστασίας, κἂν ἀνθρώπους παραλογίσῃ, ἀλλὰ τὸ ἀδέκαστον οὐκ ἀπατήσεις δικαστήριον, δι' ἑτέραν μὲν ταῦτα ποιῶν πρόφασιν, ἄλλην δὲ προβαλλόμενος. λέγετε μὲν γὰρ διὰ τὸν Θεὸν ἅπαντα πράττειν· πράττετε δὲ, ἃ τῶν ἐχθρῶν ἐστι τοῦ Θεοῦ. τὸ γὰρ ποιεῖν τὸ ὄνομα αὐτοῦ βλασφημεῖσθαι καὶ διαβάλλεσθαι, τῶν * ἐχθρῶν ἐστι τοῦ Θεοῦ. ἐγὼ δὲ καὶ ἑτέραν ὑπερβολὴν ποιοῦμαι. θῶμεν γὰρ ἀληθεύειν τὸν ταῦτα λέγοντα, καὶ ἐπιθυμίας καθαρεύειν ἁπάσης, καὶ ἐξ ἑτέρου μὲν οὐδενὸς, ἀπὸ δὲ εὐλαβείας μόνης ταύτην ἀναδέχεσθαι τὴν προστασίαν. οὐδὲ γὰρ οὕτω κολάσεως αὐτὸν ἀπηλλαγμένον εὑρήσομεν. εἰ μὲν γὰρ ἠπόρει προφάσεων ἑτέρων, ἐν αἷς καὶ τὴν εὐλάβειαν ἐπιδείξασθαι ἔδει, καὶ χωρὶς τῶν σκανδαλιζομένων ψυχῶν τοῦτο ποιῆσαι, μάλιστα μὲν οὐδὲ οὕτω πραγματεύεσθαι ἔδει, ἔνθα μείζων ἡ ζημία τοῦ κέρδους. ποῦ γὰρ ἴσον, εἰπέ μοι, παρθένου μιᾶς ἢ δυεῖν προϊστάμενον σωματικῶν ἕνεκεν πραγμάτων, ἄπειρα πλήθη σκανδαλίσαι κατὰ ψυχήν; πλὴν ἀλλ' οὐχ οὕτως ἡ κατηγορία χαλεπή. ὅταν δὲ μυρίας εὕρῃς ὁδοὺς καὶ κατηγορίας ἀπηλλαγμένας, καὶ σκανδάλων ἐλευθέρας, καὶ μείζονα ἐχούσας τὴν ''εὐπορίαν, τίνος ἕνεκεν σαυτῷ πλέκεις πράγματα εἰκῇ καὶ μάτην, καὶ τὸ κέρδος ὑπορύττεις, καὶ ἐπισφαλῶς οἰκοδομεῖς καὶ ἐπονειδίστως, παρὸν μετὰ ἀσφαλείας καὶ δόξης πολλῆς; οὐκ οἶσθα, ὅτι λαμπρὸν ἀποστίλβειν χρὴ πανταχοῦ τοῦ χριστιανοῦ τὸν βίον, καὶ ὅτι τὴν δόξαν τις τὴν ἑαυτοῦ καταισχύνας, πανταχοῦ λοιπὸν ἄχρηστος ἔσται, καὶ οὐδὲν μέγα κερδᾶναι δυνήσεται, ''κἂν μεγάλα τύχοι κατορθῶν; ἂν γὰρ τὸ ἅλας μωρανθῇ, φησιν, ἐν τίνι ''ἁλισθήσεται λοιπόν; ἅλας γὰρ ἡμᾶς εἶναι βούλεται καὶ φῶς καὶ ζύμην ὁ Θεός, ὡς καὶ ἑτέρους δύνασθαι τῆς ἐξ ἡμῶν μεταλαμβάνειν ὠφελείας. εἰ γὰρ ἀλήπτως ζῶντες ἄνθρωποι μόλις τοὺς ἠμελημένους ἐπιστρέψαι δύναιντ' ἂν, εἰ καὶ λαβὴν δοίημεν αὐτοῖς, πῶς οὐ πάντοθεν ὑπεύθυνοι τῆς ἀπωλείας ἐσόμεθα τῆς ἐκείνων; ὥσπερ γὰρ οὐκ ἔνι βίον ἔχοντα διεφθαρμένον σωθῆναί ποτε, οὕτως οὔτε δόξαν ἑαυτῷ περιθέντα πονηρὰν δυνατὸν διαφυγεῖν τὴν κόλασιν. ἀλλ' εἰ δεῖ καὶ θαυμαστόν εἰπεῖν τι, κἂν μεγάλα τις ἁμάρτῃ, λαθὼν δὲ ἐργάσηται τοῦτο, καὶ μηδένα σκανδαλίσῃ, ἐλάττονα δίδωσι δίκην τοῦ καταδεέστερα μὲν ἡμαρτηκότος, μετὰ παρρησίας δὲ καὶ τοὺς πολλοὺς σκανδαλίσαι.

Ματθ. ε. ιγ.

γ. ἐπιμελήσασθ

* δὲ

γ. διαβαίνει

γ. μήτε

γ. γινομένην

γ. ταῦτα

* ἔργον

γ. ἐμπορίαν

γ. κἂν εἰ μεγάλα κατορθῶν φαίνοιτο

γ. ἰσχύσει

Καὶ ἵνα μὴ θαυμάσῃς τὸ λεχθὲν, μηδὲ ὑπερβολὴν καταγνῷς τοῦ λόγου, τὴν ψῆφόν σοι ταύτην οἴσομεν ἐκ τοῦ οὐρανοῦ, καὶ τὸν νόμον τοῦτον ἐκεῖθεν ἀναγνωσόμεθα. τὸν γὰρ μακάριον Μωϋσέα, καὶ πάντων ἀνθρώπων πρᾳότατον τῶν ἐπὶ τῆς γῆς, καὶ τῷ Θεῷ φίλον, καὶ προφητῶν μείζονα (τοῖς μὲν γὰρ ἄλλοις δι' αἰνιγμάτων διελέχθη· τούτῳ δὲ ὡσανεὶ φίλος πρὸς φίλον) τοῦτον τοίνυν, τὸν τοιοῦτον, τὸν μυρία κατὰ τὴν ἔρημον ταλαιπωρηθέντα ἐν ἔτεσι τοσούτοις,

Ὧ περὶ τὴν ἐσχάτην κινδυνεύσαντα πολλάκις παρά τε Αἰγυπτίοις ὑπὲρ Ἰουδαίων, παρά τε Ἰουδαίοις ὑπὲρ αὐτῶν πάλιν τῶν ἀγνωμόνων ἐκείνων, οὐδὲν ἕτερον ἐκώλυσε μετὰ τὰς πολλὰς ταλαιπωρίας ἐκείνας καὶ τὰ μυρία κατορθώματα τῆς ἐπαγγελίας τυχεῖν, ἢ τὸ σκανδαλίσαι τοὺς στασιάζοντας αὐτῷ ἐπὶ τοῦ ὕδατος. καὶ τοῦτο αἰτιώμενος ὁ Θεὸς ἔλεγεν· Ὅτι οὐκ ἐπι- Ἀριθμ. κ. ιβ.
στεύσατέ μοι ἁγιάσαι με ἐνώπιον τῶν υἱῶν Ἰσραήλ, διὰ τοῦτο οὐκ εἰσάξετε τὴν συναγωγὴν ταύτην εἰς τὴν γῆν, ἣν ἔδωκα αὐτοῖς. καί τοι καὶ πρὸ τούτου τινὰ παρήκουσε. καὶ γὰρ ἀντεῖπε τῷ Θεῷ καὶ ἅπαξ καὶ δὶς πεμπόμενος εἰς Αἴγυπτον, καὶ μετὰ ταῦτα ἐπὶ τῆς ἐ-
ρήμου διηπίστησε λέγων, Ἑξακόσιαι χιλιάδες εἰσὶ πεζῶν· καὶ σὺ εἶπας, κρέα δώσω αὐτοῖς, καὶ Ἀριθ. ια. κβ.
φάγονται μῆνα ἡμερῶν; μὴ πρόβατα καὶ βόες σφαγήσονται; ἢ πᾶν τὸ ὄψον τῆς θαλάσσης συναχθήσεται, καὶ ἀρκέσει αὐτοῖς; καὶ μετὰ ταῦτα δὲ πάλιν ἀποδυσπετήσας, καὶ τοῦ δήμου τὴν προστασίαν παρῃτήσατο. ἀλλ' ὅμως οὐδὲν τούτων ἴσχυσεν αὐτὸν ἀποστερῆσαι τῶν ἄθλων τῶν προκειμένων, ἀλλ' ἢ τὸ ἐπὶ τοῦ ὕδατος συμβὰν μόνον. τῇ μὲν γὰρ φύσει ἐκείνων ἔλαττον ἦν· τῷ δὲ μετὰ τῆς ἑτέρων γενέσθαι βλάβης, πολλῷ μεῖζον ἐγίνετο. ἐκεῖνα μὲν γὰρ ἰδίᾳ καὶ λανθανόντως συνέβη· τοῦτο δὲ φανερῶς καὶ ἐπὶ τοῦ δήμου παντὸς ἡμαρτάνετο. διὰ τοῦτο καὶ ἐγκαλῶν ὁ Θεὸς τοῦτο ἠνίξατο εἰπών, ὅτι οὐχ ἡγιάσατέ με ἐναντίον τῶν υἱῶν Ἰσραήλ, τῆς ἁμαρτίας τὴν φύσιν ἐκκαλύπτων αὐτῷ, καὶ ὅθεν γέγονεν ἀσύγγνωστος παραδηλῶν. εἰ δὲ τηλικοῦτον ἄνδρα τοῦτο προσκροῦσαι ἐποίησεν, ἡμᾶς τοὺς σκώληκας καὶ μηδαμινοὺς πῶς οὐ καταδύσει τοῦτο καὶ ἀπολεῖ; οὐδὲν γὰρ οὕτω παροξυνεῖ τὸν Θεόν, ὡς ὅταν τὸ ὄνομα αὐτοῦ βλασ-
φημῆται. καὶ τοῖς Ἰουδαίοις τοῦτο ἄνω καὶ κάτω διετέλεσεν ἐγκαλῶν, Ὅτι τὸ ὄνομά μου βεβηλοῦ- Ἡσ. μη. ια.
τε· καὶ πάλιν, Ὑμεῖς δὲ βεβηλοῦτε αὐτό· καὶ, Δι' ὑμᾶς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθ- Ἡσ. νβ. ε.
νεσι. καὶ τοσαύτη αὐτῷ τοῦ μὴ συμβαίνειν τοῦτο γέγονε πρόνοια, ὡς καὶ ἀναξίους σῶσαι πολλά- Ἰεζεκ. λϛ. κβ.
κις, ἵνα μὴ τοῦτο γένηται. Ἐποίησα γάρ, φησιν, ἵνα μὴ τὸ ὄνομά μου βεβηλωθῇ· καὶ, Οὐ δι' ὑ- Ἰεζεκ. κ. θ.
μᾶς ἐγὼ ποιῶ, οἶκος Ἰσραήλ, ἀλλ' ἵνα μὴ τὸ ὄνομά μου βλασφημηθῇ. καὶ ὁ Παῦλος δὲ ἀνάθεμα ηὔξατο ὑπὲρ τῆς τοῦ Θεοῦ δόξης. καὶ αὐτὸς ὁ Μωϋσῆς ἐξαλειφθῆναι τῆς βίβλου παρεκάλεσεν ὑπὲρ τῆς δόξης τοῦ ὀνόματος τοῦ Θεοῦ. ὑμεῖς δὲ οὐ μόνον οὐδὲν αἱρεῖσθε παθεῖν, ὥστε ταύτην ἀποκρούσασθαι τὴν βλασφημίαν, ἀλλὰ πάντα πράττετε, δι' ὧν αὔξετε αὐτὴν καὶ ἐπιτείνετε καθ' ἑκάστην ἡμέραν. τίς οὖν ὑμᾶς παραιτήσεται; τίς δὲ συγγνώσεται; οὐκ ἔστιν οὐδείς. τοσαύτην δὲ πρόνοιαν καὶ ὁ Θεὸς ποιεῖται, καὶ οἱ ἅγιοι τοῦ μὴ βλασφημεῖσθαι τὸ ὄνομα αὐτοῦ, οὐχ ὡς τοῦ Θεοῦ δεομένου τῆς δόξης τῆς παρ' ἡμῶν (ἀνενδεὴς γάρ ἐστι καὶ τέλειος) ἀλλ' ὡς πολλῆς ἀπὸ τοῦ πράγματος τοῖς ἀνθρώποις γινομένης τῆς βλάβης. ὅταν γὰρ πρὸς αὐτοὺς διαβληθῇ τὸ τοῦ Θεοῦ ὄνομα καὶ ἡ δόξα, οὐδὲν αὐτοὺς ὠφελεῖ λοιπόν. εἰ δὲ ὁ Θεὸς διαβαλλόμενος οὐδὲν ὠφελεῖ, πολλῷ μᾶλλον ἡμεῖς.

Πάντα οὖν πράττωμεν, ὥστε μηδεμίαν γενέσθαι πρόφασιν σκανδάλου, ἀλλὰ κἂν ἀδίκως ἐγκαλῶσι, πείθωμεν καὶ διαλύωμεν τὰ ἐγκλήματα, καὶ μιμώμεθα τοὺς ἁγίους, οἳ τοσαύτην ἐποιοῦντο σπουδὴν καὶ τῆς τοῦ Θεοῦ δόξης, καὶ τῆς ἑαυτῶν, ὥστε καταφρονεῖν καὶ τῆς ἑαυτῶν διὰ τὴν τοῦ Θεοῦ. μὴ δὴ πάντα ῥίψαντες ἁπλῶς καὶ καταπατήσαντες, ἀρκεῖν ἡγησώμεθα πρὸς ἀπολογίαν ἡμῖν, ἐὰν εἴπωμεν, ὅτι ἱμάτιον ἐπριάμεθα παρθένῳ καὶ ὑποδήματα, καὶ τὰ ἄλλα τὰ κατὰ τὴν σωματικὴν ἀνάπαυσιν αὐτῇ διεθήκαμεν. καὶ τίς οἰκονομήσει, φησί, τὰ κατὰ τὴν οἰκίαν ἡμῖν, τίς δὲ ἐπόψεται τὰ ὄντα, τίς δὲ προστήσεται, ἡμῶν ἔξω διατριβόντων, καὶ γυναικὸς ἔνδον οὐκ οὔσης; καὶ γὰρ καὶ ταῦτα λέγουσιν, ἐναντία τε ὄντα τοῖς προτέροις καὶ αἰσχρότερα· καὶ οὐδενὸς αὐτοῖς μέλει τούτων, οὐδὲ αἰσχύνονται, καθάπερ οἱ μεθύοντες, τὸ ἐπελθὸν ἅπαν φθεγγόμενοι. διὸ μηδὲ ἡμεῖς ἀποκάμνωμεν (κἂν τοιαῦτα ᾖ τὰ λεγόμενα, ὡς μηδὲ ἀποκρίσεως ἀξιοῦσθαί τινος) μὴ ἀποκάμνωμεν καὶ ἀποκρινόμενοι, καὶ πράως αὐτοῖς διαλεγόμενοι, ἕως ἂν τῆς μέθης ἀπαλλάξωμεν ταύτης, τό γε εἰς ἡμᾶς ἧκον.

αἰσχύνομαι μὲν γὰρ καὶ ἐρυθριῶ ταῦτα ἐπιχειρῶν ἀνατρέπειν, ἃ αὐτοὶ λέγειν οὐκ ἐρυθριῶσιν ἐκεῖνοι· οἰστέον δὲ ὅμως τὴν αἰσχύνην διὰ τὸ λυσιτελοῦν τοῖς οὐκ αἰσχυνομένοις. καὶ γὰρ ἄτοπον ἐγκαλοῦντας αὐτοῖς τὴν τῶν σκανδαλιζομένων ἀδελφῶν ὑπεροψίαν, αὐτοὺς δι' αἰσχύνην τὴν τούτων ὑπερορᾶν θεραπείαν. τίνα γὰρ λέγουσι τὰ ἔνδον, εἰπέ μοι, ὧν εἰς τὴν προστασίαν τῆς παρθένου τὴν χρείαν ἀναγκαίαν εἶναι νομίζουσι; παιδισκῶν σοι χρεία βαρβάρων ἐστὶ καὶ νεωνήτων, καὶ δεῖ ταύτας ῥυθμίζεσθαι καὶ πρὸς ἐριουργίαν, καὶ πρὸς τὴν ἄλλην διακονίαν; ἀλλὰ ταμιείων καὶ χρημάτων πολλῶν καὶ ἱματίων πολυτελῶν, καὶ δεῖ φύλακα ἔνδον καθῆσθαι διαπαντός, καὶ τῇ τῶν οἰκετῶν κακουργίᾳ τοὺς ὀφθαλμοὺς ἐπιτειχίζεσθαι τῆς παρθένου; ἀλλὰ δεῖπνα καὶ συμπόσια συνεχῶς ἐπιτελεῖσθαι, καὶ χρὴ τὴν οἰκίαν καλλωπίζεσθαι καὶ μαγείρους καὶ τραπεζοποιοὺς τῆς προνοίας ἀπολαύειν τῆς παρθένου; δηλαδὴ πολύτροποι δαπάναι καὶ συνεχεῖς, καὶ δεῖ τινα ἐφεστάναι διαπαντός, ὅπως τὰ μὲν φυλάττοιτο μετὰ ἀκριβείας, τὰ δὲ μὴ μάτην ἐκρέῃ τῆς οἰκίας; οὐδὲν τούτων φησίν· ἀλλ' ὅπως αὐτὴ τὸ κιβώτιον καὶ τὸ ἱμάτιον καὶ τὴν ἄλλην ἐπιβλέπῃ πενίαν, ὅπως εὐτρεπίζοι τὴν τράπεζαν, καὶ τὴν εὐνὴν στρωννύοι, καὶ πῦρ ἀνακαίῃ, καὶ περιπλύνῃ πόδας, καὶ τὴν ἄλλην ἀνάπαυσιν παρέχῃ πᾶσαν. εἶτα ἀντὶ τῆς ψυχρᾶς καὶ μικρᾶς ἀναπαύσεως ταύτης τοσαύτην οἰσόμεθα κατηγορίαν, τοσαῦτα ὑποστησόμεθα ὀνείδη; καὶ πόσῳ βέλτιον ἀδελφὸς ταῦτα διακονήσεται καὶ εὐκολώτερον; τῇ τε γὰρ φύσει ἰσχυρότερος γυναικὸς ὁ ἀνήρ, τῇ τε χρείᾳ οἰκειότερος ἡμῖν, καὶ οὐχ οὕτω δαπανηρός. ἡ μὲν γὰρ γυνή, ἅτε ἁπαλωτέρα οὖσα, καὶ στρωμνῆς μαλακωτέρας δεῖται, καὶ λεπτοτέρας ἐσθῆτος, καὶ κόρης ἴσως πάλιν διακονησομένης αὐτῇ, καὶ οὐ τοσαύτην ἡμῖν παρέχει διακονίαν, ὅσης αὐτὴ δεῖται παρ' ἡμῶν. ὁ δὲ ἀδελφὸς πάντων τούτων ἀπήλλακται, εἰ δέ τινος καὶ δεηθείη, τῶν αὐτῶν ἡμῖν δεήσεται. τοῦτο δὲ οὐ μικρὸν εἰς εὐκολίαν ἐστὶ τὸ μὴ διαφόρων, ἀλλὰ τῶν αὐτῶν ἐν χρείᾳ καθεστάναι τοὺς συνοικοῦντας· ὅπερ ἐπὶ τῆς παρθένου οὐκ ἔνι. πρῶτον μὲν γὰρ ἄν τι λούσασθαι δέῃ, ἄν τε κάμνῃ τὸ σῶμα, οὔτε ὁ ἀδελφὸς αὐτῇ πρὸς ταῦτα διακονήσεται, κἂν σφόδρα ἔληται ἀσχημονεῖν, οὔτε αὐτὴ ἑαυτῇ ἀρκέσαι δυνήσεται· ἂν δὲ ἀδελφοὶ οἱ συνοικοῦντες ὦσιν, ἀντιδώσουσιν ἀλλήλοις τὴν ὑπηρεσίαν ταύτην. πάλιν, ὅταν καθεύδειν δέῃ, παρθένου μὲν ἔνδον καθημένης, καὶ κλίνας εἶναι δύο χρή, καὶ στρώματα διπλᾶ, καὶ ἐπιβλήματα· εἰ δὲ εὖ φρονῶσι, καὶ οἰκήματα. ἀδελφῶν δὲ ὄντων, πάλιν τὰ τῆς χρείας συστέλλεται, ἅτε οἰκειοτέρας οὔσης. καὶ γὰρ οἶκος εἷς, καὶ προσκεφάλαιον ἕν, καὶ κλίνη μία, καὶ ἐπιβλήματα ἀμφοτέροις ἀρκέσει τὰ αὐτά. καὶ ἁπλῶς εἴ τις ἅπασαν ἐξετάζοι τὴν διακονίαν, ἐνταῦθα μὲν πολλὴν τὴν εὐκολίαν εὑρήσει, ἐκεῖ δὲ τὴν δυσκολίαν. καὶ παρίημι τὴν ἀσχημοσύνην τῆς οἰκίας. οἷον γάρ ἐστιν ἀνελθόντα εἰς ἀνδρὸς μονάζοντος οἰκίαν ὁρᾶν ὑποδήματα γυναικεῖα κρεμάμενα, καὶ διαζώματα, καὶ κεφαλόδεσμα, καὶ καλαθίσκους, καὶ ἠλακάτην, καὶ κερκίδα, καὶ κτένας, καὶ ἱστοπόδιν, καὶ τὰ ἄλλα, ἅπερ οὐκ ἔνι κατὰ μέρος λέγειν ἅπαντα; εἰ δὲ καὶ ἐπὶ τὸν εὔπορον ταῦτα ἐξετάζεις, πλείων ὁ γέλως. πρῶτον μὲν γὰρ ἐν ἀγέλῃ θεραπαινίδων τοσούτων μόνος στρέφεται μέσος, καθάπερ ἐπὶ τῆς ὀρχήστρας ἐν τῷ χορῷ τῶν γυναικῶν ὁ τοῖς ὀρχουμένοις ὑπᾴδων χορευτής, οὗ τί γένοιτ' ἂν αἰσχρότερον καὶ ἀτιμότερον; ἔπειτα διαρρήγνυται ὅλην τὴν ἡμέραν πρὸς οἰκέτας ἀγανακτῶν ὑπὲρ τῶν γυναικὶ προσηκόντων πραγμάτων. ἢ γὰρ ἀνάγκη σιγᾶν καὶ πάντων παραμελοῦντα παρ' ἐκείνης ἐπιτιμᾶσθαι, ἢ λέγοντα καὶ ἐπιπλήττοντα ἀσχημονεῖν. καὶ ὅρα τὸ συμβαῖνον. ὁ γὰρ τῶν βιωτικῶν πραγμάτων μηδὲ ἐγγὺς γενέσθαι κελευσθείς, οὐχ ἁπλῶς βιωτικῶν, ἀλλὰ καὶ τῶν γυναικείων ἐνδοτέρω γέγονε. καὶ γὰρ καὶ σκεύη γυναικεῖα ἐκδοῦναι οὐ παραιτήσονται, ἀλλ' ἐπιστήσονται τοῖς ἀργυροκόποις συνεχῶς ἐρωτῶντες, εἰ τὸ κάτοπτρον κατεσκεύασται τῆς κυρίας, εἰ τὸ κάδδιον ἀπήρτισαν, εἰ τὸ ληκύθιον ἀπέδωκαν. οὐ γὰρ εἰς τοῦτο πάντα ἥκει διαφθορᾶς, ὡς τῶν βιωτικωτέρων μᾶλλον τὰς πολλὰς τῶν παρθένων τούτοις κεχρῆσθαι τοῖς σκεύεσιν. ἐκεῖθεν πάλιν πρὸς τὸν μυρεψὸν ἔδραμεν ὑπὲρ τῶν τῆς κυρίας διαλεξόμενος ἀρωμάτων· πολλάκις δὲ ὑπὲρ πλείονος σπουδῆς καὶ ὑβρίσαι τὸν πέμψαντα οὐ παραιτήσεται (καὶ γὰρ καὶ μύροις χρῶνται αἱ παρθένοι ποικίλοις τε καὶ πολυτελέσιν) ἀπὸ τοῦ μυρεψοῦ πρὸς τὸν τὰς ὀθόνας πωλοῦντα, καὶ ἀπ' ἐκείνου πάλιν πρὸς τὸν σκηνοποιόν. οὐδὲ γὰρ τὰ μικρὰ ταῦτα αἰσχύνονται ἐπιτάττειν, ἐπειδὴ σφόδρα ὁρῶσιν αὐτοὺς ὑπακούοντας καὶ χάριν ἔχοντας ἐπιταττούσαις ταύταις, ἢ ἑτέροις διακονουμένοις. ἐντεῦθεν πάλιν, ὅταν ἐπισκευάσαι τι δέῃ τῆς περιφορητῆς ἐκείνης σκηνῆς, καὶ μέχρις ἑσπέρας αὐτῆς ἄσιτοι διατελοῦσι τοῖς ἐργαστηρίοις προσηλωμένοι. καὶ οὐ τοῦτό πω θαυμαστόν, ἀλλ' ὅτι καὶ τοῖς ταλαιπώροις οἰκέταις εἰσὶν ἐπαχθεῖς, καὶ πολλὴ κατ' αὐτῶν ὕβρις καὶ ἀγανάκτησις καὶ κραυγή. ἐννόησον δὲ ὅσαι ἐκ τούτων αἱ κατηγορίαι. οἰκέτης γὰρ ὑβρισθεὶς, καὶ μάλιστα ὑπὲρ τοιούτων πραγμάτων, ἐπειδὴ μηδενὶ τρόπῳ τὸν ὑβρικότα ἀμύνασθαι ἔχει, διὰ τῆς γλώττης τοῦτο ποιεῖ καὶ τῆς λαθραίας κατηγορίας, οὐδενὸς φειδόμενος τῶν ἐμπλῆσαι δυναμένων αὐτῷ τὸν θυμόν· ἀλλὰ μετὰ τοσαύτης ὑπερβολῆς τῇ ἀμύνῃ κέχρηται ταύτῃ, μεθ' ὅσης εἰκὸς οἰκέτην ὄντα, καὶ τοιαῦτα ὑβρισμένον, καὶ ταύτην ἔχοντα μόνον παραμυθίαν τῶν οἰκείων κακῶν κατὰ τοῦ λελυπηκότος. ὁ δὲ τῇ πενιχρᾷ συζῶν, ἀργυροκόποις μὲν οὐ διαλέξεται (οὐ γὰρ ἀφίησιν ἡ πενία) οὐδὲ προσεδρεύσει μυροπώλαις· ὑποδηματορράφοις δὲ καὶ ὑφάνταις καὶ ποικιλταῖς καὶ βαφεῦσιν ἐνοχλήσει πολλάκις. καὶ τί δεῖ πᾶσαν καταλέγειν τὴν ἀσχημοσύνην, οἷον, ὅταν εἰς οἰκήματα εἰσίωσι, στήμονα καὶ κρόκην πωλοῦντες; ὅταν εἰς τὴν ἀγορὰν περιίωσιν αὐτὰ ταῦτα πάλιν ζητοῦντες; καὶ ταῦτα μὲν ἐν ταῖς οἰκίαις, ἐν δὲ ταῖς ἀγοραῖς καὶ τούτων πολὺ καταγελαστότερα ὑπομένουσιν. ἐπὶ δὲ τῆς ἐκκλησίας οὐδὲ εἰπεῖν ἐστι τὴν αἰσχύνην. ὥσπερ γὰρ δέον μηδένα τόπον ἀγνοεῖν αὐτῶν τὴν ὕβριν καὶ τὴν ἀνελεύθερον ταύτην δουλείαν, οὕτω καὶ ἐν τῷ ἁγίῳ τῷδε καὶ φρικωδεστάτῳ χωρίῳ πᾶσιν αὐτῶν τὴν ἀκρασίαν ἀνακηρύττουσι. καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ καλλωπίζονται, ἐφ' οἷς ἐπαισχύνεσθαι ἔδει. ἀπό τε γὰρ τῶν θυρῶν αὐτὰς ἔξωθεν δεχόμενοι, καὶ ἀντὶ τῶν εὐνούχων γινόμενοι σοβοῦσι, καὶ προηγούμενοι μέγα φρονοῦσιν, ὁρώντων ἁπάντων, καὶ οὐ καταδύονται, ἀλλὰ καὶ ἐπαγάλλονται· καὶ ἐν αὐτῷ δὲ τῷ τῶν φρικωδεστάτων μυστηρίων καιρῷ πολλὰ πρὸς τὴν ἐκείνων ἀρέσκειαν διακονοῦνται, πολλοῖς τῶν ὁρώντων λαβὰς παρέχοντες. αἱ δὲ ἄθλιαι καὶ ταλαίπωροι, δέον ἀπείργειν αὐτοὺς τῆς τοιαύτης χάριτος, ἀλλὰ καὶ ἐναβρύνονται καὶ μέγα φρονοῦσι. καίτοι τίς ἂν ἢ ταύταις, ἢ ἐκείνοις, εἴγε ἤθελέ τινα ἀρὰν ἐπαρᾶσθαι, ταύτης ἂν εὗρε χαλεπωτέραν, ἢ ὥστε μυρίους μάρτυρας ἔχειν τῆς ἀκολασίας αὐτῶν, καὶ ἐν τοῖς ἁπάντων ὀφθαλμοῖς ἀσχημονεῖν; τί δεῖ λέγειν, ὅσα ἐν αὐταῖς ταῖς ἐκκλησίαις ἀνατρέπεται διὰ τὴν τούτων χάριν; ὅσα τῶν τοῦ Θεοῦ πραγμάτων ἀμελεῖται παρὰ πολλῶν, ὥστε μὴ παροξυνθῆναι ταύτας; καὶ τί λέγω, μὴ παροξυνθῆναι, μόνον εἴ τις αὐτῶν σκυθρωπὸν εἰς αὐτοὺς ἴδῃ καὶ ἀηδές, πάντα αἱροῦνται ὑπομένειν, ἢ τοῦτο παθοῦσαν ἐκείνην περιιδεῖν.

Ἀλλὰ μέχρι τίνος καὶ ἡμεῖς ἀσχημονοῦμεν τὰ ἐκείνων διηγούμενοι πάντα; οὐ γὰρ δὴ τοῦτο προειλόμεθα. ἐπεὶ πολλῶν ἂν καὶ μακρῶν ἡμῖν ἐδέησε λόγων πάντα διεξιοῦσι· μᾶλλον δὲ πάντα μὲν οὐδὲ βουλομένοις δυνατὸν εἰπεῖν· ὀλίγα δὲ ἐκ πολλῶν συνθέντας καὶ οὕτως ἱκανὸν ἦν ἐργάσασθαι μῆκος. ἀλλ' οὐκ εἰς τοῦτο ἥκομεν, ἀλλὰ καὶ τύπων ἄκοντες ἐμνημονεύσαμεν, ὥστε μικρὸν ἐπιστύψαι τοὺς νοῦν ἔχοντας τῶν ἀκροωμένων. λοιπὸν δὲ παρακαλεῖν χρὴ καὶ ἱκετεύειν. δέομαι δὲ καὶ ἀντιβολῶ, καὶ τῶν γονάτων προσκυλινδοῦμαι τῶν ὑμετέρων, καὶ πᾶσαν ἱκετηρίαν τίθημι· πείσθητε, καὶ ἀνενέγκωμεν ἀπὸ ταύτης τῆς μέθης, καὶ ἑαυτῶν γενώμεθα, καὶ τὴν τιμὴν ἐπιγνῶμεν, ἣν δέδωκεν ὁ Θεὸς ἡμῖν, καὶ τοῦ Παύλου βοῶντος ἀκούσωμεν, Μὴ γίνεσθε δοῦλοι ἀνθρώπων, καὶ παυσώμεθα γυναιξὶ δουλεύοντες ἐπὶ τῷ κοινῷ πάντων ἡμῶν ὀλέθρῳ. στρατιώτας ἡμᾶς ὁ Χριστὸς εἶναι βούλεται γενναίους, καὶ ἀθλητάς. οὐ διὰ τοῦτο ἡμᾶς

α. Κορ. ζ. κγ.

ὥπλισεν

Λογ. ιζ.

ὥπλισεν ἐν τοῖς ὅπλοις τοῖς πνευματικοῖς, ἵνα κορῶν τριοβολιμαίων ἀναδεξώμεθα ὑπηρεσίαν, ἵνα περὶ ἔρια καὶ ἱστοὺς καὶ τὰς τοιαύτας στρεφώμεθα διακονίας, ἵνα ταῖς νηθούσαις καὶ ὑφαινούσαις παρακαθήμεθα γυναιξὶν, ἵνα διατελῶμεν πᾶσαν ἡμέραν καὶ ἤθη καὶ ῥήματα γυναικεῖα εἰς τὴν ἑαυτῶν ἐναποματτόμενοι ψυχήν· ἀλλ' ἵνα βάλλωμεν τὰς ἀοράτους δυνάμεις τὰς ἀντικειμένας ἡμῖν, ἵνα πλήττωμεν τὸν στρατηγοῦντα αὐταῖς διάβολον, ἵν' ἐλαύνωμεν τὰς ἀγρίας τῶν δαιμόνων φάλαγγας, ἵνα κατασκάπτωμεν αὐτῶν τὰ ὀχυρώματα, ἵνα τὰς ἐξουσίας τοὺς κοσμοκράτορας τοῦ σκότους δήσαντες αἰχμαλώτους ἄγωμεν, ἵνα τὰ πνευματικὰ τῆς πονηρίας φυγαδεύσωμεν, ἵνα πῦρ πνέωμεν, ἵνα πρὸς καθημερινοὺς θανάτους ἕτοιμοι ὦμεν καὶ παρεσκευασμένοι. διὰ τοῦτο ἐνέδυσεν ἡμᾶς τὸν θώρακα τῆς δικαιοσύνης, διὰ τοῦτο ἔζωσε τῇ ζώνῃ τῆς ἀληθείας, διὰ τοῦτο περιέθηκε τὴν περικεφαλαίαν τοῦ σωτηρίου, διὰ τοῦτο ὑπέδυσε τοὺς πόδας ἡμῶν τῇ ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, καὶ τὴν μάχαιραν ἐνεχείρισε τοῦ πνεύματος, διὰ τοῦτο πῦρ ἀφῆκεν εἰς τὰς ἡμετέρας ψυχάς. Εἴ τινα ἴδῃς, εἰπέ μοι, τῶν στρατιωτῶν μετὰ τὸ περιθέσθαι τὸ κράνος, τὰς κνημῖδας, τὸν θώρακα, μετὰ τὸ λαβεῖν τὸ ξίφος, τὸ δόρυ, τὴν ἀσπίδα, τὰ τόξα, τὰ βέλη, τὴν φαρέτραν, τῆς σάλπιγγος λαμπρότερον ἠχούσης καὶ πάντας ἔξω καλούσης, τῶν πολεμίων σφοδρῶς πνεόντων, καὶ τὴν πόλιν ἐκ βάθρων ἀνασπάσαι παρεσκευασμένων, εἶδες οὐκ ἐπὶ τὴν παράταξιν ἔξω τρέχοντα, ἀλλ' εἰς οἰκίαν εἰσιόντα καὶ γυναικὶ παρακαθήμενον μετὰ τῶν ὅπλων ἐκείνων, ἆρ' οὐκ ἂν, εἴγε ἐξῆν, μέσον τὸ ξίφος διήλασας, μηδὲ λόγου μεταδούς; εἰ δὲ σὺ τοσαύτης ἂν ἐπλήσθης ὀργῆς, πῶς οἴει τὸν Θεὸν ἐπὶ τοῖς πολὺ τούτων ἀτοπωτέροις διακεῖσθαι; τοσούτῳ γὰρ αἰσχρότερα ταῦτα ἐκείνων καὶ ἀτοπώτερα, ὅσῳ καὶ ὁ πόλεμος χαλεπώτερος, καὶ οἱ πολέμιοι σφοδρότεροι, καὶ τὰ ἔπαθλα, περὶ ὧν ὁ πόλεμος, μείζω, καὶ πάντα ἁπλῶς τοσοῦτον διήλλακται, ὅσον ἀληθείας καὶ σκιᾶς τὸ μέσον. μὴ δὴ καταμαλάττωμεν ἡμῶν τὴν ἰσχὺν, μηδὲ ἐκκόπτωμεν τὰ νεῦρα ταῖς ὁμιλίαις ταύταις. καὶ γὰρ ἄφατος καὶ πολλὴ ταῖς ψυχαῖς ἡμῶν ἐντεῦθεν εἰσρεῖ κακία. τί γὰρ εἰ καὶ μὴ αἰσθανώμεθα τῇ φιλίᾳ μεθύοντες; τοῦτο γὰρ αὐτὸ πάντων ἐστὶ δεινότατον, ὅτι οὐδὲ ἴσμεν, ὅπως ἐκνευριζόμεθα καὶ κηροῦ παντὸς γινόμεθα μαλακώτεροι. καθάπερ γάρ τις λέοντα γαῦρον καὶ βλοσυρὸν βλέποντα λαβὼν, εἶτα ἀποκείρας μὲν τὴν κόμην, ἀνελὼν δὲ τοὺς ὀδόντας, καὶ περιελὼν τοὺς ὄνυχας, αἰσχρόν τινα καὶ καταγέλαστον καὶ παιδίοις εὐκαταγώνιστον τὸν φοβερὸν καὶ ἀφόρητον καὶ ἀπὸ μόνου τοῦ βρυχήματος πάντας σείοντα· οὕτω δὴ καὶ αὗται πάντας, ὅσους ἂν λάβωσιν, εὐχειρώτους τῷ διαβόλῳ ποιοῦσι, μαλακωτέρους, θερμοτέρους, ἀναισχύντους, ἀνοήτους, ἀκροχόλους, θρασεῖς, ἀχρείους, ἀγεννεῖς, ἀπηνεῖς, δουλοπρεπεῖς, ἀνελευθέρους, ἰταμοὺς, φλυάρους· καὶ ἁπλῶς πάντα τὰ γυναικεῖα ἤθη τὰ διεφθαρμένα φέρουσαι, εἰς τὰς τούτων ἐναπομάττονται ψυχάς. καὶ γὰρ ἀμήχανον τὸν γυναιξὶ συνοικοῦντα μετὰ συμπαθείας τοσαύτης, καὶ ταῖς ἐκείνων ἐντρεφόμενον ὁμιλίαις, μὴ ἀγύρτην τινὰ εἶναι καὶ ἀγοραῖον καὶ συρφετώδη. κἂν γὰρ φθέγγηταί τι, πάντα ἀπὸ τῶν ἱστῶν καὶ τῶν ἐρίων φθέγξεται, τῆς γλώττης αὐτοῦ τῇ ποιότητι τῶν γυναικείων ἀναχρωσθείσης ῥημάτων· κἂν ποιῇ τι, μετὰ πολλῆς τοῦτο ἐργάσεται δουλοπρεπείας, πόῤῥω τῆς χριστιανοῖς πρεπούσης ἐλευθερίας ἑαυτὸν ἀποικίσας, καὶ πρὸς οὐδὲν τῶν μεγάλων κατορθωμάτων "γινόμενος χρήσιμος. καὶ γὰρ εἰ πρὸς τὰ βιωτικὰ καὶ πολιτικὰ πράγματα ἄχρηστος ὁ τοιοῦτος, πολλῷ μᾶλλον πρὸς τὸ τῶν πνευματικῶν μέγεθος, ἃ τοσούτῳ δεῖται γενναιοτέρων ἀνδρῶν, ὡς μηδὲ ἅπτεσθαι αὐτῶν δύνασθαι τοὺς μέλλοντας αὐτὰ μετιέναι, εἰ μὴ ἄγγελοι γένοιντο ἐξ ἀνθρώπων. οὐκ αὐτοὶ δὲ μόνον κακίαν ὑποδέχονται τοσαύτην, ἀλλὰ καὶ ἐκείναις ἢ τῶν διεφθαρμένων αἴτιοι γίνονται. καθάπερ γὰρ οὗτοι σφόδρα αὐταῖς ἀρέσκειν βουλόμενοι, τῆς ἁρμοττούσης πολιτείας ἐκβαίνουσιν, οὕτω καὶ αὗται τῆς προσηκούσης αὐταῖς "αἰδοῦς δι' ἐκείνους ἐκπίπτουσι, τὴν πονηρὰν αὐτοῖς καὶ ὀλεθρίαν παρέχουσαι ταύτην ἀντίδοσιν.

χ. ἐκλυόμεθα

χ. γινόμεθα

χ. γιγνόμε

χ. αἰδοῖ

καὶ γὰρ καὶ καλλωπίζονται περιεργότερον, καὶ σχήματος καὶ βαδίσματος τεθρυμμένου πολλὴν ποιοῦνται πρόνοιαν, καὶ τὰ μὴ προσήκοντα διὰ πάσης φλυαροῦσιν ἡμέρας. ἐπειδὴ γὰρ ὁρῶσι τερπομένους τοῖς ἀκολάστοις τούτοις ἤθεσι καὶ ῥήμασι, πάντα ἐπιτηδεύουσι, δι' ὧν κατέχειν αὐτοὺς αἰχμαλώτους δυνήσονται. ἀλλ' ἂν θελήσωμεν, μικρὸν ἀνενεγκόντες, ἡμῶν αὐτῶν ἐπιμελεῖσθαι, ἐκείνας τε κερδανοῦμεν, καὶ ἡμᾶς αὐτούς, καὶ τοὺς ἄλλους ἅπαντας· καὶ ὥσπερ νῦν τῆς τῶν πολλῶν ἀπωλείας κατέστημεν ὑπεύθυνοι, οὕτω τότε τῆς πάντων σωτηρίας ἀποληψόμεθα τὸν μισθόν, καὶ ὧν δὲ ἀπολαύομεν νῦν αἰσχρῶς, τότε μετὰ πολλῆς ἀπολαυσόμεθα τῆς τιμῆς. τί γάρ, εἰπέ μοι; βούλει τιμᾶσθαι παρὰ γυναικῶν; μάλιστα μὲν ἀνάξιον τοῦτο ἀνδρὸς πνευματικοῦ, τὸ τιμῆς τοιαύτης ἐρᾶν· πλὴν ἀλλὰ καὶ τοῦτο τότε περιέσται, ὅταν μὴ ζητῶμεν αὐτό. πέφυκε γὰρ ἄνθρωπος τῶν μὲν θεραπευόντων ὑπερορᾶν, τοὺς δὲ μὴ κολακεύοντας θαυμάζειν. τὸ δὲ πάθος τοῦτο πλέον ἡ γυναικεία φύσις ὑπομένειν εἴωθεν. ἀφόρητός τε γάρ ἐστι κολακευομένη, θαυμάζεται δὲ μάλιστα πάντων τοὺς οὐκ ἀνεχομένους εἴκειν καὶ ὑποκατακλίνεσθαι ταῖς ἀκαίροις αὐτῆς ἐπιθυμίαις. καὶ τοῦτο ὑμεῖς μοι μαρτυρήσετε. νῦν μὲν γὰρ οὐχ οἱ ἔξωθεν μόνον, ἀλλὰ καὶ αὐταὶ καταγελῶσιν ὑμῶν αἱ συνοικοῦσαι, εἰ καὶ μὴ φανερῶς, ἀλλ' ἐν τῷ συνειδότι, καὶ ἐγκαλλωπίζονται τῇ χαλεπῇ ταύτῃ τυραννίδι· τότε δὲ θαυμάζονται πάντας ὑμᾶς, καὶ ἐκπλαγήσονται τὴν ἐλευθερίαν ὑμῶν. εἰ δὲ ἀπιστεῖτε τοῖς ἡμετέροις λόγοις, αὐτὰς ἐκείνας ἔρεσθε, τίνας μᾶλλον ἐπαινοῦσι καὶ ἀποδέχονται, τοὺς δουλεύοντας, ἢ τοὺς κρατοῦντας αὐτῶν· τοὺς ὑποκειμένους καὶ πάντα ποιοῦντας καὶ πάσχοντας διὰ τὴν εἰς ἐκείνας χάριν, ἢ τοὺς οὐδὲ τούτων ἀνεχομένους, ἀλλὰ καὶ ἐπαισχυνομένους αὐτῶν τοῖς πονηροῖς ἐπιτάγμασι. κἂν ἐθελήσωσιν εἰπεῖν τἀληθές, πάντως ἐκείνους ἐροῦσι· μᾶλλον δὲ οὐδὲ ἀποκρίσεως χρεία, τῶν πραγμάτων τοῦτο βοώντων. ἀλλ' ἡδονῆς ἕνεκεν ὁ συνοικῶν πλεονεκτεῖ, τοὺς ὀφθαλμοὺς εὐωχῶν ταῖς τῶν παρθένων ὄψεσι. μάλιστα μὲν εἰ καὶ τοῦτο οὕτως εἶχε, δι' αὐτὸ μὲν οὖν τοῦτο φυγεῖν ἐχρῆν· νῦν δὲ ἡμῖν ἱκανῶς ἀποδέδεικται, ὅτι οὐχ ἡδὺ τὸ τοιοῦτον, ἀλλὰ τοὐναντίον, τὸ μὴ ταύτης ἀπολαύειν τῆς θεωρίας. σὺ δέ μοι πρόσθες καὶ τὴν ἀπὸ τοῦ συνειδότος εὐφροσύνην. οὐδὲν γὰρ ἡμᾶς οὕτως εὐφραίνειν εἴωθεν, ὡς συνειδὸς χρηστόν, καὶ ἐλπίδες ἀγαθαί. ἀλλ' ἀναπαύσεως ἕνεκεν τοῦτο ἐπιζητεῖς; ἀλλ' ἀποδέδεικται καὶ τοῦτο εὐκολώτερον ὄν, ὅταν ἀδελφὸς συνοικῇ. νῦν μὲν γὰρ οὐδὲν δούλου διενήνοχας, καὶ ζητῶν ἀνάπαυσιν, εὗρες δουλείαν χαλεπωτάτην. τότε δὲ ταύτης ἐκτὸς ἕστηκας τῆς λειτουργίας, καὶ τῶν ἐπιταττόντων, οὐ τῶν ἐπιταττομένων ἔσῃ. ὅταν οὖν ἐκεῖ μὲν ἀντὶ ἡδονῆς λύπη, καὶ ἀντὶ δόξης αἰσχύνη, καὶ ἀντὶ ἐλευθερίας δουλεία, καὶ πόνος ἀντὶ ἀναπαύσεως, πρόσκειται δὲ καὶ τὸ βλασφημεῖσθαι τὸν Θεόν, καὶ ἀπώλεια τοσαύτη, καὶ σκάνδαλα, καὶ κόλασις ἀθάνατος, καὶ μυρίων ἔκπτωσις ἀγαθῶν, ἐνταῦθα δὲ τἀναντία ἅπαντα, δόξα, τιμή, ἡδονή, παρρησία, ἐλευθερία, σωτηρία ψυχῶν, βασιλείας κληρονομία, κολάσεως ἀπαλλαγή, τίνος ἕνεκεν οὐκ ἀνταλλαξόμεθα ταῦτα ἐκείνων; ἐγὼ μὲν οὐκ οἶδα, πλὴν εἴ τις ἑαυτὸν ἁπλῶς ἀπολλύναι ἐπιθυμοίη. οὐδὲ γὰρ ἀπολογία ἔσται ἡμῖν λοιπόν, οὐδὲ συγγνώμη. εἰ γὰρ καὶ μηδενὸς ὄντος τούτων πάντα ὑπομένειν ἐχρῆν ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ, ὅταν καὶ τὰ ἐνταῦθα καρποῦσθαι παρῇ, καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν, ἡμεῖς δὲ πρὸς τὸ τὴν τοῦ Θεοῦ βλασφημεῖσθαι δόξαν καὶ ἑαυτοὺς προσαπολλύομεν, τίς ἡμᾶς ἐξαιρήσεται * τῆς τιμωρίας τῆς ἐπὶ τούτοις κειμένης; οὐκ ἔστιν οὐδείς.

Ταῦτ' οὖν ἅπαντα συναγαγόντες πρὸς ἑαυτούς, καταλλαγῶμεν ὀψὲ γοῦν ποτε τῇ σωτηρίᾳ τῶν ἡμετέρων ψυχῶν. εἰ δὲ δοκεῖ τινα δυσκολίαν ἔχειν τὸ συνήθειαν ἀποσπασθῆναι μακράν, τῇ δυνάμει τοῦ λογισμοῦ μετὰ τὴν τοῦ Θεοῦ χάριν τὸ πᾶν ἐπιτρέψαντες, κἀκεῖνο πείσαντες ἑαυτούς, ὅτι ἂν τὴν ἀρχὴν μόνον ἐπιθῶμεν τῷ πράγματι, οὐκ ἔτ' ὀψόμεθα δυσχερές, οὕτω κατατολμήσωμεν τῆς συνηθείας. ἂν γὰρ δέκα ἡμέρας σαυτὸν ἀναστήσῃς, εὐκολώτερον τὰς εἴκοσιν οἴσεις, καὶ δὶς τοσαύτας πάλιν. εἶτα ὁ μὲν παραβαίνων, οὐδὲ αἴσθησιν λήψῃ λοιπὸν τῆς ἐν ἀρχῇ δυσκολίας· ἀλλὰ τὸ σφόδρα δυσκαταγώνιστον, εὐκολώτατον ὄψει γινόμενον, καὶ εἰς ἑτέραν πάλιν καταστήσεις σαυτὸν συνήθειαν, καὶ ῥᾳδίαν εὑρήσεις τὴν μετάθεσιν οὖσαν, οὐ διὰ συνήθειαν μόνον, ἀλλὰ καὶ διὰ τὰς χρηστὰς ἐλπίδας. οὕτω σε [illegible] θαυμάσονται μειζόνως, καὶ ὁ Θεὸς ἀποδέξεται πρὸ ἐκείνων, καὶ πάντες ἄνθρωποι στεφανώσουσι, καὶ βίον βιώσῃ πολλὴν μὲν ἔχοντα ἐλευθερίαν, πολλὴν δὲ τὴν ἡδονήν. τί γὰρ ἂν γένοιτο ἥδιον τοῦ τοῦ πονηροῦ συνειδότος ἀπαλλαγῆναι, καὶ τὸν διηνεκῆ τῆς ἐπιθυμίας καταλῦσαι πόλεμον, καὶ μετὰ πολλῆς τῆς εὐκολίας τὸν καλὸν τῆς σωφροσύνης πλέκειν στέφανον· καὶ ἐλευθέροις μὲν ὀφθαλμοῖς πρὸς τὸν οὐρανὸν βλέπειν, καθαρᾷ δὲ φωνῇ καὶ καρδίᾳ τὸν ἁπάντων δεσπότην καλεῖν; οὐδεὶς οὕτω δεσμώτης ἁλύσεως ἀπαλλαγεὶς, καὶ αὐχμοῦ, καὶ τῆς ἄλλης τῆς ἐν τῷ δεσμωτηρίῳ ταλαιπωρίας, μᾶλλον δὲ οὐδεὶς * οὕτω πεπηρωμένος, ἀναβλέψας καὶ τὸ γλυκὺ τοῦτο φῶς ἰδὼν, ἀγάλλεται καὶ γάνυται καὶ σκιρτᾷ, ὡς ὁ τῆς δουλείας ταύτης ἐλευθερωθῆναι δυνηθείς. καὶ γὰρ τοῦ φωτὸς γλυκυτέρα πολλῷ τῆς τυραννίδος ἐκείνης ἡ ἀπαλλαγὴ, καὶ ζόφου παντὸς χαλεπωτέρα τῆς δουλείας ἐκείνης καὶ τῶν δεσμῶν ἡ ταλαιπωρία. ἀλλὰ γὰρ τί χρὴ ταῦτα μηκύνειν, ἑκατέρου βίου, τοῦ μὲν τὴν ἀνελευθερίαν καὶ τὴν ἀθυμίαν καὶ τὴν βλάβην καὶ τὴν πολλὴν τηκεδόνα, τοῦ δὲ τὴν ἐλευθερίαν καὶ τὴν ἡδονὴν καὶ τὴν ὠφέλειαν καὶ τὴν πολλὴν παραδεικνύντος σωφροσύνην; λόγος γὰρ οὐδεὶς αὐτὰ παραστῆσαι δυνήσεται, μόνη δὲ τῶν πραγμάτων ἡ πεῖρα. καὶ τότε εἴσεσθε καλῶς, τίνων μὲν ἀπηλλάγητε κακῶν, ποίας δὲ ἐπετύχετε ζωῆς, ὅταν ἡμῖν διὰ τῶν πραγμάτων βουληθῆτε πεισθῆναι. πεισθήσεσθε τοίνυν, ὅταν διὰ τῶν ἔργων αὐτῶν τὰ εἰρημένα μάθητε. εἰ δὲ ἔτι δυσαναχετεῖτε, καὶ τοῖς ἡμετέροις ἀπιστεῖτε λόγοις, ἔρεσθέ τινα τῶν ταύτην ποτὲ δουλευσάντων τὴν δουλείαν, εἶτα ἀθρόον ἀπαλλαγέντων, καὶ πρὸς τὴν καλὴν ἀναδραμόντων ἐλευθερίαν· καὶ τότε γνώσεσθε τῆς παραινέσεως ταύτης τὸ κέρδος. ἐπεὶ καὶ ὁ Σολομὼν, ἡνίκα μὲν τῇ τῶν βιωτικῶν ἐπιθυμίᾳ πραγμάτων κατείχετο, μεγάλα τι εἶναι αὐτὰ ἐνόμιζε καὶ θαυμαστὰ, καὶ πολλὴν περὶ αὐτὰ τὴν φιλοπονίαν ἐπεδείκνυτο, λαμπράς τε οἰκοδομούμενος οἰκίας, καὶ χρυσίον συνάγων ἄπειρον, μουσικῶν τε χορούς καὶ τραπεζοποιῶν γένη παντοδαπὰ καὶ μαγείρων πάντοθεν ἀγείρων, καὶ τὴν ἀπὸ τῶν κήπων χάριν, καὶ τὴν ἀπὸ τῶν λαμπρῶν σωμάτων ἡδονὴν δαψιλῶς παρασκευάζων τῇ τῆς ψυχῆς ἐπιθυμίᾳ, καὶ πᾶσαν, ὡς εἰπεῖν, ὁδὸν ψυχαγωγίας καὶ τέρψεως ἑαυτῷ τέμνων· ἐπειδὴ δὲ μακρὸν ἐκεῖθεν ἀνήνεγκε, καὶ καθάπερ ἐξ ἀβύσσου τινὸς ζοφερᾶς ἀναβλέψαι πρὸς τὸ τῆς φιλοσοφίας ἴσχυσε φῶς, τηνικαῦτα τὴν ὑψηλὴν ἐκείνην ἀφῆκε φωνὴν, Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. ταύτην καὶ ὑμεῖς, καὶ ταύτης ὑψηλοτέραν, ἂν ἐθελήσητε, ψῆφον οἴσετε περὶ τῆς ἀκαίρου ταύτης ἡδονῆς, ἐὰν μικρὸν ἑαυτοὺς τῆς πονηρᾶς ἀποστήσητε συνηθείας. καίτοιγε ὁ Σολομὼν ἐν τοῖς ἄνω γενόμενος χρόνοις, οὐδὲ πολλὴν ἀπῃτεῖτο φιλοσοφίας ἀκρίβειαν. οὔτε γὰρ τρυφᾶν ὁ παλαιὸς ἐκώλυε νόμος, οὔτε τῶν ἄλλων ἀπολαύσεων ἀπολαύειν περιττὸν ἔφησεν εἶναι καὶ μάταιον· ἀλλ' ὅμως καὶ οὕτω τῶν πραγμάτων ἐχόντων, ἠδυνήθη συνιδεῖν τὸ ἐν αὐτοῖς ἀνόητον, καὶ πολλὴν αὐτῶν καταγνῶναι ματαιότητα. ἡμεῖς δὲ ἐπὶ μείζονα καλούμεθα πολιτείαν, καὶ πρὸς ὑψηλοτέραν ἀναβαίνομεν κορυφὴν, καὶ πρὸς μείζονα ἀπεδυσάμεθα σκάμματα. καὶ τί γὰρ ἕτερον, ἀλλ' ἢ κατὰ τὰς ἄνω δυνάμεις τὰς ἱερὰς καὶ ἀσωμάτους ἐκείνας πολιτεύεσθαι κελευόμεθα; πῶς οὖν οὐκ αἰσχρὸν καὶ πολλῆς ἄξιον κολάσεως, ἐλάττους ἐκείνου φανῆναι πολλῷ, καὶ μὴ μόνον τῶν συγκεχωρημένων μὴ γενέσθαι ὑψηλοτέρους, καθάπερ ἐκεῖνος, ἀλλὰ καὶ τῶν κεκωλυμένων καὶ τιμωρίαν ἐχόντων ἀφόρητον ἅπτεσθαι; τὸ γὰρ ἔρωτα ἐν τῇ ψυχῇ πονηρὸν τρέφειν, καὶ πρὸς ἐπιθυμίαν ὁρᾶν γυναῖκα, καὶ καταμανθάνειν κάλλος ἀλλότριον, καὶ καταισχύνειν μὲν ἑαυτὸν, βλάπτειν δὲ

τὸν

γ. οἴ

* παῖ ἰ

Ἐκκλησ. α. β.

τοὺς ἀσθενεστέρους, καὶ πολλὰς μὲν Ἕλλησι παρέχειν λαβὰς, πολλὰς δὲ Ἰουδαίοις, καὶ τούς τε οἰκείους, τούς τε ἀλλοτρίους ὑποσκελίζειν· καὶ πολλὴν τῆς τοῦ Θεοῦ δόξης κατασκεδάζειν βλασφημίαν, καὶ δουλοπρεπεῖς ἀναδέχεσθαι διακονίας, καὶ πρὸς τὸν τῶν βιωτικῶν πραγμάτων θόρυβον ἑαυτοὺς ἐξωθεῖν, καὶ τὴν δωρηθεῖσαν ἡμῖν ἐλευθερίαν προτείνειν τῷ διαβόλῳ, καὶ ταύτης χαλεπωτάτην ἀντικαταλλάττεσθαι τυραννίδα, καὶ καταγέλαστον μὲν φίλοις, ἐπονείδιστον δὲ ἐχθροῖς εἶναι, καὶ πονηρὰν μὲν τῷ κοινῷ τῆς ἐκκλησίας περιτρίβεσθαι δόξαν, καταισχύνειν δὲ τὸ σεμνὸν τῆς παρθενίας ἀξίωμα, καὶ τοῖς ἀσελγεῖν βουλομένοις πολλὰς παρέχειν προφάσεις, καὶ ἕτερα πλείονα κατασκευάζειν δεινὰ (ἅπαντα γὰρ οὔτε συνιδεῖν, οὔτε λόγῳ παραστῆσαι δυνατὸν, ὅσα διὰ τῶν πραγμάτων αὐτῶν ὑπομένουσι) καὶ τῶν σφόδρα κεκωλυμένων ἐστὶ καὶ τὴν κόλασιν ἐχόντων ἀφόρητον. ὥστε εἰ καὶ μικρά τις ἐστὶν ἡδονὴ, ταῦτα πάντα ἀντιθέντες ἐκείνῃ, τὸν γέλωτα, τὴν αἰσχύνην, τὴν τῶν πολλῶν ὑποψίαν, τὰς κατηγορίας, τὰ σκώμματα, τὰ ὀνείδη, τὸν σκώληκα τὸν ἀτελεύτητον, τὸ σκότος τὸ ἐξώτερον, τὸ πῦρ τὸ ἄσβεστον, τὴν θλίψιν, τὴν στενοχωρίαν, τὸν βρυγμὸν τῶν ὀδόντων, τὰ δεσμὰ τὰ ἄλυτα, καὶ καθάπερ ἐν πλάστιγγι καταθέντες καὶ ἀντιστήσαντες, ἀποπηδήσωμεν ὀψέ γοῦν ποτε τῆς χαλεπωτάτης καὶ ὀλεθρίας νόσου· ἵνα μετὰ λαμπρῶν ἀπέλθωμεν ἐκεῖ στεφάνων, καὶ δυνηθῶμεν ἐλευθέροις στόμασι πρὸς τὸν Χριστὸν εἰπεῖν, ὅτι διὰ σὲ καὶ τὴν δόξαν τὴν σὴν καὶ συνηθείας κατεφρονήσαμεν, καὶ ἡδονῆς ἐκρατήσαμεν, καὶ τὴν ψυχὴν ἐθλίψαμεν τὴν ἡμετέραν, καὶ πᾶσαν φιλίαν ἐκβαλόντες καὶ πρόληψιν, σὲ καὶ τὸν εἰς σὲ πόθον ἁπάντων προετιμήσαμεν πραγμάτων. οὕτω γὰρ κερδανοῦμεν ἡμᾶς αὐτοὺς, κερδανοῦμεν δὲ τὰς ἀθλίας ἐκείνας, κερδανοῦμεν δὲ τοὺς σκανδαλιζομένους, καὶ παρ' αὐτοὺς στησόμεθα τοὺς μάρτυρας, καὶ τὴν πρώτην ληψόμεθα τάξιν. τῶν γὰρ τὴν μεγίστην ἀθλησάντων ἄθλησιν ἐκείνην, καὶ τὰς καρτερικὰς ἐνεγκόντων ὀδύνας οὐκ ἐλάττονα ὑπομένει ἄνθρωπον τὸν ἐπιθυμίᾳ κατεχόμενον παλαιᾷ, καὶ ἐν ἡδίστῃ τινὶ καὶ ἀρχαίᾳ προκατειλημμένον συνηθείᾳ, εἶτα διὰ τὸν τοῦ Θεοῦ φόβον διακόπτοντα τὰ δεσμὰ, καὶ πρὸς τὸ τῷ Θεῷ δοκοῦν ἀνατρέχοντα. καὶ γὰρ τῶν σφόδρα ἐστὶ χαλεπωτάτων συμπάθειάν τε καὶ φιλοστοργίαν ἐκβαλεῖν ἀρχαίαν, καὶ τὰς πολυπλόκους διακόψαι λαβὰς, καὶ πτεροφυῆσαι, καὶ πρὸς τὰς οὐρανίους ἁψῖδας ἀναδραμεῖν. καὶ καθάπερ ἐκείνοις δριμὺς ὁ πόνος, οὕτω καὶ τούτοις μακροτέρα ἡ ὀδύνη. διὸ καὶ οἱ στέφανοι πάλιν ἴσοι, ἐπειδὴ καὶ τὰ παλαίσματα αὐτοῖς παράλληλα κεῖται. εἰ γὰρ ὁ ἕνα ἐξαγαγὼν τίμιον ἐξ ἀναξίων, ὡς στόμα τοῦ Θεοῦ ἔσται, ὁ καὶ ἑαυτὸν ἐλευθερώσας, καὶ μυρίους ἄλλους ἀπαλλάξας κατηγορίας, ἐννόησον ὅσον λήψεται τὸν μισθόν. καὶ τῇ τῶν ἐπάθλων ἐλπίδι κουφιζόμενος, καταφρόνησον συνηθείας πονηρᾶς, ἵνα κατὰ τὸ τῷ Θεῷ δοκοῦν διαδραμὼν τὸν παρόντα βίον, μετὰ καθαροῦ συνειδότος αὐτὴν ἴδῃς ἐκεῖ, καὶ τῆς ἁγιωτάτης αὐτῆς ἀπολαύσῃς ὁμιλίας. τῶν γὰρ σωματικῶν λυθέντων παθῶν, καὶ τῆς τυραννικῆς σβεσθείσης ἐπιθυμίας, οὐδὲν τὸ κωλῦον ἄνδρας τε ὁμοῦ καὶ γυναῖκας εἶναι ἐκεῖ, πάσης μὲν ἐκποδὼν πονηρᾶς οὔσης ὑποψίας, τὴν δὲ τῶν ἀγγέλων πολιτείαν καὶ τῶν νοερῶν δυνάμεων ἐκείνων δυναμένων διασώζειν τῶν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν εἰσαγομένων ἁπάντων, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, τιμὴ, κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ιερ. ιε. 19.

κ. τοῦ αὐτοῦ λόγος ὑπὲρ τοῦ τὰς κανονικὰς μὴ συνοικεῖν ἀνδράσι.

ΠΡΟΣ ΤΑΣ ΕΧΟΥΣΑΣ ΑΝΔΡΑΣ ΣΥΝΕΙΣΑΚΤΟΥΣ.

Οἴμοι ψυχή, οἴμοι. μετὰ γὰρ τοῦ προφήτου καὶ ἐμοὶ νῦν εὔκαιρον τοῦτο εἰπεῖν, καὶ ἅπαξ, καὶ δίς, καὶ πολλάκις, οἴμοι ψυχή· πρᾶγμα ἡλίκον καὶ ὅσης γέμον φιλοσοφίας, ἡ παρθενία, καθύβρισται, καὶ τὸ διάφραγμα αὐτῆς τὸ ἀπὸ τοῦ γάμου καταπέτασμα διῄρηται ὑπὸ ἀμυήτων κατασπασθὲν χειρῶν, καὶ τὰ ἅγια τῶν ἁγίων πεπάτηται, καὶ τὰ σεμνὰ καὶ φρικῆς γέμοντα γέγονε βέβηλα καὶ πᾶσι βατά, καὶ ἡ τοῦ γάμου σεμνοτέρα τοσοῦτον καθηλκύσθη καὶ κατηνέχθη κάτω, ὡς τὰς γεγαμημένας μακαρίζεσθαι μᾶλλον; ἀεὶ μὲν γὰρ ἡ παρθενία μετὰ τοῦ γάμου ταττομένη, τὰ πρωτεῖα εἶχε καὶ τὴν προεδρίαν ἅπασαν· νυνὶ δὲ οὐδὲ ἐν τῇ δευτέρᾳ τάξει μένειν δεδύνηται, ἀλλὰ πόρρω που καὶ πρὸς τὴν ἐσχάτην ἀπελήλαται τάξιν. καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐ πολέμιοί τινες, οὐδὲ ἐχθροί, ἀλλ' αἱ δοκοῦσαι μάλιστα θεραπεύειν αὐτήν, οὕτως αὐτὴν διέθηκαν, καὶ αἱ παρέχουσαι μάλιστα πάντων ἡμῖν πρὸς τοὺς ἀπίστους ἐλευθεροστομεῖν, αὗται μάλιστα πάντων ἀπέρραψαν ἡμῶν τὰ στόματα, καὶ πολλὴν κατεσκέδασαν αἰσχύνην. χρημάτων μὲν γὰρ ἕνεκεν, ὀλίγοι μὲν, εἶχον δὲ ὅμως δεῖξαί τινας Ἕλληνας παρ' αὐτοῖς φιλοσοφήσαντας, καὶ ὀργῆς δέ τινες ἐν ἐκείνοις περιεγένοντο· παρθενίας δὲ ἄνθος οὐδαμοῦ παρ' αὐτοῖς· ἀλλ' ἀεὶ παρεχώρουν ἐνταῦθα τῶν πρωτείων ἡμῖν, ὁμολογοῦντες ἀνωτέρω τῆς φύσεως εἶναι τὸ κατόρθωμα, καὶ οὐκ ἀνθρώπινον· καὶ διὰ τοῦτο σφόδρα ἡμῶν τὸ πᾶν ἔθνος ἐθαύμαζον. ἀλλὰ νῦν οὐκέτι· ἀλλὰ καταγελῶσι καὶ κωμῳδοῦσι. διὰ τοῦτο καὶ ὁ διάβολος τοσοῦτον κατὰ ταύτης ἐνέπνευσε τῆς ἀγέλης, ἐπειδὴ μάλιστα ἀπὸ ταύτης ἑώρα τῆς φάλαγγος λαμπρὸν τοῦ Χριστοῦ τὸ στρατόπεδον· καὶ οὕτως αὐτὴν ἐπεχείρησε καταισχῦναι, ὡς βέλτιον εἶναι λοιπὸν μηδὲ παρθένους εἶναι τὰς οὕτω τὸ πρᾶγμα μετιέναι ἐπιχειρούσας. τὸ δὲ αἴτιον τῶν κακῶν ἁπάντων, ὅτι μέχρι προσηγορίας τὸ πρᾶγμα ἕστηκε, καὶ ἐν τῷ σώματι τὸ πᾶν περιγέγραπται, ὅπερ ἔσχατον μέρος παρθενίας ἐστί· τὰ δὲ ἀναγκαιότερα καὶ μάλιστα αὐτὴν δεικνῦντα ἠμέληται, καὶ οὔτε στολῆς κοσμίας λόγος αὐταῖς, οὐχ ἡσυχίας παρθένοις πρεπούσης, οὐ κατανύξεως, οὐκ ἄλλου τῶν τοιούτων οὐδενός· ἀλλὰ καὶ φθέγγονται εὐκόλως ἅπαντα, καὶ γελῶσιν ἀκαίρως, καὶ κατακλῶνται καὶ θρύπτονται μᾶλλον τῶν ἐπὶ τοῦ τέγους μαλακιζομένων γυναικῶν, πάντοθεν μηχανώμεναι τοῖς ὁρῶσιν ἐγγίσαι, καὶ εἰς τὴν τῶν πεπορνευμένων γυναικῶν ἀσχημοσύνην εἰσωθεῖν ἑαυτὰς βιάζονται, καθάπερ ἁμιλλώμεναι πρὸς ἐκείνας, καὶ φιλονεικοῦσαι τὰ πρωτεῖα εἰς αἰσχύνης δόξαν λαβεῖν. πόθεν γάρ, εἰπέ μοι, λοιπὸν δυνησόμεθα τὴν τοιαύτην παρθένον τῆς τάξεως ἐξελέσθαι τῆς ἐκείνων καὶ τῆς κοινωνίας, ὅταν καὶ αὐτὴ τὸ αὐτὸ ποιῇ ἐκείναις, νέων ἐξάπτεσθαι καρδίας, ὅταν ἀνεπτερωμένη ᾖ καὶ ἄσωτος, ὅταν τὰ αὐτὰ φάρμακα τρίβῃ, καὶ τὰ αὐτὰ κεραννύῃ ποτήρια, καὶ τὸ αὐτὸ κατασκευάζῃ κώνειον. ἀλλ' οὐ λέγει, Δεῦρο καὶ ἐγκυλισθῶμεν ἔρωτι, οὐδέ, Ἔρρανκα τὴν κοίτην μου κρόκῳ, καὶ τὴν κλίνην μου κινναμώμῳ. εἴθε τὴν κοίτην καὶ τὴν κλίνην, καὶ μὴ τὰ ἱμάτια καὶ τὸ σῶμα. ἐκεῖνα μὲν γὰρ οἴκοι τὸ δέλεαρ κατακρύπτουσι· σὺ δὲ πανταχοῦ περιφέρεις τὴν παγίδα, καὶ ἀναπετάσασα τῆς ἡδονῆς τὰ πτερά, περιάγεις ἐπὶ τῆς ἀγορᾶς. ἀλλ' οὐ διελέχθης, οὐδὲ εἶπας ἐκεῖνα τὰ πορνικὰ ῥήματα, Δεῦρο καὶ ἐγκυλισθῶμεν ἔρωτι. οὐκ εἶπας τῇ γλώττῃ, ἀλλ' εἶπας τῷ σχήματι· οὐκ ἐφθέγξω τῷ στόματι, ἀλλ' ἐφθέγξω τῷ βαδίσματι· οὐκ ἐκάλεσας τῇ φωνῇ, ἀλλ' ἐκάλεσας φωνῆς λαμπρότερον διὰ τῶν ὀφθαλμῶν. ἀλλὰ καλέσασα οὐκ ἔδωκας σεαυτήν. οὐδὲ οὕτως ἀπήλλαξαι τῆς ἁμαρτίας. καὶ γὰρ καὶ τοῦτο ἕτερον εἶδος πορνείας. καθαρὰ τῆς ὕβρεως ἔμεινας, ἀλλὰ τῆς σωματικῆς, οὐ τῆς ψυχικῆς· καὶ ἀπήρτισαί σοι τὰ τῆς ἁμαρτίας, εἰ καὶ μὴ διὰ τῆς μίξεως, ἀλλὰ διὰ τῆς ὄψεως.

ἱε.

Παροιμ. ζ. ζ.

ὄψεως. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, κολάζεις τοὺς παριόντας; τί δὲ ἐξάπτεις τὸ πῦρ; πῶς δὲ νομίζεις εἶναι καθαρὰ τῆς ἁμαρτίας, πᾶσαν αὐτὴν ἐργασαμένη; καὶ γὰρ τέλειον εἰργάσω μοιχὸν τὸν ἁλόντα σου τῷ σχήματι τούτῳ. πῶς οὖν δύνασαι μὴ εἶναι μοιχαλίς, ὅταν τὸ ἔργον σου μοιχείας ἁλίσκηται; ἡ γὰρ ἐκείνου μανία, σὸν ἔργον ἐστίν. ὅτι γὰρ ἡ κατασκευάζουσα μοιχούς, μοιχείας διαφυγεῖν τιμωρίαν οὐκ ἂν δυνηθείη ποτέ, παντί που δῆλόν ἐστι. σὺ τὸ ξίφος ἠκόνησας, σὺ τὴν δεξιὰν ὥπλισας, σὺ τὴν ὡπλισμένην δεξιὰν κατὰ τῆς ἀθλίας ὦσας ψυχῆς. πῶς οὖν δύνασαι τῆς ἐπὶ τῷ φόνῳ τούτῳ τιμωρίας ἀπαλλάττεσθαι; εἰπὲ γάρ μοι, τίνας μισοῦμεν καὶ ἀποστρεφόμεθα ἡμεῖς; τίνας δὲ οἱ νομοθέται καὶ οἱ δικασταί, τοὺς πίνοντας τὰ δηλητήρια φάρμακα, ἢ τοὺς κεραννύντας τὴν κύλικα, καὶ κατασκευάζοντας αὐτά, καὶ διὰ τῆς τέχνης ἀπολλύντας τὸν ἑαυτῶν; οὐχὶ τοὺς πίνοντας μὲν καὶ ἐλεοῦμεν ἅτε ἠδικημένους, ἐκείνους δὲ πάσαις καταδικάζομεν ψήφοις; καὶ οὐκ ἀρκεῖ πρὸς ἀπολογίαν αὐτοῖς τὸ λέγειν, ὅτι οὐκ ἐμαυτὸν ἔβλαψα, ἀλλ' ἕτερον ἀπώλεσα· ἀλλὰ καὶ δι' αὐτὸ μὲν τοῦτο χαλεπωτέραν δίδωσι δίκην. σὺ δὲ ἀθλία καὶ ταλαίπωρε, κεράσασα τὴν κύλικα τὴν ὀλεθρίαν ταύτην, καὶ ὀρέξασα καὶ δοῦσα τὸ φάρμακον, μετὰ τὸ πιεῖν ἐκεῖνον καὶ ἀπολέσθαι, ἀπολογίαν σαυτῇ νομίζεις ὑπολελεῖφθαι τὸ μὴ αὐτὴν πιεῖν, ἀλλ' ἑτέρῳ παρασχεῖν τὸ δηλητήριον. καίτοιγε ὑμεῖς τῶν φαρμακοπωλῶν ἐκείνων τοσούτῳ χαλεπωτέραν δώσετε δίκην, ὅσῳ καὶ ὁ θάνατος χαλεπώτερος. οὐ γὰρ σῶμα μόνον, ἀλλὰ καὶ ψυχὴν ἀναιρεῖτε. κἀκεῖνοι μὲν πολλάκις ἢ θυμῷ, ἢ ὀργῇ τοῦτο πράττουσιν, ἢ χρημάτων δεόμενοι, ὑμεῖς δὲ οὐδὲ εἰς ταύτην ἔχετε καταφυγεῖν τὴν πρόφασιν. οὔτε γὰρ ἐχθροὺς ὄντας, οὔτε ἠδικηκότας, οὔτε χρημάτων δεόμεναι τοῦτο ποιεῖτε, ἀλλ' ὑπὸ κενοδοξίας μόνης εἰς τὰς ἀλλοτρίας παίζετε ψυχάς, τέρψιν οἰκείαν τὸν ἑτέρων ποιούμεναι θάνατον.

Ἀλλὰ γὰρ οὐκ οἶδα πῶς ἐξὸν ἐλθεῖν ταῦτα εἰπεῖν, ἑτέρωσε ὁρμῶμεν. διόπερ ἐπανιτέον ὅθεν ἐξέβην. ὥσπερ γὰρ οὐκ ἀρκούντων τούτων καταισχῦναι τὸ πᾶν ἔθνος, καὶ ἄλλο τι πλέον ἐπενόησαν. ἀλλὰ μηδεὶς περὶ πασῶν ταῦτα εἰρῆσθαι νομιζέτω. οὐ γὰρ οὕτως ἄθλιός εἰμι, ὡς ὁμοῦ πάντα συμφύρειν καὶ συγχεῖν. περὶ γὰρ τῶν ὑπευθύνων καὶ ταῦτα εἴρηται, καὶ τὰ μετὰ ταῦτα εἰρήσεται. ὥσπερ γὰρ οὐκ ἀρκούντων τούτων εἰς βλάβην, ἄνδρας τινὰς οὐδαμόθεν αὐταῖς προσήκοντας λαβοῦσαι συγκατακλείουσι, καὶ τὸν πάντα συνοικίζουσι χρόνον, καθάπερ ἐνδεικνύμεναι καὶ διὰ τούτων, καὶ διὰ τῶν εἰρημένων, ὅτι ἄκουσαι ἐπὶ τὴν παρθενίαν εἱλκύσθησαν, καὶ βίαν ὑπομείνασαι τὴν ἐσχάτην· καὶ ταύτῃ παραμυθοῦνται τὴν βίαν καὶ τὴν ἀνάγκην. τί γάρ; οὐχὶ τοῦτον χεῖρον παρὰ πάντων, ὅταν ταῦτα γίνηται, λέγεται καὶ οἰκείων καὶ φίλων; ταύτας δεῖ ζῆν; ἀναπνεῖν δὲ ὅλως; ἀλλὰ μὴ διαπρίζεσθαι μέσας, ἢ κατορύττεσθαι ζώσας μετ' ἐκείνων αὐτῶν; καὶ γὰρ καὶ ταῦτα καὶ τούτων πολλῷ πλείονα ἅπαντες λέγουσι· καὶ δρόμος λοιπὸν ταῖς μαίαις καθ' ἑκάστην ἡμέραν ἐπὶ τὰς τῶν παρθένων οἰκίας, καθάπερ πρὸς τὰς ὠδινούσας, οὐχ ὥστε λοχεῦσαι τικτούσας (γέγονε μὲν γὰρ καὶ ἐπί τινων καὶ τοῦτο) ἀλλ' ὥστε διαγνῶναι, καθάπερ ἐπὶ τῶν ὠνουμένων θεραπαινίδων, τίς μὲν ἡ διεφθαρμένη, τίς δὲ ἡ ἀνέπαφος. καὶ ἡ μὲν ὑπήκουσε ῥᾳδίως τῇ δοκιμασίᾳ, ἡ δὲ ἀντεῖπε, καὶ αὐτῷ τούτῳ καταισχυνθεῖσα ἀπῆλθεν, εἰ καὶ μὴ διέφθαρτο. καὶ ἡ μὲν ἑάλω, ἡ δὲ οὐχ ἑάλω. καὶ αὕτη δὲ πάλιν οὐχ ἧττον ἐκείνης αἰσχύνεται, μὴ δυνηθεῖσα ἀξιόπιστος ἀπὸ τοῦ τρόπου φανῆναι, ἀλλὰ μαρτυρίας τῆς ἀπὸ τῆς ἐξετάσεως δεηθεῖσα. πόσων οὐκ ἄξια ταῦτα δακρύων; πόσων οὐκ ἄξια θανάτων; τίς δὲ οὕτω λίθινος καὶ ἀσυμπαθής, ὡς μὴ πυρωθῆναι καὶ τὰ τοῦ Φινεὲς παθεῖν; ἀλλ' ἐκεῖνος μέν, εἰ κατὰ τὸν καιρὸν ἐκεῖνον ταύτην οἶδε γινομένην τὴν ἀσχημοσύνην, οὐκ ἂν αὐτῶν ἐφείσατο, ἀλλ' ἐποίησε κἂν ταὐτό, ὅπερ καὶ ἐπὶ τῆς Μαδιανίτιδος τότε εἰργάσατο· ἡμεῖς δὲ (οὐ γὰρ ἐφεῖται ἁρπάσαι μάχαιραν, οὐδὲ κεντῆσαι τῷ σειρομάστῃ τοὺς τὰ τοιαῦτα πλημμελοῦντας) πάσχομεν ταῦτα, ἅπερ ἐκεῖνος ἔπαθεν ὁ

ἄγιος· οὐ δρῶμεν δὲ ταῦτα, ἀλλ' ἑτέρως παραμυθούμεθα τὴν ὀδύνην, διὰ ὀδυρμῶν καὶ θρήνων. δεῦρο οὖν συναλγήσατέ μοι καὶ συστενάξατε, ὅσαι ταύτης ἐκτός ἐστε τῆς αἰχμῆς. αἱ γὰρ ἄθλιαι καὶ ταλαίπωροι ἐκεῖναι καὶ ἀναλγησίᾳ ἴσως μετὰ τῶν ἄλλων νοσοῦσι κακῶν. ἀλλ' ὑμεῖς αἱ τοῦτον ἀναδεξάμεναι τὸν βίον, καὶ τοῦ νυμφῶνος καταξιούμεναι καὶ τοῦ νυμφίου, καὶ φαιδρὰς ἔχουσαι τὰς λαμπάδας, καὶ τῷ τιμίῳ τῆς παρθενίας παντὸς διαδήματος βασιλικοῦ μᾶλλον κοσμούμεναι στεφάνῳ, δακρύσατε σὺν ἡμῖν καὶ πικρὸν ἀνοιμώξατε. οὐ μικρὸν τοῦτό ἐστι φάρμακον καὶ εἰς διόρθωσιν τῶν τὰ ἀνίατα νοσούντων, καὶ εἰς παραμυθίαν τῶν τὰ ἐκείνων ὀδυρομένων. τοῦτο καὶ ὁ νυμφίος ὁ ὑμέτερος πεποίηκέ ποτε. τὴν γὰρ Ἱερουσαλὴμ πρὸς ἔσχατον ἀπωλείας κατενεχθεῖσαν ἰδὼν, καὶ οὐκ ἔτι δυναμένην ἀνενεγκεῖν ἀπὸ τῆς ἀρρωστίας, ἐδάκρυσε· καὶ ἐπὶ τῆς Βηθσαϊδᾶ συμβουλίαις μὲν οὐκ ἐχρήσατο λοιπὸν, οὐδὲ σημείοις, ταλανισμῷ δὲ μόνον, ὃ καὶ συνεχῶς ἐπιλέγων ταῖς πόλεσι, καθάπερ ἐπὶ τῶν ψυχορραγούντων ποιοῦμεν ἡμεῖς. καὶ ὁ μακάριος δὲ Παῦλος τὸν διδάσκαλον τὸν ἑαυτοῦ μιμούμενος, οὐκ ἐπαύσατο πάντα τὸν βίον τοὺς πεσόντας, καὶ ἐν αὐτῷ τῷ πτώματι μένοντας, καὶ οὐκ ἐθέλοντας ἀναστῆναι λοιπὸν, ὀλοφυρόμενος οὕτω πικρῶς, ὡς καὶ μετὰ διορισμοῦ τινος ἰσχυροτέρου τοῖς Ῥωμαίοις αὐτὸ διὰ τοῦτο ἐπιστέλλειν καὶ λέγειν· Ὅτι λύπη μοί
Ρωμ. θ. β.
ἐστι μεγάλη, καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου* ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου τῶν κατὰ σάρκα. ἴδε ὅσην ἔχει τὰ ῥήματα ἔμφασιν, ὅσον πόνον καρδίας παρίστησι. καὶ τῶν πιστῶν δὲ τοὺς χωλεύοντας καὶ κλυδωνιζομένους οὕτω πενθεῖ, ὡς αὐτὸς ἐν ἐκείνοις τυγχάνων τοῖς κακοῖς. Τίς γὰρ, φησιν, ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; καὶ οὐκ εἶπε, λυποῦμαι, ἀλλὰ, πυροῦμαι, τὸ ἀφόρητον καὶ ἀνήκεστον τῆς ὀδύνης διὰ τῆς πυρώσεως παραστῆσαι βουλόμενος. μιμησώμεθα τοίνυν καὶ ἡμεῖς καὶ τὸν δεσπότην τὸν ἡμέτερον, καὶ τὸν ὁμόδουλον. καὶ γὰρ οὐδὲ μικρὸς ἡμῖν κείσεται μισθὸς τῶν ὀδυρμῶν τούτων καὶ τῶν θρήνων, ὥσπερ οὐδὲ ἡ τυχοῦσα ἐπίκειται μέμψις παρὰ τοῦ Θεοῦ τοῖς τὰ τῶν οἰκείων μελῶν κακὰ ἀσυμπαθῶς παρατρέχουσι. καὶ τοῦτο τὸ μὲν ἀπὸ τοῦ καρτερικωτάτου ἀνδρὸς Ἰεζεκιὴλ ἔστιν ἰδεῖν, τὸ δὲ ἀπὸ τοῦ μακαρίου Μιχαίου. ὁ μὲν γάρ φησιν, ὅτι, τῶν Ἰουδαίων εἰς ἐσχάτην κακίαν ἐληλακότων, καὶ πρὸς τὴν τῶν εἰδώλων" αὐτομολησάντων, προσέταξεν ὁ Θεὸς δοῦναι σημεῖον ἐπὶ τὰ πρόσωπα τῶν στεναζόντων καὶ κατοδυνωμένων ἐπὶ τοῖς γινομένοις. οὐδὲ γὰρ ἁπλῶς στένειν χρὴ, ἀλλὰ καὶ κατοδύρεσθαι. καίτοιγε οὐδὲν εἶπον, οὐδὲ ἔπραξαν ἐκεῖνοι πρὸς τὴν τῶν γινομένων διόρθωσιν. ἀλλ' ἐπειδὴ τὰ παρ' ἑαυτῶν εἰσήνεγκαν μόνον, τοσαύτῃ τετίμηνται τιμῇ παρὰ τοῦ φιλανθρώπου Θεοῦ, ὡς καὶ ἀσφαλείας καὶ δόξης ἀξιωθῆναι πολλῆς. ὁ δὲ Μιχαίας μετὰ τῶν ἄλλων ἐγκλημάτων, τῆς γαστριμαργίας λέγω, καὶ τῆς μέθης, καὶ τῆς τῶν μύρων ἀλοιφῆς, καὶ τοῦτο ἐπήγαγε τὸ κατηγόρημα, τὸ τῆς ἀσυμπαθείας, οὕτω λέγων· Οὐκ ἔπασχον οὐδὲν ἐπὶ τῇ συντριβῇ τοῦ Ἰωσήφ. καὶ τοὺς τὴν Αἰλὰμ οἰκοῦντας πόλιν ἐκ τούτου διέβαλε πάλιν εἰπὼν, Ὅτι οὐκ ἐξῆλθον κόψασθαι οἶκον ἐχόμενον αὐτῆς. εἰ δὲ, ἔνθα ὁ Θεὸς ὀργίζεται, ὁ μὴ συμπάσχων τοῖς κολαζομένοις ἐγκαλεῖται, ὁ τοῖς εἰς κακίαν καταπίπτουσι μὴ συναλγῶν τίνος ἔσται συγγνώμης ἄξιος; καὶ μὴ θαυμάσῃς, εἰ, τοῦ Θεοῦ κολάζοντος, ἡμᾶς συναλγεῖν τοῖς κολαζομένοις δεῖ. οὐδὲ γὰρ αὐτὸς ὁ Θεὸς κολάζων βούλεται τοῦτο ποιεῖν. Οὐδὲ γὰρ θελήσω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, φησιν. εἰ τοίνυν ὁ τιμωρούμενος οὐ βούλεται τιμωρεῖσθαι, πολλῷ μᾶλλον ἡμᾶς συναλγεῖν χρὴ τοῖς κολαζομένοις. ἴσως αὐτοὺς" ἐκκαλεσώμεθα τούτῳ τῷ τρόπῳ, ἴσως" ἀνακλησώμεθα. εἰ γὰρ καὶ ἀπολώλασιν, ἀλλ' ὅμως τὴν λειπομένην παρεχώμεθα θεραπείαν, καὶ θρηνήσωμεν καὶ ὀλοφυρώμεθα, οὐ χοροὺς παραστήσαντες γυναικῶν, ἀλλ' ἕκαστος ἰδίᾳ καὶ καθ' ἑαυτὸν οὐ παρόντων ἐκείνων.

Εἰ δὲ βούλεσθε, καὶ ἐγὼ κατάρξομαι τοῦ μέλους ὑμῖν τούτου τοῦ χοροῦ. οὐδὲ γὰρ αἰσχυνοῦ-

β Κορ. ια. κθ.

Ιεζεκ. θ.

Αμως ς. ς.
Μιχ. α. ιβ.

Ιεζεκ. ιη. λβ.

* ηὐχόμην
ἐγὼ αὐ
ἀπὸ τοῦ
Χριστοῦ

ἰσ. λύπη
ἐρημίων

χ. Σαανὰν

ἰσ. ἐκκαλ
ἰσ. ἀνακ

μαι μετὰ Ἰερεμίου τοῦτο ποιῶν, καὶ Ἡσαΐου, καὶ Παύλου, καὶ πρό γε πάντων τούτων τοῦ δεσπότου. ἀρξώμεθα οὖν, ὡς ὁ Χριστὸς ἤρξατο πρῶτον, καὶ εἴπωμεν· οὐαί σοι, ψυχή· ἐπὶ ποίαν κληθεῖσα τιμὴν, διὰ τί τὴν τοῦ Θεοῦ φιλανθρωπίαν ἀθετεῖς; ποίαν λήψῃ χώραν διὰ τὴν ῥᾳθυμίαν τὴν σήν; οὐαί σοι, ὅτι αὐτὸς μὲν σε ἐπὶ τὰς παστάδας εἵλκυσε τὰς πνευματικὰς, σὺ δὲ ἑαυτὴν ἀπορρήξασα τῆς δόξης ἐκείνης, εἰς τὸ τοῦ διαβόλου κατηνέχθης πῦρ, καὶ πρὸς τὰς ἀνηκέστους κολάσεις, ἔνθα ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, ἔνθα οὐδεὶς ὁ παραμυθησόμενος, οὐδὲ χεῖρα ὀρέξων, ἀλλὰ σκότος πάντα καὶ ἀπορία καὶ θόρυβος καὶ κακὰ παραμυθίαν οὐκ ἔχοντα οὐδὲ πέρας. ταῦτά σοι πάντα ἡ τοῦ κόσμου φιλία πεποίηκε, καὶ τὸ προτιμῆσαι τοῦ οὐρανοῦ τὴν γῆν, καὶ τὸ μὴ θελῆσαι ἀκοῦσαι τῆς τοῦ νυμφίου φωνῆς συνεχῶς παραινούσης μηδὲν ἡμᾶς κοινὸν πρὸς τὰ παρόντα ἔχειν πράγματα. τίς σε, ἀθλία καὶ ταλαίπωρε, λοιπὸν ἐλεῆσαι δυνήσεται; κἂν γὰρ αὐτὸν εἴπῃς τὸν Νῶε, τὸν ἐν τῷ τῆς οἰκουμένης κλυδωνίῳ τὴν οἰκίαν ὁλόκληρον διασώσαντα καὶ πρὸς τοσαύτην στάντα ὀργὴν, κἂν τὸν Ἰὼβ καὶ τὸν Δανιὴλ, καὶ μετ' ἐκείνων τὸν Μωϋσέα καὶ τὸν Σαμουὴλ, κἂν τὸν πατριάρχην Ἀβραὰμ, οὐδείς σοι χεῖρα ὀρέξει λοιπόν. κἂν τῷ γένει προσήκουσα, κἂν θυγάτηρ, κἂν ἀδελφὴ, κἂν ἱκετηρίαν θῇς, καθάπερ ὁ πλούσιος ἐκεῖνος, πάντα εἰκῆ καὶ μάτην ἐργάσῃ. πῶς ἐξέπεσας ἐκ τοῦ οὐρανοῦ, οὐχ ἑωσφόρος οὖσα, οὐδὲ πρωῒ ἀνατέλλουσα, ἀλλ' αὐτῶν τῶν ἡλιακῶν ἀκτίνων λάμψαι δυναμένη μᾶλλον; πῶς ἐκάθισας ἔρημος; καὶ τοὺς πλείονας δὲ τῶν θρήνων τῶν ἐπὶ τῇ πόλει λεχθέντων ἐκείνῃ οὐκ ἄν τις ἁμάρτοι μεταφέρων ἐπὶ τὴν αἰχμάλωτον ταύτην ψυχὴν, τὴν μᾶλλον ἐκείνης αἰχμάλωτον. ἀλλὰ τάχα τῶν θρήνων ἅλις. ἅλις δὲ ὡς ἐν ″ γραφῇ καὶ βιβλίῳ. ἐπεὶ τούτων χωρὶς οὐδ' ἂν ὁ πᾶς ἡμῖν ἀρκέσειε χρόνος, ὥστε κατ' ἀξίαν ὀδύρασθαι τὴν τὰ τοιαῦτα παθοῦσαν ψυχήν. τί γὰρ ἄν τις ὀλοφύρετο πρῶτον; ὅτι τὸ τίμιον καὶ ἅγιον καὶ μέγα ὄνομα τοῦ Θεοῦ δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσι, καὶ ἡ δόξα αὐτοῦ βεβηλοῦται; ὅτι πρᾶγμα οὕτω σεμνὸν καὶ μέγα διαβέβληται; ἀλλ' ὅτι ψυχαὶ πολλαὶ διὰ τῶν σκανδάλων καταπίπτουσι τούτων; ἀλλ' ὅτι καὶ τὸ ὑγιαῖνον τοῦ χοροῦ μέρος τῇ τῆς ὑμετέρας δόξης ἀναχρώννυται κηλῖδι; ἀλλ' ὅτι τὸ ἄσβεστον καὶ ὑμῖν αὐταῖς, καὶ τοῖς συνοικοῦσιν ἀνάπτεται πῦρ; καὶ πῶς ταῦτα ἀνάγκη συμβῆναι, φησὶν, ὅταν ἔχωμεν δεῖξαι τὸ σῶμα ἡμῶν μὴ διεφθαρμένον, μηδὲ πεπορνευμένον; μάλιστα μὲν αὕτη ἡ ἐπίδειξις οὐχὶ νῦν, ἀλλὰ τότε ἔσται δήλη, κατὰ τὴν ἡμέραν ἐκείνην. μαίας γὰρ σοφία καὶ τέχνη τοσοῦτον δύναται μόνον ἰδεῖν, εἰ μῖξιν ἀνδρὸς οὐκ ἐδέξατο τὸ σῶμα· εἰ δὲ καὶ ἁφὴν ἀνελεύθερον, καὶ τὴν ἀπὸ τῶν φιλημάτων, καὶ τὴν τῶν περιπλοκῶν μοιχείαν διέφυγε καὶ φθορὰν, ἡ ἡμέρα δηλώσει τότε ἐκείνη, ὅταν ὁ ζῶν τοῦ Θεοῦ λόγος, ὁ τὰ κρυπτὰ τῶν ἀνθρώπων εἰς μέσον ἄγων, καὶ τοῖς λάθρα γινομένοις παρὼν, πάντα γυμνὰ καὶ τετραχηλισμένα πρὸ τῶν ἁπάντων ὀφθαλμῶν θῇ· τότε εἰσόμεθα καλῶς, εἰ τούτων ἐστὶ καθαρὸν σου τὸ σῶμα καὶ πάντοθεν ἄφθορον. πλὴν ἀλλ' οὐδὲν ὑπὲρ τούτων ἀκριβολογούμεθα, οὐδὲ φιλονεικοῦμεν· ἀλλὰ κείσθω τέως αὐτὸ πάντων τούτων ὑπερενηνέχθαι τῶν δικτύων, καὶ εἶναι πάντοθεν καθαρὸν, καὶ πάσης ἠλευθερώσθω βλάβης, καὶ μενέτω παρθένος ἡ παρθένος. τί τοῦτο πρὸς τὰ εἰρημένα παρ' ἡμῶν; καὶ γὰρ τὸ δεινότατον τοῦτο ἐστι καὶ μυρίων γέμον δακρύων, ὅτι τοσοῦτον ὑπέμεινε πόνον πάντοθεν τὸ σῶμα διατηροῦσα ἀκριβῶς, καὶ πάντα τὸν πόνον ἐξεκένωσε, καὶ τὸν μισθὸν ἐξέχεε διὰ τῆς εἰς τὸν Χριστὸν βλασφημίας· καὶ τῆς σαρκὸς φεισαμένη, τῆς δόξης οὐκ ἐφείσατο τοῦ Θεοῦ· ἀλλ' ὅπως μὲν ἀνέπαφον αὐτῇ μένοι τὸ σῶμα, πάντα ἐποίησεν· ὅπως δὲ ἐκεῖνος μὴ ὑβρίζοιτο, μηδὲ καταισχύνοιτο παρὰ τοῖς πολλοῖς, οὐδὲ λόγον ἔσχε τινά. εἴθε μὲν οὖν μὴ πάντα ἔπραττε καὶ ″ ἐπετήδευεν, ἐξ ὧν ἡ τοῦ Θεοῦ διεβάλλετο δόξα. καὶ πῶς τοῦτο ποιῶ, φησίν; ἄνδρας ἀποκλείουσα μετὰ σαυτῆς ἐπὶ τῆς οἰκίας, καὶ διαπαντὸς ″ σοι παρακαθίζουσα. εἰ γὰρ ἄνδρας ἐπιθυμεῖς ἔχειν συνοικοῦντας, οὐκ ἔδει παρθενίαν ἑλέσθαι, ἀλλ' ἐπὶ τὸν γάμον ἐλθεῖν·

συγγραφῇ

ἐπιτήδευ-

πολλῷ γὰρ βέλτιον γαμεῖν ἐκείνως, ἢ παρθενεύειν οὕτω. τὸν μὲν γὰρ τοιοῦτον γάμον οὔτε ὁ Θεὸς καταδικάζει, οὔτε ἂν ἄνθρωποι διαβάλλοιεν. τίμιον γάρ ἐστι τὸ πρᾶγμα, οὐδένα αἰσχῦνον, οὐδὲ πλῆττον. ἡ δὲ παρθενία αὕτη ἡ μετὰ ἀνδρῶν, πορνείας χαλεπωτέρων παρὰ πᾶσι διαβέβληται, καὶ τὴν οἰκείαν ἀπολέσασα τάξιν, κάτω που καὶ παρ᾿ αὐτὸ τῆς πορνείας ἐξεκυλίσθη τὸ βάραθρον. οὔτε γὰρ μετὰ τῶν παρθένων ἀνάσχοιτό τις ἂν ἀριθμῆσαι τὴν μὴ τὰ τοῦ Κυρίου μεριμνῶσαν, ἀλλὰ μυρίους ἐργαζομένην μοιχούς, οὔτε μετὰ τῶν γεγαμημένων. ἐκείνη μὲν γὰρ φροντίζει, ὅπως ἀρέσῃ ἑνὶ ἀνδρί· σὺ δὲ μυρίοις, καὶ τούτοις οὐ νόμῳ γάμου γνωρίμοις, ἀλλ᾿ ἑτέρῳ τινὶ τρόπῳ διαβεβλημένῳ καὶ κατεγνωσμένῳ παρὰ πάντων. ὅθεν δέδοικα μὴ τῆς χώρας ἑκατέρας ἐκβληθεῖσα, μετὰ τῶν ἠτιμωμένων γυναικῶν φυλῆς ταττομένη. καὶ γὰρ καὶ ἀπὸ τῆς προσηγορίας αὐτῆς εἴ τις ταῦτα ψηφίσασθαι βούλοιτο, οὐδὲ ἐνταῦθα πάλιν ἀντειπεῖν τι δυνησόμεθα. ὅταν γὰρ ἢ εἰς ἀγορὰν ἐμβάλωσιν, ἢ λόγος τις οἴκοι περὶ αὐτῶν γίνηται, οἱ διαλεγόμενοι περὶ τῆς ἀτόπου συζυγίας ταύτης, δηλῶσαι βουλόμενοι τὴν τοῦ δεῖνος, οὐ τὴν μητέρα καλοῦσιν (οὐδὲ γὰρ αὐτὸν ἔτεκεν) οὐδὲ τὴν ἀδελφὴν (οὐδὲ γὰρ τὰς αὐτὰς ἔλυσεν ὠδῖνας) οὐδὲ τὴν γαμετὴν (οὐδὲ γὰρ νόμῳ γάμου συνῴκησεν) οὐδὲ ἄλλο τι συγγενείας ὄνομα τῶν συγκεχωρημένων καὶ κατὰ νόμον κειμένων, ἀλλὰ τὸ ἀηδὲς καὶ καταγέλαστον (οὐδὲ γὰρ ἂν ἔγωγε" ἀνεχοίμην αὐτὸ εἰπεῖν· οὕτω μισῶ καὶ τὴν προσηγορίαν αὐτὴν καὶ ἀποστρέφομαι) καὶ προσίσταταί μοι καὶ ἡ ἐπωνυμία τῆς συνοικήσεως.

Ἀλλ᾿ οὐκ ἔτεκες, οὐδὲ ὠδίνεις; καὶ τί ταύτης τῆς ἀπολογίας αἰσχρότερον, τί δὲ ἀθλιώτερον, ὅταν ἀπὸ τούτων βούληται φαίνεσθαι παρθένος ἡ παρθένος, εἰς ἃ καὶ τῶν πορνευομένων πολλαὶ γυναῖκες καταφυγεῖν ἔχουσιν; ἀλλ᾿ ἐκεῖναι ἑτέρωθεν δῆλαι, φησιν, ἀσελγαίνουσαι. πόθεν ἑτέρωθεν, εἰπέ μοι; ἀπὸ τοῦ σχήματος, ἀπὸ τοῦ βλέμματος, ἀπὸ τοῦ βαδίσματος, ἀπὸ τῶν ἐραστῶν τῶν διισχομένων τούτοις. καλῶς μὲν ἡμῖν ὑπέγραψας τὸν χαρακτῆρα τῆς πόρνης γυναικός· ἀλλ᾿ ὅρα μὴ σαυτὴν περὶ ἐκείνης ἕλῃς τούτοις τοῖς τεκμηρίοις καὶ τοῖς ἐλέγχοις. καὶ γὰρ καὶ σὺ τοιούτους σεαυτῇ πολλοὺς κατασκευάζεις ἐραστάς, καὶ διὰ τῶν αὐτῶν δικτύων. εἰ δὲ μὴ ἵστασαι ἐπὶ τοῦ οἰκήματος καλοῦσα τοὺς παριόντας, ἀλλ᾿ ἔχεις ἔνδον συγκεκλεισμένους διὰ παντός" πολὺ χαλεπώτερον, δι᾿ ἕτερον μὲν οὐδέν, ἵνα δὲ ὀδύνην πληρώσῃς ἄτοπον τὴν ἐκείνου καὶ τὴν σαυτῆς· οὐ τὴν διὰ τῆς μίξεως λέγω. ἀλλὰ τί τὸ κέρδος, ὅταν καὶ ἡ διὰ τῶν ὀφθαλμῶν συνουσία τὸ αὐτὸ τοῦτο ἐργάζηται; ἐπεὶ εἰ μὴ τοῦτό ἐστι, μηδὲ ταύτην μοιχεύετε τὴν μοιχείαν, τίνος ἕνεκεν αὐτὸν ἔχεις οἴκοι; ποίαν αἰτίαν δικαίαν καὶ εὔλογον ἡμῖν ἐρεῖς; ἡ μὲν γὰρ γεγαμημένη τὸν γάμον ἐρᾷ, ἡ δὲ πορνευομένη τὴν ἀσέλγειαν· σὺ δὲ ἡ παρθένος ποίαν ἡμῖν προβαλῇ πρόφασιν εὐπρόσωπον καὶ δικαίαν; τί γὰρ τοῦτο περιεργάζῃ, φησίν, ὅταν μὴ συγκαθεύδωσι, μηδὲ συγγένωνται ἡμῖν οἱ συνοικοῦντες, καθάπερ ἐκείναις ἐκεῖνοι; μάλιστα μέν, καὶ τοῦτο πολλοὶ λέγουσι. καὶ τί τοῦτο, φησι; κατὰ τῆς ἑαυτῶν κεφαλῆς. εἰ μὲν κατὰ τῆς ἑαυτῶν κεφαλῆς μόνον, ὕστερον τοῦτο" ζητήσωμεν. καὶ ἤδη μὲν γὰρ σαφῶς ἀποδέδεικται, ἡνίκα τοῖς ἀνδράσι διελεγόμεθα, ὅτι οὐχ οἱ κακῶς λέγοντες μόνον, ἀλλὰ καὶ οἱ τὰς αἰτίας παρέχοντες εἰκῇ, τῆς ἐπὶ τῇ κατηγορίᾳ κειμένης εἰσὶν ὑπεύθυνοι τιμωρίας. πλὴν ἀλλὰ τοῦτο μὲν καὶ αὖθις ἀποδείξομεν πάλιν· τέως δ᾿ ἂν σε ἔρωμαι, τὸ ὁμοσκηνίας τὴν πρόφασιν ταύτης ἵνα ἂν ἔχῃς εἰπεῖν; ἀσθενής εἰμι, φησι, καὶ γυνή, καὶ οὐκ ἰσχύω μόνη ταῖς χρείαις ἀρκέσαι ταῖς ἐμαυτῆς. καὶ μήν, ὅτε τοῖς συνοικοῦσιν ὑμῖν ἐνεκαλοῦμεν, τἀναντία λεγόντων ἠκούομεν, ὅτι διὰ τὴν αὐτῶν διακονίαν ὑμᾶς κατέχουσι. πῶς οὖν αἱ καὶ τοὺς ἄνδρας ἀναπαῦσαι δυνάμεναι, ἐκ περιουσίας ἑαυταῖς γυναιξὶν οὔσαις οὐ δυνήσεσθε βοηθεῖν, ἀλλ᾿ ἑτέρων δεήσεσθε; καθάπερ γὰρ ἀνδρὶ ἀνήρ, οὕτω καὶ γυναικὶ γυνὴ ῥᾷον καὶ εὐκολώτερον συνοικήσειεν ἄν. ὅταν δὲ καὶ ἀνδράσιν ἐπιτηδειότεραι πρὸς ὑπηρεσίαν γίνησθε, πολλῷ μᾶλλον ὑμῖν αὐταῖς. ποῦ γάρ, εἰπέ μοι, χρήσιμος καὶ ἀναγκαία γένοιτ᾿ ἂν ἡ τοῦ

χ. αἰσχ

ἴσ. ἴσω

χ. ζητή

ἀνδρὸς κοινωνία; ποίαν δ᾽ ἄρα ὑμῖν παρέξει λειτουργίαν, ἣν γυναῖκα ἀδύνατον γυναικὶ παρασχεῖν; ἱστὸν ὑφᾶναι μετὰ σοῦ καὶ νῆσαι κρόκην καὶ στήμονα ἄρα τῆς γυναικὸς δυνήσεται μᾶλλον; καὶ μὴν τοὐναντίον ἐστίν. ὁ μὲν γὰρ, οὐδ᾽ ἂν ἐθέλῃ, μεταχειρίσαι τι τούτων εἴσεται, πλὴν εἰ μή που καὶ τοῦτο αὐτοὺς ἐδιδάξατε· ἀλλὰ τῆς γυναικὸς μόνης τὸ ἔργον ἐστίν. ἀλλ᾽ ἱμάτιον πλῦναι, καὶ πῦρ ἀνακαῦσαι, καὶ χύτραν ἑψεῖν; καὶ μὴν ταῦτα οὐκ ἔλαττον, ἀλλὰ καὶ βέλτιον ἀνδρὸς γυνὴ μεταχειρίζεσθαι δύναται. ποῦ οὖν σοι χρήσιμος ὁ ἀνήρ, εἰπέ μοι; ὅταν ἀποδόσθαι τι δέῃ καὶ πρίασθαι πάντως. ἀλλ᾽ οὐδὲ ἐνταῦθα ἔλαττον ἔχει τοῦ ἀνδρὸς ἡ γυνή. καὶ μαρτυρήσειεν ἂν ἡ ἀγορά· καὶ πάντες δὲ, ὅσοι ἱμάτια ὠνεῖσθαι βούλονται, παρὰ γυναικῶν τὰ πλείω τούτων ὠνοῦνται. εἰ δὲ αἰσχρὸν παρθένον ἐπ᾽ ἀγορᾶς ἑστάναι ἐπὶ συναλλάγμασιν, ὥσπερ οὖν καὶ αἰσχρὸν, μάλιστα μὲν τὸ συνοικεῖν ἀνδράσιν αἰσχρότερον. πλὴν ἀλλὰ καὶ τοῦτο τὸ ἔλαττον ἐκείνου διαφυγεῖν δυνατόν. ἢ γὰρ κόρῃ τῇ διακονουμένῃ, ἢ γραϊδίοις τὸ πᾶν ἐπιτρέψειας ἄν. ὅθεν δῆλον, ὅτι προφάσεις ταῦτα καὶ σκήψεις εἰσὶ καὶ προκαλύμματα ἀσθενείας. ποῖα προκαλύμματα ἀσθενείας, φησίν; εἰ γὰρ ἐπεθύμουν ἀνδρὸς καὶ γάμου καὶ τῆς τοιαύτης διαγωγῆς, τίς ὁ κωλύων ἦν; οὐκ ἐφεξῆς μετὰ παρρησίας τοῦτο ἐργάσασθαι, καὶ μήτε προσκροῦσαι Θεῷ, μήτε παρὰ ἀνθρώπων κατηγορεῖσθαι καὶ διαβάλλεσθαι; καὶ γὰρ καὶ ἐγὼ τοῦτό φημι, καὶ οὐ σὰ μᾶλλον, ἢ ἐμὰ ταῦτά ἐστι τὰ ῥήματα. ἢ γὰρ ἀνάγκη εἰπεῖν, ποῦ σοι τἀνδρὸς ἡ χρεία γένοιτ᾽ ἂν ἀναγκαία, ἢ τοῦτο δεῖξαι μὴ δυναμένην ἐκπέμπειν τὸν συνοικοῦντα κακῶς· ἑτέρως γάρ σε ἀπαλλαγῆναι τῆς ὕβρεως ταύτης οὐκ ἔνι. ταῦτα γὰρ, ἅπερ ἔφης, οὐχὶ σὰ μᾶλλον, ἢ τῶν ὑπὲρ τῆς σῆς ἀσχημοσύνης ἀλγούντων ἐστίν. ἔδει μὲν οὖν, εἰ καὶ μυριάκις χρήσιμος ἦν ἡ διακονία τἀνδρὸς, μηδὲ οὕτως αὐτὴν μετὰ τοσαύτης προΐεσθαι τῆς λοιδορίας. ὅταν γὰρ ἡ τοῦ Θεοῦ ὑβρίζηται δόξα, μηδεμία οὕτως ἔστω πρόφασις ἀναγκαία, ὡς πεῖσαι τοσοῦτον κακὸν παριδεῖν. καὶ γὰρ εἰ μυριάκις ἀποθανεῖν τῆς ἡμέρας ὑπὲρ τοῦ μὴ γενέσθαι τοῦτο προὔκειτο, μετὰ πολλῆς ἔδει τῆς ἡδονῆς ὑπομεῖναι τοῦτο, ʺ μήτιγε ἀναπαύσεως ἕνεκεν καὶ κοσμικῆς χρείας τοσοῦτον παραδραμεῖν κακόν. ἄκουσον γοῦν πῶς αὐτὸ δέδοικεν ὁ Παῦλος καὶ τρέμει, καὶ δι᾽ ὅσης τῆς περιουσίας. Καλὸν γάρ μοι, φησὶν, ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ. εἶτα ἐκεῖνος μὲν, ἵνα μὴ κενωθῇ αὐτοῦ τὸ καύχημα, ἀποθανεῖν εἵλετο· ἡμεῖς δὲ, ἵνα σκάνδαλα ἀνέλωμεν, οὐδὲ μικρᾶς καταφρονοῦμεν ἀνέσεως; καὶ πῶς δυνησόμεθα σωθῆναί ποτε; καίτοι οὐκ ἴσον ἐστὶν, οὐδὲ κατὰ μικρὸν ἐγγύς, ἐγκωμίου τε ἀποστερηθῆναι καὶ κατηγορίᾳ περιπεσεῖν. ἐκεῖνος μὲν γὰρ, εἰ καὶ τοῦτο ἐγίνετο, οὐκ ἂν προσέκρουσε τῷ Θεῷ (αὐτὸς γὰρ αὐτῷ προσέταξεν ἐκ τοῦ εὐαγγελίου ζῆν) ἀλλ᾽ ὅμως ἡγεῖτο ʺ κρεῖττον ἀποθανεῖν, ἢ τὸ κατόρθωμα προδοῦναι· ἡμεῖς δὲ τὰ προστεταγμένα πανταχοῦ ʺ τάλλοντες, καὶ εἰδότες, ὅτι μεγίστην ὑπὲρ τούτων τίσομεν δίκην, οὐδὲ συνηθείας ἀναιροῦμεν καὶ ψυχρᾶς ὑπεροψίας ἀνεχόμεθα. καὶ τίς ἡμῖν ἔσται συγγνώμη; ἔδει μὲν οὖν, ὅπερ ἔφην, εἰ καὶ ἀνδρὸς μόνου αἱ πολλαὶ τὴν χρείαν ἐπεζήτουν, τοσαύτη δὲ ἀπὸ τοῦ πράγματος ἐτίκτετο ὕβρις, ἑλέσθαι μᾶλλον ἀποθανεῖν, ἢ τοῦτο γινόμενον περιιδεῖν. ὅταν δὲ καὶ διὰ γυναικὸς εὐκολώτερον ἢ καὶ ῥᾷον πάντα ἀνύηται, τίς ὑμῖν ἔσται συγγνώμη θρυπτομέναις οὕτω, καὶ εἰς τὴν ὑμετέραν ἐνυβριζούσαις σωτηρίαν; εἰπὲ δέ μοι, ὅταν σοι ταῦτα ἐκεῖνος παρέχῃ, παρέξεις τινὰ καὶ αὐτὴ διακονίαν αὐτῷ; πάντως που δῆλον. καὶ πόσῳ βέλτιον μήτε ʺ ἀντιδιδόναι τὰ τοιαῦτα, μήτε ἀντιλαμβάνειν, ἀλλὰ τὸν καιρὸν τῶν πόνων, ὃν εἰς τὴν ἀνάπαυσιν ἀναλίσκεις ἐκείνου, τοῦτον εἰς τὴν σαυτῆς δαπανᾶν, ἢ χαλεπωτέραν πονουμένην ἔτι καὶ καταισχύνειν ἑαυτῆς τὴν ὑπόληψιν. ἀλλ᾽ οὐδεμίαν αὐτῷ παρέχεις διακονίαν; οὐκοῦν αὐτὸν αὐτῷ πάντα ὑπηρετεῖν ἀνάγκη, καὶ στρωννύναι, καὶ ἑψεῖν, καὶ πῦρ ἀνακαίειν, καὶ τὰ ἄλλα δὲ τὰ τοιαῦτα ποιεῖν. ταῦτα δὲ οὐδ᾽ ἂν οἰκέτης ἀνάσχοιτο, μηδὲν παρὰ τοῦ δεσπότου καρπούμενος, ὑπηρετεῖν. ἀλλ᾽ οὗτος ἀ-

νέχεται

μήτοιγε

α. Κορ. θ. 15.

μᾶλλον

παρέπον-
τες,

ἀποδιδόναι

νέχεται πάντα, φησὶ, διὰ τὸν τοῦ Θεοῦ φόβον, καὶ τὸν ἀποκείμενον ὑπὲρ τῆς διακονίας ταύτης μισθὸν, καὶ χαίρειν ἡγήσεται ἐπιταττόμενος πρὸς" τὸ μηδὲν καρποῦσθαι παρ' ἡμῶν. πόθεν οὖν λοιπὸν ἐμφράξωμεν τὰ τῶν ἀναισχύντων στόματα; εἰ γὰρ τοσαύτην αὐτῷ μαρτυρεῖς εὐλάβειαν, καὶ οὕτω τρέμει καὶ δέδοικε τοῦ Θεοῦ τὰ προστάγματα, ὡς ἀνδραπόδου πάντως εὐτελέστερον ἑαυτὸν καθορᾶν, καὶ πάντα ὑφίστασθαι μηδὲν καρπούμενον παρὰ σοῦ, πρὸ πάντων τούτων τῆς δόξης αὐτὸν καὶ τῆς εὐφημίας ἔδει φροντίσαι τοῦ Θεοῦ· νῦν δὲ οὐκέτι τῆς αὐτῆς ψυχῆς ὁμοῦ, καὶ κατὰ τὸν αὐτὸν χρόνον τοσαύτην πειθώ τε καὶ ὑπεροψίαν ἐπιδείκνυσθαι περὶ τὰ προστάγματα τοῦ Θεοῦ· καὶ νῦν μὲν αὐτὰ τρέμειν, νῦν δὲ μηδένα λόγον ποιεῖσθαι αὐτοῦ τοῦ θέντος τοὺς νόμους ὑβριζομένου. τὸ μὲν γὰρ ἡδονῆς καθαρεύοντα, καὶ μηδὲν ὅλως ἀνθρώπινον πάσχοντα κόπτεσθαι καὶ ταλαιπωρεῖσθαι καὶ ταπεινοῦν ἑαυτὸν, καὶ τοῖς οἰκείοις μόχθοις ἑτέροις παρασκευάζειν ἀνάπαυσιν, φιλοσόφου σφόδρα ψυχῆς καὶ ἐπτερωμένης· τὸ δὲ μὴ ὑβρίζειν εἰς τὴν τοῦ Θεοῦ δόξαν, μηδὲ ταῦτα ποιεῖν, δι' ὧν ἂν βλασφημηθείη παρὰ πολλῶν, καὶ τῶν οὐ σφόδρα μεγάλων πολλοὶ κατωρθώκασι. πῶς οὖν σοι πιστεύσομεν, ὅτι τοῦτο διὰ τὸν Θεὸν καὶ τὸν τῆς ἀσκήσεως τόνον ποιεῖς, ὃ μεγάλης καὶ νεανικῆς δεῖται ψυχῆς, ὅταν ἐκεῖνο, ὅπερ ἐλάττονός ἐστι καὶ τῆς τυχούσης, ὑπερορᾷς; οὐκ ἀνέχῃ ἀποστῆναι τούτων, ἐξ ὧν ὁ Θεὸς ὑβρίζεται, καὶ τὸ σῶμα καὶ πάντα προδίδως ὑπὲρ τῶν δοκούντων αὐτῷ; καὶ τίς ἂν ταῦτα "παθεῖν ἀνάσχοιτο;

Ἀλλὰ γὰρ οὐκ οἶδα πῶς ἀπὸ τῶν παρθένων πρὸς τοὺς συνοικοῦντας αὐταῖς ἐξέβην. διὸ δὴ πάλιν πρὸς αὐτὰς ἐπανιτέον ἡμῖν. πόθεν οὖν τοὺς ταῦτα κατηγοροῦντας καὶ σκανδαλιζομένους ἡμᾶς δυνησόμεθα πεῖσαι; καὶ μὴ πειθέσθωσαν, φησί. καὶ ποῦ τοῦτο ψυχῆς εὐλαβοῦς; τῶν γὰρ κακῶς λεγόντων τότε χρὴ καταφρονεῖν, ὅταν ἡμεῖς αὐτοῖς μὴ παρέχωμεν λαβάς· μᾶλλον δὲ οὐδὲ τότε, ἐπειδὰν δυνώμεθα ἐπιστομίζειν αὐτούς. ὅταν δὲ ἐξ ἡμῶν γίνηται τὸ πᾶν, ἐπὶ τὴν ἡμετέραν "τρέπεται κεφαλὴν ἅπαν τὸ πῦρ. Οὕτω γὰρ ἁμαρτάνοντες, φησὶν, εἰς τοὺς ἀδελφοὺς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε. ᾔδει γὰρ, ᾔδει σαφῶς, ὅτι οὐκ ἀρκεῖ πρὸς ἀπολογίαν ἡμῖν ἡ τῶν πληττομένων ἀσθένεια· ἀλλ' αὐτὸ μὲν οὖν τοῦτο καὶ μάλιστά ἐστι τὸ καταδικάζον ἡμᾶς. ὅσῳ γὰρ ἂν καθαρεύωμεν τῆς πληττούσης αἰτίας, τοσούτῳ δίκαιοι μᾶλλον ἂν εἴημεν φείδεσθαι τῆς ἀσθενείας ἡμῶν. καὶ οὔπω λέγω, ὅτι ἐνταῦθα οὐδὲ ἀπεικότως πλήττονται· ἀλλὰ κείσθω ἀλόγως αὐτοὺς ὑπομένειν τοῦτο· οὐδὲ γὰρ οὕτως αὐτῶν ἀφειδεῖν χρή. καὶ ταῦτα Ῥωμαίοις ἐπιστέλλων ὁ Παῦλος, ἡμᾶς ἐπαίδευσεν οὕτω λέγων· Μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ Θεοῦ. καίτοιγε ἄλογος ἦν ἡ πληγὴ, ἀλλ' ὅμως οὐ τῷ πληττομένῳ, ἀλλὰ τῷ τὴν πληγὴν ἐπάγοντι ταύτην ἐπιτιμᾷ. ὅπερ γὰρ ἔφην ἤδη, τοῦτο καὶ νῦν ἐρῶ. ὅταν μὲν γὰρ μέγα τι γίνηται κέρδος καὶ τῆς πληγῆς μεῖζον, δεῖ τῶν σκανδαλιζομένων ὑπερορᾷν· ὅταν δὲ μηδὲν ᾖ πλέον, ἢ τοὺς ἀσθενεῖς καταβάλλεσθαι, κἂν μυριάκις ἐξ ἀλογίας τοῦτο πάσχωσιν ἐκεῖνοι, φείδεσθαι χρή. ἐπεὶ καὶ ὁ Θεὸς τοὺς ὠθοῦντας καὶ καταβάλλοντας ὑπὸ τὴν ἀπόφασιν ἄγει τῆς τιμωρίας. τὸ γὰρ μηδὲν κερδαίνοντα ἕτερον πλήττειν, τῆς ἐσχάτης πονηρίας ἐστί. καὶ ἡμεῖς δὲ ὅταν ἴδωμεν τινὰ δυσάρεστον "ἀπὸ μακρᾶς ἀρρωστίας γινόμενον, τοὺς προσκρούοντας αὐτῷ ἀκαίρως, τούτους τῆς οἰκίας ἀπελαύνομεν, καὶ οὐκ ἀκριβολογούμεθα, εἴτε δικαίως, εἴτε ἀδίκως ἐκεῖνοι τοῦτο ποιοῦσιν, ἀλλὰ πάσης αὐτοὺς ἀπολογίας ἐκβαλόντες, καὶ πολλὴν τούτῳ δόντες συγγνώμην, διὰ τὴν ἀσθένειαν, κἂν ἀδίκως προσκρούηται, ἐλεοῦμεν. εἰ δὲ ἡμεῖς τοσαύτῃ καὶ περὶ τοὺς οἰκέτας, καὶ περὶ τοὺς παῖδας προνοίᾳ κεχρήμεθα, καὶ υἱὸν πολλάκις τοιαῦτα πλημμελοῦντα μαστιγοῦμεν, πολλῷ μᾶλλον ὁ ἀγαθὸς Θεὸς καὶ χρηστὸς καὶ ἐπιεικὴς τοῦτο ἐργάσεται. τί λέγεις; ἀσθενής ἐστιν ὁ πληττόμενος; οὐκοῦν φείδου, οὐ πληγῆς ἐστιν ἄξιος. τραύματα ἔχει; μὴ τοίνυν ἐπιτείνωμεν, ἀλλ' ἰασώμεθα. ὑποπτεύει πονηρῶς καὶ ἀλογίστως;

α. Κορ. η. ιβ.

Ῥωμ. ιδ. κ.

ἴσ. τῷ

γίστως; οὐκοῦν ἀνέλωμεν τὴν ὑποψίαν, μὴ ἐπιτείνωμεν. εἰς γὰρ Χριστὸν αὐτὸν ἀμφιτολμεῖς τοιαῦτα φιλονεικοῦσα. ἢ οὐκ ἀκούεις συνεχῶς ἐν μὲν τῇ παλαιᾷ τοῦ Μωϋσέως λέγοντος, ὅτι Θεός ἐστι ζηλωτής· αὐτοῦ δὲ, Ὅτι ἐζήλωκα τὴν Ἱερουσαλήμ· ἐν δὲ τῇ καινῇ τοῦ Παύλου βοῶντος, Ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ; τοῦτο εἰ καὶ μηδὲν ἕτερον ἄλλο, ἱκανὸν ἦν τὴν μὴ σφόδρα νοσοῦσαν καὶ ἀπηλγημένην ἐπιστρέψαι ψυχήν. οὕτω γὰρ φοβερὸν ὂν, ἡδὺ μᾶλλόν ἐστιν, ἢ φοβερόν. οὐ γὰρ ἂν ζῆλός ποτε γένοιτο, μὴ θερμῆς τινος καὶ ζεούσης προϋποκειμένης ἀγάπης. ὥστε τῆς σφοδρᾶς καὶ πεπυρωμένης τοῦ Θεοῦ φιλίας τεκμήριον τοῦτό ἐστιν. οὐδὲ γὰρ πάθος ἐστὶν ὁ ζῆλος ἐπὶ Θεοῦ, ἀλλὰ τὴν ἄφατον αὐτοῦ φιλοστοργίαν ἑρμηνεῦσαι βουλόμενος, τούτῳ πολλάκις ἀποκέχρηται τῷ ὀνόματι. ἀλλ' ὅμως ἡμεῖς οἱ σφόδρα ἀναίσθητοι πρὸς τὰς ἀνθρωπίνας καταπίπτομεν συμπαθείας· καὶ τὸν μὲν οὕτως ἡμῶν σφοδρῶς ἐρῶντα καθυβρίζομεν, τοὺς δὲ οὐδὲν δυναμένους ὠφελῆσαι παντὶ τρόπῳ θεραπεύομεν. τί γάρ σε, ὦ ταλαίπωρε, τοσοῦτον ὀνῆσαι δυνήσεται ἡ ψυχρὰ αὕτη συνοίκησις, ὅσων ἐκβάλλει σε θησαυρῶν; σκόπει δέ. κατάγει σε ἐκ τῶν οὐρανῶν, τοῦ νυμφῶνος ἀποστερεῖ τοῦ πνευματικοῦ, διαζεύγνυσί σε τοῦ οὐρανίου νυμφίου, προξενεῖ τὴν ἀθάνατον κόλασιν, τὰ βασανιστήρια τὰ τέλος οὐκ ἔχοντα. ἀντὶ τούτων, εἰ τὰ μέτρια χρυσίου παρέχει ὁ συνοικῶν μωρία, εἰ τῶν ἀργυρωνήτων σοι μᾶλλον ὑπέκειτο ἀνδραπόδων, εἰ τῆς βασιλίδος αὐτῆς ἐν πλείονί σε καὶ τιμῇ καὶ ἀναπαύσει καθίστη, ἆρα οὐχ ὡς λυμεῶνα καὶ ἐχθρὸν, καὶ μείζονα ἀφαιρούμενον ἢ διδόντα, οὕτω μισεῖν καὶ ἀποστρέφεσθαι ἔδει; περὶ τῶν ἐν τοῖς οὐρανοῖς ἀγαθῶν ὁ λόγος σοι πρόκειται, περὶ τῆς ἐκεῖ βασιλείας, περὶ τῆς ἀθανάτου ζωῆς, περὶ τῆς ἀπορρήτου δόξης· σὺ δὲ γηΐνων μνημονεύεις πραγμάτων, καὶ τὸν ἐν ἐκείνοις χρήσιμον εἶναι δοκοῦντα θεραπεύεις, ὥσπερ δεσπότην· καὶ οὐ καταδύῃ, οὐδὲ εὔχῃ διαρραγῆναί σοι τὴν γῆν, καὶ οὕτως ἐντεῦθεν ἀπελθεῖν, ἀλλ' ἀσθένειάν μοι προβάλλῃ γυναικείας φύσεως καὶ χρειῶν ἀνθρωπίνων οἰκονομίαν, καὶ ἀνάπαυσιν τὴν κατὰ τὴν οἰκίαν, πλάττουσα καὶ συνθεῖσα τὰς οὐκ οὔσας προφάσεις; ἀλλ' οὐδ' οὕτω λήσεις τοὺς νοῦν ἔχοντας. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἀνάπαυσις ἡ καταναγκάζουσα τοσαῦτα ἀσχημονεῖν. γυνὴ γὰρ, εἰ βουληθείη, οὐχ ἑαυτῇ μόνον, ἀλλὰ καὶ ἑτέροις ἀρκέσει πλείοσιν εἰς διακονίαν· ἐπεὶ καὶ ἐξ ἀρχῆς, τοῦ μὲν ἀνδρὸς τὰ πολιτικὰ πράγματα λαχόντος, τὸ οἰκουρεῖν αὐτὴν καὶ οἰκονομεῖν τὰ ἔνδον ἅπαντα ἐκληρώσατο. οὐ τοίνυν ἀναπαύσεως δεόμεναι, ἕλκετε τοὺς ἄνδρας ἔνδον. ἀλλὰ τί φησι; πορνείας ἕνεκεν καὶ ἀσελγείας; ἐγὼ μὲν οὐκ ἂν εἴποιμι τοῦτο (μὴ γένοιτο) ἀλλὰ καὶ τοῖς λέγουσιν ἐπιτιμῶν οὐ παύομαι· εἴθε δὲ καὶ πεῖσαι δυνατὸν ἦν.

Ἐξοδ. κ. ε.
Ζαχ. α. ιδ.
β. Κορ. ια. β.

Τίς οὖν ἐστιν ἡ πρόφασις ἡ ποθεινὸν ὑμῖν τὸ πρᾶγμα ποιοῦσα, φησί; κενοδοξίας ἔρως; καὶ καθάπερ ἀνδράσιν ἡδονὴ ψυχρὰ καὶ ταλαίπωρος, οὕτω καὶ ταύταις φιλοτιμίας ἐπιθυμία τὴν ὁμοσκηνίαν ταύτην ἐργάζεται· κενόδοξοι μὲν ἅπαν, ὡς εἰπεῖν, τὸ τῶν ἀνθρώπων ἔθνος, μάλιστα δὲ τὸ γυναικεῖον γένος. ὅταν γὰρ μήτε ἀναπαύσεως δέωνται, καθάπερ ἀποδέδεικται, μήτε διαφθείρωνται μετ' αὐτῶν, εὔδηλον ὅτι τοῦτο λείπεται * μόνον. ἐπεὶ οὖν αὐτὴν τοῦ κακοῦ τὴν ῥίζαν εὑρήκαμεν, φέρε λοιπὸν τὸ ἔγκλημα ἀφέντες, παραινῶμεν καὶ πείθωμεν, ὅτι καθάπερ τῶν ἀνδρῶν οἱ συνοικοῦντες αὐταῖς δοκοῦσι μὲν ἡδονὴν καρποῦσθαι, πλείονι δὲ περιβάλλονται βασάνῳ (καὶ γὰρ ἐκείνη μόνη καθαρὰ γένοιτ' ἂν ἡδονὴ καὶ μόνιμος ἡ τοῦ χαρισμοῦ) οὕτω δὴ καὶ ταύταις δοκεῖ μὲν, ὡς αὗται νομίζουσι, δόξα τις ἐντεῦθεν καὶ περιφάνεια τίκτεσθαι· εἰ δὲ ἀκριβῶς τις ἐξετάσειε, γέλωτος καὶ αἰσχύνης καὶ ὀνειδῶν καὶ τῆς ἐσχάτης ἐμπίπλανται ἀδοξίας. καὶ ὑπὲρ τούτων εἴρηται μὲν ἡμῖν καὶ ἐν ἀρχῇ βραχέα, εἰρήσεται δὲ καὶ νῦν. ἔστω γὰρ ὁ συνοικῶν, εἰ βούλει, μὴ τῶν εὐτελῶν τις, μηδὲ τῶν ἀπερριμμένων, ἀλλὰ τῶν πολλὴν ἐν ἐκκλησίᾳ δύναμιν ἐχόντων· καὶ ἐπὶ γένους δὲ λαμπρότητι, καὶ ἐπὶ λόγων δυνάμει καὶ εὐλαβείᾳ θαυμαζέσθω παρὰ πᾶσι, καὶ πανταχόθεν ἔστω λαμπρός. οὐδὲ γὰρ οὕτω δυνή-

σι δὲ ταύτην ποιῆσαι περιφανῆ καὶ εὐδόκιμον. τὸν γὰρ μέλλοντα καρποῦσθαι δόξαν ἐκ τῆς πρός τινα φιλίας, τὴν ἐκείνου δόξαν περιέπειν καὶ φυλάττειν δεῖ τοῦ παρέχοντος τὸ δοξάζεσθαι· ὡς εἴ γε ταύτην λυμαίνοιτο, πολλῷ μᾶλλον ἂν τὴν ἑαυτοῦ καταβάλλοι. ὥσπερ γὰρ πηγῆς διαφθειρομένης καὶ τὰ προχεόμενα κοινωνήσει νάματα τοῦ μολυσμοῦ, καὶ ῥίζης σηπομένης πολλῷ μᾶλλον ὁ καρπός· οὕτω καὶ νῦν τοῦ μέλλοντος τὴν παρθένον δεικνύναι λαμπρὰν γαμουμένου καὶ καταγελάστου διὰ τῆς συνοικήσεως, αὐτὴ παρ' ἐκείνου μετ' ἐκείνου κοινωνήσει τοῦ γέλωτος. κἂν τύχῃ τις τῇ γυναικὶ χρηστὴ παρὰ πολλοῖς προϋπάρχουσα δόξα, καὶ ταύτην εἰσελθὼν ἐκεῖνος ἀπελάσει τῆς οἰκίας· τοσοῦτον ἀπέχει καὶ ἑτέραν προσθεῖναι τοιαύτην. κἂν αὐτὸς ἔχῃ πάλιν τοιαύτην ὑπόληψιν, τοῦτο καὶ αὐτὸς πείσεται. οὐκ ἄρα δόξαν ὑμῖν χρηστὴν προστίθησιν αὕτη ἡ κοινωνία τῆς συνοικήσεως, ἀλλὰ καὶ τὴν οὖσαν ἀναιρεῖ, καὶ τὴν οὐκ οὖσαν ἐπάγει πονηρὰν ἀμφοτέροις. καὶ ὅπερ περὶ τῶν Ἰουδαίων ὁ προφήτης εἶπεν, εὔκαιρον νῦν εἰπεῖν· Εἰ ἀλλάξεται αἰθίοψ τὸ δέρμα αὐτοῦ, καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς, καὶ οἱ ταύταις συνοικοῦντες τὴν κηλῖδα ἀποθήσονταί ποτε ταύτην. οὕτω, καθάπερ τις καυτὴρ σώματι, ταῖς ἀμφοτέρων ὑπολήψεσιν ἐγκάεται, ἐπισκοτοῦσα πᾶσιν αὐτῶν τοῖς καλοῖς. ἀλλ' ἴσως δόξαν ἡγοῦνται αὐταὶ τοῦτο, τὸ κεκρατηκέναι τῶν ἀνδρῶν. ἀλλ' οὗτός ἐστιν ὁ πολὺς γέλως, καὶ ὃ μάλιστα αἱ ἑταιριζόμεναι ἐγκαλλωπίζονται μόναι. οὐδὲ γὰρ δὴ γυναικῶν ἐλευθέρων, οὐδὲ σωφρόνων τὸ τούτοις ἐναβρύνεσθαι τοῖς δικτύοις· ἐπεὶ καὶ αὕτη πάλιν ἑτέρας ὑπόθεσις ἀτιμίας. καὶ ὅσῳπερ ἂν κρατῶσι τῶν ἀνδρῶν, καὶ χαλεπώτερα ἐπιτάττωσι, τοσούτῳ μᾶλλον ἑαυτὰς καταισχύνουσι μετ' ἐκείνων. οὐδὲ γὰρ ἡ δουλουμένη τοὺς ἄνδρας γυνή, ἀλλ' ἡ αἰδουμένη, αὕτη πᾶσίν ἐστιν αἰδέσιμός τε καὶ ἐπίδοξος. εἰ δὲ οὐκ ἀνέχοιντο τῶν ῥημάτων τῶν ἡμετέρων, ὁ τοῦ Θεοῦ νόμος αὐτὰς ἐπιστομίσαι δυνήσεται, λέγων οὕτω· Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει· καὶ, Κεφαλὴ γυναικὸς ὁ ἀνήρ. καὶ ἑτέρωθεν δὲ εὕροι τις ἂν πολλαχόθεν τοῦτο οὕτω νενομισμένον, καὶ ταύτην ἄνωθεν οὖσαν τὴν τάξιν. ὥστε ἀσχημοσύνη μεγάλη, ὅταν τὰ ἄνω κάτω γένηται· κάτω μὲν ἡ κεφαλή, τὸ δὲ σῶμα ἄνω. εἰ δὲ ἐπὶ γάμου τοῦτο αἰσχρόν, πολλῷ μᾶλλον ἐπὶ ταύτης τῆς συζυγίας, ἔνθα οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, ὅτι νόμου παράβασίς ἐστι τὸ γινόμενον θείου, ἀλλ' ὅτι πονηροτέραν καὶ ἑαυτῷ καὶ τῇ γυναικὶ περιτίθησι δόξαν. εἰ γὰρ τὸ συνοικεῖν αἰσχρόν, πολλῷ δήπου τὸ συνοικοῦσαν δουλοῦσθαι. οὐδὲ γὰρ πανταχοῦ τὸ κρατεῖν ἔπαινον φέρει· ἀλλ' ἔστι καὶ μὴ κρατοῦσαν εὐδοκιμεῖν, καὶ κρατοῦσαν ἀσχημονεῖν. ὥστε, εἰ βούλει θαυμάζεσθαι παρὰ ἀνδράσι, μηδέν σοι κοινὸν ἔστω πρὸς αὐτούς, πόρρω καὶ συνουσίας καὶ ὄψεως καὶ συνοικήσεως γίνου τῆς ἐκείνων. τότε σε καὶ γυναῖκες ἐκπλαγήσονται, καὶ ἄνδρες θαυμάσονται πάντες ὁμοῦ, ἅτε παρθένον οὖσαν, καὶ τῷ νυμφίῳ προσεδρεύουσαν ἀπερισπάστως· τότε σε οὐκ οἱ οἰκεῖοι μόνον, ἀλλὰ καὶ Ἕλληνες καὶ Ἰουδαῖοι καὶ πᾶν τὸ τῶν ἀνθρώπων ἀποδέξεται γένος. ὥστε εἰ δόξαν ζηλοῖς, ταύτην ὅδευε τὴν ὁδόν, μὴ τὴν ἐναντίαν. τότε σε οὐκέτι τὴν τοῦ δεῖνος καλέσουσι, καὶ τοῦ δεῖνος, ἀλλὰ τὴν τοῦ Χριστοῦ. τούτου δὲ κόσμος ἕτερος ἴσος οὐκ ἄν σοί ποτε γένηται παρ' οὐδενός. ἢ μικρὰ ταῦτα, εἰπέ μοι, καθ' ἑκάστην ᾀδόμενα τὴν ἡμέραν καὶ ἐν ἀγορᾷ, καὶ ἐν οἰκίαις, καὶ ἐν ἑτέραις πόλεσιν, ἡ δεῖνα, κόρη τε οὖσα, καὶ νέα κομιδῇ, καὶ σφόδρα εὐπρόσωπος, πολλούς, εἴγε ἤθελεν, ἐπισπάσασθαι δυναμένη προστάτας, οὐκ ἠθέλησεν· ἀλλ' εἵλετο πᾶν ὁτιοῦν ὑπομεῖναι καὶ παθεῖν, ἢ τὴν τοῦ Χριστοῦ προδοῦναι φιλίαν, καὶ τὸ τῆς σωφροσύνης ἀληθῶς ἄνθος ἀφανίσαι; μακαρία εἶ, καὶ δίς, καὶ τρίς, καὶ πολλάκις. ὅσων ἀπολαύσεται ἀγαθῶν; οἷον δέξεται στέφανον; ὅσον καρπώσεται μισθὸν πρὸς αὐτὰς ἁμιλλωμένη τὰς ἀσωμάτους δυνάμεις; ταῦτα καὶ τὰ τοιαῦτα περὶ αὐτῆς πάντες ἐροῦσι, καὶ εἰς ζῆλον ταῖς ἑαυτῶν θυγατράσι προθήσουσι. κἂν κοσμίως βιοῦσάν τις προτρέψηται, κἂν διεφθαρμένην σωφρονίσαι βουληθῇ, τὰ ταύτης ἐγκώμια πάλιν ἅπαντες εἰς μέσον οἴσουσιν. οὐκ ἐν τούτῳ δὲ μόνον, ἀλ-

λὰ

Ιερ. ιγ. κγ.

Γεν. γ. ιϛ.

α. Κορ ια. γ.

χ. πημ

ἴσ. ὅ

χ. ζωπ

χ. κώμ

χ. σωφρ σαι

καὶ κἂν ἁπλῶς περὶ παρθενίας γίνηται λόγος, καὶ οὕτως αὐτὴν ἅπαντες ἐπαινέσονται, οὐχ οἱ κοσμίως ζῶντες μόνον, ἀλλὰ καὶ ἐκεῖνοι οἱ σπουδάσαντες καὶ πάντα πράξαντες ὥστε αὐτὴν ἀνελεῖν, εἶτα καταφρονηθέντες καὶ ὑπεροφθέντες. καὶ αὕτη μὲν τοσαύτης καὶ πολλῷ πλείονος τῆς εἰρημένης ἀπολαύσεται δόξης· ἡ δὲ ἔχουσα τοὺς συνοικοῦντας, τῶν ἐναντίων ἁπάντων. καὶ πρῶτον μὲν, ὅταν κατηγορῆται παρά τινων ἡ παρθενία μιαρῶν, ἥξουσι μὲν εἰς μνήμην ἀμφότεραι ἐν τοῖς τοιούτοις συλλόγοις· ἀλλ' ἡ μὲν τὰ τῶν ἀπολογουμένων, ἡ δὲ τὰ τῶν κατηγορούντων ἀνοίγουσα στόματα. ἔπειτα, ὅταν σωφρονισθῆναί τινα καὶ ῥυθμισθῆναι δέῃ, αὕτη μὲν, καθάπερ φάρμακον ἐπιστύφον καὶ σηπεδόνα ἀναστέλλειν δυνάμενον, εἰς μέσον ἄγεται, καὶ τὸ τοῦ διδασκάλου στόμα κοσμεῖ· ἐκείνη δὲ μετὰ τῆς καταισχυνθείσης ἕστηκε, κἂν μὴ παρῇ, κολαζομένη καὶ καταισχυνομένη. ἀνάγκη γὰρ καθ' ἑκάστην διαμαρτανοῦσαν, κατηγορεῖσθαι ταύτην καὶ καταισχύνεσθαι πάλιν· καὶ ὅτανπερ ἂν περὶ τοῦ πράγματος τούτου γίνηται λόγος, ὥσπερ ἐκείνη μακαρία, οὕτως ἀθλία αὕτη καὶ ταλαίπωρος, καὶ πάντα τὰ τοιαῦτα ἀκούσεται. καὶ ὥσπερ ἐκείνην οὐχ οἱ εἰδότες μόνον, ἀλλὰ καὶ οἱ ἀγνοοῦντες καὶ μηδὲν εὐεργετηθέντες ᾄδουσι καὶ ἀνυμνοῦσιν· οὕτω καὶ ταύτην οἵ τε εἰδότες, οἵ τε ἀγνοοῦντες, οἵ τε μηδὲν παθόντες κακὸν κακίζουσι καὶ διαβάλλουσιν. οἱ μὲν γὰρ ὀρθῶς ζῶντες οὐ παρὰ τῶν γνωρίμων μόνον, ἀλλὰ καὶ παρὰ τῶν ἀγνώστων, καὶ παρ' αὐτῶν δὲ τῶν ἐχθρῶν ἐπαινοῦνται καὶ θαυμάζονται· οἱ δὲ διεφθαρμένοι καὶ φαῦλοι καὶ παρὰ τῶν φίλων κακίζονται. καὶ τοῦτο δὲ τῆς τοῦ Θεοῦ κηδεμονίας ἔργον ἐστὶ, τὸ τοσαύτην περὶ τὴν ἀρετὴν οἰκειότητα ἡμῖν ἐντεθεῖναι, τοσαύτην δὲ περὶ τὴν κακίαν ἀλλοτρίωσιν, ὡς ἐκείνην μὲν πάντας ψηφίζεσθαι καὶ τοὺς μὴ μετιόντας, τὴν δὲ κακίαν καταδικάζειν καὶ τοὺς ἀποστρεφομένους αὐτὴν καὶ τοὺς διώκοντας. ὅθεν δῆλον ὅτι τὰς ἡμαρτημένας ταύτας οὐχ οἱ εἰδότες μόνον, ἀλλὰ καὶ οἱ ἀγνοοῦντες ἀποστρέφονται, καὶ μάλιστα πάντων αὐτοὶ οἱ συνοικοῦντες. κἂν γὰρ σφόδρα λέγωσιν ὑμᾶς φιλεῖν καὶ θαυμάζειν, κἂν χάριν ἔχωσιν ὑπὲρ ταύτης τῆς ἡδονῆς, ὑπὲρ αὐτῶν ὧν χαρίζεσθε, πάλιν μισεῖσθε κατὰ τὸ συνειδὸς τὸ ἐκείνων, ὅταν ποτὲ μικρὸν ἀνενεγκόντες ἐννοήσωσι τὴν παγίδα, ἐφ' ἧς ἑστήκασι. τοσοῦτόν ἐστιν ἡ κακία κακόν. καὶ οἱ μάλιστα πάντων θεραπευόμενοι παρ' ὑμῶν, οὗτοι μάλιστα πάντων εἰσὶν οἱ καταγινώσκοντες, ἐπειδὴ καὶ μάλιστα πάντων τὰ ὑμέτερα ἴσασιν, εἰς τὰ ἐνδότατα εἰσελθόντες, καὶ τὰ ἀπόρρητα ὑμῶν διακωδωνίσαντες. καὶ ὅτι μισοῦσι, δῆλον ἐκεῖθεν. μυριάκις ἂν εἵλοιντο τῆς ψώρας ἀπαλλαγῆναι ταύτης, καὶ τῆς νόσου τῆς χαλεπῆς· τὸ δὲ κωλύον, ἡ συνήθεια καὶ ἡ δοκοῦσά τις εἶναι ἡδονή. ἐπεὶ καὶ ἐκείνου τοῦ νοσήματος εὔχονται μὲν ἀπαλλαγῆναι, καὶ μισοῦσιν αὐτὸ πάντες οἱ ἔχοντες, ἥδονται δὲ ὄντες ἐν αὐτῷ, καθάπερ ἐν τούτῳ. κἂν γὰρ λίαν ἄθλιός τις ᾖ καὶ ταλαίπωρος, οὐκ ἔστιν οὕτω τῶν ἀπεγνωσμένων καὶ σφόδρα τὴν ἑαυτῶν καταισχύνην ἐπιθυμούντων δόξαν, ὡς ἐθελῆσαι ἐν ἀσχημοσύνῃ ζῆν, καὶ ἐν τοῖς ἁπάντων εἶναι στόμασιν ἐπὶ κατηγορίᾳ καὶ γέλωτι καὶ ὀνείδεσι, καὶ θέατρον κοινὸν ἐπὶ τῆς ἀγορᾶς γίνεσθαι, πάντων αὐτὸν ἅμα τῷ φανῆναι τοῖς πλησίον δακτυλοδεικτούντων ἐπὶ τοῖς αἰσχίστοις. καὶ γὰρ οὐδὲ μικρά τις ἀπὸ τῆς ὑποψίας ἀηδία τίκτεται τούτοις, καὶ ἐνοχλεῖ τῷ συνειδότι διηνεκῶς ἐγκαθημένη, καὶ σκώληκος παντὸς μονιμώτερον διατιτρῶσα αὐτῶν τὴν διάνοιαν. εἰ δὲ ἐνταῦθα παρὰ ἀνθρώπων ἕπεται αἰσχύνη, φανερῶς μὲν οὐδὲν λεγόντων, οἴκοι δὲ καὶ καθ' ἑαυτοὺς ἐγκαλούντων, τοσαύτη γίνηται ὀδύνη· ὅταν πρὸς αὐτὸν ἀπέλθωμεν τὸν ὑβρισμένον νυμφίον, ὅταν καὶ τὰ ἄδηλα εἰς μέσον ἄγηται, ὅταν καὶ καρδίαι διαπτύσσωνται, καὶ ῥήματα, καὶ βλέμματα, καὶ ἔννοια (τὰ γὰρ τούτων αἰσχρότερα παρίημι) ὅταν οὕτω πάντα ἁπλῶς ἐπὶ τῆς οἰκουμένης ἁπάσης γυμνὰ φαίνηται καὶ τετραχηλισμένα, πόσην ὑποστησόμεθα ἀσχημοσύνην καὶ κόλασιν καὶ τιμωρίαν; τότε γὰρ, ἂν μὴ παραστῇ λάμπουσα οὕτως ἡμῶν ἡ ψυχὴ, ὡς εἰκὸς τὴν ἁρμοσθεῖσαν ἐκείνῳ τῷ νυμφίῳ, ἂν μὴ πάσης κηλῖδος καὶ ῥύπου καὶ ῥυτίδος ᾖ καθαρὰ, ἀπολεῖται, καὶ τὰ ἔσχατα πείσεται δεινά. εἰ γὰρ

ὁ τυχὼν

ῥυθμῖσαι

κατηγορείᾳ

ὑποστησόμ.

τυχὼν μῶμος ἐκβάλλει, ὅταν πολὺς ὁ ῥύπος ᾖ καὶ τοσαύτη ἡ δυσωδία καὶ μυρία πανταχόθεν τὰ ἕλκη, τίς αὐτὴν ἐξαιρήσεται τῆς κολάσεως καὶ τῆς τιμωρίας ἐκείνης; Εἰ γὰρ ἐνταῦθα οὕτω φαῦλον ὄζει παρὰ πᾶσι καὶ ἀηδὲς τῆς τοιαύτης ὁ βίος, ὡς πάντας αὐτὴν ἀποστρέφεσθαι, καὶ φίλους καὶ ἐχθρούς, πῶς τῶν βασιλικῶν ἐπιβῆναι δυνήσεται προθύρων ἀνακεχρωσμένη βορβόρῳ τοσούτῳ; οὐχ ὁρᾷς, ὅτι οὐδὲ ἐν οἰκίᾳ ἀνδρὸς ἰδιώτου καὶ εὐτελοῦς ἀνάσχοιτό τις ἂν ὗν ἐγκυλισθέντα βορβόρῳ παραδέξασθαι ἔνδον, ἀλλ' ἀπελαύνουσι καὶ διώκουσιν ἅπαντες καὶ τὰς θύρας ἀποκλείουσι καὶ φεύγουσι πόρρω; Εἰ δὲ ἄλογον ζῶον, καὶ ταῦτα ἐν βορβόρῳ τρεφόμενον οὐχ ὑπομένουσιν ἄνθρωποι παραδέξασθαι οἴκοι μετὰ κηλίδος, πῶς εἰς τὰς οὐρανίους σκηνάς, ἔνθα τοσαύτη λαμπρότης, ἔνθα πάντα φαιδρά, ἔνθα φῶς ἀπρόσιτον, ἔνθα ἀστραπῆς πάσης λαμπρότερον ἁπάντων στίλβουσαι αἱ παρθένοι, πῶς δυνήσεταί τις οὕτω ῥυπῶν εἰσελθεῖν; αἱ μὴ ἔχουσαι ἔλαιον ἀπεκλείσθησαν τοῦ νυμφῶνος· καὶ πῶς ὑμεῖς προσδοκᾶτε ἐπιβήσεσθαι τοῦ νυμφῶνος καὶ τῶν ἀδύτων ἐκείνων; καὶ γὰρ πολλῷ τοῦτο ἐκείνου χαλεπώτερον τὸ ἁμάρτημα. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἴσον σωματικῆς μὴ μεταδοῦναι τροφῆς, καὶ ψυχὰς ἀπολέσαι πολλάς. ἐκεῖναι μὲν γὰρ τοὺς πενομένους ἠδίκησαν οὐδέν· ἐπεὶ δὲ τῶν ἑαυτῶν αὐταῖς οὐ μετέδωκαν, οὐδὲ ἀπήλλαξαν πενίας, ταῦτα ἔπαθον· σὺ δὲ καὶ ἠδίκησας, καὶ ὤσας, καὶ οὐ μόνον οὐδὲν ὤνησας, ἀλλὰ καὶ τὰ μέγιστα κατέβλαψας. Εἰ δὲ αἱ μὴ ὠφελήσασαι τοσαύτην ἔδωκαν δίκην, καὶ ταῦτα τῆς παρθενίας ἀκεραίου μενούσης· αἱ πρὸς τὸ μηδὲν ὠφελῆσαι καὶ τὰ μέγιστα ἀδικήσασαι ἑαυτάς, καὶ τοὺς συνοικοῦντας, καὶ τοὺς σκανδαλισθέντας, καὶ πρὸς τούτοις τὸ τοῦ νυμφίου καθυβρίσασαι ὄνομα, ποίαν ὑποστήσονται τιμωρίαν; ἴσ. πρ

Ἆρα ἴστε οἷον μεταχειρίζεσθε πρᾶγμα; πρὸς οἷον ἀγῶνα ἀπεδύσασθε; οἷον ἐλάχετε πολέμου μέρος; οἵαν ἐκληρώθητε τοῦ στρατοῦ τάξιν; παρ' αὐτὸν τὸν τοῦ πολέμου στρατηγόν, μᾶλλον δὲ παρ' αὐτὸν ἑστήκατε τὸν βασιλέα, καὶ στρατεύεσθε. καθάπερ οὖν ἐν τοῖς πολέμοις τὸ στρατόπεδον ἅπαν οὐχ ἕνα τόπον ἀπολαμβάνει, ἀλλ' οἱ μὲν τὰ κέρατα ἔχουσι τῆς παρα- κ. χῶρον
τάξεως, οἱ δὲ τὰ μέσα, καὶ οἱ μὲν τὰ ὀπίσω, οἱ δὲ τὸ μέτωπον κατακοσμοῦσι τῆς φάλαγγος, ἄλλοι δέ, ὅπουπερ ἂν ὁ βασιλεὺς φαίνηται, πανταχοῦ μετ' αὐτοῦ φαίνονται καὶ συμπαραθέουσιν· οὕτω δὴ καὶ ὁ τῶν παρθένων χορός, ὅταν παρθένων ᾖ χορός, οὐδεμίαν ἄλλην, ἀλλ' ἢ ταύτην τὴν τάξιν εἴληχεν. οὐχ οὕτως οἱ τὰ χρυσᾶ φοροῦντες ἱμάτια, καὶ ἐφ' ἵππων χρυσοφορούντων φερόμενοι, καὶ ἀσπίδας βαστάζοντες χρυσᾶς καὶ λιθοκολλήτους, τοῦ βασιλέως τὴν παρουσίαν ἐμφαίνειν ὀφείλουσιν, ὡς ἡ παρθένος τὴν τοῦ Χριστοῦ. ἐκεῖνοι μὲν γὰρ παρ' αὐτὸ φαίνονται τοῦ βασιλέως τὸ ὄχημα τὸ βασιλικόν· αὕτη δὲ καὶ ὄχημα γίνεται βασιλικόν, καθάπερ τὰ χερουβίμ, ἂν ἐθέλῃ, καὶ παρέστηκεν αὐτῷ, καθάπερ τὰ σεραφίμ. δεῖ τοίνυν αὐτὴν εἰς ἀγορὰν ἐμβάλλουσαν, ὥσπερ ἄγαλμα φιλοσοφίας ἁπάσης φαίνεσθαι, καὶ πάντας ἐκπλήττειν, ὡς ἄγγελον ἐξ οὐρανοῦ καταβάντα νῦν. καὶ ὡσανεὶ τῶν χερουβὶμ αὐτῶν ἓν ἐπὶ τῆς γῆς ἐφάνη, πάντας ἂν ἀνθρώπους ἐπέστρεψεν, οὕτω καὶ τὴν παρθένον τοὺς ὁρῶντας ἅπαντας εἰς θαῦμα καὶ ἔκπληξιν ἐμβάλλειν δεῖ. ὅταν γὰρ βαδίζῃ μέν, ὥσπερ δι' ἐρημίας, καθέζηται δὲ ἐν ἐκκλησίᾳ μετὰ σιγῆς βαθυτάτης, τὸ δὲ ὄμμα μηδένα τῶν παρόντων ὁρᾷ, μὴ γυναῖκα, μὴ ἄνδρα, ἀλλ' ἢ τὸν νυμφίον μόνον, ὥσπερ παρόντα καὶ φαινόμενον, ἀναχωρῇ δὲ οἴκαδε πάλιν τούτῳ διαλεχθεῖσα ἐν εὐχαῖς, καὶ τῆς αὐτοῦ μόνης ἀκούσασα φωνῆς διὰ τῶν γραφῶν, γινομένη δὲ ἐπὶ τῆς οἰκίας τὸν ποθούμενον ἀναλογίζηται μόνον, καὶ ξένη καὶ πάροικος ᾖ καὶ παρεπίδημος, καὶ πάντα οὕτω ποιῇ, ὡς εἰκὸς τὴν ξένην τῶν ἐνταῦθα πραγμάτων, καὶ μὴ μόνον ἀρρένων ὄψεις φεύγῃ, ἀλλὰ καὶ γυναικῶν συνουσίας τῶν βιωτικωτέρων, καὶ τοσαῦτα τῷ σώματι διακονῆται, ὅσα ἀνάγκη μόνον, τὸ δὲ πᾶν εἰς τὴν τῆς ψυχῆς ἐπιμέλειαν ἀναλίσκῃ, τίς οὐ θαυμάσεται; τίς οὐκ ἐκστήσεται ἐν γυναικείᾳ φύσει πολιτείαν ἀγγελικὴν ὁρῶν; τίς δὲ ὅλως

τολμήσει προσελθεῖν, τίς δὲ ἅψασθαι πεπυρωμένης ψυχῆς ἄνθρωπος ὤν; διὰ δὴ τοῦτο πάντες μὲν ἀποστήσονται ἑκόντες καὶ ἄκοντες, πάντες δὲ ἐκπλαγήσονται, ἅτε χρυσίον πεπυρωμένον καὶ ἀποστίλβον ὁρῶντες. ἔχει μὲν γὰρ καὶ αὐτὴ ἡ τοῦ χρυσίου φύσις πολλὴν τὴν λαμπηδόνα· ὅταν δὲ καὶ τὴν ἀπὸ τοῦ πυρὸς προσλάβῃ, μεῖζον τὸ θαῦμα γίνεται καὶ φοβερώτερον. Εἰ δὲ ἐπὶ σώματος τοῦτο, ὅταν ἐπὶ χρυσῆς τοῦτο συμβαίνῃ ψυχῆς, οὐκέτι ἀνθρώποις μόνον, ἀλλὰ καὶ ἀγγέλοις ποθεινὸν ἔσται τὸ θέαμα. τί τοίνυν κοσμεῖς σεαυτὴν ἱματίοις, τὸν ἀπὸ τῆς φλογὸς ταύτης ἔχουσα κόσμον; καὶ γὰρ τὰ ἱμάτια, οὐχ ἵνα καλλωπιζώμεθα δέδοται, ἀλλ' ἵνα τὴν ἀπὸ τῆς γυμνότητος αἰσχύνην κρύπτωμεν, οὐχ ἵνα τοιαῦτα ἐνδυώμεθα, ἃ τῶν γυμνῶν μᾶλλον ἡμᾶς καταισχῦναι δυνήσεται. Διὰ τοῦτο καὶ τὸν Ἀδὰμ χιτῶνας δερματίνους ἐνέδυσεν ὁ Θεός, καὶ τὴν ἐκείνου γυναῖκα. καίτοιγε ἐνῆν, εἴπερ ἐβούλετο, καλὰ περιθεῖναι ἱμάτια· ἀλλ' ἄνωθεν ἡμῖν καὶ δι' ἐκείνων δείκνυσιν, ὅτι οὐ τρυφῆς ὁ παρὼν καιρός, ἀλλὰ τοῦ στένειν καὶ κόπτεσθαι. Εἰ δὲ αὐτὸ τὸ δεηθῆναι περιβολῆς, αἰσχύνη καὶ καταγνώσεως καὶ ἐξ ἁμαρτίας γέγονε, τί τῆς κατηγορίας ἐπιτείνεις τὸ αἴνιγμα; μὴ γὰρ οὐκ ἀρκεῖ δεῖξαι τὴν κατάπτωσιν ἡμῶν αὐτὸ τὸ δεηθῆναι σκέπης; τί μείζονα ποιεῖς τὴν διαβολήν; τί τὴν κατηγορίαν αὔξεις ἐπιτείνουσα τὴν χρείαν; δέον γὰρ ὀδύρεσθαι καὶ στένειν καὶ τὸ σῶμα αὐτὸ ἀποθέσθαι κατὰ τὸν Παῦλον, ἡμεῖς δὲ καθήμεθα περὶ τὰ σκεπάσματα αὐτοῦ φιλοτεχνοῦντες· ὥσπερ ἂν εἴ τις οἰδήματα περὶ τὴν ὄψιν ἔχων, καὶ εἰς ἀνάγκην τοῦ σκέπειν αὐτὰ καταστάς, ἐπικαλλωπίζοι τὰ καλύμματα ταῦτα. Διὰ τοῦτο Ἠλίας, διὰ τοῦτο Ἰωάννης ἁπλῆν εἶχον ἐσθῆτα, δερματίνους χιτῶνας καὶ ἱμάτια τρίχινα περιβαλλόμενοι. ἠπείγοντο γὰρ καὶ ἐπεθύμουν τὸ ἔνδυμα τῆς ἀφθαρσίας λαβεῖν. σὺ δὲ καὶ τὰς ἐν σκηνῇ παρατρέχεις γυναῖκας τῇ τῶν ἱματίων περιεργίᾳ, δι' ἐκείνων τοῖς ἀνεπτερωμένοις τῶν νέων τιθεῖσα τὰς μηχανάς. οὐχ οὕτω σε κοσμεῖσθαι καὶ καλλωπίζεσθαι βούλεται ὁ νυμφίος, ἀλλ' ἐν τῇ ψυχῇ σου πᾶσαν ἀποκεῖσθαι αὐτοῦ τὴν δόξαν ἐκέλευσε. σὺ δὲ ἐκείνης μὲν ἀμελοῦσα, τὸν πηλὸν καὶ τὴν τέφραν καλακοσμεῖς ποικίλως, καὶ ἐραστὰς ἕλκεις ἀκολάστους, καὶ μοιχοὺς ἐργάζῃ τοὺς ὁρῶντας, ὡς εἰπεῖν, ἅπαντας. καὶ ὅτι μὲν πολὺ συνάγεις ἐντεῦθεν τὸ πῦρ, οὐδὲ αὐτὴν οἶμαί σε ἀντερεῖν· ὅτι δὲ καὶ ἀδοξία καὶ ὄνειδος ἐντεῦθεν ἕψεται, καὶ τοῦτο πειράσομαι ποιῆσαι φανερὸν ἀπ' αὐτῶν τῶν ἐραστῶν. ὅταν γὰρ ἡ μὲν τὴν ψυχὴν καλλωπίζουσα, τὸν Θεὸν ἔχῃ τοῦ κάλλους ἐραστήν, σὺ δὲ ἀνθρώπους, μᾶλλον δὲ οὐδὲ ἀνθρώπους, ἀλλὰ χοίρους καὶ κύνας, καὶ εἴ τι τούτων ἀλογώτερον, τίς οὕτως ἀνόητος, ὡς σε μᾶλλον ἐκείνης κεκοσμῆσθαι φάναι τῆς τὸν Θεὸν εἰς ἐπιθυμίαν ἀγούσης τῆς εὐμορφίας τῆς ἔνδον; ὥστε ὅσῳ ἂν ἐπιτείνῃς τὴν περιεργίαν, τοσούτῳ γέγονας βδελυκτή, τὸν μὲν Θεὸν ἀποτρέπουσα, τούτους δὲ ἐφελκομένη, καὶ ταύτῃ μειζόνως αἰσχροτέρα φαινομένη καὶ δυσειδής. πῶς γὰρ οὐ δυσειδὴς ἡ μὴ δυναμένη τὸν Θεὸν ἐπισπάσασθαι; Εἰ δὲ ἡ καλλωπιζομένη οὕτως ἀηδής, ἡ καὶ συνοικοῦντα ἔχουσα ἐννόησον ὅσον ἐπιτείνει τὸ μῖσος.

Ἀλλ', εἰ δοκεῖ, μὴ τὴν συνοίκησιν εἴπωμεν μόνον, ἀλλὰ καὶ διαπτύξωμεν αὐτήν, ὥστε αἰσχροτέραν φανῆναι. ἐπειδὴ γὰρ οὐ δεδοίκασι τὸν ἀκοίμητον ὀφθαλμόν, ἀλλ' ὀφθαλμοὶ τῶν ἀνθρώπων τούτοις φόβος αὐτοῖς, φέρε καὶ ταύτης αὐτοὺς ἀποστερήσωμεν τῆς παραμυθίας, ἃ κρύπτουσι τοῖχοι καὶ συσκιάζουσι, ταῦτα εἰς μέσον ἀγαγόντες, καὶ τὰς θύρας διαπετάσαντες τοῖς βουλομένοις ὁρᾶν, ἀπὸ τῆς εὐνῆς αὐτοὺς πρῶτον ἐγείραντες. μᾶλλον δέ, εἰ δοκεῖ, τὰ κατὰ τὴν οἰκίαν ἐξετάσωμεν πρότερον· καὶ δῶμεν τοίχοις αὐτοὺς διείργεσθαι καὶ οἰκήμασι καθεύδοντας. οὐδὲ γὰρ οἶμαί τινα, κἂν σφόδρα ἀσχημονεῖν ἕλοιτο, μέχρι τοσούτου παραδειγματίζειν ἑαυτόν, ὡς καὶ ἐν ἑνὶ καθεύδειν οἰκήματι. ἔστωσαν τοίνυν διῃρημένοι τοῖς τοίχοις. καὶ τί τοῦτο; οὐ γὰρ ἱκανὸν ἀπαλλάξαι ὑποψίας αὐτούς. πλὴν ἀλλὰ μηδὲν περὶ ὑποψίας νῦν, μηδὲ ἐὰν μυρίαι παιδίσκαι συνοικῶσιν αὐτοῖς· τὴν δὲ ἄλλην ἀσχημοσύνην ἐξετάσωμεν τέως. σύμβαίνει γὰρ κατὰ ταὐτὸν ἀναστάντας, οὐ παννυχίδων ἕνεκεν (οὐδὲν γὰρ ἀπὸ τῆς τοιαύτης ψυχῆς εὐλαβὲς ἄν ποτε γένοιτο) καὶ διαδύειν ἀλλήλοις κειμένοις, καὶ προσφθέγγεσθαι νύκτωρ, οὗ τί γένοιτ' ἂν αἰσχρότερον; Εἰ δὲ συμβαίη καὶ ἀρρωστῆσαι ἄφνω τὴν συνοικοῦσαν, οὐδὲ τείχων ἐν τούτῳ ὄφελος λοιπόν· ἀλλὰ διαναστὰς παρὰ τῶν ἄλλων, ἐπεισέρχεται κειμένῃ τῇ παρθένῳ, τὴν ἀρρωστίαν ἔχων ἀπολογίαν· καὶ τῶν θεραπαινίδων πολλάκις ὀκνηρότερον διακειμένων καὶ παρακάθηται, καὶ τὰ ἄλλα ἐπιμελεῖται, ἃ γυναῖκα μόνον πολλάκις θέμις διακονεῖν. καὶ οὔτε ἐκείνη αἰσχύνεται, ἀλλὰ καὶ ἐγκαλλωπίζεται· οὔτε οὗτος ἐρυθριᾷ, ἀλλὰ καὶ χαίρει μειζόνως, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ τὴν δουλείαν αἰσχροτέραν ἐπιδείκνυται· καὶ ἡ ἀποστολικὴ ῥῆσις ἐκείνη ἡ λέγουσα, Ὧν ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, διὰ τῶν ἔργων δείκνυται τότε. ὅταν δὲ καὶ αἱ θεραπαινίδες διαναστῶσι, χείρων ἡ αἰσχύνη. καὶ γὰρ ἀκατακαλύπτῳ τῇ κεφαλῇ, καὶ μονοχίτωνες, καὶ γυμναῖς ταῖς χερσὶν, ἅτε τεθορυβημέναι καὶ ἐν νυκτὶ, διανιστάμεναι διατρέχουσι παρόντος ἐκείνου· μᾶλλον δὲ μέσου στρεφομένου καὶ συνδιαθέοντος, ἅπαντα ἀναγκάζονται πληροῦν, οὗ τί γένοιτ' ἂν αἰσχρότερον; Εἰ δὲ καὶ μαῖα παραγένοιτο, οὐδ' οὕτως ἐπαισχύνεται, ἀλλὰ καὶ κορῶν ἀλλοτρίων ἐπιμυσῶν ἐναβρύνεται. Εἰς ἓν γὰρ ὁρᾷ μόνον, ὅπως ἐπιδείξαιτο τῇ ἀρρωστούσῃ τὴν ἑαυτοῦ διακονίαν, οὐκ εἰδὼς ὅτι ὅσῳ ἂν ἐπιδείξηται, τοσούτῳ μᾶλλον καὶ αὐτὴν κἀκείνην κατῄσχυνε. καὶ τί θαυμαστὸν, εἰ παραγινομένην μὴ ἐρυθριᾷ; πολλάκις γὰρ καὶ μέσων νυκτῶν οὐκ ὀκνοῦσι, θεραπαινίδων εὐτελεστέρων ἔργον ποιοῦντες, ἐπ' αὐτὴν τὴν μαῖαν δραμεῖν. ὅταν δὲ παραγένηται, νῦν μὲν αὐτὸν ἐξέβαλε καὶ ἄκοντα, κἂν λίαν ἀναίσχυντος ᾖ, νῦν δὲ ἐπέτρεψεν εἰσελθεῖν καὶ παρακαθῆσαι. καίτοι τί ἂν τις, κἂν μωρία ἐπιτηδεύσῃ ὥστε καταισχυνθῆναι αὐτὸν, τοιοῦτον ποιήσειεν ἂν, οἷα αὐτοὶ κατασκευάζουσιν ἑαυτοῖς; ὅταν δὲ ἡμέρα γένηται, καὶ τῆς εὐνῆς ἀμφοτέρους ἐξανίστασθαι δέῃ, φυλακὴ καὶ παρατηρήσεις. οὔτε γὰρ προελθεῖν εἰς τὸ ἐξώτερον δωμάτιον ἀδεῶς αὐτὴ δύναιτ' ἂν, πολλάκις δὲ προελθοῦσα ἴσως, καὶ γυμνῷ τῷ σώματι προσπεσοῦσα τἀνδρός· κἀκεῖνος αὖ τοῦτο ὑφορώμενος, νῦν μὲν προαγγείλας εἰσῆλθε, νῦν δὲ ἀφυλάκτως, καὶ πολὺν ὦφλησε γέλωτα. πλέον γὰρ οὐδὲν εἰπεῖν βούλομαι. Ταῦτα δὲ, εἰ καὶ μικρὰ, μεγάλους ἄνθρακας ἀσελγείας τίκτειν εἴωθε. καὶ ταῦτα μὲν ἐπὶ τῆς οἰκίας, καὶ πλείονα τούτων. ὅταν δὲ εἰς ἀγρὸν ἐμβαλὼν ἐπανιέναι μέλλῃ, μείζων ἡ ἀσχημοσύνη πάλιν. ἅτε γὰρ εἰς ἰδίαν εἰσιὼν οἰκίαν, καὶ οὐκ ἀναγκαζόμενος προαγγεῖλαι, παρακαθημένας εὑρὼν γυναῖκας κατῄσχυνεν ἐκείνην. καὶ αὐτὴ δὲ τὸ αὐτὸ πέπονθε πολλάκις. καὶ γυναῖκας μὲν γυνὴ δέξασθαι αἰσχρὸν εἶναι νενόμικε, καὶ ἄνδρας ὁ ἀνὴρ, ἀλλήλοις δὲ συνοικεῖν οὐ παραιτοῦνται, παραιτούμενοι ἀλλήλων ἰδεῖν ὁμοφύλους ξένους. τί τούτου χεῖρον γένοιτ' ἄν; ἔστι δὲ ὅτε αὐτὸν καὶ γυναικὶ εὑρεῖν παρακαθήμενον μηρυομένῃ καὶ ἠλακάτην ἐχούσῃ. τί ἄν τις εἴποι τὰς ὕβρεις, τὰς μάχας τὰς καθημερινάς; κἂν γὰρ πολλὴ ἡ φιλία ᾖ, καὶ ταῦτα συμβαίνειν εἰκός. ἤκουσα δὲ ἔγωγέ τινων, ὅτι καὶ ζηλοτυπίας ὑπομένουσιν. ἔνθα γὰρ μὴ ἡ ἀγάπη πνευματικὴ, ἀνάγκη καὶ τοῦτο γίνεσθαι. ἐντεῦθεν τὰ πτώματα τὰ συνεχῆ, ἐντεῦθεν αἱ διαφθοραὶ, ἐντεῦθεν ἀνελεύθεροι γίνονται αἱ παρθένοι, κἂν μὴ διαφθαρῶσι τὸ σῶμα, τὸ ἦθος διαφθειρόμεναι. ὅταν γὰρ μετὰ παρρησίας μάθῃ διαλέγεσθαι ἀνδρὶ, καὶ συγκαθέζεσθαι, καὶ ἀντιβλέπειν, καὶ γελᾶν παρόντος, καὶ πολλὰ ἕτερα ἀσχημονεῖν, καὶ μηδὲν ἡγῆται τούτων εἶναι δεινὸν, ἀναιρεῖται τὸ καταπέτασμα τῆς παρθενίας, καὶ πατεῖται τὸ ἄνθος. ἐντεῦθεν οὐδὲν ὀκνοῦσιν, οὐδὲ παραιτοῦνται, ἀλλὰ καὶ προμνήστριαι γίνονται, καὶ γίνονται κάπηλοι πραγμάτων ἑτέρων, καὶ βουλομένας κρύβειν πολλὰς κωλύουσι, νομίζουσαι τὴν οἰκείαν κακίαν ἀπολογίαν εὑρηκέναι ταύτην. ἐντεῦθεν εὐκαταφρόνητοι πᾶσιν εἰσὶν, ἐντεῦθεν καὶ αὗται αἱ γεγαμημέναι αὐταῖς ἐπαισχύνονται, ἅτε ἀμείνους αὐτῶν πράττουσαι πολλαχοῦ. πολλῷ γὰρ βέλτιον ἑνὶ καὶ δευτέρῳ συνάπτεσθαι γάμῳ, ἢ τοιαῦτα ἀσχημονεῖν, καὶ προαγωγῶν καὶ μαστροπῶν ὑπόνοιαν λαμβάνειν παρὰ πᾶσιν, ὅτι τὴν ἡδέων ἀποσπᾶσαι τοῦ γάμου, τοῖς

Φιλιπ. γ 19.

φορτικοῖς ἑαυτὴν ὑποβάλλεις τοῦ γάμου. τί γὰρ φορτικώτερον, ἢ ἄνδρα ἔχειν καὶ τὰ ἐκείνου μεριμνᾶν; ἀπήλλαξέ σε τῆς ἐπαχθείας ταύτης ὁ Θεός. τό, Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει, λέλυταί σοι διὰ τῆς παρθενίας. Γεν. γ. ις. τί πάλιν ἐπισπᾶσαι τὴν δουλείαν; ἐλευθέραν σε ἐποίησεν ὁ Χριστός, σὺ δὲ σαυτῇ ῥάπτεις πράγματα. ἀμέριμνόν σε ἐποίησε, σὺ δὲ ἐπινοεῖς φροντίδας.

Ἀλλὰ γὰρ ἐπειδὴ μερίμνης ἐμνημόνευσα, εὐκαίρως με ταῦτα λέγοντα εἰσῆλθε τὸ ἀποστολικὸν ἐκεῖνο. εἰ γὰρ τὸ συνοικεῖν ἀνδράσι γυναῖκας, καὶ γυναιξὶν ἄνδρας, τοῦτο ὑπετέμνετο φροντίδας, οὐκ ἂν ἐπὶ ἐγκράτειαν παρακαλῶν ὁ Παῦλος εἶπε· Θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι, α. Κορ. ζ. λβ. ὡς καὶ ταύτῃ προτρέπων ἡμᾶς. τί γάρ βούλεσθε, φησιν, ἀνάπαυσιν καὶ ἐλευθερίαν; εἶτα οὐχ ὁρᾶτε τὸ ἐναντίον ἐκβαῖνον, δουλείαν καὶ μόχθους καὶ ταλαιπωρίας πολλὰς ἀπὸ τοῦ συνοικεῖν ἀνδράσι; πολλαὶ γοῦν πολλάκις ἀποβαλοῦσαι τοὺς ἄνδρας, διὰ τοῦτο οὐκ ἐγήμαντο πάλιν, ἵνα μὴ ὑπὸ ζυγὸν δουλείας ὦσιν. ὅλως δὲ εἰ πενίᾳ συζῇς; καὶ πάντοθεν ἀπερίσπαστος εἶ, ἀρετὴν ἐπιδεῖξαι βίου, καὶ πρὸς ἄνδρα μὲν μηδὲν ἔχε κοινόν, ἀνάμιξον δὲ σαυτὴν γυναιξὶν εὐσχημόνως βεβιωκυίαις· καὶ οὔτε ἀπολεῖς σου τὸν στέφανον, καὶ ἀδείας ἀπολαύσῃ πάσης. εἰ δὲ δυσπόριστον εἶναι τοῦτο νομίζεις, ζήτησον σπουδαίως, καὶ πάντως εὑρήσεις, μᾶλλον δὲ οὐδὲ ζητεῖν ἀνάγκη. ὥσπερ γὰρ τῷ φωτὶ προστρέχομεν ἅπαντες, οὕτως ἐὰν λάμψωσι τῆς πολιτείας αἱ ἀκτῖνες, πᾶσαι ἐπιδραμοῦνται ἀγαπῶσαι, ἑκάστη διακόνου σοι τάξιν ἐπέχειν καὶ τῆς ἰδίας οἰκίας ἀσφάλειάν σε ἡγήσονται εἶναι, καὶ κόσμον τοῦ βίου, καὶ στέφανον τῆς ζωῆς κατὰ τὸν τοῦ Χριστοῦ λόγον. Ζητεῖτε γάρ, φησι, τὴν βασιλείαν τῶν Ματθ. ϛ. λγ. οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. νυνὶ δὲ καὶ τοῦ τῶν βιωτικῶν ἐκπίπτειν ἡμεῖς αἴτιοι, τῶν οὐρανίων ἀμελοῦντες πραγμάτων. ἡμᾶς δὲ ὅταν εἴπω, οὐκ ἄνδρας λέγω μόνον, ἀλλὰ καὶ ὑμᾶς· καὶ ὑμᾶς μᾶλλον ἢ ἄνδρας, ἐπεὶ καὶ παρὰ τὴν ἀρχὴν διὰ τοῦτο χαλεπωτέραν ἐδέξατο τιμωρίαν ἡ γυνή, ἐπειδὴ καὶ τὸ πλέον τῆς ἀπάτης εἰσήνεγκε. διὸ καὶ τὴν ἀπατήσασαν τοῦ ἀπατηθέντος μᾶλλον ἐκόλασεν ὁ Θεός. ὃ καὶ νῦν ἔσται, ἂν μὴ βουληθῆτε διορθώσασθαι, καὶ πρὸς τὴν οἰκείαν ἐπανελθεῖν εὐγένειαν. διὰ γάρ τοι τοῦτο καὶ ἡ γυνὴ τότε ἐγκαλουμένη, ὅτι τῷ ἀνδρὶ ἔδωκεν ἐκ τοῦ καρποῦ, οὐκ ἐτόλμησεν εἰπεῖν, ἐχρῆν γὰρ αὐτὸν ἄνδρα ὄντα μὴ πεισθῆναι, μηδὲ ἀπατηθῆναι, ἀλλὰ ταύτην μὲν ὡς οὐδὲν οὖσαν ἀπολογίαν ἐσίγησεν, ἐφ' ἑτέραν δὲ ἦλθεν, ἀσθενῆ μὲν καὶ αὐτήν, πλὴν ἀλλ' ὅμως παρὰ ταύτην μᾶλλον ἔχουσαν λόγον. ὅθεν δῆλον ὅτι μᾶλλον τοῖς ἠπατημένοις ἔξεστι προβάλλεσθαι τοὺς ἀπατήσαντας, ἢ ἐκείνοις τοὺς ἠπατημένους. ἡ πόρνη καλεῖ τὸν ὑβρίζοντα αὐτῆς τὸ σῶμα, καὶ συγκατακλίνασα πάλιν ἀφίησι· σὺ δὲ τὸν ὑβρίζοντά σου τὴν ψυχὴν καὶ φθείροντα καλέσασα, κατακλείεις ἔνδον διαπαντός, καὶ οὐ συγχωρεῖς ἐξιέναι; δεσμὰ περιβάλλουσα χαλεπὰ τῇ κολακείᾳ, τῇ θεραπείᾳ, ταῖς ἄλλαις πράξεσι· καὶ ἡγῇ δοξάζεσθαι καταισχύνουσα ἑαυτήν; εἶτα οὐκ ἐννοεῖς, εἰπέ μοι, τὸν παρόντα βίον, πῶς βραχύς, πῶς ὀνείρασι προσέοικε καὶ ἄνθεσι μαραινομένοις καὶ σκιᾷ παρατρεχούσῃ; τί βούλει τρυφήσασα νῦν ἐν ὀνείρατι, κολάζεσθαι ἐν ἀληθείᾳ τότε; καίτοιγε οὐδὲ τρυφὴ τὸ πρᾶγμά ἐστι. πῶς γάρ, ὅπου κατάγνωσις καὶ κατηγορία, καὶ σκώμματα καὶ σκάνδαλα; πλὴν ἀλλ' εἰ καὶ τρυφὴ ἦν, τί σταγὼν ὕδατος μικρὰ πρὸς ἄπειρον πέλαγος; Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου, Ψαλ. μδ. ια. καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου, πρὸς τὴν οἰκουμένην ποτὲ κακῶς διακειμένην ἔλεγεν ὁ Δαβίδ. τοῦτο τοίνυν καὶ ἡμεῖς ἐπᾴδομέν σοι, τὸ ῥῆμα μικρὸν παραλλάξαντες τοῦ προφήτου, καὶ ἐροῦμεν μετὰ τοῦ προφήτου· Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τῆς πονηρᾶς συνηθείας καὶ τῶν ἐπὶ κακῷ συνοικούντων, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. τί σοι τούτου πλέον, τί δὲ ἴσον ἔχοιμεν ἂν εἰπεῖν, ὅταν τὸν τῶν οὐρανῶν καὶ γῆς καὶ ἀγγέλων καὶ ἀρχαγγέλων καὶ τῶν ἄνω δυνάμεων δεσπότην ἐραστὴν λάβῃς, ἀπαλλαγεῖσα τούτων τῶν ἀπελαύνων ὁμοδούλων σου καὶ καταισχυνόντων σου τὴν εὐγένειαν; διὰ δὴ καὶ ἐνταῦθα καταλῦσαι τὸν λόγον καλόν. οὐδὲν γὰρ ἴσον εἰπεῖν ταύτης ἐχόμενον τῆς τιμῆς. εἰ γὰρ βασιλέα τὸν ἐπὶ γῆς λαβοῦσά τις νυμφίον, πάντων ἡγεῖται εἶναι ἑαυτὴν μακαριωτέραν, σὺ οὐ τὸν ἐπὶ γῆς, οὐδὲ τὸν ὁμόδουλον, ἀλλὰ τὸν ἐν τοῖς οὐρανοῖς, τὸν ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ παντὸς ὀνόματος ὀνομαζομένου, τὸν ἐπάνω τῶν χερουβὶμ καθήμενον, τὸν σείοντα τὴν γῆν, τὸν ἐκτείναντα τὸν οὐρανὸν, τὸν φοβερὸν μὲν τοῖς χερουβὶμ, ἀπρόσιτον δὲ τοῖς σεραφὶμ, οὐχὶ νυμφίον ἔχουσα μόνον, ἀλλὰ καὶ ἐραστὴν, καὶ ἐραστὴν παντὸς ἀνθρώπου σφοδρότερον, πῶς οὐ πάντα ἀφήσεις τὰ ἐνταῦθα, εἰ καὶ αὐτὴν δέοι προέσθαι τὴν ψυχήν; ἐπεὶ οὖν τοῦτο ἀρκεῖ τὸ ῥῆμα μόνον καὶ τοῦ μολύβδου παντὸς βαρύτερον ὀρθῶσαι, καὶ πρὸς τὰς ἄνω σε ὁδηγεῖν διατριβὰς, καὶ ἡμεῖς εἰς ταῦτα καταλύομεν, καί σοι παραινοῦμεν, καθάπερ τινὰ θείαν ταύτην ἐπᾴδειν τὴν ἐπῳδὴν, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ ἐν ἡμέρᾳ, καὶ ἐν νυκτὶ, καὶ ἐν ὁδῷ, καὶ ἐν θαλάσσῃ, καὶ διὰ φωνῆς, καὶ κατὰ διάνοιαν, καὶ συνεχῶς ἐπιλέγειν τῇ ψυχῇ· Ἄκουσον, ψυχή μου, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τῆς πονηρᾶς σου συνηθείας· καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. κἂν τοῦτο ἐπιλέγῃς διηνεκῶς τὸ ῥῆμα, χρυσίου παντὸς καθαρωτέραν ἐργάσῃ τὴν ψυχὴν, πυρὸς σφοδρότερον τῆς λέξεως ταύτης τοῖς τῆς διανοίας πνεούσης λογισμοῖς, καὶ πᾶσαν ἐκκαθαιρούσης κηλῖδα, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΠΕΡΙ ΠΑΡΘΕΝΙΑΣ λόγος.

κεφ. α.
ὅτι τῶν αἱρετικῶν ἡ παρθενία μισθὸν οὐκ ἔχει.

Τὸ τῆς παρθενίας καλὸν ἀποστρέφονται μὲν Ἰουδαῖοι· καὶ θαυμαστὸν οὐδὲν, ὅπου γε καὶ αὐτὸν τὸν ἐκ* παρθένου Χριστὸν ἠτίμασαν· θαυμάζουσι δὲ Ἕλληνες καὶ καταπλήττονται· ζηλοῖ δὲ μόνη ἡ ἐκκλησία τοῦ Θεοῦ. τὰς γὰρ τῶν αἱρετικῶν οὐκ ἂν εἴποιμί ποτε παρθένους ἐγώ· πρῶτον μὲν, ὅτι οὐκ εἰσὶν ἁγναί. οὐ γάρ εἰσιν ἡρμοσμέναι ἑνὶ ἀνδρὶ, καθὼς ὁ μακάριος τοῦ Χριστοῦ βούλεται νυμφαγωγὸς, λέγων· Ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. εἰ γὰρ καὶ περὶ παντὸς τοῦ τοῦ πληρώματος εἴρηται τῆς ἐκκλησίας, ἀλλ' ὅμως κἀκείνας περιλαμβάνει τὸ λεχθέν. αἱ τοίνυν τὸν ἕνα ἄνδρα μὴ στέργουσαι, ἀλλ' ἕτερον αὐτῷ τὸν οὐκ ὄντα ἐπεισάγουσαι Θεὸν, πῶς ἂν εἶεν ἁγναί; πρῶτον μὲν οὖν κατὰ τοῦτον τὸν λόγον οὐκ ἂν εἶεν παρθένοι· δεύτερον δὲ, ὅτι τὸν γάμον ἀτιμάσασαι, οὕτως ἦλθον ἐπὶ τὸ ἀπέχεσθαι τοῦ γάμου. τῷ γὰρ νομοθετῆσαι πονηρὸν εἶναι τὸ πρᾶγμα, προλαβοῦσαι τὰ τῆς παρθενίας ἑαυτῶν ἀφείλοντο ἔπαθλα. τοὺς γὰρ τῶν φαύλων ἀπεχομένους οὐ στεφανοῦσθαι, ἀλλὰ μὴ κολάζεσθαι δίκαιον ἂν εἴη μόνον. καὶ ταῦτα ἴδοι τις ἂν οὐκ ἐν τοῖς ἡμετέροις μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἔξωθεν οὕτω διατεταγμένα νόμοις. ὁ φονεύων ἀναιρείσθω, φησίν· οὐκέτι δὲ προσκεῖται, ὁ δὲ μὴ φονεύων τιμάσθω. ὁ κλέπτης κολαζέσθω· οὐκέτι δὲ καὶ τὸν μὴ λυμαινόμενον τοῖς ἀλλοτρίοις δωρεὰν λαμβάνειν ἐκέλευσαν· καὶ τὸν μοιχὸν ἀποκτιννύντες, τὸν μὴ διορύττοντα τοὺς ἑτέρων γάμους οὐδεμιᾶς ἠξίωσαν τιμῆς. καὶ μάλα εἰκότως. τὸ γὰρ ἐπαινεῖσθαι καὶ θαυμάζεσθαι τῶν τὰ ἀγαθὰ κατορθούντων, οὐ τῶν τὰ κακὰ φευγόντων ἐστίν. ἀποχρῶσα γὰρ ἐκείνοις τιμὴ, τὸ μηδὲν παθεῖν κακόν. διὰ τοῦτο καὶ ὁ Κύριος ἡμῶν, ἂν μέν τις εἰκῆ καὶ μάτην πρὸς τὸν ἀδελφὸν ὀργισθῇ τὸν αὐτοῦ, καὶ μωρὲ ἀποκαλέσῃ, τὴν γέενναν ἠπείλησεν· οὐκέτι δὲ καὶ τὴν τῶν οὐρανῶν βασιλείαν τοῖς μὴ μάτην ὀργιζομένοις καὶ λοιδορίας ἐκτρεπομένοις ὑπέσχετο· ἀλλ' ἑ-

β. Κορ. ια β.

Ματθ. ε. κβ.

τερον

Ματθ. ε. μδ.

περὶ δὲ τούτου πλέον τι καὶ μεῖζον ἐξήτησεν, εἰπών· Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν. καὶ δεῖξαι βουλόμενος πῶς σφόδρα μικρὸν καὶ εὐτελὲς καὶ οὐδεμιᾶς τιμῆς ἄξιόν ἐστι, μὴ τοῖς ἀδελφοῖς ἀπεχθάνεσθαι, ὃ τούτου πολλῷ πλέον θεὶς ἐστι, ἀγαπᾶν αὐτοὺς καὶ φιλεῖν, οὐδὲ τοῦτο ἔφησεν ἡμῖν ἀρκεῖν πρὸς τὸ τινὸς ἀξιωθῆναι τιμῆς. πῶς γάρ, ὅταν τῶν ἐθνικῶν μηδὲν κατὰ τοῦτο πλέον ἔχωμεν; ὥστε ἑτέρας ἡμῖν ταύτης πολλῷ μείζονος προσθήκης δεῖ, εἴγε μέλλοιμεν μισθὸν ἀπαιτεῖν. μὴ γάρ, ἐπειδή σε, φησιν, οὐ κατακρίνω τῇ γεέννῃ λοιδορίας καὶ ὀργῆς ἀπεχόμενον τῆς πρὸς τὸν ἀδελφόν, ἤδη διὰ τοῦτο καὶ στεφάνων ἀξίου σαυτόν. οὐ γὰρ τοσοῦτον ἀπαιτῶ μόνον φιλοφροσύνης μέτρον ἐγώ· ἀλλὰ κἂν πρὸς τὸ μὴ λοιδορεῖσθαι καὶ φιλεῖν αὐτὸν λέγῃς, ἔτι κάτω που στρέφῃ, καὶ παρὰ τοὺς τελώνας τάττεις σαυτόν. ἀλλ', εἰ βούλει τέλεος εἶναι καὶ τῶν οὐρανῶν ἄξιος, μὴ στῇς μέχρι τούτου μόνον, ἀλλὰ ἀνάβηθι προσωτέρω, καὶ τῆς φύσεως αὐτῆς μείζονα λάβε λογισμόν. τοῦτο γάρ ἐστι, τὸ τοὺς ἐχθροὺς ἀγαπᾶν. ἐπεὶ οὖν πάντοθεν ἡμῖν τοῦτο συνωμολόγηται, παυσάσθωσαν μάτην οἱ αἱρετικοὶ κόπτοντες ἑαυτούς. οὐδένα γὰρ λήψονται μισθόν· οὐκ ἐπειδὴ ὁ Κύριος ἄδικος (ἄπαγε) ἀλλ' ἐπειδὴ αὐτοὶ ἀγνώμονες καὶ πονηροί. πῶς; ἀποδέδεικται μηδεμίαν κεῖσθαι δωρεὰν μόνῃ τῇ τῶν φαύλων φυγῇ· οἱ δὲ γάμον αὐτοὶ φαῦλον νομίσαντες οὕτως ἔφυγον. πῶς οὖν ὑπὲρ τῆς τῶν φαύλων ἀναχωρήσεως δυνήσονται μισθὸν ἀπαιτεῖν; ὥσπερ γὰρ ἡμεῖς ὑπὲρ τοῦ μὴ μοιχεύειν στεφανοῦσθαι οὐκ ἀξιώσομεν, οὕτως οὐδὲ ὑπὲρ τοῦ μὴ γαμεῖν ἐκεῖνοι. ἐρεῖ γὰρ πρὸς αὐτοὺς ὁ καὶ ἐκείνην τὴν ἡμέραν κρίνων, ἡμῖν ἐγὼ τὰς τιμὰς οὐ τοῖς τῶν πονηρῶν ἀπεσχημένοις τέθεικα μόνον (μικρὸν γὰρ παρ' ἐμοὶ τοῦτο τὸ μέρος) ἀλλὰ τοὺς ἅπασαν ἐπελθόντας ἀρετήν, τούτους εἰς τὴν ἀγήρω τῶν οὐρανῶν εἰσάγω κληρονομίαν. πῶς οὖν ὑμεῖς πρᾶγμα ἀκάθαρτον καὶ ἐναγὲς εἶναι τὸν γάμον νομίσαντες, τῆς τῶν ἐναγῶν ἀπαλλαγῆς τὰ κείμενα τοῖς ἐργάταις τῶν ἀγαθῶν ἀπαιτεῖτε ἔπαθλα; διὰ τοῦτο γὰρ καὶ τοὺς ἀρνίας ἐκ δεξιῶν ἵστησι*, καὶ εὐλογεῖ, καὶ εἰς τὴν βασιλείαν εἰσάγει, οὐχ ὅτι οὐχ ἥρπασαν τὰ ἀλλότρια, ἀλλ' ὅτι καὶ τὰ ἑαυτῶν ἑτέροις διένειμαν. καὶ τὸν τὰ πέντε τάλαντα ἐγχειρισθέντα ἀποδέχεται, οὐχ ὅτι οὐκ ἐμείωσεν, ἀλλ' ὅτι ἐπλεόνασε τὸ δοθέν, καὶ διπλῆν τὴν παρακαταθήκην ἀπέδωκε. μέχρι τίνος οὖν οὐ στήσεσθε τρέχοντες εἰς κενόν, καὶ κοπιῶντες μάτην, καὶ εἰκῇ πυκτεύοντες, καὶ τὸν ἀέρα δέροντες; καὶ εἴθε μόνον εἰκῇ· καίτοι οὐδὲ τοῦτο μικρὸν εἰς κολάσεως λόγον, τὸ πολλὰ καμόντας, καὶ μείζονα τῶν πόνων προσδοκήσαντας ἔπαθλα, κατὰ τὸν καιρὸν τῆς τιμῆς ἐν τοῖς ἀτίμοις τετάχθαι.

Φιλιπ. β. ιϛ.

α. Κόρ. θ. κϛ.

Κεφ. β.

Ὅτι καὶ κολάζονται αἱρετικοὶ διὰ τὸ παρθενεύειν.

Ἔστι δὲ νῦν οὐ τοῦτο μόνον τὸ δεινόν, οὐδὲ μέχρι τοῦ μὴ κερδᾶναι τὰ τῆς ζημίας αὐτοῖς· ἀλλ' ἕτερα πολλῷ τούτων ἐκδέξεται χαλεπώτερα, τὸ πῦρ τὸ ἄσβεστον, ὁ σκώληξ ὁ ἀτελεύτητος, τὸ σκότος τὸ ἐξώτερον, ἡ θλίψις, ἡ στενοχωρία. ὥστε μυρίων ἡμῖν δεῖ στομάτων καὶ τῆς ἀγγέλων δυνάμεως, ἵνα δυνηθῶμεν τῆς εἰς ἡμᾶς κηδεμονίας εὐχαριστίαν ἀποδοῦναι τῷ Θεῷ τὴν ἀξίαν· μᾶλλον δὲ οὐδὲ οὕτω δυνατόν. πῶς γάρ; ὁ μὲν πόνος ὑπὲρ τῆς παρθενίας ἡμῖν καὶ τοῖς αἱρετικοῖς ἴσος (τάχα δὲ καὶ πολλῷ πλείων ἐκείνοις) ὁ δὲ καρπὸς τῶν πόνων οὐκ ἴσος· ἀλλ' ἐκείνοις μὲν δεσμὰ καὶ δάκρυα καὶ οἰμωγαὶ καὶ τὸ κολάζεσθαι ἀθάνατα· ἡμῖν δὲ αἱ τῶν ἀγγέλων λήξεις, καὶ αἱ φαιδραὶ λαμπάδες, καὶ τὸ πάντων κεφάλαιον τῶν ἀγαθῶν, ἡ μετὰ τοῦ νυμφίου διαγωγή. τί δήποτε οὖν τῶν αὐτῶν πόνων ἐναντία τὰ ἐπίχειρα; ὅτι ἐκεῖνοι μὲν ἵνα ἀντινομοθετήσωσι τῷ Θεῷ, τὴν παρθενίαν εἵλοντο· ἡμεῖς δὲ ἵνα ἀνύσωμεν αὐτοῦ τὸ θέλημα, τοῦτο πράττομεν. ὅτι γὰρ ὁ Θεὸς βούλεται πάντας ἀνθρώπους ἀπέχεσθαι γάμου, μάρτυς ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα. Βούλομαι γάρ, φησι, πάντας ἀνθρώπους εἶναι, ὡς καὶ ἐμαυτόν, ἐν ἐγκρατείᾳ. φειδόμενος δὲ ἡμῶν ὁ σωτήρ, καὶ εἰδὼς ὅτι Τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής, οὐκ εἰς ἐντολῆς ἀνάγκην τὸ πρᾶγμα κατέκλεισεν, ἀλλ' ἐπέτρεψεν αὐτοῦ τὴν αἵρεσιν ταῖς ἡμετέραις ψυχαῖς. εἰ γὰρ ἦν ἐπίταγμα καὶ νόμος, οὐκ ἂν* οἱ κα-

α. Κορ. ζ. ζ.

Ματθ. κϛ. μα.

Λουκ. ιζ. ι.

κατορθώσαντες τιμῆς ἀπήλαυσαν, ἀλλ' ἤκουσαν ἄν, Ἃ ὠφείλετε ποιῆσαι, πεποιήκατε, οὔτε ἂν διαμαρτόντες συγγνώμης ἔτυχον, ἀλλὰ τὴν τῶν παρανομούντων ἂν ὑπέστησαν δίκην. Εἰπὼν δὲ, Ὁ δυνάμενος χωρεῖν χωρείτω, τοὺς μὲν μὴ δυναμένους οὐ κατέκρινε, τῶν δὲ δυναμένων πολὺν καὶ ὑπέρογκον τὸν ἀγῶνα ἀπέδειξε. Διὰ τοῦτο καὶ ὁ Παῦλος κατ' ἴχνος βαίνων τοῦ διδασκάλου, Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου, φησὶν, οὐκ ἔχω, γνώμην δὲ δίδωμι.

Ματθ. ιθ ιβ.

α. Κορ. ζ. κε.

κεφ. γ. ὅτι σατανικῆς ἀπανθρωπίας τὸ βδελύττεσθαι γάμον.

Ἀλλ' οὐ Μαρκίων, οὐδὲ Οὐαλεντῖνος, οὐδὲ Μάνης ταύτης ἠνέσχοντο τῆς συμμετρίας· οὐ γὰρ εἶχον ἐν ἑαυτοῖς λαλοῦντα τὸν Χριστὸν, τὸν τῶν ἰδίων προβάτων φειδόμενον, καὶ τὴν ψυχὴν αὐτοῦ θέντα ὑπὲρ αὐτῶν· ἀλλὰ τὸν ἀνθρωποκτόνον, τὸν τοῦ ψεύδους πατέρα. διὰ τοῦτο καὶ τοὺς πειθομένους αὐτοῖς πάντας ἀπώλεσαν, ἐνταῦθα μὲν αὐτοὺς ἀνονήτοις καὶ ἀφορήτοις βαρύνοντες πόνοις, ἐκεῖ δὲ εἰς τὸ ἡτοιμασμένον ἐκείνοις πῦρ συγκατασπάσαντες ἑαυτοῖς.

κεφ. δ. ὅτι καὶ Ἑλλήνων ἀθλιώτεροι κατὰ τὴν παρθενίαν οἱ αἱρετικοί.

Ὦ καὶ Ἑλλήνων ὑμεῖς ἀθλιώτεροι. Ἕλληνας μὲν γὰρ εἰ καὶ τὰ τῆς γεέννης ἐκδέχεται δεινὰ, ἀλλ' ὅμως τέως γοῦν ἐνταῦθα καρποῦνται ἡδὺ, γάμοις ὁμιλοῦντες, καὶ χρημάτων ἀπολαύοντες, καὶ τῆς ἄλλης ἀνέσεως τῆς βιωτικῆς· ὑμῖν δὲ τὸ βασανίζεσθαι καὶ ταλαιπωρεῖσθαι ἑκατέρωθεν, ἐνταῦθα μὲν ἑκοῦσιν, ἐκεῖ δὲ μὴ βουλομένοις. καὶ Ἕλλησι μὲν ὑπὲρ νηστείας καὶ παρθενίας οὔτε μισθὸν δώσει τις, οὔτε κόλασις ἀπόκειται· ὑμεῖς δὲ ὑπὲρ ὧν μυρίους προσεδοκήσατε ἐπαίνους, ὑπὲρ τούτων τὴν ἐσχάτην δώσετε δίκην, καὶ μετὰ τῶν ἄλλων ἀκούσεσθε, Ἀπέλθετε ἀπ' ἐμοῦ εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ὅτι ἐνηστεύσατε, ὅτι ἐπαρθενεύσατε. ἡ γὰρ νηστεία καὶ ἡ παρθενία οὔτε καλὸν καθ' ἑαυτὸ, οὔτε κακὸν, ἀλλ' ἀπὸ τῆς τῶν μετιόντων προαιρέσεως ἑκάτερον γίνεται. καὶ Ἕλλησι μὲν ἄκαρπος ἡ τοιαύτη ἀρετὴ (ἀπέχουσι γὰρ αὐτῶν τὸν μισθὸν, ὅτι μὴ διὰ τὸν τοῦ Θεοῦ φόβον μετῆλθον αὐτήν) ὑμεῖς δὲ, ὅτι τῷ Θεῷ μαχόμενοι, καὶ διαβάλλοντες αὐτοῦ τὰ κτίσματα, οὐ μόνον ἀπέχετε τὸν μισθὸν ὑμῶν, ἀλλὰ καὶ κολασθήσεσθε. καὶ δογμάτων μὲν ἕνεκεν, μετ' ἐκείνων τετάξεσθε, ὅτι ὁμοίως αὐτοῖς τὸν ὄντα Θεὸν ἀθετήσαντες, πολυθεΐαν εἰσηγάγετε· τῆς δὲ πολιτείας ἕνεκεν, ἀμφοῖν ὑμῶν ἐκεῖνοι προέξουσι. τοῖς μὲν γὰρ ἡ ζημία μέχρι τοῦ μηδὲν λαβεῖν ἀγαθόν· ὑμῖν δὲ καὶ τοῦ κακὰ προσλαβεῖν. καὶ τοῖς μὲν κατὰ τὸν παρόντα βίον ἀπολαῦσαι πάντων ὑπῆρξεν· ὑμεῖς δὲ ἀμφοτέρων ἐστέρησθε. ἆρα τίς ἐστι ταύτης κόλασις χαλεπωτέρα, πόνων καὶ ἱδρώτων τιμωρίας ἀπολαμβάνειν τὰς ἀμοιβάς; ὁ μοιχὸς, καὶ ὁ πλεονέκτης, καὶ ὁ τοῖς ἀλλοτρίοις ἐντρυφῶν, καὶ τὰ τοῦ πλησίον ἁρπάζων, ἔχουσί τινα παραμυθίαν, βραχεῖαν μὲν, ἔχουσι δὲ ὅμως, τὸ ὑπὲρ τούτων κολάζεσθαι, ὑπὲρ ὧν ἐνταῦθα ἀπήλαυσαν. ὁ δὲ πενίαν μὲν ἑκούσιον ὑποστὰς, ἵνα ἐκεῖ πλουτῇ, καὶ τοὺς τῆς παρθενίας πόνους, ἵνα ἐκεῖ μετὰ ἀγγέλων χορεύῃ· εἶτα ἐξαίφνης καὶ παρὰ πᾶσαν προσδοκίαν ὑπὲρ τούτων κολαζόμενος, ὑπὲρ ὧν μυρίων ἤλπισεν ἀπολαύσεσθαι καλῶν, οὐδέ ἐστιν εἰπεῖν ὅσην ὑφίσταται τὴν ἀλγηδόνα τῷ παρ' ἐλπίδας ταῦτα παθεῖν. ἐγὼ γὰρ ἐξίσης τοῦ πυρὸς ὑπὸ τοῦ συνειδότος αὐτὸν οἶμαι μαστίζεσθαι, ὅταν ἐννοήσῃ τοὺς μὲν τὰ αὐτὰ αὐτῷ πεποιηκότας τῷ Χριστῷ συνόντας, αὐτὸν δὲ ὑπὲρ ὧν ἐκεῖνοι τῶν ἀπορρήτων ἀπολαύουσιν ἀγαθῶν, ὑπὲρ τούτων τὴν ἐσχάτην τίνοντα δίκην, καὶ τῶν ἀκολάστων καὶ λάγνων τὸν ἐν σεμνότητι διαγαγόντα χαλεπώτερα πάσχοντα.

Ματθ κε μα.

κεφ. ε. ὅτι καὶ μοιχείας ἀκαθαρτοτέρα ἡ τῶν αἱρετικῶν παρθενία.

Καὶ γὰρ ἀσελγείας ἁπάσης ἡ τῶν αἱρετικῶν σωφροσύνη χείρων ἐστίν. ἐκείνη μὲν γὰρ μέχρις ἀνθρώπων ἵστησι τὴν ἀδικίαν· αὕτη δὲ τῷ Θεῷ μάχεται, καὶ τὴν ἄπειρον ὑβρίζει σοφίαν. τοιαύτας τοῖς αὐτὸν θεραπεύουσιν ὁ διάβολος ἵστησι τὰς παγίδας. ὅτι γὰρ τῆς ἐκείνου πονηρίας ἐστὶν ἀκριβῶς εὕρημα ἡ τῶν αἱρετικῶν παρθενία, οὐκ ἐμὸς ὁ λόγος, ἀλλὰ τοῦ τὰ νοήματα αὐτοῦ οὐκ ἀγνοοῦντος. τί οὖν οὗτός φησι; Τὸ πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστέροις

α Τιμ. δ α.

καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις, καὶ διδασκαλίαις δαιμονίων ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν, κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων, ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν. πῶς οὖν παρθένος ἡ τῆς πίστεως ἀποστᾶσα, ἡ τοῖς πλάνοις προσέχουσα, καὶ τοῖς δαίμοσι πειθομένη, καὶ τιμῶσα τὸ ψεῦδος; πῶς παρθένος ἡ κεκαυτηριασμένη τὴν συνείδησιν; τὴν γὰρ παρθένον οὐ τῷ σώματι μόνον καθαρὰν εἶναι δεῖ, ἀλλὰ καὶ τῇ ψυχῇ, εἴπερ μέλλοι τὸν ἅγιον ὑποδέχεσθαι νυμφίον. αὕτη δὲ μετὰ τοσούτων καυτήρων πῶς ἂν εἴη καθαρά; εἰ γὰρ καὶ φροντίδας βιωτικὰς ἀπελαύνειν τούτου χρὴ τοῦ νυμφῶνος, ὡς οὐκ ἐνὸν μετ' ἐκείνων εὐσχήμονα εἶναι, πῶς, φρονήματος ἀσεβοῦς ἔνδον στρεφομένου, τὸ τῆς παρθενίας διασώσασθαι δυνήσεται κάλλος;

Εἰ γὰρ καὶ τὸ σῶμα αὐτῆς ἀκέραιον μένει, ἀλλ' ὅμως τὸ κρεῖττον διέφθαρται, τῆς ψυχῆς τὰ νοήματα. τί οὖν ὄφελος, ἀφανισθέντος τοῦ ναοῦ, τοὺς περιβόλους ἑστάναι; ἢ ποῖον τὸ κέρδος, τοῦ θρόνου μολυνθέντος, καθαρὸν εἶναι τοῦ θρόνου τὸν τόπον; μᾶλλον δὲ οὐδὲ οὕτω τοῦ ἄγους ἀπήλλακται. ἡ γὰρ βλασφημία καὶ τὰ φαῦλα ῥήματα τίκτεται μὲν ἔνδον, οὐ μένει δὲ ἔνδον ἐν τῇ ψυχῇ, ἀλλὰ μιαίνει μὲν γλῶτταν διὰ στόματος προφερόμενα, μιαίνει δὲ τὴν δεχομένην ἀκοήν· καὶ καθάπερ δηλητήρια φάρμακα εἰς αὐτὴν ἐμπίπτοντα τὴν ψυχήν, πάντως ἐντὸς χαλεπώτερον διαφθείρει τὴν ῥίζαν, καὶ μετ' ἐκείνης καὶ τὸ λοιπὸν ἅπαν ἀπόλλυσι σῶμα. εἰ τοίνυν παρθενίας ὅρος, τὸ καὶ σώματι καὶ πνεύματι εἶναι ἁγίαν· αὕτη δὲ ἐξ ἑκατέρων τῶν μερῶν ἐστι βέβηλος καὶ ἐναγής, πῶς ἂν δύναιτο εἶναι παρθένος; ἀλλὰ πρόσωπόν μοι δείκνυσιν ὠχρόν, καὶ κατισχνωμένα μέλη, καὶ στολὴν εὐτελῆ, καὶ βλέμμα ἥμερον. καὶ τί τὸ ὄφελος, ὅταν τὸ ἔνδον ὄμμα ἰταμὸν ᾖ; τί γὰρ ἂν γένοιτο τοῦ βλέμματος ἰταμώτερον ἐκείνου, τοῦ τοὺς ἔξωθεν πείθοντος ὀφθαλμοὺς ὡς πονηροῖς προσέχειν τοῖς τοῦ Θεοῦ κτίσμασι; Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν· αὕτη δὲ τοῦ λόγου τὴν ἀκολουθίαν ἀντέστρεψε, τὴν μὲν δόξαν ἔξωθεν περικειμένη, τὴν δ' ἀτιμίαν πᾶσαν ἔνδον ἔχουσα. τοῦτο γάρ ἐστι τὸ δεινόν, ὅτι πρὸς μὲν ἀνθρώπους ἐπιείκειαν ἐνδείκνυται πολλήν· πρὸς δὲ τὸν κτίσαντα αὐτὴν Θεὸν πολλῇ κέχρηται τῇ μανίᾳ· καὶ ἡ μηδὲ πρὸς ἄνδρα ἀναβλέψαι αἰσχυνομένη (εἴγε τινές εἰσιν ἐν αὐταῖς τοιαῦται) πρὸς τὸν τῶν ἀνθρώπων δεσπότην ἀναισχύντοις ὀφθαλμοῖς ὁρᾷ, καὶ ἀδικίαν εἰς τὸ ὕψος λαλεῖ. πύξινον αὐτῆς τὸ πρόσωπόν ἐστι, καὶ νεκρῷ προσεοικός. διὰ γὰρ τοῦτο δακρύων ἀξία καὶ θρήνων πολλῶν, ὅτι οὐκ εἰκῇ μόνον, ἀλλὰ καὶ ἐπ' ὀλέθρῳ τῷ κατὰ τῆς ἑαυτῆς κεφαλῆς τοσαύτην ἀνεδέξατο ταλαιπωρίαν.

κεφ. ϛ. Ὅτι οἱ αἱρετικοὶ παρθενεύοντες, οὐ τὰς ψυχὰς μόνον, ἀλλὰ καὶ τὰ σώματα μιαίνουσιν.

Ψαλμ. μδ. ιδ.

Εὐτελὴς ἡ στολή. ἀλλ' οὐκ ἐν τοῖς ἱματίοις, οὐδὲ ἐν τοῖς χρώμασιν ἡ παρθενία, ἀλλ' ἐν σώματι καὶ ψυχῇ. πῶς γὰρ οὐκ ἄτοπον, εἰ τοὺς μὲν φιλοσόφους οὐκ ἀπὸ τῆς κόμης, οὐδὲ ἀπὸ τῆς βακτηρίας, οὐδὲ ἀπὸ τῆς ἐξωμίδος δοκιμάζομεν, ἀλλ' ἀπὸ τῶν τρόπων καὶ τῆς ψυχῆς· καὶ τὸν στρατιώτην οὐκ ἀπὸ τῆς χλανίδος, οὐδὲ ἀπὸ τῆς ζώνης, ἀλλ' ἀπὸ τῆς ῥώμης καὶ τῆς ἀνδρείας· τὴν δὲ παρθένον, πρᾶγμα οὕτω θαυμαστὸν καὶ πάντα ὑπερβαῖνον τὰ ἐν ἀνθρώποις, διὰ τὸν τῶν τριχῶν αὐχμόν, καὶ τὴν τοῦ προσώπου κατήφειαν, καὶ τὸ φαιὸν ἱμάτιον, ἁπλῶς οὕτω καὶ παρέργως εἰς τὴν τοῦ πράγματος καταλέξομεν ἀρετήν, οὐκ ἀποδύσαντες αὐτῆς τὴν ψυχήν, καὶ τὴν ἕξιν αὐτῆς ἐντεῦθεν καταμαθόντες ἀκριβῶς; ἀλλ' οὐκ ἀφίησιν ὁ τοὺς τῆς ἀθλήσεως ταύτης νόμους διαταξάμενος. οὐ γὰρ ἀπὸ τῶν ἱματίων τοὺς εἰς τοῦτον καθιέντας ἑαυτοὺς τὸν ἀγῶνα δοκιμάζειν κελεύει, ἀλλ' ἀπὸ τῶν δογμάτων καὶ τῆς ψυχῆς. Ὁ γὰρ ἀγωνιζόμενος, φησί, πάντα ἐγκρατεύεται· πάντα τὰ διενοχλοῦντα τὴν τῆς ψυχῆς ὑγείαν. καί, Οὐδεὶς στεφανοῦται, φησίν, ἐὰν μὴ νομίμως ἀθλήσῃ. τίνες οὖν οἱ τῆς ἀθλήσεως ταύτης νόμοι; ἄκουε πάλιν αὐτοῦ λέγοντος· μᾶλλον δὲ δι' αὐτοῦ τοῦ τὸν ἀγῶνα θέντος Χριστοῦ· *Τίμιος ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος.

κεφ. ζ. Ὅτι τὴν παρθένον οὐκ ἀπὸ ἱματίων, ἀλλ' ἀπὸ ψυχῆς δοκιμάζειν χρή.

α. Κορ. θ. κε.

β. Τιμ. β. ε.

Ἑβρ. ιγ. δ.

Τί οὖν πρὸς ἐμὲ τοῦτο, φησί, τὴν πολλὰ χαίρειν εἰποῦσαν τῷ γάμῳ; τοῦτο γάρ σε, ὦ ταλαίπωρε, τοῦτο ἀπολώλεκεν, ὅτι μηδὲν οἴει σοι κοινὸν εἶναι πρὸς τοῦτο τὸ δόγμα. διὰ τοῦτο

κεφ. η. Ὅτι βλάβη τῇ παρθένῳ τὸ τετυφῶσθαι κατὰ τῶν γαμουμένων.

Ἑβρ. ιγ. δ.

Πλατ. ἐν Τιμαίῳ.

Μαρκ. α. κδ.

Πραξ. ις. ιζ.

ὑπεροψίᾳ ἀμέτρῳ κατὰ τοῦ πράγματος χρησάμενον, εἰς τὴν τοῦ Θεοῦ σοφίαν ἐξύβρισας, καὶ τὴν κτίσιν διέβαλες ἅπασαν. Εἰ γὰρ ἀκάθαρτον ὁ γάμος, ἀκάθαρτα μὲν ἅπαντα τὰ δι᾽ αὐτοῦ τικτόμενα ζῶα, ἀκάθαρτοι δὲ καὶ ὑμεῖς. οὐ γὰρ δὴ εἴποιμι τὴν τῶν ἀνθρώπων φύσιν. πῶς οὖν παρθένος ἡ ἀκάθαρτος; ἔστι γὰρ δεύτερος, μᾶλλον δὲ καὶ τρίτος ὑμῖν μολυσμοῦ καὶ ἀκαθαρσίας ἐπινενόηται τρόπος· καὶ αἱ τὸν γάμον ὡς ″ἐναγὲς φεύγουσαι, αὐτῷ τούτῳ τῷ φεύγειν πολλῶν γεγόνατε ἐναγέστεραι, παρθενίαν εὑροῦσαι πορνείας μιαρωτέραν. ποῦ τοίνυν ὑμᾶς τάξομεν; μετὰ τῶν Ἰουδαίων; ἀλλ᾽ οὐκ ἀνέχονται ἐκεῖνοι. καὶ γὰρ τὸν γάμον τιμῶσι, καὶ τοῦ Θεοῦ τὴν δημιουργίαν θαυμάζουσιν. ἀλλὰ μεθ᾽ ἡμῶν; ἀλλ᾽ οὐκ ἐθέλετε ἀκοῦσαι τοῦ Χριστοῦ λέγοντος διὰ τοῦ Παύλου· Τίμιος ὁ γάμος *, καὶ ἡ κοίτη ἀμίαντος. λείπεται δὴ μετὰ τῶν Ἑλλήνων ὑμᾶς εἶναι λοιπόν. ἀλλὰ κἀκεῖνοι παρωθοῦνται πάλιν ὑμᾶς ὡς ἀσεβεστέρας αὐτῶν. Πλάτων μὲν γάρ φησιν, ὅτι ἀγαθὸς ἦν ὁ τόδε τὸ πᾶν συστησάμενος· καὶ ὅτι ἀγαθῷ οὐδενὶ περὶ οὐδενὸς ἐγγίνεται φθόνος· σὺ δὲ αὐτὸν πονηρὸν καλεῖς, καὶ πονηρῶν ἔργων δημιουργόν. ἀλλὰ μὴ δείσῃς. ἔχεις τοῦ δόγματος κοινωνοὺς τὸν διάβολον, τοὺς ἀγγέλους τοὺς ἐκείνου· μᾶλλον δὲ οὐδὲ ἐκείνους. μὴ γάρ, ἐπειδή σε τοιαῦτα ἀνέπεισαν μαίνεσθαι, καὶ αὐτοὺς οὕτω διακεῖσθαι νόμιζε. ὅτι γὰρ ἴσασι τὸν Θεὸν ἀγαθόν, ἄκουσον βοώντων αὐτῶν, νῦν μέν· Οἴδαμέν σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ· νῦν δέ· Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσίν, οἵτινες καταγγέλλουσιν ″ὑμῖν ὁδὸν σωτηρίας. ἔτι οὖν παρθενίας μνησθήσεσθε, καὶ ἐπὶ τῷ πράγματι φιλοτιμήσεσθε, ἀλλ᾽ οὐκ ἀπελθόντες κλαύσετε ἑαυτοὺς καὶ θρηνήσετε τῆς ἀνοίας, δι᾽ ἧς ὑμᾶς ὁ διάβολος ὥσπερ αἰχμαλώτους δήσας εἰς τὸ τῆς γεέννης εἵλκυσε πῦρ; οὐχ ὡμίλησας γάμοις; ἀλλ᾽ οὐδέπω τοῦτο παρθένος. τὴν γὰρ κυρίαν τοῦ ″γαμηθῆναι γενομένην, εἶτα οὐχ ἑλομένην, ταύτην ἂν εἴποιμι παρθένον ἐγώ. ὅταν δὲ τῶν κεκωλυμένων τὸ πρᾶγμα εἶναι φῇς, οὐκέτι τῆς σῆς προαιρέσεως τὸ κατόρθωμα γίνεται, ἀλλὰ τῆς ἀνάγκης τοῦ νόμου. διὰ τοῦτο Πέρσας μὲν μὴ μητρογαμοῦντας θαυμάζομεν, Ῥωμαίους δὲ οὐκέτι. ἐνταῦθα μὲν γὰρ ἅπασιν ἐφεξῆς τὸ πρᾶγμα βδελυρὸν εἶναι δοκεῖ· ἐκεῖ δὲ ἡ τῶν ταῦτα τολμώντων ἄδεια τοὺς τῶν τοιούτων ἀπεχομένους μίξεων ἐπαινεῖσθαι πεποίηκε. κατὰ τὸν αὐτὸν δὴ λόγον καὶ ἐπὶ τοῦ γάμου τὴν ἐξέτασιν ποιήσασθαι χρή. ἡμεῖς μὲν γάρ, ἐπειδὴ τὸ πρᾶγμα πᾶσιν ἐφεῖται παρ᾽ ἡμῖν, εἰκότως τοὺς μὴ γαμοῦντας θαυμάζομεν· ὑμεῖς δὲ εἰς τὴν τῶν χρεῶν αὐτὸ τάξιν ὤσαντες, οὐκέτ᾽ ἂν δύναισθε τῶν ἀπὸ τοῦ πράγματος ἀντιποιεῖσθαι ἐπαίνων. τὸ γὰρ τῶν ἀπηγορευμένων ἀπέχεσθαι, οὔπω γενναίας καὶ νεανικῆς ψυχῆς. τελείας γὰρ ἀρετῆς οὐ τὸ ταῦτα μὴ πράττειν, ἃ πράξαντες παρὰ πᾶσιν εἶναι δόξομεν κακοί· ἀλλὰ τὸ ἐν τούτοις εἶναι λαμπρούς, ἃ μήτε τοὺς * ἑλομένους ἀφίησι διὰ τοῦτο κακίζεσθαι, τούς τε ἑλομένους καὶ κατορθώσαντας οὐ μόνον τῆς τῶν φαύλων ἀπαλλάττει δόξης, ἀλλὰ καὶ εἰς τὴν τῶν ἀγαθῶν ἐγκρίνει τάξιν. ὥσπερ γὰρ τοὺς εὐνούχους οὐδεὶς ἂν ἐπαινέσειεν εἰς παρθενίας λόγον, ὅτι μὴ γαμοῦσιν· οὕτως οὐδὲ ὑμᾶς. ὃ γὰρ ἐκείνοις ἡ τῆς φύσεως ἀνάγκη, τοῦτο ὑμῖν ἡ τῆς πονηρᾶς συνειδήσεως πρόληψις γέγονε. καὶ καθάπερ τοὺς εὐνούχους ἡ τοῦ σώματος πήρωσις τῆς ἐπὶ τῷ πράγματι φιλοτιμίας ἐξέβαλεν· οὕτως ὑμᾶς ὁ διάβολος, τῆς φύσεως ὑμῖν ἀκεραίου μενούσης, τοὺς ὀρθοὺς περικόψας λογισμούς, καὶ οὕτως εἰς τὴν ἀνάγκην τοῦ μὴ γαμεῖν καταστήσας, κατατείνει μὲν τοῖς πόνοις, τιμᾶσθαι δὲ οὐκ ἀφίησι. κωλύεις γαμεῖν; διὰ τοῦτο τοῦ μὴ γαμεῖν οὐ κείσεταί σοι μισθός, ἀλλὰ καὶ τιμωρία καὶ κόλασις.

γρ. ἡμῖν

γρ. ἡμῶν

* ἰχ

Κεφ. θ. ὅτι τὸ παραινεῖν παρθενεύειν οὐχὶ κωλύοντος ἐστι γαμεῖν.

Σὺ δέ, φησιν, οὐ κωλύεις; ἄπαγε· μήποτε τὰ αὐτά σοι μανείην. πῶς οὖν, φησι, παρακαλεῖς μὴ γαμεῖν; ὅτι πείθομαι πολλῷ τιμιωτέραν εἶναι τοῦ γάμου τὴν παρθενίαν. οὐ μὴν διὰ τοῦτο ἐν τοῖς πονηροῖς τὸν γάμον τίθεμαι, ἀλλὰ καὶ λίαν αὐτὸν ἐπαινῶ. λιμὴν γάρ ἐστι σωφροσύνης τοῖς βουλομένοις αὐτῷ χρῆσθαι καλῶς, οὐκ

ἀφεὶς ἀγριαίνειν τὴν φύσιν. Διὰ τοῦτο γὰρ προβόλων προστήσας τὴν ἔννομον μῖξιν, καὶ ταύτῃ τὰ τῆς ἐπιθυμίας δεχόμενος κύματα, ἐν γαλήνῃ πολλῇ καθίστησιν ἡμᾶς καὶ διατηρεῖ. Ἀλλ' εἰσί τινες τῶν μὴ δεόμενοι ταύτης τῆς ἀσφαλείας, ἀλλ' ἀντὶ ταύτης νηστείαις, ἀγρυπνίαις, χαμευνίαις, τῇ λοιπῇ σκληραγωγίᾳ κατασβεννῦσι τὴν τῆς φύσεως μανίαν. Τούτοις παραινῶ μὴ γαμεῖν, οὐ κωλύων γαμεῖν. Πολὺ δὲ τούτου κἀκείνου τὸ μέσον, καὶ τοσοῦτον, ὅσον ἀνάγκης καὶ προαιρέσεως τὸ διάφορον. Ὁ μὲν γὰρ συμβουλεύων ἀφίησι τὸν ἀκούοντα κύριον εἶναι τῆς τῶν πραγμάτων αἱρέσεως, ὑπὲρ ὧν πείθεται τὴν συμβουλήν· ὁ δὲ κωλύων παραιρεῖται ταύτην τὴν ἐξουσίαν " αὐτόν. Πρὸς τούτοις ἐγὼ μὲν παραινῶν οὐ κακίζω τὸ πρᾶγμα, οὐδὲ τοὺς μὴ πειθόντας κατηγορῶ· σὺ δὲ διαβάλλων αὐτό, καὶ φαῦλον εἶναι λέγων, καὶ τὴν τοῦ νομοθετοῦντος, ἀλλ' οὐ τὴν τοῦ συμβουλεύοντος τάξιν ἁρπάζων, εἰκότως τοὺς μὴ πειθομένους μισεῖς· ἀλλ' οὐκ ἐγώ, ἀλλὰ θαυμάζω μὲν τοὺς εἰς τοῦτον ἀπογραψαμένους τὸν ἀγῶνα· οὐ κατηγορῶ δὲ τῶν ἔξω τῆς ἀθλήσεως μενόντων. Κατηγορεία γὰρ τότε ἂν γένοιτο δικαίως, ὅταν τις πρὸς τὸ ὁμολογημένον ῥέψῃ κακόν. Ὁ δὲ τὸ ἔλαττον μὲν ἔχων ἀγαθόν, τοῦ μείζονος δὲ οὐκ ἐφικνούμενος, τοῦ μὲν ἐπαινεῖσθαι μετ' ἐκείνου καὶ θαυμάζεσθαι ἀπεστέρηται, κατηγορεῖσθαι δὲ οὐκ ἂν εἴη δίκαιος. Πῶς οὖν κωλύω γαμεῖν, τῶν γαμούντων μὴ κατηγορῶν; πορνεύειν κωλύω καὶ μοιχεύειν, γαμεῖν δὲ οὐδέποτε. Καὶ τοὺς μὲν ἐκεῖνα τολμῶντας κολάζω, καὶ τοῦ πληρώματος ἀπείργω τῆς ἐκκλησίας· τοὺς δὲ τοῦτο ποιοῦντας, εἰ σωφρονοῦσι, καὶ ἐπαινῶ διαπαντός. Οὕτω γὰρ δύο γίνεται τὰ κέρδη· ἓν μέν, τὸ μὴ διαβάλλειν τὴν τοῦ Θεοῦ δημιουργίαν· δεύτερον δέ, τὸ μὴ καθαιρεῖν τὸ τῆς παρθενίας ἀξίωμα, ἀλλὰ " πολλῷ σεμνοτέραν ἀποφαίνειν αὐτήν.

Ὁ μὲν γὰρ τὸν γάμον κακίζων, καὶ τὴν τῆς παρθενίας ὑποτέμνεται δόξαν· ὁ δὲ τοῦτον ἐπαινῶν, μᾶλλον ἐκείνης ἐπαίρει τὸ θαῦμα, καὶ " λαμπροτέραν ποιεῖ. Τὸ μὲν γὰρ τῇ πρὸς τὸ χεῖρον παραθέσει φαινόμενον καλόν, οὐκ ἂν εἴη σφόδρα καλόν· τὸ δὲ τῶν ὁμολογουμένων ἀγαθῶν ἄμεινον, τοῦτό ἐστι τὸ μεθ' ὑπερβολῆς καλόν, ὅπερ τὴν παρθενίαν ἀποδείκνυμεν οὖσαν ἡμεῖς. Ὥσπερ οὖν οἱ τὸν γάμον κακίζοντες, τοῖς ταύτης ἐγκωμίοις λυμαίνονται· οὕτως ὁ διαβολῆς ἀπαλλάττων αὐτόν, οὐ τοῦτον μᾶλλον, ἢ τὴν παρθενίαν ἐπῄνεσε. Καὶ γὰρ ἐπὶ τῶν σωμάτων οὐχ ὅσα τῶν πεπηρωμένων, ἀλλ' ὅσα τῶν ἀρτίων καὶ μηδεμίαν λώβην ἐχόντων ἐστὶν " ἀμείνω, ταῦτα ὡραῖα εἶναι φαμέν. Καλὸν ὁ γάμος· καὶ διὰ τοῦτο ἡ παρθενία θαυμαστόν, ὅτι καλοῦ " κρεῖττόν ἐστι, καὶ τοσούτῳ " κρεῖττον, ὅσῳ τῶν ναυτῶν ὁ κυβερνήτης, καὶ τῶν στρατιωτῶν ὁ στρατηγός. Ἀλλ' ὥσπερ ἐπὶ τοῦ πλοίου τοὺς ἐρέττοντας ἂν ἀφέλῃς, τὸ σκάφος κατέδυσας· καὶ ἐπὶ τοῦ πολέμου τοὺς στρατιώτας ἂν ἀποστήσῃς, παρέδωκας δεδεμένον τοῖς πολεμίοις τὸν στρατηγόν· οὕτω καὶ ἐνταῦθα ἂν τῆς ἀρίστης τάξεως " ἐκβάλλῃς τὸν γάμον, τῆς παρθενίας τὴν δόξαν προὔδωκας, καὶ εἰς ἔσχατον ἤγαγες κακόν. Καλὸν ἡ παρθενία; σύμφημι κἀγώ. Ἀλλὰ καὶ τοῦ γάμου κρείττων; καὶ τοῦτο συνομολογῶ. Καί, εἰ βούλει, καὶ τὸ ὅσον κρείττων προστίθημι· ὅσον τῆς γῆς ὁ οὐρανός, ὅσον τῶν ἀνθρώπων οἱ ἄγγελοι· εἰ δὲ χρή τι καὶ βιασάμενον εἰπεῖν, καὶ πλέον. Ἄγγελοι μὲν γάρ, εἰ καὶ μὴ γαμοῦσι, μηδὲ ἐκγαμίζονται, ἀλλ' οὐκ εἰσὶ συμπεπλεγμένοι σαρκὶ καὶ αἵματι, οὐδὲ ἐπὶ τῆς γῆς ἔχουσι τὰς διατριβάς, οὐδὲ ὄχλον ἐπιθυμιῶν ἀνέχονται, οὐδὲ σίτου δέονται καὶ ποτοῦ, οὐδὲ μέλος αὐτοὺς ἡδὺ μαλάξαι δύναιτ' ἄν, οὐδὲ ὄψις ἐπικάμψαι λαμπρά, οὐδὲ ἄλλο τῶν τοιούτων οὐδέν· ἀλλά, καθάπερ τὸν οὐρανὸν ἐν μεσημβρίᾳ καθαρᾷ μηδενὸς ἐνοχλοῦντος νέφους ἐστὶν ἰδεῖν καθαρόν, οὕτω καὶ τὰς ἐκείνων φύσεις, οὐδεμιᾶς ἐνοχλούσης ἐπιθυμίας, μένειν ἀνάγκη διαυγεῖς καὶ λαμπράς.

Τὸ δὲ τῶν ἀνθρώπων γένος τῶν μακαρίων ἐκείνων τῇ φύσει λειπόμενον, βιάζεται τὴν οἰκείαν ἰσχύν, καὶ φιλονεικεῖ διὰ τῆς σπουδῆς κατὰ δύναμιν ἐξισωθῆναι ἐκείνοις. Πῶς οὖν; οὐ γαμοῦσιν, οὐδὲ γαμίζονται ἄγγελοι; ἀλλ' οὐδὲ ἡ παρθένος. Παρεστήκασι διαπαντός, καὶ λειτουργοῦσι

κεφ. ι. Ὅτι ὁ τὸν γάμον κακίζων, καὶ τὴν παρθενίαν ἀδικεῖ.

κεφ. ια. Ὅτι ἡ παρθενία κατ' ὅσον αὐτῆς μετόντας ἀγγέλους ἐξ ἀνθρώπων ποιεῖ.

Ματθ. κε. λ.

λειτουργοῦσι τῷ Θεῷ; τοῦτο καὶ ἡ παρθένος. διὸ καὶ ὁ Παῦλος αὐτὰς πάντων ἀπέστησε τῶν φροντίδων, διὰ τὸ εὐπρόσεδρον καὶ ἀπερίσπαστον. Εἰ δὲ μὴ δύναιντο εἰς τὸν οὐρανὸν ἀναβῆναι τέως, καθάπερ ἐκεῖνοι, τῆς σαρκὸς καθελκούσης αὐτάς, ἀλλὰ καὶ ἐν τούτῳ πολλὴν ἔχουσι τὴν παραμυθίαν, αὐτὸν τὸν τῶν οὐρανῶν ὑποδεχόμεναι δεσπότην, ἂν ὦσιν ἅγιαι τῷ σώματι καὶ τῷ πνεύματι. Εἶδες τῆς παρθενίας τὸ ἀξίωμα, πῶς τοὺς ἐπὶ τῆς γῆς διατρίβοντας, τοῖς ἐν οὐρανοῖς διαιτωμένοις ὁμοίως πολιτεύεσθαι ποιεῖ, τοὺς σώματα περικειμένους τῶν ἀσωμάτων οὐκ ἀφίησι λείπεσθαι δυνάμεων, ἀνθρώπους ὄντας εἰς τὸν αὐτὸν τῶν ἀγγέλων ἄγει ζῆλον; ἀλλ' οὐδὲν τούτων πρὸς ὑμᾶς, τοὺς τοσοῦτον πρᾶγμα λυμαινομένους, καὶ τὸν δεσπότην διαβάλλοντας, καὶ πονηρὸν ἀποκαλοῦντας. ἡ γὰρ τοῦ πονηροῦ δούλου κόλασις ὑμᾶς ἐκδέξεται· ταῖς δὲ τῆς ἐκκλησίας παρθένοις ἀπαντήσεται τὰ πολλὰ καὶ μεγάλα ἀγαθά, καὶ ὀφθαλμὸν καὶ ἀκοὴν καὶ διάνοιαν ὑπερβαίνοντα τὴν ἀνθρωπίνην. διόπερ ἐκείνους ἀφέντες (καὶ γὰρ τῶν πρὸς αὐτοὺς εἰρημένων ἅλις) τοῖς τέκνοις τῆς ἐκκλησίας διαλεξώμεθα λοιπόν.

κεφ. ιϐ. Ὅτι Παῦλος εἰπών, Τοῖς δὲ λοιποῖς λέγω ἐγώ, οὐχ ὁ Κύριος, οὐκ ἀνθρωπίνην ἔδειξε τὴν συμβουλήν.

α. Κορ. ζ. α ι. ιϐ.

Ἰωάν. ιϛ. ιϐ.

α Κορ ζ. ιϐ.

α. Κορ. ζ. μ.

Πόθεν οὖν ἄρξασθαι τοῦ λόγου καλόν; ἀπ' αὐτῶν τῶν τοῦ Κυρίου ῥημάτων, ὧν διὰ τοῦ μακαρίου φθέγγεται Παύλου. τὴν γὰρ τούτου παραίνεσιν τοῦ Κυρίου παραίνεσιν εἶναί τις θεῖναι χρή. καὶ γὰρ ὅταν λέγῃ, Τοῖς δὲ γεγαμηκόσι παραγγέλλω, οὐκ ἐγώ, ἀλλ' ὁ Κύριος· καὶ πάλιν, Τοῖς δὲ λοιποῖς ἐγὼ λέγω, οὐχ ὁ Κύριος· οὐχ ὡς ἑτέρων μὲν ὄντων τῶν αὐτοῦ, ἑτέρων δὲ τῶν τοῦ Κυρίου, ταῦτά φησιν. ὁ γὰρ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα, ὁ μηδὲ ζῆν σπουδάζων, ὥστε τὸν Χριστὸν ἐν ἑαυτῷ ζῆν, ὁ καὶ βασιλείαν, καὶ ζωήν, καὶ ἀγγέλους, καὶ δυνάμεις, καὶ κτίσιν ἑτέραν, καὶ πάντα ἁπλῶς δεύτερα τῆς ἀγάπης αὐτοῦ τιθέμενος, πῶς ἂν ἢ φθέγξασθαι, ἢ καὶ ἐννοῆσαί τι τῶν οὐ δοκούντων εὐάρεστα τῷ Χριστῷ, καὶ ταῦτα νομοθετεῖν; τί ποτ' οὖν ἐστιν ὃ λέγει, ἐγώ, καὶ οὐκ ἐγώ; τῶν νόμων καὶ τῶν δογμάτων τοὺς μὲν δι' ἑαυτοῦ, τοὺς δὲ διὰ τῶν ἀποστόλων ἔδωκεν ἡμῖν ὁ Χριστός. ὅτι γὰρ οὐ πάντας αὐτὸς δι' ἑαυτοῦ τέθεικεν, ἄκουσον τί φησι· Πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. περὶ μὲν οὖν τοῦ γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρίζεσθαι, προλαβὼν αὐτὸς ἐνομοθέτησεν, ἡνίκα ἐν σαρκὶ ἐπὶ τῆς γῆς ἦν. καὶ διὰ τοῦτό φησι, τοῖς δὲ γεγαμηκόσι παραγγέλλω, οὐκ ἐγώ, ἀλλ' ὁ Κύριος. τῶν δὲ ἀπίστων ἕνεκεν αὐτὸς μὲν ἡμῖν οὐδὲν εἶπε δι' ἑαυτοῦ· τὴν δὲ τοῦ Παύλου πρὸς τοῦτο κινήσας ψυχήν, ἐνομοθέτει λέγων· Εἴ τις ἔχει γυναῖκα ἄπιστον, καὶ αὐτὴ εὐδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν· καὶ ἡ γυνή, ἥτις ἔχει ἄνδρα ἄπιστον, καὶ οὗτος συνευδοκεῖ οἰκεῖν μετ' αὐτῆς, μὴ ἀφιέτω αὐτόν. διὰ τοῦτο οὖν ἔλεγεν, οὐχ ὁ Κύριος, ἀλλ' ἐγώ, οὐ τοῦτο δεῖξαι βουλόμενος, ὅτι ἀνθρώπινον ἦν τὸ λεγόμενον (πῶς γάρ;) ἀλλ' ὅτι τὴν ἐντολὴν ταύτην οὐχ ἡνίκα παρῆν τοῖς μαθηταῖς ἔδωκεν, ἀλλὰ νῦν δι' αὐτοῦ. ὥσπερ οὖν τό, ὁ Κύριος, οὐκ ἐγώ, οὐκ ἔστιν ἐναντιουμένου τῷ προστάγματι τοῦ Χριστοῦ· οὕτω τό, ἐγώ, οὐχ ὁ Κύριος, οὐκ ἴδιόν τι παρὰ τὸ τῷ Θεῷ δοκοῦν λέγοντος, ἀλλὰ τοῦτο μόνον δεικνύντος δι' αὐτοῦ νῦν δεδομένην τὴν ἐντολήν. καὶ γὰρ περὶ τῆς χήρας διαλεγόμενος, Μακαριωτέρα δέ ἐστι, φησίν, ἐὰν οὕτω μείνῃ, κατὰ τὴν ἐμὴν γνώμην. Εἶτα, ἵνα μή, τὴν ἐμὴν γνώμην ἀκούσας, ἀνθρώπινον εἶναι νομίσῃς τὸν λογισμόν, τῇ προσθήκῃ τὴν ὑποψίαν ἐξέκοψεν, εἰπών· δοκῶ δὲ κἀγὼ πνεῦμα Θεοῦ ἔχειν. ὥσπερ οὖν τὰ τοῦ πνεύματος φθεγγόμενος, αὐτοῦ λέγει γνώμην εἶναι, καὶ οὐ διὰ τοῦτο φήσομεν ἀνθρωπίνην εἶναι τὴν ἀπόφασιν· οὕτω καὶ νῦν ὅταν εἴπῃ, ἐγὼ λέγω, οὐχ ὁ Κύριος, μὴ διὰ τοῦτο Παύλου νομίσῃς εἶναι τὸν λόγον. τὸν γὰρ Χριστὸν εἶχεν ἐν ἑαυτῷ λαλοῦντα, καὶ οὐκ ἂν ἐτόλμησεν ἐν ἀποφάσει δόγμα θεῖναι τοσοῦτον, εἰ μὴ τὸν νόμον ἡμῖν ἐκεῖθεν ἔφερεν. εἶπε γὰρ ἄν τις πρὸς αὐτόν· οὐκ ἀνέχομαι εἶναι μετὰ τῆς ἀπίστου πιστὸς ὢν αὐτός, μετὰ τῆς ἐναγοῦς ὁ καθαρός. αὐτὸς προλαβὼν εἶπες, ὅτι σὺ ταῦτα λέγεις, οὐχ ὁ Κύριος. πόθεν οὖν μοι τὸ ἀσφαλὲς καὶ τὸ βέβαιον; ἀλλ' εἶπεν ἂν πρὸς αὐτὸν ὁ Παῦ-

λος· μὴ δείσῃς· διὰ γὰρ τοῦτο εἶπον, ὅτι τὸν Χριστὸν ἔχω λαλοῦντα ἐν ἐμαυτῷ, καὶ, ὅτι δοκῶ πνεῦμα ἔχειν Θεοῦ, ἵνα μηδεὶς ἀνθρώπινον ὑποπτεύσῃ εἶναι τὴν νομοθεσίαν. Εἰ γὰρ μὴ τοῦτο ἦν, οὐκ ἂν τοσαύτην ἔδωκα τοῖς ἐμοῖς λογισμοῖς τὴν ἐξουσίαν. Λογισμοὶ γὰρ ἀνθρώπων δειλοὶ, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν. Ἐδείκνυσι δὲ καὶ ἡ πανταχοῦ τῆς οἰκουμένης ἐκκλησία τοῦ νόμου τὴν ἰσχὺν, μετ' ἀκριβείας αὐτὸν φυλάττουσα, * οὐκ ἂν φυλάξασα, εἰ μὴ ἐπέπειστο ἀκριβῶς εἶναι Χριστοῦ πρόσταγμα τὸ λεχθέν. Τί οὖν ὁ Παῦλος ἐνηχούμενος ὑπὸ τοῦ Κυρίου φησί; Περὶ δὲ ὧν ἐγράψατέ μοι, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι. Ἀποδέξαιτο ἄν τις ἐνταῦθα τοὺς Κορινθίους, ὅτι μηδεμίαν ποτὲ παρὰ τοῦ διδασκάλου δεξάμενοι συμβουλὴν περὶ παρθενίας, αὐτοὶ φθάσαντες ἐρωτῶσιν αὐτὸν, ἐντεῦθεν ἤδη δεικνύντες τὴν ἀπὸ τῆς χάριτος ἐπίδοσιν γινομένην αὐτοῖς. Ἐπὶ γὰρ τῆς παλαιᾶς διαθήκης οὐκ ἦν τὸ πρᾶγμα ἀμφίβολον. Οὐ γὰρ μόνον οἱ λοιποὶ πάντες, ἀλλὰ καὶ οἱ Λευῖται καὶ ἀρχιερεῖς καὶ αὐτὸς ὁ μέγας ἀρχιερεὺς πολλὴν ἐποιεῖτο τοῦ γάμου σπουδήν.

Σοφ. θ. ιδ.

Πόθεν οὖν ἦλθον ἐπὶ τὴν ἐρώτησιν; Εἶδον τοῦτο ὀξέως ἐκεῖνοι καὶ σαφῶς, ὅτι μείζονος αὐτοῖς δεῖ τῆς ἀρετῆς, ἐπειδὴ καὶ μείζονος ἠξιώθησαν τῆς δωρεᾶς. Ἄξιον δὲ ἐξετάσαι κἀκεῖνο, διατί μηδέποτε αὐτοῖς ταύτην εἰσηγήσατο τὴν συμβουλήν. Οὐδὲ γὰρ ἄν, εἴγε ἤκουσάν τι τοιοῦτον, πάλιν ἂν ἔγραψαν ὑπὲρ τῶν τοιούτων αὖθις ἐρωτῶντες. Καὶ γὰρ καὶ ἐνταῦθα τὸ βάθος τῆς σοφίας ἔστι τοῦ Παύλου κατανοῆσαι. Οὐ γὰρ ἁπλῶς, οὐδὲ εἰκῆ παρῆκε τοῦ πράγματος τοσούτου παραίνεσιν, ἀλλ' ἀνέμενε πρότερον αὐτοὺς εἰς ἐπιθυμίαν ἐλθεῖν, καὶ ἔννοιάν τινα περὶ τοῦ πράγματος τούτου λαβεῖν· ἵν' ᾠκειωμένας αὐτῶν ἤδη τῇ παρθενίᾳ λαβὼν τὰς ψυχὰς, χρησίμως οὕτω περὶ τούτων κατασπείρῃ λόγους, τῆς τῶν ἀκουόντων περὶ τοῦ πράγματος αἱρέσεως πολλὴν εὐκολίαν πρὸς τὴν τῆς παραινέσεως ὑποδοχὴν παρεχούσης. Καὶ ἄλλως δὲ τὸ τοῦ πράγματος δείκνυσι μέγεθος καὶ τὸν ὄγκον πολύν. Οὐδὲ γὰρ ἂν, εἰ μὴ τοῦτο ἦν, τὴν ἐκείνων ἂν περιέμενε προθυμίαν· ἀλλὰ προλαβὼν αὐτὸς ἂν εἰσηγήσατο, εἰ καὶ μὴ ὡς ἐπίταγμα, μηδὲ ἐντολὴν, ἀλλ' ὡς παραίνεσιν καὶ συμβουλήν. Ὁ δὲ μηδὲ τοῦτο ἀνεχόμενος ποιῆσαι πρότερος, φανερὸν ἡμῖν κατέστησεν, ὅτι πολλῶν ἱδρώτων καὶ μεγάλης ἡ παρθενία δεῖται τῆς ἀγωνίας. Καὶ ἐνταῦθα δὲ τὸν κοινὸν ἡμῶν δεσπότην μιμούμενος, οὕτως ἐποίησε. Καὶ γὰρ ἐκεῖνος τότε διελέχθη περὶ τῆς παρθενίας, ὅτε αὐτὸν οἱ μαθηταὶ ἤροντο. Εἰπόντων γὰρ, Εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικὸς, συμφέρει μὴ γαμῆσαι, τότε ἔφησεν· Εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. Ὅταν γὰρ μέγα ᾖ τὸ κατορθούμενον, καὶ διὰ τοῦτο μηδὲ εἰς ἐντολῆς ἀνάγκην καταλείπηται, τότε τῶν μελλόντων κατορθοῦν τὴν προθυμίαν ἀναμένειν χρὴ, ἑτέρῳ δὲ τρόπῳ καὶ ἀνυπόπτως τὸ θελῆσαι καὶ βουληθῆναι κατασκευάζοντας ἐν αὐτοῖς· ὥσπερ οὖν καὶ ὁ Χριστὸς ἐποίησεν. Οὐ γὰρ ἐπὶ τῶν περὶ παρθενίας λόγων εἰς τὴν τῆς παρθενίας αὐτοὺς ἐπιθυμίαν ἐνέβαλεν· ἀλλὰ περὶ τοῦ γάμου μόνον διαλεχθεὶς, καὶ τὸ βάρος τοῦ πράγματος δείξας, καὶ μέχρι τούτου στήσας τὸν λόγον, οὕτω σοφῶς ᾠκονόμησεν, ὡς αὐτοὺς μηδὲν περὶ τοῦ μὴ γαμεῖν ἀκούσαντας, αὐτοὺς ἀφ' ἑαυτῶν εἰπεῖν, ὅτι συμφέρει μὴ γαμεῖν. Διὰ τοῦτο οὖν καὶ ὁ Παῦλος ἔλεγεν, ὁ τοῦ Χριστοῦ μιμητής· Περὶ δὲ ὧν ἐγράψατέ μοι· μόνον οὐκ ἀπολογούμενος αὐτοῖς διὰ τούτων, καὶ λέγων· ὅτι ἐγὼ μὲν ἐπὶ τὴν ὑψηλὴν ταύτην κορυφὴν οὐκ ἐτόλμων ὑμᾶς ἀγαγεῖν διὰ τὸ τοῦ πράγματος δυσκατόρθωτον· ἐπειδὴ δὲ αὐτοὶ φθάσαντες ἐγράψατέ μοι, μετὰ τοῦ θαρρεῖν ποιοῦμαι τὴν συμβουλήν*. Διὰ τί γὰρ ὑπὲρ πολλῶν γραψάντων ἐκείνων οὐδαμοῦ τοῦτο προσέθηκε; δι' οὐδὲν ἕτερον, ἢ διὰ τοῦτο, ὅπερ εἶπον νῦν. Ἵνα γὰρ μή τις δυσχεράνῃ τὴν παραίνεσιν, τῶν γραμμάτων αὐτοὺς, ὧν ἔπεμψαν, ὑπομιμνήσκει. Καὶ οὐδὲ οὕτω μετὰ σφοδρότητος κέχρηται τῇ παραινέσει, καὶ ταῦτα τοσαύτην λαβὼν ἀφορμὴν, ἀλλὰ καὶ ἄγαν ὑφειμένως, καὶ τοῦτο μιμούμενος τὸν Χριστόν. Καὶ γὰρ ὁ σωτὴρ μετὰ τὸ πληρῶσαι τὸν περὶ τῆς παρ-

Κεφ. ιγ. Διὰ τί ἔγραψαν αὐτῷ Κορίνθιοι περὶ παρθενίας, αὐτὸς δὲ αὐτοῖς περὶ τούτου οὐ παρῄνεσεν.

Ματθ. ιθ.

θενίας

Ματθ. ιθ. ιβ.

θενίας λόγον, προσέθηκεν· Ὁ δυνάμενος χωρεῖν, χωρείτω. τί οὖν φησι; περὶ δὲ ὧν ἐγράψατέ μοι, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι.

κεφ. ιδ.

Ἀντίθεσις τῶν τὴν παρθενίαν ἐκβαλλόντων, καὶ λύσις.

Ἀλλ' ἴσως εἴποι τις ἄν· καὶ εἰ καλὸν γυναικὸς μὴ ἅπτεσθαι, τίνος ἕνεκεν γάμος ἐπεισῆλθε τῷ βίῳ; πῶς δὲ λοιπὸν χρησόμεθα τῇ γυναικὶ, μήτε εἰς γάμον, μήτε εἰς παιδοποιΐαν ἡμῖν χρησιμευούσῃ; τί δὲ κωλύσει τὸ τῶν ἀνθρώπων ἅπαν ἀφανισθῆναι γένος, τοῦ μὲν θανάτου καθ' ἑκάστην αὐτὸ τὴν ἡμέραν ἐπινεμομένου καὶ κόπτοντος, τοῦ δὲ λόγου τούτου οὐκ ἐῶντος ἀντὶ τῶν πιπτόντων ἑτέρους ἀναφῦσαι; εἰ γὰρ τὸ καλὸν τοῦτο ζηλώσαιμεν ἅπαντες, καὶ μὴ ἁψαίμεθα γυναικῶν, πάντα οἰχήσεται, καὶ πόλεις, καὶ οἰκίαι, καὶ ἀγροὶ, καὶ τέχναι, καὶ ζῶα, καὶ φυτά. καθάπερ γὰρ, τοῦ στρατηγοῦ πεσόντος, πᾶσα ἀνάγκη τοῦ στρατεύματος διασπασθῆναι τὴν εὐταξίαν· οὕτω τοῦ πάντων τῶν ἐπὶ γῆς βασιλεύοντος ἀνθρώπου διὰ τοῦ μὴ γαμεῖν ἀφανισθέντος, οὐδὲν τῶν λοιπῶν ἐπὶ τῆς αὐτῆς ἀσφαλείας καὶ εὐταξίας διαμενεῖ, καὶ τὸ καλὸν τοῦτο παράγγελμα μυρίων ἐμπλήσει τὴν οἰκουμένην κακῶν. ἐγὼ δὲ, εἰ μὲν τῶν ἐχθρῶν καὶ ἀπίστων ἦν ταῦτα μόνον τὰ ῥήματα, βραχὺν ἂν αὐτῶν ἐποιησάμην λόγον. ἐπειδὴ δὲ καὶ τῶν εἰς τὴν ἐκκλησίαν δοκούντων συντελεῖν πολλοὶ ταῦτα φθέγγονται, δι' ἀσθένειαν μὲν προαιρέσεως ἀπολειφθέντες τῶν ὑπὲρ τῆς παρθενίας ἱδρώτων, τῷ δὲ τὸ πρᾶγμα κακίζειν καὶ περιττὸν ἀποφαίνειν βουλόμενοι συσκιάζειν τὴν ἑαυτῶν ῥᾳθυμίαν, ἵνα μὴ δοκῶσι δι' ὀλιγωρίαν, ἀλλὰ διὰ κρίσιν ὀρθὴν λογισμῶν τῶν ἀγώνων ὑστερηκέναι τούτων· φέρε, τοὺς ἐχθροὺς ἀφέντες (ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος· μωρία γὰρ αὐτῷ ἐστι) τοὺς προσποιουμένους εἶναι μεθ' ἡμῶν διδάξωμεν ἀμφότερα, ὡς οὔτε τὸ πρᾶγμα περιττὸν, ἀλλὰ καὶ σφόδρα χρήσιμον καὶ ἀναγκαῖόν ἐστιν, οὔτε αὐτοῖς ἀζήμιος ἡ τοιαύτη κατηγορία, ἀλλὰ τοσοῦτον αὐτοῖς οἴσει τὸν κίνδυνον, ὅσον τοῖς κατορθοῦσι τὸν μισθὸν καὶ τὸν ἔπαινον. ἐπειδὴ γὰρ ὁ σύμπας οὗτος κόσμος ἀπήρτιστο, καὶ πάντα ηὐτρέπιστο τὰ πρὸς ἀνάπαυσιν καὶ χρῆσιν τὴν ἡμετέραν, ἔπλασε τὸν ἄνθρωπον ὁ Θεὸς, δι' ὃν καὶ τὸν κόσμον ἐποίησε. πλασθεὶς δὲ ἐκεῖνος ἔμεινεν ἐν παραδείσῳ, καὶ γάμου λόγος οὐδεὶς ἦν. ἐδέησεν αὐτῷ γενέσθαι καὶ βοηθὸν· καὶ ἐγένετο· καὶ οὐδὲ οὕτως ὁ γάμος ἀναγκαῖος εἶναι ἐδόκει, ἀλλ' οὐδὲ ἐφαίνετό που· ἀλλ' ἔμενον ἐκεῖνοι τούτου χωρὶς, καθάπερ ἐν οὐρανῷ, τῷ παραδείσῳ διαιτώμενοι, καὶ ἐντρυφῶντες τῇ πρὸς Θεὸν ὁμιλίᾳ. μίξεως δὲ ἐπιθυμία, καὶ σύλληψις, καὶ ὠδῖνες, καὶ τόκοι, καὶ πᾶν εἶδος φθορᾶς ἐξώριστο τῆς ἐκείνων ψυχῆς. ὥσπερ δὲ ποταμὸς διειδὴς ἐκ καθαρᾶς πηγῆς προϊὼν, οὕτως ἦσαν ἐν ἐκείνῳ τῷ χωρίῳ τῇ παρθενίᾳ κοσμούμενοι. καὶ πᾶσα τότε ἡ γῆ ἔρημος ἦν ἀνθρώπων· τοῦτο, ὃ νῦν δεδοίκασιν οὗτοι οἱ τῆς οἰκουμένης μεμεριμνηκότες, οἱ τὰ μὲν ἑτέρων σπουδαίως μεριμνῶντες, τὰ δὲ ἑαυτῶν οὐδὲ ἐν ὄψει αἰρόμενοι, καὶ ὑπὲρ μὲν τοῦ κοινοῦ τῶν ἀνθρώπων δεδοικότες γένους μήποτε ἐπιλείπῃ, τῆς δὲ ἰδίας ἕκαστος, ὡς ἀλλοτρίας, οὕτως ἀμελοῦντες ψυχῆς· καὶ ταῦτα μέλλοντες ὑπὲρ μὲν ταύτης καὶ τῶν μικροτάτων ἕνεκεν ἀκριβῶς ἀπαιτεῖσθαι τὰς εὐθύνας, ὑπὲρ δὲ τῆς τῶν ἀνθρώπων ὀλιγότητος οὐδὲ τὸν τυχόντα λόγον ὑφέξειν. οὐκ ἦσαν τότε πόλεις, οὐδὲ τέχναι, οὐδὲ οἰκίαι (καὶ γὰρ καὶ τούτων ὑμῖν οὐχ ὡς ἔτυχε μέλει) ἀλλ' οὐκ ἦν τότε ταῦτα· καὶ ὅμως τὴν μακαρίαν ἐκείνην ζωὴν καὶ πολλῷ ταύτης ἀμείνω οὐδὲν οὔτε ἐνεπόδιζεν, οὔτε ἐνέκοπτεν. ἐπειδὴ δὲ παρήκουσαν τοῦ Θεοῦ, καὶ ἐγένοντο γῆ καὶ σποδὸς, ἀπώλεσαν μετὰ τῆς μακαρίας ἐκείνης διαγωγῆς καὶ τὸ τῆς παρθενίας καλὸν, καὶ μετὰ τοῦ Θεοῦ καὶ αὐτὴ καταλιποῦσα αὐτοὺς ἀνεχώρησεν. ἕως μὲν γὰρ ἦσαν ἀνάλωτοι τῷ διαβόλῳ, καὶ τὸν δεσπότην ᾐδοῦντο τὸν αὐτῶν, παρέμενε καὶ ἡ παρθενία κοσμοῦσα αὐτοὺς μᾶλλον, ἢ τοὺς βασιλεῖς τὸ διάδημα καὶ τὰ ἱμάτια τὰ χρυσᾶ. ἐπειδὴ δὲ αἰχμάλωτοι γενόμενοι, τὴν βασιλικὴν ταύτην ἀπεδύσαντο στολὴν, καὶ τὸν οὐράνιον ἀπέθεντο κόσμον, ἐδέξαντο δὲ τὴν ἀπὸ τοῦ θανάτου φθορὰν, καὶ τὴν ἀρὰν, καὶ τὴν ὀδύνην, καὶ τὸν ἐπίπονον βίον, * τότε ὁ γάμος ἐπεισέρχεται μετὰ τούτων, τὸ θνητὸν τοῦτο καὶ δουλικὸν

α. Κορ. β. ιδ.

γρ. μενεῖ

γρ. ὀρθῶν

* καὶ

α. Κορ. ζ. λγ.

λικὸν ἱμάτιον. Ὁ γὰρ γαμήσας, φησί, μεριμνᾷ τὰ τοῦ κόσμου. ὁρᾷς πόθεν ἔσχε τὴν ἀρχὴν ὁ γάμος; πόθεν ἀναγκαῖος ἔδοξεν εἶναι; ἀπὸ τῆς παρακοῆς, ἀπὸ τῆς ἀρᾶς, ἀπὸ τοῦ θανάτου. ὅπου γὰρ θάνατος, ἐκεῖ γάμος· τούτου δὲ οὐκ ὄντος, οὐδὲ ἐκεῖνος ἕπεται. ἀλλ' οὐχ ἡ παρθενία ταύτην ἔχει τὴν ἀκολουθίαν· ἀλλ' ἀεὶ χρήσιμον, ἀεὶ καλὸν καὶ μακάριον, καὶ πρὸ τοῦ θανάτου, καὶ μετὰ τὸν θάνατον, καὶ πρὸ τοῦ γάμου, καὶ μετὰ τὸν γάμον. ποῖος γάρ, εἰπέ μοι, γάμος ἀπέτεκε τὸν Ἀδάμ; ποῖαι τὴν Εὔαν ὠδῖνες; οὐκ ἂν ἔχοις εἰπεῖν. τί οὖν δέδοικας εἰκῆ καὶ τρέμεις μή, παυσαμένου τοῦ γάμου, καὶ τὸ τῶν ἀνθρώπων παύσηται γένος; Μυρίαι μυριάδες ἀγγέλων λειτουργοῦσι τῷ Θεῷ, χίλιαι χιλιάδες ἀρχαγγέλων παρεστᾶσιν αὐτῷ· καὶ οὐδεὶς τούτων γέγονεν ἐκ διαδοχῆς, οὐδὲ ἐκ τόκων καὶ ὠδίνων καὶ συλλήψεως. οὐκοῦν πολλῷ μᾶλλον ἀνθρώπους ἐποίησεν ἂν γάμου χωρίς, ὥσπερ οὖν καὶ ἐποίησε τοὺς προτέρους, ὅθεν ἀπάντες ἄνθρωποι.

Δαν. ζ. ι.

Κεφ. ιε. Ὅτι οὐχ ὁ γάμος αὔξει τὸ ἡμέτερον γένος.

Γεν. α. κη.

Γεν. ιε. β.

Καὶ νῦν δὲ οὐχ ἡ τοῦ γάμου δύναμις τὸ γένος συγκροτεῖ τὸ ἡμέτερον, ἀλλ' ὁ τοῦ Κυρίου λόγος, ὁ παρὰ τὴν ἀρχὴν εἰπών, Αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν. ἢ γάρ, εἰπέ μοι, τὸν Ἀβραὰμ εἰς παιδοποιίαν τὸ πρᾶγμα ὤνησεν; οὐκ ἐπὶ τοσούτοις αὐτῷ χρησάμενος ἔτεσι, ταύτην ὕστερον ἀφῆκε τὴν φωνήν, Δέσποτα, τί μοι δώσεις; ἐγὼ δὲ ἀπολύομαι ἄτεκνος. ὥσπερ οὖν τότε ἀπὸ νεκρῶν σωμάτων τοσαύταις μυριάσι δέδωκεν ὑπόθεσιν καὶ ῥίζαν ὁ Θεός· οὕτω καὶ παρὰ τὴν ἀρχήν, εἰ τοῖς προστάγμασιν αὐτοῦ πεισθέντες οἱ περὶ τὸν Ἀδὰμ τῆς ἡδονῆς ἐκράτησαν τοῦ ξύλου, οὐκ ἂν ἠπόρησεν ὁδοῦ, δι' ἧς τὸ τῶν ἀνθρώπων γένος αὐξήσει. οὔτε γὰρ ὁ γάμος, μὴ βουλομένου Θεοῦ, δυνήσεται ποιῆσαι πολλοὺς τοὺς ὄντας ἀνθρώπους, οὐδὲ ἡ παρθενία, βουλομένου πολλοὺς εἶναι, λυμανεῖται τὸ πλῆθος. ἀλλ' οὕτως ἐβουλήθη, φησί, δι' ἡμᾶς καὶ διὰ τὴν ἀπείθειαν τὴν ἡμετέραν. διὰ τί γὰρ μὴ πρὸ τῆς ἀπάτης ὁ γάμος ἐφάνη; διὰ τί μὴ ἐν παραδείσῳ ἡ μίξις; διὰ τί μὴ πρὸ τῆς ἀρᾶς ὠδῖνες; ὅτι ταῦτα τότε μὲν περιττά, ὕστερον δὲ γέγονεν ἀναγκαῖα διὰ τὴν ἡμετέραν ἀσθένειαν καὶ ταῦτα, καὶ τὰ ἄλλα ἅπαντα, αἱ πόλεις, αἱ τέχναι, ἡ τῶν ἱματίων περιβολή, ὁ λοιπὸς τῶν χρειῶν ὄχλος. ταῦτα γὰρ ἅπαντα ἐπισυρόμενος εἰσήλασεν ὁ θάνατος μεθ' ἑαυτοῦ. μὴ τοίνυν ὃ διὰ τὴν ἀσθένειαν συνεχωρήθη τὴν σήν, τοῦτο τῆς παρθενίας προτίμα· μᾶλλον δὲ μηδὲ ἐν ἴσῳ τίθεσο· ἐπεὶ κατὰ τοῦτον προϊὼν τὸν λόγον καὶ τὸ δύο γυναῖκας ἔχειν τοῦ μιᾷ ἀρκεῖσθαι μόνον ἄμεινον εἶναι φήσεις (ἐπειδὴ καὶ τοῦτο συγκεχώρηται ἐν τῷ νόμῳ Μωϋσέως) καὶ τὸν πλοῦτον δὲ οὕτω τῆς ἑκουσίου προτιμήσεις πενίας, καὶ τὴν τρυφὴν τῆς σώφρονος διαίτης, καὶ τὸ ἀμύνεσθαι τοῦ φέρειν τὸν ἀδικοῦντα γενναίως.

Κεφ. ις. Ὅτι οὐ καταβάλλεται ὁ γάμος.

Σὺ δὲ αὐτὰ κακίζεις, φησί; κακίζω μὲν οὐδαμῶς (Θεὸς γὰρ αὐτὰ συνεχώρησε, καὶ γέγονεν ἐν καιρῷ χρήσιμα) μικρὰ δὲ αὐτὰ εἶναί φημι, καὶ παίδων κατορθώματα μᾶλλον ἢ ἀνδρῶν. διὸ καὶ διὰ τοῦτο ἡμᾶς τελείους ὁ Χριστὸς δημιουργῆσαι βουλόμενος, ἐκεῖνα μὲν ἀποθέσθαι ἐκέλευσεν, ὥσπερ ἱμάτια παιδικά, καὶ οὐ δυνάμενα περιβαλεῖν τὸν ἄνδρα τὸν τέλειον, οὐδὲ τὸν μέτρον κοσμῆσαι τῆς ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ· τὰ δὲ ἐκείνων εὐπρεπέστερα καὶ τελειότερα περιθέσθαι ἐκέλευσεν, οὐκ ἀντινομοθετῶν ἑαυτῷ, ἀλλὰ καὶ σφόδρα ἀκολουθῶν. εἰ γὰρ καὶ τὰ προστάγματα ταῦτα ἐκείνων μείζω, ἀλλὰ τοῦ νομοθέτου σκοπὸς ὁ αὐτός. τίς οὖν ἐστιν οὗτος; περικόψαι τὴν κακίαν τῆς ἡμετέρας ψυχῆς, καὶ πρὸς τὴν τελείαν αὐτὴν ἀγαγεῖν ἀρετήν. εἰ τοίνυν τοῦτο ἐσπουδάκει, οὐ τὰ μείζονα ἐπιτάξαι τὰ πρότερον, ἀλλὰ τὰ ἐν τοῖς αὐτοῖς ἀφεῖναι διαπαντός, καὶ μηδέποτε τῆς εὐτελείας ἀπαλλάξαι ἐκείνης, τοῦτ' ἐναντιουμένου σφόδρα ἦν ἑαυτῷ. ὥσπερ γὰρ εἰ παρὰ τὴν ἀρχήν, ὅτε νηπιωδέστερον τὸ τῶν ἀνθρώπων διέκειτο γένος, τὴν ἐπιτεταμένην ταύτην ἐνομοθέτησε πολιτείαν, οὐκ ἂν τὴν σύμμετρον ἐδεξάμεθα ποτέ, ἀλλὰ πάντα τὰ τῆς σωτηρίας ἡμῖν ὑπὸ ταύτης ἂν τῆς ἀμετρίας διέφθαρτο· οὕτως εἰ μετὰ τὸν πολὺν χρόνον ἐκεῖνον καὶ τὴν ἀπὸ τοῦ νόμου παιδαγωγίαν, τοῦ

Ἐφεσ. δ. ιγ.

καιροῦ ἐπὶ τὴν οὐράνιον ταύτην καλοῦντος φιλοσοφίαν, εἴασε μένειν ἐπὶ τῆς γῆς, οὐδὲν ἂν μέγα ἐκ τῆς συγκαταβάσεως ἐκαρπωσάμεθα ἐκείνης, τῆς τελειότητος, δι᾽ ἣν ἡ συγκατάβασις γέγονε, μὴ παραγινομένης ἡμῖν.

κεφ. ις.

Περὶ συγκαταβάσεως τοῦ Θεοῦ.

Νῦν δὲ παρόμοιον γέγονεν, οἷον ἐπὶ τῶν νεοττῶν. καὶ γὰρ ἐκείνους, ὅταν ἐκθρέψῃ ἡ μήτηρ, προάγει μὲν τῆς καλιᾶς· ἂν δὲ ἀσθενοῦντας ἴδῃ καὶ καταπίπτοντας καὶ δεομένους ἔτι τῆς ἔνδον μονῆς, ἀφίησιν ἔτι πλείους ἡμέρας· οὐχ ἵνα διαπαντὸς ἔνδον μένωσιν, ἀλλ᾽ ἵνα, παγέντων αὐτοῖς καλῶς τῶν πτερῶν, καὶ τῆς ἰσχύος προσγινομένης ἁπάσης, μετὰ ἀσφαλείας λοιπὸν τῆς πτήσεως ἔχωνται. οὕτω καὶ ὁ Κύριος ἡμᾶς ἐξ ἀρχῆς μὲν εἷλκεν ἐπὶ τὸν οὐρανόν, καὶ τὴν ἐκεῖσε φέρουσαν ὁδὸν ἐδείκνυ, οὐκ ἀγνοῶν μὲν, ἀλλὰ καὶ σφόδρα εἰδὼς, ὅτι οὐκ ἀρκέσομεν πρὸς τὴν πτῆσιν ἐκείνην· δεῖξαι δὲ ἡμῖν βουλόμενος, ὅτι οὐ παρὰ τὴν αὐτοῦ βούλησιν, ἀλλὰ παρὰ τὴν ἡμετέραν ἀσθένειαν τὸ πταῖσμα γίνεται. ἐπειδὴ δὲ ἔδειξεν, οὕτω λοιπὸν ἀφίησιν, ὥσπερ ἐν καλιᾷ, τῷ κόσμῳ τούτῳ καὶ τῷ γάμῳ τρέφεσθαι χρόνον πολύν. ὡς δὲ ἡμῖν ἐν τῷ πολλῷ χρόνῳ τὰ τῆς ἀρετῆς ἔφυ πτερὰ, τότε ἠρέμα καὶ κατὰ μικρὸν ἐλθὼν ἐξήγαγε τῆς ἐνταῦθα μονῆς, διδάσκων ὑψηλότερα πέτεσθαι. οἱ μὲν οὖν ἔτι νωθρότεροι διακείμενοι, καὶ τὸν βαθὺν ὕπνον καθεύδοντες, ἐμφιλοχωροῦσιν ἔτι τῇ καλιᾷ, τοῖς τοῦ κόσμου προσηλωμένοι πράγμασιν· οἱ δὲ οὕτως γενναῖοι, καὶ τοῦ φωτὸς ἐρασταί, μετὰ πολλῆς εὐκολίας ἀφέντες αὐτὴν, πρὸς τὰ μετέωρα πέτονται, καὶ τὸν οὐρανὸν ἔχονται, πάντα ἐπὶ τῆς γῆς καταλείψαντες, τὸν γάμον, τὰ χρήματα, τὰς φροντίδας, τὰ ἄλλα πάντα, ὅσα πρὸς τὴν γῆν ἡμᾶς καθέλκειν εἴωθε. μὴ τοίνυν τὴν ἐξ ἀρχῆς γινομένην ἐπιτροπὴν τοῦ γάμου ταύτην ἀνάγκην εἰς τὸ ἑξῆς εἶναι νομίζωμεν κωλύουσαν ἀναχωρεῖν τοῦ γάμου. ὅτι γὰρ ἡμᾶς αὐτὸν ἀφιέναι βούλεται, ἄκουσον τί φησιν *· Ὁ δυνάμενος χωρεῖν, χωρείτω. εἰ δὲ μὴ παρὰ τὴν ἀρχὴν τοῦτο ἐπέταξε, μὴ θαυμάσῃς. οὐδὲ γὰρ ἰατρὸς πάντα ὑφ᾽ ἓν τοῖς κάμνουσι καὶ κατὰ τὸν αὐτὸν καιρὸν προστάττει· ἀλλ᾽ ὅταν μὲν ὑπὸ τοῦ πυρετοῦ κατέχωνται, τῆς στερεᾶς αὐτοὺς ἀπείργει τροφῆς· ὅταν δὲ ἀποθῶνται ἐκεῖνο τὸ πῦρ, καὶ τὴν ἀπ᾽ αὐτοῦ τῷ σώματι προσγινομένην ἀσθένειαν, τότε λοιπὸν ἀπαλλάξας αὐτοὺς τῶν δυσαρέστων σιτίων, ἐπὶ τὴν συνήθη φέρει δίαιταν. ὥσπερ δὲ ἐν τοῖς σώμασι τὰ στοιχεῖα πρὸς ἄλληλα στασιάζοντα κατὰ τὸ πλέον ἢ ἔλαττον τὴν νόσον ἐργάζεται· οὕτω καὶ ἐπὶ τῆς ψυχῆς αἱ τῶν παθῶν ἀμετρίαι διαφθείρουσι τὴν ὑγείαν αὐτῆς. καὶ δεῖ μάλιστα καιροῦ τοῦ καταλλήλως τοῖς ὑποκειμένοις πάθεσιν ἔχειν τὸ πρόσταγμα. ὡς τούτων γε δίχα ἀμφοτέρων οὐκ ἂν ἀρκέσειε νόμος καθ᾽ ἑαυτὸν διορθῶσαι τὴν ἐν τῇ ψυχῇ γινομένην διαστροφήν· ὥσπερ οὖν οὐδὲ ἡ τῶν φαρμάκων φύσις αὐτὴ καθ᾽ ἑαυτὴν δυνήσαιτ᾽ ἂν ἕλκος ἀφανίσαι ποτέ. ὅπερ γὰρ ἐπὶ τῶν τραυμάτων τὰ φάρμακα, τοῦτο ἐπὶ τῶν ἁμαρτημάτων οἱ νόμοι. σὺ δὲ ἰατρὸν νῦν μὲν τέμνοντα, νῦν δὲ καίοντα, νῦν δὲ οὐδέτερον τούτων ποιοῦντα ἐπὶ τῶν αὐτῶν πολλάκις τραυμάτων, οὐ πολυπραγμονεῖς, καὶ ταῦτα πολλάκις ἀποσφαλέντα τοῦ τέλους· τὸν δὲ Θεὸν ἄνθρωπος ὢν, τὸν οὐδαμοῦ μὲν διαμαρτάνοντα, πάντα δὲ ἀξίως τῆς οἰκείας οἰκονομοῦντα σοφίας, περιεργάσῃ, καὶ τῶν προσταγμάτων εὐθύνας ἀπαιτήσεις, καὶ οὐ παραχωρήσεις τῷ τῆς σοφίας ἀπείρῳ; καὶ πῶς οὐκ ἐσχάτης ταῦτα παραπληξίας; εἶπεν, αὐξάνεσθε καὶ πληθύνεσθε. τοῦτο γὰρ ὁ καιρὸς ἀπῄτει, τῆς φύσεως μαινομένης, καὶ τὸν τῶν παθῶν οἶστρον μὴ δυναμένης ἐνεγκεῖν, οὐδὲ ἐχούσης εἰς ἕτερόν τινα λιμένα καταφυγεῖν ἐν ἐκείνῃ τῇ ζάλῃ. ἀλλὰ τί; κελεύειν ἐχρῆν ἐν ἐγκρατείᾳ καὶ παρθενίᾳ διάγειν; ἀλλὰ τοῦτο μεῖζον ἂν τὸ πτῶμα εἰργάσατο, καὶ τὴν φλόγα σφοδροτέραν ἐποίησε. καὶ γὰρ τοῦ γάλακτος μόνου δεομένους παῖδας [ἂν] εἴ τις ἐκείνης ἀπαγαγὼν τῆς τροφῆς, τῆς ἀνδράσι προσηκούσης ἀναγκάζῃ μεταλαμβάνειν, οὐδὲν τὸ κωλῦον αὐτοὺς ἀπόλλυσθαι εὐθέως· τοσοῦτον ἡ ἀκαιρία κακόν. διὰ ταῦτα ἐξ ἀρχῆς οὐκ ἐδόθη ἡ παρθενία· μᾶλλον δὲ ἡ παρθενία μὲν ἐξ ἀρχῆς καὶ τοῦ γάμου προτέρα ἡμῖν ἐφάνη· διὰ ταῦτα δὲ ἐπεισῆλθεν

Ματθ. ιθ. ιϛ.

χωρεῖν

* ὁ χωρῶν

ὕστερον ὁ γάμος, καὶ πρᾶγμα ἀναγκαῖον ἐνομίζετο εἶναι. ὡς εἴ γε ἔμεινεν ὑπακούων ὁ Ἀδάμ, οὐκ ἂν ἐδέησε τούτου. καὶ πῶς ἄν, φησιν, αἱ τοσαῦται μυριάδες ἐγένοντο; ἐγὼ δέ σε πάλιν ἐρωτῶ, ἐπειδή σε σφόδρα περιέμεινε κατασείων οὗτος ὁ φόβος, πῶς ὁ Ἀδάμ, πῶς δὲ ἡ Εὔα, μὴ μεσιτεύοντος γάμου; τί οὖν; οὕτω, φησίν, ἔμελλον ἅπαντες ἄνθρωποι γίνεσθαι; εἴτε οὕτως, εἴτε ἑτέρως, οὐκ ἔχω λέγειν. τὸ γὰρ ζητούμενον νῦν, ὅτι γάμου οὐκ ἔδει τῷ Θεῷ πρὸς τὸ πολλοὺς ποιῆσαι τοὺς ἐπὶ τῆς γῆς ἀνθρώπους.

Κεφ. ιη. Ὅτι οὐχ ἡ παρθενία τὸ γένος ἡμῶν ἐλαττοῖ, ἀλλ' ἡ ἁμαρτία.

Ὅτι δὲ οὐχ ἡ παρθενία ποιεῖ τὸ τῶν ἀνθρώπων γένος ἐπιλείπειν, ἀλλ' ἡ ἁμαρτία καὶ αἱ ἄτοποι μίξεις, ἔδειξεν ὁ κατὰ τὸν Νῶε γενόμενος ἀφανισμὸς καὶ ἀνθρώπων καὶ κτηνῶν καὶ πάντων ἁπλῶς τῶν ἐμπνεόντων ἐπὶ τῆς γῆς. εἰ γὰρ ἔστησαν πρὸς τὴν ἄτοπον τότε ἐπιθυμίαν ἐκείνην οἱ υἱοὶ τοῦ Θεοῦ, καὶ τὴν παρθενίαν ἐτίμησαν· εἰ μὴ εἶδον ἀδίκοις ὄμμασι τὰς θυγατέρας τῶν ἀνθρώπων, οὐκ ἂν αὐτοὺς ὁ τοσοῦτος κατέλαβεν ὄλεθρος. καὶ μή με τις οἰέσθω τῆς ἀπωλείας αὐτῶν αἰτιᾶσθαι τὸν γάμον. οὐ γὰρ τοῦτό φημι νῦν, ἀλλ' ὅτι τὸ ἀπολλύναι καὶ διαφθείρειν τὸ γένος τὸ ἡμέτερον, οὐ τῆς παρθενίας, ἀλλὰ τῆς ἁμαρτίας ἐστίν.

Κεφ. ιθ. Ὅτι πάλαι μὲν τῷ γάμῳ δύο προφάσεις, νῦν δὲ μία. α. Κορ. ζ. β.

Ἐδόθη μὲν οὖν καὶ παιδοποιΐας ἕνεκεν ὁ γάμος, πολλῷ δὲ πλέον ὑπὲρ τοῦ σβέσαι τὴν τῆς φύσεως πύρωσιν. καὶ μάρτυς ὁ Παῦλος, λέγων· Διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, οὐ διὰ τὰς παιδοποιΐας. καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθαι κελεύει, οὐχ ἵνα πατέρες γένωνται παίδων πολλῶν· ἀλλὰ τί; ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ Σατανᾶς, φησί. καὶ προελθὼν δὲ οὐκ εἶπεν· εἰ δὲ ἐπιθυμοῦσι παίδων, ἀλλὰ τί; εἰ δὲ μὴ ἐγκρατεύονται, γαμησάτωσαν. παρὰ μὲν γὰρ τὴν ἀρχήν, ὅπερ ἔφην, δύο ταύτας εἶχε τὰς ὑποθέσεις· ὕστερον δὲ πληρωθείσης καὶ τῆς γῆς καὶ τῆς θαλάττης καὶ τῆς οἰκουμένης ἁπάσης, μία λείπεται πρόφασις αὐτοῦ μόνη, ἡ τῆς ἀκολασίας καὶ τῆς ἀσελγείας ἀναίρεσις. τοὺς γὰρ ἔτι καὶ νῦν ἐν τούτοις καλινδουμένους τοῖς πάθεσι, καὶ χοίρων βίον ἐπιθυμοῦντας ζῆν καὶ ἐν χαμαιτυπείοις φθείρεσθαι, οὐ μικρὸν ὀνίνησι τῆς ἀκαθαρσίας καὶ τῆς ἀνάγκης ἀπαλλάττων ἐκείνης, καὶ ἐν ἁγιασμῷ καὶ σεμνότητι διατηρῶν. ἀλλὰ γὰρ μέχρι τίνος οὐ παυσόμεθα σκιαμαχοῦντες; καὶ γὰρ ὑμεῖς οἱ ταῦτα λέγοντες, ἡμῶν οὐχ ἧττον ἴστε τὴν τῆς παρθενίας ὑπεροχήν, καὶ πάντα ἅπερ ὑμῖν εἴρηται, σκήψεις καὶ προφάσεις εἰσί, καὶ ἀκρασίας προκαλύμματα.

Κεφ. κ. Ὅτι εἰ καὶ μηδεὶς κίνδυνος τοῖς ἐξουθενοῦσι τὴν παρθενίαν, οὐδ' οὕτως ἀσφαλὲς τὸ ἐξουθενεῖν.

Ἀλλ' εἰ μὲν ἀκινδύνως ἐνῆν ταῦτα λέγειν, ἔδει μὲν καὶ οὕτω παύεσθαι τῆς διαβολῆς. ὁ γὰρ πρὸς τὰ καλὰ τῶν πραγμάτων ἀπὸ ἐναντίας διακείμενος τῆς γνώμης, μετὰ τῆς ἄλλης βλάβης καὶ μαρτύριον οὐ μικρὸν παρὰ πᾶσι τῆς οἰκείας ἐκφέρει μοχθηρίας, τὴν οὕτω διεστραμμένην καὶ ἄδικον ψῆφον. ὥστε εἰ καὶ μηδενὸς ἕνεκεν ἄλλου, τοῦ γοῦν μὴ προστρίψασθαι δόξαν οὕτω πονηράν, ἐπέχειν τὴν γλῶτταν ἐχρῆν, ἐνθυμουμένους, ὅτι ὁ μὲν θαυμάζων τοὺς ἐν τοῖς μεγίστοις διαλάμποντας ἄθλοις, κἂν μὴ δύνηται τῶν αὐτῶν ἐφικέσθαι, συγγνώμης γοῦν δυνήσεται παρὰ πάντων τυχεῖν· ὁ δὲ πρὸς τῷ μὴ μετιέναι καὶ κακίζων τὰ πολλῶν ἄξια στεφάνων, δικαίως ἂν παρὰ πάντων μισοῖτο, ὡς ἐχθρὸς καὶ πολέμιος τῆς ἀρετῆς, καὶ τῶν μαινομένων ἀθλιώτερον διακείμενος. οἱ μὲν γὰρ οὐκ ἴσασιν ἃ ποιοῦσιν, οὐδὲ ἑκόντες ἃ πάσχουσιν ὑπομένουσι. διὸ καὶ τοὺς ἐν δυναστείαις ὄντας ὑβρίζοντες, οὐ μόνον οὐ κολάζονται, ἀλλὰ καὶ ἐλεοῦνται παρὰ τῶν ὑβρισθέντων αὐτῶν. εἰ δέ τις ἑκὼν ταῦτα τολμήσειεν, ἅπερ ἄκοντες ἐκεῖνοι ποιοῦσι, δικαίως ἂν ταῖς ἁπάντων καταδικάζοιτο ψήφοις, ὡς τῆς φύσεως τῆς ἡμετέρας ἐχθρός.

Κεφ. κα. Ὅτι κίνδυνος μέγας τοῖς ἐξουθενοῦσι τὴν παρθενίαν. Ψαλμ. μθ. κ. Ησ. ε. κ.

Ἐχρῆν μὲν οὖν, ὅπερ ἔφην, εἰ καὶ ἀκίνδυνος ἦν ἡ τοιάδε κατηγορία, τῶν γοῦν εἰρημένων ἕνεκεν αὐτῆς ἀπέχεσθαι. νῦν δὲ καὶ κίνδυνος τῷ πράγματι κεῖται μέγας. οὐ γὰρ ὁ καθήμενος καὶ κατὰ τοῦ ἀδελφοῦ καταλαλῶν, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρὸς τιθεὶς σκάνδαλον, κολασθήσεται μόνος, ἀλλὰ καὶ ὁ πράγματα διαβάλλειν ἐπιχειρῶν Θεῷ δοκοῦντα εἶναι καλά. ἄκουσον γοῦν τί φησιν ἕτερος προφήτης περὶ αὐτοῦ τούτου διαλεγόμενος· Οὐαὶ ὁ λέγων τὸ πονηρὸν καλὸν, καὶ τὸ καλὸν πονηρόν· ὁ τιθεὶς τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς· ὁ τιθεὶς τὸ γλυκὺ πικρὸν, καὶ τὸ πικρὸν γλυκύ. τί γὰρ τῆς παρθενίας ἥδιον; τί κάλλιον; τί φωτεινότερον; ἣ γὰρ αὐτῶν τῶν ἡλιακῶν ἀκτίνων φαιδροτέρας ἀφίησι τὰς μαρμαρυγὰς, πάντων μὲν ἡμᾶς ἀφιστῶσα βιωτικῶν, καθαροῖς δὲ ὀφθαλμοῖς εἰς τὸν τῆς δικαιοσύνης ἥλιον ἀτενὲς παρασκευάζουσα ἐνορᾶν. καὶ ταῦτα μὲν ὁ Ἡσαΐας περὶ τῶν ἐν αὐτοῖς τὰς διεστραμμένας κρίσεις ἐχόντων ἐβόα. (ἴσ. ἰσ) ἄκουσον δὲ καὶ περὶ τῶν εἰς ἑτέρους ἐκφερόντων τὰ λοιμικὰ ταῦτα ῥήματα τί φησιν ἄλλος προφήτης, ἀπὸ τοῦ αὐτοῦ πάλιν ἐπιφθέγματος ποιούμενος τὴν ἀρχήν. (Ἀμϐ. β. ιε.) Οὐαὶ ὁ ποτίζων τὸν πλησίον αὐτοῦ ἀνατροπὴν θολεράν. τὸ δὲ, οὐαὶ, οὐ ῥῆμα * ψιλόν ἐστιν, ἀλλ' ἀπειλή τις ἄφατος ἡμῖν καὶ ἀσύγγνωστον παραφωνοῦσα τὴν τιμωρίαν. (* τι) ἐπὶ γὰρ τῶν οὐκέτι δυναμένων διαφυγεῖν τὴν μέλλουσαν κόλασιν, τοῦτο τὸ ἐπίρρημα κεῖται ἐν ταῖς γραφαῖς. (Ἀμως β. ιϛ.) καὶ πάλιν ἕτερος προφήτης ἐγκαλῶν τοῖς Ἰουδαίοις, ἔλεγεν· Ἐποτίσατε τοὺς ἡγιασμένους οἶνον. εἰ δὲ ὁ τοὺς Ναζωραίους οἶνον ποτίζων, τοσαύτην ὑποστήσεται τιμωρίαν, ὁ τὴν θολερὰν ἀνατροπὴν ἐκχέων εἰς τὰς τῶν ἀφελεστέρων ψυχὰς, τίνος οὐκ ἔσται κολάσεως ἄξιος; εἰ μέρος μικρὸν τῆς κατὰ * νόμον ἀσκήσεως ὑποτεμνόμενός τις, ἀπαραίτητον ἔχει τὴν κόλασιν, (* τὸν κ. παλ) ὁ τὴν ἁγιωσύνην αὐτὴν ὁλόκληρον διασύρων, τίνα ὑφέξει δίκην; (Ματθ. ιη. ε.) Ἐάν τις σκανδαλίσῃ, φησὶν, ἕνα τῶν μικρῶν τούτων, συμφέρει αὐτῷ, ἵνα μύλος ὀνικὸς κρεμασθῇ περὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ εἰς τὴν θάλασσαν. τί οὖν λέξουσιν οἱ διὰ τῶν ῥημάτων τούτων οὐχ ἕνα μικρὸν, ἀλλὰ πολλοὺς σκανδαλίζοντες; ὅπου γὰρ ὁ τὸν ἀδελφὸν καλῶν μωρὸν, ὀρθὴν ἐπὶ τὸ τῆς γεέννης ἀπαχθήσεται πῦρ· ὁ τὴν ἰσάγγελον ταύτην διαβάλλων πολιτείαν, πόσην ὀργὴν ἐπισπάσεται κατὰ τῆς ἑαυτοῦ κεφαλῆς; κατεγέλασέ ποτε τοῦ Μωϋσέως (Ἀριθ. ιβ.) ἡ Μαρία, οὐχ οὕτως, ὡς τῆς παρθενίας νῦν ὑμεῖς, ἀλλὰ πολλῷ ἔλαττον καὶ ἐπιεικέστερον. οὐ γὰρ διέσυρε τὸν ἄνδρα, οὐδὲ ἐχλεύασε τὴν ἀρετὴν τοῦ μακαρίου τότε ἐκείνου, ἀλλὰ καὶ σφόδρα ἐθαύμασε· τοσοῦτον δὲ εἶπε μόνον, ὅτι καὶ αὐτὴ τῶν αὐτῶν ἀπήλαυσεν ὧνπερ ἐκεῖνος· ἀλλ' ὅμως οὕτως ἐξεκαλέσατο τοῦ Θεοῦ τὴν ὀργὴν, ὡς οὐδὲ αὐτοῦ ἐκείνου τοῦ δοκοῦντος ὑβρίσθαι πολλὰ παρακαλοῦντος γενέσθαι τι πλέον, ἀλλὰ καὶ περαιτέρω τῆς ἐκείνου γνώμης ἐπιταθῆναι τὴν τιμωρίαν αὐτῇ.

(κεφ. κβ. Ὅτι χρησίμως οἱ εἰς Ἐλισσαῖον παῖδες ἀπώλοντο. δ. Βασ. β.) Καὶ τί λέγω Μαριάμ; οἱ γὰρ παῖδες ἐκεῖνοι, οἱ περὶ τὴν Βηθλεὲμ παίζοντες, ἵνα πρὸς τὸν Ἐλισσαῖον τοῦτο μόνον εἴπωσιν, Ἀνάβαινε, φαλακρὲ, οὕτω παρώξυναν τὸν Θεὸν, ὡς ἅμα τῷ λόγῳ τούτῳ ἄρκτους αὐτῶν ἐπαφεῖναι τῷ πλήθει (καὶ γὰρ τεσσαράκοντα δύο ἦσαν) καὶ πάντες ἄρδην ὑπὸ τῶν θηρίων ἐσπαράττοντο ὑπὲρ ἐκείνων· καὶ οὔτε ἡλικία, οὔτε τὸ πλῆθος, οὔτε τὸ γελῶντας εἰπεῖν προσέστη τῶν μειρακίων· καὶ μάλα εἰκότως. εἰ γὰρ μέλλοιεν οἱ τοὺς τοσούτους ἀναδεχόμενοι πόνους, καὶ παρὰ παίδων καὶ παρὰ ἀνδρῶν διασύρεσθαι, τίς τῶν ἀσθενεστέρων αἱρήσεται πόνους ἀναδέξασθαι γέλωτας ἔχοντας καὶ χλευασίαν; τίς δὲ τῶν πολλῶν ζηλώσει τὴν ἀρετὴν, οὕτω καταγέλαστον αὐτὴν οὖσαν ὁρῶν; εἰ γὰρ νῦν πάντων αὐτὴν πανταχοῦ θαυμαζόντων, οὐ τῶν μετιόντων μόνον, ἀλλὰ καὶ τῶν ἐκπεπτωκότων αὐτῆς, ὅμως ὀκνοῦσι καὶ ἀναδύονται πρὸς τοὺς ἱδρῶτας ἐκείνους πολλοὶ, τίς ἂν αὐτῆς ἐπιλαβέσθαι ταχέως ἠθέλησεν, εἰ πρὸς τῷ μὴ θαυμάζεσθαι καὶ διαβαλλομένην ἑώρα παρὰ πάντων ἀνθρώπων; οἱ μὲν γὰρ ἰσχυροὶ λίαν, καὶ πρὸς τὸν οὐρανὸν ἤδη μεταστάντες, οὐδὲν δέονται τῆς ἀπὸ τῶν πολλῶν παραμυθίας, ἀλλ' ἀρκεῖ πρὸς πᾶσαν παραμυθίαν αὐτοῖς ὁ παρὰ τοῦ Θεοῦ ἔπαινος· οἱ δὲ ἀσθενέστερον διακείμενοι, καὶ ἄρτι πρὸς τὸ πρᾶγμα χειραγωγούμενοι, οὐ μικρὰν καὶ ἀπὸ τῆς τῶν πολλῶν δόξης δυνάμεως προσθήκην λαμβάνουσιν, ἕως ἂν παιδαγωγηθέντες πάντοθεν, κατὰ μικρὸν εἰς τὸ μηκέτι δεῖσθαι ταύτης τῆς χειραγωγίας καταστήσωσιν ἑαυτούς. οὐκ ἐκείνων δὲ μόνων ἕνεκεν, ἀλλὰ καὶ τῆς τῶν χλευαζόντων αὐτῶν σωτηρίας τοῦτο γίνεται, ὥστε μὴ περαιτέρω προελθεῖν τῆς κακίας αὐτοὺς τῷ μηδεμίαν ὑπὲρ τῶν προτέρων

δοῦναι

δοιῶσαι δίκην. ἀλλὰ μεταξύ με ταῦτα λέγοντα καὶ ἡ τῶν κατὰ τὸν Ἡλίαν γενομένων εἰσῆλθε μνήμη. ὅπερ γὰρ οἱ παῖδες ὑπὸ τῶν ἄρκτων ἔπαθον διὰ τὸν Ἐλισσαῖον, τοῦτο διὰ τὸν τούτου διδάσκαλον ὑπὸ πυρὸς ἄνωθεν ἀφθέντος δὶς πεντήκοντα ἄνδρες ἅμα τοῖς προεστῶσιν αὐτῶν ὑπέμενον. ἐπειδὴ γὰρ κάτωθεν μετὰ πολλῆς τῆς εἰρωνείας προσελθόντες ἐκάλουν τὸν δίκαιον, καὶ καταβαίνειν ἐκέλευον πρὸς αὐτούς, ἀντ' ἐκείνου πῦρ κατελθὸν ἅπαντας αὐτοὺς κατέφαγε τῶν θηρίων ἐκείνων οὐχ ἧττον. Ταῦτ' οὖν ἐννοήσαντες ἅπαντες ὑμεῖς οἱ τῆς παρθενίας ἐχθροί, ἐπίθεσθέ ποτε τῷ στόματι* θύραν καὶ μοχλόν, ἵνα μὴ καὶ ὑμεῖς ἄρξησθε λέγειν κατὰ τὴν ἡμέραν τῆς κρίσεως, τοὺς ἀπὸ τῆς παρθενίας ἐκλάμποντας ὁρῶντες· Οὗτοι ἦσαν, οὓς ἔσχομέν ποτε εἰς γέλωτα καὶ εἰς παραβολὴν ὀνειδισμοῦ· ἡμεῖς οἱ ἄφρονες τὸν βίον αὐτῶν ἐλογισάμεθα μανίαν, καὶ τὴν τελευτὴν αὐτῶν ἄτιμον. πῶς κατελογίσθησαν ἐν υἱοῖς Θεοῦ, καὶ ἐν ἁγίοις ὁ κλῆρος αὐτῶν ἐστιν; ἄρα ἐπλανήθημεν ἀπὸ ὁδοῦ ἀληθείας, καὶ τὸ τῆς δικαιοσύνης φῶς οὐκ ἐπέλαμψεν ἡμῖν. ἀλλὰ τί τὸ κέρδος τῶν ῥημάτων τούτων, τῆς μετανοίας ἐκνενευρισμένης ὑπὸ τοῦ καιροῦ τότε;

Σοφ. ε. γ.

Ἀλλ' ἴσως ἐρεῖ τις ὑμῶν· οὐδεὶς οὖν μετ' ἐκείνους τοὺς καιροὺς ἐκακηγόρησεν ἁγίους ἄνδρας; πολλοί, καὶ πολλαχοῦ γῆς. πῶς οὖν τὴν αὐτὴν δίκην οὐκ ἔδοσαν, φησί; ἔδοσαν μέν, καὶ τούτων ἴσμεν πολλούς· εἰ δὲ καὶ ἔνιοι καὶ διέφυγον, ἀλλ' οὐκ εἰς τέλος διαφεύξονται. κατὰ γὰρ τὸν μακάριον Παῦλον, Τινῶν αἱ ἁμαρτίαι πρόδηλοί εἰσι, προάγουσαι εἰς κρίσιν, τισὶ δὲ καὶ ἐπακολουθοῦσι. καὶ καθάπερ οἱ νομοθέται τῶν ἀδικούντων τὰς τιμωρίας ἐν γράμμασι θέντες ἀφῆκαν· οὕτω καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἕνα καὶ δεύτερον τῶν ἡμαρτηκότων κολάσας, καὶ ὥσπερ ἐν στήλῃ χαλκῇ καὶ γράμμασι τὰς ἐκείνων καταθέμενος τιμωρίας, διὰ τῶν ἐκείνοις συμβάντων ἅπασι διαλέγεται, λέγων· ὅτι κἂν ἐν τῷ παρόντι καιρῷ τιμωρίαν μὴ δῶσι τὴν αὐτὴν οἱ τὰ αὐτὰ τολμῶντες τοῖς δεδωκόσι, κατὰ τὸν μέλλοντα καιρὸν χαλεπωτέραν ὑποστήσονται κόλασιν.

Κεφ. κγ.
Διὰ τί οἱ τὰ αὐτὰ ἁμαρτάνοντες οὐ τὰ αὐτὰ κολάζονται.
α. Τιμ. ε. κδ.

Ὥστε ὅταν ἄμετρα ἁμαρτάνοντες μηδὲν πάσχωμεν κακόν, μὴ θαρρῶμεν, ἀλλὰ διὰ τοῦτο μᾶλλον φοβώμεθα. κἂν γὰρ ἐνταῦθα μὴ πειθῶμεν ὑπὸ τοῦ Θεοῦ, ἐκεῖ σὺν τῷ κόσμῳ κατακριθησόμεθα. καὶ αὕτη πάλιν οὐκ ἐμὴ ἡ ἀπόφασις, ἀλλὰ τοῦ λαλοῦντος ἐν τῷ Παύλῳ Χριστοῦ. τοῖς γὰρ τῶν μυστηρίων ἀναξίως μεταλαμβάνουσι διαλεγόμενος, φησί· Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς, καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί. εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· νῦν δὲ κρινόμενοι, ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. εἰσὶ μὲν γὰρ οἱ τῆς ἐνταῦθα μόνον ἐπιτιμήσεως δεόμενοι, ὅταν αὐτῶν σύμμετρα ᾖ τὰ ἁμαρτήματα, καὶ κολασθέντες μηκέτι πάλιν πρὸς τὰ πρότερα ἀνατρέχωσι, τὸν ἐπὶ τὸν ἔμετον ἐπιστρέψαντα κύνα μιμούμενοι. εἰσὶ δὲ οἳ διὰ τὴν ὑπερβολὴν τῆς κακίας καὶ ἐνταῦθα καὶ ἐκεῖ δώσουσι δίκην. ἕτεροι δὲ πᾶσαν ἐκεῖ τὴν τιμωρίαν ὑποστήσονται, διὰ τὸ πάντων χαλεπώτερα εἰργάσθαι, μὴ ἀξιωθέντες μετὰ ἀνθρώπων μαστιγωθῆναι. καὶ μετὰ ἀνθρώπων γάρ, φησιν, οὐ μαστιγωθήσονται· ὡς τηρούμενοι μετὰ δαιμόνων κολάζεσθαι. Πορεύεσθε γάρ, φησιν, ἀπ' ἐμοῦ εἰς τὸ σκότος τὸ ἐξώτερον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. πολλοὶ* τὴν ἱερωσύνην ἥρπασαν χρήμασιν, ἀλλ' οὐκ ἔσχον τὸν ἐλέγχοντα, οὐδὲ ἤκουσαν, ὅπερ ὁ μάγος Σίμων ἤκουσε παρὰ τοῦ Πέτρου τότε. ἀλλ' οὐ διὰ τοῦτο διέφυγον, ἀλλὰ πολλῷ χαλεπωτέραν ὑποστήσονται δίκην τῆς ἐνταῦθα ὀφειλομένης, ὅτι μηδὲ ἐκ τοῦ παραδείγματος ἐσωφρονίσθησαν. πολλοὶ τὰ τοῦ Κορὲ ἐτόλμησαν, ἀλλ' οὐκ ἔπαθον τὰ τοῦ Κορέ· ἀλλὰ πείσονται ὕστερον ἐπὶ μείζονι τῇ ζημίᾳ. πολλοὶ τὴν τοῦ Φαραὼ ζηλώσαντες ἀσέβειαν, οὐ κατεποντίσθησαν, ὥσπερ ἐκεῖνος· ἀλλὰ μένει τὸ τῆς γεέννης αὐτοὺς πέλαγος. οὐδὲ γὰρ οἱ τοὺς ἀδελφοὺς ἀποκαλοῦντες μωρούς, ἤδη τὴν δίκην ἔδωκαν. ἐκεῖ γὰρ αὐτοῖς ἡ κόλασις τεταμίευται. μὴ τοίνυν τὰς ἀποφάσεις τοῦ Θεοῦ ῥήματα εἶναι νομίζετε μόνον. διὰ τοῦτο γὰρ καὶ ἐνίας αὐτῶν ἐπὶ τῶν ἔργων προήγαγεν· οἷον ἐπὶ τῆς Σαπφείρας, ἐπὶ τοῦ Χαρμί, ἐπὶ τοῦ Ἀαρών.

Κεφ. κδ.
Ὅτι ἁμαρτάνοντας καὶ μὴ κολαζομένους οὐχὶ θαρρεῖν, ἀλλὰ δεδοικέναι καὶ μᾶλλον χρή.
α. Κορ. ια. λ.

Ματθ. κε. μα.

Πραξ. ζ.

Πραξ. ε.
Ἰησ. ζ.
Ἀριθ. ζ.

ρῶν, καὶ ἐφ' ἑτέρων δὲ πολλῶν· ἵνα οἱ τοῖς λόγοις ἀπιστοῦντες, τὴν ἀπὸ τῶν πραγμάτων πεῖραν δυσωπηθέντες, παύσωνται λοιπὸν ἀπατῶντες ἑαυτούς, ὡς οὐ δώσοντες δίκην, καὶ μάθωσιν ὅτι τοῦ Θεοῦ τὸ χρηστὸν ἐν τῷ διδόναι προθεσμίαν τοῖς ἁμαρτάνουσιν, οὐκ ἐν τῷ μηδόλως κολάζειν τοὺς ἐπιμένοντας τοῖς ἁμαρτήμασίν ἐστιν. ἐνῆν μὲν οὖν καὶ πλείονα λέγειν, δεικνύντας ὅσον ἑαυτοῖς συνάγουσι πῦρ οἱ τὸ τῆς παρθενίας ἐξευτελίζοντες καλόν. ἀλλὰ τοῖς μὲν σωφρονοῦσιν ἀρκεῖ καὶ ταῦτα· τοὺς δὲ ἀδιορθώτως ἔχοντας καὶ μαινομένους, οὐδὲ πολλῷ τούτων πλείονα τῆς μανίας αὐτῆς ἀποστῆσαι δυνήσεται. διὰ τοῦτο τὸ μέρος ἀφέντες τοῦ λόγου, πρὸς τοὺς σωφρονοῦντας αὐτοὶ ἅπαντα τρεψώμεθα, πάλιν ἐπὶ τὸν μακάριον Παῦλον ἐπανελθόντες. Περὶ δὲ ὧν ἐγράψατέ μοι, φησί, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι. αἰσχυνέσθωσαν ἀμφότεροι νῦν, καὶ οἱ τὸν γάμον κακίζοντες, καὶ οἱ παρὰ τὴν ἀξίαν αὐτὸν ἐπαίροντες. ἀμφοτέρους γὰρ ὁ μακάριος ἐπιστομίζει Παῦλος, καὶ διὰ τούτων, καὶ διὰ τῶν ἐφεξῆς κειμένων.

α. Κορ. ζ. α.

κεφ. κε. Ὅτι τοῖς ἀσθενέσιν ἀναγκαῖος ὁ γάμος.

Καλὸν ὁ γάμος, ὅτι ἐν σωφροσύνῃ τὸν ἄνδρα διατηρεῖ, καὶ οὐκ ἀφίησιν εἰς πορνείαν κατακυλισθέντα ἀποθανεῖν. μὴ τοίνυν αὐτὸν διαβάλῃς· πολὺ γὰρ ἔχει τὸ κέρδος, οὐκ ἐῶν τὰ μέλη τοῦ Χριστοῦ μέλη γενέσθαι πόρνης, οὐ συγχωρῶν τὸν ἅγιον ναὸν γενέσθαι βέβηλον καὶ ἀκάθαρτον. διὰ τοῦτο καλόν, ὅτι βαστάζει καὶ ἀνορθοῖ τὸν καταπίπτειν μέλλοντα. ἀλλὰ τί τοῦτο πρὸς τὸν ἑστῶτα, πρὸς τὸν οὐ δεόμενον τῆς ἀπ' αὐτοῦ βοηθείας; ἐνταῦθα γὰρ οὐκέτι χρήσιμον τὸ πρᾶγμα, οὐδὲ ἀναγκαῖόν ἐστιν, ἀλλὰ καὶ ἐμπόδιον ἀρετῆς, οὐ μόνον τῷ πολλὰ ἐντιθέναι κωλύματα, ἀλλὰ καὶ τῷ τὸ πλέον τῶν ἐγκωμίων ὑποτέμνεσθαι μέρος.

κεφ. κς. Ὅτι τὰ μέγιστα ἀδικεῖ ἑαυτὸν ὁ δυνάμενος παρθενεύειν καὶ γαμῶν.

Τὸν γὰρ δυνάμενον γυμνὸν μάχεσθαι καὶ νικᾶν ὁ περιφράττων ὅπλοις οὐ μόνον οὐκ ὤνησεν, ἀλλὰ καὶ τὴν ἐσχάτην ἀδικίαν ἠδίκησε, τοῦ θαύματος ἀποστερήσας αὐτὸν καὶ τῶν λαμπρῶν στεφάνων. οὐ γὰρ εἴασεν αὐτοῦ ἅπασαν φανῆναι τὴν ἰσχύν, οὐδὲ σφόδρα περιβόητον αὐτοῦ γενέσθαι τὸ τρόπαιον. ἐπὶ δὲ τοῦ γάμου καὶ μείζων ἡ ζημία. οὐ γὰρ δόξης μόνον τῆς παρὰ τῶν πολλῶν, ἀλλὰ καὶ μισθῶν ἀποστερεῖ τῶν τῇ παρθενίᾳ κειμένων. διὰ ταῦτα καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι. τί οὖν ἅπτεσθαι συγχωρεῖς; διὰ τὰς πορνείας, φησί. φοβοῦμαί σε εἰς τὸ τῆς παρθενίας ὕψος ἀναγαγεῖν, μὴ καταπέσῃς εἰς τὸ τῆς πορνείας βάραθρον. οὔπω σοὶ κοῦφον γέγονε τὸ πτερόν, ἵνα πρὸς ἐκείνην ἐπάρω σε τὴν κορυφήν. καίτοιγε αὐτοὶ τῶν ἄθλων εἵλοντο, καὶ τῷ τῆς παρθενίας ἐπεπήδησαν κλήρῳ. τί τοίνυν φοβῇ καὶ τρέμεις, ὦ μακάριε Παῦλε; ὅτι οὗτοι μέν, ἴσως ἂν εἶπε, τὸ πρᾶγμα ἀγνοοῦντες, ταύτην ἔχουσι τὴν προθυμίαν· ἐμὲ δὲ ἡ πεῖρα καὶ τὸ ἤδη ταύτης ἧφθαι τῆς μάχης, καὶ πρὸς τὸ συμβουλεύειν ἑτέροις ὀκνηρότερον ποιεῖ.

κεφ. κζ. Ὅτι μεγάλη ἡ παρθενία, καὶ μεγάλων πρόξενος ἀγαθῶν.

Οἶδα τὴν βίαν τοῦ πράγματος, οἶδα τῶν ἀγωνισμάτων τούτων τὸν πόνον, οἶδα τοῦ πολέμου τὸ βαρύ. φιλονείκου τινὸς καὶ βιαίας καὶ ἀπονενοημένης κατὰ τῶν ἐπιθυμιῶν δεῖ ψυχῆς. ἐπὶ γὰρ ἀνθράκων δεῖ περιπατεῖν, καὶ μὴ κατακαίεσθαι, ἐπὶ ξίφους βαδίζειν, καὶ μὴ πλήττεσθαι. τοσαύτη γὰρ τῆς ἐπιθυμίας ἡ ἰσχύς, ὅση καὶ πυρὸς καὶ σιδήρου· κἂν μὴ οὕτω τύχῃ παρεσκευασμένη ψυχή, μηδὲ ἐπιστρέφεσθαι πρὸς τὰς ἐκείνης ἀλγηδόνας, ταχέως ἑαυτὴν ἀπολεῖ. δεῖ τοίνυν ἡμῖν ἀδαμαντίνης διανοίας, μηδέποτε καθεύδοντος ὀφθαλμοῦ, καρτερίας πολλῆς, τειχῶν ἰσχυρῶν, τοίχων ἔξωθεν καὶ μοχλῶν, φυλάκων ἐγρηγορότων καὶ γενναίων, καὶ πρὸ τούτων ἁπάντων τῆς ἄνωθεν ῥοπῆς. Ἐὰν γὰρ μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησαν οἱ φυλάσσοντες αὐτήν. πῶς οὖν τὴν ῥοπὴν ἐπισπασόμεθα ταύτην; ὅταν τὰ παρ' ἑαυτῶν ἅπαντα εἰσενέγκωμεν, λογισμὸν ὑγιῆ, νηστείας καὶ ἀγρυπνίας πολλὴν τὴν ἐπίτασιν, νομοθεσίας ἀκρίβειαν, ἐντολῶν φυλακήν, καὶ τὸ πάντων κεφάλαιον, τὸ μὴ θαρρεῖν ἑαυτοῖς. κἂν γὰρ μεγάλα κατορθωκότες τύχωμεν, ἐκεῖνο λέγειν ἀναγκαῖον πρὸς ἑαυτοὺς διαπαντός, ἐὰν μὴ Κύριος οἶκον οἰκοδομήσῃ, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες αὐτόν. Οὐ γάρ ἐστιν ἡμῖν ἡ

Ψαλ. ρκς. α.

Ἐφεσ. ς. ιβ.

πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. καὶ δεῖ νύκτωρ καὶ μεθ' ἡμέραν ὡπλισμένους ἡμῖν ἑστάναι τοὺς λογισμούς, καὶ φοβεροὺς εἶναι ταῖς ἀναισχύντοις ἐπιθυμίαις. ὡς ἂν μικρὸν ἐνδῶσιν, ἕστηκεν ὁ διάβολος πῦρ ἔχων μετὰ χεῖρας, ὥστε ἐπαφεῖναι καὶ καταφλέξαι τοῦ Θεοῦ τὸν ναόν. πάντοθεν οὖν ἡμᾶς ὀχυροῦσθαι χρή. πρὸς γὰρ φύσεως ἀνάγκην ἡμῖν ἡ μάχη, πρὸς ἀγγέλων πολιτείαν ὁ ζῆλος, μετὰ ἀσωμάτων δυνάμεων ὁ δρόμος· ἡ γῆ καὶ ὁ σποδὸς τοῖς ἐν οὐρανῷ διαπείθονται ἐξισοῦσθαι φιλονεικεῖ, καὶ ἡ φθορὰ πρὸς τὴν ἀφθαρσίαν τὴν ἅμιλλαν ἔχει. ἔτι οὖν γάμον καὶ ἡδονὴν τοσούτῳ πράγματι παραβαλεῖν τολμήσει τις, εἰπέ μοι; καὶ πῶς οὐκ εὐήθης λίαν; ταῦτα ἅπαντα ὁ Παῦλος συνειδώς, ἔλεγεν· Ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω. διὰ ταῦτα ἀνεδύετο, διὰ ταῦτα οὐκ ἐθάρρει διαλεχθῆναι ἐξ ἀρχῆς περὶ παρθενίας αὐτοῖς· ἀλλὰ τοῖς περὶ τοῦ γάμου λόγοις ἐνδιατρίβει, κατὰ μικρὸν ἀποστῆσαι τοῦ γάμου βουλόμενος αὐτούς· καὶ τοὺς περὶ τῆς ἐγκρατείας λόγους βραχεῖς ποιησάμενος, ἐκείνοις πολλοῖς οὖσιν αὐτοὺς ἐγκατέμιξεν, οὐκ ἀφιεὶς πληγῆναι τὴν ἀκοὴν τῷ τῆς παραινέσεως αὐστηρῷ. ὁ γὰρ ὅλον δι' ὅλου διὰ τῶν βαρυτέρων πλέκων τὸν λόγον, ἐπαχθής τέ ἐστι τῷ ἀκούοντι, καὶ πολλάκις ἀναγκάζει μετασκιρτῆσαι τὴν ψυχὴν μὴ φέρουσαν τῶν λεγομένων τὸ βάρος· ὁ δὲ ποικίλλων αὐτόν, καὶ πλείονα ἀπὸ τῶν ῥᾴστων ἢ τῶν δυσκόλων ἐντιθεὶς τὴν μίξιν, τὸ τοῦ πράγματος κλέπτει βαρύ, καὶ διαναπαύσας τὸν ἀκροατήν, οὕτω πείθει καὶ προσάγεται μᾶλλον· ὅπερ οὖν καὶ ὁ μακάριος Παῦλος ἐποίησεν. Εἰπὼν γάρ, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι, ἀπεπήδησεν ἐπὶ τὸν γάμον εὐθέως, Ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, λέγων. καὶ τὸ μὲν μακαρίσαι μόνον, ἀφῆκε (καλὸν γάρ, φησιν, ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι) περὶ δὲ τοῦ γάμου καὶ συμβουλεύει καὶ ἐπιτάττει καὶ αἰτίαν προστίθησι· διὰ γὰρ τὰς πορνείας, φησί. καὶ δοκεῖ μὲν ἀπολογεῖσθαι τοῦ γάμου τὴν συγχώρησιν· τῷ δὲ ἀληθεῖ λανθανόντως ἐν ταῖς περὶ τοῦ γάμου προφάσεσιν ἐπαίρει τὸ τῆς ἐγκρατείας ἐγκώμιον, οὐ φανερῶς ἐκκαλύπτων τῷ λόγῳ, ἀλλὰ τῷ συνειδότι τῶν ἀκουόντων καταλιμπάνων αὐτό. ὁ γὰρ μαθὼν ὅτι παραινεῖται γαμεῖν, οὐκ ἐπειδὴ τὸ κράτιστον τῆς ἀρετῆς ὁ γάμος, ἀλλ' ἐπειδὴ τοσαύτην αὐτοῦ κατέγνω λαγνείας ὁ Παῦλος, ὡς ἄνευ γάμου μὴ δυναμένου λαγνείας ἀπέχεσθαι, ἐρυθριάσας καὶ αἰσχυνθείς, σπουδάσει ταχέως ἐπιλαβέσθαι τῆς παρθενίας, καὶ τὴν τοσαύτην ἀποκρούσασθαι ἀδοξίαν.

Τί δὲ μετὰ ταῦτά φησι; Τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν ἀποδιδότω· ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί. Εἶτα ἑρμηνεύων αὐτό, καὶ σαφέστερον ποιῶν ἐπάγει· ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει· ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή. καὶ ταῦτα δοκεῖ μὲν ὑπὲρ τοῦ γάμου λέγεσθαι· τὸ δὲ ἀληθὲς ὥσπερ ἄγκιστρον τῇ συνήθει περιστείλας τροφῇ, οὕτως εἰς τὰς τῶν μαθητῶν ἐνίησιν ἀκοάς, αὖθις τοῖς περὶ τοῦ γάμου λόγοις ἐξαγαγεῖν αὐτοὺς τοῦ γάμου βουλόμενος. ὁ γὰρ ἀκούσας, ὅτι μετὰ τὸν γάμον οὐκ ἔσται κύριος ἑαυτοῦ, ἀλλ' ἐν τῇ τῆς γυναικὸς κείσεται γνώμῃ, ταχέως ἀπαλλαγῆναι σπουδάσει τῆς πικροτάτης δουλείας, μᾶλλον δὲ μηδὲ τὴν ἀρχὴν τὸν ζυγὸν ὑπελθεῖν· ἐπειδὴ εἰσελθόντα ἅπαξ δουλεύειν ἀνάγκη λοιπόν, ἕως ἂν τῇ γυναικὶ τοῦτο δοκῇ. καὶ ὅτι οὐχ ἁπλῶς καταστοχαζόμενος λέγω τῆς τοῦ Παύλου γνώμης, ἀπὸ τῶν μαθητῶν * ῥᾴδιον τοῦτο καταμαθεῖν. οὐδὲ γὰρ ἐκεῖνοι πρότερον φορτικὸν εἶναι καὶ ἐπαχθῆ τὸν γάμον ἐνόμισαν, ἀλλ' ὅτε ἤκουσαν τοῦ Κυρίου εἰς ταύτην αὐτοὺς κατακλείοντας τὴν ἀνάγκην, εἰς ἣν καὶ τοὺς Κορινθίους ὁ Παῦλος τότε. τὸ γάρ, Ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχᾶσθαι· καὶ τό, Ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ῥήμασι μὲν ἑτέροις, γνώμῃ δὲ εἴρηται τῇ αὐτῇ. Εἰ δέ τις ἀκριβέστερον καταμάθοι τὸ τοῦ Παύ-

α. Κορ. ζ. α.

κεφ. κη.
Ὅτι τὰ περὶ γάμου λεγόμενα παρθενίας ἐστὶ περιποιητικά.
α. Κορ. ζ. γ.

Ματθ. ε. λβ.
α. Κορ. ζ. δ.

λου, μᾶλλον ἐπιτείνει τὴν τυραννίδα, καὶ φορτικωτέραν ἐργάζεται τὴν δουλείαν. ὁ μὲν γὰρ κύριος οὐκ ἀφίησι κύριον εἶναι τὸν ἄνδρα τοῦ τῆς οἰκίας ἐκβαλὼν αὐτήν· ὁ δὲ Παῦλος καὶ τὴν τοῦ οἰκείου σώματος ἐξουσίαν αὐτὸν παραιρεῖται, πᾶσαν αὐτοῦ τὴν ἀρχὴν τῇ γυναικὶ παραδοὺς, καὶ ἀργυρωνήτου μᾶλλον ὑποτάξας οἰκέτου. τούτῳ μὲν γὰρ ἔξεστι πολλάκις καὶ παντελοῦς ἐλευθερίας τυχεῖν, εἴγε δυνηθείη ποτὲ εὐπορήσας ἀργυρίου καταθεῖναι τὴν τιμὴν τῷ δεσπότῃ· ὁ δὲ ἀνὴρ, κἂν τὴν ἁπάντων ἀργαλεωτέραν ἔχῃ γυναῖκα, στέργειν ἀναγκάζεται ″τῇ δουλείᾳ, καὶ λύσιν οὐδεμίαν οὐδὲ διέξοδον ταύτης δύναται τῆς δεσποτείας εὑρεῖν.

κεφ. κθ. Ὅτι τὸ, μὴ ἀποστερεῖτε ἀλλήλους, εἰς τὴν παρθενίαν ἐστὶν ἐνάγοντος. α Κορ. ζ. ε.

Εἰπὼν τοίνυν, ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἐπάγει· Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρὸν, ἵνα σχολάσητε τῇ προσευχῇ καὶ τῇ νηστείᾳ, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε. πολλοὺς* ἐνταῦθα τῶν τὴν παρθενίαν ἐπανῃρημένων οἶμαι καὶ ἐρυθριᾶν καὶ αἰσχύνεσθαι ἐπὶ τῇ πολλῇ συγκαταβάσει τοῦ Παύλου. ἀλλὰ μὴ δείσητε, μηδὲ ἀβέλτερόν τι πάθητε. δοκεῖ μὲν γὰρ καὶ ταῦτα εἶναι χαριζομένου τοῖς γεγαμηκόσιν· εἰ δέ τις αὐτὰ ἀκριβῶς διασκέψαιτο, τῆς αὐτῆς ὄντα τοῖς προτέροις εὑρήσει γνώμης. εἰ μὲν γάρ τις αὐτὰ ἁπλῶς ″ἐπεξιέναι βούλοιτο, τῆς προκειμένης ἀπαλλάττων αἰτίας, δόξει νυμφευτρίας εἶναι μᾶλλον, ἢ ἀποστόλου τὰ ῥήματα· εἰ δὲ τὸν σκοπὸν ἅπαντα ἀναπτύξειε, καὶ ταύτην ″ἀξίαν εὑρήσει τῆς ἀποστολικῆς ἀξίας τὴν παραίνεσιν. διατί γὰρ μακρότερον ἐπέξεισι τούτῳ τῷ λόγῳ; οὐ γὰρ ἤρκει διὰ τῶν ἀνωτέρω τούτων σεμνότερον ἐνδειξάμενον, μέχρις ἐκείνου στῆσαι τὴν παραίνεσιν; τί γὰρ ἔχει ″πλέον τοῦ, τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν ἀποδιδότω· καὶ, ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, τὸ μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρόν; πλέον μὲν οὐδέν· ὃ δὲ ἐν βραχεῖ καὶ ἀμυδρῶς εἰρημένον ἐκεῖ, διὰ πλειόνων ἐνταῦθα σαφέστερον ἐξειργάσατο. ποιεῖ δὲ τοῦτο μιμούμενος τὸν ἅγιον τοῦ Θεοῦ Σαμουήλ. καθάπερ γὰρ ἐκεῖνος μετὰ πάσης ἀκριβείας τοὺς περὶ τῆς βασιλείας ἐξηγεῖται νόμους τοῖς ἰδιώταις, οὐχ ἵνα δέξωνται, ἀλλ' ἵνα μὴ δέξωνται· καὶ δοκεῖ μὲν διδασκαλία τὸ πρᾶγμα εἶναι, τὸ δὲ ἀληθὲς ἀποτροπή τις ἦν τῆς ἐπιθυμίας αὐτῶν τῆς ἀκαίρου· οὕτω καὶ ὁ Παῦλος τοῦ γάμου τὴν τυραννίδα συνεχέστερον στρέφει καὶ σαφέστερον, τούτοις αὐτοὺς τοῖς ῥήμασιν ἐκεῖθεν ἐξελκύσαι βουλόμενος. εἰπὼν γὰρ, ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἐπάγει, μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου, ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ. ὁρᾷς πῶς ἀνυπόπτως καὶ ἀνεπαχθῶς τοὺς ἐν τῷ γάμῳ μένοντας εἰς τὴν τῆς ἐγκρατείας γυμνασίαν ἐνήγαγε; παρὰ μὲν γὰρ τὴν ἀρχὴν ἁπλῶς τὸ πρᾶγμα ἐπῄνεσεν, εἰπὼν, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι· ἐνταῦθα δὲ καὶ παραίνεσιν προσέθηκεν, εἰπὼν, μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου. διατί δὲ καὶ ἐν παραινέσει ὅπερ θεῖναι ἐβούλετο εἰσήγαγεν, ἀλλ' οὐκ ἐν ἐπιτάγματος σχήματι; οὐ γὰρ εἶπεν· ἀποστερεῖτε μὲν ἀλλήλους, συμφώνως δέ*. διατί; μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου· ὅτι ″οὕτω προσηνέστερος ὁ λόγος ἐγίνετο, τοῦ διδασκάλου τὴν γνώμην δεικνὺς οὐ μετὰ σφοδρότητος τοῦτο ἀπαιτοῦσαν, ὅτε μάλιστα καὶ μετὰ πολλῆς τῆς εὐγνωμοσύνης ἡ ἔκτισις γίνεται. οὐ τούτῳ δὲ μόνῳ παραμυθεῖται τὸν ἀκροατὴν, ἀλλὰ καὶ τῷ τὸ μὲν ″τραχὺ βραχέσι συστεῖλαι ῥήμασι· πρὶν ἢ δὲ ἀλγῆσαι τὸν ἀκούοντα, ἐπὶ τὰ ἡδύτερα μεταπηδῆσαι, καὶ τούτοις ἐνδιατρῖψαι μᾶλλον.

κεφ. λ. Διὰ τί, εἰ τίμιος ὁ γάμος, τοῖς νηστεύουσι παραινεῖ ὁ Παῦλος συνουσίας ἀπέχεσθαι. Ἐξοδ. ιθ.

Ἄξιον δὲ ἐξετάσαι κἀκεῖνο, τί δήποτε, εἴπερ τίμιος ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος, οὐκ ἀφίησιν αὐτὸν χώραν ἔχειν ἐν τῷ τῆς νηστείας καὶ τῆς προσευχῆς καιρῷ; ὅτι τῶν σφόδρα ἀτόπων ἦν, Ἰουδαίους μὲν, οἷς ἅπαντα τὰ σωματικὰ διατετύπωτο, οἷς καὶ δύο γυναῖκας ἔχειν ἐφεῖτο, καὶ τὰς μὲν ἐκβάλλειν, τὰς δὲ ἀντεισάγειν, τοσαύτην ποιεῖσθαι τοῦ πράγματος πρόνοιαν, ὡς μέλλοντας θείων ἀκούειν λόγων ἀποστῆναι καὶ τῆς κατὰ νόμον μίξεως, καὶ ταῦτα οὐ μίαν, οὐδὲ δύο μόνον ἡμέρας, ἀλλὰ καὶ πλείους· ἡμᾶς δὲ τοὺς τοσαύτης ἀπολαύοντας χάριτος, τοὺς

″πνεύμα

πνεῦμα λαβόντας, τοὺς νεκρωθέντας, τοὺς συνταφέντας τῷ Χριστῷ, τοὺς υἱοθεσίας ἀξιωθέντας, τοὺς εἰς τοσαύτην ἀναχθέντας τιμήν, μετὰ τοσαῦτα καὶ τηλικαῦτα ἀγαθά, μηδὲ εἰς τὴν αὐτὴν ἀφικέσθαι τοῖς νηπίοις ἐκείνοις σπουδήν. Εἰ δὲ ἐπιμένοι τις πάλιν ζητῶν, αὐτὸς δὲ ὁ Μωϋσῆς διὰ τί τοὺς Ἰουδαίους τῆς ὁμιλίας ταύτης ἀπήγαγεν; ἐκεῖνο ἂν εἴποιμι, ὅτι εἰ καὶ τίμιος ὁ γάμος, ἀλλὰ μέχρι τοσούτου φθάσαι δύναιτ' ἄν, ὥστε μὴ μολῦναι τὸν χρώμενον· τὸ δὲ καὶ ἁγίους ἀποφαίνειν, οὐκέτι τῆς ἐκείνου δυνάμεως, ἀλλὰ τῆς παρθενίας ἐστίν. ὅτι δὲ οὐ Μωϋσῆς μόνον, οὐδὲ Παῦλος ταῦτα παρήγγελλον, ἄκουσον τί φησιν ὁ Ἰωήλ· Ἁγιάσατε νηστείαν, κηρύξατε θεραπείαν, συναγάγετε ἐκκλησίαν, ἐκλέξατε πρεσβυτέρους. ἀλλ' ἐκεῖνο ἴσως ζητεῖς, ποῦ γυναικὸς ἀπέχεσθαι ἐβούλευσεν; Ἐξελθέτω, φησί, νυμφίος ἐκ τοῦ κοιτῶνος αὐτοῦ, καὶ νύμφη ἐκ τοῦ παστοῦ αὐτῆς. τοῦτο γὰρ καὶ τοῦ Μωσαϊκοῦ μεῖζόν ἐστιν ἐπιτάγματος. Εἰ γὰρ νυμφίον καὶ νύμφην, οἷς ἀκμάζει τὰ τῆς ἐπιθυμίας, οἷς ἡ νεότης σφριγᾷ, οἷς ὁ πόθος ἀκάθεκτος, οὐ χρὴ συνιέναι κατὰ τὸν τῆς νηστείας καιρὸν καὶ τῆς προσευχῆς, πόσῳ μᾶλλον τοὺς λοιποὺς τοὺς οὐκ ἔχοντας τοσαύτην μίξεως ἀνάγκην; τὸν γὰρ εὐχόμενον ὡς χρὴ καὶ νηστεύοντα, πάντα ἀπορρίψαι δεῖ πόθον βιωτικόν, πᾶσαν φροντίδα καὶ διάχυσιν, καὶ πανταχόθεν ἑαυτὸν συναγαγόντα καλῶς, οὕτω προσιέναι τῷ Θεῷ. Διὰ τοῦτο καὶ ἡ νηστεία καλόν, ὅτι περικόπτει τὰς τῆς ψυχῆς φροντίδας, καὶ τὴν περιρρέουσαν τοῦ νοῦ ὀλιγωρίαν ἀναστέλλουσα, ὅλην πρὸς ἑαυτὴν ἐπιστρέφει τὴν διάνοιαν. τοῦτο καὶ ὁ Παῦλος αἰνιττόμενος ἀπάγει τῆς μίξεως, καὶ τῇ λέξει σφόδρα κυρίως κέχρηται. οὐ γὰρ εἶπεν, ἵνα μὴ μολυνθῆτε, ἀλλ', ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ· ὡς τῆς πρὸς γυναῖκα ὁμιλίας οὐκ εἰς ἀκαθαρσίαν, ἀλλ' εἰς ἀσχολίαν ἀγούσης.

Ὅπου γὰρ νῦν μετὰ τὴν τοσαύτην ἀσφάλειαν πειρᾶται ἐμποδίζειν ἡμῖν κατὰ τὸν τῆς προσευχῆς καιρὸν ὁ διάβολος· ἂν διακεχυμένην λάβῃ ψυχήν, καὶ ὑπὸ τῆς πρὸς τὴν γυναῖκα συμπαθείας μεμαλαγμένην, τί οὐκ ἐργάσεται τῇδε, κἀκεῖσε τοὺς τῆς διανοίας ἀναρριπίζων ὀφθαλμούς; ὅπερ ἵνα μὴ πάθωμεν, μηδὲ ὅτε μάλιστα ἵλεω σπουδάζομεν ἡμῖν καταστῆσαι τὸν Θεόν, τότε αὐτῷ προσκρούωμεν διὰ τῆς οὕτω ματαίας εὐχῆς, κελεύει τῆς κοίτης ἀπηλλάχθαι τότε.

Εἰ γὰρ οἱ τοῖς βασιλεῦσι προσιόντες· τί λέγω βασιλεῦσι; ἐσχάτοις μὲν οὖν ἄρχουσι, καὶ δεσπόταις δοῦλοι ἐντυγχάνοντες, ἄν τε ὑφ' ἑτέρων ἠδικημένοι τοῦτο ποιῶσιν, ἄν τε αὐτοὶ δεόμενοι παθεῖν εὖ, ἄν τε ὀργήν τινα καθ' ἑαυτῶν ἐγηγερμένην κοιμίσαι σπεύδοντες, καὶ τοὺς ὀφθαλμοὺς καὶ τὴν διάνοιαν ἅπασαν ἐπιστρέψαντες πρὸς ἐκείνους, οὕτω ποιοῦνται τὴν ἐντυχίαν· κἂν μικρὸν ἀπορραθυμήσωσιν, οὐ μόνον οὐ κατώρθωσαν ὑπὲρ ὧν ἐδέοντο, ἀλλὰ καὶ κακόν τι προσλαβόντες ἀπῆλθον. Εἰ οἱ θυμὸν ἀνθρώπων παῦσαι βουλόμενοι, τοσαύτῃ κέχρηνται τῇ σπουδῇ, τί πεισόμεθα ἡμεῖς οἱ δείλαιοι, μετὰ τοσαύτης ῥαθυμίας τῷ πάντων δεσπότῃ προσιόντες Θεῷ, καὶ ταῦτα πολλῷ μείζονος ὀργῆς ὄντες ὑπεύθυνοι; οὔτε γὰρ οἰκέτης δεσπότην, οὔτε ἀρχόμενος βασιλέα παροξύνειεν ἂν οὕτως, ὡς τὸν Θεὸν καθ' ἑκάστην ἡμέραν ἡμεῖς. καὶ τοῦτο ἐμφαίνων ὁ Χριστός, τὰ μὲν εἰς τὸν πλησίον ἁμαρτήματα, ἑκατὸν ἐκάλει δηνάρια· τὰ δὲ εἰς τὸν Θεόν, μυρία τάλαντα. ἐπεὶ οὖν τοσαύτην ἐν ταῖς εὐχαῖς προσίμεν σβέσοντες ὀργήν, καὶ ὃν οὕτω καθ' ἑκάστην ἐκπολεμοῦμεν τὴν ἡμέραν καταλλάξοντες, εἰκότως ἡμᾶς ἀπάγει τῆς ἡδονῆς ἐκείνης, μονονουχὶ λέγων· περὶ ψυχῆς ἡμῖν ὁ λόγος, ἀγαπητοί· ὑπὲρ τῶν ἐσχάτων ὁ κίνδυνος· τρέμειν δεῖ καὶ δεδοικέναι καὶ συνεστάλθαι· δεσπότῃ προσίμεν φοβερῷ, πολλὰ παρ' ἡμῶν ὑβρισμένῳ, μεγάλα ἡμῖν ἔχοντι καὶ ὑπὲρ μεγάλων ἐγκαλεῖν. οὐ συμπλοκῶν ἐστιν ὁ καιρός, οὔτε ἡδονῶν, ἀλλὰ δακρύων καὶ στεναγμῶν πικρῶν, προσπτώσεως, ἐξομολογήσεως ἀκριβοῦς, λιτανείας συντεταμένης, ἱκετηρίας πολλῆς. ἀγαπητὸν γὰρ καὶ μετὰ τοσαύτης προσπίπτοντα σπουδῆς, δυνηθῆναι προσιόντα καταμαλάξασθαι

τὴν

Ἰωήλ. β. ιε.

κεφ. λα. κ. Ὅτι ἀναγκαίως ἀπέχειν συνουσίας τοὺς μέλλοντας σχολάζειν εὐχῇ.

κεφ. λβ. Ὅτι ῥαθύμως εὐχόμενοι οὐ μόνον οὐκ ἐξιλεούμεθα, ἀλλὰ καὶ παροξύνομεν τὸν Θεόν.

τὴν ὀργὴν ἐκείνην· οὐχ ὅτι ἀπηνής, οὐδ' ὅτι ὠμὸς ὁ δεσπότης ἡμῶν (καὶ γὰρ σφόδρα ἐστὶν ἥμερος καὶ φιλάνθρωπος) ἀλλ' ἡ τῶν ἁμαρτημάτων τῶν ἡμετέρων ὑπερβολή. οὐδὲ τὸν χρηστὸν καὶ ἐπιεικῆ καὶ πολυέλεον ἀφίησιν ἡμῖν συγγνῶναι ταχέως· διό φησιν, ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ προσευχῇ. τί οὖν ἂν εἴη τῆς δουλείας ταύτης πικρότερον; βουλομένη ἐπιδοῦναι πρὸς ἀρετήν, ἀναπτῆναι πρὸς τὸν οὐρανόν, νηστείαις καὶ εὐχαῖς συνεχῶς προσκαρτερῶν ἀποσμῆξαι τὸν ῥύπον τῆς ψυχῆς· εἶτα ἂν μὴ βούληται ἐκεῖνος ταύτῃ ἐπινεῦσαι τῇ γνώμῃ, ἀναγκάζομαι δουλεύειν αὐτοῦ τῇ λαγνείᾳ. διὰ τοῦτο γὰρ ἀρχόμενος ἔλεγε, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι. διὰ τοῦτο καὶ οἱ μαθηταὶ πρὸς τὸν Κύριον εἶπον· Εἰ οὕτως ἐστὶν ἡ αἰτία τῆς γυναικός, οὐ συμφέρει γαμῆσαι. λογισάμενοι γάρ, ὅτι πολλὴ ἀνάγκη θατέρῳ τῷ μέρει ἀνέχεσθαι τὴν ἐπήρειαν, καὶ στενοχωρηθέντες ὑπὸ τῶν λογισμῶν, ταύτην ἀφῆκαν τὴν φωνήν.

Ματθ. ιθ ι.

κεφ. λγ.
Ὅτι τὸ δεύτερον εἰπεῖν περὶ τῶν αὐτῶν, τοῦ Χριστοῦ ἐστι μιμουμένου.

Διὰ τοῦτο καὶ ὁ Παῦλος συνεχῶς αὐτοὺς στρέφει, ἵνα εἰς τοῦτον τὸν λογισμὸν ἐμβάλῃ τοὺς Κορινθίους· ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω· τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν ἀποδιδότω· ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει· μὴ ἀποστερεῖτε ἀλλήλους· ἐπὶ τὸ αὐτὸ συνέρχεσθε. οὐδὲ γὰρ οἱ μακάριοι τότε ἐκεῖνοι ἐκ πρώτης εὐθέως τοῦτο ἔπαθον τῆς φωνῆς, ἀλλ' ὅτε ἐκ δευτέρου ταῦτα ἤκουσαν, τότε συνεῖδον τῆς ἐντολῆς τὴν ἀνάγκην. καὶ γὰρ ὅτε ἐκάθητο ἐπὶ τοῦ ὄρους ὁ Χριστὸς διελέχθη περὶ τούτου, καὶ μετ' ἕτερα πολλὰ πάλιν οὕτως αὐτοὺς εἰσήγαγεν εἰς τὸν τῆς ἐγκρατείας ἔρωτα. οὕτω συνεχῶς τὰ αὐτὰ λεγόμενα πλείονα ἔχει τὴν ἐνέργειαν. κἀνταῦθα οὖν τὸν διδάσκαλον μιμούμενος ὁ μαθητὴς συνεχῶς περὶ τῶν αὐτῶν διαλέγεται· καὶ οὐδαμοῦ τὴν συγχώρησιν ἁπλῶς τίθησιν, ἀλλὰ μετ' αἰτίας, διὰ τὰς πορνείας λέγων, καὶ τοὺς πειρασμοὺς τοὺς Σατανικούς, καὶ τὴν ἀκρασίαν, καὶ ἀνυπόπτως δὲ τῆς παρθενίας ἐγκώμιον ἐργαζόμενος ἐν τοῖς περὶ τοῦ γάμου λόγοις.

κεφ. λδ.
Ὅτι θαυμαστὸν καὶ πολλῶν ἄξιον στεφάνων ἡ παρθενία.

Εἰ γὰρ τοὺς ἐν τῷ γάμῳ διατρίβοντας δέδοικεν* ἀποστῆσαι ἐπὶ πολύ, μή τινα παρείσδυσιν ὁ διάβολος εὕρῃ, πόσων ἂν εἶεν ἄξιαι στεφάνων αἱ μηδὲ παρὰ τὴν ἀρχὴν ταύτης δεηθεῖσαι τῆς παραμυθίας, καὶ μέχρι τέλους ἀχείρωτοι διαμείνασαι; καίτοι οὐδὲ τὰ παρὰ τοῦ διαβόλου μηχανήματα ἐξ ἴσης ἀμφοτέροις προσάγεται. τοῖς μὲν γὰρ " οὐδὲ ἐνοχλεῖν αὐτὸν οἶμαι, εἰδότα ὅτι πλησίον " αὐτοῖς ἡ καταφυγή· κἂν τινος αἴσθωνται σφοδροτέρας προσβολῆς, ἔξεστιν εὐθέως ἐπὶ τὸν λιμένα καταφυγεῖν. οὐδὲ γὰρ ἀφίησιν αὐτοὺς ὁ μακάριος Παῦλος πορρωτέρω πλεῖν, ἀλλ' ὑποστρέφειν, ἡνίκα ἂν κάμωσι, παραινεῖ, πάλιν ἐπιτρέπων ἐπὶ τὸ αὐτὸ συνέρχεσθαι· ἡ δὲ παρθένος δι' ὅλου θαλαττεύειν ἀναγκάζεται, καὶ πέλαγος ἀλίμενον κἂν [ο] χαλεπώτατος διεγερθῇ χειμών, οὐδὲ οὕτω θέμις ὁρμίσαι τὸ σκάφος αὐτῇ καὶ ἀναπαύσασθαι. ὥσπερ οὖν οἱ κατὰ τὴν θάλατταν κακοῦργοι, ἔνθα μὲν ἂν ᾖ πόλις ἢ ἐπίνειον ἢ λιμήν, οὐκ ἐπιτίθενται τοῖς πλέουσι (τοῦτο γὰρ μάτην κινδυνεύειν ἐστὶν) ἂν δὲ ἐν μέσῳ τῷ πελάγει τὸ σκάφος ἀπολάβωσι, τὴν ἐρημίαν τῶν βοηθησόντων τῆς τόλμης ἐφόδιον ἔχοντες, πάντα κινοῦσι καὶ στρέφουσι, καὶ οὐ πρότερον ἀφίστανται, ἕως ἂν ἢ καταδύσωσι τοὺς ἐμπλέοντας, ἢ οὗτοι πάθωσιν αὐτοί· οὕτω καὶ ὁ δεινὸς οὗτος πειρατὴς τῇ παρθένῳ πολλὴν ἐπάγει τὸν χειμῶνα, καὶ χαλεπὴν τὴν ζάλην, καὶ ἀφορήτους τὰς τρικυμίας, πάντα ἄνω καὶ κάτω κυκῶν, ὥστε τῇ βίᾳ καὶ τῇ ῥύμῃ περιτρέψαι τὸ σκάφος. ἤκουσε γὰρ ὅτι τό, ἐπὶ τὸ αὐτὸ συνέρχεσθαι ἡ παρθένος οὐκ ἔχει, ἀλλ' ἀνάγκη δι' ὅλου παλαίειν αὐτήν, δι' ὅλου μάχεσθαι πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, ἕως ἂν εἰς τὸν εὔδιον καταπλεύσῃ λιμένα. καθάπερ γὰρ στρατιώτην γενναῖον ἔξω τειχῶν ἀποκλείσας τὴν παρθένον ὁ Παῦλος, οὐκ ἀφίησιν ἀνοιγῆναι τὰς πύλας αὐτῇ, κἂν σφόδρα ὁ πολέμιος ἀγριαίνῃ πρὸς αὐτήν, κἂν αὐτοῦ τούτου σφοδρότερος γίνηται τῷ τὸν ἀντίπαλον μηδεμίαν ἐξουσίαν ἔχειν ἀνακωχῆς. οὐχ ὁ διάβολος δὲ μόνον, ἀλλὰ καὶ αὐτὸς ὁ

* ὁ μακάριος Παῦλος

γρ. ὑπὸ
γρ. αὐτῶν

τῆς ἐπιθυμίας οἶστρος μειζόνως τοῖς μὴ γεγαμηκόσιν ἐνοχλεῖ· καὶ τοῦτο πολλῷ τινι δῆλόν ἐστιν. ὧν μὲν γὰρ τὴν ἀπόλαυσιν ἔχομεν, οὐ ταχέως ὑπὸ τῆς ἐπιθυμίας ἁλισκόμεθα, τῆς ἀδείας τῇ ψυχῇ ῥᾳθυμεῖν* συγχωρούσης. καὶ τοῦτο καὶ παροιμία τις ἡμῖν μαρτυρεῖ, δημώδης μὲν, σφόδρα δὲ ἀληθής. τὸ γὰρ ἐν ἐξουσίᾳ, φησὶν, ἕτοιμον οὐκ ἔστι πρὸς ἐπιθυμίαν σφοδράν. ἂν δέ ποτε κωλυθῶμεν ὧν πάλαι ἦμεν κύριοι, τοὐναντίον γίνεται, καὶ τὰ διὰ τὴν ἐξουσίαν πρὸ ἡμῶν καταφρονούμενα, ταῦτα ὅταν τὸ κῦρος ἡμῶν ἐκφύγῃ, σφοδρότερον ἡμῖν τὴν ἐπιθυμίαν διήγειρε. πρῶτον μὲν οὖν ταύτῃ μείζων παρὰ τοῖς γεγαμηκόσιν ἡ γαλήνη· δεύτερον δὲ, ὅτι κἂν εἰς ὕψος ἀρθῆναι φιλονεικήσῃ ποτὲ ἡ φλὸξ, καταστέλλει ταχέως αὐτὴν ἐπελθοῦσα ἡ μίξις. ἡ δὲ παρθένος οὐκ ἔχουσα ὅπως σβέσῃ τὸ πῦρ, ὁρᾷ μὲν αὐτὸ κορυφούμενον καὶ εἰς ὕψος αἰρόμενον· σβέσαι δὲ οὐκ ἰσχύουσα, ἑνὸς γίνεται μόνου τοῦ μὴ φλεχθῆναι μαχομένη πυρί. ἆρα ἐστί τι τούτου παραδοξότερον, πᾶσαν ἔνδον βαστάζειν τὴν πυράν, καὶ μὴ καίεσθαι; συστρέφειν μὲν ἐν τοῖς τῆς ψυχῆς ταμιείοις τὴν φλόγα, ἀνέπαφον δὲ τὴν διάνοιαν διατηρεῖν; οὐδεὶς γὰρ αὐτῇ συγχωρεῖ τοὺς ἄνθρακας τούτους ἔξω κενῶσαι· ἀλλ' ὅπερ ὁ παροιμιαστὴς ἀδύνατον εἶναι φησὶν ἐπὶ τῆς τῶν σωμάτων φύσεως, τοῦτο ὑπομένειν αὐτὴ καταναγκάζεται ἐπὶ τῆς ψυχῆς. τί δὲ ἐκεῖνός φησι; Περιπατήσει τις ἐπ' ἀνθράκων πυρὸς, τοὺς δὲ πόδας οὐ κατακαύσει; ἀλλ' ἰδοὺ αὕτη περιπατεῖ, καὶ φέρει τὴν βάσανον. ἀποδήσει τις πῦρ ἐν κόλπῳ, τὰ δὲ ἱμάτια οὐ κατακαύσει; αὕτη δὲ οὐκ ἐν ἱματίοις, ἀλλ' ἔνδον ἔχουσα τὸ πῦρ ἀγριαῖνον καὶ ἠγριωμένον, ἀνέχεται καὶ στέγει τὴν φλόγα. ἔτ' οὖν τολμήσει τις, εἰπέ μοι, τῇ παρθενίᾳ τὸν γάμον παραβάλλειν; ἀντιβλέψαι δὲ ὅλως; ἀλλ' οὐκ ἀφίησιν ὁ μακάριος Παῦλος, πολὺ τὸ μέσον ἑκατέρου τοῦ πράγματος θείς. ἡ μὲν γὰρ τὰ τοῦ Κυρίου, φησὶν, ἡ δὲ τὰ τοῦ κόσμου μεριμνᾷ. Συναγαγὼν τοίνυν εἰς ταυτὸν τοὺς γεγαμηκότας, καὶ ταύτῃ χαρισάμενος, ἄκουσον πῶς αὐτοῖς ὀνειδίζει πάλιν. ἐπὶ τὸ αὐτὸ γάρ, φησι, Συνέρχεσθε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ Σατανᾶς. καὶ δεῖξαι βουλόμενος, ὅτι οὐ τῆς ἐκείνου πείρας τὸ πᾶν ἐστιν, ἀλλὰ καὶ τῆς ἡμετέρας νωθείας τὸ πλέον, τὴν κυριωτέραν αἰτίαν ἐπήγαγε, διὰ τὴν ἀκρασίαν ὑμῶν εἰπών. τίς οὖν οὐκ ἂν ἐρυθριάσειε ταῦτα ἀκούων; τίς οὐκ ἂν σπουδάσειεν ἐκφυγεῖν τῆς ἀκρασίας τὸν ψόγον; οὐδὲ γὰρ πρὸς πάντας ἡ παραίνεσις αὕτη, ἀλλὰ πρὸς τοὺς σφόδρα καταφερεῖς. ἂν οὕτως ᾖς δοῦλος τῶν ἡδονῶν, φησιν, ἂν οὕτω χαῦνος, ὡς διαπαντὸς ἐκκεχύσθαι πρὸς τὴν μίξιν καὶ κεχηνέναι, Συνέρχου τῇ γυναικί. οὐκ ἄρα ἀποδεχομένου, οὐδὲ ἐπαινοῦντος ἡ συγχώρησις, ἀλλὰ σκώπτοντος καὶ καταγινώσκοντος. οὐδὲ γὰρ ἂν, εἰ μὴ σφόδρα ἠθέλησε καθάψασθαι τῆς τῶν φιληδόνων ψυχῆς, τὴν τῆς ἀκρασίας ἔθηκε λέξιν ἐμφατικωτέραν οὖσαν, καὶ πολὺν ἔχουσαν τὸν ψόγον. διὰ τί γὰρ οὐκ εἶπε, διὰ τὴν ἀσθένειαν ὑμῶν; ὅτι ἐκεῖνο μᾶλλον συγγινώσκοντος ἦν· τὸ δὲ τῆς ἀκρασίας, δεικνύντος τῆς ῥᾳθυμίας τὴν ὑπερβολήν. οὐκοῦν ἀκρασίας, τὸ μὴ δύνασθαι πορνείας ἀπέχεσθαι, εἰ μὴ διαπαντός τις ἔχοιτο τῆς γυναικός, καὶ τῆς μίξεως ἀπολαύοι. τί οὖν ἂν εἴποιεν ἐνταῦθα οἱ τὴν παρθενίαν περιττὸν εἶναι τιθέμενοι; αὕτη μὲν, ὡς ἂν ἐπιταθῇ, τοσούτῳ μεῖζον ἔχει τὸ ἐγκώμιον· ὁ δὲ γάμος, ὅταν αὐτῷ κατακόρως κεχρημένος ᾖ, τότε μάλιστα ἐπαίνου παντὸς ἀπεστέρηται. τοῦτο γάρ, φησι, λέγω κατὰ συγγνώμην. ἔνθα δὲ ἂν ᾖ συγγνώμη, χώραν ἔπαινος οὐκ ἂν ἔχοι. ἀλλὰ καὶ περὶ τῶν παρθένων διαλεγόμενός, φησιν· Ἐπιταγὴν Κυρίου οὐκ ἔχω, γνώμην δὲ δίδωμι. μήποτε οὖν ἄρα τὸ πρᾶγμα ἐξίσωσεν; ἄπαγε. ἐπὶ μὲν γὰρ τῆς παρθένου γνώμην δίδωσιν, ἐνταῦθα δὲ συγγνώμην· ἐπιτάττει δὲ οὐδέτερον, οὐ διὰ τὴν αὐτὴν αἰτίαν· ἀλλ' ἐνταῦθα μὲν, ἵνα μή τις ἀναβῆναι ἀπὸ τῆς ἀκρασίας βουλόμενος κωλύηται, ὡς ἐπιτάγματος ἀνάγκῃ δεδεμένος· ἐκεῖ δὲ, ἵνα μή τις ἀναβῆναι πρὸς τὴν παρθενίαν ἀδυνατῶν κατακρίνηται, ὡς προστάγματος παρακούων. οὐκ ἐπιτάττω παρθενεύειν, φησί· δέδοικα γὰρ τοῦ πράγματος τὸ δυσκατόρθωτον. οὐκ ἐπιτάττω Συνέρ-

χεσθαι

Παροιμ. ς. κη.

χεσθαι συνεχῶς τῇ γυναικί· ἀκρασίας γὰρ οὐ βούλομαι εἶναι νομοθέτης. Εἶπεν, Συνέρχεσθε, κάτω καταβῆναι κωλύων, οὐ τὴν προσωτέρω προθυμίαν ἐμποδίζων. Οὐκ ἄρα αὐτοῦ βούλημα προηγούμενόν ἐστι τὸ χρῆσθαι διαπαντὸς γυναικί, ἀλλ' ἡ τῶν ῥαθυμοτέρων τοῦτο ἐνομοθέτησεν ἀκρασία. Ἐπεὶ εἰ τὸ Παύλου βούλημα θέλεις μαθεῖν, ἄκουσον ποῖόν ἐστι. Θέλω, φησί, πάντας ἀνθρώπους εἶναι, ὡς καὶ ἐμαυτόν, ἐν ἐγκρατείᾳ. Οὐκοῦν εἰ πάντας θέλεις ἐν ἐγκρατείᾳ εἶναι, οὐδένα θέλεις εἶναι ἐν γάμῳ. Οὐδὲ γάρ. Οὐ μὴν διὰ τοῦτο κωλύω τοὺς βουλομένους, οὐδὲ αἰτιῶμαι· ἀλλ' εὔχομαι μὲν καὶ ποθῶ πάντας εἶναι ὡς καὶ ἐμαυτόν· συγχωρῶ δὲ κἀκεῖνο διὰ τὰς πορνείας. Διὰ τοῦτο καὶ ἀρχόμενος εἶπον, Καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι, ὅτι τοῦτο μᾶλλον ποθῶ.

α. Κορ. ζ. ζ.

κεφ. λε. Ὅτι ἀναγκαίως ἔθηκεν ἑαυτὸν εἰς τὸ ἐγκρατείας ὑπόδειγμα.

α. Κορ. ιε. θ.

Τίνος δὲ ἕνεκεν ἐνταῦθα ἑαυτοῦ μέμνηται, λέγων· Θέλω δὲ πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν; καίτοι εἰ μὴ τοῦτο προσέκειτο, τὴν περιαυτολογίαν διέφυγεν ἄν. Τίνος οὖν ἕνεκεν προσέθηκεν, ὡς καὶ ἐμαυτόν; Οὐκ ἐπαίρων ἑαυτόν. Οὗτος γάρ ἐστιν ὁ ″πλεονεκτήσας μὲν τῶν ἀποστόλων ἐν τοῖς ὑπὲρ τοῦ κηρύγματος πόνοις, ἀνάξιον δὲ καὶ τῆς προσηγορίας ἀποστολικῆς ἑαυτὸν εἶναι νομίζων. Εἰπὼν γάρ, Ὅτι ἐγώ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὥσπερ τι τῆς ἀξίας αὐτοῦ μεῖζον φθεγξάμενος, ἐπιλαμβάνεται ταχέως ἑαυτοῦ, λέγων· Ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος. Τίνος οὖν ἕνεκεν ἐνταῦθα τῇ παραινέσει πρόσκειται; Οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν· ἀλλ' ᾔδει τοὺς μαθητὰς τότε μάλιστα εἰς τὸν τῶν καλῶν ἐναγομένους ζῆλον, ὅταν παρὰ τῶν διδασκάλων ἔχωσι τὰ παραδείγματα. Ὥσπερ οὖν ὁ χωρὶς ἔργων ἐν τοῖς λόγοις μόνοις φιλοσοφῶν οὐδὲν ὀνίνησι μέγα τὸν ἀκροατήν· οὕτως ὁ πρὸ ἑαυτοῦ πρῶτον κατορθωθεῖσαν ἔχων δεῖξαι τὴν συμβουλήν, ταύτῃ μάλιστα πάντων ἐπάγεται τῶν ἀκουόντων. Πρὸς δὲ τούτοις, καὶ φθόνου καὶ τύφου καθαρεύοντα δείκνυσιν ἑαυτόν. Τὸ γὰρ ἐξαίρετον τοῦτο κοινὸν εἶναι βούλεται τῶν μαθητῶν, οὐδὲν αὐτῶν πλέον ἔχειν ζητῶν, ἀλλ' ἐν ἅπασιν αὐτοὺς ἐξισοῦν ἑαυτῷ*. Ἔχω καὶ τρίτην αἰτίαν εἰπεῖν. Ποίαν δὴ ταύτην; Δύσκολον εἶναι τὸ πρᾶγμα ἐδόκει, καὶ οὐ κατὰ τὴν τῶν πολλῶν εὐκολίαν. Βουλόμενος οὖν αὐτὸ δεῖξαι ῥᾷστον, τὸν ἠνυκότα εἰς μέσον τίθησιν, ἵνα μὴ σφόδρα ἐπίπονον εἶναι αὐτὸ νομίζωσιν, ἀλλὰ πρὸς τὸν ἡγησάμενον ἰδόντες, μετὰ τοῦ θαρρεῖν καὶ αὐτοὶ τῆς αὐτῆς ἐπιβαίνωσιν ὁδοῦ. Τοῦτο καὶ ἀλλαχοῦ ποιεῖ. Τοῖς Γαλάταις γὰρ διαλεγόμενος, καὶ τὸν ἀπὸ τοῦ νόμου φόβον ἐκλῦσαι σπεύδων, δι' ὃν ἐπὶ τὴν παλαιὰν κατεφέροντο συνήθειαν πολλὰ τῶν ἐκεῖ φυλάττοντες, τί φησι; Γίνεσθε ὡς ἐγώ, ὅτι κἀγὼ ὡς ὑμεῖς. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Οὐκ ἂν ἔχοιτε, φησίν, εἰπεῖν, ὅτι ἐξ ἐθνῶν ἐπιστρέψας νῦν, καὶ τὸν ἐκ τῆς τοῦ νόμου παραβάσεως οὐκ εἰδὼς φόβον, ἀκινδύνως ἅπαντα ταῦτα φιλοσοφεῖς πρὸς ἡμᾶς. Καὶ γὰρ ἐγώ, φησίν, ὡς ὑμεῖς, ἐδούλευσα ταύτην τὴν δουλείαν ποτέ· ἐδεδόμην ὑπὸ τοῖς ἐπιτάγμασι τοῦ νόμου· ἐφύλαξα τῶν ἐντολῶν τὰς παρατηρήσεις· ἀλλὰ τῆς χάριτος ἐπιφανείσης, ὅλον ἐμαυτὸν ἀπ' ἐκείνου πρὸς ταύτην μετέθηκα. Οὐκέτι γὰρ τὸ πρᾶγμα παράβασίς ἐστιν, ἀνδρὶ γενομένων ἡμῶν ἑτέρῳ. Ὥστε οὐδεὶς ἂν ἔχοι τοῦτο λέγειν, ὅτι ἕτερα πράττων, ἕτερα παραινῶ, οὐδὲ ὅτι τὸ ἐμαυτοῦ σκοπήσας ἀσφαλές, ὑμᾶς εἰς κίνδυνον ἐνέβαλον. Εἰ γὰρ κίνδυνος τὸ πρᾶγμα ἦν, οὐκ ἂν ἐμαυτὸν προὔδωκα, οὐδ' ἂν τῆς οἰκείας ἠμέλησα σωτηρίας. Ὥσπερ οὖν ἐκεῖ τὸ παράδειγμα πρὸ ἑαυτοῦ θείς, τὸν φόβον ἐξέλυσεν· οὕτω καὶ ἐνταῦθα τὴν ἀγωνίαν ἐκβάλλει, μέσον ἑαυτὸν ″ἐμβαλών.

Γαλ. δ. ιβ.

Ιερ. γ. α.

χ πλεον

* θέλων

χ. ἐμβά

κεφ. λς. Ὅτι μετριάζων ὁ ἀπόστολος τῆς παρθενίας χάρισμα καλεῖ.

α. Κορ. ζ. ζ.

Ἀλλ' ἕκαστος ἴδιον χάρισμα ἔχει, φησίν, ὃς μὲν οὕτως, ὃς δὲ οὕτω. Θέα τῆς ἀποστολικῆς ταπεινοφροσύνης οὐδαμοῦ τὸν χαρακτῆρα παραπολλύμενον, ἀλλ' ἀκριβῶς πανταχοῦ διαλάμποντα· χάρισμα Θεοῦ καλεῖ τὸ αὐτοῦ κατόρθωμα, καὶ ἔνθα πολὺν ἵδρωσεν ἱδρῶτα, τοῦτο ὅλον ἀνατίθησι τῷ δεσπότῃ. Καὶ τί θαυμαστόν, εἰ ἐπὶ τῆς ἐγκρατείας τοῦτο ποιεῖ, ὅπου γε καὶ περὶ τοῦ κηρύγματος διαλεγόμενος, ᾧ αὐτῷ κέχρηται τρόπῳ· ὑπὲρ οὗ μυρίους ἤνεγκε πόνους, θλίψεις συνεχεῖς, ταλαιπωρίας ἀφάτους, θανάτους καθημερινούς. Τί οὖν περὶ τούτου φησί; Πλέον αὐτῶν πάντων ἐκοπίασα· οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί. οὐ τὸ μὲν αὐτοῦ, τὸ δὲ τοῦ Θεοῦ φησιν, ἀλλ' ὅλον τοῦ Θεοῦ. τοῦτο εὐγνώμονος οἰκέτου, μηδὲν ἴδιον νομίζειν, ἀλλὰ πάντα δεσποτικά· μηδὲν ἴδιον ἡγεῖσθαι αὐτοῦ, ἀλλὰ πάντα τοῦ Κυρίου. τοῦτο καὶ ἑτέρωθι ποιεῖ. Εἰπὼν γάρ, Ἔχοντες χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα, προφητειῶν προστασίας καὶ ἐλεημοσύνας καὶ μεταδόσεις ἐν τούτοις ἠρίθμησεν. ὅτι δὲ κατορθώματα ταῦτα, καὶ οὐ χαρίσματα, παντί που δῆλόν ἐστι. ταῦτα δὲ εἶπον, ἵν', ὅταν ἀκούσῃς αὐτοῦ λέγοντος, ἕκαστος ἴδιον χάρισμα ἔχει, μὴ ἀναπέσῃς, μηδὲ εἴπῃς πρὸς ἑαυτόν· οὐ δεῖται τὸ πρᾶγμα τῆς ἐμῆς σπουδῆς· χάρισμα αὐτὸ ὁ Παῦλος ἐκάλεσε. μετριάζων γάρ, οὐκ εἰς τὴν τῶν χαρισμάτων τάξιν καταλέξαι τὴν ἐγκράτειαν βουλόμενος, τοῦτό φησιν. οὐκ ἂν οὕτως ἠναντιώθη καὶ ἑαυτῷ, καὶ τῷ Χριστῷ· τῷ μὲν Χριστῷ λέγοντι, Εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν· καὶ ἐπαγαγόντι, ὁ δυνάμενος χωρεῖν, χωρείτω· ἑαυτῷ δὲ καταδικάζοντι τὰς χηρείαν μὲν ἑλομένας, οὐ βουληθείσας δὲ ἐπιμεῖναι τῇ προθέσει. Εἰ γὰρ χάρισμά ἐστι, τίνος ἕνεκεν αὐταῖς ἀπειλεῖς, λέγων· Ὅτι ἔχουσι κρίμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν; οὐδαμοῦ γὰρ τοὺς οὐκ ἔχοντας χαρίσματα ὁ Χριστὸς ἐκόλασεν, ἀλλὰ πανταχοῦ τοὺς οὐ βίον ἐπιδεικνυμένους ὀρθόν. καὶ τοῦτό ἐστι τὸ μάλιστα ἐπιζητούμενον παρ' αὐτῷ, πολιτεία ἀρίστη καὶ ἔργα ἄληπτα· τῶν δὲ χαρισμάτων ἡ διανομὴ οὐκ ἐν τῇ τοῦ λαμβάνοντος κεῖται προαιρέσει, ἀλλ' ἐν τῇ τοῦ παρέχοντος κρίσει. Διὰ τοῦτο οὐδαμοῦ τοὺς τὰ θαύματα ἐργαζομένους ὁ Χριστὸς ἐπαινεῖ, ἀλλὰ καὶ τοὺς μαθητὰς ἐπὶ τούτῳ μεγαφρονοῦντας ἀπάγει τῆς τοιαύτης ἡδονῆς, λέγων, Μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑπακούει. Οἱ γὰρ μακαριζόμενοι πανταχοῦ οἱ ἐλεήμονές εἰσιν, οἱ ταπεινοί, οἱ ἐπιεικεῖς, οἱ τῇ καρδίᾳ καθαροί, οἱ εἰρηνοποιοί, οἱ ταῦτα πάντα, καὶ τὰ τούτοις ὅμοια πράττοντες. καὶ αὐτὸς δὲ ὁ Παῦλος τὰ κατορθώματα ἀριθμούμενος τὰ ἑαυτοῦ, ἐν τούτοις καὶ τῆς ἐγκρατείας ἐμνημόνευσεν. εἰπὼν γάρ, Ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν κόποις, ἐν ἀκαταστασίαις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις, ἐπήγαγεν, ἐν ἁγνείᾳ· οὐκ ἂν τοῦτο ποιήσας, εἰ χάρισμα τὸ πρᾶγμα ἦν. τί δὲ καὶ σκώπτει τοὺς οὐκ ἔχοντας αὐτό, ἀκρατεῖς αὐτοὺς καλῶν; Διὰ τί δὲ καὶ ὁ μὴ ἐκγαμίζων τὴν παρθένον, κρεῖσσον ποιεῖ; τίνος δὲ ἕνεκεν μακαριωτέρα ἡ χήρα, ἐὰν οὕτω μείνῃ; ὅπερ γὰρ ἔφθην εἰπών, οὐ θαυμάτων, ἀλλὰ ἔργων οἱ μακαρισμοί, ὥσπερ οὖν καὶ κολάσεις. πῶς δὲ καὶ ἐπιμένει πάλιν παραινῶν ὑπὲρ τῶν αὐτῶν, εἰ μὴ ἐφ' ἡμῖν τὸ πρᾶγμα ἦν, καὶ μετὰ τὴν τοῦ Θεοῦ ῥοπὴν καὶ τῆς παρ' ἡμῶν ἐδεῖτο σπουδῆς; Εἰπὼν γάρ, θέλω πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτὸν ἐν ἐγκρατείᾳ, πάλιν φησί· Λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐτοῖς ἐστιν ἐὰν μείνωσιν ὡς κἀγώ. πάλιν ἑαυτὸν τίθησι διὰ τὴν αὐτὴν αἰτίαν. τὸ γὰρ παράδειγμα ἐντεῦθεν ἔχοντες καὶ οἰκεῖον, μειζόνως ἂν τῶν τῆς παρθενίας κατετόλμησαν πόνων. Εἰ δὲ καὶ ἀνωτέρω λέγων, θέλω πάντας εἶναι ὡς καὶ ἐμαυτόν, καὶ ἐνταῦθα, καλὸν αὐτοῖς ἐὰν μείνωσιν ὡς κἀγώ, οὐδαμοῦ τὴν αἰτίαν προστίθησι, μὴ θαυμάσῃς. οὐ γὰρ ἀπαυθαδιζόμενος τοῦτο ποιεῖ, ἀλλ' ἱκανὴν εἶναι νομίζων αἰτίαν τὴν αὐτοῦ γνώμην, μεθ' ἧς τὸ πρᾶγμα κατώρθωσεν.

α Κορ. ιε. ι.
Ρωμ. ιβ. ς.
Ματθ. ιθ. ιβ.
α Τιμ. ε. ιβ.
Λυκ. ι. κ.
β. Κορ. ς. δ.
α. Κορ. ζ. η.

Κεφ. λζ.
Ὅτι πολλαὶ ἐν τοῖς δευτέροις γάμοις ἀηδίαι.

Εἰ δέ τις καὶ λογισμῶν ἀκοῦσαι ἐθέλοι, πρῶτον μὲν τὴν παρὰ πάντων τῶν ἀνθρώπων ἐξεταζέτω δόξαν· ἔπειτα καὶ τὰ περὶ τὸ πρᾶγμα συμβαίνοντα. τῶν γὰρ νομοθετῶν τοὺς τοιούτους οὐ κολαζόντων γάμους, ἀλλ' ἐπιτρεπόντων καὶ συγχωρούντων, πολλοὶ καὶ παρὰ πολλῶν ἔν τε οἰκίαις, καὶ κατὰ τὴν ἀγορὰν κατ' αὐτῶν γίνονται λόγοι σκωπτόντων, μεμφομένων, ἀποστρεφομένων. τῶν γὰρ τοὺς ὅρκους παραβαινόντων οὐχ ἧττον τοὺς τοιούτους ἅπαντες ἐκτρέπονται, ὡς εἰπεῖν, οὔτε φίλους ποιήσασθαι θαρροῦντες, οὔτε συνθήκας θέσθαι πρὸς αὐτούς, οὔτε ἄλλο τι πιστεῦσαι οὐδέν. ὅταν γὰρ ἴδωσιν αὐτοὺς συνηθείας τοσαύτης, καὶ φιλίας, καὶ ὁμιλίας, καὶ κοινωνίας * τὴν μνήμην οὕτως εὐκόλως ἀπὸ τῆς αὐτῶν ψυχῆς ἐκβαλλοντας, νάρκη τις αὐτοῖς ἀπὸ τούτων καταχεῖται τὸν λογισμὸν, καὶ οὐκ ἂν αὐτοὺς μετὰ πάσης προσοίσονται γνησιότητος, ὡς εὐκόλους καὶ " ἀλλοπροσάλλους. οὐ διὰ ταῦτα δὲ μόνον αὐτοὺς ἀποστρέφονται, ἀλλὰ καὶ δι' αὐτὴν τῶν γινομένων τὴν ἀηδίαν. τί γὰρ ἀτερπέστερον, εἰπέ μοι, ἢ ὅταν μετὰ τὸν πολὺν κωκυτὸν καὶ τὰς οἰμωγὰς καὶ τὰ δάκρυα καὶ τὴν αὐχμηρὰν κόμην καὶ τὴν μέλαιναν στολὴν, ἐξαίφνης κρότοι, καὶ παστάδες γαμήλιοι, καὶ θόρυβος ἀπὸ ἐναντίας τῷ προτέρῳ, ὥσπερ ὑποκριτῶν ἐν σκηνῇ παιζόντων, καὶ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο γινομένων; καὶ γὰρ ἐκεῖ τὸν αὐτὸν ἴδοις ἂν ποτὲ μὲν βασιλέα, ποτὲ δὲ πάντων πενέστερον· κἀνταῦθα ὁ πρώην περὶ τὸν τάφον ἐγκαλινδούμενος, νυμφίος ἐξαίφνης· ὁ τὰς τρίχας τίλλων, στέφανον ἐπὶ τῆς αὐτῆς πάλιν φέρει κεφαλῆς· ὁ κατηφὴς καὶ στυγνὸς καὶ πολλὰ πολλάκις μετὰ δακρύων πρὸς τοὺς παρακαλοῦντας ἐγκώμια τῆς ἀπελθούσης διελθὼν, καὶ τὸν βίον ἀβίωτον εἶναι φήσας αὐτῷ, καὶ πρὸς τοὺς ἀπάγοντας αὐτὸν τοῦ θρήνου δυσχεράνας, πολλάκις μεταξὺ τούτων αὐτὸς ὡραΐζεται καὶ καλλωπίζεται πάλιν, καὶ τοῖς πρώην δεδακρυμένοις ὀφθαλμοῖς, τούτοις μετὰ γέλωτος εἰς τοὺς αὐτοὺς ἐνορᾷ, καὶ τῷ στόματι τούτῳ φιλοφρονεῖται καὶ ἀσπάζεται στενάξας, δι' οὗ πρώην ταῦτα πάντα ἐξώμνυτο. ὃ δὲ πάντων ἐλεεινότερον, ὁ τοῖς παισὶν ἐπεισαγόμενος πόλεμος, ἡ ταῖς θυγατράσιν οἰκιζομένη λέαινα· τοῦτο γὰρ ἡ μητρυιὰ πανταχοῦ. ἐντεῦθεν ἡ καθημερινὴ στάσις καὶ μάχη· ἐντεῦθεν ὁ ξένος ἐκεῖνος καὶ καινότερος ζῆλος πρὸς τὴν οὐκ ἐνοχλοῦσαν γινόμενος. οἱ μὲν γὰρ ζῶντες καὶ βάλλουσι τῷ φθόνῳ καὶ βάλλονται· πρὸς δὲ τοὺς τετελευτηκότας καὶ " οἱ πολέμιοι σπένδονται. ἀλλ' οὐκ ἐνταῦθα, ἀλλὰ ζηλοτυπεῖται ἡ κόνις καὶ ἡ τέφρα, καὶ μῖσος πρὸς τὴν κατορωρυγμένην ἄφατον, καὶ λοιδορίαι καὶ σκώμματα καὶ κατηγορίαι πρὸς τὴν διαλυθεῖσαν εἰς γῆν, ἔχθρα ἄσπονδος πρὸς τὴν λελυπηκυῖαν οὐδέν. τί ταύτης γένοιτ' ἂν τῆς ἀλογίας χεῖρον; τί τῆς ὠμότητος; οὐδὲν παρὰ τῆς ἀπελθούσης ἠδικημένη· τί λέγω, ἠδικημένη; τοὺς πόνους μὲν αὐτῆς καρπουμένη, καὶ τοῖς ἀγαθοῖς ἐντρυφῶσα τοῖς ἐκείνης, οὐ παύεται σκιαμαχοῦσα πρὸς αὐτὴν, καὶ τὴν οὐδὲν λελυπηκυῖαν, πολλάκις δὲ οὐδὲ ὀφθεῖσαν αὐτῇ ποτε, μυρίοις καθ' ἑκάστην ἡμέραν βάλλει σκώμμασι, καὶ διὰ τῶν ἐκείνης ἐκγόνων τὴν οὐκέτ' οὖσαν ἀμύνεται, καὶ τὸν ἄνδρα πολλάκις ὁπλίζει κατ' αὐτῶν, ὅταν αὐτὴ μηδὲν ἀνύῃ. ἀλλ' ὅμως ἅπαντα ταῦτα ῥᾷστα καὶ φορητὰ τοῖς ἀνθρώποις ἔδοξεν εἶναι, μόνον ἵνα μὴ τὴν ἀπὸ τῆς ἐπιθυμίας φέρειν ἀναγκάζωνται τυραννίδα. ἀλλ' οὐχ ἡ παρθένος πρὸς ταύτην ἰλιγγίασε τὴν παράταξιν, οὐδὲ ἔφυγε τὴν συμβολὴν τὴν οὕτως ἀφόρητον τοῖς πολλοῖς εἶναι δοκοῦσαν· ἀλλ' ἔστη γενναίως, καὶ τὴν ἀπὸ τῆς φύσεως ἀνεδέξατο μάχην. πῶς οὖν ἄν τις αὐτὴν κατ' ἀξίαν θαυμάσειεν, ὅταν οἱ μὲν ἄλλοι καὶ δευτέρων δέωνται γάμων, ἵνα μὴ κατακαίωνται· αὐτὴ δὲ μηδὲ ἑνὸς ἁψαμένη διαπαντός ἐστιν ἁγία καὶ ἄτρωτος*. διὰ ταῦτα, καὶ περὶ τούτων διὰ τοὺς ἀποκειμένους ἐν τοῖς οὐρανοῖς τῇ χηρείᾳ μισθοὺς ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα, ἔλεγε· καλὸν αὐτοῖς ἐστιν, ἐὰν μείνωσιν ὡς κἀγώ. οὐκ ἴσχυσας εἰς τὴν ἀνωτάτω κορυφὴν ἀναβῆναι; τῆς γοῦν μετ' ἐκείνην μὴ ἀποπέσῃς· τοσοῦτον ἡ παρθένος σου ἐχέτω πλέον, ὅσον τὴν μὲν οὐδὲ ἅπαξ ἐπιθυμία κατεπάλαισε· " σὲ δὲ κρατήσασα πρότερον οὐκ ἴσχυσε διαπαντὸς κατασχεῖν. καὶ σὺ μὲν μετὰ τὴν ἧτταν ἐνίκησας· ἐκείνη δὲ καθαρὰν ἥττης ἁπάσης ἔχει τὴν νίκην, καὶ τῷ τέλει συναπτομένη σοὶ κατὰ τὴν ἀρχὴν ὑπερέχει μόνον.

κεφ. λη. Διὰ τί τοῖς μὲν γεγαμηκόσι πολλὴν δίδωσι τὴν παραμυθίαν, τὴν δὲ παρθένον οὐκ ἀναπαύει τῶν πόνων.

Τοῖς μὲν οὖν γεγαμηκόσι πολλὴν δίδωσι τὴν παραμυθίαν, ὡς μηδὲ ἑκόντος θατέρου ἀποστερεῖν αὐτοὺς ἀλλήλων, μήτε τὴν ἐκ συμφωνίας γινομένην στέρησιν ἐπὶ πολὺ παράγειν· καὶ δεύτερον πάλιν ἐπέτρεψε γάμον, ἐὰν βούλωνται, ὑπὲρ τοῦ μὴ πυροῦσθαι. τοῖς δὲ παρθενευούσαις οὐδεμίαν τοιαύτην ἔδωκε παραμυθίαν· ἀλλὰ " τοὺς μὲν ἐπὶ τοσοῦτον ἀναπαύσας πάλιν λυπεῖ· τὴν δὲ οὐδὲ μικρὸν ἀναπνέουσαν, ἀλλὰ δι' ὅλου μαχομένην ἀφίησιν ἑστάναι διηνεκῶς, καὶ βάλλεσθαι ὑπὸ τῶν ἐπιθυμιῶν, καὶ οὐδὲ μικρὰς αὐτὴν λαβέσθαι δίδωσιν ἀναχωρῆσαι. Διὰ τί γὰρ οὐκ εἶπε καὶ πρὸς αὐτήν, Εἰ δὲ οὐκ ἐγκρατεύεται, γαμησάτω; ὅτι οὐδὲ πρὸς τὸν ἀθλητὴν εἴποι τις ἂν μετὰ τὸ ῥῖψαι τὸ ἱμάτιον, καὶ ἀλείψασθαι, καὶ εἰς τὸ στάδιον εἰσελθεῖν, καὶ καταπάσασθαι τὴν κόνιν, ἀπόστηθι καὶ φεῦγε τὸν ἀνταγωνιστήν· ἀλλ' ἀνάγκη λοιπὸν δυοῖν θάτερον, ἢ στεφανωθέντα, ἢ πεσόντα καὶ καταισχυνθέντα ἀπελθεῖν. Ἐν παιδοτριβείῳ μὲν γὰρ καὶ παλαίστρᾳ, ὅταν πρὸς τοὺς οἰκείους ἡ γυμνασία, καὶ τοῖς φίλοις ὡς ἐναντίοις συμπλέκεται, καὶ τοῦ πονεῖν, καὶ τοῦ μὴ πονεῖν αὐτός ἐστι κύριος· ὅταν δὲ ἀπογράψηται, καὶ συλλεγῇ τὸ θέατρον, καὶ ὁ ἀγωνοθέτης παρῇ, καὶ οἱ θεαταὶ καθέζωνται, καὶ εἰσάγηται ὁ ἀνταγωνιστὴς καὶ ἀντιπαρατάττηται, τὴν ἐξουσίαν αὐτὸν ὁ τῶν ἀγώνων περιῄρηται νόμος. Καὶ τῇ παρθένῳ τοίνυν, ἕως μὲν ἂν βουλεύοιτο πότερον δέοι γαμεῖν, ἢ μὴ γαμεῖν, ἀκίνδυνος ὁ γάμος· ἐπειδὰν δὲ ἕληται καὶ ἀπογράψηται, εἰσήγαγεν ἑαυτὴν εἰς τὸ στάδιον. Τίς οὖν τολμήσει, τοῦ θεάτρου συγκροτουμένου, καὶ θεωρούντων μὲν ἄνωθεν ἀγγέλων, ἀγωνοθετοῦντος δὲ τοῦ Χριστοῦ, μαινομένου δὲ τοῦ διαβόλου, καὶ τρίζοντος, καὶ συμπλεκομένου πρὸς τὴν πάλην, καὶ μέσου κατεχομένου, παρελθὼν εἰς μέσον εἰπεῖν, φεῦγε τὸν ἐχθρόν, ἔνδος τοῖς πόνοις, ἀπόστηθι τῆς λαβῆς, μὴ καταβάλῃς, μηδὲ ὑποσκελίσῃς τὸν ἀνταγωνιστήν, ἀλλὰ παραχώρει τῆς νίκης αὐτῷ; Καὶ τί λέγω πρὸς τὰς παρθένους; πρὸς τὰς χήρας οὐκ ἄν τις τολμήσειε ταύτην ῥῆξαι τὴν φωνήν, ἀλλ' ἀντὶ ταύτης ἐκείνην τὴν φοβεράν, ὅτι ἐὰν καταστρηνιάσωσι τοῦ Χριστοῦ, καὶ γαμῆσαι θελήσωσι, κρίμα ἔχουσιν, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν.

Καὶ μὴν αὐτός φησιν· ὅτι Λέγω τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐτοῖς ἐστιν ἐὰν μείνωσιν ὡς κἀγώ· εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν. Καὶ πάλιν, Ἐὰν κοιμηθῇ ὁ ἀνὴρ αὐτῆς, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ. Πῶς οὖν ἣν ἀφίησιν ἐλευθέραν, πάλιν κολάζει, καὶ ὃν ἐν Κυρίῳ φησὶν εἶναι γάμον, τοῦτον ὡς παρανόμως γινόμενον κατακρίνει; μὴ δείσῃς· οὐ τὸν αὐτόν, ἀλλ' ἕτερον. Ὥσπερ γὰρ λέγων, Ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτεν, οὐ περὶ τῆς ἀπολαξαμένης τὸν γάμον φησί (δῆλον γὰρ ἅπασιν, ὅτι αὕτη ἥμαρτε καὶ ἁμαρτίαν ἀφόρητον) ἀλλὰ περὶ τῆς ἀπειρογάμου μὲν ἔτι, οὔπω δὲ οὐδὲ τοῦτο, οὐδὲ ἐκεῖνο ψηφισαμένης, ἀλλ' ἐν μεταιχμίῳ τούτων ἑκατέρων μενούσης τῷ λογισμῷ· οὕτω καὶ χήραν ἐνταῦθα μὲν τὴν ἁπλῶς οὐκ ἔχουσαν ἄνδρα φησίν· οὔπω δὲ καὶ τῇ τῆς οἰκείας προαιρέσεως ψήφῳ προσδεδεμένην, ἀλλ' ἐλευθέραν οὖσαν καὶ τοῦτο ἑλέσθαι, κἀκεῖνο· ἐκεῖ δὲ τὴν οὐκέτι κυρίαν οὖσαν ἑτέρῳ πάλιν ὁμιλῆσαι νυμφίῳ, ἀλλ' εἰς τοὺς τῆς ἐγκρατείας ἐμβεβηκυῖαν ἀγῶνας. Ἔστι γὰρ καὶ χήραν εἶναι, καὶ μὴ καταλέγεσθαι εἰς τὸ τῶν χηρῶν ἀξίωμα, ὅταν μηδέπω ᾖ τοῦτο καταδεξαμένη. Διὸ καὶ αὐτός φησι· Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα. Τὴν μὲν γὰρ ἁπλῶς χήραν ἀφίησι γαμεῖν, εἰ βούλοιτο· τὴν δὲ ἐπαγγειλαμένην τῷ Θεῷ χηρεύειν διαπαντός, εἶτα γαμηθεῖσαν, καταδικάζει σφοδρῶς, ὅτι τὰς πρὸς τὸν Θεὸν συνθήκας ἐπάτησεν. Οὐ ταύταις οὖν, ἀλλ' ἐκείναις φησίν· Εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν· κρεῖττον γάρ ἐστι γαμῆσαι, ἢ πυροῦσθαι. Ὁρᾷς οὐδαμοῦ τὸν γάμον καθ' ἑαυτὸν θαυμαζόμενον, ἀλλὰ διὰ τὰς πορνείας, διὰ τοὺς πειρασμούς, διὰ τὴν ἀκρασίαν. Ἐκεῖ μὲν γὰρ ταῦτα ἅπαντα τίθησιν· ἐνταῦθα δέ, ἐπειδὴ σφόδρα αὐτοῦ καθήψατο τοῖς ὀνείδεσι, ῥήμασιν εὐφημοτέροις πάλιν τὸ αὐτὸ πρᾶγμα καλεῖ, ἐμπρησμὸν αὐτὸ καὶ πύρωσιν ὀνομάζων. Καὶ οὐδὲ ἐνταῦθα ἀνέσχετο μὴ πλήξας τὴν ἀκρασίαν παρελθεῖν. Οὐ γὰρ εἶπεν, Εἰ [γὰρ] βίαν τινὰ πάσχουσιν ὑπὸ τῆς ἐπιθυμίας, εἰ δὲ περιτρέπονται, εἰ δὲ μὴ δύνωνται· οὐδὲν τοιοῦτον, ὃ τῶν πασχόντων ἐστὶ καὶ συγγνώμης ἄξιον· ἀλλὰ τί; Εἰ δὲ οὐκ ἐγκρατεύονται, ὃ τῶν οὐκ ἐθελόντων ἐστὶν ἐνεργεῖν διὰ τὴν ῥᾳθυμίαν. Δείκνυσι γὰρ ὅτι κύριοι ὄντες τοῦ πράγματος, παρὰ τὸ μὴ βούλεσθαι πονεῖν οὐκ αἱροῦσιν. Ἀλλ' ὅμως οὐδὲ οὕτως αὐτοὺς κολάζει, οὐδὲ τιμωρίας ὑπευθύνους ποιεῖ, ἀλλ' ἐπαίνων ἀποστερήσας μόνον, μέχρι τοῦ διὰ τῶν ῥημάτων ψόγου τὴν σφοδρότητα ἐπιδείκνυται.

α. Τιμ. ε. ιβ.

κεφ. λθ.
Ποία χήρα καὶ ποίᾳ παρθένῳ ἐπιτρέπει γαμεῖν ὁ Παῦλος.

α. Κορ. ζ. κη.

α. Τιμ. ε. θ.

δείκνυται), παιδοποιίας μὲν οὐδαμοῦ μεμνημένος, τῆς εὐπροσώπου καὶ σεμνῆς αἰτίας τοῦ γάμου, πυρώσεως δὲ, καὶ ἀκρασίας, καὶ πορνείας, καὶ πείρας Σατανικῆς, καὶ ὑπὲρ τοῦ ταῦτα μὴ γίνεσθαι τὸ πρᾶγμα συγχωρῶν. καὶ τί τοῦτο, φησιν; ἕως γὰρ ἂν αὐτῆς τιμωρίας ἀπαλλάττῃ, πᾶσαν κατάγνωσιν καὶ πάντα ὀνείδη εὐκόλως οἴσομεν· μόνον ἐξέστω τρυφᾶν καὶ συνεχῶς ἀπολαύειν ἐπιθυμίας. τί οὖν, ὦ βέλτιστε, ἂν μηδὲ τρυφᾶν ἐξῇ, ὀνειδισμὸν καρπωσόμεθα μόνον; καὶ πῶς, φησιν, οὐκ ἐξέσται τρυφᾶν, τοῦ Παύλου λέγοντος· Εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν; ἀλλ' ἄκουε καὶ τὰ προσκείμενα τούτῳ. ἔμαθες ὅτι κρεῖττόν ἐστι γαμῆσαι, ἢ πυροῦσθαι, ἀπεδέξω τὸ ἡδὺ, ἐπῄνεσας τὴν συγχώρησιν, ἐθαύμασας τῆς συγκαταβάσεως τὸν ἀπόστολον· ἀλλὰ μὴ στῇς μέχρι τούτου, δέχου καὶ τὰ μετὰ ταῦτα. τοῦ γὰρ αὐτοῦ ἀμφότερα τὰ παραγγέλματα. τί οὖν μετὰ ταῦτά φησι; Τοῖς δὲ γεγαμηκόσι παραγγέλλω, οὐκ ἐγὼ, ἀλλ' ὁ Κύριος, γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι· ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω ἄγαμος, ἢ τῷ ἀνδρὶ καταλλαγήτω· καὶ ἄνδρα γυναῖκα μὴ ἀφιέναι.

α. Κορ. ζ. ι.

κεφ. μ. Ὅτι πολλὴ ἡ τοῦ γάμου δουλεία καὶ ἀπαραίτητος.

Τί οὖν, ἐὰν μὲν ὁ ἀνὴρ ἐπιεικὴς ᾖ, ἡ δὲ γυνὴ μοχθηρὰ, λοίδορος, λάλος, πολυτελὴς, τὸ κοινὸν τοῦτο πασῶν αὐτῶν νόσημα, ἑτέρων πλειόνων γέμουσα κακῶν; πῶς οἴσει τὴν καθημερινὴν ταύτην ἀηδίαν ἐκεῖνος ὁ δείλαιος, τὸν τῦφον, τὴν ἀναισχυντίαν; τί δαὶ, ἂν τοὐναντίον αὐτὴ μὲν ᾖ κοσμία καὶ ἥσυχος, ἐκεῖνος δὲ θρασὺς, ὑπεροπτικὸς, ὀργίλος, πολὺν μὲν ἀπὸ τῶν χρημάτων, πολὺν δὲ ἀπὸ τῆς δυναστείας ὄγκον περιβεβλημένος, καὶ τὴν ἐλευθέραν ὡς δούλην ἔχῃ, καὶ τῶν θεραπαινίδων μηδὲν ἄμεινον πρὸς αὐτὴν διακέηται; πῶς οἴσει τὴν τοσαύτην ἀνάγκην καὶ βίαν; τί δαὶ, ἂν συνεχῶς αὐτὴν ἀποστρέφηται, καὶ διαπαντὸς μένῃ τοῦτο ποιῶν; καρτέρει, φησὶ, πᾶσαν ταύτην τὴν δουλείαν. ὅταν γὰρ ἀποθάνῃ, τότε ἐλευθέρα ἔσῃ μόνον· ζῶντος δὲ, δυοῖν θάτερον ἀνάγκη, ἢ παιδαγωγεῖν αὐτὸν μετὰ πολλῆς τῆς σπουδῆς καὶ βελτίω ποιεῖν, ἢ, εἰ τοῦτο ἀδύνατον, φέρειν γενναίως τὸν ἀκήρυκτον πόλεμον καὶ τὴν ἄσπονδον μάχην. καὶ ἀνωτέρω μὲν ἔλεγε, μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου· ἐνταῦθα δὲ χωρισθεῖσαν αὐτὴν καὶ ἄκουσαν ἐγκρατεύεσθαι κελεύει λοιπόν. Μενέτω γάρ, φησιν, ἄγαμος, ἢ τῷ ἀνδρὶ καταλλαγήτω. ὁρᾷς αὐτὴν ἐν μέσῳ δυοῖν ἀπειλημμένην πολέμοιν; ἢ γὰρ τὴν ἀπὸ τῆς ἐπιθυμίας βίαν χρὴ καρτερεῖν, ἢ τοῦτο μὴ βουλομένην, κολακεύειν τὸν ὑβριστὴν, καὶ παρέχειν ἑαυτὴν ἐκείνῳ πρὸς ὅπερ ἂν βούληται, εἴτε πληγὰς ἐντεῖναι, εἴτε λοιδορίαις πλῦναι, εἴτε οἰκετῶν ὑπεροψίᾳ παραδοῦναι, εἴτε ἕτερόν τι τοιοῦτον. πολλαὶ γὰρ ὁδοὶ τοῖς ἀνδράσιν ἐπινενόηνται, ὅταν κολάζειν βούλωνται τὰς ἑαυτῶν γυναῖκας. εἰ δὲ ταῦτα μὴ φέροι, τὴν ἐγκράτειαν ἀσκεῖν χρὴ τὴν ἄκαρπον· ἄκαρπον δὲ λέγω, ἐπειδὴ μὴ τὴν αὐτῇ προσήκουσαν ὑπόσχεσιν ἔχει. οὐ γὰρ δι' ἁγιωσύνης ἐπιθυμίαν, ἀλλὰ διὰ τὴν πρὸς τὸν ἄνδρα ὀργὴν γίνεται. μενέτω γάρ, φησιν, ἄγαμος, ἢ τῷ ἀνδρὶ καταλλαγήτω. τί οὖν ἂν μηδέποτε βούληται καταλλαγῆναι, φησιν; ἔχεις δευτέραν λύσιν καὶ ἀπαλλαγήν. τίνα ταύτην; ἀνάμενε τὸν τούτου θάνατον. ὥσπερ γὰρ τῇ παρθένῳ γαμεῖσθαι οὐδέποτε ἔξεστι, διὰ τὸ ζῆν αὐτῆς ἀεὶ τὸν νυμφίον καὶ ἀθάνατον εἶναι· οὕτω τῇ γεγαμημένῃ τότε μόνον ἔξεστιν, ὅταν ὁ ἀνὴρ ἀποθάνῃ. εἰ γὰρ ἐξῆν καὶ ζῶντος ἀπὸ τούτου πρὸς ἕτερον, καὶ πάλιν ἀπ' ἐκείνου πρὸς ἄλλον μεταπηδᾶν, τί γάμων ἔδει λοιπὸν, ταῖς ἀλλήλων γυναιξὶν ἀδιακρίτως τῶν ἀνδρῶν κεχρημένων, καὶ πάσαις ἁπλῶς ἀναμεμιγμένων ἁπάντων; πῶς δὲ οὐκ ἂν καὶ πρὸς τὸν συνοικοῦντα διεφθάρη ἡ διάθεσις, τήμερον μὲν τούτου, αὔριον δὲ ἐκείνου, καὶ πάλιν ἄλλου τῇ αὐτῶν συζώντων γυναικί; δικαίως οὖν ὁ Κύριος αὐτὸ μοιχείαν ἐκάλεσε.

α. Κορ. ζ. ια.

κεφ. μα. Διὰ τί τοῖς Ἰουδαίοις συνεχώρησε διδόναι ἀποστάσιον ὁ Θεός. Δευτ. κδ. α.

Πῶς οὖν Ἰουδαίοις τοῦτο συνεχώρησεν; * ἵνα μὴ πολεμῶσιν ἀλλήλοις, ἵνα μὴ συγγενικῶν αἱμάτων τὰς ἑαυτῶν πληρώσωσιν οἰκίας. τί γὰρ ἦν ἄμεινον, εἰπέ μοι, τὴν μισηθεῖσαν ἐκβληθῆναι ἔξω, ἢ σφαγῆναι ἔνδον; τοῦτο γὰρ ἂν ἐποίησαν, εἴπερ μὴ ἐξῆν αὐτοῖς ἐκβάλλειν. διὰ τοῦτό φησιν, Εἰ μισεῖς, ἐξαπόστειλον. ὅταν δὲ τοῖς ἐπιεικέσι διαλέγηται, καὶ οἷς μηδὲ ὀργίζεσθαι συγχωρεῖ, φησιν

ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω ἄγαμος. ὁρᾷς τὴν ἀνάγκην, τὴν ἀπαραίτητον δουλείαν, τὸν
ἑκατέροις περιβάλλονται δεσμόν; δεσμὸς γὰρ ὄντως ὁ γάμος, οὐ διὰ τὸν τῶν φροντίδων ὄχλον
μόνον, οὐδὲ διὰ τὰς λύπας τὰς καθημερινάς· ἀλλ' ὅτι παντὸς οἰκέτου χαλεπώτερον
ἀλλήλοις ὑποκεῖσθαι τοὺς γεγαμηκότας καταναγκάζει. Κρατείτω, φησὶν, ὁ ἀνὴρ τῆς γυναικός. Γεν. γ.
καὶ τί τῆς δεσποτείας ταύτης τὸ κέρδος; πάλιν γὰρ αὐτὸν δοῦλον τῆς ″κρατουμένης
ποιεῖ, καινήν τινα καὶ παράδοξον δουλείας ἐπινοήσας ἀντίδοσιν. καὶ καθάπερ οἱ ″πόδες τῶν
φυγάδων, οἱ καὶ καθ' ἑαυτοὺς δεδεμένοι, καὶ πάλιν ἀλλήλοις συνδεδεμένοι διά τινος ἁλύσεως
μικρᾶς ἐξ ἑκατέρας ἀρχῆς ταῖς πέδαις προσηλωμένοι, οὐκ ἂν δύναιντο μετ' ἐξουσίας
βαδίζειν, τῷ τὸν ἕτερον ἀναγκάζεσθαι ἕπεσθαι θατέρῳ· οὕτω καὶ αἱ τῶν γεγαμηκότων ψυχαὶ
ἔχουσι μὲν καὶ ἰδίας φροντίδας, ἔχουσι δὲ καὶ ἑτέραν ἀνάγκην τὴν ἐκ τοῦ πρὸς ἀλλήλους
συνδέσμου πάσης ἁλύσεως χαλεπωτέραν ἄγχουσαν, καὶ τὴν ἀμφοτέρων ἐλευθερίαν ἀφαιρουμένην,
τῷ μὴ καθάπαξ ἑνὶ παραδεδωκέναι τὴν ἀρχὴν, ἀλλ' εἰς ἑκατέρους αὐτῆς διανεμῆσθαι
τὴν ἐξουσίαν. ποῦ τοίνυν εἰσὶν οἱ διὰ τὴν ἐκ τῆς ἡδονῆς παραμυθίαν πᾶσαν ἕτοιμοι
κατάγνωσιν ἐνεγκεῖν; οὐδὲ γὰρ μικρὸν ὑποτέμνεται τῆς ἡδονῆς μέρος, ἐν ταῖς πρὸς ἀλλήλους
ὀργαῖς καὶ ἀπεχθείαις πολλάκις ἀναλισκομένου χρόνου μακροῦ. καὶ ἡ δουλεία δὲ αὕτη,
τὸ, τὴν ἑτέρου μοχθηρίαν ἀναγκάζεσθαι καὶ ἄκοντα θάτερον φέρειν, ἅπασαν ἱκανὴ συσκιάσαι
τρυφήν. διὰ τοῦτο ὁ μακάριος ἐκεῖνος πρῶτον μὲν δι' ἐντρεπτικῶν ῥημάτων ἀνέστελλε τὴν
πρὸς τὴν ἐπιθυμίαν φοράν, διὰ τὰς πορνείας λέγων, καὶ ἀκρασίας, καὶ πυρώσεις. ἐπειδὴ δὲ
συνεῖδε βραχὺ ὄντα τοῖς πολλοῖς τὸν τῆς καταγνώσεως λόγον, τὸ τούτου πάλιν ἰσχυρότερον
πρὸς ἀποτροπὴν τίθησι, δι' ὃ καὶ οἱ μαθηταὶ εἰπεῖν ἠναγκάσθησαν, Οὐ συμφέρει γαμῆσαι. Ματθ. ιθ΄. ι.
τοῦτο δέ ἐστι τὸ μηδένα ἑαυτοῦ κύριον εἶναι τῶν γεγαμηκότων. καὶ οὐκέτι τοῦτο ἐν παραινέσεως
τάξει καὶ συμβουλῆς εἰσηγεῖται, ἀλλ' ἐν ἐπιτάγματος καὶ ἐντολῆς ἀνάγκη. τὸ μὲν γὰρ γαμεῖν
ἢ μὴ γαμεῖν, ἐφ' ἡμῖν· τὰ δὲ μετὰ τὸν γάμον, οὐκέτι ἐφ' ἡμῖν, ἀλλὰ καὶ ἑκόντας καὶ ἄκοντας
φέρειν χρὴ τὴν δουλείαν. τί δήποτε; ὅτι οὐκ ἀγνοοῦντες ταύτην εἱλόμεθα τὴν ἀρχὴν, ἀλλὰ
καὶ σφόδρα αὐτῆς ἐπιστάμενοι τὰ δικαιώματα καὶ τοὺς νόμους, ἑκόντες ἑαυτοὺς ″ὑποβαλλόμενοι
τῷ ζυγῷ. μετὰ δὲ ταῦτα περὶ τῶν ταῖς ἀπίστοις συνοικούντων διαλεχθεὶς, καὶ πᾶσιν ἀκριβῶς
τοῖς περὶ τοῦ γάμου νόμοις ἐπεξελθὼν, καὶ τὸν περὶ τῶν οἰκετῶν λόγον παρεμβαλὼν, καὶ
παραμυθησάμενος αὐτοὺς ἱκανῶς μὴ παρελαττοῦσθαι τῇ δουλείᾳ ταύτῃ τὴν εὐγένειαν αὐτοῖς
τὴν πνευματικὴν, μέτεισι λοιπὸν ἐπὶ τὸν τῆς παρθενίας λόγον, ὃν πάλαι μὲν ὤδινε καὶ
κατασπεῖραι ἔσπευδεν, ἀπέτεκε δὲ νῦν, οὐδὲ ἐν τοῖς περὶ τοῦ γάμου λόγοις ἀποσιωπῆσαι καρτερήσας
αὐτόν. ἐν βραχεῖ μὲν γὰρ καὶ διεσπαρμένως, ἐνύφηνε δὲ αὐτὸν ὅμως κἀκείνῃ τῇ παραινέσει·
καὶ τῇ καλλίστῃ ταύτῃ μεθόδῳ προγυμνάσας ″ἡμῶν τὰς ἀκοὰς, καὶ τὴν διάνοιαν
προλεάνας, εἴσοδον ἀρίστην τῷ λόγῳ παρασκευάζει. μετὰ γοῦν τὴν πρὸς τοὺς οἰκέτας
παραίνεσιν (Τιμῆς γὰρ, φησὶν, ἠγοράσθητε· μὴ γίνεσθε δοῦλοι ἀνθρώπων) τῆς δεσποτικῆς α.Κορ. ζ. κγ.
ἡμᾶς ἀναμνήσας εὐεργεσίας, καὶ τούτῳ πάντων τὰς διανοίας ἀναστήσας, καὶ πρὸς τὸν οὐρανὸν
″ἄρας, οὕτω τοὺς περὶ τῆς παρθενίας ἐμβάλλει λόγους, ταῦτα λέγων τὰ ῥήματα· Περὶ δὲ α.Κορ. ζ. κε.
τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω, γνώμην δὲ δίδωμι ὡς ἠλεημένος ὑπὸ Κυρίου
πιστὸς εἶναι. καίτοιγε καὶ ἐπὶ τῶν πιστῶν τῶν ταῖς ἀπίστοις συνεζευγμένων οὐκ ἔχων ἐπιταγὴν,
μετὰ πολλῆς τῆς ἐξουσίας ″ἐνομοθέτει οὑτωσὶ γράφων· Τοῖς δὲ λοιποῖς ἐγὼ λέγω, οὐχ ὁ α.Κορ. ζ. ιβ.
Κύριος· Εἴ τις ἀδελφὸς γυναῖκα ἔχει ἄπιστον, καὶ αὐτὴ συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω
αὐτήν. τί οὖν οὐχὶ καὶ ἐπὶ τῶν παρθένων τὸ αὐτὸ ποιεῖ ἀποφαινόμενος; ὅτι περὶ τούτου
φανερῶς ὁ Χριστὸς διετάξατο, κωλύων εἰς ἐπιτάγματος ἀνάγκην ἐλθεῖν τὸ πρᾶγμα.
τὸ γάρ, ὁ δυνάμενος χωρεῖν, χωρείτω, κύριον τὸν ἀκροατὴν τῆς αἱρέσεως ποιοῦντός ἐστι.
περὶ μὲν οὖν τῆς ἐγκρατείας διαλεγόμενος, Θέλω, φησὶ, πάντας ἀνθρώπους εἶναι ὡς καὶ α.Κορ. ζ. ζ΄.

ἐμαυτὸν ἐν ἐγκρατείᾳ. καὶ πάλιν· Λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐτοῖς ἐὰν μείνωσιν ὡς κἀγώ. ἐν δὲ τοῖς περὶ τῆς παρθενίας λόγοις οὐδαμοῦ παρήγαγεν ἑαυτόν. διὰ τοῦτο καὶ σφόδρα ὑφειμένως καὶ μετὰ πολλῆς τῆς ὑποστολῆς διαλέγεται. οὐ γὰρ αὐτῷ τὸ πρᾶγμα κατώρθωτο. ἐπιταγὴν οὐκ ἔχω, φησί. πρότερον τὴν αἵρεσιν θεὶς, καὶ τὸν ἀκροατὴν εὐγνώμονα καταστήσας, οὕτως ἐπάγει τὴν συμβουλήν. ἐπειδὴ γὰρ τὸ τῆς παρθενίας ὄνομα πολὺ εὐθέως ἐμφαίνει τὸν πόνον λεχθὲν, διὰ τοῦτο οὐκ εὐθέως ἐπὶ τὴν παραίνεσιν ἔδραμεν, ἀλλὰ θεραπεύσας πρότερον τῇ* αἱρέσει τὸν μαθητὴν, εὔνουν τε καὶ πιθανὸν αὐτοῦ κατασκευάσας τὴν ψυχὴν, οὕτω ποιεῖται τὴν εἰσήγησιν. ἤκουσας παρθενίαν, ὄνομα πολλῶν πόνων καὶ ἱδρώτων; μὴ δείσῃς· οὐκ ἔστι τὸ πρᾶγμα ἐπίταγμα, οὐδὲ ἐντολῆς ἀνάγκην ἐπάγεται, ἀλλὰ τοὺς μὲν ἑκόντι καὶ μετὰ προαιρέσεως δεχομένους αὐτὴν τοῖς οἰκείοις ἀμείβεται καλοῖς, τὸν φαιδρὸν καὶ εὐανθῆ στέφανον περιτιθεῖσα αὐτῶν τῇ κεφαλῇ· τοὺς δὲ παραιτουμένους αὐτὴν καὶ οὐκ ἐθέλοντας προσθέσθαι, οὔτε κολάζει, οὔτε ἄκοντας ἀναγκάζει τοῦτο ποιεῖν. οὐ ταύτῃ δὲ μόνον ἀνεπαχθῆ τὸν λόγον εἰργάσατο καὶ ἡδὺν, ἀλλὰ καὶ τῷ τὴν χάριν τοῦ πράγματος οὐκ αὐτοῦ φῆσαι εἶναι, ἀλλὰ τοῦ Χριστοῦ. οὐ γὰρ εἶπε· περὶ δὲ τῶν παρθένων οὐκ ἐπιτάσσω, ἀλλ', ἐπιταγὴν οὐκ ἔχω· ὡς ἂν εἰ ἔλεγεν· εἰ μὲν ἐξ ἀνθρωπίνων λογισμῶν ἐγὼ κινούμενος ταῦτα παρῄνουν, οὐκ ἔδει θαρρεῖν· ἐπειδὴ δὲ τῷ Θεῷ τοῦτο ἔδοξεν, ἀσφαλὲς τὸ τῆς ἀδείας ἐνέχυρον. τὴν μὲν ἐξουσίαν τοῦ τὰ τοιαῦτα ἐπιτάττειν παρῄρημαι· εἰ δὲ βούλεσθε ἀκούειν ὡς ὁμοδούλου, γνώμην δίδωμί, φησιν, ὡς ἠλεημένος ὑπὸ Κυρίου πιστὸς εἶναι. ἄξιον δὲ ἐνταῦθα θαυμάσαι τοῦ μακαρίου τὴν πολλὴν εὐμηχανίαν καὶ τὴν σύνεσιν, καὶ πῶς ἐν μέσῳ δυοῖν ἀναγκαίων καὶ ἐναντίων ἀπειλημμένος, τοῦ τε συστῆσαι τὸ ἑαυτοῦ πρόσωπον, ὥστε εὐπαράδεκτον γενέσθαι τὴν συμβουλὴν, καὶ τοῦ μηδὲν μέγα φθέγξασθαι περὶ ἑαυτοῦ, διὰ τὸ τῆς ἀρετῆς ταύτης γεγονέναι ἐκτὸς, ἀμφότερα ἐν βραχεῖ κατεσκεύασε. τῷ μὲν γὰρ εἰπεῖν, ὡς ἠλεημένος, συνίστησί πως ἑαυτόν· τῷ δὲ μὴ ἀπὸ τοῦ λαμπροτέρου τοῦτο ποιῆσαι μέρους, ταπεινοῖ καὶ συστέλλει πάλιν.

κεφ. μβ. Περὶ τῆς τοῦ Παύλου ταπεινοφροσύνης.

Οὐ γὰρ εἶπε, δίδωμι γνώμην, ὡς πιστευθεὶς τὸ εὐαγγέλιον, ὡς ἀξιωθεὶς εἶναι κῆρυξ τῶν ἐθνῶν, ὡς προστασίαν τὴν ὑμετέραν ἐγχειρισθεὶς, ὡς διδάσκαλος καὶ καθηγητής· ἀλλὰ πῶς; ὡς ἠλεημένος, φησί. καὶ τὸ ἔλαττον θεὶς (ἔλαττον γὰρ τοῦ διδάσκαλον εἶναι τῶν πιστῶν τὸ μόνον εἶναι πιστὸν) καὶ ἑτέραν ἐπινοεῖ πάλιν ταπείνωσιν. ποίαν δὲ ταύτην; οὐκ εἶπεν, ὡς γενόμενος πιστὸς, ἀλλ', ὡς ἠλεημένος εἶναι πιστός. μὴ γὰρ τὴν ἀποστολὴν, καὶ τὸ κήρυγμα, καὶ τὴν διδασκαλίαν μόνον νομίσητε τῆς δωρεᾶς εἶναι τοῦ Θεοῦ. καὶ γὰρ αὐτὸ τὸ πιστεῦσαι ἀπὸ τοῦ ἐλέους μοι γέγονεν ἐκείνου. οὐ γὰρ ἐπειδὴ ἄξιος ἤμην, φησὶ, κατηξιώθην τῆς πίστεως, ἀλλ' ἐπειδὴ ἠλεήθην μόνον. ὁ δὲ ἔλεος χάριτός ἐστιν, οὐ τοῦ κατ' ἀξίαν. ὥστε εἰ μὴ ἦν σφόδρα εὔσπλαγχνος ὁ Θεὸς, οὐ μόνον ἀπόστολος, ἀλλ' οὔτε πιστὸς ἠδυνήθην ἂν γενέσθαι ποτέ. εἶδες εὐγνωμοσύνην οἰκέτου καὶ συντετριμμένην καρδίαν, πῶς οὐδὲν πλέον ἑαυτῷ δίδωσι τῶν λοιπῶν, ἀλλὰ καὶ τοῦτο, ὃ κοινὸν αὐτῷ καὶ τοῖς μαθηταῖς ἦν, τὸ τῆς πίστεως, οὐκ αὐτοῦ φησιν εἶναι, ἀλλὰ τοῦ ἐλέους καὶ τῆς χάριτος τοῦ Θεοῦ, ταὐτὸν ἐμφαίνων διὰ τῶν ῥημάτων τούτων, οἷον εἰ ἔλεγε· μὴ ἀπαξιώσητε συμβουλὴν δέξασθαι παρ' ἐμοῦ. οὐδὲ γὰρ ὁ Θεὸς ἀπηξίωσέ με τοῦ ἐλέους τοῦ παρ' αὐτοῦ· ἄλλως τε * καὶ γνώμη τὸ πρᾶγμά ἐστιν, οὐκ ἐπίταγμα. συμβουλεύω γὰρ, οὐ νομοθετῶ. τὸ δὲ τὰ παραστάντα ἑκάστῳ συμφέροντα φέρειν εἰς μέσον καὶ προτιθέναι οὐδεὶς κωλύσει νόμος, καὶ μάλιστα, ὅταν ἐξ αἰτήσεως τοῦτο γίνηται τῶν ἀκροατῶν, καθάπερ καὶ ἐφ' ὑμῶν. νομίζω οὖν, φησι, τοῦτο καλὸν ὑπάρχειν. ὁρᾷς πάλιν ὑφειμένον τὸν λόγον καὶ πάσης ἔρημον ἐξουσίας. καίτοιγε ἐνῆν οὕτως εἰπεῖν· ἐπειδὴ ὁ Κύριος οὐκ ἐπέταξε παρθενίαν, διὰ τοῦτο οὐδὲ ἐγώ· συμβουλεύω δὲ ὑμῖν καὶ παραινῶ τοῦτο ζηλοῦν. καὶ γὰρ ἀπόστολος ὑμῶν εἰμι. καθάπερ καὶ μετὰ ταῦτα διαλεγόμενος αὐτοῖς ἔλεγεν· α. Κορ. θ. β. Εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμι. Ἀλλ' ἐνταῦθα οὐδὲν τούτων φθέγγεται, ἀλλὰ μετὰ πολλῆς φειδοῦς τοῖς ῥήμασι κέχρηται, ἀντὶ μὲν τοῦ, συμβουλεύω, γνώμην δίδωμι, λέγων· ἀντὶ δὲ τοῦ, ὡς διδάσκαλος, ὡς ἠλεημένος ὑπὸ Κυρίου πιστὸς εἶναι. Καὶ ὥσπερ οὐδὲ τούτων ἀρκούντων πρὸς τὸ συνεσταλμένον ποιῆσαι τὸν λόγον, ἀρξάμενος τῆς συμβουλῆς ὑποτέμνεται πάλιν τὴν ἐξουσίαν, οὐχ ἁπλῶς ἀποφαινόμενος, ἀλλὰ καὶ αἰτίαν προστιθείς. Νομίζω γὰρ τοῦτο καλὸν ὑπάρχειν, φησὶ, διὰ τὴν ἐνεστῶσαν ἀνάγκην. Καίτοιγε ὅτε περὶ ἐγκρατείας διελέγετο, οὔτε τό, νομίζω, τέθεικεν, οὔτε αἰτίαν τινά, ἀλλ' ἁπλῶς, καλὸν αὐτοῖς ἐστιν ἐὰν μείνωσιν ὡς κἀγώ· ἐνταῦθα δὲ, νομίζω εἶναι καλόν. Τοῦτο δὲ ποιεῖ οὐκ ἀμφιβάλλων περὶ τοῦ πράγματος (ἄπαγε) ἀλλὰ τῇ τῶν ἀκουόντων κρίσει τὸ πᾶν ἐπιτρέψαι βουλόμενος. Τοιοῦτον γὰρ ὁ σύμβουλος· οὐκ αὐτὸς τοῖς λεγομένοις ψηφίζεται, ἀλλὰ τὸ πᾶν ὑπὸ τὴν κρίσιν ἀφίησι κεῖσθαι τῶν ἀκροατῶν.

α. Κορ. ζ. κς.

Ποίαν δὲ καὶ ἀνάγκην ἐνταῦθά φησιν; ἆρα τὴν ἀπὸ τῆς φύσεως; οὐδαμῶς. Πρῶτον μὲν γὰρ εἰ ταύτην ἔλεγε, τοὐναντίον ἂν οὗπερ ἐβούλετο κατεσκεύασε μεμνημένος αὐτῆς. Οἱ γὰρ βουλόμενοι γαμεῖν, ταύτην ἄνω καὶ κάτω στρέφουσι. Δεύτερον δὲ, οὐκ ἂν αὐτὴν ἐνεστῶσαν ἐκάλεσεν. Οὐ γὰρ νῦν πρῶτον, ἀλλ' ἄνωθεν εἰς τὸ τῶν ἀνθρώπων κατεφυτεύθη γένος. Καὶ πάλαι μὲν χαλεπωτέρα καὶ ἀτιθάσευτος ἦν· παραγινομένου δὲ τοῦ Χριστοῦ, καὶ τῆς ἀρετῆς ἐπιδοθείσης, εὐκαταγώνιστος γέγονεν. Ὥστε οὐ περὶ ταύτης ὁ λόγος αὐτῷ, ἀλλ' ἑτέραν τινὰ αἰνίττεται πολύτροπον καὶ πολυειδῆ. Τίς οὖν ἐστιν αὕτη; ἡ τῶν ἐν τῷ βίῳ πραγμάτων διαστροφή. Τοσαύτη γάρ ἐστιν ἡ σύγχυσις, τοσαύτη τῶν φροντίδων ἡ τυραννίς, τοσοῦτος ὁ τῶν περιστάσεων ὄχλος, ὡς καὶ ἄκοντα πολλάκις ἀναγκάζεσθαι τὸν γεγαμηκότα ἁμαρτάνειν καὶ πλημμελεῖν.

κεφ. μγ.
Ποίαν ὁ Παῦλος ἐνεστῶσαν λέγει ἀνάγκην.

Τὸ μὲν γὰρ παλαιὸν οὐ τοσοῦτον ἡμῖν ἀρετῆς προὔκειτο μέτρον, ἀλλὰ καὶ ἀμύνασθαι τὸν ἀδικοῦντα, καὶ ἀντιλοιδορήσασθαι τῷ λοιδορουμένῳ, καὶ χρημάτων ἐπιμελήσασθαι ἐξῆν, καὶ εὐορκοῦντα ὀμνύναι, καὶ ὀφθαλμὸν ἐξορύξαι ἀντὶ ὀφθαλμοῦ, καὶ μισῆσαι τὸν ἐχθρόν· καὶ οὔτε τρυφᾶν, οὔτε ὀργίζεσθαι, οὔτε γυναῖκα τὴν μὲν ἐκβάλλειν, τὴν δὲ ἀντεισάγειν κεκώλυτο. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ δύο κατὰ ταὐτὸν ὁμοῦ γυναῖκας ἔχειν ὁ νόμος ἐπέτρεπε, καὶ πολλὴ καὶ ἐν τούτοις καὶ ἐν τοῖς ἄλλοις ἅπασιν ἡ συγκατάβασις ἦν. Μετὰ δὲ τὴν τοῦ Χριστοῦ παρουσίαν πολλῷ στενωτέρα γέγονεν ἡ ὁδός· οὐ μόνον τῷ τὴν ἄδειαν τῶν εἰρημένων ἁπάντων τὴν ἄφατον ταύτην καὶ πολλὴν περικοπῆναι τῆς ἐξουσίας τῆς ἡμετέρας, ἀλλὰ καὶ τῷ τὴν πολλὰ πολλάκις ἀναπείθουσαν καὶ ἀναγκάζουσαν ἡμᾶς καὶ ἄκοντας ἁμαρτάνειν γυναῖκα, ταύτην ἔνδον ἔχειν διαπαντός, ἢ μοιχείας ἁλίσκεσθαι βουλόμενον ἐκβάλλειν. Οὐ ταύτῃ δὲ μόνον ἡμῖν ἡ ἀρετὴ δυσκατόρθωτος, ἀλλ' ὅτι, κἂν ἀνεκτὸν ἦθος ἔχῃ ἡ συνοικοῦσα, ὁ δι' αὐτὴν καὶ τὰ ἔκγονα τὰ ἐκείνης περιρρέων ἡμᾶς φροντίδων ὄχλος οὐδὲ μικρὸν ἀναβλέψαι πρὸς τὸν οὐρανὸν συγχωρεῖ, πάντοθεν, ὥσπερ τις ἴλιγγος, περιστρέφων καὶ βαπτίζων ἡμῶν τὴν ψυχήν. Ὅρα γάρ· βούλεται τὸν τῶν ἰδιωτῶν βίον τὸν ἀκίνδυνον τοῦτον καὶ ἀπράγμονα ζῆν ὁ ἀνήρ. Ἀλλ' ὅταν ἴδῃ παῖδας προεστῶτας, καὶ γυναῖκα δαπάνης δεομένην πολλῆς, καὶ ἄκων εἰς τὸν τῶν πολιτικῶν πραγμάτων ἔρριψεν ἑαυτὸν κλύδωνα· ἐκεῖ δὲ ἐμπεσόντα λοιπὸν οὐδέ ἐστιν εἰπεῖν, ὅσα ἁμαρτάνειν ἀνάγκη ὀργιζόμενον*, ὀμνύοντα, λοιδορούμενον, ἀμυνόμενον, ὑποκρινόμενον, πολλὰ πρὸς χάριν, πολλὰ πρὸς ἀπέχθειαν ποιοῦντα. Πῶς γὰρ ἔνι στρεφόμενον ἐν ζάλῃ τοσαύτῃ, καὶ βουλόμενον εὐδοκιμεῖν ἐν αὐτῇ, μὴ πολὺν τὸν ἀπὸ τῶν ἁμαρτημάτων περιστρίβεσθαι ῥύπον; Καὶ τὰ κατὰ τὴν οἰκίαν δὲ εἴ τις ἐξετάσειε, τῆς αὐτῆς καὶ πλείονος δυσκολίας εὑρήσει γέμοντα διὰ τὴν γυναῖκα. Πολλὰ γὰρ ἀνάγκη μεριμνᾶν καὶ ὑπὲρ πολλῶν, ὧν οὐκ ἂν ἐδεήθη καθ' ἑαυτὸν [ὢν] ὁ ἀνήρ. Καὶ ταῦτα μὲν ὅταν κοσμία τις ᾖ καὶ ἐπιεικὴς ἡ γυνή· ἂν δὲ μοχθηρὰ καὶ ἐπαχθὴς καὶ δυσανάσχετος, οὐκέτι μόνον ἀνάγκην τὸ πρᾶγμα καλέσομεν,

κεφ. μδ.
Ὅτι εὐκολώτερον διὰ παρθενίας, ἢ διὰ γάμου βασιλείας τυχεῖν.

ιβρίζοντα,

δυσκά-
λος,

καλέσομεν, ἀλλὰ καὶ τιμωρίαν καὶ κόλασιν. πῶς οὖν δυνήσεται τὴν ἐπὶ τὸν οὐρανὸν βαδίζειν ὁδόν, τὴν εὔλυτον καὶ κούφων δεομένην ποδῶν, καὶ ψυχῆς εὐζώνου καὶ εὐσταλοῦς, τοσοῦτον ἔχων ἐπικείμενον πραγμάτων ὄγκον, τοσαύταις συνδεδεμένος πέδαις, διὰ τοιαύτης ἁλύσεως ἑλκόμενος κάτω συνεχῶς, τῆς πονηρίας λέγω τῆς γυναικός;

κεφ. με. Ὅτι τοῖς δυσκολίας ἐπινοοῦσι περιττὰς οὐδεὶς ὑπὲρ τούτου κεῖται μισθός.

Ἀλλὰ τίς ὁ σοφὸς τῶν πολλῶν λόγος, ὅταν ταῦτα ἅπαντα αὖθις διεξέλθωμεν; Οὐκοῦν πλείονος ἄξιος ἔσται τιμῆς, φησιν, ὁ μετὰ τοσαύτης ἀνάγκης κατορθῶν. τίνος ἕνεκεν, ὦ βέλτιστε, καὶ διὰ τί; ὅτι πλείονα μόχθον, φησίν, ὑφίσταται ἀπὸ τοῦ γάμου. καὶ τίς αὐτὸν ἀναδέξασθαι φορτίον τοσοῦτον ἠνάγκαζεν; εἰ μὲν γὰρ ἐντολὴν ἐπλήρου γαμῶν, καὶ νόμου παράβασις ἦν τὸ μὴ γαμεῖν, εὐπρόσωπος οὗτος ὁ λόγος ἦν. εἰ δὲ κύριος ὢν τοῦ μὴ τὸν ζυγὸν ὑπεισελθεῖν τοῦ γάμου, ἑκών, ἀναγκάζοντος οὐδενός, δυσκολίας ἑαυτῷ περιθεῖναι τοσαύτας ἠθέλησεν, ὥστε ἐπαχθέστερον αὐτῷ γενέσθαι τῆς ἀρετῆς τὸν ἀγῶνα, οὐδὲν τοῦτο πρὸς τὸν ἀγωνοθέτην. αὐτὸς γὰρ ἓν μόνον ἐπέταξεν ἀνύσαι, τὸν κατὰ τοῦ διαβόλου πόλεμον, καὶ τὴν κατὰ τῆς κακίας νίκην [λαβεῖν]. εἴτε [δὲ] γαμῶν καὶ τρυφῶν καὶ πολλὰ μεριμνῶν τις ἀνύοι τοῦτο, εἴτε ἀσκούμενος καὶ ταλαιπωρῶν καὶ μετὰ τοῦ μηδὲν ἕτερον μεριμνᾶν, οὐδὲν αὐτῷ τούτου μέλει λοιπόν. τὸν μὲν γὰρ τρόπον τῆς νίκης, καὶ τὴν ἐπὶ τὸ τρόπαιον φέρουσαν ὁδὸν αὐτὸς ἐκείνην εἶναί φησι, τὴν πάντων ἀπηλλαγμένην τῶν βιωτικῶν. ἐπεὶ δὲ σὺ μετὰ γυναικὸς καὶ παίδων καὶ τῶν τούτοις ἐπισυρομένων πραγμάτων στρατεύεσθαι βούλει καὶ πολεμεῖν, ὡς τὰ αὐτὰ ἀνύσων ἐκείνοις τοῖς οὐδενὶ τούτων ἐμπεπλεγμένοις, καὶ πλείονος ἀπολαύσων διὰ τοῦτο θαύματος, νῦν μὲν ἴσως καὶ τῦφον ἡμῖν ἐγκαλέσεις πολύν, ἂν εἴπωμεν ὅτι οὐ δυνατόν σε πρὸς τὴν αὐτὴν ἐκείνοις φθάσαι κορυφήν. τὸ δὲ τέλος καὶ ὁ τῶν στεφάνων καιρὸς τότε σε πείσει καλῶς, ὅτι πολλῷ βελτίων ἀσφάλεια φιλοτιμίας κενῆς, καὶ κρεῖττον τῷ Χριστῷ πείθεσθαι, ἢ τῇ τῶν οἰκείων ματαιότητι λογισμῶν. ὁ μὲν γὰρ Χριστὸς οὐδὲ τὸ τοῖς οἰκείοις ἀποτάξασθαι πᾶσι πρὸς ἀρετὴν ἡμῖν φησιν ἀρκεῖν, ἂν μὴ καὶ ἡμᾶς αὐτοὺς μισήσωμεν. σὺ δὲ πᾶσι τούτοις φυρόμενος ἔφης δύνασθαι περιγενέσθαι. ἀλλ', ὅπερ ἔφην, τότε εἴσῃ καλῶς, ὅσον πρὸς ἀρετὴν ἐμπόδιον γυνὴ καὶ γυναικὸς φροντίδες.

Λουκ. ιδ.

κεφ. μϛ. Εἰ ἐμποδίζει πρὸς τὸν τέλειον βίον ἡ γυνή, πῶς βοηθὸν αὐτὴν καλεῖ ἡ γραφὴ τοῦ ἀνδρός;

Πῶς οὖν, φησί, βοηθὸν αὐτὴν ἐκάλεσε τὴν ἐμποδίζουσαν; Ποιήσωμεν γὰρ αὐτῷ, φησί, βοηθὸν κατ' αὐτόν. κἀγὼ δέ σε ἐρήσομαι, πῶς βοηθὸς ἡ τοσαύτης ἀποστερήσασα τὸν ἄνδρα ἀσφαλείας, καὶ τῆς θαυμαστῆς μὲν ἐκείνης ἐκβαλοῦσα διαγωγῆς τῆς ἐν τῷ παραδείσῳ, εἰς δὲ τὴν τοῦ παρόντος βίου ταραχὴν ἐμβαλοῦσα; ταῦτα γὰρ οὐ μόνον οὐ βοηθοῦ, ἀλλὰ καὶ ἐπιβούλου. Ἀπὸ γὰρ γυναικός, φησιν, ἀρχὴ ἁμαρτίας, καὶ δι' αὐτὴν ἀποθνήσκομεν πάντες. καὶ ὁ μακάριος δὲ Παῦλος, Ἀδάμ, φησιν, οὐκ ἠπατήθη· ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε. πῶς οὖν βοηθὸς ἡ τῷ θανάτῳ τὸν ἄνδρα ὑποτάξασα; πῶς βοηθός, δι' ἧς οἱ υἱοὶ τοῦ Θεοῦ, μᾶλλον δὲ πάντες οἱ τὴν γῆν κατοικοῦντες τότε, ἅμα θηρίοις καὶ πετεινοῖς, καὶ τοῖς ἄλλοις ἅπασι ζώοις κατακλυσθέντες ἀπώλοντο; οὐχ αὕτη τὸν δίκαιον Ἰὼβ ἔμελλεν ἀπολλύναι, εἰ μὴ σφόδρα ἐκεῖνος ἦν ἀνήρ; οὐχ αὕτη τὸν Σαμψὼν ἀπώλεσεν; οὐ τὸ πᾶν Ἑβραίων γένος αὕτη τελεσθῆναι τῷ Βεελφεγώρ, καὶ ταῖς συγγενικαῖς κατακοπῆναι χερσὶ παρεσκεύασε; τὸν δὲ Ἀχαὰβ τίς μάλιστα τῷ διαβόλῳ παρέδωκε, καὶ πρὸ τούτου τὸν Σολομῶντα μετὰ τὴν πολλὴν ἐκείνην σοφίαν καὶ εὐδοκίμησιν; οὐ μέχρι καὶ νῦν πολλαὶ τοὺς ἄνδρας τοὺς ἑαυτῶν ἀναπείθουσι προσκρούειν τῷ Θεῷ; οὐ διὰ τοῦτό φησιν ὁ σοφὸς ἐκεῖνος ἀνήρ· Μικρὰ πᾶσα κακία πρὸς κακίαν γυναικός; πῶς οὖν, φησιν, εἶπεν αὐτῷ ὁ Θεός, ποιήσωμεν αὐτῷ βοηθὸν ὅμοιον αὐτῷ; οὐδὲ γὰρ ψεύδεται ὁ Θεός· οὐδὲ ἐγὼ τοῦτο ἂν εἴποιμι (ἄπαγε) ἀλλ' ἐγένετο μὲν ἐπὶ τοῦτο καὶ διὰ τοῦτο· οὐκ ἠθέλησε δὲ μεῖναι ἐπὶ τῆς οἰκείας ἀξίας, καθάπερ οὖν οὐδὲ ὁ ταύτης ἀνήρ. καὶ γὰρ ἐκεῖνον ὁ Θεὸς ἐποίησε κατ' εἰκόνα καὶ ὁμοίωσιν. Ποιήσωμεν γάρ, φησιν, ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν·

Γεν. β. ιη.
Σειρ. κε. κζ.
α. Τιμ. β. ιδ.
Σειρ. κε. κα.
Γεν. α. κϛ.

χ. ὑπεισ
χ. ἐπὶ
χ. ἐγκαλ
χ. ἐξεπεσ
χ. οἱ λοιποὶ
χ. αὐτὴ
χ. αὐτῶν
χ. τότε

ὥσπερ οὖν εἶπε, ποιήσωμεν αὐτῷ βοηθόν. γενόμενος δὲ, ἀμφότερα εὐθέως ἀπώλεσεν. οὔτε γὰρ τὸ κατ' εἰκόνα, οὔτε τὸ καθ' ὁμοίωσιν ἐφύλαξε. πῶς γὰρ, ἐνδοὺς ἐπιθυμίᾳ ἀτόπῳ, καὶ ἀπάτῃ ἁλοὺς, καὶ μὴ κρατήσας ἡδονῆς; τὸ δὲ κατ' εἰκόνα καὶ ἄκοντος ἀφῃρέθη λοιπόν. οὐ γὰρ μικρὸν αὐτοῦ τῆς ἀρχῆς ὁ Θεὸς περιέτεμε μέρος, τὸν φοβερὸν ἅπασι καθάπερ δεσπότην, ὥσπερ οἰκέτην ἀγνώμονα μετὰ τὸ προσκροῦσαι τῷ δεσπότῃ, τοῖς ὁμοδούλοις ποιήσας εὐκαταφρόνητον. παρὰ μὲν γὰρ τὴν ἀρχὴν καὶ τοῖς θηρίοις πᾶσιν ἐπίφοβος ἦν. πάντα γὰρ πρὸς αὐτὸν ἤγαγεν ὁ Θεὸς, καὶ οὐδὲν αὐτῷ λυμήνασθαι, οὐδὲ ἐπιβουλεῦσαι ἐτόλμησεν· ἑώρα γὰρ ἐν αὐτῷ λάμπουσαν τὴν εἰκόνα τὴν βασιλικήν. ἐπειδὴ δὲ τοὺς χαρακτῆρας ἐκείνους ἠμαύρωσε διὰ τῆς ἁμαρτίας, καὶ ἀπὸ τῆς ἀρχῆς αὐτὸν ἐκείνης κατήγαγεν. ὥσπερ οὖν τὸ μὴ πάντων αὐτὸν ἄρχειν τῶν ἐπὶ τῆς γῆς, ἀλλ' ἔνια καὶ τρέμειν καὶ δεδοικέναι, οὐ ψευδῆ ποιεῖ τοῦ Θεοῦ τὴν ἀπόφασιν τὴν λέγουσαν, Καὶ ἀρχέτωσαν τῶν θηρίων τῆς γῆς (Γεν. α. κϛ.) (οὐ γὰρ παρὰ τὸν δεδωκότα, ἀλλὰ παρὰ τὸν εἰληφότα ὁ τῆς ἐξουσίας ἀκρωτηριασμὸς γέγονεν) οὕτως οὐδὲ αἱ παρὰ τῶν γυναικῶν ἐπιβουλαὶ εἰς τοὺς ἄνδρας γινόμεναι, ἐκείνῳ τῷ λόγῳ λυμαίνονται τῷ λέγοντι, ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν. ἐγένετο μὲν γὰρ εἰς τοῦτο· οὐκ ἔμεινε δὲ ἐν τούτῳ. χωρὶς δὲ τούτου κἀκεῖνό ἐστιν εἰπεῖν, ὅτι καὶ πρὸς τὴν τοῦ παρόντος βίου σύστασιν, καὶ πρὸς παίδων γένεσιν, καὶ πρὸς φυσικὴν ἐπιθυμίαν τὴν βοήθειαν ἐπιδείκνυται τὴν αὐτῆς. ὅταν δὲ μηκέτι καιρὸς ᾖ τοῦ παρόντος βίου, μηδὲ παιδοποιΐας, μηδὲ ἐπιθυμίας, τί μάτην μνημονεύεις ἐνταῦθα βοηθοῦ; τὴν γὰρ ἐν τοῖς ἐλαχίστοις" συλλαμβάνειν δυναμένην μόνον, ταύτην ἂν ὡς ἐν τοῖς μεγάλοις ἐπάγηται συνεργὸν, οὐ μόνον οὐδὲν ὤνησεν, ἀλλὰ καὶ συνεπόδισεν" αὐτὴν ταῖς φροντίσι.

συμβαλέσθαι

ἑαυτὴν

κεφ. μζ.

Τί οὖν" ἐροῦμεν τῷ Παύλῳ, φησὶ, λέγοντι, Τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις, καὶ τὴν βοήθειαν αὐτῆς ἀναγκαίαν καὶ ἐν τοῖς πνευματικοῖς ἀποφαίνοντι; καὶ ἐγὼ τοῦτο συνομολογῶ. οὐδὲ γὰρ αὐτὴν παντελῶς ἐκκόπτω τῆς ἐν τοῖς πνευματικοῖς συμμαχίας (μὴ γένοιτο) ἀλλὰ τότε φημὶ ταῦτα αὐτὴν κατορθοῦν, ὅταν μὴ τὰ τοῦ γάμου πράττῃ, ἀλλὰ μένουσα τῇ φύσει γυνὴ, πρὸς τὴν τῶν μακαρίων ἀνδρῶν ἀρετὴν διαβαίνῃ. οὐ γὰρ καλλωπιζομένη, οὐδὲ τρυφῶσα, οὐδὲ προσόδους ἀπαιτοῦσα τὸν ἄνδρα χρημάτων, οὐδὲ πολυτελὴς γινομένη καὶ δαπανηρὰ, οὕτως αὐτὸν δυνήσεται" ἐπαγαγέσθαι· ἀλλ' ὅταν ἀνωτέρω γινομένη πάντων τῶν παρόντων πραγμάτων, καὶ τὸν ἀποστολικὸν ἐν ἑαυτῇ χαρακτηρίσασα βίον, πολλὴν μὲν τὴν ἐπιείκειαν, πολλὴν δὲ τὴν κοσμιότητα, πολλὴν δὲ τὴν τῶν χρημάτων ὑπεροψίαν καὶ τὴν ἀνεξικακίαν ἐπιδεικνύηται, τότε αὐτὸν δυνήσεται ἑλεῖν· ὅταν λέγῃ, Ἔχοντες δὲ τροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα· ὅταν διὰ τῶν ἔργων ταῦτα φιλοσοφῇ, καὶ τοῦ σωματικοῦ θανάτου καταγελῶσα, μηδὲν εἶναι λέγῃ τὴν παροῦσαν ζωήν· ὅταν πᾶσαν τοῦ βίου τούτου τὴν δόξαν κατὰ τὸν προφήτην ἄνθος εἶναι χόρτου νομίζῃ. οὐκ ἄρα τῷ συνεῖναι καθάπερ γυνὴ, τούτῳ σῶσαι τὸν ἄνδρα δυνήσεται, ἀλλὰ τῷ τὸν εὐαγγελικὸν ἐπιδείκνυσθαι βίον. ἐπεὶ καὶ γάμου χωρὶς ἐποίησαν τοῦτο πολλαὶ γυναῖκες. ἡ γὰρ Πρίσκιλλα τὸν Ἀπολλὼ προσλαβομένη, φησὶ, πρὸς πᾶσαν ἐχειραγώγησε τῆς ἀληθείας τὴν ὁδόν. εἰ δὲ νῦν τοῦτο οὐκ ἔξεστι, ἀλλ' ἐπὶ τῶν γυναικῶν τὴν αὐτὴν ἔνεστιν ἐπιδείξασθαι σπουδὴν, καὶ τὸ αὐτὸ κέρδος καρπώσασθαι. καὶ γὰρ, ὅπερ ἔφθην εἰπὼν, οὐδὲ ἐκείνη, διὰ τὸ γυνὴ εἶναι, τὸν ἄνδρα "ἐφέλκεται· ἐπεὶ οὐδὲν ἂν ἐκώλυσε μηδένα τῶν ἐχόντων γυναῖκα πιστὴν ἄπιστον μένειν, εἴγε ἡ συνουσία καὶ τὸ συνοικεῖν τὸ πρᾶγμα κατώρθου. ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν· ἀλλὰ τὸ πολλὴν ἐπιδείκνυσθαι τὴν φιλοσοφίαν καὶ τὴν ὑπομονὴν, καὶ τῶν τοῦ γάμου περιστάσεων καταγελᾶν, καὶ τοῦτο ἔργον ἡγεῖσθαι διηνεκῶς, τοῦτό ἐστι τὸ ποιοῦν τὴν τοῦ συνοικοῦντος σωθῆναι ψυχήν. ὡς ἐὰν" ἐπιμένῃ τὰ τῶν γυναικῶν ἐπιζητοῦσα, οὐ μόνον οὐδὲν αὐτὸν ὤνησεν, ἀλλὰ καὶ κατέβλαψεν. ὅτι δὲ καὶ οὕτω τῶν σφόδρα δυσκό-

λων

αὖ τί ἐρούμεθα

Πῶς ἐν τοῖς πνευματικοῖς ἡ γυνὴ βοηθεῖ. α. Κορ. ζ. ις.

ἐξαγαγέσθαι

α. Τιμ. ς. η.

Ησ. μ. ζ.

Πραξ. ιη.

ἐφείλκετο

ἐπιμείνῃ

λων τὸ πρᾶγμά ἐστιν, ἄκουσον τί φησι. τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; τούτῳ δὲ τῷ τρόπῳ τῆς ἐρωτήσεως κεχρῆσθαι ἐπὶ τῶν παραδόξως συμβαινόντων εἰώθαμεν. τί δὲ μετὰ ταῦτά φησι; Δέδεσαι γυναικί; μὴ ζήτει λύσιν· λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα. ὁρᾷς πῶς συνεχῶς ποιεῖται τὰς μεταβάσεις, καὶ πολλὴν καὶ δι' ὅλου τῆς παραινέσεως ἑκατέρας τὴν μίξιν; ὥσπερ γὰρ ἐν τοῖς περὶ τοῦ γάμου λόγοις καὶ τοὺς τῆς ἐγκρατείας ἐνέβαλε, μεταξὺ διεγείρων τὸν ἀκροατήν· οὕτω καὶ ἐνταῦθα τοὺς περὶ τοῦ γάμου λόγους πάλιν ἐντίθησι, διαναπαύων αὐτόν. ἤρξατο ἀπὸ τῆς παρθενίας, καὶ πρίν τι περὶ αὐτῆς εἰπεῖν, εὐθέως ἐπὶ τὸν ὑπὲρ τοῦ γάμου λόγον κατέφυγε. τὸ γὰρ, ἐπιταγὴν οὐκ ἔχω, τὸν γάμον συγχωροῦντός ἐστι καὶ εἰσάγοντος. εἶτα ἐπὶ τὴν παρθενίαν ἐλθὼν, καὶ εἰπὼν, ὅτι νομίζω τοῦτο καλὸν ὑπάρχειν, ἐπειδὴ εἶδεν ὅτι συνεχῶς αὐτῆς τὸ ὄνομα λεγόμενον τῇ λειότητι τῆς ἀκοῆς πολλὴν ἐμποιεῖ τὴν τραχύτητα, οὐ τίθησιν αὐτὸ πυκνῶς, ἀλλὰ καίτοι αἰτίαν ἱκανὴν παραμυθήσασθαι τοὺς ὑπὲρ αὐτῆς πόνους εἰπὼν, τὴν ἐνεστῶσαν ἀνάγκην λέγω, οὐδὲ οὕτως ἐθάῤῥησε πάλιν παρθενίαν εἰπεῖν. ἀλλὰ τί; Καλὸν ἀνθρώπῳ τὸ οὕτως εἶναι. καὶ οὐδὲ ἐπεξέρχεται τῷ λόγῳ, ἀλλὰ διατεμὼν αὐτὸν καὶ διακόψας πρὶν φανῆναι σκληρὸν, τοὺς περὶ τοῦ γάμου πάλιν ἐνέβαλε λόγους· δέδεσαι γυναικί; λέγων, μὴ ζήτει λύσιν. ἐπεὶ εἰ μὴ τοῦτό ἐστι, μηδὲ ταύτην ἐνταῦθα κατασκευάσαι τὴν παραμυθίαν ἐβούλετο, περιττὸν ὑπὲρ παρθενίας συμβουλεύοντα περὶ γάμου φιλοσοφεῖν. εἶτα πάλιν ἐπὶ τὴν παρθενίαν μεθίσταται, καὶ οὐδὲ νῦν αὐτὴν τῇ κυρίᾳ προσηγορίᾳ καλεῖ· ἀλλὰ τί; λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα. ἀλλὰ μὴ δείσῃς· οὐκ ἀπεφήνατο, οὐδὲ ἐνομοθέτησεν. ὁ γὰρ περὶ τοῦ γάμου λόγος πάλιν ἐγγὺς ἕστηκε, τοῦτον τὸν φόβον λύει καὶ λέγων· ἐὰν δὲ καὶ γήμῃς, οὐχ ἥμαρτες. ἀλλὰ μηδὲ νῦν ἀναπέσῃς· πάλιν γάρ σε ἐπὶ τὴν παρθενίαν ἕλκει. καὶ τοῦτο ὁ λόγος αὐτῷ βούλεται, διδάσκων πολλὴν τῇ σαρκὶ θλίψιν ὑπομένειν τοὺς τῷ γάμῳ προσέχοντας. καθάπερ γὰρ οἱ τῶν ἰατρῶν ἄριστοι καὶ προσηνεῖς φάρμακον πικρὸν, ἢ τομὴν, ἢ καῦσιν, ἤ τι τῶν τοιούτων προσάγειν μέλλοντες, οὐκ ἀθρόως τὸ πᾶν ἐργάζονται, ἀλλ' ἐν τῷ μεταξὺ δόντες ἀναπνεῦσαι τῷ κάμνοντι, οὕτως ἀεὶ τὸ λειπόμενον προστιθέασι· τὸν αὐτὸν τρόπον καὶ ὁ μακάριος Παῦλος οὐκ ἀνενδότως, οὐδὲ δι' ὅλου, οὐδὲ ἐφεξῆς τὴν περὶ τῆς παρθενίας ὕφηνε συμβουλὴν, ἀλλὰ διακόπτων αὐτὴν συνεχῶς τοῖς περὶ τοῦ γάμου λόγοις, καὶ ταύτῃ τὸ σφοδρότερον ὑποκλέπτων, προσηνῆ τε καὶ εὐπαράδεκτον τὸν λόγον ἐποίησεν. ἡ μὲν οὖν ποικίλη μίξις τῶν λόγων διὰ τοῦτο γεγένηται. ἄξιον δὲ καὶ αὐτὰ λοιπὸν ἐξετάσαι τὰ ῥήματα. δέδεσαι γυναικί; φησι, μὴ ζήτει λύσιν. τοῦτο οὐχ οὕτω συμβουλεύοντός ἐστιν, ὡς τὸ ἄπορον δεικνύντος καὶ ἀδιεξόδευτον τοῦ δεσμοῦ. τίνος δὲ ἕνεκεν οὐκ εἶπεν, ἔχεις γυναῖκα; μὴ καταλείπῃς αὐτήν· συνοικεῖς; μὴ διαστῇς· ἀλλὰ δεσμὸν τὴν συζυγίαν ἐκάλεσε; τὸ φορτικὸν ἐνταῦθα τοῦ πράγματος ἐνδεικνύμενος. ἐπειδὴ γὰρ ὡς ἐπὶ ῥᾷστον τὸν γάμον ἅπαντες τρέχουσι, δείκνυσιν ὅτι τῶν δεδεμένων οἱ γεγαμηκότες οὐδὲν διαφέρουσι. κἀνταῦθα γὰρ, ὅπουπερ ἂν ἑλκύσῃ θάτερος, ἀνάγκη καὶ τὸν ἕτερον ἕπεσθαι, ἢ διαστασιάζοντα καὶ τὸν ἕτερον συναπολέσθαι ἐκείνῳ. τί οὖν, ἐὰν ὁ ἀνὴρ καταφερὴς ᾖ, φησιν, ἐγὼ δὲ ἐγκρατεύεσθαι βούλομαι; ἀνάγκη σε ἐκείνῳ ἕπεσθαι. καὶ γὰρ μὴ βουλομένην σε τοῦτο ποιεῖν, ἡ ἡδεῖα τοῦ γάμου περιτεθεῖσα ἅλυσις καθέλκει, καὶ ἐπισπᾶται πρὸς τὸν συνδεθέντα σοι τὴν ἀρχήν. κἂν ἀποπέσῃς καὶ διακόψῃς, οὐ μόνον οὐκ ἀπήλλαξας σαυτὴν τῶν δεσμῶν, ἀλλὰ καὶ εἰς τιμωρίαν ἐσχάτην ἐνέβαλες.

Ἡ γὰρ ἄκοντος ἐγκρατευομένη τοῦ ἀνδρὸς, οὐ τῶν τῆς ἐγκρατείας μισθῶν ἀποστερεῖται μόνον, ἀλλὰ καὶ τῆς ἐκείνου μοιχείας αὐτὴ τὸν λόγον ὑφέξει, καὶ τὰς εὐθύνας μᾶλλον ἐκείνου. τί δήποτε; ὅτι αὐτὴ πρὸς τὸ βάραθρον αὐτὸν τῆς ἀσελγείας ὤθησε τῆς κατὰ νόμον ἀποστερήσασα μίξεως. εἰ γὰρ μήτε πρὸς ὀλίγον τοῦτο ποιεῖν ἐπιτέτραπται ἄκοντος ἐκείνου,

τίνα

α. Κορ. ζ. κζ.

α. Κορ. ζ. κς.

κεφ. μη.
Ὅτι ἡ ἄκοντος
ἐγκρατευομένη τοῦ ἀνδρὸς
αὐτῆς τῆς πορνευούσης μείζονα δώσει
δίκην.

γρ. ὀλίγην

γρ. αὐτῷ

γρ. ὡς περὶ
ῥᾷστον πρᾶγ
μα τὸν γάμον
ἅπαντες τρέ
χουσι,

γρ. ἡ διὰ τὸν
γάμον

τίνα ἂν ἔχοι συγγνώμην ὁ διαπτάμενος αὐτὸν ταύτης ἀφελόμενος τῆς παραμυθίας; καὶ τί ταύτης, φησί, τῆς ἀνάγκης, καὶ τῆς ἐπηρείας βαρύτερον γένοιτ' ἄν; κἀγὼ τοῦτο φημί. Τίνος ἕνεκεν ὑποβάλλεις τῇ ἀνάγκῃ σαυτόν; τοῦτον γὰρ τὸν λογισμὸν οὐ μετὰ τὸν γάμον, ἀλλὰ πρὸ τοῦ γάμου λαβεῖν ἐχρῆν. διὰ τοῦτο καὶ ὁ Παῦλος ὕστερον τὴν ἀπὸ τοῦ δεσμοῦ τοῖς ἀνάγκην, τότε περὶ τῆς λύσεως διαλέγεται. Εἰπὼν γάρ, δέδεσαι γυναικί; μὴ ζήτει λύσιν, τότε τηνικαῦτα ἐπήγαγε, λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα. ποιεῖ δὲ τοῦτο, ἵνα σὺ πρότερον ἀκριβῶς ἐπισκεψάμενος, καὶ καταμαθὼν τὴν ἀπὸ τῆς συζυγίας βίαν, εὐκολώτερον τὸν περὶ τῆς ἀγαμίας δέξῃ λόγον. ἐὰν δὲ καὶ γήμῃς, φησίν, οὐχ ἥμαρτες· καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτεν. ἰδοὺ τὸ μέγα τοῦ γάμου κατόρθωμα ποῦ τελευτᾷ· εἰς τὸ μὴ ἐγκληθῆναι, οὐκ εἰς τὸ θαυμασθῆναι (τοῦτο γὰρ τῆς παρθενίας ἐστίν) ὁ δὲ γεγαμηκὼς ἀρκείσθω ἀκούων, ὅτι οὐχ ἥμαρτε. Τίνος οὖν ἕνεκεν παραινεῖς, φησί, μὴ ζητεῖν γυναῖκα; ὅτι δεθέντα καθάπαξ λυθῆναι οὐκ ἔνι, ὅτι πολλὴν ἔχει τὸ πρᾶγμα τὴν θλῖψιν. τοῦτο οὖν, εἰπέ μοι, κερδαίνομεν ἀπὸ τῆς παρθενίας μόνον, τὸ τὴν ἐνθάδε θλῖψιν διαφυγεῖν; καὶ τίς ἀνέξεται παρθενεύειν ἐπὶ τοιούτοις μισθοῖς; τίς δ' ἂν ἐδέξατο εἰς τοσοῦτον καθεῖναι ἀγῶνα, μέλλων τοσούτων ἱδρώτων ταύτην μόνην ἀπολαμβάνειν τὴν ἀμοιβήν;

κεφ. μθ.
Διὰ τί ἀπὸ τῶν ἐν τῷ παρόντι ἡδέων εἰς τὴν παρθενίαν προτρέπει.

Τί λέγεις; πρὸς δαίμονας με μάχεσθαι καλῶν (Οὐ γάρ ἐστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα) πρὸς μανίαν φύσεως ἑστάναι προτρέπων, μετὰ σαρκὸς καὶ αἵματος ἴσα ταῖς ἀσωμάτοις δυνάμεσι κατορθῶσαι παρακαλῶν, τῶν ἐν τῇ γῇ μέμνησαι καλῶν, καὶ ὅτι θλῖψιν οὐχ ἕξομεν τὴν ἀπὸ τῶν γάμων; διὰ τί γὰρ οὐχ οὕτως εἶπεν, ἐὰν δὲ καὶ γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε· τῶν δὲ ἀπὸ τῆς παρθενίας ἑαυτὴν ἀπεστέρησε στεφάνων, τῶν μεγάλων καὶ ἀπορρήτων δωρεῶν; διὰ τί μὴ διηγήσατο τὰ μετὰ τὴν ἄθλησιν αὐταῖς ἀποκείμενα καλά; πῶς εἰς ἀπάντησιν ἔρχονται τοῦ νυμφίου; πῶς φαιδρὰς ἔχουσι τὰς λαμπάδας; πῶς μετὰ δόξης πολλῆς καὶ παρρησίας εἰς ἐκεῖνον συνεισέρχονται τὸν νυμφῶνα τοῦ βασιλέως; πῶς μάλιστα πάντων πλησίον ἐκείνου τοῦ θρόνου καὶ τῶν παστάδων λάμπουσι τῶν βασιλικῶν; ἀλλὰ τούτων μὲν οὐδὲ βραχεῖαν μνήμην πεποίηται· ἄνω δὲ καὶ κάτω τῆς ἀπαλλαγῆς τῶν ἐν τῷ βίῳ μνημονεύει δυσχερῶν. νομίζω τοῦτο, φησί, καλὸν ὑπάρχειν· καὶ ἀφεὶς εἰπεῖν, διὰ τὰ μέλλοντα ἀγαθά, λέγει, διὰ τὴν ἐνεστῶσαν ἀνάγκην. Εἶτα πάλιν εἰπών· ἐὰν δὲ καὶ γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε· καὶ σιωπήσας τὰς ἐν τοῖς οὐρανοῖς δωρεάς, ὧν ἑαυτὴν ἀπεστέρησε, θλῖψιν, φησί, τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι. καὶ οὐ μέχρι τούτου μόνον, ἀλλὰ καὶ ἕως τέλους τοῦτο ποιεῖ· καὶ παρεὶς ἐπᾶραι τὸ πρᾶγμα ἀπὸ τῶν μελλόντων ἀγαθῶν, πάλιν ἐπὶ τὴν αὐτὴν αἰτίαν καταφεύγει, Ὁ καιρὸς συνεσταλμένος ἐστί, λέγων. καὶ ἀντὶ τοῦ εἰπεῖν, θέλω ὑμᾶς ἀστράψαι ἐν τοῖς οὐρανοῖς, καὶ πολλῷ λαμπροτέρους δειχθῆναι τῶν γεγαμηκότων, πάλιν τῶν ἐνταῦθα ἔχεται, λέγων· Θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι. οὐκ ἐνταῦθα δὲ μόνον τοῦτο ποιεῖ, ἀλλὰ καὶ περὶ ἀνεξικακίας διαλεγόμενος, ἐπὶ τὴν αὐτὴν τῆς συμβουλῆς ἦλθεν ὁδόν. εἰπὼν γάρ, ὅτι Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν· καὶ πρᾶγμα τοσοῦτον ἐπιτάξας, καὶ τὴν φύσεως βιάσασθαι τὴν ἀνάγκην κελεύσας, καὶ πρὸς οὕτως ἀφόρητον παρατάξασθαι πυράν, ἐν τοῖς περὶ τῶν μισθῶν λόγοις σιωπήσας τὸν οὐρανόν, καὶ τὰ ἐν τοῖς οὐρανοῖς*, ἐν τῇ τοῦ λελυπηκότος βλάβῃ τὴν ἀντίδοσιν ἵστησι. τοῦτο γάρ, φησι, ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. τίνος οὖν ἕνεκεν τούτῳ τῆς παρακλήσεως κέχρηται τῷ τρόπῳ; οὐ δι' ἄγνοιαν, οὐδὲ διὰ τὸ μὴ εἰδέναι πῶς ἄν τις ἐπαγάγοιτο καὶ πείσειε τὸν ἀκροατήν, ἀλλὰ καὶ διὰ τὸ μάλιστα πάντων ἀνθρώπων ταύτην κατορθωκέναι τὴν ἀρετήν, τὴν τοῦ πείθειν λέγω. τοῦτο πόθεν δῆλον; ἀπὸ τῶν εἰρημένων αὐτῷ. πῶς, καὶ τίνι τρόπῳ; Κορινθίοις διελέγετο (πρότερον γὰρ ὑπὲρ τῶν περὶ παρθενίας αὐτῷ διειλεγμένων ἐροῦμεν) Κορινθίοις, Ἐν οἷς ἔκρινε μηδὲν εἰδέναι, εἰ μὴ Ἰησοῦν Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον· Οἷς οὐκ ἠδυνήθη λαλῆσαι ὡς πνευματικοῖς, καὶ διὰ τὸ σαρκικοὺς εἶναι ἔτι γάλα ἐπότι-

Εφ. ς. ιβ.
Ρωμ. ιβ. κ.
α. Κορ. β. β. γ. α.

ζει· οἷς καὶ ὅτε ταῦτα ἐπέστελλεν ἐνεκάλει, λέγων· ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε. ἔτι γὰρ σαρκικοί ἐστε, καὶ κατὰ ἄνθρωπον περιπατεῖτε. διὰ τοῦτο ἀπὸ τῶν ἐν τῇ γῇ πραγμάτων, ἀπὸ τῶν ὁρωμένων, ἀπὸ τῶν αἰσθητῶν καὶ προτρέπει εἰς παρθενίαν αὐτούς, καὶ ἀπάγει τοῦ γάμου. συνεῖδε γὰρ τοῦτο καλῶς, ὅτι τοὺς ταπεινοὺς καὶ χαμαιπετεῖς καὶ πρὸς τὴν γῆν ἔτι κύπτοντας ἀπὸ τῶν ἐν τῇ γῇ μᾶλλον ἐφελκύσαιτο ἄν τις καὶ προτρέψειε. διὰ τί γάρ, εἰπέ μοι, πολλοὶ τῶν ἀγροικοτέρων ἔτι καὶ παχυτέρων διακειμένων τὸν μὲν Θεὸν καὶ ἐπὶ μικροῖς, καὶ ἐπὶ μεγάλοις καὶ ὀμνύουσι καὶ ἐπιορκοῦσιν ἀδεῶς, ἐπὶ δὲ τῆς τῶν παίδων κεφαλῆς οὐδ' ἂν ὀμόσαι ἕλοιντο τὴν ἀρχήν; καίτοιγε καὶ ἡ ἐπιορκία καὶ ἡ κόλασις πολλῷ μείζων ταύτης ἐκείνη· ἀλλ' ὅμως τούτῳ μᾶλλον, ἢ ἐκείνῳ τῷ ὅρκῳ κατέχονται. καὶ πρὸς τὸ βοηθῆσαι δὲ πένησιν οὐχ οὕτως αὐτοὺς οἱ τῆς βασιλείας διεγείρουσι λόγοι, καίτοιγε συνεχῶς ἐνηχούμενοι, ὡς τὸ χρηστὸν ἐλπίσαι τι κατὰ τὸν παρόντα βίον ἢ ὑπὲρ παίδων, ἢ ὑπὲρ ἑαυτῶν. τότε γοῦν μάλιστα φιλότιμοι γίνονται περὶ τὰς τοιαύτας ἐπικουρίας, ὅταν ἐκ μακρᾶς ἀνενέγκωσι νόσου, ὅταν κινδύνων διαφύγωσιν, ὅταν δυναστείας τινὸς ἐπιτύχωσι καὶ ἀρχῆς· καὶ ὅλως τοὺς πλείονας τῶν ἀνθρώπων τοῖς παρὰ πόδας εὕροι τις ἂν μᾶλλον νουθετουμένους. ἔν τε γὰρ τοῖς χρηστοῖς ταῦτα μᾶλλον προτρέπει, ἔν τε τοῖς λυπηροῖς μειζόνως φοβεῖ, τῷ τὴν αἴσθησιν ἐγγυτέραν ὑπάρχειν αὐτοῖς. διὰ ταῦτα καὶ Κορινθίοις οὕτω διελέγετο, καὶ Ῥωμαίους ἀπὸ τῶν παρόντων εἰς ἀνεξικακίαν ἐγύμναζεν. ἡ γὰρ ἀσθενὴς καὶ ἠδικημένη ψυχὴ οὐχ οὕτως εὐκόλως ἀφίησι τῆς ὀργῆς τὸν ἰόν, ὅταν περὶ βασιλείας ἀκούσῃ, καὶ εἰς μακρὰς ἐλπίδας ἐμπέσῃ, ὡς ὅταν παρὰ τοῦ λελυπηκότος προσδοκήσῃ λήψεσθαι δίκην. βουλόμενος οὖν διασεῖσαι τῆς μνησικακίας τὴν ῥίζαν, καὶ τέως κενῶσαι τὴν ὀργήν, ὃ μᾶλλον ἐπαγωγὸν ἦν πρὸς τὸ παραμυθήσασθαι τὸν ἠδικημένον, τοῦτο τίθησιν, οὐκ ἀποστερῶν αὐτὸν τῆς ἐν τῷ μέλλοντι καιρῷ κειμένης τιμῆς, ἀλλὰ τέως αὐτὸν ἐμβιβάσαι σπεύδων οἱῳδήποτε τρόπῳ εἰς τὴν τῆς φιλοσοφίας ὁδόν, καὶ τὰς θύρας ἀνοῖξαι τῆς καταλλαγῆς. τὸ γὰρ δυσκολώτατον, τῆς ἀρχῆς ἐπιλαβέσθαι τοῦ κατορθώματος· μετὰ δὲ τὴν εἴσοδον οὐκέτι τοσοῦτος ὁ πόνος ἐστίν. ἀλλ' οὐχ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τοῦτο ποιεῖ, οὔτε περὶ παρθενίας, οὔτε περὶ ἀνεξικακίας διαλεγόμενος· ἀλλ' ἐκεῖ μὲν τὴν βασιλείαν τίθησι τῶν οὐρανῶν· Εἰσὶ γὰρ εὐνοῦχοι, φησίν, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. ὅτε δὲ εὔχεσθαι ὑπὲρ τῶν ἐχθρῶν παρεκάλει, οὐδὲν ὑπὲρ τῆς τῶν λελυπηκότων βλάβης εἰπών, οὐδὲ τῶν ἀνθράκων μνημονεύσας τοῦ πυρός· ἀλλὰ πάντα ἐκεῖνα ἀφεὶς πρὸς τοὺς μικροψύχους λέγεσθαι καὶ ταλαιπώρους, αὐτὸς ἀπὸ τῶν μειζόνων αὐτοὺς προτρέπει. ποίων δὴ τούτων; Ὅπως γένησθε, φησίν, ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς. βλέπε πόσον τὸ ἔπαθλον. Πέτρος γὰρ ἦν ὁ ταῦτα ἀκούων, καὶ Ἰάκωβος καὶ Ἰωάννης, καὶ ὁ λοιπὸς τῶν ἀποστόλων χορός. διὰ τοῦτο ἀπὸ τῶν πνευματικῶν αὐτοὺς ἐνῆγεν ἐπάθλων. καὶ ὁ Παῦλος δὲ τὸ αὐτὸ ἂν ἐποίησεν, εἰ πρὸς τινας τοιούτους ὁ λόγος ἦν αὐτῷ. ἐπειδὴ δὲ πρὸς Κορινθίους τοὺς ἀτελεστέρως διακειμένους*, ἤδη τῶν πόνων αὐτοῖς δίδωσι τοὺς καρπούς, ἵνα προθυμότεροι ἐπὶ τὴν ἐργασίαν ἔλθωσι τῆς ἀρετῆς. διὰ τοῦτο καὶ ὁ Θεὸς Ἰουδαίοις ἀφεὶς ἐπαγγείλασθαι βασιλείαν οὐρανῶν, τὰ τῆς γῆς ἐχαρίζετο ἀγαθά· καὶ ἀντὶ τῶν πονηρῶν δὲ πράξεων οὐ γέενναν, ἀλλὰ τὰς ἐν τῷ αἰῶνι τούτῳ συμφορὰς ἠπείλει, λιμούς, καὶ λοιμούς, καὶ νόσους, καὶ πολέμους, καὶ αἰχμαλωσίαν, καὶ ὅσα τοιαῦτα ἕτερα. τούτοις γὰρ μᾶλλον οἱ σαρκικώτεροι τῶν ἀνθρώπων κατέχονται, καὶ ταῦτα μᾶλλον δεδοίκασι· τῶν δὲ οὐχ ὁρωμένων οὐδὲ παρόντων ἐλάττονα ποιοῦνται λόγον. διὰ τοῦτο καὶ ὁ Παῦλος τούτοις μᾶλλον ἐνδιατρίβει, ἃ μάλιστα αὐτῶν καθικέσθαι τῆς παχύτητος ἦν ἱκανά. πρὸς τούτοις δὲ κἀκεῖνο δεῖξαι ἐβούλετο, ὅτι τῶν μὲν ἄλλων ἀγαθῶν ἔνια ἐνταῦθα μὲν ἡμᾶς πόνοις περιβάλλει πολλοῖς, τὸν δὲ καρπὸν ἅπαντα ἐν τῷ μέλλοντι ταμιεύεται χρόνῳ· ἡ δὲ παρθενία ἐν αὐτῷ τῷ κατορθοῦσθαι οὐ μικρὰς ἡμῖν ἀποδίδωσι τὰς ἀμοιβάς, τοσούτων ἀπαλλάττουσα πό-

Ματθ. ιθ. ιβ.
Ματθ. ε. μη.

* διαλέγεται

νων καὶ φροντίδων. μετὰ δὲ τούτων καὶ τρίτον τι συγκατεσκεύασε. ποῖον; τὸ μὴ τῶν ἀδυνάτων νομισθῆναι εἶναι τὸ πρᾶγμα, ἀλλὰ καὶ τῶν σφόδρα δυνατῶν. ποιεῖ δὲ αὐτὸ, ἐκ περιουσίας πολλῆς τὸν γάμον ἀποφαίνων πλείονας ἔχοντα δυσκολίας· ὡς εἰ πρός τινα ἔλεγε· μοχθηρὸν καὶ ἐπίπονόν σοι εἶναι τὸ πρᾶγμα τοῦτο δοκεῖ; δι' αὐτὸ μὲν οὖν τοῦτο ἔγωγέ φημι δεῖν αὐτὸ μετιέναι, ὅτι οὕτω ῥᾷστόν ἐστιν, ὡς πολὺ τῶν τοῦ γάμου πραγμάτων ἡμῖν παρέχειν ἐλάττω. ἐπειδὴ γὰρ φείδομαι, φησὶν, ὑμῶν, καὶ οὐ βούλομαι θλῖψιν ὑμᾶς ἔχειν, διὰ τοῦτο ὑμᾶς οὐ θέλω γαμεῖν. καὶ ποίαν θλῖψιν, εἴποι τις ἂν ἴσως; τοὐναντίον μὲν οὖν καὶ ἄνεσιν ἔχοντα πολλὴν καὶ τρυφὴν τὸν γάμον εὑρήσομεν. καὶ πρῶτον ἁπάντων, τὸ μετὰ πάσης ἀδείας τὴν ἐπιθυμίαν ἀποπληροῦν, καὶ μηδεμίαν ἀπὸ τῆς φύσεως ὑπομένειν βίαν, οὐ μικρὸν εἰς ῥᾳστώνης λόγον ἐστίν. ἔπειτα δὲ καὶ τὴν ἄλλην διαγωγὴν ἀπηλλάχθαι κατηφείας καὶ αὐχμοῦ, καὶ μεστὴν εἶναι φαιδρότητος, καὶ γέλωτος, καὶ χαρᾶς. καὶ γὰρ τραπέζῃ πολυτελεῖ, καὶ μαλακοῖς ἱματίοις, καὶ στρωμνῇ μαλακωτέρᾳ, καὶ λουτροῖς διηνεκέσι, καὶ μύροις, καὶ οἴνῳ μύρου οὐδὲν χεῖρον διακειμένῳ, καὶ ἑτέρᾳ πολλῇ καὶ διαφόρῳ δαπάνῃ λειτουργοῦντες τῇ σαρκὶ, πολλὴν ἀπὸ ταύτης παρέχουσιν αὐτῇ τὴν τρυφήν.

κεφ. ν.
Ὅτι ἐν τῇ παλαιᾷ καὶ ἐν τῇ καινῇ παρῃτημένον ἡ τρυφή.
α. Τιμ. ε. ϛ.
α. Τιμ β. θ.

εῖ) πα
. τ γὰρ τ
τρυφὴν

Μάλιστα μὲν οὐδὲ ταῦτα ″ἐφίεται; ὁ δὲ γάμος τὴν τῆς μίξεως μόνης ἄδειαν, οὐχὶ δὲ καὶ ″τὴν τῆς τρυφῆς παρέχειν ἡμῖν εἴωθε. καὶ μάρτυς ὁ μακάριος Παῦλος οὑτωσὶ λέγων· Ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκεν. εἰ δὲ περὶ χηρῶν ταῦτα εἴρηται, ἄκουσον καὶ περὶ τῶν γεγαμημένων τί φησι· Γυναῖκας ἐν καταστολῇ κοσμίῳ μετὰ πάσης αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτὰς, μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ, ἀλλ' ὡς πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν δι' ἔργων ἀγαθῶν. καὶ οὐκ ἐνταῦθα δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθι ἴδοι τις ἂν πολὺν αὐτὸν ποιούμενον τὸν λόγον ὑπὲρ τοῦ μηδὲν ὅλως εἶναι τούτων ἡμῖν περισπούδαστον.* καὶ τί λέγω Παῦλον; ὃς ὅτε τῆς ἄκρας φιλοσοφίας ἦν ὁ καιρὸς, καὶ πολλὴ ἡ τοῦ πνεύματος ἡ χάρις, ἔλεγε ταῦτα. ὁ γὰρ Ἀμὼς τοῖς νηπίοις Ἰουδαίοις διαλεγόμενος, ἐφ' ὧν καὶ τρυφὴ συγκεχώρητο, καὶ πολυτέλεια, καὶ πάντα, ὡς εἰπεῖν, τὰ περιττὰ, ἄκουσον πῶς σφόδρα καθάπτεται τῶν τῇ τρυφῇ προσκειμένων. Οὐαὶ οἱ ἐρχόμενοι εἰς ἡμέραν κακὴν, οἱ ἐγγίζοντες καὶ ἐφαπτόμενοι σαββάτων ψευδῶν, οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων, καὶ κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν· οἱ ἐσθίοντες ἐρίφους ἐκ ποιμνίων, καὶ μοσχάρια ἐκ μέσου βουκολίων γαλαθηνά· οἱ ἐπικροτοῦντες πρὸς τὴν φωνὴν τῶν ὀργάνων· ὡς ἑστῶτα ἐλογίσαντο, καὶ οὐχ ὡς φεύγοντα· οἱ πίνοντες τὸν διυλισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι.

ντες γὰρ
διαζῶ-
καὶ σαυ-
κατὰ τοῦ-
ἔρχεσθαι-
α. οἱ γὰρ
μενοι
ῖν ἐμπί-
ς ἐπι-
ς αὐοῖ-
βλαβε-
αἴτινες
οιαι τοῦ
ὄπεις εἰς
ον καὶ
ναι.
συγχώ-

Ἀμ. ϛ. δ.

Ὅπερ οὖν ἔφην, μάλιστα μὲν οὐκ ἐφίεται τρυφᾶν. εἰ δὲ καὶ μηδὲν τούτων κεκώλυτο, ἀλλὰ πάντα ″συνεχωρεῖτο, ἔστιν ἕτερα τούτων ἀντίρροπα εἰς ἀθυμίας καὶ ὀδύνης λόγον· μᾶλλον δὲ οὕτω πλείονα καὶ μείζω, ὡς μηδὲ μικρὰν ἀπὸ τούτων ἡμᾶς λαμβάνειν τὴν αἴσθησιν, ἀλλ' ἐκποδὼν ἅπασαν γίνεσθαι τὴν ἐξ αὐτῶν ἡδονήν.

κεφ. να.
Ὅτι εἰ καὶ ἐφίεται τρυφᾶν, ἱκανὰ τὰ τοῦ γάμου λυπηρὰ ταύτην ἀφανίσαι τὴν ἡδονήν.

Εἰ γάρ τις, εἰπέ μοι, φύσει ζηλότυπος ὢν τύχοι, ἢ καὶ ἔκ τινος προφάσεως οὐκ ἀληθοῦς τούτῳ ληφθείη τῷ κακῷ, τί τῆς τοιαύτης ψυχῆς ἐλεεινότερον γένοιτ' ἄν; ποῖον πόλεμον, τίνα χειμῶνα τῇ τοιαύτῃ παραβάλλοντες οἰκίᾳ, ἀκριβῶς ἐπιτυχεῖν δυνησόμεθα τῆς εἰκόνος; πάντα ὀδύνης μεστὰ, πάντα ὑποψίας καὶ στάσεως καὶ ταραχῆς. τῶν γὰρ δαιμονώντων ἢ φρενίτιδι κατεχομένων νόσῳ οὐδὲν ἄμεινον διάκειται ὁ ταύτῃ τῇ μανίᾳ πληγείς. οὕτω συνεχῶς ἐξάλλεται, καὶ ἀποπηδᾷ, καὶ δυσχεραίνει πρὸς ἅπαντας, καὶ εἰς οὐδὲν ″παρόντας ἁπλῶς καὶ ἀνευθύνους ἀφίησιν ἀεὶ τὴν ὀργὴν, κἂν δοῦλος ᾖ, κἂν υἱὸς, κἂν ὁστισοῦν ἕτερος· καὶ ἡδονὴ μὲν ἀπελήλαται πᾶσα, κατηφείας δὲ ἅπαντα γέμει καὶ πένθους καὶ ἀηδίας. κἂν οἴκοι μένῃ, κἂν εἰς ἀγορὰν ἐμβάλλῃ, κἂν ἀποδημίαν στέλληται, πανταχοῦ τὸ δεινὸν ἅπτεται, κέντρου παντὸς χαλεπώτερον διακνίζον καὶ ἐρεθίζον αὐτοῦ τὴν ψυχὴν, καὶ οὐ συγχωροῦν

κεφ. νβ.
Ὅσον ζηλοτυπία κακόν.

ἠρεμεῖν. οὐ γὰρ ἀθυμίας μόνον αὕτη ἡ νόσος, ἀλλὰ καὶ θυμὸν ἀφόρητον τίκτειν εἴωθε. τούτων δὲ ἕκαστον καὶ καθ' ἑαυτὸ μὲν ἱκανὸν ἀπολέσαι τὸν ἁλόντα· ὅταν δὲ καὶ ὁμοῦ συνελθόντα πολιορκῇ, συνεχῶς αὐτὸν πιέζοντα, καὶ οὐδὲ βραχὺν ἀναπνεῖν συγχωροῦντα καιρόν, πόσων τοῦτο θανάτων οὐ χαλεπώτερον; ἄν τε γὰρ πενίαν εἴποι τις τὴν ἐσχάτην, ἄν τε νόσον ἀνίατον, ἄν τε πῦρ, ἄν τε σίδηρον, οὐδὲν ἴσον ἐρεῖ. καὶ τοῦτο τὴν πεῖραν λαβόντες ἴσασι μόνοι καλῶς. λόγος γὰρ οὐδεὶς ἂν παραστήσειε τοῦ δεινοῦ τὴν ὑπερβολήν. ὅταν γὰρ τὴν μάλιστα πάντων ἀγαπωμένην, καὶ ὑπὲρ ἧς ἂν ἡδέως καὶ τὴν ψυχὴν προοῖτο, ταύτην ἀναγκάζηται δι' ὑποψίας ἔχειν ἀεί, τί τῶν ἁπάντων αὐτὸν παραμυθήσασθαι δύναιτ' ἄν; ἄν τε γὰρ εἰς εὐνὴν τρέπεσθαι, ἄν τε σῖτον ἑλέσθαι καὶ ποτὸν δέῃ, τὴν μὲν τράπεζαν οἴεται δηλητηρίων γέμειν φαρμάκων μᾶλλον ἢ ἐδεσμάτων· ἐπὶ δὲ τῆς εὐνῆς οὐδὲ μικρὸν ἀτρεμεῖν ἀνέξεται χρόνον, ἀλλ' ὥσπερ ἀνθράκων ὑποκειμένων, οὕτω θορυβεῖται καὶ μεταστρέφεται· καὶ οὔτε συνουσία φίλων, οὔτε πραγμάτων φροντίς, οὔτε κινδύνων φόβος, οὔτε ἡδονῆς ὑπερβολή, οὔτε ἄλλο οὐδὲν τῆς τοιαύτης αὐτὸν ζάλης ἀπαγαγεῖν δυνήσεται· ἀλλὰ παντὸς μὲν χρηστοῦ, παντὸς δὲ λυπηροῦ τυραννικώτερον οὗτος αὐτοῦ κατακρατεῖ τὴν ψυχὴν ὁ χειμών. Ταῦτα διασκεψάμενος ὁ Σολομών, ἔλεγε· Σκληρὸς ὡς ᾅδης ζῆλος. καὶ πάλιν· Μεστὸς γὰρ ζήλου θυμὸς ἀνδρὸς αὐτῆς· οὐ φείσεται ἐν ἡμέρᾳ κρίσεως, καὶ οὐκ ἀνταλλάξεται οὐδενὸς λύτρου τὴν ἔχθραν, οὐδὲ μὴ διαλυθῇ πολλῶν δώρων. τοσαύτη γὰρ ἡ τῆς νόσου ταύτης μανία, ὡς μηδὲ μετὰ τὴν τοῦ λελυπηκότος τιμωρίαν ἀφίστασθαι τῆς ὀδύνης. πολλοὶ γοῦν πολλάκις ἀνελόντες τὸν μοιχόν, τὸν θυμὸν καὶ τὴν ἀθυμίαν οὐκ ἴσχυσαν ἀνελεῖν. εἰσὶ δὲ οἳ καὶ μετὰ τὸ κατασφάξαι τὰς ἑαυτῶν γυναῖκας ἔμειναν ὁμοίως, ἢ καὶ μειζόνως, τηκόμενοι τῇ πυρᾷ. καὶ ὁ μὲν ἀνὴρ τοσούτοις συζῇ κακοῖς, καὶ ὅταν μηδὲν ἀληθὲς ὂν τύχῃ· ἡ δὲ ἀθλία καὶ ταλαίπωρος ἐκείνη πολλῷ χαλεπώτερα ὑπομένει τἀνδρός. ὅταν γὰρ τὸν ὀφείλοντα εἶναι παραμυθίαν τῶν λυπηρῶν ἁπάντων, καὶ ὅθεν προστασίαν ἐχρῆν προσδοκᾶν, τοῦτον ἐκτεθηριωμένον καὶ πάντων πολεμιώτερον ἴδῃ διακείμενον πρὸς αὐτήν, ποῦ δυνήσεται βλέψαι λοιπόν; πρὸς τίνα καταφύγῃ; πόθεν τῶν κακῶν εὕρῃ τὴν ἀπαλλαγήν, τοῦ λιμένος αὐτῇ προκεχωσμένου καὶ μυρίων γέμοντος προβόλων; τότε καὶ οἰκέται, καὶ θεράπαιναι τἀνδρὸς ὑβριστικώτερον αὐτῇ κέχρηνται. ὕποπτον μὲν γὰρ καὶ ἄλλως καὶ ἄχαρι τοῦτο τὸ γένος· ὅταν δὲ καὶ παρρησίας μείζονος ἐπιλάβηται, καὶ διαστασιάζοντας πρὸς ἀλλήλους ἴδῃ τοὺς κρατοῦντας αὐτῶν, οὐ μικρὰν ἀφορμὴν τῆς οἰκείας βδελυρίας τὸν ἐκείνων λαμβάνουσι πόλεμον. καὶ γὰρ συντιθέναι καὶ πλάττειν, ὅσαπερ ἂν ἐθέλωσιν, ἔξεστιν αὐτοῖς μετὰ ἀδείας ἁπάσης τότε, καὶ τὴν ὑποψίαν ταῖς παρ' αὐτῶν διαβολαῖς δυνατωτέραν ποιεῖν. ἡ γὰρ ἅπαξ τῇ πονηρᾷ ταύτῃ νόσῳ κατασχεθεῖσα ψυχή, πάντα εὐκόλως πείθεται, καὶ πᾶσιν ἀναπετάσασα ἐξ ἴσης τὴν ἀκοήν, οὐκ ἀνέχεται διακρίνειν τοὺς συκοφάντας τῶν μὴ τοιούτων· ἀλλὰ καὶ αὐτοὶ μάλιστα πιστὰ λέγειν δοκοῦσιν, ὅσοι τὴν ὑποψίαν ἐπαίρουσιν, ἢ ὅσοι σπουδάζουσιν αὐτὴν καθελεῖν. ἐντεῦθεν λοιπὸν ἀνάγκη δεδοικέναι καὶ τρέμειν τοῦ συνοικοῦντος οὐχ ἧττον τοὺς δραπέτας ἐκείνους, καὶ τὰς ἐκείνων γυναῖκας, καὶ τὴν αὐτῇ πρέπουσαν τάξιν προεμένην αὐτοῖς τὴν ἐκείνων ἀντιλαβεῖν. πότε οὖν ἀδακρυτὶ διαγαγεῖν δυνήσεται; ποίαν νύκτα; ποίαν ἡμέραν; ποίαν ἑορτήν; πότε στεναγμῶν χωρὶς καὶ ὀδυρμῶν καὶ θρήνων; ἀπειλαὶ καὶ ὕβρεις καὶ λοιδορίαι διαπαντός· αἱ μὲν παρὰ τοῦ τετρωσμένου μάτην ἀνδρός· αἱ δὲ παρὰ τῶν μιαρῶν θεραπόντων· φυλακαί, προφυλακαί, καὶ ἅπαντα δέους καὶ τρόμου μεστά. οὐ γὰρ εἴσοδοι καὶ ἔξοδοι πολυπραγμονοῦνται μόνον, ἀλλὰ καὶ ῥήματα καὶ βλέμματα καὶ στεναγμὸς μετὰ πολλῆς βασανίζεται τῆς ἀκριβείας, καὶ ἀνάγκη ἢ τῶν λίθων ἀκινητοτέραν εἶναι, καὶ σιγῇ πάντα φέρειν, καὶ τῷ θαλάμῳ προσηλῶσθαι διαπαντὸς δεσμώτου χεῖρον, ἢ βουλομένην φθέγξασθαι καὶ στένειν καὶ ἐξιέναι, πάντων εὐθύνας ὑπέχειν καὶ λόγον ἐν τοῖς διεφθαρμένοις ἐκείνοις δικα-

Ἀσμ. η. ϛ.
Παροιμ. ϛ. λδ.

ϛαῖς, ταῖς θεραπαινίσι λέγω, καὶ τῷ πλήθει τῶν οἰκετῶν. τούτων, εἰ βούλει, μεταξὺ τῶν ἀρχικῶν τιμὰς καὶ πλοῦτον ἄφατον, καὶ τραπέζης πολυτέλειαν, καὶ οἰκετῶν ἀγέλας, γένους λαμπρότητα, δυναστείας μέγεθος, δόξαν πολλήν, προγόνων περιφάνειαν, μηδὲν ὅλως ἀφῇς τῶν δοκούντων ζηλωτὸν τὸν παρόντα βίον ποιεῖν, ἀλλὰ πάντα ἀκριβῶς συναγαγὼν ἀντίθες ταύτῃ τῇ λύπῃ, καὶ οὐδὲ φαινομένην ὄψει τὴν ἐξ ἐκείνων ἡδονήν, ἀλλ' οὕτως ἠφανισμένην, ὥσπερ ἐν πελάγει πολλῷ σπινθῆρα μικρὸν ἐμπεσόντα σβεσθῆναι εἰκός. καὶ ταῦτα μὲν, ὅταν ὁ ἀνὴρ ζηλοτυπῇ. εἰ δὲ ἐπὶ τὴν γυναῖκά ποτε μεταβαίη τὸ πάθος (οὐκ ὀλιγάκις δὲ τοῦτο εἴωθε γίνεσθαι) ἐκεῖνος μὲν ῥᾷον διάκειται τῆς γυναικός· τὸ δὲ πλέον τῆς ὀδύνης πάλιν ἐπὶ τὴν ἀθλίαν ἐκείνην μετέπεσεν. οὔτε γὰρ τοῖς αὐτοῖς ὅπλοις χρήσασθαι ἐπὶ τὸν ὑποπτευθέντα δυνήσεται. τίς γὰρ ἀνέξεται γυναικὸς κελευούσης οἴκοι μένειν διαπαντός; πῶς δὲ τὸν δεσπότην τολμήσει παρατηρεῖσθαι τῶν οἰκετῶν, καὶ οὐκ εὐθέως ἐπὶ τὸ βάραθρον ἀπαχθήσεται; οὔτε οὖν τούτοις δυνήσεται ἑαυτὴν παραμυθήσασθαι τοῖς μηχανήμασιν, οὔτε τῷ τὴν ὀργὴν διὰ τῶν ῥημάτων ἐξενεγκεῖν· ἀλλ' ἅπαξ μὲν αὐτὴν ἴσως χαλεπαίνουσαν οἴσεται καὶ δὶς ὁ ἀνήρ· ἐὰν δὲ ἐπιμείνῃ συνεχῶς ἐγκαλοῦσα, διδάξει ταχέως αὐτὴν, ὅτι βέλτιον σιγῇ τὰ τοιαῦτα φέρειν καὶ τήκεσθαι. καὶ ταῦτα μὲν ἐν ταῖς ὑποψίαις· ὅταν δὲ ἀληθὲς ὂν τύχῃ τὸ δεινόν, τὴν μὲν γυναῖκα οὐδεὶς ἐξαιρήσεται τῶν τοῦ ἠδικημένου χειρῶν, ἀλλ' ἔχων αὐτῷ βοηθοῦντας τοὺς νόμους, τὴν ἁπάντων αὐτῷ φιλτάτην εἰς δικαστήριον ἀγαγὼν κατέσφαξεν· ὁ δὲ ἀνὴρ τὴν μὲν ἀπὸ τῶν νόμων διαφεύγει τιμωρίαν, τῇ δὲ ἄνωθεν καὶ τῇ τοῦ Θεοῦ τετήρηται ψήφῳ. ἀλλ' οὐχ ἱκανὸν τοῦτο παραμυθήσασθαι τὴν ἀθλίαν ἐκείνην· ἀλλ' ἀνάγκη μακρὸν ἵνα καὶ ἐλεεινὸν ὑπομένειν θάνατον, τὸν ἀπὸ τῶν μαγγανειῶν, τὸν ἀπὸ τῶν φαρμακειῶν, ἅπερ αἱ πορνευόμεναι γυναῖκες κατασκευάζουσιν. εἰσὶ δὲ αἷς οὔτε ἐπιβουλῆς ἐπὶ τὰς ἠδικημένας ἐδέησεν, ἀλλ' ἔφθασαν ἐκεῖναι προαναρπασθεῖσαι τῇ τῆς ἀθυμίας σφοδρότητι. ὥστε εἰ καὶ πάντες ἄνδρες ἐπέτρεχον τῷ γάμῳ, τὰς γυναῖκας οὐκ ἐχρῆν αὐτὸν διώκειν. οὔτε γὰρ ἂν ἔχοιεν εἰπεῖν, ὡς τοσαύτη παρ' αὐταῖς τῆς ἐπιθυμίας ἡ τυραννίς, καὶ τῶν τοῦ πράγματος καλῶν τὸ πλέον αὐταὶ καρποῦνται μέρος, ὥσπερ οὖν καὶ ὁ λόγος ἀπέδειξε. τί οὖν, φησίν; ἅπασι τοῦτο πρόσεστι τοῖς γάμοις; ἀλλ' οὐδὲ πάντων ἄπεστι· παρθενίας δὲ πόρρω καὶ μακρὰν πάσης ἐστί. καὶ ἡ μὲν γαμηθεῖσα κἂν μὴ τῷ δεινῷ περιπέσῃ, ἀλλὰ τῇ τοῦ δεινοῦ προσδοκίᾳ περιπεσεῖται. οὐ γάρ ἐστι τὴν ἀνδρὶ μέλλουσαν ὁμιλεῖν, μὴ μετὰ τῆς ὁμιλίας πάντα ἀναλογίζεσθαι καὶ δεδοικέναι τὰ δεινά. ἡ δὲ παρθένος οὐ μόνον τῶν δυσχερῶν πραγμάτων, ἀλλὰ καὶ τῆς ὑποψίας ἀπήλλακται. οὐ πρόσεστι τοῦτο πᾶσι τοῖς γάμοις; οὐδὲ γὰρ ἐγὼ τοῦτό φημι· ἀλλ' ἐὰν τοῦτο μὴ προσῇ, πολλὰ ἕτερα πρόσεστι. κἂν ἐκεῖνά τις διαφύγῃ, πάντα ἁπλῶς διαφυγεῖν οὐ δυνήσεται. ἀλλ' ὥσπερ ἐπὶ τῶν ἀκανθῶν τῶν τοῖς ἱματίοις προσπηγνυμένων ἐν τῷ τὰς αἱμασιὰς διαβαίνειν, ὅταν ἐπιστραφῇ τις τὴν μίαν ἐξελεῖν, ἑτέραις κατέχεται πλείοσιν· οὕτω καὶ ἐπὶ τῶν τοῦ γάμου πραγμάτων, ὁ τοῦτο διαδρὰς, ἐκείνῳ περιπείρεται πάλιν· καὶ ὁ τοῦτο διαδὺς, ἄλλῳ προσέπταισε· καὶ ὅλως οὐκ ἔνι γάμον πάσης εὑρεῖν ἀηδίας ἐλεύθερον.

κεφ. νγ'. Ὅτι τὸ ἀπὸ πλουσίων γαμεῖν οὐ ζηλωτὸν, ἀλλὰ τοῦ ἀπὸ πενήτων χαλεπώτερον.

Ἀλλ', εἰ βούλει, τὰ δυσχερῆ τέως ἀφέντες, ὃ δοκοῦσιν εἶναι ἐν αὐτῷ μακάριον, καὶ οὗ πολλοὶ πολλάκις, μᾶλλον δὲ πάντες εὔχονται ἐπιτυχεῖν, τοῦτο ἀγαγόντες εἰς μέσον ἐξετάσωμεν νῦν. τί δὴ τοῦτό ἐστι; τὸ πένητα ὄντα καὶ εὐτελῆ καὶ ταπεινὸν, ἀπὸ μεγάλων καὶ δυνατῶν καὶ πολλὰ χρήματα κεκτημένων γυναῖκα λαβεῖν. ἀλλὰ τοῦτο τὸ ζηλωτὸν ἐκείνου τοῦ ἀπράκτου οὐκ ἐλάττους εὑρήσομεν ἔχον τὰς συμφοράς. ἔστι μὲν γὰρ καὶ ἄλλως τὸ τῶν ἀνθρώπων γένος ὑπεροπτικώτατον, καὶ ἐν αὐτῷ τούτῳ μᾶλλον τὸ τῶν γυναικῶν, ὅσῳ καὶ ἀσθενέστερον. διὸ καὶ μᾶλλον ὑπὸ τοῦ πάθους ἁλίσκεται. ὅταν δὲ καὶ ἀφορμὰς ἔχῃ τῆς ὑπεροψίας πολλὰς, οὐδέν ἐστι* τὸ κατέχον αὐτάς· ἀλλ' ὥσπερ ὕλης τινὸς λαβομένη φλὸξ, οὕτως εἰς ὕψος ἄφατον αἴρεται, καὶ τὴν τάξιν ἀντιστρέφουσι, καὶ τὰ ἄνω κάτω ποιοῦσιν. οὐ γὰρ ἀφίησιν ἐν τῇ τῆς κεφαλῆς χώρᾳ μένειν τὸν ἄνδρα ἡ γυνή, ἀλλ' ὑπὸ φρονήματος καὶ ἀπονοίας ἀπωσαμένη τῆς τάξεως αὐτὸν ἐκείνης, καὶ εἰς τὴν αὐτῇ προσήκουσαν ἄγουσα τὴν τῆς ὑποταγῆς, αὐτὴ γίνεται κεφαλὴ καὶ ἀρχή. τί οὖν ταύτης τῆς ἀνωμαλίας χεῖρον γένοιτ' ἄν; καὶ σιωπῶ τὰ ὀνείδη, τὰς ὕβρεις, τὰς ἀηδίας· ἃ πάντων ἐστὶν ἀφορητότερα.

κεφ. νδ.
Ὅτι κἂν δυνηθῇ τις πλουσίαν ὑποτάξαι τὴν γυναῖκα, μείζων ἡ ἀηδία.

Εἰ δὲ λέγοι τις (καὶ γὰρ πολλῶν ἤκουσα λεγόντων ἐγώ, ὅταν τοιοῦτοι γίνωνται λόγοι) πλουτείτω μόνον καὶ εὔπορος ἔστω, καὶ οὐδὲν ἔργον ἐστὶ κατενεγκεῖν αὐτῆς καὶ ταπεινῶσαι τὸ φρόνημα. εἴ τις οὖν ταῦτα λέγοι, πρῶτον μὲν ἀγνοεῖ, ὅτι τῶν σφόδρα δυσκόλων ἐστίν· ἔπειτα, ὅτι κἂν γένοιτο, οὐ μικρὰν ἔχει ζημίαν. τὸ γὰρ ἀνάγκῃ καὶ δεδοικυῖαν καὶ μετὰ βίας ὑποτετάχθαι τῷ ἀνδρί, τοῦ μετὰ πάσης ἐξουσίας ἐπιτάττειν αὐτῷ βαρύτερον ἔσται καὶ ἀηδέστερον. τί δήποτε; ὅτι πᾶσαν ἐκβάλλει φιλίαν καὶ ἡδονὴν αὕτη ἡ βία· φιλίας δὲ οὐκ οὔσης οὐδὲ πόθου, ἀλλ' ἀντὶ τούτων φόβου καὶ ἀνάγκης, τίνος ὁ τοιοῦτος ἄξιος ἔσται γάμος λοιπόν;

κεφ. νε.
Ὅτι ἀφόρητον κακὸν πλουσιώτερον ἄνδρα λαβεῖν.

Καὶ ταῦτα μὲν ἡ γυνὴ ὅταν εὔπορος ᾖ· εἰ δὲ συμβαίη ταύτην μὲν μηδὲν ἔχειν, τὸν δὲ ἄνδρα πλουτεῖν, θεράπαινα μὲν ἀντὶ γαμετῆς, ″ καὶ ἡ ἐλευθέρα γίνεται δούλη, καὶ τὴν αὐτῇ προσήκουσαν παρρησίαν ἀπολέσασα, τῶν ἀργυρωνήτων οὐδὲν ἄμεινον διάκειται, ἀλλὰ κἂν ἀσελγαίνειν, κἂν πορνεύειν ἐκεῖνος ἐθέλῃ, κἂν ἐπ' αὐτὴν ″ ἄγειν τὴν ἐκείνης εὐνὴν ἑταιριζομένων πλῆθος γυναικῶν, πάντα φέρειν ἀνάγκη καὶ ἀσμενίζειν, ἢ τῆς οἰκίας ἐκπεσεῖν. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, ἀλλ' ὅτι τῶν ἀνδρὸς οὕτω διακειμένου, οὔτε οἰκέταις, οὔτε θεραπαινίσι μετ' ἐλευθερίας ἐπιτάττειν δυνήσεται, ἀλλ' ὥσπερ ἐν ἀλλοτρίοις ζῶσα, καὶ τῶν οὐ προσηκόντων ἀπολαύουσα, καὶ δεσπότῃ μᾶλλον ἢ ἀνδρὶ συνοικοῦσα, οὕτω καὶ πράττειν καὶ πάσχειν ἅπαντα ἀναγκάζεται. εἰ δὲ καὶ ἐξ ὁμοίων τις ἐθέλοι γαμεῖν, πάλιν τῷ τῆς ὑποταγῆς νόμῳ τὰ τῆς ὁμοτιμίας λυμαίνεται, τοῦ τῆς οὐσίας μέτρου πείθοντος αὐτὴν ἐξισοῦσθαι τῷ ἀνδρί. τί οὖν ἄν τις ποιήσειε, τοσαύτης δυσκολίας πανταχοῦ οὔσης; μὴ γάρ μοι, εἴ που σφόδρα ὀλίγοι καὶ εὐαρίθμητοι ταῦτα διέφυγον γάμοι, τούτους εἰς μέσον ἀγάγῃς. οὐ γὰρ ἀπὸ τῶν σπανιζόντων, ἀλλ' ἀπὸ τῶν ἀεὶ συμβαινόντων χαρακτηρίζειν τὰ πράγματα προσήκει. ἐπὶ μὲν γὰρ τῆς παρθενίας δύσκολον ταῦτα ″ γενέσθαι, μᾶλλον δὲ ἀδύνατον· ἐπὶ δὲ τῶν γάμων δύσκολον μὴ ″ γενέσθαι.

κεφ. νς.
Ὅτι πολλὰς ἔχει λύπας ἐναλλὰξ ἡ γαμηθεῖσα.

Εἰ δὲ ἐπὶ τοῖς δοκοῦσιν εἶναι χρηστοῖς τοσαῦται τίκτονται ἀηδίαι καὶ συμφοραί, τί ἄν τις ἐπὶ τοῖς ὡμολογημένοις εἴποι λυπηροῖς; οὐ γὰρ ὑπὲρ ἑνὸς δέδοικε θανάτου μόνον (″ καίτοιγε ἅπαξ μέλλουσα ἀποθανεῖσθαι) οὐδὲ ὑπὲρ μιᾶς φροντίζει ψυχῆς, μίαν ἔχουσα μόνην, ἀλλὰ τρέμει μὲν ὑπὲρ ἀνδρός, τρέμει δὲ ὑπὲρ παίδων, τρέμει δὲ ὑπὲρ τῶν ἐκείνοις προσηκόντων γυναικῶν πάλιν καὶ παίδων, καὶ ὅσῳπερ ἂν εἰς πλείονας ἐκτείνηται κλάδους ἡ ῥίζα, τοσούτῳ πλεονάζει καὶ τὰ τῶν φροντίδων αὐτῇ. καὶ καθ' ἕκαστον τούτων εἴτε ζημία χρημάτων, εἴτε σώματος ἀρρωστία, εἴτε ἕτερόν τι συμβαίη τῶν ἀβουλήτων, ἀνάγκη κόπτεσθαι καὶ θρηνεῖν τῶν πασχόντων οὐχ ἧττον αὐτῶν. κἂν μὲν προαπέλθωσιν ἅπαντες, ἀφόρητον τὸ πένθος· ἂν δὲ οἱ μὲν μένωσιν, οἱ δὲ ἀώροις ἀπενεχθῶσι θανάτοις, οὐδὲ οὕτω καθαρὰν εὕροι τις ἂν παραμυθίαν. ὁ γὰρ ὑπὲρ τῶν ζώντων ἀεὶ φόβος κατασείων τὴν ψυχήν, οὐκ ἐλάττων τῆς ἐπὶ τοῖς τετελευτηκόσι γίνεται λύπης· ἀλλ' εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν, χαλεπώτερος. τὴν μὲν γὰρ ἐπὶ τοῖς κεκοιμημένοις ἀθυμίαν ὁ χρόνος ἐμάλαξε· τὰς δὲ ὑπὲρ τῶν ζώντων φροντίδας μένειν ἀνάγκη ″ διαπαντός, ἢ θανάτῳ παύσασθαι μόνῳ. εἰ δὲ τοῖς οἰκείοις οὐκ ἀρκούμεθα πάθεσι, ποῖον βιωσόμεθα βίον, τὰς ἑτέρων πενθεῖν ἀναγκαζόμενοι συμφοράς; πολλαὶ πολλάκις ἐγένοντο γονέων λαμπρῶν· ἀνετράφησαν μετὰ πολλῆς τῆς τρυφῆς· ἐξεδόθησάν τινι τῶν μεγάλα δυναμένων ἀνδρῶν· εἶτα ἐξαίφνης πρὶν ἐπὶ τούτοις μακαρισθῆναι, κινδύνου τινὸς καθάπερ καταιγίδος ἢ πνεύματος προσπεσόντος, κατέδυσαν καὶ αὗται, καὶ τῶν τοῦ ναυα-

γίου

γάμου συμμετέχοι δεινῶν, καὶ μυρίων περὶ τοῦ γάμου κακῶν ἀπολαυούσας, πρὸς τὴν ἐσχάτην ἀπὸ τοῦ γάμου κατέπεσαν συμφοράν. ἀλλ' οὐ ταῦτα, φησί, πᾶσιν, οὐδὲ ἀεὶ συμπίπτειν εἴωθεν. ἀλλ' οὐδὲ πάντων κεχώρισται (καὶ γὰρ ἐγὼ τὰ αὐτὰ πάλιν ἐρῶ) ἀλλὰ τοῖς μὲν καὶ διὰ τῆς πείρας ἐπῆλθον· ὅσοι δὲ τὴν πεῖραν διέφυγον, τούτους διὰ τῆς προσδοκίας ἠνίασε. παρθένος δὲ πάσης καὶ τῆς πείρας καὶ τῆς προσδοκίας ἐστὶν ἀνωτέρα.

ιζ.

Περὶ τῶν παντὶ γάμῳ προσόντων λυπηρῶν.

Πλὴν ἀλλ', εἰ δοκεῖ, ἐκεῖνα ἀφέντες, ἃ συγκεκλήρωται φύσει τῷ γάμῳ, καὶ ἅπερ οὐδεὶς ἂν οὔτε ἑκὼν, οὔτε ἄκων διαφύγοι, ταῦτα διασκεψώμεθα νῦν. τίνα οὖν ἐστι ταῦτα; ὠδῖνες καὶ τόκοι καὶ παιδία. μᾶλλον δὲ ἀνωτέρω τὸν λόγον ἀναγάγωμεν, καὶ τὰ περὶ τοῦ γάμου καταμάθωμεν, ὡς δυνατόν. μετ' ἀκριβείας γὰρ οἱ παθόντες ἴσασι μόνοι. ἐπέστη τῆς μνηστείας ὁ καιρός· καὶ φροντίδες εὐθέως ἐπάλληλοι καὶ ποικίλαι, τίνα ἄρα λήψεται ἄνδρα, μὴ δυσγενῆ, μὴ τὸν ἄτιμον τινά, μὴ αὐθάδη, μὴ ἀπατεῶνα καὶ ἀλαζόνα, μὴ θρασύν, μὴ ζηλότυπον, μὴ μικρολόγον τινά, μὴ εὐήθη, μὴ πονηρόν, μὴ σκληρόν, μὴ ἄνανδρον. ταῦτα γὰρ ἅπαντα συμβαίνειν μὲν οὐκ ἀνάγκη ταῖς γαμουμέναις ἁπάσαις, μεριμνᾶν δὲ ἀνάγκη καὶ φροντίζειν ἅπαντα. οὔπω γὰρ ὄντος τοῦ κληρωθησομένου δήλου, ἀλλ' ἔτι τῆς ἐλπίδος μετεώρου μενούσης, πάντα ἡ ψυχὴ δέδοικε καὶ τρέμει, καὶ οὐδέν ἐστιν, ὅπερ οὐ λογίζεται τούτων. εἰ δὲ λέγοι τις, ὅτι καὶ τὰ ἐναντία προσδοκῶσα εὐφραίνεσθαι δύναιτ' ἄν, εὖ ἴστω, ὅτι οὐχ οὕτως ἡμᾶς αἱ τῶν ἀγαθῶν ἐλπίδες παραμυθοῦνται, ὡς αἱ τῶν πονηρῶν προσδοκίαι λυποῦσι. τὰ μὲν γὰρ ἀγαθὰ ὅταν ἐλπισθῇ βεβαίως, τότε μόνον τίκτει τὴν ἡδονήν· τὰ δὲ κακά, κἂν ὑποπτευθῇ μόνον, εὐθέως συνέχεε καὶ συνετάραξε τὴν ψυχήν. ὥσπερ δὲ ἐπὶ τῶν ἀνδραπόδων ἡ τῶν ἐσομένων ἀδηλία δεσποτῶν οὐκ ἀφίησιν ἠρεμῆσαι τὴν ἐκείνων ψυχήν, οὕτω καὶ ἐπὶ τῶν παρθένων. πάντα τὸν ἀπὸ τῆς μνηστείας καιρὸν χειμαζομένῳ πλοίῳ προσέοικεν αὐτῶν ἡ ψυχή, καθ' ἑκάστην ἡμέραν τῶν γονέων τοὺς μὲν ἐγκρινόντων, τοὺς δὲ ἐκβαλλόντων. τὸν γὰρ νικήσαντα χθὲς τῶν μνηστήρων σήμερον παρευδοκίμησεν ἕτερος, καὶ τοῦτον πάλιν ἐξέβαλεν ἄλλος. ἔστι δὲ ὅτε καὶ πρὸς αὐταῖς τοῦ γάμου ταῖς θύραις ὁ μὲν προσδοκηθεὶς νυμφίος κεναῖς ἀπῆλθε χερσί, τῷ δὲ μὴ ἐλπισθέντι τὴν κόρην παρέδωκαν οἱ γονεῖς. οὐ γυναῖκες δὲ μόνον, ἀλλὰ καὶ ἄνδρες χαλεπὰς ἔχουσι τὰς φροντίδας. τούτους μὲν γὰρ καὶ πολυπραγμονεῖν ἔνεστι· τὴν δὲ ἔνδον συγκεκλεισμένην διὰ παντὸς πῶς ἄν τις περιεργάσαιτο τρόπων ἕνεκεν ἢ μορφῆς; καὶ ταῦτα μὲν κατὰ τὸν τῆς μνηστείας καιρόν. ὅταν δὲ ὁ τοῦ γάμου παραγίνηται, ἐπιδίδωσιν ἡ ἀγωνία, καὶ τῆς ἡδονῆς πλείων ὁ φόβος, μήποτε ἀπ' αὐτῆς τῆς ἑσπέρας ἀηδής τις εἶναι δόξῃ, καὶ τῆς προσδοκίας πολλῷ καταδεεστέρα. τὴν μὲν γὰρ παρὰ τὴν ἀρχὴν εὐδοκιμήσασαν, ὕστερον καταφρονηθῆναι φορητόν· ὅταν δὲ ἀπ' αὐτῆς, ὡς ἂν εἴποι τις, τῆς γραμμῆς φαίνηται προσκορής, πότε δυνήσεται θαυμασθῆναι λοιπόν; καὶ μή μοι τοῦτο εἴπῃς, τί δαὶ ἂν εὔμορφος οὖσα τύχῃ; οὐδὲ γὰρ οὕτω ταύτης ἀπήλλακται τῆς φροντίδος· πολλαὶ γοῦν διαλάμψασαι σφόδρα κατὰ τὴν τοῦ σώματος ὥραν, οὐκ ἴσχυσαν τοὺς ἄνδρας ἑαυτῶν ἑλεῖν, ἀλλ' ἀφέντες αὐτὰς ἐκεῖνοι ταῖς σφόδρα λειπομέναις αὐτῶν ἐξέδωκαν ἑαυτούς. καὶ ταύτης δὲ τῆς φροντίδος λυθείσης, ἑτέρα πάλιν ἐπεισέρχεται ἀηδία ἐν τῇ τῆς προικὸς καταβολῇ· ὅ τε κηδεστὴς οὐ μετὰ προθυμίας ἀποδιδούς, ἅτε προῖκα καταπιθείς· ὅ τε νυμφίος πάντα μὲν ἀπολαβεῖν σπεύδων, τὴν τε εἴσπραξιν μετ' αἰδοῦς ποιεῖσθαι ἀναγκαζόμενος· ἥ τε γυνὴ ἐν τῇ τῆς ἐκτίσεως ἀναβολῇ αἰσχυνομένη, καὶ ἐρυθριῶσα τὸν ἄνδρα παντὸς μᾶλλον ἀγνώμονος ὀφειλέτου· παρίημι νῦν. ἀλλὰ γὰρ ἐκείνης τῆς φροντίδος λυθείσης, ὁ τῆς ἀπαιδίας εὐθέως ἐπεισέρχεται φόβος· καὶ πρὸς τούτῳ πάλιν ἡ τῆς πολυπαιδίας φροντίς· καὶ οὐδενὸς ὄντος τούτων οὐδέπω φανεροῦ, ταῖς ἀμφοτέρων ἐξ ἀρχῆς ταράττονται φροντίσι. κἂν μὲν εὐθέως κυήσῃ, μετὰ φόβου πάλιν ἡ χαρά (οὐδὲν γὰρ τῶν ἐν τῷ γάμῳ καλῶν φόβου χωρίς) ὁ δὲ φόβος, μήποτε γινομένης ἀμβλώσεως, διαφθαρῇ μὲν τὸ συλληφθέν, κινδυνεύσῃ δὲ περὶ τὴν ἐσχάτην ἡ κύουσα. ἂν δὲ πολὺς μεταξὺ γένηται χρόνος, ἀπαρρησίαστος ἡ γυνή, ὥσπερ αὐτὴ κυρία οὖσα τοῦ τεκεῖν. ὅταν δὲ ὁ τοῦ τόκου καιρὸς ἐπιστῇ, διακόπτουσι μὲν καὶ διασπῶσι τὴν ἐπὶ τοσούτῳ χρόνῳ πονηθεῖσαν νηδὺν ὠδῖνες· αἳ καὶ μόναι ἱκαναὶ πάντα συσκιάσαι τὰ τοῦ γάμου χρηστά. θορυβοῦσι δὲ αὐτὴν καὶ ἄλλαι μετὰ τούτων φροντίδες. ἡ γὰρ ἀθλία καὶ ταλαίπωρος κόρη, καίτοι οὕτω σφοδρῶς ὑπὸ τῶν ἀλγηδόνων ἐκείνων κατατεινομένη, δέδοικε τούτων οὐχ ἧττον, μήποτε λελωβημένον καὶ ἀνάπηρον ἀντὶ ἀρτίου καὶ ὑγιοῦς προέλθῃ, μήποτε ἀντὶ ἄρρενος θῆλυ. καὶ γὰρ αὕτη οὐχ ἧττον αὐτὰς τὰς ὠδίνων ἡ ἀγωνία θορυβεῖ τότε. οὐδὲ γὰρ ἐν οἷς εἰσιν ὑπεύθυνοι μόνον, ἀλλὰ καὶ ὧν τῆς αἰτίας ἀφεῖνται, καὶ τούτοις δεδοίκασι τοὺς ἄνδρας οὐκ ἔλαττον ἢ ἐν ἐκείνοις· καὶ τὴν ἰδίαν ἀσφάλειαν ἀφεῖσαι σκοπεῖν ἐν τοσούτῳ κινδύνῳ, μεριμνῶσι μή τι τῷ ἀνδρὶ τῶν ἀβουλήτων γένηται· τοῦ δὲ παιδίου πεσόντος εἰς τὴν γῆν, καὶ πρώτην ἀφέντος φωνήν, ἕτεραι πάλιν διαδέχονται φροντίδες, αἱ τῆς σωτηρίας, αἱ τῆς ἀνατροφῆς. κἂν μὲν εὐφυὲς ὂν τύχῃ καὶ πρὸς ἀρετὴν ἐπιτήδειον, πάλιν ἐν φόβοις οἱ τεκόντες, μή τι πάθῃ δεινὸν τὸ τραφέν, μὴ θάνατον ἄωρον ὑποστῇ, μὴ μεταβάλῃ πρὸς κακίαν τινά. οὐδὲ γὰρ ἐκ πονηρῶν χρηστοὶ γίνονται μόνον, ἀλλὰ καὶ ἀπὸ σπουδαίων φαῦλοι καὶ πονηροί. κἂν μὲν τούτων τι γένηται τῶν ἀπευκτῶν, ἀφορητοτέραν ἔχει τὴν λύπην, ἢ εἰ παρὰ τὴν ἀρχὴν ταῦτα συνέπεσεν. ἐὰν δὲ ἅπαντα μένῃ τὰ χρηστὰ βέβαια, ὁ γοῦν ἀπὸ τῆς μεταβολῆς ἀεὶ πάρεστιν αὐτοῖς φόβος, κατασείων τὴν ψυχὴν τῶν τεκόντων, καὶ πολὺ τῆς ἡδονῆς ὑποτεμνόμενος μέρος. ἀλλ' οὐ πᾶσι τοῖς γεγαμηκόσι παῖδας ἔχειν συμβαίνει· οὐκοῦν ἑτέραν μοι λέγεις πάλιν ἀθυμίας ὑπόθεσιν. ὅταν οὖν καὶ παίδων ὄντων, καὶ οὐκ ὄντων, καὶ χρηστῶν γινομένων καὶ πονηρῶν, διαφόροις συνέχωνται λύπαις καὶ φροντίσι, πόθεν λοιπὸν ἡδίστην καλέσομεν τὴν ἐν τῷ γάμῳ ζωήν; πάλιν ἂν μὲν ὁμονοοῦντες οἱ συνοικοῦντες διατελῶσι, φόβος μὴ θάνατος ἐμπεσὼν διακόψῃ τὴν ἡδονήν· μᾶλλον δὲ οὐκέτι φόβος τοῦτο μόνον, οὐδὲ μέχρι προσδοκίας τὸ δεινόν· ἀλλὰ καὶ εἰς ἔργον αὐτὸ προελθεῖν πάντως ἀνάγκη. οὐδεὶς γὰρ ἔχει ἐπιδεῖξαί ποτε ἐν ἡμέρᾳ μιᾷ ἀμφοτέρους τελευτήσαντας. τούτου δὲ οὐκ ὄντος, τὸ λειπόμενον ἀνάγκη πολὺ τοῦ θανάτου χαλεπωτέραν ὑπομένειν ζωήν, ἄν τε πολὺν τύχῃ συνῳκηκὼς χρόνον, ἄν τε ὀλίγον. ἐκεῖνος μὲν γὰρ ὅσῳ πλείονα τὴν πεῖραν ἔλαβε, τοσούτῳ μείζονα ἔχει τὴν ὀδύνην, τῆς πολλῆς συνηθείας ἀφόρητον ποιούσης τὸν χωρισμόν· ὁ δὲ πρὶν ἢ γεύσασθαι καὶ ἐμπλησθῆναι τῆς φιλίας, ἀκμαζούσης ἔτι τῆς ἐπιθυμίας, αὐτὴν ἀφαιρεθείς, αὐτὸ τοῦτο μᾶλλον ἐκείνου πενθεῖ, καὶ * ἐξ ὑποθέσεως ἐναντίων ἴσοις ἀμφότεροι συνέχονται τοῖς λυπηροῖς. τί δὲ χρὴ λέγειν τοὺς ἐν τῷ μεταξὺ γινομένους χωρισμούς, τὰς μακρὰς ἀποδημίας, τὰς συνεζευγμένας αὐταῖς ἀγωνίας, τὰς νόσους; καὶ τί τοῦτο πρὸς τὸν γάμον, φησί; μάλιστα μέν, καὶ ἀπὸ τῆς αἰτίας τῆς τούτου πολλαὶ πολλάκις ἠρρώστησαν. καὶ γὰρ ὑβρισθεῖσαι καὶ ὀργισθεῖσαι, ποτὲ μὲν ὑπὸ τοῦ θυμοῦ, ποτὲ δὲ ὑπὸ τῆς ἀθυμίας, πολλοὺς ἔτεκον πυρετούς. ἐὰν δὲ καὶ παρόντος μηδὲν πάθωσι τοιοῦτον, ἀλλὰ προσηνοῦς ἀπολαύσωσι διαπαντός, ὑπὸ τῆς ἀποδημίας εἰς ταῦτα πάλιν περιΐστανται τὰ κακά. πλὴν ἀλλὰ ταῦτα πάντα παρείσθω, καὶ μηδὲν ἐγκαλῶμεν τῷ γάμῳ· ἀλλ' οὐχὶ μετὰ τούτων κἀκείνης αὐτὸν ἀπαλλάξαι δυνησόμεθα τῆς αἰτίας. ποίας δή ταύτης; ὅτι τὸν ὑγιαίνοντα οὐδὲν ἀφίησιν ἄμεινον τοῦ κάμνοντος διακεῖσθαι, ἀλλ' εἰς τὴν αὐτὴν τῷ κειμένῳ καθίστησιν ἀθυμίαν.

κεφ. νη.
Ὅτι οὐδὲν μέγα ὁ γάμος κἂν πάντα διαφύγῃ τὰ λυπηρά.

Βούλει καὶ ταῦτα πάντα ἐκβαλόντες, δῶμεν τῷ λόγῳ τὰ ἀδύνατα, καὶ συγχωρήσωμεν γενέσθαι γάμον πάντα ὁμοῦ ἔχοντα τὰ ἀγαθά, πολυπαιδίαν, εὐπαιδίαν, πλοῦτον, γυναικὸς σωφροσύνην, κάλλος, σύνεσιν, ὁμόνοιαν, γῆρας μακρόν· προσέστω καὶ δόξης περιφάνεια, καὶ δυναστείας μέγεθος, καὶ μηδὲ τὸ κοινὸν τοῦτο τῆς φύσεως ὀχλείτω πάθος, ὁ φόβος τῆς τούτων μεταβολῆς· ἀλλ' ἐξωρίσθω πᾶσα μὲν ἀθυμίας ὑπόθεσις, πᾶσα δὲ φροντίδος καὶ μερίμνης ἀφορμή, καὶ μήτε ἄλλη τις αἰτία, μήτε θάνατος ἄωρος διαζευγνύτω τὸν γάμον, ἀλλὰ καὶ τοῦτον ἐν μιᾷ πάντες δεχέσθωσαν ἡμέρᾳ ἤ, ὃ τούτων πολλῷ μακαριώτερον εἶναι δοκεῖ, μενέτωσαν μὲν οἱ παῖδες κληρονόμοι· ἀπίτωσαν δὲ γονεῖς ἀμφοτέρους ὁμοῦ προπεμπόντων μετὰ γήρως μακροῦ. καὶ τί τὸ πέρας, ποῖον τὸ κέρδος ἐκ ταύτης τῆς πολλῆς ἡδονῆς ἔχοντες ἀπελεύσονται ἐκεῖ; τὸ γὰρ πολλοὺς παῖδας καταλιπεῖν, καὶ καλῆς ἀπολαῦσαι γυναικὸς μετὰ τρυφῆς καὶ τῶν ἄλλων ἁπάντων, ὧν ἄρτι διῆλθον, καὶ εἰς γῆρας ἐλάσαι μακρόν, τί πρὸς τὸ δικαστήριον ἡμᾶς ὠφελῆσαι δυνήσεται ἐκεῖνο ἐν τοῖς αἰωνίοις πράγμασι καὶ ἀληθινοῖς; οὐδέν. οὐκοῦν σκιὰ ταῦτα καὶ ὄναρ. ὅταν γὰρ ἐν τοῖς ἐκεῖ διαδεξομένοις ἡμᾶς αἰῶσι καὶ πέρας οὐκ ἔχουσι, μηδὲν ἀπὸ τούτων δυνηθῶμεν κερδᾶναι, μήτε παραμυθίας ἀπολαῦσαί τινος, ἐν ἴσῳ τοῖς οὐ μετασχοῦσι τοὺς μετασχόντας θετέον. οὐδὲ γὰρ εἴ τις ἐν χιλίοις ἔτεσι μίαν νύκτα μόνην εἶδεν ὄναρ χρηστόν, πλέον τι τούτου ἔχειν φήσομεν τοῦ μὴ ταύτης ἀπολελαυκότος τῆς ὄψεως. καίτοιγε οὐδὲ ὅσον ἐβουλόμην, εἶπον. οὐδὲ γὰρ ὅσον τὰ ὀνείρατα ἀπολείπεται τῆς ἀληθείας, τοσοῦτον τὰ ἐνταῦθα ἀφέστηκε τῶν ἐκεῖ, ἀλλ' ἔτι μᾶλλον· οὐδὲ ὅπερ ἐστὶν ἐν ἔτεσι χιλίοις μία νύξ, τοσοῦτον ὁ παρὼν αἰὼν πρὸς τὸν μέλλοντα· ἀλλὰ καὶ τούτῳ πολλῷ πλέον πάλιν τὸ μέσον. ἀλλ' οὐ τὰ τῆς παρθένου τοιαῦτα, ἀλλὰ πολλὴν ἄπειρον ἔχουσα τὴν ἐμπορείαν. μᾶλλον δὲ τὸν λόγον ἄνωθεν ἐξετάσωμεν.

κεφ. νθ. Ὅτι εὔκολον ἡ παρθενία.

Οὐκ ἀναγκάζεται * πολυπραγμονεῖν τὸν νυμφίον, οὐδέ, μή τινα ἀπάτην ὑπομείνῃ, δέδοικε. Θεὸς γάρ ἐστιν, οὐκ ἄνθρωπος, δεσπότης, οὐχ ὁμόδουλος· καὶ τῶν μὲν νυμφίων τὸ μέσον τοσοῦτον. σκόπει δὲ καὶ ἐπὶ τίσιν ἁρμόζονται. οὐδὲ γὰρ ἀνδράποδα, οὐδὲ γῆς πλέθρα, οὐδὲ τόσα καὶ τόσα χρυσίου τάλαντα, ἀλλ' οὐρανοὶ καὶ τὰ ἐν οὐρανοῖς ἀγαθὰ τὰ ἔδνα ταύτης τῆς νύμφης ἐστί. πρὸς τούτοις, ἡ μὲν γεγαμηκυῖα φρίττει τὸν θάνατον τῶν τε ἄλλων ἕνεκεν, καὶ ὅτι τοῦ συνοικοῦντος αὐτὴν διαζεύγνυσιν· ἡ δὲ παρθένος καὶ ποθεῖ τὴν τελευτήν, καὶ βαρύνεται τῇ ζωῇ, σπεύδουσα τὸν νυμφίον ἰδεῖν πρόσωπον πρὸς πρόσωπον, καὶ τῆς δόξης ἀπολαῦσαι ἐκείνης.

κεφ. ξ. Ὅτι ἡ παρθενία οὐδενὸς δεῖται τῶν οὐκ ἐφ' ἡμῖν.

Οὔτε δὲ ἡ πενίᾳ συζῆν, καθάπερ ἐπὶ τοῦ γάμου, παραβλάψαι δύναιτ' ἂν αὐτήν, ἀλλὰ καὶ μᾶλλον ποθεινοτέραν τῷ νυμφίῳ τὴν ἔχουσαν τοῦτο ὑπομένουσαν ποιεῖ· οὔτε τὸ ἐκ ταπεινῶν γεγονέναι, οὔτε τὸ μὴ διαλάμπειν τὴν τοῦ σώματος ὥραν, οὔτε ἄλλο τῶν τοιούτων οὐδέν. καὶ τί λέγω ταῦτα; κἂν γὰρ μηδὲ ἐλευθέρα οὖσα τύχῃ, οὐδὲ τοῦτο αὐτῆς λυμαίνεται τὴν μνηστείαν, ἀλλ' ἀρκεῖ ψυχὴν ἐπιδείξασθαι καλήν, καὶ τῶν πρωτείων τυχεῖν. οὐκ ἔστιν ἐκεῖ φοβηθῆναι ζηλοτυπίαν, οὐκ ἔστιν ἀλγῆσαι διαφθονουμένην ἑτέρᾳ γυναικί, ὡς λαμπροτέρῳ συνεζευγμένῃ ἀνδρί. οὐ γάρ ἐστιν ὅμοιος αὐτῷ, οὐδὲ ἴσος οὐδείς, ἀλλ' οὐδὲ κατὰ μικρὸν ἐγγύς. ἐν δὲ τῷ γάμῳ κἂν τῶν σφόδρα πλουτούντων καὶ μεγάλα δυναμένων ἔχῃ τις ἄνδρα, ἀλλ' ὅμως δύναιτ' ἂν ἑτέραν εὑρεῖν πολλῷ μείζονα ἔχουσαν. οὐχ ὡς ἔτυχε δὲ ἐλαττοῖ τὴν ἐκ τῆς τῶν ἡττόνων ὑπεροχῆς ἡδονὴν ἡ τῶν μειζόνων ὑπερβολή. ἀλλ' ἡ πολλὴ τρυφὴ τῶν χρυσίων, καὶ τῶν ἱματίων, καὶ τῆς τραπέζης, καὶ τῆς ἄλλης ἀδείας, ἱκανὴ δελεάσαι ψυχὴν καὶ ἐφελκύσασθαι; καὶ πόσαι τούτων ἀπολαύουσαι γυναῖκες; τὸ γὰρ πλεῖστον τῶν ἀνθρώπων μέρος πενίᾳ συζῇ καὶ ταλαιπωρίαις καὶ πόνοις. εἰ δέ τινες εἶεν αἱ τούτων μετέχουσαι, σφόδρα μὲν ὀλίγαι καὶ εὐαρίθμητοι· καὶ αὗται δὲ παρὰ τὸ τῷ Θεῷ δοκοῦν. οὐδενὶ γὰρ ἐφίεται ἐν τούτοις τρυφᾶν, ὡς καὶ ἀπεδείξαμεν ἐν τοῖς πρόσθεν λόγοις.

κεφ. ξα. Ὅτι τὸ χρυσοφορεῖν μείζονα τῆς ἡδονῆς ἔχει τὸν φόβον.

Πλὴν ἀλλὰ θῶμεν πάλιν τῷ λόγῳ καὶ ταύτην συγχωρεῖσθαι τὴν τρυφήν, καὶ μήτε τὸν προφήτην, μήτε τὸν Παῦλον ἀπεχθάνεσθαι πρὸς τὰς χλιδώσας τῶν γυναικῶν. τί τὸ ὄφελος τῶν πολλῶν χρυσίων; ἕτερον μὲν οὐδέν, βασκανία δὲ καὶ φροντὶς καὶ φόβος οὐχ ὁ τυχών. οὐ γὰρ μόνον ὅταν εἰς τὸ κιβώτιον αὐτὰ ἀποθῶνται, οὐδὲ νυκτὸς καταλαβούσης μόνον ταράττονται ταῖς φροντίσιν, ἀλλὰ καὶ ὅταν αὐτὰ περικέωνται, καὶ ὅταν ἡμέρα ᾖ, τὴν αὐτὴν ὑπομένουσι

μβρόουσι μέριμναν· μᾶλλον δὲ καὶ χαλεπωτέραν. καὶ γὰρ ἐν βαλανείοις καὶ ἐκκλησίαις παραγίνονται αἱ τὰ τοιαῦτα κακουργοῦσαι γυναῖκες. κἀκείνων δὲ πολλάκις χωρὶς, ὑπὸ τοῦ πλήθους ὠθούμεναι καὶ πιεζόμεναι αἱ χρυσοφοροῦσαι, οὐδὲ αἰσθάνονται ἐκπεσόντος αὐταῖς τῶν χρυσίων τινός. οὕτω γοῦν πολλαὶ οὐ ταῦτα μόνον, ἀλλὰ πολλῷ τούτων ἔτι τιμιώτερα περιδέραια ἀπὸ τιμίων συγκείμενα λίθων διαρραγέντα καὶ ἐκπεσόντα ἀπώλεσαν.

κεφ. ξϛ. Ὅτι τὸ χρυσοφορεῖν καὶ τῷ κάλλει λυμαίνεται, καὶ τὴν ἀμορφίαν ἐπιτείνει.

Πλὴν ἀλλὰ μηδὲ οὗτος ἔστω ὁ φόβος, ἀλλὰ καὶ αὕτη ἐξῃρήσθω ἡ φροντίς. τί δὲ ὄφελος; εἶδεν ἕτερος, φησὶ, καὶ ἐθαύμασεν. ἀλλ' οὐ τὴν περικειμένην, ἀλλὰ τὰ περικείμενα, ἐκείνην δὲ διὰ ταῦτα καὶ ἐκάκισε πολλάκις, ὡς παρὰ τὴν ἀξίαν κοσμουμένην αὐτοῖς. ἂν μὲν γὰρ εὔμορφος ᾖ, λυμαίνεται τῷ κάλλει τῆς φύσεως (ὁ πολὺς γὰρ κόσμος ἐκεῖνος οὐκ ἀφίησιν αὐτὸ φαίνεσθαι γυμνὸν, τὸ δὲ πλεῖστον αὐτοῦ μέρος ἀφαιρούμενος)· ἐὰν δὲ ἄμορφος ᾖ καὶ δυσειδὴς, ἀπρεπεστέραν ἀπέδειξεν οὕτω μᾶλλον αὐτήν. ἡ γὰρ ἀμορφία πανταχοῦ καθ' ἑαυτὴν μὲν φαινομένη, ὅση ἐστὶ, φαίνεται μόνον· ὅταν δὲ αὐτῇ παραβάλληται λίθων λαμπρότης, ἢ καὶ ἑτέρας τινὸς ὕλης κάλλος, ἐπιτείνεται εἰς δυσείδειαν μειζόνως. τό, τε γὰρ τοῦ σώματος μέλαν πολλῷ μελάντερον δείκνυσιν ἐπικείμενον τοῦ μαργαρίτου τὸ φῶς, καὶ ὥσπερ ἐν σκότῳ στίλβον· τό τε τοῦ προσώπου δυσδιάπλαστον τὰ τῶν ἱματίων ἄνθη πολὺ κάκιον ἀποφαίνει, οὐκ ἀφιέντα καθ' ἑαυτὸν ἀγωνίζεσθαι τὸν τῆς ὄψεως τύπον παρὰ τοῖς θεαταῖς, ἀλλὰ πρὸς τὸ χειροποίητον ἐκεῖνο καὶ ἀμήχανον κάλλος· ὅθεν ἡ μείζων ἧττα γίνεται. ὁ γὰρ διεσπαρμένος ἐν τοῖς ἱματίοις χρυσὸς, καὶ ἡ πολλὴ τῶν τὰ τοιαῦτα ἐργαζομένων ποικιλία, καὶ ὁ λοιπὸς κόσμος ἅπας, καθάπερ τις ἀθλητὴς γενναῖος εὐεκτῶν καὶ σφριγῶν ψωραλέον τινὰ καὶ αἰσχρὸν καὶ λιμώττοντα προσωσάμενος ἀνταγωνιστὴν, οὕτω τὴν τοῦ προσώπου δόξαν τῆς περικειμένης καταβαλὼν, πρὸς ἑαυτὸν ἐπισπᾶται τοὺς θεατὰς, ἐκείνην μὲν καταγελᾶσθαι μειζόνως, αὑτὸν δὲ μεθ' ὑπερβολῆς θαυμάζεσθαι παρασκευάζων.

κεφ. ξζ. Τίς ὁ κόσμος τῆς παρθενίας, καὶ τί τὸ κάλλος.

Ἀλλ' οὐχ ὁ τῆς παρθενίας κόσμος τοιοῦτος. οὐ γὰρ λυμαίνεται τῇ περικειμένῃ, ἐπειδὴ μηδὲ ἔστι σωματικὸς, ἀλλὰ τῆς ψυχῆς ὅλος. καὶ διὰ τοῦτο ἄν τε δυσειδὴς ᾖ, μετέβαλε τὴν δυσείδειαν εὐθέως, κάλλος περιθεὶς ἀμήχανον· ἄν τε ὡραία καὶ φαιδρὰ, λαμπροτέραν εἰργάσατο. οὐ γὰρ λίθοι καὶ χρυσὸς, οὐδὲ ἱματίων πολυτέλεια, οὐδὲ χρωμάτων πολυτελῶν ἄνθη διάφορα, οὐδὲ ἄλλο τοιοῦτον οὐδὲν τῶν φθαρτῶν ἐκείνων κοσμεῖ τὰς ψυχάς· ἀλλ' ἀντὶ τούτων νηστεῖαι, παννυχίδες ἱεραὶ, πρᾳότης, ἐπιείκεια, πενία, ἀνδρεία, ταπεινοφροσύνη, καρτερία, πάντων ἁπλῶς * τῶν ἐν τῷ παρόντι βίῳ πραγμάτων ὑπεροψία. καὶ γὰρ ὀφθαλμὸς" αὐτῇ οὕτω μὲν καλὸς καὶ εὐπρεπὴς, ὡς ἀντὶ ἀνθρώπων τὰς ἀσωμάτους δυνάμεις, καὶ τὸν τούτων δεσπότην ἔχειν ἐραστήν· οὕτω δὲ καθαρὸς καὶ διειδὴς, ὡς ἀντὶ τῶν σωματικῶν τὰ ἀσώματα κάλλη δύνασθαι καθορᾶν· οὕτω δὲ ἥμερος καὶ γαληνὸς, ὡς μηδὲ πρὸς τοὺς ἀδικοῦντας καὶ συνεχῶς λυποῦντας ἀγριαίνειν καὶ διανίστασθαι, ἀλλὰ καὶ πρὸς τούτους ἡδὺ καὶ μειλίχιον ἐνορᾶν· κοσμιότης δὲ αὐτῇ τοσαύτη περίκειται, ὡς καὶ τοὺς ἀκολάστους αἰσχύνεσθαι καὶ ἐρυθριᾶν, καὶ τῆς οἰκείας ἐνδιδόναι μανίας, ὅταν πρὸς αὐτὴν ἴδωσιν ἀκριβῶς. ὥσπερ δὲ γυναικὶ κοσμίᾳ τὴν διακονουμένην θεράπαιναν καὶ αὐτὴν εἶναι τοιαύτην ἀνάγκη, κἂν μὴ βούληται· οὕτω καὶ τὴν σάρκα τῆς οὕτω φιλοσόφου ψυχῆς πρὸς τὰ ἐκείνης κινήματα, καὶ τὰς οἰκείας ἀνάγκη ῥυθμίζειν ὁρμάς. καὶ γὰρ ὀφθαλμὸς, καὶ γλῶττα, καὶ σχῆμα, καὶ βάδισις, καὶ πάντα ἁπλῶς πρὸς τὴν ἔνδον εὐταξίαν χαρακτηρίζεται· καὶ καθάπερ μύρον βαρύτιμον κἂν εἰς ἄγγος" ἀποκλείηται, τὸν ἀέρα τῆς οἰκείας ἀναχέουσαν εὐωδίας, οὐ τοὺς ἔνδον καὶ πλησίον ἑστῶτας μόνον, ἀλλὰ καὶ τοὺς ἔξω πάντας ἐμπίπλησι τῆς ἡδονῆς· οὕτω καὶ ἡ τῆς παρθενικῆς ψυχῆς εὐωδία ταῖς αἰσθήσεσι περιρρέουσα, ἐνδείκνυται τὴν ἔνδον ἀποκειμένην ἀρετὴν, καὶ τὰς χρυσᾶς τῆς εὐκοσμίας ἐπιβάλλουσα πᾶσιν ἡνίας, ἐν πολλῇ τῶν ἵππων ἕκαστον εὐρυθμία

ῥυθμία διατηρεῖ· καὶ οὔτε τὴν γλῶτταν ἀφίησιν ἀπηχές τι καὶ ἀνάρμοστον φθέγξασθαι, οὔτε τὸν ὀφθαλμὸν μόνον ἀναισχύντως καὶ ὑπόπτως ἐνιδεῖν, οὔτε τὴν ἀκοὴν δέξασθαί τι τῶν οὐ προσηκόντων μελῶν. καὶ ποδῶν δὲ αὐτῇ μέλει, ὥστε μὴ ἄτακτα βαδίζειν καὶ διατεθρυμμένα, ἀλλ' ἄπλαστόν τινα καὶ ἀνεπιτήδευτον ἔχειν τὴν βάδισιν· καὶ τὸν ἀπὸ τῶν ἱματίων δὲ καλλωπισμὸν περικόψασα καὶ τῷ προσώπῳ παραινεῖ συνεχῶς μὴ διαχεῖσθαι τῷ γέλωτι, ἀλλὰ μηδὲ ἠρέμα μειδιᾶν, ἀλλ' ἐπισκύνιον αἰδέσιμον ἀεὶ καὶ αὐστηρὸν ἐπιδείκνυσθαι, καὶ πρὸς δάκρυα παρεσκευάσθαι διαπαντός, πρὸς γέλωτα δὲ μηδέποτε.

Ὅταν δὲ δακρύων ἀκούσῃς, μηδὲν ὑποπτεύσῃς σκυθρωπόν. τοσαύτην γὰρ ἔχει τὰ δάκρυα ἐκεῖνα τὴν ἡδονήν, ὅσην οὐδὲ ὁ γέλως τοῦ κόσμου τούτου. εἰ δὲ ἀπιστεῖς, ἄκουσον τοῦ Λουκᾶ λέγοντος, Ὅτι μαστιχθέντες οἱ ἀπόστολοι ἀνεχώρουν ἀπὸ προσώπου τοῦ συνεδρίου χαίροντες. καίτοιγε οὐ τοιαύτη τῶν μαστίγων ἡ φύσις. οὐ γὰρ ἡδονὴν καὶ χαράν, ἀλλ' ὀδύνην καὶ πόνον ἐργάζεσθαι εἴωθεν. ἀλλ' ἡ μὲν τῶν μαστίγων φύσις οὐ τοιαύτη· ἡ δὲ εἰς * Χριστὸν πίστις τοιαύτη, ὡς καὶ τῆς φύσεως αὐτῆς τῶν πραγμάτων κρατεῖν. εἰ δὲ μάστιγες ἡδονὴν ἔτεκον διὰ τὸν Χριστόν, τί θαυμαστόν, εἰ καὶ τὰ δάκρυα τοῦτο αὐτὸ ἐργάζεται διὰ τὸν αὐτόν; διὰ τοῦτο τὴν στενὴν καὶ τεθλιμμένην ἐκάλεσεν ὁδόν, ταύτην πάλιν καλεῖ καὶ ζυγὸν χρηστὸν καὶ φορτίον ἐλαφρόν. τῇ μὲν γὰρ φύσει τὸ πρᾶγμα τοιοῦτόν ἐστι· τῇ δὲ τῶν κατορθούντων προαιρέσει καὶ ταῖς ἐλπίσι τῶν χρηστῶν σφόδρα γίνεται κοῦφον. διὸ * τῆς εὐρυχώρου καὶ πλατείας τὴν στενὴν καὶ τεθλιμμένην μετὰ πλείονος ἄν τις ἴδοι προθυμίας ὁδεύοντας τοὺς ἐληλυθότας αὐτήν· οὐ διὰ τὸ μὴ θλίβεσθαι, ἀλλὰ διὰ τὸ τῶν θλίψεων ἀνωτέρους εἶναι, καὶ μηδὲν πάσχειν ὑπ' αὐτῶν, οἷα καὶ τοὺς ἄλλους εἰκός. ἔχει μὲν γὰρ θλίψεις καὶ οὗτος ὁ βίος· ἀλλ' ὅταν αὐτὰς πρὸς τὰς τοῦ γάμου παραβάλωμεν, οὐδὲ θλίψεις χρὴ καλεῖν.

κεφ. ξδ.
Ὅτι ἃ διὰ τὸν Χριστὸν πάσχομεν, κἂν ἀνιαρὰ ᾖ, ἡδονὴν ἔχει.
Πραξ. ε. μα.
Ματθ. ε. ιγ. ια. λ.

Τί γάρ, εἰπέ μοι, παρὰ πάντα τὸν βίον ἡ παρθένος ὑπομένει τοιοῦτον, οἷα καθ' ἕκαστον, ὡς εἰπεῖν, ἐνιαυτὸν ἡ γεγαμημένη, ὠδῖσι καὶ οἰμωγαῖς διακοπτομένη; τοσαύτη γὰρ τῆς ἀλγηδόνος ταύτης ἡ τυραννίς, ὡς καὶ τὴν θείαν γραφήν, ἡνίκα ἂν αἰχμαλωσίαν, καὶ λιμόν, καὶ λοιμόν, καὶ τὰ ἀφόρητα τῶν κακῶν αἰνίττεσθαι βούληται, ὠδῖνας πάντα τὰ τοιαῦτα καλεῖν. καὶ ὁ Θεὸς δὲ ἀντὶ τιμωρίας αὐτὸ καὶ ἀρᾶς ἐπέθηκε τῇ γυναικί· οὐ τὸ τίκτειν λέγω, ἀλλὰ τὸ οὕτω τίκτειν μετὰ πόνων καὶ ὠδίνων. Ἐν λύπαις γάρ, φησι, τέξῃ τέκνα. ἡ δὲ παρθένος ἀνωτέρω ταύτης ἕστηκε τῆς ὠδῖνος καὶ τῆς ἀρᾶς· ὁ γὰρ τὴν ἀπὸ τοῦ νόμου κατάραν λύσας, καὶ ταύτην ἔλυσε μετ' ἐκείνης.

κεφ. ξε.
Ὅτι πάντα τὰ ἐπίπονα τῆς παρθενίας τῶν ὠδίνων μόνον τοῦ γάμου οὐκ ἔστιν ἀντίῤῥοπα.
Γεν. γ. ις.

Ἀλλὰ τὸ περιφέρεσθαι ἐπὶ τῆς ἀγορᾶς ἐπὶ ἡμιόνων ἡδύ; τῦφος τοῦτο περιττὸς μόνον, ἡδονῆς δὲ ἀπεστέρηται πάσης. καὶ ὥσπερ οὔτε τὸ σκότος τοῦ φωτὸς ἄμεινον, οὐδὲ τὸ συγκεκλεῖσθαι τοῦ λελύσθαι, οὕτω τὸ πολλῶν χρήζειν τοῦ μηδενός· οὕτως οὐδὲ αὐτὴ τοῖς οἰκείοις ποσὶ μὴ κεχρημένη ἄμεινον διακείσεται. τὰς γὰρ ἀηδίας, ὅσας ἐκ τούτων ὑπομένειν ἀνάγκη, παρίημι. καὶ γὰρ οὐχ ὅτε βούλεται ἔξεστιν αὐτῇ τῆς οἰκίας προελθεῖν, ἀλλὰ καὶ πολλάκις χρησίμου τινὸς κατεπειγούσης ἐξόδου, οἴκοι μένειν ἀναγκάζεται, καθάπερ τῶν ἐπαιτῶν οἱ τοὺς πόδας ἀποτετμημένοι, καὶ οὐκ ἔχοντες ὅτῳ φέρωνται. κἂν μὲν ὁ ἀνὴρ τύχῃ τὰς ἡμιόνους ἀπασχολήσας, μικροψυχία, καὶ μάχη, καὶ πολλὴ παρασιώπησις· ἂν δὲ αὐτὴ μηδὲν τῶν μελλόντων προορωμένη τὸ αὐτὸ τοῦτο ἐργάσηται, τὸν ἄνδρα ἀφεῖσα, καθ' ἑαυτῆς τρέπει τὸν θυμόν, διατρώγουσα συνεχῶς ὑπὸ τῆς ἐπηρείας ἑαυτήν. καὶ πόσῳ βέλτιον ἦν τοῖς ποσὶ κεχρημένην (διὰ γὰρ τοῦτο ἡμῖν αὐτοὺς ἐποίησεν ὁ Θεός) μηδὲν τούτων ὑπομένειν τῶν δεινῶν, ἢ βουλομένην θρύπτεσθαι, τοσαύτας ἔχειν λύπης καὶ μικροψυχίας ἀνάγκας; οὐδὲ γὰρ αὗται μόναι αἱ προφάσεις αὐτὰς οἴκοι κατέχουσιν, ἀλλὰ κἂν ἀλγῆσαι τοὺς πόδας τύχῃ, ἄν τε ἀμφοτέρας τὰς ἡμιόνους, ἄν τε θατέραν, τὸ αὐτὸ γίνεται· καὶ ὅταν δὲ εἰς πόαν ἀφεθῆναι συμβῇ (συμβαίνει δὲ τοῦτο καθ' ἕκαστον ἐνιαυτόν, καὶ ἐπὶ πολλαῖς ἡμέραις) ἀνάγκη πάλιν οἴκοι μένειν ὥσπερ δεδεμένην, καὶ μηδὲ χρείας

κεφ. ξϛ.
Ὅτι τὸ βαδίζειν τοῦ περιφέρεσθαι ἐπὶ ἡμιόνων ἥδιον.

καλούσης

καὶ λύσεως ἀναγκαίας, ἐξιέναι τῆς οἰκίας. Εἰ δὲ λέγοι τις, ὅτι τοῦ πλήθους ἀπήλλακται τῶν ἐντυγχανόντων, οὐκ ἀναγκαζομένη καθ' ἕκαστον τῶν γνωρίμων ὁρᾶσθαι καὶ ἐρυθριᾶν· σφόδρα ἀγνοεῖν μοι δοκεῖ τὰ ἀπαλλάττοντα, καὶ τὰ περιβάλλοντα τὴν γυναικείαν φύσιν τῇ αἰσχύνῃ. οὔτε γὰρ τὸ φαίνεσθαι, οὔτε τὸ κρύπτεσθαι τοῦτο ποιεῖ, ἀλλὰ τὸ μὲν ἡ κατέχουσα τὴν ψυχὴν ἔνδον προπέτεια· τὸ δὲ ἡ σωφροσύνη καὶ ἡ αἰδώς. Διὰ ταῦτα καὶ τῶν ἀπηλλαγμένων τῆς εἱρκτῆς ἐκείνης πολλαί, καὶ διὰ μέσου τοῦ πλήθους ἐπὶ τῆς ἀγορᾶς βαδίζουσαι, οὐ μόνον οὐκ ἐπεσπάσαντο κατηγόρους, ἀλλὰ καὶ πολλοὺς ἔσχον τῆς σωφροσύνης τοὺς θαυμαστάς, καὶ διὰ τοῦ σχήματος, καὶ διὰ τοῦ βαδίσματος, καὶ διὰ τοῦ τῶν ἱματίων ἀνεπιτηδεύτου, τῆς ἔνδον κοσμιότητος ἀφιεῖσαι τὴν ἀκτῖνα λαμπράν· οὐκ ὀλίγαι δὲ τῶν ἔνδον καθημένων πονηρᾷ δόξῃ περιέβαλον ἑαυτάς. ἔνεστι γὰρ καὶ συγκεκλεισμένην μᾶλλον τῶν φαινομένων τοῖς βουλομένοις ἐπιδείκνυσθαι μετὰ πολλῆς τῆς προπετείας καὶ τῆς ἰταμότητος.

Κεφ. ξζ'.
Ὅτι τὸ πολλὰς ἔχειν θεραπαινίδας, ἀνιαρόν.

Ἀλλ' ἴσως τὸ τῶν θεραπαινίδων πλῆθος ἡδύ; ταύτης μὲν οὐδὲν χεῖρον τῆς ἡδονῆς· τοσαύτας ἔχει τὰς φροντίδας· ἀνάγκη γὰρ ἐφ' ἑκάστῃ καὶ ἀρρωστούσῃ καὶ τελευτώσῃ ταράττεσθαι καὶ ἀθυμεῖν. ἀλλὰ ταῦτα μὲν ἴσως φορητά, καὶ τὰ τούτων ἔτι χαλεπώτερα· οἷον, τὸ καθ' ἑκάστην διατείνεσθαι τὴν ἡμέραν, ῥαθυμίαν ἐπιστρέφουσαν, κακουργίαν ἐγκόπτουσαν, ἀργεισίας παύουσαν, τὴν ἄλλην πᾶσαν αὐτῶν κακίαν παιδαγωγοῦσαν. τὸ δὲ πάντων χαλεπώτερον, ὅπερ μάλιστα ἐν τῷ πλήθει τῆς τοιαύτης θεραπείας συμβαίνειν εἴωθεν, ὅταν ἐν τῇ τῶν θεραπαινίδων ἐκείνων ἀγέλῃ εὐπρεπής τις οὖσα τύχῃ. ἀνάγκη γὰρ τοῦτο πάντως ἐν τῷ πλήθει συμπεσεῖν. οὐδὲ γὰρ ὥστε πολλὰς κτήσασθαι μόνον, ἀλλ' ὥστε καὶ εὐειδεῖς οἱ πλουτοῦντες σπουδάζουσιν. ὅταν οὖν συμβῇ τινα διαλάμπειν ἐν αὐταῖς, ἄν τι ἕλῃ τὸν δεσπότην τῷ φίλτρῳ, ἄν τε μηδὲν περαιτέρω τοῦ θαυμασθῆναι ἰσχύσῃ, τὰ τῆς ὀδύνης ἴσα γίνεται τῇ δεσποίνῃ παρευδοκιμουμένῃ, εἰ καὶ μὴ τῷ πόθῳ, ἀλλὰ τῇ τοῦ σώματος ὥρᾳ, καὶ τῷ θαύματι. ὅταν οὖν τὰ δοκοῦντα εἶναι παρ' αὐτοῖς λαμπρὰ καὶ ζηλωτά, τοσαύτας ἔχῃ τὰς θλίψεις, τί ἄν τις εἴποι περὶ τῶν λυπηρῶν;

Κεφ. ξη'.
Περὶ τῆς ἀταραξίας τῆς τῇ παρθενίᾳ προσιούσης.

Ἀλλ' οὐχ ἡ παρθένος ὑπομένει τούτων οὐδέν, ἀλλ' ἀπήλλακται ταραχῆς τὸ δωμάτιον, καὶ κραυγὴ πᾶσα ἐκποδὼν ἀπελήλαται. ὥσπερ δὲ ἐν εὐδίνῳ λιμένι σιγὴ πάντα κατέχει τὰ ἔνδον, καὶ τῆς σιγῆς πλείων ἑτέρα ἀταραξία τὴν ψυχήν, ἅτε ἀνθρώπινον μὲν οὐδὲν μεταχειρίζουσαν, διαπαντὸς δὲ τῷ Θεῷ διαλεγομένην, καὶ πρὸς αὐτὸν ἀτενέστερον ὁρῶσαν. Τίς ἂν οὖν ταύτην ἀναμετρήσειε τὴν ἡδονήν; ποῖος λόγος τὴν εὐφροσύνην τῆς οὕτω διακειμένης παραστήσειε ψυχῆς; οὐκ ἔστιν οὐδείς· ἀλλ' οἱ τοῦ Κυρίου κατατρυφῶντες, αὐτοὶ μόνοι τὸ μέγεθος ἴσασι ταύτης τῆς τρυφῆς, καὶ πῶς πᾶσαν σύγκρισιν ἐκ πολλοῦ τοῦ περιόντος νικᾷ. ἀλλ' ὁ πολὺς ἄργυρος ὁρώμενος πανταχοῦ πολλὴν παρέχει τὴν τέρψιν τοῖς ὀφθαλμοῖς. καὶ πόσῳ βέλτιον εἰς τὸν οὐρανὸν ἐνορᾶν, καὶ πολλῷ μείζονα ἐκεῖθεν καρποῦσθαι τὴν ἡδονήν; ὅσον γὰρ ὁ χρυσὸς κασσιτέρου καὶ μολύβδου, τοσοῦτον ὁ οὐρανὸς χρυσοῦ καὶ ἀργύρου καὶ πάσης ὕλης λαμπρότερός τέ ἐστι καὶ φαιδρότερος. καὶ αὕτη μὲν χωρὶς φροντίδος ἡ θεωρία, ἐκείνη δὲ μετὰ πολλῆς τῆς μερίμνης· ὃ μάλιστα πανταχοῦ ταῖς ἐπιθυμίαις λυμαίνεται. ἀλλ' οὐ βούλει τὸν οὐρανὸν ἰδεῖν; ἔξεστί σοι τὸν ἐπὶ τῆς ἀγορᾶς κείμενον ἄργυρον ἰδεῖν. Πρὸς ἐντροπὴν ὑμῶν λέγω, κατὰ τὸν μακάριον Παῦλον, ἐπειδὴ οὕτως ἐπτοίησθε πρὸς τὸν τῶν χρημάτων ἔρωτα. ἀλλ' οὐκ ἔχω τί εἴπω. πολλὴ γάρ με ἐνταῦθα κατέχει ἀπορία, καὶ οὐ δύναμαι συνιδεῖν, πόθεν ἄρα, ὡς εἰπεῖν, τὸ τῶν ἀνθρώπων γένος, ὅταν μὲν ἐξῇ μετ' εὐκολίας καὶ ἀνέσεως τέρπεσθαι, οὐδὲ ἡδονὴν τὸ πρᾶγμα τίθενται· ἐν δὲ τῷ φροντίζειν καὶ περισπᾶσθαι καὶ μεριμνᾶν, μάλιστα πάντων ἥδονται. διὰ τί γὰρ αὐτοὺς οὐχ οὕτω τέρπει ὁ κείμενος ἐπὶ τῆς ἀγορᾶς ἄργυρος, ὡς ὁ κατὰ τὴν οἰκίαν; καίτοι λαμπρότερος ἐκεῖνός ἐστι, καὶ μερίμνης ἁπάσης ἐλευθέραν ἀφίησι τὴν ψυχήν. ὅτι, φησίν, ἐκεῖνος μὲν οὐκ ἐμός, οὗτος δὲ ἐμός. ἡ πλεονεξία ἄρα ἐστὶν

α. Κορ. ς. ε.

ἐστὶν ἡ τὴν ἡδονὴν ἔχουσα, οὐχ ἡ τοῦ ἀργύρου φύσις· ἐπεὶ εἰ τοῦτο ἦν, κἀκεῖθεν ὁμοίως τέρπεσθαι ἔδει. εἰ δὲ χρήσεως ἕνεκεν λέγεις, πολλῷ βελτίων ἡ ὕελος· καὶ ταῦτα αὐτοὶ οἱ πλουτοῦντες εἴποιεν ἄν, οἱ τὰ ἐκπώματα ἀπὸ τῆς ὕλης ταύτης ὡς τὰ πολλὰ κατασκευάζοντες. εἰ δὲ διὰ τὸν τῦφον ἀναγκασθεῖεν καὶ ἐξ ἀργύρου τοῦτο ποιῆσαι, ὥσπερ ἔνδοθεν θέντες τὴν ὕελον, οὕτως ἔξωθεν τὸν ἄργυρον περιβάλλουσι, δεικνύντες ὅτι αὕτη μὲν πρὸς πόμα ἡδίων καὶ ἐπιτηδεία, ἐκεῖνος δὲ πρὸς τῦφον μόνον καὶ ἀλαζονείαν περιττή. τί δέ ἐστιν, ὅλως ἐμὸς, καὶ οὐκ ἐμός; ταῦτα γὰρ ὅταν μετὰ ἀκριβείας ἐξετάσω τὰ ῥήματα, ῥήματα μόνον ὁρῶ ψιλά. πολλοὶ μὲν γὰρ καὶ ζῶντες ἀποπηδῶντα αὐτὸν τῆς αὐτῶν δεσποτείας οὐκ ἴσχυσαν κατασχεῖν· οἷς δὲ μέχρι τέλους παρέμεινεν, ἐν τῷ καιρῷ τῆς τελευτῆς καὶ ἑκόντες καὶ ἄκοντες αὐτοῦ τῆς ἐξουσίας ἐξέπεσον. οὐκ ἐπὶ τοῦ ἀργύρου δὲ μόνον*, ἀλλὰ καὶ ἐπὶ τῶν λουτρῶν, καὶ ἐπὶ τῶν παραδείσων, καὶ ἐν ταῖς οἰκίαις τὸ ἐμὸν καὶ οὐκ ἐμὸν τοῦτο, ῥῆμα ἄν τις ἴδοι μόνον ψιλόν. ἡ μὲν γὰρ χρῆσις κοινὴ πάντων ἐστί· πλεονεκτοῦσι δὲ οἱ δοκοῦντες αὐτῶν εἶναι κύριοι τῶν οὐκ ὄντων τὴν ὑπὲρ αὐτῶν φροντίδα. οἱ μὲν γὰρ ἀπολαύουσι μόνον αὐτῶν· οἱ δὲ μετὰ τοῦ ποιεῖσθαι πολλὴν τὴν ἐπιμέλειαν, τὸ αὐτὸ τοῦτο καρποῦνται, ὃ μετὰ τῆς ἀμελείας ἐκεῖνοι.

κεφ. ξθ'. Ὅτι πολλῆς ἀηδίας αἱ πολυτελεῖς γέμουσι τράπεζαι.

Εἰ δέ τις τὴν πολλὴν θαυμάζοι τρυφὴν, οἷον τὸ τῶν κατακοπτομένων πλῆθος κρεῶν, τὴν περιττὴν τοῦ οἴνου δαπάνην, τῶν καρυκευμάτων τὴν περιεργίαν, τραπεζοποιῶν καὶ σιτοποιῶν τέχνας, παρασίτων καὶ δαιτυμόνων ὄχλον, εὖ ἴσθι ὅτι τῶν μαγείρων αὐτῶν οὐδὲν ἄμεινον ἐν τοῖς τοιούτοις οἱ πλουτοῦντες διάκεινται). καθάπερ γὰρ ἐκεῖνοι τοὺς δεσπότας, οὕτω τοὺς κεκλημένους αὐτοὶ δεδοίκασι, μή τινος ἐπιλάβωνται τῶν μετὰ πολλοῦ πόνου καὶ δαπάνης παρασκευασθέντων αὐτοῖς. καὶ τούτῳ μὲν ἐξισοῦνται τοῖς μαγείροις, καθ' ἕτερον δὲ καὶ πλεονεκτοῦσιν αὐτῶν ἐκεῖνοι. οὐ γὰρ μόνον κατηγόρους, ἀλλὰ καὶ βασκάνους δεδοίκασι. πολλοῖς γὰρ πολλάκις ἀπὸ τῶν τοιούτων συμποσίων ἐτέχθη φθόνος, καὶ οὐ περαιτέρω ἔστη, ἕως κινδύνους ἐπήγαγε τοὺς ἐσχάτους. ἀλλὰ σιτεῖσθαι πολλὰ πολλάκις ἡδύ; ἄπαγε· ὅταν καρηβαρίαι, καὶ γαστρὸς ″ διάτασις, καὶ πνεύματος ″ ἔμφραξις, καὶ σκοτοδινίαι, καὶ ἴλιγγοι, καὶ ἀχλύες, καὶ τὰ ἔτι τούτων ἀτοπώτερα ἀπὸ τῆς τρυφῆς ταύτης ἀναβλαστάναι δεινά. καὶ εἴθε μέχρι τῶν περὶ ἡμέραν λυπηρῶν τὰ τῆς ἀσχημοσύνης ἐκείνης καὶ τὰ τῆς ζημίας ἵστατο μόνον· νυνὶ δὲ αἱ μάλιστα τῶν νόσων δυσίατοι ἀπὸ τῶν τοιούτων τραπεζῶν ἔχουσι τὴν ἀρχήν. καὶ γὰρ ποδαλγία, καὶ φθίη, καὶ νόσος, καὶ παράλυσις, καὶ πολλὰ ἔτι τούτων χαλεπώτερα ἀπολαβόντα τὸ σῶμα πολιορκεῖ εἰς ἐσχάτας ἀναπνοάς. τίνα οὖν ἄν τις ἔχοι τούτων ἀντίρροπον τῶν κακῶν ἡδονὴν εἰπεῖν; ποίαν δὲ οὐκ ἄν τις ἕλοιτο σκληραγωγίαν ὑπὲρ τῆς τούτων ἀπαλλαγῆς;

κεφ. ο'. Ὅτι χρησιμώτερον καὶ ἥδιον τὸ μὴ τρυφᾶν τοῦ τρυφᾶν.

Ἀλλ' οὐχ ἡ εὐτέλεια τοιαύτη, ἀλλὰ πόρρω τούτων ″ ἀφέστηκε τῶν δυσχερῶν, ὑγιείας καὶ εὐεξίας οὖσα ποιητική. εἰ δὲ καὶ ἡδονήν τις ἐπιζητοίη, καὶ ταύτην παρ' αὐτῇ μείζονα οὖσαν εὑρήσει τῆς τρυφῆς. καὶ πρότερον μὲν ἀπὸ τοῦ ἐρρῶσθαι, καὶ μηδενὶ τῶν κακῶν ἐνοχλεῖσθαι ἐκείνων, ὧν ἕκαστον καὶ καθ' ἑαυτὸ πᾶσαν ἱκανὸν σβέσαι καὶ ἀνατρέψαι ἐκ βάθρων ἡδονήν· δεύτερον δὲ καὶ ἀπὸ τῶν σιτίων αὐτῶν. πῶς; ὅτι ἡδονῆς ποιητικὸν ἐπιθυμία· ἐπιθυμίαν δὲ οὐχ ὁ κόρος, οὐδὲ ἡ πλησμονὴ, ἀλλ' ἡ ἔνδεια καὶ ἡ σπάνις ποιεῖ. αὕτη δὲ οὐκ ἐν ἐκείνοις τοῖς συμποσίοις τοῖς τῶν πλουτούντων, ἀλλ' ἐν τοῖς τῶν πενομένων ἀεὶ πάρεστι, παντὸς τραπεζοποιοῦ καὶ μαγείρου μᾶλλον ἐπιστάζουσα πολὺ τοῖς προκειμένοις τὸ μέλι. οἱ μὲν γὰρ πλουτοῦντες οὔτε πεινῶντες ἐσθίουσι, καὶ χωρὶς τοῦ διψῆν πίνουσι, καὶ πρὶν σφοδρῶς αὐτοῖς ἐπελθεῖν τὴν ἀνάγκην τοῦ ὕπνου καθεύδουσιν· οὗτοι δὲ ἐν χρείᾳ τούτων καθιστάμενοι πρότερον, οὕτως αὐτῶν μετέχουσιν· ὃ μάλιστα πάντων αὔξει τὰ τῆς ἡδονῆς. διατί γὰρ, εἰπέ μοι, καὶ ὁ Σολομὼν τὸν ὕπνον τοῦ δούλου φησὶν εἶναι ἡδὺν, οὑτωσὶ λέγων· Ἡδὺς ὕπνος τῷ δούλῳ, ἄν τε πολὺ, ἄν τε ὀλίγον φάγῃ; ἆρα διὰ τὴν στρωμνὴν τὴν ἁπαλήν; καὶ μὴν ἐπὶ ἐδάφους, ἢ ἐπὶ

Ἐκκλησ. ε. 11.

στιβάδος

σιβάδος οἱ πλείους καθεύδουσιν. ἀλλὰ διὰ τὴν ἄδειαν; ἀλλ' οὐδὲ μικρᾶς καιροῦ ῥοπῆς εἰσὶ κύριοι. ἀλλὰ διὰ τὴν ῥᾳστώνην; ἀλλ' οὐ διαλιμπάνουσι μόχθοις κατατεινόμενοι καὶ ταλαιπωρίαις. τί ποτ' οὖν ἐστι τὸ ποιοῦν τὸν ὕπνον ἡδίω, ἢ τὸ πρότερον εἰς χρείαν καταστάντας οὕτως αὐτοῦ μεταλαμβάνειν; τοὺς δὲ πλουτοῦντας, ἂν μὴ μέθῃ βαπτισθέντας ἡ νὺξ καταλάβῃ, ἀνάγκη διαπαντὸς ἀγρυπνεῖν καὶ ἐπιστρέφεσθαι καὶ ἀλύειν ἐπὶ τῶν μαλακῶν κειμένους στρωμάτων.

Κεφ. οα. Ὅτι καὶ ψυχὴν λυμαίνεται ἡ τρυφή.

Ἐνῆν καὶ ἑτέρωθεν δεῖξαι τῆς τρυφῆς τὴν ἀηδίαν, καὶ τὴν ζημίαν, καὶ τὴν ἀσχημοσύνην, τὰς νόσους καταλέγοντα, ὅσας ἐναπομόργνυται τῇ ψυχῇ, πολλῷ πλείους καὶ χαλεπωτέρας οὔσας τῶν σωματικῶν. καὶ γὰρ μαλακούς, καὶ ἀνάνδρους, καὶ θρασεῖς, καὶ ἀλαζόνας, καὶ ἀσελγεῖς, καὶ ὑβριστάς, καὶ ἀκολάστους, καὶ ἀκροχόλους, καὶ ὠμούς, καὶ ἀγεννεῖς, καὶ πλεονέκτας, καὶ δουλοπρεπεῖς, καὶ πρὸς ἅπαν εἰπεῖν τῶν χρησίμων καὶ ἀναγκαίων ἀχρήστους καθίστησιν· ὧν τἀναντία πάντα ἡ αὐτάρκεια ποιεῖ. ἀλλὰ νῦν πρὸς ἕτερον ἡμῖν ὁ λόγος ἐπείγεται. διὸ μόνον ἐκεῖνο προσθέντες, τῶν ἀποστολικῶν πάλιν ἀψώμεθα ῥημάτων. εἰ γὰρ τὰ δοκοῦντα εἶναι ζηλωτὰ τοσούτων γέμει κακῶν, καὶ τοσοῦτον τῇ ψυχῇ καὶ τῷ σώματι τὸν νιφετὸν ἐπάγει τῶν νοσημάτων, πῶς τὰ λυπηρὰ οἰσόμεθα; οἷον ἀρχόντων φόβους, δήμων ὁρμάς, συκοφαντῶν καὶ βασκάνων ἐπιβουλάς· ἃ μάλιστα τοὺς πλουτοῦντας περιστοιχίζεται· ἐν οἷς καὶ τὰς γυναῖκας μειζόνως τῶν κακῶν ἀνάγκη κοινωνεῖν, διὰ τὸ μὴ γενναίως τὰς τοιαύτας φέρειν μεταβολάς.

Κεφ. οβ. Ὅτι μετὰ τῶν ἄλλων κακῶν καὶ τὰς μεταβολὰς ἀφορήτους ποιεῖ τὸ τρυφᾶν.

Καὶ τί λέγω γυναῖκας; καὶ γὰρ αὐτοὶ οἱ ἄνδρες ταλαιπώρως ὑπὸ τῶν τοιούτων ἁλίσκονται. ὁ μὲν γὰρ ἐν αὐταρκείᾳ ζῶν οὐδεμίαν μετάπτωσιν δέδοικεν· ὁ δὲ ἐν ἐκείνῳ τῷ ὑγρῷ καὶ διακεχυμένῳ βίῳ δαπανηθείς, εἴποτε συμβαίη κατὰ περίστασίν τινα καὶ ἀνάγκην παραδοθῆναι πενίᾳ, τεθνήξεται πρότερον, ἢ ταύτην οἴσει τὴν μεταβολήν, διὰ τὸ ἀμελέτητον καὶ ἀγύμναστον. διὰ ταῦτα ὁ μακάριος Παῦλος ἔλεγε· Θλῖψιν τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι· ἐγὼ δὲ ὑμῶν φείδομαι. εἶτα μετὰ τοῦτο φησίν· ὁ καιρὸς συνεσταλμένος τὸ λοιπόν ἐστι.

α. Κορ. ζ. κη.

Κεφ. ογ. Ὅτι οὐ γάμου καιρὸς ὁ παρών.

Καὶ τί τοῦτο πρὸς τὸν γάμον, ἴσως ἂν εἴποι τις; καὶ σφόδρα μὲν οὖν πρὸς αὐτόν. εἰ γὰρ ἐν τῷ παρόντι βίῳ συγκέκλεισαι, ἐν δὲ τῷ μέλλοντι οὔτε γαμοῦσιν, οὔτε γαμίζονται, ὁ δὲ παρὼν καιρὸς πρὸς τὸ τέλος ἐπείγεται, καὶ ἐπὶ θύραις τὰ τῆς ἀναστάσεως ἕστηκεν, οὐ γάμων καιρός, οὐδὲ κτημάτων, ἀλλ' ἐνδείας καὶ τῆς ἄλλης φιλοσοφίας ἁπάσης τῆς ἐκεῖ χρησιμευούσης ἡμῖν. ὥσπερ γὰρ ἡ παρθένος, ἕως μὲν ἂν οἴκοι μένῃ μετὰ τῆς μητρός, πολλὴν τῶν παιδικῶν ἀθυρμάτων ποιεῖται φροντίδα, καὶ κιβώτιον ἐν τῷ ταμιείῳ καταθεμένη, τῶν ἀποκειμένων ἐκεῖ τὴν κλεῖν αὐτὴ κέκτηται, καὶ τὴν ἐξουσίαν ἅπασαν ἔχει, καὶ τοσαύτην ὑπὲρ τῆς τῶν μικρῶν ἐκείνων καὶ φαύλων φυλακῆς ἀναδέχεται μέριμναν, ὅσην οἱ τὰς μεγάλας ἐπιτροπεύοντες οἰκίας· ἐπειδὰν δὲ μνηστεύεσθαι δέῃ, καὶ ὁ τοῦ γάμου καιρὸς ἀναγκάζῃ τὴν πατρῴαν οἰκίαν ἀφεῖναι, τότε τῆς εὐτελείας ἐκείνης ἀπαλλαγεῖσα καὶ τῆς ταπεινότητος, οἰκίας προστασίαν, καὶ κτημάτων καὶ ἀνδραπόδων πλῆθος, καὶ ἀνδρὸς θεραπείαν, καὶ τὰ ἄλλα τὰ τούτων μείζονα μεριμνᾶν ἀναγκάζεται· οὕτω καὶ ἡμᾶς χρή, ἐπειδὰν πρὸς τὸν τέλειον ἀγώμεθα βίον καὶ τὸν ἀνδράσι προσήκοντα, τὰ ἐπὶ τῆς γῆς πάντα ἀφέντας τὰ ὄντως παιδικὰ ἀθύρματα, φαντάζεσθαι τὸν οὐρανὸν καὶ τῆς ἐκεῖ διατριβῆς τὴν λαμπρότητα καὶ τὴν δόξαν ἅπασαν. ἡρμόσθημεν γὰρ καὶ ἡμεῖς νυμφίῳ οὕτω ζητοῦντι παρ' ἡμῶν ἀγαπᾶσθαι, ὡς μὴ τῶν ἐν τῇ γῇ μόνον, μηδὲ τῶν μικρῶν τούτων καὶ εὐτελῶν, ἀλλὰ καὶ τῆς ψυχῆς αὐτῆς ἀφίστασθαι δι' αὐτόν, ὅταν δέῃ. ἐπεὶ οὖν ἐκεῖ λοιπὸν ἀπιέναι χρή, ἀπαλλάξωμεν ἑαυτοὺς τῆς φροντίδος τῆς εὐτελοῦς. οὐδὲ γὰρ εἰς βασιλείαν μεθίστασθαι μέλλοντες ἀπὸ πενιχρᾶς οἰκίας, κεραμίδων, καὶ ξύλων, καὶ ἐπίπλων, καὶ τῆς ἄλλης τῆς κατὰ τὴν οἰκίαν ἐφροντίσαμεν ἂν πενίας. μὴ τοίνυν μηδὲ νῦν τὰ ἐν τῇ γῇ μεριμνῶμεν. ὁ γὰρ καιρὸς ἡμᾶς ἤδη καλεῖ πρὸς τὸν οὐρανόν· καθάπερ καὶ Ῥωμαίοις ἐπιστέλλων ὁ μακάριος Παῦλος ἔλεγε· Νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε

Ρωμ. ιγ. ια.

ἐπιστεύσαμεν

ἐπὶ θύραις ἑστήκαμεν· ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικε. καὶ πάλιν ἐνταῦθα· Ὁ καιρὸς συνεσταλμένος τὸ λοιπόν ἐστιν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες ὦσι. τί οὖν δεῖ γάμου τοῖς οὐ μέλλουσιν ἀπολαύσεσθαι γάμου, ἀλλ' ἐν ἴσῳ τοῖς οὐκ ἔχουσι διακείσεσθαι; τί δὲ χρημάτων; τί δὲ κλημάτων; τί δὲ τῶν βιωτικῶν, τῆς χρήσεως αὐτῶν ἀώρου λοιπὸν οὔσης καὶ παρακαίρου; Εἰ γὰρ οἱ μέλλοντες δικαστηρίῳ παραστήσεσθαι τῷ παρ' ἡμῖν, καὶ λόγον ὑφέξειν τῶν πεπλημμελημένων, τῆς κυρίας προθεσμίας ἐγγύς, οὐ γυναικὸς μόνον, ἀλλὰ καὶ σιτίων καὶ ποτῶν καὶ πάσης ἑαυτοὺς ἀποστήσαντες φροντίδος, τῆς ἀπολογίας γίνονται μόνης· πολλῷ μᾶλλον ἡμᾶς τοὺς οὐκ ἐπιγείῳ τινὶ δικαστηρίῳ, ἀλλ' οὐρανίῳ βήματι παραστήσεσθαι μέλλοντας, καὶ ῥημάτων καὶ πραγμάτων καὶ ἐννοιῶν εὐθύνας ὑφέξειν, πάντων ἀφίστασθαι χρή, καὶ χαρᾶς καὶ λύπης τῆς ἐπὶ τοῖς παροῦσι πράγμασι, καὶ τὴν φοβερὰν μόνην ἐκείνην ἡμέραν μεριμνᾶν. Εἴ τις γάρ, φησιν, ἔρχεται πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα, καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα, καὶ τοὺς ἀδελφούς, καὶ τὰς ἀδελφάς, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχήν, οὐ δύναταί μου μαθητὴς εἶναι· καὶ ὅστις οὐ βαστάζει τὸν σταυρὸν αὐτοῦ, καὶ ἔρχεται ὀπίσω μου, οὐ δύναταί μου εἶναι μαθητής. σὺ δὲ παρακάθη σχολάζων ἐπιθυμίαις γυναικός, καὶ γέλωτι, καὶ διαχύσει, καὶ τρυφῇ; ὁ Κύριος ἐγγύς. σὺ δὲ ὑπὲρ χρημάτων φροντίζεις, καὶ μεριμνᾷς; ἡ βασιλεία τῶν οὐρανῶν ἐφέστηκε. σὺ δὲ περὶ οἰκίας, καὶ τρυφῆς, καὶ τῆς ἄλλης σκοπεῖς ἡδονῆς; Παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου. τί οὖν κόπτεις σαυτὸν ἐν τοῖς τοῦ κόσμου πράγμασι τοῖς οὐ μένουσιν, ἀλλὰ δαπανωμένοις, τῶν μενόντων καὶ βεβαίων ἀμελῶν; οὐκέτι γάμος, οὐκέτι ὠδῖνες, οὐχ ἡδονὴ καὶ μίξις, οὐ χρημάτων εὐπορία, οὐδὲ κλημάτων ἐπιμέλεια, οὐ τροφή, οὐδὲ ἐνδύματα, οὐ γεωργίαι καὶ ναυτιλίαι, οὐ τέχναι, οὔτε οἰκοδομαί, οὐ πόλεις, οὐδὲ οἰκίαι, ἀλλ' ἑτέρα τις κατάστασις καὶ διαγωγή. Ταῦτα δὲ πάντα μικρὸν ὕστερον ἀπόλλυται· τοῦτο γάρ ἐστι*, παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου. τί τοίνυν ὡς τοὺς αἰῶνας ἅπαντας ἐνθάδε μένοντες, οὕτω πᾶσαν σπουδὴν ἐπιδεικνύμεθα, ὑπὲρ πραγμάτων μεριμνῶντες, ὧν πρὸ τῆς ἑσπέρας πολλάκις ἀποστησόμεθα; τί τὸν μοχθηρὸν αἱρούμεθα βίον, ἐπὶ τὸν ἀπράγμονα καλοῦντος ἡμᾶς τοῦ Χριστοῦ; θέλω γάρ, φησιν, ὑμᾶς ἀμερίμνους εἶναι. ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου.

Λουκ. ιδ. κϛ.

α. Κορ. ζ. λα.

Πῶς οὖν ἡμᾶς ἀμερίμνους εἶναι βούλει, εἰς ἑτέραν πάλιν ἐμβαλὼν φροντίδα; ὅτι οὐ τὸ φροντίζειν τοῦτό ἐστιν, ὥσπερ οὖν οὐδὲ θλίβεσθαι τὸ διὰ τὸν Χριστὸν θλίβεσθαι· οὐ διὰ τὸ μεταβάλλεσθαι τὴν τῶν πραγμάτων φύσιν, ἀλλὰ διὰ τὴν προαίρεσιν τῶν ταῦτα φερόντων μετ' ἡδονῆς καὶ τῆς τῶν πραγμάτων φύσεως κρατεῖν. ὁ μὲν γὰρ ὑπὲρ τούτων φροντίζων, ὧν οὐκ εἰς μακρὸν ἀπολαύσεται χρόνον, πολλάκις δὲ οὐδὲ εἰς βραχύν, εἰκότως ἂν λέγοιτο μεριμνᾶν· ὁ δὲ μείζονας τῶν φροντίδων ἀποληψόμενος τοὺς καρπούς, ἐν τοῖς ἀμερίμνοις πάντη* δικαίως ἂν τάττοιτο λόγῳ. καὶ τούτων δὲ χωρὶς τοσοῦτον τῆς μερίμνης ἑκατέρας τὸ μέσον, ὡς μηδὲ μέριμναν ταύτην ἐκείνῃ παραβαλλομένην νομίζεσθαι· οὕτω κουφοτέρα τέ ἐστιν ἐκείνης καὶ σφόδρα εὐκολωτέρα. καὶ ταῦτα ἅπαντα διὰ τῶν ἔμπροσθεν ἀπεδείξαμεν λόγων. ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου. ἀλλ' ὁ μὲν παράγει, ὁ δὲ μένει. τοῦτο οὖν μόνον οὐχ ἱκανὸν δεῖξαι τὸ τῆς παρθενίας ἀξίωμα; ὅσον γὰρ ὁ Θεὸς πρὸς τὸν κόσμον τὸ διάφορον, τοσοῦτον αὕτη βελτίων ἐκείνης ἡ φροντίς. πῶς οὖν συγχωρεῖ τὸν γάμον, τὸν προσηλοῦντα ἡμᾶς ταῖς φροντίσι, καὶ τῶν πνευματικῶν ἀπάγοντα; διὰ γὰρ τοῦτό, φησιν, εἶπον, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες ὦσιν· ἵνα οἱ φθάσαντες ἤδη δεθῆναι, ἢ καὶ μέλλοντες, ἑτέρῳ τινὶ τρόπῳ χαυνότερον ἐργάσωνται τὸν δεσμόν. ἐπειδὴ γὰρ διαρρῆξαι αὐτὸν οὐκ ἔνι περιβληθέντα ἅπαξ, ἀνεκτότερον αὐτὸν ποιήσουσιν. ἔξεστι γάρ, ἂν βουλώμεθα, πάντα περικόπτειν τὰ περιττά, καὶ μὴ μείζονος τῶν

κεφ. οδ.
Πῶς θέλων ἡμᾶς ἀμερίμνους εἶναι κελεύει μεριμνᾶν.

ἀπὸ τῆς τοῦ πράγματος φύσεως τικτομένων φροντίδων, τὰ παρὰ τῆς ἡμετέρας προστιθέναι νωθείας.

κεφ. οε'. Πῶς ἐστιν ἔχοντα γυναῖκα μὴ ἔχειν.

Εἰ δὲ καὶ σαφέστερόν τις θέλοι μαθεῖν, τί ποτέ ἐστιν, ἔχοντα γυναῖκα μὴ ἔχειν, τοὺς οὐκ ἔχοντας ἐννοείτω, τοὺς ἐσταυρωμένους, πῶς διάκεινται. πῶς οὖν ἐκεῖνοι διάκεινται; οὐ θεραπαινίδων ἀναγκάζονται πλῆθος ὠνεῖσθαι, οὐ χρυσία καὶ περιδέραια, οὐκ οἰκίας λαμπρὰς καὶ μεγάλας, οὐ πλέθρα γῆς τόσα καὶ τόσα· ἀλλὰ ταῦτα πάντα ἀφέντες, ὑπὲρ ἱματίου φροντίζουσιν ἑνὸς, καὶ τροφῆς τῆς αὐτῆς. ἔξεστι καὶ τῷ γυναῖκα ἔχοντι εἰς ταύτην ἑαυτὸν ἀγαγεῖν τὴν φιλοσοφίαν. τὸ γὰρ ἀνωτέρω λεχθὲν, τὸ, μὴ ἀποστερεῖτε ἀλλήλους, περὶ μίξεως εἴρηται μόνης. ἐν τούτῳ γὰρ ἐπ' ἴσης ἀλλήλοις κελεύει, καὶ οὐδένα ἀφίησιν ἑαυτοῦ κύριον εἶναι. ἔνθα δὲ ἂν δέῃ τὴν ἄλλην φιλοσοφίαν ἀσκεῖν, τὴν ἐν τοῖς ἱματίοις, τὴν ἐν τῇ διαίτῃ, τὴν ἐν τοῖς ἄλλοις ἅπασιν, οὐκέτι θατέρῳ λοιπὸν ὁ ἕτερος ὑπεύθυνος γίνεται, ἀλλ' ἔξεστι τοῖς ἀνδράσι, κἂν ἡ γυνὴ μὴ βούληται, περικόψαι τρυφὴν ἅπασαν καὶ τῶν περιρρεόντων τὸν φροντίδων ὄχλον· καὶ γυναικὶ πάλιν ὁμοίως οὐδεμία ἀνάγκη μὴ βουλομένῃ καλλωπίζεσθαι, καὶ κενοδοξεῖν, καὶ περιττὰ μεριμνᾶν. εἰκότως. ἐκείνη μὲν γὰρ ἡ ἐπιθυμία φυσική τίς ἐστι, καὶ διὰ τοῦτο πολλῆς ἔτυχε τῆς συγγνώμης, καὶ οὐκ ἔστι κύριος ὁ ἕτερος ἀποστερεῖν τὸν ἕτερον μὴ βουλόμενον· ἡ δὲ τῆς τρυφῆς καὶ τῆς θεραπείας τῆς περιττῆς καὶ τῆς φροντίδος τῆς ἀνονήτου οὐκ ἀπὸ τῆς φύσεως ὁρμᾶται, ἀλλ' ἀπὸ τῆς ῥᾳθυμίας καὶ τῆς πολλῆς ὕβρεως τίκτεται. διὰ ταῦτα οὐκ ἀναγκάζει καὶ ἐν τούτοις τοὺς γεγαμηκότας ὑποκεῖσθαι ἀλλήλοις, καθάπερ καὶ ἐν ἐκείνοις. τοῦτο τοίνυν ἐστὶν, ἔχοντα γυναῖκα μὴ ἔχειν, ὅταν τὰς περιττὰς φροντίδας τὰς διὰ τὸν ἀκκισμὸν καὶ τὴν διὰ θρύψιν γινομένας τῶν γυναικῶν μὴ δεχώμεθα, ἀλλὰ τοσαύτην λάβωμεν προσθήκην φροντίδος, ὅσην εἰκὸς μιᾶς ψυχῆς προστεθείσης ἡμῖν, καὶ ταύτης φιλοσόφως καὶ εὐτελῶς ζῆν προῃρημένης. ὅτι γὰρ τοῦτό φησι, διὰ τῆς ἐπαγωγῆς ἐδήλωσε· Καὶ οἱ κλαίοντες, ὡς μὴ κλαίοντες, καὶ οἱ χαίροντες ἐν κτήσεσιν, ὡς μὴ χαίροντες. οἱ γὰρ μὴ χαίροντες οὐδὲ τῆς κτήσεως ἐπιμελήσονται, καὶ οἱ μὴ κλαίοντες οὔτε τὴν πενίαν δυνήσονται φρίττειν, οὔτε τὴν αὐτάρκειαν ἀποστρέφεσθαι. τοῦτό ἐστιν ἔχειν γυναῖκα, καὶ μὴ ἔχειν· τοῦτό ἐστι κεχρῆσθαι τῷ κόσμῳ, καὶ μὴ καταχρῆσθαι. ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου. ὅταν οὖν καὶ ἐνταῦθα καὶ ἐκεῖ μέριμνα ᾖ, καὶ ἐνταῦθα μὲν εἰκῇ καὶ μάτην, μᾶλλον δὲ καὶ ἐπὶ λύπῃ καὶ θλίψει (θλίψιν γὰρ τῇ σαρκί, φησιν, ἕξουσιν οἱ τοιοῦτοι) ἐκεῖ δὲ ἐπὶ τοῖς ἀπορρήτοις ἀγαθοῖς· τί μὴ ταύτην αἱρούμεθα μᾶλλον τὴν φροντίδα, οὐ τῷ τοιαύτας καὶ τοσαύτας ἔχειν τὰς ἀντιδόσεις, ἀλλὰ καὶ τῇ φύσει κουφοτέραν οὖσαν ἐκείνης; τί γὰρ ἡ μὴ γαμηθεῖσα μεριμνᾷ; ἆρα ὑπὲρ χρημάτων, ὑπὲρ οἰκετῶν, ὑπὲρ οἰκονόμων, ὑπὲρ ἀγρῶν, καὶ τῶν ἄλλων; μαγείροις ἐφέστηκε, καὶ ὑφάνταις, καὶ τῇ λοιπῇ θεραπείᾳ; ἄπαγε· οὐδὲν τούτων εἰς νοῦν βάλλεται· ἀλλ' ἓν φροντίζει, μόνην τὴν αὐτῆς οἰκοδομεῖν ψυχὴν, καὶ τὸν ναὸν ἐκεῖνον τὸν ἅγιον κοσμεῖν οὐκ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, οὐκ ἐπιτρίμμασιν, οὐδὲ ὑπογραφαῖς, οὐ ταῖς ἄλλαις δυσκολίαις καὶ μοχθηρίαις, ἀλλὰ τῇ ἁγιωσύνῃ τῇ κατὰ σῶμα καὶ κατὰ πνεῦμα. ἡ δὲ γαμήσασα, φησὶ, μεριμνᾷ πῶς ἀρέσει τῷ ἀνδρί. σφόδρα συνετῶς οὐκ ἦλθεν ἐπὶ τὴν τῶν πραγμάτων αὐτῶν ἐξέτασιν, οὐδὲ εἶπεν ὅσα πάσχουσι γυναῖκες ὑπὲρ τῆς εἰς τοὺς ἄνδρας ἀρεσκείας καὶ τῷ σώματι καὶ τῇ ψυχῇ, τὸ μὲν βασανίζουσαι καὶ κονιῶσαι, καὶ ἑτέραις κολάσεσι κατατείνουσαι, τὴν δὲ ἀνελευθερίας, κολακείας, ὑποκρίσεως, μικροψυχίας, φροντίδων περιττῶν καὶ ἀνονήτων πληροῦσαι· ἀλλὰ μιᾷ ῥήσει πάντα ταῦτα αἰνιξάμενος, ἀφῆκε τῷ συνειδότι τῶν ἀκουόντων αὐτὰ ἀναλογίσασθαι. καὶ δείξας οὕτω τῆς παρθενίας τὴν ὑπεροχὴν, καὶ πρὸς αὐτὸν ἄρας αὐτὴν τὸν οὐρανὸν, πάλιν μετατίθησιν ἐπὶ τὴν τοῦ γάμου συγχώρησιν τὸν λόγον, πανταχοῦ δεδοικὼς, μή τις τὸ πρᾶγμα

α. Κορ. ζ. λ.

μα ἐπίταγμα εἶναι νομίσῃ. διόπερ οὐδὲ ἠρκέσθη ταῖς προτέραις παραινέσεσιν, ἀλλ' εἰπών· ἐπιταγὴν Κυρίου οὐκ ἔχω· καί, ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε· πάλιν ἐνταῦθά φησιν, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω.

κεφ. ος. Ὅτι οὐχ ἡ παρθενία βρόχος, ἀλλὰ τὸ ἐν ἡμῖν ἀπρόθυμον.

Τοῦτο οὖν καὶ διαπορήσειεν ἄν τις εἰκότως, πῶς ἀνωτέρω λύσιν δεσμοῦ τὸ πρᾶγμα καλῶν, καὶ πρὸς τὸ συμφέρον ἡμῖν αὐτὸ συμβουλεύειν λέγων, καὶ ἵνα θλῖψιν μὴ ἔχωμεν, καὶ ἵνα ἀμέριμνοι ὦμεν, καὶ ἐπειδὴ φείδεται ἡμῶν, καὶ διὰ τούτων ἁπάντων δεικνὺς τὸ κοῦφον αὐτοῦ καὶ φορητόν, ἐνταῦθά φησιν· οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω. τί οὖν ἐστιν; οὐ τὴν παρθενίαν βρόχον ἐκάλεσεν (ἄπαγε) ἀλλὰ τὸ μετὰ βίας καὶ ἀνάγκης αἱρεῖσθαι τοῦτο τὸ καλόν. καὶ γὰρ οὕτως ἔχει· πᾶν, ὅπερ ἂν βιαζόμενος καὶ μετὰ τοῦ μὴ βούλεσθαι καταδέχηταί τις, κἂν σφόδρα κοῦφον ᾖ, πάντων ἀφορητότερον ἐστί, καὶ ἀγχόνης χαλεπώτερον τὴν ἡμετέραν ἀποπνίγει ψυχήν. διὰ τοῦτο εἶπεν, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, τουτέστιν, ἅπαντα τὰ καλὰ τῆς παρθενίας εἶπον καὶ ἀπέδειξα· καὶ μετὰ ταῦτα ὅμως ἅπαντα τὴν αἵρεσιν ὑμῖν ἐπιτρέπω τοῦ πράγματος, οὐχὶ μὴ βουλομένους ἕλκω πρὸς τὴν ἀρετήν. οὐδὲ γὰρ ὑμᾶς θλῖψαι βουλόμενος ταῦτα συνεβούλευσα, ἀλλ' ὥστε μὴ τὴν εὐσχήμονα προσεδρίαν ὑπὸ τῶν βιωτικῶν ἐκκοπῆναι πραγμάτων. σὺ δέ μοι θέα κἀνταῦθα τοῦ Παύλου τὴν σύνεσιν, πῶς ταῖς παραιτήσεσι πάλιν παραίνεσιν ἐπεισήγαγε, καὶ διὰ τῆς συγχωρήσεως συμβουλήν. τῷ γὰρ εἰπεῖν, οὐκ ἀναγκάζω, ἀλλὰ παραινῶ, καὶ προσθεῖναι διὰ τὸ εὔσχημον καὶ εὐπρόσεδρον, ἔδειξε τῆς παρθενίας τὸ θαυμαστὸν καὶ τὸ κέρδος ὅσον ἡμῖν ἐν τῇ κατὰ Θεὸν ἀπ' αὐτῆς ἐστι πολιτείᾳ. οὐ γὰρ ἔνι τὴν βιωτικαῖς ἐμπεπλεγμένην φροντίσι, καὶ πανταχοῦ περιελκομένην εὐπρόσεδρον εἶναι, τῆς σπουδῆς καὶ τῆς σχολῆς ἁπάσης εἰς πολλὰ μεριζομένης, εἰς ἄνδρα, λέγω, καὶ οἰκίας ἐπιμέλειαν καὶ τῶν ἄλλων ἁπάντων, ἅπερ ὁ γάμος ἐπισύρεσθαι εἴωθε.

κεφ. οζ. Ὅτι ἡ τὰ βιωτικὰ μεριμνῶσα, οὐκ ἂν εἴη παρθένος.

Τί οὖν, φησίν, ὅταν καὶ ἡ παρθένος πολλὰ πραγματεύηται, καὶ μερίμνας ἔχῃ βιωτικάς; ἄπαγε, ἔξω ταύτην ἑλκύσας τοῦ τῶν παρθένων χοροῦ. οὐ γὰρ ἀρκεῖ τὸ μὴ γαμηθῆναι ποιῆσαι παρθένον, ἀλλὰ δεῖ καὶ τῆς ψυχικῆς ἁγνείας. ἁγνείαν δὲ λέγω, οὐ τὸ πονηρᾶς καὶ αἰσχρᾶς ἐπιθυμίας ἀπηλλάχθαι μόνον, καὶ καλλωπισμάτων, καὶ περιεργίας, ἀλλὰ καὶ φροντίδος εἶναι καθαρὰν βιωτικῆς. ἂν δὲ μὴ τοῦτο ᾖ, τί τὸ ὄφελος * σωματικῆς καθαρότητος; ὥσπερ γὰρ στρατιώτου οὐδὲν αἰσχρότερον γένοιτ' ἂν τὰ ὅπλα ῥίψαντος καὶ καπηλείοις σχολάζοντος, οὕτως οὐδὲ παρθένων ἀσχημονέστερον βιωτικαῖς ἐνδεδεμένων φροντίσι. καὶ γὰρ αἱ πέντε ἐκεῖναι καὶ λαμπάδας εἶχον, καὶ παρθενίαν ἤσκησαν· ἀλλ' οὐδενὸς τούτων ἀπώναντο, ἀλλὰ τῶν θυρῶν ἀποκλεισθεισῶν ἔμενον ἔξω, καὶ ἀπώλλυντο. καὶ γὰρ ἡ παρθενία διὰ τοῦτο καλόν, ὅτι πᾶσαν ἐκκόπτει φροντίδος ὑπόθεσιν περιττῆς, καὶ πᾶσαν σχολὴν τοῖς κατὰ Θεὸν ἀνατίθησιν ἔργοις· ὡς ἂν μὴ τοῦτο ἔχῃ, πολὺ τοῦ γάμου πάλιν ἐλάττων ἐστίν, ἀκάνθας ἐν τῇ ψυχῇ περιφέρουσα, καὶ τὸν καθαρὸν καὶ οὐράνιον συμπνίγουσα σπόρον.

κεφ. οη. Διὰ τί μὴ σφόδρα καθάπτεται τοῦ νομίζοντος ἀσχημονεῖν ἐπὶ τῇ αὐτοῦ παρθένῳ. α. Κορ. ζ. λϛ.

Εἰ δέ τις ἀσχημονεῖν, φησίν, ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει, ἐὰν ᾖ ὑπέρακμος, καὶ οὕτως ὀφείλει γίνεσθαι, ὃ θέλει, ποιείτω, οὐχ ἁμαρτάνει· γαμείτωσαν. τί λέγεις, ὃ θέλει, ποιείτω; καὶ οὐ διορθοῖς τὴν ἐσφαλμένην γνώμην, ἀλλ' ἐπιτρέπεις γαμεῖν; διὰ τί γὰρ οὐκ εἶπες· εἰ δὲ ἀσχημονεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει, ἄθλιός ἐστι καὶ ταλαίπωρος, πρᾶγμα οὕτω θαυμαστὸν ἐπονείδιστον εἶναι νομίζων; διὰ τί μὴ συνεβούλευσας ταύτης ἀπαλλαγέντα τῆς ὑποψίας, ἀπαγαγεῖν τοῦ γάμου τὴν αὐτοῦ θυγατέρα; ὅτι, φησί, τῶν σφόδρα ἀσθενῶν, καὶ χαμαὶ συρομένων ἦσαν αἱ τοιαῦται ψυχαί· τὰς δὲ οὕτω διακειμένας οὐκ ἐνῆν ἀθρόον ἀναγαγεῖν ἐπὶ τοὺς ὑπὲρ τῆς παρθενίας λόγους. ὁ γὰρ οὕτω πρὸς τὰ τοῦ κόσμου πράγματα ἐπτοημένος, καὶ τὸν παρόντα βίον θαυμάζων, ὡς καὶ μετὰ τὴν τοσαύτην παραίνεσιν αἰσχύνης ἄξιον εἶναι νομίζειν, ὃ τῶν οὐρανῶν ἄξιόν ἐστι, καὶ τῆς ἀγγελικῆς πολιτείας ἐγγύς· πῶς ἂν ἠνέσχετο συμβουλῆς εἰς τοῦτο ἐναγούσης αὐτόν; καὶ τί θαυμαστόν, εἰ ἐπὶ πράγματος συγκεχωρημένου τοῦτο ὁ Παῦλος ἐποίησεν, ὅπουγε ἐπὶ κεκωλυμένου καὶ παρανόμου τὸ αὐτὸ πάλιν ποιεῖ; οἷόν τι λέγω· τὸ τῆς τῶν βρωμάτων παρατηρήσεως ἔχεσθαι, καὶ τοῦτο μὲν ἐγκρίνειν, ἐκεῖνο δὲ ἐκβάλλειν, Ἰουδαϊκῆς ἀσθενείας ἦν· ἀλλ᾽ ὅμως ἦσαν παρὰ Ῥωμαίοις τινὲς ταύτην ἔχοντες τὴν ἀσθένειαν· καὶ οὐ μόνον αὐτῶν οὐ κατηγόρησε μετὰ σφοδρότητος, ἀλλὰ καὶ ἕτερόν τι πλέον τούτου ποιεῖ. τοὺς γὰρ ἁμαρτάνειν τολμῶντας ἀφεὶς, τοῖς ἐπιχειροῦσι κωλύειν αὐτοὺς ἐπι- Ρωμ. ιδ. ι. τιμᾷ, λέγων· Σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου; ἀλλ᾽ οὐχ ὅτε Κολοσσαεῦσιν ἐπέστελλε, τοῦτο Κολ. β. ιϛ. κ. ἐποίησεν, ἀλλὰ μετὰ πολλῆς ἐξουσίας καὶ καθάπτεται αὐτῶν, καὶ φιλοσοφεῖ λέγων· Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει ἢ ἐν πόσει. καὶ πάλιν· Εἰ ἀπεθάνετε ἐν Χριστῷ ἀπὸ τῶν στοιχείων τοῦ κόσμου, τί ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε; μὴ ἅψῃ, μηδὲ γεύσῃ, μηδὲ θίγῃς, ἅ ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει. τί δήποτε οὖν τοῦτο ποιεῖ; ὅτι ἐκεῖνοι μὲν ἦσαν ἰσχυροί· Ῥωμαῖοι δὲ πολλῆς ἔτι τῆς συγκαταβάσεως ἐδέοντο, καὶ περιέμενε πρότερον τὴν πίστιν ἐν ταῖς ἐκείνων παγῆναι ψυχαῖς, δεδοικὼς μὴ πρὸ καιροῦ τοῦ δέοντος θᾶττον ἐπὶ τὸ τὰ ζιζάνια διασπάσαι ἐλθὼν, πρόρριζα μετ᾽ αὐτῶν συναποσπάσῃ καὶ τὰ τῆς ὑγιοῦς διδασκαλίας φυτά. διὰ τοῦτο οὔτε καθικνεῖται αὐτῶν σφοδρῶς, οὔτε ἀνεπιτιμήτους ἀφίησιν· ἀλλὰ καθάπτεται μὲν, ἀνυπόπτως δὲ καὶ λανθανόντως, καὶ ἐν τῇ τῶν ἑτέρων ἐπιτιμήσει. τῷ γὰρ λέγειν, Τῷ ἰδίῳ κυρίῳ στήκει, ἢ πίπτει, δοκεῖ μὲν ἐπιστομίζειν τὸν ἐπιπλήττοντα ἐκείνῳ· τὸ δὲ ἀληθὲς τὴν τούτου δάκνει ψυχὴν, ἐμφαίνων ὅτι τὸ τὰ τοιαῦτα αἱρεῖσθαι, οὐ τῶν βεβαίων, οὐδὲ τῶν παγίως ἑστώτων ἐστὶν, ἀλλὰ τῶν ἔτι σαλευομένων, τῶν, εἰ μὴ σταῖεν, καὶ πεσεῖν κινδυνευόντων. τὸν αὐτὸν δὴ κἀνταῦθα φυλάττει νόμον διὰ τὴν πολλὴν ἀσθένειαν τῶν ἐπαισχυνομένων τῷ πράγματι. οὐ γὰρ φανερῶς πρὸς αὐτὸν ἀποτείνεται, ἀλλ᾽ ἐν τοῖς ἐπαίνοις τοῦ τὴν αὐτοῦ διατηροῦντος παρθένον δίδωσιν αὐτῷ σφοδρὰν τὴν πληγήν. τί γάρ φησιν; ὃς δὲ ἕστηκεν ἑδραῖος ἐν τῇ καρδίᾳ αὐτοῦ. τοῦτο δὲ πρὸς ἀντιδιαστολὴν εἴρηται τοῦ εὐκόλως καὶ εὐχερῶς περιφερομένου, καὶ οὐδέποτε βέβαια βαδίζειν εἰδότος, οὐδὲ ἑστάναι μετὰ πολλῆς τῆς ἀνδρείας. εἶτα ἐπειδὴ συνεῖδεν ἰσχυρὸν ὄντα τὸν λόγον δακεῖν τὴν ἐκείνου ψυχὴν, ὅρα πῶς αὐτὸν συνεσκίασε πάλιν, αἰτίαν ἐπαγαγὼν οὐ σφόδρα κατηγορίας ἀξίαν. εἰπὼν γὰρ, ὃς δὲ ἕστηκεν ἑδραῖος ἐν τῇ καρδίᾳ αὐτοῦ, προσέθηκε· μὴ ἔχων ἀνάγκην, ἐξουσίαν δὲ ἔχων. καίτοι ἀκόλουθον ἦν εἰπεῖν· ὃς δὲ ἕστηκεν ἑδραῖος, καὶ μὴ νομίζει τὸ πρᾶγμα ἀσχημοσύνην εἶναι. ἀλλὰ τοῦτο πληκτικώτερον ἦν· διὸ ἕτερον ἀντὶ τούτου προσέθηκε, παραμυθούμενος αὐτὸν, καὶ διδοὺς μᾶλλον ἐπὶ ταύτην ἐλθεῖν τὴν αἰτίαν. οὐ γὰρ οὕτω δεινὸν τὸ πρᾶγμα δι᾽ ἀνάγκην κωλύειν, ὡς δι᾽ αἰσχύνην. τοῦτο μὲν γὰρ ψυχῆς ἐστιν ἀνάνδρου καὶ ταλαιπώρου· ἐκεῖνο δὲ καὶ διεστραμμένης, καὶ οὐδὲ τὴν τῶν πραγμάτων φύσιν ἐπισταμένης κρίνειν ὀρθῶς. ἀλλὰ τούτων οὔπω τῶν λόγων ἦν ὁ καιρός. ἐπεὶ ὅτι γε οὐδὲ ἀνάγκης ἐπικειμένης θέμις τὴν προῃρημένην παρθενεύειν κωλύεσθαι, ἀλλὰ πρὸς πάντα ἵστασθαι χρὴ γενναίως τὰ διακόπτοντα τὴν καλὴν ταύτην ὁρμὴν, ἄκουσον τί φησιν Ματθ. ι. λζ. ὁ Χριστός· Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. ὅταν γάρ τι μετιώμεν τῶν τῷ Θεῷ δοκούντων, ἅπας ὁ κωλύων ἐχθρὸς ἔστω καὶ πολέμιος, κἂν πατὴρ ᾖ, κἂν μήτηρ, κἂν ὁστισοῦν. ἀλλ᾽ ὁ Παῦλος ἔτι διαβαστάζων τῶν ἀκουόντων τὸ ἀτελὲς, ταῦτα ἔγραφε, λέγων· ὃς δὲ ἕστηκεν ἑδραῖος μὴ ἔχων ἀνάγκην· καὶ οὐδὲ μέχρι τούτου τὸν λόγον ἔστησε (καίτοιγε τὸ, μὴ ἔχων ἀνάγκην, καὶ ἐξουσίαν ἔχων ταὐτόν ἐστιν) ἀλλὰ τῷ μήκει τοῦ λόγου καὶ τῇ συνεχείᾳ τῶν συγχωρήσεων τὴν εὐτελῆ καὶ μικρὰν παραμυθεῖται διάνοιαν· μετὰ τούτων καὶ ἑτέραν αἰτίαν προσθεὶς τὸ, ὃς κέκρικεν ἐν τῇ καρδίᾳ αὐτοῦ. οὐ γὰρ ἀρκεῖ τὸ ἐλεύθερον εἶναι, οὐδὲ ἀπὸ τούτου μόνον ὑπεύθυνός ἐστιν, ἀλλ᾽ ὅταν ἕληται καὶ κρίνῃ, τότε καλῶς ποιεῖ. εἶτα ἵνα μὴ νομίσῃς διὰ τὴν πολλὴν συγκατάβασιν μηδὲν εἶναι τὸ μέσον, τίθησι πά- α. Κορ. ζ. λη. λιν τὴν διαφορὰν, μεθ᾽ ὑποστολῆς μὲν, τίθησι δ᾽ ὅμως, λέγων· Ὥστε καὶ ὁ ἐκγαμίζων καλῶς

γρ. τῶν ὠ
μένων
κ. τῶν αἰ
μένων

λως ποιεῖ, ὁ δὲ μὴ ἐκγαμίζων κρεῖσσον ποιεῖ. ἀλλ' ἐνταῦθα μὲν ὅσον τὸ κρεῖττον, οὐκ ἔδειξε, διὰ τὴν αὐτὴν πάλιν αἰτίαν. σὺ δέ, εἰ θέλεις μαθεῖν, ἄκουσον τοῦ Χριστοῦ λέγοντος· Οὔτε γαμοῦσιν, οὔτε γαμίζονται, ἀλλ' εἰσὶν ὡς ἄγγελοι ἐν οὐρανῷ. εἶδες τὸ μέσον, ποῦ τὸν θνητὸν ἡ παρθενία ἄνθρωπον αἴρει, ὅταν οὕτως ᾖ παρθενία.

Ματθ. κβ. λ.

Τί γὰρ τῶν ἀγγέλων ἀπεῖχον, εἰπέ μοι, ὁ Ἠλίας, ὁ Ἐλισσαῖος, ὁ Ἰωάννης, οὗτοι οἱ γνήσιοι τῆς παρθενίας ἐρασταί; οὐδέν, ἀλλ' ἢ ὅσον θνητῇ προσεδέδεντο φύσει· τὰ δὲ ἄλλα εἴ τις ἀκριβῶς ἐξετάσειεν, οὐδὲν χεῖρον ἐκείνων εὑρήσει διακειμένους. καὶ τοῦτο δὲ αὐτὸ τὸ δοκοῦν ἐλάττωμα εἶναι, μέγα εἰς ἐγκωμίου λόγον ἐστί. τὸ γὰρ γῆν οἰκοῦντας, καὶ τῇ τῆς θνητῆς φύσεως ὑποκειμένους ἀνάγκῃ, δυνηθῆναι φθάσαι πρὸς ἐκείνην τὴν ἀρετήν, ὅρα πόσης ἀνδρείας, πόσης φιλοσοφίας ἦν. ὅτι δὲ αὐτοὺς ἡ παρθενία τοιούτους ἐποίησε, δῆλον ἐκεῖθεν. εἰ γὰρ γυναῖκας εἶχον καὶ παῖδας, οὐκ ἂν εὐκόλως τὴν ἐρημίαν ᾤκησαν, οὐκ ἂν οἰκίας κατεφρόνησαν, οὐκ ἂν τῆς ἄλλης τοῦ βίου κατασκευῆς· νυνὶ δὲ πάντων τούτων ἀπολυθέντες τῶν δεσμῶν, ὡς ἐν οὐρανοῖς ὄντες, οὕτω διετέλουν ἐπὶ τῆς γῆς· οὐ τοίχων ἐδέοντο, οὐκ ὀροφῆς, οὐ κλίνης, οὐ τραπέζης, οὐκ ἄλλου τῶν τοιούτων οὐδενός· ἀλλ' ἀντὶ μὲν στέγης εἶχον τὸν οὐρανόν, ἀντὶ δὲ κλίνης τὴν γῆν, ἀντὶ δὲ τραπέζης τὴν ἐρημίαν· καὶ πρᾶγμα, ὃ τοῖς ἄλλοις αἴτιον εἶναι λιμοῦ δοκεῖ, τῆς ἐρημίας ἡ ἀκαρπία, τοῦτο τοῖς ἁγίοις ἐκείνοις ἐν ἀφθονίᾳ καθίστη. οὐ γὰρ ἀμπέλων αὐτοῖς ἐδέησεν, οὐδὲ ληνῶν, οὐδὲ ληΐων, οὐδὲ ἀμητοῦ· ἀλλὰ τὸ μὲν ποτὸν αὐτοῖς ἄφθονον παρεῖχον καὶ ἡδὺ πηγαὶ καὶ ποταμοὶ καὶ λίμναι· τράπεζαν δὲ τῷ μὲν ἄγγελος κατεσκεύαζε θαυμαστήν τινα καὶ παράδοξον καὶ μείζονα, ἢ κατ' ἀνθρωπίνην συνήθειαν (Ὁ γὰρ εἷς ἄρτος, φησί, πρὸς τεσσαράκοντα ἡμερῶν ἀσιτίαν ἤρκεσε) τῷ δὲ ἡ τοῦ πνεύματος χάρις πολλάκις ἔτρεφε θαυματουργοῦσα· καὶ οὐκ αὐτὸν μόνον, ἀλλὰ καὶ δι' ἐκείνου ἑτέρους. ὁ δὲ προφήτου πλέον Ἰωάννης, οὗ μείζων ἐν γεννητοῖς γυναικῶν οὐκ ἐγήγερται, οὐδὲ ἀνθρωπίνης ἐδεήθη τροφῆς. οὐ γὰρ σῖτος καὶ οἶνος καὶ ἔλαιον, ἀλλ' ἀκρίδες καὶ μέλι ἄγριον τὴν τοῦ σώματος αὐτοῦ διεκρότουν ζωήν. εἶδες ἀγγέλους ἐπὶ τῆς γῆς; εἶδες παρθενίας ἰσχύν; τοὺς αἵματι καὶ σαρκὶ συμπεπλεγμένους, τοὺς χαμαὶ ἐρχομένους, τοὺς ἀνάγκῃ φύσεως ὑποκειμένους θνητῆς, ὡς ἀσωμάτους, ὡς τὸν οὐρανὸν ἤδη λαχόντας, ὡς ἀθανασίαν μετειληφότας, οὕτως ἅπαντα ποιεῖν παρεσκεύασε.

κεφ. οθ. Ὅτι τῶν ἀγγέλων οὐδὲν ἀπεῖχον οἱ περὶ τὸν Ἠλίαν, καὶ ὅτι ἡ παρθενία τοιούτους αὐτοὺς ἐποίησεν.

γ. Βασ. ιθ. η.
δ. Βασ. δ.

Πάντα γὰρ ἐκείνοις ἦν περιττά, οὐ ταῦτα μόνον τὰ ὄντως ὄντα περιττά, τρυφή, καὶ πλοῦτος, καὶ δυναστεία, καὶ δόξα, καὶ ὁ λοιπὸς τῶν ὀνείρων ὁρμαθός· ἀλλὰ καὶ τὰ δοκοῦντα εἶναι ἀναγκαῖα, οἰκίαι, καὶ πόλεις, καὶ τέχναι. τοῦτο ἐστὶ τὸ εὔσχημον καὶ εὐπρόσεδρον*, τοῦτο παρθενίας ἀρετή. θαυμαστὸν μὲν γάρ, καὶ πολλῶν στεφάνων ἄξιον, καὶ τὸ τῆς τῶν ἐπιθυμιῶν περιγενέσθαι λύττης, καὶ μαινομένην κατέχειν τὴν φύσιν· ἀλλὰ τότε ὄντως γίνεται θαυμαστόν, ὅταν ὁ τοιοῦτος βίος προσῇ. αὐτὸ δὲ καθ' ἑαυτὸ ἀσθενές, καὶ οὐχ ἱκανὸν σῶσαι τοὺς ἔχοντας. καὶ μαρτυρήσειαν ἂν ἡμῖν ὅσαι παρθενίαν μὲν ἀσκοῦσι καὶ νῦν· τοσοῦτον δὲ ἀποδέουσιν Ἠλιοῦ καὶ Ἐλισσαίου καὶ Ἰωάννου, ὅσον ἡ γῆ τοῦ οὐρανοῦ. ὥσπερ γὰρ τὸ εὔσχημον καὶ εὐπρόσεδρον ἂν περιέλῃς, αὐτὰ τὰ νεῦρα τῆς παρθενίας ἐξέκοψας· οὕτως ὅταν αὐτὴν μετὰ πολιτείας ἔχῃς ἀρίστης, τὴν ῥίζαν καὶ τὴν ὑπόθεσιν ἔχεις τῶν καλῶν. καθάπερ γὰρ ῥίζαν γῆ λιπαρὰ καὶ γόνιμος, οὕτως οἶδεν ἀρίστη πολιτεία τρέφειν τοὺς τῆς παρθενίας καρπούς· μᾶλλον δὲ καὶ ῥίζα καὶ καρπὸς παρθενίας ὁ ἐσταυρωμένος βίος ἐστίν. αὕτη τοὺς γενναίους ἐκείνους πρὸς τὸν θαυμαστὸν ἤλαυνε δρόμον, πάντα μὲν αὐτῶν τὰ δεσμὰ περικόψασα, ποσὶ δὲ εὐλύτοις καὶ κούφοις, καθάπερ πτηνούς, ἀφεῖσα πέτασθαι πρὸς τὸν οὐρανόν. ὅπου γὰρ οὔτε γυναικὸς θεραπεία, οὔτε παίδων ἐπιμέλεια, πολλὴ τῆς ἀκτημοσύνης ἡ εὐκολία. ἀκτημοσύνη δὲ ἐγγὺς εἶναι ποιεῖ τῶν οὐρανῶν, οὐ φόβων μόνον, οὐδὲ φροντίδων, οὐδὲ κινδύνων, ἀλλὰ καὶ τῆς ἄλλης δυσκολίας ἡμᾶς ἀπαλλάττουσα.

κεφ. π. Τί τὸ εὔσχημον καὶ εὐπρόσεδρον.

κεφ. πα'.
Ὅσον ἡ ἀκτημοσύνη καλόν.

α Τιμ. ϛ. ι.

Ὁ μὲν γὰρ μηδὲν ἔχων, ὡς τὰ πάντα κατέχων, οὕτως ἁπάντων καταφρονεῖ, καὶ παῤῥησίᾳ κέχρηται πολλῇ, καὶ πρὸς ἄρχοντας, καὶ πρὸς δυνάστας, καὶ πρὸς αὐτὸν τὸν τὸ διάδημα περικείμενον. ὁ χρημάτων καταφρονῶν, ὁδῷ προβαίνων, καὶ θανάτου καταφρονήσει ῥαδίως· τούτων δὲ γενόμενος ἀνώτερος, πᾶσι μετὰ παῤῥησίας διαλέξεται, οὐδένα δεδιὼς, οὐδὲ τρέμων. ὁ δὲ περὶ χρήματα ἠσχολημένος, οὐ χρημάτων ἐστὶ μόνον δοῦλος, ἀλλὰ καὶ δόξης, καὶ τιμῆς, καὶ τῆς παρούσης ζωῆς, καὶ πάντων, ἁπλῶς εἰπεῖν, τῶν βιωτικῶν. διὰ τοῦτο ῥίζαν αὐτὴν τῶν κακῶν πάντων ὁ Παῦλος ἐκάλεσεν. ἀλλὰ ταύτην ἱκανὴ ξηρᾶναι τὴν ῥίζαν ἡ παρθενία, καὶ ἑτέραν ἡμῖν ἐνθεῖναι τὴν ἀρίστην, τὴν ἅπαντα βλαστάνουσαν τὰ καλά, ἐλευθερίαν, παῤῥησίαν, ἀνδρείαν, ζῆλον πεπυρωμένον, ἔρωτα τῶν οὐρανίων θερμὸν, ὑπεροψίαν πάντων τῶν ἐπὶ τῆς γῆς. οὕτω τὸ εὔσχημον καὶ εὐπρόσεδρον γίνεται.

κεφ. πβ'.
Πρὸς τοὺς λέγοντας, ὅτι εἰ παρθενεύοντες εἰς κόλπους Ἀβραὰμ εὔχονται ἐλθεῖν.
Ματθ. η. ια.
Λουκ. ιϛ.
Ματθ. ιθ. κη.
Ματθ. κε.

Ἀλλὰ τίς ὁ σοφὸς τῶν πολλῶν λόγος; ὁ πατριάρχης, φησὶν, Ἀβραὰμ καὶ γυναῖκα εἶχε, καὶ παῖδας, καὶ χρήματα, καὶ ποίμνια, καὶ βουκόλια· καὶ μετὰ πάντα ἐκεῖνα Ἰωάννης ὅ τε βαπτιστὴς, ὅ τε εὐαγγελιστὴς, παρθένοι ἀμφότεροι τυγχάνοντες, καὶ Παῦλος καὶ Πέτρος ἐπὶ τῆς ἐγκρατείας διαλάμψαντες, εἰς τοὺς ἐκείνου κόλπους εὔχονται ἐλθεῖν. τίς σοι τοῦτο εἶπεν, ὦ βέλτιστε; ποῖος προφήτης; τίς εὐαγγελιστής; αὐτός, φησιν, ὁ Χριστός. τὸν γὰρ ἑκατόνταρχον ἰδὼν πολλὴν ἔχοντα πίστιν, ἔλεγεν· ὅτι Πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. καὶ ὁ Λάζαρος δὲ μετ' αὐτοῦ τότε ὁρᾶται ὑπὸ τοῦ πλουσίου τρυφῶν. καὶ τί τοῦτο πρὸς Παῦλον; τί δὲ πρὸς Πέτρον; τί δὲ πρὸς Ἰωάννην; οὐ γὰρ ὁ Λάζαρος Παῦλος καὶ Ἰωάννης ἦν, οὐδὲ οἱ πολλοὶ οἱ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, ὁ τῶν ἀποστόλων ἦσαν χορός. ὥστε περιττὸς ὑμῖν οὗτος ὁ λόγος καὶ μάταιος. εἰ δὲ θέλεις ὅλως ἀκοῦσαι τὰ τῶν ἀποστόλων ἔπαθλα, ἄκουσον τοῦ μέλλοντος αὐτὰ διδόναι λέγοντος· * Καθίσεσθε ἐπὶ δώδεκα θρόνοις κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. καὶ οὐδαμοῦ ἐνταῦθα ὁ Ἀβραάμ, οὐδὲ ὁ τούτου παῖς, οὐδὲ ὁ ἐκείνου, οὐδὲ ὁ λαχὼν αὐτοὺς κόλπος, ἀλλ' ἀξία πολλῷ μείζων ἐκείνης. τοὺς γὰρ ἐκείνων οὗτοι καθεδοῦνται κρινοῦντες θρόνους. οὐ ταύτῃ δὲ μόνον ἡ διαφορὰ δήλη, ἀλλ' ὅτι ὧν μὲν ὁ Ἀβραὰμ ἔτυχε, πολλοὶ τεύξονται. πολλοὶ γὰρ ἐλεύσονται, φησιν, ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ· τῶν δὲ θρόνων ἐκείνων οὐδεὶς ἕτερος ἐπιλήψεται, ἀλλὰ μόνος ὁ τῶν ἁγίων τούτων χορός. ἔτ' οὖν, εἰπέ μοι, ποιμνίων μέμνησθε, καὶ βουκολίων, καὶ γάμων, καὶ παίδων; τί οὖν, φησιν, ὅταν τῶν παρθενευσάντων πολλοὶ μετὰ τοὺς πολλοὺς ἱδρῶτας εὔχωνται χωρῆσαι ἐκεῖ; ἐγὼ δὲ τούτου μεῖζον ἐρῶ, ὅτι πολλοὶ τῶν παρθενευσάντων οὐδὲ ἐκείνων ἐπιτεύξονται τῶν κόλπων, οὐδὲ τῶν ἐλαττόνων, ἀλλ' εἰς τὴν γέενναν αὐτὴν ἀπελεύσονται. καὶ δηλοῦσιν αἱ τοῦ νυμφῶνος ἀποκλεισθεῖσαι παρθένοι. ἆρ' οὖν παρὰ τοῦτο τῆς παρθενίας ἴσος ὁ γάμος, ἢ καὶ χείρων; τὸ γὰρ ὑπόδειγμα τὸ σὸν καὶ χείρονα αὐτὴν ποιεῖ. εἰ γὰρ ὁ μὲν γεγαμηκὼς Ἀβραὰμ ἐν ἀνέσει καὶ τρυφῇ, οἱ δὲ παρθενεύσαντες ἐν γεέννῃ, τοῦτο λείπεται κατὰ τὸν ὑμέτερον ὑποπτεῦσαι λόγον. ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. οὐ γὰρ μόνον οὐκ ἐλάττων, ἀλλὰ καὶ πολλῷ βελτίων ἡ παρθενία τοῦ γάμου. πῶς; ὅτι οὔτε τὸν Ἀβραὰμ ὁ γάμος τοιοῦτον ἐποίησεν, οὔτε ἡ παρθενία τὰς ἀθλίας ἐκείνας ἀπώλεσεν· ἀλλὰ καὶ τὸν πατριάρχην ἡ λοιπὴ τῆς ψυχῆς ἀρετὴ λαμπρὸν ἀπέδειξε, καὶ ταύτας ἡ λοιπὴ κακία τοῦ βίου τῷ πυρὶ παρέδωκεν. ἐκεῖνος μὲν γὰρ καὶ ἐν γάμῳ ζῶν, ἐσπούδασε τὰ τῆς παρθενίας κατορθῶσαι καλά, τὸ εὔσχημον λέγω καὶ εὐπρόσεδρον· αὗται δὲ καὶ παρθενίαν ἑλόμεναι, εἰς τὸν τοῦ βίου κλύδωνα καὶ τὰς ἐν τῷ γάμῳ πραγματείας κατέπεσαν. τί οὖν κωλύει, φησὶ, καὶ νῦν μετὰ τοῦ γάμου καὶ τῶν παίδων καὶ τῶν χρημάτων καὶ τῶν ἄλλων ἁπάντων τὸ εὐπρόσεδρον διασῶσαι; πρῶτον μὲν, ὅτι οὐδεὶς κατὰ τὸν Ἀβραὰμ νῦν, ἀλλ' οὐδὲ κατὰ μικρὸν ἐγγύς. καὶ γὰρ τῶν ἀκτημοσύνην ἀσκούντων μᾶλλον ἐκεῖνος χρημάτων κατεφρόνησε, πλουτῶν, καὶ γυναῖκα ἔχων, καὶ ἡδονῆς μᾶλλον τῶν παρθενευόντων ἐκράτει. οὗτοι μὲν γὰρ καθ' ἑκάστην ὑπὸ τῆς ἐπιθυμίας φλέγονται τὴν ἡμέραν· ἐκεῖνος δὲ οὕτω ταύτην κατεσβέννυ τὴν φλόγα, καὶ οὐδεμιᾷ συνεδέδετο προσπαθείᾳ, ὡς μὴ μόνον ἀποσχέσθαι τῆς παλλακίδος, ἀλλὰ καὶ ἐκβαλεῖν αὐτὴν τῆς οἰκίας ὑπὲρ τοῦ μάχης καὶ στάσεως πᾶσαν ὑπόθεσιν ἀνελεῖν. νῦν δὲ οὐ σφόδρα εὔκολον τοῦτο εὑρεῖν.

κεφ. πγ.
Ὅτι οὐ τὸ αὐτὸ τῆς ἀρετῆς μέτρον ἡμῖν καὶ τοῖς ἐν τῇ παλαιᾷ πρόκειται.

Καὶ χωρὶς τούτων δὲ, ὅπερ καὶ ἀρχόμενος ἔλεγον, τοῦτο καὶ νῦν ἐρῶ· ὅτι οὐ τὸ αὐτὸ τῆς ἀρετῆς ἀπαιτούμεθα μέτρον ἡμᾶς τε κἀκεῖνοι. νῦν μὲν γὰρ οὐκ ἔστι τέλειον εἶναι μὴ πάντα πωλήσαντα, μὴ πᾶσιν ἀποταξάμενον, οὐ χρήμασι λέγω μόνον καὶ οἰκίᾳ, ἀλλὰ καὶ τῇ ψυχῇ τῇ ἑαυτοῦ. τότε δὲ οὔπω τοσαύτης ἀκριβείας ἐπίδειξις ἦν. τί οὖν; ἀκριβέστερον ἡμᾶς, φησι, τοῦ πατριάρχου βιούμεθα νῦν; ὀφείλομεν μὲν, καὶ τοῦτο ἐπιτετάγμεθα, οὐ βιούμεθα δέ· καὶ διὰ τοῦτο πολὺ τοῦ δικαίου ἀπολειπόμεθα. ἐπεὶ ὅτι γε μείζονα ἡμῖν τὰ σκάμματα πρόκειται, παντί που δῆλόν ἐστι. διὰ τοῦτο καὶ τὸν Νῶε θαυμάζουσα ἡ γραφὴ, οὐχ ἁπλῶς τοῦτο ποιεῖ, ἀλλὰ μετὰ προσθήκης τινός. Νῶε γὰρ, φησι, δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ, τῷ Θεῷ εὐηρέστησεν· οὐχ ἁπλῶς τέλειος, ἀλλ' ἐν τῷ τότε καιρῷ. πολλοὶ γὰρ τελειότητος τρόποι κατὰ διαφόρους ὡρισμένοι καιρούς· καὶ τοῦ χρόνου προκόπτοντος τὸ ποτὲ τέλειον, ἀτελὲς ὕστερον γέγονε. οἷόν τι λέγω· τέλειος ἦν ποτε ὁ κατὰ τὸν νόμον βιῶν. Ὁ ποιήσας γὰρ αὐτά, φησι, ζήσεται ἐν αὐτοῖς· ἀλλ' ἐλθὼν ὁ Χριστὸς τοῦτο τὸ τέλειον ἔδειξεν ἀτελές. Ἐὰν γὰρ μὴ περισσεύσῃ, φησὶν, ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. τότε φόνος ἐδόκει μόνον εἶναι δεινόν· νῦν δὲ καὶ ὀργὴ καὶ λοιδορία μόνη τῇ γεέννῃ παραπέμψαι δύναιτ' ἄν. τότε μοιχεία ἐκολάζετο μόνον· νῦν δὲ καὶ τὸ ἀκολάστοις ὀφθαλμοῖς γυναῖκα ἰδεῖν οὐκ ἀπήλλακται τιμωρίας. τότε ἡ ἐπιορκία μόνη ἦν ἐκ τοῦ πονηροῦ· νῦν δὲ καὶ τὸ ὀμόσαι. Τὸ γὰρ περιττὸν, φησι, τούτων ἐκ τοῦ πονηροῦ ἐστιν. οὐδὲν πλέον ἀπῃτοῦντο οἱ τότε, ἢ τὸ τοὺς φιλοῦντας ἀγαπᾶν· νῦν δὲ τὸ μέγα τοῦτο καὶ θαυμαστὸν οὕτως ἐστὶν ἀτελές, ὡς καὶ μετὰ τὴν κατόρθωσιν αὐτοῦ μηδὲν πλέον ἡμᾶς ἔχειν τῶν τελωνῶν.

Γεν. ς. θ.

Λευΐτ ιη. ε.

Ματθ. ε. κ.

κεφ. πδ.
Ὅτι εἰκότως τῶν αὐτῶν κατορθωμάτων οὐχ ὁ αὐτὸς κεῖται μισθὸς ἡμῖν καὶ τοῖς ἐν τῇ παλαιᾷ.

Τί δήποτε οὖν τῶν αὐτῶν κατορθωμάτων οὐχ ὁ αὐτὸς κεῖται μισθὸς ἡμῖν καὶ τοῖς ἐν τῇ παλαιᾷ, ἀλλὰ μείζονα ἐπιδείκνυσθαι δεῖ τὴν ἀρετὴν, εἰ μέλλοιμεν τῶν αὐτῶν ἐκείνοις τυγχάνειν; ὅτι πολλὴ ἡ τοῦ πνεύματος χάρις ἐκκέχυται νῦν, καὶ μεγάλη τῆς τοῦ Χριστοῦ παρουσίας ἡ δωρεά. ἄνδρας γὰρ αὕτη τελείους ἀντὶ νηπίων ἐποίησεν. ὥσπερ οὖν ἡμεῖς τοὺς παῖδας τοὺς ἡμετέρους ὅταν ἡβήσωσι πολλῷ μείζονα ἀπαιτοῦμεν τὰ κατορθώματα, καὶ ἃ ποιοῦντας πρότερον ἐπηνοῦμεν κατὰ τὴν πρώτην ἡλικίαν, ταῦτα γενομένους ἄνδρας καὶ κατορθοῦντας οὐκέθ' ὁμοίως θαυμάζομεν, ἀλλ' ἕτερα πολλῷ μείζονα ἐκείνων κελεύομεν ἐπιδείκνυσθαι· οὕτω καὶ τὴν ἀνθρωπίνην φύσιν ὁ Θεὸς ἐν τοῖς πρώτοις χρόνοις οὐ μεγάλα ἀπήτει τὰ κατορθώματα, ἅτε νηπιωδέστερον διακειμένην· ἐπειδὴ δὲ προφητῶν ἤκουσεν, ἀποστόλων, τῆς τοῦ πνεύματος ἐπέτυχε χάριτος, ἐπέτεινεν αὐτῇ τῶν κατορθωμάτων τὸ μέγεθος. Εἰκότως. καὶ γὰρ μισθοὺς μείζονας ἔθηκε, καὶ τὰ ἔπαθλα πολλῷ λαμπρότερα νῦν. οὐκέτι γὰρ γῆ, καὶ τὰ ἐπὶ τῆς γῆς, ἀλλ' οὐρανὸς, καὶ τὰ νοῦν ὑπερβαίνοντα ἀγαθὰ τοῖς κατορθοῦσιν ἀπόκειται. πῶς οὖν οὐκ ἄτοπον ἐπὶ τῆς αὐτῆς ἔτι μένειν σμικρότητος ἀνδρωθέντας; τότε μὲν γὰρ ἡ ἀνθρωπίνη καθ' ἑαυτῆς ἐχθρὰ φύσις, καὶ πόλεμος ἦν ἄσπονδος. καὶ τοῦτον ὁ Παῦλος διηγούμενος οὑτωσί πως φησί· Βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου. ἀλλὰ νῦν οὐκ ἔστι ταῦτα. Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί. καὶ περὶ τούτων εὐχαριστῶν ὁ Παῦλος ἔλεγε· Ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; εὐχαριστῶ τῷ Θεῷ διὰ Ἰησοῦ Χρι-

Ρωμ. ζ. κγ.

Ρωμ. η. γ.

Ρωμ. ζ. κδ.

ἀπὸ τῆς τοῦ πράγματος φύσεως τικτομένων φροντίδων, τὰ παρὰ τῆς ἡμετέρας προστιθέναι νωθείας.

κεφ. οε. Πῶς ἐστιν ἔχοντα γυναῖκα μὴ ἔχειν.

Εἰ δὲ καὶ σαφέστερόν τις θέλοι μαθεῖν, τί ποτέ ἐστιν, ἔχοντα γυναῖκα μὴ ἔχειν, τοὺς οὐκ ἔχοντας ἐννοείτω, τοὺς ἐσταυρωμένους, πῶς διάκεινται. πῶς οὖν ἐκεῖνοι διάκεινται; οὐ θεραπαινίδων ἀναγκάζονται πλῆθος ὠνεῖσθαι, οὐ χρυσία καὶ περιδέραια, οὐκ οἰκίας λαμπρὰς καὶ μεγάλας, οὐ πλέθρα γῆς τόσα καὶ τόσα· ἀλλὰ ταῦτα πάντα ἀφέντες, ὑπὲρ ἱματίου φροντίζουσιν ἑνὸς, καὶ τροφῆς τῆς αὐτάρκους. ἔξεστι καὶ τῷ γυναῖκα ἔχοντι εἰς ταύτην ἑαυτὸν ἀγαγεῖν τὴν φιλοσοφίαν. τὸ γὰρ ἀνωτέρω λεχθὲν, τὸ, μὴ ἀποστερεῖτε ἀλλήλους, περὶ μίξεως εἴρηται μόνης. ἐν τούτῳ γὰρ ἕπεσθαι ἀλλήλοις κελεύει, καὶ οὐδένα ἀφίησιν ἑαυτοῦ κύριον εἶναι. ἔνθα δὲ ἂν δέῃ τὴν ἄλλην φιλοσοφίαν ἀσκεῖν, τὴν ἐν τοῖς ἱματίοις, τὴν ἐν τῇ διαίτῃ, τὴν ἐν τοῖς ἄλλοις ἅπασιν, οὐκέτι θατέρῳ λοιπὸν ὁ ἕτερος ὑπεύθυνος γίνεται, ἀλλ' ἔξεστι τοῖς ἀνδράσι, κἂν ἡ γυνὴ μὴ βούληται, περικόψαι τρυφὴν ἅπασαν καὶ τὸν περιρρέοντα τῶν φροντίδων ὄχλον· καὶ γυναικὶ πάλιν ὁμοίως οὐδεμία ἀνάγκη μὴ βουλομένῃ καλλωπίζεσθαι, καὶ κενοδοξεῖν, καὶ περιττὰ μεριμνᾷν. Εἰκότως. ἐκείνη μὲν γὰρ ἡ ἐπιθυμία φυσική τίς ἐστι, καὶ διὰ τοῦτο πολλῆς ἔτυχε τῆς συγγνώμης, καὶ οὐκ ἔστι κύριος ὁ ἕτερος ἀποστερεῖν τὸν ἕτερον μὴ βουλόμενον· ἡ δὲ τῆς τρυφῆς καὶ τῆς θεραπείας τῆς περιττῆς καὶ τῆς φροντίδος τῆς ἀνονήτου οὐκ ἀπὸ τῆς φύσεως ὁρμᾶται, ἀλλ' ἀπὸ τῆς ῥαθυμίας καὶ τῆς πολλῆς ὕβρεως τίκτεται. διὰ ταῦτα οὐκ ἀναγκάζει καὶ ἐν τούτοις τοὺς γεγαμηκότας ὑποκεῖσθαι ἀλλήλοις, καθάπερ καὶ ἐν ἐκείνοις. τοῦτο τοίνυν ἐστὶν, ἔχοντα γυναῖκα μὴ ἔχειν, ὅταν τὰς περιττὰς φροντίδας τὰς διὰ τὸν ἀκκισμὸν καὶ τὴν διάθρυψιν γινομένας τῶν γυναικῶν μὴ δεχώμεθα, ἀλλὰ τοσαύτην λαμβάνωμεν προσθήκην φροντίδος, ὅσην εἰκὸς μιᾶς ψυχῆς προστεθείσης ἡμῖν, καὶ ταύτης φιλοσόφως καὶ εὐτελῶς ζῆν προῃρημένης. ὅτι γὰρ τοῦτό

α. Κορ ζ. λ.

φησι, διὰ τῆς ἐπαγωγῆς ἐδήλωσε· Καὶ οἱ κλαίοντες, ὡς μὴ κλαίοντες, καὶ οἱ χαίροντες ἐν κτήσεσιν, ὡς μὴ χαίροντες. οἱ γὰρ μὴ χαίροντες οὐδὲ τῆς κτήσεως ἐπιμελήσονται, καὶ οἱ μὴ κλαίοντες οὔτε τὴν πενίαν δυνήσονται φεύγειν, οὔτε τὴν αὐτάρκειαν ἀποστρέφεσθαι. τοῦτο ἐστιν ἔχειν γυναῖκα, καὶ μὴ ἔχειν· τοῦτο ἐστι κεχρῆσθαι τῷ κόσμῳ, καὶ μὴ παραχρῆσθαι. ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου. ὅταν οὖν καὶ ἐνταῦθα καὶ ἐκεῖ μέριμνα ᾖ, καὶ ἐνταῦθα μὲν εἰκῆ καὶ μάτην, μᾶλλον δὲ καὶ ἐπὶ λύπῃ καὶ θλίψει (θλίψιν γὰρ τῇ σαρκί, φησιν, ἕξουσιν οἱ τοιοῦτοι) ἐκεῖ δὲ ἐπὶ τοῖς ἀπορρήτοις ἀγαθοῖς· τί μὴ ταύτην αἱρούμεθα μᾶλλον τὴν φροντίδα, οὐ τῷ τοιαύτας καὶ τοσαύτας ἔχειν τὰς ἀντιδόσεις, ἀλλὰ καὶ τῇ φύσει κουφοτέραν οὖσαν ἐκείνης; τί γὰρ ἡ μὴ γαμηθεῖσα μεριμνᾷ; ἆρα ὑπὲρ χρημάτων, ὑπὲρ οἰκετῶν, ὑπὲρ οἰκονόμων, ὑπὲρ ἀγρῶν, καὶ τῶν ἄλλων; μαγείροις ἐφέστηκε, καὶ ὑφάνταις, καὶ τῇ λοιπῇ θεραπείᾳ; ἄπαγε· οὐδὲν τούτων εἰς νοῦν βάλλεται· ἀλλ' ἓν φροντίζει, μόνην τὴν αὑτῆς οἰκοδομεῖν ψυχὴν, καὶ τὸν ναὸν ἐκεῖνον τὸν ἅγιον κοσμεῖν οὐκ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, οὐκ ἐπιτρίμμασιν, οὐδὲ ὑπογραφαῖς, οὐ ταῖς ἄλλαις δυσκολίαις καὶ μοχθηρίαις, ἀλλὰ τῇ ἁγιωσύνῃ τῇ κατὰ σῶμα καὶ κατὰ πνεῦμα. ἡ δὲ γαμήσασα, φησι, μεριμνᾷ πῶς ἀρέσει τῷ ἀνδρί. σφόδρα συνετῶς οὐκ ἦλθεν ἐπὶ τὴν τῶν πραγμάτων αὐτῶν ἐξέτασιν, οὐδὲ εἶπεν ὅσα πάσχουσι γυναῖκες ὑπὲρ τῆς εἰς τοὺς ἄνδρας ἀρεσκείας καὶ τῷ σώματι καὶ τῇ ψυχῇ, τὸ μὲν βασανίζουσαι καὶ κονιῶσαι, καὶ ἑτέραις κολάσεσι κατατείνουσαι, τὴν δὲ ἀνελευθερίας, κολακείας, ὑποκρίσεως, μικροψυχίας, φροντίδων περιττῶν καὶ ἀνονήτων πληροῦσαι· ἀλλὰ μιᾷ ῥήσει πάντα ταῦτα αἰνιξάμενος, ἀφῆκε τῷ συνειδότι τῶν ἀκουόντων αὐτὰ ἀναλογίσασθαι. καὶ δείξας οὕτω τῆς παρθενίας τὴν ὑπεροχὴν, καὶ πρὸς αὐτὸν ἄρας αὐτὴν τὸν οὐρανὸν, πάλιν μετατίθησιν ἐπὶ τὴν τοῦ γάμου συγχώρησιν τὸν λόγον, πανταχοῦ δεδοικὼς, μή τις τὸ πρᾶγμα μα ἐπίταγμα εἶναι νομίσῃ. διόπερ οὐδὲ ἠρκέσθη ταῖς προτέραις παραινέσεσιν, ἀλλ' εἰπών, ἐπιταγὴν Κυρίου οὐκ ἔχω· καί, ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε· πάλιν ἐνταῦθά φησιν, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω.

Τοῦτο οὖν καὶ διαπορήσειεν ἄν τις εἰκότως, πῶς ἀνωτέρω λύσιν δεσμοῦ τὸ πρᾶγμα καλῶν, καὶ πρὸς τὸ συμφέρον ἡμῖν αὐτὸ συμβουλεύειν λέγων, καὶ ἵνα θλῖψιν μὴ ἔχωμεν, καὶ ἵνα ἀμέριμνοι ὦμεν, καὶ ἐπειδὴ φείδεται ἡμῶν, καὶ διὰ τούτων ἁπάντων δεικνὺς τὸ κοῦφον αὐτοῦ καὶ φορητόν, ἐνταῦθά φησιν· οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω. τί οὖν ἐστιν; οὐ τὴν παρθενίαν βρόχον ἐκάλεσεν (ἄπαγε) ἀλλὰ τὸ μετὰ βίας καὶ ἀνάγκης αἱρεῖσθαι τοῦτο τὸ καλόν. καὶ γὰρ οὕτως ἔχει· πᾶν, ὅπερ ἂν βιαζόμενος καὶ μετὰ τοῦ μὴ βούλεσθαι καταδέχηταί τις, κἂν σφόδρα κοῦφον ᾖ, πάντων ἀφορητότερον γίνεται, καὶ ἀγχόνης χαλεπώτερον τὴν ἡμετέραν ἀποπνίγει ψυχήν. διὰ τοῦτο εἶπεν, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, τουτέστιν, ἅπαντα τὰ καλὰ τῆς παρθενίας εἶπον καὶ ἀπέδειξα· καὶ μετὰ ταῦτα ὅμως ἅπαντα τὴν αἵρεσιν ὑμῖν ἐπιτρέπω τοῦ πράγματος, οὐχὶ μὴ βουλομένους ἕλκω πρὸς τὴν ἀρετήν. οὐδὲ γὰρ ὑμᾶς θλῖψαι βουλόμενος ταῦτα συνεβούλευσα, ἀλλ' ὥστε μὴ τὴν εὐσχήμονα προσεδρείαν ὑπὸ τῶν βιωτικῶν ἐκκοπῆναι πραγμάτων. σὺ δέ μοι θέα κἀνταῦθα τοῦ Παύλου τὴν σύνεσιν, πῶς τὴν παραίτησιν πάλιν παραίνεσιν ἐπεισήγαγε, καὶ διὰ τῆς συγχωρήσεως συμβουλήν. τῷ γὰρ εἰπεῖν, οὐκ ἀναγκάζω, ἀλλὰ παραινῶ, καὶ προσθεῖναι διὰ τὸ εὔσχημον καὶ εὐπρόσεδρον, ἔδειξε τῆς παρθενίας τὸ θαυμαστὸν καὶ τὸ κέρδος ὅσον ἡμῖν ἐν τῇ κατὰ Θεὸν ἀπ' αὐτῆς γίνεται πολιτείᾳ. οὐ γὰρ ἔνι τὴν βιωτικαῖς ἐμπεπλεγμένην φροντίσι, καὶ πανταχοῦ περιελκομένην εὐπρόσεδρον εἶναι, τῆς σπουδῆς καὶ τῆς σχολῆς ἁπάσης εἰς πολλὰ μεριζομένης, εἰς ἄνδρα, λέγω, καὶ οἰκίας ἐπιμέλειαν καὶ τῶν ἄλλων ἁπάντων, ἅπερ ὁ γάμος ἐπισύρεσθαι εἴωθε.

κεφ. οϛ. Ὅτι οὐχ ἡ παρθενία βρόχος, ἀλλὰ τὸ ἐν ἡμῖν ἀπρόθυμον.

Τί οὖν, φησίν, ὅταν καὶ ἡ παρθένος πολλὰ πραγματεύηται, καὶ μερίμνας ἔχῃ βιωτικάς; ἄπαγε, ἔξω ταύτην ἑλκύσας τοῦ τῶν παρθένων χοροῦ. οὐ γὰρ ἀρκεῖ τὸ μὴ γαμηθῆναι ποιῆσαι παρθένον, ἀλλὰ δεῖ καὶ τῆς ψυχικῆς ἁγνείας. ἁγνείαν δὲ λέγω, οὐ τὸ πονηρᾶς καὶ αἰσχρᾶς ἐπιθυμίας ἀπηλλάχθαι μόνον, καὶ καλλωπισμάτων, καὶ περιεργίας, ἀλλὰ καὶ φροντίδος εἶναι καθαρὰν βιωτικῆς. ἂν δὲ μὴ τοῦτο ᾖ, τί τὸ ὄφελος * σωματικῆς καθαρότητος; ὥσπερ γὰρ στρατιώτου οὐδὲν αἰσχρότερον ἴδοιτ' ἂν τὰ ὅπλα ῥίψαντος καὶ καπηλείοις σχολάζοντος, οὕτως οὐδὲ παρθένων ἀσχημονέστερον βιωτικαῖς ἐνδεδεμένων φροντίσι. καὶ γὰρ αἱ πέντε ἐκεῖναι καὶ λαμπάδας εἶχον, καὶ παρθενίαν ἤσκησαν· ἀλλ' οὐδενὸς τούτων ἀπώναντο, ἀλλὰ τῶν θυρῶν ἀποκλεισθεισῶν ἔμενον ἔξω, καὶ ἀπώλλυντο. καὶ γὰρ ἡ παρθενία διὰ τοῦτο καλόν, ὅτι πᾶσαν ἐκκόπτει φροντίδος ὑπόθεσιν περιττῆς, καὶ πᾶσαν σχολὴν τοῖς κατὰ Θεὸν ἀνατίθησιν ἔργοις· ὡς ἂν μὴ τοῦτο ἔχῃ, πολὺ τοῦ γάμου πάλιν ἐλάττων γίνεται, ἀκάνθας ἐν τῇ ψυχῇ περιφέρουσα, καὶ τὸν καθαρὸν καὶ οὐράνιον συμπνίγουσα σπόρον.

κεφ. οζ. Ὅτι ἡ τὰ βιωτικὰ μεριμνῶσα, οὐκ ἂν εἴη παρθένος.

Εἰ δέ τις ἀσχημονεῖν, φησίν, ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει, ἐὰν ᾖ ὑπέρακμος, καὶ οὕτως ὀφείλει γίνεσθαι, ὃ θέλει, ποιείτω, οὐχ ἁμαρτάνει· γαμείτωσαν. τί λέγεις, ὃ θέλει, ποιείτω; καὶ οὐ διορθοῖς τὴν ἐσφαλμένην γνώμην, ἀλλ' ἐπιτρέπεις γαμεῖν; διὰ τί γὰρ οὐκ εἶπες· εἰ δὲ ἀσχημονεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει, ἄθλιός ἐστι καὶ ταλαίπωρος, πρᾶγμα οὕτω θαυμαστὸν ἐπονείδιστον εἶναι νομίζων; διὰ τί μὴ συνεβούλευσας ταύτης ἀπαλλαγέντα τῆς ὑποψίας, ἀπαγαγεῖν τοῦ γάμου τὴν αὐτοῦ θυγατέρα; ὅτι, φησί, τῶν σφόδρα ἀσθενῶν, καὶ χαμαὶ συρομένων ἦσαν αἱ τοιαῦται ψυχαί· τὰς δὲ οὕτω διακειμένας οὐκ ἐνῆν ἀθρόον ἀναγαγεῖν ἐπὶ τὸ ὕψος τῆς παρθενίας λόγοις. ὁ γὰρ οὕτω πρὸς τὰ τοῦ κόσμου πράγματα ἐπτοημένος, καὶ τὸν παρόντα βίον θαυμάζων, ὡς καὶ μετὰ τὴν τοσαύτην παραίνεσιν αἰσχύνης ἄξιον εἶναι νομίζειν, ὃ τῶν οὐρανῶν ἄξιόν ἐστι, καὶ τῆς ἀγγελικῆς πολιτείας ἐγγύς· πῶς ἂν ἠνέσχετο συμβουλῆς εἰς τοῦτο ἐναγούσης αὐτόν; καὶ τί θαυμαστόν, εἰ ἐπὶ πράγμα-

κεφ. οη. Διατί μὴ σφόδρα καθάπτεται τοῦ νομίζοντος ἀσχημονεῖν ἐπὶ τῆς αὐτοῦ παρθένου.
α. Κορ. ζ. λϛ.

τος συγκεχωρημένου τοῦτο ὁ Παῦλος ἐποίησεν, ὅπουγε ἐπὶ κεκωλυμένου καὶ παρανόμου τὸ αὐτὸ πάλιν ποιεῖ; οἷόν τι λέγω· τὸ τῆς τῶν βρωμάτων παρατηρήσεως ἔχεσθαι, καὶ τοῦτο μὲν ἐγκρίνειν, ἐκεῖνο δὲ ἐκβάλλειν, Ἰουδαϊκῆς ἀσθενείας ἦν· ἀλλ' ὅμως ἦσαν παρὰ Ῥωμαίοις οἱ ταύτην ἔχοντες τὴν ἀσθένειαν· καὶ οὐ μόνον αὐτῶν οὐ κατηγόρησε μετὰ σφοδρότητος, ἀλλὰ καὶ ἕτερόν τι πλέον τούτου ποιεῖ. τοὺς γὰρ ἁμαρτάνοντας ἀφεὶς, τοῖς ἐπιχειροῦσι κωλύειν αὐτοὺς ἐπιτιμᾷ, λέγων· Σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου; ἀλλ' οὐχ ὅτε Κολοσσαεῦσιν ἐπέστελλε, τοῦτο ἐποίησεν, ἀλλὰ μετὰ πολλῆς ἐξουσίας καὶ καθάπτεται αὐτῶν, καὶ φιλοσοφεῖ λέγων· Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει ἢ ἐν πόσει. καὶ πάλιν· Εἰ ἀπεθάνετε ἐν Χριστῷ ἀπὸ τῶν στοιχείων τοῦ κόσμου, τί ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε; μὴ ἅψῃ, μηδὲ γεύσῃ, μηδὲ θίγῃς, ἅ ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει. τί δήποτε οὖν τοῦτο ποιεῖ; ὅτι ἐκεῖνοι μὲν ἦσαν ἰσχυροί· Ῥωμαῖοι δὲ πολλῆς ἔτι τῆς συγκαταβάσεως ἐδέοντο, καὶ περιέμενε πρότερον τὴν πίστιν ἐν ταῖς ἐκείνων παγῆναι ψυχαῖς, δεδοικὼς μὴ πρὸ καιροῦ τοῦ δέοντος θᾶττον ἐπὶ τὸ τὰ ζιζάνια διασπάσαι ἐλθὼν, πρόρριζα μετ' αὐτῶν συνανασπάσῃ καὶ τὰ τῆς ὑγιοῦς διδασκαλίας φυτά. διὰ τοῦτο οὔτε καθικνεῖται αὐτῶν σφοδρῶς, οὔτε ἀνεπιτιμήτους ἀφίησιν· ἀλλὰ καθάπτεται μὲν, ἀνυπόπτως δὲ καὶ λανθανόντως, καὶ ἐν τῇ τῶν ἑτέρων ἐπιτιμήσει. τῷ γὰρ λέγειν, Τῷ ἰδίῳ κυρίῳ στήκει, ἢ πίπτει, δοκεῖ μὲν ἐπιστομίζειν τὸν ἐπιπλήττοντα ἐκείνῳ· τὸ δὲ ἀληθὲς τὴν τούτου δάκνει ψυχὴν, ἐμφαίνων ὅτι τὸ τὰ τοιαῦτα αἱρεῖσθαι, οὐ τῶν βεβαίων, οὐδὲ τῶν παγίως ἑστώτων ἐστὶν, ἀλλὰ τῶν ἔτι σαλευομένων, ″τῶν, εἰ μὴ σταῖεν, καὶ πεσεῖν κινδυνευόντων. τὸν αὐτὸν δὴ καὶ ταῦθα φυλάττει νόμον διὰ τὴν πολλὴν ἀσθένειαν ″τῶν ἐπαισχυνομένων τῷ πράγματι. οὐ γὰρ φανερῶς πρὸς αὐτὸν ἀποτείνεται), ἀλλ' ἐν τοῖς ἐπαίνοις τοῦ τὴν αὐτοῦ διατηρήσαντος παρθένον δίδωσιν αὐτῷ σφοδρὰν τὴν πληγήν. τί γάρ φησιν; ὃς δὲ ἕστηκεν ἑδραῖος ἐν τῇ καρδίᾳ αὐτοῦ. τοῦτο δὲ πρὸς ἀντιδιαστολὴν εἴρηται τοῦ εὐκόλως καὶ εὐχερῶς περιφερομένου, καὶ οὐδέποτε βέβαια βαδίζειν εἰδότος, οὐδὲ ἑστάναι μετὰ πολλῆς τῆς ἀνδρείας. εἶτα ἐπειδὴ συνεῖδεν ἱκανὸν ὄντα τὸν λόγον δακεῖν τὴν ἐκείνου ψυχὴν, ὅρα πῶς αὐτὸν συνεσκίασε πάλιν, αἰτίαν ἐπαγαγὼν οὐ σφόδρα κατηγορίας ἀξίαν. εἰπὼν γὰρ, ὃς δὲ ἕστηκεν ἑδραῖος ἐν τῇ καρδίᾳ αὐτοῦ, προσέθηκε· μὴ ἔχων ἀνάγκην, ἐξουσίαν δὲ ἔχων. καίτοι ἀκόλουθον ἦν εἰπεῖν· ὃς δὲ ἕστηκεν ἑδραῖος, καὶ μὴ νομίζει τὸ πρᾶγμα ἀσχημοσύνην εἶναι. ἀλλὰ τοῦτο πληκτικώτερον ἦν· διὸ ἕτερον ἀντὶ τούτου προσέθηκε, παραμυθούμενος αὐτὸν, καὶ διδοὺς μᾶλλον ἐπὶ ταύτην ἐλθεῖν τὴν αἰτίαν. οὐ γὰρ οὕτω δεινὸν τὸ πρᾶγμα δι' ἀνάγκην κωλύειν, ὡς δι' αἰσχύνην. τοῦτο μὲν γὰρ ψυχῆς ἐστιν ἀνάνδρου καὶ ταλαιπώρου· ἐκεῖνο δὲ καὶ διεστραμμένης, καὶ οὐδὲ τὴν τῶν πραγμάτων φύσιν ἐπισταμένης κρίνειν ὀρθῶς. ἀλλὰ τούτων οὔπω τῶν λόγων ἦν ὁ καιρός. ἐπεὶ ὅτι γε οὐδὲ ἀνάγκης ἐπικειμένης θέμις τὴν προῃρημένην παρθενεύειν κωλύεσθαι, ἀλλὰ πρὸς πάντα ἵστασθαι χρὴ γενναίως τὰ διακόπτοντα τὴν καλὴν ταύτην ὁρμὴν, ἄκουσον τί φησιν ὁ Χριστός· Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. ὅταν γάρ τι μετίωμεν τῶν τῷ Θεῷ δοκούντων, ἅπας ὁ κωλύων ἐχθρὸς ἔστω καὶ πολέμιος, κἂν πατὴρ ᾖ, κἂν μήτηρ, κἂν ὁστισοῦν. ἀλλ' ὁ Παῦλος ἔτι διαβαστάζων τῶν ἀκουόντων τὸ ἀτελὲς, ταῦτα ἔγραφε, λέγων· ὃς δὲ ἕστηκεν ἑδραῖος μὴ ἔχων ἀνάγκην· καὶ οὐδὲ μέχρι τούτου τὸν λόγον ἔστησε (καίτοιγε τὸ, μὴ ἔχων ἀνάγκην, καὶ ἐξουσίαν ἔχων ταὐτόν ἐστιν) ἀλλὰ τῷ μήκει τοῦ λόγου καὶ τῇ συνεχείᾳ τῶν συγχωρήσεων τὴν εὐτελῆ καὶ μικρὰν παραμυθεῖται διάνοιαν· μετὰ τούτων καὶ ἑτέραν αἰτίαν προσθεὶς τὸ, ὃς κέκρικεν ἐν τῇ καρδίᾳ αὐτοῦ. οὐ γὰρ ἀρκεῖ τὸ ἐλεύθερον εἶναι, οὐδὲ ἀπὸ τούτου μόνου ὑπεύθυνός ἐστιν, ἀλλ' ὅταν ἕληται καὶ κρίνῃ, τότε καλῶς ποιεῖ. εἶτα ἵνα μὴ νομίσῃς διὰ τὴν πολλὴν συγκατάβασιν μηδὲν εἶναι τὸ μέσον, τίθησι πάλιν τὴν διαφορὰν, μεθ' ὑποστολῆς μὲν, τίθησι δ' ὅμως, λέγων· Ὥστε καὶ ὁ ἐκγαμίζων καλῶς

Ρωμ. ιδ. ι.

Κολ. β. ις. κ.

γρ. τῶν ἐπ
μένων

γρ. τῶν αἰσχ
μένων

Ματθ. ι. λζ.

α. Κορ. ζ. λη.

λῶς ποιεῖ, ὁ δὲ μὴ ἐκγαμίζων κρεῖσσον ποιεῖ. ἀλλ᾽ ἐνταῦθα μὲν ὅσον τὸ κρεῖττον, οὐκ ἔδειξε, διὰ τὴν αὐτὴν πάλιν αἰτίαν. σὺ δὲ, εἰ θέλεις μαθεῖν, ἄκουσον τοῦ Χριστοῦ λέγοντος· Οὔτε γαμοῦσιν, οὔτε γαμίζονται, ἀλλ᾽ εἰσὶν ὡς ἄγγελοι ἐν οὐρανῷ. εἶδες τὸ μέσον, ποῦ τὸν θνητὸν ἡ παρθενία [illegible] αἴρει, ὅταν οὕτως ᾖ παρθενία.

Ματθ. κγ. λ.

Τί γὰρ τῶν ἀγγέλων ἀπεῖχον, εἰπέ μοι, ὁ Ἠλίας, ὁ Ἐλισσαῖος, ὁ Ἰωάννης, οὗτοι τὸν γνήσιοι τῆς παρθενίας ἐρασταί; οὐδὲν, ἀλλ᾽ ἢ ὅσον θνητῇ προσδέδεντο φύσει· τὰ δὲ ἄλλα εἴ τις ἀκριβῶς ἐξετάσειεν, οὐδὲν χεῖρον ἐκείνων εὑρήσει διακειμένους. καὶ τοῦτο δὲ αὐτὸ τὸ δοκοῦν ἐλάττωμα εἶναι, μέγα εἰς ἐγκωμίου λόγον ἐστί. τὸ γὰρ γῆν οἰκοῦντας, καὶ τῇ τῆς θνητῆς φύσεως ὑποκειμένους ἀνάγκῃ, δυνηθῆναι φθάσαι πρὸς ἐκείνην τὴν ἀρετὴν, ὅρα πόσης ἀνδρείας, πόσης φιλοσοφίας ἦν. ὅτι δὲ αὐτοὺς ἡ παρθενία τοιούτους ἐποίησε, δῆλον ἐκεῖθεν. εἰ γὰρ γυναῖκας εἶχον καὶ παῖδας, οὐκ ἂν εὐκόλως τὴν ἐρημίαν ᾤκησαν, οὐκ ἂν οἰκίας κατεφρόνησαν, οὐκ ἂν τῆς ἄλλης τοῦ βίου κατασκευῆς· νῦν δὲ πάντων τούτων ἀπολυθέντες τῶν δεσμῶν, ὡς ἐν οὐρανοῖς ὄντες, οὕτω διέτριβον ἐπὶ τῆς γῆς. οὐ τοίχων ἐδέοντο, οὐκ ὀροφῆς, οὐ κλίνης, οὐ τραπέζης, οὐκ ἄλλου τῶν τοιούτων τινός· ἀλλ᾽ ἀντὶ μὲν στέγης εἶχον τὸν οὐρανὸν, ἀντὶ δὲ κλίνης τὴν γῆν, ἀντὶ δὲ τραπέζης τὴν ἐρημίαν· καὶ πρᾶγμα, ὃ τοῖς ἄλλοις αἴτιον εἶναι λιμοῦ δοκεῖ, τῆς ἐρημίας ἡ ἀκαρπία, τοῦτο τοῖς ἁγίοις ἐκείνοις ἐν ἀφθονίᾳ καθίστη. οὐ γὰρ ἀμπέλων αὐτοῖς ἐδέησεν, οὐδὲ ἀλωνῶν, οὐδὲ ληΐων, οὐδὲ ἀμητοῦ· ἀλλὰ τὸ μὲν ποτὸν αὐτοῖς ἄφθονον παρεῖχον καὶ ἡδὺ πηγαὶ καὶ ποταμοὶ καὶ λίμναι· τράπεζαν δὲ τῷ μὲν ἄγγελος κατεσκεύαζε θαυμαστήν τινα καὶ παράδοξον καὶ μείζονα, ἢ κατ᾽ ἀνθρωπίνην συνήθειαν (Ὁ γὰρ εἷς ἄρτος, φησὶ, πρὸς τεσσαράκοντα ἡμερῶν ἀσιτίαν ἤρκεσε) τὸν δὲ ἡ τοῦ πνεύματος χάρις πολλάκις ἔτρεφε θαυματουργοῦσα· καὶ οὐκ αὐτὸν μόνον, ἀλλὰ καὶ δι᾽ ἐκείνου ἑτέρους. ὁ δὲ προφήτου πλέον Ἰωάννης, οὗ μείζων ἐν γεννητοῖς γυναικῶν οὐκ ἐγήγερται, οὐδὲ ἀνθρωπίνης ἐδεήθη τροφῆς. οὐ γὰρ σῖτος καὶ οἶνος καὶ ἔλαιον, ἀλλ᾽ ἀκρίδες καὶ μέλι ἄγριον τὴν τοῦ σώματος αὐτοῦ διεκράτουν ζωήν. εἶδες ἀγγέλους ἐπὶ τῆς γῆς; εἶδες παρθενίας ἰσχύν; τοὺς αἵματι καὶ σαρκὶ συμπεπλεγμένους, τοὺς χαμαὶ ἐρχομένους, τοὺς ἀνάγκῃ φύσεως ὑποκειμένους θνητῆς, ὡς ἀσωμάτους, ὡς τὸν οὐρανὸν ἤδη λαχόντας, ὡς ἀθανασίαν μετειληφότας, οὕτως ἅπαντα ποιεῖν παρεσκεύασε.

κεφ. οθ.
Ὅτι τῶν ἀγγέλων οὐδὲν ἀπεῖχον οἱ περὶ τὸν Ἠλίαν, καὶ ὅτι ἡ παρθενία τοιούτους αὐτοὺς ἐποίησεν.

γ. Βασ. ιθ. η.
δ. Βασ. δ.

Πλοῦτα γὰρ ἐκείνοις ἦν περιττὰ, οὐ ταῦτα μόνον τὰ ὄντως ὄντα περιττὰ, τρυφὴ, καὶ πλοῦτος, καὶ δυναστεία, καὶ δόξα, καὶ ὁ λοιπὸς τῶν ὀνείρων ὁρμαθός· ἀλλὰ καὶ τὰ δοκοῦντα εἶναι ἀναγκαῖα, οἰκίαι, καὶ πόλεις, καὶ τέχναι. τοῦτό ἐστι τὸ εὔσχημον καὶ εὐπρόσεδρον*, τοῦτο παρθενίας ἀρετή. θαυμαστὸν μὲν γὰρ, καὶ πολλῶν στεφάνων ἄξιον, καὶ τὸ τῆς τῶν ἐπιθυμιῶν περιγενέσθαι λύττης, καὶ μαινομένην κατέχειν τὴν φύσιν· ἀλλὰ τότε ὄντως γίνεται θαυμαστὸν, ὅταν ὁ τοιοῦτος βίος προσῇ. αὐτὸ δὲ καθ᾽ ἑαυτὸ ἀσθενὲς, καὶ οὐχ ἱκανὸν σῶσαι τοὺς ἔχοντας. καὶ μαρτυρήσειαν ἂν ἡμῖν ὅσαι παρθενίαν μὲν ἀσκοῦσι καὶ νῦν· τοσοῦτον δὲ ἀποδέουσιν Ἠλιοῦ καὶ Ἐλισσαίου καὶ Ἰωάννου, ὅσον ἡ γῆ τοῦ οὐρανοῦ. ὥσπερ γὰρ τὸ εὔσχημον καὶ εὐπρόσεδρον ἂν περιέλῃς, αὐτὰ τὰ νεῦρα τῆς παρθενίας ἐξέκοψας· οὕτως ὅταν αὐτὴν μετὰ πολιτείας ἔχῃς ἀρίστης, τὴν ῥίζαν καὶ τὴν ὑπόθεσιν ἔχεις τῶν καλῶν. καθάπερ γὰρ ῥίζαν γῆ λιπαρὰ καὶ γόνιμος, οὕτως οἶδεν ἀρίστη πολιτεία τρέφειν τοὺς τῆς παρθενίας καρπούς· μᾶλλον δὲ καὶ ῥίζα καὶ καρπὸς παρθενίας ὁ ἐσταυρωμένος βίος ἐστίν. αὕτη τοὺς γενναίους ἐκείνους πρὸς τὸν θαυμαστὸν ἤλειψε δρόμον, πάντα μὲν αὐτῶν τὰ δεσμὰ περικόψασα, ποσὶ δὲ εὐλύτοις καὶ κούφοις, καθάπερ πτηνοὺς, ἀφεῖσα πέτασθαι πρὸς τὸν οὐρανόν. ὅπου γὰρ οὔτε γυναικὸς θεραπεία, οὔτε παίδων ἐπιμέλεια, πολλὴ τῆς ἀκτημοσύνης ἡ εὐκολία. ἀκτημοσύνη δὲ ἐγγὺς εἶναι ποιεῖ τῶν οὐρανῶν, οὐ φόβων μόνον, οὐδὲ φροντίδων, οὐδὲ κινδύνων, ἀλλὰ καὶ τῆς ἄλλης δυσκολίας ἡμᾶς ἀπαλλάττουσα.

κεφ. π.
Τί τὸ εὔσχημον καὶ εὐπρόσεδρον.

κεφ. πα.
Ὅσον ἡ ἀκτημοσύνη καλόν.

Ὁ μὲν γὰρ μηδὲν ἔχων, ὡς τὰ πάντα κατέχων, οὕτως ἁπάντων καταφρονεῖ, καὶ παῤῥησίᾳ κέχρηται πολλῇ, καὶ πρὸς ἄρχοντας, καὶ πρὸς δυνάστας, καὶ πρὸς αὐτὸν τὸν τὸ διάδημα περικείμενον. ὁ χρημάτων καταφρονῶν, ὁδῷ προβαίνων, καὶ θανάτου καταφρονήσει ῥᾳδίως· τούτων δὲ γενόμενος ἀνώτερος, πᾶσι μετὰ παῤῥησίας διαλέξεται, οὐδένα δεδοικὼς, οὐδὲ τρέμων. ὁ δὲ περὶ χρήματα ἠσχολημένος, οὐ χρημάτων ἐστὶ μόνον δοῦλος, ἀλλὰ καὶ δόξης, καὶ τιμῆς, καὶ τῆς παρούσης ζωῆς, καὶ πάντων, ἁπλῶς εἰπεῖν, τῶν βιωτικῶν. διὰ τοῦτο ῥίζαν αὐτὴν τῶν κακῶν πάντων ὁ Παῦλος ἐκάλεσεν. ἀλλὰ ταύτην ἱκανὴ ξηρᾶναι τὴν ῥίζαν ἡ παρθενία, καὶ ἑτέραν ἡμῖν ἐνθεῖναι τὴν ἀρίστην, τὴν ἅπαντα βλαστάνουσαν τὰ καλὰ, ἐλευθερίαν, παῤῥησίαν, ἀνδρείαν, ζῆλον πεπυρωμένον, ἔρωτα τῶν οὐρανίων θερμὸν, ὑπεροψίαν πάντων τῶν ἐπὶ τῆς γῆς. οὕτω τὸ εὔσχημον καὶ εὐπρόσεδρον γίνεται.

α Τιμ. ς. ι.

κεφ. πβ.
Πρὸς τοὺς λέγοντας, ὅτι οἱ παρθενεύοντες εἰς κόλπους Ἀβραὰμ εὔχονται ἐλθεῖν.
Ματθ. η. ια.
Λουκ. ις.

Ἀλλὰ τίς ὁ σοφὸς τῶν πολλῶν λόγος; ὁ πατριάρχης, φησὶν, Ἀβραὰμ καὶ γυναῖκα εἶχε, καὶ παῖδας, καὶ χρήματα, καὶ ποίμνια, καὶ βουκόλια· καὶ μετὰ πάντα ἐκεῖνα Ἰωάννης ὅ τε βαπτιστὴς, ὅ τε εὐαγγελιστὴς, παρθένοι ἀμφότεροι τυγχάνοντες, καὶ Παῦλος καὶ Πέτρος ἐπὶ τῆς ἐγκρατείας διαλάμψαντες, εἰς τοὺς ἐκείνου κόλπους εὔχονται ἐλθεῖν. τίς σοι τοῦτο εἶπεν, ὦ βέλτιστε; ποῖος προφήτης; τίς εὐαγγελιστής; αὐτός, φησιν, ὁ Χριστός. τὸν γὰρ ἑκατόνταρχον ἰδὼν πολλὴν ἔχοντα πίστιν, ἔλεγεν· ὅτι Πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. καὶ ὁ Λάζαρος δὲ μετ' αὐτοῦ τότε ὁρᾶται ὑπὸ τοῦ πλουσίου τρυφῶν. καὶ τί τοῦτο πρὸς Παῦλον; τί δὲ πρὸς Πέτρον; τί δὲ πρὸς Ἰωάννην; οὐ γὰρ ὁ Λάζαρος Παῦλος καὶ Ἰωάννης ἦν, οὐδὲ οἱ πολλοὶ οἱ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, ὁ τῶν ἀποστόλων ἦσαν χορός. ὥστε περιττὸς ὑμῖν οὗτος ὁ λόγος καὶ μάταιος. εἰ δὲ θέλεις ὅλως ἀκοῦσαι τὰ τῶν ἀποστόλων ἔπαθλα, ἄκουσον τοῦ μέλλοντος αὐτὰ διδόναι λέγοντος· *Καθίσεσθε ἐπὶ δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. καὶ οὐδαμοῦ ἐνταῦθα ὁ Ἀβραὰμ, οὐδὲ ὁ τούτου παῖς, οὐδὲ ὁ ἐκείνου, οὐδὲ ὁ λαχὼν αὐτοὺς κόλπος, ἀλλ' ἀξία πολλῷ μείζων ἐκείνης. τοὺς γὰρ ἐκείνων οὗτοι καθεδοῦνται κρινοῦντες ἐκγόνους. οὐ ταύτῃ δὲ μόνον ἡ διαφορὰ δήλη, ἀλλ' ὅτι ὧν μὲν ὁ Ἀβραὰμ ἔτυχε, πολλοὶ τεύξονται. πολλοὶ γὰρ ἐλεύσονται, φησιν, ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ· τῶν δὲ θρόνων ἐκείνων οὐδεὶς ἕτερος ἐπιλήψεται, ἀλλὰ μόνος ὁ τῶν ἁγίων τούτων χορός. ἔτ' οὖν, εἰπέ μοι, ποιμνίων μέμνησθε, καὶ βουκολίων, καὶ γάμων, καὶ παίδων; τί οὖν, φησιν, ὅταν τῶν παρθενευσάντων πολλοὶ μετὰ τοὺς πολλοὺς ἱδρῶτας εὔχωνται χωρῆσαι ἐκεῖ; ἐγὼ δὲ τούτου μεῖζον ἐρῶ, ὅτι πολλοὶ τῶν παρθενευσάντων οὐδὲ ἐκείνων ἐπιτεύξονται τῶν κόλπων, οὐδὲ τῶν ἐλαττόνων, ἀλλ' εἰς τὴν γέενναν αὐτὴν ἀπελεύσονται. καὶ δηλοῦσιν αἱ τοῦ νυμφῶνος ἀποκλεισθεῖσαι παρθένοι. ἆρ' οὖν παρὰ τοῦτο τῆς παρθενίας ἴσος ὁ γάμος, ἢ καὶ χείρων; τὸ γὰρ ὑπόδειγμα τοῦτο σὸν καὶ χείρονα αὐτὴν ποιεῖ. εἰ γὰρ ὁ μὲν γεγαμηκὼς Ἀβραὰμ ἐν ἀνέσει καὶ τρυφῇ, οἱ δὲ παρθενεύσαντες ἐν γεέννῃ, τοῦτο λείπεται κατὰ τὸν ὑμέτερον ὑποπτεῦσαι λόγον. ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. οὐ γὰρ μόνον οὐκ ἐλάττων, ἀλλὰ καὶ πολλῷ βελτίων ἡ παρθενία τοῦ γάμου. πῶς; ὅτι οὔτε τὸν Ἀβραὰμ ὁ γάμος τοιοῦτον ἐποίησεν, οὔτε ἡ παρθενία τὰς ἀθλίας ἐκείνας ἀπώλεσεν· ἀλλὰ καὶ τὸν πατριάρχην ἡ λοιπὴ τῆς ψυχῆς ἀρετὴ λαμπρὸν ἀπέδειξε, καὶ ταύτας ἡ λοιπὴ κακία τοῦ βίου τῷ πυρὶ παρέδωκεν. ἐκεῖνος μὲν γὰρ καὶ ἐν γάμῳ ζῶν, ἐσπούδασε τὰ τῆς παρθενίας κατορθῶσαι καλὰ, τὸ εὔσχημον λέγω καὶ εὐπρόσεδρον· αὗται δὲ καὶ παρθενίαν ἑλόμεναι, εἰς τὸν τοῦ βίου κλύδωνα καὶ τὰς ἐν τῷ γάμῳ πραγματείας κατέπεσαν. τί οὖν κωλύει, φησὶ, καὶ νῦν μετὰ τοῦ γάμου καὶ τῶν παίδων καὶ τῶν χρημάτων καὶ τῶν ἄλλων ἁπάντων τὸ εὐπρόσεδρον διασῶσαι; πρῶτον μὲν, ὅτι οὐδεὶς κατὰ τὸν Ἀβραὰμ νῦν, ἀλλ' οὐδὲ κατὰ μικρὸν ἐγγύς. καὶ γὰρ τῶν ἀκτημοσύνην ἀσκούντων μᾶλλον ἐκεῖνος χρημάτων κατεφρόνησε, πλουτῶν, καὶ γυναῖκα ἔχων, καὶ ἡδονῆς μᾶλλον τῶν παρθενευόντων

Ματθ. ιθ. κη.

Ματθ. κε.

θενευόντων

θηλυνόντων ἐκράτει. οὗτοι μὲν γὰρ καθ' ἑκάστην ὑπὸ τῆς ἐπιθυμίας φλέγονται τὴν ἡμέραν· ἐκεῖνος δὲ οὕτω ταύτην κατεσβέκει τὴν φλόγα, καὶ οὐδεμιᾷ συνεδέδετο προσπαθείᾳ, ὡς μὴ μόνον ἀποσχέσθαι τῆς παλλακίδος, ἀλλὰ καὶ ἐκβαλεῖν αὐτὴν τῆς οἰκίας ὑπὲρ τοῦ μάχης καὶ στάσεως πᾶσαν ὑπόθεσιν ἀνελεῖν. νῦν δὲ οὐ σφόδρα εὔκολον τοῦτο εὑρεῖν.

Καὶ χωρὶς τούτων δὲ, ὅπερ καὶ ἀρχόμενος ἔλεγον, τοῦτο καὶ νῦν ἐρῶ· ὅτι οὐ τὸ αὐτὸ τῆς ἀρετῆς ἀπαιτούμεθα μέτρον ἡμεῖς τε κἀκεῖνοι. νῦν μὲν γὰρ οὐκ ἔστι τέλειον εἶναι μὴ πάντα πωλήσαντα, μὴ πᾶσιν ἀποταξάμενον, οὐ χρήμασι λέγω μόνον καὶ οἰκίᾳ, ἀλλὰ καὶ τῇ ψυχῇ τῇ ἑαυτοῦ. τότε δὲ οὔπω τοσαύτης ἀκριβείας ἐπίδειξις ἦν. τί οὖν; ἀκριβέστερον ἡμεῖς, φησι, τοῦ πατριάρχου βιοῦμεν νῦν; ὀφείλομεν μὲν, καὶ τοῦτο ἐπιτετάγμεθα, οὐ βιοῦμεν δέ· καὶ διὰ τοῦτο πολὺ τοῦ δικαίου ἀπολειπόμεθα. ἐπεὶ ὅτι γε μείζονα ἡμῖν τὰ σκάμματα πρόκειται, παντί που δῆλόν ἐστι. διὰ τοῦτο καὶ τὸν Νῶε θαυμάζουσα ἡ γραφὴ, οὐχ ἁπλῶς τοῦτο ποιεῖ, ἀλλὰ μετὰ προσθήκης τινός. Νῶε γὰρ, φησι, δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ, τῷ Θεῷ εὐηρέστησεν· οὐχ ἁπλῶς τέλειος, ἀλλ' ἐν τῷ τότε καιρῷ. πολλοὶ γὰρ τελειότητος τρόποι κατὰ διαφόρους ὡρισμένοι καιρούς· καὶ τοῦ χρόνου προκόπτοντος τὸ ποτὲ τέλειον, ἀτελὲς ὕστερον γέγονεν. οἷόν τι λέγω· τέλειος ἦν ποτε ὁ κατὰ τὸν νόμον βιῶν. Ὁ ποιήσας γὰρ αὐτὰ, φησι, ζήσεται ἐν αὐτοῖς· ἀλλ' ἐλθὼν ὁ Χριστὸς τοῦτο τὸ τέλειον ἔδειξεν ἀτελές. Ἐὰν γὰρ μὴ περισσεύσῃ, φησὶν, ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. τότε φόνος ἐδόκει μόνον εἶναι δεινόν· νῦν δὲ καὶ ὀργὴ καὶ λοιδορία μόνη τῇ γεέννῃ παραπέμψαι δύναιτ' ἄν. τότε μοιχεία ἐκολάζετο μόνον· νῦν δὲ καὶ τὸ ἀκολάστοις ὀφθαλμοῖς γυναῖκα ἰδεῖν οὐκ ἀπήλλακται τιμωρίας. τότε ἡ ἐπιορκία μόνη ἦν ἐκ τοῦ πονηροῦ· νῦν δὲ καὶ τὸ ὀμόσαι. τὸ γὰρ περισσὸν, φησι, τούτων ἐκ τοῦ πονηροῦ ἐστιν. οὐδὲν πλέον ἀπῃτοῦντο οἱ τότε, ἢ τὸ τοὺς φιλοῦντας ἀγαπᾶν· νῦν δὲ τὸ μέγα τοῦτο καὶ θαυμαστὸν οὕτως ἐστὶν ἀτελὲς, ὡς καὶ μετὰ τὴν κατόρθωσιν αὐτοῦ μηδὲν πλέον ἡμᾶς ἔχειν τῶν τελωνῶν.

κεφ. πγ.
Ὅτι οὐ τὸ αὐτὸ τῆς ἀρετῆς μέτρον ἡμῖν καὶ τοῖς ἐν τῇ παλαιᾷ πρόκειται.

Γεν. ϛ. θ.

Λευΐτ. ιη. ε.

Ματθ. ε. κ.

Τί δήποτε οὖν τῶν αὐτῶν κατορθωμάτων οὐχ ὁ αὐτὸς κεῖται μισθὸς ἡμῖν καὶ τοῖς ἐν τῇ παλαιᾷ, ἀλλὰ μείζονα ἐπιδείκνυσθαι δεῖ τὴν ἀρετὴν, εἰ μέλλοιμεν τῶν αὐτῶν ἐκείνοις τυγχάνειν; ὅτι πολλὴ ἡ τοῦ πνεύματος χάρις ἐκκέχυται νῦν, καὶ μεγάλη τῆς τοῦ Χριστοῦ παρουσίας ἡ δωρεά. ἄνδρας γὰρ αὕτη τελείους ἀντὶ νηπίων ἐποίησεν. ὥσπερ οὖν ἡμεῖς τοὺς παῖδας τοὺς ἡμετέρους ὅταν ἡβήσωσι πολλῷ μείζονα ἀπαιτοῦμεν τὰ κατορθώματα, καὶ ἃ ποιοῦντας πρότερον ἐπῃνοῦμεν κατὰ τὴν πρώτην ἡλικίαν, ταῦτα γενομένους ἄνδρας καὶ κατορθοῦντας οὐκέτι ὁμοίως θαυμάζομεν, ἀλλ' ἕτερα πολλῷ μείζονα ἐκείνων κελεύομεν ἐπιδείκνυσθαι· οὕτω καὶ τὴν ἀνθρωπίνην φύσιν ὁ Θεὸς ἐν τοῖς πρώτοις χρόνοις οὐ μεγάλα ἀπῄτει τὰ κατορθώματα, ἅτε νηπιωδέστερον διακειμένην· ἐπειδὴ δὲ προφητῶν ἤκουσεν, ἀποστόλων, τῆς τοῦ πνεύματος ἐπέτυχε χάριτος, ἐπέτεινεν αὐτῇ τῶν κατορθωμάτων τὸ μέγεθος. Εἰκότως. καὶ γὰρ μισθοὺς μείζονας ἔθηκε, καὶ τὰ ἔπαθλα πολλῷ λαμπρότερα νῦν. οὐκέτι γὰρ γῆ, καὶ τὰ ἐπὶ τῆς γῆς, ἀλλ' οὐρανὸς, καὶ τὰ νοῦν ὑπερβαίνοντα ἀγαθὰ τοῖς κατορθοῦσιν ἀπόκειται. πῶς οὖν οὐκ ἄτοπον ἐπὶ τῆς αὐτῆς ἔτι μένειν σμικρότητος ἀνδρωθέντας; τότε μὲν γὰρ ἡ ἀνθρωπίνη καθ' ἑαυτῆς ἔσχιστο φύσις, καὶ πόλεμος ἦν ἄσπονδος. καὶ τοῦτον ὁ Παῦλος διηγούμενος οὑτωσί πως φησί· Βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου. ἀλλὰ νῦν οὐκ ἔστι ταῦτα. Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί. καὶ περὶ τούτων εὐχαριστῶν ὁ Παῦλος ἔλεγε· Ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; εὐχαριστῶ τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ.

κεφ. πδ.
Ὅτι εἰκότως τῶν αὐτῶν κατορθωμάτων οὐχ ὁ αὐτὸς κεῖται μισθὸς ἡμῖν καὶ τοῖς ἐν τῇ παλαιᾷ.

Ρωμ. ζ. κγ.

Ρωμ. η. γ.

Ρωμ. ζ. κδ.

σου. διὰ τοῦτο κολαζόμεθα εἰκότως, ὅτι τῶν συμπεποδισμένων ἴσα τρέχειν οὐ βουλόμεθα οἱ λελυμένοι· μᾶλλον δὲ κἂν ἴσα δυνηθῶμεν, οὐδὲ οὕτως ἀπηλλάγμεθα τῆς κολάσεως. τοὺς γὰρ βαθείας ἀπολαύοντας εἰρήνης τῶν "σφόδρα βαρυνομένων "πολέμῳ πολλῷ μείζονα δεῖ καὶ λαμπρότερα ἱστᾶν τὰ τρόπαια. εἰ δὲ μέλλοιμεν περὶ χρήματα, καὶ τρυφὴν, καὶ γυναῖκας, καὶ πραγμάτων ἐπιμέλειαν στρέφεσθαι, πότε ἄνδρες ἐσόμεθα, πότε πνεύματι ζήσομεν, πότε τὰ τοῦ Κυρίου μεριμνήσομεν; ὅταν ἀποδημήσωμεν ἐντεῦθεν; ἀλλ' οὐκέτι πόνων οὐδὲ ἀγώνων ὁ καιρὸς, ἀλλὰ στεφάνων καὶ κολάσεων. τότε, κἂν παρθένος ᾖ τις οὐκ ἔχουσα ἔλαιον ἐν ταῖς λαμπάσιν, οὐ δυνήσεται παρ' ἑτέρων λαβεῖν, ἀλλ' ἔξω μενεῖ· κἂν ῥυπαρὰ τις ἱμάτια ἐνδεδυμένος παραγένηται, οὐ δυνήσεται ἐξελθὼν ἀμεῖψαι τὴν στολὴν, ἀλλ' εἰς τὸ τῆς γεέννης ἀπαχθήσεται πῦρ· κἂν αὐτὸν παρακαλῇ τὸν Ἀβραάμ, οὐδὲν αὐτῷ πλέον ἔσται λοιπόν. τῆς γὰρ κυρίας παραγινομένης, καὶ τοῦ βήματος τεθέντος, καὶ τοῦ δικαστοῦ καθίσαντος, καὶ τοῦ ποταμοῦ συρομένου τῆς φλογὸς, καὶ τῆς ἐξετάσεως γινομένης τῶν πεπραγμένων ἡμῖν, οὐκέτι λοιπὸν "ἀποκλύσασθαι τὰ πλημμελήματα συγχωρούμεθα, ἀλλ' ἐπὶ τὴν ὀφειλομένην ἀπὸ τούτων δίκην καὶ ἑκόντες καὶ ἄκοντες "ἑλκόμεθα μόνον, οὐδενὸς ἡμᾶς "ἐξαιτήσασθαι τότε δυναμένου· ἀλλὰ κἂν τύχῃ τὴν αὐτὴν τοῖς μεγάλοις καὶ θαυμαστοῖς ἀνδράσι παρρησίαν ἔχων τις, κἂν Νῶε, κἂν Ἰὼβ, κἂν Δανιὴλ, κἂν ὑπὲρ παίδων δέηται καὶ θυγατέρων, οὐδὲν ἔσται πλέον· ἀλλ' ἀνάγκη λοιπὸν ἀθάνατα κολάζεσθαι τοὺς ἡμαρτηκότας, ὥσπερ δὴ καὶ τιμᾶσθαι τοὺς κατωρθωκότας. ὅτι γὰρ οὔτε τούτων, οὔτε ἐκείνων τέλος ἔσται, ὁ Χριστὸς ἀπεφήνατο, ὥσπερ τὴν ζωὴν αἰώνιον, οὕτω καὶ τὴν κόλασιν αἰώνιον εἶναι λέγων. ὅτε γὰρ τοὺς μὲν ἐκ δεξιῶν ἀπεδέξατο, τοὺς δὲ ἐξ εὐωνύμων κατεδίκασεν, ἐπήγαγε λέγων· Καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον. *Ματθ. κε. μϛ.* διὸ χρὴ πάντα ἐνταῦθα πραγματεύεσθαι, καὶ τὸν ἔχοντα γυναῖκα, ὡς μὴ ἔχοντα εἶναι, καὶ τὸν οὕτως οὐκ ἔχοντα, μετὰ τῆς παρθενίας καὶ τὴν ἄλλην ἅπασαν ἀσκεῖν ἀρετήν· ἵνα μὴ μετὰ τὴν ἐνθένδε ἀποδημίαν ἀνόνητα ἀποδυρώμεθα.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΕΙΣ ΝΕΩΤΕΡΑΝ "ΧΗΡΕΥΟΥΣΑΝ

Λογ. α.

ΟΤι μὲν χαλεπὴν ἔλαβες τὴν πληγήν, καὶ ἐν καιρίῳ τὸ πεμφθὲν καὶ ἄνωθεν ἐδέξω τὸ βέλος, ἅπαντες ἄν σοι συνομολογήσαιεν, καὶ οὐδὲ τῶν σφόδρα φιλοσοφούντων οὐδεὶς ἀντερεῖ. ἐπειδὴ δὲ τοὺς πεπληγμένους οὐκ εἰς πένθος καὶ δάκρυα τὸν ἅπαντα χρόνον ἀναλίσκειν δεῖ, ἀλλὰ καὶ τῆς θεραπείας τῶν τραυμάτων πολλὴν ποιεῖσθαι τὴν πρόνοιαν, ὥστε μὴ προσθέντα μείζονα τοῖς δάκρυσι παραξεῖν τὴν πληγὴν, καὶ τῆς ὀδύνης σφοδροτέραν τὴν φλόγα ἐργάσασθαι· καλὸν δὲ τῆς διὰ τῶν λόγων ἀνασχέσθαι παρακλήσεως, καὶ τοὺς κρουνοὺς μικρὸν ἀνακροῦσαν τῶν δακρύων, χρόνον γοῦν βραχὺν καὶ τοῖς παραμυθεῖσθαί σε ἐπιχειροῦσι παρασχεῖν σεαυτήν. διὰ γάρ τοι τοῦτο καὶ ἡμεῖς οὐ παρ' αὐτὴν τοῦ πένθους τὴν ἀκμὴν, οὐδὲ ἅμα τῷ κατενεχθῆναι τὸ σκηπτὸν ἠνωχλήσαμεν· ἀλλ' ἀναμείναντες τὸν ἐν μέσῳ τουτονὶ χρόνον, καὶ συγχωρήσαντες ἐμπλησθῆναί σε τῶν ὀδυρμῶν, ὅτε λοιπὸν καὶ διαβλέψαι μικρὸν ἀπὸ τῆς ἀχλύος ἐκείνης, καὶ τὰς ἀκοὰς παρανοῖξαι δεδύνησαι τοῖς σε παρακαλεῖν πειρωμένοις, τότε δὲ αὐτοὶ μετὰ τῶν θεραπαινίδων λόγους καὶ τὰ παρ' ἑαυτῶν προστεθείκαμεν. ἐπὶ μὲν γὰρ τοῦ χειμῶνος ὄντος σφοδροῦ, καὶ πολλοῦ τοῦ πένθους πνέοντος, ὁ παρακαλῶν ἀπολέγειν τῆς λύπης, πλέον ἂν παρώξυνε πρὸς τὰς οἰμωγάς, καὶ τὸ μισηθῆναι κερδάνας μόνον, ὕλην ἂν πολλὴν τοῖς τοιούτοις λόγοις παρέσχε τῷ πυρί, μετὰ τοῦ καὶ ἐχθροῦ καὶ ἀνοήτου δόξαν λαβεῖν. ἐπειδὴ δὲ λοιπὸν ἤρξατο λήγειν ἡ ζάλη, καὶ τὸ τῶν κυμάτων ἄγριον κατεστόρησεν ὁ Θεός, εὐκόλως τοῦ λόγου τὰ ἱστία ἀναπετάσωμεν. ἐν συμμέτρῳ μὲν γὰρ χειμῶνι δυνήσεται ἴσως ἡ τέχνη ποιῆσαι τὸ ἑαυτῆς· ὅταν δὲ ἄμαχος ᾖ τῶν πνευμάτων ἡ προσβολή, τῆς ἐμπειρίας ὄφελος οὐδέν. διὰ ταῦτα πάντα τὸν ἔμπροσθεν χρόνον σιγήσαντες, μόλις καὶ νῦν ἐπιχειρήσαμεν ῥῆξαι φωνήν· ἐπειδὴ παρὰ τοῦ θείου ἠκούσαμεν τοῦ σοῦ, ὅτι λοιπὸν χρὴ θαρρεῖν. καὶ γὰρ καὶ τῶν θεραπαινίδων τὰς ἐν τιμῇ κατατολμᾶν ὑπὲρ τούτων μακροὺς ἀποτείνειν λόγους, τάς τε ἔξωθεν γυναῖκας, καὶ τὰς γένει προσηκούσας, καὶ τὰς ἄλλως πως ἐπιτηδείως ἐχούσας. ὅτι δὲ τοὺς παρ' ἐκείνων δεχομένη λόγους, οὐκ ἀτιμάσεις τοὺς παρ' ἡμῶν, ἀλλὰ καὶ ἡσυχίαν καὶ ἀταραξίαν παρέξεις αὐτοῖς κατὰ δύναμιν, σφόδρα θαρροῦμεν καὶ πεπιστεύκαμεν. καὶ ἄλλως μὲν οὖν τὸ γυναικεῖον γένος ἐπιρρεπέστερόν πως ἐστὶ πρὸς συμπάθειαν· ὅταν δὲ καὶ νεότης προσῇ, καὶ χηρεία ἄωρος, καὶ πραγμάτων ἀπειρία, καὶ φροντίδων ὄχλος πολύς, καὶ τὸ ἐν τρυφῇ καὶ εὐθυμίᾳ καὶ πλούτῳ τὸν ἔμπροσθεν ἅπαντα τετράφθαι χρόνον, πολλαπλασίονα γίνεται τὰ δεινά· κἂν ἡ τοῦτο παθοῦσα μὴ τῆς ἄνωθεν τύχῃ ῥοπῆς, καὶ ὁ τυχὼν αὐτὴν λογισμὸς ″ κατακλύσαι ″ δυνήσεται· ὅπερ πρῶτον καὶ μέγιστον τῆς πολλῆς περὶ σὲ τοῦ Θεοῦ κηδεμονίας τίθεμαι εἶναι τεκμήριον. τὸ γὰρ τοσούτων συνδραμόντων ἐξαίφνης κακῶν μὴ ἀποπνιγῆναι τῇ λύπῃ, μηδὲ τῆς κατὰ φύσιν ἐκστῆναι φρενῶν, οὐκ ἀνθρωπίνης τινὸς βοηθείας ἦν, ἀλλὰ τῆς τὰ πάντα δυναμένης χειρός, τῆς συνέσεως, ἧς οὐκ ἔστιν ἀριθμός, τῆς φρονήσεως, ἧς οὐκ ἔστιν ἐξεύρεσις, τοῦ πατρὸς τῶν οἰκτιρμῶν καὶ Θεοῦ πάσης παρακλήσεως. Καὶ αὐτὸς γὰρ πεπαίδευκεν ἡμᾶς, φησι, καὶ ἰάσεται ἡμᾶς, πατάξει καὶ μοτώσει ἡμᾶς, καὶ ὑγιάσει ἡμᾶς. ἕως μὲν γάρ σοι συνῆν ὁ μακάριος ἐκεῖνος ἀνήρ, ἀπέλαυες μὲν τιμῆς καὶ φροντίδος καὶ σπουδῆς· ἀπέλαυες δὲ οἵας παρὰ ἀνθρώπου ἀπολαύειν εἰκὸς ἦν. ἐπειδὴ δὲ ἐκεῖνον ἔλαβε πρὸς ἑαυτὸν ὁ Θεός, ἀντ' ἐκείνου σοι γέγονεν αὐτός. καὶ οὐκ ἐμὸς οὗτος ὁ λόγος, ἀλλὰ τοῦ μακαρίου προφήτου Δαβίδ. φησὶ γάρ, Ὀρφανὸν καὶ χήραν ἀναλήψεται· καὶ πάλιν αὐτὸν πατέρα καλεῖ τῶν ὀρφανῶν, καὶ κριτὴν τῶν χηρῶν, καὶ πολλὴν ὑπὲρ τούτου τοῦ γένους πολλαχοῦ ποιούμενον αὐτὸν ὄψει τὴν σπουδήν.

Ὠσ. ϛ. α.

Ψαλ. ρμε. π. ξζ. ϛ.

Ἵνα δὲ μὴ συνεχῶς τοῦτο λεγόμενον τὸ ὄνομα στρέφῃ σου τὴν ψυχήν, καὶ συγχέῃ τὸν λογισμὸν ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει ἐπελθόν, ὑπὲρ τούτου διαλεχθῆναι βούλομαι πρῶτον, καὶ δεῖξαι, ὅτι οὐ συμφορᾶς, ἀλλὰ τιμῆς ἐστιν ὄνομα, καὶ τιμῆς τῆς μεγίστης. μὴ γάρ μοι τὴν τῶν πολλῶν δόξαν τὴν πεπλανημένην εἰς ″ μαρτύριον ἀγάγῃς, ἀλλὰ τοῦ μακαρίου Παύλου, μᾶλλον δὲ τοῦ Χριστοῦ τὴν νομοθεσίαν. ἃ γὰρ ἐκεῖνος ἐφθέγγετο, ταῦτα ὁ Χριστὸς ἐλάλει δι' αὐτοῦ, καθὼς καὶ αὐτὸς ἔλεγεν, Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ. τί οὖν φησι; Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα· καὶ πάλιν, Νεωτέρας δὲ χήρας παραιτοῦ, δι' ἀμφοτέρων τοῦ πράγματος ἡμῖν τὸ μέγεθος παραστῆσαι βουλόμενος. καὶ περὶ μὲν ἐπισκόπων διαταττόμενος, οὐδαμοῦ τίθησιν ἐτῶν ἀριθμόν· ἐνταῦθα δὲ πολλὴν ποιεῖται τὴν ἀκρίβειαν. τί δήποτε; οὐχ ὅτι ἡ χηρεία μείζων ἱερωσύνης ἐστίν, ἀλλ' ὅτι μείζονα αὗται πόνον ἐκείνων ἔχουσι, πραγμάτων αὐταῖς πολλῶν πολλαχόθεν περιρρεόντων δημοσίων καὶ ἰδιωτικῶν. καθάπερ γὰρ πόλις ἀτείχιστος εἰς μέσον ἅπασι τοῖς βουλομένοις ἁρπάζειν πρόκειται, οὕτω καὶ κόρη χηρείᾳ συζῶσα πολλοὺς ἔχει πανταχόθεν τοὺς ἐπιβουλεύοντας, οὐ τοὺς τῶν χρημάτων αὐτῆς ἐφιεμένους μόνον, ἀλλὰ καὶ τοὺς τὴν σωφροσύνην αὐτῆς διαφθεῖραι σπεύδοντας. καὶ οὐ ταύτας μόνον, ἀλλὰ καὶ ἑτέρας πρὸς τὸ πεσεῖν αὐτὴν ἀφορμὰς

β. Κορ. ιγ. γ.

α. Τιμ. ε. θ. ιδ.

μας προσγινομένας εὑρήσομεν. καὶ γὰρ οἰκέται καταφρονοῦντες, καὶ πράγματα ἀμελούμενα, καὶ τὸ μηκέτι ἐν τῇ προτέρᾳ εἶναι τιμῇ, καὶ τὸ τὰς ὁμήλικας εὐπραγούσας ὁρᾶν, πολλάκις δὲ καὶ τὸ τρυφῆς ἐπιθυμεῖν, δευτέροις αὐτὰς ἔπεισεν ὁμιλῆσαι γάμοις. Εἰσὶ δὲ, αἳ νομίμους μὲν γάμους οὐκ ἐθέλουσι συγγενέσθαι τοῖς ἀνδράσι, λάθρα δὲ καὶ μετὰ τοῦ κρύπτεσθαι. τοῦτο δὲ ποιοῦσιν, ἵνα τὰ ἐγκώμια τῆς χηρείας καρπώσωνται. οὕτως οὐκ ἐπονείδιστον, ἀλλὰ καὶ θαυμαστὸν καὶ τιμῆς ἄξιον τὸ πρᾶγμα παρὰ ἀνθρώποις εἶναι δοκεῖ, οὐ παρ' ἡμῖν μόνον τοῖς πιστοῖς, ἀλλὰ καὶ τοῖς ἀπίστοις *. καὶ γὰρ ἐγώ ποτε νέος ἔτι ὢν, τὸν σοφιστὴν τὸν ἐμὸν (πάντων δὲ ἀνδρῶν δεισιδαιμονέστερος ἐκεῖνος ἦν) οἶδα ἐπὶ πολλῶν τὴν μητέρα τὴν ἐμὴν θαυμάζοντα. τῶν γὰρ παρακαθημένων″ αὐτὸν πυνθανομένων οἷα εἰώθει, τίνος εἴην ἐγώ; καί τινος εἰπόντος, ὅτι χήρας γυναικὸς, ἐμάνθανε παρ' ἐμοῦ τήν τε ἡλικίαν τῆς μητρὸς, καὶ τῆς χηρείας τὸν χρόνον. ὡς δὲ εἶπον, ὅτι ἐτῶν τεσσαράκοντα γεγονυῖα, εἴκοσιν ἔχει λοιπὸν, ἐξ οὗ τὸν πατέρα ἀπέβαλε τὸν ἐμὸν, ἐξεπλάγη καὶ ἀνεβόησε μέγα, καὶ πρὸς τοὺς παρόντας ἰδὼν, βαβαὶ ἔφη, οἷαι παρὰ χριστιανοῖς γυναῖκές εἰσι; τοσοῦτον οὐ παρ' ἡμῖν μόνον, ἀλλὰ καὶ παρὰ τοῖς ἔξωθεν τὸ πρᾶγμα ἀπολαύει τοῦ θαύματος καὶ ἐπαίνου. ἅπερ ἅπαντα συνειδὼς ὁ μακάριος Παῦλος, ἔλεγε· Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα. καὶ οὐδὲ μετὰ τὴν τοσαύτην τῶν χρόνων μαρτυρίαν ἀφίησιν αὐτὴν εἰς τὸν ἅγιον τοῦτον ταγῆναι χορὸν, ἀλλὰ καὶ ἕτερα προστίθησι, λέγων· Ἐν ἔργοις ἀγαθοῖς μαρτυρουμένη, εἰ ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησε. βαβαὶ τῆς δοκιμασίας καὶ τῆς βασάνου· ὅσην παρὰ τῆς χήρας ἀπαιτεῖ τὴν ἀρετὴν, καὶ πῶς ἀκριβολογεῖται, οὐκ ἂν τοῦτο ποιήσας, εἰ μὴ πρᾶγμα τίμιον καὶ σεμνὸν ἤμελλεν ἐμπιστεύειν αὐτῇ; καὶ νεωτέρας δέ, φησι, χήρας παραιτοῦ. εἶτα καὶ τὴν αἰτίαν″ τίθησιν. ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσι. διὰ τούτου γὰρ ἡμῖν τοῦ ῥήματος αἰνίττεται, ὅτι αἱ τοὺς ἄνδρας ἀποβαλοῦσαι, ἀντ' ἐκείνων ἁρμόττονται τῷ Χριστῷ. εἶτα δεικνὺς τὴν ἁρμονίαν ταύτην ″ῥάονα οὖσαν καὶ ἐπιεικῆ, τοῦτο τίθησιν· ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσι, καθάπερ τινὸς ἀνδρὸς ἐπιεικοῦς καὶ οὐ μετ' ἐξουσίας αὐταῖς κεχρημένου, ἀλλ' ἐῶντος ἐν ἐλευθερίᾳ ζῆν. καὶ οὐδὲ μέχρι τούτων τὸν λόγον ἔστησεν, ἀλλὰ καὶ ἑτέρωθι πάλιν πολλὴν ὑπὲρ αὐτῆς τὴν φροντίδα πεποίηκε, λέγων· ἡ δὲ σπαταλῶσα, ζῶσα τέθνηκεν· ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλπισεν ἐπὶ τὸν Θεὸν, καὶ προσμένει ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς ἡμέρας καὶ νυκτός. καὶ Κορινθίοις ἐπιστέλλων φησὶ, Μακαριωτέρα δέ ἐστιν, ἐὰν οὕτω μείνῃ. εἶδες ὅσα τῆς χηρείας τὰ ἐγκώμια, καὶ ταῦτα ἐν τῇ καινῇ, ὅτε καὶ τὸ τῆς παρθενίας διέλαμψε καλόν. ἀλλ' ὅμως οὐδὲ τότε τὰς μαρμαρυγὰς αὐτῆς ἀποκρύψαι ἴσχυσεν ἡ ταύτης φαιδρότης· ἀλλὰ διαλάμπει καὶ οὕτω τὴν οἰκείαν ἔχουσα ἀρετήν.

α. Κορ. ζ. μ.

Ὅταν οὖν μνημονεύωμεν μεταξὺ χηρείας, μὴ καταπέσῃς, μηδὲ ὄνειδος τὸ πρᾶγμα νόμιζε. εἰ γὰρ τοῦτο ἐπονείδιστον, πολλῷ μᾶλλον ἡ παρθενία. ἀλλ' οὐκ ἔστιν, οὐκ ἔστι· μὴ γένοιτο. ὅσας γὰρ τὰς ἔτι περιόντων ἀπεχομένας τῶν ἀνδρῶν θαυμάζομεν ἅπαντες καὶ ἀποδεχόμεθα, τὰς καὶ ἀπελθόντων αὐτῶν τὴν αὐτὴν περὶ αὐτοὺς ἐπιδεικνυμένας εὔνοιαν πῶς οὐκ ἐκπλήττεσθαι δεῖ καὶ ἐπαινεῖν; ἕως μὲν οὖν, ὅπερ ἔφην, συνῆς τῷ μακαρίῳ″ Θηρασίῳ, καὶ τιμῆς καὶ προνοίας ἀπέλαυες, οἵας παρὰ ἀνθρώπου ἀπολαύειν εἰκός· νῦν δὲ εἰς τὴν ἐκείνου τάξιν ἔχεις τὸν ἁπάντων δεσπότην Θεὸν, ὃς καὶ πάλαι σου προεστὼς, μειζόνως καὶ μετὰ πλείονος τοῦτο ποιήσει τῆς σπουδῆς νῦν. καὶ τῆς πολλῆς αὐτοῦ προνοίας οὐ μικρὸν, ὥσπερ ἔφθην εἰπὼν, τεκμήριον ἔδειξεν ἤδη, ἐν τοσαύτῃ καμίνῳ φροντίδων καὶ λύπης ὑγιῆ καὶ ἀνέπαφόν σε διαφυλάξας, καὶ μηδὲν ἀφεὶς τῶν ἀβουλήτων παθεῖν. ὁ δὲ ἐν τοσούτῳ σάλῳ μὴ συγχωρήσας γενέσθαι ναυάγιον, πολλῷ μᾶλλον ἐν γαλήνῃ διατηρήσει τὴν ψυχὴν, ἐλαφρὰν ποιήσει τὴν χηρείαν, καὶ τὰ ἐκ ταύτης δοκοῦντα εἶναι δεινά. Εἰ δέ σε τὸ τῆς χηρείας ὄνομα οὐ θορυβεῖ, ἀλλὰ "τὸν ἄνδρα τοιοῦτον ἀποβαλεῖν, συνομολογῶ σοι κἀγὼ πανταχοῦ γῆς ὀλίγους γεγενῆσθαι τοιούτους ἐν ἀνδράσι βιωτικοῖς φιλοστόργους, ἐπιεικεῖς, ταπεινούς, ἀπλάστους, "συνετούς, εὐλαβεῖς. ἀλλ' εἰ μὲν διελύετο παντελῶς, καὶ εἰς τὸ μηδὲν ἐληλύθει, ἔδει θορυβεῖσθαι καὶ ἀλγεῖν· εἰ δὲ εἰς τὸν εὔδιον κατέπλευσε λιμένα, καὶ πρὸς τὸν ὄντως αὐτοῦ βασιλέα ἀποδεδήμηκεν, οὐ πενθεῖν ὑπὲρ τούτων, ἀλλὰ καὶ χαίρειν δεῖ. οὐ γὰρ θάνατος ὁ θάνατος οὗτος, ἀλλ' ἀποδημία καὶ μετάστασίς τις ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ βελτίω, ἀπὸ τῆς γῆς πρὸς τὸν οὐρανόν, ἀπὸ τῶν ἀνθρώπων πρὸς ἀγγέλους καὶ ἀρχαγγέλους καὶ τὸν τῶν ἀγγέλων καὶ ἀρχαγγέλων δεσπότην. ἐνταῦθα μὲν γὰρ ἐπὶ τῆς γῆς στρατευόμενον βασιλεῖ καὶ κινδύνους ἦν προσδοκᾶν, καὶ πολλὰς παρὰ τῶν φθονούντων τὰς ἐπιβουλάς. ὅσῳ γὰρ αὐτῷ τὰ τῆς εὐδοκιμήσεως ηὔξατο, τοσούτῳ καὶ τὰ παρὰ τῶν ἐχθρῶν ἐπλεόναζεν. ἐκεῖ δὲ ἀπελθόντα οὐκ ἔστιν ὑποπτεῦσαι τούτων οὐδέν. ὥστε ὅσῳπερ ἂν πενθῇς, ὅτι χρηστὸν ὄντα καὶ ἐνάρετον ἔλαβεν ὁ Θεός, τοσούτῳ χαίρειν δεῖ, ὅτι μετὰ πολλῆς τῆς ἀσφαλείας καὶ τῆς δόξης ἀποδεδήμηκε, καὶ τῆς ἐν τῷ παρόντι κινδύνῳ ταραχῆς ἀπαλλαγείς, ἔστιν ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ πολλῇ. πῶς γὰρ οὐκ ἄτοπον, τὸν μὲν οὐρανὸν πολλῷ βελτίω τῆς γῆς εἶναι ὁμολογεῖν, τοὺς δὲ ἀπὸ ταύτης ἐκεῖ μεταστάντας πενθεῖν; εἰ μὲν γὰρ τῶν αἰσχρῶς βεβιωκότων καὶ παρὰ τὸ τῷ Θεῷ δοκοῦν ὁ μακάριος ἐκεῖνος ἦν, ἔδει κόπτεσθαι καὶ θρηνεῖν, οὐκ ἀπελθόντα μόνον, ἀλλὰ καὶ ζῶντα ἐκεῖνον· ἐπειδὴ δὲ τῶν αὐτοῦ φίλων καὶ οὗτος εἷς ἐτύγχανεν ὤν, οὐ ζῶντι μόνον, ἀλλὰ καὶ κοιμηθέντι συνήδεσθαι χρή. * τοῦ μακαρίου Παύλου πάντως ἤκουσας λέγοντος· Τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι πολλῷ μᾶλλον κρεῖσσον. ἀλλὰ ῥημάτων ἴσως ποθεῖς ἀκοῦσαι τῶν ἐκείνου, καὶ φιλίας ἀπολαῦσαι τῆς πρὸς αὐτόν, καὶ συνῆφθαι ἐπιζητεῖς καὶ δόξαν τὴν δι' αὐτὸν καὶ λαμπρότητα καὶ τιμὴν καὶ ἀσφάλειαν, καὶ ταῦτά σε πάντα φροῦδα γενόμενα θορυβεῖ καὶ σκοτοῖ. τὴν μὲν οὖν φιλίαν τὴν πρὸς ἐκεῖνον ἔξεστί σοι φυλάττειν καὶ νῦν ὁμοίως, ὥσπερ καὶ πρότερον. τοιαύτη γὰρ ἡ τῆς ἀγάπης δύναμις· οὐ τοὺς παρόντας μόνους καὶ πλησίον ὄντας ἡμῖν καὶ ὁρωμένους, ἀλλὰ καὶ τοὺς μακρὰν ἀφεστῶτας περιλαμβάνει καὶ συγκολλᾷ καὶ συνδεῖ· καὶ οὔτε χρόνων πλῆθος, οὔτε ὁδῶν διάστημα, οὔτε ἄλλο τῶν τοιούτων οὐδὲν ψυχῆς φιλίαν διακόψαι δύναιτ' ἂν καὶ διατεμεῖν. εἰ δὲ καὶ πρόσωπον αὐτὸν βούλει πρὸς πρόσωπον ἰδεῖν (τοῦτο γὰρ οἶδα ὅτι μάλιστα ποθεῖς) διαφύλαξον αὐτῷ τὴν εὐνὴν ἀνέπαφον ἀνδρὸς ἑτέρου, καὶ βίον ἐπιδείξασθαι σπούδασον ἴσον ἐκείνῳ, καὶ πάντως εἰς τὸν αὐτὸν ἀπελεύσῃ χορὸν αὐτῷ, οὐ πέντε ἔτη, καθάπερ ἐνταῦθα, οὐδὲ εἴκοσι καὶ ἑκατόν, οὐδὲ χίλια καὶ δὶς τοσαῦτα, οὐδὲ μυρία καὶ πολλάκις τοσαῦτα, ἀλλὰ τοὺς ἀπείρους καὶ ἀτελευτήτους αἰῶνας αὐτῷ συνοικήσουσα. τοὺς γὰρ τῆς ἀναπαύσεως τόπους "ἐκείνης οὐχ αἱ συγγένειαι αἱ σωματικαί, ἀλλ' ἡ τῶν βίων ἰσότης κληρονομεῖν πέφυκεν. εἰ γὰρ τὸν Λάζαρον ἀγνῶτα ὄντα τῷ Ἀβραὰμ εἰς τοὺς αὐτοὺς αὐτῷ κόλπους ἤγαγε, καὶ πολλοὺς ἀπὸ ἀνατολῶν καὶ δυσμῶν μετ' ἐκείνου ἀνακλιθῆναι παρασκευάζει τὸ τῆς πολιτείας ἀπαράλλακτον, καὶ σὲ μετὰ τοῦ καλοῦ "ἐκείνου ὁ τῆς αἰνέσεως ἐκδέξεται τόπος, ἂν ἐκείνῳ τὸν βίον θέλῃς ἐπιδείξασθαι τὸν αὐτόν. "οὐκ ἐν τούτῳ τῷ κάλλει τοῦ σώματος, ὅπερ ἔχων ἀπῆλθεν, ἀπολήψῃ πάλιν, ἀλλ' ἐν ἑτέρᾳ τινὶ μαρμαρυγῇ καὶ φαιδρότητι μᾶλλον τῶν ἡλιακῶν ἀκτίνων ἀπολαμπούσῃ. τοῦτο γὰρ τὸ σῶμα, κἂν ἐν ὄψει προέχῃ πολλῷ, φθαρτὸν ὅμως ἐστί· τὰ δὲ σώματα τῶν εὐηρεστηκότων τῷ Θεῷ τοσαύτην ἐνδύσεται δόξαν, ὅσην οὐδὲ ἰδεῖν ἔνι τούτοις τοῖς ὀφθαλμοῖς. καὶ τούτων ἡμῖν σημεῖά τινα καὶ ἴχνη ἀμυδρὰ καὶ ἐν τῇ παλαιᾷ, καὶ ἐν τῇ καινῇ δοθῆναι παρεσκεύασεν ὁ Θεός. ἐκεῖ μὲν γὰρ τὸ πρόσωπον τοῦ Μωϋσέως τοσαύτῃ κατελάμπετο δόξῃ τότε, ὡς ἀπρόσιτον εἶναι τοῖς τῶν Ἰσραηλιτῶν ὀφθαλμοῖς· ἐν δὲ τῇ καινῇ τούτου πολλῷ πλέον "ἐξέλαμψε τὸ τοῦ Χριστοῦ. εἰπὲ γάρ μοι· εἰ βασιλέα τις αὐτὸν ἐπηγγέλλετο πάσης ποιῆσαι τῆς γῆς, εἶτα ἐτῶν εἴκοσι χρόνον ἀποστῆναί σε ἐκέλευσεν ὑπὲρ τούτου, καὶ μετὰ ταῦτά σοι μετὰ τοῦ διαδήματος

Φιλιπ. α. κγ.

διαδήματος καὶ τῆς ἁλουργίδος ἀποδύσειν αὐτὸν ἐπηγγέλλετο, καὶ πάλιν εἰς τὴν αὐτὴν ἄξειν ἐκείνῳ τιμήν, ἂν τὸν χωρισμὸν πράως ἤνεγκας καὶ μετ' εὐφροσύνης τῆς προσηκούσης, ἆρα οὐκ ἂν ἠσμένισας τῷ δώρῳ, καὶ πρᾶγμα εὐχῆς ἄξιον εἶναι ἐνόμισας; τοῦτο τοίνυν ἀνάσχου καὶ νῦν, οὐχ ὑπὲρ βασιλείας τῆς ἐν τῇ γῇ, ἀλλ' ὑπὲρ τῆς ἐν οὐρανοῖς· οὐχ ἵνα ἱμάτιον χρυσοῦν φοροῦντα ἀπολάβῃς, ἀλλ' ἵνα ἀφθαρσίαν καὶ ἀθανασίαν καὶ δόξαν, ὅσην τοὺς ἐν τοῖς οὐρανοῖς διάγοντας ἔχειν εἰκός. Εἰ δὲ σφόδρα ἀφορήτως ἔχεις πρὸς τὸ τοῦ χρόνου μακρόν, εἰκὸς αὐτὸν καὶ δι' ὀνειράτων ἐπιστῆναί σοί ποτε, καὶ διαλέγεσθαι τὰ ἐν συνηθείᾳ, καὶ δεῖξαι ὄψιν τὴν ποθουμένην. τοῦτό σοι ἀντὶ τῶν ἐπιστολῶν ἔστω παραμύθιον· μᾶλλον δὲ τούτων καὶ ἐπιστολῶν τρανότερον. ἐκεῖ μὲν γὰρ γράμματα μόνον ἔστιν ἰδεῖν, ἐνταῦθα δὲ καὶ τύπον ὄψεως, καὶ γέλωτα προσηνῆ, καὶ σχῆμα, καὶ βάδισιν, καὶ ἠχοῦς ἀκοῦσαι, καὶ φωνὴν ἐπιγνῶναι τὴν φιλτάτην.

Ἐπειδὴ δὲ καὶ ὑπὲρ ἀσφαλείας θρηνεῖς, ἣν δι' ἐκεῖνον πάλαι ἐκέκτησο, ἴσως δὲ καὶ διὰ τὸ μείζους ἐμφαίνειν ἐλπίδας εὐδοκιμήσεως (καὶ γὰρ ἤκουον εὐθέως ἐπὶ τὸν τῶν ὑπάρχων θρόνον ἥξειν αὐτόν, ὃ μάλιστα πάντων οἶμαι συστρέφει σου τὴν ψυχήν) ἐννόησον τοὺς ἐπὶ μείζονος ἀξιώματος ὄντας ἐκείνου, καὶ τὸν βίον σφόδρα ἐλεεινῶς καταστρέψαντας. ἀναμνήσω δέ σε. Θεόδωρον ἴσως ἀκούεις τὸν ἀπὸ Σικελίας· καὶ γὰρ τῶν σφόδρα ἐπισήμων ἐτύγχανεν ὤν. οὗτος καὶ κάλλει καὶ μεγέθει σώματος καὶ παρρησίᾳ τῇ πρὸς τὸν βασιλέα πάντων κρατῶν, καὶ δυνάμενος ὅσα τῶν ἔνδον στρεφομένων οὐδείς, οὐκ ἤνεγκε τὴν εὐπραγίαν πράως ἐκείνην, ἀλλ' ἐπιβουλεύσας βασιλεῖ καὶ ἁλούς, αὐτὸς μὲν ἀπετμήθη σφόδρα ἐλεεινῶς· ἡ δὲ τούτου γυνή, καὶ ἀνατροφῆς καὶ γένους καὶ τῶν ἄλλων ἁπάντων οὐδὲν ἔλαττον ἔχουσα τῆς εὐγενείας τῆς σῆς, πάντων ἄφνω γυμνωθεῖσα τῶν αὐτῆς, καὶ τῆς ἐλευθερίας αὐτῆς ἐκπεσοῦσα, ταῖς ταμιακαῖς ἐρίθοις ἐγκατελέγετο, καὶ πάσης θεραπαινίδος οἰκτρότερον ζῆν ἠναγκάζετο βίον· τοσοῦτον ἔχουσα τῶν ἄλλων πλέον, ὅσον διὰ τὴν ὑπερβολὴν τῆς συμφορᾶς ἐδακρύετο παρὰ τῶν ὁρώντων ἁπάντων αὐτήν. λέγεται δὲ καὶ Ἀρτεμισία ἀνδρὸς σφόδρα εὐδοκίμου γενομένη γυνή, ἐπειδὴ κἀκεῖνος τυραννίδος ἐπεθύμησεν, οὕτως εἰς ταύτην τὴν πενίαν ἐλθεῖν καὶ τὴν πήρωσιν. τό τε γὰρ μέγεθος τῆς ἀθυμίας, τό τε πλῆθος τῶν δακρύων ἔσβεσεν "αὐτῆς τοὺς ὀφθαλμούς, καὶ νῦν τῶν χειραγωγησόντων δεῖται, καὶ πρὸς τὰς ἑτέρων ἀξόντων θύρας, ἵνα τῆς ἀναγκαίας οὕτως εὐπορεῖν ἔχῃ τροφῆς. καὶ πολλὰς ἂν ἑτέρας εἶχον οἰκίας εἰπεῖν οὕτω κατενεχθείσας, εἰ μὴ τήν τε εὐλάβειαν καὶ τὴν σύνεσιν τῆς σῆς "ἐπιστάμην ψυχῆς οὐκ ἐκ τῶν ἀλλοτρίων κακῶν τῆς οἰκείας συμφορᾶς παραμυθίαν βουλομένην εὑρεῖν· καὶ τούτων δέ, ὧν ἐμνήσθην, δι' οὐδὲν ἕτερον ἐμνήσθην νῦν, ἀλλ' ἵνα μάθῃς, ὅτι τὰ ἀνθρώπινα οὐδέν ἐστι πράγματα, ἀλλ' ἀληθῶς, ὡς ὁ προφήτης φησί, Πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου. ὅσῳ γὰρ ἂν ἐπαρθῇ καὶ λάμψῃ, τοσούτῳ μείζονα τὴν πτῶσιν ἐργάζεται, οὐ τὰ τῶν ἀρχομένων μόνον, ἀλλὰ καὶ τὰ τῶν βασιλευόντων αὐτῶν. οὐδὲ γὰρ ἂν εὕροι τις οἰκίαν ἰδιωτικὴν τοσούτων ἐμπεπλησμένην συμφορῶν, ὅσων τὰ βασίλεια γέμει τῶν κακῶν. καὶ γὰρ ὀρφανίαι ἄωροι, καὶ χηρεῖαι, καὶ θάνατοι βίαιοι καὶ τῶν ἐν ταῖς τραγῳδίαις παρανομώτεροι πολλῷ καὶ πικρότεροι, μάλιστα εἰς ταύτην κατασκήπτουσι τὴν ἀρχήν. καὶ ἵνα τὰ παλαιὰ ἀφῶμεν, τῶν βασιλευσάντων ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας ἐννέα γεγενημένων, ἁπάντων δύο μόνοι κοινῷ θανάτῳ τὸν βίον κατέλυσαν· τῶν δὲ ἄλλων ὁ μὲν ὑπὸ τυράννου, ὁ δὲ ἐν πολέμῳ, ὁ δὲ ὑπὸ τῶν ἔνδον φυλαττόντων αὐτὸν ἐπιβουλευθείς, ὁ δὲ ὑπ' αὐτοῦ τοῦ χειροτονήσαντος καὶ τὴν ἁλουργίδα περιθέντος αὐτῷ· αἱ δὲ τούτοις συνοικήσασαι γυναῖκες, αἱ μέν, ὥς φασι, φαρμάκοις ἀπέθανον, αἱ δὲ ὑπὸ τῆς ἀθυμίας αὐτῆς. τῶν δὲ ἔτι περιουσῶν, ἡ μὲν παῖδα ἔχουσα ὀρφανὸν τρέμει καὶ δέδοικε, μή τις αὐτὸν τῶν κρατούντων φόβῳ τῶν μελλόντων ἀνέλῃ· ἡ δὲ μόλις πολλῶν δεηθέντων ἀπὸ τῆς ὑπερορίας ἐπανῆλθεν, εἰς ἣν αὐτὴν ὁ κρα-

τῶν

Ησ. μ. ζ.

γρ. αὐτῇ

γρ. ἠπιστάμην

τὴν ἐξέβαλε πρότερον. τὴν δὲ τοῖς νῦν βασιλεύουσι συνοικοῦσαν ἡ μὲν ἀπὸ τῶν προτέρων ἀναπνεύσασα συμφορῶν ἀναμεμιγμένην ἔχει πολλὴν τῇ ἡδονῇ τὴν ὀδύνην, διὰ τὸ σφόδρα ἐπὶ νέον εἶναι ἄρτι τὸν κρατοῦντα, καὶ πολλοὺς πολλαχόθεν ἔχειν τοὺς ἐπιβουλεύοντας· ἡ δὲ ἀποτέθνηκε τῷ δέει, καὶ τῶν καταδίκων ἀθλιώτερον ζῇ διὰ τὸν ἄνδρα αὐτῆς, ἐξ οὗ τὸ διάδημα ἀνεδήσατο μέχρι τῆς σήμερον, ἐν πολέμοις διατρίβειν καὶ μάχαις, καὶ τῶν συμφορῶν πλέον, ὑπὸ τῆς αἰσχύνης ἀναλίσκεσθαι καὶ τοῖς παρὰ πάντων ὀνείδεσιν. ὃ γὰρ μηδέποτε γέγονε, συνέβη νῦν· καὶ τὴν αὐτῶν ἀφέντες οἱ βάρβαροι χώραν, μυρίους σταδίους τῆς ἡμετέρας καὶ πολλάκις τοσούτους ἐπέδραμον, καὶ τὰς χώρας κατακαύσαντες καὶ τὰς πόλεις ἑλόντες οὐκ ἐθέλουσιν ὑποστρέφειν οἴκαδε πάλιν, ἀλλ᾽ ὥσπερ χορεύοντες μᾶλλον, ἢ πολεμοῦντες, οὕτω καταγελῶσι τῶν ἡμετέρων ἁπάντων. καί τινα τῶν παρ᾽ ἐκείνοις βασιλέων εἰπεῖν″ φασιν, ὅτι τῆς ἀναισχυντίας ἐκπλήττοιτο τῶν ἡμετέρων στρατιωτῶν, οἳ μᾶλλον προβάτων κατασφαττόμενοι προσδοκῶσιν ἔτι νικᾶν, καὶ οὐκ ἐθέλουσιν ἐκστῆναι τῆς ἑαυτῶν πατρίδος. αὐτὸς μὲν γὰρ ἔφασκε καὶ κόρον εἰληφέναι πολλάκις κατακόπτων αὐτούς. πῶς οὖν οἴει καὶ τὸν βασιλέα καὶ τὴν τούτου γυναῖκα ταῦτα ἀκούουσαν τὰ ῥήματα ἔχειν ψυχήν;

Ἐπειδὴ δὲ ἐμνήσθην τοῦ πολέμου τούτου, ἑσμός μοι πολὺς χηρῶν ἐπέδραμεν. αἳ πολλαὶ μὲν σφόδρα ″ἐπέλαμπον ἀπὸ τῆς τῶν ἀνδρῶν τιμῆς· νῦν δὲ ἀθρόως ἅπασαι πενθήρη καὶ μέλαιναν περιθέμεναι στολὴν, θρηνοῦσι τὸν ἅπαντα χρόνον. οὐδὲ γὰρ τοῦτο αὐταῖς ὑπῆρξεν, ὅπερ τῇ τιμίᾳ σου κεφαλῇ. σὺ μὲν γὰρ, ὦ θαυμασία, καὶ κείμενον ἐπὶ τῆς κλίνης εἶδες τὸν καλὸν ἐκεῖνον, καὶ ἐσχάτης ἤκουσας φωνῆς, καὶ τίνα χρὴ πρᾶξαι ὑπὲρ τῶν πραγμάτων τῆς οἰκίας ἔμαθες ἐπισκήπτοντος, καὶ διὰ τῶν διαθηκῶν ἅπασαν τοῖς πλεονέκταις καὶ συκοφάνταις ἀποτειχίζοντος ἔφοδον. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ νεκρῷ ἐπικειμένῳ πολλάκις ἐπέπεσες, καὶ κατεφίλησας ὀφθαλμοὺς, καὶ περιεχύθης, καὶ ἐκώκυσας, καὶ προπεμφθέντα εἶδες μετὰ πολλῆς τῆς τιμῆς, καὶ τὰ πρὸς τὴν ταφὴν πάντα ἔπραξας, ὡς προσῆκον ἦν, καὶ πρὸς τὸν τάφον πολλάκις ἐρχομένη τὸν ἐκείνου, παραμυθίαν ἔχεις τῆς ὀδύνης οὐ μικράν. αὗται δὲ τούτων ἁπάντων ἐστέρηνται, ἐκπέμψασαι μὲν εἰς πόλεμον ἅπασαι τοὺς ἑαυτῶν ἄνδρας ὡς πάλιν αὐτοὺς ἀποληψόμεναι, ἀντὶ δὲ ἐκείνων ″τῆς πικρᾶς αὐτῶν τελευτῆς τὴν ἀγγελίαν δεξάμεναι. οὐδὲ γὰρ τὰ σώματά τις αὐτῶν κομίζων ἐπανῆλθεν αὐταῖς, ἀλλὰ ῥήματα μόνον τὸν τρόπον διηγούμενα τῆς τελευτῆς. εἰσὶ δὲ αἳ οὐδὲ ταύτης ἠξιώθησαν τῆς διηγήσεως, οὐδὲ ὅπως κατέπεσον μαθεῖν ἠδυνήθησαν, ἐν πολλῷ τῷ πλήθει τῆς συμβολῆς καταχωσθέντων αὐτῶν. καὶ τί θαυμαστὸν, εἰ τῶν στρατηγῶν οὕτως ἀπέθανον οἱ πολλοὶ, ὅπου γε καὶ αὐτὸς ὁ βασιλεὺς εἰς κώμην τινὰ ″ἀπολειφθεὶς μετ᾽ ὀλίγων στρατιωτῶν ἐξελθεῖν μὲν καὶ ἀντιστῆναι τοῖς ἐπελθοῦσιν οὐκ ἐτόλμησε, μένων δὲ ἔνδον, πῦρ ἀνάψάντων ἐκείνων, συγκατεφλέχθη τοῖς ἔνδον ἅπασιν, οὐκ ἀνδράσι μόνον, ἀλλὰ καὶ ἵπποις καὶ τοίχοις καὶ δοκοῖς, καὶ πάντα μία γέγονε κόνις; καὶ ταύτην οἱ μετὰ τοῦ βασιλέως ἀπελθόντες εἰς πόλεμον ἀντὶ τοῦ βασιλέως ἐπανῆλθον τῇ γυναικὶ φέροντες τὴν φωνήν. οὐδὲν γὰρ, οὐδὲν τῶν ἐν τῇ σκηνῇ γινομένων καὶ τῆς τῶν ἐαρινῶν ἀνθέων ὥρας τὰ τοῦ κόσμου λαμπρὰ διενήνοχε. πρότερον μὲν γὰρ πρὶν ἢ φανῆναι, ἀφίπταται· ἔπειτα δὲ κἂν μικρὸν ἀναμεῖναι ἀνάσχηται χρόνον, εὐθέως εὔφθαρτα γίνεται. τί γὰρ τῆς παρὰ τῶν πολλῶν τιμῆς καὶ δόξης οὐδαμινέστερον; τίνα ἔχει τὸν καρπόν; ποίαν τὴν ὄνησιν; εἰς ποῖον τέλος χρήσιμον ἀπαντᾷ; καὶ εἴθε τοῦτο μόνον ἦν τὸ δεινόν· νυνὶ δὲ πρὸς ″τῷ μηδὲν ἔχειν ἀπὸ τοῦ κερδαίνειν καλὸν, πολλὰ λυπηρὰ καὶ ἐπιβλαβῆ φέρειν ἀναγκάζεται συνεχῶς ὁ τὴν χαλεπωτάτην ταύτην δέσποιναν ἔχων. δέσποινα γὰρ ἐστι τῶν ἐρώντων αὐτήν· καὶ ὅσῳπερ ἂν κολακεύηται παρὰ τῶν δούλων, τοσούτῳ πλέον αἴρεται κατ᾽ αὐτῶν, καὶ σκληροτέροις αὐτοὺς κατατείνει τοῖς ἐπιτάγμασι. τοὺς δὲ διαπλύνοντας αὐτὴν καὶ περιφορῶντας οὐδὲ αὐτὴ λοιπὸν ἀμύνασθαι δύναιτ' ἄν· οὕτω καὶ τυράννου καὶ θηρίου παντός ἐστι χαλεπωτέρα. ὁ μὲν γὰρ τύραννος καὶ τὰ θηρία τιθασεύονται διὰ θεραπείας πολλάκις· αὕτη δὲ τότε μάλιστα ἀγριαίνει, ὅταν αὐτῇ μάλιστα πειθώμεθα. κἂν εὕρῃ τοὺς ἀκουσομένους καὶ εἰς πάντα εἴξοντα, οὐδέν ἐστιν ὃ παραιτεῖται ἐπιτάξαι λοιπόν. ἔχει δὲ καὶ σύμμαχον ἑτέραν, ἣν οὐκ ἄν τις ἁμάρτοι θυγατέρα αὐτῆς προσειπών. ὅταν γὰρ καὶ αὐτὴ τραφεῖσα καὶ αὐξηθεῖσα καλῶς ῥιζωθῇ παρ' ἡμῖν, τότε τίκτει τὴν ἀπόνοιαν, πρᾶγμα οὐχ ἧττον αὐτῆς δυνάμενον κατακρημνίσαι τὴν τῶν ἐχόντων ψυχήν. ταῦτα οὖν θρηνεῖς, εἰπέ μοι, ὅτι σε ὁ Θεὸς τῆς οὕτω χαλεπωτάτης δουλείας ἀπήλλαξεν, ὅτι ταῖς λοιμικαῖς ταύταις νόσοις πᾶσαν ἀπετείχισεν ἔφοδον; ζῶντος μὲν γάρ σοι τοῦ ἀνδρὸς οὔπω ἐπαύσαντο συνεχῶς ἐπιπηδῶσαι τοῖς τῆς ψυχῆς λογισμοῖς· τελευτήσαντος δὲ, οὐκ ἔχουσι πόθεν ἐπιλάβωνται τῆς διανοίας τῆς σῆς. τοῦτο οὖν κατορθωθῆναι δεῖ λοιπόν, τὸ μὴ θρηνεῖν αὐτῶν τὴν ἀναχώρησιν, μηδὲ τὴν δεσποτείαν ἐπιζητεῖν τὴν πικράν. ὅπου γὰρ ἂν αὗται πνεύσωσι σφοδρόν, πάντα ἐκ βάθρων ἀνέτρεψαν καὶ κατέσπασαν. καὶ καθάπερ πολλαὶ τῶν πορνευομένων γυναικῶν δυσειδεῖς οὖσαι κατὰ φύσιν καὶ εἰδεχθεῖς τοῖς ἐπιτρίμμασι καὶ ταῖς ὑπογραφαῖς ἁπαλὰς οὔσας ἔτι τὰς τῶν νέων ἀναπτεροῦσι ψυχάς, ἐπειδὰν δὲ ὑπὸ τὴν ἀρχὴν λάβωσι τὴν ἑαυτῶν, παντὸς ἀνδραπόδου τούτοις ὑβριστικώτερον κέχρηνται· οὕτω καὶ πάντα τὰ πάθη, ἥ τε κενοδοξία καὶ ἡ ἀπόνοια, παντὸς ἄγους μᾶλλον τὰς τῶν ἀνθρώπων μολύνουσι ψυχάς. διὰ τοῦτο καὶ ὁ πλοῦτος τοῖς πολλοῖς ἔδοξεν εἶναι καλόν. ταύτης γοῦν γυμνωθεὶς οὐδὲ αὐτὸς ἔσται λοιπὸν ἐπέραστος. οἱ γοῦν ἐξὸν διὰ πενίας ἐπιτυχεῖν τῆς δόξης τῆς παρὰ τῶν πολλῶν, οὐκ ἔτι εἵλοντο πλουτεῖν, ἀλλὰ πολὺ διδόμενον χρυσίον διέπτυσαν. καὶ τούτους οὐ παρ' ἐμοῦ δεήσει μαθεῖν, ἀλλ' ἀκριβέστερον ἡμῶν οἶδας αὐτή· τὸν Ἐπαμεινώνδαν, τὸν Σωκράτην, τὸν Ἀριστείδην, τὸν Διογένην, τὸν Κράτητα τὸν μηλόβοτον ἀνέντα τὴν χώραν τὴν ἑαυτοῦ. οἱ μὲν γὰρ ἄλλοι, παρ' ὧν πλουτῆσαι οὐκ ἦν, διὰ τῆς πενίας εἶδον τὴν δόξαν περιγινομένην αὐτοῖς, καὶ ἐπὶ τοῦτο ἦλθον εὐθέως· οὗτος δὲ καὶ ἅπερ εἶχεν ἔρριψεν. οὕτως ἅπαντες ἦσαν ἐμμανεῖς πρὸς τὴν τοῦ χαλεποῦ τούτου κτῆσιν θηρίου. μὴ δὴ δακρύωμεν, ὅτι ἡμᾶς ὁ Θεὸς ταύτης τῆς τυραννίδος ἀπήλλαξε τῆς ἀγρίας καὶ καταγελάστου καὶ πολλὰ ἐχούσης ὀνείδη. ὄνομα γὰρ ἔχει μόνον λαμπρόν· ἐν δὲ τοῖς ἔργοις τἀναντία τῇ προσηγορίᾳ τοὺς ἔχοντας αὐτὴν διατίθησι. καὶ οὐκ ἔστιν, οὐκ ἔστιν οὐδεὶς ὁ μὴ καταγελῶν τοῦ πρὸς δόξαν τι πράττοντος. μόνος γὰρ ἐκεῖνος περίβλεπτος καὶ ἐπίδοξος γενέσθαι δυνήσεται, ὁ μὴ πρὸς τοῦτο ὁρῶν· ὁ δὲ μεγάλην δόξαν τιθέμενος τὴν παρὰ τῶν πολλῶν, καὶ πάντα ὑπὲρ τοῦ ταύτης τυχεῖν ὑπομένων καὶ ποιῶν, οὗτος μάλιστα αὐτῆς ἀποτεύξεται καὶ ἀποπεσεῖται, καὶ τῶν ἐναντίων ἀπολαύσεται πάντων, γέλωτος καὶ κατηγορίας, σκωμμάτων, ἀπεχθείας καὶ μίσους. οὐκ ἐπὶ τῶν ἀνδρῶν δὲ μόνον τοῦτο συμβαίνειν εἴωθεν, ἀλλὰ καὶ ἐπὶ ὑμῶν τῶν γυναικῶν, καὶ μάλιστά γε ἐφ' ὑμῶν. τὴν μὲν γὰρ ἄπλαστον καὶ ἐν σχήματι καὶ ἐν βαδίσει καὶ ἐν ἱματίοις, καὶ παρὰ μηδενὸς ἐπιζητοῦσαν τιμὴν θαυμάζουσιν ἅπασαι καὶ ἐκπλήττονται καὶ μακαρίζουσι, καὶ πάντα αὐτῇ συνεύχονται τὰ καλά· τὴν δὲ κενόδοξον ἀποστρέφονται καὶ μισοῦσι, καὶ ὥσπερ τι θηρίον ἄγριον φεύγουσι, καὶ μυρίαις ἀραῖς τε καὶ λοιδορίαις βάλλουσιν.

Οὐ ταῦτα δὲ μόνον ἀπὸ τοῦ μὴ προσίεσθαι τὴν παρὰ τῶν πολλῶν δόξαν διαφεύγομεν τὰ κακά, ἀλλὰ καὶ τὰ μέγιστα πάντων κερδαίνομεν πρὸς τοῖς εἰρημένοις, παιδευόμενοι κατὰ μικρὸν ἀνιέναι καὶ πέτασθαι πρὸς τὸν οὐρανόν, καὶ πάντων καταφρονεῖν τῶν ἐπὶ τῆς γῆς. ὁ γὰρ μὴ δεόμενος τῆς παρὰ τῶν ἀνθρώπων τιμῆς, ἅπερ ἂν πράττοι καλά, ταῦτα μετ' ἀσφαλείας ἅπαντα πράξει, καὶ οὔτε ἐπὶ τῶν λυπηρῶν, οὔτε ἐπὶ τῶν χρηστῶν τοῦ βίου τούτου πείσεταί τι δεινόν. οὔτε γὰρ ταῦτα αὐτὸν βαπτίσαι καὶ καθελεῖν, οὔτε ἐκεῖνα ἐξογκῶσαι καὶ φυσῆσαι δύναται· ἀλλ' ἐν πράγμασιν ἀμεταπτώτοις καὶ πεπηγμένοις αὐτὸς μένει πάσης ἐκτὸς ὢν μεταβολῆς· ὅπερ ταχέως καὶ ἐπὶ τῆς σῆς ἔσεσθαι προσδοκῶ ψυχῆς, καὶ ἀθρόως ἅπαντα ἀποσπασθεῖσα τὰ βιωτικὰ τὴν ἐν τοῖς οὐρανοῖς ἡμῖν ἐπιδείξασθαι πολιτείαν, καὶ τῆς δόξης, τῆς θρυλουμένης νῦν, μικρὸν ὕστερον καταγελάσεσθαι, καὶ τὸ διάκενον καὶ μάταιον καταπτύσειν προσωπεῖον αὐτῆς. εἰ δὲ ἀσφάλειαν ποθεῖς τὴν δι' ἐκεῖνόν σοι γεγενημένην, καὶ τὴν τῶν πραγμάτων φυλακήν, καὶ τὸ παρὰ μηδενὸς ἐπιβουλεύεσθαι τῶν ταῖς ἀλλοτρίαις ἐπιπηδώντων συμφοραῖς, Ἐπίρριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει. Ἐμβλέψατε γάρ, φησιν, εἰς ἀρχαίας γενεάς, καὶ ἴδετε τίς ἤλπισεν ἐπὶ Κύριον, καὶ κατῃσχύνθη, ἢ τίς ἐπεκαλέσατο αὐτόν, καὶ ὑπερεῖδεν αὐτόν, ἢ τίς ἐνέμεινε ταῖς ἐντολαῖς αὐτοῦ, καὶ ἐγκατέλιπεν αὐτόν. ὁ γὰρ τὴν συμφορὰν τὴν οὕτως ἀφόρητον παρενεγκών, καὶ ποιήσας εἶναι ἐν γαλήνῃ νῦν, οὗτος καὶ τὰ ἐπερχόμενα ἀποκρούσεται. ὅτι γὰρ ταύτης τῆς πληγῆς οὐδεμίαν ἑτέραν χαλεπωτέραν λήψῃ λοιπόν, καὶ αὐτὴ συνομολογήσαις ἡμῖν. ἡ τοίνυν οὕτω γενναίως ἐνεγκοῦσα τὰ ἐν χερσί, καὶ ταῦτα ἄπειρος οὖσα, πολλῷ μᾶλλον τὰ ἐπερχόμενα, εἴ ποτε (ὃ μὴ γένοιτο) συμβῇ τι τῶν ἀβουλήτων ὑμῖν, οἴσεις εὐκόλως. τὸν οὐρανὸν γὰρ ζήτει καὶ πάντα τὰ πρὸς τὴν ἐκεῖ φέροντα ζωήν, καὶ οὐδεὶς τῶν ἐνταῦθα βλάψαι δυνήσεταί σε, οὐδὲ ὁ τοῦ σκότους κοσμοκράτωρ αὐτός· μόνον μὴ ἑαυτοὺς καταβλάψωμεν ἡμεῖς. κἂν γὰρ τὴν οὐσίαν τις ἀφέληται, κἂν κατατέμῃ τὸ σῶμα, τούτων οὐδὲν πρὸς ἡμᾶς, ὑγιοῦς μενούσης ἡμῖν τῆς ψυχῆς. ὅλως δὲ εἰ βούλει καὶ τὰ χρήματά σοι μένειν ἐν ἀσφαλείᾳ καὶ αὔξεσθαι, πάλιν ἐγώ σοι καὶ τὸν τρόπον ὑποδείξω καὶ τὸν τόπον, ἔνθα οὐδενὶ τῶν ἐπιβουλευόντων θέμις εἰσελθεῖν. τίς οὖν ἐστιν ὁ τόπος; ὁ οὐρανός. ἀπόστειλον αὐτὰ πρὸς τὸν καλὸν ἐκεῖνον ἄνδρα, καὶ οὔτε κλέπτης, οὔτε ἐπίβουλος, οὔτε ἄλλο τι τῶν λυμαινομένων αὐτοῖς ἐπιπηδῆσαι δυνήσεται. ἂν ἐκεῖ κατορύξῃς ταῦτα τὰ χρήματα, πολλὴν εὑρήσεις τὸν ἀπὸ τούτων καρπόν. τὰ γὰρ ἐν τοῖς οὐρανοῖς φυτευόμενα πάντα παρ' ἡμῶν, καὶ πλείονα καὶ κρείττονα ἔχει τὴν φοράν, καὶ τοιαύτην, οἵαν εἰκὸς ἐν οὐρανοῖς ἐρριζωμένων αὐτῶν. κἂν τοῦτο πράξῃς, ὅρα ποίων ἀπολαύσῃ καλῶν· πρῶτον μέν, τῆς αἰωνίου ζωῆς καὶ τῶν ἐπηγγελμένων τοῖς ἀγαπῶσι τὸν Θεόν, ἃ οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη· ἔπειτα, τοῦ πάντα συνοικῆσαι τῷ καλῷ τούτῳ τὸν αἰῶνα, καὶ τῶν ἐνταῦθα δὲ φροντίδων καὶ φόβων καὶ κινδύνων καὶ ἔχθρας καὶ μίσους ἀπαλλάξεις σαυτήν. ἕως μὲν γὰρ αὐτὰ περικειμένη ᾖς, ἴσως ἔσονταί τινες οἱ ἐπιτεθησόμενοι· ἂν δὲ πρὸς τὸν οὐρανὸν αὐτὰ μεταθῇς, ἀκίνδυνον καὶ ἀσφαλῆ καὶ πολλῆς ἡσυχίας γέμοντα βιώσῃ βίον, αὐταρκείας μετ' εὐσεβείας ἀπολαύουσα. καὶ γὰρ πολλῆς ἀλογίας ἀγρὸν μὲν βουλόμενον ὠνήσασθαι, τὴν εὐφοροῦσαν γῆν ἐπιζητεῖν, οὐρανοῦ δὲ ἀντὶ γῆς προκειμένου, παρὸν ἐκεῖ κληρώσασθαι χωρίον, μένειν ἐπὶ τῆς γῆς, καὶ τῶν ἐκ ταύτης ἀνέχεσθαι πόνων*. πολλάκις γὰρ σφάλλει τῆς ἐλπίδος ἡμᾶς. ἐπεὶ δέ σου στρέφει δεινῶς τὴν ψυχήν, καὶ θορυβεῖ τὸ προσδοκηθὲν πολλάκις αὐτὸν ἐπὶ τὸ τῶν ὑπάρχων ἥξειν ἀξίωμα, καὶ προανηρπάσθαι τῆς ἀρχῆς, πρῶτον μὲν ἐκεῖνο σκόπει· ὅτι εἰ καὶ σφόδρα δήλη ἦν αὕτη ἡ ἐλπίς, ἀλλ' ὅμως ἀνθρώπων ἐλπὶς ἦν πολλάκις διαπίπτουσα. καὶ πολλὰ ἐν τῷ βίῳ τοιαῦτα ὁρῶμεν γινόμενα, καὶ τῶν σφόδρα προσδοκηθέντων ἀτελέστων μεινάντων, τὰ δὲ μηδὲ εἰς νοῦν ἐλθόντα ἡμῖν εἰς τέλος ἐξῆλθε πολλάκις. καὶ τοῦτο κἂν ταῖς ἀρχαῖς, κἂν ταῖς βασιλείαις, κἂν ταῖς κληρονομίαις καὶ τοῖς γάμοις, καὶ πανταχοῦ συμβαῖνον ὁρῶμεν ἀεί. ὥστε εἰ καὶ σφόδρα ἐγγὺς ἦν ὁ καιρός, ἀλλὰ πολλά, κατὰ τὴν παροιμίαν, μεταξὺ κύλικος καὶ χείλεος ἄκρου*. καὶ ἡ γραφὴ δέ φησιν, Ἀπὸ πρωΐθεν ἕως ἑσπέρας μεταβάλλει καιρός. οὕτω καὶ ὁ βασιλεὺς ὁ σήμερον ὤν, αὔριον τελευτᾷ. καὶ πάλιν τὸ παρ' ἐλπίδας ἐμφαίνων ἡμῖν αὐτὸς οὗτος ὁ σοφός, φησί· Πολλοὶ τύραννοι ἐκάθισαν ἐπὶ ἐδάφους, ὁ δὲ ἀνυπονόητος ἐφόρεσε διάδημα. καὶ οὐ πάντως δῆλον ἦν, ὅτι ζήσας ἐπ' ἐκείνην ἥξει τὴν ἀρχήν. τὸ γὰρ τοῦ μέλλοντος ἄδηλον καὶ ἕτερα ὑποπτεύειν παρέσχεν ἡμῖν. πόθεν γὰρ δῆλον, ὅτι ζήσας ἐπ' ἐκείνην ἥξει τὴν ἀρχήν, ὅτι οὐχὶ

Ψαλμ. νδ. κγ.
Σειρ. β. ι.

Σειρ. ια. ε.

καὶ τὰ ἐναντία ἐξέβαινε, καὶ τῆς οὔσης ἐξέπιπτε τιμῆς νόσῳ παραδοθεὶς, καὶ φθόνῳ καὶ βασκανίᾳ τῶν βουλομένων αὐτῶν παρευημερῆσαι βληθεὶς, ἢ καὶ ἕτερον παθὼν χαλεπόν; θῶμεν δὲ, εἰ βούλει, καὶ δῆλον εἶναι σαφῶς, ὅτι πάντως ἐπιβιώσας ταύτης ἔμελλεν ἐπιτυγχάνειν τῆς κορυφῆς. ὅσῳ γὰρ ἡ ἀξία μείζων, τοσούτῳ καὶ μείζονας ἔχειν ἀνάγκη τοὺς κινδύνους ἦν καὶ φροντίδας καὶ ἐπιβουλάς. μηδὲ ταῦτα ἔστω, ἀλλ' ἀκινδύνως καὶ μετὰ πολλῆς τῆς ἡσυχίας ἐκεῖνο διαπλείτω τὸ πέλαγος. καὶ τί τὸ πέρας, εἰπέ μοι; οὐ τοῦτο ὅπερ νῦν; μᾶλλον δὲ οὐ τοῦτο, ἀλλ' ἕτερον ἴσως ἀηδὲς καὶ ἀπευκτόν. πρότερον μὲν, τὸ βραδύτερον ἰδεῖν τὸν οὐρανὸν καὶ τὰ ἐν τοῖς οὐρανοῖς, ὅπερ οὐ μικρὰ ζημία τοῖς ὑπὲρ τῶν μελλόντων πεπιστευκόσιν ἐστίν. ἔπειτα δὲ, εἰ καὶ σφόδρα ἐβίου καθαρῶς, ἀλλ' ὅμως τὸ μῆκος τοῦ βίου καὶ ἡ τῆς ἀρχῆς ἐκείνης ἀνάγκη οὐκ ἂν ἀφῆκεν οὕτως ἀπελθεῖν καθαρὸν, ὥσπερ νῦν. ἄδηλον δὲ εἰ καὶ πολλὰς δεξάμενος μεταβολὰς, καὶ πρὸς ῥαθυμίαν ἀποκλίνας, "ἐσχάτως ἀπένευσε. νῦν μὲν γὰρ θαρροῦμεν τῇ τοῦ Θεοῦ χάριτι ὡς πρὸς τὸ τῆς ἀναπαύσεως ἀπέπτη χωρίον, διὰ τὸ μηδὲν αὐτῷ τετολμῆσθαι τῶν ἀποκλειόντων τῆς βασιλείας τῶν οὐρανῶν. τότε δὲ πολὺν χρόνον δημοσίοις πράγμασιν ἐνδιατρίψας, ἴσως ἂν καὶ ῥύπον πολὺν προσετρίψατο. τὸ γὰρ ἐν μέσῳ στρεφόμενον τοσούτων κακῶν κατορθῶσαι μὲν, τῶν σφόδρα σπανίων ἐστίν· ἁμαρτεῖν δὲ καὶ ἄκοντα καὶ ἑκόντα, τῶν εἰκότων καὶ συμβαινόντων ἀεί. ἀλλὰ νῦν τούτου τοῦ δέους ἀπηλλάγμεθα, καὶ σφόδρα πεπείσμεθα, ὅτι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ μετὰ πολλῆς ἥξει τῆς φαιδρότητος, ἐγγὺς τοῦ βασιλέως ἀπολάμπων, καὶ μετὰ ἀγγέλων προηγούμενος τοῦ Χριστοῦ, καὶ τὴν ἄρρητον δόξαν ἠμφιεσμένος, καὶ κρίνοντι παρεστὼς τῷ βασιλεῖ, καὶ τὰ πρῶτα διακονούμενος αὐτῷ. διὸ τοὺς θρήνους ἄφες καὶ τὰς οἰμωγὰς, ἔχου τῆς αὐτῆς πολιτείας, μᾶλλον δὲ καὶ ἀκριβεστέρας, ἵνα πρὸς τὴν ἴσην αὐτῷ φθάσασα ἀρετὴν, τὴν αὐτὴν ἐκείνῳ κατοικήσῃς σκηνὴν, καὶ συναφθῆναι πάλιν αὐτῷ δυνηθῇς εἰς τοὺς ἀθανάτους αἰῶνας ἐκείνους, οὐ ταύτην τὴν τοῦ γάμου συνάφειαν, ἀλλ' ἑτέραν πολλῷ βελτίονα. αὕτη μὲν γὰρ σωμάτων ἐστὶ συμπλοκὴ μόνον· τότε δὲ ψυχῆς ἔσται πρὸς ψυχὴν ἕνωσις ἀκριβεστέρα καὶ ἡδίων πολλῷ καὶ βελτίων.

γρ. ἐσχάτην

ΠΡΟΣ ΤΗΝ ΑΥΤΗΝ [ΝΕΩΤΕΡΑΝ ΧΗΡΕΥΣΑΣΑΝ]

περὶ μονανδρίας Λογ. β.

ΤΟ μὲν τὰς ἀπείρους ὁμιλίας ἀνδρῶν καὶ ὠδίνων καὶ τῶν ἄλλων ἁπάντων, ἅπερ ἐπισυρόμενος ὁ γάμος εἰς τὰς τῶν ἀνθρώπων εἰσέρχεται οἰκίας, ἄνδρας ἐπιζητεῖν, θαυμαστὸν οὐδέν. καὶ γὰρ τὸν πόλεμον, πρᾶγμα οὕτως ἐπίπονον, τοῖς ἀπείροις γλυκὺν ἡ προοίμια εἶναί φησι. τὸ δὲ τὰς μυρία ἀναδεξαμένας κακὰ, πολλάκις δὲ ὑπὸ τῆς τῶν πραγμάτων ἀνάγκης ἀναπεισθείσας μακαρίσαι μὲν τὰς ἀπηλλαγμένας τῶν τοῦ κόσμου πραγμάτων, "ἐπαρᾶσθαι δὲ μυριάκις ἑαυταῖς καὶ ταῖς προμνηστευτρίαις καὶ τῇ ἡμέρᾳ, καθ' ἣν αἱ παστάδες ἐπλέκοντο, ταύτας δὲ μετὰ τοσαύτην ἀποδυσπέτησιν πάλιν τῶν αὐτῶν πραγμάτων ἐπιθυμεῖν, τοῦτό ἐστι τὸ μάλιστά με ἐκπλῆττον, καὶ ποιοῦν ἀπορεῖν, καὶ τὴν αἰτίαν ἐπιζητεῖν, δι' ἣν τὰ πράγματα, ἃ πρότερον ἐνόμιζον εἶναι φευκτὰ, ὅτε ἦσαν ἐν αὐτοῖς, ταῦτα νῦν, ὅτε αὐτῶν ἀπηλλάγησαν, ὡς ποθεινὰ πάλιν "διώκουσι. καὶ μυρίους ἄνω καὶ κάτω στρέφων παρ' ἐμαυτῷ "λογισμοὺς, μόλις ποτὲ, ὡς ἐμαυτὸν πείθω, τὴν αἰτίαν τοῦ πράγματος ηὕρισκον. μᾶλλον δὲ οὐ μία τίς ἐστιν αἰτία, οὐδὲ δύο μόνον, ἀλλὰ καὶ τούτων πλείους. αἱ μὲν γὰρ ὑπὸ τοῦ πολλοῦ χρόνου λήθῃ παραδοῦσαι τὰ πρότερα, καὶ τὰ ἐν χερσὶ μνημονεύουσαι μόνον, ἔρχονται μὲν ἐπὶ τὸν γάμον, ὡς ἐπὶ λύσιν τῶν τῆς χηρείας κακῶν· εὑρίσκουσι δὲ ἕτερα πολλῷ χαλεπώτερα ἐν αὐτῷ, ὡς πάλιν τὰς αὐτὰς ἀ-

γρ. ἐπαρά

γρ. λείπει ἀ-
νέχονται
γρ. λόγους

φιέναι φωνάς, ἅσπερ καὶ πρότερον. ἄλλαι δὲ πάλιν πρὸς τὰ τοῦ κόσμου κεχηνυῖαι πράγματα, καὶ τῆς δόξης τοῦ παρόντος ἐκκρεμάμεναι βίου, καὶ τὴν χηρείαν ἐπονείδιστον πρᾶγμα εἶναι νομίζουσαι, αἱροῦνται τὰς ἐν τῷ γάμῳ ταλαιπωρίας ὑπὲρ τῆς δόξης τῆς κενῆς καὶ τοῦ τύφου τοῦ περιττοῦ. Εἰσὶ δὲ αἳ τούτων μὲν οὐδενὶ, ἀκρασίᾳ δὲ μόνῃ κρατούμεναι ἐπὶ τὰ πρότερα πάλιν ἐπανέρχονται, καὶ τὴν ὄντως αἰτίαν πειρῶνται ταῖς εἰρημέναις ἀποκρύπτειν προφάσεσιν. αἰτιάσασθαι μὲν οὖν αὐτὰς, καὶ καταδικάσαι ὑπὲρ τοῦ γάμου τούτου οὔτε αὐτὸς τολμῶ, οὔτε ἄλλῳ παραινῶ· ἐπειδὴ μηδὲ τῷ μακαρίῳ Παύλῳ τοῦτο δοκεῖ, μᾶλλον δὲ τῷ πνεύματι τῷ ἁγίῳ. Εἰπὼν γὰρ, Γυνὴ δέδεται νόμῳ, ἐφ᾽ ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ κοιμηθῇ ὁ ἀνὴρ αὐτῆς, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ, καὶ συγχωρήσας τῇ χήρᾳ, εἰ βούλοιτο, γαμηθῆναι πάλιν, καὶ εἰπὼν, Μακαριωτέρα δέ ἐστιν, ἐὰν οὕτω μείνῃ, ἵνα μή τις νομίσῃ ἀνθρώπινον εἶναι τὸ ἐπίταγμα, ἐπήγαγε· Δοκῶ γὰρ κἀγὼ πνεῦμα Θεοῦ ἔχειν· δηλῶν ὅτι πνεύματι ταῦτα ἔγραψε. μὴ τοίνυν ἐγκαλοῦντα ταῖς γαμουμέναις ἢ μεμφόμενον νομιζέτω μέ τις λέγειν ταῦτα, ἅπερ ἐρῶ νῦν. καὶ γὰρ ἂν εἴη τῆς ἐσχάτης ἀπονοίας τε καὶ μανίας, ἃς οὐκ ἐκόλασεν ὁ μακάριος ἐκεῖνος, ἀλλ᾽ ἐφείσατο, ταύτας ἡμᾶς καταδικάζειν ἀφειδῶς ἐξ αὐθεντίας, καὶ ταῦτα μυρίων ἐμπεπλησμένους κακῶν. Εἰ γὰρ μηδὲ κρίνειν κελευόμεθα, ἵνα μὴ τῷ αὐτῷ μέτρῳ κριθῶμεν, μηδὲ σφοδροὶ τῶν ἑτέροις ἁμαρτανομένων γίνεσθαι δικασταὶ, ἀλλὰ συγγνωμονικοὶ καὶ ἥμεροι, ὅταν πρᾶγμά τι κολάσῃς μηδὲ ἁμάρτημα ὂν, καὶ κατακρίνῃς ἑτέρους, πάσης ἀποστερεῖς σεαυτὸν συγγνώμης, διὰ τῆς εἰς τὸν πλησίον σφοδρότερον σαυτῷ γίνεσθαι παρασκευάζων τὸν κριτήν. οὐ τοίνυν κατηγορῶν αὐτῶν, οὐδὲ καθαπτόμενος ἐπὶ τοῦτο ἦλθον νῦν. τὸ γὰρ ἐν Κυρίῳ γενέσθαι δυνάμενον πάσης κατηγορίας ἀπήλλακται. μόνον γὰρ, φησιν, ἐν Κυρίῳ. ὥσπερ οὖν ὅταν ὑπὲρ παρθενίας λέγωμεν, οὐ τὸν γάμον ἀτιμάζοντες ἐκείνην ἐπαίρομεν, οὕτως ὅταν περὶ χηρείας διαλεγώμεθα, οὐ τὸν δεύτερον γάμον ἐν τοῖς ἀπειρημένοις τιθέντες, τῷ προτέρῳ στέργειν παρακαλοῦμεν· ἀλλ᾽ ὁμολογοῦμεν μὲν καὶ τοῦτον εἶναι κατὰ νόμον τὸν δεύτερον, πολλῷ δὲ τὸν ἕνα τοῦ δευτέρου βελτίονα. μὴ δὴ οὖν τὴν κατὰ σύγκρισιν ὑπεροχὴν τοῦ κατ᾽ αὐτὴν ἐλαττωθέντος πράγματος κακίαν τις εἶναι νομιζέτω. οὐδὲ γὰρ εἰς τὴν τῶν πονηρῶν τὸ πρᾶγμα ὠθοῦντες τάξιν τὴν σύγκρισιν ταύτην ποιούμεθα, ἀλλ᾽ ἀφέντες αὐτὸ τῶν νενομισμένων εἶναι καὶ ἐν ἐξουσίᾳ, οὕτως αὐτοῦ τὸ πολλῷ κρεῖττον προτιμῶμέν τε καὶ θαυμάζομεν. τί δήποτε; ὅτι οὐκ ἔστιν ἴσον ἑνὸς ἀνδρὸς εἶναι γυναῖκα καὶ δύο τὴν αὐτήν. ἡ μὲν γὰρ ἀρκεσθεῖσα τῷ προτέρῳ ἔδειξεν, ὅτι οὐδ᾽ ἂν τοῦτον εἵλετο τὴν ἀρχὴν, εἰ τοῦ πράγματος ᾔδει τὴν πεῖραν καλῶς· ἡ δὲ δεύτερον ἐπεισάγουσα νυμφίον τῇ τοῦ προτέρου εὐνῇ, τῆς πολλῆς περὶ τὸν κόσμον φιλίας, καὶ πρὸς τὰ γήϊνα πράγματα συμπαθείας τεκμήριον ἐξήνεγκεν οὐ μικρόν. κἀκείνη μὲν οὔτε ζῶντος τοῦ ἀνδρὸς πρὸς ἕτερόν τινα ἐπτόητο· αὕτη δὲ εἰ καὶ μὴ ἥμαρτεν εἰς ἑτέρους ζῶντος ἐκείνου, ἀλλ᾽ ἐκείνου μᾶλλον πολλοὺς ἑτέρους ἐθαύμασεν.

α. Κορ ζ. λθ. μ.

Ἵνα δὲ μὴ τοῦ διελθόντος καταστοχαζώμεθα βίου, αὐτὸ τὸ πρᾶγμα συγκρίνωμεν. ὥσπερ γὰρ ἡ παρθενία τοῦ γάμου κρείττων, οὕτως οὗτος ἐκείνου βελτίων ὁ γάμος. ἡ μὲν γὰρ χήρα ἀπὸ τῆς ἀρχῆς ἐλαττωθεῖσα τῆς παρθενίας μόνον, κατὰ τὸ τέλος ἐξισοῦται πάλιν αὐτῇ καὶ συνάπτεται· ὁ δὲ γάμος οὗτος ἐξ ἑκατέρων αὐτῆς ἀφέστηκε τῶν μερῶν. χωρὶς δὲ τούτων ἡ μὲν εὐκόλως φέρουσα τὴν χηρείαν, καὶ ζῶντος πολλάκις ἐγκρατεύεται τοῦ ἀνδρός· ἡ δὲ τὸ πρᾶγμα ἔχουσα ἐπαχθῶς, οὐ δύο μόνον καὶ τρισὶν, ἀλλὰ καὶ πολλῷ πλείοσιν ὁμιλῆσαι πρεσβύτας αἱ ἀνδράσι, καὶ μόλις τοῦ γήρως ἐπελθόντος ἀφίσταται. ὥσπερ οὖν πολλῆς σεμνότητος καὶ σωφροσύνης σημεῖον ὁ γάμος ἐκεῖνός ἐστιν, οὕτως οὗτος ἀσελγείας μὲν οὐκ ἂν εἴποιμι (μὴ γένοιτο) ἀσθενοῦς δὲ ψυχῆς καὶ σαρκικωτάτης καὶ τῇ γῇ προσδεδεμένης καὶ μέγα καὶ ὑψηλὸν οὐδὲν δυγαμουμένης φαντασθῆναί ποτε. Εἰ δὲ λέγοι τις ὅτι τὸ καλὸν τοιοῦτόν ἐστι, κἄν τε ἅπαξ γίνηται, κἄν τε δίς, κἄν τε πολλάκις (ὁμοίως γὰρ ἔσται καλόν, καὶ ὁ πολλάκις αὐτῷ χρώμενος μᾶλλον ἐπαινοῖτ' ἂν δικαίως· ὥστε εἰ καὶ ὁ γάμος καλόν, ὁ συνεχῶς αὐτῷ κεχρημένος τοῦ σπανάκις θαυμαστότερος καὶ μᾶλλον ἀποδεκτός) ἐροῦμεν ὅτι οὐδὲν μὲν ἀφελεστέρους τοῦτο σοφίσασθαι δύναιτ' ἄν, τοῖς δὲ βουλομένοις προσέχειν εὐφώρατον ἔσται τὸ σόφισμα. γάμος γὰρ οὐ διὰ τὴν μίξιν λέγεται γάμος (ἐπεὶ οὕτω γε καὶ ἡ πορνεία γάμος ἂν ἦν) ἀλλὰ διὰ τὸ στέργειν ἑνὶ τὴν γαμουμένην ἀνδρί· καὶ τούτῳ τῆς πόρνης διέστηκεν ἡ ἐλευθέρα καὶ σώφρων γυνή. Εἰ μὲν γὰρ ἑνὶ διαπαντὸς ἀρκοῖτο ἀνδρί, γάμος τὸ πρᾶγμα εἰκότως ἂν λέγοιτο· εἰ δὲ ἀνθ' ἑνὸς πολλοὺς εἰς τὴν οἰκίαν εἰσάγοι νυμφίους, πορνείαν μὲν οὐ τολμῶ τὸ πρᾶγμα καλεῖν, τῆς δὲ οὐκ εἰδυίας ἕτερον ἄνδρα, πλὴν ἑνός, πολλῷ τῷ μέτρῳ ἀπολείπεσθαι φαίην ἄν. ἐκείνη μὲν γὰρ ἤκουσε τοῦ Κυρίου λέγοντος, Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν, καὶ ὥσπερ σαρκὸς ἀληθῶς οἰκείας ἀντείχετο, καὶ οὐκ ἐπελάθετο τῆς ἅπαξ δοθείσης αὐτῇ κεφαλῆς· αὕτη δὲ οὔτε τὸν πρότερον, οὔτε τὸν δεύτερον ἔχει ἐν τάξει τῆς οἰκείας σαρκός. ὁ μὲν γὰρ πρότερος ἐκβέβληται παρὰ τοῦ δευτέρου, ὁ δεύτερος δὲ ὑπ' ἐκείνου. οὔτε δὲ τοῦ προτέρου μεμνῆσθαι δύναιτ' ἂν καλῶς, τῷ ἑτέρῳ μετ' ἐκεῖνον προσέχουσα, οὔτε τοῦτον μετὰ τῆς προσηκούσης φιλοστοργίας ὄψεται, σχιζομένης εἰς τὸν ἀπελθόντα τῆς διανοίας αὐτῆς. ὥστε ἑκάτερον λοιπὸν συμβαίνει, καὶ τοῦτον κἀκεῖνον ἐκβεβλῆσθαι τῆς ἀνδρὶ προσηκούσης τε τιμῆς καὶ φιλίας παρὰ γυναικός. ποίαν δὲ ὅλως οἴεται ἔχειν ψυχὴν τὸν δεύτερον νυμφίον εἰς τὸν τοῦ προτέρου θάλαμον εἰσαγόμενον, καὶ εἰς τὴν εὐνὴν ἀναβαίνοντα τὴν ἐκείνου, καὶ γελῶσαν καὶ χαριεντιζομένην ἐπὶ τούτοις ὁρῶντα τὴν ἐκείνου γυναῖκα σφόδρα γε; οὐδὲ γὰρ μετὰ πολλῆς αὐτῇ προσελεύσεται τῆς φιλίας. κἂν γὰρ ἁπάντων ἀνθρώπων ἀπηνέστερος ᾖ, οὐκ ἔσται οὕτως ἄγριος, ὡς μηδὲν ἀνθρώπινον παθεῖν, κἂν μυρίοις τε ἑαυτὴν καὶ τὸν οἶκον περιβάλλῃ καλλωπισμοῖς ἐκείνη. τὸ γὰρ καταλαβὸν ἤδη πένθος τὴν οἰκίαν οὐκ ἀφίησι καθαρὰν γενέσθαι τὴν εὐφροσύνην. ἀλλ' ὥσπερ ἐπὶ τῶν τοίχων ὅταν σφόδρα καταφλεγὲν τι μέρος τύχῃ, εἶτα ἠρέμα κονιαθέν, τὸ τῆς μελανίας ἐπιπολαζόμενον καὶ βαθὺ λυμαίνεται τῇ τῆς ἐπιφανείας λευκότητι, ὅ ἐστι θέαμα ἀηδές· οὕτω καὶ ἐνταῦθα, κἂν πολλὰ ἐπινοήσῃ τὰ λαμπρά, ἐν μέσοις αὐτοῖς διαφαίνεται τὰ σκυθρωπά, καί τις ἐν αὐτοῖς μίξις ἀτερπής. καὶ γὰρ οἵ τε οἰκέται καὶ θεράπαιναι οἵ τε γεωργοὶ καὶ πάροικοι οἵ τε γείτονες καὶ συγγενεῖς τοῦ προαπελθόντος κατηφοῦσιν ἐπὶ τοῖς γινομένοις καὶ στενάζουσιν. Εἰ δὲ καὶ ὀρφανοὶ τύχωσι καταλειφθέντες, νέοι μὲν ὄντες κομιδῇ, σφοδρὸν τὸ παρὰ τῶν δυναμένων συνιέναι τῶν γινομένων τῇ μητρὶ τὸ μῖσος ἐξάπτουσιν· εἰ δὲ ἐνήλικες τύχοιεν ὄντες, πάντων ἐκεῖνοι μᾶλλον ἀηδίαν κατασκευάζουσιν. ἅπερ οὖν καὶ οἱ νόμοι συνεωρακότες ἅπαντα, καὶ αὐτοὺς ἐπὶ τούτοις ἀλγοῦντας παραμυθούμενοι, καὶ ὑπὲρ ἑαυτῶν ἀπολογούμενοι, ὅτι οὐ κατὰ γνώμην, οὐδὲ προηγουμένως τοῦτον τὸν γάμον ἐπέταξαν, ἀλλὰ δεδοικότες μή τι χεῖρον γένηται κακόν, πάντα τοῦ δευτέρου γάμου τὰ φαιδρὰ παρῃτήσαντο. καὶ οὔτε αὐλοί, οὔτε κρότοι, οὔτε ὑμέναιος, οὔτε ὀρχήματα, οὔτε στέφανοι νυμφικοί, οὔτε ἄλλο τι τῶν τοιούτων τὴν ἑσπέραν κοσμοῦσιν ἐκείνην· ἀλλὰ πάντων αὐτὴν ἀποκοσμήσαντες, οὕτως ἀστεφάνωτον ἄγουσι τὸν ἄνδρα πρὸς τὴν χήραν γυναῖκα, μονονουχὶ βοῶντες διὰ τούτων, ὅτι πάντα συγγνώμης ἄξια πράττουσιν, ἀλλ' οὐκ ἐπαίνων καὶ κρότων καὶ στεφάνων.

Ματθ. ιθ. ε.

Πῶς οὖν ὁ Παῦλος ἐκώλυσε χηρεύειν, φησί,* νέας οὑτωσὶ γράφων, Νεωτέρας δὲ χήρας παραιτοῦ; οὐχ ὁ Παῦλος τὰς βουλομένας χηρεύειν ἐκώλυσεν, ἀλλ' ἐκεῖναι καὶ τὸν Παῦλον ἠνάγκασαν μὴ βουλόμενοι τοῦτον διατάξασθαι τὸν νόμον αὐταῖς. Εἰ γὰρ τοῦ Παύλου τὸ θέλημα βούλει μαθεῖν, ἄκουε τί φησι· Θέλω δὲ πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτὸν ἐν ἐγκρατείᾳ.

α Τιμ. ε. ια.

α. Κορ. ζ. ζ.

* καὶ βουλομένας τις

κρατείᾳ. ὥστε οὐκ ἂν ἐμαχέσατο ἑαυτῷ, οὐδὲ ἐναντιολογίᾳ τοσαύτῃ περιέπεσεν ὁ μακάριος ἐκεῖνος· οὐδ᾽ ἂν ὁ πάντας ἀνθρώπους βουλόμενος εἶναι ἐν ἐγκρατείᾳ, τὰς βουλομένας χηρεύειν ἐκώλυσε. πῶς οὖν φησι, νεωτέρας δὲ χήρας παραιτοῦ; ἀλλ᾽ εἰπὲ, τίνος ἕνεκεν καὶ διὰ τί; οὐ γὰρ ἁπλῶς οὕτως εἰρήκει, ἀλλὰ καὶ τὴν αἰτίαν προσέθηκεν εἰπών· Ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσιν. ὁρᾷς ὅτι οὐ τὰς χηρεύειν βουλομένας, ἀλλὰ τὰς γαμῆσαι προαιρουμένας μετὰ τὸ χηρεῦσαι κωλύει ἐκεῖνος χηρεῦσαι, καὶ εἰς τὸν ἅγιον ἐκεῖνον κατατάττεσθαι χορόν; καὶ σφόδρα ποιῶν συνετῶς. Εἰ γὰρ μέλλοις, φησὶ, δευτέροις γάμοις ὁμιλεῖν, μηδὲ ἐπαγγείλῃ χηρείαν. τοῦ γὰρ μηδ᾽ ὅλως ὑποσχέσθαι τὸ μετὰ τὴν ὑπόσχεσιν ἀγνωμονῆσαι πολλῷ χεῖρόν ἐστιν. ὥσπερ οὖν τὰς συνεχεῖς συνουσίας ἐπέτρεψεν, οὐ νομοθετῶν, ἀλλὰ συγγινώσκων αὐτοῖς (Τοῦτο γὰρ λέγω, φησὶ, κατὰ συγγνώμην, οὐ κατ᾽ ἐπιταγὴν, διὰ τὴν ἀκρασίαν ὑμῶν) οὕτω καὶ ἐνταῦθα δι᾽ ἕτερον μεῖζον κακὸν τὸν δεύτερον γάμον ἐπέταξε, δεικνὺς ὅτι καὶ τοῦτο συγγνώμης ἐστὶ τῇ τῶν πολλῶν ἀσθενείᾳ συγκαταβαινούσης. ἀσθένειαν δὲ οὐ δυνάμεως, ἀλλὰ προαιρέσεώς φημι. καθάπερ γὰρ ἡ παρθένος μετὰ τὴν τῆς παρθενίας ἐπαγγελίαν διαφθαρεῖσα μοιχείας χεῖρον ἐτόλμησεν, οὕτω καὶ ἡ χήρα ἅπαξ ἐπαγγελαμένη, εἶτα πατήσασα τὰς πρὸς τὸν Θεὸν συνθήκας, ὑπὸ τὴν αὐτὴν ἁμαρτίαν πεσεῖται, καὶ τῆς αὐτῆς ἔσται τιμωρίας ὑπεύθυνος· εἰ δὲ χρή τι καὶ θαυμαστὸν εἰπεῖν, τάχα καὶ πολλῷ μείζονος. οὐ γάρ ἐστιν ἴσον, ὅπερ καὶ ἀρχόμενος εἶπον, τήν τε ἄπειρον καὶ τὴν πεπειραμένην τοῖς αὐτοῖς πάλιν περιπεσεῖν πειρασμοῖς. καὶ οὐκ ἐνταῦθα μόνον, ἀλλὰ προειπὼν καὶ πάλιν λέγων, Βούλομαι νεωτέρας χήρας γαμεῖν, οἰκοδεσποτεῖν, τὴν αἰτίαν προστίθησι, δι᾽ ἣν ταῦτα βούλεται. τίς δέ ἐστιν αὕτη; μηδεμίαν, φησὶ, διδόναι τῷ ἀντικειμένῳ ἀφορμὴν λοιδορίας χάριν. ἐπειδὴ γὰρ πολλὰς τῶν χηρῶν εἰκὸς ἦν ποτε προπετέστερον καὶ αὐθαδέστερον τῷ μετὰ ταῦτα κεχρῆσθαι βίῳ, καθάπερ τινὸς ἀνάγκης καὶ δεσποτείας τῆς πρὸς τὸν ἄνδρα συζυγίας ἀπαλλαγείσας, ὡς καὶ πονηρὰν ἐπισπάσασθαι δόξαν διὰ τῆς ἰταμότητος, ἀπάγων αὐτὰς τῆς ὀλεθρίου ταύτης ἐλευθερίας, πάλιν ἐπὶ τὸν ζυγὸν ἄγει τὸν πρότερον. Εἰ γὰρ μέλλοι τις, φησὶ, χήρα οὖσα, λάθρα πορνεύειν καὶ καταισχύνειν ἑαυτὴν, πολλῷ βέλτιον γαμεῖν, καὶ μηδεμίαν διδόναι τῷ ἀντικειμένῳ ἀφορμὴν λοιδορίας χάριν. ὥστε διὰ τὸ μὴ παρέχειν τὰς ἀφορμὰς τῆς λοιδορίας, καὶ βίον ἐφύβριστον ζῆν καὶ πορνικὸν, τὸν γάμον ἐπέταξεν. ἄκουε γοῦν καὶ ὅσα αὐτῶν κατηγορεῖ. δέον γὰρ εἰς προσευχὰς τετράφθαι τὸν ἅπαντα χρόνον καὶ ἱκετηρίας, αἱ δὲ, φησὶ, καὶ ἀργαὶ μανθάνουσι περιερχόμεναι τὰς οἰκίας· οὐ μόνον δὲ ἀργαὶ, ἀλλὰ καὶ φλύαροι καὶ περίεργοι, λαλοῦσαι τὰ μὴ δέοντα. αὐτὸς δὲ οὐχ οὕτω βούλεται, ἀλλὰ προσηλῶσθαι αὐτὴν διαπαντὸς τοῖς πνευματικοῖς. ἡ γὰρ σπαταλῶσα, φησὶ, ζῶσα τέθνηκεν. ἐπεὶ καὶ τὴν παρθένον οὐ τῇ τοῦ σώματος ἁγνείᾳ βούλεται ὁρίζειν τοῦτο τὸ καλὸν, ἀλλὰ τὴν πᾶσαν σχολὴν εἰς τὴν λατρείαν ἀναλίσκειν τοῦ Θεοῦ. Τοῦτο γὰρ, φησὶ, λέγω ὑμῖν, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ εὔσχημον καὶ εὐπρόσεδρον τῷ Κυρίῳ ἀπερισπάστως. οὐ γὰρ θέλει αὐτὴν μερίζεσθαι, ἀλλ᾽ ὅλην εἶναι τῶν πνευματικῶν καὶ τῶν ἐν τοῖς οὐρανοῖς, καὶ τὰ τοῦ Κυρίου μεριμνᾶν. οὕτω καὶ τὴν χήραν πολιτεύεσθαι παραινεῖ λέγων· Ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλπισεν ἐπὶ τὸν Θεὸν, καὶ προσμένει ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας. ὅταν οὖν τὴν σχολὴν, ἣν ἐν τοῖς εὐαγγελικοῖς πράγμασιν ἀναλίσκειν χρὴ, ταύτην μὴ μόνον εἰς περιττὰ καὶ ἀνωφελῆ, ἀλλὰ καὶ εἰς τὰ σφόδρα ἐπιβλαβῆ παρὰ πάντα δαπανῶσι τὸν βίον, εἰκότως αὐτὰς ἐπὶ τὸν γάμον ἄγει λοιπόν. καθάπερ οὖν καὶ Ἰουδαίοις τὸ σάββατον ἔδωκεν ὁ Θεὸς, οὐχ ἵνα ἀργῶσιν ἁπλῶς, ἀλλ᾽ ἵνα τῶν πονηρῶν ἀπέχωνται πράξεων· οὕτω καὶ ἡ χήρα καὶ ἡ παρθένος οὐχ ἵνα ἁπλῶς μὴ ὁμιλῶσιν ἀνδρὶ τοῦτον αἱροῦνται τὸν βίον, ἀλλ᾽ ἵνα τὰ τοῦ Κυρίου μεριμνῶσιν, ἵνα ἐξ ὁλοκλήρου τῇ τοῦ Θεοῦ θεραπείᾳ προσεδρεύωσι.

α. Τιμ. ε. ια.

α. Κορ. ζ. ς.

α. Κορ. ζ. λε.

α. Τιμ. ε. ε.

Ναί φησιν, ἀλλ' ἀφόρητον ἐστι καὶ κακὸν γυναῖκα οὖσαν πραγμάτων ἄπειρον τὰ τῶν ἀνδρῶν ἀναγκάζεσθαι ὑπομένειν. οὔτε γὰρ αὐτὴ μεταχειρίσαι δυνήσεται, καθάπερ ἐκεῖνος, καὶ θλίψεις ἀπὸ τούτων καὶ τὸ πάντα ἀπολέσαι κερδανεῖ μόνον. ἆρ' οὖν πᾶσαι αἱ μὴ δευτέροις ὁμιλήσασαι γάμοις πάντα ἀπώλεσαν τὰ αὐτῶν, καὶ πάντων ἐξέπεσον, καὶ οὐκ ἔστιν ἰδεῖν γυναῖκα χήραν πραγμάτων περιϊσταμένην; σκῆψις ταῦτα καὶ πρόφασις καὶ τῆς οἰκείας ἀσθενείας προκαλύμματα. πολλαὶ γὰρ τῶν ἀνδρῶν γενναιότεραι καὶ οἰκίας προέστησαν, καὶ παῖδας ἐξέθρεψαν ὀρφανούς· καὶ τὰς ἐν χερσὶν οὐσίας αἱ μὲν ηὔξησαν, αἱ δὲ οὐκ ἠλάττωσαν. καὶ γὰρ ὁ Θεὸς ἐξ ἀρχῆς οὐ τὸ πᾶν τοῖς ἀνδράσιν ἐπέτρεψεν, οὐδὲ ἐν πᾶσιν αὐτῶν ἐκκρέμασθαι τὰ ἐν τῷ βίῳ πράγματα μόνον ἀφῆκεν. ἦ γὰρ ἂν εὐκαταφρόνητος ἡ γυνὴ ἦν, μηδὲν συντελοῦσα πρὸς τὸν βίον ἡμῖν. ὅπερ οὖν εἰδὼς ὁ Θεὸς ἀπένειμεν αὐτῇ μοῖραν οὐκ ἐλάττονα. Γεν. β. ιη. καὶ τοῦτο δηλῶν ἄνωθεν ἔλεγε, Ποιήσωμεν αὐτῷ βοηθόν. χ. περὶ ἵνα γὰρ μὴ τῷ πρότερον γεγενῆσθαι, μηδὲ τῷ δι' αὐτὸν τὴν γυναῖκα πεπλάσθαι μέγα κατ' αὐτῆς ἔχῃ φρονεῖν ὁ ἀνήρ, διὰ τοῦ ῥήματος τούτου κατέστειλε τὸν τῦφον αὐτοῦ, δεικνὺς ὅτι οὐχ ἧττον τοῦ ἀνδρὸς τῆς γυναικὸς τὰ τοῦ κόσμου δεῖται πράγματα. τίνα οὖν ἐστι ταῦτα, καὶ ἐν τίσι συνεφάπτεται ἡμῖν εἰς τὴν τοῦ βίου σύστασιν αὐτή; ἐπειδὴ γὰρ οὐχ ἧττον τῶν δημοσίων τὰ ἰδιωτικὰ συγκροτεῖ τὴν παροῦσαν κατάστασιν, διανείμας αὐτά, τὰ μὲν ἐπ' ἀγορᾶς πάντα ἐνεχείρισε τοῖς ἀνδράσι, τὰ δὲ κατὰ τὴν οἰκίαν ταῖς γυναιξί· κἂν ἀλλάξωνται τὴν τάξιν, πάντα διεφθάρη καὶ ἀπόλωλει. οὕτως ἕκαστος ἐν τῷ ἰδίῳ πολὺ θατέρου χρησιμώτερος. οὐκοῦν εἰ τὰ κατὰ τὴν οἰκίαν τῆς γυναικείας ἐπιστήμης ἐξήρτηται, καὶ τοσοῦτον ἐν τούτῳ κρείττων ἀνδρὸς ἡ γυνή, ὅσον τῶν τεχνιτῶν οἱ ἄτεχνοι ἐν οἷς εἰσι τεχνῖται, τί περιττῶς τὸ δέος τοῦτο δεδοίκαμεν; τὸ μὲν γὰρ προσοδεύειν ἔξωθεν καὶ συνάγειν ἀνδρῶν μόνον ἐστί, γυναῖκας δὲ κερδαίνειν οὐ θέμις· τὸ δὲ τὰ συναχθέντα διατηρεῖν καὶ φυλάττειν, ταύτης μόνης ἐστίν. ὥστε εἰ καὶ δοκεῖ πλέον εἶναι τὸ κτήσασθαι τοῦ φυλάξαι, ἀλλ' ὅμως ἄνευ τούτου κἀκεῖνο ἄχρηστον γίνεται καὶ περιττόν. πολλάκις δὲ καὶ τούτου παρόντος ἐκεῖνο οὐ μόνον οὐδὲν ὤνησεν, ἀλλὰ καὶ τὰ πάντα διέφθειρεν. ἐπειδὴ γὰρ πρᾶγμά ἐστι δυσχερὲς κερδαίνοντα ἔξωθεν ἄνδρα δίκαια κέρδη ποιεῖσθαι (ὡς γὰρ ἐπὶ πολὺ τὰς τῶν ἀλλοτρίων οὗτοι πραγματεύονται συμφοράς) καὶ τῇ τῆς γυναικὸς τέχνῃ, καὶ τῇ οἰκονομίᾳ πολλάκις ἐλυμήνατο τὰ ἀδίκως καὶ μετὰ βίας εἰς τὰς χεῖρας ἀχθέντα τὰς ἐκείνης. ὥστε εἰ καὶ μεῖζον τὸ κτήσασθαι τοῦ φυλάξαι, ἑτέρῳ δείκνυται τρόπῳ ἔλαττον τοῦτο, ὅταν μὴ μόνον μηδὲν συντελῇ εἰς τὴν τῶν ὄντων προσθήκην, ἀλλὰ καὶ διαφθείρῃ τὰ ἀποκείμενα. τί οὖν δέδοικεν ἡ χήρα μὴ παρὰ τὴν ἀπουσίαν τοῦ ἀνδρὸς χεῖρον διαθῇ τὰ κατὰ τὴν οἰκίαν, ἧς καὶ ζῶντος ἐκείνου τὴν ἐπιμέλειαν εἶχεν αὐτή; ἀλλ' εὐκολώτερόν, φησι, μεταχειρεῖται, διὰ τὸν ἐκείνου φόβον οὐδενὸς ἀντιπίπτοντος, οὐδὲ δυσκολίαν παρέχοντος. καὶ γὰρ οἰκέται καὶ οἰκονόμοι καὶ ἐπίτροποι πάντες καταπεπλήχασι, καὶ μετὰ πολλῆς ὑπακούουσι τῆς πειθοῦς, καὶ ὁ ἀντιλέγων οὐδείς· ὅταν δὲ ὁ φοβῶν ἀπέλθῃ, ἅπαντες ἐπεμβαίνουσι τῇ χήρᾳ, κακουργοῦσι, καταθρασύνονται, πάντα συγχέουσι καὶ διασπῶσι. κἂν ἐπέλθῃ καὶ ἀμύνηται στρεβλοῦσα, μαστίζουσα, εἰς δεσμωτήριον ἐμβάλλουσα, καταγνώσεις, λοιδορίαι, κατηγορίαι παρὰ τῶν πολλῶν. ἂν δὲ τὰς πρὸς τὸν ἀπελθόντα συνθήκας πατήσῃ, καὶ τῆς φιλίας ἐπιλάθηται τῆς ἐκείνου, καὶ τὴν ἑσπέραν, καθ' ἣν πρότερον αὐτῇ συνήπτετο, καὶ τὸν κρότον καὶ τὸν ὑμέναιον καὶ τὰς γαμηλίους δᾷδας καὶ τὰς πρώτας περιπλοκὰς καὶ τὰς τραπέζας, καὶ τῶν ἄλλων, ὧν αὐτῇ παρὰ πάντα τὸν χρόνον ἐκοινώνησε, καὶ ῥημάτων, ὧν εἰκὸς γυναῖκα ἀπολαύειν παρὰ ἀνδρός, ἂν ταῦτα ῥίψῃ πάντα ἐξαίφνης, ὡς οὐδὲ γεγενημένα, ἑτέρῳ τὰς θύρας ἀναπετάσασα τῆς οἰκίας, καὶ πρὸς τὴν εὐνὴν αὐτὸν ἕλκῃ τὴν ἐκείνου, τὴν πάντα τὰ πρότερα συνειδυῖαν, ἂν ταῦτα ποιῇ, οὐδεὶς ὁ μεμφόμενος οὐδὲ ἐγκαλῶν; χ. περί οὐδεὶς ὁ μισῶν καὶ ἄστοργον καὶ ἄπιστον καὶ ἄσπονδον καὶ πάντα τὰ τοιαῦτα προσειρῶν; μὴ γὰρ

ἐπειδὴ

ἐπεὶ συνεχώρησεν ὁ μακάριος Παῦλος τὸ πρᾶγμα, ἤδη αὐτὸ καὶ ἐπαίνων ἄξιον νόμιζε καὶ καταγνώσεως ἀπηλλάχθαι τῆς παρὰ τῶν πολλῶν. κολάσεως μὲν γὰρ καὶ τιμωρίας ἐστὶν ἐκτὸς, ἐπαίνων δὲ καὶ ἐγκωμίων οὐκ ἂν δύναιτο κοινωνεῖν. καὶ γὰρ τὸ καταφερῆ τινα καὶ λάγνον εἶναι, καὶ μήτε ἐν καιρῷ τῆς νηστείας, μήτε ἐν ἄλλῳ τινὶ τῆς γυναικὸς ἀπέχεσθαι, κολάσεως μὲν καὶ αὐτὸ πόρρω καὶ μακρὰν, οὐ μὴν ἐπαίνων ἐγγύς. αὐτὸ γὰρ τὸ συγκαταβαίνειν τοσοῦτον, οὐδὲν ἕτερόν ἐστιν, ἢ σημεῖον ἀσθενείας καὶ ἀπροσεξίας πολλῆς. ὥστε εἰ δέδοικας μὴ θρασύτητος δόξαν λάβῃς διὰ τὴν τῶν οἰκετῶν ἐπιτίμησιν, περὶ τούτου δεδοικέναι χρὴ, μὴ λαγνείας καὶ ἀσωτίας δόξαν περιτρίψῃ τοσαύτην. χωρὶς δὲ τούτων τῇ χήρᾳ τὸ πρᾶγμα ἄμεινον ἐξέσται μετελθεῖν, ὥστε καὶ ἐν ἀσφαλείᾳ αὐτῇ τὰ πολλὰ πράγματα εἶναι, καὶ μὴ μόνον μὴ ψέγεσθαι, ἀλλὰ καὶ ἐπαινεῖσθαι παρὰ πάντων· καὶ πρὸ τούτου τῶν ἀγαθῶν ἐπιτυχεῖν τῶν παρὰ τοῦ Θεοῦ. ἂν γὰρ θελήσῃς παρακαταθέσθαι τὰ χρήματα τῷ οὐρανῷ, καὶ εἰς τὸν ἄσυλον αὐτὰ κατορύξῃς τόπον ἐκεῖνον, οὐ μόνον οὐκ ἐλαττωθήσεται, ἀλλὰ καὶ πολλῷ πλείω γενήσεται. τοιοῦτος γάρ ἐστιν ὁ σπόρος. εἰ δὲ ἐλάττων ἐστὶ τοῦ χωρῆσαι μέχρι τῆς νομοθεσίας ἐκείνης, καὶ πάντα ἀθρόως οὐ βούλεται μεταθεῖναι, λογιζέσθω πάλιν ἐκεῖνο, ὅτι καὶ ἄνδρα λαβοῦσα οὐ πάντως λήψεται τοιοῦτον, οἷος καὶ προσθεῖναι τοῖς οὖσιν. ἂν δ' ἄρα καὶ τοιοῦτος ᾖ, μὴ τοῦτο ἐννοείτω μόνον, τὴν τῶν χρημάτων προσθήκην, ἀλλ' ὅτι πολλὰ καὶ τῷ Θεῷ, καὶ τοῖς ἀνθρώποις προσκρούειν προσαναγκασθήσεται. ἂν μὲν γὰρ τῶν δυνατῶν ᾖ καὶ πολλὴν ἐχόντων ἰσχὺν, ἔστιν ὅτε παρὰ γνώμην πολλὰ καὶ πρᾶξαι καὶ παθεῖν αὐτὴν βιασθήσεται· καὶ ὅπερ ἐπὶ τῆς χηρείας ἐδεδοίκει, τοῦτο μετὰ πλείονος ἀνάγκης ὑποστήσεται νῦν. καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ ταχίστην εἰκὸς αὐτὴν δέξασθαι τὴν μεταβολήν. χήρα μὲν γὰρ οὖσα κἂν ἐλαττώσῃ τι τῶν τοιούτων, ὅμως τὰ λειπόμενα μετὰ πολλῆς ἕξει τῆς ἀσφαλείας· ἀνδρὶ δὲ συναφθεῖσα δυνατῷ, καὶ τὰ τῆς πόλεως πράττοντι, ἢ καὶ ἑτέραν τινὰ μετιόντι φροντίδα, πολλάκις ἀθρόον πάντα ἀποβαλεῖται. ταῖς γὰρ τῶν ἀνδρῶν συμφοραῖς ἀνάγκη καὶ τὰς συνοικούσας αὐτοῖς κοινωνεῖν. εἰ δὲ καὶ μηδὲν συμβαίη τοιοῦτον, τί τὸ κέρδος, εἰπέ μοι, δουλείαν ἀντ' ἐλευθερίας αἱρεῖσθαι; τί δὲ τὸ ὄφελος τῶν πολλῶν χρημάτων, ὅταν αὐτοῖς χρήσασθαι μὴ δύνηται πρὸς ὃ βούλεται; οὐ πολλῷ βέλτιον ὀλίγα μετ' ἐξουσίας ἔχειν, ἢ τὰ τῆς οἰκουμένης μετὰ τοῦ καὶ αὐτὴν σὺν ἐκείνοις ὑποκεῖσθαι ἑτέρῳ; τὰς γὰρ φροντίδας, καὶ τὰς ὕβρεις, καὶ τὰς λοιδορίας, καὶ τὰς ζηλοτυπίας, καὶ τὰς ὑποψίας τὰς εἰκῇ, καὶ τὰς ὠδῖνας, καὶ τὰ ἄλλα ἅπαντα παρίημι νῦν. ὁ μὲν γὰρ τῇ παρθένῳ διαλεγόμενος, εἰκότως καὶ περὶ τούτων διαλέξεται, ἅτε ἀπείρῳ οὔσῃ καὶ ἀμαθεῖ τῶν πραγμάτων ἐκείνων· χήρα δὲ κἂν ἐνοχλήσειέ τις ταῦτα λέγων. ἃ γὰρ διὰ τῶν πραγμάτων ἔμαθεν ἀκριβέστερον, περιττὸν τῷ λόγῳ πειρᾶσθαι διδάσκειν αὐτήν· τοσοῦτον δὲ προσθεῖναι καλὸν, ὅτι καὶ μετὰ πλείονος ὁμιλήσει τῆς παρρησίας καὶ τῆς ἐλευθερίας ἡ παρθένος γαμηθεῖσα τῆς μετὰ τὴν χηρείαν. ταύτην μὲν γὰρ κἂν ὡς γυναῖκα στέργῃ, ἀλλ' οὐχ ὡς παρθένον λαβών. ὅτι δὲ πολλῷ ἐκείνου τούτων οἱ ἔρωτες σφοδρότεροι καὶ μανικώτεροι, παντί που δῆλόν ἐστιν. ἐκείνην δὲ ἅτε μὴ παντὸς ἀνδρὸς ἄπειρον οὐ πάντῃ θυμῷ καὶ ἀσπάσεται καὶ φιλήσει. πεφύκαμεν γὰρ, ὡς εἶπον, ἅπαντες ἄνθρωποι, εἴτε ὑπὸ ζηλοτυπίας, εἴτε ὑπὸ κενοδοξίας, εἴτε οὐκ οἶδ' ὅθεν ἑτέρωθεν, τῶν πραγμάτων ἐκεῖνα μάλιστα φιλεῖν, ὧν καὶ τὴν ἐξουσίαν καὶ τὴν ἀπόλαυσιν οὐ μεθ' ἑτέρους ἔχομεν, ἀλλ' αὐτοὶ πρῶτοι καὶ μόνοι καθεστήκαμεν κύριοι. τοῦτο καὶ ἐπὶ ἱματίων ἴδοι τις ἂν συμβαῖνον ἡμῖν. οὐ γὰρ ὁμοίως διακείμεθα πρὸς τὰ παρ' ἑτέρων χρησθέντα, καὶ τὰ παρ' οὐδενός. τοῦτο καὶ ἐπὶ οἰκίας καὶ ἐπὶ σκευῶν. καὶ γὰρ καὶ οἰκίαν τὴν παρ' ἑτέρου δοθεῖσαν ἡμῖν οὐχ ὁμοίως ἐκείνῃ φιλοῦμεν, ἣν αὐτοὶ κατεσκευάσαμεν, καὶ τῶν σκευῶν τὰ μὲν ἄρτι γενόμενα καὶ πρώτην παρ' ἡμῖν χρείαν δεξάμενα ἐν πολλῇ τῇ φειδοῖ φυλάττομεν καὶ σπουδῇ, τὰ δὲ ἐξ ἑτέρων ἐλθόντα εἰς ἡμᾶς οὐ σφόδρα προσιέμεθα, ἀλλ' οὕτως ἀποστρεφόμεθα, ὡς καὶ ἀνασκευάσαι πολλάκις αὐτά.

Εἰ δὲ ἐπὶ οἰκίας καὶ ἱματίων καὶ σκευῶν τοῦτο ἡμῖν συμβαίνει τὸ πάθος, ἐννόησον ἐπὶ τῆς γυναικός, ἧς τιμιώτερον αἰδεσιμώτερον οὐδέν, πῶς αὐτὸ μετὰ σφοδρότητος ἐμπίπτειν εἰκός. ἐκείνων μὲν γὰρ κἂν μεταδιδῶμεν τοῖς βουλομένοις, ταύτης δὲ οὐ θέμις ἡμῖν· ἀλλὰ τῆς ψυχῆς ἀποστησόμεθα πρότερον, ἢ τοῦτο παθεῖν ἀνεξόμεθα. τὴν μὲν οὖν παρθένον, ὅπερ ἔφην, ἅτε ἀνέπαφον οὖσαν καὶ ἰδίαν αὐτοῦ καὶ οὐδενὸς ἑτέρου γενομένην, πάσῃ προθυμίᾳ προσίεται· τὴν δὲ ἑτέρῳ πρότερον συναφθεῖσαν οὐ μετὰ τῆς αὐτῆς φιλίας ὄψεται καὶ εὐνοίας. μὴ γάρ μοι τὰ σπανιάκις καὶ μόλις ἅπαξ συμβαίνοντα εἴπῃς, ἀλλὰ τὰ συνεχῶς ἐπὶ τῶν πραγμάτων δεικνύμενα.

Οὐ διὰ ταῦτα δὲ μόνον πλείονος ἐκείνη μεθέξει τῆς παρρησίας, ἀλλὰ καὶ δι' ἕτερα πολλά. Ἔστι μὲν γὰρ καὶ ὀνειδίσαι εὐκόλως δύναιτ' ἂν ὡς καταφρονούμενος παρ' αὐτῆς, καὶ τεκμήριον τῆς ὀλιγωρίας τὴν εἰς τὸν πρότερον αὐτῇ γεγενημένην ἀπιστίαν προενεγκεῖν, καὶ ἐπισκῶψαι καὶ ὑπὲρ τῶν γεγενημένων, καὶ ὑπὲρ τῶν μηδὲ συμβησομένων ἴσως. ὁ γὰρ ἀπελθὼν καταφρονηθεὶς καὶ τὸν ζῶντα ταῦτα ὑποπτεῦσαι πείσει περὶ ἑαυτοῦ, κἂν μὴ γένηται. Οὐκ ἐκεῖνος δὲ μόνον ταῦτα προφέρων αὐτῇ συνεχῶς ἔσται φορτικός, ἀλλὰ καὶ οἰκέται καὶ θεράπαιναι, κἂν μὴ φανερῶς, λάθρα γοῦν διαγογγύζοντες μυρίοις αὐτὴν βάλλουσι σκώμμασιν. ἂν δὲ καὶ συμβῇ παῖδας τοῦ τετελευτηκότος καταλειφθῆναι νέους, πῶς αὐτοὺς ἀναθρέψει; πῶς δὲ προστήσεται; τίνων δὲ ὀρφανῶν οὐ χαλεπώτερον ἐκεῖνοι βιώσονται, τὰ τοῦ πατρὸς ὁρῶντες ἅπαντα ἕτερον ἔχοντα, καὶ οἰκέτας, καὶ οἰκίαν, καὶ ἀγρούς, καὶ τὸ πάντων κεφάλαιον, τὴν γυναῖκα; πῶς δυνήσονται ὡς πρὸς μητέρα διακεῖσθαι ἐκεῖνοι; πῶς δὲ αὐτὴ ὡς πρὸς παῖδας, οὓς αἰσχύνεσθαι καὶ ἐρυθριᾶν ἀναγκάζεται, καὶ οἷς πᾶσαν ἀπονέμειν τὴν μητρικὴν οὐκ ἔχει φιλοστοργίαν, εἰς τοὺς ἐξ ἐκείνου παῖδας ἀρχομένης αὐτῇ τῆς διανοίας; Τί οὖν, ἂν ἡ σφόδρα κόρη, φησί, καὶ βραχὺν ἀπολαύσασα χρόνον τοῦ ἀνδρός; πρὸς γὰρ τὰς κόρας μοι ταῦτα εἴρηται, οὐ πρὸς τὰς γεγηρακυίας. πρὸς γὰρ ἐκείνας τὰς τοῦτο ποιούσας οὐδὲ διαλεχθήσομαι. Εἰ γὰρ ὁ πολὺς χρόνος καὶ ἡ ἡλικία καὶ τὰ ἄλλα πάντα οὐκ ἔπεισαν αὐτὰς ἀπέχεσθαι δευτέρου γάμου, πολύ γε ἡμεῖς. οὐ γὰρ ὁ παρ' ἡμῶν πείσει λόγος. ἀλλ' ἅπας μοι πρὸς ταύτας ὁ λόγος ἐστί. Τί οὖν, ἂν ἡ κόρη, φησί, καὶ μόνον ἐνιαυτὸν μετὰ τοῦ προτέρου συνοικήσασα δευτερογαμῆται πάλιν; τίνος ἕνεκεν; τῆς εἰκοστὸν ἔτος καὶ τριακοστὸν ἀνηλωκυίας ἐν γάμῳ προτιμήσεις αὐτήν; οὐκ ἔγωγε, ἀλλ' ὁ μακάριος Παῦλος. ἐκεῖνος γάρ φησι, Μακαριωτέρα δέ ἐστιν, ἐὰν οὕτω μείνῃ. τί γάρ, εἰ καὶ πολὺν ἐκείνη χρόνον συνῴκησεν ἀνδρί; ἀλλ' ἑνὶ καὶ τῷ αὐτῷ καὶ μόνῳ καὶ ᾧ ἐξ ἀρχῆς ἐκληρώθη· αὕτη δὲ δυσὶν ἔδωκεν ἑαυτήν, καὶ ταῦτα ἐν βραχεῖ τῷ χρόνῳ. ἀλλ' οὐχ ἑκοῦσα, φησίν. Εἰ γὰρ ὁ πρῶτος ἔζη, οὐκ ἂν ἕτερον ἠγάπησεν ἐπ' ἐκείνῳ· ἐπειδὴ δὲ πρὸ ὥρας ἀπῆλθεν ἐκεῖνος, ὑπὸ τῆς ἀνάγκης δευτέρῳ συνήφθη πάλιν. ποίας ἀνάγκης; ἐγὼ γὰρ ταύτης, ἧς λέγεις, μείζονα ἑτέραν ἀνάγκην ὁρῶ ἰσχυρὰν αὐτὴν κατέχειν ἐπὶ τῷ τετελευτηκότι, τὸ πικρὸν οὕτως ἀπολαῦσαι τῶν πραγμάτων τοῦ κόσμου. ἡ μὲν γὰρ πολὺν αὐτοῖς συγγενομένη χρόνον καὶ ἐμπλησθεῖσα καλῶς, ὡς τῶν αὐτῶν τευξομένη τῶν ἴσων ἅψεται πάλιν· ἡ δὲ προοιμίων οὕτω χαλεπῶν πειραθεῖσα, ποίᾳ προαιρέσει καὶ ἐλπίδι πρὸς τὴν πεῖραν ἥξει τῶν χαλεπῶν; οὐδὲ γὰρ εἴ τις βουλόμενος ἐμπορεύσασθαι, πρίν τι κερδᾶναι, ἅμα τῷ τὸν λιμένα ἐξελθεῖν ναυάγιον ὑπομείνοι, εὐκόλως ἅψεται τῆς πραγματείας λοιπόν· οὐδὲ ταύτην εἰκότως τὴν πολλὰ μὲν προσδοκήσασαν ἡδέα, πρὶν ἢ δὲ ἐκείνων πεῖραν καλῶς λαβεῖν, τοσοῦτον πένθος ἰδοῦσαν ἀγαπῆσαι τὰ τοῦ κόσμου πράγματα, εἰ μὴ σφόδρα ἀκρατὴς οὖσα τύχοι· μᾶλλον δὲ εἰ καὶ σφόδρα πρὸς αὐτὰ διακέοιτο καὶ λίαν ἔχοι προσπαθῶς, ἱκανὴ τῆς ἀρχῆς ἡ ἀηδία πᾶσαν σβέσαι τὴν ἐπιθυμίαν αὐτῆς. τότε γὰρ τοῖς πράγμασι μάλιστα ἐπιμένειν εἰώθαμεν, ὅταν προοιμίων πειρασώμεθα καλῶν· ὅταν δὲ ἐξ ἀρχῆς καὶ ἀπ' αὐτῆς, ὡς ἂν εἴποι τις, τῆς γραμ-

μῆς

γρ. νῦν

ἴσ. βάλλουσι

γρ. δευτερογαμῆται.

α. Κορ. ζ. μ.

γρ. σύπεν

Λογ. κϛ'

μης χαλεπῶν καὶ δυσκόλων αἰσθώμεθα, ταχέως ἀνακρουόμεθα, τῆς προαιρέσεως σβεννυμένης ἡμῖν. ὥστε αἱ τὰς ἀώρους ὑπομείνασαι χηρείας, αὗται εἰκότως ἂν ἀπόσχοιντο γάμου δευτέρου ὑπὲρ τοῦ μὴ τὰ αὐτὰ πάλιν παθεῖν. ἡ μὲν γὰρ ἐν τῇ χηρείᾳ μένουσα ἕξει τὸ ἀσφαλές, καὶ οὐχ ὑποπτεύσει πένθος ἕτερον τοιοῦτον πάλιν· ἡ δὲ προσομιλήσασα γάμῳ δευτέρῳ, καὶ τοῦτο προσδοκᾶν ἀναγκασθήσεται τὸ δεινόν. καὶ ἄλλως δέ, εἰ καὶ πρᾶγμα ἕν ἐστιν ἡ χηρεία, ἀλλ' οὐ πᾶσαι τοὺς αὐτοὺς ἀπολήψονται τούτου μισθούς· ἀλλ' αἱ μὲν πλείους, αἱ δὲ ἐλάττους. αἱ μὲν γὰρ ἐν νεότητι τὸν ζυγὸν ἀναδεξάμεναι, πλείονος ἀπολαύσονται καὶ τῆς τιμῆς καὶ τῆς δωρεᾶς, αἱ δὲ πρὸς αὐτῷ τῷ γήρᾳ οὐχ ὁμοίως ἐκείναις. τί δήποτε; ὅτι ἡ μέν, πολλῶν ὄντων τῶν κωλυμάτων, διὰ τὸν τοῦ Θεοῦ φόβον πάντα ἠνέσχετο, αὕτη δὲ οὐδὲ βραχὺν ἱδρῶτα ὑπέμεινεν, οὐδὲ πόνον. πῶς γάρ, οὐδενὸς ὄντος πράγματος τοῦ βίαν παρέχοντος; ὥσπερ οὖν ἡ δευτέρῳ δοῦσα ἑαυτὴν ἐλάττων ἐστὶ τῆς τὸν ἕνα ἄνδρα ἐχούσης, οὕτως ἡ ἐν χηρείᾳ μένουσα ἐν αὐτῇ τῇ νεότητι, πολλῷ τῷ μέτρῳ τὴν ἐν τῷ γήρᾳ τὸν ἄνδρα ἀποβαλοῦσαν ὑπερακοντίσαι δυνήσεται. καίτοιγε ἀμφοτέραις εἷς γέγονεν ὁ ἀνήρ· ἀλλ' ὅμως αὕτη μὲν τὸν τῆς ἁγνείας ἔδραμε δρόμον, ἐκείνη δὲ πολλοῖς ἀπελείφθη τοῖς σταδίοις. μὴ τοίνυν τὸν πόνον ἴδῃς μόνον, ἀλλὰ καὶ τὸν μισθόν. καὶ γὰρ τὰ πολλὰ τῶν κατορθωμάτων οὕτως ἡμῖν δύσκολα φαίνεται, ὅτι τὸν μόχθον αὐτῶν καὶ τοὺς ἱδρῶτας συνεχῶς στρέφοντες, τοὺς ἀποκειμένους αὐτοῖς μισθοὺς οὐκ ἐν νῷ λαμβάνομεν. ἀλλ' οὐχ οὕτω δεῖ ποιεῖν, ἀλλὰ πάντα ὁμοῦ λογίζεσθαι, μετὰ τῶν πόνων καὶ τὰς ἀμοιβάς· καὶ οὕτως εὔκολα ἡμῖν φανεῖται, ὥσπερ οὖν καὶ ἔστιν εὔκολα. καὶ γὰρ ὁ ἀριστεὺς οὐ τὰ τραύματα μόνον, οὐδὲ τὰ πτώματα, οὐδὲ τὸν θάνατον, ἀλλὰ καὶ τὰ τρόπαια καὶ τὰς νίκας καὶ τὰς ἄλλας ἁπάσας ἀναλογισάμενος τιμάς, οὕτως ἐπὶ τὴν ἀριστείαν ἔρχεται· καὶ ὁ γεωργὸς δὲ οὐχὶ τὴν ἄροσιν μόνον, οὐδὲ τὸν ἐν τῷ σκάπτειν πόνον, ἀλλὰ καὶ τὴν ἅλω καὶ τοὺς ληνοὺς πρὸ τῶν ὀφθαλμῶν θείς, οὕτω τῶν ἔργων ἐφάπτεται. οὕτω καὶ ἡμεῖς ταῖς ἐλπίσι ταῖς χρησταῖς τὸν τῆς χηρείας μόχθον ἐπικουφίσωμεν, καὶ πολλῷ μᾶλλον ἡμεῖς, ἢ ἐκεῖνοι. ἐκείνοις μὲν γὰρ πολλὰ πολλάκις τῶν οὐκ ἐπ' αὐτοῖς χειμώνων τὴν προσδοκίαν διέκοψαν, τὰς δὲ ἡμετέρας ἐλπίδας οὐδείς ὁ καταισχύνων ἐστίν, ἂν μὴ βουληθῶμεν αὐτοί. μὴ δὴ βουληθῶμεν· ἀλλ' ἐννοήσαντες ὡς οὐ πολλῷ τῆς παρθένου ἡ χήρα λείπεται (ἔστι δὲ ὅπου αὐτὴν καὶ ὑπερηκόντισεν, ὅταν ἡ μὲν παρθένος περιπλέκηται πράγμασιν, ἡ δὲ χήρα, κατὰ τὸν Παῦλον, μεμονωμένη καὶ ἐλπίζουσα ἐπὶ τὸν Θεὸν προσκαρτερῇ ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς, καὶ τῶν βιωτικῶν πραγμάτων ἀπέχηται) ἀναδεξώμεθα τὸν ἀγῶνα τοῦτον, ἵνα τῶν ἐν αὐτῷ στεφάνων τύχωμεν. ταῦτα ὑμῖν οὐκ ἀνάγκης ἕνεκεν εἴρηται, οὐδέ, ὅπερ ἔφην, καταδικάζοντες τὰς οὐ βουλομένας χηρεύειν, ἐπὶ ταύτην ἤλθομεν τὴν παραίνεσιν· ἀλλὰ προτρέποντες καὶ παρακαλοῦντες μὴ ἐπὶ τοσοῦτον προσδεθῆναι τῇ γῇ, ἀλλ' ἅπαξ λυθείσας μένειν ἐλευθέρας, καὶ τὸν οὐρανὸν ἐπιζητεῖν, καὶ τὴν πολιτείαν ἐπιδείκνυσθαι τὴν ἐκεῖ, καὶ ἁρμοσθείσας τῷ Χριστῷ οὕτως ἅπαντα πράττειν, ὡς προσῆκε τὰς τὸν τοιοῦτον ἐχούσας νυμφίον. ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ πατρί, καὶ τῷ ζωοποιῷ καὶ ἁγίῳ αὐτοῦ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΧΡΥΣΟΣ-

ΧΡΥΣΟΣΤΟΜΟΥ ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ ΛΟΓΟΣ α. *ΕΛΕΧΘΗ ΔΕ ΕΝ Ἀντιοχείᾳ, ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ.

ΠΑλιν οἱ δείλαιοι καὶ πάντων ἀνθρώπων ἀθλιώτεροι νηστεύειν μέλλουσιν Ἰουδαῖοι, καὶ πάλιν ἀσφαλίσασθαι τοῦ Χριστοῦ τὴν ποίμνην ἀναγκαῖον. ἐπεὶ καὶ ποιμένες, ἕως μὲν ἂν μηδὲν ἐνοχλῇ θηρίον, ὑπὸ δρῦν, ἢ πλάτανον ἑαυτοὺς ῥίψαντες, τῷ καλάμῳ συρίζουσιν, ἀφέντες ἐπ' ἐξουσίας ἁπάσης τὰ πρόβατα νέμεσθαι· ἐπειδὰν δὲ λύκων καταδρομὴν αἴσθωνται γινομένην*, ταχέως τὸν κάλαμον ῥίψαντες, τὴν σφενδόνην μεταχειρίζονται, καὶ τὴν σύριγγα ἀφέντες, ῥοπάλοις καὶ λίθοις ἑαυτοὺς καθοπλίζουσι, καὶ πρὸ τῆς ποίμνης στάντες, καὶ μέγα καὶ διωλύγιον ὀλολύξαντες, τῇ φωνῇ πολλάκις πρὸ τῆς βολῆς τὸ θηρίον ἀπήλασαν· οὕτω δὴ καὶ ἡμεῖς ἐν μὲν ταῖς ἔμπροσθεν ἡμέραις, ὥσπερ ἐν λειμῶνί τινι, τῇ τῶν γραφῶν διηγήσει σκιρτῶντες, οὐδενὸς ἡψάμεθα ἀγωνιστικωτέρου λόγου· οὐδεὶς γὰρ ἡμῖν ὁ διενοχλῶν ἦν. ἐπειδὴ δὲ σήμερον οἱ λύκων ἁπάντων χαλεπώτεροι Ἰουδαῖοι περιΐστασθαι ἡμῶν τὰ πρόβατα μέλλουσιν, ἀνάγκη πυκτεύειν καὶ μάχεσθαι, ὅπως μηδὲν ἡμῖν θηριάλωτον γένηται. καὶ μὴ θαυμάσητε, εἰ μετὰ δέκα καὶ πλείους ἡμέρας τῆς νηστείας ἐκείνης ἀπαντᾷν μελλούσης, ἡμεῖς ἐντεῦθεν ἤδη καθοπλιζόμεθα, καὶ περιφράττομεν τὰς ὑμετέρας ψυχάς. ἐπεὶ καὶ τῶν γεωργῶν οἱ φιλόπονοι, ἐπειδὰν ἔχωσι γείτονα χείμαρρον παρασύροντα τὰς γεωργίας, οὐκ ἐν τῷ καιρῷ τοῦ χειμῶνος, ἀλλὰ πρὸ τῆς ὥρας ἐκείνης καὶ ὄχθας περιφράττουσι, καὶ χώματα ἐγείρουσι, καὶ τάφρους ἐλαύνουσι, καὶ πάντοθεν πρὸς αὐτὸν παρασκευάζονται οὕτως. ἡσυχάζοντι μὲν γὰρ καὶ κατεσταλμένῳ ῥᾴδιον ἐπιθέσθαι· αὐξομένῳ δὲ, καὶ μετὰ πολλῆς φερομένῳ τῆς τῶν ὑδάτων ῥύμης, οὐκ ἔθ' ὁμοίως εὔκολον ἀπαντᾷν. διὰ τοῦτο φθάνουσιν αὐτοῦ τὰς ἐπιβολὰς πρὸ πολλοῦ τοῦ χρόνου πᾶσαι πανταχόθεν ἐπινοοῦντες ἀσφάλειαν. οὕτω καὶ στρατιῶται καὶ ναῦται καὶ θερισταὶ ποιεῖν εἰώθασι. καὶ γὰρ ἐκεῖνοι πρὸ τοῦ καιροῦ τῆς μάχης καὶ θώρακα ἀποσμήχουσι, καὶ ἀσπίδα περισκοποῦσι, καὶ χαλινοὺς παρασκευάζουσι, καὶ ἵππους τρέφουσι μετὰ πολλῆς τῆς ἐπιμελείας, καὶ τὰ ἄλλα πάντα εὖ διατίθενται. καὶ ναῦται, πρὶν ἢ τὸ σκάφος εἰς λιμένα καθελκῦσαι, καὶ τὴν τρόπιν ἐπισκευάζουσι, καὶ τοίχους* ἀλείφουσι, καὶ κώπας ἀποξέουσι, καὶ ἱστία ῥάπτουσι, καὶ τὴν ἄλλην ἅπασαν τοῦ πλοίου κατασκευὴν εὐτρεπίζουσι. καὶ θερισταὶ δὲ ὁμοίως, πρὸ πολλῶν τῶν ἡμερῶν, καὶ δρεπάνην θήγουσι, καὶ ἅλωνα παρασκευάζουσι, καὶ βόας, καὶ ἁμάξας, καὶ ὅσα ἂν ἄλλα πρὸς τὸν ἀμητὸν αὐτοῖς συντελῇ. καὶ πάντας ἂν ἀνθρώπους ἴδοι τις ἂν πρὸ τοῦ καιροῦ τὰς τῶν πραγμάτων ποιουμένους παρασκευάς, ὥστε, τοῦ καιροῦ τῶν πραγμάτων ἐπιστάντος, εὔκολον αὐτοῖς γενέσθαι τὴν τῶν ἔργων ἐκπλήρωσιν. τούτους δὴ καὶ ἡμεῖς μιμούμενοι, πρὸ πολλῶν τῶν ἡμερῶν τὰς ὑμετέρας ἀσφαλιζόμεθα ψυχάς, παρακαλοῦντες ὑμᾶς τὴν ἐναγῆ καὶ παράνομον ταύτην φυγεῖν νηστείαν. μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι νηστεύουσιν· ἀλλ' ἐκεῖνό μοι δεῖξον, ὅτι κατὰ γνώμην [τοῦ] Θεοῦ τοῦτο ποιοῦσιν. ὡς ἂν μὴ τοῦτο ᾖ, μέθης πάσης ἐστὶν ἡ νηστεία παρανομωτέρα. οὐ γὰρ τὸ πραττόμενον ὑπ' αὐτῶν χρὴ σκοπεῖν μόνον, ἀλλὰ καὶ τὴν αἰτίαν τῶν γινομένων ἐπιζητεῖν. τὸ μὲν γὰρ κατὰ γνώμην [τοῦ] Θεοῦ γινόμενον, κἂν φαῦλον εἶναι δοκῇ, πάντων ἐστὶν ἄριστον· τὸ δὲ παρὰ γνώμην, καὶ μὴ δοκοῦν ἐκείνῳ, κἂν ἄριστον εἶναι νομίζηται, πάντων ἐστὶ φαυλότατον καὶ παρανομώτατον. κἂν φονεύσῃ τις κατὰ γνώμην τοῦ Θεοῦ, φιλανθρωπίας ἁπάσης βελτίων ἐστὶν ὁ φόνος· κἂν φείσηταί τις,

* εἴρηται … αὐτῇ
γρ. πλάτην
γρ. κατ'
* πεδίον
γρ. ἁρπάσαι
γρ. ἡμῶν
γρ. διὸ πρὸ
γρ. περιφράττουσι
γρ. πάντα ἐπιμ
* νεῶν
γρ. ἅλω
γρ.

τις,″ κἂν φιλανθρωπία ᾖ, παρὰ τὸ δοκοῦν ἐκείνῳ, φόνου παντὸς ἀνοσιωτέρα γένοιτ' ἂν ἡ φειδώ. οὐ γὰρ ″ἡ φύσις τῶν πραγμάτων, ἀλλ' αἱ τοῦ Θεοῦ ψῆφοι καλὰ καὶ φαῦλα εἶναι ″τὰ αὐτὰ ποιοῦσι. καὶ ἵνα μάθῃς, ὅτι τοῦτο ἐστὶν ἀληθές, [ἄκουσον] βασιλέα τινά ποτε τῶν Σύρων λαβὼν ὁ Ἀχαάβ, παρὰ τὸ τῷ Θεῷ δοκοῦν [αὐτὸν] ἔσωσε καὶ ″προεδρίας ἀπολαῦσαι ἐποίησε καὶ μετὰ πολλῆς ″ἀπέπεμψε τῆς τιμῆς. Εἶτα προφήτης τις παραγενόμενος, εἶπε πρὸς τὸν πλησίον αὐτοῦ· Ἐν λόγῳ Κυρίου πάταξον δή με. καὶ οὐκ ἠθέλησεν ὁ ἄνθρωπος ἐκεῖνος πατάξαι αὐτόν. καὶ εἶπε πρὸς αὐτόν· ἀνθ' ὧν οὐχ ὑπήκουσας τῆς φωνῆς Κυρίου, ἰδοὺ σὺ ἀποτρέχεις ἀπ' ἐμοῦ, καὶ πατάξει σε [ὁ] λέων. καὶ ἀπῆλθεν ἀπ' αὐτοῦ, καὶ εὗρεν αὐτὸν ὁ λέων, καὶ ἐπάταξεν αὐτόν. καὶ εὑρίσκει ἄνθρωπον ἄλλον, καὶ λέγει αὐτῷ· πάταξον δή με. καὶ ἐπάταξεν αὐτὸν ὁ ἄνθρωπος, καὶ συνέτριψεν [αὐτόν,] καὶ κατεδήσατο τὸ πρόσωπον ἑαυτοῦ. τί τούτου γένοιτ' ἂν παραδοξότερον; ὁ τυπτήσας τὸν προφήτην ἐσώθη, καὶ ὁ φεισάμενος ″ἐκολάζετο· ἵνα μάθῃς, ὅτι, Θεοῦ προστάττοντος, οὐ δεῖ περιεργάζεσθαι τὴν φύσιν τῶν ″γινομένων, ἀλλὰ πείθεσθαι μόνον. ἵνα ″γὰρ μὴ τὸν προφήτην αἰδεσθεὶς φείσηται ὁ πρότερος, οὐχ ἁπλῶς εἶπεν αὐτῷ, πάταξόν με· ἀλλ', ἐν λόγῳ Κυρίου, τουτέστιν, ὁ Θεὸς ἐπέταξε, μηδὲν περαιτέρω ζήτει· βασιλεύς ἐστιν ὁ νομοθετῶν, αἰδέσθητι τοῦ κελεύοντος τὸ ἀξίωμα καὶ μετὰ πάσης ὑπάκουε τῆς προθυμίας. ἀλλ' οὐκ ἠνέσχετο· διὰ τοῦτο δίκην ἔδωκε τὴν ἐσχάτην, τοῖς μετὰ ταῦτα, δι' ὧν ἔπαθε, παραινῶν, ἅπερ ἂν ὁ Θεὸς ἐπιτάξῃ, πάντα εἴκειν καὶ πείθεσθαι. Εἶτα ἐπειδὴ ἐπάταξεν αὐτὸν ὁ δεύτερος ἐκεῖνος, καὶ συνέτριψε, περιέδησε τὴν κεφαλὴν ἑαυτοῦ τελαμῶνι, καὶ τοὺς ὀφθαλμοὺς ἀπέκρυψε, καὶ ἄδηλον ἑαυτὸν κατέστησε. τίνος οὖν ἕνεκεν τοῦτο ἐποίησεν; ἔμελλεν ἐλέγχειν τὸν βασιλέα, καὶ καταψηφίζεσθαι κατ' αὐτοῦ, διὰ τὴν σωτηρίαν τοῦ Σύρων βασιλέως. ἐπεὶ οὖν ἀεὶ πρὸς τοὺς προφήτας ἀπεχθῶς εἶχεν ἐκεῖνος, ἀσεβὴς ὤν· ἵνα μὴ ἰδὼν αὐτὸν, ἀπὸ τῆς ὄψεως ἀπελάσῃ, εἶτα ἀπελάσας μὴ δέξηται τὴν διόρθωσιν, κρύπτει καὶ τὸ πρόσωπον ἑαυτοῦ, καὶ τὴν τοῦ πράγματος διήγησιν· ὥστε καὶ περιγενέσθαι λέγων, καὶ ἐν οἷς ἐβούλετο, ἐκεῖνον συνομολογοῦντα λαβεῖν. ἐπειδὴ γὰρ ὁ βασιλεὺς παρεπορεύετο, ἐβόησε πρὸς αὐτὸν, καὶ εἶπεν· Ὁ δοῦλός σου ἐξῆλθεν ἐπὶ τὴν στρατείαν τοῦ πολέμου, καὶ ἰδοὺ ἀνὴρ εἰσήγαγεν ἄνδρα πρός με, καὶ εἶπέ μοι· φύλαξόν μοι τοῦτον· καὶ ἔσται ἐὰν ἐκπηδῶν ἐκπηδήσῃ, ἔσται ἡ ψυχή σου ἀντὶ τῆς ψυχῆς αὐτοῦ, ἢ τάλαντον ἀργυρίου ″στήσῃ. καὶ ἐγένετο, ὡς ὁ δοῦλός σου περιεβλέπετο ὧδε καὶ ὧδε, καὶ ἰδοὺ αὐτὸς οὐκ ἦν. καὶ εἶπε πρὸς αὐτὸν ὁ βασιλεὺς Ἰσραήλ· ἰδοὺ δικαστὴς σὺ παρ' ἐμοὶ ἐφόνευσας. καὶ ἔσπευσε, καὶ ἀφεῖλε τὸν τελαμῶνα ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ· καὶ ἐπέγνω αὐτὸν ὁ βασιλεὺς Ἰσραήλ, ὅτι ἀπὸ τῶν υἱῶν τῶν προφητῶν οὗτος· καὶ εἶπε πρὸς αὐτόν· τάδε λέγει Κύριος, ὅτι ἐξαπέστειλας σὺ ἄνδρα ὀλέθριον ἐκ τῆς χειρός σου, ἡ ψυχή σου ἀντὶ τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ λαός σου ἀντὶ τοῦ λαοῦ αὐτοῦ. ὁρᾷς πῶς οὐχ ὁ Θεὸς μόνον, ἀλλὰ καὶ οἱ ἄνθρωποι ταύτην ἔχουσι τὴν ψῆφον, οὐ τῇ φύσει τῶν πραγμάτων προσέχοντες, ἀλλὰ τῷ τέλει καὶ ταῖς αἰτίαις; ἰδοὺ γοῦν καὶ ὁ βασιλεὺς αὐτῷ φησι· δικαστὴς σὺ παρ' ἐμοὶ ἐφόνευσας. ἀνδροφόνος εἶ, φησιν, ἐπειδὴ τὸν πολέμιον ἀφῆκας. διὰ γὰρ τοῦτο καὶ ὁ προφήτης τὸν τελαμῶνα περιεβάλλετο, καὶ, ὡς ἐπ' ἀλλοτρίου πράγματος, τὴν δίκην εἰσήγαγεν, ἵνα μετὰ γνώμης ὀρθῆς τὴν ἀπόφασιν ὁ βασιλεὺς ἐξενέγκῃ· ὅπερ οὖν καὶ ἐγένετο. ἐπειδὴ γὰρ κατεδίκασεν αὐτὸν, περιελὼν τὸν τελαμῶνα φησιν ὁ προφήτης· ὅτι ἐξαπέστειλας σὺ ἄνδρα ὀλέθριον ἐκ τῆς χειρός σου, ἡ ψυχή σου ἀντὶ τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ λαός σου ἀντὶ τοῦ λαοῦ αὐτοῦ. Εἶδες φιλανθρωπίας οἵαν ἔδωκε δίκην; καὶ ἀντὶ τῆς ἀκαίρου φειδοῦς οἵαν ὑπέμεινε τιμωρίαν; καὶ οὗτος μὲν σώσας κολάζεται, ἕτερος δὲ φονεύσας εὐδοκίμησεν. ὁ γοῦν Φινεὲς δύο φόνους ἐργασάμενος ἐν μιᾷ καιροῦ ῥοπῇ, καὶ ἄνδρα μετὰ γυναικὸς ἀνελὼν, ἱερωσύνῃ τιμᾶται. οὕτως οὐ μόνον οὐκ ἐμόλυνε τὴν χεῖρα τῷ αἵματι, ἀλλὰ καὶ καθα-

γ. Βασ. κ.

γ. Βασ. κ.

ρωτέραν εἰργάσατο. ὅταν οὖν ἴδῃς τὸν μὲν τυπτήσαντα τὸν προφήτην, σωζόμενον· τὸν δὲ μὴ τυπτήσαντα, ἀπολλύμενον· καὶ τὸν μὲν φεισάμενον, κολαζόμενον· τὸν δὲ μὴ φεισάμενον, εὐδοκιμοῦντα· πανταχοῦ παρὰ τῆς φύσεως τῶν πραγμάτων τοῦ Θεοῦ τὰς ψήφους ἐξέταζε. κἂν εὕρῃς τι κατὰ τὸ δοκοῦν ἐκείνῳ γινόμενον, ἐκεῖνο ἀποδέχου μόνον. τούτῳ τῷ κανόνι χρώμενοι, καὶ τὴν νηστείαν ταύτην ἐξετάζωμεν. εἰ γὰρ δὴ μὴ μέλλοιμεν τοῦτο ποιεῖν, ἀλλὰ γυμνὰ τὰ πράγματα καθ᾽ ἑαυτὰ φέροντες εἰς μέσον σκοποῖμεν μόνον, πολλὴ ἡ σύγχυσις ἔσται, καὶ πολὺς ὁ θόρυβος. καὶ γὰρ καὶ λῃσταὶ τὰς πλευρὰς καταξαίνονται, καὶ τυμβωρύχοι καὶ γόητες· ἀλλὰ καὶ μάρτυρες τὸ αὐτὸ πάσχουσι. καὶ τὰ μὲν γινόμενα τὰ αὐτά· ἡ γνώμη δὲ καὶ ἡ αἰτία, μεθ᾽ ἧς γίνεται, οὐχ ἡ αὐτή. καὶ διὰ τοῦτο πολὺ τὸ μέσον τούτων, κἀκείνων. ὥσπερ οὖν ἐπ᾽ ἐκείνων οὐ τὰς βασάνους ἐξετάζομεν μόνον, ἀλλὰ καὶ περὶ ἐκείνων τὴν διάνοιαν καὶ τὴν αἰτίαν, ἀφ᾽ ἧς αἱ βάσανοι γίνονται, καὶ διὰ τοῦτο καὶ τοὺς μάρτυρας φιλοῦμεν, οὐκ ἐπειδὴ βασανίζονται, ἀλλ᾽ ἐπειδὴ διὰ τὸν Χριστὸν βασανίζονται· καὶ τοὺς λῃστὰς ἀποστρεφόμεθα, οὐκ ἐπειδὴ κολάζονται, ἀλλ᾽ ἐπειδὴ διὰ κακίαν κολάζονται· οὕτω δὴ καὶ ἐνταῦθα τοῖς γινομένοις ἐπιψήφιζου. κἂν μὲν ἴδῃς διὰ τὸν Θεὸν νηστεύοντας, ἀποδέχου τὸ γινόμενον· ἐὰν δὲ ἴδῃς παρὰ γνώμην τοῦ Θεοῦ τοῦτο ποιοῦντας, τῶν μεθυόντων καὶ παροινούντων καὶ κωμαζόντων μᾶλλον ἀποστρέφου καὶ μίσει. ἐπὶ δὲ τῆς νηστείας ταύτης οὐκ αἰτίαν χρὴ ζητεῖν μόνον, ἀλλὰ καὶ τόπον καὶ καιρόν.

Μᾶλλον δὲ πρὶν ἢ πρὸς Ἰουδαίους ἀποτείνασθαι, τοῖς ἡμετέροις ἡδέως διαλέξομαι μέλεσι, τοῖς δοκοῦσι μὲν μεθ᾽ ἡμῶν τετάχθαι, θεραπεύουσι δὲ τὰ ἐκείνων, καὶ τὸν ἀγῶνα ἅπαντα ὑπὲρ αὐτῶν ᾑρημένοις, οὓς καὶ πλείονος κατὰ τοῦτο κατακρίσεως τῶν Ἰουδαίων ἁπάντων ἀξίους ὄντας ὁρῶ. καὶ τοῦτο οὐχ οἱ σοφοὶ καὶ συνετοὶ μόνον, ἀλλὰ καὶ οἱ ὁπωσοῦν λόγου καὶ διανοίας μετέχοντες, συνομολογήσαιεν ἂν ἡμῖν. οὐδὲ γὰρ χρεία σοφισμάτων, καὶ κατασκευῆς, καὶ μακρῶν περιόδων, ὥστε ἀποδεῖξαι τοῦτο· ἀλλ᾽ ἀρκεῖ ψιλὴν ἐρώτησιν ἐρόμενον ἑλεῖν αὐτοὺς ἀπὸ τῆς ἀποκρίσεως. τί οὖν; ἕκαστον τῶν ταῦτα νοσούντων ἐρήσομαι, Χριστιανὸς εἶ; τίνος οὖν ἕνεκεν τὰ Ἰουδαίων ζηλοῖς; ἀλλὰ Ἰουδαῖος εἶ; τίνος ἕνεκεν ἐνοχλεῖς τῇ ἐκκλησίᾳ; ὁ Πέρσης οὐ τὰ Περσῶν φρονεῖ; ὁ βάρβαρος οὐ τὰ βαρβάρων ζηλοῖ; ὁ τὴν Ῥωμαίων χώραν οἰκῶν, οὐ τὴν ἡμετέραν μέτεισι πολιτείαν; ἂν ἁλῷ τις, εἰπέ μοι, τῶν παρ᾽ ἡμῖν οἰκούντων τὰ ἐκείνων φρονῶν, οὐκ εὐθέως χωρὶς λόγου καὶ ἐξετάσεως κολάζεται, κἂν μυρία ἀπολογεῖσθαι ἔχῃ; ἂν φανῇ τις παρ᾽ ἐκείνοις, τοῖς Ῥωμαίων χρώμενος νόμοις, οὐ τοῦτο αὐτὸ πείσεται πάλιν; πῶς οὖν σὺ πρὸς τὴν παράνομον ἐκείνην μεθιστάμενος πολιτείαν, ἀξιοῖς σώζεσθαι; μὴ γὰρ ὀλίγον ἐστὶ τὸ μέσον ἡμῶν καὶ Ἰουδαίων; μὴ γὰρ ὑπὲρ τῶν τυχόντων ἐστὶν ἡ ἀμφισβήτησις, ἵνα ἓν καὶ τὸ αὐτὸ νομίσῃς εἶναι; τί μιγνύεις τὰ ἄμικτα; ἐσταύρωσαν ἐκεῖνοι τὸν Χριστὸν σὺ προσκυνεῖς. ὁρᾷς πόσον τὸ μέσον; πῶς οὖν πρὸς ἐκείνους τρέχεις τοὺς ἀνελόντας, ὁ προσκυνεῖν λέγων τὸν ἐσταυρωμένον; μὴ γὰρ ἐγὼ τοῦτον εἰσάγω τὸν ἐγκληματικὸν τὸν νόμον, καὶ τοῦτο τῆς κατηγορίας τὸ εἶδος; οὐχὶ καὶ ἡ γραφὴ τούτῳ κέχρηται πρὸς αὐτοὺς τῷ τρόπῳ; ἄκουσον γοῦν τί φησιν Ἱερεμίας πρὸς αὐτοὺς ἐκείνους· Ἀπέλθετε εἰς Κηδάρ, καὶ ἴδετε· ἀποστείλατε εἰς [τὰς] νήσους Χεπείμ, καὶ γνῶτε εἰ γέγονε τοιαῦτα. ποῖα ταῦτα; εἰ ἀλλάξονται ἔθνη θεοὺς αὐτῶν, καὶ αὐτοὶ οὐκ εἰσὶ θεοί· ὑμεῖς δὲ ἠλλάξασθε τὴν δόξαν ὑμῶν, ἐξ ἧς οὐκ ὠφεληθήσεσθε. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐκεῖνοι, φησιν, εἴδωλα προσκυνοῦντες καὶ δαίμονας θεραπεύοντες, τοσοῦτον περὶ τὴν πλάνην ἔχουσι συνωδὸς, ὡς μηδὲ ἑλέσθαι καταλιπεῖν ἐκεῖνα, καὶ πρὸς τὴν ἀλήθειαν αὐτομολῆσαι· ὑμεῖς δὲ τὸν ἀληθῆ Θεὸν προσκυνοῦντες, ἀφέντες τὴν πατρῴαν εὐσέβειαν, πρὸς τὰ ἀλλότρια ηὐτομολήσατε· καὶ οὐδὲ ὅσην ἔχουσιν ἐκεῖνοι περὶ τὴν πλάνην ταύτην συνείδησιν, τοσαύτην περὶ τὴν ἀλήθειαν ὑμεῖς ἐπεδείξατε. διὰ τοῦτό φησιν, εἰ γέγονε τοιαῦτα; εἰ ἀλλάξονται ἔθνη θεοὺς αὐτῶν; καὶ

Ιερ. β.

"αὐτοὶ οὐκ εἰσὶ Θεοί. ὑμεῖς δὲ ἠλλάξασθε τὴν δόξαν ὑμῶν, ἐξ ἧς οὐκ ὠφεληθήσεσθε. οὐκ εἶπεν, ἠλλάξασθε τὸν Θεὸν ὑμῶν (ὁ Θεὸς γὰρ οὐκ ἀλλάσσεται) ἀλλὰ ἠλλάξασθε τὴν Μαλ. γ. ϛ. δόξαν ὑμῶν. μὴ γὰρ ἐμὲ, φησιν, ἠδικήσατε; μὴ γὰρ ἐμοὶ ἐγένετο βλάβη; ὑμᾶς ἑαυτοὺς "ἠτιμώσατε, τὴν ἐμὴν οὐκ ἠλαττώσατε δόξαν, ἀλλὰ τὴν ὑμετέραν. ὥστε δὴ κἀμοὶ τοῦτο καὶ πρὸς τοὺς ἡμετέρους εἰπεῖν, εἴ γε ἡμετέρους χρὴ καλεῖν τοὺς τὰ ἐκείνων φρονοῦντας. πορεύεσθε εἰς τὰς συναγωγὰς, καὶ ἴδετε, εἰ "ἠλλάξαντο Ἰουδαῖοι τὴν νηστείαν αὐτῶν, εἰ τὸ πάσχα μεθ' ἡμῶν ἐνήστευσαν, εἰ ταύτην ποτὲ τὴν ἡμέραν" ἔφαγον· καὶ αὕτη οὐκ ἔστι νηστεία, ἀλλὰ παρανομία καὶ ἁμαρτία καὶ πλημμέλεια· ἀλλ' ὅμως οὐκ ἤλλαξαν. ὑμεῖς δὲ ἠλλάξασθε τὴν δόξαν ὑμῶν, ἐξ ἧς οὐκ ὠφεληθήσεσθε, καὶ πρὸς τὰ ἐκείνων ηὐτομολήσατε. πότε δὲ πάσχα ἐνήστευσαν ἐκεῖνοι; πότε μαρτύρων" μεθ' ἡμῶν ἑορτὴν ἐπετέλεσαν; πότε "κατὰ τὴν τῶν ἐπιφανίων ἡμέραν ἡμῖν ἐκοινώνησαν; ἐκεῖνοι πρὸς τὴν ἀλήθειαν οὐ τρέχουσι, καὶ ὑμεῖς πρὸς τὴν παρανομίαν" ἐπείγεσθε; παρανομίαν δὲ λέγω, ἐπειδὴ παρὰ τὸν προσήκοντα ταῦτα γίνεται καιρόν. ἦν ποτε καιρὸς, ὅτε ταῦτα φυλάττεσθαι ἔδει· ἀλλὰ νῦν οὐκ ἔστι. διὰ τοῦτο τὸ ποτὲ ἔννομον, παράνομόν ἐστι νῦν. ὥστε μοι * τὸ τοῦ Ἠλία πρὸς αὐτοὺς εἰπεῖν. καὶ γὰρ ἐκεῖνος ὁρῶν τοὺς Ἰουδαίους ἀσεβοῦντας, καὶ ποτὲ μὲν τῷ Θεῷ προσέχοντας, ποτὲ δὲ τὰ εἴδωλα θεραπεύοντας, οὕτω πως φησίν· Ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις γ. Βασ. ιη. *; εἰ ἔστι Κύριος ὁ Θεὸς [ἡμῶν μεθ' ὑμῶν] δεῦτε, καὶ πορεύεσθε ὀπίσω αὐτοῦ· εἰ δὲ ὁ Βάαλ, πορεύεσθε ὀπίσω αὐτοῦ. τοῦτο καὶ ἐγὼ νῦν λέγω πρὸς αὐτούς· εἰ τὸν Ἰουδαϊσμὸν νομίζετε ἀλήθειαν εἶναι, τίνος ἕνεκεν ἐνοχλεῖτε τῇ ἐκκλησίᾳ; εἰ δὲ ὁ Χριστιανισμός ἐστιν ἀληθὴς, ὥσπερ οὖν" καὶ ἔστι, μένετε, καὶ πορεύεσθε ὀπίσω αὐτοῦ. τῶν μυστηρίων * κοινωνεῖς, εἰπέ μοι, τὸν Χριστὸν προσκυνεῖς, [ὡς Χριστιανὸς] παρ' ἐκείνου τὰ ἀγαθὰ αἰτεῖς, καὶ μετὰ τῶν ἐχθρῶν ἑορτάζεις τῶν ἐκείνου; καὶ ποίᾳ γνώμῃ εἰς τὴν ἐκκλησίαν ἀπαντᾷς λοιπόν; πρὸς μὲν οὖν τοὺς τὰ ἡμέτερα λέγοντας φρονεῖν, καὶ τὰ ἐκείνων ζηλοῦντας, ἀρκεῖ τοῦθ' ὁ λόγος ἡμῖν. ἐπειδὴ δὲ καὶ πρὸς ἐκείνους ἀποτεῖναι βούλομαι, ὥστε μοι μακροτέραν προσενεγκεῖν τὴν διδασκαλίαν, καὶ δεῖξαι, πῶς τὸν νόμον ἀτιμάζουσιν οἱ Ἰουδαῖοι νηστεύοντες νῦν, καὶ τὰ τοῦ Θεοῦ καταπατοῦσι προστάγματα, ἀπεναντίας τοῖς ἐκείνῳ δοκοῦσι πάντα ποιοῦντες ἀεί. ὅτε γοῦν ἐβούλετο αὐτοὺς νηστεύειν," λιπαίνοντες ἐπλατύνοντο· ὅτε δὲ βούλεται αὐτοὺς μὴ νηστεύειν, τότε φιλονεικοῦσι νηστεύοντες· ὅτε ἤθελεν αὐτοὺς θυσίας προσάγειν, πρὸς τὰ εἴδωλα ἐπέτρεχον· ὅτε οὐ βούλεται αὐτοὺς ἑορτὰς ἐπιτελεῖν, σπουδάζουσιν ἑορτάζειν. διὰ τοῦτο ὁ Στέφανος ἔλεγε πρὸς αὐτοὺς, ὑμεῖς ἀεὶ τῷ πνεύματι Πραξ. ζ. τῷ ἁγίῳ ἀντιπίπτετε. ἐν τούτῳ, φησὶν, ἐσπουδάκατε μόνον, ἐναντία ποιεῖν ὧν ἂν ὁ Θεὸς ἐπιτάξῃ, καθάπερ οὖν καὶ νῦν ποιοῦσι. πόθεν τοῦτο δῆλον; ἀπ' αὐτοῦ τοῦ νόμου. καὶ γὰρ ἐπὶ τῶν ἑορτῶν τῶν Ἰουδαϊκῶν," οὐ καιρὸν μόνον, ἀλλὰ καὶ τόπον παρατηρεῖν ἐκέλευσεν ὁ νόμος. καὶ γὰρ περὶ τοῦ πάσχα" τούτου πρὸς αὐτοὺς διαλεγόμενος, οὕτω πως φησίν· οὐ δυνήσεσθε ποιεῖν τὸ πάσχα ἐν οὐδεμιᾷ τῶν πόλεων, ὧν Κύριος ὁ Θεός σου δίδωσί σοι· Δευτ. ις. ἀλλ' ὥσπερ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ πρώτου μηνὸς, οὕτω καὶ ἐν τοῖς Ἱεροσολύμοις αὐτὸ κελεύει ποιεῖν. καὶ τὴν πεντηκοστὴν ὁμοίως καὶ χρόνου καὶ τόπου παρατηρήσει συνέκλεισε, μετὰ ἑπτὰ ἑβδομάδας κελεύσας αὐτὴν ἐπιτελεῖν· καὶ πάλιν προσθεὶς, ὅτι ἐν τῷ τόπῳ, ᾧ ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου· οὕτω καὶ τὰς σκηνοπηγίας *. ἀλλ' ἴδωμεν ἀμφοτέρων τούτων, τοῦ καιροῦ καὶ τοῦ τόπου, τί ποτέ ἐστιν ἀναγκαιότερον, ὅταν ἀμφότερα μὴ ἔξῃ σῶσαι· πότερον τοῦ τόπου δεῖ καταφρονῆσαι, τὸν καιρὸν δὲ φυλάξαι, ἢ τοῦ καιροῦ καταφρονήσαντας, τὸν τόπον τηρῆσαι. ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν· ἐπέταξε καὶ ἐν τῷ πρώτῳ μηνὶ, καὶ ἐν Ἱεροσολύμοις τὸ πάσχα γίνεσθαι, καὶ ἐν καιρῷ καὶ τόπῳ διωρισμένῳ. ὑποθώμεθα τοίνυν δύο τινὰς εἶναι ποιοῦντας τὸ πάσχα· καὶ ὁ μὲν παραβαινέτω τὸν τόπον, τὸν δὲ καιρὸν τηρείτω· ὁ δὲ τηρείτω μὲν τὸν τόπον, παραβαινέτω δὲ τὸν καιρόν· καὶ ποιείτω ὁ μὲν τὸν καιρὸν τηρῶν, παραβαίνων δὲ τὸν τόπον, ἐν τῷ πρώτῳ μηνὶ, Λευ. κγ. καὶ τῶν Ἱεροσολύμων ἔξω που * μακράν· ὁ δὲ τὸν τόπον τηρῶν, παραβαίνων δὲ τὸν καιρόν, ποιείτω μὲν ἐν Ἱεροσολύμοις τὸ πάσχα, μὴ τῷ πρώτῳ δὲ μηνί, ἀλλὰ τῷ δευτέρῳ. Εἶτα ἴδωμεν τίς τῶν δύο τούτων ἐστὶν ὁ ἐγκαλούμενος, τίς δὲ ὁ εὐδοκιμῶν· ὁ παραβὰς τὸν καιρόν, καὶ ἐν τῷ τόπῳ ποιήσας· ἢ ὁ τὸν τόπον καταλιπών, καὶ τὸν καιρὸν φυλάξας; δῆλον γὰρ ὅτι ὁ τὸν καιρὸν μὲν παραβάς, ἵνα εἴσω ποιήσῃ τῆς πόλεως, ἀποδοχῆς ἄξιος ὢν φανῇ· ὁ δὲ τὸν καιρὸν μὲν φυλάξας, καταλιπὼν δὲ τὸν τόπον, ἐγκλημάτων καὶ κατηγορίας, ὥσπερ ἀσεβήσας. εὔδηλον, ὅτι καὶ οὗτοι παρανομοῦσιν, ἐν τῷ τόπῳ μὴ ποιοῦντες, κἂν μυριάκις λέγωσι τὸν καιρὸν τηρεῖν. πόθεν οὖν τοῦτο ἔσται δῆλον; ἀπ' αὐτοῦ τοῦ Μωϋσέως. "ἐπειδὴ γὰρ ἐποίησαν ἔξω τὸ πάσχα, προσῆλθόν, φησί, τινες τῷ Μωϋσῇ, λέγοντες· ἡμεῖς ἀκάθαρτοί ἐσμεν ἐπὶ ψυχῇ ἀνθρώπου· μὴ "ὑστερήσωμεν προσενεγκεῖν τὸ δῶρον "Κυρίῳ κατὰ καιρὸν αὐτοῦ ἐν μέσῳ υἱῶν Ἰσραήλ; καὶ εἶπε πρὸς αὐτοὺς Μωϋσῆς· στῆτε αὐτοῦ, καὶ ἀκούσομαι τί ἐντελεῖται Κύριος περὶ ὑμῶν. καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, λέγων· λάλησον τοῖς υἱοῖς Ἰσραήλ, λέγων· ἄνθρωπος, ὃς ἂν γένηται ἀκάθαρτος ἐπὶ "ψυχῇ ἀνθρώπου, ἢ ἐν ὁδῷ μακρᾷ ἐν ὑμῖν, ἐν ταῖς γενεαῖς ὑμῶν, ποιήσει τὸ πάσχα ἐν τῷ μηνὶ τῷ δευτέρῳ. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὃς ἄν, φησιν, ἐν ἀποδημίᾳ εὑρεθῇ κατὰ τὸν πρῶτον μῆνα, μὴ ποιείτω τῆς πόλεως ἔξω, ἀλλ' ἐν τῷ δευτέρῳ μηνί, ἵνα φθάσῃ εἰς Ἱεροσόλυμα, καὶ παραβαινέτω τὸν καιρόν, ἵνα μὴ τῆς πόλεως ἐκπέσῃ· ἀπ' αὐτοῦ δεικνύς, ὅτι ἡ τοῦ τόπου παρατήρησις τῆς τοῦ καιροῦ παρατηρήσεώς ἐστιν ἀναγκαιοτέρα. τί τοίνυν ἂν ἔχοιεν εἰπεῖν οὗτοι τῆς πόλεως ἔξω ποιοῦντες; ὅταν γὰρ τὸ ἀναγκαιότερον "παραβῶσιν, οὐδὲν ἡ "τοῦ μικροτέρου παρατήρησις ὑπὲρ αὐτῶν ἀπολογήσασθαι δύναται. ὥστε κἂν μυριάκις δοκῶσι "μὴ παραβαίνειν τὸν καιρόν, ἑτέραν παρανομίαν παρανομοῦσι. καὶ τοῦτο οὐκ ἐντεῦθεν δῆλον μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν προφητῶν. ὅταν γὰρ φαίνωνται ἐκεῖνοι μήτε θύσαντες, μήτε ᾠδὴν ᾄσαντες ἐπὶ γῆς ἀλλοτρίας, μήτε νηστείαν [τοιαύτην] τινὰ νηστεύσαντες· ποίαν ἔχοιεν ἂν οὗτοι συγγνώμην; καίτοι ἐκεῖνοι προσδοκῶντες ἀπολήψεσθαι τὴν τοιαύτην αὐτῶν "πολιτείαν, ὅμως ἔμενον τῷ νόμῳ πειθόμενοι, καὶ τὰ τοῦ νόμου πληροῦντες (τοῦτο γὰρ ὁ νόμος ἔλεγεν) οὗτοι δὲ μηδὲ ἐλπίδα τινὰ ἔχοντες τὴν προτέραν ἀπολήψεσθαι πολιτείαν (ποῦ γὰρ ἔχουσιν ἀπὸ τῶν προφητῶν * δεῖξαι τοῦτο;) οὐδὲ οὕτως ἀνέχονται ἡσυχάζειν. καίτοι καὶ εἰ προσεδόκων ἀπολήψεσθαι, καὶ οὕτω μιμεῖσθαι ἔδει τοὺς ἁγίους ἐκείνους, καὶ μήτε νηστεύειν, μήτε ἄλλο τοιοῦτον ποιεῖν. ὅτι γὰρ οὐδὲν τούτων ἐποίησαν ἐκεῖνοι, ἄκουσον τί πρὸς τοὺς ἐρωτῶντας ἔλεγον. ἐπειδὴ γὰρ ἐπέκειντο βιαζόμενοι καὶ ἀναγκάζοντες [αὐτοὺς] οἱ βάρβαροι κεχρῆσθαι τοῖς ὀργάνοις αὐτῶν, καὶ λέγοντες· Ἄσατε ἡμῖν τὴν ᾠδὴν Κυρίου· ἐκεῖνοι τὸν νόμον σαφῶς ἐπιστάμενοι οὐκ ἐπιτρέποντα ταῦτα ἔξω ποιεῖν, ἔλεγον· πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; καὶ πάλιν οἱ παῖδες οἱ τρεῖς ἐν Βαβυλῶνι διατρίβοντες, ἔλεγον· οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης, οὐδὲ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου, καὶ εὑρεῖν ἔλεος. καίτοιγε πολὺς ἦν ἐκεῖ τόπος. ἀλλ' ἐπειδὴ ὁ ναὸς οὐκ ἦν, ἔμενον μὴ θύοντες. καὶ πρὸς ἑτέρους δὲ πάλιν ὁ Θεὸς διὰ τοῦ Ζαχαρίου, Μὴ νηστείαν νενηστεύκατέ μοι ἔτη ἑβδομήκοντα; τὰ τῆς αἰχμαλωσίας λέγων. πῶς οὖν σὺ νῦν νηστεύεις, εἰπέ μοι, τῶν προγόνων τῶν σῶν οὔτε θυσάντων, οὔτε νηστευσάντων, οὔτε ἑορτασάντων; ὅτι γὰρ οὔτε τὸ πάσχα ἐπετέλουν, μάλιστα μὲν καὶ ἐκ "τούτου δῆλον. ὅπου γὰρ θυσία οὐκ ἦν, οὐδὲ ἑορτὴ ἦν· ἐπειδὴ πάσας οὕτως ἐπιτελεῖσθαι ἔδει. ἵνα δὲ καὶ αὐτοῦ τοῦ πράγματος τὴν ἀπόδειξιν παρασχώμεθα, ἄκουσον τί φησιν ὁ Δανιήλ· Ἐν ταῖς ἡμέραις ἐκείναις ἤμην ἐγὼ Δανιὴλ πενθῶν τρεῖς ἑβδομάδας· ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγον, καὶ οἶνος καὶ "κρέας οὐκ εἰσῆλθεν εἰς τὸ στόμα μου, καὶ ἄλειμμα οὐκ ἠλειψάμην ἐν ταῖς ἑβδομάσιν ἐκείναις. καὶ ἐγένετο ἐν τῇ τετάρτῃ καὶ εἰκάδι ἡμέρᾳ τοῦ πρώτου μηνός, εἶδον τὴν ὅρασιν. ἐνταῦθά μοι μετὰ

ἀκριβείας

Ἀριθ. θ.

Ψαλμ. ρλϛ.

Δαν. γ.

Ζαχ. ζ.

Δαν. ι. β.

* ἡ

.. ἐπειδὴ ποιήσαντες πάσχα, προσ- ῆλθον

γρ. ὑστερήσ

γρ. κυρίου

γρ. ψυχῇ

γρ. παραβαί- νωσιν

γρ. ἐν τῷ π προτέρῳ

γρ. φυλάξ

γρ. πόλιν

* ἡμῶν

γρ. τούτ

γρ. κρέα

ἀκριβείας προσέχετε. ἀπὸ γὰρ τούτων δῆλον, ὅτι τὸ πάσχα οὐκ ἐπιτέλεσαι. καὶ πῶς, ἐγὼ λέγω. ἐν ταῖς ἡμέραις τῶν ἀζύμων νηστεύειν Ἰουδαίοις οὐ θέμις· οὗτος δὲ ἡμέρας εἴκοσι καὶ μίαν οὐδενὸς ὅλως μετέλαβε. καὶ πόθεν δῆλον, φησίν, ὅτι αὗται αἱ εἴκοσι ἡμέραι καὶ μία κατὰ τὰς ἡμέρας τῶν ἀζύμων ἦσαν; ἐξ ὧν εἶπεν, ὅτι τετάρτῃ καὶ εἰκάδι τοῦ πρώτου μηνός. καίτοι γε τὸ πάσχα εἰς μίαν καὶ "εἰκάδα τελευτᾷ. ἀρξάμενοι γὰρ ἀπὸ τῆς τεσσαρεσκαιδεκάτης τοῦ πρώτου μηνός, εἶτα ἡμέρας ἑπτὰ ἑορτάσαντες, εἰς τὴν εἰκάδα καὶ πρώτην ἀπολύουσιν. ἀλλ' ὅμως καὶ παρελθόντος τοῦ πάσχα, ἔμεινεν" οὗτος νηστεύων. ἀρξάμενος γὰρ ἀπὸ τῆς τρίτης ἡμέρας τοῦ πρώτου μηνός, εἶτα εἴκοσι καὶ μίαν πληρώσας, τὴν τεσσαρεσκαιδεκάτην παρῆλθε, καὶ μετ' ἐκείνην ἑπτὰ καὶ τρεῖς [ἡμέρας] ἑτέρας. πῶς οὖν οὐκ ἐναγεῖς οὗτοι καὶ μιαροί, τῶν ἄλλων ἐκείνων οὐδὲν τοιοῦτον τῶν νομίμων φυλαττόντων ἐπὶ "γῆς ἀλλοτρίας, αὐτοὶ τὰ ἐναντία ποιοῦντες πρὸς φιλονεικίαν καὶ ἔριν; καὶ γὰρ εἰ μὲν ῥᾴθυμοί τινες ἦσαν καὶ ἀνευλαβεῖς οἱ ταῦτα λέγοντες καὶ ποιοῦντες, ἴσως ἄν τις ῥᾳθυμίας ἐνόμισεν εἶναι τὸ μὴ φυλάττειν. εἰ δὲ φιλόθεοι καὶ εὐλαβεῖς, καὶ τὰς ψυχὰς τὰς ἑαυτῶν ὑπὲρ τῶν τοῦ Θεοῦ δογμάτων ἔδωκαν, εὔδηλον, ὅτι τὸ μὴ φυλάξαι τὸν νόμον, οὐ" παρὰ ῥᾳθυμίαν ἐποίουν, ἀλλὰ παρὰ τὸ πεπεῖσθαι παρ' αὐτοῦ τοῦ νόμου, "ὅτι τὰς ἑορτὰς ἁπάσας ἔξω τῶν Ἱεροσολύμων φυλάττειν οὐ χρή. καὶ ἕτερον δὲ ἀπὸ τούτου (συνωμολόγηται) μέγιστον· ὅτι θυσιῶν παρατηρήσεις, καὶ σαββάτων, καὶ νουμηνιῶν, καὶ πάντων τῶν τοιούτων, ἐκ περιουσίας "ἀπῄτει ἡ τότε πολιτεία· καὶ οὔτε τηρούμενα πρὸς ἀρετήν τι μέγα συντελεῖν" ἠδύνατο· οὔτε καταλιμπανόμενα φαῦλον ποιῆσαι τὸν σπουδαῖον ἴσχυεν, ἢ μειῶσαί τι τῆς ἐν τῇ ψυχῇ φιλοσοφίας. οὗτοι γοῦν" τῇ φιλοσοφίᾳ τῶν ἀγγέλων ἐπιδειξάμενοι ἐφαμίλλους πολιτείας ἐπὶ γῆς, οὐδὲν τούτων ἐπιτελοῦντες, οὐ θυσίαν καταβαλόντες, οὐχ ἑορτὴν τηρήσαντες, οὐ νηστείαν τοιαύτην ἐπιδειξάμενοι, οὕτως ἤρεσαν τῷ Θεῷ, ὡς καὶ αὐτῆς περιγενέσθαι τῆς φύσεως, καὶ τὴν οἰκουμένην ἅπασαν διὰ τῶν εἰς αὐτοὺς συμβάντων εἰς θεογνωσίαν ἐπισπάσασθαι. τί γὰρ ἂν ἴσον γένοιτο τοῦ Δανιήλ; τί" δὲ τῶν τριῶν παίδων; οἱ τὸ μέγιστον ἐν τοῖς εὐαγγελίοις παράγγελμα, καὶ τῶν ἀγαθῶν ἁπάντων κεφάλαιον προλαβόντες, ἤδη διὰ τῶν ἔργων ἐπεδείξαντο. Μείζονα γὰρ ταύτης, φησὶν, "ἀγάπης οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν φίλων αὐτοῦ" θήσῃ. ἐκεῖνοι δὲ τὴν ψυχὴν αὐτῶν ἔθηκαν ὑπὲρ τοῦ Θεοῦ. καὶ οὐ διὰ τοῦτο μόνον θαυμαστοί, ἀλλ' ὅτι οὐδὲ ἐπὶ μισθῷ τινι τοῦτο ἔπραττον. διὰ τοῦτο ἔλεγον· ὅτι ἔστι Θεὸς ἐν [τῷ] οὐρανῷ δυνατὸς ἐξελέσθαι ἡμᾶς. καὶ ἐὰν μή· γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν. "ἀρκοῦν ἡμῖν ἐστιν ὁ μισθός, [φησὶν,] ὅτι διὰ τὸν Θεὸν ἀποθνήσκομεν. καὶ ταῦτα ἐποίουν, καὶ τοσαύτην ἀρετὴν ἐπεδείκνυντο, οὐδὲν τῶν νομίμων παρατηροῦντες. καὶ τίνος οὖν ἕνεκεν, φησί, ταῦτα ἐπέταξεν ὁ Θεός, εἰ μὴ ἐβούλετο γίνεσθαι; καὶ εἰ ἐβούλετο γίνεσθαι, τίνος [οὖν] ἕνεκα τὴν πόλιν [σου] κατέλυσε; δυοῖν γὰρ θάτερον ἐχρῆν ποιεῖν αὐτὸν βουλόμενον ταῦτα μένειν· ἢ μὴ κελεῦσαι ἐν ἑνὶ τόπῳ θύειν, πανταχοῦ τῆς οἰκουμένης μέλλοντα διασπείρειν ὑμᾶς· ἢ βουλόμενον ὑμᾶς ἐκεῖ θύειν μόνον, μὴ διασπεῖραι πανταχοῦ τῆς οἰκουμένης, καὶ μόνην ἐκείνην τὴν πόλιν ποιῆσαι ἄβατον, ἐν ᾗ μόνῃ" τὰς θυσίας ἀναφέρεσθαι ἐχρῆν. τί οὖν ἑαυτῷ μάχεται, φησί, θῦσαι μὲν ἐν ἑνὶ τόπῳ κελεύσας, αὐτὸν δὲ πάλιν ἀποκλείσας τὸν τόπον ἐκεῖνον; οὐδαμῶς, ἀλλὰ καὶ σφόδρα ἑαυτῷ συμφωνεῖ. οὐδὲ γὰρ παρὰ τὴν ἀρχὴν ὑμῖν δοῦναι τὰς θυσίας ἠβούλετο." καὶ τούτου τὸν προφήτην αὐτὸν παράγω μάρτυρα, λέγοντα οὕτως· Ἀκούσατε λόγον Κυρίου, ἄρχοντες Σοδόμων· προσέχετε" νόμον Θεοῦ ὑμῶν, λαὸς Γομόρρας· οὐ πρὸς Σοδομίτας καὶ τοὺς ἐν Γομόρροις οἰκοῦντας διαλεγόμενος, ἀλλὰ πρὸς Ἰουδαίους. καλεῖ δὲ αὐτοὺς οὕτως, ἐπειδὴ τῇ τῆς κακίας μιμήσει τὴν πρὸς ἐκείνους ἐπεσπάσαντο συγγένειαν. οὕτω γοῦν καὶ κύνας καλεῖ, καὶ ἵππους θηλυμανεῖς· οὐκ ἐπειδὴ πρὸς τὴν φύσιν ἐκείνων μετέπεσον· ἀλλ' ἐπειδὴ τὴν τῶν ζώων τούτων λαγνείαν ἐδίωκον. τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν,

Ιωαν ιε.

Δαν. γ.

Ησ. α.

λέγει Κύριος; "ὅτι δὲ ἐν Σοδόμοις οὐδέποτε ἀνεφάνησαν ἀναφέροντες θυσίας· "ἀλλὰ πρὸς τούτους ὁ λόγος ἀποτείνεται), καλεῖ αὐτοὺς ἀπὸ τῆς ἐκείνων ἐπωνυμίας, διὰ τὴν αἰτίαν, ἣν εἶπον. Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν, λέγει Κύριος; πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν· καὶ στέαρ ἀρνῶν, καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι· οὐδὲ ἂν ἔρχησθε ὀφθῆναί μοι. Τίς γὰρ ἐξεζήτησε ταῦτα [πάντα] ἐκ τῶν χειρῶν ὑμῶν; ἤκουσας σαφεστάτης φωνῆς λεγούσης· ὅτι οὐκ ἐξεζήτει ταῦτα παρ' ὑμῶν παρὰ τὴν ἀρχήν. εἰ γὰρ ταῦτα ἐπεζήτει, καὶ τοὺς παλαιοὺς πάντας, τοὺς πρὸ αὐτῶν λάμψαντας, προφήτας ἂν εἰς ταύτην εἰσήγαγε τὴν πολιτείαν. πῶς οὖν "ἄρτι, φησὶν, ἐπέτρεψε; τῇ ἀσθενείᾳ τῇ "ὑμετέρᾳ συγκαταβαίνων. καὶ καθάπερ ἰατρὸς, πυρέττοντα ὁρῶν ἄνθρωπον, δυσάρεστόν τινα καὶ ἀκαρτέρητον, ἐπιθυμοῦντα ψυχροποσίας, καὶ ἀπειλοῦντα, εἰ μὴ λάβοι, βρόχον ἀνάψειν, ἢ κατὰ κρημνῶν ἑαυτὸν ἀφήσειν, τὸ μεῖζον βουλόμενος κωλῦσαι κακὸν, τὸ ἔλαττον δίδωσι, "βουλόμενος βιαίου τελευτῆς αὐτὸν ἀπαγαγεῖν· οὕτω δὴ καὶ ὁ Θεὸς ἐποίησεν. ἐπειδὴ εἶδεν μαινομένους, ἀγχομένους, ἐπιθυμοῦντας θυσιῶν, παρεσκευασμένους, εἰ μὴ λάβοιεν, πρὸς τὰ εἴδωλα "αὐτομολῆσαι, μᾶλλον δὲ οὐ παρεσκευασμένους μόνον, ἀλλὰ καὶ αὐτομολήσαντας ἤδη, ἐπέτρεψε τὰς θυσίας. καὶ ὅτι αὕτη ἐστὶν ἡ αἰτία, καὶ ἀπ' αὐτοῦ τοῦ χρόνου γένοιτ' ἂν καταφανὲς τὸ λεγόμενον. μετὰ γὰρ τὴν ἑορτὴν, ἣν ἐπετέλεσαν τοῖς πονηροῖς δαίμοσι, τότε τὰς θυσίας ἐπέτρεψε, μονονουχὶ λέγων· μαίνεσθε, καὶ βούλεσθε θύειν; οὐκοῦν κἂν ἐμοὶ θύετε. ἀλλ' ὅμως, καὶ τοῦτο ἐπιτρέψας, οὐ μέχρι τέλους ἀφῆκεν· ἀλλὰ διὰ τῆς σοφωτάτης μεθόδου πάλιν ἀπήγαγε. καὶ καθάπερ ὁ ἰατρὸς ἐκεῖνος (οὐδὲν γὰρ κωλύει τῷ αὐτῷ παραδείγματι χρήσασθαι πάλιν) χαρισάμενος τῇ ἐπιθυμίᾳ τοῦ κάμνοντος, * φιάλην οἴκοθεν κομίσας, "ἐκέλευσεν ἐν ταύτῃ μόνῃ τῆς ψυχροποσίας "ἀπολαύειν· καὶ τοῦ κάμνοντος πεισθέντος, λάθρα τοῖς "ἐπιδιδοῦσι προσέταξε συντρίψαι τὴν φιάλην αὐτὴν, ἵνα ἀνυπόπτως καὶ "λαθραίως αὐτὸν ἀπαγάγῃ τῆς ἐπιθυμίας ἐκείνης· οὕτω καὶ ὁ Θεὸς ἐποίησε· θύειν ἐπιτρέψας, ἐν οὐδενὶ τόπῳ τῆς οἰκουμένης εἴασε τοῦτο "γίνεσθαι, ἀλλ' ἐν τοῖς Ἱεροσολύμοις μόνον. εἶτα ἐπειδὴ χρόνον ἔθυσαν βραχὺν, καθεῖλε τὴν πόλιν, ἵν', ὥσπερ ὁ ἰατρὸς διὰ τῆς τοῦ σκεύους συντριβῆς, οὕτω καὶ ὁ Θεὸς διὰ τῆς κατασκαφῆς τῆς κατὰ τὴν πόλιν, καὶ ἄκοντας αὐτοὺς ἀπαγάγῃ τοῦ πράγματος. εἰ γὰρ φανερῶς εἶπεν, ἀπόστητε· οὐκ ἂν ἠνέσχοντο ῥᾳδίως τῆς κατὰ τὴν θυσίαν μανίας ἀποστῆναι· νυνὶ δὲ διὰ τῆς κατὰ τὸν τόπον ἀνάγκης λανθανόντως αὐτοὺς ἀπήγαγε τῆς περὶ τὸ πρᾶγμα μανίας. ἔστω τοίνυν ὁ μὲν ἰατρὸς, ὁ Θεός· ἡ φιάλη δὲ, ἡ πόλις· ὁ δὲ νοσῶν, ὁ δυσάρεστος τῶν Ἰουδαίων δῆμος· ἡ δὲ ψυχροποσία, ἡ τῶν θυσιῶν ἐπιτροπὴ καὶ ἐξουσία. ὥσπερ οὖν ὁ ἰατρὸς ἵστησι τῆς ἀκαίρου ταύτης αἰτήσεως τὸν ἄῤῥωστον, τὸ σκεῦος ἀφανίσας· οὕτω καὶ ὁ Θεὸς τῶν θυσιῶν ἀπήγαγε, τὴν πόλιν [αὐτὴν] καθελὼν, καὶ ποιήσας αὐτὴν ἄβατον πᾶσιν. εἰ γὰρ μὴ τοῦτο κατασκευάσαι ἐβούλετο, τίνος ἕνεκεν εἰς τόπον ἕνα συνέκλεισε τὴν τοιαύτην λατρείαν ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν; τίνος δὲ ἕνεκεν τὴν μὲν λατρείαν εἰς "θυσίας, τὰς δὲ θυσίας εἰς "τόπον, τὸν δὲ "τόπον εἰς καιρὸν, τὸν δὲ καιρὸν εἰς μίαν πόλιν συναγαγὼν, αὐτὴν πάλιν ἐκείνην τὴν πόλιν κατέσκαψε; καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον, ἡ μὲν οἰκουμένη πᾶσα ἀνεῖται τοῖς Ἰουδαίοις, ἔνθα οὐκ ἔξεστι θύειν, μόνη δὲ ἡ Ἱερουσαλὴμ ἄβατος γέγονεν, ἔνθα μόνον θύειν ἐξῆν. ἆρα οὐχὶ καὶ τοῖς σφόδρα ἀνοήτοις δήλη καὶ καταφανὴς γένοιτ' ἂν ἡ αἰτία τῆς κατασκαφῆς ἐκείνης; ὥσπερ γὰρ οἰκοδόμος "θεμελίους θεὶς, τοίχους ἀναστήσας, "ὄροφον καμαρώσας, τὴν καμάραν ἐκείνην εἰς ἕνα "μέσον συνδήσας λίθον· ἂν ἐκεῖνον ἀφέλῃ, τὸν πάντα τῆς οἰκοδομῆς διέλυσε σύνδεσμον· οὕτω καὶ ὁ Θεὸς, καθάπερ τινὰ σύνδεσμον λατρείας τὴν πόλιν ποιήσας, εἶτα ταύτην "ἀνατρέψας, καὶ τὴν λοιπὴν τῆς πολιτείας ἐκείνης οἰκοδομὴν κατέλυσεν ἅπασαν. ἡ μὲν οὖν πρὸς Ἰουδαίους μενέτω τέως μάχη. σήμερον γὰρ ἠκροβολισάμεθα πρὸς αὐτοὺς, μόνον το-

σαῦτα

Λογ.

οὗτοι εἰπόντες, ὅσον " ἤρκει πρὸς ἀσφάλειαν " τοῖς ἀδελφοῖς τοῖς ἡμετέροις, μᾶλλον δὲ καὶ πολλῷ πλέον· ἀνάγκη δὲ λοιπὸν παρακαλέσαι ὑμᾶς τοὺς παρόντας, ἵνα πολλὴν τῶν μελῶν τῶν ἡμετέρων ποιήσησθε πρόνοιαν· ἵνα μὴ λέγητε, τί δέ μοι μέλει; τί δὲ ἐγὼ " περιεργάζομαι καὶ πολυπραγμονῶ; ὁ δεσπότης [ἡμῶν] δι' ἡμᾶς ἀπέθανε· σὺ δὲ οὐδὲ λόγον * προΐεσαι; καὶ ποίαν " ἕξεις συγγνώμην; ποίας ἀπολογίας τεύξῃ; πῶς ἐπὶ τοῦ βήματος στήσῃ τοῦ Χριστοῦ μετὰ παρρησίας, εἰπέ μοι, " τοσούτων ψυχῶν ἀπώλειαν περιορῶν; εἴθε μοι δυνατὸν ἦν τοὺς ἐκεῖ τρέχοντας εἰδέναι, καὶ οὐκ ἂν ἐδεήθην ὑμῶν, ἀλλὰ τὴν ταχίστην ἐπινοησάμην ἂν διόρθωσιν. ὅταν ἀδελφὸν δέῃ διορθῶσαι, κἂν τὴν ψυχὴν ἐπιδοῦναι δέῃ, μὴ παραιτήσῃ· μίμησαί σου τὸν δεσπότην. κἂν οἰκέτην ἔχῃς, κἂν γυναῖκα· κάτεχε ἐπὶ τῆς οἰκίας μετὰ πολλῆς τῆς σφοδρότητος. εἰ γὰρ εἰς θέατρον οὐκ ἐπιτρέπεις ἀπελθεῖν· πολλῷ μᾶλλον ἐπὶ συναγωγῆς τοῦτο χρὴ ποιεῖν. μείζων [γὰρ ἡ] παρανομία ἐκείνης αὕτη. ἐκεῖ ἁμαρτία τὸ γινόμενον, ἐνταῦθα δὲ ἀσέβεια. ταῦτα δὲ " λέγω, οὐχ ἵνα εἰς θέατρον ἀφῆτε ἀναβαίνειν (κακὸν γὰρ κἀκεῖνο) ἀλλ' ἵνα καὶ κἀκείνων καὶ τούτων πολλῷ πλέον κωλύσητε. τί τρέχεις ἰδεῖν [ἐν τῇ συναγωγῇ τῶν θεομάχων Ἰουδαίων,] εἰπέ μοι; σαλπίζοντας ἀνθρώπους; δέον οἴκοι καθήμενον στενάζειν ὑπὲρ ἐκείνων καὶ δακρύειν, ὅτι τῷ προστάγματι τοῦ Θεοῦ μάχονται, ὅτι τὸν διάβολον ἔχουσι μεθ' ἑαυτῶν χορεύοντα. ὅπερ γὰρ ἔφθην εἰπών, τὸ παρὰ γνώμην τοῦ Θεοῦ γινόμενον, εἰ καί ποτε συγκεχωρημένον ἦν, ὕστερον παρανομία τίς ἐστι, καὶ μυρίων τιμωριῶν ὑπόθεσις. ἐσάλπιζον οἱ Ἰουδαῖοί ποτε, ὅτε τὰς θυσίας εἶχον· νῦν δὲ αὐτοῖς " οὐκ ἀφίεται τοῦτο ποιεῖν. ἄκουσον γοῦν καὶ διὰ τί τὰς σάλπιγγας ἔλαβον. ποίησον σεαυτῷ, φησί, σάλπιγγας ἐλατὰς ἀργυρᾶς. εἶτα λέγων αὐτῶν τὴν χρείαν, ἐπήγαγε· καὶ σαλπιεῖτε ἐν αὐταῖς ἐπὶ τοῖς ὁλοκαυτώμασιν ὑμῶν, [καὶ ταῖς θυσίαις " τοῖς σωτηρίοις ὑμῶν.] ποῦ τοίνυν ἐστὶν ὁ βωμός; ποῦ δὲ ἡ κιβωτός; ποῦ δὲ ἡ σκηνὴ καὶ τὰ ἅγια τῶν ἁγίων; ποῦ ὁ ἱερεύς; ποῦ τὰ χερουβὶμ τῆς δόξης; ποῦ τὸ χρυσοῦν θυμιατήριον; ποῦ τὸ ἱλαστήριον; ποῦ " ἡ φιάλη; ποῦ τὰ σπονδεῖα, ποῦ τὸ πῦρ τὸ ἄνωθεν κατενεχθέν; πάντα ἀφῆκας, καὶ τὰς σάλπιγγας κατέχεις μόνον; ὁρᾷς ὅτι παίζουσι μᾶλλον, ἢ λατρεύουσιν; ἀλλ' ὥσπερ ἐκείνοις ἐγκαλοῦμεν, ὅτι παρανομοῦσιν· οὕτω, καὶ πολλῷ μᾶλλον ὑμῖν, ὅτι τοῖς παρανομοῦσι συνέρχεσθε· καὶ οὐχὶ τοῖς συντρέχουσι μόνον, ἀλλὰ καὶ τοῖς κυρίοις οὖσι κωλῦσαι, καὶ μὴ βουλομένοις. μή μοι λέγε, τί γὰρ ἔχω κοινὸν πρὸς ἐκεῖνον; ἀλλότριός ἐστι καὶ ἄγνωστος. ἕως ἂν ᾖ πιστός, καὶ τῶν αὐτῶν σοι μετέχων μυστηρίων, καὶ εἰς τὴν αὐτὴν ἐκκλησίαν ἀπαντᾷ, καὶ τῶν ἀδελφῶν καὶ συγγενῶν καὶ ἐπιτηδείων καὶ πάντων ἐστὶν οἰκειότερος. ὥσπερ οὖν οὐκ οἱ κλέπτοντες μόνον, ἀλλὰ καὶ οἱ κύριοι μὲν ὄντες κωλῦσαι, μὴ " κωλύοντες δέ, τὴν αὐτὴν ἐκείνοις διδόασι δίκην· οὕτως οὐκ οἱ ἀσεβοῦντες μόνον, ἀλλὰ καὶ οἱ δυνάμενοι μὲν ἀπαγαγεῖν τῆς ἀσεβείας, μὴ βουλόμενοι δὲ ἢ δι' ὄκνον, ἢ διὰ νωθρίαν, ὁμοίως κολάζονται. ἐπεὶ καὶ ὁ τὸ τάλαντον ἐκεῖνο κατορύξας, ὁλόκληρον ἀπέδωκε [τῷ ἰδίῳ δεσπότῃ·] ἀλλ' ὅμως ἐπειδὴ μὴ ἐπλεόνασεν αὐτό, " ἐκολάζετο. καὶ σὺ τοίνυν αὐτός, ἂν αὐτὸς καθαρὸς διαμείνῃς καὶ ἀκέραιος, μὴ πλεονάσῃς δέ σου τὸ τάλαντον, μηδὲ ἕτερον ἀδελφὸν ἀπολλύμενον ἐπαναγάγῃς εἰς σωτηρίαν, τὰ αὐτὰ ἐκείνῳ πείσῃ. τί μέγα αἰτῶ παρ' ὑμῶν, ἀγαπητοί; ἕκαστος ὑμῶν ἕνα μοι τῶν ἀδελφῶν ἀνασωσάτω, περιεργασάσθω, πολυπραγμονησάτω· ἵνα εἰς τὴν ἐπιοῦσαν σύναξιν μετὰ πολλῆς παρρησίας ἀπαντήσωμεν, δῶρα τῷ Θεῷ κομίζοντες, δῶρα πάντων τιμιώτερα, τὰς ψυχὰς τῶν πεπλανημένων ἐπαναγαγόντες. κἂν ὑβρισθῆναι δέῃ, κἂν πληγὰς λαβεῖν, κἂν ὁτιοῦν " ἕτερον ὑπομεῖναι, πάντα " ποιήσωμεν, ὥστε αὐτοὺς ἀνακτήσασθαι. καὶ γὰρ λακτιζόντων τῶν νοσούντων καὶ ὑβριζόντων καὶ λοιδορούντων ἀνεχόμεθα, οὐ " δακνόμενοι ταῖς ὕβρεσιν· ἀλλ' ἓν μόνον " ἐπιθυμοῦντες ἰδεῖν, τοῦ τὰ τοιαῦτα ἀσχημονοῦντος τὴν ὑγίειαν. καὶ ἰατροῦ πολλάκις ἐσθῆτα " διέρρηξεν ὁ κάμνων· ἀλλ' οὐ διὰ τοῦτο ἀπέστη ἐκεῖνος τῆς θεραπείας.

πῶς οὖν οὐκ ἄτοπον, τοὺς μὲν τῶν σωμάτων προνοοῦντας, τοσαύτην ποιεῖσθαι τὴν ἐπιμέλειαν· ψυχῶν δὲ τοσούτων ἀπολλυμένων, ῥᾳθυμεῖν, καὶ μηδὲν ἡγεῖσθαι πάσχειν δεινόν, τῶν μελῶν ἡμῶν σηπομένων; ἀλλ' οὐχ ὁ Παῦλος οὕτως. ἀλλὰ πῶς; Τίς, φησιν, ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; τοῦτο καὶ σὺ δέξαι τὸ πῦρ. κἂν ἴδῃς ἀδελφὸν ἀπολλύμενον, κἂν λοιδορῇ, κἂν ὑβρίζῃ, κἂν τύπτῃ, κἂν ἀπειλῇ ἐχθρὸς γενέσθαι, κἂν ὁτιοῦν ἕτερον ἐπανατείνηται, πάντα φέρε γενναίως, ὅπως αὐτοῦ" κερδάνῃς τὴν σωτηρίαν. ἂν οὗτος ἐχθρός σου γένηται, ὁ Θεὸς ἔσται" σου φίλος, καὶ μεγάλοις σε κατὰ τὴν ἡμέραν ἐκείνην ἀμείψεται τοῖς ἀγαθοῖς. γένοιτο δὲ εὐχαῖς τῶν ἁγίων, τούς τε πεπλανημένους ἀνασωθῆναι, ὑμᾶς," τε τῆς ἄγρας περιγενέσθαι, αὐτούς τε τοὺς βλασφήμους ἐκείνους τῆς ἀσεβείας ἀπαλλαγέντας, ἐπιγνῶναι τὸν ὑπὲρ αὐτῶν σταυρωθέντα Χριστόν· ἵνα πάντες ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι δοξάζωμεν τὸν Θεὸν καὶ πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἁγίῳ πνεύματι εἰς τοὺς [σύμπαντας] αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γ. κερδήσῃς
γ. σοι
γ. δ'

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ Λογ. β.

Πόθεν ἄρα ἡμῖν πλείων ὁ σύλλογος γέγονε τήμερον; πρὸς τὴν ἀπαίτησιν τῆς ὑποσχέσεως" ἀπηντήκατε πάντως, καὶ τὸ ἀργύριον τὸ πεπυρωμένον, ὅπερ ὑπεσχόμην καταβαλεῖν, ὑποδέξασθαι παρεγένεσθε. Τὰ λόγια γάρ, φησι, Κυρίου, λόγια ἁγνά· ἀργύριον πεπυρωμένον, δοκίμιον [ἐν] τῇ γῇ. εὐλογητὸς ὁ Θεός, ὁ τοσαύτην ὑμῖν περὶ τὴν πνευματικὴν ἀκρόασιν ἐπιθυμίαν ἐνθείς. καθάπερ γὰρ οἱ φίλοινοι καὶ φιλοπόται, ἀνιστάμενοι καθ' ἑκάστην ἡμέραν περιεργάζονται καὶ πολυπραγμονοῦσι, ποῦ πότοι, καὶ συμπόσια, καὶ δεῖπνα, καὶ κῶμοι, καὶ μέθαι, καὶ φιάλαι καὶ κρατῆρες καὶ ποτήρια· οὕτω δὴ καὶ ὑμεῖς, καθ' ἑκάστην ἡμέραν ἀνιστάμενοι, περιεργάζεσθε ποῦ παραίνεσις καὶ συμβουλή* καὶ παράκλησις, καὶ διδασκαλία καὶ λόγος εἰς δόξαν Χριστοῦ" συντείνων. διὰ ταῦτα καὶ ἡμεῖς αὐτοὶ" προθυμότερον ταύτης ἁπτόμεθα τῆς ὑποθέσεως· καὶ, ἅπερ ὑπεσχόμεθα, μετὰ πάσης κατατίθεμεν τῆς εὐγνωμοσύνης. ἡ μὲν οὖν πρὸς Ἰουδαίους μάχη τέλος ἔλαβε τὸ προσῆκον, καὶ τὸ τρόπαιον ἕστηκε, καὶ ὁ στέφανος ἡμῖν ἀπήρτισται, καὶ τὸ βραβεῖον ἡρπάσαμεν καὶ ἀπὸ τῆς προτέρας διαλέξεως. τὸ γὰρ σπουδαζόμενον ἦν ἡμῖν ἀποδεῖξαι, ὅτι τὰ γινόμενα νῦν ὑπ' αὐτῶν, παρανομία τίς ἐστι καὶ παράβασις, καὶ ἀθέμιτος πρὸς Θεὸν μάχη καὶ πόλεμος· καὶ τοῦτο σὺν Θεῷ μετὰ ἀκριβείας ἁπάσης ἀπεδείχθη. Εἰ γὰρ καὶ μέλλοιεν ἀπολαμβάνειν τὴν ἑαυτῶν πόλιν, καὶ ἐπὶ τὴν προτέραν ἐπανιέναι πολιτείαν, καὶ τὸν ναὸν ὁρᾶν ἀνιστάμενον*, ὅπερ οὐδέποτε ἔσται· οὐδὲ οὕτως ἕξουσί τινα ἀπολογίαν ἐν τοῖς νῦν ὑπ' αὐτῶν γινομένοις. ἐπεὶ καὶ οἱ παῖδες οἱ τρεῖς, καὶ ὁ Δανιήλ, καὶ οἱ ἄλλοι ἅπαντες οἱ ἐπὶ τῆς αἰχμαλωσίας διατρίβοντες, προσεδόκων ἀπολήψεσθαι τὴν ἑαυτῶν πόλιν, καὶ μετὰ ἑβδομήκοντα ἔτη τὸ ἔδαφος ὄψεσθαι τῆς πατρίδος, καὶ ἐν τοῖς νόμοις τοῖς πατρίοις βιώσεσθαι· ἀλλ' ὅμως καὶ φανερὰν ὑπόσχεσιν ἔχοντες καὶ ὡμολογημένην, οὐδὲ οὕτως ἐτόλμων πρὸ τῆς ὑποσχέσεως καὶ τῆς ἐπανόδου ποιῆσαί τι τῶν νομίμων, ὧν οὗτοι ποιοῦσι νῦν. οὕτω καὶ σὺ δυνήσῃ τοὺς Ἰουδαίους ἐπιστομίσαι. ἐρώτησον γὰρ αὐτόν, τίνος ἕνεκεν νηστεύεις, οὐκ ἔχων τὴν πόλιν; κἂν εἴπῃ, ὅτι προσδοκῶ τὴν πόλιν ἀπολαμβάνειν· εἰπὲ πρὸς αὐτόν· οὐκοῦν ἕως ἂν ἀπολάβῃς, ἡσύχαζε. καὶ γὰρ οἱ ἅγιοι ἐκεῖνοι, ἕως ὅτε πρὸς τὴν πατρίδα τὴν ἑαυτῶν ἐπανῆλθον, οὐδὲν ἐτόλμων ποιεῖν, ὧν σὺ ποιεῖς νῦν. ὅθεν δῆλον, ὅτι παρανομεῖς νῦν, κἂν μέλλῃς τὴν πόλιν ἀπολαμβάνειν, ὡς σὺ φῂς· καὶ τὰς πρὸς Θεὸν παραβαίνεις συνθήκας.

Ψαλ. ια.
γ. ἀπητήκ
*ἀγαθὴ
γ. σωτηρία
γ. προθυμότεροι
*ὡς αὐτοί φάσκουσι

καὶ [εἰς] τὴν πολιτείαν αὐτὴν ἐνυβρίζεις. πρὸς μὲν οὖν τὴν τῶν Ἰουδαίων ἀναισχυντίαν ἐπιστομίσαι, καὶ δεῖξαι παρανομοῦντας αὐτούς, ἱκανὰ καὶ τὰ τῇ προτέρᾳ διαλέξει πρὸς τὴν ἀγάπην ὑμῶν εἰρημένα. ἐπειδὴ δὲ οὐ τοῦτο ἐσπουδάκαμεν μόνον, ἐκείνων ἀπορράψαι τὰ στόματα, ἀλλὰ καὶ τὴν ἐκκλησίαν παιδεῦσαι μειζόνως τὰ οἰκεῖα [αὐτῆς] δόγματα· φέρε ἐκ περιουσίας καὶ τοῦτο ἀποδείξωμεν πάλιν, ὅτι οὔτε ἀναστήσεται λοιπὸν ὁ ναός, οὐδὲ εἰς τὴν προτέραν ἐπανήξουσι πολιτείαν. οὕτω γὰρ ὑμεῖς τε ἀκριβέστερον εἴσεσθε τὰ ἀποστολικὰ δόγματα· ἐκεῖνοί τε μειζόνως ἀσεβοῦντες ἁλώσονται. παρεξόμεθα δὲ μάρτυρα τούτων, οὐκ ἄγγελον, οὐκ ἀρχάγγελον, ἀλλ' αὐτὸν τὸν τῆς οἰκουμένης ἁπάσης δεσπότην, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. εἰσελθὼν γὰρ εἰς τὰ Ἱεροσόλυμα, καὶ τὸν ναὸν ἰδών, ἔλεγεν· ὅτι ἔσται Ἱερουσαλὴμ πατουμένη ὑπὸ ἐθνῶν πολλῶν, ἕως οὗ πληρωθῶσι καιροὶ ἐθνῶν" πολλοὺς τὸν μέχρι συντελείας λέγων χρόνον. καὶ πάλιν περὶ τοῦ ναοῦ ταῦτα ἠπείλησε, τοῖς μαθηταῖς εἰπών· Οὐ μὴ μείνῃ λίθος ἐπὶ λίθον ἐν τῷ τόπῳ τούτῳ," ἕως οὗ καταλυθῇ· τὸν ἀφανισμὸν τὸν παντελῆ, καὶ τὴν εἰς τέλος ἐρήμωσιν προαναφωνῶν. ἀλλ' ὁ Ἰουδαῖος" παραγράφεται τὴν μαρτυρίαν πάντως, καὶ οὐκ" ἀνέξεται τῶν εἰρημένων. ἐχθρὸς γάρ, φησίν, ἐστὶν ἐμὸς ὁ ταῦτα λέγων· ἐγὼ αὐτὸν ἐσταύρωσα, καὶ πῶς αὐτοῦ παραδέξομαι τὴν μαρτυρίαν; τοῦτο γάρ ἐστι τὸ θαυμαστόν, ὦ Ἰουδαῖε, ὅτι ὃν ἐσταύρωσας, μετὰ τὸ σταυρωθῆναι, τότε σου τὴν πόλιν καθεῖλε, τότε σου τὸν δῆμον" διεσκόρπισε, τότε τὸ ἔθνος πανταχοῦ διέσπειρε· διδάσκων, ὅτι ἀνέστη καὶ ζῇ καὶ νῦν ἐστιν ἐν τοῖς οὐρανοῖς. ἐπειδὴ γὰρ διὰ τῶν εὐεργεσιῶν οὐκ ἠθέλησας αὐτοῦ γνῶναι τὴν δύναμιν, διὰ τῶν κολάσεων καὶ τῶν τιμωριῶν ἐπαίδευσέ σε τὴν ἄμαχον αὐτοῦ καὶ ἀκαταγώνιστον ἰσχύν. ἀλλ' οὐδὲ οὕτω πιστεύεις, οὐδὲ νομίζεις αὐτὸν εἶναι Θεόν, καὶ τῆς οἰκουμένης ἁπάσης δεσπότην, ἀλλ' ἄνθρωπον ἕνα τῶν πολλῶν. φέρε οὖν, ὡς ἐπ' ἀνθρώπων ποιησώμεθα τὴν ἐξέτασιν. πῶς δὲ ἐπ' ἀνθρώπων ποιούμεθα τὴν ἐξέτασιν; ὅταν ἴδωμέν τινας ἀνθρώπους ἐν ἅπασιν ἀληθεύοντας, καὶ" μηδὲν μηδαμοῦ ψευδομένους, κἂν ἐχθροὶ τυγχάνωσιν ὄντες, καὶ νοῦν ἔχομεν, δεχόμεθα τὰ ὑπ' αὐτῶν λεγόμενα· ὥσπερ οὖν ὅταν ἴδωμεν ψευδομένους, κἂν ἀληθεύωσιν ἔν τισιν, οὐδὲ ἐκεῖνα ῥᾳδίως παραδεχόμεθα*. φέρε οὖν, ἴδωμεν ὁποῖον ἦν τὸ ἦθος τοῦ Χριστοῦ, καὶ ποῖος ὁ τρόπος. οὐδὲ γὰρ τοῦτο μόνον προεῖπε καὶ προανεφώνησεν· ἀλλὰ καὶ ἄλλα πολλὰ τῶν μελλόντων ἐκβήσεσθαι μετὰ μακρὸν ὕστερον χρόνον, προανηγόρευσεν. ἀγάγωμεν τοίνυν ἐκείνας τὰς προρρήσεις εἰς μέσον. κἂν ἴδῃς ἐν ἐκείναις ψευδόμενον, μηδὲ ταύτην καταδέξῃ, μηδὲ νομίσῃς εἶναι" πιστήν. ἂν δὲ ἴδῃς ἐν ἅπασιν ἀληθεύοντα, καὶ ταύτην τέλος εἰληφυῖαν τὴν πρόρρησιν, καὶ τὸν ἄφατον μαρτυροῦντα χρόνον τῇ τῶν προειρημένων ἀληθείᾳ, μὴ ἀναισχύντει περαιτέρω, μηδὲ φιλονείκει τοῖς ἡλίου" φανερωτέροις πράγμασι. τί οὖν καὶ ἄλλο προεῖπεν, ἴδωμεν. προσῆλθεν αὐτῷ γυνή, ἀλάβαστρον μύρου ἔχουσα πολυτίμου, καὶ κατέχεε τὸ ἔλαιον*. ἐπετίμησαν οἱ μαθηταὶ τῷ γινομένῳ, λέγοντες· διὰ τί μὴ ἐπράθη τοῦτο τριακοσίων δηναρίων, καὶ ἐδόθη πτωχοῖς; ἐγκαλῶν τοίνυν αὐτοῖς, οὕτω πως φησί· τί κόπους παρέχετε τῇ γυναικί; ἔργον γὰρ καλὸν ἐποίησε. λέγω γὰρ ὑμῖν, ὅπου ἂν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο εἰς πᾶσαν τὴν γῆν, καὶ ὃ ἐποίησεν αὕτη, λαληθήσεται εἰς μνημόσυνον αὐτῆς. ἆρ' οὖν ἐψεύσατο, ἢ ἠλήθευσεν; ἔλαβε τέλος ἡ προφητεία, ἢ διέπεσεν; ἐρώτησον τὸν Ἰουδαῖον. κἂν μυριάκις ἀναισχυντῇ, πρὸς τὴν πρόρρησιν ταύτην ἀντιβλέψαι οὐχ ἕξει. καὶ γὰρ ἐν ἐκκλησίαις ἁπάσαις ἀκούομεν τὴν γυναῖκα λαλουμένην· καὶ ἑστήκασιν ἀκούοντες ὕπατοι, στρατηγοί, ἄνδρες, γυναῖκες, περιφανεῖς, ἐπίσημοι," λαμπροὶ ἐν ἁπάσαις πόλεσι· καὶ ὅπουπερ ἂν ἀφίκῃ τῆς οἰκουμένης, μετὰ πάσης ἡσυχίας" πάντες ἀκούουσι τοῦ τῆς γυναικὸς κατορθώματος· καὶ οὐκ ἔστι μέρος τῆς οἰκουμένης, ὃ τὸ" γεγενημένον ἠγνόησε. καίτοι πόσοι βασιλεῖς πολλὰ καὶ μεγάλα εἰργάσαντο" τὰς πόλεις ἀγαθά, καὶ πολέμους κατώρθωσαν,

Λουκ. κα. κδ.

Ματθ. κδ. β.

Ματθ. κϛ.

θωσαν, καὶ τρόπαια πολλὰ ἔστησαν, καὶ ἔθνη" διέσωσαν, καὶ πόλεις ἀνέστησαν, καὶ προσόδους μυρίας" προσεκτήσαντο. ἀλλ' ὅμως σεσίγηνται μετὰ τῶν οἰκείων κατορθωμάτων. καὶ βασιλίδες πολλαὶ, καὶ μεγάλαι γυναῖκες, μυρία τοὺς ἀρχομένους εὐεργετήσασαι, οὐδὲ ἐξ ὀνόματός εἰσι" γνώριμοι· ἡ δὲ εὐτελὴς αὕτη γυνὴ, ἔλαιον καταχέασα μόνον, πανταχοῦ τῆς οἰκουμένης ᾄδεται, καὶ χρόνου πλῆθος τοσοῦτον οὐκ ἔσβεσεν αὐτῆς τὴν μνήμην, οὐδὲ σβέσει ποτέ. καίτοι οὐδὲ τὸ ἔργον περιφανές. τί γάρ ἦν, τὸ ἔλαιον" καταχέαι; οὐδὲ τὸ πρόσωπον ἐπίσημον (γυνὴ γάρ ἦν ἀπερριμμένη) οὐδὲ οἱ μάρτυρες πολλοὶ (μεταξὺ γὰρ τῶν μαθητῶν ἐποίησεν) οὐδὲ ὁ τόπος κατάδηλος (οὐδὲ γὰρ ἐν θεάτρῳ παρελθοῦσα τοῦτο εἰργάσατο, ἀλλ' ἐν οἰκίᾳ δέκα μόνον παρόντων ἀνθρώπων) ἀλλ' ὅμως οὔτε ἡ εὐτέλεια τοῦ προσώπου, οὔτε ἡ ὀλιγότης τῶν μαρτύρων, οὔτε τὸ ἄσημον τοῦ τόπου, οὔτε ἄλλο οὐδὲν ἴσχυσεν αὐτῆς ἀφανίσαι τὴν μνήμην· ἀλλὰ βασιλίδων ἁπασῶν, καὶ βασιλέων ἁπάντων λαμπροτέρα νῦν ἐστιν ἡ γυνή, καὶ χρόνος οὐδεὶς λήθῃ τὸ γενόμενον παραδέδωκε. πόθεν, εἰπέ μοι; τίνος" τοῦτο ἐργασαμένου; οὐχὶ τοῦ θεραπευθέντος τότε Θεοῦ πανταχοῦ τὴν φήμην ταύτην διασπείραντος; ταῦτα δ' ἦν ἀνθρωπίνης δυνάμεως, εἰπέ μοι, τὸ τοιαῦτα προαναφωνεῖν; καὶ τίς ἂν ταῦτα εἴποι νοῦν ἔχων; τὸ μὲν γὰρ περὶ τῶν ἐπ' αὐτοῦ γενομένων τοῦτο προλέγειν, θαυμαστὸν μὲν καὶ παράδοξον· τὸ δὲ καὶ τὰ περὶ ἑτέρων γινόμενα προλέγειν, καὶ ποιεῖν εὔπιστα γίνεσθαι καὶ πᾶσι κατάδηλα, πολλῷ μεῖζον καὶ θαυμαστότερον. πάλιν προεῖπε τῷ Πέτρῳ, ὅτι ἐπὶ ταύτην τὴν πέτραν οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. τί οὖν, εἰπέ μοι, ἔχεις ἐπιλαβέσθαι * τῶν εἰρημένων, ὦ Ἰουδαῖε, καὶ δεῖξαι ψευδῆ ταύτην εἶναι τὴν προαναφώνησιν; ἀλλ' οὐκ" ἀνέξεται τῶν πραγμάτων ἡ μαρτυρία, κἂν μυριάκις αὐτὸς φιλονεικῇς. πόσοι γοῦν πόλεμοι κατὰ τῆς ἐκκλησίας ἀνερριπίσθησαν; καὶ στρατόπεδα πολλὰ παρεσκευάσθη, καὶ ὅπλα" ἐκινήθη, καὶ πᾶν εἶδος κολάσεως καὶ τιμωρίας ἐπενοήθη, καὶ τήγανα, καὶ καταπέλται, καὶ λέβητες, καὶ κάμινοι, καὶ λάκκοι, καὶ κρημνοὶ, καὶ θηρίων ὀδόντες, καὶ πέλαγη, καὶ δημεύσεις, καὶ ἕτερα μυρία βασανιστήρια, οὔτε λόγῳ ῥητὰ, οὔτε ἔργῳ φορητά· καὶ οὐ παρὰ τῶν ἔξωθεν μόνον, ἀλλὰ καὶ παρὰ τῶν οἰκείων αὐτῶν. καὶ ἐμφύλιός τις [τότε] τὰ πάντα κατεῖχε πόλεμος, μᾶλλον δὲ ἐμφυλίου παντὸς χαλεπώτερος. οὐ γὰρ πολῖται πολίταις μόνον, ἀλλὰ καὶ συγγενεῖς συγγενέσι, καὶ οἰκεῖοι οἰκείοις, καὶ φίλοι φίλοις συνερρήγνυντο. ἀλλ' ὅμως οὐδὲν τούτων κατέλυσε τὴν ἐκκλησίαν, οὐδὲ ἐποίησεν ἀσθενεστέραν. καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον, ὅτι ἐν τοῖς προοιμίοις ταῦτα πάντα" ἐκινεῖτο. εἰ μὲν γὰρ" νῦν ἐπήγετο τὰ δεινά, ὅτε ἐρριζώθη, καὶ πανταχοῦ τῆς οἰκουμένης κατεφυτεύθη τὸ κήρυγμα, οὐχ οὕτω θαυμαστὸν ἦν τὸ μὴ παρατραπῆναι τὴν ἐκκλησίαν· τὸ δὲ ἐν ἀρχῇ τῆς διδασκαλίας, ἄρτι τῆς πίστεως καταβληθείσης, καὶ τῆς διανοίας τῶν ἀκουόντων ἁπαλωτέρας οὔσης, τοσούτους συρραγῆναι πολέμους, καὶ μὴ μόνον μηδὲν ἐλαττωθῆναι τὰ καθ' ἡμᾶς πράγματα, ἀλλὰ καὶ ἐπιδοῦναι πλέον, τοῦτό ἐστι τὸ παντὸς θαύματος ἔχον ὑπερβολήν. ἵνα γὰρ μὴ" λέγῃς, ὅτι νῦν ἡ ἐκκλησία ἀπὸ τῆς τῶν βασιλέων εἰρήνης συνέστηκεν· ὅτε ἐλάττων ἦν, ὅτε ἀσθενεστέρα εἶναι ἐδόκει, τότε αὐτὴν πολεμεῖσθαι συνεχώρησεν ὁ Θεός, ἵνα μάθῃς, ὅτι καὶ ἡ νῦν ἀσφάλεια αὐτῆς οὐκ ἀπὸ τῆς τῶν βασιλέων εἰρήνης, ἀλλ' ἀπὸ τῆς τοῦ Θεοῦ δυνάμεως γέγονε. καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, ἀναλόγισαι, πόσα δόγματα ἠβουλήθησαν εἰσαγαγεῖν παρ' Ἕλλησι, καὶ πολιτείαν ἐνστήσασθαι ξένην, οἷον Ζήνων, Πλάτων, Σωκράτης, Διαγόρας, Πυθαγόρας [καὶ] ἕτεροι μυρίοι. ἀλλ' ὅμως τοσοῦτον ἀπέσχον περιγενέσθαι, ὡς μηδὲ ἐξ ὀνόματος εἶναι τοῖς πολλοῖς γνώριμοι. ὁ δὲ Χριστὸς οὐκ ἔγραψε πολιτείαν μόνον, ἀλλὰ καὶ πανταχοῦ τῆς οἰκουμένης αὐτὴν κατεφύτευσε. πόσα λέγεται Ἀπολλώνιος ὁ ἐκ Τυάνων πεποιηκέναι; ἀλλ' ἵνα μάθῃς, ὅτι ψεῦδος πάντα ἐκεῖνα ἦν, καὶ φαντασία, καὶ ἀληθὲς οὐδὲν" ἐσβε-

σαι,

Ματθ 16. ιη.

* ἢ προαναφράζεις

γρ. ἐκινήθησαν,

γρ. κεκίνητο

γρ. τότε

σαι, καὶ τέλος εὐθὺς ἔλαβε. καὶ μηδεὶς ὕβριν εἶναι νομιζέτω τοῦ Χριστοῦ, ὅτι ἐν τοῖς περὶ αὐτοῦ λόγοις Πυθαγόρου καὶ Πλάτωνος καὶ Ζήνωνος καὶ τοῦ Τυανέως μεμνήμεθα. οὐ γὰρ ἐξ οἰκείας τοῦτο ποιοῦμεν γνώμης, ἀλλὰ τῇ ἀσθενείᾳ τῶν Ἰουδαίων συγκαταβαίνοντες, τῶν νομιζόντων αὐτὸν ἄνθρωπον εἶναι ψιλόν· ἐπεὶ καὶ Παῦλος οὕτως ἐποίησεν. εἰσελθὼν γὰρ εἰς τὰς Ἀθήνας, οὐκ ἀπὸ προφητῶν, οὐδὲ ἐξ εὐαγγελίων αὐτοῖς διελέγετο, ἀλλ' ἀπὸ τοῦ βωμοῦ τὴν παραίνεσιν ἐποιεῖτο· οὐκ ἐπειδὴ τὸν βωμὸν ἀξιοπιστότερον τῶν εὐαγγελίων εἶναι ἐνόμιζεν, οὐδὲ ἐπειδὴ τὰ γράμματα τὰ ἐκεῖ κείμενα τῶν προφητῶν ἦσαν τιμιώτερα· ἀλλ' ἐπειδὴ πρὸς ἕλληνας διελέγετο, τοὺς οὐδενὶ τῶν ἡμετέρων πιστεύοντας, ἀπὸ τῶν οἰκείων αὐτοὺς ἐχειρώσατο δογμάτων. Διὰ τοῦτό, φησιν, ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, τοῖς ἀνόμοις ὡς ἄνομος· μὴ ὢν ἄνομος Θεῷ, ἀλλ' ἔννομος Χριστῷ*. οὕτω καὶ ἡ παλαιὰ περὶ τοῦ Θεοῦ διαλεγομένη πρὸς Ἰουδαίους ποιεῖ [λέγουσα οὕτω·] Τίς ὅμοιός σοι ἐν θεοῖς, Κύριε; τί λέγεις, ὦ Μωϋσῆ; ὅλως γάρ ἐστι σύγκρισις; οὐ κατὰ σύγκρισιν [τοῦτο] ποιῶν εἶπον, φησιν· ἀλλ' ἐπειδὴ πρὸς Ἰουδαίους διαλέγομαι, τοὺς μεγάλην περὶ τῶν δαιμόνων ἔχοντας δόξαν, τῇ ἀσθενείᾳ αὐτῶν συγκαταβαίνων, τοῦτον τῆς διδασκαλίας εἰσήγαγον τὸν τρόπον. ἐπεὶ οὖν καὶ ἡμῖν πρὸς Ἰουδαίους ὁ λόγος, τοὺς ἄνθρωπον ψιλὸν εἶναι νομίζοντας τὸν Χριστόν, καὶ παράνομόν τινα, διὰ τοῦτο καὶ ἀπὸ τῶν παρ' ἕλλησι θαυμαζομένων ἐποιησάμεθα τὴν ἐξέτασιν. εἰ δὲ βούλεσθε καὶ ἀπὸ τῶν παρ' αὐτοῖς τοῦτο ἐγχειρησάντων, καὶ μαθητὰς συναγαγόντων, καὶ εἰς ἄρχοντας, καὶ εἰς προστάτας ἀναρρηθέντων, καὶ σβεσθέντων εὐθέως, ἐπιχειρήσωμεν ταῖς ἀποδείξεσι ταύταις. οὕτω γοῦν καὶ ὁ Γαμαλιὴλ αὐτοὺς ἐπεστόμισεν. ἐπειδὴ γὰρ εἶδεν αὐτοὺς μαινομένους, καὶ ἐπιθυμοῦντας τὸ αἷμα τῶν μαθητῶν ἐκχέειν, βουλόμενος αὐτοὺς τῆς ἀκαθέκτου μανίας κατασχεῖν, κελεύσας ἔξω ποιῆσαι βραχὺ τοὺς ἀποστόλους, οὕτω πρὸς αὐτοὺς ἔλεγε· Προσέχετε ἑαυτοῖς ἐπὶ τοῖς ἀνθρώποις τούτοις τί μέλλετε πράσσειν· πρὸ γὰρ τούτων τῶν ἡμερῶν ἀνέστη Θευδᾶς, λέγων εἶναί τινα ἑαυτόν, καὶ ἠκολούθησαν αὐτῷ ἄνδρες τετρακόσιοι. κἀκεῖνος ἀπώλετο, καὶ πάντες, ὅσοι ἐπείθοντο αὐτῷ, διεσκορπίσθησαν. καὶ μετ' ἐκεῖνον ἀνέστη Ἰούδας ὁ Γαλιλαῖος, ὃς ἀπέστησεν ὄχλον ἱκανόν. κἀκεῖνος ἀπώλετο, καὶ οἱ μαθηταὶ αὐτοῦ ἀπώλοντο. καὶ τὰ νῦν λέγω ὑμῖν, προσέχετε ἑαυτοῖς· ὅτι ἐὰν ᾖ ἐξ ἀνθρώπων τὸ ἔργον τοῦτο, καταλυθήσεται· εἰ δὲ ἐκ Θεοῦ ἐστιν, οὐ δυνήσεσθε καταλῦσαι αὐτό, μήποτε καὶ θεομάχοι εὑρεθῆτε. πόθεν οὖν δῆλον ἔσται, ὅτι ἐὰν ᾖ ἐξ ἀνθρώπων, καταλυθήσεται; πεῖραν ἐλάβετε, φησιν, ἀπὸ Ἰούδα καὶ Θευδᾶ. ὥστε καὶ οὗτος ὁ κηρυττόμενος ὑπὸ τούτων, εἰ τοιοῦτός ἐστιν, οἷοι ἐκεῖνοι, καὶ μὴ θείᾳ δυνάμει πάντα ἐργάζεται· μικρὸν ἀναμείνατε, καὶ αὐτὴ τῶν πραγμάτων ὑμᾶς πιστώσεται ἡ ἔκβασις, καὶ διὰ τοῦ τέλους εἴσεσθε σαφῶς, εἴτε ἄνθρωπός ἐστι πλάνος, ὥς φατε, καὶ παράνομος, εἴτε Θεὸς ὁ πάντα συγκρατῶν, καὶ ἀπορρήτῳ δυνάμει τὰ καθ' ἡμᾶς οἰκονομῶν πράγματα· ὅπερ οὖν καὶ ἐγένετο. ἀνέμειναν, καὶ δι' αὐτῶν τῶν πραγμάτων ἐδηλοῦτο ἡ θεία καὶ ἄμαχος δύναμις, καὶ τὸ σόφισμα τοῦτο καὶ πρὸς ἀπάτην τῶν πολλῶν γινόμενον, εἰς τὴν τοῦ διαβόλου περιετρέπετο κεφαλήν. ἐπειδὴ γὰρ εἶδεν αὐτὸν παραγινόμενον, βουλόμενος αὐτοῦ συσκιάσαι τὴν παρουσίαν [καὶ τὴν ἀληθῆ οἰκονομίαν,] εἰσήνεγκεν ἀπατεῶνάς τινας, οὓς προείπομεν, ἵνα καὶ οὗτος εἷς ἐκείνων νομίζηται εἶναι. καὶ ὅπερ ἐπὶ τοῦ σταυροῦ πεποίηκε, δύο παρασκευάσας λῃστὰς μετ' αὐτοῦ σταυρωθῆναι· τοῦτο καὶ ἐπὶ τῆς παρουσίας εἰργάσατο, τῇ παραθέσει τοῦ ψεύδους τὴν ἀλήθειαν συσκιάσαι σπεύδων. ἀλλ' οὐδὲ ἐκεῖ τι ἴσχυσεν, οὐδὲ ἐνταῦθα· ἀλλ' αὐτὸ δὴ τοῦτο μάλιστα τὴν δύναμιν ἔδειξε τοῦ Χριστοῦ. διὰ τί γάρ, εἰπέ μοι, τριῶν ὄντων τῶν σταυρωθέντων, ἐν τῷ αὐτῷ τόπῳ, ἐν τῷ αὐτῷ καιρῷ, ὑπὸ τῶν αὐτῶν δικαστῶν, ἐκεῖνοι μὲν σεσίγηνται, οὗτος δὲ μόνος προσκυνεῖται; πάλιν, τί δήποτε, πολλῶν εἰσαγαγόντων πολιτείαν καινήν, καὶ μαθητὰς ἐσχηκότων, ἐκείνων μὲν οὐδὲ τοὔνομα μέχρι τήμερόν ἐστι γνώριμον· οὗτος δὲ πανταχοῦ τῆς οἰκουμένης θεραπεύεται; τὰ γὰρ

πράγματα

Πραξ. ιζ.

α.Κορ θ.κ.

Εξοδ.ιε ια.

Πραξ.ε.λε.

πράγματα ἀπὸ συγκρίσεως μάλιστα φαίνεται. σύγκρινον τοίνυν, ὦ Ἰουδαῖε, καὶ μάθε τῆς ἀληθείας τὴν ὑπεροχήν. τίς πλάνος τοσαύτας πανταχοῦ τῆς οἰκουμένης ἐκκλησίας ἐκτήσατο, καὶ ἀπὸ περάτων τῆς οἰκουμένης εἰς πέρατα τήν τε αὐτοῦ θεραπείαν ἐξέτεινε, καὶ πάντας ὑποκύπτοντας ἔχει, καὶ ταῦτα μυρίων ὄντων τῶν κωλυόντων; οὐκ ἔστιν οὐδείς. οὐκοῦν δῆλον, ὅτι ὁ Χριστὸς οὐχὶ πλάνος ἦν, ἀλλὰ σωτὴρ*, καὶ κηδεμὼν, καὶ προστάτης τῆς ζωῆς τῆς ἡμετέρας. μίαν οὖν ἔτι πρόρρησιν προσθεὶς, ἐπὶ τὸ προκείμενον βαδιοῦμαι. Οὐκ ἦλθον βαλεῖν εἰρήνην, φησὶν, ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν, οὐ τὴν γνώμην τὴν ἑαυτοῦ λέγων, ἀλλὰ τὸ τέλος τῶν ἐκβαινόντων πραγμάτων. ἦλθον γὰρ διχάσαι, φησὶν, ἄνθρωπον* κατὰ τοῦ πατρὸς αὐτοῦ, καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς, καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς. πόθεν ταῦτα προεῖπεν, εἰπέ μοι, εἴγε ψιλὸς ἄνθρωπος ἦν καὶ τῶν πολλῶν εἷς; ὃ γὰρ λέγει, τοιοῦτόν ἐστιν· ἐπειδὴ συνέβαινεν ἐν οἰκίᾳ μιᾷ τὸν μὲν εἶναι πιστὸν, τὸν δὲ ἄπιστον, εἶτα τὸν πατέρα βούλεσθαι ἕλκειν ἐπὶ τὴν ἀσέβειαν τὸν υἱὸν τὸν ἑαυτοῦ, τοῦτο αὐτὸ προλέγων φησίν· οὕτω κρατήσει τοῦ κηρύγματος ἡ δύναμις, ὡς καὶ πατέρων παῖδας ὑπερορᾶν, καὶ μητέρων θυγατέρας, καὶ γονεῖς παίδων. αἱρήσονται γὰρ οὐχὶ τῶν οἰκείων καταφρονεῖν μόνον, ἀλλὰ καὶ τὴν ψυχὴν ἐπιδοῦναι τὴν ἑαυτῶν, καὶ πάντα ὑπομεῖναι καὶ παθεῖν, ὥστε μὴ ἀρνήσασθαι τὴν εὐσέβειαν*. πόθεν τούτῳ ταῦτα καὶ εἰδέναι καὶ κατασκευάσαι δυνατὸν, εἴγε ἄνθρωπος ἦν εἷς τῶν πολλῶν; πόθεν ἐπῆλθεν αὐτῷ λογίσασθαι τοῦτο, ὅτι καὶ πατέρων ἔσται παισὶν αἰδεσιμώτερος, καὶ πατράσι παίδων γλυκύτερος, καὶ γυναιξὶν ἀνδρῶν ποθεινότερος; καὶ ταῦτα οὐκ ἐν μιᾷ μόνῃ οἰκίᾳ, οὐδὲ ἐν δυσὶ καὶ τρισὶ, καὶ δέκα, καὶ εἴκοσι, καὶ ἑκατὸν, ἀλλὰ πανταχοῦ τῆς οἰκουμένης· ἐν πόλεσιν ἁπάσαις καὶ χώραις, ἐν γῇ καὶ θαλάσσῃ, ἐν οἰκουμένῃ καὶ ἀοικήτῳ. καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι εἶπε μὲν ταῦτα, οὐκ ἐπήγαγε δὲ τὸ τέλος. πολλοὶ γοῦν ἐν προοιμίοις καὶ ἐν ἀρχῇ, μᾶλλον δὲ ἔτι καὶ νῦν διὰ τὴν εὐσέβειαν μισοῦνται, ἐκβάλλονται τῶν οἰκιῶν τῶν πατρῴων, καὶ πρὸς οὐδὲν ἐπιστρέφονται τούτων, ἱκανὴν παραμυθίαν ἔχοντες, τὸ διὰ τὸν Χριστὸν ταῦτα πάσχειν. τίς ταῦτα ἴσχυσέ ποτε ἐν ἀνθρώποις, εἰπέ μοι; οὗτος τοίνυν ὁ ταῦτα ἅπαντα προειπὼν, τὰ περὶ τῆς γυναικὸς ἐκείνης, τὰ περὶ τῆς ἐκκλησίας, τὰ περὶ τοῦ πολέμου τούτου· οὗτος προεῖπεν, ὅτι καὶ ὁ ναὸς πεσεῖται, καὶ τὰ Ἱεροσόλυμα ἁλώσεται, καὶ οὐκέτι τῶν Ἰουδαίων ἔσται πόλις ἡ πόλις, καθάπερ πρότερον. εἰ μὲν οὖν ἐψεύσατο πάντα ἐκεῖνα, καὶ μὴ ἔλαβε τέλος· ἀπίστει καὶ τούτοις. εἰ δὲ ὁρᾷς ἐκεῖνα λάμποντα ἀπὸ τῆς ἐκβάσεως, καὶ καθ' ἑκάστην ἡμέραν αὐξανόμενα, καὶ οὐδὲ τῆς ἐκκλησίας πύλαι ᾅδου κατίσχυσαν, καὶ ὅπερ ἐποίησεν ἡ γυνὴ, λαλεῖται πανταχοῦ τῆς οἰκουμένης μετὰ χρόνον τοσοῦτον, οἱ δὲ ἄνθρωποι οἱ πιστεύσαντες αὐτῷ καὶ πατέρων αὐτῶν καὶ γυναικῶν καὶ τέκνων αὐτὸν προετίμησαν· τίνος ἕνεκεν ταύτῃ μόνῃ τῇ προρρήσει ἀπιστεῖς, εἰπέ μοι, καὶ ταῦτα τῆς ἀπὸ τοῦ χρόνου μαρτυρίας ἐπιστομιζούσης σου τὴν ἀναισχυντίαν; εἰ μὲν οὖν μετὰ τὴν ἅλωσιν δέκα μόνον ἔτη ἦν, ἢ εἴκοσι, ἢ τριάκοντα, ἢ πεντήκοντα, μάλιστα μὲν οὐδὲ οὕτως ἐχρῆν ἀναισχυντεῖν· πλὴν ἀλλ' ὅμως ὑπολέλειπτό τις τοῖς φιλονεικεῖν βουλομένοις πρόφασις. εἰ δὲ οὐχὶ πεντήκοντα μόνον, ἀλλὰ καὶ ἑκατὸν, καὶ δὶς τοσαῦτα, καὶ τρὶς, καὶ πολλῷ πλείονα παρῆλθον ἔτη μετὰ τὴν ἅλωσιν, καὶ οὐδὲ ἴχνος, οὐδὲ σκιά τις ἐφάνη ποτὲ τῆς παρ' ὑμῶν προσδοκωμένης μεταβολῆς; τίνος ἕνεκεν εἰκῇ καὶ μάτην ἀναισχυντεῖς;

Ἤρκει μὲν οὖν καὶ τὰ εἰρημένα πρὸς ἀπόδειξιν ἡμῖν τοῦ μηδέποτε τὸν ναὸν ἀναστήσεσθαι. πλὴν ἀλλ' ἐπειδὴ πολλὴ τῆς ἀληθείας ἡ περιουσία, τὰ εὐαγγέλια ἀφεὶς, ἐπὶ τοὺς προφήτας τρέψομαι (οἷς μάλιστα δοκοῦσι πιστεύειν) καὶ ἀπ' ἐκείνων ποιήσομαι φανερὸν, ὅτι οὔτε τὴν πόλιν, οὔτε τὸν ναὸν λοιπὸν ἀπολήψονται. καίτοιγε οὐδεμίαν εἶχον ἀνάγκην ἀποδεῖξαι, ὅτι οὐκ ἀναστήσεται· οὐδὲ ἐμὸν τοῦτο ἦν, ἀλλ' ἐκείνων δεῖξαι τοὐναντίον, ὅτι ἀναστήσεται.

Ματθ. ι. λδ.

Ματθ. κδ.

σεται. ἐγὼ μὲν γὰρ ἔχω τὴν ἀπὸ τοῦ χρόνου σύστασιν μαρτυροῦσάν μοι καὶ συναγωνιζομένην· ἐκεῖνοι δὲ οἱ δι' αὐτῆς μὲν τῆς ἐκβάσεως τῶν πραγμάτων ἡττώμενοι, καὶ ἐν ἔργοις οὐδὲν ἔχοντες δεῖξαι ὧν λέγουσι, κομπάζοντες δὲ ἁπλῶς καὶ εἰκῆ, αὐτοὶ δίκαιοι ταύτην παρέχειν τὴν μαρτυρίαν εἰσίν. ἐγὼ μὲν γὰρ ἃ λέγω δείκνυμι διὰ τῶν ἔργων αὐτῶν ἐκβεβηκότα, καὶ ὅτι ἔπεσε, καὶ ὅτι οὐκ ἀνέστη ἡ πόλις ἐπὶ χρόνον τοσοῦτον· ἃ δὲ ἐκεῖνοι λέγουσιν, ἐν ῥήμασίν ἐστι ψιλοῖς τοῖς αὐτῶν. καὶ ἐχρῆν αὐτοὺς δεῖξαι, ὅτι ἀναστήσεται πάλιν ἡ πόλις· ἐπεὶ καὶ ἐν τοῖς δικαστηρίοις οὕτως ὁρῶμεν γινομένας τὰς ἀποδείξεις. ὅταν γάρ τινες περὶ ὁτουοῦν πρὸς ἀλλήλους ἀμφισβητῶσι, καὶ θάτερος ὧν λέγει ἐγγράφως παρέχῃ τὰς ἀποδείξεις, εἶτα [ὁ] ἕτερος ἐπιλαμβάνηται τῶν λεγομένων, αὐτὸς ἀναγκάζεται λοιπὸν μάρτυρας, ἢ καὶ ἑτέρους παρέχειν ἐλέγχους τοῦ μὴ ταῦτα οὕτως ἔχειν, ὡς τὰ γραμματεῖα φησίν· οὐκ ἐκεῖνος ὁ προσφέρων τὰ γραμματεῖα. οὕτω καὶ νῦν ποιεῖν ἔδει τοὺς Ἰουδαίους, καὶ παράγειν ἡμῖν προφήτην εἰς μέσον, τὸν λέγοντα, ὅτι ἀναστήσεται πάντως ἡ πόλις. ὅτι γὰρ εἰ καὶ τέλος ἔμελλεν ἕξειν ἡ παροῦσα αἰχμαλωσία, πᾶσα ἀνάγκη ἦν τοὺς προφήτας τοῦτο προαναφωνεῖν· παντί που δῆλόν ἐστι τῷ καὶ ὁπωσοῦν εἰς τὰ προφητικὰ παρακύψαντι βιβλία. καὶ γὰρ ἔθος παρὰ Ἰουδαίοις παλαιόν, τὰ μέλλοντα αὐτοὺς καταλαμβάνειν κακὰ καὶ ἀγαθὰ προαγορεύειν τοὺς προφήτας ἄνωθεν. τίνος ἕνεκεν, καὶ διὰ τί; διὰ τὴν πολλὴν αὐτῶν ἀγνωμοσύνην καὶ ἀναισχυντίαν. ἐπειδὴ γὰρ παραυτὰ τὰς εὐεργεσίας ἐπελανθάνοντο τοῦ ταῦτα πεποιηκότος Θεοῦ, καὶ τοῖς δαίμοσιν ἐπέγραφον τὰ γινόμενα, καὶ τὰ ἀγαθὰ ἐκείνοις ἐλογίζοντο (καὶ νῦν μὲν ἐξελθόντες ἐξ Αἰγύπτου, τῆς θαλάσσης σχισθείσης, καὶ τῶν ἄλλων θαυμάτων γινομένων, ἐπιλαθόμενοι τοῦ ταῦτα πεποιηκότος Θεοῦ, τοῖς θεοῖς ἀνέθεσαν τὰ γινόμενα, καὶ τῷ Ἀαρὼν λέγουσι· Ποίησον ἡμῖν θεοὺς, οἳ προπορεύσονται ἡμῶν. καὶ τῷ Ἱερεμίᾳ δὲ φαίνονται λέγοντες, Τὸν λόγον, ὃν ἐλάλησας πρὸς ἡμᾶς τῷ ὀνόματι Κυρίου, οὐκ ἀκουσόμεθά σου· ὅτι ποιοῦντες ποιήσομεν πάντα τὸν λόγον, ὃς ἐξελεύσεται ἐκ τοῦ στόματος ἡμῶν, θυμιᾶν τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ, καὶ σπένδειν αὐτῇ σπονδάς, καθὼς ἐποιήσαμεν καὶ ἡμεῖς καὶ οἱ πατέρες ἡμῶν, καὶ οἱ βασιλεῖς ἡμῶν, καὶ οἱ ἄρχοντες ἡμῶν· καὶ ἐνεπλήσθημεν ἄρτων, καὶ ἐγενήθημεν χρηστοί, καὶ κακὰ οὐκ εἴδομεν. καὶ ὡς διελίπομεν θυμιῶντες τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ, καὶ σπένδοντες αὐτῇ σπονδάς, ἠλαττώθημεν πάντες ἡμεῖς, καὶ ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ ἐξελίπομεν) ἵνα οὖν μηδὲν τῶν συμβαινόντων τοῖς εἰδώλοις λογίζωνται, ἀλλὰ καὶ τὰς τιμωρίας καὶ τὰς εὐεργεσίας παρὰ τοῦ Θεοῦ πιστεύωσιν αὐτοῖς ἀεὶ παραγίνεσθαι, τὰς μὲν διὰ τὰς ἁμαρτίας, τὰς δὲ διὰ τὴν φιλανθρωπίαν· ἄνωθεν αὐτοῖς προέλεγον οἱ προφῆται τὰ μέλλοντα ἔσεσθαι. καὶ ἵνα μάθῃς, ὅτι αὕτη ἐστὶν ἡ αἰτία τῆς προρρήσεως, ἄκουε τί φησιν ὁ μεγαλοφωνότατος Ἡσαΐας· Γινώσκω ὅτι σκληρὸς εἶ σύ, πρὸς τὸν λαὸν τὸν Ἰουδαϊκὸν ἀποτεινάμενος, καὶ νεῦρον σιδηροῦν ὁ τράχηλός σου (τουτέστιν, ἀκαμπής) καὶ τὸ μέτωπόν σου χαλκοῦν (τουτέστιν, ἀναίσχυντον. οὕτω γοῦν καὶ ἡμῖν ἔθος πολλάκις τοὺς ἐρυθριᾶν μὴ εἰδότας, χαλκοπροσώπους καλεῖν) καὶ ἀνήγγειλά σοι, φησίν, ἃ μέλλει ἐπὶ σὲ ἔρχεσθαι, πρὶν ἢ γενέσθαι, καὶ ἀκουστά σοι ἐποίησα. εἶτα τὴν αἰτίαν τῆς προρρήσεως λέγων, ἐπήγαγε· Μή ποτε εἴπῃς, ὅτι τὰ εἴδωλά μοι ἐποίησε, καὶ τὰ γλυπτὰ καὶ τὰ χωνευτά μοι ἐνετείλατο. καὶ πάλιν ἐπειδὴ φιλόνεικοί τινες ὄντες καὶ ἀλαζόνες, [καὶ] μετὰ τὴν ἔκβασιν ἠναισχύντουν, ὡς μὴ προακηκοότες, οὐ προέλεγον οἱ προφῆται τὰ ἐσόμενα μόνον, ἀλλὰ καὶ μάρτυρας ἐλάμβανον τῶν γινομένων. οὕτω γοῦν πάλιν ὁ αὐτὸς Ἡσαΐας φησί· Μάρτυράς μοι ποίησον πιστοὺς ἀνθρώπους, τὸν Οὐρίαν τὸν ἱερέα, καὶ Ζαχαρίαν τὸν υἱὸν Βαραχίου. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐν τόμῳ καινῷ τὴν προφητείαν γράψας ἀπέθετο· ἵνα μετὰ τὴν ἔκβασιν αὐτὰ αὐτῶν καταμαρτυρῇ τὰ γράμματα, ὅτι ἄνωθεν αὐτοῖς καὶ πρὸ πολλοῦ τοῦ χρόνου προείρητο. διὰ τοῦτο οὐδὲ ἁπλῶς ἐν τόμῳ γράφει, ἀλλ' ἐν τόμῳ καινῷ δυναμένῳ πρὸς τὸ μῆκος ἀρκέσαι τοῦ χρό-

Ἐξοδ. λβ.
Ἱερ. μδ.
Ἡσ. μη.
Ἡσ. η.

του, καὶ μὴ διαφθαρῆναι ῥᾳδίως, ἀλλὰ διαμεῖναι τὴν ἔκβασιν τῶν ἐν αὐτῷ γεγραμμένων πραγμάτων. καὶ ὅτι τοῦτο ἐστὶν ἀληθὲς, καὶ πάντα αὐτοῖς προανεφώνει τὰ μέλλοντα ἔσεσθαι ὁ Θεὸς, οὐκ ἐντεῦθεν μόνον, ἀλλὰ καὶ ἐξ αὐτῶν τῶν συμβάντων αὐτοῖς κακῶν τε καὶ ἀγαθῶν ποιήσομαι τὴν ἀπόδειξιν. τρεῖς γὰρ δουλείας ὑπέμειναν χαλεπωτάτας οἱ Ἰουδαῖοι, καὶ οὐδεμίαν χωρὶς προρρήσεως αὐτοῖς ἐπήγαγεν, ἀλλὰ πάσας αὐτοῖς προλεχθῆναι παρεσκεύασεν ὁ Θεός· καὶ τόπον, καὶ χρόνον, καὶ πρόσωπον καὶ εἶδος κακώσεως, καὶ τὴν ἐπάνοδον, καὶ τὰ ἄλλα πάντα μετὰ ἀκριβείας προλέγων. καὶ πρώτην ἐρῶ τὴν ἐν Αἰγύπτῳ. πρὸς γοῦν τὸν Ἀβραὰμ διαλεγόμενος, οὕτω πως φησί· Γινώσκων γνώσῃ, ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ, καὶ δουλώσουσιν αὐτὸ καὶ κακώσουσιν ἔτη τετρακόσια· τὸ δὲ ἔθνος, ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγὼ, εἶπεν ὁ Θεός· τετάρτη δὲ γενεᾷ ἐπανελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς. εἶδες πῶς τὸν ἀριθμὸν εἶπε τῶν ἐτῶν, τετρακόσια ἔτη· τὸν τρόπον τῆς δουλείας, ὅτι οὐχ ἁπλῶς δουλώσουσιν, ἀλλὰ καὶ κακώσουσιν. ἄκουε γοῦν τὴν κάκωσιν, πῶς μετὰ ταῦτα ἐξηγεῖται ὁ Μωϋσῆς. Τὰ ἄχυρα οὐ δίδοται τοῖς οἰκέταις σου, φησί, καὶ λέγουσιν ἡμῖν τὴν πλίνθον ποιεῖν· καὶ ἐμαστιγοῦντο καθ' ἑκάστην ἡμέραν, ἵνα μάθῃς, τί ἐστι τὸ, δουλώσουσι καὶ κακώσουσι. καὶ, τὸ ἔθνος, ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγώ· τὸν καταποντισμὸν τῶν Αἰγυπτίων λέγων, τὸν διὰ τῆς ἐρυθρᾶς θαλάσσης· ὃν ἐν ταῖς ᾠδαῖς Μωϋσῆς ἀναγράφων οὕτως ἔλεγεν· Ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν. εἶτα καὶ τὸν τρόπον τῆς ἐπανόδου· Οἱ ἐξελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς. Χρήσασθε, φησίν, ἕκαστος παρὰ τοῦ γείτονος αὐτοῦ καὶ συσκήνου σκεύη χρυσᾶ καὶ ἀργυρᾶ. ἐπειδὴ γὰρ πολὺν ἐδούλευσαν χρόνον, καὶ τὸν μισθὸν οὐκ ἀπέλαβον, ἄκοντας αὐτοὺς ἀπαιτηθῆναι παρεσκεύασεν ὁ Θεός. καὶ βοᾷ ὁ προφήτης, λέγων· Ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ καὶ χρυσίῳ, καὶ οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν.

Γεν ιε. ιγ.

Ἐξοδ. ε. ιε.

Ἐξοδ. ιε. κα.

Ἐξο. ι. κα. κϛ.

Ψαλ. ρδ. λζ.

Μία μὲν αὕτη δουλεία μετὰ ἀκριβείας πάσης προδιηγόρευται. φέρε δὴ καὶ ἐφ' ἑτέραν τὸν λόγον ἀγάγωμεν. ποίαν δή; τὴν ἐν Βαβυλῶνι. καὶ γὰρ καὶ ταύτην μετὰ ἀκριβείας προανεφώνησεν ὁ Ἱερεμίας, οὕτως εἰπών· Οὕτως εἶπε Κύριος, ὅταν μέλλῃ πληροῦσθαι τῇ Βαβυλῶνι ἑβδομήκοντα ἔτη, ἐπισκέψομαι ὑμᾶς, καὶ ἐπιστήσω ἐφ' ὑμᾶς τοὺς λόγους μου τοὺς ἀγαθοὺς, τοῦ ἀποστρέψαι εἰς τὸν τόπον τοῦτον. καὶ ἐπιστρέψω τὴν αἰχμαλωσίαν ὑμῶν, καὶ ἀθροίσω ὑμᾶς ἐκ πάντων τῶν ἐθνῶν, καὶ ἐκ πάντων τῶν τόπων, οὗ διέσπειρα ὑμᾶς ἐκεῖ, φησὶ Κύριος, καὶ ἐπιστρέψω ὑμᾶς εἰς τὸν τόπον, ὅθεν ἀπῴκισα ὑμᾶς ἐκεῖθεν. ὁρᾷς πῶς καὶ ἐνταῦθα πάλιν καὶ τὴν πόλιν εἶπε, καὶ τὸν ἀριθμὸν τῶν ἐτῶν, καὶ πόθεν αὐτοὺς μέλλει συνάγειν, καὶ ποῦ συνάγειν. διὰ τοῦτο καὶ ὁ Δανιὴλ οὐ πρότερον ὑπὲρ αὐτῶν τὴν ἱκετηρίαν ἔθηκεν, ἀλλ' ὅτε εἶδε πληρωθέντα τὰ ἑβδομήκοντα ἔτη. καὶ τίς ταῦτά φησιν; αὐτὸς ὁ Δανιὴλ, οὕτω λέγων· Κἀγὼ Δανιὴλ ἐποίουν τὰ ἔργα τοῦ βασιλέως, καὶ ἐθαύμαζον τὴν ὅρασιν, καὶ οὐκ ἦν ὁ συνιῶν· καὶ συνῆκα ἐν ταῖς βίβλοις τὸν ἀριθμὸν τῶν ἐτῶν, ὡς ἐγενήθη ὁ λόγος Κυρίου πρὸς Ἱερεμίαν τὸν προφήτην, εἰς συμπλήρωσιν τῆς ἐρημώσεως Ἱερουσαλὴμ ἑβδομήκοντα ἔτη. καὶ ἔδωκα τὸ πρόσωπόν μου πρὸς Κύριον τὸν Θεὸν *, τοῦ ἐκζητῆσαι προσευχὴν καὶ δέησιν ἐν νηστείᾳ καὶ σάκκῳ καὶ σποδῷ. ἤκουσας πῶς καὶ αὕτη δουλεία διηγόρευται, καὶ ὁ προφήτης οὐκ ἐτόλμησε πρὸ τοῦ διωρισμένου χρόνου δέησιν καὶ ἱκετηρίαν προσαγαγεῖν τῷ Θεῷ, ἵνα μὴ μάτην καὶ εἰκῆ προσιῇ· ἵνα μὴ ἀκούσῃ, ὅπερ ἤκουσεν ὁ Ἱερεμίας· Μὴ προσεύχου ὑπὲρ τοῦ λαοῦ τούτου, καὶ μὴ ἀξίου περὶ αὐτῶν, ὅτι οὐκ εἰσακούσομαί σου. ἀλλ' ὅτε τὴν ἀπόφασιν εἶδε πληρωθεῖσαν, καὶ τὸν καιρὸν συγκαλοῦντα πρὸς τὴν ἐπάνοδον, τότε προσεύχεται· καὶ οὐχ ἁπλῶς, ἀλλ' ἐν νηστείᾳ καὶ ἐν σάκκῳ καὶ ἐν σποδῷ. καὶ ὅπερ ἐπ' ἀνθρώπων συμβαίνειν ἔθος, τοῦτο καὶ ἐπὶ τοῦ Θεοῦ πεποίηκε. καὶ γὰρ ἡμεῖς, ἐπειδὰν πιας ἴδωμεν τοὺς αὐτῶν οἰκέτας μετὰ πολλὰ καὶ μεγάλα ἁμαρτήματα εἰς δεσμωτήριον ἐμβάλλοντας,

Ιερ κθ. ι.

Δαν. θ. ϐ.

Ιερ ζ.

βάλλονται, οὐκ εὐθέως, οὐδὲ ἐν προοιμίοις, οὐδὲ ἐν ἀρχῇ τῆς κολάσεως τὴν ἱκετηρίαν προσάγομεν, ἀλλ᾽ ἀφέντες ὀλίγας ἡμέρας αὐτοὺς σωφρονισθῆναι, τότε προσίεμεν τοῖς δεσπόταις, ἔχοντες καὶ τὴν ἀπὸ τοῦ καιροῦ συμμαχίαν· τοῦτο δὴ καὶ ὁ προφήτης ἐποίησεν. ἐπειδὴ γὰρ δίκην ἔδωκαν, οὐκ ἀξίαν μὲν τῶν ἁμαρτημάτων, ἔδωκαν δὲ οὖν ὅμως· προσέρχεται τῷ Θεῷ λοιπὸν ὑπὲρ αὐτῶν διαλεξόμενος. εἰ δὲ βούλεσθε, καὶ τῆς εὐχῆς αὐτῆς ἀκούσωμεν. Ἐξωμολογησάμην γάρ, φησι, καὶ εἶπον· Κύριε ὁ Θεός, ὁ μέγας καὶ θαυμαστός, ὁ φυλάσσων τὴν διαθήκην σου, καὶ τὸ ἔλεός σου τοῖς ἀγαπῶσί σε, καὶ τοῖς φυλάττουσι τὰς ἐντολάς σου. τί ποιεῖς, ὦ Δανιήλ, ὑπὲρ ἀνθρώπων ἡμαρτηκότων καὶ προσκεκρουκότων πρεσβεύων, τῶν φυλαξάντων αὐτοῦ τοὺς νόμους μέμνησαι; οὐκοῦν ἄξιοί εἰσι συγγνώμης οἱ παραβαίνοντες αὐτοῦ τὰς ἐντολάς; ἀλλ᾽ οὐ διὰ τούτους ταῦτα λέγω, φησίν, ἀλλὰ διὰ τοὺς προγόνους τοὺς ἄνωθεν, διὰ τὸν Ἀβραάμ, διὰ τὸν Ἰσαάκ, διὰ τὸν Ἰακώβ. ἐκείνοις ἐπηγγείλατο, φησι, καὶ ὑπέσχετο, οἳ καὶ τὰς ἐντολὰς αὐτοῦ ἐφύλαξαν. ἐπεὶ οὖν οὐδὲν ἔχουσιν οὗτοι δικαίωμα σωτηρίας, διὰ τοῦτο τῶν προγόνων μέμνημαι. καὶ ἵνα μὴ νομίσῃς, ὅτι περὶ τούτων ταῦτά φησιν, εἰπών, ὁ φυλάσσων τὴν διαθήκην σου καὶ τὸ ἔλεός σου τοῖς ἀγαπῶσί σε, καὶ φυλάσσουσι τὰς ἐντολάς σου, ἐπήγαγεν εὐθέως· Ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν, "ἠσεβήσαμεν, ἐξεκλίναμεν ἀπὸ τῶν ἐντολῶν σου, καὶ ἀπὸ τῶν κριμάτων σου, καὶ οὐκ ἠκούσαμεν τῶν δούλων σου τῶν προφητῶν. μία γὰρ τοῖς ἁμαρτάνουσιν ἀπολογία μόνη μετὰ τὰ ἁμαρτήματα ὑπολέλειπται, τὸ τὰς οἰκείας ἁμαρτίας ὁμολογεῖν. σὺ δέ μοι σκόπει καὶ τοῦ δικαίου τὴν ἀρετήν, καὶ τῶν Ἰουδαίων τὴν ἀγνωμοσύνην. ὁ μὲν γὰρ μηδὲν ἑαυτῷ συνειδὼς πονηρόν, καταδικάζει μετὰ πολλῆς ἑαυτὸν σφοδρότητος, λέγων· ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν· οἱ δὲ μυρίων γέμοντες κακῶν, τοὐναντίον "ἐποίουν, λέγοντες· ἐφυλάξαμεν τὰ προστάγματά σου, καὶ νῦν μακαρίζομεν ἀλλοτρίους, καὶ ἀνοικοδομοῦνται οἱ ποιοῦντες "ἀνομήματα. ὥσπερ γὰρ τοῖς δικαίοις ἔθος, μετὰ τὰ δικαιώματα μετριάζειν· οὕτω τοῖς πονηροῖς, μετὰ τὰ ἁμαρτήματα ἐπαίρεσθαι. ὁ μηδὲν ἑαυτῷ συνειδώς, ἔλεγεν· ἠνομήσαμεν, ἐξεκλίναμεν ἀπὸ τῶν ἐντολῶν σου· οἱ δὲ μυρία συνειδότες ἑαυτοῖς ἁμαρτήματα, ἔλεγον, ὅτι ἐφυλάξαμεν τὰς ἐντολάς σου. ταῦτα λέγω, ἵνα τὰ μὲν φύγωμεν, τὰ δὲ ζηλώσωμεν. εἶτα ἐπειδὴ κατέδραμεν αὐτῶν τῆς παρανομίας, λέγει καὶ τὴν τιμωρίαν, ἣν ἔδοσαν, καὶ ἀπὸ τούτου πάλιν τὸν Θεὸν εἰς ἔλεον ἐπισπάσασθαι βουλόμενος. καὶ ἐπῆλθε, φησιν, ἐφ᾽ ἡμᾶς ἡ κατάρα ἡ γεγραμμένη ἐν τῷ νόμῳ Μωϋσέως δούλου τοῦ Θεοῦ, ὅτι ἡμάρτομεν. ποία κατάρα αὕτη; βούλεσθε ἀναγνῶμεν αὐτήν; Ἐὰν μὴ λατρεύσητε Κυρίῳ τῷ Θεῷ ὑμῶν, φησιν, "ἐπάξει ἐφ᾽ ὑμᾶς ἔθνος ἀναιδές, οὗ οὐκ ἀκούσῃ τῆς φωνῆς αὐτοῦ· καὶ ἔσεσθε ἐν ἀριθμῷ βραχεῖς. τοῦτο γοῦν αὐτὸ δηλοῦντες οἱ τρεῖς παῖδες, καὶ δεικνύντες "ὅτι διὰ τῶν ἔργων αὐτῶν ἐξέβη τὸ τῆς κολάσεως εἶδος, καὶ αὐτοὶ πρὸς τὸν Θεὸν ἐξομολογούμενοι, περὶ τῶν κοινῶν ἁμαρτημάτων ἔλεγον· παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων, ἐχθίστων ἀποστατῶν, καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν. ὁρᾷς ὡς ἡ ἀρὰ ἐπληροῦτο ἐκείνη ἡ λέγουσα, ἔσεσθε ἐν ἀριθμῷ βραχεῖς· καὶ ἡ λέγουσα, * ἐπάξω ἐφ᾽ ὑμᾶς ἔθνος ἀναιδές. τοῦτο αὐτὸ καὶ ὁ Δανιὴλ ἐνταῦθα αἰνίττεται), καί φησιν· Ἦλθεν ἐφ᾽ ἡμᾶς κακά, οἷα οὐ γέγονεν ὑποκάτω παντὸς τοῦ οὐρανοῦ, κατὰ τὰ γενόμενα ἐν "Ἰσραήλ. ποῖα δὴ ταῦτα; μητέρες παίδων ἀπεγεύσαντο· καὶ τοῦτο προέλεγε μὲν ὁ Μωϋσῆς, δείκνυσι δὲ ἐκβεβηκὸς ὁ Ἱερεμίας. ὁ μὲν γάρ φησιν, ὅτι ἡ ἁπαλή, ἡ τρυφερά, ἧς οὐκ ἔλαβε πεῖραν ὁ ποὺς αὐτῆς ἐπιβῆναι ἐπὶ τοῦ βήματος διὰ τὴν ἁπαλότητα καὶ τὴν τρυφερότητα, ἅψεται παρανόμου τραπέζης, καὶ τῶν ἐκγόνων ἀπογεύσεται τῶν ἑαυτῆς. ὁ δὲ Ἱερεμίας τοῦτο αὐτὸ δηλῶν, ὅτι ἐξέβη, ἔλεγε· Χεῖρες γυναικῶν οἰκτιρμόνων "ἥψησαν τὰ τέκνα αὐτῶν. ἀλλ᾽ ὅμως τὰς ἁμαρτίας αὐτῶν εἰπών, ἃς ἥμαρτον, καὶ τὴν δίκην, ἣν ὑπέμειναν, εἰς μέσον ἀγαγών, οὐδὲ οὕτως ἐκ τούτων ἀ-

Δαν. θ. δ.

Δαν. θ. ε.

Δευτ. κη. ν.

Δαν. θ. ιβ.

Δευτ. κη. νε.

Θρην. δ. ι.

ξιοι σώζεσθαι. ὅρα οὖν εὐγνωμοσύνην οἰκέτου. καὶ γὰρ καὶ οὗτος δείκνυσιν, ὅτι οὐδεὶς οὐδέπω τῶν ἁμαρτημάτων ἄξιον ὑπέμεινεν, οὐδὲ διελύσαντο τὰ πλημμελήματα δι' ὧν * ἔπαθον· λοιπὸν ἐπὶ τοὺς οἰκτιρμοὺς καταφεύγει τοῦ Θεοῦ, καὶ τὸν τῆς φιλανθρωπίας αὐτοῦ τρόπον, καί φησι· Δαν. θ. ιζ. Καὶ νῦν, Κύριε ὁ Θεὸς ἡμῶν, ὃς ἐξήγαγες τὸν λαόν σου ἐκ γῆς Αἰγύπτου, καὶ ἐποίησας σεαυτῷ ὄνομα, ὡς ἡ ἡμέρα αὕτη· ἡμάρτομεν, ἠνομήσαμεν. καὶ καθάπερ ἐκείνους, φησὶν, οὐκ ἀπὸ κατορθωμάτων ἔσωσας, ἀλλὰ τὴν θλῖψιν ἰδὼν, καὶ τὴν στενοχωρίαν, καὶ τῆς κραυγῆς ἀκούσας· οὕτω δὴ καὶ ἡμᾶς ἀπάλλαξον τῶν περιόντων κακῶν διὰ τὴν φιλανθρωπίαν σου μόνην· ἕτερον γὰρ οὐδὲν ἔχομεν " δικαίωμα σωτηρίας. Εἰπὼν δὴ ταῦτα, καὶ θρηνήσας ἰσχυρῶς, εἰσάγει λοιπὸν τὴν πόλιν, καθάπερ τινὰ γυναῖκα αἰχμάλωτον, καί φησιν· Δαν. θ. ιη. Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸ ἁγίασμά σου· κλῖνον, ὁ Θεός μου, τὸ οὖς σου, καὶ ἄκουσον· ἄνοιξον τοὺς ὀφθαλμούς σου, καὶ ἴδε τὸν ἀφανισμὸν ἡμῶν καὶ τῆς πόλεώς σου, ἐφ' ἧς ἐπικέκληται τὸ ὄνομά σου * ἐπ' αὐτῆς. ἐπειδὴ γὰρ τοὺς ἀνθρώπους παρελθὼν, οὐδένα ἑώρα δυνάμενον ἵλεω ποιῆσαι τὸν Θεόν· πρὸς τὰ οἰκοδομήματα καταφεύγει, καὶ τὴν πόλιν αὐτὴν προβάλλεται, καὶ τὴν ἐρημίαν αὐτῆς προτείνεται, καὶ ἐν τούτοις καταλῦσαι τὸν λόγον, ἵλεω τὸν Θεὸν ἐποίησε. καὶ δηλοῖ ἐκ τῶν ἑξῆς.

Ἀλλ' ὅπερ ἔλεγον· δεῖ γὰρ ἐπὶ τὸ προκείμενον πάλιν ἐπανελθεῖν· καὶ γὰρ καὶ ταῦτα παρενεβάλομεν οὐχ ἁπλῶς, οὐδὲ εἰκῆ, ἀλλ' ὥστε μικρὸν ὑμῶν διαναπαῦσαι τὴν διάνοιαν ἀπὸ τῶν συνεχῶν ἀγωνισμάτων καμοῦσαν. φέρε οὖν ἐπανίωμεν ὅθεν ἐξέβημεν ταῦτα εἰπεῖν, καὶ " δείξωμεν τὰ μέλλοντα καταλήψεσθαι τοὺς Ἰουδαίους κακὰ, ἄνωθεν προηγορευμένα μετὰ ἀκριβείας ἁπάσης. δύο μὲν δὴ ταύτας δουλείας ὁ λόγος ἀπέδειξε μετὰ προφητείας ἐπελθούσας αὐτοῖς, καὶ οὐχ ἁπλῶς, οὐδὲ ἀπροσδοκήτως. λείπεται δὲ λοιπὸν τὴν τρίτην ἐπαγαγόντας, καὶ περὶ ταύτης τῆς νῦν κατεχούσης αὐτοὺς εἰπεῖν, καὶ δεῖξαι σαφῶς, πῶς οὐδὲ εἷς προφήτης ἐπηγγείλατό τινα λύσιν ἔσεσθαι τῶν κατεχόντων αὐτοὺς κακῶν, οὔτε ἀπαλλαγήν. τίς οὖν ἐστιν ἡ τρίτη; ἡ ἐπὶ Ἀντιόχου τοῦ Ἐπιφανοῦς. ἐπειδὴ γὰρ Ἀλέξανδρος ὁ τῶν Μακεδόνων βασιλεὺς Δαρεῖον τὸν τῶν Περσῶν βασιλέα ἀνελὼν εἰς ἑαυτὸν τὴν ἀρχὴν περιέστησε, τελευτήσαντος τούτου, τέσσαρες μετ' " τοῦτον ἐγένοντο βασιλεῖς. εἶτα ἐξ ἑνὸς τούτων τῶν τεσσάρων γενόμενος ὁ Ἀντίοχος, μετὰ πολὺν ὕστερον χρόνον τό τε ἱερὸν ἐνέπρησε, τά τε ἅγια τῶν ἁγίων ἠρήμωσε, τάς τε θυσίας καθεῖλε, τούς τε Ἰουδαίους ὑπέταξε, καὶ τὴν " πολιτείαν αὐτῶν κατέλυσεν ἅπασαν. καὶ ταῦτα ἅπαντα μετὰ ἀκριβείας ἁπάσης, καὶ μέχρι μιᾶς ἡμέρας " προηγόρευτο παρὰ τοῦ Δανιὴλ, καὶ πότε ἔσται, καὶ " πῶς, καὶ παρὰ τίνος, καὶ τίνι τρόπῳ, καὶ ποῦ τελευτήσει, καὶ τίνα λήψεται μεταβολήν. εἴσεσθε δὲ σαφέστερον ἀκούσαντες αὐτῆς τῆς ὁράσεως, ἣν διὰ παραβολῆς ἡμῖν ὁ προφήτης " ἀπήγγειλε, κριὸν μὲν καλῶν τὸν τῶν Περσῶν βασιλέα τὸν Δαρεῖον, τράγον δὲ τὸν τῶν Ἑλλήνων βασιλέα, Ἀλέξανδρον λέγω τὸν Μακεδόνα, τέσσαρα κέρατα τοὺς μετ' ἐκεῖνον ἀναστάντας, ὕστερον κέρας αὐτὸν τὸν Ἀντίοχον καλῶν. μᾶλλον δὲ αὐτῆς βέλτιον ἀκοῦσαι τῆς ὁράσεως. Δαν. η. β. Εἶδον γάρ, φησιν, ἐν ὁράματι, καὶ ἤμην ἐπὶ τοῦ Οὐβάλ (τόπον τινὰ Περσικῇ φωνῇ καλῶν οὕτω) καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον· καὶ ἰδοὺ, κριὸς εἷς ἑστηκὼς πρὸ τοῦ Οὐβάλ, καὶ αὐτῷ κέρατα, καὶ τὰ κέρατα ὑψηλὰ, καὶ τὸ ἓν ὑψηλότερον τοῦ ἑτέρου, καὶ τὸ ὑψηλὸν ἀνέβαινεν ἐπ' ἐσχάτων. καὶ εἶδον τὸν κριὸν κερατίζοντα κατὰ θάλασσαν καὶ βορρᾶν καὶ νότον, καὶ πάντα τὰ θηρία οὐ στήσονται ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος ἐκ " χειρὸς αὐτοῦ, καὶ ἐποίησε κατὰ τὸ θέλημα αὐτοῦ, καὶ ἐμεγαλύνθη, καὶ ἐγὼ ἤμην συνιῶν. τὴν δύναμιν λέγει τὴν Περσικὴν, καὶ τὴν ἀρχὴν, ἣ πᾶσαν ἐπέδραμε τὴν γῆν. εἶτα περὶ τοῦ Μακεδόνος Ἀλεξάνδρου διαλεγόμενος, φησί· καὶ ἰδοὺ τράγος αἰγῶν ἤρχετο ἀπὸ λιβὸς ἐπὶ πρόσωπον τῆς γῆς ἁπάσης, καὶ οὐκ ἦν ἁπτόμενος τῆς γῆς· καὶ τῷ τράγῳ ἐκείνῳ κέρας " θεωρητὸν ἀνὰ μέσον τῶν ὀφθαλμῶν αὐτοῦ. Εἶτα λέγων τὴν συμβολὴν Ἀλεξάνδρου, τὴν πρὸς Δαρεῖον γενομένην, καὶ τὴν νίκην τὴν κατὰ κράτος· καὶ ἦλθε, φησι, ὁ τράγος ἕως τοῦ κριοῦ τοῦ τὰ κέρατα ἔχοντος, καὶ ἠγριώθη, καὶ ἔπαισε τὸν κριὸν (δεῖ γὰρ ἐπιτεμεῖν) καὶ συνέτριψεν ἀμφότερα τὰ κέρατα αὐτοῦ· καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος τὸν κριὸν ἐκ χειρὸς αὐτοῦ. μετὰ ταῦτα λέγων τὴν τελευτὴν Ἀλεξάνδρου, καὶ τὴν τῶν τεσσάρων βασιλέων διαδοχὴν, καὶ ἐν τῷ ἰσχῦσαι αὐτόν, φησι, συνετρίβη τὸ κέρας [αὐτοῦ] τὸ μέγα· καὶ ἀνέβη ἕτερα τέσσαρα κέρατα ὑποκάτωθεν αὐτοῦ" κατὰ τοὺς τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ. ἐντεῦθεν λοιπὸν ἐπὶ τὴν Ἀντιόχου βασιλείαν ἐλθὼν, καὶ δεικνὺς, ὅτι ἐξ ἑνὸς ἐκείνων τῶν τεσσάρων ἐστὶν, οὕτω πως φησί· καὶ ἐκ τοῦ ἑνὸς αὐτῶν ἐξῆλθε κέρας ἓν ἰσχυρὸν, καὶ ἐμεγαλύνθη περισσῶς πρὸς νότον καὶ πρὸς ἀνατολήν. καὶ δηλῶν, ὅτι τὴν Ἰουδαϊκὴν* καθεῖλε πολιτείαν, φησί· Καὶ δι' αὐτὸν θυσία ἐταράχθη παραπτώματι, καὶ ἐγενήθη, καὶ κατευοδώθη αὐτῷ. καὶ τὸ ἅγιον ἐρημωθήσεται, καὶ ἐδόθη ἐπὶ τὴν θυσίαν ἁμαρτία. τοῦ γὰρ βωμοῦ καθαιρεθέντος, καὶ τῶν ἁγίων καταπατηθέντων, εἴδωλον ἔστησεν ἔνδον, καὶ θυσίας ἐπετέλει τοῖς δαίμοσι παρανόμους, καὶ ἐρρίφη χαμαὶ ἡ δικαιοσύνη," καὶ ἐποίησε, καὶ εὐοδώθη. εἶτα ἐκ δευτέρου πάλιν αὐτὴν ταύτην τὴν βασιλείαν λέγων τὴν Ἀντιόχου τοῦ Ἐπιφανοῦς, καὶ τὴν αἰχμαλωσίαν, καὶ τὴν ἅλωσιν, καὶ τὴν ἐρήμωσιν τοῦ ἱεροῦ, καὶ τὸν χρόνον προστίθησιν. ἀρξάμενος γὰρ ἀπὸ τῆς Ἀλεξάνδρου βασιλείας, πάλιν πρὸς τῷ τέλει τοῦ βιβλίου, καὶ τὰ μεταξὺ πάντα διηγησάμενος, ὅσα οἱ Πτολεμαῖοι καὶ οἱ Σέλευκοι συρραγέντες ἀλλήλοις ἐποίησαν, καὶ οἱ στρατηγοὶ τούτων εἰργάσαντο, τοὺς δόλους, τὰς νίκας, τὰς στρατείας, τὰς ναυμαχίας, τὰς πεζομαχίας· περιϊὼν εἰς Ἀντίοχον κατέληξε πάλιν, καί φησι· Βραχίονες ἐξ αὐτοῦ ἀναστήσονται, καὶ βεβηλώσουσι τὸ ἁγίασμα, καὶ μεταστήσουσι τὸν ἐνδελεχισμὸν (ἐνδελεχισμὸν λέγων, τὰς" συνεχεῖς θυσίας, τὰς καθημερινὰς) καὶ δώσουσιν εἰς αὐτὸν βδέλυγμα, καὶ τοὺς ἀνομοῦντας διαθήκην (τουτέστι, τοὺς παραβαίνοντας τῶν Ἰουδαίων) ἀπάξουσιν ἐν ὀλισθήμασι, καὶ μεθ' ἑαυτῶν ἕξουσι καὶ μεταστήσουσι, καὶ ὁ λαὸς ὁ γινώσκων τὸν Θεὸν αὐτοῦ κατισχύσουσι (τὰ ἐπὶ τῶν Μακκαβαίων" λέγει, τὰ ἐπὶ Ἰούδα, καὶ Σίμωνος, καὶ Ἰωάννου) καὶ οἱ συνετοὶ λαοῦ συνήσουσιν εἰς πολλὰ, καὶ ἀσθενήσουσιν ἐν ῥομφαίᾳ, καὶ ἐν φλογὶ (τὸν ἐμπρησμὸν τῆς πόλεως πάλιν διηγούμενος) καὶ ἐν αἰχμαλωσίᾳ, καὶ ἐν διαρπαγῇ ἡμερῶν. καὶ ἐν τῷ ἀσθενῆσαι αὐτοὺς, βοηθήσονται βοήθειαν" μικρὰν (ἐμφαίνων, ὅτι μεταξὺ τῶν κακῶν ἐκείνων δυνήσονται διαπνεῦσαι καὶ διενεγκεῖν ἐκ τῶν κατειληφότων αὐτοὺς δεινῶν) καὶ προστεθήσονται πρὸς αὐτοὺς πολλοὶ ἐν ὀλισθήμασι, καὶ ἀπὸ τῶν" συνιέντων ἀσθενήσουσι. ταῦτα δὲ ἔλεγε, δεικνὺς, ὅτι πολλοὶ καὶ τῶν ἑστώτων πεσοῦνται). Εἶτά φησι καὶ τὴν αἰτίαν, δι' ἣν συνεχώρησεν αὐτοὺς ὁ Θεὸς ἐν τοσούτοις γενέσθαι κακοῖς. τίς δέ ἐστιν αὕτη; τοῦ πυρῶσαι, φησιν, "αὐτοὺς, καὶ τοῦ ἐκλέξασθαι, καὶ τοῦ ἐκλευκᾶναι, ἕως καιροῦ" πέρατος. διὰ ταῦτα,* φησι, συνεχώρησεν ὁ Θεὸς, ὥστε αὐτοὺς ἐκκαθᾶραι, καὶ δεῖξαι τοὺς δοκίμους τοὺς ἐν αὐτοῖς. Εἶτα διηγούμενος τοῦ βασιλέως τὴν δύναμιν αὐτοῦ ἐκείνου, φησί· καὶ ποιήσει κατὰ" τὸ θέλημα αὐτοῦ, καὶ ὑψωθήσεται, καὶ μεγαλυνθήσεται. καὶ τὴν βλάσφημον αὐτοῦ γνώμην λέγων, προσέθηκεν· Ὅτι ἐπὶ τὸν Θεὸν τῶν θεῶν λαλήσει ὑπέρογκα, καὶ κατευθυνεῖ, μέχρι τοῦ συντελεσθῆναι τὴν ὀργήν· δεικνὺς, ὅτι οὐκ ἀπὸ τῆς οἰκείας γνώμης, ἀλλὰ διὰ τὴν ὀργὴν τοῦ Θεοῦ τὴν κατὰ τῶν Ἰουδαίων οὕτως ἐκεῖνος ἐκράτει. Εἰπὼν δὲ δι' ἑτέρων πλειόνων ὁ Δανιὴλ, ὅσα κακὰ ἐργάσεται τὴν Αἴγυπτον, τὴν Παλαιστίνην, πῶς ἐπιδημήσει, καὶ τίνος καλοῦντος, καὶ ποίας αἰτίας καταναγκαζούσης· λέγει λοιπὸν καὶ τὴν τῶν "καιρῶν μεταβολὴν, καὶ ὅτι" διελθόντες οἱ Ἰουδαῖοι διὰ τούτων ἁπάντων, τεύξονταί τινος ἀντιλήψεως, ἀγγέλου πεμφθέντος εἰς τὴν" ἐκείνων βοήθειαν. Ἐν τῷ καιρῷ γὰρ ἐκείνῳ, φησὶν, ἀναστήσεται Μιχαὴλ, ὁ ἄρχων ὁ μέγας, ὁ ἐφεστηκὼς ἐπὶ τοὺς υἱοὺς τοῦ λαοῦ" αὐτοῦ, καὶ ἔσται καιρὸς θλίψεως, οἵα οὐ γέγονεν, ἀφ' οὗ γεγένηται ἔθνος ἐπὶ τῆς γῆς καὶ ἕως τοῦ καιροῦ ἐκείνου. καὶ ἐν

Δαν. ια. λα.

Δαν. ια. λϛ.

Δαν. ιβ. α.

τῷ καιρῷ ἐκείνῳ σωθήσεται ὁ λαὸς πᾶς, ὁ εὑρεθεὶς γεγραμμένος ἐν τῷ βιβλίῳ, τουτέστιν, οἱ σωτηρίας ὄντες ἄξιοι. ἀλλὰ τὸ ζητούμενον οὔπω καὶ νῦν ἀποδέδεικται ἡμῖν. τί δὲ τοῦτό ἐστιν; ὅτι καὶ χρόνοις πλείοσιν αὖθις ἐν τοῖς κακοῖς τούτοις, ὥσπερ ἐκεῖ τετρακόσια ἔτη, καὶ μετὰ ταῦτα ἑβδομήκοντα. ἴδωμεν τοίνυν καὶ ἐνταῦθα, εἴ τινα χρόνον ὁρίζει. ποῦ δὴ τοῦτό ἐστιν εὑρεῖν; ἐν τοῖς μετὰ ταῦτα λεχθήσεσθαι μέλλουσιν. ἐπειδὴ γὰρ τὰ πολλὰ καὶ μεγάλα ἤκουσε κακά, τὸν ἐμπρησμὸν πόλεως, τῆς πολιτείας τὴν ἀνατροπήν, τὴν τῶν οἰκείων αἰχμαλωσίαν· ἐπεθύμει λοιπὸν τὸ τέλος αὐτῶν μαθεῖν, καὶ εἴ τις ἔσται τῶν συμφορῶν τούτων μεταβολή. καὶ

Δαν. ιβ. θ.

ἐρωτῶν ἔλεγεν οὕτω· Κύριε, τί τὰ ἔσχατα τούτων; καὶ εἶπε· Δεῦρο Δανιήλ, ὅτι ἐμπεφραγμένοι καὶ ἐσφραγισμένοι οἱ λόγοι (τὸ ἀσαφὲς τῶν εἰρημένων αἰνιττόμενος) ἕως καιροῦ πέρατος. εἶτα καὶ τὴν αἰτίαν φησὶ τῆς συγχωρήσεως τῶν κακῶν. ἕως ἂν ἐκλεγῶσι καὶ λευκανθῶσι καὶ πυρωθῶσιν οἱ πολλοί, καὶ ἀνομήσωσιν ἄνομοι, καὶ οὐ συνήσωσι πάντες οἱ ἀσεβεῖς, καὶ οἱ νοήμονες συνήσωσιν. εἶτα τὸν καιρὸν παραλέγων, ὅσον μέλλει κατέχειν ταῦτα τὰ δεινά, φησίν· ἀπὸ καιροῦ παραλλάξεως ἐνδελεχισμοῦ. ἐνδελεχισμὸς ἐκαλεῖτο, ἡ καθημερινὴ θυσία. τὸ γὰρ ἐνδελεχές, τὸ πυκνόν ἐστι καὶ τὸ συνεχές. τοῖς γὰρ Ἰουδαίοις ἔθος ἦν καὶ ἐν ἑσπέρᾳ, καὶ ὑπὸ τὴν ἕω καθ' ἑκάστην ἡμέραν τῷ Θεῷ θύειν· διὸ τὴν θυσίαν ἐκείνην ἐνδελεχισμὸν ἐκάλει. ἐπεὶ οὖν ἐλθὼν ὁ Ἀντίοχος τοῦτο τὸ ἔθος κατέλυσε, καὶ παρήλλαξεν αὐτό· φησὶν ὁ ἄγγελος, ὅτι ἀπὸ τοῦ καιροῦ τῆς ἀλλάξεως τοῦ ἐνδελεχισμοῦ (τουτέστιν, ἀπὸ τῆς καταλύσεως τῆς θυσίας ταύτης) ἡμέραι χίλιαι διακόσιαι ἐνενήκοντα, ὅπερ ἐστὶν ἔτη τρία καὶ ἥμισυ καὶ μικρόν τι πρός. εἶτα δηλῶν, ὅτι καὶ λύσις ἔσται τῶν κακῶν τούτων καὶ ἀπαλλαγή,

Δαν. ιβ. ιβ.

ἐπήγαγε· Μακάριος ὁ ὑπομένων καὶ φθάσας εἰς ἡμέρας χιλίας τριακοσίας τριακονταπέντε, ταῖς χιλίαις διακοσίαις ἐνενήκοντα τεσσαρακονταπέντε προσθείς. ἐπειδὴ γὰρ ἐν μηνὶ καὶ ἡμίσει μηνὸς συνέβη γενέσθαι τὴν συμβολήν· ἐν ταύτῃ ἡ νίκη ἡ καθαρὰ γέγονε, καὶ ἡ παντελὴς τῶν ἐπικειμένων κακῶν ἀπαλλαγή. εἰπὼν δέ, ὅτι μακάριος ὁ ὑπομείνας εἰς ἡμέρας χιλίας τριακοσίας τριακονταπέντε, τὴν ἀπαλλαγὴν ἐδήλωσε. καὶ οὐχ ἁπλῶς εἶπεν, ὁ φθάσας, ἀλλ', ὁ ὑπομένων καὶ φθάσας. ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀσεβούντων εἶδον τὴν μεταβολήν· οὐκ ἐκείνους μακαρίζει ἁπλῶς, ἀλλὰ τοὺς ἐν τοῖς καιροῖς τῶν κακῶν μαρτυρήσαντας, καὶ μὴ προδόντας τὴν εὐσέβειαν, εἶτα τυχόντας τῆς ἀνέσεως. διὰ τοῦτο οὐχ ἁπλῶς εἶπεν, ὁ φθάσας· ἀλλ', ὁ ὑπομείνας καὶ φθάσας. ἆρα τί τούτου σαφέστερον γένοιτ' ἄν; ὁρᾷς πῶς οὐ μόνον μέχρις ἐνιαυτῶν καὶ μηνῶν, ἀλλὰ καὶ ἕως ἡμέρας μιᾶς, μετὰ ἀκριβείας ἁπάσης, καὶ τὴν αἰχμαλωσίαν, καὶ τὴν ἀπαλλαγὴν τῆς αἰχμαλωσίας προανεφώνησεν ὁ προφήτης. καὶ ὅτι ταῦτα οὐ στοχαζόμενος λέγω, φέρε καὶ ἕτερον τῶν εἰρημένων παραγάγωμεν μάρτυρα, ὃν μάλιστα ἀξιόπιστον εἶναι νομίζουσιν, Ἰώσηππον λέγω, τὸν καὶ τὰς συμφορὰς αὐτῶν τραγῳδήσαντα, καὶ τὴν παλαιὰν διαθήκην παραφράσαντα πᾶσαν· ὃς μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν γενόμενος, καὶ τὴν αἰχμαλωσίαν τὴν ὑπ' αὐτοῦ προρρηθεῖσαν εἰπών, καὶ περὶ ταύτης διελέχθη τῆς αἰχμαλωσίας [τῆς γενομένης], τὴν τοῦ προφήτου ἑρμηνεύων ὅρασιν, τὴν ἐπὶ τοῦ κριοῦ καὶ τοῦ τράγου καὶ τῶν τεττάρων κεράτων καὶ τοῦ ὑστέρου τοῦ μετ' ἐκεῖνα ἀνελθόντος. καὶ ἵνα μή τις ὑποπτεύῃ τὰ παρ' ἡμῶν εἰρημένα, φέρε καὶ αὐτὰς παραθώμεθα τὰς ῥήσεις ἐκείνου. ἐπαινέσας γὰρ καὶ θαυμάσας τὸν Δανιὴλ μεθ' ὑπερβολῆς ἁπάσης, καὶ τῶν ἄλλων αὐτὸν προθεὶς προφητῶν ἁπάντων, ἦλθε καὶ ἐπὶ ταύτην τὴν ὅρασιν, καί φησιν οὕτω.

Ιωσηπ. Αρχαιολ. ι.

„ Κατέλιπε δὲ γραφάς, ὅθεν ἡμῖν τὸ τῆς προφητείας ἀκριβὲς αὐτοῦ καὶ ἀπαράλλακτον ἐποίησε δῆλον. φησὶ γάρ· ἐν Σούσοις τῇ μητροπόλει τῆς Περσίδος ὡς ἐξέλθοι μὲν εἰς τὸ πεδίον μετὰ ἑταίρων αὐτοῦ τινων, σεισμοῦ δὲ καὶ κλόνου τῆς γῆς ἐξαίφνης γενομένου, κατελείφθη μόνος, φυγόντων τῶν φίλων· καὶ πέσοι μὲν ἐπὶ στόμα ταραχθείς, ἐπὶ τὰς δύο χεῖ-

έρας τινος ἀπολομένου αὐτοῦ, καὶ μεταξὺ κελεύοντος ἀναστῆναι, καὶ τὰ μέλλοντα συμβήσεσθαι τοῖς πολίταις ἰδεῖν μετὰ πολλὰς γενεάς. ἀναστάντι δὲ αὐτῷ δειχθῆναι κριὸν μέγαν, πολλὰ μὲν ἐκπεφυκότα κέρατα, τὸ δὲ τελευταῖον αὐτῶν ὑψηλότερον ἔχοντα· ἔπειτα ἀναβλέψαι μετὰ πρὸς τὴν δύσιν, θεάσασθαι δὲ τράγον δι᾽ ἀέρος φερόμενον· συῤῥήξαντα δὲ τῷ κριῷ, καὶ τοῖς κέρασι πλήξαντα δὶς, καταβαλεῖν αὐτὸν ἐπὶ τῆς γῆς καὶ πατῆσαι· εἶτα τὸν τράγον ἰδεῖν ὑψηλότερον, ἐκ τοῦ μετώπου μέγιστον ἀναφύσαντα κέρας· οὗ κλασθέντος ἄλλα ἀναβλαστῆσαι τέσσαρα καθ᾽ ἕκαστον τῶν ἀνέμων τετραμμένα. ἐξ αὐτῶν δὲ ἀναφῦναι καὶ ἄλλο μικρότερον ἀνέγραψεν· ὃ αὐξῆσαν, ἔλεγεν αὐτῷ ὁ ταῦτα ἐπιδεικνὺς Θεὸς, πολεμήσειν αὐτοῦ τὸ ἔθνος, καὶ τὴν πόλιν αἱρήσειν κατὰ κράτος, καὶ συγχεῖν τὰ περὶ τὸν ναὸν, καὶ τὰς θυσίας κωλύσειν γενέσθαι [δὲ] ἐφ᾽ ἡμέρας χιλίας διακοσίας ἐνενήκοντα. ταῦτα μὲν ἰδεῖν ἐν τῷ πεδίῳ τῷ ἐν Σούσοις ὁ Δανιὴλ ἀνέγραψε· κρίναι δὲ αὐτῷ τὴν ὄψιν τοῦ φαντάσματος ἐδήλου τὸν Θεὸν, ὡς τὸν μὲν κριὸν βασιλείας τὰς Περσῶν καὶ Μήδων σημαίνειν, τὰ δὲ κέρατα, τοὺς βασιλεύειν μέλλοντας· τὸ δὲ ἔσχατον κέρας σημαίνειν τὸν ἔσχατον βασιλέα τὸν μέλλοντα τούτων διοίσειν ἁπάντων πλούτῳ τε καὶ δόξῃ· τὸν δὲ τράγον δηλοῦν, ὡς ἐξ Ἑλλήνων τις βασιλεύων ἔσται, ὃς τῷ Πέρσῃ συμβαλὼν δὶς, κρατήσει τῇ μάχῃ, καὶ ἀφαιρήσεται τὴν ἡγεμονίαν ἅπασαν· δηλοῦσθαι δὲ διὰ τοῦ μεγάλου κέρατος τοῦ ἐν τῷ μετώπῳ τοῦ τράγου, τὸν πρῶτον βασιλέα· καὶ τὴν τῶν τεσσάρων ἀναβλάστησιν ἐκπεσόντος ἐκείνου, καὶ τὴν πρὸς τὰ τέσσαρα κλίματα ἀποστροφὴν ἑκάστου, τοὺς διαδόχους μετὰ τὸν θάνατον τοῦ πρώτου βασιλέως ἐμφαίνεσθαι καὶ διαμερισμὸν εἰς αὐτοὺς τῆς βασιλείας· οὔτε δὲ παῖδας ὄντας αὐτοῦ, οὔτε συγγενεῖς πολλοῖς ἔτεσιν ἄρξειν τῆς οἰκουμένης· ἔσεσθαι δὲ ἐκ τούτων ἕνα τινὰ βασιλέα, τὸν ἐκπολεμήσοντα τὸ ἔθνος, καὶ τοὺς νόμους αὐτῶν καὶ τὴν κατ᾽ αὐτοὺς ἀφαιρησόμενον πολιτείαν, καὶ συλήσοντα τὸν ναὸν, καὶ τὰς θυσίας ἐπὶ ἔτη τρία κωλύσοντα ἐπιτελεσθῆναι. καὶ δὴ ταῦτα ἡμῶν συνέβη τῷ ἔθνει παθεῖν ὑπὸ Ἀντιόχου τοῦ Ἐπιφανοῦς, καθὼς εἶδε Δανιὴλ πολλοῖς ἔτεσιν ἔμπροσθεν, καὶ ἀνέγραψε τὰ γενησόμενα.

Ἄρα τί τούτου σαφέστερον γένοιτ᾽ ἄν; ὥρα δὴ λοιπὸν, εἰ μὴ δοκοῦμεν ἐνοχλεῖν, ἐπ᾽ αὐτὸ τὸ ζητούμενον ἐλθεῖν, τὴν παρελθοῦσαν αἰχμαλωσίαν, καὶ τὴν δουλείαν ταύτην τὴν νῦν σήμερον, δι᾽ ἣν ἅπαντα ταῦτα ἐκινήσαμεν. ἀλλὰ διαναστῆτέ μοι νῦν· οὐδὲ γὰρ ὑπὲρ τῶν τυχόντων ἡμῖν ὁ ἀγών. καὶ γὰρ ἄτοπον, ἐν Ὀλυμπιακοῖς μὲν καθημένους ἀγῶσιν, ἐκ μέσων νυκτῶν εἰς μεσημβρίαν μέσην καρτερεῖν, ἀναμένοντας ἰδεῖν, εἰς τίνα ὁ στέφανος περιστήσεται, καὶ γυμνῇ τῇ κεφαλῇ θερμὴν δέχεσθαι τὴν ἀκτῖνα, καὶ μὴ πρότερον ἀφίστασθαι, ἕως ἂν κρίσιν τὰ ἀγωνίσματα λάβῃ· νυνὶ δὲ ὑμῖν οὐχ ὑπὲρ στεφάνου τοιούτου, ἀλλ᾽ ὑπὲρ τοῦ τῆς ἀφθαρσίας στεφάνου τῶν ἀγώνων ὄντων, ἐκλύεσθε καὶ ταλαιπωρεῖτε. ὅτι μὲν οὖν αἱ τρεῖς προαπηγορεύθησαν αἰχμαλωσίαι, ἡ μὲν τετρακόσια ἔτη ἔχουσα, ἡ δὲ ἑβδομήκοντα, ἡ δὲ τρία καὶ ἥμισυ, ἱκανῶς ἐντεῦθεν ἡμῖν ἀποδέδεικται. φέρε δὴ λοιπὸν καὶ περὶ ταύτης εἴπωμεν. ὅτι μὲν γὰρ καὶ περὶ ταύτης προανεφώνησεν ὁ προφήτης, αὐτὸν τοῦτον πάλιν προάξομαι μάρτυρα, τὸν Ἰώσηππον, τὸν τὰ ἐκείνων φρονοῦντα. ἐπειδὴ γὰρ εἶπεν ἐκεῖνα, ἄκουσον τί φησι μετὰ ταῦτα. Τὸν αὐτὸν δὲ τρόπον Δανιὴλ καὶ περὶ τῆς Ῥωμαίων ἡγεμονίας ἀνέγραψε, καὶ ὅτι ὑπ᾽ αὐτῶν αἱρεθήσεται τὰ Ἱεροσόλυμα, καὶ ὁ ναὸς ἐρημωθήσεται. Σὺ δέ μοι σκόπει, ὡς εἰ καὶ Ἰουδαῖος ἦν ὁ ἀνὴρ ὁ ταῦτα γράψας· ἀλλ᾽ οὕτως οὐκ ἠνέσχετο τὴν ὑμετέραν ζηλῶσαι φιλονεικίαν. εἰπὼν γὰρ, ὅτι αἱρεθήσεται τὰ Ἱεροσόλυμα, οὐκ ἐτόλμησε προσθεῖναι καὶ εἰπεῖν, ὅτι ἀναστήσεται πάλιν, οὐδὲ χρόνον γράψαι διωρισμένον. ἀλλ᾽ ἐπειδὴ συνῄδει τὸν προφήτην οὐχ ὁρίσαντα χρόνον· καίτοι ἀνωτέρω εἰπὼν ἐπὶ τῆς Ἀντιόχου νίκης καὶ τῆς ἐρημώσεως, καὶ ἡμέρας καὶ ἔτη, ὅσα ἔμελλεν ἡ αἰχμαλωσία κρατεῖν, ἐπὶ τῆς Ῥωμαίων [μὲν] οὐδὲν τοιοῦτον εἶπεν. ἀλλ᾽, ὅτι μὲν ἐρημωθήσεται τὰ Ἱεροσόλυμα καὶ ὁ

ναὸς

τῷ καιρῷ ἐκείνῳ σωθήσεται" ὁ λαὸς πᾶς, ὁ εὑρεθεὶς γεγραμμένος ἐν "τῷ βιβλίῳ, τουτέστιν, οἱ σωτηρίας ὄντες ἄξιοι. ἀλλὰ τὸ ζητούμενον οὔπω καὶ νῦν ἀποδέδεικται ἡμῖν. τί δὲ τοῦτό ἐστιν; ὅτι καὶ χρόνοις ὥρισεν αὐτοῖς ἐν τοῖς κακοῖς τούτοις, ὥσπερ ἐκεῖ τετρακόσια ἔτη, καὶ μετὰ ταῦτα ἑβδομήκοντα. ἴδωμεν τοίνυν καὶ ἐνταῦθα, εἴ τινα χρόνον ὁρίζει. ποῦ δὴ τοῦτο ἔστιν εὑρεῖν; ἐν τοῖς μετὰ ταῦτα λεχθήσεσθαι μέλλουσιν. ἐπειδὴ γὰρ τὰ πολλὰ καὶ μεγάλα ἤκουσε κακά, τὸν ἐμπρησμὸν πόλεως, τῆς πολιτείας τὴν ἀνατροπήν, τὴν τῶν "οἰκείων αἰχμαλωσίαν· "ἐπιθυμεῖ λοιπὸν τὸ τέλος αὐτῶν "μαθεῖν, καὶ "εἴ τις ἔσται τῶν συμφορῶν τούτων μεταβολή. Δαν. ιβ. θ. καὶ ἐρωτῶν ἔλεγεν οὕτω· Κύριε, τί τὰ ἔσχατα τούτων; καὶ εἶπε· Δεῦρο Δανιήλ, ὅτι ἐμπεφραγμένοι καὶ ἐσφραγισμένοι οἱ λόγοι (τὸ ἀσαφὲς τῶν εἰρημένων αἰνιττόμενος) ἕως καιροῦ πέρατος. εἶτα καὶ τὴν αἰτίαν φησὶ τῆς συγχωρήσεως τῶν κακῶν. ἕως ἂν ἐκλεγῶσι καὶ λευκανθῶσι καὶ πυρωθῶσιν οἱ πολλοί, καὶ ἀνομήσωσιν ἄνομοι, καὶ οὐ συνήσωσι πάντες οἱ ἀσεβεῖς, καὶ οἱ νοήμονες συνήσωσιν. εἶτα τὸν καιρὸν παραλέγων, ὅσον μέλλει κατέχειν ταῦτα τὰ δεινά, φησίν· ἀπὸ καιροῦ παραλλάξεως ἐνδελεχισμοῦ. ἐνδελεχισμὸς ἐκαλεῖτο, ἡ καθημερινὴ θυσία. τὸ γὰρ ἐνδελεχές, τὸ πυκνόν ἐστι καὶ τὸ συνεχές. τοῖς "γὰρ Ἰουδαίοις ἔθος ἦν καὶ ἐν ἑσπέρᾳ, καὶ ὑπὸ τὴν ἕω καθ' ἑκάστην ἡμέραν τῷ Θεῷ θύειν· διὸ τὴν θυσίαν ἐκείνην ἐνδελεχισμὸν ἐκάλει. ἐπεὶ οὖν ἐλθὼν ὁ Ἀντίοχος τοῦτο τὸ ἔθος κατέλυσε, καὶ "παρήλλαξεν αὐτό· φησὶν ὁ ἄγγελος, ὅτι ἀπὸ τοῦ καιροῦ τῆς ἀλλάξεως τοῦ ἐνδελεχισμοῦ (τουτέστιν, ἀπὸ τῆς καταλύσεως τῆς θυσίας ταύτης) ἡμέραι χίλιαι διακόσιαι ἐνενήκοντα, ὅπερ ἐστὶν ἔτη τρία καὶ ἥμισυ καὶ μικρόν τι πρός. εἶτα δηλῶν, ὅτι "καὶ λύσις ἔσται τῶν κακῶν τούτων καὶ ἀπαλλαγή, Δαν. ιβ. ιβ. ἐπήγαγε· Μακάριος ὁ ὑπομένων καὶ φθάσας εἰς ἡμέρας χιλίας τριακοσίας τριακονταπέντε, ταῖς χιλίαις διακοσίαις ἐνενήκοντα τεσσαρακονταπέντε προσθείς. ἐπειδὴ γὰρ ἐν μηνὶ καὶ ἡμίσει μηνὸς συνέβη γενέσθαι τὴν συμβολήν· ἐν ταύτῃ ἡ νίκη ἡ καθαρὰ γέγονε, καὶ ἡ παντελὴς τῶν ἐπικειμένων κακῶν ἀπαλλαγή. εἰπὼν δέ, ὅτι μακάριος ὁ ὑπομείνας εἰς ἡμέρας χιλίας τριακοσίας τριακονταπέντε, τὴν ἀπαλλαγὴν ἐδήλωσε. καὶ οὐχ ἁπλῶς εἶπεν, ὁ φθάσας, ἀλλ', ὁ "ὑπομένων καὶ φθάσας. ἐπειδὴ γὰρ πολλοὶ τῶν "ἀσεβούντων εἶδον τὴν μεταβολήν· οὐκ ἐκείνους μακαρίζει ἁπλῶς, ἀλλὰ τοὺς ἐν τοῖς καιροῖς τῶν κακῶν μαρτυρήσαντας, καὶ μὴ προδόντας τὴν εὐσέβειαν, εἶτα τυχόντας τῆς ἀνέσεως. διὰ τοῦτο οὐχ ἁπλῶς εἶπεν, ὁ φθάσας· ἀλλ', ὁ ὑπομείνας καὶ φθάσας. ἆρα τί τούτου σαφέστερον γένοιτ' ἄν; ὁρᾷς πῶς οὐ μόνον μέχρις ἐνιαυτῶν καὶ μηνῶν, ἀλλὰ καὶ ἕως ἡμέρας μιᾶς, μετὰ ἀκριβείας ἁπάσης, καὶ τὴν αἰχμαλωσίαν, καὶ τὴν ἀπαλλαγὴν τῆς αἰχμαλωσίας "προανεφώνησεν ὁ προφήτης. καὶ ὅτι ταῦτα οὐ στοχαζόμενος λέγω, φέρε καὶ ἕτερον τῶν εἰρημένων παραγάγωμεν μάρτυρα, ὃν μάλιστα ἀξιόπιστον εἶναι νομίζουσιν, Ἰώσηππον λέγω, τὸν καὶ τὰς συμφορὰς αὐτῶν τραγῳδήσαντα, καὶ τὴν παλαιὰν διαθήκην παραφράσαντα πᾶσαν· ὃς μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν γενόμενος, καὶ τὴν αἰχμαλωσίαν τὴν ὑπ' αὐτοῦ προρρηθεῖσαν εἰπών, καὶ περὶ ταύτης διελέχθη τῆς αἰχμαλωσίας [τῆς γενομένης], τὸν τοῦ προφήτου ἑρμηνεύων "ὅρασιν, τὴν ἐπὶ τοῦ κριοῦ καὶ τοῦ τράγου καὶ τῶν τεσσάρων κεράτων καὶ τοῦ ὑστέρου τοῦ μετ' ἐκεῖνα ἀνελθόντος. καὶ ἵνα μή τις ὑποπτεύῃ τὰ παρ' ἡμῶν εἰρημένα, φέρε καὶ αὐτὰς παραθώμεθα τὰς ῥήσεις ἐκείνου. ἐπαινέσας γὰρ καὶ θαυμάσας τὸν Δανιὴλ μεθ' ὑπερβολῆς ἁπάσης, καὶ τῶν ἄλλων αὐτὸν προθεὶς προφητῶν ἁπάντων, ἦλθε καὶ ἐπὶ ταύτην τὴν ὅρασιν, καί φησιν οὕτω.

Ἰωσηπ. Ἀρχαιολ. ι.

‟ "Κατέλιπε δὲ γραφάς, ὅθεν ἡμῖν τὸ τῆς προφητείας ἀκριβὲς αὐτοῦ καὶ ἀπαράλλακτον
‟ ἐποίησε δῆλον. φησὶ γάρ· ἐν Σούσοις τῇ μητροπόλει τῆς Περσίδος ὡς ἐξέλθοι μὲν εἰς τὸ
‟ πεδίον μετὰ ἑταίρων αὐτοῦ τινων, σεισμοῦ δὲ καὶ κλόνου τῆς γῆς ἐξαίφνης γενομένου, κατα-
‟ λειφθῆναι μόνος, φυγόντων τῶν "φίλων· καὶ πέσοι μὲν ἐπὶ στόμα ταραχθείς, ἐπὶ τὰς δύο χεῖ-

ρας

ἐρᾶς τινος ἀπολομένου αὐτοῦ, καὶ μεταξὺ κελεύοντος ἀναστῆναι, καὶ τὰ μέλλοντα συμβήσεσθαι τοῖς πολίταις ἰδεῖν μετὰ πολλὰς γενεάς. ἀναστάντι δὲ αὐτῷ δειχθῆναι κριὸν μέγαν, πολλὰ μὲν ἐκπεφυκότα κέρατα, τὸ δὲ τελευταῖον αὐτῶν ὑψηλότερον ἔχοντα· ἔπειτα ἀναβλέψαι μετὰ πρὸς τὴν δύσιν, θεάσασθαι δὲ τράγον δι' ἀέρος φερόμενον· συῤῥήξαντα δὲ τῷ κριῷ, καὶ τοῖς κέρασι πλήξαντα δὶς, καταβαλεῖν αὐτὸν ἐπὶ τῆς γῆς καὶ πατῆσαι· εἶτα τὸν τράγον ἰδεῖν ὑψηλότερον, ἐκ τοῦ μετώπου μέγιστον ἀναφύσαντα κέρας· οὗ κλασθέντος ἄλλα ἀναβλαστῆσαι τέσσαρα καθ' ἕκαστον τῶν ἀνέμων τετραμμένα. ἐξ αὐτῶν δὲ ἀνασχεῖν καὶ ἄλλο μικρότερον ἀνέγραψεν· ὃ αὐξῆσαν, ἔλεγεν αὐτῷ ὁ ταῦτα ἐπιδεικνὺς Θεὸς, πολεμήσειν αὐτοῦ τὸ ἔθνος, καὶ τὴν πόλιν αἱρήσειν κατὰ κράτος, καὶ συγχεῖν τὰ περὶ τὸν ναὸν, καὶ τὰς θυσίας κωλύσειν γενέσθαι [δὲ] ἐφ' ἡμέρας χιλίας διακοσίας ἐνενήκοντα. Ταῦτα μὲν ἰδεῖν ἐν τῷ πεδίῳ τῷ ἐν Σούσοις ὁ Δανιὴλ ἀνέγραψε· κρῖναι δὲ αὐτῷ τὴν ὄψιν τοῦ φαντάσματος ἐδήλου τὸν Θεὸν, ὡς τὸν μὲν κριὸν βασιλείας τὰς Περσῶν καὶ Μήδων σημαίνειν, τὰ δὲ κέρατα, τοὺς βασιλεύειν μέλλοντας· τὸ δ' ἔσχατον κέρας σημαίνειν τὸν ἔσχατον βασιλέα τὸν μέλλοντα τούτων διοίσειν ἁπάντων πλούτῳ τε καὶ δόξῃ· τὸν δὲ τράγον δηλοῦν, ὡς ἐξ Ἑλλήνων τις βασιλεύων ἔσται, ὃς τῷ Πέρσῃ συμβαλὼν δὶς, κρατήσει τῇ μάχῃ, καὶ ἀφαιρήσεται τὴν ἡγεμονίαν ἅπασαν· δηλοῦσθαι δὲ διὰ τοῦ μεγάλου κέρατος τοῦ ἐν τῷ μετώπῳ τοῦ τράγου, τὸν πρῶτον βασιλέα· καὶ τὴν τῶν τεσσάρων ἀναβλάστησιν ἐκπεσόντος ἐκείνου, καὶ τὴν πρὸς τὰ τέσσαρα κλίματα ἀποστροφὴν ἑκάστου, τοὺς διαδόχους μετὰ τὸν θάνατον τοῦ πρώτου βασιλέως ἐμφαίνεσθαι καὶ διαμερισμὸν εἰς αὐτοὺς τῆς βασιλείας· οὔτε δὲ παῖδας ὄντας αὐτοῦ, οὔτε συγγενεῖς πολλοῖς ἔτεσιν ἄρξειν τῆς οἰκουμένης· ἔσεσθαι δὲ ἐκ τούτων ἕνα τινὰ βασιλέα, τὸν ἐκπολεμήσοντα τὸ ἔθνος, καὶ τοὺς νόμους αὐτῶν καὶ τὴν κατ' αὐτοὺς ἀφαιρησόμενον πολιτείαν, καὶ συλήσοντα τὸν ναὸν, καὶ τὰς θυσίας ἐπὶ ἔτη τρία κωλύσοντα ἐπιτελεσθῆναι. καὶ δὴ ταῦτα ἡμῖν συνέβη τῷ ἔθνει παθεῖν ὑπὸ Ἀντιόχου τοῦ Ἐπιφανοῦς, καθὼς εἶδε Δανιὴλ πολλοῖς ἔτεσιν ἔμπροσθεν, καὶ ἀνέγραψε τὰ γενησόμενα.

Ἆρα τί τούτου σαφέστερον γένοιτ' ἄν; ὥρα δὴ λοιπὸν, εἰ μὴ δοκοῦμεν ἐνοχλεῖν, ἐπ' αὐτὸ τὸ ζητούμενον ἐλθεῖν, τὴν παροῦσαν αἰχμαλωσίαν, καὶ τὴν δουλείαν ταύτην ἣ τὴν σήμερον, δι' ἣν ἅπαντα ταῦτα ἐκινήσαμεν. ἀλλὰ διαναστῆτέ μοι νῦν· οὐδὲ γὰρ ὑπὲρ τῶν τυχόντων ἡμῖν ὁ ἀγών. καὶ γὰρ ἄτοπον, ἐν Ὀλυμπιακοῖς μὲν καθημένους ἀγῶσιν, ἐκ μέσων νυκτῶν εἰς μεσημβρίαν μέσην καρτερεῖν, ἀναμένοντας ἰδεῖν, εἰς τίνα ὁ στέφανος περιστήσεται, καὶ γυμνῇ τῇ κεφαλῇ θερμὴν δέχεσθαι τὴν ἀκτῖνα, καὶ μὴ πρότερον ἀφίστασθαι, ἕως ἂν κρίσιν τὰ ἀγωνίσματα λάβῃ· νῦν δὲ ὑμῖν οὐχ ὑπὲρ στεφάνου τοιούτου, ἀλλ' ὑπὲρ τοῦ τῆς ἀφθαρσίας στεφάνου τῶν ἀγώνων ὄντων, ἐκλύεσθαι καὶ ταλαιπωρεῖν. ὅτι μὲν οὖν αἱ τρεῖς προανηγορεύθησαν αἰχμαλωσίαι, ἡ μὲν τετρακόσια ἔτη ἔχουσα, ἡ δὲ ἑβδομήκοντα, ἡ δὲ τρία καὶ ἥμισυ, ἱκανῶς ἐντεῦθεν ἡμῖν ἀποδέδεικται. Φέρε δὴ λοιπὸν καὶ περὶ ταύτης εἴπωμεν. ὅτι μὲν γὰρ καὶ περὶ ταύτης προανεφώνησεν ὁ προφήτης, αὐτὸν τοῦτον πάλιν παρέξομαι μάρτυρα, τὸν Ἰώσηππον, τὸν τὰ ἐκείνων φρονοῦντα. ἐπειδὴ γὰρ εἶπεν ἐκεῖνα, ἄκουσον τί φησι μετὰ ταῦτα. Τὸν αὐτὸν δὲ τρόπον Δανιὴλ καὶ περὶ τῆς Ῥωμαίων ἡγεμονίας ἀνέγραψε, καὶ ὅτι ὑπ' αὐτῶν αἱρεθήσεται τὰ Ἱεροσόλυμα, καὶ ὁ ναὸς ἐρημωθήσεται. Σὺ δέ μοι σκόπει, ὡς εἰ καὶ Ἰουδαῖος ἦν ὁ ἀνὴρ ὁ ταῦτα γράψας· ἀλλ' οὖν οὐκ ἠνέσχετο τὴν ὑμετέραν ζηλῶσαι φιλονεικίαν. Εἰπὼν γὰρ, ὅτι αἱρεθήσεται τὰ Ἱεροσόλυμα, οὐκ ἐτόλμησε προσθεῖναι καὶ εἰπεῖν, ὅτι ἀναστήσεται πάλιν, οὐδὲ χρόνον γράψαι διωρισμένον. ἀλλ' ἐπειδὴ συνεῖδε τὸν προφήτην οὐχ ὁρίσαντα χρόνον· καίτοι ἀνωτέρω εἰπὼν ἐπὶ τῆς Ἀντιόχου νίκης καὶ τῆς ἐρημώσεως, καὶ ἡμέρας καὶ ἔτη, ὅσα ἔμελλεν ἡ αἰχμαλωσία κρατεῖν, ἐπὶ τῆς Ῥωμαίων [μὲν] οὐδὲν τοιοῦτον εἶπεν. ἀλλ', ὅτι μὲν ἐρημωθήσεται τὰ Ἱεροσόλυμα καὶ ὁ ναός, ἔγραψεν· ὅτι δὲ ἔσται πού τὰ τῆς "ἐρημώσεως, οὐκ ἔτι προσέθηκεν, ἐπεὶ μηδὲ τῷ προφήτῃ εἶδε τοῦτο "προσθέντα. Ταῦτα δὲ πάντα, φησὶ, τοῦ Θεοῦ δείξαντος αὐτῷ, συγγράψας κατέλιπεν· ὥστε τοὺς ἀναγινώσκοντας, καὶ τὰ συμβαίνοντα σκοποῦντας θαυμάζειν ἐπὶ τῇ παρὰ τοῦ Θεοῦ τιμῇ τὸν Δανιήλ. ποῦ τοίνυν εἶπεν ὁ Δανιήλ, ὅτι ὁ ναὸς ἐρημωθήσεται, ἡμεῖς λοιπὸν σκοπήσωμεν. ἐπειδὴ γὰρ τὴν προσευχὴν ἐκείνην τὴν ἐν σάκκῳ καὶ σποδῷ ἐποιήσατο, Δαν. θ. κδ. ἦλθε Γαβριὴλ πρὸς αὐτὸν, καί φησιν· Ἑβδομήκοντα ἑβδομάδες συνετμήθησαν ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν. ἰδοὺ καὶ ἐνταῦθα χρόνος εἴρηται, φησί· χρόνος, οὐ τῆς αἰχμαλωσίας, ἀλλὰ μεθ' ὅσον ἔμελλεν ἡ αἰχμαλωσία ἀπολυθήσεσθαι χρόνον πάλιν. ἑτέρωθι δὲ ἐστὶ χρόνον εἰπεῖν, ὅσον ἔμελλε κρατεῖν ἡ αἰχμαλωσία, καὶ χρόνον μεθ' ὃν ἀπολυτρωθῆναι "ἔμελλε καὶ παραγίνεσθαι. ἑβδομήκοντα ἑβδομάδες, φησὶ, συνετμήθησαν ἐπὶ τὸν λαόν σου· οὐκ ἔτι ἐπὶ τὸν λαὸν τὸν ἐμόν. καίτοι ὁ προφήτης ἔλεγεν, Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν λαόν σου. ἀλλ' ὁ Θεὸς ἀλλοτριοῦται αὐτὸν λοιπὸν διὰ τὸ μέλλον ἔσεσθαι τόλμημα. Εἶτά φησι καὶ τὴν αἰτίαν, Ἕως τοῦ παλαιωθῆναι παράπτωμα, καὶ τοῦ "συντελεσθῆναι ἁμαρτίαν. τί ἐστιν, ἕως τοῦ "συντελεσθῆναι ἁμαρτίαν; πολλά, φησιν, ἁμαρτάνουσιν, ἀλλ' ἡ κορωνὶς τῶν κακῶν τότε ἔσται, ὅταν τὸν δεσπότην αὐτῶν ἀνέλωσι. τοῦτό Ματθ. κγ. λβ. φησι καὶ ὁ Χριστός· Πληρώσατε τὸ "μέτρον τῶν πατέρων ὑμῶν· δούλους, φησὶν, ἀπεκτείνατε, προσθέτε καὶ αἷμα δεσποτικόν. ὁρᾷς σύμφωνα τὰ νοήματα. ὁ Χριστὸς εἶπε, πληρώσατε· ὁ προφήτης φησὶ "τελεσθῆναι ἁμαρτίαν. Καὶ τοῦ σφραγίσαι ἁμαρτίας. τί ἐστι, σφραγίσαι; "ὥστε μηδὲν ὑπολελεῖφθαι λοιπόν. Καὶ τοῦ ἀγαγεῖν δικαιοσύνην αἰώνιον. ποία δὲ δικαιοσύνη αἰώνιος, ἀλλ' ἢ ἡ παρὰ τοῦ "Χριστοῦ δοθεῖσα; Καὶ τοῦ σφραγίσαι ὅρασιν καὶ προφήτην καὶ χρῖσαι ἅγιον ἁγίων· τουτέστι, στῆσαι λοιπὸν τὰς προφητείας· τοῦτο γάρ ἐστι σφρα- Ματθ. ια. ιγ. γίσαι, τὸ στῆσαι τὸ χρῖσμα, στῆσαι τὰς ὁράσεις. διὰ τοῦτο ὁ Χριστὸς ἔλεγεν· Ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου. ὁρᾷς πῶς παντελῆ ἐνταῦθα ἀπειλεῖ ἐρήμωσιν, καὶ τῶν ἁμαρτιῶν ἀνταπόδοσιν καὶ τῶν ἀδικιῶν; οὐ γὰρ συγχωρεῖν, ἀλλ' ἐπεξιέναι τοῖς ἁμαρτήμασιν αὐτῶν ἠπείλησεν ὁ Θεός. καὶ πότε δὴ τοῦτο γέγονε; πότε ἀνῃρέθησαν προφῆται παντελῶς; πότε τὸ χρῖσμα κατελύθη, ὡς μηκέτι πάλιν ἐπανελθεῖν; κἂν ἡμεῖς σιγήσωμεν, οἱ λίθοι κεκράξονται· οὕτω λαμπρὰ τῶν πραγμάτων ἐστὶν ἡ φωνή. οὐδὲ γὰρ ἂν ἔχοιμεν ἄλλον καιρὸν εἰπεῖν, ἐν ᾧ ταῦτα ὑπέστησαν, ἢ τοῦτον τὸν μακρὸν καὶ πολύν, καὶ πλείονα πάλιν ἐσόμενον. Εἶτα πάλιν ἀκριβέστερον λέγων, φησί· Καὶ γνώσῃ, καὶ συνήσεις ἀπὸ ἐξόδου "λόγων τοῦ ἀποκριθῆναι, καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλήμ, ἕως Χριστοῦ ἡγουμένου, ἑβδομάδες ἑπτά, καὶ ἑβδομάδες ἑξήκοντα δύο. ἐνταῦθά μοι μετὰ ἀκριβείας προσέχετε· τὸ γὰρ πᾶν ἐνταῦθα ἐστὶ ζήτημα. ἑβδομάδες ἑπτά, καὶ ἑβδομάδες ἑξήκοντα δύο, τετρακόσια ὀγδοήκοντα καὶ τρία ἔτη ἐστίν. ἑβδομάδας γὰρ ἐνταῦθα οὐχ ἡμερῶν φησιν, οὐδὲ μηνῶν, ἀλλ' ἑβδομάδας ἐνιαυτῶν. ἀπὸ γὰρ Κύρου ἐπὶ Ἀντίοχον τὸν Ἐπιφανῆ, καὶ τὴν αἰχμαλωσίαν ἐκείνην, τριακόσια ἐνενήκοντα τέσσαρά ἐστιν ἔτη. δῆλον τοίνυν ὅτι οὐκ ἐκείνην λέγει τὴν ἐρήμωσιν τοῦ ναοῦ, ἀλλὰ τὴν μετ' ἐκείνην, τὴν ἐπὶ Πομπηίου καὶ Οὐεσπασιανοῦ καὶ Τίτου, περαιτέρω προάγων τὸν χρόνον. Εἶτα διδάσκων ἡμᾶς, πόθεν ἀριθμεῖν χρή, δείκνυσιν ὅτι οὐκ ἀπὸ τῆς ἡμέρας τῆς ἐπανόδου· ἀλλὰ πόθεν; ἀπὸ ἐξόδου λόγων τοῦ ἀποκριθῆναι, καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλήμ. οὐκ ἐπὶ Κύρου δὲ ᾠκοδομήθη, ἀλλ' ἐπὶ τοῦ Ἀρταξέρξου τοῦ μακρόχειρος. μετὰ γὰρ τὴν κάθοδον ἐπανῆλθε Καμβύσης, εἶτα οἱ μάγοι, καὶ μετ' ἐκείνους Δαρεῖος ὁ Ὑστάσπου, εἶτα Ξέρξης ὁ Δαρείου, καὶ μετὰ τοῦτον "Ἀρταβάνης· εἶτα μετὰ Ἀρταβάνην Ἀρταξέρξης ὁ μακρόχειρ ἐβασίλευσε τῶν Περσῶν· καὶ τούτου "βασιλεύοντος, εἰκοστοῦ ἔτους τῆς βασιλείας αὐτοῦ, Νεεμίας "ἀνελθὼν τὴν πόλιν ἀνέστησε. καὶ ταῦτα ὁ Ἔσδρας ἡμῖν ἀκριβῶς διηγήσατο. ἂν τοίνυν ἐντεῦθεν τετρακόσια καὶ ὀγδοήκοντα τρία ἔτη ἀριθμήσωμεν, πάντως

ἥξομεν

ἠξομένην ἐπὶ τὴν κατασκαφὴν ταύτην. Διὰ τοῦτό φησιν, οἰκοδομηθήσεται πλατεῖα καὶ περίτειχος. ἐπειδὰν οὖν, φησὶν, ἀναστῇ, καὶ ὁ οἶκος ἀπολάβῃ σχῆμα· ἀπ' ἐκείνου τὰς ἑβδομάδας τὰς ἑβδομήκοντα ἀριθμεῖ, καὶ ὅτι μετὰ τὴν αἰχμαλωσίαν ταύτην οὐκ ἔτι τέλος ἕξουσαν. καὶ τοῦτο δὲ αὐτὸ δηλῶν σαφέστερον, ὅτι οὐχ ἕξει τινὰ λύσιν τὰ κατέχοντα αὐτοὺς κακὰ, οὕτω φησί· Μετὰ τὰς ἑβδομάδας τὰς ἑβδομήκοντα ἐξολοθρευθήσεται χρίσμα, καὶ κρίμα οὐκ ἔσται ἐν αὐτῇ, καὶ τὴν πόλιν [δὲ] καὶ τὸ ἅγιον συνδιαφθαρεῖ σὺν τῷ ἡγουμένῳ τῷ ἐρχομένῳ, καὶ συγκοπήσονται ὡς ἐν κατακλυσμῷ· οὐδὲ λείψανον ἔσται λοιπὸν, οὐδὲ ῥίζα πάλιν ἀναβλαστάνουσα, καὶ ἕως τέλους πολέμου συντετμημένα ἀφανισμῶν. καὶ πάλιν λέγων τὴν αἰχμαλωσίαν ταύτην, φησίν· Ἀρθήσεται θυμίαμα καὶ σπονδὴ, καὶ ἐπὶ τούτοις ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῆς ἐρημώσεως, καὶ ἕως συντελείας καιροῦ συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν. ὅταν δὲ ἀκούσῃς, ὦ Ἰουδαῖε, συντέλειαν, τί λοιπὸν ἕτερον προσδοκᾷς; Καὶ ἐπὶ τούτοις. τί δέ ἐστιν, ἐπὶ τούτοις; τουτέστι, πρὸς τούτοις τοῖς εἰρημένοις, τῇ τῆς θυσίας ἀναιρέσει καὶ τῆς σπονδῆς, καὶ ἕτερον ἔσται μεῖζον κακόν. ποῖον δὴ τοῦτο; ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῆς ἐρημώσεως· ἱερὸν, τὸν ναὸν καλῶν, βδέλυγμα δὲ ἐρημώσεως, τὸν ἀνδριάντα, ὃν ἔστησεν ὁ τὴν πόλιν καθελὼν ἔνδον ἐν τῷ ναῷ. καὶ ἕως συντελείας, φησὶν, ἐρήμωσις. Διὰ τοῦτό φησιν ὁ Χριστὸς, μετὰ Ἀντίοχον τὸν Ἐπιφανῆ παραγενόμενος ὁ κατὰ σάρκα, καὶ προαναφωνῶν τὴν μέλλουσαν ἔσεσθαι αἰχμαλωσίαν, καὶ δεικνὺς, ὅτι περὶ αὐτῆς ὁ Δανιὴλ προεφήτευσε, φησίν· Ὅταν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, ὃ εἶπε Δανιὴλ ὁ προφήτης, ἑστὼς ἐν τόπῳ ἁγίῳ. ὁ ἀναγινώσκων νοείτω. ἐπειδὴ γὰρ ἅπαν εἴδωλον καὶ πᾶν τύπωμα ἀνθρώπου παρὰ τοῖς Ἰουδαίοις βδέλυγμα ἐκαλεῖτο· αἰνιγματωδῶς ἐμφαίνων τὸν ἀνδριάντα ἐκεῖνον, ὅμως καὶ πότε καὶ ὑπὸ τίνος ἡ αἰχμαλωσία ἔσται, προανεφώνησεν. ὅτι δὲ περὶ Ῥωμαίων ταῦτα εἴρηται, καὶ ὁ Ἰώσηππος, καθάπερ ἔμπροσθεν ἀπεδείξαμεν, εἴρηκε. τίς οὖν ὑμῖν λοιπὸν ὑπολέλειπται λόγος, ὅταν τὰς μὲν ἄλλας φαίνωνται αἰχμαλωσίας οἱ προφῆται μετὰ διωρισμένων χρόνων εἰπόντες, ταύτῃ δὲ μηδένα χρόνον ὁρίσαντες, ἀλλὰ καὶ τὸ ἐναντίον προσειπόντες, ὅτι ἕως συντελείας ἔσται ἡ ἐρήμωσις; καὶ ὅτι οὐ ψευδῆ τὰ εἰρημένα, φέρε καὶ τὴν ἀπὸ τῶν πραγμάτων αὐτῶν παράσχωμεν μαρτυρίαν. Εἰ μὲν γὰρ μὴ ἐπεχείρησαν οἰκοδομῆσαι τὸν ναὸν, εἶχον ἂν λέγειν, ὅτι εἴγε ἠβουλήθημεν ἐπιχειρῆσαι, καὶ τῆς οἰκοδομῆς ἅψασθαι, πάντως ἂν ἰσχύσαμεν καὶ ἠνύσαμεν. νυνὶ δὲ αὐτοὺς δείκνυμι οὐχ ἅπαξ, οὐδὲ δὶς, ἀλλὰ καὶ τρὶς ἐπιχειρήσαντας, καὶ ῥαγέντας, καθάπερ ἐν τοῖς Ὀλυμπιακοῖς ἀγῶσιν, ὥστε ἀναμφισβήτητον εἶναι τὸν τῆς ἐκκλησίας τὸν στέφανον. ποῖοι τοίνυν ἐπεχείρησαν; οἱ ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀντιπίπτοντες, οἱ νεωτεροποιοὶ καὶ στασιασταὶ ἐπὶ Ἀδριανοῦ συστάντες, ἐσπούδαζον ἐπὶ τὴν προτέραν πολιτείαν ἐπανελθεῖν οὐκ εἰδότες, ὅτι ψήφῳ Θεοῦ πολεμοῦσι κελευούσῃ διὰ παντὸς ἐρημοῦσθαι τὴν πόλιν· τὸν δὲ Θεῷ πολεμοῦντα περιγενέσθαι ἀμήχανον. συῤῥήξαντες τοίνυν τῷ βασιλεῖ, πάλιν εἰς ἀνάγκην αὐτὸν κατέστησαν παντελοῦς ἐρημώσεως. καθελὼν γὰρ αὐτοὺς ἐκεῖνος, καὶ χειρωσάμενος, καὶ τὰ λείψανα ἀφανίσας πάντα, ἵνα μηδὲ ἀναισχυντεῖν ἔχωσι λοιπὸν, τὸν ἀνδριάντα ἔστησε τὸν ἑαυτοῦ. Εἶτα συνιδὼν, ὅτι συμβαίνει χρόνῳ ποτὲ τοῦτον καταπεσεῖν· ὥστε αὐτοῖς ἐνθεῖναι καυτῆρα ἀνίατον, τῆς ἥττης καὶ τῆς ἀναισχυντίας ἐκείνης ἔλεγχον, τὸ ὄνομα τὸ ἑαυτοῦ τοῖς τῆς πόλεως ἐπέθηκε λειψάνοις. ἐπειδὴ γὰρ Αἴλιος Ἀδριανὸς ἐχρημάτιζεν, οὕτω καὶ τὴν πόλιν καλεῖσθαι ἐνομοθέτησε, καὶ ἐκεῖθεν Αἰλία μέχρι τοῦ νῦν ὀνομάζεται, ἀπὸ τῆς ἐπωνυμίας τοῦ κρατήσαντος καὶ καθελόντος αὐτήν. ὁρᾷς τὴν προτέραν ἐπιχείρησιν τῶν ἀναισχύντων Ἰουδαίων; βλέπε καὶ τὴν μετ' ἐκείνην. ἐπὶ Κωνσταντίνου πάλιν τοῖς αὐτοῖς ἐπεχείρησαν. ὁ δὲ τὰ ὦτα αὐτῶν ἀποτεμὼν, καὶ τὸ τῆς παρακοῆς σύμβολον ἐνθεὶς αὐτῶν τῷ σώματι, πανταχοῦ περιῆγε, καθάπερ τινὰς δραπέτας καὶ μαστιγίας, διὰ τῆς τοῦ σώματος πηρώσεως ἅπασι καταδήλους ποιῶν, καὶ τοὺς πανταχοῦ σωφρο-

νίζων

Δαν. θ. κς.

Ματθ. κδ. ιε.

νίζωσι μηκέτι τοῖς αὐτοῖς ἐπιχειρεῖν πράγμασιν. ἀλλὰ ταῦτα μὲν ἀρχαῖα καὶ παλαιά, μᾶλλον δὲ τοῦτο μὲν τοῖς ἔτι πρεσβυτέροις ἡμῶν ἐστι γνώριμον· ὃ δὲ μέλλω νῦν ἐρεῖν, καὶ τοῖς σφόδρα νέοις δῆλόν ἐστι καὶ καταφανές. οὐδὲ γὰρ ἐπὶ Ἀδριανοῦ καὶ Κωνσταντίνου γέγονεν, ἀλλ' ἐπὶ βασιλέως πρὸ εἴκοσι ἐτῶν γεγενημένου ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας. Ἰουλιανοῦ γάρ, τοῦ πάντας * ἀσεβείᾳ τοὺς βασιλέας νικήσαντος, καλοῦντος αὐτοὺς ἐπὶ τὰς τῶν εἰδώλων θυσίας, καὶ ἐπισπωμένου πρὸς τὴν οἰκείαν ἀσέβειαν, εἶτα τὸν παλαιὸν τῆς θεραπείας προβαλλομένου τρόπον, καὶ λέγοντος, ὅτι καὶ ἐπὶ τῶν προγόνων τῶν ὑμετέρων οὕτως ὁ Θεὸς ἐθεραπεύετο· καὶ ἄκοντες " ὡμολόγησαν τότε ταῦτα, ἅπερ ἡμεῖς ἀπεδείξαμεν νῦν, ὅτι τῆς πόλεως ἔξω θύειν οὐκ ἔνι, ἀλλὰ παρανομοῦσι πάντες ὁπουοῦν ἐπιτελοῦντες ἐπὶ γῆς ἀλλοτρίας. ὥστε εἰ βούλει, " ἔφασαν, ἡμᾶς θύοντας ἰδεῖν, ἀπόδος ἡμῖν τὴν πόλιν, ἀνάστησον τὸν ναόν, δεῖξον ἡμῖν τὰ ἅγια τῶν ἁγίων, " στῆσον τὸν βωμόν· καὶ θύσομεν καὶ νῦν, καθάπερ καὶ πρότερον. καὶ οὐκ ᾐσχύνοντο οἱ μιαροὶ καὶ ἀναίσχυντοι παρὰ ἀνδρὸς ἀσεβοῦς καὶ Ἕλληνος ταῦτα αἰτοῦντες, καὶ τὰς μιαρὰς [ἐκείνου] χεῖρας καλοῦντες ἐπὶ τὴν τῶν ἁγίων οἰκοδομήν. καὶ οὐκ ἠσθάνοντο ἀδυνάτοις ἐπιχειροῦντες πράγμασιν, οὐδὲ συνεῖδον, ὅτι εἰ μὴ ἄνθρωπος ἦν ὁ καταλύσας ἐκεῖνα, οὐκ ἦν καὶ παρὰ ἀνθρώπου πάλιν λαβεῖν αὐτά· Θεοῦ δὲ ὄντος τοῦ καθελόντος αὐτῶν τὴν πόλιν, ἀμήχανον τὰ τῇ θείᾳ δόξαντα ψήφῳ δύναμιν ἀνθρωπίνην περιτρέψαι ποτέ. Ἃ γὰρ ὁ Θεὸς ὁ ἅγιος βεβούλευται, φησί, τίς διασκεδάσει; καὶ τὴν χεῖρα αὐτοῦ τὴν ὑψηλὴν τίς ἀποστρέψει; ὥσπερ γὰρ ἃ ἂν ἀναστήσῃ καὶ βουληθῇ μένειν, καθελεῖν ἀδύνατον ἀνθρώποις· οὕτως, ἅπερ ἂν καθέλῃ καὶ βούληται μένειν καθῃρημένα, ἀναστῆσαι πάλιν οὐκ ἔνι. ἔστω δέ, τὸν ναὸν ἐδίδου, καὶ τὸν βωμὸν * ἀνίστα, καθάπερ ὑμεῖς ὑποπτεύετε μάτην· μὴ καὶ τὸ πῦρ ἄνωθεν ὑμῖν ἀφεῖναι ἐκ τῶν οὐρανῶν δυνατὸς ἦν; τούτου δὲ οὐκ ὄντος, ἐναγὴς καὶ ἀκάθαρτος ἦν ἡ θυσία. διὰ τοῦτο γοῦν οἱ παῖδες Ἀαρὼν ἀπώλοντο, ἐπειδὴ πῦρ ἀλλότριον εἰσήνεγκαν. ἀλλ' ὅμως " πρὸς ἅπαντα τυφλώττοντες, παρεκάλουν αὐτόν, καὶ ἱκέτευον συνάρασθαι καὶ συνεφάψασθαι τῆς οἰκοδομῆς τοῦ ναοῦ. ὁ δὲ καὶ χρήματα ἀνήλωσε, καὶ ἐπιστάτας τοῦ ἔργου ἔπεμψε τοὺς ἀπὸ τῆς μεγάλης ἀρχῆς, καὶ τεχνίτας πάντοθεν ἐκίνησε, καὶ πάντα ἐποίει καὶ ἐπραγματεύετο, ἠρέμα καὶ κατὰ μικρόν, ἄχρις αὐτοὺς εἰς τὸ θύειν ἐμβάλῃ, προσδοκῶν ἐκεῖθεν ἐπὶ τὴν τῶν εἰδώλων θεραπείαν " ἥξειν ῥᾳδίως, ὁμοῦ τε ἐλπίζων ὁ μεμηνὼς καὶ ἀνόητος, τοῦ Χριστοῦ " παραγράφειν τὴν ἀπόφασιν τὴν οὐκ ἐάσασαν ἀναστῆναι τὸν ναὸν ἐκεῖνον. ἀλλ' ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν, εὐθέως * διὰ τῶν ἔργων ἐδήλου, ὅτι αἱ τοῦ Θεοῦ ψῆφοι πάντων εἰσὶ δυνατώτεραι, καὶ ἰσχυρὰ τὰ ἔργα τῶν λόγων τοῦ Θεοῦ. ὡς γὰρ ἥψαντο τῆς παρανόμου ταύτης σπουδῆς, καὶ γυμνοῦν ἤρξαντο τὰ θεμέλια, καὶ πολὺν ἐκένωσαν χοῦν, καὶ τῆς οἰκοδομῆς ἅπτεσθαι λοιπὸν ἤμελλον, πῦρ ἐκπηδῆσαν ἐκ τῶν θεμελίων εὐθέως κατέφλεξέ τε πολλοὺς [ἀνθρώπους, οὐ μὴν ἀλλὰ καὶ τοὺς λίθους τοῦ τόπου ἐκείνου,] καὶ τῆς ἀκαίρου φιλονεικίας ἔστησεν [οὐ μόνον τοὺς τὸ ἔργον ἐπιχειρήσαντας ἀλλὰ καὶ Ἰουδαῖοι πολλοὶ τοῦτο θεασάμενοι ἐξέστησαν καὶ ᾐσχύνθησαν.] ταῦτα ἀκούσας ὁ βασιλεὺς [Ἰουλιανὸς] καίτοι τοσαύτην μανίαν ἔχων περὶ τὴν σπουδὴν ἐκείνην, δείσας μὴ περαιτέρω προελθών, ἐπὶ τὴν ἑαυτοῦ κεφαλὴν καλέσῃ τὸ πῦρ, ἀπέστη " ἡττηθεὶς μετὰ τοῦ ἔθνους παντός. καὶ νῦν ἐὰν ἔλθῃς εἰς Ἱεροσόλυμα, γυμνὰ ὄψει τὰ θεμέλια. κἂν τὴν αἰτίαν ζητήσῃς, οὐδεμίαν, ἀλλ' ἢ ταύτην, ἀκούσεις. καὶ τούτου μάρτυρες " ἡμεῖς πάντες. ἐφ' ἡμῶν γὰρ οὐ πρὸ πολλοῦ ταῦτα γέγονε χρόνου. καὶ σκόπει νίκης περιφάνειαν. οὐ γὰρ ἐν χρόνοις βασιλέων εὐσεβῶν τοῦτο συνέβη, ἵνα μή τινες λέγωσιν, ὅτι Χριστιανοὶ ταῦτα ἐπελθόντες διεκώλυσαν, ἀλλ' ἡνίκα τὰ ἡμέτερα ἠλαύνετο, ἡνίκα περὶ τοῦ ζῆν πάντες ἐκινδυνεύομεν, καὶ παρρησία ἀνθρωπίνη πᾶσα " περιῄρητο, καὶ τὰ ἑλληνικὰ ἤνθει, καὶ τῶν πιστῶν οἱ μὲν ἐν ταῖς οἰκίαις ἐκρύπτοντο, οἱ δὲ πρὸς τὰς ἐρημίας μετῳκίζοντο, καὶ τὰς ἀγορὰς ἔφευγον· τότε

δὴ

Ησ. ιδ. κζ.

Λευϊτ. ι.

α. Κορ. γ ιθ.

Ιωβ. ε. ιγ.

* ἐν

γρ. ὁμολογῆσαι

γρ. φασίν,

γρ. ἀνάστησον

* πάντως

γρ. εἰς

γρ. ἥξειν

γρ. περιγράφειν

* αὐτῶν

γρ. ἀπηλθ

γρ. ὑμεῖς

γρ. περιῄρητο

δὴ ταῦτα ἐγίνετο, ἵνα μηδεμία ἀναίσχυντος αὐτοῖς καταλιμπάνηται πρόφασις. ἔτι οὖν ἀμφισβητεῖς, ὦ Ἰουδαῖε, καὶ τὴν ἀπὸ τῆς τοῦ Χριστοῦ προῤῥήσεως, καὶ τὴν ἀπὸ τῆς τῶν προφητῶν καὶ τῆς τῶν πραγμάτων ἀποδείξεως μαρτυρίαν ὁρῶν σου καταψηφιζομένην; ἀλλ' οὐδὲν θαυμαστόν. τοιοῦτον γὰρ ὑμῶν τὸ ἔθνος ἄνωθεν, ἀναίσχυντον καὶ φιλόνεικον, καὶ τοῖς φανεροῖς ἀεὶ μάχεσθαι μεμελετηκὸς πράγμασι. ″βούλει καὶ ἑτέρους″ ἐφοπλίσω σοι προφήτας φανερῶς αὐτὸ τοῦτο λέγοντας, ὅτι τὰ μὲν ὑμέτερα λήψεται τέλος, τὰ δὲ ἡμέτερα ἀνθήσει, καὶ πανταχοῦ τῆς οἰκουμένης ἐκταθήσεται τὸ κήρυγμα τοῦ Χριστοῦ, καὶ θυσίας ἑτέρας εἰσενεχθήσεται τρόπος, ἐκείνων τῶν παρ' ὑμῖν καταλυθεισῶν; ἄκουσον″ γοῦν τοῦ Μαλαχίου τοῦ μετὰ τοὺς ἄλλους προφήτας ἐλθόντος. οὐδὲ γὰρ Ἡσαΐου, παράγω μαρτυρίαν τέως, οὐδὲ Ἱερεμίου, οὐδὲ τῶν ἄλλων προφητῶν τῶν πρὸ τῆς αἰχμαλωσίας, ἵνα μὴ λέγῃς, ὅτι τὰ δεινὰ ταῦτα, ἃ προέλεγον, ἐπὶ τῆς αἰχμαλωσίας ἐξέβη· ἀλλὰ παράγω προφήτην, τὸν μετὰ τὴν ἐπάνοδον τὴν ἐκ Βαβυλῶνος, καὶ τὴν τῆς πόλεως κατάστασιν, σαφῶς περὶ τῶν ″μελλόντων πραγμάτων προφητεύσαντα. ἐπειδὴ γὰρ ἐπανῆλθον, καὶ τὴν πόλιν ἀπέλαβον, καὶ τὸν ναὸν ἀνῳκοδόμησαν, καὶ τὰς θυσίας ἐπετέλουν, τὴν μέλλουσαν ἐρήμωσιν ταύτην τὴν νῦν προλέγων, καὶ τὴν τῶν θυσιῶν ἀναίρεσιν, οὕτω πως φησὶν ὁ Μαλαχίας ἐκ προσώπου τοῦ Θεοῦ· Εἰ λήψομαι ἐξ ὑμῶν πρόσωπα, λέγει Κύριος παντοκράτωρ· ὅτι ἀπὸ ἀνατολῶν ἡλίου * μέχρι δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά· ὑμεῖς δὲ βεβηλοῦτε αὐτό. πότε ταῦτα ἐξέβη, ὦ Ἰουδαῖε; πότε ἐν παντὶ τόπῳ θυμίαμα προσηνέχθη τῷ Θεῷ; πότε θυσία καθαρά; οὐκ ἂν ἔχοις ἕτερον εἰπεῖν καιρὸν, ἀλλ' ἢ τοῦτον τὸν μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν. ὡς εἰ μὴ τοῦτον προλέγει τὸν καιρὸν, μηδὲ τὴν θυσίαν τὴν ἡμετέραν, ἀλλὰ τὴν Ἰουδαϊκήν· καὶ παράνομος″ ἔσται ἡ προφητεία. εἰ γὰρ τοῦ Μωϋσέως κελεύοντος εἰς μηδένα ἕτερον τόπον ἀνάγειν θυσίαν,″ ἀλλ' ἢ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεὸς, καὶ εἰς ἓν χωρίον συγκλείοντος τὰς θυσίας ἐκείνας, ὁ προφήτης λέγει, ὅτι ἐν παντὶ τόπῳ θυμίαμα μέλλοι προσάγεσθαι καὶ θυσία καθαρά· ἐναντιοῦται καὶ μάχεται τῷ Μωϋσῇ. ἀλλ' οὐκ ἔστι μάχη καὶ φιλονεικία. περὶ γὰρ ἑτέρας ἐκεῖνος εἶπε, καὶ περὶ ἑτέρας οὗτος προεφήτευσεν ὕστερον. πόθεν τοῦτο δῆλον; ἀπό τε τῶν εἰρημένων, ἀπό τε ἑτέρων πλειόνων σημείων. καὶ πρῶτον μὲν ἀπὸ τοῦ τόπου. οὐ γὰρ ἐν μιᾷ πόλει, καθάπερ ἐπὶ τῶν Ἰουδαίων· ἀλλ' ἀπὸ ἀνατολῶν ἡλίου * μέχρι δυσμῶν τὴν θεραπείαν ἐπιτελεῖσθαι ταύτην προεῖπεν. εἶτα ἀπὸ τοῦ τρόπου τῆς θυσίας. τῷ γὰρ καθαρὰν αὐτὴν προσειπεῖν, ἔδειξε ποίαν ἔλεγε. καὶ ἀπὸ τῶν προσώπων δὲ τῶν προσαγόντων αὐτήν. οὐ γὰρ εἶπεν, ἐν τῷ Ἰσραὴλ, ἀλλ', ἐν τοῖς ἔθνεσι. καὶ ἵνα μὴ νομίσῃς, ὅτι * ἐν μιᾷ καὶ δυσὶ καὶ τρισὶ πόλεσι τὰ τῆς λατρείας περιστήσεται ταύτης· οὐκ ἁπλῶς εἶπεν, ἐν παντὶ τόπῳ, ἀλλ', ἀπὸ ἀνατολῶν ἡλίου, καὶ μέχρι δυσμῶν· δεικνὺς, ὅτι ὅσην ὁ ἥλιος ἐφορᾷ γῆν, τοσαύτην καὶ τὸ κήρυγμα καταλήψεται. καθαρὰν δὲ λέγει θυσίαν, ὡς τῆς προτέρας ἀκαθάρτου οὔσης, οὐ″ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ″ παρὰ προαίρεσιν τῶν προσαγόντων. διὰ τοῦτο ἔλεγε, Θυμίαμα βδέλυγμά μοί ἐστιν· ἄλλως δὲ, καὶ αὐτὴν τὴν θυσίαν εἴ τις παραβάλοι, πολὺ τὸ μέσον εὑρήσει καὶ ἄπειρον, καὶ τοσοῦτον, ὡς ταύτην κυρίως μόνην κατὰ τὸν τῆς συγκρίσεως λόγον λέγεσθαι καθαράν. καὶ ὅπερ ἐπὶ τοῦ νόμου καὶ τῆς χάριτος ἔλεγεν ὁ Παῦλος· Ὅτι οὐ δεδόξασται τὸ δεδοξασμένον ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης· τοῦτο καὶ ἐνταῦθα θαῤῥοῦντες ἂν εἴποιμεν, ὅτι συγκρινομένη πρὸς ἐκείνην αὕτη ἡ θυσία, κυρίως ἂν λεχθείη καὶ μόνη καθαρά. οὐ γὰρ διὰ καπνοῦ καὶ κνίσης, οὐδὲ δι' αἱμάτων καὶ λύτρων, ἀλλὰ διὰ τῆς τοῦ πνεύματος προσάγεται χάριτος. ἄκουσον δὴ καὶ ἑτέρου προφήτου τὸ αὐτὸ τοῦτο προαναφωνοῦντος καὶ λέγοντος, ὅτι οὐκ ἐν ἑνὶ τόπῳ στήσεται τὰ τῆς τοῦ Θεοῦ θεραπείας, ἀλλὰ πάντες αὐτὸν″ εἴσονται

Μαλαχ. α. ια.

Ησ. α.

β. Κορ. γ. ι.

λοιπὸν

Σοφον. β. ια. λοιπὸν ἄνθρωποι. ὁ οὖν Σοφονίας οὕτω πως φησίν· Ἐπιφανήσεται Κύριος ἐπὶ πάντα τὰ ἔθνη, καὶ ἐξολοθρεύσει πάντας τοὺς θεοὺς τῶν ἐθνῶν, καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἀπὸ τοῦ τόπου αὐτοῦ. καίτοιγε οὐκ ἐφεῖτο τοῦτο, ἀλλ' εἰς ἕνα τόπον λατρεύειν ἐκέλευσεν ὁ Μωϋσῆς. ὅταν οὖν ἀκούσῃς τῶν προφητῶν προλεγόντων καὶ προαναφωνούντων, ὅτι οὐκ ἔτι εἰς μίαν πόλιν, οὐδὲ εἰς ἕνα τόπον ἀναγκασθήσονται συνάγεσθαι πάντοθεν οἱ ἄνθρωποι, ἀλλ' οἴκοι καθήμενος ἕκαστος θεραπεύσει τὸ θεῖον, τίνα ἂν ἔχοις εἰπεῖν ἕτερον καιρόν, ἀλλ' ἢ τὸν παρόντα τοῦτον; ἄκουε γοῦν πῶς καὶ τὰ εὐαγγέλια καὶ ὁ ἀπόστολος τῷ προφήτῃ τούτῳ συνᾴδουσιν. ὁ μὲν προφήτης εἶπεν, Ἐπιφανήσεται Κύριος· ὁ ἀπόστολός φησιν, Τιτ. β. ια. Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς. οὗτος εἶπεν, Ἐπὶ τὰ ἔθνη· ἐκεῖνός φησιν, Ἐπὶ πάντας ἀνθρώπους. οὗτος εἶπεν, Ἐξολοθρεύσει τοὺς θεοὺς τῶν ἐθνῶν· ἐκεῖνος, Παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως * ζήσωμεν. Ιωαν. δ. κα. πάλιν ὁ Χριστὸς τῇ Σαμαρείτιδί φησι· Πίστευσόν μοι, γύναι, ὅτι ἔρχεται ὥρα, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ πατρί. πνεῦμα ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτόν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. ταῦτα δὲ ἔλεγε, τήν τε ἀνάγκην λύων λοιπὸν τὴν ἐκ τῆς τοῦ τόπου παρατηρήσεως, καὶ τὸ τῆς λατρείας ὑψηλότερον καὶ πνευματικώτερον εἰσάγων. ἐνῆν μὲν οὖν μετὰ τούτων δεῖξαι πάλιν, ὅτι οὔτε θυσία, οὔτε ἱερωσύνη, οὔτε βασιλεὺς παρὰ Ἰουδαίοις ἔσται λοιπόν. μάλιστα μὲν γὰρ διὰ τῆς κατὰ τὴν πόλιν κατασκαφῆς ἅπαντα ταῦτα συναποδέδεικται· πλὴν ἀλλ' ἐνῆν καὶ προφήτας παραγαγεῖν ῥητῶς αὐτὸ τοῦτο λέγοντας. ἀλλ' ὁρῶ κεκμηκότας ὑμᾶς τῷ μήκει τῶν εἰρημένων, καὶ δέδοικα μὴ μάτην καὶ εἰκῆ δόξω διενοχλεῖν. διόπερ αὐτὰ εἰς ἕτερον ὑμῖν ὑποσχόμενος καιρὸν ἐρεῖν, ἐκεῖνο τέως δέομαι ὑμῶν, τοὺς ἀδελφοὺς διασῶσαι τοὺς ὑμετέρους, ἀπαλλάξαι τῆς πλάνης, ἐπαναγαγεῖν ἐπὶ τὴν ἀλήθειαν. οὐδὲν γὰρ ὄφελος ἀκροάσεως, ὅταν ἡ διὰ τῶν ἔργων ἐπίδειξις μὴ συμβαίνῃ τοῖς λεγομένοις. καὶ γὰρ τὰ εἰρημένα, οὐ δι' ὑμᾶς εἴρηται, ἀλλὰ δι' ἐκείνους τοὺς ἀσθενοῦντας, ἵνα παρ' ἡμῶν ἐκεῖνοι μανθάνοντες ταῦτα, καὶ τῆς πονηρᾶς ἀπαλλαγέντες συνηθείας, εἰλικρινῆ καὶ γνήσιον τὸν χριστιανισμὸν ἐπιδείξωνται, καὶ τὰς πονηρὰς φεύξωνται τῶν Ἰουδαίων [διαγωγὰς καὶ] συναγωγάς, τάς τε ἐν τῇ πόλει, τάς τε ἐν τῷ προαστείῳ, τὰ σπήλαια τῶν λῃστῶν, τὰ τῶν δαιμόνων καταγώγια. μὴ τοίνυν παρίδωτε τὴν σωτηρίαν ἐκείνων, ἀλλὰ περιεργασάμενοι καὶ πολυπραγμονήσαντες, τοὺς νοσοῦντας ἐπαναγάγετε τῷ Χριστῷ· ἵνα καὶ κατὰ τὸν παρόντα βίον, καὶ κατὰ τὴν μέλλουσαν ζωήν, τὴν πολλῷ τῶν κατορθωμάτων μείζονα ἀπόδοσιν ἀπολάβωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ, καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ ΛΟΓΟΣ γ. ΤΗ ΠΡΟΤΕΡΑΙΑ ΜΑκρὰν ὁμιλίαν εἰπὼν κατὰ Ἰουδαίων, καὶ βράγχῳ κατασχεθεὶς ἀπὸ τοῦ μήκους τῶν εἰρημένων, νῦν ταύτην εἶπε.

ΤΑ θηρία ἕως μὲν ἂν τὰς ὕλας νέμηται, καὶ τῆς πρὸς ἀνθρώπους μάχης ἀμελέτητα ὄντα τυγχάνῃ, ἡμερώτερά πως ἐστὶ καὶ πρᾳότερα· ἐπειδὰν δὲ αὐτὰ λαβόντες οἱ κυνηγέται εἰς τὰς πόλεις ἀγάγωσι, καὶ κατακλείσαντες πρὸς τοὺς τῶν θηριομάχων διαγείρωσι πόλεμον, εἶτα ἐπιπηδήσαντα σαρκὸς ἀπογεύσηται, καὶ αἷμα ἀνθρώπινον πίῃ, οὐκ ἂν ῥᾳδίως ταύτης ἀποσταίη λοιπὸν τῆς θοίνης, ἀλλὰ μετὰ πολλῆς ἐπὶ ταύτην τρέχει τὴν ἐπίταξιν τῆς ἐπιθυμίας. τοῦτο δὴ καὶ ἡμεῖς πεπόνθαμεν. ἐπειδὴ γὰρ τῆς πρὸς Ἰουδαίους ἡψάμεθα μάχης, καὶ ἐπιπηδήσαντες αὐτῶν ταῖς ἀναισχύντοις ἀντιρρήσεσι, τοὺς λογισμοὺς αὐτῶν καθείλομεν, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ τὰ νοήματα ἐξηχμαλωτίσαμεν εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ· ἐπιθυμίαν πλείονά πως ἐσχήκαμεν τὸν πρὸς ἐκείνους πόλεμον. ἀλλὰ τί πάθω; ὁρᾶτέ μοι τὴν φωνὴν ἀσθενεστέραν γεγενημένην, καὶ πρὸς τοσοῦτον πάλιν μῆκος ἀρκεῖν οὐ δυναμένην. καὶ ταὐτόν μοι δοκῶ πάσχειν νῦν, ὅπερ ἂν εἴ τις στρατιώτης κατακόψας τινὰς τῶν ἀντιπάλων, καὶ μετὰ πολλοῦ τοῦ θυμοῦ τῇ φάλαγγι τῶν ἐχθρῶν ἐπιπεσὼν, καὶ πολλὰ σώματα κατενεγκὼν, εἶτα διακλάσας τὸ ξίφος μετὰ ἀθυμίας πρὸς τὴν ἑαυτοῦ πάλιν ἐπανάστρέφει· μᾶλλον δὲ τὸ ἡμέτερον χαλεπώτερον πάθος. στρατιώτῃ μὲν γὰρ διακλάσαντι τὸ ξίφος ἔξεστι παρ' ἑτέρου τινὸς τῶν ἑστώτων ἁρπάσαι, καὶ τῷ θυμῷ χρήσασθαι, καὶ τὴν προθυμίαν ἐπιδείξασθαι τὴν πολλήν· φωνῆς δὲ καμούσης, παρ' ἑτέρου φωνὴν λαβεῖν οὐκ ἔνι. τί οὖν; ὑποστρέψομεν καὶ ἡμεῖς; ἀλλ' οὐκ ἐπιτρέπει τῆς ἡμετέρας ἀγάπης ἡ τυραννίς. αἰδούμεθα καὶ τοῦ πατρὸς τὴν παρουσίαν, αἰδούμεθα δὲ καὶ τὴν ὑμετέραν προθυμίαν. διὸ δὴ καὶ τοῖς ὑπὲρ δύναμιν ἐπιχειρῆσαι πειρασόμεθα, ταῖς εὐχαῖς τούτου, καὶ τῇ ὑμετέρᾳ τὸ πᾶν ἐπιρρίψαντες ἀγάπῃ. μηδεὶς δὲ ὑμῶν ἀκαιρίαν καταγινωσκέτω τοῦ λόγου, εἰ, τῶν μαρτύρων ἡμᾶς καλεσάντων τήμερον, ἡμεῖς τὴν διήγησιν τῶν ἐκείνων ἄθλων ἀφέντες, πρὸς Ἰουδαίους ἀποδυόμεθα. καὶ γὰρ ἐκείνοις ποθεινότερος οὗτος ὁ λόγος. ἀπὸ γὰρ τῶν ἡμετέρων ἐγκωμίων οὐδὲν αὐτοὶ γένοιντ' ἂν λαμπρότεροι. τί γὰρ ἂν δέοιντο τῆς ἡμετέρας γλώττης, ὧν καὶ τὰ παλαίσματα ὑπὲρ θνητὴν φύσιν ἐστὶ, καὶ τὰ ἔπαθλα ὑπὲρ δύναμιν καὶ διάνοιαν; κατεγέλασαν τῆς παρούσης ζωῆς, κατεπάτησαν βασανιστήρια καὶ κολάσεις, ὑπερεῖδον θανάτου, πρὸς τὸν οὐρανὸν ἐπτερώθησαν, ἀπηλλάγησαν τῆς ζάλης τῶν βιωτικῶν πραγμάτων, εἰς τὴν εὔδιον κατέπλευσαν * λιμένα, οὐ χρυσὸν καὶ ἄργυρον καὶ ἱμάτια πολυτελῆ, ἀλλὰ θησαυροὺς ἀσύλους ἐπιφερόμενοι, ὑπομονὴν, ἀνδρείαν, ἀγάπην. εἰς τὸν Παύλου τελοῦσι χορὸν νῦν, πρὸ τῶν στεφάνων αὐτῶν τῇ προσδοκίᾳ τῶν στεφάνων πτερούμενοι, καὶ τὸ τοῦ μέλλοντος ἄδηλον λοιπὸν διαφυγόντες. τί οὖν ἂν δέοιντο τῶν ἡμετέρων οὗτοι λόγων; διὰ τοῦτο αὕτη ποθεινοτέρα αὐτοῖς ἡ ὑπόθεσις. ἀπὸ μὲν γὰρ τῶν ἡμετέρων ἐγκωμίων, ὅπερ ἔφθην εἰπὼν, οὐδὲν αὐτοῖς εἰς τὴν οἰκείαν δόξαν ἔσται πλέον· ἀπὸ δὲ τῶν κατὰ Ἰουδαίων ἀγώνων πολλὴ γένοιτ' ἂν αὐτοῖς ἡδονὴ, καὶ σφόδρα ἂν τούτων μάλιστα ἐπακούσαιεν τῶν λόγων τῶν ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ λεγομένων. Ἰουδαίους γὰρ μάλιστα μισοῦσιν οἱ μάρτυρες· ἐπειδὴ τὸν ὑπ' ἐκείνων σταυρωθέντα σφόδρα ἐφίλησαν. οὗτοι μὲν γὰρ ἔλεγον, Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν· ἐκεῖνοι δὲ καὶ τὸ αἷμα τὸ ἑαυτῶν ἐξέχεαν διὰ τὸν ὑπ' ἐκείνων ἀναιρεθέντα. ὥστε ἡδέως ἂν τούτων ἐπακούσαιεν τῶν λόγων. ὅτι μὲν οὖν, εἰ τέλος ἔμελλε λήψεσθαι ἡ παροῦσα δουλεία, καὶ τοῦτ' ἂν προεῖπον οἱ προφῆται, καὶ οὐκ ἂν ἐσίγησαν, ἱκανῶς ἀπεδείξαμεν, τὰς αἰχμαλωσίας ἁπάσας μετὰ παρρησίας δείξαντες ἐπενεχθείσας αὐτοῖς, τὴν ἐν Αἰγύπτῳ, τὴν ἐν Βαβυλῶνι, τὴν ἐπὶ Ἀντιόχου τοῦ Ἐπιφανοῦς. ἑκάστη γὰρ τούτων καὶ χρόνον καὶ τόπον προανακηρυχθέντα ἀπεδείξαμεν διὰ τῶν θείων γραφῶν. τῇ παρούσῃ δὲ οὐδεὶς ὥρισε χρόνον προφήτης, ἀλλ' ὅτι μὲν ἥξει, καὶ ἐρημώσει πάντα, καὶ μεταστήσει τὴν πολιτείαν, καὶ μετὰ πόσον χρόνον τῆς ἐκ Βαβυλῶνος ἐπανόδου συμβήσεται, προεῖπεν ὁ Δανιήλ· ὅτι δὲ ἕξει τέλος, καὶ στήσεταί που τὰ κακὰ ταῦτα, οὔτε ἐκεῖνος ἐδήλωσεν, οὔτε ἄλλος τις προφήτης. ἀλλὰ καὶ τοὐναντίον προεῖπεν, ὅτι ἕως συντελείας καθέξει [αὐτοὺς] ἡ δουλεία αὕτη. καὶ μαρτυρεῖ τοῖς εἰρημένοις ὁ χρόνος ὁ τοσοῦτος ἐξ ἐκείνου γενόμενος, καὶ οὐδὲ ἴχνος, οὐδὲ προοίμιον οὐδέπω μέχρι καὶ σήμερον ἐμφήνας χρηστῆς μεταβολῆς· καὶ ταῦτα πολλάκις ἐπιχειρησάντων αὐτῶν ἀναστῆσαι τὸν ναόν. καὶ γὰρ καὶ ἅπαξ καὶ δὶς καὶ τρὶς ἐπὶ Ἀδριανοῦ καὶ Κωνσταντίνου καὶ Ἰουλιανοῦ ἐπι-

Ματθ. κζ. κε.

χρήσαντες διεκωλύθησαν, τότε μὲν ὑπὸ στρατιωτῶν, ὕστερον δὲ* πυρὸς τῶν θεμελίων ἐκπηδήσαντος, καὶ κατασχόντος αὐτῶν τῆς ἀκαίρου φιλονεικίας. λοιπὸν δὲ ἡδέως ἂν αὐτῶν ἐροίμην ἐγώ, τίνος ἕνεκεν, εἰπέ μοι, ἐν Αἰγύπτῳ μὲν τοσοῦτον διατρίψαντες χρόνον, ἀπελάβετε τὴν οἰκείαν πατρίδα; καὶ εἰς Βαβυλῶνα πάλιν ἀπαχθέντες, ἐπανήλθετε εἰς τὰ Ἱεροσόλυμα; πάλιν ἐπὶ Ἀντιόχου τοσαῦτα παθόντες κακά, πρὸς δὲ τὸ πρότερον ἐπανήλθετε σχῆμα, καὶ πάλιν καὶ θυσίας καὶ βωμοὶ καὶ τὰ ἅγια τῶν ἁγίων, καὶ πάντα μετὰ τῆς προτέρας ἀπελάβετε ἀξίας· νυνὶ δὲ οὐδὲν τοιοῦτον γέγονεν. ἀλλ' ἑκατὸν καὶ δὶς τοσούτων ἐτῶν καὶ τρὶς καὶ τετράκις καὶ πολλῷ πλειόνων παρελθόντων· πεντακοσιοστὸν γὰρ λοιπὸν ἐξ ἐκείνου ἐστὶν ἔτος μέχρις ἡμῶν· καὶ οὐδὲ αἴνιγμα τοιαύτης μεταβολῆς ὁρώμενον που φαινόμενοι· ἀλλ'* ἀποπιπτωκότα αὐτοῖς τὰ πράγματα τέλεον, καὶ οὐδὲ ὄναρ τοιαύτην* ἐνδεικνύμενα τινὰ προσδοκίαν, οἵαν τὸ πρότερον. εἰ γὰρ τὰς ἁμαρτίας τὰς ἑαυτῶν προβάλλοιντο, καὶ εἴποιεν, ὅτι ἐπειδὴ ἡμάρτομεν τῷ Θεῷ καὶ προσεκρούσαμεν αὐτῷ, διὰ τοῦτο τὴν οἰκείαν οὐκ ἀπολαμβανόμεν χώραν· καὶ τί* συνεχῶς κατηγορούντων τῶν προφητῶν ἀναισχυντοῦντες, καὶ τραγῳδούντων τὰς μιαιφονίας αὐτῶν ἀρνούμενοι, οὗτοι νῦν ἐξομολογήσονται καὶ καταγνώσονται τῶν οἰκείων ἁμαρτημάτων· ἡδέως ἂν αὐτῶν ἕκαστον ἐρήσομαι πάλιν· διὰ τὰς ἁμαρτίας σύ, ὦ Ἰουδαῖε, ἔξω τῆς Ἱερουσαλὴμ διατρίβεις ἐπὶ χρόνον τοσοῦτον; καὶ τί τὸ καινὸν καὶ παράδοξον; μὴ γὰρ νῦν ἐν ἁμαρτίαις μόνον ζῆτε, παρὰ δὲ τὴν ἀρχὴν ἐν δικαιοσύνῃ καὶ κατορθώμασιν; οὐκ ἄνωθεν καὶ ἐξ ἀρχῆς μυρίαις* συνετράφητε παρανομίαις; οὐ μυρία κατηγόρησεν ὑμῶν Ἰεζεκιὴλ ὁ προφήτης, ὅτε τὰς δύο πόρνας εἰσήγαγε, τὴν* Ὀλᾶ καὶ τὴν* Ὀλιβᾶ, λέγων, ὅτι πορνεῖον* ᾠκοδομήσατε ἐν Αἰγύπτῳ, καὶ ἐπεμαίνεσθε τοῖς βαρβάροις, καὶ τοὺς ἀλλοτρίους ἐθεραπεύετε θεούς; τί δέ, οὐχί, τῆς θαλάσσης σχιζομένης, καὶ τῶν πετρῶν ῥηγνυμένων, καὶ τοσούτων θαυμάτων γινομένων ἐπὶ τῆς ἐρήμου, μόσχον προσεκυνήσατε; οὐ τὸν Μωϋσέα νῦν μὲν λίθοις βάλλοντες, νῦν δὲ ἐλαύνοντες, καὶ ἑτέροις μυρίοις τρόποις ἀνελεῖν ἐπεχειρήσατε πολλάκις; οὐ διετελεῖτε βλασφημοῦντες εἰς τὸν Θεόν; οὐ τῷ Βεελφεγὼρ ἐτελέσθητε; οὐ τοὺς υἱοὺς ὑμῶν ἐσφάξατε καὶ τὰς θυγατέρας ὑμῶν τοῖς δαιμονίοις; οὐ πᾶν εἶδος ἀσεβείας καὶ ἁμαρτίας* ἐπεδείξασθε; οὐχ ὁ προφήτης φησὶν ἐκ προσώπου τοῦ Θεοῦ πρὸς ὑμᾶς· Τεσσαράκοντα ἔτη προσώχθισα τῇ γενεᾷ ταύτῃ, καὶ εἶπον, ἀεὶ πλανῶνται τῇ καρδίᾳ; πῶς οὖν οὐκ ἀπεστράφη ὑμᾶς τότε ὁ Θεός· ἀλλὰ μετὰ τὰς παιδοκτονίας, μετὰ τὰς εἰδωλολατρείας, μετὰ τὴν πολλὴν ἀγνωμοσύνην, μετὰ τὴν ἄφατον ἀσέλγειαν, καὶ προφήτην ἀφῆκεν εἶναι παρ' ὑμῖν τὸν μέγαν Μωϋσέα, καὶ σημεῖα εἰργάζετο θαυμαστὰ καὶ παράδοξα· καὶ ἅπερ ἐπ' οὐδενὸς ἀνθρώπων ἐγένετο, ταῦτα ἐφ'* ὑμῶν συνέβαινε, νεφέλης μὲν ὑμῖν ἀντὶ ὀρόφου τεταμένης, στύλου δὲ ἀντὶ λαμπάδος ὑμῖν προηγουμένου, καὶ τῶν πολεμίων* αὐτομάτως ὑμῖν παραχωρούντων, τῶν πόλεων αὐτοβοεὶ σχεδὸν ἁλισκομένων; οὐχ ὅπλων ὑμῖν ἐδέησε, οὐ παρατάξεως,* οὐ μάχης· ἀλλ' ἐσαλπίσατε μόνον, καὶ τὰ τείχη αὐτόματα κατελύετο. ξένη τις ὑμῖν ἦν ἡ τροφὴ καὶ παράδοξος. καὶ βοᾷ ὁ προφήτης λέγων· ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς, ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος, ἐπισιτισμὸν ἀπέστειλεν αὐτοῖς εἰς πλησμονήν. τίνος οὖν ἕνεκεν, εἰπέ μοι, τότε μὲν* ἀσεβοῦντες, εἰδωλολατροῦντες, παιδοκτονοῦντες, τοὺς προφήτας λιθάζοντες, μυρία ἐργαζόμενοι δεινά, τοσαύτης ἀπελαύετε εὐνοίας, τοσαύτης παρὰ τοῦ Θεοῦ προστασίας· νῦν δὲ* οὐκ εἰδωλολατροῦντες, οὐδὲ παῖδας ἀποκτιννύντες, οὐδὲ προφήτας λιθάζοντες, ἐν αἰχμαλωσίᾳ διάγετε διηνεκῶς; μὴ γὰρ ἕτερος ἦν τότε Θεός, καὶ ἕτερος νῦν; οὐχὶ ὁ αὐτός ἐστιν ὁ καὶ ἐκεῖνα οἰκονομῶν, καὶ ταῦτα νῦν ἐργαζόμενος; τίνος οὖν ἕνεκεν, εἰπέ μοι, ὅτε μὲν μείζονα ἦν τὰ ἁμαρτήματα, πολλὴ ἦν ὑμῖν ἡ τιμὴ παρὰ τοῦ Θεοῦ· ὅτε δὲ ἐλάττονα πλημμελεῖτε νῦν, παντελῶς ὑμᾶς ἀπεστράφη, καὶ ἀτιμίᾳ παρέδωκε διηνεκεῖ; εἰ γὰρ νῦν ὑμᾶς διὰ τὰς ἁμαρτίας ἀποστρέφεται, πολλῷ μᾶλλον τότε

Ἰεζεκ. κγ.

Ψαλμ. ϟδ' ια.

ἐχρῆν. Εἰ δὲ τότε ἠνείχετο ἀσεβούντων ὑμῶν, πολλῷ μᾶλλον νῦν ἀνέχεσθαι ἔδει, ὅτε οὐδὲν τοιοῦτον τολμᾶτε. τίνος οὖν ἕνεκεν οὐκ ἀνέχεται; κἂν ὑμεῖς αἰσχύνησθε εἰπεῖν τὴν αἰτίαν, ἐγὼ φανερῶς ἐρῶ· μᾶλλον δὲ οὐκ ἐγώ, ἀλλ' αὐτὴ τῶν πραγμάτων ἡ ἀλήθεια. ἐπειδὴ τὸν Χριστὸν ἀπεκτείνατε, ἐπειδὴ κατὰ τοῦ δεσπότου τὰς χεῖρας ἐξετείνατε, ἐπειδὴ τὸ αἷμα τὸ τίμιον ἐξεχέατε· διὰ τοῦτο οὐκ ἔστιν ὑμῖν διόρθωσις, οὐδὲ συγγνώμη λοιπόν, οὐδὲ ἀπολογία. τότε μὲν γὰρ εἰς δούλους ἦν τὰ τολμώμενα, εἰς Μωϋσέα καὶ Ἡσαΐαν καὶ Ἱερεμίαν· τότε εἰ καὶ ἀσέβειά τις ἐγίνετο, ἀλλ' οὔπω τὸ κεφάλαιον τῶν κακῶν ἦν τολμηθέν. νυνὶ δὲ πάντα ἀπεκρύψατε τὰ παλαιά· οὐδενὶ δὲ τρόπῳ παρανομίας ὑπερβολὴν κατελίπετε διὰ τῆς εἰς Χριστὸν μανίας· διὸ καὶ μειζόνως κολάζεσθε νῦν. ἐπεί, εἰ μὴ τοῦτό ἐστι τὸ αἴτιον τῆς παρούσης ὑμῶν ἀτιμίας, τίνος ἕνεκεν παιδοκτονούντων [μὲν] ὑμῶν ὁ Θεὸς ἠνέσχετο τότε, μηδὲν δὲ τοιοῦτον τολμῶντας ἀποστρέφεται νῦν; ἢ δῆλον, ὅτι καὶ παιδοκτονίας καὶ πάσης παρανομίας πολλῷ χεῖρον ἐτολμήσατε καὶ μεῖζον, τὸν Χριστὸν ἀνελόντες. ἔτι οὖν ἀνέξεσθε πλάνον αὐτὸν καὶ παράνομον καλεῖν, εἴπατέ μοι· καὶ οὐκ ἀπελθόντες ἑαυτοὺς που κατορύξετε, πρὸς οὕτω φανερὰν πραγμάτων ἀλήθειαν ἀντιβλέποντες; εἰ γὰρ πλάνος ἦν ὁ Ἰησοῦς, καθάπερ φατέ, καὶ παράνομος, καὶ εὐδοκιμῆσαι ὑμᾶς ἐχρῆν, ὅτι αὐτὸν ἀπεκτείνατε. εἰ γὰρ ὁ Φινεὲς ἕνα τινὰ ἀνελών, ἐν ἀκαρεῖ τὴν κατὰ τοῦ ἔθνους ὀργὴν ἔπαυσε (Καὶ ἔστη Φινεές, φησί, καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις) καὶ τοσούτους ἀσεβήσαντας ἀνθρώπους ἐξήρπασε τῆς ὀργῆς τοῦ Θεοῦ μιᾷ σφαγῇ παρανόμου τινὸς ἀνδρός· πολλῷ μᾶλλον ἐφ' ὑμῶν τοῦτο γενέσθαι ἐχρῆν, εἴγε παράνομος ἦν ὁ ὑφ' ὑμῶν σταυρωθείς. τί δήποτε οὖν ὁ μὲν Φινεὲς ἄνδρα παράνομον ἀνελὼν ἐδικαιοῦτο, καὶ ἱερωσύνῃ ἐτιμᾶτο· ὑμεῖς δέ, ὡς φατέ, πλάνον καὶ ἀντίθεόν τινα σταυρώσαντες, οὐ μόνον οὐκ εὐδοκιμεῖτε, οὐδὲ τιμᾶσθε, ἀλλὰ καὶ χαλεπώτερα ἐπάθετε, ἢ ὅτε τοὺς υἱοὺς ὑμῶν ἐσφάττετε; οὐκ εὔδηλον καὶ τοῖς σφόδρα ἀνοήτοις, ὅτι, ἐπειδὴ εἰς τὸν σωτῆρα καὶ προστάτην τῆς οἰκουμένης παρῳνήσατε, τοιαύτην ὑπομένετε δίκην; καίτοιγε νῦν καὶ αἱμάτων ἀπέχεσθε μιαρῶν, καὶ σάββατα τηρεῖτε· τότε δὲ καὶ εἰς αὐτὴν ἐνυβρίζετε τὴν ἡμέραν. καὶ ὁ Θεὸς ἐπηγγέλλετο διὰ τοῦ Ἱερεμίου φείδεσθαι τῆς πόλεως ὑμῶν, εἰ παύσοισθε αἴροντες βαστάγματα ἐν σαββάτῳ· ἀλλ' ἰδοὺ νῦν τοῦτο * ποιεῖτε, καὶ οὐκ αἴρετε βαστάγματα ἐν σαββάτῳ, καὶ οὐδὲ οὕτω καταλλάττεται ὑμῖν. τὸ γὰρ ἁμάρτημα ὑμῶν ἐκεῖνο ἁπάντων μεῖζον ἦν· ὥστε περιττὸς ὑμῖν οὗτος ὁ λόγος ὁ τῶν ἁμαρτιῶν. οὐ γὰρ διὰ τὸν λοιπὸν ὑμῶν βίον, ἀλλὰ δι' ἐκεῖνο τὸ τόλμημα ἐν τοῖς παροῦσιν ἐστὲ δεινοῖς· ὡς εἴγε μὴ τοῦτο ἦν, οὐκ ἂν ἐπὶ τοσοῦτον ὁ Θεὸς ὑμᾶς ἀπεστράφη, εἰ καὶ μυρία ἦτε ἡμαρτηκότες. καὶ δῆλον ἔκ τε τῶν εἰρημένων ἁπάντων, καὶ τούτου οὗ μέλλω λέγειν νῦν. τί δὲ τοῦτό ἐστιν; ἠκούσαμεν τοῦ Θεοῦ πολλάκις λέγοντος διὰ τῶν προφητῶν πρὸς τοὺς πατέρας τοὺς ὑμετέρους, ὅτι ὑμεῖς μὲν ἄξιοι μυρίων ἦτε κακῶν· ἐγὼ δέ, φησι, * ποιῶ διὰ τὸ ὄνομά μου, ἵνα μὴ βεβηλωθῇ ἐν τοῖς ἔθνεσι. καὶ πάλιν, Οὐ δι' ὑμᾶς ἐγὼ ποιῶ, οἶκος Ἰσραήλ, ἀλλ' ἢ διὰ τὸ ὄνομά μου. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· βαρυτέρας μὲν τιμωρίας ἦτε ἄξιοι καὶ κολάσεως· ἀλλ' ἵνα μή τις λέγῃ, ὅτι ἀσθενῶν ὁ Θεός, καὶ μὴ δυνάμενος σῶσαι, ἀφῆκε τοὺς Ἰουδαίους ταῖς τῶν πολεμίων χερσίν· ἀντιλαμβάνομαι καὶ περιΐσταμαι *. ὥστε εἰ παράνομος ἦν ὁ Χριστός, ὑμεῖς δὲ αὐτὸν ἐσταυρώσατε, καὶ εἰ μυρία ἦτε ἡμαρτηκότες, καὶ πολλῷ τῶν προτέρων χαλεπώτερα· πάντως ἂν ὑμᾶς ὁ Θεὸς διὰ τοῦτο διέσωσεν, ἵνα μὴ τὸ ὄνομα αὐτοῦ βεβηλωθῇ, ἵνα μὴ μέγας τις ἐκεῖνος νομίζηται, μηδὲ εἴπῃ τις, ὅτι δι' ἐκεῖνον ταῦτα ἐπάθετε. εἰ γὰρ φαίνεται διὰ τὴν ἑαυτοῦ δόξαν τὰ ἁμαρτήματα ὑμῶν παρορῶν· πολλῷ μᾶλλον ἂν τοῦτο ἐποίησε νῦν, καὶ τὴν σφαγὴν ἀπεδέξατο ταύτην, καὶ τὰ πολλὰ ὑμῶν ἐξήλειψεν ἁμαρτήματα. ὅταν δὲ φαίνηται εἰς τέλος ὑμᾶς ἀποστρεφόμενος, εὔδηλον ὅτι διὰ τῆς ὀργῆς ταύτης καὶ τῆς εἰς τέλος ἐγκαταλείψεως δείκνυσι καὶ τοῖς σφόδρα ἀναισχυντοῦσιν, ὅτι οὐχὶ παράνομός τις ἦν ὁ σφαγείς, ἀλλ' αὐτὸς ὁ

Ψαλμ. ρε.

Ἱερ. ιζ. κα.

νομοθέτης, καὶ τῶν μυρίων ἀγαθῶν αἴτιος ὁ παραγενόμενος. διὰ τοῦτο οἱ μὲν εἰς αὐτὸν ἀσεβήσαντες ὑμεῖς, ἐν ὕβρει καὶ ἀτιμίᾳ· οἱ δὲ προσκυνοῦντες αὐτὸν ἡμεῖς, ἀτιμότεροι πάντων ὑμῶν ἔμπροσθεν ὄντες, διὰ τὴν τοῦ Θεοῦ χάριν σεμνότεροι πάντων ὑμῶν ἐσμεν νῦν, καὶ ἐν μείζονι τιμῇ καθεστήκαμεν.

Καὶ πόθεν δῆλον, φησὶν, ὅτι ἀπεστράφη ἡμᾶς ὁ Θεός; λόγου γὰρ ἔτι χρεία καὶ ἀποδείξεως. Εἰπέ μοι, τῶν πραγμάτων αὐτῶν βοώντων, καὶ σάλπιγγος λαμπροτέραν ἀφιέντων φωνὴν, διά τε τῆς κατασκαφῆς τῆς πόλεως, διά τε τῆς ἐρημώσεως τοῦ ναοῦ, καὶ διὰ τῶν ἄλλων ἁπάντων τῶν εἰς ὑμᾶς συμβεβηκότων, ἔτι διὰ λόγων ἀπόδειξιν ἐπιζητεῖτε; ἀλλ' ἄνθρωποι, φησὶ, ταῦτα ἡμῖν ἐπήγαγον, οὐχ ὁ Θεός. μάλιστα μὲν οὖν ὁ Θεὸς ″τοῦτο εἰργάσατο. εἰ δὲ ἀνθρώποις ταῦτα λογίζῃ, σκόπησον πάλιν ἐκεῖνο· ὅτι καὶ ἄνθρωποι, εἰ μὴ τῷ Θεῷ δοκοῦν ἦν τοῦτο, ″εἰ καὶ ἐτόλμων, ἀλλ' οὐκ ἂν ἴσχυσαν εἰς πέρας αὐτὰ ἀγαγεῖν. Εἰπέ μοι· ὅτε γοῦν τὴν Περσίδα πᾶσαν ″ἀγαγὼν ἐπῆλθεν ὁ βάρβαρος, καὶ ἐξ ἐπιδρομῆς ″ἅπαντα λήψεσθαι προσεδόκησε, καὶ καθάπερ ἐν σαγήνῃ τινὶ καὶ δικτύοις ″εἰς τὴν πόλιν ἅπαντας εἶχε συγκεκλεισμένους· οὐχὶ τότε δὴ, τότε, ἐπειδὴ ὁ Θεὸς ἵλεως ἦν, χωρὶς πολέμου, καὶ μάχης, καὶ συμβολῆς, ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδας στρατιωτῶν ″νεκρῶν * ἀφεὶς παρ' ὑμῖν, οὕτως ἔφυγεν, ἀγαπῶν, εἰ διασωθείη μόνος; καὶ ἄλλοις δὲ μυρίοις πολέμοις οὕτως ἔκρινεν ὁ Θεὸς πολλάκις. ὥστε καὶ νῦν, εἰ μὴ αὐτὸς ἦν ὁ καθάπαξ ὑμᾶς ἀφεὶς, οὐκ ἂν ″ἴσχυσαν τὴν πόλιν ὑμῶν καθελεῖν, καὶ τὸν ναὸν ἐρημῶσαι· οὐκ ἂν μέχρι τοσούτου τὰ τῆς ἐρημίας ἔμεινεν· οὐκ ἂν, πολλάκις ὑμῶν ἐπιχειρησάντων, ἀνόνητος ἡ ἐπιχείρησις γέγονεν. οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθεν ὑμᾶς, ὦ Ἰουδαῖοι, πεῖσαι πειράσομαι, ὅτι οὐκ οἰκείᾳ δυνάμει ἐποίησαν, ὅπερ ἐποίησαν εἰς ὑμᾶς οἱ βασιλεῖς Ῥωμαίων, ἀλλὰ διὰ τὴν ὀργὴν τοῦ Θεοῦ καὶ τὴν αὐτοῦ ″κατάλειψιν. εἰ γὰρ ἀνθρώπων ἦν ἔργον τὸ γενόμενον, ἔδει μέχρι τῆς ἁλώσεως στῆναι τὰ ὑμέτερα, καὶ μὴ περαιτέρω προελθεῖν ὑμῶν τὴν ἀτιμίαν. κείσθω γὰρ κατὰ τὸν ὑμέτερον λόγον, ὅτι τὰ τείχη κατέσκαψαν ἄνθρωποι, καὶ τὴν πόλιν καθεῖλον, καὶ τὸν βωμὸν ἀνέτρεψαν. μὴ καὶ τοὺς προφήτας ἄνθρωποι ἔπαυσαν; μὴ τὴν τοῦ πνεύματος χάριν ἀνεῖλον; μὴ τὰ ἄλλα τὰ σεμνὰ τὰ παρ' ὑμῖν αὐτοὶ κατέλυσαν; οἷον τὴν φωνὴν ἐκ τοῦ ἱλαστηρίου φέρεσθαι, τὴν ἐπὶ τῷ χρίσματι γενομένην ἐνέργειαν, τὴν δήλωσιν τὴν ἐπὶ τῶν λίθων τοῦ ἱερέως; καὶ γὰρ ἡ Ἰουδαϊκὴ πολιτεία οὐχὶ κάτωθεν ἁπάσας εἶχε τὰς ἀρχὰς, ἀλλὰ τὰς πλείους καὶ σεμνοτέρας ἄνωθεν ἐκ τῶν οὐρανῶν. οἷόν τι λέγω· θυσίας συνεχώρησε ″γενέσθαι. ὁ μὲν οὖν βωμὸς κάτω ἦν, καὶ τὰ ξύλα, καὶ ἡ μάχαιρα, καὶ ὁ ἱερεύς· τὸ δὲ πῦρ τὸ μέλλον ἰέναι ἐν τοῖς ἀδύτοις ἐκείνοις, καὶ τὰς θυσίας δαπανᾶν, ἄνωθεν εἶχε τὴν ἀρχήν. οὐ γὰρ ἄνθρωπος εἰς τὸν ναὸν εἰσῆγε πῦρ, ἀλλὰ φλὸξ ἄνωθεν κατενεχθεῖσα, οὕτω τὴν ἐπὶ τῆς θυσίας διακονίαν ἐπλήρου. καὶ πάλιν εἴ ποτε ἔδει τι μαθεῖν, ἀνὰ μέσον τῶν χερουβὶμ ἐκ τοῦ ἱλαστηρίου φωνή τις ἐφέρετο, καὶ τὰ μέλλοντα προὔλεγε. πάλιν ἐπὶ τῶν λίθων τῶν ἐπὶ τοῦ στήθους τοῦ ἀρχιερέως, ὅπερ ἐκάλουν δήλωσιν, ἐγίνετό τις ″ἔκλαμψις, καὶ τὰ μέλλοντα ἐσήμαινε. πρὸς τούτοις, ἡνίκα τινὰ χρίεσθαι ἔδει, ἡ τοῦ πνεύματος χάρις ἐφίπτατο καὶ τὸ ἔλαιον ἀνεπήδα, καὶ προφῆται τούτοις διηκόνουν τοῖς πράγμασι, καὶ νεφέλη πολλάκις καὶ καπνὸς τὰ ἄδυτα κατελάμβανεν. ἵν' οὖν μὴ ἀναισχυντῶσιν οἱ Ἰουδαῖοι, μηδὲ ἀνθρώποις λογίζωνται τὴν αὐτῶν ἐρήμωσιν· οὐχὶ τὴν πόλιν μόνον ἀφῆκε πεσεῖν, καὶ τὸν ναὸν ἐρημωθῆναι, ἀλλὰ καὶ τὰ πράγματα ἐκεῖνα, ἅπερ ἐκ τῶν οὐρανῶν τὰς ἀρχὰς εἶχεν, ἐκποδὼν γενέσθαι ἐποίησε, τὸ πῦρ, τὴν φωνὴν, τὴν τῶν λίθων ″ἔκλαμψιν, τὰ ἄλλα πάντα τὰ τοιαῦτα. ὅταν οὖν λέγῃ σοι ὁ Ἰουδαῖος, ὅτι ἄνθρωποι ἡμῖν ἐπολέμησαν, ἄνθρωποι ἐπεβούλευσαν, εἰπὲ πρὸς αὐτόν· μάλιστα μὲν οὐκ ἂν ἐπολέμησαν ἄνθρωποι, εἰ μὴ ὁ Θεὸς συνεχώρησεν. ἔστω δὲ, τὸ τεῖχος σου καθεῖλον ἄνθρωποι· μὴ τὸ πῦρ ἄνωθεν καταφέρεσθαι ἄνθρωπος ἐκώλυσεν; μὴ τὴν φωνὴν τὴν ἐκ τοῦ ἱλαστηρίου συνεχῶς ἀκουομένην ἄνθρωπος ἐπέσχε; μὴ τὴν δήλωσιν τὴν ἐπὶ τῶν λίθων; μὴ τὸ χρῖσμα τὸ ἱερατικόν; μὴ τὰ ἄλλα ἅπαντα καθεῖλεν ἄνθρωπος; οὐχ ὁ Θεὸς ταῦτα ἀνέστειλε; παντί που δῆλόν ἐστι. τίνος οὖν ἕνεκεν ἀνεῖλεν; οὐκ εὔδηλον, ὅτι μισήσας ὑμᾶς καὶ ἀποστραφεὶς καθάπαξ; οὐχί, φησιν· ἀλλ' ἐπειδὴ τὴν μητρόπολιν οὐκ ἔχομεν, διὰ τοῦτο ταῦτα οὐκ ἔχομεν. τίνος δὲ ἕνεκεν τὴν μητρόπολιν οὐκ ἔχετε; ἐπειδὴ ὑμᾶς ὁ Θεὸς ἐγκατέλειπε. μᾶλλον δὲ, ἵνα ἐκ περιουσίας τὰ ἀναίσχυντα αὐτῶν ἐμφράξωμεν στόματα, φέρε καὶ τοῦτο δι' αὐτῶν ἀποδείξωμεν τῶν γραφῶν, ὅτι οὐχ ἡ τοῦ ναοῦ κατασκαφὴ τῆς κατὰ τὴν προφητείαν ἀναιρέσεώς ἐστιν αἰτία, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ, καὶ τὸ μειζόνως αὐτὸν προσκρούειν νῦν διὰ τῆς εἰς τὸν Χριστὸν μανίας, ἢ ὅτε τὸν μόσχον προσεκύνησαν. ὅτε γοῦν ὁ Μωϋσῆς προεφήτευσεν, οὔτε ναὸς ἦν, οὔτε βωμὸς, ἀλλὰ μυρία ἀσεβοῦντες διετέλουν, καὶ τὸ τῆς προφητείας οὐκ ἀπέστη χάρισμα· ἀλλὰ καὶ ἐν τούτοις αὐτὸς ὁ μέγας καὶ γενναῖος ἀνὴρ, καὶ ἕτεροι πρὸς τούτῳ πάλιν ἑβδομήκοντα ἀνεδείχθησαν τότε προφῆται. καὶ οὐ τότε μόνον, ἀλλὰ καὶ μετὰ ταῦτα ναοῦ δοθέντος, καὶ τῆς ἄλλης λατρείας ἁπάσης, εἶτα ἐμπρησθέντος τούτου, καὶ πολλῶν ἀχθέντων εἰς Βαβυλῶνα, πάλιν Ἰεζεκιὴλ καὶ Δανιὴλ, οὐ τὰ ἅγια τῶν ἁγίων ὁρῶντες, οὐ παρὰ τὸν βωμὸν ἑστῶτες, ἀλλ' ἐν μέσῃ χώρᾳ βαρβάρων, μεταξὺ παρανόμων καὶ ἀκαθάρτων ὄντες ἀνθρώπων, πνεύματος ἐπληροῦντο, καὶ τὰ μέλλοντα προὔλεγον, καὶ πολλῷ τῶν προτέρων καὶ πλείονα καὶ παραδοξότερα εἶπον πράγματα, καὶ ὄψιν ἐθεάσαντο θείαν, ὡς αὐτοῖς δυνατὸν ἦν ἰδεῖν. τίνος οὖν ἕνεκεν, εἰπέ μοι, νῦν οὐκ ἔχετε προφήτας; οὐκ εὔδηλον, ὅτι τοῦ Θεοῦ τὰ καθ' ὑμᾶς ἀποστραφέντος; τίνος οὖν ἕνεκεν ὑμᾶς ἀπεστράφη; εὔδηλον καὶ τοῦτο πάλιν, ὅτι διὰ τὸν σταυρωθέντα, καὶ τὴν τόλμαν τὴν παράνομον ἐκείνην. πόθεν τοῦτο δῆλόν, φησιν; ἀφ' ὧν πρὸ τούτου μὲν ἀσεβοῦντες, πάντων ἐπετυγχάνετε· νῦν δὲ δοκοῦντες ἐπιεικέστερον ζῆν μετὰ τὸν σταυρὸν, μείζονα ὑπομένετε τιμωρίαν, καὶ οὐδενὸς ἀπολαύετε τῶν προτέρων. ἵνα δὲ καὶ ἀπ' αὐτῶν τῶν προφητῶν τοῦτο σαφῶς καὶ διαῤῥήδην παριστώντων, τὴν αἰτίαν τῶν παρόντων κακῶν μάθητε· ἀκούσατε τί φησιν Ἡσαΐας· πῶς καὶ τὴν ἐσομένην εὐεργεσίαν πᾶσι διὰ τοῦ Χριστοῦ προλέγει, καὶ τὴν ὑμετέραν ἀγνωμοσύνην· Τῷ μώλωπι αὐτοῦ, φησιν, ἡμεῖς ἰάθημεν, τὴν διὰ τοῦ σταυροῦ σωτηρίαν πᾶσι γενομένην αἰνιττόμενος. εἶτα λέγων, ἡμεῖς· τίνες, ἐπήγαγε. Πάντες ὡς πρόβατα ἐπλανήθημεν· ἄνθρωπος ἐν τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη. καὶ λέγων τοῦ σταυροῦ τὸν τρόπον, οὕτω πως φησίν· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. καὶ ποῦ ταῦτά ἐστιν ἰδεῖν ἐξελθόντα; ἐν τῷ παρανόμῳ δικαστηρίῳ Πιλάτου. τοσαῦτα γὰρ καταμαρτυρησάντων αὐτοῦ, φησιν, Οὐδὲν ἀπεκρίνατο αὐτοῖς ὁ Ἰησοῦς. καὶ εἶπε πρὸς αὐτὸν ὁ ἡγεμών· ἀκούεις τί οὗτοί σου καταμαρτυροῦσι; καὶ οὐδὲν ἀπεκρίνατο, ἀλλ' εἱστήκει σιγῶν. τοῦτο τοίνυν ὁ προφήτης δηλῶν ἄνωθεν, ἔλεγεν· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος. εἶτα δεικνὺς τὴν παρανομίαν τὴν ἐν τῷ δικαστηρίῳ γενομένην τότε, φησίν· ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. οὐδεὶς αὐτῷ κατὰ τὸν τοῦ δικαίου λόγον ἐψηφίσατο τότε, ἀλλ' ἐδέξαντο τὰς ψευδεῖς μαρτυρίας τὰς κατ' αὐτοῦ. τὸ δὲ αἴτιον, διὰ τὸ μὴ βούλεσθαι αὐτὸν ἐπεξελθεῖν. εἰ γὰρ ἐβούλετο, πάντα ἂν ἐδόνησε καὶ ἔσεισεν. εἰ γὰρ ἐπὶ τοῦ σταυροῦ τότε ὢν, τὰς πέτρας διέῤῥηξε, τὴν οἰκουμένην ἐσκότισε, τὰς ἀκτῖνας ἀπέστρεψε τὰς ἡλιακὰς, νύκτα ἐν ἡμέρᾳ πανταχοῦ τῆς γῆς ἐποίησε· καὶ ἐν τῷ δικαστηρίῳ δυνατὸς ἦν τοῦτο ποιῆσαι. ἀλλ' οὐκ ἠθέλησε, πρᾳότητα καὶ ἐπιείκειαν ἐπιδεικνύμενος. διὰ τοῦτό φησιν· ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. εἶτα δεικνὺς, ὡς οὐκ ἄνθρωπος ἦν εἷς τῶν πολλῶν, ἐπήγαγε· Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; τίς γάρ ἐστι περὶ οὗ φησιν, ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ; διὰ τοῦτο καὶ ὁ Παῦλός φησιν·

Ἡσ. νγ. ε.

Ματθ. κζ. ιε.

Κολασ. γ. γ. Η ζωὴ ἡμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς φανερωθήσεσθε σὺν αὐτῷ ἐν δόξῃ.

Ἀλλ' ὅπερ προεθέμην εἰπεῖν καὶ δεῖξαι, ὅτι δι' αὐτὸν τὰ παρόντα ὑπομένουσι κακά· ὥρα λοιπὸν εἰσαγαγεῖν τὸν Ἡσαΐαν λέγοντα. ποῦ τοίνυν τοῦτό φησι; μετὰ τὸ δικαστήριον, μετὰ τὴν σφαγήν, μετὰ τὴν ἀνάληψιν, μετὰ τὸ εἰπεῖν, ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, ἐπήγαγε λέγων· (Ησ. νγ. θ.) Καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ. καὶ οὐχ ἁπλῶς εἶπεν Ἰουδαίους, ἀλλὰ τοὺς πονηρούς. τί γὰρ ἐκείνων πονηρότεροι γένοιντ' ἄν, οἳ μετὰ τοσαύτας εὐεργεσίας τὸν εὐεργέτην ἔσφαττον; εἰ μὴ ἐξέβη ταῦτα, καὶ ἠτιμώθητε νῦν, καὶ πάντων ἀπεστέρησθε τῶν πατρῴων, εἰ μὴ ἔπεσεν ὑμῶν ἡ πόλις, καὶ ἐρείπιον "ἐγένετο ὁ ναός, καὶ τραγῳδίαν ἅπασαν ὑπερέβη τὰ καθ' ὑμᾶς· μὴ πιστεύσῃς, ὦ Ἰουδαῖε. εἰ δὲ τὰ πράγματα βοᾷ, καὶ τέλος ἔλαβεν ἡ προφητεία, τίνος ἕνεκεν ἀναισχυντεῖς εἰκῇ καὶ μάτην; ποῦ γὰρ τὰ σεμνὰ τὰ παρ' ὑμῖν νῦν; ποῦ ὁ ἀρχιερεύς; ποῦ δὲ ἡ στολὴ καὶ τὸ "λογεῖον καὶ ἡ δήλωσις; μὴ γάρ μοι τοὺς πατριάρχας τούτους εἴπῃς, τοὺς καπήλους, τοὺς ἐμπόρους, τοὺς πάσης παρανομίας γέμοντας. ποῖος ἱερεύς, εἰπέ μοι, χρίσματος οὐκ ὄντος ἐκείνου τοῦ παλαιοῦ, οὐδὲ τῆς ἄλλης "ἁγιστείας ἁπάσης; ποῖος ἱερεύς, εἰπέ μοι, θυσίας οὐκ οὔσης, οὐδὲ βωμοῦ, οὐδὲ λατρείας; βούλει σοι τοὺς περὶ ἱερωσύνης "λαλήσω λόγους, πῶς τὸ παλαιὸν ἐγίνοντο, ἵνα μάθῃς, ὅτι οὗτοι οἱ νῦν πατριάρχαι παρ' ὑμῖν λεγόμενοι, οὐχ ἱερεῖς εἰσιν, ἀλλὰ ἱερεῖς ὑποκρίνονται, καὶ παίζουσι καθάπερ ἐν τῇ σκηνῇ· μᾶλλον δὲ οὐδὲ ὑπόκρισιν διατηρῆσαι δύνανται; τοσοῦτον οὐχὶ τῆς ἀληθείας μόνον, ἀλλὰ καὶ τῆς ὑποκρίσεως αὐτῆς ἐξηκοντίσθησαν. ἀναμνήσθητι τοίνυν πῶς Ἀαρὼν ἐγένετο ἱερεὺς τότε, πόσας ἐπ' αὐτῷ θυσίας ἔθυσεν ὁ Μωϋσῆς, πόσα κατέβαλεν ἱερεῖα, πῶς αὐτὸν ἔλουσε, πῶς αὐτοῦ ἔχρισε τὸν λοβὸν τοῦ ὠτίου, τὴν χεῖρα τὴν δεξιάν, τὸν πόδα τὸν δεξιόν. εἶτα εἰς τὰ ἅγια τῶν ἁγίων εἰσήγαγεν· εἶτα ἐκέλευσε ῥητόν τινα ἀριθμὸν ἡμερῶν ἔνδον μεῖναι. μᾶλλον δὲ καὶ αὐτῶν ἄξιον ἀκοῦσαι τῶν ῥήσεων. (Λευϊτ. η. α.) Αὕτη, φησίν, ἡ χρίσις Ἀαρών, καὶ ἡ χρίσις τῶν υἱῶν αὐτοῦ. καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, λέγων· λάβε Ἀαρών, καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ τὰς στολὰς αὐτῶν, καὶ τὸ ἔλαιον τῆς χρίσεως, καὶ τὸν μόσχον τὸν περὶ τῆς ἁμαρτίας, καὶ κριόν· καὶ ἐκκλησίασον τὴν συναγωγὴν ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου. καὶ εἶπε Μωϋσῆς πάσῃ τῇ συναγωγῇ [τοῦτο] τὸ ῥῆμα, ὃ ἐνετείλατο Κύριος. καὶ ἐπειδὴ προσήγαγεν αὐτούς (δεῖ γὰρ συντεμεῖν) ἔλουσεν "αὐτοὺς ὕδατι, ἐνέδυσε τὸν χιτῶνα, ἔζωσε τὴν ζώνην, ἐνέδυσε τὸν ἐπενδύτην, ἐπέθηκε τὴν ἐπωμίδα, ἔζωσεν αὐτὸν καὶ "συνέσφιγξεν, ἐπέθηκε τὸ "λογεῖον, καὶ ἐπὶ τὸ "λογεῖον τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν, καὶ τὴν μίτραν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ τῆς μίτρας τὸ πέταλον τὸ χρυσοῦν. εἶτα λαβὼν ἀπὸ τοῦ ἐλαίου, ἐπέρρανεν ἀπ' αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον, καὶ ἡγίασεν αὐτό, καὶ τὰ σκεύη, καὶ τὸν λουτῆρα, καὶ τὴν βάσιν, καὶ ἡγίασεν αὐτά, καὶ ἐπέχεεν ἀπ' αὐτοῦ ἐπὶ τὴν κεφαλὴν Ἀαρών, καὶ τοῖς υἱοῖς αὐτοῦ ὁμοίως ἐποίησε, καὶ προσήγαγε τὸν μόσχον. καὶ ἐπειδὴ ἔθυσεν, ἐπιθέντος Ἀαρὼν τὰς χεῖρας, καὶ τῶν υἱῶν αὐτοῦ, ἀπὸ τοῦ αἵματος λαβὼν ἔθηκεν ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου, καὶ ἐκαθάρισε τὸ θυσιαστήριον, καὶ τὸ αἷμα ἐξέχεεν ἐπὶ τὴν βάσιν [τοῦ θυσιαστηρίου,] καὶ ἡγίασεν αὐτό, τοῦ ἐξιλάσασθαι "ἐπ' αὐτῷ. εἶτα ἐπειδή τινα ἐξ αὐτοῦ κατέκαυσε, τὰ μὲν ἔνδον, τὰ δὲ ἔξω· ἤγαγε πάλιν κριόν, καὶ αὐτὸν ὡλοκαύτωσε. καὶ "προσήνεγκε πάλιν κριὸν ἕτερον, τὸν τῆς τελειώσεως. καὶ πάλιν ἐπιθέντος Ἀαρὼν καὶ τῶν υἱῶν αὐτοῦ τὰς χεῖρας, ἔσφαξε· καὶ ἀπὸ τοῦ αἵματος αὐτοῦ λαβών, ἐπέθηκεν ἐπὶ τὸν λοβὸν τοῦ ὠτίου Ἀαρὼν τοῦ δεξιοῦ, καὶ ἐπὶ τὸ ἄκρον τῆς χειρὸς αὐτοῦ τῆς δεξιᾶς, καὶ ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς τοῦ δεξιοῦ. καὶ τοῖς υἱοῖς αὐτοῦ οὕτως ἐποίησεν. εἶτά τινα τῆς θυσίας λαβών, ἐπέθηκεν ἐπὶ ταῖς χερσὶν Ἀαρὼν καὶ τῶν υἱῶν αὐτοῦ, καὶ οὕτω "προσήνεγκε. καὶ λαβὼν αἷμα πάλιν, καὶ ἐκ τοῦ ἐλαίου, ἐρράνεν ἐπὶ Ἀαρών, καὶ "τὰς στολὰς αὐτοῦ, καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ τὰς στολὰς τῶν υἱῶν αὐτοῦ, καὶ ἡγίασεν αὐτούς. καὶ ἐκέλευσεν ἑψῆσαι κρέας ἐν τῇ αὐλῇ τῆς σκηνῆς *, καὶ ἐκεῖ φαγεῖν αὐτό. καὶ ἀπὸ τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου οὐκ ἐξελεύσεσθε, φησίν, ἑπτὰ ἡμέρας, ἕως ἡ ἡμέρα πληρωθῇ τελειώσεως ὑμῶν. ἑπτὰ γὰρ ἡμέρας τελειώσει τὰς χεῖρας ὑμῶν, ὥστε ἐξιλάσασθαι περὶ ὑμῶν. ὅταν οὖν λέγῃ, ὅτι διὰ τούτων ὁ Ἀαρὼν ἐτελειώθη, διὰ τούτων ἐκαθαρείσθη, διὰ τούτων ἡγιάσθη, διὰ τούτων ἐξιλάσατο τὸν Ἰσραήλ· μηδὲν δὲ τούτων γίνηται νῦν, μήτε θυσία, μήτε ὁλοκαύτωσις, μήτε αἵματος ῥαντισμός, μήτε ἐλαίου χρίσις, μήτε σκηνὴ παρῇ τοῦ μαρτυρίου, μήτε τὸν ὡρισμένον τῶν ἡμερῶν ἀριθμὸν ἔνδον καθέζηται· εὔδηλον ὅτι καὶ ἀτελὴς καὶ ἀκάθαρτος καὶ ἐναγὴς καὶ βέβηλός ἐστιν ὁ παρ' αὐτοῖς ἱερεὺς νῦν, καὶ τὸν Θεὸν παροξύνει. εἰ γὰρ ἄλλως οὐκ ἐνῆν αὐτὸν τελειωθῆναι, ἀλλ' ἢ διὰ τούτων· ἀνάγκη πᾶσα, τούτων μὴ γινομένων, ἱερωσύνην αὐτοῖς μὴ συνεστάναι. ὁρᾷς ὅτι δικαίως ἔλεγον, ὅτι οὐχὶ τῆς ἀληθείας μόνον, ἀλλὰ καὶ αὐτῆς τῆς ὑποκρίσεως τοῦ πράγματος ἐξηκοντίσθησαν μακράν που καὶ πόρρω. οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθέν ἐστι μαθεῖν, πῶς σεμνὸν τὸ τῆς ἱερωσύνης ἦν ἀξίωμα. ὅτε γοῦν περὶ Ἀαρὼν ἐπανέστησαν μιαροί τινες ἄνθρωποι καὶ πανώλεθροι, τῆς ἀρχῆς αὐτὸν ἐκβάλλειν ἐπιχειροῦντες, καὶ ὑπὲρ τῆς τιμῆς πρὸς αὐτὸν ἀμφισβητοῦντες· ὁ πρᾳότατος Μωϋσῆς, βουλόμενος αὐτοὺς πεῖσαι διὰ τῶν πραγμάτων αὐτῶν, ὅτι οὐχ ὡς ἀδελφὸν καὶ προσήκοντα καὶ οἰκεῖον ἐπὶ ταύτην ἤγαγε τὴν ἀρχήν, ἀλλὰ τῇ ψήφῳ τοῦ Θεοῦ πειθόμενος ἐνεχείρισεν αὐτῷ τὴν ἱερωσύνην ἐκείνην· κελεύσας ἀνὰ ἑκάστην φυλὴν ῥάβδον κομίσαι, ἔτι δὲ καὶ περὶ Ἀαρών, καὶ ἐπειδὴ ἐκόμισαν, λαβὼν αὐτὰς ἁπάσας, ἔνδον ἀπέθετο· καὶ ἀποθέμενος, τὴν τοῦ Θεοῦ λοιπὸν κρίσιν ἀναμένειν ἐκέλευσε τὴν διὰ τῶν ῥάβδων γινομένην. εἶτα ἀθρόον τῶν ἄλλων μενουσῶν ἐπὶ τοῦ αὐτοῦ σχήματος, ἡ τοῦ Ἀαρὼν ἐβλάστησε μόνη, καὶ φύλλα ἤνεγκε καὶ καρπούς· ἵνα μάθωσιν, ὅτι ὁ τῆς φύσεως δεσπότης πάλιν αὐτὸν ἐχειροτόνει, ἀντὶ γραμμάτων τοῖς φύλλοις χρώμενος. ὁ γὰρ εἰπὼν ἐξ ἀρχῆς, Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, καὶ τὴν δύναμιν αὐτῆς πρὸς καρπογονίαν διεγείρας· οὗτος καὶ τὸ ξύλον τότε ἐκεῖνο, ξηρὸν ὂν καὶ ἄκαρπον, καὶ γῆς χωρὶς καὶ ῥίζης βλαστῆσαι ἐποίησε. καὶ ἦν λοιπὸν ἔλεγχος καὶ μάρτυς καὶ τῆς ἐκείνων κακίας, καὶ τῆς τοῦ Θεοῦ κρίσεως ἡ ῥάβδος ἐκείνη, φωνὴν μὲν οὐκ ἀφιεῖσα, σάλπιγγος δὲ λαμπρότερον διὰ τῆς ὄψεως ἅπασι παραινοῦσα μηκέτι τοῖς τοιούτοις ἐπιχειρεῖν πράγμασι. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἑτέρῳ πάλιν αὐτὸν ἐχειροτόνησε τρόπῳ. ἐπειδὴ γὰρ πολλοὶ συστάντες ἐπεθύμουν αὐτοῦ τῆς τιμῆς (περιμάχητον γάρ πως ἡ ἀρχή, καὶ πολλοῖς ἐπέραστον) ἐκέλευσε πυρεῖα πάλιν ἐνεγκόντας, καὶ θυμίαμα ἐπιθέντας, τὴν ἄνωθεν ἀναμένειν ψῆφον. καὶ θυμιώντων αὐτῶν, ἡ γῆ διαστᾶσα πάντας κατέπιε τοὺς συναιρομένους αὐτοῖς, καὶ τοὺς τὰ πυρεῖα λαβόντας ἄνωθεν κατέφλεξε πῦρ. καὶ ἵνα μὴ τῷ χρόνῳ λήθῃ τὸ γινόμενον παραδοθὲν ἀγνοεῖν τοὺς μετὰ ταῦτα ποιῇ τὴν παράδοξον τοῦ Θεοῦ ψῆφον, προσέταξεν ὁ Μωϋσῆς ἐκεῖνα τὰ πυρεῖα λαβόντας περιελάσαι τῷ θυσιαστηρίῳ· ἵν', ὥσπερ ἡ ῥάβδος χωρὶς φωνῆς ἠφίει φωνὴν διὰ τῆς ὄψεως, οὕτω καὶ τὰ πέταλα ταῦτα τοῖς μετὰ ταῦτα διαλέγηται πᾶσι καὶ παραινῇ καὶ συμβουλεύῃ μηδαμῶς μιμεῖσθαι τὴν τῶν προτέρων ἄνοιαν, ἵνα μὴ τὴν αὐτὴν ὑπομείνωσι δίκην. ὁρᾷς πῶς τὸ παλαιὸν οἱ ἱερεῖς ἐχειροτονοῦντο· νυνὶ δὲ παίγνια τὰ παρὰ Ἰουδαίοις πάντα, καὶ γέλως, καὶ αἰσχύνη, καὶ καπηλεία, καὶ μυρίας μεστὰ παρανομίας. τούτοις οὖν ἀκολουθεῖς, εἰπέ μοι, τοῖς ἀπεναντίας ἀεὶ τοῖς τοῦ Θεοῦ νόμοις ἅπαντα καὶ ποιεῖν καὶ λέγειν φιλονεικοῦσι, καὶ πρὸς τὰς συναγωγὰς αὐτῶν τρέχεις; καὶ οὐ δέδοικας, μὴ σκηπτὸς ἄνωθεν κατενεχθεὶς καταφλέξῃ σου τὴν κεφαλήν; οὐκ οἶδας ὅτι, κἂν μὴ λῃστεύῃ τις, ἐν δὲ τῷ τῶν λῃστευόντων σπηλαίῳ φανῇ, τὴν αὐτὴν ἐκείνοις δίδωσι δίκην; καὶ τί λέγω τὰ τῶν λῃστῶν; ἴστε δήπου πάντες καὶ μέμνησθε ὅτε τοὺς ἀνδριάντας καθεῖλον παρ' ἡμῖν μιαροί τινες ἄνθρωποι καὶ γόητες, πῶς οὐκ ἐκεῖνοι μόνον οἱ τολμήσαντες, ἀλλὰ καὶ ὅσοι παρόντες ἁπλῶς

Γεν. α. ια.

Αριθ. ιϛ.

τοῖς δημοσίοις ἐφελκύσαι*, εἰς δικαστήριον ἀναρπασθέντες καὶ συναπαχθέντες ἐκείνοις, τὴν "ἐσχάτην ἐδώκαμεν δίκην. σὺ δὲ ἔνθα πατὴρ ὑβρίζεται, καὶ υἱὸς βλασφημεῖται, ἔνθα τὸ πνεῦμα τὸ ἅγιον [καὶ ζωοποιὸν] ἀθετεῖται, σπεύδεις τρέχειν, εἰπέ μοι; καὶ οὐ δέδοικας, οὐδὲ φρίττεις, εἰς τοὺς βεβήλους καὶ ἀκαθάρτους τόπους ἐκείνους σαυτὸν εἰσάγων; καὶ ποίαν ἕξεις, εἰπέ μοι, ἀπολογίαν, τίνα συγγνώμην, ἑκὼν σεαυτὸν εἰς τὸ βάραθρον ὠθῶν, καὶ κατὰ κρημνῶν" ἀφιείς;

Μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι νόμος ἐκεῖ κεῖται, καὶ προφητῶν βιβλία. οὐκ ἀρκεῖ τοῦτο ποιῆσαι τὸν τόπον ἅγιον. τί γὰρ μεῖζόν ἐστι, βιβλία κεῖσθαι ἐν τόπῳ, ἢ φθέγγεσθαι τὰ ἀπὸ τῶν βιβλίων; οὐ δῆλον ὅτι τὰ ἀπὸ τῶν βιβλίων φθέγγεσθαι καὶ ἔχειν ἐν διανοίαις. τί οὖν, εἰπέ μοι, ἐπειδὴ ὁ διάβολος ἐφθέγξατο ἀπὸ τῶν γραφῶν, ἆρα ἡγιάσθη αὐτοῦ τὸ στόμα; οὐκ ἔστιν εἰπεῖν· ἀλλ' ἔμεινεν ὢν διάβολος. τί "δαὶ οἱ δαίμονες, ἐπειδὴ ἐκήρυττον καὶ ἔλεγον· Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ εἰσι τοῦ ὑψίστου, καταγγέλλοντες ὑμῖν ὁδὸν σωτηρίας· ἆρα οὖν διὰ τοῦτο εἰς τοὺς ἀποστόλους αὐτοὺς ἐνταξόμεθα; οὐδαμῶς· ἀλλ' ὁμοίως αὐτοὺς φεύγομεν ἀποστρεφόμενοι καὶ μισοῦντες. εἶτα ῥήματα μὲν προφερόμενα οὐχ ἁγιάζει, τὰ δὲ βιβλία κείμενα ἁγιάζει; καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; διὰ τοῦτο μάλιστα [μὲν] μισῶ τὴν συναγωγήν, ἐπειδὴ τὸν νόμον ἔχει καὶ τοὺς προφήτας· καὶ πλέον αὐτὴν μισῶ νῦν, ἢ εἰ μηδὲν εἶχε τούτων. τί δήποτε; ὅτι μέγα τὸ δέλεαρ, πολλὴ ἡ ἀπάτη τοῖς ἀφελεστέροις ἐντεῦθεν γίνεται. ἐπεὶ καὶ τὸν δαίμονα ἐκεῖνον διὰ τοῦτο φθεγγόμενον μᾶλλον ἢ σιωπῶντα ἤλαυνεν ὁ Παῦλος. Διαπονηθεὶς γάρ, φησι, τῷ πνεύματι, εἶπεν· ἔξελθε ἀπ' αὐτῆς. καὶ τίνος ἕνεκεν; ἐπειδὴ ἐβόα, οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσί. σιγῶντες μὲν γὰρ οὐχ οὕτως ἠπάτων· φθεγγόμενοι δέ, πολλοὺς ἔμελλον τῶν ἀφελεστέρων ὑποσύρειν καὶ πείθειν καὶ ἐν τοῖς ἄλλοις αὐτοῖς προσέχειν. ἵνα γὰρ θύραν ἀνοίξωσι ταῖς ἑαυτῶν ἀπάταις, καὶ τῷ ψεύδει πολλὴν δῶσι παρρησίαν, διὰ τοῦτο καὶ ἀληθῆ τινα ἀνέμιξαν· καθάπερ οἱ τὰ δηλητήρια κεραννύντες φάρμακα, μέλιτι τὸ στόμα τῆς κύλικος περιχρίοντες, εὐπαράδεκτον ποιοῦσι τὴν βλάβην. διὰ τοῦτο δὴ μάλιστα Παῦλος διεπονεῖτο καὶ ἔσπευδεν αὐτοὺς ἐπιστομίσαι, ἐπειδὴ μὴ τὴν αὐτοῖς προσήκουσαν ἥρπαζον ἀξίαν. διὰ τοῦτο κἀγὼ μισῶ Ἰουδαίους, ἐπειδὴ νόμον ἔχοντες, νόμον ὑβρίζοντες καὶ ταύτῃ τοὺς ἀφελεστέρους δελεάζειν ἐπιχειροῦντες. οὐκ ἦν ἔγκλημα τοσοῦτον*, εἰ μὴ πιστεύοντες τοῖς προφήταις, ἠπείθουν τῷ Χριστῷ· νῦν δὲ πάσης ἀπεστέρηνται συγγνώμης, ἐκείνοις μὲν πείθεσθαι λέγοντες, καθυβρίζοντες δὲ τὸν προφητευόμενον ὑπ' ἐκείνων. ὅλως δὲ εἰ νομίζεις, διότι νόμος ἐκεῖ κεῖται καὶ προφητῶν βιβλία, τὸν τόπον ἅγιον εἶναι· ὥρα σοι λοιπὸν καὶ τὰ εἴδωλα, καὶ τοὺς ναοὺς τῶν εἰδώλων ἁγίους εἶναι νομίζειν. καὶ γὰρ πολέμου ποτὲ καταλαβόντος τοὺς Ἰουδαίους, κρατήσαντες οἱ Ἀζώτιοι, καὶ τὴν κιβωτὸν λαβόντες, εἰς τὸ ἑαυτῶν ἱερὸν εἰσήγαγον. ἆρα οὖν διὰ τοῦτο ἅγιος ἦν ὁ ναός, ἐπειδὴ τὴν κιβωτὸν εἶχεν; οὐδαμῶς· ἀλλὰ καὶ βέβηλος καὶ ἀκάθαρτος. καὶ εὐθέως τοῦτο διὰ τῶν ἔργων ἐδείκνυτο, ἵνα μάθωσιν οἱ πολέμιοι, ὅτι οὐ "δι' ἀσθένειαν τοῦ Θεοῦ, ἀλλὰ" διὰ τὴν παρανομίαν τῶν θεραπευόντων αὐτὸν ἡ ἧττα γέγονε. καὶ ἡ κιβωτὸς ληφθεῖσα αἰχμάλωτος ἐν ἀλλοτρίᾳ γῇ τὴν ἰσχὺν τὴν οἰκείαν ἐπεδείκνυτο," δὶς τὸ εἴδωλον χαμαὶ ῥίψασα, καὶ διακλασθῆναι παρασκευάσασα. καὶ τοσοῦτον ἀπεῖχεν ἁγιάσαι τὸν τόπον, ὅτι καὶ ἐπολέμει τῷ τόπῳ. ἄλλως δέ, ποία κιβωτὸς νῦν παρὰ Ἰουδαίοις, ὅπου ἱλαστήριον οὐκ ἔστιν, ὅπου οὐ" χρησμός, οὐ διαθήκης πλάκες, οὐ τὰ ἅγια τῶν ἁγίων, οὐ τὸ καταπέτασμα, οὐκ ἀρχιερεύς, οὐ θυμίαμα, οὐχ ὁλοκαύτωσις, οὐ θυσία, οὐκ ἄλλα τὰ ποιοῦντα σεμνὴν τὴν κιβωτὸν τότε ἐκείνην; ἐμοὶ γὰρ ἐπὶ τῆς ἀγορᾶς πωλουμένων κιβωτίων οὐδὲν ἄμεινον αὕτη ἡ κιβωτὸς διακεῖσθαι δοκεῖ· ἀλλὰ καὶ πολλῷ "χεῖρον. καὶ γὰρ τοὺς περιιόντας οὐδὲν μὲν ταῦτα βλάψαι δύναται· ἐκείνη δὲ πολλὴν καθ' ἡμέραν τοῖς αὐτῇ προσιοῦσιν ἐργάζεται

γάζεται

Πραξ. ις. ιζ.

Πραξ. ις. ιη.

* περι… ἀλλ' συν… αὐτῆς,
γ. αὐτῶν
γ. ἀφιείς
γ. δὲ
* αὐτοῖς
γ. διὰ
γ. διὰ
γ. δὶς
γ. χρησμ…
γ. χείρ…

γάζεται βλάβην. Ἀδελφοί, μὴ παιδία γίνεσθε ταῖς φρεσὶν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε· καὶ τοὺς πρὸς ταῦτα ἐπτοημένους τῆς ἀκαίρου ταύτης ἀγωνίας ἀπαλλάττοντες, παιδεύσατε τί χρὴ φοβεῖσθαι καὶ δεδοικέναι, οὐχὶ τὴν κιβωτὸν ταύτην, ἀλλὰ τὸ καταφθείρειν τὸν ναὸν τοῦ Θεοῦ διὰ τῶν ἐκεῖ "δρόμων, διὰ τοῦ πρὸς τὸν Ἰουδαϊσμὸν συνειδότος, διὰ τῆς ἀκαίρου ταύτης παρατηρήσεως. Οἵτινες γὰρ, φησὶν, ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε. τοῦτο χρὴ δεδοικέναι, μὴ κατὰ τὴν ἡμέραν ἐκείνην ἀκούσητε παρὰ τοῦ μέλλοντος κρίνειν ὑμᾶς, ὑπάγετε, οὐκ οἶδα ὑμᾶς· τοῖς γὰρ ἐμὲ σταυρώσασιν ἐκοινωνήσατε, καὶ τὰς ἑορτὰς, ἃς κατέλυσα, φιλονεικοῦντές μοι πάλιν ἀνεστήσατε, πρὸς τὰς συναγωγὰς ἐδράμετε τῶν εἰς ἐμὲ* παρανομησάντων Ἰουδαίων. κἀγὼ μὲν τὸν ναὸν καθεῖλον, καὶ ἐρείπιον ἐποίησα τὸν σεμνὸν ἐκεῖνον καὶ φρικτὰ κατέχοντα πράγματα· ὑμεῖς δὲ οἰκήματα καπηλείων οὐδὲν ἄμεινον διακείμενα, καὶ σπήλαια λῃστῶν ἐθεραπεύετε. εἰ γὰρ τότε, ὅτε τὰ χερουβὶμ ἦν, ὅτε ἡ κιβωτὸς, ὅτε ἔτι πνεύματος ἐπεζώθη χάρις, νῦν μὲν ἔλεγεν, Ὅτι ἐποιήσατε αὐτὸν σπήλαιον λῃστῶν· νῦν δὲ, ὅτι οἶκον ἐμπορείου διὰ τὰς παρανομίας αὐτῶν καὶ τὰς μιαιφονίας· νῦν, ὅτε αὐτοὺς ἡ τοῦ πνεύματος ἐγκατέλιπε χάρις, καὶ πάντα ἐκεῖνα ἀνῄρηται τὰ σεμνὰ, καὶ τῷ Θεῷ φιλονεικοῦντες τὴν παράνομον ταύτην ἐπιτελοῦσι λατρείαν, τί ἄν τις προσειπὼν τὰς συναγωγὰς [αὐτῶν,] ἀξίαν ἔσται εἰρηκὼς "ἐπωνυμίαν; Εἰ γὰρ τότε σπήλαιον λῃστῶν ἦν, ὅτε ἔτι τὰ τῆς "πολιτείας ἐκράτει· νῦν κἂν πορνεῖον, κἂν παρανομίας χωρίον, κἂν δαιμόνων καταγώγιον, κἂν διαβόλου φρούριον, κἂν ψυχῶν ὄλεθρον, κἂν ἀπωλείας ἁπάσης κρημνὸν καὶ βάραθρον, κἂν ὁποιοῦν [χεῖρον] τις "προσείπῃ, ἔλαττον [ἔτι] τῆς ἀξίας ἐρεῖ. ναὸν ἐπιθυμεῖς ἰδεῖν; μὴ δράμῃς εἰς τὴν συναγωγὴν, ἀλλὰ γενοῦ σὺ ναός. ἕνα καθεῖλε ναὸν ὁ Θεὸς ἐν Ἱεροσολύμοις, καὶ μυρίους ἀνέστησεν ἐκείνου πολλῷ σεμνοτέρους. Ὑμεῖς ναὸς Θεοῦ ἐστε ζῶντος, φησί. καλλώπισον ταύτην τὴν οἰκίαν, ἀπέλασον πάντα λογισμὸν πονηρὸν, ἵνα γένῃ μέλος τοῦ Χριστοῦ τίμιον, ἵνα γένῃ ναὸς τοῦ πνεύματος. ποίησον δὲ ἑτέρους τοιούτους. καὶ καθάπερ πένητας ὁρῶντες οὐκ ἂν παραδράμοιτε ῥᾳδίως· οὕτω καὶ τὸν ἐπὶ τὴν συναγωγὴν τρέχοντα βλέπων, μὴ περιΐδῃς· ἀλλ' ὥσπερ χαλινῷ τινι τῷ "λόγῳ κατασχὼν, εἰς τὴν ἐκκλησίαν ἐπανάγαγε. αὕτη πλείων ἐκείνης ἡ ἐλεημοσύνη, καὶ μυρίων ταλάντων μεῖζον τὸ κέρδος. καὶ τί λέγω, μυρίων ταλάντων; τοῦ κόσμου παντὸς τοῦ φαινομένου· ἐπεὶ δὲ ἄνθρωπος τοῦ κόσμου παντὸς τιμιώτερος. διὰ γὰρ αὐτὸν καὶ οὐρανὸς καὶ γῆ καὶ θάλασσα γέγονε, καὶ ἥλιος καὶ ἀστέρες. ἐννόησον τοίνυν τὸ ἀξίωμα τοῦ σωζομένου, δὲ μὴ καταφρονήσῃς αὐτοῦ τῆς ἐπιμελείας. κἂν γὰρ μυρία τις καταβάλῃ χρήματα, οὐδὲν τοιοῦτον "ἐργάζεται, ὅσον ὁ ψυχὴν διασώζων, καὶ πλάνης ἀπάγων, καὶ πρὸς εὐσέβειαν χειραγωγῶν. ὁ πένητι δοὺς, λιμὸν ἔλυσεν· ὁ τὸν Ἰουδαΐζοντα διορθώσας, ἀσέβειαν ἀνεῖλεν. ἐκεῖνος πενίαν παρεμυθήσατο· οὗτος παρανομίαν ἔστησεν. ἐκεῖνος τὸ σῶμα ὀδύνης ἀπήλλαξεν· οὗτος δὲ τὴν ψυχὴν τῆς γεέννης ἐξήρπασεν. ἔδειξα τὸν θησαυρόν· μὴ προδῶτε τὸ κέρδος. οὐκ ἔστιν ἐνταῦθα πενίαν αἰτιάσασθαι, οὐκ ἔστι πτωχείαν προβάλλεσθαι. ῥημάτων ἐστὶν ἡ δαπάνη, λόγων ἐστὶ τὸ ἀνάλωμα. μὴ τοίνυν κατοκνήσωμεν· "ἀλλ', ὅσῃ σπουδῇ καὶ προθυμίᾳ, τοὺς ἀδελφοὺς θηρεύσωμεν τοὺς ἡμετέρους, καὶ ἄκοντας εἰς τὰς οἰκίας τὰς ἑαυτῶν αὐτοὺς ἑλκύσαντες, ἄριστον παραθῶμεν, καὶ τραπέζης αὐτοῖς κοινωνήσωμεν σήμερον· ἵνα ἐπ' ὄψεσι ταῖς ἡμετέραις τὴν νηστείαν λύσαντες, καὶ πληροφορίαν ἡμῖν καὶ πίστιν ἱκανὴν παρασχόντες τῆς καλῆς ταύτης διορθώσεως, καὶ ἑαυτοῖς καὶ ἡμῖν τῶν αἰωνίων ἀγαθῶν γένωνται πρόξενοι, χάριτι δὲ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

α. Κορ. ιδ. κ.

Γαλ. ε. δ.

Ιερ. ζ. ια.
Ματθ. κα. ιγ.
Ιωαν. β.

β. Κορ. ϛ. ιϛ.

ΚΑΤΑ

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ Λογ. ϛ.

Ἆρα κόρον ἐλάβετε τῆς πρὸς Ἰουδαίους μάχης, ἢ βούλεσθε καὶ σήμερον τῆς αὐτῆς ὑποθέσεως ἁψώμεθα πάλιν; Εἰ γὰρ καὶ πολλὰ τὰ ἔμπροσθεν εἰρημένα, ἀλλ' ὅμως ὑμᾶς ἐπιθυμεῖν οἶμαι τῆς αὐτῆς ἀκροάσεως πάλιν. ὁ γὰρ τῆς εἰς τὸν Χριστὸν ἀγάπης οὐκ ἔχων κόρον, οὐδὲ τῆς πρὸς τοὺς μισοῦντας αὐτὸν μάχης λήψεταί κόρον ποτέ. χωρὶς δὲ τούτων, καὶ ἄλλως ″ἡμῖν ἀναγκαῖος ἐστὶν ὁ λόγος. ἔτι γὰρ λείψανα τῶν ἑορτῶν αὐτῶν ὑπολέλειπται. ἀλλ' ὥσπερ αὐτῶν αἱ σάλπιγγες τῶν ἐν τοῖς θεάτροις ἦσαν παρανομώτεραι, καὶ αἱ νηστεῖαι μέθης καὶ κώμου παντὸς [ἦσαν] ″αἰσχρότεραι, οὕτω καὶ αἱ σκηναὶ αἱ νῦν παρ' αὐτῶν πηγνύμεναι, τῶν πανδοχείων τῶν πόρνας ἐχόντων καὶ αὐλητρίδας οὐδὲν ἄμεινον διάκεινται. καὶ μηδεὶς τόλμαν καταγινωσκέτω τοῦ λόγου. τόλμα γὰρ ἐσχάτη καὶ παρανομία, τὸ μὴ οὕτως ὑποπτεύειν περὶ ἐκείνων. ὅταν γὰρ τῷ Θεῷ φιλονεικοῦντες, καὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀντιπίπτοντες περιστῶσι, πῶς οὐ χρὴ τοιαύτην περὶ αὐτῶν ψῆφον ἐκφέρειν; ἦν ποτε σεμνὴ αὕτη ἡ ἑορτή, ὅτε κατὰ νόμον ἐγίνετο, καὶ τοῦ Θεοῦ κελεύοντος· νυνὶ δὲ οὐκ ἔτι. τὸ γὰρ ἀξίωμα αὐτῆς ἅπαν ἀνῄρηται, τῷ παρὰ γνώμην τοῦ Θεοῦ γίνεσθαι. καὶ οἱ μάλιστα καθυβρίζοντες καὶ τὸν νόμον καὶ τὰς ἑορτὰς τὰς παλαιάς, οὗτοι μάλιστα πάντων εἰσὶν οἱ δοκοῦντες νῦν ἐπιτελεῖν· οἱ δὲ μάλιστα τὸν νόμον τιμῶντες ἡμεῖς, οἱ καθάπερ γεγηρακότα ἄνθρωπον ἀναπαύοντες, καὶ οὐχ ἕλκοντες εἰς τὰ σκάμματα μετὰ τὴν πολιάν, οὐδὲ παρὰ καιρὸν ἀγωνίζεσθαι ἀναγκάζοντες. ὅτι γὰρ οὐκ ἔστι νόμου καιρὸς νῦν, οὔτε τῆς παλαιᾶς πολιτείας, ἱκανῶς μὲν καὶ ἔμπροσθεν ἀπεδείξαμεν. φέρε δὴ καὶ τὰ * λείψανα γυμνάσωμεν τήμερον. ἤρκει μὲν οὖν δείξαντα διὰ τῶν προφητῶν ἁπάντων, ὅτι τὸ ποιεῖν τι τοιοῦτον ἔξω τῶν Ἱεροσολύμων, παρανομία τίς ἐστι καὶ ἀσέβεια, ἀπηλλάχθαι πραγμάτων. Εἰ γὰρ καὶ ἀληθὲς ἦν, ὃ πανταχοῦ κομπάζοντες ἀεὶ ″ψιθυρίζουσιν, ὅτι τὴν πόλιν ἀπολήψονται πάλιν, οὐδ' οὕτως ἀπηλλάχθαι τῶν τῆς παρανομίας ἐγκλημάτων ἐδύναντο. πλὴν ἀλλ' ἡμεῖς ἐκ περιουσίας καὶ τοῦτο ἀπεδείξαμεν, ὅτι οὔτε ἀναστήσεται λοιπὸν ἡ πόλις, οὔτε ἀπολήψονται τὴν ἑαυτῶν πολιτείαν. τούτου δὲ ἀποδειχθέντος, καὶ τὰ λοιπὰ ἅπαντα συνωμολόγητο· δηλ. ″ὡς οὔτε θυσίας εἶδος, οὔτε ὁλοκαυτώσεως″ ἢ νόμου δύναμις, οὐκ ἄλλο τι τῆς πολιτείας ἐκείνης στῆναι δυνήσεται. πρῶτον μὲν γὰρ ἐκέλευσεν ὁ νόμος τρὶς τοῦ ἐνιαυτοῦ πᾶν ἀρσενικὸν εἰς τὸν ναὸν ἀναβαίνειν. τοῦ δὲ ναοῦ″ καταλυθέντος, ἀδύνατον τοῦτο γίνεσθαι. μετὰ ταῦτα πάλιν ἐπέταξε τὸν γονορρυῆ, τὸν λεπρόν, τὴν ἐν″ καταμηνίοις γυναῖκα, τὴν λεχώ, θυσίας ἀναφέρειν. καὶ τοῦτο δὲ πάλιν ἀδύνατον, οὐκ ὄντος τοῦ″ τόπου, οὐδὲ τοῦ βωμοῦ φαινομένου. ἐκέλευσεν ᾄδειν ἱεροὺς ὕμνους· καὶ τοῦτο ἔμπροσθεν ἀπεδείξαμεν ἀπὸ τοῦ τόπου κωλυόμενον, καὶ τοὺς προφήτας ἐγκαλοῦντας, καὶ λέγοντας, ὅτι ἀνέγνωσαν ἔξω νόμον, καὶ ἐπεκαλέσαντο ὁμολογίαν. ὅταν τοίνυν μηδὲ ἀναγινώσκεσθαι δυνατὸν ἦν τὸν νόμον ἔξω τῆς πόλεως, πῶς αὐτὸν πράττειν ἔξω τῆς πόλεως δυνατόν; Διὰ φ. γοῦν τοῦτο καὶ ἀπειλῶν αὐτοῖς ἔλεγεν· Οὐκ ἐπισκέψομαι τὰς θυγατέρας ὑμῶν, ὅταν ἐκπορνεύσωσι, καὶ τὰς νύμφας ὑμῶν, ὅταν μοιχεύσωσι. τί δὲ τοῦτό ἐστι; νόμον ὑμῖν ἀναγνοὺς παλαιόν, σαφέστερον ποιῆσαι πειράσομαι. τίς οὖν ἐστιν ὁ νόμος; Ἐὰν παραβῇ γυνὴ κατὰ τοῦ ἀνδρὸς αὐτῆς, καὶ παρίδῃ αὐτὸν ὑπεριδοῦσα, καὶ κοιμηθῇ τις μετ' αὐτῆς κοίτην σπέρματος, καὶ λάθῃ ἐξ ὀφθαλμῶν τοῦ ἀνδρός, καὶ μάρτυς μὴ ᾖ κατ' αὐτῆς, καὶ μὴ ᾖ συνειλημμένη, καὶ ἐπέλθῃ ἐπ' ″αὐτῷ πνεῦμα ζηλώσεως, αὕτη δὲ μὴ ᾖ μεμιασμένη. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐὰν μοιχευθῇ, φησί, γυνή, καὶ ὑποπτεύσῃ τὴν μοιχείαν ὁ ἀνήρ· ἢ μὴ μοιχευθῇ, ἐστὶ δὲ ὑποπτεύσῃ· καὶ μήτε μάρτυς ᾖ, μήτε κίνησις ἐλέγχουσα·

Ἐξοδ. κγ.

Λευιτ. ιε.

Ωσ. δ. ιδ.

Αριθ. ε.

χ. ὑμῖν

* χθὲς

λέγχουσα· ἄξει αὐτὴν πρὸς τὸν ἱερέα, φησὶ, καὶ προσοίσει τὸ δῶρον αὐτῆς, ἄλευρον κρίθινον. τί δήποτε οὐ σεμίδαλιν, οὐκ ἄλευρον πυροῦ, ἀλλὰ κρίθινον; ἐπειδὴ πένθος ἐστὶ καὶ κατάγνωσις καὶ κατηγορία πονηρὰ τὸ γινόμενον, ἐμιμήθη τὴν συμφορὰν τῆς οἰκείας θυσίας τὸ σχῆμα. διὰ τοῦτό φησιν· Οὐκ ἐπιχεεῖς ἐπ' αὐτὸ ἔλαιον, οὐδὲ ἐπιθήσεις ἐπ' αὐτὸ λίβανον. Εἶτα (ἐρῶ γὰρ ἐπιτεμὼν) προσάξει αὐτὴν ὁ ἱερεὺς, καὶ λήψεται ὕδωρ καθαρὸν ἐν ἀγγείῳ ὀστρακίνῳ, καὶ ἀπὸ τῆς γῆς τῆς οὔσης ἐπὶ τοῦ ἐδάφους λαβὼν, ἐμβαλεῖ εἰς τὸ ὕδωρ, καὶ στήσει τὴν γυναῖκα, καὶ ὁρκιεῖ αὐτὴν, καὶ ἐρεῖ· Εἰ μὴ παρέβης μιανθῆναι πρὸς τὸν ἄνδρα τὸν σεαυτῆς, σώα ἴσθι ἀπὸ τοῦ ὕδατος τοῦ ἐλεγμοῦ· εἰ δὲ παρέβης καὶ μεμίανσαι, καὶ ἔδωκέ τις τὴν κοίτην αὐτοῦ ἐν σοὶ, πλὴν τοῦ ἀνδρός σου, δῴη Κύριός σε ἐν ἀρᾷ καὶ ἐνόρκιον ἐν μέσῳ τοῦ λαοῦ. τί ἐστιν, ἐν ἀρᾷ καὶ ἐνόρκιον; ἵνα λέγωσι, μὴ πάθοιμι ὡς ἔπαθεν ἡ δεῖνα γυνή. ἐν τῷ δοῦναι Κύριον τὴν κοιλίαν σου "ἐμπεπρισμένην, καὶ εἰσελεύσεται τὸ ὕδωρ τὸ ἐπικατηραμένον "πρίσαι τὴν γαστέρα σου. καὶ ἐρεῖ ἡ γυνὴ, γένοιτο, γένοιτο. καὶ ἔσται, ἐὰν ᾖ μεμιασμένη, εἰσελεύσεται τὸ ὕδωρ τοῦ ἐλεγμοῦ, καὶ "πρίσει τὴν κοιλίαν αὐτῆς, καὶ ἔσται ἡ γυνὴ εἰς ἀράν. ἐὰν δὲ μὴ ἐμιάνθη ἡ γυνὴ, ἀθῶα ἔσται, καὶ ἐκσπερματιεῖ σπέρμα. ἐπεὶ οὖν εἰς αἰχμαλωσίαν ἀπελθόντων αὐτῶν, οὐδὲν τούτων γενέσθαι δυνατὸν ἦν, οὔτε ναοῦ ὄντος, οὔτε τοῦ βωμοῦ, οὔτε τῆς σκηνῆς, οὔτε τῆς θυσίας ἀναφερομένης· ἀπειλῶν ἔλεγεν, οὐκ ἐπισκέψομαι τὰς θυγατέρας ὑμῶν, ὅταν πορνεύσωσι, καὶ τὰς νύμφας ὑμῶν, ὅταν μοιχεύσωσιν. ὁρᾷς ἀπὸ τοῦ τόπου τὴν ἰσχὺν ἔχοντα τὸν νόμον; ὅτι δὲ οὔτε τὸν ἱερέα δυνατὸν εἶναι, τῆς πόλεως οὐκ οὔσης, δῆλον ἐκ τούτου. ὥσπερ γὰρ βασιλέα οὐ δυνατὸν εἶναι, στρατοπέδων οὐκ ὄντων, οὐ διαδήματος, οὐχ ἁλουργίδος, οὐ τῶν ἄλλων τῶν τὴν βασιλείαν συγκροτούντων· οὕτως οὐδὲ ἱερέα δυνατὸν εἶναι, θυσίας ἀνῃρημένης, προσφορᾶς κεκωλυμένης, τῶν ἁγίων πεπατημένων, τοῦ σχήματος παντὸς ἠφανισμένου. ἡ γὰρ ἱερωσύνη ἐν τούτοις ἅπασιν ἦν. ἤρκει μὲν οὖν, ὅπερ ἔφθην εἰπὼν, πρὸς ἀπόδειξιν ἡμῖν τοῦ μήτε θυσίας, μήτε ὁλοκαυτώματα, μήτε τοὺς λοιποὺς καθαρμοὺς, μήτε ἄλλο τι τῆς Ἰουδαϊκῆς πολιτείας ἐπανήξειν λοιπὸν ἡ ἀπόδειξις τοῦ μηκέτι ἀνίστασθαι τὸν ναόν. ὥσπερ γὰρ, οὐκ ὄντος "τούτου νῦν, πάντα ἀνῄρηται· κἂν δοκῇ τι γίνεσθαι, παρανόμως τολμᾶται· οὕτως, ἀποδείξαντος τοῦ λόγου, ὅτι οὐδέποτε ἐπανήξει πρὸς τὸ οἰκεῖον σχῆμα, κἀκεῖνο (συναποδέδεικται), ὅτι οὔτε ἡ λοιπὴ λατρεία πρὸς τὴν προτέραν ἐπανήξει κατάστασιν πάλιν, οὐχ ἱερεὺς ἔσται τις, οὐ βασιλεύς. Εἰ γὰρ τοῖς ἐκ τοῦ σπέρματος αὐτῶν, κἂν τις ἦν τῶν ἰδιωτευόντων, οὐκ ἐφεῖτο γυναῖκα λαμβάνειν ἀλλογενέσι· πολλῷ μᾶλλον αὐτὸν τὸν βασιλέα ὑποταχθῆναι ἑτέροις θέμις οὐκ ἦν.

Αριθ. ε. ιη.

Πλὴν ἀλλ' ἐπειδὴ ἀγὼν ἡμῖν ἐστι καὶ σπουδὴ οὐκ ἐκείνους ἐπιστομίσαι μόνον, ἀλλὰ καὶ τὴν ὑμετέραν ἀγάπην σοφίσαι· φέρε τοῦτο αὐτὸ ἑτέρωθεν ἀποδείξωμεν· οἷον, ὅτι καὶ τὰ τῶν θυσιῶν, καὶ τὰ τῆς ἱερωσύνης αὐτῶν πέπαυται, ὡς μηκέτι πάλιν ἐπανελθεῖν ἐπὶ τὸ πρότερον ἔθος. τίς οὖν ταῦτά φησιν; ὁ "θαυμαστὸς καὶ μέγας προφήτης Δαβίδ. οὗτος γὰρ δηλῶν, ὅτι "θυσιῶν ἡ μὲν ἐκβάλλεσθαι μέλλει, ἡ δὲ εἰσάγεσθαι, οὕτως ἔλεγε· Πολλὰ ἐποίησας σὺ, Κύριε ὁ Θεός μου, τὰ θαυμάσιά σου· καὶ τοῖς διαλογισμοῖς σου οὐκ ἔστι τις ὁμοιωθήσεταί σοι· ἀπήγγειλα καὶ ἐλάλησα. ὅρα σοφίαν προφήτου. Εἰπὼν, πολλὰ ἐποίησας σὺ, Κύριε ὁ Θεός μου, τὰ θαυμάσιά σου, καὶ ἐκπλαγεὶς τὴν τοῦ Θεοῦ θαυματουργίαν, οὐδὲν περὶ τῆς ὁρωμένης ἡμῖν διαλέγεται κτίσεως, οὐρανοῦ καὶ γῆς καὶ θαλάττης καὶ ὕδατος καὶ πυρὸς, οὐ περὶ τῶν κατ' Αἴγυπτον γενομένων παραδόξων ἐκείνων θαυμάτων, οὐ περὶ ἄλλων τινῶν τοιούτων σημείων· ἀλλὰ τίνα φησὶ θαυμαστὰ εἶναι; Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας. τί λέγεις, εἰπέ μοι; τοῦτό ἐστι τὸ παράδοξον καὶ θαυμαστόν; οὐχί, φησιν· οὐ γὰρ διὰ τοῦτο μόνον εἶδεν, ἀλλὰ προφητικοῖς ἄνωθεν καταμαθὼν ὀφθαλμοῖς τὴν τῶν ἐθνῶν προσαγωγὴν, καὶ πῶς οἱ τοῖς θεοῖς προσηλωμένοι, καὶ θεραπεύοντες λίθους, καὶ τῶν ἀλόγων ἀθλιώτερον διακείμενοι,

Ψαλ. λθ. ζ.

μενοι, ἐξαίφνης ἀνέβλεψαν, καὶ τὸν τῶν ἁπάντων ἐπέγνωσαν δεσπότην, καὶ τὴν μιαρὰν
τῶν δαιμόνων λατρείαν ἀφέντες, καθαρῶς καὶ ἀναιμωτὶ τὸν Θεὸν ἐθεράπευον· καὶ ἐπισκοπῶν
ὅτι οὐκ ἐκεῖνοι μόνοι, ἀλλὰ καὶ οἱ Ἰουδαῖοι οἱ ἀτελέστερον διακείμενοι, τὴν διὰ θυσιῶν καὶ
ὁλοκαυτωμάτων καὶ τῶν ἄλλων τῶν σωματικῶν ἀφέντες θεραπείαν, ἐπὶ τὴν ἡμετέραν καὶ
οὗτοι φιλοσοφίαν ἤχθησαν· καὶ λογισάμενος τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν, τὴν
ὑπερβαίνουσαν πάντα νοῦν, καὶ ἐκπλαγεὶς ὅση τῶν πραγμάτων γέγονε μεταβολὴ, καὶ πῶς
αὐτὰ μετερρύθμισε, καὶ ἀπὸ δαιμόνων ἀγγέλους τοὺς ἀνθρώπους εἰργάσατο, καὶ πολιτείαν
εἰσήγαγε τῶν οὐρανῶν ἀξίαν (ταῦτα δὲ ἅπαντα ἐγένετο, τῆς παλαιᾶς καταλυθείσης θυσί-
ας, καὶ ἑτέρας ἐπεισαχθείσης τῆς διὰ τοῦ σώματος τοῦ Χριστοῦ) ἐκπλαγεὶς καὶ θαυμάσας
εἰκότως ἔλεγε· πολλὰ ἐποίησας σὺ, Κύριε ὁ Θεός μου, τὰ θαυμάσιά σου. καὶ ὅτι ἐκ προ-
σώπου τοῦ Χριστοῦ τὴν προφητείαν ταύτην ἅπασαν προλέγει, ἄκουσον. εἰπὼν γὰρ,
θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, ἐπήγαγε, σῶμα δὲ κατηρτίσω μοι, τὸ σῶμα λέγων τὸ
δεσποτικὸν, τὴν κοινὴν ὑπὲρ τῆς οἰκουμένης γενομένην θυσίαν, ἣ τὰς ψυχὰς ἡμῶν ἐξεκάθη-
ρε, καὶ τὰς ἁμαρτίας κατέλυσε, καὶ τὸν θάνατον ἔσβεσε, καὶ τοὺς οὐρανοὺς ἀνέῳξε, καὶ πολλὰς καὶ
μεγάλας ὑμῖν ἐλπίδας ὑπέδειξε, καὶ τὰ ἄλλα πάντα κατεσκεύασεν. ἅπερ οὖν καὶ ὁ
Ρωμ. ια. λγ. Παῦλος εἰδὼς, ἐβόα, λέγων· Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξε-
ρεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. ταῦτα οὖν ἅπαντα προορῶν, ἔ-
Ψαλ. λθ. ζ. λεγεν ὁ Δαβὶδ, Πολλὰ ἐποίησας σὺ, Κύριε ὁ Θεός μου, τὰ θαυμάσιά σου. εἶτα εἰπὼν ἐκ
προσώπου τοῦ Χριστοῦ, ὅτι ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ηὐδόκησας, ἐπήγαγε· τό-
τε εἶπον, ἰδοὺ ἥκω. τότε· πότε; ὅτε τῶν τελειοτέρων διδαγμάτων ἐστὶν ὁ καιρός. τὰ μὲν γὰρ
ἀτελέστερα, διὰ τῶν δούλων αὐτοῦ μαθεῖν ἔδει· τὰ δὲ ὑψηλότερα καὶ ὑπερβαίνοντα τὴν
Ἑβρ. α. α. φύσιν τὴν ἀνθρωπίνην, παρ' αὐτοῦ τοῦ νομοθέτου. διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε· Πολυ-
μερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἡμῶν ἐν τοῖς προφήταις, ἐπ'
ἐσχάτου τῶν ἡμερῶν τούτων ἐλάλησεν ὑμῖν ἐν υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς
Ἰωαν. α. ιζ. αἰῶνας ἐποίησε. καὶ πάλιν ὁ Ἰωάννης· Ὁ νόμος διὰ Μωϋσέως ἐδόθη, ἡ δὲ χάρις καὶ ἡ ἀλήθεια
διὰ Ἰησοῦ Χριστοῦ. ὥστε τοῦ νόμου μέγιστον καὶ τοῦτο ἐγκώμιον, τὸ παρασκευάσαι τῷ διδασκά-
λῳ τὴν φύσιν τὴν ἀνθρωπίνην. εἶτα, ἵνα μὴ νομίσῃς αὐτὸν πρόσφατον εἶναι Θεὸν, μηδὲ
Ψαλ. λθ. η. καινοτομίαν τινὰ εἰσάγειν, ἄκουσον τί φησιν· Ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ.
πάλαι μου, φησὶ, τὴν παρουσίαν προανεφώνησαν οἱ προφῆται, καὶ ἐν ἀρχῇ τῶν βιβλίων
τὴν γνῶσιν τῆς ἐμῆς θεότητος τοῖς ἀνθρώποις προανέῳξαν. ὅταν οὖν ὁ Θεὸς λέγῃ ἐν ἀρ-
Γεν. α. κϛ. χῇ τῆς κτίσεως, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν, αἰνιγματω-
δῶς ἡμῖν τοῦ υἱοῦ τὴν θεότητα ἀποκαλύπτει, πρὸς ὃν διαλέγεται. εἶτα δεικνὺς, ὡς οὐκ
ἐναντία αὕτη τῇ προτέρᾳ πολιτείᾳ, ἀλλὰ καὶ τοῦτο θέλημα Θεοῦ, λυθῆναι μὲν ἐκείνην τὴν
θυσίαν, ἀντεισαχθῆναι δὲ ταύτην (ἐπίτασις γὰρ ἦν τῆς διορθώσεως, οὐκ ἐναντίωσις, οὐδὲ
μάχη) εἰπὼν, ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ, ἐπήγαγε, τοῦ ποιῆσαι, ὁ Θεός, τὸ
θέλημά σου, καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου. εἶτα λέγων τί ποτέ ἐστι τὸ θέλημα,
παρεὶς θυσίαν εἰπεῖν, καὶ ὁλοκαυτώματα καὶ προσφορὰς, καὶ πόνους καὶ ἱδρῶτας, φησίν· Εὐηγγε-
λισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ. τί ποτέ ἐστιν, εὐηγγελισάμην δικαιοσύνην; οὐκ
εἶπεν ἁπλῶς, ἔδωκα, ἀλλ', εὐηγγελισάμην. τί δήποτε δεικνύς; ὅτι οὐκ ἀπὸ κατορθωμάτων, οὐδὲ
πόνων, οὐδὲ ἀμοιβῆς, ἀλλ' ἀπὸ χάριτος μόνης τὸ γένος ἐδικαίωσε τὸ ἡμέτερον. ὅπερ οὖν καὶ
Ρωμ. γ. κα. ὁ Παῦλος δηλῶν ἔλεγε· Νυνὶ δὲ χωρὶς νόμου δικαιοσύνη Θεοῦ πεφανέρωται· δικαιοσύνη δὲ
Θεοῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, οὐ διὰ καμάτου τινὸς καὶ πόνου. καὶ ταύτης δὲ ἐπιλαμβανό-
Ἑβρ. ι. α. μενος τῆς μαρτυρίας, οὕτως ἔλεγε· Σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐ-
τὴν τὴν εἰκόνα τῶν πραγμάτων, κατ' ἐνιαυτὸν ταῖς αὐταῖς θυσίαις, αἷς προσφέρουσιν

εἰς τὸ διηνεκὲς, οὐδέποτε δύναται τοὺς προσερχομένους τελειῶσαι. διὸ εἰσερχόμενος εἰς
τὸν κόσμον, λέγει· Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι· τὴν εἴσοδον Ψαλ. λθ. ζ.
τοῦ μονογενοῦς εἰς τὸν κόσμον λέγων, τὴν διὰ σαρκὸς οἰκονομίαν. οὕτω γὰρ πρὸς ἡμᾶς
παρεγένετο, οὐ τόπον ἀμείψας ἐκ τόπου (πῶς γὰρ, ὁ πανταχοῦ ὢν, καὶ πάντα πληρῶν;)
ἀλλὰ διὰ σαρκὸς ἡμῖν φανερωθείς. ἀλλ᾽ ἐπειδὴ οὐχὶ πρὸς Ἰουδαίους ἐστὶν [ἡμῖν] ἡ μάχη
μόνον, ἀλλὰ καὶ πρὸς Ἕλληνας καὶ πολλοὺς τῶν αἱρετικῶν· φέρε βαθύτερόν τι νόημα ἐνταῦθα
ὑμῖν ἀποκαλύψωμεν, καὶ ζητήσωμεν, τί δήποτε μυρίας ἔχων μαρτυρίας ὁ Παῦλος, αἳ τὸν
νόμον ἀργεῖν ποιοῦσι καὶ τὴν παλαιὰν πολιτείαν, ταύτης ἐμνημόνευσεν. οὐδὲ γὰρ ἁπλῶς,
οὐδ᾽ ὡς ἔτυχε, τοῦτο ἐποίησεν· ἀλλὰ μετά τινος λόγου καὶ σοφίας ἀφάτου. ὅτι γὰρ καὶ ἑτέρας
εἶχε μαρτυρίας μακροτέρας καὶ σφοδροτέρας, εἴπερ ἐβούλετο παραγαγεῖν, ὑπὲρ τῆς ὑποθέσεως
ταύτης, πάντες ἂν ὁμολογήσαιεν. καὶ γὰρ καὶ ὁ Ἡσαΐας δεικνὺς μισουμένας τὰς αὐτῶν θυσίας,
ἐκ προσώπου φησὶ τοῦ Θεοῦ· Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, Ησ. α. ια.
καὶ στέαρ ἀρνῶν, καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι, οὐδὲ ἐὰν ἔρχησθε ὀφθῆναί μοι. τίς
γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; ἐὰν προσφέρητέ μοι σεμίδαλιν, μάταιον· θυμίαμα,
βδέλυγμά μοί ἐστι. καὶ ἑτέρωθι πάλιν· Οὐ νῦν ἐκάλεσά σε Ἰακὼβ, οὐδὲ ἐγκοπὸν Ησ. μγ. κγ.
σε ἐποίησα Ἰσραήλ· οὐκ ἐδόξασάς με ἐν θυσίαις, οὐδὲ ἐδούλευσάς μοι ἐν δώροις, οὐδὲ
ἔγκοπόν σε ἐποίησα ἐν λιβάνῳ, οὐδὲ ἐκτήσω μοι ἀργυρίου θυμίαμα. καὶ ὁ Ἱερεμίας δέ·
Ἵνα τί μοι λίβανον ἐκ Σαβὰ φέρεις, καὶ κιννάμωμον ἐκ γῆς μακρόθεν; τὰ ὁλοκαυτώματα Ιερ. ϛ. κ.
ὑμῶν οὐχ ἥδυνάν μοι· καὶ πάλιν, Τὰ ὁλοκαυτώματα ὑμῶν μετὰ τῶν θυσιῶν ὑμῶν μεμίσηκα, καὶ Ιερ. ζ. κ.
φάγετε κρέα. καὶ ἕτερος δὲ τῶν προφητῶν οὕτως ἔλεγε· Μετάστησον ἀπ᾽ ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ ψαλμὸν Αμ. ε. κγ.
ὀργάνων σου οὐκ ἀκούσομαι. καὶ πάλιν ἀλλαχοῦ τῶν Ἰουδαίων λεγόντων, Εἰ προσδέξεται
Κύριος ἐν ὁλοκαυτώμασιν, εἰ δώσω πρωτότοκά μου ὑπὲρ ἀσεβείας μου, καρπὸν κοιλίας
μου ὑπὲρ ἁμαρτίας ψυχῆς μου, ὁ προφήτης ἐπιτιμῶν αὐτοῖς ἔλεγεν· Ἀπηγγέλη σοι, ἄνθρωπε, Μιχ. ϛ. η.
τί καλόν· καὶ τί Κύριος ὁ Θεὸς ἐκζητεῖ παρὰ σοῦ, ἀλλ᾽ ἢ ἀγαπᾶν ἔλεον, καὶ ποιεῖν
κρίμα καὶ δικαιοσύνην, καὶ ἕτοιμον εἶναι τοῦ πορεύεσθαι ὀπίσω Κυρίου τοῦ Θεοῦ σου; καὶ ὁ Δαβὶδ
οὕτως ἔλεγεν· Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους. τίνος Ψαλ. μθ. ι.
οὖν ἕνεκεν ἔχων τοσαύτας μαρτυρίας εἰπεῖν, δι᾽ ὧν ὁ Θεὸς φαίνεται τὰς θυσίας παραιτούμενος
ἐκείνας, τὰς νουμηνίας, τὰ σάββατα, τὰς ἑορτὰς πάσας ἐκείνας ἀφεὶς, ταύτης
ἐμνήσθη μόνης; οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν· ἀλλ᾽ ἤδη τὴν αἰτίαν ἐροῦμεν. πολλοὶ τῶν ἀπίστων
καὶ Ἰουδαίων αὐτῶν μαχόμενοι πρὸς ἡμᾶς λέγουσιν, ὅτι ἡ παλαιὰ καταλέλυται πολιτεία,
οὐ διὰ τὸ ἀτέλεστον αὐτῆς, οὐδὲ διὰ τὸ μείζονα εἰσενεχθῆναι τὴν ἡμετέραν * πολιτείαν·
ἀλλὰ διὰ τὴν πονηρίαν τῶν τότε προσφερόντων τὰς θυσίας. ὁ γοῦν Ἡσαΐας
φησίν· Ἐὰν ἐκτείνητε τὰς χεῖρας ὑμῶν, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ᾽ ὑμῶν· ἐὰν Ησ. α. ιε.
πληθύνητε δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν. εἶτα τὴν αἰτίαν προσθεὶς, ἐπάγει λέγων·
Αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις. τοῦτο δὲ οὐκ ἔστι τῶν θυσιῶν κατηγορία, ἀλλὰ τῆς τῶν
προσαγόντων πονηρίας ἔγκλημα, καὶ διὰ τοῦτο οὐκ ἐδέχετο τὰς θυσίας, ἐπειδὴ μιαραῖς αὐτὰς
προσῆγον χερσί. πάλιν ὁ Δαβὶδ εἰπὼν, ὅτι Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ
ἐκ τῶν ποιμνίων σου χιμάρους, ἐπήγαγε λέγων· Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεὸς, ἵνα τί σὺ Ψαλ. μθ. ιϛ.
ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ τοῦ στόματός σου; σὺ δὲ
ἐμίσησας παιδείαν, καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω. εἰ ἐθεώρεις κλέπτην,
συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις. τὸ στόμα σου ἐπλεόνασεν ἀδικίαν, καὶ
ἡ γλῶσσά σου περιέπλεκε δολιότητας· καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ
τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον. ὅθεν δῆλον, ὅτι οὐδὲ ἐνταῦθα ἁπλῶς παρῃτήσαντο
τὰς θυσίας· ἀλλ᾽ ἐπειδὴ ἐμοίχευον, ἐπειδὴ ἔκλεπτον, ἐπειδὴ τοῖς ἀδελφοῖς ἐπεβούλευον.

καὶ ἕκαστος δέ, φησι, τῶν προφητῶν κατηγορῶν τῶν προσαγόντων τὰς θυσίας, οὕτως αὐτὰς τὸν Θεὸν παραιτεῖσθαι λέγει. ταῦτα μὲν ἀντιλέγοντες ἡμῖν λέγουσιν. ἀλλ' ἀρκοῦσαν ἔδωκεν αὐτοῖς πληγὴν ὁ Παῦλος, καὶ ἱκανῶς αὐτῶν ἐπεστόμισε τὴν ἀναισχυντίαν διὰ τῆς μαρτυρίας ταύτης. βουλόμενος γὰρ δεῖξαι, ὅτι αὐτὴν τὴν πολιτείαν ὡς ἀτελεστέραν ἀπώσατο ὁ Θεός, καὶ ἀργεῖν ἐποίησε, ταύτης ἐπελάβετο τῆς μαρτυρίας, ἐν ᾗ κατηγορία μὲν τῶν προσαγόντων οὐκ ἔστι· τὸ δὲ ἀτελὲς αὐτῆς γυμνὸν αὐτὸ καθ' ἑαυτὸ φαίνεται. ὁ γὰρ Ψαλ. λθ. θ. προφήτης οὐδὲν κατηγορήσας τῶν Ἰουδαίων, ἁπλῶς οὕτω φησί· Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι· ὁλοκαυτώματα καὶ περὶ τῆς ἁμαρτίας οὐκ ηὐδόκησας. Ἑβρ ι. θ. καὶ ἑρμηνεύων τοῦτο ὁ Παῦλος, ἔλεγεν· Ἀναιρεῖ τὸ πρῶτον, ἵνα τὸ δεύτερον στήσῃ. Εἰ μὲν γὰρ εἶπε· θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, καὶ ἐσίγησεν, εἶχεν ἄν τινα χώραν εἰς ἀπολογίαν ὁ λόγος· νῦν δὲ εἰπών, σῶμα δὲ κατηρτίσω μοι, καὶ δείξας ἑτέραν εἰσενεχθεῖσαν θυσίαν, οὐδεμίαν λοιπὸν ἐλπίδα ἔδωκε τοῦ πάλιν ἐκείνην ἐπανελθεῖν. καὶ αὐτὸ τοῦτο ἑρμηνεύων ὁ Παῦλος, ἔλεγεν· ὅτι διὰ τῆς προσφορᾶς ταύτης ἡγιασμένοι ἐσμὲν ἐν τῷ "θελήματι τοῦ Χριστοῦ. Ἑβρ θ. ιγ. Εἰ γὰρ αἷμα ταύρων καὶ τράγων, φησί, καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα· πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ πνεύματος ἁγίου προσήνεγκεν ἑαυτὸν ἄμωμον, καθαριεῖ τὴν συνείδησιν ἡμῶν ἀπὸ νεκρῶν ἔργων;

Ὅτι μὲν οὖν ἐκεῖνα πέπαυται, καὶ ἕτερα ἀντεισενήνεκται, καὶ οὐκ ἔτι λοιπὸν ἀναστήσεται, ἱκανῶς ἐντεῦθεν ἀποδέδεικται. Φέρε δὴ λοιπόν, ὃ πάλαι ἐσπουδάζομεν δεῖξαι, ὅτι καὶ τῆς ἱερωσύνης ὁ τρόπος ἐκεῖνος οὐκ ἔτι "φαίνεται, οὐδὲ ἐπανήξει πάλιν, ῥητῶς τοῦτο καὶ σαφῶς ἀπὸ τῶν γραφῶν αὐτῶν ποιήσωμεν φανερόν, ὀλίγα πρότερον ὑμῖν προειπόντες, ὥστε σαφεστέραν γενέσθαι τῶν λεγομένων τὴν ἑρμηνείαν. Ἀβραὰμ ἐπανελθὼν "ἀπὸ τῆς Περσίδος, ἐγέννησε μὲν Ἰσαάκ, εἶτα ἐκεῖνος μὲν Ἰακώβ, ὁ Ἰακὼβ τοὺς δώδεκα "πατριάρχας, ἐξ ὧν ἐγένοντο δέκα καὶ δύο φυλαί, μᾶλλον δὲ τρισκαίδεκα. ἀντὶ γὰρ τοῦ Ἰωσὴφ οἱ παῖδες αὐτοῦ Ἐφραῒμ καὶ Μανασσῆς ἐγένοντο φύλαρχοι. καὶ καθάπερ ἑκάστῳ τῶν υἱῶν Ἰακὼβ ἐπώνυμος ἦν φυλή, τοῦ Ῥουβήμ, τοῦ Συμεών, τοῦ Λευΐ, τοῦ Ἰούδα, τοῦ Νεφθαλίμ, τοῦ Γάδ, τοῦ Ἀσήρ, τοῦ Βενιαμίν, οὕτως ἐπὶ τοῦ Ἰωσὴφ οἱ παῖδες ἐκείνου, Μανασῆς καὶ Ἐφραΐμ, δύο φυλῶν γεγόνασιν ἐπώνυμοι· καὶ "ἐκαλοῦντο φυλὴ ἡ μὲν τοῦ Ἐφραΐμ, ἡ δὲ τοῦ Μανασῆ. τῶν τρισκαίδεκα τοίνυν τούτων φυλῶν αἱ μὲν ἄλλαι πᾶσαι ἀγροὺς εἶχον καὶ προσόδους πολλάς, καὶ ἐγεώργουν πᾶσαι, καὶ τὰ ἄλλα ἅπαντα ἔπραττον τὰ βιωτικά· ἡ δὲ τοῦ Λευῒ φυλή, ἱερωσύνῃ τιμηθεῖσα, μόνη τῶν μὲν βιωτικῶν ἔργων ἀπήλλακτο, καὶ οὐδὲ ἐγεώργουν, οὐδὲ τέχνας μετῄεσαν, οὐδὲ ἄλλο τι τοιοῦτον οὐδὲν ἐπραγματεύοντο· ἀλλὰ τῇ ἱερωσύνῃ προσεῖχον μόνῃ, καὶ δεκάτας ἐλάμβανον παρὰ παντὸς τοῦ λαοῦ, καὶ οἴνου καὶ "πυρῶν καὶ κριθῶν καὶ τῶν ἄλλων ἁπάντων τὰς δεκάτας αὐτοῖς ἐδίδοσαν πάντες· καὶ τοῦτο ἦν αὐτοῖς πρόσοδος· καὶ οὐκ ἐξῆν ἐξ οὐδεμιᾶς ἄλλης φυλῆς ἱερέα γενέσθαι ποτέ. ἀπὸ γὰρ ταύτης ἐγένετο τῆς φυλῆς Ἀαρών, τῆς τοῦ Λευῒ λέγω, καὶ κατὰ διαδοχὴν οἱ "ἔκγονοι ἐκείνου τὴν ἱερωσύνην ἐδέχοντο, καὶ οὐδεὶς οὐδέποτε ἐξ ἑτέρας ἐγένετο φυλῆς ἱερεύς. οὗτοι τοίνυν οἱ Λευῖται δεκάτας παρ' αὐτῶν ἐλάμβανον, καὶ οὕτως ἐτρέφοντο. ἀλλὰ περὶ τοῦ Ἰακὼβ καὶ τοῦ Ἰσαάκ, ἐπὶ τοῦ Ἀβραάμ, οὔπω γενομένου Μωϋσέως, οὐδὲ νόμου γραφέντος, οὐδὲ τῆς ἱερωσύνης τῆς Λευϊτικῆς δήλης οὔσης, οὐ σκηνῆς, οὐ ναοῦ γενομένου, οὐ τῶν φυλῶν διακεκριμένων, οὐ τῆς Ἱερουσαλὴμ φαινομένης, οὐδενὸς ὅλως οὐδέπω τῶν κατὰ Ἰουδαίους πραγμάτων ἀρχὴν λαβόντος, ἐγένετό τις Μελχισεδὲκ ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου. οὗτος ὁ Μελχισεδὲκ ὁμοῦ καὶ βασιλεὺς καὶ ἱερεὺς ἦν· τύπος γὰρ ἔμελλεν ἔσεσθαι τοῦ Χριστοῦ· καὶ μέμνηται αὐτοῦ σαφῶς ἡ γραφή. ἐπειδὴ γὰρ ὁ Ἀβραὰμ τοῖς Πέρσαις ἐπιπεσών, καὶ τὸν ἀδελφιδοῦν τὸν ἑαυτοῦ τὸν Λὼτ ἐξαρπάσας

σας

σαι τῶν ἐκείνων χειρῶν, καὶ τὰ λάφυρα λαβὼν πάντα, ἐπανῄει νικήσας κατακράτος ἐκείνους· οὕτω [πως] περὶ τοῦ Μελχισεδὲκ ἡ γραφή φησι· Καὶ Μελχισεδὲκ βασιλεὺς Σαλὴμ Γεν. ιδ. ιη. ἐξήνεγκεν ἄρτους καὶ οἶνον (ἦν δὲ ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου) καὶ ηὐλόγησε τὸν Ἀβραάμ, καὶ εἶπεν· εὐλογημένος Ἀβραὰμ τῷ Θεῷ τῷ ὑψίστῳ, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν· καὶ εὐλογητὸς ὁ Θεὸς ὁ ὕψιστος, ὃς παρέδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους σοι. καὶ ἔδωκεν αὐτῷ δεκάτην ἀπὸ πάντων Ἀβραάμ. ἂν τοίνυν φανῇ τις τῶν προφητῶν λέγων, ὅτι μετὰ τὸν Ἀαρὼν καὶ τὴν ἱερωσύνην ἐκείνην, καὶ τὰς θυσίας ταύτας, καὶ τὰς προσφορὰς, ἀναστήσεται ἱερεὺς ἕτερος, οὐκ ἀπὸ τῆς φυλῆς ἐκείνης, ἀλλ' ἐξ ἑτέρας, ἀφ' ἧς οὐδέποτε γέγονεν ἱερεὺς, οὐ κατὰ τὴν τάξιν Ἀαρὼν, ἀλλὰ κατὰ τὴν τάξιν Μελχισεδὲκ· εὔδηλον, ὅτι ἡ μὲν παλαιὰ πέπαυται ἱερωσύνη, ἑτέρα δὲ νέα ἀντεισενήνεκται. εἰ γὰρ ἔμελλεν ἡ παλαιὰ κρατεῖν, οὐ κατὰ τὴν τάξιν Μελχισεδὲκ, ἀλλὰ κατὰ τὴν τάξιν Ἀαρὼν ἔδει λέγεσθαι. τίς οὖν τοῦτό φησι; αὐτὸς οὗτος ὁ περὶ τῶν θυσιῶν εἰπὼν, περὶ τοῦ Χριστοῦ διαλεγόμενος. καὶ ποῦ τοῦτό φησιν; Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου. Ψαλ. ρθ. α. εἶτα, ἵνα μὴ περὶ τινὸς τῶν πολλῶν ἀνθρώπων τοῦτο ὑποπτευθῇ τις λέγεσθαι, οὔ φησιν αὐτὸ ὁ Ἠσαΐας, οὔτε Ἱερεμίας, οὔτε ἄλλος τις προφήτης, ἰδιώτης γενόμενος· ἀλλ' αὐτὸς ὁ βασιλεύς. βασιλεὺς δὲ κύριον ἑαυτοῦ οὐδένα καλέσαι δύναται, ἀλλ' ἢ τὸν Θεὸν μόνον. εἰ μὲν γὰρ ἰδιώτης ἦν, ἴσως ἄν τις εἶπε τῶν ἀναισχυντούντων, ὅτι περὶ ἀνθρώπου λέγει· νυνὶ δὲ βασιλεὺς ὢν, ἄνθρωπον ἑαυτοῦ κύριον οὐκ ἂν ἐκάλεσε. πῶς δ' ἂν, εἰ περὶ ἑνὸς τῶν πολλῶν ἀνθρώπων ἔλεγε ταῦτα ὁ Δαβὶδ, εἶπεν*, ὅτι ἐκ δεξιῶν ἐκάθισε τῆς ἀπορρήτου καὶ μεγάλης δόξης ἐκείνης; τοῦτο γὰρ ἀμήχανον. περὶ δὲ τούτου φησίν· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. εἶτα, ἵνα μὴ νομίσῃς αὐτὸν ἀσθενῆ εἶναι καὶ ἀδυνατοῦντα, ἐπήγαγε· Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου. καὶ σαφέστερον δηλῶν ἐπήγαγεν, Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. πρὸ ἑωσφόρου δὲ οὐδεὶς ἀνθρώπων γεγέννηται. Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. οὐκ εἶπε, κατὰ τὴν τάξιν Ἀαρών. ἐρώτησον τοίνυν τὸν Ἰουδαῖον, εἰ μὴ ἔμελλεν ἡ ἱερωσύνη καταλύεσθαι ἡ παλαιὰ, τίνος ἕνεκεν ἕτερον εἰσήγαγεν ἱερέα κατὰ τὴν τάξιν Μελχισεδέκ*; εἰς τοῦτο γοῦν αὐτὸ τὸ χωρίον ἐλθὼν ὁ Παῦλος, ὅρα πῶς αὐτὸ σαφέστερον ἐποίησεν. εἰπὼν γὰρ περὶ τοῦ Χριστοῦ, [ὅτι] καὶ πῶς ἐν ἑτέρῳ λέγει, Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ, Ἑβρ. ε. ια. ἐπήγαγε· Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος. εἶτα ἐπιτιμήσας τοῖς μαθηταῖς (δεῖ γὰρ ἐπιτιμᾶν) λέγει τίς ἐστιν ὁ Μελχισεδὲκ· καὶ ἐπάγει τὴν ἱστορίαν, οὕτω λέγων· Οὗτος ὁ συναντήσας Ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων, καὶ εὐλογήσας αὐτόν, Ἑβρ. ζ. β. ᾧ καὶ δεκάτην ἐμέρισεν ἀπὸ πάντων Ἀβραάμ. εἶτα ἐκκαλύπτων τὸ θεώρημα τοῦ τύπου· θεωρεῖτε δὲ πηλίκος οὗτος, φησὶν, ᾧ καὶ δεκάτην ἐμόρισεν ἀπὸ πάντων Ἀβραὰμ ὁ πατριάρχης. τοῦτο δὲ οὐχ ἁπλῶς ἔλεγεν, ἀλλ' ἐνδείξασθαι βουλόμενος, ὅτι πολλῷ μείζων ἡ καθ' ἡμᾶς ἱερωσύνη τῆς Ἰουδαϊκῆς. καὶ ἐν τοῖς τύποις αὐτοῖς τῶν πραγμάτων ″προλάμπουσα ἡ ὑπεροχὴ διαδείκνυται.— ὁ γὰρ Ἀβραὰμ τοῦ Ἰσαὰκ πατὴρ ἦν, καὶ τοῦ Ἰακὼβ πάππος, καὶ τοῦ Λευῒ πρόγονος· τοῦ γὰρ Ἰακὼβ υἱὸς ἦν ὁ Λευΐ· ἀπὸ Λευῒ ἡ ἱερωσύνη παρὰ Ἰουδαίοις τὴν ἀρχὴν ἔλαβεν. ἀλλ' οὗτος ὁ Ἀβραὰμ ὁ πρόγονος τῶν Λευϊτῶν καὶ τῶν Ἰουδαϊκῶν ἱερέων, ἐπὶ τοῦ Μελχισεδὲκ, ὃς ἦν τύπος τῆς καθ' ἡμᾶς ἱερωσύνης, λαϊκοῦ τάξιν ἐπέσχε. καὶ τοῦτο δι' ἀμφοτέρων ἐδήλωσε, καὶ διὰ τοῦ δοῦναι δεκάτην αὐτῷ (οἱ γὰρ λαϊκοὶ τοῖς ἱερεῦσι τὰς δεκάτας διδόασι) καὶ ὅτι ηὐλογήθη παρ' αὐτοῦ. οἱ γὰρ λαϊκοὶ παρὰ τῶν ἱερέων εὐλογοῦνται. πάλιν ὅρα πόση ἡ ὑπεροχὴ τῆς καθ' ἡμᾶς ἱερωσύνης, ὅταν Ἀβραὰμ, ὁ πατριάρχης τῶν Ἰουδαίων, ὁ πρόγονος τῶν Λευϊτῶν, εὑρίσκηται ὑπὸ τοῦ Μελχισεδὲκ* εὐλογούμενος, καὶ δεκάτας διδούς. καὶ γὰρ ἀμφότερα ταῦτά φησιν ἡ παλαιὰ, ὅτι

καὶ εὐλόγησεν ὁ Μελχισεδὲκ τὸν Ἀβραάμ, καὶ δεδεκάτωκεν αὐτόν. Ταῦτα γοῦν αὐτὰ εἰς
Εβρ. ζ. δ. μέσον ἀγαγὼν ὁ Παῦλος ἔλεγε, Θεωρεῖτε δὲ πηλίκος οὗτος. οὗτος τίς; ὁ Μελχισεδέκ, φησιν, ᾧ
καὶ δεκάτην Ἀβραὰμ ἐκ τῶν ἀκροθινίων ἔδωκεν ὁ πατριάρχης ἐκείνων. καὶ οἱ μὲν ἐκ τῶν
υἱῶν Λευὶ τὴν ἱερωσύνην λαμβάνοντες, ἐντολὴν ἔχουσιν ἀποδεκατοῦν τὸν λαόν, τουτέστι,
τοὺς ἀδελφοὺς αὐτῶν, καίπερ ἐξεληλυθότας ἐκ τῆς ὀσφύος τοῦ Ἀβραάμ. ὃ δὲ λέγει τοιοῦτόν
ἐστιν· οἱ Λευῖται, φησιν, οἱ παρὰ Ἰουδαίοις ἱερεῖς, ἐντολὴν ἔλαβον κατὰ τὸν νόμον δεκάτας
λαμβάνειν ἐκ τῶν ἄλλων Ἰουδαίων. καίτοιγε πάντες ἐκ τοῦ Ἀβραὰμ ἦσαν, καὶ
οἱ Λευῖται, καὶ ὁ λοιπὸς λαός· ἀλλ' ὅμως δεκάτας λαμβάνουσι παρὰ τῶν ἀδελφῶν αὐτῶν.
ὁ δὲ Μελχισεδέκ, ὁ μὴ γενεαλογούμενος ἐξ αὐτῶν (οὐ γὰρ ἐκ τοῦ Ἀβραὰμ ἦν, οὐδὲ
ἐκ τῆς φυλῆς τῆς Λευϊτικῆς, ἀλλ' ἐξ ἑτέρου γένους) δεδεκάτωκε τὸν Ἀβραάμ, τουτέστι, δεκάτας
παρ' αὐτοῦ ἔλαβε· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερόν τι. τί δὲ τοῦτο; ὅτι καὶ τὸν ἔχοντα τὰς
ἐπαγγελίας, τὸν Ἀβραάμ, πάλιν ηὐλόγησε. καὶ τί τοῦτο, φησι, δείκνυται; ὅτι οὗτος ἐκείνου
Εβρ. ζ. ζ. σφόδρα ἐλάττων. πῶς; Χωρὶς πάσης ἀντιλογίας τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται.
ὥστε εἰ μὴ ἦν ἐλάττων ὁ Ἀβραάμ, ὁ πρόγονος τῶν Λευϊτῶν, τοῦ Μελχισεδέκ, οὐκ
ἂν ἐκεῖνος τοῦτον εὐλόγησεν, οὐδ' ἂν οὗτος ἐκείνῳ δεκάτας ἔδωκεν. Εἶτα βουλόμενος δεῖξαι,
Εβρ. ζ. η. ὅτι διὰ τοῦ Μελχισεδὲκ περιῆλθεν ἂν ἐκεῖνο, ἐπήγαγε λέγων· Καὶ ὡς ἔπος εἰπεῖν, τουτέστι,
σχεδόν, διὰ Ἀβραάμ, καὶ Λευὶ ὁ δεκάτας λαμβάνων, δεδεκάτωται. τί δέ ἐστι, δεδεκάτωται;
δεκάτας ἔδωκε καὶ αὐτός, φησι, τῷ Μελχισεδέκ, ὁ μηδέπω γεννηθείς, διὰ τοῦ πατρὸς
Εβρ. ζ. ι. ια. αὐτοῦ. Ἔτι γάρ, φησιν, ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς αὐτοῦ ἦν, ὅτε συνήντησεν αὐτῷ Μελχισεδέκ.
διὰ τοῦτο γὰρ προλαβὼν εἶπεν, ὡς ἔπος εἰπεῖν. τίνος οὖν ἕνεκεν ταῦτα ἔλεγεν,
ἐπάγει λέγων· Εἰ μὲν οὖν ἡ τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν (ὁ λαὸς γὰρ
ἐπ' αὐτῇ νενομοθέτητο) τίς ἔτι χρεία κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀνίστασθαι ἱερέα ἕτερον, καὶ
οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι; τί δέ ἐστιν ὃ λέγει; Εἰ τὰ πράγματα ἦν τέλεια, φησι,
τὰ κατὰ Ἰουδαίους, καὶ μὴ σκιὰ ἦν ὁ νόμος μελλόντων ἀγαθῶν, ἀλλὰ τὸ πᾶν αὐτὸς κατωρθώκει,
καὶ οὐκ ἔμελλεν ἑτέρῳ παραχωρεῖν, οὔτε ἡ ἱερωσύνη ἡ προτέρα ὑπεξίστασθαι, καὶ
ἑτέρα ἀντεισάγεσθαι· τίνος ἕνεκεν ὁ προφήτης ἔλεγε· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν
Εβρ. ζ. ια. Μελχισεδέκ; ἔδει γὰρ εἰπεῖν, κατὰ τὴν τάξιν Ἀαρών. διὰ τοῦτό φησιν· Εἰ μὲν οὖν ἡ τελείωσις
διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν, τίς ἔτι χρεία κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀνίστασθαι
ἱερέα ἕτερον, καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι; δηλοῖ γὰρ ἐκ τούτου, ὡς ἐκείνη μὲν τέλος
ἔλαβεν ἡ ἱερωσύνη, ἑτέρα δὲ ἀντεισενήνεκται πολλῷ βελτίων καὶ ὑψηλοτέρα. τούτου δὲ ὁμολογουμένου,
κἀκεῖνο συνωμολόγηται, ὅτι καὶ πολιτεία ἑτέρα τῇ ἱερωσύνῃ συμβαίνουσα συνεισαχθήσεται
καὶ νομοθεσία βελτίων, δηλονότι ἡ ἡμετέρα· ὅπερ δὴ κατασκευάζων ὁ Παῦλος ἔλεγε,
Εβρ. ζ. ιβ. Μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται, καὶ τούτων δημιουργὸς
εἷς ἐστιν. ἐπειδὴ γὰρ τὸ πλέον τῶν νομίμων περὶ τὴν τῆς ἱερωσύνης ἀκολουθίαν
ἀνηλίσκετο, ἡ δὲ ἱερωσύνη ἡ προτέρα ἐξεβέβλητο· εὔδηλον, ὅτι, ἑτέρας ἀντεισαχθείσης, καὶ
Εβρ. ζ. ιγ. νομοθεσίαν μείζονα ἀντεισαχθῆναι ἔδει. Εἶτα δηλῶν, περὶ τίνος ταῦτα λέγεται· Ἐφ' ὃν
γὰρ λέγεται ταῦτα, φησι, φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ' ἧς οὐδεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ.
πρόδηλον γάρ, ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν, εἰς ἣν φυλὴν οὐδὲν περὶ ἱερωσύνης
Μωϋσῆς ἐλάλησεν. ὅταν οὖν φαίνηται ὁ Χριστὸς ἐξ ἐκείνης ὢν τῆς φυλῆς, δηλονότι τῆς
τοῦ Ἰούδα, καὶ ἱερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ, ὁ δὲ Μελχισεδὲκ πολὺ τοῦ Ἀβραὰμ σεμνότερος
ὤν· πανταχόθεν συνωμολόγηται, ὅτι καὶ ἑτέρα ἀνθ' ἑτέρας εἰσάγεται ἱερωσύνη πολὺ τῆς
προτέρας ὑψηλοτέρα. εἰ γὰρ ὁ τύπος τοιοῦτος, καὶ τῆς ἱερωσύνης τῆς Ἰουδαϊκῆς λαμπρότερος
ἦν· πολλῷ μᾶλλον αὐτὴ ἡ ἀλήθεια. ὅπερ οὖν κατασκευάζων ὁ αὐτὸς ἀπόστολος ἔλεγε· Περισσότερον
Εβρ. ζ. ιε. ἔτι κατάδηλόν ἐστιν, εἰ κατὰ τὴν ὁμοιότητα Μελχισεδὲκ ἀνίσταται ἱερεὺς ἕτερος, ὃς οὐ κατὰ

νόμον ἐντολῆς σαρκικῆς, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου. τί ἐστιν, οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου; ὅτι τὸ πρόσταγμα αὐτοῦ οὐδὲν ἦν σαρκικόν. οὐ γὰρ πρόβατα θύειν καὶ μόσχους ἐπέταξεν· ἀλλὰ τῆς κατὰ ψυχὴν ἀρετῆς ἐπιμελεῖσθαι, καὶ ταύτῃ τὸν Θεὸν θεραπεύειν· καὶ τούτων ἆθλα, ζωὴν ἡμῖν ἔθηκε τὴν οὐδέποτε καταλυομένην. καὶ πάλιν, νεκρωθέντας ἡμᾶς ὑπὸ τῶν ἁμαρτιῶν ἐλθὼν ἀνέστησε, καὶ ἐζωοποίησε, διπλοῦν θάνατον λύσας, τὸν μὲν τῆς ἁμαρτίας, τὸν δὲ τῆς σαρκός. ἐπεὶ οὖν τοιαῦτα κομίζων ἡμῖν ἦλθεν ἀγαθὰ, διὰ τοῦτό φησιν· οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου. ἤδη μὲν οὖν καὶ τοῦτο λοιπὸν συναποδέδεικται· ὅτι, τῆς ἱερωσύνης μετατεθείσης, καὶ νόμου μετάθεσιν ἐξ ἀνάγκης εἰκὸς ἦν γενέσθαι. ἀλλ' ὅμως καὶ τοῦτο αὐτὸ ῥητῶς ἐνῆν ἀποδεῖξαι, καὶ τοὺς προφήτας πάλιν παραγαγεῖν μάρτυρας λέγοντας, ὅτι καὶ ὁ νόμος μετατεθήσεται, καὶ ἡ πολιτεία μετενεχθήσεται ἐπὶ τὸ βέλτιον μετασχηματισθεῖσα, καὶ ὅτι βασιλεὺς οὐδεὶς οὐδέποτε λοιπὸν ἀναστήσεται Ιουδαῖος.

Ἐπειδὴ δὲ τοσαῦτα χρὴ λέγειν, ὅσα δυνατὸν ὑποδέχεσθαι τὴν ἀκρόασιν, καὶ μὴ πάντα ὑφ' ἓν, μηδὲ ἀθρόως, εἰς ἑτέραν ἐκεῖνα ταμιευσάμενοι ἡμέραν, ἐνταῦθα καταλύσωμεν τὸν λόγον, παρακαλέσαντες ὑμῶν τὴν ἀγάπην μεμνῆσθαι τῶν εἰρημένων, καὶ τοῖς ἔμπροσθεν λεχθεῖσι ταῦτα συνάψαι. καὶ ὃ πρότερον ἐδεόμεθα, τοῦτο δεησόμεθα καὶ νῦν· τοὺς ἀδελφοὺς ἀνασώσασθαι τοὺς ὑμετέρους, καὶ πολλὴν περὶ τῶν ἠμελημένων μελῶν ποιήσασθαι πρόνοιαν. διὰ γὰρ τοῦτο τοσοῦτον ἡμεῖς ἀναδεχόμεθα πόνον, οὐχ ἵνα ἁπλῶς εἴπωμεν, οὐδ' ἵνα κρότων καὶ θορύβων ἀπολαύσωμεν· ἀλλ' ἵνα ἐπαναγάγωμεν πρὸς τὴν τῆς ἀληθείας ὁδὸν τοὺς ἀπορραγέντας. καὶ μή μοι λεγέτω τις, ὅτι κοινὸν οὐδὲν ἔχω πρὸς ἐκεῖνον· γένοιτό μοι τὰ ἐμαυτοῦ κατορθῶσαι πράγματα. οὐδεὶς δὲ ἑαυτοῦ κατορθῶσαι δύναται χωρὶς τῆς τοῦ πλησίον σωτηρίας. διὰ τοῦτο καὶ ὁ Παῦλός φησι· Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος, εἰδὼς ὅτι τὸ ἑαυτοῦ ἐν τῷ τοῦ πλησίον κεῖται συμφέροντι. ὑγιαίνεις σύ; ἀλλ' ὁ ἀδελφός σου ἀσθενεῖ. ἂν τοίνυν εὖ φρονῇς, ὑπὲρ τοῦ κάμνοντος μειζόνως ἀλγήσεις, καὶ ἐν τούτῳ μιμήσῃ τὸν μακάριον ἐκεῖνον τὸν λέγοντα· Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; εἰ γὰρ δύο καταβάλλοντες ὀβολοὺς, καὶ δαπανῶντες ὀλίγον ἀργύριον εἰς πένητας, χαίρομεν· ἂν ψυχὰς σῶσαι δυνηθῶμεν, πόσην μὲν καρπωσόμεθα ἡδονήν; πόσης δὲ κατὰ τὸν αἰῶνα τὸν μέλλοντα ἀπολαυσόμεθα τῆς ἀμοιβῆς; καὶ γὰρ καὶ ἐνταῦθα, ὁσάκις ἂν συντύχωμεν, πολλὴν δεξόμεθα τὴν ἡδονὴν ἀπὸ τῆς συντυχίας, τῶν κατορθωμάτων ἀναμιμνησκόμενοι τῶν κατ' αὐτούς· καὶ ἐπὶ τοῦ βήματος αὐτοὺς ἐκεῖ θεασάμενοι τοῦ φοβεροῦ, μεγάλης μεθέξομεν τῆς παρρησίας. καὶ καθάπερ οἱ ἀδικοῦντες καὶ πλεονεκτοῦντες καὶ ἁρπάζοντες καὶ μυρία τοῖς πλησίον διατιθέντες κακὰ, ἀπελθόντες ἐκεῖ, καὶ τοὺς ταῦτα παθόντας ἰδόντες (ὄψονται γάρ, φησι, πάντως· καὶ δῆλον ἐκ τοῦ πλουσίου καὶ τοῦ Λαζάρου τοῦτο) οὐδὲ ἀνοῖξαι στόμα δυνήσονται, οὐδὲ εἰπεῖν τι καὶ ἀπολογήσασθαι, ἀλλὰ αἰσχύνης πολλῆς ἐμπλησθέντες καὶ καταγνώσεως, ἀπὸ τῆς ὄψεως τῆς ἐκείνων ἐπὶ τοὺς ποταμοὺς ἀπενεχθήσονται τοῦ πυρός. οὕτως οἱ σώζοντες καὶ διδάσκοντες καὶ κατηχοῦντες, ἰδόντες τοὺς ὑπ' αὐτῶν διασωθέντας συνηγοροῦντας αὐτοῖς ἐκεῖ, πολλῆς ἐμπλησθήσονται τῆς παρρησίας. καὶ τοῦτο ὁ Παῦλος δηλῶν ἔλεγε· Καύχημα ὑμῶν ἐσμεν, καθάπερ καὶ ὑμεῖς ἡμῶν. πότε, εἰπέ; ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ πάλιν ὁ Χριστὸς παραινεῖ λέγων· Ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵνα, ὅταν ἐκλίπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους αὐτῶν σκηνάς. ὁρᾷς ὅτι πολλὴ παρρησία ἡμῖν γίνεται ἐκ τῶν νῦν εὐεργετουμένων παρ' ἡμῶν. εἰ δὲ, ὅπου χρημάτων δαπάνη, τοσοῦτοι οἱ στέφανοι, τοσοῦτος ὁ μισθὸς, τοσαύτη ἡ ἀμοιβή· ὅπου ψυχῆς ὠφέλεια, πῶς οὐ πολλὰ καὶ μεγάλα ἡμῖν ἔσται τὰ ἀγαθά; εἰ γὰρ ἡ Ταβιθὰ ἐκείνη, χήρας ἐνδύσασα, καὶ πενίαν διορθώσασα, ἀπὸ θανάτου πάλιν εἰς ζωὴν

α. Κορ. ι. κδ.

β. Κορ. ια. κθ.

β. Κόρ. α. ιδ.

Λουκ. ις. θ.

ἐπανῆλθε, καὶ τὰ δάκρυα τῶν εὐεργετηθέντων ψυχὴν ἀπελθοῦσαν ἐπανήγαγεν εἰς σῶμα πάλιν, οὔπω τῆς ἀναστάσεως φανείσης· τί οὐκ ἐργάσεται τῶν ἀνθρώπων ἐκείνων τὰ δάκρυα, ὅσοι ἂν ὑπὸ σοῦ διασωθῶσιν; ὥσπερ γὰρ ταύτην περιστᾶσαι αἱ χῆραι, ζῶσαν ἀπὸ νεκρᾶς ἔδειξαν· οὕτω καὶ σὲ τότε περιστάντες οἱ διασωθέντες νῦν, ποιήσουσι πολλῆς ἀπολαῦσαι φιλανθρωπίας, καὶ οὐ τῆς γεέννης πυρὸς "διαρπάσουσι). ταῦτ' οὖν εἰδότες, μὴ μέχρι τῆς παρούσης ὥρας θερμοὶ καὶ διεγηγερμένοι ὦμεν μόνον· ἀλλὰ τὸ πῦρ, ὅπερ ἔχετε νῦν, ἀνάψατε, καὶ ἐξελθόντες ἔξω, διανείμασθε τὴν σωτηρίαν τῆς πόλεως. κἂν ἀγνοῆτε, περιεργάσασθε τοὺς τὰ τοιαῦτα νοσοῦντας. οὕτω γὰρ καὶ ἡμεῖς ὑμῖν προθυμότερον διαλεξόμεθα, διὰ τῶν ἔργων αὐτῶν" μαθόντες, ὅτι οὐκ εἰς πέτραν ἐσπείραμεν· καὶ ὑμεῖς αὐτοὶ προθυμότεροι περὶ τὴν τῆς ἀρετῆς ἐργασίαν ἔσεσθε. καθάπερ γὰρ ἐπὶ τῶν χρημάτων, ὁ δύο κερδάνας χρυσίνους, πλείονα λαμβάνει προθυμίαν πρὸς τὸ καὶ δέκα καὶ εἴκοσι συλλέξαι καὶ συναγαγεῖν· οὕτω καὶ ἐπὶ τῆς ἀρετῆς γίνεται. ὁ ποιήσας τι καλὸν ἔργον, καὶ κατορθώσας, "ἀπ' αὐτῆς τοῦ κατορθώματος τῆς ἐργασίας τινὰ παράκλησιν λαμβάνει καὶ παραίνεσιν, ὥστε καὶ ἑτέρων ἅψασθαι. ἵν' οὖν καὶ τοὺς ἀδελφοὺς διασώσωμεν, καὶ ἑαυτοῖς συγγνώμην ἐπὶ τοῖς ἡμαρτημένοις, μᾶλλον δὲ παρρησίαν πολλὴν προαποθώμεθα, καὶ πρὸ τῶν ἄλλων ἁπάντων τὸ ὄνομα τοῦ Θεοῦ δοξάζεσθαι παρασκευάσωμεν, μετὰ γυναικῶν καὶ παιδίων καὶ οἰκετῶν ἐπὶ τὴν ἄγραν ταύτην καὶ τὴν θήραν ἐξελθόντες, ἐκσπάσωμεν ἐκ τῆς τοῦ διαβόλου παγίδος τοὺς ἐζωγρημένους ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα· καὶ μὴ πρότερον ἀποστῶμεν, ἕως ἂν τὰ παρ' ἡμῶν ἅπαντα πληρώσωμεν, ἄν τε πείθωνται, ἄν τε μὴ πείθωνται. μᾶλλον δὲ ἀδύνατον Χριστιανοὺς ὄντας μὴ πεισθῆναι. πλὴν ἀλλ' ἵνα μηδὲ ταύτην ἔχητε πρόφασιν, ἐκεῖνο λέγω· ὅταν πολλὰ κενώσας ῥήματα, καὶ πάντα πληρώσας τὰ παρὰ σαυτοῦ, ἴδῃς αὐτὸν μὴ πειθόμενον· ἄγαγε πρὸς τοὺς ἱερεῖς, καὶ πάντως τῇ τοῦ "Θεοῦ χάριτι περιέσονται) τῆς θήρας· καὶ τὸ πᾶν ἔσται σὸν τοῦ χειραγωγήσαντος. ταῦτα καὶ γυναιξὶν οἱ ἄνδρες διαλέγεσθε, καὶ γυναῖκες ἀνδράσι, καὶ παισὶ πατέρες, καὶ φίλοι φίλοις· μαθέτωσαν καὶ Ἰουδαῖοι, καὶ οἱ μεθ' ἡμῶν μὲν τετάχθαι δοκοῦντες, τὰ δὲ ἐκείνων φρονοῦντες, ὅτι σπουδή τίς "ἐστιν ἡμῖν καὶ φροντὶς καὶ ἀγρυπνία ὑπὲρ τῶν ἀδελφῶν τῶν ἡμετέρων τῶν πρὸς ἐκείνους αὐτομολούντων· καὶ πάντως παρ' ἡμῶν ἐκεῖνοι διώσονται) τοὺς παρ' ἡμῶν ἐκεῖ φοιτῶντας· μᾶλλον δὲ οὐδὲ τολμήσει λοιπόν τις καταφυγεῖν πρὸς αὐτούς, ἀλλ' ἔσται τὸ σῶμα καθαρὸν τῆς ἐκκλησίας. ὁ δὲ Θεός, ὁ θέλων πάντας σωθῆναι ἀνθρώπους καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ὑμᾶς τε πρὸς τὴν θήραν ταύτην δυναμώσειεν, ἐκείνους δὲ τῆς πλάνης ταύτης" ἀπαγάγοι, καὶ πάντας κοινῇ διασώσας, καταξιώσειε τῆς βασιλείας τῶν οὐρανῶν εἰς δόξαν αὐτοῦ· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Αμήν.

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ Λογ. ε.

Παρῆλθεν ἡ νηστεία τῶν Ἰουδαίων, μᾶλλον δὲ ἡ μέθη τῶν Ἰουδαίων. ἔστι γὰρ
Ἡσ. κθ. θ. καὶ χωρὶς οἴνου μεθύειν, ἔστι καὶ νήφοντα παροινεῖν καὶ ἐν ἀσωτίᾳ κωμάζειν.
εἰ μὴ ἦν χωρὶς οἴνου μεθύειν, οὐκ ἂν εἶπεν ὁ προφήτης, Οὐαὶ οἱ
μεθύοντες οὐκ ἀπὸ οἴνου. εἰ μὴ ἦν χωρὶς οἴνου μεθύειν, οὐκ ἂν εἶ-
Ἐφεσ. ε. ιη. πεν ὁ Παῦλος, Μὴ μεθύσκεσθε οἴνῳ. ὡς γὰρ ἐνὸν καὶ ἄλλως μεθύειν,
εἶπε· μὴ μεθύσκεσθε οἴνῳ. ἔστι γάρ, ἔστι καὶ * ὀργῇ μεθύειν, καὶ
ἐπιθυμίᾳ ἀτόπῳ, καὶ φιλαργυρίᾳ, καὶ κενοδοξίᾳ, καὶ μυρίοις ἑτέροις πάθεσι. μέθη γὰρ
οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἡ ἔκστασις τῶν ὀρθῶν λογισμῶν, καὶ παραφροσύνη, καὶ τῆς κατὰ
ψυχὴν ὑγιείας ἀναίρεσις. οὐ τοίνυν μόνον ὁ ἄκρατον ἐγχεόμενος πολύν, ἀλλὰ καὶ ὁ πάθος
ἕτερον ἐν τῇ ψυχῇ τρέφων, μεθύειν λέγοιτο ἂν "ἰσχυρῶς. καὶ γὰρ καὶ ὁ γυναικὸς ἐρῶν τῆς οὐκ
ἰδίας,

ἰδίας, καὶ πόρναις ἐσχολακὼς, μεθύει. καὶ καθάπερ ἐκεῖνος, ὁ πολὺν ἄκρατον πιὼν, καὶ παρενεχθεὶς ἀνελεύθερα φθέγγεται ῥήματα, καὶ ἕτερα ἀνθ' ἑτέρων ὁρᾷ· οὕτω καὶ οὗτος, καθάπερ τινὸς ἀκράτου, τῆς ἀκολάστου ταύτης ἐπιθυμίας πληρούμενος, οὐδὲν ὑγιὲς ἐκφέρει ῥῆμα, ἀλλ' αἰσχρὰ πάντα καὶ διεφθαρμένα, καὶ ἀνελεύθερα, καὶ γέλωτος γέμοντα· καὶ ἕτερα ἀνθ' ἑτέρων βλέπει, πρὸς μὲν τὰ ὁρώμενα τυφλώττων· ἣν δὲ ἐπιθυμεῖ καθυβρίσαι, ταύτην πανταχοῦ φανταζόμενος· καὶ καθάπερ ἐξεστηκώς τις καὶ παραπαίων, καὶ ἐν συλλόγοις, καὶ ἐν συμποσίοις, καὶ ἐν παντὶ καιρῷ, καὶ ἐν παντὶ τόπῳ, μυρίων μυρία πρὸς αὐτὸν διαλεγομένων, οὔτε ἀκούειν δοκεῖ· ἀλλὰ πρὸς ἐκείνην τέταται, καὶ τὴν ἁμαρτίαν ὀνειροπολεῖ, καὶ πάντα ὑφορᾶται καὶ δέδοικε, "λινόπληγός τινος ζῶν οὐδὲν ἄμεινον διακείμενος. καὶ ὁ ὀργῇ κατεχόμενος μεθύει πάλιν. οὕτω γοῦν αὐτοῦ καὶ ἡ ὄψις οἰδεῖ, καὶ ἡ φωνὴ τραχύνεται, καὶ οἱ ὀφθαλμοὶ γίνονται ὕφαιμοι, καὶ ὁ νοῦς "σκοτοῦται, καὶ ἡ διάνοια καταποντίζεται, καὶ ἡ γλῶσσα "τρέμει, καὶ οἱ ὀφθαλμοὶ παραφέρονται, καὶ αἱ ἀκοαὶ ἕτερα ἀνθ' ἑτέρων ἀκούουσιν, ἀκράτου παντὸς χαλεπώτερον τῆς ὀργῆς αὐτοῦ πληττούσης τὴν μήνιγγα, καὶ χειμῶνα ἐργαζομένης, καὶ ζάλην ποιούσης ἀπαραμύθητον. Εἰ δὲ ἐπιθυμίᾳ τις καὶ ὀργῇ κατεχόμενος μεθύει· πολλῷ μᾶλλον ἀσεβῶν ἄνθρωπος, καὶ εἰς Θεὸν βλασφημῶν, καὶ ἐναντιούμενος αὐτοῦ τοῖς νόμοις, καὶ τῆς ἀκαίρου ταύτης φιλονεικίας μηδέποτε καθυφεῖναι βουλόμενος, μεθύει καὶ μέμηνε, καὶ κωμαζόντων καὶ ἐξεστηκότων ἀθλιώτερον διάκειται, κἂν αὐτὸς αἰσθάνεσθαι μὴ δοκῇ. τοῦτο γὰρ μάλιστα μέθης ἐστὶν ἴδιον, τὸ μηδὲ ἐν οἷς τις ἀσχημονεῖ αἴσθησίν τινα "ἔχειν· ὥσπερ οὖν καὶ παραπληξίας τοῦτο μάλιστά ἐστι τὸ δεινὸν, ὅτι νοσοῦντες οὐδὲ αὐτὸ τοῦτο ἴσασιν, ὅτι νοσοῦσιν· ὥσπερ οὖν καὶ οἱ Ἰουδαῖοι νῦν μεθύοντες οὐκ αἰσθάνονται. ἡ μὲν οὖν νηστεία αὐτῶν "παρῆλθεν, ἡ μέθης ἁπάσης αἰσχροτέρα. ἡμεῖς δὲ τὴν περὶ τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους μὴ καταλύσωμεν πρόνοιαν, μηδὲ ἄκαιρόν τινα νομίσωμεν αὐτῶν εἶναι λοιπὸν τὴν ἐπιμέλειαν. ἀλλ' ὅπερ οἱ στρατιῶται ποιοῦσιν, ἐπειδὰν συμβολῆς γενομένης τρέψωνται τοὺς ἐναντίους, ἀπὸ τῆς διώξεως ἐπανιόντες, οὐκ εὐθέως ἐπὶ τὰς σκηνὰς τρέχουσιν, ἀλλὰ πρότερον ἐπὶ τὸν τόπον τῆς συμβολῆς ἐλθόντες, τοὺς ἐξ αὐτῶν καταπεσόντας "ἐξαιροῦνται· καὶ τοὺς μὲν ἀποθανόντας τῇ γῇ κρύπτουσιν· εἰ δέ τινας ἴδοιεν μεταξὺ τῶν νεκρῶν πνέοντας ἔτι, καὶ μὴ καιρίαν ἔχοντας πληγὴν, εἰς τὰς σκηνὰς ἀνελόμενοι, μετὰ πολλῆς ἀπάγουσι τῆς θεραπείας, καὶ τὸ βέλος ἐξελκύσαντες, καὶ ἰατροὺς καλέσαντες, καὶ τὸ αἷμα περιπλύναντες, καὶ φάρμακα ἐπιθέντες, καὶ τὰ ἄλλα πάντα ἐπιμελησάμενοι, πρὸς ὑγίειαν ἐπανάγουσιν· οὕτω καὶ ἡμεῖς νῦν, ἐπειδὴ τῇ τοῦ Θεοῦ χάριτι τοὺς Ἰουδαίους ἐδιώξαμεν, τοὺς προφήτας αὐτοῖς ἐφοπλίσαντες πανταχόθεν, ἐπανιόντες* ἴδωμεν, μή τινες τῶν ἀδελφῶν τῶν ἡμετέρων ἔπεσον, μή τινες ἀπὸ τῆς νηστείας παρεσύρησαν, μή τινες αὐτοῖς κατὰ τὴν ἑορτὴν ἐκοινώνησαν· καὶ ταφῇ μὲν μηδένα παραδῶμεν, πάντας δὲ ἀνελόμενοι θεραπεύσωμεν. ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν "πολέμων, τὸν πεσόντα ἅπαξ καὶ τὴν ψυχὴν ἀφέντα, ἀδύνατον στρατιώτῃ πάλιν ἀνακτήσασθαι, καὶ πρὸς ζωὴν ἐπαναγαγεῖν· ἐπὶ δὲ τοῦ πολέμου τούτου καὶ τῆς μάχης, κἂν καιρίαν τις ᾖ εἰληφὼς πληγὴν, δυνατὸν, ἂν θέλωμεν, τῆς τοῦ Θεοῦ χάριτος συνεφαπτομένης ἡμῖν, πρὸς ζωὴν αὐτὸν χειραγωγῆσαι πάλιν. οὐ γὰρ φύσεως ἐστὶν ὁ θάνατος, καθάπερ ἐκεῖνος, ἀλλὰ προαιρέσεως καὶ γνώμης. προαίρεσιν δὲ ἀποθανοῦσαν δυνατὸν ἀναστῆσαι πάλιν, καὶ ψυχὴν νεκρωθεῖσαν πεῖσαι πρὸς τὴν οἰκείαν ζωὴν ἐπανελθεῖν, καὶ τὸν αὐτῆς ἐπιγνῶναι δεσπότην. ἀλλὰ μὴ ἀποκάμωμεν, ἀδελφοί, μηδὲ ἐκλυθῶμεν, μηδὲ ἀναπέσωμεν· μηδέ μοι τὰ ῥήματα ἐκεῖνά τις λεγέτω, ὅτι πρὸ τῆς νηστείας ἀσφαλίσασθαι ἀναγκαῖον ἦν καὶ πάντα ποιῆσαι· νῦν δὲ μετὰ τὸ νηστεῦσαι, μετὰ τὸ γενέσθαι τὴν ἁμαρτίαν, μετὰ τὸ "πληθυνθῆναι τὴν ἀνομίαν, τί τὸ ὄφελος λοιπόν; εἰ γάρ τις οἶδε τί ποτέ ἐστι πρόνοια ἀδελφῶν· οἶδε καὶ τοῦτο, ὅτι νῦν μάλιστα ἐπιθέσθαι δεῖ, καὶ πᾶσαν σπουδὴν ἐπιδείξασθαι. οὐ γὰρ δὴ μόνον πρὸ τῆς ἁμαρτίας ἀσφαλίσασθαι σφραγίσασθαι χρή, ἀλλὰ καὶ μετὰ τὰ πτώματα χεῖρας ὀρέγειν. καὶ γὰρ ὁ Θεὸς εἰ τοῦτο ἐξ ἀρχῆς ἐποίει, καὶ πρὸ τῆς ἁμαρτίας ἠσφαλίζετο μόνον, μετὰ δὲ τὴν ἁμαρτίαν ἀπεγίνωσκε καὶ ἠφίει κεῖσθαι ἐν τῷ πτώματι διηνεκῶς*· οὐδεὶς ἂν οὐδὲ ἡμῶν ἐσώθη ποτέ. ἀλλ' οὐ ποιεῖ τοῦτο, φιλάνθρωπος ὢν καὶ ἥμερος, καὶ τῆς σωτηρίας μάλιστα ἐφιέμενος τῆς ἡμετέρας· ἀλλὰ καὶ μετὰ τὰ ἁμαρτήματα πολλὴν ἐπιδείκνυται πρόνοιαν. ἐπεὶ καὶ τὸν Ἀδὰμ ἠσφαλίσατο μὲν Γεν. β. ις. καὶ πρὸ τῆς ἁμαρτίας, καὶ εἶπε πρὸς αὐτόν· Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φάγῃ, ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ' αὐτοῦ· ᾗ δ' ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθε. ἰδοὺ καὶ τῇ εὐκολίᾳ τοῦ νόμου, καὶ τῇ δαψιλείᾳ τῶν συγκεχωρημένων, καὶ τῇ τιμωρίᾳ τῆς κολάσεως, καὶ τῷ τάχει τῆς ἐπαγωγῆς (οὐ γὰρ εἶπε, μετὰ μίαν καὶ δύο καὶ τρεῖς ἡμέρας· ἀλλ', ἐν αὐτῇ τῇ ἡμέρᾳ, ᾗ ἂν φάγητε, θανάτῳ ἀποθανεῖσθε) καὶ παντὶ τρόπῳ, ᾧπερ ἐχρῆν ἀσφαλίσασθαι τὸν ἄνθρωπον, ἠσφάλιζεν. ἀλλ' ὅμως ἐπειδὴ μετὰ τοσαύτην πρόνοιαν καὶ διδασκαλίαν καὶ παραίνεσιν καὶ εὐεργεσίαν κατέπεσε, καὶ οὐκ ἤκουσε τῶν ἐπιταγμάτων· οὐκ εἶπεν ὁ Θεός· τί λοιπὸν πλέον; τί δὲ ὄφελος; ἔφαγεν, ἔπεσε, παρέβη τὸν νόμον, ἐπίστευσε τῷ διαβόλῳ, ἠτίμασέ μου τὴν ἐντολήν, ἐδέξατο τὴν πληγήν, νεκρὸς ἐγένετο, παρεδόθη τῷ θανάτῳ, ὑπὸ τὴν ἀπόφασιν ἦλθε· τί δεῖ λοιπὸν αὐτῷ διαλέγεσθαι; οὐδὲν τούτων εἶπεν, ἀλλὰ καὶ ἦλθε πρὸς αὐτὸν εὐθέως, καὶ διελέχθη, καὶ παρεμυθήσατο, καὶ πάλιν ἕτερον ἐπέθηκε φάρμακον, τὸ τῶν πόνων καὶ τῶν ἱδρώτων· καὶ οὐ πρότερον ἀπέστη πάντα ποιῶν καὶ πραγματευόμενος, ἕως τὴν φύσιν τὴν πεσοῦσαν ἀνέστησε, καὶ ἀπήλλαξε τοῦ θανάτου, καὶ πρὸς τὸν οὐρανὸν ἐχειραγώγησε, καὶ μείζονα τῶν ἀπολωλότων ἔδωκεν ἀγαθά· διὰ τῶν ἔργων αὐτῶν τὸν διάβολον διδάξας, ὅτι οὐδὲν αὐτῷ πλέον ἐγένετο ἐκ τῆς ἐπιβουλῆς ταύτης· ἀλλ' ἐκβαλὼν τοῦ παραδείσου τοὺς ἀνθρώπους, ὄψεται αὐτοὺς μικρὸν ὕστερον ἐν τοῖς οὐρανοῖς ἀναμεμιγμένους τοῖς ἀγγέλοις. τοῦτο καὶ ἐπὶ τοῦ Κάϊν ἐποίησε. καὶ γὰρ καὶ ἐκεῖνον πρὸ τῆς ἁμαρτίας ἠσφάλιζε, καὶ προδιώρθωσε, λέγων· Γεν. δ. ζ. Ἥμαρτες, ἡσύχασον· πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ. ὅρα σοφίαν καὶ σύνεσιν. διὰ τοῦτο δέδοικας, φησί, μή σε τῆς προεδρίας τῶν πρωτοτόκων ἀφέλῃ; διὰ τὴν παρ' ἐμοῦ τιμὴν μὴ τὴν ἀρχὴν ἁρπάσῃ τὴν σοὶ προσήκουσαν (τοὺς γὰρ πρωτοτόκους τῶν δευτεροτόκων σεμνοτέρους εἶναι ἐχρῆν) θάρρει, φησί, καὶ μὴ φοβοῦ, μηδὲ ἀγωνία περὶ τούτου· πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ αὐτοῦ ἄρξεις. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· μένε ἐπὶ τῆς τιμῆς τῆς τοῦ πρωτοτόκου, καὶ γενοῦ τῷ ἀδελφῷ* καταφυγὴ καὶ σκέπη καὶ προστασία, καὶ κράτει, καὶ κυρίευε αὐτοῦ· μόνον μὴ πρὸς φόνον ἐκπηδήσῃς, μηδὲ εἰς τὴν παράνομον ἐκείνην ἐξέλθῃς σφαγήν. ἀλλ' ὅμως, οὐδὲ οὕτως ἤκουσεν, οὐδὲ ἡσύχασεν· ἀλλ' εἰργάσατο τὴν μιαιφονίαν ἐκείνην, καὶ τὴν δεξιὰν εἰς τὸν λαιμὸν ἐβάπτισε τὸν ἀδελφικόν. τί οὖν; ἆρα εἶπεν ὁ Θεός, ἀφῶμεν αὐτὸν λοιπόν; τί πλέον δὲ ὄφελος; εἰργάσατο τὸν φόνον, ἀπέκτεινε τὸν ἀδελφόν, κατεφρόνησέ μου τῆς παραινέσεως, ἀνίατόν τινα καὶ ἀσύγγνωστον σφαγὴν ἐτόλμησε*· τοσαύτης καὶ τοιαύτης ἀπολαύσας προνοίας καὶ διδασκαλίας καὶ συμβουλῆς, πάντα ἐξέβαλεν ἐκεῖνα ἀπὸ τῆς διανοίας, καὶ πρὸς οὐδὲν ἐπεστράφη. ἀφείσθω τοίνυν καὶ ἐρρίφθω λοιπόν, καὶ μηδὲ λόγου τινὸς ἀξιούσθω παρ' ἐμοῦ. οὐδὲν τοιοῦτον ὁ Θεὸς οὐκ εἶπεν, οὐκ ἔπραξεν· ἀλλὰ καὶ πρὸς αὐτὸν ἔρχεται πάλιν, καὶ διορθοῦται τὸν ἄνθρωπον, Γεν. δ. θ. καὶ φησί· Ποῦ Ἄβελ ὁ ἀδελφός σου; καὶ οὐδὲ ἀρνούμενον ἀφίησιν· ἀλλ' ἀνάγει καὶ ἄκοντα εἰς τὴν τῆς ἐργασίας ὁμολογίαν. καὶ εἰπόντος, οὐκ οἶδα· φησί, Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με· αὐτὸ τὸ πρᾶγμα, φησί, κηρύττει τὸν μιαιφόνον. τί οὖν οὗτος; Μείζων ἡ αἰτία μου τοῦ ἀφεθῆναί με. καὶ εἰ ἐκβάλῃς με ἀπὸ τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· μείζονα μὲν ἥμαρτον συγγνώμης καὶ ἀπολογίας καὶ τοῦ ἀφεθῆναι. πλὴν ἀλλ' εἰ βουληθείης ἐπεξελθεῖν τῷ γεγενημένῳ, πᾶσι προκείσομαι,

χ. τίμη

* ου

χ. κράτ

σώματι, ἔρημος τῆς παρὰ σοῦ συμμαχίας γενόμενος. Τί οὖν ὁ Θεός; οὐχ οὕτω· πᾶς ὁ ἀποκτείνας Κάϊν, ἑπτὰ ἐκδικούμενα παραλύσει. μὴ φοβοῦ τοῦτο, φησί· βιώσεις βίον μακρόν· κἂν ἀνέλῃ σέ τις, πολλαῖς ἔσται τιμωρίαις ὑπεύθυνος. ὁ γὰρ ἑπτὰ ἀριθμὸς παρὰ τῇ γραφῇ ἀδιορίστου πλήθους ἐστὶ σημαντικός. ἐπεὶ οὖν ὁ Κάϊν πολλαῖς ὑπεβέβλητο τιμωρίαις, ἀγωνίᾳ καὶ τρόμῳ καὶ στεναγμοῖς καὶ ἀθυμίᾳ καὶ παραλύσει σώματος· ὁ ἀνελών σε, φησί, καὶ τούτων ἀπαλλάξας τῶν κολάσεων, αὐτὸς ἐφ᾽ ἑαυτὸν ἐπισπάσεται τὴν τιμωρίαν. καὶ δοκεῖ μὲν εἶναι βαρὺ καὶ φορτικὸν τὸ λεγόμενον· πολλῆς δὲ [ταῦτα] ἐστὶ κηδεμονίας ἀπόδειξις. καὶ γὰρ αὐτὸν μετὰ ταῦτα σωφρονίσαι βουλόμενος, τοιοῦτον ἐπενόησε κολάσεως τρόπον, ὃς ἀπαλλάξαι αὐτὸν τῆς ἁμαρτίας ἐδύνατο. εἰ μὲν γὰρ εὐθέως αὐτὸν ἀνεῖλεν, ἀπῆλθεν ἂν ἔχων τὴν ἁμαρτίαν ἐγκεκαλυμμένην, καὶ τοῖς μετὰ ταῦτα οὐκ ἂν ἐγένετο γνώριμος. νυνὶ δὲ ἀφεθεὶς πολὺν χρόνον ζῆσαι ἐν ἐκείνῳ τῷ τρόμῳ, διδάσκαλος τοῖς ἀπαντῶσιν ἐγίνετο πᾶσι, διὰ τῆς ὄψεως καὶ τοῦ σάλου τῆς σαρκὸς παραινῶν ἅπασι, μή ποτε τοιαῦτα τολμᾷν, ἵνα μὴ τοιαῦτα πάθωσιν, αὐτός τε βελτίων ἐγίνετο πάλιν. ὁ γὰρ τρόμος καὶ φόβος, καὶ ἡ ἀγωνία συζῶν, καὶ ἡ τοῦ σώματος πάρεσις, καθάπερ ἐν δεσμῷ τινὶ κατεῖχεν αὐτόν· καὶ οὐκ ἠφίει οὔτε εἰς ἕτερον ἐκπηδῆσαι τοιοῦτο τόλμημα πάλιν, καὶ τοῦ προτέρου συνεχῶς ἀνεμίμνησκε, καὶ ἐν τούτοις αὐτοῦ τὴν ψυχὴν σωφρονεστέραν εἰργάζετο. ἀλλὰ μεταξὺ λέγοντί μοι ἐπῆλθεν εἰς μέσον ἀγαγεῖν, καὶ ζητῆσαι, τί δήποτε τὴν ἁμαρτίαν ὁμολογήσας τὴν ἑαυτοῦ, καὶ καταγνοὺς τῶν γενομένων, εἰπὼν μείζονα συγγνώμης ἡμαρτηκέναι, καὶ μηδεμιᾶς ἀπολογίας ἄξιος εἶναι, οὐκ ἴσχυσεν ἀπονίψασθαι τὰ ἁμαρτήματα (καίτοιγε ὁ προφήτης φησί· Λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς) ἀλλὰ καὶ κατεκρίθη; διὰ τί; διότι οὐκ εἶπεν, ὡς ὁ προφήτης ἐκέλευσεν. οὐ γὰρ ἁπλῶς εἶπεν ὁ προφήτης, λέγε σὺ τὰς ἀνομίας σου· ἀλλὰ τί; λέγε σὺ πρῶτος, φησί, τὰς ἀνομίας σου. τὸ γὰρ ζητούμενον τοῦτό ἐστιν, οὐ τὸ εἰπεῖν ἁπλῶς, ἀλλὰ τὸ πρῶτον εἰπεῖν, τὸ μὴ ἀναμεῖναι τοὺς ἐλέγχοντας καὶ κατηγοροῦντας. οὗτος δὲ οὐκ εἶπε πρῶτος, ἀλλὰ ἀνέμεινεν ἐλεγχθῆναι παρὰ τοῦ Θεοῦ· μᾶλλον δὲ καὶ ἐλέγχοντος, ἠρνεῖτο. ἀλλ᾽ ἐπειδὴ ἅπαξ ἔδειξε τὸ γενόμενον φανερῶς, τότε εἶπε τὴν ἁμαρτίαν· ὅπερ οὐκ ἔστιν ἐξομολόγησις λοιπόν. καὶ σὺ τοίνυν, ἀγαπητέ, ἐπειδὰν ἁμάρτῃς, μὴ ἀνάμενε τὴν παρὰ ἑτέρου κατηγορίαν· ἀλλὰ πρὶν ἢ κατηγορηθῆς, καὶ διαβληθῆς, σὺ καταγίνωσκε τῶν γινομένων, ὡς ἐὰν ἕτερος ἐλέγξῃ λοιπόν, οὐκ ἔτι τῆς σῆς ἐξομολογήσεως τὸ κατόρθωμα γίνεται, ἀλλὰ τῆς ἐκείνου κατηγορίας ἡ διόρθωσις. διὰ τοῦτο καὶ ἄλλος τίς φησι, Δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ. ὥστε οὐ τοῦτό ἐστι τὸ ζητούμενον, τὸ κατηγορεῖν ἑαυτοῦ· ἀλλὰ τὸ πρῶτον ἑαυτοῦ κατηγορεῖν, καὶ μὴ ἀναμένειν τοὺς παρὰ ἑτέρων ἐλέγχους. ὁ γοῦν Πέτρος μετὰ τὴν ἄρνησιν ἐκείνην τὴν χαλεπήν, ἐπειδὴ ταχέως ἑαυτὸν ἀνέμνησε τῆς ἁμαρτίας, καὶ μηδενὸς κατηγοροῦντος ἔλεγε τὴν πλημμέλειαν, καὶ ἔκλαυσε πικρῶς· οὕτως ἀπενίψατο τὴν ἄρνησιν ἐκείνην, ὡς καὶ πρῶτος γενέσθαι τῶν ἀποστόλων, καὶ τὴν οἰκουμένην ἐγχειρισθῆναι ἅπασαν.

Ησ. μγ. κϛ.

Παροιμ. ιη. ιζ.

Ἀλλ᾽ ὅπερ ἔλεγον (δεῖ γὰρ ἐπὶ τὸ προκείμενον ἐπανελθεῖν) ἱκανῶς ἡμῖν ἐντεῦθεν ἀπέδειξεν ὁ λόγος, ὅτι πίπτοντας οὐ χρὴ τῶν ἀδελφῶν ἀμελεῖν, οὐδὲ καταφρονεῖν· ἀλλ᾽ ἀσφαλίζεσθαι μὲν αὐτοὺς περὶ τῆς ἁμαρτίας, πολλὴν δὲ καὶ μετὰ τὴν ἁμαρτίαν περὶ αὐτοὺς ἐπιδείκνυσθαι ἐπιμέλειαν. οὕτω καὶ ἰατροὶ ποιοῦσι. λέγουσι μὲν καὶ ὑγιαίνουσι τοῖς ἀνθρώποις, ἃ δύναται διατηρῆσαι τὴν ὑγείαν αὐτοῖς, καὶ πᾶσαν ἀποκρούσασθαι νόσον· ἀμελήσαντας δὲ τῶν ἐπιταγμάτων καὶ ἀρρωστίᾳ περιπεσόντας οὐ παρορῶσιν, ἀλλὰ καὶ πολλὴν μάλιστα τότε ἐπιδείκνυνται πρόνοιαν, ὅπως αὐτοὺς ἀπαλλάξωσι τῶν νοσημάτων. οὕτω καὶ ὁ Παῦλος ἐποίησε. τὸν γοῦν πεπορνευκότα ἐκεῖνον μετὰ τὴν ἁμαρτίαν ἐκείνην, μετὰ τὴν παρανομίαν ἐκείνην τὴν χαλεπὴν τὴν οὐδὲ ἐν τοῖς ἔθνεσιν εὑρισκομένην, οὐ παρεῖδεν, ἀλλὰ καὶ ἀφει-

α. Κορ. ε.

δῶς

ὄντα καὶ μὴ βουλόμενοι δέξασθαι τὴν ἰατρείαν, καὶ σκιρτῶντα καὶ ἀποπηδῶντα ἐπανήγαγεν ἐπὶ τὴν θεραπείαν· καὶ οὕτως ἐπανήγαγεν, ὥστε ἑνῶσαι τῷ σώματι τῆς ἐκκλησίας πάλιν. καὶ οὐκ εἶπε πρὸς ″ἑαυτόν· τί δαὶ πλέον; τί δαὶ τὸ ὄφελος; ἐπόρνευσε, τὴν ἁμαρτίαν εἰργάσατο, οὐδὲ ἀποστῆναι βούλεται τῆς ἀσελγείας, ἀλλὰ καὶ πεφυσίωται καὶ μέγα φρονεῖ, καὶ ἀνίατον τὸ ἕλκος ἐργάζεται· ἀφῶμεν τοίνυν αὐτόν, καὶ ἐγκαταλείψωμεν. οὐδὲν τούτων εἶπεν· ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα πολλῇ τότε ἐχρήσατο τῇ προνοίᾳ, ἐπειδὴ πρὸς ἄφατον αὐτὸν εἶδε κακίαν ἐξολισθήσαντα· καὶ οὐκ ἀπέστη φοβῶν, ἀπειλῶν, κολάζων, καὶ δι' ἑαυτοῦ καὶ δι' ἑτέρων πολλῶν πάντα ποιῶν καὶ πραγματευόμενος, ἕως ἂν αὐτὸν εἰς ἐπίγνωσιν ἤνεγκε τῆς ἁμαρτίας, εἰς αἴσθησιν τῆς παρανομίας, καὶ τέλεον αὐτὸν ἀπήλλαξε τῆς κηλῖδος ἁπάσης. τοῦτο δὴ καὶ σὺ ποίησον· μίμησαι τὸν Σαμαρείτην ἐκεῖνον, (Λουκ. ι.) τὸν ἐν τῷ εὐαγγελίῳ τοσαύτην ἐπιδειξάμενον περὶ τὸν τραυματίαν ἐκεῖνον πρόνοιαν. καὶ γὰρ ἐκεῖ παρῆλθε Λευΐτης, παρῆλθε καὶ Φαρισαῖος, καὶ οὐδέτερος ἐπεκάμφθη πρὸς τὸν κείμενον· ἀλλ' ″ἀνιλεῶς καὶ ὠμῶς ἀφέντες αὐτόν, ἀπῆλθον. Σαμαρείτης δέ τις, οὐδὲν αὐτῷ προσήκων οὐδαμόθεν, οὐ παρέδραμεν· ἀλλ' ἐπιστὰς κατηλέησεν, ἐπέσταξεν ἔλαιον καὶ οἶνον, ἐπέθηκεν ἐπὶ ″τὸν ὄνον, ἤγαγεν εἰς πανδοχεῖον, καὶ ἀργύριον τὸ μὲν ἔδωκε, τὸ δὲ ὑπέσχετο ὑπὲρ τῆς τοῦ μηδὲν αὐτῷ προσήκοντος θεραπείας· καὶ οὐκ εἶπε πρὸς ἑαυτόν, τί δέ μοι μέλει περὶ τούτου; Σαμαρείτης εἰμί, οὐδὲν κοινὸν ἔχω πρὸς αὐτόν, πόρρω τῆς πόλεώς ἐσμεν, οὐδὲ βαδίσαι δύναται. τί δαί, ἐὰν μὴ πρὸς τὸ μῆκος ἀρκέσῃ τῆς ὁδοιπορίας; μέλλω νεκρὸν ἐπιφέρεσθαι· μέλλω ″σφαγῆς ἁλίσκεσθαι· μέλλω τοῦ φόνου ὑπεύθυνος εἶναι. καὶ γὰρ πολλοὶ πολλάκις παριόντες καὶ ″ὁρῶντες ἀνθρώπους πεπληγότας, διὰ τοῦτο παρατρέχουσιν, οὐκ ὀκνοῦντες ἀνελέσθαι, οὐδὲ χρημάτων φειδόμενοι, ἀλλὰ δεδοικότες, μὴ καὶ αὐτοὶ εἰς δικαστήριον ἑλκυσθῶσιν, ὡς τῆς σφαγῆς ὑπεύθυνοι. ἀλλ' ἐκεῖνος οὐδὲν τούτων ἔδεισεν ὁ ἥμερος καὶ φιλάνθρωπος· ἀλλὰ ταῦτα πάντα ὑπεριδὼν ″ἐπέθηκεν ἐπὶ τὸν ὄνον, καὶ εἰς πανδοχεῖον ἤγαγεν· οὐδὲν τούτων ὑπεῖδεν, οὐ κίνδυνον, οὐ χρημάτων δαπάνην, οὐκ ἄλλο οὐδέν. εἰ δὲ ὁ Σαμαρείτης οὕτω φιλάνθρωπος καὶ ἥμερος γέγονε περὶ ἄνθρωπον ἄγνωστον· τίνα ἂν ἔχοιμεν συγγνώμην ἡμεῖς, τῶν ἀδελφῶν τῶν οἰκείων ἀμελοῦντες ἐπὶ μείζοσι κακοῖς; καὶ γὰρ καὶ οὗτοι οἱ νῦν ″νηστεύσαντες, λῃσταῖς περιέπεσον τοῖς Ἰουδαίοις, μᾶλλον δὲ λῃστῶν ἁπάντων χαλεπωτέροις, καὶ μείζονα τοὺς εἰς αὐτοὺς ἐμπίπτοντας ἐργαζομένοις κακά. οὐ γὰρ τὰ ἱμάτια αὐτῶν περιέρρηξαν, οὐδὲ τῷ σώματι πληγὰς ἐπήγαγον, καθάπερ ἐκεῖνοι τότε, ἀλλὰ τὴν ψυχὴν κατέτρωσαν, καὶ μυρία αὐτῇ τραύματα ″δόντες, οὕτως ἀπῆλθον, ἀφέντες ἐν τῷ λάκκῳ τῆς ″ἀσεβείας κειμένους. μὴ δὴ περιίδωμεν τραγῳδίαν τοιαύτην, μηδὲ παραδράμωμεν ἀνιλεῶς οὕτω θέαμα ἐλεεινόν· ἀλλά, κἂν ἕτεροι τοῦτο ποιῶσι, σὺ μὴ ποιήσῃς, μὴ εἴπῃς πρὸς σεαυτόν, κοσμικός εἰμι ἀνήρ, γυναῖκα ἔχω καὶ παῖδας· ταῦτα τῶν ἱερέων ἐστί, ταῦτα τῶν μοναχῶν. οὐδὲ γὰρ ὁ Σαμαρείτης ἐκεῖνος ταῦτα εἶπε, ποῦ νῦν οἱ ἱερεῖς; ποῦ νῦν οἱ Φαρισαῖοι; ποῦ τῶν Ἰουδαίων οἱ διδάσκαλοι; ἀλλ' ὥσπερ τι θήραμα μέγιστον εὑρών, οὕτως ἥρπασε τὸ κέρδος. καὶ σὺ τοίνυν, ὅταν ἴδῃς τινὰ δεόμενον θεραπείας ἢ σωματικῆς, ἢ ψυχικῆς, μὴ λέγε πρὸς ἑαυτόν· τίνος ἕνεκεν ὁ δεῖνα καὶ ὁ δεῖνα αὐτὸν οὐκ ἐθεράπευσεν; ἀλλ' ἀπάλλαξον τῆς ἀρρωστίας, καὶ μὴ ἀπαίτει ἐκείνους εὐθύνας τῆς ἀμελείας. ἐὰν εὕρῃς χρυσίον, εἰπέ μοι, κείμενον, μὴ ″λέγῃς πρὸς ἑαυτόν, τίνος ἕνεκεν ὁ δεῖνα καὶ ὁ δεῖνα αὐτὸ οὐκ ἀνείλοντο; ″καὶ οὐ σπουδάζεις πρὸ τῶν ἄλλων ἁρπάσαι; οὕτω καὶ ἐπὶ τῶν πεπτωκότων ἀδελφῶν λογίζου, καὶ νόμιζε θησαυρὸν εὑρηκέναι, τὴν ἐπιμέλειαν τὴν ἐκείνων. ἂν γὰρ ἐπιστάξῃς αὐτῷ, καθάπερ ἔλαιον, τοῦ λόγου τὴν διδασκαλίαν, ἂν καταδήσῃς τῇ προσηνείᾳ, ἂν θεραπεύσῃς * τῇ καρτερίᾳ, θησαυροῦ παντὸς εὐπορώτερόν σε ἐργάσεται. Ὁ γὰρ ἐξάγων τίμιον, φησίν, ἐξ ἀναξίου, ὡς στόμα μου ἔσται. (Ἱερ. ιε ιθ.) τί τούτου

ἴσον

γένοιτ' ἂν ἴσον; ὅπερ οὐδὲ νηστεία, οὐδὲ χαμευνία, οὐδὲ παννυχίδες, οὐκ ἄλλο τι δύναται ἐργάσασθαι, τοῦτο ἡ τοῦ ἀδελφοῦ σωτηρία ποιεῖ. ἐννόησόν σου τὸ στόμα, πόσα πολλάκις ἥμαρτε, πόσα ἐφθέγξατο αἰσχρὰ ῥήματα, πόσας βλασφημίας, πόσας λοιδορίας ἐξέβαλε· καὶ πάντως ἀντιλήψῃ τῆς τοῦ πεπτωκότος προνοίας. διὰ γὰρ ἑνὸς τούτου τοῦ κατορθώματος πᾶσαν ἐκκαθᾶραι δυνήσῃ τὴν κηλῖδα ἐκείνην. καὶ τί λέγω ἐκκαθᾶραι; ὡς στόμα Θεοῦ ποιήσεις σου τὸ στόμα. τί ταύτης γένοιτ' ἂν ἴσον τῆς τιμῆς; μὴ γὰρ ἐγὼ ταῦτα ἐπαγγέλλομαι; αὐτὸς ὁ Θεὸς τοῦτο εἶπεν, ὅτι κἂν ἕνα τινὰ ἐξαγάγῃς, φησὶν, ὡς στόμα μου ἔσται τὸ στόμα σου, καθαρὸν, ἅγιον. μὴ τοίνυν ἀμελῶμεν τῶν ἀδελφῶν, μηδὲ περιιόντες λέγωμεν, πόσοι ἐνήστευσαν, πόσοι προσεύρησαν· ἀλλ' ἐπιμελώμεθα αὐτῶν. κἂν πολλοὶ ὦσιν οἱ νηστεύσαντες, σὺ μὴ ἐκπομπεύσῃς, ἀγαπητὲ, μηδὲ παραδειγματίσῃς τῆς ἐκκλησίας τὴν συμφορὰν, ἀλλὰ θεράπευσον. κἂν εἴπῃ τις, ὅτι πολλοὶ ἐνήστευσαν, ἐπιστόμισον, ὥστε μὴ γενέσθαι δήλην τὴν φήμην, καὶ εἰπὲ πρὸς αὐτόν· ἐγὼ μὲν οὐδένα οἶδα· ἠπάτησαι, ἄνθρωπε, καὶ ψεύδῃ· ἂν δύο καὶ τρεῖς ἴδῃς παρασυρέντας, πολλοὺς αὐτοὺς εἶναι λέγεις. καὶ τὸν μὲν κατηγοροῦντα ἐπιστόμισον, τῶν δὲ παρασυρέντων μὴ ἀμελήσῃς· ἵνα ἑκατέρωθεν πολλὴ τῇ ἐκκλησίᾳ ἀσφάλεια γένηται, ἀπό τε τοῦ τὴν φήμην μὴ ἐκπομπεύεσθαι, ἀπό τε τοῦ τοὺς παρασυρέντας αὐτοὺς πρὸς τὴν ἱερὰν ἀγέλην ἄγεσθαι πάλιν. μὴ τοίνυν περιιόντες λέγωμεν, τίνες ἥμαρτον; ἀλλὰ ″ σπουδάσωμεν, ὅπως διορθώσωμεν τοὺς ἡμαρτηκότας μόνον. καὶ γὰρ δεινὸν, τὸ κατηγορεῖν τῶν ἀδελφῶν μόνον, ἀλλὰ μὴ ἐπιμελεῖσθαι· τὸ ἐκπομπεύειν τὰ κακὰ τῶν ἀσθενούντων, ἀλλὰ μὴ θεραπεύειν. ἀνέλωμεν τοίνυν τοῦτο τὸ πονηρὸν ἔθος, ἀγαπητοί· οὐδὲ γὰρ μικρὰν λύμην τοῦτο ἐργάζεται. καὶ πῶς, ἐγὼ λέγω. ἤκουσέ τις παρά σου λέγοντος, ὅτι πολλοὶ ἐνήστευσαν μετὰ Ἰουδαίων, καὶ μηδὲν ἐξετάσας, εἰς ἕτερον τὸ ῥῆμα ἐξήνεγκε. πάλιν ἐκεῖνος μηδὲν πολυπραγμονήσας, ἑτέρῳ τοῦτο ἐξεῖπεν. εἶτα τί; κατὰ μικρὸν τῆς πονηρᾶς ταύτης αὐξανομένης φήμης, πολὺ μὲν ″ τῆς ἐκκλησίας ὄνειδος κατασκεδάννυται· τοῖς δὲ ἀπολωλόσιν οὐδὲν ὄφελος γίνεται, ἀλλὰ καὶ ″βλάβος καὶ τούτοις καὶ ἑτέροις πολλοῖς. ″κἂν τε γὰρ ὀλίγοι ὦσιν, ἡμεῖς αὐτοὺς ταῖς φήμαις ταῖς ″κακαῖς πολλοὺς ποιοῦμεν, καὶ τοὺς ἑστῶτας ἀσθενεστέρους ἐργαζόμεθα, καὶ τοὺς μέλλοντας πίπτειν ὠθοῦμεν. ὁ γὰρ ἀδελφὸς ὁ ἀκούσας, ὅτι πολλοὶ ἐνήστευσαν, καὶ αὐτὸς ῥαθυμότερος ἔσται· καὶ ταῦτα πάλιν ὁ ἀσθενὴς ἀκούσας, δραμεῖται ἐπὶ τὸ πλῆθος τῶν πεπτωκότων. μὴ τοίνυν μηδὲ ἐπὶ τούτῳ, μηδὲ ἐπ' ἄλλῳ πονηρεύματι συγχαίρωμεν, κἂν πολλοὶ ὦσιν οἱ ἁμαρτάνοντες, ὥστε ἐκπομπεύειν αὐτοὺς καὶ λέγειν, ὅτι πολλοί· ἀλλ' ἐπιστομίζωμεν καὶ κατέχωμεν. μή μοι λέγε, ὅτι πολλοὶ ἐνήστευσαν· ἀλλὰ διόρθωσαι τοὺς πολλούς. οὐ διὰ τοῦτο τοσούτους ἀνήλωσα λόγους, ἵνα κατηγορήσῃς τῶν πολλῶν, ἀλλ' ἵνα τοὺς πολλοὺς ποιήσῃς ὀλίγους, μᾶλλον δὲ οὐδὲ ὀλίγους, ἀλλὰ καὶ αὐτοὺς τούτους διασώσῃς. μὴ τοίνυν ἐκπόμπευε τὰ ἁμαρτήματα, ἀλλὰ θεράπευε. ὥσπερ γὰρ οἱ ἐκπομπεύοντες, καὶ εἰς τοῦτο μόνον ἠσχοληκότες, κἂν ὀλίγοι ὦσιν οἱ ἡμαρτηκότες, πολλοὺς αὐτοὺς νομίζεσθαι ποιοῦσιν· οὕτως οἱ συστέλλοντες, καὶ τοὺς ἐκπομπεύοντας ἐπιστομίζοντες, καὶ τῶν πεπτωκότων ἐπιμελούμενοι, κἂν πολλοὶ ὦσιν, αὐτούς τε ἐκείνους διορθοῦνται ῥᾳδίως, καὶ οὐδένα ἕτερον ἐκ τῆς τούτων ἀφιᾶσι παραβλαβῆναι φήμης. οὐκ ἤκουσας ὅτι θρηνῶν τὸν Σαοὺλ ὁ Δαβὶδ ἔλεγε· Πῶς ἔπεσον δυνατοὶ, μὴ ἀναγγείλητε εἰς Γέθ, μηδὲ εὐαγγελίσησθε ἐν ταῖς ὁδοῖς Ἀσκάλωνος, ὅπως μὴ εὐφρανθῶσι θυγατέρες ἀλλοφύλων, μηδὲ γαυριάσωσι θυγατέρες ἀπεριτμήτων; εἰ δὲ πρᾶγμα φανερὸν οὐκ ἐβούλετο ἐκπομπεύεσθαι, ὥστε μὴ γενέσθαι τοῖς ἐναντίοις ἡδονήν· πόσῳ μᾶλλον ταῦτα οὐ δεῖ ἐκφέρειν εἰς τὰς ἔξωθεν ἀκοὰς, μᾶλλον δὲ οὐδὲ εἰς ″τοὺς παρ' ἡμῖν· ἵνα μήτε οἱ ἐχθροὶ ἀκούοντες χαίρωσι, μήτε οἱ οἰκεῖοι μανθάνοντες καταπίπτωσιν· ἀλλὰ συστέλλειν καὶ ″περιφράττειν πανταχόθεν; μή μοι λέγε, ὅτι τῷ δεῖνι εἶπον· παρὰ σαυτῷ κάτεχε τὸ ῥῆμα. ὥσπερ γὰρ σὺ οὐκ ἐκαρτέρησας

2. Βασ. α. κ.

σας

σαι σιγῆσαι, οὕτως οὐδὲ ἐκεῖνος ἀνέξεται. ταῦτα οὐ περὶ τῆς παρούσης νηστείας λέγω μόνον, ἀλλὰ καὶ περὶ ἄλλων μυρίων ἁμαρτημάτων. μὴ τοῦτο σκοπῶμεν μόνον, εἰ πολλοί εἰσιν οἱ παρασυρόμενοι· ἀλλὰ ἐκεῖνο σκοπήσωμεν, ὅπως αὐτοὺς ἀπαγάγωμεν. μὴ ἐπαίρωμεν τὰ τῶν πολεμίων, καὶ τὰ ἡμέτερα καθαιρῶμεν· μὴ ἰσχυροὺς ἐκείνους ἀποφαίνωμεν, τὰ δὲ ἡμέτερα ἀσθενῆ· ἀλλὰ τοὐναντίον ἅπαν ἐργασώμεθα. οἶδε καὶ φήμη πολλάκις καθελεῖν καὶ ἀναστῆσαι ψυχὴν, καὶ τὴν οὐκ οὖσαν προθυμίαν ἐμβαλεῖν, καὶ τὴν οὖσαν καταλῦσαι πάλιν. διὰ τοῦτο παραινῶ τὰς φήμας αὔξειν ἐκείνας, αἳ τὰ ἡμέτερα αἴρουσι πράγματα, καὶ μεγάλα ποιοῦσι φαίνεσθαι· ἀλλὰ μὴ ἐκείνας, αἳ [ὅλου] τοῦ κοινοῦ τῶν ἀδελφῶν καταχέουσιν ὄνειδος. κἂν μὲν ἀκούσωμέν τι χρηστὸν, εἰς πάντας ἐκφέρωμεν· ἂν δέ τι φαῦλον καὶ πονηρὸν, παρ' ἑαυτοῖς κατακρύψωμεν, καὶ ὅπως ἀνέλωμεν αὐτὸ, πάντα ποιήσωμεν. καὶ νῦν τοίνυν περιέλθωμεν, πολυπραγμονήσωμεν, ἴδωμεν τοὺς πεσόντας· κἂν εἰς οἰκίαν δέῃ εἰσελθεῖν, μὴ κατοκνήσωμεν· εἰ δὲ ἄγνωστος εἴη, καὶ μηδαμόθεν σοι προσήκων ὁ πεπτωκὼς, περιέργασαι, καὶ πολυπραγμόνησον, τίνα ἔχει φίλον καὶ ἐπιτήδειον, καὶ τίνι μάλιστα πείθεται· κἀκεῖνον λαβὼν, εἴσελθε εἰς τὴν οἰκίαν· μὴ αἰσχυνθῇς, μηδὲ ἐρυθριάσῃς. εἰ μὲν γὰρ χρήματα εἰσῄεις αἰτήσων, ἢ χάριν τινὰ ληψόμενος παρ' αὐτοῦ, εἰκὸς ἦν αἰσχύνεσθαι· εἰ δὲ ὑπὲρ τῆς ἐκείνου σωτηρίας τρέχεις, ἡ τῆς εἰσόδου πρόφασις ἁπάντων ἀπαλλάττει σε τῶν ἐγκλημάτων. παρακάθισον δὴ, καὶ εἰπὲ πρὸς αὐτὸν, ἑτέρωθεν ποιησάμενος τὴν ἀρχὴν, ὥστε ἀνύποπτον γενέσθαι τὴν διόρθωσιν. ἐπαινεῖς, εἰπέ μοι, τοὺς Ἰουδαίους, ὅτι τὸν Χριστὸν ἐσταύρωσαν, καὶ βλασφημοῦσιν εἰς αὐτὸν νῦν, καὶ παράνομον αὐτὸν καλοῦσι; πάντως οὐκ ἀνέξεται, ἐὰν ᾖ Χριστιανὸς, κἂν μυριάκις Ἰουδαΐζῃ, οὐκ ἀνέξεται εἰπεῖν, ὅτι ἐπαινῶ· ἀλλ' ἐμφράξει τὴν ἀκοὴν, καὶ ἐρεῖ πρὸς σέ· μὴ γένοιτο· εὐφήμει, ἄνθρωπε. εἶτα ὅταν αὐτοῦ λάβῃς τὴν συγκατάθεσιν, πάλιν ἐπανάλαβε, καὶ εἰπέ· πῶς οὖν αὐτοῖς κοινωνεῖς, εἰπέ μοι; πῶς μετέχεις τῆς ἑορτῆς; πῶς μετ' ἐκείνων νηστεύεις; εἶτα κατηγόρησον αὐτῶν τῆς ἀγνωμοσύνης· εἰπὲ τὴν παρανομίαν ἅπασαν, ἣν ἐν ταῖς ἔμπροσθεν ἡμέραις διῆλθον πρὸς τὴν ὑμετέραν ἀγάπην, τὴν ἀπὸ τοῦ τόπου, τὴν ἀπὸ τοῦ καιροῦ, τὴν ἀπὸ τοῦ ἱεροῦ, τὴν ἀπὸ τῆς προρρήσεως τῶν προφητῶν ἐλεγχομένην. δεῖξον πῶς εἰκῇ καὶ μάτην ἅπαντα πράττουσι, καὶ οὐδέποτε ἐπὶ τὴν προτέραν ἐπανήξουσι πολιτείαν, καὶ ὅτι οὐ θέμις αὐτοῖς ἔξω τῶν Ἱεροσολύμων χωρὶς οὐδὲν τοιοῦτον ἐπιτελεῖν. καὶ πρὸς τούτοις ἀνάμνησον τῆς γεέννης, τοῦ φοβεροῦ βήματος τοῦ Κυρίου, τῶν εὐθυνῶν τῶν ἐκεῖ, τῶν κολάσεων· καὶ ὅτι τούτων ἁπάντων δώσομεν λόγον, καὶ τιμωρία τις οὐ μικρὰ κεῖται τοῖς τὰ τοιαῦτα τολμῶσιν· ἀνάμνησον καὶ Παύλου λέγοντος, Οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσετε· καὶ πάλιν ἀπειλοῦντος, ὅτι Ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐ μὴ ὠφελήσῃ. καὶ εἰπὲ, ὅτι καθάπερ περιτομὴ, οὕτω καὶ νηστεία Ἰουδαϊκὴ τῶν οὐρανῶν ἐκβάλλει τὸν νηστεύοντα, κἂν μυρία ἕτερα κατορθώματα ἔχῃ. εἰπὲ, ὅτι Χριστιανοὶ διὰ τοῦτο καὶ καλούμεθα καί ἐσμεν, ἵνα τῷ Χριστῷ πειθώμεθα, οὐχ ἵνα πρὸς τοὺς ἐχθροὺς ἐκείνους τρέχωμεν.

Γαλ. ε. δ. β.

Ἂν δέ τινας θεραπείας προτείνηται, καὶ λέγῃ πρὸς σὲ, ὅτι ὑπισχνοῦνται θεραπεύειν, καὶ διὰ τοῦτο πρὸς αὐτοὺς τρέχω· ἀνακάλυψον αὐτῷ τὰς μαγγανείας, τὰς ἐπῳδὰς, τὰ περιάμματα, τὰς φαρμακείας. οὔτε γὰρ ἄλλῳ τινὶ τρόπῳ δοκοῦσι θεραπεύειν· οὐδὲ γὰρ θεραπεύουσι κατὰ τὴν ἀλήθειαν· μὴ γένοιτο. ἐγὼ δὲ καὶ ὑπερβολὴν ποιοῦμαι πολλὴν, καὶ ἐκεῖνο λέγω· ὅτι εἰ καὶ θεραπεύουσιν ἀληθῶς, βέλτιον ἀποθανεῖν, ἢ τοῖς ἐχθροῖς τοῦ Θεοῦ προσδραμεῖν, καὶ τοῦτον θεραπευθῆναι τὸν τρόπον. τί γὰρ ὄφελος, θεραπεύεσθαι σῶμα, τῆς ψυχῆς ἀπολλυμένης; τί δὲ κέρδος, ἐνταῦθά τινος τυγχάνειν παραμυθίας, μέλλοντας εἰς τὸ ἀθάνατον παραπέμπεσθαι πῦρ; ἵνα γὰρ μὴ λέγωσι ταῦτα, ἄκουσον τί φησιν ὁ Θεός· Ἐὰν ἀναστῇ προφήτης ἐν σοὶ, ἢ ἐνυπνιαζόμενος ἐνύπνιον, καὶ δῷ σημεῖον καὶ τέρας, καὶ ἔλθῃ τὸ σημεῖον καὶ τὸ τέρας,

Δευτ. ιγ. α.

τέρας, ὃ ἐλάλησε, καὶ εἴπῃ, πορευθῶμεν, καὶ λατρεύσωμεν θεοῖς ἑτέροις· οὐκ ἀκούσεσθε τοῦ προφήτου ἐκείνου, ὅτι πειράζει Κύριος ὁ Θεὸς ὑμᾶς, εἰ ἀγαπᾶτε Κύριον τὸν Θεὸν ὑμῶν ἐξ ὅλης τῆς καρδίας ὑμῶν, καὶ ἐξ ὅλης τῆς ψυχῆς ὑμῶν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐὰν εἴπῃ τις προφήτης, φησὶν, ὅτι δύναμαι νεκροὺς ἐγεῖραι, ἢ τυφλὸν θεραπεῦσαι, ἀλλὰ πείσθητέ μοι, καὶ προσκυνήσωμεν τοῖς δαίμοσιν, ἢ εἰδωλολατρήσωμεν, εἶτα ὁ ταῦτα λέγων δυνηθῇ θεραπεῦσαι τὸν τυφλὸν ἢ τὸν νεκρὸν ἐγεῖραι· μηδὲ οὕτω πεισθῇς, φησι, διότι πειράζων σε ὁ Θεὸς συνεχώρησεν ἐκείνῳ δυνηθῆναι τοῦτο· οὐκ ἐπειδὴ αὐτὸς ἠγνόει σου τὴν γνώμην, ἀλλ' ἵνα σοι δοκιμὴν παράσχῃ, εἰ φιλεῖς τὸν Θεὸν ὄντως. φιλοῦντος δέ ἐστι, τὸ, κἂν νεκροὺς παρέχωσιν ἀνισταμένους οἱ σπουδάζοντες ἡμᾶς ἀφελκύσαι τοῦ φιλουμένου, μηδὲ οὕτως ἀφίστασθαι. εἰ δὲ Ἰουδαίοις ταῦτα ἔλεγε, πολλῷ μᾶλλον ἡμῖν, οὓς ἐπὶ μείζονα φιλοσοφίαν ἤγαγεν, οἷς τὴν περὶ τῆς ἀναστάσεως ἤνοιξε θύραν, οἷς κελεύει μὴ τοῖς παροῦσιν ἐμφιλοχωρεῖν, ἀλλὰ τὰς ἐλπίδας ἁπάσας πρὸς τὴν μέλλουσαν ζωὴν ἔχειν. ἀλλὰ τί λέγεις; οὐ θλίβει σε καὶ πιέζει τοῦ σώματος ἡ νόσος; ἀλλ' οὔπω τοσαῦτα πέπονθας, ὅσα ὁ μακάριος Ἰώβ· μᾶλλον δὲ οὐδὲ τὸ πολλοστὸν μέρος ἐκείνων. μετὰ γὰρ τὴν ἀθρόαν τῶν ποιμνίων καὶ τῶν βουκολίων καὶ τῶν ἄλλων ἁπάντων ἀπώλειαν, ἡρπάσθη καὶ τῶν παίδων ὁλόκληρος ὁ χορός. καὶ πάντα ἐν ἡμέρᾳ μιᾷ ἐγένετο, ἵνα μὴ ἡ φύσις τῶν πειρασμῶν μόνον, ἀλλὰ καὶ ἡ συνέχεια καταβάλῃ τὸν ἀθλητήν. μετ' ἐκεῖνα πάντα καιρίας ἐν τῷ σώματι δεξάμενος τὴν πληγὴν, σκώληκας ἑώρα πάντοθεν βρύοντας ἀπὸ τοῦ σώματος, καὶ γυμνὸς ἐπὶ τῆς κοπρίας ἐκάθητο, κοινὸν τοῖς παροῦσι συμφορᾶς θέατρον, ὁ δίκαιος, ὁ ἀληθὴς, ὁ θεοσεβὴς, ὁ ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. καὶ οὐδὲ μέχρι τούτων ἔστη τὰ δεινά· ἀλλ' ὀδύναι μεθημεριναὶ καὶ νυκτεριναὶ, καὶ λιμός τις αὐτὸν ἐπολιόρκει ξένος καὶ παράδοξος. Βρόμον γὰρ, φησιν, ὁρῶ τὰ σιτία μου, ὀνείδη καθημερινὰ, χλευασίαι, σκώμματα, γέλως. οἱ οἰκέται γάρ μου, φησι, καὶ οἱ υἱοὶ τῶν παλλακίδων μου ἐπανέστησάν μοι. ἐν ἐνυπνίοις φόβοι, ζάλη τις λογισμῶν διηνεκής. ἀλλ' ὅμως τούτων ἁπάντων ἀπαλλαγὴν ἐπηγγέλλετο ἡ γυνὴ λέγουσα οὕτως· Εἰπόν τι ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα· βλασφήμησον, φησι, καὶ ἀπαλλαγήσῃ τῶν ἐπικειμένων πόνων. τί οὖν; παρέτρεψε τὸν ἅγιον ἐκεῖνον τῆς γυναικὸς ἡ συμβουλή; τοὐναντίον μὲν οὖν ἐποίησε, καὶ ἐπέρρωσε μειζόνως αὐτὸν, ὡς καὶ ἐπιτιμῆσαι τῇ γυναικί. ᾑρεῖτο γὰρ μᾶλλον ὀδυνᾶσθαι καὶ ταλαιπωρεῖσθαι, καὶ μυρία πάσχειν δεινὰ, ἢ μετὰ βλασφημίας ἀπαλλαγήν τινα τῶν τοσούτων εὑρέσθαι κακῶν. οὕτω καὶ ὁ τριακονταοκτὼ ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ αὐτοῦ, καθ' ἕκαστον ἐνιαυτὸν ἔτρεχεν ἐπὶ τὴν κολυμβήθραν, καὶ καθ' ἕκαστον ἐξεκρούετο, καὶ θεραπείας οὐκ ἐπετύγχανεν· ἀλλ' ἑτέρους μὲν ἑώρα καθ' ἕκαστον ἐνιαυτὸν ἀπαλλαττομένους διὰ τὸ πολλοὺς ἔχειν τοὺς θεραπεύοντας, αὐτὸν δὲ διὰ τὴν ἐρημίαν τῶν προστησομένων ἐν διηνεκεῖ μένοντα παρέσει. καὶ οὐδὲ οὕτως ἔδραμεν ἐπὶ μάντεις, οὐκ ἦλθεν ἐπὶ ἐπαοιδοὺς, οὐκ ἐπέδησε περίαπτα· ἀλλ' ἀνέμενε τὴν παρὰ τοῦ Θεοῦ βοήθειαν. διὰ τοῦτο πρὸς τῷ τέλει θαυμαστῆς τινος καὶ παραδόξου θεραπείας ἔτυχεν. ὁ δὲ Λάζαρος λιμῷ καὶ νόσῳ καὶ ἐρημίᾳ πάντα τὸν χρόνον ἐπάλαισεν, οὐ τριάκοντα καὶ ὀκτὼ ἔτη ἔχων [μόνον,] ἀλλὰ πᾶσαν τὴν ζωήν. οὕτω γοῦν καὶ ἐξέπνευσεν ἐν τῷ πυλῶνι κείμενος τοῦ πλουσίου, καταφρονούμενος, χλευαζόμενος, λιμώττων, τοῖς κυσὶ βορὰ προκείμενος. οὕτω γὰρ αὐτοῦ τὸ σῶμα παρεῖτο, ὡς μηδὲ ἀποσοβεῖν δύνασθαι τοὺς κύνας ἐπιόντας, καὶ τὰ τραύματα αὐτοῦ λιχμωμένους. ἀλλ' ὅμως οὐκ ἐπαοιδὸν ἐζήτησεν, οὐ πέταλα περιῆψεν, οὐ μαγγανείας ἐκίνησεν, οὐ γόητας πρὸς ἑαυτὸν ἐκάλεσεν, οὐκ ἄλλο τι τῶν κεκωλυμένων ἐποίησεν, ἀλλ' εἵλετο μᾶλλον τοῖς κακοῖς ἐναποθανεῖν ἐκείνοις, ἢ τῆς εὐσεβείας μικρόν τι προδοῦναι μέρος. τίνα οὖν ἕξομεν συγγνώμην ἡμεῖς, εἰ, τοσαῦτα παθόντων ἐκείνων καὶ καρτερησάντων, ἢ διὰ πυρετὸν, ἢ διὰ τραύματα τρέχομεν ἐπὶ συναγωγὰς, καὶ τοὺς φαρμακοὺς καὶ γόητας εἰς τὰς οἰκίας καλοῦμεν

Ιωϐ. ϛ. ζ.

Ιωϐ. β. θ.

Ιωαν. ε.

Σειρ. β. α. τὰς ἑαυτῶν; οὐκ ἤκουσας τί φησιν ἡ γραφή; Τέκνον, ἐὰν προσέρχῃ δουλεύειν Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν, εὔθυνον τὴν καρδίαν σου, καὶ καρτέρησον· ἐν νόσῳ καὶ πενίᾳ ἐπ' αὐτῷ πεποιθὼς γίνου. ὥσπερ γὰρ ἐν πυρὶ δοκιμάζεται χρυσίον· οὕτως ἄνθρωπος δεκτὸς ἐν καμίνῳ ταπεινώσεως. ἂν σὺ τὸν οἰκέτην μαστίξῃς τὸν σόν, εἶτα ἐκεῖνος τριάκοντα ἢ πεντήκοντα λαβὼν πληγάς, εὐθέως ἐλευθερίαν ἀναβοήσῃ, ἢ καταλείπῃ σου τὴν δεσποτείαν, καὶ πρὸς ἑτέρους τινὰς ἀπέλθῃ τῶν μισούντων σε, καὶ παροξύνῃ, ἆρα δυνήσεται συγγνώμης τυχεῖν, εἰπέ μοι; ἆρα δυνήσεταί τις ἀπολογήσασθαι ὑπὲρ αὐτοῦ; οὐδαμῶς. τί δή ποτε; ὅτι προσῆκεν δεσπότῃ κολάζειν οἰκέτην. οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ὅτι, εἰ καταφυγεῖν ἐχρῆν, οὐχὶ πρὸς τοὺς ἐχθρούς, οὐδὲ πρὸς τοὺς μισοῦντας· ἀλλὰ πρὸς τοὺς φίλους καὶ τοὺς γνησίους ἔδει. καὶ σὺ τοίνυν, ὅταν ἴδῃς τὸν Θεόν σε κολάζοντα, μὴ πρὸς τοὺς ἐχθροὺς αὐτοῦ καταφύγῃς τοὺς Ἰουδαίους, ἵνα μὴ μᾶλλον αὐτὸν παροξύνῃς, ἀλλὰ πρὸς τοὺς φίλους αὐτοῦ, τοὺς μάρτυρας, τοὺς ἁγίους καὶ εὐηρεστηκότας αὐτῷ καὶ πολλὴν ἔχοντας πρὸς αὐτὸν παρρησίαν. καὶ τί λέγω περὶ οἰκετῶν καὶ δεσποτῶν; υἱὸς οὐ δυνήσεται τοῦτο ποιῆσαι διὰ τὰς παρὰ τοῦ πατρὸς μάστιγας, οὐδὲ ἀρνήσασθαι τὴν πρὸς ἐκεῖνον συγγένειαν. καὶ γὰρ οἱ τῆς φύσεως, καὶ οἱ παρὰ ἀνθρώπων τεθέντες νόμοι, κἂν μαστίζῃ, κἂν τραπέζης εἴργῃ, κἂν ἐκβάλλῃ τῆς οἰκίας, κἂν παντὶ κολάζῃ τρόπῳ, κελεύουσιν ἅπαντα φέρειν γενναίως. κἂν μὴ πείθηται, μηδὲ ἀνέχηται, οὐδεμίαν οὐδεὶς αὐτῷ δίδωσι συγγνώμην· ἀλλὰ κἂν μυρία ἀποδύρηται μαστιχθεὶς ὁ παῖς, ταῦτα πρὸς αὐτὸν ἅπαντες λέγουσι τὰ ῥήματα· ὅτι πατήρ ἐστιν ὁ μαστίξας, καὶ κύριος, καὶ ἐξουσίαν ἔχων πᾶν ὁτιοῦν ἐργάσασθαι καὶ ποιῆσαι, καὶ δεῖ πάντα πράως φέρειν. εἶτα οἰκέται μὲν ἀνέχονται δεσποτῶν, καὶ υἱοὶ πατέρων, πολλάκις καὶ οὐδὲ δεόντως αὐτοὺς κολαζόντων· σὺ δὲ οὐκ ἀνέξῃ τοῦ Θεοῦ παιδεύοντός σε, τοῦ καὶ δεσπότου ὄντος κυριωτέρου, καὶ τῶν πατέρων μᾶλλόν σε φιλοῦντος, καὶ πρὸς ὀργὴν μὲν οὐδέν, πάντα δὲ πρὸς τὸ συμφέρον πραγματευομένου καὶ ποιοῦντος; ἀλλὰ κἂν μικρά τις γένηται νόσος, εὐθέως ἀποπηδᾷς αὐτοῦ τῆς δεσποτείας, καὶ ἐπὶ τοὺς δαίμονας τρέχεις, καὶ πρὸς τὰς συναγωγὰς αὐτομολεῖς; καὶ ποίας τεύξῃ συγγνώμης λοιπόν; πῶς δὲ δυνήσῃ αὐτὸν παρακαλέσαι πάλιν; μᾶλλον δὲ τίς ἕτερος, κἂν τὴν Μωϋσέως ἔχῃ παρρησίαν, δυνήσεται περὶ σοῦ δεηθῆναι; οὐκ ἔστιν οὐδείς*. ἢ οὐκ ἀκούεις τί περὶ Ἰουδαίων ὁ Θεός φησι πρὸς τὸν Ἱερεμίαν; Μὴ προσεύχου Ἱερ. ζ. ιϛ. καὶ ιε. α. ″ περὶ τοῦ λαοῦ τούτου· ὅτι ἂν στῇ Μωϋσῆς καὶ Σαμουήλ, οὐκ εἰσακούσομαι αὐτῶν. οὕτως ἐστὶν ἁμαρτήματά τινα πᾶσαν ὑπερβαίνοντα συγγνώμην, καὶ οὐ δυνάμενα ἀπολογίας τυχεῖν. μὴ τοίνυν τοσαύτην ἐπισπασώμεθα καθ' ἑαυτῶν ὀργήν. κἂν γὰρ δόξωσί τινες παραμυθεῖσθαι τὸν πυρετὸν ταῖς ἐπῳδαῖς (οὐ γὰρ δὴ παραμυθοῦνται) ἀλλ' ἕτερον εἰς τὸ συνειδὸς χαλεπώτερον ἄγουσι πυρετόν, τοῦ λογισμοῦ σε καθ' ἑκάστην κεντοῦντος τὴν ἡμέραν, καὶ τοῦ συνειδότος μαστίζοντος καὶ λέγοντος, ἠσέβησας, ἠνόμησας, παρέβης τὰς συνθήκας τὰς πρὸς τὸν Χριστόν, διὰ μικρὰν ἀρρωστίαν τὴν εὐσέβειαν προέδωκας. μὴ γὰρ σὺ μόνος ταῦτα πέπονθας; οὐχὶ πολλῷ σου χαλεπώτερα πεπόνθασιν ἕτεροι; ἀλλ' ὅμως οὐδεὶς ἐκείνων τοιοῦτον οὐδὲν ἐτόλμησε. σὺ δὲ ὁ χαῦνος καὶ διαλελυμένος τὴν ψυχήν σου κατέθυσας. πῶς ἀπολογήσῃ τῷ Χριστῷ; πῶς αὐτὸν καλέσεις ἐν ταῖς εὐχαῖς; ποίῳ συνειδότι λοιπὸν ἐπιβήσῃ τῆς ἐκκλησίας; ποίοις ὀφθαλμοῖς λοιπὸν ὄψει τὸν ἱερέα; ποίᾳ χειρὶ τῆς ἱερᾶς ἅψῃ τραπέζης; ποίαις ἀκοαῖς ἀκούσῃ τῶν ἀναγινωσκομένων ἐκ τῶν γραφῶν; ταῦτα καθ' ἑκάστην ἡμέραν κεντῶν ὁ λογισμός, καὶ τὸ συνειδὸς ″ μαστίζων ἐρεῖ. ποία οὖν αὕτη ὑγεία, ὅταν ἔνδον τοιούτους ἔχωμεν κατηγόρους; ἂν μέντοι καρτερήσῃς μικρόν, καὶ τοὺς βουλομένους ἢ ἐπᾶσαι τινὰ ἐπῳδήν, ἢ περιάψαι τι τῷ σώματι περίαπτον ἀτιμάσῃς, καὶ μετὰ πολλῆς ἐξαγάγῃς τῆς ὕβρεως ἐκ τῆς οἰκίας· εὐθέως ἔλαβες δρόσον ἀπὸ τοῦ συνειδότος. κἂν μυριάκις ὁ πυρετὸς καταφλέγῃ, ἡ ψυχή σου πάσης δρόσου καὶ πάσης νοτίδος παραμυθίαν ″ εἰσάγει σοι βελτίω καὶ λυσιτελεστέραν.

λυσιτελέστερον. ὥσπερ γὰρ μετὰ τὸ δέξασθαι τὴν ἐπῳδὴν, κἂν ὑγιαίνῃς, τῶν πυρεττόντων ἀθλιώτερον διάκεισαι, τὴν ἁμαρτίαν λογιζόμενος· οὕτω καὶ νῦν, κἂν πυρέττῃς, κἂν μυρία πάσχῃς δεινὰ, διακρουσάμενος τοὺς μιαροὺς ἐκείνους, ὑγιαίνοντος παντὸς ἄμεινον διάκεισαι, τοῦ λογισμοῦ γαυρουμένου, τῆς ψυχῆς χαιρούσης καὶ εὐφραινομένης, τοῦ συνειδότος ἐπαινοῦντός σε, καὶ ἀποδεχομένου, καὶ λέγοντος· εὖγε, εὖγε, ὦ ἄνθρωπε, ὁ Χριστοῦ δοῦλος, ὁ πιστὸς ἀνὴρ, ὁ ἀθλητὴς τῆς εὐσεβείας, ὁ τοῖς πόνοις αἱρούμενος ἐναποθανεῖν μᾶλλον, ἢ προδοῦναι τὴν ἐγχειρισθεῖσαν εὐσέβειαν· μετὰ τῶν μαρτύρων στήσῃ κατ' ἐκείνην τὴν ἡμέραν. καθάπερ γὰρ ἐκεῖνοι μαστίζεσθαι καὶ βασανίζεσθαι εἵλοντο, ἵνα τιμηθῶσιν· οὕτω καὶ σὺ σήμερον εἵλου βασανίζεσθαι καὶ μαστίζεσθαι ὑπὸ τοῦ πυρετοῦ καὶ τῶν τραυμάτων, ὥστε μὴ προσίεσθαι ἀσεβεῖς ἐπῳδὰς, μηδὲ περίαπτα. καὶ ταῖς ἐλπίσι ταύταις τρεφόμενος, οὐδὲ αἰσθήσῃ τῶν ἐπαγομένων δεινῶν. κἂν γὰρ μὴ τοῦτό σε ἀπενέγκῃ ὁ πυρετὸς, ἕτερος ἀποίσει πάντως· κἂν μὴ νῦν ἀποθάνωμεν, μετὰ ταῦτα ἀποθανούμεθα. φθαρτὸν ἐλάβομεν τὸ σῶμα, οὐχ ἵνα διὰ τὰ πάθη αὐτοῦ τὴν ἀσέβειαν ἐπισπασώμεθα· ἀλλ' ἵνα τοῖς πάθεσιν αὐτοῦ πρὸς εὐσέβειαν ἀποχρησώμεθα. αὕτη γὰρ ἡ φθορὰ, καὶ αὐτὸ τὸ θνητὸν εἶναι τὸ σῶμα, ἐὰν νήφωμεν, ὑπόθεσις εὐδοκιμήσεως ἡμῖν γενήσεται, καὶ πολλὴν ἡμῖν κατ' ἐκείνην τὴν ἡμέραν δώσει τὴν παρρησίαν, οὐ κατ' ἐκείνην δὲ μόνον, ἀλλὰ καὶ κατὰ τὴν παροῦσαν ζωήν. ὅταν γὰρ ἐκβάλλῃς τοὺς ἐπῳδοὺς μετὰ πολλῆς τῆς ὕβρεως ἐκ τῆς οἰκίας, ἅπαντες ἀκούσαντες ἐπαινέσονται, καὶ θαυμάσονται, καὶ πρὸς ἀλλήλους ἐροῦσιν· ὁ δεῖνα ἀρρωστῶν καὶ κάμνων, μυρία παρακαλούντων τινῶν καὶ παραινούντων καὶ συμβουλευόντων ἐπῳδαῖς χρήσασθαι μαγικαῖς τισιν, οὐ προσήκατο, ἀλλ' εἶπε, βέλτιον ἀποθανεῖν οὕτως, ἢ προδοῦναι τὴν εὐσέβειαν. ἐπὶ τούτοις ἔσονται κρότοι πολλοὶ παρὰ τῶν ἀκουόντων, πάντων ἐκπληττομένων, τὸν Θεὸν δοξαζόντων. πόσων οὖν ἔσται σοι τοῦτο ἀνδριάντων σεμνότερον; πόσων εἰκόνων λαμπρότερον; πόσης τιμῆς ἐπισημότερον; ἅπαντες ἐπαινέσονται καὶ μακαριοῦσι, καὶ στεφανώσουσι, καὶ αὐτοὶ βελτίους ἔσονται καὶ ζηλώσουσι πάλιν, καὶ μιμήσονταί σου τὴν ἀνδρείαν. κἂν ἕτερος ἐργάσηταί τι τοιοῦτον· σὺ τὸν μισθὸν ἕξεις, ὁ τὴν ἀρχὴν παρασχὼν τῷ ζήλῳ. οὐκ ἔπαινοι δὲ μόνον ἔσονται τῶν κατορθωμάτων· ἀλλὰ καὶ λύσις ταχίστη τῆς νόσου, αὐτῆς τε τῆς γενναίας σου προαιρέσεως ἐπισπωμένης τὸν Θεὸν εἰς πλείονα εὔνοιαν, καὶ τῶν ἁγίων πάντων συνηδομένων σου τῇ προθυμίᾳ, καὶ ἐκ τοῦ βάθους τῆς καρδίας τὰς ὑπὲρ σοῦ ποιουμένων εὐχάς. εἰ δὲ ἐνταῦθα τοιαῦτα τὰ ἔπαθλα τῆς ἀνδρείας ταύτης, ἐννόησον πηλίκους ἐκεῖ λήψῃ στεφάνους, ὅταν τῶν ἀγγέλων παρόντων, τῶν ἀρχαγγέλων ἁπάντων, τότε παρελθὼν ὁ Χριστὸς, καὶ τῆς χειρός σου λαβόμενος, εἰς μέσον περιαγάγῃ τὸ θέατρον ἐκεῖνο, καὶ πάντων ἀκουόντων λέγῃ· οὗτος ὁ ἄνθρωπος πυρετῷ ποτε ληφθεὶς, μυρίων αὐτῷ παραινούντων ἀπαλλαγῆναι τῆς νόσου, διὰ τὸ ὄνομα τὸ ἐμὸν, καὶ τὸν φόβον τὸν εἰς ἐμὲ, ἵνα ἐν μηδενὶ προσκρούσῃ, διώσατο· καὶ ἠτίμωσε τοὺς ὑπισχνουμένους αὐτὸν θεραπεύειν ἐκείνῳ τῷ τρόπῳ· καὶ εἵλετο μᾶλλον ἐναποθανεῖν τῷ νοσήματι, ἢ προδοῦναι τὴν εἰς ἐμὲ εὔνοιαν. καὶ μὴ θαυμάσῃς. εἰ γὰρ τοὺς ποτίσαντας αὐτὸν, καὶ ἐνδύσαντας, καὶ θρέψαντας, εἰς μέσον παράγει· πολλῷ μᾶλλον τοὺς δι' αὐτὸν ἑλομένους ἀνέχεσθαι πυρετῶν. οὐ γάρ ἐστιν ἴσον, ἄρτον δοῦναι καὶ ἱμάτιον, καὶ νόσον μακρὰν ὑπομένειν· ἀλλὰ πολλῷ μεῖζον τοῦτο ἐκείνου. ὅσῳ δὲ μείζων ὁ πόνος, τοσούτῳ καὶ ὁ στέφανος ἔσται λαμπρότερος. ταῦτα καὶ ὑγιαίνοντες μελετῶμεν, καὶ κάμνοντες, καὶ πρὸς ἑτέρους λέγωμεν. κἂν ἴδωμεν ἑαυτούς ποτε ἐν πυρετῷ γενομένους ἀφορήτῳ, ἐκεῖνο πρὸς ἑαυτοὺς εἴπωμεν· τί δαὶ, εἴ ποθεν ἐνεχθείσης ἡμῖν κατηγορίας εἰς δικαστήριον εἰσηνέχθημεν, εἶτα ἀναρτηθέντες κατεξαινόμεθα τὰς πλευράς· οὐκ ἀνάγκη [ἦν] ὑπομεῖναι πάντως καὶ ἀκερδῶς, καὶ χωρὶς μισθοῦ τινος; τοῦτο καὶ νῦν λογιζώμεθα. προσκείσθω καὶ τῆς ὑπομονῆς ὁ μισθὸς, ἱκανὸς ὢν ἀλέξασθαι τὴν πεπτωκυῖαν διάνοιαν. ἀλλὰ χαλεπὸς ὁ πυρετός. ἀλλ' ἀντίστησον τῷ πυρετῷ τὸ τῆς γεέννης πῦρ, ὃ διαφεύξῃ πάντως, ἐὰν ἕλῃ τοῦτον μετὰ ὑπομονῆς ἁπάσης ἐνεγκεῖν. ἀναμνήσθητι τῶν ἀποστόλων, ὅσα ἔπαθον· ἀναμνήσθητι τῶν δικαίων, ὅτι διαπαντὸς ἐν θλίψεσιν ὑπῆρχον· ἀναμνήσθητι τοῦ μακαρίου Τιμοθέου, ὅτι οὐδέποτε ἐκ τῆς ἀρρωστίας ἀνέπνευσεν, ἀλλὰ σύντροφος ἦν νοσήματι διηνεκεῖ. καὶ τοῦτο ὁ Παῦλος δηλῶν, ἔλεγεν· α. Τιμ. ε. κγ. Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας. εἰ δὲ ὁ δίκαιος ἐκεῖνος, ὁ ἅγιος, καὶ τὴν τῆς οἰκουμένης προστασίαν ἐγκεχειρισμένος, καὶ νεκροὺς ἐγείρων, καὶ δαίμονας ἐλαύνων, καὶ μυρία νοσήματα διορθωσάμενος ἐν ἑτέροις, τοσαῦτα ἔπασχε δεινά· τίνα ἕξεις ἀπολογίαν σὺ ὁ θορυβούμενος καὶ ἀσχάλλων ἐπὶ προσκαίροις νοσήμασιν; οὐκ ἤκουσας τῆς γραφῆς λεγούσης· Εβρ ιβ. ϛ Ὅτι ὃν ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται; πόσοι ποσάκις ἐπεθύμησαν μαρτυρίου στέφανον λαβεῖν; τοῦτο ἀπηρτισμένος ἐστὶ μαρτυρίου στέφανος. οὐ γὰρ τὸ κελευσθῆναι θῦσαι, εἶτα ἑλέσθαι μᾶλλον ἀποθανεῖν ἢ θῦσαι, ποιεῖ μάρτυρα μόνον· ἀλλὰ καὶ τὸ ὅσιον φυλάττοντα μόνον, δυνάμενον θάνατον ἐπισπάσασθαι, μαρτύριόν ἐστι σαφές. καὶ ἵνα μάθῃς, ὅτι τοῦτό ἐστιν ἀληθές, ἀναμνήσθητι πῶς μὲν ὁ Ἰωάννης ἀπέθανε, καὶ τίνος ἕνεκεν, καὶ διὰ τί· πῶς δὲ ὁ Ἄβελ. οὐδέτερος γὰρ τούτων οὐ βωμὸν εἶδε καιόμενον, οὐ ξόανον ἑστηκὸς, οὐ θῦσαι ἐπετάγη δαίμοσιν· ἀλλ' ὁ μὲν, ἐπειδὴ μόνον ἤλεγξε τὸν Ἡρώδην, ἀπετμήθη τὴν κεφαλήν· ὁ δὲ, ἐπειδὴ τὸν Θεὸν ἐτίμησε θυσίᾳ " πλείονι τοῦ ἀδελφοῦ, κατεσφάττετο. ἆρ' οὖν ἀπεστέρηνται τῶν τοῦ μαρτυρίου στεφάνων; καὶ τίς ἂν τοῦτο τολμήσειεν εἰπεῖν; μάλιστα μὲν γὰρ καὶ αὐτὸς ὁ τοῦ θανάτου τρόπος ἱκανὸς ἅπαντας πεῖσαι, ὅτι εἰς τοὺς πρώτους τῶν μαρτύρων τελοῦσιν. εἰ δὲ καὶ ψῆφον ζητεῖς θείαν ὑπὲρ τούτων ἐξενηνεγμένην ἰδεῖν· ἄκουσον τί φησιν ὁ Παῦλος. ἃ γὰρ ἐκεῖνος φθέγγεται, δῆλον ὅτι τοῦ πνεύματος " ἐστι. α Κορ ζ. μ. Δοκῶ γὰρ, φησι, κἀγὼ πνεῦμα Θεοῦ ἔχειν. τί οὖν οὗτός φησιν; ἀρξάμενος ἀπὸ τοῦ Ἄβελ, καὶ εἰπὼν, ὅτι πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν προσενήνοχε τῷ Θεῷ, καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖ, εἶτα καταβὰς εἰς τοὺς προφήτας, καὶ διελθὼν εἰς τὸν Ἰωάννην, καὶ εἰπών· Εβρ. ια. λζ. Ἐν φόνῳ μαχαίρας ἀπέθανον, ἕτεροι δὲ ἐτυμπανίσθησαν· καὶ πολλοὺς καὶ διαφόρους διηγησάμενος θανάτους, ἐπήγαγεν οὕτω· Εβρ. ιβ α. Τοιγαροῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων, " ὄγκον ἀποθέμενοι πάντα, δι' ὑπομονῆς τρέχωμεν. ὁρᾷς ὅτι καὶ τὸν Ἄβελ μάρτυρα ἐκάλεσε, καὶ τὸν Νῶε, καὶ τὸν Ἀβραὰμ, καὶ τὸν Ἰσαὰκ, καὶ τὸν Ἰακώβ; οἱ μὲν γὰρ αὐτῶν [οὕτως] ἀπέθανον διὰ τὸν Θεόν. ὥσπερ οὖν καὶ Παῦλός φησι· α. Κορ. ιε. λα. Καθ' ἡμέραν ἀποθνήσκω, καίτοι οὐκ ἀποθνήσκων, ἀλλὰ τῇ προθέσει μόνον ὑπομένων τοῦτο· οὕτω καὶ σὺ, ἂν διακρούσῃ τὰς ἐπῳδὰς, καὶ τὰς φαρμακείας, καὶ τὰς μαγγανείας, " καὶ ἀποθάνῃς τῇ νόσῳ, μάρτυς ἀπηρτισμένος εἶ, ὅτι ἀπαλλαγὴν μετὰ ἀσεβείας ἐπαγγελλομένων ἑτέρων, εἵλου θάνατον μετ' εὐσεβείας μᾶλλον.

Καὶ ταῦτα μὲν ἡμῖν εἴρηται πρὸς τοὺς κομπάζοντας, καὶ λέγοντας, ὅτι θεραπεύουσι δαίμονες. ἵνα δὲ μάθῃς, ὅτι οὐδὲ τοῦτό ἐστιν ἀληθές, ἄκουσον τί φησιν ὁ Χριστὸς περὶ τοῦ διαβόλου· Ιωαν. η. μδ. Ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς. ὁ Θεὸς λέγει, ἀνθρωποκτόνος· καὶ σὺ ὡς πρὸς ἰατρὸν τρέχεις; καὶ τίνα ἕξεις λόγον εἰπεῖν ἐγκαλούμενος, εἰπέ μοι, τῆς ἀποφάσεως τοῦ Χριστοῦ τὰς γοητείας τούτων ἀξιοπιστοτέρας εἶναι νομίζων; ὅταν γὰρ ὁ μὲν Θεὸς λέγῃ, ὅτι ἀνθρωποκτόνος ἐστὶν· οὗτοι δὲ*, ὅτι νοσήματα δύνανται λύειν, ἀπεναντίας τῇ θείᾳ ψήφῳ· σὺ δὲ καταδέχῃ τὰς μαγγανείας ἐκείνων, καὶ τὰς ἐπῳδὰς, οὐδὲν ἕτερον, ἀλλ' ἢ τούτους ἀξιοπιστοτέρους ἐκείνου νομίζεις εἶναι, δι' ὧν ποιεῖς, κἂν μὴ λέγῃς τοῦτο τοῖς ῥήμασιν. εἰ δὲ ὁ διάβολος, ἀνθρωποκτόνος· εὔδηλον, ὅτι καὶ οἱ διακονοῦντες " τούτῳ, δαίμονες. καὶ τοῦτό σε δι' αὐτῶν τῶν ἔργων ἐπαίδευσεν ὁ Χριστός. ὅτε γοῦν αὐτοὺς ἀφῆκεν ἐμπεσεῖν εἰς τὴν ἀγέλην τῶν χοίρων, κατεπόντισαν εἰς τὸν κρημνὸν ἅπασαν τὴν ἀγέλην ἐκείνην· ἵνα μάθῃς, ὅτι καὶ τοὺς ἀνθρώπους "ταῦτα ἂν εἰργάσαντο, καὶ ἀπέπνιξαν εὐθέως, εἰ συνεχώρησεν αὐτοῖς ὁ Θεός*. νυνὶ δὲ αὐτὸς αὐτοὺς κατεῖχε καὶ ἐκώλυσε, καὶ οὐδὲν ἠφίει τοιοῦτον *ἐργάσασθαι. δὲ τοῦτο ἐξουσίαν λαβόντες κατὰ τῶν χοίρων ἐδήλωσαν. εἰ γὰρ χοίρων οὐκ ἐφείσαντο· πολλῷ μᾶλλον ἡμῶν οὐκ ἂν ἀπέσχοντο*. μὴ τοίνυν, ἀγαπητέ, ταῖς ἐκείνων ἀπάταις παρασύρου· ἀλλ' ἔσο ἐστηριγμένος ἐν τῷ φόβῳ τοῦ Θεοῦ. πῶς δὲ καὶ εἰσελεύσῃ εἰς τὴν συναγωγήν; ἂν μὲν σφραγίσῃς τὸ πρόσωπον, εὐθέως ἀποπηδήσει ἡ πονηρὰ δύναμις ἡ τὴν συναγωγὴν οἰκοῦσα· ἂν δὲ μὴ σφραγίσῃς, ἀπὸ τῶν θυρῶν εὐθέως τὸ ὅπλον ἐρρίψας· εἶτα γυμνὸν καὶ ἄοπλόν σε λαβὼν ὁ διάβολος, μυρία "διαθήσει δεινά." καὶ τί χρὴ ταῦτα λέγεσθαι παρ' ἡμῶν; ὅτι γὰρ καὶ αὐτὸς σὺ μεγίστην ἁμαρτίαν εἶναι νομίζεις, τὸ δραμεῖν εἰς τὸ πονηρὸν ἐκεῖνο χωρίον, δῆλον ἀπὸ τοῦ τρόπου τῆς ἀφίξεως. καὶ γὰρ λαθεῖν σπουδάζεις ἀφικνούμενος ἐκεῖσε· καὶ οἰκέταις καὶ φίλοις καὶ γείτοσι παρακελεύῃ μὴ κατειπεῖν σου πρὸς τοὺς ἱερέας· κἂν διαβάλῃ τις, ἀγανακτεῖς. καὶ πόσης οὐκ ἂν εἴη ἀνοίας, ἀνθρώπους πειρᾶσθαι λανθάνειν· τοῦ δὲ Θεοῦ ὁρῶντος, τοῦ πανταχοῦ παρόντος, ἀναισχύντως τὴν παρανομίαν ταύτην τολμᾶν; ἀλλ' οὐ δέδοικας τὸν Θεόν. οὐκοῦν κἂν αὐτοὺς αἰδέσθητι τοὺς Ἰουδαίους. ποίοις γὰρ αὐτοὺς ὀφθαλμοῖς ὄψει; [καὶ] ποίῳ διαλέξῃ στόματι, χριστιανὸς μὲν εἶναι ὁμολογῶν, πρὸς δὲ "τὰ ἐκείνων τρέχων, καὶ τῆς παρ' ἐκείνων δεόμενος βοηθείας; οὐκ ἐννοεῖς, ὅσον σου καταχέουσι γέλωτα, ὅσα σκώμματα, ὅσην χλευασίαν, ὅσην αἰσχύνην, *ὅσον ὄνειδος, εἰ καὶ μὴ φανερῶς, ἀλλὰ κατὰ τὸ συνειδὸς τὸ ἑαυτῶν; ταῦτ' οὖν, εἰπέ μοι, φορητὰ ἢ ἀνεκτά; εἰ γὰρ μυρίους ἀποθανεῖν θανάτους ἔδει, ἢ τὰ ἀνήκεστα παθεῖν [πάθη]· οὐ πολλῷ βέλτιον ἦν ἅπαντα ὑπομεῖναι τὰ χαλεπά, ἢ τῶν μιαρῶν ἐκείνων γενέσθαι γέλωτα καὶ χλευασίαν, καὶ μετὰ συνειδότος ζῆν πονηροῦ; ταῦτα λέγω, οὐχ ἵνα αὐτὰ ἀκούητε μόνον, ἀλλ' ἵνα τοὺς τὰ τοιαῦτα νοσοῦντας θεραπεύητε. ὥσπερ γὰρ ἐκείνοις ἐγκαλοῦμεν, ὅτι ἀσθενοῦσι περὶ τὴν πίστιν· οὕτως ὑμῖν ἐγκαλοῦμεν, ὅτι τοὺς ἀσθενοῦντας διορθοῦν οὐ βούλεσθε. μὴ γὰρ τοῦτό ἐστι τὸ ζητούμενον, ἀγαπητέ, ἵνα ἐνταῦθα εἰσιὼν, ἀκούσῃς "τὰ λεγόμενα; τοῦτο μὲν οὖν καὶ κρίμα ἐστὶν, ὅταν μὴ προσῇ τῇ τῶν λόγων ἀκροάσει καὶ "ἔργον. διὰ τοῦτο χριστιανὸς εἶ, ἵνα τὸν Χριστὸν μιμῇ, καὶ τοῖς ἐκείνου πείθῃ νόμοις. τί "γὰρ ἐκεῖνος ἐποίησεν; οὐκ ἐν Ἱεροσολύμοις καθήμενος ἐκάλει πρὸς ἑαυτὸν τοὺς ἀρρώστους· ἀλλὰ περιῄει πόλεις, καὶ κώμας, ἑκατέρων τὴν ἀρρωστίαν θεραπεύων, καὶ τὴν τοῦ σώματος, καὶ τὴν τῆς ψυχῆς. καίτοιγε ἐδύνατο ἐν ἑνὶ καθήμενος τόπῳ, πάντας ἑλκύσαι πρὸς ἑαυτόν· ἀλλ' οὐκ ἐποίησε τοῦτο, ἡμῖν διδοὺς ὑπόδειγμα εἰς τὸ περιϊέναι καὶ ζητεῖν τοὺς ἀπολλυμένους. πάλιν δὲ διὰ τῆς κατὰ τὸν ποιμένα παραβολῆς τοῦτο ᾐνίξατο. καὶ γὰρ οὐκ ἐκάθισε μετὰ τῶν ἐνενηκονταεννέα προβάτων, καὶ ἀνέμεινε τὸ πλανώμενον ἐλθεῖν πρὸς αὐτόν· ἀλλ' αὐτὸς ἀπῆλθε, καὶ εὗρε, καὶ εὑρὼν καὶ ἐβάστασεν ἐπὶ τῶν ὤμων, καὶ ἀπεκόμισεν. οὐχ ὁρᾷς καὶ τοὺς ἰατροὺς αὐτὸ τοῦτο ποιοῦντας; οὐκ ἀναγκάζουσι τοὺς ἀρρώστους, ἐπὶ τῶν κλινιδίων κατακειμένους, εἰς τὰς οἰκίας αὐτῶν φέρεσθαι· ἀλλ' αὐτοὶ τρέχουσι πρὸς ἐκείνους. τοῦτο δὲ σὺ ποίησον, ἀγαπητέ, εἰδὼς ὅτι βραχὺς ὁ παρὼν βίος· καὶ, ἂν μὴ ταῦτα κερδάνωμεν τὰ κέρδη, οὐδεμίαν ἕξομεν ἐκεῖ σωτηρίαν. δύναται πολλάκις μία κερδηθεῖσα ψυχὴ μυρίων ὄγκον ἁμαρτημάτων ἀφανίσαι, καὶ γενέσθαι ἡμῖν ἀντίψυχον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. ἐννόησον διὰ τί προφῆται, διὰ τί ἀπόστολοι, διὰ τί δίκαιοι, διὰ τί ἄγγελοι πολλάκις ἐπέμφθησαν, διὰ τί αὐτὸς ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ παρεγένετο. οὐχ ἵνα ἀνθρώπους διασώσῃ; οὐχ ἵνα πεπλανημένους ἐπαναγάγῃ; τοῦτο καὶ σὺ ποίησον κατὰ δύναμιν τὴν σήν· καὶ πᾶσαν σπουδὴν ἐπίδειξαι καὶ πρόνοιαν εἰς τὴν τῶν πεπλανημένων ἐπάνοδον. ταῦτα καθ' ἑκάστην ὑμῖν παραινῶν σύναξιν οὐ διαλιμπάνω· κἂν προσέχητε, κἂν μὴ προσέχητε, ἐγὼ λέγων οὐ παύσομαι. τοῦτο γὰρ ἡμῖν παρὰ τοῦ Θεοῦ νόμος, ἄν τε ἀκούσῃ τις, ἄν τε μὴ ἀκούσῃ, τὴν διακονίαν ταύτην πληροῦν. ἀλλ' "ἐὰν μὲν ἀκούσητε καὶ ποιήσητε τὰ λεγόμενα, μετὰ πολλῆς αὐτὸ τοῦτο

Λυκ. 15.

ἐργαζόμεθα τῆς ἡδονῆς· ἂν δὲ ἀμελήσητε καὶ ῥαθυμήσητε, μετὰ πολλῆς τῆς ἀθυμίας. ἡμῖν μὲν γὰρ ἐκ τῆς ὑμετέρας παρακοῆς οὐδεὶς ἔσται λοιπὸν κίνδυνος (τὸ γὰρ ἡμέτερον ἅπαν ἐπληρώσαμεν) πλὴν ἀλλὰ κἂν μὴ κινδυνεύωμεν τῷ πεπληρωκέναι τὰ παρ' ἑαυτῶν ἅπαντα, ἀλγοῦμεν ὑμῶν ἐγκαλουμένων κατὰ τὴν ἡμέραν ἐκείνην. οὐ γὰρ ἀκίνδυνος ὑμῖν ἔσται ἡ ἀκρόασις, ὅταν ἡ διὰ τῶν ἔργων προσθήκη μὴ γένηται. ἄκουσον γοῦν πῶς τοῖς διδασκάλοις ἐγκαλῶν
Ματθ. κε. κζ. τοῖς ἀποκρύπτουσι τὸν λόγον ὁ Χριστὸς, καὶ τοὺς μαθητευομένους ἐφόβησεν. εἰπὼν γὰρ, Ἔδει σε καταβαλεῖν τὸ ἀργύριόν μου ἐπὶ τοὺς τραπεζίτας· καὶ ἐπαγαγὼν, ὅτι κἀγὼ ἐλθὼν μετὰ τόκου ἂν ἀπῄτησα αὐτό· ἔδειξεν, ὅτι μετὰ τὴν ἀκρόασιν (τοῦτο γάρ ἐστιν ἡ τοῦ ἀργυρίου καταβολὴ) τοὺς ὑποδεξαμένους τὴν διδασκαλίαν τόκον ἐργάζεσθαι χρή. τόκος δὲ διδασκαλίας οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ ἡ διὰ τῶν ἔργων ἐπίδειξις. ἐπεὶ οὖν καὶ ἡμεῖς κατεβαλόμεθα τὸ ἀργύριον εἰς τὴν ἀκοὴν τὴν ὑμετέραν, ἀνάγκη λοιπὸν ὑμᾶς ἀποδοῦναι τὸν τόκον τῷ δεσπότῃ, τουτέστι, τὴν σωτηρίαν τῶν ἀδελφῶν τῶν ὑμετέρων. ὥστε εἰ μένοιτε ταῦτα κατέχοντες τὰ εἰρημένα μόνον, καὶ μηδὲν ἐν ἑαυτοῖς ἐργαζόμενοι, δέδοικα μὴ τὴν αὐτὴν τῷ τὸ τάλαντον κατορύξαντι δῶτε δίκην. καὶ γὰρ ἐκεῖνος διὰ τοῦτο τοὺς πόδας καὶ τὰς χεῖρας δεθεὶς, εἰς τὸ σκότος ἐξήγετο τὸ ἐξώτερον, ὅτι οὐκ ἐξήνεγκεν εἰς ἑτέρους ἅπερ ἤκουσεν. ἵν' οὖν μὴ καὶ ἡμεῖς ταῦτα πάθωμεν, τὸν τὰ πέντε δεξάμενον καὶ τὸν τὰ δύο τάλαντα μιμησώμεθα. κἄν τε λόγον, κἄν τε χρήματα, κἄν τε σώματος πόνοι, κἂν εὐχὴν, κἂν ἄλλ' ὁτιοῦν εἰς τὴν τοῦ πλησίον σωτηρίαν ἀναλῶσαι δεήσῃ, μὴ ὀκνήσωμεν· ἵνα πανταχόθεν τὸ παρὰ τοῦ Θεοῦ δοθὲν ἡμῖν τάλαντον ἀναλόγως ἕκαστοι πολυπλασιάσαντες, δυνηθῶμεν τῆς μακα-
Ματθ. κε. κα. ρίας ἐκείνης ἀκοῦσαι φωνῆς, Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ· ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα καὶ τὸ κράτος, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΠΡΟΣ ΤΟΥΣ ΙΟΥΔΑΪΖΟΝΤΑΣ, ΚΑΙ ΜΕΤ' ΕΚΕΙνων νηστεύοντας λόγος.

Ἐβουλόμην ὑμῖν ἀποδοῦναι τὰ λείψανα σήμερον τῆς ὑποθέσεως, περὶ ἧς πρῴην ὑμῖν διελέχθην, καὶ δεῖξαι σαφέστερον, πῶς ἀκατάληπτός ἐστιν ὁ Θεός. περὶ γὰρ τούτου τῇ παρελθούσῃ κυριακῇ τοὺς πολλοὺς ἐκείνους καὶ μακροὺς ἐποιησάμεθα λόγους, ὅτε καὶ μάρτυρας παρηγάγομεν, τόν τε Ἡσαΐαν καὶ τὸν Δαβὶδ καὶ τὸν Παῦλον. ὁ
Ἡσ. νγ. η. μὲν γὰρ ἐβόα, Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὁ δὲ ηὐχαρίστει αὐτῷ
Ψαλμ. ρλη. ιγ. ς. ὑπὲρ τῆς ἀκαταληψίας, λέγων· Ἐξομολογήσομαί σοι, ὅτι φοβερῶς ἐθαυμαστώθης, θαυμάσια τὰ ἔργα σου· καὶ πάλιν, Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δυνώμαι πρὸς αὐτήν. ὁ δὲ Παῦλος οὐκ εἰς αὐτὴν τῆς οὐσίας τὴν ἔρευναν διακύψας, ἀλλ' εἰς τὴν πρόνοιαν αὐτοῦ μόνην, μᾶλλον δὲ καὶ αὐτῆς τῆς προνοίας μέρος μικρὸν ἀπολαβών, ὃ περὶ τὴν τῶν ἐθνῶν κλῆσιν ἐπεδείξατο, ὥσπερ πέλαγος ἀχανὲς καὶ ἀκατάληπτον
Ῥωμ. ια. λγ. ἰδὼν, οὕτως ἐβόησεν· Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. καὶ ἦν μὲν ἱκανὴ ἡ διὰ τούτων ἀπόδειξις. ἐγὼ δὲ

οὐκ ἠρκέσθην τοῖς προφήταις, οὐκ ἔστην μέχρι τῶν ἀποστόλων· ἀλλ' ἀνέβην εἰς τὸν οὐρανόν, ἔδειξα ὑμῖν τὸν χορὸν τῶν ἀγγέλων λέγοντα, Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. ἠκούσατε τῶν σεραφεὶμ πάλιν ἐκπληττομένων καὶ μετὰ φρίκης κραζόντων, Ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαώθ· πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. προσέθηκα καὶ τὰ χερουβὶμ βοῶντα· Εὐλογημένη ἡ δόξα αὐτοῦ ἐκ τοῦ τόπου αὐτοῦ. κάτω τρεῖς μάρτυρες, ἄνω τρεῖς μάρτυρες, τὸ ἀπρόσιτον τῆς δόξης τοῦ Θεοῦ δηλοῦντες. ἀναμφισβήτητος λοιπὸν ἡ ἀπόδειξις, καὶ πολὺς ὁ κρότος ἐγίνετο, καὶ διεθερμαίνετο τὸ θέατρον καὶ ἐπυροῦτο ὁ σύλλογος. ἐγὼ δὲ ἔχαιρον, οὐχ ὅτι αὐτὸς ἐπῃνούμην, ἀλλ' ὅτι ὁ δεσπότης ὁ ἐμὸς ἐδοξάζετο. ὁ γὰρ κρότος ἐκεῖνος καὶ ὁ ἔπαινος, τὸ φιλόθεον τῆς ὑμετέρας ψυχῆς ἐνεδείκνυτο. καὶ καθάπερ οἰκέται φιλόστοργοι, ἐπειδὰν ἀκούσωσί τινος τὸν ἑαυτῶν ἐπαινοῦντος δεσπότην, ἐκκαίονται τῷ πόθῳ περὶ τὸν λέγοντα, διὰ τὸ περὶ τὸν δεσπότην φίλτρον· οὕτω καὶ ὑμεῖς ἐποιήσατε, τῇ τῶν κρότων ὑπερβολῇ τὴν πολλὴν περὶ τὸν δεσπότην ἐπεδείκνυσθε εὔνοιαν. ἐβουλόμην μὲν οὖν καὶ σήμερον ἐπαγωνίσασθαι τοῖς παλαίσμασι τούτοις. εἰ γὰρ οἱ ἐχθροὶ τῆς ἀληθείας κόρον οὐ λαμβάνουσι βλασφημοῦντες τὸν εὐεργέτην· πολλῷ μᾶλλον ἡμᾶς ἀκορέστως ἔχειν δεῖ πρὸς εὐφημίαν τοῦ τῶν ὅλων Θεοῦ. ἀλλὰ τί πάθω; ἕτερον νόσημα χαλεπώτατον τὴν ἡμετέραν γλῶτταν πρὸς ἰατρείαν καλεῖ, νόσημα ἐν τῷ σώματι τῆς ἐκκλησίας πεφυτευμένον. δεῖ δὲ πρότερον τοῦτο ἀνασπάσαντας, τότε φροντίσαι τῶν ἔξωθεν· πρότερον τοὺς οἰκείους θεραπεῦσαι, καὶ τότε τῶν ἀλλοτρίων ἐπιμελήσασθαι. τί δέ ἐστι τὸ νόσημα; ἑορταὶ τῶν ἀθλίων καὶ ταλαιπώρων Ἰουδαίων μέλλουσι προσελαύνειν συνεχεῖς καὶ ἐπάλληλοι, αἱ σάλπιγγες, αἱ σκηνοπηγίαι, αἱ νηστεῖαι· καὶ πολλοὶ τῶν μεθ' ἡμῶν τεταγμένων καὶ τὰ ἡμέτερα λεγόντων φρονεῖν, οἱ μὲν ἐπὶ τὴν θέαν ἀπαντῶσι τῶν ἑορτῶν, οἱ δὲ καὶ συνεορτάζουσι, καὶ νηστειῶν κοινωνοῦσι. καὶ τοῦτο τὸ πονηρὸν ἔθος βούλομαι τῆς ἐκκλησίας ἀπελάσαι νῦν. οἱ μὲν γὰρ πρὸς Ἀνομοίους λόγοι καὶ ἐν ἑτέρῳ δύνανται γενέσθαι καιρῷ, καὶ οὐδεμία ἀπὸ τῆς ἀναβολῆς γένοιτ' ἂν βλάβη. τοὺς δὲ τὰ Ἰουδαϊκὰ νοσοῦντας, εἰ μὴ νῦν θεραπεύσαιμεν, ὅτε ἐγγὺς καὶ ἐπὶ θύραις εἰσὶν αἱ τῶν Ἰουδαίων ἑορταί· δέδοικα, μήποτε ὑπὸ τῆς ἀκαίρου συνηθείας καὶ τῆς πολλῆς ἀγνοίας μετάσχωσί τινες τῆς παρανομίας ἐκείνων, καὶ μάταιοι λοιπὸν οἱ περὶ τούτων ἡμῖν γένωνται λόγοι. ἂν γὰρ μηδὲν ἀκούσαντες σήμερον, νηστεύσωσι μετ' ἐκείνων, μετὰ τὸ τελεσθῆναι τὴν ἁμαρτίαν, εἰκῇ λοιπὸν τὸ φάρμακον ἐπιθήσομεν. διόπερ ἐπείγομαι καὶ προκαταλαβεῖν. οὕτω καὶ ἰατροὶ ποιοῦσι· πρὸς τὰ κατεπείγοντα καὶ ὀξύτατα τῶν νοσημάτων ἵστανται πρότερον. πολύ πως δὲ συγγενὴς καὶ οὗτος ὁ ἀγὼν τῷ προτέρῳ. ἐπειδὴ γὰρ συγγενῆ τὰ τῆς ἀσεβείας Ἀνομοίοις καὶ Ἰουδαίοις· συγγενῆ καὶ τὰ ἀγωνίσματα ἡμῖν γίνεται τοῖς πρότερον τὰ νῦν. καὶ γὰρ ὅπερ ἐνεκάλουν Ἰουδαῖοι, τοῦτο ἐγκαλοῦσι καὶ Ἀνόμοιοι. τί δὲ ἐνεκάλουν ἐκεῖνοι; ὅτι πατέρα ἔλεγε τὸν Θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ. τοῦτο ἐγκαλοῦσι καὶ οὗτοι· μᾶλλον δὲ οὐκ ἐγκαλοῦσιν, ἀλλὰ καὶ ἐξαλείφουσι τὸ ῥητὸν μετὰ τῆς διανοίας, εἰ καὶ μὴ τῇ χειρί, ἀλλὰ τῇ γνώμῃ. μὴ θαυμάσητε, εἰ ἀθλίους ἐκάλεσα τοὺς Ἰουδαίους. ὄντως γὰρ ἄθλιοι καὶ ταλαίπωροι, τοσαῦτα ἀπὸ τῶν οὐρανῶν ἀγαθὰ εἰς τὰς χεῖρας αὐτῶν ἐλθόντα ἀπωσάμενοι καὶ ῥίψαντες μετὰ πολλῆς τῆς σπουδῆς. ἀνέτειλεν ἐκείνοις πρώϊμος ὁ τῆς δικαιοσύνης ἥλιος. κἀκεῖνοι μὲν ἀπώσαντο τὴν ἀκτῖνα καὶ ἐν σκότῳ κάθηνται· ἡμεῖς δὲ οἱ σκότῳ συντραφέντες, πρὸς ἑαυτοὺς ἐπεσπασάμεθα τὸ φῶς, καὶ τοῦ ζόφου τῆς πλάνης ἀπηλλάγημεν. ἐκεῖνοι τῆς ῥίζης τῆς ἁγίας ἦσαν κλάδοι, ἀλλ' ἐξεκλάσθησαν· ἡμεῖς δ' μετέσχομεν τῆς ῥίζης, καὶ καρπὸν εὐσεβείας ἠνέγκαμεν. ἐκεῖνοι τοὺς προφήτας ἀνέγνωσαν ἐκ πρώτης ἡλικίας, καὶ τὸν προφητευθέντα ἐσταύρωσαν· ἡμεῖς οὐκ ἠκούσαμεν θείων λογίων, καὶ τὸν προφητευθέντα προσεκυνήσαμεν. διὰ τοῦτο ἄθλιοι, ὅτι τὰ πεμφθέντα αὐτοῖς ἀγαθὰ ἁρπαζόντων ἑτέρων, καὶ πρὸς ἑαυτοὺς ἐπισπωμένων,

Λουκ. β. ιδ.

Ησ. ϛ. γ.

Ιεζεκ. γ ιβ.

Ιωαν. ε ιη.

Ρωμ. ια. ιζ.

μένων, αὐτοὶ διεκρούσαντο. κἀκεῖνοι μὲν εἰς υἱοθεσίαν καλούμενοι, πρὸς τὴν τῶν κυνῶν "δυσγένειαν ἐξέπεσον· ἡμεῖς δὲ κύνες ὄντες, ἰσχύσαμεν διὰ τὴν τοῦ Θεοῦ χάριν ἀποθέσθαι τὴν προτέραν ἀλογίαν, καὶ πρὸς τὴν τῶν υἱῶν ἀναβῆναι τιμήν*. πόθεν τοῦτο δῆλον; Οὐκ ἔστι καλὸν [, φησι,] λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις, πρὸς τὴν Χαναναίαν ὁ Χριστὸς ἔλεγεν· ἐκείνους μὲν τέκνα καλῶν, κύνας δὲ τοὺς ἐξ ἐθνῶν. ἀλλ' ὅρα πῶς ἀντεστράφη μετὰ ταῦτα ἡ τάξις· κἀκεῖνοι μὲν ἐγένοντο κύνες, τέκνα δὲ ἡμεῖς. Βλέπετε τοὺς κύνας, Παῦλός φησι περὶ αὐτῶν, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατατομήν. ἡμεῖς γάρ ἐσμεν ἡ περιτομή. Εἶδες πῶς κύνες ἐγένοντο οἱ πρότερον ὄντες τέκνα· βούλει μαθεῖν πῶς οἱ πρότερον ὄντες κύνες ἡμεῖς, ἐγενόμεθα τέκνα; Ὅσοι δὲ ἔλαβον αὐτὸν, φησιν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι. οὐδὲν ἀθλιώτερον ἐκείνων, τῶν πανταχοῦ κατὰ τῆς ἑαυτῶν σωτηρίας τρεχόντων. καὶ γὰρ ὅτε ἔδει τὸν νόμον τηρεῖν, κατεπάτησαν· καὶ νῦν ὅτε ἀναπέπαυται ὁ νόμος, φιλονεικοῦσιν αὐτὸν τηρεῖν. τί γένοιτ' ἂν αὐτῶν ἐλεεινότερον, οἳ μὴ τῇ παραβάσει τοῦ νόμου μόνον, ἀλλὰ καὶ τῇ φυλακῇ τοῦ νόμου τὸν Θεὸν παροξύνουσι; διὰ τοῦτό φησι, Σκληροτράχηλοι καὶ ἀπερίτμητοι τῇ καρδίᾳ ὑμεῖς ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε. οὐ γὰρ ἀντέπιπτον, οὐ τῷ παραβαίνειν τὰ νόμιμα μόνον, ἀλλὰ καὶ τῷ φυλάττειν ἐθέλειν ἀκαίρως. καὶ καλῶς εἶπε, σκληροτράχηλοι. οὐ γὰρ ἤνεγκαν τὸν ζυγὸν τοῦ Χριστοῦ, καίτοι χρηστὸς ὢν, καὶ οὐδὲν φορτικὸν εἶχεν οὔτε ἐπαχθές. Μάθετε γάρ, φησιν, ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ, Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, ὅτι ὁ ζυγός μου χρηστὸς [ἐστι,] καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν. ἀλλ' ὅμως οὐκ ἤνεγκαν διὰ τὴν σκληρότητα τοῦ αὐχένος. καὶ οὐ μόνον οὐκ ἤνεγκαν, ἀλλὰ καὶ συνέτριψαν καὶ διέρρηξαν. Ἀπ' αἰῶνος γάρ, φησι, συνέτριψας τὸν ζυγόν σου, διέρρηξας τὸν δεσμόν σου. οὐχὶ Παῦλος λέγει ταῦτα, ἀλλ' ὁ προφήτης βοᾷ· ζυγὸν καὶ δεσμὸν τὰ σύμβολα τῆς ἀρχῆς λέγων, ὅτι παρῃτήσαντο τὴν δεσποτείαν τοῦ Χριστοῦ, λέγοντες· Ἡμεῖς οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα. Συνέτριψας τὸν ζυγὸν, διέρρηξας τὸν δεσμὸν, ἐξέβαλες σαυτὸν τῆς οὐρανίου βασιλείας, καὶ ὑπέθηκας ἀνθρωπίναις ἀρχαῖς. σὺ δέ μοι σκόπει, πῶς ἀκριβῶς αὐτῶν ὁ προφήτης τὸ δυσήνιον ᾐνίξατο. οὐ γὰρ εἶπεν, ἀπέθου τὸν ζυγὸν, ἀλλὰ, Συνέτριψας τὸν ζυγόν· ὅπερ σκιρτώντων ἀλόγων ἐστὶν ἁμάρτημα, ἀφηνιώντων, παραιτουμένων τὴν ἀρχήν. ἀλλὰ πόθεν αὕτη γέγονεν ἡ σκληρότης; ἀπὸ ἀδηφαγίας καὶ μέθης. τίς τοῦτό φησιν; αὐτὸς ὁ Μωϋσῆς, Ἔφαγεν Ἰσραὴλ, καὶ ἐνεπλήσθη, καὶ ἐλιπάνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος. καθάπερ γὰρ τὰ ἄλογα, ἐπειδὰν δαψιλοῦς ἀπολαύσῃ φάτνης, εἰς πολυσαρκίαν ἐκβάντα, φιλονεικότερα καὶ δυσκάθεκτα γίνεται, καὶ οὔτε ζυγοῦ, οὔτε ἡνίας, οὔτε ἡνιόχου χειρὸς ἀνέχεται· οὕτω καὶ ὁ τῶν Ἰουδαίων δῆμος, ὑπὸ τῆς μέθης καὶ πολυσαρκίας εἰς κακίαν ἐσχάτην κατενεχθέντες, ἐσκίρτησαν καὶ οὐκ ἐδέξαντο τὸν ζυγὸν τοῦ Χριστοῦ, οὐδὲ τὸ ἄροτρον τῆς διδασκαλίας εἵλκυσαν. ὅπερ οὖν καὶ ἄλλος προφήτης αἰνιττόμενος ἔλεγεν· Ὡς δάμαλις παροιστρῶσα παροίστρησεν Ἰσραήλ. ἕτερος δὲ αὐτὸν μόσχον ἀδίδακτον ἐκάλει. τὰ δὲ τοιαῦτα ἄλογα, πρὸς ἐργασίαν οὐκ ὄντα ἐπιτήδεια, πρὸς σφαγὴν ἐπιτήδεια γίνεται. ὅπερ οὖν καὶ οὗτοι πεπόνθασι· καὶ πρὸς ἐργασίαν ἀχρήστους ἑαυτοὺς καταστήσαντες, πρὸς σφαγὴν ἐπιτήδειοι γεγόνασι. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν· Τοὺς ἐχθρούς μου, τοὺς μὴ θελήσαντάς με βασιλεῦσαι ἐπ' αὐτῶν, ἀγάγετε ὧδε, καὶ κατασφάξατε αὐτούς*. τότε ἔδει σε νηστεύειν, ὦ Ἰουδαῖε, ὅτε ἡ μέθη ταῦτά σε εἰργάζετο τὰ δεινὰ, ὅτε ἀσέβειαν ἔτεκεν ἡ ἀδηφαγία· οὐχὶ νῦν. νῦν γὰρ ἄκαιρος ἡ νηστεία καὶ βδελυκτή. τίς ταῦτά φησιν; αὐτὸς ὁ Ἠσαΐας μεγαλοφώνως βοῶν· Οὐ ταύτην τὴν νηστείαν ἐγὼ ἐξελεξάμην λέγει Κύριος. διὰ τί; ὅτι εἰς κρίσεις καὶ μάχας νηστεύετε, καὶ τύπτετε πυγμαῖς τοὺς ὑποχειρίους. "τί δὲ, ὅτι τοὺς συνδούλους ἔτυπτες, βδελυκτή σου ἦν ἡ νηστεία· ὅτε

τὸν

Ματθ. ε. κϛ.
Φιλιπ. γ. β.
Ἰωαν. α. ιβ.
Πραξ. ζ. να.
Ματθ. ια. κθ.
Ἱερ. β. κ.
Ἰωαν. ιθ. ιε.
Δευτ. λβ. ιε.
Ὠσ. δ. ιϛ.
Ἱερ. λα. ιη.
Λουκ. ιθ. κζ.
Ἠσ. νη. ε.

τὴν δι αὐτὴν κατέσφαξας, τότε σοι προσδεκτὴ ἡ νηστεία γίνεται; καὶ πῶς ἂν ἔχοι λόγον; τὸν νηστεύοντα, κατεσταλμένον εἶναι χρή, συντετριμμένον, τεταπεινωμένον, οὐχὶ μεθύειν ὑπὸ τῆς ὀργῆς· σὺ δὲ τύπτεις τοὺς συνδούλους. τότε μὲν οὖν εἰς κρίσεις καὶ μάχας ἐνήστευον· νῦν δὲ εἰς ἀσελγείας καὶ τὴν ἐσχάτην ἀκολασίαν, γυμνοῖς τοῖς ποσὶν ἐπὶ τῆς ἀγορᾶς ὀρχούμενοι. καὶ ἡ μὲν ὑπόθεσις νηστευόντων, τὸ δὲ σχῆμα μεθυόντων. ἄκουσον πῶς κελεύει νηστεύειν ὁ προφήτης· Ἁγιάσατε νηστείαν, φησίν (οὐκ εἶπε, πομπεύσατε νηστείαν) κηρύξατε θεραπείαν, Ιωηλ. α. ιδ. συναγάγετε πρεσβυτέρους. οὗτοι δὲ χοροὺς μαλακῶν συναγαγόντες, καὶ πολὺν πεπορνευμένων γυναικῶν συρφετόν, τὸ θέατρον ἅπαν καὶ τοὺς ἀπὸ τῆς σκηνῆς εἰς τὴν συναγωγὴν ἐπισύρουσι. θεάτρου γὰρ καὶ συναγωγῆς οὐδὲν τὸ μέσον.

Καὶ οἶδα μὲν ὅτι τινὲς τόλμαν καταγινώσκουσι τοῦ λόγου, ὅτι εἶπον, θεάτρου καὶ συναγωγῆς οὐδὲν τὸ μέσον. ἐγὼ δὲ αὐτῶν τόλμαν * καταγινώσκω, ἐὰν μὴ οὕτω νομίζωσιν. εἰ μὲν γὰρ οἴκοθεν ἀποφαίνομαι, κατάγνωθι· εἰ δὲ τοῦ προφήτου λέγω τὰ ῥήματα, δέξαι * τὴν ἀπόφασιν. οἶδα ὅτι πολλοὶ αἰδοῦνται Ἰουδαίους, καὶ σεμνὴν νομίζουσιν εἶναι τὴν ἐκείνων πολιτείαν νῦν· διὸ τὴν ὀλεθρίαν ὑπόληψιν πρόρριζον ἀνασπάσαι ἐπείγομαι. εἶπον, ὅτι θεάτρου ἡ συναγωγὴ οὐδὲν ἄμεινον διάκειται, καὶ ἀπὸ τοῦ προφήτου παράγω τὴν μαρτυρίαν. οὐκ εἰσὶν Ἰουδαῖοι τῶν προφητῶν ἀξιοπιστότεροι. τί οὖν ὁ προφήτης φησίν; Ὄψις πόρνης ἐγένετό σοι, ἀπηναισχύντησας πρὸς πάντας. Ιερ. γ. γ. ἔνθα δὲ πόρνη ἕστηκε, πορνεῖόν ἐστιν ὁ τόπος. μᾶλλον δὲ οὐχὶ πορνεῖον καὶ θέατρον μόνον ἐστὶν ἡ συναγωγή· ἀλλὰ καὶ σπήλαιον λῃστῶν, καὶ καταγώγιον θηρίων. Σπήλαιον γάρ, φησιν, ὑαίνης ἐγένετό μοι ὁ οἶκος ὑμῶν· Ιερ. ζ. ια. καὶ ιβ. η. οὐδὲ ἁπλῶς θηρίου, ἀλλὰ θηρίου ἀκαθάρτου. καὶ πάλιν, Ἀφῆκα τὸν οἶκόν μου, ἐγκαταλέλοιπα τὴν κληρονομίαν μου. Ιερ. ιβ. ζ. ὅταν δὲ ὁ Θεὸς ἀφῇ, ποία λοιπὸν σωτηρίας ἐλπίς; ὅταν ὁ Θεὸς ἀφῇ, δαιμόνων κατοικητήριον γίνεται ἐκεῖνο τὸ χωρίον. ἀλλὰ πάντως ἐροῦσιν, ὅτι καὶ αὐτοὶ τὸν Θεὸν προσκυνοῦσιν. ἀλλὰ μὴ γένοιτο τοῦτο εἰπεῖν. οὐδεὶς Ἰουδαῖος προσκυνεῖ τὸν Θεόν. τίς ταῦτά φησιν; ὁ υἱὸς τοῦ Θεοῦ. Εἰ τὸν πατέρα γάρ μου ᾔδειτε, φησί, κἀμὲ ᾔδειτε ἄν. οὔτε δὲ ἐμὲ Ιωαν. η. ιθ οἴδατε, οὔτε τὸν πατέρα μου οἴδατε. ποίαν ταύτης ἀξιοπιστοτέραν μαρτυρίαν παραγάγω; εἰ τοίνυν τὸν πατέρα ἀγνοοῦσι, τὸν υἱὸν ἐσταύρωσαν, τοῦ πνεύματος τὴν βοήθειαν ἀπεκρούσαντο· τίς οὐκ ἂν θαρρῶν ἀποφήναιτο, τῶν δαιμόνων καταγώγιον εἶναι τὸν τόπον; οὐ προσκυνεῖται Θεὸς ἐκεῖ· μὴ γένοιτο· ἀλλ' εἰδωλολατρείας ἐκεῖνο τὸ χωρίον λοιπόν ἐστιν. ἀλλ' ὅμως τινὲς ὡς σεμνοῖς ἐκείνοις τοῖς τόποις προσέχουσι. καὶ ταῦτα οὐχὶ στοχαζόμενος λέγω, ἀλλ' αὐτῇ τῇ πείρᾳ μαθών. καὶ γὰρ πρὸ τούτων τῶν τριῶν ἡμερῶν (πιστεύσατε, οὐ ψεύδομαι) γυναῖκά τινα εὐσχήμονα καὶ ἐλευθέραν, κοσμίαν καὶ πιστὴν εἶδον ἀναγκαζομένην ὑπό τινος μιαροῦ καὶ ἀναισθήτου, δοκοῦντος εἶναι Χριστιανοῦ (οὐ γὰρ ἂν εἴποιμι τὸν τὰ τοιαῦτα τολμῶντα Χριστιανὸν εἰλικρινῆ) εἰς τὰ τῶν Ἑβραίων εἰσελθεῖν, κἀκεῖ παρασχεῖν ὅρκον περὶ τῶν ἀμφισβητουμένων αὐτῷ πραγμάτων. ὡς δὲ προσελθοῦσα ἡ γυνὴ πρὸς συμμαχίαν ἐκάλει, καὶ τὴν ἄνομον βίαν κωλῦσαι ἠξίου (οὐ γὰρ εἶναι θεμιτὸν αὐτῇ τῶν θείων μετασχούσῃ μυστηρίων, πρὸς ἐκεῖνον τὸν τόπον ἐλθεῖν) ἐμπυρηθεὶς οὖν ὑπὸ ζήλου καὶ πυρωθείς, καὶ διαναστάς, ταύτην μὲν οὐκ εἴασα λοιπὸν ἐπὶ τὴν παρανομίαν ἑλκυσθῆναι ἐκείνην· ἀλλ' ἐξήρπασα τῆς ἀδίκου ἀπαγωγῆς. ἐπεὶ δὲ τὸν ἕλκοντα ἠρόμην, εἰ Χριστιανὸς εἴη, κἀκεῖνος ὡμολόγησεν· ἐπεκείμην δὲ σφοδρῶς, ἀναισθησίαν ἐγκαλῶν καὶ τὴν ἐσχάτην ἄνοιαν, καὶ ὄνων οὐδὲν ἄμεινον διακεῖσθαι ἔλεγον, εἰ τὸν Χριστὸν λέγων προσκυνεῖν, ἐπὶ τὰ σπήλαια τῶν Ἰουδαίων τῶν σταυρωσάντων αὐτὸν ἕλκοι τινά. καὶ μακρὸν κατέτεινα πρὸς αὐτὸν λόγον· πρῶτον μέν, ὅτι οὐ θέμις ὅλως ὀμνύναι, οὐδὲ ἀνάγκην ἐπάγειν ὅρκων, διδάσκων ἀπὸ τῶν Ματθ. ε. λδ. Ιακ. ε. ιβ. θείων εὐαγγελίων· ἔπειτα, ὅτι οὐχὶ πιστὴν καὶ μεμυημένην, ἀλλ' οὐδὲ ἀμύητόν τινα πρὸς ταύτην ἕλκειν ἐχρῆν τὴν ἀνάγκην. ὡς δὲ διέβαλον διὰ πολλῶν καὶ μακρῶν λόγων τὴν πε-

πλανημένην

πλατυνομένην ἀπόνοιαν τῆς ἐκείνου ψυχῆς, ἠρώτων τὴν αἰτίαν, δι᾽ ἣν τὴν ἐκκλησίαν ἀφεὶς, ἐπὶ τὰ " τῶν Ἑβραίων εἷλκε συνέδρια. ὁ δὲ πολλούς ἔφη πρὸς αὐτὸν εἰρηκέναι, φοβερωτέρους τοὺς ἐκεῖ γινομένους ὅρκους εἶναι. ἐπὶ τούτοις ἐστέναξα, καὶ ἐνεπρήσθην ὑπὸ θυμοῦ, καὶ μετὰ ταῦτα ἐγέλων πάλιν. τὴν μὲν [γὰρ] τοῦ διαβόλου κακουργίαν ὁρῶν, ἐστέναζον, οἷα τοὺς ἀνθρώπους ἀναπείθειν ἴσχυσε· τὴν δὲ ῥᾳθυμίαν τῶν ἀπατωμένων λογιζόμενος, ἐνεπιμπράμην ὑπὸ τοῦ θυμοῦ· καὶ τὴν ἄνοιαν πάλιν τῶν ἀπατηθέντων, ὅση καὶ ἡλίκη τις ἦν, σκοπῶν, ἐγέλων. ταῦτα δὲ εἶπον πρὸς ὑμᾶς καὶ διηγησάμην, ἐπειδὴ πρὸς τοὺς τὰ τοιαῦτα καὶ ποιοῦντας καὶ πάσχοντας ἀπανθρώπως καὶ ἀναλγήτως διάκεισθε. κἂν ἴδητέ τινα τῶν ἀδελφῶν τῶν " ὑμετέρων εἰς παρανομίας τοιαύτας ἐμπίπτοντα· ἀλλοτρίαν, οὐκ οἰκείαν ἡγεῖσθε τὴν συμφορὰν εἶναι, καὶ πρὸς τοὺς ἐγκαλοῦντας ἀπολογεῖσθαι νομίζετε, λέγοντες· ἐμοὶ γὰρ τί μέλει; τίς δέ μοι κοινὸς πρὸς ἐκεῖνόν ἐστι λόγος; ἐσχάτης μισανθρωπίας καὶ σατανικῆς ὠμότητος φθεγγόμενοι ῥήματα. τί λέγεις; ἄνθρωπος ὤν, καὶ τῆς αὐτῆς κοινωνῶν φύσεως, μᾶλλον δὲ, εἰ δεῖ φύσεως κοινωνίαν εἰπεῖν, κεφαλὴν μίαν ἔχων τὸν Χριστὸν, τολμᾷς εἰπεῖν, ὅτι οὐδέν σοι κοινόν ἐστι πρὸς τὰ μέλη τὰ σά; πῶς οὖν τὸν Χριστὸν ὁμολογεῖς " σὺ κεφαλὴν εἶναι τῆς ἐκκλησίας; καὶ γὰρ ἡ κεφαλὴ πάντα τὰ μέλη συνάπτειν πέφυκε, καὶ πρὸς ἑαυτὰ μετὰ ἀκριβείας ἐπιστρέφειν τε καὶ συνδεῖν. εἰ δὲ μηδὲν κοινὸν ἔχεις πρὸς τὸ μέλος σου, οὐδὲ πρὸς τὸν ἀδελφόν σου ἔχεις τι κοινόν, οὐδὲ κεφαλὴν ἔχεις τὸν Χριστόν. ὡς παιδία μικρὰ φοβοῦσιν ὑμᾶς Ἰουδαῖοι, καὶ οὐκ αἰσθάνεσθε. καθάπερ γὰρ τοῖς παιδίοις ἐκείνοις προσωπεῖα δεικνύντες φοβερὰ [καὶ καταγέλαστα] τῶν μιαρῶν οἰκετῶν πολλοὶ (οὐ γάρ ἐστι φύσει φοβερά, ἀλλὰ διὰ τὸ ἀτελὲς τῆς διανοίας " τοιαῦτα φαίνεται) πολὺν κινοῦσι γέλωτα· οὕτω δὴ καὶ τοὺς ἀτελεστέρους τῶν χριστιανῶν μορμολύττονται Ἰουδαῖοι. πῶς γὰρ τὰ παρ᾽ αὐτοῖς φοβερὰ, τὰ πολλῆς αἰσχύνης καὶ γέλωτος γέμοντα, τὰ τῶν προσκεκρουκότων, τὰ τῶν ἠτιμωμένων, τὰ τῶν καταδίκων; ἀλλ᾽ οὐ τὰ ἡμέτερα τοιαῦτα· ἀλλ᾽ ὄντως φοβερὰ καὶ φρίκης ἀνάμεστα. ἔνθα γὰρ Θεός ἐστι ζωῆς καὶ θανάτου ἐξουσίαν ἔχων, πῶς οὐ φοβερὸς ὁ τόπος· ἔνθα μυρίοι περὶ κολάσεων ἀθανάτων λόγοι, περὶ τῶν πυρίνων ποταμῶν, περὶ τοῦ σκώληκος τοῦ ἰοβόλου, περὶ τῶν δεσμῶν τῶν ἀρρήκτων, περὶ τοῦ σκότους τοῦ ἐξωτέρου. ἐκεῖνοι δὲ τούτων μὲν οὐδὲν οὐδ᾽ ὄναρ ἴσασι, τῇ γαστρὶ ζῶντες, πρὸς τὰ παρόντα κεχηνότες, ὑῶν καὶ τράγων οὐδὲν ἄμεινον διακείμενοι, κατὰ τὸν τῆς ἀσελγείας λόγον, καὶ τὴν τῆς ἀδηφαγίας ὑπερβολήν· ἓν δὲ ἐπίστανται μόνον, γαστρίζεσθαι καὶ μεθύειν, ὑπὲρ ὀρχηστῶν κατακόπτεσθαι, ὑπὲρ ἡνιόχων τραυματίζεσθαι. ταῦτα οὖν, εἰπέ μοι, σεμνὰ καὶ φοβερά; καὶ τίς ἂν τοῦτο εἴποι; πόθεν οὖν [" ἡμῖν] ἔδοξαν εἶναι " φοβερά; πλὴν εἰ μὴ καὶ τοὺς ἠτιμωμένους τῶν οἰκετῶν, καὶ τοὺς ἀπαρρησιάστους, καὶ τῆς δεσποτικῆς οἰκίας ἐκπεσόντας, φοβερούς τις εἶναι λέγοι τοῖς εὐδοκιμοῦσι καὶ παρρησίαν ἔχουσιν. ἀλλ᾽ οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. ἐπεὶ μηδὲ πανδοχεῖα τῶν βασιλικῶν αὐλῶν σεμνότερα· μᾶλλον δὲ καὶ πανδοχείου παντὸς ἀτιμότερον τὸ τῆς συναγωγῆς χωρίον ἐστίν. " οὐδὲ γὰρ λῃστῶν, οὐδὲ καπήλων ἁπλῶς, ἀλλὰ δαιμόνων ἐστὶ καταγώγιον· μᾶλλον δὲ οὐχ αἱ συναγωγαὶ μόνον, ἀλλὰ καὶ αὐταὶ αἱ ψυχαὶ τῶν Ἰουδαίων. καὶ τοῦτο πρὸς τῷ τέλει τοῦ λόγου δεῖξαι πειράσομαι.

Κολασ. α. ιη.

Ἐφεσ. ε. κγ.

Παρακαλῶ τοίνυν ὑμᾶς μνημονεύειν ταύτης μάλιστα τῆς διαλέξεως. οὐ γὰρ πρὸς ἐπίδειξιν, οὐδὲ κρότους λεγομένην νῦν, ἀλλὰ πρὸς θεραπείαν τῶν ὑμετέρων ψυχῶν. τίς γὰρ ἔτι λείπεται λόγος ἡμῖν, ὅταν, τοσούτων ἰατρῶν ὄντων, ὦσί τινες νοσοῦντες; δώδεκα ἦσαν οἱ ἀπόστολοι, καὶ τὴν οἰκουμένην ἐπεσπάσαντο· τὸ πλέον τῆς πόλεως χριστιανόν, καὶ ἔτι νοσοῦσί τινες Ἰουδαϊσμόν; καὶ ποίαν ἀπολογίαν ἔχοιμεν ἂν ἡμεῖς οἱ ὑγιαίνοντες; ἄξιοι μὲν γὰρ ἐγκλημάτων κἀκεῖνοι οἱ νοσοῦντες· οὐ μὴν οὐδὲ ἡμεῖς ἀπηλλάγμεθα κατηγορίας, περιορῶντες αὐτοὺς ἐπὶ τῆς ἀρρωστίας. ἀμήχανον γὰρ ἦν, σπουδῆς πολλῆς παρ᾽ ἡμῶν ἀπολαύοντας,

γρ. τόπῳ

γρ. ἡμετ.

γρ. συνδυναμοῦν εἰς τὸ ἓν

γρ. ἐπὶ

γρ. οὖν

γρ. φοβερὰ

γρ. ἐστι

οντας, μένειν ἐπὶ τῆς ἀσθενείας ἐκείνης. διὰ τοῦτο προλαβὼν λέγω νῦν ταῦτα, ἵνα ἕκαστος ὑμῶν ″ ἐπισπάσηται τὸν ἀδελφόν, κἂν ἀνάγκην ἐπιθεῖναι δέοι, κἂν βίαν ποιῆσαι, κἂν ὑβρίσαι, κἂν φιλονεικῆσαι. πάντα ποίησον, ὥστε ἐξελέσθαι αὐτὸν τῆς τοῦ διαβόλου παγίδος, καὶ τῆς κοινωνίας ἀπαλλάξαι τῶν χριστοκτόνων. ἐπὶ τῆς ἀγορᾶς εἴ τινα εἶδες ἀπαγόμενον, εἰπέ μοι, δικαίᾳ ψήφῳ καταδικασθέντα, εἶτα κύριος ἦς ″ ἐξαρπάσαι τῶν τοῦ δημίου χειρῶν, οὐκ ἂν ἅπαντα ἔπραξας, ὥστε αὐτὸν ἀπαλλάξαι τῆς ἀπαγωγῆς; τὸν ἀδελφὸν νῦν ὁρᾷς τὸν σόν, οὐχ ὑπὸ τοῦ δημίου, ἀλλὰ ὑπὸ τοῦ διαβόλου πρὸς τὸ βάραθρον τῆς ἀπωλείας ἑλκόμενον ἀδίκως καὶ ἀνοσίως· καὶ οὐδὲ ″ συμβολὴν παρέχῃ ″ ὑπομονῆς, ὥστε αὐτὸν ἐξελέσθαι τῆς παρανομίας ἐκείνης. καὶ ποίας ἂν τύχοις συγγνώμης; ἀλλ' ἰσχυρότερός σου καὶ δυνατώτερός ἐστιν; ἐμοὶ δῆλον αὐτὸν κατάστησον· αἱρήσομαι τὴν κεφαλὴν ἀποθέσθαι μᾶλλον, ἢ τῶν ἱερῶν αὐτὸν ἀφεῖναι ἐπιβαίνειν προθύρων, ἂν φιλονεικῇ, καὶ τοῖς αὐτοῖς ἐπιμένῃ. τί γάρ σοι κοινὸν μετὰ τῆς ἐλευθέρας, μετὰ τῆς ἄνω Ἱερουσαλήμ; εἵλου τὴν κάτω· δούλευε μετ' ἐκείνης. καὶ γὰρ καὶ αὐτὴ δουλεύει μετὰ τῶν τέκνων αὐτῆς, κατὰ τὸν τοῦ ἀποστόλου λόγον. νηστεύεις μετὰ Ἰουδαίων; οὐκοῦν ἀπόθου καὶ τὰ ὑποδήματα μετὰ Ἰουδαίων, καὶ γυμνοῖς βάδιζε τοῖς ποσὶν ἐπὶ τῆς ἀγορᾶς, καὶ κοινώνει τῆς ἀσχημοσύνης αὐτοῖς καὶ τοῦ γέλωτος. ἀλλ' οὐκ ἂν ἕλοιο· αἰσχύνῃ γὰρ καὶ ἐρυθριᾷς. εἶτα σχήματος μὲν αὐτοῖς κοινωνῆσαι αἰσχύνῃ, ἀσεβείας δὲ κοινωνῶν οὐκ αἰσχύνῃ; καὶ ποίαν ἕξεις συγγνώμην, χριστιανὸς ὢν ἐξ ἡμισείας; πιστεύσατε, τὴν κεφαλὴν πρότερον ἀποθήσομαι, ἢ περιόψομαί τινα τῶν τὰ τοιαῦτα νοσούντων, ἐὰν ἴδω· ἐὰν δὲ ἀγνοήσω, συγγνώμην ὁ Θεὸς δώσει πάντως. ταῦτα καὶ ὑμῶν ἕκαστος λογιζέσθω, μηδὲ πάρεργον ἡγείσθω τὸ πρᾶγμα εἶναι. οὐχ ὁρᾶτε ἐπὶ τῶν μυστηρίων τί βοᾷ συνεχῶς ὁ διάκονος; ἐπιγινώσκετε ἀλλήλους· πῶς ὑμῖν ἐγχειρίζει τὴν ἀκριβῆ τῶν ἀδελφῶν ὑμῶν ἐξέτασιν; τοῦτο καὶ ἐπ' ἐκείνων ποίησον. ὅταν ἐπιγνῷς τινα Ἰουδαΐζοντα, κάτασχε, δῆλον ποίησον, ὥστε μὴ κοινωνῆσαι καὶ αὐτὸς τῷ κινδύνῳ. καὶ γὰρ ἐπὶ τῶν ἔξω στρατοπέδων, ἂν ἁλῷ τις βαρβαρίζων καὶ τὰ Περσικὰ φρονῶν ἐν μέσοις τοῖς στρατιώταις· οὐκ αὐτὸς κινδυνεύει μόνος, ἀλλὰ καὶ ἕκαστος τῶν συνειδότων μέν, οὐ ποιησάντων δὲ αὐτὸν τῷ στρατηγῷ φανερόν. ἐπεὶ οὖν καὶ ὑμεῖς στρατόπεδόν ἐστε τοῦ Χριστοῦ, μετὰ ἀκριβείας διερευνᾶτε καὶ περιεργάζεσθε, εἴ τις τῶν ἀλλοφύλων ὑμῖν ἀναμέμικται, καὶ ποιεῖτε δῆλον· οὐχ ἵνα ἀποκτείνωμεν, καθάπερ ἐκεῖνοι, οὐδ' ἵνα κολάσωμεν καὶ τιμωρησώμεθα, ἀλλ' ἵνα αὐτὸν ἀπαλλάξωμεν τῆς πλάνης καὶ τῆς ἀσεβείας, καὶ ἡμέτερον ἐξ ὁλοκλήρου ποιήσωμεν. εἰ δὲ μὴ βούλεσθε τοῦτο, ἀλλ' εἰδότες κρύπτετε, εὖ ἴστε, ὅτι τὴν αὐτὴν ὑποστήσεσθε τιμωρίαν ἐκείνῳ. καὶ γὰρ ὁ Παῦλος οὐχὶ τοὺς ποιοῦντας μόνον τὰ πονηρά, ἀλλὰ καὶ τοὺς συνευδοκοῦντας αὐτοῖς ὑποβάλλει κολάσει καὶ τιμωρίᾳ. καὶ ὁ προφήτης δέ, οὐχὶ τοὺς κλέπτοντας μόνον, ἀλλὰ καὶ τοὺς συντρέχοντας αὐτοῖς ὑπὸ τὴν αὐτὴν ἄγει δίκην. καὶ εἰκότως. ὁ γὰρ συνειδὼς πονηρὰ πράττοντι, καὶ περιστέλλων αὐτὸν καὶ ἀποκρύπτων, πλείονα αὐτῷ παρέχει ῥᾳθυμίας ὑπόθεσιν, καὶ μετὰ μείζονος ἀδείας παρασκευάζει τὴν πονηρίαν ἐργάζεσθαι. ἀλλὰ γὰρ ἐπὶ τοὺς νοσοῦντας ἐπανελθεῖν δεῖ πάλιν. ἐννοήσατε τοίνυν τίσι κοινωνοῦσιν οἱ νηστεύοντες νῦν· τοῖς βοῶσι, Σταύρωσον, σταύρωσον· τοῖς λέγουσι, Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. εἴ τινες ἁλόντες ἐπὶ τυραννίδι κατεδικάσθησαν, ἆρα ἂν ἐτόλμησας προσελθεῖν καὶ κοινωνῆσαι λόγων αὐτοῖς; οὐκ ἔγωγε οἶμαι. πῶς οὖν οὐκ ἄτοπον, τοὺς μὲν εἰς ἄνθρωπον γενομένους πονηροὺς μετὰ τοσαύτης φεύγειν σπουδῆς· τοὺς δὲ εἰς αὐτὸν ὑβρίσαντας τὸν Θεόν, ποιεῖσθαι κοινωνούς, καὶ τοὺς προσκυνοῦντας τὸν ἐσταυρωμένον τοῖς ἐσταυρωκόσι συνεορτάζειν; τοῦτο γὰρ οὐ μόνον ἀνοίας, ἀλλὰ καὶ τῆς ἐσχάτης μανίας ἐστίν. ἐπειδὴ δὲ εἰσί τινες, οἳ καὶ τὴν συναγωγὴν σεμνὸν εἶναι τόπον νομίζουσιν, ἀναγκαῖον καὶ πρὸς τούτους ὀλίγα εἰπεῖν. τίνος γὰρ ἕνεκα τὸν τόπον ἐκεῖνον αἰδεῖσθε, δέον καταφρονεῖν

Γαλ. δ. κε.

Ρωμ. α. λβ.

Ψαλ. μθ. ιη.

Ματθ. κζ.
κγ. κε.

καὶ βδελύττεσθαι, καὶ ἀποπηδᾶν; ὁ νόμος ἀπόκειται, φησίν, ἐν αὐτῷ, καὶ βιβλία προφητικά. καὶ τί τοῦτο; μὴ γάρ, ἔνθα ἂν ἦ βιβλία τοιαῦτα, καὶ ὁ τόπος ἅγιος ἔσται; οὐ πάντως. ἐγὼ δὲ διὰ τοῦτο μάλιστα μισῶ τὴν συναγωγὴν καὶ ἀποστρέφομαι, ὅτι τοὺς προφήτας ἔχοντες, ἀπιστοῦσι τοῖς προφήταις· ὅτι ἀναγινώσκοντες τὰ γράμματα, οὐ δέχονται τὰς μαρτυρίας, ὅπερ ὑβριζόντων ἐστὶ μειζόνως. εἰπὲ γάρ μοι, εἴ τινα εἶδες ἂν ἄνθρωπον αἰδέσιμον καὶ λαμπρὸν καὶ περιφανῆ εἰς καπηλεῖον εἰσαχθέντα, ἢ εἰς καταγώγιον λῃστῶν, εἶτα ὑβριζόμενον ἐκεῖ καὶ τυπτόμενον καὶ τὴν ἐσχάτην ὑπομένοντα παροινίαν· ἆρα ἂν ἐθαύμασας τὸ καπηλεῖον, ἢ τὸ σπήλαιον, ἐπειδὴ ἔνδον εἱστήκει παροινούμενος ὁ θαυμαστὸς ἐκεῖνος καὶ μέγας ἀνήρ; οὐκ ἔγωγε οἶμαι· ἀλλὰ διὰ τοῦτο αὐτὸ μάλιστα ἂν ἐμίσησας καὶ ἀπεστράφης. τοῦτο καὶ ἐπὶ τῆς συναγωγῆς λογίζου. τοὺς γὰρ προφήτας καὶ τὸν Μωϋσέα μετ' αὐτῶν εἰσήγαγον ἐκεῖ, οὐχ ἵνα τιμήσωσιν, ἀλλ' ἵνα ὑβρίσωσι καὶ ἀτιμάσωσιν. ὅταν γὰρ λέγωσι μὴ εἰδέναι αὐτοὺς τὸν Χριστόν, μηδὲ εἰρηκέναι τι περὶ τῆς ἐκείνου παρουσίας, ποία μείζων ταύτης γένοιτ' ἂν εἰς τοὺς ἁγίους ἐκείνους ὕβρις; αὐτῶν γὰρ κατηγοροῦσι, τοιαῦτα περὶ αὐτῶν ἀποφαινόμενοι, ὡς τὸν αὐτῶν ἀγνοούντων δεσπότην, καὶ κοινωνοὺς τῆς ἰδίας ἀσεβείας λέγειν τολμῶσιν. ὥστε διὰ τοῦτο μᾶλλον μισεῖν καὶ αὐτούς, καὶ τὴν συναγωγὴν χρή, ὅτι ἐμπαροινοῦσιν εἰς τοὺς ἁγίους ἐκείνους. ἀλλὰ τί λέγω περὶ βιβλίων καὶ τόπων; ἐν καιρῷ τῶν διωγμῶν οἱ δήμιοι τὰ σώματα τῶν μαρτύρων κατέχουσι, καταξαίνουσι, μαστίζουσιν. ἆρ' οὖν ἅγιαί εἰσιν αὐτῶν αἱ χεῖρες, ἐπειδὴ τὰ σώματα τῶν ἁγίων κατεῖχον; μὴ γένοιτο. εἶτα χεῖρες μὲν σώματα κατασχοῦσαι ἁγίων βέβηλοι μένουσι, δι' αὐτὸ δὴ τοῦτο, ἐπειδὴ κατεῖχον κακῶς· οἱ δὲ γράμματα κατέχοντες ἁγίων καὶ ὑβρίζοντες, οὐκ ἔλαττον ἢ οἱ δήμιοι τῶν μαρτύρων τὰ σώματα, αἰδέσιμοι διὰ τοῦτο ἔσονται; καὶ πῶς οὐκ ἐσχάτης ἀλογίας ταῦτα ἂν εἴη; εἰ γὰρ σώματα κατεχόμενα κακῶς, οὐ μόνον οὐχ ἁγιάζει τοὺς κατέχοντας, ἀλλὰ καὶ ἐναγεστέρους ποιεῖ· πολλῷ μᾶλλον γράμματα ἀναγινωσκόμενα μετ' ἀπιστίας, οὐκ ἂν δύναιτο τοὺς ἀναγινώσκοντας ὠφελῆσαί ποτε. αὐτὸ μὲν οὖν τοῦτο ἀσεβεστέρους αὐτοὺς ἀποφαίνει, τὸ μετὰ τοιαύτης προαιρέσεως τὰ βιβλία κατέχειν. οὐδὲ γὰρ ἂν τοσαύτης ἄξιοι ἦσαν κατηγορίας, εἰ μὴ τοὺς προφήτας εἶχον· οὐκ ἦσαν οὕτως ἀκάθαρτοι καὶ βέβηλοι, εἰ μὴ τὰς βίβλους ἀνεγίνωσκον. νῦν δὲ πάσης εἰσὶν ἀπεστερημένοι συγγνώμης, ὅτι τοὺς κήρυκας τῆς ἀληθείας ἔχοντες, καὶ πρὸς αὐτοὺς ἐκείνους καὶ πρὸς τὴν ἀλήθειαν ἵστανται ἐχθρᾷ διανοίᾳ. ὥστε διὰ τοῦτο μᾶλλον ἂν εἶεν βέβηλοι καὶ ἐναγεῖς, ὅτι τοὺς προφήτας ἔχοντες, πολεμίᾳ αὐτοῖς κέχρηνται γνώμῃ.

Διὸ παρακαλῶ ἀποπηδᾶν καὶ φεύγειν αὐτῶν τοὺς συλλόγους. οὐ μικρὰ αὕτη βλάβη τοῖς ἀσθενεστέροις τῶν ἀδελφῶν, οὐ μικρὰ ἀπονοίας ἐκείνοις πρόφασις. ὅταν γὰρ ἴδωσιν ὑμᾶς, τοὺς προσκυνοῦντας τὸν ὑπ' αὐτῶν σταυρωθέντα Χριστόν, τὰ ἐκείνων διώκοντας καὶ σεμνοποιοῦντας· πῶς οὐχ ἡγήσονται ἄριστα αὐτοῖς ἅπαντα πεπρᾶχθαι, καὶ οὐδενὸς ἄξια εἶναι τὰ ἡμέτερα, ὅταν οἱ πρεσβεύοντες αὐτὰ καὶ θεραπεύοντες ὑμεῖς, πρὸς τοὺς καθαιροῦντας αὐτὰ τρέχητε; Ἐὰν τις ἴδῃ σέ, φησι, τὸν ἔχοντα γνῶσιν ἐν εἰδωλείῳ κατακείμενον, οὐχὶ ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν; καὶ ἐγὼ λέγω, ἐάν τις ἴδῃ σε τὸν ἔχοντα γνῶσιν εἰς συναγωγὴν ἀπερχόμενον, καὶ σάλπιγγας θεωροῦντα, οὐχὶ ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος οἰκοδομηθήσεται εἰς τὸ θαυμάζειν τὰ Ἰουδαϊκὰ πράγματα; ὁ πίπτων οὐχὶ τοῦ ἰδίου πτώματος δίδωσι μόνον δίκην, ἀλλ', ὅτι καὶ ἄλλους ὑποσκελίζει, κολάζεται· ὥσπερ καὶ ὁ ἑστὼς οὐχ ὑπὲρ τῆς οἰκείας ἀρετῆς στεφανοῦται μόνον, ἀλλ' ὅτι καὶ ἄλλους εἰς τὸν αὐτὸν ἄγει ζῆλον, θαυμάζεται. φεῦγε τοίνυν καὶ τοὺς συλλόγους, καὶ τοὺς τόπους αὐτῶν. καὶ μηδεὶς αἰδείσθω τὴν συναγωγὴν διὰ τὰ βιβλία· ἀλλὰ διὰ ταῦτα αὐτὴν μισείτω καὶ ἀποστρεφέσθω, ὅτι ἐφ' ὕβρει κατέχουσι τοὺς ἁγίους, ὅτι ἀπιστοῦσι τοῖς ἐκείνων ῥήμασιν, ὅτι τὴν ἐσχάτην αὐτῶν κατηγοροῦσιν ἀσέβειαν. καὶ ἵνα μάθῃς,

α. Κορ. η. ι.

θητε, ὅτι οὐχ ἁγιάζει τὸν τόπον τὰ βιβλία, ἀλλὰ βέβηλον ποιεῖ τῶν συνιόντων ἡ προαίρεσις, ἱστορίαν ὑμῖν διηγήσομαι παλαιάν. Πτολεμαῖος ὁ Φιλάδελφος τὰς πανταχόθεν βίβλους συναγαγὼν, καὶ μαθὼν ὅτι καὶ παρὰ Ἰουδαίοις εἰσὶ γραφαὶ περὶ Θεοῦ φιλοσοφοῦσαι καὶ πολιτείας ἀρίστης, μεταπεμψάμενος ἄνδρας ἐκ τῆς Ἰουδαίας, ἡρμήνευσεν αὐτὰς δι' ἐκείνων· καὶ ἀπέθετο εἰς τὸ τοῦ Σαράπιδος ἱερὸν (καὶ γὰρ ἦν Ἕλλην ὁ ἀνὴρ) καὶ μέχρι νῦν ἐκεῖ τῶν προφητῶν αἱ ἑρμηνευθεῖσαι βίβλοι μένουσιν. ἆρ' οὖν ἅγιος ἔσται τοῦ Σαράπιδος ὁ ναὸς διὰ τὰ βιβλία; μὴ γένοιτο. ἀλλ' ἐκεῖνα μὲν ἔχει τὴν οἰκείαν ἁγιότητα· τῷ τόπῳ δὲ οὐ μεταδίδωσι, διὰ τὴν τῶν συνιόντων ἐκεῖ μιαρίαν. τὸ αὐτὸ τοίνυν καὶ περὶ τῆς συναγωγῆς λογιστέον. εἰ γὰρ καὶ μὴ εἴδωλον ἕστηκεν ἐκεῖ· ἀλλὰ δαίμονες οἰκοῦσι τὸν τόπον. καὶ τοῦτο οὐ περὶ τῆς ἐνταῦθα λέγω συναγωγῆς μόνον, ἀλλὰ καὶ τῆς ἐν Δάφνῃ. πονηρότερον γὰρ ἐκεῖ τὸ βάραθρον, ὃ δὴ καλοῦσι Ματρώνης. καὶ γὰρ πολλοὺς ἤκουσα τῶν πιστῶν ἀναβαίνειν ἐκεῖ, καὶ παρακαθεύδειν τῷ τόπῳ. ἀλλὰ μὴ γένοιτό ποτε τούτους πιστοὺς προσειπεῖν· ἐμοὶ καὶ τὸ Ματρώνης, καὶ τὸ τοῦ Ἀπόλλωνος ἱερὸν, ὁμοίως ἐστὶ βέβηλα. εἰ δέ τις μου τόλμαν καταγινώσκει, πάλιν ἐγὼ τὴν ἐσχάτην αὐτοῦ καταγνώσομαι μανίαν. εἰπὲ γάρ μοι· ὅπου δαίμονες οἰκοῦσιν, οὐχὶ ἀσεβείας χωρίον ἐστὶ, κἂν μὴ ξόανον εἱστήκῃ, ὅπου χριστοκτόνοι συνέρχονται, ὅπου σταυρὸς ἐλαύνεται, ὅπου βλασφημεῖται Θεὸς, ὅπου πατὴρ ἀγνοεῖται, ὅπου υἱὸς ὑβρίζεται, ὅπου πνεύματος ἀθετεῖται χάρις· μᾶλλον δὲ καὶ αὐτῶν ὄντων δαιμόνων, οὐ μείζων ἐντεῦθεν ἡ βλάβη; ἐκεῖ μὲν γὰρ γυμνὴ καὶ περιφανὴς ἡ ἀσέβεια, καὶ οὐκ ἂν ῥᾳδίως ἐπισπάσαιτο, οὐδὲ ἀπατήσειε τὸν νοῦν ἔχοντα καὶ σωφρονοῦντα. ἐνταῦθα δὲ λέγοντες Θεὸν προσκυνεῖν, καὶ εἴδωλα ἀποστρέφεσθαι, καὶ προφήτας ἔχειν καὶ τιμᾶν· τοῖς ῥήμασι τούτοις πολὺ κατασκευάζοντες τὸ δέλεαρ, τοὺς ἀφελεστέρους καὶ ἀνοήτους ἀφυλάκτους εἰς τὰς ἑαυτῶν ἐμβάλλουσι πάγας. ὥστε τὰ μὲν τῆς ἀσεβείας ἴσα αὐτοῖς καὶ Ἕλλησι· τὰ δὲ τῆς ἀπάτης χαλεπώτερα παρὰ τούτων δρᾶται. καὶ γὰρ καὶ παρὰ τούτοις ἕστηκε βωμὸς ἀπάτης ἀόρατος, εἰς ὃν οὐχὶ πρόβατα καὶ μόσχους, ἀλλὰ ψυχὰς ἀνθρώπων καταθύουσιν. ὅλως δὲ εἰ θαυμάζεις τὰ ἐκείνων, τίς σοι κοινὸς πρὸς ἡμᾶς ἐστι λόγος; εἰ γὰρ σεμνὰ καὶ μεγάλα τὰ Ἰουδαίων, ψευδῆ τὰ ἡμέτερα· εἰ δὲ ταῦτα ἀληθῆ, ὥσπερ οὖν καὶ ἀληθῆ, ἐκεῖνα ἀπάτης γέμει. οὐχὶ τὰς γραφὰς λέγω (μὴ γένοιτο· ἐκεῖναι γάρ με πρὸς τὸν Χριστὸν ἐχειραγώγησαν) ἀλλὰ τὴν ἀσέβειαν αὐτῶν καὶ τὴν μανίαν τὴν νῦν.

Ἀλλὰ γὰρ ὥρα λοιπὸν δεῖξαι, ὅτι καὶ δαίμονες ἐκεῖ κατοικοῦσιν· οὐχὶ ἐν αὐτῷ τῷ τόπῳ μόνον, ἀλλὰ καὶ ἐν αὐταῖς ταῖς ψυχαῖς τῶν Ἰουδαίων. Ὅταν γὰρ ἐξέλθῃ, φησὶ, τὸ πνεῦμα τὸ ἀκάθαρτον, πορεύεται δι' ἀνύδρων τόπων, ζητοῦν ἀνάπαυσιν· κἂν μὴ εὕρῃ, φησὶν, ἐπιστρέψω εἰς τὸν οἶκόν μου· καὶ ἐλθὸν εὑρίσκει σχολάζοντα, σεσαρωμένον καὶ κεκοσμημένον, καὶ πορεύεται καὶ παραλαμβάνει μεθ' ἑαυτοῦ ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ, καὶ εἰσέρχεται εἰς αὐτὸν, καὶ ἔσται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων. οὕτως ἔσται καὶ τῇ γενεᾷ ταύτῃ. ὁρᾷς ὅτι δαίμονες ″οἰκοῦσιν αὐτῶν ταῖς ψυχαῖς, χαλεπώτεροι τῶν προτέρων τῶν νῦν; καὶ μάλα εἰκότως. τότε μὲν γὰρ εἰς τοὺς προφήτας ὕβριζον· νῦν δὲ εἰς αὐτὸν τῶν προφητῶν τὸν δεσπότην ὑβρίζουσιν. ἀνθρώποις οὖν, εἰπέ μοι, δαιμονῶσι, καὶ τοσαῦτα ἔχουσι πνεύματα ἀκάθαρτα, ἐν σφαγαῖς καὶ φόνοις ″ἀνατραφεῖσιν, εἰς ταὐτὸ συνέρχεσθε, καὶ οὐ φρίττετε; προσρήσεως [γὰρ] δεῖ κοινωνεῖν τούτοις, καὶ λόγου μεταδιδόναι ψιλοῦ, ἀλλ' οὐχ ὡς κοινὴν λύμην καὶ νόσον τῆς οἰκουμένης ἁπάσης ἀποστρέφεσθαι; οὐχὶ πᾶν εἶδος ἐπῆλθον κακίας; οὐχὶ τοὺς πολλοὺς καὶ μακροὺς λόγους οἱ προφῆται πάντες εἰς τὰς τούτων κατηγορίας ἀνήλωσαν; ποίαν τραγῳδίαν, τίνα παρανομίας τρόπον οὐκ ἀπέκρυψαν ταῖς ἑαυτῶν μιαιφονίαις; ἔθυσαν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις· τὴν φύσιν ἠγνόησαν, ὠδίνων ἐπελάθοντο, παιδοτροφίαν κατεπάτησαν, τῆς συγγενείας τοὺς νόμους

Ματθ. ιβ. μγ.
Λουκ. ια. κδ.

ἐξ αὐτῶν τῶν βαράθρων ἀνέτρεψαν, θηρίων ἁπάντων γεγόνασιν ἀγριώτεροι. τὰ θηρία μὲν γὰρ καὶ τὴν ψυχὴν ἐπιδίδωσι πολλάκις, καὶ τῆς οἰκείας καταφρονεῖ σωτηρίας, ὥστε ὑπερασπίσαι τῶν "ἐκγόνων· οὗτοι δὲ, οὐδεμιᾶς ἀνάγκης οὔσης, τοὺς ἐξ αὐτῶν φύντας ταῖς οἰκείαις κατέσφαξαν χερσὶν, ἵνα τοὺς ἐχθροὺς τῆς ἡμετέρας ζωῆς, τοὺς ἀλάστορας θεραπεύσωσι δαίμονας. Τί ἄν τις αὐτῶν ἐκπλαγείη πρότερον; τὴν ἀσέβειαν, ἢ τὴν ὠμότητα καὶ τὴν ἀπανθρωπίαν; ὅτι τοὺς υἱοὺς ἔθυσαν, ἢ ὅτι τοῖς δαιμονίοις ἔθυσαν; ἀλλὰ ἀσελγείας ἕνεκεν οὐχὶ καὶ τὰ λαγνότατα τῶν ἀλόγων ἀπέκρυψαν; ἄκουσον τοῦ προφήτου, τί φησι περὶ τῆς ἀκολασίας αὐτῶν· Ιερ. ε. η. Ἵπποι θηλυμανεῖς ἐγένοντο, ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον ἐχρεμέτιζεν. οὐκ εἶπεν, ἕκαστος τῆς γυναικὸς τοῦ πλησίον ἐπεθύμει· ἀλλ' ἐμφαντικώτατα τῇ τῶν ἀλόγων φωνῇ τὴν ἐκ τῆς ἀσελγείας ἐγγινομένην αὐτοῖς μανίαν ἐνέφηνε. τί βούλεσθε ἕτερον εἴπω; τὰς ἁρπαγάς; τὰς πλεονεξίας; τὰς τῶν πενήτων προδοσίας; τὰς κλοπάς; τὰς καπηλείας; ἀλλ' οὐδὲ πᾶσα ἡμῖν πρὸς ταύτην ἀρκέσει τὴν διήγησιν ἡ ἡμέρα. ἀλλ' αἱ ἑορταὶ αὐτῶν σεμνὸν ἔχουσί τι καὶ μέγα. καὶ αὐτὰς μὲν οὖν ταύτας ἀκαθάρτους "ἀπέφηναν. ἄκουσον γοῦν τῶν προφητῶν, μᾶλλον δὲ ἄκουσον τοῦ Θεοῦ, μεθ' ὅσης αὐτὰς ἀποστρέφεται τῆς ὑπερβολῆς· Αμως ε. κα. Μεμίσηκα, ἀπῶσμαι τὰς ἑορτὰς ὑμῶν. ὁ Θεὸς μισεῖ, καὶ σὺ κοινωνεῖς; καὶ οὐκ εἶπε, τήνδε, ἢ τήνδε τὴν ἑορτὴν, ἀλλὰ πάσας ὁμοῦ. βούλει ἰδεῖν, ὅτι καὶ τὴν διὰ τυμπάνων, καὶ τῆς κιθάρας, καὶ τῶν ψαλτηρίων, καὶ τῶν ἄλλων ὀργάνων λατρείαν μισεῖ; Μετάστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, φησὶ, καὶ "ψαλμὸν ὀργάνων σου οὐκ ἀκούσομαι. ὁ Θεὸς λέγει, μετάστησον, καὶ σὺ τρέχεις ἀκουσόμενος τῶν σαλπίγγων; ἀλλ' αὗται αἱ θυσίαι καὶ αἱ προσφοραὶ οὐχὶ βδελυκταί; Ησ. α. ιγ. Ἐὰν φέρητέ μοι σεμίδαλιν, μάταιον· θυμίαμα, βδέλυγμά μοί ἐστι. θυμίαμα βδέλυγμα, καὶ ὁ τόπος οὐ βδέλυγμα; καὶ πότε δὲ βδέλυγμα; πρὶν ἢ τὸ κεφάλαιον αὐτοὺς ἐργάσασθαι τῶν κακῶν, πρὶν ἢ τὸν ἑαυτῶν ἀνελεῖν δεσπότην. πρὸ τοῦ σταυροῦ, πρὸ τῆς χριστοκτονίας τὸ βδέλυγμα· καὶ νῦν οὐ πολλῷ μᾶλλον; καίτοι τί θυμιάματος εὐωδέστερον; ἀλλ' οὐ τῇ φύσει τῶν δώρων, ἀλλὰ τῇ προαιρέσει τῶν προσαγόντων προσέχων ὁ Θεὸς, οὕτω κρίνει τὰς προσφοράς. προσέσχεν ἐπὶ Ἄβελ, καὶ τότε ἐπὶ τοῖς δώροις αὐτοῦ· εἶδε τὸν Κάϊν, καὶ Γεν. δ. ε. τότε τὰς θυσίας αὐτοῦ ἀπεστράφη. Ἐπὶ γὰρ Κάϊν, φησὶ, καὶ ἐπὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχεν. ὁ Νῶε θυσίας ἀνήνεγκε τῷ Θεῷ προβάτων καὶ μόσχων καὶ ὀρνίθων· καί φησιν ἡ γραφὴ, Γεν. η. κα. Ὅτι ὠσφράνθη Κύριος ὀσμὴν εὐωδίας· τουτέστιν, ἐδέξατο τὰ προσενεχθέντα. οὐ γὰρ δὴ ῥῖνες εἰσὶ περὶ Θεὸν, ἀλλ' ἀσώματον τὸ θεῖον. καίτοι τὰ ἀναφερόμενα ἐκεῖθεν κνίσσα καὶ καπνὸς σωμάτων καιομένων· τοῦ δὲ τοιαύτης κνίσσης οὐδὲν δυσωδέστερον. ἀλλ' ἵνα μάθῃς, ὅτι τῇ προαιρέσει τῶν προσφερόντων προσέχων ὁ Θεὸς καὶ δέχεται καὶ ἀποστρέφεται τὰς θυσίας· τὴν μὲν κνίσσαν καὶ τὸν καπνὸν, ὀσμὴν εὐωδίας καλεῖ· τὸ δὲ θυμίαμα, βδέλυγμα, ἐπειδὴ πολλῆς δυσωδίας ἡ τῶν προσαγαγόντων προαίρεσις ἔγεμε. Βούλει μαθεῖν, ὅτι μετὰ τῶν θυσιῶν, καὶ τῶν ὀργάνων, καὶ τῶν ἑορτῶν, καὶ τῶν θυμιαμάτων, καὶ τὸν ναὸν ἀποστρέφεται διὰ τοὺς εἰσιόντας ἐκεῖ; μάλιστα μὲν ἔδειξε διὰ τῶν ἔργων, τότε μὲν βαρβαρικαῖς χερσὶ παραδοὺς, ὕστερον δὲ εἰς τέλος καθελών. Ιερ. ζ. γ. ὅμως δὲ καὶ πρὸ τῆς καταστροφῆς διὰ τοῦ προφήτου βοᾷ καὶ λέγει, Μὴ πεποίθατε ἐπὶ λόγοις ψευδέσιν, ὅτι οὐκ ὠφελήσουσιν ὑμᾶς, "λέγοντες, ναὸς Κυρίου, ["ναὸς Κυρίου] ἐστίν. οὐχ ὁ ναὸς ἁγιάζει, φησὶ, τοὺς συνιόντας· ἀλλ' οἱ συνιόντες τὸν ναὸν ἅγιον ποιοῦσιν. Εἰ δὲ τότε οὐδὲν ὠφέλει ὁ ναὸς, ὅτε τὰ χερουβὶμ, ὅτε ἡ κιβωτός· πολλῷ μᾶλλον ὅτε πάντα ἐκεῖνα αἴρηται· ὅτε τελεία ἡ ἀποστροφὴ τοῦ Θεοῦ γέγονεν· ὅτε πλείων τῆς ἔχθρας ἡ ὑπόθεσις. πόσης οὖν ἀνοίας ἂν εἴη, καὶ πόσης παραφροσύνης, τοὺς ἠτιμωμένους, τοὺς ὑπὸ τοῦ Θεοῦ προδεδομένους, τοὺς τὸν δεσπότην παροξύναντας, τούτους κοινωνοὺς ποιεῖσθαι ἐν ἑορταῖς; Εἴ τις τὸν υἱὸν ἀνεῖλε τὸν σὸν, εἰπέ μοι, ἆρα ἂν αὐτὸν ἰδεῖν ὑπέμεινας; ἆρα δὲ ἀκοῦσαι τῆς προσηγορίας; ἀλλ' οὐχ ὡς δαίμονα πονηρὸν, ἀλλ' οὐχ ὡς αὐτὸν τὸν διάβολον ἔφυγες ἄν; τοῦ διασώσαντός σου τὸν υἱὸν ἀμελεῖ, καὶ τολμᾷς αὐτοῖς εἰς ταὐτὸν συνιέναι; καὶ ὁ μὲν ἀναιρεθεὶς οὕτω σε ἐτίμησεν, ὡς ἀδελφόν σε ποιῆσαι καὶ συγκληρονόμον αὐτοῦ· σὺ δὲ αὐτὸν οὕτως ἀτιμάζεις, ὡς τοὺς ἐκείνου φονέας καὶ σταυρώσαντας αὐτὸν τιμᾷν καὶ θεραπεύειν τῇ τῶν ἑορτῶν κοινωνίᾳ, καὶ εἰς τοὺς βεβήλους αὐτῶν τόπους ἀπαντᾷν, καὶ τῶν ἀκαθάρτων ἐπιβαίνειν προθύρων, καὶ κοινωνεῖν τραπέζης δαιμονίων; οὕτω γὰρ ἐγὼ πείθομαι καλεῖν, μετὰ τὴν θεοκτονίαν, τὴν τῶν Ἰουδαίων νηστείαν. καὶ πῶς γὰρ οὐχὶ δαίμονας θεραπεύουσιν οἱ Θεοῦ ἐναντία διαπραττόμενοι; ἀλλὰ θεραπείαν ἐκ δαιμόνων ἐπιζητεῖς; Ματθ. η. λα. ὅτε εἰς χοίρους εἰσελθεῖν αὐτοὺς συνεχώρει ὁ Χριστός, τότε εἰς πέλαγος εὐθέως κατεπόντισαν· ἀνθρώπων δὲ φείσονται σωμάτων; εἴθε μὲν οὖν μὴ ἀπεκτίννυον, εἴθε μὴ ἐπεβούλευον. τοῦ παραδείσου ἐξέβαλον, τῆς τιμῆς ἀπεστέρησαν τῆς ἄνωθεν· καὶ τὸ σῶμα θεραπεύσουσι; γέλως ταῦτα καὶ μῦθοι. ἐπιβουλεύειν καὶ καταβλάπτειν, οὐ θεραπεύειν ἴσασιν οἱ δαίμονες. τῆς ψυχῆς οὐ φείδονται, καὶ τῶν σωμάτων, εἰπέ μοι, φείσονται; τῆς βασιλείας ἐπιχειροῦσιν ἐκβαλεῖν· καὶ νοσημάτων ἀπαλλάττειν αἱρήσονται; οὐκ ἤκουσας τοῦ προφήτου λέγοντος, μᾶλλον δὲ τοῦ Θεοῦ διὰ τοῦ προφήτου, ὅτι οὐδὲ ἀγαθοποιῆσαι, οὐδὲ κακοποιῆσαι δύνανται; εἰ δὲ καὶ ἠδύναντο θεραπεύειν, καὶ ἐβούλοντο (ὅπερ ἀδύνατον) ἀλλὰ δεῖ σε μὴ κέρδους μικροῦ καὶ φθειρομένου ζημίαν ἄφθαρτον καὶ αἰώνιον ἀνταλλάξασθαι. σῶμα θεραπεύσεις, ἵνα ψυχὴν ἀπολέσῃς; ὡς * καλή σου ἡ ἐμπορεία; τὸν ποιητὴν τοῦ σώματος παροργίζεις Θεόν, καὶ τὸν σὸν ἐπίβουλον εἰς θεραπείαν ἐπικαλῇ; καὶ πῶς σέ τις δι' αὐτῆς τῆς ἰατρικῆς ἐπιστήμης δεισιδαίμων ἄνθρωπος ἑλλήνων θεοῖς οὐχ ἑλκύσει προσκυνῆσαι ῥᾳδίως; καὶ γὰρ ἐκεῖνοι πολλὰ πολλάκις διὰ τῆς αὐτῶν τέχνης νοσήματα ἀπήλασαν, καὶ πρὸς ὑγείαν τοὺς κάμνοντας ἐπανήγαγον. τί οὖν, κοινωνῆσαι δεῖ τῆς ἀσεβείας διὰ τοῦτο; μὴ γένοιτο. ἄκουσον τί φησιν Ἰουδαίοις ὁ Μωϋσῆς. Δευτ. ιγ. α. Ἐὰν ἀναστῇ προφήτης ἐν ὑμῖν ἐνυπνιαζόμενος ἐνύπνιον, καὶ δῷ σημεῖον ἢ τέρας, καὶ ἔλθῃ τὸ σημεῖον ἢ τὸ τέρας ὃ ἐλάλησε, καὶ εἴπῃ πρὸς σέ, λέγων· πορευθῶμεν, καὶ λατρεύσωμεν θεοῖς ἑτέροις, οὓς οὐκ ᾔδεις οἱ πατέρες ἡμῶν· οὐκ ἀκούσεσθε τῆς φωνῆς τοῦ προφήτου [ἢ] τοῦ ἐνυπνιαζομένου τὸ ἐνύπνιον. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐάν τις ἀναστῇ προφήτης, φησί, καὶ ποιήσῃ σημεῖον, ἢ νεκρὸν ἐγείρῃ, ἢ λεπρὸν καθάρῃ, ἢ πηρὸν ἰάσηται· καί, μετὰ τὸ ποιῆσαι τὸ σημεῖον, καλέσῃ σε εἰς ἀσέβειαν, μὴ πεισθῇς διὰ τὴν ἔκβασιν τοῦ σημείου. διὰ τί; Δευτ. ιγ. γ. Πειράζει γάρ σε Κύριος ὁ Θεός σου, ἰδεῖν, εἰ ἀγαπᾷς αὐτὸν ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου. ὅθεν δῆλον, ὅτι δαίμονες οὐ θεραπεύουσιν. εἰ δέ ποτε καί, συγχωροῦντος [τοῦ] Θεοῦ, ἐπιτύχοιέν τινος θεραπείας, καθάπερ ἄνθρωποι, εἰς δοκιμὴν τὴν σὴν ἡ συγχώρησις γέγονεν, οὐκ ἐπειδὴ Θεὸς ἀγνοεῖ, ἀλλ' ἵνα σὺ παιδευθῇς μηδὲ θεραπευόντων ἀνέχεσθαι τῶν δαιμόνων. καὶ τί λέγω θεραπείαν σώματος; εἴ τις σοι γέενναν ἀπειλεῖ, ὥστε ἀρνήσασθαι τὸν Χριστόν, μὴ καταδέξῃ; εἴ τις βασιλείαν ἐπαγγέλλοιτο, ὥστε ἀποστῆναι [ἀπὸ] τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ· ἀποστράφηθι καὶ μίσησον, καὶ γενοῦ Παύλου μαθητής, καὶ ζήλωσον τὰς φωνὰς ἐκείνας, ἃς ἡ μακαρία καὶ γενναία ἀνεβόησε ψυχή. Ρωμ. η. λη. Πέπεισμαι γάρ, φησιν, ὅτι οὔτε θάνατος, οὔτε ζωή, οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. ἐκεῖνον οὐκ ἄγγελοι, οὐ δυνάμεις, οὐκ ἐνεστῶτα, οὐ μέλλοντα, οὐ κτίσις ἑτέρα χωρίζει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ· καὶ σὲ σώματος θεραπεία ἀφίστησι; καὶ ποίας ἂν τύχοιμεν συγγνώμης; καὶ γὰρ καὶ γεέννης φοβερώτερον ἡμῖν τὸν Χριστὸν εἶναι δεῖ, καὶ βασιλείας ποθεινότερον. κἂν νοσήσωμεν, βέλτιον ἐν ταῖς ἀρρωστίαις μεῖναι, ἢ διὰ τὴν ἀπαλλαγὴν τῆς ἀσθενείας εἰς ἀσέβειαν καταπεσεῖν. κἂν γὰρ θεραπεύσῃ δαίμων, μεῖζον κατέβλαψεν ἢ ὠφέλησεν. ὠφέλησε μὲν γὰρ τὸ σῶμα, τὸ πάντως ἀποθανούμενον μικρὸν ὕστεεν, καὶ σήπεσθαι μέλλον· κατέβλαψε δὲ τὴν ψυχὴν τὴν ἀθάνατον. καὶ καθάπερ οἱ ἀνδραποδισταὶ τραγήματα καὶ πλακοῦντας καὶ τρωγάλια, καὶ ἕτερά τινα τοιαῦτα πολλάκις τοῖς μικροῖς προτεινόμενοι παιδίοις, καὶ δελεάζοντες, ἐλευθερίας αὐτὰ καὶ τῆς ζωῆς ἀποστεροῦσιν αὐτῆς· οὕτω δὴ καὶ οἱ δαίμονες, μέλους ὑπισχνούμενοι θεραπείαν, ὅλην τῆς ψυχῆς καταποντίζουσι τὴν σωτηρίαν.

Ἀλλ' ἡμεῖς μὴ ἀνεχώμεθα, ἀγαπητοί· ἀλλ' ἐκ παντὸς τρόπου ζητῶμεν ἀσεβείας ἀπαλλαγήν. μὴ γὰρ οὐκ ἐδύνατο ὁ Ἰὼβ τῇ γυναικὶ πεισθεὶς βλασφημῆσαι εἰς [τὸν] Θεὸν,
Ιωβ. β. θ. καὶ ἀπαλλαγῆναι τῆς ἐπικειμένης συμφορᾶς; Εἰπὲ γάρ τι, φησι, ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα. ἀλλ' εἵλετο μᾶλλον ὀδυνᾶσθαι καὶ τήκεσθαι, καὶ τὴν ἀφόρητον ἐκείνην πληγὴν ἐνεγκεῖν, ἢ βλασφημήσας ἀπαλλαγῆναι τῶν ἐπικειμένων κακῶν. τοῦτον καὶ σὺ ζήλωσον. κἂν μυρίας ὁ δαίμων ἐπαγγείληται τῶν ἐπικειμένων σοι λύσεις κακῶν, μὴ πεισθῇς, μηδὲ ἀνάσχῃ, καθάπερ ὁ δίκαιος οὐκ ἐπείσθη τῇ γυναικί· ἀλλ' ἑλοῦ μᾶλλον ἐγκαρτερῆσαι τῷ νοσήματι, ἢ τὴν πίστιν καὶ τὴν σωτηρίαν τῆς σῆς ἀπολέσαι ψυχῆς. οὐ γὰρ ἐγκαταλιμπάνων σε ὁ Θεὸς, ἀλλὰ λαμπρότερον ποιῆσαι βουλόμενος, ἀφίησι ταῖς ἀῤῥωστίαις ἐμπεσεῖν πολλάκις. μένε τοίνυν καρτερῶν, ἵνα καὶ σὺ ἀκούσῃς, Μὴ ἄλλως οἴει με κεχρηματικέναι σοι, ἢ
Ιωβ μ. γ. ἵνα δίκαιος ἀναφανῇς; εἶχον μὲν οὖν καὶ τούτων πλείω εἰπεῖν. ἀλλ' ὥστε μὴ τῶν εἰρημένων τὴν
Δευτ. λ. ιθ. μνήμην λυμήνασθαι, ἐνταῦθα καταλύσω τὸν λόγον, τὰ τοῦ Μωϋσέως ῥήματα εἰπών· Διαμαρτύρομαι ὑμῖν τόν τε οὐρανὸν καὶ τὴν γῆν, ὅτι ἐάν τις τῶν παρόντων ἡμῖν, ἢ τῶν ἀπόντων, πρὸς τὴν θεωρίαν ἀπέλθῃ τῶν σαλπίγγων, ἢ εἰς τὴν συναγωγὴν ἀπαντήσῃ, ἢ εἰς τὰ Ματρώνης ἀνέλθῃ, ἢ νηστείᾳ κοινωνήσῃ, ἢ σαββάτων μετάσχῃ, ἢ ἄλλο τι μικρὸν ἢ μέγα Ἰουδαϊκὸν ἔθος ἐπιτελέσῃ· καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος ὑμῶν πάντων. οὗτοι οἱ λόγοι παραστήσονται ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐμοὶ καὶ ὑμῖν. κἂν μὲν πεισθῆτε, πολλὴν ὑμῖν παρέξουσι τὴν παρρησίαν· ἂν δὲ παρακούσητε, ἢ τινας τῶν τὰ τοιαῦτα τολμώντων ἀποκρύψητε, ὥσπερ κατήγοροι σφοδροὶ ἀντικαταστήσονται ὑμῖν. οὐ γὰρ
Ματθ. κε. κζ. ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ· ἀλλὰ [καὶ] κατέβαλον τὸ ἀργύριον ἐπὶ τοὺς τραπεζίτας. ὑμῶν ἐστι λοιπὸν πλεονάσαι τὸ καταβληθὲν, καὶ τῇ τῆς ἀκροάσεως ὠφελείᾳ πρὸς τὴν σωτηρίαν τῶν ἡμετέρων ἀδελφῶν ἀποχρήσασθαι. ἀλλὰ φορτικὸν καὶ ἐπαχθὲς καταγγέλλειν τοὺς τὰ τοιαῦτα ἁμαρτάνοντας. φορτικὸν μὲν οὖν καὶ ἐπαχθὲς σιγᾷν. καὶ γὰρ ὑμῖν τοῖς ἀποκρύπτουσι, κἀκείνοις τοῖς λανθάνουσιν ἐπάγει τὸν ὄλεθρον αὕτη ἡ σιγὴ, τὸν Θεὸν ὑμῖν ἐκπολεμοῦσα. πόσῳ δὲ βέλτιον τοῖς συνδούλοις ἀπεχθάνεσθαι ἐπὶ σωτηρίᾳ, ἢ τὸν δεσπότην παροξύνειν καθ' ἑαυτῶν; οὗτος μὲν γὰρ, κἂν ἀγανακτήσῃ νῦν, οὐδέν σε βλάψαι δυνήσεται, μᾶλλον δὲ καὶ χάριν εἴσεταί σοι μετὰ ταῦτα τῆς ἰατρείας· ὁ δὲ Θεὸς, ἂν τῷ συνδούλῳ σου τὴν ἐπιβλαβῆ χαριζόμενος χάριν, σιγήσῃς καὶ ἀποκρύψῃς, τὴν ἐσχάτην ἀπαιτήσει σε δίκην. ὥστε σιγῶν μὲν, καὶ τὸν Θεὸν ἐκπολεμώσεις σεαυτῷ, καὶ τὸν ἀδελφὸν βλάψεις· καταγγέλλων δὲ καὶ φανερὸν ποιῶν, κἀκεῖνον ἕξεις ἵλεων, καὶ τοῦτον κερδανεῖς, καὶ φίλον κτήσῃ μανικὸν, τῇ πείρᾳ τὴν εὐεργεσίαν μαθόντα. μὴ τοίνυν νομίζετε χαρίζεσθαι τοῖς ὑμετέροις ἀδελφοῖς, εἴ τι τῶν ἀτόπων ὁρῶντες μετιόντας, μὴ μετὰ πάσης ἐλέγχοιτε τῆς σφοδρότητος. ἱμάτιον ἂν ἀπολέσῃς, μὴ τὸν κεκλοφότα μόνον, οὐχὶ καὶ τὸν συνειδότα τῷ κλέπτῃ καὶ μὴ καταγγέλλοντα, ὁμοίως νομίζεις ἐχθρόν; ἡ μήτηρ ἡμῶν ἡ κοινὴ οὐχ ἱμάτιον, ἀλλ' ἀδελφὸν ἀπώλεσεν. ἔκλεψεν αὐτὸν ὁ διάβολος, καὶ κατέχει νῦν ἐν τῷ Ἰουδαϊσμῷ. οἶδας τὸν κεκλοφότα, οἶδας τὸν κλαπέντα· ὁρᾷς ἐμὲ καθάπερ λύχνον ἅπτοντα τῆς διδασκαλίας τὸν λόγον, καὶ πανταχοῦ ζητοῦντα, καὶ κοπτόμενον· καὶ σὺ ἕστηκας σιγῶν, καὶ οὐ καταγγέλλεις; καὶ ποίαν ἕξεις συγγνώμην; πῶς δὲ οὐκ ἐν τοῖς ἐσχάτοις σε τῶν ἐχθρῶν ἡ ἐκκλησία λογιεῖται, καὶ πολέμιον ἡγήσεται καὶ λυμεῶνα; ἀλλὰ μὴ γένοιτο μηδένα τῶν

ταύτης ἀκούοντες τῆς συμβουλῆς, τοιαύτην ἁμαρτίαν ποτὲ ἁμαρτεῖν, ὥστε προδοῦναι ἀδελφόν, ὑπὲρ οὗ Χριστὸς ἀπέθανεν. ὁ Χριστὸς τὸ αἷμα ἐξέχεε δι' αὐτόν· σὺ δὲ οὐδὲ λόγον προέσθαι δι' αὐτὸν ὑπομένεις; μή, παρακαλῶ· ἀλλ' εὐθέως ἐντεῦθεν ἀναχωρήσαντες, ἐπὶ τὴν θήραν ταύτην ἐπείχθητε, καὶ ἕκαστος ὑμῶν ἕνα μοι κομισάτω τῶν τὰ τοιαῦτα νοσούντων· μᾶλλον δὲ μὴ γένοιτο τοσούτους εἶναι τοὺς νοσοῦντας. δύο δὲ τρεῖς ἐξ ὑμῶν, ἢ καὶ δέκα καὶ εἴκοσι ἕνα μοι κομισάτωσαν, ἵνα κατὰ τὴν ἡμέραν ἐκείνην ἰδὼν τὴν ἄγραν εἴσω τῶν δικτύων γεγενημένην, δαψιλεστέραν ὑμῖν παραθῶ τὴν τράπεζαν. ἂν γὰρ ἴδω τὴν σήμερον συμβουλὴν εἰς ἔργον ἐκβεβηκυῖαν, μετὰ πλείονος ἅψομαι τῆς προθυμίας τῆς πρὸς ἐκείνους ἰατρείας, καὶ πλέον ἔσται τὸ κέρδος καὶ ὑμῖν, κἀκείνοις. μὴ τοίνυν ὀλιγωρήσητε, ἀλλὰ καὶ γυναῖκες γυναῖκας, καὶ ἄνδρες ἄνδρας, καὶ δοῦλοι δούλους, καὶ ἐλεύθεροι ἐλευθέρους, καὶ παῖδες παῖδας, καὶ πάντες ἁπλῶς μετὰ ἀκριβείας ἁπάσης τοὺς τὰ τοιαῦτα νοσοῦντας θηρεύσαντες, οὕτως εἰς τὴν ἐπιοῦσαν ἀπαντήσατε σύναξιν· ἵνα καὶ τοῦ παρ' ἡμῶν ἐπαίνου τύχητε, καὶ πρὸ τῶν ἡμετέρων ἐγκωμίων τὸν παρὰ τοῦ Θεοῦ μισθὸν ἐπισπάσησθε, τὸν πολὺν καὶ ἄφατον, καὶ τοὺς πόνους τῶν κατορθούντων ὑπερβαίνοντα πολλῷ τῷ μέτρῳ· οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ, καὶ μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ [καὶ ζωοποιῷ αὐτοῦ] πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΟΜΙΛΙΑ ΕΙΣ ΤΟΥΣ ΤΑ ΠΡΩΤΑ ΠΑΣΧΑ νηστεύοντας.

ΠΑλιν χρεία τις ἀναγκαία καὶ κατεπείγουσα, τῶν προτέρων εἰρημένων τὴν ἀκολουθίαν διακόψασα, πρὸς ἑαυτὴν ἐπισπᾶται τὸν λόγον, καὶ τῶν πρὸς τοὺς αἱρετικοὺς ἡμᾶς ἀπάγει παλαισμάτων τήμερον. ἡμεῖς μὲν γὰρ πάλιν περὶ τῆς τοῦ μονογενοῦς δόξης διαλεχθῆναι πρὸς τὴν ὑμετέραν ἀγάπην παρεσκευαζόμεθα· ἡ δὲ τῶν τὰ πρῶτα πάσχα νηστεύειν βουλομένων ἄκαιρος φιλονεικία, πρὸς τὴν αὐτῶν θεραπείαν πᾶσαν ἡμῖν ἀναλωθῆναι καταναγκάζει τὴν διδασκαλίαν τήμερον. καὶ γὰρ ὁ ποιμὴν ὁ καλός, οὐχὶ τοὺς λύκους ἀπελαύνει μόνον, ἀλλὰ καὶ τὰ πρόβατα νενοσηκότα θεραπεύει μετ' ἐπιμελείας ἁπάσης· ἐπεὶ τί τὸ κέρδος, ὅταν τῶν μὲν θηρίων τὰ στόματα διαφύγῃ τὰ ποίμνια, ὑπὸ δὲ τῆς ἀρρωστίας κατεσθίηται; οὕτω δὲ στρατηγὸς ἄριστος οὐχὶ τὰ μηχανήματα ἀποκρούεται μόνον, ἀλλὰ πρὸ τούτων τὴν πόλιν στασιάζουσαν πρὸς ἑαυτὴν συνάγει· εἰδὼς ὅτι τὸ πλέον οὐδέν ἐστι τῆς ἔξωθεν νίκης, ἕως ἂν ④ ἔνδοθεν ἐμφύλιοι μένωσι πόλεμοι. καὶ ἵνα μάθῃς, ὅτι στάσεως καὶ φιλονεικίας ἴσον οὐδὲν εἰς καθαίρεσιν, ἄκουσον τί φησιν ὁ Χριστός· Βασιλεία μερισθεῖσα ἐφ' ἑαυτὴν οὐ σταθήσεται. καίτοι τί βασιλείας δυνατώτερον, ὅπου χρημάτων πρόσοδος, καὶ ὅπλα, καὶ τείχη, καὶ ὀχυρώματα, καὶ στρατιωτῶν ἀριθμὸς τοσοῦτος, καὶ ἵπποι, καὶ μυρία ἕτερα πολλὴν παρέχοντα τὴν ἰσχύν; ἀλλ' ὅμως ἡ τοσαύτη δύναμις καταλύεται, ὅταν πρὸς ἑαυτὴν στασιάζῃ. οὐδὲν γὰρ οὕτως ἀσθένειαν ἐργάζεσθαι πέφυκεν, ὡς φιλονεικία καὶ ἔρις· ὥσπερ οὐδὲν οὕτως ἰσχὺν καὶ δύναμιν, ὡς ἀγάπη καὶ ὁμόνοια. ὅπερ οὖν καὶ ὁ Σολομὼν συνιδών, ἔλεγεν· Ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος ὡς πόλις ὀχυρά, καὶ μεμοχλευμένη βασιλεία. εἶδες ὅση τῆς ὁμονοίας ἡ ἰσχύς;

Ματθ. ιβ. κε.

ὅση τῆς φιλονεικίας ἡ βλάβη; βασιλεία στασιάζουσα καταλύεται, δύο δὲ ἐπὶ ταυτὸ ὄντες,
καὶ συνδεδεμένοι μετ' ἀλλήλων, παντός εἰσιν ἀῤῥαγέστεροι τείχους. καὶ οἶδα μὲν ὅτι διὰ τὴν
τοῦ Θεοῦ χάριν τὸ πλέον ἡμῖν τῆς ἀγέλης ταύτης ἀπήλλακται τῆς ἀῤῥωστίας, καὶ εἰς ὀλίγους
τὸ νόσημα περιέστηκε· πλὴν ἀλλ' οὐ διὰ τοῦτο ἀμελητέον τῆς θεραπείας. κἂν γὰρ κἂν εἰ δέ-
κα μόνοι, κἂν εἰ πέντε, καὶ εἰ δύο, καὶ εἰ εἷς μόνος ὁ κάμνων ᾖ, οὐδὲ οὕτω καταφρονῆσαι
ἔστι. εἰ γὰρ καὶ εἷς ἐστι καὶ εὐτελὴς κἂν ἀπεῤῥιμμένος, ἀλλ' ἀδελφός ἐστι, δι' ὃν ὁ Χριστὸς ἀπέ-
Ματθ. ιη. ϛ. θανε. καὶ πολὺς παρὰ Χριστῷ τῶν εὐτελῶν ὁ λόγος. Ὃς ἐὰν σκανδαλίσῃ, φησὶν, ἕνα τῶν μι-
κρῶν τῶν πιστευόντων εἰς ἐμὲ, συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν τράχηλον
Ματθ. κε. με. αὐτοῦ, καὶ καταποντισθῇ εἰς τὴν θάλασσαν· καὶ πάλιν, Ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τῶν μι-
Ματθ. ιη. ιδ. κρῶν τούτων, οὐδὲ ἐμοὶ ἐποιήσατε· καὶ πάλιν, Οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ πατρὸς ὑμῶν
τοῦ ἐν τοῖς οὐρανοῖς, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων. πῶς οὖν οὐκ ἄτοπον, εἰ τοῦ
Χριστοῦ τοσαύτην ποιουμένου τῶν μικρῶν πρόνοιαν, ἡμεῖς αὐτῶν καταῤῥαθυμήσαιμεν; μὴ
τοῦτο εἴπῃς, ὅτι εἷς ἐστιν, ἀλλ' ὅτι εἷς ἀμελούμενος, καὶ εἰς τοὺς λοιποὺς παραπέμψει τὸ
Γαλ. ε. θ. πάθος. Μικρὰ γὰρ ζύμη, φησὶν, ὅλον τὸ φύραμα ζυμοῖ. καὶ τοῦτο ἐστὶν ὃ τὰ πάντα ἀπόλ-
λυσι καὶ ἀνατρέπει, ὅτι τῶν μικρῶν καταμελοῦμεν. διὰ τοῦτο μεγάλα γίνεται τὰ ἕλκη· ὥσπερ
οὖν τὰ μεγάλα ῥᾳδίως ἂν γένοιτο μικρὰ τῆς προσηκούσης ἀπολαύοντα ἐπιμελείας. τοῦτο
τοίνυν πρὸς αὐτοὺς λέγομεν πρότερον, ὅτι οὐδὲν χεῖρον φιλονεικίας καὶ μάχης, καὶ τοῦ τὴν
ἐκκλησίαν διασπᾶν, καὶ τὸν χιτῶνα, ὃν οὐκ ἐτόλμησαν οἱ λῃσταὶ διαῤῥῆξαι, τοῦτον εἰς πολλὰ κα-
τατεμεῖν μέρη. οὐκ ἀρκοῦσιν αἱ λοιπαὶ αἱρέσεις, ἀλλὰ καὶ ἡμεῖς ἑαυτοὺς κατατέμνομεν; οὐκ ἀ-
Γαλ. ε. ιε. κούεις τοῦ Παύλου λέγοντος, Εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπὸ ἀλλή-
λων ἀναλωθῆτε; ἔξω τῆς ἀγέλης βαδίζεις, εἰπέ μοι, καὶ οὐ δέδοικας τὸν λέοντα τὸν ἔξωθεν περιϊόν-
α. Πετ. ε. η. τα; Ὁ ἐχθρὸς γὰρ ὑμῶν, ὡς λέων, περιέρχεται, φησὶν, ὠρυόμενος καὶ ζητεῖ τίνα ἁρπάσῃ. ὅρα σοφίαν
ποιμένος. οὔτε ἔνδον ἀφῆκεν εἶναι ἐν τοῖς προβάτοις, ἵνα μὴ καταπλήξηται τὸ ποίμνιον· οὔτε
ἔξωθεν ἀπήγαγεν, ἵνα τῷ φόβῳ τοῦ θηρίου πάντας ἔσω συναγάγῃ. οὐκ αἰδῇ τὸν πατέρα;
φοβήθητι τὸν ἐχθρόν. εἰ ἀποσχίσῃς σαυτὸν τῆς ἀγέλης, ἐκεῖνός σε δέξεται πάντως. ἠδύνατο μὲν γὰρ
καὶ ἔξωθεν αὐτὸν ἀπαγαγεῖν ὁ Χριστός· ἀλλ' ἵνα σε παρασκευάσῃ νήφειν, κἂν ἐναγώνιον εἶναι, καὶ
πρὸς τὴν μητέρα συνεχῶς καταφεύγειν, ἀφῆκεν ἔξωθεν ὠρύεσθαι, ἵνα οἱ ἔνδοθεν ἀκούοντες
αὐτοῦ τῆς φωνῆς μᾶλλον συσφίγγωνται, καὶ πρὸς ἀλλήλους καταφεύγωσιν. οὕτω καὶ μητέρες
ποιοῦσι φιλόστοργοι, τὰ παιδία κλαυθμυριζόμενα πολλάκις ἀπειλοῦσι τοῖς στόμασι τῶν λύ-
κων ῥίπτειν, οὐχ ἵνα ῥίψωσιν, ἀλλ' ἵνα παύσωσι δυσχεραίνοντα. πάντα ὁ Χριστὸς διὰ τοῦτο
ἐποίησεν, ἵνα εἰρηνεύωμεν, ἵνα πρὸς ἀλλήλους ὦμεν συνδεδεμένοι. διὰ τοῦτο καὶ Παῦλος
πολλὰ καὶ μεγάλα Κορινθίοις ἐγκαλεῖν ἔχων, οὐδὲν ἐνεκάλεσε πρὸ τούτου. ἀλλ' ἔχων αὐ-
τοῖς ἐγκαλέσαι καὶ περὶ πορνείας, καὶ περὶ ἀπονοίας, καὶ τῶν ἔξω δικαστηρίων, καὶ τῶν ἐν τοῖς εἰδω-
λείοις συμποσίων, καὶ ὅτι γυναῖκες μὲν οὐκ ἐκαλύπτοντο τὰς κεφαλὰς, ἄνδρες δὲ τοῦτο ἐποίουν,
καὶ μετὰ τούτων ἁπάντων διὰ τὴν τῶν πενήτων ὑπεροψίαν, καὶ τὴν ἐκ τῶν χαρισμάτων
ἐγινομένην αὐτοῖς ἀπόνοιαν, καὶ περὶ τῆς τῶν σωμάτων ἀναστάσεως· ἔχων δὲ μετὰ τούτων ἁ-
πάντων καὶ περὶ τῆς πρὸς ἀλλήλους φιλονεικίας καὶ διχοστασίας αὐτοῖς ἐπιτιμῆσαι, πάντα
τὰ ἄλλα παραδραμὼν, ἐκεῖνο διορθοῦται πρότερον. καὶ εἰ μὴ δοκῶ παρενοχλεῖν, ἀπ' αὐ-
τῶν τῶν τοῦ Παύλου ῥημάτων τοῦτο ποιήσω φανερὸν, ὅτι πάντα ἐκεῖνα ἔχων ἐγκαλεῖν, οὐ-
α. Κορ. ε. α. δὲν πρὸ τούτου διώρθωσεν. ὅτι μὲν γὰρ ἐπόρνευον, ἄκουσον τί φησιν· Ὅλως ἀκούεται ἐν ὑμῖν
α. Κορ. δ. ιη. πορνεία. ὅτι δὲ καὶ πεφυσίωνται καὶ μέγα ἐφρόνουν, Ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς ἐ-
καὶ ϛ. α. φυσιώθησάν τινες. ὅτι δὲ καὶ ἔξω πάλιν ἐδικάζοντο, Τολμᾷ τις ἐξ ὑμῶν πρᾶγμα ἔχων
α. Κορ. ι. κα. πρὸς τὸν ἕτερον κρίνεσθαι ἐπὶ τῶν ἀπίστων; ὅτι δὲ καὶ εἰδωλόθυτα ἤσθιον, Οὐ δύνασθε
τραπέζης Κυρίου μετέχειν, καὶ τραπέζης δαιμονίων. καὶ περὶ τοῦ μὴ κατακαλύπτεσθαι

σθαι δὲ τὰς γυναῖκας, ἀλλὰ τοὺς ἄνδρας ἀπ' ἐναντίας, ἄκουσον πῶς αὐτοῖς ἐπιτιμᾷ λέγων· Πᾶς ἀνὴρ προσευχόμενος, ἢ προφητεύων κατὰ κεφαλῆς ἔχων, καταισχύνει τὴν κεφαλὴν αὐτοῦ· πᾶσα δὲ γυνὴ προσευχομένη, ἢ προφητεύουσα ἀκατακαλύπτῳ τῇ κεφαλῇ, καταισχύνει τὴν κεφαλὴν αὐτῆς. Καὶ ὅτι τῶν πενήτων ὑπερεώρων, καὶ τοῦτο ἐδήλωσεν εἰπών· Ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει· καὶ πάλιν, Ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας; ἐπειδὴ δὲ καὶ τοῖς μείζοσι τῶν χαρισμάτων ἅπαντες ἐπεπήδων, καὶ τὸ ἔλαττον οὐδεὶς κατεδέχετο, φησί· Μὴ πάντες ἀπόστολοι; μὴ πάντες προφῆται; ὅτι δὲ καὶ περὶ τῆς ἀναστάσεως ἀμφέβαλλον, Ἀλλ' ἐρεῖ τις, φησί, πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ σώματι ἔρχονται; ἀλλ' ὅμως τοσαῦτα ἔχων ἐγκαλέσαι, οὐδὲν περὶ ἐκείνου πρὸς αὐτοὺς εἶπε τῆς διαστάσεως καὶ τῆς φιλονεικίας· ἀλλ' εὐθέως ἀρχόμενος τῆς ἐπιστολῆς, οὕτω πώς φησι, Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα. ᾔδει γάρ, ᾔδει σαφῶς, ὅτι τοῦτο πρότερον ἦν τὸ κατεπεῖγον. ὁ πορνεύων μὲν συνεχῶς εἰς τὴν ἐκκλησίαν εἰσίῃ, καὶ ὁ ἀλαζὼν, καὶ ὁ ὁποιονοῦν ἔχων ἐλάττωμα, ταχέως αὐτὸ συνεχοῦς ἀπολαύων διδασκαλίας ἀποθήσεται, καὶ πρὸς τὴν ὑγίειαν ἐπανήξει· ὁ μέντοι τῆς συνόδου ταύτης ἑαυτὸν ἀποῤῥήξας, καὶ τῆς τῶν πατέρων διδασκαλίας ὑπεξαγαγὼν, καὶ τὸν ἰατρὸν φυγὼν, κἂν ὑγιαίνειν δοκῇ, ταχέως εἰς ἀῤῥωστίαν πεσεῖται. καὶ καθάπερ ἰατρὸς ἄριστος τὸν πυρετὸν πρῶτον σβέσας, τότε τὰ ἕλκη καὶ τὰ ῥήγματα διορθοῦται· οὕτω καὶ Παῦλος ἐποίησε, πρότερον τὴν διάστασιν ἀνελὼν, τότε τὰ καθ' ἕκαστον μέλος ἐθεράπευσε τραύματα. διὰ τοῦτο καὶ ὑπὲρ τούτου διαλέγεται πρὸ τούτων, μηδὲ στασιάζειν πρὸς ἀλλήλους, μηδὲ οἰκείους ἄρχοντας ἐπιγράφεσθαι, μηδὲ εἰς πολλὰ κατατεμεῖν μέρη Χριστοῦ τὸ σῶμα.

α. Κορ. ια. δ.
α. Κορ. ια. κα. κβ.
α. Κορ. ιβ. κθ. καὶ ιε. λε.
α. Κορ. α. ι.

Ταῦτα δὲ οὐκ ἐκείνοις ἔλεγε μόνον, ἀλλὰ καὶ τούτοις μετ' ἐκείνους τὰ αὐτὰ νοσοῦσιν ἐκείνοις· οὓς ἡδέως ἔγωγε ἂν ἐροίμην, τί ποτέ ἐστι πάσχα, τί ποτέ ἐστι τεσσαρακοστὴ, καὶ τί μὲν τὸ Ἰουδαϊκὸν, τί δὲ τὸ ἡμέτερον· καὶ τίνος ἕνεκεν ἐκεῖνο μὲν ἅπαξ τοῦ ἐνιαυτοῦ παντὸς ἐγίνετο, τοῦτο δὲ καθ' ἑκάστην τελεῖται σύναξιν· τί βούλεται τὰ ἄζυμα, καὶ ἕτερα πολλῷ πλείονα τούτων εἰς αὐτὴν ταύτην συντελοῦντα τὴν ὑπόθεσιν. καὶ τότε ἂν ἔγνωτε καλῶς αὐτῶν τὴν ἄκαιρον φιλονεικίαν, οἳ μηδὲ λόγον περὶ ὧν ποιοῦσιν ἀποδοῦναι δυνάμενοι, καθάπερ ἁπάντων ὄντες σοφώτεροι, οὔτε παρ' ἑτέρων μανθάνουσιν, ὅπερ ἐσχάτης ἐστὶ καταγνώσεως, μήτε αὐτοὶ εἰδέναι, μήτε τοῖς ἐπιτεταγμένοις ἕπεσθαι, ἀλλ' ἁπλῶς ἀλόγῳ συνηθείᾳ τὰ καθ' ἑαυτοὺς ἐπιτρέψαντες, κατὰ βαράθρων φέρονται καὶ κρημνῶν. ἀλλὰ τίς ὁ σοφὸς αὐτῶν λόγος, ὅταν ταῦτα αὐτοῖς ἀντιλέγωμεν; ὑμεῖς, φησιν, οὐ ταύτην ἐνηστεύετε τὴν νηστείαν πρότερον; τοῦτο οὐ σόν ἐστιν εἰπεῖν πρός με, ἀλλ' ἐμὲ δίκαιον ἂν εἴη πρὸς σὲ λέγειν, ὅτι καὶ ἡμεῖς οὕτως ἐνηστεύομεν πρότερον, ἀλλ' ὅμως προετιμήσαμεν τὴν συμφωνίαν τῆς τῶν χρόνων παρατηρήσεως. καὶ ὅπερ ὁ Παῦλος πρὸς Γαλάτας ἔλεγε, τοῦτο καὶ ἐγὼ ὑμῖν λέγω· Γίνεσθε ὡς ἐγώ, ὅτι κἀγὼ ὡς ὑμεῖς. τί δὲ τοῦτό ἐστιν; ἐπειδὴ ἔπεισεν αὐτοὺς ἀποστῆναι περιτομῆς, καταφρονῆσαι σαββάτων, καὶ ἡμερῶν, καὶ τῶν ἄλλων τῶν νομίμων ἁπάντων. εἶτα, ἐπειδὴ δεδοικότας ἑώρα καὶ φοβουμένους, μήποτε παραβάσεως ἕνεκεν ὑπομείνωσι καὶ τιμωρίαν, ἀπὸ τῶν καθ' ἑαυτὸν πραγμάτων εἰς τὸ θαῤῥεῖν αὐτοὺς ἐνάγει, λέγων· γίνεσθε ὡς ἐγώ, ὅτι κἀγὼ ὡς ὑμεῖς. μὴ γὰρ ἐξ ἐθνῶν ἦλθον, φησί; μὴ γὰρ ἄπειρος ἤμην τῆς νομικῆς πολιτείας, καὶ τῆς τιμωρίας τῆς κειμένης τοῖς παραβαίνουσι τὸν νόμον; Ἑβραῖος ἐξ Ἑβραίων, κατὰ νόμον Φαρισαῖος, κατὰ ζῆλον διώκων τὴν ἐκκλησίαν. ἀλλὰ καὶ ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν· τουτέστιν, ἀπέστην αὐτῶν καθάπαξ. γίνεσθε οὖν ὡς κἀγώ· καὶ γὰρ κἀγὼ ὡς ὑμεῖς ἤμην. καὶ τί λέγω περὶ ἐμαυτοῦ; τριακόσιοι πατέρες, ἢ καὶ πλείους, εἰς τὴν Βιθυνῶν χώραν συνελθόντες ταῦτα ἐνομοθέτησαν· καὶ πάντας ἀτιμάζεις ἐκείνους; δυοῖν γὰρ θάτερον,

Γαλ. δ. ιβ.
Φιλιπ. γ. ε.

ἢ ἄνοιαν αὐτῶν, ὡς οὐκ ἀκριβῶς εἰδόσι, καταγινώσκεις, ἢ δειλίαν, ὡς εἰδότων μὲν, ὑπο-
κρινομένων δὲ καὶ προδόντων τὴν ἀλήθειαν. ὅταν γὰρ μὴ μένῃς ἐφ' οἷς ἐνομοθέτησαν ἐκεῖνοι,
ταῦτα ἕπεται πάντως. ὅτι δὲ καὶ σοφίαν πολλὴν καὶ ἀνδρείαν ἐπεδείξαντο τότε, τὰ γεγενημένα
ἅπαντα δηλοῖ. τὴν μὲν γὰρ σοφίαν αὐτῶν δείκνυσιν ἡ τότε ἐκτεθεῖσα πίστις, καὶ τὰ τῶν αἱ-
ρετικῶν ἐμφράξασα στόματα, καὶ καθάπερ τεῖχος ἄρραγες τὰς ἐπιβουλὰς αὐτῶν ἀποκρουσαμένη
πάσας· τὴν δὲ ἀνδρείαν ὁ προσφάτως παυσάμενος διωγμὸς, καὶ ὁ τῶν ἐκκλησιῶν
πόλεμος. καθάπερ γὰρ ἀριστεῖς τινες μυρία στήσαντες τρόπαια, καὶ πολλὰ δεξάμενοι τραύ-
ματα, οὕτω πανταχόθεν ἐπεδήμησαν τότε τῶν ἐκκλησιῶν οἱ προεστάται, τὰ στίγματα τοῦ
Χριστοῦ βαστάζοντες, καὶ πολλὰς ἔχοντες ἀριθμεῖν τιμωρίας, ἃς διὰ τὴν ὁμολογίαν ὑπέμειναν.
οἱ μὲν γὰρ εἶχον εἰπεῖν μέταλλα καὶ τὴν ἐν αὐτοῖς ταλαιπωρίαν, οἱ δὲ δημεύσεις
τῶν ὄντων ἁπάντων, οἱ δὲ λιμούς, οἱ δὲ πληγὰς συνεχεῖς· καὶ οἱ μὲν τὰς πλευρὰς κα-
τεξεσμένας, οἱ δὲ τὰ νῶτα συντετριμμένα, οἱ δὲ τοὺς ὀφθαλμοὺς ἐξορυχθέντας, οἱ δὲ ἄλλο τι
τοῦ σώματος μέρος ἀφῃρημένους ἑαυτῶν διὰ τὸν Χριστὸν ἐπιδείκνυσθαι εἶχον. καὶ ἀπὸ τῶν
ἀθλητῶν τούτων ἡ σύνοδος ἅπασα συγκεκρότητο τότε, καὶ μετὰ τῆς πίστεως καὶ τοῦτο ἐνομοθέτη-
σαν, ὥστε κοινῇ καὶ συμφώνως τὴν ἑορτὴν ταύτην ἐπιτελεῖν. οἱ τοίνυν τὴν πίστιν μὴ προ-
δόντες ἐν οὕτω χαλεπωτάτοις καιροῖς, οὗτοι διὰ ἡμερῶν παρατήρησιν καθυποκρίνεσθαι ἔμελ-
λον; ὅρα τί ποιεῖς τοσούτους κατακρίνων πατέρας, οὕτως ἀνδρείους καὶ σοφούς. εἰ γὰρ τελώ-
νην κατακρίνας ὁ Φαρισαῖος, πάντα ἀπώλεσεν ἅπερ εἶχεν ἀγαθὰ, τίνα ἕξεις συγγνώ-
μην, ποίαν δὲ ἀπολογίαν τοσούτων κατεξανιστάμενος διδασκάλων τῶν τοῦ Θεοῦ φίλων, καὶ
Ματθ. ιη. κ. ταῦτα ἀδίκως καὶ μετὰ πολλῆς τῆς ἀλογίας; οὐκ ἤκουσας αὐτοῦ τοῦ Χριστοῦ λέγοντος, ὅτι Ὅ-
που δύο ἢ τρεῖς εἰσι συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν; εἰ
δὲ ὅπου δύο ἢ τρεῖς, μέσος ἐστὶν ὁ Χριστὸς, ὅπου τριακόσιοι καὶ πολλῷ πλείους παρῆσαν, πολλῷ
μᾶλλον παρῆν, καὶ πάντα ἐτύπου καὶ ἐνομοθέτει. σὺ δὲ οὐ μόνον ἐκείνων καταγινώσκεις, ἀλλὰ
καὶ τῆς οἰκουμένης ἁπάσης, ἣ καὶ τὴν ἐκείνων γνώμην ἐπῄνεσεν. ἢ καὶ τῶν ἁπανταχοῦ τῆς γῆς
πατέρων σοφωτέρους Ἰουδαίους εἶναι νομίζεις, καὶ ταῦτα, τῆς πατρῴας ἐκπεσόντας πολι-
τείας, καὶ ἑορτὴν οὐδεμίαν τελοῦντας; ὅτι γὰρ οὐκ ἔστιν ἄζυμα παρ' αὐτοῖς, οὐδὲ πάσχα
(καὶ γὰρ καὶ τοῦτο ἀκούω λεγόντων πολλῶν, ὅτι μετὰ τῶν ἀζύμων τὸ πάσχα ἐστίν) ἀλλ' ὅτι οὐκ
Δευτ. ις. ε. ἔστι παρ' αὐτοῖς ἄζυμα, ἄκουσον τοῦ νομοθέτου λέγοντος, Οὐ δυνήσεσθε ποιῆσαι τὸ πάσχα
ἐν οὐδεμιᾷ τῶν πόλεών σου, ὧν Κύριος ὁ Θεός σου δίδωσί σοι, ἀλλ' ἢ εἰς τὸν τόπον, ὃν ἐὰν
ἐπικληθῇ τὸ ὄνομα αὐτοῦ, περὶ τῆς Ἱερουσαλὴμ λέγων. ὁρᾷς πῶς εἰς μίαν πόλιν συγ-
κλείσας τὴν ἑορτὴν, ὕστερον καὶ τὴν πόλιν καθεῖλεν αὐτὴν, ἵνα καὶ ἄκοντας αὐτοὺς ἀπαγά-
γῃ τῆς πολιτείας ἐκείνης; ὅτι γὰρ προεῖδε τὸ ἐσόμενον ὁ Θεὸς, παντί που δῆλόν ἐστι. τίνος
οὖν ἕνεκεν ἐκεῖ συνήλασεν αὐτοὺς ἀπὸ τῆς οἰκουμένης ἁπάσης; προειδὼς ὅτι ἀπολεῖται ἡ
πόλις; οὐκ εὔδηλον, ὅτι καταλυθῆναι βουλόμενος τὴν ἑορτήν; ὁ ~~Θεὸς [illegible]~~ κατέλυσε,
Ησ. μβ. ιθ. καὶ Ἰουδαίοις ἀκολουθεῖς; περὶ ὧν φησιν ὁ προφήτης, Καὶ τίς τυφλὸς, ἀλλ' ἢ οἱ παῖδές μου,
καὶ κωφὸς, ἀλλ' ἢ οἱ κυριεύοντες αὐτῶν; περὶ τίνα γὰρ οὐκ ἐγένοντο ἀγνώμονες ἐκεῖνοι καὶ
ἀναίσθητοι; περὶ τοὺς ἀποστόλους; περὶ τοὺς προφήτας; περὶ τοὺς αὐτῶν διδασκάλους; καὶ
τί χρὴ λέγειν διδασκάλους καὶ προφήτας, ὅπουγε καὶ αὐτοὺς τοὺς υἱοὺς αὐτῶν κατέσφαξαν;
ἔθυσαν γὰρ τοὺς υἱοὺς αὐτῶν τοῖς δαιμονίοις. τὴν φύσιν ἠγνόησαν, καὶ ἡμέρας ἤμελλον παρατηρεῖν,
εἰπέ μοι; τὴν συγγένειαν κατεπάτησαν, τῶν τέκνων ἐπελάθοντο· αὐτοῦ τοῦ πεποιηκότος
Δευτ. λβ. ιη. αὐτοὺς Θεοῦ ἐπελάθοντο. Θεὸν γάρ, φησι, τὸν γεννήσαντά σε ἐγκατέλιπες, καὶ ἐπελάθου Θε-
οῦ τοῦ τρέφοντός σε. τὸν Θεὸν ἐγκατέλιπον, καὶ ἑορτὰς φυλάττειν ἤμελλον; καὶ τίς διὰ τοῦτο εἴ-
ποι; ἐπεὶ καὶ ὁ Χριστὸς διὰ τοῦτο μετ' αὐτῶν τὸ πάσχα ἐποίησεν, οὐχ ἵνα ποιῶμεν ἡμεῖς μετ' ἐ-
κείνων, ἀλλ' ἵνα τῇ σκιᾷ τὴν ἀλήθειαν ἐπαγάγῃ. καὶ γὰρ καὶ περιτομὴν ὑπέμεινε, καὶ σάβ-
βατα

σάββατα ἐτήρησε, καὶ ἑορτὰς ἐπετέλεσε, καὶ ἄζυμα ἔφαγε, καὶ ἐν Ἱεροσολύμοις ταῦτα ἔπραξεν ἅπαντα. ἀλλ' οὐδενὶ τούτων ἡμεῖς ὑποκείμεθα, ἀλλὰ βοᾷ Παῦλος λέγων· Ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. Γαλ. ε. β. καὶ περὶ τῶν ἀζύμων πάλιν· Ὥστε ἑορτάζωμεν, α. Κορ. ε. η. μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας. ἡμῶν γὰρ τὰ ἄζυμα οὐκ ἄλευρον πεφυραμένον, ἀλλ' εἰλικρινὴς πολιτεία, καὶ βίος ἐνάρετος. τίνος οὖν ἕνεκεν ἐποίησεν ὁ Χριστὸς τότε; ἐπειδὴ τὸ παλαιὸν πάσχα τύπος ἦν τοῦ μέλλοντος ἔσεσθαι, ἔδει δὲ τὴν ἀλήθειαν ἐπιτεθῆναι τῷ τύπῳ, πρότερον δείξας τὴν σκιὰν, τότε ἐπήγαγε τὴν ἀλήθειαν ἐπὶ τῆς αὐτῆς τραπέζης. τῆς ἀληθείας δὲ ἐπενεχθείσης, ἡ σκιὰ λοιπὸν ἀποκρύπτεται, καὶ οὐδὲ καιρὸν ἔχει.

Μὴ τοίνυν τοῦτο προβάλλου, ἀλλ' ἐκεῖνό μοι δεῖξον, ὅτι οὕτως ἐκέλευσε ποιεῖν ὁ Χριστός. ἐγὼ γὰρ τοὐναντίον δείκνυμι, ὅτι οὐ μόνον οὐκ ἐκέλευσε παρατηρεῖν ἡμέρας, ἀλλὰ καὶ ἀπέλυσεν ἡμᾶς τῆς ἀνάγκης ταύτης. ἄκουσον γοῦν τί φησιν ὁ Παῦλος. ὅταν δὲ τὸν Παῦλον εἴπω, τὸν Χριστὸν λέγω· ἐκεῖνος γάρ ἐστιν ὁ τὴν Παύλου κινῶν ψυχήν. τί οὖν οὗτός φησιν; Ἡμέρας παρατηρεῖσθε, καὶ μῆνας, καὶ καιροὺς, καὶ ἐνιαυτούς. Γαλ. δ. ι. φοβοῦμαι ὑμᾶς, μήπως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς. καὶ πάλιν, Ὁσάκις ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον α. Κορ. ια. κς. τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε. ὁσάκις δὲ εἰπὼν, Κύριον ἐποίησε τὸν προσιόντα, πάσης ἡμερῶν παρατηρήσεως ἀπαλλάξας αὐτόν. οὐ γὰρ ταὐτὸν πάσχα καὶ τεσσαρακοστὴ, ἀλλ' ἕτερον πάσχα, καὶ ἑτέρα τεσσαρακοστή. τεσσαρακοστὴ μὲν γὰρ ἅπαξ τοῦ ἐνιαυτοῦ γίνεται, πάσχα δὲ τρίτον τῆς ἑβδομάδος· ἔστι δ' ὅτε καὶ τέταρτον, μᾶλλον δὲ ὁσάκις ἂν βουλώμεθα. πάσχα γὰρ οὐ νηστεία ἐστὶν, ἀλλ' ἡ προσφορὰ, καὶ ἡ θυσία, ἡ καθ' ἑκάστην γινομένη σύναξιν. καὶ ὅτι τοῦτο ἔστιν, ἄκουσον τοῦ Παύλου λέγοντος, Τὸ πάσχα ἡμῶν α. Κορ. ε. ζ. ὑπὲρ ἡμῶν ἐτύθη Χριστός· καὶ, Ὁσάκις ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον πίνητε, α. Κορ. ια. κς. τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε. ὥστε ὁσάκις ἂν προσίῃς μετὰ καθαροῦ συνειδότος, πάσχα ἐπιτελεῖς, οὐχ ὅταν νηστεύσῃς, ἀλλ' ὅταν τῆς θυσίας ἐκείνης μετέχῃς. Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε. πάσχα δὲ ἐστι, τὸ τὸν θάνατον καταγγέλλειν. καὶ γὰρ ἡ σήμερον γινομένη προσφορὰ, καὶ ἡ χθὲς ἐπιτελεσθεῖσα, καὶ ἡ καθ' ἑκάστην ἡμέραν ὁμοία ἐστὶ καὶ αὐτὴ τῇ γινομένῃ κατὰ τὴν ἡμέραν ἐκείνην τὴν τοῦ σαββάτου· καὶ οὐδὲν ἐκείνη ταύτης σεμνοτέρα, οὐδὲ αὕτη ἐκείνης εὐτελεστέρα, ἀλλὰ μία καὶ ἡ αὐτὴ, ὁμοίως φρικτὴ καὶ σωτήριος. τίνος οὖν ἕνεκεν νηστεύομεν, φησὶ, τὰς τεσσαράκοντα ταύτας ἡμέρας; πολλοὶ τὸ παλαιὸν τοῖς μυστηρίοις προσῄεσαν ἁπλῶς καὶ ὡς ἔτυχε, καὶ μάλιστα κατὰ τὸν καιρὸν τοῦτον, καθ' ὃν ὁ Χριστὸς αὐτὰ παρέδωκε. συνειδότες οὖν οἱ πατέρες τὴν βλάβην τὴν γινομένην ἐκ τῆς ἠμελημένης προσόδου, συνελθόντες ἐτύπωσαν ἡμέρας τεσσαράκοντα νηστείας, εὐχῶν, ἀκροάσεως, συνόδων, ἵν' ἐν ταῖς ἡμέραις ταύταις καθαρθέντες μετ' ἀκριβείας ἅπαντες καὶ δι' εὐχῶν, καὶ δι' ἐλεημοσύνης, καὶ διὰ νηστείας, καὶ διὰ παννυχίδων, καὶ διὰ δακρύων, καὶ δι' ἐξομολογήσεως, καὶ διὰ τῶν ἄλλων ἁπάντων, οὕτω κατὰ δύναμιν τὴν ἡμετέραν μετὰ καθαροῦ συνειδότος προσίωμεν. καὶ ὅτι μέγα κατώρθωσαν διὰ τῆς συγκαταβάσεως ταύτης εἰς συνήθειαν ἡμᾶς νηστείας καταστήσαντες, δῆλον ἐκεῖθεν. ἡμεῖς μὲν γὰρ ἂν διὰ παντὸς τοῦ ἐνιαυτοῦ μηνύωμεν βοῶντες καὶ κηρύττοντες νηστείαν, οὐδεὶς προσέχει τοῖς λεγομένοις· ἂν δὲ ἐπιστῇ μόνον ὁ τῆς τεσσαρακοστῆς καιρὸς, καὶ μηδενὸς παραινοῦντος, μηδὲ συμβουλεύοντος, καὶ ὁ σφόδρα νωθρότατος διανίσταται, τὴν παρὰ τοῦ καιροῦ λαμβάνων συμβουλὴν καὶ παραίνεσιν. ἂν οὖν ἐρωτᾷ σε Ἰουδαῖος καὶ Ἕλλην, τίνος ἕνεκεν νηστεύεις; μὴ εἴπῃς, ὅτι διὰ τὸ πάσχα, μηδὲ ὅτι διὰ τὸν σταυρὸν, ἐπεὶ πολλὴν αὐτῷ δίδως τὴν λαβήν. οὐ γὰρ διὰ τὸ πάσχα νηστεύομεν, οὐδὲ διὰ τὸν σταυρὸν, ἀλλὰ διὰ τὰ ἁμαρτήματα τὰ ἡμέτερα, ἐπειδὴ μέλλομεν μυστηρίοις προσιέναι· ἐπεὶ τό γε πάσχα οὐ νηστείας ἐστὶν, οὐδὲ πένθους,

ἀλλ' εὐφροσύνης καὶ χαρᾶς ὑπόθεσις. ὁ γὰρ σταυρὸς ἀνεῖλε τὴν ἁμαρτίαν, καθάρσιον τῆς οἰκουμένης ἐγένετο, καταλλαγὴ χρονίας ἔχθρας, ἀνέῳξε τοῦ οὐρανοῦ τὰς πύλας, τοὺς μισουμένους φίλους ἐποίησεν, εἰς τὸν οὐρανὸν ἐπανήγαγεν, ἐν δεξιᾷ τοῦ θρόνου ἐκάθισε τὴν ἡμετέραν φύσιν, μυρία ἕτερα παρέχει ἡμῖν ἀγαθά. οὐ τοίνυν πενθεῖν, οὐδὲ κατεστάλθαι χρή, Γαλατ. ς. ιδ. ἀγάλλεσθαι δὲ καὶ χαίρειν ὑπὲρ τούτων ἁπάντων. διὰ τοῦτο καὶ Παῦλός φησιν, Ἐμοὶ δὲ μὴ γένοιτο Ρωμ. ε. η. καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ πάλιν, Συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ Θεός, ὅτι ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν Χριστὸς ὑπὲρ ἡμῶν Ιωαν. γ. ις. ἀπέθανε. καὶ ὁ Ἰωάννης οὕτω πως φησίν· Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον. πῶς, εἰπέ; καὶ πάντα παραδραμὼν τἆλλα, τὸν σταυρὸν τέθεικεν. εἰπὼν γάρ, οὕτως ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ἐπήγαγεν, ὅτι τὸν μονογενῆ αὐτοῦ υἱὸν ἔδωκεν, ἵνα σταυρωθῇ, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. εἰ τοίνυν ἀγάπης ὑπόθεσις καὶ καύχημα ὁ σταυρός, μὴ λέγωμεν ὅτι δι' αὐτὸν πενθοῦμεν. οὐ γὰρ πενθοῦμεν δι' ἐκεῖνον (μὴ γένοιτο) ἀλλὰ διὰ τὰ οἰκεῖα ἁμαρτήματα. διὰ τοῦτο νηστεύομεν. ὁ γοῦν κατηχούμενος οὐδέποτε πάσχα ἐπιτελεῖ, καίτοι νηστεύων κατ' ἐνιαυτόν, ἐπειδὴ προσφορᾶς οὐ κοινωνεῖ· ὥσπερ οὖν καὶ ὁ μὴ νηστεύων, ἂν μετὰ καθαροῦ προσέλθῃ συνειδότος, πάσχα ἐπιτελεῖ, κἂν σήμερον, κἂν αὔριον, κἂν ὁποτεοῦν μετάσχῃ τῆς κοινωνίας. οὐ γὰρ ἐν παρατηρήσει καιρῶν, ἀλλ' ἐν συνειδότι καθαρῷ ἡ ἀρίστη κρίνεται πρόσοδος. ἡμεῖς δὲ τοὐναντίον ποιοῦμεν. τὴν μὲν διάνοιαν οὐ καθαίρομεν· εἰ δὲ τῇ ἡμέρᾳ προσέλθοιμεν ἐκείνῃ, νομίζομεν πάσχα ἐπιτελεῖν, κἂν μυρίων γέμωμεν ἁμαρτημάτων. ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. ἀλλὰ κἂν ἐν αὐτῷ τῷ σαββάτῳ προσέλθῃς μετὰ πονηροῦ συνειδότος, ἐξέπεσας τῆς κοινωνίας, ἀπῆλθες, οὐκ ἐπιτελέσας τὸ πάσχα· ὥσπερ οὖν κἂν σήμερον κοινωνήσῃς, τὰ ἁμαρτήματα ἀπονιψάμενος, τὸ πάσχα ἐπετέλεσας ἀκριβῶς. ἐχρῆν τοίνυν τὴν ἀκρίβειαν ταύτην ὑμᾶς καὶ τὴν εὐτονίαν, μὴ ἐν τῇ τῶν καιρῶν παρατηρήσει, ἀλλ' ἐν τῇ προσόδῳ φυλάττειν. καὶ καθάπερ αἱρεῖσθε νῦν πάντα ὑπομεῖναι, ἢ μεταθεῖναι τὴν συνήθειαν, οὕτως ἔδει τούτου μὲν καταφρονεῖν, πάντα δὲ αἱρεῖσθαι παθεῖν καὶ ποιεῖν, ὥστε μὴ μετ' ἁμαρτημάτων προσιέναι. ὅτι γὰρ οὐδεὶς λόγος καιΜατθ. κε. λε. ρῶν τῷ Θεῷ, καὶ παρατηρήσεως τοιαύτης, ἄκουσον αὐτοῦ δικάζοντος· Πεινῶντά με ἴδετε, φησι, καὶ ἐθρέψατε, διψῶντα, καὶ ἐποτίσατε, γυμνόν, καὶ περιεβάλετε· καὶ τοῖς ἐξ εὐωνύμων τὰ Ματθ. ιη. λβ. ἐναντία τούτοις ἐγκαλεῖ. καὶ πάλιν ἄλλον ἐπεισαγαγὼν ἐπὶ μνησικακίᾳ κολάζει. Πονηρὲ γάρ, φησι, δοῦλε, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι· οὐκ ἔδει σε ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς καὶ ἐγώ σε ἠλέησα; πάλιν, τὰς παρθένους, ἐπειδὴ ἔλαιον οὐκ εἶχον ἐν ταῖς λαμπάσι, τοῦ νυμφῶνος ἀπέκλεισεν· ἕτερον, ἐπειδὴ ἔνδυμα γάμου οὐκ ἔχων εἰσῆλθεν, ἀλλὰ ῥυπαρὰ ἠμφίεστο ἱμάτια, πορνείαν καὶ ἀκαθαρσίαν περιβεβλημένος. ὅτι δὲ τῷ δεῖνι μηνί, καὶ τῷ δεῖνι οὐκ ἐποίησε τὸ πάσχα, οὐδεὶς ἐκολάσθη ποτέ, οὐδὲ ἐνεκλήθη.

Καὶ τί λέγω περὶ ἡμῶν τῶν ἀπηλλαγμένων πάσης τοιαύτης ἀνάγκης, καὶ ἄνω πολιτευομένων ἐν τοῖς οὐρανοῖς, ἔνθα μῆνες, καὶ ἥλιος, καὶ σελήνη, καὶ ἐνιαυτῶν περίοδος οὐκ ἔστιν; οὐδὲ γὰρ ἐπ' αὐτῶν τῶν Ἰουδαίων, ἂν ἀκριβῶς ἐπιστῆσαι ἐθελήσῃ τις, οὐ πολλὴν ὄψεται τοῦ χρόνου γινόμενον λόγον, ἀλλὰ τὸν τῶν Ἱεροσολύμων αὐτοῦ τόπον προτιμώμενον. ἐπειδὴ γὰρ Αριθ. θ. ζ. προσελθόντες ἄνθρωποι τῷ Μωϋσῇ ἔλεγον, Ἀκάθαρτοί ἐσμεν ἐπὶ ψυχῇ· πῶς ἵνα μὴ ὑστερήσωμεν ἀπὸ τῶν δώρων τοῦ Κυρίου; στῆτε αὐτοῦ, φησι, καὶ ἀνοίσωμεν ἐπὶ τὸν Θεόν· εἶτα ἐπειδὴ ἀνήνεγκε, κατήνεγκε νόμον λέγοντα, ὅτι ἄν τις ἀκάθαρτος ἐπὶ ψυχῇ ᾖ, ἢ ἐν ὁδῷ μακρᾷ, καὶ μὴ δυνηθῇ ποιῆσαι ἐν τῷ πρώτῳ μηνὶ τὸ πάσχα, ποιήσει ἐν τῷ δευτέρῳ. εἶτα ἐπὶ μὲν τῶν Ἰουδαίων ἡ τοῦ χρόνου λύεται παρατήρησις, ἵνα εἰς τὰ Ἱεροσόλυμα τὸ πάσχα γίνηται· σὺ δὲ οὐ προτιμᾷς τοῦ χρόνου τῆς ἐκκλησίας τὴν συμφωνίαν, ἀλλ' ἵνα δόξῃς ἡμέρας παρατηρεῖν, εἰς τὴν κοινὴν ἁπάντων ἡμῶν ἐμπαροινεῖς μητέρα, καὶ τὴν ἁγίαν διατέμνεις

σύνοδον; καὶ πῶς ἂν ἄξιος εἴης συγγνώμης, ὑπὲρ τοῦ μηδενὸς τοσαῦτα ἁμαρτάνειν αἱρούμενος; καὶ τί χρὴ λέγειν περὶ Ἰουδαίων; ὅτι γὰρ οὐδὲ σφόδρα βουλομένοις ἡμῖν καὶ σπουδάζουσι δυνατὸν πάντως τηρῆσαι τὴν ἡμέραν ἐκείνην, καθ' ἣν ἐσταυρώθη, δῆλον ἐκεῖθεν. εἰ γὰρ καὶ μὴ παρέβαινον Ἰουδαῖοι, μηδὲ ἀγνώμονες ἦσαν, μηδὲ ἀναίσθητοι, μηδὲ ῥᾴθυμοι καὶ καταφρόνητοι, μηδὲ ἐκπεπτώκεσαν τῆς πατρῴας πολιτείας, ἀλλ' ἀκριβῶς αὐτὴν ἐτήρουν νῦν, οὐδὲ οὕτω δυνατὸν ἦν ἡμῖν ἀκολουθοῦσιν αὐτοῖς ἐπιλαβέσθαι τῆς ἡμέρας αὐτῆς, καθ' ἣν ἐσταυρώθη, καὶ τὸ πάσχα ἐπετέλεσε. καὶ πῶς, ἐγὼ λέγω. ἡνίκα ἐσταυροῦτο, τότε ἡ πρώτη τῶν ἀζύμων ἦν, καὶ παρασκευή. ἀμφότερα δὲ ταῦτα οὐ δυνατὸν ἀεὶ συμπεσεῖν. ἰδοὺ γοῦν κατὰ τὸν παρόντα ἐνιαυτόν, ἡ πρώτη τῶν ἀζύμων εἰς Κυριακὴν ἡμέραν ἐμπίπτει, καὶ ἀνάγκη πᾶσαν νηστεῦσαι τὴν ἑβδομάδα, καὶ τοῦ πάθους παρελθόντος, καὶ τοῦ σταυροῦ γενομένου, καὶ τῆς ἀναστάσεως, ἡμεῖς μένωμεν νηστεύοντες. καὶ πολλάκις τοῦτο συνέβη, μετὰ τὸν σταυρόν, μετὰ τὴν ἀνάστασιν, μηδέπω τῆς ἑβδομάδος ἀπαρτισθείσης, τὴν νηστείαν ἐπιτελεῖσθαι. οὕτως οὐδεμία καιροῦ παρατήρησίς ἐστι. μὴ τοίνυν φιλονεικῶμεν, μηδὲ ἐκεῖνο λέγωμεν, τοσοῦτον ἐνήστευσα χρόνον, καὶ νῦν μεταθήσομαι; δι' αὐτὸ μὲν τοῦτο μετάθου, ἐπειδὴ τοσοῦτον ἀπεσχίσθης χρόνον τῆς ἐκκλησίας, ἐπάνελθε λοιπὸν πρὸς τὴν μητέρα. οὐδεὶς λέγει, ἐπειδὴ τοσοῦτον χρόνον ἐν ἔχθρᾳ διέμεινα, αἰσχύνομαι καταλλαγῆναι νῦν. αἰσχύνη γάρ ἐστιν, οὐ τὸ μεταβάλλεσθαι πρὸς τὸ βέλτιον, ἀλλὰ τὸ μένειν ἐπὶ τῆς ἀκαίρου φιλονεικίας. τοῦτο καὶ Ἰουδαίους ἀπώλεσεν, οἳ τὴν παλαιὰν ἐπιζητοῦντες ἀεὶ συνήθειαν, πρὸς ἀσέβειαν ἀπεσύροντο. καὶ τί λέγω περὶ νηστείας καὶ ἡμερῶν παρατηρήσεως; ὁ Παῦλος τὸν νόμον διετέλει φυλάττων, καὶ πολλὴν ὑπέμεινεν ἱδρῶτα, καὶ πολλὰς μὲν ὁδοιπορίας, πολλὰς δὲ ὑπεδέχετο ταλαιπωρίας ἑτέρας, καὶ πάντων ἐκράτει τῶν ὁμηλίκων κατὰ τὴν τῆς πολιτείας ἐκείνης ἀκρίβειαν. ἀλλ' ὅμως μετὰ τὸ πρὸς τὸ ἄκρον ἐλάσαι τῆς πολιτείας ἐκείνης, ἐπειδὴ συνεῖδεν ὅτι ἐπ' ὀλέθρῳ καὶ βλάβῃ πάντα ἔπραττεν, εὐθέως μετέθετο. καὶ οὐκ εἶπε πρὸς ἑαυτόν, τί τοῦτο; τοσαύτην ζημιοῦμαι σπουδήν; τοσοῦτον ἀπολῶ πόνον; ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο ταχύτερον μετετέθη, ἵνα μὴ μένῃ πάλιν ἐπὶ τῆς αὐτῆς ζημίας, καὶ τὴν ἐν τῷ νόμῳ δικαιοσύνης κατεφρόνησεν, ἵνα τὴν ἐκ πίστεως λάβῃ· καὶ βοᾷ λέγων, Ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν. Ἐὰν προσφέρῃς τὸ δῶρόν σου, φησίν, ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ὕπαγε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου. τί λέγεις; ἂν μὲν ὁ ἀδελφός σου ἔχῃ τι κατὰ σοῦ, οὐ συγχωρεῖ σοι προσενεγκεῖν τὴν θυσίαν, ἕως ἂν αὐτῷ καταλλαγῇς· ἐκκλησίας δὲ ὁλοκλήρου, καὶ τοσούτων πατέρων ἐχόντων κατὰ σοῦ, τολμᾷς καὶ ὑπομένεις, μὴ καταλύσας τὴν ἔχθραν τὴν ἄκαιρον ταύτην, τοῖς θείοις προσελθεῖν μυστηρίοις; καὶ πῶς ἂν δύναιο πάσχα ἐπιτελεῖν οὕτω διακείμενος; ταῦτα οὐχὶ πρὸς ἐκείνους λέγω μόνους, ἀλλὰ καὶ πρὸς ὑμᾶς τοὺς ὑγιαίνοντας, ἵνα ὅσους ἂν ἴδητε τοιούτους ὄντας, μετ' ἀκριβείας πολλῆς καὶ προσηνείας ἐκλέγοντες συναγάγητε, καὶ πρὸς τὴν μητέρα ἐπαναγάγητε. κἂν ἀποτείνωσι, κἂν σκιρτῶσι, κἂν ὁτιοῦν ἕτερον πράττωσι, μὴ ἀποκάμωμεν, ἕως ἂν αὐτοὺς πείσωμεν. οὐδὲν γὰρ εἰρήνης ἴσον καὶ συμφωνίας. διὰ τοῦτο καὶ εἰσιὼν ὁ πατήρ, οὐ πρότερον ἐπὶ τὸν θρόνον ἀναβαίνει τοῦτον, ἕως ἂν ἅπασιν ὑμῖν εἰρήνην ἐπεύξηται· καὶ ἀναστὰς οὐ πρότερον ἄρχεται τῆς πρὸς ὑμᾶς διδασκαλίας, ἕως ἂν ἅπασι δῷ τὴν εἰρήνην. καὶ μέλλοντες εὐλογεῖν οἱ ἱερεῖς, πρότερον τοῦτο ὑμῖν ἐπευξάμενοι, οὕτω τῆς εὐλογίας ἄρχονται. καὶ ὁ διάκονος δὲ κελεύων εὔχεσθαι μετὰ τῶν ἄλλων, καὶ τοῦτο ἐπιτάττει κατὰ τὴν εὐχήν, αἰτεῖν τὸν ἄγγελον τῆς εἰρήνης, καὶ τὰ προκείμενα πάντα εἰρηνικά, καὶ τῆς συνόδου ταύτης ἀπολύων ὑμᾶς, τοῦτο ὑμῖν ἐπεύχεται λέγων, πορεύεσθε ἐν εἰρήνῃ. καὶ οὐδὲν ὅλως ἔνι οὔτε εἰπεῖν, οὔτε πρᾶξαι ταύτης χωρίς. αὕτη γάρ ἐστιν ἡ τροφὸς

Φιλιπ. γ. ζ.

Ματθ. ε. κγ.

τροφὸς ἡμῶν καὶ μήτηρ, θάλπουσα μετὰ πολλῆς τῆς ἀκριβείας ἡμᾶς. Εἰρήνην δὲ λέγω, οὐ τὴν ἀπὸ προσρήσεως ψιλῆς, οὐδὲ τὴν ἀπὸ τῆς κοινωνίας τῶν τραπεζῶν, ἀλλὰ τὴν κατὰ Θεὸν εἰρήνην, τὴν ἐκ τῆς συμφωνίας τῆς πνευματικῆς, ἣν πολλοὶ διασπῶσι νῦν, ὑπὲρ ἀκαίρου φιλονεικίας τὰ ἡμέτερα καθαιροῦντες, καὶ τὰ Ἰουδαίων αὔξοντες, ἐκείνους ἀξιοπιστοτέρους διδασκάλους τῶν οἰκείων πατέρων ἡγούμενοι, καὶ τοῖς χριστοκτόνοις περὶ τοῦ πάθους πιστεύοντες, οὗ τί γένοιτ' ἂν ἀλογώτερον; οὐκ οἶδας ὅτι ἐκεῖνο τύπος, τοῦτο δὲ ἀλήθεια; ὅρα γὰρ πόση ἡ διαφορά. ἐκεῖνο θάνατον ἐκώλυε σωματικὸν, τοῦτο ὀργὴν ἔλυσε τὴν κατὰ τῆς οἰκουμένης φερομένην ἁπάσης· ἐκεῖνο Αἰγύπτου τότε ἀπήλλαξε, τοῦτο εἰδωλολατρείας ἠλευθέρωσεν· ἐκεῖνο τὸν Φαραὼ, τοῦτο τὸν διάβολον ἀπέπνιξε· μετ' ἐκεῖνο Παλαιστίνη, μετὰ τοῦτο οὐρανός. τί τοίνυν τῷ λύχνῳ προσεδρεύεις, τοῦ ἡλίου φανέντος; τί δὲ τῷ γάλακτι τρέφεσθαι βούλει, στερεᾶς σοι διδομένης τροφῆς; διὰ τοῦτο ἐτράφης γάλακτι, ἵνα μὴ μένῃς ἐν τῷ γάλακτι· διὰ τοῦτό σοι ὁ λύχνος ἔφαινεν, ἵνα πρὸς τὸν ἥλιον χειραγωγηθῇς. μὴ τοίνυν, τῶν τελειοτέρων παραγινομένων πραγμάτων, πρὸς τὰ πρότερα ἐπανατρέχωμεν, μηδὲ ἡμέρας, καὶ καιροὺς, καὶ ἐνιαυτοὺς παρατηρῶμεν, ἀλλὰ πανταχοῦ τῇ ἐκκλησίᾳ μετ' ἀκριβείας ἑπώμεθα, τὴν ἀγάπην καὶ τὴν εἰρήνην προτιμῶντες ἁπάντων. εἰ γὰρ καὶ ἐσφάλλετο ἡ ἐκκλησία, οὐ τοσοῦτον κατόρθωμα ἀπὸ τῆς τῶν χρόνων ἀκριβείας ἦν, ὅσον ἔγκλημα ἀπὸ τῆς διαιρέσεως καὶ τοῦ σχίσματος τούτου. νυνὶ δὲ οὐδείς μοι περὶ καιροῦ λόγος, ἐπεὶ οὐδὲ τῷ Θεῷ, καθάπερ ἀπεδείξαμεν, ἐπεὶ καὶ ὑπὲρ τούτου πολλοὺς ἀνήλωσα λόγους· ἀλλ' ἓν μόνον ζητῶ, ὅπως ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ ἅπαντα ποιῶμεν, ὅπως μὴ, νηστευόντων ἡμῶν, καὶ τοῦ δήμου παντὸς, καὶ τῶν ἱερέων τὰς κοινὰς ποιουμένων ὑπὲρ τῆς οἰκουμένης ἱκετηρίας, σὺ μένῃς μεθύων ἐπὶ τῆς οἰκίας. ἐννόησον πῶς διαβολικῆς τοῦτό ἐστιν ἐνεργείας, καὶ ὡς οὐχ ἓν μόνον, οὐδὲ δύο, οὐδὲ τρία ἐστὶ τὰ ἁμαρτήματα, ἀλλὰ πολλῷ πλείω. ἀποσχίζει σε τῆς ἀγέλης, καὶ καταγινώσκειν σε παρασκευάζει πατέρων τοσούτων, εἰς φιλονεικίαν ἐμβάλλει, πρὸς Ἰουδαίους ὠθεῖ, σκάνδαλόν σε αὖ πάλιν προτίθησι καὶ τοῖς οἰκείοις, καὶ τοῖς ἀλλοτρίοις. πῶς γὰρ δυνησόμεθα ἐγκαλεῖν ἐκείνοις μένουσιν ἐπὶ τῆς οἰκίας, ὅταν σὺ πρὸς ἐκείνους τρέχῃς; οὐ ταῦτα δὲ μόνον ἐστὶ τὰ ἁμαρτήματα, ἀλλ' ὅτι καὶ μεγάλη βλάβη γένοιτ' ἂν, ὅταν μήτε γραφῶν, μήτε συνόδων, μήτε εὐλογίας, μήτε κοινῶν εὐχῶν ἀπολαύῃς ἐν ταῖς νηστείαις ἐκείναις, ἀλλὰ μετὰ πονηροῦ συνειδότος ἅπαντα τοῦτον διάγῃς τὸν χρόνον, δεδοικὼς καὶ τρέμων μὴ γένῃ κατάφωρος, καθάπερ τις ἀλλόφυλος καὶ ἀλλογενὴς, δέον μετὰ παρρησίας, μεθ' ἡδονῆς, μετ' εὐφροσύνης, μετ' ἐλευθερίας ἁπάσης κοινῇ μετὰ τῆς ἐκκλησίας πάντα ἐπιτελεῖν. οὐδὲ γὰρ ἡ ἐκκλησία χρόνων ἀκρίβειαν οἶδεν· ἀλλ' ἐπειδὴ παρὰ τὴν ἀρχὴν πᾶσιν ἔδοξε τοῖς πατράσι διῃρημένοις ὁμοῦ συνελθεῖν, καὶ ταύτην ὁρίσαι τὴν ἡμέραν, τὴν συμφωνίαν πανταχοῦ τιμῶσα, καὶ τὴν ὁμόνοιαν ἀγαπῶσα, κατεδέξατο τὸ ἐπιταχθέν. ὅτι γὰρ ἀδύνατον ἢ ἡμᾶς, ἢ ὑμᾶς, ἢ ἕτερον ὁντιναοῦν αὐτῆς ἐπιλαβέσθαι τῆς Κυριακῆς ἡμέρας, ἱκανῶς ἐν τοῖς ἔμπροσθεν ἀποδέδεικται. μὴ τοίνυν σκιομαχῶμεν, μηδὲ ὑπὲρ τῶν τυχόντων φιλονεικοῦντες, ἐν τοῖς μεγάλοις ἑαυτοὺς καταβλάπτωμεν. τὸ μὲν γὰρ τῷδε ἢ τῷδε χρόνῳ νηστεῦσαι οὐκ ἔγκλημα, τὸ δὲ σχίσαι ἐκκλησίαν καὶ φιλονεικῶς διατεθῆναι καὶ διχοστασίας ἐμποιεῖν, καὶ τῆς συνόδου διηνεκῶς ἑαυτὸν ἀποστερεῖν, ἀσύγγνωστον καὶ κατηγορίας ἄξιον, καὶ πολλὴν ἔχει τὴν τιμωρίαν. ἔχω μὲν οὖν καὶ πλείονα τούτων εἰπεῖν, ἀλλὰ τοῖς μὲν προσέχουσι καὶ τὰ εἰρημένα ἀρκεῖ, τοῖς δὲ μὴ προσέχουσιν οὐδὲ, εἰ πλείω τούτων λεχθείη, ἔσται τι πλέον. διόπερ ἐνταῦθα καταλύσαντες τὸν λόγον, κοινῇ πάντες εὐξώμεθα τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους ἐπανελθεῖν πρὸς ἡμᾶς, καὶ τὴν εἰρήνην ἀσπάσασθαι, καὶ τῆς ἀκαίρου φιλονεικίας ἀποστῆναι, καὶ τῆς ψυχρότητος ταύτης καταγελάσαντας, ὑψηλήν τινα καὶ μεγάλην λαβεῖν διάνοιαν, καὶ τῆς τῶν ἡμερῶν ἀπαλ-

λαγῆναι

σαγηνεῦσαι παρατηρήσεως, ἵνα ὁμοθυμαδὸν πάντες ἐν ἑνὶ στόματι δοξάζωμεν τὸν Θεὸν καὶ πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα, καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΟΜΙΛΙΑ ΠΡΟΣ ΤΟΥΣ ΝΗΣΤΕΥΟΝΤΑΣ ΤΗΝ τῶν Ἰουδαίων νηστείαν, καὶ πρὸς αὐτοὺς τοὺς Ἰουδαίους.

ἐλέχθη δὲ πρὸ πέντε ἡμερῶν τῆς νηστείας αὐτῶν, μετ'
ἄλλης ἤδη λεχθείσης.

Ἡ μὲν παράνομος καὶ ἀκάθαρτος τῶν Ἰουδαίων νηστεία λοιπὸν ἐπὶ θύραις. μὴ θαυμάσητε δὲ, εἰ ἀκάθαρτον αὐτὴν ἐκάλεσα νηστείαν οὖσαν. τὸ γὰρ παρὰ γνώμην Θεοῦ γινόμενον, κἂν θυσία, κἂν νηστεία ᾖ, πάντων ἐστὶν ἐναγέστερον. ἡ μὲν οὖν παράνομος αὐτῶν νηστεία μετὰ πέντε λοιπὸν ἡμέρας ἐφίσταται· ἐγὼ δὲ πρὸ δέκα ἡμερῶν, ἢ καὶ πλειόνων, προλαβὼν ἐποιησάμην πρὸς ὑμᾶς τὴν παραίνεσιν, ὥστε ἀσφαλίσασθαι τοὺς ἀδελφοὺς τοὺς ὑμετέρους. ἀλλὰ μηδεὶς ἀκαιρίαν καταγινωσκέτω τοῦ λόγου, ὅτι πρὸ τοσούτων ἡμερῶν αὐτὸν προεβαλόμεθα. καὶ γὰρ πυρετοῦ προσδοκωμένου, ἢ καὶ ἑτέρου τινὸς νοσήματος, προλαμβάνοντες τὸ τοῦ μέλλοντος ἁλώσεσθαι σῶμα πολλαῖς ἀσφαλίζονται θεραπείαις, ἐπειγόμενοι πρὸ τῆς πείρας τῆς ἐφόδου τῶν μελλόντων αὐτὸ ἐξαρπάσαι δεινῶν. ἐπεὶ οὖν καὶ ἡμεῖς ὁρῶμεν νόσον χαλεπωτάτην προσιέναι μέλλουσαν, ἄνωθεν καὶ πρὸ πολλοῦ διεμαρτυράμεθα τοῦ χρόνου, ὥστε πρὸ τῆς πείρας τοῦ κακοῦ τὴν διόρθωσιν. διὰ τοῦτο οὐχὶ πρὸς αὐτὰς τὰς ἡμέρας παρῄνεσα, ἵνα μὴ ἡ τοῦ καιροῦ στενοχωρία ἐμποδίσῃ πρὸς τὴν θεραπείαν ὑμᾶς τῶν ἀδελφῶν τῶν ὑμετέρων, ἀλλ' ἔχοντες τὴν ἀπὸ τοῦ πλήθους τῶν ἡμερῶν εὐρυχωρίαν, μετὰ ἀδείας ἁπάσης δυνηθῆτε τοὺς τὰ τοιαῦτα νοσοῦντας ἐξιχνιάσαι καὶ ἀνακτήσασθαι. οὕτω που καὶ οἱ γάμους ἐπιτελοῦντες, καὶ δεῖπνα πολυτελῆ κατασκευάζοντες ποιοῦσιν. οὐ παρ' αὐτὰς τὰς ἡμέρας, ἀλλὰ πρὸ πολλοῦ τοῦ χρόνου ἁλιεῦσιν ἰχθύων, καὶ ὀρνίθων θηραταῖς διαλέγονται, ἵνα μηδὲν αὐτοῖς ἀπὸ τῆς τοῦ καιροῦ στενοχωρίας γένηται κώλυμα πρὸς τὴν τῆς τραπέζης παρασκευήν. ἐπεὶ οὖν καὶ ἡμεῖς ἐμέλλομεν ὑμῖν παρατιθέναι τράπεζαν κατὰ τῆς Ἰουδαίων ἀναισθησίας, προλαβόντες ὑμῖν τοῖς ἁλιεῦσι διελέχθημεν, ἵνα σαγηνεύσητε τῶν ἀδελφῶν τῶν ὑμετέρων τοὺς ἀσθενεστέρους, καὶ πρὸς τὴν ἀκρόασιν τῶν ἡμετέρων ἀγάγητε λόγων. ὅσοι μὲν οὖν ἡλιεύσατε, καὶ εἴσω τῶν δικτύων ἔχετε μετὰ ἀσφαλείας, μείνατε ἐπισφίγγοντες αὐτοὺς τῷ λόγῳ τῆς παραινέσεως· ὅσοι δὲ μηδέπω τῆς καλῆς ταύτης ἐκρατήσατε θήρας, ἱκανὴν ἔχετε προθεσμίαν, τὰς πέντε ταύτας ἡμέρας, ὥστε περιγενέσθαι τῆς ἄγρας. ἀναπετάσωμεν τοίνυν τὰ δίκτυα τῆς διδασκαλίας, περιστῶμεν κύκλῳ, καθάπερ κύνες θηρατικοὶ, πάντοθεν αὐτοὺς συνελαύνοντες εἰς τοὺς τῆς ἐκκλησίας νόμους. ἐπαγάγωμεν δὲ αὐτοῖς, εἰ δοκεῖ, ὥσπερ τινὰ κυνηγέτην ἄριστον, τὸν μακάριον Παῦλον βοῶντα καὶ λέγοντα· Ἴδε ἐγὼ Παῦλος λέγω ὑμῖν, ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. Γαλ. ε. β. καὶ γὰρ πολλὰ τῶν ἀνημέρων ζώων καὶ ἐξηγριωμένων, ἐπειδὰν ὑπὸ θάμνοις κρυπτόμενα τύχῃ τῆς τοῦ κυνηγέτου φωνῆς ἀκούσαντα, ἐξάλλεται μὲν ἀπὸ τοῦ φόβου, συνελαυνόμενα δὲ τῇ τῆς φωνῆς ἀνάγκῃ, καὶ ἄκοντα πολλάκις ὑπὸ τῆς βοῆς συνωθούμενα, εἰς αὐτὰ ἐμπίπτει τὰ θήρατρα· οὕτω καὶ οἱ ἀδελφοὶ οἱ ὑμέτεροι, οἱ καθάπερ ἐν θάμνῳ τινὶ, τῷ Ἰουδαϊσμῷ, κρυπτόμενοι, ἂν τῆς Παύλου φωνῆς ἀκούσωσιν, εὖ οἶδ' ὅτι ῥᾳδίως εἰς τὰ τῆς σωτηρίας ἐμπεσοῦνται δίκτυα, καὶ πᾶσαν τὴν Ἰουδαϊκὴν ἀποθήσονται πλάνην. οὐδὲ γὰρ Παῦλός ἐστιν ὁ φθεγγόμενος, ἀλλ' ὁ Χριστὸς ὁ κινῶν τὴν ἐκείνου ψυχήν. ὥστε ὅταν ἀκούσῃς αὐτοῦ βοῶντος καὶ λέγοντος· Ἴδε ἐγὼ Παῦλος λέγω ὑμῖν, ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει, τὴν φωνὴν εἶναι Παύλου μόνην νόμιζε, τὸ νόημα δὲ καὶ τὸ δόγμα τοῦ ἔνδοθεν αὐτῷ ἐνηχοῦντος Χριστοῦ. ἀλλ' ἴσως εἴποι τις ἄν, καὶ τοσαύτη τῆς περιτομῆς ἡ βλάβη, ὡς πᾶσαν ἀνόνητον ποιῆσαι τοῦ Χριστοῦ τὴν οἰκονομίαν; ναί, τοσαύτη τῆς περιτομῆς ἡ βλάβη, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἀγνωμοσύνην. ἦν ποτε καιρὸς, ὅτε χρήσιμος ἦν καὶ ἀναγκαῖος ὁ νόμος· νῦν δὲ ἐπαύσατο καὶ ἀργεῖ. ἂν τοίνυν ἀκαίρως αὐτὴν ἐπισπάσῃ, ἀνόνητόν σοι ποιεῖ τοῦ Θεοῦ τὴν δωρεάν. διὰ τοῦτο Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει, ἐπειδὴ μὴ βούλεσθε προσελθεῖν. καὶ γὰρ εἴ τις ἐπὶ μοιχείᾳ καὶ τοῖς αἰσχίστοις ἁλοὺς τὸ δεσμωτήριον οἰκοίη, εἶτα, μελλούσης αὐτῷ τῆς δίκης εἰσάγεσθαι, καὶ τῆς καταδικαζούσης φέρεσθαι ψήφου, ἔλθοι βασιλέως ἐπιστολὴ τοὺς τὸ δεσμωτήριον οἰκοῦντας ἀπολύτως ἀφιεῖσα αὐτοὺς λόγου τινὸς καὶ ἐξετάσεως, ὁ δὲ μὴ βουληθεὶς ἀπολαῦσαι τῆς δωρεᾶς, ἕλοιτο καὶ φιλονεικοίη δικάζεσθαι μᾶλλον καὶ λόγους καὶ εὐθύνας ὑπέχειν, οὐ δυνήσεται λοιπὸν ἀπολαῦσαι τῆς χάριτος· ὑπεύθυνον γὰρ ἑαυτὸν δικαστηρίῳ καὶ ψήφῳ καὶ ἐξετάσει ποιήσας, ἑκὼν τῆς δωρεᾶς ἑαυτὸν ἐξέβαλε τῆς βασιλικῆς· οὕτω καὶ ἐπὶ τῶν Ἰουδαίων γέγονε. σκοπεῖτε δέ· ἑάλω πᾶσα τῶν ἀνθρώπων ἡ φύσις ἐπὶ τοῖς αἰσχίστοις κακοῖς (πάντες γὰρ ἥμαρτον, φησὶ) καὶ ὥσπερ ἐν δεσμωτηρίῳ, τῇ κατάρᾳ τῆς παρανομίας ἦσαν συγκεκλεισμένοι. ἔμελλεν ἀπόφασις κατ' αὐτῶν φέρεσθαι ψήφου· ἦλθεν ἐπιστολὴ βασιλέως ἐκ τῶν οὐρανῶν, μᾶλλον δὲ αὐτὸς ὁ βασιλεὺς ἦλθεν, ἄνευ ἐξετάσεως καὶ τοῦ τὰς εὐθύνας λαβεῖν, πάντας τῶν δεσμῶν τῆς ἁμαρτίας ἀφιείς. οἱ μὲν οὖν προσδραμόντες ἅπαντες ἀπολαύουσι τῆς δωρεᾶς, σωζόμενοι χάριτι· οἱ δὲ ἀπὸ νόμου δικαιοῦσθαι θέλοντες, καὶ τῆς χάριτος ἐκπεσοῦνται. οὔτε γὰρ τῆς φιλανθρωπίας ἀπολαῦσαι δυνήσονται τῆς βασιλικῆς, οἴκοθεν φιλονεικοῦντες σωθῆναι, καὶ τὴν ἐκ τοῦ νόμου κατάραν καθ' ἑαυτῶν ἐπισπάσονται· διότι ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται πᾶσα σάρξ. διὰ τοῦτο λέγει, ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. ὁ γὰρ ἐξ ἔργων νομικῶν σωθῆναι φιλονεικῶν, οὐδὲν ἔχει κοινὸν πρὸς τὴν χάριν. Ρωμ. ια ς. ὅπερ οὖν καὶ αὐτὸς Παῦλος αἰνιττόμενος ἔλεγεν· Εἰ χάριτι, οὐκέτι ἐξ ἔργων· ἐπεὶ ἡ χάρις οὐκ ἔστι χάρις. Εἰ δὲ ἐξ ἔργων, οὐκ ἔτι ἐστὶ χάρις· ἐπεὶ τὸ ἔργον οὐκ ἔτι ἐστὶν ἔργον. Γαλ. β. κα. καὶ ε δ. καὶ πάλιν· Εἰ γὰρ διὰ νόμου δικαιοσύνη, ἄρα Χριστὸς δωρεὰν ἀπέθανε. καὶ πάλιν· Οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε. ἐθανατώθης τῷ νόμῳ, νεκρὸς γέγονας· οὐκέτι λοιπὸν ἐπὶ τὸν ζυγὸν, οὐδὲ ὑπὸ τὴν ἀνάγκην εἶ τὴν ἐκείνου. τί τοίνυν φιλονεικεῖς σαυτῷ πράγματα παρέχειν εἰκῇ καὶ μάτην; ἀλλὰ γὰρ καὶ τίνος ἕνεκεν τὸ ὄνομα τὸ ἑαυτοῦ τέθεικεν ὁ Παῦλος ἐνταῦθα, καὶ οὐκ εἶπεν ἁπλῶς, ἴδε ἐγὼ λέγω ὑμῖν; ἀναμνῆσαι βουλόμενος αὐτοὺς τῆς σπουδῆς, ἧς περὶ τὸν Ἰουδαϊσμὸν ἐπεδείξατο. Εἰ μὲν γὰρ ἤμην, φησὶν, ἐξ ἐθνῶν, καὶ ἀγνοῶν τὰ Ἰουδαϊκὰ, ἴσως ἄν τις εἶπεν, ὅτι διὰ τὸ μὴ μετεσχηκέναι με τῆς πολιτείας ἐκείνης, ἀγνοῶν τῆς περιτομῆς τὴν ἰσχὺν, ἐκβάλλω τῶν τῆς ἐκκλησίας δογμάτων αὐτήν. διὰ τοῦτο τὸ ὄνομα αὐτοῦ τέθεικεν, εἰς μνήμην ἄγων αὐτοὺς, ὧν ἐποίησεν ὑπὲρ τοῦ νόμου, μονονουχὶ λέγων· οὐκ ἀπεχθείᾳ τῆς περιτομῆς τοῦτο ποιῶ, ἀλλ' ἐν ἐπιγνώσει τῆς ἀληθείας. ἐγὼ Παῦλος τοῦτο λέγω, Παῦλος ἐκεῖνος, ὁ ἐν περιτομῇ ὀκταήμερος, ὁ ἐκ γένους Ἰσραηλίτης, Ἑβραῖος ἐξ Ἑβραίων, ἐκ φυλῆς Βενιαμὶν, κατὰ νόμον Φαρισαῖος, Πραξ. κβ γ. κατὰ ζῆλον διώκων τὴν ἐκκλησίαν, ὁ εἰσπορευόμενος εἰς τὰς οἰκίας καὶ σύρων ἄνδρας καὶ γυναῖκας, καὶ παραδιδοὺς εἰς φυλακήν. ἅπερ ἅπαντα καὶ τοὺς σφόδρα ἀναισθήτως διακειμένους πεῖσαι δύναιτ' ἄν, ὡς οὐκ ἔχθρᾳ τινὶ, οὐδὲ ἀγνοίᾳ τῶν Ἰουδαϊκῶν, ἀλλ' ἐπιγνώσει τῆς ἀληθείας τῆς παρεχούσης τοῦ Χριστοῦ τυχεῖν τέθεικα τὸν νόμον. Γαλ. ε. γ. Μαρτύρομαι δὲ πάλιν, φησὶ, παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον πληρῶσαι. διατί οὐκ εἶπε, παραγγέλλω δὲ, ἢ ἐντέλλομαι δὲ, ἢ λέγω δὲ, ἀλλὰ, μαρτύρομαι; ἵνα διὰ τοῦ ῥήματος τούτου, τοῦ δικαστηρίου τοῦ μέλλοντος ἡμᾶς ἀναμνήσῃ. ὅπου γὰρ μάρτυρες, ἐκεῖ δικαστήριον καὶ ψῆφος. φοβεῖ τοίνυν τὸν ἀκροατὴν, ἀναμιμνήσκων τοῦ βασιλικοῦ θρόνου, καὶ δεικνὺς ὅτι οὗτοι οἱ λόγοι μάρτυρες ἔσονται αὐτῷ κατὰ τὴν ἡμέραν ἐκείνην, ὅταν ἕκαστος τῶν ἑαυτῷ πεπραγμένων, καὶ ὧν εἶπε, καὶ ὧν ἤκουσεν, ὑπέχῃ λόγον. Ταῦτα ἤκουον μὲν τότε Γαλάται, ἀκουέτωσαν δὲ καὶ νῦν οἱ τὰ Γαλατῶν νοσοῦντες, εἰ καὶ μὴ πλείσιν· ἀλλὰ δι' ὑμῶν ἀκουέτωσαν βοῶντος Παύλου καὶ λέγοντος, Μαρτύρομαι δὲ παντὶ ἀνθρώπῳ Γαλ. ε. γ. περιτεμνομένῳ, ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον πληρῶσαι. μὴ γάρ μοι εἴπῃς, ὅτι μία ἐντολή ἐστιν ἡ περιτομή. ἡ μία ἐντολὴ ἐκείνη ὁλόκληρον ἐπιτίθησί σοι τοῦ νόμου τὸν ζυγόν. ὅταν γὰρ διὰ τοῦ μέρους εἰσάγῃς σαυτὸν εἰς τὴν τοῦ νόμου δεσποτείαν, ἀνάγκη καὶ τὰ λοιπὰ πείθεσθαι ἐπιτάττοντι· μὴ πληροῦντα δὲ ἀνάγκη πᾶσα κολάζεσθαι καὶ τὴν ἀρὰν ἕλκειν. καὶ καθάπερ εἰς παγίδα ἐμπεσόντος στρουθοῦ, κἂν ὁ ποὺς κατέχηται μόνον, καὶ τὸ λοιπὸν ἅπαν ἑάλω σῶμα· οὕτω καὶ ὁ μίαν ἐντολὴν τοῦ νόμου πληρῶν, κἂν περιτομὴν, κἂν νηστείαν, ἅπασαν ἑαυτοῦ τὴν ἐξουσίαν διὰ τῆς μιᾶς ταύτης τῷ νόμῳ παρέδωκε, καὶ οὐ δυνήσεται διαφυγεῖν, ἕως ἂν αὐτῷ κἂν ἐκ μέρους πείθεσθαι βούληται). Ταῦτα οὐ κατηγοροῦντες τοῦ νόμου λέγομεν (μὴ γένοιτο) ἀλλὰ τὸν ὑπερβάλλοντα πλοῦτον τῆς τοῦ Χριστοῦ χάριτος δεῖξαι βουλόμενοι. οὐ γάρ ἐστιν ὁ νόμος ἐναντίος τῷ Χριστῷ. πῶς γὰρ ὁ ὑπ' αὐτοῦ δοθεὶς, ὁ πρὸς αὐτὸν ἡμᾶς παιδαγωγῶν; ἀλλὰ διὰ τὴν ἄκαιρον φιλονεικίαν τῶν οὐκ εἰς δέον αὐτῷ χρωμένων πάντα ταῦτα λέγειν ἀναγκαζόμεθα. ἐκεῖνοι γάρ εἰσιν οἱ τὸν νόμον ὑβρίζοντες, οἱ κελεύοντες ἀποστῆναι καθάπαξ αὐτοῦ, καὶ τῷ Χριστῷ προσελθεῖν, καὶ ἀντεχόμενοι πάλιν αὐτοῦ. ἐπεὶ ὅτι μέγιστα τὴν φύσιν ὠφέλησε τὴν ἡμετέραν ὁ νόμος, ὁμολογῶ κἀγὼ, καὶ οὐκ ἀρνηθείην ποτέ. ἀλλ' ὁ παρὰ καιρὸν ἀντεχόμενος αὐτοῦ σὺ οὐ συγχωρεῖς φανῆναι τῆς ὠφελείας αὐτοῦ τὸ μέγεθος. καθάπερ γὰρ παιδαγωγοῦ μέγιστον ἐγκώμιον γένοιτ' ἂν, τὸ μηκέτι δεῖσθαι τῆς παρ' αὐτοῦ φυλακῆς εἰς σωφροσύνην τὸν ὑπ' αὐτοῦ παιδαγωγηθέντα νέον, εἰς μείζονα ἐπιδόντα ἀρετήν· οὕτω καὶ νόμῳ μέγιστος ἔπαινος γένοιτ' ἂν, τὸ μηκέτι χρείαν ἔχειν ἡμᾶς τῆς παρ' αὐτοῦ βοηθείας. αὐτὸ γὰρ δὴ τοῦτο παρὰ τοῦ νόμου γέγονεν ἡμῖν, τὸ πρὸς μείζονος φιλοσοφίας ὑποδοχὴν ἐπιτηδειοτέραν ἡμῖν γενέσθαι τὴν ψυχήν. ὥστε ὁ μὲν ἔτι παρακαθήμενος αὐτῷ, καὶ μὴ δυνάμενος μεῖζόν τι τῶν ἐκεῖ γεγραμμένων ἰδεῖν, οὐδὲν ἐκέρδανε παρ' αὐτοῦ μέγα. ἐγὼ δὲ ὁ τοῦτον μὲν ἀφεὶς, πρὸς δὲ τὰ ὑψηλότερα τοῦ Χριστοῦ δόγματα δραμὼν, μάλιστα ἂν αὐτὸν δυναίμην σεμνύνειν, ὅτι με τοιοῦτον εἰργάσατο, ὡς δυνηθῆναι τῶν ἐν αὐτῷ γεγραμμένων τὴν σμικρότητα ὑπερβάντα, πρὸς τὸ τῆς διδασκαλίας ὕψος ἀναβῆναι τῆς παρὰ τοῦ Χριστοῦ γενομένης ἡμῖν. μεγάλα τὴν φύσιν τὴν ἡμετέραν ὠφέλησεν ὁ νόμος, ἀλλ' ἐὰν τῷ Χριστῷ προσαγάγῃ γνησίως. ὡς ἐὰν μὴ τοῦτο ᾖ, καὶ κατέβλαψε, μειζόνων ἀποστερήσας ἡμᾶς τῇ τῶν ἐλαττόνων προσεδρίᾳ, καὶ τῷ πάλιν ἐν τοῖς μυρίοις τῶν παραβάσεων τραύμασιν ἔτι κατέχειν. καὶ γὰρ εἰ δυοῖν ἰατρῶν ὄντων, τοῦ μὲν ἀσθενεστέρου, τοῦ δὲ δυνατωτέρου, ὁ μὲν τοῖς ἕλκεσι φάρμακα ἐπιτιθεὶς μὴ δύναιτο ἀπαλλάξαι καθάπαξ τῆς ἐξ ἐκείνων ὀδύνης τὸν ἄρρωστον·

*** λείπει ***

ὁ ἀδελφός σου, ἄφες τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε· πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου. οὐκ εἶπε, συντέλεσον τὴν θυσίαν, καὶ τότε ἄπελθε· ἀλλ', ἄφες μένειν ἀπλήρωτον, καὶ ἀπελθὼν διαλλάγηθι τῷ ἀδελφῷ σου. καὶ οὐκ ἐνταῦθα τοῦτο μόνον ἐποίησεν, ἀλλὰ καὶ ἑτέρωθι πάλιν. ἐὰν μὲν γὰρ ἄπιστον ἔχῃ γυναῖκά τις, τοῦτ' ἔστιν, ἑλληνίδα, οὐκ ἀναγκάζεται ἐκβαλεῖν. Εἴ τις α. Κορ. ζ. ιβ.

γάρ, φησιν, ἔχει γυναῖκα ἄπιστον, καὶ αὕτη συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν· ἂν δὲ πόρνην καὶ μοιχαλίδα, οὐ κωλύεται ἐκβάλλειν. Ὃς γὰρ ἂν, φησιν, ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι· ὥστε ἐπὶ λόγου πορνείας ἔξεστιν ἀπολῦσαι. Εἶδες φιλανθρωπίαν Θεοῦ καὶ κηδεμονίαν. ἂν ἑλληνὶς ᾖ, φησιν, ἡ γυνὴ, μὴ ἐκβάλλῃς· ἂν δὲ πόρνη, οὐ κωλύω τοῦτο ποιῆσαι. ἂν εἰς ἐμὲ, φησιν, ἀσεβήσῃ, μὴ ἐκβάλλῃς· ἂν δὲ εἰς σὲ ὑβρίσῃ, οὐδεὶς ὁ κωλύων ἐκβαλεῖν. Εἶτα ὁ μὲν Θεὸς τοσαύτῃ τιμῇ κέχρηται πρὸς ἡμᾶς, ἡμεῖς δὲ οὐδὲ τὴν ἴσην αὐτῷ ἀξιώσομεν, ἀλλ' ὑβριζόμενον αὐτὸν παρὰ τῶν ἡμετέρων περιοψόμεθα γυναικῶν, καὶ ταῦτα εἰδότες, ὅτι μεγίστη κόλασις ἡμῖν ἀπόκειται καὶ τιμωρία, ὅταν τῆς τῶν γυναικῶν ὑπερορῶμεν σωτηρίας; διὰ γὰρ τοῦτο κεφαλήν σε τῆς γυναικὸς ἐποίησε, διὰ τοῦτο καὶ ὁ Παῦλος ἐκέλευσεν, Εἴ τι μαθεῖν θέλουσιν αἱ γυναῖκες, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτᾶν· ἵνα, ὥσπερ διδάσκαλος καὶ κηδεμὼν καὶ προστάτης, εἰς εὐσέβειαν αὐτὴν ἐνάγῃς. ὑμεῖς δὲ ὅταν μὲν καιρὸς συνάξεως πρὸς τὴν ἐκκλησίαν καλῇ, ῥαθυμούσας οὐ διεγείρετε· τοῦ δὲ διαβόλου πρὸς τὰς σάλπιγγας αὐτὰς καλοῦντος, ἑτοίμως ἐπακουούσας οὐ κατέχετε, ἀλλὰ περιορᾶτε τοῖς τῆς ἀσεβείας ἐγκλήμασιν ἁλισκομένας, καὶ πρὸς ἀκολασίαν ἐξελκομένας. ἐκεῖ γὰρ πόρναι, ἐκεῖ μαλακοὶ καὶ πᾶς ὁ τῆς ὀρχήστρας χορὸς ἐκεῖ συντρέχειν εἰώθασι. καὶ τί λέγω πορνείας τὰς γινομένας; οὐ δέδοικας, μὴ δαίμονα λαβοῦσα ἐκεῖθεν ἐπανέλθῃ ἡ γυνή; οὐκ ἤκουσας ἐν τῇ προτέρᾳ διαλέξει σαφῶς ἀποδείξαντος ἡμῖν τοῦ λόγου, ὅτι καὶ τὰς ψυχὰς αὐτὰς τῶν Ἰουδαίων καὶ τοὺς τόπους, ἐν οἷς συλλέγονται, δαίμονες κατοικοῦσι; πῶς οὖν, εἰπέ μοι, τολμᾷς μετὰ δαιμόνων χορεύσας πρὸς τὸν τῶν ἀποστόλων σύλλογον ἐπανελθεῖν; πῶς δὲ οὐ φρίττεις ἀπελθὼν καὶ κοινωνήσας ἐκείνοις τοῖς τὸ αἷμα ἐκχέασι τοῦ Χριστοῦ, ἐλθεῖν καὶ κοινωνῆσαι τῆς ἱερᾶς τραπέζης, καὶ τοῦ αἵματος μεταλαβεῖν τοῦ τιμίου; οὐ φρίττεις, οὐ δέδοικας τοιαῦτα παρανομῶν; τὴν τράπεζαν αὐτὴν οὐκ αἰδῇ; ταῦτα πρὸς ὑμᾶς ἐγὼ διελέχθην, ταῦτα πρὸς ἐκείνους ὑμεῖς, κἀκεῖνοι πρὸς τὰς ἑαυτῶν γυναῖκας. Εἷς τὸν ἕνα οἰκοδομεῖτε. κἂν μὲν κατηχούμενος ᾖ ὁ τὰ τοιαῦτα νοσῶν, τῶν προθύρων εἰργέσθω· ἂν δὲ πιστὸς καὶ μεμυημένος, τῆς ἱερᾶς τραπέζης ἀπελαυνέσθω. οὐ γὰρ πάντα τὰ ἁμαρτήματα παραινέσεως δεῖται καὶ συμβουλῆς, ἀλλ' ἔστιν ἃ τομῇ συντόμῳ καὶ ὀξυτάτῃ διορθοῦσθαι πέφυκε. καὶ καθάπερ τῶν τραυμάτων τὰ μὲν ἀνεκτότερα προσηνεστέροις εἴκει φαρμάκοις, τὰ δὲ σεσηπότα καὶ ἀνίατα καὶ τὸ λοιπὸν ἐπινεμόμενα σῶμα, αἰχμῆς σιδήρου δεῖται καὶ φλογός· οὕτω δὴ καὶ ἐπὶ τῶν ἁμαρτημάτων, τὰ μὲν παραινέσεως μακροτέρας χρείαν ἔχοντα, τὰ δὲ ἐλέγχων ἀποτόμων. διόπερ καὶ ὁ Παῦλος ἐκέλευσε μὴ πάντα παραινεῖν, ἀλλὰ καὶ ἐλέγχειν ἀποτόμως, οὕτω λέγων, Δι' ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως. ἐλέγξωμεν οὖν αὐτοὺς ἀποτόμως νῦν, ἵνα ἐπὶ τοῖς φθάσασιν αἰσχυνθέντες καὶ καταγνόντες ἑαυτῶν, μηκέτι τὴν ἀπὸ τῆς παρανόμου νηστείας δέξωνται λύμην. διὸ ταῦτα καὶ ἐγὼ τὴν παραίνεσιν λοιπὸν ἀφεὶς, μαρτύρομαι καὶ βοῶ· εἴ τις οὐ φιλεῖ τὸν Κύριον Ἰησοῦν Χριστὸν, ἔστω ἀνάθεμα· τοῦ δὲ μὴ φιλεῖν τὸν Κύριον τί μεῖζον ἂν γένοιτο τεκμήριον, ἀλλ' ἢ ὅταν τοὺς ἀποκτείνοντας αὐτὸν κοινωνοὺς ἔχῃ τις τῆς ἑορτῆς; τούτους οὐκ ἐγὼ ἀνεθεμάτισα, ἀλλὰ Παῦλος· μᾶλλον δὲ οὐδὲ Παῦλος, ἀλλ' ὁ Χριστὸς, ὁ δι' ἐκείνου λαλῶν, καὶ ὁ ἐν τοῖς ἔμπροσθεν εἰπὼν, Ὅτι ἐν νόμῳ δικαιούμενοι τῆς χάριτος ἐξέπεσον. ταῦτα εἴπατε πρὸς αὐτοὺς τὰ ῥήματα, καὶ τὰς ἀποφάσεις αὐτοῖς ἀνάγνωτε, καὶ μετὰ πάσης σπουδῆς αὐτοὺς διασώσαντες, καὶ τῆς τοῦ διαβόλου φάρυγγος ἐξαρπάσαντες, ἀγάγετε τῇ ἡμέρᾳ τῆς νηστείας ἡμῖν, ἵνα καὶ τὴν λείπουσαν ὑμῖν ὑπόσχεσιν ἀποδόντες, ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι μετὰ τῶν ἀδελφῶν τῶν ἡμετέρων δοξάσωμεν τὸν Θεὸν καὶ πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ματθ. ε. λϐ.

α Κορ. ιδ λε.

Τιτ α. ιγ.

Γαλ. ε. δ.

ΧΡΥΣΟΣ-

ΧΡΥΣΟΣΤΟΜΟΥ ΠΕΡΙ ΑΚΑΤΑΛΗΠΤΟΥ, ΑΠΟΝΤΟΣ ΤΟΥ ΕΠΙΣΚΟΠΟΥ, πρὸς Ἀνομοίους Λόγ. α.

Τί τοῦτο; ὁ ποιμὴν οὐ πάρεστι, καὶ τὰ θρέμματα μετὰ πάσης τῆς εὐταξίας ἕστηκε. Τοῦ ποιμένος καὶ τοῦτο τὸ κατόρθωμα, τὸ μὴ μόνον παρόντος, ἀλλὰ καὶ ἀπόντος πᾶσαν ἐπιδείκνυσθαι σπουδὴν τὰ ποίμνια. Ἐπὶ μὲν γὰρ τῶν ἀλόγων, ὅταν ὁ πρὸς τὴν νομὴν ἐξάγων μὴ παρῇ, μένειν εἴσω τῶν σηκῶν ἀνάγκη τὰ πρόβατα, ἢ χωρὶς τοῦ ποιμαίνοντος τῆς μάνδρας προκύψαντα, πολλὴν ὑπομένειν τὴν πλάνην· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, ἀλλὰ καὶ μὴ παρόντος τοῦ ποιμένος πρὸς τὰς συνήθεις νομὰς μετὰ πολλῆς ἀπηντήκατε τῆς εὐταξίας· μᾶλλον δὲ καὶ ὁ ποιμὴν πάρεστιν, εἰ καὶ μὴ τῇ σαρκί, ἀλλὰ τῇ διαθέσει· εἰ καὶ μὴ τῇ παρουσίᾳ τοῦ σώματος, ἀλλὰ τῇ εὐταξίᾳ τοῦ ποιμνίου. Διὰ τοῦτο μᾶλλον αὐτὸν ἐκπλήττομαι καὶ μακαρίζω, ὅτι τοσαύτην ὑμῖν ἐναποθέσθαι σπουδὴν ἴσχυσε. Καὶ γὰρ καὶ στρατηγὸν τότε μάλιστα θαυμάζομεν, ὅταν καὶ μὴ παρόντος αὐτοῦ τὰ στρατόπεδα εὐτακτῇ. Τοῦτο καὶ ὁ Παῦλος ἐπὶ τῶν μαθητῶν ἐζήτει λέγων· Ὥστε, ἀγαπητοί μου, καθὼς πάντοτε ὑπηκούσατε, μὴ ὡς ἐν τῇ παρουσίᾳ* μόνον, ἀλλὰ πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου. Φιλιπ. β. ιβ. Διὰ τί πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ; ὅτι, παρόντος μὲν τοῦ ποιμαίνοντος, κἂν ἐπέλθῃ λύκος τῇ ποίμνῃ, ῥᾳδίως ἀπελαύνεται τῶν προβάτων· μὴ παρόντος δέ, ἐν μείζονι τὰ ποίμνια ἀγωνίᾳ καθεστάναι ἀνάγκη, μηδενὸς ὄντος τοῦ τειχίζοντος αὐτά. Καὶ πρὸς τούτοις δέ, παρὼν μὲν μερίζεται μετ' αὐτῶν τὸν ἐπὶ τῇ σπουδῇ μισθόν· μὴ παρὼν δὲ γυμνὸν ἀφίησιν αὐτῶν φαίνεσθαι τὸ κατόρθωμα. Ταῦτα καὶ ὁ διδάσκαλος ἀπὼν ὑμῖν διαλέγεται, καὶ ὅπουπερ ἂν ᾖ, νῦν ὑμᾶς καὶ τὸν ὑμέτερον φαντάζεται σύλλογον· καὶ οὐχ οὕτω τοὺς ἐκεῖ συγγινομένους αὐτῷ καὶ παρόντας, ὡς ὑμᾶς τοὺς ἀπόντας ὁρᾷ νῦν. Οἶδα αὐτοῦ τὴν ἀγάπην τὴν ζέουσαν, τὴν πεπυρωμένην καὶ θερμὴν καὶ ἀκάθεκτον, ἣν μετὰ πολλοῦ τοῦ βάθους τῆς διανοίας ἐρριζωμένην ἔχει, καὶ μετὰ πολλῆς θεραπεύει τῆς σπουδῆς. Καὶ γὰρ οἶδε σαφῶς, ὅτι κεφάλαιον αὕτη πάντων ἐστὶ τῶν ἀγαθῶν, καὶ ῥίζα, καὶ πηγή, καὶ μήτηρ, καί, ταύτης οὐκ οὔσης, τῶν ἄλλων ἡμῖν ὄφελος οὐδέν. Αὕτη γάρ ἐστιν ἡ τῶν μαθητῶν τοῦ Κυρίου εἰκών, ὁ χαρακτὴρ τῶν τοῦ Θεοῦ δούλων, τὸ γνώρισμα τῶν ἀποστόλων. Ἐν τούτῳ γὰρ γνώσονται πάντες, φησίν, ὅτι μαθηταί μού ἐστε. Ιωαν. ιγ. λε. Ἐν τίνι εἰπέ; ἆρα ἐν τῷ νεκροὺς ἐγείρειν; ἢ λεπροὺς καθαίρειν; ἢ δαίμονας ἀπελαύνειν; οὐδὲν εἶπε τούτων, ἀλλὰ πάντα ἐκεῖνα παραδραμών, Ἐν τούτῳ γνώσονται πάντες, φησίν, ὅτι μαθηταί μού ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους. Ἐκεῖνα μὲν γὰρ τῆς ἄνωθεν χάριτός ἐστι δῶρα μόνης, τοῦτο δὲ καὶ τῆς ἀνθρωπίνης σπουδῆς ἐστι κατόρθωμα. Τῶν δὲ γνησίων οὐχ οὕτω τὰ ἄνωθεν διδόμενα δῶρα χαρακτηρίζειν εἴωθεν, ὡς τῶν οἰκείων πόνων τὰ κατορθώματα. Διόπερ οὐκ ἀπὸ τῶν σημείων, ἀλλ' ἀπὸ τῆς ἀγάπης γνωρίζεσθαί φησι τοὺς αὐτοῦ μαθητὰς ὁ Χριστός. Ταύτης γὰρ παρούσης, οὐδὲν μέρος φιλοσοφίας ἐλλείπει τῷ κεκτημένῳ, ἀλλ' ὁλόκληρον ἔχει καὶ παντελῆ καὶ ἀπηρτισμένην τὴν ἀρετήν· ὥσπερ οὖν, ἀπούσης αὐτῆς, ἔρημος πάντων ἐστὶ τῶν ἀγαθῶν. Διὰ τοῦτο ὁ Παῦλος αὐτὴν ἐπαίρει καὶ ἀνυψοῖ τῷ λόγῳ· μᾶλλον δὲ ὅσα ἂν εἴπῃ, οὐδέπω τῆς ἀξίας αὐτῆς ἐφικνεῖται. Τί γὰρ ἂν γένοιτο ταύτης ἴσον, ἣ τοὺς προφήτας συνέχει καὶ τὸν νόμον ἅπαντα, Ματθ. ζ. ιβ. ἧς ἄνευ οὐ πίστις, οὐ γνῶσις, οὐ μυστηρίων εἴδησις, οὐκ αὐτὸ τὸ μαρτύριον, οὐκ ἄλλο οὐδὲν τὸν κεκτημένον διασῶσαι δυνήσεται; Καὶ γάρ, α Κορ. ιγ. γ. κἂν παραδῶ τὸ σῶμά μου, φησίν, ἵνα καυθῇ, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. Καὶ ἀλλαχοῦ πάλιν, ὅτι πάντων ἐστὶ μείζων [καὶ κορυφὴ] τῶν ἀγαθῶν" διαδηλῶν ἔλεγεν· α. Κορ ιγ η. Εἴτε δὲ προφητεῖαι, καταργηθήσονται· εἴτε γλῶσσαι, παύσονται· εἴτε γνῶσις, καταργηθήσεται· α. Κορ. ιγ. ιγ. Μένει δὲ πίστις, ἐλπὶς, ἀγάπη, τὰ τρία ταῦτα· μείζων δὲ πάντων * ἡ ἀγάπη. ἀλλὰ γὰρ οὐ τὸ τυχὸν ἡμῖν ζήτημα ὁ περὶ τῆς ἀγάπης ἐπεισήγαγε λόγος. τὸ μὲν γὰρ προφητείας καταργηθῆναι, καὶ παύσασθαι γλώττας χαλεπὸν οὐδέν. εἰς καιρὸν γὰρ τὰ χαρίσματα ταῦτα τὴν ἑαυτῶν χρείαν παρασχόντα ἡμῖν, καὶ παυσάμενα παραβλάψαι τὸν λόγον οὐδὲν δυνήσεται. ἰδοὺ γοῦν νῦν προφητεία οὐκ ἔστιν, οὐδὲ γλωσσῶν χάρισμα, καὶ ὁ τῆς εὐσεβείας οὐδὲν ἐνεποδίσθη λόγος· τὸ δὲ καὶ γνῶσιν παύσασθαι, τοῦτό ἐστι τὸ ζητούμενον. εἰπὼν γὰρ, Εἴτε προφητεῖαι, καταργηθήσονται, εἴτε γλῶσσαι, παύσονται, ἐπήγαγεν· Εἴτε γνῶσις, καταργηθήσεται. Εἰ δὴ οὖν μέλλοι ἡ γνῶσις παύεσθαι, οὐκ ἐπὶ τὸ βέλτιον, ἀλλ' ἐπὶ τὸ χεῖρον ἡμῖν προκόψει τὰ πράγματα. ἄνευ γὰρ ταύτης καὶ τὸ εἶναι ἄνθρωποι παντελῶς ἀπολοῦμεν. Εκκλη ιβ ιγ. Τὸν γὰρ Θεὸν φοβοῦ, φησι, καὶ τὰς ἐντολὰς αὐτοῦ φύλαττε, ὅτι τοῦτο πᾶς ἄνθρωπος. Εἰ τοίνυν τοῦτό ἐστιν ἄνθρωπος, τὸ φοβεῖσθαι τὸν Θεὸν," τὸ δὲ φοβεῖσθαι τὸν Θεὸν ἀπὸ γνώσεως γίνεται, ἡ δὲ γνῶσις μέλλει καταργεῖσθαι, καθώς φησιν ὁ Παῦλος, τότε παντελῶς ἀπολούμεθα, γνώσεως οὐκ οὔσης, καὶ τὰ καθ' ἡμᾶς δὲ πάντα οἰχήσεται, καὶ τῶν ἀλόγων οὐδὲν ἄμεινον διακεισόμεθα, ἀλλὰ καὶ πολλῷ χεῖρον. τούτῳ γὰρ πλεονεκτοῦμεν αὐτῶν, ὡς τοῖς γε ἄλλοις ἅπασι τοῖς σωματικοῖς ἐκ πολλοῦ τοῦ περιόντος νικώμεθα. τί οὖν ἐστιν, ὅ φησιν ὁ Παῦλος, καὶ περὶ τίνος, ὅτι ἡ γνῶσις καταργηθήσεται; οὐ περὶ τῆς παντελοῦς, ἀλλὰ περὶ τῆς μερικῆς τοῦτό φησι, κατάργησιν, τὴν ἐπὶ τὸ βέλτιον πρόοδον" λέγων, ὡς " τῆς μερικῆς καταργουμένης εἰς τὸ μηκέτι εἶναι μερικὴν, ἀλλὰ τελείαν. καθάπερ γὰρ ἡ ἡλικία τοῦ παιδίου καταργεῖται, οὐκ ἀφανιζομένης τῆς οὐσίας, ἀλλ' αὐξανομένης τῆς ἡλικίας καὶ εἰς ἄνδρα τέλειον ἐκβαινούσης, οὕτω καὶ ἐπὶ τῆς γνώσεως γίνεται. ἡ μικρὰ, φησιν, αὕτη οὐκέτι ἂν εἴη μικρὰ, διὰ τῶν ἑξῆς γινομένη μεγάλη. τοῦτό ἐστι τὸ, καταργεῖται. καὶ τοῦτο διὰ τῶν ἑξῆς σαφέστερον ἡμῖν" ἐδήλωσεν. ἵνα γὰρ ἀκούσας, ὅτι καταργεῖται, μὴ κατάλυσιν παντελῆ νομίσῃς εἶναι, ἀλλ' αὔξησίν τινα καὶ πρὸς τὸ βέλτιον ἐπίδοσιν, εἰπὼν, καταργεῖται, ἐπήγαγεν· Ἐκ μέρους γὰρ γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν. ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται, ὡς μηκέτι εἶναι αὐτὸ ἐκ μέρους, ἀλλὰ τέλειον. [ὥστε τὸ ἀτελὲς αὐτοῦ καταργεῖται, ὡς μηκέτι εἶναι αὐτὸ" ἐκ μέρους, ἀλλὰ τέλειον.] ἡ τοίνυν κατάργησις αὕτη, πλήρωσίς ἐστι καὶ πρὸς τὸ μεῖζον ἐπίδοσις. καὶ σκόπει μοι τὴν Παύλου σύνεσιν. οὐ γὰρ εἶπε, μέρος γινώσκομεν, ἀλλ', ἐκ μέρους γινώσκομεν, δηλῶν ὅτι τοῦ μέρους μέρος κατέχομεν. τάχα ἐπιθυμεῖτε ἀκοῦσαι καὶ πόσον μέρος κατέχομεν, καὶ πόσον ἀπολέλειπται," καὶ πότερον τὸ πλέον ἢ τὸ ἔλαττον κατέχομεν. οὐκοῦν ἵνα μάθῃς ὅτι τὸ ἔλαττον κατέχεις, καὶ οὐχ ἁπλῶς τὸ ἔλαττον, ἀλλὰ, ὡς ἂν εἴποι τις, τὸ ἑκατοστὸν, ἢ τὸ μυριοστὸν, ἄκουσον τῶν ἑξῆς· μᾶλλον δὲ πρὶν ἢ τὴν ἀποστολικὴν ὑμῖν ἀναγνῶναι φωνὴν, ὑπόδειγμα ἐρῶ δυνάμενον ὑμῖν παραστῆσαι, ὡς ἐξ ὑποδείγματος δυνατὸν, αὐτὸ τοῦτο τὸ ζητούμενον, καὶ δεῖξαι πόσον ἀπολέλειπται, καὶ πόσον ἐστὶν ὃ κατέχομεν νῦν. πόσον τοίνυν ἐστὶ τὸ μέσον τῆς μελλούσης ἡμῖν δοθήσεσθαι γνώσεως, καὶ τῆς παρούσης νῦν; ὅσον ἀνδρὸς τελείου πρὸς παιδία θηλάζοντα τὸ μέσον. τοσαύτη γὰρ τῆς μελλούσης γνώσεως πρὸς τὴν παροῦσαν ἡ ὑπεροχή. καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, καὶ τοσοῦτον ἐκείνη μείζων ταύτης ἐστὶν, αὐτὸς λεγέτω πάλιν ὁ Παῦλος. Εἰπὼν γὰρ, ἐκ μέρους γινώσκομεν, καὶ βουλόμενος " διδάξαι ἐκ πόσου μέρους, καὶ ὅτι τὸ βραχύτατον νῦν κατέχομεν, ἐπήγαγεν· α. Κορ ιγ. ια. Ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ γέγονα ἀνὴρ, κατήργηκα τὰ τοῦ νηπίου. νηπίου μὲν ἔξει τὴν παροῦσαν γνῶσιν, ἀνδρὸς δὲ τελείου τὴν γνῶσιν τὴν μέλλουσαν παραβάλλων. καὶ οὐκ εἶπεν, ὅτε ἤμην παῖς (παῖς γὰρ καὶ ὁ " δεκαέτης λέγεται) ἀλλ', ὅτε ἤμην νήπιος, τὸ ὑπομάζιον καὶ ἔτι γαλακτοτρεφούμενον καὶ θηλάζοντα ἡμῖν ἐμφαίνων. ὅτι γὰρ τοῦτον ἡ γραφὴ νήπιον καλεῖ, ἄκουσον τοῦ ψαλμοῦ λέγοντος· Κύριε, ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ, ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν· ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. ὁρᾷς, ὅτι τὸ νήπιον πανταχοῦ τὸ θηλάζοντα" λέγει; Εἶτα προορῶν τῷ πνεύματι τῶν μελλόντων ἀνδρῶν τὴν ἀναισχυντίαν, οὐχ ἑνὶ τῷ παραδείγματι τούτῳ μόνον ἠρκέσθη, ἀλλὰ καὶ δευτέρῳ καὶ τρίτῳ τοῦτο βέβαιον ἡμῖν ἐποίησε. καθάπερ γὰρ ὁ Μωϋσῆς ἀποστελλόμενος πρὸς Ἰουδαίους τριῶν σημείων ἐλάμβανεν ἀπόδειξιν, ἵνα, ἐὰν ἀπιστήσωσι τῷ προτέρῳ, τῆς τοῦ δευτέρου φωνῆς ἀκούσωσιν· ἂν δὲ καὶ ταύτης καταφρονήσωσι, τὸ τρίτον αἰσχυνθέντες καταδέξωνται) τὸν προφήτην· οὕτω καὶ οὗτος τρία τίθησιν ὑποδείγματα*, ἓν μὲν τὸ τοῦ παιδίου, λέγων, ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐφρόνουν· δεύτερον τὸ τοῦ ἐσόπτρου, καὶ τρίτον τὸ τοῦ αἰνίγματος. Εἰπὼν γὰρ, ὅτι ἤμην νήπιος, ἐπήγαγε· Βλέπομεν δὲ ἄρτι δι' ἐσόπτρου*. ἰδοὺ καὶ δεύτερον ὑπόδειγμα τῆς παρούσης ἀσθενείας, καὶ τοῦ ἀτελῆ τὴν γνῶσιν εἶναι. τρίτον πάλιν τὸ ἐν αἰνίγματι. καὶ γὰρ τὸ παιδίον ὁρᾷ μὲν πολλὰ καὶ ἀκούει καὶ φθέγγεται, τρανὸν δὲ οὐδὲν οὔτε ὁρᾷ, οὔτε ἀκούει, οὔτε φθέγγεται, καὶ" λαλεῖ μὲν, οὐδὲν δὲ διηρθρωμένον· οὕτω καὶ ἐγὼ οἶδα μὲν πολλὰ, οὐκ ἐπίσταμαι δὲ αὐτῶν τὸν τρόπον. ὅτι μὲν γὰρ πανταχοῦ ἐστιν ὁ Θεὸς, οἶδα, καὶ ὅτι ὅλως ἐστὶ πανταχοῦ, τὸ δὲ πῶς, οὐκ οἶδα· καὶ ὅτι ἄναρχός ἐστι καὶ ἀΐδιος καὶ ἀγέννητος, οἶδα, τὸ δὲ πῶς, οὐκ οἶδα. οὐ γὰρ δέχεται λογισμὸς εἰδέναι, πῶς οἷόν τε οὐσίαν εἶναι μήτε παρ' ἑαυτῆς, μήτε παρ' ἑτέρου τὸ εἶναι ἔχουσαν. οἶδα ὅτι υἱὸν ἐγέννησε, τὸ δὲ πῶς, ἀγνοῶ· οἶδα, ὅτι τὸ πνεῦμα ἐξ αὐτοῦ, τὸ δὲ πῶς ἐξ αὐτοῦ, οὐκ ἐπίσταμαι. βρώματα ἐσθίω, τὸ δὲ πῶς μερίζονται εἰς φλέγμα, εἰς αἷμα, εἰς χυμὸν, εἰς χολὴν, ἀγνοῶ. ταῦτα ἅπερ βλέπομεν καθ' ἑκάστην ἡμέραν ἐσθίοντες ἀγνοοῦμεν, καὶ τὴν οὐσίαν τοῦ Θεοῦ πολυπραγμονοῦμεν; ποῦ τοίνυν εἰσὶν οἱ τὸ πᾶν ἀπειληφέναι τῆς γνώσεως λέγοντες, οἱ πρὸς τὸ βάραθρον τῆς ἀγνωσίας καταπεσόντες; οἱ γὰρ κατὰ τὸ παρὸν λέγοντες ἀπειληφέναι τὸ πᾶν, εἰς τὸ μέλλον ἐρήμους ἑαυτοὺς" τῆς παντελοῦς καθιστῶσι γνώσεως. ἐγὼ μὲν γὰρ ὁ λέγων, ὅτι ἐκ μέρους γινώσκω, κἂν εἴπω ὅτι καταργεῖται ἡ γνῶσις αὕτη, πρὸς τὸ βέλτιον καὶ τελειότερον" ὁδεύω, καταργηθείσης τῆς μερικῆς καὶ γινομένης τελειοτέρας· ἐκεῖνος δὲ ὁ λέγων παντελῆ καὶ ὁλόκληρον καὶ τελείαν ἔχειν τὴν γνῶσιν, εἶτα ὁμολογῶν αὐτὴν καταργεῖσθαι ἐν τῷ μέλλοντι, ἔρημον ἑαυτὸν ἀποφαίνει τῆς γνώσεως, ταύτης μὲν καταργουμένης, ἑτέρας δὲ τελειοτέρας οὐκ ἐπεισαγομένης, εἴπερ αὕτη ἐστὶ κατ' αὐτοὺς ἡ τελεία. ὁρᾶτε πῶς φιλονεικοῦντες ἐνταῦθα τὸ πᾶν ἔχειν, οὔτε" τὸ ἐνταῦθα ἔχουσι, καὶ ἐκεῖ τοῦ παντὸς" ἐκβάλλουσιν ἑαυτούς; τοσοῦτόν ἐστι κακὸν τὸ μὴ μένειν εἴσω τῶν ὅρων, ὧν ἐξ ἀρχῆς ἔταξεν ἡμῖν ὁ Θεός. οὕτω καὶ ὁ Ἀδὰμ ἐλπίδι πλείονος τιμῆς καὶ τῆς οὔσης ἐξέπεσεν· οὕτω καὶ ἐπὶ τῶν φιλαργύρων γίνεται. πολλοὶ πολλάκις μειζόνων ἐπιθυμοῦντες καὶ τὰ παρόντα ἀπώλεσαν. οὕτω καὶ οὗτοι προσδοκῶντες ἐνταῦθα τὸ πᾶν ἔχειν, καὶ τοῦ μέρους ἐξέπεσον.

Ψαλ. η a C.

Ἐξοδ. γ.

α. Κορ. ιγ. c.

Διὸ παρακαλῶ φεύγειν αὐτῶν τὴν μανίαν. " μανίας γὰρ ἔγωγε εἶναι" ἐσχάτην φημὶ, τὸ φιλονεικεῖν εἰδέναι τί τὴν οὐσίαν ἐστὶν ὁ Θεός. καὶ ἵνα μάθῃς, ὅτι μανίας ἐσχάτης τοῦτο, ἀπὸ τῶν προφητῶν τοῦτο ποιήσω ὑμῖν φανερόν. οἱ γὰρ προφῆται οὐ μόνον τί τὴν οὐσίαν ἐστὶν ἀγνοοῦντες φαίνονται, ἀλλὰ καὶ περὶ τῆς σοφίας" αὐτοῦ, πόση τίς ἐστιν, ἀποροῦσι· καίτοιγε οὐχ ἡ οὐσία ἀπὸ τῆς σοφίας, ἀλλ' ἡ σοφία ἐκ τῆς οὐσίας. ὅταν δὲ μηδὲ ταύτην δυνῶνται καταλαβεῖν οἱ προφῆται μετ' ἀκριβείας, πόσης ἂν εἴη μανίας, τὸ τὴν οὐσίαν αὐτὴν νομίζειν δύνασθαι τοῖς οἰκείοις ὑποβάλλειν λογισμοῖς; ἀκούσωμεν τοίνυν τί φησιν ὁ προφήτης περὶ αὐτῆς. Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ· μᾶλλον δὲ ἀνωτέρω τὸν λόγον ἀνάγωμεν, Ἐξομολογήσομαί σοι, ὅτι φοβερῶς ἐθαυμαστώθης. τί ἐστι, φοβερῶς; πολλὰ θαυμάζομεν

Ψαλ. ρλη ιγ.

νεῶν, ἀλλ' οὐ μετὰ φόβου· οἷον, κιόνων κάλλος, ἢ τοίχων ζωγραφίαν, ἢ ἄνθη σωμάτων. θαυμάζομεν πάλιν τῆς θαλάσσης τὸ μέγεθος, καὶ τὸν ἄπειρον βυθὸν, ἀλλὰ μετὰ φόβου, ὅταν πρὸς τὸ βάθος κατακύψωμεν. οὕτω τοίνυν καὶ ὁ προφήτης πρὸς τὸ ἄπειρον καὶ ἀχανὲς πέλαγος τῆς τοῦ Θεοῦ κατακύψας σοφίας, καὶ ἰλιγγιάσας, μετὰ φόβου πολλοῦ θαυμάσας ἀνεχώρησε βοῶν καὶ λέγων· Ἐξομολογήσομαί σοι, ὅτι φοβερῶς ἐθαυμαστώθης· θαυμάσια τὰ ἔργα σου. καὶ πάλιν, Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δυνώμαι πρὸς αὐτήν. ὁρᾷς εὐγνωμοσύνην οἰκέτου; εὐχαριστῶ σοί, φησι, διὰ τοῦτο, ὅτι ἀκατάληπτον ἔχω δεσπότην· οὐ περὶ οὐσίας ἐνταῦθα λέγων (ἐκεῖνο μὲν γὰρ ὡς ὡμολογημένον ἀκατάληπτον εἶναι παρῆκε) περὶ δὲ τοῦ πανταχοῦ παρεῖναι τὸν Θεὸν ταῦτά φησι, δεικνὺς ὡς οὐδὲ αὐτὸ τοῦτο οἶδε, πῶς πανταχοῦ πάρεστιν. ὅτι γὰρ περὶ τούτου φησὶν, ἀκούετε τῶν ἑξῆς. Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει. εἶδες πῶς πανταχοῦ πάρεστιν; ἀλλ' ὁ προφήτης οὐκ οἶδεν, ἀλλ' ἰλιγγιᾷ καὶ διαπορεῖ καὶ θορυβεῖται, μόνον εἰς νοῦν αὐτὸ λαβών. καὶ πῶς οὐκ ἐσχάτης ἀνοίας τοὺς τοσοῦτον ἀπέχοντας τῆς ἐκείνου χάριτος αὐτὴν τοῦ Θεοῦ πολυπραγμονεῖν τὴν οὐσίαν; καίτοι οὗτός ἐστιν αὐτὸς ὁ προφήτης ὁ λέγων· Τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. ἀλλ' ὅμως τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας αὐτοῦ μαθὼν περὶ αὐτῆς φησι ταύτης, ὅτι ἀπρόσιτός ἐστι καὶ ἀκατάληπτος. Μέγας γὰρ ὁ Κύριος, φησι, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός, τουτέστιν, οὐκ ἔστι κατάληψις. τί λέγεις; ἡ σοφία ἀκατάληπτος τῷ προφήτῃ, καὶ ἡ οὐσία ἡμῖν καταληπτή; ἆρα οὐ φανερὰ ταῦτα μανία; ἡ μεγαλωσύνη αὐτοῦ οὐκ ἔχει πέρας, καὶ τὴν οὐσίαν αὐτοῦ περιγράφεις; ταῦτα καὶ ὁ Ἡσαΐας φιλοσοφῶν ἔλεγε· Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; οὐκ εἶπε, τίς διηγεῖται, ἀλλὰ, τίς διηγήσεται, καὶ τὸ μέλλον ἀπέκλεισε. καὶ ὁ μὲν Δαβὶδ φησιν, Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ· ὁ δὲ Ἡσαΐας, οὐκ ἀφ' ἑαυτοῦ φησιν, ἀλλὰ καὶ ἀπὸ πάσης τῆς ἀνθρωπίνης φύσεως ἀποκεκλεῖσθαι τὴν διήγησιν ταύτην [λέγει]. ἀλλ' ἴδωμεν μήποτε ὁ Παῦλος ἔγνω, ἅτε δὴ μείζονος ἀπολελαυκὼς χάριτος. αὐτὸς μὲν οὖν ἐστιν ὁ λέγων· Ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν. καὶ οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἀλλαχοῦ, οὐ περὶ τῆς οὐσίας, ἀλλὰ περὶ τῆς σοφίας καὶ αὐτὸς διαλεγόμενος τῆς ἐν τῇ προνοίᾳ φαινομένης, οὐ τῆς καθόλου λέγω, καθ' ἣν ἀγγέλων καὶ ἀρχαγγέλων καὶ τῶν ἄνω προνοεῖται δυνάμεων, ἀλλ' ἐκεῖνο τῆς προνοίας τὸ μέρος ἐξετάζων, καθ' ὃ προνοεῖται τῶν ἐν τῇ γῇ ἀνθρώπων, καὶ ταύτης αὐτῆς πάλιν μέρος· οὐδὲ γὰρ αὐτὴν [ὅλην] ἐξετάζει, καθ' ἣν ἀνατέλλει ἥλιον, καθ' ἣν ψυχὰς ἐμπνεῖ, καθ' ἣν σώματα ἀναπλάττει, καθ' ἣν τρέφει τοὺς ἐπὶ γῆς ἀνθρώπους, καθ' ἣν συγκρατεῖ τὸν κόσμον, καθ' ἣν τὰς ἐτησίους δίδωσι τροφάς· ἀλλὰ ταῦτα πάντα ἀφεὶς, καὶ μικρόν τι μέρος ἐξετάσας τῆς προνοίας αὐτοῦ, καθ' ὃ τοὺς μὲν Ἰουδαίους ἐξέβαλε, τοὺς δὲ ἐξ ἐθνῶν εἰσεδέξατο, καὶ πρὸς αὐτὸ τοῦτο τὸ μικρὸν μέρος, ὥσπερ πρὸς πέλαγος ἄπειρον, ἰλιγγιάσας, καὶ βάθος ἰδὼν ἀχανὲς ἀπεπήδησεν εὐθέως, καὶ μέγα ἀνεβόησεν εἰπών· Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ; οὐκ εἶπεν, ἀκατάληπτα, ἀλλ', ἀνεξερεύνητα. εἰ δὲ ἐρευνηθῆναι ἀδύνατον, πολλῷ μᾶλλον καταληφθῆναι ἀδυνατώτερον. καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. αἱ ὁδοὶ αὐτοῦ ἀνεξιχνίαστοι, καὶ αὐτὸς καταληπτός, εἰπέ μοι; καὶ τί λέγω περὶ τῶν ὁδῶν; τὰ ἔπαθλα τὰ ἀποκείμενα ἡμῖν ἀκατάληπτα. Ὀφθαλμὸς γὰρ οὐκ εἶδεν, οὐδὲ οὖς ἤκουσεν, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου [οὐκ] ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. ἀλλὰ καὶ ἡ δωρεὰ αὐτοῦ ἀνεκδιήγητος. Χάρις γὰρ τῷ Θεῷ, φησιν, ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ. καὶ, Ἡ εἰρήνη αὐτοῦ ὑπερέχει πάντα νοῦν. τί λέγεις; τὰ κρίματα αὐτοῦ ἀνεξερεύνητα, αἱ ὁδοὶ αὐτοῦ ἀνεξιχνίαστοι, ἡ εἰρήνη ὑπερέχει πάντα νοῦν, ἡ δωρεὰ ἀνεκδιήγητος, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν οὐκ ἀνέβη ἐπὶ καρδίαν ἀνθρώπου, ἡ με-

γαλωσύνη

Ψαλ. ρλη. ϛ.
Ψαλ. να. η.
Ψαλ. ρμε. γ.
Ησ. νγ. η.
α Κορ. ιγ.
Ρωμ. ια. λγ.
α. Κορ. β. θ.
β Κορ θ ιε.
Φιλιπ. δ. ζ.

γαλωσύνη πέρας οὐκ ἔχει, ἡ σύνεσις ἀριθμὸν οὐκ ἔχει, πάντα ἀκατάληπτα, καὶ αὐτὸς μόνος κατάληπτος; καὶ ποίαν οὐκ ἂν ἔχοι τοῦτο μανίας ὑπερβολήν; κατέχε τῶν αἱρετικῶν, μὴ ἀφῇς αὐτὸν ἀναχωρῆσαι· εἰπέ, τί φησιν ὁ Παῦλος, ἐκ μέρους γινώσκομεν; οὐ περὶ τῆς οὐσίας τοῦτο λέγει, φησίν, ἀλλὰ περὶ τὴν οἰκονομίαν. μάλιστα μέν, εἰ καὶ περὶ τὴν οἰκονομιῶν ὁ λόγος, ἐκ πλείονος ἡμῖν περιουσίας καὶ οὕτω τὰ νικητήρια. εἰ γὰρ αἱ οἰκονομίαι ἀκατάληπτοι, πολλῷ μᾶλλον αὐτός. ὅτι δὲ ἐνταῦθα οὐ περὶ οἰκονομιῶν φησιν, ἀλλὰ περὶ αὐτοῦ τοῦ Θεοῦ, ἄκουσον τῶν ἑξῆς. εἰπὼν γάρ, ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν, ἐπήγαγεν· ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην. ὑπὸ τίνος οὖν ἐπεγνώσθη; ὑπὸ τοῦ Θεοῦ, ἢ ὑπὸ τῶν οἰκονομιῶν; ὑπὸ τοῦ Θεοῦ δηλονότι. τοῦτον οὖν καὶ ἐκ μέρους γινώσκει. ἐκ μέρους δὲ εἶπεν, οὐχ ὅτι τὸ μὲν αὐτοῦ τῆς οὐσίας γινώσκει, τὸ δὲ ἀγνοεῖ (ἁπλοῦς γὰρ ὁ Θεός) ἀλλ' ἐπειδὴ ὅτι μέν ἐστι Θεός, οἶδε, τὸ δὲ τί τὴν οὐσίαν ἐστίν, ἀγνοεῖ· ὅτι μὲν σοφός ἐστιν, ἐπίσταται, τὸ δὲ πόσον ἐστὶ σοφός, ἀγνοεῖ· ὅτι μὲν μέγας, οὐκ ἀγνοεῖ, τὸ δὲ πῶς, ἢ τίς αὐτοῦ ἡ μεγαλωσύνη, τοῦτο οὐκ οἶδεν· ὅτι πανταχοῦ πάρεστι, γινώσκει, τὸ δὲ πῶς, οὐκ ἐπίσταται· ὅτι προνοεῖ, καὶ συνέχει τὰ πάντα, καὶ συγκρατεῖ μετὰ ἀκριβείας, οὐκ ἀγνοεῖ, τὸν δὲ τρόπον, καθ' ὃν ταῦτα ποιεῖ, ἀγνοεῖ. διὰ τοῦτο ἔλεγεν, ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν. ἀλλὰ γάρ, εἰ δοκεῖ, τὸν Παῦλον ἀφέντες καὶ τοὺς προφήτας, ἀνέλθωμεν εἰς τοὺς οὐρανούς, μή ποτε ἐκεῖ τινές εἰσιν εἰδότες, τίς τὴν οὐσίαν ἐστὶν ὁ Θεός. μάλιστα μὲν γὰρ κἂν εὑρεθῶσιν εἰδότες, οὐδὲν κοινὸν πρὸς ἡμᾶς. πολὺ γὰρ τὸ μέσον ἀγγέλων καὶ ἀνθρώπων. πλὴν ἀλλ' ἵνα ἐκ περιουσίας μάθῃς, ὅτι οὐδ' ἐκεῖ τις οἶδεν, οὐδὲ ἑτέρα κτιστὴ δύναμις τοῦτο, ἀκούσωμεν τῶν ἀγγέλων. τί οὖν; περὶ τῆς οὐσίας ταύτης ἐκεῖ διαλέγονται, καὶ πρὸς ἑαυτοὺς ζητοῦσιν; οὐδαμῶς· ἀλλὰ τί; δοξάζουσι, προσκυνοῦσι, τὰς ἐπινικίους καὶ μυστικὰς ᾠδὰς διηνεκῶς ἀναπέμπουσι μετὰ πολλῆς τῆς φρίκης; καὶ οἱ μὲν λέγουσι, Δόξα ἐν ὑψίστοις Θεῷ· τὰ δὲ Σεραφίμ, Ἅγιος, ἅγιος, ἅγιος, καὶ τοὺς ὀφθαλμοὺς ἀποστρέφουσιν, οὐδὲ τὴν συγκατάβασιν ἐνεγκεῖν δυνάμενα τοῦ Θεοῦ· τὰ δὲ Χερουβίμ, Εὐλογημένη ἡ δόξα αὐτοῦ ἐκ τοῦ τόπου αὐτοῦ· οὐχ ὅτι τόπος περὶ Θεόν (μὴ γένοιτο) ἀλλ' ὡς ἂν εἴποιμεν ἀνθρωπίνως φθεγγόμενοι, ὅπουπερ ἂν ἐστιν, ἢ ὅπως ἂν ἐστιν, εἰ δὴ καὶ τοῦτο ἀσφαλὲς ἐπὶ Θεοῦ εἰπεῖν. ἀνθρωπίνην γὰρ ἔχομεν γλῶτταν. εἶδες πόσος ἄνω φόβος, καὶ πόση κάτω καταφρόνησις; ἐκεῖνοι δοξάζουσιν, οὗτοι περιεργάζονται· εὐφημοῦσιν ἐκεῖνοι, πολυπραγμονοῦσιν οὗτοι· ἐκεῖνοι τὰς ὄψεις ἀποκρύπτουσιν, οὗτοι φιλονεικοῦσιν ἐνατενίζειν ἀναισχύντως εἰς τὴν ἀνεκδιήγητον δόξαν. τίς οὐκ ἂν στενάξειε, τίς οὐκ ἂν θρηνήσειεν αὐτοὺς τῆς παραπληξίας καὶ τῆς ἐσχάτης ταύτης ἀνοίας;

α. Κορ. ιγ.

Λουκ. β. ιδ.

Ησ. ϛ. γ.

Ιεζ. γ. ιϛ.

Ἐβουλόμην μὲν οὖν μακροτέρω προαγαγεῖν τὸν λόγον, ἀλλ' ἐπειδὴ νῦν πρῶτον εἰς ταῦτα κατέβην τὰ παλαίσματα, λυσιτελὲς ὑμῖν εἶναι νομίζω ἀρκεσθῆναι τέως τοῖς εἰρημένοις, ὥστε μὴ τὸ πλῆθος τῶν μελλόντων ῥηθήσεσθαι ἐπελθὸν πολλῇ τῇ ῥύμῃ παρασύρῃ καὶ τούτων τὴν μνήμην. ~~πάντως~~ δέ, ἐὰν ὁ Θεὸς ἐπιτρέπῃ, ταύτην λοιπὸν μέχρι πολλοῦ τὴν ὑπόθεσιν ἐργασόμεθα. ἐγὼ μὲν γὰρ καὶ πάλαι τούτους ὤδινον πρὸς ὑμᾶς τοὺς λόγους εἰπεῖν, ἤμελλον δὲ καὶ ἀνεβαλλόμην, ὅτι πολλοὺς τῶν ταῦτα νοσούντων ἑώρων μεθ' ἡδονῆς ἡμῶν ἀκροωμένους· καὶ οὐ βουλόμενος ἀποσοβῆσαι τὴν θήραν, τέως ἐπεῖχον τὴν γλῶτταν τούτων τῶν παλαισμάτων, ὥστε μετὰ τὸ κατασχεῖν αὐτοὺς ἀκριβῶς τότε ἐπαποδύσασθαι. ἐπειδὴ δὲ διὰ τὴν τοῦ Θεοῦ χάριν αὐτῶν ἤκουσα παρακαλούντων καὶ ἐνοχλούντων εἰς τούτους ἐμβῆναι τοὺς ἀγῶνας, θαρρῶν νῦν ἀπεδυσάμην λοιπόν, καὶ τὰ ὅπλα ἔλαβον τὰ τοὺς λογισμοὺς καθαιροῦντα, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. ταῦτα δὲ ἔλαβον τὰ ὅπλα, οὐχ ἵνα καταβάλω τοὺς ἐναντίους, ἀλλ' ἵνα ἀναστήσω κειμένους. τοιαύτη γὰρ τῶν ὅπλων τούτων ἡ δύναμις· τοὺς μὲν φιλονεικοῦντας πλήττειν οἶδε, τοὺς δὲ εὐγνωμόνως ἀκούοντας μετὰ πολλῆς θεραπεύειν τῆς ἐπιμελείας. οὐχὶ δίδωσι τραύματα, ἀλλὰ" θεραπεύει νοσήματα. μὴ τοίνυν ἀγριαίνωμεν πρὸς ἐκείνους, μηδὲ θυμὸν προβαλλώμεθα, ἀλλὰ μετ' ἐπιεικείας αὐτοῖς διαλεγώμεθα. οὐδὲν γὰρ ἐπιεικείας καὶ πραότητος ἰσχυρότερον. διὰ τοῦτο καὶ Παῦλος πολλῇ τῇ σπουδῇ τούτου τοῦ πράγματος ἀντέχεσθαι κελεύει λέγων· β Τιμ. β. κδ. Δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας. οὐκ εἶπε, πρὸς Φιλιπ. δ. ε. τοὺς ἀδελφοὺς μόνον, ἀλλὰ, πρὸς πάντας. καὶ πάλιν, Τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις. οὐκ εἶπε, τοῖς ἀδελφοῖς, ἀλλὰ, πᾶσιν ἀνθρώποις. "τί γάρ, φησιν, ὄφελος, ἂν τοὺς φιλοῦντας ὑμᾶς φιλῆτε; ἂν μὲν οὖν βλάπτωσιν αὐτὴν αἱ φιλίαι, καὶ πρὸς κοινωνίαν τῆς ἀσεβείας ἕλκωσι, κἂν οἱ γεγεννηκότες ὦσιν, ἀποπήδησον, κἂν ὀφθαλμὸς ᾖ, ἐξόρυξον. Ματθ. ε. κθ. Ἐὰν γάρ, φησιν, ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζῃ σε, ἔκκοψον αὐτόν, οὐ περὶ σώματος λέγων· πῶς γάρ; εἰ γὰρ περὶ τῆς τοῦ σώματος φύσεως ἔλεγε, τὸ ἔγκλημα εἰς τὸν τῆς φύσεως δημιουργὸν διέβαινεν· "ἄλλως δέ, οὐχ ἕνα ἐξορύττειν ἐχρῆν. κἂν γὰρ ὁ ἀριστερὸς ὑπολειφθῇ, ὁμοίως σκανδαλίζει τὸν ἔχοντα. ἀλλ' ἵνα μάθῃς, ὅτι οὐ περὶ ὀφθαλμῶν ὁ λόγος, προσέθηκε τὸ δεξιόν," δεικνὺς ὅτι κἂν ὡς δεξιὸν ὀφθαλμὸν ἔχῃς τινὰ φίλον, καὶ τοῦτον ἔκβαλε καὶ ἀπότεμε τῆς πρὸς σὲ φιλίας, ἐὰν σε σκανδαλίζῃ. τί γὰρ ὄφελος ἔχειν ὀφθαλμὸν ἐπὶ λύμῃ τοῦ λοιποῦ σώματος; ἂν μὲν οὖν, ὅπερ ἔφην, βλάπτωσιν αἱ φιλίαι, φεύγωμεν καὶ ἀποπηδῶμεν. ἐὰν δὲ μηδὲν ἡμᾶς εἰς τὸν τῆς εὐσεβείας ἀδικῶσι λόγον, ἕλκωμεν καὶ ἐπισπώμεθα πρὸς ἑαυτοὺς ἐκείνους. εἰ δὲ μήτε αὐτὸν ὠφελεῖς, καὶ τὴν παρ' ἐκείνου δέχῃ βλάβην, κέρδανον τὸ μεῖναι διὰ τῆς ἐκκοπῆς ἀσινής, καὶ φεῦγε μὲν αὐτῶν τὰς φιλίας, ἂν βλάπτωσι· φεῦγε μόνον, μὴ μάχου, μηδὲ πολέμει. οὕτω καὶ Παῦλος "παραινεῖ λέγων· Ῥωμ. ιβ. ιη. Εἰ δυνατόν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες. δοῦλος εἶ τοῦ τῆς εἰρήνης Θεοῦ. ἐκεῖνος τοὺς δαίμονας ἐκβάλλων, καὶ μυρία ἐργαζόμενος ἀγαθά, ἐπειδὴ δαιμονῶντα αὐτὸν ἐκάλεσαν, οὐκ ἀφῆκε σκηπτόν, οὐ συνέτριψε τοὺς λοιδοροῦντας, οὐ κατέκαυσε τὴν γλῶτταν τὴν οὕτως ἀναίσχυντον καὶ ἀγνώμονα, καίτοι ταῦτα πάντα δυνάμενος, ἀλλ' ἀπεκρούσατο τὴν κατηγορίαν μόνον εἰπών· Ἰωαν. η. μθ. Ἐγὼ δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν πέμψαντά με. ἐπειδὴ δὲ καὶ ὁ δοῦλος τοῦ ἀρχιερέως αὐτὸν ἐτύπησε, τί φησιν; Ἰωαν. ιη. κγ. Εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις; εἰ δὲ ὁ δεσπότης τῶν ἀγγέλων ἀπολογεῖται καὶ εὐθύνας δίδωσιν, οἰκέτῃ οὐ χρεία μακροτέρων λόγων. ταῦτα μόνον στρέφε τὰ ῥήματα ἐν τῇ διανοίᾳ, καὶ συνεχῶς αὐτὰ μελέτα, καὶ λέγε· Εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις; ἐννόησον τὸν λέγοντα, καὶ πρὸς τίνα φησί, καὶ τίνος ἕνεκεν, καὶ ἔσται σοι θεία τις ἐπῳδὴ καὶ διηνεκὴς τὰ ῥήματα ταῦτα, καὶ πᾶσαν δυνήσεται φλεγμονὴν καταστεῖλαι. ἐννόησον τὸ ἀξίωμα τοῦ ὑβρισθέντος, τὸ εὐτελὲς τοῦ ὑβρίσαντος, τὴν ὑπερβολὴν τῆς ὕβρεως. οὐ γὰρ ἐλοιδορήσατο μόνον, ἀλλὰ καὶ ἐτύπησε, καὶ οὐκ ἐτύπησεν ἁπλῶς, ἀλλὰ καὶ ἐρράπισεν· οὐδὲν δὲ ταύτης τῆς πληγῆς ἀτιμότερον· ἀλλ' ὅμως πάντα ἤνεγκεν, ἵνα ἐκ περιουσίας μάθῃς σὺ σωφρονεῖν. ταῦτα μὴ μόνον ἐνταῦθα φιλοσοφῶμεν, ἀλλὰ καὶ ὅταν καιρὸς αὐτῶν ᾖ, μνημονεύωμεν. μὴ μόνον ἐπαινήσατε τὰ λεγόμενα, ἀλλ' ἐπὶ τῶν ἔργων" δείξατέ μοι τὸν ἔπαινον. καὶ γὰρ ὁ παλαιστὴς ἐν τῇ παλαίστρᾳ γυμνάζεται, ἵνα ἐπὶ τῶν ἀγώνων" δείξῃ τῆς ἐκεῖ γυμνασίας τὴν ὠφέλειαν. καὶ σὺ τοίνυν * τῆς ἐνταῦθα ἀκροάσεως, ὅταν ἐπέλθῃ θυμός, δεῖξον τὸ κέρδος, καὶ τοῦτο συνεχῶς λέγε τὸ ῥῆμα· Ἰωαν. ιη. κγ. Εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις; τοῦτο ἔγγραψον τῇ σῇ διανοίᾳ. διὰ γὰρ τοῦτο κἀγὼ συνεχῶς" ὑπομιμνήσκω τούτων τῶν λόγων ὑμᾶς, ὥστε ὑμῶν ἐντεθῆναι τῇ ψυχῇ τὰ εἰρημένα πάντα, ὥστε ἀνεξάλειπτον μεῖναι τὴν μνήμην, καὶ τὴν ἀπὸ τῆς μνήμης ὠφέλειαν. ἂν γὰρ ἔχωμεν ἐγγεγραμμένα τὰ ῥήματα ταῦτα ἐπὶ τὸ πλάτος τῆς διανοίας τῆς ἡμετέρας, οὐδεὶς οὕτω λίθινος καὶ ἀγνώμων καὶ ἀναίσθητος,

Ἀλ. ἄλλως τε οὐχὶ τὸν ἕνα

Ἀλ. παραινῶν λέγει

ἀναίσθητος, ὡς ἐξενεχθῆναί ποτε πρὸς ὀργήν. πολλοῦ γὰρ χαλινοῦ καὶ πάσης ἡνίας δεῖ μᾶλλον τὴν γλῶτταν ἡμῖν πέρα τοῦ μέτρου καὶ τοῦ προσήκοντος ἐκφερομένην ταύτην ἐπισχεῖν δυνήσεται τὰ ῥήματα, καὶ τὴν διάνοιαν οἰδοῦσαν καταστεῖλαι, καὶ πεῖσαι μετριάζειν διηνεκῶς, καὶ ὁλόκληρον ἡμῖν ἐγκατοικίσαι τὴν εἰρήνην· ἧς γένοιτο διαπαντὸς ἡμᾶς ἀπολαύειν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟ ΠΟΛΛΩΝ ΗΜΕΡΩΝ ΠΡΟΣ ΑΝΟμοίους εἰπόντος, εἶτα πρὸς Ἰουδαίους, εἶτα σιγήσαντος διὰ παρουσίαν ἐπισκόπων καὶ μαρτύρων μνήμας πολλῶν γινομένας, νῦν πάλιν πρὸς Ἀνομοίους περὶ ἀκαταλήπτου λόγος. β.

Φέρε δὴ καὶ σήμερον πρὸς τοὺς ἀπίστους Ἀνομοίους ἀποδυσώμεθα. Εἰ δὲ ἀγανακτοῦσιν ἄπιστοι καλούμενοι, φευγέτωσαν τὸ πρᾶγμα, κἀγὼ κρύπτω τὸ ὄνομα· ἀποστήτωσαν τῆς ἀπίστου διανοίας, καὶ ἀφίσταμαι τῆς ἐπονειδίστου προσηγορίας. Εἰ δὲ αὐτοὶ διὰ τῶν ἔργων τὴν πίστιν ἀτιμάζοντες, καὶ ἑαυτοὺς καταισχύνοντες οὐ καταδύονται, τίνος ἕνεκεν πρὸς ἡμᾶς δυσχεραίνουσι διὰ τῶν ῥημάτων ἐγκαλοῦντας αὐτοῖς, ἃ διὰ τῶν ἔργων αὐτοὶ ἐπιδείκνυνται; πρώην μὲν γὰρ, ἡνίκα εἰς τὸ στάδιον τῶν λόγων τούτων καθήκαμεν, καθάπερ δὴ μέμνησθε, καὶ τῶν αὐτῶν ἡψάμεθα παλαισμάτων, ὁ πρὸς Ἰουδαίους ἡμᾶς εὐθέως ἀγῶνες διεδέξατο· καὶ οὐκ ἦν ἀσφαλὲς τὰ οἰκεῖα μέλη νενοσηκότα παρατρέχειν. οἱ μὲν γὰρ πρὸς Ἀνομοίους λόγοι ἀεὶ καιρὸν ἔχουσι· τότε δὲ τοὺς ἀρρωστοῦντας τῶν ἀδελφῶν τῶν ἡμετέρων, καὶ τὰ Ἰουδαϊκὰ νοσοῦντας εἰ μὴ προλαβόντες εὐθέως ἐξηρπάσαμεν τῆς πυρᾶς τῆς Ἰουδαϊκῆς, οὐδὲν ὄφελος ἡμῖν λοιπὸν ἐγένετο τῆς παραινέσεως, τῆς ἁμαρτίας τῆς κατὰ τὴν νηστείαν προσχωρησάσης αὐτοῖς. μετὰ δὲ τοὺς πρὸς ἐκείνους ἀγῶνας, πάλιν διεδέξατο πατέρων παρουσία πνευματικῶν, πολλῶν πολλαχόθεν ἐνταῦθα ἀφιγμένων, καὶ οὐδὲ τότε εὔκαιρον ἦν, ἀπελθόντων ἐκείνων, καθάπερ τινῶν ποταμῶν εἰς τὴν πνευματικὴν ταύτην ῥεόντων θάλασσαν, τὸν ἡμέτερον ἐκτείνεσθαι λόγον· καὶ μετὰ τὴν ἐκείνων δὲ ἀποδημίαν, μαρτύρων ἀπήντησαν ἐπάλληλοι μνῆμαι καὶ συνεχεῖς, καὶ οὐκ ἔδει καταφρονῆσαι τῆς τῶν ἀθλητῶν ἐκείνων εὐλογίας. Ταῦτα δὲ λέγω καὶ ἀπαριθμοῦμαι, ἵνα μὴ νομίσητε δι' ὄκνου τινὸς καὶ ῥᾳθυμίας ἡμῖν γενέσθαι τὴν ἀναβολὴν τῶν ἀγώνων τῶν πρὸς ἐκείνους. νῦν γοῦν, ἐπειδὴ καὶ τῆς πρὸς Ἰουδαίους λοιπὸν ἀπηλλάγημεν μάχης, καὶ οἱ πατέρες πρὸς τὰς ἑαυτῶν ἐπανῆλθον πατρίδας, καὶ τῆς εὐλογίας τῶν μαρτύρων ἀπηλαύσαμεν ἱκανῶς, φέρε δὴ λοιπὸν τὴν χρονίαν ὠδῖνα τῆς ὑμετέρας ἀκροάσεως λύσωμεν. εὖ γὰρ οἶδα, ὅτι ἐμοῦ τοῦ λέγοντος οὐκ ἔλαττον ἕκαστος ὑμῶν ὠδίνει τοὺς περὶ τούτων ἀκοῦσαι λόγους. τὸ δὲ αἴτιον· φιλόχριστος ἡμῖν ἄνωθεν ἡ πόλις ἐστὶ, καὶ πατρῴαν ταύτην διεδέξασθε κληρονομίαν, μηδέποτε περιορᾶν τὰ τῆς εὐσεβείας δόγματα νοθευόμενα. πόθεν τοῦτο δῆλον; κατέβησάν τινες ἀπὸ τῆς Ἰουδαίας ποτὲ ἐπὶ τῶν προγόνων τῶν ὑμετέρων ἐπιθολοῦντες τὰ καθαρὰ τῆς ἀποστολικῆς διδασκαλίας δόγματα, καὶ κελεύοντες περιτέμνεσθαι, καὶ τηρεῖν τὸν νόμον Μωϋσέως. Πραξ. 15 a. ταύτην οὐκ ἤνεγκαν σιγῇ τὴν καινοτομίαν οἱ τότε τὴν πόλιν ταύτην οἰκοῦντες, ἀλλ' ὥσπερ τινὲς γενναῖοι σκύλακες λύκους ὁρῶντες ἐπεισιόντας, καὶ τὴν ποίμνην ἅπασαν διαφθείροντας, οὕτως ἐπιπηδήσαντες ἐκείνοις, οὐ πρότερον ἀπέστησαν σοβοῦντες αὐτοὺς πανταχόθεν καὶ ἀπελαύνοντες, ἕως παρεσκεύασαν παρὰ τῶν ἀποστόλων πανταχοῦ τῆς οἰκουμένης πεμφθῆναι δόγματα ἀποτειχίζοντα κἀκείνοις, καὶ τοῖς μετ' ἐκείνους ἅπασι τὴν τοιαύτην κατὰ τῶν πιστῶν ἔφοδον.

φόβον. πόθεν οὖν ἡμῖν ἀρκτέον τῶν πρὸς ἐκείνους λόγων; πόθεν ἄλλοθεν, ἀλλ' ἢ ἀπὸ τῆς
κατὰ τὴν ἀπιστίαν κατηγορίας; πάντα γὰρ ποιοῦσι καὶ πραγματεύονται, ὥστε ἐξωθῆσαι
τῆς τῶν ἀκουόντων διανοίας τὴν πίστιν, οὗ τί γένοιτ' ἂν μεῖζον ἀσεβείας ἔγκλημα; ὅταν γὰρ ὁ
Θεὸς ἀποφαίνηταί τι, δέχεσθαι χρὴ πιστῶς τὸ λεχθέν, οὐ περιεργάζεσθαι τολμηρῶς. ὁ βουλόμενος
αὐτῶν καλείτω με ἄπιστον, οὐκ ἀγανακτῶ. διὰ τί; διὰ γὰρ τῶν ἔργων ἐπιδείκνυμαι τὴν προσηγορίαν.
καὶ τί λέγω, καλείτω ἄπιστον; καλείτω γάρ με καὶ μωρὸν ἐν Χριστῷ, καὶ ἐπὶ τούτῳ,
ὥσπερ ἐπὶ στεφάνῳ, πάλιν ἀγάλλομαι, καὶ μετὰ Παύλου κοινωνῶ τῆς προσηγορίας ταύτης.
α. Κορ. δ. ι. ἐκεῖνος γάρ φησιν, Ἡμεῖς μωροὶ διὰ Χριστόν. πάσης σοφίας αὕτη ἡ μωρία φρονιμωτέρα.
ἃ γὰρ οὐκ ἴσχυσεν ἡ ἔξωθεν εὑρεῖν σοφία, ταῦτα κατώρθωσεν ἡ μωρία ἡ κατὰ Χριστόν· αὕτη τὸ
σκότος τῆς οἰκουμένης ἀπήλασεν, αὕτη τὸ φῶς τῆς γνώσεως ἐπεισήγαγε. τί δέ ἐστι μωρία
κατὰ Χριστόν; ὅταν τοὺς οἰκείους λογισμοὺς λυττῶντας ἀκαίρως καταστέλλωμεν, ὅταν ἔρημον καὶ
κενὴν τὴν ἡμετέραν διάνοιαν τῆς ἔξωθεν ποιῶμεν παιδεύσεως, ἵν', ὅταν δέῃ τὰ τοῦ Χριστοῦ δέχεσθαι,
σχολάζουσαν καὶ σεσαρωμένην αὐτὴν πρὸς ὑποδοχὴν τῶν θείων λόγων παρέχωμεν.
καὶ γὰρ ὅταν ἀποφαίνηταί τι ὁ Θεός, ὃ μὴ δεῖ πολυπραγμονεῖσθαι, πίστει παραδέχεσθαι
χρή. τὸ γὰρ ἐπὶ τῶν τοιούτων περιεργάζεσθαι τὰς αἰτίας, καὶ ἀπαιτεῖν τὰς εὐθύνας, καὶ τὸν
τρόπον ἐπιζητεῖν, τολμηροτάτης καὶ ῥιψοκινδύνου ψυχῆς. καὶ τοῦτο πάλιν ἀπ' αὐτῶν τῶν γραφῶν
παραστῆσαι πειράσομαι. Ζαχαρίας τις ἦν ἀνὴρ θαυμαστὸς καὶ μέγας, ἀρχιερωσύνῃ
τετιμημένος παρὰ τοῦ Θεοῦ, τὴν προστασίαν ἐμπεπιστευμένος τοῦ δήμου παντός. οὗτος ὁ
Ζαχαρίας εἰσελθὼν εἰς τὰ ἅγια τῶν ἁγίων, ἃ μόνῳ τῶν πάντων ἀνθρώπων ἐκείνῳ θέμις
ἦν τότε ὁρᾶν (καὶ σκόπει, πῶς τοῦ πλήθους παντὸς ἀντίρροπος ἦν, ὡς καὶ λιτὰς ὑπὲρ τοῦ
πλήθους παντὸς ἀναφέρειν τῷ Θεῷ, καὶ ἵλεων ποιεῖν τὸν δεσπότην τοῖς οἰκέταις, καθάπερ μεσίτης
ὤν τις Θεοῦ καὶ ἀνθρώπων) εἰς αὐτὰ τὰ ἄδυτα τοίνυν παρελθὼν εἶδεν ἄγγελον ἔνδον
Λουκ. α. ιγ. ἑστῶτα. καὶ ἐπειδὴ ἐξέπληξεν ἡ ὄψις τὸν ἄνθρωπον, φησὶν ἐκεῖνος, Μὴ φοβοῦ, Ζαχαρία,
διότι εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἰδοὺ τέξῃ υἱόν. καὶ ποία αὕτη ἀκολουθία; ὑπὲρ τοῦ λαοῦ παρεκάλει,
ὑπὲρ τῶν ἁμαρτημάτων ἐδεῖτο, συγγνώμην ᾔτει τοῖς συνδούλοις, καὶ λέγει· μὴ
φοβοῦ, εἰσηκούσθη ἡ δέησίς σου· καὶ τοῦ ἀκουσθῆναι ἀπόδειξιν ποιεῖται τὸ τεχθήσεσθαι παῖδα
αὐτῷ τὸν Ἰωάννην. καὶ μάλα εἰκότως. ἐπειδὴ γὰρ ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ λαοῦ παρεκάλει,
Ἰωάν. α. κθ. ἔμελλε δὲ τίκτειν υἱὸν βοῶντα, Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου,
εἰκότως φησίν, ἠκούσθη ἡ δέησίς σου, καὶ τέξῃ υἱόν. τί οὖν ἐκεῖνος; τὸ γὰρ ζητούμενον τοῦτό
ἐστιν, ὅτι τὸ περιεργάζεσθαι τὸν τρόπον χρησμῶν θείων ἀσύγγνωστόν ἐστι, τὰς δὲ ἀποφάσεις πίστει
δέχεσθαι χρή. εἶδεν εἰς τὴν ἡλικίαν τὴν ἑαυτοῦ, εἰς τὴν πολιάν, εἰς τὸ σῶμα τὸ ἐξησθενηκός·
εἶδεν εἰς τὴν στείρωσιν τῆς γυναικός, καὶ ἠπίστησε, καὶ τὸν τρόπον ἐζήτησε
Λουκ. α ιη. μαθεῖν, καὶ εἶπε, Κατὰ τί γνώσομαι τοῦτο; ὡσεὶ ἔλεγε, πῶς ἔσται τοῦτο; ἰδοὺ ἐγὼ γεγήρακα
καὶ πεπολίωμαι, καὶ ἡ γυνή μου στεῖρα, προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς. ἡ ἡλικία ἄωρος,
ἡ φύσις ἄχρηστος· πῶς ἔχει λόγον τὰ ἐπηγγελμένα; ἐγὼ ὁ σπείρων, ἀσθενής· ἡ ἄρουρα,
ἄγονος. ἆρ' οὐ δοκεῖ τισι συγγνώμης ἄξιος εἶναι πραγμάτων ἀκολουθίαν ἐπιζητῶν, καὶ δοκεῖ τι
λέγειν εἰκός; ἀλλ' οὐ τῷ Θεῷ ἔδοξεν ἄξιος εἶναι. καὶ μάλα εἰκότως. ὅταν γὰρ ὁ Θεὸς ἀποφαίνηται,
λογισμοὺς κινεῖν οὐ χρή, οὐδὲ πραγμάτων ἀκολουθίαν, οὐδὲ φύσεως ἀνάγκην
προβάλλεσθαι, οὐδὲ ἄλλο τι τῶν τοιούτων οὐδέν. πάντων γὰρ τούτων ἀνωτέρα
τῆς ἀποφάσεως ἡ δύναμις, οὐδενὶ διακοπτομένη κωλύματι. τί ποιεῖς, ἄνθρωπε; ὁ
Θεὸς ἐπαγγέλλεται, καὶ ἐφ' ἡλικίαν καταφεύγεις, καὶ γῆρας προβάλλῃ; μὴ γὰρ ἰσχυρότερον
τὸ γῆρας τῆς ἐπαγγελίας τοῦ Θεοῦ; μὴ γὰρ δυνατωτέρα ἡ φύσις τοῦ δημιουργοῦ τῆς φύσεως;
Ψαλ. λβ. ς. οὐκ οἶδας, ὅτι ἰσχυρὰ ἔργα λόγων αὐτοῦ; ὁ λόγος αὐτοῦ τὸν οὐρανὸν ἔστησεν, ὁ λόγος αὐτοῦ
τὴν κτίσιν παρήγαγεν, ὁ λόγος αὐτοῦ ἀγγέλους ἐποίησε, καὶ σὺ περὶ γεννήσεως ἀμφιβάλλεις;

λευς; διὰ ταῦτα ἠγανάκτησεν ὁ ἄγγελος, καὶ οὐδὲ διὰ τὴν ἱερωσύνην συνέγνω. δι' αὐτὴν μὲν οὖν ταύτην καὶ ἐκολάζετο μειζόνως ἐκεῖνος τὴν αἰτίαν. τὸν γὰρ πλέον τῶν ἄλλων εἰς τιμῆς ἔχοντα λόγον, καὶ περὶ τὴν πίστιν τῶν ἄλλων πλεονεκτεῖν ἔδει. καὶ τίς ὁ τρόπος τῆς κολάσεως; Ἰδοὺ, ἔσῃ σιωπῶν*. ἡ γλῶσσά σου, φησὶν, ἡ διακονήσασα πρὸς τὴν τῶν ῥημάτων ἀπιστίαν, αὐτὴ δέξεται καὶ τὴν ἐπὶ ἀπιστίᾳ τιμωρίαν. ἰδοὺ ἔσῃ σιωπῶν, καὶ μὴ λαλῶν, ἕως ἂν γένηται ταῦτα. ἐννόησον φιλανθρωπίαν δεσπότου. ἀπιστεῖς μοι, φησὶ, νῦν, δέχου τὴν κόλασιν. καὶ ὅταν διὰ τῶν πραγμάτων παράσχω τὴν ἀπόδειξιν, τότε λύω τὴν ὀργήν· ὅταν μάθῃς, ὅτι δικαίως ἐκολάσθης, τότε σε ἀπαλλάττω τῆς τιμωρίας. ἀκουέτωσαν οἱ Ἀνόμοιοι, πῶς ἠγανάκτει πολυπραγμονούμενος ὁ Θεός. εἰ δὲ ἐκεῖνος ἀπιστήσας τῇ θνητῇ γεννήσει, κολάζεται· σὺ, ὁ τὴν ἀπόρρητον καὶ τὴν ἄνω περιεργαζόμενος, πῶς διαφεύξῃ τὴν τιμωρίαν, εἰπέ μοι; ἐκεῖνος οὐκ ἀπεφήνατο, ἀλλὰ μαθεῖν ἠθέλησε, καὶ οὐκ ἔτυχε συγγνώμης· σὺ δὲ καὶ εἰδέναι διϊσχυριζόμενος τὰ πᾶσιν ἀθέατα καὶ ἀκατάληπτα, ποίαν ἕξεις ἀπολογίαν; ἵνα δὲ οὐκ ἐπισπάσῃ κατὰ σαυτοῦ τιμωρίαν;

Ἀλλ' οἱ μὲν περὶ γεννήσεως λόγοι τοὺς προσήκοντας ἀναμενέτωσαν καιρούς· τέως δὲ ὁδῷ βαδίζωμεν ἐπὶ τὴν προτέραν ὑπόθεσιν, ἧς πρώην τὰ λείψανα κατελίπομεν, τὴν ὀλεθρίαν ἐκσπάσαι ῥίζαν ἐπιχειροῦντες τὴν πάντων μητέρα τῶν κακῶν, καὶ ὅθεν αὐτοῖς τὰ δόγματα ταῦτα ἐβλάστησαν. ποία δὲ ἡ ῥίζα τῶν κακῶν πάντων; πιστεύσατε, φρίκη με κατέχει μέλλοντα αὐτὴν ἐκλαλεῖν. ὀκνῶ γὰρ διὰ γλώττης ἐκφέρειν, ἃ μελετῶσιν ἐπὶ τῆς διανοίας ἐκεῖνοι διαπαντός. τίς οὖν ἐστιν ἡ ῥίζα τούτων τῶν κακῶν; ἐτόλμησεν ἄνθρωπος εἰπεῖν, ὅτι Θεὸν οἶδα, ὡς αὐτὸς ὁ Θεὸς ἑαυτὸν οἶδε. ταῦτα οὖν ἐλέγχου δεῖται; ταῦτα ἀποδείξεως; οὐκ ἀρκεῖ μόνη ἡ προφορὰ τῶν ῥημάτων δεῖξαι πᾶσαν αὐτῶν τὴν ἀσέβειαν; καὶ γὰρ μανία τίς ἐστι ταῦτα σαφὴς, παραπληξία ἀσύγγνωστος, καινότερος ἀσεβείας τρόπος. οὐδεὶς τοίνυν οὐδὲν οὐδέποτε οὔτε εἰς νοῦν βαλέσθαι, οὔτε διὰ τῆς γλώττης προενεγκεῖν ἐτόλμησεν. ἐννόησον, ἄθλιε καὶ ταλαίπωρε [καὶ εὐτελέστατε,] τίς εἶ, καὶ τίνα περιεργάζῃ. ἄνθρωπος ὢν Θεὸν πολυπραγμονεῖς; ἀρκεῖ τὰ ὀνόματα ψιλὰ τῆς ἀνοίας δεῖξαι τὴν ὑπερβολήν. ἄνθρωπος, γῆ καὶ σποδὸς ὑπάρχων, σὰρξ καὶ αἷμα, χόρτος καὶ ἄνθος χόρτου, σκιὰ καὶ καπνὸς, καὶ ματαιότης, καὶ εἴ τι τούτων ἀδρανέστερον καὶ εὐτελέστερον. καὶ μὴ νομίσητε κατηγορίαν εἶναι τῆς φύσεως τὰ λεγόμενα· οὐδὲ γὰρ ἐγὼ ταῦτα λέγω, ἀλλ' οἱ προφῆται ταῦτα φιλοσοφοῦσιν, οὐκ ἀτιμάζοντες ἡμῶν τὸ γένος, ἀλλὰ καταστέλλοντες τῶν ἀνοήτων τὸ φύσημα, οὐκ ἐξευτελίζοντες ἡμῶν τὴν φύσιν, ἀλλὰ ταπεινοῦντες τῶν μαινομένων τὴν ἀπόνοιαν. εἰ γὰρ τοσαῦτα καὶ τοιαῦτα εἰρηκότων ἐκείνων, ὅμως ἐφύσησάν τινες οἱ τοῦ διαβόλου τὴν μεγαληγορίαν νικήσαντες, εἰ μηδὲν τούτων εἴρητο, ποῦ οὐκ ἂν ἐξελάκτισαν ἀπονοίας, εἰπέ μοι; ἔχουσι τὸ φάρμακον ἐπικείμενον, καὶ ἔτι φλεγμαίνουσι, καὶ ποῦ οὐκ ἂν ὄγκου καὶ ἀπονοίας ἐξεφυσήθησαν, εἰ μὴ τοσαῦτα καὶ τοιαῦτα ἀπεφήναντο περὶ τῆς φύσεως τῆς ἀνθρωπίνης ἐκεῖνοι; ἄκουσον* τί φησιν ὁ δίκαιος πατριάρχης περὶ ἑαυτοῦ· Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός. Θεῷ διελέγετο, καὶ οὐκ ἐπῆρεν αὐτὸν ἡ παῤῥησία. αὕτη μὲν οὖν, αὕτη μετριάζειν αὐτὸν ἀνέπειθεν. οὗτοι δὲ οὐδὲ τῆς σκιᾶς ὄντες ἄξιοι τῆς ἐκείνου, τῶν ἀγγέλων αὐτῶν μείζους ἑαυτοὺς εἶναι νομίζουσιν, ὅπερ ἐσχάτης ἐστὶ μανίας ἀπόδειξις. Θεὸν, εἰπέ μοι, περιεργάζῃ, τὸν ἄναρχον, τὸν ἀναλλοίωτον, τὸν ἀσώματον, τὸν ἄφθαρτον, τὸν πανταχοῦ παρόντα, καὶ πάντα ὑπερβαίνοντα, καὶ ἀνώτερον τῆς κτίσεως ἁπάσης ὄντα; ἄκουσον τί φιλοσοφοῦσιν οἱ προφῆται περὶ αὐτοῦ, καὶ φοβήθητι. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν. εἶδε μόνον, καὶ ἐσάλευσε τὴν τοσαύτην καὶ τηλικαύτην γῆν· ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται· ὁ σείων τὴν ὑπ' οὐρανὸν

Λουκ. α. κ.

Γεν. ιη. κζ.

Ψαλ. ργ. λβ.

φοβοῦν. πόθεν οὖν ἡμῖν ἀρκτέον τῶν πρὸς ἐκείνους λόγων; πόθεν ἄλλοθεν, ἀλλ' ἢ ἀπὸ τῆς
κατὰ τὴν ἀπιστίαν κατηγορίας; πάντα γὰρ ποιοῦσι καὶ πραγματεύονται, ὥστε ἐξωθῆσαι
τῆς τῶν ἀκουόντων διανοίας τὴν πίστιν, οὗ τί γένοιτ' ἂν μεῖζον ἀσεβείας ἔγκλημα; ὅταν γὰρ ὁ
Θεὸς ἀποφαίνηταί τι, δέχεσθαι χρὴ πιστῶς τὸ λεχθέν, οὐ περιεργάζεσθαι τολμηρῶς. ὁ βουλόμενος
αὐτὸν καλείτω με ἄπιστον, οὐκ ἀγανακτῶ. διὰ τί; διὰ γὰρ τῶν ἔργων ἐπιδείκνυμαι τὴν προσηγορίαν.
καὶ τί λέγω, καλείτω ἄπιστον; καλείτω γάρ με καὶ μωρὸν ἐν Χριστῷ, καὶ ἐπὶ τούτῳ,
ὥσπερ ἐπὶ στεφάνῳ, πάλιν ἀγάλλομαι, καὶ μετὰ Παύλου κοινωνῶ τῆς προσηγορίας ταύτης.
α. Κορ. δ. ι. ἐκεῖνος γάρ φησιν, Ἡμεῖς μωροὶ διὰ Χριστόν. πάσης σοφίας αὕτη ἡ μωρία φρονιμωτέρα.
ἃ γὰρ οὐκ ἴσχυσεν ἡ ἔξωθεν εὑρεῖν σοφία, ταῦτα κατώρθωσεν ἡ μωρία ἡ κατὰ Χριστόν· αὕτη δὲ
σκότος τῆς οἰκουμένης ἀπήλασεν, αὕτη δὲ φῶς τῆς γνώσεως ἐπεισήγαγε. τί δέ ἐστι μωρία
κατὰ Χριστόν; ὅταν τοὺς οἰκείους λογισμοὺς λυττῶντας ἀκαίρως καταστέλλωμεν, ὅταν ἔρημον καὶ
κενὴν τὴν ἡμετέραν διάνοιαν τῆς ἔξωθεν ποιῶμεν παιδεύσεως, ἵν', ὅταν δέῃ τὰ τοῦ Χριστοῦ δέχεσθαι,
σχολάζουσαν καὶ σεσαρωμένην αὐτὴν πρὸς ὑποδοχὴν τῶν θείων λόγων παρέχωμεν.
καὶ γὰρ ὅταν ἀποφαίνηταί τι ὁ Θεός, ὁ μὴ δεῖ πολυπραγμονεῖσθαι, πίστει παραδέχεσθαι
χρή. τὸ γὰρ ἐπὶ τῶν τοιούτων περιεργάζεσθαι τὰς αἰτίας, καὶ ἀπαιτεῖν τὰς εὐθύνας, καὶ τὸν
τρόπον ἐπιζητεῖν, τολμηροτάτης καὶ ῥιψοκινδύνου ψυχῆς. καὶ τοῦτο πάλιν ἀπ' αὐτῶν τῶν γραφῶν
παραστῆσαι πειράσομαι. Ζαχαρίας τις ἦν ἀνὴρ θαυμαστὸς καὶ μέγας, ἀρχιερωσύνῃ
τετιμημένος παρὰ τοῦ Θεοῦ, τὴν προστασίαν ἐμπεπιστευμένος τοῦ δήμου παντός. οὗτος ὁ
Ζαχαρίας εἰσελθὼν εἰς τὰ ἅγια τῶν ἁγίων, ἃ μόνῳ τῶν πάντων ἀνθρώπων ἐκείνῳ θέμις
ἦν τότε ὁρᾷν (καὶ σκόπει, πῶς τοῦ πλήθους παντὸς ἀντίρροπος ἦν, ὡς καὶ λιτὰς ὑπὲρ τοῦ
πλήθους παντὸς ἀναφέρειν τῷ Θεῷ, καὶ ἵλεων ποιεῖν τὸν δεσπότην τοῖς οἰκέταις, καθάπερ μεσίτης
ὤν τις Θεοῦ καὶ ἀνθρώπων) εἰς αὐτὰ τὰ ἄδυτα τοίνυν παρελθὼν εἶδεν ἄγγελον ἔνδον
Λουκ. α. ιγ. ἑστῶτα. καὶ ἐπειδὴ ἐξέπληξεν ἡ ὄψις τὸν ἄνθρωπον, φησὶν ἐκεῖνος, Μὴ φοβοῦ, Ζαχαρία,
διότι εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἰδοὺ τέξῃ υἱόν. καὶ ποία αὕτη ἀκολουθία; ὑπὲρ τοῦ λαοῦ παρεκάλει,
ὑπὲρ τῶν ἁμαρτημάτων ἐδεῖτο, συγγνώμην ᾔτει τοῖς συνδούλοις, καὶ λέγει· μὴ
φοβοῦ, εἰσηκούσθη ἡ δέησίς σου· καὶ τοῦ ἀκουσθῆναι ἀπόδειξιν ποιεῖται τὸ τέξεσθαι παῖδα
αὐτῷ τὸν Ἰωάννην. καὶ μάλα εἰκότως. ἐπειδὴ γὰρ ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ λαοῦ παρεκάλει,
Ἰωαν. α. κθ. ἔμελλε δὲ τίκτειν υἱὸν βοῶντα, Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου,
εἰκότως φησίν, ἠκούσθη ἡ δέησίς σου, καὶ τέξῃ υἱόν. τί οὖν ἐκεῖνος; τὸ γὰρ ζητούμενον τοῦτό
ἐστιν, ὅτι τὸ περιεργάζεσθαι τρόπους χρησμῶν θείων ἀσύγγνωστόν ἐστι, τὰς δὲ ἀποφάσεις πίστει
δέχεσθαι χρή. εἶδεν εἰς τὴν ἡλικίαν τὴν ἑαυτοῦ, εἰς τὴν πολιάν, εἰς τὸ σῶμα τὸ ἐξησθενηκός·
εἶδεν εἰς τὴν στείρωσιν τῆς γυναικός, καὶ ἠπίστησε, καὶ τὸν τρόπον ἐζήτησε
Λουκ. α. ιη. μαθεῖν, καὶ εἶπε, Κατὰ τί γνώσομαι τοῦτο; ὡσεὶ ἔλεγε, πῶς ἔσται τοῦτο; ἰδοὺ ἐγὼ γεγήρακα
καὶ πεπολίωμαι, καὶ ἡ γυνή μου στεῖρα, προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς. ἡ ἡλικία ἄωρος,
ἡ φύσις ἄχρηστος· πῶς ἔχει λόγον τὰ ἐπηγγελμένα; ἐγὼ ὁ σπείρων, ἀσθενής· ἡ ἄρουρα,
ἄγονος. ἆρ' οὐ δοκεῖ τισι συγγνώμης ἄξιος εἶναι πραγμάτων ἀκολουθίαν ἐπιζητῶν, καὶ δοκῶν τι
λέγειν εἰκός; ἀλλ' οὐ τῷ Θεῷ ἔδοξεν ἄξιος εἶναι. καὶ μάλα εἰκότως. ὅταν γὰρ ὁ Θεὸς ἀποφαίνηται,
λογισμοὺς κινεῖν οὐ χρή, οὐδὲ πραγμάτων ἀκολουθίαν, οὐδὲ φύσεως ἀνάγκην
προβάλλεσθαι, οὐδὲ ἄλλο τι τῶν τοιούτων οὐδέν. πάντων γὰρ τούτων ἀνωτέρα
τῆς ἀποφάσεως ἡ δύναμις, οὐδενὶ διακοπτομένη κωλύματι. τί ποιεῖς, ἄνθρωπε; ὁ
Θεὸς ἐπαγγέλλεται, καὶ ἐφ' ἡλικίαν καταφεύγεις, καὶ γῆρας προβάλλῃ; μὴ γὰρ ἰσχυρότερον
τὸ γῆρας τῆς ἐπαγγελίας τοῦ Θεοῦ; μὴ γὰρ δυνατωτέρα ἡ φύσις τοῦ δημιουργοῦ τῆς φύσεως;
Ψαλ. λβ. ς. οὐκ οἶδας, ὅτι ἰσχυρὰ ἔργα λόγων αὐτοῦ; ὁ λόγος αὐτοῦ τὸν οὐρανὸν ἔστησεν, ὁ λόγος αὐτοῦ
τὴν κτίσιν παρήγαγεν, ὁ λόγος αὐτοῦ ἀγγέλους ἐποίησε, καὶ σὺ περὶ γεννήσεως ἀμφιβάλλεις;

λευς; διὰ ταῦτα ἠγανάκτησεν ὁ ἄγγελος, καὶ οὐδὲ διὰ τὴν ἱερωσύνην συνέγνω. δι' αὐτὴν μὲν οὖν ταύτην καὶ ἐκολάζετο μειζόνως ἐκεῖνος τὴν αἰτίαν. τὸν γὰρ πλέον τῶν ἄλλων εἰς τιμῆς ἐλθόντα λόγον, καὶ περὶ τὴν πίστιν τῶν ἄλλων πλεονεκτεῖν ἔδει. καὶ τίς ὁ τρόπος τῆς κολάσεως; Ἰδοὺ, ἔσῃ σιωπῶν*· ἡ γλῶσσά σου, φησὶν, ἣ διηκόνησε πρὸς τὴν τῶν ῥημάτων ἀπιστίαν, αὐτὴ δέξεται καὶ τὴν ἐπὶ ἀπιστίᾳ τιμωρίαν. ἰδοὺ ἔσῃ σιωπῶν, καὶ μὴ λαλῶν, ἕως ἂν γένηται ταῦτα. ἐννόησον φιλανθρωπίαν δεσπότου. ἀπιστεῖς μοι, φησὶ, νῦν, δέχου τὴν κόλασιν. καὶ ὅταν διὰ τῶν πραγμάτων παράσχω τὴν ἀπόδειξιν, τότε λύω τὴν ὀργήν· ὅταν μάθῃς, ὅτι δικαίως ἐκολάσθης, τότε σε ἀπαλλάττω τῆς τιμωρίας. ἀκουέτωσαν οἱ Ἀνόμοιοι, πῶς ἠγανάκτει πολυπραγμονούμενος ὁ Θεός. εἰ δὲ ἐκεῖνος ἀπιστήσας τῇ θνητῇ γεννήσει, κολάζεται· σὺ, ὁ τὴν ἀπόῤῥητον καὶ τὴν ἄνω περιεργαζόμενος, πῶς διαφεύξῃ τὴν τιμωρίαν, εἰπέ μοι; ἐκεῖνος οὐκ ἀπεφήνατο, ἀλλὰ μαθεῖν ἠθέλησε, καὶ οὐκ ἔτυχε συγγνώμης· σὺ δὲ καὶ εἰδέναι διϊσχυριζόμενος τὰ πᾶσιν ἀκατάληπτα, ποίαν ἕξεις ἀπολογίαν; ἵνα δὲ οὐκ ἐπισπάσῃ κατὰ σαυτοῦ τιμωρίαν;

Ἀλλ' οἱ μὲν περὶ γεννήσεως λόγοι τοὺς προσήκοντας ἀναμενέτωσαν καιρούς· τέως δὲ ὁδῷ βαδίζωμεν ἐπὶ τὴν προτέραν ὑπόθεσιν, ἧς πρώην τὰ λείψανα κατελίπομεν, τὴν ὀλεθρίαν ἐκσπάσαι ῥίζαν ἐπιχειροῦντες τὴν πάντων μητέρα τῶν κακῶν, καὶ ὅθεν αὐτοῖς τὰ δόγματα ταῦτα ἐβλάστησαν. ποία δὲ ἡ ῥίζα τῶν κακῶν πάντων; πιστεύσατε, φρίκη με κατέχει μέλλοντα αὐτὴν ἐκλαλεῖν. ὀκνῶ γὰρ διὰ γλώττης ἐκφέρειν, ἃ μελετῶσιν ἐπὶ τῆς διανοίας ἐκεῖνοι διαπαντός. τίς οὖν ἐστιν ἡ ῥίζα τούτων τῶν κακῶν; ἐτόλμησεν ἄνθρωπος εἰπεῖν, ὅτι Θεὸν οἶδα, ὡς αὐτὸς ὁ Θεὸς ἑαυτὸν οἶδε. ταῦτα οὖν ἐλέγχου δεῖται; ταῦτα ἀποδείξεως; οὐκ ἀρκεῖ μόνη ἡ προφορὰ τῶν ῥημάτων δεῖξαι πᾶσαν αὐτῶν τὴν ἀσέβειαν; καὶ γὰρ μανία τίς ἐστι ταῦτα σαφὴς, παραπληξία ἀσύγγνωστος, καινότερος ἀσεβείας τρόπος. οὐδεὶς τοιοῦτον οὐδὲν οὐδέποτε οὔτε εἰς νοῦν βαλέσθαι, οὔτε διὰ τῆς γλώττης προενεγκεῖν ἐτόλμησεν. ἐννόησον, ἄθλιε καὶ ταλαίπωρε [καὶ εὐτελέστατε,] τίς εἶ, καὶ τίνα περιεργάζῃ. ἄνθρωπος ὢν Θεὸν πολυπραγμονεῖς; ἀρκεῖ τὰ ὀνόματα ψιλὰ τῆς ἀνοίας δεῖξαι τὴν ὑπερβολήν. ἄνθρωπος, γῆ καὶ σποδὸς ὑπάρχων, σὰρξ καὶ αἷμα, χόρτος καὶ ἄνθος χόρτου, σκιὰ καὶ καπνὸς, καὶ ματαιότης, καὶ εἴ τι τούτων ἀδρανέστερον καὶ εὐτελέστερον. καὶ μὴ νομίσητε κατηγορίαν εἶναι τῆς φύσεως τὰ λεγόμενα· οὐδὲ γὰρ ἐγὼ ταῦτα λέγω, ἀλλ' οἱ προφῆται ταῦτα φιλοσοφοῦσιν, οὐκ ἀτιμάζοντες ἡμῶν τὸ γένος, ἀλλὰ καταστέλλοντες τῶν ἀνοήτων τὸ φύσημα, οὐκ ἐξευτελίζοντες ἡμῶν τὴν φύσιν, ἀλλὰ ταπεινοῦντες τῶν μαινομένων τὴν ἀπόνοιαν. εἰ γὰρ τοσαῦτα καὶ τοιαῦτα εἰρηκότων ἐκείνων, ὅμως ἐφύσησάν τινες οἱ τοῦ διαβόλου τὴν μεγαληγορίαν νικήσαντες, εἰ μηδὲν τούτων εἴρητο, ποῦ οὐκ ἂν ἐξελάκτισαν ἀπονοίας, εἰπέ μοι; ἔχουσι τὸ φάρμακον ἐπικείμενον, καὶ ἔτι φλεγμαίνουσι, καὶ ποῦ οὐκ ἂν ὄγκου καὶ ἀπονοίας ἐξεφυσήθησαν, εἰ μὴ τοσαῦτα καὶ τοιαῦτα ἀπεφήναντο περὶ τῆς φύσεως τῆς ἀνθρωπίνης ἐκεῖνοι; ἄκουσον* τί φησιν ὁ δίκαιος πατριάρχης περὶ ἑαυτοῦ· Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός. Θεῷ διελέγετο, καὶ οὐκ ἐπῆρεν αὐτὸν ἡ παῤῥησία. αὕτη μὲν οὖν, αὕτη μετριάζειν αὐτὸν ἀνέπειθεν. οὗτοι δὲ οὐδὲ τῆς σκιᾶς ὄντες ἄξιοι τῆς ἐκείνου, τῶν ἀγγέλων αὐτῶν μείζους ἑαυτοὺς εἶναι νομίζουσιν, ὅπερ ἐσχάτης ἐστὶ μανίας ἀπόδειξις. Θεὸν, εἰπέ μοι, περιεργάζῃ, τὸν ἄναρχον, τὸν ἀναλλοίωτον, τὸν ἀσώματον, τὸν ἄφθαρτον, τὸν πανταχοῦ παρόντα, καὶ πάντα ὑπερβαίνοντα, καὶ ἀνώτερον τῆς κτίσεως ἁπάσης ὄντα; ἄκουσον τί φιλοσοφοῦσιν οἱ προφῆται περὶ αὐτοῦ, καὶ φοβήθητι. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν. εἶδε μόνον, καὶ ἐσάλευσε τὴν τοσαύτην καὶ τηλικαύτην γῆν· ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται· ὁ σείων τὴν ὑπ' οὐρανὸν

Λυκ. α. κ.

Γεν. ιη. κζ.

Ψαλ. ργ. λβ.

ἐκ θεμελίων, καὶ οἱ στῦλοι αὐτῆς σαλεύονται· ὁ ἀπειλῶν τῇ θαλάσσῃ, καὶ ξηραίνων αὐτήν· ὁ λέγων τῇ ἀβύσσῳ, ἐρημωθήσῃ. Ἡ θάλασσα εἶδε, καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἀνεχώρησεν εἰς τὰ ὀπίσω· τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων· πᾶσα ἡ κτίσις σαλεύεται, δέδοικε, τρέμει, μόνοι δὲ οὗτοι καταφρονοῦσι, ὑπερορῶσιν, ἐξευτελίζουσι τὴν ἑαυτῶν σωτηρίαν, οὐ γὰρ ἂν εἴποιμι τὸν ἀπολύτων δεσπότην. πρότερον μὲν οὖν αὐτοὺς ἀπὸ τῶν ἄνω δυνάμεων ἐσωφρονίζομεν, ἀγγέλων, ἀρχαγγέλων, τῶν χερουβίμ, τῶν σεραφίμ· νῦν δὲ ἀπὸ τῆς ἀναισθήτου κτίσεως, καὶ οὐδὲ ἐντεῦθεν ἐντρέπονται. οὐχ ὁρᾷς τουτονὶ τὸν οὐρανόν, πῶς καλός, πῶς μέγας, πῶς τῷ ποικίλῳ τῶν ἄστρων ἐστεφάνωται χορῷ; πόσον διήρκεσε χρόνον; πεντακισχίλια γὰρ καὶ πλείω λοιπὸν ἕστηκεν ἔτη, καὶ τὸ πλῆθος τοῦ χρόνου οὐκ ἐπήγαγεν αὐτῷ γῆρας· ἀλλ' ὥσπερ σῶμα νέον καὶ σφριγῶν ἀνθοῦσαν ἔχει καὶ ἐνακμάζουσαν αὐτῷ τῆς ἡλικίας τὴν ὥραν· οὕτω δὴ καὶ ὁ οὐρανός, ὅπερ ἐξ ἀρχῆς ἔλαχε κάλλος, διετήρησε, καὶ οὐδὲν ὑπὸ τοῦ χρόνου γέγονεν ἀσθενέστερος. ἀλλὰ τοῦτον τὸν καλόν, τὸν μέγαν, τὸν φαιδρόν, τὸν κατηστερισμένον, τὸν διαρκῆ, τὸν ἐπὶ τοσοῦτον ἑστηκότα χρόνον ὁ Θεὸς οὗτος, ὃν σὺ περιεργάζῃ καὶ τῇ τῶν οἰκείων λογισμῶν ὑποβάλλεις περιγραφῇ, ὡσανεὶ παίζων τις καλύβην ποιήσειεν, οὕτω μετ' εὐκολίας εἰργάσατο. καὶ τοῦτο ἐμφαίνων ὁ Ἡσαΐας ἔλεγεν· Ὁ στήσας τὸν οὐρανὸν ὡσεὶ καμάραν, καὶ διατείνας αὐτὸν ὡς σκηνὴν ἐπὶ τῆς γῆς. ἀλλὰ τὴν γῆν βούλει ἰδεῖν; ἀλλὰ καὶ ταύτην ὡς οὐδὲν ἐποίησε. περὶ μὲν γὰρ ἐκείνου λέγει, Ὁ στήσας τὸν οὐρανὸν ὡσεὶ καμάραν, καὶ διατείνας αὐτὸν ὡς σκηνὴν ἐπὶ τῆς γῆς· περὶ δὲ ταύτης, Ὁ κατέχων τὸν γῦρον τῆς γῆς, ὁ ποιήσας τὴν γῆν ὡς οὐδέν. ὁρᾷς πῶς οὐδὲν εἶπε τὴν τοσαύτην καὶ τηλικαύτην; ἐννόησον γὰρ πόσον μὲν ὀρῶν ὄγκον, πόσα δὲ ἀνθρώπων ἔθνη, πόσα δὲ ὕψη καὶ πλήθη φυτῶν, πόσας δὲ πόλεις, καὶ πόσα οἰκοδομημάτων μεγέθη, πόσα τε τετραπόδων θηρίων καὶ ἑρπετῶν πλήθη παντοδαπῶν ἐπὶ τὸν νῶτον φέρει τὸν ἑαυτῆς. ἀλλ' ὅμως τὴν τοσαύτην καὶ τοιαύτην οὕτως εὐκόλως ἐποίησεν, ὡς καὶ τὸν προφήτην μηδὲ παράδειγμα τῆς εὐκολίας δυνάμενον εὑρεῖν εἰπεῖν, ὅτι τὴν γῆν ἐποίησεν ὡς οὐδέν. ἐπειδὴ γὰρ οὐκ ἤρκει τὰ μεγέθη καὶ τὰ κάλλη τῶν ὁρωμένων τοῦ δημιουργοῦ παραστῆσαι τὴν δύναμιν, ἀλλὰ πολλῷ τῷ μέτρῳ ἐλείπετο τοῦ μεγέθους καὶ τῆς ἰσχύος τοῦ πεποιηκότος αὐτὰ ἁπάσης, εὗρον ἕτερον οἱ προφῆται τρόπον, δι' οὗ κατὰ δύναμιν τὴν ἑαυτῶν ἴσχυσαν παραδηλῶσαί τι πλέον ἡμῖν περὶ τῆς τοῦ Θεοῦ δυνάμεως. ποῖον δὲ τοῦτο; τὸ μὴ τὰ μεγέθη τῶν κτισμάτων παραθεῖναι μόνον, ἀλλὰ καὶ τὸν τρόπον τῆς δημιουργίας εἰπεῖν, ἵν' ἑκατέρωθεν, καὶ ἐκ τοῦ μεγέθους τῶν γεγενημένων, καὶ ἐκ τῆς κατὰ τὴν δημιουργίαν εὐκολίας δυνηθῶμεν ἀξίαν τινὰ κατὰ δύναμιν τὴν ἡμετέραν ἔννοιαν λαβεῖν περὶ τῆς τοῦ Θεοῦ δυνάμεως. μὴ τοίνυν τὸ μέγεθος ἐξέταζε μόνον τῶν γεγενημένων, ἀλλὰ καὶ τὴν εὐκολίαν τοῦ πεποιηκότος. οὐκ ἐπὶ γῆς δὲ τοῦτο ἐνδείκνυται μόνον, ἀλλὰ καὶ ἐπ' αὐτῆς τῆς φύσεως τῶν ἀνθρώπων. νῦν μὲν γάρ φησιν, Ὁ κατέχων τὸν γῦρον τῆς γῆς, καὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ, ὡσεὶ ἀκρίδας· νῦν δέ, Πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου ἐνώπιον αὐτοῦ. μὴ ἁπλῶς παρέλθῃς τὸν λόγον, ἀλλ' ἀνάπτυξον τὸ εἰρημένον καλῶς, καὶ ἐξέτασον, ἀναλόγισαι πάντα τὰ ἔθνη, Σύρους, Κίλικας, Καππαδόκας, Βιθυνούς, τοὺς τὸν Εὔξεινον πόντον οἰκοῦντας, Θρᾴκην, Μακεδονίαν, τὴν Ἑλλάδα πᾶσαν, τοὺς ἐν ταῖς νήσοις, τοὺς ἐν τῇ Ἰταλίᾳ, τοὺς ὑπὲρ τὴν καθ' ἡμᾶς οἰκουμένην, τοὺς ἐν ταῖς νήσοις ταῖς Βρετανικαῖς, Σαυρομάτας, Ἰνδούς, τοὺς τὴν Περσῶν οἰκοῦντας γῆν, τὰ ἄλλα τὰ ἄπειρα γένη καὶ φῦλα, ὧν οὔτε τὰ ὀνόματα ἴσμεν, ἀλλὰ πάντα ταῦτα τὰ ἔθνη, ὡς σταγών, φησιν, ἀπὸ κάδου ἐνώπιον αὐτοῦ. πόσον μέρος εἶ τῆς σταγόνος ταύτης, εἰπέ μοι, ὅτι περιεργάζῃ τὸν Θεόν, ᾧ πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου; καὶ τί χρὴ λέγειν περὶ οὐρανοῦ καὶ γῆς, καὶ θαλάττης, καὶ ἀνθρώπου φύσεως; ἀναβῶμεν ὑπὲρ τὸν οὐρανὸν τῷ λόγῳ, καὶ ἐπὶ τοὺς ἀγγέλους ἔλθωμεν. ἴστε γὰρ δήπου τοῦτο, ὅτι τῆς κτίσεως τῆς ὁρωμένης ταύτης

Ψαλ. ριγ. γ.

Ησ. μ. κβ.

Ησ. μ. κβ.

Ησ. μ. ιε.

Εἷς ἄγγελος μόνος ἀντίρροπός ἐστι, μᾶλλον δὲ καὶ πολλῷ τιμιώτερος. Εἰ γὰρ ἀνθρώπου δικαίου
ἄξιος οὐκ ἂν εἴη πᾶς ὁ κόσμος, καθὼς ὁ Παῦλος δείκνυσι λέγων, Ὧν οὐκ ἦν ἄξιος ὁ Ἑβρ. ια. λη.
κόσμος οὗτος, πολλῷ μᾶλλον ἀγγέλου οὐκ ἂν γένοιτό ποτε ἄξιος. πολλῷ γὰρ τῶν δικαίων
ἄγγελοι μείζους. μύριαι μυριάδες εἰσὶν ἀγγέλων ἄνω, καὶ χίλιαι χιλιάδες εἰσὶν ἀρχαγγέλων,
καὶ θρόνοι, καὶ κυριότητες, καὶ ἀρχαὶ, καὶ ἐξουσίαι, καὶ ἄπειροι δῆμοι ἀσωμάτων
δυνάμεων, καὶ φῦλα ἀμύθητα, καὶ ὅμως ταύτας ἁπάσας τὰς δυνάμεις μετὰ τοσαύτης εὐκολίας
ἐποίησε, μεθ' ὅσης οὐδεὶς λόγος παραστῆσαι δύναται. ἤρκεσε γὰρ αὐτῷ τὸ θελῆσαι
πρὸς ἅπαντα. καὶ καθάπερ ἡμῖν ἡ βούλησις οὐ παρέχει κάματον, οὕτως οὐδὲ ἐκείνῳ τὸ δημιουργῆσαι
τοσαύτας καὶ τηλικαύτας δυνάμεις. καὶ τοῦτο ὁ προφήτης ἐμφαίνων ἔλεγε,
Πάντα, ὅσα ἠθέλησεν, ἐποίησεν ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ. ὁρᾷς ὅτι οὐχὶ πρὸς τὴν δημιουργίαν Ψαλ. ρλδ. ς.
τῶν ἐν τῇ γῇ μόνον, ἀλλὰ καὶ πρὸς τὴν κτίσιν τῶν ἄνω δυνάμεων ἤρκεσεν ἡ θέλησις
αὐτοῦ μόνη; ταῦτα οὖν ἀκούων οὐ θρηνεῖς σαυτὸν, εἰπέ μοι, καὶ κατορύττεις πρὸς τοσοῦτον
ἀνοίας ἀρθεὶς, ὅτι ὃν δοξάζειν χρὴ μόνον καὶ προσκυνεῖν, τοῦτον ὡς ἕν τι τῶν εὐτελεστάτων πραγμάτων
περιεργάζεσθαι φιλονεικεῖς καὶ πολυπραγμονεῖν; διὰ τοῦτο καὶ ὁ Παῦλος ὁ πολλῆς
σοφίας ἐμπεπλησμένος, ὁρῶν τὴν ἀσύγκριτον ὑπεροχὴν τοῦ Θεοῦ, καὶ τὴν εὐτέλειαν τῆς
ἀνθρωπίνης φύσεως, πρὸς τοὺς περιεργαζομένους αὐτοῦ τὰς οἰκονομίας ἀγανακτῶν, καὶ μετὰ
πολλῆς δυσχεραίνων τῆς σφοδρότητος, ἔλεγε, Μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος Ῥωμ. θ. κ.
τῷ Θεῷ; τίς εἶ; ἐννόησόν σου τὴν φύσιν πρότερον. οὐδὲν γάρ ἐστιν ὄνομα εὑρεῖν
δυνάμενον παραστῆσαί σου τὴν οὐδένειαν. ἀλλ' ἐρεῖς, ὅτι ἄνθρωπός εἰμι, ἐλευθερίᾳ τετιμημένος.
ἀλλ' ἐτιμήθης, οὐχ ἵνα εἰς ἀντιλογίαν τῇ ἐλευθερίᾳ, ἀλλ' ἵνα τῇ τιμῇ πρὸς
ὑπακοὴν καταχρήσῃ τοῦ τετιμηκότος. ἐτίμησέ σε ὁ Θεὸς, οὐχ ἵνα αὐτὸν ὑβρίζῃς, ἀλλ'
ἵνα δοξάζῃς. ὑβρίζει δὲ ὁ τὴν οὐσίαν αὐτοῦ περιεργαζόμενος. εἰ γὰρ τὸ μὴ περιεργάζεσθαι
τὰς ἐπαγγελίας αὐτοῦ, δοξάζειν αὐτόν ἐστι· τὸ πολυπραγμονεῖν καὶ διερευνᾶσθαι οὐχὶ τὰς
ἀποφάσεις μόνον, ἀλλὰ καὶ αὐτὸν τὸν ἀποφηνάμενον, ἀτιμάζειν ἐστίν. ὅτι δὲ τὸ μὴ περιεργάζεσθαι
τὰς ἐπαγγελίας αὐτοῦ, δοξάζειν αὐτόν ἐστιν, ἄκουσον τοῦ Παύλου λέγοντος περὶ τοῦ
Ἀβραάμ, καὶ τῆς ὑπακοῆς τῆς ἐκείνου, καὶ τῆς ἐν ἅπασι πίστεως. Οὐ κατενόησε μὲν γάρ, Ῥω. δ. ιθ. κ.
φησι, τὸ ἑαυτοῦ σῶμα νενεκρωμένον, καὶ τὴν νέκρωσιν τῆς μήτρας Σάρρας· εἰς δὲ τὴν ἐπαγγελίαν
τοῦ Θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐνεδυναμώθη τῇ πίστει. ἡ φύσις καὶ ἡ ἡλικία,
φησὶν, εἰς ἀπόγνωσιν ἐνέβαλλον, ἀλλ' ἡ πίστις ἐλπίδας ὑπέτεινε χρηστάς, ἀλλ' ἐνεδυναμώθη
τῇ πίστει, δοὺς δόξαν τῷ Θεῷ, καὶ πληροφορηθεὶς, ὅτι ὃ ἐπήγγελται, δυνατός ἐστι καὶ
ποιῆσαι. ὁρᾷς ὅτι ὁ πληροφορούμενος ὑπὲρ ὧν ἂν ὁ Θεὸς ἀποφαίνηται, δόξαν δίδωσι τῷ
Θεῷ; εἰ τοίνυν δόξαν δίδωσι τῷ Θεῷ ὁ πιστεύων αὐτῷ, ὁ ἀπιστῶν αὐτῷ τὴν ἀτιμίαν εἰς
τὴν ἑαυτοῦ περιτρέπει κεφαλήν. σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; εἶτα βουλόμενος
δεῖξαι τὸ μέσον ὅσον ἀνθρώπου καὶ Θεοῦ, ἔδειξε μὲν γὰρ καὶ τῷ εἰπεῖν, σὺ τίς εἶ, οὐχ ὅσον
δὲ ἔδει· πλὴν ἀπὸ τοῦ δοθέντος ὑποδείγματος δυνατὸν ἔτι καὶ πολλῷ μείζονος διαφορᾶς
ἔννοιαν λαβεῖν. τί γάρ φησι; Μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτως; ἢ οὐκ Ῥωμ. θ. κα.
ἔχει ἐξουσίαν ὁ κεραμεὺς ἐκ τοῦ αὐτοῦ πηλοῦ, ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι ὃ μὲν εἰς τιμὴν
σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν; τί λέγεις; οὕτως ὀφείλω ὑποκεῖσθαι τῷ Θεῷ, ὡς ὁ πηλὸς τῷ
κεραμεῖ; ναὶ, φησί. τοσοῦτον γὰρ τὸ μέσον ἀνθρώπου καὶ Θεοῦ, ὅσον πηλοῦ καὶ κεραμέως·
μᾶλλον δὲ οὐδὲ τοσοῦτον τὸ μέσον, ἀλλὰ καὶ πολλῷ πλέον. πηλοῦ μὲν γὰρ καὶ κεραμέως οὐσία
μία, καθάπερ καὶ παρὰ τῷ Ἰὼβ εἴρηται· Ἔα δὲ τοὺς κατοικοῦντας οἰκίας πηλίνας· [ἐξ οὗ καὶ Ἰωβ. δ. ιθ.
αὐτοί ἐσμεν ἐκ τοῦ αὐτοῦ πηλοῦ]. εἰ δὲ ἀμείνων φαίνεται καὶ εὐπρεπέστερος ἐκείνου ὁ ἄνθρωπος,
τὴν διαφορὰν οὐχ ἡ ἐναλλαγὴ τῆς φύσεως, ἀλλ' ἡ σοφία τοῦ τεχνίτου πεποίηκεν, ἐπεὶ πηλοῦ
οὐδὲν διέστηκας. εἰ δὲ ἀπιστεῖς, πειθέτωσάν σε αἱ σοροὶ καὶ αἱ λάρνακες. ἐπὶ γὰρ τοὺς

τάφοις" ἀπελθὼν τῶν προγόνων, εἴσῃ ὅτι ταῦτα οὕτως ἔχει. πηλοῦ μὲν οὖν καὶ κεραμέως
οὐδὲν τὸ μέσον· Θεοῦ δὲ καὶ ἀνθρώπων τῆς οὐσίας τοσοῦτον τὸ μέσον, ὅσον οὐδὲ λόγος παραστῆσαι
δύναται, οὐδὲ ἔννοια μετρῆσαι χωρεῖ. ὥσπερ οὖν" ὁ πηλὸς ἕπεται ταῖς χερσὶ τοῦ κεραμέως,
ᾗπερ ἂν ἐκεῖνος ἕλκῃ καὶ περιάγῃ· οὕτω καὶ σὺ κατὰ τὸν πηλὸν ἄφωνος ἔσο, ὅταν ὁ Θεὸς
οἰκονομεῖν τι βούληται. οὐδὲ γὰρ ἀφαιρούμενος τὴν ἐξουσίαν ἡμῶν (μὴ γένοιτο) οὐδὲ τῷ
αὐτεξουσίῳ λυμαινόμενος ταῦτα εἴρηκεν ὁ Παῦλος, ἀλλ' ἐκ πολλῆς τῆς περιουσίας τὴν
αὐθάδειαν ἡμῶν ἐπιστομίζων. εἰ δὲ δοκεῖ, καὶ τοῦτο ἴδωμεν, τί ποτε ἄρα ἠβουλήθησαν ἐκεῖνοι
μαθεῖν, καὶ οὕτω σφοδρῶς αὐτοὺς ἐπεστόμισεν. ἆρα οὐσίαν περιειργάζοντο; οὐδαμῶς. οὐδεὶς
γὰρ τοῦτο ἐτόλμησεν οὐδέποτε· ἀλλὰ τὸ πολλῷ ἔλαττον, οἰκονομίας ἐζήτουν τοῦ Θεοῦ,
* διὰ τί ὁ δεῖνα κολάζεται, καὶ διὰ τί ὁ δεῖνα ἐλεεῖται· διὰ τί ὁ δεῖνα ἀπαλλάττεται τιμωρίας,
ὁ δὲ ἐν δεινοῖς ἐστι· καὶ ὁ μὲν συγγνώμης ἔτυχεν, ὁ δὲ οὐκ ἔτυχε. ταῦτα γὰρ, καὶ τὰ τοιαῦτα
Ρωμ. θ ιη. ἐζήτουν. πόθεν τοῦτο δῆλον; ἐκ τῶν ἀνωτέρω τύπων. εἰπὼν γὰρ, Ἄρα οὖν ὃν θέλει, ἐλεεῖ,
ὃν δὲ θέλει, σκληρύνει, εἶτα, Ἐρεῖς οὖν μοι, τί ἔτι μέμφεται; τῷ γὰρ βουλήματι αὐτοῦ τίς
Ρωμ. θ. κα. ἀνθέστηκε; τότε ἐπήγαγε, Μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ;
οἰκονομίας τοίνυν ζητοῦντας περιεργάζεσθαι ἐπιστομίζει ὁ Παῦλος. εἶτα ἐκείνοις μὲν
οὐδὲ ταῦτα ἐφεῖται, σὺ δὲ τὴν μακαρίαν αὐτὴν οὐσίαν τὴν ταῦτα οἰκονομοῦσαν πολυπραγμονῶν,
οὐχ ἡγῇ ἄξιος εἶναι μυρίων σκηπτῶν; καὶ πῶς οὐκ ἐσχάτης ταῦτα μανίας; ἄκουσον τοῦ
Μαλ. α ς. προφήτου λέγοντος, μᾶλλον δὲ τοῦ Θεοῦ δι' ἐκείνου. Εἰ πατήρ εἰμι ἐγὼ, ποῦ ἐστιν ἡ δόξα μου; καὶ εἰ
Κύριός εἰμι, ποῦ ἐστιν ὁ φόβος μου; ὁ γὰρ φοβούμενος οὐ περιεργάζεται, ἀλλὰ προσκυνεῖ, οὐ πολυπραγμονεῖ,
ἀλλ' εὐφημεῖ καὶ δοξάζει. διδασκέτωσάν σε ταῦτα καὶ αἱ ἄνω δυνάμεις, καὶ ὁ μακάριος
Παῦλος. οὐ γὰρ ἑτέροις μὲν ταῦτα ἐπιπλήττει, αὐτὸς δὲ οὐχ ὑπόκειται. ἄκουσον γοῦν τί
Φιλιππησίοις φησὶ, δεικνὺς, ὅτι μερικὴν" ἔτι γνῶσιν ἔχει (καθάπερ καὶ Κορινθίοις γράφων
α Κορ ιγ. θ. ἔλεγεν, ὅτι Ἐκ μέρους γινώσκομεν) καὶ τοῦ παντὸς" οὔπω καὶ νῦν ἐπείληπται. Ἀδελφοὶ, ἐγὼ
Φιλιπ. β. ιγ. ἐμαυτὸν οὐ λογίζομαι κατειληφέναι. τί ταύτης σαφέστερον τῆς φωνῆς; σάλπιγγος λαμπρότερον
ἐβόησε, τὴν οἰκουμένην πᾶσαν παιδεύων ἀγαπᾶν καὶ στέργειν τῷ δοθέντι τῆς γνώσεως
μέτρῳ, καὶ μὴ νομίζειν τὸ πᾶν" ἐπειληφέναι νῦν. τί λέγεις, εἰπέ μοι; τὸν Χριστὸν ἔχεις
ἐν σαυτῷ λαλοῦντα, καὶ λέγεις, ὅτι ἐγὼ οὐ λογίζομαι ἐμαυτὸν κατειληφέναι; διὰ γὰρ
β. Κορ ιγ. γ. τοῦτο αὐτὸ, φησιν, εἶπον ὅτι τὸν Χριστὸν ἔχω ἐν ἐμαυτῷ λαλοῦντα· αὐτός με ταῦτα ἐδίδαξεν.
ὥστε καὶ οὗτοι, εἰ μὴ παντελῶς ἔρημοι τῆς τοῦ πνεύματος ἦσαν βοηθείας, καὶ τὴν
ἐνέργειαν αὐτοῦ πᾶσαν ἐκ τῆς ἑαυτῶν ἀπώσαντο ψυχῆς, οὐκ ἂν, Παύλου λέγοντος, οὐ λογίζομαι
ἐμαυτὸν κατειληφέναι, αὐτοὶ τοῦ παντὸς ἐπειλῆφθαι ἐνόμισαν. καὶ πόθεν δῆλον, φησιν,
ὅτι ταῦτα περὶ πίστεως λέγει καὶ γνώσεως καὶ δογμάτων," καὶ οὐχὶ περὶ βίου καὶ πολιτείας, καὶ
ὅτι ἀτελῆ ἐμαυτὸν νομίζω ἐν βίῳ καὶ πολιτείᾳ; μάλιστα μὲν οὖν τοῦτο δῆλον ἐποίησεν εἰπὼν,
β Τιμ. δ. ζ. Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί
μοι ὁ τῆς δικαιοσύνης στέφανος. ὁ δὲ τὸν στέφανον μέλλων ἀπολαμβάνειν, καὶ τὸν δρόμον
τελέσας, οὐκ ἂν εἶπεν, οὐ λογίζομαι ἐμαυτὸν κατειληφέναι· ἄλλως δὲ, τὰ πρακτέα,
καὶ τὰ μὴ πρακτέα οὐδενὶ τῶν" ἀνθρώπων, ἄνθρωπε, ἐστὶν ἀφανῆ, ἀλλὰ πᾶσι δῆλα καὶ
γνώριμα καθέστηκε, καὶ βαρβάροις, καὶ Πέρσαις, καὶ παντὶ τῷ τῶν ἀνθρώπων γένει. ἵνα δὲ σαφέστερον
ὃ λέγω ποιήσω καὶ φανερὸν, αὐτῆς ἀναγνώσομαι τῆς περικοπῆς τὴν ἀκολουθίαν. εἰπὼν γὰρ,
Φιλιπ γ. β Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας, καὶ πολλὰ διαλεχθεὶς περὶ τῶν εἰσαγόντων
Ἰουδαϊκὰ δόγματα ἀκαίρως, ἐπήγαγε λέγων· Ἅτινά μοι ἦν κέρδη, ταῦτα ἥγημαι
διὰ τὸν Χριστὸν ζημίαν. ἀλλὰ μενοῦνγε καὶ" ἥγημαι τὰ πάντα ζημίαν, ἵνα εὑρεθῶ μὴ
ἔχων δικαιοσύνην τὴν ἐκ τοῦ νόμου, ἀλλὰ τὴν ἐκ τοῦ Θεοῦ δικαιοσύνην, τὴν διὰ τῆς πίστεως
Ἰησοῦ Χριστοῦ. εἶτα λέγει ποίας πίστεως· τοῦ γνῶναι αὐτὸν, καὶ τὴν δύναμιν τῆς

ἀναστάσεως αὐτοῦ, καὶ τὴν κοινωνίαν τῶν παθημάτων αὐτοῦ. τί ἐστι, δύναμιν τῆς ἀναστάσεως αὐτοῦ; καινός τις, φησὶν, ἀναστάσεως ἐστὶν οὗτος ὁ τρόπος. πολλοὶ μὲν γὰρ καὶ πρὸ ἐκείνου πολλάκις ἀνέστησαν νεκροὶ, οὕτω δὲ οὐδὲ εἷς. οἱ μὲν γὰρ ἄλλοι πάντες ἀναστάντες πάλιν εἰς τὴν γῆν ὑπέστρεφον, καὶ πρὸς καιρὸν ἀπαλλαττόμενοι τῆς τοῦ θανάτου τυραννίδος, ὑπὸ τὴν ἀρχὴν πάλιν ἤρχοντο τὴν ἐκείνου· τὸ δὲ σῶμα τὸ δεσποτικὸν ἀναστὰν οὐκ εἰς τὴν γῆν ὑπέστρεψεν, ἀλλ' εἰς τοὺς οὐρανοὺς ἀνέβη, καὶ πᾶσαν τοῦ ἐχθροῦ κατέλυσε τὴν τυραννίδα, καὶ μεθ' ἑαυτοῦ τὴν οἰκουμένην συνανέστησεν ἅπασαν, καὶ νῦν ἐν τῷ θρόνῳ κάθηται τῷ βασιλικῷ. ταῦτα οὖν ἅπαντα ἐννοῶν ὁ Παῦλος, καὶ δεικνὺς ὅτι τὰ τοσαῦτα καὶ τηλικαῦτα θαύματα λογισμὸς μὲν οὐδεὶς παραστῆσαι δυνήσεται, πίστις δὲ μόνη δύναται διδάξαι καὶ ποιῆσαι σαφῆ, ἔλεγεν, ἐπὶ τῇ πίστει τοῦ γνῶναι τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ. οὐ γὰρ ἁπλῶς δύναται ἀνάστασιν παραστῆσαι λογισμός· μεῖζον γὰρ τοῦτό ἐστι τῆς ἀνθρωπίνης φύσεως, καὶ τῆς τῶν πραγμάτων ἀκολουθίας. τὴν τοσοῦτον τῶν ἄλλων ἀναστάσεων διαφέρουσαν ἀνάστασιν ποῖος δυνήσεται παραστῆσαι λογισμός; οὐκ ἔστιν οὐδείς· ἀλλὰ πίστεως ἡμῖν δεῖ μόνης, εἰ μέλλοιμεν πείθεσθαι ὅτι σῶμα θνητὸν καὶ ἀνέστη, καὶ εἰς ζωὴν ἦλθεν ἀθάνατον, πέρας οὐδὲν οὐδὲ τέλος ἔχουσαν. ὅπερ οὖν καὶ ἀλλαχοῦ σημαίνων ἔλεγεν· Ὁ Χριστὸς ἐγερθεὶς οὐκέτι ἀποθνήσκει, θάνατος αὐτοῦ οὐκέτι κυριεύει. ὥστε διπλοῦν τὸ θαῦμα, καὶ τὸ ἀναστῆναι, καὶ τὸ οὕτως ἀναστῆναι. διὰ τοῦτο ἔλεγεν, ἐπὶ τῇ πίστει τοῦ γνῶναι τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ. εἰ δὲ τὴν ἀνάστασιν οὐ δυνατὸν λογισμοῖς εὑρεῖν, πολλῷ μᾶλλον τὴν γέννησιν τὴν ἄνω. περὶ δὲ τούτων διαλεγόμενος ὁ Παῦλος, καὶ περὶ τοῦ σταυροῦ καὶ τοῦ πάθους λέγων, κἀκεῖνα τῇ τῆς πίστεως ἐπέτρεψε δυνάμει. εἶτα τοῦτον ἅπαντα κινήσας τὸν λόγον, προϊὼν εἶπεν· Ἀδελφοὶ, ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι κατειληφέναι. οὐκ εἶπεν, ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι εἰδέναι, ἀλλὰ, κατειληφέναι. οὔτε παντελῆ ἄγνοιαν, οὔτε παντελῆ γνῶσιν ἐμαρτύρησεν ἑαυτῷ. τὸ γὰρ εἰπεῖν, οὐ λογίζομαι κατειληφέναι, δηλοῦντός ἐστιν, ὅτι ἐπὶ τῆς ὁδοῦ τέως ἕστηκε, καὶ βαδίζει, καὶ πρόεισι περαιτέρω, τοῦ δὲ τέλους πάντως οὐκ ἐπείληπται. τοῦτο καὶ ἑτέροις παραινεῖ λέγων οὕτως· Ὅσοι τέλειοι, τοῦτο φρονῶμεν, καὶ εἴ τι ἑτέρως φρονεῖτε, [καὶ] τοῦτο ὁ Θεὸς ὑμῖν ἀποκαλύψει. οὐ λογισμὸς, εἶπε, διδάξει, ἀλλ', ὁ Θεὸς ἀποκαλύψει. ὁρᾷς ὅτι οὐ περὶ βίου καὶ πολιτείας ἐστὶν ὁ λόγος, ἀλλὰ περὶ δογμάτων καὶ πίστεως; πολιτεία γὰρ καὶ βίος οὐκ ἀποκαλύψεως δεῖται, ἀλλὰ δόγματα καὶ γνώσεις. καὶ ἑτέρωθι δὲ τὸ αὐτὸ τοῦτο δηλῶν ἔλεγεν· Εἴ τις δοκεῖ εἰδέναι τι, οὐδέπω οὐδὲν ἔγνωκεν. οὐκ εἶπεν ἁπλῶς, οὐδὲν ἔγνωκεν, ἀλλὰ, καθὼς δεῖ γνῶναι. ἔχομεν γὰρ γνῶσιν, οὐ τὴν ἀκριβῆ δὲ καὶ ἀπηρτισμένην. καὶ ἵνα μάθῃς ὅτι τοῦτό ἐστιν ἀληθὲς, μηδὲν περὶ τῶν ἄνω διαλεχθῶμεν, ἀλλ', εἰ βούλει, κάτω πρὸς τὴν ὁρωμένην κτίσιν τὸν λόγον ἀγάγωμεν. οὐχ ὁρᾷς τουτονὶ τὸν οὐρανόν; ὅτι μὲν καμάρας εἰκόνα διασώζει, ἴσμεν, καὶ τοῦτο οὐκ ἀπὸ λογισμῶν, ἀλλ' ἀπὸ τῆς θείας γραφῆς μαθόντες, καὶ ὅτι πάντοθεν περιλαμβάνει τὴν γῆν, καὶ τοῦτο ὁμοίως παρ' ἐκείνης ἀκούσαντες· τίς δὲ τὴν οὐσίαν ἐστὶν, ἀγνοοῦμεν. εἰ δέ τις διισχυρίζοιτο καὶ φιλονεικοίη, λεγέτω τί τὴν οὐσίαν ἐστὶν ὁ οὐρανός. ἆρα κρύσταλλος πεπηγώς; ἆρα νέφος πεπυκνωμένον; ἆρα ἀὴρ παχύτερος; ἀλλ' οὐδεὶς ἂν ἔχοι σαφὲς οὐδὲν εἰπεῖν. ἔτι οὖν ἀποδείξεως, εἰπέ μοι, δεῖσθε πρὸς τὸ μαθεῖν τὴν μανίαν τῶν τὸν Θεὸν λεγόντων εἰδέναι; τοῦ οὐρανοῦ τοῦ καθ' ἡμέραν ὁρωμένου τὴν φύσιν οὐκ ἔχεις εἰπεῖν, καὶ τοῦ ἀοράτου Θεοῦ μετὰ ἀκριβείας ἐπαγγέλλῃ τὴν οὐσίαν εἰδέναι; καὶ τίς οὕτως ἀναίσθητος, ὡς μὴ τὴν ἐσχάτην τῶν ταῦτα λεγόντων καταγινώσκειν μανίαν; διὰ δὴ ταῦτα παρακαλῶ πάντας ὑμᾶς, καθάπερ τοὺς φρενίτιδι περιπεσόντας νόσῳ καὶ παραπαίοντας, κατὰ δύναμιν τὴν ὑμετέραν πειρᾶσθε θεραπεύειν, μετὰ προσηνείας καὶ ἐπιεικείας αὐτοῖς διαλεγόμενοι. καὶ γὰρ ἐξ ἀπονοίας αὐτοῖς τὸ δόγμα ἐτέχθη τοῦτο, καὶ πολὺ τῆς διανοίας αὐτῶν τὸ φύσημα· τὰ δὲ φλεγμαίνοντα τῶν τραυμάτων οὐδὲ ἐπιβολὴν χειρὸς ἀνέ-

Ρωμ. ϛ. θ.

Φιλιπ. γ. ιε.

α Κορ. η. β.

χεται, οὐδὲ ἀφεῖναι ὑπομένει τραχυτέραν. διὰ τοῦτο οἱ σοφοὶ τῶν ἰατρῶν μαλακῇ τινι σπογγιᾷ τὰ τοιαῦτα καταψήχουσιν ἕλκη. ἐπεὶ οὖν καὶ τούτοις ἕλκος ἐστὶν ἐν τῇ ψυχῇ φλεγμαῖνον, ὥσπερ ἁπαλῇ τινι σπογγιᾷ προσιοῦσιν εἰς ὕδωρ καὶ πότιμον*, οὕτω τὰ εἰρηνικὰ ἅπαντα καταντλοῦντες, πειρώμεθα καταστέλλειν αὐτῶν τὸ φύσημα, καὶ τὸν ὄγκον καθαιρεῖν ἅπαντα. κἂν ὑβρίζωσι, κἂν ἐμπτύωσι, κἂν λακτίζωσι, κἂν ὁτιοῦν ποιῶσι, μὴ καταλίπῃς τὴν ἰατρείαν, ἀγαπητέ. τοὺς γὰρ ἀνθρώπους παραπλῆγας θεραπεύοντας ἀνάγκη πολλὰ τοιαῦτα ὑπομένειν. ἀλλ' ὅμως οὐδὲ οὕτως ἀφίστασθαι χρή, ἀλλὰ διὰ αὐτὰ μὲν οὖν ταῦτα μάλιστα αὐτοὺς ταλανίζειν καὶ δακρύειν χρή, ὅτι τοιοῦτον αὐτῶν τῆς ἀρρωστίας ἐστὶ τὸ εἶδος. ταῦτα πρὸς τοὺς ἰσχυροτέρους λέγω καὶ ἀνεπηρεάστους καὶ δυναμένους ἐκ τῆς ἐκείνων ὁμιλίας μηδεμίαν παραδέξασθαι βλάβην· ὡς εἴ τις ἀσθενέστερος εἴη, φευγέτω τὰς συνουσίας, ἀποπηδάτω τοὺς συλλόγους, ὥστε μὴ τὴν τῆς φιλίας ὑπόθεσιν ἀφορμὴν ἀσεβείας γενέσθαι.

α. Κορ. θ. κ. οὕτω καὶ Παῦλος ποιεῖ, αὐτὸς μὲν τοῖς ἀρρωστοῦσιν ἀναμίγνυται καὶ λέγει· Ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, τοῖς ἀνόμοις ὡς ἄνομος· τοὺς δὲ μαθητὰς [καὶ] ἀσθενεστέρους διακειμένους ἀπάγει παραινῶν οὕτω καὶ διδάσκων· α. Κορ. ιε λγ. Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. καὶ πάλιν, Ἠσ. να. δ. Ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε, λέγει Κύριος. ὁ μὲν γὰρ ἰσχυρὸς ἐὰν ἔλθῃ πρὸς τὸν κάμνοντα, κἀκεῖνον καὶ ἑαυτὸν πολλάκις ὠφέλησεν· ὁ δὲ ἀσθενέστερος καὶ ἑαυτὸν καὶ τὸν ἀρρωστοῦντα προσέβλαψε τοῖς νοσοῦσιν ἀναμιγνύμενος. ἐκεῖνόν τε γὰρ οὐδὲν ὠφελῆσαι δύναται, καὶ αὐτὸς ἐπισπάσεται πολλὴν ἀπὸ τῆς ἀρρωστίας τὴν βλάβην. καὶ ὅπερ οἱ πρὸς τοὺς ὀφθαλμιῶντας ὁρῶντες πάσχουσιν, ἐφελκόμενοί τι τῆς ἀρρωστίας ἐκείνης, τοῦτο καὶ οἱ τοῖς βλασφήμοις συναναμιγνύμενοι τούτοις ὑπομένουσιν, ἐὰν ὦσιν ἀσθενέστεροι, τὸ πολὺ τῆς ἀσεβείας πρὸς ἑαυτοὺς ἐπισπώμενοι μέρος. ἵν' οὖν μὴ τὰ μέγιστα ἑαυτοὺς παραβλάπτωμεν, φεύγωμεν αὐτῶν τὰς συνουσίας, εὐχόμενοι μόνον καὶ παρακαλοῦντες τὸν φιλάνθρωπον Θεόν, α. Τιμ. β. δ. τὸν θέλοντα πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν τῆς ἀληθείας ἐλθεῖν, ἀπαλλάξαι μὲν αὐτοὺς τῆς πλάνης, καὶ τῆς τοῦ διαβόλου παγίδος, ἐπαναγαγεῖν δὲ ἐπὶ τὸ τῆς γνώσεως φῶς, ἵνα πάντες ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι δοξάζωμεν τὸν Θεὸν καὶ πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, σὺν τῷ ζωοποιῷ καὶ παναγίῳ πνεύματι, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΑΚΑΤΑΛΗΠΤΟΥ· ΚΑΙ ΟΤΙ ΟΥΔΕ Η ΣΥΓΚΑτάβασις τοῦ Θεοῦ φορητὴ τοῖς σεραφὶμ Λογ. γ.

Οἱ φιλόπονοι τῶν γεωργῶν, ἐπειδὰν ἴδωσι δένδρον ἄκαρπον καὶ ἀνήμερον τοῖς αὐτῶν λυμαινόμενον πόνοις, καὶ τῇ τῆς ῥίζης τραχύτητι καὶ τῇ βαρύτητι τῆς σκιᾶς διαφθεῖρον τὰ ἥμερα τῶν φυτῶν, μετὰ πολλῆς ἐκτέμνουσιν αὐτὸ τῆς σπουδῆς· πολλάκις δὲ αὐτοῖς καὶ ἄνεμός ποθεν ἐπελθὼν συνεφάπτεται τῆς τομῆς, καὶ τῇ κόμῃ τοῦ δένδρου προσαράξας καὶ μετὰ πολλῆς τινάξας τῆς σφοδρότητος συνέκλασέ τε αὐτό, καὶ εἰς [τὴν] γῆν ἔρριψε, καὶ τοῦ πόνου τὸ πλέον αὐτοῖς ἐπεκούφισεν. ἐπεὶ οὖν καὶ ἡμεῖς δένδρον ἐκτέμνομεν ἄγριον καὶ ἀνήμερον, τὴν Ἀνομοίων τὴν αἵρεσιν, παρακαλέσωμεν τὸν Θεὸν πέμψαι τοῦ πνεύματος ἡμῖν τὴν χάριν, ἵνα ἀνέμου σφοδρότερον παντὸς προσβαλοῦσα, πρόρριζον ἀνασπάσῃ τὴν αἵρεσιν, τὸ πλέον ἡμῖν κουφίζουσα τοῦ πόνου. ἤδη γάρ που καὶ γῆ χερσωθεῖσα καὶ γεωργικῶν οὐκ ἀπολαύσασα χειρῶν, πονηρὰς βοτάνας καὶ ἀκανθῶν πλῆθος καὶ δένδρα ἄγρια ἐξέβρασεν ἐκ τῶν οἰκείων κόλπων πολλάκις· οὕτω καὶ ἡ τῶν Ἀνομοίων ἐρημωθεῖσα ψυχή, καὶ τῆς ἀπὸ τῶν γραφῶν ἐπιμελείας οὐκ ἀπολαύσασα, οἴκοθεν καὶ παρ' ἑαυτῆς τὴν ἀγρίαν

ταύτην καὶ ἀνήμερον ἐξέθρεψεν αἵρεσιν. τοῦτο γὰρ τὸ δένδρον οὐ Παῦλος ἐφύτευσεν, οὐκ Ἀπολλὼς ἐπότισεν, οὐχ ὁ Θεὸς ηὔξησεν· ἀλλ' ἐφύτευσε μὲν λογισμῶν ἄκαιρος περιεργία, ἐπότισε δὲ ἀπονοίας τῦφος, ηὔξησε δὲ φιλοδοξίας ἔρως. καὶ δεῖ τῆς τοῦ πνεύματος ἡμῖν φλογὸς, ἵνα μὴ μόνον ἀνασπάσωμεν, ἀλλὰ καὶ κατακαύσωμεν τὴν πονηρὰν ταύτην ῥίζαν. καλέσωμεν τοίνυν αὐτὸν τὸν ὑπ' ἐκείνων μὲν βλασφημούμενον, ὑφ' ἡμῶν δὲ εὐφημούμενον Θεὸν, καὶ παρακαλέσωμεν, ὥστε καὶ τὴν γλῶτταν ἡμῶν πρὸς πλείονα διεγεῖραι δρόμον, καὶ τὴν διάνοιαν ἡμῖν πρὸς σαφεστέραν διανοῖξαι τῶν λεγομένων "ἀνάπτυξιν. ὑπὲρ γὰρ αὐτοῦ καὶ τῆς αὐτοῦ δόξης ἅπας ἡμῖν ὁ πόνος, μᾶλλον δὲ ὑπὲρ τῆς σωτηρίας τῆς ἡμετέρας. τὸν μὲν γὰρ Θεὸν οὐδεὶς οὔτε ἀτιμάζων παραβλάψαι δυνήσεται, οὔτε εὐφημῶν λαμπρότερον ἀποφῆναι· ἀλλ' ἐπὶ τῆς οἰκείας ἀεὶ μένει δόξης, οὔτε εὐφημίαις αὐξανόμενος, οὔτε ἐλαττούμενος βλασφημίαις. τῶν δὲ οἱ θεράποντες οἱ μὲν δοξάζοντες αὐτὸν κατ' ἀξίαν (μᾶλλον δὲ κατ' ἀξίαν μὲν οὐδενὶ δυνατὸν) εἰς δὲ δύναμιν τὴν ἑαυτῶν, τὴν ἀπὸ τῆς δοξολογίας καρποῦνται ὠφέλειαν· οἱ δὲ βλασφημοῦντες καὶ ἐξουτελίζοντες, τὴν οἰκείαν λυμαίνονται σωτηρίαν. ὃ γὰρ, Ὁ βάλλων λίθον εἰς ὕψος εἰς τὴν κεφαλὴν ἑαυτοῦ ἔβαλε, περὶ τῶν βλασφημούντων τις εἴρηκε. Σειρ. κζ. κε. καθάπερ γὰρ ὁ λίθον πρὸς τὸ ὕψος ἀκοντίζων, τοῦ οὐρανοῦ μὲν τὸ σῶμα διατεμεῖν οὐ δυνήσεται, οὐδὲ πρὸς τὸ ὕψος φθάσαι ἐκεῖνο, τὴν δὲ πληγὴν "τῇ ἰδίᾳ δέχεται κεφαλῇ, πρὸς τὸν ἀκοντίζοντα ἐπανιόντος τοῦ λίθου· οὕτω δὴ καὶ ὁ βλασφημῶν τὴν μακαρίαν ἐκείνην οὐσίαν, ἐκείνην μὲν οὐδὲν παραβλάψαι ποτὲ, πολλῷ μείζονα οὖσαν καὶ ὑψηλοτέραν, ἢ ὥστε δέξασθαί τινα βλάβην, κατὰ δὲ τῆς ἑαυτοῦ ψυχῆς τὸ ξίφος ἀκονᾷ ἀγνώμων περὶ τὸν εὐεργέτην γινόμενος. καλῶμεν τοίνυν αὐτὸν τὸν ἀνέκφραστον, τὸν ἀπερίληπτον, τὸν ἀπερινόητον Θεὸν, τὸν ἀόρατον, τὸν ἀκατάληπτον, τὸν νικῶντα γλώττης ἀνθρωπίνης δύναμιν, τὸν ὑπερβαίνοντα διανοίας θνητῆς κατάληψιν, τὸν ἀνεξιχνίαστον ἀγγέλοις, τὸν ἀνεξερεύνητον ἀρχαγγέλοις, τὸν ἀθέατον τοῖς σεραφὶμ, τὸν ἀκατανόητον τοῖς χερουβὶμ, τὸν ἀόρατον ἀρχαῖς καὶ ἐξουσίαις καὶ δυνάμεσι, καὶ ἁπλῶς πάσῃ τῇ κτίσει, ὑπὸ δὲ υἱοῦ καὶ πνεύματος "μόνου γνωριζόμενον.

Καὶ οἶδα μὲν ὅτι ἀλαζονείαν καταγνώσονται τοῦ λόγου, ὅτι καὶ ταῖς ἀνωτέραις δυνάμεσιν ἀκατάληπτον αὐτὸν εἶπον εἶναι· ἐγὼ δὲ πολλὴν αὐτῶν * διὰ τοῦτο καταγνώσομαι μανίαν καὶ ἀπόνοιαν. ἀλαζονεία γὰρ οὐ τὸ λέγειν ὅτι τῆς τῶν γεννητῶν ἁπάντων καταλήψεως ἀνώτερός ἐστιν ὁ δημιουργὸς, ἀλλὰ τὸ λέγειν ὅτι τὸν ταῖς ἄνω δυνάμεσιν ἀκατάληπτον, δυνατὸν αὐτοῖς τοῖς χαμαὶ "ἐρχομένοις, καὶ τοσοῦτον ἐκείνων ἀφεστηκόσι, τῇ τῶν οἰκείων λογισμῶν ἀσθενείᾳ περιγράψαι καὶ περιλαβεῖν. ἐγὼ μὲν οὖν ἐὰν μὴ δείξω τοῦτο, ὅπερ ὑπεσχόμην, δίκαιος ἂν εἴην ἀλαζονείας "ὑποπεσεῖν ἐγκλήματι· ὑμεῖς δὲ, "εἰ μετὰ τὸ δεῖξαί με ταῖς ἄνω δυνάμεσιν ὄντα ἀκατάληπτον, "διϊσχυρίζεσθε ἔτι καὶ φιλονεικεῖτε αὐτὸν εἰδέναι, πόσων ἂν εἴητε βαράθρων, πόσων δὲ κρημνῶν ἄξιοι, τὰ ταῖς ἀσωμάτοις δυνάμεσιν ἀπρόσιτα ἄβατα ἀλαζονευόμενοι μετὰ ἀκριβείας εἰδέναι; φέρε οὖν λοιπὸν ἐπὶ τὰς ἀποδείξεις αὐτὰς χωρῶμεν, πάλιν ἐπὶ τὴν εὐχὴν τὸν λόγον τρέψαντες. πολλάκις γὰρ αὐτὴ τῆς εὐχῆς ἡ ἀκολουθία παρέξει τῶν ζητουμένων ἡμῖν τὴν ἀπόδειξιν.--καλῶμεν τοίνυν αὐτὸν τὸν βασιλέα τῶν βασιλευόντων, καὶ τὸν Κύριον τῶν κυριευόντων, τὸν μόνον ἔχοντα ἀθανασίαν, καὶ φῶς ἀπρόσιτον οἰκοῦντα, ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται, ᾧ τιμὴ καὶ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν. ταῦτα οὐκ ἐμὰ, ἀλλὰ Παύλου τὰ ῥήματα. σὺ δέ μοι κατάμαθε ψυχῆς εὐλάβειαν καὶ "πόθον ἐρριζωμένον. μνησθεὶς γὰρ τοῦ Θεοῦ, οὐ πρότερον ἠνέσχετο πρὸς τὴν ἀκολουθίαν ἐκβῆναι τῆς διδασκαλίας, ἕως τὸ ὀφειλόμενον αὐτῷ χρέος ἀπέδωκεν, εἰς δοξολογίαν κατακλείσας τὸν λόγον. εἰ γὰρ μνήμη δικαίου μετ' ἐγκωμίου, πολλῷ μᾶλλον μνήμη Θεοῦ [μετ' εὐσεβείας καὶ] μετ' εὐφημίας. ποιεῖ δὲ αὐτὸ καὶ ἐν

παροιμίοις

προοιμίοις ἐπιστολῶν. ἀρχόμενος γὰρ ἐπιστολῆς, πολλάκις ἐπειδὰν μνησθῇ τοῦ Θεοῦ, οὐ πρότερον ἐπὶ τὴν διδασκαλίαν πρόεισιν, ἕως ἂν ἀποδῷ τὴν ὀφειλομένην αὐτῷ δοξολογίαν. ἄκουσον γοῦν Γαλάταις γράφοντος πῶς φησι, Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος τοῦ πονηροῦ, κατὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ πατρὸς, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, Ἀμήν. καὶ πάλιν ἀλλαχοῦ· Τῷ δὲ βασιλεῖ τῶν αἰώνων ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας, Ἀμήν. ἆρ' οὖν ἐπὶ τοῦ πατρὸς " αὐτὸ ποιεῖ μόνον, ἐπὶ δὲ τοῦ υἱοῦ οὐχ οὕτως; " ἄκουσον γοῦν πῶς καὶ ἐπὶ τοῦ μονογενοῦς τὸ αὐτὸ τοῦτο πεποίηκεν. Εἰπὼν γὰρ, ὅτι Ηὐχόμην ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου [τῶν] κατὰ σάρκα, ἐπήγαγεν· ὧν ἡ υἱοθεσία, καὶ αἱ διαθῆκαι, * καὶ αἱ ἐπαγγελίαι· ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας, Ἀμήν. ὥσπερ γὰρ τῷ πατρὶ, οὕτω καὶ τῷ μονογενεῖ τὴν δοξολογίαν πρότερον ἀποδοὺς, τότε ἐπὶ τὴν ἀκολουθίαν ἦλθε τοῦ λόγου. ἤκουσε γὰρ τοῦ " Χριστοῦ λέγοντος, Ἵνα πάντες τιμῶσι τὸν υἱὸν, καθὼς τιμῶσι τὸν πατέρα. καὶ ἵνα μάθητε ὅτι αὐτὴ ἡμῖν ἡ εὐχὴ παρέξει τὴν ἀπόδειξιν, φέρε αὐτὴν εἰς μέσον ἀγάγωμεν· Ὁ βασιλεὺς τῶν βασιλευόντων, φησὶ, καὶ Κύριος τῶν κυριευόντων, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον. ἐνταῦθα στῆθι, καὶ ἐρώτησον τὸν αἱρετικὸν, τί ποτέ ἐστι τοῦτο τὸ, φῶς οἰκῶν ἀπρόσιτον. καὶ πρόσεχε τῇ ἀκριβείᾳ τοῦ Παύλου, οὐκ εἶπε, φῶς ὢν ἀπρόσιτον, ἀλλὰ, φῶς οἰκῶν ἀπρόσιτον, ἵνα μάθῃς, ὅτι εἰ ὁ οἶκος ἀπρόσιτος, πολλῷ μᾶλλον ὁ ἐνοικῶν αὐτὸν Θεός. ταῦτα δὲ ἔλεγεν, οὐχ ἵνα οἶκον καὶ τόπον περὶ Θεὸν ὑποπτεύσῃς, ἀλλ' ἵνα ἐκ πολλῆς τῆς περιουσίας τὸ ἀκατάληπτον μάθῃς. ἀλλ' οὐδὲ φῶς οἰκῶν ἀκατάληπτον εἶπεν, ἀλλ', ἀπρόσιτον, ὃ τοῦ ἀκαταλήπτου πολλῷ μεῖζόν ἐστι. τὸ μὲν γὰρ ἀκατάληπτον λέγεται, ὅταν ἐρευνηθὲν * καὶ ζητηθὲν μὴ καταληφθῇ παρὰ τῶν ζητούντων αὐτό· ἀπρόσιτον δέ ἐστιν, ὃ μηδὲ ἐρεύνης ἀνέχεται τὴν ἀρχὴν, μηδὲ ἐγγὺς αὐτοῦ γενέσθαι τις δύναται. οἷον, ἀκατάληπτον λέγεται πέλαγος εἰς ὃ καθιέντες ἑαυτοὺς οἱ κολυμβηταὶ καὶ πρὸς πολὺ καταφερόμενοι βάθος, τὸ πέρας ἀδυνατοῦσιν εὑρεῖν· ἀπρόσιτον δὲ ἐκεῖνο λέγεται, ὃ μήτε τὴν ἀρχὴν ζητηθῆναι δυνατὸν, μήτε " ἐρευνηθῆναι. τί πρὸς ταῦτα ἂν εἴποις; ἀλλ' ἀνθρώποις, φησὶν, ἀκατάληπτον, οὐχὶ δὲ ἀγγέλοις, οὐδὲ ταῖς ἄνω δυνάμεσι. σὺ μὲν οὖν ἄγγελος εἶ, εἰπέ μοι, καὶ εἰς τὸν χορὸν τῶν ἀσωμάτων δυνάμεων τελεῖς; οὐχὶ ἄνθρωπος εἶ, καὶ τῆς αὐτῆς οὐσίας ἐμοί; ἢ καὶ τῆς φύσεως ἐπιλέλησαι; θῶμεν γὰρ ἀπρόσιτον εἶναι ἀνθρώποις μόνον (καίτοι γε οὐ πρόσκειται τοῦτο, οὐδὲ εἶπεν ὁ Παῦλος, ἀνθρώποις μὲν φῶς οἰκῶν ἀπρόσιτον, ἀγγέλοις δὲ οὐκ ἀπρόσιτον) πλὴν ἀλλ', εἰ βούλει, κατὰ συγχώρησιν θῶμεν· οὐχὶ καὶ αὐτὸς ἄνθρωπος εἶ; τί οὖν; εἰ καὶ ἀγγέλοις μὴ ἀπρόσιτον ᾖ, τί τοῦτο πρὸς σὲ τὸν φιλονεικοῦντα καὶ περιεργαζόμενον καὶ λέγοντα ἀνθρωπίνῃ φύσει καταληπτὴν εἶναι τὴν οὐσίαν ἐκείνην; ἵνα δὲ μάθῃς, ὅτι οὐκ ἀνθρώποις μόνον, ἀλλὰ καὶ ταῖς ἄνω δυνάμεσίν ἐστιν ἀπρόσιτος, ἄκουσον τί φησιν ὁ Ἡσαΐας. ὅταν δὲ εἴπω τὸν Ἡσαΐαν, τοῦ πνεύματος τὴν ἀπόφασιν λέγω· προφήτης γὰρ πᾶς τὰ τῆς τοῦ πνεύματος ἐνεργείας φθέγγεται). Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεὺς, εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ τὰ σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ· ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ ταῖς μὲν δυσὶ κατεκάλυπτον τὰ πρόσωπα ἑαυτῶν, ταῖς δὲ δυσὶ τοὺς πόδας. τίνος ἕνεκεν, εἰπέ μοι, καλύπτουσι τὰ πρόσωπα, καὶ προβάλλονται τὰς πτέρυγας; " τίνος δὲ ἕνεκεν ἑτέρου, ἀλλ' ἢ διὰ τὸ μὴ φέρειν τὴν ἐκ τοῦ θρόνου " λάμπουσαν ἀστραπὴν, καὶ τὰς μαρμαρυγὰς ἐκείνας; καίτοιγε οὐκ αὐτὸ ἄκρατον ἑώρων τὸ φῶς, οὐδὲ αὐτὴν ἀκραιφνῆ τὴν οὐσίαν, ἀλλὰ συγκατάβασις ἦν τὰ ὁρώμενα. τί δέ ἐστι συγκατάβασις; ὅταν μὴ ὡς ἔστιν ὁ Θεὸς φαίνηται, ἀλλ' ὡς ὁ δυνάμενος

Γαλ. α. γ δ.

α. Τιμ. α. ιζ.

Ρωμ. θ. γ.

Ιωαν. ε. κγ.

α. Τιμ. α. ιε.

Ησ. ϛ. α.

μενος αὐτὸν θεωρεῖν οἷός τέ ἐστιν, οὕτως ἑαυτὸν δεικνύῃ, ἐπιμετρῶν τῇ τῶν ὁρώντων ἀσθενείᾳ τῆς ὄψεως τὴν ἐπίδειξιν. καὶ ὅτι συγκατάβασις ἦν, ἐξ αὐτῶν τῶν ῥημάτων δῆλον. Εἶδον γάρ, φησι, τὸν Κύριον καθήμενον*. Θεὸς δὲ οὐ κάθηται· σωμάτων γὰρ ὁ σχηματισμὸς οὗτος. καὶ ἐπὶ θρόνου. Θεὸς" γὰρ θρόνῳ" οὐκ ἐμπεριείληπται· ἀπερίγραπτον γὰρ τὸ θεῖον. ἀλλ' ὅμως οὐδὲ συγκατάβασιν ἠδυνήθησαν ἐνεγκεῖν, καίτοι πλησίον ἑστῶσαι. τὰ γὰρ σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ. διὰ τοῦτο μὲν οὖν μάλιστα τοῦτο οὐκ ἴσχυσαν ἰδεῖν, ἐπειδὴ πλησίον ἦσαν. πλησίον δὲ" οὐ τόπῳ φησίν, ἀλλὰ δεῖξαι βουλόμενον τὸ πνεῦμα τὸ ἅγιον, ὅτι καίτοιγε ἡμῶν ἐγγύτεραι οὖσαι τῇ οὐσίᾳ ἐκείνῃ, οὐδὲ οὕτως αὐτὴν δύνανται θεωρεῖν. διὰ τοῦτό φησι, καὶ τὰ σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, οὐχὶ τόπον ("ἄπαγε) αἰνιττόμενος, ἀλλὰ τῇ κατὰ τὸν τόπον ἐγγύτητι τὸ ἡμῶν ἐγγυτέρας" αὐτὰς εἶναι παραδηλῶν. τὸ γὰρ ἀκατάληπτον οὐχ οὕτως ἡμεῖς ἴσμεν, ὡς ἐκεῖναι αἱ δυνάμεις, ὅσῳ καθαρώτεραι καὶ σοφώτεραι καὶ διορατικώτεραι τῆς ἀνθρωπίνης εἰσὶ φύσεως. καθάπερ γὰρ τὸ τῶν ἀκτίνων τῶν ἡλιακῶν ἀπρόσιτον οὐχ οὕτως οἶδεν ὁ τυφλὸς ὡς ὁ βλέπων· οὕτω καὶ τὸ τοῦ Θεοῦ ἀκατάληπτον οὐχ οὕτως ἡμεῖς ἴσμεν ὡς ἐκεῖνοι. ὅσον γὰρ τυφλοῦ καὶ βλέποντος τὸ μέσον, τοσοῦτον ἡμῶν κἀκείνων τὸ διάφορον. ὥστε κἂν τοῦ προφήτου λέγοντος ἀκούσῃς, Εἶδον τὸν Κύριον, μὴ τοῦτο ὑποπτεύσῃς, ὅτι τὴν οὐσίαν εἶδεν ἐκείνην, ἀλλ' αὐτὴν τὴν συγκατάβασιν, καὶ ταύτην δὲ ἀμυδρότερον, ἤπερ αἱ ἄνω δυνάμεις. τοσοῦτον γὰρ ἰδεῖν οὐκ ἂν ἴσχυσεν, ὅσον τὰ χερουβίμ.

Καὶ τί λέγω περὶ τῆς μακαρίας οὐσίας ἐκείνης, ὅπου γε οὐδὲ ἀγγέλου" σοφίαν δυνατὸν ἀνθρώπῳ μετὰ ἀδείας ἰδεῖν; καὶ ἵνα μάθητε ὅτι τοῦτο ἔστιν ἀληθές, ἄνθρωπον εἰς μέσον παράξω Θεοῦ φίλον, παῤῥησίαν ἔχοντα πολλὴν ἐπὶ σοφίᾳ καὶ δικαιοσύνῃ, καὶ ἐπὶ πολλοῖς ἑτέροις μαρτυρηθέντα κατορθώμασι, τὸν ἅγιον Δανιήλ· ἵν', ὅταν ἀποδείξω ἐξασθενοῦντα, καὶ διαλυόμενον, καὶ" καταπίπτοντα ἐκ τῆς τοῦ ἀγγέλου παρουσίας, μηδεὶς δι' ἁμαρτήματα καὶ πονηρὸν συνειδὸς τοῦτο αὐτὸν πεπονθέναι νομίζῃ· ἀλλά, δειχθείσης τῆς κατὰ τὴν ψυχὴν αὐτοῦ "παῤῥησίας*, ἡ τῆς φύσεως ἀσθένεια σαφῶς διελέγχεται. Οὗτος τοίνυν ὁ Δανιὴλ ἐνήστευσε τρεῖς ἑβδομάδας ἡμερῶν, καὶ ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγε, καὶ οἶνος καὶ" κρέα οὐκ εἰσῆλθεν εἰς τὸ στόμα αὐτοῦ, οὐδὲ ἄλειμμα ἠλείψατο. καὶ τότε εἶδε τὴν ὀπτασίαν ἐκείνην, ὅτε ἐπιτηδειοτέρα αὐτῷ ἦν ἡ ψυχὴ πρὸς τὴν τῆς τοσαύτης θεωρίας ὑποδοχήν, ὑπὸ τῆς νηστείας κουφοτέρα καὶ πνευματικωτέρα γενομένη. καὶ τί φησιν; Ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον, καὶ" ἰδοὺ ἀνὴρ ἐνδεδυμένος βαδδίν, τουτέστι, στολὴν ἱεράν, καὶ ἡ ὀσφὺς αὐτοῦ περιεζωσμένη χρυσίῳ ὠφάζ, καὶ τὸ σῶμα αὐτοῦ ὡσεὶ θαρσεῖς, τὸ πρόσωπον αὐτοῦ ὡσεὶ ὅρασις ἀστραπῆς, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡσεὶ λαμπάδες πυρός, καὶ οἱ βραχίονες αὐτοῦ, καὶ τὰ σκέλη ὡσεὶ ὅρασις χαλκοῦ στίλβοντος, ἡ φωνὴ τῶν λόγων αὐτοῦ ὡς φωνὴ ὄχλου. καὶ ἐγὼ μόνος εἶδον τὴν ὀπτασίαν ταύτην, καὶ οἱ μετ' ἐμοῦ οὐκ εἶδον, ἀλλ' ἔκστασις μεγάλη ἐπέπεσεν ἐπ' αὐτούς, καὶ ἔφυγον ἐν φόβῳ, καὶ οὐχ ὑπελείφθη ἐν ἐμοὶ ἰσχύς, καὶ ἡ δόξα μου μετεστράφη εἰς διαφθοράν. τί ἐστιν, ἡ δόξα μου μετεστράφη εἰς διαφθοράν; εὐπρεπὴς ἦν ὁ νεανίας· ἐπεὶ οὖν ὁ φόβος τῆς παρουσίας τοῦ ἀγγέλου καθάπερ τοὺς ἐκπνέοντας οὕτως αὐτὸν διέθηκε, πολλὴν" κατασκευάσας τὴν ὠχρίαν, καὶ ἀναλώσας τὸ ἄνθος τῆς ὥρας, καὶ δαπανήσας τὴν εὐχροιαν τῆς ἐπιφανείας ἅπασαν, διὰ τοῦτο εἶπε, μετεστράφη ἡ δόξα μου εἰς διαφθοράν. καθάπερ γάρ, ἡνιόχου φοβηθέντος καὶ τὰς ἡνίας ἀφέντος, ἐπ' ὄψιν οἱ ἵπποι καταφέρονται πάντες, καὶ τὸ ἅρμα ὁλόκληρον περιτρέπεται· οὕτω καὶ ἐπὶ τῆς ψυχῆς συμβαίνειν εἴωθεν, ὅταν ὑπό τινος θάμβους καὶ ἀγωνίας κατέχηται. πτοουμένη γάρ, καί, καθάπερ ἡνίας τινάς, τὰς οἰκείας ἐνεργείας συστέλλουσα, "ἀφ' ἑκάστου τῶν αἰσθητηρίων τοῦ σώματος ἔρημα ἀφίησι τὰ μέλη, εἶτα ἐκεῖνα ἐρημωθέντα τῆς κατεχούσης αὐτὰ δυνάμεως διαπίπτει καὶ παρακρούεται· "ὅπερ καὶ ὁ Δανιὴλ ἔπαθε τότε. τί οὖν ὁ ἄγγελος; ἀνέστησεν αὐτόν,

Δαν. ι. γ.

Δαν. ι. ε.

Δαν. ι. ια. τὸν, καί φησι· Δανιὴλ ἀνὴρ ἐπιθυμιῶν, σύνες ἐν τοῖς λόγοις τούτοις, οἷς ἐγὼ λαλῶ πρὸς σέ, καὶ στῆθι ἐπὶ τῇ στάσει σου, ὅτι νῦν ἀπεστάλην πρὸς σέ. ὁ δὲ ἀνέστη ἔντρομος. καὶ ἀρχομένου πάλιν πρὸς αὐτὸν διαλέγεσθαι τοῦ ἀγγέλου καὶ λέγειν, ὅτι ἀπὸ τῆς ἡμέρας, ἧς ἔδωκας τὴν καρδίαν σου κακωθῆναι ἐναντίον τοῦ Θεοῦ, ἠκούσθησαν οἱ λόγοι σου, κἀγὼ ἦλθον ἐν τοῖς λόγοις σου, πάλιν κατέπεσεν ἐπὶ τὴν γῆν, ὅπερ καὶ ἐπὶ τῶν ἐκλυομένων συμβαίνει. καθάπερ γὰρ ἐκεῖνοι διεγερθέντες, καὶ εἰς ἑαυτοὺς ἐπανελθόντες καὶ διαβλέψαντες, κατεχόντων ἡμῶν αὐτοὺς καὶ ῥαινόντων τὸ πρόσωπον ψυχροῖς νάμασιν, ἐν αὐταῖς ἡμῶν πολλάκις ἐκλύονται μεταξὺ ταῖς χερσίν· οὕτω καὶ ὁ προφήτης ἔπασχεν. ἡ γὰρ ψυχὴ φοβηθεῖσα, καὶ τὴν ὄψιν τῆς παρουσίας οὐ φέρουσα τοῦ συνδούλου, οὐδὲ τὸ φῶς ἐκεῖνο δυναμένη βαστάζειν, ἐθορυβεῖτο, καθάπερ τινὸς ἁλύσεως τοῦ δεσμοῦ τῆς σαρκὸς ἑαυτὴν ἀποῤῥῆξαι ἐπειγομένη· ἀλλ' ἐκεῖνος ἐπικατεῖχεν. ἀκουέτωσαν οἱ τὸν τῶν ἀγγέλων δεσπότην περιεργαζόμενοι. Δανιὴλ, ὃν ᾐδέσθησαν ὀφθαλμοὶ λεόντων, Δανιὴλ, ὁ τὰ ὑπὲρ ἄνθρωπον ἐν ἀνθρωπίνῳ σώματι δυνηθεὶς, συνδούλου παρουσίαν οὐκ ἤνεγκεν, ἀλλ' ἄπνους ἔκειτο (ἐστράφη γάρ, φησι, τὰ ἐντός μου ἐν τῇ ὁράσει μου, καὶ πνοὴ οὐχ ὑπελείφθη ἐν ἐμοί) οἱ δὲ τοσοῦτον τῆς ἀρετῆς ἀφεστηκότες τοῦ δικαίου, αὐτὴν ὑπισχνοῦνται τὴν οὐσίαν εἰδέναι μετὰ τῆς ἀκριβείας ἁπάσης τὴν ἀνωτάτω καὶ πρώτην καὶ τὰς μυριάδας τῶν ἀγγέλων τούτων παραγαγοῦσαν· ὧν ἕνα ὁ Δανιὴλ οὐκ ἴσχυσε θεάσασθαι.

Ἀλλ' ἐπαναγάγωμεν τὸν λόγον ἐπὶ τὴν προτέραν ὑπόθεσιν, καὶ δείξωμεν ὅτι καὶ ταῖς ἄνω δυνάμεσιν ἀθέατός ἐστιν ὁ Θεὸς, καὶ ταῦτα συγκαταβαίνων. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, τὰς πτέρυγας προβάλλονται τὰ σεραφίμ; δι' οὐδὲν ἕτερον, ἀλλ' ἢ πάντως ἐκεῖνο τὸ ἀποστολικὸν α. Τιμ. α. ιϛ. (Τὸ φῶς οἰκῶν ἀπρόσιτον) διὰ τῶν ἔργων αὐτῶν προαναφωνοῦσαι· καὶ οὐκ αὗται μόνον, ἀλλὰ καὶ αἱ τούτων ἀνώτεραι, τὰ χερουβίμ. αὗται μὲν γὰρ πλησίον ἑστήκασιν, ἐκεῖναι δὲ θρόνος εἰσὶ τοῦ Θεοῦ· οὐκ ἐπειδὴ θρόνου δεῖται ὁ Θεὸς, ἀλλ' ἵνα διὰ τούτου τὴν ἀρετὴν [τῶν δυνάμεων] αὐτῶν μάθῃς. ἄκουσον γοῦν καὶ ἑτέρου προφήτου περὶ ἐκείνων διαλεγομένου. Ιεζ. α. γ. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ιεζεκιὴλ υἱὸν Βουζὴ, ἐπὶ τοῦ ποταμοῦ Χοβάρ. καὶ οὗτος παρὰ τὸν ποταμὸν Χοβὰρ, καθάπερ Δανιὴλ παρὰ τὸν Τίγριν τότε εἱστήκει. ὅταν γὰρ μέλλῃ τινὰ παράδοξον ὄψιν δεικνύναι τοῖς ἑαυτοῦ δούλοις ὁ Θεὸς, ἔξω τῶν πόλεων αὐτοὺς ἐξάγει εἰς καθαρὸν θορύβων χωρίον, ὥστε μηδενὶ μήτε τῶν ὁρωμένων, μήτε τῶν ἀκουομένων ἐκκρούεσθαι τὴν ψυχὴν, ἀλλ' ὅλην αὐτὴν ἀδείας ἀπολαύουσαν πρὸς τὴν τῶν ὁρωμένων ἀσχολεῖσθαι θεωρίαν. Ιεζ. α. δ. τί οὖν οὗτος εἶδεν; Ἰδοὺ νεφέλη, φησὶν, ἀπὸ βοῤῥᾶ ἤρχετο, καὶ φέγγος κύκλῳ, καὶ πῦρ ἀστράπτον, καὶ ἐν τῷ μέσῳ αὐτοῦ, ὡς ὅρασις ἠλέκτρου, καὶ φέγγος ἐν αὐτῷ, καὶ ἐν τῷ μέσῳ ὁμοίωμα τεσσάρων ζώων. αὕτη ἡ ὅρασις αὐτῶν, ὁμοίωμα ἀνθρώπου ἐπ' αὐτοῖς, καὶ τέσσαρα πρόσωπα τῷ ἑνὶ, καὶ τέσσαρες πτέρυγες τῷ ἑνὶ, καὶ τὸ ὕψος αὐτοῖς, φησι, καὶ φοβεροὶ ἦσαν, καὶ οἱ νῶτοι αὐτῶν πλήρεις ὀφθαλμῶν κυκλόθεν τοῖς τέσσαρσι, καὶ ὁμοίωμα ὑπὲρ κεφαλῆς αὐτῶν ὡσεὶ στερέωμα, ὡς ὅρασις κρυστάλλου, ἐπὶ τῶν πτερύγων ἐκτεταμένον ὑπὲρ κεφαλῆς αὐτῶν ἄνωθεν, καὶ αἱ πτέρυγες αὐτῶν ἑκάστῳ δύο καλύπτουσαι τὰ σώματα αὐτῶν, καὶ ὑπεράνω τοῦ στερεώματος ὡς ὅρασις λίθου σαπφείρου, καὶ ὁμοίωμα θρόνου ἐπ' αὐτῷ, καὶ ἐπὶ τοῦ ὁμοιώματος τοῦ θρόνου ὁμοίωμα ὡς εἶδος ἀνθρώπου ἐπ' αὐτῷ. καὶ εἶδον ὡς ὅρασιν ἠλέκτρου ἀπὸ ὁράσεως ὀσφύος, καὶ ἕως ἐπάνω, καὶ ἀπὸ ὁράσεως ὀσφύος, καὶ ἕως κάτω ὡς ὅρασιν πυρὸς, καὶ τὸ φέγγος αὐτοῦ ὡς ὅρασις τόξου, ὅταν ᾖ ἐν τῇ νεφέλῃ ἐν ἡμέρᾳ ὑετοῦ. καὶ μετὰ ταῦτα πάντα βουλόμενος δεῖξαι, ὅτι οὔπω ὁ προφήτης, οὔτε αἱ δυνάμεις ἐκεῖναι ἀκράτῳ προσέβαλον αὐτῇ τῇ οὐσίᾳ, φησίν· Ιεζ. β. α. Αὕτη ἡ ὅρασις ὁμοιώματος δόξης Κυρίου. Εἶδες κἀκεῖ καὶ ἐνταῦθα συγκατάβασιν; ἀλλ' ὅμως καὶ αὐταὶ αἱ δυνάμεις καλύπτουσιν ἑαυτὰς ταῖς πτέρυξι δι' οὐδὲν ἕτερον, ἢ διὰ τοῦτο, καίτοιγε σοφώταται καὶ γνωστικώταται καὶ καθαρώταταί εἰσιν αἱ δυνάμεις αὗται.

αὖται. πόθεν δῆλον; ἀπ' αὐτῶν τῶν ὀνομάτων. ὥσπερ γὰρ ἄγγελος λέγεται, ἐπειδὴ τὰ τοῦ Θεοῦ τοῖς ἀνθρώποις ἀγγέλλει, καὶ ἀρχάγγελος, ἐπειδὴ τῶν ἀγγέλων ἄρχει, οὕτω καὶ αὗται προσηγορίαν ἔχουσι τὴν σοφίαν αὐτῶν καὶ τὴν καθαρότητα αὐτῶν ἡμῖν δηλοῦσαν. καὶ ὥσπερ αἱ πτέρυγες τὸ ὕψος ἐμφαίνουσι τῆς φύσεως (καὶ γὰρ ὁ Γαβριὴλ πετόμενος φαίνεται, οὐκ ἐπειδὴ πτερὰ περὶ τὸν ἄγγελον, ἀλλ' ἵνα μάθῃς, ὅτι ἐκ τῶν ὑψηλοτάτων χωρίων καὶ τῶν ἄνω διατριβῶν πρὸς τὴν ἀνθρωπίνην ἀφῖκται φύσιν) οὕτω δὴ καὶ ἐπὶ τούτων οὐδὲν ἄλλο δηλοῖ τὰ πτερὰ, ἢ τὸ τῆς φύσεως κοῦφον. ὥσπερ οὖν αἱ πτέρυγες τὸ τῆς φύσεως ὑψηλὸν δηλοῦσι, καὶ ὁ θρόνος τὸ τὸν Θεὸν αὐτοῖς ἐπαναπαύεσθαι, καὶ οἱ ὀφθαλμοὶ τὸ διορατικὸν, καὶ τὸ ἐγγὺς εἶναι τοῦ θρόνου καὶ διαπαντὸς αὐτὸν ἀνυμνεῖν τὸ ἄϋπνον καὶ ἐγρηγορὸς, οὕτω δὴ καὶ τὰ ὀνόματα, τὸ μὲν τὴν σοφίαν, τὸ δὲ τὴν καθαρότητα δηλοῖ. τί γάρ ἐστι χερουβίμ; πεπληθυσμένη γνῶσις. τί δὲ σεραφίμ; ἔμπυρα στόματα. Εἶδες πῶς καὶ τὴν καθαρότητα καὶ τὴν σοφίαν τὰ ὀνόματα παρεδήλωσεν; εἰ δὲ ἔνθα πεπληθυσμένη γνῶσις οὐδὲ συγκατάβασιν Θεοῦ δύναται ἰδεῖν μετ' ἀκριβείας, ἔνθα μερικὴ γνῶσις, καθὼς Παῦλός φησιν, ἐκ μέρους γινώσκομεν, καὶ δι' ἐσόπτρου, καὶ δι' αἰνίγματος, πόσης ἀπονοίας ἂν εἴη τὰ μηδὲ ἐκείνοις θεατὰ, ταῦτα αὐτοῖς νομίζειν εἶναι γνώριμα καὶ καταφανῆ; ὅτι δὲ οὐ τοῖς χερουβίμ, οὐδὲ τοῖς σεραφὶμ μόνον, ἀλλ' οὐδὲ ἀρχαῖς, οὐδὲ ἐξουσίαις, οὐδὲ ἄλλῃ τινὶ κτιστῇ δυνάμει καταληπτός ἐστιν ὁ Θεὸς, καὶ τοῦτο ἐβουλόμην ἀποδεῖξαι νῦν· ἀλλ' ἔκαμεν ἡμῖν ἡ διάνοια οὐ τῷ πλήθει, ἀλλὰ τῇ φρίκῃ τῶν εἰρημένων. τρέμει γὰρ καὶ ἐκπέπληκται ἡ ψυχὴ ἐπὶ πολὺ ταῖς ἄνω ἐνδιατρίβουσα θεωρίαις. διὸ φέρε αὐτὴν ἐκ τῶν οὐρανῶν καταβιβάσωμεν, καὶ ψυχαγωγήσωμεν καταπεπληγμένην, ἐπὶ τὴν συνήθη καταφυγόντες παράκλησιν. τίς δὲ αὕτη ἐστίν; εὔχεσθαι ὑπὲρ τῶν ταῦτα νοσούντων ὑγιᾶναί ποτε. Εἰ γὰρ ὑπὲρ τῶν ἐν νόσοις, ἐν μετάλλοις, ἐν σκληραῖς δουλείαις, καὶ τῶν ἐνεργουμένων κελευόμεθα τὸν Θεὸν παρακαλεῖν, πολλῷ μᾶλλον ὑπὲρ τούτων, ἐπεὶ καὶ χαλεπωτέρα τοῦ δαίμονος ἡ ἀσέβεια. ἐκείνη μὲν γὰρ ἔχει συγγνώμην ἡ μανία, αὕτη δὲ πάσης ἀπολογίας ἡ νόσος ἐστέρηται.

Ἀλλ' ἐπειδὴ τῆς ὑπὲρ τῶν ἐνεργουμένων ἐμνήσθην εὐχῆς, βούλομαί τι καὶ πρὸς τὴν ὑμετέραν ἀγάπην διαλεχθῆναι, καὶ νόσημα τῆς ἐκκλησίας ἐκκόψαι χαλεπόν. καὶ γὰρ ἄτοπον ἂν εἴη ὑπὲρ τῶν ἔξωθεν μετὰ τοσαύτης ἰατρεύοντας ἐπιμελείας, τῶν οἰκείων καταφρονεῖν μελῶν. τί ποτ' οὖν ἐστι τὸ νόσημα; τὸ πλῆθος τοῦτο τὸ ἄφατον, τὸ συγκεκροτημένον νῦν καὶ μετὰ τοσαύτης ἀκριβείας προσέχον τοῖς λεγομένοις, κατὰ τὴν φρικωδεστάτην ὥραν ἐκείνην πολλάκις ἐπιζητήσας ἰδεῖν οὐκ ἠδυνήθην, καὶ σφόδρα ἐστέναξα, ὅτι τοῦ μὲν συνδούλου διαλεγομένου, πολλὴ ἡ σπουδὴ, ἐπιτεταμένη ἡ προθυμία συνωθούντων ἀλλήλους καὶ μέχρι τέλους παραμενόντων, τοῦ δὲ Χριστοῦ φαίνεσθαι μέλλοντος ἐπὶ τῶν ἱερῶν μυστηρίων, κενὴ καὶ ἔρημος ἡ ἐκκλησία γίνεται. καὶ πῶς ταῦτα συγγνώμης ἄξια; ἀπὸ τῆς ῥαθυμίας ταύτης καὶ τοὺς ἐπαίνους τοὺς ἐπὶ τῇ κατὰ τὴν ἀκρόασιν σπουδῇ πάντας ἀπόλλυτε. τίς γὰρ ὑμῶν οὐ καταγνώσεται, καὶ ἡμῶν, ὅταν ἴδῃ τὸν καρπὸν τῆς ἀκροάσεως εὐθέως ὑμῖν διαρρέοντα; Εἰ γὰρ μετ' ἀκριβείας προσείχετε τοῖς λεγομένοις, διὰ τῶν ἔργων ἂν ἐπεδείξασθε τὴν σπουδήν· τὸ δὲ εὐθέως ἀκούοντας ἀποπηδᾶν, σημεῖόν ἐστι τοῦ μηδὲν δέξασθαι τῶν εἰρημένων καὶ ἐναποθέσθαι τῇ διανοίᾳ. Εἰ γὰρ ἐναπέκειτο τὰ λεγόμενα ταῖς ψυχαῖς, πάντως ἂν ὑμᾶς ἔνδον κατεῖχε, καὶ πρὸς τὰ φρικωδέστερα μετὰ πλείονος εὐσεβείας παρέπεμψε· νῦν δὲ, ὥσπερ κιθαρῳδοῦ τινος ἀκούσαντες, οὕτως ἔρημοι πάσης ὠφελείας, παυσαμένου τοῦ λέγοντος, ἀναχωρεῖτε. ἀλλὰ τίς ἡ ψυχρὰ τῶν πολλῶν ἀπολογία; εὔξασθαί, φησι, καὶ ἐπὶ τῆς οἰκίας δύναμαι, ὁμιλίας δὲ καὶ διδασκαλίας ἐπὶ τῆς οἰκίας οὐ δυνατὸν μετασχεῖν. ἀπατᾷς σεαυτὸν, ἄνθρωπε. εὔξασθαι μὲν γὰρ καὶ ἐπὶ τῆς οἰκίας δυνατόν· οὕτω δὲ εὔξασθαι, ὡς ἐπὶ τῆς ἐκκλησίας, ἀδύνατον, ὅπου πατέρων πλῆθος τοσοῦτον, ὅπου βοὴ πρὸς τὸν Θεὸν ὁμοθυμαδὸν ἀναπέμπεται.

ἀναπέμπεται). οὐχ οὕτως εἰσακούῃ κατὰ σαυτὸν τὸν δεσπότην παρακαλῶν, ὡς μετὰ τῶν σῶν ἀδελφῶν. ἐνταῦθα γάρ ἐστί τι πλέον, οἷον ἡ ὁμόνοια, καὶ ἡ συμφωνία, καὶ τῆς ἀγάπης ὁ σύνδεσμος, καὶ αἱ τῶν ἱερέων εὐχαί. διὰ γὰρ τοῦτο οἱ ἱερεῖς προεστήκασιν, ἵνα αἱ τοῦ πλήθους εὐχαὶ ἀσθενέστεραι οὖσαι, τῶν δυνατωτέρων τούτων ἐπιλαβόμεναι ὁμοῦ συνανέλθωσιν αὐταῖς εἰς τὸν οὐρανόν. ἄλλως δέ, τί γένοιτ' ἂν ὄφελος ὁμιλίας, ὅταν εὐχὴ μὴ ᾖ συνεζευγμένη; Πραξ. ϛ. δ. πρότερον εὐχή, καὶ τότε λόγος. οὕτω καὶ οἱ ἀπόστολοί φασιν· Ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διδασκαλίᾳ τοῦ λόγου ″προσκαρτερήσωμεν. οὕτω καὶ ὁ Παῦλος ποιεῖ ἐν τοῖς προοιμίοις τῶν ἐπιστολῶν εὐχόμενος, ἵν' ὥσπερ ″λύχνον φῶς, οὕτω τὸ τῆς εὐχῆς [φῶς] προοδοποιήσῃ τῷ λόγῳ. ἐὰν ἐθίζῃς σαυτὸν εὔχεσθαι μετὰ ἀκριβείας, οὐ δεήσῃ τῆς παρὰ τῶν συνδούλων διδασκαλίας, αὐτοῦ σοι τοῦ Θεοῦ χωρὶς μεσίτου τινὸς καταυγάζοντος τὴν διάνοιαν. εἰ δὲ εὐχὴ μόνου τοσαύτην ἔχει ″ἄμυναν, πολλῷ μᾶλλον ἡ μετὰ πλήθους. μείζονα γὰρ ταύτης τὰ νεῦρα, καὶ πλείων ἡ παρρησία πολλῷ τῆς ἐν οἰκίᾳ καὶ κατ' ἰδίαν. πόθεν τοῦτο δῆλον; αὐτοῦ τοῦ β. Κορ. α. ι. Παύλου λέγοντος ἄκουσον, Ὃς ἐκ τηλικούτων θανάτων ἐρρύσατο ἡμᾶς (καὶ ῥύεται), ἠλπίκαμεν δέ, ὅτι καὶ *ῥύσεται, συνυπουργούντων καὶ ὑμῶν τῇ δεήσει ὑπὲρ ἡμῶν, ἵνα τὸ εἰς ὑμᾶς χάρισμα διὰ πολλῶν προσώπων εὐχαριστηθῇ ὑπὲρ ἡμῶν. οὕτω καὶ Πέτρος τὸ δεσμωτήριον διέφυγε. προσευχὴ γὰρ ἦν ἐκτενὴς ὑπὸ τῆς ἐκκλησίας ὑπὲρ αὐτοῦ (φησὶ) γινο- Πραξ. ιβ. ε. μένη πρὸς τὸν Θεόν. εἰ δὲ Πέτρον ὠφέλησε τῆς ἐκκλησίας ἡ εὐχή, καὶ τὸν ″στύλον ἐκεῖνον ἐξέβαλε τοῦ δεσμωτηρίου, πῶς σὺ καταφρονεῖς τῆς δυνάμεως αὐτῆς, εἰπέ μοι; καὶ ποίαν ἕξεις ἀπολογίαν; ἄκουσον καὶ αὐτοῦ τοῦ Θεοῦ λέγοντος, ὅτι δυσωπεῖται τὸ πλῆθος μετ' εὐνοίας αὐτὸν παρακαλοῦν. πρὸς γὰρ τὸν Ἰωνᾶν ἀπολογούμενος διὰ τοῦ φυτοῦ τῆς κολοκύντης, φησί, Σὺ μὲν ἐφείσω ὑπὲρ τῆς κολοκύντης, ὑπὲρ ἧς οὐκ ἐκακοπάθησας, οὐδὲ Ιων. δ. ια. ιβ. ἐξέθρεψας αὐτήν· ἐγὼ δὲ οὐ φείσομαι ὑπὲρ Νινευΐ, τῆς πόλεώς μου τῆς μεγάλης, ἐν ᾗ κατοικοῦσι πλείους ἢ δώδεκα μυριάδες ἀνθρώπων; οὐχ ἁπλῶς τὸ πλῆθος προβάλλεται, ἀλλ' ἵνα μάθῃς, ὅτι ἡ μετὰ συμφωνίας εὐχὴ μεγάλην ἔχει τὴν δύναμιν. τοῦτο καὶ ἐξ ἀνθρωπίνης ἱστορίας ὑμῖν ποιῆσαι βούλομαι φανερόν. πρὸ γὰρ δέκα τούτων ἐτῶν ἑάλωσαν ἐπὶ τυραννίδι τινές, καθάπερ καὶ ὑμεῖς ἴστε. εἶτα τῶν ἐν δυναστείᾳ τις ὄντων ὑπεύθυνος τοῖς ἐγκλήμασι φανείς, σπαρτίον ἐπὶ τοῦ στόματος λαβών, ἐξήγετο τὴν ἐπὶ θάνατον ὁδόν. τότε δὴ πᾶσα ἡ πόλις ἐπὶ τὸν ἱππόδρομον ἔτρεχε, καὶ τοὺς ἐκ τῶν ἐργαστηρίων ἐξῆγον, καὶ κοινῇ πᾶς ὁ δῆμος ἀνελθὼν ἐξήρπασε τῆς βασιλικῆς ὀργῆς τὸν καταδικασθέντα καὶ οὐδεμιᾶς ″ἄξιον ὄντα συγγνώμης. εἶτα βασιλέως μὲν ὀργὴν ἐπιγείου καταλῦσαι βουλόμενοι, μετὰ παίδων καὶ γυναικῶν συντρέχετε πάντες· τὸν δὲ ″οὐράνιον βασιλέα μέλλοντες ἵλεω ποιῆσαι καὶ ἐξαρπάσειν τῆς ὀργῆς αὐτοῦ, οὐχ ἕνα, καθάπερ τότε, οὐδὲ δύο, καὶ τρεῖς, καὶ ἑκατόν, ἀλλὰ πάντας τοὺς κατὰ τὴν οἰκουμένην ἁμαρτωλούς, καὶ τοὺς δαιμονῶντας ἀπαλλάττειν τῆς τοῦ διαβόλου ″μάστιγος, ἔξω καθέζεσθε, καὶ οὐ συντρέχετε κοινῇ πάντες, ἵνα ὁ Θεὸς τὴν συμφωνίαν ὑμῶν αἰδεσθείς, κἀκείνοις ἀφῇ τὴν κόλασιν, καὶ ὑμῖν συγχωρήσῃ τὰ ἁμαρτήματα; εἰ γὰρ ἐπ' ἀγορᾶς τύχῃς ὢν κατὰ τὸν καιρὸν ἐκεῖνον, εἰ γὰρ ἐπὶ τῆς οἰκίας, εἰ γὰρ ἐν ἀπαραιτήτοις πράγμασιν, οὐχὶ παντὸς λέοντος σφοδρότερον ἅπαντα διαρρήξας τὰ δεσμά, πρὸς τὴν κοινὴν ἱκετηρίαν αὐτομολήσεις; καὶ ποίαν ἕξεις σωτηρίας ἐλπίδα, εἰπέ μοι; κατὰ τὸν καιρὸν ἐκεῖνον, ἀγαπητέ, οὐκ ἄνθρωποι ″μόνοι βοῶσι τὴν φρικωδεστάτην ἐκείνην βοήν, ἀλλὰ καὶ ἄγγελοι προσπίπτουσι τῷ δεσπότῃ, καὶ ἀρχάγγελοι δέονται. ἔχουσι καὶ τὸν καιρὸν αὐτοῖς συμμαχοῦντα, τὴν προσφορὰν βοηθοῦσαν. καὶ καθάπερ οἱ ἄνθρωποι κλάδους ἐλαιῶν ἐκκόψαντες, ἐπισείουσι τοῖς βασιλεῦσι, διὰ τοῦ φυτοῦ, ἐλέου καὶ φιλανθρωπίας αὐτοὺς ἀναμιμνήσκοντες· οὕτω δὴ καὶ οἱ ἄγγελοι τότε, ἀντὶ κλάδων ἐλαιῶν αὐτὸ τὸ σῶμα τὸ δεσποτικὸν προτεινόμενοι, τὸν δεσπότην παρακαλοῦσιν ὑπὲρ τῆς ἀνθρωπίνης φύσεως, μονονουχὶ λέγοντες, ὅτι ὑπὲρ τούτων δεόμεθα οὓς αὐτὸς φθάσας οὕτως ἀγαπῆσαι κατηξίωσας, ὡς τὴν ψυχὴν ἐπιδοῦναι τὴν σεαυτοῦ· ὑπὲρ τούτων ἐκχεόμεθα τὰς ἱκετηρείας, ὑπὲρ ὧν αὐτὸς τὸ αἷμα ἐξέχεας· ὑπὲρ τούτων παρακαλοῦμεν, ὑπὲρ ὧν τὸ σῶμα τοῦτο κατέθυσας. Διὰ τοῦτο καὶ τοὺς ἐνεργουμένους κατ' ἐκεῖνον ἵστησι τὸν καιρὸν ὁ διάκονος καὶ κελεύει κλῖναι τὴν κεφαλὴν μόνον, καὶ τῷ σχήματι τοῦ σώματος ποιεῖσθαι τὰς ἱκετηρείας. Εὔχεσθαι γὰρ αὐτοῖς μετὰ τοῦ κοινοῦ συλλόγου τῶν ἀδελφῶν οὐ θέμις. Διὰ τοῦτο αὐτοὺς ἵστησιν, ἵνα κατελεήσας αὐτοὺς καὶ τῆς συμφορᾶς καὶ τῆς ἀφωνίας, τῇ οἰκείᾳ παρρησίᾳ πρὸς τὴν ἐκείνων ἀποχρήσῃ προστασίαν. Ταῦτα οὖν ἅπαντα εἰδότες, συντρέχωμεν κατὰ τὴν ὥραν ἐκείνην, ἵνα ἐπισπασώμεθα ἔλεον, καὶ χάριν εὕρωμεν καὶ εὔκαιρον βοήθειαν. ἐπῃνέσατε τὰ εἰρημένα; μετὰ πολλοῦ θορύβου καὶ κρότου τὴν παραίνεσιν ἐδέξασθε; ἀλλ' ὅπως ἡμῖν ἐπὶ τῶν ἔργων ἐπιδείξητε τοὺς ἐπαίνους, οὐ μακρὸς ὁ χρόνος τῆς ἀποδείξεως τῆς κατὰ τὴν ὑπακοήν. μετὰ τὴν παραίνεσιν εὐθέως εὐχή. ἐκεῖνον ζητῶ τὸν ἔπαινον, ἐκεῖνον τὸν κρότον, τὸν διὰ τῶν ἔργων αὐτῶν. παρακελεύεσθε τοίνυν ἀλλήλοις ἑστάναι, καθάπερ ἑστήκατε· κἂν διασαλευθῇ τις τῆς τάξεως, κατέχετε μετὰ ἀκριβείας, ἵνα καὶ τῆς οἰκείας σπουδῆς καὶ τῆς εἰς τοὺς ἀδελφοὺς κηδεμονίας διπλοῦν λαβόντες τὸν μισθὸν, μετὰ πλείονος τῆς παρρησίας τὰς ἱκετηρείας ἐκχέητε, καὶ τὸν Θεὸν ἵλεων ποιήσαντες, καὶ τῶν ἐνταῦθα, καὶ τῶν μελλόντων δυνηθῆτε τυχεῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΑΚΑΤΑΛΗΠΤΟΥ Λογ. δ.

Ἤρκει μὲν οὖν πρώην δεῖξαι ἀνθρώποις ἀκατάληπτον ὄντα τὸν Θεὸν, ἔτι δὲ καὶ τοῖς χερουβὶμ καὶ τοῖς σεραφὶμ, ἀπηλλάχθαι πραγμάτων, καὶ μηδὲν περαιτέρω κινεῖν. ἀλλ' ἐπειδὴ προθυμία καὶ σπουδὴ πᾶσα ἡμῖν, οὐχὶ τῶν ἐναντίων ἀποῤῥάψαι τὰ στόματα μόνον, ἀλλὰ καὶ τὴν ὑμετέραν ἀγάπην ἐπὶ πλέον σοφίσαι, πάλιν τῆς αὐτῆς ὑποθέσεως ἁπτόμεθα, καὶ περαιτέρω τὸν λόγον προάγομεν. ἡ γὰρ ἐν τούτοις διατριβὴ καὶ ὑμᾶς εἰδέναι ποιήσει πλείονα, καὶ ἡμῖν λαμπρότερα ἐργάσεται τὰ νικητήρια, εἴ τι καὶ λείψανον ὑπολέλειπται ἐκκαθαίρουσα. ἐπεὶ καὶ τὰς πονηρὰς βοτάνας οὐκ ἄνωθεν ἀποκείρειν χρὴ μόνον (πάλιν γὰρ βλαστάνουσι τῶν ῥιζῶν κάτω κειμένων) ἀλλ' ἐξ αὐτῶν τῶν λαγόνων τῆς γῆς καὶ τῶν κόλπων ἀνασπᾷν, καὶ γυμνὰς προστιθέναι τῇ θέρμῃ τῆς ἀκτῖνος, ὥστε καταμαρανθῆναι ῥᾳδίως. Φέρε οὖν ἐπὶ τὸν οὐρανὸν ὑμᾶς ἐπαναγάγωμεν τῷ λόγῳ πάλιν, οὐχὶ περιεργαζόμενοι, οὐδὲ πολυπραγμονοῦντες, ἀλλὰ τῶν οὐκ ἐπισταμένων ἑαυτοὺς, οὐδὲ ἀνεχομένων εἰδέναι μέτρα φύσεως ἀνθρωπίνης, τὴν ἄκαιρον φιλονεικίαν καταλῦσαι σπεύδοντες. διὰ γὰρ τοῦτο, ἐκ πολλῆς τῆς περιουσίας, οὐχὶ Θεοῦ ἐπιφάνειαν μόνον, ἀλλὰ καὶ ἀγγέλων ἐδείξαμεν ἀφόρητον οὖσαν τῷ δικαίῳ τότε ἐκείνῳ. * καὶ τὴν ἱστορίαν ὑμῖν πᾶσαν ἀνέγνωμεν, καὶ συνεχῶς ἐδείκνυμεν τὸν μακάριον Δανιὴλ ὠχριῶντα, τρέμοντα, τῶν ψυχορραγούντων οὐδὲν ἄμεινον διακείμενον, τῆς ψυχῆς ἐπειγομένης ἀποῤῥῆξαι τὸν τῆς σαρκὸς δεσμόν. καθάπερ γὰρ περιστερὰ χειροήθης καὶ ἥμερος, ἐν οἰκίσκῳ τινὶ διατρίβουσα, ὅταν ποτὲ αἴσθηταί τινος φόβου, πτοηθεῖσα πρὸς τὴν ὀροφὴν ἵπταται, καὶ διὰ τῶν θυρίδων ἔξοδόν τινα ἐπιζητεῖ, τῆς ἀγωνίας ἀπαλλαγῆναι ἐπιθυμοῦσα· οὕτω δὴ καὶ ἡ ψυχὴ τοῦ μακαρίου τότε ἐκείνου ἐκ τοῦ σώματος ἀναπτῆναι ἔσπευδε, καὶ πρὸς τὰ ἔξω πάντοθεν ἠπείγετο· καὶ ἐξῆλθεν ἂν καὶ ἀπέπτη, καὶ τὸ σῶμα κα-

ἀναπέμπεται). οὐχ οὕτως εἰσακούῃ καθ' σαυτὸν τὸν δεσπότην παρακαλῶν, ὡς μετὰ τῶν σῶν
ἀδελφῶν. ἐνταῦθα γάρ ἐστί τι πλεῖον, οἷον ἡ ὁμόνοια, καὶ ἡ συμφωνία, καὶ τῆς ἀγάπης ὁ
σύνδεσμος, καὶ αἱ τῶν ἱερέων εὐχαί. διὰ γὰρ τοῦτο οἱ ἱερεῖς προεστήκασιν, ἵνα αἱ τοῦ πλήθους
εὐχαὶ ἀσθενέστεραι οὖσαι, τῶν δυνατωτέρων τούτων ἐπιλαβόμεναι ὁμοῦ συνανέλθωσιν αὐταῖς
εἰς τὸν οὐρανόν· ἄλλως δὲ, τί γένοιτ' ἂν ὄφελος ὁμιλίας, ὅταν εὐχὴ μὴ ᾖ συνεζευγμένη;
Πραξ. ς. δ. προτέρα εὐχὴ, καὶ τότε λόγος. οὕτω καὶ οἱ ἀπόστολοί φασιν· Ἡμεῖς δὲ τῇ προσευχῇ καὶ
τῇ διδασκαλίᾳ τοῦ λόγου ″ προσκαρτερήσωμεν. οὕτω καὶ ὁ Παῦλος ποιεῖ ἐν τοῖς προοιμίοις τῶν
ἐπιστολῶν εὐχόμενος, ἵν' ὥσπερ ″ λύχνον φῶς, οὕτω τὸ τῆς εὐχῆς [φῶς] προοδοποιήσῃ τῷ
λόγῳ. ἐὰν ἐθίζῃς σαυτὸν εὔχεσθαι μετὰ ἀκριβείας, οὐ δεήσῃ τῆς παρὰ τῶν συνδούλων διδασκαλίας,
αὐτοῦ σοι τοῦ Θεοῦ χωρὶς μεσίτου τινὸς καταυγάζοντος τὴν διάνοιαν. εἰ δὲ εὐχὴ
μόνου τοσαύτην ἔχει ″ ἄμυναν, πολλῷ μᾶλλον ἡ μετὰ πλήθους. μείζονα γὰρ ταύτης τὰ
νεῦρα, καὶ πλείων ἡ παρρησία πολλῷ τῆς ἐν οἰκίᾳ καὶ κατ' ἰδίαν. πόθεν τοῦτο δῆλον; αὐτοῦ τοῦ
β. Κορ. α. ι. Παύλου λέγοντος ἄκουσον, Ὃς ἐκ τηλικούτων θανάτων ἐρρύσατο ἡμᾶς καὶ ῥύεται, ἠλπίκαμεν
δὲ, ὅτι καὶ * ῥύσεται, συνυπουργούντων καὶ ὑμῶν τῇ δεήσει ὑπὲρ ἡμῶν, ἵνα τὸ εἰς ὑμᾶς
χάρισμα διὰ πολλῶν προσώπων εὐχαριστηθῇ ὑπὲρ ἡμῶν. οὕτω καὶ Πέτρος τὸ δεσμωτήριον
διέφυγε. προσευχὴ γὰρ ἦν ἐκτενὴς ὑπὸ τῆς ἐκκλησίας ὑπὲρ αὐτοῦ (φησὶ) γινομένη
Πραξ. ιβ. ε. πρὸς τὸν Θεόν. εἰ δὲ Πέτρον ὠφέλησε τῆς ἐκκλησίας ἡ εὐχὴ, καὶ τὸν στύλον ἐκεῖνον ἐξέβαλε
τοῦ δεσμωτηρίου, πῶς σὺ καταφρονεῖς τῆς δυνάμεως αὐτῆς, εἰπέ μοι; καὶ ποίαν
ἕξεις ἀπολογίαν; ἄκουσον καὶ αὐτοῦ τοῦ Θεοῦ λέγοντος, ὅτι δυσωπεῖται τὸ πλῆθος μετ' εὐνοίας
αὐτὸν παρακαλοῦν. πρὸς γὰρ τὸν Ἰωνᾶν ἀπολογούμενος διὰ τοῦ φυτοῦ τῆς κολοκύντης,
φησί, Σὺ μὲν ἐφείσω ὑπὲρ τῆς κολοκύντης, ὑπὲρ ἧς οὐκ ἐκακοπάθησας, οὐδὲ
Ιων. δ. ια. ιβ. ἐξέθρεψας αὐτήν· ἐγὼ δὲ οὐ φείσομαι ὑπὲρ Νινευῒ, τῆς πόλεως μου τῆς μεγάλης, ἐν ᾗ
κατοικοῦσι πλείους ἢ δώδεκα μυριάδες ἀνθρώπων; οὐχ ἁπλῶς τὸ πλῆθος προβάλλεται,
ἀλλ' ἵνα μάθῃς, ὅτι ἡ μετὰ συμφωνίας εὐχὴ μεγάλην ἔχει τὴν δύναμιν. τοῦτο καὶ ἐξ ἀνθρωπίνης
ἱστορίας ὑμῖν ποιῆσαι βούλομαι φανερόν. πρὸ γὰρ δέκα τούτων ἐτῶν ἑάλωσαν
ἐπὶ τυραννίδι τινὲς, καθάπερ καὶ ὑμεῖς ἴστε. εἶτα τῶν ἐν δυναστείᾳ τις ὄντων ὑπεύθυνος
τοῖς ἐγκλήμασι φανεὶς, σπαρτίον ἐπὶ τοῦ στόματος λαβὼν, ἐξήγετο τὴν ἐπὶ θάνατον ὁδόν.
τότε δὴ πᾶσα ἡ πόλις ἐπὶ τὸν ἱππόδρομον ἔτρεχε, καὶ τοὺς ἐκ τῶν ἐργαστηρίων ἐξῆγον, καὶ κοινῇ
πᾶς ὁ δῆμος ἀνελθὼν ἐξήρπασε τῆς βασιλικῆς ὀργῆς τὸν καταδικασθέντα καὶ οὐδεμιᾶς ἄξιον
ὄντα συγγνώμης. εἶτα βασιλέως μὲν ὀργὴν ἐπιγείου καταλῦσαι βουλόμενοι, μετὰ
παίδων καὶ γυναικῶν συντρέχετε πάντες· τὸν δὲ ″ οὐράνιον βασιλέα μέλλοντες ἵλεω ποιῆσαι
καὶ ἐξαρπάσειν τῆς ὀργῆς αὐτοῦ, οὐχ ἕνα, καθάπερ τότε, οὐδὲ δύο, καὶ τρεῖς, καὶ ἑκατὸν, ἀλλὰ
πάντας τοὺς κατὰ τὴν οἰκουμένην ἁμαρτωλοὺς, καὶ τοὺς δαιμονῶντας ἀπαλλάττειν τῆς τοῦ
διαβόλου ″ μάστιγος, ἔξω καθέζεσθε, καὶ οὐ συντρέχετε κοινῇ πάντες, ἵνα ὁ Θεὸς τὴν συμφωνίαν
ὑμῶν αἰδεσθεὶς, κἀκείνοις ἀφῇ τὴν κόλασιν, καὶ ὑμῖν συγχωρήσῃ τὰ ἁμαρτήματα;
εἰ γὰρ ἐπ' ἀγορᾶς τύχῃς ὢν κατὰ τὸν καιρὸν ἐκεῖνον, εἰ γὰρ ἐπὶ τῆς οἰκίας, εἰ γὰρ ἐν ἀπαραιτήτοις
πράγμασιν, οὐχὶ παντὸς λέοντος σφοδρότερον ἅπαντα διαρρήξας τὰ δεσμὰ,
πρὸς τὴν κοινὴν ἱκετηρίαν αὐτομολήσεις; καὶ ποίαν ἕξεις σωτηρίας ἐλπίδα, εἰπέ
μοι; κατὰ τὸν καιρὸν ἐκεῖνον, ἀγαπητὲ, οὐκ ἄνθρωποι ″ μόνοι βοῶσι τὴν φρικωδεστάτην
ἐκείνην βοὴν, ἀλλὰ καὶ ἄγγελοι προσπίπτουσι τῷ δεσπότῃ, καὶ ἀρχάγγελοι δέονται. ἔχουσι
καὶ τὸν καιρὸν αὐτοῖς συμμαχοῦντα, τὴν προσφορὰν βοηθοῦσαν. καὶ καθάπερ οἱ ἄνθρωποι
κλάδους ἐλαιῶν ἐκκόψαντες, ἐπισείουσι τοῖς βασιλεῦσι, διὰ τοῦ φυτοῦ, ἐλέου καὶ φιλανθρωπίας
αὐτοὺς ἀναμιμνήσκοντες· οὕτω δὴ καὶ οἱ ἄγγελοι τότε, ἀντὶ κλάδων ἐλαιῶν αὐτὸ τὸ
σῶμα τὸ δεσποτικὸν προτεινόμενοι, τὸν δεσπότην παρακαλοῦσιν ὑπὲρ τῆς ἀνθρωπίνης

φύσεως, μονονουχὶ λέγοντες, ὅτι ὑπὲρ τούτων δεόμεθα οὓς αὐτὸς φθάσας οὕτως ἀγαπῆσαι κατηξίωσας, ὡς τὴν ψυχὴν ἐπιδοῦναι τὴν σεαυτοῦ· ὑπὲρ τούτων ἐκχεόμεθα τὰς ἱκετηρίας, ὑπὲρ ὧν αὐτὸς τὸ αἷμα ἐξέχεας· ὑπὲρ τούτων παρακαλοῦμεν, ὑπὲρ ὧν τὸ σῶμα τοῦτο κατέθυσας. Διὰ τοῦτο καὶ τοὺς ἐνεργουμένους κατ' ἐκεῖνον ἵστησι τὸν καιρὸν ὁ διάκονος καὶ κελεύει κλῖναι τὴν κεφαλὴν μόνον, καὶ τῷ σχήματι τοῦ σώματος ποιεῖσθαι τὰς ἱκετηρίας. εὔχεσθαι γὰρ αὐτοῖς μετὰ τοῦ κοινοῦ συλλόγου τῶν ἀδελφῶν οὐ θέμις. Διὰ τοῦτο αὐτοὺς ἵστησιν, ἵνα κατελεήσας αὐτοὺς καὶ τῆς συμφορᾶς καὶ τῆς ἀφωνίας, τῇ οἰκείᾳ παρρησίᾳ πρὸς τὴν ἐκείνων ἀποχρήσῃ προστασίαν. Ταῦτα οὖν ἅπαντα" εἰδότες, συντρέχωμεν κατὰ τὴν ὥραν ἐκείνην, ἵνα ἐπισπασώμεθα ἔλεον, καὶ χάριν εὕρωμεν" καὶ εὔκαιρον βοήθειαν. ἐπῃνέσατε τὰ εἰρημένα; μετὰ πολλοῦ θορύβου καὶ κρότου τὴν παραίνεσιν ἐδέξασθε; ἀλλ' ὅπως ἡμῖν ἐπὶ τῶν ἔργων ἐπιδείξητε τοὺς ἐπαίνους, οὐ μακρὸς ὁ χρόνος τῆς ἀποδείξεως" τῆς κατὰ τὴν ὑπακοήν. μετὰ τὴν παραίνεσιν εὐθέως εὐχή. ἐκεῖνον ζητῶ τὸν ἔπαινον, ἐκεῖνον τὸν κρότον, τὸν διὰ τῶν ἔργων αὐτῶν. παρακελεύεσθε τοίνυν ἀλλήλοις ἑστάναι, καθάπερ ἐστήκατε· κἂν διασαλευθῇ τις τῆς τάξεως, κατέχετε μετὰ ἀκριβείας, ἵνα καὶ τῆς οἰκείας σπουδῆς καὶ τῆς εἰς τοὺς ἀδελφοὺς κηδεμονίας διπλοῦν λαβόντες τὸν μισθὸν, μετὰ πλείονος τῆς παρρησίας τὰς ἱκετηρίας ἐκχέητε, καὶ τὸν Θεὸν ἵλεων ποιήσαντες, καὶ τῶν ἐνταῦθα, καὶ τῶν μελλόντων δυνηθῆτε τυχεῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς" ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΑΚΑΤΑΛΗΠΤΟΥ Λογ. δ'.

Ἤρκει μὲν οὖν πρῴην δείξαντα ἀνθρώποις ἀκατάληπτον ὄντα τὸν Θεὸν, ἐπεὶ καὶ τοῖς χερουβὶμ καὶ τοῖς σεραφὶμ, ἀπηλλάχθαι πραγμάτων, καὶ μηδὲν περαιτέρω κινεῖν. ἀλλ' ἐπειδὴ προθυμία καὶ σπουδὴ πᾶσα ἡμῖν, οὐχὶ τῶν ἐναντίων" ἀποῤῥάψαι τὰ στόματα μόνον, ἀλλὰ καὶ τὴν ὑμετέραν ἀγάπην ἐπὶ πλέον σοφίσαι, πάλιν τῆς αὐτῆς ὑποθέσεως ἁπτόμεθα, καὶ περαιτέρω τὸν λόγον προάγομεν. ἡ γὰρ ἐν τούτοις διατριβὴ καὶ ὑμᾶς εἰδέναι ποιήσει πλείονα, καὶ ἡμῖν λαμπρότερα ἐργάσεται τὰ νικητήρια, εἰ καί τι λείψανον ὑπολέλειπται ἐκκαθαίρουσα. ἐπεὶ καὶ τὰς πονηρὰς βοτάνας οὐκ ἄνωθεν ἀποκείρειν χρὴ μόνον (πάλιν γὰρ βλαστάνουσι τῶν ῥιζῶν κάτω κειμένων) ἀλλ' ἐξ αὐτῶν τῶν λαγόνων τῆς γῆς καὶ τῶν κόλπων ἀνασπᾶν, καὶ γυμνὰς προστιθέναι τῇ θέρμῃ τῆς ἀκτῖνος, ὥστε καταμαρανθῆναι ῥᾳδίως. "Φέρε οὖν ἐπὶ τὸν οὐρανὸν ὑμᾶς ἐπαναγάγωμεν τῷ λόγῳ πάλιν, οὐχὶ περιεργαζόμενοι, οὐδὲ πολυπραγμονοῦντες, ἀλλὰ τῶν οὐκ ἐπισταμένων ἑαυτοὺς, οὐδὲ ἀνεχομένων εἰδέναι μέτρα φύσεως ἀνθρωπίνης, τὴν ἄκαιρον φιλονεικίαν καταλῦσαι σπεύδοντες. ἔδειξα γὰρ τότε, ἐκ πολλῆς τῆς περιουσίας, οὐχὶ Θεοῦ ἐπιφάνειαν μόνον, ἀλλὰ καὶ ἀγγέλων ἐδείξαμεν ἀφόρητον οὖσαν τῷ δικαίῳ τότε ἐκείνῳ, * καὶ τὴν ἱστορίαν ὑμῖν πᾶσαν ἀνέγνωμεν, καὶ συνεχῶς ἐδείκνυμεν τὸν μακάριον Δανιὴλ ὠχριῶντα, τρέμοντα, τῶν ψυχοῤῥαγούντων οὐδὲν ἄμεινον διακείμενον, τῆς ψυχῆς ἐπειγομένης ἀποῤῥῆξαι τὸν τῆς σαρκὸς δεσμόν. καθάπερ γὰρ περιστερὰ χειροήθης καὶ ἥμερος, ἐν οἰκίσκῳ τινὶ διατρίβουσα, ὅταν ποτὲ αἴσθηταί τινος φόβου, πτοηθεῖσα πρὸς τὴν ὀροφὴν ἵπταται, καὶ διὰ τῶν θυρίδων ἔξοδόν τινα ἐπιζητεῖ, τῆς ἀγωνίας ἀπαλλαγῆναι" ἐπιθυμοῦσα· οὕτω δὴ καὶ ἡ ψυχὴ τοῦ μακαρίου τότε ἐκείνου ἐκ τοῦ σώματος" ἀναπτῆναι ἔσπευδε, καὶ πρὸς τὰ ἔξω πάντοθεν ἠπείγετο· καὶ ἐξῆλθεν ἂν καὶ ἀπέπτη, καὶ τὸ σῶμα κατέλοιπεν ἔρημον, εἰ μὴ ταχέως ὁ ἄγγελος παραλαβὼν αὐτὴν ἀπήλλαξε τῆς ἀγωνίας, καὶ πρὸς τὸ οἰκεῖον πάλιν ἐπανήγαγε καταγώγιον. διὰ τοῦτο δὲ ταῦτα ἐλέγομεν τότε, ἵνα μαθόντες ὅσον ἀνθρώπου ἄγγελος διαφέρει, καὶ ἐν τῇ τοῦ ″συνδούλου ὑπεροχῇ σωφρονισθέντες, τῆς κατὰ τοῦ δεσπότου μανίας ἀπαλλαγῶσιν. ὁ δίκαιος ἄγγελον εἶδε, καὶ οὐκ ἤνεγκεν ὁ παρρησίαν τοσαύτην ἔχων· καὶ οἱ τοσοῦτον ἀφεστηκότες αὐτοῦ*, οὐκ ἄγγελον, ἀλλ' αὐτὸν τὸν τῶν ἀγγέλων περιεργάζονται δεσπότην. ἐκεῖνος λεόντων θυμὸν ἐδάμασεν, ἡμεῖς δὲ οὐδὲ ἀλωπέκων περιγενέσθαι δυνάμεθα· ἐκεῖνος δράκοντα μέσον ἔρρηξε, καὶ τῆς τοῦ θηρίου φύσεως ἐκράτησε διὰ τῆς πρὸς τὸν Θεὸν παρρησίας, ἡμεῖς δὲ καὶ τὰ ψιλὰ ″ἑρπετὰ δεδοίκαμεν· ἐκεῖνος βασιλέα, καθάπερ λέοντα θυμούμενον, ἔστησε, καὶ τὴν τοῦ Ναβουχοδονόσορ ὀργὴν φλογὸς ἁπάσης σφοδροτέραν ἐπὶ τὰ βαρβαρικὰ στρατόπεδα φερομένην μέσος φανεὶς ἀνέστειλε, καὶ τὰ ἐσκοτισμένα πάντα ἐφώτισεν· ἀλλ' οὗτος ὁ φωτίσας, ἄγγελον ἐλθόντα ἰδὼν πρὸς αὐτὸν, σκοτοδινίᾳ κατείχετο χαλεπῇ. τίνα οὖν ἕξουσιν ἀπολογίαν οἱ τὴν μακαρίαν ἐκείνην φύσιν ″ἐμβατεύειν ἐπιχειροῦντες; ἡμεῖς δὲ οὐδὲ ἐν ταύτῃ τὸν λόγον ἐστήσαμεν τότε, ἀλλὰ καὶ ἐπὶ τὰς σοφὰς ἐκείνας ἀνηγάγομεν δυνάμεις τὴν διήγησιν. ἐδείξαμεν τὴν ἀποστροφὴν τῶν ὀφθαλμῶν, τὴν περιβολὴν τῶν πτερύγων, τὴν ὀρθότητα τῶν ″σκελῶν, τὴν βοὴν τὴν διηνεκῆ· ὅτι διὰ πάντων τὴν ἔκπληξιν καὶ τὸ θάμβος ἐνέφαινον ἡμῖν αἱ ἀσώματοι δυνάμεις ἐκεῖναι. ὅσῳ γὰρ εἰσὶ σοφαὶ, ὅσῳ ἡμῶν ἐγγύτεραί εἰσι τῇ ἀρρήτῳ καὶ μακαρίᾳ οὐσίᾳ ἐκείνῃ, τοσούτῳ μᾶλλον ἡμῶν τὸ ἀκατάληπτον ἴσασιν. ἡ γὰρ ἐπίτασις τῆς σοφίας, ἐπίτασιν ποιεῖ εὐλαβείας. εἴπομεν ὑμῖν τότε τί ποτέ ἐστι τὸ ἀπρόσιτον, ὅτι τοῦ ἀκαταλήπτου πολλῷ μεῖζόν ἐστι, καὶ τὴν αἰτίαν προσεθήκαμεν, δεικνύντες ὅτι τὸ μὲν ἀκατάληπτον μετὰ τὸ ἐρευνηθῆναι ἀκατάληπτον φαίνεται, τὸ δὲ ἀπρόσιτον οὐδὲ ἐρεύνης ἀνέχεται), οὐδὲ ″προσόδου τὴν ἀρχὴν, ὅτι καὶ τῆς τοῦ πελάγους εἰκόνος ἐδεήθημεν. εἴπομεν ὅτι οὐκ εἶπε, φῶς ὢν ἀπρόσιτον, ἀλλὰ, φῶς οἰκῶν ἀπρόσιτον. εἰ δὲ ὁ οἶκος ἀπρόσιτος, πολλῷ μᾶλλον ὁ ἐνοικῶν Θεός. ταῦτα δὲ ἔλεγεν ὁ Παῦλος, οὐχ ἵνα τόπῳ περιγράψῃ τὸν Θεὸν, ἀλλ' ἵνα ἐκ πολλοῦ τοῦ περιόντος τὸ ἀπερινόητον αὐτοῦ καὶ τὸ ἀπρόσιτον ″παραστήσῃ. παρηγάγομεν καὶ ἑτέρας δυνάμεις, τὰ χερουβὶμ, καὶ ἐδείξαμεν, πῶς ἐπάνω αὐτῶν στερέωμα, πῶς λίθος κρυστάλλου, πῶς ὁμοίωμα θρόνου, καὶ εἶδος ἀνθρώπου καὶ ″ἠλέκτρου, καὶ πῦρ, καὶ τόξον. καὶ μετὰ πάντα ἐκεῖνα φησὶν ὁ προφήτης, Αὕτη ἡ ὅρασις ὁμοιώματος δόξης Κυρίου, καὶ διὰ πάντων τούτων ἐδείκνυμεν ὑμῖν τοῦ Θεοῦ τὴν συγκατάβασιν, καὶ αὐτὴν ταύτην ἀφόρητον οὖσαν ταῖς ἄνω δυνάμεσιν. οὐχ ἁπλῶς δὲ ταῦτα ἀνακεφαλαιοῦμαι, ἀλλ' ἐπειδὴ χρέος ὑμῖν ὀφείλω τῆς ὑποθέσεως ἐκείνης, βούλομαι ″μαθεῖν μετὰ ἀκριβείας, τί μὲν κατέβαλον, τί δὲ ὑπολέλειπται. οὕτω καὶ οἱ τὰ δανείσματα ὀφείλοντες ποιοῦσι· τὸ ″γραμμάτιον εἰς μέσον ἀγαγόντες, ἔνθα ὁ λόγος ἅπας ἐγγέγραπται, καὶ τοῖς δανεισταῖς τοῖς ἑαυτῶν ἐπιδείξαντες, τὰ λειπόμενα καταβάλλουσι. κἀγὼ τοίνυν, καθάπερ βιβλίον, ἀναπτύξας τὴν μνήμην τῆς διανοίας τῆς ὑμετέρας, ὥσπερ δακτύλῳ τινὶ τῷ λόγῳ τὰ δόγματα καταβληθέντα ἐπιδείξας, ἐπὶ τὰ λειπόμενα βαδιοῦμαι λοιπόν. τί οὖν ἦν τὸ ὑπολελειμμένον δεῖξαι; ὅτι οὔτε ἀρχαὶ, οὔτε ἐξουσίαι, οὔτε κυριότητες, οὔτε, εἴ τις ἐστὶν ἑτέρα κτιστὴ δύναμις, ἔχει τοῦ Θεοῦ τὴν ἀκριβῆ κατάληψιν. εἰσὶ γὰρ, εἰσὶ καὶ ἕτεραι δυνάμεις, ὧν οὐδὲ τὰ ὀνόματα ἴσμεν. ἐννοήσατε τὴν ἀπόνοιαν ″αὖ τῶν αἱρετικῶν. τῶν δούλων οὐδὲ τὰ ὀνόματα ἴσμεν, καὶ τοῦ δεσπότου αὐτὴν τὴν οὐσίαν ″πολυπραγμονοῦσιν. εἰσὶ μὲν γὰρ ἄγγελοι, καὶ ἀρχάγγελοι, καὶ θρόνοι, καὶ κυριότητες, καὶ ἀρχαὶ, καὶ ἐξουσίαι· ἀλλ' οὐχ οὗτοι μόνοι οἱ δῆμοι ἐν τοῖς οὐρανοῖς*, ″ἀλλ' ἄπειρα ἔθνη, καὶ φῦλα ἀμύθητα, ἅπερ λόγος οὐδεὶς παραστῆσαι δυνήσεται. καὶ πόθεν δῆλον ὅτι καὶ τούτων ἄλλαι πλείους εἰσὶ δυνάμεις, ὧν οὐδὲ τὰ ὀνόματα ἴσμεν; ὁ ταῦτα εἰρηκὼς Παῦλος καὶ τοῦτό φησιν οὑτωσὶ λέγων περὶ τοῦ Χριστοῦ· Ἐκάθισεν αὐτὸν ὑπεράνω πάσης ἀρχῆς, καὶ ἐξουσίας, καὶ δυ-

Ιεζ. β. α.

Εφ α. κα.

νάμεως, καὶ παντὸς ὀνόματος ὀνομαζομένου οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. ὁρᾶτε, ὅτι ἐστί τινα ὀνόματα ἐκεῖ μέλλοντα γνώριμα γενέσθαι, ἅπερ ἄδηλά ἐστι νῦν; διὰ τοῦτο εἶπεν, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ ὀνομαζόμενα, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. καὶ τί θαυμαστὸν, εἰ τῆς οὐσίας τὴν ἀκριβῆ κατάληψιν οὐκ ἔχουσι; (τοῦτο γὰρ οὐδὲν μέγα ἀποδεῖξαι) τὴν γὰρ οἰκονομίαν αὐτοῦ πολλὰς οὐκ ἴσασιν οὐδὲ αἱ ἄνω δυνάμεις αὐταὶ, οὐδὲ αἱ ἀρχαὶ καὶ ἐξουσίαι καὶ κυριότητες. καὶ τοῦτο πάλιν ἀπ' αὐτῶν τῶν ἀποστολικῶν ἀποδείξομεν ῥημάτων, ὅτι οἰκονομίας αὐτοῦ τινας μεθ' ἡμῶν ἔμαθον, καὶ πρὸ ἡμῶν οὐκ ᾔδεισαν· οὐ μόνον δὲ μεθ' ἡμῶν ἔμαθον, ἀλλὰ καὶ δι' ἡμῶν. Ἑτέραις γὰρ γενεαῖς οὐκ ἐγνωρίσθη, φησὶν, ὡς νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις ἀποστόλοις αὐτοῦ καὶ προφήταις, εἶναι τὰ ἔθνη συγκληρονόμα, καὶ συμμέτοχα, καὶ σύσσωμα τῆς ἐπαγγελίας αὐτοῦ διὰ τοῦ εὐαγγελίου, οὗ ἐγενόμην ἐγὼ Παῦλος διάκονος. καὶ πόθεν τοῦτο δῆλον ὅτι νῦν ἔμαθον αἱ ἄνω δυνάμεις; τὰ γὰρ εἰρημένα περὶ ἀνθρώπων εἴρηται. ἄκουσον οὖν· Ἐμοὶ τῷ ἐλαχιστοτέρῳ, φησὶ, πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη εὐαγγελίσασθαι ἐν τοῖς ἔθνεσι τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ. τί ἐστιν, ἀνεξιχνίαστον; μὴ δυνάμενον ζητηθῆναι· οὐ μόνον δὲ μὴ δυνάμενον εὑρεθῆναι, ἀλλ' οὐδὲ ἰχνευθῆναι. ἀκουέτωσαν πάλιν· καὶ γὰρ πυκνὰ καὶ ἐπάλληλα δίδωσιν αὐτοῖς τὰ βέλη. εἰ γὰρ ὁ πλοῦτος ἀνεξιχνίαστος, πῶς ὁ δωρησάμενος τὸν πλοῦτον οὐκ ἀνεξιχνίαστος; Καὶ φωτίσαι πάντας, τίς ἡ οἰκονομία τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἐν τῷ Θεῷ, ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ. ἤκουσας πῶς νῦν, ἀλλ' οὐχὶ πρὸ τούτου ἔγνωσαν ταῦτα αἱ δυνάμεις ἐκεῖναι; ἃ γὰρ βασιλεὺς ἐβουλεύετο), ὁ ὑπασπιστὴς οὐκ ἐπίσταται. Ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ. ὅρα ὅση τιμὴ πρὸς τὴν ἀνθρωπίνην ἐγένετο φύσιν, ὅτι καὶ μεθ' ἡμῶν καὶ δι' ἡμῶν αἱ ἄνω δυνάμεις ἔγνωσαν τὰ ἀπόρρητα τοῦ βασιλέως. ἀλλὰ πόθεν δῆλον ὅτι περὶ ἐκείνων τῶν ἐπουρανίων λέγει; καὶ γὰρ ἀρχὰς, καὶ ἐξουσίας, καὶ τοὺς δαίμονας οἶδε καλεῖν λέγων, Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου. ἆρα οὖν μὴ καὶ ἐνταῦθα τοῦτο λέγει, ὅτι οἱ δαίμονες τότε ἔγνωσαν; οὐδαμῶς· ἀλλὰ περὶ ἐκείνων τῶν ἄνω δυνάμεων. εἰπὼν γὰρ τὰς ἀρχὰς, καὶ τὰς ἐξουσίας, ἐπήγαγεν, ἐν τοῖς ἐπουρανίοις. ἐκεῖναι μὲν γὰρ αἱ ἀρχαὶ καὶ ἐξουσίαι ἐπουράνιοι, αὗται δὲ αἱ ἀρχαὶ καὶ ἐξουσίαι ὑπὸ τὸν οὐρανόν. διὰ τοῦτο καὶ κοσμοκράτορας αὐτοὺς καλεῖ, δεικνὺς ὅτι ἄβατος αὐτοῖς ὁ οὐρανὸς, καὶ τὴν τυραννίδα πᾶσαν ἐν τῷ παρόντι κόσμῳ ἐπιδείκνυνται μόνον. Εἶδες πῶς καὶ μεθ' ἡμῶν, καὶ δι' ἡμῶν ἔγνωσαν ταῦτα;

Εφ. γ. ε.
Εφ. γ. η.
Εφ. γ. ι.
Εφ. ϛ. ιβ.

Ἀλλ' ἐπὶ τὴν τοῦ χρέους καταβολὴν τὸν λόγον λοιπὸν ἀγάγωμεν, δεικνύντες, ὅτι οὐκ ἴσασιν αὐτοῦ τὴν οὐσίαν οὔτε ἀρχαὶ, οὔτε ἐξουσίαι. τίς οὖν ταῦτά φησιν; οὐκέτι Παῦλος, οὐκέτι Ἡσαΐας, οὐκέτι Ἰεζεκιὴλ, ἀλλ' ἕτερον σκεῦος ἅγιον, αὐτὸς ὁ τῆς βροντῆς υἱὸς, ὁ ἀγαπητὸς τοῦ Χριστοῦ Ἰωάννης, ὁ ἐπὶ τὸ στῆθος ἀνακλιθεὶς τὸ δεσποτικὸν, καὶ τὰς θείας πηγὰς ἐκεῖθεν ἀρυσάμενος. τί οὖν οὗτός φησι; Θεὸν οὐδεὶς ἑώρακε πώποτε. ὄντως βροντῆς υἱός. σάλπιγγος γὰρ λαμπροτέραν ἀφῆκε φωνὴν, ἱκανὴν πάντας καταισχῦναι τοὺς φιλονεικοῦντας. ἀλλ' ἴδωμεν καὶ τὸ ἀντικροῦον. τί λέγεις, μακάριε Ἰωάννη; Θεὸν οὐδεὶς ἑώρακε πώποτε; τί οὖν ποιήσομεν τοῖς προφήταις λέγουσιν, ὅτι εἶδον τὸν Θεόν; ὁ μὲν γὰρ Ἡσαΐας φησὶν, Εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου· ὁ δὲ Δανιὴλ πάλιν, Εἶδον ἕως οὗ θρόνοι ἐτέθησαν, καὶ ὁ παλαιὸς τῶν ἡμερῶν ἐκάθητο· καὶ ὁ Μιχαίας, Εἶδον τὸν Κύριον τὸν Θεὸν τοῦ Ἰσραὴλ καθήμενον ἐπὶ τοῦ θρόνου αὐτοῦ. καὶ ἕτερος προφήτης πάλιν, Εἶδον τὸν Κύριον ἑστῶτα ἐπὶ τοῦ θυσιαστηρίου, καὶ εἶπέ μοι, πάταξον ἐπὶ τὸ ἱλαστήριον. καὶ πολλὰς τοιαύτας ἔστι συναγαγεῖν μαρτυρίας. πῶς οὖν ὁ Ἰωάννης, φησὶ, λέγει, ὅτι Θεὸν

α. Ιωαν. δ. ιβ.
Ησ. ϛ. α.
Δαν. ζ. θ.
γ. Βασ. κβ. ιθ.
Αμ. θ. α.
α. Ιωαν. δ. ιβ.

οὐδεὶς ἑώρακε πώποτε; ἵνα μάθῃς, ὅτι τὴν ἀκριβῆ αὐτοῦ κατάληψιν καὶ τὴν τετρανωμένην γνῶσιν οὐδεὶς ἔχει. ὅτι γὰρ πάντα ἐκεῖνα " συγκατάβασις ἦν, καὶ ἀκραιφνῆ τὴν οὐσίαν οὐδεὶς εἶδεν ἐκείνων, δῆλον ἐκ τοῦ διαφόρως ἕκαστον ὁρᾶν. ὁ γὰρ Θεὸς ἁπλοῦς καὶ ἀσύνθετος καὶ ἀσχημάτιστος· οὗτοι δὲ πάντες σχήματα ἔβλεπον διάφορα. τοῦτο γοῦν αὐτὸ δι' ἑτέρου

Ωσ. ιβ ι. προφήτου ἐμφαίνων πάλιν, καὶ πείθων αὐτούς, ὡς οὐκ ἀκριβῆ τὴν οὐσίαν εἶδον, ἔλεγεν· Ἐγὼ ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην. οὐκ αὐτὴν τὴν οὐσίαν ἔδειξα τὴν ἐμήν, ἀλλὰ συγκατέβην, φησί, πρὸς τὴν τῶν ὁρώντων ἀσθένειαν. ὁ μέντοι Ἰωάννης οὐ περὶ τῶν ἀνθρώπων φησὶ μόνον, ὅτι τὸν Θεὸν οὐδεὶς ἑώρακε πώποτε. τοῦτο γὰρ δῆλον ἦν ἀπό τε τῶν εἰρημένων τούτων, τῆς προφητικῆς ῥήσεως λέγω ταύτης τῆς λεγούσης· Ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην, καὶ ἀπὸ τῆς πρὸς τὸν Μωϋσέα γενομένης ἀποφάσεως. ἐκείνου γὰρ ἐπιθυμοῦντος αὐτὸν ἰδεῖν ὀφθαλμοφανῶς, φησὶν ὁ Θεός,

Εξοδ. λγ. ι. Οὐδεὶς ὄψεται τὸ πρόσωπόν μου, καὶ ζήσεται. ὥστε τοῦτο δῆλον ἦν ἡμῖν καὶ ὡμολογημένον. οὐ τοίνυν περὶ τῆς ἡμετέρας φύσεώς φησι μόνης τοῦτο, ἀλλὰ καὶ περὶ τῶν ἄνω δυνάμεων, τὸν Θεὸν οὐδεὶς ἑώρακε πώποτε. διὰ τοῦτο καὶ τὸν μονογενῆ διδάσκαλον εἰσάγει τοῦ δόγματος. ἵνα γὰρ μή τις λέγῃ, πόθεν τοῦτο δῆλον; ἐπήγαγεν, Ὁ μονογενὴς υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός, αὐτὸς ἐξηγήσατο, ἀξιόπιστον εἰσάγων τοῦ δόγματος μάρτυρα καὶ διδάσκαλον. καίτοι εἰ* τὸ Μωϋσέως ἡμῖν παραδηλῶσαι ἐβούλετο, περιττὸν ἦν εἰπεῖν, ὅτι ὁ μονογενὴς*; ἐξηγήσατο. οὐ γὰρ ὁ μονογενὴς αὐτὸς ἐξηγήσατο, ἀλλὰ καὶ πρὶν ἢ τὸν Ἰωάννην ταῦτα εἰπεῖν, ὡς παρὰ τοῦ μονογενοῦς ἀκηκοότα, δῆλον ἡμῖν ὁ προφήτης πεποίηκεν, ὡς ἀκηκοὼς παρὰ τοῦ Θεοῦ. ἀλλ' ἐπειδὴ πλέον τῶν τότε εἰρημένων ἔμελλεν ἡμῖν ἐκκαλύπτειν, ὅτι οὔτε αἱ ἄνω δυνάμεις αὐτὸν ὁρῶσι, διὰ τοῦτο εἰσάγει τὸν μονογενῆ διδάσκαλον. ὅρασιν δὲ ἐνταῦθα, τὴν γνῶσιν " εἶναι " νόμιζε. οὐ γὰρ δὴ κόραι, καὶ ὄμματα, καὶ βλεφαρίδες περὶ τὰς ἀσωμάτους δυνάμεις· ἀλλ' ὅπερ ἐφ' ἡμῶν ἐστιν ὅρασις, τοῦτο ἐπ' ἐκείνων γνῶσις. ὥστε ὅταν ἀκούσῃς, " ὅτι Θεὸν οὐδεὶς ἑώρακε πώποτε, ἐκεῖνο " νόμιζε ἀκούειν, ὅτι τὸν Θεὸν οὐδεὶς ἔγνω οὐσιωδῶς μετὰ ἀκριβείας ἁπάσης. καὶ περὶ τῶν σεραφὶμ δὲ ὅταν ἀκούσῃς, ὅτι ἀπέστρεψαν τοὺς ὀφθαλμούς, καὶ τὴν ὄψιν ἐτείχισαν, καὶ τὰ χερουβὶμ δέ, ὅτι τὸ αὐτὸ τοῦτο πάλιν ἐποίησε, μὴ ὀφθαλμοὺς " καὶ κόρας εἶναι " νόμιζε (σωματικὸς γὰρ οὗτος ὁ σχηματισμός) ἀλλὰ διὰ τούτων τὴν γνῶσιν αὐτῶν αἰνίττεσθαι πίστευε τὸν προφήτην. ὅταν οὖν λέγῃ ὁ προφήτης, ὅτι συγκαταβαίνοντα τὸν Θεὸν ἰδεῖν οὐκ ἤνεγκαν, οὐδὲν ἄλλο λέγει, ἀλλ' ἢ ὅτι τὴν γνῶσιν αὐτοῦ τετρανωμένην καὶ ἀκριβῆ τῆς καταλήψεως ἐνεγκεῖν οὐ δύνανται, οὐδὲ τολμῶσιν ἀτενὲς ἰδεῖν πρὸς τὴν ἀκραιφνῆ καὶ ἀκέραιον οὐσίαν, ἀλλ' οὐδὲ πρὸς αὐτὴν τὴν συγκατάβασιν. τὸ δὲ ἀτενὲς ἰδεῖν, τὸ γνῶναί ἐστι. διὰ τοῦτο καὶ ὁ εὐαγγελιστὴς εἰδὼς ὡς οὐκ ἔστιν ἀνθρωπίνης φύσεως τὸ τοιαῦτα εἰδέναι, καὶ ὅτι οὐδὲ ταῖς ἄνω δυνάμεσι καταληπτός ἐστιν ὁ Θεός, αὐτὸν τὸν ἐκ δεξιῶν αὐτοῦ καθήμενον καὶ ταῦτα ἀκριβῶς ἐπιστάμενον παράγει τοῦ δόγματος ἡμῖν τούτου διδάσκαλον. καὶ οὐδὲ ἁπλῶς εἶπεν, ὁ υἱός· καίτοι εἰ καὶ τοῦτο εἰρήκει, ἱκανὸν ἦν ἐπιστομίσαι τὰ τῶν αἱρετιζόντων στόματα. ὥσπερ γὰρ πολλοὶ Χριστοί*, ὁ δὲ ἀληθὴς Χριστὸς εἷς· καὶ πολλοὶ Κύριοι λεγόμενοι, ὁ δὲ ἀληθὴς Κύριος εἷς· καὶ πολλοὶ θεοὶ λεγόμενοι, ὁ δὲ ἀληθὴς Θεὸς εἷς· οὕτω καὶ πολλοὶ υἱοὶ λεγόμενοι, ὁ δὲ ἀληθὴς υἱὸς εἷς· καὶ ἡ τοῦ ἄρθρου προσθήκη ἱκανὴ τὸ ἐξαίρετον δεῖξαι τοῦ μονογενοῦς· ἀλλ' ὅμως οὐκ ἠρκέσθη τούτῳ· ἀλλ' εἰπών, Θεὸν οὐδεὶς ἑώρακε πώποτε, ἐπήγαγεν, Ὁ μονογενὴς υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός, αὐτὸς ἐξηγήσατο. πρότερον εἶπε, μονογενής, καὶ τότε, υἱός. ἐπειδὴ γὰρ πολλοὶ διὰ τὴν πρὸς τὸ ὄνομα κοινωνίαν ὑποτέμνονται αὐτοῦ τὴν δόξαν, ἕνα τῶν πολλῶν αὐτὸν εἶναι νομίζοντες (τὸ γάρ, υἱὸς τοῦτο, κοινόν ἐστιν ὄνομα ἁπάντων) ὅπερ ἐστὶν ἐξαίρετον αὐτοῦ, καὶ ἴδιον, καὶ οὐδενὶ τῶν ἄλλων προσόν, τέθεικε πρότερον τὸ μονογενής, ἵνα ἀπὸ τούτου πιστεύσῃς, ὅτι καὶ τὸ κοινὸν τοῦτο, οὐκ ἔτι κοινόν, ἀλλ' ἴδιον αὐτοῦ καὶ κύυἱόν ἐστι, καὶ οὐδενὶ τῶν ἄλλων οὕτως, ὡς ἐκείνῳ πρόσεστιν. καὶ ἵνα σαφέστερον ὃ λέγω γένηται, πλατύτερον αὐτὸ πάλιν ἐρῶ. τὸ, υἱὸς, ὄνομα πρόσεστι καὶ ἀνθρώποις, πρόσεστι καὶ τῷ Χριστῷ, ἀλλ' ἡμῖν καταχρηστικῶς, ἐκείνῳ δὲ κυρίως· τὸ δὲ, μονογενὴς, αὐτοῦ μόνον ἐστὶ, καὶ οὐδενὶ τῶν ἄλλων, οὐδὲ καταχρηστικῶς, πρόσεστιν. ἵνα οὖν ἀπὸ τῆς προσηγορίας τῆς οὐδενὶ προσούσης, ἀλλ' ἢ αὐτῷ μόνῳ, καὶ τὴν ἄλλην τὴν τοῖς πολλοῖς προσοῦσαν αὐτοῦ κυρίαν εἶναι νομίσῃς, διὰ τοῦτο πρότερον εἶπε, μονογενὴς, καὶ τότε, υἱός. εἰ δὲ οὐκ ἀρκεῖ σοι οὐδὲ ταῦτα, φησὶ, λέγω καὶ ἕτερον τρίτον, παχὺ μὲν γὰρ καὶ ἀνθρώπινον, ἱκανὸν δὲ καὶ σὲ τὸν χαμαὶ ἕρποντα εἰς τὴν ἔννοιαν τῆς τοῦ μονογενοῦς δόξης ἀναγαγεῖν. τί δὲ τοῦτό ἐστιν; Ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός. παχὺ τὸ ῥῆμα, ἀλλ' ἱκανὸν ἐνδείξασθαι τὴν γνησιότητα, ἂν θεοπρεπῶς * ἐκλαμβάνωμεν. ὥσπερ γὰρ ἀκούων θρόνον, καὶ τὴν ἐκ δεξιῶν καθέδραν, οὐ θρόνον ὑπολαμβάνεις, οὐδὲ τόπον καὶ περιγραφὴν, ἀλλ' ἐκ τῆς τοῦ θρόνου προσηγορίας καὶ τῆς κατὰ τὴν καθέδραν κοινωνίας τὸ τῆς τιμῆς ἀπαράλλακτον καὶ ἴσον· οὕτω καὶ τὸν κόλπον ἀκούων, μὴ κόλπον εἶναι νόμιζε, μηδὲ τόπον, ἀλλ' ἀπὸ τῆς τοῦ κόλπου προσηγορίας τὴν πρὸς τὸν γεγεννηκότα ἐγγύτητα καὶ τὴν παῤῥησίαν ἐκλάμβανε. τοῦ γὰρ ἐκ δεξιῶν καθῆσθαι, τὸ τῷ κόλπῳ ἐνδιαιτᾶσθαι πολλῷ σαφέστερον ἡμῖν τὴν πρὸς τὸν γεγεννηκότα ἐγγύτητα δηλοῖ καὶ παρίστησιν. οὐδὲ γὰρ ἂν ὁ πατὴρ ἠνέσχετο ἐν τῷ κόλπῳ τὸν υἱὸν ἔχειν, εἰ μὴ τῆς αὐτῆς οὐσίας ἦν, οὔτ' ἂν ἐκεῖνος ὑπέμεινεν ὑποδεεστέρας φύσεως ὢν ἐνδιαιτᾶσθαι τῷ κόλπῳ τῷ πατρικῷ. ὡς υἱὸς τοίνυν, καὶ μονογενὴς, καὶ ἐν τῷ κόλπῳ διατρίβων τῷ πατρικῷ, πάντα τὰ τοῦ πατρὸς ἀκριβῶς ἐπίσταται. διὰ τοῦτο καὶ τούτων ἐδεήθη τῶν ῥημάτων ὁ εὐαγγελιστὴς, ἵνα τὴν ἀκριβῆ τοῦ υἱοῦ παραστήσῃ γνῶσιν, τὴν περὶ τοῦ πατρός. περὶ γὰρ γνώσεως ἦν ὁ λόγος. ἐπεὶ εἰ μὴ τοῦτο ἦν, τίνος ἕνεκεν ὁ κόλπος παρείληπται; εἰ γὰρ μήτε σῶμά ἐστιν ὁ Θεὸς, ὥσπερ οὖν οὐδὲ ἔστι, μηδὲ τὴν γνησιότητα καὶ τὴν ἐγγύτητα τὴν πρὸς τὸν γεγεννηκότα δηλοῖ, ἁπλῶς καὶ εἰκῆ τὸ ῥῆμα προσέῤῥιπται χρείαν ἡμῖν οὐδεμίαν πληροῦν. ἀλλ' οὐκ ἁπλῶς προσέῤῥιπται (μὴ γένοιτο. οὐδὲν γὰρ εἰκῆ τὸ πνεῦμα φθέγγεται) ἀλλὰ τὴν ἐγγύτητα τοῦ υἱοῦ τὴν πρὸς τὸν πατέρα δηλοῖ. ἐπειδὴ γὰρ μέγα ἀπεφήνατο ὁ εὐαγγελιστὴς, ὅτι οὔτε ἡ ἄνω κτίσις αὐτὸν ὁρᾷ, τουτέστι, γινώσκει μετὰ ἀκριβείας, βουλόμενος ἀξιόπιστον ἐπιστῆσαι τοῦ δόγματος διδάσκαλον, ταῦτα τὰ ῥήματα τέθεικεν· ἵνα καὶ ὡς υἱῷ, καὶ ὡς μονογενεῖ, καὶ ὡς ἐνδιατρίβοντι τῷ κόλπῳ τῷ πατρικῷ, περὶ πάντων πιστεύσῃς καὶ μηδὲν ἀμφιβάλλῃς λοιπόν. εἰ δέ τις μὴ φιλονεικοίη, μηδὲ ἀναισχυντεῖν βούλοιτο, καὶ τοῦ ἀϊδίου φημὶ εἶναι τοῦτο παραστατικόν· ὥσπερ γὰρ ἐξ ἐκείνης τῆς ῥήσεως τῆς πρὸς τὸν Μωϋσέα λεχθείσης, Ἐγώ εἰμι ὁ ὢν, τὸ ἀΐδιον ἐκλαμβανόμεθα· οὕτω καὶ ἐκ τῆς ῥήσεως ταύτης τῆς λεγούσης, Ὁ ὢν ἐν τοῖς κόλποις τοῦ πατρὸς, τὸ ἀΐδιον εἶναι ἐν τοῖς κόλποις τοῦ πατρὸς δυνατὸν ἐκλαβεῖν. Ἐξοδ. γ. ιδ.

* αὐτὸ

Ὅτι μὲν οὖν τῇ κτίσει πάσῃ ἀκατάληπτος ἡ οὐσία τοῦ Θεοῦ, διὰ τούτων ἁπάντων ἡμῖν ἀποδέδεικται. λείπεται δὴ λοιπὸν δεῖξαι, ὅτι ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον μόνον μετὰ ἀκριβείας αὐτὸν ἐπίστανται πάσης. ἀλλὰ τοῦτο εἰς ἑτέραν διάλεξιν ὑπερθέμενοι, ἵνα μὴ τῷ πλήθει καταχώσωμεν τὴν μνήμην τῶν εἰρημένων, ἐπὶ τὴν συνήθη τρεψώμεθα τὸν λόγον πάλιν παραίνεσιν. τίς δὲ ἡ συνήθης ἡμῖν παραίνεσις ἦν; εὐχῆς ἐκτενοῦς ἔχεσθαι, νηφούσῃ διανοίᾳ, καὶ ἀγρυπνούσῃ ψυχῇ. καὶ γὰρ καὶ πρῴην περὶ τούτων διαλεχθεὶς, εἶδον ἑτοίμως ἅπαντας ὑπακούσαντας. ἄτοπον οὖν ῥᾳθυμοῦσι μὲν ἐγκαλεῖν, κατορθοῦντας δὲ μὴ ἐπαινεῖν. ἐπαινέσαι τοίνυν ὑμᾶς βούλομαι σήμερον, καὶ χάριν ὑμῖν ἀποδοῦναι τῆς ὑπακοῆς ἐκείνης. ἔσται δὲ ἡ χάρις, ἂν διδάξωμεν ὑμᾶς τίνος ἕνεκεν ἐκείνη γίνεται πρὸ τῶν ἄλλων ἡ εὐχὴ, καὶ τί δήποτε τοὺς δαιμονῶντας, καὶ τῇ μανίᾳ πονηρᾷ κατεχομένους εἰσάγεσθαι κελεύει τότε ὁ διάκονος, καὶ κλίνειν τὰς κεφαλάς. τίνος οὖν ἕνεκεν τοῦτο ποιεῖ; ἅλυσις πονηρὰ καὶ χαλεπὴ τῶν δαιμόνων ἐστὶν ἡ ἐνέργεια, ἅλυσις παντὸς σιδήρου δυνατωτέρα. καθάπερ οὖν δικαστοῦ πρόοδον ἔχοντος, καὶ ἐφ' ὑψηλοῦ τοῦ βήματος" καθέζεσθαι μέλλοντος, οἱ δεσμοφύλακες τοὺς τὸ δεσμωτήριον οἰκοῦντας ἅπαντας ἐξαγαγόντες τοῦ οἰκήματος, πρὸ τῶν κιγκλίδων, καὶ τῶν τοῦ δικαστηρίου παραπετασμάτων καθίζουσιν αὐχμῶντας, ῥυπῶντας, κομῶντας, ῥάκια περιβεβλημένους· οὕτω δὴ καὶ οἱ πατέρες ἐνομοθέτησαν, τοῦ Χριστοῦ μέλλοντος ὥσπερ ἐφ' ὑψηλοῦ" καθέζεσθαι τοῦ βήματος, καὶ ἐπ' αὐτῶν φαίνεσθαι τῶν μυστηρίων, τοὺς δαιμονῶντας καθάπερ δεσμώτας τινὰς εἰσάγεσθαι, οὐχ ἵνα εὐθύνας" ὑπόσχωσι τῶν πεπλημμελημένων, καθάπερ ἐκεῖνοι οἱ δεδεμένοι, οὐδ' ἵνα κόλασιν ὑπομείνωσι καὶ τιμωρίαν· ἀλλ' ἵνα τοῦ δήμου, καὶ τῆς πόλεως ἁπάσης ἔνδον παρούσης, κοινὰς ὑπὲρ αὐτῶν ἱκετηρίας γινομένων), πάντων ὁμοθυμαδὸν τὸν κοινὸν δεσπότην ὑπὲρ αὐτῶν ἐξαιτουμένων, καὶ ἐλεῆσαι παρακαλούντων μετὰ σφοδρᾶς τῆς βοῆς. τότε μὲν οὖν ἐνεκάλουν τοῖς καταλιμπάνουσι τὴν τοιαύτην εὐχὴν, καὶ κατὰ τὸν καιρὸν ἐκεῖνον ἔξω διατρίβουσι· νυνὶ δὲ τοῖς ἔνδον" οὖσιν ἐγκαλέσαι βούλομαι, οὐχ ὅτι μένουσιν ἔνδον, ἀλλ' ὅτι μένοντες τῶν ἔξω διατριβόντων οὐδὲν ἄμεινον διάκεινται, κατὰ τὸν φρικωδέστατον ἐκεῖνον καιρὸν ἀλλήλοις διαλεγόμενοι. τί ποιεῖς, ἄνθρωπε; ὁρᾷς τοσούτους δεσμώτας ἀπὸ τῶν ἀδελφῶν τῶν σῶν ἑστηκότας πλησίον, καὶ σὺ περὶ τῶν οὐδὲν προσηκόντων διαλέγῃ πραγμάτων; ἡ γὰρ ὄψις μόνη οὐχ ἱκανὴ καταπλῆξαί σε, καὶ εἰς συμπάθειαν ἀγαγεῖν; ὁ ἀδελφός σου ἐν δεσμοῖς, καὶ σὺ ἐν ῥαθυμίᾳ; καὶ ποίαν ἕξεις συγγνώμην, εἰπέ μοι, οὕτως ἀσυμπαθὴς ὢν, οὕτως ἀπάνθρωπος, οὕτως ὠμός; οὐ δέδοικας μήποτέ, σου διαλεγομένου, ῥαθυμοῦντος, ὀλιγωροῦντος, δαίμων τις ἐκεῖθεν ἐκπηδήσας σχολάζουσαν καὶ σεσαρωμένην εὑρὼν τὴν ψυχὴν ἐπεισέλθῃ μετ' ἀδείας πολλῆς, ἀθύρωτον τὴν οἰκίαν εὑρών; οὐ γὰρ ἔδει πάντας κοινῇ πηγὰς δακρύων ἀφιέναι κατὰ τὴν ὥραν ἐκείνην, καὶ διαβρόχους ὁρᾶσθαι πάντων τοὺς ὀφθαλμοὺς, καὶ θρήνους, καὶ οἰμωγὰς γίνεσθαι παρὰ τῆς ἐκκλησίας ἁπάσης, ὅτι μετὰ τὴν κοινωνίαν τῶν μυστηρίων, μετὰ τὴν ἀπόλαυσιν τοῦ λουτροῦ, μετὰ τὸ συντάξασθαι τῷ Χριστῷ, ἴσχυσεν ὁ λύκος ἐκεῖνος ἁρπάσαι ἐκ τῆς ποίμνης * τοὺς ἄρνας, καὶ κατέχειν μεθ' ἑαυτοῦ; καὶ σὺ ὁρῶν τὴν συμφορὰν οὐ δακρύεις; καὶ ποῦ ταῦτα ἀπολογίας ἄξια; οὐ θέλεις συναλγῆσαι τῷ ἀδελφῷ; κἂν ὑπὲρ σαυτοῦ δεῖσον, καὶ διανάστηθι. εἰ τὴν τοῦ γείτονος οἰκίαν εἶδες ἐμπυριζομένην, εἰπέ μοι, εἰ καὶ πάντων πολεμιώτατος ἦν ὁ γείτων, οὐκ ἂν ἔδραμες ἐπὶ τὸ σβέσαι τὴν πυρὰν, δεδοικὼς μὴ τὸ πῦρ ὁδῷ βαδίζον καὶ τῶν σῶν ἅψηται προθύρων; τοῦτο καὶ ἐπὶ τῶν δαιμονώντων λογίζου. καὶ γὰρ πυρά τίς ἐστι καὶ ἐμπρησμὸς χαλεπὸς τῶν δαιμόνων ἡ ἐνέργεια. σκόπει δὴ μὴ καὶ τὴν σὴν προκαταλάβῃ ψυχὴν ὁδῷ βαδίζων ὁ δαίμων. καὶ ὅταν ἴδῃς προϊόντα, μετὰ πολλῆς τῆς σπουδῆς πρόσφυγε τῷ δεσπότῃ, ἵνα ἰδὼν σου τὴν θερμὴν καὶ διεγηγερμένην ψυχὴν ὁ δαίμων, ἄβατον αὐτῷ νομίσῃ λοιπὸν εἶναι τὴν διάνοιαν τὴν σήν. ἂν μὲν γὰρ ἴδῃ χασμώμενον καὶ ῥαθυμοῦντα, ὡς εἰς ἔρημον καταγώγιον ταχέως ἐπεισελεύσεται· ἂν δὲ συντεταμένον καὶ διεγηγερμένον, καὶ τῶν οὐρανῶν αὐτῶν ἐκκρεμάμενον, οὐδὲ ἀντιβλέψαι τολμήσει λοιπόν. ὥστε εἰ καὶ τῶν ἀδελφῶν καταφρονεῖς, ἀλλὰ σαυτοῦ φεῖσαι γοῦν, καὶ τὴν κατὰ τῆς σῆς ψυχῆς εἴσοδον ἀπόφραξον τῷ πονηρῷ δαίμονι. οὐδὲν δὲ οὕτως αὐτοῦ τὴν καθ' ἡμῶν ἔφοδον ἀποτειχίζειν εἴωθεν, ὡς εὐχὴ καὶ δέησις ἐκτενής. καὶ γὰρ αὐτὸ τοῦτο τὸ παρακελεύεσθαι τὸν διάκονον ἅπασι καὶ λέγειν, ὀρθοὶ στῶμεν καλῶς, οὐχ ἁπλῶς, οὐδὲ εἰκῆ νενομοθέτηται, ἀλλ' ἵνα τοὺς χαμαὶ συρομένους λογισμοὺς ἀνορθώσωμεν, ἵνα τὴν" ἄλεσιν τὴν ἐκ τῶν βιωτικῶν ἡμῖν γινομένην πραγμάτων ἐκβαλόντες, ὀρθὴν ἔμπροσθεν τοῦ Θεοῦ" ἀναστῆσαι δυνηθῶμεν ἡμῶν τὴν ψυχήν. καὶ ὅτι τοῦτο ἐστιν ἀληθὲς, καὶ οὐχὶ πρὸς τὸ σῶμα, ἀλλὰ πρὸς τὴν ψυχὴν ὁ λόγος ἀποτείνεται, ταύτην κελεύων ἀνορθοῦν, ἀκούσωμεν καὶ Παύλου τοῦτον τὸν τρόπον ταύτῃ κεχρημένου τῇ λέξει. πρὸς γὰρ ἀνθρώπους καταπεπτωκότας, καὶ πρὸς τὴν τῶν ἄθλων ἐπαγγελίαν ἀπαγορεύσαντας γράφων, ἔλεγε· Τὰς παρειμένας χεῖρας, καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε. [Ἑβρ. ιβ. ιβ.] τί οὖν ἂν εἴποιμεν; ὅτι περὶ χειρῶν καὶ γονάτων λέγει τῶν τοῦ σώματος; οὐδαμῶς. οὐ γὰρ δρομεῦσιν ἀνθρώποις, οὐδὲ παγκρατιασταῖς διαλέγεται, ἀλλὰ τὴν ἰσχὺν τῶν ἔνδον λογισμῶν παρακαταβεβλημένην ὑπὸ τῶν πειρασμῶν ἀναστῆσαι διὰ τῶν ῥημάτων τούτων παρῄνεσεν. ἐννόησον τίνος πλησίον ἕστηκας, μετὰ τίνων μέλλεις καλεῖν τὸν Θεόν. μετὰ τῶν χερουβίμ. ἀναλόγισαί σου τοὺς συγχορευτάς· καὶ ἀρκέσει σοι τοῦτο εἰς νῆψιν, ὅταν ἐνθυμηθῇς ὅτι σῶμα περικείμενος, καὶ σαρκὶ συμπεπλεγμένος, μετὰ τῶν ἀσωμάτων δυνάμεων κατηξιώθης ἀνυμνεῖν τὸν κοινὸν ἁπάντων δεσπότην. μηδεὶς τοίνυν διαλελυμένος τὴν προθυμίαν, τῶν ἱερῶν κοινωνείτω καὶ μυστικῶν ὕμνων ἐκείνων· μηδεὶς βιωτικοὺς κατ᾽ ἐκεῖνον τὸν καιρὸν ἐχέτω λογισμούς, ἀλλὰ πάντα τὰ γήϊνα τῆς διανοίας ἐξορίσας, καὶ πρὸς τὸν οὐρανὸν ὅλον ἑαυτὸν μεταθείς, ὡς αὐτοῦ πλησίον ἑστὼς τοῦ θρόνου τῆς δόξης, καὶ μετὰ τῶν σεραφὶμ ἱπτάμενος, οὕτω τὸν πανάγιον ὕμνον ἀναφερέτω τῷ τῆς δόξης καὶ τῆς μεγαλωσύνης Θεῷ. διὰ τοῦτο καὶ ἑστάναι καλῶς κατ᾽ ἐκεῖνον τὸν καιρὸν κελευόμεθα. τὸ γὰρ καλῶς ἑστάναι, οὐδὲν ἕτερόν ἐστιν, ἀλλ᾽ ἢ τὸ οὕτως ἑστάναι, ὡς προσῆκόν ἐστιν ἄνθρωπον ὄντα ἔμπροσθεν ἑστάναι Θεοῦ, μετὰ φρίκης καὶ τρόμου, μετὰ νηφούσης καὶ διεγηγερμένης ψυχῆς. ὅτι γὰρ πρὸς τὴν ψυχὴν καὶ αὕτη ἡ λέξις ἀποτείνεται, καὶ αὐτὸ τοῦτο πάλιν ὁ Παῦλος ἐδήλωσε λέγων· Οὕτω στήκετε ἐν Κυρίῳ, ἀγαπητοί. καθάπερ γὰρ ὁ τοξότης ἐπὰν εὔστοχα ἀφιέναι μέλλῃ τὰ βέλη, πρότερον τῆς στάσεως ἐπιμελεῖται τῆς ἑαυτοῦ, καὶ κατάντικρυ τοῦ σκοποῦ μετὰ ἀκριβείας ἑαυτὸν στήσας, τῆς ἀφέσεως ἔχεται τῶν βελῶν· οὕτω καὶ σὺ μέλλων τοξεύειν τὴν πονηρὰν τοῦ διαβόλου κεφαλήν, τῆς στάσεως τῶν λογισμῶν ἐπιμελοῦ πρότερον, ἵνα ὀρθήν τινα καὶ ἀπαρεμπόδιστον σαυτοῦ στηρίξας τὴν στάσιν, εὔστοχα ἀφῇς κατ᾽ ἐκείνου τὰ βέλη. καὶ περὶ μὲν τῆς εὐχῆς ταῦτα. ἐπειδὴ δὲ πρὸς τῇ ῥᾳθυμίᾳ τῇ κατὰ τὰς εὐχάς, καὶ ἕτερόν τι πολλῆς ἀθυμίας γέμον ἐπενόησεν ὁ διάβολος, καὶ ταύτην ἀποτειχιστέον αὐτοῦ τὴν ἔφοδον. τί τοίνυν ἐστὶν ὅπερ ἐκακούργησεν ὁ πονηρὸς δαίμων ἐκεῖνος; ἰδὼν ὑμᾶς οὕτω καθάπερ ἓν σῶμα συνεσφιγμένους, καὶ μετὰ πολλῆς τῆς ἀκριβείας τοῖς λεγομένοις προσηλωμένους, καθεῖναι μέν τινας τῶν αὐτοῦ διακόνων οὐ διὰ συμβουλῆς καὶ παραινέσεως ἀπάξοντας ὑμᾶς τῆς ἀκροάσεως οὐκ ἐτόλμησεν (ᾔδει γὰρ ὡς οὐδεὶς ὑμῶν ἀνέξεται τῶν ταῦτα συμβουλευόντων) λῃστὰς δέ τινας καὶ βαλλαντιοτόμους ἐγκαταμίξας τῷ πλήθει, παρεσκεύασε παρὰ πολλῶν πολλάκις τῶν ἐνταῦθα συλλεγομένων χρυσίον ὅπερ εἶχον ἀποδεδεμένον ὑφελέσθαι. καὶ τοῦτο πολλάκις καὶ ἐπὶ πολλῶν ἐνταῦθα συνέβη. ἵνα οὖν μηδὲ τοῦτο γένηται, μηδὲ τὴν περὶ τὴν ἀκρόασιν προθυμίαν ἡ τῶν χρημάτων ζημία κατασβέσῃ τῷ χρόνῳ, πολλῶν τοῦτο παθόντων, παραινῶ καὶ συμβουλεύω πᾶσιν ὑμῖν μηδένα χρυσίον ἐπιφερόμενον εἰσιέναι ἐνταῦθα, ὥστε μὴ τὴν ὑμετέραν σπουδὴν τὴν περὶ τὴν ἀκρόασιν ἐφόδιον ἐκείνοις γενέσθαι τῆς κακουργίας, μηδὲ τὴν ἡδονὴν τὴν ἐκ τῆς ἐνταῦθα διατριβῆς ἐγγινομένην ὑμῖν τῇ τῶν χρημάτων ἀμαυρωθῆναι κλοπῇ. καὶ γὰρ ὁ διάβολος τοῦτο κατεσκεύασεν, οὐχ ἵνα ὑμᾶς πενεστέρους ἐργάσηται, ἀλλ᾽ ἵνα ἡ τῶν χρημάτων ἀπώλεια, εἰς ἀηδίαν ὑμᾶς ἐμβαλοῦσα πολλήν, τῆς προθυμίας ἀπαγάγῃ τῆς περὶ τὴν ἀκρόασιν. ἐπεὶ καὶ τὸν Ἰὼβ τῶν χρημάτων ἐγύμνωσεν ἁπάντων, οὐχ ἵνα πενέστερον ἐργάσηται, ἀλλ᾽ ἵνα γυμνώσῃ τῆς εὐσεβείας. τὸ γὰρ σπουδαζόμενον ἐκείνῳ, οὐχὶ χρήματα ἀφελέσθαι (οἶδε γὰρ οὐδὲν τοῦτο ὄν) ἀλλ᾽ ἵνα διὰ τῆς τῶν χρημάτων ἀφαιρέσεως εἰς ἁμαρτίαν ψυχῆς ἐμβάλῃ. κἂν μὴ τοῦτο ἰσχύσῃ ποιῆσαι, οὐδὲν ἡγήσεται κατωρθωκέναι ποτέ. εἰδὼς τοίνυν αὐτοῦ τὴν γνώμην, ἀγαπητέ, ὅταν ἀφέληταί σου χρυσίον, ἢ διὰ λῃστῶν, ἢ διὰ ἑτέρας τινὸς προφάσεως, δόξασον τὸν δεσπότην, καὶ πλέον ἔσῃ κεκερδηκώς, καὶ διπλῆν δώσεις τῷ ἐχθρῷ τὴν πληγήν, ὅτι τε οὐκ ἐδυσχέρανας, καὶ ὅτι ηὐχαρίστησας. ἂν μὲν γὰρ ἴδῃ ὅτι ταπεινοῖ σε τῶν χρημάτων ἡ ζημία καὶ πείθει κατὰ τοῦ δεσπότου δυσχεραίνειν, οὐδέποτε ἀποστήσεται τοῦτο ἐργαζόμενος. ἂν δὲ θεάσηται, ὅτι οὐ μόνον οὐ βλασφημεῖς τὸν πεποιηκότα σε Θεόν, ἀλλὰ καὶ εὐχα-

Φιλιπ. δ. α.

ριστεῖς

ἐρεῖς αὐτῷ ἐφ' ἑκάστῳ τῶν συμβαινόντων δεινῶν, ἀποστήσεται ἐπάγων τοὺς πειρασμούς, εἰδὼς ὅτι εὐχαριστίας ὑπόθεσίς σοι γίνεται τῶν δεινῶν ἡ πεῖρα, καὶ λαμπροτέρους ἐργάζεταί σοι τοὺς στεφάνους, καὶ πλείονα τὰ βραβεῖα, ὅπερ οὖν καὶ ἐπὶ τοῦ Ἰὼβ γέγονεν. ἐπειδὴ γὰρ ἀφελόμενος αὐτοῦ τὰ χρήματα καὶ τὸ σῶμα πατάξας εἶδεν εὐχάριστον γενόμενον, οὐκέτι προσελθεῖν ἐτόλμησεν, ἀλλ' αἰσχύνην καὶ ἀσύστατον ὑπομείνας [τὴν] ἧττην ἀπῄει, λαμπρότερον ἐργασάμενος τοῦ Θεοῦ τὸν ἀθλητήν. Ταῦτ' οὖν καὶ ἡμεῖς εἰδότες, ἓν μόνον φοβώμεθα, τὴν ἁμαρτίαν· τὰ δὲ ἄλλα πάντα γενναίως φέρωμεν, κἂν χρημάτων ζημία, κἂν νόσος σωμάτων, κἂν περίστασις πραγμάτων, κἂν ἐπήρεια, κἂν συκοφαντία, κἂν ἄλλη τις ἡμῖν ἐπεγείρηται δυσκληρία. τούτων γὰρ ἡ φύσις οὐ μόνον ἡμᾶς οὐ παραβλάψει, ἀλλὰ καὶ τὰ μέγιστα ὠφελῆσαι δυνήσεται, ἂν μετ' εὐχαριστίας ταῦτα φέρωμεν, καὶ πλείονας ἡμῖν ἐργάσεται τοὺς μισθούς. ὁρᾷς γοῦν καὶ τὸν Ἰώβ, μετὰ τὸ τοὺς στεφάνους τῆς ὑπομονῆς καὶ τῆς ἀνδρείας ἅπαντας ἀναδήσασθαι, διπλᾶ τὰ ἀπολωλότα ἀπειληφότα ἅπαντα; σὺ δὲ οὐχὶ διπλᾶ, καὶ τριπλᾶ, ἀλλ' ἑκατονταπλασίονα ἀπολήψῃ πάντα, ἂν φέρῃς γενναίως, καὶ ζωὴν αἰώνιον κληρονομήσεις, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΑΚΑΤΑΛΗΠΤΟΥ ΛΟΓΟΣ. ε.

Ἐπειδὰν μέλλῃ τις μακροτέρας ὑποθέσεως ἅπτεσθαι καὶ πολλῶν δεομένης λόγων, καὶ οὐκ ἐν ἡμέρᾳ μιᾷ καὶ δύο καὶ τρισίν, ἀλλ' ἐν πολλῷ πλείοσι περαινομένης, ἀναγκαῖον εἶναι νομίζω τῷ τοιούτῳ μὴ πᾶσαν ἀθρόως, μηδὲ ὑφ' ἓν ἐπιτιθέναι τῇ τῶν ἀκροατῶν διανοίᾳ τὴν διδασκαλίαν, ἀλλ' εἰς πολλὰ τὸ ὅλον κατατέμνοντα μέρη, κοῦφον καὶ εὔληπτον τῷ κατακερματισμῷ τοῦτο ποιεῖν τὸ τοῦ λόγου φορτίον. καὶ γὰρ καὶ γλῶττα, καὶ ἀκοή, καὶ ἕκαστον τῶν αἰσθητηρίων ἡμῶν μέτρα καὶ κανόνας καὶ ὅρους ἔχει κειμένους· κἂν ἐπιχειρήσῃ τούτους ὑπερβῆναί τις ποτε τοὺς ὅρους, καὶ τῆς οὔσης ἐκπίπτει δυνάμεως. τί γὰρ γλυκύτερον φωτός, εἰπέ μοι; τί δὲ ἥδιον ἀκτῖνος; ἀλλ' ὅμως τὸ γλυκὺ τοῦτο καὶ ἡδύ, ὅταν ὑπὲρ τὸ μέτρον ἡμῶν ὁμιλήσῃ, τοῖς ὄμμασιν ἐπαχθὲς γίνεται καὶ φορτικόν. διὰ τοῦτο καὶ ὁ Θεὸς νύκτα ἐνομοθέτησεν εἶναι μετὰ τὴν ἡμέραν, ἵνα πεπονηκότας παραλαβοῦσα τοὺς ὀφθαλμούς, καταστείλῃ τὰ βλέφαρα, κοιμίσῃ τὰς κόρας, ἀναπαύσῃ κάμνουσαν ἡμῖν τὴν ὀπτικὴν δύναμιν, καὶ πρὸς τὴν τῆς μελλούσης ἡμέρας θεωρίαν ἐπιτηδειοτέραν παρασκευάσῃ. διὰ τοῦτο καὶ ἐγρήγορσις καὶ ὕπνος, ἐναντία ὄντα ἀλλήλοις, ἀπὸ τῆς συμμετρίας ὁμοίως ἀλλήλοις ἥδιστα γίνεται, καὶ γλυκὺ καλοῦντες τὸ φῶς, γλυκὺν ὁμοίως καλοῦμεν καὶ τὸν ὕπνον τὸν ἀπάγοντα ἡμᾶς τοῦ φωτός. οὕτως ἡ ἀμετρία πανταχοῦ βαρὺ καὶ ἐπαχθές, καὶ τὸ σύμμετρον ἡδύ, καὶ χρήσιμον ἡμῖν, καὶ προσηνές. διὰ δὴ τοῦτο καὶ ἡμεῖς τετάρτην ἤδη καὶ πέμπτην ἡμέραν ἔχοντες λοιπόν, ἐξ οὗ τὸν περὶ ἀκαταλήπτου κινοῦμεν λόγον, οὐδέπω καὶ τήμερον αὐτὸν ἀπαρτίσαι παρεσκευάσμεθα, ἀλλὰ τὰ σύμμετρα πρὸς τὴν ὑμετέραν ἀγάπην εἰπόντες, πάλιν ἀναπαῦσαι τὴν διάνοιαν ὑμῶν ἐγνώκαμεν. ποῦ τοίνυν πρῴην τὸν λόγον κατελίπομεν; ἀνάγκη γὰρ ἐκεῖθεν αὐτὸν ἀνελέσθαι πάλιν, ἐπειδὴ μία τίς ἐστι τῆς διδασκαλίας ἡ ἀκολουθία. α. Ἰωαν. α. ιϛ. ἐλέγομεν τότε, ὅτι τῆς βροντῆς ὁ υἱὸς εἶπεν, ὅτι Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός, αὐτὸς ἐξηγήσατο. σήμερον ἀναγκαῖον μαθεῖν, ποῦ τοῦτο αὐτὸς ἐξηγήσατο ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ. Ἰωαν. α. ιη. Ἀπεκρίθη, φησί, τοῖς Ἰουδαίοις, καὶ εἶπεν· οὐχ ὅτι τὸν πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ ὢν ἐκ τοῦ Θεοῦ, οὗτος ἑώρακε τὸν πατέρα. ὁρᾷς ἐνταῦθα πάλιν τὴν γνῶσιν λέγει. καὶ οὐκ εἶπεν ἁπλῶς, ὅτι οὐδεὶς οἶδε τὸν πατέρα, καὶ ἐσίγησεν· ἵνα μή τις περὶ ἀνθρώπων τοῦτο λέγεσθαι νομίζῃ μόνον· ἀλλὰ βουλόμενος δεῖξαι, ὅτι οὔτε ἄγγελοι, οὔτε ἀρχάγγελοι, οὔτε αἱ ἄνω δυνάμεις, τῇ ἐπαγωγῇ τοῦτο δῆλον ἐποίησεν. εἰπὼν γάρ, οὐχ ὅτι τὸν πατέρα τις ἑώρακε πώποτε, ἐπήγαγεν, εἰ μὴ ὁ ὢν ἐκ τοῦ Θεοῦ, οὗτος ἑώρακε τὸν πατέρα. εἰ μὲν γὰρ εἶπεν ἁπλῶς, οὐδείς, πολλοὶ τῶν ἀκουσάντων ἴσως ἂν περὶ τῆς ἡμετέρας ἐνόμισαν αὐτὸ φύσεως εἰρῆσθαι μόνον· νῦν δὲ εἰπών, οὐδείς, καὶ προσθείς, εἰ μὴ ὁ υἱός, τῇ προσθήκῃ τοῦ μονογενοῦς ἅπασαν τὴν κτίσιν" ἀπέκλεισε. τί οὖν, φησί, καὶ τὸ πνεῦμα τὸ ἅγιον; οὐδαμῶς· οὐδὲ γὰρ τῆς κτίσεως τοῦτο μέρος. τὸ δέ, οὐδείς, τοῦτο ἀεὶ πρὸς ἀντιδιαστολὴν τῆς κτίσεως κεῖται μόνης· καὶ οὔτε ἂν περὶ πατρὸς λέγηται, τὸν υἱὸν ἐξωθεῖται· οὔτε ἂν περὶ υἱοῦ, τὸ πνεῦμα ἐκβάλλει. καὶ ἵνα αὐτὸ τοῦτο ἐντεῦθεν ἤδη ποιήσω φανερόν, ὅτι τό, οὐδείς, οὐ πρὸς ἀθέτησιν τοῦ πνεύματος, ἀλλὰ πρὸς ἀντιδιαστολὴν τῆς κτίσεως εἴρηται, περὶ αὐτῆς ταύτης τῆς γνώσεως, ἣν μόνου τοῦ υἱοῦ φησιν εἶναι, ἀκούσωμεν τί διαλεγόμενος ὁ Παῦλος Κορινθίοις φησί. τί οὖν φησι; Τίς γὰρ οἶδε τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ. ὥσπερ οὖν ἐνταῦθα τό, οὐδείς, λεγόμενον οὐκ ἐκβάλλει τὸν υἱόν· οὕτω καὶ ἐπὶ τοῦ Χριστοῦ, τό, οὐδείς, τεθὲν οὐκ ἐξωθεῖται τὸ πνεῦμα τὸ ἅγιον. ὅθεν δῆλον, ὡς ἀληθὲς τὸ εἰρημένον. εἰ γὰρ λέγων, ὅτι οὐδεὶς ἑώρακε τὸν πατέρα, εἰ μὴ ὁ ἐκ τοῦ Θεοῦ ὤν, τὸ πνεῦμα ἐξωθεῖτο, περιττῶς ὁ Παῦλος ἔλεγεν, ὅτι ὥσπερ ἄνθρωπος τὰ ἑαυτοῦ οἶδεν, οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον τὰ τοῦ Θεοῦ μετ' ἀκριβείας ἐπίσταται. οὕτω καὶ τό, εἷς, εἴρηται. τὴν γὰρ αὐτὴν ἰσχὺν ἔχει τούτῳ καὶ δύναμιν. σκόπει δέ· Εἷς Θεός, φησιν, ὁ πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα. εἰ γὰρ τὸ ἕνα λέγεσθαι Θεὸν τὸν πατέρα, ἐκβάλλει τὸν υἱὸν τῆς θεότητος, καὶ τὸ ἕνα λέγεσθαι Κύριον τὸν υἱόν, ἐκβάλλει τὸν πατέρα τῆς κυριότητος. ἀλλὰ μὴν οὐκ ἐκβάλλει τῆς κυριότητος τὸν πατέρα τὸ λέγεσθαι, ὅτι εἷς Κύριος Ἰησοῦς Χριστός· οὐκ ἄρα οὐδὲ τὸν υἱὸν ἐκβάλλει τῆς θεότητος τὸ λέγεσθαι ὅτι εἷς Θεὸς ὁ πατήρ. εἰ δὲ λέγοιεν πάλιν, ὅτι διὰ τοῦτο εἷς Θεὸς λέγεται ὁ πατήρ, ἐπειδὴ Θεὸς μέν ἐστιν ὁ υἱός, οὐ τοιοῦτος δὲ Θεὸς οἷος ὁ πατήρ, ἕπεται ἐκεῖνο εἰπεῖν ἐξ ὧν αὐτοὶ τιθέασι λημμάτων (οὐ γὰρ δὴ ἡμεῖς ἂν εἴποιμεν) ὅτι διὰ τοῦτο λέγεται εἷς Κύριος ὁ υἱός, ἐπειδὴ Κύριος μὲν ὁ πατήρ, οὐ τοιοῦτος δὲ Κύριος, οἷος ὁ υἱός. εἰ δὲ τοῦτο ἀσεβές, οὐδὲ τὸ πρότερον ἂν ἔχοι λόγον. ἀλλ' ὥσπερ τό, εἷς Κύριος, οὐκ ἐξωθεῖται τὸν πατέρα τῆς ἀκριβοῦς κυριότητος, οὐδὲ εἰς τὸν υἱὸν περιίστησιν αὐτὴν μόνον, οὕτως οὐδὲ τό, εἷς Θεός, ἐκβάλλει τὸν υἱὸν τῆς ἀληθοῦς καὶ γνησίας * θεότητος, οὐδὲ τοῦ πατρὸς αὐτὸ μόνον ἀποδείκνυσιν. ὅτι Θεὸς γὰρ ὁ υἱός, καὶ τοιοῦτος Θεός, οἷος ὁ πατήρ, μᾶλλον μέντοι υἱός, ἐξ αὐτῆς τῆς προσθήκης δῆλον. εἰ γὰρ τό, Θεός, ὄνομα τοῦτο, τοῦ πατρὸς μόνου ἦν, καὶ ἄλλην οὐκ ἠδύνατο δηλοῦν ἡμῖν ὑπόστασιν, ἀλλ' ἐκείνην μόνην τὴν ἀγέννητον καὶ πρώτην, ὡς ἴδιον αὐτῆς μόνης ὂν καὶ γνωριστικόν, περιττῶς ἡ τοῦ πατρὸς κεῖται προσθήκη (ἤρκει γὰρ εἰπεῖν εἷς Θεός, ἵνα γνωρίζωμεν τίς ἦν ὁ λεγόμενος) ἀλλ' ἐπειδὴ τό, Θεός, ὄνομα κοινὸν πατρὸς καὶ υἱοῦ, καὶ" εἰπών, εἷς Θεός, οὐκ ἐδήλου τίνα φησὶν ὁ Παῦλος, διὰ τοῦτο ἐδεήθη τῆς τοῦ πατρὸς προσθήκης, ἵνα δηλώσῃ ὅτι περὶ τῆς πρώτης ὑποστάσεως καὶ ἀγεννήτου λέγει, ὡς οὐκ ἀρκούσης τῆς τοῦ Θεοῦ προσηγορίας αὐτὴν ἐνδείξασθαι, ἐπειδὴ κοινὸν τοῦτο αὐτῷ πρὸς τὸν υἱόν. τῶν γὰρ ὀνομάτων τὰ μέν ἐστι κοινά, τὰ δὲ ἴδια· κοινὰ μέν, ἵνα τὸ ἀπαράλλακτον δείξῃ τῆς οὐσίας· ἴδια δέ, ἵνα τὴν ἰδιότητα χαρακτηρίσῃ τῶν ὑποστάσεων. τὸ μὲν οὖν πατὴρ καὶ υἱός, ἴδιον ἑκάστης ὑποστάσεως· τὸ δὲ Θεὸς καὶ Κύριος, κοινόν. ἐπεὶ οὖν τέθεικεν ὄνομα κοινόν, τό, εἷς Θεός, ἐδεήθη καὶ τοῦ ἰδιάζοντος, ἵνα "γνωρίσῃς" τίνα φησίν, ὥστε ἡμᾶς μὴ ἐμπεσεῖν εἰς τὴν Σαβελλίου μανίαν. ὅτι γὰρ οὔτε τό, Θεός, ὄνο-

α. Κορ. β. ια.

α. Κορ. η. ϛ.

μα μεῖζον τοῦ, Κύριος, οὔτε τὸ, Κύριος, ἔλαττον τοῦ, Θεὸς, δῆλον ἐκεῖθεν. ἐν τῇ παλαιᾷ
Ἐξοδ. κ. α. πάσῃ συνεχῶς ὁ πατὴρ Κύριος λέγεται. Κύριος ὁ Θεός σου, φησὶ, Κύριος εἷς ἐστι. καὶ
Δευτ. ϛ. ιγ. πάλιν, Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. καὶ πάλιν, Μέγας ὁ
Ἐξοδ. ιε. ια. Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ*. καὶ πάλιν, Γνώτωσαν, ὅτι ὄνομά σοι Κύριος, σὺ μόνος
Ψαλ. οξ. γ. ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν. καίτοιγε εἰ ἔλαττον τοῦ, ″Θεὸς, ἦν καὶ ἀνάξιον τῆς οὐσίας ἐ-
κείνης, οὐκ ἔδει λέγεσθαι, γνώτωσαν, ὅτι ὄνομά σοι Κύριος. πάλιν δὲ, Θεὸς, εἰ μεῖζον ἦν τοῦ,
Κύριος, καὶ σεμνότερον, οὐκ ἔδει τὸν κατ' αὐτοὺς ἐλάττονα υἱὸν ἀπὸ τοῦ προσήκοντος ὀνόμα-
τος τῷ πατρὶ καλεῖσθαι, καὶ ὃ μόνον ἴδιον ἦν ἐκείνου. ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. οὔτε γὰρ
ὁ υἱὸς τοῦ πατρὸς ″καταδεέστερος, οὔτε δὲ, Κύριος, ὄνομα τοῦ, Θεὸς, ἀτελέστερον. διὰ τοῦτο καὶ
ἐπὶ πατρὸς καὶ υἱοῦ ἀδιαφόρως ταύταις κέχρηται ταῖς προσηγορίαις ἡ γραφή. καθάπερ
οὖν ἠκούσατε τὸν πατέρα Κύριον καλούμενον, φέρε δείξομεν ὑμῖν καὶ τὸν υἱὸν λεγόμενον Θεόν.
Ἡσ. ζ. ιδ. Ἰδοὺ ἡ παρθένος, φησὶν, ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι δὲ ὄνομα αὐτοῦ Ἐμμανουὴλ,
ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ Θεός. εἶδες πῶς καὶ τῷ πατρὶ ὄνομα δὲ, Κύριος, καὶ
Ψαλ. οζ. τῷ υἱῷ ὄνομα δὲ, Θεός; ὥσπερ γὰρ ἐκεῖ φησι, καὶ γνώτωσαν ὅτι ὄνομά σοι Κύριος, οὕτω καὶ
Ἡσ. θ. ϛ. ἐνταῦθα λέγει, καὶ καλέσουσι δὲ ὄνομα αὐτοῦ Ἐμμανουήλ. καὶ πάλιν, Παιδίον ἐγεννήθη
ἡμῖν, καὶ υἱὸς ἐδόθη ἡμῖν, καὶ καλεῖται δὲ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, Θεὸς ἰσχυρὸς καὶ
ἐξουσιαστής. καὶ σκόπει μοι προφητῶν σύνεσιν, καὶ πνευματικὴν σοφίαν. ἵνα γὰρ μὴ ἁπλῶς
εἰπόντες Θεὸν, νομισθῶσι περὶ τοῦ πατρὸς λέγειν, τῆς οἰκονομίας προτέρας ″μέμνηνται. οὐ
γὰρ δὴ ὁ πατὴρ διὰ παρθένου ἐγεννήθη, οὐδὲ παιδίον ἐγένετο. πάλιν ἕτερος προφήτης οὑ-
Βαρ. γ. λϛ. τωσί πως φησὶ περὶ αὐτοῦ· Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. περὶ
τίνος τοῦτό φησιν; ἆρα μὴ περὶ τοῦ πατρός; οὐδαμῶς. ἄκουσον γὰρ πῶς καὶ τούτου περὶ τῆς οἰ-
κονομίας ἐμνήσθη. εἰπὼν γὰρ, οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν,
ἐπήγαγεν, Ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ
τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. μετὰ ταῦτα ἐπὶ [τῆς] γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανε-
Ῥωμ. θ. ε. στράφη. ὁ Παῦλος δὲ, Ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, φησὶν, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς
Ἐφ. ε. ε. εἰς τοὺς αἰῶνας, Ἀμήν. καὶ πάλιν, Πᾶς πόρνος, ἢ πλεονέκτης οὐκ ἔχει κληρονομίαν ἐν τῇ
β. Τιμ. α. ι. βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ. καὶ πάλιν, Κατὰ τὴν ἐπιφάνειαν τοῦ μεγάλου Θεοῦ καὶ σωτῆ-
Ἰωάν. α. α. ρος ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ ὁ Ἰωάννης δὲ οὕτως αὐτὸν καλεῖ λέγων, Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ
ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος. ναί, φησιν· ἀλλ' ἐκεῖνο δεῖξον, ποῦ μετὰ τοῦ
πατρὸς αὐτὸν συντάττουσα ἡ γραφὴ, Κύριον τὸν πατέρα καλεῖ. ἐγὼ δὲ οὐ τοῦτο δείκνυμι μό-
νον, ἀλλ' ὅτι καὶ Κύριον τὸν πατέρα καλεῖ, καὶ Κύριον τὸν υἱὸν, καὶ ὅτι Θεὸν τὸν πατέρα καλεῖ, καὶ ὅτι
Θεὸν τὸν υἱὸν, ὁμοῦ τιθεὶς ἑκάτερα τὰ ὀνόματα. ποῦ οὖν τοῦτο ἔστιν εὑρεῖν; διαλεγόμενός ποτε
Ματθ. κβ. μβ. τοῖς Ἰουδαίοις ὁ Χριστὸς, φησί· Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος ἐστὶν υἱός; τῶν δὲ λεγόντων
αὐτῷ, τοῦ Δαβὶδ υἱός ἐστι. λέγει αὐτοῖς, πῶς οὖν αὐτὸν Δαβὶδ ἐν πνεύματι Κύριον καλεῖ,
λέγων, Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου; ἰδοὺ Κύριος, καὶ Κύριος. βούλει
μαθεῖν πῶς Θεὸν καὶ Θεὸν καλεῖ τὸν πατέρα καὶ τὸν υἱὸν ὁμοῦ τιθεῖσα ἡ γραφή; ἄκουσον τοῦ προ-
Ψαλ. μδ. η. θ. φήτου τοῦ Δαβὶδ, καὶ τοῦ ἀποστόλου Παύλου τοῦτο αὐτὸ δηλούντων ἡμῖν. Ὁ θρόνος σου, ὁ
Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου, ἠγάπησας
τὴν δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν, διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου ἔλαιον ἀγαλ-
λιάσεως παρὰ τοὺς μετόχους σου. καὶ ὁ Παῦλος πάλιν περὶ τοῦ Χριστοῦ τὴν μαρτυρίαν ταύ-
Ἑβρ. α. ζ. την παρήγαγεν εἰπὼν, ὅτι πρὸς μὲν τοὺς ἀγγέλους αὐτοῦ φησιν, Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ
πνεύματα· πρὸς δὲ τὸν υἱὸν, ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Τίνος οὖν ἕνεκεν ἐνταῦθα, φησὶ, τὸν μὲν πατέρα Θεὸν ἐκάλεσε, τὸν δὲ υἱὸν Κύριον; οὐχ
ἁπλῶς, οὐδὲ εἰκῇ ἐνταῦθα τοῦτο ἐποίησεν· ἀλλ' ἐπειδὴ πρὸς Ἕλληνας ἦν ὁ λόγος αὐτῷ

πολυθείαν

γρ. Θεοῦ

πολυθεΐαν νοσοῦντας. ἵνα οὖν μὴ λέγωσιν, ὅτι ἡμῖν ἐγκαλεῖ ὡς πολλοὺς θεοὺς λέγουσι καὶ πολλοὺς Κυρίους, αὐτὸς ἁλίσκῃ τοῖς ἐγκλήμασι τούτοις, θεοὺς λέγων καὶ τὸν Θεόν, διὰ τοῦτο συγκαταβαίνων αὐτῶν τῇ ἀσθενείᾳ, ἑτέρῳ καλεῖ τὸν υἱὸν ὀνόματι τὴν αὐτὴν δύναμιν ἔχοντι. καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, ἄνωθεν ἀναγνῶμεν αὐτὸ τὸ χωρίον, καὶ εἴσεσθε σαφῶς ὅτι οὐχ ἡμέτερός ἐστιν ὁ στοχασμὸς τὸ λεγόμενον. Περὶ δὲ τῶν εἰδωλοθύτων οἴδαμεν ὅτι πάντες γνῶσιν ἔχομεν. ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ. περὶ τῆς βρώσεως οὖν τῶν εἰδωλοθύτων, οἴδαμεν ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ, καὶ ὅτι οὐδεὶς Θεὸς ἕτερος, εἰ μὴ εἷς. ὁρᾷς ὅτι πρὸς ἐκείνους ἀποτεινόμενος ταῦτα λέγει τοὺς πολλοὺς εἶναι νομίζοντας θεούς; Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ πολλοί, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς. πάλιν πρὸς ἐκείνους μάχεται, Ὥσπερ οὖν εἰσι πολλοὶ θεοί, καὶ Κύριοι πολλοὶ (τουτέστι λεγόμενοι) ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα. διὰ τοῦτο καὶ τό, εἷς, προσέθηκεν, ἵνα μὴ πολυθεΐαν εἰσάγεσθαι πάλιν ἐκεῖνοι νομίζωσι· καὶ ἕνα Θεὸν τὸν πατέρα ἐκάλεσεν, οὐχ ἵνα ἐκβάλῃ τὸν υἱὸν τῆς θεότητος· ὥσπερ οὖν καὶ ἕνα Κύριον τὸν υἱόν, οὐχ ἵνα ἐκβάλῃ τῆς κυριότητος τὸν πατέρα, ἀλλὰ τὴν ἐκείνων ἀσθένειαν διορθούμενος, καὶ μηδεμίαν αὐτοῖς δοῦναι βουλόμενος λαβήν. τοῦτο γοῦν καὶ αἴτιον γέγονε τοῦ μὴ σαφῶς, μηδὲ φανερῶς, ἀλλ' ἀμυδρῶς πως καὶ σπανίως διὰ τῶν προφητῶν γνωρισθῆναι τοῖς Ἰουδαίοις τὸν υἱὸν τοῦ Θεοῦ. ἄρτι γὰρ τῆς πολυθέου πλάνης ἀπαλλαγέντες, εἰ πάλιν ἤκουσαν Θεόν, καὶ Θεόν, πρὸς τὴν αὐτὴν ἂν ὑπέστρεψαν νόσον. διὰ τοῦτο ἄνω καὶ κάτω συνεχῶς οἱ προφῆται λέγουσιν, ὅτι Εἷς Θεός, καὶ πλὴν αὐτοῦ οὐκ ἔστιν, οὐχὶ τὸν υἱὸν ἀθετοῦντες (μὴ γένοιτο) ἀλλὰ τὴν ἐκείνων ἀσθένειαν θεραπεῦσαι βουλόμενοι, καὶ πεῖσαι τέως τῆς τῶν πολλῶν θεῶν καὶ οὐκ ὄντων ὑπονοίας ἀπαλλαγῆναι. ὅταν τοίνυν ἀκούσῃς τό, Εἷς, καὶ οὐδείς, καὶ ὅσα τοιαῦτα, μὴ τῆς τριάδος ἐλαττώσῃς τὴν δόξαν, ἀλλὰ τὸ μέσον αὐτῆς πρὸς τὴν κτίσιν διὰ τούτων μάνθανε τῶν ῥημάτων. ἐπεὶ καὶ ἀλλαχοῦ φησι, Τίς γὰρ ἔγνω νοῦν Κυρίου; καὶ ὅτι τοῦτ' ἔστιν ἐνταῦθα, καὶ ὅτι οὔτε τὸν υἱόν, οὔτε τὸ πνεῦμα ἐκβάλλει τῆς γνώσεως, προαποδέδεικται ἐν τοῖς ἀνωτέρω εἰρημένοις, ὅτε τὴν μαρτυρίαν παρηγάγομεν τὴν λέγουσαν, Τίς γὰρ οἶδε τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ. καὶ πάλιν ὁ Χριστός φησιν, Οὐδεὶς γινώσκει τὸν υἱόν, εἰ μὴ ὁ πατήρ· οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ υἱός. οὕτω δὴ καὶ ἐνταῦθα, οὐχ ὅτι τὸν πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ ὢν ἐκ τοῦ Θεοῦ, οὗτος ἑώρακε τὸν πατέρα. ὁμοῦ γὰρ ὅτι μετ' ἀκριβείας αὐτὸν οἶδεν, εἶπε, καὶ τὴν αἰτίαν ἔθηκε δι' ἣν οἶδε. τίς δὲ ἡ αἰτία; τὸ ἐξ αὐτοῦ εἶναι. καὶ τοῦτο πάλιν ἀπόδειξις τοῦ μετ' ἀκριβείας αὐτὸν εἰδέναι. διὰ τοῦτο γὰρ αὐτὸν οἶδε σαφῶς, ἐπειδὴ ἐξ αὐτοῦ ἐστι· καὶ σημεῖον τοῦ ἐξ αὐτοῦ εἶναι, τὸ εἰδέναι αὐτὸν σαφῶς. οὐσία γὰρ οὐσίαν ὑπερέχουσαν οὐκ ἂν δυνηθείη καλῶς εἰδέναι, κἂν ὀλίγον ᾖ τὸ μέσον. ἄκουσον γοῦν τί περὶ τῶν ἀγγέλων φησὶν ὁ προφήτης, καὶ περὶ τῆς ἀνθρωπίνης φύσεως, ὅτι ὀλίγον τὸ διάφορον ταύτης κἀκείνης. Εἰπὼν γάρ, Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; ἐπήγαγεν, ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους. ἀλλ' ὅμως εἰ καὶ βραχὺ τὸ μέσον, ἐπειδὴ ὅλως ἐστί τι μέσον, οὐκ οἴδαμεν μετ' ἀκριβείας ἀγγέλων οὐσίαν· κἂν μυρία φιλοσοφήσωμεν, εὑρεῖν οὐ δυνάμεθα. καὶ τί λέγω ἀγγέλων, ὅπου γε οὐδὲ αὐτῆς τῆς ψυχῆς τῆς ἡμετέρας ἴσμεν τὴν οὐσίαν καλῶς, μᾶλλον δὲ οὐδὲ ὁπωσοῦν; εἰ δὲ ἐκεῖνοι φιλονεικοῦσιν εἰδέναι, ἐρώτησον τί ποτέ ἐστι τὴν οὐσίαν ἡ ψυχή; ἆρα ἀήρ, ἢ πνεῦμα, ἢ ἄνεμος, ἢ πῦρ; ἀλλ' οὐδὲν τούτων ἐροῦσι. ταῦτα γὰρ πάντα σώματα, ἐκείνη δὲ ἀσώματος. εἶτα ἀγγέλους μὲν οὐκ ἴσασιν, οὐδὲ τὰς ἑαυτῶν ψυχάς, τὸν δὲ πάντων δεσπότην καὶ δημιουργὸν εἰδέναι φιλονεικοῦσι μετ' ἀκριβείας; καὶ τί ταύτης γένοιτ' ἂν χεῖρον τῆς ἀνοίας; καὶ τί λέγω, τὴν οὐσίαν ὁποία ἐστὶν ἡ ψυχή; ὅπως ἡμῶν ἐστιν ἐν τῷ σώματι, οὐδὲ τοῦτο ἴσμεν εἰπεῖν. τί

γάρ

α.Κορ η.α.

α.Κορ η.δ.

α Κορ η.ε.

Δευτ.ς.ι.

Ησ.μ.ιγ.

Ρωμ.ια.λδ.

α.Κορ.β.ια.

Λουκ.ι.κβ.

Ψαλ. η.ς.

γὰρ ἔχοι τις ἂν εἰπεῖν; ὅτι παρεκτείνεται τῷ τοῦ σώματος ὄγκῳ; ἀλλὰ τοῦτο ἄλογον. σωμάτων γὰρ ἴδιον τοῦτο. ὅτι δὲ ἐπὶ ψυχῆς οὐκ ἔστι τοῦτο, πολλάκις καὶ τῶν χειρῶν καὶ τῶν ποδῶν" ἐκκεκομμένων ὁλόκληρος ἐκείνη μένει, οὐδὲν ἀκρωτηριασθεῖσα ἀπὸ τῆς τοῦ σώματος πηρώσεως. ἀλλ' οὐκ ἔστιν ἐν ὅλῳ τῷ σώματι, ἀλλ' ἐν μέρει τινὶ συνείλεκται. οὐκοῦν ἀνάγκη νεκρὰ τὰ λοιπὰ γίνεσθαι" μέρη. τὸ γὰρ ἄψυχον πάντως νεκρόν. ἀλλ' οὐδὲ τοῦτο ἔστιν εἰπεῖν, ἀλλ' ὅτι μέν ἐστιν ἐν τῷ σώματι τῷ ἡμετέρῳ, ἴσμεν, τὸ δὲ πῶς, οὐκ ἴσμεν. διὰ γὰρ τοῦτο καὶ τὴν ταύτης γνῶσιν" ἀπέκλεισεν ὁ Θεός, ἐκ πολλῆς περιουσίας ἐπιστομίζων ἡμᾶς καὶ κατέχων, καὶ μηδὲν κάτω πείθων, καὶ τὰ ὑπὲρ ἡμᾶς μὴ περιεργάζεσθαι, μήτε πολυπραγμονεῖν.

Ἀλλ' ἵνα μὴ ἀπὸ λογισμῶν τὰ τοιαῦτα κατασκευάζωμεν, φέρε πάλιν ἐπὶ τὴν γραφὴν τὸν λόγον ἀγάγωμεν. Οὐχ ὅτι τὸν πατέρα ἑώρακέ τις, φησίν, εἰ μὴ ὁ ὢν ἐκ τοῦ Θεοῦ, οὗτος ἑώρακε τὸν πατέρα. καὶ τί τοῦτο, φησίν; οὐδέπω γὰρ αὐτῷ γνῶσιν ἀκριβῆ τοῦτο ἐμαρτύρησε τὸ ῥῆμα. ἀλλ' ὅτι μὲν αὐτὸν ἡ κτίσις οὐκ οἶδεν, ἐδήλωσεν εἰπών, οὐχ ὅτι τὸν πατέρα τις ἑώρακε· καὶ ὅτι ὁ υἱὸς αὐτὸν οἶδε, καὶ τοῦτο πάλιν ἐδήλωσε προσθείς, εἰ μὴ ὁ ὢν ἐκ τοῦ Θεοῦ, οὗτος ἑώρακε τὸν πατέρα. ὅτι μέντοι ἀκριβῶς αὐτὸν οἶδε, καὶ οὕτως ὡς αὐτὸς ἑαυτόν, οὐδέπω τοῦτο ἀποδέδεικται. ἐνδέχεται γάρ, φησι, μηδὲ τὴν κτίσιν αὐτὸν εἰδέναι σαφῶς, μήτε τὸν υἱόν, ἀλλ' ἐκείνης μὲν σαφέστερον, τὴν μέντοι ἀκριβῆ κατάληψιν μηδὲ τοῦτον ἔχειν. ὅτι μὲν γὰρ αὐτὸν ὁρᾷ, ὅπερ ἐστί, καὶ γινώσκει, εἶπεν· ὅτι δὲ αὐτὸν ἀκριβῶς γινώσκει, καὶ οὕτως ὡς αὐτὸς ἑαυτόν, οὔπω τοῦτο ἐδήλωσε. βούλεσθε οὖν καὶ τοῦτο ἀπὸ τῶν γραφῶν πιστωσώμεθα, καὶ ἀπ' αὐτῆς τῆς τοῦ Χριστοῦ φωνῆς; οὐκοῦν ἀκούσωμεν τί φησι πρὸς τοὺς Ἰουδαίους. Καθὼς γινώσκει με ὁ πατήρ, κἀγὼ γινώσκω τὸν πατέρα. τί ταύτης ἀκριβέστερον τῆς γνώσεως βούλει; ἐρώτησον λοιπὸν τὸν ἀντιλέγοντα· οἶδεν ἀκριβῶς τὸν υἱὸν ὁ πατήρ, καὶ πᾶσαν αὐτοῦ τὴν γνῶσιν ἔχει, καὶ οὐδὲν αὐτὸν λανθάνει τῶν κατὰ τὸν υἱόν, ἀλλ' ἀπηρτισμένη ἐστὶν ἡ εἴδησις; ναί, φησιν. οὐκοῦν ὅταν ἀκούσῃς, ὅτι καὶ ὁ υἱὸς οὕτως οἶδε τὸν πατέρα, ὡς αὐτὸς τὸν υἱόν, μηδὲν ἔτι ζήτει πλέον, οὕτω μετὰ ἀκριβείας τῆς γνώσεως ἐξισαζούσης. καὶ γὰρ καὶ ἀλλαχοῦ τοῦτο αὐτὸ ἐμφαίνων ἔλεγεν· Οὐδεὶς γινώσκει τὸν υἱόν, εἰ μὴ ὁ πατήρ, οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ υἱός, καὶ ᾧ ἂν βούληται ὁ υἱὸς ἀποκαλύψαι· ἀποκαλύπτει δὲ οὐχ ὅσον αὐτὸς * οἶδεν, ἀλλ' ὅσον ἡμεῖς" χωροῦμεν. εἰ γὰρ ὁ Παῦλος τοῦτο ποιεῖ, πολλῷ μᾶλλον ὁ Χριστός. καὶ γὰρ ἐκεῖνός φησι τοῖς" ἑαυτοῦ μαθηταῖς, Ὅτι οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς. ὡς νηπίοις ἐν Χριστῷ γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα. οὔπω γὰρ ἐδύνασθε. ἀλλὰ Κορινθίοις τοῦτο, φησίν, ἔλεγε μόνον. τί οὖν ἂν δείξωμεν εἰδότα καὶ ἕτερά τινα, ἃ μηδεὶς τῶν ἀνθρώπων ἔμαθεν ἤδη, καὶ ἀπῆλθε μόνος αὐτὰ τῶν πάντων ἀνθρώπων εἰδώς; καὶ ποῦ τοῦτο ἔστιν εὑρεῖν; ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ. οὗτος γάρ ἐστιν ὁ λέγων, Ὅτι ἤκουσα ῥήματα ἄρρητα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι. ἀλλ' ὅμως καὶ αὐτὸς οὗτος καὶ τότε ἀκούσας" ῥήματα ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι, μερικὴν ἔχει γνῶσιν, καὶ πολὺ τῆς μελλούσης ἀποδέουσαν. αὐτὸς γὰρ ὁ ταῦτα εἰπὼν κἀκεῖνα εἴρηκεν, Ὅτι ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν· καί, Ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· καί, Ἄρτι βλέπω δι' ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον. ὥστε ἐκ τούτων ἡμῖν ἅπασα αὐτῶν ἡ σκευωρία διελήλεγκται. ὅταν γὰρ αὐτὴ ἡ οὐσία ἀγνοῆται, οὐχ ὅτι ἐστίν, ἀλλὰ τί ἐστιν, ἐσχάτης ἂν εἴη μανίας καὶ ὄνομα αὐτῇ τιθέναι. καίτοι γε καὶ εἰ δήλη καὶ γνώριμος ἦν, οὐδὲ οὕτως ἦν ἡμῖν ἀσφαλὲς αὐτὸν οἴκοθεν καὶ παρ' ἑαυτῶν προσηγορίαν ἐπιτιθέναι τῇ τοῦ δεσπότου οὐσίᾳ. εἰ γὰρ ὁ Παῦλος οὐκ ἐτόλμησε ταῖς ἄνω δυνάμεσιν" ὀνόματα ἐπιτιθέναι, ἀλλ' εἰπών, Ὅτι ἐκάθισε" τὸν Χριστὸν ἐπάνω πάσης ἀρχῆς, καὶ ἐξουσίας, καὶ δυνάμεως, καὶ παντὸς ὀνόματος

Ἰωαν. α. ιη.

Ἰωαν. ι. ιε.

Ματθ. ια. κζ.

α. Κορ. γ. α.

β. Κορ. ιβ. δ.

α. Κορ. ιγ. θ.

α. Κορ. ιγ. ια.

Ἐφ. α. κ.

ματος ὀνομαζομένου οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι· καὶ διδάξας ἡμᾶς ὅτι ἐστί τινα ὀνόματα τῶν δυνάμεων, ἃ τότε εἰσόμεθα, οὐκ ἐθάρρησεν ἕτερα αὐτὰς ἀντ᾽ ἐκείνων θεῖναι, οὐδὲ αὐτὰ ἐκεῖνα περιεργάσασθαι, τίνος ἂν εἶεν ἄξιοι συγγνώμης, ἢ ποίας ἀπολογίας, οἱ ἐπὶ τῆς τοῦ δεσπότου οὐσίας ταῦτα τολμῶντες; ὅταν δὲ καὶ αὐτὴ ἡ οὐσία ἀγνοῆται, καθάπερ τοὺς παραπαίοντας αὐτοὺς ἀποστρέφεσθαι χρή. ὅτι μὲν γὰρ ἀγέννητός ἐστιν ὁ Θεός, δῆλον· ὅτι δὲ τοῦτό ἐστιν αὐτοῦ τῆς οὐσίας τὸ ὄνομα, οὐδεὶς προφήτης εἶπεν, οὐδεὶς ἀπόστολος ἠνίξατο, οὐδεὶς εὐαγγελιστής. καὶ μάλα εἰκότως. οἱ γὰρ αὐτὴν τὴν οὐσίαν ἀγνοοῦντες, πῶς ὄνομα αὐτῆς λέγειν ἤμελλον; καὶ τί λέγω περὶ τῶν θείων γραφῶν, ὅπου γε τοσαύτη τῆς ἀτοπίας ἡ ὑπερηφανία, καὶ τῆς παρανομίας ἡ ὑπερβολή, ὡς μηδὲ τοὺς τῆς ἀληθείας ἀποπλανηθέντας Ἕλληνας ἐπιχειρῆσαί ποτέ τι τοιοῦτον εἰπεῖν; οὐδεὶς γὰρ οὐδὲ ἐκείνων ἐτόλμησε θείας οὐσίας ὅρον ἐκθέσθαι, καὶ ἑνὶ ὀνόματι περιλαβεῖν. καὶ τί λέγω, θείας οὐσίας, ὅπου γε καὶ περὶ τῆς τῶν ἀσωμάτων φύσεως φιλοσοφοῦντες, οὐδὲ ταύτης ἀπηρτισμένον ὅρον ἐξέθεντο, ἀλλ᾽ ἀμυδράν τινα ἐξήγησιν, καὶ ὑπογραφὴν μᾶλλον ἢ ὅρον; ἀλλὰ τίς ὁ σοφὸς αὐτῶν λόγος; οὐκ οἶδας οὖν ὃ σέβεις, φησί. μάλιστα μὲν οὐδὲ ἀποκρίνασθαι πρὸς τοῦτο ἔδει, τοσαύτης ἀποδείξεως ἐκ τῶν γραφῶν γεγυμνασμένης, ὅτι ἀδύνατον εἰδέναι τί τὴν οὐσίαν ἐστὶν ὁ Θεός. ἐπειδὴ δὲ οὐ πρὸς ἔχθραν φθεγγόμεθα, ἀλλ᾽ ὥστε αὐτοὺς διορθῶσαι, φέρε δείξωμεν, ὅτι οὐ τὸ ἀγνοεῖν τί τὴν οὐσίαν ἐστὶν ὁ Θεός, ἀλλὰ τὸ φιλονεικεῖν εἰδέναι, τοῦτό ἐστιν ἀγνοεῖν τὸν Θεόν. εἰπὲ γάρ μοι· εἰ δύο ἀνθρώπων φιλονεικούντων πρὸς ἀλλήλους εἰδέναι τοῦ οὐρανοῦ τὸ μέγεθος, ὁ μὲν εἷς λέγει μὴ δύνασθαι ἀνθρώπινον αὐτὸ καταλαμβάνειν ὀφθαλμόν, ὁ δὲ ἕτερος φιλονεικοίη δυνατὸν εἶναι τῇ σπιθαμῇ τῆς χειρὸς πάντα αὐτὸν μετρήσαντα ἐπελθεῖν· τίνα ἂν φήσωμεν εἰδέναι μέγεθος οὐρανοῦ; τὸν φιλονεικοῦντα εἰδέναι πόσας ἔχει σπιθαμάς, ἢ τὸν ὁμολογοῦντα ἀγνοεῖν; εἶτα ἐπὶ μὲν οὐρανοῦ, ὁ παραχωρῶν τῷ μεγέθει, οὗτος ἔσται ὁ μᾶλλον εἰδὼς τὸ μέγεθος· ἐπὶ δὲ τοῦ Θεοῦ οὐδὲ ταύτῃ χρησόμεθα τῇ εὐλαβείᾳ; καὶ πῶς οὐκ ἐσχάτης τοῦτο παραπληξίας; ὅτι γὰρ τοσοῦτον ἀπαιτούμεθα μόνον εἰδέναι, ὅτι ἐστὶ Θεός, οὐχὶ περιεργάζεσθαι αὐτοῦ τὴν οὐσίαν, ἄκουσον τί φησιν ὁ Παῦλος. Πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ, ὅτι ἐστί. καὶ πάλιν ὁ προφήτης ἐγκαλῶν ἀσέβειάν τινι, οὐ τοῦτο ἐγκαλεῖ, ὅτι οὐκ οἶδε τί ἐστιν ὁ Θεός, ἀλλ᾽ ὅτι οὐκ οἶδεν ὅτι ἐστὶ Θεός. Εἶπε γάρ, φησιν, ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. ὥσπερ οὖν ἐκεῖνον ἀσεβῆ ποιεῖ, οὐ τὸ ἀγνοεῖν τί τὴν οὐσίαν ἐστὶν ὁ Θεός, ἀλλὰ τὸ ἀγνοεῖν ὅτι ἐστὶ Θεός, οὕτως ἀρκεῖ πρὸς εὐσέβειαν τὸ εἰδέναι ὅτι ἐστὶ Θεός. ἀλλ᾽ ἔχουσί τινα μεμελετημένον καὶ ἕτερον λόγον. τίνα δὴ τοῦτον; Εἴρηται, φησί, πνεῦμα ὁ Θεός. τοῦτο οὖν τῆς οὐσίας αὐτοῦ παραστατικόν, εἰπέ μοι; καὶ τίς ταῦτα ἀνέξεται, κἂν ὁπωσοῦν ἐπὶ θύρας τῶν θείων γραφῶν ἑστώς; ἔσται γὰρ κατὰ τοῦτον τὸν λόγον καὶ πῦρ ὁ Θεός. ὥσπερ γὰρ γέγραπται ὅτι πνεῦμα ὁ Θεός, οὕτω γέγραπται ὅτι ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον, καὶ πάλιν πηγὴ ὕδατος ζῶντος. οὐ πνεῦμα δέ, καὶ πηγή, καὶ πῦρ ἔσται μόνον, ἀλλὰ καὶ ψυχή, καὶ ἄνεμος, καὶ νοῦς ἀνθρώπινος, καὶ ἕτερα πολλῷ τούτων ἀτοπώτερα. οὐ γὰρ δὴ πάντα ἐπεξιέναι χρὴ τῷ λόγῳ, οὐδὲ τὴν ἐκείνων μιμεῖσθαι μανίαν. τὸ γὰρ πνεῦμα τοῦτο πολλὰ δηλοῖ, δηλοῖ τὴν ψυχὴν τὴν ἡμετέραν, καθάπερ καὶ Παῦλός φησι· Παράδοτε τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ· καὶ ἄνεμον, καθάπερ ὁ προφήτης λέγει, Πνεύματι βιαίῳ συντρίψεις αὐτούς. καλεῖται δὲ καὶ τὸ χάρισμα τὸ πνευματικὸν οὕτως. Αὐτὸ γὰρ τὸ πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, φησί. καὶ πάλιν, Προσεύξομαι δὲ τῷ πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ. καλεῖται δὲ καὶ ὁ θυμὸς οὕτω. καὶ γὰρ ὁ Ἡσαΐας φησίν· Οὐ σὺ ἦσθα ὁ μελετῶν τῷ πνεύματί σου τῷ σκληρῷ ἀνελεῖν αὐτούς; καλεῖται δὲ καὶ ἡ βοήθεια ἡ παρὰ τοῦ Θεοῦ πνεῦμα.

Εβρ. ια ϛ.
Ψαλ. ιδ. α.
Ιωάν. δ. κδ.
Εβρ ιγ κθ.
Παρ ις. κϛ.
α Κορ. ε ε.
Ψαλ. μζ η.
Ρω. η ις.
α. Κορ. ιδ ιε.
Ησ. κζ η

πνεῦμα γὰρ πρὸ προσώπου ἡμῶν Χριστὸς Ἰησοῦς. ταῦτα οὖν ἅπαντα ἡμῖν ὁ Θεὸς ἔσται καὶ ἐκείνοις, καὶ ἐκ τοσούτων συγκείσεται).

Ἀλλὰ γὰρ ἵνα μὴ ληρῶμεν, τὰ μηδὲ ἀντιλογίας δεόμενα παράγοντες εἰς μέσον, φέρε ἐνταῦθα τὸν πρὸς αὐτοὺς καταλύσαντες λόγον, ἐπὶ τὴν εὐχὴν τὸ πᾶν τρέψωμεν· ὅσῳ μειζόνως ἀσεβοῦσι, τοσούτῳ πλέον ὑπὲρ αὐτῶν παρακαλοῦντες, καὶ δεόμενοι ἀποστῆναί ποτε τῆς μανίας αὐτούς. οὕτω γὰρ ἀποδεκτὸν ἐνώπιον τοῦ σωτῆρος ἡμῶν Θεοῦ, Ὃς θέλει πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. μὴ τοίνυν διαλείπωμεν τὰς ὑπὲρ αὐτῶν ἱκετηρίας ποιούμενοι. μέγα γὰρ ὅπλον εὐχή, θησαυρὸς ἀνελλιπής, πλοῦτος μηδέποτε δαπανώμενος, λιμὴν ἀκύμαντος, γαλήνης ὑπόθεσις, καὶ μυρίων ἀγαθῶν ῥίζα καὶ πηγὴ καὶ μήτηρ ἐστὶν ἡ εὐχή, καὶ αὐτῆς τῆς βασιλείας δυνατωτέρα. πολλάκις γοῦν αὐτοῦ τοῦ τὸ διάδημα περικειμένου πυρέττοντος, καὶ ἐπὶ τῆς κλίνης κειμένου καὶ φλεγομένου, παρεστήκασιν ἰατροί, δορυφόροι, θεράποντες, στρατηγοί· καὶ οὔτε ἰατρῶν τέχνη, οὔτε παρουσία φίλων, οὐκ οἰκετῶν διακονία, οὐ φαρμάκων δαψίλεια, οὐ πολυτέλεια διαίτης, οὐ χρημάτων περιουσία, οὐκ ἄλλο οὐδὲν τῶν ἀνθρωπίνων ἴσχυε παραμυθήσασθαι τὴν ἐπικειμένην ἀρρωστίαν. ἐὰν δέ τις παρρησίαν ἔχων πρὸς τὸν Θεὸν εἰσέλθῃ, καὶ τοῦ σώματος ἅψηται μόνον, καὶ καθαρὰν ὑπὲρ αὐτοῦ ποιήσῃ τὴν εὐχήν, ἅπασαν τὴν ἀρρωστίαν τοῦ σώματος ἐφυγάδευσε. καὶ ὅπερ οὐκ ἴσχυσεν ὁ πλοῦτος, καὶ τὸ τῶν διακονουμένων πλῆθος, καὶ ἡ τῆς ἐμπειρίας ἐπιστήμη, καὶ ὁ τῆς βασιλείας ὄγκος, τοῦτο ἴσχυσεν ἑνὸς πένητος πολλάκις καὶ πτωχεύοντος εὐχή. εὐχὴν δὲ λέγω οὐ τὴν ψιλὴν ταύτην καὶ ῥᾳθυμίας γέμουσαν, ἀλλὰ τὴν μετ' ἐκτενείας γινομένην, μετὰ ὀδυνωμένης ψυχῆς, μετὰ συντεταμένης διανοίας. αὕτη γάρ ἐστιν ἡ πρὸς τὸν οὐρανὸν ἀναβαίνουσα. καὶ καθάπερ τὰ ὕδατα ἕως μὲν ἂν ἐπὶ ἰσοπέδου φέρηται * καὶ πολλῆς ἀπολαύῃ τῆς εὐρυχωρίας, οὐκ ἀνίσταται πρὸς ὕψος· ἐπειδὰν δὲ αὐτὰ χεῖρες ὀχετηγῶν κάτωθεν περισφίγξασαι θλίψωσι, στενοχωρούμενα βέλους παντὸς ὀξύτερον πρὸς τὸ ὕψος ἐξακοντίζεται· οὕτω δὴ καὶ ἡ ἀνθρωπίνη διάνοια, ἕως μὲν ἂν ἀδείας ἀπολαύῃ πολλῆς, διαχεῖται καὶ διαρρεῖ· ἐπειδὰν δὲ πραγμάτων περίστασις κάτωθεν αὐτὴν στενοχωρήσῃ, ἀποθλιβομένη καλῶς καθαρὰς καὶ εὐτόνους πρὸς τὸ ὕψος ἀναπέμπει τὰς εὐχάς. καὶ ἵνα μάθῃς ὅτι μάλιστα ἐκεῖναι ἐπακούεσθαι δύνανται αἱ εὐχαὶ αἱ μετὰ θλίψεως γινόμεναι, ἄκουσον τί φησιν ὁ προφήτης. Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου. διαθερμαίνωμεν τοίνυν τὸ συνειδός, θλίψωμεν τὴν ψυχὴν τῇ μνήμῃ τῶν ἁμαρτημάτων, θλίψωμεν, οὐχ ἵνα στενοχωρήσωμεν, ἀλλ' ἵνα ἀκουσθῆναι παρασκευάσωμεν, ἵνα νήφειν ποιήσωμεν καὶ ἐγρηγορέναι, καὶ αὐτῶν ἅπτεσθαι τῶν οὐρανῶν. οὐδὲν οὕτω φυγαδεύει ῥᾳθυμίαν καὶ ὀλιγωρίαν, ὡς ὀδύνη καὶ θλῖψις πανταχόθεν συνάγουσα τὴν διάνοιαν, καὶ πρὸς ἑαυτὴν ἐπιστρέφουσα. ὁ θλιβόμενος οὕτω καὶ εὐχόμενος πολλὴν μετὰ τὴν εὐχὴν εἰς τὴν ψυχὴν τὴν ἑαυτοῦ τὴν ἡδονὴν εἰσοικίσαι δύναται. καὶ καθάπερ νεφῶν συνδρομὴ παρὰ μὲν τὴν ἀρχὴν ζοφερὸν ποιεῖ τὸν ἀέρα, ἐπειδὰν δὲ ἐπαλλήλους ἐπαφῇ τὰς νιφάδας ἀποθεμένη τὸν ὑετόν, πάντα γαλήνιον καὶ φαιδρὸν ἐργάζεται τὸν τόπον· οὕτω δὴ ἡ ἀθυμία, ἕως μὲν ἂν ἔνδον συστρέφηται, σκοτοῖ τὸν ἡμέτερον λογισμόν· ἐπειδὰν δὲ διὰ τῶν τῆς εὐχῆς ῥημάτων, καὶ τῶν μετ' ἐκείνων δακρύων κενωθῇ καὶ εἰς τὸ ἔξω διαπνεύσῃ, πολλὴν ἐντίθησι τῇ ψυχῇ τὴν φαιδρότητα, τῆς τοῦ Θεοῦ ἀντιλήψεως, καθάπερ ἀκτῖνός τινος, εἰς τὴν διάνοιαν ἀφεθείσης τοῦ εὐχομένου. ἀλλὰ τίς ὁ ψυχρὸς τῶν πολλῶν λόγος; ἀπαρρησίαστός εἰμι, φησιν, αἰσχύνης γέμω, οὐδὲ ἀνοῖξαι τὸ στόμα δύναμαι. Σατανικὴ αὕτη ἡ εὐλάβεια, ῥᾳθυμίας ταῦτα τὰ προκαλύμματα. ἀποκλεῖσαι γάρ σοι τὰς θύρας τῆς πρὸς τὸν Θεὸν προσόδου βούλεται ὁ διάβολος. εἰπέ μοι, ἀπαρρησίαστος εἶ; μεγάλη

α. Τιμ. β. δ.

Ψαλ. ρι. α.

γάλη παῤῥησία, μέγα τοῦτο αὐτὸ τὸ ὄφελος, τὸ νομίζειν ἀπαῤῥησίαστος εἶναι, ὥσπερ οὖν ἐσχάτη αἰσχύνη καὶ κατάκρισις τὸ νομίζειν παῤῥησίαν ἔχειν. κἂν γὰρ πολλὰ ἔχῃς κατορθώματα, καὶ μηδὲν ἑαυτῷ συνειδῇς πονηρὸν, νομίζῃς δὲ παῤῥησίαν ἔχειν, πάσης ἐξέπεσες τῆς εὐχῆς· ἂν δὲ μυρία φέρῃς ἁμαρτημάτων φορτία ἐπὶ τοῦ συνειδότος, καὶ μόνον τοῦτο πείσῃς σεαυτὸν, ὅτι πάντων ἔσχατος εἶ, πολλὴν ἕξεις πρὸς τὸν Θεὸν παῤῥησίαν. καί τοι τοῦτο οὔπω ταπεινοφροσύνη ἐστὶ, τὸ ὄντα ἁμαρτωλὸν νομίζειν εἶναι ἁμαρτωλόν. ταπεινοφροσύνη γάρ ἐστιν, ὅταν τις πολλὰ καὶ μεγάλα συνειδὼς ἑαυτῷ, μηδὲν μέγα περὶ ἑαυτοῦ φαντάζηται· ὅταν τις κατὰ Παῦλον ὢν καὶ δυνάμενος λέγειν, Οὐδὲν ἐμαυτῷ σύνοιδα, λέγῃ πάλιν, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι· καὶ αὖθις, Χριστὸς Ἰησοῦς ἦλθεν ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. τοῦτό ἐστι ταπεινοφροσύνη, τὸ ὑψηλὸν ὄντα ἀπὸ κατορθωμάτων, ταπεινοῦν ἑαυτὸν ἀπὸ διανοίας. ἀλλ' ὅμως ὁ Θεὸς διὰ τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν οὐχὶ τοὺς ταπεινοφρονοῦντας μόνον, ἀλλὰ καὶ τοὺς εὐγνωμόνως [μόνον] τὰ ἁμαρτήματα αὐτῶν λέγοντας προσίεται, καὶ δέχεται, καὶ γίνεται ἵλεως καὶ εὐμενὴς τοῖς οὕτω διακειμένοις. καὶ ἵνα μάθῃς ὅσον ἐστὶν ἀγαθὸν μηδὲν μέγα περὶ ἑαυτοῦ φαντάζεσθαι, ἅρματα δύο ποίησον τῷ λόγῳ· ζεῦξον δικαιοσύνην καὶ ἀπόνοιαν καὶ ἁμαρτίαν μετὰ ταπεινοφροσύνης, καὶ ὄψει τὸ ζεῦγος τῆς ἁμαρτίας παραλαμβάνον τὴν δικαιοσύνην, οὐ παρὰ τὴν οἰκείαν δύναμιν, ἀλλὰ παρὰ τὴν ἰσχὺν τῆς συζύγου τῆς ταπεινοφροσύνης· κἀκεῖνο πάλιν ἐλαττούμενον, οὐ παρὰ τὴν ἀσθένειαν τῆς δικαιοσύνης, ἀλλὰ παρὰ τὸ βάρος καὶ τὸν ὄγκον τῆς ἀπονοίας. ὥσπερ γὰρ ἡ ταπεινοφροσύνη διὰ τὸ ὑπερβάλλον αὐτῆς ὕψος τῆς ἁμαρτίας νικᾷ τὴν βαρύτητα, καὶ φθάνει πρὸς τὸν οὐρανὸν ἀναβῆναι· οὕτω καὶ ἡ ἀπόνοια διὰ τὸ πολὺ βάρος αὐτῆς καὶ τὸν ὄγκον ἴσχυσε καὶ τῆς κουφοτάτης δικαιοσύνης περιγενέσθαι, καὶ καθελκῦσαι κάτω ῥᾳδίως αὐτήν. καὶ ὅτι τοῦτο ἐκείνου τὸ ζεῦγος ταχύτερον, ἀναμνήσθητι τοῦ Φαρισαίου καὶ τοῦ τελώνου. ἔζευξεν ὁ Φαρισαῖος δικαιοσύνην καὶ ἀπόνοιαν οὕτω λέγων· Εὐχαριστῶ σοι, ὁ Θεὸς, ὅτι οὐκ εἰμὶ ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, πλεονέκται, οὐδὲ ὡς οὗτος ὁ τελώνης. ὢ τῆς μανίας*. οὐκ ἐκόρεσεν αὐτοῦ τὴν ἀπόνοιαν πᾶσα ἡ τῶν ἀνθρώπων φύσις, ἀλλὰ καὶ τῷ τελώνῃ πλησίον ἑστῶτι μετὰ πολλῆς ἐπεπήδησε τῆς ἀπονοίας. τί οὖν ἐκεῖνος; οὐ διεκρούσατο τὰ ὀνείδη, οὐκ ἤλγησεν ἐπὶ τῇ κατηγορίᾳ, ἀλλὰ κατεδέξατο τὸ εἰρημένον μετ' εὐγνωμοσύνης, καὶ γέγονε τὸ τοῦ ἐχθροῦ βέλος αὐτῷ φάρμακον καὶ ἴασις, καὶ τὸ ὄνειδος ἐγκώμιον, καὶ ἡ κατηγορία στέφανος. [ὁ Θεὸς, εὐχαριστῶ σοι, ὅτι οὐκ εἰμὶ ὡς οἱ πολλοὶ τῶν ἀνθρώπων, ἢ ὡς οὗτος ὁ τελώνης· νηστεύω δὶς τοῦ σαββάτου· ἀποδεκατῶ ὅσα κτῶμαι. τί λέγεις, ἄθλιε; ἐπὶ νηστείᾳ μεγαλαυχεῖς; οὐκ αἰσθάνῃ τοιαύτην ὑπεροψίαν νοσῶν; τῆς σῆς ὑπερβαλλούσης ἀλαζονείας τὸν ὄγκον οὐχ ὁρᾷς; διϋλίζεις τὸν κώνωπα, τὴν δὲ κάμηλον καταπίνεις; καὶ νομομαθῆ σεαυτὸν λέγων, τὸ γεγραμμένον ἀγνοεῖς· Ἐγκωμιαζέτω σε ὁ πέλας, καὶ μὴ τὸ σὸν στόμα· ἀλλότριος, καὶ μὴ τὰ χείλη τὰ σά; ὁ δὲ τελώνης μακρόθεν ἑστὼς, οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς ἐπᾶραι εἰς τὸν οὐρανὸν, ἀλλ' ἔτυπτε τὸ στῆθος αὐτοῦ λέγων· ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. ἤκουσεν ὁ φιλάνθρωπος τῶν ταπεινῶν ῥημάτων, καὶ εὐθέως τὸν στέφανον ἐχαρίσατο. λέγω δὲ ὑμῖν, κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ.] Τοσοῦτόν ἐστι ταπεινοφροσύνη καλὸν, τοσοῦτόν ἐστι κέρδος μὴ δάκνεσθαι ταῖς παρ' ἑτέρων λοιδορίαις, μηδὲ ἐκθηριοῦσθαι πρὸς τὰς τῶν πλησίον ὕβρεις. ἔστι γάρ τι καὶ ἀπ' αὐτῶν καρπώσασθαι μέγα καὶ γενναῖον ἀγαθόν· ὅπερ οὖν καὶ ἐπὶ τοῦ τελώνου γέγονεν. ἐδέξατο τὰ ὀνείδη, καὶ ἀπέθετο τὰ ἁμαρτήματα, καὶ εἰπὼν, Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, κατῆλθε δεδικαιωμένος παρ' ἐκεῖνον, καὶ λόγοι περιεγένοντο ἔργων, καὶ ῥήματα πράξεις ἐνίκησαν. ὁ μὲν γὰρ δικαιοσύνην προεβάλλετο, καὶ νηστείαν, καὶ δεκάτας· οὗτος δὲ ῥήματα εἶπε ψιλὰ, καὶ πάντα ἀπέθετο τὰ ἁμαρτήματα. οὐ γὰρ τῶν ῥημάτων ἤκουσεν ὁ Θεὸς μόνον, ἀλλὰ καὶ τὴν διανοί-

α. Κορ. δ. δ.
α. Τιμ. α. ιε.
Λουκ. ιη. ια.
Λουκ. ιη. ιγ.

δην, μεθ' ἧς ταῦτα προσέβαλλεν, εἶδε, καὶ τεταπεινωμένην εὑρὼν καὶ συντετριμμένην, ἠλέησε καὶ ἐφιλανθρωπεύσατο. Ταῦτα οὐχ ἵνα ἁμαρτάνωμεν λέγω, ἀλλ' ἵνα ταπεινοφρονῶμεν. Εἰ γὰρ τελώνης ἄνθρωπος τὸ ἔσχατον τῆς κακίας εἶδος, οὐχὶ ταπεινοφρονήσας, ἀλλ' εὐγνωμονήσας μόνον, καὶ τὰ ἁμαρτήματα εἰπὼν, καὶ ὅπερ ἦν ὁμολογήσας, τοσαύτην εὔνοιαν ἐπεσπάσατο παρὰ τοῦ Θεοῦ· πόσῳ οἱ μεγάλα μὲν κατορθωκότες ἀγαθὰ, μηδὲν μέγα περὶ ἑαυτῶν νομίζοντες, ἐπισπάσονται τὴν βοήθειαν; Διὰ τοῦτο παρακαλῶ καὶ δέομαι καὶ ἀντιβολῶ ἐξομολογεῖσθαι συνεχῶς τῷ Θεῷ. Οὐδὲ γὰρ εἰς θέατρόν σε ἄγω τῶν συνδούλων τῶν σῶν, οὐδὲ ἐκκαλύψαι τοῖς ἀνθρώποις ἀναγκάζω τὰ ἁμαρτήματα· τὸ συνειδὸς ἀνάπτυξον ἔμπροσθεν τοῦ Θεοῦ, καὶ αὐτῷ δεῖξον τὰ τραύματα, καὶ παρ' αὐτοῦ τὰ φάρμακα αἴτησαι· δεῖξον τῷ μὴ ὀνειδίζοντι [σε], ἀλλὰ θεραπεύοντι. Κἂν γὰρ σὺ σιγήσῃς, οἶδεν ἐκεῖνος ἅπαντα. Εἰπὲ τοίνυν, ἵνα κερδήσῃς [αὐτόν], εἰπὲ, ἵνα ἐνταῦθα ἀποθέμενος πάντα τὰ ἁμαρτήματα, ἀπέλθῃς ἐκεῖ καθαρὸς καὶ ἔξω τῶν πλημμελημάτων, καὶ τῆς ἀφορήτου δημοσιεύσεως ἐκείνης ἀπαλλαγῇς. Οἱ τρεῖς παῖδες ἐν καμίνῳ ἦσαν, καὶ τὴν ψυχὴν ἐπιδεδώκεσαν ὑπὲρ τῆς εἰς τὸν δεσπότην ὁμολογίας· ἀλλ' ὅμως μετὰ τοσαῦτα καὶ τοιαῦτα κατορθώματα λέγουσιν· Δαν. γ. λγ. Οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα, αἰσχύνη καὶ ὄνειδος ἐγενήθημεν τοῖς δούλοις σου καὶ τοῖς σεβομένοις σε. Τί οὖν ἀνοίγετε στόμα; ἵνα αὐτὸ τοῦτο εἴπωμεν, φησὶν, ὅτι οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα· καὶ αὐτῷ τούτῳ τὸν δεσπότην ἐπισπασώμεθα. Εὐχῆς δύναμις δύναμιν πυρὸς ἔσβεσε, λεόντων θυμὸν ἐχαλίνωσε, πολέμους ἔλυσε, μάχας ἔπαυσε, χειμῶνας ἀνεῖλε, δαίμονας ἤλασεν, οὐρανοῦ πύλας ἀνέῳξε, δεσμὰ θανάτου διέκοψεν, ἀρρωστίας ἐφυγάδευσεν, ἐπηρείας ἀπεκρούσατο, πόλεις σειομένας ἔστησε, καὶ τὰς ἄνωθεν φερομένας πληγὰς καὶ τὰς παρὰ ἀνθρώπων ἐπιβουλὰς καὶ πάντα ἁπλῶς ἀνεῖλεν εὐχὴ τὰ δεινά. Εὐχὴν δὲ λέγω πάλιν, οὐ τὴν ἁπλῶς ἐπὶ τοῦ στόματος κειμένην, ἀλλὰ τὴν ἐκ τοῦ βάθους τῆς διανοίας ἀνιοῦσαν. Καθάπερ γὰρ * τῶν δένδρων ὅσαπερ ἂν πρὸς τὸ βάθος παραπέμψῃ τὰς ῥίζας, κἂν μυρίας ἀνέμων δέξηται προσβολὰς, οὐ διακλᾶται, οὐδὲ ἀνασπᾶται, τῶν ῥιζῶν μετὰ ἀκριβείας τῷ βάθει τῆς γῆς περισφιγγομένων· οὕτω δὴ καὶ εὐχαὶ αἱ κάτωθεν ἐκ τοῦ βάθους τῆς διανοίας ἀναπεμπόμεναι, ἐῤῥιζωμέναι μετὰ ἀσφαλείας, πρὸς ὕψος ἀνατείνονται, καὶ οὐδεμιᾷ λογισμοῦ προσβολῇ παρατρέπονται. Διὰ τοῦτο καὶ ὁ προφήτης φησὶν, Ψαλμ. ρλ. α. Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε. Ταῦτα λέγω, οὐχ ἵνα ἐπαινῆτε μόνον, ἀλλ' ἵνα καὶ ἐπὶ τῶν ἔργων ἐπιδείκνυσθε. Εἰ γὰρ τὸ πρὸς ἀνθρώπους ἐξειπεῖν τὰς οἰκείας συμφορὰς καὶ τὰ κατειληφότα ἐκτραγῳδῆσαι κακὰ, φέρει τινὰ τοῖς ὀδυνωμένοις παραμυθίαν, ὥσπερ τινὸς διαπνοῆς διὰ τοῦ λόγου γινομένης, πολλῷ μᾶλλον, ἂν πρὸς τὸν δεσπότην ἀνακοινώσῃ τις τὰ τῆς οἰκείας ψυχῆς παθήματα, λήψῃ τινὰ ψυχαγωγίαν, καὶ παραμυθίαν πολλήν. Ἄνθρωπος μὲν γὰρ καὶ βαρύνεται πολλάκις τὸν πρὸς αὐτὸν ἀποδυρόμενον καὶ θρηνοῦντα, καὶ διακρούεται καὶ ἀπωθεῖται· ὁ δὲ Θεὸς οὐχ οὕτως, ἀλλὰ καὶ προσίεται καὶ ἐπισπᾶται· κἂν διημερεύσῃς ἀνακοινούμενος αὐτῷ τὰς συμφορὰς, τότε σε μᾶλλον φιλεῖ καὶ ἐπινεύει σου ταῖς ἱκετείαις. Ματθ. ια. κη. Τοῦτο γοῦν αὐτὸ ἐνδεικνύμενος ὁ Χριστὸς ἔλεγε· Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Καλεῖ [οὖν], μὴ παρακούσωμεν· ἐπισπᾶται, μὴ ἀποπηδήσωμεν· κἂν μυρία ἁμαρτήματα ἔχωμεν, τότε μειζόνως προστρέχωμεν. Ματθ. θ. ιγ. Καὶ γὰρ τοὺς τοιούτους καλεῖ. Οὐκ ἦλθον, φησὶ, καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν· β. Κορ. α. γ. καὶ ἐνταῦθα τοὺς πεφορτισμένους, τοὺς πεπονηκότας, τοὺς ἐκ τοῦ βάρους τῶν ἁμαρτημάτων κεκοπιωμένους λέγει. Θεὸς παρακλήσεως λέγεται, Θεὸς οἰκτιρμῶν, ἐπειδὴ τοῦτο αὐτῷ ἔργον διηνεκὲς, τοὺς ὀδυνωμένους, τοὺς θλιβομένους παραμυθεῖσθαι καὶ παρακαλεῖν, κἂν μυρία ἁμαρτήματα ἔχωσι· μόνον ἐπιδῶμεν ἑαυτοὺς, μόνον προσδράμωμεν αὐτῷ, καὶ μὴ ἀποστῶμεν, καὶ διὰ τῆς πείρας αὐτῆς εἰσόμεθα τῶν εἰρημένων τὴν ἀλήθειαν.

οὐδὲν ἡμᾶς τῶν ὄντων λυπῆσαι δυνήσεται, ἐὰν ἔχωμεν ἐκείνην καὶ ἠκριβωμένην εὐχήν. ὅπερ γὰρ ἂν ἐπέλθῃ, ῥᾳδίως διὰ ταύτης ἀποκρουσόμεθα. καὶ τί θαυμαστόν, εἰ περιστάσεις ἀνθρωπίνας λύειν οἶδεν εὐχῆς δύναμις, ὅπουγε καὶ ἁμαρτημάτων φύσιν σβέννυσι καὶ ἀφανίζει ῥᾳδίως; ἵνα οὖν καὶ μετ' εὐκολίας τὸν παρόντα διανύσωμεν βίον, καὶ ὅσα προσετρίψάμεθα ἁμαρτήματα, ταῦτα ἀποθώμεθα, καὶ μετὰ παρρησίας στῶμεν ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ, τοῦτο διηνεκῶς κατασκευάζωμεν ἑαυτοῖς τὸ φάρμακον, ἀπὸ δακρύων, καὶ σπουδῆς, καὶ προσεδρίας, καὶ καρτερίας συντιθέντες αὐτό. οὕτω γὰρ * διηνεκοῦς ἀπολαυσόμεθα τῆς ὑγείας, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΡΟΣ ΤΟΥΣ ΑΠΟΛΕΙΦΘΕΝΤΑΣ ΤΗΣ ΣΥΝΑΞΕΩΣ,

καὶ τοῦ ὁμοούσιον εἶναι τὸν υἱὸν τῷ πατρὶ ἀπόδειξις· καὶ ὅτι τὰ ταπεινῶς εἰρημένα
καὶ γεγενημένα παρ' αὐτοῦ οὐ δι' ἀσθένειαν δυνάμεως, οὐδὲ δι' ἐλάττωσιν ἐγίνετο καὶ
ἐλέγετο, ἀλλὰ δι' οἰκονομίας διαφόρους· καὶ πρὸς Ἀνομοίους λόγ. ϛ.

Πάλιν ἱπποδρομίαι, καὶ πάλιν ὁ σύλλογος ἡμῖν ἐλάττων γέγονε· μᾶλλον δὲ ἕως ἂν ὑμεῖς παρῆτε, οὐκ ἂν γένοιτο ἐλάττων. ὥσπερ γὰρ γεωργός, εἰ τὸν σῖτον ἀκμάζοντα καὶ ἀπηρτισμένον ἴδοι, οὐ πολλὴν ποιεῖται λόγον τῶν φύλλων καταπιπτόντων· οὕτω δὴ καὶ ἐγὼ νῦν, τοῦ καρποῦ παρόντος ἡμῖν, οὐ τοσαύτην ποιοῦμαι τὴν ὀδύνην, τὰ φύλλα ἀναρπαζόμενα βλέπων. ἀλγῶ μὲν γὰρ καὶ διὰ τὴν ῥᾳθυμίαν ἐκείνων, παραμυθεῖται δὲ ὅμως τὴν ἐπ' ἐκείνοις ἀλγηδόνα τῆς ὑμετέρας ἀγάπης ἡ προθυμία. ἐκεῖνοι μὲν γὰρ κἂν παραβάλωνταί ποτε, οὐδὲ τότε πάρεισιν, ἀλλὰ τὸ μὲν σῶμα αὐτοῖς ἐνταῦθα ἵδρυται, ἡ διάνοια δὲ ἔξω πλανᾶται· ὑμεῖς δὲ κἂν ἀπολειφθῆτέ ποτε, καὶ τότε πάρεστε. τὸ μὲν γὰρ σῶμα ὑμῶν ἔξω, ἡ διάνοια δὲ ἐνταῦθα. ἐβουλόμην μὲν οὖν μακρὸν καὶ ἐκείνων ἀποτεῖναι λόγον, ἀλλ' ἵνα μὴ δόξω σκιαμαχεῖν, ἐπιτιμῶν τοῖς μὴ παροῦσι μηδὲ ἀκούουσι, τούτους εἰς τὴν ἐκείνων παρουσίαν τηρήσας τοὺς λόγους, τὴν ὑμετέραν ἀγάπην ἐπὶ τὸν συνήθη λειμῶνα καὶ τὸ πέλαγος τῶν θείων γραφῶν, κατὰ τὴν τοῦ Θεοῦ χάριν ὁδηγῆσαι πειράσομαι. ἀλλὰ διανάστητε καὶ γρηγορεῖτε. ἐπὶ μὲν γὰρ τῶν πλεόντων, κἂν ἅπαντες καθεύδωσιν, ὁ δὲ κυβερνήτης ἐγρηγορὼς ᾖ μόνος, οὐδείς ἐστι κίνδυνος, τῆς νήψεως τῆς ἐκείνου καὶ τῆς τέχνης ἀντὶ πάντων ἀρκούσης τῷ πλοίῳ· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ κἂν μυριάκις ὁ λέγων νήφῃ, οἱ δὲ ἀκούοντες μὴ τὴν αὐτὴν ἀγρυπνίαν ἐπιδεικνύωνται, καταποντισθεὶς ἡμῖν ὁ λόγος οἰχήσεται, οὐχ εὑρὼν διάνοιαν τὴν ὑποδεξαμένην αὐτόν. διὸ χρὴ νήφειν καὶ ἐγρηγορέναι. καὶ γὰρ ὑπὲρ μειζόνων ἡμῖν ἡ ἐμπορεία. οὐδὲ γὰρ ὑπὲρ χρυσίου, καὶ ἀργυρείου, καὶ τῶν ἀπολλυμένων πραγμάτων πλέομεν, ἀλλ' ὑπὲρ τῆς μενούσης ζωῆς, καὶ τῶν ἐν οὐρανοῖς θησαυρῶν· καὶ πλείους ἐνταῦθα αἱ ὁδοὶ τῶν ἐν τῇ θαλάττῃ, καὶ τῶν ἐν τῇ γῇ· κἂν μὴ μετὰ ἀκριβείας αὐτάς τις ἴδῃ τεμεῖν, ναυάγιον ὑποστήσεται χαλεπώτατον. πάντες τοίνυν ὑμεῖς οἱ μεθ' ἡμῶν πλέοντες, μὴ τὴν τῶν ἐπιβατῶν ἄδειαν, ἀλλὰ τὴν τῶν κυβερνητῶν ἀγρυπνίαν ἐπιδείκνυσθε καὶ φροντίδα. καὶ γὰρ ἐκεῖνοι, τῶν λοιπῶν καθευδόντων ἁπάντων, ἐπὶ τῶν οἰάκων καθήμενοι, οὐ μόνον τὰς ἐν τοῖς ὕδασι περισκοποῦσιν ὁδούς, ἀλλὰ καὶ πρὸς τὸν οὐρανὸν ἐκ τοσούτου βλέποντες τοῦ διαστήματος, ὥσπερ τινὸς χειρὸς τῆς τῶν ἄστρων πορείας χειραγωγούσης αὐτούς, μετὰ ἀσφαλείας τὸ σκάφος ἰθύνουσι· καὶ οὐδεὶς ἰδιώτης τὸ πέλαγος οὕτως ἀδεῶς ἐν ἡμέρᾳ δύναιτ' ἂν πλεῦσαι, ὡς ἐκεῖνοι μεθ' ἡσυχίας ἁπάσης ἐν μέσῃ νυκτὶ, ὅτε φοβερωτέρα ἡ θάλασσα φαίνεται, ἐγρηγορότες, ἀταράχως τὴν ἑαυτῶν ἐπιδείκνυνται τέχνην· καὶ οὐχὶ τὰς ἐν τοῖς ὕδασιν ἀτραποὺς μόνον, οὐδὲ τῶν ἄστρων τοὺς δρόμους, ἀλλὰ καὶ ἀνέμων ἐξόδους περισκοποῦσι. καὶ τοσαύτη τῶν ἀνδρῶν ἐκείνων ἐστὶν ἡ σοφία, ὡς πολλάκις πνεύματος ῥύμην σφοδροτέραν ἐμπεσοῦσαν, καὶ μέλλουσαν περιτρέπειν τὸ πλοῖον ταῖς πυκναῖς τῶν ἱστίων μεταβολαῖς δεχομένους εὐστόχως, ἅπαντα " λῦσαι τὸν κίνδυνον, καὶ ταῖς βιαίαις τῶν ἀνέμων ἐμβολαῖς τὴν αὐτῶν ἀντιστήσαντας τέχνην, ἐξαρπάσαι τοῦ κλυδωνίου τὸ σκάφος. Εἰ δὲ ὑπὲρ βιωτικῶν ἐκεῖνοι πραγμάτων αἰσθητὴν πλέοντες θάλατταν, οὕτως ἐγρηγορυῖαν διηνεκῶς ἔχουσι τὴν ψυχὴν, πολλῷ μᾶλλον ἡμᾶς οὕτω παρεσκευάσθαι χρή. καὶ γὰρ μείζων ὁ κίνδυνος ῥαθυμοῦσι, καὶ πλείων ἡ ἀσφάλεια νήφουσιν. οὔτε γὰρ ἀπὸ σανίδων ἡμῖν τὸ σκάφος τοῦτο κατεσκεύασται, ἀλλ' ἀπὸ τῶν θείων κεκόλληται γραφῶν· οὐδὲ ἀστέρες αὐτὸ χειραγωγοῦσιν ἄνωθεν, ἀλλ' ὁ τῆς δικαιοσύνης ἥλιος τοῦτον ἡμῖν κατευθύνει τὸν πλοῦν· καὶ καθήμεθα ἐπὶ τῶν οἰάκων, οὐ ζεφύρου πνοὰς ἀναμένοντες, ἀλλὰ τὴν πραείαν τοῦ πνεύματος αὔραν. νήφωμεν τοίνυν, καὶ τὰς ὁδοὺς μετὰ ἀκριβείας περισκοπῶμεν. περὶ γὰρ τῆς τοῦ μονογενοῦς δόξης ὁ λόγος ἡμῖν ἐστι πάλιν. πρῴην μὲν οὖν ἐδείκνυμεν ὅτι καὶ ἀνθρώπων, καὶ ἀγγέλων, καὶ ἀρχαγγέλων, καὶ ἁπλῶς πάσης τῆς κτίσεως [τὴν σοφίαν] ἡ κατάληψις τῆς " οὐσίας τοῦ Θεοῦ μετὰ πολλῆς ὑπερβαίνει τῆς περιουσίας, καὶ τῷ μονογενεῖ μόνῳ καὶ τῷ ἁγίῳ πνεύματι γνώριμός ἐστι καὶ σαφής· νυνὶ δὲ πρὸς ἕτερον παλαισμάτων ἡμῖν μέρος ὁ λόγος μεθίσταται. ζητοῦμεν γὰρ εἰ τῆς αὐτῆς δυνάμεως, εἰ τῆς αὐτῆς ἐξουσίας ἐστὶν, εἰ τῆς αὐτῆς οὐσίας ὁ υἱὸς τῷ πατρί· μᾶλλον δὲ ἡμεῖς οὐ ζητοῦμεν, ἀλλ' εὑρήκαμεν τοῦτο διὰ τὴν τοῦ Χριστοῦ χάριν, καὶ κατέχομεν μετὰ ἀσφαλείας· τοῖς δὲ ἀναισχυντοῦσιν ὑπὲρ τούτων αὐτὸ τοῦτο ἀποδεῖξαι παρασκευαζόμεθα νῦν. αἰσχύνομαι μὲν οὖν, καὶ ἐρυθριῶ, μέλλων εἰς τούτους ἐμβάλλειν τοὺς λόγους. τίς γὰρ ἡμᾶς οὐ γελάσεται τὰ οὕτω φανερὰ κατασκευάζειν καὶ ἀποδεικνύναι πειρωμένους; ποία δὲ οὐκ ἂν εἴη κατάγνωσις ζητεῖν, εἰ ὁμοούσιός ἐστιν ὁ υἱὸς τῷ πατρί; τοῦτο γὰρ οὐχὶ ταῖς γραφαῖς μόνον, ἀλλὰ καὶ τῇ κοινῇ πάντων τῶν ἀνθρώπων δόξῃ, καὶ τῇ τῶν πραγμάτων φύσει μαρτυρούμενόν ἐστιν. ὅτι γὰρ ὁμοούσιος ὁ γεννηθεὶς τῷ γεννήσαντι, οὐκ ἐπ' ἀνθρώπων μόνον, ἀλλὰ καὶ ἐπὶ ζώων ἁπάντων, καὶ ἐπὶ δένδρων τοῦτο ἴδοι τις ἄν. πῶς οὖν οὐκ ἄτοπον ἐπὶ μὲν φυτῶν, καὶ ἀνθρώπων, καὶ ζώων ἀκίνητον τοῦτον μένειν τὸν νόμον, ἐπὶ Θεοῦ δὲ μόνον κινεῖν αὐτὸν καὶ ἀνατρέπειν;

γρ. πεπαυ

γρ. σοφία

Πλὴν ἀλλ' ἵνα μὴ δοκῶμεν ἀπὸ τῶν παρ' ἡμῖν πραγμάτων ταῦτα " διϊσχυρίζεσθαι, φέρε ἀπὸ τῶν γραφῶν αὐτὸ τοῦτο ἀποδείξωμεν, καὶ κινήσωμεν τοὺς περὶ τούτων λόγους. οὐ γὰρ ἡμεῖς οἱ πεπεισμένοι, ἀλλ' ἐκεῖνοι οἱ ἀπιστοῦντες τὸν γέλωτα " ὀφλήσουσιν, οἱ πρὸς τὰ οὕτω φανερὰ ἀνθιστάμενοι, καὶ πρὸς τὴν ἀλήθειαν ἀντιβλέποντες. ποῖα φανερὰ, φησίν; εἰ γὰρ ἐπειδὴ υἱὸς λέγεται, ὁμοούσιός ἐστι τῷ πατρὶ, δυνησόμεθα καὶ ἡμεῖς ὁμοούσιοι εἶναι. καὶ γὰρ καὶ ἡμεῖς υἱοὶ λεγόμεθα. Ἐγὼ γὰρ εἶπον, φησὶ, θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες. ὢ τῆς ἀναισχυντίας· ὢ τῆς ἐσχάτης ἀνοίας· πῶς διὰ πάντων τὴν αὐτὴν μανίαν ἐνδείκνυνται; ὅτε τὸν περὶ ἀκαταλήπτου λόγον ἐκινοῦμεν, ἐφιλονείκουν ἑαυτοῖς διεκδικεῖν τοῦτο, ὃ τοῦ μονογενοῦς ἐστὶ μόνου, τὸ τὸν Θεὸν οὕτως εἰδέναι ἀκριβῶς, ὡς αὐτὸς ἑαυτὸν οἶδε· νῦν δὲ, ἐπειδὴ περὶ τῆς τοῦ μονογενοῦς δόξης ἡμῖν ἐστιν ὁ λόγος, φιλονεικοῦσιν αὐτὸν εἰς τὴν οἰκείαν εὐτέλειαν " καταγαγεῖν, λέγοντες, ὅτι καὶ ἡμεῖς υἱοὶ λεγόμεθα, καὶ οὐ πάντως τοῦτο ὁμοουσίους ἡμᾶς ποιεῖ τῷ Θεῷ. υἱὸς λέγῃ σύ; ἐκεῖνος δὲ καὶ ἔστιν. ἐνταῦθα ῥῆμα, ἐκεῖ πρᾶγμα. υἱὸς λέγῃ σύ; ἀλλὰ μονογενὴς οὐ λέγῃ, καθάπερ καὶ ἐκεῖνος· ἀλλ' ἐν τοῖς κόλποις τοῦ πατρὸς οὐ διατρίβεις, ἀλλ' ἀπαύγασμα τῆς δόξης οὐκ εἶ, οὐδὲ χαρακτὴρ τῆς ὑποστάσεως, οὐδὲ μορφὴ τοῦ Θεοῦ ὑπάρχεις. εἰ τοίνυν οὐ πείθῃ σὺ τὸ πρότερον, ταῦτα πειθέτω, καὶ πολλὰ ἕτερα πλείονα τούτων τὴν εὐγένειαν αὐτοῦ μαρτυροῦν-

Ψαλ. πα. ζ.

γρ. ἰσχυρίζ

γρ. οἴσου

γρ. εὐτ

τὰ ἐκείνου. ὅταν μὲν γὰρ τὸ ἀπαράλλακτον τῆς οὐσίας αὐτοῦ δεῖξαι βούληται τὸ πρὸς τὸν γεγεννηκότα, Ὁ ἑωρακὼς ἐμέ, φησιν, ἑώρακε τὸν πατέρα· ὅταν δὲ τὸ ἰσάζον τῆς δυνάμεως, Ἐγώ, φησι, καὶ ὁ πατὴρ ἕν ἐσμεν· ὅταν δὲ τὸ ἐφάμιλλον τῆς ἐξουσίας, Ὥσπερ, φησίν, ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ· ὅταν δὲ τὴν ταυτότητα τῆς λατρείας, Ἵνα πάντες, φησί, τιμῶσι τὸν υἱόν, καθὼς τιμῶσι τὸν πατέρα· ὅταν δὲ τὴν αὐθεντίαν τὴν ἐν ταῖς τῶν νόμων μετασκευαῖς, Ὁ πατήρ μου, φησιν, ἐργάζεται, κἀγὼ ἐργάζομαι. ἀλλ' οὗτοι ταῦτα πάντα παραδραμόντες, καὶ τό, υἱός, ὄνομα οὐ κυρίως ἐκλαβόντες, ἐπειδὴ καὶ αὐτοὶ τετίμηνται τῇ τῶν υἱῶν προσηγορίᾳ, εἰς τὴν αὐτὴν εὐτέλειαν τὸν υἱὸν κατάγουσι λέγοντες, Ἐγὼ εἶπα, θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες. οὐκοῦν ἐπειδὴ διὰ τὴν τοῦ υἱοῦ προσηγορίαν φῂς μηδὲν ἔχειν σου πλέον τὸν υἱόν, καὶ κατὰ τοῦτο, μηδὲ εἶναι ἀληθινὸν υἱόν· καὶ διὰ τὴν τοῦ Θεοῦ προσηγορίαν, ἐπειδή σοι μετέδωκε τοῦ ὀνόματος, φιλονεικήσεις ἴσως, μηδὲν ἔχειν σου πλέον τὸν πατέρα. ὥσπερ γὰρ υἱὸς ἐκλήθης, οὕτω καὶ Θεὸς ἐκλήθης. ἀλλ' ὥσπερ Θεὸς κληθεὶς οὐ τολμᾷς εἰπεῖν, ὅτι ψιλὸν ἔχεις τὸ ὄνομα, ἀλλ' ὁμολογεῖς ἀληθῆ Θεὸν εἶναι τὸν πατέρα· οὕτω μηδὲ ἐπὶ τοῦ υἱοῦ τόλμα σαυτὸν εἰς μέσον ἄγειν, καὶ λέγειν ὅτι κἀγὼ υἱὸς κέκλημαι, καὶ ἐπειδὴ τῆς αὐτῆς οὐσίας οὐκ εἰμί, οὐδὲ ἐκεῖνος ὀφείλει τῆς αὐτῆς εἶναι. τὰ γὰρ ἀπηριθμημένα ἅπαντα δείκνυσιν ἀληθινὸν ὄντα υἱόν, καὶ τῆς αὐτῆς οὐσίας τῷ γεγεννηκότι. ὅταν γὰρ εἴπῃ ὅτι τῆς αὐτῆς ἐστιν αὐτῷ μορφῆς, καὶ τοῦ αὐτοῦ χαρακτῆρος, τί ἄλλο δηλοῖ, ἢ τὸ ἀπαράλλακτον τῆς οὐσίας; οὐ γὰρ δὴ μορφὴ περὶ Θεόν, οὐδὲ πρόσωπον. ἀλλ' ὡς ταῦτα, φησι, λέγεις, εἰπὲ καὶ τὰ ἐναντία. ποῖα ἐναντία; οἶδα ὅτι εὔχεται τῷ πατρί. εἰ γὰρ τῆς αὐτῆς ἐστι δυνάμεως, καὶ τῆς αὐτῆς οὐσίας, καὶ ἀπὸ ἐξουσίας πάντα ποιεῖ, τίνος ἕνεκεν εὔχεται; ἐγὼ δὲ οὐ ταῦτα ἐρῶ μόνον, ἀλλὰ καὶ ὅσα ἕτερα ταπεινὰ περὶ αὐτοῦ εἴρηται, πάντα παραθήσομαι μετὰ ἀκριβείας· πρότερον ἐκεῖνο εἰπών, ὅτι ἐγὼ μὲν τῶν ταπεινῶς εἰρημένων περὶ αὐτοῦ πολλὰς ἔχω καὶ δικαίας αἰτίας εἰπεῖν, σὺ δὲ τῶν ὑψηλῶν καὶ ἐνδόξων οὐδεμίαν ἑτέραν ἔχοις ἂν εἰπεῖν πρόφασιν, ἀλλ' ἢ τὸ βούλεσθαι τὴν εὐγένειαν ἡμῖν αὐτὸν ἐνδείκνυσθαι τὴν ἑαυτοῦ. ἐπεὶ εἰ μὴ τοῦτο οὕτως ἔχοι, μάχη καὶ πόλεμος ἐν ταῖς γραφαῖς. τὸ γὰρ λέγειν, Ὅτι ὥσπερ ὁ πατὴρ ἐγείρει τοὺς νεκρούς, καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱός, οὓς θέλει, ζωοποιεῖ, καὶ ὅσα ἕτερα εἶπον· καὶ τὸ πάλιν εὔχεσθαι ἡνίκα ἂν δέῃ τοῦτο ποιεῖν, ἐναντίον. ἀλλ' ἐὰν τὰς αἰτίας εἴπω, πᾶσα ἀνῄρηται λοιπὸν ἀμφισβήτησις. τίνες οὖν εἰσιν αἱ αἰτίαι τοῦ ταπεινὰ πολλὰ καὶ αὐτὸν καὶ τοὺς ἀποστόλους εἰρηκέναι περὶ αὐτοῦ; πρώτη μὲν οὖν αἰτία καὶ μεγίστη, τὸ σάρκα αὐτὸν περιβεβλῆσθαι καὶ βούλεσθαι καὶ τοὺς τότε, καὶ τοὺς μετὰ ταῦτα πιστώσασθαι πάντας, ὅτι οὐ σκιά τίς ἐστιν, οὐδὲ σχῆμα ἁπλῶς τὸ ὁρώμενον, ἀλλ' ἀλήθεια φύσεως. εἰ γὰρ τοσαῦτα ταπεινὰ καὶ ἀνθρώπινα περὶ αὐτοῦ, καὶ τῶν ἀποστόλων εἰρηκότων, καὶ αὐτοῦ περὶ ἑαυτοῦ, ὅμως ἴσχυσεν ὁ διάβολος πεῖσαί τινας τῶν ἀθλίων καὶ ταλαιπώρων ἀνθρώπων ἀρνήσασθαι τῆς οἰκονομίας τὸν λόγον, καὶ τολμῆσαι εἰπεῖν, ὅτι σάρκα οὐκ ἔλαβε, καὶ τὴν πᾶσαν τῆς φιλανθρωπίας ὑπόθεσιν ἀνελεῖν· εἰ μηδὲν τούτων εἶπε, πόσοι οὐκ ἂν εἰς τὸ βάραθρον τοῦτο κατέπεσον; οὐκ ἀκούεις ἔτι καὶ νῦν Μαρκίωνος ἀρνουμένου τὴν οἰκονομίαν, καὶ Μανιχαίου, καὶ Οὐαλεντίνου, καὶ πολλῶν ἑτέρων; διὰ τοῦτο πολλὰ ἀνθρώπινα καὶ ταπεινὰ φθέγγεται, καὶ τῆς οὐσίας ἐκείνης τῆς ἀπορρήτου ἀποδέοντα, ἵνα πιστώσηται τῆς οἰκονομίας τὸν λόγον. καὶ γὰρ σφόδρα ἐσπούδακεν ὁ διάβολος ταύτην ἐκ τῶν ἀνθρώπων τὴν πίστιν ἀνελεῖν, εἰδὼς ὅτι τῆς οἰκονομίας ἐὰν ἀνέλῃ τὴν πίστιν, τὸ πλέον τῶν καθ' ἡμᾶς οἰχήσεται πραγμάτων. ἔστι καὶ ἑτέρα μετὰ ταύτην αἰτία, ἡ ἀσθένεια τῶν ἀκουόντων, καὶ τὸ μὴ δύνασθαι τότε πρῶτον αὐτὸν [ἰδόντας, καὶ τότε πρῶτον] ἀκούοντας τοὺς ὑψηλοτέρους τῶν δογμάτων δέξασθαι λόγους. καὶ ὅτι οὐ στοχασμὸς τὸ λεγόμενον, ἀπ' αὐτῶν σοι παραστῆσαι τούτων πειράσομαι τῶν γραφῶν, καὶ δεῖξαι, ὅτι εἴ ποτέ τι μέγα καὶ ὑψηλὸν καὶ τῆς αὐτοῦ δόξης ἄξιον ἐφθέγξα-

Ἰωαν. ιδ θ.
Ἰωαν. ι λ.
Ἰωαν. ε. κα.
Ἰωαν. ε. κγ.
Ἰωαν. ε ιζ.
Ψαλ. οα ζ.
Ἰωαν. ε. κα.

τό· τί λέγω μέγα καὶ ὑψηλὸν καὶ τῆς αὐτοῦ δόξης ἄξιον; εἴ ποτέ τι τῆς ἀνθρωπίνης φύσεως ὑψηλότερον
εἶπεν, ἐθορυβοῦντο καὶ ἐσκανδαλίζοντο· εἰ δέ ποτέ τι ταπεινὸν καὶ ἀνθρώπινον, προσέτρεχον
καὶ τὸν λόγον ἐδέχοντο. καὶ ποῦ τοῦτο ἔστιν ἰδεῖν, φησί; παρὰ τῷ Ἰωάννῃ μάλιστα.
Ιωαν. η νς. εἰπόντος γὰρ αὐτοῦ, Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν,
καὶ εἶδε, καὶ ἐχάρη· λέγουσι, Τεσσαράκοντα ἔτη οὔπω ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας; ὁρᾷς
Ιωαν. η νη. ὅτι ὡς περὶ ἀνθρώπου ψιλοῦ διέκειντο; τί οὖν αὐτός; Πρὸ τοῦ τὸν Ἀβραὰμ γενέσθαι, φησίν,
ἐγώ εἰμι. καὶ ἦραν λίθους, ἵνα βάλωσιν ἐπ' αὐτόν. καὶ ὅτε περὶ τῶν μυστηρίων μακροὺς
Ιωαν. ς. να. ἀπέτεινε λόγους, λέγων· Καὶ ὁ ἄρτος δέ, ὃν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, ἡ σάρξ μου
ἐστίν, ἔλεγον· σκληρός ἐστιν ὁ λόγος οὗτος, τίς δύναται αὐτοῦ ἀκούειν; καὶ ἐκ τούτου πολλοὶ
τῶν μαθητῶν αὐτοῦ ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ οὐκέτι μετ' αὐτοῦ περιεπάτουν. τί οὖν ἔδει
ποιεῖν, εἰπέ μοι; τοῖς ὑψηλοτέροις ἐνδιατρίβειν ῥήμασι διηνεκῶς, ὥστε ἀποσοβῆσαι τὴν
θήραν, καὶ πάντας ἀποκρούσασθαι τῆς διδασκαλίας; ἀλλ' οὐκ ἦν τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας.
Ιωαν. η να. καὶ γὰρ πάλιν, ἐπειδὴ εἶπεν, Ὁ τὸν λόγον μου ἀκούων, θανάτου οὐ μὴ γεύσηται
εἰς τὸν αἰῶνα, ἔλεγον, οὐ καλῶς ἐλέγομεν, ὅτι δαιμόνιον ἔχεις; Ἀβραὰμ ἀπέθανε, καὶ οἱ
προφῆται ἀπέθανον, καὶ σὺ λέγεις, ὅτι ὁ τὸν λόγον μου ἀκούων, οὐ μὴ γεύσηται θανάτου. καὶ
τί θαυμαστὸν εἰ τὸ πλῆθος οὕτω διέκειτο, ὅπου γε καὶ αὐτοὶ οἱ ἄρχοντες ταύτην εἶχον τὴν
γνώμην. ὁ γοῦν Νικόδημος ἄρχων αὐτὸς ὤν, καὶ μετὰ πολλῆς τῆς εὐνοίας πρὸς αὐτὸν ἐλθών,
καὶ εἰπών· Οἴδαμεν ὅτι ἀπὸ Θεοῦ ἐλήλυθας διδάσκαλος· τὸν περὶ τοῦ βαπτίσματος
οὐκ ἠδυνήθη δέξασθαι λόγον, πολλῷ μείζονα τῆς ἀσθενείας ὄντα τῆς ἐκείνου. εἰπόντος γὰρ
Ιωαν. γ. ε. τοῦ Χριστοῦ, ὅτι, Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν
Ιωαν. γ δ. τοῦ Θεοῦ, οὗτος εἰς ἀνθρωπίνας κατέπεσεν ὑπονοίας, καὶ φησι, Πῶς δύναται ἄνθρωπος
γεννηθῆναι γέρων ὤν; μὴ δύναται εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ δεύτερον εἰσελθεῖν, καὶ γεννηθῆναι
ἄνωθεν; τί οὖν ὁ Χριστός; εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐκ ἐπιστεύσατε, πῶς, ἐὰν εἴπω
τὰ ἐπουράνια, πιστεύσητε; μονονουχὶ ἀπολογούμενος καὶ λέγων, τίνος ἕνεκεν οὐ συνεχῶς αὐτοῖς
περὶ τῆς ἄνω γεννήσεως διελέγετο. πάλιν παρ' αὐτὸν τοῦ σταυροῦ τὸν καιρόν, μετὰ τὰ μυρία
σημεῖα, μετὰ τὴν πολλὴν ἐκείνην ἀπόδειξιν τῆς αὐτοῦ δυνάμεως, ὅτε εἴπη, ὅτι
ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου ἐπὶ τῶν νεφελῶν ἐρχόμενον, οὐκ ἐνεγκὼν τὸ λεχθὲν ὁ ἀρχιερεὺς
διέρρηξεν ἑαυτοῦ τὰ ἱμάτια. πῶς οὖν τούτοις διαλέγεσθαι ἔδει τοῖς οὐδὲν τῶν ὑψηλῶν
φέρουσιν; οὐκοῦν ὅτι ὅλως οὐκ εἶπέ τι μέγα καὶ ὑψηλὸν περὶ ἑαυτοῦ, οὐ θαυμαστόν, ἀνθρώποις
χαμαὶ συρομένοις καὶ οὕτως ἀσθενῶς ἔχουσιν. ἤρκει μὲν οὖν καὶ τὰ εἰρημένα δεῖξαι, ὅτι αὕτη
ἡ αἰτία καὶ ἡ πρόφασις ἦν τῆς τῶν τότε λεγομένων εὐτελείας· ἐγὼ δὲ καὶ ἀπὸ τοῦ θατέρου
μέρους τοῦτο πειράσομαι ποιῆσαι φανερόν. ὥσπερ γὰρ εἴδετε αὐτοὺς σκανδαλιζομένους,
θορυβουμένους, ἀποπηδῶντας, λοιδορουμένους, φεύγοντας, εἴ ποτέ τι μέγα καὶ ὑψηλὸν ἐφθέγξατο
ὁ Χριστός· οὕτως ὑμῖν αὐτοὺς δεῖξαι πειράσομαι προστρέχοντας, καὶ καταδεχομένους
τὴν διδασκαλίαν, εἴ ποτέ τι ταπεινὸν καὶ εὐτελὲς εἶπεν. αὐτοὶ γοῦν, αὐτοὶ οἱ ἀποπηδῶντες, εἰπόντος
Ιωαν. ιε. ν. αὐτοῦ πάλιν, Ὅτι ἀπ' ἐμαυτοῦ οὐ ποιῶ οὐδέν, ἀλλὰ καθὼς ἐδίδαξέ με ὁ πατήρ μου
λαλῶ, εὐθέως προσέδραμον. καὶ βουλόμενος ἡμῖν ἐνδείξασθαι ὁ εὐαγγελιστής, ὅτι διὰ τὴν
ταπεινότητα τῶν ῥημάτων ἐπίστευσαν, ἐπισημαίνεται λέγων· Ταῦτα αὐτοῦ λαλήσαντος
πολλοὶ ἐπίστευσαν εἰς αὐτόν. καὶ ἀλλαχοῦ πολλαχοῦ τοῦτο εὕροι τις ἂν οὕτως συμβαῖνον.
διὰ τοῦτο πολλὰ καὶ πολλάκις ἀνθρωπίνως ἐφθέγγετο· καὶ πάλιν οὐκ ἀνθρωπίνως, ἀλλὰ
* θεοπρεπῶς καὶ τῆς εὐγενείας ἄξια τῆς ἑαυτοῦ· τὸ μέν, τῇ τῶν ἀκουόντων συγκαταβαίνων
ἀσθενείᾳ, τὸ δέ, τῆς τῶν δογμάτων προνοῶν ὀρθότητος. ἵνα γὰρ μὴ [ἡ] συγκατάβασις
διαπαντὸς γινομένη εἰς τὴν περὶ τῆς ἀξίας αὐτοῦ δόξαν παραβλάψῃ αὐτοὺς μετὰ ταῦτα,
οὐδὲ ἐκείνου τοῦ μέρους ἠμέλησεν· ἀλλὰ καίτοι προειδώς, ὅτι οὐκ ἀκούσονται, ἀλλὰ καὶ λοιδορήσονται

δορήσονται αὐτῷ, καὶ ἀποπηδήσουσιν, ὅμως εἶπεν, αὐτό τε τοῦτο, ὅπερ εἶπον, κατασκευάζων, καὶ δεικνὺς τὴν αἰτίαν, δι' ἣν καὶ τὰ ταπεινὰ αὐτοῖς ἀνέμιξε ῥήματα. αὕτη δέ ἐστι, τὸ μηδέπω δύνασθαι δέξασθαι τὸ μέγεθος τῶν λεγομένων. εἰ δὲ μὴ τοῦτο κατασκευάσαι ἐβούλετο, περιττὴ τῶν ὑψηλῶν δογμάτων ἦν ἡ διδασκαλία τοῖς οὐκ ἀκουσομένοις οὐδὲ προσέξουσι. νῦν δὲ εἰ καὶ ἐκείνους μηδὲν ὠφέλει, ἀλλ' ἡμᾶς ἐπαίδευε, καὶ τὴν προσήκουσαν περὶ αὐτοῦ δόξαν ἔχειν παρεσκεύαζε, καὶ ἔπειθεν ὅτι διὰ τὸ μὴ δύνασθαι μηδέπω τὸ μέγεθος τῶν λεγομένων δέχεσθαι ἐκείνους, ἐπὶ τὸ ταπεινότερον τὸν λόγον μετήγαγεν. ὅταν οὖν ἴδῃς αὐτὸν ταπεινὰ λέγοντα, μὴ τῆς εὐτελείας τῆς κατὰ τὴν οὐσίαν, ἀλλὰ τῆς ἀσθενείας τῆς κατὰ τὴν διάνοιαν τῶν ἀκροατῶν εἶναι νόμιζε τὴν συγκατάβασιν. βούλεσθε εἴπω καὶ τρίτην αἰτίαν; οὐ γὰρ δὴ μόνον διὰ τὴν τῆς σαρκὸς περιβολὴν, οὐδὲ διὰ τὴν ἀσθένειαν τῶν ἀκροατῶν, ἀλλὰ καὶ διὰ τὸ βούλεσθαι διδάσκειν ταπεινοφρονεῖν τοὺς ἀκούοντας, πολλὰ ταπεινὰ καὶ ἐποίει καὶ ἔλεγε· καὶ ἔστι καὶ αὕτη τρίτη πάλιν αἰτία. ὁ γὰρ ταπεινοφρονεῖν διδάσκων, οὐχὶ διὰ ῥημάτων μόνον, ἀλλὰ καὶ διὰ τῶν πραγμάτων τοῦτο παιδεύει, καὶ λόγῳ καὶ ἔργῳ μετειάζων. Μάθετε γὰρ, φησὶν, ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ. καὶ πάλιν ἀλλαχοῦ, Ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι. ὁ τοίνυν ταπεινοὺς διδάσκων γίνεσθαι, καὶ μηδαμοῦ τοῖς πρωτείοις ἐπιτρέχειν, ἀλλὰ καταδέχεσθαι τὸ ἐλαττοῦσθαι πανταχοῦ, καὶ διὰ ῥημάτων, καὶ διὰ πραγμάτων εἰς τοῦτο ἐνάγων, πολλὰς εἶχε προφάσεις τοῦ ταπεινὰ φθέγγεσθαι. ἔστι καὶ τετάρτην αἰτίαν εἰπεῖν οὐκ ἐλάττω τῶν εἰρημένων. τίς δέ ἐστιν αὕτη; τὸ μὴ διὰ τὴν πολλὴν ἐγγύτητα καὶ ἄφατον τῶν ὑποστάσεων εἰς ἑνὸς προσώπου ποτὲ ὑπόνοιαν ἡμᾶς ἐμπεσεῖν· ὅπου γε καὶ νῦν ὀλιγάκις αὐτοῦ τι τοιοῦτον εἰπόντος, πρὸς τὴν ἀσέβειαν ταύτην ἤδη τινὲς ἐξώλισθον. Σαβέλλιος γοῦν ὁ Λίβυς ἀκούσας αὐτοῦ λέγοντος, Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, καὶ, Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα, τὴν ἀπὸ τῶν ῥημάτων τούτων ἐγγύτητα πρὸς τὸν γεγεννηκότα ἐμφαινομένην εἰς ἀσεβείας ὑπόθεσιν καὶ ἑνὸς προσώπου καὶ μιᾶς ὑποστάσεως ὑπόνοιαν ἥρπασεν. οὐχ αὗται δὲ μόνον εἰσὶν αἱ προφάσεις, ἀλλὰ καὶ τὸ μηδένα νομίσαι αὐτὸν εἶναι τὴν πρώτην καὶ ἀγέννητον ὑπόστασιν καὶ μείζονα τοῦ γεγεννηκότος αὐτὸν ὑπολαβεῖν. καὶ γὰρ ὁ Παῦλος αὐτὸ τοῦτο φαίνεται δεδοικὼς, μή τις ὑποπτεύσῃ ποτὲ τὸ ἀσεβὲς τοῦτο δόγμα καὶ πονηρόν. εἰπὼν γοῦν, Δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρις οὗ ἂν θῇ τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ προσθεὶς ὅτι πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ, ἐπήγαγεν, ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα· οὐκ ἂν ἐπαγαγὼν, εἰ μὴ ἔδεισε, μή που διαβολικὴ τοιαύτη τις ἔννοια γένηται. πολλαχοῦ δὲ καὶ τὸν τῶν Ἰουδαίων φθόνον παραμυθούμενος καθυφίησι τοῦ τῶν ῥημάτων ὕψους, καὶ πρὸς τὴν ὑπόνοιαν δὴ τῶν διαλεγομένων αὐτῷ πολλάκις ἀποκρινόμενος, ὡς ὅταν λέγῃ· Ἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής. πρὸς τὴν ἐκείνων γὰρ ὑπόνοιαν ἀποτεινόμενος οὕτως εἶπεν. οὐ γὰρ δὴ τοῦτο ἠθέλησε δεῖξαι, ὅτι οὐκ ἔστιν ἀληθὴς, ἀλλ', ὡς ὑμεῖς νομίζετε καὶ ὑποπτεύετε, φησὶ, μὴ βουλόμενοί με παραδέξασθαι αὐτὸν περὶ ἐμαυτοῦ λέγοντα. καὶ ἄλλας δὲ πλείους αἰτίας ἔστιν εὑρεῖν. τῆς μὲν οὖν ταπεινότητος τῶν ῥημάτων πολλὰς ἂν ἔχοιμεν εἰπεῖν προφάσεις· σὺ δὲ εἰπὲ τῶν ὑψηλῶν δογμάτων μίαν πρόφασιν ἑτέραν, πλὴν ἧς ἡμεῖς εἰρήκαμεν· αὕτη δέ ἐστι, τὸ βούλεσθαι αὐτὸν τὴν οἰκείαν εὐγένειαν ἡμῖν ἐνδείκνυσθαι. ἀλλ' οὐκ ἂν ἔχοις ἑτέραν εἰπεῖν. ὁ μὲν οὖν μέγας δύναιτ' ἂν καὶ μικρόν τι περὶ ἑαυτοῦ λέγειν, καὶ οὐκ ἔστιν ἔγκλημα (ἐπιεικείας γὰρ τοῦτό ἐστιν) ὁ δὲ μικρὸς, εἰ μέγα τι περὶ ἑαυτοῦ εἴποι ποτὲ, οὐ διαφεύξεται κατηγορίαν. ἀλαζονεία γάρ ἐστι. διὰ τοῦτο τὸν μὲν ὑψηλὸν ἅπαντες ἐπαινοῦσιν, ὅταν ταπεινὰ περὶ ἑαυτοῦ λέγῃ, τὸν δὲ ταπεινὸν οὐδεὶς ἐπαινέσεται, εἴ ποτέ τι μέγα περὶ ἑαυτοῦ εἴποι. ὥστε εἰ πολλῷ καταδεέστερος ἦν τοῦ πατρὸς ὁ υἱὸς, ὡς ὑμεῖς φατε, οὐκ ἔδει ῥήματα αὐτὸν λέγειν, δι' ὧν ἐδείκνυ τῷ γεγεννηκότι ἴσον ὄντα ἑαυτὸν (ἀλαζονεία γὰρ τοῦτο ἦν) τὸ μέντοι ἴσον ὄντα

Ματθ. κζ. κζ.

Ματθ. κ. κη.

Ιωαν. ι. λ.

Ιωαν. ιδ. θ.

α. Κορ. ιε.

Ιωαν. ε. λα.

τοῦ γεγεννηκότος λέγει τινὰ ταπεινὰ καὶ εὐτελῆ, οὐδεμία μέμψις, οὐδὲ αἰτία. ἔπαινος γὰρ τοῦτο ἐστι καὶ θαῦμα μέγιστον. καὶ ἵνα σαφέστερα γένηται τὰ εἰρημένα, καὶ μάθητε πάντες ὑμεῖς ὅτι οὐ καταστοχαζόντα τῶν θείων γραφῶν, φέρε δὴ τῶν εἰρημένων αἰτιῶν τούτων τὴν πρώτην μεταχειρισώμεθα νῦν, καὶ δείξωμεν ποῦ διὰ τὴν τῆς σαρκὸς περιβολὴν φανερῶς καταδεέστερα τῆς οὐσίας τῆς ἑαυτοῦ ῥήματα φθέγγεται. καὶ, εἰ δοκεῖ, τὴν εὐχὴν αὐτὴν εἰς μέσον ἀγάγωμεν, ἣν ηὔξατο τῷ πατρί. ἀλλὰ προσέχετε μετὰ ἀκριβείας. μικρὸν γὰρ ἄνωθεν ὑμῖν τὸ πᾶν διηγήσασθαι βούλομαι. δεῖπνον ἐγένετό ποτε κατὰ τὴν ἱερὰν νύκτα ἐκείνην, καθ᾽ ἣν παραδίδοσθαι ἔμελλεν. ἱερὰν γὰρ αὐτὴν καλῶ ἐγώ, ἐπειδὴ τὰ μυρία ἀγαθὰ, ἃ κατὰ τὴν οἰκουμένην ἐγένετο, τὴν ἀρχὴν ἐκεῖθεν ἐλάμβανε. τότε τοίνυν καὶ ὁ προδότης μετὰ τῶν ἕνδεκα ἀνέκειτο μαθητῶν, καὶ δειπνούντων αὐτῶν, φησὶν ὁ Χριστός· (Ματθ. κϛ. κα.) Εἷς ἐξ ὑμῶν παραδώσει με. τούτων μνημονεύετέ μοι τῶν ῥημάτων, ἵν᾽, ὅταν ἐπὶ τὴν εὐχὴν ἔλθωμεν, ἴδωμεν τίνος ἕνεκεν οὕτως εὔχεται. καὶ σκόπει μοι κηδεμονίαν δεσπότου. οὐκ εἶπεν, ὅτι ὁ Ἰούδας παραδώσει με, ὥστε μὴ τῇ περιφανείᾳ τῶν ἐλέγχων ἀναισχυντότερον αὐτὸν ἐργάσασθαι· ὡς δὲ ἐκεῖνος ὑπὸ τοῦ συνειδότος κεντούμενός φησι, (Ματθ. κϛ. κε.) Μήτι ἐγώ εἰμι, Κύριε; λέγει αὐτῷ, σὺ εἶπας. καὶ οὐδὲ τότε αὐτοῦ κατηγορῆσαι ἠνέσχετο, ἀλλ᾽ αὐτὸν ἑαυτοῦ κατέστησεν ἔλεγχον. ἀλλ᾽ ὅμως οὐδὲ οὕτως ἐγένετο βελτίων, ἀλλὰ λαβὼν τὸ ψωμίον ἐξῆλθεν. ἐπειδὴ τοίνυν ἐξῆλθε, λαβὼν ὁ Ἰησοῦς τοὺς μαθητάς, φησί· (Ματθ. κϛ. λα.) Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοί. τοῦ Πέτρου δὲ ἀντιλέγοντος, καὶ λέγοντος, κἂν πάντες σκανδαλισθήσωνται, ἀλλ᾽ ἐγὼ οὐ σκανδαλισθήσομαι, πάλιν ὁ Ἰησοῦς φησιν, Ἀμὴν λέγω σοι, πρὶν ἀλέκτορα φωνῆσαι, τρεὶς ἀπαρνήσῃ με. ὡς δὲ πάλιν ἀντέλεγεν, εἴασεν αὐτὸν λοιπόν. οὐ πείθῃ, φησὶ, διὰ τῶν ῥημάτων, ἀλλ᾽ ἀντιλέγεις; πειθήσῃ διὰ τῶν πραγμάτων αὐτῶν, ὅτι δεσπότῃ ἀντιλέγειν οὐ χρή. καὶ τούτων μοι μέμνησθε τῶν ῥημάτων πάλιν. χρήσιμος γὰρ αὐτῶν ἡμῖν ἡ μνήμη τοῖς τὴν εὐχὴν ἐξετάζουσιν ἔσται. εἶπε τὴν προδοσίαν, προεῖπε τὴν πάντων φυγὴν, καὶ τὸν αὐτοῦ θάνατον· (Ζαχ. ιγ. ζ.) Πατάξω γάρ, φησι, τὸν ποιμένα, καὶ διασκορπισθήσεται τὰ πρόβατα· προεῖπε τὸν μέλλοντα αὐτὸν ἀρνήσασθαι, καὶ πότε, καὶ ποσάκις, καὶ μετὰ ἀκριβείας ἅπαντα, καὶ μετὰ ταῦτα πάντα ἱκανὴν αὐτοῦ τῆς προγνώσεως τῶν μελλόντων ἀπόδειξιν δοὺς, ἐλθὼν ἐπί τι χωρίον εὔχεται. κἀκεῖνοι μὲν λέγουσιν, ὅτι τῆς θεότητός ἐστιν ἡ εὐχή, ἡμεῖς δὲ λέγομεν, ὅτι τῆς οἰκονομίας. δικάσατε τοίνυν, καὶ πρὸς αὐτῆς τῆς τοῦ μονογενοῦς δόξης μηδενὶ κεχαρισμένην τὴν ψῆφον ἐνέγκητε. εἰ γὰρ καὶ ἐν φίλοις δικάζομαι νῦν, ἀλλ᾽ ἀντιβολῶ καὶ δέομαι ἀδέκαστον γενέσθαι τὴν κρίσιν, καὶ μήτε πρὸς ἐμὴν χάριν, μήτε πρὸς ἐκείνων ἀπέχθειαν. μάλιστα μὲν γὰρ καὶ αὐτόθεν δῆλον, ὅτι οὐκ ἔστι τῆς θεότητος ἡ εὐχή. Θεὸς γὰρ οὐκ εὔχεται· Θεοῦ γὰρ τὸ προσκυνεῖσθαί ἐστι, Θεοῦ τὸ εὐχὴν δέχεσθαι, οὐ τὸ εὐχὴν ἀναφέρειν. ἀλλ᾽ ὅμως ἐπειδὴ ἀναισχυντοῦσιν, ἀπ᾽ αὐτῶν τῶν ῥημάτων τῆς εὐχῆς ὑμῖν ποιῆσαι πειράσομαι φανερόν, ὅτι τὸ ὅλον τῆς οἰκονομίας ἐστὶ, καὶ τῆς κατὰ τὴν σάρκα ἀσθενείας. ὅταν γὰρ φθέγγηταί τι ταπεινὸν ὁ Χριστός, οὕτως φθέγγεται ταπεινὸν καὶ εὐτελές, ὡς τὴν ὑπερβολὴν τῆς ταπεινότητος τῶν λεγομένων καὶ τοὺς σφόδρα φιλονεικοῦντας δυνηθῆναι πεῖσαι, ὅτι πολὺ τῆς ἀπορρήτου καὶ ἀφράστου οὐσίας ἐκείνης ἀπέστηκε τὰ ῥήματα. ἴωμεν τοίνυν ἐπ᾽ αὐτὰ τὰ ῥήματα τῆς εὐχῆς. (Ματθ. κϛ. λθ.) Πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ᾽ ἐμοῦ τὸ ποτήριον τοῦτο. πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ᾽ ὡς σύ. ἐρωτήσωμεν τοίνυν αὐτοὺς ἐνταῦθα· ἀγνοεῖ εἴτε δυνατὸν, εἴτε ἀδύνατον, ὁ πρὸ μικροῦ λέγων ἐν τῷ δείπνῳ, Εἷς ἐξ ὑμῶν παραδώσει με· ὁ πρὸ μικροῦ λέγων, γέγραπται, Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσεται τὰ πρόβατα, καὶ, ὅτι πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοί; ὁ τῷ Πέτρῳ εἰπὼν, ὅτι ἀρνήσῃ με, καὶ ἀρνήσῃ με τρεὶς, οὗτος ἀγνοεῖ νῦν, εἰπέ μοι; καὶ τίς ἂν τοῦτο εἴποι καὶ τῶν ὁπωσοῦν καθεστηκότων; καὶ γὰρ ὅταν μὲν ᾖ τὸ ἀγνοούμενον μηδενὶ δῆλον μήτε προφητῶν μήτε ἀγγέλων μήτε ἀρχαγγέλων, ἴσως ἂν παρέξει τινὰ τοῖς φιλονεικοῦσι λαβήν· ὅταν μὲν γάρ τι τὸ ἀγνοούμενον οὕτως ᾖ φανερὸν καὶ γνώριμον ἅπασιν, ὡς καὶ ἀνθρώπους αὐτὸ εἰδέναι μετὰ ἀκριβείας, ποία ἀπολογία, ἢ ποία συγγνώμη τοῖς λέγουσιν, ὅτι αὐτὸς ἀγνοῶν ταῦτα ἔλεγε; τοῦτον τοίνυν, τὸν περὶ τοῦ σταυροῦ λέγω λόγον, καὶ δοῦλοι αὐτοῦ φαίνονται μετὰ ἀκριβείας εἰδότες, καὶ ὅτι ἀποθανεῖν, καὶ ὅτι διὰ σταυροῦ τοῦτο παθεῖν αὐτὸν ἔδει. καὶ πρὸ τοσούτων ἐτῶν ἀμφότερα ταῦτα δηλῶν ὁ Δαβὶδ ἔλεγεν ἐκ προσώπου τοῦ Χριστοῦ, Ὤρυξαν χεῖράς μου καὶ πόδας μου. καὶ τὸ μέλλον ὡς γεγενημένον ἀπήγγελε, δεικνὺς ὅτι καθάπερ τὰ συμβάντα ἀμήχανον μὴ γενέσθαι, οὕτω καὶ τοῦτο ἀμήχανον μὴ γεγενῆσθαι. πάλιν ὁ Ἠσαΐας αὐτὸ τοῦτο προαναφωνῶν ἔλεγεν, Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος. τοῦτον πάλιν ὁ Ἰωάννης τὸν ἀμνὸν ἰδὼν ἔλεγεν, Ἰδοὺ ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐκεῖνος ὁ προῤῥηθείς φησι. καὶ ὅρα, οὐχ ἁπλῶς εἴρηται ὁ ἀμνὸς, ἀλλὰ προσκεῖται τοῦ Θεοῦ. ἐπειδὴ γὰρ καὶ ἕτερος ἦν ἀμνὸς ὁ Ἰουδαϊκὸς, διὰ τοῦτό φησιν, ὅτι οὗτος τοῦ Θεοῦ ἐστιν. ἐκεῖνος ὑπὲρ τοῦ ἔθνους προσεφέρετο μόνον, οὗτος δὲ ὑπὲρ τῆς οἰκουμένης προσηνέχθη ἁπάσης· κἀκείνου μὲν τὸ αἷμα πληγὴν σωματικὴν ἐκώλυσεν ἐξ Ἰουδαίων μόνον, τούτου δὲ τὸ αἷμα τῆς οἰκουμένης ἁπάσης κοινὸς γέγονε καθαρμός. καὶ τοῦτο δὲ τὸ αἷμα, τὸ τοῦ Ἰουδαϊκοῦ λέγω ἀμνοῦ, ἴσχυσεν, ὅπερ ἴσχυσεν, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλ' ἐπειδὴ τούτου τύπος ἦν, τὴν δύναμιν ἔσχεν ἐκείνην. ποῦ τοίνυν εἰσὶν οἱ λέγοντες, ὅτι καὶ αὐτὸς υἱὸς λέγεται, καὶ ἡμεῖς υἱοὶ, καὶ ἀπὸ τῆς κατὰ τὴν προσηγορίαν κοινωνίας εἰς εὐτέλειαν αὐτὸν ἄγειν ἡμετέραν ἐπιχειροῦντες; ἰδοὺ γὰρ ἀμνὸς, καὶ ἀμνός· καὶ ἓν μὲν τὸ ὄνομα, τὸ δὲ μέσον τῆς φύσεως ἑκατέρας ἄπειρον. ὥσπερ οὖν ἀκούων ἐνταῦθα προσηγορίας κοινωνίαν οὐδὲν ἴσον φαντάζῃ, οὕτω δὴ καὶ ἐνταῦθα ἀκούων υἱὸν καὶ υἱὸν, μὴ πρὸς τὴν ἡμῶν εὐτέλειαν κάταγε τὸν μονογενῆ. ἀλλὰ τί χρὴ λέγειν περὶ τῶν ἄλλων; εἰ γὰρ τῆς θεότητός ἐστιν ἡ εὐχὴ, εὑρεθήσεται καὶ αὐτὸς ἑαυτῷ περιπίπτων, καὶ ἐναντιολογῶν, καὶ μαχόμενος. οὗτος γὰρ ὁ ἐνταῦθα εἰπὼν, Πάτερ, εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο, καὶ ὀκνῶν καὶ ἀναδυόμενος πρὸς τὸ πάθος· ἀλλαχοῦ εἰπὼν, ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι καὶ μαστιγωθῆναι, ἐπειδὴ Πέτρου ἤκουσε λέγοντος, Ἵλεώς σοι, οὐ μὴ ἔσται σοι τοῦτο, οὕτω σφοδρῶς ἐπετίμησεν, ὡς εἰπεῖν, Ὕπαγε ὀπίσω μου, Σατανᾶ, σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων. καίτοιγε πρὸ βραχέως ἦν αὐτὸν ἐπαινέσας, καὶ μακαρίσας, ἀλλ' ὅμως Σατανᾶν αὐτὸν ἐκάλεσεν, οὐχὶ τὸν ἀπόστολον ὑβρίσαι βουλόμενος, ἀλλὰ διὰ τῆς ὕβρεως δεῖξαι θέλων, ὡς οὐ κατὰ γνώμην αὐτῷ τὸ εἰρημένον ἦν, ἀλλ' οὕτως ἀλλότριον, ὡς [αὐτὸν] τὸν ταῦτα εἰρηκότα, καίτοι Πέτρον ὄντα, μὴ ὀκνῆσαι Σατανᾶν ὀνομάσαι. πάλιν ἀλλαχοῦ φησιν, Ἐπιθυμίᾳ ἐπεθύμησα τὸ πάσχα τοῦτο φαγεῖν μεθ' ὑμῶν. τίνος ἕνεκεν τὸ πάσχα τοῦτό φησι; καίτοι καὶ ἄλλοτε τὴν ἑορτὴν ταύτην ἐπετέλεσε μετ' αὐτῶν. τίνος οὖν ἕνεκεν τοῦτό φησι τὸ πάσχα; ἐπειδὴ μετ' αὐτὸ ὁ σταυρὸς ἦν. καὶ πάλιν, Πάτερ, δόξασόν σου τὸν υἱὸν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε. καὶ πολλαχοῦ καὶ προλέγοντα τὸ πάθος, καὶ ἐπιθυμοῦντα γενέσθαι αὐτὸ εὑρίσκομεν, καὶ διὰ τοῦτο παραγινόμενον. πῶς οὖν ἐνταῦθά φησιν, Εἰ δυνατόν; τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν ἡμῖν ἐνδείκνυται, οὐχ αἱρουμένης ἁπλῶς ἀποῤῥαγῆναι τῆς παρούσης ζωῆς, ἀλλ' ἀναδυομένης καὶ ὀκνούσης διὰ τὴν ἐξ ἀρχῆς ἐντεθεῖσαν αὐτῇ φιλίαν παρὰ τοῦ Θεοῦ πρὸς τὸν παρόντα βίον. εἰ γὰρ τοσαῦτα καὶ τηλικαῦτα εἰπόντος αὐτοῦ ἐτόλμησαν εἰπεῖν τινες, ὅτι σάρκα οὐκ ἀνέλαβεν, εἰ μηδὲν τούτων εἴρητο, τί οὐκ ἂν εἶπον; διὰ τοῦτο προλέγει μὲν ὡς Θεὸς ἐκεῖ, καὶ ἐπιθυμεῖ γενέσθαι τὸ πάθος· φεύγει δὲ καὶ παραιτεῖται ἐνταῦθα, ὡς ἄνθρωπος. ὅτι γὰρ ἑκὼν ἐπὶ τὸ πάθος ἤρχετο, φησιν, Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω λαβεῖν αὐτήν· οὐδεὶς αὐτὴν αἱρήσει ἀπ' ἐμοῦ, ἐγὼ ἀπ' ἐμαυτοῦ τίθημι αὐτήν. πῶς οὖν λέγεις, οὐχ ὡς ἐγὼ θέλω, ἀλλ', ὡς σύ; καὶ τί θαυμάζεις, εἰ περὶ τοῦ σταυροῦ τοσαύτην ἐποιήσατο σπουδὴν πιστώσασθαι τῆς σαρκὸς τὴν ἀλήθειαν,

Ψαλ. κα. ιζ.

Ησ. νγ.

Ιωαν. α.

Ματθ. κϛ. λθ.

Μαρ. η. λγ.

Λυκ. κβ. ιε.

Ιωαν. ιζ. α.

Ιωαν. ι. ιη.

ἀλήθειαν, ὅπου γε καὶ μετὰ τὴν ἀνάστασιν τὸν μαθητὴν ἰδὼν ἀπιστοῦντα, οὐ παρῃτήσατο αὐτῷ καὶ τραύματα καὶ τύπους ἥλων ἐπιδεῖξαι, καὶ χεῖρας ἀφῇ ταῖς ὠτειλαῖς ἐμβαλεῖν, καὶ εἰπεῖν, ἐρεύνησον καὶ ἴδε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει. διὰ τοῦτο οὐδὲ ἐξ ἀρχῆς τελείας ἡλικίας τὸν ἄνθρωπον ἀνέλαβεν, ἀλλ' ἠνέσχετο καὶ συλληφθῆναι, καὶ τεχθῆναι, καὶ γαλακτοτροφηθῆναι, καὶ χρόνον τοσοῦτον ἐπὶ τῆς γῆς διατρίψαι, ἵνα καὶ τῷ μήκει τοῦ χρόνου, καὶ τοῖς ἄλλοις ἅπασιν αὐτὸ τοῦτο πιστώσηται. ἐπειδὴ γὰρ ἄγγελοι πολλάκις ἐπὶ τῆς γῆς ἐφάνησαν ἐν ἀνθρωπίνῳ τύπῳ, καὶ αὐτὸς δὲ ὁ Θεός· τὸ δὲ φαινόμενον οὐκ ἦν σαρκὸς ἀλήθεια, ἀλλὰ συγκατάβασις· ἵνα μὴ νομίσῃς καὶ ταύτην τὴν παρουσίαν τοιαύτην εἶναι, οἷαι ἐκεῖναι ἐγένοντο, ἀλλὰ πιστωθῇς ἀληθῶς ὅτι σὰρξ ἦν ἀληθινή, καὶ συνελήφθη, καὶ ἐτέχθη, καὶ ἐτράφη, καὶ ἐπὶ φάτνης ἐτέθη, οὐκ ἐν οἰκίσκῳ τινί, ἀλλ' ἐν καταλύματι, πλήθους ἀπείρου παρόντος, ἵνα δημοσιεύηται αὐτοῦ ἡ γέννησις. διὰ τοῦτο καὶ σπάργανα, καὶ προφητεῖαι ἄνωθεν αὐτὸ τοῦτο λέγουσαι, οὐχ ὅτι ἄνθρωπος ἔσται μόνον, ἀλλ' ὅτι καὶ συλληφθήσεται, καὶ τεχθήσεται, καὶ τῷ τῶν παιδίων νόμῳ τραφήσεται. Ησ. ζ. ιδ. καὶ τοῦτο ὁ Ἡσαΐας βοᾷ, λέγων· Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Εμμανουήλ. βούτυρον καὶ μέλι φάγεται. καὶ πάλιν, Ησ. θ. ς. Παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν. ὁρᾷς πῶς καὶ τὴν προτέραν αὐτοῦ ἡλικίαν προανεφώνησαν; ἐρώτησον τοίνυν τὸν αἱρετικόν· Θεὸς δειλιᾷ, καὶ ἀναδύεται, καὶ ὀκνεῖ, καὶ λυπεῖται; κἂν εἴπῃ, ὅτι ναί, ἀπόστηθι λοιπόν, καὶ στῆσον αὐτὸν κάτω μετὰ τοῦ διαβόλου, μᾶλλον δὲ καὶ ἐκείνου κατώτερον. οὐδὲ γὰρ ἐκεῖνος τολμήσει τοῦτο εἰπεῖν. ἂν δὲ εἴπῃ, ὅτι οὐδὲν τούτων ἄξιον τοῦ Θεοῦ, εἰπέ, οὐκοῦν οὐδὲ εὔχεται Θεός. χωρὶς γὰρ τούτων καὶ ἕτερον ἄτοπον ἔσται, ἂν τοῦ Θεοῦ τὰ ῥήματα ᾖ. οὔτε γὰρ ἀγωνίαν μόνον ἐμφαίνει τὰ ῥήματα, ἀλλὰ καὶ δύο θελήματα· Ματθ. κς. λθ. ἓν μὲν υἱοῦ, ἓν δὲ πατρὸς ἐναντία ἀλλήλοις. τὸ γὰρ εἰπεῖν, ὅτι οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ, τοῦτο Ιωαν. ι. λ. ἐστὶν ἐμφαίνοντος. τοῦτο δὲ οὐδὲ ἐκεῖνοί ποτε συνεχώρησαν, ἀλλ' ἡμῶν ἀεὶ λεγόντων τό, Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, ἐπὶ τῆς δυνάμεως, ἐκεῖνοι ἐπὶ τῆς θελήσεως τοῦτο εἰρῆσθαί φασι, λέγοντες πατρὸς καὶ υἱοῦ μίαν εἶναι βούλησιν. εἰ τοίνυν πατρὸς καὶ υἱοῦ μία βούλησίς ἐστι, πῶς φησιν ἐνταῦθα, Πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ; ἂν μὲν γὰρ ἐπὶ τῆς θεότητος τὸ εἰρημένον ᾖ, τοῦτο ἐναντιολογία τις γίνεται, καὶ πολλὰ ἄτοπα ἐκ τούτου τίκτεται· ἂν δὲ ἐπὶ τῆς σαρκός, ἔχει λόγον τὰ εἰρημένα, καὶ οὐδὲν γένοιτ' ἂν ἔγκλημα. οὐ γὰρ τὸ μὴ θέλειν ἀποθανεῖν τὴν σάρκα κατάγνωσις (φύσεως γάρ ἐστι τοῦτο) αὐτὸς δὲ τὰ τῆς φύσεως ἅπαντα χωρὶς ἁμαρτίας ἐπεδείκνυτο, καὶ μετὰ πολλῆς τῆς περιουσίας, ὥστε τὰ τῶν αἱρετικῶν ἐμφράξαι στόματα. ὅταν Ματθ. κς. λθ. οὖν λέγῃ, Εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο, καὶ οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ, οὐδὲν ἕτερον δείκνυσιν, ἀλλ' ἢ ὅτι σάρκα ἀληθῶς περιβέβληται φοβουμένην θάνατον. τὸ γὰρ φοβεῖσθαι θάνατον καὶ ἀναδύεσθαι καὶ ἀγωνιᾷν, ἐκείνης ἐστί. νῦν μὲν οὖν ἔρημον αὐτὴν ἀφίησι καὶ γυμνὴν τῆς οἰκείας ἐνεργείας, ἵνα αὐτῆς δείξας τὴν ἀσθένειαν πιστώσηται αὐτῆς καὶ τὴν φύσιν· νῦν δὲ αὐτὴν ἀποκρύπτει, ἵνα μάθῃς, ὅτι οὐ ψιλὸς ἄνθρωπος ἦν. ὥσπερ γὰρ εἰ διαπαντὸς τὰ ἀνθρώπινα ἐνεδείκνυτο, τοῦτο ἂν ἐνομίσθη· οὕτως εἰ διαπαντὸς τὰ τῆς θεότητος ἐπετέλει, ἠπιστήθη ἂν ὁ τῆς οἰκονομίας λόγος. διὰ τοῦτο ποικίλλει καὶ ἀναμίγνυσι καὶ τὰ ῥήματα καὶ τὰ πράγματα, ἵνα μήτε τῇ Παύλου τοῦ Σαμοσατέως, μήτε τῇ Μαρκίωνος καὶ Μανιχαίου νόσῳ καὶ μανίᾳ παράσχῃ πρόφασιν. διὰ τοῦτο καὶ προλέγει τὸ ἐσόμενον ὡς Θεός, καὶ ἀναδύεται πάλιν ὡς ἄνθρωπος.

Ἐβουλόμην καὶ ταῖς λοιπαῖς αἰτίαις ἐπεξελθεῖν, καὶ δεῖξαι ἐπ' αὐτῶν τῶν πραγμάτων, ὅτι ὥσπερ ἐνταῦθα τὴν ἀσθένειαν τῆς σαρκὸς ἐλέγχων ηὔξατο, οὕτω καὶ ἀλλαχοῦ πάλιν τὴν ἀσθένειαν τῶν ἀκουόντων διορθούμενος. οὐ γὰρ δὴ πάντα τὰ ταπεινῶς εἰρημένα διὰ τὴν τῆς σαρκὸς περιβολὴν εἰρῆσθαι χρὴ νομίζειν μόνον, ἀλλὰ καὶ διὰ τὰς ἄλλας, ἃς εἶπον, αἰτίας. ἵνα δὲ μὴ τῶν εἰρημένων ἐπικλύσῃ τὸ πλῆθος τὴν περιουσίαν τῶν ῥηθήσεσθαι μελλόντων,

λόντων, ἐνταῦθα τὸν πρὸς ἐκείνους στήσας λόγον, καὶ τὰ λειπόμενα εἰς ἑτέραν ἀναβαλλόμενος ἡμέραν, πρὸς παραίνεσιν εὐχῆς τρέψομαι πάλιν. εἰ γὰρ καὶ πολλάκις ἡμῖν περὶ τῆς ὑποθέσεως ταύτης εἴρηται, ἀλλὰ καὶ νῦν ἀναγκαῖον εἰπεῖν. καὶ γὰρ καὶ τῶν ἱματίων τὰ μὲν ἅπαξ βαφέντα ἐξίτηλον ἔχει τὴν βαφήν· ἃ δὲ πολλάκις καὶ συνεχῶς καθέντες, ἀνασπῶσιν οἱ δευσοποιοί, ἀκίνητον διατηρεῖ τὸ τοῦ χρώματος ἄνθος. τοῦτο δὴ καὶ ἐπὶ τῶν ψυχῶν συμβαίνει τῶν ἡμετέρων. ὅταν γὰρ πολλάκις τῶν αὐτῶν ἀκούσωμεν ῥημάτων, καθάπερ τινὰ βαφὴν τὴν διδασκαλίαν ὑποδεξάμενοι, οὐκ ἂν ῥᾳδίως αὐτὴν ἀποπλύσωμεν. μὴ τοίνυν παρέργως ἀκούωμεν. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν εὐχῆς δυνατώτερον, οὐδὲ ἴσον. οὐχ οὕτως ἐστὶ βασιλεὺς λαμπρὸς ἁλουργίδα περιβεβλημένος, ὡς ὁ εὐχόμενος τῇ πρὸς τὸν Θεὸν ὁμιλίᾳ κοσμούμενος. ὥσπερ γὰρ εἰ στρατοπέδου παρόντος, στρατηγῶν, ἀρχόντων, ὑπάτων πολλῶν, προσελθών τις κατ' ἰδίαν διαλεχθείη τῷ βασιλεῖ, τὰς πάντων ὄψεις ἐπιστρέφει πρὸς ἑαυτόν, καὶ ταύτῃ σεμνότερος γίνεται· οὕτω δὴ καὶ ἐπὶ τῶν εὐχομένων γένοιτ' ἄν. ἐννόησον γὰρ πηλίκον ἐστί, ἀγγέλων παρόντων, ἀρχαγγέλων παρεστώτων, τῶν σεραφὶμ, τῶν χερουβίμ, τῶν ἄλλων ἁπασῶν δυνάμεων, αὐτὸν ἄνθρωπον ὄντα μετὰ πολλῆς δύνασθαι προσιέναι τῆς παρρησίας, καὶ τῷ βασιλεῖ τῶν δυνάμεων ἐκείνων διαλέγεσθαι. πόσης τοῦτο οὐκ ἂν ἀντάξιον εἴη τιμῆς; οὐ τιμὴ δὲ μόνον, ἀλλὰ καὶ ὠφέλεια μεγίστη γένοιτ' ἂν ἡμῖν ἀπὸ τῆς εὐχῆς, καὶ πρὶν ἢ λαβεῖν ὅπερ αἰτοῦμεν. ὁμοῦ τε γάρ τις ἀνέτεινε τὰς χεῖρας εἰς τὸν οὐρανὸν, καὶ τὸν Θεὸν ἐκάλεσε, καὶ πάντων εὐθέως ἀπέστη τῶν ἀνθρωπίνων πραγμάτων, καὶ μετέστη τῇ διανοίᾳ πρὸς τὴν μέλλουσαν ζωήν, καὶ τὰ ἐν τοῖς οὐρανοῖς φαντάζεται λοιπὸν, καὶ οὐδὲν πρὸς τὴν παροῦσαν ἔχει ζωὴν κατὰ τὸν καιρὸν τῆς εὐχῆς, ἐὰν μετὰ ἀκριβείας εὔχηται· ἀλλὰ κἂν θυμὸς ἀναζέῃ, κοιμίζεται ῥᾳδίως· κἂν ἐπιθυμία φλέγῃ, σβέννυται· κἂν φθόνος τήκῃ, μετὰ πολλῆς τῆς εὐκολίας ἀπελαύνεται. καὶ τοῦτο γίνεται, ὅπερ ὁ προφήτης φησὶν ἀνίσχοντος τοῦ ἡλίου. τί δὲ ἐκεῖνός φησιν; Ἔθου σκότος, καὶ ἐγένετο νύξ. ἐν αὐτῇ διελεύσεται πάντα τὰ θηρία τοῦ δρυμοῦ· σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι καὶ ζητῆσαι παρὰ τοῦ Θεοῦ βρῶσιν αὐτοῖς. ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται. ὥσπερ οὖν τῆς ἀκτῖνος ἀνισχούσης πάντα φυγαδεύεται τὰ θηρία, καὶ πρὸς τοὺς φωλεοὺς τοὺς ἑαυτῶν καταδύεται· οὕτω δὴ τῆς εὐχῆς, ὥσπερ τινὸς ἀκτῖνος, ἀπὸ τοῦ στόματος τοῦ ἡμετέρου καὶ τῆς γλώττης ἀναφανείσης, φωτίζεται μὲν ἡ διάνοια, πάντα δὲ τὰ ἄλογα καὶ θηριώδη πάθη δραπετεύει, καὶ φυγαδεύεται, καὶ πρὸς τοὺς οἰκείους καταδύεται φωλεούς· μόνον ἐὰν μετὰ ἀκριβείας εὐχώμεθα, ἂν μετὰ ψυχῆς διεγηγερμένης καὶ διανοίας νηφούσης· τότε κἂν διάβολος παρῇ, φυγαδεύεται· κἂν δαίμων, ἀναχωρεῖ. εἰ γὰρ οἰκέτῃ δεσπότου διαλεγομένου, οὐδεὶς ἂν τῶν συνδούλων, οὔτε τις τῶν παρρησίαν ἐχόντων προσελθεῖν τολμήσειεν ἂν καὶ διενοχλῆσαι, πολλῷ μᾶλλον οὗτοι τῶν προσκεκρουκότων ὄντες καὶ ἀπαρρησιάστων, οὐκ ἂν δυνηθεῖεν ἡμῖν ἐνοχλῆσαι τῷ Θεῷ διαλεγομένοις μετὰ τῆς προσηκούσης σπουδῆς. εὐχὴ χειμαζομένων λιμὴν, κλυδωνιζομένων ἄγκυρα, σαλευομένων βακτηρία, πενήτων θησαυρός, πλουτούντων ἀσφάλεια, νοσημάτων ἀναίρεσις, ὑγιείας φυλακή. εὐχὴ καὶ τὰ ἀγαθὰ ἡμῖν ἀκίνητα διατηρεῖ, καὶ τὰ κακὰ μεταβάλλει ταχέως. κἂν πειρασμὸς ἐπέλθῃ, ῥᾳδίως ἀποκρούεται· κἂν ζημία χρημάτων, κἂν ὁτιοῦν ἕτερον τῶν λυπούντων ἡμῶν τὴν ψυχὴν, ἅπαντα ἀπελαύνει ταχέως. εὐχὴ λύπης ἁπάσης φυγαδευτήριον, εὐθυμίας ὑπόθεσις, διηνεκοῦς ἡδονῆς ἀφορμὴ, φιλοσοφίας μήτηρ. ὁ δυνάμενος εὔχεσθαι μετὰ ἀκριβείας, κἂν ἁπάντων πενέστερος ᾖ, πάντων ἐστὶ πλουσιώτερος· ὥσπερ ὁ τῆς εὐχῆς πάλιν ἐστερημένος, κἂν ἐν αὐτῷ καθέζηται τῷ θρόνῳ τῷ βασιλικῷ, πάντων ἐστὶ πενέστερος. καὶ γὰρ ὁ Ἀχαὰβ βασιλεὺς ὢν, καὶ χρυσίον εἶχεν ἄφατον καὶ ἀργύριον· ἀλλ' ἐπειδὴ εὐχὴν οὐκ εἶχε, περιῄει Ἠλίαν ζητῶν, ἄνθρωπον οὐδὲ καταγώγιον ἔχοντα, οὐδὲ ἱμάτιον, ἀλλ' ἢ μηλωτὴν μόνην. τί τοῦτο, εἰπέ μοι; ὁ τοσαύτας ἔχων ἀπο-

Ψαλ. ρδ. κα.

θήκας, τὸν οὐδὲν ἔχοντα ζητεῖς; ναί, φησι. τί γάρ μοι τῶν ταμιείων ὄφελος, τούτου τὸν οὐρανὸν ἀποκλείσαντος, καὶ πάντα ἄχρηστα ἐργασαμένου; Εἶδες πῶς οὗτος εὐπορώτερος ἦν ἐκείνου; ἕως γὰρ οὗτος * ἐφθέγξατο, ὁ βασιλεὺς ἦν ἐν πενίᾳ πολλῇ μετὰ τοῦ στρατοπέδου παντός. ὢ τοῦ θαύματος· οὐδὲ ἱμάτιον εἶχε, καὶ τὸν οὐρανὸν ἀπέκλεισε. διὰ αὐτὸ μὲν οὖν τοῦτο ἀπέκλεισε τὸν οὐρανόν, ἐπειδὴ ἱμάτιον οὐκ εἶχεν· ἐπειδὴ οὐδὲν ἐνταῦθα ἐκέκτητο, διὰ τοῦτο πολλὴν τὴν δύναμιν ἐπεδείξατο. διανοίξας γὰρ τὰ χείλη μόνον, μυρίους ἐποίησεν ἄνωθεν κατενεχθῆναι θησαυροὺς ἀγαθῶν. ὢ στόματος πηγὰς ὄμβρων ἔχοντος· ὢ γλώσσης νιφάδας ὑετῶν ἀφιείσης· ὢ φωνῆς μυρία ἀγαθὰ βρυούσης. πρὸς δὴ τοῦτον ἀεὶ βλέποντες τὸν πένητα καὶ πλούσιον, τὸν διὰ τοῦτο πλούσιον, ἐπειδὴ πένης ἦν, ὑπερορῶμεν τῶν παρόντων, ἐπιθυμῶμεν τῶν μελλόντων. οὕτω γὰρ καὶ τῶν ἐνταῦθα, καὶ τῶν ἐκεῖ πάντων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς " μετασχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Αμήν.

ΟΜΙΛΙΑ ΡΗΘΕΙΣΑ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

πρὸς Ανομοίους περὶ ὁμοουσίου, καὶ ὅτι σύμφωνος ἡ νέα τῇ παλαιᾷ, καὶ πρὸς τοὺς ἀπολιμπανομένους τῶν θείων συνάξεων. Λογ. ζ.

Μίαν ὑμῖν διελέχθην ἡμέραν, καὶ ἀπὸ τῆς ἡμέρας ἐκείνης οὕτως ὑμᾶς ἐφίλησα, ὡς ἐξ ἀρχῆς καὶ ἐκ πρώτης ὑμῖν συντραφείς· οὕτως ὑμῖν συνεδέθην τοῖς τῆς ἀγάπης δεσμοῖς, ὡς χρόνου ἀφάτου τῆς ἡδίστης ὑμῶν ἀπολαύσας συνουσίας. τοῦτο δὲ γέγονεν, οὐκ ἐπειδὴ "φιλητικός τις ἐγὼ καὶ ἀγαπητικός, ἀλλ' ἐπειδὴ ποθεινοὶ καὶ ἐπέραστοι μάλιστα πάντων ὑμεῖς. τίς γὰρ ἂν ὑμῶν οὐκ ἂν ἀγάσαιτο καὶ θαυμάσειε τὸν πεπυρωμένον ζῆλον, τὴν ἀνυπόκριτον ἀγάπην, τὴν περὶ τοὺς διδασκάλους εὔνοιαν, τὴν πρὸς ἀλλήλους ὁμόνοιαν, ἅπερ ἅπαντα ἱκανὰ καὶ λιθίνην ἐπισπάσασθαι ψυχήν*; διὰ τοῦτο καὶ ἡμεῖς τῆς ἐκκλησίας ἐκείνης, ἐν ᾗ καὶ ἐτέχθημεν καὶ ἐτράφημεν καὶ ἐπαιδεύθημεν, οὐκ ἔλαττον ὑμᾶς φιλοῦμεν. ἀδελφὴ γὰρ ἐκείνης αὕτη, καὶ διὰ τῶν ἔργων τὴν συγγένειαν ἐπιδείξασθε. εἰ δὲ πρεσβυτέρα κατὰ τὸν χρόνον ἐκείνη, ἀλλὰ θερμοτέρα κατὰ τὴν πίστιν αὕτη. πλείων ὁ σύλλογος ἐκεῖ, καὶ λαμπρότερον τὸ θέατρον· ἀλλὰ μείζων ἐνταῦθα ἡ ὑπομονή, καὶ "πλείων τῆς ἀνδρείας ἡ ἐπίδειξις. λύκοι πανταχόθεν τὰ πρόβατα περιστοιχίζονται, καὶ τὸ ποίμνιον οὐκ ἀναλίσκεται· ζάλη καὶ χειμὼν καὶ κλυδώνιον περιέστηκε τὴν ἱερὰν ταύτην ναῦν διηνεκῶς, καὶ οἱ ἐμπλέοντες οὐ καταποντίζονται· φλογμὸς αἱρετικῆς ἐπήρεια πάντοθεν " κύκλῳ, καὶ οἱ ἐν μέσῃ τῇ καμίνῳ δρόσου πνευματικῆς ἀπολαύουσιν. ὁμοίως ἐστὶ παράδοξον ἐν τῷ μέσῳ τῆς πόλεως ταύτης τὴν ἐκκλησίαν ταύτην πεφυτευμένην ἰδεῖν, ὥσπερ ἂν εἴ τις ἐν μέσῃ καμίνῳ θάλλουσαν ἐλαίαν καὶ τοῖς φύλλοις κομῶσαν καὶ τῷ καρπῷ βριθομένην ἴδοι. ἐπεὶ οὖν οὕτως εὐγνώμονες ὑμεῖς καὶ μυρίων ἀγαθῶν ἄξιοι, φέρε, τὴν ὑπόσχεσιν μετὰ πάσης χάριτος καταβάλωμεν, ἣν πρώην ὑμῖν ὑπεσχόμεθα, ἡνίκα περὶ τῶν τοῦ Δαβὶδ καὶ τοῦ Γολιὰθ ὅπλων ἐφιλοσοφοῦμεν παρ' ὑμῖν, δεικνύντες τῷ λόγῳ, πῶς ὁ μὲν πανοπλίᾳ τινὶ πολλῇ καὶ μεγάλῃ πάντοθεν ἐπέφρακτο, ὁ δὲ γυμνὸς τῶν ὅπλων ἐκείνων τῇ πίστει τετείχιστο· καὶ ὁ μὲν ἀπὸ τοῦ θώρακος καὶ τῆς ἀσπίδος ἔλαμπεν ἔξωθεν, ὁ δὲ "ἔνδοθεν ἀπὸ τοῦ πνεύματος καὶ τῆς χάριτος ἔστιλβε. διὰ τοῦτο γοῦν ὁ παῖς τὸν νεανίσκον κατηγωνίσατο, ὁ γυμνὸς τοῦ ὁπλισμένου ἐκράτησεν, ὁ ποιμὴν τὸν στρατιώτην κατέβαλε, λίθου φύσις ποιμενικοῦ χαλκοῦ φύσιν πολεμικοῦ συνέτριψε καὶ διέφθειρεν. οὐκοῦν καὶ ἡμεῖς τὸν λίθον ἐκεῖνον μεταχειρισώμεθα, τὸν ἀκρογωνιαῖον λέγω, τὸν νοητόν. Εἰ γὰρ τῷ Παύλῳ φιλοσοφεῖν ἔξεστι περὶ τῆς κατὰ τὴν ἔρημον πέτρας, πάντως οὐδὲ ἡμῖν νεμεσήσει τις τὸν λίθον τοῦτον κατὰ τὸν αὐτὸν ἐκλαμβάνουσι τρόπον. καθάπερ γὰρ ἐπὶ τῶν Ἰουδαίων οὐχ ἡ φύσις τῆς ὁρωμένης πέτρας, ἀλλ' ἡ δύναμις τῆς νοουμένης τοὺς ποταμοὺς ἠφίει τῶν ὑδάτων ἐκείνοις· οὕτω δὴ καὶ ἐπὶ τοῦ Δαβίδ, οὐχ ὁ αἰσθητός, ἀλλ' ὁ νοητὸς λίθος βαρβαρικὴν ἐκείνην κατήνεγκε κεφαλήν· οὕτως ὑμῖν καὶ πότε ὑπεσχόμεθα μηδὲν ἀπὸ λογισμῶν ἐρεῖν. Τὰ γὰρ ὅπλα ἡμῶν οὐ σαρκικά, ἀλλὰ πνευματικά, λογισμοὺς καθαιροῦντα, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. καθαιρεῖν τοίνυν αὐτούς, οὐκ ἐπαίρειν κελευόμεθα· καταλύειν, οὐχ ὁπλίζεσθαι τούτοις προσετάγημεν. Λογισμοὶ γὰρ θνητῶν δειλοί, φησι. Τί ἐστι, δειλοί; ὁ δειλός, κἂν ἐπὶ ἀσφαλοῦς βαίνῃ χωρίου, οὐδέπω θαρρεῖ, ἀλλὰ δέδοικε καὶ τρέμει· οὕτω καὶ τὸ λογισμοῖς ἀποδειχθέν, κἂν ἀληθὲς ᾖ, πληροφορίαν οὐδέπω τῇ ψυχῇ παρέχει καὶ πίστιν ἰσχυράν. ἐπεὶ οὖν τοσαύτη τῶν λογισμῶν ἡ ἀσθένεια, φέρε ἀπὸ τῶν γραφῶν τῆς πρὸς τοὺς ἐναντίους ἁψώμεθα μάχης. πόθεν οὖν * ἀρκτέον τοῦ λόγου; ὅθεν ἂν βουλήσεσθε, εἴτε ἀπὸ τῆς καινῆς, εἴτε ἀπὸ τῆς παλαιᾶς. οὐ γὰρ δὴ μόνον ἐν τοῖς εὐαγγελικοῖς καὶ τοῖς ἀποστολικοῖς ῥήμασιν, ἀλλὰ καὶ ἐν τοῖς προφητικοῖς καὶ πάσῃ τῇ παλαιᾷ μετὰ πολλῆς τῆς περιουσίας διαλάμπουσαν ἐστὶν ἰδεῖν τὴν τοῦ μονογενοῦς δόξαν. διὸ καὶ ἐντεῦθέν μοι δοκεῖ πρὸς ἐκείνους ἀκροβολίσασθαι. οὐ γὰρ δὴ μόνους τούτους, ἐντεῦθεν ποιούμενοι τοὺς λόγους, ἀλλὰ καὶ ἑτέρους πλείονας αἱρετικοὺς δυνησόμεθα καταβαλεῖν, Μαρκίωνα, Μανιχαῖον, Οὐαλεντῖνον, τῶν Ἰουδαίων ἅπαντα τὰ συστήματα. καθάπερ γὰρ ἐπὶ τοῦ Δαβίδ, ὁ μὲν Γολιὰθ κατέπεσε, τὸ δὲ στρατόπεδον ἅπαν ἐδραπέτευσε, καὶ ὁ μὲν θάνατος ἑνὸς ἐγένετο σώματος, καὶ μιᾶς ἡ πληγὴ κεφαλῆς, ἡ δὲ φυγὴ καὶ ἡ δειλία κοινὴ τοῦ στρατοπέδου παντός· οὕτω δὴ καὶ ἐφ' ἡμῶν νῦν, μιᾶς αἱρέσεως πληγείσης καὶ καταπεσούσης, κοινὴ τῶν ἀπειλημμένων ἁπάντων ἔσται φυγή. Μανιχαῖοι μὲν γὰρ καὶ τὰ αὐτὰ νοσοῦντες ἐκείνοις, τὸν μὲν κηρυττόμενον δοκοῦσι δέχεσθαι Χριστόν, τοὺς δὲ κηρύττοντας αὐτὸν ἀτιμάζουσι, προφήτας καὶ πατριάρχας· Ἰουδαῖοι δὲ πάλιν ἀπ' ἐναντίας τοὺς μὲν κηρύττοντας αὐτὸν δοκοῦσι δέχεσθαι καὶ θεραπεύειν, προφήτας λέγω, καὶ τὸν νομοθέτην αὐτῶν, τὸν δὲ κηρυττόμενον ὑπ' αὐτῶν ἀτιμάζουσιν. ὅταν οὖν τῇ τοῦ Θεοῦ χάριτι πολλὴν δείξωμεν ἐν τῇ παλαιᾷ προαναφωνουμένην τοῦ μονογενοῦς τὴν δόξαν, πάντα ταῦτα δυνησόμεθα τὰ θεομάχα καταισχῦναι στόματα, καὶ τὰς βλασφήμους ἐπιστομίσαι γλώσσας. ὅταν γὰρ φαίνηται τὸν Χριστὸν ἡ παλαιὰ διαθήκη κηρύττουσα, τίς ἔσται Μανιχαίῳ καὶ τοῖς κατ' ἐκεῖνον ἀπολογία, ἀτιμάζουσι τὴν προαναφωνοῦσαν τὸν κοινὸν ἁπάντων δεσπότην; τίς δὲ συγγνώμη καὶ παραίτησις τοῖς Ἰουδαίοις τὸν ὑπὸ τῶν προφητῶν καταγγελλόμενον μὴ " δεξαμένοις;

α. Κορ. ι. δ.

β. Κορ. ι. ζ.

Ψαλ. οθ. ζ.

Ἐπεὶ οὖν τοσαύτη τῆς νίκης ἡ περιουσία, ἐπὶ τὰ παλαιότερα βιβλία τὸν λόγον ἀγάγωμεν, καὶ τῶν παλαιῶν αὐτῶν τὸ ἀρχαιότερον πάντων, ἐπὶ τὴν γένεσιν λέγω, καὶ τῆς γενέσεως αὐτῆς τὴν κορυφὴν ἀναβαίνωμεν. ὅτι γὰρ περὶ τοῦ Χριστοῦ πολλά φησιν ὁ Μωϋσῆς, ἄκουσον αὐτοῦ τοῦ Χριστοῦ λέγοντος· Εἰ ἐπιστεύετε Μωϋσῇ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψε. ποῦ δὲ ἔγραψεν ἐκεῖνος περὶ αὐτοῦ, τοῦτο ἤδη δεῖξαι πειρασόμεθα. ἐπειδὴ γὰρ ἡ κτίσις ἀπήρτιστο πᾶσα, καὶ ποικίλως μὲν ὁ οὐρανὸς ἐστεφάνωτο τῷ τῶν ἄστρων χορῷ, παντοδαποῖς δὲ ἄνθεσιν ἀντέλαμπεν αὐτῷ κάτωθεν ἡ γῆ, καὶ πλήρεις μὲν ὀρῶν κορυφαί, πλήρη δὲ πεδία καὶ φάραγγες καὶ ἁπλῶς πᾶσα ἡ τῆς γῆς ἐπιφάνεια φυτῶν καὶ δένδρων καὶ βοτανῶν ἦν, καὶ ἐσκίρτα μὲν ποίμνια, ἐσκίρτα δὲ βουκόλια, τῶν δὲ ᾠδικῶν ὀρνίθων ὁ χορὸς τὴν ἰδίαν φύσιν ἐπιδεικνύμενα μουσικῆς τὸν ἀέρα πάντα ἐπλήρου, καὶ μεστὰ πελάγη τῶν ἐνυδρίων ζώων ἦν, πλήρεις δὲ λίμναι καὶ πηγαὶ καὶ ποταμοὶ τῶν ἐν αὐτοῖς τικτομένων ἁπάντων, καὶ οὐδὲν ἦν ἀτέλεσον, ἀλλὰ πάντα ἀπήρτιστο· ἐζήτει τὸ σῶμα τὴν κεφαλήν, ἡ πόλις τὸν ἄρχοντα, ἡ κτί-

Ιωαν. ε. μς.

σις τὸν βασιλέα· λέγω δὲ τὸν ἄνθρωπον. μέλλων οὖν αὐτὸν διαπλάττειν ὁ Θεός, φησί· Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν. (Γεν. α. κϛ.) πρὸς τίνα διαλέγεται; εὔδηλον ὅτι πρὸς τὸν μονογενῆ τὸν ἑαυτοῦ. καὶ οὐκ εἶπε, ποίησον, ἵνα μὴ νομίσῃς δουλικὸν εἶναι τὸ ἐπίταγμα τὸ λεγόμενον, ἀλλά, ποιήσωμεν, ἵνα διὰ τοῦ σχήματος "τῆς συμβουλῆς τῶν ῥημάτων τὸ ὁμότιμον ἐκκαλύψῃ. ποτὲ μὲν γὰρ λέγεται σύμβουλον ἔχειν ὁ Θεός, ποτὲ δὲ μὴ ἔχειν, οὐ τῆς γραφῆς ἑαυτῇ μαχομένης, ἀλλ' ἀπόρρητα δόγματα ἐκκαλυπτούσης ἡμῖν δι' ἀμφοτέρων τούτων. ὅταν μὲν γὰρ τὸ ἀνενδεὲς αὐτοῦ παραστῆσαι βούληται, φησὶν οὐκ ἔχειν αὐτὸν σύμβουλον· ὅταν δὲ τὸ ὁμότιμον τοῦ μονογενοῦς, σύμβουλον καλεῖ τὸν υἱὸν τοῦ Θεοῦ. καὶ ἵνα μάθῃς ταῦτα ἀμφότερα, ὅτι τε σύμβουλον τὸν υἱὸν καλοῦσιν οἱ προφῆται, οὐχ ὡς τοῦ πατρὸς δεομένου συμβουλῆς, ἀλλ' ἵνα τοῦ μονογενοῦς τὴν τιμὴν μάθωμεν, καὶ ὅτι πάλιν οὐ δεῖται συμβούλου, ἄκουσον τοῦ Παύλου λέγοντος· (Ρωμ. ια. λγ.) Ὦ βάθος πλούτου, καὶ σοφίας, καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ; τίς γὰρ ἔγνω νοῦν Κυρίου, ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; οὗτος μὲν οὖν τὸ ἀνενδεὲς "αὐτοῦ παρέστησεν· ὁ δὲ Ἡσαΐας πάλιν περὶ τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ λέγων, οὕτω πως φησί· (Ησ. θ. ε.) Καὶ θελήσουσιν, εἰ ἐγενήθησαν πυρίκαυστοι. ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς σύμβουλος. καὶ εἰ θαυμαστὸς σύμβουλος, πῶς ὁ Παῦλος λέγει, (Ρωμ. ια. λδ.) Τίς γὰρ ἔγνω νοῦν Κυρίου, ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; ὅτι ὁ μὲν Παῦλος, καθὼς ἔφθην εἰπών, τὸ ἀνενδεὲς τοῦ πατρὸς παραστῆσαι βούλεται, ὁ δὲ προφήτης τὸ ὁμότιμον τοῦ μονογενοῦς. διὰ τοῦτο καὶ ἐνταῦθα οὐκ εἶπε, ποίησον, ἀλλά, ποιήσωμεν. τὸ γάρ, ποίησον, ἐπιταγῆς ἐστι πρὸς δοῦλον γινομένης. καὶ δῆλον ἐντεῦθεν. (Ματθ. η. ε.) Προσῆλθέ ποτε ἑκατόνταρχος τῷ Ἰησοῦ, καί φησι· Κύριε, ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικός, δεινῶς βασανιζόμενος. τί οὖν ὁ Χριστός; Ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν. ὁ μὲν οὖν ἑκατοντάρχης οὐκ ἐτόλμησεν ἑλκύσαι τὸν ἰατρὸν εἰς τὴν οἰκίαν, ὁ δὲ κηδεμὼν καὶ φιλάνθρωπος αὐτεπάγγελτος ὑπέσχετο βαδίσασθαι "ἐκεῖσε, ἵνα ἀφορμὴν δῷ καὶ πρόφασιν ἐκείνῳ τὴν ἀρετὴν ἡμῖν ἐπιδεῖξαι τὴν ἑαυτοῦ. εἰδὼς γὰρ ἅπερ ἔμελλεν ἐκεῖνος ἐρεῖν, ὑπέσχετο παραγενέσθαι, ἵνα μάθῃς τὴν εὐλάβειαν τοῦ ἀνδρός. τί γάρ φησιν ὁ ἑκατοντάρχης; (Ματθ. η. η.) Κύριε, οὐκ εἰμὶ ἱκανός, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς. οὐδὲ ἡ τῆς νόσου καὶ τῆς ἀρρωστίας ἀνάγκη τῆς οἰκείας αὐτὸν ἔπεισεν ἐπιλαθέσθαι εὐλαβείας, ἀλλὰ καὶ ἐν τῇ συμφορᾷ τὴν ὑπεροχὴν ἐπεγίνωσκε τοῦ δεσπότου. διό φησιν· Εἰπὲ λόγῳ, καὶ ἰαθήσεται ὁ παῖς μου. καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας, καὶ λέγω τούτῳ, πορεύου, καὶ πορεύεται, καὶ ἄλλῳ, ἔρχου, καὶ ἔρχεται, καὶ τῷ δούλῳ μου, ποίησον τοῦτο, καὶ ποιεῖ. ὁρᾷς ὅτι τό, ποίησον, δεσπότου πρὸς δοῦλόν ἐστι διαλεγομένου; οὐκοῦν τό, ποιήσωμεν, ὁμοτίμου τινός ἐστιν. ὅταν οὖν δεσπότης δούλῳ λέγῃ, ποίησον, λέγει· ὅταν δὲ πατὴρ υἱῷ διαλέγηται, ποιήσωμεν. τί οὖν, φησίν, εἰ ὁ μὲν ἑκατοντάρχης οὕτως ὑπώπτευε, τὸ δὲ πρᾶγμα οὐχ οὕτως εἶχε; μὴ γὰρ ἀπόστολός ἐστι, φησίν, ὁ ἑκατοντάρχης; μὴ γὰρ μαθητής ἐστιν, ἵνα αὐτοῦ δεξώμεθα τὰ ῥήματα; εἰκὸς αὐτὸν ἐσφάλθαι, φησί. καλῶς. ἴδωμεν οὖν τὸ ἑξῆς. ἆρα διώρθωσεν αὐτὸν ὁ Χριστός; ἆρα ἐπετίμησεν ὡς σφαλλομένῳ, καὶ διεφθαρμένα εἰσάγοντι δόγματα; ἆρα εἶπε πρὸς αὐτόν, τί τοῦτο ποιεῖς, ἄνθρωπε; μείζονα περὶ ἐμοῦ δόξαν ἔχεις, ἢ προσῆκε· "πλείονά μοι χαρίζῃ τῶν ὀφειλομένων *· ἐξ αὐθεντίας με νομίζεις ἐπιτάττειν οὐκ ἔχοντα αὐθεντίαν; ἆρα εἶπέ τι τοιοῦτον; οὐδαμῶς· ἀλλὰ καὶ ἐκύρωσεν αὐτοῦ τὴν γνώμην, καὶ πρὸς τοὺς ἀκολουθοῦντας εἶπεν, (Ματθ. η. ι.) Ἀμὴν λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον. ὁ τοίνυν ἔπαινος τοῦ δεσπότου, κύρωσις γίνεται τῶν ῥημάτων τοῦ ἑκατοντάρχου. οὐκέτι γὰρ τοῦ ἑκατοντάρχου ἐστὶ τὰ ῥήματα τὰ εἰρημένα, ἀλλ' ἀπόφασίς ἐστι δεσποτική. ὅταν γὰρ αὐτὸς ἐπαινέσῃ τὰ λεχθέντα, καὶ ψηφίσηται αὐτοῖς ὡς καλῶς εἰρημένοις, ὡς θεῖον αὐτὰ δεχόμεθα χρησμόν. τὸ γὰρ κῦρος ἄνωθεν ἔλαβεν ἐκ τῆς "τοῦ Κυρίου κρίσεως.

ἴσ. τῆς
τῆς συμβουλῆς
ἀλλ. τῆς
ταῖς τῆς
λίαν, διὰ
συμβουλῆς
ὁμ.

γρ. τιμῶν

γρ. ἑαυτοῦ

γρ. μείζονα
ἐμοί

γρ. τῆς θεῶ
ἀποφ

κρίσεως. ὁρᾷς πῶς σύμφωνος ἡ καινὴ τῇ παλαιᾷ; πῶς ἑκατέρα τὴν αὐθεντίαν ἐπιδείκνυται
τοῦ Χριστοῦ; τί οὖν, εἰ ἐποίει μέν, φησί, τὸν ἄνθρωπον, ὡς ὑπουργὸς δὲ ἐποίει; οὐκοῦν
ἄκουσον τῶν ἑξῆς ῥημάτων, καὶ ἀπόστηθί ποτε τῆς ἀκαίρου φιλονεικίας. Εἰπὼν γάρ, Ποιήσωμεν Γεν. α. κϛ.
ἄνθρωπον, οὐκ ἐπήγαγε, κατὰ τὴν εἰκόνα τὴν σήν, τὴν ἐλάττω, οὐδὲ κατὰ τὴν εἰκόνα
τὴν ἐμήν, τὴν μείζω, ἀλλὰ τί; κατ᾽ εἰκόνα ἡμετέραν*· δεικνὺς πατρὸς καὶ υἱοῦ μίαν
οὖσαν εἰκόνα. οὐ γὰρ εἶπεν, εἰκόνας, ἀλλ᾽, εἰκόνα ἡμετέραν. οὐ γὰρ δύο τινὲς ἀνώμαλοι,
ἀλλὰ μία, καὶ αὕτη ἴση υἱοῦ καὶ πατρὸς ἡ εἰκών. διὰ τοῦτο καὶ ἐκ δεξιῶν λέγεται καθῆσθαι,
ἵνα τὸ ὁμότιμον, καὶ τῆς οὐσίας τὸ ἀπαράλλακτον μάθῃς. ὑπουργὸς γὰρ οὐ συγκάθηται,
ἀλλὰ παρέστηκε. καὶ ὅτι τὸ μὲν καθῆσθαι, δεσποτικῆς ἐστιν ἐξουσίας, τὸ δὲ παρεστάναι, δουλικῆς
καὶ ὑποτεταγμένης, ἄκουσον τί φησιν ὁ Δανιήλ· Ἐθεώρουν ἕως οὗ θρόνοι ἐτέθησαν, καὶ ὁ Δαν. ζ. θ.
παλαιὸς* ἡμερῶν ἐκάθητο. μύριαι μυριάδες ἐλειτούργουν αὐτῷ, καὶ χίλιαι χιλιάδες παρειστήκεισαν
αὐτῷ. καὶ πάλιν ὁ Ἡσαΐας, Εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ Ἡσ. ϛ. α.
ἐπηρμένου, καὶ τὰ σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ. καὶ ὁ Μιχαίας δέ, Εἶδον τὸν Κύριον γ. Βασ. κβ. ιθ.
τὸν Θεὸν τοῦ Ἰσραὴλ καθήμενον ἐπὶ τοῦ θρόνου αὐτοῦ, καὶ πᾶσα ἡ στρατιὰ τοῦ οὐρανοῦ εἱστήκει
ἐκ δεξιῶν αὐτοῦ, καὶ ἐξ ἀριστερῶν αὐτοῦ. ὁρᾷς πανταχοῦ τὰς μὲν ἄνω δυνάμεις παρεστηκυίας,
αὐτὸν δὲ καθήμενον; ὅταν οὖν ἴδῃς καὶ τὸν υἱὸν τὴν ἐκ δεξιῶν ἔχοντα καθέδραν, μὴ τῆς λειτουργικῆς
καὶ ὑπουργικῆς αὐτὸν εἶναι νομίσῃς ἀξίας, ἀλλὰ τῆς δεσποτικῆς καὶ αὐθεντίαν ἐχούσης.
διὰ τοῦτο καὶ Παῦλος τὰ ἀμφότερα ταῦτα εἰδώς, καὶ ὅτι τὸ μὲν παρεστάναι, λειτουργούντων
ἐστί, τὸ δὲ καθῆσθαι, ὑποτασσόντων καὶ προστατούντων, ὅρα πῶς ἀμφότερα ταῦτα
διαιρεῖ, λέγων οὕτω· Πρὸς μὲν τοὺς ἀγγέλους αὐτοῦ φησιν, ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ Ἑβρ. α. ζ.
πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· πρὸς δὲ τὸν υἱόν, Ὁ θρόνος σου, ὁ Θεός, εἰς
τὸν αἰῶνα τοῦ αἰῶνος, διὰ τοῦ θρόνου τὴν βασιλικὴν ἡμῖν ἐξουσίαν δηλῶν. ἐπεὶ οὖν διὰ
πάντων ὁ λόγος ἡμῖν τοῦτο ἀπέδειξεν, οὐχὶ τῆς λειτουργικῆς ὄντα ἀξίας τὸν υἱόν, ἀλλὰ τῆς
δεσποτικῆς· ὡς δεσπότην αὐτὸν προσκυνῶμεν, καὶ ὁμότιμον τῷ πατρί (οὕτω γὰρ καὶ αὐτὸς
ἐκέλευσεν εἰπών, Ἵνα πάντες τιμῶσι τὸν υἱόν, καθὼς τιμῶσι τὸν πατέρα) καὶ τὴν διὰ τῆς Ἰωαν. ε. κγ.
πολιτείας καὶ τῶν ἔργων ἀκρίβειαν τῇ τῶν δογμάτων ὀρθότητι συνάπτωμεν, ἵνα μὴ ἐξ ἡμισείας
ἡμῖν τὰ τῆς σωτηρίας ᾖ. πολιτείας δὲ ἀκρίβειαν καὶ βίου καθαρότητα οὐδὲν οὕτω δύναται
κατορθοῦν, ὡς ἡ συνεχὴς ἐνταῦθα διατριβὴ καὶ ἡ μετὰ προθυμίας ἀκρόασις. ὅπερ γάρ
ἐστιν ἐπὶ τοῦ σώματος ἡ τροφή, τοῦτο ἐπὶ τῆς ψυχῆς ἡ τῶν θείων λογίων διδασκαλία. Οὐ γὰρ Δευτ. η. γ.
ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται, φησίν, ἄνθρωπος, ἀλλ᾽ ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ Ματθ. δ. δ.
στόματος Θεοῦ. διὰ τοῦτο καὶ λιμὸν οἶδεν ἐργάζεσθαι τὸ μὴ μετέχειν τῆς τοιαύτης τραπέζης.
ἄκουσον γοῦν τοῦ Θεοῦ τοῦτο ἀπειλοῦντος καὶ ἐν τάξει κολάσεως καὶ τιμωρίας ἐπανατεινομένου.
Δώσω γὰρ αὐτοῖς, φησίν, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Αμως η. ια.
Κυρίου. πῶς οὖν οὐκ ἄτοπον ὑπὲρ μὲν τοῦ τὸν σωματικὸν λιμὸν ἀποκρούεσθαι πάντα ποιεῖν
καὶ πραγματεύεσθαι, τὸν δὲ τῆς ψυχῆς ἑκόντας ἐπισπᾶσθαι, καίτοι πολλῷ χαλεπώτερον
ὄντα, ὅσῳ καὶ περὶ μειζόνων ἡ ζημία; μή, δέομαι καὶ ἀντιβολῶ, μὴ κακῶς οὕτω περὶ ἑαυτῶν
βουλευσώμεθα, ἀλλὰ πάσης ἀσχολίας καὶ φροντίδος ἡ ἐνταῦθα προτιμάσθω διατριβή.
τί γὰρ τοσοῦτον κερδανεῖς, εἰπέ μοι, τῆς συνάξεως ἀπολιμπανόμενος, ὅσον ζημιοῖς
καὶ σαυτὸν καὶ τὴν οἰκίαν πᾶσαν; κἂν γὰρ θησαυρὸν εὕρῃς ὁλόκληρον χρυσίου γέμοντα, καὶ διὰ
τοῦτον ἀπολειφθῇς, μείζω ζημιοῦσαι, καὶ τοσούτῳ μείζω, ὅσῳ τῶν αἰσθητῶν τὰ πνευματικὰ
ἀμείνω. ἐκεῖνα μὲν γὰρ κἂν πολλὰ ᾖ, κἂν πανταχόθεν ἐπιρρέῃ, ἀλλ᾽ οὐ συναποδημεῖ
πρὸς τὴν ἐκεῖ ζωήν, οὐδὲ συμμεθίσταται πρὸς τὸν οὐρανὸν ἡμῖν, οὐδὲ ἐπὶ τοῦ βήματος
παρίσταται τοῦ φοβεροῦ, ἀλλὰ πολλάκις καὶ πρὸ τῆς τελευτῆς ἡμᾶς καταλιπόντα οἴχεται·
εἰ δὲ καὶ παραμείνειε μέχρι τέλους, ἀλλ᾽ ὑπὸ τῆς τελευτῆς διακόπτεται πάντως· ὁ δὲ πνευ-

ματικὸς θησαυρὸς ἀναφαίρετόν ἐστι κτῆμα, καὶ πανταχοῦ βαδίζουσιν ἡμῖν καὶ ἀποδημοῦσιν ἕπεται), καὶ πολλὴν ἐπὶ τοῦ βήματος ἐκείνου δίδωσιν ἡμῖν τὴν παῤῥησίαν. Εἰ δὲ ἀπὸ τῶν ἄλλων συνάξεων τοσοῦτον τὸ κέρδος, ἀπὸ τῶν ἐνταῦθα συνάξεων διπλοῦν τοῦτο γίνεται. οὐ γὰρ διὰ τοῦτο καρπούμεθα μόνον, ὅτι τὴν ψυχὴν τοῖς θείοις λόγοις ἀρδεύομεν, ἀλλ' ὅτι πολλὴν μὲν τῶν ἐχθρῶν κατασκεδάννυμεν τὴν αἰσχύνην, πολλὴν δὲ τοῖς ἀδελφοῖς τοῖς ἡμετέροις παρέχομεν τὴν παράκλησιν. τοῦτο γὰρ τῆς παρατάξεως τὸ κέρδος ἐστί, τὸ σπεύδειν ἐπὶ τὸ πονοῦν τοῦ πολέμου μέρος, τὸ κινδύνου γέμον. διόπερ ἅπαντας ἐνταῦθα συντρέχειν δεῖ, καὶ τοὺς πολεμίους ἐπιόντας ἀποκρούεσθαι. οὐ δυνάσαι κατατεῖναι λόγον μακρόν, οὐδὲ ἔχεις διδασκαλίαν; παραγίνου μόνον, καὶ τὸ πᾶν ἀπετέλεσας. τοῦ γὰρ σώματος ἡ παρουσία προσθήκη τῆς ποίμνης γίνεται, καὶ πολλὴν καὶ τοῖς ἀδελφοῖς σου δίδωσι τὴν προθυμίαν, καὶ τοῖς ἐχθροῖς περιβάλλει τὴν αἰσχύνην. ἐὰν μὴ γάρ τις ἐπιβὰς τῶν ἱερῶν τούτων προθύρων, ὀλίγους ἴδῃ τοὺς συνειλεγμένους, καὶ αὐτὴν τὴν οὖσαν κατασβέννυσι προθυμίαν, καὶ ναρκᾷ, καὶ ἀναδύεται, καὶ ὀκνηρότερος γίνεται, καὶ ἀναχωρεῖ, εἶτα οὕτω κατὰ μικρὸν ἅπαν ἡμῖν τὸ πλῆθος χαυνότερον ἔσται καὶ ῥαθυμότερον· ἂν δὲ ἴδῃ συντρέχοντας, σπουδάζοντας, πανταχόθεν συῤῥέοντας, ἡ τῶν ἄλλων σπουδὴ καὶ τῶν σφόδρα νωθρῶν καὶ παρειμένων προθυμίας ὑπόθεσις γίνεται. Εἰ γὰρ λίθος πρὸς λίθον τριβόμενος πολλάκις σπινθῆρας ἐκπηδῆσαι παρεσκεύασε· καίτοι τί λίθου ψυχρότερον; τί δὲ πυρὸς θερμότερον; ἀλλ' ὅμως τὴν φύσιν ἐνίκησεν ἡ συνέχεια. Εἰ δὲ ἐπὶ λίθου τοῦτο συμβαίνει, πολλῷ μᾶλλον ἐπὶ ψυχῶν ἀλλήλοις συντριβομένων, καὶ τῷ πυρὶ τοῦ πνεύματος διαθερμαινομένων. Οὐκ ἠκούσατε ὅτι ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων εἴκοσι καὶ ἑκατὸν ἦσαν οἱ πιστοὶ πάντες; μᾶλλον δὲ πρὸ τῶν εἴκοσι καὶ ἑκατὸν, δώδεκα μόνοι, καὶ οὐδὲ οὗτοι διέμειναν ἅπαντες, ἀλλ' εἷς ἐξ αὐτῶν ἀπώλετο, καὶ ἦσαν ἕνδεκα πάντες; ἀλλ' ὅμως ἀπὸ τῶν ἕνδεκα ἐκείνων εἴκοσι καὶ ἑκατὸν ἐγένοντο, ἀπὸ τῶν εἴκοσι καὶ ἑκατὸν τρισχίλιοι, εἶτα πεντακισχίλιοι, εἶτα τὴν οἰκουμένην ἅπασαν ἐνέπλησαν τῆς τοῦ Θεοῦ γνώσεως. τὸ δὲ αἴτιον· οὐδέποτε τὴν ἐπισυναγωγὴν ἑαυτῶν κατελίμπανον, ἀλλ' ἀεὶ μετ' ἀλλήλων ἦσαν ἐν τῷ ἱερῷ διημερεύοντες, καὶ εὐχαῖς καὶ ἀναγνώσεσι προσέχοντες. διὰ τοῦτο πολλὴν ἐξῆψαν τὴν πυράν, διὰ τοῦτο οὐδέποτε διεῤῥύησαν, ἀλλὰ τὴν οἰκουμένην ἅπασαν ἐπεσπάσαντο. τούτους δὴ καὶ ἡμεῖς μιμησώμεθα. πῶς γὰρ οὐκ ἄτοπον μηδὲ τοσαύτην ἐπιδείκνυσθαι περὶ τὴν ἐκκλησίαν ταύτην πρόνοιαν, ὅσην αἱ γυναῖκες περὶ τὰς γείτονας τὰς ἑαυτῶν; καὶ γὰρ ἐκεῖναι ἐπειδὰν ἴδωσί τινα παρθένον πενιχράν, καὶ ἔρημον προστασίας ἁπάσης οὖσαν, τὰ παρ' ἑαυτῶν πᾶσαι εἰσφέρουσιν, ἐν τάξει τῶν προσηκόντων γινόμεναι, καὶ πολὺν ἴδοι τις ἂν ἐκεῖ θόρυβόν τε καὶ ὄχλον τῆς παρθένου νυμφευομένης· καὶ αἱ μὲν χρήματα πολλάκις εἰσήνεγκαν, αἱ δὲ τὴν παρουσίαν τοῦ σώματος. οὐ μικρὸν δὲ καὶ τοῦτο. γίνεται γὰρ παρακάλυμμα τῆς εὐτελείας τούτων ἡ σπουδή, καὶ τὴν πενίαν ἀποκρύπτουσιν οὕτω διὰ τῆς αὐτῶν προθυμίας. τοῦτο δὴ καὶ ἐπὶ ταύτης ποιήσατε τῆς ἐκκλησίας· πάντες πανταχόθεν συντρέχωμεν, καὶ συγκαλύψωμεν αὐτῆς τὴν πενίαν· μᾶλλον δὲ λύσωμεν αὐτῆς τὴν πενίαν, συνεχῶς ἐνταῦθα παραγινόμενοι. κεφαλὴ τῆς γυναικός ἐστιν ὁ ἀνήρ, βοηθός ἐστιν ἡ γυνὴ τοῦ ἀνδρός. μὴ τοίνυν μήτε ἡ κεφαλὴ χωρὶς τοῦ σώματος ἀνεχέσθω τῶν οὐδῶν ἐπιβαίνειν τῶν ἁγίων τούτων, μήτε τὸ σῶμα χωρὶς τῆς κεφαλῆς φαινέσθω, ἀλλ' ὁλόκληρος ἐνταῦθα εἰσίτω ὁ ἄνθρωπος, ἔχοντες καὶ τὰ παιδία μεθ' ἑαυτῶν. Εἰ γὰρ δένδρον τερπνὸν ἰδεῖν ἀπὸ τῆς ῥίζης αὐτῆς νεόφυτον ἔχον ἀνεστηκός, πολλῷ μᾶλλον ἄνθρωποι τερπνὸν ἰδεῖν, καὶ ἐλαίας ἁπάσης τερπνότερον, ἀπὸ τῆς ῥίζης αὐτῆς τὸ παιδίον, ὥσπερ νεόφυτον, ἔχοντα καὶ πλησίον ἑστώς· οὐ τερπνὸν δὲ μόνον, ἀλλὰ καὶ ἐπικερδές. καὶ γάρ, ὅπερ ἔφθην εἰπών, πλείων ἐνταῦθα μισθὸς τοῖς συλλεγομένοις. ἐπεὶ καὶ γεωργὸν τότε μάλιστα θαυμάζομεν, οὐχ ὅταν τὴν πολλάκις γῆν γεωργηθεῖσαν θεραπεύῃ, ἀλλ' ὅταν τὰ ἄσπαρτα καὶ ἀνήροτα χωρία

λαβὼν,

Πραξ. α. 15.

λαβὼν, πολλῆς ἀξιώσῃ προνοίας. οὕτω δὴ καὶ Παῦλος ἐποίει φιλοτιμούμενος εὐαγγελίζεσθαι, οὐχ ὅπου ὠνομάσθη Χριστὸς, ἀλλ' ὅπου οὐκ ὠνομάζετο. τοῦτον καὶ ἡμεῖς " μιμησώμεθα, καὶ εἰς " πρόσοδον τῆς ἐκκλησίας, καὶ εἰς ὠφέλειαν τὴν ἡμετέραν. καθ' ἑκάστην οὕτω τρέχωμεν ἐνταῦθα σύναξιν. κἂν ἐπιθυμία φλέγῃ, κατασβέσαι ῥᾳδίως αὐτὴν δυνήσῃ, τὸν οἶκον τοῦτον μόνον ἰδών· κἂν ὀργίσῃ, μετ' εὐκολίας κοιμίσεις τὸ θηρίον· κἂν ἄλλο τι πάθος πολιορκῇ, πάντα δυνήσῃ " καταλῦσαι τὸν χειμῶνα, καὶ γαλήνην ἐργάσασθαι, καὶ εἰρήνην πολλὴν τῇ ψυχῇ· ἧς γένοιτο πάντας ἡμᾶς " ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, ἡ δόξα νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΕΙΝ ΑΝΑΘΕΜΑΤΙΖΕΙΝ ΖΩΝτας ἢ τεθνεῶτας.

Πρώτην μὲν περὶ ἀκαταλήπτου γνώσεως Θεοῦ διαλεγόμενος πρὸς ὑμᾶς, καὶ πολλοὺς λόγους κινήσας ἀπεδείκνυον ἀπό τε γραφικῶν φωνῶν, καὶ ἀπὸ φυσικῶν λογισμῶν, ὅπως καὶ αὐταῖς ταῖς ἀοράτοις δυνάμεσιν ἀνέφικτός ἐστι παντελῶς ἡ τοῦ θείου κατάληψις, ἐκείναις ταῖς ἄϋλον καὶ μακαρίαν πολιτευομέναις διαγωγὴν, καὶ ὅτι ἐν πάσῃ γαυνώσει καὶ ῥύσει βίου ζῶντες ἡμεῖς, καὶ πρὸς πᾶσαν ἐξενεχθέντες κακίαν, τὸ καὶ ταῖς ἀοράτοις οὐσίαις παντελῶς ἀγνοούμενον, ἐπιχειροῦμεν λαβεῖν. τῶν τοιούτων λόγων ὑπόθεσιν ἔχοντες, τὴν κρίσιν τῶν ἑαυτῶν λογισμῶν, καὶ ταύτην τὴν παρὰ τῶν ἀκουόντων κενὴν δόξαν, μήτε τὸ μέτρον τῆς ἑαυτῶν φύσεως τῷ λογισμῷ περιγράφοντες, μήτε τῇ θείᾳ γραφῇ καὶ τοῖς πατράσιν ἑπόμενοι, ἀλλὰ δίκην ὕδατος χειμερίου, τῇ φρενίτιδι τῆς ἑαυτῶν περιλήψεως ὑποσυρόμενοι εἰς τοσαύτην ἁμαρτίαν ἐκπεπλώκαμεν. Φέρε δὴ καὶ περὶ ἀναθέματος ὑμῖν τὰ εἰκότα διαλεχθέντες, καὶ δείξαντες τὴν δύναμιν τούτου τοῦ μηδενὸς νομιζομένου κακοῦ, παύσωμεν ἐξ αὐτοῦ τὰ ἀχαλίνωτα στόματα, τὴν νόσον τῶν ὡς ἔτυχεν αὐτῷ κεχρημένων ὑμῖν ἐκκαλύπτοντες. εἰς τοσαύτην γὰρ καχεξίαν ἤλασε τὰ ἡμέτερα, ὅτι καὶ ἐσχάτως ἔχοντες ἀγνοοῦμεν τὰ χείρονα τῶν παθῶν μὴ ὑπερβαίνοντες. ὥστε τὴν προφητικὴν φωνὴν εἰς ἡμᾶς πληρωθῆναι, ὅτι Οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι, οὔτε ἔλαιον, οὔτε καταδέσμοις. Ησ. α. ς. πόθεν γὰρ ἄρξομαι περὶ τούτου τοῦ κακοῦ διαλέγεσθαι; ἀπὸ τῶν διατάξεων τῶν δεσποτικῶν ἐντολῶν, ἢ ἀπὸ τῆς ἀλόγου ἀπαιδευσίας καὶ ἀναισθησίας ὑμῶν; καὶ ἆρα οὐ γελῶμαι παρά τινων ταῦτα λέγων, καὶ ἐξεστηκέναι δοκῶ; ἆρα μὴ καταβοῶμαι, ὅτι τὰ σκυθρωπὰ ταῦτα καὶ δακρύων ἄξια διαλέγεσθαι μέλλω; ἀλλὰ τί πάθω; ἀλγῶ καὶ διαπρίομαι τὴν διάνοιαν, καὶ τὰ σπλάγχνα κόπτομαι, τὴν τοσαύτην ἀναλγησίαν ὁρῶν, ὅτι τὴν Ἰουδαϊκὴν παρανομίαν, καὶ τὴν τῶν ἐθνῶν δυσσέβειαν ὑπερέβαλε τὰ ἡμέτερα. θεωρῶ γὰρ ἄνδρας περιϊὼν, μήτε λογισμὸν πεπαιδευμένον ἐκ τῆς θείας γραφῆς κεκτημένους, μήτε δὲ αὐτῆς ὅλως τῆς γραφῆς ἐπισταμένους, καὶ τὰ πολλὰ ἐρυθριῶν σιωπῶ, μεμηνότας καὶ ἐρεσχελοῦντας, μὴ εἰδότας μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται, ἀλλὰ τοῦτο δογματίζειν ἀμαθῶς μόνον τολμῶντας καὶ ἀναθεματίζειν ἅπερ οὐκ ἴσασιν, ὡς γελᾶσθαι τὰ ἡμέτερα παρὰ τῶν τῆς πίστεως ἀλλοτρίων, μήτε πολιτείας φροντίζοντας ἀγαθῆς, μηδὲ ἀγαθοεργεῖν μεμαθηκότας. οἴμοι τῶν δεινῶν, οἴμοι. Πόσοι δίκαιοι προφῆται ἐπεθύμησαν Ματθ. ιγ. ιζ.

σαν ἰδεῖν ἃ εἴδομεν, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἠκούσαμεν, καὶ οὐκ ἤκουσαν· καὶ ἡμεῖς τούτοις
ἐμπαίζομεν. προσέχετε τοῖς ἀκουσθεῖσι παρακαλῶ, μή ποτε παραῤῥυῶμεν. εἰ γὰρ
ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον
μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας; εἰπὲ
γάρ, τίς ὁ σκοπὸς τοῦ εὐαγγελίου τῆς χάριτος; τί ἡ διὰ σαρκὸς τοῦ υἱοῦ τοῦ Θεοῦ παρουσία; ἵνα
ἀλλήλους δάκνωμεν καὶ κατεσθίωμεν; καὶ μὴν καὶ πανταχοῦ τὰ κατὰ Χριστὸν τελειότερα τῆς νομικῆς
διατάξεως ὄντα, μειζόνως παρ' ἡμῶν τὴν ἀγάπην ἀπαιτοῦνται. ἐκεῖ γάρ φησιν,
Ματθ. κβ. Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν· ἐνταῦθα δὲ καὶ ἀποθνήσκειν ὑπὲρ τοῦ πλησίον. ἄκουε
Λουκ. ι. λ. αὐτοῦ τοῦ Χριστοῦ λέγοντος· Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχώ, καὶ λῃσταῖς
περιέπεσεν, οἳ καὶ ἐκδύσαντες αὐτόν, καὶ πληγὰς ἐπιθέντες ἀπῆλθον ἀφέντες ἡμιθανῆ.
κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ, καὶ ἰδὼν αὐτόν, ἀντιπαρῆλθεν· ὁμοίως
καὶ Λευίτης γενόμενος κατὰ τὸν τόπον ἰδών, ἀντιπαρῆλθε· Σαμαρείτης δέ τις ἐλθὼν εἰς τὸν
τόπον καὶ ἰδὼν αὐτόν, ἐσπλαγχνίσθη, καὶ προσελθὼν κατέδησε τὰ τραύματα αὐτοῦ, ἐπιχέων
ἔλαιον καὶ οἶνον, ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν εἰς πανδοχεῖον, καὶ ἐπὶ τὴν
αὔριον ἐκβαλὼν δύο δηνάρια ἔδωκε τῷ πανδοχεῖ εἰπών, ἐπιμελήθητι αὐτοῦ, καὶ ὅ,τι ἂν
προσδαπανήσῃς, ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι. τίς οὖν τῶν τριῶν πλησίον γεγονέναι
σοι δοκεῖ τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς; ὁ δὲ εἶπεν, ὁ ποιήσας μετ' αὐτοῦ τὸ ἔλεος.
εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς, πορεύου, καὶ σὺ ποίει ὁμοίως. βαβαὶ τοῦ θαύματος· οὐχ ἱερέα, οὐ Λευίτην
εἶπε πλησίον, ἀλλ' ἐκεῖνον τὸν κατὰ τὸ δόγμα ἐκβεβλημένον ὑπὸ τῶν Ἰουδαίων, τὸν
Σαμαρείτην φημί, τὸν ἀλλότριον, τὸν πολλὰ βλασφημοῦντα, ἐκεῖνον μόνον εἶπε πλησίον,
ἐπειδὴ παρ' αὐτῷ εὑρέθη τὸ ἔλεος. ταῦτα τὰ ῥήματα τοῦ υἱοῦ τοῦ Θεοῦ, ταῦτα καὶ διὰ τῶν
οἰκείων ἔργων ἐλθὼν ἐπεδείξατο, οὐχ ὑπὲρ φίλων μόνον καὶ ἰδίων ἀποθανών, ἀλλ' ὑπὲρ ἐχθρῶν,
ὑπὲρ τυράννων, ὑπὲρ γοήτων, ὑπὲρ μισούντων, ὑπὲρ τῶν σταυρωσάντων, οὓς πρὸ τῆς τοῦ
κόσμου καταβολῆς ᾔδει ἐσομένους τοιούτους, καὶ προειδὼς ἐδημιούργησε, νικήσας τὴν προέγνωσιν
τῇ ἀγαθότητι, καὶ ὑπὲρ τούτων τὸ ἴδιον ἐξέχεεν αἷμα, ὑπὲρ τούτων τὴν σφαγὴν κατεδέξατο.
Ἰωαν. ϛ. να. Ὁ γὰρ ἄρτος, φησίν, ἡ σάρξ μου ἐστίν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. καὶ
Ῥωμ. ε. ι. Παῦλος δὲ ταῦτα ἐπιστέλλων λέγει, Εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ
Ἑβρ. β. θ. θανάτου τοῦ υἱοῦ αὐτοῦ. καὶ πάλιν ἐν τῇ πρὸς Ἑβραίους ὑπὲρ παντὸς αὐτὸν λέγει γεύσασθαι
θανάτου. εἰ τοίνυν ταῦτα γεγένηται παρ' αὐτοῦ, καὶ τούτων τοὺς τύπους ἡ ἐκκλησία πληροῖ,
καθ' ἑκάστην ὑπὲρ πάντων τὰς ἱκετηρίας ποιουμένη, πῶς σὺ τολμᾷς τοιαῦτα φθέγγεσθαι;
εἰπὲ γάρ μοι, τί ἐστι τοῦτο, ὃ λέγεις, ἀνάθεμα; ὅρα ὃ λέγεις, ἐπίστασαι τί φῄς· ἔγνως τούτου
Ἰησ. ϛ. δύναμιν; καίτοιγε ἐν τῇ θεοπνεύστῳ γραφῇ εὑρήσεις ἐπὶ τῆς Ἱεριχὼ τοῦτο λεγόμενον, Καὶ
ἀνάθεμα ποιεῖς πᾶσαν τὴν πόλιν Κυρίῳ τῷ Θεῷ σου. καὶ παρ' ἡμῖν ἄχρι τῆς σήμερον
ἡμέρας κοινὴ συνήθεια παρὰ πᾶσι κεκράτηκεν, ὁ δεῖνα τόδε πεποιηκώς, τὸ ἀνάθεμα εἰς
τόνδε τὸν τόπον ἀπήγαγεν. ἆρά γε τοῦτ' ἔστι τὸ ἀνάθεμα; καίτοιγε τοῦτο ὡς περί τινος ἀγαθοῦ ἴσ. ἐπήγ
λέλεκται τὸ ἀνατίθεσθαι Θεῷ. τί οὖν ἐστιν ὃ λέγεις ἀνάθεμα, ἀλλ' ὅτι ἀνατεθέσθω τῷ διαβόλῳ,
καὶ μηκέτι χώραν σωτηρίας ἐχέτω, γενέσθω ἀλλότριος ἀπὸ τοῦ Χριστοῦ; καὶ τίς εἶ σὺ
ταύτης τῆς ἐξουσίας καὶ τῆς μεγάλης δυνάμεως; τότε γὰρ καθίσει υἱὸς τοῦ Θεοῦ, καὶ στήσει τὰ μὲν
πρόβατα ἐκ δεξιῶν, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων. τί οὖν τῆς τοσαύτης ἐπελάβου ἀξίας, ἧς
τὸ κοινὸν μόνον τῶν ἀποστόλων ἠξίωται, καὶ τῶν κατὰ πᾶσαν ἀκρίβειαν τούτων ὡς ἀληθῶς γεγονότες
διάδοχοι πλήρεις χάριτος καὶ δυνάμεως; καὶ μὴν ἐκεῖνοι τὴν ἐντολὴν ἀκριβῶς φυλάξαντες,
ὡς τὸν ὀφθαλμὸν τὸν δεξιὸν ἐξορύττοντες, οὕτω τοὺς αἱρετικοὺς ἔξω τῆς ἐκκλησίας ἀπέβαλον·
ὅπερ ἔνδειξιν ἔχει τῆς μεγάλης αὐτῶν συμπαθείας καὶ ἀλγηδόνος, ὡς ἐπὶ καιρίου
μέλους γινομένης ἀποκοπῆς. διὰ τοῦτο γὰρ καὶ δεξιὸν ὀφθαλμὸν τούτους ἀπεκάλεσεν ὁ Χριστός,
τὴν

τὴν περὶ τῶν ἀποδεχόντων συμπάθειαν ἐνδεικνύμενος. Ὅθεν καὶ ἐν τούτῳ ὡς καὶ πᾶσαν ἀκρίβειαν ἔχοντες, τὰς μὲν αἱρέσεις διήλεγχον καὶ ἀπέβαλλον, οὐδενὶ δὲ τούτων τῶν αἱρετικῶν ταύτην ἐπιτιμίαν προσῆγον. Τοιγαροῦν ὁ ἀπόστολος ἐν δυσὶ μόνοις τόποις τὴν φωνὴν ταύτην ἐξ ἀνάγκης φαίνεται εἰπών, οὐχ ὁριστικῶς δὲ προσώπῳ ταύτην ἐπήγαγεν, ἐν μὲν τῇ πρὸς Κορινθίους εἰπών, Εἴ τις οὐ φιλεῖ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἤτω ἀνάθεμα· καὶ, Εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ᾽ ὃ παρελάβετε, ἀνάθεμα ἔστω. Τί οὖν, ὃ μηδεὶς τῶν εἰληφότων τὴν ἐξουσίαν τοῦτο πεποίηκεν, ἢ ἀποφήνασθαι τετόλμηκε, σὺ τολμᾷς ταῦτα ποιεῖν ἐναντία τοῦ δεσποτικοῦ θανάτου διαπραττόμενος, καὶ προλαμβάνεις τοῦ βασιλέως τὴν κρίσιν;

Βούλεσθε μαθεῖν οἷά τις ἐφθέγξατο ἅγιός τις πρὸ τῆς διαδοχῆς τῶν ἀποστόλων γενόμενος, ὃς καὶ μαρτυρίου ἠξίωτο; δεικνὺς τύπου τοῦ λόγου τὸ φορτικὸν, τοιούτῳ ἐχρήσατο ὑποδείγματι. Ὃν τρόπον ὁ περιθεὶς ἑαυτῷ ἁλουργίδα βασιλικὴν ἰδιώτης τυγχάνων, αὐτός τε καὶ οἱ αὐτῷ συνεργήσαντες, ὡς τύραννοι ἀναιροῦνται· οὕτως, ἔφη, οἱ τῇ δεσποτικῇ ἀποφάσει χρησάμενοι, καὶ ἀνάθεμα τῆς ἐκκλησίας ποιήσαντες ἄνθρωπον, εἰς παντελῆ ὄλεθρον ἀπάγουσιν ἑαυτοὺς, τὴν ἀξίαν τοῦ υἱοῦ ἁφαρπάζοντες. Ἆρα δὲ τυχὸν εἶναι τὸ τοιοῦτον ἡγεῖσθε, τὸ πρὸ καιροῦ καὶ κριτοῦ τῇ τοιαύτῃ ἀποφάσει καταδικάσαι τινά; τὸ γὰρ ἀνάθεμα παντελῶς τοῦ Χριστοῦ ἀποκόπτει. Ἀλλὰ τί λέγουσιν οἱ πάντα δεινοὶ τὴν κακίαν; αἱρετικός, φησιν, ἐκεῖνος γεγένηται, ἔνοικον τὸν διάβολον ἔχων, καὶ λαλῶν κατὰ τοῦ Θεοῦ ἀδικίαν, καὶ πολλοὺς διὰ πιθανολογίας καὶ κενῆς ἀπάτης εἰς βυθὸν ἀπωλείας ἀπάγων, καὶ διὰ τοῦτο ὑπὸ τῶν πατέρων ἐκβέβληται, μάλιστα ὁ τούτου διδάσκαλος μοῖραν τῆς ἐκκλησίας ἀποτεμών, ἢ διὰ Παυλιανὸν, ἢ Ἀπολλινάρειον λέγοντες. Περὶ γὰρ τῆς ἑκάστου τούτων διαφορᾶς ὁ λόγος τοῖς πλείοσι καλῶς τὴν καινοτομίαν διέφυγε, διελέγχων τὴν πλάνην ἐν τοῖς μυχοῖς τῆς δεινοτάτης προλήψεως κρατηθεῖσαν. Δίδαξον ἐν πραότητι παιδεύων τοὺς ἀντιδιατιθεμένους, μήποτε δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος ἐζωγρημένοι εἰς ἐκείνου θέλημα. Ἔκτεινον τὴν τῆς ἀγάπης σαγήνην, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον· δεῖξον ὅτιπερ ἐκ πολλῆς διαθέσεως τὸ οἰκεῖον ἀγαθὸν βούλει ποιῆσαι κοινόν· ἐπίβαλε τὸ γλυκὺ ἄγκιστρον τῆς συμπαθείας, καὶ οὕτως ἐρευνήσας τὰ κεκρυμμένα, ἀνάσπασον ἐκ τοῦ βάθους τῆς ἀπωλείας τὸν καταδύοντα τὸ φρόνημα. Τὸ νομισθὲν καλὸν εἶναι ἐκ προλήψεως ἢ ἀγνοίας, παίδευσον ὡς τῆς ἀποστολικῆς παραδόσεως ἀλλότριον. Κἂν μὲν βουληθῇ τοῦτο δέξασθαι ὁ τὴν πλάνην ὑποδεξάμενος ἄνθρωπος, κατὰ τὴν τοῦ προφήτου φωνὴν, Ἐκεῖνος ζωῇ ζήσεται, καὶ σὺ τὴν ψυχήν σου ῥύσῃ. Εἰ δὲ μὴ βούλεται, ἀλλ᾽ ἐμμένει φιλονεικῶν, ὅπως ἂν μὴ ὑπεύθυνος γένῃ, διαμάρτυρε, μόνον μετὰ μακροθυμίας καὶ χρηστότητος, ἵνα μὴ τὴν ψυχὴν αὐτοῦ ἐκζητήσῃ ἐκ χειρός σου ὁ κριτής· μὴ μισῶν, μὴ ἀποστρεφόμενος, μὴ διώκων, ἀλλὰ τὴν ἀγάπην ἐπιδεικνὺς εἰλικρινῆ καὶ ἀληθῆ πρὸς αὐτόν. Ταύτην κέρδαινον, κἂν μηδὲν ἕτερον ὠφελῇς, αὕτη μεγάλη ὠφέλεια, τοῦτο μέγα κέρδος, τὸ ἀγαπῆσαι καὶ διδάξαι τὴν τοῦ Χριστοῦ μαθητείαν. Ἐν τούτῳ γάρ, φησι, γνώσονται ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις, ἧς μὴ παρούσης, οὔτε γνῶσιν μυστηρίων Θεοῦ, οὐ πίστιν, οὐ προφητείαν, οὐκ ἀκτημοσύνην, οὐ τὴν ὑπὲρ Χριστοῦ μαρτυρίαν ὠφελεῖν ἀπέδειξεν ὁ ἀπόστολος. Ἐὰν γάρ, φησιν, ἔχω τὰ μυστήρια πάντα, καὶ πᾶσαν τὴν γνῶσιν, καὶ πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι· καὶ ἐὰν ταῖς γλώσσαις τῶν ἀγγέλων λαλῶ, καὶ ἐὰν ψωμίσω μου πάντα τὰ ὑπάρχοντα, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου, ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. Ἡ ἀγάπη χρηστεύεται, οὐ φυσιοῦται, οὐ ζητεῖ τὰ ἑαυτῆς, πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει. Οὐδεὶς ἐξ ὑμῶν, ἀγαπητοὶ, τοιαύτην περὶ Χριστὸν διάθεσιν ἐνεδείξατο, οἵαν ἡ ἁγία ἐκείνη ψυχή· οὐδεὶς ἐτόλμησεν ἀνθρώπων, πλὴν ἐκείνου, τοιαῦτα φθέγξασθαι ῥήματα.

αὐτὴν

α. Κορ. ις. κβ.
Γαλ. α. η.

β. Τιμ. β. κε.

Ἰωάν. ιγ. λε.

α. Κορ. ιγ. β.

Κολασ. α. κδ. αὐτὴν τὴν ψυχὴν παρελέγετο λέγων, Ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χρι-
στοῦ ἐν σαρκί μου· καὶ τὸ, Ηὐχόμην αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀ-
Ρωμ. θ. γ. Β. Κορ. ια. δελφῶν μου· καὶ, Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; ὁ τοσαύτην ἔχων περὶ Χριστὸν διάθεσιν, οὐχ ὕ-
βρεις, οὐκ ἀνάγκας, οὐκ ἀναθέματα ἐπέφερεν οὐδενί. ἢ γὰρ ἂν οὐ τοσαῦτα ἔθνη καὶ πόλεις ὁ-
λοκλήρους προσέφερε τῷ Θεῷ· ἀλλὰ ταπεινούμενος, τυπτόμενος, κολαφιζόμενος, γέλως
παρὰ πᾶσι γινόμενος, ταῦτα ἔπραττε, κολακεύων, παρακαλῶν, δεόμενος. οὕτως οὖν καὶ
πρὸς Ἀθηναίους τὴν εἴσοδον ποιησάμενος, καὶ πάντας μεμηνότας εἰς τὴν εἰδωλολα-
τρείαν εὑρών, οὐκ ὠνείδισε τούτοις εἰπών, ἄθεοί ἐστε ὑμεῖς καὶ ἀσεβεῖς παντελῶς. οὐκ εἶ-
πε, πάντα Θεὸν ἡγεῖσθε ὑμεῖς, τὸν Θεὸν μόνον ἀρνεῖσθε, τὸν δεσπότην καὶ δημιουργὸν τοῦ παν-
Πραξ. ιζ. κγ. τός· ἀλλὰ τί; Περιερχόμενος, φησι, καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν, εὗρον καὶ βωμὸν, ἐν
ᾧ ἐπεγέγραπτο, ἀγνώστῳ Θεῷ. ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν.
ὢ τοῦ θαύματος, ὢ τῶν πατρικῶν σπλάγχνων. εὐσεβεῖν εἶπεν Ἕλληνας καὶ εἰδωλολάτρας,
καίτοι ἀσεβοῦντας. διὰ τί; ἐπειδήπερ ὡς εὐσεβεῖς ἐπετέλουν τὴν οἰκείαν θρησκείαν, Θεὸν
νομίζοντες σέβειν, τοῦτο πείσαντες ἑαυτούς. τούτου μιμητὰς ὑμᾶς γίνεσθαι πάντας παρακα-
λῶ, καὶ ἐμαυτὸν σὺν ὑμῖν. εἰ γὰρ ὁ προγινώσκων Κύριος τὴν ἑκάστου προαίρεσιν, καὶ
εἰδὼς ὁποῖος τις ἕκαστος ἡμῶν γενήσεται, τοῦτο πεποίηκε διὰ τὸ τὰς δωρεὰς καὶ φιλοτιμίας τὰς
παρ' αὐτοῦ πληρῶσαι (οὐ γὰρ ἐπὶ κακοῖς κτίζει ὁ Θεός, καὶ οὕτω τῶν κοινῶν ἠξίωσεν ἀγαθῶν,
πάντας μιμητὰς αὐτοῦ βουλόμενος εἶναι) πῶς τὰ ἐναντία ποιεῖς, καὶ ἐν ἐκκλησίᾳ συνέρ-
Ησ. μβ. γ. χῃ, τὴν θυσίαν τοῦ υἱοῦ τοῦ Θεοῦ ἐκτελῶν; οὐκ ἴστε ὅτι κάλαμον συντεθλασμένον οὐκ ἀπέ-
κλασε, καὶ στυππεῖον καπνιζόμενον οὐκ ἔσβεσε; τίς δὲ τούτου ἡ δύναμις; ἄκουε, ὅτι τὸν Ἰού-
δαν καὶ τοὺς κατ' αὐτὸν ἐξοκείλαντας οὐκ ἀπέβαλεν, ἄχρις οὗ ἑαυτὸν ἑλκύσας ἕκαστος τῇ
πλάνῃ παρέδωκεν. οὐχ ὑπὲρ τῶν τοῦ λαοῦ ἀγνοημάτων τὰς ἱκετηρίας προσφερόμενον; οὐχ
ὑπὲρ ἐχθρῶν καὶ μισούντων καὶ διωκόντων προσεύχεσθαι ἐνετάλθημεν; ἰδοὺ τὴν δουλείαν πλη-
ρουμένην, ἰδοὺ παρακαλοῦμεν ὑμᾶς, ἡ χειροτονία οὐκ εἰς ἐξουσίαν φέρει, οὐκ εἰς ὕψος ἐ-
παίρει, οὐ δυναστείαν παρέχει. πάντες τὸ αὐτὸ πνεῦμα ἐλάβομεν, πάντες εἰς υἱοθεσίαν ἐ-
κλήθημεν, οὓς δὲ ὁ πατὴρ εὐδοκίμασε, τούτους κατ' ἐξουσίαν τοῖς ἰδίοις ἀδελφοῖς δουλεύειν ἠξί-
ωσε. τὴν δουλείαν οὖν πληροῦντες παρακαλοῦμεν ὑμᾶς καὶ διαμαρτυρόμεθα ἀποστῆναι
τοῦ τοιούτου κακοῦ. ἢ γὰρ ζῇ καὶ πάρεστιν ἐν τῷ θνητῷ βίῳ τούτῳ, ἢ τέθνηκεν, ὃν ἀναθεματίζειν
προῄρησαι. εἰ μὲν οὖν ἔτι περίεστιν, ἀσεβεῖς ἀποκόπτων τὸν ἐν τρεπτότητι ὄντα, καὶ μετα-
πεισθῆναι δυνάμενον ἐκ τοῦ κακοῦ εἰς τὸ ἀγαθόν· εἰ δὲ τέθνηκε, πολλῷ μᾶλλον. τί δή-
ποτε; ὅτι τῷ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει, οὐκέτι ὑπὸ ἐξουσίαν ἀνθρωπίνην τυγχάνων. καὶ
τὸ κεκρυμμένον τῷ τῶν αἰώνων κριτῇ, ἐπισφαλὲς ἀποφαίνεσθαι, μόνῳ εἰδότι καὶ μέτρα γνώ-
σεως καὶ ποσότητα πίστεως. πόθεν γὰρ ἴσμεν, εἰπέ μοι, παρακαλῶ, ποίοις ῥήμασι κατηγορή-
σει ἑαυτοῦ, ἢ καὶ ἀπολογήσεται ἐν ἡμέρᾳ, ὅτε μέλλει ὁ Θεὸς κρίνειν τὰ κρυπτὰ τῶν ἀνθρώπων;
Ησ. μ. ιγ. ὄντως ἀνεξερεύνητα τὰ κρίματα, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. Τίς γὰρ ἔγνω νοῦν Κυρίου, ἢ
τίς σύμβουλος αὐτοῦ ἐγένετο; τάχα οὐδεὶς ἐξ ἡμῶν, ἀγαπητοί, ἠξιῶσθαι βαπτίσματος οἴε-
ται, οὐδεὶς ἐπίσταται κρίσιν μέλλουσαν γίνεσθαι πώποτε. τί λέγω κρίσιν; αὐτὸν τὸν θάνατον
καὶ τὴν ἐκ τοῦ σώματος ἔξοδον ἠγνοήσαμεν, ἐκ τῆς ἐπισκηψάσης ἡμᾶς φρενίτιδος τῶν τοῦ
βίου πραγμάτων. ἀπόστητε τοῦ τοιούτου κακοῦ, παρακαλῶ, ἰδοὺ λέγω καὶ διαμαρτύρομαι
ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ὡς μεγάλου κακοῦ καὶ πυρὸς ἀνηκέστου γενήσεται
ἡμῖν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως αἴτιον. εἰ γὰρ ἐν τῇ παραστάσει τῶν παρθένων τοὺς μετὰ λαμ-
πτῆρας πίστεως καὶ φαιδρότητος βίου ζήσαντας, ὡς αὐτοῦ θεωροῦντος τὰ ἔργα αὐτῶν τοῦ τῶν ὅ-
λων δεσπότου, ἀλλοτρίους τοῦ νυμφῶνος διὰ τὸ ἀσυμπαθὲς ἐποίησε· πῶς ἡμεῖς, οἱ κατὰ πᾶ-
σαν ἄδειαν διαιτώμενοι, καὶ ἀνηλεῶς τοῖς ὁμοφύλοις προσφερόμενοι, σωτηρίας ἀξιωθῶ-
μεν;

μεν; διὸ δέομαι ὑμῶν, μὴ παρέργως τῶν τοιούτων λόγων ἀκούσητε. τὰ γὰρ αἱρετικὰ δόγματα τὰ παρ' ὧν παρελάβομεν ἀναθεματίζειν χρὴ, καὶ τὰ ἀσεβῆ δόγματα ἐλέγχειν, πᾶσαν δὲ φειδὼ ἀνθρώπων ποιεῖσθαι, καὶ εὔχεσθαι ὑπὲρ τῆς αὐτῶν σωτηρίας. γένοιτο δὲ πάντας ἡμᾶς τῆς περὶ τὸν Θεὸν καὶ πλησίον ἀγάπης ἀντεχομένους, καὶ τὴν δεσποτικὴν ἐντολὴν τὴν ἐργασίαν πληροῦντας, μετ' ἐλέους καὶ φαιδρῶν λαμπάδων ἀπαντῆσαι ἐν ἡμέρᾳ τῆς ἀναστάσεως αὐτῷ τῷ ἐπουρανίῳ νυμφίῳ, προσφέροντας αὐτῷ πλείστους ἐν δόξῃ ὠφεληθέντας ἐκ τῆς ἡμῶν συμπαθείας, χάριτι καὶ φιλανθρωπίᾳ αὐτοῦ τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς αἰῶνας. Ἀμήν.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΟΜΙΛΙΑ ΠΡΩΤΗ, ΟΤΕ ΠΡΕΣΒΥΤΕΡΟΣ

προεχειρίσθη, εἰς ἑαυτὸν, καὶ εἰς τὸν ἐπίσκοπον, καὶ εἰς τὸ πλῆθος τοῦ λαοῦ.

Ἄρα ἀληθῆ τὰ συμβάντα περὶ ἡμᾶς; καὶ γέγονεν ὄντως τὰ γεγενημένα, καὶ οὐκ ἐξηπατήμεθα; οὐδὲ νὺξ τὰ παρόντα καὶ ὄναρ, ἀλλ' ἡμέρα ὄντως ἐστὶ, καὶ ἐγρηγορότες ἅπαντες; καὶ τίς ἂν ταῦτα πιστεύσειεν, ὅτι ἡμέρας οὔσης, νηφόντων ἀνθρώπων καὶ ἐγρηγορότων, μειρακίσκος εὐτελὴς καὶ ἀπερριμμένος πρὸς ὕψος ἀρχῆς ἀνηνέχθη τοσοῦτον; ἐν νυκτὶ μὲν γὰρ οὐδὲν ἀπεικὸς τὰ τοιαῦτα συμβαίνειν. ἤδη γοῦν τινες τὸ σῶμα ἀνάπηροι, καὶ μηδὲ τῆς ἀναγκαίας εὐποροῦντες τροφῆς, καθευδήσαντες εἶδον ἑαυτοὺς ἀρτίους γεγενημένους, καὶ καλοὺς, καὶ τραπέζης ἀπολαύοντας βασιλικῆς· ἀλλ' ἦν ὕπνος καὶ ὀνείρων ἀπάτη τὰ φαινόμενα. καὶ γὰρ τοιαύτη τῶν ὀνειράτων ἡ φύσις· πολύτροπός τίς ἐστι καὶ θαυμαστὴ, καὶ τοῖς παραδόξοις ἐντρυφῶσα χαίρει. ἀλλ' οὐκ ἐν ἡμέρᾳ ταῦτα, οὐδὲ ἐπ' αὐτῆς τῶν πραγμάτων τῆς ἀληθείας τοῦτο τάχα συμβαῖνον ἴδοι τις ἄν. ἀλλὰ πάντα νῦν συνέβη, καὶ γέγονε, καὶ τέλος ἔχει, καθὼς θεωρεῖτε, ταῦτα δὴ τὰ τῶν ὀνείρων ἀπιστότερα· καὶ πόλις οὕτω μεγάλη καὶ πολυάνθρωπος, δῆμός τε θαυμαστὸς καὶ μέγας πρὸς τὴν ἡμετέραν εὐτέλειαν κέχηνεν, ὡς μέγα τι καὶ γενναῖον ἀκουσόμενος παρ' ἡμῶν. καίτοι καὶ εἰ κατ' αὐτοὺς ἀενάους ἔρρεον ποταμοὺς, καὶ πηγαὶ λόγων ἐναπέκειντό μου τῷ στόματι, τοσούτων ἀθρόον συνδραμόντων πρὸς τὴν ἀκρόασιν, ταχέως ἀνεστάλη μοι τῷ φόβῳ τὸ ῥεῖθρον, καὶ ἀνεχαίτισεν ἂν εἰς τοὐπίσω τὰ νάματα. ὅταν δὲ μὴ ποταμῶν, μηδὲ πηγῶν μόνον, ἀλλὰ μηδὲ ψεκάδος εὐτελοῦς διασώζωμεν μέτρον· πῶς οὐ δέος μὴ καὶ αὐτὸ τὸ μικρὸν τῆς ἐπιρροῆς ἐπιλίπῃ τῷ φόβῳ ξηρανθὲν, καὶ γένηται ταὐτὸν, ὃ καὶ ἐπὶ τῶν σωμάτων συμβαίνειν εἴωθε; τί δὲ γίνεται ἐπὶ τῶν σωμάτων; πολλὰ πολλάκις κατέχοντες τῇ χειρὶ, καὶ τοῖς δακτύλοις ἡμῶν σφίγγοντες, πτοηθέντες ἅπαντα ἐξεχέαμεν, χαυνωθέντων ἡμῶν τῶν νεύρων, καὶ τοῦ τόνου τῆς σαρκὸς χαλασθέντος. τοῦτο δὴ δέος μὴ καὶ τήμερον γένηται ἐπὶ τῆς ψυχῆς τῆς ἡμετέρας, καὶ ἃ μετὰ πολλοῦ πόνου συνηγάγομεν ὑμῖν νοήματα, τὰ μικρὰ δὴ ταῦτα καὶ εὐτελῆ ὑπὸ τῆς ἀγωνίας ἐλασθέντα, φροῦδα οἰχήσονται, καὶ τὴν διάνοιαν ἡμῶν ἐρήμην καταλιπόντα ἀποπτῇ. διὸ δέομαι πάντων ὁμοίως ὑμῶν, ἀρχόντων καὶ ἀρχομένων, ὅσην ἡμῖν ἀγωνίαν ἐνεβάλετε τῇ συνδρομῇ τῇ κατὰ τὴν ἀκρόασιν, τοσοῦτον ἐμπνεῦσαι θάρσος ἡμῖν διὰ τῆς σπουδῆς τῆς κατὰ τὰς εὐχὰς, καὶ δεηθῆναι τοῦ διδόντος ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ, δοῦναι καὶ ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν. πάντως ὑμῖν πόνος οὐδεὶς τοσοῦ-

τοις οὖσι καὶ τηλικούτοις, ἑνὸς μειρακίσκου ψυχὴν τῷ φόβῳ διαλυθεῖσαν ἐπισφίγξαι πάλιν. δίκαιοι δ' ἂν εἴητε ταύτην ἡμῖν παρασχεῖν τὴν αἴτησιν, ἐπεὶ καὶ δι' ὑμᾶς τὸν κύβον ἀνερρίψαμεν τοῦτον, δι' ὑμᾶς καὶ τὴν ὑμετέραν ἀγάπην, ἧς οὐδὲν βιαιότερον, οὐδὲ τυραννικώτερον, ἥπερ γε καὶ ἡμᾶς οὐ μάλα ἐμπείρως ἔχοντας τοῦ λέγειν, λέγειν ἀνέπεισε, καὶ πρὸς τὸ τῆς διδασκαλίας στάδιον ἀποδύσασθαι παρεσκεύασε, καίτοι μηδέπω πρότερον τούτων ἀψαμένους τῶν παλαισμάτων, ἀλλ' ἀεὶ μετὰ τῶν ἀκροατῶν ταττομένους, καὶ τῆς ἀπράγμονος ἀπολαύοντας ἡσυχίας. ἀλλὰ τίς οὕτω σκληρὸς καὶ δυσάγωγος, ὡς τὸν ὑμέτερον σύλλογον σιγῇ παρελθεῖν, καὶ θερμοὺς εὑρὼν ἀκροάσεως ἐραστάς, μὴ προσειπεῖν, κἂν ἁπάντων ἀνθρώπων ἀφωνέστερος ᾖ; ἴσ. ἀφων ἐβουλόμην οὖν πρῶτον ἐν ἐκκλησίᾳ μέλλων ἀφιέναι λόγον, τῶν προοιμίων ἀπάρξασθαι τῷ τὴν γλῶτταν ἡμῖν ταύτην δεδωκότι Θεῷ. καὶ γὰρ οὕτως ἔδει. οὐ γὰρ δὴ μόνον ἅλωνος καὶ ληνοῦ, ἀλλὰ καὶ λόγων ἀπάρχεσθαι δεῖ τῷ Λόγῳ, καὶ λόγων πολλῷ μᾶλλον, ἢ δραγμάτων. καὶ γὰρ καὶ ἡμῖν οἰκειότερος οὗτος ὁ καρπός, καὶ αὐτῷ προσφιλέστερος τῷ τιμωμένῳ Θεῷ. βότρυν μὲν γὰρ καὶ ἀστάχυν λαγόνες ἐκφέρουσι γῆς, καὶ τρέφουσιν ὄμβρων ἐπιρροαί, καὶ γηπόνων θεραπεύουσι χεῖρες· ὕμνον δὲ ἱερὸν τίκτει μὲν εὐλάβεια ψυχῆς, τρέφει δὲ συνειδὸς ἀγαθόν, δέχεται δὲ εἰς τὰ ταμιεῖα τῶν οὐρανῶν ὁ Θεός. ὅσον δὲ γῆς ἀμείνων ψυχή, τοσοῦτον καὶ αὕτη βελτίων ἐκείνης ἡ φορά. διά τοι τοῦτο καὶ τῶν προφητῶν τις, ἀνὴρ θαυμαστὸς καὶ μέγας, Ὡσηὲ ὄνομα αὐτῷ, τοῖς τῷ Θεῷ προσκεκρουκόσι καὶ μέλλουσιν ἵλεων καταστήσειν αὐτόν, παραινεῖ φέρειν μεθ' ἑαυτῶν, οὐχὶ βοῶν ἀγέλας, οὐδὲ σεμιδάλεως μέτρα Ὡσ. ιδ. γ. τόσα καὶ τόσα, οὐδὲ τρυγόνα καὶ περιστεράν, οὐδὲ ἄλλο τι τῶν τοιούτων οὐδέν· ἀλλὰ τί; Φέρετε μεθ' ἑαυτῶν λόγους, φησί. καὶ ποία θυσία λόγος, ἴσως εἴποι τις ἄν; μεγίστη μὲν οὖν, ἀγαπητέ, καὶ σεμνοτάτη, καὶ τῶν ἄλλων ἁπασῶν βελτίων. τίς ταῦτά φησιν; αὐτὸς ὁ ταῦτα μάλιστα πάντων εἰδὼς ἀκριβῶς, ὁ γενναῖος καὶ μέγας Δαβίδ. τῷ γὰρ Θεῷ ποτε εὐχαριστήρια θύων ἐπὶ Ψαλ. ξη. λα. νίκῃ πολέμου γεγενημένῃ, οὑτωσί πως ἔλεγεν· Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει. εἶτα τῆς θυσίας ταύτης τὴν ὑπεροχὴν ἡμῖν ἐνδεικνύμενος, ἐπήγαγε· Καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον κέρατα ἐκφέροντα καὶ ὁπλάς. ἐβουλόμην μὲν οὖν καὶ αὐτὸς ταῦτα τήμερον καταβαλεῖν τὰ ἱερεῖα, καὶ τὸ θυσιαστήριον ἀπὸ τῶν θυμάτων τούτων αἱμάξαι τὸ πνευματικόν. ἀλλὰ τί πάθω; σοφός τις ἀνὴρ ἐπιστομίζει με, καὶ φοβεῖ λέ- Σειρ. ιε. θ. γων· Οὐχ ὡραῖος αἶνος ἐν στόματι ἁμαρτωλοῦ. καθάπερ γὰρ ἐπὶ τῶν στεφάνων, οὐχὶ τὰ ἄνθη μόνον εἶναι χρὴ καθαρά, ἀλλὰ καὶ τὴν ὑφαίνουσαν αὐτὰ χεῖρα· οὕτω καὶ τῶν ὕμνων τῶν ἱερῶν, οὐχὶ τοὺς λόγους εὐλαβείας μετέχειν χρὴ μόνον, ἀλλὰ καὶ τὴν πλέκουσαν αὐτοὺς ψυχήν. ἡμῖν δὲ ἐναγής τίς ἐστι, καὶ ἀπαρρησίαστος, καὶ πολλῶν γέμουσα τῶν ἁμαρτημάτων. τοὺς δὲ οὕτω διακειμένους οὐχ οὗτος ἐπιστομίζει μόνον ὁ νόμος, ἀλλὰ καὶ ἕτερος ἀρχαιότερος ἐκείνου καὶ περὶ ἐκείνου τεθείς. καὶ γὰρ καὶ τοῦτον εἰσήνεγκεν ὁ περὶ τῶν θυσιῶν ἡμῖν ἄρτι διαλε- Ψαλ. ρμη. α. χθεὶς Δαβίδ. εἰπὼν γάρ, Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις· καὶ μετ' ὀλίγα πάλιν εἰπών, αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, καὶ τὴν κτίσιν καλέσας ἑκατέραν, τὴν ἄνω, τὴν κάτω, τὴν αἰσθητήν, τὴν νοητήν, τὴν ὁρωμένην, τὴν οὐχ ὁρωμένην, τὴν ὑπὲρ τὸν οὐρανόν, τὴν ὑπὸ τὸν οὐρανόν, καὶ χορὸν ἕνα στήσας ἐξ ἑκατέρας, καὶ οὕτω τὸν βασιλέα τῶν ὅλων παρακελευσάμενος ἀνυμνεῖν, οὐδαμοῦ τὸν ἁμαρτωλὸν ἐκάλεσεν, ἀλλὰ καὶ ἐνταῦθα αὐτῷ τὰς θύρας ἀπέκλεισε.

Καὶ ἵνα σαφέστερον ὑμῖν γένηται τὸ λεγόμενον, αὐτὸν ὑμῖν ἄνωθεν ἀναγνώσομαι τὸν ψαλμόν. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, φησίν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις, αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ. εἶδες ἀγγέλους αἰνοῦντας; εἶδες ἀρχαγγέλους; εἶδες τὰ χερουβίμ; τὰ σεραφίμ; τὰς ἀνωτέρας δυνάμεις; ὅταν γὰρ εἴπῃ, πᾶσαι αἱ δυνάμεις αὐτοῦ, πάντα τὸν ἄνω παραλαμβάνει δῆμον. μήπου τὸν ἁμαρτωλὸν εἶδες; καὶ πῶς ἦν ἐν οὐρανῷ δυνατὸν ὀφθῆναι, φησίν; οὐκοῦν δεῦρο καὶ εἰς τὴν γῆν σε καταγάγωμεν, πρὸς δὲ ἕτερον τοῦ χοροῦ μεταστήσαντες μέρος· καὶ οὐδὲ ἐνταῦθα αὐτὸν ὄψῃ πάλιν. Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς δράκοντες καὶ πᾶσαι ἄβυσσοι, τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά. οὐ μάτην, οὐδὲ εἰκῆ μεταξὺ ταῦτα λέγων ἐσίγησα. ἀλλὰ γὰρ συνεχύθη μοι τῆς διανοίας ὁ λογισμός, καὶ πικρὸν ἐπῆλθε δακρῦσαι, καὶ οἰμῶξαι μέγα. τί γὰρ ἂν γένοιτο ἐλεεινότερον, εἰπέ μοι; σκορπίοι καὶ ἔχεις καὶ δράκοντες πρὸς τὴν εὐφημίαν καλοῦνται τοῦ πεποιηκότος αὐτούς, μόνος δὲ ὁ ἁμαρτωλὸς τῆς ἱερᾶς ταύτης χοροστασίας ἀπολείπεται· καὶ εἰκότως. θηρίον γάρ ἐστι πονηρὸν ἡ ἁμαρτία, θηρίον πονηρὸν καὶ ἀνήμερον, οὐκ εἰς τὰ σφόνδυλα τῶν σωμάτων τὴν κακίαν ἐπιδεικνύμενον, ἀλλ' εἰς τὴν δόξαν τὴν δεσποτικὴν τὸν ἰὸν τῆς πονηρίας ἐκχέον. Δι' ὑμᾶς γάρ, φησι, τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι. διὰ τοῦτο αὐτὸν ὥσπερ ἐξ ἱερᾶς πατρίδος, τῆς οἰκουμένης ἀπήλασεν ὁ προφήτης, καὶ πρὸς τὴν ὑπερορίαν ἀπῴκισεν. ὅπερ οὖν καὶ ὁ μουσικὸς ἄριστος εὐαρμόστου κιθάρας τὴν ἀπηχοῦσαν νευρὰν ἀποτέμνει, ὥστε μὴ τῇ τῶν λοιπῶν φθόγγων ἁρμονίᾳ λυμήνασθαι· οὕτω καὶ ἰατρὸς τεχνικὸς τὸ σεσηπὸς ἐκκόπτει μέλος, ὥστε μὴ τὴν ἐκεῖθεν λύμην τὴν τῶν λοιπῶν μελῶν εὐεξίαν ἐπιλαβεῖν· οὕτω καὶ ὁ προφήτης ἐποίησεν, ὥσπερ ἀπηχοῦσαν νευρὰν, καὶ ὥσπερ μέλος νενοσηκός, τοῦ παντὸς σώματος τῆς κτίσεως τὸν ἁμαρτωλὸν ἀποκόψας. τί τοίνυν ἂν εἴη πλέον ἡμῖν; ἐπειδὴ γὰρ ἀπερρίφημεν, ἐπειδὴ ἐξεκόπημεν, ἀνάγκη πάντως σιγᾶν. σιγήσομεν οὖν, εἰπέ μοι; καὶ οὐδεὶς ἡμῖν συγχωρήσει τὸν δεσπότην ὑμνῆσαι τὸν ἡμέτερον; ἀλλ' εἰκῆ τὰς ὑμετέρας ἐκαλέσαμεν εὐχάς; εἰκῆ πρὸς τὰς ὑμετέρας κατεφύγομεν πρεσβείας; οὐκ εἰκῆ, μὴ γένοιτο. εὗρον γάρ, εὗρον καὶ ἕτερον δοξολογίας τρόπον, αὐτῶν τῶν ὑμετέρων εὐχῶν μεταξὺ τῆς ἀπορίας ταύτης, ὥσπερ ἐν σκότει φανεισῶν ἀστραπῶν. ἐπαινέσομαι τοὺς συνδούλους. ἔξεστι γὰρ καὶ τοὺς ὁμοδούλους ἐπαινεῖν· τούτων δὲ ἐπαινουμένων, εἰς τὸν δεσπότην ἡ δόξα διαβήσεται πάντως. ὅτι δὲ καὶ ἐντεῦθεν δοξάζεται, δείκνυσι καὶ αὐτὸς ὁ Χριστὸς λέγων· Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. ἰδοὺ λοιπὸν καὶ ἕτερος δοξολογίας τρόπος, ὃν καὶ ἁμαρτωλῷ δυνατὸν εἰπεῖν, καὶ μὴ παραλῦσαι τὸν νόμον. τίνα οὖν, τίνα τῶν συνδούλων ἐπαινεσόμεθα; τίνα δὲ ἄλλον, ἀλλ' ἢ τὸν κοινὸν τῆς πατρίδος διδάσκαλον, καὶ διὰ τῆς πατρίδος, τῆς οἰκουμένης ἁπάσης. καθάπερ γὰρ ὑμᾶς οὗτος ἐπαίδευσε μέχρι θανάτου ὑπὲρ τῆς ἀληθείας ἐνίστασθαι, οὕτως ὑμεῖς τοὺς ἄλλους ἀνθρώπους ἐδιδάξατε τῆς ψυχῆς μᾶλλον, ἢ τῆς εὐσεβείας ἀφίστασθαι. βούλεσθε οὖν ἐντεῦθεν αὐτῷ πλέξομεν τοὺς τῶν ἐγκωμίων στεφάνους; ἐβουλόμην καὶ αὐτός. ἀλλ' ὁρῶ πέλαγος ἀχανὲς κατορθωμάτων, καὶ δέδοικα μὴ πρὸς τὸν πυθμένα κατενεχθεὶς ὁ λόγος, ἀσθενήσῃ πάλιν ἀναδραμεῖν. ἀνάγκη γὰρ παλαιὰ διηγήσασθαι κατορθώματα, ἀποδημίας, ἀγρυπνίας, φροντίδας, γνώμας, μάχας, τρόπαια τροπαίοις, καὶ νίκας νίκαις συναπτομένας, πράγματα οὐχὶ τῆς ἡμετέρας μόνον, ἀλλὰ καὶ πάσης ἀνθρωπίνης μείζονα γλώττης, ἀποστολικῆς δεόμενα φωνῆς πνεύματι κινουμένης, ᾗ πάντα καὶ εἰπεῖν καὶ διδάξαι δυνατόν.

Ψαλ. ρμη'. ζ'.

Ησ. νβ'. ε'.

Ματθ. ε'. ιϛ'.

Ἀλλὰ τοῦτο παραδραμόντες τὸ μέρος, ἐφ' ἕτερον ἀσφαλέστερον ἥξομεν, ὃ καὶ ἀκατίῳ διαπλεῦσαι ἔνι μικρῷ. φέρε οὖν τοὺς περὶ τῆς ἐγκρατείας κινήσωμεν λόγους, καὶ εἴπωμεν πῶς ἐκράτησε γαστρός, πῶς ὑπερεῖδε τρυφῆς, πῶς κατεπάλαισε τραπέζης πολυτελοῦς, καὶ ταῦτα ἐν μεγάλῃ τραφεὶς οἰκίᾳ. τὸν μὲν γὰρ ἐν πενίᾳ βεβιωκότα, θαυμαστὸν οὐδὲν πρὸς τὸν αὐχμῶντα τοῦτον καὶ σκληρὸν βίον ἐλθεῖν. (ἔχει γὰρ τὴν πενίαν τὸ φορτίον αὐτῷ καθ' ἑκάστην ἐπικουφίζουσαν τὴν ἡμέραν) ὁ δὲ πλούτου γενόμενος κύριος, οὐκ ἂν ῥᾳδίως τὰς ἐκεῖθεν λαβὰς ἀποδύσαιτο. τοσοῦτος νοσημάτων ἑσμὸς τὴν τοιαύτην περιπλατει ψυχήν. διὸ καὶ καθάπερ νέφος παθημάτων πυκνὸν καὶ γνοφῶδες ταῖς τῆς διανοίας διαφράττον ὄψεις, οὐκ ἀφίησι πρὸς τὸν οὐρανὸν ἰδεῖν, ἀλλὰ κάτω νεύειν βιάζεται, καὶ πρὸς τὴν γῆν κεχηνέναι. καὶ οὐκ ἔστιν, οὐκ ἔστιν οὐδὲν ἕτερον οὕτω κώλυμα πρὸς τὴν ἀποδημίαν τῶν οὐρανῶν, ὡς πλοῦτος καὶ τὰ ἀπὸ τοῦ πλούτου κακά. οὐκ ἐμὸς οὗτος ὁ λόγος, ἀλλ' αὐτοῦ τοῦ Χριστοῦ ψῆφός ἐστιν διειλεγμένη εἰπόντος· Εὐκολώτερόν ἐστι κάμηλον διὰ τρυπήματος ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ἀλλ' ἰδοὺ τὸ δύσκολον τοῦτο, μᾶλλον δὲ ἀδύνατον, γέγονε δυνατόν· καὶ ὃ πάλαι Πέτρος ἠπόρει πρὸς τὸν διδάσκαλον καὶ μαθεῖν ἐζήτει, τοῦτο διὰ τῆς πείρας αὐτῆς ἔγνωμεν ἅπαντες, μᾶλλον δὲ καὶ τούτου πλέον. οὐ γὰρ δὴ μόνον οὗτος εἰς τὸν οὐρανὸν ἀνέβη, ἀλλὰ καὶ δῆμον εἰσάγει τοσοῦτον, μετὰ τοῦ πλούτου καὶ ἑτέρου πλούτου οὐχ ἧττονα κωλύματα ἔχων, νεότητα καὶ ὀρφανίαν ἄωρον, ἃ πᾶσαν εἰσὶν αἱ θεράπων μᾶλλον ἱκανὰ γοητεῦσαι ψυχήν· τοιαύτας ἔχουσιν ἐπῳδάς, τοιαῦτα κατασκευάζουσι φάρμακα. ἀλλ' ὅμως καὶ τούτων οὗτος ἐκράτησε, καὶ τῶν οὐρανῶν ἐπελάβετο, καὶ πρὸς τὴν ἐκεῖ φιλοσοφίαν μετέθηκεν ἑαυτόν· καὶ οὔτε τὴν λαμπρότητα τοῦ παρόντος ἐνενόησε βίου, οὔτε εἰς τὴν τῶν προγόνων περιφάνειαν εἶδε· μᾶλλον δὲ εἰς τὴν τῶν προγόνων εἶδε περιφάνειαν, οὐ τῶν κατὰ φυσικὴν δὲ ἀνάγκην συνδεδεμένων αὐτῷ, ἀλλὰ τῶν κατὰ προαίρεσιν εὐσεβείας αὐτῷ προσηκόντων. διὸ καὶ τοιοῦτος ἐγένετο. εἶδεν εἰς τὸν πατριάρχην Ἀβραάμ, εἶδεν εἰς τὸν μέγαν Μωϋσῆν, ὃς ἐν οἰκίᾳ τραφεὶς βασιλικῇ, καὶ τραπέζης μετασχὼν Συβαριτικῆς, καὶ μεταξὺ θορύβων ἀπολειφθεὶς Αἰγυπτιακῶν (ἴστε δὲ οἷα τὰ βαρβάρων, ὅσου τύφου καὶ φαντασίας γέμει) πάντα ἀτιμάσας ἐκεῖνα, πρὸς τὸν πηλὸν καὶ τὴν πλινθείαν ἀπηυτομόλησε, τῶν δούλων καὶ αἰχμαλώτων εἶναι ἐπιθυμήσας, ὁ βασιλεὺς καὶ τοῦ βασιλέως υἱός. τοιγαροῦν διὰ τοῦτο μετὰ λαμπροτέρου πάλιν ἐπανῄει τοῦ σχήματος, ἢ πρότερον ἔχων ἀπέβαλε. μετὰ γὰρ τὴν φυγὴν καὶ τὴν παρὰ τῷ κηδεστῇ θητείαν, καὶ τὴν ἐπὶ τῆς ἀλλοτρίας ταλαιπωρίαν, ἐπανῄει τοῦ βασιλέως ἡγούμενος, μᾶλλον δὲ τοῦ βασιλέως γενόμενος Θεός. Τέθεικα γάρ σε, φησί, Θεὸν Φαραώ. καὶ λαμπρότερος ἦν τοῦ βασιλέως, οὐ διάδημα ἔχων, οὐδὲ ἁλουργίδα περικείμενος, οὐδὲ ζεῦγος ἐλαύνων χρυσοῦν, ἀλλὰ πάντα ἐκεῖνα πατήσας τὸν τῦφον. Πᾶσα γάρ, φησιν, ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν. ἐπανῄει τοίνυν σκῆπτρον ἔχων, διὸ οὐκ ἀνθρώποις ἐκέλευε μόνον, ἀλλ' οὐρανῷ καὶ γῇ καὶ θαλάττῃ, καὶ ἀέρων καὶ ὑδάτων φύσει, καὶ λίμναις καὶ πηγαῖς καὶ ποταμοῖς. πάντα γάρ, ὅσα ἐβούλετο, ταῦτα ἐγίνετο τὰ στοιχεῖα· καὶ ἐν ταῖς χερσὶ δὲ αὐτοῦ μετεσχηματίζετο πάλιν ἡ κτίσις, καὶ καθάπερ θεράπαινά τις εὐγνώμων, δεσπότου φίλον ἰδοῦσα παραγινόμενον, πάντα ἐπείθετο καὶ ὑπήκουε, καθάπερ αὐτῷ τῷ δεσπότῃ. πρὸς τοῦτον καὶ οὗτος ἰδών, τοιοῦτος ἐγένετο, καὶ ταῦτα νέος ὤν, εἰ δή ποτε καὶ ἐγένετο νέος. οὐ γὰρ ἔγωγε πείθομαι· οὕτως ἐξ αὐτῶν αὐτῷ τῶν σπαργάνων πολιὸν φρόνημα ἦν. ἀλλὰ καὶ κατὰ τὸν τῆς ἡλικίας λόγον νέος ὤν, πάσης φιλοσοφίας ἐπελάβετο, καὶ καταμαθὼν τὴν φύσιν τὴν ἡμετέραν, ὅτι καθάπερ χωρίον ἐστὶν ὑλομανοῦν, τὰ μὲν νοσήματα τῆς ψυχῆς τῷ λόγῳ τῆς εὐσεβείας, καθάπερ δρεπάνῃ τινί, ῥᾳδίως ἐξέκοπτε, καθαρὰς παρέχων τῷ γεωργῷ τὰς ἀρούρας πρὸς τὴν τῶν σπερμάτων καταβολήν, καὶ δεδεγμένος ἅπαντα, πρὸς τὸ βάθος παρέπεμπεν· ὥστε κάτωθεν ῥιζωθέντα, μήτε πρὸς τὴν τῆς ἀκτῖνος ἐνδοῦναι προσβολήν, μήτε ὑπὸ τῶν ἀκανθῶν ἀποπνιγῆναι πάλιν. ἀλλὰ τὴν μὲν ψυχὴν ἐθεράπευεν οὕτω· τὰ δὲ τῆς σαρκὸς σκιρτήματα τοῖς τῆς ἐγκρατείας φαρμάκοις κατέστελλεν, ὥσπερ ἵππῳ τινὶ δυσηνίῳ, τῷ σώματι τὸν ἀπὸ τῆς νηστείας χαλινὸν ἐμβάλλων, καὶ μέχρι τοσούτου τείνων ὀπίσω, ὡς αὐτὰ τῶν ἐπιθυμιῶν αἱμάξαι τὰ στόματα μετὰ τῆς προσηκούσης φειδοῦς. οὔτε γὰρ κατέτηξε τὸ σῶμα, ὥστε μὴ συμποδισθέντα τὸν ἵππον ἀχρεῖον αὐτῷ γενέσθαι πρὸς τὴν διακονίαν, οὔτε εἰς τὴν ἄγαν εὐεξίαν ἐμπεσεῖν ἠφίει, μήποτε πολυσαρκήσας πάλιν, κατεξαναστῇ τοῦ ἡνιοχοῦντος αὐτὸν λογισμοῦ, ἀλλ' ὁ-

Ματθ. ιθ. κδ.

Ἐξοδ. ζ. α.

Ψαλ. μδ. ιδ.

μῶ

μου καὶ τῆς ὑγιείας αὐτοῦ, καὶ τῆς εὐταξίας ἐπεμελεῖτο. καὶ οὐχὶ νέος μὲν ὢν τοιοῦτος ἦν, ἐπεὶ δὲ παρῆλθε τὴν ἡλικίαν ἐκείνην, τὴν πρόνοιαν ταύτην ἔλυσεν· ἀλλὰ καὶ νῦν, ὅτε ὡς ἐν εὐδίῳ λιμένι τῷ γήρᾳ κάθηται, τῆς αὐτῆς ἔχεται ἐπιμελείας πάλιν. ἡ μὲν γὰρ νεότης, ἀγαπητέ, πελάγει προσέοικε μαινομένῳ, κυμάτων ἀγρίων καὶ πνευμάτων γέμοντι πονηρῶν· ἡ δὲ πολιά, ὥσπερ εἰς λιμένα ἀκύμαντον τὰς τῶν γεγηρακότων ὁρμίζει ψυχάς, παρέχουσα τῇ παρὰ τῆς ἡλικίας ἐντρυφᾶν ἀσφαλείᾳ. ταύτης καὶ οὗτος ἀπολαύων νῦν, καὶ ἐν τῷ λιμένι, ὡς ἔφθην εἰπών, καθήμενος, τῶν ἐν μέσῳ πελάγει σαλευόντων οὐχ ἧττόν ἐστιν ἐναγώνιος· καὶ τοῦτον ἐδέξατο παρὰ τοῦ Παύλου τὸν φόβον, ὃς καίτοι εἰς τὸν οὐρανὸν ἀναβάς, καὶ τὸν μετ᾽ ἐκεῖνον διαδραμών, καὶ τοῦ τρίτου ἁψάμενος, ἔλεγε· Φοβοῦμαι μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. διὰ τοῦτο καὶ οὗτος ἐν διηνεκεῖ καθέστηκεν ἑαυτὸν φόβῳ, ἵνα διηνεκῶς ἐν τῷ θαρρεῖν ᾖ, καὶ κάθηται ἐπὶ τῶν οἰάκων, οὐκ ἀστέρων ἐπιτολὰς παρατηρῶν, οὐδὲ ὑφάλους καὶ σπιλάδας, ἀλλὰ δαιμόνων ἐπαναστάσεις, καὶ διαβόλου κακουργίας, καὶ λογισμῶν μάχας, καὶ κύκλῳ τοῦ στρατοπέδου περιιών, ἅπαντας ἐν ἀσφαλείᾳ καθίστησιν. οὐ γὰρ ὅπως μὴ βαπτισθείη τὸ σκάφος σκοπεῖ μόνον, ἀλλ᾽ ὅπως μηδὲ τῶν ἐμπλεόντων τις πειραθείη θορύβου τινός, ἅπαντα πραγματεύεται. διὰ τοῦτο καὶ τὴν τούτου σοφίαν ἡμεῖς ἐξ οὐρίας πλέομεν ἅπαντες, πλήρη τὰ ἱστία πετάσαντες τῆς νηός. καίτοιγε ὅτε τὸν πρότερον πατέρα ἀπεβάλομεν, ὃς καὶ τοῦτον ἡμῖν ἐγέννησεν, ἐν ἀπορίᾳ τὰ ἡμέτερα ἦν. διὸ καὶ ἐλεεινῶς ἐθρηνοῦμεν, ὡς οὐ προσδοκῶντες τὸν θρόνον τοῦτον ἕτερον ἄνδρα τοιοῦτον δέξασθαι. ἐπεὶ δὲ οὗτος ἐφάνη καὶ παρῆλθεν εἰς μέσον, πᾶσαν ἐκείνην τὴν ἀθυμίαν παρελθεῖν ἐποίησεν, ὥσπερ νέφος, καὶ τὰ σκυθρωπὰ ἀπέκρυψεν ἅπαντα, οὐ κατὰ μικρὸν ἐξαλείφων ἡμῖν τὸ πένθος, ἀλλ᾽ οὕτως ἀθρόον, ὡς ἂν εἰ ὁ μακάριος αὐτὸς ἐκεῖνος ἀπὸ τῆς λάρνακος ἀναστάς, ἐπὶ τὸν θρόνον ἀνέβη πάλιν τοῦτον. ἀλλὰ γὰρ ἐλάθομεν ἐπιθυμίᾳ πατρικῶν κατορθωμάτων, πέρα τοῦ μέτρου τοὺς λόγους ἐξάγοντες, οὐ τοῦ μέτρου τῶν τούτου κατορθωμάτων (τούτων γὰρ οὐδέπω ἠρξάμεθα) ἀλλὰ τοῦ προσήκοντος ἡμῖν τῇ νεότητι. * * *

* * *

λείπει

* * *

α. Κορ. θ. κζ.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΟΜΙΛΙΑ ΛΕΧΘΕΙΣΑ ΕΝ ΑΝΤΙΟΧΕΙΑ, ΠΡΕΣΒΥΤΕΡΟΥ

αὐτοῦ ὑπάρχοντος, ἐν τῇ παλαιᾷ ἐκκλησίᾳ, εἰς τὸ ἀποστολικὸν ῥητὸν*, Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου, καὶ τὰ ἑξῆς· καὶ πρὸς τοὺς σκανδαλιζομένους ἐπὶ ταῖς δυσημερίαις τῶν δικαίων, καὶ ταῖς τῶν ἁμαρτωλῶν εὐημερίαις, καὶ κατὰ τῶν τολμώντων βλασφημεῖν.

α. Τιμ. ε. κγ.

ΗΚούσατε τῆς ἀποστολικῆς φωνῆς, τῆς σάλπιγγος τῆς ἐκ τῶν οὐρανῶν, τῆς λύρας τῆς πνευματικῆς. καὶ γὰρ ὡς σάλπιγξ φοβερὸν ἠχοῦσα καὶ πολεμικὸν καταπλήττει τε τοὺς ἐχθρούς, καὶ διανίστησι τῶν οἰκείων τὰ πεπτωκότα φρονήματα, καὶ πολλοῦ θάρσους ἐμπλήσασα, ἀκαταγωνίστους ποιεῖ τῷ διαβόλῳ τοὺς προσέχοντας· καὶ ὡς λύρα πάλιν μετὰ πολλῆς τῆς ψυχαγωγίας τέρπουσα κοιμίζει τῶν ἀτόπων λογισμῶν τὰ πάθη, καὶ πολλὴν ἡμῖν μεθ' ἡδονῆς ἐνίησι τὴν ὠφέλειαν. ἠκούσατε τοίνυν σήμερον περὶ πολλῶν καὶ ἀναγκαίων πραγμάτων διαλεγομένου τῷ Τιμοθέῳ. καὶ γὰρ περὶ χειροτονιῶν ἐπέστελλε πρὸς αὐτὸν εἰπών, Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις· α. Τιμ. ε. κβ. καὶ τὸν ἀφόρητον τῆς τοιαύτης παρανομίας παρέστησε κίνδυνον, δείξας ὅτι τῶν ἑτέροις πεπλημμελημένων ἕτεροι τὴν τιμωρίαν ὑποστήσονται μετ' αὐτῶν ἐκείνων, ὅτι τὴν ἐξουσίαν διὰ τῆς χειροτονίας τῇ″ πονηρίᾳ παρέχονται. Εἶτα πάλιν φησίν, Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας· α. Τιμ. ε. κγ. καὶ περὶ τῆς τῶν οἰκετῶν ὑποταγῆς, καὶ περὶ τῆς τῶν φιλαργύρων μανίας, καὶ περὶ τῆς τῶν πλουτούντων ἀπονοίας, καὶ περὶ πολλῶν ἡμῖν ἑτέρων διελέχθη σήμερον. ἐπεὶ οὖν ἅπαντα ἐπελθεῖν ἀδύνατον, τί βούλεσθε τῶν εἰρημένων προχειρισάμενοι πρὸς τὴν ὑμετέραν ἀγάπην εἴπωμεν; καθάπερ γὰρ ἐν λειμῶνι, πολλὰ καὶ ποικίλα ὁρῶ τῆς ἀναγνώσεως τὰ ἄνθη, καὶ πολλὴν μὲν τὴν ῥοδωνιάν, πολλὰ δὲ τὰ ἴα, καὶ οὐκ ἐλάττω τὰ κρίνα, ἀλλὰ ποικίλον πανταχοῦ καὶ δαψιλῆ τοῦ πνεύματος διεσπαρμένον τὸν καρπόν, καὶ πολλὴν τὴν εὐωδίαν. μᾶλλον δὲ οὐχὶ λειμὼν μόνον, ἀλλὰ καὶ παράδεισός ἐστι τῶν θείων γραφῶν ἡ ἀνάγνωσις. οὐ γὰρ εὐωδίαν ψιλὴν ἔχει ταῦτα τὰ ἄνθη μόνον, ἀλλὰ καὶ καρπὸν ψυχὴν τρέφειν δυνάμενον. τί τοίνυν βούλεσθε τῶν εἰρημένων εἰς μέσον ἀγάγωμεν τήμερον; βούλεσθε, ὃ δοκεῖ πάντων εὐτελέστερον εἶναι καὶ τοῖς τυχοῦσιν εὐσύνοπτον, τοῦτο μεταχειρισώμεθα νῦν; ἐμοί γε δοκεῖ, καὶ ὑμῖν εὖ οἶδ' ὅτι συνδοκεῖ. τί ποτ' οὖν ἐστι τὸ τῶν ἄλλων εὐκολώτερον; τί δὲ ἕτερον, ἀλλ' ἢ ὃ καὶ τῷ τυχόντι δοκεῖ ῥᾴδιον εἶναι καὶ εὐσύνοπτον εἰπεῖν; ποῖον δὴ τοῦτο; Οἴνῳ ὀλίγῳ, φησί, χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας. φέρε οὖν ἅπασαν τὴν διάλεξιν εἰς ταύτην τὴν ῥῆσιν καταναλώσωμεν. ποιοῦμεν δὲ τοῦτο, οὐ φιλοτιμίας ἕνεκεν, οὐδὲ τῆς ἐν τῷ λέγειν δυνάμεως″ ἐπίδειξιν παρασχεῖν σπουδάζοντες (οὐ γὰρ ἡμέτερα τὰ λεγόμενα, ἀλλ' ἅπερ ἂν ἡ τοῦ πνεύματος ἐμπνεύσῃ χάρις) ἀλλ' ἵνα τοὺς ῥαθυμοτέρους τῶν ἀκροατῶν διεγείρωμεν, καὶ πείσωμεν πόσος τῶν γραφῶν ὁ θησαυρός, καὶ ὡς οὐκ ἀσφαλὲς τὸ παρατρέχειν, οὐδὲ ἀκίνδυνον. εἰ γὰρ ἡ ψιλὴ ῥῆσις αὕτη καὶ εὐσύνοπτος, καὶ μηδὲν ἔχειν ἀναγκαῖον δοκοῦσα τοῖς πολλοῖς, φανείη πολλοῦ πλούτου παρέχουσα προφάσεις ἡμῖν καὶ ἀφορμὰς φιλοσοφίας τῆς ἀνωτάτω, πολλῷ μᾶλλον ἐκεῖνα τὰ καὶ αὐτόθεν τὴν οἰκείαν εὐπορίαν ἐπιδεικνύμενα μυρίων ἐμπλήσει θησαυρῶν τοὺς προσέχοντας. μὴ τοίνυν μηδὲ τὰ νομιζόμενα εἶναι ψιλὰ τῶν γραφῶν νοήματα παρατρέχωμεν. τῆς γὰρ ἀπὸ τοῦ πνεύματος χάριτός ἐστι καὶ ταῦτα. πνεύματος δὲ χάρις οὐδέποτε ἐστὶ μικρὰ καὶ εὐτελής, ἀλλὰ μεγάλη καὶ θαυμασία καὶ τῆς τοῦ δεδωκότος ἀξία″ μεγαλοδωρεᾶς. μὴ τοίνυν παρέργως ἀκούσωμεν. ἐπεὶ καὶ οἱ τὴν μεταλλικὴν ἕψοντες γῆν, ἐπειδὰν εἰς τὸ χωνευτήριον αὐτὴν ἐμβάλωσιν, οὐχὶ τὰς μάζας τοῦ″ χρυσίου ἀναιροῦνται μόνον, ἀλλὰ καὶ τὰ μικρὰ ψήγματα μετὰ πολλῆς συλλέγουσι τῆς ἀκριβείας. ἐπεὶ οὖν καὶ ἡμεῖς χρυσίον ἕψομεν ἀπὸ τῶν μετάλλων ἀνελόμενοι τῶν ἀποστολικῶν, οὐκ εἰς χωνευτήριον ἐμβάλλοντες, ἀλλ' εἰς τὴν διάνοιαν τῆς ὑμετέρας ψυχῆς″ καθιέντες, οὐχὶ φλόγα ἀνακαίοντες, ἀλλὰ τὸ πῦρ τοῦ πνεύματος ἀνάπτοντες, μετὰ ἀκριβείας μεγάλης καὶ τὰ μικρὰ ψήγματα ἀναλεγώμεθα. εἰ γὰρ καὶ βραχεῖα ἡ ῥῆσις, ἀλλὰ πολλὴ ἡ δύναμις. ἐπεὶ καὶ οἱ μαργαρῖται οὐκ ἐν τῷ τοῦ σώματος ὄγκῳ, ἀλλ' ἐν τῷ κάλλει τῆς φύσεως τὴν εὐπορίαν* ἔχουσιν, οὕτω καὶ τῶν θείων γραφῶν ἡ ἀνάγνωσις. ἡ μὲν γὰρ ἔξωθεν παίδευσις πολὺν ἀνελίττουσα λῆρον, καὶ πολλὴν καταχέουσα τῶν ἀκροατῶν φλυαρίαν, κεναῖς″ τοὺς ἀκροατὰς ἀποπέμπει χερσί, καὶ οὐδὲν οὔτε μέγα οὔτε μικρὸν″ καρπουμένους καλόν· ἡ δὲ τοῦ πνεύματος χάρις οὐχ οὕτως, ἀλλὰ τοὐναντίον ἅπαν, διὰ μικρῶν ῥημάτων πᾶσι τοῖς προσέχουσι φιλοσοφίαν ἐντίθησι· καὶ ἀρκεῖ ῥῆμα πολλάκις ἓν λαβόντας ἐντεῦθεν πάσης τῆς ζωῆς ἔχειν ἐφόδιον.

Ἐπεὶ οὖν τοσοῦτος ὁ πλοῦτος*, διεγείρωμεν ἑαυτούς, καὶ νηφούσῃ τῇ διανοίᾳ τὰ λεγόμενα να ἀποδεξώμεθα. καὶ γὰρ πρὸς πολὺ βάθος καθεῖναι τὸν λόγον παρασκευάζομαι. πολλοῖς γὰρ καὶ παρέλκειν ἔδοξεν ἡ παραίνεσις αὕτη, καὶ περιττή τις εἶναι, καὶ τοιαῦτα λέγουσι ῥήματα· οὐκ ἠδύνατο ἀφ' ἑαυτοῦ συνιδεῖν ὁ Τιμόθεος, ″ ᾧτινι χρῆσθαι ἔδει· ἀλλ' ″ ἀνέμεινε παρὰ τοῦ διδασκάλου μαθεῖν; εἶτα ὁ διδάσκαλος οὐ μόνον ἐπέταξεν, ἀλλὰ καὶ γράμμασιν ἐναπέθετο, καθάπερ ἐν στήλῃ χαλκῇ, τῇ πρὸς αὐτὸν ἐγχαράξας ἐπιστολῇ; καὶ οὐκ ἠρυθρίασεν ὑπὲρ τοιούτων ἐπιστεῖλαι δημοσίᾳ γράφων τῷ μαθητῇ; ἵν' οὖν μάθῃς, ὅτι οὐ μόνον οὐ παρέλκει ἡ παραίνεσις, ἀλλὰ [καὶ] ἀναγκαία καὶ χρησιμωτάτη γέγονε· καὶ οὐχὶ Παύλου ἐστὶ τοῦτο, ἀλλὰ τῆς τοῦ πνεύματος χάριτος, οὐ τὸ λεχθῆναι μόνον λέγω, ἀλλὰ καὶ τὸ γράμμασιν ἐντεθῆναι, καὶ πᾶσι τοῖς γίνεσθαι μέλλουσι διὰ τῆς ἐπιστολῆς παραδοθῆναι ταύτης, ἐπ' αὐτὴν βαδιοῦμαι λοιπὸν τὴν ἀπόδειξιν. μετὰ γὰρ τῶν εἰρημένων καὶ ἕτερον τούτου οὐκ ἔλαττον διαποροῦσί τινες, ζητοῦντες πρὸς ἑαυτούς, τίνος ἕνεκεν συνεχώρησεν ὁ Θεὸς ἄνδρα τοσαύτην ἔχοντα παῤῥησίαν, οὗ τὰ ὀστᾶ καὶ τὰ λείψανα δαίμονας ἀπήλαυνεν, ἀῤῥωστίᾳ ″ τοσαύτῃ περιπεσεῖν. οὐ γὰρ * ἁπλῶς ἐνόσει, ἀλλ' ἀεί, καὶ διηνεκῶς, καὶ ἐπαλλήλοις καὶ συνεχέσιν ἀῤῥωστίαις, καὶ οὐδὲ μικρὸν αὐτῷ παρεχούσαις ἀναπνεῖν. πόθεν τοῦτο δῆλον; ἐξ αὐτῶν τῶν τοῦ Παύλου ″ γραμμάτων. οὐ γὰρ εἶπε, διὰ τὴν ἀσθένειαν, ἀλλά, διὰ τὰς ἀσθενείας· καὶ οὐδὲ ἁπλῶς, ἀσθενείας, ἀλλὰ τὸ συνεχὲς αὐτῶν δηλῶν ἔλεγε, τὰς πυκνάς σου ἀσθενείας. ἀκουέτωσαν, ὅσοι μακρᾷ παραδοθέντες νόσῳ δυσανασχετοῦσι καὶ ἀπαγορεύουσιν. οὐ τοῦτο δέ ἐστι τὸ ζητούμενον μόνον, ὅτι ἅγιος ὢν ἐνόσει, καὶ οὕτως ἐνόσει συνεχῶς· ἀλλ' ὅτι καὶ τὰ κοινὰ τῆς οἰκουμένης ἦν ἐμπεπιστευμένος πράγματα. εἰ μὲν γὰρ εἷς ἐκείνων ἦν τῶν εἰς τὰς κορυφὰς τῶν ὀρέων ἀνακεχωρηκότων, καὶ τῶν ἐπὶ τῆς ἐρημίας καλύβην πηξαμένων, καὶ τὸν ἀπράγμονα ″ τοῦτον ἀνῃρημένων βίον, οὐκ ἦν ἄπορον οὕτω τὸ ζητούμενον. τὸ δὲ εἰς μέσον προβεβλημένον, καὶ τοσούτων ἐκκλησιῶν ἐγκεχειρισμένον φροντίδας, καὶ πόλεις ὁλοκλήρους, καὶ ἔθνη, καὶ τὴν οἰκουμένην ἅπασαν μετὰ τοσαύτης διέποντα προθυμίας τε καὶ σπουδῆς, τῇ τῆς ἀῤῥωστίας ἀνάγκῃ παραδοθῆναι, τοῦτό ἐστι τὸ μάλιστα πάντων ἱκανὸν θορυβῆσαι τὸν μὴ προσέχοντα. εἰ γὰρ καὶ μὴ δι' ἑαυτόν, διὰ γοῦν τοὺς ἄλλους ἐχρῆν αὐτόν, φησίν, ὑγιαίνειν. στρατηγὸς ἦν ἄριστος· πόλεμος αὐτῷ ″ συγκεκρότητο, φησίν, οὐχὶ πρὸς τοὺς ἀπίστους μόνον, ἀλλὰ καὶ πρὸς τοὺς δαίμονας, καὶ πρὸς αὐτὸν τὸν διάβολον. μετὰ πολλῆς τῆς σφοδρότητος οἱ πολέμιοι πάντες ἐπέκειντο διασπῶντες τὸ στρατόπεδον καὶ αἰχμαλωτίζοντες. τούτους δὲ ἠδύνατο μυρίους ἐπὶ τὴν ἀλήθειαν ἐπαναγαγεῖν, καὶ ἠσθένει. εἰ καὶ μηδεμία τοίνυν ἑτέρα βλάβη τοῖς πράγμασιν ἀπὸ τῆς ἀῤῥωστίας ἐγίνετο, τοῦτο μόνον ἱκανὸν ἦν τοὺς πιστοὺς ὀκνηροτέρους καὶ ῥαθυμοτέρους ποιῆσαι. εἰ γὰρ στρατιῶται τὸν στρατηγὸν τὸν ἑαυτῶν ὁρῶντες τῇ κλίνῃ προσδεδεμένον, ὀκνηρότεροι γίνονται καὶ πρὸς τὴν μάχην ῥαθυμότεροι, πολλῷ μᾶλλον εἰκὸς ἦν καὶ τοὺς πιστοὺς τότε τὸν διδάσκαλον ὁρῶντας τὸν τοσαῦτα σημεῖα ἐργασάμενον συνεχῶς ἀῤῥωστοῦντα καὶ τὸ σῶμα κάμνοντα, ἀνθρώπινόν τι παθεῖν. οὐ ταῦτα δὲ μόνον, ἀλλὰ καὶ ἕτερόν τι πρὸς τοῖς εἰρημένοις οἱ ταῦτα διαποροῦντες ζητοῦσι. τίνος γὰρ ἕνεκεν πάλιν οὔτε αὐτὸς ἑαυτόν, οὔτε ὁ διδάσκαλος αὐτὸν οὕτω διακείμενον ἐθεράπευσεν; ἀλλὰ νεκροὺς μὲν ″ ἤγειραν, καὶ δαίμονας ″ ἤλαυνον, καὶ θανάτου μετὰ περιουσίας ἐκράτουν, σῶμα δὲ ἓν ἠσθενηκὸς οὐ διώρθωσαν; ἀλλ' ἐν ἀλλοτρίοις σώμασι καὶ ζῶντες καὶ τετελευτηκότες τοσαύτην ἐπιδεδειγμένοι δύναμιν, στόμαχον καταπεσόντα οὐκ ἀνέστησαν; καὶ τὸ δὴ μεῖζον, ὅτι οὐκ αἰσχύνεται Παῦλος οὐδὲ ἐρυθριᾷ μετὰ τοσαῦτα καὶ τηλικαῦτα σημεῖα, ἃ καὶ διὰ ψιλοῦ ῥήματος ἐπεδείκνυτο, Τιμοθέῳ γράφων ἐπὶ τὴν ἀπὸ τῆς οἰνοποσίας ″ καταφεύγειν θεραπείαν. οὐχ ὅτι τὸ πίνειν οἶνον, αἰσχρὸν (μὴ γένοιτο. αἱρετικῶν γὰρ ταῦτα τὰ παραγγέλματα) ἀλλ' ὅτι οὐκ ἐνόμιζεν αἰσχύνην εἶναι τὸ μὴ δύνασθαι χωρὶς τῆς ἐκείνου βοηθείας διορθώσασθαι νενοσηκὸς ἓν μέλος. ἀλλ' ὅμως τοσοῦτον ἀπέχει αἰσχυνθῆναι ἐπὶ τούτῳ, ὅτι καὶ τοῖς μετὰ ταῦτα πᾶσι δῆλον αὐτὸ ἐποίησεν. Εἴδετε πρὸς "ὅσον βάθος κατηγάγομεν τὸν λόγον, * πῶς τὸ δοκοῦν μικρὸν εἶναι μυρίων γέμει ζητημάτων. Φέρε οὖν καὶ τὴν λύσιν ἐπαγάγωμεν. Διὰ γὰρ τοῦτο πρὸς πολὺ βάθος κατέβημεν, ἵνα διεγείραντες ὑμῶν τὴν διάνοιαν, ἐν ἀσφαλεῖ ταμιείῳ τὰ νοήματα ἀποθώμεθα. Συγχωρήσατε" δέ μοι, πρὶν ἢ τὴν λύσιν τοῖς ζητήμασι τούτοις ἐπαγαγεῖν, εἰπεῖν τι περὶ τῆς ἀρετῆς τοῦ Τιμοθέου, καὶ τῆς τοῦ Παύλου κηδεμονίας. "Τίς γὰρ ἐκείνου" φιλοστοργότερος γέγονεν, ὃς ἐκ τοσούτου διαστήματος ὤν, καὶ τοσούτοις κυκλούμενος πράγμασιν, ὑπὲρ τῆς ὑγείας τοῦ στομάχου τοῦ μαθητοῦ τοσαύτην ἐποιεῖτο πρόνοιαν, καὶ μετὰ ἀκριβείας ἐπέστελλεν ὑπὲρ τῆς τοῦ νοσήματος διορθώσεως; τί δὲ τῆς ἀρετῆς ἴσον τῆς Τιμοθέου, ὃς οὕτως ὑπερεώρα τρυφῆς, καὶ κατεγέλα πολυτελοῦς τραπέζης, ὡς καὶ εἰς ἀσθένειαν ἐμπεσεῖν ἐκ τῆς ἄγαν σκληραγωγίας καὶ τῆς ἐπιτεταμένης νηστείας; ὅτι γὰρ οὐ φύσει τοιοῦτος ἦν, ἀλλ'" ἀπὸ νηστείας καὶ ὑδροποσίας τοῦ στομάχου κατέβαλε τὴν ἰσχύν, αὐτοῦ τοῦ ἀποστόλου μετὰ ἀκριβείας τοῦτο δηλοῦντος" ἔστιν ἀκοῦσαι. οὐ γὰρ ἁπλῶς εἶπεν, οἴνῳ ὀλίγῳ χρῶ, ἀλλὰ πρότερον εἰπών, μηκέτι ὑδροπότει, τότε τὴν τῆς οἰνοποσίας προσέθηκε συμβουλήν. τὸ δὲ, μηκέτι, δηλοῦντος ἦν ὅτι μέχρι τότε ὑδροπότει, καὶ διὰ τοῦτο γέγονεν ἀσθενής. τίς οὐκ ἂν ἐκπλαγείη τὴν φιλοσοφίαν αὐτοῦ καὶ τὴν ἀκρίβειαν; αὐτῶν ἐπελάβετο τῶν οὐρανῶν, καὶ πρὸς τὸ τῆς ἀρετῆς ἄκρον ἤλασε. καὶ ταῦτα ὁ διδάσκαλος αὐτῷ μαρτυρεῖ, οὕτω λέγων· Ἔπεμψα ὑμῖν Τιμόθεον, ὅς ἐστι τέκνον μου ἀγαπητὸν καὶ πιστὸν ἐν Κυρίῳ. ὅταν δὲ Παῦλος αὐτὸν καλῇ τέκνον, καὶ τέκνον πιστὸν καὶ ἀγαπητόν, ἀρκεῖ τὰ ῥήματα ταῦτα ἅπασαν αὐτοῦ δεῖξαι τὴν ἀρετήν. αἱ γὰρ τῶν ἁγίων κρίσεις οὐ πρὸς χάριν, οὐδὲ πρὸς ἀπέχθειαν γίνονται, ἀλλὰ πάσης εἰσὶν ἀπηλλαγμέναι προλήψεως. οὐκ ἦν* οὕτω ζηλωτὸς ὁ Τιμόθεος, εἰ Παύλου τέκνον ἦν φύσει, ὡς ἔστι θαυμαστὸς νῦν, ὅτι κατὰ σάρκα μηδὲν αὐτῷ προσήκων, διὰ τῆς κατὰ τὴν εὐλάβειαν συγγενείας εἰς τὴν υἱοθεσίαν εἰσήγαγεν ἑαυτὸν τὴν ἐκείνου, μετὰ ἀκριβείας τοὺς χαρακτῆρας τῆς ἐκείνου φιλοσοφίας διασώζων ἐν ἅπασι. καθάπερ γὰρ μόσχος ταύρῳ συμβεβλημένος, οὕτω τὸν ζυγὸν εἷλκε μετ' αὐτοῦ πανταχοῦ τῆς οἰκουμένης· καὶ οὐδὲν ἠλαττοῦτο διὰ τὴν ἡλικίαν· ἀλλ' ἡ προθυμία ἁμιλλᾶσθαι τοῖς τοῦ διδασκάλου πόνοις αὐτὸν παρεσκεύασε. καὶ τούτου πάλιν μάρτυς αὐτὸς ὁ Παῦλος, οὕτω λέγων· Μηδεὶς οὖν αὐτὸν ἐξουθενήσῃ· τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται, ὡς κἀγώ. Εἶδες πῶς ἀπαράλλακτον αὐτῷ μαρτυρεῖ σπουδήν; εἶτα, ἵνα μὴ νομισθῇ χάριτι ταῦτα λέγειν, αὐτοὺς τοὺς ἀκροατὰς ποιεῖται μάρτυρας τῆς τοῦ παιδὸς ἀρετῆς, οὕτω λέγων· Τὴν δὲ δοκιμὴν αὐτοῦ γινώσκετε· ὅτι ὡς πατρὶ τέκνον, οὕτω σὺν ἐμοὶ ἐδούλευσεν ἐν τῷ εὐαγγελίῳ. πεῖραν ὑμεῖς εἰλήφατε τῆς ἀρετῆς, φησιν, αὐτοῦ καὶ τῆς δοκίμου ψυχῆς. ἀλλ' ὅμως πρὸς τοσοῦτον ὕψος κατορθωμάτων ἀνελθών, οὐδὲ οὕτως ἐθάρρει, ἀλλ' ἐναγώνιος ἦν καὶ περιδεής. διὸ καὶ μετὰ ἀκριβείας" ἐνήστευε· καὶ οὐκ ἔπαθε τοῦτο τὸ τῶν πολλῶν, οἳ δέκα μόνον ἢ καὶ εἴκοσι "ἡμέρας νηστείᾳ" παρεληκότες ἑαυτοὺς εὐθέως ἅπαντα καταλύουσιν· ἀλλ' ἐκεῖνος οὐδὲν τοιοῦτον ἔπαθεν, οὐδὲ εἶπέ τι τοιοῦτο πρὸς ἑαυτόν· τί μοι νηστείας χρεία λοιπόν; περιεγενόμην, ἐκράτησα τῶν ἐπιθυμιῶν· ἐνέκρωσά μου τὸ σῶμα· δαίμονας ἐφόβησα· τὸν διάβολον ἀπήλασα· νεκροὺς ἀνέστησα· λεπροὺς ἐκάθαρα· ταῖς ἀντικειμέναις δυνάμεσιν εἰμὶ φοβερός· τί μοι νηστείας δεῖ λοιπόν, καὶ τῆς ἐντεῦθεν ἀσφαλείας; οὐδὲν τοιοῦτον οὐκ εἶπεν, οὐκ ἐνενόησεν· ἀλλ' "ὅσῳ μυρίων ἔγεμε κατορθωμάτων," τοσούτῳ μᾶλλον ἐδεδίει καὶ ἔτρεμε. καὶ ταύτην παρὰ τοῦ διδασκάλου τὴν φιλοσοφίαν ἐμάνθανε. καὶ γὰρ ἐκεῖνος εἰς τρίτον ἁρπαγεὶς οὐρανόν, καὶ εἰς παράδεισον ἀπενεχθεὶς καὶ ἀκούσας ῥήματα ἄρρητα, καὶ μυστηρίων κοινωνήσας τοιούτων, καὶ τὴν οἰκουμένην ἅπασαν ἐπιδραμών, καθάπερ τις ὑπόπτερος*, Κορινθίοις ἐπιστέλλων ἔλεγε· Φοβοῦμαι, μή πως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι. εἰ δὲ Παῦλος" ἐφοβεῖτο μετὰ τοιαῦτα καὶ τοσαῦτα κατορθώματα, ὁ δυνηθεὶς εἰ-

α. Κορ δ. ιζ.

α. Κορ. ιϛ. ια.

Φιλιπ. β. κβ.

α. Κορ. θ. κζ.

στιν, [ὅτι] Ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ· πολλῷ μᾶλλον ἡμᾶς δεδοικέναι χρή· καὶ τοσούτῳ μᾶλλον, ὅσῳπερ ἂν ὦμεν πολλὰ συνειληχότες κατορθώματα. καὶ γὰρ ὁ διάβολος ἀγριώτερος τότε γίνεται, τότε ἐκθηριοῦται πλέον, ὅταν ἴδῃ μετ' ἐπιμελείας ἡμᾶς τὸν ἑαυτῶν οἰκονομοῦντας βίον. ὅταν ἴδῃ τὰ φορτία τῆς ἀρετῆς συγκείμενα, καὶ πολὺν ὄντα τὸν ὄγκον, τότε σπουδάζει χαλεπώτερον ἐργάσασθαι τὸ ναυάγιον. ὁ μὲν γὰρ εὐτελὴς καὶ ἀπερριμμένος, κἂν ὑποσκελισθῇ καὶ καταπέσῃ, οὐ τοσαύτην τῷ κοινῷ φέρει τὴν βλάβην· ὁ δ', ὥσπερ ἐν ὕψει τινὶ, τῇ τῆς ἀρετῆς κορυφῇ μετὰ πολλῆς τῆς περιφανείας ἑστὼς, καὶ πᾶσι δῆλος καὶ γνώριμος ὢν, καὶ παρὰ πάντων θαυμαζόμενος, ὅταν ἐπηρεασθεὶς καταπέσῃ, μεγάλην τὴν πτῶσιν καὶ τὴν ζημίαν ἐργάζεται· οὐχ ὅτι μόνον ἐξ ὕψους κατέπεσεν, ἀλλ' ὅτι καὶ πολλοὺς ῥᾳθυμοτέρους ἐποίησε τῶν πρὸς αὐτὸν βλεπόντων. καὶ καθάπερ ἐν σώματι μέλους μὲν ἑτέρου διαφθαρέντος οὐ πολλὴ ἡ βλάβη· τῶν δὲ ὀφθαλμῶν πηρωθέντων, ἢ τῆς κεφαλῆς παραβλαβείσης, ὅλον τὸ σῶμα λοιπὸν ἄχρηστον γίνεται· οὕτω δὴ καὶ ἐπὶ τῶν ἁγίων καὶ μεγάλα κατωρθωκότων ἐστὶν εἰπεῖν. ὅταν* ἐκεῖνοι σβεσθῶσιν, ὅταν κηλῖδά τινα προστρίψωνται, ὁλόκληρον καὶ ἀφόρητον τῷ λοιπῷ σώματι τὴν βλάβην φέρουσι.

Γαλατ. ς. ιδ.

Ταῦτα οὖν ἅπαντα ὁ Τιμόθεος εἰδὼς, πανταχόθεν ἑαυτὸν ἠσφαλίζετο. ᾔδει γὰρ ὅτι χαλεπὸν ἡ νεότης, ὅτι εὐρίπιστον, ὅτι εὐεξαπάτητον, ὅτι εὐόλισθον, καὶ σφοδροτέρου δεῖται τοῦ χαλινοῦ. πυρὰ γάρ τίς ἐστι τῶν ἔξωθεν ἐπιλαμβανομένη ῥᾳδίως, καὶ ἐκκαιομένη ταχέως. διὰ τοῦτο πανταχόθεν αὐτὴν ἔφραττεν, ὥστε συνεστάλθαι, καὶ τὴν φλόγα ταύτην παντὶ τρόπῳ μαραίνειν ἐσπούδαζε, καὶ τὸν ἵππον δυσχάλινον ὄντα καὶ δυσήνιον μετὰ πολλῆς ἦγε τῆς σφοδρότητος, ἕως ὅτε αὐτοῦ τὰ σκιρτήματα περιέκοψεν, ἕως εὐήνιον ἐποίησε καὶ μετὰ πολλῆς τῆς ἐξουσίας ταῖς χερσὶ τοῦ ἡνιοχοῦντος αὐτὸν παρέδωκε λογισμοῦ. ἀσθενείτω, φησὶ, τὸ σῶμα, καὶ μὴ ἀσθενείτω ἡ ψυχή· χαλινούσθω ἡ σάρξ, καὶ μὴ συμποδιζέσθω ὁ πρὸς τὸν οὐρανὸν τῆς ψυχῆς δρόμος. μετὰ δὲ τούτων* κἀκεῖνο μάλιστα ἄν τις αὐτὸν ἀγάσαιτο, ὅτι καὶ ἐξησθενηκὼς οὕτω καὶ τοσαύτῃ παλαίων ἀρρωστίᾳ, τῶν κατὰ Θεὸν οὐκ ἠμέλει πραγμάτων· ἀλλὰ τῶν ὑγιαινόντων καὶ σφριγώντων τὰ σώματα μᾶλλον πανταχοῦ περιίπτατο, νῦν μὲν εἰς Ἔφεσον, νῦν δὲ εἰς Κόρινθον· ἐν Μακεδονίᾳ πολλάκις, ἐν Ἰταλίᾳ, πανταχοῦ τῆς γῆς, πανταχοῦ τῆς θαλάττης μετὰ τοῦ διδασκάλου φαινόμενος, καὶ κοινωνῶν ἐν ἅπασι τῶν ἀγώνων αὐτῷ, καὶ τῶν ἐπαλλήλων κινδύνων. καὶ τὴν φιλοσοφίαν τῆς ψυχῆς οὐκ ἤλεγξεν ἡ τοῦ σώματος ἀρρωστία. τοσοῦτόν ἐστιν ὁ κατὰ Θεὸν ζῆλος, οὕτω κοῦφον ἐργάζεται τὸ πτερόν. ὥσπερ γὰρ τοῖς τὰ σώματα ἔχουσιν εὐεκτοῦντα καὶ ὑγιῆ κέρδος οὐδὲν ἔσται τῆς εὐεξίας, ἐὰν ἡ ψυχὴ καταβεβλημένη ᾖ καὶ ῥᾴθυμος καὶ νωθής· οὕτω τοῖς ἐξησθενημένοις οὐδὲν ἔσται βλάβος ἀπὸ τῆς ἀρρωστίας, ἐὰν ἡ ψυχὴ γενναία ᾖ καὶ διεγηγερμένη. δοκεῖ μὲν οὖν ἴσως ἡ παραίνεσις αὕτη καὶ ἡ συμβουλὴ ἐξουσίαν διδόναι πρὸς ἀδεεστέραν οἰνοποσίαν. τὸ δὲ οὐ τοιοῦτόν ἐστιν· ἀλλ' εἴ τις μετὰ ἀκριβείας ἐξετάσειε τὴν ῥῆσιν αὐτὴν, νηστείας μᾶλλόν ἐστι τὸ πρᾶγμα παραίνεσις. οἰνοποσίαν γὰρ οὐκ ἐξ ἀρχῆς, οὐδὲ ἐκ προοιμίων τοῦτο συνεβούλευσεν ὁ Παῦλος· ἀλλ' ὅτε εἶδε καταβεβλημένην τὴν ἰσχὺν ἅπασαν, τότε συνεβούλευσε· καὶ οὐδὲ τότε ἁπλῶς, ἀλλὰ μετὰ προσδιορισμοῦ τινος. οὐ γὰρ εἶπεν ἁπλῶς, οἴνῳ χρῶ, ἀλλ', οἴνῳ ὀλίγῳ· οὐκ ἐπεὶ Τιμόθεος ταύτης ἐδεῖτο τῆς παραινέσεως καὶ τῆς συμβουλῆς· ἀλλ' ἐπειδὴ ἡμεῖς δεόμεθα, διὰ τοῦτο ἐπιστέλλων ἐκείνῳ, μέτρα καὶ ὅρους ἡμῖν τίθησιν* οἰνοποσίας, τοσοῦτον κελεύων πίνειν, ὅσον διορθοῦν ἀσθένειαν, ὅσον ὑγείαν παρέχειν τῷ σώματι*, ἀλλὰ μὴ νόσον ἑτέραν. τῆς γὰρ ὑδροποσίας τῆς ἀφάτου οὐκ ἐλάττονα, ἀλλὰ καὶ πολλῷ πλείονα καὶ χαλεπώτερα ἡ ἄμετρος οἰνοποσία τίκτει νοσήματα τῷ σώματι καὶ τῇ ψυχῇ, τὸν πόλεμον τῶν παθῶν, καὶ τὸν χειμῶνα τῶν ἀτόπων λογισμῶν ἐπεισάγουσα τῇ διανοίᾳ, καὶ τοῦ σώματος τὴν ἰσχὺν χαυνοτέραν καὶ πλαδαρωτέραν ἐργαζομένη. οὐ γὰρ οὕτως ἡ τῆς γῆς φύσις ἐνοχληθεῖσα τῇ τῶν ὑδάτων πλεονεξίᾳ συνεχῶς διαλύεται, ὡς ἡ τοῦ σώματος δύναμις χαυνοῦται καὶ διαρρεῖ καὶ ὀξίτηλος γίνεται συνεχῶς οἰνοποσίαις ἐπαντλουμένη. φεύγωμεν τοίνυν * τὰς ἀμετρείας ἑκατέρωθεν *· καὶ τῆς ὑγείας ἐπιμελώμεθα τοῦ σώματος, καὶ τὰ σκιρτήματα αὐτοῦ περικόπτωμεν. οἶνος γὰρ ἐδόθη * παρὰ Θεοῦ, οὐχ ἵνα μεθύωμεν, ἀλλ' ἵνα νήφωμεν, ἵνα εὐφραινώμεθα, οὐχ ἵνα ἀλγῶμεν. Οἶνος γὰρ εὐφραίνει, φησί, καρδίαν ἀνθρώπου· σὺ δὲ αὐτὸν ἀθυμίας ὑπόθεσιν ποιεῖς. καὶ γὰρ βαρύθυμοι * οἱ μεθύοντες μεθ' ὑπερβολῆς, σκότου πολλοῦ κατασκεδαννυμένου τῶν λογισμῶν. φάρμακόν ἐστιν ἄριστον, ὅταν τὴν συμμετρείαν ἔχῃ ἀρίστην. τοῦτο καὶ πρὸς τοὺς αἱρετικοὺς ἡμῖν χρήσιμον τὸ χωρίον, τοὺς διαβάλλοντας τοῦ Θεοῦ τὴν κτίσιν. Εἰ γὰρ ἦν τῶν κεκωλυμένων, οὐκ ἂν ἐπέτρεψεν ὁ Παῦλος, οὐκ ἂν εἶπεν οἴνῳ κεχρῆσθαι. οὐ πρὸς αἱρετικοὺς δὲ μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἀφελεστέρους τῶν ἡμετέρων ἀδελφῶν, οἳ, ἐπειδὰν ἴδωσί τινας ὑπὸ μέθης ἀσχημονοῦντας, ἀφέντες κακίζειν ἐκείνους *, τὸν παρὰ τοῦ Θεοῦ δοθέντα καρπὸν διαβάλλουσι λέγοντες, μὴ ἔστω οἶνος. λέγωμεν τοίνυν πρὸς αὐτούς, μὴ ἔστω μέθη. οἶνος μὲν γὰρ ἔργον Θεοῦ, μέθη δὲ ἔργον διαβόλου. οὐχ ὁ οἶνος ποιεῖ τὴν μέθην, ἀλλ' ἡ ἀσωτία * ποιεῖ τὴν μέθην. μὴ διάβαλλε τοῦ Θεοῦ τὸ δημιούργημα· ἀλλὰ κατηγόρει τῆς τοῦ συνδούλου μανίας. σὺ δὲ τὸν ἁμαρτάνοντα ἀφεὶς κολάζειν καὶ διορθοῦσθαι, τὸν εὐεργετοῦντα ὑβρίζεις. ὅταν τοίνυν ἀκούσωμέν τινων ταῦτα λεγόντων, ἐπιστομίζωμεν αὐτούς. οὐ γὰρ ἡ χρῆσις, ἀλλ' ἡ ἀμετρεία τὴν μέθην ποιεῖ, μέθην τὴν τῶν κακῶν ῥίζαν ἁπάντων. οἶνος * ἐδόθη, ἵνα σώματος ἀσθένειαν διορθώσηται, οὐχ ἵνα ψυχῆς ἰσχὺν καταβάλῃ· ἵνα σαρκὸς ἀρρωστίαν ἀνέλῃ, οὐχ ἵνα ψυχῆς ὑγείαν λυμήνηται. μὴ τοίνυν ἀμέτρως κεχρημένος τῇ τοῦ Θεοῦ δωρεᾷ, πάρεχε λαβὰς τοῖς ἀνοήτοις καὶ ἀφελεστέροις τῶν ἀνθρώπων. τί γὰρ ἐλεεινότερον μέθης; νεκρός ἐστιν ἔμψυχος ὁ μεθύων· δαίμων ἐστὶν αὐθαίρετος· νόσημα συγγνώμην οὐκ ἔχον· πτῶμα ἀπολογίας ἐστερημένον· κοινὴ τοῦ γένους ἡμῶν ἀσχημοσύνη. οὐ γὰρ ἐν συνουσίαις μόνον ἄχρηστος ὁ μεθύων, οὐδὲ ἐν ἰδιωτικοῖς καὶ δημοσίοις πράγμασιν, ἀλλὰ καὶ ἐν ψιλῇ θεωρίᾳ πάντων ἐστὶν ἀηδέστερος, δυσωδίας πνέων. ἐρυγαὶ δὲ καὶ χασμήσεις τῶν μεθυόντων καὶ φωναὶ ἀπρεπεῖς καὶ ἀηδεῖς, βδελυγμίας ἐσχάτης πληροῦσαι τοὺς ὁρῶντας καὶ συγγινομένους. καὶ τὸ κεφάλαιον τῶν κακῶν, ὅτι τὸν οὐρανὸν ἄβατον ποιεῖ [τοῖς μεθύουσι] τοῦτο τὸ νόσημα, καὶ τῶν αἰωνίων ἀγαθῶν οὐκ ἀφίησιν ἐπιτυχεῖν· ἀλλὰ μετὰ τῆς ἐνταῦθα ἀσχημοσύνης, καὶ ἐκεῖ κόλασις ἀφόρητος τοὺς τὰ τοιαῦτα νοσοῦντας ἀναμένει. περικόψωμεν τοίνυν τὴν πονηρὰν ταύτην συνήθειαν, καὶ ἀκούσωμεν Παύλου λέγοντος· οἴνῳ ὀλίγῳ χρῶ. καὶ γὰρ αὐτὸν τὸν ὀλίγον διὰ τὴν ἀσθένειαν ἐπέτρεψεν· ὡς εἰ μὴ ἦν ἀσθένεια διενοχλοῦσα, οὐκ ἂν ἠνάγκασε τὸν μαθητὴν οὐδὲ τὸν ὀλίγον προσίεσθαι. καὶ γὰρ καὶ τὰ ἀναγκαίως ἡμῖν παρὰ τοῦ Θεοῦ δοθέντα σιτία καὶ ποτὰ τοῖς καιροῖς καὶ ταῖς χρείαις ἀεὶ μετρεῖν τοὺς κεχρημένους προσήκει, καὶ μηδαμοῦ τὴν χρείαν ὑπερβαίνειν, μηδὲ ἁπλῶς καὶ εἰκῆ τι ποιεῖν. Ἀλλ' ἐπειδὴ τὴν τοῦ Παύλου κηδεμονίαν, καὶ τὴν ἀρετὴν ἐμάθομεν τὴν Τιμοθέου, φέρε λοιπὸν ἐπ' αὐτὴν τὴν λύσιν τῶν ζητημάτων τὸν λόγον ἀγάγωμεν. τίνα οὖν εἰσι τὰ ζητήματα; ἀναγκαῖον γὰρ πάλιν εἰπεῖν, ἵνα σαφεστέρα ἡ λύσις γένηται. τίνος οὖν ἕνεκεν ἅγιον τοιοῦτον, καὶ τοσαῦτα οἰκονομοῦντα πράγματα, εἰς ἀρρωστίαν συνεχώρησεν ὁ Θεὸς ἐμπεσεῖν· καὶ οὔτε αὐτός, οὔτε ὁ διδάσκαλος ἴσχυσαν τὸ νόσημα διορθώσασθαι, ἀλλὰ τῆς κατὰ τὴν οἰνοποσίαν ἐδεήθησαν βοηθείας; καὶ τὰ μὲν ζητήματα ταῦτά ἐστι. δεῖ δὲ αὐτὴν ἐπαγαγεῖν τὴν λύσιν, ὡς, μὴ μόνον εἴ τινες νόσῳ καὶ ἀρρωστίᾳ τοιαύτῃ περιπέσοιεν, ἀλλὰ καὶ εἴ τινες πενίᾳ καὶ λιμῷ καὶ δεσμοῖς καὶ βασάνοις καὶ ἐπηρείαις καὶ συκοφαντίαις καὶ πᾶσι τοῖς κατὰ τὸν παρόντα βίον δεινοῖς, ἅγιοι καὶ μεγάλοι καὶ θαυμαστοί· καὶ ἐπ' ἐκείνων ἀπὸ τῶν σήμερον ῥηθησομένων ἀκριβῆ καὶ σαφεστάτην δυνηθεῖναι εὑρέσθαι τὴν ἀπολογίαν πρὸς τοὺς ἐγκαλεῖν βουλομένους. καὶ γὰρ ἀκούω πολλῶν τοιαῦτα ζητούντων· τί δήποτε ὁ δεῖνα μέτριος ὢν καὶ ἐπιεικὴς ἄνθρωπος ὑφ' ἑτέρου παρανόμου τινὸς καὶ

Ψαλ. ργ. ιε.

πονηρὸς καθ' ἑκάστην ἡμέραν εἰς δικαστήριον ἕλκεται καὶ μυρία πάσχει δεινά, καὶ ὁ Θεὸς συγχωρεῖ; τίνος οὖν ἕνεκεν ἕτερος συκοφαντηθεὶς ἀπέθανεν ἀδίκως; ὁ δεῖνα κατεποντίσθη, φησίν; ἄλλος κατεκρημνίσθη; καὶ πολλοὺς ἂν ἔχοιμεν ἁγίους εἰπεῖν καὶ ἐφ' ἡμῶν, καὶ ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων πολλὰς ὑπομείναντας θλίψεις διαφόρους καὶ ποικίλας. ἵνα οὖν ἁπάντων τούτων τὸν λόγον ἴδωμεν, καὶ μήτε αὐτοὶ θορυβώμεθα, μήτε ἑτέρους σκανδαλιζομένους περιορῶμεν, μετ' ἀκριβείας ἁπάσης τοῖς λεχθήσεσθαι μέλλουσι νῦν προσέχωμεν. τῆς γὰρ τῶν ἁγίων κακώσεως τῆς ποικίλης καὶ παντοδαπῆς ὀκτὼ τὸν ἀριθμὸν αἰτίας ἔχω πρὸς τὴν ὑμετέραν ἀγάπην εἰπεῖν. διὸ συντείνατε * ἑαυτοὺς μετ' ἀκριβείας ἅπαντες, εἰδότες ὡς οὐδεμία λοιπὸν ἡμῖν ἔσται συγγνώμη καὶ ἀπολογία σκανδαλιζομένοις ἐπὶ τοῖς συμβαίνουσιν· εἴ γε τοσούτων προφάσεων οὐσῶν, ὡς μηδεμιᾶς οὔσης, οὕτω μέλλοιμεν θορυβεῖσθαι καὶ ταράττεσθαι. πρώτη μὲν οὖν, διὰ τὸ μὴ ταχέως αἴρεσθαι εἰς ἀπόνοιαν τῷ μεγέθει τῶν κατορθωμάτων καὶ τῶν θαυμάτων, ἀφίησιν αὐτοὺς ὁ Θεὸς κακοῦσθαι. δευτέρα, ἵνα μὴ μείζονα τῆς ἀνθρωπίνης φύσεως περὶ αὐτῶν ὑπονοίας ἔχωσιν ἕτεροι, καὶ θεούς, ἀλλ' οὐκ ἀνθρώπους αὐτοὺς εἶναι νομίσωσι. τρίτη, ἵνα ἡ τοῦ Θεοῦ φανῇ δύναμις, διὰ τῶν ἐξασθενούντων, διὰ τῶν δεσμουμένων κρατοῦσα καὶ περιγινομένη καὶ τὸ κήρυγμα αὔξουσα. τετάρτη, ἵνα αὐτῶν ἐκείνων ἡ ὑπομονὴ φανερωτέρα γένηται, οὐκ ἐπὶ μισθῷ τῷ Θεῷ δουλευόντων, ἀλλὰ καὶ τοσαύτην ἐπιδεικνυμένων εὐγνωμοσύνην, ὡς καὶ μετὰ τοσαῦτα κακὰ τὴν ἀκέραιον περὶ αὐτὸν ἐπιδείκνυσθαι εὔνοιαν. πέμπτη, ἵνα περὶ ἀναστάσεως φιλοσοφῶμεν. ὅταν γὰρ ἴδῃς ἄνδρα δίκαιον καὶ πολλῆς γέμοντα ἀρετῆς μυρία παθόντα δεινά, καὶ οὕτως ἀπελθόντα ἐντεῦθεν, καὶ ἄκων ἀναγκασθήσῃ πάντως ἐννοῆσαί τι περὶ τῆς ἐκεῖ κρίσεως. εἰ γὰρ ἄνθρωποι τοὺς ὑπὲρ αὐτῶν κάμνοντας οὐκ ἀφιᾶσι χωρὶς μισθῶν καὶ ἀμοιβῆς ἀπελθεῖν, πολλῷ μᾶλλον ὁ Θεὸς τοὺς τοσαῦτα πεπονηκότας οὐκ ἂν ἕλοιτό ποτε ἀστεφανώτους ἀφεῖναι. εἰ δὲ οὐκ ἂν ἕλοιτο τῆς τῶν πόνων [αὐτῶν] ἀμοιβῆς αὐτοὺς ἀποστερῆσαι, πάντως ἀνάγκη τινὰ καιρὸν ἕτερον εἶναι μετὰ τὴν ἐντεῦθεν τελευτήν, καθ' ὃν ἀπολήψονται τὰς ἀμοιβὰς τῶν ἐνταῦθα πόνων. ἕκτη, ἵνα πάντες οἱ περιπίπτοντες τοῖς δεινοῖς, ἱκανὴν ἔχωσι παράκλησιν καὶ παραμυθίαν, εἰς ἐκείνους ἀφορῶντες, καὶ τῶν συμβεβηκότων αὐτοῖς μεμνημένοι κακῶν. ἑβδόμη, ἵν' ὅταν παρακαλῶμεν ὑμᾶς πρὸς τὴν ἐκείνων ἀρετήν, καὶ πρὸς ἕκαστον ὑμῶν λέγωμεν· ὅτι ζήλωσον Παῦλον, καὶ ζήλωσον Πέτρον· μὴ νομίζοντες διὰ τὴν τῶν κατορθωμάτων ὑπερβολὴν ἑτέρας αὐτοὺς μετεσχηκέναι φύσεως ἀποκνήσητε πρὸς τὴν μίμησιν. ὀγδόη, ἵν', ὅταν δέῃ μακαρίζειν καὶ ταλανίζειν, μάθωμεν τίνας μὲν χρὴ μακαρίους ἡγεῖσθαι, τίνας δὲ ἀθλίους καὶ ταλαιπώρους. καὶ αἱ μὲν αἰτίαι αὗται· δεῖ δὲ αὐτὰς ἀπὸ τῶν γραφῶν πιστώσασθαι πάσας, καὶ δεῖξαι μετ' ἀκριβείας, ὡς οὐκ ἀνθρωπίνων λογισμῶν ἐπίνοια, ἀλλὰ τῶν γραφῶν ἐστιν ἀπόφασις τὰ εἰρημένα ἅπαντα. οὕτω γὰρ καὶ ὁ λόγος ἡμῶν ἀξιοπιστότερος ἔσται, καὶ μᾶλλον ἐγκαθεδεῖται ταῖς ὑμετέραις ψυχαῖς. ὅτι μὲν οὖν εἰς τὸ μετριάζειν καὶ ταπεινοφρονεῖν καὶ τὸ μὴ φυσᾶσθαι ἐκ τῶν σημείων καὶ τῶν κατορθωμάτων συμβάλλεται τοῖς ἁγίοις ἡ κάκωσις, καὶ διὰ τοῦτο συνεχώρησεν αὐτὴν ὁ Θεὸς γίνεσθαι, καὶ τοῦ προφήτου Δαβὶδ καὶ τοῦ Παύλου τὰ αὐτὰ λεγόντων ἀκούσωμεν. ἐκεῖνος μὲν γάρ φησιν· Ἀγαθόν μοι, Κύριε, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου. οὗτος δὲ εἰπών, ὅτι ἡρπάγη εἰς τρίτον οὐρανόν, καὶ εἰς τὸν παράδεισον ἀπηνέχθη, ἐπάγει λέγων· Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων, ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι. τί τούτου σαφέστερον; ἵνα μὴ ὑπεραίρωμαι, φησί, διὰ τοῦτο συνεχώρησεν ὁ Θεὸς τοὺς ἀγγέλους τοῦ Σατανᾶ κολαφίζειν με. ἀγγέλους δὲ τοῦ Σατανᾶ οὐχὶ δαίμονας λέγει τινάς, ἀλλὰ ἀνθρώπους τοὺς ὑπηρετουμένους τῷ διαβόλῳ, τοὺς ἀπίστους, τοὺς τυράννους, τοὺς Ἕλληνας, οἳ συνε-

Ψαλ. ριη΄ οα΄.

β. Κορ. ιβ΄. ζ.

χῶς αὐτὸν ἔθλιβον, καὶ συνεχῶς ἤλαυνον. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. ἠδύνατο, φησὶν, ὁ Θεὸς καταστεῖλαι τοὺς διωγμοὺς, καὶ τὰς θλίψεις τὰς ἐπαλλήλους· ἀλλ᾽ ἐπειδὴ ἡρπάγην εἰς τρίτον οὐρανὸν, καὶ ἀπηνέχθην εἰς τὸν παράδεισον· ἵνα μὴ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων [τούτων] ἐπαρθῶ καὶ μέγα φρονήσω, συνεχώρησε τοὺς διωγμοὺς τούτους, καὶ τοὺς ἀγγέλους τοῦ Σατανᾶ ἀφῆκε κολαφίζειν με διὰ τῶν διωγμῶν καὶ τῶν θλίψεων, ἵνα μὴ ὑπεραίρωμαι. εἰ γὰρ καὶ ἅγιοι καὶ θαυμαστοὶ οἱ περὶ Παῦλον καὶ Πέτρον, καὶ πάντες ὅσοι τοιοῦτοι, ὥσπερ οὖν καί εἰσιν, ἀλλ᾽ ἄνθρωποί εἰσι, καὶ δέονται πολλῆς γε τῆς ἀσφαλείας εἰς τὸ μὴ ῥᾳδίως ἐπαίρεσθαι, καὶ μάλιστα πάντων οἱ ἅγιοι. οὐδὲν γὰρ οὕτως εἰς ἀπόνοιαν αἴρειν εἴωθεν, ὡς συνειδὸς γέμον κατορθωμάτων, καὶ ψυχὴ μετὰ παρρησίας ζῶσα.

Ἱν᾽ οὖν μηδὲν τοιοῦτον πάθωσιν ἐκεῖνοι, [οὐ μόνον] τοὺς πειρασμοὺς καὶ τὰς θλίψεις συνεχώρησεν εἶναι, δυναμένας αὐτοὺς καταστέλλειν καὶ πείθειν μετριάζειν ἐν ἅπασιν, [ἀλλὰ καὶ αὐτοὺς συγχωρεῖ κακοῦσθαι συνεχῶς.] ὅτι δὲ καὶ εἰς τὸ δειχθῆναι τοῦ Θεοῦ τὴν ἰσχὺν τὰ μεγάλα τοῦτο αὐτοῖς συντελεῖ, καὶ τοῦτο ἄκουσον παρὰ τοῦ αὐτοῦ ἀποστόλου τοῦτο σαφέστερον εἰρηκότος. ἵνα γὰρ μὴ λέγῃς, ὅ, τι οἱ ἄπιστοι, τὸν Θεὸν τὸν ταῦτα συγχωροῦντα ἀσθενῆ τινα εἶναι, καὶ μὴ δυνάμενον ἐξαρπάσαι τῶν κινδύνων τοὺς ἑαυτοῦ, συγχωρεῖν αὐτοὺς κακοῦσθαι συνεχῶς, σκόπει σαφῶς, πῶς τοῦτο ἐσαφήνισεν ὁ Παῦλος δεικνὺς, ὅτι οὐ μόνον ἀσθένειαν αὐτοῦ οὐ κατηγορεῖ τὰ γινόμενα, ἀλλὰ καὶ μειζόνως αὐτοῦ τὴν δύναμιν ἐπιδείκνυσι πᾶσιν. Εἰπὼν γὰρ, ὅτι ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ, καὶ τοὺς ἐπαλλήλους διὰ τούτων δηλώσας πειρασμοὺς, ἐπήγαγεν· (α. Κορ ιϛ. η.) Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, ἵνα ἀποστῇ ἀπ᾽ ἐμοῦ. καὶ εἶπέ μοι· ἀρκεῖ σοι ἡ χάρις μου. ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. τότε μου δείκνυται ἡ δύναμις, φησὶν, ὅταν ὑμεῖς ἐν ἀσθενείᾳ ἦτε, καὶ δι᾽ ὑμῶν τῶν δοκούντων ἀσθενεῖν ὁ τοῦ κηρύγματος αὔξηται λόγος, καὶ πανταχοῦ κατασπείρηται). (Πραξ. ιϛ.) ὅτε γοῦν εἰς τὸ δεσμωτήριον μυρίας λαβὼν πληγὰς εἰσηνέχθη, τὸν δεσμοφύλακα ἔδησεν· ἐν τῷ ξύλῳ ἦσαν οἱ πόδες, ἐν τῇ ἁλύσει αἱ χεῖρες, καὶ τὸ δεσμωτήριον ἔσειεν κατὰ μέσην τὴν νύκτα ὑμνούντων αὐτῶν. ὁρᾷς πῶς ἡ δύναμις αὐτοῦ ἐν ἀσθενείᾳ ἐτελειοῦτο; εἰ ἦν λελυμένος ὁ Παῦλος, καὶ ἔσεισεν ἐκεῖνο τὸ οἴκημα, οὐκ ἦν οὕτω θαυμαστὸν τὸ γινόμενον. διὰ τοῦτό φησι· μένε δεδεμένος, καὶ σαλευέσθωσαν οἱ τοῖχοι πανταχόθεν, καὶ λυέσθωσαν οἱ δεσμῶται, ἵνα μειζόνως ἡ δύναμίς μου φαίνηται διὰ σοῦ τοῦ κατεχομένου καὶ συμπεποδισμένου, τῶν δεδεμένων λυομένων ἁπάντων. τοῦτο οὖν αὐτὸ καὶ τὸν δεσμοφύλακα ἐξέπληξε τότε· ὅτι μετὰ τοσαύτης κατεχόμενος ἀνάγκης, δι᾽ εὐχῆς μόνης ἴσχυσε μὲν τινάξαι τὰ θεμέλια, ἀναπετάσαι δὲ τὰς θύρας τοῦ δεσμωτηρίου, καὶ λῦσαι τοὺς πεπεδημένους ἅπαντας. οὐκ ἐνταῦθα δὲ μόνον, ἀλλὰ καὶ ἐπὶ Πέτρου, καὶ ἐπ᾽ αὐτοῦ τοῦ Παύλου, καὶ ἐπὶ τῶν ἄλλων δὲ ἀποστόλων ἴδοι τις ἂν συμβαῖνον τοῦτο συνεχῶς, καὶ τοῖς διωγμοῖς τὴν χάριν τοῦ Θεοῦ ἀεὶ ἐπανθοῦσαν, καὶ ταῖς θλίψεσι παραφαινομένην, καὶ οὕτω τὴν δύναμιν αὐτοῦ κηρύττουσαν. διόπερ ἔλεγεν, (β. Κορ. ιβ. θ.) Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. ὅτι δὲ καὶ μείζονα τῆς ἀνθρωπίνης φύσεως πολλοὶ πολλάκις ἔμελλον ὑποπτεύειν περὶ αὐτῶν, εἰ μὴ τοσαῦτα πάσχοντας ἑώρων, ἄκουσον πῶς αὐτὸ δέδοικεν ὁ Παῦλος. (β. Κορ. ιβ. ϛ.) Ἐὰν γὰρ καὶ θελήσω, φησὶ, καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων. Φείδομαι δὲ, μή τις εἰς ἐμὲ λογίζηται, ὑπὲρ ὃ βλέπει με, ἢ ἀκούει τι ἐξ ἐμοῦ. τί δέ ἐστιν, ὃ λέγει; ἠδυνάμην, φησὶ, πολλῷ μείζονα εἰπεῖν θαύματα, ἀλλ᾽ οὐ βούλομαι, μήποτε τὸ μέγεθος τῶν σημείων μείζονα περὶ ἐμοῦ τοῖς ἀνθρώποις ὑπόνοιαν παραστήσῃ. διὰ τοῦτο καὶ οἱ περὶ τὸν Πέτρον, ἐπειδὴ τὸν χωλὸν ὤρθωσαν, καὶ πάντες ἦσαν κεχηνότες πρὸς αὐτοὺς, καταστέλλοντες αὐτοὺς καὶ πείθοντες, ὡς οὐδὲν παρ᾽ ἑαυτῶν οὐδὲ οἴκοθεν ἐπεδείξαντο, λέγουσι· (Πραξ. γ. ιϛ.) Τί ἡμῖν ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; καὶ πάλιν ἐν Λύστροις οὐ μόνον ἦσαν ἐκπεπληγμένοι, ἀλλὰ καὶ ταύρους στεφανώσαντες ἤνεγκον, καὶ θῦσαι ἐπεχείρησαν τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ. ὅρα διαβόλου κακουργίαν. δι' ὧν ὁ Κύριος ἐσπούδαζε τὴν ἀσέβειαν ἐκκαθᾶραι τῆς οἰκουμένης, διὰ τούτων αὐτὴν ἐκεῖνος εἰσαγαγεῖν" ἔσπευδε, πάλιν πείθων ἀνθρώπους θεοὺς νομίζειν· ὃ καὶ ἐν τοῖς ἔμπροσθεν χρόνοις ἐποίησε. καὶ τοῦτο μάλιστά ἐστιν, ὃ τῆς εἰδωλολατρείας τὴν ἀρχὴν καὶ τὴν ῥίζαν εἰσήγαγε. πολλοὶ γὰρ καὶ πολέμους κατορθώσαντες, καὶ τρόπαια στήσαντες, καὶ πόλεις οἰκοδομήσαντες, καὶ ἕτερά τινα τοιαῦτα τοὺς τότε εὐεργετήσαντες, θεοὶ παρὰ τοῖς πολλοῖς ἐνομίσθησαν, καὶ ναοῖς ἐτιμήθησαν καὶ βωμοῖς, καὶ πᾶς ὁ τῶν ἑλληνικῶν θεῶν κατάλογος ἀπὸ τούτων σύγκειται τῶν ἀνθρώπων. ἵνα οὖν μὴ καὶ ἐπὶ τῶν ἁγίων τοῦτο γένηται, συνεχώρησεν αὐτοὺς ἐλαύνεσθαι συνεχῶς, μαστίζεσθαι, ἀρρωστίαις περιπίπτειν· ἵνα ἡ τῆς σωματικῆς" ἀσθενείας ὑπερβολὴ καὶ τῶν πειρασμῶν τὸ πλῆθος πείσῃ τοὺς" παρόντας τότε, ὅτι καὶ ἄνθρωποι ἦσαν οἱ τὰ τοιαῦτα θαυματουργοῦντες, καὶ οὐδὲν παρ' ἑαυτῶν εἰσέφερον *, ἀλλὰ γυμνὴ ἡ χάρις δι' ἐκείνων πάντα εἰργάζετο. εἰ γὰρ τοὺς μικρὰ καὶ εὐτελῆ πεποιηκότας θεοὺς ἐνόμισαν, πολλῷ μᾶλλον, εἰ μηδὲν ἔπασχον ἀνθρώπινον, τούτους ὑπώπτευσαν ἂν τοιαῦτα ἐργασαμένους, οἷα οὐδεὶς οὐδέποτε οὐκ εἶδεν, οὐκ ἤκουσεν. ὅπου γὰρ μαστιζομένων αὐτῶν, κρημνιζομένων, δεσμουμένων, ἐλαυνομένων, καθ' ἑκάστην κινδυνευόντων ἡμέραν, ὅμως κατέπεσόν τινες εἰς τὴν ἀσεβῆ ταύτην ὑπόνοιαν· πολλῷ μᾶλλον, εἰ μηδὲν ἔπασχον ἀνθρώπινον, τοῦτ' ἂν ὑπωπτεύθησαν.

Τρίτη μὲν οὖν ἐστιν αὕτη ἡ τῆς κακώσεως αἰτία. τετάρτη δέ, τὸ μὴ νομίζεσθαι τοὺς ἁγίους ἐπ' ἐλπίδι τῆς παρούσης" εὐπραγίας τὸν Θεὸν θεραπεύειν. καὶ γὰρ πολλοὶ τῶν ἐν ἀσελγείᾳ ζώντων, παρὰ πολλῶν ἐγκαλούμενοι πολλάκις, καὶ πρὸς τοὺς τῆς ἀρετῆς καλούμενοι πόνους, καὶ τῶν ἁγίων ἐγκωμιαζομένων ἀκούοντες ἐπὶ τῇ τῶν δεινῶν εὐψυχίᾳ, ἀπὸ τούτων διαβάλλειν αὐτοὺς ἐπιχειροῦσι. καὶ οὐκ ἄνθρωποι μόνοι, ἀλλὰ καὶ αὐτὸς ὁ διάβολος αὐτὸ τοῦτο ὑπώπτευσεν. ἐπειδὴ γὰρ πολὺν ὁ Ἰὼβ περιεβέβλητο πλοῦτον, καὶ πολλῆς ἀπήλαυσεν εὐπορίας· ὀνειδιζόμενος ὑπὸ τοῦ Θεοῦ δι' αὐτὸν ὁ πονηρὸς δαίμων ἐκεῖνος, οὐδὲν ἔχων εἰπεῖν, οὐδὲ ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπολογήσασθαι ἐγκλημάτων, οὐδὲ τὰς ἀρετὰς ἐπισκῆψαι τοῦ δικαίου, πρὸς ταύτην εὐθέως καταφεύγει τὴν ἀπολογίαν, οὕτω λέγων· Μὴ δωρεὰν Ἰὼβ σέβεταί σε; περιέφραξας τὰ ἔσω αὐτοῦ, καὶ τὰ ἔξω. ἐπὶ μισθῷ, φησίν, ἐστὶν ἐκεῖνος ἐνάρετος, τοσαύτης εὐπορίας ἀπολαύων. Ἰὼβ α. ι. " τί οὖν ὁ Θεός; βουλόμενος δεῖξαι, ὅτι οὐκ ἐπὶ μισθῷ θεραπεύουσιν αὐτὸν οἱ ἅγιοι, περιεῖλεν αὐτοῦ τὴν εὐπορίαν ἅπασαν, καὶ πενίᾳ παρέδωκε, καὶ νοσήματι" χαλεπῷ περιπεσεῖν συνεχώρησεν· εἶτα ἐλέγχων αὐτόν, ὡς εἰκῆ ταῦτα ὑποπτεύσαντα, φησὶν ὅτι Ἔτι ἔχεται ἀκακίας. σὺ δὲ εἶπας διακενῆς τὰ ὑπάρχοντα αὐτοῦ ἀπολέσαι. Ἰὼβ β. γ. τοῖς γὰρ ἁγίοις ἀρκεῖ τοῦτο εἰς ἀμοιβὴν καὶ ἀντίδοσιν, τὸ θεραπεύειν τὸν Θεόν· ἐπεὶ καὶ τῷ φιλοῦντι τοῦτο ἀρκεῖ εἰς ἀμοιβήν, τὸ φιλεῖν τὸν ἐρώμενον τὸν ἑαυτοῦ, καὶ πλέον οὐδὲν ἐπιζητεῖ, οὐδὲ ἡγεῖταί τι μεῖζον εἶναι τούτου. εἰ δὲ ἐπ'" ἀνθρώπων τοῦτο, πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ. ὅπερ οὖν καὶ ὁ Θεὸς δεῖξαι βουλόμενος, πλέον, ὧν ᾔτησεν ὁ διάβολος, ἔδωκεν. ἐκεῖνος μὲν γάρ φησιν· Ἐξαπόστειλον τὴν χεῖρά σου, καὶ ἅψαι αὐτοῦ· ὁ Θεὸς δὲ οὐχ οὕτως· ἀλλά, Σοὶ αὐτὸν παραδίδωμι, φησί. καθάπερ γὰρ ἐπὶ τῶν ἔξωθεν ἀγώνων οἱ σφριγῶντες τὰ σώματα καὶ εὐεκτοῦντες τῶν ἀθλητῶν οὐχ οὕτω φαίνονται, ἐπειδὰν τὸ διάβροχον ἐλαίῳ πάντοθεν ἱμάτιον ὦσι περιβεβλημένοι, ἀλλ' ὅταν αὐτὸ ῥίψαντες γυμνοὶ πρὸς τὰ σκάμματα ἕλκωνται, τότε μάλιστα τοὺς θεατὰς τῇ τῶν μελῶν ἀναλογίᾳ πάντοθεν ἐκπλήττουσιν, οὐδενὸς αὐτὴν ἐπισκιάσαι δυναμένου λοιπόν· οὕτω καὶ ὁ Ἰώβ· ἡνίκα μὲν ἦν τὸν πλοῦτον ἅπαντα περιβεβλημένος ἐκεῖνον, οὐκ ἦν κατάδηλος τοῖς πολλοῖς, ὅστις ἦν· ἐπειδὴ δὲ αὐτόν, καθάπερ ἱμάτιον ἀποδυσάμενος ὁ ἀθλητὴς ἔρριψε, καὶ πρὸς τοὺς τῆς εὐσεβείας ἀγῶνας γυμνὸς εἰσῆλθεν, οὕτω γυμνωθεὶς τοὺς θεατὰς ἐξέπληξεν ἅπαντας, ὡς μὴ μόνον τοὺς τότε παρόντας, ἀλλὰ καὶ αὐτὸ δὲ τῶν ἀγγέλων θέατρον ἐπὶ τῇ τῆς ψυχῆς αὐτοῦ" καρτερίᾳ μέγα" ἀνακεκραγέναι, καὶ κροτῆσαι τὸν στεφανίτην ἐκεῖνον. ὅπερ γὰρ ἔφθην εἰπὼν, οὐχ οὕτως ἐφαίνετο τοῖς ἀνθρώποις πάντα τὸν πλοῦτον περιβεβλημένος ἐκεῖνος, ὡς ὅτε, καθάπερ ἱμάτιον, ῥίψας αὐτὸν, γυμνὸς ἐδείχθη," ὥσπερ ἐν θεάτρῳ, μέσῃ τῇ οἰκουμένῃ, καὶ πάντες αὐτοῦ τὴν εὐεξίαν τῆς ψυχῆς" κατεπλάγησαν. οὐκ ἀπὸ τῆς γυμνώσεως δὲ μόνον ἐδείκνυτο, ἀλλὰ καὶ ἀπὸ τῆς πολλῆς κατὰ τὴν ἀρρωστίαν ὑπομονῆς. ὅπερ γὰρ ἔφθην εἰπὼν, οὐκ αὐτὸς αὐτὸν ἐπάταξεν ὁ Θεός, ἵνα μὴ πάλιν ὁ διάβολος λέγῃ, ὅτι ἐφείσω, καὶ [ὅτι] οὐχ ὅσον ἔδει, τοσοῦτον ἐπήγαγες πειρασμόν· ἀλλ' αὐτῷ παρέδωκε τῷ διαβόλῳ καὶ τὴν τῶν θρεμμάτων ἀπώλειαν, καὶ τὴν τῆς σαρκὸς ἐξουσίαν. θαρρῶ τῷ ἀθλητῇ, φησί· διὰ τοῦτο οὐ κωλύω προσαγαγεῖν αὐτῷ, ὅσα ἂν ἐθέλῃς παλαίσματα. ἀλλὰ καθάπερ οἱ δόκιμοι τῶν παλαιστῶν καὶ τῇ τέχνῃ καὶ τῇ ῥώμῃ τοῦ σώματος θαρρεῖν ἔχοντες, οὐκ ὀρθοὶ συμπλέκονται τοῖς ἀνταγωνισταῖς πολλάκις, οὐδὲ ἐξ ἴσης, ἀλλὰ μέσους ἑαυτοὺς παρέχουσι καταχεῖν ἐκείνοις, ὥστε λαμπροτέραν ποιήσασθαι τὴν νίκην· οὕτω καὶ ὁ Θεὸς μέσον ἔδωκε τῷ διαβόλῳ καταχεῖν τὸν ἅγιον, ἵν' ὅταν" αὐτὸν μετὰ τὴν τοσαύτην τῆς" συμβολῆς πλεονεξίαν κρατήσῃ, καὶ ἐπὶ τῆς γῆς ἐκτείνῃ, λαμπρότερος ὁ στέφανος γένηται. χρυσίον ἐστὶ δόκιμον· ὡς βούλει δοκίμασον, φησὶν, ὡς βούλει βασάνισον· οὐχ εὑρήσεις ἐν αὐτῷ κηλῖδα. οὐ τὴν ἑτέρων δὲ ἡμῖν ἀνδρείαν δείκνυσι

Ματθ. ε. ια. μόνον, ἀλλὰ καὶ ἑτέραν παραμυθίαν κομίζει πολλήν. τί γάρ φησιν ὁ Χριστός; Μακάριοί ἐστε, ὅταν ὀνειδίζωσιν ὑμᾶς, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ. χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. οὕτω γὰρ ἐποίουν καὶ τοῖς προφήταις οἱ πατέρες" αὐτῶν. καὶ πάλιν ὁ Παῦλος βουλόμενος παραμυθήσασθαι

α. Θεσ. β. ιδ. τοὺς Μακεδόνας, Ὑμεῖς γάρ, φησι, μιμηταὶ ἐγενήθητε, ἀδελφοί, τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ, ὅτι τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμ-

Ἑβρ. ια. λδ. λε. φυλετῶν, καθάπερ κἀκεῖνοι ὑπὸ τῶν Ἰουδαίων. καὶ Ἑβραίους πάλιν οὕτω παρακαλεῖ, καταλέγων τοὺς δικαίους ἅπαντας, τοὺς ἐν καμίνοις, τοὺς ἐν λάκκοις, τοὺς ἐν ἐρήμοις, τοὺς ἐν ὄρεσι, τοὺς ἐν σπηλαίοις, τοὺς ἐν" λιμῷ, τοὺς ἐν στενοχωρίᾳ διάγοντας. ἡ γὰρ κοινωνία τῶν παθῶν φέρει τινὰ παραμυθίαν τοῖς ἐμπεπτωκόσιν.

Ὅτι δὲ καὶ τοὺς περὶ ἀναστάσεως πάλιν τοῦτο εἰσάγει λόγους, ἄκουσον αὐτοῦ τοῦ Παύλου

α. Κορ. ιε. λβ. λέγοντος· Εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος, εἰ νεκροὶ οὐκ ἐγείρονται; καὶ πάλιν· Εἰ ἐν τῇ ζωῇ ταύτῃ ἐν Χριστῷ ἠλπικότες ἐσμὲν μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν. μυρία πάσχομεν δεινὰ κατὰ τὸν παρόντα βίον, φησίν. εἰ τοίνυν οὐκ ἔστιν ἑτέραν ἐλπίσαι ζωὴν, τί γένοιτ' ἂν ἡμῶν ἀθλιώτερον; ὅθεν δῆλον, ὅτι οὐ μέχρι τοῦ παρόντος ἕστηκε τὰ ἡμέτερα. καὶ τοῦτο δῆλον ἀπὸ τῶν πειρασμῶν γίνεται. οὐ γὰρ ἂν ποτε ἀνάσχοιτο ὁ Θεὸς τοὺς τοσαῦτα καὶ τηλικαῦτα πεπονθότας κακὰ, καὶ τὸν παρόντα βίον ἅπαντα ἐν πειρασμοῖς καὶ τοῖς μυρίοις διαγαγόντας κινδύνοις, μὴ πολλῷ μείζοσιν ἀμείψασθαι δωρεαῖς. εἰ δὲ οὐκ ἂν ἀνάσχοιτο, εὔδηλον, ὅτι βελτίω τινὰ καὶ λαμπροτέραν ἡτοίμασεν ἑτέραν ζωὴν, καθ' ἣν μέλλει τοὺς τῆς εὐσεβείας ἀθλητὰς στεφανοῦν καὶ ἀνακηρύττειν, τῆς οἰκουμένης ὁρώσης ἁπάσης. ὥστε ὅταν ἴδῃς δίκαιον στενοχωρούμενον, κακούμενον, ἐν ἀρρωστίᾳ καὶ πενίᾳ καὶ μυρίοις ἑτέροις δεινοῖς τὸν παρόντα βίον καταλύσαντα, εἰπὲ πρὸς ἑαυτόν· ὅτι, εἰ μὴ ἀνάστασις ἦν καὶ κρίσις, οὐκ ἂν ὁ Θεὸς τὸν τοσαῦτα δι' αὐτὸν πεπονθότα κακὰ ἀφῆκε μηδενὸς ἀπολαύσαντα ἀγαθοῦ ἀπελθεῖν ἐντεῦθεν. ὅθεν δῆλον, ὅτι ἑτέραν αὐτοῖς ἡτοίμασε ζωὴν, ἡδίω τῆς παρούσης, καὶ ἀοχλοτέραν πολλῷ. οὐ γὰρ ἂν, εἰ μὴ τοῦτο ἦν, τῶν μὲν πονηρῶν εἴασε πολλοὺς τρυφᾶν κατὰ τὸν παρόντα βίον, τῶν δὲ δικαίων πολλοὺς ἐν μυρίοις ἠφίει κακοῖς. ἀλλ' ἐπειδὴ παρεσκεύασται αἰὼν ἕτερος, ἐν ᾧ κατ' ἀξίαν ἑκάστῳ, τοῖς μὲν τῆς" πονηρίας, τοῖς δὲ τῆς" ἀρετῆς ἀποδιδόναι μέλλει, διὰ τοῦτο ἀνέχεται τὸν μὲν κακούμενον, τὸν δὲ τρυφῶντα ὁρῶν. καὶ τὴν

γρ. [illegible]
γρ. [illegible]
γρ. [illegible]
γρ. [illegible]
γρ. αὐτοῦ
γρ. συμβουλῆς
γρ. ὑμῶν
γρ. λοιμῷ
γρ. ἀρετῆς
γρ. πονη

τὴν ἑτέραν δὲ αἰτίαν ἀπὸ τῶν γραφῶν παραστῆσαι πειράσομαι. ποία δὲ αὕτη ἐστί; τὸ μὴ λέγειν ἡμᾶς εἰς τὴν αὐτὴν πολιτείαν παρακαλουμένους, ὅτι ἐκεῖνοι φύσεως ἑτέρας μετεῖχον, ἢ οὐκ ἦσαν ἄνθρωποι. διὰ τοῦτό τις περὶ τοῦ μεγάλου διαλεγόμενος Ἡλία οὕτω πως φησίν· Ἡλίας ἄνθρωπος ἦν ὁμοιοπαθὴς ἡμῖν. ὁρᾷς ὅτι ἀπὸ τῆς τῶν παθῶν κοινωνίας δείκνυσιν αὐτὸν ἄνθρωπον ὄντα καθ᾽ ἡμᾶς; καὶ πάλιν· Καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὁμοιοπαθὴς ὑμῖν. καὶ τοῦτο τὴν κοινωνίαν ἐγγυᾶται τῆς φύσεως. ἵνα δὲ μάθῃς, ὅτι καὶ μακαρίζειν ἡμᾶς, οὓς χρὴ μακαρίζειν, τοῦτο παιδεύει, δῆλον ἐκεῖθεν. ὅταν γὰρ ἀκούσῃς Παύλου λέγοντος· Ὅτι ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν, καὶ κοπιῶμεν· καὶ, Ὅτι ὃν ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται· εὔδηλον, ὅτι οὐχὶ τοὺς ἀνέσεως ἀπολαύοντας, ἀλλὰ τοὺς στενοχωρουμένους διὰ τὸν Θεὸν, τοὺς θλιβομένους τούτους ἐπαινεσόμεθα, καὶ ζηλώσομεν τοὺς ἐν ἀρετῇ ζῶντας, τοὺς εὐσεβείας ἐπιμελουμένους. οὕτω καὶ ὁ προφήτης φησίν· Ἡ δεξιὰ αὐτῶν, δεξιὰ ἀδικίας· αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι, περικεκοσμημέναι, ὡς ὁμοίωμα ναοῦ· τὰ ταμιεῖα αὐτῶν πλήρη, ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο· τὰ πρόβατα αὐτῶν πολύτοκα, πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν· οἱ βόες αὐτῶν παχεῖς· οὐκ ἔστι κατάπτωμα φραγμοῦ, οὐδὲ διέξοδος· οὐδὲ κραυγὴ ἐν ταῖς πλατείαις αὐτῶν. ἐμακάρισαν τὸν λαὸν, ᾧ ταῦτά ἐστι. σὺ δὲ τί φῄς, ὦ προφῆτα; μακάριος, φησιν, ὁ λαὸς, οὗ Κύριος ὁ Θεὸς αὐτοῦ. οὐ τὸν ἐν χρήμασι πλουτοῦντα, ἀλλὰ τὸν εὐσεβείᾳ κομῶντα, τοῦτον ἐγὼ μακαρίζω, φησὶ, κἂν μυρία πάσχῃ δεινά. εἰ δὲ χρὴ καὶ ἐννάτην αἰτίαν εἰπεῖν, ἐκεῖνο ἂν εἴποιμεν· ὅτι δοκιμωτέρους ποιεῖ τοὺς θλιβομένους ἡ θλῖψις. Ἡ γὰρ θλῖψις, φησὶν, ὑπομονὴν κατεργάζεται· ἡ δὲ ὑπομονὴ δοκιμήν· ἡ δὲ δοκιμὴ ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. ὁρᾷς ὅτι ἡ ἐκ τῆς θλίψεως δοκιμὴ τὴν περὶ τῶν μελλόντων ἡμῖν ἐλπίδα ἐντίθησι· καὶ τὸ μένειν ἐν πειρασμοῖς εὐέλπιδας ποιεῖ περὶ τῶν μελλόντων εἶναι; ὥστε οὐ μάτην ἔλεγον, ὅτι αἱ θλίψεις αὗται τὰς περὶ τῆς ἀναστάσεως ἡμῖν ἐλπίδας ὑπογράφουσι, καὶ βελτίους ἐργάζονται τοὺς βασανιζομένους. ὥσπερ γὰρ, φησιν, ἐν καμίνῳ δοκιμάζεται χρυσὸς, οὕτως ἄνθρωπος δεκτὸς ἐν καμίνῳ ταπεινώσεως. ἔστι δὲ καὶ δεκάτην αἰτίαν εἰπεῖν. ποίαν δὴ ταύτην; ἣν καὶ πολλάκις εἶπον ἤδη πρότερον, ὅτι εἴ τινας κηλῖδας ἔχομεν, καὶ ταύτας ἐνταῦθα ἀποτιθέμεθα. καὶ τοῦτο πρὸς τὸν πλούσιον ὁ πατριάρχης δηλῶν ἔλεγεν· ὅτι Λάζαρος ἀπέλαβεν αὐτοῦ τὰ κακὰ, καὶ ἐνταῦθα παρακαλεῖται. καὶ πρὸς ταύτῃ πάλιν ἑτέραν εὑρήσομεν. ποίαν δὴ ταύτην; τὸ τοὺς στεφάνους ἡμῖν καὶ τὰ βραβεῖα πλεονάζειν. ὅσῳ γὰρ αἱ θλίψεις ἐπιτείνονται, τοσούτῳ καὶ αἱ ἀμοιβαὶ αὔξονται, μᾶλλον δὲ καὶ πολλῷ πλέον. Οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ, φησι, πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.

Ἰακωβ. ε. ιζ.
Σοφ. ζ. α.
α. Κορ. δ. ια.
Ἑβρ. ιβ. ϛ.
Ψαλμ. ρμγ. ιδ.
Ῥωμ. ε. γ.
Σειρ. β. ε.
Λουκ. ιϛ. κε.
Ῥωμ. η. ιη.

Τοσαύτας τοίνυν αἰτίας ἔχοντες εἰπεῖν τῆς τῶν ἁγίων κακώσεως, μὴ δυσχεραίνωμεν ἐν τοῖς πειρασμοῖς, μηδὲ ἀπορῶμεν, μηδὲ θορυβώμεθα, μηδὲ ἀποδυρώμεθα· ἀλλὰ καὶ αὐτοὶ τὰς ἑαυτῶν παιδαγωγῶμεν ψυχὰς, καὶ ἑτέρους ταῦτα διδάσκωμεν. κἂν ἴδῃς ἄνθρωπον ἐν ἀρετῇ ζῶντα, φιλοσοφίας ἐπειλημμένον, ἀρέσκοντα Θεῷ, εἶτα μυρία πάσχοντα δεινὰ, μὴ σκανδαλισθῇς, ἀγαπητέ. κἂν ἴδῃς τινὰ πνευματικοῖς ἐπιτιθέμενον πράγμασι καὶ μέλλοντά τι χρήσιμον ἀνύειν, εἶτα ὑποσκελιζόμενον, μὴ θορυβηθῇς. καὶ γὰρ οἶδα πολλοὺς πολλάκις τοῦτο ζητοῦντας. ὁ δεῖνα, φησι, εἰς μαρτύριον ἀπεδήμησε πένησι χρήματα διακομίζων, καὶ ναυαγίῳ περιέπεσε, καὶ πάντα ἀπώλεσεν· ἕτερος πάλιν αὐτὸ τοῦτο ποιῶν, λῃσταῖς περιέτυχε, καὶ μόλις τὴν ἑαυτοῦ ψυχὴν διέσωσε, γυμνὸς ἀναχωρήσας ἐκεῖθεν. τί οὖν ἂν εἴποιμεν; ὅτι ἐπ᾽ οὐδενὶ τούτων ἀσχάλλειν χρή. εἰ γὰρ καὶ ναυαγίῳ περιέπεσεν; ἀλλ᾽ ἔχει τὸν καρπὸν τῆς ἐλεημοσύνης ἀπηρτισμένον. τὰ γὰρ ἑαυτοῦ πάντα ἐπλήρωσε:

συνέλεξε τὰ χρήματα, ἀπέθετο, λαβὼν ἀπῄει, τῆς ἀποδημίας ἥψατο· ὁ δὲ ναυάγιον λοιπὸν ὑπὸ τῆς αὐτοῦ γνώμης γέγονεν. ἀλλὰ τίνος ἕνεκεν ὁ Θεὸς τοῦτο συνεχώρησεν*; ἵνα τοῦτον ἐργάσηται "δόκιμον. ἀλλ' οἱ πένητες, φησὶν, ἀπεστερήθησαν τῶν χρημάτων. οὐχ οὕτω σὺ "προνοῇ τῶν πενήτων, ὡς ὁ ποιήσας αὐτοὺς Θεός. εἰ γὰρ καὶ τούτων ἀπεστερήθησαν, ἀλλ' ἑτέρωθεν πλείονα δύναται παρασχεῖν αὐτοῖς εὐπορίας ἀφορμήν. μὴ τοίνυν ἀπαιτῶμεν αὐτὸν εὐθύνας τῶν γινομένων, ἀλλὰ δοξάσωμεν "ἐν ἅπασιν. οὐ γὰρ ἁπλῶς οὐδὲ εἰκῆ συγχωρεῖ τὰ τοιαῦτα γίνεσθαι πολλάκις· ἀλλὰ μετὰ τοῦ μὴ "περιιδεῖν τοὺς μέλλοντας "ἀπολαύεσθαι τῆς ἐκ τῶν χρημάτων τούτων παραμυθίας," καὶ ἑτέρας αὐτοῖς [δύνασθαι] ἀντὶ τούτων παρασχεῖν ἀφορμὴν διατροφῆς· καὶ τὸν ὑπομείναντα τὸ ναυάγιον δοκιμώτερον ποιεῖ, καὶ πλείονα αὐτῷ παρέξει τὸν μισθόν. τοῦ γὰρ ἐλεημοσύνην δοῦναι τὸ τοιούτοις περιπεσόντα πράγμασιν εὐχαριστῆσαι τῷ Θεῷ πολλῷ μεῖζόν ἐστιν. οὐ γὰρ ἅπερ ἂν δι' ἐλεημοσύνην δῶμεν, ἀλλὰ καὶ ἅπερ ἂν ὑπὸ ἑτέρων ἀφαιρεθέντες ἐνέγκωμεν γενναίως, καὶ ταῦτα πολὺν ἡμῖν φέρει τὸν καρπόν. καὶ ἵνα μάθῃς ὅτι τοῦτο ἐκείνου* μεῖζόν ἐστιν, ἀπὸ τῶν συμβεβηκότων τῷ Ἰὼβ τοῦτο ποιήσω φανερόν. ἐκεῖνος ἡνίκα τὰ χρήματα ἐκέκτητο, τὴν οἰκίαν ἠνέῳξε τοῖς πένησι, τὰ ὄντα πάντα ἐξεδίδου· ἀλλ' οὐκ ἦν οὕτω λαμπρὸς, ἡνίκα τὴν οἰκίαν ἠνέῳξε τὴν ἑαυτοῦ τοῖς πένησιν, ὡς ὅτε αὐτὴν ἀκούσας καταπεσοῦσαν οὐκ ἀπεδυσπέτησεν. οὐκ ἦν οὕτω λαμπρὸς, ὅτε ἀπὸ τῆς κουρᾶς τῶν προβάτων τοὺς γυμνοὺς περιέβαλεν, ὡς ἦν λαμπρὸς καὶ εὐδόκιμος, ὅτε ἀκούσας, ὅτι πῦρ κατέπεσε, καὶ τὰ θρέμματα πάντα διώλεσεν, ηὐχαρίστησε. τότε φιλάνθρωπος ἦν, νῦν ἐγένετο φιλόσοφος· τότε ἠλέει τοὺς πένητας, νῦν δὲ εὐχαρίστει τῷ δεσπότῃ. καὶ οὐκ εἶπε πρὸς ἑαυτὸν, τί ποτε τοῦτό ἐστι; τὰ ποίμνια ἀπόλωλε, ἀφ' ὧν ἐτρέφοντο μυρίοι πένητες· καὶ εἰ ἀνάξιος ἤμην ἐγὼ ἀπολαύειν εὐπορίας, διὰ γοῦν τοὺς μετέχοντας ἔδει φείσασθαι. ἀλλ' οὐδὲν τούτων οὐκ εἶπεν, οὐκ ἐνενόησεν· ἀλλ' ᾔδει τὸν Θεὸν πρὸς τὸ συμφέρον ἅπαντα οἰκονομοῦντα. καὶ ἵνα μάθῃς, ὅτι μείζονα ὕστερον ἔδωκε τὴν πληγὴν τῷ διαβόλῳ, ὅτε ἀφαιρεθεὶς ηὐχαρίστησεν, ἢ ὅτε κεκτημένος τὸν πλοῦτον ἠλέει, σκόπει ἐντεῦθεν. ὅτε ἐκέκτητο, κἂν πλάσασθαί τι καὶ "ὑποψίαν τινὰ εἶχεν εἰπεῖν ὁ διάβολος, εἰ καὶ ψευδῆ, ἀλλ' ὅμως εἶχεν εἰπεῖν· ὅτι μὴ δωρεὰν σέβεταί σε Ἰώβ; ἐπειδὴ δὲ πάντα ἔλαβε, καὶ πάντων αὐτὸν ἐγύμνωσεν, ὁ δὲ τὴν αὐτὴν εὔνοιαν πρὸς τὸν Θεὸν διετήρησε· τότε λοιπὸν ἐνεφράγη τὸ ἀναίσχυντον στόμα, καὶ οὐδὲν οὐκ ἔτι εἶχεν εἰπεῖν. λαμπρότερος γὰρ ἀπὸ τῶν προτέρων ὁ δίκαιος ἦν. τοῦ γὰρ ἐν πλούτῳ ζῶντα ποιεῖν ἐλεημοσύνην, τὸ πάντα ἀφαρπαγέντα γενναίως ἐνεγκεῖν καὶ μετ' εὐχαριστίας, πολλῷ μεῖζόν ἐστι, καθάπερ [οὖν] ἐπὶ τούτου "δέδεικται τοῦ δικαίου. τότε πολλὴ ἡ φιλοφροσύνη πρὸς τοὺς συνδούλους ἦν, νῦν μέγα τὸ φίλτρον πρὸς τὸν δεσπότην ἐδείκνυτο. τοῦτον δὲ οὐχ ἁπλῶς ἐκτείνω τὸν λόγον, ἀλλ' ἐπειδὴ πολλοὶ πολλάκις ἐλεημοσύνας ποιοῦντες, χήρας διατρέφοντες, τὴν οὐσίαν διηρπάσθησαν ἅπασαν· ἕτεροι [δὲ] "γενομένου τινὸς ἐμπρησμοῦ πάντα ἀπώλεσαν· ἄλλοι ναυαγίοις περιέπεσον· ἄλλοι συκοφαντίαις καὶ τοιαύταις τισὶν ἐπηρείαις μετὰ πολλὰς ἐλεημοσύνας εἰς πενίαν κατηνέχθησαν ἐσχάτην, καὶ ἀρρωστίαν καὶ νόσον, καὶ παρ' οὐδενὸς οὐδεμιᾶς ἀπήλαυσαν βοηθείας.

Ἵν' οὖν μὴ λέγωμεν, ὃ πολλοὶ πολλάκις λέγουσιν, οὐδεὶς οὐδὲν οἶδεν, ἱκανὰ τὰ εἰρημένα ἅπαντα τὸν τοιοῦτον θόρυβον ἐκβαλεῖν. ὁ δεῖνα τοσαύτας ἐλεημοσύνας ποιῶν, φησὶ, πάντα ἀπώλεσε. καὶ τί τοῦτο, ὅτι πάντα ἀπώλεσεν; ἂν γὰρ ὑπὲρ τῆς ἀπωλείας εὐχαριστήσῃ ταύτης, πολλῷ μείζονα παρὰ Θεοῦ ἐπισπάσεται τὴν εὔνοιαν, καὶ οὐ διπλασίονα, καθάπερ ὁ Ἰὼβ, ἀλλ' ἑκατονταπλασίονα ἀπολήψεται "κατὰ τὴν μέλλουσαν ζωήν. εἰ δὲ ἐνταῦθα πάσχει κακῶς, αὐτὸ δὴ τοῦτο μείζονα αὐτῷ παρέξει τὸν ἐκεῖ θησαυρὸν, τὸ φέρειν γενναίως ἅπαντα. ἐπὶ γὰρ πλείονα αὐτὸν καλῶν σκάμματα καὶ παλαίσματα μείζονα, ἀπὸ τῆς εὐπορίας

εἰς πενίαν ἀφῆκεν ἐμπεσεῖν ὁ Θεός. πῦρ ἐπελθὸν πολλάκις κατηνάλωσέ σου τὴν οἰκίαν, καὶ τὴν οὐσίαν ἐδαπάνησεν ἅπασαν. ἀναμνήσθητι τῶν τῷ Ἰὼβ συμβεβηκότων· εὐχαρίστησον τῷ δεσπότῃ τῷ δυναμένῳ κωλῦσαι καὶ μὴ κωλύσαντι, καὶ τοσοῦτον λήψῃ μισθὸν, ὅσον εἰ πάντα ἐκεῖνα εἰς τὰς τῶν πενήτων ἀπέθου χεῖρας. ἀλλ' ἐν πενίᾳ διάγεις καὶ λιμῷ καὶ μυρίοις κινδύνοις. ἀναμνήσθητι τοῦ Λαζάρου τοῦ καὶ νόσῳ, καὶ πενίᾳ, καὶ ἐρημίᾳ, καὶ μυρίοις τοιούτοις ἑτέροις πυκτεύοντος, καὶ ταῦτα μετὰ ἀρετῆς τοσαύτης. ἀναμνήσθητι τῶν ἀποστόλων, οἳ καὶ ἐν λιμῷ καὶ δίψῃ καὶ γυμνότητι διῆγον· τῶν προφητῶν, τῶν πατριαρχῶν, τῶν δικαίων· καὶ πάντας εὑρήσεις ἐκείνους οὐ τῶν πλουτούντων, οὐδὲ τῶν τρυφώντων, ἀλλὰ τῶν πενομένων, τῶν θλιβομένων καὶ στενοχωρουμένων ὄντας. ταῦτα παρὰ σεαυτῷ συλλέγων εὐχαρίστησον τῷ δεσπότῃ, ὅτι σε τῆς μοίρας ταύτης ἐποίησεν, οὐχὶ μισῶν, ἀλλὰ καὶ σφόδρα φιλῶν. ἐπεὶ κἀκείνους οὐχὶ μισῶν ἠφίει τοσαῦτα πάσχειν δεινὰ, ἀλλ' ἐπειδὴ σφόδρα ἐφίλει, λαμπροτέρους αὐτοὺς διὰ τῶν κακῶν τούτων εἰργάζετο. οὐδὲν εὐχαριστίας ἴσον ἀγαθὸν, ὥσπερ οὖν βλασφημίας χεῖρον οὐδέν. μὴ θαυμάσωμεν, ὅτι πνευματικοῖς ἐπιτιθέμενοι πράγμασι πολλὰ πάσχομεν δεινά. ὥσπερ γὰρ οἱ λῃσταὶ, οὐκ ἔνθα χόρτος καὶ ἄχυρα καὶ καλάμη, ἀλλ' ἔνθα χρυσίον καὶ ἀργύριον, ἐκεῖ διορύττουσι, καὶ συνεχῶς ἀγρυπνοῦσιν· οὕτω καὶ ὁ διάβολος τούτοις μάλιστα ἐπιτίθεται τοῖς πνευματικῶν ἁπτομένοις πραγμάτων. ἐκεῖ πολλαὶ αἱ ἐπιβουλαὶ, ἔνθα ἀρετή· ἐκεῖ φθόνος, ἔνθα ἐλεημοσύνη. ἀλλ' ἔστιν ἡμῖν ἓν ὅπλον μέγιστον, ὃ πάσας ἱκανὸν τὰς τοιαύτας μηχανὰς ἀποκρούσασθαι, τὸ διὰ πάντων τούτων εὐχαριστεῖν τῷ Θεῷ. ὁ Ἄβελ, εἰπέ μοι, οὐχὶ τῶν πρωτείων τῷ Θεῷ ἀπαρξάμενος ὑπὸ τῆς ἀδελφικῆς ἔπεσε χειρός; ἀλλ' ὅμως ὁ Θεὸς συνεχώρησεν, οὐχὶ μισῶν τὸν τιμήσαντα, ἀλλὰ καὶ σφόδρα φιλῶν, καὶ πρὸς τῷ τῆς καλλίστης ἐκείνης θυσίας στεφάνῳ καὶ ἕτερον αὐτῷ τὸν ἀπὸ τοῦ μαρτυρίου παρέχων στέφανον. ὁ Μωϋσῆς ἠθέλησεν ἀδικουμένῳ βοηθῆσαί τινι, καὶ περὶ τῶν ἐσχάτων ἐκινδύνευσε, καὶ τῆς πατρίδος ἐξέπεσε. καὶ ὁ Θεὸς συνεχώρησεν, ἵνα μάθῃς τῶν ἁγίων τὴν ὑπομονήν. εἰ γὰρ προειδότες, ὡς οὐδὲν πεισόμενοι δεινὸν, οὕτως ἡπτόμεθα τῶν πνευματικῶν πραγμάτων, οὐδὲν μέγα ἂν ἐδόξαμεν ποιεῖν, ἐνέχυρον τῆς ἀσφαλείας ἔχοντες τοιοῦτον· νυνὶ δὲ ἐντεῦθεν μάλιστα ἂν εἶεν θαυμαστοὶ οἱ τὰ τοιαῦτα πράττοντες, ὅτι καὶ κινδύνους καὶ ζημίας καὶ θανάτους καὶ μυρία κακὰ προορώμενοι, ὅμως τῶν τοιούτων οὐκ ἀφίσταντο κατορθωμάτων, οὐδὲ ὀκνηρότεροι ἐγίνοντο ταῖς τῶν φόβων προσδοκίαις. καθάπερ οὖν οἱ τρεῖς παῖδες ἔλεγον· Ἔστι Θεὸς ἐν οὐρανῷ δυνατὸς ἐξελέσθαι ἡμᾶς· καὶ ἐὰν μὴ, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν. καὶ σὺ τοίνυν ὅταν μέλλῃς τί ποτε ἐργάζεσθαι τῶν κατὰ Θεὸν, πολλοὺς προσδόκα κινδύνους, πολλὰς ζημίας, πολλοὺς θανάτους· καὶ μὴ ξενίζου, μηδὲ θορυβοῦ συμβαινόντων τούτων. Τέκνον γὰρ, φησὶν, εἰ προσέρχῃ δουλεύειν τῷ Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν. οὐδεὶς * πυκτεύειν αἱρούμενος χωρὶς τραυμάτων προσδοκᾷ στέφανον ἀναδήσασθαι· καὶ σὺ τοίνυν, ἀγαπητὲ, πρὸς τὸν διάβολον παγκρατιάζειν καταδεξάμενος, μὴ τὸν ἀκίνδυνον καὶ τρυφῆς γέμοντα δίωκε βίον. οὐ γὰρ ἐνταῦθά σοι τὰς ἀμοιβὰς καὶ τὰς ὑποσχέσεις, ἀλλ' εἰς τὸν μέλλοντα αἰῶνα ἅπαντα ὑπέσχετο ὁ Θεὸς τὰ λαμπρά. ὅταν οὖν ἢ αὐτός τι ποιήσας ἀγαθὸν τὰ ἐναντία ἀπολάβῃς, ἢ ἕτερον τοῦτο πάσχοντα ἴδῃς, εὐφραίνου καὶ χαῖρε. μείζονος γὰρ ἀμοιβῆς ὑπόθεσις τὸ πρᾶγμά σοι γίνεται. * μὴ καταπέσῃς, μηδὲ καταλύσῃς τὴν προθυμίαν, μηδὲ ὀκνηρότερος γένῃ· ἀλλὰ μᾶλλον ἐπιτίθεσο μετὰ πλείονος τῆς προθυμίας. ἐπεὶ καὶ οἱ ἀπόστολοι, ἡνίκα ἐκήρυττον, μαστιζόμενοι, λιθαζόμενοι, δεσμωτήρια συνεχῶς οἰκοῦντες, οὐ μόνον μετὰ τὴν τῶν κινδύνων ἀπαλλαγὴν, ἀλλὰ καὶ ἐν αὐτοῖς τοῖς κινδύνοις μετὰ μείζονος τῆς προθυμίας τὸ τῆς ἀληθείας κατήγγελον κήρυγμα. καὶ ἔστιν ἰδεῖν Παῦλον ἐν αὐτῷ τῷ δεσμωτηρίῳ, ἐν αὐταῖς ταῖς ἁ-

Δαν. γ. ιη.

Σειρ. β. α.

λύσεσι κατηχοῦντα, μυσταγωγοῦντα, καὶ ἐν δικαστηρίῳ πάλιν τὸ αὐτὸ τοῦτο ποιοῦντα, καὶ ἐν ναυαγίῳ, καὶ ἐν χειμῶνι καὶ ἐν μυρίοις κινδύνοις. τούτους καὶ σὺ τοίνυν, ἀγαπητέ, ζήλωσον τοὺς ἁγίους, καὶ τῶν ἀγαθῶν ἔργων ἀντέχου, ἕως ἂν ἐμπνέῃς. κἂν μυριάκις ἴδῃς διακόπτοντά σε τὸν διάβολον, μηδέποτε ἀποστῇς. σὺ μὲν γὰρ χρήματα διακομίζων [ἴσως] ναυαγίῳ περιέπεσες· ὁ δὲ Παῦλος, ὃ πάντων χρημάτων τιμιώτερον ἦν, τὸν λόγον βαστάζων εἰς τὴν Ῥώμην ἀπῄει, καὶ ναυαγίῳ περιέπεσε, καὶ μυρία ὑπέστη δεινά. καὶ τοῦτο αὐτὸς ἐδήλωσεν εἰπών· α. Θεσ β. ιη. Ὅτι πολλάκις ἠθελήσαμεν ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐνέκοψεν ἡμᾶς ὁ Σατανᾶς. καὶ ὁ Θεὸς συνεχώρησεν, ἐκ περιουσίας τὴν ἑαυτοῦ δύναμιν δηλῶν, καὶ δεικνὺς ὅτι καὶ μυρία ποιοῦντος τοῦ διαβόλου καὶ κωλύοντος, οὐδὲν ταύτῃ τὰ τοῦ κηρύγματος ἠλαττοῦτο καὶ διεκόπτετο. διὰ τοῦτο ἐν ἅπασιν ὁ Παῦλος ηὐχαρίστει τῷ Θεῷ, εἰδὼς ὅτι δοκιμώτερον αὐτὸν διὰ τούτων εἰργάζετο· καὶ τῆς προθυμίας αὐτοῦ τὸ σφοδρὸν ἐν ἅπασιν ἐδείκνυεν, οὐδενὶ τούτων τῶν κωλυμάτων ἐγκοπτόμενος. ὁσάκις τοίνυν ἂν ἀποτύχωμεν, τοσαυτάκις ἀπτώμεθα τῶν πνευματικῶν ἔργων· καὶ μὴ λέγωμεν, τίνος ἕνεκεν συνεχώρησεν ὁ Θεὸς τὰ κωλύματα; διὰ γὰρ τοῦτο συνεχώρησεν, ἵνα σου τὴν προθυμίαν τοῖς πολλοῖς δείξῃ μᾶλλον, καὶ τὸ πολὺ φίλτρον τὸ περὶ αὐτόν. φιλοῦντος γὰρ μάλιστα τοῦτό ἐστι, τὸ μηδέποτε ἀφίστασθαι τῶν τῷ φιλουμένῳ δοκούντων. ὁ μὲν γὰρ χαῦνος καὶ ῥάθυμος ἐκ πρώτης εὐθέως ἀναπεσεῖται τῆς προσβολῆς· ὁ δὲ σφοδρὸς καὶ διεγηγερμένος, κἂν μυριάκις ἐγκόπτηται, τοσούτῳ μειζόνως ἐπιθήσεται τοῖς κατὰ Θεὸν πράγμασι, τὰ παρ' ἑαυτοῦ πάντα πληρῶν, καὶ ἐν πᾶσιν εὐχαριστῶν. τοῦτο δὴ καὶ ἡμεῖς ποιῶμεν. μέγας θησαυρὸς ἡ εὐχαριστία, μέγας πλοῦτος, ἀνάλωτον ἀγαθὸν, ὅπλον ἰσχυρόν· ὥσπερ οὖν βλασφημία τὴν οὖσαν ἐπιτείνει ζημίαν, καὶ ὧν ἀπωλέσαμεν, πλείονα προσαπολέσαι ποιεῖ. ἀπώλεσας χρήματα· ἂν μὲν εὐχαριστήσῃς, ἐκέρδανας τὴν ψυχὴν, καὶ μείζονα ἐκτήσω τὸν πλοῦτον, τοῦ Θεοῦ πλείω τὴν εὔνοιαν ἐπισπασάμενος· ἂν δὲ βλασφημήσῃς, προσαπώλεσας καὶ τὴν σωτηρίαν τὴν σεαυτοῦ, καὶ οὐδὲ ἐκεῖνα ἀνεκτήσω, καὶ ταύτην κατέθυσας.

Ἀλλ' ἐπειδὴ περὶ βλασφημίας ἡμῖν ὁ λόγος ἐγένετο νῦν, μίαν ὑμᾶς ἅπαντας αἰτῆσαι βούλομαι χάριν ἀντὶ τῆς δημηγορίας ταύτης καὶ τῆς διαλέξεως, ἵνα μοι τοὺς ἐν τῇ πόλει βλασφημοῦντας σωφρονίσητε. κἂν ἀκούσῃς τινὸς ἐν ἀμφόδῳ, ἢ ἐν ἀγορᾷ μέσῃ βλασφημοῦντος τὸν Θεὸν, πρόσελθε, ἐπιτίμησον· κἂν πληγὰς ἐπιθεῖναι δέῃ, μὴ παραιτήσῃ. ῥάπισον αὐτοῦ τὴν ὄψιν, σύντριψον αὐτοῦ τὸ στόμα, ἁγίασόν σου τὴν χεῖρα διὰ τῆς πληγῆς. κἂν ἐγκαλῶσί τινες, κἂν εἰς δικαστήριον ἕλκωσιν, ἀκολούθησον· κἂν ἐπὶ τοῦ βήματος εὐθύνας ὁ δικαστὴς ἀπαιτήσῃ, εἰπὲ μετὰ παρρησίας· ὅτι [εἰς] τὸν βασιλέα τῶν ἀγγέλων ἐβλασφήμησεν. εἰ γὰρ τὸν ἐπὶ γῆς βασιλέα τοὺς βλασφημοῦντας κολάζεσθαι χρὴ, πολλῷ μᾶλλον τοὺς ἐκεῖνον ὑβρίζοντας. κοινόν ἐστι τὸ ἔγκλημα, δημόσιον τὸ ἀδίκημα· ἔξεστιν ἑκάστῳ τῶν βουλομένων κατηγορεῖν. μανθανέτωσαν καὶ Ἰουδαῖοι καὶ Ἕλληνες, ὅτι σωτῆρές εἰσι τῆς πόλεως οἱ χριστιανοὶ, καὶ κηδεμόνες, καὶ προστάται, καὶ διδάσκαλοι. καὶ μανθανέτωσαν τοῦτο αὐτὸ οἱ ἀκόλαστοι καὶ διεστραμμένοι, ὅτι καὶ τοὺς τοῦ Θεοῦ δούλους αὐτοὺς φοβεῖσθαι χρή· ἵνα κἂν ἕλωνταί ποτε φθέγξασθαί τι τοιοῦτον, ἀλλήλους πανταχοῦ περιβλέπωνται, καὶ τὰς σκιὰς τρέμωσιν, ἀγωνιῶντες μή που χριστιανὸς ἀκούσας ἐπιπηδήσῃ, καὶ κολάσῃ σφοδρότερον. οὐκ ἤκουσας τί Ἰωάννης ἐποίησε; τύραννον εἶδε γάμων ἀνατρέποντα νόμους, καὶ μετὰ παρρησίας ἐν μέσῳ Μαρκ. ϛ. ιη. τῆς ἀγορᾶς φησιν, Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου. ἐγὼ δέ σε οὐκ ἐπὶ τύραννον ἤγαγον, οὐδὲ ἐπὶ δικαστὴν, οὐδ' ὑπὲρ γάμων παρανομουμένων, οὐδὲ ὑπὲρ συνδούλων ὑβριζομένων· ἀλλ' ὑπὲρ τῆς εἰς τὸν δεσπότην παροινίας τὸν ὁμόδουλον ἀξιῶ σωφρονίζειν. ἆρά γε, εἰ ἔλεγόν σοι, ὅτι τοὺς βασιλεῖς ἢ τοὺς δικαστὰς παρανομοῦντας κόλαζε καὶ διόρθου, οὐκ ἂν με μαίνεσθαι ἔφης; καίτοι γε Ἰωάννης τοῦτο ἐποίησεν· οὕτως οὐδὲ τούτου μεῖζον ἡμῖν. νυνὶ δὲ κἂν τὸν ὁμόδουλον, κἂν τὸν ὁμότιμον διορθώσῃ, κἂν ἀποθανεῖν δέῃ, σωφρονίζειν τὸν ἀδελφὸν μὴ ἀποκνήσῃς. μαρτύριόν σοι τοῦτό ἐστιν· ἐπεὶ καὶ Ἰωάννης μάρτυς ἦν. καίτοιγε οὐχὶ θῦσαι ἐκελεύσθη, οὐδὲ προσκυνῆσαι εἰδώλῳ· ἀλλ' ὑπὲρ τῶν ἱερῶν νόμων ὑβριζομένων τὴν κεφαλὴν ἀπέθετο. καὶ σὺ τοίνυν ἀγώνισαι μέχρι θανάτου ὑπὲρ τῆς ἀληθείας, καὶ Κύριος πολεμήσει ὑπὲρ σοῦ. καὶ μή μοι λέγε τὸ ψυχρὸν τοῦτο ῥῆμα· τί δέ μοι μέλει; οὐδὲν ἔχω κοινὸν πρὸς αὐτόν. πρὸς τὸν διάβολον οὐδὲν ἔχομεν κοινὸν μόνον· πρὸς δὲ τοὺς ἀνθρώπους ἅπαντας πολλὰ ἔχομεν κοινά. τῆς φύσεως ἡμῖν τῆς αὐτῆς μετέχουσι, τὴν αὐτὴν γῆν οἰκοῦσι, καὶ ταῖς αὐταῖς τρέφονται τροφαῖς, τὸν αὐτὸν ἔχουσι δεσπότην, τοὺς αὐτοὺς ἐδέξαντο νόμους, ἐπὶ τὰ αὐτὰ ἡμῖν παρακαλοῦνται ἀγαθά. μὴ τοίνυν λέγωμεν, ὡς οὐδὲν ἡμῖν κοινὸν πρὸς αὐτούς. Σατανικὴ γὰρ αὕτη ἡ φωνή, διαβολικὴ ἡ ἀπανθρωπία. μὴ τοίνυν ταῦτα λέγωμεν, ἀλλὰ τὴν πρέπουσαν ἀδελφοῖς κηδεμονίαν ἐπιδειξώμεθα. ἐγὼ δὲ τοῦτο μετὰ πάσης ὑπισχνοῦμαι τῆς ἀκριβείας, καὶ ἐγγυῶμαι πᾶσιν ὑμῖν, ὅτι εἰ ὑμεῖς βουληθείητε πάντες οἱ παρόντες ἐνταῦθα διανείμασθαι τὴν σωτηρίαν τῶν τὴν πόλιν οἰκούντων, ταχέως ἡμῖν ἅπασα διορθοῦται. καίτοιγε τὸ ἐλάχιστον μέρος τῆς πόλεως ἐνταῦθά ἐστιν, ἐλάχιστον κατὰ τὸ πλῆθος, τὸ δὲ κεφάλαιον κατὰ τὴν εὐσέβειαν. διανειμώμεθα τοίνυν τὴν τῶν ἀδελφῶν ἡμῶν σωτηρίαν. ἀρκεῖ* εἷς ἄνθρωπος ζήλῳ πεπυρωμένος ὁλόκληρον διορθώσασθαι δῆμον. ὅταν δὲ μὴ εἷς, μηδὲ δύο καὶ τρεῖς, ἀλλὰ τοσοῦτον ᾖ τὸ πλῆθος τὸ δυνάμενον τῆς τῶν ἠμελημένων διορθώσεως ἅψασθαι· οὐδαμόθεν ἑτέρωθεν, ἀλλὰ παρὰ τὴν ἡμετέραν ῥαθυμίαν, οὐ παρὰ τὴν ἀσθένειαν οἱ πλείους ἀπόλλυνται καὶ καταπίπτουσι. πῶς γὰρ οὐκ ἄτοπον, εἰ μὲν μάχην ἴδοιμεν ἐπὶ τῆς ἀγορᾶς, προσιέναι καὶ καταλλάττειν τοὺς μαχομένους; καὶ τί λέγω μάχην; εἰ καταπεσόντα ἴδωμεν ὄνον, πάντες χεῖρα ὀρέγειν καὶ συνδιανιστᾶν σπεύδομεν· τῶν δὲ ἀδελφῶν ἀπολλυμένων, ἀμελεῖν; ὄνος ἐστὶν ὁ βλάσφημος, καὶ θυμοῦ φορτίον οὐκ ἐνεγκὼν κατέπεσε. πρόσελθε καὶ διανάστησον, καὶ διὰ ῥημάτων, καὶ διὰ πραγμάτων, καὶ δι' ἐπιεικείας, καὶ διὰ σφοδρότητος· ποικίλον ἔστω τὸ φάρμακον. ἂν οὕτω τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν, καὶ τῆς τῶν πλησίον ἀντιλαμβανώμεθα σωτηρίας· ταχέως κἀκείνοις αὐτοῖς τοῖς τῆς διορθώσεως ἀπολαύουσι ποθεινοὶ ἐσόμεθα καὶ ἐπέραστοι, καὶ, ὃ πάντων μεῖζόν ἐστι, τῶν ἀποκειμένων ἀπολαύσομεν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΟΜΟΙΩΣ ΛΕΧΘΕΙΣΑ ΕΝ ΤΗ ΠΑΛΑΙΑ ΕΚκλησίᾳ, ὄντος αὐτοῦ πρεσβυτέρου, περὶ τῆς συμβάσης συμφορᾶς ἐν τῇ πόλει Ἀντιοχείᾳ, ἐπὶ τῇ ἀταξίᾳ τῆς καταστροφῆς τῶν ἀνδριάντων Θεοδοσίου τοῦ βασιλέως, καὶ εἰς τὸ ῥητὸν τοῦ ἀποστόλου· Τοῖς πλουσίοις παράγγελλε ἐν τῷ νῦν αἰῶνι μὴ ὑψηλοφρονεῖν, καὶ κατὰ πλεονεξίας.

α. τιμ. ϛ. ιζ.

ΤΙ εἴπω, καὶ τί λαλήσω; δακρύων ὁ παρὼν καιρός, οὐχὶ ῥημάτων· θρήνων, οὐ λόγων· εὐχῆς, οὐ δημηγορίας. τοιοῦτον τῶν τετολμημένων τὸ μέγεθος· οὕτως ἀνίατον τὸ ἕλκος· οὕτω μέγα τὸ τραῦμα, καὶ πάσης ἰατρείας μεῖζον, καὶ τῆς ἄνωθεν δεόμενον βοηθείας. ὅτε μὲν οὖν ὁ Ἰὼβ πάντα ἀποβαλὼν ἐπὶ τῆς κοπρίας ἐκάθητο, ἀκούσαντες οἱ φίλοι παρεγένοντο· καὶ ἰδόντες αὐτὸν πόρρωθεν, τὰ ἱμάτια * διέρρηξαν, καὶ σποδὸν κατεπάσαντο, καὶ μέγα ἀνῴμωξαν. νῦν δὲ τοῦτο τὰς πόλεις ἁπάσας τὰς κύκλῳ ποιῆσαι ἐχρῆν, καὶ πρὸς τὴν πόλιν τὴν ἡμετέραν ἐλθεῖν, καὶ θρηνῆσαι τὰ γεγενημένα μετὰ συμπα-

Ἰὼβ β. ιγ.

θείας ἁπάσης. ἐκεῖνος ἐπὶ τῆς κοπρίας ἐκάθητο τότε· αὕτη ἐν μεγάλῃ παγίδι κάθηται νῦν. καθάπερ "γὰρ τότε ὁ διάβολος εἰς τὰ ποίμνια καὶ τὰ βουκόλια καὶ πᾶσαν ὠρχήσατο τοῦ δικαίου τὴν οἰκίαν, οὕτω νῦν εἰς τὴν πόλιν ἅπασαν ἐβάκχευσεν. ἀλλ' ὁ Θεὸς καὶ τότε καὶ νῦν συνεχώρησε· τότε μὲν, ἵνα τὸν δίκαιον λαμπρότερον ποιήσῃ τῷ μεγέθει τῶν πειρασμῶν· νῦν δὲ, ἵνα ἡμᾶς σωφρονεστέρους ἐργάσηται τῇ τῆς θλίψεως ταύτης ὑπερβολῇ. δότε μοι θρηνῆσαι τὰ παρόντα. ἐσιγήσαμεν ἡμέρας ἑπτὰ, καθάπερ οἱ φίλοι τοῦ Ἰώβ· δότε μοι διᾶραι στόμα σήμερον, καὶ τὴν κοινὴν ταύτην ὀδύρασθαι συμφοράν. τίς "ἡμῖν ἐβάσκηνεν, ἀγαπητοί; τίς ἡμῖν ἐφθόνησε; πόθεν ἡ τοσαύτη γέγονε μεταβολή; οὐδὲν τῆς πόλεως τῆς ἡμετέρας σεμνότερον ἦν, οὐδὲν γέγονεν ἐλεεινότερον νῦν. δῆμος εὔτακτος οὕτω καὶ ἥμερος, καὶ καθάπερ ἵππος χειροήθης καὶ πιθασὸς, ἀεὶ ταῖς τῶν ἀρχόντων εἴκων χερσὶν, ἐξαίφνης τοσοῦτον ἡμῖν ἀπεσκίρτησε νῦν, ὡς τοσαῦτα ἐργάσασθαι κακὰ, ἃ μηδὲ θέμις εἰπεῖν. ὀδύρομαι καὶ θρηνῶ νῦν, οὐ διὰ τὸ μέγεθος τῆς προσδοκωμένης ἀπειλῆς, ἀλλὰ διὰ τὴν ὑπερβολὴν τῆς γεγενημένης μανίας. εἰ γὰρ μὴ παροξυνθείη βασιλεὺς, μηδὲ ὀργισθείη, μηδὲ κολάσειε καὶ τιμωρήσαιτο, πῶς οἴσομεν, εἰπέ μοι, τὴν αἰσχύνην τὴν ἀπὸ τῶν γεγενημένων; διακόπτεταί μοι τῆς διδασκαλίας ὁ λόγος τῷ θρήνῳ· μόλις ἰσχύω διᾶραι στόμα, καὶ διανοῖξαι χείλη, καὶ κινῆσαι γλῶτταν, καὶ ῥήματα προέσθαι. οὕτω, καθάπερ χαλινὸς, ὁ τῆς ἀθυμίας ὄγκος ἀποστρέφει μοι τὴν γλῶτταν, καὶ τῶν ῥημάτων ἐπιλαμβάνεται. οὐδὲν τῆς πόλεως τῆς ἡμετέρας πρότερον μακαριώτερον ἦν.* οὐδὲν ἀτερπέστερον γέγονε νῦν. καθάπερ μέλιτται "κηρίον βομβοῦσαι, οὕτω τὴν ἀγορὰν περιΐπταντο καθ' ἑκάστην ἡμέραν οἱ τὴν πόλιν οἰκοῦντες, καὶ πάντες ἡμᾶς ἐπὶ τῷ πλήθει τούτῳ πρότερον ἐμακάριζον· ἀλλ' ἰδοὺ νῦν τὸ κηρίον τοῦτο γέγονεν ἔρημον. καθάπερ γὰρ τὰς μελίττας ἐκείνας καπνὸς, οὕτω τὰς μελίττας ταύτας φόβος ἀπήλασε. μᾶλλον δὲ καὶ ὃ περὶ τῆς Ἱερουσαλὴμ θρηνῶν ὁ προφήτης ἔλεγε, τοῦτο καὶ ἡμεῖς εἰς καιρὸν ἐροῦμεν νῦν· Ἐγενήθη ἡ πόλις ἡμῖν ὡς τερέβινθος ἀποβεβληκυῖα τὰ φύλλα, καὶ ὡς παράδεισος ὕδωρ μὴ ἔχων. καθάπερ γὰρ παράδεισος, τῆς ἀρδείας ἐπιλειπούσης, ἔρημα τῶν φύλλων, γυμνὰ τῶν καρπῶν τὰ δένδρα δείκνυσιν, οὕτω δὴ καὶ ἡ πόλις ἡμῖν γέγονε νῦν. τῆς γὰρ ἄνωθεν βοηθείας ἐγκαταλιπούσης αὐτὴν, ἕστηκεν ἔρημος, γυμνὴ τῶν οἰκητόρων γενομένη σχεδὸν ἁπάντων. οὐδὲν πατρίδος γλυκύτερον· ἀλλ' οὐδὲν πικρότερον γέγονε νῦν. πάντες τὴν ἐνεγκοῦσαν ὥσπερ παγίδα φεύγουσιν, ὥσπερ βάραθρον "ἀπολιμπάνουσιν, ὥσπερ πυρὰν ἀποπηδῶσι. καὶ καθάπερ οἰκίας ἀναπτομένης οὐχ οἱ τὴν οἰκίαν οἰκοῦντες μόνον, ἀλλὰ καὶ πάντες οἱ πλησίον μετὰ πολλῆς ἀποπηδῶσι τῆς σπουδῆς, γυμνὸν τὸ σῶμα διασῶσαι σπουδάζοντες, οὕτω δὴ καὶ νῦν· τῆς βασιλικῆς ὀργῆς, καθάπερ "πυρός τινος, ἄνωθεν ἥξειν προσδοκωμένης, πρὶν ἐπ' αὐτοῦ ὁδῷ βαδίζον ἐλθεῖν τὸ πῦρ, ἕκαστος ἐπείγεται προεξελθεῖν, καὶ γυμνὸν διασῶσαι τὸ σῶμα. καὶ γέγονεν ἡμῖν αἴνιγμα νῦν ἡ συμφορά· χωρὶς πολεμίων φυγὴ, χωρὶς μάχης μετανάστασις, χωρὶς ἁλώσεως αἰχμαλωσία. οὐκ εἴδομεν βαρβαρικὸν πῦρ, οὐ πολεμίων ὄψιν ἐθεασάμεθα, καὶ τὰ τῶν ἑαλωκότων πάσχομεν. πάντες νῦν τὰς ἡμετέρας μανθάνουσι συμφοράς. τοὺς γὰρ ἡμετέρους ὑποδεχόμενοι φυγάδας, παρ' ἐκείνων τὴν τῆς πόλεως μανθάνουσι πληγήν.

Ἀλλ' οὐκ αἰσχύνομαι ἐπὶ τούτῳ, οὐδὲ ἐρυθριῶ. μανθανέτωσαν ἅπαντες τὰ τῆς πόλεως πάθη, ἵνα συναλγήσαντες τῇ μητρὶ, κοινὴν ἀπὸ τῆς γῆς ἁπάσης ἀνενέγκωσι τῷ Θεῷ φωνὴν, καὶ ὁμοθυμαδὸν τὴν κοινὴν ἁπάντων μητέρα καὶ τροφὸν παρὰ τοῦ τῶν οὐρανῶν ἐξαιτήσωνται βασιλέως. ἐσείσθη "πρῴην ἡμῖν ἡ πόλις, ἀλλὰ νῦν αὐταὶ σαλεύονται τῶν "οἰκούντων αἱ ψυχαί. τότε ἐσείετο τὰ θεμέλια τῶν οἰκημάτων, νῦν δὲ αὐτὰ δονεῖται τὰ θεμέλια τῆς ἑκάστου καρδίας· καὶ καθ' ἑκάστην ἡμέραν πρὸ τῶν ὀφθαλμῶν τὸν θάνατον ἅπαντες βλέπομεν, καὶ φόβῳ συζῶμεν διηνεκεῖ, καὶ τὴν τοῦ Κάϊν ὑπομένομεν τιμωρίαν, ἐλεεινότεροι τῶν

Ησ. α λ.

γ. δ

χ. ἥμῶν

* ἢ

γ. κηρ

γ. ἐγκαλ

γ. πυρ

γ. πρῴην

γ. οἰκητ

ποτε τὸ δεσμωτήριον οἰκούντων διακείμενοι, καὶ πολιορκίαν πολιορκούμενοι ξένην τινὰ καὶ ″καινήν, καὶ πολλῷ τῆς νενομισμένης δεινοτέραν. Οἱ μὲν γὰρ ὑπὸ τῶν πολεμίων τοῦτο πάσχοντες, ″εἴσω τειχῶν ἀποκλείονται μόνον· ἡμῖν δὲ καὶ ἡ ἀγορὰ ἄβατος γέγονε, καὶ τοῖς τοίχοις ἕκαστος τῆς οἰκίας ″ἐναποκέκλεισται τῆς ἑαυτοῦ. καὶ καθάπερ ἐκείνοις πολιορκουμένοις οὐκ ἀσφαλὲς ὑπερβῆναι τὸ τεῖχος, τῶν πολεμίων ἔξω ″περικαθημένων· οὕτως οὐδὲ πολλοῖς τῶν τὴν πόλιν οἰκούντων ἀσφαλὲς ἐξελθεῖν, οὐδὲ ἐν τῷ μέσῳ φανῆναι, διὰ τοὺς πανταχόθεν θηρεύοντας ἀναιτίους καὶ αἰτίους, καὶ ἐκ μέσης ἁρπάζοντας τῆς ἀγορᾶς, καὶ πρὸς τὸ δικαστήριον ἁπλῶς καὶ ὡς ἔτυχεν ἕλκοντας. διὰ τοῦτο ἐλεύθεροι μετὰ τῶν οἰκετῶν τῶν ἑαυτῶν ἔνδον συμπεποδισμένοι κάθηνται, τίς συνελήφθη; τίς ἀπήχθη; τίς ἐκολάσθη σήμερον; πῶς καὶ τίνι τρόπῳ; μεριμνῶντες καὶ περιεργαζόμενοι, παρ' ὧν ταῦτα δυνατὸν ἀσφαλῶς μανθάνειν· καὶ θανάτου παντὸς ἐλεεινότερον ζῶσι βίον, τάς τε ἀλλοτρίας ὀδύρεσθαι συμφορὰς ἀναγκαζόμενοι καθ' ἡμέραν, καὶ ὑπὲρ τῆς ἑαυτῶν τρέμοντες σωτηρίας, καὶ νεκρῶν οὐδὲν ἄμεινον διακείμενοι τῷ πάλαι τεθνάναι τῷ δέει. Εἰ δέ τις καὶ τοῦ φόβου τούτου καὶ τῆς ἀγωνίας ἐκτὸς ὢν ἐθελήσειεν εἰς ἀγορὰν ″ἐμβάλλειν, ὑπὸ τῆς ὄψεως τῆς ἀτερποῦς εὐθέως εἰς τὴν οἰκίαν εἰσελαύνεται τὴν ἑαυτοῦ, ἕνα που καὶ δύο μόλις ὁρῶν συγκεκυφότας καὶ μετὰ πολλῆς βαδίζοντας τῆς κατηφείας, ἔνθα πρὸ ὀλίγων ἡμερῶν ποταμῶν ῥεύματα τὸ πλῆθος ἀπέκρυπτεν. ἀλλὰ νῦν ἀπηλάθησαν ἡμῖν πάντες ἐκεῖνοι· καὶ καθάπερ δρυμοῦ συμφύτου, πολλῶν ″πολλαχόθεν ἐκκοπέντων δένδρων, ἀτερπὴς ἡ ὄψις γίνεται, ἢ καθάπερ κεφαλῆς φαλακρώματα ἐχούσης πολλά· οὕτω δὴ καὶ τὸ τῆς πόλεως ἔδαφος, τῶν ἀνθρώπων ἐλαττωθέντων, καὶ ὀλίγων σποράδην φαινομένων, ἀτερπὲς γέγονε νῦν, καὶ πολλὴν τῶν ὁρώντων καταχέει τῆς ἀθυμίας τὴν ἀχλύν. οὐ τὸ ἔδαφος δὲ μόνον, ἀλλὰ καὶ αὐτὴ τοῦ ἀέρος ἡ φύσις, καὶ αὐτὸς τῶν ἡλιακῶν ἀκτίνων ὁ κύκλος στυγνάζειν μοι δοκεῖ νῦν, καὶ ἀμαυρότερος φαίνεσθαι· οὐ τῶν στοιχείων τὴν φύσιν ″μεταβαλλόντων, ἀλλὰ τῶν ἡμετέρων ὀφθαλμῶν τῷ ἐπιθολοῦσθαι τῆς ἀθυμίας τῷ νέφει μὴ δυναμένων καθαρῶς, μηδὲ μετὰ τῆς αὐτῆς διαθέσεως τὸ παρὰ τῶν ἀκτίνων δέχεσθαι φῶς. τοῦτό ἐστιν, ὃ πάλαι ὁ προφήτης ἐθρήνει λέγων· Δύσεται αὐτοῖς ὁ ἥλιος μεσημβρίας, καὶ συσκοτάσει ἡ ἡμέρα. τοῦτο δὲ ἔλεγεν, οὐχ ὡς τοῦ ἄστρου κρυπτομένου, οὐδὲ ὡς τῆς ἡμέρας ἀφανιζομένης, ἀλλ' ὡς τῶν ἀθυμούντων μηδὲ ἐν μεσημβρίᾳ δυναμένων ὁρᾷν τὸ φῶς διὰ τὸν ἀπὸ τῆς ὀδύνης ζόφον· ὃ δὴ καὶ νῦν γέγονε. καὶ ὅπουπερ ἂν ἴδῃ τις, κἂν εἰς τὸ ἔδαφος, κἂν εἰς τοὺς τοίχους, κἂν εἰς τοὺς κίονας τῆς πόλεως, κἂν εἰς τοὺς πλησίον, νύκτα ὁρᾷν δοκεῖ καὶ ζόφον βαθύν· οὕτω πάντα πολλῆς γέμει τῆς κατηφείας· σιγὴ πανταχοῦ φρίκης γέμουσα, καὶ ἐρημία, καὶ ὁ ποθεινὸς ἐκεῖνος τοῦ πλήθους ἔσβεσται θόρυβος. καὶ καθάπερ ἁπάντων εἰς τὴν γῆν καταδύντων, οὕτως ἀφωνία τὴν πόλιν ″κατέχει νῦν, καὶ τοῖς λίθοις ἐοίκασιν ἅπαντες, καὶ ὥσπερ τινὶ γλωττοπέδῃ τῇ συμφορᾷ κατεχόμενοι, ″βαθυτάτην παρέχουσιν ἡσυχίαν, καὶ τοσαύτην, ὅσηνπερ ἂν εἰ πολεμίων ἐπελθόντων, καὶ πάντας ὁμοῦ πυρὶ καὶ σιδήρῳ δαπανησάντων ἐγένετο. εὔκαιρον νῦν εἰπεῖν, Ἀποστείλατε πρὸς τὰς θρηνούσας, καὶ ἐλθέτωσαν· καὶ πρὸς τὰς σοφάς, καὶ φθεγξάσθωσαν· ῥεέτωσαν οἱ ὀφθαλμοὶ ὑμῶν ὕδωρ, καὶ τὰ βλέφαρα ὑμῶν καταγέτω δάκρυα. Οἱ βουνοὶ λάβετε κοπετόν, καὶ τὰ ὄρη θρῆνον. καλέσωμεν τὴν κτίσιν ἅπασαν εἰς συμπάθειαν τῶν ἡμετέρων κακῶν. πόλις οὕτω μεγάλη, καὶ τῶν ὑπὸ τὴν ἕω κειμένων ἡ κεφαλὴ ἐκ μέσης ἀναρπασθῆναι κινδυνεύει τῆς οἰκουμένης. νῦν ἡ πολύπαις, ἄπαις ἐξαίφνης γεγένηται, καὶ ὁ βοηθήσων οὐδείς. οὐ γάρ ἐστιν ὁ ὑβρισθεὶς ὁμότιμόν τινα ἔχων ἐπὶ τῆς γῆς. βασιλεὺς γὰρ κορυφὴ καὶ κεφαλὴ τῶν ἐπὶ τῆς γῆς ἐστιν ἁπάντων*. διὰ τοῦτο δὴ πρὸς τὸν ἄνω καταφύγωμεν βασιλέα· ἐκεῖνον καλέσωμεν εἰς βοήθειαν. ἂν μὴ τῆς ἄνωθεν ἀπολαύσωμεν εὐνοίας, οὐδεμία λείπεται τοῖς γεγενημένοις παραμυθία.

Ἀμὼς η θ.

Ἱερ. θ. ιζ.

Ἐβουλόμην ἐνταῦθα καταλῦσαι τὸν λόγον· οὐ γὰρ ἐθέλουσι τῶν ὀδυνωμένων αἱ ψυχαὶ μακροὺς ἀποτείνειν λόγους. ἀλλ' ὥσπερ νεφέλη τις πυκνὴ γινομένη, καὶ τὴν ἡλιακὴν ἀκτῖνα ὑποδραμοῦσα, ἀποστρέφει τὴν αὐγὴν πᾶσαν εἰς τοὐπίσω· οὕτω δὴ καὶ ἀθυμίας νέφος, ἐπειδὰν στῇ περὶ τῆς ψυχῆς τῆς ἡμετέρας, οὐκ ἀφίησιν εὔκολον γενέσθαι τὴν τοῦ λόγου διάβασιν, ἀλλ' ἀποπνίγει καὶ συνέχει μετὰ πολλῆς τῆς ἀνάγκης ἔνδον αὐτόν. καὶ τοῦτο οὐκ ἐπὶ τῶν λεγόντων, ἀλλὰ καὶ ἐπὶ τῶν ἀκουόντων γίνεται. ὥσπερ γὰρ ἀπὸ τῆς τοῦ λέγοντος ψυχῆς οὐκ ἀφίησιν αὐτὸν ἐκπηδῆσαι μετ' εὐκολίας, οὕτως οὐδὲ εἰς τὴν τῶν ἀκουόντων διάνοιαν ἐμπεσεῖν συγχωρεῖ μετὰ τῆς οἰκείας δυνάμεως. διὰ τοῦτο καὶ Ἰουδαῖοί ποτε τῷ πηλῷ καὶ τῇ πλινθείᾳ ταλαιπωρούμενοι, τοῦ Μωϋσέως πολλάκις μεγάλα περὶ τῆς αὐτῶν λέγοντος σωτηρίας ἀκούειν οὐκ ἠνείχοντο, τῆς ἀθυμίας ἄβατον ποιούσης τῷ λόγῳ τὴν διάνοιαν, καὶ τὴν ἀκοὴν ἐμφραττούσης. ἐβουλόμην μὲν οὖν καὶ αὐτὸς ἐνταῦθα καταλῦσαι τὰ εἰρημένα· ἀλλ' ἐννοήσας, ὅτι οὐκ ἀντιφράττει μόνον νεφέλης φύσις τὴν εἰς τὸ πρόσω φορὰν τῆς ἀκτῖνος, ἀλλὰ καὶ τοὐναντίον" αὐτὴ πάσχει πολλάκις (ἐπειδὰν γὰρ ὁ ἥλιος θερμότερος προσπεσὼν συνεχῶς τρίβῃ τὸ νέφος, μέσον τε αὐτὸ διέρρηξε πολλάκις, καὶ ἀθρόον ἐκλάμψας φαιδρὸς ταῖς τῶν ὁρώντων προσέπεσεν ὄψεσι) τοῦτο καὶ αὐτὸς προσδοκῶ ποιήσειν τήμερον· καὶ τοῦ λόγου συνεχῶς ὁμιλοῦντος ὑμῶν ταῖς ψυχαῖς καὶ ἐπὶ πλεῖον ἐνδιατρίβοντος, ῥαγήσεσθαι τῆς ἀθυμίας ἐλπίζω τὸ νέφος, καὶ καταλάμψειν ὑμῶν τὴν διάνοιαν τῇ εἰωθυίᾳ πάλιν διδασκαλίᾳ. ἀλλ' ἐπίδοτέ μοι τὴν ψυχὴν τὴν ὑμετέραν· ἐπίδοτέ μοι τὴν ἀκοήν· μικρὸν ἀποτινάξασθε τὴν ἀθυμίαν, ἐπὶ τὸ πρότερον ἦθος ἐπανέλθωμεν, καὶ ὥσπερ εἰώθαμεν ἀεὶ μετ' εὐθυμίας ἐνταῦθα παραγίνεσθαι, οὕτω καὶ νῦν ποιῶμεν, τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίψαντες. τοῦτο καὶ πρὸς αὐτὴν ἡμῖν τῆς συμφορᾶς συμβαλεῖται τὴν λύσιν. ἂν γὰρ ἴδῃ μετὰ ἀκριβείας ἀκροωμένους τῶν αὐτοῦ λόγων, καὶ τὴν φιλοσοφίαν ἡμῶν οὐκ ἐλεγχομένην τῇ τοῦ καιροῦ δυσκολίᾳ, ταχέως ἀντιλήψεται καὶ ποιήσει" τινὰ γαλήνην καὶ μεταβολὴν ἀγαθὴν ἀπὸ τοῦ παρόντος χειμῶνος. τὸν γὰρ χριστιανὸν καὶ ἐν τούτῳ τῶν ἀπίστων διαφέρειν χρή, ἐν τῷ φέρειν γενναίως ἅπαντα, καὶ τῇ τῶν μελλόντων ἐλπίδι πτερούμενον, ἀνώτερον εἶναι τῆς τῶν ἀνθρωπίνων κακῶν προσβολῆς. ἐπὶ τῆς πέτρας ἕστηκεν ὁ πιστός. διὰ τοῦτο ταῖς τῶν κυμάτων ἀχείρωτός ἐστι" προσβολαῖς. κἂν γὰρ ἐπαρθῇ τὰ κύματα τῶν πειρασμῶν, οὐκ ἐφικνεῖται τῶν ἐκείνου ποδῶν. οὕτως ὑψηλότερος ἁπάσης [τῆς] τοιαύτης ἕστηκεν ἐπιβουλῆς. μὴ τοίνυν καταπέσωμεν, ἀγαπητοί. οὐχ οὕτως ἡμεῖς φροντίζομεν τῆς ἡμετέρας σωτηρίας, ὡς ὁ ποιήσας ἡμᾶς Θεός· οὐχ οὕτως ἡμῖν μέλει τοῦ μηδὲν παθεῖν δεινόν, ὡς τῷ τὴν ψυχὴν ἡμῖν χαρισαμένῳ, καὶ τοσαῦτα δόντι μετὰ ταῦτα ἀγαθά. ταύταις ἑαυτοὺς πτερώσωμεν ταῖς ἐλπίσι, καὶ τῶν μελλόντων ῥηθήσεσθαι μετὰ τῆς εἰωθυίας ἀκούσωμεν προθυμίας. μακρὰν πρώην ἀπέτεινα πρὸς τὴν ὑμετέραν ἀγάπην δημηγορίαν, καὶ πάντας εἶδον παρακολουθοῦντας, καὶ οὐδένα ἐκ μέσης ὑποστρέψαντα τῆς ὁδοῦ. χάριν ὑμῖν* τῆς προθυμίας* ἔχω, καὶ τὸν μισθὸν ἀπείληφα τῶν πόνων. ἀλλὰ καὶ ἕτερον μετ' ἐκείνου μισθὸν ὑμᾶς ἤτησα τότε. τάχα ἴστε καὶ μέμνησθε. τίς δὲ ἦν ὁ μισθός; τοὺς βλασφήμους τοὺς κατὰ τὴν πόλιν κολάζειν καὶ σωφρονίζειν, τοὺς εἰς τὸν Θεὸν ὑβρίζοντας καὶ" παροινοῦντας κατέχειν. οὐκ οἴομαι ταῦτα ἀπ' ἐμαυτοῦ τότε εἰρηκέναι, ἀλλὰ τοῦ Θεοῦ τὰ μέλλοντα προειδότος, εἰς τὴν διάνοιαν τὴν ἡμετέραν ἐμβεβληκέναι τὰ ῥήματα. εἰ γὰρ τοὺς τὰ τοιαῦτα τολμῶντας ἐκολάζομεν, οὐκ ἂν ταῦτα ἐξέβη νῦν, ἅπερ ἐξέβη. πόσῳ βέλτιον ἦν, εἰ καὶ κινδυνεῦσαι ἔδει," σωφρονίζοντας αὐτοὺς καὶ" παιδεύοντας παθεῖν τι (ὃ καὶ μαρτυρίου στέφανον ἡμῖν ἐκόμιζεν) ἢ νῦν δεδοικέναι καὶ τρέμειν καὶ θάνατον ἐκ τῆς ἐκείνων προσδοκᾶν ἀταξίας; ἰδοὺ τὸ ἁμάρτημα γέγονεν ὀλίγων, καὶ τὸ ἔγκλημα γέγονε κοινόν. ἰδοὺ δι' ἐκείνους ἅπαντες δεδοίκαμεν νῦν, καὶ τῶν ἐκείνοις τετολμημένων αὐτοὶ τὰς τιμωρίας ἀναμένομεν. εἰ δὲ προλαβόντες αὐτοὺς ἐξεβάλομεν τῆς πόλεως, καὶ ἐσωφρονίσαμεν, καὶ τὸ νενοσηκὸς διωρθώσαμεν μέλος, οὐκ ἂν τὸν παρόντα ἐφοβούμεθα φόβον. οἶδα ὅτι τῆς πόλεως τὸ ἦθος "ἐλευθέριον ἄνωθεν· ξένοι δέ τινες καὶ μιγάδες ἄνθρωποι, μιαροὶ καὶ ὀλέθριοι, καὶ τῆς ἑαυτῶν ἀπεγνωκότες σωτηρίας ἐτόλμησαν, ἅπερ ἐτόλμησαν. διὰ ταῦτα βοῶν ἀεὶ καὶ διαμαρτυρόμενος οὐ διέλιπον· κολάσωμεν τῶν βλασφημούντων τὴν μανίαν, σωφρονίσωμεν αὐτῶν τὴν διάνοιαν, προνοήσωμεν αὐτῶν τῆς σωτηρίας. κἂν ἀποθανεῖν δέῃ τοῦτο ποιοῦντας, μέγα ἡμῖν οἴσει τὸ πρᾶγμα κέρδος. μὴ περιίδωμεν τὸν κοινὸν ὑβριζόμενον δεσπότην. μέγα τι τέξεται τῇ πόλει κακὸν, τὸ τὰ τοιαῦτα περιορᾶν. ταῦτα προὔλεγον· ταῦτα ἐξέβη νῦν, καὶ τῆς ῥᾳθυμίας ἐκείνης τίνομεν δίκας. τὸν Θεὸν ὑβριζόμενον περιεῖδες· ἰδοὺ συνεχώρησεν ὑβρισθῆναι βασιλέα*, καὶ τὸν περὶ τῶν ἐσχάτων ἐπικρεμασθῆναι πᾶσι κίνδυνον, ἵν' ἐν τῷ φόβῳ τούτῳ τῆς ῥᾳθυμίας ἐκείνης δώσωμεν δίκην. ἆρα μὴ μάτην" καὶ εἰκῇ ταῦτα προὔλεγον καὶ συνεχῶς ἠνώχλουν τῇ ὑμετέρᾳ ἀγάπῃ; ἀλλ' ὅμως οὐδὲν γέγονε πλέον. ἀλλὰ γενέσθω νῦν, καὶ ἀπὸ τῆς παρούσης σωφρονισθέντες συμφορᾶς ἐπίσχωμεν τὴν ἄτακτον ἐκείνων μανίαν, ἐμφράξωμεν αὐτῶν τὰ στόματα, καθάπερ πηγὰς θανατηφόρους ἀποκλείσωμεν, καὶ πρὸς τὸ ἐναντίον μεταβάλωμεν, καὶ πάντως στήσεται "τὰ κατειληφότα τὴν πόλιν κακά. οὐκ ἔστι θέατρον ἡ ἐκκλησία, ἵνα πρὸς τέρψιν ἀκούωμεν. ὠφεληθέντας ἐντεῦθεν ἀπιέναι χρή." κερδαίνοντάς τι πλέον" καὶ μέγα οὕτως ἀναχωρεῖν δεῖ. ἐπεὶ μάτην καὶ εἰκῇ παραγινόμεθα, εἰ πρὸς καιρὸν ψυχαγωγηθέντες οὕτως ἀναχωροίημεν, ἔρημοι καὶ κενοὶ τῆς ἀπὸ τῶν λεγομένων ὠφελείας γινόμενοι. τί μοι τῶν κρότων ὄφελος τούτων; τί δὲ τῶν ἐπαίνων καὶ τῶν θορύβων; ἔπαινος ἐμός, τὸ διὰ τῶν ἔργων ὑμᾶς ἐπιδεῖξαι τὰ λεγόμενα "πάντα. τότε ἐγὼ ζηλωτὸς καὶ μακάριος, οὐχ ὅταν ἀποδέχησθε, ἀλλ' ὅταν μετὰ προθυμίας ποιῆτε ἁπάσης, ἅπερ ἂν ἀκούσητε παρ' ἡμῶν. ἕκαστος τὸν πλησίον διορθούσθω. Οἰκοδομεῖτε γὰρ εἷς τὸν ἕνα, φησίν. ἂν γὰρ μὴ τοῦτο ποιῶμεν, ἡ παρ' ἑκάστου γινομένη πλημμέλεια κοινήν τινα καὶ ἀφόρητον οἴσει τῇ πόλει βλάβην. ἰδοὺ μηδὲν συνειδότες τοῖς γεγενημένοις, τῶν τετολμηκότων οὐκ ἔλαττον δεδοίκαμεν, καὶ φρίττομεν, μὴ πάντας ὁ τοῦ βασιλέως καταλάβοι θυμός. καὶ οὐκ ἀρκεῖ εἰς ἀπολογίαν ἡμῖν, τὸ λέγειν· οὐ παρήμην, οὐ συνῄδειν, οὐκ ἐκοινώνησα τῶν γεγενημένων· δι' αὐτὸ μὲν οὖν τοῦτο κολάζου, φησί, καὶ δίδου δίκην τὴν ἐσχάτην, ὅτι μὴ παρῆς, μηδὲ ἐκώλυες, μηδὲ τοὺς ἀκοσμοῦντας κατεῖχες, μηδὲ ἐκινδύνευες ὑπὲρ τῆς εἰς τὸν βασιλέα τιμῆς. οὐ μετέσχες τῶν τετολμημένων· ἐπαινῶ τοῦτο καὶ ἀποδέχομαι. ἀλλ' οὐδὲ ἐπέσχες τὰ γινόμενα. τοῦτο κατηγορίας ἄξιον. ταῦτα καὶ παρὰ τοῦ Θεοῦ τὰ ῥήματα ἀκουσόμεθα, ὅταν σιγῇ φέρωμεν τὰς εἰς αὐτὸν ὕβρεις καὶ" παροινίας γινομένας. ἐπεὶ καὶ ὁ τὸ τάλαντον ἐκεῖνο καταχώσας, οὐχ ὑπὲρ τῶν καθ' αὑτὸν ἐνεκαλεῖτο τότε (ὁλόκληρον γὰρ τὴν παρακαταθήκην ἀπέδωκεν) ἀλλ' ὅτι αὐτὴν οὐκ ἐπλεόνασεν, ὅτι ἑτέρους οὐκ ἐπαίδευσεν, ὅτι τὸ ἀργύριον" ἐπὶ τοὺς τραπεζίτας οὐ κατέβαλε· τουτέστιν, οὐ παρῄνεσεν, οὐ συνεβούλευσεν, οὐκ ἐπετίμησεν, οὐ διώρθωσε τοὺς πλησίον ἀκοσμοῦντας τῶν πονηρῶν. διὰ τοῦτο χωρὶς συγγνώμης ἁπάσης εἰς τὰς ἀφορήτους ἐπέμπετο κολάσεις ἐκείνας. ἀλλ' ὅτι μὲν, εἰ καὶ μὴ πρότερον, νῦν γοῦν ταύτην ἐργάσασθε τὴν διόρθωσιν, καὶ τὸν Θεὸν ὑβριζόμενον οὐ περιόψεσθε, σφόδρα πεπίστευκα. ἱκανὰ γὰρ τὰ συμβεβηκότα, εἰ καὶ μηδεὶς ὁ παραινῶν ἦν, καὶ τοὺς σφόδρα ἀναισθήτως διακειμένους πεῖσαι λοιπὸν τῆς οἰκείας "ἀντιλαβέσθαι σωτηρίας.

Ἡμῖν δὲ ὥρα λοιπὸν τὴν εἰωθυῖαν ὑμῖν ἀπὸ τοῦ Παύλου παραθεῖναι τράπεζαν, τὴν σήμερον ἀναγνωσθεῖσαν ῥῆσιν προχειρισαμένοις, καὶ εἰς μέσον καταθεμένοις ἅπασι. τί ποτ' οὖν ἐστι τὸ σήμερον ἀναγνωσθέν; Τοῖς δὲ πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν. Εἰπὼν, τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι, ἔδειξε καὶ ἑτέρους ὄντας πλουσίους, τοὺς τοῦ μέλλοντος αἰῶνος, οἷος ἐκεῖνος ὁ Λάζαρος ἦν, κατὰ μὲν τὸν παρόντα βίον πένης, κατὰ δὲ τὸν μέλλοντα

α. Θεσ. ε. ια.

α. Τιμ. ς. ιζ.

τα πλούσιος, οὐ χρυσοῦ καὶ ἀργύρου, καὶ τοιαύτῃ τινὶ φθαρτῇ καὶ ἐπικήρῳ πλούτων ὕλῃ, ἀλλὰ τοῖς ἀπορρήτοις * ἐκείνοις ἀγαθοῖς, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη. τοῦτο γὰρ ἀληθῶς πλοῦτος καὶ εὐπορία, ὅταν καὶ ἀκήρατα ᾖ τὰ καλά, καὶ μηδεμίαν δέχηται μεταβολήν. ἀλλ' οὐχ ὁ " περιιδὼν αὐτὸν πλούσιος τοιοῦτος, ἀλλ' ἁπάντων πενέστερος ἐγένετο μετὰ ταῦτα. σταγόνος γοῦν ἀξιώσας ἐπιτυχεῖν, οὐδὲ ταύτης ἐγένετο κύριος. οὕτω πρὸς ἐσχάτην ἐληλάκει πενίαν. διὰ τοῦτο πλουσίους τοῦ παρόντος αἰῶνος ἐκάλεσεν, ἵνα μάθῃς, ὅτι μετὰ τῆς παρούσης ζωῆς καὶ ἡ εὐπορία συγκαταλύεται, οὐ πρόεισι περαιτέρω, οὐδὲ συμμεθίσταται ἀποδημοῦσι τοῖς ἔχουσιν, ἀλλὰ πολλάκις αὐτοὺς καὶ πρὸ τῆς τελευτῆς ἐγκατέλιπεν.. ὅπερ οὖν καὶ αὐτὸ δηλῶν ἔλεγε, Μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι. οὐδὲν γὰρ οὕτως ἄπιστον, ὡς ὁ πλοῦτος, ὃ πολλάκις εἶπον, καὶ λέγων οὐ παύσομαι, ὅτι δραπέτης ἀγνώμων ἐστὶν οἰκέτης πίστιν οὐκ ἔχων. κἂν μυρίας αὐτῷ περιβάλῃς πέδας, " αὐτὸς καὶ τὰς πέδας αὐτὰς ἐπισυρόμενος ἄπεισι. πολλάκις γοῦν μοχλοῖς καὶ θύραις ἀπέκλεισαν αὐτὸν οἱ κεκτημένοι, οἰκέτας περιστήσαντες φύλακας· ὁ δὲ τοὺς οἰκέτας αὐτοὺς ἀναπείσας μεθ' αὐτῶν ἀπέδρα τῶν φυλαττόντων, καθάπερ ἁλύσει τοὺς " τηροῦντας ἐπισυρόμενος, καὶ πλέον οὐδὲν ἀπὸ τῆς φυλακῆς ἐγένετο ταύτης. τί τούτου γένοιτ' ἂν ἀπιστότερον; τί δὲ τῶν περὶ αὐτὸν ἐσπουδακότων ἐλεεινότερον; ὅταν πρᾶγμα οὕτω σαθρὸν καὶ εὐμετάπτωτον πάσῃ σπουδῇ συλλέγειν ἐπιχειρῶσι. καὶ μὴ ἀκούωσι τοῦ προφήτου λέγοντος· Οὐαὶ οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι. εἰπέ, τίνος ἕνεκεν οὐαί; Θησαυρίζει, φησί, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά· ὅτι ὁ μὲν πόνος δῆλος, ἡ δὲ ἀπόλαυσις ἄδηλος. πολλάκις ἐχθροῖς κάμνεις καὶ ταλαιπωρεῖς, πολλάκις μετὰ τὴν σὴν τελευτὴν εἰς τοὺς ἠδικηκότας καὶ μυρία ἐπιβουλεύσαντας ὁ κλῆρος ἐλθών, σοὶ μὲν τὰ ἁμαρτήματα, τὴν δὲ ἀπόλαυσιν παρέχει ἑτέροις. ἀλλ' ἄξιον ἐκεῖνο ἐξετάσαι, τίνος ἕνεκεν οὐκ εἶπε, τοῖς δὲ πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ πλουτεῖν, παράγγελλε πένεσθαι, παράγγελλε τὰ ὄντα κενοῦν· ἀλλά, παράγγελλε μὴ ὑψηλοφρονεῖν. οἶδεν * ὅτι τοῦ πλούτου ῥίζα καὶ ὑπόθεσίς ἐστιν ἡ ἀπόνοια. κἂν εἰδῇ τις μετριάζειν, οὐ πολλὴν περὶ τὸ πρᾶγμα ποιήσεται σπουδήν. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, τοὺς πολλοὺς οἰκέτας περιάγεις; τοὺς παρασίτους; τοὺς κόλακας; τὴν ἄλλην ἅπασαν φαντασίαν; οὐ χρείας ἕνεκεν, ἀλλ' ἀπονοίας μόνης, ἵν' ἀπὸ τούτων σεμνότερος τῶν ἄλλων ἀνθρώπων εἶναι δοκῇς. ἄλλως δὲ οἶδεν οὐ κεκωλυμένον τὸν πλοῦτον, ἐάν τις αὐτῷ εἰς δέον κεχρημένος ᾖ. ὥσπερ γὰρ εἶπον, οὐ κακὸν ὁ οἶνος, ἀλλὰ κακὸν ἡ μέθη· οὕτως οὐ κακὸν ὁ πλοῦτος, ἀλλὰ κακὸν ἡ πλεονεξία, κακὸν ἡ φιλαργυρία. ἕτερον * φιλάργυρος, καὶ ἕτερον πλούσιος. ὁ φιλάργυρος οὐκ ἔστι πλούσιος· ὁ φιλάργυρος πολλῶν δεῖται· ὁ δὲ πολλῶν δεόμενος, οὐκ ἂν εὔπορος εἴη ποτέ. ὁ φιλάργυρος φύλαξ, οὐ δεσπότης ἐστὶ τῶν χρημάτων· δοῦλος, οὐ κύριος. εὐκολώτερον γὰρ τῶν αὐτοῦ σαρκῶν μεταδοίη τινί, ἢ τοῦ κατορωρυγμένου χρυσίου. καὶ καθάπερ τινὸς ἐπιτάττοντος καὶ κελεύοντος μηδενὸς ἅψασθαι τῶν ἀποκειμένων, οὕτω μετὰ πάσης ἀκριβείας " πάντα τηρεῖ καὶ κατέχει, καθάπερ ἀλλοτρίων, ἀπεχόμενος τῶν " ἰδίων. καὶ γάρ ἐστιν οὕτως ἀλλότρια. ἃ γὰρ εἰς ἑτέρους ἐκβαλεῖν οὐκ ἂν ἕλοιτο, οὐδὲ τοῖς δεομένοις διανεῖμαι, κἂν μυρίας ὑποστῇ τιμωρίας, πῶς ἂν " δύναιτο ταῦτα ἴδια νομίζειν εἶναι; πῶς δὲ ἔχει τὴν κτῆσιν, ὧν τὴν χρῆσιν οὐκ ἔχει μετὰ ἀδείας, οὐδὲ τὴν ἀπόλαυσιν; πρὸς δὲ τούτοις, οὐ πᾶσι πάντα ἐπιτάττειν ὁ Παῦλος εἴωθεν, ἀλλὰ καὶ τῇ τῶν ἀκουόντων ἀσθενείᾳ συγκαταβαίνει, καθάπερ οὖν καὶ ὁ Χριστὸς ἐποίησε. καὶ γὰρ ἐκείνῳ τῷ πλουσίῳ προσελθόντι, καὶ περὶ τῆς ζωῆς αὐτῷ διαλεγομένῳ οὐκ εἶπεν, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, ἀλλὰ ἀφεὶς τοῦτο, περὶ ἑτέρων αὐτῷ ἐντολῶν διελέγετο. εἶτα ἐπειδὴ ἐκεῖνος αὐτὸν " προσεκαλέσατο λέγων, Τί ἔτι μοι λείπει; οὐδὲ τότε ἁπλῶς εἶπε, πώλησόν σου τὰ ὑπάρχοντα, ἀλλ', Εἰ θέλεις

Ψαλ. μη. ι.

Ματθ. ιθ. κα.

τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα. ἐπὶ τῇ σῇ τίθημι γνώμῃ, σὲ κύριον ποιῶ τῆς "αἱρέσεως· οὐκ εἰς ἀνάγκην ἄγω. διὰ τοῦτο καὶ Παῦλος οὐδὲ περὶ "πενίας τοῖς πλουτοῦσι διελέχθη, ἀλλὰ περὶ ταπεινοφροσύνης, διά τε τὴν ἀσθένειαν τῶν ἀκουόντων, καὶ τὸ σφόδρα εἰδέναι, ὅτι τὸ μετριάζειν καὶ ἀπονοίας ἀπηλλάχθαι ποιήσει ταχέως αὐτοὺς καὶ τῆς περὶ "τὸ πλουτεῖν ἀπηλλάχθαι σπουδῆς. εἶτα παραινέσας μὴ ὑψηλοφρονεῖν, ἐδίδαξε καὶ τὸν τρόπον, καθ' ὃν δυνήσονται μὴ ὑψηλοφρονεῖν. τίς δὲ οὗτος ἐστι; εἰ τοῦ πλούτου τὴν φύσιν καταμάθοιεν, ὡς ἄδηλός τίς ἐστι καὶ ἄπιστος. διὰ τοῦτο ἐπήγαγε, μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι. πλούσιός ἐστιν, οὐχ ὁ πολλὰ κεκτημένος, ἀλλ' ὁ πολλὰ διδούς. πλούσιος ἦν ὁ Ἀβραὰμ, ἀλλ' οὐ φιλάργυρος. οὐ γὰρ περιεσκόπει τὴν τοῦ δεῖνος οἰκίαν, οὐδὲ περιειργάζετο τὴν τοῦ δεῖνος οὐσίαν· ἀλλ' ἐξιὼν περιεσκόπει, μή που ξένος, μή που πένης, ὥστε διορθῶσαι τὴν πενίαν, ὥστε ὑποδέξασθαι τὸν ὁδίτην. οὐ χρυσῷ τὸν ὄροφον ἤλειφεν, ἀλλὰ παρὰ τὴν δρῦν ἐκείνην τὴν καλύβην πηξάμενος, τῇ τῶν φύλλων ἠρκεῖτο σκιᾷ· καὶ οὕτω λαμπρὸν ἦν αὐτοῦ τὸ καταγώγιον, ὡς μηδὲ ἀγγέλους ἐπαισχυνθῆναι τὴν παρ' ἐκείνῳ μονήν. οὐ γὰρ λαμπρότητα οἰκίας ἐπεζήτουν, ἀλλὰ ψυχῆς ἀρετήν.

Τοῦτον δὴ καὶ ἡμεῖς μιμησώμεθα, ἀγαπητοὶ, καὶ τὰ ὄντα εἰς τοὺς δεομένους ἀναλίσκωμεν. ἐξευτελισμένον ἦν ἐκεῖνο τὸ καταγώγιον, ἀλλὰ τῶν βασιλικῶν αὐλῶν λαμπρότερον ἦν. βασιλεὺς οὐδεὶς οὐδέποτε ἀγγέλους ὑπεδέξατο· ὁ δὲ ὑπὸ τὴν δρῦν καθήμενος ἐκείνην, καὶ καλύβην πηξάμενος, ἠξιώθη τῆς τιμῆς ταύτης, οὐ διὰ τὴν εὐτέλειαν τῆς οἰκίας τιμηθεὶς, ἀλλὰ διὰ τὴν πολυτέλειαν τῆς ψυχῆς, καὶ τὸν ἐναποκείμενον πλοῦτον αὐτῇ ταύτης ἀπολαύσας τῆς δωρεᾶς. καὶ ἡμεῖς τοίνυν μὴ τὰς οἰκίας καλλωπίζωμεν, ἀλλὰ πρὸ τῆς οἰκίας τὴν ψυχὴν τὴν ἡμετέραν. πῶς γὰρ οὐκ αἰσχρὸν μαρμάροις μὲν περιβάλλειν τοὺς τοίχους εἰκῇ καὶ μάτην, τὸν δὲ Χριστὸν γυμνὸν περιερχόμενον περιορᾷν; τί σοι τῆς οἰκίας ὄφελος, ἄνθρωπε; μὴ γὰρ λαβὼν αὐτὴν ἀπελεύσῃ; οὐ ταύτην λαβὼν ἀπελεύσῃ, τὴν δὲ ψυχὴν ἀπελεύσῃ πάντως λαβών. ἰδοὺ τοιοῦτος κίνδυνος κατέλαβε νῦν. παραστήτωσαν "ὑμῖν αἱ οἰκίαι, λυσάτωσαν ὑμῖν τὸν ἐπηρτημένον κίνδυνον. ἀλλ' οὐ δυνήσονται. καὶ μάρτυρες ὑμεῖς οἱ καταλιμπάνοντες "αὐτὰς ἐρήμους, καὶ πρὸς τὴν ἐρημίαν "ἀποδημοῦντες, καθάπερ παγίδας καὶ δίκτυα δεδοικότες. βοηθείτω τὰ χρήματα νῦν. ἀλλ' οὐκ ἔχει καιρόν. εἰ δὲ, ἔνθα ἀνθρώπου ὀργὴ, χρημάτων ἐλέγχεται δύναμις, πολλῷ μᾶλλον ἐπὶ τοῦ θείου καὶ ἀδεκάστου δικαστηρίου τοῦτο γενήσεται. εἰ* ἄνθρωπός ἐστιν ὁ προσκρουόμενος καὶ ἀγανακτῶν, καὶ οὐδὲν ἡμᾶς τὸ χρυσίον ὠφελεῖ νῦν, πολλῷ μᾶλλον ὀργιζομένου τοῦ Θεοῦ, τοῦ μὴ δεομένου χρημάτων, ἀσθενήσει πάντως τοῦ χρυσίου ἡ δύναμις. οἰκίας οἰκοδομοῦμεθα, ἵνα οἰκῶμεν, οὐχ ἵνα φιλοτιμώμεθα. τὸ μεῖζον τῆς χρείας, περιττὸν τῆς χρείας ἐστὶ καὶ ἄχρηστον. ὑπόδησαι ὑπόδημα τοῦ ποδὸς μεῖζον. ἀλλ' οὐκ ἀνέξῃ· ἐμποδίζει γάρ σοι πρὸς τὴν βάδισιν. οὕτω καὶ οἰκία μείζων τῆς χρείας ἐμποδίζει πρὸς τὴν εἰς οὐρανοὺς ἀποδημίαν. βούλει λαμπρὰς καὶ μεγάλας οἰκοδομεῖν οἰκίας; οὐ κωλύω, ἀλλὰ μὴ ἐπὶ γῆς· οἰκοδόμησον σκηνὰς ἐν οὐρανοῖς, ἵνα καὶ ἑτέρους ὑποδέξασθαι δυνηθῇς, σκηνὰς οὐδέποτε καταλυομένας. τί μέμηνας περὶ τὰ φεύγοντα, καὶ τὰ ἐνταῦθα μένοντα; οὐδὲν σφαλερώτερον πλούτου· σήμερον μετὰ σοῦ, καὶ αὔριον κατὰ σοῦ. τοὺς τῶν βασκάνων ὀφθαλμοὺς ὁπλίζει πάντοθεν· πολέμιός ἐστιν ὁμόσκηνος, ἐχθρὸς σύνοικος*. καὶ μάρτυρες ὑμεῖς, οἱ κεκτημένοι, οἱ παντὶ τρόπῳ κατορύττοντες αὐτὸν καὶ ἀποκρύπτοντες· ἐπεὶ καὶ νῦν τὸν κίνδυνον ἡμῖν ἀφορητότερον ὁ πλοῦτος ποιεῖ. ὁρᾷς γοῦν τοὺς μὲν πένητας εὐζώνους καὶ ἀπολελυμένους καὶ πρὸς ἅπαντα παρεσκευασμένους, τοὺς δὲ πλουσίους πολλὴν ἔχοντας δυσκολίαν, περιιόντας, καὶ ζητοῦντας, ποῦ τὸ "χρυσίον κατορύξωσι, ζητοῦντας τίνι παρακαταθῶνται. τί ζητεῖς, ἄνθρωπε, τοὺς ὁμοδούλους; ἕστηκεν ὁ Χριστὸς ἕτοιμος ὑποδέξασθαι καὶ τηρῆσαι "σοι τὰς παρακαταθήκας· οὐχὶ τηρῆσαι δὲ μόνον, ἀλλὰ καὶ πλεονάσαι, τὰ πλούσιος, οὐ χρυσοῦ καὶ ἀργύρου, καὶ τοιαύτῃ τινὶ φθαρτῇ καὶ ἐπικήρῳ πλούτων ὕλῃ, ἀλλὰ τοῖς ἀπορρήτοις * ἐκείνοις ἀγαθοῖς, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη. τοῦτο γὰρ ἀληθῶς πλοῦτος καὶ εὐπορεία, ὅταν καὶ ἀκήρατα ᾖ τὰ καλά, καὶ μηδεμίαν δέχηται μεταβολήν. ἀλλ' οὐχ ὁ παρειδὼν αὐτὸν πλούσιος τοιοῦτος, ἀλλ' ἁπάντων πενέστερος ἐγένετο μετὰ ταῦτα. σταγόνος γοῦν ἀξιώσας ἐπιτυχεῖν, οὐδὲ ταύτης ἐγένετο κύριος. οὕτω πρὸς ἐσχάτην ἐληλάκει πενίαν. διὰ τοῦτο πλουσίους τοῦ παρόντος αἰῶνος ἐκάλεσεν, ἵνα μάθῃς, ὅτι μετὰ τῆς παρούσης ζωῆς καὶ ἡ εὐπορεία συγκαταλύεται, οὐ πρόεισι περαιτέρω, οὐδὲ συμμεθίσταται ἀποδημοῦσι τοῖς ἔχουσιν, ἀλλὰ πολλάκις αὐτοὺς καὶ πρὸ τῆς τελευτῆς ἐγκατέλιπεν. ὅπερ οὖν καὶ αὐτὸ δηλῶν ἔλεγε, Μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι. οὐδὲν γὰρ οὕτως ἄπιστον, ὡς ὁ πλοῦτος, ὃ πολλάκις εἶπον, καὶ λέγων οὐ παύσομαι, ὅτι δραπέτης ἀγνώμων ἐστὶν οἰκέτης πίστιν οὐκ ἔχων. κἂν μυρίας αὐτῷ περιβάλῃς πέδας, αὐτὰς καὶ τὰς πέδας αὐτὰς ἐπισυρόμενος ἄπεισι. πολλάκις γοῦν μοχλοῖς καὶ θύραις ἀπέκλεισαν αὐτὸν οἱ κεκτημένοι, οἰκέτας περιστήσαντες φύλακας· ὁ δὲ τοὺς οἰκέτας αὐτοὺς ἀναπείσας μετ' αὐτὸν ἀπέδρα τῶν φυλαττόντων, καθάπερ ἁλύσει τοὺς τηροῦντας ἐπισυρόμενος, καὶ πλέον οὐδὲν ἀπὸ τῆς φυλακῆς ἐγένετο ταύτης. τί τούτου γένοιτ' ἂν ἀπιστότερον; τί δὲ τῶν περὶ αὐτὸν ἐσπουδακότων ἐλεεινότερον; ὅταν πρᾶγμα οὕτω σαθρὸν καὶ εὐμετάπτωτον πάσῃ σπουδῇ συλλέγειν ἐπιχειρῶσι, καὶ μὴ ἀκούωσι τοῦ προφήτου λέγοντος· Οὐαὶ οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι. Ψαλ. ξα. ι. εἰπέ, τίνος ἕνεκεν οὐαί; Θησαυρίζει, φησί, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά· ὅτι ὁ μὲν πόνος δῆλος, ἡ δὲ ἀπόλαυσις ἄδηλος. πολλάκις ἐχθροῖς κάμνεις καὶ ταλαιπωρεῖς, πολλάκις μετὰ τὴν σὴν τελευτὴν εἰς τοὺς ἠδικηκότας καὶ μυρία ἐπιβουλεύσαντας ὁ κλῆρος ἐλθών, σοὶ μὲν τὰ ἁμαρτήματα, τὴν δὲ ἀπόλαυσιν παρέχει ἑτέροις. ἀλλ' ἄξιον ἐκεῖνο ἐξετάσαι, τίνος ἕνεκεν οὐκ εἶπε, τοῖς δὲ πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ πλουτεῖν, παράγγελλε πένεσθαι, παράγγελλε τὰ ὄντα κενοῦν· ἀλλά, παράγγελλε μὴ ὑψηλοφρονεῖν. οἶδεν * ὅτι τοῦ πλούτου ῥίζα καὶ ὑπόθεσίς ἐστιν ἡ ἀπόνοια. κἂν εἰδῇ τις μετριάζειν, οὐ πολλὴν περὶ τὸ πρᾶγμα ποιήσεται σπουδήν. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, τοὺς πολλοὺς οἰκέτας περιάγεις; τοὺς παρασίτους; τοὺς κόλακας; τὴν ἄλλην ἅπασαν φαντασίαν; οὐ χρείας ἕνεκεν, ἀλλ' ἀπονοίας μόνης, ἵν' ἀπὸ τούτων σεμνότερος τῶν ἄλλων ἀνθρώπων εἶναι δοκῇς. ἄλλως δὲ οἶδεν οὐ κεκωλυμένον τὸν πλοῦτον, ἐάν τις αὐτῷ εἰς δέον κεχρημένος ᾖ. ὥσπερ γὰρ εἶπον, οὐ κακὸν ὁ οἶνος, ἀλλὰ κακὸν ἡ μέθη· οὕτως οὐ κακὸν ὁ πλοῦτος, ἀλλὰ κακὸν ἡ πλεονεξία, κακὸν ἡ φιλαργυρία. ἕτερον * φιλάργυρος, καὶ ἕτερον πλούσιος. ὁ φιλάργυρος οὐκ ἔστι πλούσιος· ὁ φιλάργυρος πολλῶν δεῖται· ὁ δὲ πολλῶν δεόμενος, οὐκ ἂν εὔπορος εἴη ποτέ. ὁ φιλάργυρος φύλαξ, οὐ δεσπότης ἐστὶ τῶν χρημάτων· δοῦλος, οὐ κύριος. εὐκολώτερον γὰρ τῶν αὐτοῦ σαρκῶν μεταδοίη τινί, ἢ τοῦ κατορωρυγμένου χρυσίου. καὶ καθάπερ τινὸς ἐπιτάττοντος καὶ κελεύοντος μηδενὸς ἅψασθαι τῶν ἀποκειμένων, οὕτω μετὰ πάσης ἀκριβείας πάντα τηρεῖ καὶ κατέχει, καθάπερ ἀλλοτρίων, ἀπεχόμενος τῶν ἰδίων. καὶ γάρ ἐστιν ὄντως ἀλλότρια. ἃ γὰρ εἰς ἑτέρους ἐκβαλεῖν οὐκ ἂν ἕλοιτο, οὐδὲ τοῖς δεομένοις διανεῖμαι, κἂν μυρίας ὑποσταίη τιμωρίας, πῶς ἂν δύναιτο ταῦτα ἴδια νομίζειν εἶναι; πῶς δὲ ἔχει τὴν κτῆσιν, ὧν τὴν χρῆσιν οὐκ ἔχει μετὰ ἀδείας, οὐδὲ τὴν ἀπόλαυσιν; πρὸς δὲ τούτοις, οὐ πᾶσι πάντα ἐπιτάττειν ὁ Παῦλος εἴωθεν, ἀλλὰ καὶ τῇ τῶν ἀκουόντων ἀσθενείᾳ συγκαταβαίνει, καθάπερ οὖν καὶ ὁ Χριστὸς ἐποίησε. καὶ γὰρ ἐκείνῳ τῷ πλουσίῳ προσελθόντι, καὶ περὶ τῆς ζωῆς αὐτῷ διαλεγομένῳ οὐκ εἶπεν, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, ἀλλὰ ἀφεὶς τοῦτο, περὶ ἑτέρων αὐτῷ ἐντολῶν διελέγετο. εἶτα ἐπειδὴ ἐκεῖνος αὐτὸν προσεκαλέσατο λέγων, Τί ἔτι μοι λείπει; Ματθ. ιθ. κα. οὐδὲ τότε ἁπλῶς εἶπε, πώλησόν σου τὰ ὑπάρχοντα, ἀλλ', Εἰ θέλεις τέλειος εἶναι), ὕπαγε, πώλεσόν σου τὰ ὑπάρχοντα. ἐπὶ τῇ σῇ τίθημι γνώμῃ, σὲ κύριον ποιῶ τῆς αἱρέσεως· οὐκ εἰς ἀνάγκην ἄγω. διὰ τοῦτο καὶ Παῦλος οὐδὲν περὶ πενίας τοῖς πλουτοῦσι διελέχθη, ἀλλὰ περὶ ταπεινοφροσύνης, διά τε τὴν ἀσθένειαν τῶν ἀκουόντων, καὶ τὸ σφόδρα εἰδέναι, ὅτι τὸ μετριάζειν καὶ ἀπονοίας ἀπηλλάχθαι ποιήσει ταχέως αὐτοὺς καὶ τῆς περὶ τὸ πλουτεῖν ἀπαλλαγῆναι σπουδῆς. εἶτα παραινέσας μὴ ὑψηλοφρονεῖν, ἐδίδαξε καὶ τὸν τρόπον, καθ' ὃν δυνήσονται μὴ ὑψηλοφρονεῖν. τίς δὲ οὗτός ἐστιν; εἰ τοῦ πλούτου τὴν φύσιν καταμάθοιεν, ὡς ἄδηλός τίς ἐστι καὶ ἄπιστος. διὰ τοῦτο ἐπήγαγε, μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι. πλούσιός ἐστιν, οὐχ ὁ πολλὰ κεκτημένος, ἀλλ' ὁ πολλὰ διδούς. πλούσιος ἦν ὁ Ἀβραάμ, ἀλλ' οὐ φιλάργυρος. οὐ γὰρ περιεσκόπει τὴν τοῦ δεῖνος οἰκίαν, οὐδὲ περιειργάζετο τὴν τοῦ δεῖνος οὐσίαν· ἀλλ' ἐξιὼν περιεσκόπει, μή που ξένος, μή που πένης, ὥστε διορθῶσαι τὴν πενίαν, ὥστε ὑποδέξασθαι τὸν ὁδίτην. οὐ χρυσῷ τὸν ὄροφον ἤλειφεν, ἀλλὰ παρὰ τὴν δρῦν ἐκείνην τὴν καλύβην πηξάμενος, τῇ τῶν φύλλων ἠρκεῖτο σκιᾷ· καὶ οὕτω λαμπρότερον ἦν αὐτοῦ τὸ καταγώγιον, ὡς μηδὲ ἀγγέλους ἐπαισχυνθῆναι τὴν παρ' ἐκείνῳ μονήν. οὐ γὰρ λαμπρότητα οἰκίας ἐπεζήτουν, ἀλλὰ ψυχῆς ἀρετήν.

Τοῦτον δὴ καὶ ἡμεῖς μιμησώμεθα, ἀγαπητοί, καὶ τὰ ὄντα εἰς τοὺς δεομένους ἀναλίσκωμεν. ἐσχεδιασμένον ἦν ἐκεῖνο τὸ καταγώγιον, ἀλλὰ τῶν βασιλικῶν αὐλῶν λαμπρότερον ἦν. βασιλεῖς οὐδεὶς οὐδέποτε ἀγγέλους ὑπεδέξατο· ὁ δὲ ὑπὸ τὴν δρῦν καθήμενος ἐκείνην, καὶ καλύβην πηξάμενος, ἠξιώθη τῆς τιμῆς ταύτης, οὐ διὰ τὴν εὐτέλειαν τῆς οἰκίας τιμηθείς, ἀλλὰ διὰ τὴν πολυτέλειαν τῆς ψυχῆς, καὶ τῶν ἐναποκειμένων πλούτων αὐτῇ ταύτης ἀπολαύσας τῆς δωρεᾶς. καὶ ἡμεῖς τοίνυν μὴ τὰς οἰκίας καλλωπίζωμεν, ἀλλὰ πρὸ τῆς οἰκίας τὴν ψυχὴν τὴν ἡμετέραν. πῶς γὰρ οὐκ αἰσχρὸν μαρμάροις μὲν περιβάλλειν τοὺς τοίχους εἰκῇ καὶ μάτην, τὸν δὲ Χριστὸν γυμνὸν περιερχόμενον περιορᾶν; τί σοι τῆς οἰκίας ὄφελος, ἄνθρωπε; μὴ γὰρ λαβὼν αὐτὴν ἀπελεύσῃ; οὐ ταύτην λαβὼν ἀπελεύσῃ, τὴν δὲ ψυχὴν ἀπελεύσῃ πάντως λαβών. ἰδοὺ τοιοῦτος κίνδυνος κατέλαβε νῦν. παραστήτωσαν ὑμῖν αἱ οἰκίαι, λυσάτωσαν ὑμῖν τὸν ἐπηρτημένον κίνδυνον. ἀλλ' οὐ δυνήσονται. καὶ μάρτυρες ὑμεῖς οἱ καταλιμπάνοντες αὐτὰς ἐρήμους, καὶ πρὸς τὴν ἐρημίαν ἀποδημοῦντες, καθάπερ παγίδας καὶ δίκτυα δεδοικότες. βοηθείτω τὰ χρήματα νῦν. ἀλλ' οὐκ ἔχει καιρόν. εἰ δὲ, ἔνθα ἀνθρώπου ὀργὴ, χρημάτων ἐλέγχεται δύναμις, πολλῷ μᾶλλον ἐπὶ τοῦ θείου καὶ ἀδεκάστου δικαστηρίου τοῦτο γενήσεται. εἰ* ἄνθρωπός ἐστιν ὁ προσκρουόμενος καὶ ἀγανακτῶν, καὶ οὐδὲν ἡμᾶς τὸ χρυσίον ὠφελεῖ νῦν, πολλῷ μᾶλλον ὀργιζομένου τοῦ Θεοῦ, τοῦ μὴ δεομένου χρημάτων, ἀσθενήσει πάντως τοῦ χρυσίου ἡ δύναμις. οἰκίας οἰκοδομώμεθα, ἵνα οἰκῶμεν, οὐχ ἵνα φιλοτιμώμεθα. τὸ μεῖζον τῆς χρείας, περιττὸν τῆς χρείας ἐστὶ καὶ ἄχρηστον. ὑπόδησαι ὑπόδημα τοῦ ποδὸς μεῖζον. ἀλλ' οὐκ ἀνέξῃ· ἐμποδίζει γάρ σοι πρὸς τὴν βάδισιν. οὕτω καὶ οἰκία μείζων τῆς χρείας ἐμποδίζει πρὸς τὴν εἰς οὐρανοὺς ἀποδημίαν. βούλει λαμπρὰς καὶ μεγάλας οἰκοδομεῖν οἰκίας; οὐ κωλύω, ἀλλὰ μὴ ἐπὶ γῆς· οἰκοδόμησον σκηνὰς ἐν οὐρανοῖς, ἵνα καὶ ἑτέρους ὑποδέξασθαι δυνηθῇς, σκηνὰς οὐδέποτε καταλυομένας. τί μέμηνας περὶ τὰ φεύγοντα, καὶ τὰ ἐνταῦθα μένοντα; οὐδὲν σφαλερώτερον πλούτου· σήμερον μετὰ σοῦ, καὶ αὔριον κατὰ σοῦ. τοὺς τῶν βασκάνων ὀφθαλμοὺς ὁπλίζει πάντοθεν· πολέμιός ἐστιν ὁμόσκηνος, ἐχθρὸς σύνοικος*. καὶ μάρτυρες ὑμεῖς, οἱ κεκτημένοι, οἱ πάντοτε κατορύττοντες αὐτὸν καὶ ἀποκρύπτοντες· ἐπεὶ καὶ νῦν τὸν κίνδυνον ἡμῖν ἀφορητότερον ὁ πλοῦτος ποιεῖ. ὁρᾷς γοῦν τοὺς μὲν πένητας εὐζώνους καὶ ἀπολελυμένους καὶ πρὸς ἅπαντα παρεσκευασμένους, τοὺς δὲ πλουσίους πολλὴν ἔχοντας δυσκολίαν, περιιόντας, καὶ ζητοῦντας, ποῦ τὸ χρυσίον κατορύξωσι, ζητοῦντας τίνι παρακαταθῶνται. τί ζητεῖς, ἄνθρωπε, τοὺς ὁμοδούλους; ἕτοιμος ὁ Χριστὸς ἕτοιμος ὑποδέξασθαι καὶ τηρῆσαί σοι τὰς παρακαταθήκας· οὐχὶ τηρῆσαι δὲ μόνον, ἀλλὰ καὶ πλεονάσαι, καὶ μετὰ πολλῆς ἀποδοῦναι τῆς παραθήκης. ἐκ τῆς ἐκείνου χειρὸς οὐδεὶς ἁρπάζει. οὐ τηρεῖ δὲ τὰς παρακαταθήκας μόνον, ἀλλὰ καὶ ὑπὲρ αὐτοῦ τούτου λύει ″σου τοὺς κινδύνους. ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων οἱ δεξάμενοι τὰς παρακαταθήκας, χάριν ἡμῖν δεδωκέναι νομίζουσι, φυλάττοντες ἅπερ ἔλαβον· ἐπὶ δὲ τοῦ Χριστοῦ τοὐναντίον. οὐ γὰρ δεδωκέναι χάριν, ἀλλ' εἰληφέναι χάριν, ὅταν δέξηταί σου τὰς παρακαταθήκας, φησίν· καὶ ὑπὲρ τῆς φυλακῆς αὐτῆς, ἣν περὶ τὰ χρήματα ἐπιδείκνυται τὰ σά, οὐκ ἀπαιτεῖ σε μισθόν, ἀλλὰ δίδωσί σοι μισθόν. ἆρα τίνος ἂν εἴημεν ἀπολογίας ἄξιοι, τίνος δὲ συγγνώμης, ὅταν παρατρέχοντες τὸν καὶ φυλάξαι δυνάμενον, καὶ χάριν ὑπὲρ τῆς φυλακῆς εἰδότα, καὶ μισθοὺς ἀπορρήτους καὶ μεγάλους ἀποδιδόντα ἀντὶ τῆς φυλακῆς ταύτης, τοῖς κατὰ τὴν φυλακὴν ταύτην ἀσθενοῦσιν ἀνθρώποις, καὶ χάριν ἡμῖν διδόναι νομίζουσι, καὶ μόνα αὐτὰ τὰ διδόμενα ″ἀποδιδοῦσιν ὕστερον, ἐκείνοις τὰ ἡμέτερα ἐγχειρίζωμεν; ξένος εἶ, καὶ παρεπίδημος τῶν ἐνταῦθα· πατρίδα ἔχεις ἐν οὐρανοῖς· πάντα ἐκεῖ μετάθες, ἵνα καὶ πρὸ τῆς ἀπολαύσεως καὶ ἐνταῦθα ἀπολαύσῃς τῆς ἀμοιβῆς. ὁ γὰρ χρησταῖς ″ἐντρεφόμενος ἐλπίσι, καὶ περὶ τῶν μελλόντων θαρρῶν, ἐντεῦθεν ἤδη τῆς βασιλείας ἐγεύσατο. οὐδὲν γὰρ οὕτω ψυχὴν εἴωθεν ἀνακτᾶσθαι καὶ ἀμείνω ποιεῖν, ὡς ἡ χρηστὴ τῶν μελλόντων ἐλπίς, ἐὰν ἐκεῖ μεταθῇς τὸν πλοῦτον, καὶ τῆς ψυχῆς ἐπιμελήσῃ τῆς ἑαυτοῦ μετὰ σχολῆς τῆς προσηκούσης. οἱ μὲν γὰρ ἅπασαν τὴν σπουδὴν εἰς τὸν καλλωπισμὸν κενοῦντες τῆς ἑαυτῶν οἰκίας, ἐν τοῖς ἔξω πλουτοῦντες ἀμελοῦσι τῶν ἔνδον, καὶ ἔρημον καὶ αὐχμῶσαν καὶ ἀραχνίων γέμουσαν περιορῶσι τὴν ἑαυτῶν ψυχήν. ἂν δὲ τῶν ἔξωθεν ἀμελήσαντες, εἰς τὴν ἑαυτῶν διάνοιαν τὴν προθυμίαν καταναλώσωσιν ἅπασαν, πανταχόθεν αὐτὴν καλλωπίζοντες, καταγώγιον ἔσται τῷ Χριστῷ τῶν τοιούτων ἀνθρώπων ἡ ψυχή. τοῦ δὲ τὸν Χριστὸν ἔχοντος ἔνοικον τί γένοιτ' ἂν μακαριώτερον πώποτε; βούλει πλουτεῖν; ἔχε φίλον τὸν Θεόν, καὶ πάντων εὐπορώτερος ἔσῃ. βούλει πλουτεῖν; μὴ μέγα φρόνει· τοῦτο οὐ πρὸς τὰ μέλλοντα, ἀλλὰ καὶ πρὸς τὰ παρόντα ἐπιτήδειον. οὐδὲν γὰρ οὕτως ἐπίφθονον, ὡς ἄνθρωπος πλουτῶν. ὅταν δὲ καὶ ἀπόνοια προσῇ, διπλοῦς ὁ κρημνὸς γίνεται, χαλεπώτερος παρὰ πάντων ὁ πόλεμος. ἂν δὲ μετριάζειν εἰδῇς, ″ὑποτέμνῃ τῇ ταπεινοφροσύνῃ τῆς βασκανίας τὴν τυραννίδα, καὶ μετ' ἀσφαλείας ἔχεις, ἅπερ ἂν ἔχῃς. τοιαύτη γὰρ τῆς ἀρετῆς ἡ φύσις· οὐ πρὸς τὰ μέλλοντα ἡμᾶς ὠφελεῖ μόνον, ἀλλὰ καὶ ἐντεῦθεν ἤδη δίδωσι τὰς ἀμοιβάς.

Μὴ τοίνυν μέγα φρονῶμεν ἐπὶ τῷ πλούτῳ, ἀλλὰ μηδὲ ἐπὶ ἑτέρῳ μηδενί. εἰ γὰρ ἐπὶ τοῖς πνευματικοῖς ὁ μέγα φρονῶν οἴχεται καὶ ἀπόλωλε, πολλῷ μᾶλλον ἐπὶ τοῖς σαρκικοῖς. ἐννοήσωμεν ἡμῶν τὴν φύσιν, ἀναλογισώμεθα ἡμῶν τὰ ἁμαρτήματα· μάθωμεν, τίνες ἐσμέν· καὶ ἀρκεῖ τοῦτο εἰς πάσης ταπεινοφροσύνης ″ὑμῖν ὑπόθεσιν. μή μοι λέγε, ὅτι τόσων καὶ τόσων ἐτῶν προσόδους ἀποκειμένας ἔχω, χρυσοῦ τάλαντα μυρία, κέρδη καθ' ἑκάστην προσγινόμενα τὴν ἡμέραν. ὅσα ἂν εἴπῃς, πάντα εἰκῇ καὶ μάτην ἐρεῖς. πολλάκις ἐν ὥρᾳ μιᾷ καὶ βραχείᾳ καιροῦ ῥοπῇ, καθάπερ ἀνέμου προσπεσόντος ἄνωθεν κόνις εὐρίπιστος, οὕτω ταῦτα πάντα ἐκφυσᾶται τῆς οἰκίας. καὶ τούτων πλήρης μὲν ὁ βίος ἡμῶν τῶν παραδειγμάτων, πλήρεις δὲ αἱ γραφαὶ τῶν διδαγμάτων. ὁ σήμερον πλούσιος, αὔριον πένης. διὸ καὶ πολλάκις ἐγέλασα διαθήκας ἀναγινώσκων λεγούσας· ὁ δεῖνα μὲν ἐχέτω τὴν δεσποτείαν τῶν ἀγρῶν, ἢ τῆς οἰκίας, τὴν δὲ χρῆσιν ἄλλος· πάντες γὰρ τὴν χρῆσιν ἔχομεν, τὴν δεσποτείαν δὲ οὐδείς. κἂν γὰρ παρὰ πᾶσαν ″ἡμῖν τὴν ζωὴν παραμένῃ μηδεμίαν δεξάμενος μεταβολὴν ὁ πλοῦτος, καὶ ἑκόντες καὶ ἄκοντες ἐν τῇ τελευτῇ παραχωρήσομεν ἑτέροις, τὴν χρῆσιν αὐτοῦ καρπωσάμενοι μόνον, τῆς δεσποτείας δὲ γυμνοὶ καὶ ἔρημοι πρὸς ἐκείνην ἀποδημοῦντες τὴν ζωήν. ὅθεν δῆλον, ὅτι ἐκεῖνοι μόνοι τὴν δεσποτείαν ἔχουσιν, οἱ καὶ τῆς χρήσεως αὐτοῦ καταφρονήσαντες καὶ τῆς ἀπολαύσεως καταγελάσαντες. ὁ γὰρ τὰ ὄντα ῥίψας καὶ τοῖς πένησιν αὐτὰ διαδοὺς, ἐχρήσατο τότε εἰς δέον τοῖς οὖσι, καὶ τὴν δεσποτείαν αὐτῶν ἔχων ἀπῆλθεν, οὐδὲ ἐν αὐτῷ τῷ θανάτῳ τῆς κτήσεως ἐκπίπτων ἐκείνης, ἀλλ' ἐν ἐκείνῳ πάντα ἀπολαμβάνων τῷ καιρῷ, καὶ πολλῷ πλείονα ἐκείνων, ὅταν αὐτῶν μάλιστα δέηται τῆς προστασίας ἐν τῇ τῆς κρίσεως ἡμέρᾳ, καὶ ὅταν τῶν πεπραγμένων τὰς εὐθύνας ἀπαιτώμεθα πάντες. ὥστε εἴ τις ἐθέλοι καὶ τὴν κτῆσιν αὐτῶν, καὶ τὴν χρῆσιν ἔχειν, καὶ τὴν δεσποτείαν, ἀπαλλαττέσθω τῶν ὄντων ἁπάντων. ὡς ὅ γε μὴ τοῦτο ποιῶν, τῇ τελευτῇ μετ' αὐτῶν ἀποστήσεται πάντως, πολλάκις δὲ καὶ πρὸ τῆς τελευτῆς μετὰ κινδύνων καὶ μυρίων αὐτὰ ἀποβαλεῖται κακῶν. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, ὅτι μεταβολὴ γίνεται ἀθρόως, ἀλλ' ὅτι καὶ ἀμελέτητος πρὸς τὴν τῆς πενίας ὑπομονὴν ὁ πλούσιος ἔρχεται. ἀλλ' οὐχ ὁ πένης τοιοῦτος. οὐ γὰρ χρυσίῳ καὶ ἀργυρίῳ τεθάρρηκεν, ἀψύχοις ὕλαις, ἀλλὰ τῷ Θεῷ τῷ παρέχοντι πάντα πλουσίως. ὥστε ὁ πλούσιος ἐν ἀδήλῳ μᾶλλον ἕστηκεν, ἢ ὁ πένης, πυκνὰς καὶ ἐπαλλήλους δεχόμενος τὰς μεταβολάς. τί δέ ἐστι, Τῷ παρέχοντι ἡμῖν τὰ πάντα πλουσίως; πάντα μετὰ δαψιλείας δίδωσιν ὁ Θεός, τὰ πολλῷ τῶν χρημάτων ἀναγκαιότερα· οἷον τὸν ἀέρα, τὸ ὕδωρ, τὸ πῦρ, τὸν ἥλιον, ἅπαντα τὰ τοιαῦτα. οὐκ ἔστιν εἰπεῖν, ὅτι πλείονος ἀπολαύει τῆς ἀκτῖνος ὁ πλούσιος, ἐλάττονος δὲ ὁ πένης· οὐκ ἔστιν εἰπεῖν, ὅτι δαψιλέστερον ἀέρα ἀναπνεῖ τοῦ πένητος ὁ πλουτῶν, ἀλλὰ πάντα ἴσα καὶ κοινὰ πρόκειται. καὶ τίνος οὖν ἕνεκεν [φησὶ] τὰ μὲν μείζονα καὶ ἀναγκαιότερα καὶ τὴν ζωὴν ἡμῶν συνέχοντα κοινὰ πεποίηκεν ὁ Θεός, τὰ δὲ ἐλάττονα καὶ εὐτελέστερα οὐκ ἔτι κοινά, τὰ χρήματα λέγω; τίνος οὖν ἕνεκεν; ἵνα συγκροτῆται ἡμῶν ἡ ζωή, καὶ ἀρετῆς ἔχωμεν σκάμματα. εἰ μὲν γὰρ μὴ ἦν τὰ ἀναγκαῖα ταῦτα κοινά, ἴσως οἱ πλουτοῦντες τῇ εἰωθυίᾳ κεχρημένοι πλεονεξίᾳ, τοὺς πενομένους ἀπέπνιξαν ἄν. εἰ γὰρ ἐπὶ τῶν χρημάτων τοῦτο ποιοῦσι, πολλῷ μᾶλλον ἐπ' ἐκείνων τοῦτο ἂν ἐποίησαν. πάλιν, εἰ καὶ τὰ χρήματα ἦν κοινά, καὶ πᾶσιν ὁμοίως προὔκειτο, ἐλεημοσύνης ἀνήρητο πρόφασις, καὶ φιλοφροσύνης ἀφορμή. ἵν' οὖν ἀδεῶς ζῶμεν, κοινὰ γέγονεν ἡμῖν τὰ τῆς ζωῆς αἴτια. πάλιν, ἵνα ἔχωμεν στεφάνων καὶ εὐδοκιμήσεων ἀφορμήν, οὐ κοινὰ γέγονε τὰ χρήματα, ἵνα πλεονεξίαν μισοῦντες, καὶ δικαιοσύνην διώκοντες, καὶ τὰ ὄντα τοῖς δεομένοις προϊέμενοι, παραμυθίαν τινὰ διὰ τῆς μεθόδου ταύτης τῶν οἰκείων λαμβάνωμεν ἁμαρτημάτων. πλούσιόν σε ἐποίησεν ὁ Θεός· τί σαυτὸν ποιεῖς πένητα; πλούσιόν σε ἐποίησεν ὁ Θεός, ἵνα τοῖς δεομένοις βοηθῇς, ἵνα τὰ ἁμαρτήματα λύσῃς τὰ σεαυτοῦ διὰ τῆς εἰς ἑτέρους δαψιλείας. ἔδωκέ σοι χρήματα, οὐχ ἵνα κατακλείσῃς ἐπ' ὀλέθρῳ τῷ σῷ· ἀλλ' ἵνα ἐκχέῃς ἐπὶ σωτηρίᾳ τῇ σῇ. διὰ τοῦτο καὶ τὴν κτῆσιν αὐτῶν ἄδηλον ἐποίησε καὶ οὐ μόνιμον, ἵνα καὶ ἐν τούτῳ τῆς περὶ αὐτὰ μανίας καταλύσῃ τὸν τόνον. εἰ γὰρ νῦν οὐκ ἔχοντες θαρρεῖν οἱ κεκτημένοι περὶ αὐτῶν, ἀλλὰ καὶ πολλὰς ὁρῶντες ἐκ τοῦ πράγματος τικτομένας ἐπιβουλάς, οὕτως ἐκκαίονται περὶ τὸν ἐκείνων πόθον, εἰ καὶ τοῦτο τῷ πλούτῳ προσῆν τὸ βέβαιον καὶ ἀδιάπτωτον, τίνος ἂν ἐφείσαντο; τίνος ἂν ἐπέσχοντο; ποίας χήρας; ποίων ὀρφανῶν; ποίων πενήτων;

Μὴ τοίνυν μέγα νομίζωμεν ἀγαθὸν εἶναι πλοῦτον. μέγα * ἀγαθόν, οὐ τὸ κεκτῆσθαι χρήματα, ἀλλὰ τὸ κεκτῆσθαι Θεοῦ φόβον καὶ πᾶσαν εὐλάβειαν. ἰδοὺ νῦν εἴ τις δίκαιος ἦν καὶ παρρησίαν πολλὴν ἔχων πρὸς τὸν Θεόν, κἂν εἰ πάντων ἀνθρώπων πενέστερος ἦν, ἤρκει λῦσαι τὰ παρόντα δεινά. ἤρκει γὰρ μόνον τὰς χεῖρας ἐκτεῖναι εἰς τὸν οὐρανὸν καὶ καλέσαι τὸν Θεόν, καὶ τὸ νέφος τοῦτο παρῆλθεν ἄν. χρυσίον τοσοῦτον ἀπόκειται, καὶ πηλοῦ παντός ἐστιν ἀχρηστότερον πρὸς τὴν λύσιν τῶν ἐπικειμένων κακῶν. οὐκ ἐν τούτῳ δὲ τῷ κινδύνῳ μόνον, ἀλλὰ κἂν νόσος καταλάβῃ, κἂν θάνατος, κἂν ἄλλο τι τῶν τοιούτων, ἐλέγχεται τῶν χρημάτων ἡ δύναμις ἀπορουμένη, καὶ μηδεμίαν ἔχουσα παραμυθίαν τοῖς συμβαίνουσιν οἴκοθεν ἐπιδείξασθαι. ἕν ἐστιν, ὃ δοκεῖ τῆς πενίας πλεονεκτεῖν ὁ πλοῦτος, τὸ τρυφᾶν καθ' ἡμέραν, καὶ πολλῆς ἐμφορεῖσθαι ἐν τοῖς συμποσίοις τῆς ἡδονῆς. τοῦτο μέντοι ἐπὶ τῆς τῶν πενήτων τραπέζης συμβαῖνον ἐστὶν ἰδεῖν, καὶ μείζονος τούτους ἀπολαύοντας ἡδονῆς τῶν πλουτούντων ἁπάντων. καὶ μὴ θαυμάσητε, μηδὲ παράδοξον εἶναι νομίσητε τὸ λεγόμενον. ἐγὼ γὰρ ἐξ αὐτῆς ὑμῖν τοῦτο τῆς τῶν πραγμάτων ἀποδείξεως ποιήσω δῆλον. ἴστε γὰρ δήπου τοῦτο καὶ συνομολογεῖτε πάντες, ὅτι [τὴν] ἡδονὴν ἐν ταῖς ἑστιάσεσιν οὐχ ἡ φύσις τῶν ἐδεσμάτων, ἀλλ' ἡ διάθεσις τῶν ἑστιωμένων ποιεῖν εἴωθεν. οἷόν τι λέγω· μετὰ τοῦ πεινῆν τις ἁπτόμενος τραπέζης, παντὸς ὄψου καὶ ἡδύσματος καὶ μυρίων καρυκευμάτων ἥδιον ἅψεται τῆς τροφῆς, κἂν αὕτη λίαν εὐτελεστέρα ᾖ· ὁ δὲ μὴ τὴν χρείαν ἀναμένων, μηδὲ ὑπομένων πεινᾶσαι πρότερον (ὅπερ οἱ πλουτοῦντες ποιοῦσι) καὶ τότε ἐπὶ τὴν τράπεζαν ἐλθεῖν, κἂν πλακοῦντας εὕρῃ κειμένους, οὐκ αἰσθήσεται τῆς ἡδονῆς, τῆς ὀρέξεως αὐτῷ μὴ διεγηγερμένης. καὶ ἵνα μάθῃς ὅτι τοῦτο τοῦτον ἔχει τὸν τρόπον, μάρτυρες μὲν καὶ ὑμεῖς ἅπαντες· ἀκούσωμεν δὲ καὶ τῆς γραφῆς αὐτὸ τοῦτο λεγούσης. Ψυχὴ γὰρ ἐμπεπλησμένη, φησὶ, κηρίοις ἐμπαίζει· ψυχῇ δὲ ἐνδεεῖ καὶ τὰ πικρὰ γλυκέα φαίνεται. καίτοι τί κηρίου καὶ μέλιτος γλυκύτερον γένοιτ' ἄν; ἀλλ' οὐκ ἔστιν ἡδὺ τῷ μὴ πεινῶντι, φησί. τί δὲ τῶν πικρῶν ἀηδέστερον; ἀλλ' ἔστι γλυκέα τοῖς ἐν ἐνδείᾳ καθεστηκόσιν. ὅτι δὲ οἱ πένητες μετὰ τῆς χρείας καὶ τοῦ πεινῆν ἐπὶ τὸ πρᾶγμα ἔρχονται, οἱ δὲ πλουτοῦντες οὐκ ἀναμένουσι, τοῦτο παντί που δῆλόν ἐστιν· ὅθεν οὐδὲ γνησίαν καὶ εἰλικρινῆ καρποῦνται τὴν ἡδονήν. οὐκ ἐπὶ τῶν ἐδεσμάτων δὲ μόνον*, ἀλλὰ καὶ ἐπὶ τῶν ποτῶν τὸ αὐτὸ τοῦτο συμβαῖνον ἴδοι τις ἄν. καὶ ὥσπερ ἐκεῖ τὸ πεινῆν πρὸ τῆς τῶν ἐδεσμάτων φύσεως [τὴν] ἡδονὴν εἰργάζετο, οὕτω καὶ ἐνταῦθα τὸ διψῆν ἥδιστον ποιεῖν εἴωθε τὸ ποτὸν, κἂν ὕδωρ ᾖ τὸ πινόμενον μόνον. καὶ τοῦτο αὐτὸ ὁ προφήτης ἐμφαίνων ἔλεγεν· Ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς. καίτοι τοῦτο οὐδαμοῦ τῆς γραφῆς ἀνέγνωμεν, ὅτι μέλι ἐκ πέτρας ἐξήγαγεν ὁ Μωϋσῆς, ἀλλὰ πανταχοῦ ποταμοὺς καὶ ὕδατα καὶ ψυχρὰ νάματα. τί ποτε οὖν ἐστι τὸ λεγόμενον; οὐδὲ γὰρ ψεύδεται ἡ γραφή. ἐπειδὴ γὰρ διψῶντες καὶ κατατεινόμενοι τῇ ἐνδείᾳ ψυχροτέροις προσέπιπτον τοῖς νάμασι, τὴν ἡδονὴν τὴν ἐκ τοῦ ποτοῦ παραστῆσαι βουλόμενος, μέλι τὸ ὕδωρ ἐκάλεσεν, οὐχ ὡς τῆς φύσεως μεταβληθείσης εἰς μέλι, ἀλλ' ὡς τῆς διαθέσεως μέλιτος ἡδίω ποιούσης ἐκεῖνα τὰ νάματα. ἔμαθες πῶς* ποτὸν ἡδὺ ποιεῖν εἴωθεν ἡ τῶν διψώντων διάθεσις. πολλοὶ γοῦν πολλάκις πένητες, κάμνοντες καὶ ταλαιπωρηθέντες καὶ τῷ δίψει καταφλεχθέντες, μετὰ τῆς εἰρημένης ἡδονῆς τῶν τοιούτων μετέσχον ναμάτων· οἱ δὲ πλουτοῦντες, οἶνον ἡδὺν καὶ ἀνθοσμίαν καὶ πᾶσαν ἀρετὴν ἔχοντα τὴν ἐν οἴνοις λαβόντες, οὐκ ᾔσθοντο τῆς αὐτοῦ εὐφροσύνης. τοῦτο καὶ ἐπὶ τοῦ ὕπνου γινόμενον ἴδοι τις ἄν. οὐ γὰρ ἁπαλὴ στρωμνὴ, οὐδὲ ἀργυρένδετος κλίνη, οὐδὲ ἡσυχία κατὰ τὸ δωμάτιον γινομένη, οὐδὲ ἄλλο τῶν τοιούτων οὐδὲν τὸν ὕπνον γλυκὺν καὶ προσηνῆ ποιεῖν εἴωθεν, ὡς τὸ πονεῖσθαι καὶ κάμνειν καὶ δεομένους ὕπνου σφόδρα καὶ νυστάζοντας κατακλίνεσθαι. καὶ τοῦτο αὐτὸ μαρτυρεῖ μὲν [καὶ] ἡ τῶν πραγμάτων πεῖρα· μαρτυρεῖ δὲ καὶ πρὸ τῆς τῶν πραγμάτων πείρας καὶ ἡ τῶν γραφῶν ἀπόφασις. ὁ γὰρ ἐν τῇ τρυφῇ συναναστραφεὶς Σολομῶν αὐτὸ τοῦτο δηλῶσαι βουλόμενος ἔλεγεν· Ἡδὺς ὕπνος τῷ δούλῳ, ἄν τε ὀλίγον, ἄν τε πολὺ φάγῃ. τίνος ἕνεκεν προσέθηκεν, ἄν τε πολὺ, ἄν τε ὀλίγον φάγῃ; ἀμφότερα ταῦτα ἀγρυπνίαν ἐμποιεῖν εἴωθεν, ἔνδεια καὶ ἀδηφαγία· ἡ μὲν τὸ σῶμα ξηραίνουσα, καὶ κερατοποιοῦσα τὰ βλέφαρα, καὶ οὐκ ἀφιεῖσα καταστέλλεσθαι· ἡ δὲ τὸ πνεῦμα στενοχωροῦσα καὶ ἀποθλίβουσα καὶ πολλὰς παρέχουσα τὰς ὀδύνας. ἀλλ' ὅμως τοσαύτη ἐστὶν ἡ τῶν πόνων παραμυθία, ὡς εἰ καὶ ταῦτα ἀμφότερα προσγένοιτο, δύνασθαι τὸν οἰκέτην καθεύδειν. ἐπειδὴ γὰρ κατὰ τὴν ἡμέραν ἅπασαν πανταχοῦ περιτρέχουσι διακονούμενοι τοῖς αὐτῶν δεσπόταις, κοπτόμενοι, ταλαιπωρούμενοι, καὶ οὐδὲ μικρὸν ἀναπνέοντες, τῶν καμάτων ἐκείνων καὶ τῶν πόνων ἱκανὴν ἀπολαμβάνουσιν ἀμοιβὴν, τὴν ἐν τῷ καθεύδειν ἡδονήν. καὶ τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἔργον ἐγένετο, τὸ μὴ χρυσῷ καὶ ἀργύρῳ ὠνητὰς εἶναι τὰς ἡδονὰς, ἀλλὰ πόνῳ καὶ μόχθῳ καὶ χρείᾳ καὶ φιλοσοφίᾳ πάσῃ. ἀλλ' οὐχ οἱ

Παροιμ. κζ. ζ.

Εκκλησ. ε. ια.

πλουτοῦντες οὕτως· ἀλλ' ἐπὶ τῶν στρωμάτων κείμενοι πολλάκις δι' ὅλης νυκτὸς ἀγρυπνοῦσι, καὶ πολλὰ μηχανώμενοι, "τῆς αὐτῆς οὐκ ἀπολαύουσιν ἡδονῆς· ὁ δὲ πένης ἐκ τῶν "καθημερινῶν αἰας ας πόνων, κεκμηκότα ἔχων τὰ μέλη, πρὶν ἢ καταπεσεῖν, ἀθρόον καὶ ἡδὺν καὶ γνήσιον τὸν ὕπνον ἐδέξατο, οὐ μικρὸν καὶ τοῦτο τῶν δικαίων πόνων λαμβάνων μισθόν.

Οταν οὖν μετὰ πλείονος ἡδονῆς ὁ πένης καὶ καθεύδῃ καὶ ἐσθίῃ καὶ πίνῃ, τίνος ἔσται λοιπὸν ὁ "πλοῦτος ἄξιος, ὃ δοκεῖ κατὰ τῆς πενίας προτέρημα ἔχειν, καὶ τοῦτο ἀφῃρημένος; διὰ τοῦτο καὶ ἐξ ἀρχῆς ὁ Θεὸς πόνον τῷ ἀνθρώπῳ συνέζευξεν, οὐχὶ τιμωρούμενος αὐτόν, οὐδὲ κολάζων, ἀλλὰ σωφρονίζων καὶ παιδεύων. ὅτε * ἄπονον βίον ἔζη ὁ Ἀδάμ, ἐξέπεσε τοῦ παραδείσου· ὅτε * ἐπίπονον καὶ ἐπίμοχθον ὁ ἀπόστολος, ὃς ἔλεγεν, Ἐν κόπῳ καὶ μόχθῳ νύκτα καὶ ἡμέραν ἐργαζόμενος, τότε ἀπῆλθεν εἰς τὸν παράδεισον καὶ εἰς τρίτον ἀνῆλθεν οὐρανόν. β. Κορ. ια. κζ. μὴ τοίνυν κακίζωμεν πόνον, μηδὲ "διαπτύωμεν ἐργασίαν. καὶ γὰρ πρὸ τῆς βασιλείας τῶν οὐρανῶν, ἐντεῦθεν μεγίστην λαμβάνομεν ἀμοιβήν, τὴν ἐκ τοῦ πράγματος ἡδονὴν καρπούμενοι· οὐχ ἡδονὴν δὲ μόνον, ἀλλὰ [καὶ] ὃ πολλῷ μεῖζόν ἐστιν ἡδονῆς, ὑγείαν καθαρωτάτην. τοῖς μὲν γὰρ πλουτοῦσι μετὰ τῆς * ἀηδίας πολλὰ καὶ τὰ νοσήματα ἐπιρρεῖ· Ⓒ οἱ δὲ πένητες τῶν ἰατρικῶν εἰσιν ἀπηλλαγμένοι χειρῶν. εἰ δέ που καὶ περιπέσοιεν ἀρρωστήματι, ταχέως ἑαυτοὺς ἀνεκτήσαντο, βλακείας ἁπάσης ἀπηλλαγμένοι, καὶ τὰ σώματα εὔρωστα ἔχοντες. μέγα κτῆμα πενία τοῖς φιλοσόφως αὐτὴν φέρουσι, θησαυρὸς ἄσυλος, βακτηρία ἰσχυροτάτη, κτῆσις ἀνεπηρέαστος, καταγώγιον ἀνεπιβούλευτον. ἀλλὰ πλεονεκτεῖται, φησιν, ὁ πένης· ἀλλ' ἐπιβουλεύεται μειζόνως ὁ πλούσιος. καταφρονεῖται ὁ πένης καὶ ὑβρίζεται· ἀλλὰ φθονεῖται ὁ εὔπορος. οὐχ οὕτως ἐστὶν εὐκαταγώνιστος ὁ πένης, ὡς ἔστιν εὐκαταγώνιστος ὁ πλούσιος, μυρίας πανταχόθεν καὶ τῷ διαβόλῳ καὶ τοῖς ἐπιβούλοις παρέχων λαβάς, καὶ πάντων ὢν δοῦλος διὰ τὴν πολλὴν τῶν πραγμάτων περιβολήν. ὁ πολλῶν ἐν χρείᾳ καθεστηκώς, πολλοὺς ἀναγκάζεται κολακεύειν, καὶ μετὰ πολλῆς θεραπεύειν δουλοπρεπείας· ὁ δὲ πένης, ἂν εἰδῇ φιλοσοφεῖν, οὐδὲ ὑπ' αὐτοῦ τοῦ διαβόλου καταγωνισθῆναι δύναται. ὁ γοῦν Ἰὼβ ἰσχυρὸς ὢν καὶ πρὸ τούτου, ἡνίκα τὰ πάντα ἀπέβαλε, τότε γέγονεν ἰσχυρότερος, καὶ λαμπροτέραν ἤρατο κατὰ τοῦ διαβόλου νίκην. ἄλλως δέ, οὐδὲ ὑβρίζεσθαι δύναται ὁ πένης, ἂν εἰδῇ φιλοσοφεῖν. ὅπερ γὰρ ἔφην περὶ τῆς ἡδονῆς, ὅτι ἡ ἡδονὴ οὐκ ἐν τῇ πολυτελείᾳ τῶν σιτίων, ἀλλ' ἐν τῇ διαθέσει κεῖται τῶν ἑστιωμένων, τοῦτο καὶ περὶ τῆς ὕβρεως λέγω, ὅτι * ὕβρις οὐκ ἀπὸ τῆς γνώμης τῶν ὑβριζόντων, ἀλλ' ἀπὸ τῆς διαθέσεως τῶν πασχόντων ἢ συνίσταται ἢ ἀπόλλυται. οἷόν τι λέγω· ὕβρισέ τις πολλὰ ῥητὰ καὶ ἄρρητα. ἂν καταγελάσῃς τῶν ὕβρεων, ἂν μὴ παραδέξῃ τὰ ῥήματα, καὶ ἀνώτερος γένῃ τῆς πληγῆς, οὐχ ὑβρίσθης. καὶ καθάπερ εἰ σῶμα ἀδαμάντινον εἴχομεν, εἰ καὶ μυρίοις πανταχόθεν ἐβαλλόμεθα βέλεσιν, οὐκ ἂν ἐδεξάμεθα τὰς πληγάς (οὐ γὰρ ἀπὸ τῆς ἀφιείσης τὰ βέλη χειρός, ἀλλ' ἀπὸ τῶν πασχόντων σωμάτων τὰ τραύματα γίνεται) οὕτω δὴ καὶ ἐνταῦθα, οὐκ ἀπὸ τῆς μανίας τῶν ὑβριζόντων, ἀλλ' ἀπὸ τῆς ἀσθενείας τῶν ὑβριζομένων αἱ ὕβρεις καὶ αἱ τῶν ὕβρεων ἀτιμίαι συνίστανται. ἂν οὖν εἰδῶμεν φιλοσοφεῖν, οὐδὲ ὑβρίζεσθαι δυνάμεθα, οὐδὲ πάσχειν τι τῶν δεινῶν. ὕβριζεν ὁ δεῖνα. οὐκ ᾐσθάνθης, οὐκ ἤλγησας· οὐχ ὑβρίσθης, ἀλλὰ καὶ μᾶλλον ἔπληξας, ἢ ἐπλήγης. ὅταν γὰρ ὁ ὑβρίσας ἴδῃ μὴ "καθικνουμένην αὐτοῦ τὴν πληγὴν τῆς τῶν λοιδορηθέντων ψυχῆς, αὐτὸς δάκνεται μειζόνως, καὶ τῶν ὑβριζομένων σιγώντων αὐτόματος ἡ πληγὴ τῆς ὕβρεως κατὰ τοῦ πέμψαντος ὑποστρέψασα φέρεται. φιλοσοφῶμεν τοίνυν ἐν ἅπασιν, ἀγαπητοί, καὶ οὐδὲν ἡμᾶς πενία παραβλάψαι δυνήσεται, ἀλλὰ καὶ ὠφελήσει τὰ μέγιστα, καὶ λαμπροτέρους ἐργάσεται, καὶ πάντων τῶν πλουτούντων εὐπορωτέρους. τί γάρ, εἰπέ μοι, τοῦ Ἠλία πενέστερον ἦν*; ἀλλὰ διὰ τοῦτο πάντας ἐνίκα τοὺς πλουτοῦντας, ἐπειδὴ οὕτω πένης ἦν, καὶ αὐτὴν δὲ τὴν πενίαν ἀπὸ πλουτούσης εἵλετο διανοίας. ἐπεὶ γὰρ ἅπαντα τὸν τῶν χρημάτων πλοῦτον ἐλάττονα τῆς ἑαυτοῦ μεγαλοψυχίας ἐνόμιζεν εἶναι, καὶ οὐκ ἄξιον αὐτοῦ τῆς φιλοσοφίας, διὰ τοῦτο πενίαν τοσαύτην ἠσπάσατο· ὡς, εἰ μεγάλα τὰ παρόντα ἐνόμιζεν εἶναι, οὐκ ἂν μηλωτὴν ἐκτήσατο μόνον, ἀλλ' οὕτω κατέγνω τῆς παρούσης ματαιότητος ἁπάσης, καί, ὡς πηλὸν ἐρριμμένον, τὸ χρυσίον ἅπαν ἑώρα, ὡς τῆς περιβολῆς ἐκείνης μηδὲν κτήσασθαι πλέον. διὰ τοῦτο ὁ βασιλεὺς τοῦ πένητος ἐδεῖτο, καὶ πρὸς τὸ στόμα ἐκεχήνει τοῦ μηδὲν πλέον μηλωτῆς ἔχοντος ὁ τοσοῦτον χρυσίον ἔχων. οὕτω λαμπροτέρα τῆς πορφυρίδος ἡ μηλωτὴ ἦν, καὶ τῶν βασιλικῶν αὐλῶν τὸ σπήλαιον τοῦ δικαίου. διὰ τοῦτο καὶ εἰς τὸν οὐρανὸν ἀνιών, οὐδὲν ἕτερον, ἀλλ' ἢ τὴν μηλωτὴν* τῷ μαθητῇ κατέλιπε. μετὰ ταύτης, φησίν, ἐπάλαισα τῷ διαβόλῳ· ταύτην λαβὼν ὁπλίζου καὶ σὺ κατ' ἐκείνου. ἰσχυρὸν γὰρ ὅπλον ἀκτημοσύνη, καὶ ἀκαταγώνιστον καταγώγιον, καὶ πύργος ἀσάλευτος. ἐδέξατο, καθάπερ μεγίστην κληρονομίαν, τὴν μηλωτὴν ὁ Ἐλισσαῖος· καὶ γὰρ ἦν ἀληθῶς μεγίστη κληρονομία, παντὸς χρυσίου* τιμιωτέρα. καὶ ἦν ἐκ τότε διπλοῦς Ἡλίας ἐκεῖνος, καὶ ἦν ἄνω Ἡλίας, καὶ κάτω Ἡλίας. οἶδα ὅτι μακαρίζετε τὸν δίκαιον ἐκεῖνον, καὶ ἐβούλεσθε αὐτὸς ἕκαστος ἐκεῖνος εἶναι. τί οὖν, ἂν ὑμῖν ἐπιδείξω, ὅτι ἕτερόν τι πολλῷ μεῖζον ἐκείνου πάντες ἐλάβομεν οἱ μεμυσταγωγημένοι; ὁ μὲν γὰρ Ἡλίας μηλωτὴν ἀφῆκε τῷ μαθητῇ, ὁ δὲ υἱὸς τοῦ Θεοῦ ἀναβαίνων τὴν σάρκα ἡμῖν κατέλιπε τὴν ἑαυτοῦ. καὶ ὁ μὲν Ἡλίας ἀποδυσάμενος, ὁ δὲ Χριστὸς καὶ ἡμῖν κατέλιπε, καὶ ἔχων αὐτὴν ἀνῆλθε. μὴ τοίνυν καταπίπτωμεν, μηδὲ ὀδυρώμεθα, μηδὲ δυσκολίαν φοβώμεθα καιρῶν. ὁ γὰρ τὸ αἷμα αὐτοῦ μὴ παραιτησάμενος ὑπὲρ πάντων ἐκχέαι, καὶ τῆς σαρκὸς ἡμῖν* μεταδοὺς καὶ αὐτοῦ τοῦ αἵματος πάλιν, τί παραιτήσεται τῆς ἡμετέρας ποιῆσαι ἕνεκεν σωτηρίας; ταύταις τοίνυν θαρροῦντες ταῖς ἐλπίσι*, παρακαλῶμεν αὐτὸν διηνεκῶς, καὶ εὐχαῖς καὶ ἱκετηρίαις προσανέχωμεν, καὶ τῆς λοιπῆς ἀρετῆς ἐπιμελώμεθα μετὰ ἀκριβείας ἁπάσης· ἵνα καὶ τὸν ἐπικείμενον διαφύγωμεν κίνδυνον, καὶ τῶν μελλόντων ἀξιωθῶμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΗΝ ΑΠΟΔΗΜΙΑΝ, ΗΝ ΕΠΟΙΗΣΑΤΟ Ο ΕΠΙσκοπος Ἀντιοχείας Φλαβιανός, ὑπὲρ τῆς πόλεως πρεσβευόμενος πρὸς τὸν βασιλέα Θεοδόσιον, διὰ τὴν εἰς τοὺς ἀνδριάντας ὕβριν· καὶ ὅτι μείζων παρὰ Θεῷ βασιλείας ἱερωσύνη, καὶ χρὴ διὰ τοῦτο θαρρεῖν· καὶ τίς ἐστιν ἡ ἀληθὴς νηστεία, καὶ τίνος ἕνεκεν οἱ Νινευῖται καὶ τὰ ἄλογα νηστεῦσαι παρεσκεύασαν· καὶ ὅτι τοῦ σῶμα ἀνθρώπινον φαγεῖν τὸ κατηγορῆσαι χεῖρον· καὶ πρὸς τῷ τέλει περὶ τῶν σφαγέντων διὰ τὴν στάσιν, καὶ πρὸς τοὺς ἐγκαλοῦντας, ὅτι πολλοὶ τῶν ἀναιτίων ἑάλωσαν.

Ὅταν εἰς τὸν θρόνον ἀπίδω τοῦτον ἔρημον ὄντα καὶ κενὸν τοῦ διδασκάλου, χαίρω τε ὁμοῦ καὶ δακρύω. δακρύω μέν, ὅτι παρόντα οὐχ ὁρῶ τὸν πατέρα· χαίρω δέ, ὅτι ὑπὲρ τῆς ἡμετέρας ἀπεδήμησε σωτηρίας, καὶ δῆμον τοσοῦτον ἀπῆλθεν ὀργῆς ἐξαρπάσαι βασιλικῆς. τοῦτο καὶ ὑμῖν κόσμος, κἀκείνῳ στέφανος· ὑμῖν μὲν κόσμος, ὅτι τοιοῦτον ἐκληρώθητε πατέρα· στέφανος δὲ ἐκείνῳ, ὅτι περὶ τὰ ἔκγονα οὕτως ἐστὶ φιλόστοργος, καὶ τὸ παρὰ τοῦ Χριστοῦ λεχθὲν δι' αὐτῶν ἐβεβαίωσε τῶν πραγμάτων. ἀκούσας γάρ, ὅτι Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων, ἀπῆλθε τὴν ψυχὴν αὐτοῦ θήσων ὑπὲρ ἡμῶν ἁπάντων. καί τοι πολλὰ ἦν αὐτὸν τὰ κωλύοντα ἀπελθεῖν, καὶ

Ιωαν. ι. ια.

καὶ καταναγκάζοντα μένειν· καὶ πρῶτον ἡ ἡλικία πρὸς ἔσχατον ἐλάσασα γῆρας, εἶτα ἡ τοῦ σώματος ἀσθένεια, καὶ τοῦ ἔτους ἡ ὥρα, καὶ τῆς ἁγίας ἑορτῆς ἡ ἀνάγκη· πρὸς τούτοις ἡ ἀδελφὴ, ἡ μόνη οὖσα αὐτῷ, καὶ πρὸς ἐσχάτας οὖσα ἀναπνοάς. Ἀλλ᾽ ὅμως καὶ συγγένειαν παρεῖδε, καὶ γῆρας, καὶ ἀσθένειαν, καὶ καιροῦ δυσκολίαν, καὶ ὁδοιπορίας ταλαιπωρίαν, καὶ πάντων ὑμᾶς καὶ τὴν ὑμετέραν σωτηρίαν προθεὶς, ἅπαντα ταῦτα διέῤῥηξε τὰ δεσμά· καὶ καθάπερ νέος, ὁ γέρων ἐλαύνει νῦν, ὑπόπτερος τῇ προθυμίᾳ γινόμενος. Εἰ γὰρ Χριστὸς, φησὶν, ὑπὲρ ἡμῶν ἑαυτὸν ἐπέδωκε, τίνος ἂν εἴημεν ἡμεῖς ἀπολογίας καὶ συγγνώμης ἄξιοι, τοσούτου λαοῦ προστασίαν ἐγκεχειρισμένοι, καὶ μὴ πάντα αἱρούμενοι καὶ ποιῆσαι καὶ παθεῖν ὑπὲρ τῆς τῶν ἐγχειρισθέντων ἡμῖν ἀσφαλείας; Εἰ γὰρ ὁ πατριάρχης, φησὶν, Ἰακὼβ, θρεμμάτων προεστὼς, καὶ πρόβατα ἄλογα βόσκων, καὶ ἀνθρώπῳ μέλλων εὐθύνας διδόναι, καὶ νύκτας ἀΰπνους διῆγε, καὶ καῦμα καὶ κρύος καὶ πᾶσαν ἀέρων ἀνωμαλίαν ἔφερεν, ὥστε μηδὲν παραπολέσθαι τῶν θρεμμάτων ἐκείνων· πολλῷ μᾶλλον ἡμᾶς τοὺς οὐκ ἀλόγοις ἐφεστῶτας, ἀλλὰ πνευματικοῖς προβάτοις, καὶ οὐκ ἀνθρώπῳ, ἀλλὰ τῷ Θεῷ τῆς ἐπιστασίας ταύτης διδόναι μέλλοντας τὰς εὐθύνας, πρὸς οὐδὲν ὀκνεῖν καὶ ἀναδύεσθαι χρὴ τῶν δυναμένων ὠφελῆσαι τὸ ποίμνιον· ἀλλ᾽ ὅσῳ βελτίων ἡ ποίμνη αὕτη τῆς ποίμνης ἐκείνης, καὶ ἀλόγων μὲν ἄνθρωποι, ἀνθρώπων δὲ ὁ Θεὸς· τοσούτῳ καὶ ἡμᾶς πλείω καὶ σφοδροτέραν τὴν σπουδὴν καὶ τὴν προθυμίαν ἐπιδείκνυσθαι χρή. Ἔγνω καλῶς ἐκεῖνος, ὅτι οὐχ ὑπὲρ μιᾶς πόλεως αὐτῷ νῦν ὁ λόγος, ἀλλ᾽ ὑπὲρ τῆς ἀνατολῆς ἁπάσης. Τῶν γὰρ πόλεων τῶν ὑπὸ τὴν ἕω κειμένων κεφαλὴ καὶ μήτηρ ἐστὶν ἡ πόλις ἡ ἡμετέρα. Διὰ τοῦτο πάντα ὑπέμεινε κίνδυνον, καὶ οὐδὲν αὐτὸν ἐνταῦθα κατασχεῖν ἴσχυσε. Διὰ τοῦτο ἐλπίζω χρηστὰς ἔσεσθαι τὰς ἐλπίδας. Οὐ γὰρ παρόψεται τοσαύτην προθυμίαν καὶ σπουδὴν ὁ Θεὸς, οὐδὲ ἐάσει τὸν ἑαυτοῦ θεράποντα ἄπρακτον ἐπανελθεῖν. Οἶδα ὅτι καὶ μόνον ὀφθεὶς ἐκεῖνος, καὶ τὸν εὐσεβῆ βασιλέα θεασάμενος, ἀπὸ τῆς ὄψεως αὐτῆς εὐθέως καταστεῖλαι δυνήσεται τὸν θυμόν. Τῶν γὰρ ἁγίων οὐχὶ τὰ ῥήματα μόνον, ἀλλὰ καὶ αὐτὰ τὰ πρόσωπα πνευματικῆς γέμει χάριτος. Ἔστι δὲ καὶ πολλῆς σοφίας ἐμπέπλησται, καὶ τῶν θείων νόμων ἔμπειρος ὢν ἐρεῖ πρὸς αὐτὸν, ὅπερ καὶ πρὸς τὸν Θεὸν ὁ Μωϋσῆς· Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, κἀμὲ ἀπόκτεινον μετ᾽ αὐτῶν. Τοιαῦτα γὰρ τῶν ἁγίων τὰ σπλάγχνα· τὸν μετὰ τῶν τέκνων θάνατον τῆς χωρὶς αὐτῶν ζωῆς γλυκύτερον εἶναι νομίζουσι. Προσθήσει καὶ τὴν ἀπὸ τοῦ καιροῦ συνηγορίαν, καὶ τὸ πάσχα τὸ ἱερὸν προβαλεῖται, καὶ ἀναμνήσει τοῦ καιροῦ, καθ᾽ ὃν τῇ οἰκουμένῃ πάσῃ τὸ ἁμάρτημα ἀφῆκεν ὁ Χριστός. Παρακαλέσει μιμήσασθαι τὸν δεσπότην· ἀναμνήσει καὶ τῆς παραβολῆς αὐτὸν ἐκείνης τῆς τῶν μυρίων ταλάντων, καὶ * τῶν ἑκατὸν δηναρίων. Οἶδα τοῦ πατρὸς ἡμῶν τὴν παῤῥησίαν· οὐ παραιτήσεται αὐτὸν ἀπὸ τῆς παραβολῆς ταύτης φοβῆσαι καὶ εἰπεῖν· Ὅρα μήποτε καὶ σὺ κατ᾽ ἐκείνην ἀκούσῃς τὴν ἡμέραν· Πονηρὲ δοῦλε*, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με· ἔδει καὶ σὲ ἀφεῖναι τοῖς συνδούλοις σου. Σαυτὸν ὠφελεῖς μειζόνως ἢ ἐκείνους, ἐν τῇ τῶν ὀλίγων ἁμαρτημάτων συγχωρήσει τῶν μειζόνων τὴν ἀμνηστίαν λαμβάνων. Προσθήσει τοῖς εἰρημένοις καὶ τὴν εὐχὴν ἐκείνην, ἣν οἱ μυσταγωγήσαντες αὐτὸν τὴν ἱερὰν μυσταγωγίαν ἐπαίδευσαν εὔχεσθαι καὶ λέγειν· Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, καθὼς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Διδάξει μετὰ τούτων, ὅτι οὐ κοινὸν τῆς πόλεως τὸ ἁμάρτημα γέγονεν, ἀλλ᾽ ἀνθρώπων τινῶν ξένων καὶ ἐπηλύδων, οὐδὲν λογισμῷ ποιούντων, ἢ τόλμῃ καὶ παρανομίᾳ πάσῃ· καὶ οὐκ ἂν εἴη δίκαιον ὑπὲρ τῆς ὀλίγων ἀπαιδευσίας πόλιν τοσαύτην ἀναρπάζεσθαι, καὶ τοὺς οὐδὲν ἠδικηκότας διδόναι δίκην. Καίτοι καὶ εἰ πάντες ἡμαρτηκότες ἦσαν, ἱκανὴν ἔδωκαν δίκην, ἐπὶ τοσαύταις ἡμέραις φόβῳ δαπανώμενοι, καὶ καθ᾽ ἑκάστην ἀποθανεῖσθαι προσδοκῶντες τὴν ἡμέραν, ἐλαυνόμενοι, φυγαδευόμενοι, τῶν καταδίκων ἐλεεινότερον ζῶντες, τὸ αἷμα ἐν ταῖς χερσὶ βαστάζοντες, καὶ οὐ θαῤῥοῦντες αὐτῶν τῇ ζωῇ. Ἀρκέσθητι τῇ τιμωρίᾳ

Γεν. κθ.

Ἐξοδ. λβ. λβ.

Ματθ. ιη. λβ.

Ματθ. ϛ. ιβ.

ταύτῃ, μὴ παρέλθῃς περαιτέρω τῆς ὀργῆς, ἥμερον σεαυτῷ ποίησον τὸν ἄνω δικαστὴν διὰ "τῆς εἰς τοὺς συνδούλους" φιλανθρωπίας. ἐννόησον τὸ τῆς πόλεως μέγεθος, καὶ ὅτι οὐ περὶ μιᾶς καὶ δύο καὶ τριῶν καὶ δέκα ψυχῶν ἐστὶν ἡμῖν ἡ σκέψις νῦν, ἀλλὰ περὶ μυριάδων ἀπείρων, περὶ τοῦ κεφαλαίου τῆς οἰκουμένης ἁπάσης. αὕτη ἡ πόλις ἐστὶν, ἐν ᾗ πρῶτον ἐχρημάτισαν χριστιανοί. τίμησον τὸν Χριστὸν, αἰδέσθητι τὴν πρώτην ἀνακηρύξασαν τὸ ποθεινὸν τοῦτο καὶ γλυκὺ πᾶσιν ὄνομα. ἀποστόλων ἐκείνη γέγονε καταγώγιον, δικαίων ἐνδιαίτημα· νῦν τοῦτο πρῶτον καὶ μόνον τὸ τόλμημα γέγονεν εἰς τοὺς κρατοῦντας. καὶ [γὰρ] μάρτυς τῶν τῆς πόλεως ἠθῶν πᾶς ὁ παρελθὼν χρόνος. εἰ μὲν γὰρ συνεχῶς ἐστασίαζον, ἔδει καταγνῶναι τῆς πονηρίας· εἰ δὲ ἅπαξ τοῦ παντὸς τοῦτο συνέβη χρόνου, εὔδηλον ὅτι οὐ τοῦ τῆς πόλεως ἤθους τὸ ἁμάρτημα, ἀλλὰ τῶν ἁπλῶς καὶ εἰκῇ προσφθαρέντων αὐτῇ τὸ παρανόμημα γέγονε τοῦτο.

Ταῦτα ὁ ἱερεὺς ἐρεῖ καὶ πλείονα τούτων μετὰ "μείζονος τῆς παρρησίας· ταῦτα ὁ βασιλεὺς ἀκούσεται. κἀκεῖνος φιλάνθρωπος, καὶ οὗτος χρηστός· ὥστε ἀμφοτέρωθεν χρηστὰς ἔχομεν τὰς ἐλπίδας· μᾶλλον δὲ καὶ πρὸ τῆς πίστεως τοῦ διδασκάλου, καὶ πρὸ τῆς φιλανθρωπίας τοῦ βασιλέως τῷ ἐλέει θαρροῦμεν τοῦ Θεοῦ. καὶ γὰρ ἱκετευομένου τοῦ βασιλέως, καὶ ἱκετεύοντος τοῦ ἱερέως, αὐτὸς παραστήσεται μέσος, τοῦ βασιλέως μαλάττων τὴν καρδίαν, τοῦ ἱερέως διεγείρων τὴν γλῶτταν, εὐοδῶν τούτου τὰ ῥήματα, παρασκευάζων ἐκείνου τὴν διάνοιαν ὑποδέξασθαι τὰ λεγόμενα, καὶ μετὰ πολλῆς τῆς συγγνώμης ἐπινεῦσαι ταῖς δεήσεσι. καὶ γὰρ τῷ Χριστῷ ποθεινοτέρα πασῶν ἡ πόλις ἡ ἡμετέρα καὶ διὰ τὴν τῶν προγόνων, καὶ διὰ τὴν ὑμῶν αὐτῶν ἀρετήν. καὶ καθάπερ ὁ Πέτρος ἐν τοῖς ἀποστόλοις πρῶτος ἐκήρυξε τὸν Χριστὸν, οὕτως ἐν ταῖς πόλεσι (καθάπερ ἔφθην εἰπὼν) αὕτη πρώτη, ὥσπερ στέφανόν τινα θαυμαστὸν, τὴν τῶν χριστιανῶν ἀνεδήσατο προσηγορίαν. εἰ δὲ ἔνθα δέκα δίκαιοι μόνον ἦσαν, ὑπέσχετο ὁ Θεὸς σώζειν τοὺς ἐνοικοῦντας ἅπαντας· ἔνθα οὐ δέκα "καὶ εἴκοσιν, οὐδὲ δὶς τοσοῦτοι μόνον, ἀλλὰ πολλῷ πλείους τοῦ τὸν Θεὸν εἰσι θεραπεύοντες μετ' ἀκριβείας ἁπάσης, πῶς οὐ τὰ χρηστὰ χρὴ προσδοκᾶν, καὶ θαρρεῖν ὑπὲρ τῆς κοινῆς ἡμῶν ἁπάντων ζωῆς; πολλῶν * ἤκουσα λεγόντων *, Ἀπειλὴ βασιλέως ὁμοία θυμῷ λέοντος, καὶ καταπιπτόντων καὶ ὀδυρομένων. τί δῆτ' ἂν εἴποιμεν πρὸς ἐκείνους; ὅτι ὁ εἰπὼν, Λύκοι καὶ ἄρνες ἅμα βοσκηθήσονται, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ, καὶ λέων ὡς βοῦς φάγεται ἄχυρα, δυνήσεται καὶ τὸν λέοντα τοῦτον ποιῆσαι πρόβατον ἥμερον. παρακαλῶμεν τοίνυν αὐτὸν, καὶ διαπρεσβευώμεθα πρὸς αὐτὸν, καὶ καταστελεῖ πάντως τὸν θυμὸν τοῦ βασιλέως, καὶ τῆς ἐπικειμένης ἡμᾶς ἀγωνίας ἀπαλλάξει πάσης. ὁ πατὴρ ἐκεῖ πρεσβεύεται· ἡμεῖς ἐντεῦθεν πρεσβευσώμεθα πρὸς τὸν τῶν οὐρανῶν βασιλέα. βοηθήσωμεν αὐτῷ ταῖς εὐχαῖς. μέγα τὸ κοινὸν τῆς ἐκκλησίας "δύναται, ἂν μετ' ὀδυνωμένης ψυχῆς, ἂν μετὰ συντετριμμένης καρδίας τὰς εὐχὰς ἀνενέγκωμεν. οὐκ ἔστι διαβῆναι πέλαγος, οὐκ ἔστι μακρὰν ἀποδημίαν στείλασθαι. ἕκαστος καὶ ἑκάστη, καὶ εἰς ἐκκλησίαν ἀπαντῶντες, καὶ οἴκοι μένοντες καλῶμεν μετὰ πολλῆς σπουδῆς τὸν Θεὸν, καὶ πάντως ἐπινεύσει ταῖς δεήσεσι. πόθεν τοῦτο δῆλον; ὅτι σφόδρα βούλεται ἡμᾶς ἀεὶ πρὸς αὐτὸν καταφεύγειν, καὶ ἐν ἅπασιν αὐτοῦ δεῖσθαι, καὶ μηδὲν αὐτοῦ χωρὶς ποιεῖν ἢ λέγειν. ἄνθρωποι μὲν γὰρ, ὅταν συνεχῶς αὐτοὺς ἐνοχλῶμεν ὑπὲρ τῶν ἡμετέρων πραγμάτων, ναρκῶσι καὶ ἀναδύονται, καὶ ἀηδῶς πρὸς ἡμᾶς ἔχουσιν· ὁ δὲ Θεὸς τοὐναντίον ἅπαν. οὐχ ὅταν αὐτῷ συνεχῶς ἐντυγχάνωμεν "περὶ τῶν ἡμετέρων πραγμάτων, ἀλλ' ὅταν μὴ τοῦτο ποιῶμεν, τότε μάλιστα ἀγανακτεῖ. ἄκουσον γοῦν τί τοῖς Ἰουδαίοις ἐγκαλεῖ λέγων· Ἐποιήσατε βουλὴν, καὶ οὐ δι' ἐμοῦ· καὶ συνθήκας, καὶ οὐ διὰ τοῦ πνεύματός μου. τοιοῦτον γὰρ τῶν φιλούντων τὸ ἔθος· πάντα τὰ τῶν φιλουμένων πράγματα δι' αὐτῶν ἀνύεσθαι βούλονται, καὶ μηδὲν χωρὶς αὐτῶν ἐκείνους μηδὲ ποιεῖν,

Παροιμ. ιθ.
ις. καὶ κ.ϛ.
Ἡσ. ια. ζ.

Ἡσ. λ. α.

ποιεῖν, μηδὲ λέγειν. διὰ τοῦτο καὶ ὁ Θεὸς οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἀλλαχοῦ τὸ αὐτὸ τοῦτο [πάλιν] ἐγκαλῶν, * ἔλεγεν· Ἐβασίλευσαν, καὶ οὐ δι' ἐμοῦ· ἦρξαν, καὶ οὐκ ἐγνώρισάν μοι.

Ωσ. η. δ.

μὴ τοίνυν ὀκνῶμεν * συνεχῶς πρὸς αὐτὸν καταφεύγειν, καὶ ὅπερ ἂν ᾖ δεινὸν, πάντως λήψεται τὴν προσήκουσαν λύσιν. ἐφοβήθη τις ἄνθρωπος· δράμε πρὸς τὸν ἄνω δεσπότην, καὶ οὐδὲν πείσῃ δεινόν. οὕτως οἱ παλαιοὶ τὰς συμφορὰς ἔλυον, οὐκ ἄνδρες δὲ μόνον, ἀλλὰ καὶ γυναῖκες. ἐγένετό τις Ἑβραία γυνὴ, Ἐσθὴρ ὄνομα αὐτῇ. αὕτη ἡ Ἐσθὴρ ὅλον τὸν Ἰουδαίων τὸν δῆμον πανωλεθρίᾳ παραδίδοσθαι μέλλοντα, τούτῳ τῷ τρόπῳ ἐξήρπασεν. ἐπεὶ γὰρ ὁ τῶν Περσῶν βασιλεὺς πάντας ἄρδην ἀναιρεῖσθαι τοὺς Ἰουδαίους ἐκέλευσε, καὶ οὐδεὶς ἦν ὁ πρὸς τὴν ὀργὴν ἐκείνην στῆναι δυνάμενος, ἀποδυσαμένη τὴν φαιδροτέραν στολὴν ἡ γυνὴ, καὶ σάκκον περιβαλλομένη, καὶ σποδὸν ὑποστρωσαμένη, παρεκάλει τὸν φιλάνθρωπον Θεὸν συνεισελθεῖν αὐτῇ πρὸς τὸν βασιλέα, καὶ τοιαῦτα προσευχομένη πρὸς αὐτὸν ῥήματα ἔλεγε· Χάρισον, Κύριε, τὰ ῥήματά μου, καὶ δὸς λόγον εὔρυθμον εἰς τὸ στόμα μου.

Εσθ. ιδ. ιγ.

ταῦτα καὶ περὶ τοῦ διδασκάλου παρακαλῶμεν νῦν ἡμεῖς τὸν Θεόν. εἰ γὰρ γυνὴ ὑπὲρ Ἰουδαίων παρακαλοῦσα, βαρβαρικὸν ἴσχυσε καταστεῖλαι θυμὸν, πολλῷ μᾶλλον ὁ διδάσκαλος ὁ ἡμέτερος ὑπὲρ τοιαύτης πόλεως καὶ μετὰ τοσαύτης ἐκκλησίας δεόμενος, τὸν πρᾳότατον καὶ ἡμερώτατον βασιλέα [τοῦτον] πεῖσαι δυνήσεται. εἰ γὰρ τὰς εἰς τὸν Θεὸν ἁμαρτίας λύειν ἔλαβεν ἐξουσίαν, πολλῷ μᾶλλον τὰς εἰς ἄνθρωπον γινομένας ἀνελεῖν καὶ ἀφανίσαι δυνήσεται. ἄρχων ἐστὶ καὶ οὗτος, καὶ ἄρχων ἐκείνου σεμνότερος *. καὶ γὰρ αὐτὴν τὴν βασιλικὴν κεφαλὴν οἱ ἱεροὶ νόμοι ταῖς τούτου φέροντες χερσὶν ὑπέταξαν. καὶ ὅταν τι δέοι γενέσθαι χρηστὸν, ἄνωθεν ὁ βασιλεὺς πρὸς τὸν ἱερέα, οὐχ ὁ ἱερεὺς πρὸς τὸν βασιλέα καταφεύγειν εἴωθεν. ἔχει καὶ οὗτος θώρακα, τὸν τῆς δικαιοσύνης· ἔχει καὶ ζώνην, τὴν ἀπὸ τῆς ἀληθείας· ἔχει καὶ ὑποδήματα πολλῷ σεμνότερα, τὰ ἀπὸ τοῦ εὐαγγελίου τῆς εἰρήνης· ἔχει καὶ μάχαιραν, οὐ τὴν ἀπὸ σιδήρου, ἀλλὰ τὴν ἀπὸ τοῦ πνεύματος· ἔχει καὶ στέφανον ἐπὶ τῆς κεφαλῆς κείμενον. λαμπροτέρα αὕτη ἡ παντευχία, σεμνότερα τὰ ὅπλα, μείζων ἡ παῤῥησία, πλείων ἡ ἰσχύς. ὥστε καὶ ἀπὸ τοῦ τῆς ἀρχῆς ὄγκου, καὶ ἀπὸ τῆς οἰκείας μεγαλοψυχίας, καὶ πρὸ τῶν ἄλλων ἁπάντων ἀπὸ τῆς εἰς τὸν Θεὸν ἐλπίδος μετὰ πολλῆς τῆς παῤῥησίας, μετὰ πολλῆς τῆς συνέσεως διαλέξεται τῷ βασιλεῖ.

Μὴ τοίνυν ἀπογινώσκωμεν ὑπὲρ τῆς ἡμῶν αὐτῶν σωτηρίας· ἀλλὰ δεώμεθα, παρακαλῶμεν, ἱκετεύωμεν, πρεσβευώμεθα πρὸς τὸν ἄνω βασιλέα μετὰ δακρύων πολλῶν. ἔχομεν καὶ τὴν νηστείαν ταύτην σύμμαχον, καὶ τῆς καλῆς ταύτης συνεφαπτομένην ἡμῖν πρεσβείας. καθάπερ οὖν χειμῶνος παρελθόντος καὶ θέρους φανέντος, ἕλκει μὲν πρὸς τὸ πέλαγος τὸ πλοῖον ὁ ναύτης· ἀποσμήχει δὲ ὁ στρατιώτης τὰ ὅπλα, καὶ παρασκευάζει τὸν ἵππον εἰς πόλεμον, καὶ γεωργὸς ἀκονᾷ τὴν δρεπάνην, καὶ ὁδοιπόρος θαῤῥῶν ἀποδημίας ἅπτεται μακρᾶς, καὶ πρὸς τοὺς ἀγῶνας ἀθλητὴς ἀποδύεται καὶ γυμνοῦται· οὕτω δὴ καὶ ἡμεῖς, καθάπερ θέρους πνευματικοῦ τινος τῆς νηστείας φανείσης, καὶ ὡς στρατιῶται τὰ ὅπλα ἀποσμήξωμεν, καὶ ὡς γεωργοὶ τὴν δρεπάνην ἀκονήσωμεν, καὶ ὡς κυβερνῆται πρὸς τὰ κύματα τῶν ἀτόπων ἐπιθυμιῶν τοὺς λογισμοὺς ἀντιτάξωμεν, καὶ ὡς ὁδῖται τῆς εἰς τὸν οὐρανὸν ἀποδημίας ἁψώμεθα, καὶ ὡς ἀθληταὶ πρὸς τοὺς ἀγῶνας ἀποδυσώμεθα. ὁ γὰρ πιστὸς, καὶ γεωργὸς, καὶ κυβερνήτης, καὶ στρατιώτης, καὶ ἀθλητὴς, καὶ ὁδοιπόρος ἐστί. διὰ τοῦτο καὶ ὁ Παῦλός φησιν· Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας. ἐνδύσασθε οὖν τὴν πανοπλίαν τοῦ Θεοῦ.

Εφεσ. ς. ιβ.

εἶδες τὸν ἀθλητήν; εἶδες τὸν στρατιώτην; εἰ ἀθλητὴς εἶ, γυμνόν σε εἰς τὸν ἀγῶνα εἰσελθεῖν δεῖ· εἰ στρατιώτης εἶ, καθωπλισμένον σε ἐπὶ τῆς παρατάξεως ἑστάναι χρή. πῶς οὖν ἀμφότερα ταῦτα εἶναι δυνατὸν, καὶ γυμνὸν εἶναι καὶ οὐ γυμνὸν, καὶ ἐνδεδυμένον καὶ οὐκ ἐνδεδυμένον; πῶς; ἐγὼ λέγω. ἀπόδυσαι τὰ βιωτικὰ

πράγματα, καὶ γέγονας ἀθλητής· ἔνδυσαι τὰ ὅπλα τὰ πνευματικά, καὶ γέγονας στρατιώτης· γύμνωσον σαυτὸν τῶν βιωτικῶν φροντίδων, πάλης γάρ ἐστιν ὁ καιρός· ἔνδυσαι τὰ πνευματικὰ ὅπλα, πόλεμος γὰρ ἡμῖν πρὸς δαίμονας συγκεκρότηται χαλεπός. διὰ τοῦτο καὶ γυμνὸν εἶναι χρή, ὥστε μηδεμίαν λαβὴν τῷ διαβόλῳ παρέχειν παλαίοντι πρὸς ἡμᾶς, καὶ καθωπλίσθαι πάντοθεν, ὥστε μηδαμόθεν καιρίαν δέξασθαι πληγήν. γεώργησόν σου τὴν ψυχήν, καὶ τὰς ἀκάνθας ἔκτεμε, σπεῖρον τὸν λόγον τῆς εὐσεβείας, τὰ καλὰ τῆς φιλοσοφίας φύτευσον φυτά, καὶ μετὰ πολλῆς θεράπευε τῆς ἐπιμελείας, καὶ γέγονας γεωργός·
β. Τιμ. β. ς. καὶ ἐρεῖ πρὸς σὲ ὁ Παῦλος, τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. ταύτην καὶ αὐτὸς μετῄει τὴν τέχνην. διὰ τοῦτο Κορινθίοις ἐπιστέλλων ἔλεγεν· Ἐγὼ
α. Κορ. γ. ς. ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ὁ δὲ Θεὸς ηὔξησεν. ἀκόνησόν σου τὴν δρεπάνην, ἣν ἠμβλύνας διὰ τῆς ἀδηφαγίας, ἀκόνησον διὰ τῆς νηστείας· ἅψαι τῆς ὁδοιπορίας τῆς εἰς τὸν οὐρανὸν φερούσης, τῆς τεθλιμμένης καὶ στενῆς ἅψαι, καὶ ὅδευσον. πῶς δὲ δυνήσῃ καὶ ἅψασθαι καὶ ὁδεῦσαι; ὑπωπιάζων σου τὸ σῶμα, καὶ δουλαγωγῶν. ἔνθα γὰρ ὁδοῦ στενοχωρία, μέγα κώλυμα ἡ ἐκ τῆς ἀδηφαγίας πολυσαρκία. κατάστελλε τὰ κύματα τῶν ἀτόπων ἐπιθυμιῶν, ἀπόκρουσαι τὸν χειμῶνα τῶν πονηρῶν λογισμῶν, διάσωσον τὸ σκάφος, πολλὴν ἐπίδειξαι* τὴν ἐμπειρίαν, καὶ γέγονας κυβερνήτης*. πάντων δὲ τούτων ὑπόθεσις ἡμῖν ἡ νηστεία καὶ διδάσκαλος ἔσται. νηστείαν δὲ οὐ ταύτην λέγω τὴν τῶν πολλῶν, ἀλλὰ τὴν ἀκριβῆ νηστείαν· οὐ τὴν τῶν βρωμάτων ἀποχὴν μόνον, ἀλλὰ [καὶ] τὴν τῶν ἁμαρτημάτων. οὐ γὰρ ἀρκεῖ τῆς νηστείας ἡ φύσις ἐξελέσθαι τοὺς μετιόντας, ἐὰν μὴ μετὰ τοῦ προσήκοντος γίνηται νόμου. Καὶ γὰρ ἀθλητής, φησιν, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. ἵν' οὖν μὴ πό-
β. Τιμ. β. ε. νον ὑπομείναντες νηστείας, ἐκπέσωμεν τοῦ στεφάνου τῆς νηστείας, μάθωμεν πῶς καὶ τίνα τρό-
Λουκ. ιη. πον τὸ πρᾶγμα μετιέναι χρή. ἐπεὶ καὶ ὁ Φαρισαῖος ἐκεῖνος ἐνήστευσεν· ἀλλὰ μετὰ τὴν νηστείαν ἐκείνην κατῆλθεν ἔρημος καὶ κενὸς τῶν ἀπὸ τῆς νηστείας καρπῶν. ὁ τελώνης* οὐκ ἐνήστευσε, καὶ ἔμπροσθεν γέγονε τοῦ Φαρισαίου τοῦ νηστεύσαντος ὁ μὴ νηστεύσας· ἵνα μάθῃς ὅτι νηστείας ὄφελος οὐδέν, ἂν μὴ καὶ τὰ λοιπὰ ἕπηται πάντα. ἐνήστευσαν οἱ Νινευῖται, καὶ ἐπεσπάσαντο τὴν τοῦ Θεοῦ εὔνοιαν· ἐνήστευσαν καὶ οἱ Ἰουδαῖοι, καὶ πλέον οὐδὲν ἔπραξαν, ἀλλὰ καὶ κατηγορηθέντες ἀπῆλθον.

Ἐπεὶ οὖν τοσοῦτος ὁ κίνδυνος τῆς νηστείας τοῖς οὐκ εἰδόσιν ὅπως χρὴ νηστεύειν, μάθωμεν τῆς νηστείας τοὺς νόμους, ἵνα μὴ τρέχωμεν ἀδήλως, μηδὲ ἀέρα δέρωμεν, μηδὲ σκιαμαχῶμεν πυκτεύοντες. φάρμακόν ἐστιν ἡ νηστεία, ἀλλὰ τὸ φάρμακον, κἂν μυριάκις ὠφέλιμον ᾖ, πολλάκις ἄχρηστον γίνεται διὰ τὴν ἀπειρίαν τοῦ χρωμένου. καὶ γὰρ καὶ καιρὸν εἰδέναι χρή, καθ' ὃν δεῖ τοῦτο ἐπιτιθέναι, καὶ ποσότητα αὐτοῦ τοῦ φαρμάκου, καὶ σώματος κρᾶσιν τοῦ δεχομένου, καὶ χώρας φύσιν, καὶ ὥραν ἔτους, καὶ δίαιταν κατάλληλον, καὶ πολλὰ ἕτερα, ὧν ὅπερ ἂν παροφθείη, λυμανεῖται πᾶσι τοῖς ἄλλοις*. εἰ δέ, ἔνθα σῶμα θεραπεύειν δεῖ, τοσαύτης ἡμῖν ἀκριβείας χρεία, πολλῷ μᾶλλον ὅταν ψυχῆς ἐπιμελώμεθα καὶ λογισμοὺς θεραπεύωμεν, πάντα διερευνᾶσθαι καὶ σκοπεῖν ἀναγκαῖον μετὰ ἀκριβείας ἁπάσης. ἴδωμεν τοίνυν, πῶς ἐνήστευσαν οἱ Νινευῖται, καὶ πῶς τῆς ὀργῆς ἀπηλλάγησαν ἐκείνης· οἱ ἄνθρωποι καὶ τὰ κτήνη καὶ τὰ πρόβατα καὶ οἱ βόες μὴ νεμέσθωσαν, φησί. τί λέγεις*; καὶ τὰ ἄλογα νηστεύει; καὶ ἵπποι καὶ ἡμίονοι σάκκον περιβάλλονται; ναί, φησι. καθάπερ γὰρ εὐπόρου τινὸς τελευτήσαντος, οὐκ οἰκέτας μόνους, οὐδὲ θεραπαινίδας, ἀλλὰ καὶ ἵππους οἱ προσήκοντες σάκκον περιβάλλοντες, καὶ τοῖς ἱπποκόμοις αὐτοὺς ἐγχειρίσαντες, ἀκολουθεῖν ἐπὶ τὸ μνῆμα κελεύουσι, τὸ μέγεθος τῆς συμφορᾶς ἐπιδεικνύμενοι, καὶ πρὸς ἔλεον ἅπαντας ἐπισπώμενοι· οὕτω δὴ καὶ τῆς πόλεως ἐκείνης ἀπόλλυσθαι μελλούσης, καὶ τὴν ἄλογον φύσιν σάκκον περιέβαλον, καὶ ζυγῷ νηστείας ὑπέβαλον. οὐκ ἔστι τὰ ἄλογα, φησι, λόγῳ μαθεῖν τοῦ Θεοῦ τὴν ὀργήν; μανθανέτωσαν διὰ τοῦ λιμοῦ, ὅτι θεήλατος ἡ πληγή. καὶ γὰρ εἰ κατενεχθείη, φησὶν, ἡ πόλις, οὐχ ἡμεῖς μόνοι τῶν ἐνοικούντων, ἀλλὰ καὶ τούτων εἷς ἔσται τάφος κοινός. Τοὺς τοίνυν μέλλοντας κοινωνεῖν τῆς κολάσεως, κοινωνείτω καὶ τῆς νηστείας. καὶ ἕτερον δέ τι κατεσκεύαζον ἐντεῦθεν, ὃ καὶ οἱ προφῆται ποιοῦσι. καὶ γὰρ ἐκεῖνοι, ἐπειδὰν ἴδωσι πληγήν τινα ἀφόρητον ἐκ τῶν οὐρανῶν φερομένην, εἶτα τοὺς κολάζεσθαι μέλλοντας ἀπαρρησιάστους ὄντας, αἰσχύνης γέμοντας, οὐδεμιᾶς συγγνώμης, οὐδὲ ἀπολογίας ἀξίους ὄντας· οὐκ ἔχοντες ὅ,τι πράξουσιν, οὐδὲ ὅθεν πορίσονται τοῖς κατακριθεῖσιν ἀπολογίαν, ἐπὶ τὰ ἄλογα καταφεύγουσι, καὶ τὸν ἐκείνων ἐκτραγῳδοῦντες θάνατον, ἀπὸ τούτων ποιοῦνται τὴν ἱκετηρίαν, τὴν ἐλεεινὴν αὐτῶν καὶ πολυθρύλητον ἀπώλειαν προβαλλόμενοι. λιμοῦ τοίνυν καταλαβόντος ποτὲ τοὺς Ἰουδαίους, καὶ πολλοῦ τὴν χώραν αὐχμοῦ κατέχοντος, καὶ πάντων δαπανωμένων, ὁ μὲν τῶν προφητῶν ἔλεγεν· Εσκίρτησαν δαμάλεις ἐπὶ ταῖς φάτναις αὐτῶν, ἔκλαυσαν βουκόλια βοῶν, ὅτι οὐχ ὑπῆρχε νομή. πάντα τὰ κτήνη τοῦ πεδίου ἀνέβλεψαν πρὸς σέ, ὅτι ἐξηράνθησαν ἀφέσεις ὑδάτων· ὁ δὲ τὰ ἐκ τῆς ἀβροχίας θρηνῶν κακὰ, πάλιν οὑτωσί πως ἔλεγεν· Ελαφοι ἐν ἀγρῷ ἔτεκον, καὶ ἐγκατέλιπον, ὅτι οὐκ ἦν βοτάνη· ὄναγροι ἔστησαν ἐπὶ νάπαις, εἵλκυσαν ἄνεμον ὡς δράκων· ἐξέλιπον οἱ ὀφθαλμοὶ αὐτῶν, ὅτι οὐκ ἦν χόρτος. Διὰ τοῦτο καὶ σήμερον ἠκούσατε τοῦ Ἰωὴλ λέγοντος· Ἐξελθέτω νυμφίος ἐκ τοῦ κοιτῶνος αὐτοῦ, καὶ νύμφη ἐκ τοῦ παστοῦ αὐτῆς, νήπια θηλάζοντα μαστούς. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, τὴν ἄωρον ἡλικίαν καλεῖς πρὸς ἱκετηρίαν; οὐκ εὔδηλον, ὅτι διὰ τὴν αὐτὴν ταύτην αἰτίαν; ἐπειδὴ γὰρ οἱ εἰς ἄνδρας τελοῦντες ἅπαντες παρώξυναν καὶ παρώργισαν τὸν Θεὸν, ἡ τῶν ἁμαρτημάτων ἄπειρος ἡλικία, φησὶ, παρακαλείτω τὸν ὠργισμένον. ἀλλ' ὅπερ ἔλεγον, ἴδωμεν τί ποτέ ἐστι τὸ λῦσαν τὴν ἀπαραίτητον ἐκείνην ὀργήν. ἆρα ἡ νηστεία μόνη, καὶ ὁ σάκκος; οὐκ ἔστιν εἰπεῖν, ἀλλ' ἡ παντὸς τοῦ βίου μεταβολή. πόθεν τοῦτο δῆλον; ἀπ' αὐτῶν τῶν προφητικῶν ῥημάτων. ὁ γὰρ περὶ τῆς ὀργῆς τοῦ Θεοῦ διαλεχθεὶς καὶ τῆς ἐκείνων νηστείας, αὐτὸς οὗτος τήν τε καταλλαγὴν λέγων, καὶ τῆς καταλλαγῆς τὴν αἰτίαν διδάσκων, οὑτωσί πως φησί· Καὶ εἶδε τὰ ἔργα αὐτῶν ὁ Θεός. ἔργα ποῖα; ὅτι ἐνήστευσαν; ὅτι σάκκον περιεβάλλοντο; οὐδὲν τούτων· ἀλλὰ πάντα ταῦτα σιγήσας ἐπήγαγεν· Ὅτι ἀπέστρεψεν ἕκαστος ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν, καὶ μετενόησεν ἐπὶ τῇ κακίᾳ, ᾗ ἐλάλησε ποιῆσαι αὐτοῖς ὁ Κύριος. ὁρᾷς ὅτι οὐχ ἡ νηστεία ἐξήρπασε * τοῦ κινδύνου, ἀλλ' ἡ μεταβολὴ τοῦ βίου τὸν Θεὸν κατέστησεν ἵλεω τοῖς βαρβάροις καὶ εὐμενῆ.

Ἰωηλ. β. 15.
Ἱερ. ι. 5.
Ἰωηλ β 15.
Ἰων. γ΄.

Ταῦτα εἶπον, οὐχ ἵνα νηστείαν ἀτιμάζωμεν, ἀλλ' ἵνα νηστείαν τιμήσωμεν. τιμὴ γὰρ νηστείας, οὐχὶ σιτίων ἀποχὴ, ἀλλ' ἁμαρτημάτων ἀναχώρησις. ὡς ὅ γε τῇ τῶν βρωμάτων ἀποχῇ μόνον τὴν νηστείαν ὁρίζων, οὗτός ἐστιν ὁ μάλιστα ἀτιμάζων αὐτήν. νηστεύεις; δεῖξόν μοι διὰ τῶν ἔργων αὐτῶν. ποίων ἔργων, φησίν; ἐὰν ἴδῃς πένητα, ἐλέησον· ἐὰν ἴδῃς ἐχθρὸν, καταλλάγηθι· ἐὰν ἴδῃς φίλον εὐδοκιμοῦντα, μὴ βασκήνῃς· ἐὰν ἴδῃς γυναῖκα εὔμορφον, ὑπέρβηθι. μὴ γὰρ δὴ στόμα νηστευέτω μόνον, ἀλλὰ καὶ ὀφθαλμὸς, καὶ ἀκοὴ, καὶ πόδες, καὶ χεῖρες, καὶ πάντα τὰ τοῦ σώματος ἡμῶν μέλη. νηστευέτωσαν χεῖρες, ἁρπαγῆς καὶ πλεονεξίας καθαρεύουσαι· νηστευέτωσαν πόδες, δρόμων τῶν ἐπὶ τὰ παράνομα θέατρα ἀφιστάμενοι· νηστευέτωσαν ὀφθαλμοὶ, παιδευόμενοι μηδέποτε ὄψεσιν εὐμόρφοις ἐπιπηδᾶν, μηδὲ ἀλλότρια περιεργάζεσθαι κάλλη. τροφὴ γὰρ ὀφθαλμῶν, θεωρία. ἀλλ' ἂν μὲν παράνομος ᾖ καὶ κεκωλυμένη, λυμαίνεται τῇ νηστείᾳ, καὶ πᾶσαν ἀνατρέπει τῆς ψυχῆς τὴν σωτηρίαν· ἂν δὲ ἔννομος καὶ ἀσφαλὴς, κοσμεῖ τὴν νηστείαν. καὶ γὰρ τῶν ἀτοπωτάτων ἂν εἴη, ἐπὶ μὲν βρωμάτων καὶ τῆς συγκεχωρημένης ἀφίστασθαι τροφῆς διὰ τὴν νηστείαν, ἐπὶ δὲ τῶν ὀφθαλμῶν καὶ τῆς κεκωλυμένης ἅπτεσθαι. οὐκ ἐσθίεις κρέα; μὴ φάγῃς ἀκολασίαν διὰ τῶν ὀφθαλμῶν. νηστευέτω καὶ ἀκοή. νηστεία δὲ ἀκοῆς, μὴ δέχεσθαι κακηγορίας καὶ διαβολάς. Ἀκοὴν γὰρ ματαίαν μὴ παραδέξῃ, φησί.

Ἐξοδ κγ. α.

νηστευέτω καὶ στόμα ἀπὸ ῥημάτων αἰσχρῶν καὶ λοιδορίας. τί γὰρ ὄφελος, ὅταν ὀρνίθων μὲν καὶ
ἰχθύων ἀπεχώμεθα, τοὺς δὲ ἀδελφοὺς δάκνωμεν καὶ κατεσθίωμεν; ὁ κακηγορῶν, ἀδελφικὰ
Γαλατ. ε. 15. κρέα ἔφαγε, τὴν σάρκα τοῦ πλησίον ἔδακε. διὰ τοῦτο καὶ Παῦλος ἐφόβησεν εἰπών· Εἰ δὲ
ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπὸ ἀλλήλων ἀναλωθῆτε. οὐκ ἐνέπηξας
τῇ σαρκὶ τοὺς ὀδόντας, ἀλλ' ἐνέπηξας τῇ ψυχῇ τὴν πονηρὰν ὑπόληψιν, ἔτρωσας, μυρία
εἰργάσω κακὰ καὶ σαυτὸν καὶ ἐκεῖνον καὶ ἑτέρους πλείονας. καὶ γὰρ τὸν ἀκούσαντα χείρονα
εἰργάσω, διαβαλὼν τὸν πλησίον. ἄν τε γὰρ ἁμαρτωλὸς ᾖ, ῥαθυμότερος γίνεται κοινωνὸν εὑρὼν
τῆς ἁμαρτίας· ἄν τε δίκαιος ᾖ, εἰς ἀπόνοιαν αἴρεται καὶ φυσᾶται, ἐκ τῆς ἑτέρων ἁμαρτίας
μεγάλα περὶ ἑαυτοῦ φαντάζεσθαι προαγόμενος. μετὰ τούτων δὲ κοινὸν τῆς ἐκκλησίας
ἔβλαψας. οὐ γὰρ δὴ τὸν ἡμαρτηκότα διαβάλλουσιν οἱ ἀκούοντες ἅπαντες, ἀλλὰ τὸ
ὄνειδος τῷ χριστιανῶν ἔθνει περιτρίβεται. οὐδὲ ἔστιν ἀκοῦσαι ἀπίστων λεγόντων, ὅτι
ὁ δεῖνα πόρνος ἐστὶ καὶ ἀκόλαστος· ἀλλ' ἀντὶ τοῦ πεπλημμεληκότος, τοὺς χριστιανοὺς ἅπαντας
διαβάλλουσι. πρὸς τούτοις τοῦ Θεοῦ τὴν δόξαν βλασφημεῖσθαι παρεσκεύασας. ὥσπερ γὰρ
εὐδοκιμούντων ἡμῶν, τὸ ὄνομα τοῦ Θεοῦ δοξάζεται, οὕτως ἁμαρτανόντων, βλασφημεῖται καὶ
ὑβρίζεται. τέταρτον, τὸν κακῶς ἀκούσαντα κατῄσχυνας, καὶ ἀναισχυντότερον ταύτῃ πεποίηκας,
ἐχθρὸν καὶ πολέμιον καταστήσας. πέμπτον, σεαυτὸν ὑπεύθυνον κολάσει καὶ τιμωρίᾳ
πεποίηκας, πράγματα τὰ μηδὲν σαυτῷ προσήκοντα πλέξας. μὴ γάρ μοι τοῦτο
λεγέτω τις, ὅτι τότε κακηγορῶ, ἐπειδὰν ψευδῆ εἴπω· ἂν δὲ ἀληθεύω, οὐκέτι. κἂν ἀληθεύων
εἴπῃς κακῶς, καὶ τοῦτο ἔγκλημα. καὶ γὰρ ὁ φαρισαῖος ἐκεῖνος τὸν τελώνην εἶπε κακῶς
ἀληθεύων, ἀλλ' ὅμως οὐδὲν αὐτὸν τοῦτο περιέση. εἰπὲ γάρ μοι· τελώνης οὐκ ἦν ὁ τελώνης
καὶ ἁμαρτωλός; παντί που δῆλον ὅτι τελώνης. ἀλλ' ὅμως ἐπειδὴ αὐτὸν ἐκάκισεν ὁ φαρισαῖος,
ἀπῆλθεν ἅπαντα ἀπολέσας. βούλει διορθῶσαι τὸν ἀδελφόν; δάκρυσον, εὖξαι τῷ
Θεῷ, κατ' ἰδίαν λαβὼν παραίνεσον, συμβούλευσον, παρακάλεσον· οὕτω καὶ ὁ Παῦλος ἐποίει·
β. Κορ. ιβ. κ. 20. Μή πως ἐλθόντα με, φησὶ, ταπεινώσει ὁ Θεός, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων,
καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀσελγείᾳ* καὶ ἀκαθαρσίᾳ, ᾗ ἔπραξαν. δεῖξον ἀγάπην πρὸς
τὸν ἡμαρτηκότα· πεῖσον αὐτὸν ὅτι κηδόμενος καὶ φροντίζων, οὐκ ἐκπομπεῦσαι βουλόμενος,
*τῆς ἁμαρτίας αὐτὸν ὑπομιμνήσκεις· κάτεχε πόδας, καταφίλησον, μὴ ἐπαισχυνθῇς,
εἴγε ἀληθῶς ἰατρεῦσαι βούλει. ταῦτα καὶ ἰατροὶ ποιοῦσι πολλάκις. δυσαρέστους γὰρ τοὺς
κάμνοντας ἔχοντες, καταφιλοῦντες, παρακαλοῦντες ἀναπείθουσι σωτήριον δέξασθαι φάρμακον.
οὕτω καὶ σὺ ποίησον· τῷ ἱερεῖ δεῖξον τὸ ἕλκος· τοῦτο ἐστὶ κηδομένου, τοῦτο προνοοῦντος,
τοῦτο φροντίζοντος. οὐ τοῖς κακῶς δὲ μόνον λέγουσιν, ἀλλὰ καὶ τοῖς ἀκούουσι κακῶς λεγομένους
ἑτέρους παραινῶ τὰς ἀκοὰς ἀποφράττειν, καὶ τὸν προφήτην μιμεῖσθαι τὸν λέγοντα·
Ψαλμ. ρ. ε. Τὸν καταλαλοῦντα λάθρα τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. εἰπὲ πρὸς τὸν πλησίον·
ἔχεις ἐπαινέσαι τινὰ καὶ ἐγκωμιάσαι; ἀνοίγω τὰς ἀκοάς, ἵνα δέξωμαι τὰ μύρα· ἂν δὲ κακῶς
ἐθέλῃς εἰπεῖν, ἀποφράττω τὴν εἴσοδον τοῖς ῥήμασιν. οὐ γὰρ ἀνέχομαι κόπρον καὶ
βόρβορον δέχεσθαι. τί μοι δὲ κέρδος ἐκ τοῦ μαθεῖν, ὅτι πονηρὸς ὁ δεῖνα; μέγιστον μὲν οὖν* ἀπὸ
τούτου βλάβος, καὶ ἐσχάτη ζημία. εἰπὲ πρὸς αὐτόν· μεριμνήσωμεν τὰ ἡμέτερα*, πῶς τῶν
πεπλημμελημένων ἡμῖν εὐθύνας δώσομεν, καὶ τὴν περιεργίαν ταύτην καὶ τὴν πολυπραγμοσύνην
εἰς τὴν ζωὴν τὴν ἡμετέραν ἐπιδειξώμεθα. ποίαν γὰρ ἕξομεν ἀπολογίαν, τίνα
συγγνώμην, ὅταν τὰ ἡμέτερα μὲν μηδὲ εἰς νοῦν λαμβάνωμεν, τὰ δὲ ἀλλότρια οὕτω πολυπραγμονῶμεν;
καὶ ὥσπερ εἰς οἰκίαν παρακύψαι καὶ τὰ ἔνδον κατασκοπῆσαι παριόντα,
αἰσχρὸν καὶ πολλῆς αἰσχύνης γέμον· οὕτω καὶ βίον ἀλλότριον περιεργάζεσθαι, ἀνελευθερίας
ἐσχάτης. τὸ δὲ τούτου καταγελαστότερον, ὅτι τοιοῦτον ἔχοντες βίον, καὶ τῶν οἰκείων ἀμελοῦντες,
ἐπειδὰν εἴπωσί τι τῶν ἀπορρήτων, παρακαλοῦσι τὸν ἀκούοντα καὶ ὁρκοῦσι μηδενὶ λοιπὸν

εἰπεῖν ἑτέρῳ· αὐτόθεν δηλοῦντες, ὅτι πρᾶγμα ἄξιον κατηγορίας ἐποίησαν. εἰ γὰρ ἐκεῖνον μηδενὶ εἰπεῖν ἑτέρῳ παρακαλεῖς, πολλῷ μᾶλλόν σε πρότερον τούτῳ ταῦτα εἰπεῖν οὐκ ἐχρῆν. κατεῖχες ἐν "ἀσφαλείᾳ τὸν λόγον· ὅτε αὐτὸν παρέδωκας, τότε τῆς σωτηρίας αὐτοῦ φροντίζεις. εἰ βούλει μὴ ἐξενεχθῆναι εἰς ἕτερον, μηδὲ αὐτὸς εἴπῃς. ὅτε δὲ ἑτέρῳ παρέδωκας τοῦ λόγου τὴν φυλακήν, περιττὰ ποιεῖς καὶ ἀνόητα, παραγγέλλων καὶ ὅρκον ὑπὲρ τῆς τῶν εἰρημένων φυλακῆς. ἀλλ' ἡδὺ τὸ "κακηγορεῖν; ἡδὺ μὲν οὖν τὸ μὴ λέγειν κακῶς. ὁ μὲν γὰρ κακῶς εἰπών, ἐναγώνιος λοιπόν ἐστιν, ὑποπτεύει τε καὶ δέδοικε καὶ μεταμέλεται καὶ κατεσθίει τὴν ἑαυτοῦ γλῶτταν, δεδοικὼς καὶ τρέμων, μήποτε εἰς ἑτέρους ἐξενεχθὲν τὸ ῥῆμα μέγαν ἐπαγάγῃ τὸν κίνδυνον, καὶ περιττὴν ἔχθραν καὶ ἀνόνητον ἐργάσηται τοῖς εἰρηκόσιν· ὁ δὲ παρ' ἑαυτῷ κατέχων, ἐν ἀσφαλείᾳ πολλῇ μετὰ πολλῆς βιώσεται τῆς ἡδονῆς. Ἤκουσας λόγον, φησίν, ἐναποθανέτω σοι. θάρσει, οὐ μή σε ῥήξει. τί ἐστιν, ἐναποθανέτω σοι; σβέσον αὐτόν, κατάχωσον, μὴ συγχωρήσῃς ἐξελθεῖν, μηδὲ κινηθῆναι "παράπαν· ἀλλὰ μάλιστα μὲν σπούδαζε μηδὲ ἀνέχεσθαι τῶν λεγόντων ἑτέρους κακῶς· ἂν δὲ ἄρα ποτὲ καὶ δέξῃ, κατάχωσον, ἀπόκλεισον τὸ λεχθέν, λήθῃ παράδος, ἵνα τοῖς οὐκ ἀκηκοόσιν ὅμοιος ᾖς, καὶ μετὰ πολλῆς τῆς εἰρήνης καὶ τῆς ἀσφαλείας τὸν "παρόντα διάγῃς βίον. ἂν μάθωσιν οἱ κακηγοροῦντες, ὅτι τῶν διαβαλλομένων μᾶλλον ἡμεῖς αὐτοὺς ἀποστρεφόμεθα, παύσονται καὶ αὐτοί ποτε τῆς πονηρᾶς ταύτης συνηθείας, καὶ διορθώσονται τὸ ἁμάρτημα, καὶ ἐπαινέσονται μετὰ ταῦτα καὶ ἡμᾶς αὐτούς, ὡς σωτῆρας αὐτῶν γενομένους, καὶ εὐεργέτας ἀνακηρύξουσιν. ὥσπερ γὰρ τὸ καλῶς λέγειν καὶ ἐγκωμιάζειν, ἀρχὴ φιλίας ἐστίν, οὕτω τὸ κακῶς λέγειν καὶ διαβάλλειν, ἔχθρας καὶ ἀπεχθείας καὶ τῶν μυρίων πολέμων ἀρχὴ καὶ ὑπόθεσις γέγονεν. οὐδαμόθεν γὰρ ἑτέρωθεν ἠμέληται τὰ ἡμέτερα, ἀλλ' ἢ ἐκ τοῦ τὰ ἀλλότρια πολυπραγμονεῖν καὶ περιεργάζεσθαι. οὐ γάρ ἐστιν ἄνθρωπον κακηγοροῦντα, καὶ τοὺς ἀλλοτρίους πολυπραγμονοῦντα βίους, τῆς ἰδίας ἐπιμεληθῆναί ποτε ζωῆς. τῆς γὰρ σπουδῆς ἁπάσης αὐτῷ εἰς τὴν ἑτέρων πολυπραγμοσύνην ἀναλισκομένης, ἀνάγκη τὰ αὐτοῦ πάντα ἁπλῶς κεῖσθαι καὶ ἠμελημένως. καὶ γὰρ ἀγαπητὸν τὴν πᾶσαν σχολὴν εἰς τὴν ἐπιμέλειαν τῶν οἰκείων ἁμαρτημάτων καὶ τὴν κρίσιν "ἀναλίσκοντα, δυνηθῆναί τι ποιῆσαι πλέον. ὅταν δὲ διὰ παντὸς τὰ ἀλλότρια φροντίζῃς, πότε τῶν σῶν ἐπιμελήσῃ κακῶν;

Εκκλησ. ιθ. ι.

"Φύγωμεν τοίνυν, ἀγαπητοί, "φύγωμεν τὰς "κακηγορίας, μαθόντες ὡς "Σατανικόν ἐστιν ὅλον τὸ βάραθρον, καὶ τῆς ἐπιβουλῆς τῆς ἐκείνου αὕτη ἡ ἐνέδρα. ἵνα γὰρ καὶ τῶν ἡμετέρων ἀμελήσωμεν, καὶ χαλεπωτέρας ἑαυτοῖς καταστήσωμεν τὰς εὐθύνας, εἰς ταύτην ἡμᾶς τὴν συνήθειαν ὁ διάβολος ἤγαγε. μᾶλλον δὲ οὐ τοῦτο μόνον ἐστὶ τὸ χαλεπόν, ὅτι λόγον δώσομεν, ὧν εἰρήκαμεν τότε, ἀλλ' ὅτι καὶ τὰ ἡμέτερα ἁμαρτήματα χαλεπώτερα ταύτῃ ποιήσομεν, πάσης ἑαυτοὺς ἀποστεροῦντες ἀπολογίας. ὁ γὰρ πικρῶς τὰ ἀλλότρια ἐξετάζων, ἐν τοῖς καθ' ἑαυτὸν πλημμελήμασιν οὐδεμιᾶς ἀπολαύσεται συγγνώμης ποτέ. οὐδὲ γὰρ ἀπὸ τῆς φύσεως τῶν πεπλημμελημένων ἡμῖν μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς κρίσεως τῆς σῆς περὶ ἑτέρων οἴσει τὴν ψῆφον ὁ Θεός. διὰ τοῦτο παρῄνεσε λέγων· Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. οὐ γὰρ οἷον γέγονε τὸ ἁμάρτημα, τοιοῦτον ἐκεῖ φαίνεται λοιπόν, ἀλλὰ πολλήν τινα καὶ ἀπαραίτητον προσθήκην λήψεται ἀπὸ τῆς εἰς τὸν σύνδουλον * παρὰ σοῦ γενομένης κρίσεως. ὥσπερ γὰρ ὁ φιλάνθρωπος καὶ ἥμερος καὶ συγγνωμονικὸς ὑποτέμνεται τὸν πλείονα τῶν ἁμαρτημάτων ὄγκον· οὕτως ὁ πικρὸς καὶ ὠμὸς καὶ ἀπαραίτητος πολὺ τοῖς οἰκείοις ἁμαρτήμασι προστίθησι μέγεθος. ἐξορίζωμεν τοίνυν ἀπὸ τοῦ στόματος ἡμῶν "κακηγορίαν ἅπασαν, εἰδότες, ὅτι κἂν τέφραν ἐσθίωμεν, οὐδὲν ὄφελος ἡμῖν τῆς σκληραγωγίας ταύτης, ἂν κακηγορίας μὴ ἀποσχώμεθα. Οὐ γὰρ τὰ εἰσερχόμενα * κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα "ἀπὸ τοῦ στόματος. Εἴ τις ἀνακινήσειε βόρβορον, εἰπέ μοι, σοῦ "παριόντος, οὐ λοιδορεῖς καὶ

Ματθ. ζ. α.

Ματθ. ιε. ιζ.

ὑβρίζεις τὸν τοιοῦτα; τοῦτο καὶ ἐπὶ τῶν "κατηγόρων ποίησον. οὐ γὰρ οὕτως ἀνακινούμενος βόρβορος πλήττει τὴν μήνιγγα τῶν τὴν δυσωδίαν δεχομένων ἐκείνην, ὡς ἁμαρτήματα ἀλλότρια ἀνακινούμενα, καὶ βίος ἀκάθαρτος ἐκκαλυπτόμενος λυπεῖ τῶν ἀκουόντων τὴν ψυχὴν καὶ ἐξίστησιν. ἀπεχώμεθα τοίνυν * [τῆς] κακηγορίας, αἰσχρολογίας, βλασφημίας· καὶ μήτε τὸν πλησίον, μήτε τὸν Θεὸν λέγωμεν κακῶς. πολλοὶ γὰρ εἰς "τοῦτο μανίας ἐξώκειλαν τῶν κακηγόρων, ὡς ἀπὸ τῶν συνδούλων ἐπὶ τὸν δεσπότην ἀναστῆσαι τὴν γλῶτταν τὴν ἑαυτῶν. ὅσον δὲ τοῦτο ἐστὶ κακόν, ἀπὸ τῶν κατεχόντων νῦν ἡμᾶς μάνθανε πραγμάτων. ἰδοὺ γὰρ νῦν ἄνθρωπος ὑβρίσθη, καὶ πάντες δεδοίκαμεν καὶ τρέμομεν, οἵ τε ὑβρικότες, οἵ τε μηδὲν ἑαυτοῖς συνειδότες τοιοῦτον. ὁ δὲ Θεὸς καθ' ἑκάστην ἡμέραν ὑβρίζεται· τί λέγω καθ' ἑκάστην ἡμέραν; καθ' ἑκάστην μὲν οὖν ὥραν, παρὰ πλουτούντων, παρὰ πενήτων, παρὰ τῶν ἐν ἀνέσει, παρὰ τῶν ἐν θλίψει, παρὰ τῶν ἐπηρεαζόντων, παρὰ τῶν ἐπηρεαζομένων· καὶ οὐδεὶς οὐδαμοῦ λόγος. διὰ τοῦτο συνεχώρησεν ὑβρισθῆναι τὸν ὁμόδουλον, ἵνα ἀπὸ τοῦ κινδύνου τοῦ διὰ τὴν ὕβριν "γινομένου ταύτην τοῦ δεσπότου τὴν φιλανθρωπίαν μάθῃς. καίτοι τοῦτο νῦν πρῶτον καὶ μόνον γέγονεν, ἀλλ' ὅμως οὐδὲ διὰ τοῦτο προσδοκῶμεν ἀπολαύσεσθαι συγγνώμης τινός, οὐδὲ ἀπολογίας· τὸν δὲ Θεὸν καθ' ἑκάστην παροργίζομεν τὴν ἡμέραν, καὶ οὐδεμίαν ποιούμεθα τὴν ἐπιστροφήν, καὶ ἐπιφέρει μετὰ μακροθυμίας ἁπάσης. εἶδες πόση ἡ φιλανθρωπία τοῦ δεσπότου. καίτοιγε ἐπὶ τῆς παρανομίας ταύτης οἱ πεπλημμεληκότες ἑάλωσαν, καὶ εἰς δεσμωτήριον ἐνέπεσον, καὶ "δίκην ἔδωσαν· ἀλλ' ὅμως ἔτι δεδοίκαμεν. καὶ γὰρ οὔπω ἤκουσε τὰ γεγενημένα ὁ ὑβρισθείς, οὐδὲ ψῆφον ἐξήνεγκε, καὶ πάντες τρέμομεν· ὁ δὲ Θεὸς καθ' ἑκάστην ἀκούει τὴν ἡμέραν τὰς εἰς αὐτὸν γινομένας ὕβρεις, καὶ οὐδεὶς ἐπιστρέφεται, καὶ ταῦτα οὕτως ὄντος ἡμέρου καὶ φιλανθρώπου τοῦ Θεοῦ. ἐκεῖ μὲν οὖν ἀρκεῖ τὸ ἁμάρτημα μόνον εἰπεῖν, καὶ λῦσαι τὸ ἔγκλημα· ἐπὶ δὲ τῶν ἀνθρώπων τοὐναντίον ἅπαν. ὅταν ὁμολογήσωσιν οἱ ἡμαρτηκότες, τότε μειζόνως κολάζονται· ὃ δὴ καὶ νῦν γέγονε· καὶ οἱ μὲν σιδήρῳ, οἱ δὲ πυρί, οἱ δὲ θηρίοις παραδοθέντες ἀπώλοντο, οὐκ ἄνδρες δὲ μόνον, ἀλλὰ καὶ παῖδες· καὶ οὔτε τὸ τῆς ἡλικίας ἄωρον, οὐχ ἡ τοῦ δήμου ῥύμη, οὔτε τὸ "μανίᾳ δαιμόνων" ἐμπλησθέντας ταῦτα ποιῆσαι, οὐχ ἡ δοκοῦσα ἀπαίτησις ἀφόρητος εἶναι, οὐ πενία, οὐ τὸ κοινῇ μετὰ πάντων ἁμαρτεῖν, οὐ τὸ ὑποσχέσθαι μηδέποτε τοιαῦτα τολμήσειν λοιπόν, οὐκ ἄλλο οὐδὲν αὐτοὺς ὅλως ἐξείλετο· ἀλλὰ συγγνώμης χωρὶς ἁπάσης ἐπὶ τὸ βάραθρον ἀπήγοντο, στρατιωτῶν ἐνόπλων ἑκατέρωθεν αὐτοὺς ἀγόντων, καὶ παρατηρούντων, μή τις ἐξαρπάσῃ τοὺς καταδίκους. καὶ παρηκολούθουν μητέρες, πόῤῥωθεν μὲν ὁρῶσαι τοὺς παῖδας ἀποτεμνομένους, ὀδύρεσθαι δὲ τὴν συμφορὰν οὐ τολμῶσαι. ἐνίκα γὰρ τὸ πάθος ὁ φόβος, καὶ τῆς φύσεως "ἐκράτει τὸ δέος. καὶ καθάπερ οἱ τοὺς ναυαγοῦντας ἀπὸ τῆς γῆς ὁρῶντες ἄνθρωποι ὀδύρονται μέν, προσελθεῖν δὲ καὶ ἐξελέσθαι τοὺς καταποντιζομένους οὐκ ἔχουσιν· οὕτω δὴ καὶ ἐνταῦθα. καθάπερ ὑπὸ κυμάτων τινῶν, τῷ φόβῳ τῶν στρατιωτῶν ἀνειργόμεναι αἱ μητέρες οὐ μόνον προσελθεῖν καὶ ἐξελέσθαι τῆς καταδίκης αὐτοὺς οὐκ ἐτόλμησαν, ἀλλὰ καὶ δακρῦσαι ἔδεισαν.

Ἆρα στοχάζεσθε ἐντεῦθεν τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, πῶς ἄφατος, "πῶς ἄπειρος, πῶς πάντα ὑπερβαίνει λόγον; ἐνταῦθα μὲν γὰρ καὶ τῆς αὐτῆς οὐσίας ὁ ὑβρισθείς, καὶ ἅπαξ τοῦ παντὸς χρόνου τοῦτο πέπονθε, καὶ οὐ κατ' ὄψιν, οὐδὲ παρὼν καὶ ὁρῶν καὶ ἀκούων· καὶ ὅμως οὐδεὶς ἔτυχε συγγνώμης τῶν τετολμηκότων· ἐπὶ δὲ τοῦ Θεοῦ οὐδὲν τούτων ἔστιν εἰπεῖν. καὶ γὰρ τοσοῦτόν ἐστι τὸ μέσον ἀνθρώπου καὶ Θεοῦ, ὅσον οὐδὲ λόγος παραστῆσαι δυνήσεται. * καθ' ἑκάστην ὑβρίζεται τὴν ἡμέραν, παρὼν καὶ ὁρῶν καὶ ἀκούων, καὶ οὔτε σκηπτὸν ἀφῆκεν, οὔτε τὴν θάλατταν τῇ γῇ ἐπιδραμεῖν ἐκέλευσε καὶ καταποντίσαι πάντας, οὔτε τῇ γῇ διαστῆναι καὶ δέξασθαι τοὺς ὑβρικότας * προσέταξεν· ἀλλ' ἀνέχεται, καὶ μακροθυμεῖ, καὶ συγγνώσεσθαι ἐπαγγέλλεται τοῖς ὑβρικόσιν, ἂν μετανοήσωσι μόνον, καὶ ὑπόσχωνται μηκέτι ταῦτα ποιεῖν. ἀληθῶς εὔκαιρον νῦν" ἀνακραγεῖν· Τίς λαλήσει τὰς δυναστείας Κυρίου; ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; πόσοι τοῦ Θεοῦ τὰς εἰκόνας οὐχὶ κατήνεγκαν μόνον, ἀλλὰ καὶ κατεπάτησαν; ὅταν γὰρ ἄγχῃς τὸν ὑπεύθυνον, ὅταν ἀποδύῃς, ὅταν ἕλκῃς, * τοῦ Θεοῦ τὴν εἰκόνα καταπατεῖς. ἄκουσον γοῦν τοῦ Παύλου λέγοντος· ὅτι Ἄνθρωπος οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλὴν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων· καὶ πάλιν αὐτοῦ τοῦ Θεοῦ λέγοντος, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. ἂν δὲ λέγῃς, ὅτι οὐχὶ τῆς αὐτῆς οὐσίας ὁ ἄνθρωπός ἐστι τῷ Θεῷ, τί τοῦτο; οὐδὲ γὰρ ὁ χαλκὸς τοῦ ἀνδριάντος τῆς αὐτῆς οὐσίας ἦν τῷ βασιλεῖ, ἀλλ' ὅμως δίκην ἔδοσαν οἱ τολμήσαντες. ὥστε καὶ ἐπὶ τῶν ἀνθρώπων, εἰ καὶ μὴ τῆς αὐτῆς οὐσίας εἰσὶ τῷ Θεῷ οἱ ἄνθρωποι, ὥσπερ οὖν οὐδέ εἰσιν, ἀλλ' ὅμως εἰκὼν ἐκλήθησαν, καὶ διὰ τὴν προσηγορίαν ἔδει τιμῆς ἀπολαύειν αὐτούς. σὺ δὲ ὑπὲρ ὀλίγου χρυσίου καταπατεῖς, ἄγχεις, σύρεις, καὶ οὐδεμίαν οὐδέπω δίκην ἔδωκας τήμερον. γένοιτο μὲν οὖν τινα χρηστὴν καὶ δεξιὰν γενέσθαι μεταβολήν· ἐκεῖνο μέντοι προλέγω καὶ διαμαρτύρομαι, ὅτι κἂν τοῦτο παρέλθῃ τὸ νέφος, ἡμεῖς δὲ ἐπὶ τῆς αὐτῆς μένωμεν ῥαθυμίας, πάλιν πολλῷ χαλεπώτερα πεισόμεθα τῶν νῦν προσδοκωμένων. ἐπεὶ καὶ νῦν οὐχ οὕτω δέδοικα τοῦ βασιλέως τὴν ὀργὴν, ὡς τὴν ὑμετέραν δέδοικα ῥαθυμίαν. οὐ γὰρ δὴ τὸ λιτανεῦσαι δύο καὶ τρεῖς ἡμέρας ἀρκεῖ" εἰς ἀπολογίαν ἡμῖν, ἀλλ' "ὁλοκλήρου δεῖ τοῦ βίου ποιήσασθαι τὴν μεταβολὴν, καὶ τῆς πονηρίας ἀποστάντας μένειν ἐπὶ τῆς ἀρετῆς διηνεκῶς. καθάπερ γὰρ οἱ νοσοῦντες, ἂν μὴ διαπαντὸς εὐτακτῶσιν, οὐδὲν αὐτοῖς ὄφελος τῆς μέχρι τριῶν" καὶ τεσσάρων ἡμερῶν φιλοσοφίας· οὕτω καὶ οἱ ἁμαρτάνοντες, ἂν μὴ διαπαντὸς σωφρονῶσιν, οὐδὲν αὐτοῖς ἔσται πλέον ἀπὸ τῆς διορθώσεως τῶν δύο καὶ τριῶν ἡμερῶν. ὥσπερ γάρ, φησιν, ὁ βαπτιζόμενος, εἶτα ἐν τῷ βορβόρῳ μολυνόμενος πάλιν, οὐδὲν ὠφέλησεν· οὕτως ὁ τρεῖς ἡμέρας μετανοήσας, καὶ πάλιν ἐπὶ τὰ πρότερα ἐπανελθὼν, οὐδὲν εἰργάσατο πλέον. μὴ τοίνυν, ὅπερ ἀεὶ ποιοῦμεν, τοῦτο καὶ νῦν ποιήσωμεν. καὶ γὰρ σεισμῶν καταλαβόντων πολλάκις, καὶ λιμοῦ καὶ αὐχμοῦ, τρεῖς καὶ τέσσαρας ἡμέρας σωφρονισθέντες καὶ ἐπιεικέστεροι γενόμενοι, πάλιν ἐπὶ τὰ πρότερα ἐπανήλθομεν. διὰ τοῦτο καὶ ταῦτα γέγονεν. ἀλλ' εἰ καὶ μὴ πρότερον, νῦν γοῦν ἐπὶ τῆς αὐτῆς μείνωμεν εὐλαβείας, καὶ τὴν αὐτὴν ἐπιείκειαν διατηρήσωμεν, ἵνα μὴ πάλιν ἑτέρας δεηθῶμεν πληγῆς. μὴ γὰρ οὐκ ἠδύνατο κωλῦσαι τὰ γεγενημένα ὁ Θεός; ἀλλ' ἀφῆκεν, ἵνα τοὺς αὐτοῦ καταφρονοῦντας, ἐν τῷ τοῦ συνδούλου φόβῳ σωφρονεστέρους ἐργάσηται. καὶ μή μοι λεγέτω τις, ὅτι πολλοὶ τῶν "αἰτίων διέφυγον· πολλοὶ δὲ τῶν ἀναιτίων" ἐνέπεσον. καὶ γὰρ τοῦτο πολλῶν πολλάκις ἀκούω λεγόντων, οὐκ ἐπὶ τῆς παρούσης στάσεως μόνον, ἀλλὰ καὶ ἐν ἑτέραις πολλαῖς τοιαύταις περιστάσεσι. τί οὖν ἂν εἴποιμι πρὸς τοὺς "ταῦτα λέγοντας; ὅτι εἰ καὶ τῆς παρούσης στάσεως ἀναίτιος ἦν ὁ ἁλοὺς", ἀλλ' ἑτέραν ἁμαρτίαν εἰργάσατό ποτε χαλεπωτέραν· εἶτα μὴ μεταβαλλόμενος, ἐν τῇ παρούσῃ δίκην ἔδωκε. καὶ γὰρ ἔθος τῷ Θεῷ τοῦτο ποιεῖν. ὅταν ἁμαρτάνωμεν, οὐκ εὐθέως" ὑπεξέρχεται τοῖς πλημμελήμασιν, ἀλλ' ἀνίησι, διδοὺς ἡμῖν προθεσμίαν μετανοίας, ὥστε διορθώσασθαι καὶ μεταβαλέσθαι. ἂν δὲ διὰ τὸ μὴ δοῦναι δίκην νομίσαντες καὶ τὸ ἁμάρτημα ἐξηλεῖφθαι, καταφρονήσωμεν, ἔνθα οὐχ ὑπονοοῦμεν; ἐκεῖ μετὰ ταῦτα ἁλωσόμεθα πάντως. τοῦτο δὲ γίνεται, ἵν', ὅταν ἁμαρτάνωμεν, καὶ μὴ κολαζώμεθα, μὴ θαρσήσωμεν, ἂν μὴ μεταβαλώμεθα, εἰδότες ὅτι ἔνθα οὐ προσδοκῶμεν, ἐμπεσούμεθα πάντως. ὥστε ἐὰν "ἁμάρτῃς, καὶ μὴ κολασθῇς, μὴ καταφρονήσῃς, ἀγαπητέ, ἀλλὰ δι' αὐτὸ τοῦτο μειζόνως φοβήθητι, εἰδὼς ὅτι κοῦφον τῷ Θεῷ, ὅτε ἂν θέλῃ, ἀνταποδοῦναι πάλιν. διὰ γὰρ τοῦτο * σε οὐκ ἐκόλασεν, ἵνα λάβῃς προθεσμίαν μετανοίας. μὴ τοίνυν λέγωμεν, ὅτι ἀναίτιος ὢν ἐνέπεσεν ὁ δεῖνα· ἕτερος δὲ αἴτιος ὢν διέφυγεν. ὅ τε γὰρ ἀναίτιος ἐμπεσὼν, ὥσπερ ἔφην, ἑτέ-

Ψαλ. ρε. β.

α. Κορ. ια. ζ.

Γεν. α. κϛ.

ὁλόκληρον

ἀπώλοιτο

ταῦτα

ἁμαρτήσῃς

ρων ἁμαρτημάτων ἔδωκε δίκην· ὅτι* νῦν διαφύγῃ, ἂν μὴ μεταβάλληται, εἰς ἑτέραν ἁλώσεται παγίδα. ἀλλ' οὕτω διακεισώμεθα, οὐδέποτε τῶν οἰκείων ἁμαρτημάτων ἐπιλησόμεθα· ἀλλ' ἀεὶ δεδοικότες, τρέμοντες μήποτε ὑπόσχωμεν δίκην, ἀναμνησθησώμεθα ταχέως αὐτῶν. οὐδὲν γὰρ οὕτως ἁμαρτίας ἀναμιμνήσκειν εἴωθεν, ὡς τιμωρία καὶ κόλασις. καὶ τοῦτο δῆλον ἀπὸ τῶν τοῦ Ἰωσὴφ ἀδελφῶν. ἐπειδὴ γὰρ ἀπέδοντο ἐκεῖνοι τὸν δίκαιον, καὶ ἔτη τρία καὶ δέκα παρῆλθεν, ὑποπτεύοντες κολάζεσθαι, καὶ περὶ τῶν ἐσχάτων δεδοικότες, ἀνεμνήσθησαν τῆς ἁμαρτίας, καὶ πρὸς ἀλλήλους ἔλεγον· Ναί· ἐν ἁμαρτίαις γάρ ἐσμεν περὶ τοῦ ἀδελφοῦ ἡμῶν τοῦ Ἰωσήφ. ὁρᾷς πῶς ὁ φόβος [ἐκεῖνος] ἀνέμνησεν αὐτοὺς τῆς πλημμελείας ἐκείνης· καὶ ὅτε μὲν ἡμάρτανον, οὐκ ᾐσθάνοντο· ὅτε δὲ κολάζεσθαι προσεδόκησαν, τότε ἀνεμνήσθησαν. Ταῦτ' οὖν εἰδότες ἅπαντα*, ποιησώμεθα τοῦ βίου μεταβολὴν καὶ διόρθωσιν, καὶ περὶ τῆς ἀπαλλαγῆς τῆς ἐπικειμένης ἀγωνίας, ὑπὲρ εὐλαβείας καὶ ἀρετῆς φροντίζωμεν. καὶ τέως τρεῖς ἐντολὰς ὑμῖν παρακαταθέσθαι βούλομαι, ἵνα μοι ταύτας ἐπὶ τῆς νηστείας κατορθώσητε· τὸ μηδένα κακῶς λέγειν, τὸ μηδένα ἐχθρὸν ἔχειν, τὸ καθόλου πᾶσαν ἐκ τοῦ στόματος ἀπελάσαι τὴν πονηρὰν τῶν ὅρκων συνήθειαν. καὶ καθάπερ εἰσφορὰν χρυσίου ἐπιβληθὲν ἀκούσωμεν, ἀπιὼν οἴκαδε ἕκαστος, καὶ τὴν γυναῖκα καλέσας, καὶ τὰ παιδία, καὶ τοὺς οἰκέτας, σκοπεῖ μετ' ἐκείνων καὶ βουλεύεται, πόθεν τὴν εἰσφορὰν καταβάλῃ ταύτην· οὕτω καὶ ἐπὶ τῶν ἐντολῶν ποιήσωμεν τούτων τῶν πνευματικῶν. ἀναχωρήσας οἴκαδε ἕκαστος καλείτω*, τὴν γυναῖκα καὶ τὰ παιδία*, καὶ λεγέτω· ὅτι εἰσφορὰ ἐπεβλήθη πνευματικὴ σήμερον, εἰσφορά, δι' ἧς ἔσται [τις] λύσις τῶν δεινῶν τούτων καὶ ἀπαλλαγή, εἰσφορὰ οὐχὶ πένητας τοὺς καταβάλλοντας, ἀλλὰ πλουσιωτέρους ποιοῦσα· ὥστε μηδένα ἐχθρὸν ἔχειν, μηδένα λέγειν κακῶς, μηδὲ ὀμνύναι* καθόλου. σκοπήσωμεν, φροντίσωμεν, βουλευσώμεθα ὅπως ἐκπληρώσωμεν τὰς ἐντολὰς ταύτας· πᾶσαν εἰσενεγκώμεθα σπουδήν· ἀλλήλους ὑπομνήσωμεν· ἀλλήλους διορθώσωμεν, ἵνα μὴ ὀφείλοντες ἀπέλθωμεν ἐκεῖ, εἶτα δεόμενοι δανείσασθαι παρὰ ἑτέρων, τὸ τῶν παρθένων πάθωμεν τῶν μωρῶν, καὶ τῆς ἀθανάτου σωτηρίας ἐκπέσωμεν. ἂν οὕτω τὸν ἑαυτῶν ῥυθμίζωμεν βίον, ἐντεῦθεν ὑμῖν ἐγγυῶμαι καὶ ὑπισχνοῦμαι, ὡς καὶ τῆς παρούσης συμφορᾶς ἔσται τις λύσις, καὶ τῶν δεινῶν τούτων ἀπαλλαγή· καὶ τὸ δὴ πάντων μεῖζον, τῶν μελλόντων ἀγαθῶν ἡ ἀπόλαυσις. ἔδει μὲν γὰρ ὁλοκλήρους ὑμῖν ἐγχειρίζειν τὴν ἀρετήν, ἀλλὰ τοῦτον ἄριστον εἶναι ἡγοῦμαι τρόπον διορθώσεως, τὸ κατὰ μέρος λαμβάνοντας τοὺς νόμους κατορθοῦν, καὶ τότε ἐπὶ τοὺς ἄλλους ἰέναι. καθάπερ γὰρ ἀρούρας παρακειμένης ὁ γηπόνος κατὰ μέρος διασκάπτων ἅπασαν, οὕτως ἐπὶ τὸ τέλος ἔρχεται· οὕτω καὶ ἡμεῖς, ἐὰν νόμον ἑαυτοῖς τοῦτον θῶμεν, ὥστε κατὰ τὴν παροῦσαν τεσσαρακοστὴν ταύτας μετὰ ἀκριβείας κατορθῶσαι τὰς τρεῖς ἐντολάς, πάντως πρὸς τῷ σὺν ἀσφαλείᾳ τῆς καλῆς συνηθείας παραδοῦναι τὴν φυλακήν, μετὰ πλείονος τῆς εὐκολίας καὶ ἐπὶ τὰς λοιπὰς ἥξομεν, καὶ πρὸς αὐτὴν ἐλθόντες τῆς φιλοσοφίας τὴν κορυφήν, καὶ τὸν παρόντα βίον μετὰ χρηστῆς βιωσόμεθα τῆς ἐλπίδος, καὶ ἐν τῷ μέλλοντι μετὰ πολλῆς παραστησόμεθα παρρησίας τῷ Χριστῷ, καὶ τῶν ἀπορρήτων ἀπολαύσομεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γεν. μβ. κα.

ΠΑΡΑΚΛΗΣΙΣ ΠΡΟΣ ΤΟΝ ΛΑΟΝ ΠΕΡΙ ΚΑΡΤΕΡΙΑΣ

καὶ ὑπομονῆς ἐκ τῶν παραδειγμάτων τοῦ τε Ἰὼβ καὶ τῶν τριῶν παίδων· καὶ περὶ τῆς τῶν ὅρκων ἀποχῆς.

Εὐλογητὸς ὁ Θεὸς ὁ παρακαλέσας τὰς ὀδυνωμένας ὑμῶν ψυχὰς, ὁ στηρίξας δονουμένας ὑμῶν τὰς διανοίας. ὅτι γὰρ ἰσχυρὰν ἐδέξασθε παράκλησιν, διὰ τῆς σπουδῆς ταύτης ἐδείξατε, καὶ διὰ τῆς περὶ τὴν ἀκρόασιν προθυμίας. οὐ γάρ ἐστι ψυχὴν ὀδυνωμένην καὶ νέφει κατεχομένην ἀθυμίας, δυνηθῆναι μετὰ προθυμίας ἀκοῦσαί τι τῶν λεγομένων. ὑμᾶς δὲ ὁρῶ μετὰ πολλῆς τῆς εὐνοίας καὶ σφοδρᾶς τῆς σπουδῆς ἡμῖν προσέχοντας, * πάντα ἀποτιναξαμένους τὰ λυπηρὰ, καὶ τῷ τῆς ἀκροάσεως ἔρωτι παρωσαμένους τὴν ἐπικειμένην ὀδύνην. διὰ τοῦτο εὐχαριστῶ μὲν ὑμῶν τῷ Θεῷ, ὅτι οὐκ ἤλεγξεν ὑμῶν τὴν φιλοσοφίαν ἡ συμφορὰ, οὐδὲ ἐξέλυσεν ὑμῶν τὸν τόνον ὁ φόβος, οὐδὲ ἔσβεσεν ὑμῶν τὴν προθυμίαν ἡ θλίψις, οὐδὲ ἐμάρανεν ὑμῶν τὸν ζῆλον ὁ κίνδυνος, οὐδὲ ἐνίκησε τὸν περὶ Θεὸν πόθον ὁ τῶν ἀνθρώπων φόβος, οὐδὲ κατέβαλεν ὑμῶν τὴν σπουδὴν ἡ τοῦ καιροῦ δυσκολία. οὐ μόνον δὲ οὐ κατέβαλεν, ἀλλὰ καὶ ἐπέρρωσεν· οὐ μόνον οὐκ ἐξέλυσεν, ἀλλὰ καὶ ἐπέτεινεν· οὐ μόνον οὐκ ἔσβεσεν, ἀλλὰ καὶ ἀνῆψε πλέον. κεκένωται μὲν ἡ ἀγορὰ, ἡ δὲ ἐκκλησία πεπλήρωται· ἐκείνη τραγῳδίας ὑπόθεσις, αὕτη χαρᾶς καὶ εὐφροσύνης πνευματικῆς ἀφορμή. ὅταν οὖν ἐμβάλης εἰς τὴν ἀγορὰν, ἀγαπητέ, καὶ τὴν ἐρημίαν θεασάμενος στενάξῃς, κατάφυγε πρὸς τὴν μητέρα, καὶ παραμυθήσεταί σε εὐθέως τῷ πλήθει τῶν οἰκείων τέκνων, καὶ δείξει σοι τῶν ἀδελφῶν ἀπηρτισμένον τὸν [θεῖον] χορὸν, καὶ πᾶσαν ἀποκρούσεταί σου τὴν ἀθυμίαν. ἐπὶ μὲν γὰρ τῆς πόλεως ἐπιθυμοῦμεν ἄνδρας ἰδεῖν, καθάπερ οἱ τὰς ἐρήμους οἰκοῦντες· εἰς δὲ τὴν ἐκκλησίαν καταφεύγοντες, ὑπὸ τοῦ πλήθους στενοχωρούμεθα. καὶ καθάπερ τῆς θαλάττης στασιαζούσης καὶ πολλῷ τῷ χειμῶνι μαινομένης, εἰς τὸν λιμένα ἀναγκάζει καταφεύγειν ὁ φόβος * ἅπαντας, οὕτω καὶ νῦν τὰ τῆς ἀγορᾶς κύματα καὶ ὁ τῆς πόλεως χειμὼν πάντας εἰς τὴν ἐκκλησίαν συνελαύνει πάντοθεν, καὶ τῷ συνδέσμῳ τῆς ἀγάπης σφίγγει μετ' ἀλλήλων τὰ μέλη. εὐχαριστῶμεν τοίνυν καὶ διὰ ταῦτα τῷ Θεῷ, ὅτι τοσοῦτον ἀπὸ τῆς θλίψεως ἐκαρπωσάμεθα κέρδος· ὅτι τοσαύτην ἀπὸ τοῦ πειρασμοῦ τὴν ὠφέλειαν ἐλάβομεν. ἐὰν μὴ πειρασμὸς, οὐδὲ στέφανος· ἐὰν μὴ παλαίσματα, οὐδὲ βραβεῖα· ἐὰν μὴ σκάμματα, οὐδὲ τιμαί· ἐὰν μὴ θλίψις, οὐδὲ ἄνεσις· ἐὰν μὴ χειμὼν, οὐδὲ θέρος. καὶ τοῦτο οὐκ ἐπ' ἀνθρώπων μόνον, ἀλλὰ καὶ ἐπ' αὐτῶν τῶν σπερμάτων ἐστὶν ἰδεῖν. καὶ γὰρ ἐκεῖ πολὺν μὲν τὸν ὑετὸν, πολλὴν δὲ τῶν νεφῶν τὴν συνδρομὴν, πολὺν δὲ γενέσθαι δεῖ τὸν κρυμὸν, εἰ μέλλοι κομᾷν ὁ ἄσταχυς ἀνίστασθαι. ὅπου δὲ σπόρου καιρὸς, καὶ ὑετοῦ καιρός. ἐπεὶ οὖν καὶ νῦν ἐφέστηκε χειμὼν, χειμὼν ψυχῶν, οὐκ ἀέρος, σπείρωμεν καὶ ἡμεῖς ἐν τῷ χειμῶνι τούτῳ, ἵνα ἐν τῷ θέρει θερίζωμεν. σπείρωμεν δάκρυα, ἵνα θερίσωμεν ἀγαλλίασιν. οὐκ ἐμὸς οὗτος ὁ λόγος· προφητικόν ἐστι τὸ παράγγελμα· Οἱ σπείροντες ἐν δάκρυσι, φησὶν, ἐν ἀγαλλιάσει θεριοῦσιν. Ψαλ. ρκε. οὐχ οὕτω τὰ σπέρματα καταφερόμενος ὁ ὑετὸς θάλλειν ποιεῖ καὶ αὔξεσθαι, ὡς τὸν τῆς εὐσεβείας σπόρον ἀνίστησι καὶ παρασκευάζει κομᾷν ὁ ἐκ τῶν δακρύων καταφερόμενος ὑετός. οὗτος ἀποσμήχει ψυχὴν, ἄρδει διάνοιαν, προκύψαι ταχέως ποιεῖ τῆς διδασκαλίας τὴν "βλάστην. διὰ τοῦτο καὶ αὔλακα βαθεῖαν" ἀνατέμνειν ἀναγκαῖον. καὶ γὰρ καὶ τοῦτο ὁ προφήτης παρῄνεσεν οὕτως εἰπών· Νεώσατε ἑαυτοῖς νεώματα, καὶ μὴ σπείρετε ἐπ' ἀκάνθαις. Ιερ. δ. δ. καθάπερ οὖν ὁ τὸ ἄροτρον ἐμβαλὼν κάτωθεν τὴν γῆν ἀναρρήγνυσιν, ἀσφαλῆ τοῖς σπέρμασι προπαρασκευάζων τὴν φυλακὴν, ὥστε μὴ κατενεχθέντα ἄνω κεῖσθαι ἐπὶ τῆς ἐπιφανείας, ἀλλ' εἰς αὐτὰς τῆς γῆς παραπεμφθῆναι τὰς λαγόνας, καὶ ἐν" ἀσφαλεῖ καταθέσθαι τὰς ῥίζας· οὕτω καὶ ἡμᾶς ἀναγκαῖον ποιεῖν, καὶ καθάπερ ἀρότρῳ, τῇ θλίψει καταχρησαμένους, ἀναρρῆξαι τῆς καρδίας τὸ βάθος. τοῦτο γὰρ καὶ ἕτερος προφήτης παραινεῖ λέγων· Διαρρήξατε τὰς καρδίας ὑμῶν, καὶ μὴ τὰ ἱμάτια ὑμῶν. Ιωηλ. β.

διαῤῥήξωμεν τοίνυν τὰς καρδίας, ἵνα, εἴ τις πονηρὰ βοτάνη, καὶ λογισμὸς δολερὸς ἐστὶν ἐν ἡμῖν, πρόῤῥιζον αὐτὸν ἀνασπάσωμεν, καὶ καθαρὰς τοῖς τῆς εὐσεβείας σπέρμασι παράσχωμεν τὰς ἀρούρας. ἐὰν γὰρ μὴ νῦν νεώσωμεν, ἐὰν μὴ νῦν σπείρωμεν, ἐὰν μὴ νῦν δακρύσωμεν, ὅτε θλίψις καὶ νηστεία, πότε ἄλλοτε ἥξομεν εἰς κατάνυξιν; ὅταν ἄνεσις ᾖ καὶ τρυφή; ἀλλὰ τοῦτο ἀδύνατον. ἡ γὰρ ἄνεσις καὶ ἡ τρυφὴ εἰς ῥᾳθυμίαν ἐνάγειν εἴωθεν, ὥσπερ ἡ θλίψις πρὸς σπουδὴν ἐπανάγει, καὶ πεπλανημένην ἔξω καὶ περὶ πολλὰ τὴν διάνοιαν κεχηνυῖαν πρὸς ἑαυτὴν ἐπιστρέφει.

Μὴ τοίνυν ἀλγῶμεν ὑπὲρ τῆς ἀθυμίας ταύτης, ἀλλὰ καὶ εὐχαριστῶμεν τῷ Θεῷ. πολὺ γὰρ ἀπὸ τῆς θλίψεως τὸ κέρδος. καὶ γὰρ ὁ γεωργὸς, ἐπειδὰν σπείρῃ τὰ μετὰ πολλοῦ τοῦ πόνου συλλεγέντα σπέρματα, χειμῶνα γενέσθαι εὔχεται. καὶ ὁ μὲν ἰδιώτης ὁρῶν τὰ γινόμενα ἅπαντα θαυμάζεται, καὶ πρὸς ἑαυτὸν ἴσως ἐρεῖ· τί ποτε ὁ ἄνθρωπος οὕτω ποιεῖ; τὰ συλλεγέντα σκορπίζει· καὶ οὐχὶ σκορπίζει μόνον, ἀλλὰ καὶ ἀναμίγνυσι μετὰ πολλῆς τῆς ἀκριβείας τῇ γῇ, ὥστε αὐτὰ μηδὲ συλλέξαι δυνηθῆναι ῥᾳδίως· καὶ οὐκ ἀναμίγνυσι μόνον τῇ γῇ, ἀλλὰ καὶ εὔχεται γενέσθαι σφοδρὸν τὸν ὑετὸν, ὥστε κατασαπῆναι τὰ καταβληθέντα ἅπαντα, καὶ γενέσθαι πηλόν· καὶ θορυβεῖται βλέπων βροντὰς καταῤῥηγνυμένας, καὶ ἀστραπὰς καταφερομένας. ὁ δὲ γηπόνος οὐχ οὕτως· ἀλλὰ χαίρει καὶ ἀγάλλεται χειμῶνα ὁρῶν. οὐ γὰρ τὰ παρόντα βλέπει, ἀλλὰ τὰ μέλλοντα ἀναμένει· οὐ πρὸς τὰς βροντὰς ὁρᾷ, ἀλλὰ τὰ δράγματα ἀναλογίζεται, οὐ τὰ σηπόμενα σπέρματα, ἀλλὰ τοὺς κομῶντας στάχυας, οὐ τὸν φορτικὸν ὑετὸν, ἀλλὰ τὸν ἥδιστον τῆς ἅλω κονιορτόν. οὕτω δὴ καὶ ἡμεῖς μὴ τὴν θλίψιν ὁρῶμεν τὴν παροῦσαν, μηδὲ τὴν ὀδύνην, ἀλλὰ τὴν ἐξ αὐτῆς γινομένην ὠφέλειαν, τὸν ἐξ αὐτῆς τικτόμενον καρπόν· ἀναμείνωμεν τῆς ἅλω τὰ δράγματα. καὶ γὰρ ἐὰν νήφωμεν, πολὺν ἀπὸ τοῦ καιροῦ τούτου δυνησόμεθα συναγαγεῖν τὸν καρπὸν, καὶ πληρῶσαι τὰ ταμιεῖα τῆς διανοίας τῆς ἡμετέρας. ἂν νήφωμεν, οὐ μόνον οὐδὲν πεισόμεθα ἀπὸ τῆς θλίψεως ταύτης δεινὸν, ἀλλὰ καὶ μυρία καρπωσόμεθα ἀγαθά. ἂν δὲ ῥᾳθυμῶμεν, καὶ ἡ ἄνεσις ἡμᾶς ἀπολεῖ. τὸν μὲν γὰρ μὴ προσέχοντα, ἑκάτερα βλάπτει· τὸν δὲ μετὰ ἀκριβείας ζῶντα, ἀμφότερα ὠφελεῖ. καὶ καθάπερ τὸ χρυσίον, κἂν ὕδασιν ὁμιλήσῃ, τὴν οἰκείαν εὐπρέπειαν ἐπιδείκνυται, κἂν εἰς χωνευτήριον ἐμπέσῃ, φαιδρότερον γίνεται πάλιν· ὁ δὲ πηλὸς καὶ ὁ χόρτος, κἂν ὕδασιν ἀναμιχθεὶς τύχῃ, ὁ μὲν διαλύεται, ὁ δὲ σήπεται· κἂν εἰς πῦρ ἐμπέσῃ, ὁ μὲν φρύγεται, ὁ δὲ κατακαίεται· οὕτω δὴ καὶ ὁ δίκαιος καὶ ὁ ἁμαρτωλός. ὁ μὲν γὰρ κἂν ἀνέσεως ἀπολαύῃ, μένει λαμπρὸς, καθάπερ τὸ χρυσίον περικλυζόμενον ὕδατι· κἂν εἰς πειρασμὸν ἐμπέσῃ, φαιδρότερος γίνεται, καθάπερ τὸ χρυσίον βασανιζόμενον ὑπὸ τοῦ πυρός· ὁ δὲ ἁμαρτωλὸς, κἂν ἀνέσεως τύχῃ, διαλύεται καὶ κατασήπεται, καθάπερ ὁ χόρτος καὶ ὁ πηλὸς ὁμιλῶν ὕδατι· κἂν πειρασμὸν ὑπομείνῃ, κατακαίεται καὶ ἀπόλλυται, καθάπερ ὁ πηλὸς καὶ ὁ χόρτος ὑπὸ τοῦ πυρός. μὴ τοίνυν ἀλύωμεν ἐπὶ τοῖς παροῦσι δεινοῖς. ἐὰν γὰρ ἁμαρτίας ἔχῃς, ἀφανίζονται καὶ κατακαίονται ῥᾳδίως ὑπὸ τῆς θλίψεως· ἂν δὲ ἀρετὴν ἔχῃς, λαμπρυνῇ καὶ φαιδρυνῇ ὑπ᾽ αὐτῆς. ἐὰν γὰρ ἀγρυπνῇς διηνεκῶς καὶ νήφῃς, ἀνώτερος ἔσῃ βλάβης ἁπάσης. οὐ γὰρ ἡ τῶν πειρασμῶν φύσις, ἀλλ᾽ ἡ τῶν πειραζομένων ῥᾳθυμία τὰ πτώματα ἐργάζεσθαι πέφυκεν. ὥστε εἰ βούλει τρυφᾷν καὶ ἀνέσεως ἀπολαύειν καὶ ἡδονῆς, μὴ ζήτει ἡδονὴν, μηδὲ ἄνεσιν, ἀλλὰ ζήτει ψυχὴν ὑπομονῆς γέμουσαν, καὶ καρτερίαν ἐπιδείξασθαι δυναμένην. ὡς ἐὰν μὴ τοῦτο ἔχῃς, οὐχὶ πειρασμός σε ἐλέγξει μόνον, ἀλλὰ καὶ ἄνεσίς σε ἀπολεῖ καὶ καταβαλεῖ μειζόνως. ὅτι γὰρ οὐχ ἡ τῶν δεινῶν προσβολὴ, ἀλλ᾽ ἡ τῆς ἡμετέρας διανοίας ῥᾳθυμία ἀνατρέπει τὴν σωτηρίαν ἡμῶν, ἄκουσον τί φησιν ὁ Χριστός· Ματθ. ζ. κδ Πᾶς ὅστις ἀκούει μου τοὺς λόγους τούτους, καὶ ποιεῖ αὐτοὺς, ὁμοιωθήσεται ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησεν αὐτοῦ τὴν οἰκίαν ἐπὶ τὴν πέτραν, καὶ κατέβη ἡ βροχὴ, καὶ ἦλθον οἱ ποταμοὶ, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέῤῥηξαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσε. τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν. καὶ πάλιν, Πᾶς ὅστις ἀκούει μου τοὺς λόγους τούτους, καὶ οὐ ποιεῖ αὐτούς, ὁμοιωθήσεται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησεν αὐτοῦ τὴν οἰκίαν ἐπὶ τὴν ψάμμον, καὶ κατέβη ἡ βροχή, καὶ ἦλθον οἱ ποταμοί, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέρρηξαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ κατέπεσε· καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη. ὁρᾷς ὅτι οὐχ αἱ τῶν πειρασμῶν προσβολαί, ἀλλ' ἡ τῶν οἰκοδομούντων ἄνοια τὴν πτῶσιν ἐποίησε; καὶ γὰρ ἐκεῖ βροχή, καὶ ἐνταῦθα βροχή· κἀκεῖ ποταμοί, καὶ ἐνταῦθα ποταμοί· κἀκεῖ πνευμάτων προσβολαί, καὶ ἐνταῦθα τὸ αὐτὸ τοῦτο· κἀκεῖνος ᾠκοδόμησε, καὶ οὗτος ᾠκοδόμησε, καὶ ἡ αὐτὴ οἰκοδομή, καὶ οἱ αὐτοὶ πειρασμοί· ἀλλ' οὐ τὸ αὐτὸ τέλος, ἐπειδὴ οὐχ ὁ αὐτὸς θεμέλιος. οὐ γὰρ τῶν πειρασμῶν ἡ φύσις, ἀλλὰ τοῦ οἰκοδομήσαντος ἡ ἄνοια τὴν πτῶσιν ἐποίησεν· ἐπεὶ ἔδει καὶ τὴν ἐπὶ τῆς πέτρας οἰκοδομηθεῖσαν καταπεσεῖν οἰκίαν. νῦν δὲ οὐδὲν τοιοῦτον ἔπαθεν. ἀλλὰ μὴ περὶ οἰκίας εἰρῆσθαι ταῦτα νομίζητε· περὶ γὰρ ψυχῆς ἐστιν ὁ λόγος, τὴν τῶν θείων λόγων ἀκρόασιν διὰ τῶν ἔργων ἐπιδεικνυμένης ἢ διακρουομένης. οὕτως ᾠκοδόμησεν ἑαυτοῦ τὴν ψυχὴν ὁ Ἰώβ. *. κατέβη ἡ βροχή· Πῦρ γὰρ ἔπεσε, φησιν, ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφαγε πάντα τὰ ποίμνια. Ἰὼβ α. 15. ἦλθον οἱ ποταμοί, οἱ πυκνοὶ καὶ συνεχεῖς καὶ ἐπάλληλοι τῶν συμφορῶν ἄγγελοι, ὁ μὲν τῶν αἰπολίων, ὁ δὲ τῶν καμήλων, ὁ δὲ τῶν παίδων λέγων τὴν ἀπώλειαν. ἔπνευσαν οἱ ἄνεμοι, τὰ πικρὰ τῆς γυναικὸς ῥήματα (Εἰπὸν γάρ τι, φησι, ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα) Ἰὼβ β. 9. καὶ οὐκ ἔπεσεν ἡ οἰκία, οὐχ ὑπεσκελίσθη ἡ ψυχή, οὐκ ἐβλασφήμησεν ὁ δίκαιος, ἀλλὰ καὶ ηὐχαρίστησεν οὕτως εἰπών· Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο. Ἰὼβ α. κα. ὁρᾷς ὅτι οὐχὶ τῶν πειρασμῶν ἡ φύσις, ἀλλ' ἡ τῶν ῥαθυμούντων ὀλιγωρία τὴν πτῶσιν ποιεῖν εἴωθεν; ὥστε τόν γε ἰσχυρὸν καὶ ἰσχυρότερον ἡ θλίψις ἐργάζεται. τίς ταῦτά φησι; ὁ ἐν τῇ θλίψει τραφείς, ὁ μακάριος Παῦλος οὕτω λέγων· Ἡ θλίψις ὑπομονὴν κατεργάζεται· Ῥωμ. ε. δ. ἡ δὲ ὑπομονὴ δοκιμήν· ἡ δὲ δοκιμὴ ἐλπίδα. καὶ καθάπερ τὰ ἰσχυρὰ τῶν δένδρων ἡ τῶν ἀνέμων ῥύμη προσαράττουσα καὶ πάντοθεν ῥιπίζουσα, οὐκ ἀνασπᾷ, ἀλλὰ στερρότερα καὶ ἰσχυρότερα ταῖς προσβολαῖς ταύταις κατασκευάζει· οὕτω καὶ ψυχὴν ἁγίαν, καὶ εὐλαβείᾳ συζῶσαν αἱ τῶν πειρασμῶν ἐπαγωγαὶ καὶ τῶν θλίψεων οὐχ ὑποσκελίζουσιν, ἀλλὰ καὶ πρὸς πλείονα ὑπομονὴν ἀλείφουσι· καθάπερ καὶ τὸν μακάριον Ἰὼβ λαμπρότερον ἐποίησαν καὶ φαιδρότερον. νῦν μὲν οὖν ἄνθρωπος ἡμῖν ὀργίζεται, ἄνθρωπος ὁμοιοπαθὴς * καὶ ὁμόψυχος, καὶ δεδοίκαμεν· τότε δὲ ἐκείνῳ * δαίμων πονηρὸς καὶ ἄγγελος ἦν ὁ ὀργιζόμενος· καὶ οὐχ ἁπλῶς ὠργίζετο, ἀλλὰ πάντα ἐκίνει τὰ μηχανήματα, καὶ πᾶσαν προσῆγε μαγγανείαν· καὶ οὐδὲ οὕτως ἤλεγξε τοῦ δικαίου τὴν ἀνδρείαν. καὶ οὗτος μὲν ἄνθρωπος ὢν νῦν μὲν ὀργίζεται, νῦν δὲ καταλλάττεται, καὶ ὅμως ἀποτεθνήκαμεν τῷ δέει· τότε δὲ διάβολος ἦν ὁ πολεμῶν, ὁ μηδέποτε καταλλαττόμενος τῇ τῶν ἀνθρώπων φύσει, ἀλλὰ πόλεμον ἄσπονδον καὶ μάχην ἀκήρυκτον πρὸς τὸ γένος ἡμῶν ἀράμενος· ἀλλ' ὅμως κατεγέλασεν αὐτοῦ τῶν βελῶν ὁ δίκαιος. τίνα οὖν ἂν ἔχοιμεν ἀπολογίαν, ἢ ποίαν συγγνώμην, οὕτως ἀνθρώπινον πειρασμὸν οὐ φέροντες, οἱ τοσαῦτα φιλοσοφοῦντες ἐν τῇ χάριτι, τοῦ πρὸ τῆς χάριτος καὶ τῆς παλαιᾶς διαθήκης οὕτω τὸν ἀφόρητον πόλεμον ἐκεῖνον ἐνεγκόντος γενναίως;

Ταῦτ' οὖν ἀεί, ἀγαπητοί, διαλεγώμεθα πρὸς ἀλλήλους, καὶ διὰ τούτων ἑαυτοὺς παρακαλῶμεν τῶν λόγων. καὶ γὰρ ὑμεῖς μάρτυρες καὶ τὸ συνειδὸς τὸ ὑμέτερον, ὅσον ἀπὸ τοῦ πειρασμοῦ τούτου τὸ κέρδος ἐσχήκαμεν. ὁ [γὰρ] ἀκόλαστος, σώφρων ἐγένετο *· ὁ θρασύς, ἐπιεικέστερος· ὁ ῥᾴθυμος, σπουδαῖος· οἱ μηδέποτε ἐκκλησίαν ἰδόντες, ἀλλ' ἐν θεάτροις προσεδρεύοντες, ἐν ἐκκλησίᾳ διημερεύουσι νῦν. διὰ ταῦτα οὖν ἀλγεῖς, εἰπέ μοι, ὅτι σε σπουδαῖον τῷ φόβῳ ἐποίησεν ὁ Θεός; ὅτι σε τῇ θλίψει πρὸς αἴσθησιν τῆς σεαυτοῦ σωτηρίας ἤγαγεν; ἀλλ' ὀδυνᾶταί σου τὸ συνειδός, ἀλλὰ τιτρώσκεταί σου καθ' ἑκάστην ἡμέραν ἡ διάνοια, θάατοι προσδοκῶσα καὶ ἀπειλὴν μεγίστην; ἀλλὰ καὶ ἐντεῦθεν ἡμῖν πολλὴ πρὸς ἀρετὴν ἐπίδοσις ἔσται, ἐπιτεινομένης ἡμῖν τῆς εὐλαβείας διὰ τῆς ἀγωνίας. δυνατὸς μὲν γὰρ ὁ Θεὸς ἅπαντα σήμερον λῦσαι τὰ δεινά· ἀλλ' ἕως ἂν ἴδῃ καθαρθέντας ἡμᾶς, ἕως ἂν ἴδῃ γινομένην ἐπιστροφὴν καὶ μετάνοιαν παγίαν καὶ ἄσειστον, οὐ καταλύει τὴν θλίψιν. καὶ γὰρ ὁ χρυσοχόος, ἕως ἂν ἴδῃ τὸ χρυσίον καλῶς ἐκκαθαρθέν, οὐκ ἀνασπᾷ τοῦ χωνευτηρίου· οὕτω καὶ ὁ Θεὸς οὐ παράγει τοῦτο τὸ νέφος, ἕως ἂν ἡμᾶς σωφρονίσῃ καλῶς. ὁ γὰρ συγχωρήσας τὸν πειρασμόν, αὐτὸς οἶδε καὶ τὸν καιρὸν τῆς λύσεως τοῦ πειρασμοῦ. οὕτω καὶ κιθαρῳδὸς οὔτε ἐπιτείνει τὴν νευρὰν, ἵνα μὴ διαρρήξῃ, οὔτε χαλᾷ πέρα τοῦ μέτρου, ἵνα μὴ λυμήνηται τὴν συμφωνίαν τῆς ἁρμονίας. οὕτω καὶ ὁ Θεὸς ποιεῖ· οὔτε ἐν ἀνέσει διηνεκεῖ, οὔτε ἐν θλίψει μακρᾷ τὴν ἡμετέραν καθίστησι ψυχὴν, κατὰ τὴν αὐτοῦ σύνεσιν ἀμφότερα ταῦτα ποιῶν. οὐκ ἀφίησι μὲν γὰρ διηνεκοῦς ἀνέσεως ἀπολαύειν, ἵνα μὴ γινώμεθα ῥαθυμότεροι· οὐκ ἀφίησι δὲ ἐν θλίψει συνεχεῖ εἶναι πάλιν, ἵνα μὴ καταπέσωμεν, μηδὲ ἀπαγορεύσωμεν. αὐτῷ τοίνυν παραχωρῶμεν τοῦ καιροῦ τῆς ἀπαλλαγῆς τῶν δεινῶν· ἡμεῖς δὲ εὐχώμεθα μόνον, ἡμεῖς ἐν εὐλαβείᾳ ζῶμεν. ἡμῶν μὲν γὰρ ἔργον τὸ μεταβαλέσθαι πρὸς ἀρετὴν, τοῦ δὲ Θεοῦ ἔργον τὸ λῦσαι τὰ δεινά. καὶ γὰρ σοῦ τοῦ πειραζομένου μᾶλλον αὐτὸς βούλεται σβέσαι τὴν πυρὰν ταύτην· ἀλλ' ἀναμένει σου τὴν σωτηρίαν. ὥσπερ οὖν ἐξ ἀνέσεως ἐγένετο θλίψις, οὕτω καὶ ἀπὸ θλίψεως ἄνεσιν χρὴ προσδοκᾶν. οὐδὲ γὰρ ἀεὶ χειμὼν, οὐδὲ ἀεὶ θέρος· οὐκ ἀεὶ κύματα, οὐδὲ ἀεὶ γαλήνη· οὐκ ἀεὶ νὺξ, οὐδὲ ἀεὶ ἡμέρα. οὕτως οὐδὲ ἀεὶ θλίψις, ἀλλ' ἔσται καὶ ἄνεσις, μόνον ἐὰν ἐν τῇ θλίψει διαπαντὸς εὐχαριστῶμεν τῷ Θεῷ. καὶ γὰρ οἱ τρεῖς παῖδες ἐν καμίνῳ ἐνεβλήθησαν, καὶ οὐδὲ οὕτως ἐπελάθοντο τῆς εὐλαβείας, οὐδὲ ἐφόβησεν αὐτοὺς ἡ φλόξ· ἀλλὰ τῶν ἐν θαλάμῳ καθημένων καὶ μηδὲν πασχόντων δεινὸν, σπουδαιότερον τῷ πυρὶ κυκλούμενοι τὰς ἱερὰς ἐκείνας ἀνέπεμπον εὐχάς. διὰ τοῦτο τεῖχος αὐτοῖς ἐγένετο τὸ πῦρ, καὶ στολὴ ἡ φλόξ, καὶ πηγὴ ἡ κάμινος, καὶ δεδεμένους λαβοῦσα, λελυμένους ἀπέδωκεν. ἔλαβε θνητὰ σώματα, καὶ ὡς ἀθανάτων ἀπέσχετο. [οὐκ] ἔγνω τὴν φύσιν, ἀλλ' ᾐδέσθη τὴν εὐλάβειαν. ἔδησε τοὺς πόδας ὁ τύραννος, καὶ ἔδησαν οἱ πόδες τοῦ πυρὸς τὴν ἐνέργειαν. ὢ παραδόξου πράγματος. τοὺς δεδεμένους ἔλυσεν ἡ φλὸξ, καὶ αὕτη λοιπὸν ὑπὸ τῶν δεδεμένων ἐδέδετο. μετέβαλε γὰρ τῶν πραγμάτων τὴν φύσιν ἡ τῶν νεανίσκων εὐλάβεια, μᾶλλον δὲ οὐ τὴν φύσιν μετέβαλεν, ἀλλ' ὃ πολλῷ θαυμαστότερον ἦν, μενούσης τῆς φύσεως τὴν ἐνέργειαν ἔστησεν. οὐ γὰρ ἔσβεσε τὸ πῦρ, ἀλλὰ καιόμενον ἀργὸν ἐποίησε. καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον, οὐκ ἐπὶ τῶν σωμάτων τοῦτο τῶν ἁγίων ἐγένετο μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἱματίων αὐτῶν καὶ ἐπὶ τῶν ὑποδημάτων. καὶ καθάπερ ἐπὶ τῶν ἀποστόλων, τὰ ἱμάτια Παύλου νοσήματα καὶ δαίμονας ἤλαυνε, καὶ ἡ σκιὰ Πέτρου θάνατον ἐφυγάδευσεν· οὕτω δὴ καὶ ἐνταῦθα τῶν παίδων τούτων τὰ ὑποδήματα τὴν τοῦ πυρὸς δύναμιν ἔσβεσεν. οὐκ οἶδα πῶς εἴπω. τὸ γὰρ θαῦμα πᾶσαν ὑπερβαίνει λόγων διήγησιν. καὶ γὰρ ἔσβεστο ἡ ἐνέργεια, καὶ οὐκ ἔσβεστο. ὅτε μὲν γὰρ τοῖς σώμασιν ὡμίλει τῶν ἁγίων ἐκείνων, ἔσβεστο· ὅτε δὲ τὰ δεσμὰ διαρρῆξαι ἔδει, οὐκ ἔσβεστο. τὰ γοῦν δεσμὰ διέρρηξε, καὶ τῶν ἀστραγάλων οὐχ ἥψατο. εἶδες πόση ἡ ἐγλύτης; καὶ οὐκ ἠπατήθη τὸ πῦρ, οὐδὲ ἐνδοτέρω τῶν δεσμῶν προελθεῖν ἐτόλμησεν. ἔδησεν ὁ τύραννος, καὶ ἔλυσεν ἡ φλόξ· ἵνα μάθῃς καὶ τοῦ βαρβάρου τὴν ὠμότητα, καὶ τοῦ στοιχείου τὴν ὑπακοήν. τίνος δὲ ἕνεκεν ἔδησεν, εἰς πῦρ ἐμβαλεῖν μέλλων; ἵνα μεῖζον τὸ θαῦμα γένηται, ἵνα παραδοξότερον τὸ σημεῖον, ἵνα μὴ νομίσῃς ὀφθαλμῶν ἀπάτην εἶναι τὰ ὁρώμενα. εἰ γὰρ μὴ πῦρ ἦν ἐκεῖνο τὸ πῦρ, οὐκ ἂν τὰ δεσμὰ κατέφαγεν, οὐκ ἂν τοὺς ἔξωθεν στρατιώτας καθημένους ἥρπασεν, ὃ πολλῷ μεῖζον ἦν· νῦν δὲ ἐν μὲν τοῖς ἔξω τὴν δύναμιν, ἐν δὲ τοῖς ἔνδον ὑπακοὴν ἐπεδείξατο. σὺ δέ μοι σκόπει πανταχοῦ, πῶς ὁ διάβολος, δι' ὧν πολεμεῖ τοῖς τοῦ Θεοῦ δούλοις, διὰ τούτων τὴν οἰκείαν δύναμιν καθαιρεῖ, οὐκ ἑκών, ἀλλὰ τοῦ Θεοῦ τοῦ σοφοῦ καὶ εὐμηχάνου τοῖς ὅπλοις τοῖς ἐκείνου καὶ ταῖς μεθοδείαις κατὰ τῆς ἐκείνου κεχρημένου κεφαλῆς· ὃ δὴ καὶ ἐνταῦθα γέγονεν. ὁ μὲν γὰρ διάβολος ἐμπνεύσας τῷ τυράννῳ τότε ἐκείνῳ, οὔτε σιδήρῳ τὰς τῶν ἁγίων ἀποτμηθῆναι κεφαλὰς ἀφῆκεν, οὔτε θηρίοις παραδοθῆναι, οὔτε ἄλλῳ τινὶ τοιούτῳ τρόπῳ κολασθῆναι· ἀλλ' εἰς τὸ πῦρ "ἐμβαλεῖν, ἵνα μηδὲ τὰ λείψανα μείνῃ τῶν ἁγίων ἐκείνων, τῶν σωμάτων αὐτοῖς ἀφανισθέντων, καὶ τῆς τέφρας αὐτῶν τῇ τέφρᾳ τῶν κληματίδων ἀναμιγείσης. ὁ δὲ Θεὸς αὐτῷ δὴ τούτῳ πρὸς ἀναίρεσιν τῆς ἀσεβείας ἐχρήσατο. καὶ πῶς, ἐγὼ λέγω. Θεὸς παρὰ τοῖς Πέρσαις εἶναι νομίζεται τὸ πῦρ, καὶ τιμῶσιν αὐτὸ μετὰ πολλῆς τῆς θεραπείας οἱ βάρβαροι οἱ τὴν χώραν ἐκείνην οἰκοῦντες ἔτι καὶ νῦν. βουλόμενος τοίνυν ὁ Θεὸς πρόρριζον ἀνελεῖν τῆς ἀσεβείας τὴν ὑπόθεσιν, συνεχώρησεν [αὐτῷ] τῷ τρόπῳ τῆς κολάσεως ταύτης, ἵνα κατ' ὀφθαλμοὺς τῶν θεραπευόντων αὐτὸ πάντων τοῖς αὐτοῦ δούλοις τὰ νικητήρια δῷ, διὰ τῶν ἔργων αὐτῶν πείσας αὐτούς, ὅτι οἱ τῶν ἑλλήνων θεοὶ οὐχὶ τὸν Θεὸν μόνον, ἀλλὰ καὶ τοὺς τοῦ Θεοῦ δούλους δεδοίκασι. καὶ σκόπει διὰ τῶν ἐναντίων πλεκόμενον τῆς νίκης τὸν στέφανον, καὶ μάρτυρας τοῦ τροπαίου γινομένους αὐτοὺς τοὺς ἐχθρούς. Ἀπέσταλκε γάρ, φησι, Ναβουχοδονόσορ ὁ βασιλεὺς συναγαγεῖν πάντας τοὺς ὑπάτους, καὶ τοὺς στρατηγούς, καὶ τοὺς τοπάρχας, ἡγουμένους, καὶ τυράννους, καὶ τοὺς ἐπ' ἐξουσιῶν, καὶ πάντας τοὺς ἄρχοντας τῶν χωρῶν ἐλθεῖν εἰς τὰ ἐγκαίνια τῆς εἰκόνος. καὶ συνήχθησαν πάντες. ὁ ἐχθρὸς συνάγει τὸ θέατρον, καὶ αὐτὸς συγκροτεῖ τοὺς θεατάς. αὐτὸς τὰ σκάμματα τίθησι, καὶ θέατρον, οὐ τῶν τυχόντων ἀνθρώπων, οὐκ ἰδιωτῶν τινων, ἀλλὰ τῶν ἐντίμων καὶ πάντων τῶν ἐν ἀρχαῖς· ἵνα καὶ ἡ μαρτυρία ἀξιόπιστος γένηται παρὰ τοῖς πολλοῖς. ἦλθον ἐφ' ἑτέρᾳ κληθέντες ὑποθέσει, καὶ ἕτερα θεασάμενοι πάντες ἀπῆλθον. ἦλθον προσκυνήσοντες τὴν εἰκόνα· καὶ τῆς μὲν εἰκόνος "κατεγέλασαν, ἐκπλαγέντες δὲ τοῦ Θεοῦ τὴν δύναμιν διὰ τῶν εἰς τοὺς παῖδας τούτους γενομένων σημείων ἀπῆλθον. καὶ ὅρα ποῦ τὸ στάδιον ἀνέῳγε τοῦτο. οὐκ ἐν πόλει, οὐδὲ ἐν χώρᾳ τινί, ἀλλ' ὕπαιθρα καὶ ψιλὰ πεδία δέχεται τοῦτο τῆς οἰκουμένης τὸ θέατρον. ἐν γὰρ πεδίῳ "Δεηρᾷ τῆς πόλεως ἔξω τὴν εἰκόνα ἔστησε, καὶ ὁ κῆρυξ παρελθὼν ἐβόα· ὑμῖν λέγεται ἔθνη, * φυλαί, γλῶσσαι. ἐν ᾗ ἂν ὥρᾳ ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους "μουσικῶν, πεσόντες προσκυνήσατε τῇ εἰκόνι τῇ χρυσῇ (ὄντως γὰρ πεσεῖν ἦν, τὸ προσκυνῆσαι τὸ εἴδωλον) καὶ ὃς ἂν μὴ πεσὼν προσκυνήσῃ, ἐν αὐτῇ τῇ ὥρᾳ "ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. εἶδες πῶς χαλεπὰ τὰ παλαίσματα γέγονε, καὶ ὅσαι τῆς ἐπιβουλῆς αἱ ἀνάγκαι, καὶ πῶς βαθὺ τὸ βάραθρον καὶ κρημνὸς ἑκατέρωθεν. ἀλλὰ μὴ δείσῃς. ὅσῳ περ ἂν αὐξήσῃ τὰ μηχανήματα ὁ ἐχθρός, τοσούτῳ μᾶλλον δείκνυσι τῶν παίδων τὴν ἀνδρείαν. διὰ γὰρ τοῦτο συμφωνία μουσικῶν τοσούτων, διὰ τοῦτο ἡ κάμινος ἡ καιομένη, ἵνα καὶ ἡδονὴ καὶ φόβος πολιορκῇ τὰς τῶν παρόντων ψυχάς. "σκληρός τίς ἐστι τῶν παρόντων καὶ δυσένδοτος *; μαλαττέσθω, φησίν, αὐτὸν γοητεύουσα τῆς παναρμονίου μουσικῆς ἡ μελῳδία. ἀλλ' ἀνώτερος ταύτης γέγονε τῆς ἐπιβουλῆς; φοβείτω καὶ καταπληττέτω τῆς φλογὸς ἡ ὄψις. καὶ ἦν φόβος καὶ ἡδονή, ἡ μὲν διὰ τῶν ὤτων, ὁ δὲ διὰ τῶν ὀφθαλμῶν ἐπεισιὼν τῇ ψυχῇ. ἀλλὰ τὸ γενναῖον τῶν νεανίσκων ἐκείνων οὐδὲν τούτων ἤλεγξε· ἀλλ' ὥσπερ εἰς τὸ πῦρ ἐμπεσόντες ἐκράτησαν τῆς φλογός, οὕτω πάσης ἐπιθυμίας καὶ ἀγωνίας κατεγέλασαν. ταῦτα γὰρ πάντα δι' ἐκείνους ὁ διάβολος παρεσκεύασεν. οὐ γὰρ περὶ τῶν ὑπηκόων ἠμφισβήτει, ἀλλὰ καὶ σφόδρα ἐθάρρει, ὅτι οὐδεὶς ἀντιπεσεῖται τῷ νόμῳ τοῦ βασιλέως. ἐπειδὴ δὲ ἅπαντες ἔπεσον καὶ ἡττήθησαν, τότε εἰς μέσον οἱ παῖδες ἄγονται μόνοι, ἵνα καὶ ταύτῃ λαμπροτέρα ἡ νίκη γένηται, [μόνοι] ἐν τοσούτῳ πλήθει νικώντων καὶ ἀνακηρυττομένων αὐτῶν. οὐδὲ γὰρ ἦν οὕτω θαυμαστόν, εἰ μηδενὸς ὑποσκελισθέντος οὗτοι παρελθόντες ἠνδρίσαντο πρῶτοι· τὸ δὲ μέγιστον καὶ παράδοξον, ὅτι τῶν πεπτωκότων

Δαν. γ. β.

Δαν. γ. δ.

κότων τὸ πλῆθος οὐκ ἐφόβησεν αὐτούς, οὐδὲ ἐξέλυσεν, οὐδὲ εἶπον πρὸς ἑαυτούς τι τοιοῦτον, ὃ πολλοὶ πολλάκις λέγειν εἰώθασιν. εἰ μὲν γὰρ πρῶτοι καὶ μόνοι προσκυνεῖν ἡμεῖς ἐμέλλομεν τὴν εἰκόνα, ἔγκλημα τὸ γινόμενον ἦν· εἰ δὲ μετὰ τοσούτων μυριάδων * τοῦτο ποιοῦμεν, τίς οὐ δώσει συγγνώμην; τίς ἀπολογίας οὐκ ἀξιώσει; ἀλλ' οὐδὲν οὔτε εἶπον, οὔτε ἐνενόησάν τι τοιοῦτον ἐκεῖνοι, τὰ πτώματα τῶν τοσούτων ἰδόντες τυράννων. σὺ δέ μοι σκόπει καὶ τῶν διαβαλλόντων αὐτοὺς τὴν κακουργίαν, καὶ πῶς κακοήθως καὶ πικρῶς αὐτῶν κατηγόρησαν ἐκεῖνοι. Εἰσὶ γάρ, φησιν, ἄνδρες Ἰουδαῖοι, οὓς κατέστησας ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος. οὐ γὰρ ἁπλῶς ἐμνημόνευσαν τοῦ ἔθνους, ἀλλὰ καὶ τῆς τιμῆς ἀνέμνησαν, ἵνα ἐκκαύσωσι τὴν τοῦ βασιλέως ὀργήν, μονονουχὶ λέγοντες· ὅτι τοὺς δούλους, τοὺς αἰχμαλώτους, τοὺς ἀπόλιδας ἄρχοντας ἡμῶν ἐποίησας· οἱ δὲ καὶ τὴν τοσαύτην τιμὴν ὑβρίζουσι, καὶ παροινοῦσιν εἰς τὸν τετιμηκότα. διὰ τοῦτο λέγουσιν· οἱ Ἰουδαῖοι, οὓς κατέστησας ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος, οὐχ ὑπήκουσαν τῷ δόγματί σου, καὶ τοῖς θεοῖς σου οὐ λατρεύουσι. μέγιστος ἔπαινος ἡ κατηγορία, καὶ τὰ ἐγκλήματα ἐγκώμια γέγονε, καὶ ἡ μαρτυρία ἀνύποπτος τῶν ἐχθρῶν αὐτὴν παρεχομένων. τί οὖν ὁ βασιλεύς; ἐκέλευσεν αὐτοὺς ἀχθῆναι εἰς τὸ μέσον, ὥστε πάντοθεν αὐτοὺς φοβῆσαι. ἀλλ' οὐδὲν ἐκείνους ἐξέπληξεν, οὐχ ὁ θυμὸς τοῦ βασιλέως, οὐ τὸ μόνους ἐν μέσῳ τοσούτων ἀπειλῆφθαι, οὐ τὸ πῦρ ὁρώμενον, οὐχ αἱ σάλπιγγες ἠχοῦσαι, οὐ πάντες εἰς αὐτοὺς πῦρ βλέποντες· ἀλλὰ πάντων τούτων καταγελάσαντες *, ὡς εἰς ψυχρὰν πηγὴν ὑδάτων ἐμπίπτειν μέλλοντες, ἐπὶ τὴν κάμινον εἰσῄεσαν, τὴν μακαρίαν ἐκείνην ἀφέντες φωνήν, Ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν.

Δαν. γ. ιγ.

Δαν. γ. ιη.

* καὶ αὐτῶν ἀπείρων

* εἰ παρα- κέοιν

* Ταύτην οὐχ ἁπλῶς ἐκίνησα τὴν ἱστορίαν, ἀλλ' ἵνα μάθητε, ὅτι κἂν θυμὸς ᾖ βασιλικός, κἂν ἐπιβουλὴ στρατιωτῶν, κἂν φθόνος ἐχθρῶν, κἂν αἰχμαλωσία, κἂν ἐρημία, κἂν πῦρ, κἂν κάμινος, κἂν μυρία δεινά, τὸν δίκαιον οὐδὲν ἐλέγξαι οὐδὲ φοβῆσαι δυνήσεται. εἰ γὰρ ἔνθα ἀσεβὴς ἦν ὁ βασιλεύς, οὐκ ἐξεπλάγησαν οἱ νεανίσκοι τὸν τοῦ τυράννου θυμόν· πολλῷ μᾶλλον ἡμᾶς θαρρεῖν χρὴ φιλάνθρωπον καὶ ἥμερον ἔχοντας βασιλέα, καὶ χάριν εἰδέναι τῷ Θεῷ τῆς θλίψεως ταύτης, ἀπὸ τῶν εἰρημένων μαθόντας, ὅτι αἱ θλίψεις λαμπροτέρους ποιοῦσι, καὶ παρὰ Θεῷ, καὶ παρὰ ἀνθρώποις, τοὺς εἰδότας αὐτὰς φέρειν γενναίως. καὶ γὰρ εἰ μὴ ἐγένοντο οὗτοι δοῦλοι, οὐκ ἂν ἔγνωμεν αὐτῶν τὴν ἐλευθερίαν· εἰ μὴ αἰχμάλωτοι ἐγένοντο, οὐκ ἂν αὐτῶν ἐμάθομεν τὴν εὐγένειαν τῆς ψυχῆς· εἰ μὴ τῆς κάτω πατρίδος ἐξέπεσον, οὐκ ἂν ἔγνωμεν τὴν ἄνω πολιτείας αὐτῶν τὴν ἀρετήν· εἰ μὴ ὠργίσθη αὐτοῖς ὁ ἐν τῇ γῇ βασιλεύς, οὐκ ἂν ἐμάθομεν τὴν "εὔνοιαν, ἣν εἶχε περὶ αὐτοὺς ὁ ἐπουράνιος βασιλεύς. καὶ σὺ τοίνυν ἐὰν ἔχῃς ἐχθρὸν θυμοῦ, κἂν εἰς κάμινον ἐμπέσῃς, μὴ ἀπογνῷς· ὥσπερ γὰρ ἂν ὀργίζηται, κἂν ἐν παραδείσῳ ᾖς, μὴ θαρρήσῃς. καὶ γὰρ ἐν παραδείσῳ ἦν ὁ Ἀδὰμ καὶ ἐπειδὴ παρώργισεν, οὐδὲν ὠφέλησεν ὁ παράδεισος. ἐν καμίνῳ ἦσαν οὗτοι καὶ ἐπειδὴ ηὐδοκίμησαν, οὐδὲν ἔβλαψεν ἡ κάμινος. ἐν παραδείσῳ ἦν ὁ Ἀδὰμ καὶ ἐπειδὴ ῥᾴθυμος ἦν, ὑπεσκελίσθη. ἐν κοπρίᾳ ἐκάθητο ὁ Ἰὼβ καὶ ἐπειδὴ ἔνηφεν, ἐκράτει. καίτοι πόσῳ "βελτίων ὁ παράδεισος κοπρίας; ἀλλ' οὐδὲν ὠφέλησεν ἡ ἀρετὴ τοῦ χωρίου τὸν ἐνοικοῦντα, ἐπειδὴ προὔδωκεν ἑαυτὸν ἐκεῖνος· ὥσπερ οὖν οὐδὲν ἔβλαψεν ἡ εὐτέλεια τοῦ τόπου τὸν [ἐν] ἀρετῇ πάντοθεν τετειχισμένον. καὶ ἡμεῖς τοίνυν * τὴν ψυχὴν "ἀσφαλιζώμεθα τὴν ἡμετέραν. κἂν γὰρ ζημία χρημάτων ἐπίῃ, κἂν θάνατος, τὴν δὲ εὐσέβειαν μηδεὶς ἡμᾶς ἀφέληται, μακαριώτεροι πάντων ἐσμέν. τοῦτο καὶ ὁ Χριστὸς ἐπέταξεν εἰπών· Γίνεσθε οὖν φρόνιμοι, ὡς "ὁ ὄφις. καθάπερ γὰρ ἐκεῖνος τὸ λοιπὸν ἅπαν προΐεται σῶμα, ὥστε διασῶσαι τὴν κεφαλήν· οὕτω καὶ σύ, κἂν χρήματα, κἂν σῶμα, κἂν τὴν παροῦσαν ζωήν, κἂν πάντα προέσθαι δέῃ, ὥστε διατηρῆσαι τὴν εὐσέβειαν, μὴ ἀθύμει. ἂν γὰρ ἐκείνην ἔχων ἀπέλθῃς, πάντα σοι μετὰ πλείονος ἀποδώσει τῆς λαμπρό-

* καὶ

γρ. φιλαν-
πον

γρ. ἀλλ

* ἐγκ

Ματθ. ι. ιϛ.

γρ. αἱ

τητος ὁ Θεός, καὶ τὸ σῶμα μετὰ μείζονος δόξης ἀναστήσει πάλιν, καὶ ἀντὶ χρημάτων, τὰ ἀγαθὰ τὰ πᾶσαν ὑπερβαίνοντα λόγου δύναμιν. οὐχὶ γυμνὸς ἐπὶ τῆς κοπρίας ἐκάθητο ὁ Ἰώβ, μυρίων θανάτων χαλεπωτέραν ὑπομένων ζωήν; ἀλλ' ἐπειδὴ τὴν εὐσέβειαν οὐκ ἀπέβαλε, πάντα μετὰ πλείονος ἐπανῆλθεν αὐτῷ τῆς περιουσίας τὰ πρότερα, σώματος ὑγεία καὶ κάλλος, τῶν παίδων ὁ χορὸς ἅπας, τὰ κτήματα ἅπαντα, καὶ τὸ δὴ μεῖζον ἁπάντων, ὁ λαμπρὸς τῆς ὑπομονῆς στέφανος. καθάπερ γὰρ ἐπὶ τῶν δένδρων γίνεται, κἂν τὸν καρπόν τις ἀφέληται μετὰ τῶν φύλλων, κἂν τοὺς κλάδους πάντας ἐκκόψῃ, τῆς ῥίζης μενούσης ὁλόκληρον, καὶ μετὰ πλείονος ἀνίσταται τῆς εὐπρεπείας τὸ δένδρον· οὕτω δὴ καὶ ἐφ' ἡμῶν· ἐὰν ἡ ῥίζα μένῃ τῆς εὐσεβείας, κἂν ὁ πλοῦτος ἀφαιρεθῇ, κἂν τὸ σῶμα διαφθαρῇ, πάντα πάλιν μετὰ μείζονος ἡμῖν ἐπάνεισι τῆς δόξης. πᾶσαν τοίνυν μέριμναν τῆς ψυχῆς ἐκβαλόντες καὶ φροντίδα περιττήν, πρὸς ἑαυτοὺς ἐπανέλθωμεν, καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν καλλωπίσωμεν τῷ κόσμῳ τῆς ἀρετῆς, ὅπλα δικαιοσύνης, ἀλλὰ μὴ ὅπλα ἁμαρτίας, τὰ μέλη τοῦ σώματος ἡμῶν κατασκευάζοντες. καὶ πρῶτον * ἁπάντων τὴν γλῶτταν παιδεύσωμεν εἶναι διάκονον τῆς '' τοῦ πνεύματος χάριτος, πάντα ἰὸν καὶ πονηρίαν '' ἀπὸ τοῦ στόματος ἐκβάλλοντες, καὶ ῥημάτων αἰσχρῶν μελέτην. καὶ γὰρ ἡμεῖς ἐσμεν κύριοι καὶ πονηρίας καὶ δικαιοσύνης ὄργανον ἕκαστον τῶν ἡμετέρων ποιῆσαι μελῶν. ἄκουσον γοῦν πῶς τὴν γλῶτταν, οἱ μὲν ἁμαρτίας, οἱ δὲ δικαιοσύνης ἐποίησαν ὅπλον. Ἡ γλῶσσα αὐτῶν, μάχαιρα ὀξεῖα. ἕτερος δέ τις φησὶ περὶ τῆς ἑαυτοῦ γλώττης· Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. ἐκείνη φόνον εἰργάσατο, αὕτη νόμον ἔγραφε θεῖον. διὰ τοῦτο μάχαιρα μὲν ἐκείνη, κάλαμος δὲ ἦν αὕτη, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν προαίρεσιν τῶν χρωμένων. ἡ μὲν γὰρ φύσις τῆς γλώττης καὶ ταύτης κἀκείνης ἦν μία· ἡ δὲ ἐργασία οὐ μία. καὶ περὶ τοῦ στόματος δὲ πάλιν ὁμοίως τὸ αὐτὸ τοῦτο ἔστιν ἰδεῖν· οἱ μὲν γὰρ εἶχον τὸ στόμα σηπεδόνος γέμον καὶ πονηρίας. διὰ τοῦτο [ὁ] κατηγορῶν ἔλεγε· Τὸ στόμα αὐτῶν ἀρᾶς καὶ πικρίας γέμει. τὸ δὲ αὐτοῦ, οὐ τοιοῦτον· ἀλλὰ Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. ἕτεροι δὲ πάλιν χεῖρας εἶχον ἀνομίας '' ἐμπεπλησμένας. καὶ τούτων κατηγορῶν * ἔλεγεν· Ἐν ταῖς χερσὶν αὐτῶν αἱ ἀνομίαι, καὶ ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων. αὐτὸς δὲ χεῖρας εἶχεν, οὐδὲν ἕτερον, ἢ πρὸς τὸν οὐρανὸν ἀνατείνεσθαι, μεμελετηκυίας. διὸ καὶ περὶ τούτων ἔλεγεν· Ἔπαρσις τῶν χειρῶν μου, θυσία ἑσπερινή. καὶ ἐπὶ * καρδίας ταὐτὸ τοῦτο πάλιν ἐστὶν ἰδεῖν. τῶν μὲν γὰρ ἡ καρδία ματαία ἦν, τούτου δὲ ἀληθής. διὸ καὶ περὶ ἐκείνων φησίν, Ἡ καρδία αὐτῶν ματαία· περὶ δὲ τῆς ἑαυτοῦ, Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν. καὶ ἐπὶ ἀκοῆς δὲ ταὐτὸ τοῦτο ἴδοι τις ἄν. οἱ μὲν γὰρ εἶχον θηρίων ἀκοήν, ἀμείλικτον καὶ ἀσύγγνωστον. καὶ κακίζων αὐτοὺς οὕτως ἔλεγεν· Ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς. ἡ δὲ αὐτοῦ ἀκοή, δοχεῖον τῶν θείων ῥημάτων ἦν. καὶ τοῦτο αὐτὸς πάλιν ἐδήλωσεν εἰπών· Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου· ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου.

Ψαλ. νε. ε.
Ψαλ. μδ. β.
Ψαλ. ιγ. γ.
Ψαλ. μη. γ.
Ψαλ. κε. ι.
Ψαλ. ρμ. α.
Ψαλ. μδ. α.
Ψαλ. νζ. ε.
Ψαλ. μη. δ.

Ταῦτ' οὖν εἰδότες πανταχόθεν ἑαυτοὺς ἀρετῇ τειχίσωμεν, καὶ οὕτως ἀποκρουσόμεθα τοῦ Θεοῦ τὴν ὀργήν· καὶ τὰ μέλη τοῦ σώματος ἡμῶν ὅπλα δικαιοσύνης ποιήσωμεν *, καὶ ὀφθαλμοὺς καὶ στόμα καὶ χεῖρας καὶ πόδας καὶ καρδίαν καὶ γλῶτταν καὶ πᾶν τὸ σῶμα ἡμῶν παιδεύσωμεν ἀρετῇ χρήσιμον εἶναι μόνῃ. καὶ τῶν τριῶν δὲ νόμων ἐκείνων μνημονεύσωμεν, περὶ ὧν πρὸς τὴν ὑμετέραν διελέχθην ἀγάπην, παρακαλῶν μηδένα ἔχειν ἐχθρόν, μηδὲ κακῶς λέγειν τινὰ τῶν λελυπηκότων ὑμᾶς, καὶ τὴν πονηρὰν τῶν ὅρκων ἐκβαλεῖν ἀπὸ τοῦ στόματος ὑμῶν συνήθειαν. καὶ περὶ μὲν τῶν '' δύο ἐντολῶν ἐν ἑτέρῳ καιρῷ διαλεξόμεθα· τὴν δὲ παροῦσαν ἑβδομάδα ἅπασαν περὶ τῶν ὅρκων ὑμῖν ἐροῦμεν, ἀπὸ τῆς εὐκολωτέρας ἐντολῆς ποιούμενοι τὴν ἀρχήν. οὐδὲ γὰρ πόνος '' τις περιγενέσθαι τῆς τῶν ὅρκων συνηθείας, ἐὰν ἐθελήσωμεν μικρὰν γοῦν εἰσενεγκεῖν σπουδήν, ἀλλήλους ὑπομιμνήσκοντες, νουθετοῦντες, τηροῦντες, δίκην ἀπαιτοῦντες καὶ εὐθύνας * τοὺς ἐπιλανθανομένους. τί γὰρ ὄφελος ἡμῖν τῆς τῶν βρωμάτων ματων ἀποχῆς, ἐὰν μὴ τὰς πονηρὰς τῆς ψυχῆς συνηθείας ἐξελάσωμεν; ἰδοὺ τὴν ἡμέραν ἄσιτοι διετελέσαμεν σήμερον ἅπασαν, καὶ τράπεζαν ἐν ἑσπέρᾳ" παραθησόμεθα, οὐχ ὁμοίαν τῇ χθεσινῇ τραπέζῃ, ἀλλ' ἐνηλλαγμένην καὶ σεμνοτέραν. ἆρα οὖν ἔχει τις ἂν εἰπεῖν ἡμῶν, ὅτι καὶ τὸν βίον αὐτοῦ τὸν σήμερον ἐνήλλαξε, καθάπερ καὶ τὴν τράπεζαν; ὅτι καὶ τὴν πονηρὰν μετέβαλε συνήθειαν, καθάπερ καὶ τὴν τροφήν; οὐκ ἔγωγε οἶμαι. τί οὖν ὄφελος ἡμῖν τῆς νηστείας; διὰ τοῦτο παρακαλῶ, καὶ παρακαλῶν οὐ παύσομαι, ὥστε ἑκάστην ἐντολὴν ἀπολαβόντας καθ' ἑαυτὴν, δύο καὶ τρεῖς ἡμέρας εἰς τὴν κατόρθωσιν αὐτῆς ἀναλίσκειν. καὶ καθάπερ εἰσί τινες οἱ πρὸς ἀλλήλους φιλοτιμούμενοι τῇ τῶν σιτίων ἀποχῇ, καὶ θαυμαστὴν ἅμιλλαν ποιούμενοι, καὶ οἱ μὲν ὁλοκλήρους ἡμέρας δύο διατελοῦσιν ἄσιτοι, οἱ δὲ οὐκ οἴνου μόνον, οὐδὲ ἐλαίου, ἀλλὰ παντὸς ἐδέσματος χρῆσιν τῆς ἑαυτῶν ἐκβάλλοντες τραπέζης, ἄρτῳ καὶ ὕδατι χρώμενοι μόνον τὴν τεσσαρακοστὴν διανύουσιν ἅπασαν· οὕτω δὴ καὶ ἡμεῖς ἁμιλλώμεθα πρὸς ἀλλήλους, ὥστε τῶν ὅρκων τὰς νιφάδας ἀνελεῖν. τοῦτο γὰρ πάσης νηστείας χρησιμώτερον, τοῦτο πάσης σκληραγωγίας" κερδαλεώτερον. καὶ τὴν σπουδὴν, ἣν περὶ τὴν ἀποχὴν τῶν σιτίων ποιούμεθα, ταύτην περὶ τὴν ἀποχὴν τῶν ὅρκων ἐπιδειξώμεθα. ἐπεὶ τῆς ἐσχάτης ἀνοίας ὑποστησόμεθα ἔγκλημα, τῶν μὲν κεκωλυμένων καταφρονοῦντες, περὶ δὲ τὰ ἀδιάφορα πᾶσαν" κινοῦντες σπουδήν. τὸ μὲν γὰρ φαγεῖν οὐ κεκώλυται, τὸ δὲ ὀμόσαι κεκώλυται. ἡμεῖς δὲ τῶν συγκεχωρημένων ἀποστάντες, τῶν κεκωλυμένων κατατολμῶμεν. διὰ τοῦτο παρακαλῶ τὴν ὑμετέραν ἀγάπην ποιήσασθαί τινα μεταβολὴν, καὶ τὴν ἀρχὴν ἐντεῦθεν ἡμῖν ἐπιδείξασθαι. ἂν γὰρ μετὰ τοσαύτης σπουδῆς τὴν παροῦσαν" διανύσωμεν νηστείαν, τῇ μὲν ἑβδομάδι ταύτῃ τὸ μηδόλως ὀμνύναι κατορθώσαντες, τῇ δὲ ἐπιούσῃ τὴν ὀργὴν σβέσαντες, τῇ δὲ μετ' ἐκείνην τὴν" κατηγορίαν πρόρριζον ἀνελόντες, καὶ τῇ μετ' αὐτὴν ἕτερα πάλιν πλείονα διορθώσαντες, οὕτως ὁδῷ προβαίνοντες, κατὰ μικρὸν ἐπ' αὐτὴν ἥξομεν τῆς ἀρετῆς τὴν κορυφὴν, καὶ τὸν παρόντα διαφευξόμεθα κίνδυνον, καὶ τὸν Θεὸν ἵλεω καταστήσομεν, καὶ τὸ πλῆθος ἡμῖν ἐπὶ τὴν πόλιν ἐπανήξει πάλιν, καὶ τοὺς δραπετεύσαντας νῦν παιδεύσομεν, μὴ τόπον ἀσφαλείᾳ, μηδὲ ἀποφυγῇ καὶ ἀναχωρήσει, ἀλλ' εὐλαβείᾳ ψυχῆς καὶ τρόπων ἀρετῇ τὰς ἐλπίδας τῆς σωτηρίας ἐγκλείζειν τῆς ἡμετέρας· καὶ οὕτω καὶ τῶν ἐνταῦθα, καὶ τῶν ἐκεῖ ἐπιτευξόμεθα ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας *. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ ΕΤΙ ΠΑΡΑΚΛΗΣΙΣ ΠΡΟΣ ΤΟΝ ΛΑΟΝ

περὶ τοῦ φέρειν γενναίως τὴν ἐπικειμένην ἀπειλὴν," ἔχουσα ἱκανὰ παραδείγματα ἐκ τῶν συμβάντων τῷ τε Ἰὼβ, καὶ τοῖς Νινευΐταις, καὶ ὅτι οὐ χρὴ δεδιέναι τὸν θάνατον, ἀλλὰ τὴν ἁμαρτίαν· καὶ τί τὸ κακῶς ἀποθανεῖν, καὶ περὶ τοῦ μετὰ πάσης σπουδῆς φεύγειν τοὺς ὅρκους.

ΤΩν τριῶν παίδων καὶ τῆς καμίνου τῆς Βαβυλωνίας ἡ διήγησις οὐ μετρίως πως, ὡς ἔοικε, παρεκάλεσεν ὑμῶν τὴν ἀγάπην χθὲς, ἔτι δὲ καὶ τὸ παράδειγμα τὸ κατὰ τὸν Ἰὼβ *, καὶ ἡ κοπρία ἡ παντὸς θρόνου βασιλικοῦ" σεμνοτέρα. ἀπὸ μὲν γὰρ τοῦ θρόνον ἰδεῖν βασιλικὸν οὐδὲν ἔσται τοῖς θεωμένοις τὸ κέρδος, ἀλλὰ πρόσκαιρος μόνον τέρψις * ὄνησιν οὐδεμίαν ἔχουσα· ἀπὸ δὲ τοῦ τὴν κοπρίαν ἰδεῖν τοῦ Ἰὼβ πᾶσαν τις δέξεται ὠφέλειαν καὶ φιλοσοφίαν πολλὴν καὶ παράκλησιν εἰς ὑπομονῆς" λόγον. διὰ τοῦτο πολλοὶ νῦν μακράν τινα καὶ διαπόντιον ἀποδημίαν στέλλονται, ἀπὸ τῶν περάτων τῆς γῆς εἰς τὴν Ἀραβίαν τρέχοντες, ἵνα τὴν κοπρίαν ἐκείνην ἴδωσι, καὶ θεασάμενοι καταφιλήσωσι τὴν γῆν τὴν τὰ σκάμματα τοῦ στεφανίτου δεξαμένην ἐκείνου, καὶ τὸ χρυσίου παντὸς τιμιώτερον αἷμα. οὐδὲ γὰρ οὕτως ἐστὶν ἁλουργὶς λαμπρὰ, ὡς τὸ σῶμα ἐκεῖνο τότε ἀπέστιλβεν, οὐκ ἀλλοτρίῳ, ἀλλ' οἰκείῳ βαπτιζόμενον αἵματι, καὶ τὰ τραύματα δὲ ἐκεῖνα ἀπάντων λίθων ἦν τιμιώτερα. μαργαριτῶν μὲν γὰρ φύσις οὐδὲν εἰς τὸν βίον ὠφελεῖ τὸν ἡμέτερον,″ οὐ χρείαν τινὰ πληροῖ τοῖς ἔχουσιν ἀναγκαίαν. τὰ δὲ τραύματα ἐκεῖνα πάσης ἀθυμίας ἐστὶ παράκλησις. ″ καὶ ἵνα μάθῃς ὅτι τοῦτο ἐστὶν ἀληθὲς, ἐὰν ἀποβάλῃ τις υἱὸν γνήσιον καὶ μονογενῆ, δεῖξον αὐτῷ μυρίους μαργαρίτας, καὶ οὐ παραμυθήσῃ τὸ πάθος, οὐδὲ θεραπεύσεις τὴν ὀδύνην· ἀναμνήσας δὲ αὐτὸν τῶν τραυμάτων τοῦ * Ἰὼβ, ῥᾳδίως δυνήσῃ θεραπεῦσαι οὕτω λέγων· τί πενθεῖς, ἄνθρωπε; σὺ μὲν τέκνον ἀπέβαλες ἕν· ὁ δὲ μακάριος ἐκεῖνος μετὰ τὸ τῶν παίδων ὁλόκληρον ἀφαιρεθῆναι τὸν χορὸν, καὶ αὐτῇ τῇ σαρκὶ τὴν πληγὴν ἐδέξατο, καὶ γυμνὸς ἐπὶ τῆς κοπρίας ἐκάθητο ἰχῶρι πάντοθεν καταρρεόμενος, κατὰ μικρὸν αὐτῷ τῆς σαρκὸς δαπανωμένης, ὁ δίκαιος, ὁ ἀληθινὸς, ὁ θεοσεβὴς, ὁ ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος, ὁ τὸν Θεὸν μάρτυρα τῆς ἀρετῆς ἔχων. ἂν γὰρ ταῦτα εἴπῃς τὰ ῥήματα, πᾶσαν ἔσβεσας τοῦ πενθοῦντος τὴν ἀθυμίαν, καὶ πᾶσαν ἀνεῖλες τὴν ὀδύνην. καὶ διὰ τοῦτο οὕτω χρησιμώτερα μαργαριτῶν τὰ τραύματα τοῦ δικαίου. ὑπογράψατε τοίνυν ἑαυτοῖς τὸν ἀθλητὴν καὶ ὑμεῖς, καὶ νομίζετε βλέπειν * τὴν κοπρίαν ἐκείνην, καὶ αὐτὸν ἐν μέσῳ καθήμενον τῆς κοπρίας, τὸν ἀνδριάντα τὸν χρυσοῦν, τὸν διάλιθον, τὸν, πῶς εἴπω, οὐκ οἶδα. οὐδὲ γὰρ ἔχω τιμίαν οὕτως ὕλην εὑρεῖν, ὡς δυνηθῆναι τὸ ἡμαγμένον ἐκεῖνο * σῶμα παραβαλεῖν. οὕτω καὶ πάσης ὕλης τιμαλφεστάτης ἐκ πολλοῦ τοῦ περιόντος τῆς σαρκὸς ἐκείνης ἡ φύσις ἦν τιμιωτέρα, καὶ τὰ τραύματα τῶν ἡλιακῶν ἀκτίνων φαιδρότερα. αὗται μὲν γὰρ τὰς τοῦ σώματος καταυγάζουσιν ὄψεις, ἐκεῖνα δὲ τὰ τῆς διανοίας ἡμῶν φωτίζει τὰ ″ ὄμματα, ἐκεῖνα καθάπαξ τὸν διάβολον ἀπετύφλωσε. διὰ γοῦν τοῦτο μετὰ τὴν πληγὴν ἐκείνην ἀπεπήδησε, καὶ οὐκ ἐφάνη λοιπόν. σὺ δέ μοι κἀντεῦθεν, ἀγαπητὲ, μάνθανε τὸ τῆς θλίψεως κέρδος πόσον ἐστίν. ἡνίκα μὲν γὰρ ἐπλούτει, καὶ ἀνέσεως ἀπέλαυεν ὁ δίκαιος, διαβάλλειν εἶχεν αὐτὸν, ψευδῶς μὲν, εἶχε δὲ οὖν ὅμως εἰπεῖν· Μὴ δωρεὰν σέβεταί σε ὁ Ἰώβ; ἐπειδὴ δὲ αὐτὸν ἐγύμνωσε καὶ ἐποίησε πένητα, οὐδὲ γρύξαι λοιπὸν ἐτόλμησε. καὶ ὅτε μὲν πλούσιος ἦν, ὑπισχνεῖτο παλαίειν αὐτῷ, καὶ ὑποσκελίζειν ἠπείλει· ἐπεὶ δὲ πένητα εἰργάσατο, καὶ πάντων ἀπεστέρησε, καὶ εἰς ἐσχάτην ὀδύνην ἐνέβαλε, τότε ἀπεπήδησε. καὶ ὅτε μὲν ὑγιὲς αὐτοῦ τὸ σῶμα ἦν, τὰς χεῖρας ἀντῆρεν· ὅτε δὲ αὐτοῦ κατέκοψε τὴν σάρκα, τότε ἔφυγεν ἡττηθείς. εἶδες πόσον πενία πλούτου, καὶ ἀῤῥωστία καὶ νόσος ὑγείας, καὶ πειρασμὸς ἀνέσεως βέλτιον τοῖς νήφουσίν ἐστι ″ καὶ χρησιμώτερον, καὶ λαμπροτέρους καὶ ἐνδοξοτέρους τοὺς ἀθλοῦντας ποιεῖ. τίς εἶδε, τίς ἤκουσεν οὕτω θαυμαστὰ παλαίσματα; οἱ τῶν ἔξωθεν ἀγώνων πύκται, ἐπειδὰν κατακόψωσι τὰς κεφαλὰς τῶν ἀντιπάλων, τότε νικῶσι καὶ στεφανοῦνται· οὗτος δὲ, ὅτε κατέκοψε τὸ σῶμα τοῦ δικαίου, παντοδαποῖς ἕλκεσιν αὐτὸ διατρήσας, [καὶ ἀσθενέστερον ἐποίησε], τότε ἐνικήθη καὶ ἀνεχώρησε. καὶ ἐπειδὴ διώρυξεν αὐτοῦ πάντοθεν τὰς πλευρὰς, αὐτῷ μὲν πλέον οὐδὲν ἐγένετο (τὸν γὰρ ἐναποκείμενον θησαυρὸν οὐκ ″ ἐσύλησεν) ἡμῖν δὲ φανερώτερον αὐτὸν ἐποίησε, καὶ διὰ τῆς διώρυγης ἐκείνης ἔδωκεν ἅπασιν εἰς τὸ ἔνδον βλέπειν καὶ καταμανθάνειν αὐτοῦ τὸν πλοῦτον ἅπαντα· καὶ ὅτε κρατεῖν προσεδόκησε, τότε μετ' αἰσχύνης πολλῆς ἀνεχώρησε, καὶ οὐδεμίαν οὐκ ἔτι φωνὴν ἀφῆκε. τί γέγονεν, ὦ διάβολε; τίνος ἕνεκεν ἀναχωρεῖς; οὐκ ἐγένετο πάντα ὅσα ἠθέλησας; οὐκ ἀνεῖλες αὐτοῦ τὰ ποίμνια, τὰ βουκόλια, τὰς ἀγέλας τῶν ἵππων, τῶν ἡμιόνων; οὐχὶ καὶ τὸν χορὸν τῶν παίδων ἀπώλεσας, καὶ τὴν σάρκα κατέκοψας ἅπασαν; τίνος ἕνεκεν ἀνεχώρησας; ὅτι ἐγένετο μὲν πάντα ὅσα ἠθέλησα, φησίν· ὃ δὲ γενέσθαι μάλιστα ἐβουλόμην, καὶ δι' ὃ πάντα ἐποίησα, τοῦτο οὐκ ἐγένετο. οὐδὲ γὰρ ἐβλασφήμησε. διὰ γὰρ τοῦτο πάντα ἐκεῖνα ἐποίουν, φησίν, ἵνα τοῦτο ἐξέλθῃ. τούτου δὲ μὴ γινομένου, οὐδέν μοι πλέον ἀπὸ τῆς ζημίας τῶν χρημάτων ἐγένετο, καὶ τῆς τῶν παίδων ἀπωλείας, καὶ τῆς τοῦ σώματος πληγῆς· ἀλλὰ τοὐναντίον, ὅπερ ἐβουλόμην, ἐξέβη. λαμπρότερον ἐποίησα τὸν ἐχθρόν, καὶ φαιδρότερον εἰργασάμην. ἔγνως ὅσον τῆς θλίψεως τὸ κέρδος, ἀγαπητέ. καλὸν μὲν γὰρ τὸ σῶμα καὶ ὑγιαῖνον ἦν· πολλῷ δὲ σεμνότερον γέγονε κατατμηθὲν ὑπὸ τῶν τραυμάτων ἐκείνων. ἐπεὶ καὶ ἔρια καλὰ μὲν καὶ πρὸ τῆς βαφῆς ἐστιν· ἐπειδὰν δὲ ἁλουργὰ γένηται, ἄφατον προσλαμβάνει τὸ κάλλος καὶ πολλὴν τὴν εὐπρέπειαν. εἰ δὲ μὴ ἀπέδυσεν αὐτόν, οὐκ ἂν ἔγνωμεν τοῦ στεφανίτου τὴν εὐεξίαν· εἰ μὴ διέτρησεν αὐτοῦ τὸ σῶμα ταῖς ὠτειλαῖς, οὐκ ἂν ἀπέλαμψαν ἔνδοθεν αἱ ἀκτῖνες· εἰ μὴ ἐκάθισεν αὐτὸν ἐπὶ τῆς κοπρίας, οὐκ ἂν ἔγνωμεν αὐτοῦ τὸν πλοῦτον. οὐδὲ γὰρ οὕτω λαμπρὸς ἐπὶ θρόνου καθήμενος βασιλεύς, ὡς ἐκεῖνος ἐπὶ τῆς κοπρίας τότε καθήμενος ἐπίσημος ἦν καὶ περιφανής. μετὰ μὲν γὰρ τὸν βασιλικὸν θρόνον, θάνατος· μετὰ δὲ τὴν κοπρίαν ἐκείνην, οὐρανῶν βασιλεία.

Ταῦτ᾽ οὖν ἅπαντα ἀναλογιζόμενοι, ἀνενέγκωμεν ἐκ τῆς κατεχούσης ἀθυμίας ἡμᾶς. καὶ γὰρ ταύτας ὑμῖν παρατίθημι τὰς ἱστορίας, οὐχ ἵνα ἐπαινῆτε τὰ λεγόμενα, ἀλλ᾽ ἵνα μιμήσησθε τὴν ἀρετὴν καὶ τὴν ὑπομονὴν τῶν γενναίων ἐκείνων * ἀνδρῶν· ἵνα διὰ τῶν ἔργων αὐτῶν μάθητε, ὅτι οὐδὲν δεινὸν τῶν ἀνθρωπίνων, ἀλλ᾽ ἢ ἁμαρτία μόνη· οὐ πενία, οὐ νόσος, οὐχ ὕβρεις, οὐκ ἐπήρεια, οὐκ ἀτιμία, οὐ τὸ πάντων δοκοῦν ἔσχατον εἶναι τῶν κακῶν, ὁ θάνατος. ὀνόματα γὰρ ταῦτα μόνον ἐστὶ τοῖς φιλοσοφοῦσι συμφορῶν ὀνόματα, πραγμάτων ἔρημα· ἡ δὲ ἀληθὴς συμφορά, τὸ προσκροῦσαι Θεῷ, καὶ ποιῆσαί τι τῶν μὴ δοκούντων αὐτῷ. τί γὰρ ἔχει δεινὸν ὁ θάνατος, εἰπέ μοι; ὅτι σε ταχύτερον ἐπὶ τὸν εὔδιον λιμένα παραπέμπει, καὶ τὴν ἀτάραχον ἐκείνην ζωήν. ἂν γὰρ ἄνθρωπος μὴ ἀποκτείνῃ, αὐτὸς τῆς φύσεως ὁ νόμος ἐπελθὼν οὐ διαλύσει τὸ σῶμα ἀπὸ τῆς ψυχῆς; κἂν γὰρ νῦν μὴ γένηται τοῦτο, ἔσται μικρὸν ὕστερον, ὃ νῦν δεδοίκαμεν. καὶ ταῦτα λέγω, οὐ προσδοκῶν τι δεινόν, οὐδὲ λυπηρὸν (μὴ γένοιτο) ἀλλ᾽ ὑπὲρ τῶν δεδοικότων τὸν θάνατον αἰσχυνόμενος. τοσαῦτα προσδοκῶν, εἰπέ μοι, ἀγαθά, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, ἀναδύῃ πρὸς τὴν ἀπόλαυσιν, καὶ ἀμελεῖς καὶ ὀκνεῖς, καὶ οὐκ ὀκνεῖς μόνον, ἀλλὰ καὶ δέδοικας καὶ φρίττεις; καὶ πῶς οὐκ αἰσχρόν; * σὺ διὰ θάνατον ὀδυνᾶσαι, Παῦλος δὲ διὰ τὴν παροῦσαν ἔστενε ζωήν· καὶ Ῥωμαίοις γράφων ἔλεγεν, ὅτι καὶ ἡ κτίσις συστενάζει, καὶ ἡμεῖς αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες στενάζομεν. καὶ ταῦτα ἔλεγεν, οὐχὶ τῶν παρόντων καταγινώσκων, ἀλλὰ τὰ μέλλοντα ποθῶν. ἐγευσάμην, φησί, τῆς χάριτος, καὶ οὐ στέγω τὴν ἀναβολήν· τὴν ἀπαρχὴν ἔχω τοῦ πνεύματος, καὶ πρὸς τὸ πᾶν ἐπείγομαι· ἀνέβην εἰς τρίτον οὐρανόν, εἶδον τὴν δόξαν ἐκείνην τὴν ἄρρητον, εἶδον τὰ βασίλεια τὰ λαμπρά, ἔμαθον τίνων ἀπεστέρημαι διατρίβων ἐνταῦθα, καὶ διὰ ταῦτα στενάζω. εἰπὲ γάρ μοι· εἴ τίς σε εἰς βασιλικὰς εἰσήγαγεν αὐλάς, καὶ χρυσὸν ἔδειξε πανταχόθεν ἀπὸ τῶν τοίχων ἀστράπτοντα καὶ τὴν ἄλλην εὐπρέπειαν ἅπασαν, εἶτά σε ἐκεῖθεν εἰς καλύβην πένητος εἰσήγαγε, καὶ μετὰ χρόνον βραχὺν ὑπέσχετο εἰς τὰ βασίλεια ἐπανάξειν ἐκεῖνα, καὶ διηνεκῆ δώσειν ἐκεῖ μονήν, ἆρα οὐκ ἔμελλες ἀλύειν καὶ δυσαναχετεῖν καὶ πρὸς αὐτὰς τὰς ὀλίγας ἡμέρας; τοῦτο δὴ καὶ ἐπὶ τῶν οὐρανῶν λογίζου καὶ τῆς γῆς, καὶ στένε μετὰ Παύλου, μὴ διὰ τὸν θάνατον, ἀλλὰ διὰ τὴν παροῦσαν ζωήν. καὶ δός μοι κατὰ Παῦλον γενέσθαι, φησί, καὶ οὐδέποτε φοβηθήσομαι θάνατον. καὶ τί τὸ κωλύον κατὰ Παῦλον γενέσθαι σε, ἄνθρωπε; οὐχὶ πένης ἦν ἐκεῖνος; οὐχὶ σκηνοποιός; οὐκ ἰδιώτης; εἰ μὲν γὰρ πλούσιος ἦν καὶ εὐγενής, εἶχον ἴσως οἱ πένητες πρὸς τὸν αὐτὸν καλούμενοι ζῆλον τὴν ἑαυτῶν προβάλλεσθαι πενίαν· νυνὶ δὲ οὐδὲν τούτων ἔχεις εἰπεῖν. καὶ γὰρ χειροτέχνης ὁ ἄνθρωπος ἦν, καὶ ἐκ τῶν καθημερινῶν ἀπετρέφετο πόνων. καὶ σὺ μὲν ἐξ ἀρχῆς τὴν εὐσέβειαν διεδέξω πα-

Ρωμ. η. κβ.

ρα τῶν πατέρων, καὶ ἐκ πρώτης ἡλικίας τοῖς ἱεροῖς γράμμασιν ἐντραφείς· ἐκεῖνος δὲ καὶ βλάσφημος γέγονε, καὶ διώκτης, καὶ ὑβριστής, καὶ τὴν ἐκκλησίαν ἐπόρθησεν· ἀλλ᾽ ὅμως οὕτως ἀθρόον μετεβάλετο, ὡς ἅπαντας ὑπερβαλέσθαι τῇ τῆς προθυμίας σφοδρότητι· καὶ βοᾷ λέγων, Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ. ἐκεῖνος τὸν δεσπότην ἐμιμήσατο, σὺ * τὸν "σύνδουλον οὐ μιμῇ, ὁ ἐξ ἀρχῆς ἐν εὐσεβείᾳ" ἐντραφείς, τὸν ὕστερον ἐκ μεταβολῆς προσελθόντα τῇ πίστει; οὐκ οἶσθα, ὅτι οἱ ἐν ἁμαρτίαις ὄντες, κἂν ζῶσιν, ἀπέθανον· οἱ δὲ ἐν δικαιοσύνῃ "ζῶντες, κἂν ἀποθάνωσι, ζῶσι; καὶ οὐκ ἐμός ἐστιν ὁ λόγος· ἀπόφασίς ἐστι τοῦ Χριστοῦ πρὸς τὴν" Μαρίαν λέγοντος· Πᾶς ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται. μὴ γὰρ μῦθός ἐστι τὰ ἡμέτερα; εἰ χριστιανὸς εἶ, πίστευε τῷ Χριστῷ· εἰ πιστεύεις τῷ Χριστῷ, διὰ τῶν ἔργων ἐπίδειξόν μοι τὴν πίστιν. πῶς δὲ ἐπιδείξῃ διὰ τῶν ἔργων τὴν πίστιν; ἐὰν καταφρονῇς θανάτου. καὶ γὰρ καὶ ταύτῃ διεστήκαμεν τῶν ἀπίστων. ἐκεῖνοι μὲν γὰρ καλῶς φοβοῦνται τὸν θάνατον (ἀναστάσεως γὰρ ἐλπίδα οὐκ ἔχουσι) σὺ δὲ ὁ πρὸς βελτίονα ὁδεύων" ὁδόν, καὶ περὶ τῆς ἐλπίδος τῆς ἐκεῖ φιλοσοφεῖν ἔχων, ποίαν ἂν ἔχοις συγγνώμην, περὶ ἀναστάσεως μὲν θαῤῥῶν, ὁμοίως δὲ τοῖς ἀπιστοῦσι τῇ ἀναστάσει τὸν θάνατον δεδοικώς; ἀλλ᾽ οὐ τὸν θάνατον δέδοικα, φησίν, οὐδὲ τὸ ἀποθανεῖν, ἀλλὰ τὸ κακῶς ἀποθανεῖν, τὸ ἀποτμηθῆναι, φησί, τὴν κεφαλήν. οὐκοῦν ὁ Ἰωάννης κακῶς ἀπέθανεν· ἀπετμήθη γάρ. οὐκοῦν ὁ Στέφανος κακῶς ἀπέθανε· κατελεύσθη γάρ. καὶ οἱ μάρτυρες δὲ πάντες ἀθλίως τὸ καθ᾽ "ἡμᾶς ἐτελεύτησαν, ἐπειδὴ οἱ μὲν [ἐν] πυρί, οἱ δὲ [ἐν] σιδήρῳ τὸν βίον κατέλυσαν· καὶ οἱ μὲν εἰς πέλαγος, οἱ δὲ εἰς "κρημνόν, οἱ δὲ εἰς ὀδόντας ἐμπεσόντες θηρίων, οὕτως ἀπέθανον. οὐ τοῦτό ἐστι τὸ κακῶς ἀποθανεῖν, ἄνθρωπε, τὸ βιαίῳ τελευτῆσαι θανάτῳ, ἀλλὰ τὸ ἐν ἁμαρτίαις ἀποθανεῖν. ἄκουσον γοῦν τοῦ προφήτου περὶ "αὐτοῦ τούτου φιλοσοφοῦντος καὶ λέγοντος, Θάνατος ἁμαρτωλῶν πονηρός. οὐκ εἶπε, θάνατος ὁ βίαιος, ἀλλὰ τί; θάνατος ἁμαρτωλῶν πονηρός. δικαίως. μετὰ γὰρ τὴν ἐντεῦθεν ἀποδημίαν κόλασις ἀφόρητος, τιμωρίαι ἀθάνατοι, ὁ σκώληξ ὁ ἰοβόλος, τὸ πῦρ τὸ ἄσβεστον, τὸ σκότος τὸ ἐξώτερον, τὰ δεσμὰ τὰ ἄλυτα, ὁ τῶν ὀδόντων βρυγμός, ἡ θλίψις, ἡ στενοχωρία, καὶ ἡ αἰώνιος δίκη. ὅταν οὖν τὰ τοιαῦτα τοὺς ἁμαρτωλοὺς ἀναμένῃ κακά, τί γένοιτ᾽ ἂν αὐτοῖς ὄφελος, κἂν οἴκοι, κἂν ἐπὶ τῆς "αὐτῶν κλίνης καταλύσωσι τὴν ζωήν; ὥσπερ οὖν τοῖς δικαίοις οὐδὲν ἂν γένοιτο βλάβος ἐκ τοῦ ξίφει καὶ σιδήρῳ καὶ πυρὶ τὴν παροῦσαν ἀποθέσθαι ζωήν, ὅταν πρὸς τὰ ἀθάνατα μέλλωσιν ἀποδημεῖν ἀγαθά. ἀληθῶς θάνατος ἁμαρτωλῶν πονηρός. τοιοῦτος ἦν ὁ τοῦ πλουσίου θάνατος ἐκείνου, τοῦ τὸν Λάζαρον ὑπεριδόντος· ὃς οἴκοι καὶ ἐπὶ τῆς κλίνης καὶ τῶν ἐπιτηδείων παρόντων οἰκείᾳ τελευτῇ καταλύσας τὸν βίον, ἀπελθὼν ἐκεῖ ἀπετηγανίζετο, οὐδὲ μικρὰν παραμυθίαν ἐκ τῆς κατὰ τὸν παρόντα βίον εὐημερίας εὑρεῖν ἐκεῖ δυνηθείς. ἀλλ᾽ οὐχ ὁ Λάζαρος οὕτως· ἀλλ᾽ ἐπ᾽ αὐτοῦ τοῦ ἐδάφους, τῶν κυνῶν παρόντων καὶ λειχομένων τὰ τραύματα, βίαιον θάνατον ὑποστάς (τί γὰρ λιμοῦ γένοιτ᾽ ἂν ὀδυνηρότερον;) ἀπελθὼν ἐκεῖ τῶν αἰωνίων ἀπέλαυσεν ἀγαθῶν, ἐντρυφῶν τοῖς κόλποις τοῦ Ἀβραάμ. τί τοίνυν παρέβλαψεν αὐτὸν τὸ βιαίως ἀποθανεῖν; τί δὲ τὸν πλούσιον ὤνησε, τὸ μὴ βιαίως ἀποθανεῖν; ἀλλ᾽ οὐ τὸ βιαίως, φησίν, ἀλλὰ τὸ ἀδίκως ἀποθανεῖν δεδοίκαμεν, καὶ τὸ μηδὲν τετολμηκότες ὧν ὑποπτευόμεθα τοῖς ἑαλωκόσι κολασθῆναι παραπλησίως. τί λέγεις, εἰπέ μοι; τὸ ἀδίκως ἀποθανεῖν δέδοικας; ἀλλὰ δικαίως ἐβούλου; καὶ τίς οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὡς, παρὸν ἀδίκως ἀποθανεῖν, δικαίως ἑλέσθαι μᾶλλον; εἰ γὰρ θάνατον δεδοικέναι χρή, τὸν δικαίως ἡμῖν ἐπιόντα δεδοικέναι χρή. ὡς ὅ γε ἀδίκως ἀποθανών, κατ᾽ αὐτὸ τοῦτο κοινωνεῖ τοῖς ἁγίοις ἅπασιν. οἱ γὰρ πλείους τῶν εὐδοκιμηκότων παρὰ τῷ Θεῷ καὶ λαμψάντων ἀδίκῳ ὑπέστησαν τελευτήν. καὶ πρῶτος ὁ Ἄβελ. οὐ γὰρ δὴ πλημμελήσας εἰς τὸν ἀδελφόν, οὔτε λυπήσας τι τὸν Κάϊν, ἀλλ᾽ ἐπειδὴ τὸν Θεὸν ἐτίμησε, διὰ τοῦτο ἐσφάγη· ὁ δὲ Θεὸς συνεχώρησεν. ἆρα φιλῶν αὐ-

α. Κορ. ια. α.

Ἰωαν. ια κε.

Ψαλ. λγ. κα.

Ψαλ. λγ. κα.

τοι, ἢ μισῶν; εὔδηλον ὅτι φιλῶν, καὶ λαμπρότερον αὐτῷ τὸν στέφανον ποιῆσαι βουλόμενος ἀπὸ τῆς ἀδικωτάτης σφαγῆς. ὁρᾷς ὅτι οὔτε τὸ βιαίως ἀποθανεῖν, οὔτε τὸ ἀδίκως ἀποθανεῖν χρὴ δεδοικέναι, ἀλλὰ τὸ ἐν ἁμαρτίαις ἀποθανεῖν. ὁ Ἄβελ ἀπέθανεν ἀδίκως, ὁ Κάϊν ἔζη στένων καὶ τρέμων. τίς οὖν, εἰπέ μοι, μακαριώτερος ἦν, ὁ μετὰ δικαιοσύνης ἀναπαυσάμενος, ἢ ὁ ἐν ἁμαρτίαις ζῶν; ὁ ἀδίκως ἀποθανών, ἢ ὁ δικαίως κολαζόμενος; βούλεσθε εἴπω πρὸς τὴν ὑμετέραν ἀγάπην, πόθεν δεδοίκαμεν θάνατον; οὐκ ἔτρωσεν ἡμᾶς βασιλείας ἔρως, οὐκ ἀνῆψεν ἡμᾶς ὁ τῶν μελλόντων πόθος, ἐπεὶ πάντων ἂν ὑπερείδομεν τῶν παρόντων, καθάπερ ὁ μακάριος Παῦλος. καὶ πρὸς τούτοις πάλιν οὐ φοβούμεθα γέενναν, διὰ τοῦτο φοβούμεθα θάνατον· οὐκ ἴσμεν τῆς ἐκεῖ κολάσεως τὸ ἀφόρητον, διὰ τοῦτο τελευτὴν ἀντὶ ἁμαρτίας δεδοίκαμεν. ὡς εἰ ἐκεῖνος κατεῖχεν ἡμῶν τὴν ψυχὴν ὁ φόβος, οὐδὲ ἐπεισελθεῖν οὗτος ἠδύνατο. καὶ τοῦτο οὐ πόρρωθέν ποθεν, ἀλλ' οἴκοθεν καὶ ἐξ αὐτῶν τῶν συμβεβηκότων ἡμῖν ἐν ταῖς ἡμέραις ταύταις πειράσομαι ποιῆσαι φανερόν. ἐπειδὴ γὰρ ἦλθε παρὰ βασιλέως τὰ γράμματα, τὴν εἰσφορὰν ταύτην τὴν ἀφόρητον εἶναι δοκοῦσαν κελεύοντα καταθεῖναι· πάντες ἐστασίαζον, πάντες ἐφιλονείκουν, ἐδυσχέραινον, ἠγανάκτουν, πρὸς ἀλλήλους ἀπαντῶντες ἔλεγον· ἀβίωτος ἡμῖν ὁ βίος, ἀνετράπη ἡ πόλις, οὐδεὶς ὑποστῆναι δυνήσεται τῆς εἰσφορᾶς ταύτης τὸ μέγεθος· καὶ ἤσχαλλον πάντες, ὡς περὶ τῶν ἐσχάτων αὐτοὶ κινδυνεύοντες. μετὰ ταῦτα ἐπειδὴ συνέβη τὰ τολμηθέντα, καί τινες μιαροὶ καὶ παμμίαροι τοὺς νόμους καταπατήσαντες τοὺς ἀνδριάντας καθεῖλον, καὶ τὸν περὶ τῶν ἐσχάτων πᾶσιν ἐπεκρέμασαν κίνδυνον, καὶ νῦν περὶ τῆς ζωῆς αὐτῆς δεδοίκαμεν παροξύναντες τὸν βασιλέα· οὐκ ἔτι λοιπὸν ἡμᾶς ἡ τῶν χρημάτων δάκνει ζημία, ἀλλ' ἕτερα ἀντ' ἐκείνων πάντων ἀκούω λεγόντων· λαβέτω καὶ τὴν οὐσίαν ὁ βασιλεύς, ἀποστησόμεθα καὶ τῶν ἀγρῶν καὶ τῶν οὐσιῶν ἀγαπητῶς· μόνον τις ἡμῖν ὑποσχέσθω τὸ σῶμα διασώζειν. ὥσπερ οὖν * πρὶν ἢ τὸν περὶ τοῦ θανάτου φόβον ἡμῖν ἐπιστῆναι, ἔδακνεν ἡμᾶς ἡ ζημία τῶν χρημάτων· ἐπειδὴ δὲ ἐτολμήθη τὰ παράνομα ταῦτα τολμήματα, ὁ τοῦ θανάτου φόβος ἐπεισελθών, τὴν ὀδύνην τῆς ζημίας ἀπώθησεν· οὕτως εἰ ὁ τῆς γεέννης φόβος κατεῖχεν ἡμῶν τὰς ψυχάς, οὐκ ἂν ὁ τοῦ θανάτου φόβος κατέσχεν. ἀλλ' ὥσπερ ἐπὶ τῶν σωμάτων, ὅταν δύο ἡμᾶς κατάσχωσιν ὀδύναι, ἡ δυνατωτέρα τὴν καταδεεστέραν ἀποκρύπτειν εἴωθεν· οὕτω καὶ νῦν ἐγένετο ἄν· εἰ δὲ τῆς μελλούσης κολάσεως δέος ἔμενεν ἐπὶ τῆς ψυχῆς, πάντα ἂν ἀνθρώπινον ἀπέκρυψε φόβον. ὥστε εἴ τις σπουδάζει διαπαντὸς μεμνῆσθαι γεέννης, πάσης καταγελάσεται τελευτῆς· καὶ τοῦτ' οὐ τῆς παρούσης αὐτὸν ἀπαλλάξει μόνον ἀγωνίας, ἀλλὰ κἀκείνης ἐξαιρήσεται τῆς φλογός. ὁ γὰρ διαπαντὸς γέενναν δεδοικώς, οὐδέποτε εἰς τὸ τῆς γεέννης ἐμπεσεῖται πῦρ, τῷ διηνεκεῖ τούτῳ σωφρονιζόμενος φόβῳ.

α. Κορ. ιδ. κ. Δότε μοι πρὸς ὑμᾶς εὐκαίρως εἰπεῖν νῦν, ἀδελφοί· Μὴ παιδία γίνεσθε ταῖς φρεσίν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε. καὶ γὰρ παιδικὸν φοβούμεθα φόβον, θάνατον δεδοικότες, ἁμαρτίαν δὲ μὴ δεδοικότες. καὶ γὰρ τὰ παιδία τὰ μικρὰ προσωπεῖα μὲν δέδοικε, πῦρ δὲ οὐ δέδοικεν· ἀλλ' ἐὰν βασταζόμενα τύχῃ παρὰ λυχνίαν λύχνον ἔχουσαν, ἀπερισκέπτως τὴν χεῖρα ἐπαφίησι τῇ λυχνίᾳ καὶ τῇ φλογί· καὶ τὸ μὲν εὐκαταφρόνητον φρίττει προσωπεῖον· τὸ δὲ ἀληθῶς φοβερὸν οὐ δέδοικε * πῦρ. οὕτω δὴ καὶ ἡμεῖς· θάνατον μὲν δεδοίκαμεν, ὅπερ ἐστὶ προσωπεῖον εὐκαταφρόνητον· ἁμαρτίαν δὲ οὐ δεδοίκαμεν, ὅπερ ἐστὶν ἀληθῶς φοβερὸν καὶ πυρὸς δίκην κατεσθίει τὸ συνειδός. καὶ ταῦτα οὐκ ἀπὸ τῆς τῶν πραγμάτων φύσεως, ἀλλ' ἐξ ἀνοίας ἡμῖν συμβαίνειν εἴωθεν. ὡς ἐὰν λογιζώμεθα τί ποτέ ἐστι θάνατος, οὐδέποτε αὐτὸν δεισόμεθα. τί ποτ' οὖν ἐστι θάνατος; ὅπερ ἐστὶν ἱμάτιον ἀποδύσασθαι. καθάπερ γὰρ ἱμάτιον, τὸ σῶμα τῇ ψυχῇ περίκειται. καὶ τοῦτο πρὸς βραχὺ διὰ τῆς τελευτῆς ἀποθέμενοι, λαμπρότερον ἀποληψόμεθα πάλιν. τί ποτέ ἐστι θάνατος; ἀποδημία πρόσκαιρος, ὕπνος μακρότερος τοῦ συνήθους. ὥστε εἰ δέδοικας θάνατον, φόβου καὶ ὕπνον·

εἰ διὰ τοὺς τελευτῶντας ἀλγεῖς, ἄλγησον καὶ διὰ τοὺς ἐσθίοντας καὶ διὰ τοὺς πίνοντας. ὥσπερ γὰρ τοῦτο φυσικόν, οὕτω κἀκεῖνο. μὴ λυπείτω σε τὰ τῆς φύσεως, λυπείτω σε δὲ τὰ τῆς πονηρᾶς προαιρέσεως· μηδὲ τὸν τελευτῶντα πενθήσῃς, ἀλλὰ πένθησον τὸν ἐν ἁμαρτίαις ζῶντα. βούλει εἴπω καὶ ἑτέραν αἰτίαν, δι᾽ ἣν τὸν θάνατον δεδοίκαμεν; οὐ ζῶμεν μετ᾽ ἀκριβείας, οὐκ ἔχομεν συνειδὸς ″καθαρόν. ὡς εἴ τοῦτο ἦν, οὐδὲν ἡμᾶς ἂν ἐφόβησεν, οὐ θάνατος, οὐ λιμός, οὐ ζημία χρημάτων, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. τὸν γὰρ ἐν ἀρετῇ ζῶντα οὐδὲν τούτων παραβλάψαι δυνήσεται, οὐδὲ ἀφελέσθαι τὴν ἔνδον ἡδονήν. τὸν γὰρ χρησταῖς συντρεφόμενον [ταῖς] ἐλπίσιν οὐδὲν εἰς ἀθυμίαν ἐμβαλεῖν δυνήσεται. τί γὰρ ″ἐργάσαιτό τις τοιοῦτον, δι᾽ οὗ τὸν γενναῖον ἄνδρα παρασκευάσει λυπεῖσθαι; χρήματα ἀφαιρήσεται; ἀλλ᾽ ἔχει πλοῦτον τὸν ἐν οὐρανοῖς. ἀλλὰ τῆς πατρίδος ἐκβαλεῖ; ἀλλ᾽ εἰς τὴν ἄνω πόλιν ″στελεῖ. ἀλλὰ τὰ δεσμὰ περιθήσει; ἀλλὰ ἔχει τὸ συνειδὸς λελυμένον, καὶ τῆς ἔξωθεν ἁλύσεως οὐκ αἰσθάνεται. ἀλλ᾽ ἀναιρήσει τὸ σῶμα; ἀλλ᾽ ἀναστήσεται πάλιν. καὶ καθάπερ ὁ σκιᾷ πυκτεύων καὶ τὸν ἀέρα δέρων οὐδένα πλῆξαι δυνήσεται, οὕτως ὁ τῷ δικαίῳ πολεμῶν σκιαμαχεῖ μόνον, καὶ τὴν ″αὐτοῦ καταλύει δύναμιν· εἰς ἐκεῖνον δὲ οὐδεμίαν πληγὴν ἐναπερεῖσαι δυνήσεται. δὸς μοι τοίνυν θαρρῆσαι περὶ τῆς βασιλείας τῶν οὐρανῶν, καὶ, εἰ βούλει, σήμερόν με κατάσφαξον, καὶ χάριν εἴσομαί σοι τῆς σφαγῆς, ὅτι με ταχέως πρὸς ἐκεῖνα ″πέμπεις τὰ ἀγαθά. τοῦτο γὰρ ἐστὶ μάλιστα, τοῦτο ἐστιν, ὃ καὶ ἡμεῖς θρηνοῦμεν, φησιν, ὅτι τῷ πλήθει τῶν ἁμαρτιῶν κωλυόμενοι, τῆς ἐκεῖ βασιλείας οὐκ ἐπιτευξόμεθα. οὐκοῦν ἀφεὶς τὸ θρηνεῖν τὸν θάνατον, θρήνει τὰς ἁμαρτίας, ἵνα αὐτὰς καταλύσῃς. καὶ γὰρ διὰ τοῦτο ἡ λύπη γεγένηται, οὐχ ἵνα ἐπὶ ζημίᾳ χρημάτων, οὐχ ἵνα ἐπὶ θανάτῳ, οὐδ᾽ ἵνα ἐπ᾽ ἄλλῳ τινὶ τῶν τοιούτων ἀλγῶμεν, ἀλλ᾽ ἵνα εἰς τὴν τῶν ἁμαρτημάτων ἀναίρεσιν αὐτῇ καταχρώμεθα. καὶ ὅτι τοῦτο ἐστιν ἀληθές, ἐκ παραδείγματος ὑμῖν αὐτὸ ποιήσω φανερόν. τὰ φάρμακα [καὶ] τὰ ἰατρικὰ δι᾽ ἐκεῖνα γεγένηται τὰ ″πάθη μόνον, ἅπερ ἀνελεῖν δύναται· οὐ δι᾽ ἐκεῖνα τὰ μηδὲν ὠφελούμενα παρ᾽ αὐτῶν. οἷόν τι λέγω. ἔτι γὰρ σαφέστερον ποιῆσαι βούλομαι τὸν λόγον. τὸ φάρμακον τὸ δυνάμενον ὀφθαλμοὺς νοσοῦντας ὠφελεῖν μόνον, ἕτερον δὲ πάθος μηδέν, διὰ τὰς τῶν ὀφθαλμῶν νόσους δικαίως ἄν τις εἴποι γεγενῆσθαι μόνον, οὐ διὰ στόμαχον, οὐδὲ διὰ χεῖρας, οὐδὲ δι᾽ ἕτερόν τι μέλος. μεταγάγωμεν τοίνυν τὸν λόγον ἐπὶ τὴν λύπην. κἂν εὕρωμεν, ὅτι τῶν ἄλλων μὲν οὐδὲν τῶν συμβαινόντων ἡμῖν ὠφελεῖ, ἁμαρτίαν δὲ διορθοῦται μόνην, εὔδηλον ὅτι διὰ τὴν ταύτης ἀναίρεσιν γεγένηται μόνον. ἐπέλθωμεν τοίνυν ἕκαστον τῶν συμπιπτόντων ἡμῖν δεινῶν, καὶ ἐπαγάγωμεν * τὴν ἀθυμίαν, καὶ ἴδωμεν τί κέρδος * ἀπὸ ταύτης γίνεται. ἐζημιώθη τις χρήματα, ἐλυπήθη· οὐ διώρθωσε τὴν ζημίαν. ἀπέβαλέ τις υἱόν, ἤλγησεν· οὐκ ἀνέστησε τὸν νεκρόν, ″οὐδὲ τὸν ἀπελθόντα ὠφέλησεν. ἐμαστιγώθη τις, ἐρραπίσθη, ὑβρίσθη· ἐλυπήθη, τὴν ὕβριν οὐκ ἀνεκαλέσατο. ἀρρωστίᾳ τις περιέπεσε καὶ νόσῳ χαλεπωτάτῃ· ἠθύμησε, τὴν νόσον οὐκ ἀνεῖλεν, ἀλλὰ καὶ χαλεπωτέραν ἐποίησεν. ὁρᾷς ἐπ᾽ οὐδενὶ τούτων ὠφελοῦσάν τι τὴν λύπην; ἥμαρτέ τις, ἐλυπήθη· τὴν ἁμαρτίαν ἐξηφάνισεν, ἔλυσε τὸ πλημμέλημα. πόθεν τοῦτο δῆλον; ἀπὸ τῆς ἀποφάσεως τοῦ Κυρίου. περὶ γάρ τινος ἡμαρτηκότος διαλεγόμενος ἔλεγε· Δι᾽ ἁμαρτίαν βραχύ τι ἐλύπησα αὐτόν· καὶ εἶδον ὅτι ἐλυπήθη, καὶ ἐπορεύθη στυγνός, καὶ ἰασάμην τὰς ὁδοὺς αὐτοῦ. διὰ τοῦτο καὶ Παῦλος ″φησιν· Ἡ δὲ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται. οὐκοῦν ἐπειδὴ σαφῶς ὁ λόγος ἀπέδειξεν, ὅτι οὔτε ζημίαν χρημάτων, οὔτε ὕβριν, οὔτε ἐπήρειαν, οὔτε μάστιγας, οὔτε ἀρρωστίαν, οὔτε θάνατον, οὔτε ἄλλο τι τῶν τοιούτων ἐπενεχθεῖσα λύπη διορθῶσαι δύναιτ᾽ ἄν, ἀλλ᾽ ἁμαρτίαν ″ἀφανίσαι μόνην, καὶ ταύτης ἐστὶν ἀναιρετική, εὔδηλον ὅτι διὰ ταύτην ἐγένετο μόνην. μηκέτι οὖν ἐπὶ ζημίᾳ χρημάτων ἀλγῶμεν· ἀλλ᾽ ὅταν ἁμαρτάνωμεν, ἀλγῶμεν

Ησ. νζ. ιζ.
β. Κορ. ζ. ι.

μόνον. πολὺ γὰρ ἐνταῦθα τὸ κέρδος ἀπὸ τῆς λύπης. ἐζημιώθης; μὴ ἀθυμήσῃς." οὐδὲ γὰρ ὠφελήσεις. ἥμαρτες; λυπήθητι· ὄφελος γάρ. καὶ σκόπει σύνεσιν Θεοῦ καὶ σοφίαν. δύο ταῦτα ἔτεκεν ἡμῖν ἡ ἁμαρτία, λύπην καὶ θάνατον. Ἧι ἂν ἡμέρᾳ φάγῃ, φησί, θανάτῳ ἀποθανῇ. καὶ πρὸς τὴν γυναῖκα, Ἐν λύπαις τέξῃ τέκνα. καὶ δι' ἀμφοτέρων τούτων τὴν ἁμαρτίαν ἀνεῖλε, καὶ ὑπὸ τῶν τέκνων τὴν μητέρα ἀπολέσθαι παρεσκεύασεν. ὅτι γὰρ μετὰ τῆς λύπης καὶ θάνατος ἁμαρτίαν ἀναιρεῖ, δῆλον μὲν καὶ ἀπὸ τῶν μαρτύρων· δῆλον δὲ καὶ ἐξ ὧν ὁ Παῦλος εἶπε πρὸς τοὺς ἁμαρτάνοντας, οὕτω λέγων· Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί. ἐπειδὴ ἁμαρτάνετε, φησί, τελευτᾶτε, ὥστε τῇ τελευτῇ τὰ ἁμαρτήματα διαλύσασθαι. ἐπήγαγεν οὖν λέγων· Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα. κρινόμενοι δὲ ὑπὸ τοῦ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. καὶ καθάπερ ὁ σκώληξ" ὑπὸ τοῦ ξύλου τίκτεται, καὶ κατεσθίει τὸ ξύλον, καὶ σὴς κατεσθίει τὸ ἔριον παρ' αὐτοῦ τὴν ἀρχὴν ἔχων· οὕτω λύπη καὶ θάνατος * ἐτέχθησαν ἀπὸ τῆς ἁμαρτίας, καὶ κατέφαγον τὴν ἁμαρτίαν.

Γεν. β. ιζ.
Γεν. γ. ις.
β. Κορ. ια. λ.

Μὴ τοίνυν φοβώμεθα θάνατον, ἀλλὰ φοβώμεθα ἁμαρτίαν μόνον, καὶ δι' ἐκείνην ἀλγῶμεν. καὶ ταῦτα λέγω οὐ δεινόν τι προσδοκῶν (μὴ γένοιτο)" ἀλλὰ φοβουμένους ὑμᾶς οὕτως ἀεὶ διακεῖσθαι θέλων, καὶ τὸν τοῦ Χριστοῦ νόμον ἐπὶ τῶν ἔργων πληροῦν. Ἐὰν γάρ τις μὴ ἄρῃ τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθήσῃ μοί, φησιν, οὐκ ἔστι μου ἄξιος. τοῦτο δὲ ἔλεγεν, οὐχ ἵνα ξύλον βαστάζωμεν ἐπὶ τῶν ὤμων, ἀλλ' ἵνα τὸν θάνατον ἀεὶ πρὸ τῶν ὀφθαλμῶν ἔχωμεν· καθάπερ οὖν καὶ ὁ Παῦλος καθ' ἡμέραν ἀπέθνησκε, καὶ κατεγέλα τῆς τελευτῆς, καὶ τοῦ παρόντος ὑπερεώρα βίου. καὶ γὰρ στρατιώτης εἶ, καὶ διηνεκῶς ἐπὶ τῆς παρατάξεως ἕστηκας· στρατιώτης δὲ θάνατον δεδοικὼς οὐδὲν οὐδέποτε ἐργάζεται γενναῖον· ὥσπερ οὖν οὐδὲ χριστιανὸς ἄνθρωπος κινδύνους" φοβούμενος, ἐπιδείξεταί τι μέγα καὶ θαυμαστόν, ἀλλὰ πρὸς τούτοις καὶ εὐχείρωτος ἔσται. ἀλλ' οὐχ ὁ τολμητὴς καὶ μεγαλόφρων, ἀλλ' ἀνάλωτος μένει καὶ ἀκαταγώνιστος. καθάπερ οὖν καὶ οἱ παῖδες οἱ τρεῖς μὴ φοβηθέντες τὸ πῦρ ἔφυγον τὸ πῦρ, οὕτω δὴ καὶ ἡμεῖς, ἂν μὴ φοβηθῶμεν θάνατον, διαφευξόμεθα θάνατον. οὐκ ἐφοβήθησαν * τὸ πῦρ (οὐ γὰρ ἔγκλημα τὸ καῆναι) ἀλλ' ἐφοβήθησαν τὴν ἁμαρτίαν· ἔγκλημα γὰρ τὸ ἀσεβῆσαι. τούτους καὶ ἡμεῖς ζηλώσωμεν, καὶ τοὺς κατ' ἐκείνους ἅπαντας· καὶ μὴ φοβώμεθα κινδύνους, καὶ διαφευξόμεθα κινδύνους. Οὐκ εἰμὶ μὲν γὰρ προφήτης, οὐδὲ υἱὸς προφήτου· τὸ μέντοι μέλλον μετὰ ἀκριβείας ἐπίσταμαι, καὶ μεγάλῃ καὶ λαμπρᾷ βοῶ τῇ φωνῇ, ὅτι εἰ μεταβαλοίμεθα, καί τινα ἐπιμέλειαν τῆς ἡμετέρας ψυχῆς ποιησώμεθα, καὶ τῆς πονηρίας ἀποστῶμεν, οὐδὲν ἀηδὲς * ἔσται καὶ λυπηρόν. καὶ τοῦτο οἶδα σαφῶς ἀπὸ τῆς τοῦ Θεοῦ φιλανθρωπίας, καὶ ἀφ' ὧν καὶ εἰς ἄνδρας καὶ πόλεις καὶ ἔθνη καὶ δήμους ὁλοκλήρους ἐποίησε. καὶ γὰρ καὶ τὴν Νινευιτῶν ἠπείλησε πόλιν καταστρέφειν, καὶ εἶπεν· Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὶ καταστραφήσεται. τί οὖν, εἰπέ μοι, κατεστράφη ἡ Νινευΐ, καὶ ἀνετράπη ἡ πόλις; τοὐναντίον μὲν οὖν ἅπαν· καὶ ἀνέστη καὶ λαμπροτέρα γέγονε, καὶ χρόνος τοσοῦτος διελθὼν τὴν δόξαν αὐτῆς οὐκ ἠφάνισεν, ἀλλὰ πάντες αὐτὴν ᾄδομεν ἔτι καὶ νῦν καὶ θαυμάζομεν, ὅτι λιμὴν τις ἄριστος ἐξ ἐκείνου τοῦ χρόνου τοῖς ἁμαρτάνουσιν ἅπασι γέγονεν, οὐκ ἀφιεῖσα εἰς ἀπόγνωσιν ἐμπεσεῖν, ἀλλὰ καλοῦσα πάντας εἰς μετάνοιαν, καὶ δι' ὧν ἔπραξε, καὶ δι' ὧν ἀπέλαυσε τῆς τοῦ Θεοῦ προνοίας, πείθουσα μηδέποτε τῆς οἰκείας ἀπογινώσκειν σωτηρίας· ἀλλὰ βίον ἄριστον ἐπιδεικνυμένους καὶ τὴν ἀγαθὴν ἐλπίδα προβαλλομένους, θαῤῥεῖν περὶ τοῦ τέλους, ὡς ἐσομένου πάντως χρηστοῦ. τίς γὰρ οὐκ ἂν ἀνασταίη τὸ κατ' ἐκείνους παράδειγμα ἀκούων, κἂν πάντων νωθέστατος εἴη; εἵλετο γοῦν τὴν ἑαυτοῦ πρόρρησιν διαπεσεῖν ὁ Θεός, καὶ μὴ διαπεσεῖν τὴν πόλιν. μᾶλλον δὲ οὐδὲ ἡ προφητεία διέπεσεν. εἰ μὲν γὰρ ἐπὶ τῆς αὐτῆς πονηρίας τῶν ἀνθρώπων μενόντων, οὐκ ἐξέβη εἰς ἔργον

Ματθ. ι.
Αμως ζ. ιδ.
Ιων. γ. δ.

χ. ἐδὲν ὄφελος.
χ. ἀπὸ * ἁμαρτίας
χ. ἀλλὰ βουλόμενος ὑμᾶς [illegible] ἀεὶ [illegible] λέγω, ἵνα [illegible] τοῦ χ.
χ. οὐ σωφρό[illegible] νος ἐργάζεται
* ἦ ἐκαίετο
* ἡμῖν

τὰ τῆς ἀποφάσεως, εἶχεν ἴσως ἄν τις ἐγκαλεῖν τοῖς εἰρημένοις. Εἰ δὲ μεταβαλλομένων αὐτῶν καὶ τῆς κακίας ἀποστάντων, ἀπέστη καὶ τῆς ὀργῆς ὁ Θεός, τίς δύναται λοιπὸν ἐπιλαβέσθαι τῆς προφητείας, καὶ καταγνῶναι ψεῦδος τῶν εἰρημένων; καὶ γὰρ τὸν νόμον, ὃν ἐξ ἀρχῆς ἔθηκεν ὁ Θεὸς διὰ τοῦ προφήτου πᾶσιν ἀνθρώποις διαλεγόμενος, τοῦτον καὶ τότε διετήρησε. τίς οὖν ἐστιν ὁ νόμος; Πέρας λαλήσω, φησὶν, ἐπὶ ἔθνος καὶ ἐπὶ βασιλείαν, τοῦ ἐκριζοῦν αὐτοὺς καὶ κατασκάπτειν καὶ ἀπολλύειν. καὶ ἔσται, ἐὰν μετανοήσωσιν ἀπὸ τῆς κακίας, μετανοήσω κἀγὼ ἀπὸ τῆς ὀργῆς, ἧς ἐλάλησα ποιῆσαι αὐτοῖς. τοῦτον τοίνυν φυλάττων τὸν νόμον μεταβαλλομένους ἔσωσε, καὶ ἀποστάντας τῆς κακίας ἀπήλλαξε τῆς ὀργῆς. ἤδει τῶν βαρβάρων τὴν ἀρετὴν, καὶ διὰ τοῦτο τὸν προφήτην κατήπειγεν. οὕτω καὶ τότε ἐδονεῖτο ἡ πόλις τῆς προφητικῆς ἀκούσασα φωνῆς, ἀλλ' οὐδὲν παρεβλάβη, ἀλλὰ καὶ ὠφελήθη παρὰ τοῦ φόβου. ὁ γὰρ φόβος ἐκεῖνος τὴν σωτηρίαν ἔτεκεν, ἡ ἀπειλὴ τὸν κίνδυνον ἔλυσεν, ἡ τῆς καταστροφῆς ἀπόφασις τὴν καταστροφὴν ἔστησεν. ὢ καινοῦ καὶ παραδόξου πράγματος. ἀπόφασις θάνατον ἀπειλοῦσα ζωὴν ἔτεκεν, ἀπόφασις μετὰ τὸ ἐξενεχθῆναι τότε ἄκυρος γέγονεν ἀπεναντίας τοῖς ἔξωθεν δικάζουσιν. ἐπὶ μὲν γὰρ τούτων τὸ προενεχθῆναι τὴν ψῆφον εἰς μέσον, κυρίαν ποιεῖ τὴν ψῆφον γίνεσθαι· ἐπὶ δὲ τοῦ Θεοῦ τοὐναντίον· τὸ προενεχθῆναι τὴν ψῆφον, τοῦτό ἐστι τὸ ποιῆσαι αὐτὴν ἄκυρον. Εἰ γὰρ μὴ προηνέχθη, οὐκ ἂν ἤκουσαν οἱ ἡμαρτηκότες· Εἰ δὲ μὴ ἤκουσαν, οὐκ ἂν μετενόησαν· Εἰ δὲ μὴ μετενόησαν, οὐκ ἂν ἀπεκρούσαντο τὴν τιμωρίαν, οὐκ ἂν ἀπέλαυσαν τῆς παραδόξου σωτηρίας ἐκείνης. πῶς γὰρ οὐ παράδοξος, ὅταν ὁ μὲν δικαστὴς ἀποφήνηται, οἱ δὲ κατάδικοι τὴν ἀπόφασιν λύσωσι διὰ τῆς μετανοίας; οὐ γὰρ ἔφυγον τὴν πόλιν, καθάπερ [καὶ] ἡμεῖς νῦν, ἀλλὰ μένοντες αὐτὴν ἔστησαν. παγὶς ἦν, καὶ τεῖχος αὐτὴν ἐποίησαν· βάραθρον ἦν καὶ κρημνός, καὶ πύργον αὐτὴν ἀσφαλείας κατεσκεύασαν. ἤκουσαν ὅτι πεσεῖται τὰ οἰκοδομήματα, καὶ οὐκ ἔφυγον τὰ οἰκοδομήματα, ἀλλ' ἔφυγον τὰ ἁμαρτήματα. οὐκ ἀπέστησαν ἕκαστος *τῆς οἰκίας αὐτοῦ, καθάπερ ἡμεῖς νῦν, ἀλλ' ἀπέστη ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς. μὴ γὰρ οἱ τοῖχοί, φασι, τὴν ὀργὴν ἐπεκοι; ἡμεῖς αἴτιοι τοῦ τραύματος, ἡμεῖς τὸ φάρμακον κατασκευάζωμεν. διὰ τοῦτο οὐ τόπων ἐναλλαγαῖς, ἀλλὰ τρόπων μεταβολῇ τὴν σωτηρίαν ἐπίστευσαν. ταῦτα οἱ βάρβαροι· καὶ οὐκ αἰσχυνόμεθα, οὐδὲ ἐγκαλυπτόμεθα, ἐκείνων τρόπους μεταβαλόντων, ἡμεῖς τόπους ἀμείβοντες, καὶ τὰς οὐσίας ὑπεκτιθέντες, καὶ μεθυόντων ἀνθρώπων ἔργα ποιοῦντες; ὁ δεσπότης ἡμῖν ὀργίζεται· καὶ ἡμεῖς ἀφέντες τὴν ὀργὴν καταλῦσαι, τὰ [ἐπὶ] τῆς οἰκίας περιστρέφομεν, καὶ περιερχόμεθα ζητοῦντες, ποῦ καταθώμεθα τὴν οὐσίαν, δέον ζητεῖν, ποῦ τὴν ψυχὴν παρακαταθώμεθα· μᾶλλον δὲ οὐδὲ χρὴ ζητεῖν, ἀλλ' ἀρετῇ καὶ ὀρθότητι βίου τὴν ἀσφάλειαν αὐτῆς ἐγχλείζειν. οὐδὲ γὰρ, εἰ, πρὸς οἰκέτην ὀργιζομένων καὶ ἀγανακτούντων ἡμῶν, τὸ πρὸς τὴν ὀργὴν ἀπολογήσασθαι ἀφεὶς ἐκεῖνος, εἰς τὸν οἰκίσκον τὸν ἑαυτοῦ καταλθὼν, τὰ ἱμάτια καὶ τὰ ἔπιπλα πάντα συναγαγὼν καὶ καταδήσας, περὶ φυγῆς ἐβουλεύετο, πρᾴως ἂν ἠνέγκαμεν τὴν καταφρόνησιν ταύτην. παυσώμεθα τοίνυν τῆς ἀκαίρου ταύτης σπουδῆς, καὶ εἴπωμεν ἕκαστος πρὸς τὸν Θεόν· Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; μιμησώμεθα τὴν τῶν βαρβάρων φιλοσοφίαν. ἐκεῖνοι ἐπ' ἀδήλοις μετενόησαν. οὐ γὰρ εἶχεν ἡ ἀπόφασις τοῦτο, ὅτι ἐὰν [δὲ] ἐπιστρέψητε καὶ μετανοήσητε, στήσω τὴν πόλιν· ἀλλ' ἁπλῶς, ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὶ καταστραφήσεται. τί οὖν ἐκεῖνοι; Τίς οἶδεν, εἰ μετανοήσει ὁ Θεὸς ἀπὸ τῆς κακίας, ἧς ἐλάλησε ποιῆσαι ἡμῖν; τίς οἶδεν; οὐκ ἴσασι τὸ τέλος τοῦ πράγματος, καὶ οὐκ ἀμελοῦσι τῆς μετανοίας· οὐκ ἐπίστανται τῆς τοῦ Θεοῦ φιλανθρωπίας τὸν τρόπον, καὶ ἐπ' ἀδήλοις μεταβάλλονται. οὐδὲ γὰρ εἶχον πρὸς ἑτέρους Νινευΐτας ἰδεῖν μετανοήσαντας καὶ σωθέντας, οὐδὲ ἀνέγνωσαν προφήτας, οὐδὲ ἤκουσαν πατριαρχῶν, οὐκ ἀπέλαυσαν συμβουλῆς, οὐ μετέσχον πα-

αἰτίας

ἀκούσα

α. ἄλ. ὑπὸ

ἀκου

συναίρων

λλὰ πῶς;

Ιερ. ιη. ζ.

Ψαλ. ρλη. ζ.

Ιων. γ. θ.

ἐπινέσεως, οὐδὲ ἦσαν πεπεικότες ἑαυτούς, ὅτι πάντως ἐξιλεώσονται τὸν Θεὸν τῇ μετανοίᾳ. οὐδὲ γὰρ εἶχε τοῦτο ἡ ἀπειλή· ἀλλ' ἀμφέβαλλον καὶ "ἠπίστουν περὶ" τούτου, καὶ ὅμως μετενόησαν μετὰ ἀκριβείας ἁπάσης. Τίς οὖν ἔσται λόγος ἡμῖν, ὅταν οἱ μὲν περὶ τοῦ τέλους θαῤῥεῖν οὐκ ἔχοντες τοσαύτην ἐπιδεδειγμένοι φαίνωνται τὴν μεταβολήν, σὺ δὲ ὁ θαῤῥεῖν ἔχων περὶ τῆς φιλανθρωπίας τοῦ Θεοῦ, καὶ πολλὰ πολλάκις ἐνέχυρα λαβὼν αὐτοῦ τῆς κηδεμονίας, καὶ προφητῶν καὶ ἀποστόλων ἀκούσας, καὶ δι' αὐτῶν παιδευθεὶς τῶν πραγμάτων, μηδὲ πρὸς τὸ αὐτὸ τῆς ἀρετῆς ἐκείνοις μέτρον φθάσαι φιλονεικήσῃς; μεγάλη μὲν οὖν καὶ ἡ τῶν ἀνθρώπων τούτων ἀρετή· πολλῷ δὲ μείζων ἡ τοῦ Θεοῦ φιλανθρωπία. καὶ ταύτην ἀπ' αὐτοῦ τοῦ μεγέθους τῆς ἀπειλῆς ἐστιν ἰδεῖν. διὰ γὰρ τοῦτο οὐ προσέθηκε τῇ ἀποφάσει, ὅτι ἐὰν δὲ μετανοήσητε, φείσομαι· ἵν' ἀδιάλειστον ἐμβαλὼν τὴν ψῆφον αὐξήσῃ τὸν φόβον, καὶ τὸν φόβον αὐξήσας ταχύτερον πρὸς τὴν μετάνοιαν συνωθήσῃ. καὶ ὁ μὲν προφήτης αἰσχύνεται τὸ μέλλον προειδώς, καὶ στοχαζόμενος ὡς ἀτέλεστα μένει τὰ "εἰρημένα. ὁ δὲ Θεὸς οὐκ αἰσχύνεται, ἀλλ' ἓν μόνον ζητεῖ, τὴν σωτηρίαν τῶν ἀνθρώπων, καὶ τὸν οἰκέτην τὸν ἑαυτοῦ διορθοῦται. ἐπειδὴ γὰρ εἰς τὸ πλοῖον εἰσῆλθεν ἐκεῖνος, διήγειρεν εὐθέως τὴν θάλατταν, ἵνα μάθῃς, ὅτι ὅπου ἁμαρτία, ἐκεῖ χειμών· ὅπου παρακοή, ἐκεῖ κλυδώνιον. καὶ ἐσαλεύετο μὲν ἡ πόλις διὰ τὰ ἁμαρτήματα τῶν Νινευϊτῶν· ἐσαλεύετο δὲ τὸ πλοῖον διὰ τὴν παρακοὴν τοῦ προφήτου. ἐκεῖνοι μὲν οὖν τὸν Ἰωνᾶν εἰς τὸ πέλαγος ἔῤῥιψαν, καὶ ἔστη τὸ πλοῖον· ἡμεῖς δὲ τὴν ἁμαρτίαν καταποντίσωμεν, καὶ στήσεται πάντως ἡ πόλις. ὥστε τῆς φυγῆς οὐδὲν ὄφελος ἡμῖν. οὐδὲ γὰρ ἐκεῖνον ὠφέλησεν ἡ φυγή, τοὐναντίον μὲν οὖν καὶ κατέβλαψεν*. ἔφυγε γοῦν τὴν "γῆν, καὶ οὐκ ἔφυγε τὴν ὀργὴν τοῦ Θεοῦ· ἔφυγε τὴν γῆν, καὶ τὸν χειμῶνα εἰσήγαγεν εἰς τὴν θάλατταν. καὶ οὐ μόνον αὐτὸς οὐδὲν ἀπώνατο τῆς φυγῆς ἀγαθόν, ἀλλὰ καὶ τοὺς ὑποδεξαμένους αὐτὸν εἰς ἔσχατον ἐνέβαλε κίνδυνον. καὶ ὅτε μὲν ἐπὶ τοῦ πλοίου καθήμενος ἔπλει, καὶ ναῦται καὶ κυβερνῆται παρῆσαν, καὶ πᾶσα τῆς νηὸς ἡ κατασκευὴ περὶ τῶν ἐσχάτων ἐκινδύνευεν· ἐπειδὴ δὲ εἰς τὸ πέλαγος καταποντισθείς, καὶ τὴν ἁμαρτίαν διὰ τῆς τιμωρίας ἀποθέμενος, εἰς τὸ "ἀτερμάλιστον κατηνέχθη πλοῖον, τὴν γαστέρα* τοῦ κήτους, πολλῆς ἀπέλαυσε τῆς ἀδείας· ἵνα μάθῃς, ὅτι ὥσπερ τὸν ἐν ἁμαρτίᾳ "ζῶντα οὐδὲ τὸ πλοῖον ὠφελεῖ, οὕτω τὸν τὴν ἁμαρτίαν ἀποθέμενον οὐδὲ θάλαττα ἀπόλλυσιν, οὐδὲ θηρία διαφθείρει. ἔλαβε γοῦν αὐτὸν τὰ κύματα, καὶ οὐκ ἀπέπνιξεν· ἔλαβεν αὐτὸν τὸ κῆτος, καὶ οὐκ ἀνεῖλεν· ἀλλὰ καὶ τὸ ζῶον καὶ τὸ στοιχεῖον σῶον τῷ Θεῷ τὴν παρακαταθήκην "ἀπέδωκαν· καὶ διὰ πάντων ἐμάνθανε φιλάνθρωπος καὶ ἥμερος εἶναι ὁ προφήτης, καὶ μήτε ναυτῶν ἀνοήτων, μήτε κυμάτων ἀγρίων, μήτε θηρίων ὠμότερος "εἶναι. καὶ γὰρ οἱ ναῦται οὐκ ἐκ πρώτης εὐθέως, ἀλλὰ μετὰ πολλὴν αὐτὸν ἀνάγκην προὔδωκαν· καὶ ἡ θάλαττα δὲ καὶ τὸ θηρίον μετὰ πολλῆς τῆς εὐνοίας ἐφύλαξαν, τοῦ Θεοῦ "ταῦτα οἰκονομοῦντος. ἐπανῆλθε τοίνυν, ἐκήρυξεν, ἠπείλησεν, ἔπεισεν, ἔσωσεν, ἐφόβησε, διώρθωσεν· ἔστησεν ἐξ ἑνὸς καὶ πρώτου κηρύγματος. οὐ γὰρ ἐδεήθη πολλῶν ἡμερῶν, οὐδὲ συνεχοῦς συμβουλῆς· ἀλλὰ τὰ ψιλὰ ἐκεῖνα εἰπὼν ῥήματα, πάντας εἰς μετάνοιαν ἤγαγε. διὰ τοῦτο αὐτὸν οὐκ εὐθέως "ἀπὸ τοῦ πλοίου εἰς τὴν πόλιν ἐχειραγώγησεν ὁ Θεός, ἀλλὰ παρέδωκαν οἱ ναῦται τῇ θαλάττῃ, ἡ θάλαττα τῷ κήτει, τὸ κῆτος τῷ Θεῷ, ὁ Θεὸς τοῖς Νινευΐταις. καὶ διὰ μακρᾶς τῆς περιόδου τὸν φυγάδα "ἐπανήγαγεν, ἵνα πάντας παιδεύσῃ, ὅτι Θεοῦ χεῖρας φυγεῖν ἀμήχανον· ὅτι ὅπουπερ ἂν τις ἀφίκηται τὴν ἁμαρτίαν ἐπισυρόμενος, μυρία ὑποστήσεται τὰ δεινά. κἂν τῶν ἀνθρώπων μηδεὶς παρῇ, αὐτὴ πανταχόθεν ἡ κτίσις ἀντιστήσεται μετὰ πολλῆς αὐτῷ τῆς σφοδρότητος. μὴ τοίνυν τῇ φυγῇ τὴν σωτηρίαν ἡμῶν ἐγχειρίσωμεν, ἀλλὰ τῇ τοῦ τρόπου μεταβολῇ. μὴ γάρ, ἐπειδὴ μένεις ἐν τῇ πόλει, διὰ τοῦτο παροξύνεται ὁ Θεός, ἵνα φύγῃς· ἐπειδὴ ἥμαρτες, διὰ τοῦτο ἀγανακτεῖ. οὐκοῦν τὴν ἁμαρτίαν ἀπόθου· καὶ ὅθεν ἡ αἰτία τῷ τραύματι, ἐκεῖθεν ἀνάστειλον τοῦ κακοῦ τὴν πηγήν. τὰ γὰρ ἐναντία τοῖς ἐναντίοις θεραπεύειν οἱ ἰατρῶν παῖδες κελεύουσιν. ἐξ ἀδηφαγίας γοῦν ἐτέχθη πυρετὸς, ἀσιτία μεθοδεύουσι τὸ νόσημα. ἐξ ἀθυμίας ἠρρώστησέ τις, εὐθυμίαν τούτῳ φάρμακον ἐπιτήδειον εἶναί φασιν. οὕτω καὶ ἐπὶ τῶν τῆς ψυχῆς νοσημάτων ποιεῖν χρή· ῥαθυμία τὴν ὀργὴν ἤγειρε· σπουδῇ ταύτην ἀποκρουσώμεθα, καὶ πολλὴν ἐπιδειξώμεθα τὴν μεταβολήν. ἔχομεν βοηθὸν μεγίστην καὶ σύμμαχον, τὴν νηστείαν, καὶ μετὰ τῆς νηστείας τὴν ἐπικειμένην ἀγωνίαν καὶ τὸν τοῦ κινδύνου φόβον. ἐπιθώμεθα τοίνυν τῇ ψυχῇ νῦν εἰς καιρόν. καὶ γὰρ εὐκόλως αὐτὴν δυνησόμεθα πεῖσαι πάντα, ὅσα ἂν ἐθέλωμεν. ὁ γὰρ περιδεὴς καὶ τρέμων καὶ τρυφῆς ἁπάσης ἀπηλλαγμένος καὶ φόβῳ συζῶν, εὐκόλως δύναται φιλοσοφεῖν, καὶ μετὰ πολλῆς τῆς προθυμίας τὰ τῆς ἀρετῆς ὑποδέχεσθαι σπέρματα. πείσωμεν τοίνυν αὐτὴν ἀπὸ τῆς τῶν ὅρκων φυγῆς πρῶτον τὴν ἐπὶ τὸ βέλτιον ποιήσασθαι μεταβολήν. εἰ γὰρ καὶ χθὲς καὶ πρὸ ἐκείνης περὶ ταύτης ὑμῖν διελέχθην τῆς ὑποθέσεως, ἀλλ' οὐδὲ σήμερον ἀποστήσομαι, οὐδὲ τὴν ἐπιοῦσαν, οὐδὲ τὴν μετ' ἐκείνην τὰ αὐτὰ συμβουλεύων. καὶ τί λέγω τὴν αὔριον, καὶ τὴν μετ' ἐκείνην; ἕως ἂν ὑμᾶς ἴδω κατορθώσαντας, οὐκ ἀφέξομαι. εἰ γὰρ οἱ παραβαίνοντες τὸν νόμον οὐκ αἰσχύνονται, πολλῷ μᾶλλον ἡμᾶς τοὺς κελεύοντας μὴ παραβαίνειν οὐκ ἄξιον αἰσχύνεσθαι τῇ συνεχείᾳ τῆς παραινέσεως. τὸ γὰρ συνεχῶς περὶ τῶν αὐτῶν ὑπομιμνήσκειν, οὐ τοῦ λέγοντος, ἀλλὰ τῶν ἀκουόντων ἐστὶν ἔγκλημα * διηνεκοῦς δεομένων διδασκαλίας ὑπὲρ ψιλῶν καὶ εὐκατορθώτων πραγμάτων. τί γὰρ εὐκολώτερον τοῦ μὴ ὀμνύναι; συνηθείας ἐστὶ τὸ κατόρθωμα μόνον, οὐκ ἔστι πόνος σώματος, οὐκ ἔστι δαπάνη χρημάτων. βούλει μαθεῖν πῶς δυνατὸν περιγενέσθαι τοῦ νοσήματος, πῶς δυνατὸν ἀπαλλαγῆναι τῆς πονηρᾶς συνηθείας; ἐγώ σε διδάξω τρόπον τινά, ὃν ἂν ποιήσῃς, περιέσῃ πάντως. ὅταν γὰρ ἴδῃς ἢ σαυτὸν, ἢ καὶ ἕτερόν τινα ἢ τῶν οἰκετῶν, ἢ τῶν παίδων, ἢ τὴν γυναῖκα ἁλόντας τῷ κακῷ τούτῳ, καὶ συνεχῶς ὑπομνησθέντας καὶ οὐ διορθωθέντας· κέλευσον μὴ δειπνήσαντας καθευδῆσαι· καὶ ταύτην καὶ σαυτῷ κἀκείνοις τὴν καταδίκην ἐπίθες, καταδίκην οὐχὶ ζημίαν, ἀλλὰ κέρδος φέρουσαν. τοιαῦτα γὰρ τὰ πνευματικά· καὶ κέρδος φέρει, καὶ ταχέως τὴν διόρθωσιν. ἡ γὰρ γλῶσσα βασανιζομένη διηνεκῶς, καὶ μηδενὸς ὑπομιμνήσκοντος ἱκανὴν λαμβάνει παράκλησιν ὑπὸ τοῦ δίψους κατατεινομένη, ὑπὸ τῆς πείνης ἀγχομένη. κἂν ἁπάντων ὦμεν ἀναισθητότεροι, διὰ πάσης ἡμέρας τῷ μεγέθει τῆς βασάνου ταύτης ὑπομιμνησκόμενοι, οὐ δεησόμεθα συμβουλῆς ἑτέρας καὶ παραινέσεως. ἐπῃνέσατε τὰ εἰρημένα, ἀλλ' ὅμως καὶ ἐπὶ τῶν ἔργων δείξατε τὸν ἔπαινον· ἐπεὶ τί τὸ κέρδος τῆς ἐνταῦθα συλλογῆς; εἰ καθ' ἑκάστην ἡμέραν τὸ παιδίον εἰς διδασκαλεῖον βαδίζοι, εἶτα μηδὲν μανθάνοι πλέον, ἆρα ἀρκέσει εἰς ἀπολογίαν ἡμῖν, τὸ καθ' ἑκάστην ἡμέραν ἐκεῖ βαδίζειν αὐτό; οὐχὶ δὲ μᾶλλον αὐτὸ μὲν οὖν τοῦτο μέγιστον ποιησόμεθα ἔγκλημα, ὅτι καθ' ἑκάστην ἡμέραν ἐκεῖ βαδίζον μάτην τοῦτο ποιεῖ. τοῦτο δὴ καὶ ἐφ' ἡμῶν αὐτῶν λογιζώμεθα, καὶ πρὸς ἑαυτοὺς λέγωμεν· χρόνον τοσοῦτον εἰς ἐκκλησίαν ἀπαντῶντες, συνάξεως ἀπολαύοντες φρικωδεστάτης καὶ πολὺ τὸ κέρδος ἐχούσης, ἂν τοιοῦτοι πάλιν ἀπέλθωμεν, οἷοι παρεγενόμεθα μηδὲν τῶν ἡμετέρων κατορθώσαντες ἐλαττωμάτων, τί τὸ ὄφελος ἔσται ἡμῖν τῆς ἐνταῦθα ἀφίξεως; καὶ γὰρ τὰ πολλὰ τῶν πραγμάτων οὐ δι' αὐτὰ γίνεται, ἀλλὰ διὰ τὰ συμβαίνοντα ἐξ αὐτῶν. οἷόν τι λέγω· ὁ σπείρων, οὐ διὰ τοῦτο σπείρει, ἵνα σπείρῃ μόνον, ἀλλ' ἵνα καὶ θερίσῃ. ὡς εἰ μὴ τοῦτο γένοιτο, καὶ ζημίαν ὁ σπόρος οἴσει, τῶν σπερμάτων κατασαπέντων εἰκῇ καὶ μάτην. ὁ ἔμπορος οὐ διὰ τοῦτο πλεῖ, ἵνα πλέῃ μόνον, ἀλλ' ἵνα διὰ τῆς ἀποδημίας πλείω ποιήσῃ τὴν οὐσίαν. ὡς εἰ μὴ τοῦτο προσγένοιτο, καὶ ζημία συμβήσεται ἐσχάτη, καὶ ἐπιβλαβὴς ἡ τῶν ἐμπόρων ἀποδημία. τοῦτο δὴ καὶ ἐφ' ἡμῶν αὐτῶν λογιζώμεθα. καὶ γὰρ ἡμεῖς εἰς ἐκκλησίαν ἀπαντῶμεν, οὐ δι' αὐτὸ τοῦτο μόνον, ἵνα ἐνταῦθα διατρίβωμεν, ἀλλ' ἵνα τι κερδάναντες μέγα καὶ πνευματικὸν κέρδος ἀπέλθωμεν. ἂν τοίνυν κενοὶ καὶ μηδὲν λαβόντες ἀπίωμεν, καὶ κατάκρισις ἡ σπουδὴ γίνεται. ὅπως ἂν οὖν τοῦτο μὴ γένηται, καὶ ζημία συμβῇ ἐσχάτη, ἀπιόντες ἐντεῦθεν μετ' ἀλλήλων οἱ φίλοι, μετὰ τῶν τέκνων οἱ πατέρες, μετὰ τῶν οἰκετῶν οἱ δεσπόται, μελετᾶτε καὶ γυμνάζεσθε, ὅπως τὸ ἐπιταχθὲν ἀνύσητε· ἵν' ἐπειδὰν ἐπανέλθητε πάλιν, καὶ περὶ αὐτῶν ἀκούσητε συμβουλευόντων ἡμῶν, μὴ καταισχύνησθε, τοῦ συνειδότος ὑμῶν ἐπιλαμβανομένου, ἀλλὰ χαίρητε καὶ εὐφραίνησθε, συνορῶντες τὸ πλέον τῆς παραινέσεως ὑμῖν κατορθωθέν. ταῦτα μὴ μόνον ἐνταῦθα φιλοσοφῶμεν (οὐ γὰρ ἀρκεῖ τὸ πολὺ ἡ πρόσκαιρος αὕτη παραίνεσις ὠφελεῖν) ἀλλὰ καὶ ἐπὶ τῆς οἰκίας ἀνὴρ παρὰ γυναικὸς ταῦτα ἀκουέτω, καὶ γυνὴ παρὰ ἀνδρός, καὶ ἅμιλλά τις γινέσθω, σπουδαζόντων τῶν ἁπάντων προλαβεῖν εἰς τὴν τοῦ νόμου τούτου συμπλήρωσιν. καὶ ὁ προλαβὼν καὶ κατορθώσας ὀνειδιζέτω τῷ λειπομένῳ, ἵνα αὐτὸν τοῖς σκώμμασι διεγείρῃ πλεῖον· ὁ ὑστερήσας, καὶ μηδέπω κατωρθωκώς, βλεπέτω τὸν προλαβόντα, καὶ φιλονεικείτω φθάσαι πρὸς ἐκεῖνον ταχέως. ἐὰν ταῦτα βουλευώμεθα, ἐὰν ταῦτα μεριμνῶμεν, ταχέως ἂν ἡμῖν καὶ τὰ ἄλλα κατευοδωθήσεται πράγματα. σὺ μερίμνησον τὰ τοῦ Θεοῦ, καὶ αὐτὸς προνοήσεται τῶν σῶν. καὶ μή μοι λέγε, τί δέ, ἐὰν ἀνάγκην ὅρκων τις ἡμῖν ἐπιθῇ; τί δέ, ἐὰν μὴ πιστεύῃ; μάλιστα μὲν γάρ, ὅπου παραβαίνεται νόμος, ἀνάγκης μεμνῆσθαι οὐ χρή (μία γάρ ἐστιν ἀνάγκη ἀπαραίτητος, τὸ μὴ προσκροῦσαι Θεῷ) πλὴν ἀλλ' ἐκεῖνο λέγω· τέως τοὺς περιττοὺς περίκοψον ὅρκους, τοὺς ἁπλῶς καὶ χωρὶς ἀνάγκης, τοὺς ἐπὶ τῆς οἰκίας, τοὺς ἐπὶ τῶν φίλων, τοὺς ἐπὶ τῶν οἰκετῶν. ἂν τούτους ἀφέλῃς, ἐν ἐκείνοις οὐδὲν ἐμοῦ δεήσῃ λοιπόν. αὐτὸ γὰρ τὸ στόμα μελετῆσαν δεδοικέναι καὶ φεύγειν τὰς πολυορκίας, οὐδ' ἂν μυριάκις τις ἀναγκάσῃ, καταδέξεται λοιπὸν εἰς ἐκείνην ἐμπεσεῖν τὴν συνήθειαν. ἀλλ' ὥσπερ νῦν μετὰ πολλοῦ τοῦ πόνου καὶ μυρίας τῆς ἐνοχλήσεως φοβοῦντες, ἀπειλοῦντες, παραινοῦντες, συμβουλεύοντες, μόλις ἰσχύσαμεν εἰς ἑτέραν αὐτὸ μεταθεῖναι συνήθειαν· οὕτω δὴ καὶ τότε κἂν μυρίαν ἀνάγκην ἐπιθῇ τις, οὐ δυνήσεται πεῖσαι τοῦτον παρασαλεῦσαι τὸν νόμον· ἀλλ' ὥσπερ δηλητηρίου τινὸς οὐκ ἂν ἕλοιτό ποτε οὐδὲ ἀνάγκης ἐπικειμένης ἀπογεύσασθαί τις, οὕτως οὐδὲ ὅρκον προέσθαι. τοῦτο δὲ ὑμῖν κατορθωθὲν παράκλησις ἔσται καὶ προτροπὴ πρὸς τὸ καὶ τῶν λοιπῶν τῆς ἀρετῆς ἐφάψασθαι μερῶν. ὁ μὲν γὰρ μηδὲν κατορθωκώς, ὅλως ῥαθυμεῖ καὶ ἀναπίπτει ταχέως· ὁ δὲ συνειδὼς ἑαυτῷ, ὅτι μίαν γοῦν τινα ἐντολὴν ἐπλήρωσεν, εὔελπις ἀπὸ ταύτης γινόμενος, μετὰ πλείονος σπουδῆς ἐπὶ τὰς λοιπὰς βαδιεῖται πάλιν, εἶτα ἑτέραν προσλαβών, ἐφ' ἑτέραν ἥξει ταχέως, καὶ οὐ πρότερον ἀποστήσεται, ἕως ἂν ἐπ' αὐτὴν ἔλθῃ τὴν κορυφήν. εἰ γὰρ ἐπὶ τῶν χρημάτων, ὅσῳπερ ἄν τις πλείονα περιβάληται, τοσούτῳ πλειόνων ἐφίεται· πολλῷ μᾶλλον ἐπὶ τῶν κατορθωμάτων τῶν πνευματικῶν τοῦτο συμβαῖνον ἴδοι τις ἄν. διὰ τοῦτο σπεύδω καὶ ἐπείγομαι ἀρχὴν τὸ πρᾶγμα λαβεῖν, καὶ προοίμιον τῆς ἀρετῆς καταβαλεῖν ἐν ταῖς ὑμετέραις ψυχαῖς. καὶ δεόμεθα καὶ ἀντιβολοῦμεν τούτων τῶν ῥημάτων μὴ κατὰ τὴν παροῦσαν ὥραν μεμνῆσθαι μόνον, ἀλλὰ καὶ ἐπὶ τῆς οἰκίας, καὶ ἐπὶ τῆς ἀγορᾶς, καὶ ὅπουπερ ἂν διατρίβητε. εἴθε μοι δυνατὸν ἦν ὑμῖν συγγίνεσθαι, καὶ οὐκ ἂν μοι τῆς μακρᾶς ταύτης ἐδέησε μακρηγορίας. νυνὶ δὲ ἐπειδὴ τοῦτο οὐκ ἔνι, ἀντ' ἐμοῦ τῶν ἐμῶν μεμνῆσθε ῥημάτων, καὶ ἐπὶ τραπέζης καθήμενοι ἐπεστάναι με νομίζετε καὶ παρεστάναι, καὶ ταῦτα ἐνηχεῖν, ἅπερ ὑμῖν ἐνταῦθα λέγω νῦν. καὶ ὅπουπερ ἂν περὶ ἐμοῦ λόγος ὑμῖν γένηται, ἀντὶ πάντων ταύτης μέμνησθε τῆς ἐντολῆς, καὶ ταύτην μοι τῆς περὶ ὑμᾶς ἀγάπης ἀπόδοτε τὴν ἀμοιβήν. ἐὰν ἴδω κατορθώσαντας ὑμᾶς, τὸ πᾶν ἀπείληφα, ἱκανὴν τῶν πόνων ἀπεδεξάμην τὴν ἀντίδοσιν. ἵν' οὖν καὶ ἡμᾶς προθυμοτέρους ποιήσητε, καὶ ὑμεῖς εὔελπιδες γένησθε, καὶ πλείονα ταῖς λοιπαῖς ἐντολαῖς πρὸς τὸ κατορθοῦσθαι παρασκευάσητε τὴν εὐκολίαν, μετὰ πολλῆς τοῦτον τὸν νόμον τῆς σπουδῆς ἐν ταῖς ὑμετέραις ἐναπόθεσθε ψυχαῖς, καὶ τότε εἴσεσθε τῆς παραινέσεως τὴν ὠφέλειαν. ἐπεὶ καὶ ἱμάτιον χρυσοῦν καλὸν μέν ἐστι καὶ ὁρώμενον, πολλῷ δὲ πλέον ἡμῖν φαίνεται περικείμενον ἡμῶν τῷ σώματι· οὕτω καὶ αἱ τοῦ Θεοῦ ἐντολαί· καλαὶ μέν εἰσι καὶ ἐπαινούμεναι, πολλῷ δὲ καλλίους φαίνονται κατορθούμεναι. νῦν μὲν γὰρ ἐν βραχείᾳ καιροῦ ῥοπῇ τὰ λεγόμενα ἐπαινεῖτε· ἐὰν δὲ κατορθώσητε, διὰ πάσης τῆς ἡμέρας καὶ διὰ παντὸς τοῦ χρόνου καὶ ἡμᾶς καὶ ὑμᾶς αὐτοὺς ἐπαινέσεσθε. καὶ οὐ τοῦτό ἐστι τὸ μέγα, ὅτι ἀλλήλους ἐπαινεσόμεθα, ἀλλ᾽ ὅτι καὶ ὁ Θεὸς ἡμᾶς ἀποδέξεται, καὶ οὐκ ἀποδέξεται μόνον, ἀλλὰ καὶ ἀμείψεται ταῖς μεγάλαις ἐκείναις καὶ ἀπορρήτοις δωρεαῖς· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ μεθ᾽ οὗ τῷ πατρὶ ἡ δόξα, σὺν τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΤΙ ΧΡΗΣΙΜΟΣ Ο ΤΩΝ ΑΡΧΟΝΤΩΝ ΦΟΒΟΣ, ΚΑΙ διήγησις τῶν κατὰ τὴν ὁδὸν συμβάντων τοῖς τὴν ἀγγελίαν τῆς στάσεως τῷ βασιλεῖ ἀναφέρουσι· καὶ ὅτι ὁ ἀδίκως τι πάσχων καὶ εὐχαριστῶν τῷ συγχωροῦντι Θεῷ, ἴσος ἐστὶ τῷ διὰ τὸν Θεὸν τὰ αὐτὰ πάσχοντος· καὶ τὰ παραδείγματα πάλιν ἐκ τῶν τριῶν παίδων καὶ τῆς Βαβυλωνίας καμίνου, καὶ περὶ τῆς τῶν ὅρκων ἀποχῆς.

Πολλὰς μὲν ἀνηλώσαμεν ἡμέρας παρακαλοῦντες ὑμῶν τὴν ἀγάπην· οὐ μὴν διὰ τοῦτο ἀποστησόμεθα τῆς ὑποθέσεως ταύτης, ἀλλ᾽ ἕως ἂν μένῃ τὸ ἕλκος τῆς ἀθυμίας, καὶ τὸ φάρμακον τῆς παραμυθίας ἐπιθήσομεν. εἰ γὰρ ἐπὶ τῶν τοῦ σώματος τραυμάτων οὐ παύονται ἐπαντλοῦντες ἰατρῶν παῖδες, ἕως ἂν ἴδωσι λῆξαν τὸ πάθος· πολλῷ μᾶλλον ἐπὶ τῆς ψυχῆς τοῦτο ποιεῖν χρή. καὶ γὰρ ἕλκος ψυχῆς ἡ ἀθυμία, καὶ δεῖ συνεχῶς αὐτὴν ἐπαντλεῖν προσηνέσι ῥήμασιν. οὐδὲ γὰρ οὕτως οἴδημα σαρκὸς χαλᾶν εἴωθε θερμῶν ὑδάτων φύσις, ὡς ψυχῆς πάθος καταστέλλειν πέφυκε παρακλητικῶν λόγων δύναμις. οὐ χρεία σπογγιᾶς ἐνταῦθα, καθάπερ ἐπὶ τῶν ἰατρῶν, ἀλλ᾽ ἀντὶ σπογγίου τὴν γλῶτταν μεταχειρισόμεθα. οὐ χρεία πυρὸς ἐνταῦθα, ἵνα θερμάνωμεν τὰ ὕδατα, ἀλλ᾽ ἀντὶ πυρὸς τῇ τοῦ πνεύματος χρησώμεθα χάριτι. φέρε δὴ καὶ σήμερον τὸ αὐτὸ τοῦτο πράξωμεν. εἰ γὰρ μὴ ἡμεῖς ὑμᾶς παρακαλέσωμεν, πόθεν ἑτέρωθεν παράκλησιν δέξεσθε; δικασταὶ φοβοῦσιν· οὐκοῦν ἱερεῖς παρακαλείτωσαν. ἄρχοντες ἀπειλοῦσιν· οὐκοῦν ἡ ἐκκλησία παραμυθείσθω. καὶ γὰρ ἐπὶ τῶν παιδίων τῶν μικρῶν τοῦτο γίνεται. διδάσκαλοι τὰ παιδία φοβοῦσι καὶ τύπτουσι, καὶ δεδακρυμένα πρὸς τὰς μητέρας παραπέμπουσιν· αἱ δὲ μητέρες ὑποδεξάμεναι τοῖς κόλποις τοῖς ἑαυτῶν κατέχουσι καὶ περισφίγγουσι, καὶ τὰ δάκρυα καταψήσασαι καταφιλοῦσι, καὶ τὴν ὀδυνωμένην αὐτῶν ἀνακτῶνται ψυχήν, πείθουσαι δι᾽ ὧν λέγουσιν, ὅτι χρήσιμος ὁ τῶν διδασκάλων αὐτοῖς ἐστι φόβος. ἐπεὶ οὖν καὶ ὑμᾶς ἐφόβησαν ἄρχοντες καὶ ἐναγωνίους ἐποίησαν, ἡ ἐκκλησία ἡ κοινὴ πάντων ἡμῶν μήτηρ τοὺς κόλπους ἁπλώσασα καὶ ὑπτίαις ὑποδεξαμένη χερσί, καθ᾽ ἑκάστην παρακαλεῖ τὴν ἡμέραν λέγουσα· ὅτι χρήσιμος καὶ ὁ τῶν ἀρχόντων φόβος ἐστί, καὶ ὅτι χρησίμη καὶ ἡ ἐντεῦθεν παράκλησις. ἐκείνων μὲν γὰρ ὁ φόβος οὐκ ἀφίησιν ὑπὸ τῆς ῥᾳθυμίας ἐκλύεσθαι· ταύτης δὲ ἡ παράκλησις οὐ συγχωρεῖ ὑπὸ τῆς ἀθυμίας καταπίπτειν· καὶ δι᾽ ἀμφοτέρων ὁ Θεὸς τὴν ἡμετέραν σωτηρίαν οἰκονομεῖ. καὶ γὰρ τοὺς ἄρχοντας αὐτὸς ὥπλισεν, ἵνα φοβῶσι τοὺς ἀσελγαίνοντας· καὶ τοὺς ἱερέας αὐτὸς ἐχειροτόνησεν, ἵνα παρακαλῶσι τοὺς ὀδυνωμένους. καὶ

ταῦτα ἀμφότερα μετὰ τῶν γραφῶν καὶ αὐτὴ τῶν πραγμάτων ἡ πεῖρα ″ διδάσκει. Εἰ γὰρ κ βοῆ.
ἀρχόντων ὄντων καὶ στρατιωτῶν ζώντων ἐν ὅπλοις, μανία ἀνθρώπων εὐαριθμήτων μιγάδων
καὶ ἐπηλύδων ἐν βραχείᾳ καιροῦ ῥοπῇ τοσαύτην ἡμῖν ἀνῆψε πυρὰν, καὶ χειμῶνα τοσοῦτον
ἤγειρε, καὶ περὶ ναυαγίας ἐποίησε δεδοικέναι ἅπαντας· εἰ καθόλου τῶν ἀρχόντων ὁ φόβος ἀνῄρητο,
ποῦ οὐκ ἂν ἦλθον οὗτοι μανίας; ἆρα οὐκ ἂν ἐκ βάθρων τὴν πόλιν ἡμῖν ἀνέτρεψαν,
καὶ πάντα ἄνω καὶ κάτω ποιήσαντες, καὶ τὰς ἂν ἡμῶν ἀφείλοντο τὰς ψυχάς; ἐὰν γὰρ τὰ δικαστήρια
ἀνέλῃς, πᾶσαν τῆς ζωῆς ἡμῶν ἀνεῖλες τὴν εὐταξίαν. καὶ ὥσπερ νηὸς τὸν κυβερνήτην
ἐὰν ἀποστήσῃς, κατεπόντισας τὸ σκάφος· καὶ τὸν στρατηγὸν ἂν ἀπαγάγῃς τοῦ στρατοπέδου, δεδεμένους
τοῖς πολεμίοις παρέδωκας τοὺς στρατιώτας· οὕτω τῶν πόλεων τοὺς ἄρχοντας ἐὰν
ἀνέλῃς, θηρίων ἀλόγων ἀλογώτερον βιωσόμεθα βίον, δάκνοντες ἀλλήλους καὶ κατεσθίοντες,
τὸν πενέστερον ὁ πλούσιος, τὸν ἀσθενέστερον ὁ δυνατώτερος, τὸν ἐπιεικέστερον ὁ θρασύτερος.
ἀλλὰ νῦν οὐδὲν τούτων ἐστὶ διὰ τὴν τοῦ Θεοῦ χάριν. οἱ μὲν γὰρ εὐλαβείᾳ συζῶντες
α. Τιμ. α. θ. οὐδὲν δέονται τῆς τούτων παιδαγωγίας (Δικαίῳ γὰρ νόμος οὐ κεῖται, φησίν) οἱ δὲ πολλοὶ
[καὶ] πρὸς κακίαν βλέποντες, εἰ μὴ τὸν ἀπὸ τούτων φόβον εἶχον αὐτοῖς ἐπικείμενον,
Ρωμ ιγ. α. μυρίων ἂν κακῶν τὰς πόλεις ἐνέπλησαν. ἅπερ οὖν καὶ ὁ Παῦλος συνιδὼν ἔλεγεν· Οὐ
γάρ ἐστιν ἐξουσία, εἰ μὴ ὑπὸ Θεοῦ, καὶ αἱ οὖσαι ἐξουσίαι ὑπὸ τοῦ Θεοῦ τεταγμέναι εἰσίν.
ὅπερ γάρ εἰσιν ἐν ταῖς οἰκίαις τῶν ξύλων αἱ ἱμαντώσεις, τοῦτο καὶ οἱ ἄρχοντες ἐν ταῖς πόλεσι·
καὶ καθάπερ ἂν ἐκείνας ἀνέλῃς, διαλυθέντες οἱ τοῖχοι συμπίπτουσιν ἀλλήλοις αὐτόματοι·
οὕτω τῆς οἰκουμένης ἂν ἀφέλῃς τοὺς ἄρχοντας καὶ τὸν ἐκ τούτων φόβον, καὶ οἰκίαι, καὶ
πόλεις, καὶ ἔθνη μετὰ πολλῆς ἀλλήλοις συμπεσοῦνται τῆς ἀδείας, οὐδενὸς ὄντος τοῦ κατέχοντος καὶ
ἀνακρουομένου, καὶ τῷ φόβῳ τῆς κολάσεως ἀναπείθοντος ἡσυχάζειν.

Μὴ τοίνυν ἀλγῶμεν, ἀγαπητοὶ, διὰ τὸν ἀπὸ τῶν ἀρχόντων φόβον, ἀλλὰ καὶ εὐχαριστῶμεν
τῷ Θεῷ, ὅτι τὴν ῥαθυμίαν ἡμῶν ἀνέστειλε καὶ σπουδαιοτέρους εἰργάσατο. τί γὰρ, εἰπέ
μοι, γέγονε βλάβος ἀπὸ τῆς φροντίδος ταύτης καὶ τῆς μερίμνης; ὅτι σεμνότεροι γεγόναμεν
καὶ ἐπιεικέστεροι, ὅτι σπουδαιότεροι καὶ προσεκτικώτεροι, ὅτι μεθύοντα καὶ ᾄδοντα πορνικὰ
ᾄσματα οὐδένα βλέπομεν, ἀλλ' ὅτι λιταὶ διηνεκεῖς καὶ δάκρυα καὶ εὐχαί· ὅτι γέλως ἄκαιρος
καὶ αἰσχρὰ ῥήματα καὶ διάχυσις πᾶσα ἀπελήλαται, καὶ γυναῖκα εὐσχήμονα καὶ ἐλευθέραν
ἡ πόλις ″ ἡμῶν ἅπασα μιμεῖται νῦν, διὰ ταῦτα ἀλγεῖς, εἰπέ μοι; διὰ ταῦτα μὲν γρ. ἡμῖν
οὖν χαίρειν δίκαιον καὶ εὐχαριστεῖν τῷ Θεῷ, ὅτι τοσαύτην ″ βλακείαν ὀλίγων ἡμερῶν γρ. βλάβην
φόβος κατέλυσε. ναί, φησιν· ἀλλ' εἰ μὲν μέχρι ″ φόβου μόνον ἐκινδυνεύομεν, γρ. φόβῳ
ἱκανὴν ἂν ἐκαρπωσάμεθα τὴν ὠφέλειαν· νυνὶ δὲ δεδοίκαμεν μὴ περαιτέρω προέλθῃ
τὸ δεινὸν, καὶ περὶ τῶν ἐσχάτων κινδυνεύσωμεν ἅπαντες. ἀλλὰ μὴ δείσητε. Παῦλος ὑμᾶς
α. Κορ. ι. ιγ. παραμυθεῖται λέγων, ὅτι Πιστός ἐστιν ὁ Θεὸς, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε·
ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν.
Ἰησ. α. ε. Ἑβρ. ιγ ε. αὐτὸς γὰρ εἶπεν, Οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλίπω. εἰ γὰρ δι' ἔργων ἐβούλετο κολάσαι
καὶ διὰ τῆς πείρας αὐτῆς, οὐκ ἂν τοσούτων ἡμερῶν παρέδωκεν ἡμᾶς φόβῳ. ὅταν γὰρ
μὴ βούληται κολάζειν, φοβεῖ· ἐπεὶ εἰ μέλλοι κολάζειν, περιττὸς ὁ φόβος, περιττὴ ἡ ἀπειλή.
νῦν δὲ μυρίων χαλεπωτέραν θανάτων ὑπέστημεν ζωὴν, ἐν τοσαύταις ἡμέραις δεδοικότες καὶ
τρέμοντες, καὶ τὰς σκιὰς αὐτὰς ὑποπτεύοντες, καὶ τὴν τοῦ Κάϊν τίνοντες δίκην, καὶ ἐκ ″ μέσου τῶν γρ. μέσῳ τῶν ὕπνων
ὕπνων ἀναπηδῶντες ἀπὸ τῆς διηνεκοῦς ἀγωνίας. ὥστε εἰ καὶ παρωργίσαμεν τὸν Θεὸν, ἐξιλεωσάμεθα
νῦν τοσαύτην ὑπομείναντες τὴν τιμωρίαν. καὶ γὰρ εἰ καὶ μὴ τῶν ″ ἁμαρτιῶν γρ. ἁμαρτημάτων
ἀξίαν ἔδομεν δίκην, ἀλλ' ἀρκοῦσαν τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ. οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ
καὶ ἑτέρωθεν πολλαχόθεν θαῤῥεῖν χρή. οὐδὲ γὰρ ὀλίγα ἡμῖν ἐνέχυρα τῶν χρηστῶν ἐλπίδων
ἔδωκεν ὁ Θεὸς ἤδη. καὶ πρῶτον μὲν ἁπάντων, οἱ τὴν πονηρὰν κομίζοντες ἀγγελίαν,

ἐξελθόντες ἐντεῦθεν, καθάπερ ὑποπτεῦσαί τινες καὶ πάλαι, "καταλήψεσθαι τὸ στρατόπεδον προσδοκήσαντες, κατὰ μέσην ἔτι διατρίβουσι τὴν ὁδόν (τοσαῦτα αὐτοῖς κωλύματα καὶ ἐμπόδια γέγονε) καὶ τοὺς ἵππους ἀφέντες, ὀχήματα ἐλαύνουσι νῦν. ὅθεν ἀνάγκη πᾶσα βραδυτέραν αὐτοῖς γενέσθαι τὴν ἐκεῖσε ἄφιξιν. ἐπειδὴ γὰρ τὸν ἱερέα τὸν ἡμέτερον καὶ κοινὸν πατέρα ἀνέστησεν ὁ Θεὸς ἐντεῦθεν, καὶ ἔπεισεν ἀπελθεῖν καὶ τῆς πρεσβείας συνεφάψασθαι ταύτης, κατέσχε λοιπὸν ἐκείνους κατὰ μέσην τὴν ὁδόν, ἵνα μὴ φθάσαντες τὸ πῦρ ἀνάψωσι, καὶ τῷ διδασκάλῳ λοιπὸν ἀνήνυτον ποιήσωσι τὴν διόρθωσιν, τὰς βασιλικὰς ἐμπρήσαντες ἀκοάς. ὅτι γὰρ οὐκ ἄνευ Θεοῦ τὸ κώλυμα γέγονε, δῆλον ἐκεῖθεν. ἄνθρωποι τὸν ἅπαντα χρόνον *τοιαύταις συντραφέντες ἀποδημίαις, καὶ τοῦτο *ἔργον ἔχοντες, ἵππους ἐλαύνειν διηνεκῶς, νῦν ὑπ' αὐτῆς τῆς ἱππασίας συντριβέντες "ὑστέρησαν· καὶ γέγονεν ἀπεναντίας τοῖς τοῦ Ἰωνᾶ πράγμασι τὰ συμβάντα νῦν. ἐκεῖνον μὲν γὰρ μὴ βουλόμενον ἀπελθεῖν ἤπειγε, τούτους δὲ βουλομένους ἀπελθεῖν ἐκώλυσεν. ὢ παραδόξου καὶ καινοῦ πράγματος. ἐκεῖνος οὐκ ἐβούλετο κηρύξαι καταστροφήν, καὶ ἄκοντα αὐτὸν ἀνέστησεν· οὗτοι μετὰ πολλοῦ τοῦ τάχους σπεύδουσιν ἀπαγγεῖλαι καταστροφήν, καὶ ἄκοντας αὐτοὺς πάλιν ἐκώλυσε. τί δήποτε; ὅτι ἐνταῦθα μὲν τὸ τάχος, βλάβος*· "ἐκεῖ δὲ τὸ τάχος, κέρδος ἔφερε. διὰ τοῦτο κἀκεῖνον ἤπειξε διὰ τοῦ κήτους, καὶ διὰ τῶν ἵππων τούτους συνεπόδισεν. ὁρᾷς Θεοῦ σοφίαν; διὰ τῶν πραγμάτων αὐτῶν, ὧν ἕκαστος ἤλπισεν ἀνύειν τὸ "προσδοκώμενον, διὰ τούτων συνεποδίσθησαν ἕκαστος. ἐκεῖνος διὰ τοῦ πλοίου προσεδόκησε πλήσεσθαι, καὶ τὸ πλοῖον αὐτῷ δεσμὸς ἐγένετο· διὰ τῶν ἵππων οὗτοι προσεδόκησαν ταχύτερον ὄψεσθαι τὸν βασιλέα, καὶ οἱ ἵπποι γεγόνασι κώλυμα· μᾶλλον δὲ οὐχ οἱ ἵπποι, ὥσπερ οὐδὲ ἐκεῖνο τὸ πλοῖον, ἀλλ' ἡ πρόνοια τοῦ Θεοῦ πανταχοῦ πάντα μετὰ τῆς οἰκείας οἰκονομοῦσα σοφίας. καὶ σκόπει κηδεμονίαν, πῶς καὶ ἐφόβησε, καὶ παρεκάλεσε. παρ' αὐτὴν μὲν γὰρ τὴν ἡμέραν, ὅτε τὰ παράνομα ἐτολμήθη πάντα ἐκεῖνα, ἀφεὶς αὐτοὺς ἐξελθεῖν ὡς ἀπαγγελοῦντας τῷ βασιλεῖ τὰ συμβεβηκότα ἅπαντα, τῷ τάχει τῆς ἐξόδου πάντας ἐφόβησεν. ἐπειδὴ δὲ ἀπῆλθον, καὶ δύο καὶ τρεῖς ἀνήλωσαν ἡμέρας, καὶ λοιπὸν ματαίαν εἶναι ἐνομίζομεν τοῦ ἱερέως τοῦ ἡμετέρου τὴν ἀποδημίαν ὡς ὑστερίζειν μέλλοντος, τότε τὸν φόβον ἐξέλυσε καὶ παρεμυθήσατο, ἐκείνους τε, ὡς ἔφην, κατὰ μέσην κατασχὼν τὴν ὁδόν, καὶ τοὺς ἐκεῖθεν "ἀφικνουμένους πρὸς ἡμᾶς διὰ τῆς αὐτῆς ὁδοῦ, τὰ ἐκείνων πάθη πᾶσιν ἡμῖν ἀναγγεῖλαι παρασκευάσας, ἵνα μικρὸν ἀναπνεύσωμεν. ὅπερ οὖν καὶ ἐγένετο, καὶ τὸ πολὺ τῆς ἀγωνίας ἀπεθέμεθα μέρος. ταῦτα [γοῦν] ἀκούσαντες, τὸν ταῦτα ποιήσαντα προσκυνήσωμεν Θεόν, ὃς πατέρων ἁπάντων φιλοστοργότερον καὶ νῦν τὰ καθ' ἡμᾶς διέθηκεν ἅπαντα, ἀοράτῳ τινὶ δυνάμει τοὺς πονηροὺς τούτους κατασχὼν ἀγγέλους, καὶ μονονουχὶ λέγων, τί σπεύδετε; τί δὲ ἐπείγεσθε πόλιν τοιαύτην καταποντίζειν μέλλοντες; μὴ γὰρ εὐαγγέλια κομίζετε τῷ βασιλεῖ; μείνατε αὐτοῦ, ἕως "ἂν τὸν θεράποντα τὸν ἐμόν, καθάπερ ἀθλητὴν ἄριστον, παρασκευάσω φθάσαι, καὶ τὸν ὑμέτερον παρακαταλαβεῖν δρόμον. εἰ δὲ ἐν ἀρχῇ τοῦ τῆς παρανομίας ἕλκους τοσαύτη πρόνοια γέγονε, πολλῷ μᾶλλον μετὰ τὴν ἐπιστροφήν, μετὰ τὴν μετάνοιαν, μετὰ τὸν τοσοῦτον φόβον, μετὰ τὰ δάκρυα καὶ τὰς εὐχὰς πλείονος ἀπολαυσόμεθα τῆς ἀδείας. ὁ μὲν γὰρ Ἰωνᾶς εἰκότως συνηλαύνετο, ἵνα εἰς μετάνοιαν ἐμβάλῃ· ὑμεῖς δὲ ἤδη τὴν μετάνοιαν ἐπεδείξασθε καὶ πολλὴν τὴν ἐπιστροφήν. διὸ καὶ παρακλήσεως δεῖ λοιπόν, οὐκ ἀγγελίας ἀπειλὴν ἐχούσης. διὰ τοῦτο καὶ τὸν κοινὸν ἐντεῦθεν ἀνέστησε πατέρα, καίτοι πολλῶν ὄντων τῶν κωλυόντων. εἰ δὲ μὴ "ἐφείδετο τῆς σωτηρίας τῆς ἡμετέρας, "οὐκ ἂν ἐκεῖνον ἔπεισεν, ἀλλὰ καὶ βουλόμενον ἐξελθεῖν ἐκώλυσεν ἄν. ἔχω τι καὶ τρίτον εἰπεῖν, δυνάμενον ὑμᾶς πεῖσαι θαρρεῖν· τὴν παροῦσαν ἑορτήν, ἣν καὶ ἄπιστοι αἰδοῦνται σχεδὸν πάντες, ἣν καὶ αὐτὸς ἐστὶν ὁ θεοφιλὴς βασιλεὺς οὕτως ᾐδέσθη καὶ ἐτίμησεν, ὡς ἅπαντας τοὺς πρὸ αὐτοῦ μετ' εὐσεβείας κρατήσαντας ὑπερβαλέσθαι βασιλέας. ἐν ταύταις γοῦν ταῖς ἡμέραις πέμψας ἐπιστολήν, εἰς τιμὴν τῆς ἑορτῆς τοὺς τὸ δεσμωτήριον οἰκοῦντας σχεδὸν ἀφῆκεν ἀπελθόντας. καὶ ταύτην ὁ ἱερεὺς ὁ ἡμέτερος εἰσελθὼν ἀναγνώσεται τὴν ἐπιστολὴν πρὸς τὸν βασιλέα, καὶ τῶν οἰκείων αὐτὸν ἀναμνήσει νόμων, καὶ ἐρεῖ πρὸς αὐτόν· ὅτι σὺ σαυτὸν παρακάλεσον, καὶ τὰ σαυτοῦ μέμνησο· οἴκοθεν ἔχεις τὸ παράδειγμα τῆς φιλανθρωπίας. δίκαιον οὐχ εἵλου ποιῆσαι φόνον, καὶ ἄδικον ὑπομένεις ἐργάσασθαι; τοὺς ἐληλεγμένους καὶ καταδικασθέντας, τὴν ἑορτὴν αἰδεσθεὶς, ἀφῆκας· καὶ τοὺς ἀνευθύνους καὶ μηδὲν τετολμηκότας κατακρίνεις, εἰπέ μοι, καὶ ταῦτα τῆς ἑορτῆς παρούσης; μηδαμῶς, βασιλεῦ. σὺ διὰ τῆς ἐπιστολῆς ταύτης ταῖς πόλεσι πάσαις διαλεγόμενος ἔλεγες· εἴθε μοι δυνατὸν ἦν καὶ τοὺς ἀπελθόντας ἀναστῆσαι. ταύτης δεόμεθα τῆς φιλανθρωπίας, τούτων χρεία τῶν ῥημάτων νῦν. οὐχ οὕτω τὸ κρατῆσαι πολεμίων λαμπροὺς ποιεῖ τοὺς βασιλεύοντας, ὡς τὸ κρατῆσαι θυμοῦ καὶ ὀργῆς. ἐκεῖ μὲν γὰρ τῶν ὅπλων καὶ τῶν στρατιωτῶν τὸ κατόρθωμα γίνεται, ἐνταῦθα δὲ γυμνὸν σόν ἐστι τὸ τρόπαιον· καὶ οὐδένα ἔχεις τὸν μεριζόμενον μετὰ σοῦ τὴν τῆς φιλοσοφίας δόξαν. ἐκράτησας πολέμου βαρβαρικοῦ· κράτησον καὶ θυμοῦ βασιλικοῦ. μαθέτωσαν οἱ ἄπιστοι πάντες, ὅτι ὁ τοῦ Χριστοῦ φόβος πᾶσαν ἐξουσίαν δύναται χαλινοῦν. δόξασόν σου τὸν δεσπότην, τοῖς συνδούλοις ἀφεὶς τὰ ἁμαρτήματα· ἵνα καὶ αὐτός σε δοξάσῃ μειζόνως, ἵνα ἥμερόν σοι κατὰ τὴν τῆς κρίσεως ἡμέραν δείξῃ τὸ ὄμμα καὶ γαληνόν, ταύτης μεμνημένος σου τῆς φιλανθρωπίας. ταῦτα καὶ πλείονα τούτων ἐρεῖ, καὶ πάντως ἡμᾶς ἐξαιρήσεται τῆς ὀργῆς. οὐκ εἰς τὸ πεῖσαι δὲ τὸν βασιλέα μόνον μεγίστη παρὰ τῆς νηστείας ταύτης ἡμῖν ἡ συμμαχία, ἀλλὰ καὶ εἰς τὸ γενναίως ἐνεγκεῖν τὰ συμβαίνοντα. καὶ γὰρ παράκλησιν οὐ τὴν τυχοῦσαν ἀπὸ τοῦ καιροῦ τούτου καρπούμεθα. αὐτὸ γὰρ τὸ καθ' ἑκάστην ἡμέραν συλλέγεσθαι, καὶ τῆς τῶν θείων γραφῶν ἀπολαύειν ἀκροάσεως, καὶ ἀλλήλους βλέπειν, καὶ πρὸς ἀλλήλους ὀδύρεσθαι, καὶ εὐχομένους καὶ εὐλογίας δεχομένους οὕτως οἴκαδε ἀπιέναι, τὸ πλέον ὑμῖν ὑποτέμνεται τῆς ὀδύνης.

Μὴ τοίνυν καταπέσωμεν, μηδὲ προδῶμεν ἑαυτοὺς ὑπὸ τῆς ἀγωνίας, ἀλλὰ μένωμεν τὰ χρηστὰ προσδοκῶντες, καὶ προσέχωμεν τοῖς ῥηθήσεσθαι μέλλουσι. καὶ γὰρ βούλομαι σήμερον περὶ ὑπεροψίας θανάτου διαλεχθῆναι πάλιν. εἶπον χθὲς ὑμῖν, ὅτι τὸν θάνατον δεδοίκαμεν, οὐκ ἐπειδὴ φοβερός ἐστιν ἐκεῖνος, ἀλλ' ἐπειδὴ οὔτε ὁ τῆς βασιλείας ἔρως ἀνῆψεν ἡμᾶς, οὔτε ὁ τῆς γεέννης φόβος κατέσχε, καὶ πρὸς τούτοις ὅτι τὸ συνειδὸς οὐκ ἔχομεν ἀγαθόν. βούλεσθε καὶ τετάρτην εἴπω αἰτίαν τῆς ἀκαίρου ταύτης ἀγωνίας οὐκ ἐλάττονα, τῶν προτέρων ἀληθεστέραν; οὐ ζῶμεν μετὰ τῆς προσηκούσης τοῖς χριστιανοῖς σκληραγωγίας, ἀλλὰ τὸν ὑγρὸν τοῦτον καὶ διαλελυμένον καὶ χαῦνον ἐζηλώσαμεν βίον. διὸ καὶ εἰκότως τοῖς παροῦσιν ἐμφιλοχωροῦμεν πράγμασιν. ὡς εἴ γε ἐν νηστείαις καὶ παννυχίσι καὶ εὐτελείᾳ διαίτης τὴν ζωὴν διηνύομεν ταύτην, τὰς ἐπιθυμίας ἡμῶν ἐκκόπτοντες τὰς ἀτόπους, τὰς ἡδονὰς κωλύοντες, τοὺς ἱδρῶτας τῆς ἀρετῆς ὑπομένοντες, κατὰ τὸν Παῦλον ὑπωπιάζοντες τὸ σῶμα καὶ δουλαγωγοῦντες, τῆς σαρκὸς πρόνοιαν μὴ ποιούμενοι εἰς ἐπιθυμίας, τὴν στενὴν καὶ τεθλιμμένην ὁδεύοντες ὁδόν· ταχέως ἂν τῶν μελλόντων ἐπεθυμήσαμεν, τῶν παρόντων πόνων ἀπαλλαγῆναι σπεύδοντες. καὶ ὅτι οὐ ψευδὴς ὁ λόγος ὁ ἡμέτερος, ἀνάβηθι πρὸς τὰς κορυφὰς τῶν ὀρέων, καὶ κατάμαθε τοὺς ἐκεῖ μοναχοὺς, τοὺς ἐν σάκκῳ, τοὺς ἐν δεσμοῖς, τοὺς ἐν νηστείαις, τοὺς ἐν σκότῳ κατακεκλεισμένους· καὶ ὄψει πάντας αὐτοὺς τῆς τελευτῆς ἐπιθυμοῦντας, καὶ ἀνάπαυσιν τὸ πρᾶγμα καλοῦντας. καθάπερ γὰρ ὁ πυκτεύων ἐπείγεται τοῦ σταδίου ἐξελθεῖν, ἵνα ἀπαλλαγῇ τῶν τραυμάτων· καὶ ὁ ἀθλητὴς ἀναστῆναι τὸ θέατρον ἐπιθυμεῖ, ἵνα ἐλευθερωθῇ τῶν πόνων· οὕτω καὶ ὁ ἐν σκληρῷ καὶ τραχυτάτῳ βίῳ ζῶν μετ' ἀρετῆς, ἐπιθυμεῖ τῆς τελευτῆς, ἵνα καὶ τῶν πόνων ἀπαλλαγῇ τῶν παρόντων, καὶ ὑπὲρ τῶν ἀποκειμένων ἔχῃ στεφάνων θαρρεῖν, πρὸς τὸν εὔδιον καταπλεύσας λιμένα, καὶ ἐκεῖ μεταστὰς, ἔνθα λοιπὸν οὐκ

α. Κορ. θ. κζ.

ἔστιν ὑποστῆναι ναυάγιον. διὰ τοῦτο καὶ ὁ Θεὸς ἐπίπονον φύσει καὶ μοχθηρὸν ἡμῖν τὸν βίον κατεσκεύασεν, ἵνα ὑπὸ τῆς ἐνταῦθα συνωθούμενοι θλίψεως, ἐπιθυμίαν τῶν μελλόντων λάβωμεν. εἰ γὰρ νῦν τοσούτων ὄντων τῶν λυπηρῶν καὶ κινδύνων καὶ φόβων καὶ φροντίδων πάντοθεν ἡμᾶς περιστοιχιζομένων, οὕτως ἐμφιλοχωροῦμεν τῇ παρούσῃ ζωῇ· εἰ μηδὲν τούτων ἦν, ἀλλ᾽ ἄλυπός τις καὶ ἀταλαίπωρος ὁ βίος ἡμῖν ἅπας ἐγίνετο, πότε ἂν ἐπεθυμήσαμεν τῶν μελλόντων; οὕτω καὶ Ἰουδαίοις ἐποίησεν ὁ Θεός. καὶ γὰρ ἐκείνοις βουλόμενος εἰς ἐπιθυμίαν ἐμβαλεῖν τῆς ἐπανόδου, καὶ πεῖσαι μισῆσαι τὴν Αἴγυπτον, συνεχώρησε τῇ πλινθείᾳ καὶ τῷ πηλῷ ταλαιπωρεῖσθαι, ἵνα τῷ μεγέθει τῶν πόνων καὶ τῆς ταλαιπωρίας ἐκείνης ἀγχόμενοι, βοήσωσι πρὸς τὸν Θεὸν περὶ τῆς ἐπανόδου. εἰ γὰρ δὴ τούτων γινομένων ἐξελθόντες πάλιν ἐμέμνηντο τῆς Αἰγύπτου καὶ τῆς χαλεπῆς δουλείας, καὶ πρὸς τὴν προτέραν τυραννίδα ὑποστρέφειν ἠπείγοντο· εἰ μὴ τοιούτων ἐπειράθησαν τῶν βαρβάρων, πότε ἂν ἀφεῖναι τὴν ἀλλοτρίαν ἠθέλησαν; ἵν᾽ οὖν καὶ ἡμεῖς μὴ τῇ γῇ προσηλωμένοι καὶ πρὸς τὰ παρόντα κεχηνότες διάγωμεν, καὶ τῶν μελλόντων ἐπιλανθανώμεθα, μοχθηρὸν ἡμῖν τὸν βίον ἐποίησεν ὁ Θεός. μὴ τοίνυν περιεχώμεθα πέρα τοῦ δέοντος τῆς παρούσης ζωῆς. τί γὰρ ὄφελος ἡμῖν, ποῖον δὲ κέρδος ἐκ τοῦ προσηλῶσθαι μεθ᾽ ὑπερβολῆς τῇ τοῦ παρόντος βίου ἐπιθυμίᾳ; βούλει μαθεῖν διατί καλὸν ἡ παροῦσα ζωή; ὅτι τῆς μελλούσης ἡμῖν [ζωῆς] ὑπόθεσις γίνεται, καὶ ἀφορμή, καὶ σκάμμα, καὶ στάδιον τῶν ἐκεῖ στεφάνων ἐστίν. ὡς εἰ μὴ τοῦτο παρέχοι ἡμῖν, μυρίων θανάτων ἐστὶν ἐλεεινοτέρα. εἰ γὰρ μὴ μέλλοιμεν ζῶντες Θεῷ ἀρέσκειν, βέλτιον ἀπελθεῖν. τί γὰρ τὸ πλέον; τί τὸ περιττόν; οὐχὶ τὸν αὐτὸν ἥλιον καὶ τὴν αὐτὴν σελήνην καθ᾽ ἑκάστην ἡμέραν ὁρῶμεν; οὐχὶ τὸν αὐτὸν χειμῶνα; οὐχὶ τὸ αὐτὸ θέρος; οὐχὶ τὰ αὐτὰ πράγματα; τί τὸ γεγονός; αὐτὸ τὸ γενησόμενον. τί τὸ πεποιημένον; αὐτὸ τὸ ποιηθησόμενον. μὴ τοίνυν μήτε τοὺς ζῶντας ἁπλῶς μακαρίζωμεν, μήτε τοὺς ἀποθνήσκοντας θρηνῶμεν, ἀλλὰ τοὺς μὲν ἐν ἁμαρτίαις ὄντας, κἂν ζῶντες, κἂν τετελευτηκότες ὦσιν, ὀδυρώμεθα· τοὺς δὲ ἐν δικαιοσύνῃ μακαρίζωμεν πάλιν, ὅπουπερ ἂν τύχωσιν ὄντες. * σὺ μὲν οὖν ἕνα δέδοικας θάνατον, καὶ θρηνεῖς· ὁ Παῦλος δὲ καθ᾽ ἑκάστην ἡμέραν ἀποθνήσκων, οὐ μόνον οὐκ ἐδάκρυε διὰ τοῦτο, ἀλλὰ καὶ ἔχαιρε καὶ ἠγάλλετο. Εἴθε κἀγὼ διὰ τὸν Θεὸν ἐκινδύνευόν, φησι, καὶ οὐκ ἂν ἐφρόντισα. ἀλλὰ μηδὲ νῦν καταπέσῃς· οὐδὲ γὰρ ὁ διὰ τὸν Θεόν τι πάσχων μόνον εὐδοκιμεῖ, ἀλλὰ καὶ ὁ ἀδίκως τι πάσχων, καὶ φέρων γενναίως, καὶ εὐχαριστῶν τῷ συγχωροῦντι Θεῷ οὐκ ἐλάττων τοῦ διὰ τὸν Θεὸν ταῦτα πάσχοντός ἐστιν. ἐπεὶ καὶ ὁ μακάριος Ἰὼβ τὰς πολλὰς καὶ ἀφορήτους ἐκείνας πληγὰς ἐδέξατο [διὰ] τοῦ διαβόλου μάτην καὶ εἰκῇ καὶ ἁπλῶς ἐπιβουλεύοντος· ἀλλ᾽ ὅμως ἐπειδὴ γενναίως ἤνεγκε καὶ ηὐχαρίστησε τῷ ταῦτα συγχωροῦντι Θεῷ, ὁλόκληρον τὸν στέφανον ἀνεδήσατο. μὴ τοίνυν λυποῦ διὰ τὸν θάνατον· φύσεως γάρ ἐστι· λυποῦ δὲ διὰ τὴν ἁμαρτίαν· προαιρέσεως γάρ ἐστι τὸ ἔγκλημα. εἰ δὲ λυπῇ διὰ τοὺς ἀποθανόντας, ἄλγει καὶ διὰ τοὺς γεννωμένους. ὥσπερ γὰρ τοῦτο φύσεως, οὕτω κἀκεῖνο φύσεως. ἂν τοίνυν ἀπειλήσῃ τις θάνατον, εἰπὲ πρὸς αὐτόν· ἐπαιδεύθην παρὰ τοῦ Χριστοῦ μὴ φοβεῖσθαι ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. ἂν ἀπειλῇ δήμευσιν οὐσίας, εἰπὲ πρὸς αὐτόν· Γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι. Οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον τοῦτον· δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνησόμεθα. κἂν μὴ σὺ λάβῃς, θάνατος ἐπελθὼν λήψεται· κἂν μὴ σὺ σφάξῃς, ὁ τῆς φύσεως νόμος οἴσει τὴν τελευτήν.

Ἐκκλησ. α. θ.

Ματθ. ι.
Ἰωβ. α.
α Τιμ. ς. ζ.

Μηδὲν τοίνυν φοβώμεθα τῶν ἀπὸ φύσεως ἡμῖν ἐπαγομένων, ἀλλ᾽ ἐκεῖνα τὰ ἐκ πονηρᾶς ἡμῖν ἐγγινόμενα τῆς προαιρέσεως. ἐκεῖνα γὰρ ἡμῖν τίκτει τὴν κόλασιν. καὶ τοῦτο δὲ λογιζώμεθα διηνεκῶς ἐπὶ τῶν συμβαινόντων ἡμῖν ἀδοκήτως· ὅτι οὐ διορθώσομεν αὐτὰ ἀλγοῦντες, καὶ παυσόμεθα ἀλγοῦντες. κἀκεῖνο μετὰ τούτου πάλιν· ὅτι ἐὰν πάθωμέν τι δεινὸν κατὰ τὸν παρόντα βίον ἀδίκως, διαλυόμεθα πολλὰ τῶν ἁμαρτημάτων. διὸ μέγα ἀγαθὸν ἐνταῦθα ἀπολαβεῖν ἁμαρτήματα, καὶ μὴ ἐκεῖ. καὶ γὰρ ὁ πλούσιος οὐδὲν ἐνταῦθα δεινὸν ἀπέλαβε, καὶ διὰ τοῦτο ἐκεῖ ἀπετηγανίζετο. καὶ ὅτι τοῦτο ἦν αἴτιον τοῦ μηδεμιᾶς αὐτὸν ἀπολαῦσαι * παραμυθίας, ἄκουσον τί φησιν ὁ Ἀβραάμ· (Λυκ. ις. κε.) Τέκνον, ἀπέλαβες τὰ ἀγαθά σου, διὰ τοῦτο ὀδυνᾶσαι. ὅτι δὲ καὶ τῷ Λαζάρῳ τὰ ἀγαθὰ μετὰ τῆς ἀρετῆς καὶ τὸ μυρία ἐνταῦθα παθεῖν δεινὰ παρεξένησε, τοῦ πατριάρχου καὶ τοῦτο λέγοντος ἄκουσον. εἰπὼν γὰρ τῷ πλουσίῳ, ἀπέλαβες τὰ ἀγαθά σου*, ἐπήγαγεν, ὅτι καὶ ὁ Λάζαρος τὰ κακά, καὶ διὰ τοῦτο παρακαλεῖται. ὥσπερ γὰρ οἱ ἐν ἀρετῇ ζῶντες καὶ θλιβόμενοι διπλοῦν "ἕξουσι τὸ κέρδος, οὕτως ὁ ἐν κακίᾳ ζῶν καὶ τρυφῶν διπλῆν ἕξει τὴν κόλασιν. πάλιν λέγω, οὐχὶ τῶν φευγόντων κατηγορῶν (Σειρ. δ. γ.) (Ψυχὴν γὰρ τεταπεινωμένην μὴ προσταράξῃς, φησὶν) οὐδὲ ἐπιτιμῆσαι βουλόμενος (ὁ γὰρ νοσῶν παρακλήσεως δεῖται) ἀλλὰ διορθῶσαι σπουδάζων· μὴ τῇ φυγῇ τὴν σωτηρίαν ἡμῶν ἐγχειρίζωμεν, ἀλλὰ φύγωμεν ἁμαρτίας, ἀποστῶμεν ἀπὸ τῆς ὁδοῦ τῆς πονηρᾶς. ἐὰν "ταύτας φύγωμεν, κἂν μεταξὺ μυρίων ὦμεν τῶν στρατιωτῶν, οὐδεὶς ἡμᾶς πλῆξαι δυνήσεται· ἐὰν ταύτας μὴ φύγωμεν, κἂν εἰς αὐτὴν τῶν ὀρέων τὴν κορυφὴν ἀναβῶμεν, πολεμίους ἐκεῖ εὑρήσομεν μυρίους. ἀναμνήσθητι γοῦν τῶν τριῶν παίδων ἐκείνων πάλιν, οἳ ἔνδον ἦσαν ἐν τῇ καμίνῳ, καὶ οὐδὲν ἔπαθον δεινόν· καὶ τῶν ἐμβαλόντων αὐτοὺς ἔξωθεν τῆς καμίνου, [πῶς] ὅσοι περιεκάθηντο, πάντες ἐδαπανήθησαν. τί τούτου παραδοξότερον; οὓς κατεῖχεν, ἔλυσε τὸ πῦρ· καὶ οὓς οὐ κατεῖχεν, ἥρπασεν· ἵνα μάθῃς ὅτι οὐχὶ τόπος, ἀλλὰ τρόπος σωτηρίαν φέρει καὶ κόλασιν. οἱ ἔνδον διέφυγον, οἱ ἔξω διεφθάρησαν. τὰ αὐτὰ σώματα καὶ τούτοις, κἀκείνοις· ἀλλ' οὐ τὰ αὐτὰ φρονήματα· διὰ τοῦτο οὐδὲ τὰ αὐτὰ πάθη. καὶ γὰρ ὁ χόρτος κἂν ἔξω "παράκειται, ταχέως ἀνάπτεται· ὥσπερ οὖν τὸ χρυσίον, κἂν ἔνδον μείνῃ, μειζόνως φαιδρύνεται. ποῦ νῦν εἰσιν οἱ λέγοντες· πάντα λαβέτω ὁ βασιλεύς, καὶ τὸ σῶμα ἡμῖν ἐλεύθερον δότω; τί ποτέ ἐστι σῶμα ἐλεύθερον εἰπάτω, "μαθέτωσαν. οὐ γὰρ τὸ μὴ κολάζεσθαι, τοῦτο ἐλεύθερον ποιεῖ σῶμα, ἀλλὰ τὸ ζῆν ἐν δικαιοσύνῃ διηνεκῶς. τούτων γοῦν τῶν παίδων τὰ σώματα ἐλεύθερα ἦν καὶ καμίνῳ παραδοθέντα. τὴν γὰρ τῆς ἁμαρτίας δουλείαν ἀπέθεντο πάλαι. καὶ γὰρ τοῦτό ἐστιν ἐλευθερία μόνον, οὐ τὸ μὴ κολάζεσθαι, "οὐδὲ πάσχειν τι" τῶν δεινῶν. σὺ δὲ εἰδὼς τὴν κάμινον, ἀναμνήσθητι "τῶν τοῦ πυρὸς" ποταμῶν, "τῶν κατὰ τὴν ἡμέραν τὴν φοβερὰν ἐκείνην. καθάπερ γὰρ ἐνταῦθα τοὺς μὲν ἥρπασε, τοὺς δὲ ᾐδέσθη τὸ πῦρ· οὕτω καὶ ἐπὶ τῶν ποταμῶν ἐκείνων ἔσται. κἂν μέν τις ἔχῃ χόρτον, ξύλα, καλάμην, ἀνάπτει "τὸ πῦρ· ἂν δέ τις ἔχῃ χρυσόν, ἄργυρον, φαιδρότερος γίνεται. ταύτην τοίνυν τὴν ὕλην συναγάγωμεν, καὶ τὰ παρόντα φέρωμεν γενναίως, εἰδότες ὅτι καὶ ἐκείνης ἡμᾶς τῆς κολάσεως ἡ παροῦσα ἀπαλλάξει θλίψις, ἐὰν εἰδῶμεν φιλοσοφεῖν· καὶ ἐνταῦθα βελτίους "ἐργάζεται, οὐχ ἡμᾶς δὲ μόνον, ἀλλὰ καὶ τοὺς ἐμβάλλοντας ἡμᾶς πολλάκις, ἐὰν νήφωμεν (τοσαύτη τῆς φιλοσοφίας ἡ περιουσία) ὃ δὴ καὶ ἐπὶ τοῦ τυράννου τότε γέγονεν. ἐπειδὴ γὰρ εἶδε μηδὲν παθόντας δεινόν, ἄκουσον πῶς μετέβαλε· (Δαν. γ. κϛ.) Οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου, ἐξέλθετε, καὶ δεῦτε, φησίν. οὐ πρὸ "βραχέος ἔλεγες· Καὶ τίς ἐστι Θεός, ὃς δυνήσεται ἐξελέσθαι ὑμᾶς ἐκ τῶν χειρῶν μου; τί γέγονε; πόθεν ἡ μεταβολή; τοὺς ἔξω διαφθαρέντας εἶδες, καὶ τοὺς ἔνδον καλῶς; πόθεν ἐπῆλθέ σοι τοιαῦτα φιλοσοφεῖν; εἶδες πόση μεταβολὴ περὶ βασιλέως γέγονεν; ὅτε "οὔπω αὐτῶν ἐκράτησεν, ἐβλασφήμει· ἐπειδὴ δὲ αὐτοὺς ἐνέβαλεν εἰς τὸ πῦρ, ἐφιλοσόφει. διὰ τοῦτο καὶ ὁ Θεὸς συνεχώρησε πάντα γενέσθαι, ὅσα ὁ τύραννος ἠθέλησεν, ἵνα δείξῃ, ὅτι τοὺς ὑπ' αὐτοῦ φυλαττομένους οὐδεὶς παραβλάψαι δυνήσεται. καὶ ὅπερ ἐπὶ τοῦ Ἰὼβ ἐποίησε, τοῦτο καὶ ἐνταῦθα εἰργάσατο. καὶ γὰρ ἐκεῖ ἀφῆκε τὸν διάβολον πᾶσαν αὐτοῦ τὴν δύναμιν ἐπιδείξασθαι. καὶ ὅτε ἐκένωσε τὰ βέλη πάντα, καὶ οὐδεὶς ἐπιβουλῆς "ὑπελείφθη τρόπος, τότε ἀνεβίβασεν ἐκ τοῦ σκάμματος τὸν "ἀθλητήν, ἵνα λαμπροτέρα καὶ ἀναμφισβήτητος ἡ νίκη γένηται. οὕτω δὴ καὶ ἐνταῦθα τὸ αὐτὸ τοῦτο ἐποίησεν. ἐβουλήθη τὴν πόλιν αὐτῶν κατασκάψαι, καὶ οὐκ ἐκώλυσεν· ἐβουλήθη λαβεῖν αἰχμαλώτους, καὶ οὐκ ἐνεπόδισεν· ἐβουλήθη δῆσαι, συνεχώρησεν· εἰς τὴν κάμινον ἐμβαλεῖν, ἐπέτρεψεν· ἀνάψαι τὴν φλόγα πέρα τοῦ μέτρου, καὶ τοῦτο ἀφῆκε. καὶ ὅτε οὐδὲν ὑπελέλειπτο λοιπόν, ἀλλὰ πᾶσαν ἐκένωσεν αὐτοῦ τὴν ἰσχὺν ὁ τύραννος, τότε ἔδειξε τὴν αὐτοῦ δύναμιν ὁ Θεός, καὶ τὴν τῶν παίδων ὑπομονήν. ὁρᾷς ὅτι διὰ τοῦτο συγχωρεῖ μέχρι τέλους τὰς θλίψεις, ἵνα δείξῃ τοῖς ἐπιβουλεύουσι καὶ τὴν τῶν ἐπιβουλευομένων φιλοσοφίαν, καὶ τὴν αὐτοῦ πρόνοιαν; ἅπερ ἀμφότερα κἀκεῖνος τότε μαθὼν ἐβόα· Οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου, ἐξέλθετε καὶ δεῦτε. σὺ δέ μοι σκόπει τῶν παίδων μεγαλοψυχίαν. οὔτε γὰρ περὶ τῆς φωνῆς ἐξεπήδησαν, ἵνα μὴ νομίσῃ τις αὐτοὺς φοβεῖσθαι τὸ πῦρ, οὔτε κληθέντες ἔνδον ἔμειναν, ἵνα μὴ φιλότιμοί τινες εἶναι καὶ φιλόνεικοι δόξωσιν. ὅτε ἔμαθες, φασί, τίνος ἐσμὲν δοῦλοι, ὅτε τὸν δεσπότην ἡμῶν ἐπέγνως, τότε ἐξερχόμεθα, κήρυκες ἐσόμενοι τοῖς παροῦσιν ἅπασι τῆς τοῦ Θεοῦ δυνάμεως. μᾶλλον δὲ οὐκ αὐτοὶ μόνον, ἀλλὰ καὶ ὁ πολέμιος οἰκείᾳ φωνῇ καὶ διὰ γλώττης καὶ δι' ἐπιστολῆς πᾶσιν ἀνεκήρυττε καὶ τὴν τῶν ἀθλητῶν ἔνστασιν, καὶ τοῦ ἀγωνοθέτου τὴν ἰσχύν. καὶ καθάπερ οἱ κήρυκες τοὺς ἀθλητὰς νικῶντας ἀναγορεύοντες ἐν μέσῳ τῷ θεάτρῳ, καὶ τὰς πόλεις αὐτῶν λέγουσιν· ὁ δεῖνα τῆσδε τῆς πόλεως· οὕτω καὶ οὗτος, ἀντὶ τῆς πόλεως τὸν δεσπότην αὐτῶν ἀνεκήρυξε. Σεδράκ, Μισάκ, καὶ Ἀβδεναγώ, οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου, ἐξέλθετε καὶ δεῦτε. Δαν. γ. κζ. τί γέγονεν, ὅτι δούλους αὐτοὺς τοῦ Θεοῦ καλεῖς; οὐχὶ σοὶ ἦσαν δοῦλοι; ἀλλὰ κατέλυσάν μου τὴν βασιλείαν, φησί, κατεπάτησάν μου τὸν τῦφον, ἔδειξαν διὰ τῶν ἔργων τὸν ἀληθῆ δεσπότην αὐτῶν. Εἰ ἀνθρώπων ἦσαν δοῦλοι, οὐκ ἂν αὐτοὺς ἐφοβήθη τὸ πῦρ, οὐκ ἂν παρεχώρησεν ἡ φλόξ· ἀνθρώπων γὰρ δούλους ἡ κτίσις οὐκ οἶδεν αἰδεῖσθαι καὶ τιμᾶν. διὰ τοῦτο πάλιν φησίν, Εὐλογητὸς ὁ Θεὸς τοῦ Σεδράκ, Μισάκ, καὶ Ἀβδεναγώ. Δαν. γ. κη. σὺ δέ μοι σκόπει, πῶς πρῶτον ἀνακηρύττει τὸν ἀγωνοθέτην. Εὐλογητὸς ὁ Θεός, ὃς ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλετο τοὺς παῖδας αὐτοῦ. τοῦτο τῆς δυνάμεως τοῦ Θεοῦ. εἶπε καὶ τὴν ἀρετὴν τῶν ἀθλητῶν. ὅτι ἐπεποίθησαν ἐπ' αὐτῷ, καὶ ἠλλοίωσαν τὸ ῥῆμα τοῦ βασιλέως, καὶ παρέδωκαν τὰ σώματα αὐτῶν, ὅπως μὴ λατρεύσωσι θεοῖς ἑτέροις. ἆρα τί γένοιτ' ἂν ἀρετῆς ἴσον; περὶ τούτου, ὅτε εἶπον, Τοῖς θεοῖς σου οὐ λατρεύομεν, τῆς καμίνου χαλεπώτερον ἐξεκαίη· νῦν δὲ ἐπειδὴ διὰ τῶν ἔργων αὐτῶν τοῦτο ἐπαίδευσαν, οὐ μόνον οὐκ ἠγανάκτησεν, ἀλλὰ καὶ ἐπῄνεσε καὶ ἐθαύμασεν, ὅτι αὐτοῦ παρήκουσαν. τοσοῦτον ἀρετὴ καλόν, ὅτι καὶ αὐτοὺς τοὺς πολεμοῦντας ἔχει θαυμαστὰς καὶ ἐπαινέτας. ἐκεῖνοι ἠγωνίσαντο καὶ ἐνίκησαν· καὶ ὁ ἡττηθεὶς ηὐχαρίστει, ὅτι οὐκ ἐφόβησεν αὐτοὺς ἡ τῆς φλογὸς ὄψις, ἀλλὰ παρεκάλεσεν ἡ εἰς τὸν δεσπότην ἐλπίς. καὶ τὸν τῆς οἰκουμένης δεσπότην ἀπὸ τῶν τριῶν παίδων καλεῖ, οὐχὶ περικλείων αὐτοῦ τὴν δεσποτείαν· ἀλλ' ἐπειδὴ τῆς οἰκουμένης ἀντάξιοι ἦσαν οἱ παῖδες οἱ τρεῖς, διὰ τοῦτο καὶ ἐπαινεῖ τοὺς καταφρονήσαντας αὐτοῦ, καὶ τυράννους τοσούτους καὶ βασιλεῖς καὶ ὑπάρχους παραδραμὼν τοὺς πεισθέντας αὐτῷ, τρεῖς αἰχμαλώτους [καὶ δούλους] τοὺς καταγελάσαντας αὐτοῦ τῆς τυραννίδος ἐθαύμασεν. οὐ γὰρ φιλονεικοῦντες, ἀλλὰ φιλοσοφοῦντες ταῦτα ἔπραττον· οὐδὲ δι' ἀπόνοιαν, ἀλλὰ δι' εὐσέβειαν· οὐκ ἀλαζονείᾳ φυσηθέντες, ἀλλὰ ζήλῳ πυρωθέντες. καὶ γὰρ μέγα ἀγαθὸν ἐλπὶς ἡ εἰς Θεόν· ὅπερ οὖν καὶ ὁ βάρβαρος ἔγνω, καὶ δηλῶν, ὅτι ἐντεῦθεν διέφυγον τὸν ἐπικείμενον κίνδυνον, ἀνεβόησεν, ὅτι ἐπεποίθησαν ἐπ' αὐτῷ. ταῦτα δὲ λέγω νῦν, καὶ τὰς ἱστορίας ἐκλέγω πάσας, ἐν αἷς πειρασμοὶ καὶ θλίψεις καὶ βασιλέων ὀργαὶ καὶ ἐπιβουλαί, ἵνα μηδὲν φοβώμεθα, ἀλλ' ἢ τὸ προσκροῦσαι τῷ Θεῷ μόνον. καὶ γὰρ τότε ἡ κάμινος ἐκαίετο· ἐκεῖνοι δὲ ταύτης μὲν κατεγέλασαν, τὴν δὲ ἁμαρτίαν ἔδεισαν. ᾔδεσαν γάρ, ὅτι καέντες μὲν οὐδὲν πείσονται δεινόν· ἀσεβήσαντες δέ, τὰ ἔσχατα ὑποστήσονται). ἡ γὰρ μεγάλη κόλασις, τὸ ἁμαρτεῖν, κἂν μὴ κολαζώμεθα· ὥσπερ οὖν ἡ μεγίστη τιμὴ καὶ ἄνεσις, τὸ μετ' ἀρετῆς ζῆν, κἂν κολαζώμεθα. αἱ μὲν γὰρ ἁμαρτίαι διϊστῶσιν ἡμᾶς ἀπὸ τοῦ Θεοῦ, καθὼς καὶ αὐτός φησιν· Οὐχὶ αἱ ἁμαρτίαι ὑμῶν διϊστῶσιν ἀνὰ μέσον ὑμῶν καὶ ἐμοῦ; αἱ κολάσεις δὲ συνάγουσιν ἡμᾶς πρὸς τὸν Θεόν. Δὸς γὰρ ἡμῖν, φησιν, εἰρήνην· πάντα γὰρ ἀπέδωκας ἡμῖν. ἂν τραῦμά τις ἔχῃ, τί δεδοικέναι ἄξιον; τὴν σηπεδόνα; ἢ τὴν τομὴν τοῦ ἰατροῦ; τὸ σιδήριον, ἢ τὴν νομὴν τοῦ ἕλκους; ἡ ἁμαρτία, σηπεδών ἐστιν· ἡ κόλασις, σιδήριόν ἐστιν ἰατρικόν. ὥσπερ οὖν ὁ σηπεδόνα ἔχων, κἂν μὴ τέμνηται, ἀρρωστεῖ, καὶ τότε μᾶλλόν ἐστιν ἐν κακοῖς, ὅταν μὴ τέμνηται· οὕτως * ὁ ἁμαρτάνων, κἂν μὴ κολάζηται, πάντων ἐστὶν ἀθλιώτερος, καὶ τότε μάλιστα ἄθλιος, ὅταν μὴ κολάζηται, μηδὲ πάσχῃ μηδὲν δεινόν. καὶ καθάπερ οἱ σπλῆνα καὶ ὕδερον ἔχοντες, ὅταν τραπέζης ἀπολαύσωσι δαψιλοῦς καὶ ψυχροποσίας καὶ πολυτελῶν ἐδεσμάτων καὶ καρυκευμάτων, τότε μάλιστα πάντων εἰσὶν ἐλεεινότεροι, τῇ τρυφῇ τὸ νόσημα αὔξοντες· ἂν δὲ ἄγχωνται λιμῷ καὶ δίψει κατὰ τοὺς ἰατρικοὺς νόμους, ἐλπίδα τινὰ σωτηρίας ἔχουσιν· οὕτω καὶ οἱ ζῶντες ἐν πονηρίᾳ, ἂν μὲν κολάζωνται, χρηστὰς ἔχουσιν ἐλπίδας· ἂν δὲ μετὰ τῆς πονηρίας, ἀδείας καὶ τρυφῆς ἀπολαύωσι, τῶν ἐν ὑδέρῳ γαστριζομένων σφόδρα ἂν εἶεν ἐλεεινότεροι καὶ τοσούτῳ πλέον, ὅσῳ ψυχὴ σώματός ἐστι βελτίων. ἂν τοίνυν ἴδῃς τινὰς ἐν τοιαύταις ὄντας ἁμαρτίαις, καὶ τοὺς μὲν λιμῷ παλαίοντας διηνεκεῖ καὶ μυρίοις κακοῖς, τοὺς δὲ μεθύοντας καὶ τρυφῶντας καὶ γαστριζομένους, τοὺς τὰ δεινὰ πάσχοντας μακάριζε μᾶλλον. καὶ γὰρ τῆς ἡδυπαθείας ἡ φλὸξ ταῖς συμφοραῖς ἀποτέμνεται ταύταις, καὶ πρὸς τὴν μέλλουσαν ψῆφον καὶ τὸ φοβερὸν ἐκεῖνο δικαστήριον οὐ μικρὰν λαβόντες ἀπέρχονται παραμυθίαν, τὰ πολλὰ τῶν ἁμαρτημάτων, δι' ὧν ἔπαθον δεινῶν, ἐνταῦθα διαλύσαντες.

Ἀλλὰ τῆς μὲν παρακλήσεως ἅλις· ὥρα δὴ λοιπὸν ἡμῖν διαβῆναι ἐπὶ τὴν παραίνεσιν τῆς τῶν ὅρκων φυγῆς, καὶ τὴν δοκοῦσαν εἶναι παραμυθίαν τοῖς ὀμνύουσιν ἀνελεῖν τὴν ψυχρὰν καὶ ἀνόητον. καὶ γὰρ ἐπειδὰν αὐτοῖς ἐγκαλῶμεν, ἑτέρους ἡμῖν προβάλλονται αὐτὸ τοῦτο ποιοῦντας, καὶ λέγουσιν· ὁ δεῖνα, καὶ ὁ δεῖνα ὀμνύουσιν. εἴπωμεν τοίνυν πρὸς αὐτούς, ἀλλ' ὁ δεῖνα οὐκ ὀμνύουσι· ὁ δὲ Θεὸς ἀπὸ τῶν κατωρθωκότων σοι φέρει τὴν ψῆφον. οἱ μὲν γὰρ ἁμαρτάνοντες τοὺς ἁμαρτάνοντας οὐκ ὠφελοῦσι τῇ κοινωνίᾳ τῶν παραπτωμάτων· οἱ δὲ κατορθοῦντες τοὺς ἁμαρτάνοντας καταδικάζουσι. καὶ γὰρ οἱ μὴ θρέψαντες τὸν Χριστόν, μηδὲ ποτίσαντες, ἦσαν πολλοί· ἀλλ' οὐδὲν ἀλλήλους ὠφέλησαν. ὥσπερ οὖν οὐδὲ αἱ παρθένοι αἱ πέντε οὐκ εἶχον τινὰ συγγνώμην παρ' ἀλλήλων, ἀλλ' ὑπὸ τῶν κατωρθωκότων καὶ αὗται, κἀκεῖνοι καταδικασθέντες ἐκολάζοντο. ἀπαλλαγέντες τοίνυν ταύτης τῆς ψυχρᾶς ψυχαγωγίας, μὴ τοὺς πίπτοντας βλέπωμεν, ἀλλὰ τοὺς κατορθοῦντας, καὶ σπουδάσωμεν μνημόσυνον τῆς παρούσης νηστείας λαβόντες ἀπελθεῖν. καὶ καθάπερ ἱμάτιον πολλάκις κτησάμενοι, ἢ οἰκέτην, ἢ σκεῦος τίμιον, ἀναμιμνησκόμεθα τὸν καιρόν, καὶ πρὸς ἀλλήλους λέγομεν, τὸν οἰκέτην τὸν δεῖνα τῇδε ἐκτησάμην τῇ ἑορτῇ, τὸ ἱμάτιον τόδε τῷδε ἐπριάμην τῷ καιρῷ· οὕτω δὴ καὶ τὸν νόμον τοῦτον ἂν κατορθώσωμεν, ἐροῦμεν, ὅτι τὸν ὅρκον τῇδε κατώρθωσα τῇ τεσσαρακοστῇ· ἕως γάρ ποτε ὤμνυον· καὶ ψιλῆς ἀκούσας παραινέσεως, ἀπεσχόμην τῆς ἁμαρτίας. ἀλλὰ δυσκατόρθωτον ἡ συνήθεια. οἶδα κἀγώ, καὶ διὰ τοῦτο ἐπείγομαι εἰς ἑτέραν ὑμᾶς συνήθειαν ἐμβαλεῖν χρηστὴν καὶ κέρδος ἔχουσαν. ὅταν γὰρ εἴπῃς, ὅτι δυσκόλως ἀφίσταμαι τῆς συνηθείας, δι' αὐτὸ τοῦτο σπούδασον ἀποστῆναι, σαφῶς εἰδώς, ὅτι ἂν ἑτέραν ποιήσῃς σαυτῷ συνήθειαν τὴν τοῦ μὴ ὀμνύναι, οὐδενὸς δεήσῃ πόνου λοιπόν. τί δυσκολώτερον, μὴ ὀμνύναι, ἢ δι' ὅλης τῆς ἡμέρας ἄσιτον εἶναι, καὶ ὑδροποσίᾳ καὶ εὐτελεστάτῃ κεχρῆσθαι διαίτῃ; εὔδηλον ὅτι τοῦτο ἐκείνου. ἀλλ' ὅμως οὕτως ἐστὶν ἡ συνήθεια δυνατὸν πρᾶγμα καὶ εὔκολον, ὅτι παραγινομένης τῆς νηστείας, κἂν μυρία τις παρακαλῇ, κἂν μυρία τις ἄγχῃ καὶ βιάζηται, ὥστε μετασχεῖν οἰνοποσίας ἢ ἑτέρου τινὸς τῶν μὴ νενομισμένων ἐν νηστείᾳ ἀπογεύσασθαι, πάντα ἂν ἕλοιτό τις παθεῖν, ἢ τῆς κεκωλυμένης ἅψασθαι τροφῆς. καὶ ταῦτα οὐκ ἀηδῶς πρὸς τὴν τράπεζαν ἔχοντες, ὅμως διὰ τὴν ἀπὸ τοῦ συνειθότος συνήθειαν φέρομεν πάντα γενναίως ταλαιπωρούμενοι.

Ησ. νθ. β.
Ησ. κϛ. ιϛ.

πωρούμενοι. τοῦτο δὴ καὶ ἐπὶ τῶν ὅρκων ἔσται. καὶ καθάπερ νῦν κἂν μυρίαν τις ἀνάγκην ἐπιθῇ, μηδεὶς κατέχων τὴν συνήθειαν· οὕτω καὶ τότε, κἂν μυρία τις παρακαλῇ, οὐκ ἀποστήσῃ τῆς συνηθείας. ἀπιὼν τοίνυν οἴκοι διαλέγου ταῦτα τοῖς κατὰ τὴν οἰκίαν ἅπασι. καὶ καθάπερ πολλοὶ πολλάκις ἐκ λειμώνων ἀναχωροῦντες, ῥόδον ἢ ἴον ἤ τι τῶν τοιούτων ἀνθῶν λαβόντες καὶ τοῖς δακτύλοις περιστρέφοντες, ἀναχωροῦσιν, ἕτεροι δὲ πάλιν ἐκ παραδείσων οἴκαδε ἀπιόντες, κλάδους δένδρων καρποὺς ἔχοντας ἐπικομίζονται, ἄλλοι πάλιν ἀπὸ δείπνων πολυτελῶν λείψανα τῆς τραπέζης τοῖς ἑαυτῶν ἐπιτηδείοις φέρουσιν· οὕτω δὴ καὶ σὺ ἐντεῦθεν ἀπιὼν ἀπένεγκε παραίνεσιν τῇ γυναικί, τοῖς παιδίοις, * τοῖς ἐπιτηδείοις ἅπασιν. αὕτη γὰρ καὶ λειμῶνος καὶ παραδείσου καὶ τραπέζης ἐστὶ χρησιμωτέρα ἡ συμβουλή. ταῦτα οὐδέποτε τὰ ῥόδα μαραίνεται, οὗτοι οὐδέποτε καταῤῥέουσιν οἱ καρποί, ταῦτα οὐδέποτε τὰ ἐδέσματα σήπεται. καὶ ἀπ' ἐκείνων μὲν πρόσκαιρος ἡ τέρψις, ἀπὸ δὲ τούτων διηνεκὴς ἡ ὠφέλεια, οὐ μετὰ τὸ κατορθῶσαι μόνον, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ κατορθοῦσθαι. ἐννόησον γάρ, οἷόν ἐστι πάντα τὰ ἄλλα ἀφέντας τὰ δημόσια, τὰ ἰδιωτικά, περὶ τῶν θείων διαλέγεσθαι νόμων διαπαντός, καὶ ἐπὶ τραπέζης, καὶ ἐν ἀγορᾷ, καὶ ἐν ταῖς ἄλλαις συνουσίαις. ἂν [ἐν] τούτοις σχολάζωμεν, οὐδὲν ἐροῦμεν ἐπικίνδυνον, οὐδὲ σφαλερόν· οὐδὲ ἄκοντες ἁμαρτησόμεθα, ἀλλὰ καὶ τῆς ἐπικειμένης ἀθυμίας ἐν τῇ περὶ τούτων διαλέξει σχολάζοντες, τὴν ψυχὴν ὑπεξαγαγεῖν δυνησόμεθα ἀντὶ τῆς φροντίδος, ἧς φροντίζομεν πρὸς ἀλλήλους ἀεὶ λέγοντες· ἆρα ἤκουσεν ὁ βασιλεὺς τὰ γεγενημένα; ἆρα παρωξύνθη; τί δὲ ἐψηφίσατο; ἆρα παρεκάλεσεν αὐτόν τις; τί δέ, αὐτὸς ἀνέξεται πόλιν οὕτω μεγάλην καὶ πολυάνθρωπον ἀφανίσαι τέλεον; ταῦτα μὲν καὶ τὰ τοιαῦτα πάντα ἐπὶ τὸν Θεὸν ῥίψαντες, τὰ προστεταγμένα παρ' αὐτοῦ μεριμνῶμεν μόνον. οὕτω γὰρ κἀκεῖνα διαλυσόμεθα πάντα. κἂν δέκα ἐν ἡμῖν κατορθώσωσι μόνοι, ταχέως εἴκοσι οἱ δέκα γενήσονται, οἱ εἴκοσι πεντήκοντα, οἱ πεντήκοντα ἑκατόν, οἱ ἑκατὸν χίλιοι, οἱ χίλιοι πᾶσα ἡ πόλις. καὶ καθάπερ δέκα ἁφθέντων λύχνων ῥᾳδίως ἅπασαν τὴν οἰκίαν ἐμπλῆσαι δυνήσεταί τις τοῦ φωτός, οὕτω δὴ καὶ ἐπὶ τῶν κατορθωμάτων τῶν πνευματικῶν ἐὰν δέκα κατορθώσωσι μόνοι, πυρὰν ὁλόκληρον εἰς τὴν πόλιν ἀνάψομεν φῶς ἔχουσαν καὶ ἀσφάλειαν ἡμῖν κομίζουσαν. οὐ γὰρ οὕτω τῆς φλογὸς ἡ φύσις εἰς ὕλην ἐμπεσοῦσα τῶν ἐγγιζόντων ἀεὶ ξύλων ἅπτεται, ὡς ἀρετῆς ζῆλος εἰς ψυχὰς ὀλίγας ἐμπεσών, ὁδῷ προβαίνων, πᾶσαν ἐμπλῆσαι τὴν πόλιν δυνήσεται. δότε τοίνυν μοι καυχήσασθαι ἐφ' ὑμῖν καὶ κατὰ τὸν παρόντα βίον καὶ κατὰ τὴν μέλλουσαν ἡμέραν, ὅταν οἱ τὰ τάλαντα ἐμπιστευθέντες εἰσάγωνται. ἀρκεῖ μὲν ἐμοὶ μισθὸς τῶν πόνων, ἡ ὑμετέρα εὐδοκίμησις. κἂν ἴδω ὑμᾶς μετ' εὐλαβείας ζῶντας, τὸ πᾶν ἀπείληφα. ποιήσατε τοίνυν, ὃ καὶ χθὲς παρῄνεσα, καὶ σήμερον ἐρῶ, καὶ λέγων οὐ παύσομαι· καταδίκην κατὰ τῶν ὀμνυόντων ὁρίσαντες, καταδίκην, κέρδος, οὐ ζημίαν, ἔχουσαν· παρασκευάσασθε λοιπὸν ὡς δοκιμὴν ἡμῖν δώσοντες τοῦ κατορθώματος. καὶ γὰρ πειράσομαι πρὸς ἕκαστον ὑμῶν μακρὸν ἀποτεῖναι λόγον τοῦ συλλόγου τούτου διαλυθέντος, ἵνα ἐν τῷ μήκει τῶν λεγομένων εὕρω τοὺς κατωρθωκότας, καὶ τοὺς μὴ κατωρθωκότας. κἂν ἴδω τινὰ ὀμνύοντα, ἅπασιν αὐτὸν τοῖς κατωρθωκόσι καταστήσω φανερόν, ἵνα ἐπιτιμῶντες, ἐλέγχοντες, διορθοῦντες ταχέως αὐτὸν τῆς πονηρᾶς ἀπαλλάξωμεν συνηθείας. καὶ γὰρ βέλτιον ἐνταῦθα ὀνειδισθέντα διορθώσασθαι, ἢ κατὰ τὴν ἡμέραν ἐκείνην κοινῇ τῆς οἰκουμένης ἁπάσης παρούσης ἀσχημονεῖν καὶ κολάζεσθαι, τῶν ἁμαρτημάτων ἡμῖν ὑπὸ τοῖς ἁπάντων ἐκκαλυπτομένων ὀφθαλμοῖς. ἀλλὰ μὴ γένοιτο τοῦ κοινοῦ τούτου συλλόγου φανῆναί τινα ταῦτα ἐκεῖ πάσχοντα· ἀλλ' εὐχαῖς τῶν ἁγίων πατέρων ἅπαντα τὰ ἁμαρτήματα διορθωσάμενοι, καὶ τὸν τῆς ἀρετῆς καρπὸν * ἐπιδειξάμενοι, μετὰ πολλῆς ἐντεῦθεν ἀπέλθωμεν τῆς παρρησίας, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι'

οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ ΥΠΟΜΝΗΣΙΣ ΤΩΝ ΗΔΗ ΑΥΤΩ ΠΡΟλεχθέντων· ὅτι θάνατον καὶ λύπην ἡ ἁμαρτία μόνη εἰς τὸν βίον εἰσενεγκοῦσα, ὑπ' αὐτῶν τούτων ἀναιρεῖται πάλιν· καὶ εἰς τό, Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· καὶ ὅτι ὁ Θεὸς οὐχὶ τιμῶν μόνον ἡμᾶς, οὐδὲ εὐεργετῶν, ἀλλὰ κολάζων ὁμοίως ἐστὶν ἀγαθός· καὶ περὶ τῆς τῶν ὅρκων ἀποχῆς.

Γεν. α. α.

Πολλὰ μὲν καὶ περὶ πολλῶν χθὲς πρὸς τὴν ὑμετέραν διελέχθην ἀγάπην· ἀπὸ δὲ τῶν πολλῶν τούτων, εἰ μὴ πάντα κατέχειν ὑμῖν δυνατόν, ἐκεῖνο μάλιστα πάντων ὑμᾶς διαμνημονεῦσαι δέομαι, ὅτι τὴν λύπην ἡμῖν ὁ Θεὸς δι' οὐδὲν ἕτερον ἐνέθηκεν, ἀλλ' ἢ δι' ἁμαρτίαν μόνην. καὶ τοῦτο ἐδήλωσε διὰ τῆς τῶν πραγμάτων πείρας. ἐπεὶ μὲν γὰρ ζημίᾳ χρημάτων καὶ θανάτῳ καὶ ἀῤῥωστίᾳ καὶ τοῖς λοιποῖς τοῖς συμπίπτουσιν ἡμῖν δεινοῖς ἀλγοῦντες καὶ ἀθυμοῦντες, οὐ μόνον οὐδεμίαν ἀπὸ ταύτης καρπούμεθα παραμυθίαν, ἀλλὰ καὶ ἐπιτείνομεν τὰ δεινά· ἐπὶ δὲ τῶν ἁμαρτημάτων ἂν ἀλγήσωμεν καὶ λυπηθῶμεν, ὑποτεμνόμεθα τῆς ἁμαρτίας τὸν ὄγκον, καὶ μικρὰν τὴν μεγάλην ποιοῦμεν· πολλάκις δὲ καὶ τέλεον αὐτὴν ἐξαλείφομεν ἅπασαν. τούτου δή μοι μέμνησθε διηνεκῶς, ἵνα ἐφ' ἁμαρτίᾳ μόνον ἀλγῆτε, ἐφ' ἑτέρῳ δὲ μηδενί· καὶ μετὰ τούτου κἀκεῖνο πάλιν, ὅτι θάνατον καὶ λύπην ἡ ἁμαρτία εἰς τὸν βίον ἡμῶν εἰσενεγκοῦσα, ὑπὸ ἀμφοτέρων τούτων ἀναιρεῖται πάλιν, ὅπερ οὖν καὶ αὐτὸ σαφέστερον πρώην ἀπεδείξαμεν. μηδὲν οὖν οὕτω φοβώμεθα, ὡς τὸ ἁμαρτεῖν καὶ πλημμελεῖν. μὴ φοβώμεθα κόλασιν, καὶ διαφευξόμεθα κόλασιν. καθάπερ οὖν καὶ οἱ τρεῖς παῖδες οὐκ ἐφοβήθησαν τὴν κάμινον, καὶ διέφυγον τὴν κάμινον. τοιούτους εἶναι χρὴ τοὺς τοῦ Θεοῦ δούλους. εἰ γὰρ οἱ ἐν τῇ παλαιᾷ τραφέντες, ὅτε οὔπω νενέκρωτο θάνατος, οὔτε αἱ χαλκαῖ πύλαι συνεκλάσθησαν, οὔτε οἱ μοχλοὶ οἱ σιδηροῖ συνεθλάσθησαν, οὕτω γενναίως κατετόλμησαν τῆς τελευτῆς· τίνα ἕξομεν ἀπολογίαν ἡμεῖς, ἢ ποίαν συγγνώμην, τοιαύτης ἀπολαύσαντες τῆς χάριτος, καὶ μηδὲ πρὸς τὰ αὐτὰ φθάνοντες ἐκείνοις μέτρα τῆς ἀρετῆς νῦν, ὅτε ὄνομα μόνον ἐστὶν ὁ θάνατος πράγματος ἔρημον; οὐδὲν γὰρ ἕτερόν ἐστιν ὁ θάνατος, ἀλλ' ἢ ὕπνος, καὶ ἀποδημία, καὶ μετάστασις, καὶ ἀνάπαυσις, καὶ λιμὴν εὔδιος, καὶ ταραχῆς ἀπαλλαγή, καὶ βιωτικῶν ἐλευθερία φροντίδων.

Ἀλλὰ τῆς μὲν παρακλήσεως ἐνταῦθα καταλύσωμεν τὸν λόγον. καὶ γὰρ πέμπτην ἡμέραν ἔχομεν παρακαλοῦντες ὑμῶν τὴν ἀγάπην, καὶ λοιπὸν καὶ ἐνοχλεῖν δοκοῦμεν. τοῖς μὲν γὰρ προσέχουσιν ἀρκεῖ καὶ τὰ εἰρημένα, τοῖς δὲ μικροψύχοις, κἂν πλείονα τῶν εἰρημένων προσθῶμεν, οὐδὲν ἔσται πλέον. ὥρα δὲ λοιπὸν ἡμῖν ἐπὶ τὴν τῶν γραφῶν ἐξήγησιν τρέψαι τὴν διδασκαλίαν. ὥσπερ γὰρ εἰ μηδὲν περὶ τῆς συμφορᾶς ταύτης διελέχθημεν, ὠμότητα ἄν τις ἡμῶν κατέγνω καὶ ἀπανθρωπίαν· οὕτως ἂν διαπαντὸς περὶ αὐτῆς διαλεγώμεθα, μικροψυχίαν ἄν τις ἡμῶν καταγνοίη δικαίως. παραθέμενοι τοίνυν ὑμῶν τὰς καρδίας τῷ Θεῷ τῷ δυναμένῳ λαλῆσαι εἰς τὴν διάνοιαν ὑμῶν, καὶ πᾶσαν ἔνδοθεν ἀπελάσαι λύπην, τῆς εἰωθυίας αὐτοὶ διδασκαλίας ἁψώμεθα νῦν· καὶ μάλιστα, ὁπότε πάσης γραφῆς ἐξήγησις παράκλησίς ἐστι καὶ παραμυθία. ὥστε κἂν δοκῶμεν ἀφίστασθαι τοῦ παρακαλεῖν, πάλιν εἰς τὴν αὐτὴν ἐμπίπτομεν ὑπόθεσιν διὰ τῆς τῶν γραφῶν ἐξηγήσεως. ὅτι γὰρ πᾶσα γραφὴ παράκλησίς ἐστι τοῖς προσέχουσιν, αὐτόθεν ὑμῖν τοῦτο ποιήσω φανερόν. οὐ γὰρ

δὴ παρελθὼν τὴν γραφὴν τῆς ἱστορίας, πειράσομαι ζητῆσαι παραμυθητικούς τινας λόγους, ἀλλ' ὥστε σαφεστέραν τῆς ὑποσχέσεως ἀπόδειξιν παρασχεῖν, τὸ σήμερον ἡμῖν ἀναγνωσθὲν μεταχειριούμεθα βιβλίον, καὶ, εἰ δοκεῖ, τὴν ἀρχὴν αὐτοῦ καὶ τὸ προοίμιον, ὃ δοκεῖ μάλιστα μηδὲ ἴχνος ἐμφαίνειν παραμυθίας, ἀλλὰ καὶ καθόλου παρακλητικῶν ἠλλοτριῶσθαι λόγων, εἰς μέσον προθεὶς, ὃ λέγω, ποιήσω φανερόν. τί ποτ' οὖν ἐστι τὸ προοίμιον; Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω τῆς ἀβύσσου. ἆρα μὴ δοκεῖ τισιν ὑμῶν παράκλησιν ἔχειν ἀθυμίας τὰ εἰρημένα; οὐχὶ ἱστορίας διήγησίς ἐστι καὶ δημιουργίας διδασκαλία; βούλεσθε οὖν δείξω τὴν ἐγκεκρυμμένην τῇ ῥήσει ταύτῃ παράκλησιν; διαναστῆτε τοίνυν, καὶ μετὰ ἀκριβείας προσέχετε τοῖς ῥηθήσεσθαι μέλλουσιν. ὅταν γὰρ ἀκούσῃς, ὅτι τὸν οὐρανὸν, τὴν γῆν, τὴν θάλατταν, τὸν ἀέρα, τὰ ὕδατα, τοὺς ἀστέρας τοὺς πολλοὺς, τοὺς δύο φωστῆρας τοὺς μεγάλους, τὰ φυτὰ, τὰ τετράποδα, τὰ νηκτὰ, τὰ πετόμενα ζῶα, πάντα ἁπλῶς τὰ ὁρώμενα διὰ σὲ καὶ τὴν σὴν ἐποίησε σωτηρίαν τε καὶ τιμὴν ὁ Θεὸς, οὐχ ἱκανὴν εὐθέως λαμβάνεις παράκλησιν, καὶ τῆς ἀγάπης τοῦ Θεοῦ μεγίστην δέχῃ ταύτην ἀπόδειξιν, ὅταν ἐννοήσῃς ὅτι τοσοῦτον καὶ τηλικοῦτον κόσμον οὕτω καλὸν καὶ μέγαν καὶ θαυμαστὸν διὰ σὲ τὸν βραχὺν εἰς μέσον παρήγαγεν; ὅταν οὖν ἀκούσῃς, ὅτι ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, μὴ ἁπλῶς παραδράμῃς τὸ εἰρημένον, ἀλλ' ἔπελθε τῇ διανοίᾳ τὸ εὖρος τῆς γῆς, καὶ ἀναλόγισαι πῶς ἡμῖν πολυτελῆ καὶ δαψιλῆ τράπεζαν ἀνῆκε, καὶ πολλὴν πολλαχόθεν παρέχει ἡμῖν εὐφροσύνην· καὶ τὸ δὴ μέγιστον, ὅτι οὐ πόνων ἀμοιβὴν ἔδωκεν, οὐδὲ κατορθωμάτων ἀντίδοσιν, τὸν τοσοῦτον καὶ τηλικοῦτον κόσμον· ἀλλ' ὁμοῦ τε ἡμᾶς ἔπλασε, καὶ τῇ βασιλείᾳ ταύτῃ τὸ γένος ἡμῶν ἐτίμησε. Ποιήσωμεν γάρ, φησιν, ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. τί ἐστι, κατ' εἰκόνα ἡμετέραν; [τὴν] τῆς ἀρχῆς εἰκόνα, φησί· καὶ ὥσπερ οὐδεὶς ἀνώτερος Θεοῦ ἐν οὐρανῷ, οὕτω μηδεὶς ἔστω ἀνώτερος ἀνθρώπου ἐπὶ τῆς γῆς. ἑνὶ μὲν οὖν τούτῳ καὶ πρώτῳ τετίμηκε, τῷ καὶ εἰκόνα αὐτὸν ποιῆσαι· δευτέρῳ δὲ, τῷ μὴ πόνων ἀμοιβὴν ἡμῖν παρασχεῖν τὴν ἀρχὴν, ἀλλὰ γυμνὴν τῆς αὐτοῦ φιλανθρωπίας ποιῆσαι τὴν χάριν· τρίτῳ, τῷ φυσικὴν ἡμῖν χαρίσασθαι αὐτήν. τῶν γὰρ ἀρχῶν αἱ μέν εἰσι φυσικαὶ, αἱ δὲ χειροτονηταί· καὶ φυσικαὶ μὲν, ὡς ἡ τοῦ λέοντος ἐπὶ τῶν τετραπόδων, ὡς ἐπὶ τῶν ὀρνίθων ἡ τοῦ ἀετοῦ· χειροτονηταὶ δὲ, ὡς ἡ τοῦ βασιλέως τοῦ καθ' ἡμᾶς. οὗτος γὰρ οὐχὶ φύσει κρατεῖ τῶν ὁμοδούλων, διὸ καὶ ἀποβάλλει πολλάκις τὴν ἀρχήν. τοιαῦτα γὰρ τὰ μὴ φύσει προσόντα· ῥᾳδίαν δέχεται τὴν μεταβολὴν, καὶ τὴν μετάπτωσιν. ἀλλ' ὁ λέων οὐχ οὕτως, ἀλλὰ φύσει κρατεῖ τῶν τετραπόδων, ὥσπερ οὖν καὶ τῶν ὀρνίθων ὁ ἀετός. ἀεὶ γοῦν τῷ γένει συγκεκλήρωται τὸ τῆς βασιλείας εἶδος· καὶ οὐδένα ἄν τις ἴδοι λέοντά ποτε τὴν ἀρχὴν ἀποβαλόντα ταύτην. τοιαύτην καὶ ἡμῖν τὴν βασιλείαν ἐξ ἀρχῆς ὁ Θεὸς ἐχαρίσατο, καὶ πᾶσιν ἡμᾶς ἐπέστησε. καὶ οὐ τούτῳ μόνον ἐτίμησεν ἡμῶν τὴν φύσιν, ἀλλὰ καὶ αὐτῇ τοῦ χωρίου τῇ προεδρίᾳ, ἐξαίρετον οἰκητήριον ἀποτάξας ἡμῖν, τὸν παράδεισον, καὶ λόγον δοὺς, καὶ ψυχὴν ἀθάνατον χαρισάμενος.

Γεν. α. α.

Γεν. α ιη

Ἀλλὰ μὴ εἴπω ταῦτα· ἐγὼ γὰρ τοσαύτην περιουσίαν εἶναί φημι τῆς τοῦ Θεοῦ κηδεμονίας, ὡς μὴ μόνον ἀφ' ὧν ἐτίμησεν, ἀλλὰ καὶ ἀφ' ὧν ἐκόλασεν, ὁμοίως ἡμᾶς δύνασθαι τὴν ἀγαθότητα αὐτοῦ δεικνύναι καὶ τὴν φιλανθρωπίαν. καὶ τοῦτο μάλιστα πάντων ὑμᾶς παρακαλῶ μετὰ ἀκριβείας εἰδέναι· ὅτι ὁ Θεὸς οὐχὶ τιμῶν μόνον, οὐδὲ εὐεργετῶν, ἀλλὰ καὶ κολάζων καὶ τιμωρούμενος ὁμοίως ἐστὶν ἀγαθός. κἂν πρὸς Ἕλληνας, κἂν πρὸς αἱρετικοὺς ἀγῶνες ἡμῖν κινῶνται καὶ μάχαι περὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας*, μὴ μόνον ἀφ' ὧν ἐτίμησεν, ἀλλὰ καὶ ἀφ' ὧν ἐτιμωρήσατο, ἐπιδεικνύμενοι αὐτοῦ τὴν ἀγαθότητα. εἰ γὰρ τιμῶν μόνον ἐστὶν ἀγαθὸς, κολάζων δὲ οὐκ ἔτι· ἐξ ἡμισείας ἀγαθὸς ἂν εἴη. ἀλλ' οὐκ ἔστι τοῦτο· μὴ γένοιτο. ἐπὶ ἀνθρώπων μὲν γὰρ εἰκὸς τοῦτο συμβαίνειν, ἐπειδὴ θυμῷ καὶ πάθει τὰς τιμωρίας ἐπάγουσιν· ὁ δὲ Θεὸς ἀπαθὴς ὤν, κἂν εὐεργετῇ, κἂν κολάζῃ, ὁμοίως ἐστὶν ἀγαθός, καὶ τῆς βασιλείας οὐκ ἔλαττον ἡ τῆς γεέννης ἀπειλὴ δείκνυσιν αὐτοῦ τὴν ἀγαθότητα. καὶ πῶς, ἐγὼ λέγω. εἰ μὴ γέενναν ἠπείλησεν, εἰ μὴ κόλασιν ἡτοίμασεν, οὐκ ἂν πολλοὶ τῆς βασιλείας ἐπέτυχον. οὐ γὰρ οὕτως ἡ τῶν ἀγαθῶν ὑπόσχεσις πρὸς ἀρετὴν ἐκκαλεῖται τοὺς πολλούς, ὡς ἡ τῶν κακῶν ἀπειλὴ συνωθεῖ τῷ φόβῳ, καὶ διανίστησι πρὸς τὴν τῆς ψυχῆς ἐπιμέλειαν. ὥστε εἰ καὶ ἐναντίον γέεννα τῆς βασιλείας τῶν οὐρανῶν, ἀλλὰ πρὸς ἓν ἑκάστη βλέπει τέλος, τὴν τῶν ἀνθρώπων σωτηρίαν, ἐκείνη μὲν ἐπισπωμένη πρὸς ἑαυτήν, αὕτη δὲ συνωθοῦσα πρὸς ἐκείνην, καὶ τῷ φόβῳ διορθουμένη τοὺς ἀμελέστερον διακειμένους. τοῦτον δὲ οὐχ ἁπλῶς μηκύνω τὸν λόγον· ἀλλ' ἐπειδὴ πολλάκις λιμῶν, αὐχμῶν γινομένων, καὶ πολέμων, καὶ ὀργῆς βασιλικῆς ἐμπιπτούσης, καὶ ἑτέρων τινῶν τοιούτων ἀδοκήτων πραγμάτων, πολλοὶ τοὺς ἀφελεστέρους ἀπατῶντες λέγουσιν· ὅτι οὐκ ἄξια ταῦτα τῆς τοῦ Θεοῦ προνοίας. ἵν' οὖν μὴ παραλογιζώμεθα, ἀλλ' ἴδωμεν ἀκριβῶς, ὅτι κἂν λιμόν, κἂν πόλεμον, κἂν ἄλλ' ὁποιονοῦν ἐπάγῃ δεινόν, ἀπὸ φιλανθρωπίας τοῦτο ποιεῖ καὶ πολλῆς τῆς κηδεμονίας, ἀναγκαῖον ἐνδιατρῖψαι τούτῳ τῷ λόγῳ. ἐπεὶ καὶ οἱ πατέρες οἱ μάλιστα πάντων τὰ ἔκγονα φιλοῦντες, καὶ τραπέζης εἴργουσι, καὶ πληγὰς ἐπάγουσι, καὶ ἀτιμίᾳ κολάζουσι, καὶ ἑτέροις μυρίοις τοιούτοις ἀσελγαίνοντας διορθοῦνται τοὺς παῖδας· ἀλλ' ὅμως πατέρες εἰσὶν οὐχὶ τιμῶντες μόνον, ἀλλὰ καὶ ταῦτα ποιοῦντες· καὶ τότε μάλιστα πατέρες, ὅταν ταῦτα ποιῶσιν. εἰ δὲ ἄνθρωποι θυμῷ καὶ ὀργῇ πολλάκις τοῦ συμφέροντος ἐκφερόμενοι, οὐκ ὠμότητι καὶ ἀπανθρωπίᾳ, ἀλλὰ κηδεμονίᾳ καὶ φιλοστοργίᾳ νομίζονται κολάζειν οὓς φιλοῦσι, πολλῷ μᾶλλον περὶ τοῦ Θεοῦ οὕτω διακεῖσθαι χρή, τοῦ πᾶσαν πατρικὴν φιλοστοργίαν ὑπερβαίνοντος τῇ τῆς οἰκείας ἀγαθότητος ὑπερβολῇ. καὶ ἵνα μὴ νομίσῃς, ὅτι στοχασμός ἐστι τὰ εἰρημένα, φέρε ἐπ' αὐτὴν τὴν γραφὴν τὸν λόγον ἀγάγωμεν. ἐπειδὴ γὰρ ἠπατήθη καὶ παρελογίσθη παρὰ τοῦ πονηροῦ δαίμονος ὁ ἄνθρωπος, ἴδωμεν πῶς ἁμαρτίαν αὐτῷ τοιαύτην ἁμαρτόντι τότε ἐχρήσατο ὁ Θεός. ἆρα ἠφάνισεν αὐτὸν παντελῶς; καίτοιγε ὁ τοῦ δικαίου λόγος τοῦτο ἀπαιτεῖ, τὸν οὐδὲν μὲν ἀγαθὸν ἐπιδειξάμενον, τοσαύτης δὲ ἀπολαύσαντα τῆς εὐνοίας, εἶτα ἐκ προοιμίων ἀποσκιρτήσαντα ἀρθῆναι ἐκ τοῦ μέσου καὶ ἀφανισθῆναι τέλεον. ἀλλ' οὐκ ἐποίησε τοῦτο ὁ Θεός, οὐδὲ ἐβδελύξατο καὶ ἀπεστράφη τὸν οὕτως ἀγνώμονα περὶ τὸν εὐεργέτην γενόμενον· ἀλλ' ἔρχεται πρὸς αὐτόν, καθάπερ πρὸς ἄρρωστον ἰατρός. καὶ μὴ παραδράμῃς ἁπλῶς τὸ εἰρημένον, ἀγαπητέ· ἀλλ' ἐννόησον ἡλίκον τὸ μήτε ἄγγελον πέμψαι, μήτε ἀρχάγγελον, μήτε ἄλλον τινὰ τῶν συνδούλων τῶν ἐκείνου, ἀλλὰ αὐτὸν τὸν δεσπότην καταβῆναι πρὸς τὸν πεπτωκότα, καὶ κείμενον ἀναστῆσαι, καὶ μόνον πρὸς μόνον, καθάπερ φίλον πρὸς φίλον κακῶς πράττοντα καὶ ἐν πολλῇ καταστάντα δυσημερίᾳ παραγενέσθαι. ὅτι γὰρ ἐκ πολλῆς τοῦτο κηδεμονίας ἐποίησε, καὶ αὐτὰ τὰ ῥήματα, ἃ πρὸς αὐτὸν εἶπε, δείκνυσιν αὐτοῦ τὴν ἄφατον φιλοστοργίαν. καὶ τί λέγω τὰ ῥήματα ἅπαντα; ἡ πρώτη μὲν οὖν ῥῆσις εὐθέως αὐτοῦ τὸ φίλτρον ἐνέφηνεν. οὐ γὰρ εἶπε *, καθάπερ εἰκὸς ἦν ὑβρισμένον εἰπεῖν, ὦ μιαρὲ καὶ παμμίαρε, τοιαύτης ἀπολαύσας εὐνοίας παρ' ἐμοῦ, τοσαύτῃ τιμηθεὶς βασιλείᾳ, καὶ τῶν ἐπὶ γῆς προτιμηθεὶς ἁπάντων δι' οὐδενὸς κατορθώματος, καὶ διὰ τῶν ἔργων αὐτῶν ἐνέχυρα λαβὼν τῆς ἐμῆς κηδεμονίας καὶ τῆς προνοίας ἀπόδειξιν ἀληθῆ, πονηρὸν δαίμονα καὶ λυμεῶνα καὶ τῆς σῆς ἐχθρὸν σωτηρίας ἀξιοπιστότερον ἐποιήσω τοῦ δεσπότου καὶ κηδεμόνος; τί σοι τοιοῦτον ἐκεῖνος ἔδειξεν, οἷον ἐγώ; οὐχὶ τὸν οὐρανὸν ἐποίησα διὰ σέ, τὴν γῆν, τὴν θάλατταν, τὸν ἥλιον, τὴν σελήνην, τὰ ἄστρα πάντα; οὐ γὰρ δήπου τῶν ἀγγέλων τινὲς ταύτης ἐδέοντο τῆς δημιουργίας· ἀλλὰ διὰ σὲ καὶ τὴν ἀνάπαυσιν τὴν σὴν τοσοῦτον καὶ τηλικοῦτον ἐποίησα τὸν κόσμον. καὶ ψιλὰ ῥήματα καὶ ὑποσχέσεις ψευδεῖς καὶ ἐπαγγελίαν ἀπάτης γέμουσαν, τῆς διὰ τῶν ἔργων εὐεργεσίας τε καὶ προνοίας ἀξιοπιστότερα νομίσας εἶναι, ἐκείνῳ σαυτὸν ἐξέδωκας, καὶ τοὺς ἐμοὺς κατεπάτησας νόμους; ταῦτα γὰρ καὶ τὰ πλείονα τούτων τὸν ὑβρισμένον εἰκὸς ἦν εἰπεῖν· ἀλλ' οὐχ ὁ Θεὸς οὕτως, ἀλλὰ τοὐναντίον ἅπαν. ἀπὸ γὰρ τῆς πρώτης φωνῆς εὐθέως αὐτὸν ἀνέστησε, καὶ κείμενον, καὶ δεδοικότα, καὶ τρέμοντα θαρρεῖν παρεσκεύασε, ″πρῶτον αὐτὸν καλέσας αὐτός· μᾶλλον δὲ οὐ τῷ καλέσαι πρῶτος, ἀλλὰ καὶ τῷ προσειπεῖν αὐτὸν ἀπὸ τῆς αὐτοῦ προσηγορίας, καὶ εἰπεῖν, Ἀδάμ, ποῦ εἶ, ἔδειξεν αὐτοῦ τὸ φίλτρον καὶ τὴν πολλὴν περὶ αὐτὸν κηδεμονίαν. ἴστε γὰρ δήπου πάντες, ὅτι φιλίας γνησίας ἐστὶ τοῦτο τεκμήριον. οὕτω καὶ οἱ ἀνακαλοῦντες τοὺς τετελευτηκότας εἰώθασι ποιεῖν, συνεχῶς τὰ ὀνόματα αὐτῶν περιστρέφοντες· ὡς οἵ γε μισοῦντες καὶ ἀπεχθῶς πρός τινας ἔχοντες, οὐδὲ τὰ ὀνόματα ἀναμνησθῆναι τῶν λελυπηκότων ἀνέχονται. ὁ γοῦν Σαοὺλ ἀδικηθεὶς μὲν οὐδέν, πολλὰ δὲ καὶ μεγάλα τὸν Δαβὶδ ἀδικήσας, ἐπειδὴ αὐτὸν ἀπεστρέφετο καὶ ἐμίσει, οὐδὲ τῆς προσηγορίας ἀναμνησθῆναι ἠνέσχετο τῆς ἐκείνου· ἀλλὰ συγκαθημένων ἁπάντων, ἐπειδὴ παραγενόμενον οὐκ εἶδε, τί φησιν; οὐκ εἶπε, ποῦ ἐστι Δαβίδ, ἀλλά, Ποῦ ἐστιν ὁ υἱὸς Ἰεσσαί; ἀπὸ τοῦ πατρὸς αὐτὸν καλέσας. καὶ πάλιν οἱ Ἰουδαῖοι ἐπὶ τοῦ Χριστοῦ τὸ αὐτὸ τοῦτο ποιοῦσιν. ἐπειδὴ γὰρ αὐτὸν ἀπεστρέφοντο καὶ ἐμίσουν, οὐκ εἶπον, ποῦ ἐστιν ὁ Χριστός· ἀλλά, Ποῦ ἐστιν ἐκεῖνος. ἀλλ' ὁ Θεὸς καὶ τούτῳ βουλόμενος δεῖξαι, ὅτι τὸ φίλτρον οὐκ ἔσβεσεν ἡ ἁμαρτία, οὐδὲ τὴν πρὸς αὐτὸν εὔνοιαν ἀνεῖλεν ἡ παρακοή, ″ἀλλ' ἔτι προνοεῖ καὶ κήδεται τοῦ πεπτωκότος, φησίν, Ἀδάμ, ποῦ εἶ· οὐκ ἀγνοῶν ὅπου διέτριβεν. ἀλλ' ἐπειδὴ τοῖς ἡμαρτηκόσιν ἐρράπται τὸ στόμα, τῆς ἁμαρτίας ἀποστρεφούσης τὴν γλῶτταν, καὶ τοῦ συνειδότος αὐτῆς ἐπιλαμβανομένου (καὶ γὰρ μένουσιν ἀχανεῖς οἱ τοιοῦτοι, ὥσπερ τινὶ δεσμῷ, τῇ σιγῇ κατεχόμενοι) βουλόμενος ὁ Θεὸς εἰς παρρησίαν αὐτὸν ἐκκαλέσασθαι διὰ τῆς διαλέξεως, καὶ δοῦναι θαρρεῖν, καὶ εἰς ἀπολογίαν ὧν ἥμαρτεν ἐμβαλεῖν, ἵνα τινὸς ἀπολαύσῃ συγγνώμης, πρότερος αὐτὸς αὐτὸν ἐκάλεσε, τὸ πολὺ τῆς ἀγωνίας ὑποτεμνόμενος τῇ προσηγορίᾳ, καὶ τὸν φόβον ἀπελαύνων, καὶ τὸ στόμα διὰ ταύτης ἀνοίγων τῆς κλήσεως. διὸ καὶ ἔλεγεν· Ἀδάμ, ποῦ εἶ; ἑτέρωθι κατέλιπόν σε, φησί, καὶ ἑτέρωθι νῦν εὑρίσκω. κατέλιπόν σε ἐν παρρησίᾳ καὶ δόξῃ, καὶ εὑρίσκω νῦν ἐν ἀτιμίᾳ καὶ σιγῇ. καὶ σκόπει Θεοῦ κηδεμονίαν. οὐκ ἐκάλεσε τὸν ὄφιν, οὐκ ἐκάλεσε τὴν Εὔαν, ἀλλὰ τὸν ἁπάντων ″κουφότερον ἡμαρτηκότα, τοῦτον εἰς τὸ δικαστήριον εἰσάγει πρότερον· ἵν' ἀπὸ τοῦ δυναμένου συγγνώμης ἀπολαῦσαί τινος ἀρξάμενος, ἡμερωτέραν ἐνέγκῃ τὴν ψῆφον [καὶ πρὸς τὴν μεγάλα ἐξαμαρτοῦσαν]. καὶ δικασταὶ μὲν ὅμως τοὺς συνδούλους τοὺς ἑαυτῶν καὶ τῆς αὐτῆς αὐτοῖς κοινωνοῦντας φύσεως οὐκ ἀνέχονται δι' ἑαυτῶν ἐξετάζειν, ἀλλὰ μέσον τινὰ τῶν διακονουμένων αὐτοῖς προβαλλόμενοι, ταῖς ἑαυτῶν ἐρωτήσεσιν ἐκεῖνον παρασκευάζουσι διαβιβάζειν πρὸς τὸν κατάδικον, καὶ δι' αὐτοῦ καὶ λέγουσι καὶ ἀκούουσιν, ἅπερ ἂν ἐθέλωσιν, ἐπειδὰν τοὺς ἡμαρτηκότας ἐξετάζωσιν· ὁ δὲ Θεὸς οὐκ ἐδεήθη μεσίτου τινὸς πρὸς τὸν ἄνθρωπον, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ δικάζει καὶ παραμυθεῖται. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστόν, ἀλλ' ὅτι καὶ διορθοῦται τὰ πλημμελήματα. δικασταὶ μὲν γὰρ ἐπειδὰν λάβωσι λῃστὰς καὶ τυμβωρύχους, οὐχ ὅπως αὐτοὺς ἐργάσωνται βελτίους, σκοποῦσιν, ἀλλ' ὅπως αὐτοὺς ἀπαιτήσωσι τῶν ἡμαρτημένων δίκην· ὁ δὲ Θεὸς τοὐναντίον ἅπαν· ἐπειδὰν λάβῃ τινὰ ἡμαρτηκότα, οὐχ ὅπως ἀπαιτήσῃ δίκην, σκοπεῖ, ἀλλ' ὅπως αὐτὸν διορθώσηται καὶ βελτίω ποιήσῃ καὶ πρὸς τὸ μέλλον ἀχείρωτον· ὥστε ὁμοῦ καὶ δικαστὴς καὶ ἰατρὸς καὶ διδάσκαλός ἐστιν ὁ Θεός. καὶ γὰρ ὡς δικαστὴς ἐξετάζει, καὶ ὡς ἰατρὸς διορθοῦται, καὶ ὡς διδάσκαλος παιδεύει, τοὺς ἡμαρτηκότας εἰς πᾶσαν ἐνάγων φιλοσοφίαν. εἰ δὲ ἓν ῥῆμα ψιλὸν καὶ βραχὺ τοσαύτην ἐνεδείξατο τοῦ Θεοῦ τὴν κηδεμονίαν, τί εἰ πᾶσαν ταύτην ἀναγνοίημεν ὑμῖν τὴν δίκην, καὶ ὁλόκληρα ἀναπτύξομεν τὰ ὑπομνήματα; ὁρᾷς πῶς πᾶσα γραφὴ παράκλησίς ἐστι καὶ παραμυθία; ἀλλὰ ταῦτα μὲν κατὰ τὸν προσήκοντα καιρὸν ἐροῦμεν· πρὸ δὲ τούτων ἀναγκαῖον εἰπεῖν, πότε τὸ βιβλίον ἐδόθη τοῦτο (οὐδὲ γὰρ ἐν ἀρχῇ, οὐδὲ εὐθέως τοῦ Ἀδὰμ γενομένου ταῦτα ἐγράφετο, ἀλλὰ

Γεν. γ. θ.

α Βασ. κ.

Ιωαν. ζ. ια.

ἀλλὰ μετὰ πολλὰς ὕστερον γενεάς) καὶ τί δήποτε Ἰουδαίοις μόνον, καὶ οὐχὶ πᾶσιν ἀνθρώποις· καὶ τί δήποτε τῇ Ἑβραΐδι γλώττῃ· καὶ τίνος ἕνεκεν ἐπὶ τῆς ἐρήμου Σινᾶ. οὐδὲ γὰρ τὸν τόπον ἁπλῶς ὁ ἀπόστολος παρατρέχει, ἀλλὰ "κἀντεῦθεν μεγάλην ἡμῖν" παραμίγνυσι θεωρίαν, οὕτω λέγων· Αὗται γάρ εἰσιν αἱ δύο διαθῆκαι, μία μὲν ἀπὸ ὄρους Σινᾶ εἰς δουλείαν γεννῶσα. (Γαλα. δ. κδ.) καὶ ἕτερα δὲ πλείω τούτων ἀναγκαῖον ζητῆσαι. ● ἀλλ' ὁρῶ τὸν καιρὸν ἡμῖν οὐκ ἐπιτρέποντα πρὸς τοιοῦτον ἀφεῖναι τὸν λόγον πέλαγος. διόπερ ταῦτα τῷ προσήκοντι καιρῷ ταμιευσάμενοι, πάλιν περὶ τῆς τῶν ὅρκων ἀπαλλαγῆς ὑμῖν" διαλεξώμεθα, καὶ "παρακαλέσωμεν ὑμῶν τὴν ἀγάπην πολλῇ περὶ τὸ πρᾶγμα τοῦτο χρήσασθαι τῇ σπουδῇ. πῶς γὰρ οὐκ ἄτοπον, οἰκέτην μὲν μὴ τολμᾶν ἐξ ὀνόματος τὸν δεσπότην τὸν ἑαυτοῦ καλεῖν, μηδὲ ἁπλῶς, καὶ ὡς ἔτυχε, τὸν δὲ τῶν ἀγγέλων δεσπότην ἁπλῶς καὶ μετὰ πολλῆς τῆς καταφρονήσεως πανταχοῦ περιφέρειν; καὶ ἂν μὲν εὐαγγέλιον καταδέχειν δέῃ, τὰς χεῖρας ἀπονιψάμενος μετὰ πολλῆς τῆς αἰδοῦς καὶ τῆς εὐλαβείας φρίττων καὶ δεδοικὼς κατέχεις· τὸν δὲ τοῦ εὐαγγελίου δεσπότην * ἁπλῶς ἐπὶ τῆς γλώττης πανταχοῦ περιφέρεις. βούλει μαθεῖν πῶς αὐτὸν καλοῦσιν αἱ ἄνω δυνάμεις; μετ' ὅσης φρίκης; μεθ' ὅσης ἐκπλήξεως; μεθ' ὅσου θαύματος; (Ησ. ϛ. α.) Εἶδον τὸν Κύριον καθήμενον, φησίν, ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ τὰ σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, καὶ ἐκέκραγον ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἔλεγον· Ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαώθ· πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. Εἶδες μεθ' ὅσου φόβου, μεθ' ὅσης φρίκης καλοῦσι δοξολογοῦσαι καὶ ὑμνοῦσαι. σὺ δὲ ἐν εὐχαῖς μὲν καὶ ἱκετηρίαις μετὰ πολλῆς αὐτὸν καλεῖς τῆς ῥᾳθυμίας, ὅτε φρίττειν ἔδει καὶ ἐγρηγορέναι καὶ νήφειν· ἐν ὅρκοις δέ, ὅπου οὐδὲ ὅλως παρῆν τὸ θαυμαστὸν τοῦτο ὄνομα ἕλκων, ποικίλους τινὰς καὶ ἐπαλλήλους ὅρκους συνείρεις. καὶ ποία συγγνώμη, τίς δὲ ἡμῖν ἔσται ἀπολογία, κἂν μυριάκις συνήθειαν προβαλλώμεθα; λέγεταί τις τῶν ἔξωθεν ῥητόρων ὑπό τινος συνηθείας ἀλόγου τὸν δεξιὸν συνεχῶς ὦμον κινεῖν βαδίζων· ἀλλ' ὅμως περιεγένετο τῆς συνηθείας, καὶ μαχαίρας ἀκονήσας ἑκατέρωθεν ἐπέθηκε τοῖς ὤμοις, ὥστε τῷ φόβῳ τῆς τομῆς σωφρονίσαι τὸ μέλος ἀκαίρως κινούμενον. τοῦτο καὶ σὺ ποίησον ἐπὶ τῆς γλώττης καὶ ἀντὶ μαχαίρας, ἐπίθες αὐτῇ τὸν φόβον τοῦ Θεοῦ κολάσεως, καὶ περιέσῃ πάντως. ἀμήχανον γάρ, ἀμήχανον μεριμνῶντας καὶ σπουδάζοντας καὶ ἔργον τοῦτο ποιουμένους ἡττηθῆναί ποτε. ἐπανατενῶ τὰ εἰρημένα· ἀλλ' ὅταν κατορθώσητε, μειζόνως ἐπαινέσεσθε, οὐχ ἡμᾶς μόνον, ἀλλὰ καὶ ὑμᾶς αὐτούς, καὶ μετὰ πλείονος τῆς ἡδονῆς ἀκούσεσθε τῶν λεγομένων, καὶ μετὰ καθαροῦ τοῦ συνειδότος καλέσετε τὸν Θεόν, ὃς οὕτω σου φείδεται), ὡς εἰπεῖν, ὅτι μηδὲ κατὰ τῆς κεφαλῆς σου ὀμόσῃς· σὺ δὲ οὕτως αὐτοῦ καταφρονεῖς, ὡς καὶ κατὰ τῆς αὐτοῦ δόξης ὀμνύναι. καὶ τί "ποιήσω, φησί, πρὸς τοὺς ἀνάγκην ἐπάγοντας; ποίαν ἀνάγκην, ἄνθρωπε; μαθέτωσαν ἅπαντες, ὅτι πάντα αἱρέσῃ παθεῖν, ἢ τὸν τοῦ Θεοῦ παραβῆναι νόμον, καὶ ἀποστήσονται) τῆς ἀνάγκης. ὅτι γὰρ οὐχ ὅρκος ἀξιόπιστον ποιεῖ, ἀλλὰ βίου μαρτυρία καὶ πολιτείας ἀκρίβεια καὶ ὑπόληψις ἀγαθή. πολλοὶ πολλάκις διεῤῥάγησαν ὀμνύοντες, καὶ οὐδένα ἔπεισαν· ἕτεροι δὲ ἐπινεύσαντες μόνον, ἀξιοπιστότεροι τῶν τοσαῦτα ὀμωμοκότων ἐφάνησαν. ταῦτ' οὖν εἰδότες ἅπαντα, καὶ τὴν κειμένην τοῖς τε ὀμνύουσι, τοῖς τε ἐπιορκοῦσι κόλασιν πρὸ τῶν ὀφθαλμῶν βλέποντες, ἀποστῶμεν τῆς πονηρᾶς συνηθείας· ἵνα ἐντεῦθεν καὶ πρὸς τὰ λοιπὰ βαδίζοντες κατορθώματα, τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν· ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γεν. γ. η.

ΠΡΟΤΡΟΠΗ ΕΙΣ ΑΡΕΤΗΝ, ΚΑΙ ΕΙΣ ΤΟ, ΠΕΡΙΕΠΑτει ὁ Θεὸς τὸ δειλινὸν ἐν τῷ παραδείσῳ, καὶ περὶ τοῦ φεύγειν τοὺς ὅρκους.

Ἔγνωτε πρώην, πῶς πᾶσα γραφὴ παράκλησιν φέρει καὶ παραμυθίαν, κἂν ἱστορίας διήγησις ᾖ. καὶ γὰρ τό, Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, ἱστορίας ἐξήγησις ἦν· ἀλλ' ἔδειξεν ὁ λόγος πολλῆς γέμουσαν παραμυθίας τὴν ῥῆσιν οἷον, ὅτι διπλῆν ἐποίησε τράπεζαν ὁ Θεός, γῆν καὶ θάλατταν, ὁμοῦ προσθεὶς καὶ φωστῆρας διπλοῦς, ἥλιον καὶ σελήνην ἀνάψας ἄνωθεν, καὶ διπλοῦν δρόμου καιρὸν ἡμέραν καὶ νύκτα ἐργασάμενος, καὶ τὴν μὲν εἰς ἐργασίαν, τὴν δὲ εἰς ἀνάπαυσιν. οὐ γὰρ ἐλάττονα τῆς ἡμέρας ἡμῖν εἰσφέρει λειτουργίαν ἡ νύξ· ἀλλ' ὥσπερ ἐπὶ τῶν δένδρων εἶπον, ὅτι τῶν ἐγκάρπων τὰ ἄκαρπα ἐφάμιλλον παρέχεται χρείαν, οὐκ ἀναγκάζοντα ἡμᾶς τῶν ἡμέρων ἅπτεσθαι δένδρων εἰς τὰς οἰκοδομάς, καὶ τῶν ἡμέρων ζώων οὐκ ἐλάττονα παρέχεται χρείαν ἡμῖν τὰ ἄγρια καὶ ἀνήμερα, καὶ τῷ φόβῳ πρὸς τὰς πόλεις ἡμᾶς συνελαύνοντα, καὶ προσεκτικωτέρους ποιοῦντα καὶ συσφίγγοντα πρὸς ἀλλήλους [ἡμᾶς], καὶ τῶν μὲν τὴν δύναμιν ἐγγυμνάζοντα, τῶν δὲ τὰ νοσήματα λύοντα. πολλὰ γὰρ ἐξ ἐκείνων τὰ φάρμακα κατασκευάζουσιν ἰατρῶν παῖδες, τῆς παλαιᾶς ἡμᾶς ἁμαρτίας ἀναμιμνήσκοντα. ὅταν γὰρ ἀκούσω, ὅτι Ἔσται ὁ φόβος ὑμῶν καὶ ὁ τρόμος [ὑμῶν] ἐπὶ πάντα τὰ θηρία τῆς γῆς, Γεν. θ. β. εἶτα τὴν τιμὴν ἀκρωτηριασθεῖσαν ἴδω ταύτην· ἀναμιμνήσκομαι τῆς ἁμαρτίας, ἣ καὶ τὸν φόβον ἡμῶν ἐξέλυσε, καὶ τὴν ἀρχὴν ὑπετέμετο· καὶ γίνομαι βελτίων καὶ σωφρονέστερος, μαθὼν τὴν ἐκ τῆς ἁμαρτίας ἡμῖν ἐγγινομένην ζημίαν. ὥσπερ οὖν, ὅπερ ἔφην, οὐ τὸ τυχὸν εἰς τὸν βίον ἡμῖν συντελεῖ ταῦτά τε τὰ εἰρημένα καὶ ἕτερα πλείω τούτων, ἅπερ ὁ ποιήσας οἶδε Θεός· οὕτω δὴ καὶ ἡ νὺξ οὐκ ἐλάττονα τῆς ἡμέρας εἰσφέρει χρῆσιν, ἀνάπαυσις οὖσα πόνων, καὶ φάρμακον οὖσα νοσημάτων. πολλάκις γοῦν ἰατροὶ πολλὰ πραγματευσάμενοι, καὶ μυρία κατασκευάσαντες φάρμακα, οὐκ ἴσχυσαν ἀπαλλάξαι τῆς ἀρρωστίας τὸν κάμνοντα· ὕπνος δὲ αὐτόματος ἐπελθών, τὸ πᾶν ἔλυσε νόσημα, καὶ τῶν μυρίων ἐκείνους ἀπήλλαξε πόνων. οὐ παθῶν δὲ σωματικῶν μόνον, ἀλλὰ καὶ ψυχικῶν νοσημάτων ἐστὶ φάρμακον ἡ νύξ, ἀναπαύουσα τὰς ὀδυνωμένας ψυχάς. πολλάκις γοῦν τις ἀπέβαλεν υἱόν, καὶ μυρίων μυρία παρακαλούντων οὐκ ἠνέσχετο τῶν θρηνῶν ἀποστῆναι καὶ τῆς οἰμωγῆς· νυκτὸς δὲ ἐπελθούσης, εἶξε τῇ τυραννίδι τοῦ ὕπνου ἡττηθείς, καὶ τὰ βλέφαρα κατεκοίμισε, καὶ μικράν τινα τῶν μεθημερινῶν κακῶν παραμυθίαν ἔλαβε. φέρε δὴ λοιπὸν πρὸς τὴν ὑπόθεσιν ἴωμεν, ἀφ' ἧς καὶ ταῦτα εἰρήκαμεν. καὶ γὰρ εὖ οἶδ' ὅτι πρὸς ταύτην κεχήνατε πάντες, καὶ ἕκαστος ὑμῶν ὠδίνει μαθεῖν, τίνος ἕνεκεν οὐκ ἐξ ἀρχῆς ἐδόθη τὸ βιβλίον τοῦτο. ἀλλ' οὐδὲ νῦν ὁρῶ τὸν καιρὸν ὄντα τῆς ἐξηγήσεως ταύτης. τί δήποτε; πρὸς τὸ τέλος ἡμῖν ἡ ἑβδομὰς ἀπήντησε, καὶ δέδοικα τῆς ὑποθέσεως ἅψασθαι, εἶτα εὐθέως ἐγκόψαι τὴν διδασκαλίαν. πολλῶν γὰρ ἐφεξῆς ἡμερῶν ἡμῖν ἡ ὑπόθεσις δεῖται καὶ συνεχοῦς τῆς μνήμης· διὸ πάλιν αὐτὴν ἀναβαλλόμεθα. ἀλλὰ μὴ δυσχεράνητε· μετὰ τόκου πάντων ὑμῖν ἀποδώσομεν τὸ χρέος (οὕτω γὰρ καὶ ὑμῖν καὶ ἡμῖν τοῖς καταβάλλουσι συμφέρει) τέως δὲ τὸ χθὲς παραλειφθὲν ἐροῦμεν νῦν. τί δὲ τὸ χθὲς παραλειφθὲν ἦν; Περιεπάτει, φησίν, ὁ Θεὸς ἐν τῷ παραδείσῳ τὸ δειλινόν. Γεν. γ. η. τί λέγεις, εἰπέ μοι; περιεπάτει ὁ Θεός; οὐ περιεπάτει. πῶς γάρ, ὁ πανταχοῦ παρών, καὶ τὰ πάντα πληρῶν; ἀλλὰ τοιαύτην ἐνέθηκεν αἴσθησιν τῷ Ἀδάμ, ἵνα ἑαυτὸν συστείλῃ, ἵνα μὴ διακεχυμένος ᾖ, ἵνα τὸ φυγεῖν καὶ κρυβῆναι μέρος τι τῆς ἀπολογίας προκαταβάληται καὶ πρὸ τῶν ῥημάτων αὐτῶν. καθάπερ γὰρ οἱ μέλλοντες εἰς δικαστήριον εἰσάγεσθαι καὶ εὐθύνας τῶν πεπλημμελημένων ὑπέχειν, αὐχμῶντες, ῥυπῶντες, στυγνοί, κατεσταλμένοι τοῖς δικάζουσι φαίνονται, ὥστε ἀπὸ τοῦ σχήματος αὐτοὺς εἰς φιλανθρωπίαν ἐπισπάσασθαι καὶ συγγνώμην καὶ ἔλεον· οὕτω καὶ ἐπὶ τοῦ Ἀδὰμ γέγονε. καὶ γὰρ ἔδει κατεσταλμένον εἰς τὸ δικαστήριον εἰσαχθῆναι τοῦτον. διὰ

τοῦτο περιλαβὼν αὐτὸν ὁ Θεὸς συνέστελλεν. ἀλλ' ὅτι μὲν οὔτις περιεπάτει, ᾔδετο· πόθεν δὲ ἐνόμισεν ὅτι ὁ Θεὸς περιεπάτει; τοιοῦτον τῶν ἁμαρτανόντων τὸ ἔθος ἐστί· πάντα ὑποπτεύουσι, τὰς σκιὰς τρέμουσι, πάντα ψόφον δεδοίκασι, καὶ ἕκαστον ἐπ' αὐτοὺς βαδίζειν νομίζουσι. πολλοὺς γοῦν πολλάκις ἰδόντες ἐφ' ἑτέραν τρέχοντας διακονίαν, ἐνόμισαν ἐπ' αὐτοὺς ἥκειν οἱ ἁμαρτάνοντες, καὶ ἄλλων ἄλλα πρὸς ἀλλήλους διαλεγομένων, οἱ συνειδότες ἑαυτοῖς ἁμαρτίαν περὶ αὐτῶν ἐκείνους διαλέγεσθαι νομίζουσι. τοιοῦτον γὰρ ἡ ἁμαρτία*· οὐδενὸς ἐλέγχοντος παραδίδωσιν, οὐδενὸς κατηγοροῦντος καταδικάζει, καὶ ψοφοδεῆ ποιεῖ καὶ δειλὸν τὸν ἡμαρτηκότα, ὥσπερ οὖν* ἡ δικαιοσύνη τὸ ἐναντίον. ἄκουσον γοῦν πῶς καὶ τούτου τὴν δειλίαν, κἀκείνης τὴν παρρησίαν ὑπέγραψεν ἡ γραφή· Φεύγει ὁ ἀσεβὴς, μηδενὸς διώκοντος, φησί. πῶς οὐδενὸς διώκοντος φεύγει;* ἔνδοθεν ἔχει τὸν ἐλαύνοντα, τὸν τοῦ συνειδότος κατήγορον, καὶ τοῦτον πανταχοῦ περιφέρει, καὶ καθάπερ ἑαυτὸν οὐκ ἂν δυνηθείη φυγεῖν, οὕτως οὐδὲ τὸν ἔνδοθεν αὐτὸν ἐλαύνοντα· ἀλλ' ὅπουπερ ἂν ἀπίῃ, μαστίζεται, καὶ τραῦμα ἀνίατον ἔχει. ἀλλ' οὐχ ὁ δίκαιος τοιοῦτος. ἀλλ' ὁποῖος; Δίκαιος ὡς λέων πέποιθε. τοιοῦτος ἦν ὁ Ἠλίας· εἶδε γοῦν τὸν βασιλέα ἐρχόμενον πρὸς αὐτὸν, καὶ εἰπόντος ἐκείνου, Ἵνα τί διαστρέφεις τὸν Ἰσραήλ; οὐκ ἐγὼ διαστρέφω, φησὶν, ἀλλὰ σὺ, καὶ ὁ οἶκος τοῦ πατρός σου. ἀληθῶς δίκαιος ὡς λέων πέποιθε. καθάπερ γὰρ λέων κυνιδίου τινὸς εὐτελοῦς, κατεξανέστη τοῦ βασιλέως· καίτοι πορφυρίδα εἶχεν ἐκεῖνος, ἀλλ' εἶχε μηλωτὴν οὗτος, ἱμάτιον τῆς πορφυρίδος ἐκείνης σεμνότερον. ἡ μὲν γὰρ πορφυρὶς ἐκείνη τὸν λιμὸν ἔτεκε τὸν χαλεπόν· ἡ μηλωτὴ δὲ αὕτη τὰ δεινὰ ἔλυσεν, αὕτη τὸν Ἰορδάνην ἔσχισεν, αὕτη τὸν Ἐλισσαῖον διπλοῦν Ἠλίαν ἐποίησεν. ὢ πόση τῶν ἁγίων ἡ ἀρετή. οὐχὶ τὰ ῥήματα αὐτῶν μόνα, οὐδὲ τὰ σώματα, ἀλλὰ καὶ αὐτὰ τὰ ἱμάτια τῇ κτίσει πάσῃ πάντοτε ἐστὶν αἰδέσιμα. ἡ μηλωτὴ τούτου τὸν Ἰορδάνην ἔσχισε· τὰ ὑποδήματα τῶν τριῶν παίδων τὸ πῦρ κατεπάτησαν· τὸ ξύλον τοῦ Ἐλισσαίου τὰ ὕδατα μετέβαλε, καὶ σίδηρον ὑπὲρ τῆς ἐπιφανείας βαστάζειν ἐποίησεν· ἡ ῥάβδος Μωϋσέως τὴν ἐρυθρὰν ἔσχισε θάλασσαν, τὴν πέτραν ἔρρηξε· τὰ ἱμάτια Παύλου νοσήματα ἤλασεν· ἡ σκιὰ Πέτρου θάνατον ἐφυγάδευσεν· ἡ τέφρα τῶν ἁγίων* μαρτύρων πονηροὺς ἀπελαύνει δαίμονας. διὰ τοῦτο μετ' ἐξουσίας ἅπαντα πράττουσι, καθάπερ καὶ ὁ Ἠλίας. οὐ γὰρ δὴ ἑώρα τὸ διάδημα καὶ τὴν ἔξωθεν φαντασίαν τοῦ βασιλέως· ἀλλ' ἑώρα τὴν ψυχὴν ῥάκια περιβεβλημένην, αὐχμῶσαν, ῥυπῶσαν, καὶ καταδίκου παντὸς ἀθλιώτερον διακειμένην. καὶ ἰδὼν αὐτὸν αἰχμάλωτον καὶ δοῦλον ὄντα τῶν παθῶν, κατεφρόνησεν αὐτοῦ τῆς ἀρχῆς. καθάπερ γὰρ ἐπὶ τῆς σκηνῆς, ἀλλ' οὐκ ἐπὶ τῆς ἀληθείας ἐδόκει βασιλέα βλέπειν. τί γὰρ ὄφελος τῆς ἔξωθεν εὐπορίας, ὅταν ἔνδον πενία τοιαύτη ᾖ; τί δὲ βλάβος τῆς ἔξωθεν πενίας, ὅταν ἔνδον τοσοῦτος ἀπόκειται πλοῦτος; τοιοῦτος λέων ἦν καὶ ὁ μακάριος Παῦλος. εἰσελθὼν γὰρ εἰς τὸ δεσμωτήριον, καὶ βοήσας μόνον, τὰ θεμέλια ἅπαντα ἔσεισε, τὰ δεσμὰ κατέφαγεν, οὐκ ὀδοῦσι χρησάμενος, ἀλλὰ ῥήμασι. διόπερ οὐχὶ λέοντας αὐτοὺς μόνον, ἀλλὰ καὶ ἕτερόν τι πλέον λεόντων χρὴ καλεῖν. ὁ μὲν γὰρ λέων εἰς δίκτυα πολλάκις ἐμπεσὼν ἁλίσκεται· οἱ δὲ ἅγιοι δεθέντες, τότε ἰσχυρότεροι γίνονται· καθάπερ [οὖν] καὶ ὁ μακάριος οὗτος ἐπὶ τοῦ δεσμωτηρίου τότε ἐποίησε, τοὺς δεσμώτας λύσας, τοὺς τοίχους σαλεύσας, τὸν δεσμοφύλακα δήσας, καὶ τῷ τῆς εὐσεβείας χρωσάμενος λόγῳ. ὁ λέων φθέγγεται, καὶ τὰ θηρία φυγαδεύει πάντα· ὁ ἅγιος φθέγγεται, καὶ τοὺς δαίμονας ἀπελαύνει πανταχόθεν. ὅπλα τοῦ λέοντος, κόμη τριχῶν, ὀνύχων ἀκμὴ, καὶ ὀδόντες ἠκονημένοι· ὅπλα δικαίου, φιλοσοφία, καρτερία, ὑπομονὴ, ὑπεροψία τῶν παρόντων ἁπάντων. ταῦτα τὰ ὅπλα τις ἔχων, οὐκ ἀνθρώπων πονηρῶν μόνον, ἀλλὰ καὶ αὐτῶν καταγελάσεται τῶν ἀντικειμένων δυνάμεων.

Φρόντισον τοίνυν τῆς κατὰ Θεὸν ζωῆς, ἄνθρωπε, καὶ οὐδεὶς περιέσται σου ποτὲ ἀλλὰ κἂν ἁπάντων εὐτελέστερος εἶναι δοκῇς, πάντων δυνατώτερος ἔσῃ· ὥσπερ ἂν ἀμελήσῃς τῆς κατὰ ψυχὴν ἀρετῆς,

Παροιμ. κη. α.

γ. Βασ. ιη. ιζ.

ρετῆς, κἂν ἁπάντων δυνατώτερος ᾖς, εὐχείρωτος ἔσῃ τοῖς ἐπιβουλεύουσιν ἅπασι. καὶ τοῦτο ἔδειξε μὲν τὰ εἰρημένα παραδείγματα· εἰ δὲ βούλει, καὶ δι' "ἑτέρων σε διδάξαι πειρασόμεθα τὸ τῶν δικαίων ἀκαταγώνιστον, καὶ τὸ τῶν ἁμαρτωλῶν εὐχείρωτον. ἄκουσον γοῦν, πῶς ἀμφότερα ταῦτα ὁ προφήτης ᾐνίξατο. Οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτω, φησίν· ἀλλ' ἢ ὡς ὁ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς. καθάπερ γὰρ ἐκεῖνος ταῖς τῶν ἀνέμων ἐμβολαῖς πρόκειται ῥᾳδίως ἀναρριπιζόμενος, οὕτω δὴ καὶ ὁ ἁμαρτωλὸς ὑπὸ παντὸς πειρασμοῦ περιτρέπεται. ὅταν γὰρ αὐτὸς ἑαυτῷ πολεμῇ καὶ τὴν μάχην πανταχοῦ περιφέρῃ, ποία αὐτῷ σωτηρίας ἐλπὶς οἴκοθεν προδεδομένῳ, καὶ διηνεκῆ πολέμιον περιάγοντι τὸ συνειδός; ἀλλ' οὐχ ὁ δίκαιος τοιοῦτος. ἀλλὰ ποταπός; ἄκουσον τοῦ αὐτοῦ προφήτου λέγοντος· Οἱ πεποιθότες ἐπὶ Κύριον, ὡς ὄρος Σιών. τί ποτ' οὖν ἐστιν, ὡς ὄρος Σιών; Οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα, φησί. καὶ γὰρ ὅσα ἂν "προσενέγκῃς μηχανήματα, ὅσα ἂν" ἀκοντίσῃς βέλη, ὄρος "καταστρέψαι βουλόμενος, ἐκείνου μὲν οὐδέποτε περιέσῃ· πῶς γάρ; τὰ δὲ μηχανήματα διαλύσεις ἅπαντα, καὶ τὴν σαυτοῦ κατακλύσεις ἰσχύν. τοιοῦτός ἐστι καὶ ὁ δίκαιος· ὅσας ἂν" δέξηται πληγάς, αὐτὸς μὲν οὐδὲν ἔπαθεν δεινόν· τῶν δὲ ἐπιβουλευόντων καταλύει τὴν δύναμιν, οὐκ ἀνθρώπων δὲ μόνον, ἀλλὰ καὶ δαιμόνων αὐτῶν. ἤκουσας γοῦν πολλάκις, πόσα προσήγαγε μηχανήματα τῷ Ἰὼβ ὁ διάβολος· καὶ οὐ μόνον οὐ κατέσεισεν ἐκεῖνο τὸ ὄρος, ἀλλὰ καὶ ἐκλυθεὶς ἀνεχώρησε, τῶν βελῶν "αὐτοῦ κατακλασθέντων, καὶ τῶν μηχανημάτων γενομένων ἀχρήστων ἀπὸ τῆς προσβολῆς ἐκείνης. Ταῦτ' οὖν * ἐπιστάμενοι, τῆς ζωῆς ἐπιμελώμεθα τῆς ἡμετέρας, καὶ μήτε περὶ χρήματα "σπουδάζωμεν τὰ ἀπολλύμενα, μήτε περὶ δόξαν τὴν σβεννυμένην, μήτε περὶ σῶμα τὸ γηράσκον, μὴ περὶ κάλλος τὸ μαραινόμενον, μὴ περὶ τρυφὴν τὴν διαρρέουσαν· ἀλλὰ περὶ τὴν ψυχὴν ἅπασαν ἀναλίσκωμεν τὴν ἐπιμέλειαν, καὶ ταύτην παντὶ θεραπεύσωμεν τρόπῳ. σώματα μὲν γὰρ θεραπεῦσαι νενοσηκότα οὐ" πάνυ τι ῥᾴδιον, ψυχὴν δὲ ἀρρωστοῦσαν ἰάσασθαι ῥᾴδιον ἅπασι. καὶ ἡ μὲν τοῦ σώματος "θεραπεία καὶ φαρμάκων δεῖται καὶ ἀργυρίου *, ἡ δὲ τῆς ψυχῆς * εὔωνος καὶ ἀδάπανος· καὶ τῆς μὲν σαρκὸς ἡ φύσις μετὰ πολλοῦ τοῦ πόνου τῶν ἐνοχλούντων ἀπαλλάττεται τραυμάτων (καὶ γὰρ σίδηρον ἐπαγαγεῖν ἀναγκαῖον πολλάκις, καὶ πικρὰ φάρμακα) ἐπὶ δὲ τῆς ψυχῆς οὐδὲν τοιοῦτόν ἐστιν· ἀλλὰ ἀρκεῖ θελῆσαι καὶ βουληθῆναι μόνον, καὶ πάντα κατώρθωται. καὶ τοῦτο τῆς τοῦ Θεοῦ προνοίας γέγονεν ἔργον. ἐπειδὴ γὰρ ἀπὸ μὲν τῆς τοῦ σώματος ἀρρωστίας οὐ πολλὴ γένοιτ' ἂν ἡ βλάβη (κἂν γὰρ μὴ νοσήσωμεν, ἐπελθὼν ὁ θάνατος αὐτὸ φθερεῖ καὶ καταλύσει πάντως) τὸ δὲ πᾶν ἐν τῇ τῆς ψυχῆς ἡμῖν ὑγιείᾳ κεῖται, τοῦ πολλῷ χρησιμωτέρου καὶ ἀναγκαιοτέρου ῥᾳδίαν ἐποίησε καὶ ἀδάπανον καὶ ἀνώδυνον τὴν θεραπείαν. τίνα οὖν ἕξομεν ἀπολογίαν, ποίαν δὲ συγγνώμην, ὅταν, σώματος μὲν νοσοῦντος, ἔνθα καὶ ἀργύριόν ἐστι καταβαλεῖν, καὶ "ἰατροὺς παρακαλέσαι, καὶ ὀδύνην ὑπομεῖναι πολλήν, τοσαύτην ποιώμεθα πρόνοιαν, καὶ ταῦτα οὐ "μεγάλης ἡμῖν τῆς βλάβης ἀπὸ τῆς ἀρρωστίας γινομένης ἐκείνης· ψυχῆς δὲ καταφρονῶμεν, καὶ ταῦτα, μήτε ἀργύριον καταβαλεῖν μέλλοντες, μήτε ἑτέροις διενοχλεῖν, μήτε ὀδύνας ὑφίστασθαι, ἀλλὰ χωρὶς τούτων ἁπάντων διὰ τοῦ προελέσθαι καὶ βουληθῆναι μόνον ἅπασαν αὐτῆς δυνάμενοι ποιήσασθαι τὴν διόρθωσιν· καὶ ἀκριβῶς εἰδότες, ὡς εἰ μὴ τοῦτο ποιήσαιμεν, τὴν ἐσχάτην ὑποστησόμεθα δίκην καὶ τὰς ἀπαραιτήτους κολάσεις καὶ τιμωρίας; εἰπὲ γάρ μοι, εἴ τις ὑπέσχετο παιδεῦσαί σε τέχνην ἰατρικὴν ἐν βραχείᾳ καιροῦ ῥοπῇ χωρὶς ἀργυρίου καὶ πόνου, οὐκ ἂν εὐεργέτην ἐνόμισας; οὐκ ἂν κατεδέξω καὶ ποιῆσαι καὶ παθεῖν ἅπαντα, ἅπερ ἐκέλευσεν ὁ ταῦτα ἐπαγγελλόμενος; ἰδοὺ νῦν ἔξεστι χωρὶς πόνων, οὐχὶ σωμάτων, ἀλλὰ τῶν τῆς ψυχῆς τραυμάτων τὰ φάρμακα εὑρεῖν, καὶ χωρὶς ὀδύνης τινὸς εἰς ὑγίειαν αὐτὴν ἐπαναγαγεῖν. μὴ τοίνυν "ἀμελῶμεν. ποία γὰρ ὀδύνη, εἰπέ μοι, ὀργὴν ἀφεῖναι τῷ λελυπηκότι; ὀδύνη μὲν οὖν ἐστι τὸ μνησικακεῖν, καὶ μὴ κα-

Ψαλ. α. δ.

Ψαλ. ρκδ. α.

λλάττεσθαι. ποῖος πόνος εὔξασθαι καὶ αἰτῆσαι μυρία ἀγαθὰ παρὰ τοῦ προθύμως διδόντος Θεοῦ; ποῖος πόνος, μὴ κακῶς εἰπεῖν μηδένα; ποία δυσκολία ἀπαλλαγῆναι φθόνου καὶ βασκανίας; ποῖος μόχθος ἀγαπᾶν τὸν πλησίον; ποία ταλαιπωρία μὴ φθέγγεσθαι αἰσχρὰ ῥήματα, μὴ λοιδορεῖσθαι, μήτε ὑβρίζειν; ποῖος κάματος μὴ ὀμνύναι; πάλιν γὰρ ἐπὶ τὴν αὐτὴν ἥξω παραίνεσιν. πόνος μὲν οὖν μέγιστος, τὸ ὀμόσαι. πολλάκις γοῦν ὑπὸ θυμοῦ καὶ ὀργῆς κατεχόμενοι διωμοσάμεθα "μηδέποτε διαλλάττεσθαι τοῖς λελυπηκόσιν· εἶτα τῆς ὀργῆς σβεσθείσης καὶ τοῦ θυμοῦ χαλασθέντος βουληθέντες καταλλαγῆναι, καὶ ὑπὸ τῆς ἀνάγκης κατεχόμενοι τῶν ὅρκων ἠλγήσαμεν, ὥσπερ τινὶ παγίδι κατεχόμενοι καὶ δεσμοῖς ἀλύτοις συνδεδεμένοι. ὅπερ καὶ ὁ διάβολος εἰδὼς καὶ ἀκριβῶς ἐπιστάμενος, ὅτι πῦρ ἐστὶν ὁ θυμὸς καὶ ῥᾳδίως σβέννυται, καὶ τοῦ θυμοῦ σβεσθέντος καταλλαγὴ γίνεται καὶ φιλία, βουλόμενος τὸ πῦρ τοῦτο μένειν ἄσβεστον, ὅρκῳ πολλάκις ἡμᾶς κατέδησεν· ἵνα κἂν ἡ ὀργὴ λήξῃ, ἡ ἀνάγκη τοῦ ὅρκου μένουσα διατηρῇ τὴν πυρὰν "ἐν ἡμῖν, καὶ δυοῖν θάτερον γίνηται, ἢ καταλλαγέντες ἐπιορκήσωμεν, ἢ μὴ καταλλαγέντες τοῖς τῆς μνησικακίας ἐπιτιμίοις ὑπευθύνους καταστήσωμεν ἑαυτούς. Ταῦτ' οὖν εἰδότες φεύγωμεν τοὺς ὅρκους, καὶ μελετάτω τὸ στόμα ἡμῶν λέγειν συνεχῶς, πίστευσον· καὶ ἔσται τοῦτο πάσης εὐλαβείας ἡμῖν ὑπόθεσις. γλῶττα γὰρ παιδευθεῖσα τοῦτο λέγειν τὸ ἓν ῥῆμα, αἰσχύνεται καὶ ἐρυθριᾷ ῥήματα ἐξενεγκεῖν αἰσχρὰ καὶ ἄτοπα· κἂν "ὑπὸ συνηθείας παρασυρῇ πάλιν, πολλοὺς ἔχουσα τοὺς κατηγόρους ἀνασταλήσεται. ὅταν γάρ τις ἴδῃ τὸν μὴ ὀμνύντα αἰσχρὰ φθεγγόμενον, ἐπεμβήσεται ῥᾳδίως αὐτῷ καὶ καταγελάσεται καὶ κωμῳδῶν ἐρεῖ· σύ, ὁ τὸ πίστευσον ἐπὶ πᾶσι λέγων, ὅρκον οὐκ ἀνέχῃ προΐεσθαι, καὶ ῥήμασιν αἰσχροῖς καταισχύνεις σου τὴν γλῶτταν; ὥστε καὶ ἄκοντες ὑπὸ τῶν παρόντων συνελαυνόμενοι, πρὸς εὐλάβειαν ἐπανήξομεν. τί οὖν, ἐὰν ἀνάγκη, φησίν, ὀμόσαι; ὅπου νόμου παράβασίς ἐστιν, οὐκ ἔστιν ἀνάγκη. καὶ δυνατόν, φησι, καθόλου μὴ ὀμνύναι; τί λέγεις; ὁ Θεὸς ἐκέλευσε, καὶ τολμᾷς ἐρωτῆσαι, εἰ δυνατὸν φυλάξαι τὸν νόμον; ἀδύνατον μὲν οὖν τὸ μὴ φυλάξαι. καὶ τοῦτο ἀπὸ τῶν παρόντων ὑμᾶς πεῖσαι βούλομαι, ὅτι οὐ τὸ μὴ ὀμνύναι, ἀλλὰ τὸ ὀμνύναι ἀδύνατον. ἰδοὺ γοῦν χρυσίον ἐκελεύσθησαν εἰσενεγκεῖν οἱ τὴν πόλιν οἰκοῦντες, δοκοῦν τὴν τῶν πολλῶν ὑπερβαίνειν δύναμιν, καὶ τὸ πλέον εἰσενήνεκται, καὶ τῶν ἀπαιτούντων ἔστιν ἀκοῦσαι λεγόντων, τί "μέλλεις, ἄνθρωπε; τί δὲ ἡμέραν ἐξ ἡμέρας ἀναβάλλῃ ἡμᾶς; μὴ γὰρ δυνατὸν ἐκφυγεῖν. βασιλέως νόμος ἐστὶ μελλήσεως οὐκ ἀνεχόμενος. τί λέγεις, εἰπέ μοι; βασιλεὺς ἐκέλευσε χρήματα εἰσενεγκεῖν, καὶ ἀδύνατον μὴ εἰσενεγκεῖν· ὁ Θεὸς ἐκέλευσε φεύγειν τοὺς ὅρκους, καὶ λέγεις, ὅτι ἀδύνατον φεύγειν τοὺς ὅρκους; ἕκτην ἔχω ταύτην ἡμέραν περὶ ταύτης ὑμῖν παραινῶν τῆς ἐντολῆς· λοιπὸν ὑμῖν συντάξασθαι βούλομαι, ὡς ἀφιστάμενος, ἵνα ἀσφαλίζησθε. οὐκ ἔτι ἀπολογία τις ὑμῖν ἔσται, οὐδὲ συγγνώμη. μάλιστα μὲν γάρ, εἰ καὶ μηδὲν εἴρητο, παρ' ὑμῶν αὐτῶν ἔδει διορθωθῆναι τοῦτο (οὐδὲ γὰρ ποικίλον ἐστίν, οὐδὲ πολλῆς δεόμενον κατασκευῆς) ὅταν δὲ καὶ τοσαύτης ἦτε παραινέσεως καὶ συμβουλῆς ἀπολελαυκότες, τίνα ἀπολογίαν εἰπεῖν ἕξετε ἐγκαλούμενοι, καὶ ἐπὶ τοῦ βήματος ἑστῶτες τοῦ φοβεροῦ, καὶ εὐθύνας ἀπαιτούμενοι τῆς παρανομίας ταύτης; οὐκ ἔστιν οὐδεμίαν εἰπεῖν ἀπολογίαν, ἀλλ' ἀνάγκη ἢ κατορθώσαντας ἀπελθεῖν, ἢ μὴ κατορθώσαντας κολάζεσθαι καὶ τὴν ἐσχάτην ὑπομένειν δίκην. Ταῦτ' οὖν ἐννοήσαντες ἅπαντες*, καὶ μετὰ πολλῆς ἐντεῦθεν ἀναχωρήσαντες τῆς φροντίδος, ἀλλήλοις "παρακελεύσασθε τὰ ἐν τοσαύταις ἡμέραις εἰρημένα μετὰ πάσης τηρῆσαι τῆς φυλακῆς ἐπὶ τῆς διανοίας τῆς ὑμετέρας· ἵνα καὶ ἡμῶν σιγώντων, ἀλλήλους παιδεύοντες, οἰκοδομοῦντες, παρακαλοῦντες, πολλὴν ἐπιδείξησθε τὴν ἐπίδοσιν· καὶ τοὺς λοιποὺς ἅπαντας ἐκπληρώσαντες νόμους, ἀπολαύσητε τῶν αἰωνίων στεφάνων· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ ΕΠΑΙΝΟΣ ΤΩΝ ΚΑΤΩΡΘΩΚΟΤΩΝ τὸ μὴ ὀμνύειν, καὶ ὅτι οὐκ ὀφείλει τις διακρίνεσθαι μετὰ ἑστίασιν ἀκροᾶσθαι θείων λογίων ἐν ἐκκλησίᾳ, καὶ διὰ τί μετὰ χρόνον πολὺν ἐδόθησαν αἱ ἅγιαι γραφαί, καὶ εἰς τό, Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, καὶ φυσιολογία κόσμου, καὶ πρὸς τῷ τέλει περὶ τοῦ μὴ ὀμνύειν. Λογ. θ.

ψαλ. ιη. α.

ΚΑὶ πρώην πρὸς ὑμᾶς, καὶ νῦν πρὸς ὑμᾶς *, εἴθε δὲ καὶ ἀεὶ μεθ' ὑμῶν· μᾶλλον δὲ καὶ ἀεὶ μεθ' ὑμῶν, εἰ καὶ μὴ σώματος παρουσίᾳ, ἀλλ' ἀγάπης δυνάμει. οὐδὲ γὰρ ἕτερός μοι βίος [τίς] ἐστιν, ἀλλ' ὑμεῖς καὶ τῆς ὑμετέρας σωτηρίας ἡ φροντίς. ὥσπερ γὰρ ὁ γεωργὸς οὐδὲν ἕτερον μεριμνᾷ, ἀλλ' ἢ τὰ σπέρματα καὶ τὰ λήϊα, καὶ ὁ κυβερνήτης τὰ κύματα καὶ τοὺς λιμένας· οὕτω καὶ ὁ λέγων τοὺς ἀκούοντας καὶ τὴν ἐκείνων προκοπήν, καθάπερ * καὶ ἐγὼ νῦν. διὸ καὶ πάντας ὑμᾶς ἐπὶ τῆς διανοίας περιφέρω τῆς ἐμαυτοῦ· οὐκ ἐνταῦθα δὲ μόνον, ἀλλὰ καὶ οἴκοι. εἰ γὰρ καὶ πολὺς ὁ δῆμος, καὶ βραχὺ τῆς ἐμῆς καρδίας τὸ μέτρον· ἀλλ' εὐρεῖα ἡ ἀγάπη, καὶ οὐ στενοχωρεῖσθε ἐν ἡμῖν. " τὰ δὲ ἑξῆς οὐκ ἔτι λοιπὸν ἐρῶ. οὐδὲ γὰρ ἡμεῖς στενοχωρούμεθα παρ' ὑμῖν. πόθεν τοῦτο δῆλον; ἔγνων πολλῶν ἀπαγγειλάντων, ὅτι τὸ ἐπιταχθὲν" ἐποιήσαμεν, νόμους" ἀλλήλοις θέντες καὶ καταδίκας ὁρίσαντες τοῖς ὀμνύουσι, καὶ τιμωρίας ἐπαγαγόντες τοῖς τὸν νόμον παραβαίνουσι, τιμωρίαν τὴν ὑμῖν πρέπουσαν, ὅπερ μεγίστης ἀγάπης τεκμήριον. οὐδὲ γὰρ αἰσχυνόμεθα πολυπραγμονοῦντες ταῦτα· ἐπεὶ μὴ περιεργίας ἐστίν, ἀλλὰ κηδεμονίας αὕτη ἡ φιλοπραγμοσύνη. εἰ γὰρ οὐκ ἔστιν ὄνειδος τῷ ἰατρῷ πυνθάνεσθαι περὶ τοῦ κάμνοντος, οὐδὲ ἡμῖν ἔγκλημα περὶ τῆς ὑμετέρας ἐξετάζειν ἀεὶ σωτηρίας. οὕτω γὰρ μαθόντες, τί μὲν ὑμῖν ἀπήρτισται, τί δὲ ἐλλέλειπται, μετὰ τῆς προσηκούσης ἐπιστήμης τὰ λοιπὰ ἐπιθήσομεν φάρμακα. ἔγνωμεν τοίνυν ταῦτα περιεργασάμενοι, καὶ εὐχαριστήσαμεν τῷ Θεῷ, ὅτι οὐκ εἰς πέτρας ἐσπείραμεν, οὐδὲ εἰς ἀκάνθας κατεβάλομεν τὰ σπέρματα, οὐδὲ πολλοῦ χρόνου καὶ πολλῆς ἐδεήθημεν ἀναβολῆς, ὥστε θερίσαι τὰ λήϊα. διὰ ταῦτα ὑμᾶς ἐπὶ τῆς καρδίας ἔχω συνεχῶς τῆς ἐμαυτοῦ· διὰ ταῦτα οὐκ αἰσθάνομαι τοῦ πόνου τῆς διδασκαλίας, τῷ τῆς ἀκροάσεως κουφιζόμενος κέρδει. ἱκανὸς γὰρ οὗτος ἡμᾶς ὁ μισθὸς ἀνακτήσασθαι, καὶ πτερῶσαι, καὶ μεταρσίους ποιῆσαι, καὶ πεῖσαι πάντα ὑπὲρ ὑμῶν ὑπομένειν πόνον. ἐπεὶ οὖν πολλὴν τὴν εὐγνωμοσύνην ὑμεῖς ἐπεδείξασθε, φέρε δὴ καὶ ἡμεῖς τὸ χρέος λοιπὸν καταβάλωμεν, ὅπερ ὑπεσχόμεθα πρώην. καίτοι γε οὐχ ὁρῶ" παρόντας ὑμῶν τούς, ἡνίκα ἐποιοῦμεν τὴν ὑπόσχεσιν, παραγενομένους ἐνταῦθα. τί ποτ' ἄρα τὸ αἴτιον; τί τῆς ἡμετέρας τραπέζης αὐτοὺς ἀπεσόβησεν; ὁ τραπέζης, ὡς ἔοικε, μεταλαβὼν αἰσθητῆς ἐνόμισεν ἀνάξιον εἶναι μετὰ τροφὴν αἰσθητὴν ἐπὶ θείων λογίων ἀκρόασιν ἐλθεῖν. ἀλλ' οὐ δικαίως τοῦτο νομίζουσιν. οὐδὲ γὰρ ἄν, εἰ τοῦτο ἦν ἄτοπον, τοὺς πολλοὺς καὶ μακροὺς ἀνήλωσε λόγους ὁ Χριστὸς μετὰ τὸ δεῖπνον ἐκεῖνο τὸ μυστικόν· οὐκ ἄν, εἰ τοῦτο ἀπρεπὲς ἦν, ἑστιάσας πολλάκις τὸ πλῆθος ἐπὶ" γῆς ἐρήμου καὶ λόγων αὐτοῖς μετέδωκεν ἂν μετὰ τὴν τράπεζαν. εἰ γὰρ χρή τι καὶ θαυμαστὸν εἰπεῖν, τότε μὲν οὖν χρησιμωτάτη ἡ τῶν θείων λογίων ἀκρόασις. ὅταν γὰρ ᾖς σαυτὸν πεπεικώς, ὅτι μετὰ τὸ φαγεῖν καὶ πιεῖν ἀνάγκη καὶ πρὸς σύναξιν ἀπαντῆσαι, πάντως καὶ ἄκων πολλῆς ἐπιμελήσῃ τῆς σωφροσύνης, καὶ οὔτε εἰς μέθην, οὔτε εἰς ἀδηφαγίαν κατενεχθήσῃ ποτέ. ἡ γὰρ φροντὶς καὶ ἡ προσδοκία τῆς εἰς τὴν ἐκκλησίαν ἀφίξεως παιδεύει μετὰ τῆς προσηκούσης εὐκοσμίας καὶ τροφῆς καὶ ποτοῦ μεταλαμβάνειν, ἵνα μὴ εἰσελθὼν καὶ τοῖς ἀδελφοῖς ἀναμιχθεὶς, εἶτα ἀποπνέων οἴνου καὶ ἐρυγγανόμενος ἀτάκτως, καταγελασθῇς παρὰ τῶν παρόντων ἁπάντων. ταῦτα οὐ πρὸς ὑμᾶς λέγω νῦν, ἀλλὰ πρὸς τοὺς ἀπολειφθέντας ὑμῶν, ἵνα δι᾽ ὑμῶν ταῦτα μανθάνωσιν. οὐ γὰρ τὸ φαγεῖν κώλυμα ἀκροάσεως, ἀλλὰ τὸ ῥαθυμεῖν. σὺ δὲ κατάγνωσιν νομίζων εἶναι τὸ μὴ νηστεῦσαι, καὶ ἕτερον προστίθης ἔγκλημα πολλῷ μεῖζον καὶ χαλεπώτερον, τὸ μηδὲ τῆς ἱερᾶς ταύτης μετασχεῖν τραπέζης· καὶ θρέψας σου τὸ σῶμα, κατατήκεις λιμῷ τὴν ψυχήν. καὶ ποίαν ἕξεις ἀπολογίαν; ἐπὶ μὲν γὰρ τῆς νηστείας ἴσως ἔχεις σώματος ἀσθένειαν προβαλέσθαι, ἐπὶ δὲ ἀκροάσεως τί ἂν ἔχοις εἰπεῖν; οὐ γὰρ δὴ σώματος ἀσθένεια κωλύει τῶν θείων λογίων μετέχειν. εἰ μὲν γὰρ ἔλεγον, μηδεὶς ἠριστηκὼς συμμιγέσθω, μηδεὶς φαγὼν ἀκροάσθω, εἶχές τινα συγγνώμην· νυνὶ δὲ ὅταν ἡμεῖς ἕλκωμέν τε καὶ ἐπισπώμεθα καὶ πρὸς ἑαυτοὺς καλῶμεν, ποίαν ἕξετε ἀπολογίαν ἀποπηδῶντες; καὶ γὰρ ἀνεπιτήδειος ἀκροατὴς ἐκεῖνος ἂν γένοιτο, οὐχ ὁ φαγὼν καὶ πιὼν, ἀλλ᾽ ὁ μὴ προσέχων τοῖς λεγομένοις, ὁ χασμώμενος, καὶ ἐκλυόμενος, καὶ τὸ μὲν σῶμα ἐνταῦθα ἔχων, τὴν δὲ διάνοιαν ἀλλαχοῦ πλανωμένην. οὗτος κἂν νηστεύῃ, πρὸς ἀκρόασίν ἐστιν ἄχρηστος· ὁ μέντοι διεγηγερμένος καὶ νήφων καὶ συντείνων ἑαυτοῦ τὴν διάνοιαν, κἂν ἐδηδοκὼς, κἂν πεπωκὼς ᾖ, πάντων ἐπιτηδειότερος ἀκροατὴς ἂν ἡμῖν γένοιτο. ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν δικαστηρίων καὶ βουλευτηρίων εἰκότως οὗτος ὁ νόμος ἐκράτησεν. οὐ γὰρ ἴσασι φιλοσοφεῖν. διὸ οὐδὲ ἐσθίουσιν ὥστε τραφῆναι, ἀλλ᾽ ὥστε διαρραγῆναι· πίνουσι γὰρ ὑπὲρ κόρον πολλάκις. διὰ τοῦτο ἑαυτοὺς ἀχρήστους πρὸς τὴν τῶν πραγμάτων οἰκονομίαν καθιστῶντες, καὶ τὰ δικαστήρια καὶ τὰ βουλευτήρια ἀποκλείουσι δείλης καὶ μεσημβρίας. ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον· μὴ γένοιτο· ἀλλ᾽ ὁ φαγὼν τῷ νηστεύοντι κατὰ τὴν τῆς ψυχῆς σωφροσύνην ἐφάμιλλος [ἔσται]. οὐ γὰρ ὥστε διαρραγῆναι τὴν γαστέρα, οὐδὲ σκοτῶσαι τὸν λογισμὸν ἐσθίει καὶ πίνει· ἀλλ᾽ ὥστε τὸ σῶμα ἠσθενηκὸς ἀνακτήσασθαι.

Ἀλλὰ τῆς μὲν παραινέσεως ταύτης ἅλις· ὥρα δὲ λοιπὸν καὶ τῆς ὑποθέσεως ἅψασθαι. καίτοι γε ἀναδύεται καὶ ὀκνεῖ πρὸς τὴν διδασκαλίαν ταύτην ἡμῖν ὁ λογισμὸς διὰ τοὺς μὴ παραγενομένους. καὶ καθάπερ μήτηρ φιλόστοργος τράπεζαν ἔχουσα παραθεῖναι, τῶν παίδων μὴ παρόντων ἁπάντων, ἀλγεῖ καὶ ὀδυνᾶται· τοῦτο δὴ κἀγὼ πάσχω νῦν, καὶ τῶν ἀδελφῶν τῶν ἡμετέρων ἐννοῶν τὴν ἀπουσίαν, ἀναδύομαι πρὸς τὴν ἔκθεσιν. ἀλλ᾽ ὑμεῖς κύριοι τὸν ὄκνον τοῦτον ἐκβαλεῖν. εἰ γὰρ ὑπόσχοισθέ μοι μετὰ ἀκριβείας πάντα πρὸς ἐκείνους διαπορθμεύειν, μετὰ προθυμίας ἡμεῖς ἅπαντα καταβαλοῦμεν ὑμῖν. οὕτω γὰρ ἐκείνοις ἔσται τῆς ἀπουσίας παραμυθία, τῆς ὑμετέρας ἀγάπης ἡ διδασκαλία· ὑμεῖς τε προσεκτικώτερον ἡμῶν ἀκούσεσθε, εἰδότες, ὅτι καὶ πρὸς ἑτέρους ὑμῖν ἀπαγγεῖλαι ταῦτα ἀνάγκη. ἵν᾽ οὖν σαφέστερος ἡμῖν ὁ λόγος γένηται, ἄνωθεν ἀναλαβόντες αὐτὸν εἴπωμεν. ἐζητοῦμεν τοίνυν πρῴην, τίνος ἕνεκεν μετὰ ἔτη τοσαῦτα ἐδόθησαν αἱ γραφαί. οὐ γὰρ ἐπὶ τοῦ Ἀδὰμ, οὐδὲ ἐπὶ τοῦ Νῶε, καὶ τοῦ Ἀβραὰμ, ἀλλ᾽ ἐπὶ τοῦ Μωϋσέως ἐδόθη τοῦτο τὸ βιβλίον. καὶ πολλῶν ἀκούω λεγόντων, ὅτι εἰ χρήσιμον ἦν, ἐξ ἀρχῆς ἔδει δοθῆναι· εἰ δὲ ἄχρηστον ἦν, οὐδὲ μετὰ ταῦτα δοθῆναι ἐχρῆν. ἀλλ᾽ ἕωλος οὗτος ὁ λογισμός. οὐ γὰρ δὴ πάντως, εἴ τι χρήσιμον μετὰ ταῦτα, ἐξ ἀρχῆς ὀφείλει δίδοσθαι· οὔτε, εἴ τι παρὰ τὴν ἀρχὴν ἐδόθη, τοῦτο πάντως ὀφείλει καὶ μετὰ ταῦτα μένειν. ἐπεὶ καὶ τὸ γάλα χρήσιμον· ἀλλ᾽ οὐ διηνεκῶς δίδοται, ἀλλὰ παισὶν οὖσιν ἡμῖν δίδοται μόνον. καὶ ἡ στερεὰ τροφὴ χρήσιμος· ἀλλ᾽ οὐδεὶς ἡμῖν αὐτῆς ἐν ἀρχῇ μεταδίδωσιν, ἀλλ᾽ ἐπειδὰν τὴν παιδικὴν ὑπεξέλθωμεν ἡλικίαν. πάλιν, τὸ θέρος χρήσιμον· ἀλλ᾽ οὐ διαπαντὸς φαίνεται. καὶ ὁ χειμὼν ἐπιτήδειος· ἀλλὰ καὶ οὗτος ὑπεξίσταται. τί οὖν; αἱ γραφαί, φησιν, οὐκ εἰσὶ χρήσιμοι; χρησιμώταται μὲν οὖν, καὶ ἀναγκαιόταται. καὶ εἰ χρήσιμοι, τίνος ἕνεκεν, φησιν, ἐξ ἀρχῆς ἡμῖν οὐκ ἐδόθησαν; ὅτι οὐ διὰ γραμμάτων, ἀλκαὶ διὰ πραγμάτων ἐβούλετο παιδεύειν τῶν ἀνθρώπων τὴν φύσιν ὁ Θεός. τί ποτέ ἐστι, διὰ πραγμάτων; διὰ τῆς κτίσεως αὐτῆς. Εἰς τοῦτο γοῦν τὸ κεφάλαιον ἐμπεσὼν ὁ ἀπόστολος, καὶ πρὸς ἕλληνας ἀποτεινόμενος τοὺς λέγοντας, ὅτι οὐκ ἐμάθομεν ἐξ ἀρχῆς ἀπὸ τῶν γραφῶν θεογνωσίαν, ὅρα πῶς ἀπελογήσατο. Εἰπὼν γάρ, Ὅτι ἀποκαλύπτεται ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων· ἐπειδὴ εἶδεν ἀντίθεσιν ἀντιπίπτουσαν αὐτῷ, καὶ πολλοὺς ἀντεροῦντας, ὅτι καὶ πόθεν ᾔδεσαν ἕλληνες τὴν ἀλήθειαν τοῦ Θεοῦ; ἐπήγαγε λέγων· Διότι τὸ γνωστὸν τοῦ Θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς. καὶ πῶς φανερόν ἐστιν ἐν αὐτοῖς; πῶς δὲ ἠδυνήθησαν εἰδέναι* Θεόν; καὶ τίς ἔδειξεν, εἰπέ; ὁ γὰρ Θεὸς ἔδειξεν αὐτοῖς, φησί. ποίῳ τρόπῳ; ποῖον προφήτην πέμψας; τίνα εὐαγγελιστήν; ποῖον διδάσκαλον, εἰ αἱ γραφαὶ μηδέπω ἦσαν; τὰ γὰρ ἀόρατα αὐτοῦ, φησίν, ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· τὴν κτίσιν εἰς μέσον προέθηκε πρὸ τῶν ὀφθαλμῶν πάντων, ἵν' ἀπὸ τῶν ἔργων τὸν δημιουργὸν στοχάζωνται. ὅπερ οὖν καὶ ἕτερος ἔλεγεν· Ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν καθορᾶται. Εἶδες τὸ μέγεθος· θαύμασον τὴν δύναμιν τοῦ ποιήσαντος. Εἶδες τὸ κάλλος· ἐκπλάγηθι τὴν σοφίαν τοῦ κοσμήσαντος. ὅπερ οὖν καὶ ὁ προφήτης ἐμφαίνων ἔλεγεν· Οἱ οὐρανοὶ διηγοῦνται τὴν δόξαν τοῦ Θεοῦ. πῶς οὖν διηγοῦνται, εἰπέ μοι; φωνὴν οὐκ ἔχουσι· στόμα οὐ κέκτηνται· γλῶττα παρ' αὐτοῖς οὐκ ἔστι. πῶς οὖν διηγοῦνται; διὰ τῆς ὄψεως αὐτῆς. ὅταν γὰρ ἴδῃς τὸ κάλλος, τὸ μέγεθος, τὸ ὕψος, τὴν θέσιν, τὸ σχῆμα, τὸ πρὸς τοσοῦτον χρόνον διαρκές, ὥσπερ φωνῆς ἀκούων, καὶ διδασκόμενος διὰ τῆς ὄψεως, προσκυνεῖς τὸν ποιήσαντα σῶμα οὕτω καλὸν καὶ παράδοξον. σιγᾷ ὁ οὐρανός, ἀλλ' ἡ ὄψις αὐτοῦ φωνὴν σάλπιγγος λαμπροτέραν ἀφίησι, δι' ὀφθαλμῶν ἡμᾶς, οὐ δι' ἀκοῆς παιδεύουσα. καὶ γὰρ πέφυκεν αὕτη ἐκείνης ἡ αἴσθησις καὶ πιστοτέρα εἶναι καὶ σαφεστέρα. Εἰ μὲν γὰρ διὰ βιβλίων ἐπαίδευε καὶ διὰ γραμμάτων, ὁ μὲν εἰδὼς γράμματα, ἔμαθεν ἂν τὰ ἐγγεγραμμένα· ὁ δὲ οὐκ εἰδώς, ἀπῆλθεν ἂν μηδὲν ἐκεῖθεν ὠφεληθείς, εἰ μή τις ἐνήγαγεν ἕτερος· καὶ ὁ μὲν εὔπορος ἐπρίατο ἂν τὸ βιβλίον, ὁ δὲ πένης οὐκ ἂν ἴσχυσε κτήσασθαι. πάλιν, ὁ μὲν τὴν φωνὴν ἐκείνην εἰδὼς τὴν διὰ τῶν γραμμάτων σημαινομένην, ἔγνω ἂν τὰ ἐγκείμενα· ὁ δὲ Σκύθης, καὶ ὁ βάρβαρος, καὶ ὁ Ἰνδός, καὶ ὁ Αἰγύπτιος, καὶ πάντες οἱ τῆς γλώττης ἐκείνης ἀπεστερημένοι ἀπῆλθον ἂν μηδὲν μαθόντες. ἐπὶ δὲ τοῦ οὐρανοῦ οὐκ ἔστι τοῦτο εἰπεῖν· ἀλλὰ καὶ Σκύθης καὶ βάρβαρος καὶ Ἰνδὸς καὶ Αἰγύπτιος καὶ πᾶς ἄνθρωπος ἐπὶ τῆς γῆς βαδίζων, ταύτης ἀκούσεται τῆς φωνῆς. οὐ γὰρ δι' ὤτων, ἀλλὰ δι' ὄψεως εἰς τὴν διάνοιαν ἐμπίπτει τὴν ἡμετέραν. ἡ δὲ τῶν ὁρωμένων ἀντίληψις μία τίς ἐστι, καὶ οὐ διάφορος, καθάπερ ἡ τῶν γλωσσῶν. Εἰς τοῦτο καὶ ἰδιώτης καὶ σοφὸς δυνήσεται τὸ βιβλίον ὁμοίως ἰδεῖν, καὶ πένης καὶ πλούσιος· καὶ ὅπουπερ ἄν τις ἀφίκηται, ἀναβλέψας εἰς τὸν οὐρανόν, ἀρκοῦσαν λήψεται διδασκαλίαν ἀπὸ τῆς θεωρίας. ὅπερ καὶ αὐτὸς ὁ προφήτης αἰνιττόμενος καὶ δεικνύς, ὅτι φωνὴν ἡ κτίσις ἀφίησι καὶ βαρβάροις καὶ ἕλλησι καὶ πᾶσιν ἁπλῶς ἀνθρώποις εὐσύνοπτον, οὕτως ἔλεγεν· Οὐκ εἰσὶ λαλιαί, οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐκ ἔστιν ἔθνος, οὐδὲ γλῶσσα, φησίν, ἡ μὴ δυναμένη συνιέναι ταύτης τῆς φωνῆς· ἀλλὰ τοιοῦτος αὐτῶν ἐστιν ὁ φθόγγος, ὥστε δύνασθαι ὑπὸ πάντων ἀνθρώπων ἀκούεσθαι, καὶ οὐχὶ τοῦ οὐρανοῦ μόνον, ἀλλὰ καὶ τῆς ἡμέρας καὶ τῆς νυκτός. καὶ πῶς τῆς ἡμέρας, καὶ τῆς νυκτός; οὐρανὸς μὲν γὰρ καὶ διὰ τοῦ κάλλους, καὶ διὰ τοῦ μεγέθους, καὶ διὰ τῶν ἄλλων ἁπάντων ἐκπλήττει τὸν θεατήν, καὶ πρὸς τὸ θαῦμα τοῦ δημιουργήσαντος αὐτὸν παραπέμπει· ἡ δὲ ἡμέρα καὶ ἡ νὺξ τί τοιοῦτον ἂν ἔχοιεν ἡμῖν ἐπιδείξασθαι; τοιοῦτον μὲν οὐδέν, ἕτερα δὲ οὐκ ἐλάττονα τούτων, τὸν ῥυθμόν, τὴν τάξιν τὴν μετὰ ἀκριβείας ἁπάσης*. ὅταν γὰρ ἐννοήσῃς, πῶς τὸν ἐνιαυτὸν πάντα διενείμαντο, καὶ καθάπερ ἐν ζυγῷ καὶ πλάστιγγι τοῦ παντὸς

Ρωμ. α. ιη.

Σοφ. ιγ. ε.

Ψαλ. ιη. α.

Ψαλ. ιη. γ.

διαστήματος τὸ μῆκος διείλαντο, ἐκπλαγήσῃ τὴν τάξιν ταύτην. καθάπερ γάρ τινες ἀδελφαὶ τὸν πατρῷον διανειμάμεναι κλῆρον μετὰ πολλῆς τῆς ἀγάπης οὐδὲ τὸ τυχὸν ἀλλήλαις ἐπηρεάζουσιν· οὕτω δὴ καὶ ἡ ἡμέρα καὶ ἡ νὺξ μετὰ ἀκριβείας ἁπάσης τὸν ἐνιαυτὸν ἐν ἰσομοιρίᾳ τοσαύτῃ διενείμαντο, καὶ τοὺς οἰκείους διατηροῦσιν ὅρους, καὶ οὐδέποτε ἑτέρα τὴν ἑτέραν ἐξώθησεν. οὐδέποτε οὖν ἐν χειμῶνι μακρὰ γέγονεν ἡ ἡμέρα, ὥσπερ οὐδέποτε ἐν θέρει μακρὰ γέγονεν ἡ νὺξ, τοσούτων παρελθουσῶν γενεῶν· ἀλλ' ἐν τοσούτῳ διαστήματι καὶ μήκει οὐδὲ ἀκαριαῖον, οὐχ ἡμιώριον, οὐ ῥιπὴν ὀφθαλμοῦ ἡ ἑτέρα τὴν ἑτέραν ἐπλεονέκτησε. διὰ ταῦτα καὶ ὁ ψαλμῳδὸς ἐκπλαγεὶς αὐτῶν τὴν ἰσότητα, ἐβόα λέγων· Νὺξ νυκτὶ "ἀναγγέλλει γνῶσιν. ἂν ταῦτα εἰδῇς φιλοσοφεῖν, θαυμάσεις τὸν οὕτω παρὰ τὴν ἀρχὴν τάξαντα τοὺς ἀκινήτους "τούτους ὅρους. ἀκουέτωσαν ταῦτα οἱ πλεονέκται καὶ τῶν ἀλλοτρίων ἐφιέμενοι χρημάτων, καὶ μιμείσθωσαν ἡμέρας καὶ νυκτὸς τὴν ἰσότητα. ἀκουέτωσαν οἱ "πεφυσημένοι, καὶ μεγάλα φρονοῦντες, καὶ μὴ βουλόμενοι τῶν πρωτείων ἑτέροις παραχωρεῖν. ἡ ἡμέρα τῇ νυκτὶ παραχωρεῖ, καὶ οὐκ ἐπιβαίνει τοῖς ἀλλοτρίοις ὅροις· σὺ δὲ ἀεὶ τιμῆς ἀπολαύων, οὐκ ἀνέχῃ τοῖς ἀδελφοῖς μεταδοῦναι ταύτης. καὶ σκόπει μοι νομοθέτου σοφίαν. ἐν χειμῶνι μακρὰν ἔταξεν εἶναι τὴν νύκτα, ὅτε ἁπαλώτερα τὰ σπέρματα, καὶ καταψύχεσθαι δεόμενα μᾶλλον, καὶ θερμοτέρας οὐκ ἀνέχεται τῆς ἀκτῖνος· ἐπειδὰν δὲ αὐξηθῇ, συναύξεται πάλιν αὐτοῖς ἡ ἡμέρα, καὶ τότε γίνεται μακροτέρα, ὅταν ὁ καρπὸς ἀκμάζῃ λοιπόν. οὐ τοῖς σπέρμασι δὲ τοῦτο, ἀλλὰ καὶ τοῖς σώμασιν ἐπιτήδειον. ἐπειδὴ γὰρ τοῦ χειμῶνος καὶ ναύτης καὶ κυβερνήτης καὶ ὁδοιπόρος καὶ στρατιώτης καὶ γεωργὸς τὰ πολλὰ οἴκοι κάθηνται τῷ κρυμῷ συνδεδεμένοι, καὶ ἀργίας καιρὸς ὁ τοῦ χειμῶνός ἐστι, τὸ πλέον τοῦ χρόνου εἰς "νύκτας ἀναλίσκεσθαι ἐποίησεν ὁ Θεὸς, ἵνα μὴ περιττὸν ᾖ τῆς ἡμέρας τὸ μῆκος, οὐδὲν δυναμένων ποιεῖν τῶν ἀνθρώπων. τί ἄν τις εἴποι τῶν ὡρῶν τὴν εὐταξίαν; πῶς καὶ αὗται, καθάπερ παρθένοι τινὲς χορεύουσαι ἐν κύκλῳ, μετὰ πολλῆς τῆς εὐταξίας ἀλλήλας διαδέχονται, καὶ κατὰ μικρὸν * ἀψοφητὶ πρὸς τὰς ἐναντίας αἱ μέσαι διαβιβάζουσαι οὐ παύονται; διὰ τοῦτο οὔτε ἀπὸ χειμῶνος ἡμᾶς διαδέχεται θέρος, οὔτε ἐκ θέρους χειμὼν εὐθέως· ἀλλὰ "μέσον παρεμβέβληται τὸ ἔαρ, ὥστε ἠρέμα καὶ κατὰ μικρὸν "διαδεχομένων ἡμῶν πεπυκνωμένα τὰ σώματα ἀλύπως προσάγειν τῷ θέρει. ἐπειδὴ γὰρ αἱ ἀθρόαι πρὸς τὸ ἐναντίον μεταβολαὶ νόσον καὶ βλάβην τίκτουσι τὴν ἐσχάτην, ᾠκονόμησεν ὁ Θεὸς ἀπὸ μὲν τοῦ χειμῶνος τὸ ἔαρ ἡμᾶς διαδέχεσθαι, ἀπὸ δὲ τοῦ ἔαρος τὸ θέρος, ἀπὸ δὲ τοῦ θέρους τὸ μετόπωρον, καὶ οὕτω τῷ χειμῶνι παραπέμπειν, ὥστε ἀβλαβεῖς καὶ κατὰ μικρὸν τὰς μεταβολὰς τὰς ἐκ τῶν ἐναντίων ὡρῶν διὰ τῶν μέσων ἡμῖν ἐγγίνεσθαι. τίς οὖν οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὡς ὁρῶν μὲν οὐρανὸν, ὁρῶν δὲ θάλατταν καὶ γῆν, ὁρῶν δὲ τοσαύτην ὡρῶν "εὐκρασίαν οὕτως ἀκριβῆ, καὶ ἡμέρας καὶ νυκτὸς ἀδιάπτωτον τάξιν, νομίζειν αὐτομάτως ταῦτα γίνεσθαι, ἀλλὰ μὴ προσκυνεῖν τὸν ἅπαντα ταῦτα μετὰ σοφίας τῆς προσηκούσης διαταξάμενον;

Ψαλ. ιη. β.

Ἔχω τι καὶ τούτων πλέον εἰπεῖν. οὐ γὰρ δὴ μόνον τὸ μέγεθος καὶ τὸ κάλλος, ἀλλὰ καὶ αὐτὸς ὁ τρόπος τῆς δημιουργίας ἐμφαίνει τὸν "συγκροτοῦντα "τὰ πάντα Θεόν. ἐπειδὴ γὰρ κτίζοντι καὶ δημιουργοῦντι ἅπαντα παρὰ τὴν ἀρχὴν οὐ παρῆμεν, οὐδὲ, εἰ καὶ παρῆμεν, εἴδομεν ἂν πῶς ἐγίνετο, τῆς ἀοράτου δυνάμεως αὐτὰ κατασκευαζούσης, αὐτὸν τὸν τρόπον τῆς δημιουργίας ἄριστον ἡμῖν ἐποίησεν ἐγγενέσθαι διδάσκαλον, "παρὰ φύσεως ἀκολουθίαν "συνθεὶς ἅπαντα τὰ γινόμενα. τάχα ἀσαφέστερόν ἐστιν, ὅπερ εἶπον· οὐκοῦν ἀνάγκη σαφέστερον τοῦτο πάλιν εἰπεῖν. πάντες ἂν ὁμολογήσαιμεν, ὅτι φύσεώς ἐστιν ἀκολουθία, τὸ ὕδωρ "ὑπὲρ τὴν γῆν φέρεσθαι, ἀλλ' οὐχὶ τὴν γῆν ἐπὶ τῶν ὑδάτων. ἡ μὲν γὰρ γῆ πυκνή τις οὖσα καὶ σκληρὰ καὶ ἀντίτυπος καὶ συνεχὴς ῥᾳδίως δύναται φέρειν τῶν ὑδάτων τὴν φύσιν, τὸ δὲ ὕδωρ ῥυτὸν ὂν καὶ χαῦνον, μαλακόν τε καὶ διαρρέον, καὶ τοῖς ἐμπίπτουσιν εἶκον ἅπασιν, οὐδὲ ἂν σῶμα δυνηθείη φέρειν, κἂν σφόδρα κουφότατον ᾖ. πολλάκις γοῦν ψηφῖδας μικρὰς κρᾶς ἐμπεσούσης εἶξε καὶ παρεχώρησε, καὶ πρὸς τὸ βάθος αὐτὴν παρέπεμψεν. ὅταν οὖν ἴδῃς οὐχὶ ψηφῖδα μικρὰν, ἀλλὰ τὴν γῆν ἅπασαν ὑπεράνω τῶν ὑδάτων φερομένην καὶ μὴ καταποντιζομένην, θαύμασον τὴν δύναμιν τοῦ ὑπὲρ φύσιν ταῦτα θαυματουργήσαντος. καὶ πόθεν τοῦτο δῆλον, ὅτι ἡ γῆ ὑπεράνω τῶν ὑδάτων φέρεται; ὁ προφήτης τοῦτό φησιν* Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν, καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν. καὶ πάλιν, Τῷ θεμελιώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων. τί λέγεις; ψηφῖδα μικρὰν ὕδωρ ἐπὶ τῶν νώτων οὐκ ἂν δυνηθῇ βαστάσαι, καὶ γῆν τοσαύτην φέρει, καὶ ὄρη, καὶ βουνοὺς, καὶ πόλεις, καὶ φυτὰ, καὶ ἄνδρας, καὶ ἄλογα, καὶ οὐ καταποντίζεται; τί λέγω, οὐ καταποντίζεται; πῶς" κάτωθεν ὁμιλοῦντος αὐτῇ τοῦ ὕδατος τοσοῦτον χρόνον, οὐ διελύθη καὶ πηλὸς γέγονε τὸ πᾶν; ἡ γὰρ ξύλων φύσις ὕδασι βραχὺν ἐνδιατρίψασα χρόνον, σήπεται καὶ διαλύεται. καὶ τί λέγω, ξύλων φύσις; σιδήρου τί γένοιτ' ἂν εὐτονώτερον; ἀλλὰ καὶ οὗτος χαυνοῦται πολλάκις, ὅταν διαπαντὸς ἐν ὕδατι μένῃ· καὶ μάλα εἰκότως. καὶ γὰρ καὶ αὐτὸς ἀπὸ γῆς ἔχει τὴν ὕπαρξιν. διὰ τοῦτο πολλοὶ τῶν δραπετευόντων οἰκετῶν, ἐπειδὰν τὰς πέδας καὶ τὰς ἁλύσεις ἐπισυρόμενοι φύγωσι, παρὰ ῥύακας ὑδάτων ἐλθόντες, καὶ δεδεμένους ἐναποθέμενοι τοὺς πόδας τοῖς ὕδασι, καὶ χαυνότερον ταύτῃ ποιήσαντες" τὸν σίδηρον, ῥᾳδίως λίθῳ παίοντες διακλῶσιν. εἶτα σίδηρος μὲν χαυνοῦται, καὶ ξύλα σήπεται, καὶ λίθοι φθείρονται ἀπὸ τῆς τῶν ὑδάτων φύσεως· γῆς δὲ ὄγκος τοσοῦτος ἐπὶ τοσοῦτον χρόνον ἐπικείμενος τοῖς ὕδασιν" οὐ κατεποντίσθη, οὔτε διελύθη καὶ ἀπώλετο; καὶ τίς οὐκ ἂν ἐκπλαγείη ταῦτα, καὶ ὑπερθαυμάσειε, καὶ θαρρῶν ἂν εἴποι οὐχὶ φύσεως εἶναι ἔργα, ἀλλὰ τῆς ὑπὲρ φύσιν προνοίας; διὰ ταῦτά τίς φησιν, Ο κρεμάσας τὴν γῆν ἐπ' οὐδενός· ἄλλος δέ τις, Εν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς· καὶ ὅτι Επὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν. καὶ δοκεῖ μὲν ἐναντία ταῦτα εἶναι, πολλὴν δὲ ἔχει τὴν συμφωνίαν. ὁ γὰρ εἰπὼν, ὅτι ἐπὶ τῶν ὑδάτων ἐθεμελίωσεν αὐτὴν, ταυτὸν εἶπε τῷ εἰρηκότι, ὅτι ἐπ' οὐδενὸς αὐτὴν ἐκρέμασε. τὸ γὰρ ἐπὶ τῶν ὑδάτων ἑστάναι, ἴσον ἐστὶ" τῷ κρεμᾶσθαι ἐπ' οὐδενός. "ποῦ οὖν κρέμαται καὶ ἕστηκεν; ἄκουσον τοῦ αὐτοῦ λέγοντος· ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς. οὐχ ὅτι χεῖρας ἔχει ὁ Θεὸς, ἀλλ' ἵνα μάθῃς, ὅτι ἡ δύναμις αὐτοῦ ἡ προνοοῦσα πάντων, αὐτή ἐστιν ἡ" συγκροτοῦσα* καὶ διαβαστάζουσα τὸ σῶμα τῆς γῆς. ἀλλ' οὐ πείθῃ τοῖς εἰρημένοις; "πείσθητι τοῖς ὁρωμένοις. καὶ γὰρ * ἐφ' ἑτέρου στοιχείου τὴν θαυματουργίαν ταύτην ἔστιν ἰδεῖν. τοῦ γὰρ πυρὸς ἡ φύσις ἀνωφερής τέ ἐστι καὶ πρὸς τὸ ὕψος ἀεὶ πηδᾷν καὶ ἅλλεσθαι πέφυκε. κἂν μυρία βιάσῃ καὶ καταναγκάσῃς, οὐκ ἂν ἀνάσχοιτο τῆς κάτω φορᾶς. πολλάκις γοῦν δᾷδα" ἡμμένην λαβόντες, καὶ κατὰ κεφαλῆς κλίναντες, τοῦ πυρὸς τὴν ὁρμὴν οὐκ" ἠνάγκασαν κάτω νεῦσαι, ἀλλὰ καὶ οὕτως ἄνω τρέχει καὶ πρὸς τὸ ὕψος ἐπείγεται κάτωθεν. ἐπὶ δὲ τοῦ ἡλίου τοὐναντίον ἅπαν ἐποίησεν ὁ Θεός. τὰς γὰρ ἀκτῖνας αὐτοῦ πρὸς τὴν γῆν ἔστρεψε, καὶ τὸ φῶς κάτω νεύειν ἐποίησε, μονονουχὶ λέγων αὐτῷ διὰ τοῦ σχήματος, κάτω βλέπε, φησὶ, καὶ τοῖς ἀνθρώποις φαῖνε. διὰ γὰρ ἐκείνους ἐγένου. καὶ λύχνου μὲν φλὸξ οὐκ ἂν ἀνάσχοιτο τοῦτο παθεῖν· ἄστρον δὲ οὕτω μέγα καὶ θαυμαστὸν κάτω νεύει καὶ πρὸς τὴν γῆν βλέπει ἀπ' ἐναντίας τῷ πυρὶ διὰ τὴν τοῦ κελεύσαντος δύναμιν. βούλει καὶ ἕτερον εἴπω τοιοῦτον; τὰ νῶτα τοῦ οὐρανοῦ τοῦ φαινομένου ὕδατα περιλαμβάνει πάντοθεν, καὶ οὐ καταρρεῖ, οὐδὲ ἐξίσταται. καίτοι γε οὐκ ἔστι τοιαύτη τῶν ὑδάτων ἡ φύσις· ἀλλ' εἰς μὲν τὰ κοῖλα συντρέχει ῥᾳδίως, ἐπειδὰν δὲ κεκυρτωμένον ᾖ σῶμα, διολισθαίνει πάντοθεν, καὶ οὐκ ἂν οὐδὲ μικρὸν αὐτοῦ σταίη μέρος ἐπὶ [τοῦ] τοιούτου σχήματος. ἀλλ' ἰδοὺ τὸ παράδοξον τοῦτο γέγονεν ἐπὶ τῶν οὐρανῶν. καὶ τοῦτο αὐτὸ πάλιν ὁ προφήτης αἰνιττόμενος ἔλεγεν· Αἰνεῖτε τὸν Κύριον τὰ ὕδατα τὰ ὑπεράνω τῶν οὐρανῶν. καὶ οὔτε τὸ ὕδωρ τὸν ἥλιον ἔσβεσεν, οὔτε ὁ ἥλιος ἐπὶ τοσούτῳ χρόνῳ βαδίζων κάτωθεν τὸ ἐπικείμενον ἀνεξήρανεν ὕδωρ. βούλει σε πάλιν εἰς τὴν γῆν καταγάγωμεν, καὶ τὸ θαῦμα ἐπιδείξωμεν; οὐχ ὁρᾷς ταύτην τὴν θάλατταν τὴν

κυμ-

Ψαλ. κγ. β.

Ιωβ κς. ζ.

Ψαλ. ϟδ.

Ψαλ. κγ. β.

Ψαλ. ρμη. δ.

κυμάτων* γέμουσαν καὶ πνευμάτων βιαίων; ἀλλ' αὕτη ἡ θάλαττα ἡ εὐρύχωρος καὶ μεγάλη καὶ μαινομένη ἀσθενεῖ ψάμμῳ τειχίζεται. καὶ σκόπει Θεοῦ σοφίαν· οὐκ ἀφῆκεν αὐτὴν ἡσυχάζειν, οὐδὲ ἠρεμεῖν, ἵνα μὴ τῆς φύσεως αὐτῆς εἶναι νομίσῃς τὴν εὐταξίαν· ἀλλ' ἔνδον μένουσα βοᾷ καὶ ταράττεται, καὶ ″ μέγα ἠχεῖ, καὶ τὰ κύματα πρὸς ὕψος διανίστησιν ἄφατον. ἐπειδὰν δὲ ἔλθῃ πρὸς τοὺς αἰγιαλούς, καὶ τὴν ψάμμον ἴδῃ, διαλυθεῖσα πρὸς ἑαυτὴν πάλιν ἐπάνεισι, δι' ἀμφοτέρων σε τούτων διδάσκουσα, ὅτι οὐχὶ φύσεως ἔργον ἐστὶ τὸ μένειν αὐτὴν εἴσω τῶν οἰκείων ὅρων, ἀλλὰ τῆς τοῦ ″ κατέχοντος αὐτὴν δυνάμεως. διὰ τοῦτο γοῦν καὶ ἀσθενὲς τὸ τειχίον ἐποίησε, καὶ οὐ ξύλα ″ καὶ λίθους, οὐδὲ ὄρη τοῖς ″ αἰγιαλοῖς περιέβαλε τούτοις, ἵνα μὴ τούτοις λογίσῃ τοῦ στοιχείου τὴν εὐταξίαν. τοῦτο γοῦν καὶ αὐτός ποτε τοῖς Ἰουδαίοις ὀνειδίζων ἔλεγεν· Ἐμὲ οὐ φοβηθήσεσθε τὸν τάξαντα ἄμμον ὅριον τῇ θαλάσσῃ, καὶ οὐχ ὑπερβήσεται; οὐ τοῦτο δὲ μόνον ἐστὶ τὸ θαυμαστόν, ὅτι μέγαν καὶ θαυμαστὸν τὸν κόσμον ἐποίησε, καὶ ὅτι παρὰ φύσεως ἀκολουθίαν αὐτὸν συνέπηξεν, ἀλλ' ὅτι καὶ ἐξ ἐναντίων αὐτὸν συνέστησε, θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ καὶ ὑγροῦ, πυρὸς καὶ ὕδατος, γῆς καὶ ἀέρος· καὶ τὰ ἐναντία ταῦτα στοιχεῖα, ἀφ' ὧν τόδε τὸ πᾶν συνέστηκεν, ἀλλήλοις μαχόμενα ὑπ' ἀλλήλων οὐκ ἀνηλώθη. οὐ τὸ πῦρ ἐπέδραμε καὶ ἀνῆψεν ἅπαντα, οὐ τὸ ὕδωρ ἐπελθὸν ἐπέκλυσε τὴν οἰκουμένην. ἀλλ' ἐπὶ μὲν τῶν σωμάτων τῶν ἡμετέρων ταῦτα γίνεται, καὶ χολῆς αὐξανομένης τίκτεται πυρετὸς καὶ τὸ πᾶν ζῶον λυμαίνεται, καὶ φλέγματος πλεονάζοντος πολλὰ νοσήματα φύεται καὶ διαφθείρει τὸ ζῶον· ἐπὶ δὲ τοῦδε τοῦ παντὸς οὐδὲν τούτων συνέβη· ἀλλ' ἕκαστον μένει, καθάπερ τινὶ χαλινῷ καὶ δεσμῷ, τῷ βουλήματι τοῦ ποιήσαντος τοὺς οἰκείους διαφυλάττον ὅρους, καὶ ἡ μάχη τούτων εἰρήνης αἰτία γίνεται τῷ παντί. ταῦτα οὐχὶ καὶ τυφλῷ δῆλα, καὶ τοῖς σφόδρα ἀνοήτοις εὐσύνοπτα, ὅτι ἐκ προνοίας τινὸς γέγονε καὶ ″ συγκροτεῖται; τίς γὰρ οὕτως ἄφρων καὶ ἀναίσθητος, ὡς ὁρῶν τοσούτων σωμάτων ὄγκον, τοσοῦτον κάλλος, τοσαύτην σύνθεσιν, τοιαύτην στοιχείων μάχην διηνεκῆ, καὶ ἐναντίωσιν, καὶ διαμονήν, μὴ λογίσασθαι πρὸς ἑαυτὸν καὶ εἰπεῖν· ὅτι εἰ μὴ πρόνοιά τις ἦν ἡ τὸν ὄγκον τῶν σωμάτων διακρατοῦσα, καὶ μὴ συγχωροῦσα τὸ πᾶν διαπεσεῖν, οὐκ ἂν ἔμενεν, οὐκ ἂν διήρκεσε. τοσαύτη μὲν ὡρῶν εὐταξία, τοσαύτη δὲ ἡμέρας καὶ νυκτὸς συμφωνία, τοσούτων δὲ ἀλόγων ζώων γένη καὶ φυτῶν καὶ σπερμάτων καὶ βοτανῶν ὁδῷ βαδίζει, καὶ οὐδὲν εἰς τὴν παροῦσαν ἡμέραν οὔτε διέπεσεν, οὔτε ἀνηλώθη καθάπαξ.

Ἱερ. ε. κβ.

Οὐ ταῦτα δὲ μόνον, ἀλλὰ καὶ πολλὰ ἕτερα τούτων πλείονα καὶ βαθύτερα ἦν εἰπεῖν, καὶ περὶ αὐτῆς φιλοσοφῆσαι τῆς κτίσεως. ἀλλ' εἰς τὴν ἐπιοῦσαν ἐκεῖνα ταμιευσάμενοι*, σπουδάσωμεν τὰ εἰρημένα μετ' ἀκριβείας κατασχεῖν καὶ εἰς ἑτέρους ἐξενεγκεῖν. καὶ οἶδα μέν, ὅτι τὴν ἀκοὴν ὑμῶν ἐξένισε τῶν νοημάτων τὸ βάθος· ἀλλ' ἐὰν ὀλίγον νήψωμεν καὶ ἐν τούτοις ἐθίσωμεν ἑαυτούς, καὶ ἑτέροις ῥᾳδίως ἐσόμεθα διδάσκαλοι. τέως δὲ ἐκεῖνο πρὸς τὴν ὑμετέραν ἀγάπην ἀναγκαῖον εἰπεῖν· ὥσπερ ἐδόξασεν ἡμᾶς ὁ Θεὸς διὰ τῆς τοσαύτης δημιουργίας, οὕτω δοξάσωμεν αὐτὸν καὶ ἡμεῖς διὰ τῆς πολιτείας τῆς καθαρᾶς. οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ φαινόμενοι μόνον· καὶ ἡμεῖς τοίνυν διηγησώμεθα δόξαν Θεοῦ, μὴ λέγοντες μόνον, ἀλλὰ καὶ σιγῶντες, καὶ τῇ τοῦ βίου λαμπρότητι πάντας ἐκπλήττοντες. Λαμψάτω γάρ, φησιν, ὑμῶν τὸ φῶς ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. ὅταν γὰρ ὁ ἄπιστος ἴδῃ σε τὸν πιστὸν κατεσταλμένον, σωφρονοῦντα, κόσμιον ὄντα, ἐκπλαγήσεται, καὶ ἐρεῖ· ἀληθῶς μέγας ὁ τῶν Χριστιανῶν Θεός. οἵους ″ κατέστησεν ἀνθρώπους; οἵους ἐξ οἵων ἐποίησεν; ἀγγέλους αὐτοὺς ἐξ ἀνθρώπων εἰργάσατο; ἂν ὑβρίσῃ τις, οὐ λοιδοροῦνται· ἂν τυπτήσῃ τις, οὐκ ἀγανακτοῦσιν· ἐὰν ἀδικήσῃ τις, ὑπερεύχονται τοῦ λελυπηκότος· ἐχθρὸν οὐκ ἔχουσι, μνησικακεῖν οὐκ ἐπίστανται, φλυαρεῖν οὐκ ἴσασιν, οὐκ ἔμαθον ψεύδεσθαι, ἐπιορκεῖν οὐκ ἀνέχονται, μᾶλ-

Ματθ. ε. ιϛ.

τον δὲ οὐδὲ ὀμνύειν· ἀλλὰ τὴν γλῶτταν ἐκτμηθῆναι ἂν ἕλοιντο πρότερον, ἢ ὅρκον τινὰ ἀπὸ τοῦ στόματος προΐεσθαι. ταῦτα δῶμεν αὖθις περὶ ἡμῶν λέγειν, καὶ τὴν πονηρὰν τῶν ὅρκων συνήθειαν ἀπελάσωμεν, καὶ τοσαύτην δῶμεν τῷ Θεῷ τιμήν, ὅσην τοῖς ἱματίοις ἡμῶν τοῖς πολυτελεστέροις. πῶς γὰρ οὐκ ἄτοπον, ἱμάτιον μὲν ἔχοντας τῶν λοιπῶν βέλτιον, μὴ ἀνέχεσθαι συνεχῶς αὐτῷ καταχρᾶσθαι, τὸ δὲ τοῦ Θεοῦ ὄνομα πανταχοῦ περισύρειν ἁπλῶς καὶ ὡς ἔτυχε; μή, δέομαι καὶ ἀντιβολῶ, μὴ οὕτω καταφρονῶμεν ἡμῶν τῆς σωτηρίας· ἀλλὰ τὴν σπουδήν, ἣν ἐξ ἀρχῆς ἐποιούμεθα περὶ τὴν ἐντολὴν ταύτην, εἰς τέλος ἀγάγωμεν. καὶ γὰρ ἐγὼ διὰ τοῦτο συνεχῆ ποιοῦμαι τὴν παράκλησιν τὴν περὶ τῶν ὅρκων· οὐκ ἐπειδὴ κατέγνων ὑμῶν ῥαθυμίαν, ἀλλ' ἐπειδὴ τὸ πλέον κατορθωθὲν ὑμῖν εἶδον, καὶ σπεύδω καὶ ἐπείγομαι τὸ πᾶν ἀπαρτισθῆναι καὶ τέλος λαβεῖν. οὕτω καὶ οἱ θεαταὶ ποιοῦσι· τοὺς ἐγγὺς ὄντας τῶν βραβείων διεγείρουσι μᾶλλον. μὴ τοίνυν ἀποκάμωμεν μηδὲ ἡμεῖς. καὶ γὰρ ἐγγὺς ἑστήκαμεν τοῦ παντὸς κατορθώματος, καὶ ἡ δυσκολία παρὰ τὴν ἀρχὴν ἦν. ὅτε δὲ τὸ πλέον τῆς συνηθείας ὑπετμήθη νῦν, καὶ μικρὸν ὑπολέλειπται· λοιπὸν οὐδὲ πόνου χρεία τινός, ἀλλὰ μικρᾶς παρατηρήσεως καὶ βραχείας τινὸς ἀκριβείας δεόμεθα, ἵνα αὐτοὶ κατορθώσαντες καὶ ἑτέροις γενώμεθα διδάσκαλοι, καὶ μετὰ παρρησίας τὸ ἱερὸν ἴδωμεν πάσχα, καὶ μετὰ πολλῆς τῆς ἡδονῆς διπλασίονα καὶ τριπλασίονα τῆς εἰωθυίας καρπωσώμεθα τὴν εὐφροσύνην. οὐ γὰρ οὕτω τὸ τῶν πόνων ἡμᾶς ἀπαλλαγῆναι καὶ τῶν ἱδρώτων τῆς νηστείας εὐφραίνει, ὡς τὸ μετὰ κατορθώματος καὶ στεφάνου λαμπροῦ εἰς τὴν ἱερὰν ἐκείνην ἑορτὴν ἀπαντῆσαι, στεφάνου μηδέποτε μαραινομένου. ὥστε δὲ ταχυτέραν γενέσθαι τὴν διόρθωσιν, τοῦτο ποίησον ὃ λέγω· γράψον ἐπὶ τῶν τοίχων τῆς οἰκίας σου, καὶ ἐπὶ τῶν τοίχων τῆς καρδίας σου, τὴν δρεπάνην τὴν πετομένην ἐκείνην, καὶ ταύτην ἐπὶ τῆς ἀγορᾶς πέτεσθαι νόμιζε, καὶ συνεχῶς αὐτὴν ἀναλογίζου. κἂν ἕτερον ὀμνύντα ἴδῃς, ἐπίσχες, κώλυσον· καὶ τῶν οἰκετῶν ἐπιμελήθητι τῶν σῶν. ἂν γὰρ τοῦτο σκοπῶμεν, ὅπως μὴ μόνον αὐτοὶ κατορθώσαιμεν, ἀλλὰ καὶ ἑτέρους εἰς τοῦτο ἐναγάγοιμεν, ταχέως αὐτοὶ πρὸς τὸ πέρας ἥξομεν. οἱ γὰρ ἑτέρους παιδεύειν καταδεξάμενοι, ἐρυθριάσομεν καὶ αἰσχυνούμεθα, ἃ τοῖς ἄλλοις ἐπιτάττομεν, ταῦτα ἐλλιμπάνοντες αὐτοὶ φανῆναι. οὐδὲ χρεία πλειόνων λόγων. πολλὰ γὰρ τὰ πρῴην εἰρημένα, καὶ ταῦτα δὲ ὑπομνήσεως μόνης ἕνεκεν εἴρηται. ὁ δὲ Θεός, ὁ μᾶλλον ἡμῶν τῶν ἡμετέρων φειδόμενος ψυχῶν, καὶ ἐν τούτῳ καὶ ἐν παντὶ καταρτίσειεν ἡμᾶς ἀγαθῷ· ἵνα πληρώσαντες πάντα καρπὸν δικαιοσύνης, καταξιωθῶμεν τῆς βασιλείας τῶν οὐρανῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ζαχ. ε. α.

ΕΠΑΙΝΟΣ ΤΩΝ ΜΕΤΑ ΤΗΝ ΕΣΤΙΑΣΙΝ ΑΠΗΝΤΗΚΟΤΩΝ εἰς τὴν ἀκρόασιν, καὶ φυσιολογία κόσμου, καὶ κατὰ τῶν θεοποιούντων τὴν κτίσιν, καὶ περὶ τοῦ μὴ ὀμνύειν. Λογ. ι.

Χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν, ὅτι τὴν παραίνεσιν ἡμῶν, ἣν ὑπὲρ τῶν μὴ νηστευόντων, καὶ διὰ τοῦτο ἀπολιμπανομένων ἐποιησάμεθα πρῴην, εἰς ἔργον ὑμεῖς ἐξηνέγκατε. καὶ γὰρ πολλοὺς οἶμαι τῶν ἠριστηκότων παρεῖναι τήμερον, καὶ τὸν καλὸν ἡμῖν τοῦτον σύλλογον πληροῦν. καὶ τοῦτο στοχάζομαι ἐκ τοῦ λαμπρότερον ἡμῖν τὸ θέατρον γενέσθαι, καὶ πλείω τῶν ἀκροωμένων τὴν σύνοδον. οὐ μάτην, ὡς ἔοικε, τοὺς πολλοὺς περὶ αὐτῶν πρῴην ἀνηλώσαμεν λόγους, τὴν ὑμετέραν ἀγάπην παρακαλοῦντες ἕλκειν πρὸς τὴν μητέρα αὐτοῦ καὶ πείθειν, ὡς ἔξεστι καὶ μετὰ τροφὴν σωματικὴν καὶ τροφῆς μετασχεῖν πνευματικῆς. πότε γάρ, εἰπέ μοι, βέλτιον πεποιήκατε, ἀγαπητοί, τῇ παρελθούσῃ συνάξει, ὅτε μετὰ τὴν τράπεζαν ἐπὶ ὕπνον ἐτρέπεσθε, ἢ νῦν, ὅτε μετὰ τὴν τράπεζαν εἰς τὴν ἀκρόασιν τῶν θείων ἀπηντήκατε νόμων; ὅτε ἐπὶ τῆς ἀγορᾶς διετρίβετε, καὶ συνεδρίων μετείχετε οὐδὲν ἐχόντων χρηστόν, ἢ νῦν, ὅτε μετὰ τῶν ἀδελφῶν ἑστήκατε τῶν ὑμετέρων, καὶ προφητικῶν ἀκούετε λόγων; οὐκ ἔστιν αἰσχύνη τὸ φαγεῖν, ἀγαπητοί, ἀλλὰ τὸ φαγόντα μένειν οἴκοι, καὶ ὑστερεῖν τῆς ἱερᾶς ταύτης ἑορτῆς. οἴκοι μὲν γὰρ μένων ἀργότερος ἔσῃ καὶ νωθέστερος, ἐνταῦθα δὲ ἐλθὼν πάντα ὕπνον καὶ πᾶσαν ῥᾳθυμίαν ἀποτινάξῃ· οὐ ῥᾳθυμίαν δὲ μόνον, ἀλλὰ καὶ ἀθυμίαν ἅπασαν ἀποθέμενος, ῥᾴων καὶ εὐθυμότερος ἐν ἅπασιν ἔσῃ τοῖς συμπίπτουσι πράγμασι. καὶ τί χρὴ τὰ ἄλλα λέγειν; ἐπεὶ μόνον ἔστης τοῦ νηστεύοντος, καὶ μετέλαβες αὐτοῦ εὐθέως τῆς εὐωδίας. μύρον γάρ ἐστιν ὁ νηστεύων πνευματικόν, καὶ διὰ τῶν ὀφθαλμῶν καὶ διὰ τῆς γλώττης καὶ διὰ πάντων ἐμφαίνων τὴν τῆς ψυχῆς εὐταξίαν. ταῦτα οὐχὶ κατηγορῶν τῶν ἠριστηκότων εἶπον, ἀλλ' ἵνα δείξω τῆς νηστείας τὸ κέρδος. νηστείαν δὲ οὐχὶ τὴν ἀποχὴν τῶν βρωμάτων λέγω μόνον, ἀλλὰ καὶ πρὸ ταύτης τὴν τῶν ἁμαρτημάτων ἀποχήν. ἐπεὶ καὶ ὁ ἑστιαθεὶς, καὶ ἐνταῦθα μετὰ τῆς προσηκούσης παραγινόμενος εὐφροσύνης, οὐ πολὺ τοῦ νηστεύοντος ἀπολιμπάνεται· ὥσπερ οὖν ὁ νηστεύσας, καὶ μὴ μετὰ σπουδῆς καὶ ἀκριβείας τοῖς λεγομένοις προσέχων, οὐδὲν ἀπὸ τῆς νηστείας καρπώσεται μέγα. ὁ γὰρ ἐσθίων καὶ συνάξεως ἁγίας κοινωνῶν μετὰ τῆς προσηκούσης σπουδῆς, τοῦ μηδὲν ἐσθίοντος καὶ ἀπολιμπανομένου πολὺ βελτίων ἐστίν. οὐδὲν γὰρ τοιοῦτον τὸ μὴ φαγεῖν ἡμᾶς ὠφελῆσαι δυνήσεται, ὅσα ὠφελεῖ καὶ δίδωσιν ἀγαθὰ τὸ πνευματικῆς μετέχειν διδασκαλίας. ποῦ γὰρ ἑτέρωθι ταῦτα ἀκούσῃ, ἅπερ ἐνταῦθα φιλοσοφεῖς; ἐὰν εἰς δικαστήριον ἀπέλθῃς, ἀμφισβητήσεις ἐκεῖ καὶ μάχαι· ἐὰν εἰς βουλευτήριον, ἡ τῶν πολιτικῶν πραγμάτων φροντίς· ἐὰν εἰς οἰκίαν, τῶν ἰδιωτικῶν ἡ μέριμνα κατατρύχει πάντοθεν· ἐὰν εἰς συλλόγους καὶ συνέδρια τῆς ἀγορᾶς, πάντα κἀκεῖ γήϊνα καὶ φθαρτά. ἢ γὰρ περὶ τῶν ὠνίων, ἢ περὶ τῶν εἰσφορῶν, ἢ περὶ τῆς τραπέζης πολυτελοῦς, ἢ περὶ χωρίων πράσεως, ἢ περὶ συμβολαίων ἑτέρων, ἢ περὶ διαθηκῶν, ἢ περὶ κληρονομιῶν, ἢ περὶ ἑτέρων τινῶν τοιούτων ἅπαντες τοῖς ἐκεῖ συλλεγομένοις οἱ λόγοι γίνονται. κἂν δὲ εἰς αὐτὰς ἔλθῃς τὰς βασιλικὰς αὐλὰς, καὶ ἐκεῖ πάλιν τὰ αὐτὰ ἀκούσῃ διαλεγομένων ἁπάντων, περὶ χρημάτων, περὶ δυναστείας, περὶ δόξης τῆς ἐνταῦθα τιμωμένης· πνευματικὸν δὲ οὐδέν. ἐνταῦθα δὲ *τοὐναντίον ἅπαν· περὶ τοῦ οὐρανοῦ καὶ τῶν ἐν οὐρανῷ πραγμάτων, περὶ ψυχῆς, περὶ ζωῆς τῆς ἡμετέρας, καὶ τίνος ἕνεκεν γεγόναμεν, καὶ διὰ τί τοσοῦτον ἐνταῦθα διατρίβομεν χρόνον, καὶ ἐπὶ τίσιν ἀποδημοῦμεν ἐντεῦθεν, καὶ τί μετὰ ταῦτα ἡμᾶς διαδέξεται, καὶ τίνος ἕνεκεν τὸ σῶμα ἡμῖν πήλινον, καὶ τίς ἡ τοῦ θανάτου φύσις, καὶ τί ποτέ ἐστιν ἡ παροῦσα ζωὴ, καὶ τίς ἡ μέλλουσα· καὶ οὐδὲν ἁπλῶς γήϊνον, ἀλλὰ πάντες περὶ πνευματικῶν ἡμῖν οἱ λόγοι γίνονται· καὶ μεγάλα τῆς σωτηρίας ἡμῶν λαβόντες ἐφόδια, οὕτως ἐντεῦθεν ἀπελευσόμεθα μετὰ χρηστῆς τῆς ἐλπίδος. ἐπεὶ οὖν οὐκ εἰκῇ τὰ σπέρματα κατεβαλόμεθα, ἀλλ' ὥσπερ ὑμᾶς παρεκάλεσα, πάντας ἐθηρεύσατε τοὺς ἀπολειφθέντας ὑμῶν· φέρε καὶ ἡμεῖς ὑμᾶς ἀμειψώμεθα, καὶ μικρὰ τῶν πρότερον εἰρημένων ὑμᾶς ἀναμνήσαντες, τὰ λειπόμενα ἀποδῶμεν πάλιν. τίνα οὖν ἦν τὰ πρώην εἰρημένα; ἐζητοῦμεν, πῶς καὶ τίνι τρόπῳ πρὸ τῆς τῶν γραφῶν δόσεως τὰ καθ' ἡμᾶς ᾠκονόμησεν ὁ Θεός· καὶ ἐλέγομεν, ὅτι διὰ τῆς κτίσεως ἐπαίδευσεν ἡμῶν τὸ γένος, οὐρανὸν ἐκτείνας, καὶ εἰς τὸ μέσον προθεὶς βιβλίον μέγιστον· καὶ ἰδιώταις καὶ σοφοῖς καὶ πένησι καὶ πλουσίοις, καὶ Σκύθαις καὶ βαρβάροις καὶ πᾶσιν ἁπλῶς τοῖς τὴν γῆν οἰκοῦσι χρήσιμον βιβλίον, πολὺ μεῖζον τοῦ πλήθους τῶν διδασκομένων ὄν. πολλὰ καὶ περὶ νυκτὸς καὶ ἡμέρας καὶ τῆς τούτων εὐταξίας καὶ τοῦ ῥυθμοῦ τοῦ μετὰ ἀκριβείας ὑπ' αὐτῶν φυλαττομένου

τομένου

ζομένου διελέχθημεν· πολλὰ δὲ περὶ τοῦ χοροῦ τῶν ὡρῶν, τοῦ ἔτους, καὶ τῆς τούτων ἰσότητος. καθάπερ γὰρ ἡ ἡμέρα τῆς νυκτὸς οὐδὲ ἡμιώβολον πλεονεκτεῖ κατὰ πάντα τὸν ἐνιαυτὸν, οὕτω καὶ αὗται πρὸς ἀλλήλας ἐξίσης τὰς ἡμέρας διενείμαντο πάσας. ἀλλ' ὅπερ καὶ ἔμπροσθεν ἐλέγομεν, ὅτι οὐ τὸ μέγεθος καὶ τὸ κάλλος τῆς κτίσεως δείκνυσι τὸν ″δημιουργήσαντα μόνον, ἀλλὰ καὶ ὁ τρόπος αὐτὸς τῆς συμπήξεως, καὶ τὸ ″ὑπὲρ φύσεως ἀκολουθίαν εἶναι τῆς δημιουργίας τὸν τρόπον. φύσεως μὲν γὰρ ἀκολουθία ἦν, τὸ ὕδωρ ὑπὲρ τὴν γῆν φέρεσθαι· νῦν δὲ τὸ ἐναντίον ὁρῶμεν, τὴν γῆν ὑπὸ τῶν ὑδάτων βασταζομένην. φύσεως ἦν ἀκολουθία, τὸ πῦρ ἄνω τρέχειν· νῦν δὲ τὸ ἐναντίον βλέπομεν, κάτω πρὸς τὴν γῆν τετραμμένας τοῦ ἡλίου τὰς ἀκτῖνας, καὶ τὰ ὕδατα ὑπεράνω τῶν οὐρανῶν ὄντα, καὶ οὐ διολισθαίνοντα, καὶ τὸν ἥλιον κάτωθεν τρέχοντα, καὶ οὔτε σβεννύμενον ὑπὸ τῶν ὑδάτων, οὔτε ἀφανίζοντα τὴν νοτίδα ἐκείνην. πρὸς τούτοις εἰρήκαμεν, ὅτι ἐκ τεττάρων στοιχείων τόδε τὸ πᾶν συνέστηκεν, ἐναντίων ἀλλήλοις καὶ μαχομένων, καὶ θάτερον τὸ ἕτερον οὐκ ″ἀνήλωσε, καίτοιγε ἀλλήλων ὄντα ἀναλωτικά. ὅθεν δῆλον, ὅτι δύναμίς τις ἀόρατος ″αὐτὰ χαλινοῖ, καὶ δεσμός γέγονεν ἡ τοῦ Θεοῦ βούλησις. τούτῳ * πλέον ἐνδιατρίψαι βούλομαι τῷ λόγῳ σήμερον.

Ἀλλὰ διαναστῆτε καὶ προσέχετε μετὰ ἀκριβείας ἡμῖν. ὥστε δὲ σαφέστερον γενέσθαι τὸ θαῦμα, ἀπὸ τοῦ σώματος τοῦ ἡμετέρου τὴν διδασκαλίαν τὴν περὶ τούτων ποιήσομαι. καὶ γὰρ τὸ σῶμα τὸ ἡμέτερον, τὸ βραχὺ τοῦτο καὶ μικρὸν, ἐκ τεττάρων ″σύγκειται στοιχείων, θερμοῦ μὲν τοῦ αἵματος, ξηροῦ δὲ τῆς χολῆς τῆς ξανθῆς, ὑγροῦ μὲν τοῦ φλέγματος, ψυχροῦ δὲ τῆς μελαίνης χολῆς. καὶ μή τις ἀλλότριον ἡμῶν εἶναι νομιζέτω τοῦτον τὸν λόγον. Ὁ γὰρ πνευματικὸς ἀνακρίνει μὲν τὰ πάντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται. α. Κορ. β. ιε. οὕτω καὶ Παῦλος γεωργικῶν ἥψατο θεωρημάτων, περὶ ἀναστάσεως ἡμῖν διαλεγόμενος, καί φησιν· Ἄφρον, σὺ ὃ σπείρεις, οὐ ″ζωογονεῖται, ἐὰν μὴ ἀποθάνῃ. α. Κορ. ιε. λϛ. εἰ δὲ ὁ μακάριος ἐκεῖνος ἀπὸ τῆς γεωργίας ἐκίνει λόγους, οὐδὲ ἡμῖν ″μέμψεταί τις ἰατρικῶν ἁπτομένοις νοημάτων. περὶ γὰρ δημιουργίας Θεοῦ νῦν ἡμῖν ὁ λόγος, καὶ ἀναγκαία γένοιτ' ἂν ἡμῖν αὕτη τῶν νοημάτων ἡ ὑπόθεσις. ὅπερ οὖν ἔφθην εἰπὼν, ἐκ τεττάρων ἡμῖν στοιχείων τοῦτο συνέστηκε τὸ σῶμα. κἂν τὸ ἕτερον στασιάσῃ μέχρι παντὸς, θάνατος ἀπὸ τῆς στάσεως γίνεται ταύτης· οἷον, τῆς χολῆς πλεοναζούσης, τίκτεται πυρετός· κἂν ἐπικρατήσῃ πέρα τοῦ μέτρου, ταχίστην ἐπάγει τὴν τελευτήν. πάλιν, τοῦ ψυχροῦ πλεονάζοντος, παρέσεις καὶ τρόμοι καὶ ἀποπληξίαι καὶ μυρία ἕτερα νοσήματα τίκτεται. καὶ ὅλως ἑκάστη νοσημάτων ἰδέα ἀπὸ τῆς πλεονεξίας τῶν στοιχείων τούτων γίνεται, ὅταν τὸ ἕτερον τοὺς οἰκείους ὑπερβὰν ὅρους κατὰ τῶν λοιπῶν τυραννῇ, καὶ τὴν συμμετρίαν ″λυμαίνηται ἅπασαν. ἐρώτησον οὖν τοὺς λέγοντας αὐτόματα εἶναι τὰ πάντα καὶ ἀφ' ἑαυτῶν συνεστάναι, εἰ τὸ βραχὺ τοῦτο σῶμα καὶ μικρὸν καὶ φαρμάκων ἀπολαῦον καὶ ἰατρικῆς ἐπιστήμης καὶ τῆς διοικούσης αὐτὸ ψυχῆς ἔνδον καὶ φιλοσοφίας πολλῆς καὶ μυρίων ἑτέρων βοηθημάτων οὐκ ἰσχύει διαπαντὸς ἐν εὐταξίᾳ μένειν, ἀλλ' ἀπόλλυται καὶ διαφθείρεται πολλάκις ταραχῆς ἐν αὐτῷ γινομένης, πῶς ἂν ὁ τοσοῦτος κόσμος τοσούτους ὄγκους σωμάτων ἔχων καὶ ἐκ τῶν αὐτῶν συγκείμενος στοιχείων, εἰ μὴ πολλῆς ἀπέλαυσε προνοίας, ἔμεινεν ἂν ἐπὶ τοσοῦτον χρόνον ἀτάραχος. οὐδὲ γὰρ ἂν ἔχοι λόγον, τὸ μὲν προνοίας ἀπολαῦον ἡμῶν σῶμα καὶ τῆς ἔξωθεν καὶ τῆς ἔνδοθεν μόλις διαρκεῖν πρὸς τὴν ἑαυτοῦ σύστασιν, τὸν δὲ τοσοῦτον κόσμον μηδεμιᾶς ἀπολαύοντα προνοίας ἐπὶ τοσαῦτα ἔτη μηδὲν τοιοῦτον παθεῖν, οἷον τὸ σῶμα τὸ ἡμέτερον. πῶς γὰρ οὐδὲ ἓν τῶν στοιχείων τούτων, εἰπέ μοι, τοὺς οἰκείους ″παρέβη ὅρους, καὶ τὰ λοιπὰ κατηνάλωσεν ἅπαντα; τίς δὲ αὐτὰ συνήγαγεν ἀπ' ἀρχῆς; τίς ἔδησε; τίς ἐχαλίνωσε; τίς ἐπὶ τοσοῦτον διακρατεῖ χρόνον; καὶ γὰρ εἰ μὲν ἁπλοῦν καὶ μονοειδὲς ἦν τοῦ κόσμου τὸ σῶμα, οὐχ οὕτως ἀδύνατον ἦν τὸ λεγόμενον· ὅταν δὲ μάχη τοσαύτη τῶν στοιχείων ἐξ ἀρχῆς ᾖ, τίς οὕτως ἀνόητος, ὡς ἐννοῆσαι, ὅτι χωρὶς τοῦ συνάγοντος συνῆλθεν ἂν ταῦτα αὐτόματα, καὶ συνελθόντα ἔμεινεν; εἰ γὰρ ἡμεῖς οὐχὶ φύσει, ἀλλὰ προαιρέσει πρὸς ἀλλήλους ἐχθρωδῶς ἔχοντες, οὐκ ἂν αὐτόματοι συμβαίημεν, ἕως ἂν ἐχθροὶ μένωμεν καὶ πρὸς ἀλλήλους ἔχοιμεν ἀηδῶς, ἀλλ' ἑτέρου δεόμεθα τοῦ συνάγοντος ἡμᾶς, καὶ μετὰ τὸ συναγαγεῖν, ἐπισφίγγοντος καὶ πείθοντος μένειν ἐπὶ τῆς καταλλαγῆς, καὶ μὴ πάλιν ἀποπηδᾷν· πῶς ἂν τὰ μήτε λογισμοῦ, μήτε αἰσθήσεώς τινος μετέχοντα στοιχεῖα, καὶ φύσει πολέμια ἀλλήλοις ὄντα καὶ ἐχθρὰ συνῆλθε καὶ συνέβη καὶ μετ' ἀλλήλων ἔμεινεν, εἰ μὴ δύναμίς τις ἦν ἄρρητος ἡ καὶ συναγαγοῦσα, καὶ μετὰ τὸ συναγαγεῖν, διαπαντὸς μετὰ τοῦ δεσμοῦ τούτου κατέχουσα; οὐχ ὁρᾷς πῶς τοῦτο τὸ σῶμα, τῆς ψυχῆς ἀποπτάσης, διαρρεῖ καὶ λυμαίνεται καὶ ἀπόλλυται, καὶ πρὸς τὴν οἰκείαν ἕκαστον τῶν στοιχείων ἐπανέρχεται λῆξιν; τὸ αὐτὸ δὴ τοῦτο καὶ ἐπὶ τοῦδε ἐγίνετο ἂν τοῦ κόσμου, εἰ κατέλιπεν ἔρημον αὐτὸν τῆς οἰκείας προνοίας ἡ διαπαντὸς αὐτὸν κυβερνῶσα δύναμις. εἰ γὰρ πλοῖον ἄνευ κυβερνήτου οὐ συνίσταται, ἀλλὰ καταποντίζεται εὐκόλως, ὁ κόσμος πῶς ἂν συνέστη ἐπὶ τοσοῦτον χρόνον, μηδενὸς αὐτὸν κυβερνῶντος; καὶ ἵνα μηδὲν εἴπω πλέον, νόμισον εἶναι πλοῖον τὸν κόσμον, τρόπιν ὑποκειμένην τὴν γῆν, ἱστίον τὸν οὐρανόν, ἐπιβάτας τοὺς ἀνθρώπους, πέλαγος τὴν ὑποκειμένην ἄβυσσον. πῶς οὖν ἐπὶ τοσούτου χρόνου ναυάγιον οὐκ ἐγένετο; ἔασον γοῦν πλοῖον μίαν ἡμέραν χωρὶς κυβερνήτου καὶ ναυτῶν, καὶ ὄψει καταποντιζόμενον εὐθέως. ἀλλ' ὁ κόσμος οὐδὲν τοιοῦτον ἔπαθε, πεντακισχίλια καὶ πολλῷ πλείονα λοιπὸν ἔτη ἔχων. καὶ τί λέγω πλοῖον; καλύβην μικρὰν ἐπήξατό τις ἐν ταῖς ἀμπέλοις, καί, τοῦ καρποῦ ἀρθέντος, ἀφῆκεν ἔρημον· καὶ οὐδὲ δύο διαμένει πολλάκις ἡμέρας, ἀλλὰ διαλύεται καὶ καταπίπτει ταχέως. εἶτα καλύβη μὲν οὐκ ἂν σταίη χωρὶς τοῦ προνοοῦντος, δημιούργημα δὲ τοσοῦτον, οὕτω καλὸν καὶ θαυμαστόν, καὶ νόμοι νυκτὸς καὶ ἡμέρας, καὶ ὡρῶν ἐνηλλαγμέναι χορεῖαι, καὶ φύσεως δρόμος ποικίλος τις καὶ παντοδαπὸς ἐν γῇ καὶ θαλάττῃ καὶ ἀέρι καὶ οὐρανῷ καὶ φυτοῖς καὶ ζώοις πετομένοις, νηχομένοις, βαδίζουσιν, ἕρπουσι, καὶ ἐν τῷ πάντων ἐκείνων κυριωτέρῳ τῶν ἀνθρώπων γένει πῶς ἂν διέμεινεν ἐπὶ τοσοῦτον ἀδιάπτωτος χρόνον χωρὶς προνοίας τινός; μετὰ γὰρ τῶν εἰρημένων ἔπελθέ μοι τοὺς λειμῶνας τῷ λόγῳ, τοὺς παραδείσους, τὰ γένη τῶν ἀνθῶν, τὰς βοτάνας ἁπάσας, τὰς χρείας, τὴν εὐωδίαν αὐτῶν, τὰ σχήματα, τὴν θέσιν, τὰ ὀνόματα μόνον, τὰ δένδρα τὰ ἔγκαρπα, τὰ ἄκαρπα, τῶν μετάλλων τὴν φύσιν, τῶν ζώων τῶν ἐν θαλάσσῃ, τῶν ἐν τῇ γῇ, τῶν νηκτῶν, τῶν ἀεροπόρων, τὰ ὄρη, τὰς νάπας, τοὺς δρυμούς, τὸν κάτω λειμῶνα, τὸν ἄνω λειμῶνα (καὶ γὰρ καὶ ἐν τῇ γῇ λειμών, καὶ ἐν τῷ οὐρανῷ λειμών) τὰ ποικίλα τῶν ἄστρων ἄνθη· κάτω ῥόδα, ἄνω ἶρις. βούλει καὶ ἐπὶ τῶν ὀρνίθων σοι δείξω λειμῶνα; κατάμαθε τοῦ ταῶνος τὸ σῶμα τὸ ποικίλον καὶ ἅπασαν ὑπερβαῖνον βαφήν, τοὺς πορφυρίζοντας στρουθούς. ἐννόησόν μοι τὸ κάλλος τοῦ οὐρανοῦ, πόσον ἔχει χρόνον, καὶ οὐκ ἠμαυρώθη, ἀλλ' ὥσπερ σήμερον κατασκευασθείς, οὕτως ἐστὶν ἀποστίλβων καὶ λαμπρός· τῆς γῆς τὴν δύναμιν, πῶς οὐκ ἠτόνησεν αὐτῆς ἡ γαστὴρ τοσοῦτον τίκτουσα χρόνον. ἐννόησόν μοι τὰς πηγάς, πῶς ἀναβλύζουσι, καὶ οὐκ ἐπέλιπον, ἐξ οὗ γεγόνασι, διηνεκῶς βρύουσαι καὶ ἡμέραν καὶ νύκτα ἅπασαν. ἐννόησόν μοι τὴν θάλασσαν, πόσους δεχομένη ποταμοὺς οὐχ ὑπερέβη τὸ μέτρον. ἀλλὰ μέχρι τίνος διώκομεν ἀκίχητα; ἄξιον ἐφ' ἑκάστῳ τῶν εἰρημένων λέγειν, Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε; πάντα ἐν σοφίᾳ ἐποίησας.

Ψαλ. ργ.

γρ. ἔχοιμεν

γρ. συναρμόσαντος

γρ. τοσοῦτον χρόνον

γρ. συναρμόσαντος

Ἀλλὰ τίς τῶν ἀπίστων ὁ σοφὸς λόγος; ὅταν ἅπαντα ταῦτα διέλθωμεν πρὸς αὐτούς, τὸ μέγεθος, τὸ κάλλος τῆς κτίσεως, τὴν δαψίλειαν, τὴν ἀφθονίαν τὴν ἐν ἅπασιν· αὐτὸ μὲν οὖν τοῦτο μάλιστά ἐστιν ἔγκλημα, φησίν, ὅτι οὕτω καλὸν καὶ μέγαν τὸν κόσμον ἐποίησεν ὁ Θεός. εἰ γὰρ μὴ καλὸν καὶ μέγαν ἐποίησεν αὐτὸν ὁ Θεός, οὐκ ἂν αὐτὸν ἐθεοποιοῦμεν. νῦν δὲ ἐκπλαγέντες τὸ μέγεθος, καὶ θαυμάσαντες αὐτοῦ τὸ κάλλος, ἐνομίσαμεν αὐτὸν εἶναι Θεόν. ἀλλ' ἕωλος οὗτος ὁ λόγος ἐστίν. ὅτι γὰρ οὔτε τὸ μέγεθος, οὔτε τὸ κάλλος τῆς ἀσεβείας αἴτιον, ἀλλ' ἡ ἐκείνων ἄνοια, δείκνυμεν ἡμεῖς οἱ μηδὲν τοιοῦτον παθόντες ποτέ. τίνος γὰρ ἕνεκεν αὐτὸν οὐκ ἐθεοποιήσαμεν; οὐ τοῖς αὐτοῖς ὀφθαλμοῖς αὐτὸν βλέπομεν; οὐ τὰ αὐτὰ τῆς κτίσεως ἀπολαύομεν,

ἅπερ καὶ ἐκεῖνοι; οὐ τὴν αὐτὴν ψυχὴν κεκτήμεθα; οὐ τὸ αὐτὸ σῶμα ἔχομεν; οὐ τὴν αὐτὴν πατοῦμεν γῆν; πῶς ἡμᾶς οὐκ ἔπεισε τὸ κάλλος καὶ τὸ μέγεθος τὰ αὐτὰ νοῆσαι ἐκείνοις; οὐκ ἐντεῦθεν δὲ τοῦτο ἔστι δῆλον μόνον, ἀλλὰ καὶ ἑτέρωθεν. ὅτι γὰρ οὐ διὰ τὸ κάλλος αὐτὸν ἐθεοποίησαν, ἀλλὰ διὰ τὴν οἰκείαν ἄνοιαν, τὸν πίθηκον τίνος ἕνεκεν προσεκύνησαν; τὸν κροκόδειλον; τὸν κύνα, τὰ εὐτελέστατα τῶν ζώων; Ὄντως ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία. Φάσκοντες γὰρ εἶναι σοφοὶ, ἐμωράνθησαν. πλὴν ἀλλ' οὐκ ἀπὸ τούτων ἀπολογησόμεθα μόνον, ἀλλὰ καὶ ἕτερόν τι πλέον ἐροῦμεν. ταῦτα γὰρ ἄνωθεν ὁ Θεὸς προειδὼς, καὶ ταύτην αὐτῶν ἀνεῖλε τὴν πρόφασιν κατὰ τὴν αὐτοῦ σοφίαν. διὰ τοῦτο οὐ μόνον * θαυμαστὸν καὶ μέγαν ἐποίησε τὸν κόσμον, ἀλλὰ καὶ φθαρτὸν καὶ ἐπίκηρον· καὶ τῆς ἀσθενείας αὐτοῦ πολλὰ δείγματα ἐγκατέθετο. καὶ ὅπερ ἐπὶ τῶν ἀποστόλων ἐποίησε, τοῦτο καὶ ἐπὶ τοῦ κόσμου παντός. τί δὲ ἐπὶ τῶν ἀποστόλων ἐποίησεν; ἐπειδὴ πολλὰ σημεῖα καὶ τέρατα ἐποίουν μεγάλα καὶ παράδοξα, εἴασεν αὐτοὺς συνεχῶς μαστίζεσθαι, ἐλαύνεσθαι, δεσμωτήριον οἰκεῖν, ἀσθενείαις προσπαλαίειν σωματικαῖς, ἐν διηνεκέσιν εἶναι θλίψεσιν· ἵνα μὴ τῶν σημείων τὸ μέγεθος θεοὺς αὐτοὺς παρὰ τοῖς ἀνθρώποις νομίζεσθαι ποιήσῃ. διὰ τοῦτο τοσαύτην δοὺς χάριν, τὸ * σῶμα ἀφῆκεν εἶναι θνητὸν, πολλοῖς δὲ καὶ ἐπίνοσον· καὶ οὐ μετέβαλεν αὐτῶν τὴν ἀσθένειαν, ἵνα ἐστυνήσηται τὴν φύσιν. καὶ οὐκ ἐμός ἐστιν ὁ λόγος, ἀλλ' αὐτοῦ τοῦ Παύλου οὕτω λέγοντος· Ἐὰν γὰρ καὶ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων· φείδομαι δὲ, μή τις [εἰς] ἐμὲ λογίσηται, ὑπὲρ ὃ βλέπει ἢ ἀκούει τι ἐξ ἐμοῦ. καὶ πάλιν, Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσι. τί δέ ἐστιν, ἐν ὀστρακίνοις σκεύεσιν; ἐν τῷ σώματι τούτῳ, φησὶ, τῷ θνητῷ καὶ ἐπικήρῳ. καθάπερ γὰρ τὸ ὄστρακον ἐκ πηλοῦ καὶ πυρὸς γίνεται, οὕτω δὴ καὶ τὸ σῶμα τῶν ἁγίων ἐκείνων πήλινον ὂν, καὶ τοῦ πνευματικοῦ πυρὸς δεξάμενον τὴν ἐνέργειαν, γέγονεν ὄστρακον. καὶ τίνος ἕνεκεν καὶ τοῦτο γεγένηται, καὶ θησαυρὸν τοσοῦτον καὶ χαρισμάτων δαψιλειαν θνητῷ σώματι καὶ φθαρτῷ ἐναπέθετο; Ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ, καὶ μὴ ἐξ ἡμῶν. ὅταν γὰρ ἴδῃς τοὺς ἀποστόλους νεκροὺς μὲν ἀνιστῶντας, αὐτοὺς δὲ ἀσθενοῦντας καὶ μὴ δυναμένους ἀπαλλαγῆναι τῆς ἀῤῥωστίας, εἴσῃ σαφῶς, ὅτι ἡ τοῦ νεκροῦ ἀνάστασις οὐ τῆς δυνάμεως τοῦ ἀναστήσαντος, ἀλλὰ τῆς ἐνεργείας τῆς τοῦ πνεύματος γέγονεν. ὅτι γὰρ ἠῤῥώστουν συνεχῶς, ἄκουσον τί φησιν ὁ Παῦλος περὶ Τιμοθέου· Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας. καὶ πάλιν περὶ ἑτέρου· Τρόφιμον δὲ ἀπέλιπον ἐν Μιλήτῳ ἀσθενοῦντα. καὶ Φιλιππησίοις ἐπιστέλλων ἔλεγεν, ὅτι Ἐπαφρόδιτος ἠσθένησε παραπλήσιον θανάτῳ. εἰ γὰρ καὶ τούτων ὄντων θεοὺς αὐτοὺς εἶναι ἐνόμισαν καὶ θύειν ἐπεχείρησαν λέγοντες, Οἱ θεοὶ ὁμοιωθέντες [τοῖς] ἀνθρώποις κατέβησαν πρὸς ἡμᾶς· εἰ μὴ ταῦτα ἐγένετο, ποῦ οὐκ ἂν ἐξέβησαν ἀσεβείας τὰ θαύματα τότε ὁρῶντες; ὥσπερ οὖν ἐνταῦθα διὰ τὸ μέγεθος τῶν σημείων, καὶ τὴν φύσιν ἀφῆκεν ἐν ἀσθενείᾳ μένειν, καὶ τοὺς ἐπαλλήλους συνεχώρησε πειρασμοὺς, ἵνα μὴ νομισθῶσιν εἶναι θεοί· οὕτω καὶ ἐπὶ τῆς κτίσεως παραπλήσιόν τι τούτοις ἐποίησε. καὶ γὰρ καλὴν αὐτὴν καὶ μεγάλην καὶ φθαρτὴν πάλιν κατεσκεύασε, καὶ ἀμφότερα ταῦτα αἱ γραφαὶ φιλοσοφοῦσιν. ὁ μὲν γὰρ τὸ κάλλος τῶν οὐρανῶν διηγούμενος οὕτω φησίν· Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ· καὶ πάλιν, Ὁ στήσας τὸν οὐρανὸν, ὡσεὶ καμάραν, καὶ διατείνας αὐτὸν, ὡς σκηνὴν ἐπὶ τῆς γῆς· καὶ πάλιν, Ὁ κατέχων τὸν γῦρον τοῦ οὐρανοῦ. ἕτερος δὲ δεικνὺς, ὅτι εἰ καὶ καλὸς καὶ μέγας, ἀλλὰ φθαρτός ἐστιν, οὕτω φησί· Κατ' ἀρχὰς σὺ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις, καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται. καὶ πάλιν περὶ τοῦ ἡλίου φησὶν ὁ Δαβὶδ· ὅτι Ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ, ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδόν. Εἶδες τὸ κάλλος τοῦ ἄστρου καὶ τὸ μέγεθος πῶς σοι παρέστησε. καθάπερ γὰρ ἐκ παστάδος τινὸς νυμφίος φανεὶς, οὕτως ὁ ἥλιος ὑπὸ τὴν ἕω τὰς ἀκτῖνας ἀφίησι, καὶ

Ρωμ. α. κα.

β. Κορ. ιβ. ς. καὶ δ. ζ.

α. Τιμ. ε. κγ.

β. Τιμ. δ. κ.

Φιλιπ. β. κζ.

Πραξ. ιδ. ια.

Ψαλ. ιη. α.

Ησ. μ. κβ.

Ψαλ. ρα. κς.

Ψαλ. ιη. ς.

ὥσπερ τινὶ κρόκῳ τῷ παραπετάσματι τὸν οὐρανὸν καλλωπίζων καὶ ῥοδοειδεῖς ποιῶν τὰς νεφέλας, καὶ ἀνεμποδίστως τρέχων ἅπασαν τὴν ἡμέραν, οὐδενὶ διακόπτεται πρὸς τὸν δρόμον κωλύματι. Εἶδες τοίνυν αὐτοῦ τὸ κάλλος, εἶδες αὐτοῦ τὸ μέγεθος· βλέπε καὶ τῆς ἀσθενείας αὐτοῦ τὸ ″δεῖγμα. καὶ γὰρ καὶ τοῦτο δηλῶν σοφός τις ἔλεγε· Τί φωτεινότερον ἡλίου; καὶ τοῦτο ἐκλείπει, φησίν. οὐκ ἀπὸ τούτου δὲ μόνον αὐτοῦ τὴν ἀσθένειάν ἐστιν ἰδεῖν, ἀλλὰ καὶ ἐν ταῖς τῶν ″νεφῶν συνδρομαῖς. νέφους ″γοῦν ὑποδραμόντος πολλάκις, ἀφεὶς τὰς ἀκτῖνας καὶ φιλονεικήσας διαῤῥῆξαι τὸ νέφος, οὐκ ἴσχυσε, παχυτέρας τῆς νεφέλης οὔσης, καὶ οὐκ ἀναχωρούσης ″αὐτῷ διαχεῖν. ἀλλὰ τὰ σπέρματα, φησι, τρέφει. καὶ μὲν οὐκ αὐτὸς τρέφει μόνος, ἀλλὰ καὶ γῆς δεῖται καὶ δρόσου καὶ ὑετῶν καὶ ἀνέμων καὶ τῆς τῶν ὡρῶν ″εὐμοιρίας· κἂν μὴ ταῦτα ἅπαντα συνδράμῃ, περιττὴ ἡ τοῦ ἡλίου γίνεται χρεία. τοῦτο δὲ οὐκ ἂν εἴη Θεοῦ, τὸ δεῖσθαι ἑτέρων πρὸς ἅπερ ἂν βούληται ποιεῖν. Θεοῦ γὰρ ἴδιον μάλιστα τὸ ἀνενδεές. αὐτὸς γοῦν οὐχ οὕτω τὰ σπέρματα ἐξήγαγεν ἀπὸ τῆς γῆς, ἀλλ' ἐκέλευσε μόνον, καὶ πάντα ἐβλάστησε. καὶ πάλιν, ἵνα μάθῃς ὅτι οὐχ ἡ τῶν στοιχείων φύσις, ἀλλὰ τὸ πρόσταγμα αὐτοῦ πάντα ποιεῖ, αὐτά τε τὰ στοιχεῖα οὐκ ὄντα παρήγαγε, καὶ ἐπὶ τῶν Ἰουδαίων [δὲ] οὐδενὸς δεηθεὶς τὸ μάννα κατήγαγεν. Ἄρτον γάρ, φησιν, οὐρανοῦ ἔδωκεν αὐτοῖς. καὶ τί λέγω, πρὸς τὴν τῶν καρπῶν ἀκμὴν ὅτι ἑτέρων δεῖται στοιχείων πρὸς τὴν αὐτῶν σύστασιν, ὅπου γε καὶ αὐτὸς πολλῶν χρήζει πρὸς σύστασιν, καὶ οὐκ ἂν αὐτὸς ἀρκέσειεν ἑαυτῷ; καὶ γὰρ ἵνα βαδίζῃ, τοῦ οὐρανοῦ δεῖται, καθάπερ ἐδάφους τινὸς ὑποκειμένου· καὶ ἵνα φαίνηται, τῆς τοῦ ἀέρος καθαρότητος καὶ λεπτότητος· ὡς ἐὰν πυκνωθῇ πέρα τοῦ μέτρου καὶ οὗτος, οὐκ ἰσχύει δεῖξαι τὸ ἑαυτοῦ φῶς ἐκεῖνος· καὶ ἵνα μὴ πᾶσιν ἀφόρητος ᾖ, μηδὲ κατακαύσῃ πάντα, ψυχρότητος δεῖται πάλιν καὶ δρόσου. ὅταν οὖν καὶ περιγίνηται αὐτοῦ στοιχεῖα ἕτερα, καὶ τὴν ἀσθένειαν αὐτοῦ διορθῶται (περιγίνεται μὲν, ὡς νεφέλη καὶ τοῖχοι καὶ ἄλλα τινὰ σώματα ἀποκρύπτοντα αὐτοῦ τὸ φῶς· διορθοῦται δὲ αὐτοῦ τὴν ἀμετρίαν, ὡς δρόσοι καὶ πηγαὶ καὶ ψυχρότης ἀέρος) πῶς ἂν εἴη οὗτος Θεός; τὸν γὰρ Θεὸν ἀνενδεῆ εἶναι χρή, καὶ μηδενὸς δεῖσθαι, καὶ πᾶσιν ἁπάντων αἴτιον εἶναι τῶν καλῶν, καὶ παρὰ μηδενὸς κωλύεσθαι. καθάπερ οὖν καὶ περὶ τοῦ Θεοῦ φησιν ὁ Παῦλος, καὶ ὁ προφήτης ″Ἡσαΐας, ὁ μὲν οὕτω λέγων ἐκ προσώπου αὐτοῦ· Τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος· καὶ πάλιν, Θεὸς ἐγγίζων ἐγώ εἰμι, καὶ οὐ Θεὸς πόῤῥωθεν· καὶ πάλιν ὁ Δαβίδ, Εἶπα τῷ Κυρίῳ, Κύριός μου εἶ σύ, ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις. ὁ δὲ Παῦλος τὸ ἀνενδεὲς αὐτοῦ δηλῶν καὶ δεικνύς, ὅτι ἀμφότερα ταῦτα μάλιστά ἐστι Θεοῦ, τὸ μηδενὸς δεῖσθαι, καὶ πᾶσιν αὐτὸν ἅπαντα χορηγεῖν, οὕτω πως φησίν· Ὁ Θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν οὐ προσδεόμενός τινος, αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα.

Ἐνῆν μὲν οὖν καὶ τὰ λοιπὰ ἐπελθεῖν στοιχεῖα, τὸν οὐρανόν, τὸν ἀέρα, τὴν γῆν, τὴν θάλασσαν, καὶ δεῖξαι αὐτῶν τὴν ἀσθένειαν, καὶ πῶς ἕκαστον τοῦ πλησίον δεῖται, καὶ τούτου χωρὶς ἀπόλλυται καὶ διαφθείρεται. καὶ γὰρ καὶ ἡ γῆ, ἂν ἀπολίπωσιν αὐτὴν αἱ πηγαὶ καὶ ἡ παρὰ τῆς θαλάσσης καὶ ἡ παρὰ τῶν ποταμῶν ἐνασπειρομένη νοτίς, καταφρυγεῖσα ταχέως ἀπόλλυται. καὶ τὰ λοιπὰ δὲ στοιχεῖα ἀλλήλων δεῖται· καὶ ἀὴρ ἡλίου, ὥσπερ ἥλιος ἀέρος. ἀλλ' ἵνα μὴ μακρότερον ποιῶμεν τὸν λόγον, ἐκ τῶν εἰρημένων ἱκανὰς τοῖς βουλομένοις ἀφορμὰς δόντες, ἀρκεσθησόμεθα. Εἰ γὰρ ὁ πάσης τῆς κτίσεως ″θαυμασιώτερος ἥλιος, οὕτως ἀσθενὴς ὢν καὶ ἐνδεὴς ὤφθη, πολλῷ μᾶλλον τὰ λοιπὰ τοῦ κόσμου μέρη. ὅπερ οὖν εἶπον, τοῖς φιλοπόνοις ἐκεῖνα δοὺς ″ἀναλέγεσθαι, αὐτὸς ἀπὸ τῶν γραφῶν ὑμῖν διαλέξομαι πάλιν, δεικνὺς ὅτι οὐχ ὁ ἥλιος μόνος, ἀλλὰ καὶ ἅπας φθαρτός ἐστιν οὗτος ὁ κόσμος. ὅταν γὰρ ἀλλήλων ἀναλωτικὰ τὰ στοιχεῖα ᾖ, καὶ κολάζῃ μὲν τοῦ ἡλίου τὴν δύναμιν ψυχρότης ἐπιγινομένη πλέον, ἀναλίσκῃ δὲ ταύτην πάλιν τὸ θερμὸν ἐπικρατῆσαν, καὶ τὰς ἐναντίας ποιότητάς τε καὶ διαθέσεις ἐν ἀλλήλοις

Σειρ. ιζ. λ.

Ψαλ. οζ. κη.

Ιερ. κγ. κδ. κγ.

Ψαλ. ιε. α.

Πραξ. ιζ. κδ.

χ. διήγημα

χ. νεφελῶν

χ. γὰρ

χ. αἰτία

χ. εὐκρασίας

ἴσ. Ἱερεμίας

χ. θαυμα…
τερος

χ. διαλέξ…

ἀλλήλοις ποιεῖ καὶ πάσχει τὰ στοιχεῖα, εὔδηλον ὅτι μεγάλης φθορᾶς ταῦτα ἀπόδειξις, καὶ τοῦ σώματα εἶναι πάντα τὰ ὁρώμενα. ἀλλ' ἐπειδὴ τῆς ὠφελείας τῆς ἡμετέρας ὑψηλότερος ὁ λόγος ἐστί, φέρε ἐπὶ τὴν γλυκεῖαν ὑμᾶς ἀγαγόντες πηγὴν τῶν γραφῶν, τὴν ἀκοὴν ὑμῶν ἀναπαύσωμεν. οὐ γὰρ δὴ περὶ οὐρανοῦ καὶ γῆς κατὰ μέρος ὑμῖν ἐροῦμεν, ἀλλὰ περὶ πάσης ὁμοῦ τῆς κτίσεως, καὶ τοῦτο αὐτὸ τὸν ἀπόστολον ὑμῖν ἀποφαινόμενον δείξομεν λέγοντα σαφῶς οὕτως· ὅτι πᾶσα ἡ κτίσις φθορᾷ δουλεύει νῦν. καὶ διατί δουλεύει, καὶ πότε αὐτῆς ἀπαλλαγήσεται, καὶ εἰς ποίαν μεταβήσεται λῆξιν; εἰπὼν γάρ, ὅτι Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς Ῥωμ. η. ιη. τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς, ἐπήγαγεν· ὅτι Ἡ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται. τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· φθαρτὴ ἡ κτίσις γέγονε· τοῦτο γάρ ἐστι, τῇ ματαιότητι ὑπετάγη. φθαρτὴ δὲ ἐγένετο τοῦ Θεοῦ κελεύσαντος οὕτως. ἐκέλευσε δὲ ὁ Θεὸς οὕτω διὰ τὸ γένος τὸ ἡμέτερον. ἐπειδὴ γὰρ φθαρτὸν ἔμελλε τρέφειν ἄνθρωπον, καὶ αὐτὴν τοιαύτην εἶναι ἐχρῆν. οὐ γὰρ δὴ φθαρτὰ σώματα ἔμελλεν ἀφθάρτῳ ἐνδιαιτᾶσθαι κτίσει. ἀλλ' ὅμως οὐ μενεῖ τοιαύτη, φησίν, ἀλλὰ καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς. εἶτα δηλῶν πότε τοῦτο ἔσται, καὶ διὰ τίνας, ἐπήγαγεν· Εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ. Ῥωμ. η. κα. ὅταν γὰρ ἀναστῶμεν, φησί, καὶ ἄφθαρτα λάβωμεν σώματα, τότε καὶ τὸ τοῦ οὐρανοῦ τὸ σῶμα καὶ τῆς γῆς καὶ τῆς κτίσεως ἁπάσης ἄφθαρτον ἔσται καὶ ἀκήρατον. ὅταν οὖν ἴδῃς ἥλιον ἀνίσχοντα, θαύμασον τὸν δημιουργόν· ὅταν ἴδῃς αὐτὸν κρυπτόμενον καὶ ἀφανιζόμενον, κατάμαθε τῆς φύσεως τὴν ἀσθένειαν, καὶ μὴ προσκυνήσῃς αὐτὸν ὡς Θεόν. διὰ γὰρ τοῦτο οὐ μόνον * τῇ φύσει τῶν στοιχείων δεῖγμα τῆς ἀσθενείας αὐτῶν ἐγκατέθετο ὁ Θεός, ἀλλὰ καὶ τοῖς αὐτοῦ δούλοις ἀνθρώποις οὖσιν ἐπιτάξαι αὐτοῖς ἐκέλευσεν· ἵνα κἂν ἀπὸ τῆς ὄψεως μὴ γνωρίσῃς αὐτῶν τὴν δουλείαν, ἀπὸ τῶν ἐπιταττόντων μάθῃς, ὅτι σύνδουλά σοι ταῦτά ἐστιν ἅπαντα. ὁ γοῦν Ἰησοῦς φησι· Ἰησ. ι. ιϛ. Στήτω ὁ ἥλιος κατὰ Γαβαών, καὶ ἡ σελήνη κατὰ φάραγγα Ἐλάμ. καὶ πάλιν ὁ προφήτης Ἡσ. λη. η. δ. Βασ. δ. Ἡσαΐας ἀναποδίσαι αὐτὸν ἐπὶ τοῦ βασιλέως Ἐζεκίου πεποίηκε· καὶ Μωϋσῆς καὶ ἀέρι καὶ θαλάττῃ καὶ γῇ καὶ πέτραις ἐπέταξεν· Ἐλισσαῖος ὑδάτων φύσιν μετέβαλεν· οἱ τρεῖς παῖδες πυρὸς περιεγένοντο. ὁρᾷς πῶς ἑκατέρωθεν ἡμῶν προενόησεν ὁ Θεός, διὰ μὲν τοῦ κάλλους τῶν στοιχείων εἰς τὴν αὐτοῦ θεογνωσίαν ἡμᾶς ἄγων, διὰ δὲ τῆς ἀσθενείας οὐκ ἀφιεὶς εἰς τὴν ἐκείνων καταπεσεῖν λατρείαν; ὑπὲρ δὴ τούτων ἁπάντων δοξάσωμεν αὐτὸν ἡμῶν τὸν κηδεμόνα, μὴ διὰ ῥημάτων μόνον, ἀλλὰ καὶ διὰ πραγμάτων· καὶ πολιτείαν ἀρίστην ἐπιδειξώμεθα, τήν τε ἄλλην, καὶ τὴν περὶ τοὺς ὅρκους ἐγκράτειαν λέγω. οὐ γὰρ δὴ πᾶν ἁμάρτημα τὴν αὐτὴν φέρει κόλασιν, ἀλλὰ τὰ εὐκατόρθωτα μείζονα ἡμῖν ἐπάγει τὴν τιμωρίαν. ὅπερ οὖν καὶ ὁ Σολομὼν αἰνιττόμενος ἔλεγεν· Παροιμ. ϛ. λ. Οὐ θαυμαστόν, ἐὰν τις ἁλῷ κλέπτων (κλέπτει γάρ, ἵνα τὴν ψυχὴν αὐτοῦ ἐμπλήσῃ πεινῶσαν) ὁ δὲ μοιχὸς δι' ἔνδειαν φρενῶν ἀπώλειαν τῇ ἑαυτοῦ ψυχῇ περιποιεῖται. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· δεινὸν μὲν καὶ ὁ κλέπτης· ἀλλ' οὐχ οὕτω δεινόν, ὡς ὁ μοιχός. ἐκεῖνος μὲν γάρ, εἰ καὶ ψυχρὰν αἰτίαν, ἀλλ' ὅμως ἔχει προβάλλεσθαι τὴν ἀπὸ τῆς πενίας ἀνάγκην· οὗτος δὲ οὐδεμιᾶς αὐτὸν ἀνάγκης βιαζομένης, ὑπὸ ἀνοίας μόνης εἰς τὸ βάραθρον καταπίπτει τῆς ἁμαρτίας. τοῦτο καὶ ἐπὶ τῶν ὀμνυόντων ἐστὶν εἰπεῖν. οὐδὲ γὰρ οὗτοί τινα πρόφασιν ἔχουσι προβαλέσθαι, ἀλλὰ καταφρόνησιν μόνον. καὶ οἶδα μέν, ὅτι ἐπαχθὴς εἶναι δοκῶ λοιπὸν καὶ φορτικός, τῇ συνεχείᾳ τῆς παραινέσεως δοκῶν ἐνοχλεῖν· ἀλλ' ὅμως οὐκ ἀφίσταμαι, ἵνα κἂν τὴν ἀναισχυντίαν αἰδεσθέντες τὴν ἐμήν, ἀπόστητε τῆς πονηρᾶς τῶν ὅρκων συνηθείας. εἰ γὰρ ὁ δικαστὴς ἐκεῖνος ὁ ἀπηνὴς καὶ ὠμός, χήρας ἐνόχλησιν αἰδεσθείς, τὸν τρόπον μετέβαλε, πολλῷ μᾶλλον ὑμεῖς τοῦτο ἐργάσασθε· καὶ μάλιστα, ὅταν ὁ παρακαλῶν ὑμᾶς μὴ ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὑπὲρ τῆς ὑμεπέρας τοῦτο ποιῇ σωτηρίας· μᾶλλον δὲ καὶ ὑπὲρ* ἐμαυτοῦ οὐκ ἂν ἀρνησαίμην τοῦτο ποιεῖν. τὰ γὰρ ὑμέτερα ἀγαθὰ, ἐμαυτοῦ νομίζω εἶναι κατορθώματα. ἐβουλόμην δὲ ὑμᾶς, ὥσπερ ἐγὼ νῦν πονῶ καὶ κόπτομαι ὑπὲρ τῆς ὑμετέρας σωτηρίας, οὕτω καὶ ὑμᾶς φροντίζειν ὑπὲρ τῆς ὑμετέρας ψυχῆς, καὶ πάντως ἂν τέλος ἔλαβε τοῦτο τὸ κατόρθωμα. καὶ τί χρὴ τὰ πολλὰ λέγειν; εἰ γὰρ μηδὲ γέεννα ἦν, μηδὲ κόλασις παρακούουσι, μηδὲ μισθὸς ὑπακούουσιν, ἐγὼ δὲ προσελθὼν ὑμῖν τοῦτο ἐν χάριτος ᾔτησα μέρει, ἆρα οὐκ ἂν ἐπενεύσατε; οὐκ ἂν ἐδώκατε τὴν αἴτησιν κούφην οὕτως αἰτοῦντι χάριν; ὅταν δὲ ὁ Θεὸς αὐτὴν αἰτῇ, ἢ δι' ὑμᾶς τοὺς διδόντας, οὐ δι' ἑαυτὸν τὸν λαμβάνοντα, τίς οὕτως ἀγνώμων, τίς οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὡς Θεῷ χάριν αἰτοῦντι μὴ δοῦναι, καὶ μάλιστα, ὅταν αὐτὸς ἀπολαύειν μέλλῃ τῆς χάριτος ὁ διδούς; ταῦτ' οὖν ἐννοήσαντες, καὶ πρὸς ἑαυτοὺς ἀναχωρήσαντες ἐντεῦθεν λέγετε τὰ εἰρημένα ἅπαντα, καὶ τοὺς μὴ προσέχοντας πάντῃ διορθοῦσθε σπουδῇ· ἵνα καὶ τῶν οἰκείων καὶ τῶν ἀλλοτρίων κατορθωμάτων τὴν ἀμοιβὴν ἀπολάβωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ, καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΑΡΙΣΤΙΑ ΠΡΟΣ ΤΟΝ ΘΕΟΝ ΠΕΡΙ ΤΗΣ ΑΠΑΛλαγῆς τῶν ἐκ τῆς στάσεως προσδοκηθέντων κακῶν· καὶ ἀνάμνησις τῶν τότε συμβάντων· ἔτι δὲ καὶ κατὰ τῶν τὸ σῶμα ἡμῶν διαβαλλόντων, καὶ δι' ὅλου περὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς· καὶ περὶ τοῦ μὴ ὀμνύειν. Λογ. ια.

Αμ. ε. η.
Ιωϐ. λϛ. ιε.
α. Βασ. β. ϛ.
β Κορ. ϛ. θ.

Ἐπειδὰν ἐννοήσω τὸν παρελθόντα χειμῶνα καὶ τὴν παροῦσαν γαλήνην, οὐ παύομαι λέγων, εὐλογητὸς ὁ Θεὸς, Ὁ ποιῶν πάντα καὶ μετασκευάζων αὐτὰ, Ὁ ποιήσας φῶς ἐκ σκότους, Ὁ κατάγων εἰς πύλας ᾅδου, καὶ ἀνάγων, Ὁ παιδεύων, καὶ μὴ θανατῶν. καὶ τοῦτο καὶ ὑμᾶς λέγειν βούλομαι διηνεκῶς, καὶ μὴ ἀπολιμπάνειν. εἰ γὰρ αὐτὸς τοῖς ἔργοις ἡμᾶς εὐηργέτησε, τίνος ἂν εἴημεν ἄξιοι συγγνώμης ἡμεῖς μηδὲ λόγοις αὐτὸν ἀμειβόμενοι; διὸ παρακαλῶ μηδέποτε διαλιμπάνειν εὐχαριστοῦντας αὐτῷ. ἂν γὰρ περὶ τὰ πρῶτα γενώμεθα εὐγνώμονες, εὔδηλον ὅτι καὶ ἑτέρων μειζόνων ἀπολαυσόμεθα. λέγωμεν τοίνυν διηνεκῶς, εὐλογητὸς ὁ Θεὸς ὁ καὶ ἡμῖν δοὺς μετὰ ἀδείας τὴν εἰωθυῖαν ὑμῖν παραθεῖναι τράπεζαν, καὶ ὑμῖν παρασχὼν μετὰ τοῦ θάρρους τῶν ἡμετέρων ἀκροᾶσθαι λόγων. εὐλογητὸς ὁ Θεὸς, ὅτι οὐκ ἔτι τὸν ἔξωθεν φεύγοντες κίνδυνον, ἀλλὰ ἀκροάσεως ἐπιθυμοῦντες ἐνταῦθα συντρέχομεν· οὐκ ἔτι μετὰ ἀγωνίας καὶ τρόμου καὶ φροντίδων ἀλλήλοις συγγινόμεθα, ἀλλὰ μετὰ ἀδείας πολλῆς ἅπαν ἀποτιναξάμενοι τὸ δέος. ὡς τάς γε ἔμπροσθεν ἡμέρας τῶν κλυδωνιζομένων ἐν μέσῳ πελάγει καὶ ναυάγιον καθ' ἑκάστην προσδοκώντων τὴν ὥραν οὐδὲν ἄμεινον διεκείμεθα, μυρίαις δι' ὅλης ἡμέρας σοβούμενοι φήμαις, ταραττόμενοι καὶ δονούμενοι πάντοθεν, καὶ καθ' ἑκάστην ἡμέραν περιεργαζόμενοι καὶ πολυπραγμονοῦντες, τίς ἀφῖκται ἐκ τοῦ στρατοπέδου; τί δὲ ἐλθὼν ἀπήγγειλε; καὶ πότερον ἀληθὲς ἢ ψευδὲς τὸ λεγόμενον; καὶ νύκτας ἀΰπνους διατελοῦντες, καὶ τὴν πόλιν ὁρῶντες [καὶ δακρύοντες] ὡς αὐτίκα ἀπολουμένην. διὰ τοῦτο καὶ ἡμεῖς τὰς ἔμπροσθεν ταύτας ἐσιγήσαμεν ἡμέρας διά τε τὸ κεκενῶσθαι τὴν πόλιν ἡμῶν ἅπασαν, καὶ πρὸς τὰς ἐρημίας μετοικισθῆναι ἅπαντας, καὶ διὰ τὸ τοὺς ἀπολειφθέντας ἐσκοτῶσθαι τῷ νέφει τῆς ἀθυμίας. ψυχὴ γὰρ ἅπαξ ἀθυμίας πλησθεῖσα πρὸς πᾶσαν ἀκρόασιν ἐστὶν ἀνεπιτήδειος. διὰ τοῦτο καὶ οἱ τοῦ

Ιωϐ. ϐ. ιγ.

Ἰὼβ φίλοι παραγενόμενοι, καὶ τὴν τραγῳδίαν τῆς οἰκίας ἐκείνης ἰδόντες, καὶ τὸν δίκαιον ἐπὶ τῆς κοπρίας* καθήμενον [καὶ] ἡλκωμένον, διέρρηξάν τε τὰ ἱμάτια αὐτῶν, καὶ ἀνῴμωξαν, καὶ σιγῇ παρεκαθήμεθα, δηλοῦντες ὅτι οὐδὲν οὕτως ἐπιτήδειον παρὰ τὴν ἀρχὴν τοῖς ὀδυνωμένοις, ὡς ἡσυχία καὶ σιγή. καὶ γὰρ ἦν μεῖζον παραμυθίας τὸ πάθος. διὰ τοῦτο καὶ οἱ Ἰουδαῖοι τῷ πηλῷ καὶ τῇ πλινθείᾳ προσδεδεμένοι, Μωϋσέα παραγενόμενον ἰδόντες, οὐκ ἠδύναντο τοῖς λεγομένοις προσέχειν ἀπὸ τῆς ὀλιγοψυχίας καὶ τῆς θλίψεως αὐτῶν. καὶ τί θαυμαστόν, εἰ μικρόψυχοί τινες ἄνθρωποι τοῦτο ἔπαθον, ὅπου καὶ οἱ μαθηταὶ εὑρίσκονται τούτῳ περιπεσόντες τῷ πάθει; μετὰ γὰρ τὸ μυστικὸν ἐκεῖνο δεῖπνον, ἐπειδὴ λαβὼν αὐτοὺς ὁ Χριστὸς κατ' ἰδίαν διελέγετο, παρὰ μὲν τὴν ἀρχὴν συνεχῶς αὐτὸν ἠρώτων οἱ μαθηταί, ποῦ ὑπάγεις; ἐπειδὴ δὲ εἶπεν αὐτοῖς τὰ μικρὸν ὕστερον αὐτοὺς διαδεξόμενα κακά, τοὺς πολέμους, τὰς ἐπαναστάσεις, τὰς ἀπεχθείας τὰς παρὰ πάντων, τὰς μάστιγας, τὰ δεσμωτήρια, τὰ δικαστήρια, τὰς ἀπαγωγάς, ὥσπερ τινὶ φορτίῳ βαρυτάτῳ τῷ φόβῳ τῶν εἰρημένων καὶ τῇ τῶν μελλόντων ἀθυμίᾳ πιεζομένη τότε αὐτῶν ἡ ψυχὴ ἀχανὴς λοιπὸν ἔμεινε. διὸ ʺ συγχυθέντας αὐτοὺς ἰδὼν ὁ Χριστός, αὐτὸ τοῦτο ὀνειδίζων ἔλεγε· Πορεύομαι πρὸς τὸν πατέρα μου, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με, ποῦ ὑπάγεις· ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. διὰ τοῦτο καὶ ἡμεῖς ἐσιγήσαμεν [τὸν παρελθόντα χρόνον,] τὸν παρόντα καιρὸν ἀναμένοντες. εἰ γὰρ ὁ μέλλων δεῖσθαί τινος, κἂν εὔλογα μέλλῃ ʺ προτείνειν, ἐπιτηδειότητα ἀναμένει καιροῦ, ὅπως ἡμέρῳ καὶ εὖ διακειμένῳ τῷ μέλλοντι διδόναι τὴν αἴτησιν προσέλθοι, καὶ τὴν ἀπὸ τοῦ καιροῦ λαβὼν συμμαχίαν ἐπιτύχοι τῆς χάριτος· πολλῷ μᾶλλον τὸν λέγοντα, καιρὸν ἐπιτήδειον ζητεῖν χρή, ὅπως εὖ διακειμένῳ τῷ ἀκροατῇ καὶ πάσης ἀπηλλαγμένῳ φροντίδος καὶ ἀθυμίας προσαγάγῃ τοὺς λόγους. ὃ δὴ καὶ ἡμεῖς πεποιήκαμεν. νῦν γοῦν ἐπειδὴ τὴν ἀθυμίαν ἀπετινάξασθε, καὶ τῶν προτέρων ὑμᾶς ἀναμνῆσαι βουλόμεθα, ὥστε σαφέστερον ὑμῖν γενέσθαι τὸν λόγον. ὅπερ γὰρ περὶ τῆς κτίσεως εἰρήκαμεν*, ὅτι οὐχὶ καλὴν μόνον καὶ θαυμαστὴν καὶ μεγάλην αὐτὴν ἐποίησεν ὁ Θεός, ἀλλὰ καὶ ἀσθενῆ καὶ φθαρτήν, καὶ τούτων αὐτῶν πάλιν πολλὰ ἐγκατέθηκε δείγματα· ἀμφότερα πρὸς τὸ χρήσιμον ἡμῖν οἰκονομῶν, καὶ διὰ μὲν τοῦ κάλλους εἰς τὸ θαῦμα τοῦ πεποιηκότος ἐνάγων, διὰ δὲ τῆς ἀσθενείας τοῦ σέβεσθαι τὴν κτίσιν ἡμᾶς ἀπάγων, τοῦτο καὶ ἐπὶ τοῦ σώματος τοῦ ἡμετέρου ἐστὶν ἰδεῖν γεγενημένον. καὶ γὰρ καὶ περὶ τούτου πολλοὶ ζητοῦσι, τῶν τε τῆς ἀληθείας ἐχθρῶν, τῶν τε σὺν ἡμῖν τεταγμένων, τίνος ἕνεκεν φθαρτὸν καὶ ἐπίκηρον γέγονεν. Ἑλλήνων δὲ πολλοὶ καὶ αἱρετικῶν οὐδὲ γεγενῆσθαι αὐτὸ παρὰ τοῦ Θεοῦ φασιν· ἀνάξιον γὰρ αὐτὸ τῆς τοῦ Θεοῦ δημιουργίας εἶναι λέγουσι, ῥύπους καὶ ἱδρῶτας καὶ ʺ δάκρυα καὶ πόνους καὶ ταλαιπωρίας καὶ τἄλλα τοῦ σώματος ἐπιόντες ἅπαντα. ἐγὼ δὲ ἐπειδὰν περὶ τούτων γίνηται λόγος, πρότερον μὲν ἐκεῖνο ἂν εἴποιμι· μή μοι τὸν ἄνθρωπον λέγε τοῦτον τὸν προσκεκρουκότα, τὸν ἠτιμωμένον, τὸν καταδικασθέντα· ἀλλ' εἰ βούλει μαθεῖν, ὁποῖον ἐξ ἀρχῆς τὸ σῶμα ʺ ἡμῶν ἔπλασεν ὁ Θεός, ἐπὶ τὸν παράδεισον ἔλθωμεν, καὶ τὸν * ἐξ ἀρχῆς γενόμενον ἄνθρωπον ἴδωμεν. οὐ γὰρ οὕτω τὸ σῶμα ἐκεῖνο φθαρτὸν καὶ ἐπίκηρον ἦν· ἀλλ' ὥσπερ τις χρυσοῦς ἀνδριὰς ἀπὸ χωνευτηρίου προελθὼν ἄρτι καὶ λαμπρὸν ἀποστίλβων, οὕτω πάσης [τοιαύτης] φθορᾶς ἐκεῖνο τὸ σῶμα ἀπήλλακτο, καὶ οὔτε πόνος ἠνόχλει, οὔτε ἱδρὼς ἐλυμαίνετο, οὐ φροντίδες ἐπεβούλευον, οὐκ ἀθυμίαι ἐπολιόρκουν, οὐκ ἄλλο τι τῶν τοιούτων ἐλύπει παθῶν. ἐπειδὴ δὲ σωφρόνως τὴν εὐημερίαν οὐκ ἤνεγκεν, ἀλλ' ἐξύβρισεν εἰς τὸν εὐεργέτην, καὶ τὸν ἀπατεῶνα δαίμονα τοῦ κηδεμόνος καὶ τιμήσαντος αὐτὸν Θεοῦ ἐνόμισεν ἀξιοπιστότερον εἶναι, καὶ Θεὸς γενέσθαι προσεδόκησε, καὶ μείζω τῆς οἰκείας ἀξίας ἔλαβεν ἔννοιαν· τότε δή, τότε διὰ τῶν πραγμάτων αὐτῶν σωφρονίζων αὐτὸν ὁ Θεός, φθαρτόν τε αὐτὸν καὶ θνητὸν ἐποίησε, καὶ ταῖς πολλαῖς ταύταις ʺ κατέδησεν ἀνάγκαις, οὐχὶ μισῶν, οὐδὲ ἀποστρεφόμενος, ἀλλὰ κηδόμενος, καὶ τὴν πονηρὰν καὶ ὀλέθριον ἐκείνην ἀπόνοιαν ἐκ προοιμίων κωλύων, καὶ περαιτέρω προελθεῖν οὐκ ἐῶν, ἀλλὰ δι' αὐτῆς τῶν πραγμά-

Ἐξοδ. ϛ. κα.

Ιωαν. ιϛ. ε.

τῶν τῆς πείρας διδάσκων αὐτὸν, ὅτι θνητός τε ἐστὶ καὶ ἐπίκηρος, καὶ ταύτῃ πείθων μηδέποτε τοιαῦτα φαντάζεσθαι καὶ ὀνειροπολεῖν. Ἐπεὶ γὰρ εἶπεν ὁ διάβολος*, Ἔσεσθε ὡς θεοί. πρόῤῥιζον οὖν ταύτην ἀνασπάσαι βουλόμενος τὴν ἔννοιαν, πολυπαθὲς αὐτοῦ καὶ ταλαίπωρον τὸ σῶμα πεποίηκε, δι' αὐτῆς τῆς φύσεως παιδεύων αὐτὸν μηδέποτε τοιαύτην λαβεῖν ἔννοιαν. καὶ ὅτι τοῦτο ἐστὶν ἀληθὲς, μάλιστα μὲν καὶ ἐκ τῶν ἐπ' ἐκείνου γεγενημένων δῆλον. μετὰ γὰρ τὴν προσδοκίαν ἐκείνην ταύτῃ κατεδικάσθη τῇ τιμωρίᾳ. καὶ σκόπει μοι Θεοῦ σύνεσιν. οὐκ ἀφῆκεν αὐτὸν πρῶτον ἀποθανεῖν, ἀλλὰ τὸν υἱὸν τὸν ἐκείνου συνεχώρησε τοῦτο παθεῖν, ἵνα παρὰ τῶν ὀφθαλμῶν* ἰδὼν τὸ σῶμα σηπόμενον καὶ φθειρόμενον, μεγάλην ἀπὸ τῆς ὄψεως ταύτης δέξηται φιλοσοφίας διδασκαλίαν, καὶ μάθῃ τί γέγονε, καὶ σωφρονισθεὶς καλῶς, οὕτως ἐντεῦθεν ἀπέλθῃ.

Γεν. γ. ε.

* ἔτι

* αὐτοῦ

Μάλιστα μὲν οὖν, ὅπερ ἔφην, καὶ ἐκ τῶν ἤδη γεγενημένων τοῦτο δῆλον· οὐκ ἔλαττον δὲ καὶ ἐκ τῶν μετὰ ταῦτα ῥηθησομένων ἔσται φανερόν. εἰ γὰρ ἀνάγκῃ τοιαύτῃ τοῦ σώματος ἐνδεδεμένου, καὶ πάντων ἀποθνησκόντων καὶ φθειρομένων καὶ σηπομένων ἐν ταῖς ἁπάντων ὄψεσι, καὶ "διαλυομένων εἰς κόνιν, καὶ τῶν ἔξωθεν φιλοσόφων ἕνα καὶ "τοῦτον" ποιησαμένων συμπληρωτικὸν ὅρον τοῦ τῶν ἀνθρώπων γένους (ἐρωτηθέντες γὰρ τί ποτε ἄνθρωπός ἐστι, ζῶον λογικὸν θνητὸν εἶπον) εἰ τοίνυν πάντων ταῦτα ὁμολογησάντων, ἐτόλμησαν ἑαυτοὺς ἀπαθανατίσαι τινὲς ἐν ταῖς τῶν πολλῶν ὑπολήψεσι, καὶ τῆς ὄψεως μαρτυρούσης τὸν θάνατον ἐφιλονείκησαν ἀναῤῥηθῆναι θεοὶ, καὶ ἐτιμήθησαν οὕτως· εἰ μὴ προὐχώρησεν ὁ θάνατος διδάσκων ἅπαντας τὸ τῆς φύσεως ἐπίκηρον καὶ φθαρτὸν, ποῦ οὐκ ἂν ἐξέβησαν ἀσεβείας πολλοὶ τῶν ἀνθρώπων; ἄκουσον γοῦν τί φησιν ὁ προφήτης περί τινος βαρβάρου βασιλέως τοιαύτην μανέντος μανίαν. Ἐπάνω τῶν ἄστρων τοῦ οὐρανοῦ θήσω, φησὶ, τὸν θρόνον μου, καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ. Εἶτα καταγελῶν αὐτοῦ, καὶ τὴν τελευτὴν αὐτοῦ δηλῶν, φησιν, Ὑποκάτω σου στρώσουσι σῆψιν, καὶ τὸ "κατάλυμά σου σκώληξ. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἄνθρωπος τοιαύτην ἀναμένων τελευτὴν, τοιαῦτα φαντάζεσθαι ἐτόλμησας; καὶ περὶ ἑτέρου πάλιν τοῦ βασιλέως, λέγω τοῦ Τυρίων, "τοιαῦτα κατασκευάζοντος, καὶ βουλομένου νομίζεσθαι Θεοῦ, φησι· Σὺ δὲ οὐκ εἶ Θεὸς, ἀλλ' ἄνθρωπος· καὶ οἱ κατακεντοῦντές σε τοῦτο ἐροῦσιν. ὥστε ἄνωθεν καὶ μετ' ὑπερβολῆς ἀναιρῶν τῆς εἰδωλολατρείας τὴν ὑπόθεσιν, τοιοῦτον ἡμῖν τὸ σῶμα ἐποίησεν ὁ Θεός. καὶ τί θαυμάζεις, εἰ ἐπὶ τοῦ σώματος τοῦτο γέγονεν, ὅπου γε καὶ ἐπὶ τῆς ψυχῆς ἐστιν ἰδεῖν τοιοῦτόν τι γεγενημένον; θνητὴν μὲν γὰρ οὐκ ἐποίησεν, ἀλλ' ἀφῆκεν ἀθάνατον (εἶ)· λήθῃ δὲ καὶ ἀγνοίᾳ καὶ ἀθυμίᾳ καὶ φροντίσιν ὑπεύθυνον αὐτὴν κατεσκεύασε. καὶ τοῦτο ἐποίησεν, ἵνα μὴ πρὸς τὴν οἰκείαν εὐγένειαν "ἰδοῦσα, μείζονα τῆς οἰκείας ἀξίας ἔννοιαν λάβῃ. εἰ γὰρ καὶ τούτων ὄντων ἐτόλμησάν τινες εἰπεῖν, ὅτι τῆς οὐσίας τοῦ Θεοῦ ἐστιν· εἰ καὶ τούτων ἀπήλλακτο τῶν παθῶν, ποῦ οὐκ ἂν ἦλθον οὗτοι μανίας; πλὴν ἀλλ' ὅπερ ἐπὶ τῆς κτίσεως ἔλεγον, τοῦτο καὶ ἐπὶ τοῦ σώματος λέγω· ὅτι ὁμοίως δι' ἀμφότερα ταῦτα θαυμάζω τὸν Θεὸν, καὶ ὅτι φθαρτὸν αὐτὸ ἐποίησε, καὶ ὅτι ἐν τῇ φθορᾷ τὴν οἰκείαν ἰσχὺν ἐπεδείξατο καὶ σοφίαν. ὅτι μὲν γὰρ βελτίονος αὐτὸ ἴσχυε ποιῆσαι ὕλης, ἔδειξεν ἐκ τοῦ οὐρανίου τε σώματος, καὶ τοῦ ἡλιακοῦ. ὁ γὰρ ἐκεῖνα τοιαῦτα ποιήσας, καὶ τοῦτο τοιοῦτον "ἐργάσασθαι, εἴπερ ἠθέλησεν, ἴσχυσεν ἄν. ἀλλ' ἡ αἰτία τῆς ἀσθενείας ἐστὶν ἡ προειρημένη πρόφασις. οὐ μὴν τοῦτο ὑποτέμνει) τοῦ δημιουργοῦ τὸ θαῦμα, ἀλλὰ καὶ ἐπιτείνει πλέον. τὸ γὰρ εὐτελὲς τῆς οὐσίας τοῦτο δείκνυσι "μάλιστα τῆς τέχνης τὸ εὔπορον καὶ εὐμήχανον, ὅτι ἐν πηλῷ καὶ τέφρᾳ τοσαύτην ἐνέθηκεν ἁρμονίαν, καὶ τοιαύτας αἰσθήσεις, οὕτω ποικίλας καὶ παντοδαπὰς, καὶ τοιαῦτα δυναμένας φιλοσοφεῖν. ὥστε ὅσῳπερ ἂν κατηγορῇς τοῦ τῆς οὐσίας εὐτελοῦς, τοσούτῳ μᾶλλον θαύμασον τὸ μεγαλεῖον τῆς τέχνης. ἐπεὶ καὶ ἀνδριαντοποιὸν οὐχ οὕτω θαυμάζω τὸν ἀπὸ χρυσοῦ καλὸν ἀνδριάντα ποιοῦντα, ὡς τὸν ἀπὸ πηλοῦ τοῦ διαπίπτοντος τῇ τῆς τέχνης εὐπορίᾳ δυνάμενον

Ησ. ιδ. ιγ.

Ιεζεκ. κη. θ.

χ. λελυμ

χ. τὸ αὐτὸ

χ. ζῶον μὴ

χ. κατακάλυμμα

χ. ταῦτα

χ. ἀπό.

χ. ἀφ. ἂν ποιῆσαι,

χ. μᾶλλον

Λογ. μθ.

μένον κάλλος ἐπιδεῖξαι πλάσεως θαυμαστὸν καὶ ἀμήχανον. ἐκεῖ μὲν γὰρ καὶ συντελεῖ τι ἡ ὕλη τῷ πλάττοντι· ἐνταῦθα δὲ γυμνὴ τῆς τέχνης ἐστὶν ἡ ἐπίδειξις. σὺ δὲ εἰ βούλει μαθεῖν, πόση τοῦ δημιουργήσαντος ἡμᾶς ἐστιν ἡ σοφία, ἐννόησον τί γίνεται ἀπὸ πηλοῦ. τί δὲ ἕτερον, ἀλλ' ἢ πλίνθος καὶ κέραμος; ἀλλ' ὅμως ἴσχυσεν ὁ ἀριστοτέχνης Θεὸς ἀπὸ τῆς ὕλης, ἐξ ἧς γίνεται κέραμος καὶ πλίνθος μόνον, ὀφθαλμὸν οὕτω ποιῆσαι καλὸν, ὡς ἅπαντας ἐκπλήττειν τοὺς ὁρῶντας, καὶ τοσαύτην ἐνθεῖναι τούτῳ δύναμιν, ὡς ἀέρος τοσοῦτον ὕψος καθορᾷν, καὶ μικρᾶς κόρης ἀντιλήψει τοσαῦτα περιλαμβάνειν σώματα, καὶ ὄρη, καὶ νάπας, καὶ βουνοὺς, καὶ πελάγη, καὶ οὐρανὸν δι' ἐκείνης τῆς μικρᾶς. μὴ τοίνυν εἴπῃς μοι τὰ δάκρυα καὶ τὰς λήμας (τοῦτο γὰρ διὰ τὴν σὴν ἁμαρτίαν γέγονεν) ἀλλ' ἐννόησον αὐτοῦ τὸ κάλλος καὶ τὴν δύναμιν τὴν ὀπτικὴν, καὶ πῶς τοσοῦτον ἐπιὼν ἀέρος μῆκος οὐ κάμνει καὶ ταλαιπωρεῖ, ἀλλὰ πόδες μὲν ὀλίγον περιελθόντες πονοῦσι καὶ ἐκλύονται, ὀφθαλμὸς δὲ ὁδεύων τοσοῦτον μὲν ὕψος, τοσοῦτον δὲ εὖρος, οὐδεμιᾶς αἰσθάνεται ἀῤῥωστίας. ἐπειδὴ γὰρ τῶν μελῶν ἁπάντων ἡμῖν ἀναγκαιότερόν ἐστι τοῦτο, οὐκ ἀφῆκεν αὐτὸ πιέζεσθαι καμάτῳ, ὥστε ἀνεμπόδιστον αὐτοῦ τὴν διακονίαν ἡμῖν εἶναι καὶ ἀκώλυτον. μᾶλλον δὲ,* ποῖος λόγος παραστῆσαι δυνήσεται τοῦ μέλους τούτου τὴν ἀρετὴν ἅπασαν; καὶ τί λέγω περὶ κόρης*, καὶ τῆς ὀπτικῆς δυνάμεως; ἐὰν γὰρ ὃ πάντων εὐτελέστερον εἶναι δοκεῖ τῶν μελῶν, τοῦ ὀφθαλμοῦ τὰς βλεφαρίδας ἐξετάσῃς μόνον, καὶ ἐν ταύταις πολλὴν ὄψει τοῦ δημιουργοῦ Θεοῦ τὴν σοφίαν. καθάπερ γὰρ ἐπὶ τῶν ἀσταχύων αἱ ἀνθέρικες, ὥσπερ τινὰ δόρατα προβεβλημέναι, τοὺς ὄρνιθας ἀποσοβοῦσιν, οὐκ ἐπιτρέποντες ἐγκαθέζεσθαι τῷ καρπῷ, καὶ διακλᾷν τὴν καλάμην ἀσθενεστέραν οὖσαν· οὕτω δὴ καὶ ἐπὶ τῶν ὀφθαλμῶν, ὥσπερ τινὲς ἀνθέρικες καὶ δόρατα, προβέβληνται αἱ τῶν βλεφάρων τρίχες, κόνιν καὶ κάρφος καὶ πάντα τὰ διενοχλοῦντα ἔξωθεν ἀποκρουόμεναι τῶν ὀφθαλμῶν, καὶ οὐκ ἐῶσαι ἐνοχλεῖσθαι τὰ βλέφαρα. ἴδοις ἂν καὶ ἐπὶ τῶν ὀφρύων ἑτέραν σοφίαν οὐκ ἐλάττονα ταύτης. τίς γὰρ οὐκ ἂν ἐκπλαγείη τὴν θέσιν αὐτῶν, ὅτι οὔτε πέρα τοῦ μέτρου προβέβληνται, ὥστε ἐπισκοτεῖν τοῖς ὀφθαλμοῖς, οὔτε ἐνδοτέρω τοῦ δέοντος ὑφιζάνουσιν, ἀλλ' ὥσπερ οἰκίας γεῖσος, οὕτως ἐξέχουσιν ἄνωθεν, τὸν ἐκ τῆς κεφαλῆς κατιόντα ἱδρῶτα δεχόμεναι, καὶ τοὺς ὀφθαλμοὺς λυπεῖν οὐκ ἐῶσαι. διὰ δὴ τοῦτο καὶ τρίχες αὐταῖς εἰσιν ἐμπεφυκυῖαι, τῇ δασύτητι τὸ καταῤῥέον ἐπέχουσαι, καὶ μετὰ πολλῆς γέμουσαι τῆς ἀκριβείας, καὶ πολλὴν ταῖς ὄψεσι τὴν εὐμορφίαν παρέχουσαι. οὐ τοῦτο δὲ μόνον ἄν τις θαυμάσειεν, ἀλλὰ καὶ ἕτερον οὐκ ἔλαττον τούτου. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, αἱ μὲν τῆς κεφαλῆς αὔξονται τρίχες καὶ ἀποκείρονται, αἱ δὲ τῶν ὀφρύων οὐκ ἔτι; οὐδὲ γὰρ τοῦτο ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν ἡμῖν γέγονεν· ἀλλ' ὥστε μὴ χαλωμένας ἐπισκοτεῖν τοῖς ὀφθαλμοῖς, ὅπερ οἱ πρὸς βαθὺ γῆρας ἐλθόντες πάσχουσι. τίς ἂν δυνηθείη τὴν διὰ τοῦ ἐγκεφάλου δεικνυμένην σοφίαν ἅπασαν "ἐπελθεῖν; πρῶτον μὲν γὰρ αὐτὸν ἁπαλὸν ἐποίησεν, ἐπειδὴ ταῖς αἰσθήσεσιν ἁπάσαις αὐτὸς χορηγεῖ τὰς πηγάς. εἶτα, ἵνα μὴ παρὰ τὴν οἰκείαν "βλάπτηται φύσιν, ὀστέοις αὐτὸν πάντοθεν ἐπετείχισε. πάλιν, ἵνα μὴ τῇ σκληρότητι τῶν ὀστῶν παρατριβόμενος ἐνοχλῆται, ὑμένα μέσον ὑπέτεινεν, οὐχ ἕνα μόνον, ἀλλὰ καὶ δεύτερον· τὸν μὲν ὑποτείνας τῷ βρέγματι κάτωθεν, τὸν δὲ ἄνωθεν περιβαλὼν τῇ τοῦ ἐγκεφάλου ἀρχῇ. καὶ ἔστιν ἐκεῖνος τούτου σκληρότερος. τοῦτο δὲ ἐποίησε διά τε τὴν εἰρημένην αἰτίαν, καὶ ἵνα τὰς φερομένας "κατὰ τῆς κεφαλῆς πληγὰς μὴ πρῶτος ὁ ἐγκέφαλος δέχηται, ἀλλὰ προαπαντῶσαι αἱ μήνιγγες αὗται ταῖς "βολαῖς, τὴν βλάβην διαλύωσιν ἅπασαν, καὶ ἀνεπηρέαστον αὐτὸν διατηρῶσι. καὶ τὸ μὴ συνεχές τε καὶ ἓν εἶναι τὸ καλύπτον αὐτὸν ὀστοῦν, ἀλλὰ πολλὰς "πανταχόθεν ἔχειν ῥαφὰς, πολλῆς ἀσφαλείας αὐτῷ πάλιν ὑπόθεσις γίνεται. τῶν τε γὰρ συνεχόντων αὐτὸν ἀτμῶν εἰς τὸ ἔξω ῥᾳδία γένοιτ' ἂν ἀναπνοὴ διὰ τῶν ῥαφῶν ἐκείνων, ὥστε αὐτὸν μὴ συμπνίγεσθαι· πληγή τε εἴ τις "ἐπενεχθείη ποθὲν, οὐχ ὁλοσχερὴς γίνεται ἡ βλάβη. εἰ μὲν γὰρ ἓν καὶ συνεχὲς ἦν τὸ ὀστοῦν, καὶ εἰς ἓν μέρος κατενεχθεῖσα ἡ πληγὴ τὸ πᾶν ἐλυμήνατο ἄν. νῦν δὲ εἰς πολλὰ διῃρῆσθαι νῦν οὐκ ἂν γένοιτο τοῦτο. εἰ γὰρ καὶ συμβαίη τρωθῆναι μέρος ἕν, τὸ κατ' ἐκεῖνο τὸ μέρος ὀστοῦν κείμενον παραβλάπτεται μόνον· τὰ δὲ λοιπὰ ἀσινῆ μένει πάντα, τοῦ συνεχοῦς τῆς πληγῆς διακοπτομένου τῇ τῶν ὀστῶν διαιρέσει, καὶ οὐκ ἰσχύοντος εἰς τὰ παρακείμενα ἐκταθῆναι. διὰ τοῦτο ἐκ πολλῶν αὐτοῦ τὴν σκέπην ὀστῶν συνέθηκεν ὁ Θεός. καὶ καθάπερ οἰκίαν τις οἰκοδομῶν, στέγην καὶ κεραμίδας ἄνωθεν ἐπιτίθησιν· οὕτω καὶ τὰ ὀστᾶ* ἐπέθηκεν ἄνωθεν ἐπὶ τῆς κεφαλῆς ὁ Θεός, καὶ τὰς τρίχας βλαστάνειν παρεσκεύασεν, ὥστε ἀντὶ πιλημάτων τινῶν εἶναι τῇ κεφαλῇ. τὸ αὐτὸ δὴ τοῦτο καὶ ἐπὶ τῆς καρδίας ἐποίησεν. ἐπειδὴ γὰρ τὸ κυριώτατόν ἐστι τῶν ἐν ἡμῖν μελῶν ἡ καρδία, καὶ τῆς ζωῆς ἡμῶν ἁπάσης αὐτὴ τὸ κῦρος "ἐγκεχείρισται, καὶ τὸ τυχὸν πληγείσης αὐτῆς θάνατος ἐστί, στερεοῖς καὶ σκληροῖς ὀστοῖς καὶ ταύτην πανταχόθεν περιέφραξε, ταῖς τοῦ θώρακος περιβολαῖς καὶ ταῖς ὠμοπλάταις ὄπισθεν τειχίσας αὐτήν. καὶ ὅπερ ἐπὶ τῶν μηνίγγων ἐποίησε, τοῦτο καὶ ἐπὶ ταύτης εἰργάσατο. ὥστε γὰρ μὴ συνεχῶς ἀλλομένην αὐτὴν καὶ πηδῶσαν ἐν τοῖς θυμοῖς καὶ ταῖς τοιαύταις ὁρμαῖς, τῇ σκληρότητι τῶν ὀστῶν ἐγκρούουσαν τῶν περιφραττόντων αὐτὴν παρατρίβεσθαι καὶ ὀδυνᾶσθαι, ὑμένας τε ὑπέτεινεν ἐκεῖ πολλούς καὶ τὸν πνεύμονα ὑπέθηκεν, ὥσπερ ἁπαλὸν στρῶμα τοῖς ἅλμασιν αὐτῆς παραθείς· ἵνα ἀλύπως ἐρρηγνυμένη τούτῳ, μηδὲν ἀηδὲς πάσχῃ. καὶ τί λέγω περὶ ἐγκεφάλου, καὶ καρδίας; ὅπου γε εἴ τις καὶ περὶ τῶν ὀνύχων αὐτῶν ζητήσειε, πολλὴν καὶ ἐν τούτοις ὄψεται τὴν σοφίαν τοῦ Θεοῦ διαδεικνυμένην, καὶ ἀπὸ τοῦ σχήματος αὐτῶν, καὶ ἀπὸ τῆς οὐσίας, καὶ ἀπὸ τῆς θέσεως. ἐνῆν δὲ εἰπεῖν, καὶ τίνος ἕνεκεν οὐκ "ἰσόμετροι πάντες ἡμῖν εἰσιν οἱ δάκτυλοι, καὶ πολλὰ ἕτερα [καὶ] τούτων πλείονα.

Ἀλλ' ἀρκούντως καὶ ἐκ τῶν εἰρημένων τοῖς ἐθέλουσι προσέχειν ἡ σοφία τοῦ δημιουργήσαντος ἡμᾶς διαλάμπει Θεοῦ. διόπερ ἀφεὶς τοῦτο τὸ μέρος τοῖς φιλοπόνοις ἐξεργάσασθαι μετ' ἀκριβείας, ἐφ' ἑτέραν ἀντίθεσιν τρέψομαι. καὶ γὰρ πολλοὶ μετὰ τῶν εἰρημένων κἀκεῖνο ἀντιλέγουσι, τί δήποτε εἰ βασιλεὺς τῶν ἀλόγων ἐστὶν ὁ ἄνθρωπος, καὶ ῥώμῃ καὶ ὀξύτητι καὶ τάχει πολλὰ τῶν ζώων αὐτοῦ πλεονεκτεῖ; καὶ γὰρ ταχύτερος ἵππος ἀνθρώπου, καὶ πληκτικώτερος βοῦς, καὶ κουφότερος ἀετός, καὶ ἰσχυρότερος λέων. τί οὖν ἂν εἴποιμεν πρὸς ταῦτα; ὅτι καὶ ἐντεῦθεν μάλιστα εἰσόμεθα τοῦ Θεοῦ τὴν σοφίαν, καὶ τὴν τιμήν, ἣν ἡμᾶς ἐτίμησε. ταχύτερος μὲν γὰρ ἵππος ἀνθρώπου, ἀλλ' εἰς ἀποδημίας τάχος ἐπιτηδειότερος ἄνθρωπος ἵππου. ἵππος μὲν γὰρ κἂν ἁπάντων ὀξύτατος καὶ ἀλκιμώτατος ᾖ, μόλις διακοσίους δραμεῖται τῆς ἡμέρας σταδίους· ἄνθρωπος δὲ ὑποζεύξας ἵππους ἐκ διαδοχῆς πολλούς, καὶ "δισχιλίους δυνήσεται σταδίους διανύσαι. ὥστε ὅπερ ἐκείνῳ τὸ τάχος, τοῦτο ὁ λογισμὸς καὶ ἡ τέχνη παρέχει μετὰ πλείονος τῆς ὑπερβολῆς. οὐκ ἔχει μὲν γὰρ πόδας "ἰσχυροτέρους ὁ ἄνθρωπος, ὥσπερ ἐκεῖνος, ἔχει δὲ τοὺς "ἐκείνου τῶν ἑαυτοῦ οὐκ ἔλαττον "ἑαυτῷ διακονουμένους. τῶν μὲν γὰρ ἀλόγων οὐδὲν ζῶον ἕτερον πρὸς τὴν ἑαυτοῦ χρείαν ὑποζεῦξαι δύναται· ὁ δὲ ἄνθρωπος πάντα ἔπεισι, καὶ διὰ τῆς ποικίλης τέχνης τῆς παρὰ τοῦ Θεοῦ δοθείσης αὐτῷ, πρὸς τὴν μάλιστα "προσήκουσαν αὐτῷ οἰκονομίαν ἕκαστον ὑπάγει τῶν ζώων. εἰ δὲ οὕτως ἰσχυροὶ οἱ πόδες τῶν ἀνθρώπων, ὡς οἱ τῶν ἵππων, ἦσαν, πρὸς ἕτερα ἂν ἐγένοντο ἄχρηστοι, πρὸς "δυσχωρίας, πρὸς ἀκρωρείας, πρὸς ἀναβάσεις δένδρων. ἡ γὰρ ὁπλὴ ταῖς πρὸς τὰ τοιαῦτα βαδίσεσιν ἐμποδίζειν εἴωθεν. ὥστε εἰ καὶ ἁπαλώτεροι οἱ πόδες αὐτῶν, ἀλλὰ πρὸς πλείους ἐπιτηδειότεροι χρείας. καὶ οὔτε διὰ τὴν ἀσθένειαν τι βλάπτονται, τῆς τοῦ ἵππου δυνάμεως διακονουμένης, καὶ παρὰ τὴν ποικιλίαν τῆς βαδίσεως πλεονεκτοῦσι. πάλιν ἐστὶ πτερὸν τῷ ἀετῷ κοῦφον, ἀλλ' ἔστιν ἐμοὶ "λογισμὸς καὶ τέχνη, δι' ἧς δυνάμεθα πάντα τὰ ἱπτάμενα ζῶα κατενεγκεῖν καὶ χειρώσασθαι. εἰ δὲ βούλει καὶ τὸ ἐμὸν πτερὸν ἰδεῖν, ἔχω πολλῷ κουφότερον "ἐκείνου, οὐ μέχρι δέκα σταδίων καὶ εἴκοσι, οὐδὲ μέχρι τοῦ οὐρανοῦ, ἀλλὰ καὶ ὑπὲρ αὐτὸν ἀνιπτάμενον τὸν οὐρανόν, καὶ ὑπὲρ τὸν οὐρανὸν τοῦ οὐρανοῦ ἄνω, οὗ ἐστιν ὁ Χριστὸς ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος. τὰ ἄλογα πάλιν ἐν τῷ σώματι τὰ ὅπλα ἔχει, οἷον ὁ βοῦς τὰ κέρατα, τοὺς ὀδόντας ὁ σῦς ὁ ἄγριος, τοὺς ὄνυχας ὁ λέων· ἐμοὶ δὲ οὐκ ἐν τῇ φύσει τοῦ σώματος τὰ ὅπλα κατέθετο ὁ Θεός, ἀλλ' ἔξω τοῦ σώματος, δεικνὺς ὅτι ἥμερον ζῶον ὁ ἄνθρωπος, καὶ ὅτι οὐκ ἀεί μοι τούτων τῶν ὅπλων καιρός. καὶ γὰρ πολλάκις μὲν αὐτὰ ἀποτίθημι, πολλάκις δὲ μεταχειρίζομαι. ἵν' οὖν ἐλεύθερος ὦ καὶ ἀπολελυμένος, καὶ μὴ διηνεκῶς ἀναγκάζωμαι βαστάζειν τὰ ὅπλα, ἐποίησεν αὐτὰ κεχωρισμένα τῆς φύσεως εἶναι τῆς ἐμῆς. οὐ γὰρ μόνον τῷ ψυχὴν ἔχειν λογικὴν κρατοῦμεν τῶν ἀλόγων, ἀλλὰ καὶ τῷ σώματι πλεονεκτοῦμεν αὐτῶν. καὶ γὰρ καὶ τοῦτο τῇ τῆς ψυχῆς εὐγενείᾳ συμβαῖνον κατεσκεύασεν ὁ Θεός, καὶ τοῖς ἐπιτάγμασιν αὐτῆς ἐπιτήδειον. καὶ γὰρ τὸ σῶμα τοιοῦτον οὐχ ἁπλῶς ἐποίησεν, ἀλλ' οἷον εἰκὸς εἶναι λογικῇ ψυχῇ διακονούμενον. ὡς εἰ μὴ τοιοῦτον ἦν, σφόδρα ἂν ἐνεποδίσθησαν αἱ τῆς ψυχῆς ἐνέργειαι. καὶ τοῦτο δῆλον ἐκ τῶν νοσημάτων. εἰ γάρ τι μικρὸν παρατραπείη τῆς οἰκείας καταστάσεως αὕτη τῆς σαρκὸς ἡ διακόσμησις, πολλαὶ τῶν ἐνεργειῶν τῆς ψυχῆς ἐμποδίζονται. οἷον τί λέγω· εἰ θερμότερος ἢ ψυχρότερος ὁ ἐγκέφαλος γένοιτο. ὥστε πολλὴν καὶ ἀπὸ τοῦ σώματός ἐστιν ἰδεῖν τὴν κηδεμονίαν τοῦ Θεοῦ, οὐχ ὅτι μόνον ἐξ ἀρχῆς αὐτὸ βέλτιον ἐποίησε τοῦ νῦν ὄντος, οὐδ' ὅτι καὶ νῦν πρὸς τὸ χρήσιμον αὐτὸ μετεσκεύασεν, ἀλλ' ὅτι καὶ πρὸς πολλῷ μείζονα ἀναστήσει δόξαν πάλιν. εἰ δὲ καὶ ἑτέρωθεν ἐθέλοις μαθεῖν, ὅσην περὶ τὸ σῶμα ὁ Θεὸς ἐπεδείξατο σοφίαν, ἐρῶ τοῦτο, ὃ μάλιστα πάντων ὁ Παῦλος ἐκπληττόμενος φαίνεται συνεχῶς. τί δὲ τοῦτό ἐστι; τὰ μέλη πλεονεκτεῖν ἀλλήλων πεποίηκεν, οὐκ ἐν τοῖς αὐτοῖς, ἀλλὰ τὰ μὲν ἐν κάλλει, τὰ δὲ ἰσχύϊ κρατεῖν παρεσκεύασεν· οἷον, καλὸς ὁ ὀφθαλμός, ἀλλ' ἰσχυρότεροι οἱ πόδες· τιμία ἡ κεφαλή, ἀλλ' οὐ δύναται εἰπεῖν τοῖς ποσί, χρείαν ὑμῶν οὐκ ἔχω. καὶ τοῦτο καὶ ἐπὶ τῶν ἀλόγων ἐστὶν ἰδεῖν, τοῦτο καὶ ἐπὶ τοῦ βίου παντός. ὁ γοῦν βασιλεὺς τῶν ὑπηκόων δεῖται, καὶ οἱ ὑπήκοοι τοῦ βασιλέως, ὥσπερ ἡ κεφαλὴ τῶν ποδῶν. καὶ πάλιν ἐπὶ τῶν ἀλόγων, τὰ μέν ἐστιν ἰσχυρότερα, τὰ δὲ [ἐστιν] εὐπρεπέστερα· τὰ μὲν ἡμᾶς τέρπει, τὰ δὲ τρέφει, τὰ δὲ περιβάλλει· οἷον, τέρπει μὲν ὁ ταών, τρέφουσι δὲ ὄρνιθες καὶ ὕες· περιβάλλουσι δὲ πρόβατα καὶ αἶγες, συμπονεῖ δὲ βοῦς καὶ ὄνος. ἔστι δὲ καὶ ἄλλα, ἃ τούτων μὲν οὐδὲν παρέχει, γυμνάζει δὲ ἡμῶν τὴν δύναμιν· ὡς τὰ ἄγρια θηρία τῶν κυνηγετῶν αὔξει τὴν ἰσχύν, καὶ τῷ φόβῳ παιδεύει τὸ γένος ἡμῶν, καὶ προσεκτικώτερον ποιεῖ, καὶ πρὸς θεραπείαν δὲ ἡμῖν οὐκ ὀλίγην φορὰν ἀπὸ τῶν οἰκείων εἰσάγει σωμάτων. ὥστε ὅταν εἴπῃ σοί τις, πῶς ἄρχων εἶ τῶν ἀλόγων, φοβούμενος λέοντα; εἰπὲ πρὸς αὐτόν· ὅτι παρὰ τὴν ἀρχὴν οὐχ οὕτω τὰ πράγματα διέκειτο, ὅτε εὐδοκίμουν παρὰ τῷ Θεῷ, ὅτε ἐν παραδείσῳ διέτριβον· ἀλλ' ἐπειδὴ προσέκρουσα τῷ δεσπότῃ, ὑπεύθυνος ἐγενόμην τοῖς δούλοις. καὶ οὐδὲ νῦν ὁλοκλήρως· ἀλλ' ἔχω τινὰ τέχνην, δι' ἧς κρατῶ τῶν θηρίων. οὕτω καὶ ἐπὶ τῶν οἰκιῶν γίνεται τῶν μεγάλων, ὅτε οἱ υἱοί, κἂν εὐγενεῖς ὦσιν, ὦσι δὲ ἀτελεῖς, πολλοὺς τῶν δούλων δεδοίκασιν· ὅταν δὲ καὶ προσκεκρουκότες ὦσιν, ἐπιτείνεται μᾶλλον ἡ ἀγωνία. ταῦτα καὶ ἐπὶ ὄφεων καὶ σκορπίων καὶ ἐχιδνῶν ἐστιν εἰπεῖν, ὅτι διὰ τὴν ἁμαρτίαν ἡμῖν ἐστι φοβερά. οὐκ ἐπὶ σώματος δὲ τοῦ ἡμετέρου μόνον, οὐδὲ ἐπὶ τῶν βίων τῶν διαφόρων, οὐδὲ ἐπὶ τῶν ἀλόγων, ἀλλὰ καὶ ἐπὶ δένδρων ἐστὶν ἰδεῖν τὴν ποικιλίαν ταύτην· καὶ τὸ πάντων εὐτελέστερον ἴδοι τις ἂν κατά τι τοῦ μείζονος ἔχον ὑπεροχήν, καὶ οὐ πάντα ἐν ἅπασιν ὄντα, ἵνα πάντα ᾖ ἡμῖν ἀναγκαῖα, καὶ τοῦ δεσπότου τὴν ποικίλην σοφίαν ἴδωμεν. μὴ τοίνυν κατηγόρει τοῦ Θεοῦ διὰ τὴν φθορὰν τοῦ σώματος, ἀλλὰ διὰ τοῦτο μᾶλλον αὐτὸν προσκύνει, καὶ τῆς σοφίας καὶ τῆς κηδεμονίας αὐτὸν θαύμαζε· τῆς σοφίας μέν, ὅτι ἴσχυσεν ἐν οὕτω φθαρτῷ σώματι τοσαύτην ἐπιδείξασθαι ἁρμονίαν· τῆς κηδεμονίας δέ, ὅτι φθαρτὸν αὐτὸ διὰ τὴν τῆς ψυχῆς ἐποίησεν ὠφέλειαν, ἵνα αὐτῆς καταστέλλῃ τὸ φύσημα, καὶ τὴν ἀπόνοιαν καθέλκῃ. τί οὖν οὐκ ἐξ ἀρχῆς αὐτὸ τοιοῦτον ἐποίησεν ὁ Θεός, φησίν; ἀπολογούμενος

γρ. θημαι

γρ. συμβαίνον

γρ. ἐποίησεν

α. Κορ. ιβ. κα.

ἀπολογούμενός σοι διὰ τῶν πραγμάτων αὐτῶν, καὶ μονονουχὶ λέγων διὰ τῆς ἐκβάσεως αὐτῆς· ὅτι ἐγὼ μέν σε ἐπὶ μείζονα ἐκάλεσα τιμήν, σὺ δὲ σεαυτὸν ἀνάξιον κατεσκεύασας τῆς δωρεᾶς, ἐκπεσὼν τοῦ παραδείσου· πλὴν ἀλλ' οὐδὲ οὕτω περιόψομαί σε, ἀλλὰ διορθοῦμαί σου τὸ ἁμάρτημα, καὶ εἰς τὸν οὐρανόν σε ἀνάξω. καὶ γὰρ διὰ τοῦτό σε ἐπὶ τοσοῦτον χρόνον σήπεσθαι καὶ διαφθείρεσθαι εἴασα, ἵνα ἐν τῷ πλήθει τοῦ χρόνου μόνιμός σοι γένηται τῆς ταπεινοφροσύνης ἡ διδασκαλία, καὶ μηδέποτε τὴν προτέραν ἔννοιαν λάβῃς. ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ φιλανθρώπῳ Θεῷ, καὶ τῆς κηδεμονίας αὐτὸν ἀμειψώμεθα ἀμοιβὴν ἡμᾶς ὠφελοῦσαν πάλιν, καὶ τῆς ἐντολῆς, ὑπὲρ ἧς συνεχῶς ὑμῖν διαλέγομαι, πολλὴν ποιησώμεθα τὴν σπουδήν. οὐδὲ γὰρ ἀποστήσομαι, ἕως ἂν κατορθώσητε· ἐπειδὴ ἡμῖν τὸ ζητούμενον οὐ τοῦτό ἐστιν, ἢ ὀλιγάκις εἰπεῖν, ἢ πολλάκις, ἀλλὰ μέχρι τότε λέγειν, ἕως ἂν ὑμᾶς πείσωμεν. πρὸς μὲν οὖν Ἰουδαίους ὁ Θεὸς ἔλεγε διὰ τοῦ προφήτου· Εἰ εἰς κρίσεις καὶ μάχας νηστεύετε, ἵνα τί μοι νηστεύετε; πρὸς ὑμᾶς δὲ ἐρεῖ δι' ἡμῶν· Εἰ εἰς ὅρκους καὶ ἐπιορκίας νηστεύετε, ἵνα τί μοι νηστεύετε; πῶς γὰρ τὸ πάσχα ὀψόμεθα τὸ ἱερόν; πῶς τὴν θυσίαν δεξόμεθα τὴν ἁγίαν; πῶς τῶν θαυμαστῶν κοινωνήσομεν μυστηρίων διὰ τῆς γλώττης, δι' ἧς τὸν νόμον τοῦ Θεοῦ κατεπατήσαμεν, διὰ τῆς γλώττης, δι' ἧς τὴν ψυχὴν ἐμολύναμεν; εἰ γὰρ πορφυρίδα τις βασιλικὴν οὐκ ἂν ἀνάσχοιτο χερσὶ δέξασθαι μεμιαμμέναις, πῶς σῶμα δεσποτικὸν δεξόμεθα ἀκαθάρτῳ γενομένῃ γλώττῃ; ὁ μὲν γὰρ ὅρκος τοῦ πονηροῦ, ἡ δὲ θυσία τοῦ δεσπότου. Τίς οὖν κοινωνία φωτὶ πρὸς σκότος; ἢ τίς συμφώνησις Χριστῷ πρὸς Βελίαρ; ὅτι μὲν οὖν ἐσπουδάκατε ταύτης ἀπαλλαγῆναι τῆς παρανομίας, οἶδα σαφῶς· ἀλλ' ἐπειδὴ καθ' ἑαυτὸν ἕκαστος οὐκ ἂν εὐκόλως αὐτὸ κατορθώσειε, ποιησώμεθα φατρίας, καὶ συμμορίας. καὶ ὅπερ ἐπὶ τῶν συμποσίων οἱ πένητες ποιοῦσιν, ἐπειδὰν αὐτῶν ἕκαστος ἑστιάτωρ ὁλόκληρος γενέσθαι μὴ δύνηται, συνελθόντες ἅπαντες ἐξ ἐράνου τὴν εὐωχίαν εἰσφέρουσι· τοῦτο καὶ ἡμεῖς ποιήσωμεν· ἐπειδὴ καθ' ἑαυτούς ἐσμεν ῥᾴθυμοι, συμμορίας ποιήσαντες ἀλλήλοις παρασκευάσωμεν εἰσφέρειν συμβουλὴν, καὶ παραγγελίαν, καὶ παράκλησιν, καὶ ἐπιτίμησιν, καὶ ὑπόμνησιν, καὶ ἀπειλὴν, ἵνα ἐκ τῆς ἑκάστου σπουδῆς ἅπαντες κατορθώσωμεν. ἐπειδὴ γὰρ τὰ τῶν πλησίον ὀξύτερον βλέπομεν ἢ τὰ ἡμέτερα, ἡμεῖς ἑτέρους φυλάττωμεν, καὶ τὴν ἡμετέραν φυλακὴν ἐπιτρέψωμεν ἐκείνοις, καὶ τὴν καλὴν ταύτην ἅμιλλαν ποιησώμεθα· ἵν' οὕτω περιγινόμενοι τῆς πονηρᾶς ταύτης συνηθείας, μετὰ παρρησίας ἐπὶ τὴν ἁγίαν ταύτην ἔλθωμεν ἑορτὴν, καὶ τῆς ἁγίας μετάσχωμεν θυσίας μετὰ χρηστῆς ἐλπίδος καὶ συνειδότος ἀγαθοῦ, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ, καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ησ. νη.

β. Κορ. ς. ιδ.

ΕΤΙ ΕΥΧΑΡΙΣΤΙΑ ΠΡΟΣ ΤΟΝ ΘΕΟΝ ΠΕΡΙ ΤΗΣ ΣΥΓχωρήσεως τῶν ἡμαρτηκότων εἰς τὸν βασιλέα· καὶ φυσιολογία περὶ τῆς κτίσεως, καὶ ὅτι ποιήσας ὁ Θεὸς τὸν ἄνθρωπον, νόμον φυσικὸν ἐγκατέθηκεν αὐτῷ, καὶ περὶ τοῦ πάσῃ σπουδῇ ἀπέχεσθαι τῶν ὅρκων. Λογ. ιβ.

ΚΑὶ χθὲς εἶπον, εὐλογητὸς ὁ Θεὸς, καὶ σήμερον τὸ αὐτὸ τοῦτο πάλιν ἐρῶ. εἰ γὰρ καὶ τὰ δεινὰ παρῆλθεν, ἀλλ' ἡ μνήμη τῶν δεινῶν μὴ παρερχέσθω· οὐχ ἵνα ἀλγῶμεν, ἀλλ' ἵνα εὐχαριστῶμεν. ἐὰν γὰρ ἡ μνήμη μένῃ τῶν δεινῶν, ἡ πεῖρα τῶν δεινῶν οὐδέποτε ἐπιστήσεται. τί γὰρ δεῖ τῆς πείρας, τῆς μνήμης ἡμᾶς σωφρονιζούσης; ὥσπερ οὖν οὐκ ἀφῆκεν ἡμᾶς ὁ Θεὸς καταποντισθῆναι παρόντων τῶν λυπηρῶν, οὕτω μὴ ἀφῶμεν ἑαυτοὺς ἐκλυθῆναι παρελθόντων ἐκείνων. παρεκάλεσεν ἡμᾶς ἀθυμοῦντας τότε εὐχαριστήσωμεν αὐτῷ χαίροντες νῦν. παρεμυθήσατο ὀδυνωμένους, καὶ οὐ παρέδωκε. μὴ τοίνυν μηδὲ ἡμεῖς ἑαυτοὺς ″εὐθυμουμένους παραδῶμεν εἰς ῥαθυμίαν ἐκκλίνοντες. Μνήσθητι γὰρ ″καιρὸν λιμοῦ, φησιν, ἐν ἡμέρᾳ πλησμονῆς. μνησθῶμεν οὖν ″καιρὸν πειρασμοῦ καὶ ἡμεῖς ἐν ἡμέρᾳ ″λύσεως. καὶ ἐπὶ τῶν ἁμαρτημάτων δὲ τὸ αὐτὸ τοῦτο ″ποιῶμεν. κἂν ἁμάρτῃς, καὶ συγχωρήσῃ σοι τὴν ἁμαρτίαν ὁ Θεός, τὴν μὲν συγχώρησιν δέξαι καὶ εὐχαρίστησον· τῆς δὲ ἁμαρτίας μὴ ἐπιλάθῃ· οὐχ ἵνα σαυτὸν κατατεύχῃς τῷ λογισμῷ, ἀλλ' ἵνα τὴν ψυχὴν παιδεύσῃς μὴ σκιρτᾶν, μηδὲ περιπίπτειν πάλιν τοῖς αὐτοῖς. οὕτω καὶ ὁ Παῦλος ἐποίησεν. Εἰπὼν γὰρ, ὅτι Πιστόν με ἡγήσατο θέμενος εἰς διακονίαν, ἐπήγαγε, τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν. ἐκπομπευέσθω, φησὶν, ὁ βίος τοῦ οἰκέτου, ἵνα φανῇ ἡ φιλανθρωπία τοῦ δεσπότου. εἰ γὰρ καὶ συγχώρησιν ἔλαβον ἁμαρτημάτων, ἀλλὰ τὴν μνήμην οὐκ ἐκβάλλω τῶν ἁμαρτημάτων. οὐ τοῦ δεσπότου δὲ τὴν φιλανθρωπίαν ἐδείκνυ τοῦτο μόνον, ἀλλὰ καὶ ἐκεῖνον λαμπρότερον ἐποίει. ὅταν γὰρ μάθῃς, τίς ἦν ἔμπροσθεν, τότε αὐτὸν θαυμάσεις πλέον· καὶ ὅταν ἴδῃς ἐκ τίνος τίς ἐγένετο, τότε αὐτὸν ἀποδέξῃ μειζόνως. κἂν μεγάλα ἧς ἡμαρτηκώς, χρηστὰς ἕξεις τὰς ἐντεῦθεν ἐλπίδας μεταβαλλόμενος. πρὸς γὰρ τοῖς εἰρημένοις, καὶ τοὺς ἐν ἀπογνώσει τὸ ὑπόδειγμα τοῦτο παρακαλεῖ, καὶ ἀνίστασθαι ποιεῖ· ″ὅπερ οὖν καὶ ἐπὶ τῆς πόλεως ἔσται τῆς ἡμετέρας. τὰ γὰρ συμβάντα ἅπαντα τήν τε ἀρετὴν ὑμῶν δείκνυσι δυνηθέντων διὰ τῆς μετανοίας τοσαύτην ὀργὴν ἀποκρούσασθαι, τήν τε τοῦ Θεοῦ φιλανθρωπίαν κηρύττει ἐξ ὀλίγης τῆς ἐπιστροφῆς τοσοῦτον παρενεγκόντος νέφος, τούς τε ἐν ἀπογνώσει πάντας ″ἀνίστησι, μαθόντας ἐκ τῶν ἡμετέρων, ὅτι τὸν ἄνω καὶ πρὸς τὴν τοῦ Θεοῦ βλέποντα ῥοπὴν, κἂν μυρία περιστῇ πανταχόθεν κύματα, καταποντισθῆναι οὐκ ἔνι. τίς γὰρ εἶδε, τίς ἤκουσέ ποτε τὰ ἡμέτερα πάθη; ἐκ βάθρων αὐτῶν καθ' ἑκάστην προσεδοκῶμεν ἡμέραν ″ἀνασπασθήσεσθαι τὴν πόλιν ″ἡμῖν μετὰ τῶν ″ἐνοικούντων. ἀλλ' ὅτε ἤλπιζε καταποντίζειν τὸ σκάφος ὁ διάβολος, τότε καθαρὰν γαλήνην ἐποίησεν ὁ Θεός. μὴ τοίνυν ἐπιλανθανώμεθα τοῦ μεγέθους τῶν δεινῶν, ἵνα μνημονεύωμεν τοῦ μεγέθους τῶν εὐεργεσιῶν τῶν παρὰ τοῦ Θεοῦ γενομένων. καὶ γὰρ ὁ μὴ εἰδὼς τοῦ νοσήματος τὴν φύσιν, οὐκ εἴσεται τοῦ ἰατροῦ τὴν τέχνην. ταῦτα καὶ πρὸς τοὺς παῖδας λέγωμεν τοὺς ἡμετέρους, καὶ εἰς μυρίας παραπέμπωμεν γενεὰς, ἵνα μάθωσιν ἅπαντες, πῶς ἐσπούδασεν ὁ διάβολος καὶ τὸ ἔδαφος ἀφανίσαι τῆς πόλεως, καὶ πῶς ἴσχυσεν ὁ Θεὸς πεπτωκυῖαν αὐτὴν καὶ κειμένην ἐπ' ὄψεσι στῆσαι πάλιν, καὶ μηδὲ τὴν τυχοῦσαν συγχωρῆσαι γενέσθαι βλάβην· ἀλλὰ καὶ τὸν φόβον ἀνεῖλε, καὶ τὸν κίνδυνον ἀπεκρούσατο μετὰ πολλοῦ τοῦ τάχους. καὶ γὰρ καὶ τῇ παρελθούσῃ ἑβδομάδι τὰς οὐσίας ″δημεύεσθαι προσεδοκῶμεν ἅπαντες, καὶ στρατιώτας ἡμῖν ἐπαφίεσθαι, καὶ μυρία ἕτερα ὠνειροπολοῦμεν δεινά. ἀλλ' ἰδοὺ πάντα ἐκεῖνα παρῆλθεν, ὥσπερ νέφος, καὶ ὥσπερ σκιὰ παρατρέχουσα· καὶ τῇ προσδοκίᾳ τῶν δεινῶν ἐκολάσθημεν μόνον, μᾶλλον δὲ οὐκ ἐκολάσθημεν, ἀλλὰ καὶ ἐπαιδεύθημεν, καὶ βελτίους γεγόναμεν, τοῦ Θεοῦ τὴν καρδίαν τοῦ βασιλέως ″μαλάξαντος. λέγωμεν τοίνυν διαπαντὸς καὶ καθ' ἡμέραν, εὐλογητὸς ὁ Θεός, καὶ μετὰ πλείονος τῆς σπουδῆς τῇ συνάξει προσέχωμεν, καὶ πρὸς τὴν ἐκκλησίαν τρέχωμεν, ὅθεν ἐκαρπωσάμεθα τὴν ὠφέλειαν. ἴστε γὰρ ἐν ἀρχῇ, ποῦ κατεφύγετε, ποῦ συνεδράμετε, πόθεν ἡμῖν ἡ σωτηρία γέγονεν. ἐχώμεθα τοίνυν τῆς ἱερᾶς ἀγκύρας. καὶ καθάπερ ἐν τῷ καιρῷ τῶν κινδύνων ἡμᾶς οὐ παρέδωκεν, οὕτω μηδὲ ἡμεῖς αὐτὴν ἐν τῷ καιρῷ τῆς λύσεως καταλίπωμεν, ἀλλὰ μένωμεν μετὰ ἀκριβείας, καὶ τὰς συνάξεις, καὶ τὰς εὐχὰς, καὶ τὴν τῶν θείων λογίων ἀκρόασιν ποιώμεθα καθ' ἡμέραν, καὶ τὴν σχολὴν, ἣν ″ἀναλίσκομεν περιεργαζόμενοι, πολυπραγμονοῦντες τὰ ἀπὸ τοῦ στρατοπέδου, ″περιτρέχοντες, σπουδάζοντες ὑπὲρ τῶν ἐπικειμένων κακῶν, ταύτην ἀναλώσωμεν ἅπασαν εἰς τὴν τῶν θείων ″νόμων ἀκρόασιν,

Σειρ. ιη. κε.

α. Τιμ. α. ιγ.

ἀλλὰ μὴ εἰς ἀχρήστους καὶ ἀνονήτους διατρίψας, ἵνα μὴ πάλιν εἰς τὴν ἀνάγκην τῆς ἀσχολίας ἐκείνης ἑαυτοὺς καταστήσωμεν.

Ψαλ. ιη. α.
Ρωμ. α. κ.

Ἐν μὲν οὖν ταῖς παρελθούσαις τρισὶν ἡμέραις ἕνα θεογνωσίας ἐξητάσαμεν τρόπον, καὶ πρὸς τὸ τέλος αὐτὸν ἠγάγομεν, ἑρμηνεύοντες, πῶς οἱ οὐρανοὶ διηγοῦνται τὴν δόξαν Θεοῦ· καὶ τί ποτέ ἐστι τὸ παρὰ τοῦ Παύλου λεγόμενον, ὅτι Τὰ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται. καὶ ἐδείκνυμεν, πῶς ἀπὸ κτίσεως κόσμου, καὶ πῶς δι' οὐρανοῦ καὶ γῆς καὶ θαλάττης ὁ δημιουργὸς δοξάζεται· σήμερον δὲ ὀλίγα πάλιν εἰς αὐτὴν ταύτην φιλοσοφήσαντες τὴν ὑπόθεσιν, ἐφ' ἕτερον βαδιούμεθα λόγον. οὐ γὰρ μόνον ἐποίησεν αὐτὴν, ἀλλὰ καὶ γινομένην ἐργάζεσθαι παρεσκεύασεν· οὔτε ἅπασαν ἀκίνητον ἀφεὶς, οὔτε πᾶσαν κινεῖσθαι κελεύσας, ἀλλ' οὐρανὸς μὲν ἀκίνητος ἕστηκε, καθάπερ ὁ προφήτης φησίν·

Ησ. μ. κβ.

Ὁ στήσας τὸν οὐρανὸν, ὡσεὶ καμάραν, καὶ διατείνας αὐτὸν, ὡσεὶ σκηνὴν ἐπὶ τῆς γῆς. ὁ δὲ ἥλιος μετὰ τῶν ἄστρων τῶν λοιπῶν καθ' ἑκάστην τρέχει τὴν ἡμέραν. καὶ γῆ πάλιν πέπηγε, τὰ δὲ ὕδατα βαδίζει διαπαντός· οὐχ ὕδατα δὲ μόνον, ἀλλὰ καὶ νεφέλαι καὶ ὄμβροι συνεχεῖς καὶ ἐπάλληλοι κατὰ τὸν οἰκεῖον ἀποδιδόμενοι καιρόν. καὶ μία μὲν ἡ τῶν ὄμβρων φύσις, διάφορα δὲ τὰ ἐξ αὐτῶν γινόμενα. καὶ γὰρ ἐν ἀμπέλῳ γίνεται οἶνος ὁ ὑετὸς, καὶ ἔλαιον ἐν ἐλαίᾳ, καὶ ἐν τοῖς ἄλλοις δὲ φυτοῖς πρὸς τοὺς ἐκείνων μεθίσταται χυμούς. καὶ μία δὲ τῆς γῆς ἡ γαστὴρ, καὶ διαφόρους φέρει τοὺς καρπούς· καὶ μία μετὰ τῆς ἡλιακῆς ἀκτῖνος ἡ θέρμη, καὶ διαφόρως ἅπαντα πεπαίνει, τὰ μὲν βραδύτερον, τὰ δὲ ταχύτερον πρὸς ἀκμὴν ἄγουσα. τίς οὐκ ἂν ταῦτα ἐκπλαγείη καὶ θαυμάσειε; μᾶλλον δὲ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστὸν, ὅτι ποικίλην αὐτὴν καὶ διάφορον κατεσκεύασεν, ἀλλ' ὅτι καὶ κοινὴν αὐτὴν προέθηκεν ἅπασι, καὶ πλουσίοις, καὶ πένησι, καὶ ἁμαρτωλοῖς, καὶ δικαίοις· ὅπερ οὖν καὶ ὁ Χριστὸς ἔλεγεν, ὅτι

Ματθ. ε. με.

Τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. καὶ μυρίων αὐτὴν ζώων ἐμπλήσας, καὶ φυσικὰ τοῖς ζώοις ἐνθεὶς ἤθη, τὰ μὲν μιμεῖσθαι, τὰ δὲ φεύγειν ἐκέλευσεν. οἷόν τι λέγω· φιλόπονόν ἐστιν ὁ μύρμηξ, * [ἐπίπονον ποιεῖται τὴν ἐργασίαν]. ἂν τοίνυν προσέχῃς, μεγίστην παρὰ τοῦ ζώου δέξῃ παραίνεσιν, ὥστε μὴ καταμαλακίζεσθαι, μηδὲ φεύγειν ἱδρῶτας καὶ πόνους.

Παροιμ. ϛ. ϛ.

διὰ τοῦτο τὸν ὀκνηρὸν καὶ ἡ γραφὴ πρὸς ἐκεῖνον ἔπεμψε λέγουσα· Ἴθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρὲ, καὶ ζήλωσον τὰς ὁδοὺς αὐτοῦ, καὶ γενοῦ ἐκείνου σοφώτερος. οὐ βούλει, φησὶν, ἐκ τῶν γραφῶν μαθεῖν, ὅτι καλὸν τὸ ἐργάζεσθαι, καὶ ὅτι ὁ μὴ ἐργαζόμενος οὐδὲ ἐσθίειν ὀφείλει· οὐ βούλει παρὰ τῶν διδασκάλων ἀκοῦσαι τοῦτο· παιδεύθητι παρὰ τῶν ἀλόγων. οὕτω καὶ ἐν ταῖς οἰκίαις ποιοῦμεν πολλάκις· τοὺς μείζονας καὶ δοκοῦντας εἶναι ἐντιμοτέρους, ἐπειδὰν ἁμάρτωσι, παιδίοις νήφουσι προσέχειν παρακελευόμεθα, λέγοντες· ὅρα τὸν μικρότερόν σου, πῶς ἐστι σπουδαῖος καὶ διεγηγερμένος. καὶ σὺ τοίνυν παρὰ τοῦ ζώου τούτου λάβε μεγίστην φιλοπονίας παραίνεσιν, καὶ θαύμασόν σου τὸν δεσπότην, μὴ ἐπειδὴ ἥλιον ἐποίησε μόνον καὶ οὐρανὸν, ἀλλ' ἐπειδὴ καὶ μύρμηκα ἐποίησεν. εἰ γὰρ καὶ βραχὺ * τὸ ζῶον, ἀλλὰ τοῦ μεγέθους τῆς σοφίας τοῦ Θεοῦ πολλὴν ἔχει τὴν ἀπόδειξιν. ἐννόησον τοίνυν, πῶς ἐστι συνετὸν, καὶ θαύμασον πῶς ἴσχυσεν ὁ Θεὸς ἐν οὕτω βραχεῖ σώματι τοσαύτην ἐγκαταθεῖναι ἐργασίας ἐπιθυμίαν ἀδιάπτωτον. καὶ ἀπὸ τούτου μὲν τὸ φιλόπονον, ἀπὸ δὲ τῆς μελίττης καὶ τὸ φιλόκαλον καὶ τὸ φιλόπονον μάνθανε καὶ τὸ φιλάλληλον. καὶ γὰρ ἐκείνη οὐχ ἑαυτῇ μᾶλλον ἢ ἡμῖν πονεῖ καὶ ταλαιπωρεῖται καθ' ἑκάστην ἡμέραν· ὃ μάλιστα ἴδιόν ἐστι χριστιανοῦ, τὸ μὴ τὰ ἑαυτοῦ ζητεῖν, ἀλλὰ τὰ τῶν ἑτέρων. ὥσπερ οὖν ἐκείνη πάντας περιίπταται τοὺς λειμῶνας, ἵνα ἑτοίμην ἑτέρῳ παρασκευάσῃ τράπεζαν, οὕτω καὶ σὺ ποίησον, ἄνθρωπε. κἂν χρήματα συλλέξῃς, εἰς ἑτέρους δαπάνησον· κἂν λόγους διδασκαλίας ἔχῃς, μὴ κατορύξῃς, ἀλλὰ πρόθες εἰς μέσον τοῖς δεομένοις· κἂν ἕτερον ἔχῃς πλεονέκτημα, γενοῦ χρήσιμος τοῖς δεομένοις τῶν σῶν ἀπολαύειν πόνων. οὐχ ὁρᾷς, ὅτι διὰ τοῦτο μάλιστα τῶν ἄλλων ἐστὶν ἐντιμοτέρα ζώων ἡ μέλιττα, οὐκ ἐπειδὴ πονεῖ, ἀλλ' ἐπειδὴ ἑτέροις πονεῖ; ἐπεὶ καὶ ὁ ἀράχνης πονεῖ καὶ ταλαιπωρεῖται καὶ λεπτὰ διατείνει κατὰ τῶν τοίχων ὑφάσματα, πᾶσαν γυναικὸς σοφίαν ὑπερβάλλοντα, ἀλλ' ἔστιν ἄτιμον τὸ ζῶον, ἐπειδὴ τὸ ἔργον ἡμῖν οὐδαμοῦ χρήσιμον· τοιοῦτοί εἰσιν* οἱ ἑαυτοῖς κάμνοντες καὶ ταλαιπωρούμενοι. μίμησαι τῆς περιστερᾶς τὸ ἀκέραιον· μίμησαι τοῦ ὄνου τὸ φιλοδέσποτον, καὶ τοῦ βοός· μίμησαι τῶν ὀρνίθων τὸ ἀμέριμνον. ἔστι γάρ, ἔστι μεγάλα ἀπὸ τῶν ἀλόγων καρπώσασθαι εἰς ἠθῶν διόρθωσιν. ἀπὸ τούτων* καὶ ὁ Χριστὸς ἡμῖν διαλέγεται τῶν ζώων· Γίνεσθε γάρ, φησι, φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. καὶ πάλιν, Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρει, οὐδὲ θερίζει, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. καὶ ὁ προφήτης δὲ ἐντρέπων τοὺς ἀγνώμονας Ἰουδαίους οὕτω πως φησίν· Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ ἔγνω. καὶ πάλιν· Τρυγὼν καὶ χελιδὼν ἀγροῦ, στρουθία ἔγνωσαν καιροὺς εἰσόδων αὐτῶν, ὁ δὲ λαός μου οὐκ ἔγνω τὰ κρίματα Κυρίου τοῦ Θεοῦ αὐτοῦ. ἀπὸ μὲν τούτων καὶ τῶν τοιούτων ζώων μάνθανε κατορθοῦν ἀρετήν· ἀπὸ δὲ τῶν ἐναντίων παιδεύου φεύγειν κακίαν. ὥσπερ γὰρ φιλόκαλον ἡ μέλιττα, οὕτως ὀλέθριον ἡ ἀσπίς. ἀποστράφηθι τοίνυν τὴν κακίαν, ἵνα μὴ ἀκούσῃς· Ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. ἀναίσχυντον πάλιν ὁ κύων. μίσησον καὶ ταύτην τὴν πονηρίαν. δόλιον καὶ πανοῦργον ἡ ἀλώπηξ. μὴ ζηλώσῃς τὸ νόσημα, ἀλλὰ καθάπερ ἡ μέλιττα τοῖς λειμῶσιν ἐφιπταμένη οὐ πάντα ἐκλέγει, ἀλλὰ τὰ χρήσιμα λαβοῦσα, τὰ λοιπὰ ἀφίησιν, οὕτω καὶ σὺ ποίησον. τῶν ἀλόγων ἐπελθὼν τὸ γένος, εἴ τι χρήσιμον, παρ' ἐκείνων λάμβανε, καὶ ἅπερ ἔχουσιν ἐν τῇ φύσει πλεονεκτήματα, ταῦτα σὺ διὰ τῆς προαιρέσεως κατόρθωσον. καὶ γὰρ καὶ ταύτῃ παρὰ τοῦ Θεοῦ τετίμησαι, ὅτι τὰ φυσικὰ αὐτῶν πλεονεκτήματα ἐκ προαιρέσεώς σοι κατορθοῦν παρέχει, ἵνα καὶ βραβεῖα λάβῃς. ἐκείνοις γὰρ οὐχ ἐκ προαιρέσεως καὶ λόγου τὰ κατορθώματα, ἀλλ' ἀπὸ φύσεως μόνης. οἷον τί λέγω; ἡ μέλιττα μελιτουργεῖ, οὐ λόγῳ μαθοῦσα τοῦτο καὶ λογισμῷ, ἀλλ' ἀπὸ τῆς φύσεως παιδευθεῖσα. ἐπεὶ εἰ μὴ φυσικὸν ἦν τὸ ἔργον, μηδὲ τῷ γένει συγκεκλήρωτο, ἔδει πάντως τινὰς ἐξ αὐτῶν ἀπείρους εἶναι τῆς τέχνης· νῦν δὲ ἐξ οὗ γέγονεν ὁ κόσμος μέχρι τῆς παρούσης ἡμέρας, οὐδεὶς εἶδε μελίττας ἡσυχαζούσας καὶ μὴ μελιτουργούσας. τοιαῦτα γὰρ τὰ φυσικά· κοινὰ τοῦ παντὸς γένους ἐστί· τὰ δὲ ἐκ προαιρέσεως οὐκ ἔστι κοινά· πόνου γὰρ δεῖται πρὸς τὸ κατορθωθῆναι. πάντα τοίνυν τὰ κάλλιστα λαβὼν* περιβαλοῦ. καὶ γὰρ βασιλεὺς εἶ τῶν ἀλόγων· οἱ δὲ βασιλεῖς, εἴ τι κάλλιστόν ἐστιν ἐν τοῖς ὑπηκόοις, εἴτε χρυσός, εἴτε ἄργυρος, εἴτε λίθοι τίμιοι, εἴτε ἱμάτια πολυτελῆ, ταῦτα μεθ' ὑπερβολῆς αὐτοὶ κέκτηνται· καὶ θαύμαζέ σου τὸν δεσπότην ἀπὸ τῆς κτίσεως. εἰ δέ τί σε ὑπερβαίνῃ τῶν ὁρωμένων, καὶ τὸν λόγον οὐ δύνασαι εὑρεῖν, καὶ διὰ τοῦτο δόξασον τὸν ποιήσαντα, ὅτι ὑπερβαίνει σου τὴν κατάληψιν ἡ σοφία τῶν γινομένων. μὴ λέγε, διὰ τί τοῦτο; εἰς τί τοῦτο; ἕκαστον γὰρ χρήσιμόν ἐστιν, εἰ καὶ τὸν λόγον ἀγνοοῦμεν ἡμεῖς. ὥσπερ οὖν ἂν εἰς ἰατρεῖον εἰσέλθῃς, καὶ ἴδῃς πολλὰ προκείμενα ἐργαλεῖα, θαυμάζεις τὴν ποικιλίαν τῶν ὀργάνων, καίτοιγε τὰς χρείας αὐτῶν οὐκ εἰδώς· οὕτω καὶ ἐπὶ τῆς κτίσεως ποίησον. κἂν ἴδῃς πολλὰ τῶν ζώων καὶ τῶν βοτανῶν καὶ τῶν φυτῶν καὶ τῶν ἄλλων πραγμάτων, ὧν τὰς χρείας οὐκ οἶδας, θαύμασον αὐτῶν τὴν ποικιλίαν, καὶ ἐκπλάγηθι καὶ διὰ τοῦτο τὸν ἀριστοτέχνην Θεόν*, ὅτι οὔτε πάντα σοι δῆλα ἐποίησεν, οὔτε πάντα ἀφῆκεν ἄδηλα. οὐκ ἀφῆκε μὲν γὰρ πάντα ἄδηλα, ἵνα μὴ ἀπρονόητα λέγῃς εἶναι τὰ ὄντα· οὐκ ἀφῆκε δέ σοι πάντα γνώριμα εἶναι, ἵνα μὴ τὸ μέγεθος τῆς γνώσεως εἰς ἀπόνοιάν σε ἐπάρῃ. οὕτω γοῦν καὶ τὸν πρῶτον ἄνθρωπον ὁ πονηρὸς δαίμων ἐκεῖνος ἐξετραχήλισεν, ἐλπίδι μείζονος γνώσεως καὶ τῆς οὔσης ἀποστερήσας. διὰ τοῦτο καὶ σοφός τις παραινεῖ λέγων· Ἰσχυρότερά σου μὴ ζήτει, καὶ βαθύτερά σου μὴ ἐρεύνα· ἃ προσετάγη σοι,

Ματθ. ι. ις.

Ησ α.
Ιερ. η ζ.

Ψαλ. ρλθ. γ.

Σειρ. γ. κ.

ταῦτα διανοοῦ. τὰ γὰρ πλείονα τῶν ἔργων αὐτοῦ ἐν ἀποκρύφοις. καὶ πάλιν, Πλείονα συνέσεως ἀνθρώπων ὑπεδείχθη σοι. τοῦτο δὲ εἶπε παραμυθούμενος τὸν ἀσχάλλοντα καὶ ἀλύοντα, ἐπειδὴ μὴ πάντα οἶδε. καὶ γὰρ αὐτά, φησιν, ἅπερ " ἐπετράπης εἰδέναι, σφόδρα ὑπερβαίνει σου τὴν σύνεσιν. " οὐδὲ γὰρ οἴκοθεν εὗρες, ἀλλὰ " παρὰ τοῦ Θεοῦ " διδαχθείς. ἀρκοῦ τοίνυν τῷ δοθέντι πλούτῳ, καὶ μὴ τὸ πλέον ἐπιζήτει· ἀλλ᾽ ὑπὲρ ὧν ἔλαβες, εὐχαρίστει, μὴ ἀγανάκτει ὑπὲρ ὧν οὐκ ἔλαβες· καὶ ὑπὲρ ὧν οἶδας δόξαζε, μὴ σκανδαλίζου δι᾽ ἃ οὐκ οἶδας. ἀμφότερα γὰρ χρησίμως ὁ Θεὸς ἐποίησε, καὶ τὰ μὲν ''' ἐξεκάλυψε, τὰ δὲ ἀπέκλεισε, τῆς σῆς προνοῶν σωτηρίας..

Εἷς μὲν οὖν, ὅπερ ἔφην, τρόπος θεογνωσίας ὁ διὰ τῆς κτίσεως, πολλὰς δυνάμενος ἡμέρας ἀναλῶσαι. ἵνα γὰρ μόνου τοῦ ἀνθρώπου καὶ ἀκρίβειαν τὴν διατύπωσιν ἐπέλθωμεν ([καὶ] ἀκρίβειαν δὲ λέγω, τὴν ἡμῖν δυνατήν, οὐ τὴν ὄντως ἀκρίβειαν. εἰ γὰρ καὶ πολλοὺς εἰρήκαμεν τῶν γινομένων λόγους, ἀλλ᾽ εἰσὶ καὶ ἕτεροι πλείους ἀπόρρητοι, οὓς ὁ ποιήσας οἶδε Θεός. οὐ γὰρ δὴ πάντας ἴσμεν αὐτούς) ἵν᾽ οὖν ἅπαξ τοῦ ἀνθρώπου καὶ ἀκρίβειαν τὴν διάπλασιν ἐπέλθωμεν, καὶ τὴν ἐν ἑκάστῳ μέλει σοφίαν εὕρωμεν, τῶν νεύρων, τῶν φλεβῶν, τῶν ἀρτηριῶν τὴν διανομήν, τὴν θέσιν, τὴν διάπλασιν, τῶν ἄλλων ἁπάντων, οὐδὲ ἐνιαυτὸς ὁλόκληρος ἂν ἡμῖν ἀρκέσειε πρὸς τὴν ἐξήγησιν ταύτην. διόπερ τοῦτον ἐνταῦθα καταλύσαντες τὸν λόγον, καὶ τοῖς φιλοπόνοις καὶ φιλομαθέσι παρασχόντες ἐκ τῶν εἰρημένων καὶ τὰ λοιπὰ τῆς κτίσεως ἐπελθεῖν μέρη, ἐφ᾽ ἑτέραν ὑπόθεσιν τὸν λόγον " τρέψομεν, ἐνδεικτικὴν καὶ αὐτὴν οὖσαν τῆς τοῦ Θεοῦ προνοίας. τίς οὖν ἐστιν ἡ δευτέρα ὑπόθεσις; ἐξ ἀρχῆς πλάττων ὁ Θεὸς τὸν ἄνθρωπον, νόμον αὐτῷ φυσικὸν " ἐγκατέθετο. καὶ τί ποτέ ἐστι νόμος φυσικός; τὸ συνειδὸς ἡμῖν διήρθρωσε, καὶ αὐτοδίδακτον ἐποίησε τὴν γνῶσιν τῶν καλῶν καὶ τῶν οὐ τοιούτων. οὐ γὰρ δεόμεθα μαθεῖν, ὅτι κακὸν ἡ πορνεία, καὶ καλὸν ἡ σωφροσύνη· ἀλλ᾽ ἴσμεν ἐξ ἀρχῆς τοῦτο. καὶ ἵνα μάθῃς, ὅτι τοῦτο ἴσμεν ἐξ ἀρχῆς, ὁ νομοθέτης νόμους διδοὺς ὕστερον, καὶ εἰπών, οὐ φονεύσεις, οὐκ ἐπήγαγε· κακὸν γὰρ ὁ φόνος· ἀλλ᾽ ἁπλῶς, οὐ φονεύσεις, εἶπεν. ἀπηγόρευσε γὰρ τὴν ἁμαρτίαν μόνον, οὐκ ἐδίδαξε *. τίνος οὖν ἕνεκεν εἰπών, οὐ φονεύσεις, οὐ προσέθηκεν, ὅτι κακὸν ὁ φόνος; ἐπειδὴ προλαβὸν τὸ συνειδός, ἡμᾶς ἐπαίδευσε τοῦτο, καὶ ὡς εἰδόσι καὶ ἐπισταμένοις οὕτω διαλέγεται. ὅταν γοῦν περὶ ἑτέρας ἐντολῆς λέγῃ τῆς οὐ γνωρίμης ἡμῖν ἀπὸ τοῦ συνειδότος γινομένης, οὐκ ἀπαγορεύει μόνον, ἀλλὰ καὶ τὴν αἰτίαν προστίθησι. περὶ σαββάτου γοῦν νομοθετῶν καὶ λέγων, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ οὐ ποιήσεις ἔργον, καὶ τὴν αἰτίαν ἐπήγαγε τῆς ἀργίας. ποίαν δὲ ταύτην; ὅτι ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ποιῆσαι· καὶ πάλιν, ὅτι οἰκέτης ἦσθα ἐν " γῇ Αἰγύπτῳ. τίνος οὖν ἕνεκεν, εἰπέ μοι, ἐπὶ μὲν τοῦ σαββάτου τὴν αἰτίαν προσέθηκεν, ἐπὶ δὲ τοῦ φόνου οὐδὲν τοιοῦτον ἐποίησεν; ἐπειδὴ αὕτη [μὲν] ἡ ἐντολὴ οὐ τῶν προηγουμένων ἦν, οὐδὲ τῶν ἐκ τοῦ συνειδότος ἡμῖν ἠκριβωμένων, ἀλλὰ μερική τις καὶ πρόσκαιρος. διὰ τοῦτο καὶ κατελύθη μετὰ ταῦτα. αἱ δὲ ἀναγκαῖαι καὶ συνέχουσαι τὴν ζωὴν τὴν ἡμετέραν, ἐκεῖναί εἰσιν· οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις. διόπερ οὐδαμοῦ αἰτίαν ἐνταῦθα τίθησιν, οὐδὲ διδασκαλίαν εἰσάγει, ἀλλ᾽ ἀρκεῖται ψιλῇ τῇ ἀπαγορεύσει. οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθεν ὑμῖν δεῖξαι πειράσομαι, πῶς αὐτοδίδακτος ἦν ὁ ἄνθρωπος πρὸς τὴν τῆς ἀρετῆς γνῶσιν. ἥμαρτεν ὁ Ἀδὰμ τὴν ἁμαρτίαν τὴν πρώτην, καὶ μετὰ τὴν ἁμαρτίαν εὐθέως ἐκρύπτετο. εἰ δὲ μὴ ᾔδει κακόν τι " εἰργασμένος, τίνος ἕνεκεν ἐκρύπτετο; οὐδὲ γὰρ γράμματα ἦν, οὐ νόμος, οὐ Μωϋσῆς. πόθεν οὖν ἔγνω τὴν ἁμαρτίαν, καὶ κρύπτεται; καὶ οὐ κρύπτεται μόνον, ἀλλὰ καὶ ἐγκαλούμενος, ἐφ᾽ ἕτερον πειρᾶται μεταθεῖναι τὴν " αἰτίαν λέγων· Ἡ γυνή, ἣν ἔδωκάς μοι, αὕτη μοι ἔδωκεν " ἐκ τοῦ ξύλου, καὶ ἔφαγον. κἀκείνη πάλιν ἐφ᾽ ἕτερον μετάγει τὸ ἔγκλημα, τὸν ὄφιν. καὶ ὅρα Θεοῦ σοφίαν. εἰπόντος γὰρ τοῦ Ἀδάμ, ὅτι Ἤκουσα τῆς φωνῆς σου, καὶ ἐφοβήθην ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην, οὐκ ἤλεγξεν

Δευτ. κδ. ιη.

Γεν. γ. ιβ.

ἤλεγξεν εὐθέως ὁ Θεὸς τὸ γεγονὸς, οὐδὲ εἶπε· διατί γὰρ ἔφαγες ἀπὸ τοῦ ξύλου; ἀλλὰ πῶς; Τίς σοι ἀνήγγειλε, φησὶν, ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες; οὔτε ἐσίγησεν, οὔτε φανερῶς αὐτὸν ἤλεγξεν. Οὐκ ἐσίγησε μὲν, ἵνα αὐτὸν ἐκκαλέσηται πρὸς ὁμολογίαν τῆς ἁμαρτίας· οὐκ ἤλεγξε δὲ φανερῶς, ἵνα μὴ αὐτοῦ τὸ πᾶν γένηται, κἀκεῖνος ἔρημος "εἴη τῆς ἀπὸ τῆς ἐξομολογήσεως γινομένης συγγνώμης ἡμῖν. διατί τοῦτο οὐκ εἶπε φανερῶς τὴν αἰτίαν, ἀφ' ἧς ἡ" γύμνωσις γέγονεν, ἀλλ' ἐν ἐρωτήσεως τάξει" προάγει τὸν λόγον," ἐκείνῳ καταλιμπάνων εἰς ἐξομολόγησιν ἐλθεῖν. πάλιν ἐπὶ τοῦ Κάϊν καὶ τοῦ Ἄβελ τὸ αὐτὸ τοῦτο ἐστὶν ἰδεῖν. πρῶτον μὲν γὰρ ἀπήρξαντο τῷ Θεῷ τῶν οἰκείων πόνων. μὴ γὰρ δὴ ἀπὸ τῆς ἁμαρτίας μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς ἀρετῆς δείξωμεν, ὅτι ἀμφοτέρων ἦν ἐπιστημονικὸς ὁ ἄνθρωπος. καὶ ὅτι μὲν οὖν ᾔδει κακὸν ὂν τὴν ἁμαρτίαν ὁ ἄνθρωπος, ἔδειξεν ὁ Ἀδάμ· ὅτι δὲ καὶ τὴν ἀρετὴν ἠπίστατο καλὸν ὂν," ἐδήλωσε πάλιν ὁ Ἄβελ. οὐ γὰρ παρά τινος μαθὼν, οὐδὲ νόμου περὶ ἀπαρχῶν διαλεγομένου" ταῦτα ἀκούσας, ἀλλ' οἴκοθεν καὶ παρὰ τοῦ συνειδότος διδαχθεὶς, τὴν θυσίαν ἐκείνην ἀνήνεγκε. διατί τοῦτο οὐ καταφέρω κάτω τὸν λόγον, ἀλλ' ἐπὶ τῶν προτέρων ἀνθρώπων αὐτὸν γυμνάζω, ὅτι οὔπω γράμματα, ὅτε οὔπω νόμος, οὔτε οὔπω προφῆται καὶ δικασταὶ, ἀλλὰ μόνος ὁ Ἀδὰμ μετὰ τῶν παίδων ἦν· ἵνα μάθῃς, ὅτι ἐν τῇ φύσει προαπέκειτο τῶν καλῶν καὶ τῶν οὐ τοιούτων ἡ γνῶσις. πόθεν γὰρ ἔμαθεν, ὅτι καλὸν τὸ προσφέρειν ὁ Ἄβελ; ὅτι καλὸν τὸ τιμᾶν τὸν Θεὸν, καὶ εὐχαριστεῖν ἐν ἅπασι; τί οὖν; ὁ Κάϊν, φησὶν, οὐ προσήνεγκε; προσήνεγκε μὲν καὶ οὗτος, ἀλλ' οὐχ ὁμοίως. κἀντεῦθεν δὲ πάλιν ἡ τοῦ συνειδότος φαίνεται γνῶσις. ἐπειδὴ γὰρ τῷ τιμηθέντι βασκήνας περὶ σφαγῆς ἐβουλεύετο, κρύπτει τὴν δολερὰν γνώμην· καὶ τί φησι; Δεῦρο ἐξέλθωμεν εἰς τὸ πεδίον. ἕτερον τὸ σχῆμα· φιλοφροσύνης γὰρ ἡ ὑπόκρισις· καὶ τὸ φρόνημα ἕτερον· ἀδελφοκτονίας ἡ γνώμη. καίτοι εἰ μὴ κακὸν ᾔδει τὸ βούλευμα, τίνος ἕνεκεν αὐτὸ συνεσκίαζε; καὶ μετὰ τὸ γενέσθαι τὸν φόνον, πάλιν ἐρωτώμενος ὑπὸ τοῦ Θεοῦ, ποῦ Ἄβελ ὁ ἀδελφός σου; φησὶν, οὐκ οἶδα· μὴ φύλαξ τοῦ ἀδελφοῦ μου εἰμὶ ἐγώ; τίνος γὰρ ἕνεκεν ἀρνεῖται; οὐκ εὔδηλον, ὅτι καταγινώσκων σφόδρα ἑαυτοῦ; ὥσπερ γὰρ ὁ πατὴρ αὐτοῦ ἐκρύβη, οὕτω καὶ οὗτος ἀρνεῖται, καὶ μετὰ τὸν ἔλεγχον πάλιν φησί, Μείζων ἡ αἰτία μου τοῦ ἀφεθῆναί με. ἀλλ' ὁ Ἕλλην οὐκ ἀνέχεται τούτων. φέρε οὖν καὶ πρὸς "ἐκεῖνον διαλεχθῶμεν· καὶ ὅπερ ἐπὶ τῆς κτίσεως ἐποιησάμεθα, οὐκ ἀπὸ τῶν γραφῶν μόνον, ἀλλὰ καὶ ἀπὸ λογισμῶν τοὺς πρὸς ἐκείνους κινήσαντες ἀγῶνας, τοῦτο καὶ ἐπὶ τοῦ συνειδότος ποιῶμεν νῦν. καὶ γὰρ καὶ τοῦτο τὸ κεφάλαιον ὁ Παῦλος ἐκίνησε, πρὸς ἐκείνους ἀγωνιζόμενος. Τί ποτ' οὖν ἐστιν, ὃ λέγουσιν; οὐκ ἔστιν ἡμῖν αὐτοδίδακτος νόμος ἐν τῷ συνειδότι, φησὶ, κείμενος, οὐδὲ τῇ φύσει τοῦτον ἐγκατέθηκεν ὁ Θεός. πόθεν οὖν, εἰπέ μοι, πόθεν περὶ γάμων, περὶ φόνων, περὶ διαθηκῶν, περὶ" παρακαταθηκῶν, περὶ τοῦ μὴ πλεονεκτεῖν ἀλλήλους, περὶ μυρίων ἑτέρων νόμους ἔγραψαν οἱ παρ' αὐτοῖς νομοθέται; οὗτοι μὲν γὰρ οἱ νῦν ἴσως παρὰ τῶν πρώτων ἔμαθον, καὶ ἐκεῖνοι παρὰ τῶν προτέρων, καὶ παρὰ τῶν ἄνω πάλιν οὗτοι. οἱ δὲ ἐξ ἀρχῆς καὶ πρῶτοι παρ' αὐτοῖς νόμους θέντες, παρὰ τίνος ἔμαθον; οὐκ εὔδηλον, ὅτι παρὰ τοῦ συνειδότος; οὐδὲ γὰρ ἂν ἔχοιεν εἰπεῖν, ὅτι Μωϋσεῖ συνεγένοντο, ὅτι προφητῶν ἤκουσαν. πῶς γὰρ, ἕλληνες ὄντες; ἀλλ' εὔδηλον, ὅτι ἀπὸ τοῦ νόμου, ὃν ἔθηκεν ὁ Θεὸς τῷ ἀνθρώπῳ, ἐξ ἀρχῆς αὐτὸν πλάττων, ἀπὸ τούτου καὶ νόμους ἔθηκαν καὶ τέχνας εὕραντο καὶ τὰ ἄλλα πάντα. καὶ γὰρ καὶ αἱ τέχναι οὕτω συνέστησαν, τῶν ἐξ ἀρχῆς "αὐτοδιδάκτως ἐπ' αὐτὰς ἐλθόντων. οὕτω καὶ δικαστήρια γέγονεν, οὕτω καὶ κολάσεις ὡρίσθησαν, ὅπερ οὖν καὶ ὁ Παῦλός φησιν. ἐπειδὴ γὰρ πολλοὶ τῶν ἑλλήνων ἀντιλέγειν ἔμελλον, καὶ λέγειν ὅτι, πῶς κρινεῖ ὁ Θεὸς τοὺς ἀνθρώπους τοὺς πρὸ Μωϋσέως; οὐ νομοθέτην ἔπεμψεν, οὐ νόμον εἰσήνεγκεν, οὐ προφήτην ἀπέστειλεν, οὐκ ἀπόστολον, οὐκ εὐαγγελιστήν. πῶς οὖν αὐ-

Γεν. δ. η.

τοὺς ἀνθρώπους ἅπαντας; βουλόμενος ὁ Παῦλος δεῖξαι, ὅτι αὐτοδίδακτον εἶχον νόμον, καὶ τὰ πρακτέα σαφῶς ᾔδεσαν, ἄκουσον πῶς φησιν. Ρωμ. β. ιδ. Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ· οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος, οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν. πῶς χωρὶς γραμμάτων; Συμμαρτυρούσης ″ αὐτοῖς τῆς συνειδήσεως, καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολογουμένων ἐν ἡμέρᾳ, ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων κατὰ τὸ εὐαγγέλιόν μου διὰ Ἰησοῦ Χριστοῦ. καὶ πάλιν· Ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται. τί ἐστιν, ἀνόμως ἀπολοῦνται; οὐχὶ τοῦ νόμου κατηγοροῦντος, ἀλλὰ τῶν λογισμῶν καὶ τοῦ συνειδότος. εἰ δὲ μὴ εἶχον νόμον τὸν τοῦ συνειδότος, οὐδὲ ἀπολέσθαι αὐτοὺς ἁμαρτάνοντας ἔδει. πῶς γάρ, εἰ ἀνόμως ἥμαρτον; ἀλλ' ἀνόμως ὅταν εἴπῃ, οὐ τοῦτο λέγει, ὅτι οὐκ εἶχον νόμον, ἀλλ' ὅτι οὐκ εἶχον νόμον γραπτόν· τὸν δὲ τῆς φύσεως νόμον εἶχον. Ρωμ. β. ι. καὶ πάλιν, Δόξα καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον, καὶ Ἕλληνι. ταῦτα δὲ ἔλεγε περὶ τῶν ἄνω χρόνων διαλεγόμενος, τῶν πρὸ τῆς παρουσίας τοῦ Χριστοῦ· καὶ Ἕλληνα ἐνταῦθα καλεῖ, οὐ τὸν εἰδωλολάτρην, ἀλλὰ τὸν προσκυνοῦντα μὲν τὸν Θεὸν μόνον, οὐκ ἐνδεδεμένον δὲ τῇ τῶν Ἰουδαϊκῶν παρατηρήσεων ἀνάγκῃ, σαββατισμοῖς λέγω, καὶ περιτομῇ, καὶ καθαρισμοῖς διαφόροις, ἀλλὰ φιλοσοφίαν ἅπασαν καὶ εὐσέβειαν″ ἐπιδεικνύμενον. Ρωμ. β. θ. καὶ πάλιν περὶ τοῦ αὐτοῦ διαλεγόμενός φησι· Θυμὸς καὶ ὀργὴ καὶ θλῖψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν, Ἰουδαίου τε πρῶτον, καὶ Ἕλληνος. πάλιν ἐνταῦθα Ἕλληνα καλεῖ, τὸν ἀπηλλαγμένον τῆς παρατηρήσεως τῆς Ἰουδαϊκῆς. εἰ τοίνυν μήτε νόμου ἤκουσε, μήτε μετὰ Ἰουδαίων″ ἀνεστράφη, πῶς ἔσται αὐτῷ θυμὸς καὶ ὀργὴ καὶ θλῖψις ἐργαζομένῳ τὸ κακόν; ἐπειδὴ συνειδὸς ἔνδον εἶχεν ἐνηχοῦν αὐτῷ καὶ διδάσκον καὶ παιδεῦον ἅπαντα. πόθεν τοῦτο δῆλον; ἀφ' ὧν ἑτέρους ἁμαρτάνοντας″ ἐκόλασεν, ἀφ' ὧν νόμους″ ἔθηκεν, ἀφ' ὧν τὰ δικαστήρια″ ἐκάθισε. τοῦτο γοῦν αὐτὸ δηλῶν ὁ Παῦλος ἔλεγε περὶ τῶν ἐν κακίᾳ ζώντων, Ρωμ. α. λβ. Οἵτινες τὸ δικαίωμα τοῦ Θεοῦ ἐπιγνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσίν, οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ ″ συνευδοκοῦσι τοῖς πράσσουσι. καὶ πόθεν ᾔδεσαν, φησιν, ὅτι θέλημα Θεοῦ ἐστι τοὺς ἐν πορνείᾳ ζῶντας* κολάζεσθαι; πόθεν; ἐξ ὧν ἑτέρους ἐδίκαζον ἁμαρτάνοντας. εἰ γὰρ μὴ νομίζεις κακὸν εἶναι τὸν φόνον, ἐπειδὰν λάβῃς ἀνδροφόνον ὑπὸ τῇ σῇ ψήφῳ, μὴ κολάσῃς. εἰ μὴ νομίζεις κακὸν εἶναι τὸ μοιχεύειν, ἐπειδὰν ἐμπέσῃ* μοιχός, ἄφες αὐτὸν τῆς τιμωρίας. εἰ δὲ ἐν τοῖς ἑτέρων ἁμαρτήμασι καὶ νόμους γράφεις, καὶ τιμωρίας ὁρίζεις, καὶ ἀκριβὴς εἶ δικαστής, ποίαν ἕξεις ἀπολογίαν, ἐν οἷς αὐτὸς ἁμαρτάνεις, λέγων ἀγνοεῖν τὰ πρακτέα; ἐμοίχευσας καὶ σύ, κἀκεῖνος. τίνος οὖν ἕνεκεν ἐκεῖνον μὲν κολάζεις, σαυτὸν δὲ συγγνώμης ἀξιοῖς; εἰ γὰρ μὴ ᾔδεις κακὸν ὂν τὴν μοιχείαν, οὐδὲ ἕτερον τιμωρεῖσθαι ἔδει. εἰ δὲ ἕτερον μὲν κολάζεις, σὺ δὲ νομίζεις διαφεύγειν τὴν κόλασιν, πῶς ἂν ἔχοι λόγον, τῶν αὐτῶν ἁμαρτημάτων μὴ τὰς αὐτὰς διδόναι δίκας; τοῦτο γοῦν αὐτὸ ἐγκαλῶν ὁ Παῦλος ἔλεγε· Ρωμ. β. β. Λογίζῃ δὲ τοῦτο, ὦ ἄνθρωπε, ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας, καὶ ποιῶν αὐτά, ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ Θεοῦ; οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν. ἀπὸ γὰρ τῆς ψήφου, φησίν, ἧς ἐξήνεγκας καθ' ἑτέρου, ἀπὸ ταύτης″ σοι κρινεῖ ὁ Θεὸς τότε. οὐ γὰρ δήπου σὺ μὲν δίκαιος, ὁ δὲ Θεὸς ἄδικος. εἰ γὰρ σὺ οὐ περιορᾷς ἕτερον ἀδικούμενον, πῶς ὁ Θεὸς περιόψεται; εἰ σὺ διορθοῖς τὰ ἑτέρων ἁμαρτήματα, πῶς ὁ Θεὸς οὐ διορθώσεταί σε; εἰ δὲ οὐ παρὰ πόδας ἐπάγει σοι τὴν τιμωρίαν, μὴ θάρρει διὰ τοῦτο, ἀλλὰ φοβοῦ μειζόνως. οὕτω καὶ Παῦλος ἐκέλευσε λέγων· Ρωμ. β. δ. Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ, καὶ τῆς ἀνοχῆς, καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει; διὰ γὰρ τοῦτο ἀνέχεται, φησιν, οὐχ ἵνα χείρων γένῃ, ἀλλ' ἵνα μετανοήσῃς. εἰ δὲ μὴ βούλει, κολάσεως ἐφόδιον μείζονος ἡ μακροθυμία σοι γίνεται ἀμετανοήτῳ μένοντι. καὶ τοῦτο γοῦν αὐτὸ δηλῶν ἔλεγε· Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ Θεοῦ, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. ἐπεὶ οὖν ἑκάστῳ κατὰ τὰ ἔργα* ἀποδίδωσι, καὶ νόμον διὰ τοῦτο φυσικὸν ἡμῖν ἐνέθηκε, καὶ γραπτὸν ὕστερον ἔδωκεν, ἵνα εὐθύνας ἀπαιτήσῃ τῶν ἁμαρτημάτων, καὶ ἵνα κατορθοῦντας στεφανώσῃ· μετὰ πολλῆς τῆς σπουδῆς τοίνυν, καὶ ὥσπερ εἰς δικαστήριον ἀπαντήσεσθαι μέλλοντες φοβερὸν, τὰ καθ' ἑαυτοὺς οἰκονομήσωμεν, εἰδότες, ὡς οὐδεμιᾶς ἀπολαυσόμεθα συγγνώμης, εἰ μετὰ φυσικὸν καὶ γραπτὸν νόμον καὶ διδασκαλίαν τοσαύτην καὶ συνεχῆ παραίνεσιν, τῆς ἡμετέρας ἀμελήσαιμεν σωτηρίας.

Ρωμ. β. ε.

Βούλομαι οὖν πάλιν περὶ τῶν ὅρκων ὑμῖν διαλεχθῆναι· αἰσχύνομαι δέ. ἐμοὶ μὲν γὰρ οὐκ ἔστιν ἐπαχθὲς, καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ τὰ αὐτὰ πρὸς ὑμᾶς λέγειν· δέδοικα δὲ, μὴ τὰς πολλὰς ταύτας ἡμέρας ὑμῖν παρακολουθήσας, πολλὴν ὑμῶν" καταγνῷ ῥᾳθυμίαν περὶ πράγματος οὕτως εὐκόλου διηνεκοῦς δεομένων ὑπομνήσεως. οὐκ αἰσχύνομαι δὲ μόνον, ἀλλὰ καὶ δέδοικα περὶ ὑμῶν. ἡ γὰρ συνεχὴς διδασκαλία τοῖς μὲν προσέχουσι σωτήριον καὶ χρήσιμον, τοῖς δὲ ῥᾳθυμοῦσι βλαβερὸν καὶ ἐπικίνδυνον. καὶ γὰρ ὅσῳ περ ἂν τις πλεονάκις ἀκούσῃ, τοσούτῳ μᾶλλον ἐπισπᾶται τὴν κόλασιν, μὴ ποιῶν τὰ λεγόμενα. τοῦτο" οὖν καὶ Ἰουδαίοις ὀνειδίζων ἔλεγεν ὁ Θεός· Ἀπέστειλα τοὺς προφήτας μου ὀρθρίζων καὶ ἀποστέλλων, καὶ οὐδὲ οὕτως εἰσηκούσατε*. ἡμεῖς μὲν οὖν ἀπὸ πολλῆς κηδεμονίας τοῦτο ποιοῦμεν· "δέδοικα δὲ, μὴ κατὰ τὴν ἡμέραν ἐκείνην τὴν φοβερὰν ἀντικαταστῇ πᾶσιν ὑμῖν ἡ παραίνεσις αὕτη καὶ ἡ συμβουλή. ὅταν γὰρ καὶ τὸ κατόρθωμα εὔκολον ᾖ, καὶ ὁ συνεχῶς ὑπομιμνήσκων μὴ διαλιμπάνῃ, ποίαν ἕξομεν ἀπολογίαν" εἰπεῖν; ἢ τίς ἡμᾶς ἐξαιρήσεται τῆς κολάσεως λόγος; εἰπὲ γάρ μοι, ἂν ἀργύριόν σοι χρεωστούμενον τύχῃ, οὐκ ἀεὶ συντυγχάνων τῷ ὀφείλοντι ἀναμιμνήσκεις αὐτὸν τοῦ δανείσματος; τοῦτο καὶ σὺ ποίησον· καὶ ἕκαστος νομιζέτω τὸν πλησίον ἀργύριον ὀφείλειν αὐτῷ, τὴν ἐκπλήρωσιν τῆς ἐντολῆς ταύτης, καὶ ἀπαιτῶν ὑπὲρ τῆς ἐκτίσεως αὐτὸν ἀναμιμνησκέτω, εἰδὼς ὡς οὐ μικρὸς ἡμῖν ἀπόκειται κίνδυνος τῶν ἀδελφῶν οὐκ ἐπιμελουμένοις. διὰ τοῦτο καὶ ἐγὼ τὰ αὐτὰ λέγων οὐ παύομαι. δέδοικα γὰρ, μή ποτε κατ' ἐκείνην ἀκούσω τὴν ἡμέραν· Πονηρὲ δοῦλε καὶ ὀκνηρὲ, ἔδει σε καταβαλεῖν τὸ ἀργύριόν μου ἐπὶ τοὺς τραπεζίτας. ἰδοὺ γοῦν κατέβαλον, οὐχ ἅπαξ, οὐδὲ δὶς, ἀλλὰ* πολλάκις· ὑμῶν ἐστι λοιπὸν τὸν τόκον ἐπιδείξασθαι. τόκος δὲ ἀκροάσεως, ἡ διὰ τῶν ἔργων ἐπίδειξις. καὶ γὰρ δεσποτικὰ τὰ καταβαλλόμενα. μὴ τοίνυν παρέργως ὑποδεξώμεθα, ἀλλὰ μετὰ ἀκριβείας κατέχωμεν τὴν παρακαταθήκην, ἵνα μετὰ πολλῆς τῆς ἐργασίας αὐτὴν ἀποδῶμεν κατὰ τὴν ἡμέραν ἐκείνην. ἂν γὰρ μὴ καὶ ἑτέρους εἰς τὸ αὐτὸ ἐναγάγῃς κατόρθωμα, ἀκούσῃ τῆς φωνῆς ἐκείνης, ἧς ἤκουσεν ὁ τὸ τάλαντον κατορύξας. ἀλλὰ μὴ γένοιτο ταύτης, ἀλλὰ τῆς ἡδίστης ἡμᾶς ἀκοῦσαι φωνῆς, ἣν πρὸς τὸν ἐργασάμενον ἀφῆκε λέγων ὁ Χριστός· Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ· ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω. ταύτης δὲ ἀκουσόμεθα τῆς φωνῆς, ἂν τὴν αὐτὴν ἐκείνῳ σπουδὴν ἐπιδειξώμεθα· τὴν αὐτὴν δὲ ἐπιδειξόμεθα σπουδὴν, ἐὰν τοῦτο ὃ λέγω ποιήσωμεν. ἔτι θερμῆς οὔσης τῆς ἀκροάσεως [ἐν] ὑμῖν, ἐξελθόντες παρακελεύεσθε ἀλλήλοις· καὶ ὥσπερ ἕκαστος μετὰ προσηγορίας διαλύεσθε, οὕτω μετὰ παραγγελίας ἕκαστος οἴκαδε ἀναχωρείτω, καὶ τῷ πλησίον λεγέτω· σκόπει καὶ μέμνησο, ὅπως φυλάξῃς τὴν ἐντολήν· καὶ πάντως περιεσόμεθα. ὅταν γὰρ καὶ φίλοι παραπέμπωσι μετὰ τοιαύτης συμβουλῆς, καὶ οἴκοι γενόμενον ἡ γυνὴ πάλιν τὰ αὐτὰ" ὑπομιμνήσκῃ, καὶ μόνοις ὄνταις ὁ λόγος ὁ ἡμέτερος" κατέχῃ, ταχέως ἀποκρουσόμεθα τὴν πονηρὰν ταύτην συνήθειαν. οἶδα μὲν, ὅτι θαυμάζετε τίνος ἕνεκεν τοσαύτην ὑπὲρ τῆς ἐντολῆς ταύτης ποιοῦμαι σπουδήν. κατορθώσατε δὲ τὸ ἐπιταχθὲν, καὶ τότε ἐρῶ. τέως μὲν γὰρ ἐκεῖνο λέγω, ὅτι νόμος ἐστὶ θεῖος τὸ ἐπίταγμα τοῦτο, καὶ παραβῆναι" αὐτὸν οὐκ ἀσφαλές. ἐὰν δὲ ἴδω κατορθωθὲν, καὶ ἑτέραν ὑμῖν

Ιερ. ιθ. θ.

Ματθ. κε. κζ.

Ματθ. κε. κα.

αἰτίαν ὁρῶ οὐκ ἐλάττονα ταύτης· ἵνα μάθητε, ὅτι δικαίως τοσαύτην ὑπὲρ τοῦ νόμου τούτου πεποίημαι σπουδήν. ὥρα δὲ λοιπὸν εἰς εὐχὴν καταλῦσαι τὸν λόγον. κοινῇ τοίνυν πάντες εἴπωμεν· Ὁ Θεὸς, ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι αὐτὸν καὶ ζῇν, καὶ τοῦτον καὶ τοὺς λοιποὺς νόμους ἅπαντας καταξίωσον ἡμᾶς ἐξανύσαντας οὕτω παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ σου, ἵνα παρρησίας ἀπολαύσαντες πολλῆς, τῆς βασιλείας ἐπιτύχωμεν εἰς δόξαν σήν· ὅτι σοι πρέπει δόξα, τιμὴ, κράτος, ἅμα τῷ μονογενεῖ σου παιδὶ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΑΡΙΣΤΙΑ ΠΡΟΣ ΤΟΝ ΘΕΟΝ ΠΕΡΙ ΤΗΣ ΜΕΤΑβολῆς τῶν σκυθρωπῶν, καὶ ἀνάμνησις τῶν διὰ τὴν στάσιν κατασυρέντων τε καὶ τιμωρηθέντων. ὁμοίως δὲ πάλιν ἐξήγησις περὶ τῆς τοῦ ἀνθρώπου δημιουργίας, καὶ ὅτι φυσικὸν νόμον ἐδέξατο διὰ τῆς γνώσεως τῶν πρακτέων καὶ τῶν οὐ πρακτέων, καὶ περὶ τοῦ κατορθῶσαι τὸ μὴ ὀμνύειν. Λογ. ιγ.

γρ. δια-

Ἀπὸ τῆς αὐτῆς ἀρχῆς καὶ τῶν αὐτῶν προοιμίων, ὧν χθὲς καὶ πρὸ ἐκείνης ἠρξάμην, καὶ σήμερον ἄρξομαι. ἐρῶ καὶ νῦν, εὐλογητὸς ὁ Θεὸς, οἵαν τὴν παρελθοῦσαν εἴδομεν τετράδα, καὶ οἵαν τὴν παροῦσαν ὁρῶμεν νῦν; πόσος ἐν ἐκείνῃ ζόφος ἦν τότε; πόση κατὰ τὴν παροῦσαν γαλήνη νῦν; κατὰ* τὴν ἡμέραν ταύτην τὸ φοβερὸν ἐκεῖνο γέγονεν ἐν τῇ πόλει δικαστήριον, καὶ τὰς καρδίας ἁπάντων διέσεισε, καὶ νυκτὸς οὐδὲν ἄμεινον διακεῖσθαι τὴν ἡμέραν ἐποίησεν, οὐ τῆς ἀκτῖνος σβεσθείσης, ἀλλὰ τῆς ἀθυμίας καὶ τοῦ φόβου πηρωσάντων ὑμῶν τοὺς ὀφθαλμούς. ἵν' οὖν καὶ ἡμεῖς πλείονα καρπωσώμεθα τὴν ἡδονὴν, μικρὰ τῶν τότε συμβάντων διηγήσασθαι βούλομαι. καὶ γὰρ καὶ ὑμῖν, καὶ τοῖς γενησομένοις ἅπασι χρησίμην ὁρῶ τὴν τούτων διήγησιν οὖσαν. ἐπεὶ καὶ τοῖς ἐκ ναυαγίου διασωθεῖσιν ἡδὺ τῶν κυμάτων μεμνῆσθαι, καὶ τῆς ζάλης, καὶ τῶν ἀνέμων, ἐπειδὰν εἰς λιμένα καταπλεύσωσι· καὶ τοῖς ἀρρωστίᾳ περιπεσοῦσι ποθεινὸν μετὰ τὴν ἀρρωστίαν τοὺς πυρετοὺς, δι' οὓς παρὰ μικρὸν ἦλθον ἀποθανεῖν, διηγεῖσθαι πρὸς ἑτέρους. ὅταν γὰρ παρέλθῃ τὰ δεινὰ, ἡδονὴν ἔχει τῶν δεινῶν ἡ διήγησις, τῆς ψυχῆς οὐκ ἔτι δεδοικυίας, ἀλλὰ καὶ μείζονα καρπουμένης τὴν εὐφροσύνην. ἡ γὰρ τῶν παρελθόντων ἀεὶ μνήμη κακῶν τὴν ἐνεστῶσαν εὐημερίαν ἀκριβέστερον ὁρᾶσθαι ποιεῖ. ἐπεὶ γὰρ τὸ μὲν πλέον τῆς πόλεως ἀπὸ τοῦ φόβου καὶ τῆς ἀπειλῆς ἐκείνης πρὸς τὰς ἐρήμους καὶ τὰς φάραγγας καὶ τοὺς λανθάνοντας μετῴκιστο τόπους, τοῦ φόβου πανταχόθεν αὐτοὺς συνελαύνοντος, καὶ κεναὶ μὲν ἦσαν γυναικῶν αἱ οἰκίαι, κενὴ δὲ ἀνδρῶν ἡ ἀγορὰ, μόλις δὲ δύο ἢ τρεῖς βαδίζοντες ἐν τῷ μέσῳ μετ' ἀλλήλων ἐφαίνοντο, καὶ αὐτοὶ οὗτοι, καθάπερ ἔμψυχοι νεκροὶ, περιιόντες, ἀπῄειμεν εἰς τὸ δικαστήριον, τὸ τέλος ὀψόμενοι τῶν γινομένων· καὶ ἰδόντες ἐκεῖ τῆς πόλεως τὰ λείψανα συνειλεγμένα, μάλιστα πάντων ἐθαυμάσαμεν ἐκεῖνο, ὅτι πλήθους ὄντος περὶ τὰς θύρας*, ὡς οὐδενὸς παρόντος βαθυτάτη ἦν ἡ σιγὴ, πάντων εἰς ἀλλήλους βλεπόντων, καὶ μήτε ἐρέσθαι τὸν παρεστῶτα, μήτε ἀκοῦσαί τι παρ' ἐκείνου τολμῶντός τινος. τὸν γὰρ πλησίον ὑπώπτευεν ἕκαστος, διὰ τὸ πολλοὺς ἤδη παρὰ ἐλπίδα πᾶσαν ἐκ μέσης ἀναρπασθέντας τῆς ἀγορᾶς ἔνδον κατέχεσθαι. καὶ πάντες κοινῇ πρὸς τὸν οὐρανὸν ἐβλέπομεν, καὶ τὰς χεῖρας ἀνετείνομεν, σιγῇ τὴν ἄνωθεν ἐκδεχόμενοι ῥοπὴν, καὶ τὸν Θεὸν παρακαλοῦντες παραστῆναί τε τοῖς δικαζομένοις, καὶ μαλάξαι τὰς τῶν δικαζόντων καρδίας, καὶ ἥμερον ποιῆσαι γενέσθαι τὴν ψῆφον. καὶ καθάπερ οἱ τοὺς ναυαγοῦντας ἀπὸ τῆς γῆς βλέποντες, προσελθεῖν μὲν καὶ χεῖρα ὀρέξαι καὶ διορθῶσαι τὴν συμφορὰν οὐκ ἔχουσι, τοῖς κύμασι διειργόμενοι, ἔξωθεν δὲ ἀπὸ τοῦ αἰγιαλοῦ τὰς χεῖρας ἀνατείνοντες καὶ

δακρύοντες

* ἐξ

γρ. πηρώσαν

γρ. καὶ ὑμῖν

τοῖς ἠνωμέ-
νοις ἅπα

γρ. χρησ.

γρ. ἡμῖν

* ποιεῖ

γρ. ἀφῶν

δακρύοντες τὸν Θεὸν παρακαλοῦσι παραστῆναι τοῖς κλυδωνιζομένοις· οὕτω καὶ ἐνταῦθα πάντες σιγῇ καὶ κατὰ διάνοιαν ἐκάλουν τὸν Θεὸν, ἀξιοῦντες τοῖς ἐν τῷ δικαστηρίῳ, καθάπερ ἐν κύμασιν ἀπειλημμένοις, χεῖρα ὀρέξαι, καὶ μὴ συγχωρῆσαι καταποντισθῆναι τὸ σκάφος, μηδὲ εἰς ναυάγιον παντελὲς καταλῦσαι τὴν δικαζόντων τὴν κρίσιν. καὶ ταῦτα μὲν τὴν περὶ τὰς θύρας· ἐπειδὴ δὲ ἐνδοτέρω τῆς αὐλῆς εἰσέβημεν, πάλιν εἴδομεν ἕτερα φοβερώτερα τούτων, στρατιώτας καθωπλισμένους ξίφεσι καὶ ῥοπάλοις, καὶ πολλὴν τοῖς ἔνδοθεν δικάζουσι τὴν ἡσυχίαν παρέχοντας. ἐπειδὴ γὰρ οἱ προσήκοντες ἅπαντες ἐκείνοις καὶ γυναῖκες καὶ μητέρες καὶ θυγατέρες * εἱστήκεισαν περὶ τὰς τοῦ δικαστηρίου θύρας, ὥστε, εἴ τινα συμβαίη τὴν ἐπὶ θάνατον ἀπενεχθῆναι *, μηδένα τῇ θέᾳ τῆς συμφορᾶς ἐμπρησθέντα θόρυβόν τινα ποιῆσαι καὶ ταραχὴν, πόρρωθεν ἐφόβουν οἱ στρατιῶται πάντας, προκαταλαμβάνοντες αὐτῶν τῷ δέει τὴν διάνοιαν. τὸ δὲ πάντων ἐλεεινότερον, μήτηρ μία καὶ ἀδελφὴ τῶν ἔνδον κρινομένων τινὸς πρὸς αὐτὰ τῶν δικαζόντων ἐκάθηντο τὰ πρόθυρα, καλινδούμεναι περὶ τὸ ἔδαφος, καὶ κοινὸν οὖσαι θέατρον τοῖς παρεστῶσιν ἅπασι, συγκαλυπτόμεναι τὰς ὄψεις, καὶ τοσοῦτον αἰσχυνόμεναι μόνον, ὅσον ἐπέτρεπεν ἡ τῆς συμφορᾶς ἀνάγκη. καὶ οὔτε θεραπαινὶς αὐταῖς παρῆν, οὔτε γείτων, οὐ φίλη, οὐκ ἄλλη τις τῶν ἐπιτηδείων, ἀλλὰ μόναι μετ' εὐτελῶν ἱματίων ἐν μέσῳ τοσούτων ἀπειλημμέναι στρατιωτῶν, χαμαὶ συρόμεναι περὶ τὰς θύρας αὐτὰς, τῶν ἔνδον δικαζομένων ἐλεεινότερα ἔπασχον, τῆς τῶν δημίων ἀκούουσαι φωνῆς, τοῦ κτύπου τῶν μαστίγων, τοῦ θρήνου τῶν μαστιζομένων, τῆς φοβερᾶς τῶν δικαζόντων ἀπειλῆς· καὶ καθ' ἕκαστον τῶν παιομένων, χαλεπωτέρας ἐκείνων ὑπέμενον ὀδύνας αὗται. ἐπειδὴ γὰρ ἐν ταῖς ἑτέρων μαρτυρίαις ἐκινδυνεύετο ἡ τῶν ἐγκλημάτων ἀπόδειξις, εἴ ποτέ τινος ᾔσθοντο μαστιζομένου, ὥστε εἰπεῖν τοὺς ὑπευθύνους, καὶ ὀλολύζοντος, εἰς τὸν οὐρανὸν βλέπουσαι τὸν Θεὸν παρεκάλουν δοῦναί τινα ἰσχὺν καὶ ὑπομονὴν ἐκείνῳ, ὥστε μὴ τῶν αὐτοῖς προσηκόντων τὴν σωτηρίαν ἐν ταῖς ἑτέρων ἀσθενείαις προδοθῆναι, τὴν δριμεῖαν ἀπὸ τῶν πληγῶν ὀδύνην μὴ δυναμένων ἐνεγκεῖν. καὶ ταὐτὸν πάλιν, οἷα ἐπὶ τῶν χειμαζομένων συνέβαινε. καθάπερ γὰρ ἐκεῖνοι, εἴ ποτε κύματος ἴδοιεν ἐμβολὴν πόρρωθεν κορυφουμένην καὶ κατὰ μικρὸν αὐξομένην καὶ μέλλουσαν βαπτίζειν τὸ σκάφος, καὶ πρὶν ἢ πλησίον γενέσθαι τοῦ πλοίου προαποτεθνήκασι τῷ δέει· οὕτω δὴ κἀκεῖναι, εἴ ποτε φωνῶν καὶ ὀλολυγμῶν ᾔσθοντο φερομένων, δεδοικυῖαι μὴ πρὸς τὰς βασάνους ἀπαγορεύσαντες οἱ καταμαρτυρεῖν ἀναγκαζόμενοι, κατείπωσί τινος τῶν αὐτοῖς ἐπιτηδείων, μυρίους παρὰ τὸν ὀφθαλμὸν ἑώρων θανάτους. καὶ ἦν ἰδεῖν ἔνδον βασάνους, καὶ ἔξω βασάνους. ἐκείνους μὲν γὰρ οἱ δήμιοι, ταύτας δὲ ἐβασάνιζεν ἡ τῆς φύσεως τυραννὶς, καὶ ἡ τῶν σπλάγχνων συμπάθεια. καὶ ἦν ἔνδον θρῆνος, καὶ ἔξω θρῆνος· ἔνδον τῶν ὑπευθύνων, ἔξω τῶν αὐτοῖς προσηκόντων. μᾶλλον δὲ οὐχ οὗτοι μόνον, ἀλλὰ καὶ αὐτοὶ οἱ δικάζοντες κατὰ διάνοιαν ἐθρήνουν, καὶ χαλεπώτερα πάντων ἔπασχον, οὕτω πικρᾶς τραγῳδίας ἀναγκαζόμενοι τότε ὑπηρετεῖν. ἐγὼ δὲ παρακαθήμενος καὶ ταῦτα βλέπων, ὅτι γυναῖκες καὶ παρθένοι θαλαμευόμεναι νῦν κοινὸν ἐγένοντο θέατρον ἅπασι, καὶ αἱ ἐπὶ στρωμνῆς ἁπαλῆς κατακλινόμεναι, τὸ ἔδαφος ἀντὶ στρωμνῆς ἔχουσι, καὶ αἱ τοσαύτης ἀπολαύουσαι θεραπείας θεραπαινίδων, εὐνούχων, τῆς ἄλλης ἁπάσης φαντασίας, νῦν ἁπάντων ἐκείνων ἔρημοι πρὸς τοὺς ἁπάντων σύρονται πόδας, ἕκαστον παρακαλοῦσαι συνεισενεγκεῖν τι τῶν εἰς αὐτοὺς ἡκόντων τοῖς κρινομένοις, καὶ κοινὸν παρὰ πάντων γενέσθαι ἐλέου τινὰ ἔρανον, ἐφθεγξάμην ἐκεῖνο τὸ τοῦ Σολομῶντος· Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. (Εκκλησ. α β.) εἶδον γὰρ τοῦτό τε αὐτὸ, καὶ ἕτερον λόγιον δι' αὐτῶν τῶν ἔργων ἐκβαῖνον τὸ λέγον· ὅτι Πᾶσα δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου· (Ησ. μ. ζ.) ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε. καὶ γὰρ καὶ πλοῦτος τότε, καὶ εὐγένεια, καὶ περιφάνεια, καὶ φίλων προστασία, καὶ συγγένεια, καὶ πάντα ἠλέγχετο τὰ βιωτικὰ, τῆς ἁμαρτίας καὶ τῆς παρανομίας τῆς γεγενημένης τὴν συμμαχίαν ἅπασαν τρεψαμένης ταύτην.

τήν. καὶ καθάπερ μήτηρ στρουθῶν τῶν νεοττῶν ἀφαιρεθέντων ἐλθοῦσα καὶ τὴν καλιὰν εὑροῦσα κενήν, ἐξελέσθαι μὲν οὐ δύναται τοὺς ἁλόντας αὐτῆς νεοττούς, περιϊπταμένη δὲ τοῦ θηρατοῦ τὰς χεῖρας, αὐτῷ τούτῳ τὴν ὀδύνην ἐνδείκνυται· οὕτω δὴ καὶ αἱ γυναῖκες ἐποίουν τότε ἐκεῖναι, ἀναρπασθέντων αὐταῖς ἐκ τῆς οἰκίας τῶν παίδων, καὶ ἔνδον ἀπειλημμένων, ὥσπερ ἐν δικτύῳ τινὶ καὶ παγίδι, προσελθεῖν μὲν καὶ ἐξελέσθαι τοὺς ἁλόντας οὐκ ἴσχυον, τῷ δὲ περὶ τὰς θύρας αὐτὰς καλινδεῖσθαι, καὶ θρηνεῖν, καὶ ὀλοφύρεσθαι, καὶ τῶν θηρευσάντων πειρᾶσθαι γενέσθαι ἐγγὺς τὴν ὀδύνην ἐδείκνυον. Ταῦτα δὴ τότε ὁρῶν εἰς νοῦν ἐβαλόμην τὸ φοβερὸν ἐκεῖνο δικαστήριον, καὶ πρὸς ἐμαυτὸν εἶπον· εἰ νῦν ἀνθρώπων δικαζόντων οὐ μήτηρ, οὐκ ἀδελφή, οὐ πατήρ, οὐκ ἄλλος οὐδείς, καίτοιγε ἀνεύθυνοι τῶν τολμηθέντων ὄντες, οὐκ ἰσχύουσιν ἐξελέσθαι τοὺς κρινομένους, τίς ἐν τῷ φοβερῷ τοῦ Χριστοῦ δικαστηρίῳ παραστήσεται κρινομένοις ἡμῖν; τίς τολμήσει ῥῆξαι φωνήν; τίς ″ ἐξελέσθαι τοὺς ἀπαγομένους ἐπὶ τὰς ἀφορήτους ἐκείνας κολάσεις; καίτοι πρῶτοι τῆς πόλεως ἦσαν οἱ τότε δικαζόμενοι, καὶ αὐτὸ τῆς εὐγενείας τὸ κεφάλαιον· ἀλλ' ὅμως ἠγάπων, εἴ τις δῴη πάντα ἀποβαλοῦσιν, εἰ δέοι, καὶ τὴν ἐλευθερίαν αὐτήν, τῆς παρούσης ἀπολαύειν ζωῆς. τῆς ἡμέρας δὲ λοιπὸν πρὸς τὸ τέλος ἐπειγομένης, καὶ βαθυτάτης γενομένης ἑσπέρας, καὶ τοῦ τέλους τῆς ψήφου προσδοκωμένου, ἐν μείζονι πάντες ἦσαν ἀγωνίᾳ, καὶ τὸν Θεὸν ἠξίουν μέλλησίν τινα καὶ ἀναβολὴν γενέσθαι, καὶ τῇ ψυχῇ τῶν δικαζόντων ἐμβαλεῖν εἰς τὴν τοῦ βασιλέως γνώμην ἀνενεγκεῖν τῶν ἐξητασμένων τὴν γνῶσιν. ἔσεσθαι γάρ τι ἴσως χρηστὸν ἀπὸ τῆς ὑπερθέσεως ταύτης. καὶ κοιναὶ παρὰ τοῦ δήμου λιταὶ πρὸς τὸν φιλάνθρωπον Θεὸν ἀνεπέμποντο τὰ λείψανα σῶσαι τῆς πόλεως, καὶ μὴ περιϊδεῖν τέλεον ἐκ βάθρων ἀνασπωμένην αὐτήν. καὶ οὐκ ἦν ἰδεῖν οὐδένα ἀδακρυτὶ ταῦτα βοῶντα· ἀλλ' ὅμως οὐδὲν τούτων τοὺς δικάζοντας ἔνδον ἀκούοντας ἐπέκαμπτε τότε, ἀλλ' ἓν μόνον ἐσκόπουν, ὅπως ἀκριβὴς γένηται ἡ τῶν τολμηθέντων ἐξέτασις. καὶ τέλος ἁλύσεις αὐτοῖς ″ ἐπιθέντες καὶ σιδήρῳ δήσαντες, ἐπὶ τὸ δεσμωτήριον ἔπεμπον διὰ μέσης τῆς ἀγορᾶς ἀνθρώπους ἱπποτρόφους, ἀγωνοθέτας, ἑτέρας μυρίας λαμπροτέρας ἔχοντας ἀριθμεῖν λειτουργίας, καὶ τὰς οὐσίας ἐδήμευον. καὶ σήμαντρα ἐν ταῖς θύραις ἁπάντων ἦν ἰδεῖν, καὶ αἱ γυναῖκες αἱ τούτων τῆς πατρῴας ἐκβαλλόμεναι οἰκίας, ἑκάστη ἐκεῖνο τὸ τῆς γυναικὸς τοῦ Ἰὼβ διὰ τῶν ἔργων ἐπλήρουν. οἰκίαν γὰρ ἐξ οἰκίας, καὶ τόπον ἐκ τόπου περιήρχοντο, καταγωγίου δεόμεναι. καὶ γὰρ οὐδὲ τοῦτο αὐτὸ αὐτοῖς εὔκολον ἦν, ἑκάστου δεδοικότος καὶ τρέμοντος τῶν προσηκόντων τινὰ ″ τῶν ὑπευθύνων ὑποδέξασθαι καὶ θεραπεῦσαι. ἀλλ' ὅμως τοσούτων γινομένων ἔστεργον πᾶσι τούτοις οἱ παθόντες, ἐπειδὴ τῆς παρούσης οὐκ ἐξέπεσαν ζωῆς· καὶ οὔτε ζημία χρημάτων, οὔτε ἀτιμία, οὔτε ἡ τοσαύτη πομπή, οὔτε ἄλλο τι τῶν τοιούτων οὐδὲν αὐτοὺς ἔδακνε. τὸ γὰρ τῆς συμφορᾶς μέγεθος, καὶ τὸ μείζονα προσδοκήσαντας τούτων, ὑπομεῖναι ταῦτα, φιλοσοφεῖν παρεσκεύαζε τὴν ψυχήν. καὶ τότε ἐμάνθανον, πῶς εὔκολον ἡμῖν ἡ ἀρετή, ῥᾳδία τε καὶ εὐκατόρθωτον· ″ καὶ ὅτι παρὰ τὴν ἡμετέραν ὀλιγωρίαν μόνον ἐπίπονος εἶναι ″ δοκεῖ. οὗτοι γὰρ οἱ πρὸ τούτου χρημάτων ὀλίγων ζημίαν οὐκ ἐνεγκόντες πρᾴως, ἐπειδὴ φόβῳ κατεσχέθησαν μείζονι, πάντα τὰ ὄντα ἀποβαλόντες, ὥσπερ θησαυρὸν εὑρηκότες διέκειντο, ἐπειδὴ τὴν ψυχὴν οὐκ ἀπέβαλον. ὥστε εἰ [καὶ] τῆς μελλούσης γεέννης εἶχεν ἡμᾶς αἴσθησις, καὶ τὰς ἀφορήτους ἐκείνας ἐνενοοῦμεν κολάσεις, εἰ καὶ τὴν οὐσίαν καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα ἐπιδεδώκαμεν ὑπὲρ τῶν τοῦ Θεοῦ νόμων, οὐκ ἂν ἠλγήσαμεν, εἰδότες ὅτι μείζονα κερδαίνομεν, τὴν τῶν μελλόντων δεινῶν ἀπαλλαγήν.

Ἰωβ. β. θ.

γρ. ἐξαιτεῖν

γρ. αὐτοῖς

γρ. ἢ

γρ. καὶ οὐδὲ

γρ. δοκῇ

Τάχα ἱκανῶς ὑμῶν κατεμάλαξε τὴν καρδίαν ἡ τραγῳδία τῶν εἰρημένων. ἀλλὰ μὴ δυσχεράνητε. καὶ γὰρ ἐπειδὴ μέλλω λεπτοτέρων κατατολμᾶν νοημάτων, καὶ ἁπαλωτέρας δέομαι διανοίας, ἐπιτηδὲς τοῦτο ἐποίησα, ὥστε τῷ φόβῳ τοῦ διηγήματος τὴν διάνοιαν νοίας ὑμῶν πᾶσαν ῥαθυμίαν ἀποτινάξασθαι, καὶ τὴν βιωτικὴν ἀποσκευασάσαι ἀπάντων, μετὰ πολλῆς τῆς εὐκολίας πρὸς τὸ βάθος τῆς ψυχῆς διαπέμψαι τῶν λεγομένων τὴν δύναμιν. ἱκανῶς μὲν οὖν καὶ πρώην ὁ λόγος ἡμῖν ἀπέδειξεν, ὅτι φυσικὸς ἡμῖν ἔγκειται νόμος τῶν καλῶν καὶ τῶν οὐ τοιούτων· ἵνα δὲ ἐκ περιουσίας ἡμῖν ἡ ἀπόδειξις γένηται, τῇ αὐτῇ καὶ σήμερον ἐπαγωνιούμεθα πάλιν ὑποθέσει τῶν λόγων. ὅτι γὰρ ἐξ ἀρχῆς τοὺς ἀνθρώπους πλάττων ὁ Θεός, ἀμφοτέρων αὐτὸν ἐποίησεν ἐπιστημονικόν, δηλοῦσι πάντες ἄνθρωποι. τοὺς γοῦν ὑπευθύνοις ἡμῖν αἰσχυνόμεθα ἁμαρτάνοντες ἅπαντες. καὶ πολλάκις δεσπότης πρὸς πόρνην γυναῖκα βαδίζων, εἶτα τῶν ἐπιεικεστέρων τινὰ οἰκετῶν ἰδών, ἐρυθριάσας ἀνεχώρησε τῆς ἀτόπου ταύτης ὁδοῦ. πάλιν λοιδορούμενοι παρ' ἑτέρων τὰ τῆς πονηρίας ὀνόματα, ὕβριν τὸ πρᾶγμα εἶναι φαμέν. κἂν κακῶς πάσχωμεν, εἰς δικαστήριον ἕλκομεν τοὺς ποιήσαντας· οὕτως ἴσμεν, τί μὲν κακία, τί δὲ ἀρετή. τοῦτο γοῦν αὐτὸ καὶ ὁ Χριστὸς ἐμφαίνων καὶ δεικνύς, ὅτι οὐδὲν ξένον οὐδὲ ὑπερβαῖνον ἡμῶν τὴν φύσιν νομοθετεῖ, ἀλλ' ὃ πάλαι προλαβὼν ἐγκατέθηκεν ἡμῶν τῷ συνειδότι, μετὰ τοὺς πολλοὺς ἐκείνους μακαρισμοὺς οὕτως ἔλεγεν· Ἃ θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, ταῦτα καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς. οὐ χρεία πολλῶν λόγων, φησίν, οὐδὲ μακροτέρων νόμων, οὐδὲ διδασκαλίας ποικίλης· τὸ θέλημά σου γινέσθω νόμος. θέλεις εὐεργετεῖσθαι; εὐεργέτησον ἕτερον. θέλεις ἐλεεῖσθαι; ἐλέησον τὸν πλησίον. θέλεις ἐπαινεῖσθαι; ἐπαίνεσον ἕτερον. θέλεις ἀγαπᾶσθαι; φίλησον. θέλεις τῶν πρωτείων ἀπολαύειν; παραχώρησον ἑτέρῳ πρότερον τούτων. σὺ γενοῦ δικαστής, σὺ γενοῦ νομοθέτης τῆς σαυτοῦ ζωῆς. καὶ πάλιν, ὃ μισεῖς, ἄλλῳ μὴ ποιήσῃς. διὰ μὲν τούτου τῆς κακίας εἰσάγει τὴν ἀπαλλαγήν, διὰ δὲ τοῦ προτέρου τῆς ἀρετῆς τὴν ἐργασίαν. ὃ μισεῖς σύ, φησιν, ἄλλῳ μὴ ποιήσῃς. μισεῖς ὑβρίζεσθαι; μὴ ὑβρίζῃς ἕτερον. μισεῖς βασκαίνεσθαι; μηδὲ σὺ φθονήσῃς ἑτέρῳ. μισεῖς ἀπατᾶσθαι; μηδὲ σὺ ἀπατήσῃς ἄλλον. καὶ ἐπὶ πάντων δὲ ἁπλῶς, ἂν τὰ δύο ῥήματα ταῦτα κατέχωμεν, οὐ δεησόμεθα διδασκαλίας ἑτέρας. τῆς γὰρ ἀρετῆς τὴν μὲν γνῶσιν ἐνέθηκεν ἡμῶν τῇ φύσει, τὴν δὲ πρᾶξιν καὶ τὴν διόρθωσιν ἐπέτρεψεν ἡμῶν τῇ προαιρέσει. τάχα ἀσαφὲς τὸ λεγόμενον· οὐκοῦν πειράσομαι σαφέστερον αὐτὸ ποιῆσαι πάλιν. ὥστε εἰδέναι ὅτι καλὸν τὸ σωφρονεῖν, οὐ δεόμεθα λόγων, οὐδὲ διδασκαλίας. ἔχομεν γὰρ ἐν τῇ φύσει τὴν γνῶσιν αὐτοί, καὶ οὐ χρεία πόνων, οὐδὲ καμάτων, ὥστε περιελθεῖν καὶ ζητῆσαι, εἰ καλὸν ἡ σωφροσύνη, καὶ χρήσιμον· ἀλλὰ κοινῇ γνώμῃ πάντες ὁμολογοῦμεν τοῦτο, καὶ οὐδεὶς ἀμφιβάλλει περὶ τῆς ἀρετῆς. οὕτω καὶ τὴν μοιχείαν κακὸν εἶναι νομίζομεν, καὶ οὐδὲ ἐνταῦθα πόνων ἡμῖν δεῖ καὶ μαθήσεως, ὥστε γνῶναι τὴν τῆς ἁμαρτίας ταύτης κακίαν, ἀλλὰ πάντες ἐν ταῖς τοιαύταις ψήφοις ἐσμὲν αὐτοδίδακτοι, καὶ τὴν ἀρετήν, κἂν μὴ μετιῶμεν αὐτήν, ἐπαινοῦμεν· ὥσπερ οὖν καὶ τὴν κακίαν, κἂν ἐργαζώμεθα, μισοῦμεν. καὶ τοῦτο Θεοῦ κατόρθωμα γέγονε μέγιστον, ὥστε τὸ συνειδὸς ἡμῶν καὶ τὴν προαίρεσιν τέως καὶ πρὸ τῆς πράξεως οἰκειοῦσθαι μὲν τῇ ἀρετῇ, ἐκπολεμῶσαι δὲ τῇ πονηρίᾳ. ὅπερ οὖν ἔφην, ἡ μὲν γνῶσις ἑκατέρων τούτων ἔγκειται τῷ συνειδότι πάντων ἀνθρώπων, καὶ οὐ δεόμεθα διδασκάλου τινὸς πρὸς τὸ ταῦτα μαθεῖν· ἡ δὲ διόρθωσις λοιπὸν προαιρέσει καὶ σπουδῇ καὶ πόνοις ἐγκεχείρισται. τί δήποτε; ὅτι εἰ τὸ πᾶν τῆς φύσεως ἐποίησεν, ἀστεφάνωτοι καὶ χωρὶς βραβείων ἀπήλθομεν ἄν. καὶ ὥσπερ τὰ ἄλογα τῶν πλεονεκτημάτων, ὧν ἔχει κατὰ φύσιν, οὐκ ἂν λάβοι μισθὸν οὐδὲ ἔπαινον, οὕτως οὐδὲ ἡμεῖς ἀπολαύσαιμεν ἄν τινος τούτων. τὰ γὰρ τῆς φύσεως πλεονεκτήματα οὐ τῶν ἐχόντων, ἀλλὰ τοῦ δεδωκότος ἐστὶν ἔπαινος καὶ ἐγκώμιον. τῇ μὲν οὖν φύσει τὸ πᾶν οὐκ ἐπέτρεψε διὰ τοῦτο. πάλιν δὲ τὴν προαίρεσιν ὁλόκληρον ἀναδέξασθαι τὸ φορτίον οὐκ εἴασε καὶ τὸ τῆς γνώσεως καὶ τὸ τῆς διορθώσεως, ἵνα μὴ πρὸς τὸν πόνον ἀπαγορεύσῃ τῆς ἀρετῆς· ἀλλ' ὑπαγορεύει μὲν αὐτῇ τὸ συνειδὸς τὰ πρακτέα, πρὸς δὲ τὴν ἐργασίαν αὐτὴ τοὺς παρ' ἑαυτῆς εἰσφέρει πόνους. καὶ ὅτι μὲν καλὸν τὸ σωφρονεῖν, μηδὲν καμόντες ἐπιστάμεθα (τῆς φύσεως γὰρ ἡ γνῶσις)

Ματθ. ζ. ιϛ.

σις) σωφροσύνην δὲ οὐκ ἂν δυνηθείημεν κατορθῶσαι μὴ καμόντες, μηδὲ τὴν ἐπιθυμίαν
χαλινώσαντες, καὶ πολὺν ὑποστάντες πόνον. τοῦτο γὰρ οὐκ ἔτι ἐκ φύσεως ἡμῖν πρόσεστι,
καθάπερ ἡ γνῶσις· ἀλλὰ δεῖται προθυμίας καὶ σπουδῆς. οὐ ταύτῃ δὲ μόνον ἐπεκούφισεν
ἡμῖν τὸ βάρος, ἀλλὰ καὶ ἑτέρῳ τρόπῳ πάλιν, καὶ αὐτῶν τῶν κατορθωμάτων
ἔνια φυσικὰ ἀφεὶς εἶναι ἐν ἡμῖν. καὶ γὰρ τὸ συναγανακτεῖν τοῖς ὑβριζομένοις φυσικὸν
ἅπαντες ἔχομεν (εὐθέως γοῦν τοῖς ἐπηρεάζουσιν ἐχθροὶ γινόμεθα, κἂν μηδὲν ὦμεν
αὐτοὶ πεπονθότες) καὶ τὸ συνήδεσθαι τοῖς ἀντιλήψεως καὶ βοηθείας ἀπολαύουσι, καὶ τὸ κατακλᾶσθαι
ἐπὶ ταῖς ἑτέρων συμφοραῖς καὶ τῇ φιλοστοργίᾳ τῇ πρὸς ἀλλήλους. κἂν γὰρ πραγμάτων
περιστάσεις δοκῶσι μικροψυχίαν τινὰ εἰσάγειν, ἀλλ' ὅμως ἔχομεν κοινὴν πρὸς ἀλλήλους
Σειρ. ιγ. ιε. φιλίαν. καὶ τοῦτό τις σοφὸς αἰνιττόμενος ἔλεγε· Πᾶν ζῶον ἀγαπᾷ τὸ ὅμοιον αὐτῷ,
καὶ ἄνθρωπος τὸν πλησίον αὐτοῦ. πολλοὺς δὲ καὶ ἑτέρους μετὰ τοῦ συνειδότος ἐπέστησεν ἡμῖν διδασκάλους
ὁ Θεός. καὶ γὰρ καὶ πατέρας τοῖς υἱοῖς, καὶ δεσπότας τοῖς δούλοις, καὶ ἄνδρας ταῖς γυναιξὶ,
καὶ διδασκάλους τοῖς μαθηταῖς, καὶ νομοθέτας καὶ δικαστὰς τοῖς ἀρχομένοις, καὶ φίλους
τοῖς φίλοις. πολλάκις δὲ καὶ παρὰ ἐχθρῶν ἐκερδάναμεν οὐκ ἔλαττον, ἢ παρὰ φίλων. ὅταν
γὰρ ἡμῖν ὀνειδίζωσι τὰ ἁμαρτήματα, καὶ ἄκοντας εἰς διόρθωσιν αὐτῶν διεγείρουσι. τοσούτους
δὲ ἡμῖν διδασκάλους ἐπέστησεν, ἵν' εὔκολος ἡμῖν ἡ τοῦ λυσιτελοῦντος εὕρεσίς τε καὶ διόρθωσις γένηται,
τοῦ πλήθους τῶν πρὸς αὐτὸ συνελαυνόντων ἡμᾶς οὐκ ἀφιέντος ἐκπεσεῖν τοῦ συμφέροντος
ἡμῖν. κἂν γὰρ τῶν γεγεννηκότων καταφρονήσωμεν, τοὺς ἄρχοντας δεδοικότες ἐπιεικέστεροι
πάντως ἐσόμεθα. κἂν ἐκείνους διαδύσωμεν ἁμαρτάνοντες, τὴν τοῦ συνειδότος
οὐδέποτε δυνησόμεθα διαφυγεῖν ἐπιτίμησιν. κἂν ταύτην ἀτιμάσωμεν καὶ διακρουσώμεθα,
τὴν παρὰ τῶν πολλῶν ὑπόληψιν δεδοικότες ἀμείνους ἐσόμεθα. κἂν πρὸς ταύτην
ἀναισχυντήσωμεν, ὁ τῶν νόμων "ἐπικείμενος φόβος καὶ ἄκοντας ἡμᾶς σωφρονίσαι δυνήσεται.
καὶ νέους μὲν ὄντας διδάσκαλοι καὶ πατέρες, αὐξηθέντας δὲ οἱ νομοθέται καὶ ἄρχοντες παραλαβόντες
ῥυθμίζουσιν. οἵ τε οἰκέται, ἅτε ῥαθυμότερον διακείμενοι, μετὰ τῶν εἰρημένων καὶ
τὴν παρὰ τῶν δεσποτῶν ἀνάγκην εἰς σωφροσύνην ἔχουσι, καὶ αἱ γυναῖκες τοὺς ἄνδρας.
καὶ πολλὰ πανταχόθεν ἡμῶν τῷ γένει τὰ τειχία πρὸς τὸ μὴ ῥᾳδίως εἰς κακίαν ἐξολισθῆσαι
καὶ καταπεσεῖν. πρὸς δὲ τούτοις ἅπασι καὶ νόσοι καὶ περιστάσεις πραγμάτων ἡμᾶς
παιδεύουσι. καὶ γὰρ καὶ πενία κατέχει, καὶ ζημία σωφρονίζει, καὶ κίνδυνος καταστέλλει, καὶ
πολλὰ ἕτερα τοιαῦτα. οὐ φοβεῖ σε πατήρ, οὐδὲ διδάσκαλος, οὐκ ἄρχων, οὐ νομοθέτης,
οὐ δικαστής; οὐκ ἐντρέπει σε φίλος; οὐ δάκνει σε ἐχθρός; οὐ σωφρονίζει δεσπότης; οὐ διδάσκει
ἀνήρ; οὐ διορθοῦταί σε τὸ συνειδός; ἀλλ' ἀρρωστία πολλάκις ἐπελθοῦσα σωματικὴ τὸ
πᾶν κατώρθωσε, καὶ ζημία δὲ τὸν θρασύτερον ἐπιεικέστερον ἐποίησε. καὶ τὸ δὴ μεῖζον, ὅτι
οὐχ ἡμῖν μόνον, ἀλλὰ καὶ ἑτέροις συμπίπτοντα τὰ δεινὰ, μεγάλα ἡμᾶς ὠφελεῖν εἴωθε· καὶ
αὐτοὶ μὲν μηδέν τι παθόντες, ἑτέρους δὲ κολαζομένους ἰδόντες, οὐκ ἔλαττον ἐκείνων ἐσωφρονίσθημεν.

Καὶ τοῦτο καὶ ἐπὶ τῶν κατορθωμάτων συμβαῖνον ἴδοι τις ἄν. ὥσπερ γὰρ κολαζομένων τῶν
πονηρῶν ἕτεροι βελτίους γίνονται, οὕτω τῶν ἀγαθῶν τι κατορθούντων πολλοὶ "πρὸς τὸν ἴσον
ἐνάγονται ζῆλον· ὃ δὴ καὶ ἐπὶ τῆς τῶν ὅρκων "διορθώσεως γέγονε. πολλοὶ γὰρ ἑτέρους ἰδόντες
τὴν πονηρὰν ἀποθεμένους τῶν ὅρκων συνήθειαν, ἐμιμήσαντο τὴν σπουδὴν, καὶ περιεγένοντο
τῆς ἁμαρτίας. διὸ καὶ ἡμεῖς προθυμότερον τῆς αὐτῆς ἁπτόμεθα πάλιν παραινέσεως.
μὴ γάρ μοι λεγέτω τις, ὅτι πολλοὶ κατώρθωσαν. οὐ τοῦτο ἐστὶ τὸ ζητούμενον, ἀλλ' ἵνα πάντες.
Ματθ. ιη. ἕως δ' ἂν μὴ τοῦτο ἴδω, οὐ δύναμαι "ἀναπνεῦσαι. ὁ ποιμὴν ἐκεῖνος ἑκατὸν πρόβατα
εἶχε, καὶ ἑνὸς πλανηθέντος οὐκ ἐλάμβανεν αἴσθησιν τῆς σωτηρίας τῶν ἐνενήκοντα ἐννέα, ἕως ἂν
τὸ ἀπολωλὸς εὗρε, καὶ τῇ ποίμνῃ πάλιν ἀπέδωκεν. οὐχ ὁρᾷς καὶ ἐπὶ τοῦ σώματος τοῦτο γινόμενον;

νον; ἐὰν γὰρ τὸν ὄνυχα μόνον προσπταίσαντες ″ἀναστρέψωμεν, ὅλον τῷ μέλει συναλγεῖ τὸ σῶμα. μὴ τοίνυν τοῦτο εἴπῃς, ὡς ὀλίγοι τινὲς ὑπελείφθησαν τῶν μὴ κατωρθωκότων· ἀλλ' ἐκεῖνο σκόπει, ὅτι οὗτοι οἱ ὀλίγοι μὴ διορθωθέντες, πολλοὺς διαφθείρουσιν ἑτέρους. καὶ γὰρ εἷς ἦν ὁ πεπορνευκὼς παρὰ Κορινθίοις· καὶ ὅμως οὕτως ἔστενεν ὁ Παῦλος, ὡς ὅλης τῆς πόλεως ἀπολωλυίας· καὶ μάλα εἰκότως. ᾔδει γάρ, ὅτι, μὴ σωφρονισθέντος ἐκείνου, ταχέως τὸ νόσημα βαδίζον ὁδῷ καὶ τοὺς ἄλλους ἐπιδραμεῖται πάντας. Εἶδον πρῴην ἐν τῷ δικαστηρίῳ δεδεμένους καὶ ἀπαγομένους διὰ μέσης τῆς ἀγορᾶς τοὺς περιφανεῖς ἐκείνους ἄνδρας· καί τινων θαυμαζόντων διὰ τὴν ὑπερβολὴν τῆς ὕβρεως, οὐδὲν χρὴ θαυμάζειν, ἕτεροι ἔλεγον· ἔνθα γὰρ ἂν ᾖ ἡ καθοσίωσις, ἀξίωμα οὐδὲν ὠφελεῖ. * ταῦτ' οὖν ἐννοοῦντες, διαναστήσωμεν ἑαυτούς. ἐὰν γὰρ μὴ τὴν παρ' ὑμῶν σπουδὴν ὑμεῖς εἰσενέγκητε, περιττὰ τὰ παρ' ἡμῶν ἅπαντα. τί δήποτε; ὅτι οὐχ ὥσπερ αἱ λοιπαὶ τέχναι, οὕτω καὶ ἡ διδασκαλική ἐστι δύναμις. ὁ μὲν γὰρ ἀργυροκόπος, οἷον ἂν χαλκεύσῃ τὸ σκεῦος καὶ ἀποθῆται, τοιοῦτον ἐλθὼν τῇ ἐπιούσῃ πάλιν εὑρήσει. καὶ ὁ χαλκοτύπος, καὶ ὁ λιθοξόος, καὶ τῶν δημιουργῶν ἕκαστος, οἷον ἐὰν ἀφῇ τὸ οἰκεῖον ἔργον, τοιοῦτον ἀπολήψεται πάλιν. ἐπὶ δὲ ἡμῶν οὐχ οὕτως, ἀλλὰ τοὐναντίον ἅπαν. οὐ γὰρ ἄψυχα σκεύη, ἀλλὰ ψυχὰς χαλκεύομεν λογικάς. διὰ τοῦτο οὐ τοιούτους ὑμᾶς εὑρίσκομεν, οἵους καταλιμπάνομεν· ἀλλ' ἐπειδὰν λαβόντες μετὰ πολλοῦ καμάτου διαπλάσωμεν, διορθώσωμεν, θερμοτέρους ἐργασώμεθα, ἐξελθόντας ὑμᾶς ἡ τῶν πραγμάτων περίστασις πανταχόθεν περιστοιχιζομένη διαστρέφει πάλιν, καὶ πλείονα παρέχει τὴν δυσκολίαν ἡμῖν. διὰ τοῦτο δέομαι καὶ ἀντιβολῶ, χεῖρα ὀρέξατε· καὶ ὅσην ἐνταῦθα ἐγὼ ποιοῦμαι τὴν σπουδὴν περὶ τὴν διόρθωσιν τὴν ὑμετέραν, τοσαύτην ἀπελθόντες ἐντεῦθεν καὶ αὐτοὶ ἐπιδείκνυσθε περὶ τὴν σωτηρίαν τὴν ὑμετέραν φροντίδα. Εἴθε μὲν γὰρ δυνατὸν ἦν ὑπὲρ ὑμῶν ἐμὲ κατορθοῦν, καὶ ἔπαθλα ὑμᾶς λαμβάνειν τῶν κατορθωμάτων· καὶ οὐκ ἂν τοσοῦτον ἠνώχλησα. ἀλλὰ τί πάθω; τοῦτο ἀμήχανον. ἑκάστῳ γὰρ κατὰ τὰ ἔργα αὐτοῦ ἀποδώσει. ὥσπερ οὖν μήτηρ ὁρῶσα τὸ παιδίον ″πυρέττον, περιεστῶσα ἀγχομένῳ καὶ καιομένῳ, θρηνοῦσα πολλάκις εἶπε πρὸς τὸ νοσοῦν παιδίον· εἴθε μοι δυνατὸν ἦν, τέκνον, τὸν πυρετὸν ἀναδέξασθαι τὸν σόν, καὶ ἐπ' ἐμαυτὴν ἑλκῦσαι τὴν φλόγα· οὕτω δὴ καὶ ἐγὼ λέγω νῦν· εἴθε δυνατὸν ἦν ἐμὲ πονήσαντα, ὑπὲρ ὑμῶν κατορθῶσαι πάντων. ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν· ἀλλὰ τῶν αὐτῷ πραττομένων ἕκαστον ἀνάγκη δοῦναι τὰς εὐθύνας, καὶ οὐκ ἂν ἴδοι τις ἕτερον ὑπὲρ ἑτέρου κολαζόμενον. διὰ τοῦτο ὀδυνῶμαι καὶ θρηνῶ, ὅτι κατὰ τὴν ἡμέραν ὑμῖν ἐκείνην ἐγκαλουμένοις οὐ δυνήσομαι παραστῆναι. μάλιστα μὲν γὰρ οὐδὲ παρρησία μοι πρὸς τὸν Θεόν ἐστι τοσαύτη. εἰ δὲ καὶ παρρησίαν εἶχον, οὐκ εἰμὶ Μωϋσέως ἁγιώτερος, οὐδὲ Σαμουὴλ δικαιότερος, οὓς ἐπὶ τοσοῦτον ἀρετῆς ἥκοντας οὐκ ″ἔφη δύνασθαί τι τοὺς Ἰουδαίους ″ὠφελῆσαι, διὰ τὸ πολλῇ ῥαθυμίᾳ αὐτοὺς ἐκείνους ἐκδοθῆναι. ἐπεὶ οὖν ἀπὸ τῶν οἰκείων ἔργων κολαζόμεθα καὶ σωζόμεθα, σπουδάσωμεν, παρακαλῶ, μετὰ τῶν ″ἄλλων ἁπάντων καὶ ταύτην ἐκπληρῶσαι τὴν ἐντολήν· ἵνα μετὰ χρηστῆς ἐλπίδος ἐντεῦθεν ἀπελθόντες, τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ιερ. ιε. α.

″ΤΟΥ ΔΗΜΟΥ ΠΑΝΤΟΣ ΑΦΕΘΕΝΤΟΣ ΤΗΣ ΑΓΩΝΙΑΣ

καὶ θαρσήσαντος, τινὲς πάλιν τὴν πόλιν ἐτάραξαν φήμαις φοβεραῖς, καὶ ἠλέγχθησαν. εἰς τοῦτο γοῦν ἡ ὁμιλία εἴρηται, καὶ εἰς τὴν περὶ τῶν ὅρκων παραίνεσιν. διὸ καὶ ἡ κατὰ τὸν Ἰωνάθαν καὶ τὸν Σαοὺλ ἱστορία καὶ τὸν Ἰεφθάε παρήχθη, καὶ ἐδείχθη πόσαι ἐξ ἑνὸς ὅρκου γίνονται ἐπιορκίαι. Λογ. ιδ.

Ψαλ. λθ ιθ.

Οὐχ ὡς ἔτυχε τὴν πόλιν ἡμῶν ὁ διάβολος χθὲς ἐθορύβησεν· ἀλλὰ καὶ ὁ Θεὸς ἡμᾶς οὐχ ὡς ἔτυχε παρεκάλεσε πάλιν. ὥστε καὶ ἡμῶν ἕκαστον εὐκαίρως εἰπεῖν ἐκεῖνο τὸ προφητικόν· Κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου αἱ παρακλήσεις σου εὔφρανάν τὴν ψυχήν μου. οὐ τῷ παρακαλέσαι δὲ μόνον, ἀλλὰ καὶ τῷ συγχωρῆσαι θορυβηθῆναι, τὴν κηδεμονίαν ἡμῖν ὁ Θεὸς ἐπεδείξατο τὴν ἑαυτοῦ. ὅπερ γὰρ λέγων οὐδέποτε ἐπαυσάμην, τοῦτο καὶ τήμερον ἐρῶ· ὅτι οὐχ ἡ ἀπαλλαγὴ τῶν δεινῶν, ἀλλὰ καὶ ἡ συγχώρησις τούτων ἀπὸ τῆς εὐνοίας γίνεται τοῦ Θεοῦ. ὅταν γὰρ ἴδῃ πρὸς ῥαθυμίαν ἡμᾶς ἐκκλίνοντας, καὶ τῆς πρὸς αὐτὸν οἰκειώσεως ἀποπηδῶντας, καὶ τῶν πνευματικῶν οὐδένα ποιουμένους λόγον, ἐγκαταλιμπάνει μικρόν, ἵνα ταύτῃ σωφρονισθέντες σπουδαιότερον πρὸς αὐτὸν ἐπανέλθωμεν. καὶ τί θαυμάζεις, εἰ ἐφ' ἡμῶν τῶν ῥαθύμων τοῦτο ποιεῖ, ὅπου γε καὶ Παῦλος καὶ ὑπὲρ αὐτοῦ καὶ τῶν αὐτοῦ μαθητῶν ταύτην ἔλεγεν αἰτίαν εἶναι τῶν πειρασμῶν; Κορινθίοις γὰρ ἐπιστέλλων τὴν δευτέραν ἐπιστολήν, οὕτω πως φησίν· Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὑπὲρ τῆς θλίψεως τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ, ὅτι καθ' ὑπερβολὴν ἐβαρήθημεν ὑπὲρ δύναμιν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν· ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὕτω μεγάλοι, φησίν, ἡμῖν ἐπηωρήθησαν κίνδυνοι, ὡς ἀπαγορεῦσαι τοῦ ζῆν, καὶ μηκέτι λοιπὸν ἐλπίσαι χρηστήν τινα ἔσεσθαι μεταβολήν, ἀλλ' ἢ θάνατον ἀναμένειν πάντως. τοῦτο γάρ ἐστι τό, αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν. ἀλλ' ὅμως μετὰ τὴν τοσαύτην ἀπόγνωσιν ἔλυσεν ὁ Θεὸς τὸν χειμῶνα, καὶ τὸ νέφος παρήνεγκε, καὶ ἐξ αὐτῶν τοῦ θανάτου τῶν πυλῶν ἡμᾶς ἥρπασεν. Εἶτα δεικνύς, ὅτι καὶ τὸ συγχωρῆσαι μέχρι τοσούτου κατενεχθῆναι, κηδεμονίας ἦν πολλῆς τὸ γινόμενον, ἀπὸ τῶν πειρασμῶν διηγεῖται τὸ κέρδος. τοῦτο δὲ ἦν, τὸ συνεχῶς πρὸς αὐτὸν βλέπειν, ἀλλὰ μὴ μεγαφρονεῖν, μηδὲ ἐπαίρεσθαι. διὰ τοῦτο εἰπών, ὅτι αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, καὶ τὴν αἰτίαν ἐπήγαγε. τίς δέ ἐστιν αὕτη; ἵνα μὴ πεποιθότες ὦμεν, φησίν, ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ ζωοποιοῦντι τοὺς νεκρούς. νυστάζοντας γὰρ ἡμᾶς καὶ καταπίπτοντας ἀφυπνίζειν εἴωθε τῶν πειρασμῶν ἡ φύσις, καὶ διεγείρειν, καὶ εὐλαβεστέρους ποιεῖν. ὅταν οὖν ἴδῃς, ἀγαπητέ, πειρασμὸν νῦν μὲν σβεσθέντα, νῦν δὲ ἐγερθέντα πάλιν, μὴ καταπέσῃς, μηδὲ ἀπαγορεύσῃς· ἀλλὰ χρηστὰς ἔχε τὰς ἐλπίδας, ἐκεῖνο πρὸς ἑαυτὸν λογιζόμενος, ὅτι οὐχὶ μισῶν, οὐδὲ ἀποστρεφόμενος ἡμᾶς ὁ Θεὸς παραδίδωσι ταῖς χερσὶ τῶν ἐχθρῶν, ἀλλὰ σπουδαιοτέρους καὶ οἰκειοτέρους αὐτῷ κατασκευάσαι βουλόμενος. μὴ τοίνυν ἀπαγορεύσωμεν, μηδὲ τὴν ἐπὶ τὸ βέλτιον ἀπογνῶμεν μεταβολήν, ἀλλὰ ταχίστην προσδοκῶμεν ἔσεσθαι γαλήνην· καὶ τὸ τέλος ἁπάντων τῶν κατεχόντων ἡμᾶς θορύβων ῥίψαντες ἐπὶ τὸν Θεόν, μένωμεν ὑπὲρ πάντων εὐχαριστοῦντες. καὶ τοῦτο μὲν αὐτοὶ ποιοῦντες μηδέποτε ἀποστῆτε, ἐγὼ δὲ τῶν συνήθων ἅψομαι πάλιν, καὶ τὴν εἰωθυῖαν διδασκαλίαν εἰς μέσον ἀγάγω. πάλιν γὰρ ὑμῖν περὶ τῆς αὐτῆς ὑποθέσεως διαλεχθῆναι βούλομαι, ὥστε πρόρριζον ἀπὸ τῆς διανοίας ὑμῶν ἀνασπάσαι τὴν πονηρὰν τῶν ὅρκων συνήθειαν. διόπερ ἀνάγκη πάλιν ἐπὶ τὴν αὐτὴν καταφυγεῖν ἱκετηρίαν. καὶ γὰρ παρεκάλεσα πρῴην ὑμᾶς τὴν κεφαλὴν Ἰωάννου λαβόντας ἀποτετμημένην, καὶ θερμοῦ τοῦ αἵματος ἔτι ἀποστάζουσαν, οὕτως ἀπελθεῖν οἴκαδε ἕκαστον, καὶ νομίζειν πρὸ τῶν ὀφθαλμῶν ὁρᾶν αὐτὴν φωνὴν ἀφιεῖσαν καὶ λέγουσαν· μισήσατέ μου τὸν σφαγέα, τὸν ὅρκον. ὅπερ ἔλεγχος οὐκ ἐποίησε, τοῦτο ὅρκος ἐποίησεν· ὅπερ θυμὸς τυραννικὸς οὐκ ἴσχυσε, τοῦτο εὐορκίας ἀνάγκη παρεσκεύασε. καὶ ὅτε μὲν ἠλέγχετο δημοσίᾳ πάντων ἀκουόντων, ἤνεγκε γενναίως τὴν ἐπιτίμησιν ὁ τύραννος· ὅτε δὲ εἰς ὅρκων ἀνάγκην ἑαυτὸν ἐνέβαλε, τότε τὴν μακαρίαν ἐκείνην ἀπέτεμε κεφαλήν. τὸ αὐτὸ δὴ τοῦτο

β. Κορ. α η.

καὶ νῦν παρακαλῶ, καὶ παρακαλῶν οὐ παύομαι· ὥστε, ὅταν περ ἂν ἀπίωμεν, ταύτην βαστάζοντας τὴν κεφαλὴν ἀπιέναι, καὶ πᾶσιν αὐτὴν ἐπιδεικνύναι βοῶσαν, καὶ τῶν ὅρκων κατηγοροῦσαν. κἂν γὰρ σφόδρα ὦσιν ῥάθυμοι, κἂν ὀλίγωροι, τοὺς ὀφθαλμοὺς τῆς κεφαλῆς ἐκείνης ἰδόντες φοβεροὺς εἰς ἡμᾶς βλέποντας καὶ ἀπειλοῦντας ὀμνύουσι, χαλινοῦ παντὸς δυνατώτερον τῷ φόβῳ τούτῳ σωφρονισθέντες, ἄγχειν τε ἀποστρέφειν δυνησόμεθα ῥᾳδίως τὴν γλῶτταν ἀπὸ τῆς ἐπὶ τοὺς ὅρκους ὁρμῆς. οὐδὲ γὰρ τοῦτο μόνον τὸ δεινὸν ἔχει ὁ ὅρκος, ὅτι καὶ παραβαινόμενος καὶ φυλαττόμενος κολάζει τοὺς ἁλισκομένους (ὅπερ * οὐδενὶ τῶν ἄλλων ἁμαρτημάτων συμβαῖνον ἴδοι τις ἂν) ἀλλὰ καὶ ἕτερον οὐκ ἔλαττον τούτου κακόν. τί δὲ τοῦτό ἐστι; τὸ μηδὲ βουλομένοις, μηδὲ σπουδάζουσι δυνατὸν εἶναι εὐορκῆσαι πολλάκις. πρῶτον μὲν γὰρ ὁ διηνεκῶς ὀμνὺς, καὶ ἑκὼν καὶ ἄκων, καὶ ἀγνοῶν καὶ εἰδὼς, τε σπουδάζων καὶ παίζων, καὶ ὑπὸ θυμοῦ πολλάκις ἐκφερόμενος καὶ ὑπὸ ἑτέρων πολλῶν, ἐπιορκήσει πάντως. καὶ πρὸς ταῦτα οὐδεὶς ἀντερεῖ. οὕτως ἐστὶν ὡμολογημένον καὶ δῆλον, ὅτι τὸν πολύορκον ἀνάγκη καὶ ἐπίορκον εἶναι. δεύτερον δὲ, ὅτι κἂν μὴ συναρπασθεὶς, μηδὲ ἄκων, μηδὲ ἀγνοῶν τοῦτο πάθῃ, ὑπ' αὐτῆς τοῦ πράγματος τῆς φύσεως καὶ ἑκὼν καὶ εἰδὼς ἀναγκασθήσεται ἐπιορκῆσαι πάντως. πολλάκις γοῦν ἐπὶ τῆς οἰκίας ἀριστοποιουμένων ἡμῶν, καὶ τῶν οἰκετῶν τινος διαμαρτόντος, ὤμοσε μαστιγώσειν ἡ γυνή· εἶτα ἀντώμοσεν ὁ ἀνὴρ τὰ ἐναντία, καὶ ἀντέστη φιλονεικῶν, καὶ οὐκ ἐπιτρέπων. ἐνταῦθα κἂν ὅ, τι ἂν ποιήσωσιν, ἀνάγκη πάντως ἐπιορκίαν συμβῆναι. οὐδὲ γὰρ βουλομένοις αὐτοῖς, οὐδὲ σπουδάζουσι φυλάξαι δυνατὸν τὸν ὅρκον λοιπόν, ἀλλ' ὅπερ ἂν γένηται, θάτερος αὐτῶν ἐπιορκίᾳ ἁλώσεται, μᾶλλον δὲ ἀμφότεροι πάντως. καὶ πῶς, ἐγὼ λέγω. τοῦτο γάρ ἐστι τὸ παράδοξον. ὁ ὀμόσας μαστιγώσειν τὸν οἰκέτην, ἢ τὴν θεραπαινίδα, εἶτα κωλυθεὶς, αὐτός τε ἐπιώρκησε, μὴ ποιήσας ὅπερ ὤμοσε, καὶ τῷ κωλύσαντι πάλιν τε διακόψαντι τὴν εὐορκίαν τὸ ἔγκλημα τῆς ἐπιορκίας περιέστησεν. οὐ γὰρ οἱ ἐπιορκοῦντες μόνον, ἀλλὰ καὶ οἱ ἑτέροις τὴν ἀνάγκην ταύτην ἐφιστῶντες, ὑπεύθυνοι τῶν αὐτῶν ἐγκλημάτων εἰσί. οὐκ ἐν οἰκίαις δὲ μόνον, ἀλλὰ καὶ ἐν ταῖς ἀγοραῖς ἴδοι τις ἂν τοῦτο γινόμενον, τε ἐν ταῖς μάχαις, μάλιστα ὅταν πρὸς ἀλλήλους πυκτεύοντες ἀντομνύωσιν, ὁ μὲν τυπτήσειν, ὁ δὲ μὴ τυπτηθήσεσθαι· ὁ μὲν ἀφαιρήσειν τὸ ἱμάτιον, ὁ δὲ οὐκ ἐπιτρέψειν· ὁ μὲν ἀπαιτήσειν τὸ ἀργύριον, ὁ δὲ οὐκ ἀποδώσειν. καὶ πολλὰ δὲ ἕτερα ἐναντία τοιαῦτα φιλονεικοῦντες ὀμνύουσι. καὶ ἐν ἐργαστηρίοις δὲ καὶ διδασκαλείοις ἴδοι τις ἂν τοῦτο συμβαῖνον· πολλάκις γοῦν τεχνίτης διωμόσατο τῷ μαθητῇ μὴ πρότερον αὐτὸν ἀφήσειν φαγεῖν ἢ καὶ πιεῖν, ἕως ἂν τὸ δοθὲν ἔργον ἅπαν ἀνύσῃ. τοῦτο δὲ καὶ παιδαγωγὸς πολλάκις πρὸς νέον, καὶ πρὸς θεράπαιναν ἐποίησε δέσποινα. καὶ ἀνάγκη, τῆς ἑσπέρας καταλαβούσης, καὶ τοῦ ἔργου μὴ πληρωθέντος, ἢ λιμῷ διαφθαρῆναι τοὺς οὐκ ἀνύσαντας, ἢ ἐπιορκῆσαι τοὺς ὀμόσαντας πάντως. ὁ γὰρ πονηρὸς δαίμων ἐκεῖνος, ὁ τοῖς ἀγαθοῖς ἐφεδρεύων ἀεὶ τοῖς ἡμετέροις, παρεστὼς καὶ ἀκούων τῆς ἀνάγκης τῶν ὅρκων, εἰς ῥαθυμίαν τοὺς ὑπευθύνους ἐμβάλλει, ἢ ἑτέραν δυσκολίαν ἐργάζεται, ὥστε μὴ πληρωθέντος τοῦ ἔργου καὶ πληγάς τε ὕβρεις καὶ ἐπιορκίας καὶ μυρία ἕτερα γενέσθαι δεινά. καθάπερ γὰρ παῖδες σχοινίον μακρὸν καὶ διεφθαρμένον ἕλκοντες ἀπεναντίας ἀλλήλων μετὰ πολλῆς τῆς ῥύμης ὕπτιοι πάντες πίπτουσι, τοῦ σχοινίου μέσον διαρραγέντος, καὶ οἱ μὲν τὰς κεφαλὰς, οἱ δὲ ἕτερόν τι τοῦ σώματος τιτρώσκονται μέρος· οὕτω δὴ καὶ οἱ ἀντομνύοντες ἀλλήλοις ἀπεναντίας, τοῦ ὅρκου διαρραγέντος ὑπὸ τῆς τῶν πραγμάτων ἀνάγκης, εἰς τὸ τῆς ἐπιορκίας ἀμφότεροι καταπίπτουσι βάραθρον, οἱ μὲν αὐτῷ τῷ ἐπιορκεῖν, οἱ δὲ τῷ τὴν αἰτίαν τῆς ἐπιορκίας παρασχεῖν ἑτέροις.

Καὶ ἵνα μὴ τοῦτο μόνον ἀπὸ τῶν ἐν ταῖς οἰκίαις καὶ τῶν ἐν ταῖς ἀγοραῖς καθ' ἑκάστην ἡμέραν γινομένων μόνον, ἀλλὰ καὶ ἀπ' αὐτῶν τῶν γραφῶν γένηται δῆλον, ἱστορίαν ὑμῖν τινα παλαιὰν διηγήσομαι τοῖς εἰρημένοις συμβαίνουσαν. ἐπελθόντων ποτὲ τῶν πολεμίων τοῖς Ἰουδαί- α Βασ ιδ. κδ.

οις, καὶ τοῦ Ἰωνάθαν (υἱὸς δὲ οὗτος ἦν τοῦ Σαοὺλ) τοὺς μὲν κατακόψαντος, τοὺς δὲ εἰς φυγὴν ἐμβαλόντος, βουλόμενος ὁ Σαοὺλ ὁ τούτου πατὴρ μειζόνως κατὰ τῶν ὑπολειφθέντων τὸ στρατόπεδον διεγεῖραι, καὶ ποιῆσαι μὴ πρότερον ἀποστῆναι, ἕως ἂν πάντας χειρώσωνται, τοὐναντίον ἤπερ ἠθέλησεν ἔπραξεν, ὀμόσας ἕως ἑσπέρας μηδένα φαγεῖν ἄρτον, ἕως ἐκδικήσεως τῶν ἐχθρῶν αὐτοῦ. ἆρα τί τούτου γένοιτ' ἂν ἀνοητότερον; πεπονηκότας γὰρ καὶ "κάματον πολὺν ὑπομείναντας στρατιώτας ὀφείλων διαναπαῦσαι, καὶ νεαρωτέρους ἐπαφεῖναι τοῖς πολεμίοις, τῶν πολεμίων αὐτῶν χαλεπώτερον κατειργάσατο, διὰ τῆς ἀνάγκης τοῦ ὅρκου λιμῷ παραδοὺς αὐτοὺς χαλεπωτάτῳ. σφαλερὸν μὲν οὖν τὸ καὶ περὶ ἑαυτοῦ τινα ὀμνύναι (πολλὰ γὰρ ὑπὸ τῆς τῶν πραγμάτων περιστάσεως βιαζόμεθα) τὸ δὲ καὶ τὴν ἑτέρων γνώμην τῇ τῶν οἰκείων ὅρκων ἀνάγκῃ καταδῆσαι πολλῷ σφαλερώτερον· καὶ μάλιστα, ὅταν μὴ περὶ ἑνὸς καὶ δύο καὶ τριῶν, ἀλλὰ περὶ πλήθους ἀπείρου τις ὀμνύῃ· ὅπερ Σαοὺλ τότε ἐποίησεν ἀπερισκέπτως· καὶ οὔτε, ὅτι εἰκὸς ἦν ἐν οὕτως ἀπείρῳ δήμῳ ἕνα γοῦν ἴσως παραβῆναι τὸν ὅρκον, ἐνενόησεν, οὔτε ὅτι στρατιῶται, καὶ στρατιῶται "πολεμοῦντες καὶ πολὺ φιλοσοφίας ἀφεστηκότες, γαστρὸς κρατεῖν οὐκ ἐπίστανται, καὶ μάλιστα, ὅταν πολὺς ὁ κάματος ᾖ. ἀλλὰ πάντα ταῦτα παριδὼν ἐκεῖνος, ὡς περὶ ἑνὸς οἰκέτου μόνου ὀμνὺς, ὃν εὐκόλως ἠδύνατο κατασχεῖν, οὕτω περὶ παντὸς ἐλογίσατο τοῦ στρατοπέδου. διά τοι τοῦτο τοσαύτην ἤνοιξε τῷ διαβόλῳ θύραν, ὡς μὴ μόνον δύο "καὶ τρεῖς" καὶ τέτταρας, ἀλλὰ* πολλῷ πλείους ἀπὸ τοῦ ὅρκου τούτου ἐν βραχεῖ καιρῷ πλέξαι ἐπιορκίας. ὥσπερ γὰρ ὅταν μηδ' ὅλως ὀμόσωμεν, ἅπασαν αὐτῷ τὴν εἴσοδον ἀποφράττομεν, οὕτως ἂν ἕνα ὅρκον "προώμεθα μόνον, πολλὴν αὐτῷ παρέχομεν ἐξουσίαν συνθεῖναι μυρίας ἐπιορκίας. καὶ καθάπερ οἱ τὰς σειρὰς πλέκοντες, ἂν μὲν ἔχωσι τὸν κατέχοντα αὐτοῖς τὴν ἀρχὴν μετὰ ἀκριβείας, ἅπασαν ἐργάζονται τὴν πλοκήν· ἂν δὲ μηδεὶς ὁ τοῦτο ποιῶν ᾖ, οὐδὲ ἐπιχειρῆσαι δύναιντ' ἂν τὴν ἀρχήν· τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ διάβολος τὰς σειρὰς τῶν ἁμαρτημάτων ἡμῶν πλέκων, ἂν μὴ λάβῃ τὴν ἀρχὴν ἀπὸ τῆς γλώττης τῆς ἡμετέρας, οὐδὲ ἐπιχειρῆσαι δύναιτ' ἄν· ἂν δὲ ἀρχὴν ποιησώμεθα μόνον, ὥσπερ χειρὶ, τῇ γλώττῃ, τὸν ὅρκον ἡμῶν κατεχόντων, μετὰ πολλῆς λοιπὸν τῆς ἀδείας τὴν πονηρὰν αὐτοῦ τέχνην ἐπιδείκνυται, ἐξ ἑνὸς ὅρκου μυρίας συντιθεὶς καὶ πλέκων ἐπιορκίας. ὃ δὴ καὶ νῦν ἐπὶ τοῦ Σαοὺλ ἐποίησεν" οὗτος. ὅρα γοῦν εὐθέως, οἵα γέγονε τῷ ὅρκῳ τούτῳ παγίς. α Βασ. ιδ. κθ. Δρυμὸν παρῄει τὸ στρατόπεδον μελισσῶνα ἔχοντα, καὶ ὁ μελισσὼν κατὰ πρόσωπον "ἀγροῦ· καὶ εἰσῆλθεν ὁ λαὸς εἰς τὸν μελισσῶνα, καὶ διεπορεύετο λαλῶν. Εἶδες οἷον τὸ βάραθρον; τράπεζα ἐσχεδιασμένη, ἵνα καὶ τὸ εὔκολον τῆς ἐπιχειρήσεως, καὶ τὸ ἡδὺ τῆς τροφῆς, καὶ ἡ τοῦ λήσεσθαι ἐλπὶς εἰς τὴν παράβασιν αὐτοὺς "προκαλέσηται τῶν ὅρκων. ὅτε γὰρ λιμὸς, ὅτε κάματος, καὶ ὁ καιρὸς (πᾶσα γὰρ ἡ γῆ, φησιν, ἠρίστα) τότε ὤθουν ἐπὶ τὴν παρανομίαν. καὶ ἡ τῶν κηρίων δὲ ὄψις ἔξωθεν αὐτοὺς "προεκαλεῖτο ἐκλύουσα τὴν εὐτονίαν. τό τε γὰρ ἡδὺ καὶ "ἐμπαράσκευον τῆς τραπέζης, καὶ τὸ δυσφώρατον τῆς κλοπῆς ἱκανὰ πᾶσαν ἦν δελεάσαι τὴν φιλοσοφίαν. Εἰ μὲν γὰρ κρέα ἦν, ἅπερ ἑψεῖν καὶ ὀπτᾶν ἔδει, οὐκ ἂν οὕτως αὐτῶν ἐγοήτευσε τὴν ψυχὴν, ἐν τῷ μαγειρεύειν αὐτὰ καὶ πρὸς τροφὴν "παρασκευάζειν μελλόντων καὶ βραδυνόντων, καὶ "προσδοκώντων ἁλώσεσθαι. νυνὶ δὲ οὐδὲν τοιοῦτον ἦν, ἀλλὰ μέλι μόνον, ἔνθα πραγματείας μὲν οὐδεμιᾶς ἔδει τοιαύτης· ἤρκει δὲ ἄκρῳ τῷ δακτύλῳ βάψαντα μετασχεῖν τῆς τραπέζης καὶ λαθεῖν. ἀλλ' ὅμως ἐκεῖνοι κατεῖχον τῆς ἐπιθυμίας, καὶ οὐκ εἶπον πρὸς ἑαυτούς· τί δὲ ἡμῖν μέλει; μὴ γὰρ δὴ ἡμῶν τις διωμόσατο τοῦτο; ἐκεῖνος δώσει δίκην τῶν ἀπερισκέπτων ὅρκων. τίνος γὰρ ἕνεκεν ὤμνυ; ἀλλ' οὐδὲν τούτων ἐνενόησαν· ἀλλὰ μετὰ πολλῆς τῆς εὐλαβείας παρῄεσαν, καὶ τοσούτων ὄντων τῶν δελεαζόντων αὐτοὺς ἐφιλοσόφουν. α. Βασ. ιδ. κε. Καὶ διεπορεύετο ὁ λαὸς λαλῶν. τί ἐστι, διεπορεύετο ὁ λαὸς λαλῶν; τὴν ὀδύνην διὰ τῶν ῥημάτων παραμυθούμενοι διελέγοντο πρὸς ἀλλήλους.

γρ. καταπόνους

γρ. πολεμοῦντες πολὺ φιλοσοφίας ἀφεστηκότες καὶ γαστρὸς κρατ.

γρ. ἢ

γρ. ἢ

* καὶ

γρ. προθῶ

γρ. ὅπως

γρ. τοῦ λαοῦ.

γρ. προσκα.

γρ. προσεκ.

γρ. εὐπ.

γρ. ἐπιμε

γρ. παραδ

ἀλλήλους. τί οὖν; ἐπειδὴ ὁ λαὸς ἐφιλοσόφησεν ἅπας, ἆρα οὐδὲν ἐγένετο πλέον, ἀλλὰ ἐφυλάχθη ὁ ὅρκος; οὐδὲ οὕτω μὲν οὖν ἐφυλάχθη, ἀλλὰ [καὶ] παρεβάθη. πῶς δέ, καὶ τίνι τρόπῳ, αὐτίκα ἀκούσεσθε, ἵνα καὶ τὴν τοῦ διαβόλου τέχνην καταμάθητε πᾶσαν. ὁ γὰρ Ἰωνάθαν οὐκ ἀκούσας ἐν τῷ ὁρκίζειν τὸν πατέρα αὐτοῦ, ἐξέτεινε τὸ ἄκρον τοῦ σκήπτρου τοῦ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἐβάπτισεν εἰς τὸ κηρίον τοῦ μέλιτος, καὶ ἐπέστρεψε τὴν χεῖρα αὐτοῦ ἐν τῷ στόματι αὐτοῦ, καὶ ἀνέβλεψαν οἱ ὀφθαλμοὶ αὐτοῦ. ὅρα τίνα πρὸς τὴν ἐπιορκίαν ὤθησεν, οὐχ ἕνα τῶν στρατιωτῶν, ἀλλ' αὐτὸν τὸν υἱὸν τοῦ ὀμωμοκότος. οὐδὲ γὰρ ἐπιορκίαν ἐργάσασθαι ἐβούλετο μόνον, ἀλλὰ καὶ παιδοκτονίαν συνεπιθεῖναι, καὶ τοῦτο κατεσκεύαζε πόρρωθεν, καὶ τὴν φύσιν αὐτὴν καθ' ἑαυτῆς ὁπλίσαι ἠπείγετο, καὶ ὅπερ ἐπὶ τοῦ Ἰεφθάε ποτὲ ἐποίησε, τοῦτο καὶ μετὰ ταῦτα ποιήσειν ἤλπισε. καὶ γὰρ ἐκεῖνος ὑποσχόμενος τῷ Θεῷ τὸν πρῶτον ἀπαντήσοντα αὐτῷ μετὰ τὴν ἀπὸ τοῦ πολέμου νίκην κατασφάξειν, εἰς παιδοκτονίαν ἐνέπεσε. τὸ γὰρ θυγάτριον πρῶτον ἀπαντῆσαν αὐτῷ κατέθυσε, καὶ ὁ Θεὸς οὐκ ἐκώλυσε. καὶ οἶδα μέν, ὅτι πολλοὶ τῶν ἀπίστων ὠμότητα ἐγκαλοῦσιν ἡμῖν καὶ ἀπανθρωπίαν διὰ τὴν θυσίαν ταύτην· ἐγὼ δὲ πολλῆς κηδεμονίας καὶ φιλανθρωπίας δεῖγμα τὴν συγχώρησιν τὴν ἐπὶ τῇ θυσίᾳ ταύτῃ γεγενημένην εἴποιμι ἂν εἶναι· καὶ ὅτι τοῦ γένους ἡμῶν κηδόμενος οὐ διεκώλυσεν εὐθὺς τὴν σφαγήν, [ἀλλὰ μετὰ ταῦτα.] εἰ γὰρ μετὰ τὴν εὐχὴν ἐκείνην καὶ τὴν ὑπόσχεσιν τὴν θυσίαν ἐκώλυσε, πολλοὶ καὶ μετὰ τὸν Ἰεφθάε προσδοκῶντες μὴ δέξασθαι τὸν Θεόν, πολλὰς ἂν τοιαύτας ηὔξαντο εὐχάς, καὶ οὕτω προβαίνοντες εἰς παιδοκτονίαν ἐνέπεσον ἄν. νυνὶ δὲ ἀφεὶς αὐτὴν πληρωθῆναι ἔργῳ, τοὺς μετὰ ταῦτα πάντας ἐκώλυσε. καὶ ὅτι τοῦτο ἔστιν ἀληθές, μετὰ τὸ σφαγῆναι τὸ θυγάτριον τοῦ Ἰεφθάε, ὥστε ἀείμνηστον εἶναι τὴν συμφοράν, καὶ μὴ λήθῃ παραδοθῆναι τὸ πάθος, ἐγένετο νόμος παρὰ τοῖς Ἰουδαίοις, συνερχομένας τὰς παρθένους κατὰ τὸν καιρὸν ἐκεῖνον ἡμέρας τεσσαράκοντα πενθεῖν τὴν γεγενημένην σφαγήν· ἵνα τῷ θρήνῳ τῆς θυσίας τὴν μνήμην ἀνανεοῦντες, τοὺς μετὰ ταῦτα σωφρονεστέρους ποιῶσιν ἅπαντας, καὶ μάθωσιν, ὡς οὐ κατὰ γνώμην τῷ Θεῷ γενέσθαι τοῦτο. οὐδὲ γὰρ ἂν θρηνεῖν καὶ ὀδύρεσθαι τὰς παρθένους ἀφῆκε. καὶ ὅτι οὐ στοχασμὸς τὸ λεγόμενον, τὸ τέλος ἔδειξε. μετὰ γὰρ τὴν θυσίαν ἐκείνην οὐδεὶς τοιαύτην εὐχὴν ηὔξατο τῷ Θεῷ. διὰ τοῦτο ταύτην μὲν οὐκ ἐκώλυσεν· ἣν δὲ αὐτὸς ἐπέταξε, διεκώλυσε τὴν ἐπὶ τοῦ Ἰσαάκ, δι' ἀμφοτέρων δεικνύς, ὡς οὐ χαίρει ταῖς τοιαύταις θυσίαις. ἀλλ' ὁ πονηρὸς δαίμων ἐφιλονείκει καὶ νῦν τοιαύτην τραγῳδίαν ἐργάσασθαι· διὰ τοῦτο τὸν Ἰωνάθαν ἐπὶ τὴν παράβασιν ὤθησεν. εἰ μὲν γάρ τις τῶν στρατιωτῶν παρέβη τὸν νόμον, οὐδὲν αὐτῷ μέγα ἐδόκει εἶναι κακὸν τὸ γινόμενον. νυνὶ δὲ ἀκόρεστος ὢν τῶν ἀνθρωπίνων κακῶν, καὶ οὐδέποτε ἐκ τῶν ἡμετέρων ἐμπιπλάμενος συμφορῶν, οὐδὲν νεανικὸν ἡγεῖτο ποιεῖν, εἰ φόνον ἐργάσαιτο ψιλόν, ἀλλ' εἰ μὴ καὶ παιδοκτονίᾳ τὴν δεξιὰν τοῦ βασιλέως μολύνειεν, οὐδὲν μέγα πεποιηκέναι ἐνόμιζε. καὶ τί λέγω παιδοκτονίαν; ἐπενόησε γὰρ ὁ μιαρὸς ἐκεῖνος καὶ τούτου πάλιν ἐναγέστερον φόνον εὑρεῖν. εἰ μὲν γὰρ εἰδὼς ἥμαρτε, καὶ ἐσφάγη, παιδοκτονία μόνον τὸ γινόμενον ἦν· νυνὶ δὲ ἐξ ἀγνοίας ἁμαρτὼν (οὐδὲ γὰρ ἤκουσε τῶν ὅρκων) εἶτα ἀναιρεθείς, διπλοῦν ἂν ἐποίησε τῷ πατρὶ τὸ ἄγος· καὶ γὰρ παῖδα, καὶ παῖδα οὐδὲν ἁμαρτόντα καταθύειν ἔμελλεν. ἀλλ' ἐπὶ τὰ ἐχόμενα τῆς ἱστορίας πορευτέον λοιπόν. ἐπειδὴ γὰρ ἔφαγεν, ἀνέβλεψαν οἱ ὀφθαλμοὶ αὐτοῦ, φησί. πολλὴν καὶ ἐνταῦθα τοῦ βασιλέως κατηγορεῖ τὴν ἄνοιαν, δεικνύς, ὅτι σχεδὸν ὁ λιμὸς ἐπήρωσε τοὺς στρατιώτας ἅπαντας, καὶ πολλὴν τῶν ὀφθαλμῶν αὐτῶν κατέχεε τὴν ἀχλύν. Εἶτα ἰδών τις, φησί, τῶν στρατιωτῶν, λέγει· ὁρκώσας ὥρκωσεν ὁ πατήρ σου τὸν λαόν, ὃς φάγεται ἄρτον σήμερον. καὶ ἐξελύθη ὁ λαός. καὶ εἶπεν Ἰωνάθαν, ἀπήλλαχεν ὁ πατήρ μου τὴν γῆν. τί ἐστιν, ἀπήλλαχεν; ἀπώλεσε, διέφθειρεν ἅπαντας. παραβαθέντος τοίνυν τοῦ ὅρκου πάντες ἐσίγων, καὶ οὐδεὶς τὸν ὑπεύθυνον εἰς μέσον ἀγαγεῖν ἐτόλμα. οὐ μικρὸν δὲ καὶ τοῦτο λοιπὸν ἔγκλημα ἐγίνετο. οὐ γὰρ οἱ ἐπιορκοῦντες

α. Βασ. ιδ. κζ.

Κριτ. ια. λθ.

α. Βασ. ιδ. κη.

μόνον, ἀλλὰ καὶ οἱ συνειδότες μὲν, περιστέλλοντες δὲ κοινωνοῦσι τῶν ἐγκλημάτων. πλὴν ἀλλ' ἴδωμεν τὰ ἑξῆς. καὶ εἶπε Σαοὺλ, καταβῶμεν ὀπίσω τῶν ἀλλοφύλων, καὶ διαρπάσωμεν αὐτούς. καὶ εἶπεν ὁ ἱερεύς· προσέλθωμεν ἐνταῦθα πρὸς τὸν Θεόν. τὸ γὰρ παλαιὸν Θεὸς ἐστρατήγει τῶν πολέμων, καὶ χωρὶς τῆς ἐκείνου γνώμης οὐδέποτε ἐτόλμων ἅπτεσθαι μάχης, καὶ ὁ πόλεμος αὐτοῖς εὐσεβείας ὑπόθεσις ἐγίνετο. οὔτε γὰρ ἐξ ἀσθενείας σώματος, ἀλλ' ἀπὸ ἁμαρτιῶν ἡττῶντο, εἴ ποτε καὶ ἡττήθησαν· οὔτε ἀπὸ δυνάμεως καὶ ἀνδρείας, ἀλλ' ἀπὸ εὐνοίας τῆς ἄνωθεν ἐκράτουν, ὁπότε καὶ ἐκράτουν. καὶ ἡ νίκη καὶ ἡ ἧττα γυμνάσιον αὐτοῖς καὶ διδασκάλιον ἀρετῆς ἦν· οὐκ αὐτοῖς δὲ μόνον, ἀλλὰ καὶ τοῖς πολεμοῦσιν αὐτοῖς. καὶ γὰρ καὶ ἐκείνοις τοῦτο κατάδηλον ἦν, ὅτι οὐ τῇ φύσει τῶν ὅπλων ὁ πρὸς Ἰουδαίους ἐκρίνετο πόλεμος, ἀλλὰ τῷ βίῳ τῶν πολεμούντων καὶ τοῖς κατορθώμασι. τοῦτο γοῦν ποτε συνιδόντες οἱ Μαδιηναῖοι, καὶ γνόντες ὡς ἀκαταμάχητόν ἐστι τὸ ἔθνος ἐκεῖνο, καὶ μηχανήμασι μὲν καὶ ὅπλοις ἀμήχανον αὐτοὺς καταγωνίσασθαι, ἁμαρτίᾳ δὲ μόνον δυνατὸν αὐτοὺς ἑλεῖν, παρθένους καλλωπίσαντες εὐμόρφους, καὶ στήσαντες ἐπὶ τῆς παρατάξεως, εἰς ἀσέλγειαν ἐξεκαλοῦντο τοὺς στρατιώτας, διὰ τῆς πορνείας ἀποστῆσαι τοῦ Θεοῦ τὴν συμμαχίαν σπουδάζοντες· ὃ δὴ καὶ συνέβη. ἐπειδὴ γὰρ εἰς τὴν ἁμαρτίαν κατέπεσον, εὐχείρωτοι πᾶσιν ἐγίνοντο· καὶ οὓς οὐχ ὅπλα καὶ ἵπποι καὶ στρατιῶται καὶ τοσαῦτα μηχανήματα ἑλεῖν οὐκ ἴσχυσαν, τούτους ἁμαρτίας φύσις δεδεμένους τοῖς πολεμίοις παρέδωκε. καὶ ἀσπίδες μὲν καὶ δόρατα καὶ βέλη πάντα ἠλέγχετο, ὄψεως δὲ εὐμορφία καὶ ψυχῆς ἀκολασία τοὺς γενναίους ἐχειρώσατο τούτους. Σειρ. θ. η. διὰ τοῦτο παραινεῖ τις λέγων· Μὴ καταμάνθανε κάλλος ἀλλότριον, καὶ μὴ ὑπάντα γυναικὶ ἑταιριζομένῃ. μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης, ὃ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα· ὕστερον δὲ πικρότερον χολῆς εὑρήσεις, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου. πόρνη γὰρ φιλεῖν οὐκ ἐπίσταται, ἀλλ' ἐπιβουλεύειν μόνον. ἰὸν αὐτῆς ἔχει τὸ φίλημα, καὶ φάρμακον δηλητήριον τὸ στόμα. εἰ δὲ οὐ φαίνεται εὐθέως, διὰ τοῦτο μᾶλλον ἀποφεύγειν αὐτὴν δεῖ, ὅτι περιστέλλει τὸν ὄλεθρον, καὶ τὸν θάνατον ἐγκεκρυμμένον ἔχει, καὶ οὐδὲ ἀφίησιν ἐκ προοιμίων γενέσθαι κατάδηλον. ὥστε εἴ τις ἡδέως διώκει καὶ εὐθυμίας γέμοντα βίον, τὰς τῶν πορνευομένων γυναικῶν φευγέτω συνουσίας. πολέμων γὰρ μυρίων καὶ θορύβων τὰς τῶν ἐραστῶν πληροῦσι ψυχάς, μάχας αὐτοῖς καὶ φιλονεικίας κινοῦσαι διηνεκεῖς διὰ ῥημάτων, διὰ πραγμάτων ἁπάντων. καὶ καθάπερ οἱ τῶν ἐχθρῶν πολεμιώτατοι, οὕτω δὴ καὶ αὗται πάντα ποιοῦσι καὶ πραγματεύονται, ὥστε καὶ αἰσχύνῃ καὶ πενίᾳ καὶ τοῖς ἐσχάτοις αὐτοὺς περιβαλεῖν κακοῖς. καὶ ὃν τρόπον οἱ θηραταὶ τὰ δίκτυα ἀναπετάσαντες, τὰ ἄγρια τῶν ζώων ἐμβαλεῖν ἐπιχειροῦσιν, ὥστε αὐτὰ κατασφάξαι· οὕτω δὴ καὶ αὗται, ἐπειδὰν τὰ πτερὰ τῆς ἀσελγείας πάντοθεν ἀναπετάσωσι δι' ὀφθαλμῶν καὶ σχημάτων καὶ ῥημάτων, εἶτα τοὺς ἑαυτῶν ἐραστὰς ἐμβάλωσι καὶ καταδήσωσιν, οὐ πρότερον ἀφίστανται, ἕως ἂν αὐτῶν καὶ αὐτὸ τὸ αἷμα ἐκπίωσιν, ἐπεμβαίνουσαι μετὰ ταῦτα καὶ κωμῳδοῦσαι αὐτῶν τὴν ἄνοιαν, καὶ πολὺν αὐτῶν καταχέουσαι τὸν γέλωτα. οὐδὲ γὰρ ἐλεεῖσθαι λοιπὸν ὁ τοιοῦτος ἄξιος, ἀλλὰ γελᾶσθαι καὶ σκώπτεσθαι, ὅταν γυναικὸς, καὶ γυναικὸς πόρνης ἀγεννέστερος φαίνηται. Παροιμ. ε. ιε. διὰ τοῦτο παραινεῖ πάλιν ὁ σοφὸς ἐκεῖνος λέγων· Πίνε ὕδατα ἀπὸ σῶν * φρεάτων πηγῆς. καὶ πάλιν, Ἔλαφος φιλίας καὶ πῶλος σῶν χαρίτων ὁμιλείτω σοι, περὶ γυναικὸς τῆς νόμῳ γάμου συνοικούσης τοιαῦτα λέγων· τί καταλιμπάνεις τὴν βοηθὸν, καὶ πρὸς τὴν ἐπίβουλον τρέχεις; τί τὴν κοινωνὸν ἀποστρέφῃ τοῦ βίου, καὶ τὴν ἀνατρέπουσάν σου τὴν ζωὴν θεραπεύεις; αὕτη σου μέλος ἐστὶ καὶ σῶμα, ἐκείνη δὲ ξίφος ἠκονημένον. διόπερ, ἀγαπητοί, φεύγετε τὴν πορνείαν, καὶ διὰ τὰ παρόντα κακὰ, καὶ διὰ τὴν μέλλουσαν κόλασιν.

Τάχα δοκοῦμεν τῆς ὑποθέσεως ἐκπεπτωκέναι· ἀλλ' οὐκ ἔστι τοῦτο ἐκπεσεῖν. οὐ γὰρ ἁπλῶς ἱστορίας ὑμῖν ἀναγνῶναι βουλόμεθα, ἀλλ' * ἕκαστον τῶν ἐνοχλούντων ὑμῖν "διορθῶσαι παθῶν. διὰ τοῦτο καὶ συνεχεῖς ποιούμεθα τὰς ἐκτροπὰς, παντοδαπὸν κατασκευάζοντες ὑμῖν τὸν λόγον, ἐπειδὴ καὶ παντοδαπὰ νοσήματα ἐν δήμῳ τοσούτῳ εἶναι εἰκός. καὶ οὐχ ἓν ἕλκος θεραπεύειν πρόκειται μόνον, ἀλλὰ πολλὰ καὶ διάφορα. διὰ τοῦτο καὶ ποικίλον εἶναι χρὴ τῆς διδασκαλίας τὸ φάρμακον. ἐπανίωμεν τοίνυν, ὅθεν ἐξέβημεν, ταῦτα εἰπεῖν. Καὶ εἶπεν ὁ ἱερεὺς, προσέλθωμεν πρὸς τὸν Θεόν. καὶ ἐπηρώτησε Σαοὺλ τὸν Θεόν· εἰ καταβῶ ὀπίσω τῶν ἀλλοφύλων, καὶ εἰ παραδώσεις αὐτοὺς εἰς τὰς χεῖράς μου. καὶ οὐκ ἀπεκρίθη αὐτῷ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὁ Κύριος. ὅρα πρᾳότητα καὶ ἐπιείκειαν τοῦ φιλανθρώπου Θεοῦ. οὐ γὰρ σκηπτὸν ἀφῆκεν, οὐδὲ τὴν γῆν ἔσεισεν, ἀλλ' ὃ φίλοι πρὸς φίλους ποιοῦσιν, ἐπειδὰν ὑβρισθῶσι, τοῦτο πρὸς τὸν δοῦλον ὁ δεσπότης ἐποίησε. παρεσιώπησε μόνον, διὰ τῆς σιγῆς φθεγγόμενος, καὶ πᾶσαν ἐνδεικνύμενος αὐτῷ τὴν ὀργήν. συνεῖδε τοῦτο ὁ Σαοὺλ, Καὶ εἶπε, φησὶ, προσαγάγετε τὰς φυλὰς τοῦ λαοῦ, καὶ γνῶτε καὶ ἴδετε, ἐν τίνι γέγονεν ἡ ἁμαρτία αὕτη σήμερον. ὅτι ζῇ Κύριος ὁ σώσας τὸν Ἰσραὴλ, ὅτι ἐὰν ἀποκριθῇ κατὰ Ἰωνάθαν τοῦ υἱοῦ μου, θανάτῳ ἀποθανεῖται. εἶδες προπέτειαν. "ἰδοὺ τὸν πρότερον ὅρκον παραβαθέντα, οὐδὲ οὕτω σωφρονίζεται, ἀλλὰ καὶ δεύτερον προστίθησι πάλιν. καὶ σκόπει διαβόλου "κακουργίαν. ἐπειδὴ γὰρ συνεῖδεν, ὅτι πολλάκις ὁ παῖς φωραθεὶς, καὶ εἰς μέσον ἐνεχθεὶς, ἀπὸ τῆς ὄψεως αὐτῆς εὐθέως τὸν πατέρα παραλῦσαι δύναται, καὶ μαλάξαι τὸν τοῦ βασιλέως θυμὸν, δευτέρων πάλιν ὅρκων ἀνάγκῃ "προκατέλαβεν αὐτοῦ τὴν γνώμην, διπλῷ τινι δεσμῷ κατέχων αὐτὸν, καὶ οὐκ ἀφιεὶς τῆς οἰκείας γενέσθαι γνώμης κύριον, ἀλλὰ πανταχόθεν αὐτὸν ὠθῶν εἰς τὴν παράνομον ἐκείνην σφαγήν. καὶ οὔπω τοῦ ἡμαρτηκότος φανέντος τὴν κρίσιν πεποίηται, καὶ τὸν "ἁλόντα οὐκ εἰδὼς ἀπεφήνατο, καὶ ὁ πατὴρ ἐγένετο δήμιος, καὶ πρὸ τῆς ἐξετάσεως τὴν καταδικάζουσαν ψῆφον ἐξήνεγκε. τί τούτου γένοιτ' ἂν ἀλογώτερον; ταῦτα τοίνυν εἰπόντος * μᾶλλον ἔδεισεν ὁ δῆμος, καὶ πάντες ἦσαν ἐν τρόμῳ καὶ φόβῳ πολλῷ· ὁ δὲ διάβολος ἔχαιρε πάντας "ἐναγωνίους καταστήσας. οὐ γὰρ ἦν ὁ ἀποκρινόμενός, φησιν, ἐκ παντὸς τοῦ λαοῦ. καὶ εἶπε Σαοὺλ, Ὑμεῖς ἔσεσθε εἰς δουλείαν, καὶ ἐγὼ καὶ Ἰωνάθαν ὁ υἱός μου εἰς δουλείαν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐδὲν ἕτερον σπουδάζετέ, φησιν, ἀλλ' ἢ τοῖς πολεμίοις ἡμᾶς παραδοῦναι, καὶ δούλους ἀντ' ἐλευθέρων ποιῆσαι, τὸν Θεὸν καθ' ἡμῶν παροξύνοντες τῷ μὴ διδόναι τὸν ὑπεύθυνον. ὅρα δὲ καὶ ἄλλην ἀπὸ τοῦ ὅρκου γινομένην ἐναντίωσιν. δέον γὰρ, εἴπερ ἐβούλετο τὸν αἴτιον εὑρεῖν, μηδὲν ἀπειλῆσαι τοιοῦτον, μηδὲ ὅρκῳ καταδῆσαι τὴν τιμωρίαν, ἵνα ἀδεέστεροι γενόμενοι, προχειρότεροι εἰς μέσον ἀγάγωσι τὸν ὑπεύθυνον· ὁ δὲ ὑπὸ θυμοῦ καὶ μανίας πολλῆς καὶ τῆς προτέρας ἀλογίας πάλιν τοὐναντίον, ἤπερ βούλεται, ποιεῖ. τί δεῖ τὰ πολλὰ λέγειν; κλήρῳ τὸ πρᾶγμα ἐπέτρεψε, καὶ κατακληροῦνται Σαοὺλ καὶ Ἰωνάθαν. καὶ εἶπε Σαοὺλ, Βάλετε κλῆρον ἀνὰ μέσον ἐμοῦ, καὶ ἀνὰ μέσον Ἰωνάθαν. καὶ βάλλουσι κλῆρον, καὶ κατακληροῦται Ἰωνάθαν. καὶ εἶπε Σαοὺλ πρὸς Ἰωνάθαν· ἀπάγγειλόν μοι, τί ἐποίησας. καὶ ἀπήγγειλεν αὐτῷ Ἰωνάθαν λέγων, γευσάμενος ἐγευσάμην ἐν ἄκρῳ τῷ σκήπτρῳ τῷ ἐν τῇ χειρί μου μικρὸν ἐκ τοῦ μέλιτος, καὶ ἰδοὺ ἐγὼ ἀποθνήσκω. τίνα οὐκ ἂν ἐπέκαμψε; τίνα οὐκ ἂν εἰς οἶκτον ἐνήνεγκε ταῦτα τὰ ῥήματα; ἐννόησον, ὅσον χειμῶνα λοιπὸν ὁ Σαοὺλ "ὑπήνεγκε, τῶν σπλάγχνων "αὐτοῦ διακοπτομένων, καὶ ἑκατέρωθεν βαθυτάτου κρημνοῦ φαινομένου. ἀλλ' ὅμως οὐδὲ οὕτως ἐσωφρονίζετο, ἀλλὰ τί φησι; Τάδε ποιήσαι μοι ὁ Θεὸς, καὶ τάδε προσθείη, ὅτι θανάτῳ ἀποθανῇ σήμερον. ἰδοὺ τρίτος ὅρκος πάλιν, καὶ οὐδὲ "ἁπλῶς τρίτος, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς τοῦ καιροῦ στενοχωρίας. οὐ γὰρ εἶπεν ἁπλῶς, ὅτι ἀποθανῇ, ἀλλὰ, σήμερον. ἤπειγε γὰρ, ἤπειγεν ὁ διάβολος συνωθῶν καὶ συνελαύνων αὐτὸν εἰς τὴν παράνομον ταύτην σφαγήν. διόπερ οὐκ ἀφίησιν οὐδὲ προθεσμίαν δοῦναι τῇ ψήφῳ, ἵνα μηδεμία ἀπὸ τῆς

α. Βασ. ιδ. λϛ.

α Βασ. ιδ. λη

α. Βασ ιδ. μβ

α. Βασ. ιδ. μϛ

α Βασ. ιδ κε.

μηνύσεως διόρθωσις γένηται τοῦ κακοῦ. Καὶ εἶπεν ὁ λαὸς πρὸς Σαούλ· τί δὲ ποιήσαι ἡμῖν ὁ Θεός, καὶ τάδε προσθείη, εἰ θανάτῳ θανατωθήσεται ὁ ποιήσας τὴν σωτηρίαν τὴν μεγάλην τοῦ Ἰσραήλ. Ζῇ Κύριος, εἰ πεσεῖται τῆς τριχὸς τῆς κεφαλῆς αὐτοῦ ἐπὶ τὴν γῆν, ὅτι ἔλεον Θεοῦ ἐποίησεν ἐν τῇ ἡμέρᾳ ταύτῃ. ἰδοὺ καὶ ὁ δῆμος δεύτερον ὤμοσε, καὶ ἀντώμοσε τῷ βασιλεῖ. νῦν ἀναμνήσθητέ μου τοῦ καλῳδίου τοῦ παρὰ τῶν παιδίων ἑλκομένου, καὶ διαρρηγνυμένου, καὶ τοὺς ἕλκοντας ῥίπτοντος ὑπτίους. ὤμοσεν ὁ Σαούλ, οὐχ ἅπαξ, οὐδὲ δίς, ἀλλὰ καὶ πολλάκις· ἀντώμοσεν ὁ λαός, καὶ ἀντέτεινεν. ἀνάγκη λοιπὸν διαρραγῆναι πάντως τὸν ὅρκον. πάντας γὰρ εὐορκῆσαι τούτους ἀδύνατον. καὶ μή μοι τὴν ἔκβασιν τοῦ πράγματος εἴπῃς, ἀλλ' ἐννόησον, ὅσα ἔτικτε κακά, καὶ πῶς τὴν τοῦ Ἀβεσαλὼμ τραγῳδίαν καὶ τυραννίδα ἐντεῦθεν κατεσκεύαζεν ὁ διάβολος. εἰ γὰρ ἠθέλησεν ὁ βασιλεὺς ἀντιτεῖναι καὶ ἐπεξελθεῖν τῷ ὅρκῳ, πᾶς ὁ δῆμος ἂν ἀντέστη, καὶ τυραννὶς ἂν ἐγένετο χαλεπωτάτη. καὶ πάλιν εἰ ἠθέλησεν ὁ παῖς τῆς οἰκείας φειδόμενος σωτηρίας δοῦναι ἑαυτὸν τῷ στρατοπέδῳ, πατροκτόνος ἂν δευτέρως ἐγένετο. ὁρᾷς καὶ τυραννίδα, καὶ παιδοκτονίαν, καὶ πατροκτονίαν, καὶ πόλεμον ἐμφύλιον, καὶ μάχην, καὶ σφαγάς, καὶ αἵματα, καὶ μυρίους νεκροὺς ἀφ' ἑνὸς ὅρκου γινομένους. εἰ γὰρ συνέβη γενέσθαι πόλεμον, καὶ ὁ Σαοὺλ ἂν ἐσφάγη, καὶ Ἰωνάθαν ἴσως, καὶ πολλοὶ τῶν στρατιωτῶν κατεκόπησαν ἄν, καὶ οὐδ' ἂν οὕτω τὰ τῆς εὐορκίας προεχώρησεν. ὥστε μὴ τοῦτο ἴδῃς, ὅτι οὐ γέγονεν, ἀλλ' ἐκεῖνο σκόπει, ὅτι ἡ τοῦ πράγματος φύσις ταῦτα ἠνάγκαζε γενέσθαι. ὁ δὲ λαὸς ἐκράτησε. φέρε τοίνυν, ἀριθμήσωμεν τὰς γεγενημένας ἐπιορκίας. παρεβάθη πρότερον ὁ ὅρκος τοῦ Σαοὺλ ὑπὸ τοῦ παιδίου, δεύτερος καὶ τρίτος πάλιν ὁ αὐτοῦ τοῦ Σαοὺλ ὁ περὶ τῆς σφαγῆς τοῦ παιδίου. καὶ ἔδοξεν ὁ λαὸς εὐορκεῖν· ἀλλ' ἐάν τις ἀκριβῶς ἐξετάσῃ τὸ πρᾶγμα, καὶ οὗτοι πάλιν τοῖς τῆς ἐπιορκίας ἐγκλήμασιν ὑπεύθυνοι πάντες ἐγένοντο. τὸν γὰρ πατέρα αὐτοῦ τοῦ Ἰωνάθαν ἐπιορκῆσαι ἠνάγκασαν, οὐκ ἐκδόντες τῷ πατρὶ τὸν υἱόν. ὁρᾷς εἷς ὅρκος ὅσους ἀνθρώπους ὑπέβαλεν ἐπιορκίᾳ καὶ ἑκόντας καὶ ἄκοντας, ὅσα κακὰ εἰργάσατο, ὅσας σφαγὰς ἐποίησεν;

Ἐγὼ μὲν οὖν ὑπεσχόμην ἀρχόμενος τοῦ λόγου δεῖξαι ἐν ταῖς ἀντωμοσίαις πάντως ἐπιορκίαν γινομένην· ἡ δὲ ἱστορία προϊοῦσα πολλῷ πλέον, ἤπερ παρεσκευαζόμην, ἀπέδειξεν. οὐ γὰρ ἕνα καὶ δύο καὶ τρεῖς ἀνθρώπους, ἀλλὰ δῆμον, οὐχ ἕνα καὶ δύο καὶ τρεῖς ὅρκους, ἀλλὰ πολλῷ πλείους παραβαθέντας ἀπέφηνεν. ἐνῆν καὶ ἑτέραν ἱστορίαν εἰπεῖν, καὶ δεῖξαι καὶ ἐξ ἐκείνης χαλεπωτέραν ταύτης καὶ μείζονα συμφορὰν ἐργασάμενον ὅρκον ἕνα. καὶ γὰρ πόλεων καὶ γυναικῶν καὶ παιδίων αἰχμαλωσίαν, καὶ πυρπόλησιν, καὶ βαρβάρων ἐφόδους, καὶ ἁγίων μολυσμόν, καὶ μυρία ἕτερα χαλεπώτερα τοὺς Ἰουδαίους ἅπαντας εἷς ὅρκος διέθηκεν. ἀλλ' ὁρῶ πρὸς μῆκος τὸν λόγον ἐκτεινόμενον. διὰ τοῦτο ἐνταῦθα τῆς ἱστορίας ταύτης τὴν διήγησιν καταλύσας, μετὰ τῆς Ἰωάννου κεφαλῆς καὶ τὴν τοῦ Ἰωνάθαν σφαγήν, καὶ τὴν πανωλεθρίαν τοῦ δήμου παντός, τὴν οὐ γενομένην μέν, συμβᾶσαν δ' ὅμως ἀπὸ τῆς ἀνάγκης τῶν ὅρκων, πρὸς ἀλλήλους λέγειν παρακαλῶ, καὶ ἐν οἰκίᾳ καὶ ἐν ἀγορᾷ καὶ πρὸς γυναῖκας καὶ πρὸς φίλους καὶ πρὸς γείτονας καὶ πρὸς ἅπαντας ἀνθρώπους ἁπλῶς ὑπὲρ τοῦ πράγματος τούτου ποιεῖσθαι σπουδήν, καὶ μὴ νομίζειν ἀρκοῦσαν ἡμῖν ἀπολογίαν εἶναι, εἰ συνήθειαν προβαλλοίμεθα. ὅτι γὰρ σκῆψις ταῦτα καὶ πρόφασις, καὶ οὐ συνηθείας, ἀλλὰ ῥᾳθυμίας ἐστὶν ἡ παρανομία, ἀπὸ τῶν ἤδη συμβάντων ὑμῖν πεῖσαι πειράσομαι. ἀπέκλεισε τὰ βαλανεῖα τῆς πόλεως ὁ βασιλεύς, καὶ μηδένα λούσασθαι ἐκέλευσε. καὶ οὐδεὶς ἐτόλμησε παραβῆναι τὸν νόμον, οὐδὲ αἰτιάσασθαι τὸ γεγενημένον, οὐδὲ συνήθειαν προβαλέσθαι· ἀλλὰ καὶ ἐν ἀρρωστίᾳ ὄντες πολλάκις καὶ ἄνδρες καὶ γυναῖκες καὶ παῖδες καὶ γέροντες καὶ ὠδίνων ἄρτι παυσάμεναι πολλαὶ γυναῖκες, καὶ ἀναγκαίως ἅπαντες τὸ φάρμακον τοῦτο ἐπιζητοῦντες, φέρουσι καὶ ἑκόντες καὶ ἄκοντες τὸ ἐπίταγμα· καὶ οὔτε ἀσθένειαν σώματος προβάλλονται,

οὔτε

ὑπὸ συνηθείας τυραννίδα, ὑπὸ δὲ ἑτέρων ἁμαρτανόντων αὐτοὶ κολάζεσθαι, ὑπὲρ ἄλλο τῶν τοιούτων οὐδέν· ἀλλὰ στέργουσι τῇ τιμωρίᾳ ταύτῃ, διὰ τὸ μείζονα προσδοκῆσαι κακά, καὶ καθ' ἑκάστην εὔχονται τὴν ἡμέραν μέχρι τούτου στῆναι τὴν βασιλικὴν ὀργήν. ὁρᾷς ὅτι ἔνθα φόβος, εὐκόλως λύεται συνήθεια, κἂν σφόδρα χρονία τις ᾖ καὶ ἀναγκαία; καίτοι τὸ μὴ λούσασθαι χαλεπόν (κἂν γὰρ μυριάκις φιλοσοφῶμεν, ἡ τοῦ σώματος φύσις ἐλέγχεται οὐδὲν ἀπὸ τῆς κατὰ τὴν ψυχὴν φιλοσοφίας εἰς τὴν οἰκείαν ὑγείαν ὠφελουμένη)· τὸ δὲ μὴ ὀμνύναι, σφόδρα ῥᾴδιον καὶ οὐδεμίαν οἴσει βλάβην, οὐ τοῖς σώμασιν, οὐ ταῖς ψυχαῖς, ἀλλὰ καὶ πολὺ τὸ κέρδος, μεγάλην τὴν ἀσφάλειαν, πολλὴν τὴν εὐπορίαν. πῶς οὖν οὐκ ἄτοπον, βασιλέως μὲν ἐπιτάττοντος καὶ τὰ χαλεπώτατα φέρειν, Θεοῦ δὲ νομοθετοῦντος οὐδὲν χαλεπὸν, οὐδὲ δύσκολον, ἀλλὰ ῥᾴδιον σφόδρα καὶ εὔκολον, καταφρονεῖν καὶ καταγελᾶν καὶ συνήθειαν προβάλλεσθαι; μὴ, παρακαλῶ, μὴ μέχρι τοσούτου τῆς ἑαυτῶν καταφρονῶμεν σωτηρίας· ἀλλὰ φοβηθῶμεν τὸν Θεὸν, ὡς φοβούμεθα ἄνθρωπον. οἶδα ὅτι ἐφρίξατε τοῦτο ἀκούσαντες· ἀλλὰ φρίκης ἄξιον τὸ μηδὲ τοσαύτην ἀπονέμειν τῷ Θεῷ τιμὴν, ἀλλὰ τοὺς βασιλικοὺς νόμους μετὰ ἀκριβείας φυλάττοντας, τοὺς θείους καὶ ἐκ τῶν οὐρανῶν καταβάντας καταπατεῖν, καὶ περίεργον εἶναι νομίζειν τὴν περὶ ταῦτα σπουδήν. ποία γὰρ ἡμῖν ἀπολογία ἔσται λοιπόν; τίς δὲ συγγνώμη, ὅταν μετὰ τοσαύτην παραίνεσιν τοῖς αὐτοῖς ἐπιμείνωμεν; καὶ γὰρ ἀρξαμένης τῆς συμφορᾶς ταύτης τῆς τὴν πόλιν κατεχούσης ἠρξάμεθα καὶ τῆς παραινέσεως ταύτης· καὶ ἡ μὲν μέλλει λύεσθαι λοιπὸν, ἡμεῖς δὲ οὐδέπω μίαν ἐντολὴν κατωρθώσαμεν. πῶς οὖν αἰτήσομεν ἀπαλλαγὴν τῶν κατεχόντων ἡμᾶς δεινῶν, μίαν ἐντολὴν διορθῶσαι μὴ δυνηθέντες; πῶς δὲ προσδοκήσομεν τὴν χρηστὴν μεταβολήν; πῶς δὲ εὐξόμεθα; ποίᾳ δὲ γλώττῃ τὸν Θεὸν καλέσομεν; ἂν μὲν γὰρ ἀνύσωμεν τὸν νόμον, πολλὴν καρπωσόμεθα τὴν ἡδονὴν, τοῦ βασιλέως τῇ πόλει καταλλαγέντος· ἂν δὲ μείνωμεν ἐπὶ τῆς παρανομίας, αἰσχύνη καὶ ὄνειδος ἡμῖν ἔσται πάντοθεν, ὅτι τοῦ Θεοῦ λύσαντος τὸν κίνδυνον ἡμεῖς ἐπὶ τῆς αὐτῆς ἐμείναμεν ῥαθυμίας. Εἴθε μοι δυνατὸν ἦν τὰς ψυχὰς ἀποδῦσαι τῶν πολυόρκων, καὶ ὄψεσιν ὑποβαλεῖν αὐτῶν τὰ τραύματα, καὶ τοὺς μώλωπας, οὓς ἀπὸ τῶν ὅρκων καθ' ἑκάστην λαμβάνουσι τὴν ἡμέραν· καὶ οὐκ ἂν ἐδεήθημεν παραινέσεως ἢ συμβουλῆς, τῆς τῶν τραυμάτων ὄψεως ἀρκούσης λόγου παντὸς δυνατώτερον καὶ τοὺς σφόδρα ἐπικειμένους τῇ πονηρᾷ ταύτῃ συνηθείᾳ τῆς πονηρίας ἀπαλλάξαι. πλὴν ἀλλ' εἰ καὶ μὴ ταῖς ὄψεσι δυνατὸν, τῷ λογισμῷ δυνατὸν αὐτῶν ὑποβαλεῖν τῆς ψυχῆς τὸ αἶσχος, καὶ δεῖξαι σεσηπυῖαν αὐτὴν καὶ διεφθαρμένην. Ὥσπερ γάρ, φησιν, οἰκέτης ἐταζόμενος ἐνδελεχῶς ἀπὸ μώλωπος οὐ καθαρισθήσεται, οὕτως ὁ ὀμνύων καὶ ὀνομάζων διαπαντὸς τὸ ὄνομα Κυρίου, ἀπὸ ἁμαρτίας οὐκ ἀθωωθήσεται. ἀμήχανον γὰρ, ἀμήχανον στόμα μεμελετηκὸς ὀμνύναι, μὴ συνεχῶς ἐπιορκεῖν. διὸ δὴ παρακαλῶ πάντας τὴν ὀλεθρίαν ταύτην καὶ πονηρὰν συνήθειαν ἀποθεμένους τῆς ψυχῆς, ἕτερον στέφανον ἀναδήσασθαι. καὶ ὥσπερ πανταχοῦ περὶ τῆς πόλεως ᾄδουσι τῆς ἡμετέρας, ὅτι πρώτη τῶν κατὰ τὴν οἰκουμένην ἁπασῶν τὸ χριστιανῶν ὄνομα ἀνεδήσατο, οὕτω δότε πᾶσι λέγειν, ὅτι μόνη τῶν κατὰ τὴν οἰκουμένην ἁπασῶν Ἀντιοχεία τοὺς ὅρκους τῶν οἰκείων ὅρων ἀπήλασε. μᾶλλον δὲ, ἂν τοῦτο γένηται, οὐκ αὐτὴ στεφανωθήσεται μόνη, ἀλλὰ καὶ ἑτέρας εἰς τὸν αὐτὸν ἐνάξει ζῆλον. καὶ καθάπερ τὸ ὄνομα τῶν χριστιανῶν, ὥσπερ ἔκ τινος πηγῆς ἐντεῦθεν ἀρξάμενον πᾶσαν τὴν οἰκουμένην ἐπέκλυσεν· οὕτω δὴ καὶ τὸ κατόρθωμα τοῦτο τὴν ῥίζαν καὶ τὴν ἀφορμὴν ἐντεῦθεν λαβὸν, πάντας τοὺς τὴν γῆν οἰκοῦντας ἀνθρώπους μαθητὰς ὑμετέρους ἐργάσεται· ὥστε διπλοῦν ὑμῖν καὶ τριπλοῦν γενέσθαι τὸν μισθὸν, καὶ ὑπὲρ τῶν οἰκείων κατορθωμάτων, καὶ ὑπὲρ τῆς τῶν ἄλλων διδασκαλίας. τοῦτο διαδήματος ὑμῖν παντὸς ἔσται λαμπρότερον· τοῦτο μητρόπολιν ὑμῖν ποιήσει τὴν πόλιν, οὐκ ἐν τῇ γῇ, ἀλλὰ [καὶ] ἐν τῷ οὐρανῷ· τοῦτο καὶ κατ' ἐκείνην ἡμῖν παραστήσεται τὴν ἡμέραν,

Σειρ. κγ. ια.

μέραν, καὶ τὸν τῆς δικαιοσύνης ἡμῖν οἴσει στέφανον· οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, * εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΗΝ ΣΥΜΦΟΡΑΝ ΤΗΣ ΠΟΛΕΩΣ ΑΝΤΙΟΧΕΙΑΣ, καὶ ὅτι χρήσιμον πανταχοῦ φόβος, καὶ ὅτι πένθος γέλωτος λυσιτελέστερον· καὶ εἰς τὴν ῥῆσιν τὴν λέγουσαν, Ἐπίγνωθι ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις, καὶ ὅτι τοῦ φονεύειν τὸ ὁρκίζειν χεῖρον. Λογ. ιε.

Ἐκκλησ. θ. κ.

Ἔδει καὶ τήμερον, καὶ τῷ προτέρῳ σαββάτῳ τὸν περὶ νηστείας κινῆσαι λόγον. καὶ μηδεὶς ἄκαιρον εἶναι νομιζέτω τὸ λεχθέν. ἐν μὲν γὰρ ταῖς ἡμέραις τῆς νηστείας "οὐδὲν δεῖ συμβουλῆς καὶ παραινέσεως "εἰς τοῦτο, αὐτῆς τῶν ἡμερῶν τῆς παρουσίας καὶ τοὺς σφόδρα ἀναπεπτωκότας διεγειρούσης πρὸς τὸν τῆς νηστείας ἀγῶνα. ἐπειδὴ δὲ πολλοὶ τῶν ἀνθρώπων εἰσιέναι τε εἰς νηστείαν μέλλοντες, καθάπερ πολιορκίᾳ τινὶ μακρᾷ τῆς γαστρὸς παραδίδοσθαι μελλούσης, ἀδηφαγίαν καὶ μέθην" προλαβόντες ἀποτίθενται· ἐξιόντες τε πάλιν, ὥσπερ ἔκ τινος μακροῦ λιμοῦ καὶ χαλεποῦ δεσμωτηρίου, τῆς νηστείας ἀπαλλαγέντες, μετὰ πολλῆς τῆς ἀπειροκαλίας ἐπὶ τὰς τραπέζας τρέχουσι, καθάπερ σπουδάζοντες τὴν ἐκ τῆς νηστείας γινομένην αὖθις ὠφέλειαν τῇ τῆς ἀδηφαγίας" ἀμετρίᾳ καταλῦσαι πάλιν· ἀναγκαῖον ἦν καὶ τότε, καὶ νῦν τοὺς περὶ ἐγκρατείας κινῆσαι λόγους. ἀλλ' ὅμως οὔτε πρότερον εἰρήκαμέν τι τοιοῦτον, οὔτε νῦν ἐροῦμεν. ὁ γὰρ τῆς ἐπικειμένης συμφορᾶς φόβος ἀντὶ πάσης παραινέσεως καὶ συμβουλῆς ἀρκεῖ τὰς ἁπάντων σωφρονίσαι ψυχάς. τίς γὰρ οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὡς ἐν τοσούτῳ χειμῶνι μεθύειν; τίς οὕτως ἀναίσθητος, ὡς τῆς πόλεως οὕτω σαλευομένης, καὶ ναυαγίας τοσαύτης ἀπειλουμένης, μὴ νήφειν, καὶ ἐγρηγορέναι, καὶ πάσης συμβουλῆς καὶ παραινέσεως ἀκριβέστερον ἀπὸ τῆς ἀγωνίας διορθοῦσθαι ταύτης; οὐ γὰρ τοσοῦτον ἐργάσασθαι δύναται λόγος, ὅσον "ἐργάζεται φόβος. καὶ τοῦτο αὐτὸ ἀπὸ τῶν συμβεβηκότων νῦν δυνατὸν ἀποδεῖξαι. πόσους γοῦν ἀνηλώσαμεν λόγους, "πολλοῖς τῶν ῥαθύμων παραινοῦντες καὶ συμβουλεύοντες θέατρα ἀφεῖναι καὶ τὰς ἐκεῖ ἀκολασίας; καὶ οὐκ ἠνέσχοντο, ἀλλ' ἀεὶ κατὰ τὴν ἡμέραν ταύτην ἐπὶ τὰς παρανόμους τῶν ὀρχουμένων συνέτρεχον θεωρίας, καὶ σύλλογον διαβολικὸν ἀντικαθίστασαν τῷ πληρώματι τῆς ἐκκλησίας τοῦ Θεοῦ, καὶ ταῖς ἐνταῦθα ψαλμῳδίαις ἀντήχουν αἱ ἐκεῖθεν κραυγαὶ μετὰ πολλῆς φερόμεναι τῆς σφοδρότητος. ἀλλ' ἰδοὺ νῦν σιγώντων ἡμῶν, καὶ οὐδὲν περὶ τούτου λεγόντων, αὐτόματοι τὴν ὀρχήστραν "ἐνέφραξαν, καὶ ὁ ἱππόδρομος ἄβατος γέγονε. καὶ πρὸ τούτου μὲν πολλοὶ τῶν ἡμετέρων πρὸς ἐκείνους ἔτρεχον, νυνὶ δὲ πάντες ἐκεῖθεν εἰς τὴν ἐκκλησίαν κατέφυγον, καὶ τὸν ἡμέτερον ἅπαντες ἀνυμνοῦσι Θεόν. ὁρᾷς πόσον ἀπὸ τοῦ φόβου τὸ κέρδος ἐγένετο. εἰ μὴ καλὸν ἦν ὁ φόβος, οὐκ ἂν πατέρες παιδαγωγοὺς τοῖς παισὶν ἐπέστησαν, οὐκ ἂν οἱ νομοθέται ταῖς πόλεσιν ἄρχοντας. τί γεέννης χαλεπώτερον; ἀλλ' οὐδὲν χρησιμώτερον τοῦ ταύτης φόβου. ὁ γὰρ τῆς γεέννης φόβος τὸν τῆς βασιλείας ἡμῖν κομίζει στέφανον. ἔνθα φόβος ἐστὶ, φθόνος οὐκ ἔστιν· ἔνθα φόβος ἐστὶ, χρημάτων ἔρως οὐκ ἐνοχλεῖ· ἔνθα φόβος ἐστὶν, ἔσβεσται θυμὸς, ἐπιθυμία κατέσταλται πονηρὰ, ἅπαν ἀλόγιστον ἐξώρισται πάθος. καὶ καθάπερ ἐν οἰκίᾳ στρατιώτου διηνεκῶς ὡπλισμένου οὐ λῃστὴς, οὐ τοιχωρύχος, οὐκ ἄλλος τις τῶν τὰ τοιαῦτα κακουργούντων τολμήσει φανῆναι πλησίον· οὕτω καὶ φόβου τὰς ἡμετέρας κατέχοντος ψυχὰς, οὐδὲν τῶν ἀνελευθέρων παθῶν ἐπεισέρχεται ῥᾳδίως ἡμῖν, ἀλλ' ἅπαντα δραπετεύει καὶ φυγαδεύεται, τῇ τυραννίδι τοῦ φόβου πάντοθεν ἐξελαυνόμενα. καὶ οὐ τοῦτο μόνον ἐστὶν, ὃ καρπούμεθα ἀπὸ τοῦ φόβου, ἀλλὰ καὶ ἕτερον πολλῷ τούτου μεῖζον. οὐ γὰρ

δι

δὴ τὰ πονηρὰ ἡμῶν ἀπελαύνει πάθη μόνον, ἀλλὰ καὶ πᾶσαν εἰσάγει μετὰ πολλῆς εὐκολίας τὴν ἀρετήν. ἔνθα φόβος ἐστὶν, ἐκεῖ καὶ ἐλεημοσύνης σπουδὴ, καὶ εὐχῆς ἐπίτασις, καὶ δάκρυα θερμὰ καὶ ἐπάλληλα, καὶ στεναγμοὶ πολλὴν ἔχοντες τὴν κατάνυξιν. οὐδὲν γὰρ οὕτω κατεσθίει μὲν ἁμαρτήματα, ἀρετὴν δὲ αὔξεσθαι ποιεῖ καὶ θάλλειν, ὡς διηνεκὴς "φόβος. διὰ τοῦτο τὸν μὴ συζῶντα φόβῳ ἀμήχανον "κατορθῶσαι, ὥσπερ οὖν τὸν ἐν φόβῳ ζῶντα ἀδύνατον διαμαρτεῖν. μὴ τοίνυν ἀλγῶμεν, ἀγαπητοὶ, μηδὲ καταπίπτωμεν ἐπὶ τῇ παρούσῃ θλίψει· ἀλλὰ θαυμάσωμεν τὸ εὐμήχανον τῆς τοῦ Θεοῦ σοφίας. δι' ὧν γὰρ προσεδόκησεν ὁ διάβολος τὴν πόλιν ἡμῶν καταβαλεῖν, διὰ τούτων αὐτὴν ὁ Θεὸς ἀνέστησε καὶ ἀνώρθωσεν. ὁ μὲν γὰρ διάβολος ἐνέπνευσέ τισι παρανόμοις ἀνθρώποις καὶ εἰς αὐτοὺς τῶν βασιλέων ὑβρίσαι τοὺς ἀνδριάντας, ἵνα καὶ αὐτὸ τῆς πόλεως ἀφανισθῇ τὸ ἔδαφος· ὁ δὲ Θεὸς αὐτῷ δὴ τούτῳ τῷ γεγενημένῳ πρὸς σωφρονισμὸν ἡμῶν πλείονα ἀπεχρήσατο, τῷ φόβῳ τῆς προσδοκωμένης ἀπειλῆς πᾶσαν ἐκβαλὼν ῥαθυμίαν. καὶ γέγονε τοὐναντίον, ἤπερ ὁ δαίμων ἠθέλησε, δι' ὧν αὐτὸς κατεσκεύασεν. ἡ γὰρ πόλις ἡμῖν καθ' ἑκάστην ἐκκαθαίρεται τὴν ἡμέραν, καὶ στενωποὶ καὶ ἄμφοδα καὶ ἀγοραὶ τῶν πορνικῶν καὶ διακεκλασμένων ἀπηλλάγησαν ᾀσμάτων· καὶ ὅπουπερ ἂν τις ἴδῃ, λιταὶ καὶ εὐφημίαι καὶ δάκρυα ἀντὶ γέλωτος ἀτάκτου, καὶ ῥήματα φιλοσοφίαν ἔχοντα ἀντὶ ῥημάτων αἰσχρῶν· καὶ ἐκκλησία γέγονεν ἡμῖν ἡ πόλις ἅπασα, τῶν ἐργαστηρίων ἀποκεκλεισμένων, καὶ πάντων ἐν ταῖς πανδήμοις ταύταις διημερευόντων λιταῖς, καὶ τὸν Θεὸν μιᾷ καὶ κοινῇ φωνῇ μετὰ πολλῆς καλούντων τῆς προθυμίας. ποῖος ταῦτα λόγος αἰδέσαι ποτὲ ἴσχυσε; ποία παραίνεσις; τίς συμβουλή; πόσου χρόνου μῆκος; διὰ τοῦτο εὐχαριστῶμεν, μὴ ἀποδυσπετῶμεν, μηδὲ δυσχεραίνωμεν. ὅτι γὰρ καλὸν ὁ φόβος, "ἐδίδαξε μὲν καὶ τὰ εἰρημένα· ἄκουσον δὲ καὶ Σολομῶντος περὶ αὐτοῦ τούτου φιλοσοφοῦντος *, "Σολομῶντος τοῦ πάσῃ συντραφέντος τρυφῇ, καὶ πολλῆς ἀπολαύσαντος ἀδείας. τί οὖν ἐκεῖνός φησιν; Ἀγαθὸν πορευθῆναι εἰς οἶκον πένθους, ἢ πορευθῆναι εἰς οἶκον γέλωτος. τί λέγεις, εἰπέ μοι; ὅπου "θρῆνος καὶ δάκρυα καὶ οἰμωγαὶ καὶ ὀδύνη καὶ ἀθυμία τοσαύτη, βέλτιον ἀπελθεῖν μᾶλλον, ἢ ὅπου χορεῖαι καὶ κύμβαλα καὶ γέλως καὶ τρυφὴ καὶ ἀδηφαγία καὶ μέθη; ναί, φησι. τίνος ἕνεκεν, εἰπέ μοι, καὶ διὰ τί; ὅτι ἐκεῖθεν μὲν "παράνοια, ἐντεῦθεν δὲ σωφροσύνη τίκτεται. κἂν ἀπέλθῃ τις εἰς εὐπορωτέρου "συμπόσιον, οὐκ ἔτι μετὰ τῆς αὐτῆς ἡδονῆς ὄψεται τὴν οἰκίαν, ἀλλ' ἀηδῶς μὲν πρὸς τὴν γυναῖκα ἐπανήξει, ἀηδῶς δὲ καὶ τῆς ἑαυτοῦ "μεθέξεται τραπέζης, καὶ δυσάρεστος καὶ τοῖς οἰκέταις καὶ τοῖς παιδίοις καὶ πᾶσιν ἔσται τοῖς κατὰ τὴν οἰκίαν, ἀπὸ τῆς ἑτέρων εὐπορίας ἀκριβέστερον τὴν ἑαυτοῦ κατιδὼν πενίαν. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινὸν, ἀλλ' ὅτι καὶ βασκαίνει πολλάκις τῷ καλέσαντι αὐτὸν πρὸς τὴν εὐωχίαν, καὶ ὅλως οὐδὲν ἀγαθὸν λαβὼν οἴκαδε ἐπανήξει. ἐπὶ δὲ τῶν πενθούντων οὐδὲν τοιοῦτόν ἐστιν εὑρεῖν· ἀλλὰ πολλὴ μὲν ἡ φιλοσοφία, πολλὴ δὲ ἡ "φιλοφροσύνη. ἅμα γάρ τις ἐπιβῇ τῶν προθύρων τῆς οἰκίας τῆς * νεκρὸν ἐχούσης, καὶ τὸν τετελευτηκότα ἴδῃ ἄφωνον κείμενον, καὶ τὴν γυναῖκα τὰς τρίχας τίλλουσαν, τὰς παρειὰς καταξαίνουσαν, τοὺς βραχίονας κατατέμνουσαν, καταστέλλεται, σκυθρωπάζει, καὶ τῶν συγκαθημένων ἕκαστος πρὸς τὸν πλησίον οὐδὲν ἕτερον φθέγγεται, ἀλλ' ἢ, ὅτι οὐδέν ἐσμεν, καὶ ἡ κακία ἡμῶν ἄφατος. τί τούτων φιλοσοφώτερον τῶν ῥημάτων γένοιτ' ἄν; ὅταν καὶ τῆς φύσεως τὴν εὐτέλειαν ἐπιγινώσκωμεν, καὶ τὴν πονηρίαν διαβάλλωμεν, καὶ μηδὲν εἶναι τὰ παρόντα νομίζωμεν, ἑτέροις μὲν ῥήμασι, γνώμῃ δὲ τῇ αὐτῇ τὰ τοῦ Σολομῶντος φθεγγόμενοι ἐκεῖνα τὰ θαυμαστὰ, καὶ πολλῆς φιλοσοφίας γέμοντα· Ὅτι ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. ὁ εἰς οἶκον πενθούντων εἰσελθὼν, εὐθέως δακρύει τὸν ἀπελθόντα, κἂν ἐχθρὸς ᾖ. εἶδες πόσον βελτίων αὕτη ἐκείνης ἡ οἰκία. ἐκεῖ μὲν γὰρ κἂν φίλος ᾖ, φθονεῖ· ἐνταῦθα δὲ κἂν ἐχθρὸς ᾖ, δακρύει. τοῦτό ἐστιν, ὃ μάλιστα πάντων ὁ Θεὸς ἐπιζητεῖ, τὸ μὴ ἐφήδεσθαι τοῖς λελυπηκόσιν. οὐ ταῦτα δὲ μόνον

ἐκεῖθεν

Ἐκκλησ. ζ. γ.

Ἐκκλησ. α. β.

ἐκεῖθέν ἐστι καρπώσασθαι τὰ καλά, ἀλλὰ καὶ ἕτερα τούτων οὐκ ἐλάττω. καὶ γὰρ ἀναμιμνήσκεται τῶν ἁμαρτημάτων ἕκαστος τῶν ἑαυτοῦ, καὶ τοῦ δικαστηρίου τοῦ φοβεροῦ, καὶ τῶν εὐθυνῶν ἐκείνων, καὶ τῆς κρίσεως. κἂν μυρία κακὰ πεπονθὼς ᾖ παρ' ἑτέρων, καὶ λύπας κατὰ τὴν οἰκίαν ἔχων, πάντων αὐτῶν λαβὼν τὸ φάρμακον, οὕτως ἐπάνεισιν. ἐννοήσας γάρ, ὅτι μικρὸν ὕστερον καὶ αὐτὸς τοῦτο πείσεται, καὶ πάντες οἱ νῦν μεγάλα φυσῶντες, καὶ ὅτι πρόσκαιρα τὰ παρόντα ἅπαντα, κἂν χρηστὰ ᾖ, κἂν λυπηρά, ἀθυμίας καὶ βασκανίαν ἅπασαν ἀποθέμενος, καὶ κούφην ποιήσας τὴν ψυχήν, καὶ πτερωθείς, οὕτως οἴκαδε ἀναστρέψει, κἀντεῦθεν ἡμερώτερος ἔσται πᾶσι λοιπὸν καὶ ἐπιεικέστερος καὶ προσηνέστερος καὶ φιλοσοφώτερος, τοῦ φόβου τῶν μελλόντων ἐπεισελθόντος αὐτοῦ τῇ ψυχῇ, καὶ τὰς ἀκάνθας δαπανήσαντος ἁπάσας.

Ἐκκλησ. ζ. γ. * Ταῦτα πάντα ἐκεῖνος συνιδὼν ἔλεγεν, ὅτι Ἀγαθὸν πορευθῆναι εἰς οἶκον πένθους, ἢ πορευθῆναι εἰς οἶκον πότου. ἐκεῖθεν ῥαθυμία, ἐντεῦθεν ἀγωνία γίνεται· ἐκεῖθεν καταφρόνησις, ἐντεῦθεν φόβος, φόβος πρὸς ἅπασαν ἡμᾶς παιδαγωγῶν ἀρετήν. Εἰ μὴ καλὸν ἦν ὁ φόβος, οὐκ ἂν αὐτοῦ πολλοὺς καὶ μακροὺς ἀνήλωσε λόγους ὁ Χριστός, περὶ τῆς ἐκεῖ κολάσεως καὶ τιμωρίας διαλεγόμενος. ὁ φόβος οὐδὲν ἕτερόν ἐστιν, ἢ τεῖχος καὶ ἀσφάλεια καὶ πύργος ἀκαταγώνιστος. καὶ γὰρ πολλῆς ἡμῖν ἀσφαλείας δεῖ, διὰ τὸ πολλὰς εἶναι πανταχοῦ τὰς ἐνέδρας· καθάπερ αὐτὸς οὗτος πάλιν παραινῶν ὁ Σολομῶν ἔλεγεν· Ἐκκλησ. θ. κ. Ἐπίγνωθι, ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις, καὶ ἐπὶ ἐπάλξεων πόλεως περιπατεῖς. βαβαί, πόσων τὸ ῥῆμα τοῦτο γέμει ἀγαθῶν [καὶ] οὐκ ἔλαττον, ἢ τὸ πρότερον; ἐγγραψώμεθα τοίνυν ἕκαστος ἐπὶ τῆς διανοίας αὐτὸ τῆς ἡμετέρας, καὶ περιφέρωμεν ἐπὶ τῆς μνήμης ἀεί, καὶ οὐχ ἁμαρτησόμεθα ταχέως. ἐγγράψωμεν πρότερον αὐτὸ μετ' ἀκριβείας μαθόντες ἁπάσης. οὐ γὰρ εἶπε, βλέπε, ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις· ἀλλ', ἐπίγνωθι. καὶ τίνος ἕνεκεν εἶπεν, ἐπίγνωθι; συνεσκίασται, φησίν, ἡ παγίς. τοῦτο γάρ ἐστι παγίς, ὅταν μὴ φανερὸς ὁ ὄλεθρος φαίνηται, μηδὲ δήλη ἡ βλάβη, ἀλλὰ πανταχόθεν περιεσταλμένη παράκειται. διὰ τοῦτό φησιν, ἐπίγνωθι. πολλῆς σοι δεῖ τῆς κατανοήσεως, ἀκριβοῦς τῆς ἐρεύνης. ὥσπερ γὰρ τὰ παιδία τῇ γῇ τὴν παγίδα, οὕτως ὁ διάβολος τὰς ἁμαρτίας ταῖς βιωτικαῖς περιέστελλεν ἡδοναῖς. ἀλλ' ἐπίγνωθι, διερευνώμενος ἀκριβῶς. κἂν ἐμπέσῃ κέρδος, μὴ τὸ κέρδος ἴδῃς μόνον, ἀλλ' ἐρεύνησον ἀκριβῶς, μή που θάνατος καὶ ἁμαρτία εἰς τὸ κέρδος ἔνδον ἐγκέκρυπται. κἂν ἴδῃς, ἀπόφυγε. πάλιν, ὅταν τέρψις καὶ ἡδονὴ παρεμπέσῃ, μὴ τὴν ἡδονὴν ἴδῃς μόνον, ἀλλὰ μή που παρανομία τις ἐν τῷ βάθει τῆς ἡδονῆς συνεσκίασται, μετ' ἀκριβείας ἐξέτασον. κἂν εὕρῃς, ἀποπήδησον· κἂν συμβουλεύῃ τις, κἂν κολακεύῃ, κἂν θεραπεύῃ, κἂν τιμὰς ἐπαγγέλληται, κἂν ὁτιοῦν ἕτερον, πάντα ἐξετάζωμεν μετ' ἀκριβείας *, καὶ περισκοπῶμεν πάντοθεν, μή που τις βλάβη, μή πού τις κίνδυνος ἀπὸ τῆς συμβουλῆς, ἢ τῆς τιμῆς, ἢ τῆς θεραπείας ἡμῖν ἐγγίνηται, καὶ μὴ ταχέως καὶ ἀπερισκέπτως ἐπιτρέχωμεν. εἰ μὲν γὰρ μία καὶ δύο μόνον ἦσαν αἱ παγίδες, εὔκολος ἦν ἡ φυλακή· νῦν δὲ τὸ πλῆθος αὐτῶν ἐνδείξασθαι βουλόμενος ὁ Σολομῶν, ἄκουσον τί φησιν· Ἐπίγνωθι, ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις. οὐκ εἶπεν, ὅτι παρὰ παγίδας διαβαίνεις, ἀλλ', ἐν μέσῳ παγίδων. ἑκατέρωθεν ἡμῖν τὰ βάραθρα, ἑκατέρωθεν οἱ δόλοι. ἐνέβαλέ τις εἰς ἀγοράν, εἶδεν ἐχθρόν, ἐφλέγμαινεν ἀπὸ τῆς ὄψεως μόνης· εἶδε φίλον εὐδοκιμοῦντα, ἐβάσκηνεν· εἶδε πένητα, κατεφρόνησε καὶ ὑπερεῖδεν· εἶδε πλούσιον, καὶ ἐφθόνησεν· εἶδέ τινα ἐπηρεαζόμενον, ἀπεδυσπέτησεν· εἶδέ τινα ἐπηρεάζοντα, ἐδυσχέρανεν· εἶδε γυναῖκα εὔμορφον, ἑάλω. εἶδες πόσαι αἱ παγίδες; διὰ τοῦτό φησιν, ἐπίγνωθι, ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις. καὶ ἐν οἰκίᾳ παγίδες, καὶ ἐπὶ τραπέζης παγίδες, καὶ ἐπὶ συλλόγων παγίδες. πολλάκις ἀπερισκέπτως τις μεταξὺ φίλων θαρρῶν ἐφθέγξατό τι τῶν οὐκ ὀφειλόντων ἐξενεχθῆναι ῥημάτων, καὶ κίνδυνον ἤνεγκε τοσοῦτον, ὥστε ὁλόκληρον ἀνατρέψαι τὴν οἰκίαν. πανταχόθεν τοίνυν διερευνώμεθα τὰ πράγματα μετ' ἀκριβείας. πολλάκις

λάκις καὶ γυνὴ γέγονε παγὶς τοῖς μὴ προσέχουσι, πολλάκις καὶ παιδία, πολλάκις φίλοι, πολλάκις γείτονες. Καὶ τίνος ἕνεκεν τοσαῦται παγίδες, φησίν; ἵνα μὴ κάτω πετώμεθα, ἀλλὰ τὰ ἄνω ζητῶμεν. καὶ γὰρ τὰ πετεινά, ἕως ἂν τὸν ὑψηλὸν ἀέρα τέμνῃ, οὐ ταχέως ἁλίσκεται· οὕτω καὶ σύ, ἕως ἂν πρὸς τὰ ἄνω βλέπῃς, οὔτε ἀπὸ παγίδος, οὔτε ὑφ' ἑτέρας τινὸς ἁλώσῃ ποτὲ ῥᾳδίως ἐπιβουλῆς. ἰξευτής ἐστιν ὁ διάβολος. γενοῦ τοίνυν τῶν ἐκείνου καλάμων ὑψηλότερος. ὁ πρὸς τὸ ὕψος ἀναβάς, οὐκ ἔτι οὐδὲν θαυμάσεται τῶν βιωτικῶν πραγμάτων. ἀλλ' ὥσπερ ἐπειδὰν εἰς τὴν κορυφὴν ἀναδράμωμεν τῶν ὀρῶν, μικρὰ καὶ ἡ πόλις ἡμῖν εἶναι δοκεῖ, καὶ τὰ τείχη, καὶ μυρμήκων δίκην ἐπὶ τῆς γῆς οἱ ἄνδρες ἡμῖν βαδίζοντες φαίνονται· οὕτως ἐπειδὰν ἐπὶ τὴν ὑψηλὴν ἔννοιαν τῆς φιλοσοφίας ἀνέλθῃς, οὐδέν σε τῶν ἐπὶ τῆς γῆς ἐκπλῆξαι δυνήσεται, ἀλλὰ μικρὰ πάντα φανεῖται, καὶ πλοῦτος, καὶ δόξα, καὶ δυναστεία, καὶ τιμή, καὶ εἴ τι τοιοῦτον ἕτερον, ὅταν τὰ ἐν τοῖς οὐρανοῖς βλέπῃς· καθάπερ οὖν καὶ Παύλῳ μικρὰ πάντα ἐφαίνετο, καὶ νεκρῶν ἀχρηστότερα τὰ λαμπρὰ τοῦ παρόντος βίου. διὰ τοῦτο καὶ ἐβόα λέγων, Ἐμοὶ κόσμος ἐσταύρωται*. διὰ τοῦτο καὶ ἡμῖν παραινεῖ λέγων· Τὰ ἄνω φρονεῖτε. ἄνω ποῖα λέγεις, εἰπέ μοι; ὅπου ἥλιος; ὅπου σελήνη; οὐχί, φησιν· ἀλλὰ ποῦ; ὅπου ἄγγελοι; ὅπου ἀρχάγγελοι; ὅπου τὰ χερουβίμ; ὅπου τὰ σεραφίμ; οὐχί, φησιν· ἀλλὰ ποῦ; Ὅπου ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος. πειθώμεθα τοίνυν, κἀκεῖνο διηνεκῶς λογιζώμεθα, ὅτι καθάπερ τῷ στρουθῷ τῶν πτερῶν ὄφελος οὐδὲν ἀπὸ τῆς παγίδος ἁλόντι, ἀλλ' εἰκῇ καὶ μάτην πτερύσσεται· οὕτω καὶ σοὶ τῶν λογισμῶν οὐδὲν ὄφελος, ἐὰν κατὰ κράτος ἀπὸ τῆς πονηρᾶς ἐπιθυμίας ἁλῷς· ἀλλ' ὅσα ἂν σκιρτήσῃς, ἑάλως. διὰ τοῦτο πτερὰ τοῖς στρουθοῖς, ἵνα ἐκφύγῃ τὰς παγίδας· διὰ τοῦτο λογισμοὶ τοῖς ἀνθρώποις, ἵνα ἐκφύγωσι τὰ ἁμαρτήματα. τίνα οὖν ἕξομεν συγγνώμην, τίνα δὲ ἀπολογίαν, ὅταν τῶν ἀλόγων ὦμεν ἀνοητότεροι; ὁ μὲν γὰρ στρουθὸς ἅπαξ ἁλοὺς ἀπὸ παγίδος, εἶτα διαφυγών, καὶ ἔλαφος δὲ εἰς δίκτυα ἐμπεσοῦσα, καὶ διαδρᾶσα, δυσκόλως ἁλώσονται πάλιν τοῖς αὐτοῖς. ἑκάστῳ γὰρ ἡ πεῖρα διδάσκαλος ἀσφαλείας γίνεται. ἡμεῖς δὲ πολλάκις τοῖς αὐτοῖς ἁλόντες, τοῖς αὐτοῖς περιπίπτομεν, καὶ οὐδὲ τῶν ἀλόγων τὸ προνοητικὸν καὶ μεμεριμνημένον οἱ λόγῳ τιμηθέντες μιμούμεθα. ποσάκις γοῦν ἰδόντες γυναῖκα, μυρία ἐπάθομεν δεινά, οἴκαδε ἀναχωρήσαντες, καὶ τὴν ἐπιθυμίαν δεξάμενοι, καὶ ἐπὶ πολλαῖς ὀδυνηθέντες ἡμέραις; ἀλλ' ὅμως οὐ σωφρονιζόμεθα, ἀλλὰ μόλις τὸ πρότερον θεραπεύσαντες ἕλκος, πάλιν τοῖς αὐτοῖς περιπίπτομεν ἀπὸ τῶν αὐτῶν ἁλισκόμενοι, καὶ διὰ βραχεῖαν ἡδονὴν ὄψεως διηνεκῆ τινα καὶ χρόνιον ὑπομένομεν ὀδύνην. ἀλλ' ἐὰν μάθωμεν συνεχῶς ταύτην ἐπιλέγειν ἑαυτοῖς τὴν ῥῆσιν, πάντων ἀποστησόμεθα τῶν δεινῶν. παγὶς μεγίστη, κάλλος γυναικός· μᾶλλον δὲ οὐχὶ κάλλος γυναικός, ἀλλ' ἡ ἀκόλαστος ὄψις. μὴ γὰρ δὴ τὰ πράγματα διαβάλλωμεν, ἀλλ' ἡμᾶς καὶ τὴν ἡμετέραν ῥᾳθυμίαν· μηδὲ λέγωμεν, μὴ ἔστωσαν γυναῖκες, ἀλλά, μὴ ἔστωσαν μοιχεῖαι· μὴ λέγωμεν, μὴ ἔστω κάλλος, ἀλλά, μὴ ἔστω πορνεία· μὴ λέγωμεν, μὴ ἔστω κοιλία, ἀλλά, μὴ ἔστω ἀδηφαγία. οὐ γὰρ ἡ κοιλία τὴν ἀδηφαγίαν ποιεῖ, ἀλλ' ἡ ἡμετέρα ῥᾳθυμία. μὴ λέγωμεν, διὰ τὸ φαγεῖν καὶ πιεῖν πάντα τὰ κακά. οὐ γὰρ διὰ τοῦτο, ἀλλὰ διὰ τὴν ῥᾳθυμίαν καὶ τὴν ἀπληστίαν τὴν ἡμετέραν. οὐκ ἔφαγε γοῦν, οὐδὲ ἔπιεν ὁ διάβολος, καὶ κατέπεσεν· ἔφαγε καὶ ἔπιεν ὁ Παῦλος, καὶ εἰς τὸν οὐρανὸν ἀνῆλθε. πόσων ἀκούω λεγόντων, μὴ ἔστω πενία; ἐπιστομίζωμεν τοίνυν τοὺς* τὰ τοιαῦτα δυσχεραίνοντας. βλασφημία γὰρ τὸ τὰ τοιαῦτα λέγειν ἐστί. λέγωμεν τοίνυν πρὸς αὐτούς, μὴ ἔστω μικροψυχία. πενία γὰρ μυρία εἰς τὸν βίον ἡμῶν εἰσήγαγεν ἀγαθά, καὶ χωρὶς πενίας ὁ πλοῦτος ἄχρηστος. μὴ τοίνυν μήτε τοῦτον, μήτε ἐκείνην διαβάλλωμεν. πενία γὰρ καὶ πλοῦτος ὅπλα ἐστὶ πρὸς ἀρετὴν ἑκάτερα φέροντα, ἂν ἐθέλωμεν. ὥσπερ οὖν ὁ γενναῖος στρατιώτης, ὁποῖον ἂν ὅπλον λάβῃ, τὴν οἰκείαν ἀρετὴν ἐπιδείκνυται· οὕτως ὁ ἄνανδρος καὶ δειλὸς ὑφ' ἑκατέρων ἐμποδίζεται. καὶ ἵνα μάθῃς,

Γαλ. ϛ. ιδ.
Κολασ. γ. β.

Ιωβ. λα. λβ. θης, ὅτι τοῦτο ἐστὶν ἀληθές, ἀναμνήσθητί μοι τοῦ Ἰώβ, ὃς ὁμοῦ καὶ πλούσιος καὶ πένης γέγονε, καὶ
ἑκάτερα τὰ ὅπλα μετεχειρίσατο, καὶ ἐν ἑκατέροις ἐκράτησε. καὶ ὅτε μὲν πλούσιος ἦν, ἔλεγεν·
Ιωβ. α. κα. Ἡ θύρα μου παντὶ ἐλθόντι ἀνέῳκτο. ὅτε δὲ πένης γέγονεν, ἔλεγεν· Ὁ Κύριος ἔδωκεν, ὁ
Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο. ὅτε πλούσιος ἦν, πολλὴν τὴν φιλοξενίαν·
ὅτε πένης γέγονε, πολλὴν τὴν ὑπομονὴν ἐπεδείξατο. καὶ σὺ τοίνυν πλούσιος εἶ;
πολλὴν ἐπιδείκνυσο τὴν ἐλεημοσύνην. πένης γέγονας; πολλὴν τὴν καρτερίαν καὶ τὴν ὑπομονήν.
οὔτε γὰρ πλοῦτος κακόν, οὔτε πενία ἁπλῶς· ἀλλὰ παρὰ τὴν προαίρεσιν τῶν χρωμένων
ἑκάτερα ταῦτα γίνεται. παιδεύσωμεν τοίνυν ἑαυτοὺς μὴ τοιαύτας περὶ τῶν πραγμάτων
ἔχειν τὰς κρίσεις, μηδὲ τὰ ἔργα τοῦ Θεοῦ, ἀλλὰ τὴν προαίρεσιν τὴν πονηρὰν τῶν
ἀνθρώπων διαβάλλειν. τοὺς μικροψύχους οὐδὲ ὁ πλοῦτος ὠφελῆσαι δύναται· τοὺς μεγαλοψύχους
οὐδὲ ἡ πενία καταβλάψειε ποτέ.

Ἐπιγνῶμεν τοίνυν τὰς παγίδας, καὶ πόῤῥωθεν αὐτῶν βαδίζωμεν· ἐπιγνῶμεν τοὺς κρημνούς,
καὶ μηδὲ ἐγγὺς γινώμεθα. τοῦτο ἀσφαλείας ἡμῖν ἔσται μεγίστης ὑπόθεσις, τὸ μὴ τὰ
ἁμαρτήματα φεύγειν μόνον, ἀλλὰ καὶ τὰ ἀδιάφορα μὲν εἶναι δοκοῦντα, πρὸς δὲ τὰς ἁμαρτίας
ἡμᾶς ὑποσκελίζοντα. οἷόν τι λέγω· τὸ γελᾶν καὶ ἀστεῖα λέγειν οὐ δοκεῖ μὲν ὡμολογημένον
ἁμάρτημα εἶναι· ἄγει δὲ εἰς " ὁμολογούμενον ἁμάρτημα. πολλάκις γοῦν ἀπὸ γέλωτος
αἰσχρὰ ῥήματα τίκτεται, ἀπὸ δὲ ῥημάτων αἰσχρῶν πράξεις αἰσχρότεραι. πολλάκις ἀπὸ
ῥημάτων καὶ γέλωτος λοιδορία καὶ ὕβρις· ἀπὸ λοιδορίας δὲ καὶ ὕβρεως πληγαὶ καὶ τραύματα·
ἀπὸ τραυμάτων καὶ πληγῶν σφαγαὶ καὶ φόνοι. ἂν τοίνυν μέλλῃς περὶ σαυτοῦ καλῶς βουλεύεσθαι,
οὐχὶ τὰ αἰσχρὰ ῥήματα μόνον, οὐδὲ τὰ αἰσχρὰ πράγματα, οὐδὲ τὰς πληγάς,
καὶ τὰ τραύματα, καὶ τοὺς φόνους, ἀλλὰ καὶ αὐτὸν τὸν ἄκαιρον γέλωτα καὶ αὐτὰ τὰ ἀστεῖα ἀποφεύξῃ
ῥήματα· ἐπειδὴ τῶν μετὰ ταῦτα κακῶν ῥίζα ταῦτα ἐγένετο. διὰ τοῦτο ὁ Παῦλός φησι,
Εφ. ε. γ. Μωρολογία καὶ εὐτραπελία μὴ ἐκπορευέσθω ἐκ τοῦ στόματος ὑμῶν. εἰ γὰρ καὶ αὐτὸ
καθ' ἑαυτὸ μικρὸν εἶναι δοκεῖ, ἀλλὰ μεγάλων ἡμῖν κακῶν αἴτιον γίνεται. πάλιν τὸ τρυφᾶν οὐ
δοκεῖ μὲν ἔγκλημα εἶναι φανερὸν καὶ ὡμολογημένον, καὶ μεγάλα ἡμῖν τίκτει τὰ κακά, μέθην, " παράνοιαν, πλεονεξίαν, ἁρπαγάς. ὁ γὰρ δαπανηρός, καὶ πολυτελής, καὶ λειτουργίας
τῇ γαστρὶ λειτουργῶν ἀφορήτους, καὶ κλέπτειν ἀναγκάζεται πολλάκις, καὶ τὰ ἑτέρων
ἁρπάζειν, καὶ πλεονεκτεῖν, καὶ βιάζεσθαι. ἂν τοίνυν φύγῃς τὸ τρυφᾶν, καὶ πλεονεξίας καὶ
ἁρπαγῆς καὶ μέθης καὶ μυρίων κακῶν τὴν ὑπόθεσιν ἀνεῖλες, πόῤῥωθεν τὴν ῥίζαν ἐκτεμὼν
α. Τιμ. ε. ς. τῆς πονηρίας. διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγεν· ὅτι Ἡ σπαταλῶσα, ζῶσα τέθνηκε. τὸ εἰς
θέατρα ἀναβαίνειν πάλιν, καὶ ἵππων " ἅμιλλαν θεωρεῖν καὶ κυβεύειν οὐ δοκεῖ πλημμέλημα τοῖς
πολλοῖς ὡμολογημένον εἶναι· μυρία δὲ εἰς τὸν βίον εἰσάγει κακά. καὶ γὰρ ἡ ἐν τοῖς θεάτροις
διατριβὴ, πορνείας, ἀκολασίας, ἀσελγείας ἁπάσας ἔτεκε· καὶ ἡ τῆς ἁμίλλης τῶν
ἵππων θεωρία μάχας, λοιδορίας, πληγάς, ὕβρεις, ἀπεχθείας διηνεκεῖς ἐπήγαγε· καὶ ἡ
περὶ τὸ κυβεύειν σπουδὴ βλασφημίας, ζημίας, ὀργάς, λοιδορίας, μυρία ἕτερα τούτων δεινότερα
πολλάκις εἰργάσατο. μὴ τοίνυν τὰ ἁμαρτήματα φεύγωμεν μόνον, ἀλλὰ καὶ τὰ
δοκοῦντα μὲν ἀδιάφορα εἶναι, κατὰ μικρὸν δὲ ἡμᾶς εἰς τὰς πλημμελείας ἄγοντα ταῦτα.
καὶ γὰρ ὁ παρὰ κρημνὸν βαδίζων, κἂν μὴ καταπέσῃ, τρέμει, καὶ πολλάκις ὑπ' αὐτοῦ τοῦ
τρόμου περιτραπεὶς, κατέπεσεν· οὕτω καὶ ὁ μὴ πόῤῥωθεν φεύγων τὰς ἁμαρτίας, ἀλλ' ἐγγὺς αὐτῶν
βαδίζων, μετὰ φόβου βιώσεται, καὶ πολλάκις εἰς αὐτὰς ἐμπεσεῖται. καὶ γὰρ ὁ τὰ ἀλλότρια
Ματθ. ε. περιεργαζόμενος κάλλη, κἂν μὴ μοιχεύσῃ, τέως ἐπεθύμησε, καὶ γέγονε κατὰ τὴν ἀπόφασιν
τοῦ Χριστοῦ μοιχός. πολλάκις δὲ ὑπ' αὐτῆς τῆς ἐπιθυμίας καὶ εἰς τὴν διὰ τῆς
πείρας ἁμαρτίαν καταφέρεται. πόῤῥωθεν τοίνυν ἑαυτοὺς " ἀποστέλλωμεν τῶν ἁμαρτημάτων.
βούλει σωφρονεῖν; μὴ φύγῃς μοιχείαν μόνον, ἀλλὰ καὶ ἀκόλαστον ὄψιν. βούλει ῥημάτων αἰ-

σχρῶν εἶναι μακράν; μὴ τὰ αἰσχρὰ ῥήματα φύγῃς μόνον, ἀλλὰ καὶ γέλωτα ἄτακτον καὶ ἐπιθυμίαν ἅπασαν. Βούλει φόνων εἶναι πόῤῥω; φεῦγε καὶ λοιδορίας. Βούλει μέθης ἀφίστασθαι; φεῦγε τρυφὰς καὶ τὰς πολυτελεῖς τραπέζας, καὶ πρόῤῥιζον τὴν κακίαν ἀνάσπασον. Μεγάλη παγὶς, γλώσσης ἀκολασία, καὶ σφόδρα δεομένη τοῦ χαλινοῦ. Διὰ τοῦτο καί τίς φησι· Παγὶς ἰσχυρὰ ἀνδρὶ τὰ ἴδια χείλη, καὶ ἁλίσκεται ῥήμασιν ἰδίου στόματος. Πρὸ τῶν ἄλλων τοίνυν ἁπάντων μελῶν ταύτην σωφρονίσωμεν, ταύτην χαλινώσωμεν, καὶ λοιδορίας καὶ ὕβρεις καὶ αἰσχρολογίας καὶ κακηγορίας ἀπὸ τοῦ στόματος ἐξελάσωμεν καὶ τὴν πονηρὰν τῶν ὅρκων συνήθειαν. Πάλιν γὰρ ἡμᾶς ἐπὶ τὴν αὐτὴν παραίνεσιν ὁ λόγος ἤγαγε· καίτοιγε ἑσπέρας συνεταξάμην ὑμῶν τῇ ἀγάπῃ, ὡς οὐκ ἔτι περὶ τῆς ἐντολῆς ταύτης ἐρῶ, διὰ τὸ πάσας τὰς ἔμπροσθεν ἡμέρας ἀρκούντως περὶ αὐτῆς διειλέχθαι. Ἀλλὰ τί πάθω; ἕως ἂν ἴδω κατορθώσαντας, οὐ στέγω τῆς συμβουλῆς ἀποσχέσθαι. Ἐπεὶ καὶ Παῦλος Γαλάταις λέγων, Τοῦ λοιποῦ κόπους μοι μηδεὶς παρεχέτω, πάλιν αὖθις φαίνεται συγγενόμενος καὶ διαλεχθείς. Τοιαῦτα τὰ σπλάγχνα τὰ πατρικά. Κἂν εἴπωσιν ἀφίστασθαι, οὐκ ἀφίστανται, ἕως ἂν ἴδωσι σωφρονισθέντας αὐτῶν τοὺς παῖδας. Ἠκούσατε τοῦ προφήτου σήμερον περὶ τῶν ὅρκων ἡμῖν διαλεγομένου. Ἐπέβλεψα τοῖς ὀφθαλμοῖς μου, καὶ εἶδον, φησὶ, καὶ ἰδοὺ δρέπανον πετόμενον μήκους πήχεων εἴκοσι, καὶ πλάτους πήχεων δέκα. Καὶ εἶπε πρός με· τί σὺ βλέπεις; καὶ εἶπον, ὁρῶ δρέπανον πετόμενον μήκους πήχεων εἴκοσι, καὶ πλάτους πήχεων δέκα. Καὶ εἰσελεύσεται εἰς τὸν οἶκον τοῦ ὀμνύοντος, φησὶ, τῷ ὀνόματί μου, καὶ καταλύσει ἐν τῷ μέσῳ, καὶ κατασκάψει τοὺς λίθους καὶ τὰ ξύλα. Τί ποτέ ἐστι τὸ εἰρημένον; καὶ τίνος ἕνεκεν ἐν τάξει δρεπάνης ἡ τοῖς ὀμνύουσιν ἐπαγομένη τιμωρία φαίνεται, καὶ δρεπάνης πετομένης; ἵνα τὸ ἄφυκτον τῆς δίκης καὶ τὸ ἀδιεξόδευτον τῆς κολάσεως ἴδῃς. Ξίφος μὲν γὰρ πετόμενον ἴσως τις διαδρᾶναι δυνήσεται, δρεπάνην δὲ εἰς τὸν τράχηλον ἐμπεσοῦσαν καὶ ἀντὶ σχοινίου γενομένην οὐδεὶς ἂν διαφύγοι. Ὅταν δὲ καὶ πτερὰ προσῇ, ποία λοιπὸν σωτηρίας ἐλπίς; τίνος δὲ ἕνεκεν τοὺς λίθους καὶ τὰ ξύλα καταλύει τοῦ ὀμνύοντος; ἵνα τοῖς ἄλλοις σωφρονισμὸς τὸ πάθος γένηται. Ἐπειδὴ γὰρ τὸν ὀμνύοντα ἀποθανόντα ἀνάγκη τῇ γῇ κρύπτεσθαι, ἡ οἰκία καταλυθεῖσα, καὶ χῶμα γενομένη τοῖς παριοῦσιν ἅπασι καὶ βλέπουσι παραινεῖ διὰ τῆς ὄψεως μὴ τὰ αὐτὰ τολμᾷν, ἵνα μὴ τὰ αὐτὰ πάθωσι, καὶ κατήγορος ἔσται τῆς τοῦ τετελευτηκότος ἁμαρτίας διηνεκής. Οὐχ οὕτω κεντεῖ ξίφος, ὡς ὅρκου φύσις· οὐχ οὕτως ἀναιρεῖ μάχαιρα, ὡς ὅρκου πληγή. Ὁ ὀμόσας, κἂν δοκῇ ζῇν, ἤδη τετελεύτηκε, καὶ τὴν πληγὴν ἐδέξατο. Καὶ καθάπερ ὁ τὸ σπαρτίον λαβὼν, καὶ πρὶν ἢ τὴν πόλιν ἐξελθεῖν καὶ ἐπὶ τὸ βάραθρον ἐλθεῖν καὶ δήμιον ἰδεῖν ἐφιστάμενον, τέθνηκεν ἅμα τῷ τὰς θύρας ἐξελθεῖν τοῦ δικαστηρίου· οὕτω καὶ ὁ ὀμόσας.

Παροιμ. ς. β.

Γαλατ. ς. ζ.

Ζαχ. ε. α.

Ταῦτα λογιζώμεθα, καὶ μὴ ὁρκίζωμεν τοὺς ἀδελφούς. Τί ποιεῖς, ἄνθρωπε; ἐπὶ τραπέζης ὁρκίζεις ἱερᾶς; καὶ ἔνθα ὁ Χριστὸς κεῖται τεθυμένος, ἐκεῖ τὸν ἀδελφὸν καταθύεις τὸν σόν; καὶ οἱ μὲν λῃσταὶ ἐπὶ τῶν ὁδῶν θύουσι, σὺ δὲ ἔμπροσθεν τῆς μητρὸς τὸν υἱὸν καταθύεις, ἐναγέστερον τοῦ Κάϊν αὐτοῦ ἐργαζόμενος φόνον. Ἐκεῖνος μὲν γὰρ ἔθυσε τὸν ἀδελφὸν ἐπὶ τῆς ἐρημίας, καὶ τὸν παρόντα θάνατον· σὺ δὲ θύεις τὸν ἀδελφὸν ἐν μέσῳ τῆς ἐκκλησίας, τὸν μέλλοντα θάνατον τὸν ἀθάνατον. Μὴ γὰρ ἐκκλησία διὰ τοῦτο γέγονεν, ἵνα ὀμνύωμεν; διὰ τοῦτο γέγονεν, ἵνα εὐχώμεθα. Μὴ γὰρ τράπεζα διὰ τοῦτο ἕστηκεν, ἵνα ὁρκίζωμεν; διὰ τοῦτο ἕστηκεν, ἵνα τὰ ἁμαρτήματα λύωμεν, οὐχ ἵνα δεσμῶμεν. Σὺ δὲ εἰ μηδὲν ἕτερον, αὐτὸ γοῦν τὸ βιβλίον αἰδέσθητι, ὃ προτείνεις εἰς ὅρκον· καὶ τὸ εὐαγγέλιον, ὃ μετὰ χεῖρας λαμβάνων κελεύεις ὀμνύναι, ἀνάπτυξον, καὶ ἀκούσας τί περὶ τῶν ὅρκων ὁ Χριστὸς ἐκεῖ διαλέγεται, φρῖξον καὶ ἀπόστηθι. Τί οὖν ἐκεῖ περὶ ὅρκων φησίν; Ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως· σὺ δὲ τὸν νόμον τὸν κωλύοντα ὀμνύναι, τοῦτον ὅρκον ποιεῖς. Ὢ τῆς ὕβρεως, ὢ τῆς παρανοίας. Ταύ-

Ματθ. ε. λδ.

τὸν γὰρ ποιεῖς, ὥσπερ ἂν εἴ τις τὸν νομοθέτην τὸν κωλύοντα φονεύειν, αὐτὸν σύμμαχον γενέσθαι κελεύοι πρὸς τὴν σφαγήν. οὐχ οὕτω στένω καὶ δακρύω σφαζομένους ἀκούων τινὰς ἐν ταῖς ὁδοῖς, ὡς στένω καὶ δακρύω καὶ φρίττω, ἐπειδὰν ἴδω τινὰ πλησίον τῆς τραπέζης ταύτης ἐλθόντα, καὶ τὰς χεῖρας θέντα, καὶ τῶν εὐαγγελίων ἁψάμενον, καὶ ὀμνύοντα. περὶ χρημάτων ἀμφιβάλλεις, εἰπέ μοι, καὶ ψυχὴν ἀναιρεῖς; τί τοσοῦτον κερδαίνεις, ὅσον ζημιοῖς καὶ σαυτὸν *, καὶ τὸν πλησίον; εἰ μὲν πιστεύεις, ὅτι ἀληθής ἐστιν ὁ ἀνὴρ, μὴ ἐπαγάγῃς τοῦ ὅρκου τὴν ἀνάγκην· εἰ δὲ οἶδας, ὅτι ψεύδεται, μὴ ἀναγκάσῃς ἐπιορκεῖν. ἀλλ' ἵνα πληροφορηθῶ, φησιν. ὅταν μὲν οὖν μὴ ὁρκίσῃς, τότε ἱκανὴν δέξῃ πληροφορίαν. νῦν μὲν γὰρ ἀναχωρήσας οἴκαδε, κατεσθίῃ διηνεκῶς ὑπὸ τοῦ συνειδότος, ταῦτα λογιζόμενος· ἆρα μὴ μάτην ″ὥρκωσα; ἆρα μὴ ἐπιώρκησεν; ἆρα μὴ ἐγὼ τῆς ἁμαρτίας ἐγενόμην αἴτιος; ἂν δὲ μὴ ὁρκώσῃς, ἀναχωρήσας οἴκαδε πολλὴν δέξῃ παραμυθίαν, εὐχαριστῶν τῷ Θεῷ καὶ λέγων, εὐλογητὸς ὁ Θεὸς, ὅτι κατέσχον ″ἐμαυτὸν, καὶ οὐχ ὥρκωσα εἰκῆ οὐδὲ μάτην. οἰμωζέτω τὸ χρυσίον, ἀπολλύσθω τὰ χρήματα· ὥστε πληροφορίαν ἡμῖν τοῦτο ἐντίθησι μάλιστα, τὸ μὴ παραβῆναι τὸν νόμον, μηδὲ ἕτερον ἀναγκάσαι τοῦτο ποιῆσαι. ἐννόησον διὰ τίνα οὐχ ″ὥρκωσας, καὶ ἀρκέσει σοι τοῦτο εἰς παραμυθίαν καὶ παράκλησιν. πολλάκις γοῦν μάχης γινομένης ὑβριζόμενοι φέρομεν γενναίως, καὶ πρὸς τὸν ὑβρίζοντα λέγομεν, τί σοι ″ποιήσω; ὁ δεῖνά με ″κωλύει, ὁ προστάτης ὁ σός· ἐκεῖνός μου κατέχει τὰς χεῖρας· καὶ ἀρκεῖ τοῦτο ἡμῖν εἰς παραμυθίαν. οὕτω καὶ σὺ ἐπειδὰν μέλλῃς τινὰ ὁρκίζειν, ἐπίσχες σαυτὸν καὶ κώλυσον, καὶ εἰπὲ πρὸς τὸν μέλλοντα ὀμνύναι· τί σοι ποιήσω; ὁ Θεὸς ἐκέλευσε μὴ ὁρκίζειν· ἐκεῖνός με κατέχει νῦν. ἀρκεῖ τοῦτο καὶ εἰς τιμὴν τοῦ νομοθετήσαντος, καὶ εἰς ἀσφάλειαν σὴν, καὶ εἰς φόβον τοῦ μέλλοντος ὀμνύναι. ὅταν γὰρ ἐκεῖνος ἴδῃ, ὅτι ὁρκῶσαι ἑτέρους οὕτω δεδοίκαμεν, πολλῷ μᾶλλον αὐτὸς ὀμόσαι προπετῶς φοβηθήσεται. ἂν τοῦτο φθέγξῃ τὸ ῥῆμα, μετὰ πολλῆς οἴκαδε ἀναχωρήσεις τῆς πληροφορίας. ἄκουσον τοῦ Θεοῦ ἐν ταῖς ἐντολαῖς, ἵνα καὶ σοῦ αὐτὸς ἀκούσῃ ἐν ταῖς ″εὐχαῖς. τοῦτο τὸ ῥῆμα ἐγγραφήσεται ἄνω, καὶ παραστήσεταί σοι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, καὶ πολλὰς ἁμαρτίας διαλύσεται. καὶ τοῦτο μὴ ἐπὶ τοῦ ὅρκου μόνον, ἀλλὰ καὶ ἐπὶ πάντων τῶν πραγμάτων λογιζώμεθα· καὶ ὅταν μέλλωμέν τι ποιεῖν διὰ * Θεὸν ἀγαθὸν, εἶτα φέρει ζημίαν τινὰ, μὴ τὴν ζημίαν τὴν ἐκ τοῦ πράγματος βλέπωμεν μόνον, ἀλλὰ καὶ τὸ κέρδος, ὃ καρπωσόμεθα ἐκ τοῦ διὰ τὸν Θεὸν ποιῆσαι. οἷόν τι λέγω· ὕβρισέ σέ τις; φέρε γενναίως. [οἴσεις δὲ γενναίως,] ἂν μὴ τὴν ὕβριν ἐννοήσῃς μόνον, ἀλλὰ καὶ τὸ ἀξίωμα τοῦ κελεύσαντος φέρειν, καὶ ″οἴσεις πράως. ἔδωκας ἐλεημοσύνην; μὴ τὴν δαπάνην ἐννόει, ἀλλὰ [καὶ] τὴν πρόσοδον τὴν ἀπὸ τῆς δαπάνης. ἐζημιώθης χρήματα; εὐχαρίστησον, καὶ μὴ τὴν ὀδύνην τὴν ἀπὸ τῆς ζημίας ἴδῃς μόνον, ἀλλὰ καὶ τὸ κέρδος τὸ ἀπὸ τῆς εὐχαριστίας. ἂν οὕτως ἑαυτοὺς ῥυθμίζωμεν, οὐδὲν ἡμᾶς λυπήσει τῶν ἐμπιπτόντων δεινῶν, ἀλλὰ καὶ κερδανοῦμεν ἀπὸ τῶν δοκούντων εἶναι λυπηρῶν· καὶ ζημία πλούτου, καὶ λύπη ἡδονῆς καὶ εὐφροσύνης, καὶ ὕβρις τιμῆς ἡδίων ἔσται καὶ ποθεινοτέρα, καὶ τὰ ἐναντία πάντα εἰς κέρδος ἡμῖν ἀποβήσεται, καὶ ἐνταῦθα πολλῆς ἀπολαυσόμεθα τῆς γαλήνης, κἀκεῖ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτευξόμεθα· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΦΗΜΙΣΘΕΙΣΗΣ ″ΕΙΣ ΤΟΝ ΑΡΧΟΝΤΑ ΠΡΑΙΔΑΣ, καὶ πάντων περὶ φυγῆς βουλευομένων, καὶ τοῦ ″κόμητος εἰσελθόντος εἰς τὴν ἐκκλησίαν καὶ παρακαλέσαντος, ταῦτα ἐλέχθη· καὶ περὶ τοῦ μὴ ὀμνύειν, καὶ εἰς τὸ ἀποστολικὸν ῥητὸν, Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ. Λογ. ις.

Φιλημ. α.

* καὶ τὴν ψυχήν σου,
γρ. ὥρκισας
γρ. ἐμαυτὸν
γρ. ὥρκισας
γρ. ποιήσω, ὁ δεῖνα; μὴ λοιδόρησας· ὁ προστάτης ὁ σὸς ἐκώλυσε
γρ. ἐλοιδόρησεν
γρ. [illegible]
* τὸν
γρ. οἴσει
γρ. αὐτὸν
γρ. ἄρχοντα

Τοὺς ἄρχοντας μὲν ἐπῄνεσα τῆς κηδεμονίας, ὅτι τεθορυβημένην τὴν πόλιν ἰδὼν καὶ πάντας περὶ φυγῆς βουλευομένους, εἰσελθὼν παρεκάλεσέ τε ὑμᾶς, καὶ εἰς χρηστὰς ἤγαγεν ἐλπίδας· ὑπὲρ ὑμῶν δὲ ᾐσχύνθην καὶ ἠρυθρίασα, ὅτι τῆς ἔξωθεν ἐδεήθητε παρακλήσεως μετὰ τοὺς πολλοὺς καὶ μακροὺς λόγους ἐκείνους. ηὐξάμην διαστῆναί μοι τὴν γῆν καὶ καταδῦναι, ὅτι ἤκουον αὐτοῦ πρὸς ὑμᾶς διαλεγομένου, καὶ νῦν μὲν παραμυθουμένου, νῦν δὲ αἰτιωμένου τὴν ἄκαιρον ταύτην καὶ ἄλογον δειλίαν. οὐ γὰρ ὑμᾶς παρ' ἐκείνου διδάσκεσθαι ἔδει, ἀλλ' ὑμᾶς τοῖς ἀπίστοις ἅπασι γίνεσθαι διδασκάλους. οὐ γὰρ δικάζεσθαι παρὰ τοῖς ἀπίστοις ὁ Παῦλος ἐπέτρεψε, σὺ δὲ διδασκάλων τῶν ἔξωθεν α Κορ. ϛ. α. ἐδεήθης μετὰ τὴν τοσαύτην τῶν πατέρων παραίνεσιν; καὶ δραπέται καὶ μαστιγίαι τινὲς πόλιν τοσαύτην μετεώρισαν καὶ εἰς φυγὴν ἐνέβαλον; ποίοις ὀφθαλμοῖς ἀντιβλέψομεν λοιπὸν τοὺς ἀπίστους οὕτω ψοφοδεεῖς ὄντες καὶ δειλοί; ποίᾳ γλώττῃ πρὸς αὐτοὺς διαλεξόμεθα, καὶ πείσομεν θαρρεῖν ὑπὲρ τῶν ἐπιόντων δεινῶν, λαγωοῦ παντὸς δειλότεροι διὰ τῆς ἀγωνίας γινόμενοι ταύτης; καὶ τί πάθωμεν, φησίν; ἄνθρωποι γάρ ἐσμεν. δι' αὐτὸ μὲν οὖν τοῦτο οὐ χρὴ θορυβεῖσθαι, ἐπειδὴ ἄνθρωποί ἐσμεν, καὶ οὐκ ἄλογα. ἐκεῖνα ἀπὸ ψόφων καὶ κτύπων ἁπάντων σοβεῖται (οὐ γὰρ ἔχει λογισμὸν τὸν δυνάμενον ἀποκρούσασθαι τὸ δέος) σὺ δὲ λόγῳ καὶ λογισμῷ τετιμημένος, πῶς εἰς τὴν ἐκείνων καταπίπτεις εὐτέλειαν; εἰσῆλθέ τις, ἀπήγγειλεν ἔφοδον στρατιωτῶν. μὴ θορυβηθῇς, ἀλλ' ἀφεὶς αὐτὸν, κλῖνον τὰ γόνατα, τὸν δεσπότην σου παρακάλεσον, στέναξον πικρὸν, καὶ ἀποκρούσεται τὸ δεινόν. σὺ μὲν στρατιωτῶν ἔφοδον ἀκούσας οὐκ ἀληθῆ, καὶ τῆς ζωῆς ἀπορραγῆναι ἐκινδύνευσας τῆς παρούσης· ὁ δὲ μακάριος Ἰὼβ ἐκεῖνος ἐπαλλήλων ἀγγέλων ἐρχομένων καὶ τὰ δεινὰ ἀπαγγελλόντων ἀκούων, καὶ πρὸς αὐτοῖς τὴν ἀφόρητον τῶν παίδων ἀπώλειαν, οὐκ ἀνῴμωξεν, οὐκ ἐστέναξεν, ἀλλ' ἐπὶ προσευχὴν ἐτρέπετο, καὶ εὐχαρίστει τῷ δεσπότῃ. τοῦτον καὶ σὺ μίμησαι, καὶ ὅταν ἔλθῃ τις ἀπαγγέλλων, ὅτι στρατιῶται τὴν πόλιν ἐκύκλωσαν, καὶ τὰς οὐσίας διαρπάζειν μέλλουσι, πρὸς τὸν δεσπότην σου κατάφυγε, καὶ εἰπέ· Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος Ἰωβ α. κα. ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο. εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. ἐκεῖνον οὐκ ἐφόβησεν ἡ πεῖρα τῶν πραγμάτων· σὲ καὶ ἡ ἀκοὴ μόνη πτοεῖ; καὶ τίνος ἂν εἴημεν ἄξιοι λόγου, οἱ καὶ θανάτου κατατολμᾶν κελευσθέντες, * ὑπὸ φήμης ψευδοῦς οὕτω πτοούμενοι; ὁ θορυβούμενος καὶ τὸν οὐκ ὄντα φόβον συνίστησι, καὶ ταραχὴν τὴν μὴ φαινομένην ἐπάγει· ὁ δὲ ἐν καταστάσει καὶ γαλήνῃ ψυχῆς ὢν καὶ τὸν ὄντα διαλύει*. οὐχ ὁρᾷς τοὺς κυβερνήτας, ὅτι τῆς θαλάττης μαινομένης, νεφῶν συντρεχόντων, βροντῶν καταρρηγνυμένων, πάντων τῶν ἐπὶ τοῦ πλοίου θορυβουμένων, ἐπὶ τῶν οἰάκων αὐτοὶ κάθηνται χωρὶς θορύβου καὶ ταραχῆς, τῇ τέχνῃ τῇ ἑαυτῶν προσέχοντες, καὶ σκοποῦντες, ὅπως τὸν ἐπιόντα διακρούσωνται κλύδωνα; τούτους καὶ σὺ μίμησαι, καὶ τῆς ἱερᾶς ἀγκύρας ἐπιλαβόμενος, τῆς εἰς τὸν Θεὸν ἐλπίδος, ἄσειστος μένε καὶ ἀπερίτρεπτος. Πᾶς, ὅστις ἀκούει μου τοὺς λόγους τούτους, Ματθ. ζ. κϛ. φησὶ, καὶ οὐ ποιεῖ αὐτοὺς, ὁμοιωθήσεται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησεν αὐτοῦ τὴν οἰκίαν ἐπὶ τὴν ἄμμον· καὶ κατέβη ἡ βροχὴ, ἦλθον οἱ ποταμοὶ, ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέρρηξαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ κατέπεσε· καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη. ὁρᾷς, ὅτι ἀνοίας ἐστὶ τὸ προχείρως ἐκπίπτειν καὶ περιτρέπεσθαι; μᾶλλον δὲ ἡμεῖς οὐδὲ κατὰ τὸν μωρὸν ἐκεῖνον ἐγενόμεθα, ἀλλὰ καὶ ἐκείνου ἀθλιώτερον κατεπέσομεν. ἐκείνου μὲν γὰρ ἡ οἰκία μετὰ ποταμοὺς, μετὰ τὸ κατενεχθῆναι τοὺς ὑετοὺς, μετὰ τὸ προσπεσεῖν τοὺς ἀνέμους κατέπεσεν· ἡμεῖς δὲ οὐκ ἀνέμων ἐπελθόντων, οὐ ποταμῶν προσρηξάντων, οὐ πνευμάτων προσβαλλόντων, πρὸ τῆς πείρας τῶν δεινῶν ἀπὸ τῆς ἀκοῆς μόνης περιετράπημεν, καὶ πάντα, ἅπερ ἐφιλοσοφοῦμεν, ἐξεχέαμεν. ποίαν

οἴεσθέ μου τὴν διάνοιαν εἶναι νῦν; πῶς ἐγκαλύπτεσθαι; πῶς καταδύεσθαι; πῶς ἐρυθριᾷν; εἰ μὴ πολλὴν παρὰ τῶν πατέρων ὑπέστην ἀνάγκην, οὐδ᾽ ἂν ἀνέστην, ὑπὸ τῆς ἀθυμίας σκοτωθεὶς τῆς ἐπὶ τῇ μικροψυχίᾳ τῇ ὑμετέρᾳ. ἀλλ᾽ οὐδὲ νῦν δεδύνημαι εἰς ἐμαυτὸν ἐπανελθεῖν· οὕτω μοι καὶ θυμὸς καὶ ἀθυμία πολιορκεῖ τὴν ψυχήν. τίς οὐκ ἂν ἀγανακτήσειε, τίς οὐκ ἂν δυσχεράνειεν, ὅταν μετὰ τοσαύτην διδασκαλίαν ἐλλιπῶν δέησθε διδασκάλων εἰς τὸ παρακληθῆναι καὶ πεισθῆναι γενναίως ἐνεγκεῖν τὸν παρόντα φόβον; εὔξασθε τοίνυν δοθῆναι λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῖν, δυνηθῆναί τε τὴν ἀθυμίαν ἡμᾶς ἀποτινάξασθαι ταύτην, καὶ μικρὸν ἀναστῆναι. καὶ γὰρ σφόδρα κατέβαλεν ἡμῶν τὴν ψυχὴν ἡ ὑπὸ τῆς ὑμετέρας μικροψυχίας αἰσχύνη. πολλὰ πρῴην διελέχθην πρὸς τὴν ὑμετέραν ἀγάπην περὶ παγίδων τῶν πανταχόθεν ἡμῖν κειμένων, περὶ φόβου καὶ ἀθυμίας, περὶ πένθους καὶ ἡδονῆς, καὶ περὶ τῆς δρεπάνης τῆς περὶ τὰς οἰκίας τῶν ὀμνυόντων πετομένης. ἀπὸ τῶν
Ζαχ. ε α. πολλῶν δὴ τούτων μάλιστα πάντων ἐκεῖνα διαμνημονεύσατέ μοι τὰ περὶ τῆς δρεπάνης εἰρημένα τῆς πετομένης, καὶ εἰς τὴν οἰκίαν τοῦ ὀμνύοντος καταλυούσης, καὶ τοὺς λίθους καὶ τὰ ξύλα κατασκαπτούσης καὶ δαπανώσης ἅπαντα. καὶ μετὰ τούτου κἀκεῖνο φυλάττετε, ὅτι τῆς ἐσχάτης ἀνοίας ἐστὶν εὐαγγέλιον λαμβάνοντας ὀμνύναι, καὶ τὸν νόμον τὸν κωλύοντα ὀμνύναι, τοῦτον ὅρκον ποιεῖσθαι· καὶ ὅτι βέλτιον ζημιοῦσθαι χρήματα, ἢ τοῖς πλησίον ὅρκον ἐπάγειν· ὅτι κἂν μὴ τοῦτο εἰς τὸν Θεὸν γίνεται τιμή. ὅταν γὰρ εἴπῃς τῷ Θεῷ, ὅτι διὰ σὲ οὐχ ὥρκωσα τὸν δεῖνα τὸν κεκλοφότα καὶ κακουργήσαντα, ἀντὶ ταύτης σοι τῆς τιμῆς πολλὴν καὶ κατὰ τὸν παρόντα αἰῶνα, καὶ μετὰ ταῦτα ἀποδώσει τὴν ἀμοιβήν. ταῦτα καὶ πρὸς ἑτέρους λέγετε, καὶ αὐτοὶ διαφυλάττετε. οἶδα ὅτι ἐνταῦθα εὐλαβέστεροι γινόμεθα, καὶ πᾶσαν πονηρὰν συνήθειαν ἀποτιθέμεθα· ἀλλὰ τὸ ζητούμενον οὐ τοῦτό ἐστιν, ἵνα ἐνταῦθα φιλοσοφῶμεν μόνον, ἀλλ᾽ ἵνα καὶ ἔξω τὴν εὐλάβειαν ταύτην λαβόντες ἀπέλθωμεν, ὅπου μάλιστα αὐτῆς δεόμεθα. καὶ γὰρ οἱ ὑδρευόμενοι οὐ παρὰ τὴν κρήνην μόνον ἔχουσι πεπληρωμένα τὰ ἀγγεῖα, οἴκοι δὲ ἀπελθόντες κενοῦσιν· ἀλλ᾽ ἐκεῖ μάλιστα αὐτὰ μετὰ ἀσφαλείας ἀποτίθενται, ὥστε μὴ περιτραπῆναι καὶ μάταιον γενέσθαι τὸν πόνον. τούτους καὶ ἡμεῖς μιμησώμεθα· καὶ οἴκοι γενόμενοι τηρῶμεν μετὰ ἀκριβείας τὰ εἰρημένα. ὡς ἐὰν ἐνταῦθα μὲν ἦτε πεπληρωμένοι, οἴκοι δὲ ἀναχωρῆτε κενοί, τὰ ἀγγεῖα τῆς διανοίας ὑμῶν ἔρημα τῆς ἀκροάσεως ἔχοντες, οὐδὲν ἔσται ἐκ τῆς ἐνταῦθα πληρώσεως ὑμῖν ὄφελος. μή μοι δείξῃς ἐν τῇ παλαίστρᾳ τὸν ἀθλητήν, ἀλλ᾽ ἐν τῷ σκάμματι· μή μοι * τὴν εὐλάβειαν κατὰ τὸν καιρὸν τῆς ἀκροάσεως, ἀλλὰ κατὰ τὸν καιρὸν τῆς πράξεως. ἐπαινεῖς τὰ λεγόμενα νῦν, ὅταν ἔλθῃς ὀμόσαι, πάντων αὐτῶν ἀναμνήσθητι τότε. ἂν ταχέως τοῦτον κατορθώσητε τὸν νόμον, καὶ ἐφ᾽ ἕτερα μείζονα τὴν διδασκαλίαν παράξομεν. ἰδοὺ δεύτερον ἔτος ἔχω τοῦτο διαλεγόμενος πρὸς τὴν ὑμετέραν ἀγάπην, καὶ οὐδὲ ἑκατὸν στίχους τῶν γραφῶν ὑμῖν ἐξηγήσασθαι ἴσχυσα. τὸ δὲ αἴτιον, ὅτι παρ᾽ ἡμῶν δέεσθε μανθάνειν, ἅπερ οἴκοθεν καὶ παρ᾽ ἑαυτῶν δύνασθε κατορθοῦν, καὶ τὸ πλέον ἡμῖν τῆς παραινέσεως εἰς τὸν ἠθικώτερον ἀναλίσκεται λόγον. ταῦτα δὲ οὐκ ἐχρῆν οὕτω γίνεσθαι, ἀλλὰ τὴν μὲν τῶν τρόπων ἐπιμέλειαν οἴκοθεν ὑμᾶς καὶ παρ᾽ ἑαυτῶν παιδεύεσθαι, τῶν γραφῶν δὲ τὰ νοήματα καὶ τὰς θεωρίας ἡμῖν ἐπιτρέπειν. εἰ δὲ καὶ ἐχρῆν καὶ παρ᾽ ἡμῶν ὑμᾶς ἀκοῦσαι, πλέον μιᾶς ἡμέρας οὐκ ἔδει. οὐδὲ γὰρ ποικίλον τι καὶ δυσεύρετόν ἐστι τὸ λεγόμενον, οὐδὲ κατασκευῆς δεόμενόν τινος. ὅταν γὰρ ὁ Θεὸς ἀποφαίνηται, σοφισμῶν οὐκ ἔστι χρεία. ὁ Θεὸς εἶπε, μὴ ὀμόσῃς· μὴ ἀπαίτει με λοιπὸν εὐθύνας. νόμος ἐστὶ βασιλικός. ὁ θεὶς αὐτὸν οἶδε τὸν λόγον τοῦ νόμου. εἰ μὴ συνέφερεν ἡμῖν, οὐκ ἂν ἐκώλυσεν, οὐκ ἂν ἀπηγόρευσε. βασιλεῖς εἰσφέρουσι νόμους, καὶ οὐχ ἅπαντας συμφερόντως πολλάκις (ἄνθρωποι γάρ εἰσι, καὶ οὐκ ἂν δύναιντο τὸ χρήσιμον οὕτως εὑρεῖν, ὥσπερ ὁ Θεός) ἀλλ᾽ ὅμως οὕτω πειθόμεθα. κἂν γυναῖκας ἀγώμεθα, κἂν διαθήκας ποιῶμεν, κἂν οἰκέτας ὠνεῖσθαι μέλλωμεν,

* δείξῃς

κἂν οἰκίας, κἂν ἀγρούς, κἂν ὁτιοῦν ἕτερον ποιῇς, οὐκ οἰκείᾳ γνώμῃ ταῦτα πράττομεν, ἀλλ' ″ὅπως ἂν ἐκεῖνοι διατάξωσι. καὶ τὰ ἡμέτερα διατιθέντες κατὰ γνώμην τὴν ἡμετέραν οὐκ ἐσμὲν κύριοι καθόλου, ἀλλὰ πολλαχοῦ ταῖς ἐκείνων δουλεύομεν γνώμαις· κἂν ποιήσωμέν τι παρὰ τὸ δοκοῦν ἐκείνοις, ἄκυρον καὶ ἄχρηστον γίνεται. Εἶτα τοῖς μὲν τῶν ἀνθρώπων νόμοις τοσαύτην ἀπονέμομεν* τιμήν, τοὺς δὲ τοῦ Θεοῦ νόμους οὕτω καταπατήσαμεν, εἰπέ μοι; καὶ ποίας ταῦτα συγγνώμης, ἢ ἀπολογίας ἄξια; Εἶπε, μὴ ὀμόσῃς. μὴ ἀντινομοθετήσῃς αὐτῷ διὰ τῶν πραγμάτων, ἵνα μετὰ ἀσφαλείας ἅπαντα καὶ ποιῇς καὶ λέγῃς.

Ἀλλὰ ″περὶ μὲν τούτων ἅλις· Φέρε δέ, τὴν ῥῆσιν ἐκ τῶν σήμερον ἀναγνωσθέντων παραθέντες ὑμῖν, καταπαύσωμεν τὸν λόγον. Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ, φησί, καὶ Τιμόθεος ὁ ἀδελφός. (Φιλημ. α.) μέγας ὁ τοῦ Παύλου χρηματισμός· οὐκ ἀρχῆς καὶ τιμῆς ὄνομα, ἀλλὰ δεσμὰ καὶ ἅλυσις. ἀληθῶς μέγας. καίτοι πολλὰ αὐτὸν ἕτερα λαμπρὸν ἐποίει, τὸ εἰς οὐρανὸν ἁρπαγῆναι τρίτον, τὸ εἰς παράδεισον ἀπενεχθῆναι, τὸ ἀκοῦσαι ἄρρητα ῥήματα· ἀλλ' οὐδὲν τούτων ἔθηκεν, ἀλλ' ἀντὶ πάντων τὴν ἅλυσιν. αὕτη γὰρ αὐτὸν ἐκείνων ἐπιφανέστερον ἐποίει καὶ λαμπρότερον. τί δήποτε; ὅτι ἐκεῖνα μὲν τῆς τοῦ δεσπότου φιλανθρωπίας ἐστὶ χαρίσματα· ταῦτα δὲ τῆς καρτερίας τοῦ δούλου καὶ τῆς ὑπομονῆς δείγματα. ἔθος δὲ τοῖς φιλοῦσιν ἐπ' ἐκείνοις μᾶλλον φρονεῖν, ἐφ' οἷς ἂν πάσχωσιν ὑπὲρ τῶν φιλουμένων, ἢ ἐφ' οἷς ἂν εὐεργετῶνται παρ' αὐτῶν. οὐχ οὕτω βασιλεὺς ἐπὶ τῷ διαδήματι ἐναβρύνεται, ὡς ἐκεῖνος ἐπὶ τοῖς δεσμοῖς ἐκαλλωπίζετο. καὶ μάλα εἰκότως. διάδημα μὲν γὰρ κόσμον μόνον φέρει τῇ στεφανουμένῃ κεφαλῇ, ἡ δὲ ἅλυσις καὶ κόσμον πολλῷ μείζονα καὶ ἀσφάλειαν. ὁ στέφανος ὁ βασιλικὸς πολλάκις προὔδωκε τὴν περικειμένην αὐτὸν κεφαλήν, καὶ μυρίους ἐπιβούλους ἐπεσπάσατο, καὶ εἰς τυραννίδος ἐπιθυμίαν ἐκάλεσε. καὶ ἐν πολέμοις δὲ οὕτως ἐστὶν ἐπισφαλὴς ὁ κόσμος οὗτος, ὡς κρύπτεσθαι αὐτὸν καὶ ἀποτίθεσθαι. διὸ γοῦν βασιλεῖς ἐν πολέμῳ τὸ σχῆμα ἀμείβοντες, οὕτως ἑαυτοὺς τοῖς πολεμοῦσιν ἀναμιγνύουσι. τοσαύτη ἡ προδοσία ἀπὸ τοῦ στεφάνου γίνεται. ἡ δὲ ἅλυσις οὐδὲν τοιοῦτον πράξειε τοὺς ἔχοντας· ἀλλὰ τοὐναντίον ἅπαν. ὅταν γὰρ πόλεμος ᾖ καὶ παράταξις πρὸς τοὺς δαίμονας καὶ τὰς ἀντικειμένας δυνάμεις, προβαλλόμενος αὐτὴν ὁ περικείμενος ἀποκρούεται τὰς ἐκείνων ἐφόδους. καὶ τῶν μὲν ἀρχόντων τῶν ἔξωθεν πολλοί, οὐχ ἡνίκα ἂν ἄρχωσιν, ἀλλὰ καὶ ἡνίκα ἂν παραλυθῶσι τῆς ἀρχῆς, περιφέρουσιν αὐτῆς τὸ ὄνομα, ὁ δεῖνα ἐξ ὑπάτων, λέγοντες, ὁ δεῖνα ἐξ ὑπάρχων· οὗτος δὲ ἀντὶ πάντων τούτων, Παῦλος δέσμιος, φησίν, Ἰησοῦ Χριστοῦ. καὶ μάλα εἰκότως. ἐκεῖναι μὲν γὰρ αἱ ἀρχαὶ οὐ πάντως εἰσὶ τῆς κατὰ ψυχὴν ἀρετῆς ″ἀπόδειξις (χρημάτων γὰρ εἰσὶν ὤνηταί, καὶ φίλων* ″κολακείας δέονται) αὕτη δὲ ἡ ἀρχὴ ἡ ἀπὸ τῶν δεσμῶν, τῆς κατὰ ψυχὴν ″φιλοσοφίας ἐστὶν″ ἔνδειγμα, καὶ τοῦ περὶ τὸν Χριστὸν πόθου τεκμήριον μέγιστον. κἀκεῖναι μὲν ἀποπηδῶσι ταχέως, αὕτη δὲ οὐκ ἔχει τὸν διαδεξόμενον ἡ ἀρχή. ἰδοὺ γοῦν ἐξ ἐκείνου μέχρι νῦν πόσος διεγένετο χρόνος, καὶ λαμπρότερον τὸ ὄνομα τοῦ δεσμίου γέγονε τούτου. οἱ ὕπατοι μὲν ἅπαντες, ὅσοι γεγόνασιν ἐν τοῖς ἔμπροσθεν χρόνοις, σεσίγηνται, καὶ οὐδὲ ἐκ προσηγορίας εἰσὶ γνώριμοι τοῖς πολλοῖς· τὸ δὲ τοῦ ″δεσμίου τούτου ὄνομα, τοῦ μακαρίου Παύλου, πολὺ μὲν ἐνταῦθα, πολὺ δὲ ἐν τῇ βαρβάρων χώρᾳ, πολὺ δὲ παρὰ Σκύθαις καὶ Ἰνδοῖς, κἂν πρὸς αὐτὰ τῆς οἰκουμένης ἔλθῃς τὰ πέρατα, ταύτης ἀκούσῃ τῆς προσηγορίας· καὶ ὅπουπερ ἄν τις ἀφίκηται, Παῦλον πανταχοῦ ἐν τοῖς ἁπάντων στόμασι περιφερόμενον εἴσεται. καὶ τί θαυμαστόν, εἰ ἐν γῇ καὶ θαλάττῃ, ὅπουγε καὶ ἐν τοῖς οὐρανοῖς πολὺ τὸ ὄνομα Παύλου παρὰ τοῖς ἀγγέλοις, παρὰ τοῖς ἀρχαγγέλοις καὶ ταῖς ἄνω δυνάμεσι, καὶ τῷ τούτων βασιλεῖ Θεῷ; καὶ ποταπὰ ἦν ἐκεῖνα, φησί, τὰ δεσμά, ὅτι τοσαύτην ἤνεγκε τῷ δεδεμένῳ τὴν δόξαν; οὐκ ἀπὸ σιδήρου κατεσκεύαστο; ἀπὸ σιδήρου μὲν κατεσκεύαστο, ἀλλὰ πολλὴν εἶχεν ἐπανθοῦσαν τοῦ πνεύματος τὴν χάριν, ἐπειδὴ διὰ τὸν Χριστὸν αὐτὰ περιέκειτο. ὢ τοῦ θαύματος. οἱ δοῦλοι ἐδέθησαν, ὁ δεσπότης ἐσταυρώθη, καὶ τὸ κήρυγμα καθ' ἑκάστην αὔξεται τὴν ἡμέραν· καὶ διὰ πραγμάτων, δι' ὧν ἐνομίζετο κωλύεσθαι, διὰ τούτων αὐξήθη· καὶ σταυρὸς καὶ δεσμά, ἅπερ ἐδόκει βδελυκτὰ εἶναι, ταῦτα νῦν σωτηρίας σύμβολα γέγονε, καὶ παντὸς χρυσίου τὸ σιδήριον ἐκεῖνο *τιμιώτερόν ἐστιν, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν αἰτίαν ταύτην καὶ τὴν ὑπόθεσιν. ἀλλ' ὁρῶ τι καὶ ζήτημα ἐντεῦθεν τικτόμενον ἡμῖν. κἂν προσέχητε, μετὰ ἀκριβείας καὶ τὸ ζητούμενον ἐρῶ, καὶ τὴν λύσιν προσθήσω. τί ποτ' οὖν ἐστὶ τὸ ζητούμενον; εἰσελθὼν οὗτος ὁ Παῦλός ποτε πρὸς τὸν Φῆστον, καὶ διαλεγόμενος αὐτῷ, καὶ ἀπολογούμενος περὶ τῶν ἐγκλημάτων, ὧν ἐπῆγον οἱ Ἰουδαῖοι, καὶ λέγων, πῶς εἶδε τὸν Ἰησοῦν, πῶς ἤκουσε τῆς μακαρίας ἐκείνης φωνῆς, πῶς διὰ πηρώσεως ἀνέβλεψε, πῶς ἔπεσε καὶ ἀνέστη, πῶς εἰσῆλθεν αἰχμάλωτος εἰς Δαμασκὸν χωρὶς δεσμῶν δεδεμένος, καὶ περὶ προφητῶν καὶ νόμου διαλεχθεὶς, καὶ δείξας, ὅτι κἀκεῖνοι προεῖπον ταῦτα ἅπαντα, εἷλε τὸν δικάζοντα, καὶ σχεδὸν ἔπεισε πρὸς ἑαυτὸν μεταστῆναι. τοιαῦται γὰρ αἱ τῶν ἁγίων ψυχαί. ἐπειδὰν εἰς κίνδυνον ἐμπέσωσιν, οὐχ ὅπως ἀπαλλαγῶσι τῶν κινδύνων, σκοποῦσιν, ἀλλ' ὅπως τοὺς ἐμβαλόντας θηρεύσαιεν, ἅπαντα πράττουσι· καθάπερ οὖν καὶ τότε ἐγένετο. εἰσῆλθεν ἀπολογησόμενος, καὶ τὸν δικαστὴν λαβὼν ἀπῄει. καὶ ταῦτα αὐτὸς ὁ δικαστὴς ἐμαρτύρησε λέγων· Ἐν ὀλίγῳ με πείθεις χριστιανὸν γενέσθαι. τοῦτο καὶ σήμερον γενέσθαι ἐχρῆν, καὶ τὸν ἄρχοντα τοῦτον εἰσελθόντα πρὸς ὑμᾶς αἰδεσθῆναι τὴν μεγαλοψυχίαν, τὴν φιλοσοφίαν, τὴν ἡσυχίαν ἅπασαν καὶ ἐκ τῆς καταστάσεως ὑμῶν διδασκαλίαν λαβόντα, ἀπελθόντα θαυμάσαι τὸν σύλλογον, ἐπαινέσαι δὲ τὸ συνέδριον, μαθεῖν καὶ ἀπ' αὐτῶν τῶν πραγμάτων, ὅσον τὸ μέσον ἑλλήνων τε καὶ χριστιανῶν. ἀλλ' ὅπερ ἔλεγον, ἐπειδὴ αὐτὸν εἷλεν ὁ Παῦλος, κἀκεῖνος εἶπεν, ἐν ὀλίγῳ με πείθεις χριστιανὸν γενέσθαι, ἀπεκρίνατο ὁ Παῦλος οὕτως· Εὐξαίμην ἂν ἔγωγε καὶ ἐν ὀλίγῳ καὶ ἐν πολλῷ οὐ μόνον σε, ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου γενέσθαι χριστιανοὺς, ἐκτὸς τῶν δεσμῶν τούτων. τί λέγεις, ὦ Παῦλε; ὅταν μὲν Ἐφεσίοις γράφῃς, λέγεις· Παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ περιπατῆσαι ἀξίως τῆς κλήσεως, ἧς ἐκλήθητε. καὶ ὅταν πρὸς Τιμόθεον διαλέγῃ· Ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν, ὡς κακοῦργος. καὶ ὅταν πρὸς Φιλήμονα πάλιν, Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ. καὶ ὅταν Ἰουδαίοις συνδικάζῃ λέγεις· Ἕνεκεν τῆς ἐλπίδος τοῦ Ἰσραὴλ τὴν ἅλυσιν ταύτην περίκειμαι. καὶ Φιλιππησίοις γράφων λέγεις, Ὥστε τοὺς πλείονας τῶν ἀδελφῶν πεποιθότας τοῖς δεσμοῖς μου περισσοτέρως τολμᾶν ἀφόβως τὸν λόγον λαλεῖν, πανταχοῦ τὴν ἅλυσιν περιφέρεις, πανταχοῦ τὰ δεσμὰ προβάλλῃ, καὶ καυχᾶσαι ἐπὶ τῷ πράγματι· εἰς δικαστήριον δὲ ἐλθὼν, προέδωκας τὴν φιλοσοφίαν, ὅτε μάλιστα παρρησιάζεσθαι ἔδει, καὶ τῷ δικαστῇ λέγεις· Εὐξαίμην ἄν σε γενέσθαι χριστιανὸν ἐκτὸς τῶν δεσμῶν τούτων. καὶ μὴν εἰ καλὰ τὰ δεσμά, καὶ οὕτω καλὰ, ὥστε παρέχειν καὶ ἑτέροις θαρρεῖν εἰς τὸν ὑπὲρ τῆς εὐσεβείας λόγον (σὺ γὰρ αὐτὸ τοῦτο ἔφθης εἰπὼν, ὅτι [οἱ] πλείονες τῶν ἀδελφῶν πεποιθότες τοῖς δεσμοῖς μου, τὸν λόγον ἐλάλουν ἀφόβως) τίνος ἕνεκεν ἐπὶ τοῦ δικαστοῦ οὐκ ἐγκαλλωπίζῃ τῷ πράγματι, ἀλλὰ καὶ τοὐναντίον ποιεῖς;

Ἆρα οὐ δοκεῖ ζήτημα εἶναι τὸ λεγόμενον; ἀλλὰ ταχίστην ἐπάγω τὴν λύσιν. οὐ γὰρ ἐξ ἀγωνίας, οὐδὲ δειλίας ὁ Παῦλος τοῦτο ἐποίησεν, ἀλλ' ἀπὸ σοφίας πολλῆς καὶ συνέσεως πνευματικῆς. καὶ πῶς, ἐγὼ λέγω. πρὸς ἕλληνα διελέγετο καὶ ἄπιστον καὶ οὐκ εἰδότα τὰ ἡμέτερα. οὐκ ἐβούλετο τοίνυν αὐτὸν ἀπὸ τῶν φορτικῶν ἐναγαγεῖν, ἀλλ' ὥσπερ ἔλεγεν, Ἐγενόμην τοῖς ἀνόμοις ὡς ἄνομος, τοῦτο καὶ ἐνταῦθα ἔπραττεν. ἂν ἀκούσῃ δεσμά, φησι, καὶ θλίψεις, εὐθέως ἀποπηδᾷ· οὐκ οἶδε τῶν δεσμῶν τὴν δύναμιν. γενέσθω πρότερον πιστὸς, γευσάσθω τοῦ κηρύγματος, καὶ τότε καὶ αὐτὸς ἐπιδραμεῖται τοῖς δεσμοῖς τούτοις. ἤκουσα τοῦ δεσπότου μου λέγοντος, ὅτι Οὐδεὶς ἐπιβάλλει ἐπίβλημα ῥάκους ἀγνάφου ἐπὶ ἱματίῳ παλαιῷ· ἐπεὶ

αἴρει

Πραξ. κϛ.
Πραξ. κϛ. κη.
Πραξ. κϛ κθ.
Ἐφεσ. δ. α.
β. Τιμ. β. θ.
Φιλημ. α.
Πραξ. κη κ.
Φιλιπ. α. ιδ.
Πραξ. κη κθ.
Φιλιπ α. ιδ.
α. Κορ. θ. κα.
Ματθ. θ. ις.
Μαρκ. β. κα.
Λουκ. ε. λϛ.

αἴρει τὸ πλήρωμα αὐτοῦ, καὶ χεῖρον τὸ σχίσμα γίνεται. οὐδὲ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· ἐπεὶ ῥήγνυνται οἱ ἀσκοί. ἡ ψυχὴ *τούτου ἱμάτιόν ἐστι παλαιόν, καὶ ἀσκὸς παλαιός. οὐκ ἀνενεώθη τῇ πίστει· οὐκ ἀνεκαινίσθη τῇ τοῦ πνεύματος χάριτι· ἀσθενής ἐστιν ἔτι καὶ γήϊνος· βιωτικὰ φρονεῖ, καὶ πρὸς τὴν κοσμικὴν φαντασίαν ἐπτόηται· δόξης ἐρᾷ τῆς παρούσης. ἂν ἐκ προοιμίων εὐθέως ἀκούσῃ, ὅτι γενόμενος χριστιανὸς εὐθέως δεσμώτης γενήσεται, καὶ ἅλυσιν περικείσεται, αἰσχυνθεὶς καὶ ἐρυθριάσας ἀποπηδήσεται τοῦ κηρύγματος. διὰ τοῦτό φησιν, Ἀντὶ τῶν δεσμῶν τούτων· οὐκ αὐτὸς τὰ δεσμὰ παραιτούμενος (μὴ γένοιτο) ἀλλ' ἐκείνου τῇ ἀσθενείᾳ συγκαταβαίνων· ἐπεὶ αὐτὸς οὕτως αὐτὰ φιλεῖ καὶ ἀσπάζεται, ὡς γυνὴ φιλόκοσμος τὰ χρυσία τὰ ἑαυτῆς. πόθεν τοῦτο δῆλον; Χαίρω ἐν τοῖς παθήμασί μου, φησί, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου. καὶ πάλιν, Ὅτι ὑμῖν ἐχαρίσθη ἀπὸ τοῦ Χριστοῦ οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. καὶ πάλιν, Οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν. εἰ τοίνυν χαίρει καὶ καυχᾶται καὶ χάρισμα τὸ πρᾶγμα καλεῖ, εὔδηλον ὅτι διὰ τὴν αἰτίαν ταύτην πρὸς τὸν Φῆστον διαλεγόμενος ταῦτα ἔλεγεν. ἐπεὶ καὶ ἀλλαχοῦ πάλιν εἰς ἀνάγκην ἐμπεσὼν τοῦ καυχήσασθαι, τοῦτο αὐτὸ ἐνδείκνυται λέγων· Ἥδιστα οὖν καυχήσομαι, φησίν, ἐν ταῖς ἀσθενείαις μου, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις, ἐν διωγμοῖς, ἐν στενοχωρίαις, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ. καὶ πάλιν, Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι. καὶ ἀλλαχοῦ συγκρίνων ἑαυτὸν ἑτέροις, καὶ τὴν κατὰ σύγκρισιν ὑπεροχὴν ἡμῖν ἐνδεικνύμενος, οὑτωσί πως φησί· Διάκονοι Χριστοῦ εἰσι; παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ. καὶ δεῖξαι βουλόμενος τὴν ὑπεροχήν, οὐχ ὅτι νεκροὺς ἀνέστησεν, οὐδὲ ὅτι δαίμονας ἀπήλασεν, οὐδὲ ὅτι λεπροὺς ἐκαθάρισεν, οὐδ' ὅτι ἄλλο τι τῶν τοιούτων ἐποίησεν, εἶπεν, ἀλλ' ὅτι τὰ μυρία ἔπαθε δεινά. εἰπὼν γοῦν, ὅτι ὑπὲρ ἐγώ, ἐπήγαγε τῶν πειρασμῶν τὸ πλῆθος, οὕτω λέγων· Ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν θανάτοις πολλάκις, ἐν φυλακαῖς περισσοτέρως, πεντάκις τεσσαράκοντα παρὰ μίαν ὑπὸ Ἰουδαίων ἔλαβον, τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα, καὶ τὰ λοιπὰ ἅπαντα. οὕτω πανταχοῦ καυχᾶται ἐν ταῖς θλίψεσιν ὁ Παῦλος, καὶ ἐγκαλλωπίζεται τῷ πράγματι μεθ' ὑπερβολῆς. καὶ μάλα εἰκότως. τοῦτο γάρ ἐστιν, ὃ μάλιστα τὴν δύναμιν ἐνδείκνυται τοῦ Χριστοῦ, ὅτι διὰ τοιούτων ἐκράτησαν οἱ ἀπόστολοι, διὰ δεσμῶν καὶ θλίψεων καὶ μαστίγων καὶ τῶν ἐσχάτων κακῶν. δύο γὰρ ταῦτα ὁ Χριστὸς ἐπηγγείλατο, θλῖψιν καὶ ἄνεσιν, πόνους καὶ στεφάνους, ἱδρῶτας καὶ ἀμοιβάς, χρηστὰ καὶ λυπηρά. ἀλλὰ τὰ μὲν λυπηρὰ κατὰ τὸν παρόντα βίον ἔδωκε, τὰ δὲ χρηστὰ εἰς τὸν μέλλοντα ἐταμιεύσατο, ὁμοῦ τε δεικνύς, ὅτι οὐκ ἀπατᾷ τοὺς ἀνθρώπους, καὶ αὐτῶν τῶν δεινῶν τὸ φορτικὸν ὑποτέμνεσθαι τῇ τάξει βουλόμενος. ὁ μὲν γὰρ ἀπατῶν τὰ χρηστὰ προτείνεται πρότερον, καὶ οὕτως ἐπάγει τὰ λυπηρά. οἷόν τι λέγω· ἀνδραποδισταὶ πολλάκις παιδία μικρὰ συλῶντες καὶ κλέπτοντες, οὐ πληγὰς καὶ μάστιγας, οὐδὲ ἄλλο τι τῶν τοιούτων ὑπισχνοῦνται, ἀλλὰ πλακοῦντας καὶ τραγήματα καὶ ἕτερα τοιαῦτα, οἷς ἡ παιδικὴ χαίρειν εἴωθεν ἡλικία, προτείνουσιν, ἵνα τούτοις ἐκεῖνα δελεασθέντα καὶ τὴν ἐλευθερίαν αὐτῶν ἀποδόμενα εἰς κίνδυνον ἐμπέσῃ τὸν ἔσχατον. καὶ ὀρνίθων δὲ καὶ ἰχθύων οἱ θηρευταὶ οὕτω τὰ θηρευόμενα δελεάζουσι, τὴν συνήθη τροφὴν καὶ καθ' ἡδονὴν τοῖς ἀγρευομένοις οὖσαν πρότερον προτείνοντες, καὶ τὴν παγίδα ταύτῃ περιστέλλοντες· ὥστε ἀπατώντων μάλιστα τοῦτο ἔργον ἐστί, πρότερον τὰ χρηστὰ προτείνεσθαι, εἶτα ὕστερον ἐπάγειν τὰ λυπηρά· κηδομένων δὲ καὶ φροντιζόντων τὸ ἐναντίον ἅπαν. οἱ γοῦν πατέρες ἀπεναντίας τοῖς ἀνδραποδισταῖς ποιοῦσιν. ὅταν εἰς διδασκαλεῖον τὰ παιδία πέμπωσι, παιδαγωγοὺς ἐφιστῶσι, πληγὰς ἀπειλοῦσι, φόβον ἐπιτειχίζουσι· καὶ ἐπειδὰν τὴν προτέραν ἡλικίαν οὕτως ἀγάγωσι, τότε ἐν ἕξει γενομένοις αὐτοῖς τιμὰς καὶ δυναστείας καὶ τρυφὴν καὶ τὸν αὐτῶν πλοῦτον ἅπαντα ἐγχειρίζουσιν. οὕτω καὶ ὁ Θεὸς ἐποίησεν. οὐ κατὰ τοὺς ἀνδραποδιστάς,

ἀλλὰ

Πραξ. κϛ. κθ.
Κολασ. α. κδ.
Φιλιπ. α. κθ.
Ρωμ. ε. γ.
β. Κορ. ιβ. ι.
β. Κορ. ια. λ. κγ.

ἀλλὰ καὶ τοὺς πατέρας τοὺς κηδεμόνας, πρότερον εἰς τὰ λυπηρὰ ἐνέβαλε, καθάπερ παιδαγωγοῖς καὶ διδασκάλοις τῇ παρούσῃ θλίψει παραδοὺς, ἵνα διὰ τούτων παιδευθέντες, σωφρονισθέντες, ὑπομονὴν ἅπασαν ἐπιδειξάμενοι, φιλοσοφίαν ἅπασαν μαθόντες, εἶτα ἐν ἕξει γενόμενοι τὴν βασιλείαν τῶν οὐρανῶν κληρονομήσωμεν. πρότερον ἐπιτηδείους κατεσκεύασε πρὸς τὴν οἰκονομίαν τοῦ διδομένου πλούτου, καὶ τότε αὐτὸν ἐγχειρίζει τὸν πλοῦτον. εἰ γὰρ μὴ τοῦτο ἐποίησεν, ἡ τοῦ πλούτου δόσις, οὐ δωρεὰ, ἀλλὰ κόλασις ἦν καὶ τιμωρία. καθάπερ γὰρ παῖς ἀνόητος καὶ ἄσωτος τὸν πατρῷον κλῆρον διαδεξάμενος, ὑπ' αὐτοῦ τούτου κατακρημνίζεται, φρόνησιν οὐκ ἔχων ἀρκοῦσαν πρὸς τὴν τῶν χρημάτων οἰκονομίαν· εἰ δὲ συνετὸς γένηται καὶ ἐπιεικὴς καὶ σώφρων καὶ μέτριος, εἰς δέον οἰκονομῶν τὰ πατρῷα, λαμπρότερος ταύτῃ καὶ περιφανέστερος γίνεται· οὕτω καὶ ἐφ' ἡμῶν ἀνάγκη συμβαίνειν. ἐπειδὰν σύνεσιν πνευματικὴν δεξώμεθα, ἐπειδὰν εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας καταντήσωμεν οἱ πάντες, τότε ἡμῖν ἐγχειρίζει πάντα, ἅπερ ὑπέσχετο· νυνὶ δὲ καθάπερ παιδία μικρὰ παιδεύει μετὰ παρακλήσεως καὶ παραμυθίας. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ κέρδος ἀπὸ τοῦ τὰς θλίψεις προλαβεῖν, ἀλλὰ καὶ ἕτερον οὐκ ἔλαττον τούτου. ὁ μὲν γὰρ πρότερον τρυφῶν, εἶτα μετὰ τὴν τρυφὴν κόλασιν προσδοκῶν, οὐδὲ τῆς παρούσης αἰσθάνεται τρυφῆς διὰ τὴν προσδοκίαν τῶν ἐπαγομένων δεινῶν· ὁ δὲ πρότερον ὢν ἐν λυπηροῖς, εἶτα μετὰ ταῦτα μέλλων ἀπολαύσεσθαι χρηστῶν, καὶ τῶν παρόντων ὑποφορᾷ δυσχερῶν διὰ τὴν ἐλπίδα τῶν μελλόντων χρηστῶν. οὐ τοίνυν ἀσφαλείας ἕνεκεν μόνον τῆς ἡμετέρας, ἀλλὰ καὶ ἡδονῆς καὶ παραμυθίας πρότερα ἔταξεν εἶναι τὰ δεινὰ, ἵνα ταῖς ἐλπίσι τῶν μελλόντων κουφιζόμενοι, μηδεμίαν τῶν παρόντων λάβωμεν αἴσθησιν. καὶ τοῦτο αὐτὸ ὁ Παῦλος δεικνὺς καὶ ἐμφαίνων ἔλεγεν·

β.Κορ δ.ιζ. Ὅτι τὸ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν καθ' ὑπερβολὴν [εἰς ὑπερβολὴν] αἰώνιον βάρος δόξης ἡμῖν κατεργάζεται, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. ἐλαφρὰν τὴν θλίψιν ἐκάλεσεν, οὐ παρὰ τὴν οἰκείαν φύσιν τῶν δεινῶν, ἀλλὰ παρὰ τὴν προσδοκίαν τῶν μελλόντων ἀγαθῶν. καθάπερ γὰρ ὁ ἔμπορος οὐκ αἰσθάνεται τῆς κατὰ τὴν ναυτιλίαν ταλαιπωρίας τῇ τῶν φορτίων ἐλπίδι κουφιζόμενος, καὶ ὁ πυκτεύων γενναίως φέρει τὰ τραύματα τῆς κεφαλῆς πρὸς τὸν στέφανον ἀποβλέπων· οὕτω δὴ καὶ ἡμεῖς πρὸς τὸν οὐρανὸν καὶ τὰ ἐν τοῖς οὐρανοῖς ἀτενίζοντες ἀγαθὰ, ὅσα ἂν ἐπιφέρηται δεινὰ, πάντα γενναίως οἴσομεν τῇ χρηστῇ τῶν μελλόντων ἐλπίδι νευρούμενοι. ταύτην τοίνυν λαβόντες τὴν ῥῆσιν, ἀπέλθωμεν. εἰ γὰρ καὶ ψιλὴ καὶ βραχεῖα, ἀλλὰ πολλὴν ἔχει φιλοσοφίας διδασκαλίαν. ὁ ἐν ὀδύνῃ καὶ θλίψει ἀρκοῦσαν ἔχει παράκλησιν, ὁ ἐν τρυφῇ καὶ πολυτελείᾳ μέγαν σωφρονισμόν. ὅταν γὰρ ἐπὶ τῆς τραπέζης κατακείμενος ἀναμνησθῇς τῆς ῥήσεως ταύτης, ἀποπηδήσεις ταχέως τῆς μέθης καὶ τῆς ἀδηφαγίας, μαθὼν διὰ τῆς λέξεως ταύτης, ὅτι ἐναγωνίους ἡμᾶς εἶναι χρὴ, καὶ πρὸς ἑαυτὸν ἐρεῖς· Παῦλος ἐν δεσμοῖς καὶ δεσμωτηρίοις, ἐγὼ δὲ ἐν μέθῃ καὶ πολυτελεῖ τραπέζῃ· καὶ ποίας τεύξομαι συγγνώμης; τοῦτο καὶ γυναιξὶν ἐπιτήδειον τὸ ῥῆμα. αἱ γὰρ φιλόκοσμοι καὶ πολυτελεῖς καὶ χρυσίῳ πάντοθεν ἑαυτὰς καταδεσμοῦσαι, τῆς ἁλύσεως ταύτης ἀναμνησθεῖσαι μισήσουσιν, εὖ οἶδ' ὅτι καὶ βδελύξονται τὸν κόσμον ἐκεῖνον, καὶ πρὸς ταῦτα δραμοῦνται τὰ δεσμά. ἐκεῖνα μὲν γὰρ πολλῶν κακῶν αἴτια γέγονε πολλάκις, καὶ μυρίους πολέμους εἰς τὴν οἰκίαν εἰσήγαγε, καὶ φθόνους καὶ βασκανίας καὶ μῖσος ἔτεκε· ταῦτα δὲ τῆς οἰκουμένης τὰς ἁμαρτίας ἔλυσε, καὶ δαίμονας ἐφόβησε, καὶ διάβολον ἐφυγάδευσε. μετὰ τούτων ἐν τῷ δεσμωτηρίῳ διατρίβων, τὸν δεσμοφύλακα ἔπεισε· μετὰ τούτων τὸν Ἀγρίππαν ἐπεσπάσατο· μετὰ τούτων πολλοὺς μαθητὰς κατεσκεύασεν ὁ Παῦλος. διὰ τοῦτο καὶ ἔλεγεν·

β.Τιμ.β.θ. Ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν, ὡς κακοῦργος. ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. καθάπερ γὰρ ἀκτῖνα δῆσαι οὐ δυνατὸν, οὐδὲ συγκλεῖσαι ἐν οἰκίᾳ, οὕτως οὐδὲ τοῦ κηρύγματος τὸν λόγον. καὶ πολλῷ πλέον ὁ διδάσκαλος ἐδέδετο, καὶ ὁ λόγος ἐπέτετο·

ἐκεῖνος τὸ δεσμωτήριον ᾤκει, καὶ ἡ διδασκαλία πτερωθεῖσα ″πανταχοῦ τῆς οἰκουμένης ἔτρεχε.

Ταῦτ' οὖν εἰδότες, μὴ ″καταπίπτωμεν ἐπὶ τοῖς δεινοῖς, ἀλλὰ μᾶλλον τότε δυνατώτεροι γινώμεθα, τότε ἰσχυρότεροι. Ἡ γὰρ θλίψις ὑπομονὴν κατεργάζεται. Ρωμ. ε. γ. μὴ ἀλγῶμεν ἐπὶ ταῖς ἐπαγομέναις συμφοραῖς, ἀλλ' ἐν ἅπασιν εὐχαριστῶμεν τῷ Θεῷ. δευτέραν ἑβδομάδα τῆς νηστείας παρήλθομεν, ἀλλὰ μὴ τοῦτο σκοπῶμεν· οὐ γὰρ τοῦτό ἐστι παρελθεῖν νηστείαν, ἐὰν τὸν χρόνον παρέλθωμεν, ἀλλ' ἐὰν μετὰ κατορθωμάτων παρέλθωμεν. τοῦτο λογιζώμεθα, εἰ σπουδαιότεροι γεγόναμεν, εἰ διωρθωσάμεθά τι τῶν ἡμετέρων ἐλαττωμάτων, εἰ τὰ ἁμαρτήματα ἀπενιψάμεθα. ἔθος ἅπασιν ἐρωτᾶν κατὰ τὴν τεσσαρακοστὴν, πόσας ἕκαστος ἑβδομάδας ἐνήστευσε· καὶ ἔστιν ἀκοῦσαι λεγόντων, τῶν μὲν, ὅτι δύο, τῶν δὲ, ὅτι τρεῖς, τῶν δὲ, ὅτι πάσας ἐνήστευσαν τὰς ἑβδομάδας. καὶ τί τὸ κέρδος, ἐὰν ἔρημοι τῶν κατορθωμάτων παρέλθωμεν τὴν νηστείαν; ἐὰν ἕτερος λέγῃ, ὅτι πᾶσαν ἐνήστευσα τὴν τεσσαρακοστὴν, σὺ εἰπὲ, ὅτι ἐχθρὸν εἶχον, καὶ κατηλλάγην· ἔθος εἶχον ″κακηγορεῖν, καὶ ἐπαυσάμην· ἔθος εἶχον ὀμνύναι, καὶ ″ἔπαυσα τὸ πονηρὸν ἔθος. οὐδὲν ὄφελος τοῖς ἐμπόροις, ἐὰν πολὺ μῆκος πελάγους διαδράμωσιν, ἀλλ' ἐὰν μετὰ φορτίων πλέωσι καὶ πολλῆς τῆς ἐμπορείας. οὐδὲν ὄφελος τῆς νηστείας ἡμῖν, ἂν παρέλθωμεν αὐτὴν ἁπλῶς καὶ εἰκῆ καὶ μάτην, ἂν τὴν τῶν βρωμάτων νηστεύσωμεν νηστείαν. παρελθουσῶν τῶν τεσσαράκοντα ἡμερῶν παρέρχεται καὶ ἡ νηστεία· ἐὰν δὲ ἁμαρτημάτων ἀπεχώμεθα, καὶ τῆς νηστείας παρελθούσης ταύτης ἐκείνη πάλιν μένει, καὶ διηνεκὴς ἔσται ἐντεῦθεν ἡμῖν ἡ ὠφέλεια, καὶ πρὸ τῆς βασιλείας τῶν οὐρανῶν οὐ μικρὰς ἡμῖν ἐνταῦθα ἀποδώσει τὰς ἀμοιβάς. ὥσπερ γὰρ ὁ ζῶν ἐν πονηρίᾳ, καὶ πρὸ τῆς γεέννης κολάζεται, τῷ συνειδότι κεντούμενος· οὕτω καὶ ὁ πλουτῶν ἐν κατορθώμασι, καὶ πρὸ τῆς βασιλείας χαρᾶς μεγίστης ἀπολαύσεται, χρησταῖς ἐντρεφόμενος ἐλπίσι. διὰ τοῦτο καὶ ὁ Χριστός φησι· Πάλιν ὄψομαι ὑμᾶς, καὶ χαρήσεσθε, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς λαμβάνει. Ιωαν. ιϛ. κϐ. βραχὺ τὸ ῥῆμα, ἀλλὰ πολλὴν ἔχει παραμυθίαν. τί ποτ' οὖν ἐστι, τὴν χαρὰν ὑμῶν οὐδεὶς λαμβάνει; χρήματα ἐὰν ἔχῃς, πολλοὶ δύνανταί σου λαβεῖν τὴν χαρὰν τὴν ἀπὸ τοῦ πλούτου, καὶ κλέπτης διορύττων τοῖχον, καὶ οἰκέτης ″ὑφαιρούμενος [τὰ] ἐμπιστευθέντα, καὶ βασιλεὺς δημεύων, καὶ βάσκανος ἄνθρωπος ἐπηρεάζων. δυναστείαν ἐὰν ἔχῃς, πολλοὶ δύνανταί σου λαβεῖν τὴν ἀπὸ ταύτης χαράν. ὅταν γὰρ παραλυθῇ τὰ τῆς ἀρχῆς, ″παραλύεται καὶ τὰ τῆς ἡδονῆς. καὶ ἐν ″ταύτῃ δὲ τῇ ἀρχῇ πολλὰ συμπίπτοντα πράγματα δυσκολίαν ἔχοντα καὶ φροντίδας, ὑποτέμνεταί σου τὴν εὐθυμίαν. ἰσχὺν σώματος ἐὰν ἔχῃς, νόσος ἐπελθοῦσα κατέλυσε τὴν ἀπὸ ταύτης χαράν. κάλλος ἐὰν ἔχῃς καὶ ὥραν, γῆρας ἐπελθὸν ἐμάρανε καὶ ἀφείλετο τὴν χαράν. τραπέζης ἐὰν ″ἀπολαύσῃς πολυτελοῦς, ἑσπέρας καταλαβούσης κατελύθη καὶ ἡ τῆς εὐωχίας χαρά. ἕκαστον γὰρ τῶν βιωτικῶν πραγμάτων εὐεπηρέαστόν ἐστι, καὶ μόνιμον ἡμῖν οὐκ ἰσχύει παρασχεῖν τὴν ἡδονήν· ἡ δὲ εὐσέβεια, καὶ ἡ κατὰ ψυχὴν ἀρετὴ τοὐναντίον ἅπαν. ἐλεημοσύνην ἐὰν ποιήσῃς, οὐδεὶς ἀφελεῖν δύναται τὸ κατόρθωμα. κἂν στρατόπεδα, κἂν βασιλεῖς, κἂν μυρίοι συκοφάνται, κἂν ἐπίβουλοι πάντοθεν ἐπιστῶνται, τὸ εἰς τὸν οὐρανὸν ἀποτεθὲν κτῆμα ″ἀφελέσθαι οὐ δύνανται· ἀλλὰ μένει διηνεκὴς ἡ χαρά. Ἐσκόρπισε γὰρ, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. Ψαλμ. ρια. καὶ μάλα εἰκότως. ἐν γὰρ τοῖς τῶν οὐρανῶν ἀπόκειται ταμιείοις, ὅπου οὐ κλέπτης διορύττει, οὐ λῃστὴς λαμβάνει, οὐ σὴς κατεσθίει. εὐχὰς ἐὰν εὔξῃ συνεχεῖς καὶ ἐκτενεῖς, τὸν καρπὸν τὸν ἀπὸ τούτων οὐδεὶς συλῆσαι δυνήσεται. καὶ γὰρ ἄνω ὁ καρπὸς ἐν τοῖς οὐρανοῖς ἐρρίζωται, πάσης ἐπηρείας ἀπηλλαγμένος, καὶ μένων ἀχείρωτος. ἐὰν κακῶς παθὼν εὐεργετήσῃς, ἐὰν κακῶς ἀκούσας φιλοσοφήσῃς, ἐὰν λοιδορηθεὶς εὐλογήσῃς, ταῦτα τὰ κατορθώματα μένει διηνεκῶς, καὶ τὴν ἐκ τούτων χαρὰν οὐδεὶς λαμβάνει· ἀλλ' ὁσάκις ἂν αὐτῶν ″ἀναμνησθῇς, χαίρεις, καὶ εὐφραίνῃ,

καὶ πολλὴν καρπώσασθαι τὴν εὐφροσύνην. Οὕτω δὴ καὶ τὸ φεύγειν ὅρκον ἐὰν κατορθώσωμεν, καὶ πείσωμεν τὴν γλῶτταν τὴν ἡμετέραν ἀπέχεσθαι τῆς ὀλεθρίου συνηθείας ταύτης, τὸ μὲν κατόρθωμα ἔσται ἐν βραχεῖ καιρῷ, ἡ δὲ εὐφροσύνη τοῦ κατορθώματος διηνεκῶς καὶ ἀδιαλείπτως. Λοιπὸν ὑμᾶς καὶ ἑτέρων διδασκάλους εἶναι ἔχρην καὶ καθηγητάς, καὶ φίλους τοὺς πλησίον, καὶ οἰκέτας τοὺς συνδούλους, καὶ νέους τοὺς ὁμήλικας λαμβάνειν καὶ παιδεύειν καὶ ἐνάγειν. Ἆρα εἴ τίς σοι χρύσινον ἕνα καθ᾽ ἕκαστον διορθούμενον ἂν ἄνθρωπον ἐπηγγείλατο, οὐ πᾶσαν ἂν ἐποιήσω σπουδήν, καὶ διημέρευες παρεδρεύων, πείθων, παρακαλῶν; νῦν δὲ οὐχ ἕνα χρύσινον, οὐδὲ δέκα χρυσίνους, οὐδὲ εἴκοσι καὶ ἑκατὸν καὶ χιλίους, οὐδὲ γῆν ὁλόκληρον ὑπισχνεῖταί σοι τῶν πόνων τούτων ἀμοιβὴν ὁ Θεός, ἀλλ᾽ ὃ τοῦ κόσμου παντός μεῖζόν ἐστι, τοῦτό σοι δίδωσι, τὴν βασιλείαν τῶν οὐρανῶν·
Ιερ. ιε ιθ. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερον πρὸς τούτῳ. Ποῖον δὴ τοῦτο; Ὁ* ἐξάγων τίμιον ἐξ ἀναξίου, ὡς στόμα μου ἔσται, φησί. Τί τούτου γένοιτ᾽ ἂν ἴσον εἰς τιμῆς λόγον καὶ ἀσφαλείας; ποία δὲ ἡμῖν ἀπολογία καὶ συγγνώμη μετὰ τὴν τοσαύτην ὑπόσχεσιν τῆς τῶν πλησίον ἀμελοῦσι σωτηρίας; σὺ δὲ ἂν μὲν εἰς βάραθρον ἴδῃς καταπίπτοντα τυφλόν, χεῖρα ὀρέγεις, καὶ νομίζεις ἀνάξιον εἶναι τὸ περιιδεῖν ἀπολλύμενον· ὁρῶν δὲ καθ᾽ ἑκάστην ἡμέραν κατακρημνιζομένους πάντας τοὺς ἀδελφοὺς εἰς τὴν πονηρὰν τῶν ὅρκων συνήθειαν, οὐδὲ ῥῆμα προέσθαι τολμᾷς. Ἀλλ᾽ εἶπας ἅπαξ, καὶ οὐκ ἤκουσεν. Οὐκοῦν εἰπὲ καὶ δὶς καὶ τρὶς καὶ τοσαυτάκις, ἕως ἂν πείσῃς. Καθ᾽ ἑκάστην ἡμέραν ὁ Θεὸς ἡμῖν διαλέγεται, καὶ οὐκ ἀκούομεν, καὶ ὅμως οὐκ ἀφίσταται διαλεγόμενος. Ταύτην καὶ σὺ μίμησαι τὴν κηδεμονίαν περὶ τὸν πλησίον. Διὰ τοῦτο μετ᾽ ἀλλήλων ἐσμέν, καὶ πόλεις οἰκοῦμεν, καὶ ἐν ἐκκλησίαις συναγόμεθα, ἵνα τὰ ἀλλήλων βάρη βαστάζωμεν, ἵνα τὰ ἀλλήλων ἁμαρτήματα διορθώμεθα. Καὶ καθάπερ ἐργαστήριον ἐνοικοῦντες ἄνθρωποι, διαφόρως μὲν ἐμπορεύονται, πάντα δὲ εἰς τὸ κοινὸν ἀποτίθενται· οὕτω δὴ καὶ ἡμεῖς ποιῶμεν. Ἅπερ ἂν ἕκαστος δύνηται ἀγαθὰ εἰσφέρειν τῷ πλησίον, μὴ ὀκνείτω, μηδὲ ἀναδυέσθω, ἀλλὰ γινέσθω πραγματεία τις καὶ ἀντίδοσις τοιαύτη πνευματική· ἵνα εἰς τὸ κοινὸν ἅπαντα καταθέμενοι, καὶ πολὺν κτησάμενοι πλοῦτον, καὶ μέγαν ποιήσαντες τὸν θησαυρόν, κοινῇ πάντες τύχωμεν τῆς βασιλείας τῶν οὐρανῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ μεθ᾽ οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΟΥΣ ΑΡΧΟΝΤΑΣ ΤΟΥΣ ΠΑΡΑ ΤΟΥ ΒΑΣΙΛΕως Θεοδοσίου ἀποσταλέντας, Ἐλλέβιχον στρατηλάτην, καὶ Καισάρειον μάγιστρον, καὶ εἰς τὴν τῶν πεπλημμεληκότων ἐξέτασιν διὰ τὴν τῶν ἀνδριάντων καταστροφήν. Λογ. ιζ.

Ψαλ. οα ιη. Εἰς καιρὸν ὑπεψάλαμεν ἅπαντες κοινῇ τήμερον, Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραήλ, ὁ ποιῶν θαυμάσια μόνος. Καὶ γὰρ θαυμαστὰ καὶ παράδοξα γέγονε πράγματα. Πόλιν [γὰρ] ὁλόκληρον καὶ δῆμον τοσοῦτον καταποντίζεσθαι μέλλοντα καὶ ὑποβρύχιον γίνεσθαι καὶ ἀπόλλυσθαι τέλεον, ἀθρόον ἐν μιᾷ καιροῦ ῥοπῇ τῆς ναυαγίας * ἀπήλλαξεν. Εὐχαριστήσωμεν τοίνυν, μὴ μόνον ὅτι τὸν χειμῶνα ἔλυσεν, ἀλλ᾽ ὅτι καὶ γενέσθαι αὐτὸν συνεχώρησε· μὴ μόνον ὅτι τῆς ναυαγίας ἡμᾶς ἀπήλλαξεν, ἀλλ᾽ ὅτι καὶ εἰς τοσαύτην ἀγωνίαν καταπεσεῖν ἀφῆκε, καὶ τὸν περὶ τῶν ἐσχάτων ἡμῖν ἐπικρεμασθῆναι
α Θεσ. ε. ιη. κίνδυνον. Οὕτω καὶ Παῦλος ἐκέλευσεν ἐν παντὶ εὐχαριστεῖν. Ὅταν δὲ εἴπῃ, [ὅτι] ἐν παντὶ εὐχαριστεῖτε, τοῦτο λέγει· μὴ μόνον ἐν τῇ λύσει τῶν δεινῶν, ἀλλὰ καὶ ἐν τῷ καιρῷ
Ρωμ. η. κη. τῶν δεινῶν. Τοῖς γὰρ ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν. Εὐχαριστῶμεν

αὐτῷ διὰ τὴν λύσιν τῶν πειρασμῶν, καὶ μὴ ἐπιλαθώμεθά ποτε τῶν πειρασμῶν. Εὐχαῖς προσέχωμεν, ἱκετηρίαις συνεχέσιν, εὐλαβείᾳ πολλῇ. Ὅτε παρὰ τὴν ἀρχὴν ἡ χαλεπὴ τῶν κακῶν τούτων ἀνήφθη πυρὰ, ἔλεγον, ὅτι οὐκ ἔστι καιρὸς διδασκαλίας, ἀλλὰ καιρὸς εὐχῶν· τοῦτο δὴ καὶ νῦν, ὅτε ἐσβέσθη, λέγω· ὅτι νῦν μάλιστα καιρὸς εὐχῶν, ἢ πρότερον· νῦν μάλιστα καιρὸς δακρύων καὶ κατανύξεως καὶ ψυχῆς πεπονημένης καὶ πολλῆς σπουδῆς [καὶ πολλῆς ἀσφαλείας]. Τότε μὲν γὰρ αὐτὴ τῶν θλίψεων ἡ φύσις καὶ ἄκοντας ἡμᾶς συνέστελλε, καὶ σωφρονεῖν παρεσκεύαζε, καὶ πρὸς πλείονα ἦγεν εὐλάβειαν· νυνὶ δὲ ἀφαιρεθέντος τοῦ χαλινοῦ, καὶ τοῦ νέφους παρελθόντος, δέος μὴ πρὸς ῥᾳθυμίαν ἐκκλίνωμεν, μὴ χαυνότεροι γενώμεθα πάλιν ὑπὸ τῆς ἀνέσεως· μὴ καὶ περὶ ἡμῶν εἴπῃ τις, Ὅτε ἀπέκτενει αὐτοὺς, τότε ἐξεζήτουν αὐτὸν, καὶ ἐπέστρεφον καὶ ὤρθριζον πρὸς τὸν Θεόν. Διὰ τοῦτο καὶ Μωυσῆς Ἰουδαίοις παρῄνει λέγων· Φαγὼν καὶ πιὼν καὶ ἐμπλησθεὶς μνήσθητι Κυρίου τοῦ Θεοῦ σου. Νῦν ὑμῶν ἡ εὐγνωμοσύνη φανεῖται, ἂν ἐπὶ τῆς εὐλαβείας μένητε τῆς αὐτῆς. Τότε μὲν γὰρ πολλοὶ τῷ φόβῳ καὶ τῇ τῶν δεινῶν ἐπαγωγῇ τὴν σπουδὴν ὑμῶν ἐλογίζοντο· νῦν δὲ καθαρὸν ὑμῶν ἔσται τὸ κατόρθωμα, ἂν μείνητε τὴν αὐτὴν διατηροῦντες σπουδήν. Ἐπεὶ καὶ παιδίον, ἕως μὲν ἂν ὑπὸ παιδαγωγοῦ τινος ἄγηται φοβεροῦ, κἂν σωφρονῇ, κἂν μετ' * ἐπιεικείας ζῇ, θαυμαστὸν οὐδὲν (τῷ γὰρ τοῦ παιδαγωγοῦ φόβῳ τὴν σωφροσύνην τοῦ νέου λογίζονται πάντες) ὅταν δὲ ἀποθέμενος τὴν ἐκεῖθεν ἀνάγκην ἐπὶ τῆς αὐτῆς μένῃ σεμνότητος, τότε καὶ τὴν ἐπὶ τῆς προτέρας ἡλικίας σωφροσύνην αὐτῷ πάντες λογίζονται· τοῦτο δὴ καὶ ἡμεῖς ποιῶμεν. Ἐπὶ τῆς αὐτῆς μένωμεν εὐλαβείας, ἵνα καὶ τῆς προτέρας σπουδῆς πολὺν τὸν ἔπαινον παρὰ τοῦ Θεοῦ καρπωσώμεθα. Μυρία προσεδοκήσαμεν δεινὰ, τὰς οὐσίας διαρπαγήσεσθαι πάντων, τὰ οἰκήματα ἐμπρησθήσεσθαι μετὰ τῶν ἐνοικούντων, τὴν πόλιν ἐκ μέσης ἀναρπασθήσεσθαι τῆς οἰκουμένης, καὶ τὰ λείψανα αὐτῆς ἀπολεῖσθαι ἅπαντα, ἄροτον αὐτῆς τὸ ἔδαφος δέξασθαι. Ἀλλ' ἰδοὺ ταῦτα πάντα ἐπὶ τῆς προσδοκίας ἔστη μόνον, καὶ εἰς ἔργον οὐκ ἐξῆλθε. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστὸν, ὅτι τοσοῦτον κίνδυνον ἔλυσεν ὁ Θεὸς, ἀλλ' ὅτι καὶ μεγάλα ἡμᾶς εὐηργέτησε, καὶ τὴν πόλιν ἡμῶν ἐκόσμησε, καὶ διὰ τοῦ πειρασμοῦ τούτου καὶ τῆς συμφορᾶς δοκιμωτέρους εἰργάσατο. Καὶ πῶς, ἐγὼ λέγω. Ὅτε οἱ παρὰ τοῦ βασιλέως ἀποσταλέντες ἐπὶ τὴν τῶν γεγενημένων ἐξέτασιν τὸ φοβερὸν ἐκεῖνο συνεκρότησαν δικαστήριον, καὶ πάντας ἐπὶ τὰς εὐθύνας τῶν τετολμημένων ἐκάλουν, καὶ θανάτων διαφόρων προσδοκία πᾶσιν ἦν, τότε οἱ τὰς ἀκρωρείας τῶν ὀρῶν κατοικοῦντες μοναχοὶ τὴν οἰκείαν ἐπεδείξαντο φιλοσοφίαν. Ἔτεσι γὰρ τοσούτοις ἐν ταῖς αὐτῶν καλύβαις συγκεκλεισμένοι, οὐδενὸς παρακαλέσαντος, οὐδενὸς συμβουλεύσαντος, ἐπειδὴ τοσοῦτον νέφος εἶδον τῇ πόλει περιϊστάμενον, καταλιπόντες αὐτῶν τὰ σπήλαια καὶ τὰς σκηνὰς, πάντοθεν συνέρρεον, καθάπερ τινὲς ἐξ οὐρανοῦ ἄγγελοι παραγινόμενοι· καὶ ἦν ἰδεῖν τὴν πόλιν ἐοικυῖαν οὐρανῷ τότε, πανταχοῦ τῶν ἁγίων ἐκείνων φαινομένων, καὶ ἀπὸ τῆς ὄψεως μόνον παρακαλούντων τοὺς ὀδυνωμένους, καὶ πρὸς πᾶσαν ὑπεροψίαν συμφορᾶς ἀγόντων. Τίς γὰρ ἰδὼν ἐκείνους οὐκ ἂν κατεγέλασε θανάτου; οὐκ ἂν ὑπερεῖδε ζωῆς; οὐ τοῦτο δὲ μόνον ἦν τὸ θαυμαστὸν, ἀλλ' ὅτι καὶ τοῖς ἄρχουσιν αὐτοῖς προσελθόντες, μετὰ παρρησίας διελέχθησαν ὑπὲρ τῶν ὑπευθύνων, καὶ τὸ αἷμα παρεσκευάζοντο πάντες ἐκχεῖν, καὶ τὰς κεφαλὰς ἀποθέσθαι, ὥστε τοὺς ἁλόντας τῶν προσδοκωμένων ἐξαρπάσαι δεινῶν· καὶ οὐκ ἔφησαν ἀποστήσεσθαι πρότερον, ἕως ἂν ἢ φείσωνται τοῦ δήμου τῆς πόλεως οἱ δικάζοντες, ἢ κοινῇ μετὰ τῶν καταδίκων πρὸς βασιλέα πέμψωσι. Θεοφιλὴς, φησὶν, ἐστὶν ὁ κρατῶν τῆς καθ' ἡμᾶς οἰκουμένης, πιστὸς, ἐν εὐσεβείᾳ ζῶν. Ἡμεῖς οὖν αὐτὸν καταλλάξομεν πάντως· οὐκ ἐπιτρέψομεν ὑμῖν, οὐδὲ συγχωρήσομεν αἱμάξαι ξίφος, οὐδὲ ἀποτεμεῖν κεφαλήν. Εἰ δὲ μὴ ἀνάσχοισθε, καὶ ἡμεῖς μετ' αὐτῶν ἀποθανούμεθα πάντως. Δεινὰ μὲν τὰ τετολμημένα, καὶ ἡμεῖς ὁμολογοῦμεν· ἀλλ' οὐχ ὑπερβαί-

Ψαλ. οζ. λη.

Δευτ. ϛ. ια.

νει τὴν τοῦ βασιλέως φιλανθρωπίαν ἡ τῶν γεγενημένων παρανομία. λέγεται τις δὲ αὐτῶν καὶ ἕτερον ῥῆμα γέμον φιλοσοφίας εἰπεῖν, ὅτι οἱ μὲν ἀνδριάντες οἱ κατενεχθέντες ἀνέστησαν πάλιν, καὶ τὸ οἰκεῖον ″ ἀπέλαβον σχῆμα, καὶ τὸ γεγενημένον διόρθωσιν ἔσχε ταχίστην· ὑμεῖς δὲ ἐὰν τοῦ Θεοῦ τὴν εἰκόνα ἀποκτείνητε, πῶς δυνήσεσθε πάλιν ἀνακαλέσασθαι τὸ πεπλημμελημένον; πῶς ἀναστῆσαι τοὺς ἀπολλυμένους, καὶ τὰς ψυχὰς ″ τῷ σώματι ἀποδοῦναι; πολλὰ καὶ περὶ κρίσεως αὐτοῖς διελέχθησαν. τίς οὐκ ἂν ἐκπλαγείη, τίς οὐκ ἂν θαυμάσειε τὴν φιλοσοφίαν τῶν ἀνδρῶν; ″ εἰ γὰρ μία τῶν ὑπευθύνων μήτηρ γυμνώσασα τὴν κεφαλὴν, καὶ τὰς πολιὰς δείξασα, τοῦ μέλλοντος δικάζειν ″ κατασχοῦσα τὸν ἵππον ἀπὸ τοῦ χαλινοῦ, καὶ περιτρέχουσα οὕτω διὰ τῆς ἀγορᾶς εἰς τὸ δικαστήριον ″ συνεισῆλθε, πάντες ἐξεπλάγημεν, πάντες ἐθαυμάσαμεν τὴν φιλοστοργίαν, τὴν μεγαλοψυχίαν· πῶς οὐχὶ μᾶλλον τούτους ἐκπλήττεσθαι χρή; ἐκείνη μὲν γὰρ εἰ καὶ ἀπέθανεν ὑπὲρ τοῦ παιδὸς, οὐδὲν θαυμαστὸν (μεγάλη γὰρ ἡ τῆς φύσεως τυραννὶς, καὶ ἄμαχος ἡ τῶν ″ ὠδίνων ἀνάγκη) οὗτοι δὲ, οὓς οὐκ ἐγέννησαν, οὐδὲ ἔθρεψαν, μᾶλλον δὲ οὓς οὐκ εἶδον, ὧν οὐκ ἤκουσαν, οἷς οὐδέποτε συνεγένοντο, οὓς ἀπὸ τῆς συμφορᾶς ἐγνώρισαν μόνης, οὕτως ἐφίλησαν, ὡς, εἰ καὶ μυρίας εἶχον ψυχὰς, ἑλέσθαι πάσας ὑπὲρ τῆς τούτων ἐπιδοῦναι σωτηρίας. μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι οὐκ ἐσφάγησαν, οὐδὲ ἐξέχεαν τὸ αἷμα, ἀλλ' ὅτι τοσαύτῃ πρὸς τοὺς δικάζοντας ἐχρήσαντο παῤῥησίᾳ, ὅσῃ μόνους τοὺς ἀπεγνωκότας τῆς ἑαυτῶν ψυχῆς χρήσασθαι εἰκὸς ἦν, καὶ μετὰ τοιαύτης γνώμης ἀπὸ τῶν ὀρέων ἐπὶ τὸ δικαστήριον ἔδραμον. οὐδὲ γὰρ, εἰ μὴ πρότερον ἑαυτοὺς πρὸς πᾶσαν παρεσκευάσαντο σφαγὴν, οὐκ ἂν οὕτως ἴσχυσαν πρὸς τοὺς δικάζοντας ἐλευθεροστομῆσαι τότε, καὶ τοσαύτην ἐπιδείξασθαι μεγαλοψυχίαν. καὶ γὰρ διημέρευον πρὸ τῶν θυρῶν τοῦ δικαστηρίου καθήμενοι, τοὺς ἀπάγεσθαι μέλλοντας ἐξαρπάσαι τῶν δημίων παρεσκευασμένοι. ποῦ νῦν εἰσιν οἱ τοὺς τρίβωνας ἀναβεβλημένοι, καὶ βαθὺ γένειον δεικνῦντες, καὶ ῥόπαλα τῇ δεξιᾷ φέροντες, οἱ τῶν ἔξωθεν φιλόσοφοι, τὰ κυνικὰ καθάρματα, οἱ τῶν ἐπιτραπεζίων κυνῶν ἀθλιώτερον διακείμενοι, καὶ γαστρὸς ἕνεκεν πάντα ποιοῦντες; πάντες κατέλιπον τότε τὴν πόλιν, πάντες ἀπεπήδησαν, εἰς τὰ σπήλαια ″ ἀπεκρύβησαν· μόνοι δὲ οἱ διὰ τῶν ἔργων ἀληθῶς τὴν φιλοσοφίαν ἐπιδεικνύμενοι, καθάπερ οὐδενὸς δεινοῦ τὴν πόλιν κατειληφότος, οὕτως ἀδεῶς ἐπὶ τῆς ἀγορᾶς ἐφάνησαν. καὶ οἱ μὲν τὰς πόλεις οἰκοῦντες πρὸς τὰ ὄρη καὶ τὰς ἐρημίας ἀπέπτησαν, οἱ δὲ τῆς ἐρήμου πολῖται εἰς τὴν πόλιν εἰσήλασαν, δεικνῦντες διὰ τῶν ἔργων αὐτῶν, ὅπερ ἐν ταῖς ἔμπροσθεν ἡμέραις οὐ διέλιπον λέγοντες, ὅτι τὸν μετὰ τῆς ἀρετῆς ζῶντα οὐδὲ κάμινος ἂν βλάψαι δυνήσεται. τοσοῦτόν ἐστι φιλοσοφία ψυχῆς, πάντων ὑψηλοτέρα γινομένη, καὶ τῶν χρηστῶν, καὶ τῶν λυπηρῶν ἁπάντων. οὔτε γὰρ ἐν ἐκείνοις χαυνοῦται, οὔτε ὑπὸ τούτων καταστέλλεται καὶ ταπεινοῦται· ἀλλὰ μένει διὰ παντὸς ἴση, τὴν οἰκείαν ἰσχὺν καὶ δύναμιν ἐπιδεικνυμένη. τίνα γὰρ οὐκ ἤλεγξεν ἡ τοῦ παρόντος καιροῦ δυσκολία; οἱ τὰ πρῶτα πολιτευσάμενοι παρ' ἡμῖν, οἱ ἐν δυναστείαις ὄντες, οἱ πλοῦτον ἄφατον περιβεβλημένοι, οἱ πολλὴν πρὸς βασιλέα παῤῥησίαν ἔχοντες, τὰς οἰκίας ἀφέντες ἐρήμους ἅπαντες ὑπὲρ τῆς ἑαυτῶν ἐβουλεύοντο σωτηρίας. καὶ φιλία πᾶσα καὶ συγγένεια τότε ἠλέγχετο, καὶ οὓς πάλαι ᾔδεσαν, ″ κατὰ τὸν καιρὸν τῆς συμφορᾶς τούτους ἀγνοεῖν ἐβούλοντο, καὶ ἀγνοεῖσθαι παρ' ἐκείνων ηὔχοντο. οἱ δὲ μοναχοὶ, ἄνθρωποι πένητες, ἱματίου πλέον οὐδὲν ἔχοντες εὐτελοῦς, ἐν ἀγροικίᾳ βεβιωκότες, οὐδένες εἶναι δοκοῦντες ἔμπροσθεν, ὄρεσι καὶ νάπαις ὁμιλοῦντες, καθάπερ τινὲς λέοντες, μετὰ μεγάλου καὶ ὑψηλοῦ φρονήματος, πάντων δεδοικότων καὶ κατεπτηχότων, εἰς τὸ μέσον στάντες τὸ δεινὸν ἔλυσαν, οὐκ ἐν πολλαῖς ἡμέραις, ἀλλ' ἐν βραχείᾳ καιροῦ ῥοπῇ. καὶ καθάπερ οἱ γενναῖοι τῶν ἀριστέων, οὐ συμπλακέντες τοῖς ἐναντίοις, ἀλλὰ καὶ φανέντες ἐπὶ τῆς παρατάξεως ″ μόνον, καὶ βοήσαντες τρέπονται τοὺς ἀντιπάλους· οὕτω δὴ καὶ οὗτοι, ἐν ἡμέρᾳ μιᾷ καὶ κατέβησαν, καὶ διελέχθησαν, καὶ τὴν συμφοερῶν ἔλυσαν, καὶ πρὸς τὰ οἰκεῖα ἀνέβησαν καταγώγια. Τοῦτό ἐστιν ἡ παρὰ τοῦ Χριστοῦ τοῖς ἀνθρώποις εἰσενεχθεῖσα φιλοσοφία. Καὶ τί λέγω περὶ τῶν πλουτούντων, καὶ τῶν ἐν δυναστείαις ὄντων; ὅπου καὶ αὐτοὶ οἱ δικάζειν λαβόντες ἐξουσίαν, οἱ τὰς ἀνωτάτω διέποντες ἀρχάς, παρ' αὐτῶν τούτων παρακαλούμενοι τῶν μοναχῶν μετὰ συγγνώμης ποιήσασθαι τὴν ψῆφον, οὐκ ἔφησαν εἶναι κύριοι τοῦ τέλους· σφαλερὸν γὰρ εἶναι καὶ ἐπικίνδυνον, οὐχ ὑβρίζειν μόνον εἰς τὸν βασιλέα, ἀλλὰ καὶ τοὺς ὑβρικότας λαβόντας τιμωρίας ἀφεῖναι χωρίς. Ἀλλ' οὗτοι πάντων ἐγένοντο κυριώτεροι, καὶ τῇ μεγαλοψυχίᾳ καὶ τῇ καρτερίᾳ προσεδρεύοντες ἐδυσώπησαν, ἣν οὐκ ἔλαβον παρὰ τοῦ βασιλέως ἐξουσίαν, ταύτην ἐπιδείξασθαι· καὶ ἴσχυσαν τῶν ὑπευθύνων γενομένων φανερῶν πεῖσαι τοὺς δικάζοντας μὴ τὴν καταδικάζουσαν ἐξενεγκεῖν ψῆφον, ἀλλ' εἰς τὴν * βασιλέως γνώμην ἀναβαλέσθαι τὸ τέλος, καὶ ὑπέσχοντο πείσειν ἐκεῖνον πάντως δοῦναι συγγνώμην τοῖς εἰς αὐτὸν ἡμαρτηκόσι, καὶ τῆς ἀποδημίας ἥπτοντο. Ἀλλ' οἱ δικάζοντες αἰδεσθέντες αὐτῶν τὴν φιλοσοφίαν, καὶ τὸ ὑψηλὸν καταπλαγέντες φρόνημα, οὐ συνεχώρησαν στείλασθαι τὴν μακρὰν ταύτην ὁδόν, ἀλλ' ἢ φωνὰς αὐτῶν λαβεῖν μόνον ἐν τοῖς γράμμασιν, ἀπελεύσεσθαι, καὶ βασιλέα δυσωπήσειν ἀφεῖναι τὴν ὀργὴν ἅπασαν, ὃ δὴ καὶ προσδοκῶμεν ἔσεσθαι. Καὶ γὰρ τῆς δίκης λεγομένης εἰσελθόντες, πολλῆς ἐφθέγξαντο φιλοσοφίας ῥήματα, καὶ διὰ τῶν γραμμάτων παρεκάλεσαν τὸν βασιλέα, καὶ τῆς κρίσεως ἀνέμνησαν, καὶ τὰς ἑαυτῶν ἔφασαν ὑποθήσειν κεφαλάς, εἰ μὴ τοῦτο γένοιτο. Καὶ ταύτας οἱ δικάζοντες διὰ γραμμάτων λαβόντες τὰς φωνὰς ἀπῆλθον, ὃ παντὸς στεφάνου λαμπρότερον τὴν ἡμετέραν κοσμήσει πόλιν. Καὶ νῦν τὰ ἐνταῦθα γεγενημένα ἀκούσεται μὲν ὁ βασιλεύς, [ἀκούσεται δὲ καὶ ἡ μεγάλη πόλις,] ἀκούσεται δὲ πᾶσα ἡ οἰκουμένη, ὅτι τοιοῦτοι τὴν τῶν Ἀντιοχέων πόλιν οἰκοῦσι μοναχοί, ὡς ἀποστολικὴν ἐπιδείξασθαι παρρησίαν· καὶ τῶν γραμμάτων ἀναγινωσκομένων νῦν ἐν τῷ στρατοπέδῳ, πάντες αὐτῶν θαυμάσονται τὴν μεγαλοψυχίαν, πάντες τὴν πόλιν ἡμῶν μακαριοῦσι, καὶ τὴν πονηρὰν ἀποκρουσόμεθα δόξαν, καὶ εἴσονται πάντες, ὡς τὰ γεγενημένα, οὐ τῶν ἐνοικούντων τὴν πόλιν ἦν, ἀλλ' ἀνθρώπων ξένων καὶ διεφθαρμένων, καὶ ὅτι ἱκανὴ τοῦ τῆς πόλεως ἤθους ἀπόδειξις ἡ τῶν μοναχῶν ἔσται μαρτυρία.

Μὴ τοίνυν ἀλύωμεν, ἀγαπητοί, ἀλλὰ χρηστὰς προσδοκῶμεν ἐλπίδας. Εἰ γὰρ ἡ πρὸς ἀνθρώπους παρρησία τοσοῦτον ἴσχυσε κωλῦσαι δεινόν, ἡ πρὸς τὸν Θεὸν αὐτῶν παρρησία τί οὐκ ἐργάσεται; Ταῦτα καὶ πρὸς Ἕλληνας λέγωμεν, ὅταν τολμῶσιν ὑπὲρ φιλοσόφων ἡμῖν διαλέγεσθαι. Ἀπὸ τῶν νῦν εὔδηλον, ὅτι καὶ τὰ πρότερα ἦν ψευδῆ τὰ παρ' ἐκείνοις· ἀπὸ τούτων δῆλον, ὅτι καὶ τὰ πρότερα ἦν ἀληθῆ τὰ παρ' ἡμῖν, τὰ περὶ Ἰωάννου, καὶ Παύλου, καὶ Πέτρου, καὶ τῶν ἄλλων ἁπάντων. Ἐπειδὴ γὰρ τὴν ἐκείνων εὐσέβειαν διεδέξαντο, διὰ τοῦτο καὶ τὴν αὐτῶν παρρησίαν ἐπεδείξαντο· ἐπειδὴ τοῖς αὐτοῖς νόμοις ἐτράφησαν, διὰ τοῦτο καὶ τὴν αὐτῶν ἀρετὴν ἐζήλωσαν. Ὥστε οὐ χρεία γραμμάτων ἡμῖν ὑπὲρ τοῦ δεῖξαι τὴν ἀποστολικὴν ἀρετήν, τῶν πραγμάτων αὐτῶν βοώντων, καὶ τῶν μαθητῶν τοὺς διδασκάλους ἐνδεικνυόντων. Οὐ χρεία λόγων ἡμῖν, ὥστε τὸν τῶν Ἑλλήνων δεῖξαι λῆρον, καὶ τὴν τῶν παρ' αὐτοῖς φιλοσόφων μικροψυχίαν, τῶν πραγμάτων αὐτῶν βοώντων τῶν νῦν καὶ τῶν προτέρων, ὡς ἅπαντα τὰ παρ' αὐτοῖς μῦθος καὶ σκηνὴ καὶ ὑπόκρισις. Οὐχ οἱ μοναχοὶ δὲ μόνον, ἀλλὰ καὶ οἱ ἱερεῖς τὴν αὐτὴν ἐπεδείξαντο μεγαλοψυχίαν, καὶ τὴν ἡμετέραν διενείμαντο σωτηρίαν. Καὶ ὁ μὲν εἰς τὸ στρατόπεδον ἀπῆρε, πάντα δεύτερα θέμενος τῆς ὑμετέρας ἀγάπης, καὶ αὐτὸς ἕτοιμος ὤν, εἰ μὴ πείσειε τὸν βασιλέα, ἀποθανεῖν· οὗτοι δὲ ἐνταῦθα μείναντες, καὶ τὰ αὐτὰ τοῖς μοναχοῖς ἐπιδειξάμενοι, ταῖς οἰκείαις χερσὶ τοὺς δικάζοντας κατεῖχον, οὐκ ἐπιτρέποντες εἰσελθεῖν, πρὶν ἢ περὶ τέλους ὑποσχέσθαι τῆς δίκης. Καὶ ἡνίκα μὲν ἑώρων ἀναδύοντας, πολλῇ τῇ παρρησίᾳ καὶ οὗτοι πάλιν ἐκέχρηντο· ἐπειδὴ δὲ εἶδον ἐπινεύσαντας, πο-

δῶν ἁψάμενοι καὶ γονάτων, καὶ χεῖρας καταφιλήσαντες, ἑκατέρων τὴν ἀρετὴν μεθ' ὑπερβολῆς ἐπεδείξαντο, τήν τε ἐλευθερίαν, τήν τε ἐπιείκειαν. ὅτι μὲν γὰρ οὐκ ἦν " θρασύτητος ἡ παρρησία, τὸ καταφιλῆσαι γόνατα, καὶ ποδῶν ἅψασθαι μάλιστα ἔδειξε· πάλιν ὅτι ταῦτα κολακεία οὐκ ἦν, οὐδὲ δουλοπρέπειά τις, ἀλλ' ἐξ ἐλευθέρου γνώμης ἐγίνετο, τὰ φθάσαντα ἐμαρτύρησεν αὐτῶν τὴν παρρησίαν. οὐ ταῦτα δὲ μόνον ἀπὸ τοῦ πειρασμοῦ τὰ καλὰ ἐκαρπωσάμεθα, ἀλλὰ καὶ πολλὴν σωφροσύνην, πολλὴν ἐπιείκειαν· καὶ μοναστήριον ἡμῖν ἡ πόλις ἐξαίφνης ἐγένετο. οὐκ ἂν τις αὐτὴν οὕτως ἐκόσμησεν, εἰ χρυσοῦς ἀνδριάντας " ἀνέστησεν ἐπὶ τῆς ἀγορᾶς, ὡς νῦν ἐστι λαμπρὰ καὶ περιφανής, τοὺς καλοὺς τῆς ἀρετῆς ἀνδριάντας παραγομένη, καὶ τὸν οἰκεῖον ἐπιδείξασα πλοῦτον. ἀλλὰ τὰ παρὰ τοῦ βασιλέως λυπεῖ. ἀλλ' οὐδὲ ἐκεῖνα μὲν οὖν φορτικά, ἀλλὰ καὶ αὐτὰ πολὺ τὸ κέρδος ἤνεγκε. τί γὰρ ἔπαθες, εἰπέ μοι, τῶν γενομένων; ὅτι τὴν ὀρχήστραν ἀνέφραξεν; ὅτι τὸν ἱππόδρομον ἄβατον ἐποίησεν; ὅτι τὰς τῆς πονηρίας πηγὰς ἀπέκλεισε καὶ κατέχωσε; μηδὲ ἀνοιχθῆναι μὲν οὖν εἴη ταῦτά ποτε. ἐντεῦθεν αἱ ῥίζαι τῆς πονηρίας ἐβλάστησαν τῇ πόλει· ἐντεῦθεν οἱ τὸ ἦθος αὐτῆς διαβάλλοντές εἰσιν, οἱ τὰς " αὐτῶν φωνὰς τοῖς ὀρχουμένοις πωλοῦντες, καὶ τριῶν ὀβολῶν τὴν ἑαυτῶν " προπίνοντες ἐκείνοις σωτηρίαν, οἱ πάντα ἄνω καὶ κάτω κινοῦντες. διὰ ταῦτα ἀχάλλεις, ἀγαπητέ; διὰ ταῦτα μὲν οὖν καὶ χαίρειν χρὴ καὶ εὐφραίνεσθαι καὶ χάριτας ὁμολογεῖν τῷ βασιλεῖ, ὅτι ἡ κόλασις αὐτοῦ διόρθωσις γέγονε, καὶ ἡ τιμωρία παιδαγωγία, καὶ ἡ ὀργὴ διδασκαλία. ἀλλ' ὅτι τὰ βαλανεῖα ἡμῖν ἀποκέκλεισται; ἀλλ' οὐδὲ τοῦτο ἀφόρητον καὶ ἄκοντας τοὺς τὸν " ἁβρὸν καὶ χαῦνον καὶ διαλελυμένον βίον ζῶντας πρὸς τὴν φιλοσοφίαν " ἀγαγεῖν. ἀλλ' ὅτι τὸ τῆς πόλεως ἀφεῖλεν ἀξίωμα, καὶ οὐκ ἔτι καλεῖσθαι μητρόπολιν αὐτὴν εἴασεν; ἀλλὰ τί ποιῆσαι ἐχρῆν; ἐπαινέσαι τὰ γεγενημένα, καὶ χάριν ὁμολογῆσαι; καὶ τίς οὐκ ἂν αὐτὸν ἐμέμψατο, ὅτι " οὔτε μέχρι " ῥήματος ἐπεδείξατο " τινα ἀγανάκτησιν; οὐχ ὁρᾷς τοὺς πατέρας, ὅτι πολλὰ τοιαῦτα ποιοῦσιν εἰς τοὺς υἱοὺς τοὺς ἑαυτῶν; ἀποστρέφονται, καὶ τραπέζης εἴργουσι. τοῦτο καὶ ὁ βασιλεὺς ἐποίησε, τοιαύτας ἐπιθεὶς τιμωρίας, αἳ βλάβην μὲν οὐδεμίαν ἔχουσι, πολλὴν δὲ φέρουσι τὴν διόρθωσιν. ἐννόησον τίνα προσεδοκήσαμεν, καὶ τίνα γέγονε, καὶ τότε μάλιστα εἰσόμεθα τοῦ Θεοῦ τὴν χάριν. ἀλγεῖς ὅτι τὸ τῆς πόλεως ἀξίωμα ἀφῄρηται; μάθε τί ποτέ ἐστι πόλεως ἀξίωμα, καὶ τότε εἴσῃ σαφῶς, ὅτι ἂν οἱ οἰκοῦντες αὐτὸ μὴ προδῶσιν, οὐδεὶς ἕτερος ἀφελέσθαι δυνήσεται ἀξίωμα πόλεως. οὐ τὸ μητρόπολιν εἶναι, οὐδὲ τὸ μέγεθος ἔχειν καὶ κάλλος οἰκοδομημάτων, οὐδὲ τὸ πολλοὺς κίονας καὶ στοὰς εὐρείας καὶ περιπάτους, οὐδὲ τὸ παρὰ τῶν ἄλλων ἀναγορεύεσθαι πόλεων, ἀλλ' ἡ τῶν ἐνοικούντων ἀρετὴ καὶ εὐσέβεια, τοῦτο καὶ ἀξίωμα καὶ κόσμος καὶ ἀσφάλεια πόλεως· ὡς ἂν μὴ τοῦτο ᾖ, πάντων ἐστὶν εὐτελεστέρα, κἂν μυρίας παρὰ " βασιλέων " ἀπολαύῃ τιμῆς. βούλει μαθεῖν τῆς πόλεώς σου τὸ ἀξίωμα; βούλει τὰ " πατρῷα αὐτῆς εἰδέναι; ἐγὼ ταῦτα μετ' ἀκριβείας ἐρῶ· οὐχ ἵνα μάθῃς μόνον, ἀλλ' ἵνα καὶ ζηλώσῃς. τί ποτ' οὖν ἐστι τῆς παρ' ἡμῖν πόλεως τὸ ἀξίωμα; ἐγένετο πρῶτον ἐν Ἀντιοχείᾳ τοὺς μαθη-
Πραξ. ια. κϛ. τὰς χρηματίσαι Χριστιανούς. τοῦτο δὲ οὐδεμία τῶν κατὰ τὴν οἰκουμένην ἔχει πόλεων, οὐδὲ αὐτὴ ἡ Ῥωμύλου πόλις. διὰ τοῦτο πρὸς ἅπασαν τὴν οἰκουμένην ἀντιβλέψαι δύναται, διὰ τὸ φίλτρον τὸ περὶ τὸν Χριστόν, διὰ τὴν παρρησίαν, διὰ τὴν ἀνδρείαν ἐκείνην. βούλει
Πραξ. ια. κθ. καὶ ἕτερον ἀκοῦσαι τῆς πόλεως ἀξίωμα καὶ ἐγκώμιον; λιμός ποτε χαλεπώτατος ἔμελλεν ἔσεσθαι, καὶ οἱ κατοικοῦντες ἐν Ἀντιοχείᾳ ὥρισαν, καθὼς εὐπορεῖτό τις, πέμψαι πρὸς τοὺς ἁγίους τοὺς κατοικοῦντας ἐν Ἱερουσαλήμ. ἰδοὺ καὶ δεύτερον ἀξίωμα, ἡ ἐν λιμῷ φιλοφροσύνη. οὐ συνέστειλεν αὐτοὺς ὁ καιρός, οὐδὲ ὀκνηροτέρους ἐποίησεν ἡ τῆς συμφορᾶς προσδοκία, ἀλλ' ὅτε πάντες τὰ ἑτέρων συλλέγουσι, τότε " ἐκεῖνοι τὰ ἑαυτῶν προΐεντο, οὐχὶ τοῖς πλησίον μόνον, ἀλλὰ καὶ τοῖς πόρρω καθημένοις. εἶδες πίστιν περὶ τὸν Θεόν, καὶ ἀγάπην πε-

ρὶ

Πραξ. ιε. α.

εἰς τὸν πλησίον. βούλει καὶ ἑτέραν μαθεῖν ἀξίωμα τῆς πόλεως ταύτης; Κατῆλθόν τινες ἀπὸ τῆς Ἰουδαίας εἰς Ἀντιόχειαν ἐπιθολοῦντες τὸ κήρυγμα, καὶ Ἰουδαϊκὰς παρεισάγοντες παρατηρήσεις. οὐκ ἤνεγκαν σιγῇ τὴν καινοτομίαν ἐκεῖνοι, οὐδὲ ἡσύχασαν· ἀλλὰ συνελθόντες καὶ ἐκκλησίαν ποιήσαντες, εἰς Ἱεροσόλυμα ἔπεμψαν Παῦλον καὶ Βαρνάβαν, καὶ παρεσκεύασαν τοὺς ἀποστόλους καθαρὰ δόγματα, πάσης Ἰουδαϊκῆς ἀπηλλαγμένα ἀσθενείας, πανταχοῦ διαπέμψασθαι τῆς οἰκουμένης. τοῦτο πόλεως ἀξίωμα, τοῦτο προεδρία, τοῦτο μητρόπολιν αὐτὴν ποιεῖ, οὐκ ἐν τῇ γῇ, ἀλλ' ἐν τῷ οὐρανῷ· ὡς αἵ γε ἄλλαι πᾶσαι τιμαὶ φθαρταί τε καὶ ἐπίκηροι καὶ τῷ παρόντι συγκαταλύονται βίῳ· πολλάκις δὲ καὶ πρὸ τοῦ παρόντος βίου τέλος λαμβάνουσι, καθάπερ δὴ καὶ νῦν ἔλαβον. ἐμοὶ πόλις μὴ ἔχουσα πολίτας θεοφιλεῖς πάσης κώμης ἐστὶν εὐτελεστέρα, καὶ σπηλαίου παντὸς ἀτιμοτέρα. καὶ τί λέγω περὶ πόλεως; ἵνα γὰρ μάθῃς ἀκριβῶς, ὅτι ἡ ἀρετὴ μόνη κοσμεῖ τοὺς ἐνοικοῦντας, οὐδέ σοι λέγω περὶ πόλεως, ἀλλ' ὃ πάσης πόλεώς ἐστι σεμνότερον, τὸν τοῦ Θεοῦ ναὸν τὸν ἐν Ἱεροσολύμοις εἰς μέσον ἐνεγκὼν, τοῦτο ἀποδεῖξαι πειράσομαι. ἐκεῖ γὰρ ὁ ναὸς, ἐν ᾧ θυσίαι καὶ εὐχαὶ καὶ λατρεῖαι, ἔνθα τὰ ἅγια τῶν ἁγίων καὶ τὰ χερουβὶμ, καὶ ἡ διαθήκη, καὶ ἡ στάμνος ἡ χρυσῆ, τὰ μεγάλα σύμβολα τῆς τοῦ Θεοῦ προνοίας τῆς περὶ τὸ γένος ἐκεῖνο, ἔνθα χρησμοὶ συνεχεῖς ἄνωθεν ἐφέροντο, ἔνθα προφῆται ἔνθεοι ἐγίνοντο, ἔνθα οὐκ ἀνθρωπίνης τέχνης, ἀλλὰ τῆς τοῦ Θεοῦ σοφίας ἡ διατύπωσις ἔργον ἐγίνετο, ἔνθα πολλῷ πανταχόθεν οἱ τοῖχοι κατελάμποντο χρυσίῳ, καὶ περὶ πᾶσαν ὑπερβολὴν καὶ ὕλης πολυτέλεια καὶ τέχνης ἀκρίβεια συνελθοῦσαι μόνον τοιοῦτον ἐπὶ τῆς γῆς ἔδειξαν ναὸν τότε· μᾶλλον δὲ οὐ τέχνης ἀκρίβεια μόνον, ἀλλὰ καὶ Θεοῦ σοφία τῆς οἰκοδομῆς συνεφήψατο ἐκείνης. οὐ γὰρ οἴκοθεν, οὐδὲ παρ' ἑαυτοῦ, ἀλλὰ παρὰ τοῦ Θεοῦ πάντα μαθὼν ὁ Σολομὼν, καὶ τὴν ὑπογραφὴν ἐκ τῶν οὐρανῶν κατενεγκὼν, οὕτως αὐτὸν διεχάραξε καὶ ἀνέστησεν. ἀλλ' ὅμως ὁ καλὸς ἐκεῖνος καὶ θαυμαστὸς ναὸς καὶ ἅγιος, τῶν χρωμένων αὐτῷ διαφθαρέντων, οὕτως ἠτιμώθη καὶ κατεφρονήθη καὶ γέγονε βέβηλος, ὡς πρό γε τῆς ἁλώσεως σπήλαιον λῃστῶν καλεῖσθαι αὐτὸν, καὶ σπήλαιον ὑαίνης· μετὰ δὲ ταῦτα βαρβαρικαῖς καὶ ἀκαθάρτοις καὶ βεβήλοις παραδοθῆναι χερσί. βούλει καὶ περὶ πόλεων τὸ αὐτὸ τοῦτο μαθεῖν; τί τῶν ἐν Σοδόμοις πόλεων λαμπρότερον ἦν; καὶ γὰρ οἰκίαι καὶ οἰκοδομήματα λαμπρὰ καὶ τείχη παρ' αὐτοῖς ἦν, καὶ χώρα λιπαρὰ καὶ εὔγεος καὶ τῷ παραδείσῳ τοῦ Θεοῦ προσεοικυῖα. ἡ δὲ καλύβη τοῦ Ἀβραὰμ εὐτελὴς καὶ μικρὰ καὶ οὐδεμίαν ἀσφάλειαν ἔχουσα. ἀλλὰ πολέμου ποτὲ γενομένου βαρβαρικοῦ, τὰς μὲν πόλεις τὰς τειχήρεις κατέσκαψάν τε καὶ εἷλον οἱ βάρβαροι, καὶ τοὺς ἐνοικοῦντας λαβόντες αἰχμαλώτους ἀπῆλθον· τὸν δὲ τῆς ἐρήμου πολίτην Ἀβραὰμ οὐκ ἤνεγκαν ἐπελθόντα. καὶ μάλα εἰκότως. τῆς γὰρ ἀπὸ τοῦ πλήθους καὶ τῶν τειχῶν ἀσφαλείας πολλῷ μείζονα εἶχε δύναμιν, τὴν εὐσέβειαν. εἰ χριστιανὸς εἶ, πόλιν οὐκ ἔχεις ἐπὶ τῆς γῆς· τῆς πόλεως ἡμῶν τεχνίτης καὶ δημιουργός ἐστιν ὁ Θεός. κἂν ἅπασαν λάβωμεν τὴν οἰκουμένην, ξένοι καὶ παρεπίδημοι πάσης ἐσμέν· εἰς τὸν οὐρανὸν ἐνεγράφημεν, ἐκεῖ πολιτευόμεθα. μὴ κατὰ τὰ παιδία τὰ μικρὰ, τῶν μεγάλων ὑπερορῶντες, τὰ μικρὰ θαυμάζωμεν· οὐ μέγεθος πόλεως, ἀλλ' ἀρετὴ ψυχῆς κόσμος ἐστὶ καὶ ἀσφάλεια. εἰ δὲ ἀξίωμα εἶναι νομίζεις πόλεως, ἐννόησον πόσοι πορνοκόποι, πόσοι μαλακοὶ καὶ διεφθαρμένοι καὶ μυρίων γέμοντες κακῶν κοινωνοῦσί σοι τῆς ἀξίας ταύτης· καὶ καταφρόνησόν ποτε τῆς τιμῆς ταύτης. ἀλλ' οὐκ ἐκείνη τοιαύτη. καὶ γὰρ ἀδύνατόν ἐστιν αὐτῆς μετασχεῖν τὸν μὴ πᾶσαν ἐπιδειξάμενον ἀρετήν. μὴ τοίνυν αἰσχυνώμεθα· ἀλλὰ τότε ἀλγῶμεν, ὅταν τὸ ἀξίωμα ἡμῶν τῆς ψυχῆς ἀφέληταί τις, ὅταν ἁμαρτίαν ἐργασώμεθα, ὅταν τὸν κοινὸν πάντων δεσπότην προσκρούσωμεν· ὡς τά γε νῦν γενόμενα οὐ μόνον οὐδὲν παραβλάψει τὴν πόλιν, ἀλλ', ἐὰν νήφωμεν, καὶ ὠφελήσει τὰ μέγιστα. καὶ γὰρ [καὶ] γυναικὶ νῦν ἔοικεν ἡμῖν ἡ πατρὶς εὐσχήμονι καὶ ἐλευθέρα καὶ σώ-

Ματθ. κα.
Ιερ. ιζ. η.

Ησ. ι κβ.
Ρωμ. 9. κζ.
Ματθ. κγ λζ.

φερειν. ὁ φόβος ἐπιεικεστέραν αὐτὴν καὶ σεμνοτέραν ἐποίησε, καὶ τῶν μιαρῶν ἐκείνων τῶν τα γεγενημένα τολμησάντων ἀπήλλαξε. μὴ τοίνυν γυναικώδεις θρηνῶμεν θρήνους. καὶ γὰρ ἤκουσα πολλῶν κατὰ τὴν ἀγορὰν λεγόντων· οὐαί σοι, Ἀντιόχεια, τί σοι γέγονε; πῶς ἠτιμώθης; καὶ ἀκούσας κατεγέλασα τῆς παιδικῆς τῶν ταῦτα λεγόντων διανοίας. οὐ γὰρ νῦν ταῦτα λέγειν χρή, ἀλλ' ὅταν ἴδῃς ὀρχουμένους, μεθύοντας, ᾄδοντας, βλασφημοῦντας, ὀμνύοντας, ἐπιορκοῦντας, ψευδομένους, τότε ταύτην ἐπίλεγε τὴν ῥῆσιν· οὐαί σοι, πόλις, τί σοι γέγονεν; ἂν δὲ ἴδῃς τὴν ἀγορὰν ὀλίγους ἔχουσαν ἄνδρας ἐπιεικεῖς καὶ σώφρονας καὶ μετρίους, μακάριζε τὴν πόλιν ἐκείνην. οὐδὲν γὰρ αὐτὴν ἡ ὀλιγότης παραβλάψαι ποτὲ δυνήσεται, ἀρετῆς προσούσης· ὥσπερ οὖν τὸ πλῆθος οὐδὲν ὠφελήσει ποτέ, κακίας οὔσης. Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραήλ, φησιν, ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ ἐγκατάλειμμα σωθήσεται. οὐδέν με τὸ πλῆθος δυσωπῆσαι δυνήσεταί, φησιν. οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν· ἐταλάνισε πόλεις, οὐ δι' ὀλιγότητα, οὐ διὰ τὸ μὴ εἶναι μητροπόλεις. καὶ τὴν Ἱερουσαλὴμ πάλιν δι' αὐτὸ τοῦτο ἐταλάνισεν, οὕτω λέγων· Ἱερουσαλήμ, Ἱερουσαλήμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν. τί γάρ μοι τοῦ πλήθους ὄφελος, εἰπέ μοι, ἂν μετὰ κακίας ᾖ πολιτευόμενον; τοὐναντίον μὲν οὖν, καὶ βλάβος ἀπὸ τούτου γίνεται. νῦν γοῦν τὰ γεγενημένα κακὰ τί ἄλλο εἰργάσατο; οὐχ ἡ ῥαθυμία καὶ ἡ ὀλιγωρία καὶ ἡ μοχθηρία τῶν ἐνοικούντων; μήτι τὸ ἀξίωμα τὴν πόλιν ὠφέλησε; μήτι τὸ μέγεθος τῆς οἰκοδομῆς; μήτι τὸ μητρόπολιν αὐτὴν εἶναι; εἰ δὲ παρὰ βασιλεῖ τῷ τῆς γῆς οὐδέν, αὐτῆς τοῦτο ἁμαρτούσης, προέστη, ἀλλὰ πάντα ἐκεῖνα ἀφῄρηται· πολλῷ μᾶλλον παρὰ τῷ δεσπότῃ τῶν ἀγγέλων οὐδὲν αὐτῆς τὸ ἀξίωμα τοῦτο προστήσεται. οὐδὲν γὰρ ἡμᾶς ὠφελῆσαι δυνήσεται κατὰ τὴν ἡμέραν ἐκείνην, τὸ μητρόπολιν οἰκεῖν, καὶ στοὰς ἔχουσαν εὐρείας, καὶ τὰ ἄλλα ἀξιώματα τὰ τοιαῦτα. καὶ τί λέγω κατὰ τὴν ἡμέραν ἐκείνην; εἰς γὰρ τὸν παρόντα βίον τί σε ὠφελῆσαι δυνήσεται, τὸ μητρόπολιν εἶναι σου τὴν πόλιν; ἆρα οἰκίαν τις κακῶς διακειμένην ἀπὸ τούτου διώρθωσεν; ἢ πρόσοδόν τινα ἔσχεν ἀπὸ τῆς ἀξίας ταύτης; ἢ ἀθυμίαν ἀπεκρούσατο; ἢ σώματος ἀρρωστίαν ἔλυσεν; ἢ κακίαν ψυχῆς ἀπέθετο; μὴ παίζωμεν, ἀγαπητοί, μηδὲ πρὸς τὰς τῶν πολλῶν ὑπολήψεις βλέπωμεν, ἀλλὰ μάθωμεν τί ποτέ ἐστι πόλεως ἀξίωμα, τί ποτέ ἐστι τὸ ποιοῦν πόλιν μητρόπολιν.

Ταῦτα λέγω, προσδοκῶν μὲν πάλιν ἀπολήψεσθαι καὶ τοῦτο τὴν πόλιν τὸ σχῆμα, καὶ ἐπὶ τῆς οἰκείας φανήσεσθαι προεδρίας (καὶ γὰρ φιλάνθρωπος ὁ βασιλεὺς καὶ θεοφιλής) βούλομαι δὲ ὑμᾶς, εἰ καὶ ἀποδοθείη, μὴ μέγα ἐπὶ τούτῳ φρονεῖν, μηδὲ ἐγκαλλωπίζεσθαι, μηδὲ ἐκ τούτων τὴν πόλιν ἡμῖν σεμνύνειν. ὅταν ἐθέλῃς τῆς πόλεως εἰπεῖν ἐγκώμιον, μή μοι τὴν Δάφνην εἴπῃς τὸ προάστειον, μηδὲ τὸ πλῆθος καὶ μῆκος τῶν κυπαρίσσων, μηδὲ τὰς πηγὰς τῶν ὑδάτων, μηδὲ τὸ πολλοὺς τὴν πόλιν οἰκεῖν ἀνθρώπους, μηδὲ τὸ μέχρι βαθυτάτης ἑσπέρας ἐπὶ τῆς ἀγορᾶς διατρίβειν μετὰ ἀδείας πολλῆς, μηδὲ τῶν ὠνίων τὴν ἀφθονίαν· αἰσθητὰ ἅπαντα ταῦτα, καὶ μέχρι τοῦ παρόντος μένοντα βίου· ἀλλ' ἐὰν ἔχῃς εἰπεῖν ἀρετήν, ἐπιείκειαν, ἐλεημοσύνην, παννυχίδας, [εὐχάς,] σωφροσύνην, φιλοσοφίαν ψυχῆς, ἀπὸ τούτων κόσμει τὴν πόλιν. ταῦτα καὶ τοῖς τὴν ἔρημον οἰκοῦσι προσόντα πάσης πόλεως λαμπροτέραν αὐτὴν ποιεῖ, καὶ πόλιν πάντων εὐτελεστέραν, ἂν μὴ παρῇ ταῦτα τοῖς ἐκείνης πολίταις. τοῦτο μὴ ἐπὶ πόλεως μόνον, ἀλλὰ καὶ ἐπ' ἀνθρώπων ποιῶμεν. ἂν ἴδῃς ἄνθρωπον πολυσαρκοῦντα, εἰς εὐεξίαν πολλὴν ἐκβεβηκότα, ὑψηλόν, καὶ τοὺς ἄλλους ὑπερβαίνοντα τῷ μήκει τοῦ σώματος, μὴ θαυμάσῃς, ἕως ἂν αὐτοῦ τὴν ψυχὴν καταμάθῃς. μὴ ἀπὸ τῆς ἔξωθεν εὐμορφίας, ἀλλ' ἀπὸ τοῦ κατὰ τὴν διάνοιαν κάλλους μακαρίζωμεν ἅπαντας. μικρὸς ἦν ὁ Δαβὶδ καὶ βραχὺς τὸ σῶμα· ἀλλ' ὅμως ὁ βραχὺς ἐκεῖνος καὶ μικρὸς καὶ τῶν ὅπλων γεγυμνωμένος ἁπάντων, στρατόπεδον τοσοῦτον, καὶ τὸν σαρκικὸν ἐκεῖνον πύργον ἀπὸ μιᾶς κατέσεισε πληγῆς, οὐκ ἀκοντίσας δόρυ, οὐ βέλος ἀφεὶς, οὐδὲ ξίφος γυμνώσας· ἀλλὰ μικρᾷ "βώλῳ τὸ πᾶν ἐργασάμενος. διὰ τοῦτο καί τις παραινεῖ λέγων· Μὴ ἐπαινέσῃς ἄνδρα ἐν κάλλει αὐτοῦ, μηδὲ βδελύξῃ ἄνθρωπον ἐν ὁράσει αὐτοῦ. Μικρὰ ἐν "πετεινοῖς ἡ μέλισσα, καὶ ἀρχὴ "γλυκασμάτων ὁ καρπὸς αὐτῆς. τοῦτο δὴ καὶ "περὶ πόλεων καὶ ἀνδρῶν λέγωμεν, καὶ πρὸς ἀλλήλους φιλοσοφῶμεν, καὶ τῷ Θεῷ χάριν ἔχωμεν διηνεκῶς καὶ ὑπὲρ τῶν παρόντων, καὶ ὑπὲρ τῶν παρελθόντων, καὶ παρακαλῶμεν αὐτὸν κοινῇ μετ' ἐκτενείας ἁπάσης, ὥστε καὶ τοὺς τὸ δεσμωτήριον οἰκοῦντας, καὶ τοὺς εἰς τὴν ἀλλοτρίαν μετοικίζεσθαι μέλλοντας, τοὺς μὲν ἀφεθῆναι, τοὺς δὲ ἐπανελθεῖν. μέλη ἡμῶν εἰσι κἀκεῖνοι· μεθ' ἡμῶν ἐκλυδωνίσθησαν, μεθ' ἡμῶν τὸν χειμῶνα ὑπέστησαν. παρακαλῶμεν τοίνυν τὸν φιλάνθρωπον Θεὸν, μεθ' ἡμῶν αὐτοὺς ἀπολαῦσαι τῆς γαλήνης. μὴ λεγέτω τις, τί δέ μοι μέλει λοιπόν; ἀπηλλάγην τοῦ κινδύνου· ἀπολλύσθω ὁ δεῖνα, διαφθειρέσθω ἕτερος. μὴ παροξύνωμεν τὸν Θεὸν διὰ τῆς ὑπεροψίας ταύτης, ἀλλ' ὡς αὐτοὶ ὄντες ἐν τοῖς δεινοῖς, οὕτως ὀδυνώμεθα, οὕτω τὸν Θεὸν μετ' ἐκτενείας παρακαλῶμεν, "τὸν Παύλου πληροῦντες λόγον· Τοῖς δεσμίοις, ὡς συνδεδεμένοι· τοῖς κακουχουμένοις, ὡς καὶ αὐτοὶ ὄντες "ἐν σώματι· κλαίοντες μετὰ κλαιόντων· τοῖς ταπεινοῖς συναπαγόμενοι. τοῦτο καὶ ἡμᾶς αὐτοὺς ὠφελήσει τὰ μέγιστα. οὐδὲν γὰρ οὕτω τὸν Θεὸν εὐφραίνειν εἴωθεν, ὡς τὸ μετὰ πολλῆς προθυμίας ἀλγεῖν ὑπὲρ τῶν μελῶν τῶν ἡμετέρων. παρακαλῶμεν τοίνυν αὐτὸν κοινῇ καὶ ὑπὲρ τῶν παρόντων, καὶ ὑπὲρ τῶν μελλόντων, ὥστε κἀκείνης ἡμᾶς ἐξαρπάσαι τῆς κολάσεως. τὰ μὲν γὰρ παρόντα, οἷα ἂν ᾖ, φορητά τέ ἐστι καὶ τέλος ἔχει· τὰ δὲ ἐκεῖ βασανιστήρια, ἀθάνατά τε καὶ "ἄφυκτα. μετὰ δὲ τῆς παρακλήσεως καὶ αὐτοὶ σπουδάζωμεν μηκέτι τοιούτοις περιπίπτειν ἁμαρτήμασιν, εἰδότες ὅτι λοιπὸν οὐδὲ συγγνώμης ἀπολαῦσαι "δυνάμεθα. κοινῇ τοίνυν προσπίπτωμεν ἅπαντες τῷ Θεῷ, καὶ ἐνταῦθα ὄντες, καὶ κατὰ τοὺς οἴκους γενόμενοι, καὶ λέγωμεν· Δίκαιος εἶ, Κύριε, ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν, ὅτι ἐν ἀληθινῇ κρίσει ἐπήγαγες, ὅσα ἐπήγαγες. εἰ αἱ ἁμαρτίαι ἡμῶν ἀντέστησαν ἡμῖν, ποίησον "ἡμῖν ἕνεκεν τοῦ ὀνόματός σου, καὶ μὴ συγχωρήσῃς μηκέτι τοιούτων δεινῶν πεῖραν λαβεῖν, μηδὲ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Σειρ. ια. c. γ.

Ρωμ. ιβ. ιε.

Δαν. γ. κζ.

ΟΜΙΛΙΑ ΛΕΧΘΕΙΣΑ ΕΙΣ ΤΗΝ ΜΕΣΗΝ ΤΩΝ ΝΗστειῶν, καὶ εἰς τὸ ἀποστολικὸν ῥητὸν τὸ λέγον, Χαίρετε ἐν Κυρίῳ πάντοτε, καὶ περὶ τῆς παρῳχημένης ἐν τῇ πόλει στάσεως. Λογ. ιη.

Φιλιπ. δ. δ.

Πολλοὺς εἶδον χαίροντας καὶ πρὸς ἀλλήλους λέγοντας· ἐνικήσαμεν, ἐκρατήσαμεν, ἐδαπανήθη τῆς νηστείας τὸ ἥμισυ. τοὺς δὲ τοιούτους παρακαλῶ μὴ διὰ τοῦτο χαίρειν, ὅτι ἐδαπανήθη τῆς νηστείας τὸ ἥμισυ, ἀλλ' ἐκεῖνο σκοπεῖν, εἰ τῶν ἁμαρτημάτων ἐδαπανήθη τὸ ἥμισυ, καὶ τότε ἀγάλλεσθαι. τοῦτο γὰρ ἡδονῆς ἄξιον, τοῦτό ἐστι τὸ ζητούμενον, καὶ δι' ὃ πάντα "γίνεται, ἵνα τὰ ἐλαττώματα ἡμῶν διορθωσώμεθα, ἵνα μὴ τοιοῦτοι ἐξέλθωμεν ἀπὸ νηστείας, οἷοι εἰσήλθομεν εἰς νηστείαν· ἀλλ' ἀπονιψάμενοι, καὶ πάντα ἀποθέμενοι τὰ τῆς πονηρᾶς συνηθείας, οὕτω τὴν ἱερὰν ἀγάγωμεν ἑορτήν. ὡς ἐὰν μὴ τοῦτο ᾖ, οὐ μόνον ἡμῖν οὐδὲν ἔσται κέρδος, ἀλλὰ καὶ βλάβος μέγιστον τῆς νηστείας δαπανηθείσης. μὴ τοίνυν χαίρωμεν, "ὅτι διηνύσαμεν τῆς νηστείας τὸ μῆκος (τοῦτο γὰρ οὐδὲν μέγα ἐστὶν) ἀλλὰ χαίρωμεν, ὅταν μετὰ κατορθωμάτων αὐτὴν διανύσωμεν· ἵνα καὶ ἀπελθούσης ταύτης, ὁ ταύτης διαλάμπῃ καρπός. καὶ γὰρ τοῦ "χειμῶνος ἀπελθόντος, μένει τὸ τοῦ χειμῶνος κέρδος, καὶ τότε μάλιστα δείκνυται, ὅταν ἐκεῖνος παρέλθῃ. καὶ γὰρ κομῶντα τὰ λήϊα, καὶ φύλλοις καὶ καρποῖς τὰ δένδρα βρύοντα διὰ τῆς ὄψεως βοᾷ τὴν ἐκ τοῦ χειμῶνος γινομένην ὠφέλειαν αὐτοῖς. τοῦτο δὴ καὶ ἐφ' ἡμῶν γινέσθω. καὶ γὰρ ὑετῶν συνεχῶν καὶ ἐπαλλήλων ἀπελαύσαμεν ἐν τῷ χειμῶνι, κατὰ τὸν τῆς νηστείας καιρὸν διηνεκοῦς μετασχόντες διδασκαλίας, καὶ σπέρματα ὑπεδεξάμεθα πνευματικά, καὶ τὰς ἀκάνθας τῆς τρυφῆς ἀπετεμόμεθα. μένωμεν τοίνυν, ἅπερ ὑπεδεξάμεθα, τηροῦντες μετ' ἀκριβείας, ἵνα καὶ τῆς νηστείας ἀπελθούσης ὁ τῆς νηστείας βρύῃ καρπός, καὶ διὰ τῶν ἀγαθῶν, ὧν ἐκαρπωσάμεθα ἀπὸ τῆς νηστείας, καὶ αὐτῆς μνημονεύωμεν τῆς νηστείας. ἐὰν γὰρ οὕτως ἑαυτοὺς παρασκευάσωμεν, περιιοῦσαν αὐτὴν μεθ' ἡδονῆς δεξόμεθα πάλιν. καὶ γὰρ οὕτω πολλοὺς ὁρῶ μικροψύχως ἔχοντας, ὡς ἐν τῷ παρόντι περὶ τῆς μελλούσης μεριμνᾶν τεσσαρακοστῆς, καὶ πολλῶν ἤκουσα λεγόντων, ὅτι μετὰ τὴν τῆς νηστείας ἀπαλλαγὴν οὐκ αἰσθάνονται τῆς ἡδονῆς τῆς ἐκ τῆς ἀνέσεως διὰ τὴν φροντίδα τοῦ μέλλοντος ἐνιαυτοῦ. τί γένοιτ' ἂν τούτων μικροψυχότερον, εἰπέ μοι; τὸ δὲ αἴτιον τοῦτό ἐστιν, ὅτι νηστείας ἐπελθούσης οὐχ ὅπως τὰ κατὰ ψυχὴν εὖ διατεθείη, σπουδάζομεν, ἀλλ' ἐν τῇ τῶν σιτίων ἀποχῇ μόνον αὐτὴν ὁριζόμεθα. ὡς εἴ γε μέγα τι εἰς τὴν τῶν τρόπων διόρθωσιν ἀπ' αὐτῆς ἐκαρπωσάμεθα, κἂν ηὐξάμεθα καθ' ἑκάστην ἡμέραν παραγίνεσθαι τὴν νηστείαν, δι' αὐτῶν τῶν ἔργων αἴσθησιν λαμβάνοντες τῶν κατορθωμάτων αὐτῆς· καὶ οὐκ ἄν ποτε τὴν ἐπιθυμίαν αὐτῆς ἐξεβάλομεν, οὐκ ἂν προσδοκωμένης αὐτῆς ἐγενόμεθα κατηφεῖς καὶ ἐναγώνιοι. τὸν γὰρ κατὰ διάνοιαν εὖ διακείμενον, καὶ τῆς ψυχῆς ἐπιμελούμενον τῆς ἑαυτοῦ οὐδὲν ὅλως τῶν ὄντων θλίψαι δυνήσεται, ἀλλ' ἀπολαύσεται καθαρᾶς ἡδονῆς καὶ διηνεκοῦς. καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, ἀκούσατε τοῦ Παύλου σήμερον παραινοῦντος ἡμῖν καὶ λέγοντος· Χαίρετε ἐν Κυρίῳ πάντοτε· πάλιν ἐρῶ, χαίρετε. καὶ οἶδα μὲν ὅτι πολλοῖς ἀδύνατον εἶναι δοκεῖ τὸ λεγόμενον. πῶς γὰρ δυνατόν, φησιν, ἄνθρωπον ὄντα χαίρειν διηνεκῶς; τὸ μὲν γὰρ χαίρειν, οὐ δύσκολον· τὸ δὲ διηνεκῶς χαίρειν, τοῦτο καὶ ἀδύνατον εἶναί μοι δοκεῖ, ἴσως εἴποι τις ἄν. πολλαὶ γὰρ ἀθυμίας ἡμᾶς ἀνάγκη περιστοιχίζονται. εἰ γὰρ παῖδά τις ἀπέβαλεν, ἢ γυναῖκα, ἢ φίλον γνήσιον πάντων συγγενοῦς ἀναγκαιότερον, ἢ ζημίαν ὑπέστη χρημάτων, ἢ νόσῳ περιέπεσεν, ἢ περιστάσει πραγμάτων ὑπέμεινεν ἑτέραν, ἢ παρὰ τὴν ἀξίαν ὑβρισθεὶς ἤλγησεν, ἢ λιμός, ἢ λοιμός, ἢ εἰσπράξεις ἀφόρητοι, ἢ τὰ κατὰ τὴν οἰκίαν πράγματα (μᾶλλον δὲ οὐκ ἂν φθάνοιμεν ἅπαντα καταλέγοντες, ἃ καὶ ἰδίᾳ καὶ δημοσίᾳ λυπεῖν ἡμᾶς εἴωθε) πῶς οὖν δυνατόν, φησι, πάντοτε χαίρειν; δυνατὸν μὲν οὖν, ἄνθρωπε, καὶ εἰ μὴ δυνατὸν ἦν, οὐκ ἂν ὁ Παῦλος παρῄνεσεν, οὐδ' ἂν συνεβούλευσεν ἄνθρωπος πνευματικῆς ἀπολαύων σοφίας. καὶ διὰ τοῦτο συνεχῶς ὑμῖν ἔλεγον, καὶ λέγων οὐ παύσομαι, ὅτι ἃ μηδαμοῦ μηδὲ παρ' ἑτέρων τινῶν ἐστὶ μαθεῖν, ταῦτα ἐνταῦθα ὑμῖν ἔξεστι φιλοσοφεῖν. ἡδονῆς μὲν γὰρ καὶ τοῦ χαίρειν ἐπιθυμοῦσιν ἅπαντες, καὶ διὰ τοῦτο πάντα ποιοῦσι, καὶ λέγουσι, καὶ πραγματεύονται. καὶ γὰρ ἔμπορος διὰ τοῦτο πλεῖ, ἵνα χρήματα συναγάγῃ· χρήματα δὲ συνάγει, ἵνα ἔχων ἀποκείμενα χαίρῃ. καὶ ὁ στρατευόμενος διὰ τοῦτο στρατεύεται, καὶ ὁ γεωργὸς διὰ τοῦτο γεωργεῖ, καὶ τέχνην ἕκαστος διὰ τοῦτο μέτεισι, καὶ ἀρχῆς οἱ ἐρῶντες διὰ τοῦτο ἐρῶσιν, ἵνα δόξης ἀπολαύσωσι· δόξης δὲ ἀπολαύειν βούλονται, ἵνα χαίρωσι. καὶ πρᾶγμα ἕκαστον πρὸς τοῦτο ἴδοι τις ἂν ἐπιγινόμενον ἡμῖν τὸ τέλος, καὶ πρὸς τοῦτο ἕκαστος βλέπων διὰ πολλῶν τῶν μέσων ἐπ' αὐτὸ σπεύδει βαδίζειν. εὐθυμίας μὲν οὖν, ὅπερ ἔφην, ἐρῶσιν ἅπαντες, ἐπιτυχεῖν δὲ οὐχ ἅπαντες δύνανται. οὐ γὰρ ἴσασι τὴν ἐκεῖ φέρουσαν ὁδόν· ἀλλὰ πολλοὶ νομίζουσιν, ὅτι τὸ πλουτεῖν αἴτιον τούτου γίνεται. εἰ δὲ τοῦτο αἴτιον ἦν, οὐδεὶς ἂν τῶν χρήματα κεκτημένων ἠθύμησέ ποτε. νῦν δὲ πολλοὶ τῶν πλουτούντων ἀβίωτον εἶναι τὸν βίον νομίζουσι, καὶ θανάτους μυρίους εὔχονται, ἐπειδὰν δυσημερίας τινὸς αἴσθωνται, καὶ οἱ σφόδρα ἀθυμοῦντες, οὗτοι μάλιστα πάντων εἰσί. μὴ γάρ μοι τὰς τραπέζας αὐτῶν ἴδῃς, μηδὲ τοὺς κόλα-

Φιλιπ. δ. δ.

κας

χας αὐτὴν καὶ τοὺς παρασίτους, ἀλλὰ τὰ δι' αὐτὴν τικτόμενα πράγματα, τὰς ἐπηρείας, τὰς συκοφαντίας, τοὺς κινδύνους, τὰς ἀγωνίας, καὶ ὃ τούτου πολλῷ χαλεπώτερον, ὅτι καὶ ἀμελέτητοι πρὸς ταύτας ἐρχόμενοι τὰς μεταβολὰς φιλοσοφεῖν οὐκ ἐπίστανται, οὐδὲ γενναίως τὰ συμπίπτοντα φέρειν. διόπερ οὐδὲ τοιαῦτα αὐτοῖς φαίνεται τὰ δεινά, οἷά περ ἐστὶ τῇ φύσει· ἀλλὰ καὶ τὰ κοῦφα, ἀφόρητα λοιπὸν εἶναι δοκεῖ· ὥσπερ οὖν ἐπὶ τῶν πενήτων τοὐναντίον ἐστὶ, καὶ τὰ δύσοιστα φορητὰ φαίνεται, τῷ πολλὰ τοιαῦτα ἐμπειρᾶσθαι αὐτοὺς μεμελετηκέναι. οὐ γὰρ οὕτως ἡ τῶν πραγμάτων φύσις, ὡς ἡ τῶν πασχόντων διάθεσις καὶ μεγάλα καὶ μικρὰ ποιεῖ φαίνεσθαι τὰ ἐπιόντα ἡμῖν κακά. καὶ ἵνα μὴ πόρρωθεν ἀγάγω τὸ παράδειγμα ἑκατέρων τούτων, ἀπὸ τῶν συμβάντων ἡμῖν διαλέξομαι. ἰδοὺ γοῦν οἱ μὲν πένητες διέφυγον ἅπαντες, καὶ ὁ δῆμος ἀπήλλακτο τοῦ κινδύνου, καὶ ἀδείας ἀπολαύομεν καθαρᾶς· οἱ δὲ τὰ τῆς πόλεως πράγματα πράττοντες, ἱπποτρόφοι, καὶ ἀγωνοθέται, καὶ τὰς ἄλλας λειτουργίας λειτουργήσαντες, οὗτοι τὸ δεσμωτήριον οἰκοῦσι νῦν, καὶ περὶ τῶν ἐσχάτων δεδοίκασι, καὶ τῶν ἅπασι πολυμνημένων αὐτοὶ τὰς εὐθύνας ὑπέχουσι, καὶ φόβῳ συζῶσι διηνεκεῖ, καὶ πάντων ἀθλιώτεροι ἐκεῖνοι διάκεινται νῦν, οὐ διὰ τὸ μέγεθος τῶν κινδύνων, ἀλλὰ διὰ τὸ τρυφῇ τὸν ἔμπροσθεν χρόνον συνεζηκέναι. πολλοὶ γοῦν παρ' ἡμῶν παρακαλούμενοι, καὶ γενναίως φέρειν συμβουλευόμενοι τὰ δεινά, τοῦτο ἔλεγον· ὅτι οὐδὲν οὐδέποτε τοιοῦτον ἐμελετήσαμεν, οὐδὲ ἐπιστάμεθα τοιαῦτα φιλοσοφεῖν. διὰ τοῦτο πολλῆς δεόμεθα τῆς παρακλήσεως. ἕτεροι πάλιν νομίζουσιν, ὅτι τὸ ὑγιαίνειν τοῦτό ἐστιν αἴτιον ἡδονῆς· οὐκ ἔστι δέ. πολλοὶ γοῦν τῶν ὑγιαινόντων, καὶ αὐτοὶ μυριάκις ηὔξαντο ἀποθανεῖν, τὰς ἐπαγομένας αὐτοῖς οὐκ ἐνεγκόντες ἐπηρείας. ἄλλοι πάλιν τὸ δόξης ἀπολαύειν καὶ δυναστείας ἐπειλῆφθαι καὶ διέπειν ἀρχὰς καὶ παρὰ πολλῶν κολακεύεσθαι, διηνεκοῦς χαρᾶς ποιητικὸν εἶναί φασιν. οὐκ ἔστι δέ, οὐδὲ τοῦτο. καὶ τί λέγω τὰς ἄλλας ἀρχάς; κἂν γὰρ ἐπ' αὐτὴν ἀναβαίνωμεν τῷ λόγῳ τὴν βασιλείαν, καὶ τὸν ἐν ἐκείνῃ ζῶντα πολλαῖς εὑρήσομεν περιεστοιχισμένον ἀθυμίαις, καὶ τοσούτῳ πλείους ἔχοντα λύπης ἀνάγκας, ὅσῳ καὶ μείζονα περιβέβληται πραγμάτων ὄγκον. καὶ τί χρὴ λέγειν πολέμους καὶ μάχας καὶ τὰς παρὰ τῶν βαρβάρων ἐπαναστάσεις; πολλάκις αὐτοὺς τοὺς ἔνδον στρεφομένους δέδοικε. καὶ γὰρ πολλοὶ τῶν βασιλευσάντων, τὰς πολεμικὰς διαφυγόντες χεῖρας, τὰς τῶν σωματοφυλάκων οὐ διέφυγον ἐπιβουλάς. τοσαῦται δὲ τοῖς βασιλεῦσιν ἀθυμίας ἀνάγκαι, ὅσα τῇ θαλάττῃ τὰ κύματα. εἰ δὲ βασιλεία οὐκ ἂν ἄλυπον ἐργάσαιτο βίον, τί ἕτερον δυνήσεται κατορθῶσαι τοῦτο; τῶν μὲν βιωτικῶν οὐδέν· τὸ δὲ Παύλου ῥῆμα μόνον, τὸ βραχὺ τοῦτο καὶ ψιλόν, αὐτὸν ἡμῖν τοῦτον ἀνοίξει τὸν θησαυρόν. οὐ γὰρ πολλῶν δεῖ λόγων, οὐδὲ μακρᾶς τῆς περιόδου· ἀλλ' ἐὰν ἐννοήσωμεν τὸ εἰρημένον μόνον, εὑρήσομεν τὴν ὁδὸν τὴν ἐπὶ τοῦτο φέρουσαν. οὐδὲ γὰρ εἶπεν ἁπλῶς, χαίρετε πάντοτε, ἀλλὰ προσέθηκε τὴν αἰτίαν τῆς διηνεκοῦς ἡδονῆς, χαίρετε ἐν Κυρίῳ πάντοτε, εἰπών. ὁ ἐν Κυρίῳ χαίρων, οὐδενὶ τῶν συμπιπτόντων τῆς ἡδονῆς ταύτης ἐκπεσεῖν δύναται. τὰ μὲν γὰρ ἄλλα πάντα, ἐφ' οἷς χαίρομεν, πρόσκαιρά τέ ἐστι καὶ εὐμετάπτωτα, καὶ ἀλλοιοῦται ῥᾳδίως· καὶ οὐ τοῦτο μόνον ἔχει τὸ δεινόν, ἀλλ' ὅτι καὶ μένοντα οὐ τοσαύτην ἡμῖν παρέχει τὴν ἡδονήν, ὡς τὴν ἐκ τῶν ἄλλων ἐπιγινομένην ἡμῖν ἀθυμίαν ἀποκρούεσθαι καὶ συσκιάζειν· ὁ δὲ τοῦ Θεοῦ φόβος ἀμφότερα ταῦτα ἔχει· βέβαιός τέ ἐστι καὶ ἀκίνητος, καὶ τοσαύτην βρύει χαράν, ὡς μηδεμίαν ἡμᾶς αἴσθησιν τῶν ἄλλων λαμβάνειν δεινῶν. ὁ γὰρ τὸν Θεόν, ὡς χρή, φοβούμενος, καὶ ἐπ' αὐτῷ θαρρῶν, τὴν ῥίζαν ἐκαρπώσατο τῆς ἡδονῆς, καὶ πᾶσαν τῆς εὐθυμίας ἔχει τὴν πηγήν. καὶ καθάπερ εἰς πέλαγος ἄπειρον σπινθὴρ μικρὸς ἐμπεσὼν ἀφανίζεται ῥᾳδίως, οὕτως ὅσα ἂν προσπέσῃ τῷ φοβουμένῳ τὸν Θεόν, καθάπερ εἰς πέλαγος ἀχανὲς εὐθυμίας ἐμπίπτοντα κατασβέννυται καὶ ἀπόλλυται. καὶ τὸ δὴ θαυμαστὸν μάλιστα τοῦτό ἐστιν, ὅτι τῶν λυπούντων παρόντων μένει χαίρων αὐτός. εἰ μὲν γὰρ μηδὲν ἦν τὸ λυποῦν,

οὐκ ἦν αὐτῷ μέγα τὸ δύνασθαι διηνεκῶς χαίρειν· τὸ δὲ πολλῶν ἐπικειμένων τῶν εἰς ἀθυμίαν″ ἐμβαλλόντων δυνατώτερον ἁπάντων εἶναι, καὶ ἐν μέσοις τοῖς λυπηροῖς εὐφραίνεσθαι, τοῦτό ἐστι τὸ παράδοξον. καὶ καθάπερ τοὺς παῖδας τοὺς τρεῖς οὐδεὶς ἂν ἐθαύμασε μὴ″ καέντας, εἰ πόῤῥω τῆς Βαβυλωνίας ἦσαν καμίνου (τὸ γὰρ ἐκπλῆξαν ἅπαντας τοῦτό ἐστιν, ὅτι τῷ πυρὶ τοσοῦτον ὁμιλήσαντες χρόνον, τῶν οὐχ ὡμιληκότων ἐξέβησαν ἀλυπώτεροι) οὕτω καὶ ἐπὶ τῶν ἁγίων ἔστιν εἰπεῖν· ὅτι εἰ μηδεὶς αὐτοῖς ἐπήγετο πειρασμὸς, οὐκ ἂν αὐτοὺς ἐθαυμάσαμεν διηνεκῶς χαίροντας. τὸ δὲ ἐκπλήξεως ἄξιον καὶ φύσιν ἀνθρωπίνην ὑπερβαῖνον τοῦτό ἐστιν, ὅτι μυρίοις κυκλούμενοι κύμασι, πάντοθεν τῆς γαλήνης καθαρᾶς ἀπολαυόντων ῥᾷον διάκεινται.

Ὅτι μὲν οὖν οὐδένα βίον τῶν ἔξωθεν εὑρεῖν δυνατὸν εὐθυμίᾳ συγκεκληρωμένον διηνεκεῖ, δῆλον ἐκ τῶν εἰρημένων· ὅτι δὲ τὸν πιστὸν ἀμήχανον μὴ διηνεκοῦς ἀπολαύειν ἡδονῆς, καὶ τοῦτο αὐτὸ πάλιν ἀποδεῖξαι πειράσομαι· οὐχ ἵνα μάθητε μόνον, ἀλλ' ἵνα καὶ ζηλώσητε τὸν″ ἄλυπον τοῦτον βίον. ἔστω γάρ τις μηδὲν ἑαυτοῦ κατεγνωκὼς, ἀλλ' ἀγαθῷ συνειδότι συντρεφόμενος, καὶ πρὸς τὰ μέλλοντα κεχηνὼς, καὶ τὰς ἀγαθὰς ἐκείνας ἀναμένων ἐλπίδας, τί τοῦτον, εἰπέ μοι, εἰς ἀθυμίαν ἐμβαλεῖν δυνήσεται; οὐ πάντων ἀφορητότατον ὁ θάνατος εἶναι δοκεῖ; ἀλλ' ἡ τούτου προσδοκία οὐ μόνον αὐτὸν οὐ λυπεῖ, ἀλλὰ καὶ εὐφραίνει μειζόνως. οἶδε γὰρ, ὅτι ἡ τοῦ θανάτου παρουσία πόνων ἐστὶν ἀπαλλαγὴ, καὶ δρόμος ἐπὶ τοὺς στεφάνους καὶ τὰ βραβεῖα τὰ ἀποκείμενα τοῖς ὑπὲρ εὐσεβείας καὶ ἀρετῆς ἀγωνισαμένοις. ἀλλὰ παίδων ἄωρος τελευτή; ἀλλὰ καὶ τοῦτο φέρει γενναίως, καὶ ἐρεῖ τὰ τοῦ Ἰώβ*· Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. εἰ δὲ θάνατος καὶ παίδων ἀποβολὴ λυπεῖν οὐ″ δύναται, πολλῷ μᾶλλον ζημίαι χρημάτων καὶ ἀτιμίαι καὶ κατηγορίαι καὶ διαβολαὶ τῆς οὕτω μεγάλης καὶ γενναίας ψυχῆς οὐκ ἄν ποτε ἅψαιντο, οὔτε ὀδύνη σώματος. ἐπεὶ καὶ οἱ ἀπόστολοι ἐμαστιγοῦντο μὲν, οὐκ ἠθύμουν δέ. μέγα μὲν οὖν καὶ τοῦτο· τὸ δὲ πολλῷ μεῖζον, ὅτι οὐ μόνον οὐκ ἠθύμουν, ἀλλὰ καὶ αὐτὰς τὰς μάστιγας ὑπόθεσιν ἐποιοῦντο μείζονος ἡδονῆς. [καὶ ὅτι τοῦτο ἀληθὲς, ἄκουε τοῦ τὸ βιβλίον τῶν πράξεων γράψαντος τοῦτο αὐτὸ δηλοῦντος, ἐν οἷς φησιν.] Ὑπέστρεφον δὲ ἀπὸ προσώπου τοῦ συνεδρίου χαίροντες, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι. ὕβρισέ τις καὶ ἐλοιδόρησε τὸν τοιοῦτον; ἀλλ' ἐπαιδεύθη παρὰ τοῦ Χριστοῦ χαίρειν ἐπὶ ταῖς ὕβρεσι. ″Μακάριοί ἐστε, φησὶν, ὅταν εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ· χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. ἀλλὰ νόσῳ περιέπεσεν; ἀλλ' ἤκουσεν ἑτέρου παραινοῦντος καὶ λέγοντος, Ἐν νόσῳ καὶ πενίᾳ ἐπ' αὐτῷ πεποιθὼς γίνου· ὅτι ὥσπερ ἐν πυρὶ δοκιμάζεται χρυσὸς, οὕτως ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως. ὅταν οὖν μήτε θάνατος, μήτε ζημία χρημάτων, μήτε νόσος σώματος, μήτε ἀτιμία, μήτε λοιδορία, μήτε ἄλλο τι τῶν τοιούτων μηδὲν αὐτὸν λυπῆσαι δύνηται, ἀλλὰ καὶ εὐφραίνῃ μᾶλλον, ποίαν ἀθυμίας ὑπόθεσιν ἕξει ποτέ; τί οὖν; οὐκ ἠθύμουν οἱ ἅγιοι, φησίν; οὐκ ἀκούεις Παύλου λέγοντος, Λύπη μοί ἐστι μεγάλη, καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου; αὐτὸ μὲν οὖν τοῦτό ἐστι τὸ θαυμαστὸν, ὅτι ἡ λύπη κέρδος καὶ ἡδονὴν τὴν ἐκ τοῦ πένθους ἔφερεν. ὥσπερ γὰρ αἱ μάστιγες οὐκ ὀδύνας, ἀλλὰ χαρὰν, οὕτω καὶ ἡ λύπη πάλιν τοὺς μεγάλους ἐκείνους προξενεῖ στεφάνους. καὶ τὸ παράδοξον τοῦτό ἐστιν, ὅτι τοῦ κόσμου μὲν οὐχ ἡ ἀθυμία μόνον, ἀλλὰ καὶ ἡ χαρὰ ζημίαν ἔχει τὴν ἐσχάτην· ἐπὶ δὲ τῶν πνευματικῶν τοὐναντίον ἅπαν· οὐχ ἡ χαρὰ μόνον, ἀλλὰ καὶ ἡ ἀθυμία πολὺν ἔχει τῶν ἀγαθῶν τὸν θησαυρόν. καὶ πῶς, ἐγὼ λέγω. χαίρει τις ἐν τῷ κόσμῳ πολλάκις ἐχθρὸν δυσημεροῦντα ἰδὼν, καὶ διὰ τῆς χαρᾶς ταύτης πολλὴν ἐπισπᾶται ἑαυτῷ τὴν κόλασιν. ἀλγεῖ τις πάλιν ἑτέρου τὸν ἀδελφὸν πεσόντα ἰδὼν, καὶ διὰ τῆς ἀθυμίας ταύτης πολλὴν ἑαυτῷ παρὰ τῷ

Θεῷ

Ἰωβ. α. κα.

Πράξ. ε. μα.

Ματθ. ε. ια.

Σιρ. β. ε.

Ρωμ. θ. β.

γρ. ἐμβαλ- ζόντων γρ. καυθέν-

* ῥήματι

γρ. οὐ-

γρ. χαίρετε γάρ, φησί, ἀγαλλιᾶσθε

Θεῷ προξενεῖ τὴν εὔνοιαν. ὁρᾷς πῶς ἡ κατὰ Θεὸν λύπη τῆς τοῦ κόσμου χαρᾶς βελτίων καὶ χρησιμωτέρα. οὕτω καὶ Παῦλος ἐλυπεῖτο διὰ τοὺς ἁμαρτάνοντας, διὰ τοὺς ἀπιστοῦντας τῷ Θεῷ· καὶ τῆς λύπης ταύτης πολὺν εἶχεν ἀποκείμενον αὐτῷ τὸν μισθόν. ἵνα δὲ σαφέστερον ὃ λέγω ποιήσω, καὶ μάθητε, ὡς εἰ καὶ παράδοξον τὸ εἰρημένον, ἀλλ' ὅμως ἐστὶν ἀληθές· καὶ οἶδε θρῆνος πολλάκις ἀνακτᾶσθαι τὰς ὀδυνωμένας ψυχάς, καὶ κουφίζειν συνειδὸς βεβαρημένον. πολλαὶ πολλάκις γυναῖκες ἀποβαλοῦσαι παῖδας ποθεινοτάτους, ἂν μὲν κωλυθῶσι δακρῦσαι καὶ θρηνῆσαι καὶ ὀλοφύρεσθαι, διαρρήγνυνται καὶ ἀπόλλυνται· ἂν δὲ τὰ τῶν ἀθυμούντων ποιήσωσιν ἅπαντα, κουφίζονται καὶ παραμυθίαν λαμβάνουσι. καὶ τί θαυμαστόν, εἰ ἐπὶ γυναικῶν τοῦτο συμβαίνει, ὅπου γε καὶ αὐτὸν τὸν προφήτην ἴδοι τις ἂν πάσχοντα τοῦτο καὶ συνεχῶς; διὸ ἔλεγεν, Ἄφετέ με, πικρῶς κλαύσομαι, μὴ κατισχύσητε παρακαλοῦντές με ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ γένους μου; ὥστε ἐστὶ πολλάκις λύπη παραμυθίαν φέρουσα. εἰ δὲ ἐπὶ τῶν κόσμου τούτου, πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν πραγμάτων. διὰ τοῦτό φησιν, Ἡ δὲ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται. καὶ δοκεῖ μὲν τοῦτο ἀσαφὲς εἶναι· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἂν λυπηθῇς ἐπὶ χρήμασιν, οὐδὲν ὠφέλησας· ἂν λυπηθῇς ἐπὶ νοσήματι, οὐδὲν ἐκέρδανας, ἀλλὰ καὶ ἐπέτεινας ταύτην μᾶλλον. καὶ πολλῶν ἔγωγε ἤκουσα μετὰ τὴν τοιαύτην πρᾶξιν αἰτιωμένων καὶ πρὸς ἑαυτοὺς λεγόντων· τί τὸ ὄφελος, ὅτι ἤλγησα; οὔτε τὰ χρήματα ἀνεκτησάμην, καὶ ἐμαυτὸν κατέβλαψα. ἂν δὲ λυπηθῇς ἐφ' ἁμαρτίᾳ, ταύτην τε ἐξήλειψας, καὶ ἐκαρπώσω μεγίστην ἡδονήν. ἂν λυπηθῇς ἐπὶ τοῖς ἀδελφοῖς τοῖς πεπτωκόσι, σαυτόν τε παρεκάλεσας καὶ παρεμυθήσω, κἀκείνους ἀνεκτήσω πάλιν. κἂν μηδὲν ὠφελήσῃς αὐτούς, μεγίστην ἔχεις τὴν ἀντίδοσιν. καὶ ἵνα μάθῃς ὅτι τὸ λυπεῖσθαι ἐπὶ τοῖς πεπτωκόσι, κἂν μηδὲν ὠφελῶμεν, μεγίστην ἡμῖν φέρει τὴν ἀμοιβήν, ἄκουσον τοῦ Ἰεζεκιὴλ λέγοντος, μᾶλλον δὲ τοῦ Θεοῦ δι' ἐκείνου λαλοῦντος. ἐπειδὴ γὰρ ἔπεμψέ τινας κατασκάψαι τὴν πόλιν, καὶ σιδήρῳ καὶ πυρὶ δαπανῆσαι τὰ οἰκοδομήματα ἅπαντα μετὰ τῶν κατοικούντων αὐτήν, κελεύει τινὶ λέγων οὕτω· Δὸς τὸ σημεῖον ἐπὶ τὸ πρόσωπον τῶν ἀνδρῶν τῶν στεναζόντων καὶ κατοδυνωμένων. καὶ τοῖς ἑτέροις κελεύσας καὶ εἰπών, ὅτι ἀπὸ τῶν ἁγίων μου ἄρξασθε, ἐπήγαγε λέγων· ἐπὶ δὲ οὓς ἐστὶ τὸ σημεῖον, οὐ μὴ ἅψησθε αὐτῶν. τίνος ἕνεκεν, εἰπέ μοι; ὅτι εἰ καὶ μηδὲν ὠφέλουν, ἀλλ' ὅμως ἔστενον τὰ γινόμενα καὶ ὠλοφύροντο. καὶ ἑτέροις δὲ ἐνεκάλει πάλιν λέγων· ὅτι τρυφῶντες καὶ γαστριζόμενοι καὶ πολλῆς ἀπολαύοντες ἀδείας, ἰδόντες τοὺς Ἰουδαίους εἰς αἰχμαλωσίαν ἀπαγομένους, οὐκ ἤλγησαν, οὐκ ἐκοινώνησαν τῆς ἀθυμίας. καὶ ἄκουε τί καὶ ἐγκαλῶν αὐτοῖς φησιν· Οὐκ ἔπασχον οὐδὲν ἐπὶ τῇ συντριβῇ τοῦ Ἰωσήφ, Ἰωσὴφ τὸν λαὸν καλῶν ἅπαντα. καὶ πάλιν, Οὐκ ἐξῆλθε κατοικοῦσα Αἰνάν, κόψασθαι οἶκον ἐχόμενον αὐτῆς. κἂν γὰρ δικαίως κολάζωνται, βούλεται συναλγεῖν ἡμᾶς, ἀλλὰ μὴ χαίρειν, μηδὲ ἐφήδεσθαι. Εἰ γὰρ ἐγώ, φησιν, ὁ κολάζων οὐ χαίρω τοῦτο ποιῶν, οὐδὲ ἥδομαι αὐτῶν ἐπὶ τῇ τιμωρίᾳ (Οὐ γὰρ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ) δεῖ καὶ σὲ τὸν δεσπότην μιμεῖσθαι, καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο ἀλγεῖν, ὅτι * δικαίας κολάσεως ὑπόθεσιν παρέσχε καὶ πρόφασιν. ὥστε κἂν λυπῆταί τις κατὰ Θεόν, μεγάλην ἐντεῦθεν καρπώσεται τὴν ὠφέλειαν. ὅταν οὖν οἱ μαστιζόμενοι τῶν μαστιζόντων εἰσὶ μακαριώτεροι, καὶ οἱ θλιβόμενοι παρ' ἡμῖν τῶν ἐν ἀνέσει παρὰ τοῖς ἔξωθεν, καὶ οἱ ἀθυμοῦντες τῶν ἡδομένων, τίς ἔσται λοιπὸν θλίψεως ἡμῖν ἀφορμή; διὰ τοῦτο οὐδένα χρὴ μακαρίζειν, ἀλλ' ἢ τὸν κατὰ Θεὸν ζῶντα μόνον· τούτους καὶ ἡ γραφὴ μακαρίζει μόνους. Μακάριος γὰρ ἀνήρ, φησιν, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν. Μακάριος, ὃν ἂν παιδεύσῃς, Κύριε, καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν. Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ. Μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ. Μακάριος ὁ λαός, οὗ Κύριος ὁ Θεὸς βοηθὸς αὐτοῦ. Μακάριος, οὗ οὐ κατέγνω ἡ ψυχὴ αὐτοῦ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον. καὶ ὁ Χριστὸς πάλιν οὕτω· Μακάριοι

οἱ

Ησ. κβ. δ.
α. Κορ. ζ. ι.
Ιεζεκ. θ. δ.
Αμ. ϛ. ϛ.
Μιχ. α. ια.
Ιεζεκ. ιη. λβ.
Ψαλ. α. α.
Ψαλ. ϟγ. ιβ.
Ψαλ. ριη. α.
Ψαλ. β. ιβ.
Ψαλ. ρμγ. ιε.
Σειρ. ιδ. β.
Ψαλ. ρια. α.
Ματθ. ε.

οἱ πενθοῦντες, μακάριοι οἱ ταπεινοί, μακάριοι οἱ πρᾳεῖς, μακάριοι οἱ εἰρηνοποιοί, μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης. ὁρᾷς, πῶς πανταχοῦ οὐδένα τῶν πλουτούντων, οὐ τῶν ἐν εὐημερίᾳ, οὐ τῶν δόξης ἀπολαυόντων μακαρίζουσιν οἱ θεῖοι νόμοι, ἀλλὰ τῆς ἀρετῆς ἐπειλημμένοι; τὸ γὰρ ζητούμενον, πάντων, ὧν ἂν ποιῶμεν ἢ πάσχωμεν, ὑπόθεσιν εἶναι τοῦ Θεοῦ τὸν φόβον. κἂν ταύτην προκαταβάλῃς τὴν ῥίζαν, οὐχ ἀνέσεις μόνον, οὐδὲ τιμαὶ καὶ δόξαι καὶ θεραπεῖαι, ἀλλὰ καὶ ἐπήρειαι καὶ συκοφαντίαι καὶ ὕβρεις καὶ ἀτιμίαι καὶ βάσανοι καὶ πάντα ἁπλῶς ἡδονῆς σοι βλαστήσει καρπούς. καὶ καθάπερ τῶν δένδρων αἱ ῥίζαι αὐταὶ μέν εἰσι πικραί, ἡδίστους δὲ ἡμῖν τοὺς καρποὺς φέρουσιν· οὕτω δὴ καὶ ἡ κατὰ Θεὸν λύπη πολλὴν ἡμῖν οἴσει τὴν ἡδονήν. ἴσασιν ὅσοι πολλάκις μετ' ὀδυνῶν ηὔξαντο καὶ δάκρυα ἐξέχεον, πόσην ἐκαρπώσαντο τὴν εὐφροσύνην, πῶς ἐξεκάθηραν τὸ συνειδός, πῶς μετὰ χρηστῆς ἀνέστησαν ἐλπίδος. ὅπερ γὰρ ἀεὶ λέγω, οὐχ ἡ τῶν πραγμάτων φύσις, ἀλλ' ἡ διάνοια ἡ ἡμετέρα λυπεῖν ἡμᾶς εἴωθε καὶ εὐφραίνειν. ἂν τοίνυν ταύτην κατασκευάσωμεν, οἵαν εἶναι χρή, πάσης εὐθυμίας ἐνέχυρον ἕξομεν. καὶ καθάπερ τὸ σῶμα οὐχ οὕτως ἡ τῶν ἀέρων φύσις, οὐδὲ αἱ ἔξωθεν προσβολαί, ὡς ἡ οἰκεία κατασκευή, καὶ βλάπτειν καὶ ὠφελεῖ· οὕτω καὶ ἐπὶ τῆς ψυχῆς, καὶ πολλῷ πλέον. ἐνταῦθα μὲν γὰρ φύσεώς ἐστιν ἀνάγκη, ἐκεῖ δὲ τὸ πᾶν ἐπὶ τῇ προαιρέσει κεῖται. διὰ τοῦτο ὁ Παῦλος μυρία ὑπομείνας δεινά, ναυάγια, πολέμους, ἐπαναστάσεις, ἐπιβουλάς, λῃστῶν ἐφόδους, καὶ ὅσα οὐδὲ ἀπαριθμήσασθαι ἔνι τῷ λόγῳ, καὶ καθημερινοὺς θανάτους ἀποθνήσκων, οὐ μόνον οὐκ ἤλγει, οὐδὲ ἐδυσχέραινεν, ἀλλὰ καὶ ἐκαυχᾶτο καὶ ἔχαιρε· καὶ λέγει, Νῦν χαίρω ἐν τοῖς παθήμασί μου, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου. καὶ πάλιν· Οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν· ἡ δὲ καύχησις ἡδονῆς ἐστιν ἐπίτασις. ἂν τοίνυν εὐθυμίας ἐπιθυμῇς, μὴ χρήματα, μὴ σώματος ὑγίειαν, μὴ δόξαν, μὴ δυναστείαν, μὴ τρυφήν, μὴ τραπέζας πολυτελεῖς, μὴ σηρικῶν ἱματίων περιβολάς, μὴ πολυτελεῖς ἀγρούς, μηδὲ οἰκίας λαμπρὰς καὶ περιφανεῖς, μηδὲ ἄλλο τῶν τοιούτων δίωκε μηδέν· ἀλλὰ φιλοσοφίαν μέτελθε τὴν κατὰ Θεόν, καὶ ἀρετῆς "ἐπιλαβοῦ· καὶ οὐδέν σε, οὐ τῶν ὄντων, οὐ τῶν ἐλπιζομένων λυπῆσαι δυνήσεται. τί λέγω λυπῆσαι; προσθήκη μὲν οὖν ἡδονῆς σοι γενήσεται τὰ τοὺς ἄλλους λυποῦντα. καὶ γὰρ μάστιγες καὶ "θάνατοι καὶ ζημίαι καὶ κατηγορίαι καὶ τὸ κακῶς πάσχειν καὶ πάντα τὰ τοιαῦτα, ὅταν διὰ τὸν Θεὸν ἡμῖν ἐπάγηται, καὶ ταύτην ἔχῃ τὴν ῥίζαν, πολλὴν "ἡμῖν εἰς τὴν ψυχὴν εἰσάγει τὴν ἡδονήν. οὐδεὶς γὰρ ἡμᾶς ἀθλίους ποιῆσαι δυνήσεται, ἐὰν μὴ ἑαυτοὺς ποιήσωμεν· ὥσπερ οὖν οὐδὲ μακαρίους, ἐὰν μὴ ἑαυτοὺς ἐργασώμεθα μετὰ τὴν τοῦ Θεοῦ χάριν. καὶ ἵνα μάθητε, ὅτι οὗτος μόνος ἐστὶ μακάριος ὁ φοβούμενος τὸν Κύριον, οὐκ ἀπὸ τῶν παρελθόντων, ἀλλ' ἀπὸ τῶν ἡμῖν συμβάντων τοῦτο ὑμῖν ἀποδείξω νῦν. ἐκινδύνευσεν ἡμῖν ἡ πόλις ἀφανισθῆναι πᾶσα· καὶ τῶν μὲν πλουτούντων καὶ περιφανῶν καὶ ἐπισήμων ἀνδρῶν οὐδεὶς ἐτόλμησεν ἐν τῷ μέσῳ φανῆναι, ἀλλὰ πάντες ἔφυγον καὶ ἀπεπήδων· οἱ δὲ τὸν Θεὸν φοβούμενοι, οἱ ἐν μοναστηρίοις διατρίβοντες, οὗτοι μετὰ πολλῆς τῆς παρρησίας καταδραμόντες πάντα ἔλυσαν· καὶ τοσοῦτον ἀπέσχον αὐτοὺς φοβῆσαι καὶ εἰς ἀγωνίαν ἐμβαλεῖν τὰ συμβάντα δεινὰ καὶ αἱ προσδοκώμεναι ἀπειλαί, ὅτι πόρρω καθήμενοι τῆς συμφορᾶς, καὶ οὐδὲν κοινὸν ἔχοντες, ἑκόντες ἑαυτοὺς ἔρριψαν εἰς μέσην τὴν πυράν, καὶ πάντας ἐξείλοντο. καὶ ὃ πᾶσι δοκεῖ φοβερὸν εἶναι καὶ φρικῶδες, ὁ θάνατος, τοῦτο οὗτοι μετὰ πάσης ἀνεδέξαντο τῆς προθυμίας· καὶ μετὰ πλείονος ἔτρεχον "πρὸς τὸ πρᾶγμα ἡδονῆς, ἢ ἐπὶ ἀρχὰς ἕτεροι καὶ τιμάς. ᾔδεσαν γάρ, ὅτι μεγίστη τοῦτο ἀρχὴ καὶ τιμή· καὶ δι' αὐτῶν τῶν ἔργων ἔδειξαν, ὅτι μόνος οὗτος μακάριός ἐστιν, "ὁ φιλοσοφίας ἐπειλημμένος τῆς ἀνωτάτω, καὶ μεταβολὴν οὐδεμίαν "δέχεται, οὐδὲ δυσημερίαν ὑπομένει τινά, ἀλλὰ διηνεκοῦς εὐημερίας ἀπολαύει, καὶ πάντων κατατρυφᾷ τῶν δοκούντων εἶναι λυπηρῶν. νῦν γοῦν οἱ μὲν ἐν δυναστείαις ἀθυμίᾳ πολλῇ κατέχονται,

Κολασσ. α. κδ.
Ρωμ. ε. γ.

γρ. ἐπιμελοῦ

γρ. θάνατος
γρ. ἡμῖν

γρ. ἐπὶ

τρέχονται, οἱ δεσμωτήριον οἰκοῦντες, ἁλύσεις περιβεβλημένοι, καὶ καθ' ἑκάστην ἡμέραν ἀποθανεῖσθαι προσδοκῶντες· οὗτοι δὲ καθαρωτάτης ἀπολαύουσιν ἡδονῆς. κἂν συμβαίη τι παθεῖν*, ἃ τοῖς ἄλλοις εἶναι δοκεῖ φοβερὰ, ταῦτα τούτοις ἐστὶ ποθεινά. ἴσασι γὰρ ἐπὶ τί τρέχουσι, καὶ ποία λῆξις μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν διαδέξεται. καὶ τοσαύτῃ συζῶντες ἀκριβείᾳ, καὶ θανάτου καταγελῶντες, ὅμως ὑπὲρ τῶν ἄλλων ἀλγοῦσι, καὶ ἀπὸ τούτου μεγίστην πάλιν ὠφέλειαν καρποῦνται. σπουδάζωμεν τοίνυν τῆς ψυχῆς ἐπιμελεῖσθαι τῆς ἡμετέρας, καὶ οὐδὲν ἡμᾶς τῶν ἀδοκήτων λυπῆσαι δυνήσεται· καὶ ὑπὲρ τῶν ἐμβεβλημένων τὸν Θεὸν παρακαλῶμεν, ὥστε αὐτοὺς ἀπαλλαγῆναι τῆς ἐπικειμένης αὐτοῖς συμφορᾶς. ἠδύνατο μὲν γὰρ ὁ Θεὸς ἀθρόον λῦσαι τὸ δεινὸν, καὶ μηδὲ μικρὰ ἀφεῖναι λείψανα· ἀλλ' ἵνα μὴ πάλιν ἐπὶ τὴν προτέραν ἐπανέλθωμεν ῥᾳθυμίαν, ἠρέμα καὶ κατὰ μικρὸν τὸν χειμάρρουν τῶν κακῶν τούτων χαλᾷν παρεσκεύασε, κατέχων ἡμᾶς ἐπὶ τῆς αὐτῆς εὐλαβείας. καὶ ὅτι τοῦτο ἐστὶν ἀληθὲς, καὶ πολλοὶ πρὸς τὴν προτέραν ἐπανῆλθον ἂν ῥᾳθυμίαν, εἰ συντόμως ἐλύθη τὸ πᾶν, δῆλον ἐκεῖθεν. ἔτι τὰ λείψανα μένει τῆς συμφορᾶς· ἔτι τοῦ βασιλέως ἄδηλός ἐστιν ἡ γνώμη· καὶ οἱ τὰ τῆς πόλεως ἄρχοντες πράγματα ἅπαντές εἰσιν ἐν δεσμοῖς, καὶ πολλοὶ τῶν τὴν πόλιν ἡμῖν οἰκούντων τῇ τοῦ λούεσθαι ἐπιθυμίᾳ ἐπὶ τὸν ποταμὸν τρέχουσι, μυρία κωμῳδοῦντες ἐκεῖ, ἀσελγαίνοντες, σκιρτῶντες, χορεύοντες, γυναῖκας ἐπισυρόμενοι. ἆρα τίνος ἂν εἶεν ἐκεῖνοι συγγνώμης ἄξιοι; ποίας ἀπολογίας; μᾶλλον δὲ ποίας οὐκ ἂν εἶεν κολάσεως ἄξιοι καὶ τιμωρίας; ἡ κεφαλὴ τῆς πόλεως ἐν τῷ δεσμωτηρίῳ, τὰ μέλη ἡμῶν ἐν ἐξορίᾳ, ἄδηλος ἡ περὶ τούτων ψῆφος, καὶ σὺ χορεύεις, εἰπέ μοι, καὶ παίζεις, καὶ γελᾷς; οὐ γὰρ φέρομεν τὴν ἀλουσίαν, φησίν. ὢ τῆς ἀναισχύντου γνώμης, ὢ τῆς βαναύσου καὶ διεφθαρμένης [ψυχῆς.] πόσοι γεγόνασιν, εἰπέ μοι, μῆνες, πόσοι ἐνιαυτοί; οὔπω εἴκοσι ἡμέρας ἔχεις τῶν βαλανείων ἀποκλεισθεὶς, καὶ ὡς ἐνιαυτὸν ἔχων ὁλόκληρον ἐν ἀλουσίᾳ, οὕτως ἀλύεις καὶ δυσχεραίνεις; τοιοῦτος ἦσθα, εἰπέ μοι, ὅτε στρατιωτῶν προσεδόκησας ἔφοδον, ὅτε καθ' ἑκάστην ἤλπιζες τὴν ἡμέραν ἀποθανεῖσθαι, ὅτε εἰς τὰς ἐρημίας ἔφυγες, καὶ τὰς κορυφὰς τῶν ὀρῶν ἀνέτρεχες; εἴ τίς σοι τότε προὔτεινεν ἐνιαυτὸν ὁλόκληρον ἐν ἀλουσίᾳ μεῖναι, ὥστε ἀπαλλαγῆναι τῆς ἐπικειμένης ἀγωνίας, οὐκ ἂν ἑτοίμως κατεδέξω καὶ ὑπέμεινας; δέον οὖν εὐχαριστεῖν τῷ χωρὶς πάσης ζημίας λύσαντι ταῦτα Θεῷ, σκιρτᾷς πάλιν καὶ ἐξυβρίζεις; καὶ ἐπειδὴ παρῆλθεν ὁ φόβος, πρὸς μείζονα πάλιν ἐπανῆλθες ῥᾳθυμίαν; οὕτω σου καθήψατο τὰ δεινὰ, ὡς καὶ βαλανείων ἐπιθυμῆσαι; εἰ γὰρ ἀνεῖτο τὰ βαλανεῖα, οὐκ ἦν ἱκανὴ τῶν ἔτι κατεχομένων ἡ συμφορὰ καὶ τοὺς οὐκ ὄντας ἐν τοῖς δεινοῖς τούτοις πεῖσαι πάσης ἐπιλαθέσθαι τρυφῆς; περὶ ψυχῆς ὁ κίνδυνός ἐστι, καὶ σὺ βαλανείων μέμνησαι καὶ τρυφᾶν βούλει; καταφρονεῖς, ὅτι διέφυγες νῦν; ὅρα μὴ μείζονος κολάσεως σαυτῷ περιστήσῃς ἀνάγκην, καὶ πάλιν ἀπελθοῦσαν καλέσῃς μετὰ πλείονος τῆς περιουσίας τὴν ἀπειλὴν, καὶ πάθῃς ταὐτὸν, ὃ περὶ τῶν δαιμονώντων φησὶν ὁ Χριστός. Ἐπειδὰν γὰρ ἐξέλθῃ τὸ πνεῦμα τὸ ἀκάθαρτον, εἶτα εὕρῃ τὸν οἶκον σχολάζοντα καὶ σεσαρωμένον, ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ πάλιν λαβὸν, ἐπεισέρχεται τῇ ψυχῇ καὶ γίνεται τὰ ἔσχατα αὐτοῦ χείρονα τῶν πρώτων. φοβηθῶμεν οὖν καὶ ἡμεῖς, μὴ τῶν προτέρων ἀπαλλαγέντες μείζονα τῶν προτέρων ἐπισπασώμεθα διὰ τῆς μετὰ ταῦτα ῥᾳθυμίας. οἶδα ὅτι ὑμεῖς ταύτης ἐστὲ καθαροὶ τῆς ἀτοπίας, ἀλλὰ καὶ τοὺς ἀκοσμοῦντας κατέχετε, κολάζετε, σωφρονίζετε· ἵνα πάντοτε χαίρωμεν, καθὼς ὁ Παῦλος ἐπέταξεν· ὅπως καὶ τῶν οἰκείων κατορθωμάτων καὶ τῆς ἑτέρων προνοίας πολλὴν καὶ ἐνταῦθα, καὶ κατὰ τὴν μέλλουσαν ζωὴν καρπωσώμεθα τὴν ἀμοιβήν· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λουκ. ια. κς.

ΤΗ ΚΥΡΙΑΚΗ ΤΗΣ "ΕΠΙΣΩΖΟΜΕΝΗΣ ΠΡΟΣ ΤΟΥΣ ἀπὸ τῆς χώρας, καὶ περὶ τοῦ μὴ ὀμνύειν. Λογ. ιθ.

Κατετρυφήσατε τῶν ἁγίων μαρτύρων ἐν ταῖς ἔμπροσθεν ταύταις ἡμέραις, ἐνεφορήθητε τῆς πνευματικῆς ἑορτῆς, ἐσκιρτήσατε τὰ καλὰ σκιρτήματα. Εἴδετε πλευρὰς ἀνεῳγμένας καὶ λαγόνας κατατμηθείσας, αἷμα καταρρέον πάντοθεν, μυρία βασανιστηρίων εἴδη. Εἴδετε φύσιν ἀνθρωπίνην τὰ ὑπὲρ φύσιν ἐπιδεικνυμένην, καὶ στεφάνους ἐξ αἵματος πλεκομένους. ἐχορεύσατε χορείαν καλὴν πανταχοῦ τῆς πόλεως τοῦ καλοῦ τούτου περιάγοντος ὑμᾶς στρατηγοῦ. ἀλλ' ἡμᾶς ἡ ἀσθένεια καὶ ἄκοντας οἴκοι μένειν κατηνάγκαζε· πλὴν εἰ καὶ μὴ μετέσχομεν τῆς ἑορτῆς, * μετέσχομεν τῆς ἡδονῆς· εἰ καὶ μὴ τῆς πανηγύρεως ἀπελαύσαμεν, ἀλλ' ἐκοινωνήσαμεν τῆς εὐφροσύνης "ὑμῖν. Τοιαύτη γὰρ ἡ τῆς ἀγάπης δύναμις· τοὺς οὐκ ἀπολαύσαντας τῶν ἀπολαυσάντων ἐξίσης ποιεῖ χαίρειν, κοινὰ τὰ τῶν πλησίον ἀγαθὰ πείθουσα νομίζειν. Διὰ τοῦτο καὶ οἴκοι καθήμενος ἔχαιρον μεθ' ὑμῶν, καὶ τῆς ἀρρωστίας μοι μηδέπω λυθείσης ἁπάσης, ἀνέστην καὶ ἔδραμον πρὸς ὑμᾶς, ὥστε τὰ ποθεινὰ πρόσωπα ὑμῶν ἰδεῖν, καὶ τῆς παρούσης μετασχεῖν ἑορτῆς. ἑορτὴν γὰρ μεγίστην εἶναι νομίζω τὴν παροῦσαν ἡμέραν διὰ τὴν τῶν ἀδελφῶν παρουσίαν τῶν ἡμετέρων, οἳ τὴν πόλιν ἡμῖν ἐκαλλώπισαν τήμερον, καὶ τὴν ἐκκλησίαν ἐκόσμησαν· λαὸς κατὰ μὲν τὴν [ἰδίαν] γλῶτταν ἡμῖν ἐνηλλαγμένος, κατὰ δὲ τὴν πίστιν ἡμῖν συμφωνῶν· λαὸς ἀπραγμοσύνῃ συζῶν, βίον σώφρονα καὶ σεμνὸν ἔχων. παρὰ γὰρ τοῖς ἀνδράσι τούτοις οὐκ ἔστι θέατρα παρανομίας, οὐδὲ ἵππων ἅμιλλαι, οὐδὲ πόρναι γυναῖκες, οὐδὲ ἡ λοιπὴ τῆς πόλεως "βλακεία· ἀλλὰ πᾶν μὲν "ἀσελγείας εἶδος ἐξελήλαται), πολλὴ δὲ πανταχοῦ ἀνθεῖ ἡ σωφροσύνη. τὸ δὲ αἴτιον, ἐπίπονος αὐτοῖς ἐστιν ὁ βίος, καὶ διδασκαλεῖον ἀρετῆς ἔχουσι καὶ σωφροσύνης, τὴν τῆς γῆς ἐργασίαν, καὶ τέχνην μετιόντες, ἣν πρὸ τῶν ἄλλων ἁπασῶν ὁ Θεὸς εἰς τὸν βίον εἰσήγαγε τὸν ἡμέτερον. καὶ γὰρ πρὸ τῆς ἁμαρτίας ὁ Ἀδάμ, ἡνίκα πολλῆς ἀπέλαυε παρρησίας, γεωργίαν τινὰ ἐπετάγη μετιέναι, οὐκ ἐπίπονον μέν, οὐδὲ ταλαιπωρίαν ἔχουσαν, πολλὴν δὲ αὐτῷ τὴν φιλοσοφίαν παρέχουσαν. Ἔθηκε γὰρ αὐτόν, φησιν, ἐργάζεσθαι καὶ φυλάσσειν τὸν παράδεισον. τούτων ἕκαστον ἴδοι τις ἄν, νῦν μὲν ζευγνύντα "βοῦς ἀροτῆρας καὶ ἄροτρον ἕλκοντα καὶ βαθεῖαν αὔλακα "τέμνοντα, νῦν δὲ ἐπὶ τὸ ἱερὸν ἀναβαίνοντα βῆμα καὶ τὰς ψυχὰς ἀροτριῶντα τῶν ὑπηκόων, νῦν μὲν δρεπάνῃ τὰς ἀκάνθας ἐκτέμνοντα τῆς γῆς, νῦν δὲ λόγῳ τὰς ἁμαρτίας ἐκκαθαίροντα τῶν ψυχῶν. οὐ γὰρ ἐπαισχύνονται τὴν ἐργασίαν, καθάπερ οἱ τὴν πόλιν ἡμῖν οἰκοῦντες· ἀλλ' ἐπαισχύνονται τὴν ἀργίαν, μαθόντες ὅτι πᾶσαν ἐκείνη μὲν "βλακείαν ἐδίδαξε, καὶ διδάσκαλος πονηρίας ἐγένετο ἐξ ἀρχῆς τοῖς ἀγαπῶσιν αὐτήν. οὗτοι μάλιστά εἰσιν οἱ τὴν ἀρίστην ἡμῖν φιλοσοφίαν φιλοσοφοῦντες, οὐκ ἀπὸ τοῦ σχήματος, ἀλλ' ἀπὸ τῆς γνώμης τὴν ἀρετὴν ἐνδεικνύμενοι τὴν αὐτῶν. ὡς οἵ γε τῶν "ἔξωθεν φιλόσοφοι τῶν ἐν τῇ σκηνῇ καὶ ταῖς τῶν μίμων παιδιαῖς οὐδὲν ἄμεινον διάκεινται, τοῦ τρίβωνος καὶ τοῦ πώγωνος καὶ τῆς στολῆς οὐδὲν πλέον ἔχοντες ἐπιδείξασθαι· οὗτοι δὲ τοὐναντίον ἅπαν, βακτηρίᾳ καὶ πώγωνι καὶ τῇ ἄλλῃ σκευῇ πολλὰ χαίρειν εἰπόντες, τὴν ψυχὴν ἑαυτῶν κατεκόσμησαν τοῖς τῆς ἀληθοῦς φιλοσοφίας δόγμασιν· οὐχὶ τοῖς δόγμασι δὲ μόνοις, ἀλλὰ καὶ τοῖς ἔργοις αὐτοῖς. κἂν "ἔρῃ τινὰ τούτων τῶν ἐν ἀγροικίᾳ ζώντων καὶ ἐν σκαπάνῃ καὶ ἐν ἀρότρῳ δαπανηθέντων ὑπὲρ τῶν δογμάτων, ὑπὲρ ὧν μυρία περιελθόντες οἱ τῶν ἔξωθεν φιλόσοφοι καὶ πολλοὺς ἀναλώσαντες λόγους οὐδὲν ἠδυνήθησαν ὑγιὲς εἰπεῖν, μετὰ ἀκριβείας ἀποκρινεῖταί σοι πάντα ἐκ πολλῆς τῆς σοφίας. Καὶ οὐ τοῦτό ἐστι τὸ θαυμαστὸν μόνον,

ἀλλ'

Γεν. 2. 15.

γρ. ἀναζω[illegible]

* ἀλλὰ

γρ. ἡμῖν.

γρ. τρυφή

ἀλ. βλάβη

γρ. ἀσέλγεια

γρ. βόας

γρ. γεωπόνους

γρ. κακίαν

γρ. ἔξω.

γρ. ἀγρ[illegible]

ἀλλ' ὅτι καὶ διὰ τῶν ἔργων βεβαιοῦνται τὴν διὰ τῶν δογμάτων πίστιν. καὶ γὰρ ὅτι τὴν ψυχὴν ἀθάνατον ἔχομεν, καὶ μέλλομεν τῶν ἐνταῦθα πεπραγμένων εὐθύνας διδόναι καὶ βήματι παρίστασθαι φοβερῷ, καὶ τὴν διάνοιαν ἔπεισαν, καὶ τὸν βίον ἅπαντα πρὸς ταύτας κατεστήσαντο τὰς ἐλπίδας, καὶ πάσης ἀνώτεροι βιωτικῆς ἐγένοντο φαντασίας, παιδευθέντες παρὰ τῆς θείας γραφῆς, ὅτι Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης, καὶ πρὸς οὐδὲν τῶν δοκούντων εἶναι λαμπρῶν κεχήνασιν. Ἐκκλησ. α. β. οὗτοι καὶ περὶ Θεοῦ φιλοσοφεῖν ἴσασι ταῦτα, ἅπερ ἐπέταξεν ὁ Θεός. καὶ ἕνα αὐτῶν λαβὼν φιλόσοφον ἵνα τῶν ἔξωθεν ἀγάγῃς εἰς μέσον νῦν (μᾶλλον δὲ νῦν μὲν οὐδένα ἐστὶν εὑρεῖν) ἀλλ' ἵνα τούτων λαβὼν, καὶ τὰ βιβλία τῶν πάλαι παρ' αὐτοῖς φιλοσοφησάντων ἀναπτύξας ἐπέλθῃς, καὶ τί μὲν οὗτοι νῦν ἀποκρίνονται, τί δὲ ἐκεῖνοι τότε ἐφιλοσόφησαν, παρ' ἄλληλα θεὶς ἐξετάσῃς, ὄψει πόση ἡ μὲν τούτων φιλοσοφία, πόση δὲ ἡ ἐκείνων ἄνοια. ὅταν γὰρ οἱ μὲν αὐτῶν μηδὲ προνοίας λέγωσιν ἀπολαύειν τὰ ὄντα, μηδὲ ὑπὸ Θεοῦ γεγενῆσθαι τὴν κτίσιν, μήτε τὴν ἀρετὴν αὐτὴν ἑαυτῇ αὐτάρκη εἶναι, ἀλλὰ δεῖσθαι χρημάτων καὶ εὐγενείας καὶ τῆς ἔξωθεν περιφανείας, καὶ ἕτερα πολλὰ τούτων καταγελαστότερα, οὗτοι δὲ καὶ περὶ προνοίας, καὶ περὶ δικαστηρίων τῶν μετὰ ταῦτα, καὶ περὶ τῆς τοῦ Θεοῦ δημιουργίας τῆς ἐξ οὐκ ὄντων τὰ πάντα παραγαγούσης, καὶ περὶ τῶν ἄλλων ἁπάντων φιλοσοφῶσι, τῆς ἔξωθεν ὅλως μὴ μετασχόντες παιδεύσεως, τίς οὐκ ἂν αὐτόθεν μάθοι τὴν τοῦ Χριστοῦ δύναμιν, ἣ τοὺς ἀγραμμάτους καὶ ἰδιώτας τῶν μέγα ἐπὶ σοφίᾳ κομπαζόντων τοσούτῳ σοφωτέρους ἀπέδειξεν, ὅσῳ τῶν μικρῶν παιδίων τοὺς ἔμφρονας ἄνδρας ὑπερέχοντας ἐστὶν ἰδεῖν; τί γὰρ αὐτοῖς βλάβος ἀπὸ τῆς κατὰ τὸν λόγον ἰδιωτείας γένοιτ' ἂν, ὅταν τὰ νοήματα αὐτοῖς πολλῆς γέμῃ σοφίας; τί δὲ ὄφελος τοῖς ἔξωθεν ἀπὸ τῆς τῶν λόγων διδασκαλίας, ὅταν ἐρήμη "νοημάτων ᾖ ἡ διάνοια; ὥσπερ ἂν εἴ τις μάχαιραν ἔχοι τὴν μὲν λαβὴν ἔχουσαν ἀργυρᾶν, τὸ δὲ σιδήριον μολίβδου παντὸς ἀσθενέστερον. καὶ γὰρ καὶ τούτοις ἡ μὲν γλῶττα διὰ ῥημάτων καὶ ὀνομάτων *ἐστὶ κεκαλλωπισμένη, ἡ διάνοια δὲ πολλῆς γέμει τῆς ἀσθενείας, καὶ πρὸς ἅπαντά ἐστιν αὐτοῖς ἄχρηστος. ἀλλ' οὐχὶ" τῶν φιλοσόφων τούτων, ἀλλὰ τοὐναντίον ἅπαν, πολλῆς αὐτοῖς ἡ διάνοια γέμει" σοφίας πνευματικῆς, καὶ ὁ βίος τὰ δόγματα μιμεῖται. παρὰ τούτοις οὐκ εἰσὶ γυναῖκες θρυπτόμεναι, οὐδὲ ἱματίων καλλωπισμὸς, οὐδὲ ἐπιτρίμματα καὶ ὑπογραφαί· ἀλλὰ πᾶσα τοιαύτη διαφθορὰ τῶν τρόπων ἀπελήλαται. ὅθεν καὶ "εὐκολώτερον τὸν ὑποτεταγμένον αὐτοῖς δῆμον εἰς σωφροσύνην ἄγουσι, καὶ τὸν τοῦ Παύλου νόμον τὸν κελεύοντα σκεπάσματα ἔχειν καὶ διατροφὰς καὶ μηδὲν πλέον ἐπιζητεῖν, μετὰ α Τιμ. ϛ. η. πολλῆς φυλάττουσι τῆς ἀκριβείας. παρὰ τούτοις οὐκ ἔστιν ἀλοιφὴ μύρων καταγοητεύουσα τὴν διάνοιαν, ἀλλ' ἡ γῆ βοτάνας ἐκφέρουσα παντὸς μυρεψοῦ σοφωτέραν αὐτοῖς κατασκευάζει τὴν ποικίλην τῶν ἀνθῶν εὐωδίαν. διὰ τοῦτο αὐτοῖς καὶ τὰ σώματα ὑγιείας ἀπολαύει καθαρᾶς μετὰ τῆς ψυχῆς, ἐπειδὴ πᾶσαν τρυφὴν ἀπήλασαν, καὶ τὰ πονηρὰ τῆς μέθης ἐξέβαλον ῥεύματα, καὶ τοσοῦτον ἐσθίουσιν, ὅσον ἀποζῆν. μὴ τοίνυν ἀπὸ τοῦ σχήματος αὐτῶν καταφρονῶμεν, ἀλλὰ τὴν διάνοιαν αὐτῶν θαυμάζωμεν. τί γὰρ ὄφελος τῆς ἔξωθεν περιβολῆς, ὅταν ἡ ψυχὴ προσαίτου παντὸς ἀθλιωτέρα ᾖ ἐσταλμένη; τὸν ἄνδρα οὐκ ἀπὸ τῶν ἱματίων, μᾶλλον δὲ οὐδὲ ἀπὸ τοῦ σώματος, ἀλλ' ἀπὸ τῆς ψυχῆς ἐπαινεῖν χρὴ καὶ θαυμάζειν. ἀπόδυσον "τούτου τὴν ψυχὴν, καὶ ὄψει τὸ κάλλος αὐτῆς καὶ τὸν πλοῦτον διὰ τῶν ῥημάτων, διὰ τῶν δογμάτων, διὰ τῆς ὅλης τῶν τρόπων καταστάσεως. αἰσχυνέσθωσαν τοίνυν Ἕλληνες, "ἐγκαλυπτέσθωσαν ἐπὶ τοῖς αὐτῶν φιλοσόφοις, καὶ τῇ πάσης μωρίας ἀθλιωτέρᾳ αὐτῶν σοφίᾳ. οἱ μὲν γὰρ παρ' αὐτοῖς φιλόσοφοι κατὰ τὸν καιρὸν, ἐν ᾧ ἔζων, ὀλίγους μόλις καὶ σφόδρα εὐαριθμήτους "ἴσχυσαν πεῖσαι φυλάξαι τὰ αὐτῶν δόγματα, καὶ κινδύνου μικροῦ καταλαβόντος καὶ τούτους ἀπώλεσαν· οἱ δὲ τοῦ Χριστοῦ μαθηταὶ, οἱ ἁλιεῖς καὶ τελῶναι καὶ σκηνοποιοὶ ἐν ὀλίγοις ἔτεσι τὴν οἰκουμένην ἅπασαν πρὸς τὴν ἀλήθειαν ἐπανήγαγον, καὶ μυρίων ἐξ ἐκεί-

ΤΗ ΚΥΡΙΑΚΗ ΤΗΣ "ἘΠΙΣΩΖΟΜΕΝΗΣ ΠΡΟΣ ΤΟΥΣ ἀπὸ τῆς χώρας, καὶ περὶ τοῦ μὴ ὀμνύειν. Λογ. ιθ.

Κατετρυφήσατε τῶν ἁγίων μαρτύρων ἐν ταῖς ἔμπροσθεν ταύταις ἡμέραις, ἐνεφορήθητε τῆς πνευματικῆς ἑορτῆς, ἐσκιρτήσατε τὰ καλὰ σκιρτήματα. Εἴδετε πλευρὰς ἀνεῳγμένας καὶ λαγόνας κατατμηθείσας, αἷμα καταρρέον πάντοθεν, μυρία βασανιστηρίων εἴδη. Εἴδετε φύσιν ἀνθρωπίνην τὰ ὑπὲρ φύσιν ἐπιδεικνυμένην, καὶ στεφάνους ἐξ αἵματος πλεκομένους. ἐχορεύσατε χορείαν καλὴν πανταχοῦ τῆς πόλεως τοῦ καλοῦ τούτου περιάγοντος ὑμᾶς στρατηγοῦ. ἀλλ' ἡμᾶς ἡ ἀσθένεια καὶ ἄκοντας οἴκοι μένειν κατηνάγκασε· πλὴν εἰ καὶ μὴ μετείχομεν τῆς ἑορτῆς, * μετείχομεν τῆς ἡδονῆς· εἰ καὶ μὴ τῆς πανηγύρεως ἀπελαύσαμεν, ἀλλ' ἐκοινωνήσαμεν τῆς εὐφροσύνης "ὑμῖν. Τοιαύτη γὰρ ἡ τῆς ἀγάπης δύναμις· τοὺς οὐκ ἀπολαύσαντας τῶν ἀπολαυσάντων ἐξίσης ποιεῖ χαίρειν, κοινὰ τὰ τῶν πλησίον ἀγαθὰ πείθουσα νομίζειν. Διὰ τοῦτο καὶ οἴκοι καθήμενος ἔχαιρον μεθ' ὑμῶν, καὶ τῆς ἀρρωστίας μοι μηδέπω λυθείσης ἁπάσης, ἀνέστην καὶ ἔδραμον πρὸς ὑμᾶς, ὥστε τὰ ποθεινὰ πρόσωπα ὑμῶν ἰδεῖν, καὶ τῆς παρούσης μετασχεῖν ἑορτῆς. ἑορτὴν γὰρ μεγίστην εἶναι νομίζω τὴν παροῦσαν ἡμέραν διὰ τὴν τῶν ἀδελφῶν παρουσίαν τῶν ἡμετέρων, οἳ τὴν πόλιν ἡμῖν ἐκαλλώπισαν τήμερον, καὶ τὴν ἐκκλησίαν ἐκόσμησαν· λαὸς κατὰ μὲν τὴν [ἰδίαν] γλῶτταν ἡμῖν ἐνηλλαγμένος, κατὰ δὲ τὴν πίστιν ἡμῖν συμφωνῶν· λαὸς ἀπραγμοσύνῃ συζῶν, βίον σώφρονα καὶ σεμνὸν ἔχων. Παρὰ γὰρ τοῖς ἀνδράσι τούτοις οὐκ ἔστι θέατρα παρανομίας, οὐδὲ ἵππων ἅμιλλαι, οὐδὲ πόρναι γυναῖκες, οὐδὲ ἡ λοιπὴ τῆς πόλεως "βλακεία· ἀλλὰ πᾶσα μὲν "ἀσελγείας εἶδος ἐξελήλαται, πολλὴ δὲ πανταχοῦ ἀνθεῖ ἡ σωφροσύνη. Τὸ δὲ αἴτιον, ἐπίπονος αὐτοῖς ἐστιν ὁ βίος, καὶ διδασκαλεῖον ἀρετῆς ἔχουσι καὶ σωφροσύνης, τὴν τῆς γῆς ἐργασίαν, καὶ τέχνην μετιόντες, ἣν πρὸ τῶν ἄλλων ἁπασῶν ὁ Θεὸς εἰς τὸν βίον εἰσήγαγε τὸν ἡμέτερον. καὶ γὰρ πρὸ τῆς ἁμαρτίας ὁ Ἀδάμ, ἡνίκα πολλῆς ἀπέλαυε παρρησίας, γεωργίαν τινὰ ἐπετάγη μετιέναι, οὐκ ἐπίπονον μὲν, οὐδὲ ταλαιπωρίαν ἔχουσαν, πολλὴν δὲ αὐτῷ τὴν φιλοσοφίαν παρέχουσαν. Ἔθηκε γὰρ αὐτόν, φησιν, ἐργάζεσθαι καὶ φυλάσσειν τὸν παράδεισον. Γεν. β. ιε. τούτων ἕκαστον ἴδοι τις ἂν, νῦν μὲν ζευγνῦντα "βοῦς ἀροτῆρας καὶ ἄροτρον ἕλκοντα καὶ βαθεῖαν αὔλακα "τέμνοντα, νῦν δὲ ἐπὶ τὸ ἱερὸν ἀναβαίνοντα βῆμα καὶ τὰς ψυχὰς ἀροτριῶντα τῶν ὑπηκόων, νῦν μὲν δρεπάνῃ τὰς ἀκάνθας ἐκτέμνοντα τῆς γῆς, νῦν δὲ λόγῳ τὰς ἁμαρτίας ἐκκαθαίροντα τῶν ψυχῶν. οὐ γὰρ ἐπαισχύνονται τὴν ἐργασίαν, καθάπερ οἱ τὴν πόλιν ἡμῖν οἰκοῦντες· ἀλλ' ἐπαισχύνονται τὴν ἀργίαν, μαθόντες ὅτι πᾶσαν ἐκείνη μὲν "βλακείαν ἐδίδαξε, καὶ διδάσκαλος πονηρίας ἐγένετο ἐξ ἀρχῆς τοῖς ἀγαπῶσιν αὐτήν. οὗτοι μάλιστά εἰσιν οἱ τὴν ἀρίστην ἡμῖν φιλοσοφίαν φιλοσοφοῦντες, οὐκ ἀπὸ τοῦ σχήματος, ἀλλ' ἀπὸ τῆς γνώμης τὴν ἀρετὴν ἐνδεικνύμενοι τὴν αὐτῶν. ὡς οἵ γε τῶν "ἔξωθεν φιλόσοφοι τῶν ἐν τῇ σκηνῇ καὶ ταῖς τῶν μίμων παιδιαῖς οὐδὲν ἄμεινον διάκεινται, τοῦ τρίβωνος καὶ τοῦ πώγωνος καὶ τῆς στολῆς οὐδὲν πλέον ἔχοντες ἐπιδείξασθαι· οὗτοι δὲ τοὐναντίον ἅπαν, βακτηρίᾳ καὶ πώγωνι καὶ τῇ ἄλλῃ σκευῇ πολλὰ χαίρειν εἰπόντες, τὴν ψυχὴν ἑαυτῶν κατεκόσμησαν τοῖς τῆς ἀληθοῦς φιλοσοφίας δόγμασιν· οὐχὶ τοῖς δόγμασι δὲ μόνοις, ἀλλὰ καὶ τοῖς ἔργοις αὐτοῖς. κἂν "ἔρῃ τινὰ τούτων τῶν ἐν ἀγροικίᾳ ζώντων καὶ ἐν σκαπάνῃ καὶ ἀρότρῳ διαπονηθέντων ὑπὲρ τῶν δογμάτων, ὑπὲρ ὧν μυρία περιελθόντες οἱ τῶν ἔξωθεν φιλόσοφοι καὶ πολλοὺς ἀναλώσαντες λόγους οὐδὲν ἠδυνήθησαν ὑγιὲς εἰπεῖν, μετὰ ἀκριβείας ἀποκρινεῖταί σοι πάντα ἐκ πολλῆς τῆς σοφίας. Καὶ οὐ τοῦτο ἐστι τὸ θαυμαστὸν μόνον, ἀλλ'

γρ. ἀνιζομένης
* ἀλλὰ
γρ. ὑμῶν.
γρ. τρυφὴ
ἄλ. βλάβη
γρ. ἀσέβεια
γρ. βίας
γρ. κεντοῦντα
γρ. κακίαν
γρ. ἔξω.
γρ. ἄρτι

ἀλλ' ὅτι καὶ διὰ τῶν ἔργων βεβαιοῦνται τὴν διὰ τῶν δογμάτων πίστιν. καὶ γὰρ ὅτι τὴν ψυχὴν ἀθάνατον ἔχομεν, καὶ μέλλομεν τῶν ἐνταῦθα πεπραγμένων εὐθύνας διδόναι καὶ βήματι παρίστασθαι φοβερῷ, καὶ τὴν διάνοιαν ἔπεισαν, καὶ τὸν βίον ἅπαντα πρὸς ταύτας κατεστήσαντο τὰς ἐλπίδας, καὶ πάσης ἀνώτεροι βιωτικῆς ἐγένοντο φαντασίας, παιδευθέντες παρὰ τῆς θείας γραφῆς, ὅτι Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης, καὶ πρὸς οὐδὲν τῶν δοκούντων εἶναι λαμπρῶν κεχήνασιν. οὗτοι καὶ περὶ Θεοῦ φιλοσοφεῖν ἴσασι ταῦτα, ἅπερ ἐπέταξεν ὁ Θεός. καὶ ἕνα αὐτῶν λαβὼν φιλόσοφον ἕνα τῶν ἔξωθεν ἀγάγῃς εἰς μέσον νῦν (μᾶλλον δὲ νῦν μὲν οὐδένα ἐστὶν εὑρεῖν) ἂν δὲ ἕνα τούτων λαβὼν, καὶ τὰ βιβλία τῶν πάλαι παρ' αὐτοῖς φιλοσοφησάντων ἀναπτύξας ἐπέλθῃς, καὶ τί μὲν οὗτοι νῦν ἀποκρίνονται, τί δὲ ἐκεῖνοι τότε ἐφιλοσόφησαν, παράλληλα θεὶς ἐξετάσῃς, ὄψει πόση μὲν ἡ τούτων φιλοσοφία, πόση δὲ ἡ ἐκείνων ἄνοια. ὅταν γὰρ οἱ μὲν αὐτῶν μηδὲ προνοίας λέγωσιν ἀπολαύειν τὰ ὄντα, μηδὲ ὑπὸ Θεοῦ γεγενῆσθαι τὴν κτίσιν, μήτε τὴν ἀρετὴν αὐτὴν ἑαυτῇ αὐτάρκη εἶναι, ἀλλὰ δεῖσθαι χρημάτων καὶ εὐγενείας καὶ τῆς ἔξωθεν περιφανείας, καὶ ἕτερα πολλὰ τούτων καταγελαστότερα, οὗτοι δὲ καὶ περὶ προνοίας, καὶ περὶ δικαστηρίων τῶν μετὰ ταῦτα, καὶ περὶ τῆς τοῦ Θεοῦ δημιουργίας τῆς ἐξ οὐκ ὄντων τὰ πάντα παραγαγούσης, καὶ περὶ τῶν ἄλλων ἁπάντων φιλοσοφῶσι, τῆς ἔξωθεν ὅλως μὴ μετασχόντες παιδεύσεως, τίς οὐκ ἂν αὐτόθεν μάθοι τὴν τοῦ Χριστοῦ δύναμιν, ἣ τοὺς ἀγραμμάτους καὶ ἰδιώτας τῶν μέγα ἐπὶ σοφίᾳ κομπαζόντων τοσούτῳ σοφωτέρους ἀπέδειξεν, ὅσῳ τῶν μικρῶν παιδίων τοὺς ἔμφρονας ἄνδρας ὑπερέχοντας ἔστιν ἰδεῖν; τί γὰρ αὐτοῖς βλάβος ἀπὸ τῆς κατὰ τὸν λόγον ἰδιωτείας γένοιτ' ἄν, ὅταν τὰ νοήματα αὐτοῖς πολλῆς γέμῃ σοφίας; τί δὲ ὄφελος τοῖς ἔξωθεν ἀπὸ τῆς τῶν λόγων διδασκαλίας, ὅταν ἐρήμη ″νοημάτων ᾖ ἡ διάνοια; ὥσπερ ἂν εἴ τις μάχαιραν ἔχοι τὴν μὲν λαβὴν ἔχουσαν ἀργυρᾶν, τὸ δὲ σιδήρειον μολίβδου παντὸς ἀσθενέστερον. καὶ γὰρ καὶ τούτοις ἡ μὲν γλῶττα διὰ ῥημάτων καὶ ὀνομάτων *ἐστὶ κεκαλλωπισμένη, ἡ διάνοια δὲ πολλῆς γέμει τῆς ἀσθενείας, καὶ πρὸς ἅπαντά ἐστιν αὐτοῖς ἄχρηστος. ἀλλ' οὐχὶ ″τῶν φιλοσόφων τούτων, ἀλλὰ τοὐναντίον ἅπαν, πολλῆς αὐτοῖς ἡ διάνοια γέμει ″σοφίας πνευματικῆς, καὶ ὁ βίος τὰ δόγματα μιμεῖται. παρὰ τούτοις οὐκ εἰσὶ γυναῖκες θρυπτόμεναι, οὐδὲ ἱματίων καλλωπισμός, οὐδὲ ἐπιτρίμματα καὶ ὑπογραφαί· ἀλλὰ πᾶσα τοιαύτη διαφθορὰ τῶν τρόπων ἀπελήλαται. ὅθεν καὶ ″εὐκολώτερον τὸν ὑποτεταγμένον αὐτοῖς δῆμον εἰς σωφροσύνην ἄγουσι, καὶ τὸν τοῦ Παύλου νόμον τὸν κελεύοντα σκεπάσματα ἔχειν καὶ διατροφὰς καὶ μηδὲν πλέον ἐπιζητεῖν, μετὰ πολλῆς φυλάττουσι τῆς ἀκριβείας. παρὰ τούτοις οὐκ ἔστιν ἀλοιφὴ μύρων καταγοητεύουσα τὴν διάνοιαν, ἀλλ' ἡ γῆ βοτάνας ἐκφέρουσα παντὸς μυρεψοῦ σοφωτέραν αὐτοῖς κατασκευάζει τὴν ποικίλην τῶν ἀνθῶν εὐωδίαν. διὰ τοῦτο αὐτοῖς καὶ τὰ σώματα ὑγιείας ἀπολαύει καθαρᾶς μετὰ τῆς ψυχῆς, ἐπειδὴ πᾶσαν τρυφὴν ἀπήλασαν, καὶ τὰ πονηρὰ τῆς μέθης ἐξέβαλον ῥεύματα, καὶ τοσοῦτον ἐσθίουσιν, ὅσον ἀπόχρη. μὴ τοίνυν ἀπὸ τοῦ σχήματος αὐτῶν καταφρονῶμεν, ἀλλὰ τὴν διάνοιαν αὐτῶν θαυμάζωμεν. τί γὰρ ὄφελος τῆς ἔξωθεν περιβολῆς, ὅταν ἡ ψυχὴ προσαίτου παντὸς ἀθλιώτερον ᾖ ἐσταλμένη; τὸν ἄνδρα οὐκ ἀπὸ τῶν ἱματίων, μᾶλλον δὲ οὐδὲ ἀπὸ τοῦ σώματος, ἀλλ' ἀπὸ τῆς ψυχῆς ἐπαινεῖν χρὴ καὶ θαυμάζειν. ἀπόδυσον ″τούτου τὴν ψυχήν, καὶ ὄψει τὸ κάλλος αὐτῆς καὶ τὸν πλοῦτον διὰ τῶν ῥημάτων, διὰ τῶν δογμάτων, διὰ τῆς ὅλης τῶν τρόπων καταστάσεως. αἰσχυνέσθωσαν τοίνυν Ἕλληνες, ″ἐγκαλυπτέσθωσαν ἐπὶ τοῖς αὐτῶν φιλοσόφοις, καὶ τῇ πάσης μωρίας ἀθλιωτέρᾳ αὐτῶν σοφίᾳ. οἱ μὲν γὰρ παρ' αὐτοῖς φιλόσοφοι κατὰ τὸν καιρόν, ἐν ᾧ ἔζων, ὀλίγους μόλις καὶ σφόδρα εὐαριθμήτους ″ἴσχυσαν πεῖσαι φυλάξαι τὰ αὐτῶν δόγματα, καὶ κινδύνου μικροῦ καταλαβόντος καὶ τούτους ἀπώλεσαν· οἱ δὲ τοῦ Χριστοῦ μαθηταί, οἱ ἁλιεῖς καὶ τελῶναι καὶ σκηνοποιοὶ ἐν ὀλίγοις ἔτεσι τὴν οἰκουμένην ἅπασαν πρὸς τὴν ἀλήθειαν ἐπανήγαγον, καὶ μυρίων ἐξ ἐκεί-

Ἐκκλησ. α. β.

a Τιμ. ϛ. η.

νου γινομένων κινδύνων οὐ μόνον οὐκ ἐσβέσθη τὸ κήρυγμα, ἀλλὰ καὶ ἤνθει, καὶ πρὸς τὸ μεῖζον ἐπιδίδωσι, καὶ φιλοσοφεῖν ἐδίδαξεν ἀνθρώπους ἰδιώτας καὶ γηπόνους καὶ θρέμμασι μελετῶντας. ἐπεὶ μετὰ τῶν ἄλλων ἁπάντων τῶν ἀγαθῶν αὐτὴν ἀγάπην ἐῤῥιζωμένην ἔχοντες, ἔσπευσαν πρὸς ἡμᾶς τοσαύτην δραμόντες ἐλθεῖν ὁδὸν, καὶ τὰ οἰκεῖα περιπτύξασθαι μέλη.

Φέρε οὖν καὶ ἡμεῖς ἀντὶ τῶν δώρων τούτων, τῆς ἀγάπης λέγω καὶ τῆς διαθέσεως, ἐφόδια δόντες αὐτοῖς, οὕτως αὐτοὺς ἀποπέμψωμεν, καὶ τὸν περὶ τῶν ὅρκων πάλιν κινήσωμεν λόγον, ὥστε πρόῤῥιζον ἐκ τῆς διανοίας ἁπάντων ἀνασπασθῆναι τὴν πονηρὰν ταύτην συνήθειαν. Βούλομαι δὲ πρότερον μικρὰ τὴν προφητείαν ἡμῖν εἰρημένην ἀναμνῆσαι τήμερον. ἐπειδὴ γὰρ τῆς Περσίδος ἀπαλλαγέντες οἱ Ἰουδαῖοι, καὶ τῆς τυραννίδος ἐλευθερωθέντες ἐκείνης πρὸς τὴν οἰκείαν ἐπανῆλθον πατρίδα, εἶδον δρέπανον, φησὶ, πετόμενον μήκους πηχῶν εἴκοσι, καὶ πλάτους πηχῶν δέκα· καὶ τοῦ προφήτου παιδεύοντος αὐτοὺς ἤκουον, ὅτι αὕτη ἐστὶν ἡ ἀρὰ ἡ ἐκπορευομένη ἐπὶ πρόσωπον τῆς γῆς, καὶ εἰσερχομένη εἰς τὸν οἶκον τοῦ ὀμνύοντος ἐπὶ ψευδεῖ. καὶ καταλύσει εἰς τὸ μέσον καὶ τὰ ξύλα, καὶ τοὺς λίθους καθελεῖ πάντας. καὶ τούτων ἀναγνωσθέντων τότε, ἐζητοῦμεν τίνος ἕνεκεν οὐχὶ τὸν ὀμόσαντα μόνον, ἀλλὰ καὶ τὴν οἰκίαν αὐτοῦ καταλύει· καὶ ταύτην ἐλέγομεν αἰτίαν εἶναι, ὅτι τῶν χαλεπωτάτων ἁμαρτημάτων τὰς τιμωρίας βούλεται μένειν ὁ Θεὸς διηνεκεῖς, ὥστε τοὺς μετὰ ταῦτα σωφρονίζεσθαι πάντας. ἐπεὶ οὖν τὸν ἐπίορκον ἀποθανόντα ἀνάγκη ταφῆναι καὶ τοῖς κόλποις παραδοθῆναι τῆς γῆς, ὥστε μὴ καὶ τῷ σώματι τὴν πονηρίαν αὐτοῦ συνταφῆναι, [καὶ] τὴν οἰκίαν ἐποίησε χῶμα, ὑπὲρ τοῦ τοὺς παριόντας ἅπαντας ὁρῶντας αὐτὴν, καὶ τὴν αἰτίαν μανθάνοντας τῆς κατασκαφῆς, φεύγειν τὴν τῆς ἁμαρτίας μίμησιν. τοῦτο καὶ ἐπὶ Σοδόμων ἐγένετο. ἐπειδὴ γὰρ ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους, ἐξεκαύθη καὶ τῆς γῆς ἡ φύσις ὑπὸ τοῦ κατενεχθέντος ἄνωθεν πυρός. ἐβούλετο γὰρ καὶ ταύτης τῆς ἁμαρτίας τὴν τιμωρίαν μένειν διηνεκῆ. καὶ σκόπει τοῦ Θεοῦ τὴν φιλανθρωπίαν. οὐχὶ τοὺς ἁμαρτάνοντας αὐτοὺς ἐποίησε διηνεκῶς καίεσθαι μέχρι τῆς παρούσης ἡμέρας, ἀλλ' ἐκείνους μὲν ἅπαξ ἐμπρησθέντας ἀπέκρυψε, τὸ δὲ πρόσωπον τῆς γῆς κατακαύσας, εἰς τὸ μέσον ἅπασι προὔθηκε τοῖς μετὰ ταῦτα βουλομένοις ὁρᾷν. καὶ νῦν φωνῆς ἁπάσης λαμπροτέραν πάσαις ταῖς μετὰ ταῦτα παραπέμπει γενεαῖς ἡ τῆς γῆς ὄψις, μονονουχὶ βοῶσα καὶ λέγουσα, μὴ τολμήσητε τὰ Σοδόμων, ἵνα μὴ πάθητε τὰ Σοδόμων. οὐδὲ γὰρ οὕτω λόγος καθικνεῖσθαι διανοίας εἴωθεν, ὡς ὄψις φοβερὰ καὶ τῆς συμφορᾶς τὰ ἴχνη φέρουσα διὰ παντὸς τοῦ χρόνου. καὶ μαρτυροῦσιν οἱ ἐν τοῖς χωρίοις ἐκείνοις παραγινόμενοι, οἱ πολλάκις τῆς γραφῆς ὑπὲρ τούτων διαλεγομένης ἀκούοντες, οὐ σφόδρα ἔδεισαν· ἐπειδὴ δὲ ἦλθον, καὶ τῆς χώρας ἐπέβησαν, καὶ τὴν ὄψιν αὐτῆς ἠφανισμένην εἶδον ἅπασαν, καὶ τὸν ἐμπρησμὸν ἐθεάσαντο, καὶ γῆν μὲν οὐδαμοῦ φαινομένην, κόνιν δὲ πάντα καὶ τέφραν, καταπλαγέντες, καὶ πολλὴν ἀπὸ τῆς θεωρίας ἐκείνης δεξάμενοι διδασκαλίαν σωφροσύνης, οὕτως ἀπῆλθον. καὶ γὰρ αὐτὸς τῆς κολάσεως ὁ τρόπος τῆς ἁμαρτίας τὸν τρόπον μιμεῖται. καθάπερ γὰρ ἐκεῖνοι μῖξιν ἐπεισήγαγον ἄγονον, οὐκ εἰς παιδοποιΐαν τελευτῶσαν, οὕτω δὴ καὶ ὁ Θεὸς τιμωρίαν ἐπήγαγεν, ἣ τὴν γαστέρα τῆς γῆς ἐποίησεν ἄγονον καθάπαξ, καὶ καρπῶν ἔρημον ἁπάντων. διὰ τοῦτο καὶ τῶν ὀμνυόντων τὰς οἰκίας καθαιρεῖν ἠπείλησεν, ἵν' ἑτέρους ταῖς ἐκείνων τιμωρίαις σωφρονεστέρους ποιήσῃ. ἀλλ' ἐγὼ δείκνυμι σήμερον οὐχὶ μίαν καὶ δύο καὶ τρεῖς καθαιρεθείσας οἰκίας ἀπὸ τῶν ὅρκων, ἀλλὰ πόλιν ὁλόκληρον καὶ δῆμον θεοφιλῆ, καὶ ἔθνος πολλῆς ἀπολαῦσαν προνοίας ἀεὶ, καὶ φυλὴν πολλοὺς διαφυγοῦσαν κινδύνους. καὶ γὰρ Ἱερουσαλὴμ, ἡ πόλις τοῦ Θεοῦ, ἡ τὴν κιβωτὸν τὴν ἁγίαν ἔχουσα, καὶ τὴν λατρείαν ἅπασαν ἐκείνην, ἔνθα προφῆται ἦσαν, καὶ πνεύματος χάρις, καὶ κιβωτὸς, καὶ πλάκες διαθήκης, καὶ στάμνος ἡ χρυσῆ, ἔνθα ἄγγελοι πολλάκις ἐπεφοίτων,

Ζαχ. ε. α.

ἐπεφοίτων, αὕτη ἡ πόλις, μυρίων γενομένων πολέμων, καὶ πολλῶν αὐτὴν ἐπιδραμόντων βαρβάρων, καθάπερ τεῖχος ἐξ ἀδάμαντος περιβεβλημένη, οὕτω πάντων ἀεὶ κατεγέλασεν ἐκείνων, καὶ τῆς χώρας ἀφανισθείσης ἁπάσης, οὐδὲν ἔπαθε δεινόν. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστόν, ἀλλ' ὅτι καὶ χαλεπὴν πολλάκις δοῦσα πληγὴν τοῖς πολεμίοις, οὕτως αὐτοὺς ἐξέπεμψε· καὶ τοσαύτης ἀπέλαυσε παρὰ τοῦ Θεοῦ τῆς προνοίας, ὡς αὐτὸν τὸν Θεὸν λέγειν· Ὡς σταφυλὴν ἐν ἐρήμῳ, εὗρον τὸν Ἰσραήλ· ὡς " καρπὸν ἐν τῇ συκῇ πρόϊμον εἶδον πατέρας αὐτῶν. (Ὠσ. θ.) Καὶ περὶ τῆς πόλεως αὐτῆς πάλιν· Ὡς ῥῶγες ἐλαίας ἐπ' " ἄκρῳ τοῦ μετεώρου, (Ησ. ξε. κ.) καὶ ἐροῦσι, μὴ λυμανῇ αὐτοῖς. Ἀλλ' ὅμως ἡ τοῦ Θεοῦ φίλη πόλις, καὶ τοσούτους διαφυγοῦσα κινδύνους, καὶ ἐν πολλαῖς ἁμαρτίαις συγγνώμης τυχοῦσα, καὶ δυνηθεῖσα πάντων ἀπαχθέντων τῶν ἄλλων μόνη τὴν αἰχμαλωσίαν διαφυγεῖν, καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις κατηνέχθη ἀπὸ ὅρκου " μόνου. Καὶ πῶς, ἐγὼ λέγω. Ἐγένετό τις Σεδεκίας παρ' αὐτοῖς βασιλεύς. Οὗτος ὁ Σεδεκίας τῷ βασιλεῖ τῶν βαρβάρων τῷ Ναβουχοδονόσορ ὅρκον δέδωκεν, ὥστε μένειν ἐπὶ τῆς ἐκείνου συμμαχίας. Μετὰ ταῦτα ἀπέστη καὶ πρὸς τὸν Αἰγύπτιον ηὐτομόλησε βασιλέα, τὸν ὅρκον καταλύσας, καὶ τοσαῦτα ἔπαθεν, ὅσα αὐτίκα ἀκούσεσθε. Πρότερον δὲ ἀναγκαῖον εἰπεῖν τὴν παραβολὴν τοῦ προφήτου, δι' ἧς ἅπαντα ταῦτα ἠνίξατο. Ἐγένετο λόγος Κυρίου, φησί, πρός με λέγων· Υἱὲ ἀνθρώπου, διήγησαι διήγημα, καὶ εἰπὲ παραβολήν, καὶ ἐρεῖς· (Ιεζεκ. ιζ. α.) Τάδε λέγει Ἀδωναῒ Κύριος· Ὁ ἀετὸς ὁ μέγας, ὁ μεγαλοπτέρυγος, ὁ μακρὸς τῇ ἐκτάσει, ὁ πλήρης ὀνύχων. Ἀετὸν ἐνταῦθα τὸν βασιλέα τῶν Βαβυλωνίων ἐκάλεσε· μέγαν δὲ αὐτὸν καὶ μεγαλοπτέρυγον " εἶπε, καὶ μακρὸν τῇ ἐκτάσει καὶ πλήρη ὀνύχων ὠνόμασε διὰ τὸ τῆς στρατιᾶς πλῆθος, καὶ τὸ τῆς δυνάμεως μέγεθος, καὶ τὸ τάχος τῆς ἐφόδου. Καθάπερ γὰρ τῷ ἀετῷ πτέρυγες καὶ ὄνυχες ὅπλα, οὕτω τοῖς βασιλεῦσι στρατιῶται καὶ ἵπποι. Οὗτος τοίνυν ὁ ἀετός, φησίν, ἔχει τὸ ἥγημα εἰσελθεῖν εἰς τὸν Λίβανον. Τί ἐστι τὸ ἥγημα; βουλήν, γνώμην. Λίβανον δὲ τὴν Ἰουδαίαν ἐκάλεσε διὰ τὸ πλησίον ἐκείνου κεῖσθαι τοῦ ὄρους. Εἶτα βουλόμενος εἰπεῖν τοὺς ὅρκους καὶ τὰς συνθήκας, Ἔλαβε, φησίν, ἀπὸ τοῦ σπέρματος τῆς γῆς, καὶ ἔδωκεν εἰς (Ιεζεκ. ιζ. ε.) τὸ πεδίον τὸ σπόριμον λαβεῖν ῥίζωσιν ἐν ὕδατι πολλῷ. Ἐπιβλεπόμενον ἔταξεν αὐτό, καὶ ἀνέτειλεν, καὶ ἐγένετο εἰς ἄμπελον ἀσθενοῦσαν καὶ μικρὰν τῷ μεγέθει· καὶ " ἐξετείνετο τὰ κλήματα αὐτῆς ἐπ' " αὐτόν, καὶ αἱ ῥίζαι αὐτῆς ὑποκάτω αὐτοῦ ἦσαν. Ἄμπελον δὲ ἐνταῦθα τὴν πόλιν ἐκάλεσε τὴν Ἱερουσαλήμ. Τὸ δὲ εἰπεῖν, ὅτι τὰ κλήματα αὐτῆς ἐπ' αὐτὸν " ἔβαλε τὸν ἀετόν, καὶ αἱ ῥίζαι αὐτῆς ὑποκάτω αὐτοῦ ἦσαν, τὰς συνθήκας ἐδήλωσε καὶ τὴν πρὸς αὐτὸν συμμαχίαν, καὶ ὅτι ἐπέρριψεν " ἑαυτὴν ἐπ' ἐκεῖνον. Εἶτα βουλόμενος δεῖξαι τὴν παρανομίαν, φησί· Καὶ ἐγένετο ἀετὸς ἕτερος, περὶ τοῦ Αἰγυπτίου βασιλέως λέγων, μέγας καὶ (Ιεζεκ. ιζ. ζ.) μεγαλοπτέρυγος καὶ πολὺς τοῖς ὄνυξι, καὶ ἡ ἄμπελος αὕτη περιπλεκομένη ἐπ' αὐτόν, καὶ ὁ ἕλιξ αὐτῆς ἐπ' αὐτόν, καὶ τὰ κλήματα αὐτῆς ἐξαπέστειλε τοῦ ποτίσαι αὐτήν. Διὰ τοῦτο εἶπον, Τάδε λέγει Ἀδωναῒ Κύριος, Εἰ κατευθυνεῖ, τουτέστι, παραβᾶσα τὸν ὅρκον καὶ τὰς συνθήκας εἰ δυνήσεται μεῖναι καὶ σωθῆναι καὶ μὴ διαπεσεῖν. Εἶτα δεικνύς, ὡς οὐκ ἔστι τοῦτο, ἀλλ' ἀπολεῖται πάντως διὰ τὸν ὅρκον, περὶ τῆς κολάσεως αὐτῆς διαλέγεται καὶ τὴν αἰτίαν τίθησιν· Αἱ ῥίζαι γὰρ αὐτῆς, φησί, τῆς ἁπαλότητος, καὶ ὁ καρπὸς σαπήσεται, καὶ ξηρανθήσονται πάντα τὰ προανατέλλοντα αὐτῆς. (Ιεζεκ. ιζ. θ.) Καὶ δεῖξαι βουλόμενος, ὅτι οὐκ ἀνθρωπίνῃ δυνάμει καθαιρεθήσεται, ἀλλ' ἐπειδὴ τὸν Θεὸν ἐξεπολέμωσεν ἑαυτῇ διὰ τοὺς ὅρκους ἐκείνους, ἐπήγαγεν· Οὐκ ἐν βραχίονι μεγάλῳ, οὐδὲ ἐν λαῷ πολλῷ τοῦ " ἐκσπάσαι αὐτὴν ἐκ ῥιζῶν αὐτῆς. Καὶ ἡ μὲν παραβολὴ αὕτη. Πάλιν δὲ αὐτὴν σαφηνίζει, οὕτως εἰπών· Ἰδοὺ ἔρχεται βασιλεὺς Βαβυλῶνος ἐπὶ Ἱερουσαλήμ. Εἶτα εἰπὼν ἕτερα ἅττα μεταξύ, λέγει τοὺς ὅρκους καὶ τὰς συμμαχίας· Διαθήσεται γάρ, φησι, πρὸς αὐτὸν διαθήκην. Εἶτα καὶ τὴν ἀποστασίαν " δηλῶν, φησί· Καὶ ἀποστήσεται ἀπ' αὐτοῦ, τοῦ ἐξαποστέλλειν ἀγγέλους εἰς

Αἴγυπτον, τοῦ δοῦναι αὐτῷ ἵππους καὶ λαὸν πολύν. καὶ μετὰ ταῦτα ἐπάγει, δεικνὺς ὅτι διὰ τὸν ὅρκον ταῦτα πάντα γέγονε τὰ τῆς ἀπωλείας· ἦ μὴν ἐν τῷ τόπῳ τοῦ βασιλέως τοῦ βασιλεύσαντος αὐτόν, ὃς ἠτίμωσε τὴν ἀράν μου, καὶ παρέβη τὴν διαθήκην μου, ἐν μέσῳ Βαβυλῶνος τελευτήσει, καὶ οὐκ ἐν δυνάμει μεγάλῃ, οὐδὲ ἐν ὄχλῳ πολλῷ, ὅτι ἠτίμωσε τὴν ὁρκωμοσίαν τοῦ παραβῆναι τὴν διαθήκην μου. ἦ μὴν τὴν ὁρκωμοσίαν μου, ἣν ἠτίμωσε, καὶ τὴν διαθήκην μου, ἣν παρέβη, δώσω αὐτὴν εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐκπετάσω ἐπ' αὐτὸν τὸ δίκτυόν μου. ὁρᾷς πῶς οὐχ ἅπαξ, οὐδὲ δίς, ἀλλὰ καὶ πλεονάκις εἶπεν, ὅτι διὰ τὸν ὅρκον ταῦτα πάντα ἔπαθεν ἐκεῖνος; καὶ γὰρ ἀπαραίτητός ἐστιν ὁ Θεὸς ὑβριζομένων ὅρκων. οὐκ ἐκ τῆς κολάσεως δὲ μόνης τῆς ἐπενεχθείσης τῇ πόλει διὰ τὸν ὅρκον τοῦτο ἐστιν ἰδεῖν, ἀλλὰ καὶ ἐκ τῆς μελλήσεως καὶ τῆς ἀναβολῆς, ὅσην ποιεῖται ὁ Θεὸς τὴν σπουδὴν ὑπὲρ τοῦ μὴ καταπατηθῆναι τοὺς ὅρκους. Ἐγένετο γάρ, φησιν, ἐν τῷ ἐνάτῳ ἔτει τῆς βασιλείας Σεδεκίου, ἐν τῷ μηνὶ τῷ δευτέρῳ, ἐν τῇ δεκάτῃ τοῦ μηνὸς ἦλθε Ναβουχοδονόσορ ὁ βασιλεὺς Βαβυλῶνος, καὶ πᾶσα ἡ δύναμις αὐτοῦ ἐπὶ Ἱερουσαλήμ, καὶ περιεκάθισεν αὐτήν, καὶ περιῳκοδόμησεν αὐτῇ τεῖχος κυκλόθεν, καὶ ἦλθεν ἡ πόλις εἰς συνοχήν, ἕως τοῦ ἑνδεκάτου ἔτους Σεδεκίου τοῦ βασιλέως, ἐνάτῃ τοῦ μηνός. καὶ ἐνίσχυσεν ὁ λιμὸς ἐν αὐτῇ τῇ πόλει, καὶ οὐκ ἦν ἄρτος τῷ λαῷ φαγεῖν, καὶ ἐρράγη ἡ πόλις. ἠδύνατο μὲν γὰρ ἐκ πρώτης εὐθέως αὐτοὺς παραδοῦναι τῆς ἡμέρας, καὶ ποιῆσαι τοῖς πολεμίοις ὑποχειρίους, ἀλλὰ διὰ τοῦτο χρόνον ἐν μέσῳ τριῶν ἐτῶν τριβῆναι συνεχώρησε, καὶ πολιορκίας αὐτοὺς αἰσθέσθαι χαλεπωτάτης ἐποίησεν, ἵνα καὶ τῷ τῶν στρατιωτῶν ἔξωθεν φόβῳ καὶ τῷ συνέχοντι τὴν πόλιν ἔνδον λιμῷ σωφρονιζόμενοι καὶ ἄκοντα τὸν βασιλέα καταναγκάσωσιν ὑποταγῆναι τῷ βαρβάρῳ, καὶ γενέσθαι τινὰ τῷ ἁμαρτήματι παραμυθίαν. καὶ ὅτι τοῦτο ἐστιν ἀληθές, καὶ οὐκ ἐμὸς ὁ στοχασμός, ἄκουσον τί διὰ τοῦ προφήτου φησὶ πρὸς αὐτόν· Ἐὰν ἐξέλθῃς πρὸς ἡγεμόνα βασιλέως *, ζήσεται ἡ ψυχή σου, καὶ ἡ πόλις αὕτη οὐ μὴ κατακαυθῇ ἐν πυρί, καὶ ζήσῃ σύ, καὶ ἡ οἰκία σου. ἐὰν δὲ μὴ ἐξέλθῃς σὺ πρὸς τοὺς ἄρχοντας βασιλέως Βαβυλῶνος, παραδοθήσεται ἡ πόλις αὕτη εἰς χεῖρας τῶν Χαλδαίων, καὶ κατακαύσουσιν αὐτὴν πυρὶ ἐκεῖ, καὶ σὺ οὐ μὴ σωθήσῃ ἐκ χειρὸς αὐτῶν. καὶ εἶπεν ὁ βασιλεύς, λόγον ἔχω τῶν Ἰουδαίων τῶν πεφευγότων πρὸς τοὺς Χαλδαίους, μὴ δώσεις με εἰς χεῖρας αὐτῶν, καὶ καταμωκήσονταί μου. καὶ εἶπεν Ἱερεμίας, οὐ μὴ παραδώσουσί σε. ἄκουσον τὸν λόγον Κυρίου, ὃν ἐγὼ λαλῶ πρὸς σέ, καὶ βέλτιον ἔσται σοι, καὶ ζήσεται ἡ ψυχή σου. καὶ εἰ μὴ θελήσεις ἐξελθεῖν, οὗτος ὁ λόγος, ὃν ἔδειξέ μοι ὁ Κύριος· πᾶσαι αἱ γυναῖκες αἱ καταλειφθεῖσαι ἐν οἴκῳ βασιλέως Ἰούδα ἐξάγονται πρὸς τοὺς ἄρχοντας βασιλέως Βαβυλῶνος. καὶ αὗται λέγουσιν, ἠπάτησάν σε καὶ ἠδυνήθησάν σοι, ἄνδρες εἰρηνικοί σου καταχύσουσιν, ἐν ὀλισθήμασι πόδας σου οὐκ ἀποστρέψουσι, καὶ πάσας τὰς γυναῖκάς σου ἐξάξουσι πρὸς τοὺς Χαλδαίους, καὶ οὐ μὴ σωθήσῃ ἐκ χειρὸς αὐτῶν, ὅτι ἐν χειρὶ βασιλέως Βαβυλῶνος συλληφθήσῃ, καὶ ἡ πόλις αὕτη κατακαήσεται πυρί. ἀλλ' ὅμως οὐκ ἔπεισε ταῦτα λέγων, ἀλλ' ἔμενεν ἐπὶ τῆς ἁμαρτίας καὶ τῆς παρανομίας, μετὰ τρία ἔτη τὴν πόλιν παρέδωκεν ὁ Θεός, καὶ τὴν ἑαυτοῦ φιλανθρωπίαν ἐπιδείξας, καὶ τὴν ἀγνωμοσύνην τὴν ἐκείνου. καὶ εἰσελθόντες μετὰ εὐκολίας πολλῆς ἐνέπρησαν τὸν οἶκον τοῦ βασιλέως, καὶ τοὺς οἴκους Ἱερουσαλήμ, καὶ πάντα οἶκον μέγαν ἐνέπρησεν ὁ ἀρχιμάγειρος, καὶ τὸ τεῖχος Ἱερουσαλὴμ καθεῖλε, καὶ πανταχοῦ πῦρ ἦν βαρβαρικόν, τοῦ ὅρκου τῶν ἐμπρησμῶν στρατηγοῦντος καὶ τὴν φλόγα πανταχοῦ περιάγοντος. καὶ τὸ καταλειφθὲν τοῦ λαοῦ ἐν τῇ πόλει, καὶ τοὺς προσκεχωρηκότας τῷ βασιλεῖ μετῴκησεν ὁ ἀρχιμάγειρος, καὶ τοὺς στύλους τοὺς χαλκοῦς τοὺς ἐν οἴκῳ Κυρίου κατέκοψαν οἱ Χαλδαῖοι, καὶ τὰς βάσεις καὶ τὴν θάλασσαν τὴν χαλκῆν τὴν ἐν οἴκῳ Κυρίου κατέκοψαν οἱ Χαλδαῖοι, καὶ τοὺς λέβητας καὶ τὰς κρεάγρας καὶ τὰς φιάλας καὶ τὰς θυΐσκας, καὶ πάντα τὰ σκεύη τὰ χαλκᾶ, ἐν οἷς ἐλειτούργουν ἐν αὐτοῖς, ἔλαβον, καὶ τὰ πυρεῖα

Δ. Βασ. κε. α.

Ἱερ. λη. ιζ.

Δ. Βασ. κε.

καὶ τὰς φιάλας τὰς χρυσᾶς καὶ ἀργυρᾶς ἔλαβον, καὶ τῶν στύλων τῶν δύο καὶ τῶν βάσεων καὶ τῆς θαλάσσης, ἣν ἐποίησεν ὁ Σολομὼν ἐν οἴκῳ Κυρίου, ἔλαβε Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος· καὶ ἔλαβε τὸν Σαραίαν τὸν ἱερέα τὸν πρῶτον, καὶ τὸν Σαφὰν τὸν ἱερέα τὸν δεύτερον, καὶ τοὺς τρεῖς τοὺς φυλάσσοντας τὸν σταθμόν, καὶ ἐκ τῆς πόλεως εὐνοῦχον ἕνα τὸν καθεστάμενον ἐπὶ τοὺς ἄνδρας τοὺς πολεμοῦντας, καὶ πέντε ἄνδρας τοὺς ὁρῶντας τὸ πρόσωπον τοῦ βασιλέως, καὶ Σαφὰν τὸν ἀρχιστράτηγον, καὶ τὸν γραμματέα καὶ ἑξήκοντα ἄνδρας. καὶ ἔλαβεν αὐτούς, καὶ ἀπήγαγεν αὐτοὺς πρὸς τὸν βασιλέα Βαβυλῶνος, καὶ ἐπάταξεν αὐτοὺς ὁ βασιλεύς, καὶ ἐθανάτωσεν αὐτούς. ἀναμνήσθητί μοι οὖν τῆς δρεπάνης τῆς πετομένης καὶ καταλυούσης ἐν τῷ οἴκῳ τοῦ ὀμνύοντος, καὶ καθαιρούσης τοὺς τοίχους, τὰ ξύλα, τοὺς λίθους. ἀναμνήσθητί μοι, πῶς ὁ ὅρκος οὗτος εἰσελθὼν εἰς τὴν πόλιν, καὶ οἰκίας καὶ ναὸν καὶ τείχη καὶ οἰκοδομήματα λαμπρὰ καθεῖλε, καὶ χῶμα τὴν πόλιν ἐποίησε. καὶ οὔτε τὰ ἅγια τῶν ἁγίων, οὔτε τὰ σκεύη τὰ ἱερά, οὔτε ἄλλο οὐδὲν ἀπέστρεψε τὴν κόλασιν καὶ τὴν τιμωρίαν ἐκείνην, διὰ τὸ παραβαθῆναι τὸν ὅρκον. καὶ ἡ μὲν πόλις οὕτως ἐλεεινῶς κατελύετο· ὁ δὲ βασιλεὺς ἐλεεινότερα καὶ ὀδυνηρότερα τούτων ἔπασχε. καὶ καθάπερ τὰ οἰκοδομήματα καθεῖλεν αὐτὴ ἡ δρεπάνη ἡ πετομένη, οὕτω καὶ τοῦτον φεύγοντα καθεῖλεν. Ἐξῆλθε γάρ, φησιν, ὁ βασιλεὺς νυκτὸς ὁδὸν πύλης, καὶ οἱ Χαλδαῖοι ἐκύκλουν τὴν πόλιν, καὶ κατεδίωξε δύναμις τῶν Χαλδαίων ὀπίσω τοῦ βασιλέως, καὶ κατέλαβεν αὐτόν· καὶ συνέλαβον τὸν βασιλέα, καὶ ἤγαγον αὐτὸν πρὸς τὸν βασιλέα Βαβυλῶνος. καὶ ἐλάλησεν ὁ βασιλεὺς Βαβυλῶνος μετὰ Σεδεκίου κρίσιν, καὶ ἔσφαξε τοὺς υἱοὺς αὐτοῦ ἐνώπιον αὐτοῦ, καὶ τοὺς ὀφθαλμοὺς Σεδεκίου ἐξετύφλωσε, καὶ ἔδησεν αὐτὸν ἐν πέδαις, καὶ ἀπήγαγεν αὐτὸν εἰς Βαβυλῶνα. τί ἐστιν, ἐλάλησε μετ' αὐτοῦ κρίσιν; ἀπήτησεν αὐτὸν εὐθύνας, ἐδικάσατο μετ' αὐτοῦ. καὶ πρῶτον τοὺς υἱοὺς αὐτοῦ κατέσφαξεν, ἵνα θεωρὸς γένηται τῆς οἰκείας συμφορᾶς, καὶ τὴν τραγῳδίαν ἐκείνην ἴδῃ τὴν ἐλεεινήν, καὶ τότε αὐτὸν ἐξετύφλωσε. τίνος ἕνεκεν τοῦτο πάλιν γέγονεν; ἵνα διδάσκαλος τοῖς βαρβάροις ἀπέλθῃ, καὶ τοῖς ἐκεῖ κατοικοῦσιν Ἰουδαίοις, καὶ ἵνα μάθωσιν οἱ βλέποντες διὰ τοῦ πεπηρωμένου, πόσον κακὸν ὅρκος· οὐκ ἐκεῖνοι δὲ μόνον, ἀλλὰ καὶ οἱ παρὰ τὴν ὁδὸν ἅπαντες οἰκοῦντες δεδεμένον καὶ πεπηρωμένον ὁρῶντες, μανθάνωσι διὰ τῆς συμφορᾶς τῆς ἁμαρτίας τὸ μέγεθος. διὰ τοῦτο τῶν προφητῶν ὁ μέν φησιν, Οὐκ ὄψεται Βαβυλῶνα· ὁ δέ φησιν, ὅτι Εἰς Βαβυλῶνα ἀπαχθήσεται. καὶ δοκεῖ μὲν ἐναντία εἶναι ἡ προφητεία, οὐκ ἔστι δέ· ἀλλ' ἀμφότερα ταῦτα ἀληθῆ. καὶ γὰρ Βαβυλῶνα οὐκ εἶδε, καὶ εἰς Βαβυλῶνα ἀπήχθη. πῶς οὖν Βαβυλῶνα οὐκ εἶδεν; ὅτι ἐν τῇ Ἰουδαίᾳ τὴν πήρωσιν ὑπέστη. ἔνθα γὰρ ὁ ὅρκος ἠθετήθη, ἐκεῖ καὶ ἐξεδικεῖτο, καὶ τὴν τιμωρίαν αὐτὸς ὑπέμεινε. πῶς δὲ ἀπήχθη εἰς Βαβυλῶνα; αἰχμάλωτος γενόμενος. ἐπειδὴ γὰρ δύο ἦσαν αἱ τιμωρίαι, πήρωσις καὶ αἰχμαλωσία, διενείμαντο αὐτὰς οἱ προφῆται· καὶ ὁ μὲν οὐκ ὄψεταί φησι Βαβυλῶνα, τὴν πήρωσιν αὐτοῦ λέγων· ὁ δέ φησιν, Εἰς Βαβυλῶνα ἀπαχθήσεται, τὴν αἰχμαλωσίαν αὐτοῦ αἰνιττόμενος.

δ. Βασ. κε.

Ἰεζεκ. ιβ. ιγ.
Ἱερ. λβ. ε.

Ταῦτ' οὖν εἰδότες, ἀδελφοί, καὶ τὰ εἰρημένα, καὶ τὰ περὶ τούτων λεχθέντα συλλέγοντες, παυσώμεθά ποτε τῆς πονηρᾶς ταύτης συνηθείας, καὶ δέομαι καὶ ἀντιβολῶ πάντων ὑμῶν. εἰ γὰρ ἐν τῇ παλαιᾷ, ὅτε οὐ τὴν ἀκριβῆ φιλοσοφίαν ἀπῃτοῦντο οἱ Ἰουδαῖοι, ἀλλὰ πολλὴ συγκατάβασις ἦν, τοσαύτη ὀργὴ γέγονε δι' ὅρκον ἕνα, τοσαύτη ἅλωσις καὶ αἰχμαλωσία, τί εἰκὸς ὑποστήσεσθαι νῦν τοὺς ὀμνύοντας μετὰ νόμον κωλύοντα τοῦτο ποιεῖν, καὶ τοσαύτην ἐντολῶν προσθήκην; μὴ γὰρ τοῦτό ἐστι τὸ ζητούμενον, ὅπως εἰς σύναξιν ἔλθωμεν, καὶ ἀκούσωμεν τῶν λεγομένων. τοῦτο μὲν οὖν καὶ κρίμα μεῖζόν ἐστι καὶ κόλασις ἀπαραίτητος, ὅταν συνεχῶς ἀκούοντες μὴ ποιῶμεν τὰ λεγόμενα. τίνα γὰρ ἕξομεν ἀπολογίαν, τίνα δὲ συγγνώμην, ὅταν ἐκ πρώτης ἡλικίας ἡμεῖς ἄχρις ἐσχάτης πολιᾶς ἐνταῦθα συναγόμενοι, καὶ τοσαύτης ἀπολαύοντες διδασκαλίας, ὅμοιοι μένωμεν ἐκείνοις, καὶ μηδὲ ἓν ἐλάττωμα διορθώ-

σασθαι σπουδάζωμεν; μή μοί τις λοιπὸν συνήθειαν προβαλλέσθω. διὰ γὰρ τοῦτο ἀγανακτῶ καὶ ὀργίζομαι, ὅτι συνηθείας περιγενέσθαι οὐ δυνάμεθα. καὶ εἰ συνηθείας μὴ περιγενώμεθα, πῶς περιεσόμεθα ἐπιθυμίας; ἐκείνης* ἡ ῥίζα ἀπὸ τῆς φύσεως ἔχει τὴν ἀρχήν. τὸ μὲν γὰρ ἐπιθυμεῖν, φυσικόν· τὸ δὲ κακῶς ἐπιθυμεῖν, τῆς προαιρέσεως λοιπόν· τὸ μέντοι ὀμνύναι οὐδὲ τὴν ἀρχὴν ἐκ τῆς φύσεως ἔλαβεν, ἀλλ᾽ ἐκ ῥᾳθυμίας μόνης. καὶ ἵνα μάθῃς ὅτι οὐκ ἐκ τῆς δυσκολίας τοῦ πράγματος, ἀλλὰ παρὰ τὴν ὀλιγωρίαν τὴν ἡμετέραν μέχρι τοσούτου τὸ ἁμάρτημα προύβη τοῦτο, ἐννοήσωμεν, πόσα πολλῷ τούτων δυσκολώτερα κατορθοῦσιν ἄνθρωποι, καὶ ταῦτα μηδεμίαν προσδοκῶντες ἀμοιβὴν ἐκεῖθεν. ἐννοήσωμεν τίνα ὁ διάβολος ἐπέταξε, πῶς ἐπίπονα, πῶς ἐπίμοχθα, καὶ οὐκ ἐγένετο κώλυμα ἡ δυσκολία τοῖς ἐπιτάγμασι. τί γὰρ ἂν γένοιτο δυσκολώτερον, εἰπέ μοι, ἀλλ᾽ ἢ ὅταν τις νέος τοῖς βουλομένοις καταμαλάττειν αὐτὸν καὶ λυγίζειν αὐτοῦ τὰ μέλη παραδοὺς ἑαυτόν, φιλονεικοίη πρὸς ἀκρίβειαν τροχοῦ δίκην τὸ σῶμα ἅπαν κάμπτειν καὶ στρέφεσθαι ἐπὶ τοῦ ἐδάφους, καὶ διὰ τῶν ὀφθαλμῶν καὶ διὰ τῆς τῶν χειρῶν περιαγωγῆς καὶ τῆς ἄλλης κινήσεως εἰς τὸ θῆλυ γένος ἐκβιῶσαι βιάζηται), καὶ μήτε τὴν δυσκολίαν τῶν γινομένων, μήτε τὴν αἰσχύνην τὴν ἀπὸ τούτων λογίζηται); τοὺς δὲ ἐπὶ τῆς ὀρχήστρας πάλιν ἐπισυρομένους, καὶ καθάπερ πτεροῖς, τοῖς κώλοις κεχρημένους τοῦ σώματος, τίς οὐκ ἂν ὁρῶν ἐκπλαγείη; τοὺς δὲ μαχαίρας ἐναλλὰξ εἰς τὸν ἀέρα ἀκοντίζοντες, καὶ πάσας ἀπὸ τῆς λαβῆς δεχομένους πάλιν, τίνα οὐκ ἂν καταισχύνειε τῶν ὑπὲρ τῆς ἀρετῆς οὐδένα βουλομένων ἀναδέξασθαι πόνον; ἢ τί ἂν τις εἴποι περὶ ἐκείνων τῶν ἀνδρῶν, οἳ κοντὸν ἐπὶ τοῦ μετώπου βαστάζοντες, καθάπερ δένδρον ἐρριζωμένον ἐπὶ τῆς γῆς, οὕτως ἀκίνητον διατηροῦσι; καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστόν, ἀλλ᾽ ὅτι καὶ παιδία μικρὰ ἐπ᾽ ἄκρου τοῦ ξύλου παλαίειν ἀλλήλοις παρασκευάζουσι· καὶ οὔτε χεῖρες, οὔτε ἄλλο τι τοῦ σώματος μέρος, ἀλλὰ τὸ μέτωπον μόνον δεσμοῦ παντὸς ἀσφαλέστερον φέρει τὸν κοντὸν ἐκεῖνον ἄσειστον. ἕτερος πάλιν ἐπὶ σχοίνου στενοτάτης μετὰ τοσαύτης ἀδείας βαδίζει, μεθ᾽ ὅσης οἱ τὰ ὕπτια πεδία κατατρέχοντες. ἀλλ᾽ ὅμως ταῦτα τὰ καὶ ταῖς ἐννοίαις ἀφόρητα εἶναι δοκοῦντα, τῇ τέχνῃ γέγονε δυνατά. τί τούτων ἔχομεν εἰπεῖν ἐπὶ τῶν ὅρκων, εἰπέ μοι; ποίαν δυσκολίαν; ποῖον ἱδρῶτα; ποίαν τέχνην; ποῖον κίνδυνον; ὀλίγης χρεία σπουδῆς μόνον, καὶ ταχέως τὸ πᾶν ἡμῖν ἀνυσθήσεται. καὶ μή μοι λέγε, ὅτι τὸ πλέον κατώρθωσας· ἀλλ᾽ εἰ μὴ τὸ πᾶν κατώρθωσας, μηδὲν μηδέπω πεποιηκέναι νόμιζε. τὸ γὰρ ὀλίγον τοῦτο ἀμεληθὲν καὶ τὸ λοιπὸν ἅπαν καθαιρεῖ. πολλάκις γοῦν οἰκίας οἰκοδομήσαντες ἄνθρωποι, καὶ τὸν ὄροφον ἐπιθέντες, μιᾶς κεραμίδος ἀποτιναχθείσης μὴ ποιησάμενοι σπουδήν, ὁλόκληρον τὸν οἶκον ἀπώλεσαν. καὶ ἐπὶ ἱματίων δὲ τὸ αὐτὸ τοῦτο συμβαῖνον ἴδοι τις ἄν. καὶ γὰρ ἐκεῖ μικρὸν ῥῆγμα γενόμενον, καὶ μὴ ῥαφέν, πολὺ τὸ σχίσμα ἐποίησε. τοῦτο καὶ ἐπὶ τῶν χειμάρρων συμβαίνει πολλάκις. καὶ γὰρ ἐκεῖνοι μικρᾶς ἂν ἐπιλάβωνται μόνον εἰσόδου, ὁλόκληρον τὸ ῥεῦμα εἰσάγουσι. καὶ σὺ τοίνυν, εἰ καὶ πάντοθεν σαυτὸν ἐτείχισας, μικρὸν δὲ ὑπολείπεται ἔτι μέρος, καὶ τοῦτο* λοιπὸν ἀπόφραξον τῷ διαβόλῳ, ἵνα ἐστηριγμένος ᾖς πάντοθεν. εἶδες τὴν δρεπάνην, εἶδες τὴν κεφαλὴν Ἰωάννου, ἤκουσας τῆς ἱστορίας τῆς κατὰ τὸν Σαούλ, ἤκουσας τῆς αἰχμαλωσίας τῆς Ἰουδαϊκῆς τὸν τρόπον. μετὰ δὲ τούτων ἁπάντων ἤκουσας τῆς ἀποφάσεως τοῦ Χριστοῦ λεγούσης, ὅτι οὐ τὸ ἐπιορκεῖν μόνον, ἀλλὰ καὶ τὸ ὀμνύειν ὁπωσοῦν, διαβολικόν ἐστι, καὶ ὅλον τοῦ πονηροῦ τὸ κατασκεύασμα. ἔμαθες ὅτι πανταχοῦ τοῖς ὅρκοις ἕπονται [καὶ] ἐπιορκίαι. ταῦτα δὴ πάντα συναγαγὼν ἔγγραψον τῇ διανοίᾳ σου. οὐχ ὁρᾷς πῶς αἱ γυναῖκες καὶ παιδία τὰ μικρὰ ἀντὶ φυλακῆς μεγάλης εὐαγγέλια ἐξαρτῶσι τοῦ τραχήλου, καὶ πανταχοῦ περιφέρουσιν, ὅπουπερ ἂν ἀπίωσι; σὺ τὰ γράμματα τοῦ εὐαγγελίου καὶ τοὺς νόμους ἔγγραψόν σου τῇ διανοίᾳ. οὐ χρεία χρυσίου καὶ χρημάτων ἐνταῦθα, οὔτε βιβλίον πρίασθαι· προαιρέσεως δεῖ μόνης, καὶ διαθέσεως, ψυχῆς διεγηγερμένης, καὶ ἀσφαλέστερον ἕξεις τὸ εὐαγγέλιον, οὐκ ἔξωθεν περιφέρων, ἀλλ᾽ ἔνδον αὐτὸ τοῖς τῆς ψυχῆς ἀποτιθέμενος

* γδ
γ. χαλεπώτ
γ. τοῦ πράγματος
γ. διαλύσ
γ. πάλαι
γ. ἐν μέσῳ
* μύθ
γ. περιδέρματα
γ. χλιαμάτ

πεθέμενος ταμιείοις. ἀναστάμενος τοίνυν ἀπὸ τῆς κλίνης, καὶ τὴν οἰκίαν ἐκβαίνων τὴν σεαυτοῦ, τὸν νόμον ἐπίλεγε τοῦτον· Ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως· καὶ ἔσται σοι διδασκαλία τὸ ῥῆμα. οὐδὲ γὰρ πόνου πολλοῦ δεῖ, ἀλλὰ μικρᾶς προσοχῆς μόνον. καὶ ὅτι τοῦτο ἔστιν ἀληθές, εὔδηλον ἐκεῖθεν. τὸν υἱὸν τὸν σὸν καλέσας φόβησον, καὶ ἀπείλησον αὐτῷ ἐπιθήσειν πληγὰς ὀλίγας, εἰ μὴ κατορθώσειε τὸν νόμον τοῦτον· καὶ ὄψει, πῶς εὐθέως ἀποστήσεται τῆς συνηθείας. πῶς οὖν οὐκ ἄτοπον, εἰ τὰ μὲν μικρὰ παιδία τὸν παρ' ἡμῶν δεδοικότα φόβον περιγίνοιτο τῆς ἐντολῆς, ἡμεῖς δὲ μηδὲ οὕτω φοβούμεθα τὸν Θεόν, ὡς ἡμᾶς οἱ υἱοὶ δεδοίκασιν; ὅπερ οὖν καὶ πρώην εἶπον, τοῦτο καὶ νῦν λέγω· νόμον ἑαυτοῖς θῶμεν μὴ πρότερον, μὴ δημοσίων, μὴ ἰδιωτικῶν ἅψασθαι πραγμάτων, ἕως ἂν τοῦτον ἐκπληρώσωμεν τὸν νόμον, καὶ πάντως ὑπὸ τῆς ἀνάγκης συνωθούμενοι περιεσόμεθα ῥᾳδίως, καὶ κοσμήσομεν ἑαυτούς, κοσμήσομεν δὲ καὶ τὴν πόλιν ἅπασαν. ἐννόησον γὰρ ἡλίκον ἐστὶ πανταχοῦ τῆς οἰκουμένης ταῦτα ἀκούειν, ὡς ἐν Ἀντιοχείᾳ κεκράτηκεν ἔθος χριστιανοῖς πρέπον, καὶ οὐδεὶς ἀκούσῃ, κἂν μεγίστη ἀνάγκη ἐπίκειται, ὅρκον προϊεμένου. πάντως ἀκούσονται ταῦτα αἱ γείτονες πόλεις· μᾶλλον δὲ οὐχ αἱ γείτονες μόνον, ἀλλὰ καὶ πρὸς αὐτὰ τὰ πέρατα τῆς γῆς ὁ λόγος ἀφίξεται. καὶ γὰρ εἰκὸς καὶ ὑμῖν ἐπιμιγνυμένους ἐμπόρους, καὶ ἐντεῦθεν ἑτέρους ἀφικνουμένους ταῦτα ἀπαγγέλλειν ἅπαντα. ὅταν οὖν ἄλλας πόλεις ἐγκωμιάζοντες πολλοί, λιμένας λέγωσι καὶ ἀγοράν, καὶ ἀφθονίαν ὠνίων, δότε [καὶ] τοῖς ἐντεῦθεν ἀφικνουμένοις λέγειν· ὅτι ὅπερ ἐστὶν ἐν Ἀντιοχείᾳ, τοῦτο οὐδαμοῦ τῶν ἄλλων πόλεών ἐστιν ἰδεῖν. ἕλοιντο γὰρ ἂν οἱ ἄνθρωποι οἱ τὴν πόλιν οἰκοῦντες ἐκείνην, τὴν γλῶτταν ἐκκοπῆναι πρότερον, ἢ ὅρκον ἀπὸ τοῦ στόματος προέσθαι. τοῦτο ὑμῖν οὐ κόσμος ἔσται καὶ ἀσφάλεια μόνον, ἀλλὰ καὶ μισθὸν οἴσει πολύν. καὶ γὰρ πάντως ζηλώσουσιν ὑμᾶς ἕτεροι, καὶ μιμήσονται. εἰ γὰρ ἕνα τις καὶ δύο κερδάνας, τοσοῦτον λήψεται μισθὸν παρὰ τοῦ Θεοῦ, οἱ τὴν οἰκουμένην ἅπασαν παιδεύοντες, πόσας οὐ λήψεσθε τὰς ἀμοιβάς; χρὴ τοίνυν σπουδάζειν καὶ ἐγρηγορέναι καὶ νήφειν εἰδότας, ὡς οὐχὶ τῶν οἰκείων κατορθωμάτων μόνον, ἀλλὰ καὶ τῶν ἑτέροις κατορθουμένων ἀντίδοσιν ληψόμεθα μεγίστην, καὶ πολλῆς παρὰ τοῦ Θεοῦ τῆς εὐνοίας ἀπολαύσομεν· ἧς γένοιτο διηνεκῶς ἀπολαύσαντας πάντας ἡμᾶς τυχεῖν τῆς βασιλείας τῶν οὐρανῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. ε. λδ.

ΕΙΣ ΤΗΝ ΔΙΑΛΛΑΓΗΝ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΠΡΟΣ τὴν πόλιν, καὶ εἰς τοὺς πλημμελήσαντας εἰς τὴν τῶν ἀνδριάντων καταστροφήν, καὶ εἰς τὴν ἐπάνοδον τοῦ ἐπισκόπου. Λογ. κ.

Ἀπὸ τῆς ῥήσεως, ἀφ' ἧς ἀεὶ παρὰ τὸν καιρὸν τῶν κινδύνων πρὸς τὴν ὑμετέραν εἴωθα ἀγάπην προοιμιάζεσθαι, ἀπὸ τῆς αὐτῆς ταύτης καὶ τήμερον ἄρξομαι τοῦ πρὸς ὑμᾶς λόγου, καὶ ἐρῶ μεθ' ὑμῶν, εὐλογητὸς ὁ Θεός, ὁ τὴν ἱερὰν ταύτην ἑορτὴν μετὰ χαρᾶς καὶ εὐφροσύνης πολλῆς καταξιώσας ἡμᾶς ἐπιτελέσαι * τήμερον, καὶ τὴν κεφαλὴν ἀποδοὺς τῷ σώματι, καὶ τὸν ποιμένα τοῖς προβάτοις, καὶ τὸν διδάσκαλον τοῖς μαθηταῖς, τὸν στρατηγὸν τοῖς στρατιώταις, τὸν ἀρχιερέα τοῖς ἱερεῦσιν. εὐλογητὸς ὁ Θεός, ὁ ποιῶν ὑπὲρ ἐκπερισσοῦ ὧν αἰτούμεθα, ἢ καὶ νοοῦμεν. ἡμῖν μὲν γὰρ ἀρκοῦν εἶναι ἐδόκει, τὸ τῶν ἐπικειμένων κινδύνων ἐκφυγεῖν, ὑπὲρ ὧν πᾶσαν ἐποιούμεθα τὴν ἱκετηρίαν· ὁ δὲ φιλάνθρωπος Θεός, καὶ τῇ δόσει τὰς αἰτήσεις ἡμῶν ἀεὶ νικῶν μετὰ πολλῆς τῆς ὑπερβολῆς, καὶ τὸν πατέρα ἡμῖν θᾶττον ἐλπίδος ἁπάσης ἀπέδωκε. τίς γὰρ ἂν προσεδόκησεν, ὅτι ἐν οὕτως ὀλίγαις ἡμέραις καὶ ἀπελεύσεται, καὶ διαλέξεται τῷ βασιλεῖ, καὶ λύσει τὰ δεινά,

Εφεσ. γ κ.

καὶ πάλιν ἐπιδημήσει πρὸς ἡμᾶς οὕτω ταχέως, ὡς καὶ τὸ πάσχα τὸ ἱερὸν δυνηθῆναι φθάσαι, καὶ μεθ' ἡμῶν ἐπιτελέσαι; ἀλλ' ἰδοὺ γέγονε τὸ ἀπροσδόκητον τοῦτο, καὶ τὸν πατέρα ἀπειλήφαμεν, καὶ μείζονα καρπούμεθα τὴν ἡδονὴν παρὰ τὴν ″ ἐλπίδα αὐτὸν ἀπολαβεῖν νῦν. ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστῶμεν τῷ φιλανθρώπῳ Θεῷ, καὶ θαυμάζωμεν αὐτοῦ τὴν δύναμιν * καὶ τὴν σοφίαν καὶ τὴν κηδεμονίαν τὴν ὑπὲρ τῆς πόλεως γεγενημένην. ὁ μὲν γὰρ διάβολος καταδῦσαι πᾶσαν αὐτὴν ἐπεχείρησε διὰ τῶν τολμηθέντων· ὁ δὲ Θεὸς καὶ τὴν πόλιν καὶ τὸν ἱερέα καὶ τὸν βασιλέα διὰ ταύτης ἐκόσμησε τῆς συμφορᾶς, καὶ λαμπροτέρους πάντας ἀπέφηνεν. ἡ πόλις μὲν γὰρ ηὐδοκίμησεν, ὅτι τοιούτου κινδύνου καταλαβόντος παραδραμοῦσα πάντας τοὺς ἐν δυναστείαις, τοὺς πλοῦτον πολὺν περιβεβλημένους, τοὺς μεγάλην παρὰ βασιλεῖ δύναμιν ἔχοντας, ἐπὶ τὴν ἐκκλησίαν καὶ τὸν ἱερέα τοῦ Θεοῦ κατέφυγε, καὶ μετὰ πολλῆς τῆς πίστεως, τῆς ἄνωθεν ἑαυτὴν ἐξεκρέμασεν ἐλπίδος. πολλῶν γοῦν μετὰ τὴν ἀποδημίαν τοῦ κοινοῦ πατρὸς τὸ δεσμωτήριον οἰκούντων θορυβούντων, καὶ λεγόντων, ὡς οὐ καθυφίησι τῆς ὀργῆς ὁ βασιλεύς, ἀλλὰ παροξύνεται μειζόνως, καὶ περὶ κατασκαφῆς ὁλοκλήρου τῆς πόλεως βουλεύεται, καὶ ἕτερα πολλῷ πλείονα τούτων θρυλλούντων, οἱ δεδεμένοι τότε οὐδὲν ἐγίνοντο ἐκ τῆς φήμης ταύτης δειλότεροι· ἀλλ' ἡμῶν λεγόντων, ὡς ψευδῆ ταῦτα καὶ διαβόλου μαγγανείας ἐστὶν ἔργα βουλομένου καταβαλεῖν ″ ὑμῶν τὰ φρονήματα· οὐδὲν δεόμεθα τῆς διὰ ″ λόγων παρακλήσεως, πρὸς ἡμᾶς ἔλεγον. ἴσμεν γὰρ οὗ τὴν ἀρχὴν κατεφύγομεν, καὶ ποίας ἑαυτοὺς ἐξεκρεμάσαμεν ἐλπίδος· τῆς ἱερᾶς ἀγκύρας τὴν σωτηρίαν ἡμῶν ἐξηρτήσαμεν· οὐκ ἀνθρώπῳ ταύτην ἐνεπιστεύσαμεν, ἀλλὰ τῷ τὰ πάντα δυναμένῳ Θεῷ. διὸ δὴ καὶ θαρροῦμεν χρηστὸν ἔσεσθαι τὸ τέλος πάντως. οὐ γάρ ἐστιν, οὐκ ἔστι τὴν ἐλπίδα ταύτην καταισχυνθῆναί ποτε. τοῦτο αὐτὸ πόσων στεφάνων, ἀντὶ πόσων ἐγκωμίων ἀρκέσει τῇ πόλει; πόσην ἐπισπάσεται τοῦ Θεοῦ τὴν εὔνοιαν καὶ ἐν τοῖς λοιποῖς πράγμασιν; οὐ γάρ ἐστιν, οὐκ ἔστι τῆς τυχούσης ψυχῆς ἐν τῇ τῶν πειρασμῶν ἐπαγωγῇ νήφειν, καὶ πρὸς τὸν Θεὸν βλέπειν, καὶ πάντων καταγελάσασαν τῶν ἀνθρωπίνων πρὸς ἐκείνην κεχηνέναι τὴν συμμαχίαν. ἡ μὲν οὖν πόλις οὕτως ηὐδοκίμησεν· ὁ δὲ ἱερεὺς πάλιν οὐχ ἧττον, ἤπερ ἡ πόλις. τὴν γὰρ ἑαυτοῦ ψυχὴν ″ ὑπὲρ ἁπάντων ἔδωκε, καὶ πολλῶν ὄντων τῶν κωλυόντων, τοῦ χειμῶνος, τῆς ἡλικίας, τῆς ἑορτῆς, καὶ οὐκ ἔλαττον τῆς ἀδελφῆς πρὸς ἐσχάταις οὔσης ἀναπνοαῖς, ἁπάντων ὑψηλότερος ἐγένετο τῶν κωλυμάτων. καὶ οὐκ εἶπε πρὸς ἑαυτόν, τί τοῦτο; ἡ μόνη περιλειφθεῖσα ἡμῖν ἀδελφή, καὶ μετ' ἐμοῦ τὸν ζυγὸν ἕλκουσα τοῦ Χριστοῦ, καὶ τοσοῦτόν μοι συνοικήσασα χρόνον, πρὸς ἐσχάταις ἐστὶ νῦν ἀναπνοαῖς· ἡμεῖς δὲ αὐτὴν καταλείψαντες ἀπελευσόμεθα, καὶ οὐκ ὀψόμεθα ἐκπνέουσαν καὶ τὰς τελευταίας ἀφιεῖσαν φωνάς; ἀλλ' αὐτὴ μὲν καθ' ἑκάστην ηὔχετο τὴν ἡμέραν ἡμᾶς καὶ ὀφθαλμοὺς καθελεῖν, καὶ στόμα συνελεῖν καὶ συνέχειν καὶ περιστεῖλαι, καὶ τὰ ἄλλα πάντα τὰ πρὸς τὸν τάφον ἐπιμελήσασθαι· νυνὶ δέ, καθάπερ ἐρήμος τις καὶ ἀπροστάτευτος, οὐδενὸς ἐπιτεύξεται τούτων παρὰ τοῦ ἀδελφοῦ, παρ' οὗ μάλιστα ″ ἐπεθύμει τυχεῖν· ἀλλ' ἀφιεῖσα τὴν ψυχὴν οὐκ ὄψεται τὸν πάντων αὐτῇ ποθεινότερον. καὶ πόσων οὐκ ἔσται θανάτων αὐτῇ τοῦτο βαρύτερον; εἰ γὰρ καὶ πόρρωθεν ἀφειστήκει, οὐκ ἔδει δραμεῖν καὶ πάντα ποιῆσαι καὶ παθεῖν, ὥστε ταύτην αὐτῇ παρασχεῖν τὴν χάριν; νῦν δὲ πλησίον ὢν ἐγκαταλείψω, καὶ ἀφεὶς ἀπελεύσομαι; καὶ πῶς οἴσει τὰς μετὰ ταῦτα ἡμέρας; ἀλλ' οὐδὲν τούτων οὐ μόνον οὐκ εἶπεν, ἀλλ' οὐδὲ ἐνενόησεν, ἀλλὰ καὶ πάσης συγγενείας τὸν τοῦ Θεοῦ προτιμήσας φόβον ἔγνω τοῦτο καλῶς, ὅτι καθάπερ τὸν κυβερνήτην οἱ χειμῶνες, καὶ τὸν στρατηγὸν οἱ κίνδυνοι, οὕτω καὶ τὸν ἱερέα ὁ πειρασμὸς ποιεῖ φαίνεσθαι. πάντες, φησί, πρὸς ἡμᾶς κεχήνασι, καὶ Ἰουδαῖοι, καὶ Ἕλληνες. μὴ δὴ καταισχύνωμεν αὐτῶν τὰς περὶ ἡμῶν ἐλπίδας, μηδὲ τοσοῦτο περιίδωμεν ναυάγιον· ἀλλὰ τὰ καθ' ἡμᾶς ″ ἐπιτρέψαντες τῷ Θεῷ πάντα, καὶ τὴν ψυχὴν αὐτὴν ἐκδῶμεν. καὶ σκόπει

γρ. ἐλπίδος

γρ. ἡμῶν

γρ. λόγω

πει καὶ ἱερέως μεγαλοψυχίαν, καὶ Θεοῦ φιλανθρωπίαν. ὧν ὑπερεῖδεν ἁπάντων, τούτων ἀπέλαυσεν ἁπάντων, ἵνα καὶ τῆς προθυμίας τὸν μισθὸν λάβῃ, καὶ διὰ τῆς ἀπολαύσεως τῆς παρὰ προσδοκίαν μείζονος ἐπιτύχῃ τῆς ἡδονῆς. Εἵλετο τὴν ἑορτὴν ἐπὶ τῆς ἀλλοτρίας καὶ πόρρω τῶν οἰκείων ἐπιτελέσαι διὰ τὴν τῆς πόλεως σωτηρίαν· ὁ δὲ Θεὸς πρὸ τοῦ πάσχα ἡμῖν αὐτὸν ἀπέδωκεν, ὥστε" κοινῇ μεθ' ἡμῶν τὴν ἑορτὴν ἀγαγεῖν· ἵνα καὶ τῆς" προθέσεως ἔχῃ τὸν μισθὸν, καὶ τῆς εὐφροσύνης ἀπολαύσῃ" μείζονος. Οὐκ ἔδεισε τὴν ὥραν τοῦ ἔτους, [καὶ θέρος παρὰ πάντα γέγονε τῆς ἀποδημίας τὸν καιρόν.] οὐχ ὑπελογίσατο τὴν ἡλικίαν," καὶ καθάπερ νέος καὶ σφριγῶν, οὕτω μετ' εὐκολίας διέδραμε τὴν μακρὰν ταύτην ὁδόν. Οὐκ ἐνενόησε τὴν τελευτὴν τῆς ἀδελφῆς, οὐδὲ κατεμαλάχθη· καὶ ἐπελπισθεὶς ζῶσαν αὐτὴν κατείληφε, καὶ πάντων ὧν ὑπερεῖδε, πάντων ἐπέτυχε.

Καὶ ὁ μὲν ἱερεὺς οὕτως εὐδόκιμος γέγονε παρὰ Θεῷ καὶ ἀνθρώποις· [καὶ] τὸν βασιλέα δὲ τοῦ διαδήματος λαμπρότερον τοῦτο τὸ πρᾶγμα ἐκόσμησε. πρῶτον μὲν, ὅτι" δῆλον ἐγένετο τότε, ὅτι ἅπερ οὐδενὶ ἑτέρῳ, ταῦτα χαρίζεται τοῖς ἱερεῦσιν· ἔπειτα, ὅτι καὶ μετὰ πολλοῦ τοῦ τάχους τὴν χάριν ἔδωκε, καὶ τὴν ὀργὴν ἔλυσεν. ἀλλ' ἵνα σαφέστερον καὶ τοῦ βασιλέως τὴν μεγαλοψυχίαν, καὶ τοῦ ἱερέως τὴν σοφίαν, καὶ πρὸ τούτων ἀμφοτέρων τοῦ Θεοῦ μάθητε τὴν φιλανθρωπίαν, δότε μοι μικρὰ τῆς ἐκεῖ γεγενημένης δημηγορίας διηγήσασθαι πρὸς ὑμᾶς. ἐρῶ δὲ, ἃ παρά τινος τῶν ἔνδον ἑστώτων ἔμαθον. ὁ μὲν γὰρ πατὴρ οὐδὲν, οὔτε μικρὸν, οὔτε μέγα εἶπε πρὸς ἡμᾶς, ἀλλὰ τὴν Παύλου μεγαλοψυχίαν μιμούμενος ἀεὶ, τὰ" οἰκεῖα κρύπτει κατορθώματα· καὶ πρὸς τοὺς ἐρωτῶντας πολλαχοῦ, τί πρὸς τὸν βασιλέα εἶπε, καὶ πῶς ἔπεισε, καὶ πῶς αὐτοῦ τὴν ὀργὴν ἐξέβαλεν ἅπασαν, ταῦτα ἔλεγε τὰ ῥήματα· οὐδὲν ἡμεῖς εἰς τὸ πρᾶγμα εἰσηνέγκαμεν, ἀλλ' αὐτὸς ὁ βασιλεὺς, τοῦ Θεοῦ μαλάξαντος αὐτοῦ τὴν καρδίαν, καὶ πρὸ τῶν ἡμετέρων ῥημάτων παρ' ἑαυτοῦ ἀφῆκε τὴν ὀργὴν, καὶ τὸν θυμὸν ἔλυσε· καὶ περὶ τῶν γεγενημένων διαλεγόμενος, ὡς ἑτέρου τινὸς ὑβρισθέντος, οὕτω τὰ συμβάντα ἅπαντα χωρὶς ὀργῆς διηγεῖτο. ἀλλ' ἅπερ οὗτος ἀπέκρυψεν" ἀπὸ ταπεινοφροσύνης, ταῦτα ὁ Θεὸς εἰς μέσον ἐξενήνοχε. τίνα δέ ἐστι ταῦτα; μικρὸν ἀνωτέρω τὸν λόγον ἀγαγὼν, ὑμῖν διηγήσομαι. ἐπειδὴ γὰρ ἐξῆλθε τῆς πόλεως, πάντας ἐν τοσαύτῃ καταλιπὼν ἀθυμίᾳ, πολλῷ δεινότερα ἡμῶν ἔπασχε αὐτὸς τῶν ἐν αὐτοῖς ὄντων τοῖς δεινοῖς. πρῶτον μὲν γὰρ συγγενόμενος κατὰ μέσην τὴν ὁδὸν τοῖς ἐπὶ τὴν ἐξέτασιν τῶν γεγενημένων παρὰ τοῦ βασιλέως πεμφθεῖσι, καὶ μαθὼν παρ' ἐκείνων, ἐφ' οἷς ἦσαν ἀπεσταλμένοι, καὶ τὰ καταληψόμενα τὴν πόλιν ἀναλογιζόμενος δεινὰ, τοὺς θορύβους, τὰς ταραχὰς, τὴν φυγὴν, τὸν φόβον, τὴν ἀγωνίαν, τοὺς κινδύνους, πηγὰς ἠφίει δακρύων, τῶν σπλάγχνων αὐτοῦ" διασπωμένων. τοῖς γὰρ πατράσιν ἔθος πολλῷ μεῖζον ἀλγεῖν, ὅταν μηδὲ παρεῖναι δύνωνται κακουμένοις τοῖς ἑαυτῶν παισίν· ὃ δὴ καὶ ὁ φιλοστοργότατος οὗτος ἔπασχεν, οὐ τὰ καταληψόμενα ἡμᾶς δεινὰ θρηνῶν μόνον, ἀλλὰ καὶ τὸ πόρρω, ταῦτα πασχόντων ἡμῶν, εἶναι. πλὴν ἀλλὰ καὶ τοῦτο ὑπὲρ τῆς ἡμετέρας ἐγίνετο σωτηρίας. ἐπειδὴ γὰρ ἔμαθε ταῦτα παρ' ἐκείνων, θερμοτέρας ἠφίει πηγὰς δακρύων, καὶ μετὰ πλείονος δεήσεως πρὸς τὸν Θεὸν κατέφυγε, καὶ τὰς νύκτας ἄϋπνος διῆγε, παρακαλῶν καὶ τῇ πόλει παραγενέσθαι ταῦτα πασχούσῃ, καὶ τοῦ βασιλέως πρᾳοτέραν ποιῆσαι τὴν διάνοιαν. ὡς δὲ ἐπέβη τῆς μεγάλης πόλεως ἐκείνης, καὶ εἰς τὰς βασιλικὰς εἰσῆλθεν αὐλὰς, εἱστήκει τοῦ βασιλέως πόρρωθεν, ἄφωνος, δακρύων, κάτω κύπτων, ἐγκαλυπτόμενος, ὥσπερ αὐτὸς ὢν ὁ πάντα ἐργασάμενος ἐκεῖνα. ἐποίει δὲ τοῦτο, τῷ σχήματι, τῷ βλέμματι, τοῖς δακρύοις πρότερον ἐπισπάσασθαι βουλόμενος αὐτὸν εἰς ἔλεον, καὶ τότε ἄρξασθαι τῆς ὑπὲρ ἡμῶν ἀπολογίας. μία γὰρ τοῖς ἡμαρτηκόσιν" ὑπολέλειπται συγγνώμη, τὸ σιγᾶν, καὶ μηδὲν ὑπὲρ τῶν γεγενημένων φθέγγεσθαι. ἐβούλετο γὰρ δύο πάθη, τὸ μὲν ἐξενεγκεῖν, τὸ δὲ" εἰσαγαγεῖν· ἐκβαλεῖν μὲν τὸν θυμὸν, εἰσαγαγεῖν δὲ ἀθυμίαν, ἵν' οὕτω προοδοποιήσῃ τοῖς τῆς ἀπολογίας ῥή-

μασιν

Ἐξοδ. λβ

μασιν, ″ὅπερ οὖν καὶ ἐγένετο. καὶ καθάπερ Μωϋσῆς εἰς τὸ ὄρος ἀναβὰς, τοῦ λαοῦ προσκεκρουκότος, ἄφωνος εἱστήκει αὐτὸς, ἕως ὁ Θεὸς αὐτὸν ἐξεκαλέσατο, εἰπών, Ἄφες με, καὶ ἐξαλείψω τὸν λαὸν τοῦτον· οὕτω καὶ οὗτος ἐποίησεν. ἰδὼν τοίνυν αὐτὸν ὁ βασιλεὺς δακρύοντα καὶ κάτω κύπτοντα, προσῆλθεν αὐτός· καὶ ὅπερ ἔπαθε διὰ τῶν δακρύων τοῦ ἱερέως, τοῦτο ἐδείκνυ διὰ τῶν ῥημάτων τῶν πρὸς αὐτόν. οὐ γὰρ θυμουμένου, ″ἢ ἀγανακτοῦντος ἦσαν οἱ λόγοι, ἀλλ' ἀλγοῦντος· οὐκ ὀργιζομένου, ἀλλ' ἀθυμοῦντος καὶ περιωδυνίᾳ κατεχομένου μᾶλλον. καὶ ὅτι τοῦτο ἐστὶν ἀληθὲς, αὐτὰ τὰ ῥήματα ἀκούσαντες εἴσεσθε. οὐ γὰρ εἶπε, τί ποτε τοῦτό ἐστιν; ὑπὲρ ἀνθρώπων μιαρῶν καὶ παμμιάρων, καὶ οὓς οὐδὲ ζῆν ἔδει, πρεσβείαν ἥκεις κομίζων, τῶν τυράννων, τῶν νεωτεροποιῶν, τῶν πάσης ἀξίων κολάσεως; ἀλλ' [ὅμως] πάντα ταῦτα ἀφεὶς τὰ ῥήματα, ἀπολογίαν συνέθηκεν ἐντροπῆς γέμουσαν καὶ βαρύτητος, καὶ τὰς ἑαυτοῦ κατέλεγεν εὐεργεσίας, ὅσας παρὰ πάντα τὸν καιρὸν τῆς βασιλείας τὴν πόλιν ἡμῶν εὐηργέτησε, καὶ ἐφ' ἑκάστῳ ταῦτα ἐπέλεγε· ταῦτα με ἀντ' ἐκείνων παθεῖν ἔδει; ποίων ἀδικημάτων με ταύτην ἐπράξαντο δίκην; τί μικρὸν, ἢ μέγα ἐγκαλεῖν ἔχοντες; οὐκ εἰς ἐμὲ μόνον, ἀλλὰ καὶ εἰς τοὺς ἀπελθόντας ἐνύβρισαν. οὐκ ἤρκει τὸν θυμὸν στῆσαι μέχρι τῶν ζώντων, ἀλλ' εἰ μὴ καὶ τοὺς ταφέντας καθυβρίσαιεν, οὐδὲν ἐνόμιζον νεανικὸν ποιεῖν; ἠδικήκαμεν ἡμεῖς, ὡς αὐτοὶ νομίζουσιν· οὐκοῦν τῶν νεκρῶν φείσασθαι ἔδει τῶν οὐδὲν ἠδικηκότων. οὐ γὰρ δὴ κἀκείνοις ταῦτα ἐγκαλεῖν εἶχον· οὐχὶ ταύτην ἁπάντων προὐτίμησα τὴν πόλιν ἀεὶ, καὶ τῆς ″ἐνεγκούσης ποθεινοτέραν εἶναι ἐνόμιζον; καὶ εὐχῆς μοι διηνεκοῦς ἔργον ἦν τὴν πόλιν ἐκείνην ἰδεῖν, καὶ τοῦτον ″ἐποιούμην ″ὅρκον πρὸς πάντας; ἐνταῦθα ″πικρὸν ἀνοιμώξας ὁ ἱερεὺς, καὶ θερμότερα ἀφεὶς δάκρυα, οὐκ ἔτι λοιπὸν ἐσίγα (ἑώρα γὰρ τὴν τοῦ βασιλέως ἀπολογίαν, μείζονα ποιοῦσαν ἡμῖν τὴν κατηγορίαν) ἀλλὰ στενάξας κάτωθεν βαρὺ καὶ πικρόν·

Ὁμολογοῦμεν, φησὶν, ὦ βασιλεῦ, καὶ οὐκ ἂν ἀρνηθείημεν τὸν ἔρωτα τοῦτον, ὃν περὶ τὴν πατρίδα ἐπεδείξω τὴν ἡμετέραν, καὶ διὰ τοῦτο μάλιστα θρηνοῦμεν, ὅτι τὴν οὕτω φιλουμένην ἐβάσκηναν δαίμονες, καὶ περὶ τὸν εὐεργέτην ἀγνώμονες ἐφάνημεν, καὶ τὸν σφοδρὸν ἡμῶν παρωξύναμεν ἐραστήν. κἂν κατασκάψῃς, κἂν ἐμπρήσῃς, κἂν ἀποκτείνῃς, κἂν ὁτιοῦν ἕτερον πράξῃς, οὐδέπω τὴν ἀξίαν ἡμᾶς ἀπῄτησας δίκην. φθάσαντες γὰρ ἡμεῖς ἑαυτοὺς μυρίων θανάτων χαλεπώτερα διεθήκαμεν. τί γὰρ ἂν γένοιτο πικρότερον, ἀλλ' ἢ ὅταν τὸν εὐεργέτην, καὶ οὕτω φιλοῦντα φανῶμεν ἀδίκως παροξύναντες; καὶ τοῦτο πᾶσα ἡ οἰκουμένη μανθάνῃ, καὶ τὴν ἐσχάτην ἡμῶν ἀγνωμοσύνην καταγινώσκῃ. εἰ οἱ βάρβαροι τὴν πόλιν ἡμῶν καταδραμόντες κατέσκαψαν τὰ τείχη, καὶ τὰς οἰκίας ἐνέπρησαν, καὶ λαβόντες αἰχμαλώτους ″ἀπῆλθον, ἔλαττον ἦν τὸ δεινόν. τί δήποτε; ὅτι σοῦ ζῶντος, καὶ τοσαύτην ″ἐπιδεικνυμένου περὶ ἡμᾶς εὔνοιαν, ἐλπὶς ἦν ἐκεῖνα πάντα λυθήσεσθαι τὰ δεινὰ, καὶ πάλιν ἡμᾶς ἐπὶ τὸ πρότερον ἐπανήξειν σχῆμα, καὶ λαμπροτέραν ἀπολήψεσθαι τὴν ἐλευθερίαν· νῦν δὲ τῆς σῆς εὐνοίας ἀφῃρημένους, καὶ τοῦ φίλτρου σβεσθέντος, ὃ παντὸς τείχους ἡμῖν ἦν ἀσφαλέστερον, πρὸς τίνα λοιπὸν καταφευξόμεθα; ποῦ δυνησόμεθα ἰδεῖν ἑτέρωσε, τὸν γλυκὺν οὕτω δεσπότην καὶ πατέρα πρᾶον παροργίσαντες; ὥστε δοκοῦσι μὲν ἀφόρητα πεποιηκέναι, ἔπαθον δὲ πάντων δεινότερα, πρὸς οὐδένα ″ἀνθρώπων ἀντιβλέψαι τολμῶντες, οὐδὲ αὐτὸν ἰδεῖν δυνάμενοι τὸν ἥλιον ἐλευθέροις ὀφθαλμοῖς, τῆς αἰσχύνης πανταχοῦ καταστελλούσης τὰ βλέφαρα, καὶ ἐγκαλύπτεσθαι καταναγκαζούσης. τῆς παῤῥησίας οὖν αὐτοῖς ἀνῃρημένης, πάντων αἰχμαλώτων ἀθλιώτερον διάκεινται νῦν, καὶ τὴν ἐσχάτην ὑπομένουσιν ἀτιμίαν· καὶ τὸ μέγεθος τῶν κακῶν ἐννοοῦντες, καὶ εἰς ὅσον ἀπεσκίρτησαν ὕβρεως, οὐδὲ ἀναπνεῦσαι δύνανται, τοῦ δοκοῦντος ὑβρίσθαι σφοδροτέρους τοὺς [κατὰ] τὴν οἰκουμένην οἰκοῦντας ἅπαντας ἀνθρώπους ἐπισπασάμενοι κατηγόρους. ἀλλ' ἐὰν ἐθέλῃς, ὦ βασιλεῦ, ἔστιν ἴασις τῷ τραύματι, καὶ φάρμακον τοῖς τοσούτοις κακοῖς. πολλάκις καὶ ἐπὶ ἰδιωτῶν τοῦτο γέγονε· τὰ μεγάλα καὶ ἀφόρητα προσκρούσματα, μεγάλης ἀγαθότητος ὑπόθεσις γέγονεν. οὕτω καὶ ἐπὶ τῆς φύσεως συνέβη τῆς ἡμετέρας. ὅτε γὰρ τὸν ἄνθρωπον ἐποίησεν ὁ Θεὸς, καὶ εἰς τὸν παράδεισον εἰσήγαγε, καὶ πολλῆς ἠξίωσε τιμῆς, οὐ φέρων τὴν τοσαύτην εὐημερίαν ὁ διάβολος ἐβάσκηνέ τε αὐτῷ, καὶ τῆς δοθείσης ἐξέβαλε προεδρίας· ἀλλ' ὁ Θεὸς οὐ μόνον αὐτὸν οὐ κατέλιπεν, ἀλλὰ καὶ ἀντὶ τοῦ παραδείσου τὸν οὐρανὸν ἡμῖν ἀνέῳξε, τούτῳ τε αὐτῷ τήν τε οἰκείαν φιλανθρωπίαν ἐπιδεικνύμενος, καὶ τὸν διάβολον μειζόνως κολάζων. τοῦτο καὶ σὺ ποίησον. πάντα ἐκίνησαν οἱ δαίμονες νῦν, ὥστε σοι τὴν πασῶν φιλτάτην πόλιν ἀπορρῆξαί σου τῆς εὐνοίας. τοῦτο τοίνυν εἰδὼς, δίκην μὲν, ἣν θέλεις, ἀπαίτησον· τῆς δὲ φιλίας μὴ ἐκβάλῃς ἡμᾶς τῆς προτέρας· ἀλλ' εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν, μείζονα ἡμῖν ἐπίδειξαι τὴν εὔνοιαν νῦν, καὶ πάλιν εἰς τὰς πρώτας τῶν φιλουμένων αὐτὴν ἔγγραψον, εἴγε βούλει τοὺς ταῦτα κατασκευάζοντας ἀμύνασθαι δαίμονας. ἂν μὲν γὰρ καθέλῃς καὶ κατασκάψῃς καὶ ἀφανίσῃς, ἅπερ ἐκεῖνοι πάλαι ἐβούλοντο, ταῦτα ἐργάσῃ· ἂν δὲ ἀφῇς τὴν ὀργὴν, καὶ πάλιν ὁμολογήσῃς φιλεῖν αὐτὴν, ὥσπερ πρότερον ἐφίλεις, καιρίαν αὐτοῖς ἔδωκας τὴν πληγὴν, καὶ τὴν ἐσχάτην αὐτοὺς ἀπήτησας δίκην, δείξας ὡς οὐ μόνον οὐδὲν αὐτοῖς πλέον γέγονεν ἀπὸ τῆς ἐπιβουλῆς, ἀλλὰ καὶ τὰ ἐναντία αὐτοῖς ἅπαντα ἀπέβη, ἤπερ ἐβούλοντο. δίκαιος δ' ἂν εἴης ταῦτα ποιῆσαι, καὶ ἐλεῆσαι πόλιν, ἣν διὰ τὴν σὴν ἐφθόνησαν φιλίαν οἱ δαίμονες. εἰ γὰρ μὴ σφόδρα αὐτὴν οὕτως ἠγάπησας, οὐκ ἂν αὐτῇ οὐδὲ ἐκεῖνοι τοσοῦτον ἐβάσκηναν. ὥστε εἰ καὶ θαυμαστὸν τὸ λεγόμενον, ἀλλ' ὅμως ἐστὶν ἀληθὲς, ὅτι διὰ σὲ καὶ τὴν σὴν φιλίαν ταῦτα ἔπαθε. πόσων ἐμπρησμῶν, πόσης κατασκαφῆς τὰ ῥήματα ταῦτα πικρότερα, ἅπερ ἀπολογούμενος ἔλεγες; νῦν ὑβρίσθαι φῂς καὶ πεπονθέναι, ὅσα μηδεὶς πώποτε τῶν προτέρων βασιλέων. ἀλλ' ἐὰν θέλῃς, ὦ φιλανθρωπότατε καὶ σοφώτατε καὶ πολλῆς εὐσεβείας γέμων, τοῦ διαδήματος τούτου μείζονά σοι καὶ λαμπρότερον ἡ ὕβρις αὕτη περιθήσει στέφανον. τοῦτο μὲν γὰρ τὸ διάδημα ἐστὶ μὲν καὶ τῆς σῆς ἀρετῆς ἀπόδειξις, ἐστὶ δὲ καὶ τῆς τοῦ δεδωκότος φιλοτιμίας τεκμήριον· ὁ δὲ ἀπὸ τῆς φιλανθρωπίας σοι ταύτης πλεκόμενος στέφανος, σὸν μόνον ἐστὶ κατόρθωμα καὶ τῆς φιλοσοφίας τῆς σῆς· καὶ οὐχ οὕτω σε θαυμάσονται πάντες διὰ τοὺς λίθους τοὺς τιμίους τούτους, ὡς ἐπαινέσονται διὰ τὴν ὑπεροψίαν τὴν κατὰ τῆς ὀργῆς. καθεῖλόν σου τοὺς ἀνδριάντας· ἀλλ' ἔξεστί σοι λαμπροτέρους ἀναστῆσαι ἐκείνων. ἂν γὰρ ἀφῇς τοῖς ἠδικηκόσι τὰ ἐγκλήματα, καὶ μηδεμίαν ἐάσῃς δοῦναι δίκην αὐτοὺς, οὐ χαλκοῦν σε ἐπὶ τῆς ἀγορᾶς ἀναστήσουσιν, οὐδὲ χρυσοῦν, οὐδὲ λιθοκόλλητον, ἀλλὰ τὴν πάσης ὕλης τιμιωτέραν στολὴν, φιλανθρωπίαν καὶ ἐλεημοσύνην ἀναβεβλημένον, οὕτως ἐπὶ τῆς διανοίας ἕκαστος ἀναστήσουσί σε τῆς ἑαυτῶν, καὶ τοσούτους ἕξεις ἀνδριάντας, ὅσοι τὴν οἰκουμένην οἰκοῦσιν ἄνθρωποι, καὶ οἰκήσουσιν. οὐ γὰρ ἡμεῖς μόνοι, ἀλλὰ καὶ οἱ μεθ' ἡμᾶς, καὶ οἱ μετ' ἐκείνους ἅπαντες ταῦτα ἀκούσονται, καὶ καθάπερ εὖ παθόντες αὐτοὶ, οὕτω σε θαυμάσονται καὶ φιλήσουσι. καὶ ὅτι ταῦτα οὐ κολακεύων λέγω, ἀλλ' οὕτως ἔσται πάντως, ἐρῶ σοι παλαιόν τινα λόγον, ἵνα μάθῃς ὅτι οὐχ οὕτω στρατόπεδα καὶ ὅπλα καὶ χρήματα καὶ ὑπηκόων πλῆθος καὶ τὰ ἄλλα δὴ τὰ τοιαῦτα λαμπροὺς ποιεῖν τοὺς βασιλέας εἴωθεν, ὡς φιλοσοφία ψυχῆς καὶ ἡμερότης. ὁ μακάριος [λέγεται] Κωνσταντῖνος, τῆς εἰκόνος αὐτοῦ καταλευσθείσης ποτὲ, προξενούντων αὐτῷ πολλῶν ἐπεξελθεῖν τοῖς ὑβρικόσι καὶ δίκην ἀπαιτῆσαι, καὶ λεγόντων ὅτι πᾶσαν αὐτοῦ τὴν ὄψιν ἔτρωσαν, τοὺς λίθους ἐξακοντίζοντες, ψηλαφήσας τῇ χειρὶ τὸ πρόσωπον, καὶ ἠρέμα μειδιάσας, εἶπεν· ὅτι οὐδαμοῦ πληγὴν ἐπὶ τοῦ μετώπου γεγενημένην ὁρῶ, ἀλλ' ὑγιὴς μὲν ἡ κεφαλὴ, ὑγιὴς δὲ ἡ ὄψις ἅπασα· κἀκεῖνοι ἐρυθριάσαντες καὶ αἰσχυνθέντες ἀπέστησαν τῆς ἀδίκου ταύτης συμβουλῆς. καὶ τὸ ῥῆμα τοῦτο μέχρι νῦν ᾄδουσιν ἅπαντες, καὶ τοσοῦτος χρόνος οὐκ ἐμάρανεν, οὐκ ἔσβεσε τῆς φιλοσοφίας ταύτης τὴν μνήμην. πόσων οὐκ ἂν εἴη τοῦτο τροπαίων λαμπρότερον; πολλὰς καὶ μεγάλας πόλεις ἐκεῖνος ἀνέστησε, νίκησε, καὶ πολλοὺς βαρβάρους ἐνίκησεν, ἀλλ' οὐδενὸς ἐκείνων μεμνήμεθα· τὸ δὲ ῥῆμα τοῦτο μέχρι τῆς σήμερον ἄδεται, καὶ οἱ μεθ' ἡμᾶς αὐτό, καὶ οἱ μετ' ἐκείνους ἀκούσονται πάντες, καὶ οὐ τοῦτό ἐστι μόνον τὸ θαυμαστόν, ὅτι ἀκούσονται, ἀλλ' ὅτι καὶ μετ' ἐπαίνων καὶ εὐφημίας οἵ τε λέγοντες λέγουσιν, οἵ τε ἀκούοντες δέχονται, καὶ οὐκ ἔστιν οὐδείς, ὃς ἀνέξεται τοῦτο ἀκούσας σιγῆσαι, ἀλλ' ὁμοῦ τε ἀνέκραξε, καὶ τὸν εἰρηκότα ἐπήνεσε, καὶ μυρία αὐτῷ καὶ ἀπελθόντι γενέσθαι ηὔξατο ἀγαθά. Εἰ δὲ δι' ἐκεῖνο τὸ ῥῆμα τοσαύτης ἀπέλαυσε δόξης παρὰ ἀνθρώποις, πόσων ἀπολαύσεται παρὰ τῷ φιλανθρώπῳ Θεῷ στεφάνων; καὶ τί χρὴ λέγειν Κωνσταντῖνον, καὶ τὰ ἀλλότρια παραδείγματα, δέον οἴκοθέν σε καὶ ἐκ τῶν σῶν παρακαλεῖν κατορθωμάτων; μέμνησαι πρῴην, ὅτε τῆς ἑορτῆς ταύτης καταλαβούσης ἐπιστολὴν ἔπεμψας πανταχοῦ τῆς οἰκουμένης κελεύουσαν τοὺς τὸ δεσμωτήριον οἰκοῦντας ἀφεῖναι, καὶ συγχωρεῖν αὐτοῖς τὰ ἐγκλήματα· καὶ ὡς οὐκ ἀρκούντων ἐκείνων δεῖξαί σου τὴν φιλανθρωπίαν, ἔλεγες διὰ τῶν γραμμάτων, ὅτι εἴθε μοι δυνατὸν ἦν καὶ τοὺς ἀποθανόντας καλέσαι, καὶ ἀναστῆσαι, καὶ πρὸς τὴν προτέραν ἀναγαγεῖν ζωήν. τούτων ἀναμνήσθητι τῶν ῥημάτων νῦν· ἰδοὺ καιρὸς τοὺς ἀπελθόντας καλέσαι καὶ ἀναστῆσαι καὶ πρὸς τὴν προτέραν ἐπαναγαγεῖν ζωήν. καὶ οὗτοι γὰρ ἤδη τεθνήκασι, καὶ πρὶν ἢ τὴν ψῆφον ἐξενεχθῆναι, * παρ' αὐτὰς ἡ πόλις ἐσκήνωται τὰς τοῦ ᾅδου πύλας νῦν. ἀνάστησον οὖν αὐτὴν ἐκεῖθεν χωρὶς χρημάτων, χωρὶς δαπάνης, χωρὶς χρόνου καὶ πόνου τινός. ἀρκεῖ γάρ σοι φθέγξασθαι μόνον, καὶ ἀναστῆσαι τὴν πόλιν τὴν ἐπ' ὄψεσι κειμένην. νῦν δὸς αὐτὴν καλεῖσθαι λοιπὸν ἀπὸ τῆς σῆς φιλανθρωπίας. οὐδὲ γὰρ τοσαύτην εἴσεται χάριν τῷ παρὰ τὴν ἀρχὴν αὐτὴν οἰκίσαντι, ὅσην τῇ ψήφῳ τῇ σῇ, καὶ μάλα εἰκότως. ἐκεῖνος μὲν γὰρ ἀρχὴν αὐτῇ δοὺς ἀπῆλθε, σὺ δὲ αὐξηθεῖσαν καὶ γενομένην μεγάλην, καὶ μετὰ τὴν πολλὴν ταύτην εὐημερίαν κατενεχθεῖσαν ἀναστήσεις. οὐκ ἦν οὕτω θαυμαστόν, εἰ πολεμίων αὐτὴν ἑλόντων, καὶ βαρβάρων καταδραμόντων ἀπήλλαξας τοῦ κινδύνου, ὡς ἔστι θαυμαστὸν τὸ φείσασθαι νῦν. ἐκεῖνο μὲν γὰρ πολλοὶ πολλάκις βασιλέων ἐποίησαν, τοῦτο δὲ σὺ μόνος ἐργάσῃ καὶ πρῶτος παρὰ προσδοκίαν ἅπασαν. κἀκεῖνο μὲν οὖν οὐδὲν θαυμαστόν, οὐδὲ παράδοξον, ἀλλὰ τῶν ἀεὶ συμβαινόντων ἐστί, τὸ τῶν ὑπηκόων προΐστασθαι· τὸ δὲ τοσαῦτα παθόντα καὶ τοιαῦτα, ἀφεῖναι τὴν ὀργήν, τοῦτο πᾶσαν ἀνθρωπίνην ὑπερβαίνει φύσιν. ἐννόησον ὅτι νῦν οὐ περὶ τῆς πόλεώς σοι βουλευτέον μόνον ἐστὶν ἐκείνης, ἀλλὰ καὶ περὶ τῆς δόξης τῆς σῆς, μᾶλλον δὲ καὶ περὶ τοῦ χριστιανισμοῦ παντός. νῦν καὶ Ἰουδαῖοι, καὶ ἕλληνες, καὶ βάρβαροι (καὶ γὰρ κἀκεῖνοι ταῦτα ἤκουσαν) καὶ πᾶσα ἡ οἰκουμένη πρὸς σὲ κεχήνασιν, ἀναμένοντες ἰδεῖν οἵαν οἴσεις κατὰ τῶν γεγενημένων τὴν ψῆφον. κἂν μὲν φιλάνθρωπον ἐξενέγκῃς καὶ ἥμερον, ἐπαινέσονται τὸ δόγμα ἅπαντες, καὶ δοξάσουσι τὸν Θεόν, καὶ πρὸς ἀλλήλους ἐροῦσι· βαβαί, πόση τοῦ χριστιανισμοῦ ἡ δύναμις· ἄνθρωπον οὐδένα ἔχοντα ὁμότιμον ἐπὶ τῆς γῆς, κύριον ὄντα ἀπολέσαι πάντα καὶ διαφθεῖραι, κατέσχε καὶ ἐχαλίνωσε καὶ φιλοσοφεῖν ἐπαίδευσε φιλοσοφίαν, ἣν οὐδ' ἂν ἰδιώτης ἄνθρωπος ἐπεδείξατο. ὄντως μέγας ὁ τῶν χριστιανῶν Θεός, ὃς ἐξ ἀνθρώπων ἀγγέλους ποιεῖ, καὶ πάσης ἀνάγκης φυσικῆς ἀνωτέρους καθίστησι. μὴ γὰρ δὴ τὸν περιττὸν ἐκεῖνον δείσῃς φόβον, μηδὲ ἀνάσχῃ λεγόντων τινῶν, ὡς αἱ λοιπαὶ χείρους ἔσονται πόλεις, καὶ καταφρονήσουσι μᾶλλον, ταύτης μὴ κολασθείσης. εἰ μὲν γὰρ ἀδυνάτως εἶχες ἐπεξελθεῖν, καὶ βίᾳ σου περιεγένοντο ταῦτα ποιήσαντες, καὶ ἰσοστάσιος ἦν ἡ δύναμις, εἰκότως ταῦτα ὑποπτεύειν ἐχρῆν. εἰ δὲ καταπεπλήχασι καὶ προαπέθανον τῷ δέει, καὶ πρὸς τοὺς πόδας ἔδραμον τοὺς σοὺς δι' ἐμοῦ, καὶ οὐδὲν ἕτερον καθ' ἑκάστην προσδοκῶσι τὴν ἡμέραν, ἢ τὸ βάραθρον, καὶ λιτὰς ποιοῦνται πυκνάς, εἰς τὸν οὐρανὸν βλέποντες, καὶ τὸν Θεὸν παρακαλοῦντες ἐλθεῖν καὶ συνεφάψασθαι τῆς αὐτῆς ἡμῖν πρεσβείας, καί, καθάπερ οἱ πρὸς τὰς ἐσχάτας ὄντες ἀναπνοάς, περὶ τῶν οἰκείων ἕκαστος ἐπέσκηψε τῶν ἑαυτοῦ, πῶς οὐ περιττὸν τοῦτο τὸ δέος; οὐκ

ἀν

ἂν εἰ σφαγῆναι ἐκελεύσθησαν, τοσαῦτα ἂν ἔπαθον, ὅσα πάσχουσι νῦν, ″ἡμέρας τοσαύτας φόβῳ καὶ τρόμῳ συζῶντες, καὶ ἑσπέρας καταλαβούσης οὐ προσδοκῶντες ὄψεσθαι τὴν ἕω, καὶ ἡμέρας γινομένης οὐκ ἐλπίζοντες εἰς ἑσπέραν ἀφίξεσθαι. πολλοὶ καὶ θηρίοις ἐνέπεσον τὰς ἐρήμους διώκοντες, πρὸς τόπους ἀβάτους μετοικισθέντες, οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ παιδία μικρά, καὶ γυναῖκες ἐλεύθεραι καὶ εὐσχήμονες πολλὰς νύκτας καὶ ἡμέρας ἐν σπηλαίοις καὶ φάραγξι καὶ ταῖς ὀπαῖς κατακρυπτόμεναι τῆς ἐρήμου. καὶ καινὸς αἰχμαλωσίας κατέχει τὴν πόλιν τρόπος. τῶν γὰρ οἰκοδομημάτων καὶ τῶν τειχῶν ἑστηκότων, χαλεπώτερα τῶν ἐμπρησθεισῶν πάσχουσι πόλεων. οὐδενὸς βαρβάρου παρόντος, οὐδὲ πολεμίου φαινομένου, ἀθλιώτεροι τῶν ἁλόντων διάκεινται· καὶ φύλλον κινούμενον μόνον πάντας αὐτοὺς ἀποσοβεῖ καθ' ἑκάστην ἡμέραν. καὶ ταῦτα ἴσασιν ἅπαντες. καὶ εἰ κατασκαφεῖσαν αὐτὴν εἶδον, οὐκ ἂν οὕτως ἐσωφρονίσθησαν, ὡς νῦν ταύτας αὐτῆς ἀκούοντες τὰς συμφοράς. μὴ τοίνυν τοῦτο νομίσῃς, ὡς χείρους ἔσονται αἱ λοιπαὶ πόλεις. οὐκ ἄν, εἰ κατέσκαψας τὰς πόλεις, οὕτως αὐτὰς ἐσωφρόνισας, ὡς νῦν διὰ τῆς ἀδήλου τῶν ἐσομένων προσδοκίας σφοδρότερον πάσης κολάσεως παιδεύσας ″αὐτάς. μὴ δὴ περαιτέρω ″προενέγκῃς αὐτοῖς τὰς συμφοράς, ἀλλὰ δὸς ἀναπνεῦσαι λοιπόν. τὸ μὲν γὰρ κολάσαι τοὺς ὑπευθύνους, καὶ δίκην ἀπαιτῆσαι τῶν πεπραγμένων ῥᾴδιον παντὶ καὶ εὔκολον· τὸ δὲ φείσασθαι τῶν ὑβρικότων, καὶ συγγνώμην δοῦναι τοῖς ἀσύγγνωστα ἡμαρτηκόσιν, ἑνός που καὶ δευτέρου μόλις ἐστί, καὶ μάλιστα ὅταν βασιλεὺς ὁ ὑβρισμένος ᾖ. καὶ ″τὸ φόβῳ δὲ ὑποτάξαι πόλιν, εὔκολον· τὸ δὲ πάντας ἐραστὰς καταστῆσαι, καὶ μετ' εὐνοίας πεῖσαι διακεῖσθαι περὶ τὴν βασιλείαν τὴν σήν, καὶ μὴ μόνον κοινάς, ἀλλὰ καὶ ἰδίας ὑπὲρ τῆς σῆς ἀρχῆς ποιεῖσθαι εὐχάς, δυσκατόρθωτον. κἂν μυρία τις ἀναλώσῃ χρήματα, κἂν μυρία κινήσῃ ″στρατόπεδα, κἂν ὁτιοῦν ἐργάσηται, οὐκ εὐκόλως τοσούτων ″ἀνδρῶν διάθεσιν πρὸς ἑαυτὸν ἐπισπάσασθαι δυνήσεται, ὃ νῦν καὶ ῥᾴδιον ἔσται καὶ εὔκολον. οἵ τε γὰρ εὐεργετηθέντες, οἵ τε ἀκούσαντες ὁμοίως τοῖς εὐεργετηθεῖσι περὶ σὲ διακείσονται. πόσων ἂν ἐπρίω πόνων, πόσων ἂν ἐπρίω χρημάτων ἐν βραχείᾳ καιροῦ ῥοπῇ τὴν οἰκουμένην ἅπασαν ἀνακτήσασθαι, καὶ πεῖσαι τούς τε νῦν ὄντας ἀνθρώπους, τούς τε ἐσομένους ἅπαντας, ὅσα τοῖς ἑαυτῶν εὔχονται παισί, ″τοιαῦτα καὶ τῇ σῇ κεφαλῇ; εἰ δὲ παρὰ ἀνθρώπων ταῦτα, ἐννόησον ὅσον παρὰ τοῦ Θεοῦ λήψῃ τὸν μισθόν, οὐχὶ τῶν νῦν γινομένων μόνον, ἀλλὰ καὶ τῶν μετὰ ταῦτα παρ' ἑτέρων κατορθουμένων. εἰ γάρ ποτε συμβαίη γενέσθαι τοιοῦτον, οἷον δὴ γέγονε νῦν (ὃ μὴ γένοιτο) καί τινες τῶν ὑβρισμένων βουλεύσονται ἐπεξελθεῖν τοῖς ὑβρικόσιν, ἡ πρᾳότης ἡ σὴ καὶ ἡ φιλοσοφία ἀντὶ πάσης ἔσται διδασκαλίας αὐτοῖς καὶ παραινέσεως· καὶ ἐρυθριάσουσι καὶ ″αἰσχυνθήσονται, τοιοῦτον ἔχοντες φιλοσοφίας παράδειγμα, ἐλάττους φανῆναι· ὥστε τῶν μετὰ ταῦτα πάντων ἔσῃ διδάσκαλος, καὶ τὰ νικητήρια κατ' αὐτῶν ἕξεις, κἂν εἰς αὐτὴν τὴν κορυφὴν τῆς φιλοσοφίας φθάσωσιν. οὐ γάρ ἐστιν ἴσον αὐτὸν κατάρξαι τοσαύτης πρᾳότητος πρότερον, καὶ πρὸς ἑτέρους βλέποντα μιμήσασθαι τὰ παρ' ἐκείνων κατορθωθέντα. διὰ τοῦτο ὅσην ἂν οἱ μετὰ σὲ φιλανθρωπίαν καὶ ἡμερότητα ἐπιδείξωνται, σὺ λήψῃ τὸν μισθὸν μετ' ἐκείνων. ὁ γὰρ τὴν ῥίζαν παρασχών, οὗτος ἂν εἴη καὶ τῶν καρπῶν αἴτιος. διὰ τοῦτο μετὰ σοῦ νῦν μὲν οὐδεὶς δύναται μερίζεσθαι τὸν ἐπὶ τῇ φιλανθρωπίᾳ μισθόν. σὸν γὰρ τὸ κατόρθωμα γέγονε μόνον· σοὶ δὲ μετὰ πάντων τῶν μετὰ ταῦτα, εἴ τινές ποτε τοιοῦτοι φανεῖεν, ἐξ ἴσης δυνήσῃ μετ' αὐτῶν διανείμασθαι τὸ κατόρθωμα, καὶ τοσαύτην ἀπενέγκασθαι μοῖραν, ὅσην ἐπὶ ″μαθηταῖς οἱ διδάσκαλοι. κἂν μηδεὶς γένηται τοιοῦτος, πάλιν σοι τὰ τῶν ἐγκωμίων καὶ τῶν ἐπαίνων καθ' ἑκάστην ἐπιδίδωσι τὴν γενεάν. ἐννόησον γὰρ ἡλίκον ἐστὶ τοὺς μετὰ ταῦτα πάντας ἀκούειν, ὅτι, πόλεως οὕτω μεγάλης [καὶ] ὑπευθύνου κολάσει καὶ τιμωρίᾳ γενομένης, πεφρικότων ἁπάντων καὶ δεδοικότων στρατηγῶν καὶ ὑπάρχων καὶ δικαστῶν, καὶ οὐδὲ φωνὴν ῥῆξαι τολμώντων ὑπὲρ τῶν ἀθλίων ἐκείνων, εἷς παρελθὼν πρεσβύτης, τοῦ Θεοῦ τὴν ἱερωσύνῃ ἐγκεκλεισμένος, ἀπὸ τῆς ὄψεως μόνης αὐτῆς καὶ ψιλῆς τῆς συντυχίας ἐνέτρεψε τὸν κρατοῦντα· καὶ ὃ μηδενὶ τῶν ὑπ' αὐτὸν ἐχαρίσατο, ἑνὶ γέροντι τούτῳ ἐχαρίσατο, τοὺς τοῦ Θεοῦ νόμους αἰδεσθείς. καὶ γὰρ καὶ τούτῳ αὐτῷ οὐ μικρῶς σε, ὦ βασιλεῦ, τετίμηκεν ἡ πόλις, ἐμὲ πρὸς τὴν πρεσβείαν ταύτην ἀποστείλασα. ψῆφον γὰρ ἀρίστην ἐξήνεγκαν περὶ σοῦ καὶ καλλίστην, ὅτι τῆς ἀρχῆς ἁπάσης τῆς ὑπὸ σὲ κειμένης τοῦ Θεοῦ τοὺς ἱερέας προτιμᾷς, κἂν εὐτελεῖς ὄντες τύχωσιν. οὐ παρ' ἐκείνων δὲ ἥκω νῦν μόνον, ἀλλὰ καὶ πρὸ ἐκείνων παρὰ τοῦ κοινοῦ τῶν ἀγγέλων [καὶ ἀνθρώπων] ἀπέσταλμαι δεσπότου ταῦτα εἰπεῖν πρὸς τὴν σὴν ἡμερωτάτην καὶ πρᾳοτάτην ψυχήν· ὅτι ἂν ἀφῆτε τοῖς ἀνθρώποις τὰ ὀφειλήματα αὐτῶν, καὶ ὁ πατὴρ ὁ οὐράνιος ἀφήσει ὑμῖν τὰ παραπτώματα ὑμῶν. ἀναμνήσθητι τοίνυν τῆς ἡμέρας ἐκείνης, καθ' ἣν ἅπαντες δίκην δώσομεν* τῶν πεπραγμένων· ἐννόησον ὅτι εἰ καί τι σοι ἡμάρτηται, πάντα ἀπαλείψασθαι δυνήσῃ τὰ πλημμελήματα διὰ τῆς ψήφου καὶ τῆς γνώμης ταύτης χωρὶς πόνων, χωρὶς ἱδρώτων. ἄλλοι μὲν οὖν πρεσβευόμενοι χρυσίον καὶ ἀργύριον καὶ ἕτερα τοιαῦτα δῶρα κομίζουσιν· ἐγὼ δὲ μετὰ τῶν ἱερῶν πρὸς τὴν σὴν βασιλείαν ἀφῖγμαι νόμων, καὶ ἀντὶ δώρων ἁπάντων τούτους προτείνω, καὶ παρακαλῶ σε μιμήσασθαί σου τὸν δεσπότην, ὃς καθ' ἡμέραν παρ' ἡμῶν ὑβριζόμενος, οὐ διαλιμπάνει τὰ παρ' ἑαυτοῦ χορηγῶν ἅπασι. καὶ μὴ καταισχύνῃς ἡμῶν τὰς ἐλπίδας, μηδὲ ἐλέγξῃς τὰς ὑποσχέσεις. καὶ γὰρ καὶ τοῦτό σε μετὰ τῶν ἄλλων εἰδέναι βούλομαι, ὅτι εἰ μὲν βουληθείης καταλλαγῆναι, καὶ τῆς προτέρας εὐνοίας μεταδοῦναι τῇ πόλει, καὶ τὴν ὀργὴν ἀφεῖναι τὴν δικαίαν ταύτην, μετὰ πολλῆς ἀπελεύσομαι τῆς παρρησίας· εἰ δὲ ἐκβάλλοις τὴν πόλιν τῆς διανοίας τῆς σῆς, οὐ μόνον οὐκ ἐπιβήσομαι, οὐδὲ ὄψομαι αὐτῆς τὸ ἔδαφος, ἀλλὰ καὶ ἀρνήσομαι αὐτὴν καθάπαξ λοιπόν, καὶ εἰς ἑτέραν ἐμαυτὸν ἐγγράψω πόλιν. μὴ γάρ μοι γένοιτο πατρίδα ἐπιγράψασθαί ποτε ἐκείνην, πρὸς ἣν ὁ φιλανθρωπότατος σὺ καὶ πάντων ἀνθρώπων ἡμερώτατος οὐκ ἂν ἕλοιο σπείσασθαι καὶ καταλλαγῆναι.

Ματθ. ϛ. ιδ.

Ταῦτα καὶ πλείονα τούτων εἰπών, οὕτω τὸν βασιλέα συνέχεεν, ὡς ταὐτὸν γενέσθαι, ὅπερ ἐπὶ τοῦ Ἰωσὴφ συνέβη γενέσθαι ποτέ. καθάπερ γὰρ ἐκεῖνος τότε τοὺς ἀδελφοὺς ἰδὼν ἐβούλετο μὲν δακρύειν, ἔστεγε δὲ τὸ πάθος, ὥστε μὴ διαφθεῖραι τὴν ὑπόκρισιν· οὕτω δὴ καὶ ὁ βασιλεὺς ἐδάκρυε μὲν κατὰ διάνοιαν, οὐκ ἐπεδείκνυτο δὲ διὰ τοὺς παρόντας ἅπαντας· οὐ μὴν ἴσχυσεν εἰς τέλος κρύψαι τὸ πάθος, ἀλλὰ καὶ ἄκων ἠλέγχετο. μετὰ γὰρ τὴν δημηγορίαν ταύτην οὐκ ἐδεήθη ῥημάτων δευτέρων, ἀλλ' ἓν μόνον ἐφθέγξατο ῥῆμα, ὃ τοῦ διαδήματος αὐτὸν πολλῷ μειζόνως ἐκόσμησε. τί δὲ τοῦτό ἐστι; καὶ τί θαυμαστὸν καὶ μέγα, φησίν, εἰ τοῖς ὑβρικόσιν ἀφήσομεν τὴν ὀργὴν ἀνθρώποις οὖσιν, ἄνθρωποι καὶ αὐτοὶ τυγχάνοντες, ὅπουγε ὁ τῆς οἰκουμένης δεσπότης ἐπὶ γῆς ἐλθών, καὶ δι' ἡμᾶς γενόμενος δοῦλος, καὶ παρὰ τῶν εὐεργετηθέντων σταυρωθείς, ὑπὲρ τῶν σταυρωσάντων αὐτὸν παρεκάλει τὸν πατέρα, λέγων· Ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι; τί τοίνυν θαυμαστόν, εἰ τοῖς ὁμοδούλοις καὶ ἡμεῖς ἀφήσομεν; καὶ ὅτι ταῦτα τὰ ῥήματα οὐχ ὑπόκρισις ἦν, ἔδειξε μὲν καὶ τὰ γενόμενα ἅπαντα· οὐκ ἔλαττον δὲ τούτων καὶ τοῦτο, ὃ μέλλω νῦν ἐρεῖν. αὐτὸν γὰρ τὸν ἱερέα τοῦτον βουλόμενον ἐκεῖ κοινῇ μετ' αὐτοῦ τὴν ἑορτὴν ἐπιτελέσαι ταύτην, ἄκοντα κατηνάγκασε κατεπειχθῆναι, καὶ σπεῦσαι, καὶ τοῖς πολίταις φανῆναι. οἶδα, φησίν, ὅτι νῦν αὐτῶν εἰσιν αἱ ψυχαὶ δεδονημέναι, καὶ πολλὰ τῆς συμφορᾶς τὰ λείψανα· ἄπελθε, παρακάλεσον. ἂν ἴδωσι τὸν κυβερνήτην, οὐδὲ τοῦ παρελθόντος μεμνήσονται χειμῶνος, ἀλλὰ καὶ τὴν μνήμην αὐτὴν ἐξαλείψουσι τῶν λυπηρῶν ἅπασαν. ὡς δὲ ἐπέκειτο ὁ ἱερεύς, ἀξιῶν τὸν υἱὸν πέμψαι τὸν ἑαυτοῦ, βουλόμενος ἐκεῖνος δεῖξαι σαφῶς, ὡς ἅπασαν καθόλου τῆς διανοίας ἐξήλειψε τὴν ὀργήν· εὔξασθε, φησί, ταῦτα ἀναιρεθῆναι τὰ κωλύματα, σβεσθῆναι τοὺς πολέμους

Λυκ. κγ. λδ.

λέμους τούτους, καὶ αὐτὸς ἀφίξομαι πάντως. τί τῆς ψυχῆς ἐκείνης ἡμερώτερον γένοιτ' ἄν; αἰχμαλωτισθήτωσαν Ἕλληνες λοιπόν, μᾶλλον δὲ μὴ αἰχμαλωτισθήτωσαν, ἀλλὰ παιδευθήτωσαν, καὶ τὴν οἰκείαν ἀφέντες πλάνην, ἐπανίτωσαν πρὸς τὴν τοῦ χριστιανισμοῦ δύναμιν, ἀπὸ τοῦ βασιλέως, ἀπὸ τοῦ ἱερέως μαθόντες τὴν παρ' ἡμῖν φιλοσοφίαν. οὐδὲ γὰρ μέχρι τούτων ἔστη τότε ὁ θεοσεβέστατος βασιλεύς· ἀλλ' ἐπειδὴ καὶ τῆς πόλεως ἐξῆλθεν ὁ ἱερεύς, καὶ διέβη τὴν θάλασσαν, ἔπεμψε καὶ ἐκεῖ τινας περιεργαζομένους καὶ πολυπραγμονοῦντας, μή ποτε τρίβῃ τὸν χρόνον, καὶ τῇ πόλει τὴν ἡδονὴν ἐξ ἡμισείας ποιῇ, ἔξω τὴν ἑορτὴν ἐπιτελῶν. ποῖος πατὴρ ἥμερος τοσαύτην ἂν ὑπὲρ τῶν ὑβρικότων ἐποιήσατο σπουδήν; εἴπω τι καὶ ἕτερον τοῦ δικαίου ἐγκώμιον. ταῦτα γὰρ λύσας οὐκ ἔσπευσεν, ὡς ἂν εἴ τις ἕτερος δόξης ἐρῶν, αὐτὸς τὰ γράμματα τὰ λύοντα τὴν κατήφειαν ἡμῖν ἐκείνην κομίσαι· ἀλλ' ἐπειδὴ βραδύτερον ἐβάδιζεν, ἕτερον ἕνα τῶν ἵπποις ἐλαύνειν εἰδότων ἠξίωσε προλαβεῖν καὶ κομίσαι τῇ πόλει τὰ εὐαγγέλια, ὥστε μὴ τῇ μελλήσει τῆς ἐπανόδου τῆς ἑαυτοῦ τὴν ἀθυμίαν ἐπιταθῆναι. ὃ γὰρ σπουδαζόμενον αὐτῷ μόνον ἦν, οὐχ ὅπως αὐτὸς ἔλθοι φέρων τὰ χρηστὰ ταῦτα καὶ πολλῆς ἡδονῆς γέμοντα, ἀλλ' ὅπως ἡμῖν ταχέως ἡ πατρὶς ἀναπνεύσειεν. ὅπερ οὖν τότε ἐποιήσατε στεφανώσαντες τὴν ἀγοράν, καὶ λύχνους ἅψαντες, καὶ στιβάδας πρὸ τῶν ἐργαστηρίων συνθέντες, καὶ ὥσπερ ἄρτι τῆς πόλεως τεχθείσης, οὕτω πανηγυρίσαντες· τοῦτο ἑτέρως διὰ παντὸς ποιεῖτε τοῦ χρόνου, μὴ τοῖς ἄνθεσιν, ἀλλ' ἀρετῇ στεφανούμενοι, καὶ φῶς τὸ ἀπὸ τῶν ἔργων ἀνάπτοντες κατὰ τὴν ψυχὴν τὴν ὑμετέραν, εὐφροσύνην εὐφραινόμενοι πνευματικήν, καὶ τῷ Θεῷ διηνεκῶς ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦντες μὴ διαλείπωμεν· μηδὲ ὅτι μόνον ἔλυσε τὰ δεινά, ἀλλ' ὅτι καὶ συνεχώρησεν αὐτὰ γενέσθαι, * πολλὴν αὐτῷ χάριν ὁμολογῶμεν. δι' ἀμφοτέρων γὰρ ἡμῖν τὴν πόλιν ἐκόσμησε. ταῦτα δὲ πάντα κατὰ τὸ προφητικὸν λόγιον ἀναγγείλατε τοῖς τέκνοις ὑμῶν, καὶ τὰ τέκνα ὑμῶν τοῖς τέκνοις αὐτῶν, κἀκεῖνοι πάλιν εἰς γενεὰν ἑτέραν· ἵνα ἅπαντες καὶ μέχρι τῆς συντελείας γινόμενοι τὴν τοῦ Θεοῦ φιλανθρωπίαν τὴν ἐπὶ τῇ πόλει γεγενημένην μαθόντες, μακαρίζωσι μὲν ἡμᾶς τῆς τοσαύτης ἀπολαύσαντας εὐνοίας, θαυμάζωσι δὲ ἡμῶν τὸν δεσπότην τὸν οὕτω καταπίπτουσαν τὴν πόλιν ἀναστήσαντα, κερδαίνωσι δὲ καὶ αὐτοὶ διὰ πάντων τῶν γεγενημένων πρὸς εὐλάβειαν συνωθούμενοι. οὐ γὰρ δὴ μόνον ἡμᾶς, εἰ μνημονεύοιμεν αὐτῶν διηνεκῶς, ἀλλὰ καὶ τοὺς μεθ' ἡμᾶς γινομένους τὰ μέγιστα τῶν συμβάντων ἡμῖν ἡ ἱστορία ὠφελῆσαι δυνήσεται. ἅπερ οὖν ἅπαντα λογιζόμενοι, μὴ μόνον ἐν τῇ λύσει τῶν δεινῶν, ἀλλὰ καὶ ἐν τῇ συγχωρήσει τῶν δεινῶν εὐχαριστῶμεν ἀεὶ τῷ φιλανθρώπῳ Θεῷ, ἀπό τε τῶν θείων γραφῶν, ἀπό τε τῶν ἡμῖν συμβάντων αὐτοὶ δὴ τοῦτο μαθόντες, ὡς ἅπαντα ἀεὶ πρὸς τὸ δέον ἡμῖν οἰκονομεῖ μετὰ τῆς αὐτῷ πρεπούσης φιλανθρωπίας· ἧς γένοιτο διηνεκῶς ἡμᾶς ἀπολαύοντας καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ιωὴλ α.

ΚΑΤΗΧΗΣΙΣ ΠΡΟΣ ΤΟΥΣ ΜΕΛΛΟΝΤΑΣ ΦΩΤΙΖΕσθαι, καὶ περὶ γυναικῶν τῶν ἐν πλέγμασι καὶ χρυσῷ κατακοσμουσῶν ἑαυτάς· καὶ περὶ τῶν κληδονισμοῖς ἢ περιάπτοις ἢ ἐπῳδαῖς κεχρημένων, ἅπερ πάντα ἀλλότρια χριστιανῶν ἀποδέδεικται. Λογ. κα.

Τῶν πρῴην εἰρημένων πρὸς τὴν ὑμετέραν ἀγάπην πρόσειμι τοὺς καρποὺς παρεγγυωμένην ἀπαιτήσων ὑμᾶς. οὐδὲ γὰρ διὰ τοῦτο λέγομεν, ἵνα ἀκούητε μόνον, ἀλλ' ἵνα καὶ μνημονεύητε τῶν εἰρημένων, καὶ τὴν διὰ τῶν ἔργων ἐπίδειξιν ἡμῖν παράσχητε· μᾶλλον δὲ οὐχ ἡμῖν, ἀλλὰ τῷ Θεῷ τῷ τὰ ἀπόρρητα τῆς διανοίας εἰδότι. διὰ τοῦτο καὶ κατήχησις λέγεται, ἵνα καὶ ἀπόντων ἡμῶν ὁ λόγος ὑμῶν ἐνηχῇ ταῖς διανοίαις. καὶ μὴ θαυμάσητε, εἰ δέκα ἡμερῶν διαγενομένων μόνον τοὺς καρποὺς ἤλθομεν ἀπαιτήσοντες τῶν σπερμάτων. καὶ γὰρ ἐν ἡμέρᾳ μιᾷ δυνατὸν ὁμοῦ καὶ σπέρματα καταβαλεῖν, καὶ ἄμητον ποιήσασθαι. οὐ γὰρ οἰκείᾳ δυνάμει μόνον, ἀλλὰ καὶ τῇ παρὰ τοῦ Θεοῦ ῥοπῇ δυναμούμενοι, οὕτω πρὸς τοὺς ἀγῶνας καλούμεθα. ὅσοι μὲν οὖν κατεδέξαντο τὰ εἰρημένα, καὶ διὰ τῶν ἔργων ἐπλήρωσαν, μενέτωσαν ἐπεκτεινόμενοι πρὸς τὰ ἔμπροσθεν· ὅσοι δὲ οὐδέπω τῆς ἀγαθῆς ταύτης ἐργασίας ἥψαντο, ἐντεῦθεν ἀψάσθωσαν, ἵνα καὶ τὴν ἐκ τῆς ῥᾳθυμίας καταδίκην τῇ μετὰ ταῦτα προθυμίᾳ ἀποκρύψωνται. ἔνι γάρ, ἔνι καὶ τὸν ἐρρᾳθυμηκότα σφοδρᾷ μετὰ ταῦτα χρησάμενον τῇ προθυμίᾳ, τοῦ παρελθόντος χρόνου πᾶσαν ἀνασῶσαι Ψαλ. ϟδ. ζ. τὴν ζημίαν. διό φησι· Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ. τοῦτο δὲ λέγει, παραινῶν καὶ συμβουλεύων μηδέποτε ἀπογινώσκειν, ἀλλ' ἕως ἂν ἐνταῦθα ὦμεν, χρηστὰς ἔχειν τὰς ἐλπίδας, καὶ τῶν ἔμπροσ- Φιλιπ. γ. γ. θεν ἐπιλαμβάνεσθαι, καὶ πρὸς τὸ βραβεῖον διώκειν τῆς ἄνω κλήσεως τοῦ Θεοῦ. τοῦτο τοίνυν [ποιήσωμεν,] καὶ τὸ ὄνομα τῆς μεγάλης ταύτης ἐξετάσωμεν δωρεᾶς. ὥσπερ γὰρ ἀγνοούμενον ἀξιώματος μέγεθος ῥᾳθυμοτέρους ποιεῖ τοὺς λαμβάνοντας, οὕτω γνωριζόμενον ἀμείνους καθίστησι καὶ σπουδαιοτέρους ἐργάζεται· καὶ ἄλλως δέ, αἰσχρὸν ἂν εἴη καὶ καταγέλαστον τοσαύτης ἀπολαύοντας δόξης παρὰ τοῦ Θεοῦ καὶ τιμῆς, μηδὲ τὰ ὀνόματα αὐτῶν εἰδέναι, τί ποτε ἐνδείξασθαι βούλεται. καὶ τί λέγω περὶ τῆς δωρεᾶς ταύτης; ἂν γὰρ τὸ κοινὸν τοῦ γένους ἡμῶν ἐννοήσῃς ὄνομα, μεγίστην πρὸς ἀρετὴν λήψῃ διδασκαλίαν καὶ παράκλησιν. τὸ γὰρ ἄνθρωπος τοῦτο ὄνομα οὐ κατὰ τοὺς ἔξωθεν ἡμεῖς ὁριζόμεθα, ἀλλ' ὡς ἡ θεία γραφὴ ἐκέλευσεν· ἄνθρωπος γάρ ἐστιν, οὐχ ὅστις ἁπλῶς χεῖρας ἔχει καὶ πόδας ἀνθρώπου, οὐδὲ ὅστις ἐστὶ λογικὸς*, ἀλλ' ὅστις εὐσέβειαν καὶ ἀρετὴν μετὰ παρρησίας ἀσκεῖ. ἄκουσον γοῦν περὶ τοῦ Ἰώβ. α. α. Ἰὼβ τί φησιν. εἰπὼν γὰρ ὅτι ἐν τῇ χώρᾳ τῇ Αὐσίτιδι ἄνθρωπος ἦν, οὐκ ἀπὸ τούτων αὐτὸν ὑπογράφει τῶν ὅρων, ἀφ' ὧν οἱ ἔξωθεν, οὐδὲ τοῦτο λέγει, ὅτι πόδας δύο εἶχε καὶ ὄνυχας πλατεῖς, ἀλλὰ τὰ γνωριστικὰ τῆς εὐσεβείας ἐκείνης συνθεὶς ἔλεγε· δίκαιος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος· δεικνὺς ὅτι τοῦτό ἐστιν ἄνθρωπος. Ἐκκλησ. ιβ. καθάπερ οὖν καὶ ἕτερός φησι· Τὸν Θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ φύλασσε, ὅτι τοῦτο πᾶς ἄνθρωπος. εἰ δὲ τὸ ἄνθρωπος ὄνομα τοσαύτην εἰς ἀρετῆς παράκλησιν παρέχει, πολλῷ μᾶλλον τό, πιστός. πιστὸς γὰρ διὰ τοῦτο καλῇ, ὅτι καὶ πιστεύεις τῷ Θεῷ, καὶ πιστεύῃ παρ' αὐτοῦ. αὐτὸς δικαιοσύνην, ἁγιωσύνην, καθαρότητα ψυχῆς, υἱοθεσίαν, βασιλείαν οὐρανῶν ἐνεπίστευσε, καὶ ταῦτά σοι παρακατέθετο· σὺ πάλιν ἕτερα αὐτῷ ἐνεπίστευσας καὶ παρακατέθου, Ματθ. ι. μβ. ἐλεημοσύνην, εὐχάς, σωφροσύνην, τὴν ἄλλην ἅπασαν ἀρετήν. καὶ τί λέγω ἐλεημοσύνην; κἂν ψυχροῦ αὐτῷ ποτήριον δῷς, οὐδὲ τοῦτο ἀπολέσεις, ἀλλὰ καὶ τοῦτο μετὰ ἀκριβείας φυλάσσει εἰς ἐκείνην τὴν ἡμέραν, καὶ μετὰ πολλῆς ἀποδώσει τῆς περιουσίας. τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι οὐ φυλάττει τὰς παρακαταθήκας μόνον, ἀλλὰ καὶ πλεονάζει ταύτας ταῖς ἀντιδόσεσι. τοῦτο καὶ σοὶ ποιεῖν ἐκέλευσε κατὰ τὴν δύναμιν τὴν σήν, ἐν οἷς ἐνεπιστεύθης· τὴν ἁγιωσύνην, ἣν ἔλαβες, ἐπιτείνειν καὶ τὴν δικαιοσύνην τὴν ἀπὸ τοῦ λουτροῦ λαμπροτέραν ἐργάζεσθαι, καὶ τὸ χάρισμα φαιδρότερον ποιεῖν· καθάπερ οὖν καὶ

* μόνον

Παῦλος ἐποίησε τοῖς μετὰ ταῦτα πόνοις καὶ τῇ σπουδῇ καὶ τῇ προθυμίᾳ αὐξήσας ἅπαντα, ἅπερ ἔλαβεν ἀγαθά. καὶ σκόπει Θεοῦ κηδεμονίαν. οὔτε σοι τὸ πᾶν ἔδωκεν ἐνταῦθα, οὔτε τοῦ παντὸς ἀπεστέρησεν· ἀλλὰ τὰ μὲν ἔδωκε, τὰ δὲ ὑπέσχετο. καὶ τίνος ἕνεκεν οὐ τὸ πᾶν ἐνταῦθα ἔδωκεν; ἵνα σὺ τὴν πίστιν ἐπιδείξῃ τὴν περὶ αὐτὸν, τοῖς μηδέπω δοθεῖσιν ἀπὸ τῆς ὑποσχέσεως αὐτοῦ μόνης πιστεύων. τίνος δὲ ἕνεκεν πάλιν οὐ τὸ πᾶν ἐκεῖ ἐταμιεύσατο, ἀλλ' ἔδωκε καὶ πνεύματος χάριν καὶ δικαιοσύνην καὶ ἁγιασμόν; ἵνα σοι κουφίσῃ τοὺς πόνους, καὶ ἐκ τῶν ἤδη δοθέντων, καὶ ἐκ τῶν μελλόντων εὔελπιδα καταστήσῃ. διὰ τοῦτο καὶ νεοφώτιστος μέλλεις καλεῖσθαι, ὅτι νέον σοι τὸ φῶς ἀεὶ, ἂν ἐθέλῃς, καὶ οὐδέποτε σβέννυται. τοῦτο μὲν γὰρ καὶ βουλομένων, καὶ μὴ βουλομένων ἡμῶν διαδέχεται νύξ· ἐκείνην δὲ τὴν ἀκτῖνα σκότος οὐκ οἶδε. Τὸ γὰρ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. οὐχ οὕτω γοῦν ὁ κόσμος ἐστὶ λαμπρὸς, ἀνισχούσης τῆς ἀκτῖνος, ὡς ψυχὴ καταυγάζεται καὶ λαμπροτέρα γίνεται, τὴν παρὰ τοῦ πνεύματος δεξαμένη χάριν. καὶ μάνθανε τῶν πραγμάτων ἀκριβέστερον τὴν φύσιν. νυκτὸς μὲν γὰρ κατεχούσης καὶ σκότους ὄντος, πολλάκις καὶ σχοινίον ἰδών τις ἐνόμισεν ὄφιν εἶναι, καὶ φίλον προσιόντα ὡς ἐχθρὸν ἔφυγε, καὶ ψόφου τινὸς αἰσθόμενος περιδεὴς γέγονεν· ἡμέρας δὲ γενομένης οὐδὲν τοιοῦτον γένοιτ' ἂν, ἀλλὰ πάντα, οἷάπερ ἐστὶ, φαίνεται· ὃ καὶ ἐπὶ τῆς ψυχῆς συμβαίνει τῆς ἡμετέρας. ἐπειδὰν γὰρ ἡ χάρις ἐλθοῦσα τὸ σκότος ἀπελάσῃ τῆς διανοίας, μανθάνομεν τὴν τῶν πραγμάτων ἀκρίβειαν, καὶ γίνεται ἡμῖν εὐκαταφρόνητα τὰ πρότερον φοβερά. οὔτε γὰρ θάνατον ἔτι δεδοίκαμεν, μαθόντες ἀκριβῶς παρὰ τῆς ἱερᾶς ταύτης μυσταγωγίας, ὅτι οὐκ ἔστι θάνατος ὁ θάνατος, ἀλλ' ὕπνος καὶ κοίμησις πρόσκαιρος· οὐ πενίαν, οὐ νόσον, οὐκ ἄλλο τι τῶν τοιούτων οὐδὲν, εἰδότες ὅτι πρὸς βελτίονα ζωὴν ὁδεύομεν, ἀκήρατόν τε καὶ ἄφθαρτον, καὶ πάσης τοιαύτης ἀπηλλαγμένην ἀνωμαλίας. μὴ τοίνυν ἔτι πρὸς τὰ βιωτικὰ μένωμεν κεχηνότες, μὴ περὶ τρυφὴν τραπέζης, μηδὲ περὶ πολυτέλειαν ἱματίων. καὶ γὰρ ἔχεις ἱμάτιον μέγιστον, ἔχεις τράπεζαν πνευματικὴν, ἔχεις τὴν δόξαν τὴν ἄνω, καὶ πάντα σοι ὁ Χριστὸς γίνεται, καὶ τράπεζα, καὶ ἱμάτιον, καὶ οἶκος, καὶ κεφαλὴ, καὶ ῥίζα. Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. ἰδοὺ πῶς ἱμάτιόν σοι γέγονε. βούλει μαθεῖν, πῶς καὶ τράπεζά σοι γίνεται; Ὁ τρώγων με, φησὶν, ὥσπερ ἐγὼ ζῶ διὰ τὸν πατέρα, κἀκεῖνος ζήσεται δι' ἐμέ. ὅτι δὲ καὶ οἶκός σοι γίνεται, Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. ὅτι δὲ ῥίζα πάλιν, Ἐγὼ, φησὶν, ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα. καὶ ὅτι ἀδελφὸς καὶ νυμφίος καὶ φίλος, Οὐκ ἔτι ὑμᾶς λέγω δούλους· ὑμεῖς γὰρ φίλοι μού ἐστε. καὶ ὁ Παῦλος πάλιν, Ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. καὶ πάλιν, Εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς. οὐκ ἀδελφοὶ δὲ αὐτοῦ μόνον, ἀλλὰ καὶ παιδία γινόμεθα. Ἰδοὺ γὰρ, φησὶν, ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός. οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ μέλη αὐτοῦ, καὶ σῶμα αὐτοῦ. ὥσπερ γὰρ οὐκ ἀρκούντων τῶν εἰρημένων ἐπιδεῖξαι τὴν ἀγάπην καὶ τὴν εὔνοιαν, ἣν πρὸς ἡμᾶς ἐπιδείκνυται, καὶ ἕτερον τούτων μεῖζον καὶ ἐγγύτερον ἔθηκε, κεφαλὴν αὐτὸν ἡμῶν προσειπών.

Ἰωάν. α. ε.
Γαλ. γ. κζ.
Ἰωάν. ϛ. νζ. νϛ.
Ἰωάν. ιε. α. ιε.
β. Κορ. ια. β.
Ῥωμ. η. κθ.
Ἡσ. η. ιη.
α. Κορ. ιβ. κζ.
Ἐφεσ. α. κβ.

Ταῦτα δὴ πάντα εἰδὼς, ἀγαπητὲ, ἄμειψαί σου τὸν εὐεργέτην ἀρίστῃ πολιτείᾳ, καὶ ἐννοήσας τῆς θυσίας τὸ μέγεθος, καλλώπισόν σου τὰ μέλη τοῦ σώματος· ἐννόησον τί δέχῃ τῇ χειρὶ, καὶ μηδέποτε ἀνάσχῃ τυπτῆσαί τινα, μηδὲ τὴν τοσούτῳ τιμηθεῖσαν δώρῳ καταισχύνῃς τῇ τῆς πληγῆς ἁμαρτίᾳ. ἐννόησον τί δέχῃ τῇ χειρὶ, καὶ καθαρὰν αὐτὴν πλεονεξίας καὶ ἁρπαγῆς πάσης διατήρησον. λόγισαι ὅτι οὐ τῇ χειρὶ δέχῃ μόνον, ἀλλὰ καὶ τῷ στόματι προσάγεις· καὶ καθαρὰν φύλαττε τὴν γλῶτταν αἰσχρῶν καὶ ὑβριστικῶν ῥημάτων, βλασφημίας, ἐπιορκίας, καὶ τῶν ἄλλων τῶν τοιούτων ἁπάντων. καὶ γὰρ ὀλέθριον τὴν διακονουμένην μυστηρίοις οὕτω φρικωδεστάτοις, καὶ αἵματι φοινιχθεῖσαν τοιούτῳ, καὶ χρυσῆν γενομένην, μάχαιραν ἐπὶ λοιδορίας καὶ ὕβρεις καὶ εὐτραπελίας μετάγειν. αἰδέσθητι τὴν τιμὴν, ἣν ἐτίμη-

σεν αὐτὴν ὁ Θεός, καὶ μὴ καταγάγῃς εἰς τὴν τῆς ἁμαρτίας εὐτέλειαν· ἀλλ' ἐνθυμηθεὶς πάλιν, ὅτι μετὰ τὴν χεῖρα καὶ τὴν γλῶτταν ἡ καρδία δέχεται τὸ φρικτὸν ἐκεῖνο μυστήριον, μὴ ῥάψῃς ποτὲ κατὰ τοῦ πλησίον δόλον, ἀλλὰ κακουργίας ἁπάσης καθαρὰν διατήρησον τὴν διάνοιαν· οὕτω καὶ ὀφθαλμοὺς καὶ ἀκοὴν ἀσφαλίσασθαι δυνήσῃ. Πῶς γὰρ οὐκ ἄτοπον μετὰ τὴν μυστικὴν ἐκείνην φωνὴν καὶ ἐκ τῶν οὐρανῶν φερομένην (τὴν τῶν Χερουβὶμ λέγω) πορνικοῖς ᾄσμασι καὶ κατακεκλασμένοις μέλεσι τὴν ἀκοὴν μολύνειν; πῶς δὲ οὐκ ἐσχάτης κολάσεως ἄξιον, τοῖς ὀφθαλμοῖς, οἷς ὁρᾷς τὰ ἀπόρρητα καὶ φρικτὰ μυστήρια, τούτοις πόρνας ὁρᾶν, καὶ μοιχείαν ἐργάζεσθαι τὴν κατὰ διάνοιαν; Εἰς γάμον ἐκλήθης, ἀγαπητέ· μὴ εἰσέλθῃς ῥυπαρὰ ἐνδεδυμένος ἱμάτια, ἀλλὰ τῶν γάμων κατάλληλον λάβε στολήν. Εἰ γὰρ εἰς γάμους αἰσθητοὺς οἱ ἄνθρωποι καλούμενοι, κἂν ἁπάντων ὦσι πενέστεροι, χρησάμενοι πολλάκις ἢ πριάμενοι ἱμάτιον καθαρόν, οὕτω πρὸς τοὺς καλέσαντας αὐτοὺς ἀπαντῶσιν· ὁ πρὸς γάμον κληθεὶς πνευματικὸν [καὶ δεῖπνα βασιλικά,] ἐννόησον ἡλίκον ἂν εἴη δίκαιον, ἱμάτιόν σε πρίασθαι· μᾶλλον δὲ οὐδὲ ἀγοράσαι χρεία, ἀλλ' αὐτός σοι δίδωσιν ὁ καλῶν δωρεάν, ἵνα μηδὲ πενίαν προβαλέσθαι ἔχῃς. Τήρει τοίνυν ὅπερ ἔλαβες ἱμάτιον. Ἂν γὰρ ἀπολέσῃς, χρήσασθαι οὐ δύνασαι λοιπόν, οὐδὲ πρίασθαι· οὐδαμοῦ γὰρ πωλεῖται τοιοῦτον ἱμάτιον. Ἤκουσας πῶς ἐστέναζον οἱ πάλαι μυσταγωγηθέντες, καὶ τὸ στῆθος ἐπάταξαν, τοῦ συνειδότος αὐτοῖς ταῦτα διαναστήσαντος. Σκόπει τοίνυν, ἀγαπητέ, μὴ καὶ σύ ποτε τοῦτο πάθῃς. Πῶς δὲ οὐ πείσῃ, τὴν πονηρὰν συνήθειαν μὴ ἐκβαλὼν τῶν κακῶν; Διὰ τοῦτο καὶ πρώην εἶπον, καὶ νῦν λέγω, καὶ λέγων οὐ παύσομαι· εἴ τις τὰ ἐλαττώματα τῶν τρόπων μὴ διώρθωσε, μηδὲ παρεσκεύασεν ἑαυτῷ τὴν ἀρετὴν εὔκολον, μὴ βαπτιζέσθω. Τὰ μὲν γὰρ πρότερα ἁμαρτήματα ἀφεῖναι δύναται τὸ λουτρόν· δέος δὲ οὐ μικρὸν καὶ κίνδυνος οὐχ ὁ τυχών, μή ποτε πάλιν ἐπ' αὐτὰ ἐπανέλθωμεν, καὶ γένηται ἡμῖν ἕλκος τὸ φάρμακον. Ὅσῳ γὰρ μείζων γέγονεν ἡ χάρις, τοσούτῳ πλείων ἡ κόλασις τοῖς μετὰ ταῦτα ἁμαρτάνουσιν. Ἵν' οὖν μὴ πρὸς τὸν πρότερον ἐπανίωμεν ἔμετον, παιδεύσωμεν ἑαυτοὺς ἐντεῦθεν ἤδη. Ὅτι γὰρ δεῖ πρότερον μετανοήσαντας καὶ τῶν προτέρων ἀποστάντας κακῶν, οὕτω τῇ χάριτι προσιέναι, ἄκουσον τί μὲν Ἰωάννης παραινεῖ, τί δὲ ὁ τῶν ἀποστόλων κορυφαῖος τοῖς βαπτίζεσθαι μέλλουσιν. Ἐκεῖνος μὲν γάρ φησι· Ποιήσατε καρπὸν ἄξιον τῆς μετανοίας, Λουκ. γ. η. καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς, ὅτι πατέρα ἔχομεν τὸν Ἀβραάμ. Οὗτος δὲ τοῖς ἐρωτῶσι Πραξ. β. λη. πάλιν ἔλεγε· Μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ. Ὁ δὲ μετανοῶν οὐκ ἔτι τῶν αὐτῶν ἅπτεται πραγμάτων, ἐφ' οἷς μετενόησε. Διὰ τοῦτο καὶ κελευόμεθα λέγειν, Ἀποτάσσομαί σοι, Σατανᾶ, ἵνα μηκέτι πρὸς αὐτὸν ἐπανέλθωμεν. Καθάπερ οὖν ἐπὶ τῶν ζωγράφων γίνεται, οὕτω καὶ νῦν γινέσθω. Καὶ γὰρ ἐκεῖνοι τὰς σανίδας προθέντες, καὶ λευκὰς περιάγοντες γραμμάς, καὶ τὰς βασιλικὰς ὑπογράφοντες εἰκόνας, πρὶν ἢ τῶν χρωμάτων ἐπαγαγεῖν τὴν ἀλήθειαν, μετ' ἐξουσίας ἁπάσης τὰ μὲν ἐξαλείφουσι, τὰ δὲ ἀντεγγράφουσι, καὶ διορθοῦντες τὰ ἡμαρτημένα, καὶ μετατιθέντες τὰ κακῶς ἔχοντα· ἐπειδὰν δὲ λοιπὸν τὴν βαφὴν ἐπαγάγωσιν, οὐκ ἔτι εἰσὶ κύριοι πάλιν ἐξαλεῖψαι καὶ ἀντιγράψαι, ἐπεὶ τῷ κάλλει τῆς εἰκόνος λυμαίνονται, καὶ ἔγκλημα τὸ πρᾶγμα γίνεται. Τοῦτο δὴ καὶ σὺ ποίησον· νόμισον εἰκόνα σοι τὴν ψυχὴν εἶναι· πρὶν ἢ τοίνυν ἐπελθεῖν τὴν ἀληθῆ τοῦ πνεύματος βαφήν, ἐξάλειψον τὰς κακῶς ἐντεθείσας σοι συνηθείας. Εἴτε ὀμνύναι, εἴτε ψεύδεσθαι, εἴτε ὑβρίζειν, εἴτε αἰσχρολογεῖν, εἴτε γελωτοποιεῖν, εἴτε ἄλλο τι τῶν τοιούτων τῶν μὴ νενομισμένων συνήθειαν ἔχεις ποιεῖν, ἐξάλειψον τὴν συνήθειαν, ἵνα μὴ πάλιν πρὸς αὐτὴν ἐπανέλθῃς μετὰ τὸ βάπτισμα. Τὰ ἁμαρτήματα ἀφανίζει τὸ λουτρόν· τὴν συνήθειαν διόρθωσον σύ, ἵνα τῶν χρωμάτων ἐπενεχθέντων καὶ λαμψάσης τῆς βασιλικῆς εἰκόνος, μηκέτι λοιπὸν ἐξαλείφῃς, καὶ τραύματα καὶ οὐλὰς ἐμποιῇς τῷ παρὰ τοῦ Θεοῦ δοθέντι σοι κάλλει.

λει. κατάστελλον τοίνυν ὀργήν, σβέσον θυμόν. κἂν ἀδικήσῃ τις, κἂν ὑβρίσῃ, δάκρυσον ἐκεῖνον, μὴ ἀγανακτήσῃς· συνάλγησον, μὴ παροξυνθῇς, μηδὲ εἴπῃς, ὅτι εἰς ψυχὴν ἠδίκημαι. οὐκ ἔστιν οὐδεὶς εἰς ψυχὴν ἀδικούμενος, ἐὰν μὴ ἡμεῖς ἑαυτοὺς εἰς ψυχὴν ἀδικήσωμεν. καὶ πῶς, ἐγὼ λέγω. ἀφείλετό σού τις τὴν οὐσίαν; οὐκ ἠδίκησεν εἰς ψυχήν, ἀλλ' εἰς χρήματα. ἂν δὲ σὺ μνησικακήσῃς, εἰς ψυχὴν σαυτὸν ἠδίκησας. τὰ μὲν γὰρ χρήματα ἀφαιρεθέντα οὐδὲν ἐζημίωσεν, ἀλλὰ καὶ ὠφέλησε· σὺ δὲ τὴν ὀργὴν οὐκ ἀφείς, εὐθύνας ἐκδώσεις τῆς μνησικακίας ταύτης. ἐλοιδορήσατό τις καὶ ὕβρισεν; οὐδὲν εἰς ψυχὴν ἠδίκησεν, ἀλλ' οὐδὲ εἰς σῶμα. ἀντελοιδόρησας σύ, καὶ ὕβρισας; σὺ σαυτὸν εἰς ψυχὴν ἠδίκησας, τῶν ῥημάτων, ὧν εἶπας, ἐκεῖ μέλλων εὐθύνας ὑφέξειν. καὶ τοῦτο δὴ μάλιστα πάντων ὑμᾶς εἰδέναι βούλομαι, ὅτι τῶν χριστιανῶν καὶ πιστῶν οὐδεὶς εἰς ψυχὴν ἀδικῆσαι δυνήσεται, οὐδὲ αὐτὸς ὁ διάβολος. οὐ τοῦτο δὲ μόνον ἐστὶ τὸ θαυμαστόν, ὅτι ἀχειρώτους ἡμᾶς ὁ Θεὸς πάσαις ἐποίησε ταῖς ἐπιβουλαῖς, ἀλλ' ὅτι καὶ πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν ἐπιτηδείους ἡμᾶς κατεσκεύασε, καὶ κώλυμα οὐδέν ἐστιν, ἐὰν ἐθέλωμεν, κἂν πένητες ὦμεν, κἂν ἀσθενεῖς τὸ σῶμα, κἂν ἀπερριμμένοι, κἂν ἀνώνυμοι, κἂν οἰκέται. οὔτε γὰρ πενία, οὔτε ἀρρωστία, οὔτε σώματος πήρωσις, οὐ δουλεία, οὐκ ἄλλο τι τῶν τοιούτων οὐδὲν ἐμπόδιον πρὸς ἀρετὴν γένοιτ' ἂν ποτε. καὶ τί λέγω πένητα, καὶ οἰκέτην, καὶ ἀνώνυμον; κἂν δεσμώτης ᾖς, οὐδὲ τοῦτό σοι ἐμπόδιον γίνεται πρὸς ἀρετήν. καὶ πῶς, ἐγὼ λέγω. ἐλύπησέ τις τῶν ἔνδον καὶ παρώξυνεν; ἄφες αὐτῷ τὴν ὀργήν. μή τι σοι πρὸς τοῦτο τὰ δεσμὰ καὶ ἡ πενία καὶ τὸ ἄτιμον εἶναι ἐμπόδιον γέγονε; καὶ τί λέγω ἐμπόδιον; καὶ ἐβοήθησε μὲν οὖν, καὶ συνέπραξε πρὸς τὸ καταστεῖλαι τὸν τῦφον. εἶδες ἕτερον εὐπραγοῦντα; μὴ βασκάνῃς. οὐδὲ γὰρ ἐνταῦθα ἡ πενία κώλυμα γίνεται. πάλιν ὅταν εὔξασθαι δέῃ, νηφούσῃ καὶ ἀγρυπνούσῃ διανοίᾳ τοῦτο ποίησον· καὶ οὐδὲν ἔσται τὸ κωλῦον οὐδὲ ἐνταῦθα. πραότητα, ἐπιείκειαν ἐπιδείκνυσο πᾶσαν, σωφροσύνην, σεμνότητα. οὐδὲ γὰρ ταῦτα τῶν ἔξωθεν δεῖται βοηθημάτων. καὶ τοῦτο μάλιστα τὸ μέγιστόν ἐστι τῆς ἀρετῆς, ὅτι οὐ πλούτου, οὐ δυναστείας, οὐ δόξης, οὐκ ἄλλου τινὸς τῶν τοιούτων ἔχει χρείαν, ἀλλὰ ψυχῆς μόνης ἡγιασμένης, καὶ πλέον οὐδὲν ἐπιζητεῖ. ὅρα δὲ καὶ ἐπὶ τῆς χάριτος αὐτὸ τοῦτο γινόμενον. κἂν γὰρ χωλεύῃ τις, κἂν τοὺς ὀφθαλμοὺς ἐκκεκομμένος ᾖ, κἂν τὸ σῶμα πεπηρωμένος, κἂν εἰς ἐσχάτην καταπεπτωκὼς ἀρρωστίαν, οὐδὲν τοῦτον ἐπελθεῖν ἡ χάρις κωλύεται. ψυχὴν γὰρ ἐπιζητεῖ μόνην μετὰ προθυμίας αὐτὴν δεχομένην, καὶ ταῦτα ἅπαντα παρατρέχει τὰ ἔξωθεν. ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν στρατιωτῶν καὶ σώματος μέγεθος καὶ σαρκὸς εὐεξίαν ἐπιζητοῦσιν οἱ μέλλοντες αὐτοὺς καταλέγειν εἰς τὸ στρατόπεδον. οὐ ταῦτα δὲ μόνον ἔχειν χρὴ τὸν μέλλοντα στρατεύεσθαι, ἀλλὰ καὶ ἐλεύθερον εἶναι. ἂν γὰρ δοῦλός τις ᾖ, ἐκβάλλεται. ὁ δὲ τῶν ἁπάντων βασιλεὺς οὐδὲν τοιοῦτον ἐπιζητεῖ· ἀλλὰ καὶ δούλους δέχεται εἰς τὸ αὐτοῦ στρατόπεδον, καὶ γεγηρακότας, καὶ παρειμένους τὰ μέλη, καὶ οὐκ ἐπαισχύνεται. τί τούτου φιλανθρωπότερον, τί χρηστότερον γένοιτ' ἄν; οὗτος μὲν γὰρ τὰ ἐφ' ἡμῖν ζητεῖ μόνον, ἐκεῖνοι δὲ τὰ οὐκ ἐφ' ἡμῖν. τὸ γὰρ δοῦλον εἶναι ἢ ἐλεύθερον, οὐχ ἡμέτερον· τὸ ὑψηλὸν πάλιν εἶναι καὶ βραχύν, οὐκ ἐφ' ἡμῖν· τὸ γεγηρακότα καὶ ἄρτιον καὶ ὅσα τοιαῦτα· τὸ δὲ ἐπιεικῆ ἢ χρηστὸν εἶναι καὶ τὰ παραπλήσια τούτοις, τῆς ἡμετέρας γνώμης· καὶ ταῦτα ἡμᾶς ὁ Θεὸς ἀπαιτεῖ μόνα, ὧν ἡμεῖς ἐσμεν κύριοι. καὶ μάλα εἰκότως. οὐ γὰρ δι' οἰκείαν χρείαν, ἀλλὰ δι' εὐεργεσίαν ἡμᾶς ἐπὶ τὴν ἑαυτοῦ χάριν καλεῖ· οἱ δὲ βασιλεῖς διὰ τὴν ἑαυτῶν διακονίαν. κἀκεῖνοι μὲν ἐπὶ πόλεμον ἕλκουσιν αἰσθητόν, οὗτος δὲ ἐπὶ μάχην πνευματικήν. οὐκ ἐπὶ τῶν πολέμων δὲ μόνον τῶν ἔξωθεν, ἀλλὰ καὶ ἐπὶ τῶν ἀγώνων τὴν αὐτὴν ἀναλογίαν ἴδοι τις ἄν. οἱ γὰρ μέλλοντες εἰς τὸ θέατρον ἕλκεσθαι ἐκεῖνο, οὐ πρότερον καθιᾶσιν εἰς τοὺς ἀγῶνας, ἕως ἂν αὐτοὺς ὁ κῆρυξ λαβὼν ὑπὸ τοῖς ἁπάντων ὀφθαλμοῖς περιαγάγῃ βοῶν καὶ λέγων· μή τις τούτου κατηγορεῖ; καίτοιγε οὐκ ἔστιν ἐκεῖ ψυχῆς, ἀλλὰ σωμάτων τὰ παλαίσματα.

σματα. τίνος οὖν ἕνεκεν ″εὐθύνας ἀπαιτεῖς εὐγλωττίας; ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, ἀλλ' ἅπαν τοὐναντίον. οὐκ ἐν χειρῶν γὰρ συμπλοκαῖς ὄντων ἡμῖν τῶν ″ἀγώνων, ἀλλ' ἐν φιλοσοφίᾳ ψυχῆς καὶ ἀρετῇ διανοίας, τοὐναντίον ὁ ἀγωνοθέτης ποιεῖ. οὐ γὰρ λαβὼν αὐτὸν περιάγει καὶ λέγει, μή τις τοῦτον κατηγορεῖ; ἀλλὰ βοᾷ, κἂν ″ἄνθρωποι πάντες, κἂν δαίμονες μετὰ τοῦ διαβόλου συστάντες αὐτοῦ κατηγορῶσι τὰ αἴσχιστα καὶ ἀπόρρητα δεινά, οὐκ ἐκβάλλω, οὐδὲ βδελύσσομαι, ἀλλὰ τῶν κατηγόρων αὐτὸν ἀπαλλάξας, καὶ τῆς πονηρίας αὐτὸν ἐλευθερώσας, οὕτως ἐπὶ τοὺς ἀγῶνας ″ἄγω. καὶ μάλα εἰκότως. ἐκεῖ μὲν γὰρ ὁ ″ἀγωνοθέτης οὐδὲν συντελεῖ τοῖς ἀγωνιζομένοις πρὸς τὴν νίκην, ἀλλ' ἕστηκε μέσος· ἐνταῦθα δὲ ὁ ἀγωνοθέτης τῶν ἄθλων τῆς εὐσεβείας σύμμαχος γίνεται καὶ βοηθός, συνεφαπτόμενος αὐτοῖς τῆς πρὸς τὸν διάβολον μάχης. οὐ τοῦτο δὲ μόνον ἐστὶ τὸ θαυμαστόν, ὅτι ἀφίησιν ἡμῖν τὰ ἁμαρτήματα, ἀλλ' ὅτι αὐτὰ οὐδὲ ἐκκαλύπτει, οὐδὲ ποιεῖ αὐτὰ φανερὰ καὶ δῆλα, οὐδὲ ἀναγκάζει παρελθόντας εἰς μέσον ἐξειπεῖν τὰ πεπλημμελημένα, ἀλλ' ″αὐτῷ μόνῳ ἀπολογήσασθαι κελεύει, καὶ πρὸς αὐτὸν ἐξομολογήσασθαι. καίτοιγε ″ἐκ τῶν ἔξωθεν δικαστῶν εἴ τις εἴποι τινὶ τῶν ἁλόντων λῃστῶν ἢ τυμβωρύχων εἰπεῖν τὰ πεπλημμελημένα, καὶ ἀφεθῆναι τῆς κολάσεως, πάσῃ προθυμίᾳ ἂν ″κατεδέξατο τοῦτο, τῇ τῆς σωτηρίας ἐπιθυμίᾳ τῆς αἰσχύνης ″καταφρονήσας· ἐνταῦθα δὲ ″οὐδὲν τοιοῦτόν ἐστιν, ἀλλὰ καὶ ἀφίησι τὰ ἁμαρτήματα, καὶ οὐκ ἀναγκάζει παρόντων τινῶν αὐτὰ ἐκπομπεύεσθαι, ἀλλ' ἓν μόνον ζητεῖ, ὅπως αὐτὸς ὁ τῆς ἀφέσεως ἀπολαύων μάθοι τῆς δωρεᾶς τὸ μέγεθος. πῶς οὖν οὐκ ἄτοπον, ″εἰ αὐτὸς ἡμᾶς εὐεργετῶν ἀρκοῖτο τῇ παρ' ἡμῶν μαρτυρίᾳ μόνῃ, ἡμεῖς δὲ, ἐν οἷς [ἂν] αὐτὸν θεραπεύωμεν, ἑτέρους ἐπιζητοίημεν μάρτυρας καὶ πρὸς ἐπίδειξίν τι ποιοῖμεν; θαυμάσαντες αὐτοῦ τοίνυν τὴν φιλοφροσύνην, ἐπιδειξώμεθα τὰ παρ' ἡμῶν· καὶ πρὸ τῶν ἄλλων ἁπάντων τὴν τῆς γλώττης χαλινώσωμεν ″ῥύμην, καὶ μὴ ἀεὶ φθεγγώμεθα. Ἐκ γὰρ πολυλογίας, φησίν, οὐκ ἐκφεύξῃ ἁμαρτίαν. ἂν μὲν οὖν ἔχῃς τι χρήσιμον εἰπεῖν, διάνοιξον τὰ χείλη· ἂν δὲ μηδὲν ἀναγκαῖον ᾖ, ″σιγᾶν βέλτιον. χειροτέχνης εἶ; καθεζόμενος ψάλλε. ἀλλ' οὐ βούλει τῷ στόματι ψάλλειν; τῇ διανοίᾳ τοῦτο ποίει. μέγας συνόμιλος ὁ ψαλμός. οὐδὲν ἐντεῦθεν ὑποστήσῃ δεινόν, ἀλλ' ὡς ἐν μοναστηρίῳ δυνήσῃ καθέζεσθαι. οὐ γὰρ τόπων ἐπιτηδειότης, ἀλλὰ τρόπων ἀκρίβεια τὴν ἡσυχίαν ἡμῖν παρέξεται. Παῦλος γοῦν ἐν τῷ ἐργαστηρίῳ τῇ τέχνῃ κεχρημένος, οὐδὲν εἰς τὴν οἰκείαν ἀρετὴν παρεβλάβη. μὴ τοίνυν λέγε σύ, πῶς δυνήσομαι χειροτέχνης ὢν καὶ πένης φιλοσοφεῖν; διὰ τοῦτο μὲν οὖν μάλιστα δυνήσῃ φιλοσοφεῖν. καὶ γὰρ πενία πλούτου, καὶ ἐργασία ἀργίας πρὸς εὐλάβειαν ἡμῖν ἐπιτηδειότερον, ὥσπερ ὅ γε πλοῦτος τοῖς μὴ προσέχουσι καὶ ἐμπόδιον γίνεται. ὅταν γὰρ ὀργὴν δέῃ ἀφεῖναι, ὅταν σβέσαι φθόνον, ὅταν ″χαλινῶσαι θυμόν, ὅταν εὐχὴν ἐπιδείξασθαι, ὅταν ἐπιείκειαν καὶ πρᾳότητα, ὅταν φιλοφροσύνην καὶ ἀγάπην, ποῦ γένοιτ' ἂν ἡ πενία κώλυμα; οὐ γὰρ ἀργύριον καταβάλλοντας ταῦτα ἀνύσαι ἐστίν, ἀλλὰ προαίρεσιν ὀρθὴν ἐπιδειξαμένους. ἐλεημοσύνη μάλιστά ἐστιν ἡ χρημάτων δεομένη· ἀλλὰ καὶ αὕτη διὰ τῆς πενίας μειζόνως ἐξέλαμψε. καὶ γὰρ ἡ τοὺς δύο ὀβολοὺς καταβαλοῦσα ἁπάντων ἀνθρώπων ἦν πενεστέρα, καὶ πάντας ὑπερηκόντισε. μὴ τοίνυν μέγα νομίζωμεν εἶναι πλοῦτον, μηδὲ πηλοῦ βελτίονα εἶναι τὸν χρυσὸν λογιζώμεθα. ἡ γὰρ τιμὴ τῆς ὕλης οὐκ ἀπὸ τῆς φύσεως, ἀλλ' ἀπὸ τῆς ἡμετέρας ἐστὶ ″διανοίας. εἰ γάρ τις ἀκριβῶς ἐξετάσειε, πολὺ τοῦ χρυσοῦ σίδηρος ἀναγκαιότερος. ὁ μὲν γὰρ εἰς τὸν βίον οὐδεμίαν εἰσάγει χρείαν, οὗτος δὲ τὸ πλέον ἡμῖν κατεσκεύασε τῆς χρείας, μυρίαις τέχναις ὑπηρετούμενος. καὶ τί λέγω χρυσοῦ καὶ σιδήρου σύγκρισιν; τῶν γὰρ πολυτελῶν λίθων ἀναγκαιότεροι οἱ λίθοι οὗτοι. ἐξ ἐκείνων μὲν γὰρ οὐδὲν ἂν γένοιτο χρηστόν, ἀπὸ δὲ τούτων οἰκίαι τε καὶ τείχη καὶ πόλεις ἔστησαν. σὺ δέ μοι δεῖξον, τί τὸ κέρδος ἀπὸ τῶν μαργαριτῶν γένοιτ' ἂν τούτων, μᾶλλον δὲ ποῖον οὐκ ἂν γένοιτο βλάβος; καὶ γὰρ ἵνα σὺ κόκκον ἕνα φορέσῃς,

Παροιμ. ι. κ.

γρ. σώματος ἀτ.
γρ. παλαισμάτων
γρ. γυμνασ.
γρ. βασιλεὺς
γρ. τῷ λῃσ.
γρ. ἐκ τῶν ἔξωθεν δικαστηρίων
γρ. ἔξω
γρ. φροντίσας
γρ. οὐδέν τι
γρ. εἰ τοῖς αὐτοῖς ἡμᾶς εὐεργετεῖ, οἱ ἀρκοῖτο
γρ. ὕβριν
γρ. σιγᾶν βέλτιον γάρ.
γρ. χαλινῶσαι
γρ. διανοίας

φορέσῃς, μυρίοι τῷ λιμῷ πένητες ἄγχονται. ποίας οὖν ἀπολογίας τεύξῃ; τίνος συγγνώμης; βούλει κοσμῆσαι τὸ πρόσωπον; μὴ μαργαρίταις, ἀλλὰ σωφροσύνῃ καὶ σεμνότητι· οὕτω χαριεστέραν ὄψεται τὴν ὄψιν ὁ ἀνήρ. ἐκεῖνος μὲν γὰρ ὁ κόσμος καὶ εἰς ζηλοτυπίας ὑποψίαν ἐμβάλλειν εἴωθε, καὶ εἰς ἔχθρας καὶ φιλονεικίας καὶ μάχας ἐνάγει (οὐδὲν γὰρ ὄψεως ὑποπτευομένης ἀηδέστερον) ὁ δὲ τῆς ἐλεημοσύνης καὶ σωφροσύνης κόσμος πᾶσαν μὲν ἐκβάλλει πονηρὰν ὑπόνοιαν, παντὸς δὲ δεσμοῦ σφοδρότερον ἐπισπάσεται τὸν σύνοικον. οὐδὲ γὰρ οὕτω κάλλος φύσεως εὔμορφον ποιεῖ φαίνεσθαι τὴν ὄψιν, ὡς ἡ τοῦ θεωροῦντος αὐτὴν διάθεσις· διάθεσιν δὲ οὐδὲν οὕτως, ὡς σωφροσύνη καὶ σεμνότης ποιεῖν εἴωθεν. ὥστε κἂν εὔμορφος ᾖ τις, ἀπεχθῶς δὲ πρὸς αὐτὴν ὁ ἀνὴρ ἔχῃ, πασῶν αἰσχροτέρα αὐτῷ φανεῖται· κἂν μὴ τύχῃ τις εὐπρεπὴς οὖσα, ἡδέως δὲ πρὸς αὐτὴν ὁ ἀνὴρ ἔχῃ, πασῶν εὐμορφοτέρα αὐτῷ φανεῖται. οὐ γὰρ ἐν τῇ φύσει τῶν ὁρωμένων, ἀλλ' ἐν τῇ διαθέσει τῶν ὁρώντων αἱ ψῆφοι γίνονται. καλλώπισον τοίνυν τὴν ὄψιν σωφροσύνῃ, σεμνότητι, ἐλεημοσύνῃ, φιλανθρωπίᾳ, ἀγάπῃ, τῇ πρὸς τὸν ἄνδρα φιλοφροσύνῃ, ἐπιεικείᾳ, πρᾳότητι, ἀνεξικακίᾳ. ταῦτα τῆς ἀρετῆς τὰ χρώματα· διὰ τούτων ἀγγέλους, οὐκ ἀνθρώπους, ἐραστὰς ἐπισπάσῃ· διὰ τούτων αὐτὸν ἕξεις τὸν Θεὸν ἐπαινέτην. ὅταν δὲ ὁ Θεὸς ἀποδέξηται, καὶ τὸν ἄνδρα σοι ὑποτάξει πάντως. εἰ γὰρ σοφία ἀνθρώπου φωτίζει τὸ πρόσωπον, πολλῷ μᾶλλον ἀρετὴ γυναικὸς φωτίζει τὴν ὄψιν. εἰ δὲ μέγα νομίζεις εἶναι τοῦτον τὸν κόσμον, εἰπέ μοι, τί σοι τὸ ὄφελος ἀπὸ τῶν μαργαριτῶν τούτων ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γενήσεται; καὶ τί χρὴ λέγειν τὴν ἡμέραν ἐκείνην, ἐξὸν καὶ ἀπὸ τῶν παρόντων ταῦτα ἀποδεῖξαι πάντα; ὅτε γοῦν τοὺς δόξαντας εἰς τὸν βασιλέα ὑβρικέναι πρὸς τὸ δικαστήριον εἵλκοντο καὶ περὶ τῶν ἐσχάτων ἐκινδύνευον, τότε αἱ μητέρες καὶ αἱ γυναῖκες τὰ περιδέρραια καὶ τὰ χρυσία καὶ τοὺς μαργαρίτας ἀποτιθέμεναι, καὶ τὸν κόσμον ἅπαντα καὶ τὰ ἱμάτια τὰ χρυσᾶ, λιτὴν καὶ εὐτελῆ λαβοῦσαι ἐσθῆτα, καὶ σποδὸν καταπασάμεναι, καὶ πρὸ τῶν θυρῶν τοῦ δικαστηρίου καλινδούμεναι, οὕτω τοὺς δικάζοντας ἐπέκαμπτον. εἰ δὲ ἐπὶ τῶν ἐνταῦθα δικαστηρίων τὰ μὲν χρυσία καὶ οἱ μαργαρῖται καὶ ἡ ποικίλη ἐσθὴς ἐπιβουλὴ καὶ προδοσία γένοιτ' ἄν, ἡ δὲ ἐπιείκεια καὶ ἡ πρᾳότης καὶ ἡ τέφρα καὶ τὰ δάκρυα καὶ τὰ εὐτελῆ ἱμάτια μᾶλλον ἐπισπᾶται τὸν δικαστήν, πολλῷ μᾶλλον ἐπὶ τῆς ἀδεκάστου ψήφου καὶ φοβερᾶς ἐκείνης γένοιτ' ἂν τοῦτο. τίνα γὰρ ἕξεις, εἰπέ μοι, λόγον εἰπεῖν, ποίαν ἀπολογίαν, ὅταν ὁ δεσπότης ἐγκαλῇ σοι περὶ τῶν μαργαριτῶν τούτων, καὶ τοὺς πένητας εἰς μέσον ἀγάγῃ τῷ λιμῷ διαφθαρέντας; διὰ τοῦτο ὁ Παῦλος ἔλεγε· Μὴ ἐν πλέγμασιν, ἢ χρυσίῳ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ. ἐντεῦθεν μὲν γὰρ καὶ ἐπιβουλὴ γένοιτ' ἄν. εἰ δὲ καὶ διηνεκῶς αὐτῶν ἀπολαύσαιμεν, ἀλλὰ τῷ θανάτῳ πάντως ἀποστησόμεθα. ἀπὸ δὲ ἀρετῆς ἀσφάλεια πᾶσα, καὶ μεταβολὴ καὶ μετάπτωσις οὐδεμία· ἀλλὰ καὶ ἐνταῦθα ἡμᾶς ἀσφαλεστέρους ποιεῖ, καὶ ἐκεῖ συμμεθίσταται. βούλει κτήσασθαι μαργαρίτας, καὶ τὸν πλοῦτον τοῦτον μηδέποτε ἀποθέσθαι; περιελομένη τὸν κόσμον ἅπαντα εἰς τὰς τοῦ Χριστοῦ χεῖρας ἀπόθου διὰ τῶν πενήτων. ἐκεῖνός σοι φυλάξει τὸν πλοῦτον ἅπαντα, ἐπειδὰν ἀναστήσῃ σου τὸ σῶμα μετὰ πολλῆς τῆς λαμπρότητος. τότε σοι βελτίονα περιθήσει πλοῦτον καὶ κόσμον μείζονα. ὡς ὅ γε παρὼν οὗτος, εὐτελὴς καὶ καταγέλαστος. ἐννόησον γοῦν τίσιν ἀρέσκειν βούλει, καὶ διὰ τίνας περίκεισαι τὸν κόσμον τοῦτον. ἵνα ὁ σχοινοστρόφος καὶ ὁ χαλκοτύπος καὶ ὁ ἀγοραῖος ἰδόντες θαυμάσωσιν; εἶτα οὐκ αἰσχύνῃ, οὐδὲ ἐρυθριᾷς ἐκείνοις ἐπιδεικνυμένη· καὶ οὓς οὐδὲ ἀξίους εἶναι νομίζεις τῆς σῆς προσρήσεως, διὰ τούτους ἅπαντα ποιοῦσα; πῶς οὖν καταγελάσῃς τῆς φαντασίας ταύτης; ἂν ἀναμνησθῇς τῆς φωνῆς ἐκείνης, ἣν ἀφῆκας μυσταγωγουμένη· Ἀποτάσσομαί σοι, Σατανᾶ, καὶ τῇ πομπῇ σου, καὶ τῇ λατρείᾳ σου. ἡ γὰρ περὶ τὸν κόσμον τῶν μαργαριτῶν μανία, πομπὴ Σατανική ἐστι. χρυσίον γὰρ ἔλαβες, οὐχ ἵνα τὸ σῶμα καταδήσῃς, ἀλλ' ἵνα τοὺς πένητας λύσῃς καὶ διαθρέψῃς. λέγε τοίνυν συνεχῶς· Ἀποτάσσομαί σοι, Σατανᾶ. οὐδὲν ταύ-

Ἐκκλησ. η. α.

α Τιμ. β. θ.

τῆς ἀσφαλέστερον τῆς φωνῆς, εἰ διὰ τῶν ἔργων αὐτὴν ἐπιδειξόμεθα. ταύτην καὶ ὑμᾶς τοὺς μυσταγωγεῖσθαι μέλλοντας μαθεῖν ἄξιον. αὕτη γὰρ ἡ φωνὴ, συνθήκη πρὸς τὸν δεσπότην ἐστί· καὶ καθάπερ ἡμεῖς οἰκέτας ἀγοράζοντες, αὐτοὺς τοὺς πωλουμένους πρότερον ἐρωτῶμεν, εἰ βούλονται ἡμῖν δουλεῦσαι· οὕτω καὶ ὁ Χριστὸς ποιεῖ· ἐπειδὴ μέλλει σε εἰς δουλείαν λαμβάνειν, πρότερον ἐρωτᾷ, εἰ βούλει τὸν τύραννον ἐκεῖνον ἀφεῖναι τὸν ὠμὸν καὶ ἀπηνῆ, καὶ συνθήκας δέχεται παρὰ σοῦ. οὐ γὰρ κατηναγκασμένη ἡ δεσποτεία αὐτοῦ ἐστι. καὶ σκόπει Θεοῦ φιλανθρωπίαν. ἡμεῖς μὲν πρὶν ἢ τὴν τιμὴν καταβαλεῖν, ἐρωτῶμεν τοὺς πωλουμένους· καὶ ἐπειδὰν μάθωμεν, ὅτι βούλονται, τότε τὴν τιμὴν καταβάλλομεν· ὁ Χριστὸς δὲ οὐχ οὕτως· ἀλλὰ καὶ τὴν τιμὴν κατέβαλεν ὑπὲρ ἁπάντων ἡμῶν, τὸ τίμιον αὐτοῦ αἷμα (Τιμῆς γὰρ, φησιν, ἠγοράσθητε) καὶ ὅμως οὐδὲ οὕτως ἀναγκάζει μὴ βουλομένους αὐτῷ δουλεῦσαι· ἀλλ' εἰ μὴ χάριν ἔχεις, φησὶ, καὶ παρὰ σαυτοῦ καὶ ἑκὼν θέλεις ἐπιγράψασθαι τὴν δεσποτείαν, οὐκ ἀναγκάζω, οὐδὲ βιάζομαι. καὶ ἡμεῖς μάλιστα μὲν οὐκ ἂν ἑλοίμεθα πονηροὺς οἰκέτας πρίασθαι· εἰ δὲ καὶ ἑλοίμεθά ποτε, αἱρέσει κακῇ τούτους ἀγοράζομεν, καὶ τοιαύτην καταβάλλομεν τιμήν· ὁ δὲ Χριστὸς ἀγνώμονας οἰκέτας ἀγοράζων καὶ παρανόμους, δεσποτίου δούλου τιμὴν κατέθηκε, μᾶλλον δὲ πολλῷ μείζονα, καὶ τοσούτῳ μείζονα, ὡς μηδὲ λόγον, μηδὲ ἔννοιαν αὐτῆς παραστῆσαι τὸ μέγεθος. οὐ γὰρ οὐρανὸν καὶ γῆν καὶ θάλασσαν δοὺς, ἀλλὰ τὸ πάντων τούτων τιμιώτερον, τὸ ἑαυτοῦ αἷμα καταθεὶς, οὕτως ἡμᾶς ἐξηγόρασε. καὶ μετὰ ταῦτα πάντα οὐ μάρτυρας ἡμᾶς, οὐκ ἔγγραφα ἡμᾶς ἀπαιτεῖ, ἀλλ' ἀρκεῖται ψιλῇ τῇ φωνῇ. κἂν εἴπῃς ἀπὸ διανοίας, ἀποτάσσομαί σοι, Σατανᾶ, καὶ τῇ πομπῇ σου, τὸ πᾶν ἀπείληφε.

α. Κορ. ζ. κγ.

Τοῦτο τοίνυν λέγωμεν, ἀποτάσσομαί σοι, Σατανᾶ, ὡς ἐκεῖ μέλλοντες κατὰ τὴν ἡμέραν ἐκείνην ταύτην ἀπαιτεῖσθαι τὴν φωνήν· καὶ φυλάξωμεν αὐτὴν, ἵνα σώαν τὴν παρακαταθήκην ταύτην ἀποδῶμεν τότε. πομπὴ δὲ Σατανική ἐστι θέατρα καὶ ἱπποδρομίαι καὶ πᾶσα ἁμαρτία καὶ παρατήρησις ἡμερῶν καὶ κληδόνες καὶ σύμβολα. καὶ τί ποτέ ἐστι σύμβολα, φησί; πολλάκις ἐξελθών τις τὴν οἰκίαν τὴν ἑαυτοῦ, εἶδεν ἄνθρωπον ἑτερόφθαλμον ἢ χωλεύοντα, καὶ οἰωνίσατο. τοῦτο πομπὴ Σατανική. οὐ γὰρ ἡ ἀπάντησις τοῦ ἀνθρώπου πονηρὰν ποιεῖ τὴν ἡμέραν γενέσθαι, ἀλλὰ τὸ ἐν ἁμαρτίαις ζῆν. ὅταν τοίνυν ἐξέλθῃς, ἓν μόνον φυλάξαι, μὴ ἁμαρτία σοι ἀπαντήσῃ (αὕτη γάρ ἐστιν ἡ ἡμᾶς ὑποσκελίζουσα) χωρὶς δὲ ταύτης οὐδὲν ἡμᾶς ὁ διάβολος παραβλάψαι δυνήσεται). τί λέγεις; ἄνθρωπον ὁρᾷς, καὶ οἰωνίζῃ; καὶ οὐχ ὁρᾷς τὴν πληγὴν τὴν διαβολικήν, πῶς ἐκπολεμοῖ σε τῷ μηδὲν ἠδικηκότι; πῶς ἐχθρόν σε καθίστησι τῷ ἀδελφῷ χωρὶς οὐδεμιᾶς δικαίας προφάσεως; καὶ ὁ μὲν Θεὸς καὶ τοὺς ἐχθροὺς φιλεῖν ἐκέλευσε· σὺ δὲ καὶ τὸν οὐδὲν ἠδικηκότα ἀποστρέφῃ, μηδὲν ἔχων ἐγκαλεῖν. * οὐκ ἐννοεῖς, πόσος ὁ γέλως, πόση ἡ αἰσχύνη, μᾶλλον δὲ πόσος ὁ κίνδυνος; εἴπω καὶ ἕτερον καταγελαστότερον; αἰσχύνομαι μὲν καὶ ἐρυθριῶ, ἀναγκάζομαι δὲ ὅμως διὰ τὴν ὑμετέραν σωτηρίαν εἰπεῖν. ἐὰν ἀπαντήσῃ παρθένος, φησὶν, ἄπρακτος ἡ ἡμέρα γίνεται· ἐὰν δὲ ἀπαντήσῃ πόρνη, δεξιὰ καὶ χρηστὴ καὶ πολλῆς ἐμπορείας γέμουσα. ἐγκαλύπτεσθε, καὶ τὸ μέτωπον ἐκρούσατε, καὶ πρὸς τὴν γῆν κατεκύψατε; ἀλλὰ μὴ νῦν τῶν ῥημάτων λεγομένων, ἀλλὰ τῶν πραγμάτων γινομένων. ὅρα γοῦν καὶ ἐνταῦθα πῶς τὸν δόλον ἐνέκρυψεν ὁ διάβολος· πῶς τὴν μὲν σώφρονα ἀποστρεφόμεθα, τὴν δὲ ἀκόλαστον ἀσπαζόμεθα καὶ φιλοῦμεν. ἐπειδὴ γὰρ ἤκουσε τοῦ Χριστοῦ λέγοντος, ὅτι Ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτήν, καὶ εἶδε πολλοὺς περιγενομένους ἀκολασίας, βουλόμενος δι' ἑτέρας ὁδοῦ πάλιν ἐμβαλεῖν αὐτοὺς εἰς τὴν ἁμαρτίαν, διὰ ταύτης τῆς παρατηρήσεως ἑταιρίσι γυναιξὶν ἡδέως προσέχειν ἀνέπεισε. τί ἄν τις εἴποι περὶ τῶν ἐπῳδαῖς καὶ περιάπτοις κεχρημένων, καὶ νομίσματα χαλκᾶ Ἀλεξάνδρου τοῦ Μακεδόνος ταῖς κεφαλαῖς καὶ τοῖς ποσὶ περιδεσμούντων; αὗται αἱ ἐλπίδες

Ματθ. ε. κη.

ἡμῶν, εἰπέ μοι, ἵνα μετὰ σταυρὸν καὶ θάνατον δεσποτικὸν, εἰς ἕλληνος βασιλέως εἰκόνα τὰς ἐλπίδας τῆς σωτηρίας ἔχῃς; οὐκ οἶδας, πόσα κατώρθωσεν ὁ σταυρός; τὸν θάνατον κατέλυσε, τὴν ἁμαρτίαν ἔσβεσε, τὸν ᾅδην ἄχρηστον ἐποίησε, τοῦ διαβόλου τὴν δύναμιν ἐξέλυσε, καὶ εἰς σώματος ὑγείαν οὐκ ἔστιν ἀξιόπιστος; τὴν οἰκουμένην ἀνέστησεν ἅπασαν, καὶ σὺ αὐτῷ οὐ θαῤῥεῖς; καὶ τίνος ἄξιος ἂν εἴης, εἰπέ μοι; οὐ περίαπτα δὲ μόνον, ἀλλὰ καὶ ἐπῳδὰς σαυτῷ περιάγεις, γραΐδια μεθύοντα καὶ παραπαίοντα εἰς τὴν οἰκίαν σου εἰσάγων. καὶ οὐκ αἰσχύνῃ οὐδὲ ἐρυθριᾷς μετὰ τοσαύτην φιλοσοφίαν πρὸς ταῦτα ἐπτοημένος; καὶ τὸ χαλεπώτερον τῆς ἀπάτης· ὅταν γὰρ παραινῶμεν ταῦτα καὶ ἀπάγωμεν, δοκοῦντες ἀπολογεῖσθαί φασιν, ὅτι χριστιανή ἐστιν ἡ γυνὴ ἡ ταῦτα ἐπᾴδουσα, καὶ οὐδὲν ἕτερον φθέγγεται, ἢ τὸ τοῦ Θεοῦ ὄνομα. διὰ τοῦτο μὲν οὖν αὐτὴν μάλιστα μισῶ καὶ ἀποστρέφομαι, ὅτι τῷ ὀνόματι τοῦ Θεοῦ πρὸς ὕβριν * κατακέχρηται· ὅτι λέγουσα χριστιανὴ εἶναι, τὰ τῶν ἑλλήνων ἐπιδείκνυται. καὶ γὰρ οἱ δαίμονες τὸ τοῦ Θεοῦ ὄνομα ἐφθέγγοντο, ἀλλ' ἦσαν δαίμονες, καὶ οὕτως ἔλεγον πρὸς τὸν Χριστόν· Οἴδαμέν σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ· καὶ ὅμως ἐπεστόμισεν αὐτοὺς, καὶ ἀπήλασε. διὸ δὴ ταῦτα παρακαλῶ τῆς ἀπάτης καθαρεύειν ταύτης, καὶ καθάπερ βακτηρίαν ἔχειν τὸ ῥῆμα τοῦτο. καὶ ὥσπερ χωρὶς ὑποδημάτων ἢ ἱματίων οὐκ ἂν ἕλοιτό τις ὑμῶν εἰς τὴν ἀγορὰν κατιέναι, οὕτω χωρὶς τοῦ ῥήματος τούτου μηδέποτε εἰς τὴν ἀγορὰν ἐμβάλῃς· ἀλλ' ὅταν μέλλῃς ὑπερβαίνειν τὰ πρόθυρα τοῦ πυλῶνος, οὕτω φθέγξαι τὸ ῥῆμα πρότερον· ἀποτάσσομαί σοι, Σατανᾶ, καὶ τῇ πομπῇ σου, καὶ τῇ λατρείᾳ σου, καὶ συντάσσομαί σοι, Χριστέ· καὶ μηδέποτε χωρὶς τῆς φωνῆς ταύτης ἐξέλθῃς. τοῦτό σοι βακτηρία ἔσται, τοῦτο ὅπλον, τοῦτο πύργος ἄμαχος, καὶ μετὰ τοῦ ῥήματος τούτου καὶ τὸν σταυρὸν ἐπὶ τοῦ μετώπου διατύπωσον. οὕτω γὰρ οὐ μόνον ἂν ἄνθρωπος ἀπαντῶν, ἀλλ' οὐδὲ αὐτὸς ὁ διάβολος βλάψαι τι δυνήσεται, μετὰ τούτων σε ὁρῶν τῶν ὅπλων πανταχοῦ φαινόμενον. καὶ ταῦτα σαυτὸν ἤδη ἐντεῦθεν παίδευσον, ἵν', ὅταν τὴν σφραγῖδα λάβῃς, ἐμπαράσκευος ᾖς στρατιώτης, καὶ τὸ κατὰ τοῦ διαβόλου τρόπαιον στήσας, δέξῃ τὸν τῆς δικαιοσύνης στέφανον· οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἔχωμεν;
κατέλυσεν
περιάπτεις,
τοῦ Θεοῦ
ἐπετίμησεν
καθεῖναι

Μαρκ. α. ιδ.

ΟΤΙ ΟΥΚ ΑΡΚΕΙ Η ΝΗΣΤΕΙΑ ΤΗΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ ΠΡΟΣ ΤΟ ΔΥΝΑΣΘΑΙ

κοινωνεῖν, ἀλλὰ καὶ δεῖ τῆς κατὰ ψυχὴν ἀρετῆς πρώτης· καὶ πῶς δυνατὸν
μὴ μνησικακεῖν· καὶ ὅτι πολὺς τῷ Θεῷ τοῦ νόμου τούτου λόγος· καὶ ὅτι
περὶ τῆς γεέννης τὸ μνησικακεῖν κολάζει τοὺς ἁλόντας· καὶ
περὶ τῆς τῶν ὅρκων ἀποχῆς· καὶ περὶ τῶν
μὴ κατωρθωκότων τὸ μὴ ὀ-
μνύειν.

Πρὸς τὸ τέλος ἡμῖν τῆς νηστείας λοιπὸν ὁ καιρὸς ἐπείγεται, οὐκοῦν καὶ ἡμεῖς πρὸς πλείονα ἑαυτοὺς ἐπιδῶμεν ἀρετήν. ὥσπερ γὰρ οὐδὲν ὄφελος τῶν πολλῶν διαύλων τοῖς τρέχουσιν, ἂν τῶν βραβείων ἐκπέσωσιν, οὕτως οὐδὲ ἡμῖν ἔσται τι κέρδος ἀπὸ τῶν πολλῶν πόνων καὶ τῶν ἱδρώτων τῶν περὶ τὴν νηστείαν, ἐὰν μὴ μετὰ καθαροῦ συνειδότος δυνηθῶμεν τῆς ἱερᾶς ἀπολαῦσαι τραπέζης. διὰ

Συνωθεῖ-
ἐλ συν-
ίνωμεν

τοῦτο νηστεία, καὶ τεσσαρακοστὴ, καὶ τοσούτων ἡμερῶν σύναξις, καὶ ἀκρόασις, καὶ εὐχαὶ, καὶ διδασκαλίαι; ἵνα παντὶ τρόπῳ τὰ παρὰ πάντα τὸν ἐνιαυτὸν ἡμῖν ἁμαρτήματα προστριβέντα διὰ τῆς σπουδῆς ταύτης* ἀποσμηξάμενοι, μετὰ παρρησίας τῆς πνευματικῆς μεταλάβωμεν ἐκείνης τῆς θυσίας. ὡς ἂν μὴ τοῦτο ᾖ, μάτην καὶ εἰκῆ καὶ ἐπ' οὐδενὶ χρησίμῳ τὸν τοσοῦτον ὑπέστημεν πόνον. ἕκαστος τοίνυν ἀναλογιζέσθω πρὸς ἑαυτὸν, ποῖον ἐλάττωμα διώρθωσε, ποῖον κατόρθωμα προσεκτήσατο, ποίαν ἁμαρτίαν ἀπεβάλετο, ποίαν κηλῖδα ἀπενίψατο, κατὰ τί βελτίων ἐγένετο. κἂν μὲν εὕρῃ πλέον τι γενόμενον ἀπὸ τῆς νηστείας ἑαυτῷ πρὸς τὴν καλὴν ταύτην ἐμπορίαν, καὶ συνειδῇ πολλὴν ἑαυτῷ πεποιημένον τῶν τραυμάτων τὴν ἐπιμέλειαν, προσερχέσθω· εἰ δὲ ἠμελημένος ἔμεινε, νηστείαν μόνον ἔχων ἐπιδείξασθαι, τῶν δὲ ἄλλων οὐδὲν κατωρθωκὼς, ἔξω μενέτω· καὶ τότε εἰσίτω, ὅταν ἅπαντα ἐκκαθάρῃ τὰ ἁμαρτήματα*. τὸν μὲν γὰρ μὴ νηστεύοντα εἰκὸς καὶ συγγνώμης τυχεῖν, σώματος ἀσθένειαν προβαλλόμενον· τὸν δὲ μὴ ἐξορθώσαντα ἑαυτοῦ τὰ πλημμελήματα, ἀμήχανον ἀπολογίας τυχεῖν. οὐκ ἐνήστευσας διὰ τὴν τῆς σαρκὸς ἀσθένειαν· τοῖς ἐχθροῖς σου τίνος ἕνεκεν οὐ κατηλλάγης; μὴ καὶ ἐνταῦθα ἀσθένειαν σώματος προβάλλεσθαι ἔχεις; πάλιν ἂν βασκανίαν καὶ φθόνον μένῃς ἔχων, ποίαν ἕξεις ἀπολογίαν, εἰπέ μοι; οὐδαμοῦ γὰρ ἐν τούτοις τοῖς ἐλαττώμασιν ἐπὶ σώματος ἀσθένειαν ἔστι καταφυγεῖν. καὶ τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἔργον ἐγένετο, τὸ τὰς κυριωτάτας τῶν ἐντολῶν καὶ συνεχούσας ἡμῶν τὴν ζωὴν μηδὲν ἀπὸ τῆς τοῦ σώματος ἀσθενείας παραβλάπτεσθαι. ἐπεὶ οὖν πάντων μὲν ὁμοίως δεόμεθα τῶν ἱερῶν νόμων, μάλιστα δὲ πάντων, τοῦ κελεύοντος μηδένα ἔχειν ἐχθρὸν, μηδὲ μένειν ὀργιζόμενον διηνεκῶς, ἀλλὰ καταλλάττεσθαι εὐθέως· φέρε περὶ ταύτης ὑμῖν διαλεχθῶμεν σήμερον τῆς ἐντολῆς. ὥσπερ γὰρ τὸν πορνεύοντα καὶ τὸν βλασφημοῦντα ἀμήχανον τῆς ἱερᾶς μετασχεῖν τραπέζης· οὕτω τὸν ἐχθρὸν ἔχοντα καὶ μνησικακοῦντα ἀδύνατον ἀπολαῦσαι κοινωνίας ἁγίας. καὶ μάλα εἰκότως. ὁ μὲν γὰρ πορνεύσας καὶ μοιχεύσας ὁμοῦ τε ἐπλήρωσε τὴν ἐπιθυμίαν, καὶ τέλος ἔδωκε τῇ ἁμαρτίᾳ· κἂν θελήσῃ νήψας ἀνενεγκεῖν ἀπὸ τοῦ πτώματος, πολλὴν μετὰ ταῦτα ἐπιδειξάμενος τὴν μετάνοιαν, ἕξει πάντως παραμυθίαν οὐ τὴν τυχοῦσαν· ὁ δὲ μνησικακῶν καθ' ἑκάστην ἡμέραν ἐργάζεται τὴν ἁμαρτίαν, καὶ οὐδέποτε ταύτην ἀπαρτίζει. ἐκεῖ γέγονε τὸ πλημμέλημα, καὶ ἐπληρώθη ἡ ἁμαρτία· ἐνταῦθα καθ' ἑκάστην ἡμέραν τολμᾶται ἡ ἁμαρτία. τίνα οὖν ἕξομεν, εἰπέ μοι, συγγνώμην τοιούτῳ πονηρῷ θηρίῳ* παραδιδόντες ἑαυτοὺς ἑκόντες; πῶς δὲ βούλει τὸν δεσπότην, ὦ ἄνθρωπε, ἥμερόν σοι γενέσθαι καὶ πρᾶον, τῷ συνδούλῳ γενόμενος αὐτὸς χαλεπὸς καὶ ἀσύγγνωστος; ἀλλ' ὕβρισέ σε ὁ σύνδουλος. καὶ σὺ τὸν Θεὸν ὑβρίζεις πολλάκις. πῶς δὲ ἴσον σύνδουλος καὶ δεσπότης; καὶ οὗτος μὲν ἐνίοτε καὶ ἠδικημένος ἴσως ὕβρισε, καὶ παροξυνθείς· σὺ δὲ τὸν δεσπότην ὑβρίζεις οὐκ ἠδικημένος, οὐδὲ ἐπηρεαζόμενος, ἀλλ' εὐεργετούμενος καθ' ἑκάστην ὑπ' αὐτοῦ τὴν ἡμέραν. ἐννόησον τοίνυν, ὅτι εἰ βουληθείη μετὰ ἀκριβείας τὰ εἰς αὐτὸν γινόμενα ὁ Θεὸς ἐξετάζειν, οὐδὲ μίαν βιωσόμεθα τὴν ἡμέραν· Αμαρτίας γὰρ, φησὶν ὁ προφήτης, ἐὰν παρατηρήσῃς, Κύριε, Κύριε τίς ὑποστήσεται; καὶ ἵνα παρῶ τὰ ἄλλα πάντα, ἃ τὸ συνειδὸς ἑκάστου τῶν ἁμαρτημάτων ἐπίσταται, καὶ ὧν οὐκ ἔχει μάρτυρας ἀνθρώπους, ἀλλὰ τὸν Θεὸν μόνον, τῶν φανερῶν τούτων καὶ ὡμολογημένων ἂν ἀπαιτηθῶμεν λόγον, ποίαν ἐν τούτοις ἕξομεν συγγνώμην; ἂν ἐξετάσῃ τὴν ῥᾳθυμίαν ἡμῶν τὴν ἐν ταῖς εὐχαῖς, καὶ τὴν ὀλιγωρίαν, καὶ ὅτι ἔμπροσθεν τοῦ Θεοῦ ἑστῶτες καὶ παρακαλοῦντες αὐτὸν, οὐδὲ τοσαύτην αὐτῷ παρέχομεν αἰδῶ καὶ τιμὴν, ὅσην τοῖς δεσπόταις οἱ δοῦλοι, ὅσην τοῖς ἄρχουσιν οἱ στρατιῶται, ὅσην τοῖς φίλοις οἱ φίλοι. φίλῳ μὲν γὰρ διαλεγόμενος μετὰ τοῦ προσέχειν τοῦτο ποιεῖς, Θεῷ δὲ ἐντυγχάνων ὑπὲρ ἁμαρτημάτων τοσούτων, συγχώρησιν αἰτῶν καὶ συγγνώμην ἀξιῶν σοι γενέσθαι, ῥᾳθυμεῖς πολλάκις, καὶ τῶν γονάτων σου χαμαὶ κειμένων, πολλαχοῦ τῆς ἀγορᾶς, καὶ τῆς οἰκίας πλανᾶσθαί σου τὴν διάνοιαν ἐᾷς.

Ψαλ. ρλ γ.

ἐᾶς, τοῦ στόματός σου ληρῳδοῦντος εἰκῇ καὶ μάτην. καὶ τοῦτο οὐχ ἅπαξ, οὐδὲ δὶς, ἀλλὰ καὶ πολλάκις πάσχομεν. ἂν τοῦτο μόνον ἐξετάσαι θελήσῃ ὁ Θεὸς, ἆρα ἕξομεν συγγνώμην; ἆρα δυνησόμεθα ἀπολογίας τυχεῖν; οὐκ ἔγωγε οἶμαι. τί δὲ, ἂν τὰς κατηγορίας, ἃς καθ᾽ ἑκάστην ἡμέραν ἀλλήλους λέγομεν κακῶς, εἰς μέσον παραγάγῃ, καὶ τὰς κρίσεις τὰς ἀκαίρους, ἐν αἷς κατακρίνομεν τὸν πλησίον, οὐδὲν ἔχοντες πρᾶγμα, ἀλλὰ φιλαίτιοί τινες ὄντες, καὶ μεμψίμοιροι, τί δυνησόμεθα ἀπολογήσασθαι καὶ εἰπεῖν; ἂν δὲ τὰς περιέργους ἡμῶν ὄψεις ἐξετάσῃ καὶ τὰς πονηρὰς ἐπιθυμίας, ἃς ἔχομεν ἐν τῇ διανοίᾳ, πολλάκις αἰσχροὺς καὶ ἀκαθάρτους ἀναδεχόμενοι λογισμοὺς ἀπὸ τῆς ἀνεξετάστου τῶν ὀφθαλμῶν πλάνης, πόσην ὑποστησόμεθα δίκην; τῆς δὲ λοιδορίας ἡμᾶς ἂν ἀπαιτήσῃ λόγον (Ὃς γὰρ ἂν εἴπῃ, φησὶ, τῷ ἀδελφῷ αὐτοῦ, μωρὲ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρὸς) ἆρα δυνησόμεθα διᾶραι τὸ στόμα; ἢ χάναι μὲν ὅλως, ἢ μικρὸν, ἢ μέγα πρὸς τοῦτο εἰπεῖν; τὰς δὲ κενοδοξίας, ἃς ὑπομένομεν καὶ εὐχόμενοι, καὶ νηστεύοντες, καὶ ἐλεημοσύνην ποιοῦντες ἂν ἐξετάσωμεν, οὐ λέγω ὁ Θεὸς, ἀλλ᾽ ἡμεῖς αὐτοὶ οἱ ἡμαρτηκότες, ἆρα δυνησόμεθα εἰς τὸν οὐρανὸν ἀναβλέψαι; τοὺς δὲ δόλους, οὓς κατ᾽ ἀλλήλων ῥάπτομεν, νῦν μὲν παρόντα ἐπαινοῦντες τὸν ἀδελφὸν, καὶ ὡς φίλῳ διαλεγόμενοι, ἀπόντα δὲ κατηγοροῦντες, ἆρα ὑποστησόμεθα τὰς ὑπὲρ τούτων κολάσεις; τί δὲ τοὺς ὅρκους; τί δὲ τὸ ψεῦδος; τί δὲ τὰς ἐπιορκίας; τοὺς ἀδίκους θυμούς; τὴν βασκανίαν, ἣν βασκαίνομεν πολλάκις εὐδοκιμοῦσιν οὐκ ἐχθροῖς μόνον, ἀλλὰ καὶ φίλοις; καὶ [ὅτι] ἡδόμεθα, πασχόντων ἑτέρων κακῶς, καὶ νομίζομεν παραμυθίαν * τῆς οἰκείας συμφορᾶς τὰς ἀλλοτρίας δυσημερίας; τῆς δὲ ἐν ταῖς συνάξεσι ῥᾳθυμίας ἂν ἀπαιτήσῃ τὰς εὐθύνας, τί ἂν πάθωμεν; ἴστε γὰρ δήπου τοῦτο, ὅτι πολλάκις αὐτοῦ τοῦ Θεοῦ διαλεγομένου πρὸς πάντας ἡμᾶς διὰ τοῦ προφήτου, πολλοὺς καὶ μακροὺς πρὸς τὸν πλησίον ποιούμεθα λόγους περὶ τῶν οὐδὲν ἡμῖν προσηκόντων πραγμάτων.

Ματθ. ε. κβ.

Ἂν τοίνυν πάντα παρεὶς τὰ ἄλλα, ταύτης τῆς ἁμαρτίας θελήσῃ δίκην ἀπαιτῆσαι ἡμᾶς, ποία σωτηρίας ἔσται ἡμῖν ἐλπίς; μὴ γὰρ δὴ μικρὸν εἶναι νομίσῃς τὸ πλημμέλημα· ἀλλ᾽ εἰ βούλει τὸ μέγεθος αὐτοῦ κατιδεῖν, ἐπὶ ἀνθρώπων αὐτὸ τοῦτο ἐξέτασον, καὶ τότε ὄψει τῆς ἁμαρτίας τὸ μέγεθος. τόλμησον, ἄρχοντος πρὸς σὲ φθεγγομένου, μᾶλλον δὲ φίλου τινὸς τῶν ὀλίγῳ σεμνοτέρων, ἀφεὶς αὐτὸν πρὸς τὸν οἰκέτην διαλέγεσθαι τὸν σαυτοῦ, καὶ τότε ὄψει ἡλίκον τολμᾷς ἐπὶ τοῦ Θεοῦ τοῦτο ποιῶν. ἐὰν γὰρ ᾖ τις τῶν περιφανεστέρων ἐκεῖνος, καὶ δίκην σε ἀπαιτήσει τῆς ὕβρεως. ἀλλ᾽ ὁ Θεὸς τοσαῦτα καὶ πλείονα τούτων καθ᾽ ἑκάστην ὑβριζόμενος τὴν ἡμέραν, οὐ παρὰ ἑνὸς, καὶ δύο, καὶ τριῶν ἀνθρώπων, ἀλλὰ παρὰ πάντων σχεδὸν ἡμῶν ἀνέχεται καὶ μακροθυμεῖ· καὶ οὐκ ἐπὶ τούτοις μόνον, ἀλλὰ καὶ ἐφ᾽ ἑτέροις πολλοῖς χαλεπωτέροις. ταῦτα μὲν γὰρ ἐστὶ τὰ ὡμολογημένα, καὶ πᾶσι δῆλα, καὶ ὑπὸ πάντων σχεδὸν τολμώμενα· ἔστι δὲ καὶ ἕτερα, ἅπερ τὸ τῶν ἁμαρτανόντων συνειδὸς οἶδεν. ἐὰν τοίνυν ἅπαντα ταῦτα ἐννοηθῶμεν, καὶ πρὸς ἑαυτοὺς ἀναλογισώμεθα, καὶ ἁπάντων ὧν ἐσμὲν ὠμότεροι, καὶ ἀπηνέστεροι, τὸ πλῆθος τῶν ἁμαρτιῶν ἡμῶν σκοπήσαντες, ἀπὸ τοῦ φόβου καὶ τῆς ἀγωνίας οὐδὲ μνησθῆναι τῆς παρὰ ἑτέρων εἰς ἡμᾶς γεγενημένης ὕβρεως δυνησόμεθα. ἀναμνήσθητι τοῦ ποταμοῦ τοῦ πυρὸς, τοῦ σκώληκος τοῦ ἰοβόλου, τῆς φοβερᾶς κρίσεως, καθ᾽ ἣν ἅπαντα γυμνὰ καὶ τετραχηλισμένα. ἐννόησον, ὅτι τὰ κρυπτόμενα νῦν ἐκκαλύπτεται τότε. ἂν τοίνυν ἀφῇς τῷ πλησίον τὰ παραπτώματα, ἅπερ ἐκκαλύπτεσθαι μέλλει τότε, ἐνταῦθα ἀφανίζεται πάντα, καὶ ἀπελεύσῃ μηδὲν ἐπισυρόμενος, ὧν ἐπλημμέλησας· ὥστε μείζονα λαμβάνεις, ἢ δίδως. καὶ γὰρ πολλὰ πολλάκις ἡμαρτήκαμεν τοιαῦτα, ἃ μηδεὶς ἕτερος οἶδεν· εἶτα ἐννοοῦντες, ὅτι κατὰ τὴν ἡμέραν ἐκείνην πρὸ τῶν ὀφθαλμῶν ἁπάντων κείσεται ἡμῶν τὰ ἁμαρτήματα ἐν τῷ κοινῷ τῆς οἰκουμένης θεάτρῳ, τῆς κολάσεως χαλεπώτερον ἀλγοῦμεν, πνιγόμενοι καὶ ἀγχόμενοι τῷ συνειδότι. ἀλλὰ τὴν τοσαύτην αἰσχύνην, τὰ τοσαῦτα

ἁμαρτήματα, τὴν τοσαύτην κόλασιν ἔστιν ἀπονίψασθαι διὰ τῆς εἰς τὸν πλησίον συγχωρήσεως. καὶ γὰρ οὐδὲν ταύτης ἴσον ἐστὶ τῆς ἀρετῆς. βούλει μαθεῖν ταύτης τῆς ἀρετῆς
Ἱερ. ιε. α. τὴν δύναμιν; Ἐὰν στῇ Μωϋσῆς καὶ Σαμουήλ, φησι, πρὸ προσώπου μου, οὐκ ἔστιν ἡ ψυχή μου πρὸς αὐτούς. ἀλλ' ὅμως τούτους, οὓς οὐκ ἠδυνήθη Μωϋσῆς καὶ Σαμουὴλ ἐξαρπάσαι τῆς ὀργῆς τοῦ Θεοῦ, αὕτη ἠδύνατο ἐξαρπάσαι ἡ ἐντολή. διὰ τοῦτο ἐκείνοις, οἷς ταῦτα
Ζαχ. ζ. ι. εἶπε, συνεχῶς παρεκελεύετο λέγων· Κακίαν ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ μὴ μνησικακείτω
Ζαχ. η. ιζ. ἐν ταῖς καρδίαις ὑμῶν, καὶ τὴν κακίαν τοῦ πλησίον αὐτοῦ ἕκαστος μὴ λογιζέσθω. οὐκ εἶπεν, ἄφες μόνον, ἀλλὰ μηδὲ ἔχε ἐν διανοίᾳ, μηδὲ λογίζου. ἄφες τὴν ὀργὴν ἅπασαν, ἀφάνισον τὸ ἕλκος. δοκεῖς μὲν γὰρ ἐκεῖνον ἀμύνεσθαι, πρότερον δὲ σαυτὸν βασανίζεις, καθάπερ δήμιον ἔνδοθεν περιστήσας σου πανταχόθεν τὸν θυμόν, καὶ καταξαίνων σαυτοῦ τὰ σπλάγχνα. τί γὰρ γένοιτο ἀθλιώτερον ἀνθρώπου διηνεκῶς ὀργιζομένου; καθάπερ οἱ μεμηνότες οὐδέποτε ἀπολαύουσι γαλήνης, οὕτως ὁ μνησικακῶν, καὶ ἐχθρὸν ἔχων, οὐδέποτε ἀπολαύσεταί τινος εἰρήνης, διηνεκῶς φλεγμαίνων, καὶ τὸν χειμῶνα τῶν λογισμῶν καθ' ἑκάστην αὔξων τὴν ἡμέραν, τὰ ῥήματα ἀναμιμνησκόμενος καὶ τὰ πράγματα, καὶ πρὸς αὐτὴν τὴν προσηγορίαν τοῦ λελυπηκότος ἀπεχθῶς ἔχων. καὶ τὸ ὄνομα μόνον εἴπῃς τοῦ ἐχθροῦ, ἐκθηριοῦται καὶ πολλὴν ἔνδον ὑπομένει τὴν ὀδύνην· κἂν ψιλὴν ἴδῃ τὴν ὄψιν μόνον, δέδοικε καὶ τρέμει καθάπερ τὰ ἔσχατα πάσχων κακά· κἂν τινα τῶν ἐκείνῳ προσηκόντων, κἂν ἱμάτιον, κἂν οἰκίαν, κἂν στενωπὸν θεάσηται, ὑπὸ πάντων βασανίζεται τῶν ὁρωμένων. καθάπερ γὰρ τῶν φιλουμένων καὶ τὰ ἱμάτια, καὶ τὰ πρόσωπα, καὶ τὰ ὑποδήματα, καὶ αἱ οἰκίαι, καὶ οἱ στενωποὶ διεγείρουσιν ἡμᾶς εὐθέως ὀφθέντα, οὕτω τῶν ἐχθρῶν καὶ μισουμένων κἂν οἰκέτην, κἂν φίλον, κἂν οἰκίαν, κἂν στενωπὸν ἴδωμεν, κἂν ὁτιοῦν ἕτερον, ὑπὸ πάντων δακνόμεθα, καὶ πυκναὶ καὶ συνεχεῖς ἡμῖν ἀφ' ἑκάστου τῶν ὁρωμένων πληγαὶ γίνονται. τίς οὖν χρεία τῆς* τοσαύτης βασάνου καὶ κολάσεως; εἰ γὰρ καὶ μὴ γέεννα προηπείλητο τοῖς μνησικάκοις, διὰ τὴν ἐκ τοῦ πράγματος ἡμῖν γινομένην βάσανον ἀφεῖναι τὰ ἁμαρτήματα τοῖς λελυπηκόσιν ἐχρῆν. ὅταν δὲ καὶ ἀθάνατοι μένωσιν αἱ τιμωρίαι, τί γένοιτ' ἂν ἀνοητότερον τοῦ καὶ ἐνταῦθα καὶ ἐκεῖ κολάζοντος μὲν ἑαυτόν, νομίζοντος δὲ τὸν ἐχθρὸν τιμωρεῖσθαι; ἄν τε γὰρ εὐδοκιμοῦντα ἴδωμεν, ἀπολλύμεθα ἀπὸ τῆς ἀθυμίας· κἂν δυσπραγοῦντα, δεδοίκαμεν μή τις γένηται δεξιὰ
Παροιμ. κδ. ιζ. πάλιν μεταβολή· ἀμφοτέρων δὲ τούτων ἡμῖν κεῖται κόλασις ἀπαραίτητος. Ἐπὶ γὰρ τῷ ὑποσκελίσματι τοῦ ἐχθροῦ σου μὴ ἐπαίρου, φησί*. καὶ μή μοι λέγε τῶν ἀδικημάτων τὸ μέγεθος. οὐ γὰρ τοῦτό ἐστι τὸ ποιοῦν μένειν παρὰ σοὶ τὴν ὀργήν, ἀλλὰ τὸ μὴ μεμνῆσθαί σε τῶν οἰκείων πλημμελημάτων, μηδὲ τὴν γέενναν ἔχειν πρὸ ὀφθαλμῶν, καὶ τὸν τοῦ Θεοῦ φόβον. καὶ ἵνα μάθῃς, ὅτι τοῦτό ἐστιν ἀληθές, ἀπὸ τῶν συμβάντων τῇ πόλει τοῦτο ἀποδεῖξαι πειράσομαι. ὅτε γὰρ οἱ τῶν παρανόμων τολμημάτων ἐκείνων ὄντες ὑπεύθυνοι πρὸς τὸ δικαστήριον ἤχθησαν, ὅτε πῦρ ἔνδον ἐκαίετο, καὶ δήμιοι περιειστήκεισαν, καὶ τὰς πλευρὰς κατέξαινον, εἴ τις αὐτοῖς παραστὰς ἐκ πλαγίων εἶπεν, ὅτι εἴ τινας ἐχθροὺς ἔχετε, λύσατε τὴν ὀργήν, καὶ δυνησόμεθα ταύτης ὑμᾶς ἀπαλλάξαι τῆς κολάσεως, ἆρα οὐκ ἂν καὶ τοὺς πόδας αὐτῶν κατεφίλησαν; καὶ τί λέγω τοὺς πόδας; εἰ καὶ δεσπότας* αὐτοὺς ἑλέσθαι ἐκέλευσεν, οὐκ ἂν παρῃτήσαντο τότε. εἰ δὲ ἀνθρωπίνη κόλασις καὶ τέλος ἔχουσα πάσης ἂν ἐξέκοψεν ὀργῆς, πολλῷ μᾶλλον ἡ μέλλουσα τιμωρία, εἰ συνεχῶς ἡμῶν τὴν διάνοιαν κατεῖχεν, οὐχὶ μνησικακίαν μόνον, ἀλλὰ καὶ πάντα ἂν ἀπὸ τῆς ψυχῆς ἐξήλασε πονηρὸν λογισμόν. τί γὰρ δυσκολώτερον, εἰπέ μοι, τοῦ τὴν ὀργὴν ἀφεῖναι τῷ λελυπηκότι*; μὴ γὰρ μακρὰν ἀποδημίαν ἐστὶ στείλασθαι; μὴ γὰρ χρήματα δαπανῆσαι; μὴ γὰρ ἑτέρους παρακαλέσαι; ἀρκεῖ θελῆσαι μόνον, καὶ τὸ κατόρθωμα τέλος ἔλαβε. τίνος οὐκ ἂν εἴημεν ἄξιοι κολάσεως, εἰ βιωτικῶν μὲν ἕνεκεν πραγμάτων δουλοπρεπεῖς ὑπομένομεν διακονίας, καὶ

ἀναξίους ἡμᾶς ἐπιδεικνύμεθα θεραπείας, καὶ χρήματα ἀναλίσκομεν, καὶ πυλωροῖς διαλεγόμεθα, ἵνα μιαροὺς ἀνθρώπους κολακεύσωμεν, καὶ πάντα ποιοῦμεν, ὥστε κατορθωθῆναι ἡμῖν τὸ προκείμενον, ὑπὲρ δὲ τὸν τοῦ Θεοῦ νόμον τὸν λελυπηκότα ἀδελφὸν οὐχ ὑπομένομεν παρακαλέσαι, ἀλλὰ καὶ αἰσχύνην εἶναι νομίζομεν, τὸ πρότερον προσδραμεῖν; αἰσχύνη, εἰπέ μοι, μέλλων πρότερος κερδαίνειν; τουναντίον μὲν οὖν αἰσχύνεσθαι χρὴ, τὸ μένειν ἐπὶ τοῦ πάθους, καὶ τὸν λελυπηκότα ἐκδέχεσθαι πρὸς τὰς καταλλαγὰς ἐλθεῖν. τοῦτο γὰρ καὶ αἰσχύνη, καὶ ὄνειδος, καὶ ζημία μεγίστη. ὁ γὰρ πρότερος ἐλθὼν, ἐκεῖνος καρποῦται τὸ πᾶν. ἂν μὲν γὰρ παρ᾽ ἑτέρου παρακληθεὶς, ἀφῇς τὴν ὀργὴν, ἐκείνῳ λογίζεται τὸ κατόρθωμα (οὐ γὰρ διὰ τὸν Θεῷ πειθόμενος, ἀλλ᾽ ἐκείνῳ χαριζόμενος τὸν νόμον ἐπλήρωσας) ἂν δὲ μηδενὸς παρακαλοῦντος, μήτε αὐτοῦ τοῦ λελυπηκότος πρὸς σὲ παραγινομένου καὶ δεηθέντος, αὐτὸς πᾶσαν αἰσχύνην, καὶ πάντα ὄκνον ῥίψας ἀπὸ τῆς διανοίας, προσδράμῃς τῷ ἠδικηκότι, καὶ καταλύσῃς τὴν ὀργὴν, ὁλόκληρον σοῦ γίνεται τὸ κατόρθωμα, καὶ τὸν πάντα αὐτὸς λήψῃ μισθόν. ἂν εἴπω, νήστευσον, ἀσθένειάν μοι προβάλλῃ σώματος πολλάκις· ἂν εἴπω, δὸς πένησι, παιδοτροφίαν καὶ πενίαν· ἂν εἴπω, σχόλαζε εἰς συνάξεις, φροντίδας βιωτικάς· ἂν εἴπω, πρόσεχε τοῖς λεγομένοις, καὶ νόει τῆς διδασκαλίας τὴν δύναμιν, ἰδιωτείαν· ἂν εἴπω, διόρθωσον ἕτερον, λέγεις, ὅτι οὐχ ὑπακούσεται συμβουλευόμενος, πολλάκις γὰρ εἰπὼν, κατεφρονήθην. ψυχραὶ μὲν οὖν αἱ προφάσεις, ἀλλ᾽ ὅμως κἂν προφάσεις ἔχῃς εἰπεῖν. ἂν εἴπω, τὴν ὀργὴν ἄφες, οὔτε ἀσθένειαν σώματος, οὔτε πενίαν, οὐκ ἰδιωτείαν, οὐκ ἀσχολίαν, οὐκ ἄλλο οὐδὲν ἔχεις εἰπεῖν, ἀλλ᾽ ἀσύγγνωστος αὕτη μάλιστα πάντων ἐστὶν ἡ ἁμαρτία. πῶς δυνήσῃ τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνατεῖναι, πῶς τὴν γλῶτταν κινῆσαι, πῶς αἰτῆσαι συγγνώμην; κἂν βούληται ὁ Θεὸς ἀφεῖναι τὰς ἁμαρτίας σου, οὐ συγχωρεῖς, αὐτὸς τὰ τοῦ συνδούλου κατέχων. ἀλλ᾽ ὠμὸς ἐστὶ, καὶ ἄγριος, καὶ θηριώδης, καὶ κολάσεως ἐπιθυμεῖ, καὶ ἀνταποδόσεως. καὶ διὰ τοῦτο μάλιστα ἄφες. ἠδίκησαν πολλὰ, καὶ ἀπεστέρησαν, καὶ κακῶς ἤκουσας, καὶ ἐν τοῖς μεγίστοις ἐβλάβης πράγμασι, καὶ βούλει κολαζόμενον ἰδεῖν τὸν ἐχθρόν; καὶ εἰς τοῦτό σοι πάλιν χρήσιμον τὸ ἀφιέναι. ἂν μὲν γὰρ αὐτὸς ἐκδικήσῃς καὶ ἐπεξέλθῃς, εἴτε διὰ ῥημάτων, εἴτε διὰ πραγμάτων, εἴτε διὰ τῆς εὐχῆς τῆς κατ᾽ αὐτοῦ, ὁ Θεὸς οὐκ ἐπεξελεύσεται λοιπὸν, ἅτε σοῦ τὴν τιμωρίαν λαβόντος, καὶ οὐ μόνον οὐκ ἐπεξελεύσεται, ἀλλὰ καὶ σὲ ἀπαιτήσει δίκην ὡς ὑβρισμένος. εἰ γὰρ ἐπὶ ἀνθρώπων τοῦτο γίνεται, κἂν τυπτήσωμεν ἀλλότριον οἰκέτην, ὁ δεσπότης ἀγανακτεῖ, καὶ ὕβριν εἶναί φησι τὸ πρᾶγμα (κἂν γὰρ ἠδικημένοι τύχωμεν εἴτε ὑπὸ δούλων, εἴτε ὑπὸ ἐλευθέρων, τὰς παρὰ τῶν ἀρχόντων καὶ τὰς παρὰ τῶν δεσποτῶν ἀναμένομεν ψήφους) εἰ τοίνυν ἐπ᾽ ἀνθρώπων οὐκ ἀσφαλὲς ἑαυτοὺς ἐκδικεῖν, πολλῷ μᾶλλον, ὅταν ὁ Θεὸς δικάζῃ.

Ἀλλ᾽ ἠδίκησέ σε, καὶ λελύπηκε, καὶ μυρία διέθηκε κακά. μηδὲ οὕτως αὐτὸς ἐπεξέλθῃς, ἵνα μὴ ὑβρίσῃς σαυτοῦ τὸν δεσπότην. παραχώρησον τῷ Θεῷ, καὶ αὐτὸς διαθήσει τὸ πρᾶγμα πολὺ βέλτιον ἢ σὺ βούλει. σοὶ μόνον εὔχεσθαι ὑπὲρ τοῦ λελυπηκότος ἐκέλευσε· τὸ δὲ πῶς ἐκείνῳ δεῖ χρήσασθαι, αὐτῷ καταλιπεῖν προσέταξεν. οὐχ οὕτω σὺ σαυτὸν ἐκδικεῖς, ὡς ἐκεῖνος σε ἐκδικῆσαι παρεσκεύασται, ἂν αὐτῷ παραχωρήσῃς μόνον, καὶ μὴ κατεύξῃ τοῦ λελυπηκότος, ἀλλ᾽ αὐτὸν ἀφῇς κύριον γενέσθαι τῆς ψήφου. κἂν γὰρ ἡμεῖς ἀφῶμεν τοῖς ἠδικηκόσι, καὶ καταλλαγῶμεν, καὶ ὑπὲρ αὐτῶν δεηθῶμεν, ὁ Θεὸς οὐκ ἀφίησιν, ἐὰν μὴ μεταβάλλωνται καὶ αὐτοὶ, καὶ βελτίους γένωνται). οὐκ ἀφίησι δὲ πρὸς τὸ χρήσιμον ἐκείνων βλέπων. σὲ μὲν γὰρ ἐπαινεῖ καὶ ἀποδέχεται τῆς φιλοσοφίας· ἐκείνῳ δὲ ἐπεξέρχεται, ἵνα μὴ τῇ φιλοσοφίᾳ χείρων γένηται. ὥστε περιττὸς ὁ τῶν πολλῶν λόγος· πολλοὶ γὰρ πολλάκις ἐγκαλούμενοι παρ᾽ ἡμῶν, ἐπειδὴ παρακαλούμενοι καταλλαγῆναι τοῖς ἐχθροῖς οὐκ ἐπείθοντο, ταύτην ἐδόκουν τὴν ἀπολογίαν προβαλέσθαι, παραπέτασμα τῆς ἑαυτῶν οὖσαν πονηρίας. οὐ βούλο-

μ34

μεθα καταλλαγῆναι, φησίν, ἵνα μὴ χείρονα αὐτὸν ἐργασώμεθα, ἵνα μὴ τραχύτερον, ἵνα μὴ μειζόνως μου καταφρονήσῃ μετὰ ταῦτα· καὶ πρὸς τούτοις κἀκεῖνο λέγουσιν, ὅτι πολλοὶ τῶν ἀνθρώπων διὰ ἀσθενείας μου νομίζουσι πρότερον ἐπὶ τὰς καταλλαγὰς ἔρχεσθαι, καὶ τὸν ἐχθρὸν παρακαλεῖν. ταῦτα πάντα μάταια. ὁ γὰρ ἀκοίμητος ὀφθαλμὸς οἶδε τὴν γνώμην τὴν σήν. διὰ τοῦτο οὐδεμίαν χρὴ ποιεῖσθαι τῶν συνδούλων λόγον, ὅταν τὸν κριτὴν πείσῃς, καὶ τὸν μέλλοντά σοι δικάζειν. εἰ δὲ τοῦ μὴ γενέσθαι σοι χείρονα διὰ τῆς σῆς ἐπιεικείας τὸν ἐχθρὸν φροντίζεις, ἐκεῖνο μάνθανε, ὅτι οὐχ οὕτω γίνεται χείρων· ἀλλ' ἂν μὴ καταλλαγῇς μᾶλλον. κἂν γὰρ ἁπάντων μιαρώτερος ᾖ, κἂν μὴ λέγῃ, κἂν μὴ κηρύττῃ, καὶ σιγῶν πάντως ἀποδέξεταί σου τὴν φιλοσοφίαν, αἰδεσθήσεταί σου τὴν πραότητα κατὰ τὸ συνειδὸς τὸ ἑαυτοῦ. ἐὰν δὲ ἐπὶ τῆς αὐτῆς μένῃ πονηρίας κολακευόμενος καὶ θεραπευόμενος, ἕξεις τιμωρὸν μέγιστον τὸν Θεόν. καὶ ἵνα μάθητε, ὅτι κἂν ἡμεῖς παρακαλέσωμεν ὑπὲρ τῶν ἐχθρῶν καὶ ὑπὲρ τῶν ἠδικηκότων, ὁ Θεὸς οὐκ ἀφίησιν, ἂν μέλλωσι γίνεσθαι χείρους διὰ τῆς ἡμετέρας ἀνεξικακίας, ἱστορίαν ὑμῖν ἐρῶ παλαιάν. κατελάλησέ ποτε τοῦ Μωϋσέως ἡ Μαρία. τί οὖν ὁ Θεός; λέπραν ἐπαφῆκεν αὐτῇ, καὶ ἀκάθαρτον αὐτὴν ἐποίησε, καίτοιγε τὰ ἄλλα οὖσαν ἐπιεικῆ καὶ σώφρονα. εἶτα τοῦ Μωϋσέως αὐτοῦ τοῦ ὑβρισμένου παρακαλοῦντος ἀφεῖναι τὴν ὀργήν, οὐκ

Ἀριθ. ιβ ιδ. ἠνέσχετο ὁ Θεός· ἀλλὰ τί φησιν; Εἰ ἐμπτύων ἐνέπτυσεν ὁ πατὴρ αὐτῆς εἰς τὸ πρόσωπον, οὐκ ἂν ἐνετράπη; μενέτω, φησίν, ἔξω τῆς παρεμβολῆς ἑπτὰ ἡμέρας. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Εἰ πατέρα, φησίν, εἶχε, καὶ οὕτως αὐτὴν ἐποίησεν, οὐκ ἂν ἤνεγκε τὴν ἐπιτίμησιν; σὲ μὲν ἀποδέχομαι τῆς φιλαδελφίας καὶ τῆς πραότητος καὶ τῆς ἐπιεικείας· ἐγὼ δὲ οἶδα πότε αὐτὴν ἀφεῖναι δεῖ τῆς κολάσεως. σὺ μὲν πᾶσαν φιλοφροσύνην ἐπίδειξαι περὶ τὸν ἀδελφόν, καὶ μὴ κολάσεως ἐπιθυμίᾳ μείζονος ἀφῇς τὰ πλημμελήματα, ἀλλὰ φιλοστοργίᾳ καὶ γνώμῃ χρηστῇ. ἐκεῖνο μέντοι σαφῶς ἴσθι, ὅτι ὅσῳ ἂν θεραπεύοντα ὑβρίζῃ, τοσούτῳ μείζονα ἐπισπάσεται καθ' ἑαυτοῦ τὴν κόλασιν ἐκεῖνος. τί λέγεις, εἰπέ μοι; φαυλότερος γίνεται θεραπευόμενος; τοῦτο ἐκείνου μὲν κατηγορία, σοὶ δὲ ἐγκώμιον· σοὶ μὲν ἐγκώμιον, ὅτι καὶ ὁρῶν τοιοῦτον γινόμενον διὰ τὸ τῷ Θεῷ δοκοῦν, οὐκ ἀπέστης θεραπεύων αὐτόν· ἐκείνῳ δὲ ἔγκλημα, ὅτι οὐδὲ ἀπὸ τῆς σῆς ἐπιεικείας βελτίων γέγονε. πολὺ δὲ αἱρετότερον ἑτέρους ἐγκαλεῖσθαι δι' ἡμᾶς, ἢ ἡμᾶς δι' ἑτέρους. μηδὲ λέγε τὰ ψυχρὰ ταῦτα ῥήματα· μὴ νομίσῃ, φησίν, ὅτι φοβηθεὶς αὐτὸν προσέδραμον, ἵνα μᾶλλόν μου καταφρονήσῃ. παιδικῆς ταῦτα ψυχῆς καὶ ἀνοήτου, καὶ πρὸς δόξαν ἐπτοημένης ἀνθρωπίνην. νομιζέτω ὅτι φοβηθεὶς προσῆλθες, καὶ οὕτω μείζων ὁ μισθὸς ἔσται σοι, ὅτι δὲ καὶ ταῦτα προθύμως διὰ τὸν τοῦ Θεοῦ φόβον ὑπομένεις πάντα. ὁ μὲν γὰρ τὴν παρὰ τῶν ἀνθρώπων δόξαν θηρώμενος, καὶ διὰ τοῦτο καταλλαττόμενος, ἀποτέμνεται τῆς ἀντιδόσεως τὸ κέρδος· ὁ δὲ ἀκριβῶς ἐπιστάμενος, ὅτι πολλοὶ καταγνώσονται καὶ καταγελάσονται, καὶ οὐδὲ οὕτως ἀφιστάμενος τῆς καταλλαγῆς, διπλασίονα καὶ τριπλασίονα ἕξει τὸν στέφανον. καὶ οὗτος μάλιστά ἐστιν, ὁ διὰ τὸν Θεὸν τοῦτο ποιῶν. μή μοι λέγε, ὅτι τὰ, καὶ τὰ ἠδίκησε. καὶ γὰρ εἰ πᾶσαν πονηρίαν τὴν ἐν ἀνθρώποις ἐπεδείξατο περὶ σέ, καὶ οὕτω σοι πάντα ἀφεῖναι ἐκέλευσεν ὁ Θεός. ἰδοὺ προλέγω, καὶ διαμαρτύρομαι, καὶ λαμπρᾷ βοῶ τῇ φωνῇ· μηδεὶς τῶν ἐχόντων ἐχθρὸν προσίτω*, μηδεὶς προσιὼν ἐχθρὸν ἐχέτω. ἐχθρὸν ἔχεις; μὴ προσέλθῃς. βούλει προσελθεῖν; καταλλάγηθι, καὶ τότε προσελθὼν* ἅψαι τοῦ ἱεροῦ. μᾶλλον δὲ οὐκ ἐγὼ ταῦτα λέγω, ἀλλ' ὁ δι' ἡμᾶς σταυρωθεὶς δεσπότης αὐτός, ἵνα σε καταλλάξῃ τῷ πατρί, οὐδὲ σφαγῆναι παρῃτήσατο, οὐδὲ τὸ αἷμα ἐκχέαι· καὶ σὺ ἵνα καταλλαγῇς τῷ συνδούλῳ, οὐδὲ ῥῆμα προέσθαι βούλει, οὐδὲ πρότερος προσδραμεῖν. ἄκου-

Ματθ. ε. κγ. σον τί φησι περὶ τῶν οὕτω διακειμένων· Ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, οὐκ εἶπεν, ἀνάμεινον ἐκεῖνον ἐλθεῖν πρὸς σέ, οὐδέ, ἑτέρῳ τινὶ μεσίτῃ διαλέχθητι, οὐδέ, ἄλλον τινὰ παρακάλεσον, ἀλλ', αὐτὸς πρὸς ἐκεῖνον δράμε. ὕπαγε γάρ, φησί, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου. ὢ τῆς ὑπερβολῆς. αὐτὸς οὐχ ἡγεῖται ἀτιμίαν εἶναι τῶν δώρων καταλιμπανομένων, καὶ σὺ νομίζεις ὕβριν εἶναι, τὸ πρότερος ἀπελθεῖν καὶ καταλλαγῆναι; καὶ πῶς ταῦτα ἄξια συγγνώμης, εἰπέ μοι; ἐὰν ἴδῃς σου μέλος ἐκκοπτόμενον, οὐ πάντα ποιεῖς, ὥστε αὐτὸ ἑνῶσαι τῷ σώματι; τοῦτο καὶ ἐπὶ τῶν ἀδελφῶν ποίησον· ὅταν ἴδῃς αὐτὸν ἐκκοπτόμενον τῆς φιλίας, περίστειλον, ἕνωσον, μὴ πρότερος ἀναμείνῃς ἐκεῖνον ἐλθεῖν πρὸς σέ, ἀλλ' αὐτὸς πρότερος ἐπείχθητι λαβεῖν τὰ βραβεῖα. ἕνα μόνον ἐχθρὸν ἐκελεύσθημεν ἔχειν, τὸν διάβολον. πρὸς αὐτὸν μηδέποτε καταλλάττου, πρὸς ἀδελφὸν μηδέποτε ἀπεχθῶς ἔχε· ἀλλὰ κἂν γένηταί τις μικροψυχία, ἐφήμερος αὕτη μόνον ἔστω, καὶ μὴ ὑπερβαινέτω τὸ διάστημα τῆς ἡμέρας. Ὁ ἥλιος γάρ, φησι, μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν. ἂν μὲν γὰρ πρὸ τῆς ἑσπέρας καταλλαγῇς, ἕξεις ἀπὸ τοῦ Θεοῦ τινα συγγνώμην· ἂν δὲ περαιτέρω μένῃς ἐχθρὸς ὤν, οὐκέτι θυμοῦ καὶ ὀργῆς συναρπαζούσης, ἀλλὰ πονηρίας ἐστὶν ἡ ἀπέχθεια, καὶ ψυχῆς μιαρᾶς καὶ κακίαν μελετώσης. οὐ τοῦτο δὲ μόνον ἐστὶ τὸ δεινόν, ὅτι συγγνώμης ἑαυτὸν ἀποστερεῖς, ἀλλ' ὅτι καὶ τὸ κατόρθωμα δυσχερέστερον γίνεται. μιᾶς γὰρ παρελθούσης ἡμέρας πλείων ἡ αἰσχύνη, καὶ δευτέρας προσγενομένης αὔξεται· πάλιν κἂν ἐπιλάβῃ τρίτην καὶ τετάρτην ἡμέραν, προσθήσει καὶ πέμπτην· οὕτως αἱ πέντε γίνονται δέκα· αἱ δέκα εἴκοσι· αἱ εἴκοσι ἑκατόν· καὶ λοιπὸν ἀνίατον ἔσται τὸ ἕλκος. ὅσῳ γὰρ πρόεισιν ὁ χρόνος, τοσούτῳ μᾶλλον διϊστάμεθα. ἀλλὰ μηδὲν τούτων πάθῃς, ὦ ἄνθρωπε, τῶν παραλόγων παθῶν, μηδὲ αἰσχυνθῇς καὶ ἐρυθριάσῃς, μηδὲ εἴπῃς πρὸς σεαυτόν· πρὸ μικροῦ τοσαῦτα ἀλλήλους ἐλοιδορήσαμεν, μυρία ἄρρητα εἴπαμεν, καὶ νῦν δραμοῦμαι ἐπὶ τὰς καταλλαγάς; καὶ τίς οὐ καταγνώσεταί μου τὴν πολλὴν εὐκολίαν; οὐδεὶς νοῦν ἔχων εὐκολίαν σου καταγνώσεται. ἀλλ' ὅταν μένῃς ἀκατάλλακτος, τότε σοι πάντες γελάσονται, τότε πολὺ δώσεις τῷ διαβόλῳ τὸ διάστημα. οὐ γὰρ ἀπὸ τοῦ χρόνου λοιπὸν δυσδιάλυτος ἡ ἔχθρα γίνεται, ἀλλὰ καὶ ἀπὸ τῶν μεταξὺ γινομένων πραγμάτων. ὥσπερ γὰρ ἀγάπη καλύπτει πλῆθος ἁμαρτιῶν, οὕτως ἔχθρα καὶ τὰ οὐκ ὄντα ἁμαρτήματα συνίστησι, καὶ πάντες ἀξιόπιστοι οἱ κατηγοροῦντες λοιπόν, οἱ τοῖς ἀλλοτρίοις χαίροντες κακοῖς, καὶ ταῖς ἑτέρων ἐκπομπεύοντες ἀσχημοσύναις.

Ἐφ. δ. κϛ.

α. Πετ. δ. η.

Ταῦτ' οὖν ἅπαντα εἰδὼς πρόλαβε, καὶ κατάλλαξον τὸν ἀδελφόν, πρὶν τέλεον ἀποπηδήσει. κἂν δέῃ πᾶσαν τὴν πόλιν περιδραμεῖν κατὰ τὴν ἡμέραν ἐκείνην, κἂν ἔξω τειχῶν ἀπελθεῖν, κἂν ὁδὸν βαδίσαι μακράν, πάντα τὰ ἐν χερσὶν ἀφεὶς, ἑνὸς τούτου μόνου γενοῦ τοῦ καταλλάξαι τὸν ἀδελφόν. εἰ δὲ ἐργῶδες τὸ πρᾶγμα, ἐννόησον ὅτι διὰ τὸν Θεὸν ταῦτα πάσχεις ἅπαντα, καὶ ἱκανὴν λήψῃ παράκλησιν· καὶ τὴν ψυχὴν ἀναδυομένην, καὶ ὀκνοῦσαν, καὶ ἐρυθριῶσαν * διέγειρον, ταύτας αὐτῇ συνεχῶς ἐπᾴδων τὰς ἐπῳδάς· τί μέλλεις; τί δὲ ἀναδύῃ καὶ ὀκνεῖς; οὐχ ὑπὲρ χρημάτων, οὐδὲ ὑπὲρ ἄλλου τινὸς τῶν ἐπικήρων, ἀλλ' ὑπὲρ σωτηρίας ἡμῖν ὁ λόγος. ὁ Θεὸς ταῦτα ποιεῖν ἐκέλευσε, καὶ πάντα δεύτερα ἔστω τῶν ἐκείνου προσταγμάτων. ἐμπορεία τίς ἐστι πνευματικὴ τὸ πρᾶγμα· μὴ ἀμελῶμεν, μὴ ῥᾳθυμῶμεν. μανθανέτω καὶ ὁ ἐχθρός, ὅτι πολλὴν ἐπιστάμεθα σπουδὴν διὰ τὸ τῷ Θεῷ δοκοῦν· κἂν ὑβρίζῃ πάλιν, κἂν τύπτῃ, κἂν ὁτιοῦν ἕτερον χαλεπώτερον ποιῇ, φέρωμεν ἅπαντα γενναίως. οὐδὲν ἐκείνῳ τοσοῦτον, ὅσον ἡμῖν αὐτοῖς χαριζόμεθα. πάντως τῶν κατορθωμάτων τούτων μειζόνως ἡμῶν κατ' ἐκείνην προστήσεται τὴν ἡμέραν. ἡμάρτομεν πολλά, * καὶ προσεκρούσαμεν, καὶ τὸν δεσπότην ἡμῶν παρωξύναμεν. ἔδωκε διὰ τὴν αὐτοῦ φιλανθρωπίαν ταύτην ὁδὸν καταλλαγῆς· μὴ τοίνυν προδῶμεν τὸν καλὸν τοῦτον θησαυρόν. μὴ γὰρ οὐκ ἦν κύριος κελεῦσαι μόνον καταλλάττεσθαι, καὶ μηδένα ἡμῖν εἶναι μισθόν; μὴ γὰρ ἔχει τινὰ τὸν ἀντιλέγοντα καὶ διορθούμενον αὐτοῦ τὰ προστάγματα; ἀλλ' ὅμως διὰ τὴν πολλὴν αὐτοῦ φιλανθρωπίαν, καὶ μισθὸν ἡμῖν ὑπέσχετο μέγαν καὶ ἄφατον, καὶ οὗ μάλιστα ἐπιθυμοῦ-

μεν τυχεῖν, τὴν τῶν ἁμαρτιῶν ἡμῶν συγχώρησιν, καὶ ταύτην ὑπὲρ ἀκρίβειαν ἡμῖν εὐκολωτέραν ποιῶν. τίνα οὖν ἕξομεν συγγνώμην, ὅταν καὶ μισθὸν τοσοῦτον μέλλοντες λαμβάνειν μηδὲ οὕτως ὑπακούωμεν τῷ νομοθέτῃ, ἀλλὰ ἁμαρτάνωμεν καταφρονοῦντες; ὅτι γὰρ καταφρόνησις τοῦτό ἐστι, δῆλον ἐκεῖθεν. Εἰ νόμον ἔθηκεν ὁ βασιλεὺς τοὺς ἐχθροὺς ἅπαντας ἀλλήλοις καταλλάττεσθαι, ἢ τὰς κεφαλὰς ἀποτέμνεσθαι, ἆρα οὐκ ἂν πάντες ἐσπουδάσαμεν ἐπὶ τὰς τῶν πλησίον καταλλαγάς; ἔγωγε οἶμαι. τίνα οὖν ἕξομεν συγγνώμην, μηδὲ τοσαύτην ἀπονέμοντες τῷ δεσπότῃ τιμήν, ὅσην τοῖς ὁμοδούλοις τοῖς ἡμετέροις; διὰ τοῦτο ἐκελεύσθημεν λέγειν, Ματθ. ς. ιϐ. Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. τί τούτου πρᾳότερον, τί δὲ ἡμερώτερον τοῦ προστάγματος; σὲ κριτὴν ἐποίησε τῆς συγχωρήσεως τῶν σῶν ἁμαρτημάτων. ἂν ὀλίγα ἀφῇς, ὀλίγα ἀφίεται· ἂν πολλὰ ἀφῇς, πολλὰ ἀφίεται· ἂν ἀπὸ καρδίας ἀφῇς καὶ καθαρῶς, οὕτω σοι καὶ ὁ Θεὸς ἀφίησιν· ἂν μετὰ τοῦ συγχωρῆσαι καὶ φίλον αὐτὸν ἔχῃς, οὕτω καὶ ὁ Θεὸς πρὸς σὲ διακείσεται. ὥστε ὅσῳ μείζονα ἥμαρτε, τοσούτῳ μᾶλλον ἡμᾶς σπεύδειν ἐπὶ τὰς καταλλαγὰς χρή, ἐπειδὴ καὶ μειζόνων ἁμαρτημάτων συγχωρήσεως ἡμῖν αἴτιος γίνεται. βούλει μαθεῖν, ὡς οὐδεμία συγγνώμη μνησικακοῦσιν ἡμῖν, οὐδέ ἐστί τις ἡμᾶς ὁ ἐξαιρούμενος; ἐπὶ παραδείγματος, ὃ λέγω, ποιήσω φανερόν. τί σε ἠδίκησεν ὁ πλησίον; τὰ χρήματα ἥρπασεν, ἐδήμευσεν, ἐπλεονέκτησεν; οὐ λέγω ταῦτα μόνον, ἀλλὰ καὶ ἕτερα προστίθημι πλείονα τούτων, καὶ ὅσαπερ ἂν ἐθέλῃς· ἀνελεῖν σε ἐπεθύμησε; μυρίους σοι περιέστησε κινδύνους; πᾶσαν ἐπεδείξατο τιμωρίαν, καὶ οὐδὲν ἀπέλιπεν ὅλως ἀνθρωπίνης βοηθείας; ἵνα γὰρ μὴ πάντα καθ' ἕκαστον ἐπεξίωμεν, θὲς τοσαύτην αὐτὸν ἠδικηκέναι σε ἀδικίαν, ὅσην οὐδεὶς οὐδέποτε τινὰ ἠδίκησεν. οὐδὲ γὰρ οὕτω μνησικακῶν ἄξιος ἔσῃ συγγνώμης. καὶ πῶς, ἐγὼ λέγω. Εἴ τις οἰκέτης σου ὤφειλέ σοι χρυσίνους ἑκατόν, εἶτα ἐκείνῳ ἕτερός τις ὤφειλεν ἀργύρια ὀλίγα, καὶ προσελθὼν ὁ τοῦ δούλου χρεώστης παρεκάλεσέ σε, καὶ ἱκέτευσεν ἀξιῶν συγγνώμης τυχεῖν, καὶ σὺ τὸν οἰκέτην καλέσας τὸν σαυτοῦ, προσέταξας ἀφεῖναι τὸ ὀφείλημα εἰπών, ὅτι ἄφες τὸ ὀφείλημα τούτῳ, καὶ ἀπὸ τοῦ λόγου, οὗ ὀφείλεις μοι, λογίζομαί σοι τὸ ὀφείλημα· εἶτα ἐκεῖνος ἀναισχυντῶν καὶ πονηρευόμενος πάλιν ἦγχε τὸν ὀφείλοντα, ἆρα ἂν ἐξείλετό τις αὐτὸν τῶν σῶν χειρῶν; ἆρα οὐκ ἂν αὐτῷ μυρίας ἐπέθηκας πληγάς, ὡς ὑβρισθεὶς τὴν ἐσχάτην ὕβριν; καὶ μάλα εἰκότως. τοῦτο καὶ ὁ Θεὸς ποιήσει. ἐρεῖ γάρ σοι κατ' ἐκείνην τὴν ἡμέραν, ὦ πονηρὲ δοῦλε καὶ παμμίαρε, μὴ γὰρ ἐκ τῶν σῶν αὐτῷ συνεχώρησας; ἐξ ὧν ἐμοὶ ὤφειλες, ἐκελεύσθης αὐτῷ λογίσασθαι; ἄφες γάρ, φησι, καὶ ἀφίημί σοι. εἰ καὶ τὰ μάλιστα, καὶ εἰ μὴ τοῦτο προσέθηκα, καὶ οὕτως ἀφιέναι ἐχρῆν δεσπότῃ πειθόμενον· νυνὶ δὲ οὐχ ὡς δεσπότης ἐπέταξα, ἀλλ' ὡς φίλῳ χάριν ᾔτησα, καὶ ταύτην ἐκ τῶν ἐμῶν, καὶ μείζονα δώσειν ὑπεσχόμην πάλιν, καὶ οὐδὲ οὕτω βελτίων ἐγένου; καὶ ἄνθρωποι μὲν ὅταν τοῦτο ποιῶσι, τοσοῦτον λογίζονται τοῖς αὐτῶν οἰκέταις, ὅσον ἐστὶ τὸ μέτρον τοῦ ὀφειλήματος. οἷον, ὀφείλει τῷ δεσπότῃ χρυσίνους ἑκατὸν ὁ οἰκέτης, ὁ δὲ τοῦ οἰκέτου χρεώστης χρυσίνους δέκα. ἂν αὐτῷ συγχωρήσῃ τὸ ὀφείλημα, οὐχὶ τοὺς ἑκατὸν αὐτῷ ἀφίησιν ὁ δεσπότης, ἀλλὰ τοὺς δέκα μόνους, τοὺς δὲ ἑτέρους ἅπαντας ἀπαιτεῖ. ὁ δὲ Θεὸς οὐχ οὕτως· ἀλλ' ἂν ἀφῇς *ὀλίγα τῷ συνδούλῳ, *πάντα σοι ἀφίησιν αὐτός. Ματθ. ς. ιδ. πόθεν τοῦτο δῆλον; ἀπ' αὐτῆς τῆς εὐχῆς. Ἐὰν γὰρ ἀφῆτε, φησι, τοῖς ἀνθρώποις τὰ ὀφειλήματα αὐτῶν, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφήσει ὑμῖν τὰ ὀφειλήματα ὑμῶν. ὅσον δὲ ἑκατὸν δηναρίων καὶ μυρίων ταλάντων τὸ μέσον, τοσοῦτον ἐκείνων καὶ τούτων τῶν ὀφειλημάτων. ποίας οὖν οὐκ ἂν εἴη κολάσεως ἄξιος, ὁ τὰ μυρία τάλαντα ἀντὶ ἑκατὸν δηναρίων λαμβάνειν μέλλων, καὶ οὐδὲ οὕτω τὰ μικρὰ ταῦτα ἀφιείς, ἀλλὰ καθ' ἑαυτοῦ τὴν εὐχὴν ταύτην ποιούμενος; ὅταν γὰρ εἴπῃς, ἄφες ἡμῖν, ὡς καὶ ἡμεῖς ἀφίεμεν, εἶτα σὺ μὴ ἀφῇς, οὐδὲν ἕτερον τὸν Θεὸν παρακαλεῖς, ἀλλ' ἢ πάσης ἀπολογίας ἀποστερεῖν σε καὶ συγγνώμης. ἀλλ' οὐ τολμῶ, φησιν, εἰπεῖν, ἄφες μοι, καθὼς ἀφίημι· ἀλλ' ἄφες μοι μόνον. καὶ τί τοῦτο; κἂν γὰρ

αὐτὸς μὴ εἴπῃς, ὁ Θεὸς οὕτω ποιεῖ, καὶ καθὼς ἀφίης, οὕτως ἀφίησι. καὶ τοῦτο ἐκ τῆς ἐπαγωγῆς εὔδηλον ἐποίησεν· Ἐὰν γὰρ μὴ ἀφῆτε, φησὶ, τοῖς ἀνθρώποις, οὐδὲ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφίησιν ὑμῖν. μὴ τοίνυν ἀσφάλειαν εἶναι νομίσῃς, τὸ μὴ λέγειν ὁλόκληρον τὴν ῥῆσιν, μηδὲ ἐξ ἡμισείας ποιοῦ τὴν εὐχὴν, ἀλλ' ὡς ἔταξεν, οὕτως εὔχου, ἵνα καὶ ἡ ἀνάγκη τῆς λέξεως φοβοῦσά σε καθ' ἡμέραν συνωθήσῃ σε πρὸς τὴν τοῦ πλησίον συγχώρησιν. μή μοι λέγε, παρεκάλεσα πολλὰ, ἱκέτευσα, ἐδεήθην, καὶ οὐ κατηλλάγην. μὴ πρότερον ἀποστῇς, ἕως ἂν καταλλάξῃς. οὐ γὰρ εἶπεν, ἄφες τὸ δῶρόν σου, καὶ ὕπαγε, ἱκέτευσον τὸν ἀδελφόν σου, ἀλλ', Ὕπαγε, διαλλάγηθι· ὥστε κἂν πολλὰ ἱκετεύσῃς, μὴ πρότερον ἀποστῇς, ἕως ἂν πείσῃς. ὁ Θεὸς καθ' ἑκάστην ἡμέραν ἡμᾶς παρακαλεῖ, καὶ οὐκ ἀκούομεν, καὶ ὅμως οὐ παύεται παρακαλῶν· σὺ δὲ τὸν σύνδουλόν σου ἀπαξιοῖς παρακαλέσαι; καὶ πότε δυνήσῃ σωθῆναι; ἀλλὰ πολλάκις παρεκάλεσας, καὶ πολλάκις ἀπεκρούσθης. ἀλλὰ πλείονα διὰ τοῦτο λήψῃ μισθόν. ὅσῳ γὰρ ἂν ἐκεῖνος φιλονεικῇ, καὶ σὺ ἐπιμένεις παρακαλῶν, τοσούτῳ σοι τὰ τῆς ἀμοιβῆς αὔξεται· ὅσῳ μετὰ πλείονος δυσκολίας τὸ κατόρθωμα γίνεται, καὶ πολλοῦ τοῦ πόνου ἡ καταλλαγὴ, τοσούτῳ κἀκείνῳ μεῖζον ἔσται τὸ κρίμα, καί σοι λαμπρότεροι τῆς καρτερίας οἱ στέφανοι. Ταῦτα μὴ μόνον ἐπαινῶμεν, ἀλλὰ καὶ διὰ τῶν ἔργων ἐπιδειξώμεθα, καὶ μὴ πρότερον ἀναχωρήσωμεν, ἕως ἂν εἰς τὴν προτέραν ἐπανέλθωμεν φιλίαν. οὐ γὰρ ἀρκεῖ, τὸ μὴ λυπεῖν, μηδὲ ἀδικεῖν τὸν ἐχθρὸν, μηδὲ ἀηδῶς ἔχειν πρὸς αὐτὸν κατὰ διάνοιαν, ἀλλὰ χρὴ κἀκεῖνον παρασκευάζειν ἡδέως πρὸς ἡμᾶς ἔχειν. καὶ γὰρ ἀκούω πολλῶν λεγόντων, ἐγὼ οὐκ ἐχθραίνω, οὐδὲ λυποῦμαι, οὐδὲ ἔχω τι κοινὸν πρὸς αὐτόν. ἀλλ' οὐ τοῦτο ἐκέλευσεν ὁ Θεὸς, ἵνα μηδὲν κοινὸν ἔχῃς πρὸς αὐτὸν, ἀλλ' ἵνα πρὸς αὐτὸν κοινὰ ἔχῃς πολλά. διὰ τοῦτο γὰρ σοῦ ἐστιν ἀδελφὸς, διὰ τοῦτο οὐκ εἶπεν, ἄφες τῷ ἀδελφῷ σου, ἃ ἔχεις κατ' αὐτοῦ· ἀλλὰ τί; ὕπαγε, διαλλάγηθι αὐτῷ, κἂν ἐκεῖνος ἔχῃ τι κατὰ σοῦ, καὶ μὴ πρότερον ἀποστῇς, ἕως ἂν ἑνώσῃς τὸ μέλος [εἰς ὁμόνοιαν]. σὺ δὲ, ἵνα οἰκέτην κτήσῃ χρήσιμον, καὶ χρυσίον καταβάλλεις, καὶ ἐμπόροις διαλέγῃ πολλοῖς, καὶ ἀποδημίαν πολλάκις ἀποδημεῖς μακράν· ἵνα δὲ τὸν ἐχθρὸν ποιήσῃς φίλον, οὐ πάντα κινεῖς καὶ πράττεις, εἰπέ μοι; καὶ πῶς δυνήσῃ τὸν Θεὸν παρακαλέσαι, τῶν νόμων αὐτοῦ οὕτω καταμελῶν; καίτοι οἰκέτου μὲν κτῆσις οὐδὲν μέγα ἡμᾶς ὀνῆσαι δυνήσεται· ὁ δὲ ἐχθρὸς γενόμενος φίλος καὶ τὸν Θεὸν ἡμῖν ἵλεω ποιήσει καὶ εὐμενῆ, καὶ τὰ ἁμαρτήματα ἡμῖν διαλύσει ῥᾳδίως, καὶ παρὰ ἀνθρώποις ἔπαινον, καὶ πολλὴν ἡμῖν κατὰ τὸν βίον προξενήσει τὴν ἀσφάλειαν. οὐδὲν γὰρ ἐπισφαλέστερον τοῦ καὶ ἕνα μόνον ἐχθρὸν κεκτημένου. καὶ γὰρ ἡ δόξα τῆς ζωῆς ἡμῶν καταβλάπτεται, μυρία κακῶς ἐκείνου λέγοντος πρὸς πάντας ἡμᾶς, καὶ ἡ διάνοια ἡμῶν θολοῦται, καὶ τὸ συνειδὸς θορυβεῖται, καὶ χειμῶνα διηνεκῆ λογισμῶν ὑφιστάμεθα.

Matth. 5. c.

Ἅπερ ἅπαντα συνειδότες ἀπαλλάξωμεν ἑαυτοὺς κολάσεως καὶ τιμωρίας, καὶ τὴν παροῦσαν ἑορτὴν μετὰ τῶν εἰρημένων αἰδεσθῶμεν πάντων, καὶ ὧν παρὰ τοῦ βασιλέως δι' ἐκείνην ἀξιοῦμεν τυχεῖν, τούτων καὶ ἡμεῖς ἀπολαῦσαι δῶμεν ἑτέροις. καὶ γὰρ πολλῶν ἀκούω λεγόντων, ὅτι πάντως ὁ βασιλεὺς τὸ πάσχα τὸ ἱερὸν αἰδεσθεὶς, τῇ πόλει καταλλαγήσεται, καὶ τὰ ἁμαρτήματα ἀφήσει πάντα. πῶς οὖν οὐκ ἄτοπον, ἡνίκα μὲν παρ' ἑτέρων σώζεσθαι δέῃ, τὴν ἑορτὴν καὶ τὴν ταύτης ἀξίαν προβάλλεσθαι· ἡνίκα δὲ αὐτοὺς ἑτέροις καταλλάττεσθαι κελευώμεθα, ἀτιμάζειν ταύτην, καὶ μηδὲν αὐτὴν νομίζειν; οὐδεὶς γὰρ οὕτως, οὐδεὶς τὴν ἱερὰν ταύτην καταισχύνει πανήγυριν, ὡς ὁ μετὰ τοῦ μνησικακεῖν ταύτην ἐπιτελῶν· μᾶλλον δὲ οὐδὲ ἐπιτελεῖν αὐτὴν δύναται ὁ τοιοῦτος, κἂν δέκα ἡμέρας ἐφεξῆς ἄσιτος μένῃ. ὅπου γὰρ ἔχθρα καὶ ἀπέχθεια, οὐδὲν νηστεία, οὐδὲ ἑορτὴ γένοιτ' ἄν. μὴ τολμᾷς ἀνίπτοις χερσὶ τῆς ἱερᾶς ἅψασθαι θυσίας, κἂν πολλὴ ἀνάγκη ἐπικέηται. μὴ τοίνυν ἀνίπτῳ προσέρχου ψυχῇ· πολλῷ γὰρ ἐκείνου τοῦτο χαλεπώτερον, καὶ μείζονα φέρει τὴν κόλασιν. οὐδὲν γὰρ οὕτως, οὐδὲν ἀκαθαρσίας πληροῖ τὴν διάνοιαν, ὡς ὀργὴ διηνεκῶς ἔνδον μένουσα. ἔνθα γάρ ἐστι θυμός, ἡ ὀργή, πνεῦμα πραΰτητος οὐκ ἐφίπταται· πνεύματος δὲ ἁγίου ὁ ἄνθρωπος ἔρημος ὤν, ποίαν ἕξει σωτηρίας ἐλπίδα; πόθεν δὲ ὀρθὰ βαδιεῖται; μὴ τοίνυν, ἀγαπητέ, τὸν ἐχθρὸν ἀμύνασθαι βουλόμενος, σαυτὸν κατακρήμνιζε, μηδὲ ἔρημον ποίει τῆς τοῦ Θεοῦ προστασίας· μάλιστα μὲν γάρ, εἰ καὶ δύσκολον ἦν τὸ ἐπίταγμα, ἱκανὸν τῆς τιμωρίας τὸ μέγεθος, ὅπερ ἐκ τοῦ μὴ πείθεσθαι γίνεται, καὶ τὸν σφόδρα ὕπτιον καὶ νωθέστατόν ἐστιν διαναστῆσαι, καὶ πάντα πεῖσαι πόνον ὑπενεγκεῖν· νυνὶ δὲ καὶ πολλὴν ἔδειξεν ὁ λόγος τὴν εὐκολίαν οὖσαν, ἂν ἐθέλωμεν. μὴ τοίνυν καταμελήσωμεν τῆς ἑαυτῶν ζωῆς, ἀλλὰ σπουδάσωμεν, καὶ πάντα ποιῶμεν, ὥστε χωρὶς ἐχθρῶν προσιέναι τῇ ἱερᾷ τραπέζῃ. οὐδὲν γάρ, οὐδὲν τῶν τοῦ Θεοῦ προσταγμάτων ἔσται δύσκολον, ἐὰν προσέχωμεν. καὶ τοῦτο ἐκ τῶν ἤδη κατωρθωκότων δῆλον. πόσοι ὑπὸ τῆς τῶν ὅρκων ἐκλέπτοντο συνηθείας; καὶ τὸ πρᾶγμα δυσκατόρθωτον εἶναι ἐνόμιζον, ἀλλ' ὅμως διὰ τὴν τοῦ Θεοῦ χάριν, ἐπειδὴ μικρὰν ἐπεδείξασθε σπουδήν, τὸ πλέον ἀπενίψασθε. διὰ τοῦτο δὴ παρακαλῶ καὶ τὸ λοιπὸν ἀποθέσθαι, καὶ ἑτέροις γενέσθαι διδασκάλους. ὁρῶ δέ τινας μήπω κατορθώσαντας, ἀλλὰ τὸν μακρὸν χρόνον ἡμῖν προβαλλομένους καθ' ὃν ὤμνυον ἔμπροσθεν, καὶ λέγοντας, ὡς ἀδύνατον ἐν βραχεῖ καιρῷ τὸ πολλοῖς ἔτεσι ῥιζωθὲν ἀνασπάσαι. ἐκεῖνο ἂν εἴποιμι, ὅτι ἔνθα ἂν δέοι κατορθῶσαί τι τῶν ὑπὸ Θεοῦ κελευομένων, οὐ χρόνου χρεία, οὐδὲ πλήθους ἡμερῶν, οὐδὲ διαστήματος ἐνιαυτῶν, ἀλλὰ φόβου μόνου, καὶ ψυχῆς εὐλάβειαν ἐχούσης, καὶ πάντως περιεσόμεθα, καὶ ἐν βραχεῖ καιρῷ. καὶ ἵνα μὴ νομίσητε, ὅτι ἁπλῶς ταῦτα λέγω, ὃν νομίζετε εἶναι πολύορκον ἄνθρωπον, καὶ πλείονα ὀμνύοντα μᾶλλον ἢ φθεγγόμενον, τοῦτον ἐμοὶ παράδοτε δέκα μόνον ἡμέρας, κἂν μὴ πᾶσαν ἐξέλω τὴν συνήθειαν ἐν ταῖς ὀλίγαις ταύταις ἡμέραις, καταγνῶτέ μου τὴν ἐσχάτην κατάγνωσιν. καὶ ὅτι οὐ κόμπος τὰ ῥήματα ταῦτα, ἀπὸ τῶν ἤδη γεγενημένων τοῦτο ἔσται δῆλον ὑμῖν. τί γὰρ τῶν Νινευϊτῶν ἀλογώτερον, * τί δὲ ἀνοητότερον; ἀλλ' ὅμως οὗτοι οἱ βάρβαροι καὶ ἀνόητοι, οἱ μηδενὸς μηδέποτε ἀκούσαντες φιλοσοφοῦντος, οἱ μηδέποτε παραγγέλματα τοιαῦτα λαβόντες, ἀκούσαντες τοῦ προφήτου λέγοντος, Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευῒ καταστραφήσεται, ἐν τρισὶν ἡμέραις πᾶσαν ἀπέθεντο πονηρὰν συνήθειαν· ὁ πόρνος σώφρων ἐγένετο, ὁ θρασὺς ἐπιεικής, ὁ πλεονέκτης καὶ ἅρπαξ μέτριος καὶ φιλόφρων, ὁ ῥᾴθυμος σπουδαῖος. οὐ γὰρ δὴ ἕν, οὐδὲ δύο, καὶ τρία, καὶ τέσσαρα, ἀλλὰ πᾶσαν αὐτῶν διώρθωσαν τὴν πονηρίαν. καὶ πόθεν τοῦτο δῆλον, φησίν; ἀπὸ τῶν τοῦ προφήτου ῥημάτων. αὐτὸς γὰρ ὁ κατηγορήσας αὐτῶν, καὶ εἰπών, ὅτι Ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῶν * ἕως τῶν οὐρανῶν, αὐτὸς αὐτοῖς τὸ ἐναντίον ἐμαρτύρησε πάλιν εἰπών, Ὅτι εἶδεν ὁ Θεός, ὅτι ἀπέστησαν ἕκαστος· οὐκ εἶπεν, ὅτι ἀπὸ πορνείας, ἢ μοιχείας, ἢ κλοπῆς, ἀλλ' ὅτι ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν. καὶ πῶς ἀπέστησαν; ὡς ὁ Θεὸς οἶδεν, οὐχ ὡς ἄνθρωπος ἐδοκίμασεν. Εἶτα οὐκ αἰσχυνόμεθα, οὐδὲ ἐρυθριῶμεν, εἰ βαρβάρων ἀνθρώπων ἐν τρισὶν ἡμέραις μόνον πᾶσαν ἀποθεμένων κακίαν, ἡμεῖς ἐν τοσαύταις ἡμέραις ἐνηχούμενοι, διδασκόμενοι, μιᾶς μὴ περιγινοίμεθα πονηρᾶς συνηθείας; καίτοιγε εἰς ἔσχατον ἦσαν κἀκεῖνοι πρότερον κακίας ἐληλακότες. ὅταν γὰρ ἀκούσῃς, ὅτι ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῶν, μηδὲν ἄλλο νόμιζε, ἢ τὴν ὑπερβολὴν τῆς πονηρίας αὐτῶν· ἀλλ' ὅμως ἴσχυσαν ἐν τρισὶν ἡμέραις πρὸς ὁλόκληρον ἀρετὴν μετατάξασθαι. ὅπου γὰρ φόβος Θεοῦ, οὐ χρεία ἡμερῶν, οὐδὲ διαστήματος χρόνου, ὥσπερ ὅπου ἀφοβία, οὐδὲν ὄφελος ἡμερῶν. καθάπερ γὰρ τὰ ἰωθέντα τῶν σκευῶν ὁ μὲν ὕδατι μόνον ἀποτρίβων, κἂν πολὺν ἀναλώσῃ χρόνον, πάσης οὐκ ἀπαλλάξει τῆς κακίας ἐκείνης· ὁ δὲ εἰς χωνευτήριον ἐμβαλὼν ἐν βραχεῖ καιροῦ ῥοπῇ φαιδρότερα τῶν νεοτεύκτων ἐργάσεται· οὕτω δὴ καὶ ψυχὴ τῷ τῆς ἁμαρτίας ἰῷ βαφεῖσα, ἂν μὲν ἁπλῶς καὶ ὡς ἔτυχεν ἑαυτὴν ἀποσμήχῃ, καὶ καθ' ἑκάστην ἡμέραν μετανοῇ, οὐδὲν πλέον κερδανεῖ· ἂν δὲ ὥσπερ εἰς χωνευτήριον εἰς τοῦ Θεοῦ τὸν φόβον ἑαυτὴν ἐμβάλῃ, ἐν βραχείᾳ καιροῦ ῥοπῇ τὸ πᾶν ἀπονίψεται.

Ιων γ ε.

Ιων. α. β. καὶ ια.

ἀπονίψεται. μὴ τοίνυν εἰς τὴν αὔριον ἀναβαλώμεθα (οὐ γὰρ οἴδαμεν τί τέξεται ἡ ἐπιοῦσα) μηδὲ λέγωμεν, περιεσόμεθα τῆς συνηθείας κατὰ μικρόν. τοῦτο γὰρ τὸ κατὰ μικρὸν οὐδέποτε ἐπιλείψει. διὰ τοῦτο ἀφέντες, ἐκεῖνο λέγωμεν, ὅτι ἐὰν μὴ σήμερον κατορθώσωμεν τὸν ὅρκον, οὐκ ἀποστησόμεθα περαιτέρω· κἂν μυρία ἄγχῃ πράγματα, κἂν ἀποθανεῖν δέῃ, κἂν κολαφισθῆναι, κἂν πάντα ἀπολέσαι, οὐ δώσομεν τῷ διαβόλῳ ῥᾳθυμίας ἐξουσίαν, οὐδὲ ἀναβολῆς πρόφασιν. ἂν ὁ Θεὸς ἴδῃ σου τὴν πεπυρωμένην ψυχήν, τὴν διεγηγερμένην προθυμίαν, καὶ αὐτὸς συνεφάψεταί σου τῆς διορθώσεως. ναὶ δέομαι καὶ ἀντιβολῶ σπουδάσωμεν, ἵνα μὴ καὶ ἡμεῖς ἀκούσωμεν, ὅτι ἄνδρες Νινευῖται ἀναστήσονται καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην· ὅτι ἐκεῖνοι μὲν ἅπαξ ἀκούσαντες κατώρθωσαν, ἡμεῖς δὲ πολλάκις· ἐκεῖνοι ὁλόκληρον ἀρετήν, ἡμεῖς δὲ οὐδὲ μέρος ἀρετῆς· ἐκεῖνοι κατασκαφὴν ἀκούσαντες ἐφοβήθησαν, ἡμεῖς δὲ οὐδὲ γέενναν ἀκούοντες φοβούμεθα· ἐκεῖνοι προφητικῶν οὐ μετασχόντες, ἡμεῖς δὲ συνεχοῦς ἀπολαύοντες διδασκαλίας, καὶ πολλῆς τῆς χάριτος. ταῦτα λέγω νῦν οὐχ ὑπὲρ τῶν οἰκείων, ἀλλ' ὑπὲρ τῶν ἀλλοτρίων ὑμῖν ἐγκαλῶν ἁμαρτημάτων. ὑμῖν μὲν γὰρ εὖ οἶδ' ὅτι, καθάπερ ἔφθην εἰπών, ὁ νόμος οὗτος ὁ περὶ τοῦ ὀμνύειν κατώρθωται)· ἀλλ' οὐκ ἀρκεῖ τοῦτο εἰς σωτηρίαν ἡμῖν, εἰ μὴ καὶ ἑτέρους διδάξαντες διορθώσωμεν, ἐπεὶ καὶ ὁ τὸ τάλαντον ἐκεῖνο προσενεγκών, τὴν παρακαταθήκην ὁλόκληρον ἀποδούς, ἐπειδὴ τὸ δοθὲν οὐκ ἐπλεόνασεν, ἐκολάζετο. μὴ τοίνυν μηδὲ ἡμεῖς τοῦτο σκοπήσωμεν, εἰ αὐτοὶ τῆς ἁμαρτίας ἀπηλλάγημεν, ἀλλ' ἕως ἂν ἑτέρους ἀπαλλάξωμεν, μὴ ἀποστῶμεν, καὶ ἕκαστος δέκα φίλους ῥυθμίσας τῷ Θεῷ προσαγαγέτω· κἂν οἰκέτας ἔχῃς, κἂν μαθητάς. ἀλλ' οὐδὲ μαθητάς, οὐδὲ οἰκέτας ἔχεις; ἀλλὰ φίλους ἔχεις· τούτους κατόρθωσον. καὶ μή μοι λέγε, ὅτι τοὺς πλείονας τῶν ὅρκων ἀπηλλαξάμεθα, ὀλιγάκις δὲ ἁλισκόμεθα· ἀλλὰ καὶ τὸ ὀλιγάκις τοῦτο ἄνελε. εἰ χρύσινον ἕνα ἀπολέσεις, οὐκ ἂν ἅπαντας περιῆλθες, ἐρευνῶν καὶ ζητῶν, ὥστε αὐτὸν εὑρεῖν; τοῦτο καὶ ἐπὶ τῶν ὅρκων ποίησον· ἐὰν ἴδῃς, ὅτι ἕνα ὅρκον ἐκλάπης, θρήνησον, στέναξον, ὡς τῆς οὐσίας σου πάσης ἀπολωλυίας. πάλιν λέγω ὃ καὶ πρότερον· σύγκλεισον σαυτὸν ἐπὶ τῆς οἰκίας, μελέτην ποίησον καὶ γυμνάσιον μετὰ τῆς γυναικός, μετὰ τῶν παιδίων καὶ συνοικούντων· εἰπὲ πρὸς ἑαυτὸν σὺ πρότερον· οὐκ ἰδιωτικῶν, οὐ δημοσίων ἅψομαι πραγμάτων, ἕως ἂν τὴν ψυχὴν διορθώσωμαι τὴν ἐμαυτοῦ. ἂν ὑμεῖς τοὺς υἱοὺς τοὺς ἑαυτῶν παιδεύσητε, κἀκεῖνοι τοὺς ἑαυτῶν διδάξουσι, καὶ οὕτω μέχρι τῆς συντελείας καὶ τῆς παρουσίας τοῦ Χριστοῦ τὸ πρόσταγμα βαδίζον τοῖς τὴν ῥίζαν παραδοῦσιν ἅπαντα οἴσει τοῦτον τὸν μισθόν. ἂν μάθῃ λέγειν ὁ υἱός σου, πίστευσον, οὐ δυνήσεται εἰς θέατρον ἀναβῆναι, οὐδὲ εἰς καπηλεῖον εἰσελθεῖν, οὐδὲ ἐν κύβοις διατρῖψαι.. τὸ γὰρ ῥῆμα τοῦτο ἀντὶ χαλινοῦ τῷ στόματι περικείμενον καὶ ἄκοντα ἐρυθριᾶν παρασκευάσει καὶ αἰσχύνεσθαι· εἴ ποτε ἐν ἐκείνοις φανείη, καὶ ἀποπηδᾶν ἀναγκάσει ταχέως. ἀλλὰ καταγελῶσιν ἐκεῖνοι· ἀλλὰ σὺ δάκρυσον αὐτῶν τὴν παρανομίαν. πολλοὶ καὶ τοῦ Νῶε κατεγέλασάν ποτε, ὅτε τὴν κιβωτὸν κατεσκεύαζεν· ἀλλ' ὅτε ἦλθεν ὁ κατακλυσμός, ἐκεῖνος αὐτῶν κατεγέλασε· μᾶλλον δὲ οὐδέποτε αὐτῶν κατεγέλασεν ὁ δίκαιος, ἀλλ' ἐθρήνησεν αὐτῶν καὶ ἐστέναξεν. ὅταν οὖν ἴδῃς γελῶντας, ἐννόησον, ὅτι οἱ γελῶντες νῦν ὀδόντες, τότε κλαυθμὸν καὶ βρυγμὸν ὑποστήσονται χαλεπώτατον, καὶ τοῦ γέλωτος τούτου μνησθήσονται τρίζοντες κατ' ἐκείνην τὴν ἡμέραν, καὶ βρυχόμενοι· τότε ἀναμνησθήσῃ τοῦ γέλωτος τούτου. πόσα κατεγέλασε τοῦ Λαζάρου ὁ πλούσιος; ἀλλ' ὕστερον ἰδὼν αὐτὸν ἐν τοῖς κόλποις τοῦ Ἀβραάμ, ἑαυτὸν ἐθρήνει λοιπόν. ταῦτα οὖν ἅπαντα ἐννοῶν συνάθλει πάντας ταχέως εἰς τὴν τῆς ἐντολῆς ἐκπλήρωσιν. καὶ μή μοι λέγε τὸ κατὰ μικρόν, μηδὲ εἰς τὴν αὔριον ἀναβάλλου· ἡ γὰρ αὔριον οὐδέποτε λαμβάνει τέλος. τεσσαράκοντα λοιπὸν ἡμέραι παρῆλθον. ἂν τοίνυν τὸ πάσχα παρέλθῃ τὸ ἱερόν, οὐδενὶ συγγνώσομαι λοιπόν, οὐδὲ παραινέσεσι προσάξω, ἀλλ' ἐπιταγήν, καὶ ἀποτομίαν ἀκαταφρόνητον. οὐδὲ γὰρ ἰσχυρὰ αὕτη ἡ ἀπολογία

Λουκ. ια. λϐ.

Ματθ. κε. λ.

οὐδὲν ἀκαθαρσίας πληροῖ τὴν διάνοιαν, ὡς ὀργὴ διηνεκῶς ἔνδον μένουσα. ἔνθα γάρ ἐστι θυμός, ἢ ὀργή, πνεῦμα πραΰτητος οὐκ ἐφίσταται· πνεύματος δὲ ἁγίου ὁ ἄνθρωπος ἔρημος ὤν, ποίαν ἕξει σωτηρίας ἐλπίδα; πόθεν δὲ ὀρθὰ βαδιεῖται; μὴ τοίνυν, ἀγαπητέ, τὸν ἐχθρὸν ἀμύνασθαι βουλόμενος, σαυτὸν κατακρήμνιζε, μηδὲ ἔρημον ποίει τῆς τοῦ Θεοῦ προστασίας· μάλιστα μὲν γάρ, εἰ καὶ δύσκολον ἦν τὸ ἐπίταγμα, ἱκανὸν τῆς τιμωρίας τὸ μέγεθος, ὅπερ ἐκ τοῦ μὴ πείθεσθαι γίνεται, καὶ τὸν σφόδρα ὕπτιον καὶ νωθέστατον ὄντα διαναστῆσαι, καὶ πάντα πεῖσαι πόνον ὑπενεγκεῖν· νυνὶ δὲ καὶ πολλὴν ἔδειξεν ὁ λόγος τὴν εὐκολίαν οὖσαν, ἂν ἐθέλωμεν. μὴ τοίνυν καταμελήσωμεν τῆς ἑαυτῶν ζωῆς, ἀλλὰ σπουδάσωμεν, καὶ πάντα ποιῶμεν, ὥστε χωρὶς ἐχθρῶν παραστῆναι τῇ ἱερᾷ τραπέζῃ. οὐδὲν γάρ, οὐδὲν τῶν τοῦ Θεοῦ προσταγμάτων ἔσται δύσκολον, ἐὰν προσέχωμεν. καὶ τοῦτο ἐκ τῶν ἤδη κατορθωθέντων δῆλον. πόσοι ὑπὸ τῆς τῶν ὅρκων ἐκλέπτοντο συνηθείας; καὶ τὸ πρᾶγμα δυσκατόρθωτον εἶναι ἐνόμιζον, ἀλλ' ὅμως διὰ τὴν τοῦ Θεοῦ χάριν, ἐπειδὴ μικρὰν ἐπεδείξασθε σπουδήν, τὸ πλέον ἀπενίψασθε. διὰ τοῦτο δὴ παρακαλῶ καὶ τὸ λοιπὸν ἀποθέσθαι, καὶ ἑτέροις γενέσθαι διδασκάλους. τοὺς δὲ μήπω κατορθώσαντας, ἀλλὰ τὸν μακρὸν χρόνον ἡμῖν προβαλλομένους καθ' ὃν ὤμνυον ἔμπροσθεν, καὶ λέγοντας, ὡς ἀδύνατον ἐν βραχεῖ καιρῷ τὸ πολλοῖς ἔτεσι ῥιζωθὲν ἀνασπάσαι, ἐκεῖνο ἂν εἴποιμι, ὅτι ἔνθα ἂν δέοι κατορθῶσαί τι τῶν ὑπὸ Θεοῦ κελευομένων, οὐ χρόνου χρεία, οὐδὲ πλήθους ἡμερῶν, οὐδὲ διαστήματος ἐνιαυτῶν, ἀλλὰ φόβου μόνον, καὶ ψυχῆς εὐλάβειαν ἐχούσης, καὶ πάντως περιεσόμεθα, καὶ ἐν βραχεῖ καιρῷ. καὶ ἵνα μὴ νομίσητε, ὅτι ἁπλῶς ταῦτα λέγω, ὃν νομίζετε εἶναι πολύορκον ἄνθρωπον, καὶ πλείονα ὀμνύοντα μᾶλλον ἢ φθεγγόμενον, τοῦτον ἐμοὶ παράδοτε δέκα μόνον ἡμέρας, κἂν μὴ πᾶσαν ἐξέλω τὴν συνήθειαν ἐν ταῖς ὀλίγαις ταύταις ἡμέραις, καταγνῶτέ μου τὴν ἐσχάτην κατάγνωσιν. καὶ ὅτι οὐ κόμπος τὰ ῥήματα ταῦτα, ἀπὸ τῶν ἤδη γεγενημένων τοῦτο ἔσται δῆλον ὑμῖν. τί γὰρ τῶν Νινευϊτῶν ἀλογώτερον, * τί δὲ ἀνοητότερον; ἀλλ' ὅμως οὗτοι οἱ βάρβαροι καὶ ἀνόητοι, οἱ μηδενὸς μηδέποτε ἀκούσαντες φιλοσοφοῦντος, οἱ μηδέποτε παραγγέλματα τοιαῦτα λαβόντες, Ἰων. γ. δ. ἀκούσαντες τοῦ προφήτου λέγοντος, Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευῒ καταστραφήσεται, ἐν τρισὶν ἡμέραις πᾶσαν ἀπέθεντο πονηρὰν συνήθειαν· ὁ πόρνος σώφρων ἐγένετο, ὁ θρασὺς ἐπιεικής, ὁ πλεονέκτης καὶ ἅρπαξ μέτριος καὶ φιλόφρων, ὁ ῥᾴθυμος σπουδαῖος. οὐ γὰρ δὴ ἕν, οὐδὲ δύο, καὶ τρία, καὶ τέτταρα, ἀλλὰ πᾶσαν αὐτῶν διώρθωσαν τὴν πονηρίαν. καὶ πόθεν τοῦτο δῆλον, φησίν; ἀπὸ τῶν τοῦ προφήτου ῥημάτων. αὐτὸς γὰρ ὁ κατηγορήσας αὐτῶν, καὶ εἰπών, Ἰων. α. β. καὶ ια. ὅτι Ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῶν * ἕως τῶν οὐρανῶν, αὐτὸς αὐτοῖς τὸ ἐναντίον ἐμαρτύρησε πάλιν εἰπών, Ὅτι εἶδεν ὁ Θεός, ὅτι ἀπέστησαν ἕκαστος· οὐκ εἶπεν, ὅτι ἀπὸ πορνείας, ἢ μοιχείας, ἢ κλοπῆς, ἀλλ' ὅτι ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν. καὶ πῶς ἀπέστησαν; ὡς ὁ Θεὸς οἶδεν, οὐχ ὡς ἄνθρωπος ἐδοκίμασεν. εἶτα οὐκ αἰσχυνόμεθα, οὐδὲ ἐρυθριῶμεν, εἰ βαρβάρων ἀνθρώπων ἐν τρισὶν ἡμέραις μόνον πᾶσαν ἀποθεμένων κακίαν, ἡμεῖς ἐν τοσαύταις ἡμέραις ἐνηχούμενοι, διδασκόμενοι, μιᾶς μὴ περιγινοίμεθα πονηρᾶς συνηθείας; καίτοιγε εἰς ἔσχατον ἦσαν κἀκεῖνοι πρότερον κακίας ἐληλακότες. ὅταν γὰρ ἀκούσῃς, ὅτι ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῶν, μηδὲν ἄλλο νόμιζε, ἢ τὴν ὑπερβολὴν τῆς πονηρίας αὐτῶν· ἀλλ' ὅμως ἴσχυσαν ἐν τρισὶν ἡμέραις πρὸς ὁλόκληρον ἀρετὴν μετατάξασθαι. ὅπου γὰρ φόβος Θεοῦ, οὐ χρεία ἡμερῶν, οὐδὲ διαστήματος χρόνου, ὥσπερ ὅπου ἀφοβία, οὐδὲν ὄφελος ἡμερῶν. καθάπερ γὰρ τὰ ἰωθέντα τῶν σκευῶν ὁ μὲν ὕδατι μόνον ἀποτρίβων, κἂν πολὺν ἀναλώσῃ χρόνον, πάσης οὐκ ἀπαλλάξει τῆς κακίας ἐκείνης· ὁ δὲ εἰς χωνευτήριον ἐμβαλὼν ἐν βραχεῖ καιροῦ ῥοπῇ φαιδρότερα τῶν νεοτεύκτων ἐργάσεται· οὕτω δὴ καὶ ψυχὴ τῷ τῆς ἁμαρτίας ἰῷ βαφεῖσα, ἂν μὲν ἁπλῶς καὶ ὡς ἔτυχεν ἑαυτὴν ἀποσμήξῃ, καὶ καθ' ἑκάστην ἡμέραν μετανοῇ, οὐδὲν πλέον κερδανεῖ· ἂν δὲ ὥσπερ εἰς χωνευτήριον εἰς τὸν τοῦ Θεοῦ φόβον ἑαυτὴν ἐμβάλῃ, ἐν βραχείᾳ καιροῦ ῥοπῇ τὸ πᾶν ἀπονίψεται. μὴ τοίνυν εἰς τὴν αὔριον ἀναβαλλώμεθα (οὐ γὰρ οἴδαμεν τί τέξεται ἡ ἐπιοῦσα) μηδὲ λέγωμεν, περιεσόμεθα τῆς συνηθείας κατὰ μικρόν. τοῦτο γὰρ τὸ κατὰ μικρὸν οὐδέποτε ἐπιλείψει. διόπερ τοῦτο ἀφέντες, ἐκεῖνο λέγωμεν, ὅτι ἐὰν μὴ σήμερον κατορθώσωμεν τὸν ὅρκον, οὐκ ἀποστησόμεθα πρότερον· κἂν μυρία ἄγχῃ πράγματα, κἂν ἀποθανεῖν δέῃ, κἂν κολασθῆναι, κἂν πάντα ἀπολέσαι, οὐ δώσομεν τῷ διαβόλῳ ῥᾳθυμίας ἐξουσίαν, οὐδὲ ἀναβολῆς πρόφασιν. ἂν ὁ Θεὸς ἴδῃ σου τὴν πεπυρωμένην ψυχήν, τὴν διεγηγερμένην προθυμίαν, καὶ αὐτὸς συνεφάψεταί σου τῆς διορθώσεως. ναὶ δέομαι καὶ ἀντιβολῶ, σπουδάσωμεν, ἵνα μὴ καὶ ἡμεῖς ἀκούσωμεν, ὅτι ἄνδρες Νινευῖται ἀναστήσονται καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην· ὅτι ἐκεῖνοι μὲν ἅπαξ ἀκούσαντες κατώρθωσαν, ἡμεῖς δὲ πολλάκις· ἐκεῖνοι ὁλόκληρον ἀρετήν, ἡμεῖς δὲ οὐδὲ μέρος ἀρετῆς· ἐκεῖνοι κατασκαφὴν ἀκούσαντες ἐφοβήθησαν, ἡμεῖς δὲ οὐδὲ γέενναν ἀκούοντες φοβούμεθα· ἐκεῖνοι προφήτου οὐ μετασχόντες, ἡμεῖς δὲ συνεχοῦς ἀπολαύοντες διδασκαλίας, καὶ πολλῆς τῆς χάριτος. ταῦτα λέγω νῦν οὐχ ὑπὲρ τῶν οἰκείων, ἀλλ' ὑπὲρ τῶν ἀλλοτρίων ὑμῖν ἐγκαλῶν ἁμαρτημάτων. ὑμῖν μὲν γὰρ εὖ οἶδ' ὅτι, καθάπερ ἔφθην εἰπών, ὁ νόμος οὗτος ὁ περὶ τοῦ ὀμνύειν κατώρθωται· ἀλλ' οὐκ ἀρκεῖ τοῦτο εἰς σωτηρίαν ἡμῖν, εἰ μὴ καὶ ἑτέρους διδάξαντες διορθώσωμεν, ἐπεὶ καὶ ὁ τὸ τάλαντον ἐκεῖνο προσενεγκών, τὴν παρακαταθήκην ὁλόκληρον ἀποδούς, ἐπειδὴ τὸ δοθὲν οὐκ ἐπλεόνασεν, ἐκολάζετο. μὴ τοίνυν μηδὲ ἡμεῖς τοῦτο σκοπήσωμεν, εἰ αὐτοὶ τῆς ἁμαρτίας ἀπηλλάγημεν, ἀλλ' ἕως ἂν ἑτέρους ἀπαλλάξωμεν, μὴ ἀποστῶμεν, καὶ ἕκαστος δέκα φίλους ῥυθμίσας τῷ Θεῷ προσαγαγέτω· κἂν οἰκέτας ἔχῃς, κἂν μαθητάς. ἀλλ' οὐδὲ μαθητάς, οὐδὲ οἰκέτας ἔχεις; ἀλλὰ φίλους ἔχεις· τούτους κατόρθωσον. καὶ μή μοι λέγε, ὅτι τοὺς πλείονας τῶν ὅρκων ἀπηλλάξαμεν, ὀλιγάκις δὲ ἁλισκόμεθα· ἀλλὰ καὶ τὸ ὀλιγάκις τοῦτο ἄνελε. εἰ χρύσινον ἕνα ἀπολέσεις, οὐκ ἂν ἅπαντας περιῆλθες, ἐρευνῶν καὶ ζητῶν, ὥστε αὐτὸν εὑρεῖν; τοῦτο καὶ ἐπὶ τῶν ὅρκων ποίησον· ἐὰν ἴδῃς, ὅτι ἕνα ὅρκον ἐκλάπης, θρήνησον, στέναξον, ὡς τῆς οὐσίας σου πάσης ἀπολωλυίας. πάλιν λέγω ὃ καὶ πρότερον· σύγκλεισον σαυτὸν ἐπὶ τῆς οἰκίας, μελέτην ποίησον καὶ γυμνάσιον μετὰ τῆς γυναικός, μετὰ τῶν παιδίων καὶ συνοικούντων· εἰπὲ πρὸς ἑαυτὸν σὺ πρότερον· οὐκ ἰδιωτικῶν, οὐ δημοσίων ἅψομαι πραγμάτων, ἕως ἂν τὴν ψυχὴν διορθώσωμαι τὴν ἐμαυτοῦ. ἂν ὑμεῖς τοὺς υἱοὺς τοὺς ἑαυτῶν παιδεύσητε, κἀκεῖνοι τοὺς ἑαυτῶν διδάξουσι, καὶ οὕτω μέχρι τῆς συντελείας καὶ παρουσίας τοῦ Χριστοῦ τὸ πρόσταγμα βαῖνον τοῖς τὴν ῥίζαν παραδοῦσιν ἅπαντα οἴσει τοῦτον τὸν μισθόν. ἂν μάθῃ λέγειν ὁ υἱός σου, πίστευσον, οὐ δυνήσεται εἰς θέατρον ἀναβῆναι, οὐδὲ εἰς καπηλεῖον εἰσελθεῖν, οὐδὲ ἐν κύβοις διατρῖψαι. τὸ γὰρ ῥῆμα τοῦτο ἀντὶ χαλινοῦ τῷ στόματι περικείμενον καὶ ἄκοντα ἐρυθριᾶν παρασκευάσει καὶ αἰσχύνεσθαι· εἴ ποτε ἐν ἐκείνοις φανείη, καὶ ἀποπηδᾶν ἀναγκάσει ταχέως. ἀλλὰ καταγελῶσιν ἐκεῖνοι· ἀλλὰ σὺ δάκρυσον αὐτῶν τὴν παρανομίαν. πολλοὶ καὶ τοῦ Νῶε κατεγέλασάν ποτε, ὅτε τὴν κιβωτὸν κατεσκεύαζεν· ἀλλ' ὅτε ἦλθεν ὁ κατακλυσμός, ἐκεῖνος αὐτῶν κατεγέλασε· μᾶλλον δὲ οὐδέποτε αὐτῶν κατεγέλασεν ὁ δίκαιος, ἀλλ' ἐθρήνησεν αὐτῶν καὶ ἐστέναξεν. ὅταν οὖν ἴδῃς γελῶντας, ἐνόησον, ὅτι οἱ γελῶντες νῦν ὀδόντες, τότε κλαυθμὸν καὶ βρυγμὸν ὑποστήσονται χαλεπώτατον, καὶ τοῦ γέλωτος τούτου μνησθήσονται τρίζοντες κατ' ἐκείνην τὴν ἡμέραν, καὶ βρυχόμενοι· τότε ἀναμνησθήσῃ τοῦ γέλωτος τούτου. πόσα κατεγέλασε τοῦ Λαζάρου ὁ πλούσιος; ἀλλ' ὕστερον ἰδὼν αὐτὸν ἐν τοῖς κόλποις τοῦ Ἀβραάμ, ἑαυτὸν ἐθρήνει λοιπόν. ταῦτα οὖν ἅπαντα ἐννοῶν συνώθει πάντας ταχέως εἰς τὴν τῆς ἐντολῆς ἐκπλήρωσιν. καὶ μή μοι λέγε τὸ κατὰ μικρόν, μηδὲ εἰς τὴν αὔριον ἀνάβαλλε· ἡ γὰρ αὔριον οὐδέποτε λαμβάνει τέλος. τεσσαράκοντα λοιπὸν ἡμέραι παρῆλθον. ἂν τοίνυν τὸ πάσχα παρέλθῃ τὸ ἱερόν, οὐδενὶ συγγνώσομαι λοιπόν, οὐδὲ παραινέσει προσάξω, ἀλλ' ἐπιταγήν, καὶ ἀποτομίαν ἀκαταφρόνητον. οὐδὲ γὰρ ἰσχυρὰ αὕτη ἡ ἀπολογία

Λυκ. ια. λϐ.

Ματθ. κε. λ.

ἢ διὰ τῆς συνηθείας. διὰ τί ὁ κλέπτων οὐ προβάλλεται συνήθειαν, καὶ ἀπαλλάττεται κολάσεως; διὰ τί ὁ φονεύων, καὶ μοιχεύων; πᾶσι τοίνυν προλέγω καὶ διαμαρτύρομαι, ὅτι ἂν συγγενόμενος ὑμῖν κατ' ἰδίαν, καὶ λαβὼν ἀπόπειραν (λήψομαι δὲ πάντως) εὕρω τινὰς μὴ διορθώσαντας τὸ ἐλάττωμα, ἀπαιτήσω δίκην, κελεύσας ἔξω μένειν τῶν μυστηρίων τῶν ἱερῶν, οὐχ ἵνα μένωσιν ἔξω, ἀλλ' ἵνα διορθώσαντες ἑαυτοὺς οὕτως εἰσέλθωσι, καὶ μετὰ καθαροῦ συνειδότος ἀπολαύσωσι τῆς ἱερᾶς τραπέζης· τοῦτο γάρ ἐστι μετασχεῖν κοινωνίας. γένοιτο δὲ εὐχαῖς τῶν προέδρων καὶ τῶν ἁγίων πάντων καὶ ταῦτα καὶ τὰ ἄλλα πάντα διορθώσαντας ἐλαττώματα, τυχεῖν τῆς βασιλείας τῶν οὐρανῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ σὺν τῷ ἁγίῳ πνεύματι δόξα, τιμή, καὶ προσκύνησις, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΠΡΟΣ ΤΕ ΙΟΥΔΑΙΟΥΣ ΚΑΙ ΕΛΛΗΝΑΣ ΑΠΟΔΕΙΞΙΣ,

ὅτι ἐστὶ Θεὸς ὁ Χριστός, ἐκ τῶν παρὰ τοῖς προφήταις πολλαχοῦ περὶ αὐτοῦ εἰρημένων.

Ἐπειδὴ πολλοὶ τῶν ἀνθρώπων, οἱ μὲν οἴκοθεν ὄντες ῥᾴθυμοι, οἱ δὲ τοῖς βιωτικοῖς ἑαυτοὺς μετὰ πολλῆς ἐκδεδωκότες τῆς σπουδῆς, ἔτι δὲ καὶ ὑπὸ ἀμαθείας πολλῆς κατεχόμενοι, οὐκ ἂν ῥᾳδίως μακρῶν ἀνάσχοιντο λόγων, ἀναγκαῖον εἶναι ἐνόμισα τὸν ἐκ τῆς μακρηγορίας ἀποτεμέσθαι πόνον· ὥστε καὶ τοὺς ἄκνοι αἱρεῖν τῇ βραχυλογίᾳ τῶν ῥᾳθύμων, καὶ τοὺς σφόδρα αὐτῶν ἀναπεπτωκότας πρὸς τὴν ἀνάγνωσιν, πεῖσαι τῆς προκειμένης ὑμῖν πραγματείας μετὰ πολλῆς ἀκροάσασθαι τῆς προθυμίας. διά τοι τοῦτο οὐδὲ καλλωπίζων ῥήμασί τε καὶ ὀνόμασι τὴν ἑρμηνείαν, ἀλλ' αὐτὰ θεὶς τὰ ὀνόματα οὕτως, ὡς καὶ οἰκέτῃ καὶ θεραπαινίδι καὶ χήρᾳ γυναικί, καὶ καπήλῳ, καὶ ναύτῃ, καὶ γηπόνῳ ῥᾴδια εἶναι καὶ εὔληπτα, πανταχοῦ πειράσομαι συστεῖλαι τὸ μῆκος, ὡς ἂν ἐγχωρῇ, καὶ δι' ὀλίγων τὴν διδασκαλίαν ποιῆσαι, ἑκατέροις τούτοις τῶν ἀπολίων ἀκροατῶν διεγείρων τὴν ὄρεξιν, εἰς τὸ ῥᾳδίως καὶ χωρὶς καμάτου τινὸς τὰ ἐγκείμενα ἐπελθεῖν, καὶ καταθέντας ἐπὶ μνήμης ταῦτα κερδᾶναι. ποιήσομαι δὲ τὸν ἀγῶνα πρὸς Ἕλληνας πρότερον. εἰ γὰρ δὴ λέγοι ὁ Ἕλλην, πόθεν δῆλον ὅτι Θεός ἐστιν ὁ Χριστός (τοῦτο γὰρ δεῖ προϋποθέσθαι πρότερον, ὡς τὰ ἄλλα πάντα τούτῳ ἑπόμενα) οὐκ ἀπὸ οὐρανοῦ ποιησόμεθα τὴν ἀπόδειξιν, οὐδὲ ἀπὸ ἄλλων τοιούτων. ἐὰν γὰρ εἴπω πρὸς αὐτόν, ὅτι οὐρανὸν ἔκτισεν, ὅτι γῆν, ὅτι θάλασσαν, οὐκ ἀνέξεται. ἂν εἴπω, ὅτι νεκροὺς ἤγειρε, τυφλοὺς ἐθεράπευσε, δαίμονας ἤλασεν, οὐδὲ τοῦτο καταδέξεται). ἂν εἴπω, ὅτι βασιλείαν ἐπηγγείλατο καὶ τὰ ἀπόρρητα ἀγαθά, ἂν περὶ ἀναστάσεως διαλεχθῶ, οὐ μόνον οὐκ ἀνέξεται, ἀλλὰ καὶ γελάσεται. πόθεν οὖν αὐτὸν ἐνάξομεν, καὶ μάλιστα ἐὰν ἰδιώτης ᾖ; πόθεν ἄλλοθεν, ἀλλ' ἢ ἀπὸ τῶν παρ' ὑμοῦ καὶ αὐτοῦ κοινῶς καὶ ἀναντιρρήτως ὁμολογουμένων, καὶ πρὸς ἃ ἀμφιβόλως οὐκ ἔχει; ὅτι μὲν γὰρ οὐρανοὺς ἐποίησε, καὶ τὰ ἄλλα, ἅπερ εἶπον, ἐὰν ἀποδῶμεν, οὐκ ἂν ἀνάσχοιτο πεισθῆναι ῥᾳδίως. τίνα οὖν ἐστιν ἃ καὶ ἐκεῖνος ὁμολογεῖ αὐτὸν πεποιηκέναι, καὶ οὐδαμῶς ἂν ἀντείποι; ὅτι τὸ χριστιανῶν γένος αὐτὸς ἐφύτευσεν. οὐ γὰρ δὴ καὶ πρὸς τοῦτο ἀντερεῖ, ὅτι τὰς πανταχοῦ τῆς οἰκουμένης ἐκκλησίας αὐτὸς ἐπήξατο. ἀπὸ τούτων παρεξόμεθα τῆς δυνάμεως αὐτοῦ τὴν ἀπόδειξιν, καὶ δείξομεν αὐτὸν ὄντα Θεόν, καὶ ἐροῦμεν, ὅτι οὐκ ἔστιν ἀνθρώπου ψιλοῦ τοσαύτην ἐν βραχεῖ καιρῷ περιελθεῖν οἰκουμένην, καὶ γῆν, καὶ θάλατταν, θαλάττῃ, καὶ ἐπὶ τοιούτοις κακῶν πράγμασιν οὕτω, καὶ ταῦτα ὑπὸ ἀτόπου συνηθείας προκατειλημμένους ἀνθρώπους, μᾶλλον δὲ ὑπὸ τοσαύτης κακίας κατεχομένους. καὶ ὅμως ἴσχυσε τούτων πάντων τὸ τῶν ἀνθρώπων γένος ἐλευθερῶσαι, οὐχὶ Ῥωμαίους μόνον, ἀλλὰ καὶ Πέρσας καὶ ἁπλῶς τὰ τῶν βαρβάρων γένη. καὶ ταῦτα κατώρθωσεν, οὐχ ὅπλοις χρώμενος, οὐ χρήματα δαπανῶν, οὐ στρατόπεδα κινῶν, οὐ πολέμους ἀναρριπίζων, ἀλλὰ δι' ἕνδεκα ἀνθρώπων τὴν ἀρχὴν, ἀσήμων, εὐτελῶν, ἀμαθῶν, ἰδιωτῶν, πενήτων, γυμνῶν, ἀόπλων, ἀνυποδέτων, μονοχιτώνων. τί λέγω, κατώρθωσε; πεῖσαι ἠδυνήθη τοσαῦτα φῦλα ἀνθρώπων, οὐ περὶ τῶν παρόντων μόνον, ἀλλὰ καὶ περὶ τῶν μελλόντων φιλοσοφεῖν, καὶ νόμους πατρῴους ἀνασπάσαι, καὶ παλαιὰ ἔθη τοσούτῳ ῥιζωθέντα χρόνῳ ἐκ ῥιζῶν ἀνελεῖν, καὶ ἕτερα ἀντιφυτεῦσαι, καὶ τῶν εὐκόλων ἀπαγαγόντα εἰς τὰ δύσκολα ἐμβαλεῖν τὰ αὐτοῦ· καὶ ταῦτα ποιῆσαι πολεμούμενον παρὰ πάντων, καὶ σταυρὸν ὑπομεμενηκέναι χλευαζόμενον, καὶ θάνατον ἐπονείδιστον. οὐ γὰρ δὴ καὶ πρὸς ταῦτα ἀντερεῦσιν, ὅτι οὐκ ἐσταυρώθη ὑπὸ Ἰουδαίων καὶ τὰ μυρία ἔπαθε παρ' αὐτῶν, καὶ ὅτι καθ' ἑκάστην ἡμέραν ἐπιδίδωσι τὸ κήρυγμα. καὶ τὸ παράδοξον, οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ παρὰ Πέρσαις αὔξει, ἔτι καὶ νῦν παρ' αὐτοῖς πολεμούμενον. καὶ γὰρ παρ' ἐκείνοις ἄρτι μαρτύρων δῆμοι πολλοί· καὶ ὅμως οἱ καὶ λύκων αὐτῶν ἀγριώτεροι, δεξάμενοι τὸ κήρυγμα, προβάτων ἡμερώτεροι γεγόνασι, καὶ περὶ ἀθανασίας καὶ περὶ ἀναστάσεως φιλοσοφοῦσι, καὶ τῶν ἀπορρήτων ἀγαθῶν. οὐκ ἐν ταῖς πόλεσι δὲ μόνον, ἀλλὰ καὶ εἰς τὴν ἔρημον ταῦτα ἐξῆλθε τὰ κατορθώματα, καὶ εἰς κώμας, καὶ εἰς χώρας, καὶ εἰς νήσους, καὶ ὅρμους, καὶ ἐπίνεια· καὶ οὐκ ἰδιῶται, οὐδὲ ἄρχοντες ἁπλῶς, ἀλλὰ καὶ αὐτοὶ οἱ τὰ διαδήματα περικείμενοι, μετὰ πολλῆς εἰσιν ὑποτεταγμένοι τῆς πίστεως τοῦ σταυρωθέντι. καὶ ὅτι ταῦτα πάντα οὐχ ἁπλῶς γέγονεν, ἀλλὰ μετὰ προρρήσεως πρὸ πολλοῦ γεγενημένης χρόνου, ἐπὶ τοῦ παρόντος ἀποδεῖξαι πειράσομαι· μᾶλλον δὲ, ὥστε ἡμῖν μηδὲ ὕποπτον γενέσθαι τὸν λόγον, ἀναγκαῖον τὰ βιβλία τῶν σταυρωσάντων αὐτὸν Ἰουδαίων εἰς μέσον προθεῖναι, καὶ τὰς περὶ αὐτοῦ μαρτυρίας ἐκ τῶν παρ' αὐτοῖς φυλαττομένων γραφῶν ἔτι καὶ νῦν ὑπ' ὄψει τῶν ἀπειθούντων διεξελθεῖν. ὅτι τοίνυν ὁ Θεὸς ἄνθρωπος ἔσται, Θεὸς ὢν, προφήτης Ἱερεμίας λέγει· Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε Βαρ. γ. κγ. πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. μετὰ ταῦτα, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. εἶδες πῶς ἅπαντα ἐν βραχέσι ῥήμασι προεδήλωσε, καὶ ὅτι Θεὸς ὢν ἄνθρωπος ἐγένετο, καὶ ἀνθρώποις συνανεστράφη, καὶ ὅτι καὶ τὴν παλαιὰν αὐτὸς ἐνομοθέτησεν; Ἐξεῦρε γάρ, φησι, πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. δείκνυσι γὰρ ἐν τούτῳ, ὅτι καὶ πρὸ τῆς παρουσίας τῆς ἐνσάρκου πάντα αὐτὸς ᾠκονόμει, καὶ πάντα αὐτὸς ἔπραττε, νομοθετῶν, προνοῶν, κηδόμενος, εὐεργετῶν. ἕτερος πάλιν προφήτης, ὅτι οὐκ ἄνθρωπος μόνον ἔσται, ἀλλ' ὅτι καὶ ἀπὸ παρθένου τεχθήσεται, ἄκουσον πῶς φησιν· Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ησ. ζ. ιδ. Ἐμμανουήλ· τοῦτο δέ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ Θεός. εἶτα δεικνὺς, ὅτι οὐ φαντασία τὸ φαινόμενον ἦν, ἀλλ' ἀληθῶς ἄνθρωπος, ἐπήγαγε λέγων· Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον [καλεῖν πατέρα] ἀγαθὸν ἢ κακὸν, ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκ- Ησ. ζ. ιϛ. λέξασθαι τὸ ἀγαθόν. ὅτι δὲ αὐτὸς ἔσται οὐκ ἄνθρωπος μόνον, οὐδ' ὅτι ἐκ παρθένου μόνον, ἀλλ' ὅτι καὶ ἐξ οἴκου Δαβίδ, ἄκουσον πῶς καὶ τοῦτο ἄνωθεν προλέγει ὁ Ἡσαΐας, τροπικῶς μὲν κεχρημένος ταῖς λέξεσι καὶ μεταφορᾷ πολλῇ, προλέγει δ' οὖν ὅμως· Ἐξελεύσεται ῥάβδος Ησ. ια. α. ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν πνεῦμα Θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας, πνεῦμα φόβου Θεοῦ ἐμπλήσει αὐτόν. ὁ γὰρ Ἰεσσαὶ οὗτος πατὴρ τοῦ Δαβὶδ ἦν. δῆλον

ἐκ τούτου ὅτι καὶ ἀπὸ τῆς φυλῆς ἐκείνης ἦν. οὐ μόνον δὲ ὅτι ἀπὸ τῆς φυλῆς, ἀλλ' ὅτι καὶ ἀπὸ
τῆς οἰκίας Ἰεσσαὶ προελεύσεται, καὶ τοῦτο προανεφώνησεν, εἰπών· Ἐξελεύσεται γάρ, φησι,
ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, οὐ περὶ ῥάβδου λέγων ἁπλῶς, ἀλλὰ περὶ αὐτοῦ καὶ τῆς βασιλείας
αὐτοῦ. καὶ ὅτι οὐ περὶ ῥάβδου τοῦτο εἶπεν, ἐδήλωσε διὰ τῶν ἑξῆς. εἰπὼν γάρ,
Ἐξελεύσεται ῥάβδος, ἐπήγαγε· Καὶ ἀναπαύσεται ἐπ' αὐτὸν πνεῦμα σοφίας καὶ συνέσεως.
οὐδεὶς δέ, κἂν σφόδρα ἀνόητος ᾖ, τοῦτο ἐρεῖ, ὅτι ἐπὶ τοῦ ξύλου ἤρχετο ἡ τοῦ πνεύματος χάρις, ἀλλ'
εὔδηλον ὅτι ἐπὶ τὸν ναὸν ἐκεῖνον τὸν ἄμωμον. διὰ τοῦτο οὐδέ, ἥξει, εἶπεν, ἀλλ', ἐπαναπαύσεται·
ἐπειδὴ ἐλθὼν παρέμεινε, καὶ οὐκ ἀπέστη. ὃ δὴ καὶ ὁ εὐαγγελιστὴς Ἰωάννης δηλῶν ἔλεγεν·
Ιωαν. α. λγ. Ἐγὼ τεθέαμαι τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστεράν, καὶ μένον ἐπ' αὐτόν. οὐ παρεσιώπησαν
δέ, οὐδὲ τὴν γνώμην τὴν Ἰουδαϊκήν, ἣν ἐπεδείξαντο ἅμα τεχθέντος αὐτοῦ. ὁ μὲν γὰρ
Ματθ. γ. γ. Ματθαῖός φησιν· Ἀκούσας δὲ Ἡρώδης ἐταράχθη, καὶ πᾶσα Ἱεροσόλυμα μετ' αὐτοῦ. ὁ δὲ Ἡσαΐας
Ησ. θ. ε. ἄκουσον πῶς καὶ τοῦτο ἄνωθεν προανεφώνει λέγων· Θελήσουσιν εἰ ἐγεννήθησαν πυρίκαυστοι·
ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς
ἄγγελος, θαυμαστὸς σύμβουλος, Θεὸς ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ
μέλλοντος αἰῶνος. ὅτι δὲ περὶ ἀνθρώπου οὐκ ἄν τις εἴποι τοῦτο ψιλοῦ, εὔδηλον καὶ τοῖς σφόδρα
φιλονεικεῖν ἐθέλουσι. Θεὸς γὰρ ἰσχυρὸς οὐδεὶς ἀνθρώπων ἐλέχθη ἀπὸ τοῦ αἰῶνος, οὐδὲ
Ησ. θ. ζ. ἄρχων εἰρήνης τοιαύτης. Τῆς γὰρ εἰρήνης αὐτοῦ, φησιν, οὐκ ἔστιν ὅριον. καὶ δηλοῖ τῶν
πραγμάτων ἡ φύσις, ὅτι πᾶσαν ἐπῆλθε τὴν γῆν, πᾶσαν θάλατταν, πᾶσαν οἰκουμένην,
πᾶσαν ἀοίκητον, καὶ ὄρη καὶ νάπας καὶ βουνοὺς ἀπὸ τῆς ἡμέρας ἐκείνης, ἀφ' ἧς ἀρξάμενος, εἰς
Ιωαν. ιδ. κζ. οὐρανοὺς ἀνέρχεσθαι μέλλων, ὁ Χριστὸς εἶπεν· Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, οὐ καθὼς ὁ
κόσμος δίδωσι, δίδωμι ὑμῖν. ἡ μὲν γὰρ τῶν ἀνθρώπων " εὐκατάλυτός ἐστι, καὶ πολλὰς ἴσ. ἀκατά-
ἔχει τὰς μεταβολάς· ἡ δὲ παρ' αὐτοῦ, βεβαία, ἀκίνητος, παγία, μόνιμος, ἀθάνατος, τέλος οὐκ λυτος
ἔχουσα, καὶ ταῦτα μυρίων πολέμων πανταχόθεν ἀναρριπισθέντων, καὶ καθ' ἑκάστην ἡμέραν
μυρίων ἐπιβουλῶν γινομένων. ἀλλ' ὁ πάντα ἀνύων αὐτοῦ λόγος, καὶ τοῦτον λύσει μετὰ τῶν
ἄλλων.

Οὐ μόνον δὲ ὅτι ἄνθρωπος ἔσται, ἀλλὰ καὶ τῆς παρουσίας αὐτοῦ τὸν τρόπον προεφήτευσαν.
ἐπειδὴ γὰρ ἔμελλε παραγίνεσθαι, οὐκ ἀστραπὰς ἀφιείς, οὐ κεραυνοὺς ἄνωθεν, οὐ σείων τὴν
γῆν, οὐ κλονῶν τὸν οὐρανόν, οὐκ ἐκπλήξεις τινὰς ἐργαζόμενος, ἀλλ' ἀψοφητὶ καὶ μηδενὸς
εἰδότος ἐν οἰκίᾳ τίκτοντος ἐτέχθη, ἐν οἰκίᾳ ἀσήμῳ καὶ εὐτελεῖ, ἄκουσον πῶς οὐδὲ τοῦτο παρεσιώπησεν
Ψαλμ. οα. ϛ. ὁ Δαβὶδ εἰπών· Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, τὸ ἀτάραχον, τὸ ἡσυχῇ διὰ
τοῦτο δηλῶν. οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τῆς τότε μετὰ πάντων αὐτοῦ διαγωγῆς τὸ πρᾶον ἴσ. τούτου
καὶ ἐπιεικὲς ἐμφαίνων ἄλλος προφήτης ὅρα τί φησιν. ἐπειδὴ γὰρ ὑβριζόμενος, ἐμπτυόμενος,
λοιδορούμενος, ἀτιμαζόμενος, μαστιζόμενος, τελευταῖον καὶ σταυρωθεὶς οὐδένα τῶν ταῦτα πεποιηκότων
ἠμύνατο, ἀλλ' ἔφερεν ἅπαντα μακροθύμως καὶ πρᾴως, οἴσει τὰς ἀτιμίας, τὰς ἐπιβουλάς,
τὴν μανίαν, τὸν θυμὸν τὸν ἄκαιρον ἐκείνου τοῦ δήμου, τὰς ἐφόδους, ταῦτα πάντα δηλῶν
Ησ. μβ. γ. ἔλεγε· Κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ λίνον τυφόμενον οὐ σβέσει, ἕως ἂν ἐκβάλῃ
εἰς νῖκος τὴν κρίσιν, καὶ ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν. ἕτερος δὲ πάλιν καὶ τὸν τόπον, ἐν
Μιχ. ε. β. ᾧ ἔμελλε τίκτεσθαι, δηλοῖ οὕτω λέγων· Καὶ σύ, Βηθλεέμ, γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ
ἐν τοῖς ἡγεμόσιν Ἰούδα. ἐκ σοῦ γάρ μοι ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν
Ἰσραήλ, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. Ὁρᾷς καὶ τὴν θεότητα, καὶ τὴν ἀνθρωπότητα
δείκνυσι. τῷ μὲν γὰρ εἰπεῖν, αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος, τὴν
προαιώνιον ἐδήλωσεν ὕπαρξιν· τῷ δὲ εἰπεῖν, ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν
μου τὸν Ἰσραήλ, τὴν κατὰ σάρκα γέννησιν. καὶ ὅρα πάλιν καὶ ἑτέραν ἐνταῦθα προφητείαν διαλάμπουσαν.
οὐ γὰρ μόνον, ὅτι τεχθήσεται, εἶπεν, ἀλλ' ὅτι καὶ ἐπίσημον ἔσται τὸ χωρίον, καὶ

τι ἀτελὲς ὂν καὶ μικρόν. Οὐδαμῶς γὰρ ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα, φησί. πᾶσα
τοίνυν ἡ οἰκουμένη συντρέχει νῦν ἰδεῖν τὴν Βηθλεέμ, ἔνθα τεχθεὶς ἐτέθη, οὐδαμόθεν
ἀλλοθεν, ἀλλ' ἢ ἐντεῦθεν μόνον. ἄλλος πάλιν καὶ τὸν καιρόν, ἐν ᾧ ἔμελλε παραγίνεσθαι, ἐδήλωσεν
οὕτως εἰπών· Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν Γεν. μθ´ ι.
ἔλθῃ, ᾧ ἀπόκειται· καὶ αὐτὸς προσδοκία ἐθνῶν, δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ,
καὶ τῇ ἕλικι τὸν πῶλον τῆς ὄνου αὐτοῦ· πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι
σταφυλῆς τὴν περιβολὴν αὐτοῦ· χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου, καὶ λευκοὶ οἱ ὀδόντες
αὐτοῦ, ἢ γάλα. ὅρα καὶ ταύτην τὴν προφητείαν διαπρέπουσαν. τότε γὰρ παραγίνεται,
ὅτε λοιπὸν ἐπέλιπον οἱ ἄρχοντες οἱ Ἰουδαϊκοί, καὶ ὑπὸ τὰ σκῆπτρα τῶν Ῥωμαίων
ἐγένοντο· καὶ οὕτως ἐπληρώθη καὶ ἡ προφητεία ἡ λέγουσα, Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ
ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ, ᾧ ἀπόκειται, τὸν Χριστὸν λέγουσα. ὁμοῦ τε
γὰρ ἐτέχθη, καὶ ἀπογραφὴ ἐγένετο ἐκείνη πρώτη, κρατησάντων Ῥωμαίων τοῦ Ἰουδαίων ἔθνους,
καὶ ὑπὸ ζυγὸν τῆς οἰκείας βασιλείας ἀγαγόντων αὐτούς. εἶτα καὶ ἄλλο παρασημαίνεται
τῷ λέγειν, Καὶ αὐτὸς προσδοκία ἐθνῶν. παραγινόμενος γὰρ τὰ ἔθνη πάντα ἐπεσπάσατο.
ἔμελλεν Ἡρώδης,

* λείπει *

* * * * *

αὐτὸν ἔμελλον ἀποστρέφεσθαι εἰκῆ καὶ μάτην, οὐ μικρόν, οὐ μέγα ἔχοντες ἐγκαλεῖν. καὶ τοῦτο
προανεκηρύχθη. ἄκουε γὰρ τοῦ Δαβὶδ τοῦτο αὐτὸ προθεσπίζοντος οὕτω καὶ λέγοντος·
Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός· ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν Ψαλ. ριθ´ ε.
με δωρεάν. ἔμελλε καὶ ἐπὶ ὄνου ὀχούμενος, οὕτως εἰς τὴν πόλιν εἰσιέναι. καὶ τοῦτο ἄνωθεν
προανεκηρύχθη ὑπὸ Ζαχαρίου λέγοντος οὕτω· Χαῖρε σφόδρα, θύγατερ Σιών, κήρυσσε, Ζαχ. θ´ θ.
θύγατερ Ἱερουσαλήμ· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πραῢς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον
καὶ πῶλον νέον. ἐξέβαλε τοὺς πωλοῦντας τὰς περιστερὰς καὶ τοὺς κολλυβιστάς. ἐποίει δὲ τοῦτο
αὐτὸ ζήλῳ τῷ ὑπὲρ τοῦ οἴκου, καὶ ἅμα δεικνὺς ὅτι οὐκ ἀντίθεός τίς ἐστιν, ἀλλὰ καὶ σύμφωνος
τῷ πατρί. διὸ καὶ ἐξεδίκει τὸν οἶκον ὡς ἐν αὐτῷ καπηλείας τοσαύτης γινομένης. οὐδὲ τοῦτο
καταλείφθη ἀνεπισήμαντον, ἀλλὰ καὶ αὐτὸ ὁ προφήτης Δαβὶδ προαγορεύων, καὶ τὴν
γνώμην, μεθ' ἧς τὴν ἐκδίκησιν ἔπραξε, προαναφωνῶν, λέγει· Ὁ ζῆλος τοῦ οἴκου σου Ψαλ. ξη´ ι.
κατέφαγέ με. τί τούτου γένοιτ' ἂν ἐναργέστερον; ἔμελλε παραδίδοσθαι, καὶ ὁ κοινωνῶν αὐτῷ τῆς
τραπέζης τὴν προδοσίαν ἐργάζεσθαι. ὅρα πῶς καὶ τοῦτο προηγόρευσεν ὁ αὐτὸς οὗτος
προφήτης λέγων· Ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν. σκόπει δὲ καὶ τοῦ Ψαλ. μ´ ι.
εὐαγγελιστοῦ τὴν συμφωνίαν· Ὁ ἐμβάψας, φησί, μετ' ἐμοῦ τὴν χεῖρα αὐτοῦ ἐν τῷ τρυβλίῳ, Ματθ. κϛ´ κγ.
οὗτός με παραδώσει. ἔμελλεν ὁ παραδιδοὺς αὐτὸν οὐχ ἁπλῶς παραδιδόναι, ἀλλὰ πωλῶν
τὸ αἷμα τὸ τίμιον, καὶ χρήματα ὑπὲρ τούτου λαμβάνων. οὐδὲ τοῦτο ἐσίγησεν ὁ προφήτης,
ἀλλὰ καὶ τὰ ἀνάγκαια τὰ συμβόλαια, καὶ τοὺς λόγους, οὓς πρὸς ἀλλήλους ἐποιοῦντο, ἐμφαίνων,
Ὁ Θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς, ἔλεγεν· ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου Ψαλ. ρη´ α.
ἐπ' ἐμὲ ἠνοίχθη. ὁ αὐτὸς προδότης μεταγνοὺς ὕστερον ὑπὲρ ὧν ἐτόλμησε, τά τε ἀργύρια
ἔρριψε, καὶ δραμὼν ἐπὶ βρόχον, οὕτω τὸν βίον κατέλυσε, χηρείᾳ τὴν γυναῖκα, καὶ ὀρφανίᾳ τὰ
τέκνα παραδούς, καὶ ἐρημίᾳ τὴν οἰκίαν. ὅρα πῶς καὶ ταύτην ἐκτραγῳδεῖ τὴν συμφορὰν ὁ
προφήτης οὕτω λέγων· Γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοί, καὶ ἡ γυνὴ αὐτοῦ χήρα, σαλευόμενοι Ψαλ. ρη´ η.
μετοικισθήτωσαν οἱ υἱοὶ αὐτοῦ, καὶ ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν. ἀλλὰ καὶ
ἀντ' ἐκείνου μετ' ἐκεῖνον γέγονέ τις ἀπόστολος ὁ Ματθίας. καὶ τοῦτο πάλιν ὁ αὐτὸς
προαναφωνεῖ λέγων· Τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος. προδοθέντος αὐτοῦ καὶ συλληφθέντος
ἑκόντος, συνίσταται δικαστήριον πολλῆς γέμον παρανομίας, Ἰουδαίων τε καὶ τῶν ἐξ ἐθνῶν. ὅρα
πῶς καὶ αὐτὸ προθεσπίζει ὁ προφήτης, λέγων· Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν Ψαλ. β´ α.
κενά;

κενά; οὐ ταῦτα δὲ μόνον προανεφώνησαν· ἀλλὰ καὶ τὴν σιγήν, ἣν πολλῶν μεταξὺ λόγων
Ησ. νγ. ζ. η. γινομένων καὶ κατηγοριῶν εἱστήκει σιγῶν, δηλῶν ὁ Ἡσαΐας ἔφη· Ὡς πρόβατον ἐπὶ σφαγὴν
ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.
Εἶτα δεικνὺς τὸ διεφθαρμένον τῆς ψήφου, ἐπήγαγεν· Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ
ἤρθη, τουτέστιν, οὐδεὶς αὐτῷ τὰ δίκαια ἐδίκασεν. Εἶτα καὶ τὴν αἰτίαν λέγει τῆς σφαγῆς.
ἐπειδὴ γὰρ ἁμαρτημάτων ἕνεκεν οὐκ ἔπασχεν, ἅπερ ἔπασχεν, ἄμωμος καὶ ἄληπτος ὤν, ὑπὲρ
Ησ. νγ. θ. δὲ τῆς οἰκουμένης κακίας παρεδίδοτο, σκόπει πῶς ἀμφότερα καὶ ταῦτα ἠνίξατο εἰπών· Ὃς
ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. Διὰ γὰρ τούτου ἐδήλωσε,
τίνος ἕνεκα ἀνῃρέθη. Εἶτα καὶ ἄλλη αἰτία· Ἐκ τῶν ἁμαρτιῶν, φησί, τοῦ λαοῦ μου ἤχθη εἰς
θάνατον. οὐ μόνον δὲ τὴν αἰτίαν τῆς σφαγῆς, ἀλλὰ καὶ τὸ κέρδος ἀπὸ τοῦ σταυροῦ καὶ τῆς σφαγῆς
Ησ. νγ. ε. ἐκείνης γέγονε θέλων δεῖξαι, ὅρα πῶς περιφανῶς τοῦτο λέγων· Πάντες ὡς πρόβατα ἐ-
πλανήθημεν· ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη. παιδεία εἰρήνης ἡμῶν ἐπ' αὐτόν· τῷ
μώλωπι αὐτοῦ ἡμεῖς πάντες ἰάθημεν. Εἶτα ἐπειδὴ καὶ δίκας ἔμελλον διδόναι ὑπὲρ τῶν τολμη-
Ησ. νγ. θ. μάτων τούτων οἱ Ἰουδαῖοι, καὶ τοῦτο δηλοῖ ὁ αὐτὸς προφήτης ἐν οἷς λέγει· Δώσω τοὺς πονη-
ροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ. καὶ ὁ Δαβὶδ πάλιν εἰ-
Ψαλ. β. γ. δ. πών, Ἀπορρίψωμεν τὸν ζυγὸν αὐτῶν ἀφ' ἡμῶν, ἐπήγαγεν· Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγε-
λάσεται αὐτούς. τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει
αὐτούς, τὴν πανταχοῦ τῆς οἰκουμένης διασπορὰν λέγων αὐτῶν. ὃ καὶ αὐτὸς ὁ Χριστὸς ἐν τοῖς εὐαγ-
Λουκ. ιθ. κζ. γελίοις δηλῶν ἔλεγε· Τοὺς δὲ μὴ θελήσαντάς με βασιλεῦσαι ἐπ' αὐτῶν ἀγάγετε ὧδε, καὶ κα-
τασφάξατε αὐτούς. Εἶτα ἐπειδὴ τὴν σφαγὴν εἶπον, οὐδὲ τὸν τρόπον τῆς σφαγῆς πα-
Ψαλ. κα. ιζ. ρεσιώπησαν, ἀλλὰ καὶ αὐτὴν προεδήλωσεν ὁ Δαβὶδ οὕτως εἰπών, Ὤρυξάν χεῖράς μου καὶ
πόδας μου· ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου. οὐδὲ τὴν μετὰ τὸν σταυρὸν παρανομίαν ἐσί-
Ψαλ. κα. ιθ. γησε πάλιν εἰπών, Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον
Ψαλ. πζ. ς. κλῆρον. Εἶτα καὶ ὅτι θάπτεσθαι ἔμελλε, καὶ τοῦτο ἐδήλωσεν εἰπών, Ἔθεντό με ἐν λάκκῳ
κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ σκιᾷ θανάτου. καὶ ὅτι ἀνίστασθαι ἔμελλεν, ὅρα πῶς καὶ τοῦτο προ-
Ψαλ. ιε. ι. ανεφώνησε λέγων· Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου, οὐδὲ δώσεις τὸν ὅσιόν σου
Ησ. νγ. ι. ἰδεῖν διαφθοράν. ἑτέρως δὲ ὁ Ἡσαΐας τὸ αὐτὸ τοῦτο πάλιν ἐμφαίνει λέγων· Καὶ Κύριος αὐ-
τὸν βούλεται καθαρίσαι ἀπὸ τῆς πληγῆς, δεῖξαι αὐτῷ φῶς, δικαιῶσαι δίκαιον εὖ δουλεύ-
σαντα πολλοῖς. ὅτι τῶν ἁμαρτημάτων τῶν ἀνθρωπίνων λύσις γίνεται αὐτοῦ ἡ σφαγή, καὶ
Ησ. νγ. ιβ. τοῦτο παρέστησε τῷ εἰπεῖν, Καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκεν. ὅτι τῶν δαιμόνων ἀ-
Ησ. νγ. ιβ. πήλλαξε τοὺς ἀνθρώπους, καὶ τοῦτο, Καὶ τῶν ἰσχυρῶν, φησί, μεριεῖ σκῦλα. ὅτι διὰ τοῦ θα-
Ησ. νγ. ιβ. νάτου τοῦτο ἐποίησεν, οὐδὲ αὐτὸ ἐσίγησεν, ἀλλὰ λέγει· Ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ
αὐτοῦ. ὅτι περιέσεσθαι ἔμελλε τῆς οἰκουμένης, καὶ τοῦτο ἐδήλωσε δι' ὧν ἔφη· Καὶ αὐτὸς
κληρονομήσει πολλούς. Εἶτα ἐπειδὴ καταβὰς εἰς τὸν ᾅδην ἅπαντα διετάραξε, καὶ θορύ-
βου καὶ ταραχῆς ἐνέπλησε, καὶ τὴν ἀκρόπολιν κατέλυσεν, οὐδὲ τοῦτο σιγῶσιν, ἀλλὰ νῦν μὲν ὁ
Ψαλ. κγ. ζ. Δαβὶδ οὕτω βοᾷ λέγων, Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσ-
Ησ. με. β. ελεύσεται ὁ βασιλεὺς τῆς δόξης· νῦν δὲ ἑτέρως ὁ Ἡσαΐας, Πύλας χαλκᾶς συνθλάσω, καὶ μο-
χλοὺς σιδηροῦς συντρίψω, καὶ ἀνοίξω σοι θησαυροὺς σκοτεινούς, ἀποκρύφους, ἀοράτους ἀνα-
δείξω σοι, τὸν ᾅδην οὕτω καλῶν. Εἰ γὰρ καὶ ᾅδης ἦν, ἀλλὰ ψυχὰς εἶχε τὰς ἁγίας καὶ σκεύη
τίμια, τὸν Ἀβραάμ, τὸν Ἰσαάκ, τὸν Ἰακώβ· διὸ καὶ θησαυροὺς ἐκάλεσε· σκοτεινοὺς δέ, ἐπειδὴ
οὐδέπω ὁ τῆς δικαιοσύνης ἥλιος ἦν καταλάμψας αὐτόθι, οὐδὲ τοὺς περὶ ἀναστάσεως
κηρύξας λόγους. ὅτι δὲ ἀναστὰς ἔμελλεν οὐ μετὰ ἀγγέλων ἵστασθαι, οὐδὲ μετὰ ἀρχαγγέλων, οὐδὲ
Ψαλ. ρθ. α. μετὰ ἄλλης τινὸς λειτουργικῆς δυνάμεως, ἀλλ' ἐπὶ τὸν θρόνον καθῆσθαι τὸν βασιλικόν, ἄ-
κουσον τί φησι πάλιν ὁ Δαβίδ· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν

θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. μετὰ ταῦτα ἔμελλεν ἀποστόλους πέμπειν· καὶ τοῦτο προανεφώνησεν Ἠσαΐας εἰπών, Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά. καὶ ὅρα ποῖον ἐπαινεῖ τοῦ σώματος μέρος, τοὺς πόδας, τοὺς πανταχοῦ αὐτοὺς διακομίζοντας. εἶτα καὶ τὸν τρόπον τῆς κρατήσεως αὐτῶν ἐμφαίνων ὁ Δαβὶδ λέγει· Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ. οὐ γὰρ δὴ ὅπλα κινήσαντες, οὐ χρήματα δαπανήσαντες, οὐδὲ ῥώμῃ σώματος, οὐδὲ στρατοπέδων πλήθει, οὐδὲ ἄλλῳ τινὶ τοιούτῳ περιεγένοντο, ἀλλὰ ῥήματι ψιλῷ, ῥήματι πολλὴν ἔχοντι δύναμιν, τὴν τῶν σημείων ἐπίδειξιν. οἱ γὰρ ἐσταυρωμένον κηρύσσοντες, καὶ σημεῖα ἐργαζόμενοι, οὕτω τῆς οἰκουμένης ἐκράτησαν. διὰ τοῦτό φησι, Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ, τὰ σημεῖα ταύτῃ καλῶν. καὶ γὰρ ἄφατος δύναμις ἦν, τὸν ἁλιέα καὶ τὸν τελώνην καὶ τὸν σκηνοποιὸν ἀπὸ ψιλῶν ἐπιταγμάτων νεκροὺς ἐγείρειν, δαίμονας ἀπελαύνειν, τὸν θάνατον ἀπωθεῖν, φιλοσόφων ἐπιστομίζειν γλῶσσαν, ῥητόρων ἀποῤῥάπτειν στόματα, βασιλέων ἀρχόντων περιγίνεσθαι, βαρβάρων, Ἑλλήνων, παντὸς γένους κρατεῖν. καὶ καλῶς οὕτως εἶπε. πάντα γὰρ ταῦτα ἤνυον ἐκείνῳ τῷ ῥήματι, καὶ τῇ πολλῇ δυνάμει μετετίθεσαν νεκροὺς εἰς ζῶντας, ἁμαρτωλοὺς εἰς δικαίους, πηροὺς εἰς βλέποντας, τὰ νοσήματα τῆς φύσεως καὶ τὴν κακίαν τῆς ψυχῆς ἀπελαύνοντες. εἶτα ἡ δύναμις αὕτη πόθεν αὐτοῖς παρεγένετο; ὅτι ἀπὸ πνεύματος ἁγίου, καὶ τοῦτο ἐντεῦθεν δηλοῦται. Πνεύματος γὰρ ἦσαν πεπληρωμένοι, φησί, καὶ ἄνδρες ὁμοίως καὶ γυναῖκες προεφήτευον· πυρὸς ἐν εἴδει γλῶσσαι φανεῖσαι, ἐκάθισαν ἐφ' ἕνα ἕκαστον αὐτῶν. καὶ τοῦτο Ἰωὴλ ἄνωθεν προανεφώνησεν οὕτω λέγων· Ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν ὁράσεις ὄψονται, καὶ οἱ νεανίσκοι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται. καί γε ἐπὶ τοὺς δούλους μου, καὶ ἐπὶ τὰς δούλας μου ἐκχεῶ, πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ· μεγάλην ἡμέραν καὶ ἐπιφανῆ, καὶ ταύτην οὕτω δηλῶν τὴν τοῦ πνεύματος καὶ τὴν μέλλουσαν ἐπὶ συντελείᾳ φανήσεσθαι. ὁ αὐτὸς δὲ οὗτος προφήτης, καὶ τὴν διὰ πίστεως σωτηρίαν προαναφωνῶν (οὐδὲ γὰρ τοῦτο ἐσιγήθη) Καὶ ἔσται, φησίν, ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται. πανταχοῦ τῆς οἰκουμένης κήρυκας ἀποστελεῖ, καὶ οὐδεὶς ἀνήκοος ἔσται τοῦ κηρύγματος· καὶ τοῦτο προαναπεφώνηται. ἄκουε γὰρ τοῦ Δαβὶδ λέγοντος τοῦτο καὶ προφητεύοντος· Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. εἶτα δεικνὺς καὶ ὅτι μετ' ἐξουσίας ἐκήρυττον, καὶ τῶν τὰ διαδήματα περιβεβλημένων δυνατώτεροι ἦσαν, ἀλλαχοῦ πάλιν ὁ αὐτὸς λέγει· Καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν. ὅτι δὲ καὶ βασιλέων μᾶλλον καὶ ἀρχόντων κρείττους ὑπῆρχον Πέτρος καὶ Παῦλος, δηλοῖ τὰ πράγματα. οἱ μὲν τῶν βασιλέων νόμοι καὶ ζώντων αὐτῶν καταλύονται· οἱ δὲ τῶν ἁλιέων ἐκείνων καὶ ἀποθανόντων πεπήγασι καὶ μένουσιν ἀκίνητοι· καὶ ταῦτα, καὶ δαιμόνων, καὶ συνηθείας χρονίας, καὶ κακίας καὶ ἡδονῆς καὶ μυρίων ἑτέρων ἐπιχειρησάντων αὐτοὺς ἀναμοχλεῦσαι. δηλῶν δὲ πάλιν ὅτι καταστάντες ἄρχοντες αὐτοὶ δὴ οὗτοι ἐπέραστοι πᾶσι καὶ ποθεινοὶ ἔσονται, ἐπήγαγε λέγων, Διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα, τουτέστιν, εὐχαριστήσουσί σοι, καὶ χάριν εἴσονται πολλήν, ὅτι τοιούτους ἄρχοντας ἔδωκας. ὅτι δὲ καὶ τὸ κήρυγμα πανταχοῦ κρατήσει, προαναπεφώνηται. ὅρα τὸν Δαβὶδ τοῦτό σοι παριστῶντα δι' ὧν λέγει· Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. καὶ πάλιν ἀλλαχοῦ ἕτερος προφήτης φησὶ τὸ αὐτὸ δηλῶν· Πλησθήσεται ἡ σύμπασα γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας. σκόπει καὶ τὸ εὔκολον τῆς ὑπακοῆς· Οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πλησίον αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων, γνῶθι τὸν Κύριον, ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν. τὸ ἀῤῥαγὲς τῆς ἐκκλησίας· Ἔσται ἐν ταῖς ἐσχά-

Ἡσ. νβ. ζ.
Ψαλ. ξζ. ιβ.
Πραξ. β. δ. ζ.
Ἰωὴλ. β. κη.
Ἰωὴλ. β. λβ.
Ψαλ. ιη. γ.
Ψαλ. μδ. ιϛ.
Ψαλ. μδ. κ.
Ψαλ. β. η.
Ἡσ. ια. θ.
Ἱερ. λα. λδ.
Ἡσ. β. β.]

ταῖς ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου, καὶ ἐπ' ἄκρον τῶν ὀρέων ὁ οἶκος Κυρίου, καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν, καὶ ἥξουσιν ἐπ' αὐτὸ λαοὶ πολλοὶ καὶ ἔθνη πολλά. καὶ ὅτι οὐ παγία ἔσται μόνον καὶ ἀκίνητος καὶ ἀρραγής, ἀλλὰ καὶ πολλὴν προσμηνύσει τῇ οἰκουμένῃ εἰρήνην. καὶ αἱ μὲν κατὰ πόλεις πολυαρχίαι καταλυθήσονται καὶ αἱ μοναρχίαι, μία δέ τις ἔσται βασιλεία εἰς πάντα διαρθεῖσα, καὶ τὸ πλέον αὐτῆς ἐν εἰρήνῃ ἔσται οὐ καθάπερ ἔμπροσθεν (τὸ μὲν γὰρ παλαιόν, χειροτέχναι πάντες καὶ ῥήτορες ὅπλα ἐτίθεντο, καὶ ἐπὶ παρατάξεως ἑστήκεσαν. τοῦ Χριστοῦ δὲ παραγενομένου πάντα ἐκεῖνα διελύθη, καὶ εἰς μέρος διωρισμένοι τὰ τῶν πολέμων περίεισι) καὶ τοῦτο δὲ προφήτης δηλῶν τις ἔλεγε. Καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα, καὶ οὐ λήψεται ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν. πρότερον μὲν γὰρ ἐν τούτοις ἔζων ἅπαντες. νυνὶ δὲ καὶ τῆς τέχνης αὐτῆς ἐπελάθοντο, μᾶλλον δὲ οἱ πλείους οὐδὲ ἐγεύσαντο τὴν ἀρχήν. εἰ δέ τινες καὶ εἶεν, ὀλίγοι, καὶ οὐ συνεχῶς, οὐδὲ πολλοί, ὥσπερ ἐν ἀρχῇ κατὰ πᾶν ἔθνος μυρίων ἐπαναστάσεων γινομένων. εἶτα δεικνὺς καὶ πόθεν συστήσεται ἡ ἐκκλησία, προλέγει. ἐπεὶ γὰρ οὐκ ἐπιεικεῖς ἄνθρωποι μόνον, οὐδὲ ἥμεροι καὶ χρηστοί, ἀλλὰ καὶ ἄγριοι καὶ ἀπάνθρωποι, καὶ οἱ ὄντες λύκοι καὶ λέοντες καὶ ταῦροι κατὰ τὸν τρόπον ἔμελλον συναγελάζεσθαι αὐτοῖς, καὶ πάντες ἐκκλησία γίνεσθαι μία, ἄκουσον πῶς τὸ ποικίλον τῆς ἀγέλης ταύτης ὁ προφήτης ἐδήλωσεν εἰπών. Τότε συμβοσκηθήσεται λύκος μετὰ ἀρνός, τὸ λιτὸν διὰ τοῦτο τῆς διαίτης τῶν βασιλέων ἐμφαίνων. ὅτι δὲ οὐ περὶ θηρίων ἐστὶ ταῦτα, εἰπάτω Ἰουδαῖος πότε τοῦτο γέγονεν. οὐδέποτε γὰρ λύκος μετὰ ἀρνὸς ἐβοσκήθη. εἰ δὲ καὶ ἔμελλε βόσκεσθαι, τί τοῦτο τὸ τῶν ἀνθρώπων ὠφέλει γένος; δηλαδὴ περὶ τῶν ἀγρίων τὸν τρόπον ἀνθρώπων λέγει, περὶ Σκυθῶν, περὶ Θρακῶν, περὶ Μαύρων, περὶ Ἰνδῶν, περὶ Σαυροματῶν, περὶ Περσῶν. ὅτι δὲ ταῦτα πάντα τὰ ἔθνη ὑπὸ ἕνα ἄγεται ζυγόν, καὶ ἄλλος προφήτης δηλῶν ἔλεγε. Καὶ δουλεύσουσιν αὐτῷ ὑπὸ ζυγὸν ἕνα, καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ. οὐκέτι φησὶν ἐν Ἱεροσολύμοις μόνον, ἀλλὰ πανταχοῦ τῆς οἰκουμένης. οὐκέτι γὰρ εἰς Ἱεροσόλυμα κελεύονται ἄνθρωποι ἀπιέναι, ἀλλ' ἕκαστος οἴκοι μένων, τὴν λατρείαν ταύτην ἐπιτελεῖ. ὅτι ἔμελλον Ἰουδαῖοι ἐκβάλλεσθαι, οὐδὲ τοῦτο σεσίγηται. καὶ ὅρα πῶς καὶ τοῦτο προεῖπεν ὁ προφήτης. Ἰδοὺ ἐν ὑμῖν συγκλεισθήσονται θύραι, καὶ οὐκ ἀνάψετε τὸ θυσιαστήριόν μου δωρεάν. καὶ τίνες μέλλουσι θεραπεύειν, καὶ αὐτὸ προανεφώνησεν. Ἀπὸ ἀνατολῶν ἡλίου, φησί, μέχρι δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι. καὶ πάλιν, Ἐν παντὶ τόπῳ θυμίαμα προσάγεταί μοι καὶ θυσία καθαρά. εἶδες πῶς τῆς λατρείας τὴν εὐγένειαν προεδήλωσε; πῶς τὸ ἐξαίρετον καὶ παρηλλαγμένον; καὶ ὅτι οὐκ ἐν τόπῳ, ἀλλ' ἐν τρόπῳ, οὐδὲ ἐν κνίσῃ καὶ καπνῷ, ἀλλ' ἐν ἑτέρᾳ λατρείᾳ ἔσται τὰ τῆς θεραπείας; καὶ πῶς τούτους, φησίν, ἅπαντας ἐπεσπάσαντο οἱ ἀπόστολοι; οἱ μίαν γλῶτταν ἔχοντες τὴν Ἰουδαϊκήν, πῶς τὸν Σκύθην καὶ τὸν Ἰνδὸν καὶ Σαυρομάτην καὶ τὸν Θρᾷκα ἔπεισαν; λαβόντες παρὰ τῆς τοῦ πνεύματος δωρεᾶς τὴν χάριν τῆς πολυφωνίας ταύτης. καὶ τοῦτο περὶ τῶν ἐθνῶν. περὶ δὲ τοῦ Ἰσραήλ, τὸ τῶν γλωσσῶν χάρισμα. καὶ ὅτι οὐδὲ τοῦτο ἐπεσπάσατο τοὺς Ἰουδαίους. Ἐν ἑτερογλώσσοις γὰρ καὶ ἐν χείλεσιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' οὕτως εἰσακούσονταί μου, λέγει Κύριος. τί τούτου σαφέστερον ἴδοι τις ἄν; ἔμελλον Ἰουδαῖοι ἀπιστεῖν, τὰ δὲ ἔθνη προστρέχειν. καὶ τοῦτο προεκηρύχθη. ἄκουε τοῦ Ἡσαΐου τοῦτο δηλοῦντος καὶ λέγοντος. Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν. εἶπον, ἰδοὺ εἰμί, τῷ ἔθνει, οἳ οὐκ ἐκάλεσαν τὸ ὄνομά μου. περὶ δὲ τοῦ Ἰσραήλ, Ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα. καὶ πάλιν, Ἀνηγγείλαμεν αὐτῷ ὡς παιδί, Ὡς ῥίζα ἐν γῇ διψώσῃ. καὶ πάλιν, Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη; οὐκ εἶπε, τῇ διδασκαλίᾳ ἡμῶν, ἐνταῦθα δεικνύς, ὅτι οὐκ οἴκοθεν τι ἐφθέγγοντο,

Ησ. β. β.
Ησ. ια. ς.
Σοφον. γ. ι.
Μαλα. α. ι. καὶ ια.
Μαλαχ. α. ια.
Ησ. κη. ια.
Ησ. ξε. α. β.
Ησ. κη. θ.
Ησ. νγ. β. καὶ α.

ἀλλ' ἅπερ ἤκουσαν παρὰ τοῦ Θεοῦ, ταῦτα ἀπήγγειλαν. ὅτι προτιμᾶσθαι δεῖ πάλιν
τὰ ἡμέτερα τῶν ἐκείνων, καὶ πολλῷ τιμιώτερα γίνεσθαι, καὶ τοῦτο προεδήλωσε Μωϋσῆς
εἰπών· Παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς, Δευτ. λβ. κα.
τὴν προτέραν εὐτέλειαν τοῦ λαοῦ λέγων διὰ τοῦ ἐπ' οὐκ ἔθνει εἰπεῖν (οὐδὲ γὰρ ἔθνος
εἶναι ἐνομίζετο, διὰ τὴν πολλὴν εὐτέλειαν, διὰ τὴν μωρίαν, διὰ τὴν ἄγνοιαν) ἀλλ'
ἀπὸ τῆς πίστεως τοσαύτη γέγονεν ἡ μεταβολή, ὡς ἐκείνων τῶν τιμωμένων πολλῷ τιμιωτέρους
φανῆναι. ὅτι ἔμελλε δάκνειν Ἰουδαίους τοῦτο αὐτό, καὶ ἐκ τούτου βελτίους γίνεσθαι, καὶ
τοῦτο ἐντεῦθεν δηλοῦται. οὐ γὰρ ἁπλῶς εἶπε, προτιμήσω, ἀλλ' ὁμοῦ καὶ τοῦτο δηλῶν, καὶ
τὴν ἐκ παραζηλώσεως γινομένην αὐτοῖς ὁπωσδήποτε διόρθωσιν, παραζηλώσω ὑμᾶς,
φησιν, ἐπ' οὐκ ἔθνει· ὡσεὶ ἔλεγε, τοσαῦτα δώσω αὐτοῖς ἀγαθά, ὡς ὑμᾶς ζηλοτυπῆσαι,
ὡς ὑμᾶς δηχθῆναι. τοῦτο γοῦν αὐτοὺς καὶ βελτίους ἐποίησεν. οἱ γὰρ θάλατταν σχιζομένην,
πέτρας ῥηγνυμένας, ἀέρα μεταβαλλόμενον, καὶ τοσαῦτα τεράστια θεωροῦντες, μᾶλλον
δὲ οἱ τὰ ἑαυτῶν τέκνα θύοντες, καὶ τῷ Βεελφεγὼρ τελούμενοι, καὶ μαγγανείαις πολλαῖς προσέχοντες,
οὗτοι, ἐπειδὴ προσήλθομεν ἡμεῖς, καὶ πολλῷ προτιμότερα τὰ ἡμέτερα ἐκείνων γέγονεν,
οὕτως ὑπὸ τῆς ζηλοτυπίας ἐδήχθησαν καὶ βελτίους ἐγένοντο καὶ συνεστάλησαν, ὥστε ὅσα μὴ
κατώρθωσαν προφητῶν ἀκούοντες καὶ τεράστια βλέποντες, ταῦτα ἐκ τῆς πρὸς ἡμᾶς ζηλοτυπίας
κατορθῶσαι. οὐδεὶς γοῦν αὐτῶν οὐ τέκνα σφάζει νῦν, οὐκ εἰδώλοις προστρέχει, οὐ
μόσχον προσκυνεῖ.

Τὸ τῆς παρθενίας σεμνὸν ἐπὶ μὲν τῆς παλαιᾶς οὐδὲ μέχρις ὀνόματος ἦν· ἐπὶ δὲ τῆς καινῆς
ἐπεὶ ἔμελλε διαλάμπειν, ὅρα πῶς καὶ τοῦτο προλέγει ὁ Δαβὶδ οὕτω λέγων· Ἀπενεχθήσονται Ψαλμ. μδ. ιε.
τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, ἀχθήσονται εἰς ναὸν βασιλέως. ἀλλ' οὐδὲ αὐτὸ τὸ
τῶν ἱερέων ὄνομα ἀπεσιώπησε, τὸ τῶν ἐπισκόπων λέγω. Καταστήσω γὰρ τοὺς ἄρχοντάς σου Ησ. ξ. ιζ.
ἐν εἰρήνῃ, φησί, καὶ τοὺς ἐπισκόπους σου ἐν δικαιοσύνῃ. ἔμελλε παραγίνεσθαι καὶ εὐθύνας ἀπαιτεῖν
τὸ τῶν ἀνθρώπων γένος, καὶ μετὰ τῶν ἄλλων καὶ Ἰουδαίους. ὅρα πῶς καὶ αὐτὸ προλέγει
ὅτε Δαβίδ, ὅτε Μαλαχίας· ὁ μὲν οὕτω λέγων· Καὶ εἰσελεύσεται ὡς χωνευτήριον, ὡς πόα Μαλαχ. γ. γ.
πλυνόντων, καὶ διακαθαριεῖ τὸ ἀργύριον καὶ τὸ χρυσίον, συγγενῆ τοῖς Παύλου εἰπὼν γράφοντος
οὕτως· Ἡ γὰρ ἡμέρα δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται· ὁ δὲ Δαβίδ, Ὁ Θεὸς α. Κορ. γ. ιγ.
ἐμφανῶς ἥξει, πάλιν τὴν δευτέραν αὐτοῦ παρουσίαν ἀνακηρύττων. ἡ μὲν γὰρ προτέρα Ψαλμ. μθ. γ.
πολλὴν εἶχε τὴν συγκατάβασιν· ἡ δὲ δευτέρα οὐχ οὕτως, ἀλλὰ φρίκης γέμουσα καὶ καταπλήξεως,
ἐκ τῶν προτρεχόντων ἀγγέλων τῆς παρουσίας αὐτοῦ δίκην ἀστραπῆς πάντα καταλαμπρυνούσης.
Ὥσπερ γὰρ ἡ ἀστραπή, φησιν, ἐξέρχεται ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν, Ματθ. κδ. κζ.
οὕτως ἔσται ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου, τὸ περιφανὲς ταύτῃ δηλῶν, τὸ αὐτοάγγελτον.
οὐ γὰρ δεῖται τοῦ κηρύξοντος, ἀλλ' αὐτὴ ἑαυτὴν δείκνυσι. τοῦτο τοίνυν καὶ ὁ Δαβὶδ
ἐμφαίνων ἔλεγεν· Ὁ Θεὸς ἐμφανῶς ἥξει. εἶτα καὶ τὸ δικαστήριον ὑπογράφων τὸ μέλλον,
ἐπάγει καὶ λέγει· Πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφοδρά. εἶπε Ψαλμ. μθ. γ. δ.
τὰς τιμωρίας, λέγει καὶ τὸ λαμπρόν. Προσκαλέσεται τὸν οὐρανὸν ἄνω, καὶ τὴν γῆν τοῦ
διακρῖναι τὸν λαὸν αὐτοῦ, γῆν ἐνταῦθα τὸ γένος τῶν ἀνθρώπων λέγων. εἶτα μετὰ τοῦ παντὸς γένους
καὶ τὸν Ἰουδαϊκὸν ἀριθμόν (πρὸς γὰρ αὐτοὺς καὶ ἀποτείνεται) πάλιν ἐπάγει λέγων· Συναγάγετε Ψαλμ. μθ. ε.
αὐτῷ τοὺς ὁσίους αὐτοῦ, τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις, καὶ ἀναγγελοῦσιν
οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, ὅτι ὁ Θεὸς κριτής ἐστιν. ἔμελλε παραγινόμενος τὴν
διὰ θυσιῶν λατρείαν ἐκβάλλειν καὶ παρίεσθαι, ταύτην δὲ τὴν ἡμετέραν δέχεσθαι. ἄκουσον πῶς
καὶ περὶ τούτων προανεφωνήθη· Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω Ψαλμ. λθ. θ.
μοι. ὃ καὶ ἀλλαχοῦ δηλῶν ἔλεγε· Λαός, ὃν οὐκ ἔγνων, ἐδούλευσέ μοι, εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ Ψαλμ. ιζ. μδ.
μου· τουτέστιν, οὐ θάλατταν ὁρῶν σχιζομένην, οὐ πέτρας ῥηγνυμένας, ἀλλ' ἀκού-

σας τῶν ἀποστόλων τῶν ἐμῶν. καὶ ἐνταῦθα πάλιν, Σῶμα δὲ κατηρτίσω μοι· εἰπὼν
Ψαλ. λθ. ζ. δὲ τοῦτο, ἐπιπροστίθησι καὶ λέγει· Τότε εἶπον, ἰδοὺ ἥκω· ἐν κεφαλίδι βιβλίου γέγραπται
περὶ ἐμοῦ. δύο γὰρ δὴ ταῦτα ἐντεῦθεν δηλοῦται, καὶ ὅτι παρέσται, καὶ ὅτι τότε,
ὅταν ἐκβληθῶσιν αἱ θυσίαι· ὃ καὶ γέγονε τῆς ἀρχῆς μεταπεσούσης τῆς Ἰουδαϊκῆς ἐπὶ τὴν
Βαρ. γ. λη. Ῥωμαϊκήν. εὕρομεν δὲ καὶ τὸν Βαροὺχ περὶ τῆς παρουσίας αὐτοῦ λέγοντα οὕτως· Ἐπὶ τῆς
Δευτ. ιη. ιε. γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. λέγει δὲ καὶ ὁ Μωϋσῆς, Προφήτην ὑμῖν ἀναστήσει
Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμὲ, αὐτοῦ ἀκούσεσθε κατὰ πάντα. καὶ ἔσται πᾶσα
ψυχὴ, ἥτις οὐκ ἀκούσει τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτῆς.
ὁρᾷς τοῦτο ἐπ' οὐδενὸς συμβὰν, ἢ ἐπ' αὐτοῦ μόνου; καὶ γὰρ πολλοὶ προφῆται ἀνέστησαν, καὶ
πάντων παρήκουσαν, ἀλλ' οὐδὲν ἔπαθον· τούτου δὲ παρακούσαντες οἱ Ἰουδαῖοι, ἀλῆται καὶ
πλανῆται, φυγάδες καὶ μετανάσται περιέρχονται πανταχοῦ. ὅρα γάρ· πολιτείας ἠλλοτριώθησαν,
ἐθῶν πατρῴων καὶ νόμων, ἐν ἀτιμίᾳ καὶ αἰσχύνῃ καὶ κολάσει καὶ τιμωρίᾳ. ἃ δὲ ἐπὶ Οὐεσπασιανοῦ
καὶ Τίτου πεπόνθασιν, οὐδὲ εἰπεῖν ἔνι· οὕτω πᾶσαν συμφορὰν ὑπερέβη ἡ τραγῳδία
ἐκείνη, καὶ τὸ προφητικὸν ἐπληροῦτο· Ὅτι πᾶς, ὃς ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου,
ἐξολοθρευθήσεται, ἐπειδὴ τοῦ προφήτου παρήκουσαν ἐκείνου. ὅτι ἀναστήσει πάντας, καὶ
τοῦτο ἐδήλωσεν Ἡσαΐας εἰπών· Ἀναστήσονται οἱ νεκροὶ καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις.
ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστιν. οὐ μόνον δὲ ταῦτα, ἀλλ' ὅτι καὶ μετὰ τὸν σταυρὸν,
μετὰ τὴν σφαγὴν λαμπρότερα ἔσται τὰ κατ' αὐτὸν, ὅτι μετὰ τὴν ἀνάστασιν μᾶλλον ἐπιδώσει
τὸ κήρυγμα. ἐπειδὴ γὰρ ἐδέθη, προεδόθη ὑπὸ μαθητοῦ, ἐνεπτύσθη, ἐλοιδορήθη,
ἐμαστιγώθη, οὐδ' εἰς τάφον, τό γε εἰς ἐκείνους ἧκον, ἠξιώθη τεθῆναι· τὰ ἱμάτια αὐτοῦ διεμερίσαντο
οἱ στρατιῶται· ἐπὶ ὑποψίᾳ τυραννίδος τὸν βίον κατέλυσεν, ὡς βλάσφημος,
Ματθ. ς. κε. ὡς τύραννος. Πᾶς γὰρ ὁ ποιῶν ἑαυτὸν, φησὶ, βασιλέα, ἀντιλέγει τῷ Καίσαρι· καὶ πάλιν, Ἴδε,
ὑμεῖς ἠκούσατε τὴν βλασφημίαν αὐτοῦ. ἐπεὶ τοίνυν ταῦτα πάντα ἔμελλε συμβαίνειν,
διεγείρων τὸν ἀκροατὴν καὶ θαρρεῖν παρασκευάζων, μὴ φοβηθῇς, φησὶ, τούτων ἕνεκα. τοῦ γὰρ
σταυρωθέντος, τοῦ μαστιγωθέντος, τοῦ ὑπὸ λῃστῶν λοιδορηθέντος, τοῦ ἐπὶ ὑπολήψει βλασφημίας
ἀναιρεθέντος, τοιαῦτα ἔσται τὰ πράγματα μετὰ τὴν τελευτὴν, μετὰ τὴν ἀνάστασιν,
ὡς μηδένα ἀντειπεῖν, ὅτι οὐ πολλῆς ἐμπέπλησται τῆς τιμῆς. τοῦτο γοῦν καὶ ἐγένετο. ὅπερ
Ησ. ια. ι. δὴ καὶ πόρρωθεν προαναφωνῶν ὁ προφήτης ἔλεγεν· Ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος
ἄρχειν ἐθνῶν· ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι, καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή. ὡσεὶ ἔλεγεν, αὐτὸ
τὸ εἶδος τῆς τελευτῆς διαδήματός ἐστι τιμιώτερον. οἱ γοῦν βασιλεῖς διαδήματα ἀποτιθέμενοι,
τὸν σταυρὸν ἀναλαμβάνουσι, τὸ σύμβολον αὐτοῦ τῆς τελευτῆς· ἐν πορφυρίσι σταυρὸς,
ἐν διαδήμασι σταυρὸς, ἐπὶ εὐχῶν σταυρὸς, ἐπὶ ὅπλων σταυρὸς, ἐπὶ τῆς τραπέζης τῆς
ἱερᾶς σταυρὸς, καὶ πανταχοῦ τῆς οἰκουμένης ὁ σταυρὸς ὑπὲρ τὸν ἥλιον διαλάμπει. Καὶ ἔσται
ἡ ἀνάπαυσις αὐτοῦ τιμή. ἀλλ' οὐ τὰ ἀνθρώπινα τοιαῦτα, ἀλλ' ἀπεναντίας εἴωθε γίνεσθαι.
ζώντων μὲν γὰρ τῶν εὐδοκιμούντων, καὶ τὰ ἐκείνων ἀνθεῖ· τελευτησάντων δὲ, συγκαταλύεται
καὶ τὰ ἐκείνων. καὶ τοῦτο οὐκ ἐπὶ πλουσίου, οὐκ ἐπ' ἄρχοντος, ἀλλ' ἐπ' αὐτοῦ τοῦ
βασιλέως ἴδοι τις ἄν. καὶ γὰρ καὶ οἱ νόμοι αὐτῶν καταλύονται, καὶ αἱ εἰκόνες ἀμαυροῦνται,
καὶ ἡ μνήμη αὐτῶν σβέννυται, καὶ τὸ ὄνομα αὐτῶν ἐν λήθῃ, καὶ οἱ προσήκοντες ἐν καταφρονήσει,
ἐκείνων τῶν ὅπλα κινούντων, τῶν νεύματι μεταθέντων δήμους καὶ πόλεων καὶ πραγμάτων
καταστάσεις, τῶν ἀναιρεῖν κυρίων, τῶν ἀπαγομένους ἀνακαλεῖσθαι δυναμένων. ἀλλ' ὅμως
ἅπαντα καταλύεται, εἰ καὶ πρὸ τούτου εὐδοκίμει. ἐπὶ δὲ τοῦ Χριστοῦ πᾶν τοὐναντίον.
πρὸ μὲν γὰρ σταυροῦ ἐν κατηφείᾳ τὰ πράγματα ἦν· Ἰούδας προέδωκε, Πέτρος ἠρνήσατο,
οἱ λοιποὶ φυγάδες ἐγένοντο, μόνος μεταξὺ τῶν ἐχθρῶν ἀπελαμβάνετο, πολλοὶ πιστεύσαντες
ἀπῆλθον εἰς τὰ ὀπίσω. ἐπειδὴ δὲ ἐσφάγη καὶ ἐτελεύτησεν, ἵνα μάθῃς ὅτι οὐ ψιλὸς ἄνθρω-

πος

πός τις ἦν ὁ σταυρωθεὶς, καὶ λαμπρότερα καὶ φαιδρότερα γέγονε καὶ ὑψηλότερα πολλῷ. ὁ μὲν οὖν κορυφαῖος τῶν ἀποστόλων πρὸ τοῦ σταυροῦ οὐδὲ θυρωροῦ ἀπειλὴν ἤνεγκεν, ἀλλὰ μετὰ τοσαύτην μυσταγωγίαν ἔφησεν αὐτὸν μὴ εἰδέναι· μετὰ δὲ τὸν σταυρὸν τὴν οἰκουμένην περιέδραμεν. ἐντεῦθεν μυρίοι δῆμοι μαρτύρων ἐσφάγησαν, ἑλόμενοι μᾶλλον ἀποθανεῖν, ἢ φθέγξασθαι ἅπερ ἐφθέγξατο ὁ κορυφαῖος τῶν ἀποστόλων, μιᾶς θυρωροῦ δείσας ἀπειλήν. οὕτως ἐξ ἐκείνου πᾶσαι χῶραι, καὶ πᾶσαι πόλεις, καὶ ἔρημος, καὶ οἰκουμένη καὶ ἀοίκητος τὸν ἐσταυρωμένον ἀνακηρύττομεν· καὶ βασιλεῖς καὶ στρατηγοὶ καὶ ἄρχοντες καὶ ὕπατοι, καὶ δοῦλοι καὶ ἐλεύθεροι, καὶ ἰδιῶται καὶ σοφοὶ καὶ ἄσοφοι, καὶ βάρβαροι, καὶ τὰ ποικίλα τῶν ἀνθρώπων γένη, καὶ λοιπὸν ὅσην ἥλιος ἐφορᾷ γῆν, ταύτην δὴ τὴν τοσαύτην ἐπέδραμε τὸ ὄνομα· καὶ ἡ προσκύνησις, ἵνα μάθῃς τί ἐστιν, Ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή. ὁ γὰρ τὸ σῶμα δεξάμενος ἐκεῖνο τὸ σφαγὲν τόπος, σμικρὸς ὢν καὶ σφόδρα βραχὺς, μυρίων αὐλῶν βασιλικῶν ἐστι σεμνότερος, καὶ αὐτοῖς τοῖς βασιλεῦσι τιμιώτερος. Καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή. τὸ δὲ παράδοξον, οὐκ ἐπ' αὐτοῦ μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν μαθητῶν αὐτοῦ τὸ αὐτὸ τοῦτο δὴ γέγονεν. οἱ γὰρ ἀγόμενοι καὶ περιαγόμενοι, οἱ καταφρονούμενοι καὶ δεσμούμενοι, οἱ τὰ μυρία πάσχοντες δεινὰ, τελευτήσαντες αὐτῶν εἰσὶ τῶν βασιλέων τιμιώτεροι. καὶ πῶς, σκόπει ἐντεῦθεν. ἐν τῇ βασιλικωτάτῃ πόλει Ῥώμῃ, πάντα ἀφιέντες, ἐπὶ τοὺς τάφους τοῦ ἁλιέως καὶ τοῦ σκηνοποιοῦ τρέχουσι καὶ βασιλεῖς καὶ ὕπατοι καὶ στρατηγοί· καὶ ἐν τῇ Κωνσταντινουπόλει δὲ, οὐδὲ πρὸς τοὺς ἀποστόλους ἐγγὺς, ἀλλὰ παρ' αὐτὰ τὰ πρόθυρα ἔξω ἀγαπητὸν εἶναι ἐνόμισαν οἱ τὰ διαδήματα περικείμενοι τὰ σώματα αὐτῶν κατορύττεσθαι, καὶ γεγόνασι θυρωροὶ λοιπὸν τῶν ἁλιέων οἱ βασιλεῖς· καὶ ἐν τῇ τελευτῇ οὐκ αἰσχύνονται, ἀλλὰ καὶ ἐγκαλλωπίζονται, οὐ μόνοι αὐτοὶ, ἀλλὰ καὶ οἱ ἔκγονοι ἐκείνων. Καὶ ἔσται, φησὶν, ἡ ἀνάπαυσις αὐτοῦ τιμή. τότε τῆς τιμῆς τὸ μέγεθος ὄψει, ὅτε καταμάθῃς αὐτοῦ τοῦ θανάτου τὸ σύμβολον, τοῦ θανάτου τοῦ ἐπαράτου, τοῦ θανάτου τοῦ πάντων θανάτων αἰσχίστου. τοῦτο γὰρ μόνον τῆς τελευτῆς τὸ εἶδος ὑπὸ ἀρὰν ἔκειτο. οἷόν τι λέγω· τῶν ἁμαρτανόντων τὸ παλαιὸν, οἱ μὲν ἐκαίοντο, οἱ δὲ ἐλιθάζοντο, οἱ δὲ ἑτέρῳ τρόπῳ τιμωρίας τὸν βίον κατέλυον· ὁ δὲ ἀνεσκολοπισμένος καὶ ἐπὶ ξύλου κρεμάμενος, οὐ τοῦτο μόνον ὑπέμεινε τὸ χαλεπὸν, ὅτι τοιαύτῃ ἐκολάζετο καταδίκῃ, ἀλλ' ὅτι καὶ ἐπάρατος ὁ τοιοῦτος ἦν. Ἐπικατάρατος γὰρ, φησὶ, πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου. ἀλλ' ὅμως τὸ ἐπάρατον τοῦτο, τὸ ἀπευκτὸν, τὸ τῆς ἐσχάτης τιμωρίας σύμβολον, νῦν γέγονε ποθεινὸν καὶ ἐπέραστον. οὐδὲ γὰρ οὕτω στέφανος βασιλικὸς καλλωπίζει κεφαλὴν, ὡς σταυρὸς παντὸς κόσμου τιμιώτερος ὤν· καὶ ὃ ἅπαντες ἐπεφρίκεσαν πρότερον, τοῦτο νῦν τὸ σχῆμα οὕτως ἐστὶν ἅπασι περιμάχητον, ὡς πανταχοῦ τοῦτο εὑρίσκεσθαι παρὰ ἄρχουσι, παρὰ ἀρχομένοις, παρὰ γυναιξὶ, παρὰ ἀνδράσι, παρὰ παρθένοις, παρὰ γεγαμημέναις, παρὰ δούλοις, παρὰ ἐλευθέροις. καὶ γὰρ συνεχῶς αὐτὸ ἅπαντες ἐγχαράττουσιν ἐπὶ τοῦ τῶν μελῶν ἡμῶν ἐπισημοτέρου μέρους, καὶ ὥσπερ ἐν στήλῃ ἐπὶ τοῦ μετώπου καθ' ἑκάστην ἡμέραν διατυπούμενον περιφέρουσιν. οὗτος ἐν τῇ ἱερᾷ τραπέζῃ, οὗτος ἐν ταῖς τῶν ἱερέων χειροτονίαις, οὗτος πάλιν μετὰ τοῦ σώματος τοῦ Χριστοῦ ἐπὶ τὸ μυστικὸν δεῖπνον διαλάμπει. τοῦτον πανταχοῦ χορεύοντα ἴδοι τις ἂν, ἐν οἰκίαις, ἐν ἀγοραῖς, ἐν ἐρημίαις, ἐν ὁδοῖς, ἐν ὄρεσιν, ἐν νάπαις, ἐν βουνοῖς, ἐν θαλάττῃ καὶ πλοίοις καὶ νήσοις, ἐν ἡλικίαις, ἐν ἱματίοις, ἐν ὅπλοις, καὶ ἐν παστάσιν, ἐν συμποσίοις, ἐν σκεύεσιν ἀργυροῖς, ἐν χρυσέοις, ἐν μαργαρίταις, ἐν τοίχων γραφαῖς, ἐν σώμασιν ἀλόγων πολλὰ πεπονηκότων, ἐν σώμασιν ὑπὸ δαιμόνων πολιορκουμένων, ἐν πολέμοις, ἐν εἰρήνῃ, ἐν ἡμέραις, ἐν νυξὶν, ἐν τρυφώντων χορείαις, ἐν σκληραγωγουμένων φρατρίαις. οὕτω περιμάχητον ἅπασι γέγονε τὸ θαυμαστὸν τοῦτο δῶρον, ἡ ἄφατος αὕτη χάρις· οὐδεὶς αἰσχύνεται, οὐκ ἐγκαλύπτεται ἐννοῶν, ὅτι θανάτου τοῦ ἐπαράτου τοῦτο σύμβολον, ἀλλὰ πάντες τούτῳ καλλωπιζόμεθα μᾶλλον, ἢ στεφάνοις καὶ δια-

Δευτ. κα κγ.

δήμασι καὶ μυρίαις μαργαριτῶν περιβολαῖς. οὕτως οὐ μόνον οὐκ ἔστι φευκτὸς, ἀλλὰ καὶ ποθεινὸς καὶ ἐπέραστος ἅπασι, καὶ πανταχοῦ διαλάμπων καὶ διεσπαρμένος ἐν τοίχοις οἰκιῶν, ἐν ὀροφῇ, ἐν βίβλοις, ἐν πόλεσιν, ἐν κώμαις, ἐν ταῖς ἀοικήτοις, ἐν ταῖς οἰκουμέναις.

Ἡδέως ἂν οὖν ἐροίμην τὸν Ἕλληνα λοιπὸν, πόθεν τῆς καταδίκης ταύτης, τοῦ θανάτου τοῦ ἐπαράτου τούτου τὸ σύμβολον ἅπασι ποθεινὸν, περισπούδαστον, εἰ μὴ μεγάλη τοῦ σταυρωθέντος ἡ δύναμις; Εἰ γὰρ μηδὲν ἦν, καὶ τοῦτο σὺ νομίζεις καὶ ἀναισχυντεῖς ἔτι, καὶ πρὸς τὴν ἀλήθειαν ἀντιβλέπεις, καὶ πρὸς τὸ φῶς τυφλώττεις, φέρε σοι δείξωμεν καὶ ἐξ ἄλλης ὑποθέσεως ἡλίκον τοῦτο ἐστι. ποίας δὴ ταύτης; ἔστι τοῖς δικάζουσι πολλὰ βασανιστηρίων εἴδη, ξύλον, ἱμάντες, ὄνυχες, μολιβδίδες, δι' ὧν ξέουσι τὰ σώματα καὶ διασχίζουσι τὰ μέλη καὶ ἐξαρτῶσι. τίς οὖν ἂν ἕλοιτο ταῦτα εἰς οἰκίαν ἀγαγεῖν; τίς δ' ἂν καταδέξαιτο χερσὶν ἅψασθαι τῶν ταῦτα ἐργαζομένων δημίων, ἢ πλησίον γενέσθαι ἰδεῖν; οὐχὶ μυσάττονται οἱ πλείους; ἔνιοι δὲ καὶ οἰωνίζονται, καὶ οὐδὲ τῆς ἀφῆς, οὐδὲ τῆς ὄψεως ἀνέχονται. οὐ πόρρω φεύγουσιν; οὐκ ἀποστρέφουσι τὸ ὄμμα; τοιοῦτον δή τι καὶ ὁ σταυρὸς ἦν τὸ παλαιὸν, μᾶλλον δὲ τούτων πολὺ χαλεπώτερος. ὅπερ γὰρ ἔφθην εἰπὼν, οὐχ ἁπλῶς θανάτου, ἀλλὰ θανάτου τοῦ ἐπαράτου τοῦτο σύμβολον ἦν. πόθεν οὖν, εἰπέ μοι, πᾶσιν οὕτω νῦν περισπούδαστος, πᾶσιν οὕτω ποθεινὸς γέγονε, πάντων προτιμότερος; αὐτὸ δὲ τὸ ξύλον ἐκεῖνο, ἔνθα τὸ ἅγιον ἐτάθη σῶμα καὶ ἀνεσκολοπίσθη, πῶς ἐστι περιμάχητον ἅπασι; καὶ μικρόν τινα λαμβάνοντες ἐξ ἐκείνου πολλοὶ, καὶ χρυσῷ κατακλείοντες, καὶ ἄνδρες καὶ γυναῖκες τῶν τραχήλων ἐξαρτῶσι τῶν ἑαυτῶν καλλωπιζόμενοι; καίτοι καταδίκης τὸ ξύλον ἦν, καίτοι τιμωρίας. ἀλλ' ὁ πάντα ποιῶν, καὶ μετασκευάζων αὐτὰ, ὁ τὴν οἰκουμένην ἐκ τοσαύτης κακίας μεταθεὶς, καὶ τὴν γῆν οὐρανὸν ἐργασάμενος, οὗτος καὶ τὸ πρᾶγμα τοῦτο ἐπονείδιστον ὂν καὶ πάντων θανάτων αἴσχιστον, ὑπὲρ τῶν οὐρανῶν ἀνήγαγε. ταῦτ' οὖν ἅπαντα προορῶν ὁ προφήτης ἔλεγε· Καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή. τοῦτο γὰρ τὸ τοῦ θανάτου σύμβολον (οὐ γὰρ παύσομαι συνεχῶς τοῦτο λέγων) ἐγένετο εὐλογίας ὑπόθεσις" πολλοῖς, καὶ παντοδαπῆς ἀσφαλείας τεῖχος, διαβόλου καιρία πληγὴ, δαιμόνων χαλινὸς, κημὸς τῆς τῶν ἀντικειμένων δυνάμεως. τοῦτο θάνατον ἀνεῖλε, τοῦτο τοῦ ᾅδου τὰς χαλκᾶς πύλας συνέκλασε, τοὺς σιδηροῦς μοχλοὺς συνέθλασε, τοῦ διαβόλου τὴν ἀκρόπολιν κατέλυσε, τῆς ἁμαρτίας τὰ νεῦρα ἐξέκοψε, ὑπὸ καταδίκην κειμένην τὴν οἰκουμένην ἅπασαν ἐξήρπασε, θεήλατον φερομένην κατὰ τῆς φύσεως τῆς ἡμετέρας πληγὴν ἀνέστειλε. τί λέγω; ἅπερ οὐκ ἴσχυσε θάλασσα σχιζομένη, πέτραι ῥηγνύμεναι, ἀὴρ μεταβαλλόμενος, καὶ μάννα ἐπὶ τεσσαράκοντα ἔτεσι τοσαύταις χιλιάσι διαδιδόμενον, καὶ νόμος, καὶ ἕτερα σημεῖα καὶ ἐν ἐρήμῳ, καὶ ἐν Παλαιστίνῃ γινόμενα, ταῦτα ἴσχυσεν ὁ σταυρὸς, οὐκ ἐν ἑνὶ ἔθνει, ἀλλ' ἐν πάσῃ τῇ οἰκουμένῃ, σταυρὸς τὸ ἐπάρατον σύμβολον, τὸ πᾶσι φευκτὸν, τὸ πᾶσι ἀπευκτὸν, τὸ ἐπονείδιστον, ἴσχυσε, μετὰ τὸ τελευτῆσαι τὸν σταυρωθέντα, πάντα εὐκόλως ἐργάσασθαι. οὐ ταῦτα δὲ μόνον, ἀλλὰ καὶ τὰ μετὰ ταῦτα δείκνυσιν αὐτοῦ τὴν ἰσχύν. τὴν γὰρ οἰκουμένην ἄγονον οὖσαν κατὰ τὸν τῆς ἀρετῆς λόγον, καὶ ἐρήμης γῆς οὐδὲν ἄμεινον διακειμένην, οὐδὲ εἰς τὸ τεκεῖν τι χρηστὸν προσδοκῶσαν, ἀθρόον παράδεισον καὶ μητέρα πολύπαιδα πεποίηκε. καὶ τοῦτο ἄνωθεν προεδήλωσεν ὁ προφήτης οὕτω λέγων· Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα· ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα. ὅτι τοιαύτην ἐργασάμενος, νόμον ἔδωκεν αὐτῇ πολλῷ τοῦ προτέρου βελτίονα, οὐδὲ τοῦτο ἐσίγησαν οἱ προφῆται. καὶ ὅρα τί προαναφωνοῦντες εἰρήκασι· Διαθήσομαι αὐτοῖς διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν, ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει Κύριος· ὅτι αὕτη ἡ διαθήκη, ἣν διαθήσομαι αὐτοῖς, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ

καρδίαν

ἴσ. πολλῶν

Ησ. νδ. α.

Ιερ. λα. λβ.

καρδίαν αὐτῶν ἐπιγράψω αὐτούς. Εἶτα καὶ τὴν ἀθρόαν μεταβολὴν, καὶ τὴν μετ' εὐκολίας διδασκαλίαν παραδηλῶν ἔλεγε· Καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πλησίον αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων, γνῶθι τὸν Κύριον, ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου αὐτῶν. ὅτι δὲ ἁμαρτημάτων ἔμελλε διδόναι συγχώρησιν ἅπασι παραγινόμενος, καὶ τοῦτο πάλιν προανεφώνησεν ὁ προφήτης οὕτως εἰπών· Αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, ὅταν ἀφέλωμαι τὰς ἀνομίας αὐτῶν, καὶ τῶν ἁμαρτιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι. τί τούτου σαφέστερον γένοιτ' ἄν; τὴν κλῆσιν γὰρ τῶν ἐθνῶν, τὴν ὑπεροχὴν τοῦ καινοῦ πρὸς τὸν παλαιὸν νόμον, τὴν εὐλογίαν τῆς προσαγωγῆς, τῶν πιστευσάντων τὴν χάριν καὶ τὴν δωρεὰν τὴν διὰ τοῦ βαπτίσματος γινομένην διὰ τούτων ἐνέφηνε τῶν προρρήσεων. ὅτι αὐτὸς ἐστὶν ὁ ταῦτα ἐργασάμενος, αὐτὸς καὶ ἔσται καὶ κριτής, μετὰ ταῦτα ὅρα πῶς καὶ αὐτὸ προαναφωνοῦσι. καὶ γὰρ οὐδὲ τοῦτο παρέδραμον, οἱ μὲν ὁρῶντες αὐτὸν ἐν αὐτῷ τῷ σχήματι, ᾧ μέλλει παραγίνεσθαι, οἱ δὲ διὰ ῥημάτων αὐτῶν προαναφωνοῦντες. ὁ μὲν γὰρ Δανιὴλ, καὶ ταῦτα ἐν μέσῳ βαρβάρων τῶν Βαβυλωνίων, ὁρᾷ αὐτὸν ἐπὶ τῶν νεφελῶν ἐρχόμενον, καὶ ἄκουε τῶν ῥημάτων αὐτῶν τοῦ προφήτου. Ἐθεώρουν, φησὶ, καὶ ἰδοὺ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος ἐπὶ τῶν νεφελῶν, καὶ ἔφθασεν ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν, καὶ ἐνώπιον αὐτοῦ προσηνέχθη· καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ βασιλεία· καὶ πάντες οἱ λαοὶ, φυλαὶ, γλῶσσαι αὐτῷ δουλεύσουσι. καὶ τὸ κριτήριον δὲ αὐτοῦ ὑπογράφων φησίν· Ἐθεώρουν ἕως ὅτου θρόνοι ἐτέθησαν, καὶ βίβλοι ἀνεῴχθησαν, καὶ ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ· χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ. οὐ μόνον δὲ, ἀλλὰ καὶ τὴν τιμὴν δείκνυσιν, ἣν μέλλουσιν ἔχειν οἱ δίκαιοι, λέγων· Καὶ τὸ κρίμα ἔδωκεν ἁγίοις ὑψίστου, καὶ τὴν βασιλείαν κατέσχον οἱ ἅγιοι. ὁ δὲ Μαλαχίας, καὶ ὅτι διὰ πυρὸς ἔσται τὸ δικαστήριον ἐκεῖνο, παρίστησι λέγων· Ἰδοὺ αὐτὸς εἰσπορεύεται ὡς πῦρ χωνευτηρίου, καὶ ὡς πόα πλυνόντων. Εἶδες ἀκρίβειαν προφητῶν, πῶς ἅπαντα προλαβόντες ἀνεκήρυξαν τὰ συμβήσεσθαι μέλλοντα; πῶς οὖν ἔτι τολμᾷς ἀπιστεῖν, τοιαύτας λαβὼν αὐτοῦ ἀποδείξεις τῆς δυνάμεως, ῥήματα πρὸ τοσούτου χρόνου ἀναφωνηθέντα, καὶ πράγματα τοῖς ῥήμασι συμβαίνοντα βλέπων, καὶ οὐδὲν ὅλως διαπῖπτον; καὶ ὅτι οὐ πλάσματα ἡμέτερα, μαρτυροῦσιν οἱ τὰ βιβλία καὶ πρότεροι δεξάμενοι καὶ νῦν κατέχοντες, ἐχθροί τε ὄντες, καὶ τῶν ἐσταυρωκότων ἔκγονοι, καὶ νῦν αὐτὰ κατέχοντες καὶ διατηροῦντες. καὶ πῶς οὐ πιστεύουσι, φησιν, ἔχοντες τὰ βιβλία; ὅτι καὶ τότε θαυματουργοῦντα βλέποντες οὐκ ἐπίστευον. ἀλλὰ τοῦτο οὐ τοῦ ἀπιστουμένου ἔγκλημα, ἀλλὰ τῶν ἐν μεσημβρίᾳ μέσῃ τυφλωττόντων. ἐπεὶ καὶ τὸν κόσμον τοῦτον εἰς μέσον προέθηκε, παναρμόνιον ὄργανον, φωνὰς πανταχόθεν ἀφιέντα, καὶ τὸν δημιουργὸν ἀνακηρύττοντα· καὶ ὅμως τινὲς τῶν ἀνθρώπων εἰσὶν, οἱ μὲν αὐτόματα πάντα λέγοντες, οἱ δὲ ἀγένητα τὰ ὁρώμενα, οἱ δὲ δαίμοσιν ἐπιγράφοντες τὴν τούτων δημιουργίαν καὶ πρόνοιαν, ἄλλοι τύχῃ, καὶ εἱμαρμένῃ, καὶ γενέσει, καὶ ἄστρων περιφοραῖς. ἀλλ' οὐδέπω τοῦτο τοῦ δημιουργοῦ ἔγκλημα, ἀλλ' ἡ κατηγορία τῶν μετὰ τοσαῦτα φάρμακα ἐν ἐσχάταις κειμένων νόσοις. ὥσπερ γὰρ ὅταν εὐγνώμων ᾖ ψυχὴ, τὸ δέον συνορᾷ, οὐ πολλῶν δεομένη βοηθημάτων εἰς τοῦτο· οὕτω δὴ καὶ ὅταν ἀγνώμων καὶ ἀναίσθητος, κἂν μυρίους ἔχῃ τοὺς χειραγωγοῦντας, προκατειλημμένη πάθεσι, μένει τυφλώττουσα. ὅρα γοῦν τοῦτο πανταχοῦ συμβαῖνον, οὐκ ἐπὶ τῆς ὑποθέσεως ταύτης, ἀλλὰ καὶ ἀλλαχοῦ. πόσοι γοῦν νόμον οὐκ ἀκούσαντες, ἐννομώτατον διετέλεσαν ἐπιδεικνύμενοι βίον; ἄλλοι δὲ ἐκ πρώτης ἡλικίας αὐτοῖς συντραφέντες εἰς ἔσχατον γῆρας τοῖς νόμοις, οὐκ ἐπαύσαντο αὐτοὺς παραβαίνοντες; ταῦτα καὶ ἐπὶ τῶν παλαιῶν συνέβαινε. καὶ γὰρ οἱ μὲν Ἰουδαῖοι, καὶ σημείων καὶ θαυμάτων μυρίων ἀπολαύσαντες, οὐκ ἐγένοντο βελτίους· Νινευῖται δὲ μιᾶς μόνης φωνῆς ἀκούσαντες μετεβάλλοντο, καὶ τῆς κακίας ἀπηλλάγησαν. τοῦτο καὶ ἐπ' ἀνδρῶν ἴδοι τις ἂν συμβαῖνον εὐτελῶν, οὐκ ἐπισήμων μόνον. πόσης διδασκαλίας οὐκ ἀπολαυ-

Ιερ. λα. λδ.

Δαν. ζ.

Δαν. ζ. θ.

Μαλ. γ. β.

σιν ὁ Ἰούδας, καὶ ὅμως προδότης ἐγένετο; ποίας δὲ παραινέσεως ἀπήλαυσεν ὁ λῃστὴς, ἀλλ' ἐν σταυρῷ αὐτὸν ὡμολόγησε, καὶ τὴν βασιλείαν ἀνεκήρυξε τὴν ἐκείνου; μὴ τοίνυν ἀπὸ τῶν διεφθαρμένων τὰς γνώμας τὰς κρίσεις ποιοῦ τῶν πραγμάτων, ἀλλ' ἀπὸ τῆς τῶν πραγμάτων ἀληθείας τὴν προσήκουσαν ψῆφον ἔκφερε περὶ τῶν ὀρθῶς βουλευσαμένων. οὐκ ἐπίστευσαν οἱ Ἰουδαῖοι, οἱ ἐξ ἐθνῶν ἐπίστευσαν. καὶ οὐδὲ τοῦτο σεσίγηται, ἀλλ' ἔνθεν μὲν ὁ Δαβὶδ προφητεύων βοᾷ· Ψαλ. ιζ. μθ. Υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι, υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν, καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν· Ἡσ. νγ. α. καὶ ξε. α. ἔνθεν δὲ ὁ Ἡσαΐας λέγων, Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη; καὶ πάλιν, Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι. καὶ ἐν αὐτῇ δὲ τῇ παρουσίᾳ αὐτοῦ Χαναναία καὶ Σαμαρεῖτις γυνὴ ἐπίστευσαν· ἱερεῖς δὲ καὶ ἄρχοντες ἐπολέμουν καὶ ἐπεβούλευον, καὶ τοὺς ἄλλους ἀπεῖργον καὶ ἀποσυναγώγους ἐποίουν πιστεύοντας εἰς αὐτόν. μηδὲν τοίνυν ξενιζέτω σε ταῦτα· πολλῶν ἐμπέπλησται τοιούτων ὑποδειγμάτων ὁ βίος ἡμῶν, καὶ ἐν τῷ καθ' ἡμᾶς χρόνῳ, καὶ ἐν τοῖς ἔμπροσθεν οὖσιν· ἄλλως δὲ, εἰ καὶ μὴ πάντες, ἀλλὰ πολλοὶ καὶ ἐξ Ἰουδαίων καὶ τότε καὶ νῦν ἐπίστευσαν· εἰ δὲ μὴ πάντες, οὐδὲν καινὸν, οὐδὲ παράδοξον. τοιοῦτον γὰρ ἡ ἀγνωμοσύνη, τοιοῦτον ἡ ἀλόγιστος διάνοια, τοιοῦτον ἡ ὑπὸ παθῶν κρατουμένη ψυχή.

Ἀλλ' ἐπειδὴ τὰς περὶ αὐτοῦ προφητείας παρὰ τῶν προφητῶν εἰρημένας, καὶ πρὸ τοσούτων χρόνων ἀνακηρυχθείσας εἰρήκαμεν, φέρε καὶ τὰς ὑπ' αὐτοῦ ἡνίκα περιεπόλει τὴν γῆν, καὶ τοῖς ἀνθρώποις συνανεστρέφετο, περὶ μελλόντων εἰρημένας εἰς μέσον ἀγάγωμεν, ἵνα κἀντεῦθεν αὐτοῦ μάθῃς τὴν ἰσχύν. παραγενόμενος γὰρ τότε καὶ τὴν τῶν ἀνθρώπων πραγματευόμενος σωτηρίαν, τῶν τε κατ' ἐκείνους ὄντων τοὺς χρόνους, τῶν τε ὕστερον ἐσομένων, ποικίλως αὐτὴν μεταχειρίζει. καὶ ὅρα τί ποιεῖ. θαύματα ἐργάζεται, καὶ προλέγει τὰ τῶν μακροῖς ὕστερον χρόνοις ἐκβησομένων· διὰ μὲν τῶν τότε γινομένων τὴν ἀλήθειαν τῶν μετὰ πολὺν χρόνον ἐκβησομένων ἐγγυώμενος παρὰ τοῖς τότε ἀκροαταῖς, τοῖς τε μετὰ ταῦτα ἐσομένοις ἐκ τῶν εἰρημένων ἐκβάσεων ἀξιόπιστα δεικνὺς καὶ τὰ ἐν ἐκείνῳ τῷ χρόνῳ γεγενημένα θαύματα, καὶ ἀπὸ τῆς διπλῆς ταύτης ἀποδείξεως καὶ τὰ περὶ τῆς βασιλείας πιστούμενος. καὶ γὰρ διπλαῖ αὐτοῦ αἱ προρρήσεις ἦσαν, αἱ μὲν κατὰ τὸν παρόντα ἐκβήσεσθαι μέλλουσαι βίον, αἱ δὲ μετὰ τὴν συντέλειαν αὐτοῦ· καὶ ἡ ἑτέρα τὴν ἑτέραν συνίστη καὶ ἐδείκνυ μετὰ πολλῆς τῆς περιουσίας ἀληθεύουσαν. οἷον τί λέγω (καὶ γὰρ ἀσαφὴς ὁ λόγος· διὸ καὶ σαφέστερον αὐτὸν ποιῆσαι πειράσομαι) δώδεκα ἦσαν ἑπόμενοι αὐτῷ μαθηταί· ἐκκλησίας δὲ πρᾶγμα οὐδὲ εἰς νοῦν τις ἐλάμβανε τότε, ἀλλ' οὐδὲ ὄνομα. ἡ γὰρ συναγωγὴ ἦν ἀνθοῦσα ἔτι. τί οὖν εἶπε καὶ προεφώνησε τῆς οἰκουμένης σχεδὸν ἁπάσης ὑπὸ ἀσεβείας κατεχομένης; Ματθ. ις. ιη. Ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. ὡς βούλει τοῦτο βασάνιζε τὸ ῥῆμα, καὶ ὄψει διαλάμπουσαν αὐτοῦ τὴν ἀλήθειαν. οὐ γὰρ δὴ τοῦτο θαυμαστόν ἐστι μόνον, ὅτι ᾠκοδόμησεν αὐτὴν κατὰ τὴν οἰκουμένην ἅπασαν, ἀλλ' ὅτι καὶ ἀχείρωτον εἰργάσατο, καὶ ἀχείρωτον ὑπὸ τοσούτων ἐνοχλουμένην πολέμων. τὸ γὰρ, πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς, κίνδυνοί ἐστιν εἰς ᾅδην κατάγοντες. εἶδες προρρήσεως ἀλήθειαν; εἶδες ἐκβάσεως ἰσχύν; εἶδες ῥήματα ἐπὶ τῶν πραγμάτων διαλάμποντα, καὶ δύναμιν ἄμαχον πάντα ποιοῦσαν εὐκόλως; μὴ γὰρ ἐπειδὴ ῥῆμά ἐστι βραχὺ, τὸ, Οἰκοδομήσω μου τὴν ἐκκλησίαν, παραδράμῃς ἁπλῶς, ἀλλ' ἀνάπτυξον τῇ διανοίᾳ, καὶ ἐννόησον ἡλίκον ἐστὶ τὴν ὑφ' ἡλίῳ κειμένην ἅπασαν ἐκκλησιῶν ἐν χρόνῳ βραχεῖ τοσούτων ἐμπλῆσαι, ἔθνη μεταθεῖναι τοσαῦτα, μεταπεῖσαι δήμους, ἔθη καταλῦσαι πατρῷα, συνήθειαν ἐρριζωμένην ἀνασπάσαι, ἡδονῆς τυραννίδα, κακίας ἰσχὺν, ὥσπερ κόνιν ἀπελάσαι, καὶ βωμοὺς καὶ ναοὺς καὶ ξόανα καὶ τελετὰς, καὶ τὰς ἐναγεῖς ἑορτὰς, καὶ τὴν ἀκάθαρτον κνῖσαν, ὥσπερ καπνόν τινα, ἀφανίσαι, καὶ πανταχοῦ θυσιαστήρια ἀναστῆσαι ἐν τῇ Ῥωμαίων χώρᾳ, ἐν τῇ Περσῶν, ἐν τῇ Σκυθῶν, ἐν τῇ Μαύρων, ἐν τῇ Ἰνδῶν. τί λέγω; ὑπὲρ τὴν οἰκουμένην τὴν καθ' ἡμᾶς. καὶ γὰρ αἱ Βρεττανικαὶ νῆσοι, αἱ τῆς θαλάττης ἐκτὸς κείμεναι ταύτης, καὶ ἐν αὐτῷ οὖσαι τῷ ὠκεανῷ, τῆς δυνάμεως τοῦ ῥήματος ᾔσθοντο. καὶ γὰρ κἀκεῖ ἐκκλησίαι, καὶ θυσιαστήρια πεπήγασιν. ἐκεῖνο τὸ ῥῆμα, ὅπερ ἐφθέγξατο τότε, τοῦτο ἐν ταῖς ἁπάντων πεφύτευται ψυχαῖς, ἐν τοῖς ἁπάντων στόμασι κεῖται· καὶ πᾶσα, ὡς εἰπεῖν, ἡ γῆ ἐξεκαθάρθη ἀκανθῶν πεπληρωμένη, καὶ καθαρὰ γέγονεν ἄρουρα, καὶ τὰ σπέρματα τῆς εὐσεβείας ἐδέξατο. μέγα μὲν οὖν ὄντως, μέγα, μᾶλλον δὲ μέγεθος ὑπερβολῆς καὶ θείας δυνάμεως ἀπόδειξιν ἔχοι, τὸ καὶ μηδενὸς ἐνοχλοῦντος, ἀλλ' εἰρήνης οὔσης, καὶ πολλῶν τῶν συνταραχθέντων κειμένων, ἐναντιουμένου δὲ μηδενός, δυνηθῆναι τοσαύτην οἰκουμένην ἀθρόον ἀπαλλάξαι μὲν τῆς ἐν τοσούτῳ χρόνῳ προκατειληφυίας αὐτὴν πονηρᾶς συνηθείας, μεταθεῖναι δὲ εἰς ἑτέραν πολὺ δυσκολωτέραν. οὐ γὰρ συνήθεια μόνον ἦν τὸ λυποῦν, ἀλλὰ καὶ ἡδονὴν κατεῖχε, δύο τυραννικὰ πράγματα. ἃ γὰρ ἀπὸ πολλῶν ἐτῶν, παρὰ πατέρων καὶ πάππων καὶ ἐπιπάππων καὶ τῶν ἀνωτέρω προγόνων, καὶ φιλοσόφων καὶ ῥητόρων ἦσαν παρειληφότες, ταῦτα ἐπείθοντο ἀποπτύειν· καίπερ ἦν δυσκολώτατον, καὶ ἑτέραν δέχεσθαι συνήθειαν καινὴν ἐπεισελθοῦσαν, καὶ τὸ δὴ χαλεπώτερον, πολὺ τὸ ἐπίπονον ἔχουσαν. ἀπῆγε γὰρ τρυφῆς, καὶ ἐνῆγεν εἰς νηστείαν· ἀπῆγε φιλοχρηματίας, καὶ ἐνῆγεν εἰς ἀκτημοσύνην· ἀπῆγεν ἀσελγείας, καὶ ἐνῆγεν εἰς σωφροσύνην· ἀπῆγε θυμοῦ, καὶ ἐνῆγεν εἰς πραότητα· ἀπῆγε φθόνου, καὶ ἐνῆγεν εἰς φιλοφροσύνην· ἀπῆγε τῆς πλατείας ὁδοῦ καὶ εὐρυχώρου, καὶ ἐνῆγεν εἰς τὴν στενὴν καὶ τεθλιμμένην καὶ ἀπόκρημνον, καὶ ἐνῆγεν ὡς πραφείτας τῇ πλατείᾳ. οὐ γὰρ δὴ ἄλλους ἀνθρώπους λαβὼν ἔξω τῆς οἰκουμένης καὶ τῆς συνηθείας ταύτης, ἀλλ' αὐτοὺς ἐκείνους τοὺς ἐν τούτοις κατασαπέντας καὶ πηλοῦ γενομένους μαλακωτέρους, τούτους ἐκέλευσε τὴν στενὴν καὶ τεθλιμμένην ὁδεύειν ὁδόν, τὴν τραχεῖαν καὶ σκληράν, καὶ ἔπεισε. καὶ πόσους ἔπεισεν; οὐ δύο καὶ δέκα καὶ εἴκοσι καὶ ἑκατόν, ἀλλὰ πάντας σχεδὸν τοὺς τὴν ὑφ' ἥλιον οἰκοῦντας. καὶ διὰ τίνων ἔπεισε; διὰ ἀνθρώπων ἕνδεκα, ἀγραμμάτων, ἰδιωτῶν, ἀγλώττων, ἀσήμων, πενήτων, οὐ πατρίδας ἐχόντων, οὐ περιουσίας χρημάτων, οὐ σώματος δύναμιν, οὐ δόξης περιφάνειαν, οὐ προγόνων λαμπρότητα, οὐ λόγων ἰσχύν, οὐ ῥητορείας δεινότητα, οὐ τὴν ἀπὸ γνώσεως προστασίαν, ἀλλὰ ἁλιέων, σκηνοποιῶν, ἑτερογλώσσων. οὐδὲ γὰρ ὁμόφωνοι τοῖς πειθομένοις ἦσαν, ἀλλὰ ξένην τινὰ καὶ παρηλλαγμένην παρὰ πάσας τὰς γλώττας κεκτημένοι φωνήν, τὴν Ἑβραΐδα λέγω, καὶ διὰ αὐτῶν ᾠκοδόμησε τὴν ἐκκλησίαν ταύτην, τὴν ἀπὸ περάτων εἰς πέρατα τεταμένην. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστόν, ἀλλ' ὅτι οἱ ἰδιῶται δὴ οὗτοι καὶ πένητες καὶ ὀλίγοι, καὶ ἄσημοι καὶ ἀγράμματοι, καὶ εὐτελεῖς καὶ ἑτερόφωνοι καὶ εὐκαταφρόνητοι, τῆς οἰκουμένης ἁπάσης τὴν διόρθωσιν ἐγχειρισθέντες, καὶ ἐπὶ τὰ πολλῷ δυσκολώτερα πράγματα ἄγειν αὐτὴν κελευσθέντες, οὐδὲ ἐν εἰρήνῃ ταῦτα ἔπραττον, ἀλλὰ μυρίων πανταχόθεν πολέμων αὐτοῖς ἐγειρομένων. κατὰ γὰρ ἔθνος ἕκαστον, καὶ κατὰ πόλιν· τί λέγω κατὰ ἔθνος καὶ κατὰ πόλιν; κατὰ οἰκίαν ἑκάστην ὁ πόλεμος αὐτοῖς ἀνερριπίζετο. εἰσιοῦσα γὰρ ἡ διδασκαλία, καὶ ἀποσχίζουσα παῖδα πολλάκις πατρός, καὶ νύμφην πενθερᾶς, καὶ ἀδελφὸν ἀδελφοῦ, καὶ δοῦλον δεσπότου, καὶ ἀρχόμενον ἄρχοντος, καὶ ἄνδρα γυναικός, καὶ γυναῖκα ἀνδρός, καὶ πατέρα παίδων (οὐ γὰρ ἀθρόοι πάντες ἐπείθοντο) καθημερινὰς ἀπεχθείας, συνεχεῖς πολέμους, μυρίους αὐτοῖς ἐπῆγε θανάτους, καὶ ὡς κοινοὺς ἐχθροὺς καὶ πολεμίους ἀποστρέφεσθαι παρεσκεύασε. καὶ γὰρ πάντες αὐτοὺς ἤλαυνον, βασιλεῖς, ἄρχοντες, ἰδιῶται, ἐλεύθεροι, δοῦλοι, δῆμοι, πόλεις· καὶ οὐκ αὐτοὺς μόνον, ἀλλὰ τὸ δὴ χαλεπώτερον, τοὺς ἔτι νεοπαγεῖς ἐν τῇ πίστει, τοὺς ὑπ' αὐτῶν κατηχουμένους. κοινὸς γὰρ πόλεμος καὶ τοῖς μαθηταῖς καὶ τοῖς διδασκάλοις ἐγίνετο, ἅτε τῆς διδασκαλίας ἀπεναντίας καὶ διατάγμασι βασιλικοῖς, καὶ συνηθείᾳ, καὶ ἔθεσι πατρῴοις φαινομένης. παρῄνουν γὰρ εἰδώλων ἀπέχεσθαι, καταφρονεῖν βωμῶν, οὓς οἱ πατέρες αὐτῶν καὶ οἱ πρόγονοι πάντες ἐθεράπευσαν, ἀφίστασθαι τῶν μυσαρῶν δογμάτων, καταγελᾶν ἑορτήν, διακωλύειν τὰς τελετάς· ἃ φρικωδέστατα ἐδόκει εἶναι ἐκείνοις καὶ φοβερώτατα, καὶ ὑπὲρ ὧν ἂν καὶ τὴν ψυχὴν προήκαντο, ἢ αἱρεῖσθαι τὰ παρ' αὐτῶν λεγόμενα, καὶ πιστεύειν εἰς τὸν ἀπὸ Μαρίας τεχθέντα, τὸν ἐν ἡγεμονικῷ δικαστηρίῳ παραστάντα, τὸν ἐμπτυσθέντα, τὸν μυρία παθόντα δεινά, τὸν θάνατον ἐπάρατον ὑπομείναντα, τὸν ταφέντα, τὸν ἀναστάντα. καὶ τὸ παράδοξον, ὅτι τὰ μὲν τῶν παθῶν δῆλα πᾶσιν ἦν, αἱ μάστιγες, αἱ ἐπὶ κόρρης πληγαί, αἱ εἰς πρόσωπον ὕβρεις ἔξω τῶν ἐμπτυσμάτων γινόμεναι, τὰ ῥαπίσματα, ὁ σταυρός, ἡ πολλὴ χλευασία, ἡ παρὰ πάντων κωμῳδία, ὁ τάφος ὁ ἐν μέρει χάριτος γενόμενος· τὰ δὲ τῆς ἀναστάσεως οὐκέτι· αὐτοῖς γὰρ μόνοις ἀναστὰς ἐφάνη· ἀλλ' ὅμως καὶ ταῦτα λέγοντες ἔπειθον, καὶ οὕτω τὴν ἐκκλησίαν ᾠκοδόμουν. πῶς καὶ τίνι τρόπῳ; τῇ δυνάμει τοῦ ταῦτα κελεύσαντος. αὐτὸς γὰρ προοδοποιῶν ἦν, αὐτὸς πάντα καὶ τὰ δύσκολα ῥᾴδια ποιῶν. εἰ γὰρ μὴ θεία τις δύναμις ἦν ἡ ταῦτα κατορθοῦσα, οὐδ' ἂν προοίμιον, οὐδ' ἂν ἀρχὴν ταῦτα ἔλαβε. πῶς γάρ; ἀλλ' ἐκεῖνος ὁ εἰπών, Γενηθήτω οὐρανός, καὶ δείξας τὸ ἔργον· καὶ θεμελιωθήτω ἡ γῆ, καὶ παραγαγὼν οὐσίαν· καὶ λαμπέτω ἥλιος, καὶ δείξας τὸν ἄστρον, καὶ πάντα ἐργασάμενος λόγῳ, οὗτος καὶ τὰς ἐκκλησίας ταύτας ἐφύτευσε· καὶ τὸ ῥῆμα ἐκεῖνο, τό, Οἰκοδομήσω μου τὴν ἐκκλησίαν, τοῦτο πάντα εἰργάσατο. τοιοῦτοι γὰρ οἱ τοῦ Θεοῦ λόγοι, ἔργων δημιουργοί, ἔργων Γεν. α. ιβ. θαυμαστῶν καὶ παραδόξων. ὥσπερ γὰρ εἶπε, Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, καὶ πάντα ἀθρόον παράδεισος ἦν, καὶ πάντα λειμῶνες, καὶ μυρίοις ἐκόμα φυτοῖς ἡ δεξαμένη τὸ ἐπίταγμα γῆ, οὕτω καὶ νῦν εἶπεν· οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ μετὰ πολλῆς εὐκολίας τοῦτο ἐγένετο· καὶ τυράννων κατ' αὐτῆς ὁπλιζομένων, καὶ στρατιωτῶν ὅπλα κινούντων, καὶ δήμων πυρὸς σφοδρότερον μαινομένων, καὶ συνηθείας αὐτῇ παραταττομένης, καὶ ῥητόρων, καὶ σοφιστῶν, καὶ πλουτούντων, καὶ ἰδιωτῶν, καὶ ἀρχόντων ἀνισταμένων, πυρὸς σφοδρότερον ἐπιὼν ὁ λόγος τὰς ἀκάνθας ἀνήλωσε, τὰς ἀρούρας ἐξεκάθηρεν, ἔσπειρε τοῦ κηρύγματος τὸν λόγον· καὶ τῶν πιστευσάντων, τῶν μὲν δεσμωτήριον οἰκούντων, τῶν δὲ εἰς τὴν ὑπερορίαν μεθισταμένων, τῶν δὲ τὰ χρήματα ἀφαιρουμένων, τῶν δὲ ἀναιρουμένων καὶ κατακοπτομένων, τῶν δὲ πυρὶ παραδιδομένων, τῶν δὲ καταποντιζομένων καὶ πᾶν εἶδος τιμωρίας ὑπομενόντων, ἀτιμουμένων, ἐλαυνομένων, ὡς κοινῶν ἐχθρῶν διωκομένων πανταχόθεν, ἕτεροι πλείους προσῄεσαν, οὐ μόνον οὐδέν, ἀφ' ὧν ἔπασχον ἕτεροι, εἰς τὸ πεισθῆναι ὀκνηρότεροι γινόμενοι, ἀλλὰ καὶ προθυμότεροι, καὶ μᾶλλον ἐπιπηδῶντες τῇ καλῇ ταύτῃ θήρᾳ· καὶ οὕτως ἡλίσκοντο, οὐκ ἀναγκαζόμενοι, οὐ βιαζόμενοι, ἀλλὰ προστρέχοντες, χάριν εἰδότες τοῖς ἐπὶ τοῦτο ἄγουσι· καὶ χειμάρρους αἱμάτων ὁρῶντες ἀπὸ τῶν ἤδη πεπιστευκότων ἀπορρέοντας, θερμότεροι περὶ τὴν πίστιν ἐγίνοντο καὶ θαρσαλεώτεροι· καὶ οὐχὶ τῶν μαθητῶν μόνον, ἀλλὰ καὶ τῶν διδασκάλων, τῶν μὲν δεδεμένων, τῶν δὲ ἐλαυνομένων, τῶν δὲ μαστιζομένων, τῶν δὲ ἕτερα μυρία πασχόντων κακά, πλείους οἱ μαθη- Φιλιπ. α. ιδ. τευόμενοι καὶ σπουδαιότεροι μᾶλλον ἐγίνοντο. καὶ βοᾷ Παῦλος λέγων· Ὥστε τοὺς πλείονας τῶν ἀδελφῶν ἐν Κυρίῳ χαίρειν πεποιθότας τοῖς δεσμοῖς μου, περισσοτέρως τολμᾶν ἀφόβως α. Θεσ. β. ιδ. τὸν λόγον λαλεῖν. καὶ ἀλλαχοῦ πάλιν, Ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ· ὅτι τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων, τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων, καὶ ἡμᾶς κω- Εβρ. ι. λβ. λυόντων τοῖς ἔθνεσι λαλῆσαι, ἵνα σωθῶσιν. ἑτέροις δὲ πάλιν γράφων οὕτως ἔλεγεν· Ἀναμιμνήσκεσθε τὰς προτέρας ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων, γινώσκοντες ἑαυτοῖς κρείττονα ὕπαρξιν ἐν οὐρανοῖς, καὶ μένουσαν. εἶδες δυνάμεως ὑπερβολὴν τοῦ ταῦτα ἐργασαμένου; οὐ γὰρ μόνον οὐκ ἠθύμουν, οὐδὲ μόνον οὐκ ἐθλίβοντο ταῦτα πάσχοντες, ἀλλὰ καὶ ἔχαιρον, ἐσκίρτων, ἐπήδων. καὶ περὶ μὲν τούτων οὗτος ταῦτα λέγει, ὅτι τὴν δήμευσιν τῆς οὐσίας μεθ' ἡδονῆς ἐδέξαντο· περὶ δὲ τῶν διδασκάλων ὁ Λου- Πραξ. ε μα. κᾶς ἐν τῇ τῶν Πράξεων βίβλῳ, ὅτι Ὑπέστρεφον ἐκ προσώπου τοῦ συνεδρίου χαίροντες, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι. περὶ δὲ ἑαυτοῦ πάλιν ὁ Παῦλος, Χαίρω ἐν τοῖς παθήμασί μου, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου. καὶ τί θαυμάζεις, εἰ καὶ ἐπὶ παθήμασιν ἔχαιρεν, ὅπουγε καὶ θάνατον μέλλων ὑπομένειν, οὐ μόνον ἔχαιρεν, ἀλλὰ καὶ τοὺς μαθητὰς εἰς κοινωνίαν τῆς εὐφροσύνης ἐκάλει, ὅπερ ἦν ὑπερβαλλόντως εὐφραινομένης ψυχῆς, οὕτω λέγων· Χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν; τὸ δ' αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ μοι. τί γέγονεν, εἰπὲ, ὅτι τοσαύτης ἐνεπλήσθης χαρᾶς; Ἐγὼ, φησὶν, ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκεν. οὕτω τοίνυν ᾠκοδόμουν τὴν πανταχοῦ ἐκκλησίαν. καίτοιγε τοῖχον ἕνα οὐδεὶς ἂν δυνηθείη οἰκοδομῆσαι, διὰ λίθου καὶ ἀσβέστου συντιθεὶς τὴν οἰκοδομὴν, ἐλαυνόμενος, κωλυόμενος. οὗτοι δὲ ἐκκλησίας τοσαύτας πανταχοῦ τῆς οἰκουμένης ᾠκοδόμησαν, κατακοπτόμενοι, δεσμούμενοι, διωκόμενοι, φυγαδευόμενοι, δημευόμενοι, μαστιζόμενοι, σφαττόμενοι, καιόμενοι, καταποντιζόμενοι μετὰ τῶν μαθητῶν· καὶ ᾠκοδόμησαν οὐ διὰ λίθων, ἀλλὰ διὰ ψυχῶν καὶ προαιρέσεων, ὅπερ δυσκολώτερον πολλῷ τοῦ διὰ λίθων οἰκοδομῆσαι. οὐ γάρ ἐστιν ἴσον συνθεῖναι τοῖχον, καὶ ψυχὴν ἐπὶ τοσούτοις χρόνοις ὑπὸ δαιμόνων ἐκβακχευθεῖσαν, πεῖσαι μεταστῆναι, καὶ τῆς μανίας ἀποστῆναι ἐκείνης, καὶ πρὸς τοσαύτην ἐλθεῖν σωφροσύνην. ἀλλ' ὅμως ἴσχυσαν γυμνοὶ καὶ ἀνυπόδετοι, μονοχίτωνες τὴν οἰκουμένην περιιόντες ἅπασαν· εἶχον σύμμαχον καὶ βοηθὸν, τὴν ἄμαχον δύναμιν τοῦ εἰρηκότος, Ἐπὶ τῇ πέτρᾳ ταύτῃ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. ἀρίθμησον γοῦν πόσοι τύραννοι ἐξ ἐκείνου παρετάξαντο πρὸς αὐτὴν, πόσοι διωγμοὺς ἐκίνησαν χαλεπωτάτους, πῶς τὸν ἔμπροσθεν ἅπαντα διέκειτο χρόνον, ὅτε νεόφυτος ἦν ἡ πίστις, ὅτε ἁπαλώτεραι αἱ διάνοιαι τῶν ἀνθρώπων. ἕλληνες ἦσαν βασιλεῖς, Αὔγουστος, Τιβέριος, Γάϊος, Νέρων, Οὐεσπασιανὸς, Τῖτος, καὶ μετ' ἐκεῖνον ἅπαντες ἕως τῶν τοῦ μακαρίου Κωνσταντίνου χρόνων τοῦ βασιλέως· καὶ πάντες οὗτοι, οἱ μὲν ἔλαττον, οἱ δὲ σφοδρότερον ἐπολέμουν τὴν ἐκκλησίαν· ἐπολέμουν δ' οὖν ὅμως ἅπαντες. Εἰ δέ τινες αὐτῶν καὶ ἡσυχάζειν ἔδοξαν, αὐτὸ τοῦτο δὲ τοὺς βασιλεύοντας καταδήλους εἶναι ἐπὶ ἀσεβείᾳ, ὑπόθεσις πολέμου ἐγίνετο, τῶν ἄλλων κολακευόντων αὐτοὺς, θεραπευόντων ἐν τῷ τῆς ἐκκλησίας πολέμῳ. ἀλλ' ὅμως πᾶσαι αὗται αἱ ἐπιβουλαὶ καὶ ἔφοδοι, ἀράχνης εὐκολώτερον διεσπάσθησαν, καπνοῦ θᾶττον διελύθησαν, κονιορτοῦ ταχύτερον παρῆλθον. δι' ὧν γὰρ ἐπεβούλευσαν, πολὺν μαρτύρων χορὸν ἐργασάμενοι, καὶ τοὺς ἀθανάτους ἐκείνους τῆς ἐκκλησίας ἀφέντες θησαυροὺς, τοὺς στύλους, τοὺς πύργους, οὐχὶ ζῶντες μόνον, ἀλλὰ καὶ τελευτήσαντες μεγάλης ὠφελείας τοῖς ὕστερον ὑπόθεσις ἐγένοντο. Εἶδες προρρήσεως ἰσχύν; Καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. ἀπὸ τούτων πίστευε περὶ τῶν μελλόντων, καὶ ὅτι οὐδεὶς αὐτῆς περιέσται. Εἰ γὰρ ὅτε ἐξ ὀλίγων συνειστήκει, ὅτε καινοτομίας ἐδόκει εἶναι τὸ πρᾶγμα, ὅτε νεοπαγὴς ἡ διδασκαλία, ὅτε τοιοῦτοι οἱ πόλεμοι, καὶ τοσαῦται αἱ πανταχόθεν ἀναρριπιζόμεναι μάχαι οὐκ ἴσχυσαν, οὐ περιεγένοντο, πολλῷ μᾶλλον τὴν οἰκουμένην ἅπασαν καταλαβούσης αὐτῆς καὶ τόπον ἅπαντα, καὶ ὄρη, καὶ νάπας, καὶ βουνούς (καὶ γὰρ καὶ θάλατταν, καὶ τὰ ὑφ' ἡλίῳ κείμενα ἔθνη πάντα κατέλαβε) καὶ τῆς ἀσεβείας εἰς ὀλίγους προβάσης λοιπὸν, καὶ βωμῶν, καὶ ναῶν, καὶ εἰδώλων, καὶ πάντων ἀνῃρημένων, καὶ ἑορτῶν, καὶ τελετῶν, καὶ καπνοῦ καὶ κνίσης καὶ πανηγύρεων ἐναγῶν. πῶς οὖν τοσοῦτον καὶ τηλικοῦτον πρᾶγμα, μετὰ τοσούτων κωλυμάτων καὶ πέρας ἔσχεν οὕτω λαμπρὸν, καὶ ἔκβασιν μαρτυροῦσαν τῇ ἀληθείᾳ, εἰ μὴ θεία τις καὶ ἄμαχος δύναμις ἦν τοῦ ταῦτα προειπόντος καὶ τελέσαντος; οὐδεὶς ἂν πρὸς ταῦτα ἀντείποι, εἰ μὴ σφόδρα τις τῶν μαινομένων καὶ ἐξεστηκότων εἴη, καὶ τῶν κατὰ φύσιν ἀπεστερημένος φρενῶν. οὐχ αὗται δὲ μόνον, ἀλλὰ καὶ ἕτεραι προρρήσεις ἀνακηρύττουσιν αὐτοῦ τὴν ἄμαχον δύναμιν. καὶ γὰρ προεῖπε τὰ μέλλοντα μετ' ἀληθείας ἁπάσης καὶ εἰς τέλος ἤγαγε· καὶ ἀμήχανόν τι διαπεσεῖν τῶν περὶ ἐκείνου λεχθέντων; ἀλλ' εὐκολώτε-

Κολασ. α. κδ.

β. Τιμ. δ. ς.

Ματθ. ις. ιη.

ρον τὴν γῆν ἀφανισθῆναι καὶ τὸν οὐρανόν, ἢ τῶν ῥημάτων ἓν τῶν ἐκείνου καὶ τῶν προρρήσεων ἐλεγχθῆναι ψευδῶς εἰρημένον. διὸ καὶ αὐτὸς τὸ περὶ τῆς τῶν πραγμάτων ἐκβάσεως τοῦτο Ματθ. κδ. λε. αὐτὸ δηλῶν, οὕτω σαφῶς ἀπεφήνατο περὶ τῶν εἰρημένων παρ' αὐτοῦ, λέγων· Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. καὶ μάλα εἰκότως. οὐ γὰρ λόγοι εἰσίν, ἀλλὰ Θεοῦ λόγοι, ἔργων δημιουργοί· οὕτω τὸν οὐρανὸν ἐποίησεν, οὕτω τὴν γῆν, οὕτω τὴν θάλασσαν, οὕτω τὸν ἥλιον, οὕτω τοὺς τῶν ἀγγέλων δήμους, οὕτω τὰς ἄλλας ἀοράτους δυνάμεις. Ψαλ. ρμη. ε. καὶ τοῦτο σαφὲς ποιῶν ὁ προφήτης ἔλεγεν· Αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν, περὶ πάσης ὁμοῦ τῆς κτίσεως, τῆς ἄνω, τῆς κάτω, τῆς αἰσθητῆς, τῆς νοερᾶς, τῆς ἐν σώματι, τῆς ἀσωμάτου ταῦτα λέγων.

Ἔδειξε μὲν οὖν, ὅπερ ἔφθην εἰπών, καὶ ἡ περὶ τῆς ἐκκλησίας προαναφώνησις, τῆς ἀληθείας αὐτοῦ, τῆς προνοίας, τῆς ἀγαθότητος, τῆς κηδεμονίας τὸ μέγεθος, τὸν ὄγκον, τὴν ὑπερβολήν. Φέρε οὖν καὶ ἑτέραν πρόρρησιν μεταχειρισώμεθα τοῦ ἡλίου μᾶλλον διαλάμπουσαν, καὶ τῆς ἀκτῖνος φανερωτέραν οὖσαν, καὶ περὶ τῆς ἁπάντων κειμένην ὄψεως, καὶ πάσαις ταῖς μετὰ ταῦτα γενεαῖς παρεκτεινομένην, ὥσπερ καὶ τὴν προτέραν. τοιαῦται γὰρ αὐτοῦ αἱ προρρήσεις αἱ πλείους. οὐ χρόνῳ γὰρ περατοῦνται βραχεῖ, οὐδὲ εἰς μίαν συντελοῦνται γενεάν, ἀλλὰ πᾶσι τοῖς ἀνθρώποις, τοῖς τε οὖσι, τοῖς τε ἐσομένοις αὖθις, τοῖς μετ' ἐκείνους, καὶ τοῖς μετὰ τούτους πάλιν, καὶ ἕως τῆς συντελείας παρεκτεινομένοις πᾶσι παρέχουσι καταμανθάνειν τῆς οἰκείας ἀληθείας τὴν ἰσχύν, ὥσπερ οὖν καὶ ἡ προτέρα. τὸ γὰρ ἀπὸ τῆς ἡμέρας, ἧς ἐρρήθη μέχρι τῆς συντελείας τοῦ αἰῶνος, ἕστηκε βεβαία καὶ ἀκίνητος, ἀνθοῦσα, λάμπουσα, καθ' ἑκάστην ἀκμάζουσα τὴν ἡμέραν, αὐξανομένη, πρὸς μείζονα ἐπιδιδοῦσα δύναμιν, πᾶσι παρέχουσα τοῖς ἐξ ἐκείνου μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας ἐσομένοις τὰ μέγιστα καρποῦσθαι ἐξ αὐτῆς ἀγαθά, καὶ ἄφατον δρέπεσθαι τὴν ὠφέλειαν. καὶ γὰρ καὶ οἱ πρὸ ἡμῶν, καὶ οἱ πρὸ ἐκείνων, καὶ οἱ πρὸ τούτων ἀνωτέρω, ἐπέγνωσαν αὐτῆς τὴν δύναμιν, νῦν μὲν πολέμους ὁρῶντες ἐπιόντας αὐτῇ, καὶ νῦν κινδύνους καὶ τὰς ταραχάς, νῦν θορύβους καὶ τὰ κύματα καὶ νῦν χειμῶνας· αὐτὴν δὲ ὁρῶντες οὐ καταποντιζομένην, οὐ νικωμένην, οὐ κρατουμένην, οὐ σβεννυμένην, ἀλλὰ ἀνθοῦσαν, αὐξανομένην, πρὸς μεῖζον ὕψος ἐγειρομένην. καὶ αὕτη δέ, ἣν μέλλω νῦν ἐρεῖν, τοιαύτη τίς ἐστιν εἰς τὸ δεῖξαι αὐτοῦ τὴν ἰσχὺν καὶ τὴν ἀλήθειαν τῶν εἰρημένων. τίς δέ ἐστιν αὕτη; εἰσῆλθόν ποτε εἰς τὸν ναὸν τὸν Ἰουδαϊκόν, ἀνθοῦντα τότε καὶ πολλῷ πάντοθεν καταλαμπόμενον τῷ χρυσίῳ καὶ κάλλει καὶ μεγέθει οἰκοδομῶν, ἔχοντα καὶ τὴν ἄλλην ἅπασαν πολυτέλειαν, τήν τε ἀπὸ τῆς τέχνης, τὴν ἀπὸ τῆς ὕλης, Ματθ. κδ. β. καὶ τῶν μαθητῶν ἐκπληττομένων, τί φησιν; Οὐχ ὁρᾶτε ταῦτα πάντα; ἀμὴν λέγω ὑμῖν, οὐ μὴ μείνῃ ὧδε λίθος ἐπὶ λίθον, τὴν μετὰ ταῦτα αὐτοῦ κατασκαφὴν δηλῶν, τὴν πανωλεθρίαν, τὴν ἐρημίαν, τὸ ἐρείπιον τὸ νῦν ἐν Ἱεροσολύμοις. καὶ γὰρ ἐρείπιον ἐκεῖνα τὰ λαμπρὰ καὶ περιφανῆ γέγονεν οἰκοδομήματα ἅπαντα. εἶδες ἐν ἑκατέρῳ μεγάλην αὐτοῦ καὶ ἄφατον τὴν ἰσχύν, ἐν τῷ τοὺς θεραπεύοντας αὐτὸν οἰκοδομεῖν καὶ αὔξειν; ἐν τῷ τοὺς προσκεκρουκότας εἰς αὐτὸν ταπεινοῦν καὶ ὀλλύειν, καὶ προρρίζους ἀνασπᾶν; οὐδὲ γὰρ ἦν οὐδαμοῦ ὁ ναὸς τοιοῦτος, οὐδὲ οὕτως ἀοίδιμος, καὶ τοσαύτης ἀπολαύων θεραπείας. οἱ γὰρ πανταχοῦ γῆς οἰκοῦντες Ἰουδαῖοι, καὶ πρὸς αὐτὰ τῆς γῆς τὰ πέρατα, ἐκεῖσε ἀφικνοῦντο τὸ παλαιόν, δῶρα καὶ θυσίας καὶ προσφορὰς καὶ ἀπαρχάς, καὶ πολλὰ ἕτερα φέροντες, καὶ τῷ τῆς οἰκουμένης πλούτῳ καλλωπίζοντες τὸν ναόν· καὶ πάντες ἐκεῖ συνέρρεον οἱ πανταχόθεν Ἰουδαῖοι, προσήλυτοι, καὶ πολὺ ἦν τὸ ὄνομα τοῦ τόπου, πρὸς αὐτὰς τῆς οἰκουμένης τὰς ἐσχατιὰς φθάνον. ἀλλ' ἓν ῥῆμα τοῦ Χριστοῦ πάντα ἐκεῖνα ἠφάνισε καὶ ἀπώλεσε, καὶ ὥσπερ κονιορτὸν ἐκ μέσου γενέσθαι ἐποίησε· καὶ ἔθος οὐδὲ Ἰουδαίοις ἅπασι, μᾶλλον δὲ οὐδὲ τοῖς ἱερεῦσι πᾶσιν, ἀλλ' ἑνὶ μόνῳ τῷ τὴν ἀρχιερωσύνην λαχόντι εἰσιέναι ἐξῆν, καὶ τοῦτο ἅπαξ τοῦ σκηνοῦ μόνον μετὰ στολῆς καὶ στεφάνου καὶ μίτρας, καὶ ἑτέρας τινὸς ἐσθῆτος ἱερᾶς, νῦν καὶ πόρνοις καὶ μαλακοῖς καὶ ἡταιρηκόσι καὶ μοιχοῖς ἔξεστιν ἐπιβαίνειν, καὶ ὁ κωλύων οὐδείς. τὸ γὰρ ῥῆμα ἐκεῖνο ἐπελθὸν πάντα ἠφάνισε καὶ κατέλυσε· καὶ τοσοῦτον μένει τοῦ ναοῦ, ὅσον δεῖξαι ἔνθα ἦν ὁ ναὸς τὸ παλαιόν. ἐννόησον τοίνυν πόσης καὶ τοῦτο δυνάμεως. οἱ γὰρ τοσαῦτα διελθόντες, καὶ ἐθνῶν καὶ βασιλέων περιγενόμενοι, καὶ ἀναιμωτὶ πολλαχοῦ πολέμων κρατήσαντες, καὶ τρόπαια μυρία στήσαντες καινὰ καὶ παράδοξα, οὗτοι ναὸν ἕνα ἐξ ἐκείνου μέχρι τῆς σήμερον οἰκοδομῆσαι οὐκ ἴσχυσαν· καὶ ταῦτα τοσούτων βασιλέων γενομένων καὶ συμπραττόντων αὐτοῖς, καὶ πλήθους τοσούτου κατὰ τὴν οἰκουμένην κεχυμένου, καὶ χρημάτων τοσούτων αὐτοῖς παρόντων. Εἶδες πῶς ἅπερ ᾠκοδόμησεν, οὐδεὶς καθεῖλε, καὶ ἅπερ καθεῖλεν, οὐδεὶς ᾠκοδόμησεν; ᾠκοδόμησε τὴν ἐκκλησίαν, καὶ οὐδεὶς αὐτὴν καθελεῖν δύναιτ' ἄν· κατέλυσε τὸν ναὸν, καὶ οὐδεὶς αὐτὸν ἀναστῆσαι δύναται, καὶ ταῦτα ἐν οὕτω χρόνῳ μακρῷ. καίτοι καὶ ταύτην καθελεῖν ἐπεχείρησαν, ἀλλ' οὐκ ἴσχυσαν· κἀκεῖνον ἀναστῆσαι ἐσπούδασαν, ἀλλ' οὐκ ἐδυνήθησαν. Συνεχωρήθη δὲ καὶ τοῦτο, ἵνα μηδεὶς ἔχῃ λέγειν, ὅτι Εἰ ἐπεχείρησαν, ἴσχυσαν ἄν. ἰδοὺ γοῦν καὶ ἐπεχείρησαν, καὶ οὐδὲν ἠδυνήθησαν. καὶ γὰρ ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας, ὁ πάντας εἰς ἀσέβειαν νικήσας βασιλεὺς, καὶ ἔδωκεν ἐξουσίαν τότε καὶ συνέπραξε, καὶ τοῦ ἔργου ἥψαντο, καὶ οὐδὲ μικρὸν προσελθεῖν ἠδυνήθησαν, ἀλλὰ πῦρ ἀπὸ τῶν θεμελίων ἐκπηδῆσαν πάντας αὐτοὺς ἀπήλασεν. ὅτι δὲ ἐβουλήθησαν, καὶ τούτου δεῖγμά ἐστιν ἕως τοῦ νῦν, τὰ θεμέλια γυμνωθέντα· ἵνα εἰδῇς, ὅτι ἐπεχείρησαν μὲν διασκάπτειν, οἰκοδομῆσαι δὲ οὐκ ἴσχυσαν, τῆς ἀποφάσεως ταύτης ἀντιπεριστάσης αὐτοῖς. καίτοι καὶ ἤδη κατελύθη ὁ ναὸς πρότερον, καὶ μετὰ ἑβδομήκοντα ἔτη ἐπανελθόντων, εὐθέως ἀνέστη, καὶ λαμπρότερος τοῦ προτέρου γέγονε, καὶ λέγουσι τοῦτο καὶ προαναφωνοῦσι πρὶν γενέσθαι οἱ προφῆται. νῦν δὲ τετρακοσιοστὸν ἔτος ὑπερέβη, καὶ οὐδὲ ἔννοιά τις, οὐδὲ προσδοκία, οὐδὲ ἐλπὶς τοῦ φανῆναι πάλιν αὐτόν. καίτοι τί τὸ κωλῦον ἦν, εἰ μὴ θεία δύναμις ἦν ἡ ἀντιπίπτουσα; οὐ χρημάτων περιουσία πολλὴ παρ' αὐτοῖς; οὐ τοὺς ἁπάντων πανταχόθεν φόρους συνάγων ὁ πατριάρχης, ἀπείρους κέκτηται θησαυρούς; οὐκ ἰταμὸν τὸ ἔθνος; οὐκ ἀναίσχυντον; οὐ φιλόνεικον; οὐ προπετές; οὐ πολεμοποιόν; οὐ πολλοὶ κατὰ τὴν Παλαιστίνην; οὐ πολλοὶ κατὰ τὴν Φοινίκην; οὐ πολλοὶ πανταχοῦ; πῶς οὖν οὐκ ἴσχυσαν ἕνα ἀναστῆσαι ναὸν, καὶ ταῦτα ὁρῶντες τὴν λατρείαν αὐτοῖς ἐντεῦθεν πανταχοῦ πεπεδημένην, καὶ τὰ Ἰουδαϊκὰ ἔθη ἠφανισμένα, καὶ τὰ τῶν θυσιῶν, καὶ τὰ τῶν προσφορῶν, καὶ τὰ τῶν ἄλλων τῶν τοιούτων νομίμων ἀνῃρημένα, πεπαυμένα; οὔτε γὰρ στῆσαι βωμὸν, οὔτε θυσίαν ἀνενεγκεῖν, οὐ σπεῖσαι, οὐ πρόβατον ἐπιθῦσαι, οὐ θυμίαμα, οὐκ ἀναγνῶναι νόμον, οὐχ ἑορτὴν ἐπιτελέσαι, οὐκ ἄλλο τι τῶν τοιούτων αὐτοῖς ἐκτὸς τῶν προθύρων ἐκείνων ἐξῆν. ἀλλὰ καὶ ἐν Βαβυλῶνί ποτε γενόμενοι, καὶ ἀναγκαζόμενοι παρὰ τῶν πολεμίων ψάλλειν, οὐκ εἶξαν, οὐδὲ ὑπήκουσαν, αἰχμάλωτοι καὶ δοῦλοι ὄντες τοῖς δεσπόταις κακοποιοῦσιν αὐτούς· ἀλλὰ καὶ πατρίδος ἐκπεσόντες καὶ ἐλευθερίας, καὶ περὶ τὸ ζῆν αὐτὸ κινδυνεύοντες, καὶ ὡς ἐν μέσῃ παγίδι ταῖς χερσὶ τῶν λαβόντων ἀπειλημμένοι, κελευόμενοι τὴν ᾠδὴν ᾄδειν ἐκείνην τὴν διὰ τῶν ὀργάνων, οὕτως ἔλεγον· Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν, ὅτι ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν. πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; καὶ οὐδὲ ἔχει τις εἰπεῖν, ὅτι διὰ τὴν ἀπορίαν τῶν ὀργάνων τοῦτο οὐκ ἐποίουν. καὶ γὰρ αὐτοὶ τεθείκασι τὴν αἰτίαν εἰπόντες· Πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; καὶ τὰ ὄργανα δὲ μετ' αὐτῶν ἦν. ἐν γὰρ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν, φησίν. ἀλλ' οὐδὲ νηστείαν νηστεύειν ἐξῆν. καὶ τοῦτο δηλῶν αὐτοῖς ὁ προφήτης ἔλεγε· Μὴ νηστείαν νενηστεύκατέ μοι ἔτη ἑβδομήκοντα, λέγει Κύριος; ὅτι δὲ οὐδὲ θύειν, οὐδὲ σπένδειν ἐξῆν, ἄκουσον τῶν τριῶν παίδων λεγόντων, Οὐκ ἔστιν ἄρχων, οὐδὲ προφήτης, οὐδὲ ἡγούμενος, οὐδὲ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου καὶ εὑρεῖν ἔλεος. οὐκ εἶπεν, οὐκ ἔστιν ἱερεύς (παρῆ-

Ψαλ. ρλς.

Ζαχ. ζ. ε.
Δαν. γ. λη.

σαν γὰρ ἱερεῖς) ἀλλ' ἵνα μάθῃς ὅτι τὸ πᾶν τοῦ τόπου ἦν, καὶ ἡ νομοθεσία πᾶσα ἐκεῖ συνεδέδετο, εἶπεν, οὐκ ἔστι τόπος. καὶ τί λέγω θύειν καὶ σπένδειν; οὐδὲ ἁπλῶς ἀναγνῶναι τὸν νόμον ἐ- Αμ. ϛ. ε. ξῆν αὐτοῖς (καὶ τοῦτό ποτε ἐγκαλῶν ἕτερος προφήτης ἔλεγε· Καὶ ἀνέγνωσαν ἔξω νόμον, καὶ ἐπεκαλέσαντο ὁμολογίαν) οὐ πάσχα, οὐ πεντηκοστὴν, οὐ σκηνοπηγίαν, οὐκ ἄλλο τῶν τοιούτων ἐπιτελέσαι οὐδέν. ἀλλ' ὅμως εἰδότες, ὅτι ταῦτα πάντα ἀπέκλεισεν αὐτοῖς ἡ τοῦ τόπου ἐρήμωσις, κἂν ἐπιχειρῶσί ποτε, παρανομοῦντες ἐπιχειροῦσι, καὶ δίκην τούτου διδόασιν, οὐκ ἴσχυσαν τὸν τόπον, ἐν ᾧ ταῦτα πάντα ἐξῆν κατὰ νόμον πράττεσθαι, ἀναστῆσαι καὶ στῆσαι. ἡ γὰρ δύναμις τοῦ Χριστοῦ ἡ τὴν ἐκκλησίαν οἰκοδομήσασα, αὐτὴ καὶ τοῦτον καθεῖλε. καὶ προεῖπε καὶ τοῦτο ὁ προφήτης, ὅτι καὶ παρέσται ὁ Χριστὸς καὶ ταῦτα ἐργάσεται, καίτοι μετὰ τὴν αἰχ- Μαλ. α. ι. μαλωσίαν γενόμενος. ἄκουε δὲ καὶ τί φησι· Καὶ ἐν ὑμῖν συγκλεισθήσονται θύραι, καὶ οὐκ ἀνάψεται τὸ θυσιαστήριόν μου δωρεάν. οὐκ ἔστι μοι θέλημα ἐν ὑμῖν, ὅτι ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα μοι προσάγεται καὶ θυσία καθαρά. εἶδες πῶς σαφῶς καὶ τὸν Ἰουδαϊσμὸν ἐξέβαλε, καὶ τὸν χριστιανισμὸν ἔδειξε διαλάμποντα, καὶ πανταχοῦ τῆς γῆς ἐκτεταμένον; καὶ τὸν τρόπον δὲ Σοφον. γ. ι. τῆς λατρείας ἐδήλωσεν ἕτερος πάλιν· Καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐ- Αμ. ε. β. τοῦ, καὶ δουλεύσουσιν αὐτῷ ὑπὸ ζυγὸν ἕνα. καὶ ἕτερος πάλιν· Παρθένος τοῦ Ἰσραὴλ ἔσφαλεν, οὐ μὴ ἀναστῇ ἔτι. καὶ ὁ Δανιὴλ δὲ σαφῶς ἅπαντα ταῦτα διηγεῖται, ὅτι πάντα ἀρθήσεται καὶ θυσία καὶ σπονδὴ, καὶ χρίσμα καὶ κρίμα. ἀλλὰ ταῦτα μὲν ἱκανὰ ἂν πρὸς Ἰουδαίους λεγόμενα, σαφέστερον καὶ εὐρύτερον ἀναπτύξομεν· τέως δὲ τῆς προκειμένης ἐχώμεθα ὁδοῦ, τῶν ἀνοήτων Ἑλλήνων τὴν φιλονεικίαν διορθοῦντες. οὔτε σοὶ νεκροὺς εἶπον ἐγερθέντας, οὔτε λεπροὺς καθαρισθέντας, ἵνα μὴ λέγῃς, ψευδῆ ταῦτα, κόμπος, μῦθοι, τίς εἶδε; τίς ἤκουσεν; οἱ εἰπόντες ὅτι ἐσταυρώθη, καὶ ἐπὶ κόρρης πληγὰς ἔλαβεν, οὗτοι ταῦτα εἰρήκασι. πῶς οὖν ἐν ἐκείνοις ἀξιοπίστους εἶναι νομίζων, ἐν τούτοις ἐπιλαμβάνῃ τῶν εἰρημένων ὡς οὐ γεγενημένων; καίτοιγε εἰ πρὸς χάριν τοῦ διδασκάλου ταῦτα ἔγραφον εἰκῇ καὶ μάτην κομπάζοντες, τὰ σκυθρωπὰ ἀποσιωπῆσαι, καὶ τὰ πολλοῖς δοκοῦντα ἐπονείδιστα εἶναι. νῦν δὲ δεικνύντες αὐτῶν τὴν ἀλήθειαν, ἐν ἐκείνοις μάλιστα ἐνδιέτριψαν, καὶ πάντα μετὰ ἀκριβείας καὶ πολλῆς εἶπον τῆς δα-

* * λείπει * *

ΧΡΥΣΟΣΤΟΜΟΥ ΕΙΣ ΤΟ, ΟΤΙ ΠΑΛΑΙΑΣ ΚΑΙ ΚΑΙΝΗΣ ΕΙΣ Ο νομοθέτης, καὶ εἰς τὸ ἔνδυμα τοῦ ἱερέως, καὶ περὶ μετανοίας.

Τῆς Χριστοῦ βασιλείας τὸ εὐαγγέλιον κηρύττουσι προφῆται, ἑρμηνεύουσι δὲ οἱ τῆς νέας χάριτος ὑπηρέται, δέχονται δὲ οἱ τοῦ θείου λόγου ἀκροαταὶ καὶ ἐρασταὶ καὶ ἐπαινέται. οὐκ ἔστιν ἐντρυφῆσαι τῷ λόγῳ τῆς ἀληθείας, μὴ διψῶντα τὸν λόγον τῆς διδασκαλίας· καὶ ὥσπερ οὐκ ἔστι μὴ διψῶντα καὶ πεινῶντα ἡδέως ἀπολαῦσαι τροφῆς, οὕτως οὐκ ἔστιν ἐντρυφῆσαι λόγῳ ἀληθείας, μὴ διψῶντας τοῦ ἁγίου πνεύ- Ματθ. ε. ϛ. ματος τὴν διδασκαλίαν. διό φησιν ὁ σωτήρ· Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. ἡ ἀληθὴς τῶν ψυχῶν τροφὴ, ἡ ἀληθὴς τῶν εὐσεβῶν τρυφὴ, ὁ ἀληθὴς τῶν εὐσεβῶν πλοῦτος ὁ τοῦ Θεοῦ λόγος, ὁ διὰ τοῦ Δαβὶδ λέγων (ποτὲ μὲν γὰρ ὡς πλοῦτον ἐναβρύνεται, ποτὲ δὲ ὡς τρυφῇ) καὶ λέγει· Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου ὑπὲρ μέλι, καὶ κηρίον τῷ στόματί μου. ἐνταῦθα τρυφῶντος ἀφῆκε φωνήν, τρυφὴ γὰρ ἦν αὐτῷ ὁ τοῦ Θεοῦ φόβος καὶ λόγος· ἐπεὶ οὖν πολλάκις ἔλεγε, Κατατρύφησον τῷ Κυρίῳ, καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου. ἀλλαχοῦ δὲ οὐχ ὡς τρυφῇ μόνον, ἀλλὰ καὶ ὡς πλοῦτον ἐγκαλλωπίζεται τῷ πλούτῳ τοῦ νόμου λέγων· Ἀγαθόν μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου. εἶδες τρυφὴν εὐσεβείας, καὶ πλοῦτον ἐν δικαιοσύνῃ. δεῖ τοίνυν ἡμᾶς διψᾶν τὰ θεῖα, καὶ πεινᾶν τὰ οὐράνια, καὶ ἔχειν ἄφθονον τὴν ἀπόλαυσιν ἐκ τῆς βασιλικῆς τοῦ Χριστοῦ τραπέζης, ἀντέχεσθαι δὲ τοῦ εὐαγγελίου τῆς σωτηρίας, οὐ νῦν ἀρξάμενοι, ἀλλὰ ἐν τοῖς προφήταις θεμελιωθέντες, καὶ ἐν τοῖς ἀποστόλοις οἰκοδομηθέντες. οὐ γὰρ ἀφ' οὗ ἐφάνη Χριστός, τὸ εὐαγγέλιον ἤρξατο, ἀλλ' ἐρριζώθη μὲν ἐν τοῖς βίβλοις τῶν προφητῶν, ἐβλάστησε δὲ ἐν τῷ κηρύγματι τῶν ἀποστόλων. διὰ τοῦτο ὁ Παῦλος βουληθεὶς δεῖξαι, ὅτι τὸ εὐαγγέλιον οὐκ ἀπὸ τῆς οἰκονομίας ἤρξατο, ἀλλ' ἀπὸ τῶν προφητῶν ἔλαμψε, διὰ τῆς οἰκονομίας αὐτὸ διαγορεύει. Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις περὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα. οἶδε Παῦλος ἀδιαίρετον τὴν παλαιάν, καὶ τὴν νέαν διαθήκην. διὰ τοῦτο ποτὲ μὲν αὐτὴν καλεῖ καινὴν διαθήκην, ἵνα δείξῃ πῶς ἐνεκαινίσθη τῆς οἰκουμένης τὰ πέρατα (οἶδα τοῦτο πρώην γυμνάσας τὸν λόγον· ἀλλ' ἐπαναλαμβάνω πρὸς ὑπόμνησιν) καλεῖ καινὴν διαθήκην πρὸς ἀντιπαράθεσιν τῆς γεγηρακυίας, κρείττονα πρὸς ἀντιδιαστολὴν τῆς ἐλάττονος, αἰώνιον πρὸς ἀντιπαράθεσιν τῆς προσκαίρου. καλεῖ αὐτὴν καὶ δευτέραν διαθήκην. διὰ τί δευτέραν; ἵνα τῇ γνώμῃ συνάψῃ. τὸ γὰρ ἀπεσχοινισμένον τινὸς δεύτερον οὐ λέγεται. ἀλλ' ἐπειδὴ Θεὸς ἐλάλησε καὶ ἐν τῇ πρώτῃ, καὶ ἐν τῇ δευτέρᾳ, ὁ αὐτὸς καλεῖ πρώτην καὶ δευτέραν, τῷ ἀριθμῷ τὴν συμφωνίαν ἐργαζόμενος. διὰ τοῦτο Παῦλος ἀδιαίρετον κηρύττων βασιλείαν πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος, ποτὲ μὲν καλεῖ τὸ εὐαγγέλιον τοῦ Θεοῦ τοῦ πατρὸς, ποτὲ δὲ τοῦ υἱοῦ, λέγων· Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ. ἀλλ' ἵνα μή τις ἀκούσας εὐαγγέλιον Θεοῦ, νομίσῃ τὸν υἱὸν μὴ ἔχειν αὐθεντίαν εἰς τὸ κήρυγμα, ἐν τῇ αὐτῇ ἐπιστολῇ μικρὸν ὑποβὰς λέγει· Μάρτυς γάρ μου ἐστὶν ὁ Θεὸς, ᾧ λατρεύω ἐν τῷ πνεύματί μου, ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ. εἶδες τὸ θαῦμα τοῦ κήρυκος, καὶ τὴν ἀπηρτισμένην διάνοιαν. ἵνα μὴ νομισθῇ ἐν μὲν τῷ νόμῳ ἄλλῳ Θεῷ δουλεύειν, ἐν δὲ τῷ εὐαγγελίῳ πρὸς ἄλλον χωρεῖν, λέγει· Εὐλογητὸς ὁ Θεὸς, ᾧ λατρεύω ἀπὸ προγόνων ἐν καθαρᾷ συνειδήσει. οὐ γὰρ ἀπ' ἄλλου, φησὶ, πρὸς ἄλλον ἔδραμον, ἀλλ' ὃν εἶχον ἐν ἀγνοίᾳ, προσέλαβον ἐν γνώσει. καὶ πάλιν ὁ αὐτὸς βουληθεὶς δεῖξαι, ὅτι τὰ ῥήματα τῆς παλαιᾶς διαθήκης, καὶ τῆς νέας ἑνός ἐστι στόματος, καὶ ἑνὸς δεσπότου, μίαν μαρτυρίαν ἀπὸ γραφῆς προήγαγε συμπλέξας τῷ εὐαγγελικῷ λόγῳ τὴν παλαιὰν, καὶ λέγει· Γέγραπται, οὐ φιμώσεις βοῦν ἀλοῶντα, καὶ, ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ. τὸ, οὐ φιμώσεις, Μωϋσῆς εἶπε· τὸ δὲ, ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ, ὁ Χριστὸς ἐν τοῖς εὐαγγελίοις. ἀλλ' ἵνα δείξῃ, ὅτι ἓν στόμα κἀκεῖνα καὶ ταῦτα ἐλάλησε τὰ τοῖς χρόνοις διῃρημένα, συνῆψε τῇ συμφωνίᾳ τῆς ἀληθείας εἰπὼν, γέγραπται, οὐ φιμώσεις βοῦν ἀλοῶντα, καὶ ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ. τούτου τοῦ εὐαγγελίου εἰκὼν, τὰ δίκτυα Πέτρου, τὰ σήμερον ἐπ' ὄψεσιν ἡμετέραις καὶ ἀκοαῖς χαλασθέντα. οὐ γὰρ ἅπαξ Πέτρος ἐχάλασε τὰ δίκτυα, ἀλλὰ τῇ μὲν ἱστορίᾳ ἅπαξ, τῇ δὲ δυνάμει πολλάκις. ὁσάκις γὰρ ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον, οὐδὲν ἕτερον ὁρῶ, ἢ Πέτρον, καὶ Ἀνδρέαν, καὶ τὸν χορὸν τῶν ἀποστόλων, καὶ τὸ δίκτυον ἁπλοῦντας τὸ εὐαγγελικόν. καὶ ἦν ξένον θέαμα τὸν σωτῆρα ἰδεῖν ἐν θαλάττῃ, καὶ τοὺς διδασκομένους παρὰ τὸν αἰγιαλὸν ἑστῶτας· ξένον πρᾶγμα, οἱ ἰχθύες ἐπὶ τὴν γῆν, καὶ ὁ ἁλιεὺς ἐν θαλάττῃ. ἡ κάθεσις ἐκείνου

Ψαλ. λϛ. δ.

Ψαλ. ριη. οβ.

Ρωμ. α. α.

Ρωμ. α. θ.

β. Τιμ. α. γ.

Δευτ. κε. δ.
α. Κορ. θ. θ.

τοῦ δικτύου εἰκὼν ἦν τοῦ εὐαγγελικοῦ λόγου. εὗρε, φησί, τοὺς ἁλιεῖς ἀποπλύνοντας τὰ δίκτυα, ὡς ἀπειπόντας τῆς ἄγρας. ἁλιεὺς γὰρ ἐὰν μὴ ἀπαγορεύσῃ τῆς θήρας, οὐ πλύνει τὸ δίκτυον. εὗρεν οὖν αὐτοὺς ὁ σωτὴρ ἀπειπόντας τῆς ἄγρας, καὶ ἐφίσταται ὁ τῆς θήρας δεσπότης, καὶ τί ποιεῖ; πρότερον διδάσκει τὸν λόγον τῆς ἀληθείας· εἶτα κελεύει χαλασθῆναι τὸ δίκτυον. ἐπειδὴ γὰρ τὰ ῥήματα ἦν ἀναπόδεικτα ἄνευ τῶν ἔργων, ἔχρῃζεν ἀκολουθῆσαι τῷ λόγῳ τὴν διὰ τῶν ἔργων ἀπόδειξιν, ὅτι Θεοῦ κελεύσαντος καὶ τὰ μὴ εὑρισκόμενα θηρεύεται, καὶ τὰ μὴ ὄντα λαμβάνεται. χαλάσατε, φησί, τὸ δίκτυον ὑμῶν. ὁ δὲ Πέτρος λέγει· Ἐπιστάτα, δι᾽ ὅλης τῆς νυκτὸς κοπιάσαντες οὐδὲν εὕρομεν, ἐπὶ δὲ τῷ σῷ ῥήματι χαλάσω τὸ δίκτυον. θαυμάζω Πέτρου τὴν πίστιν, τὰ πρότερα ἀπογινώσκοντος, καὶ τὰ νέα πιστεύοντος. ἐπὶ τῷ σῷ ῥήματι χαλάσω τὸ δίκτυον. διὰ τί εἶπεν ἐπὶ τῷ σῷ ῥήματι; ἐπειδὴ ἐπὶ τῷ ῥήματι αὐτοῦ καὶ ὁ οὐρανὸς ἐστερεώθη, καὶ ἡ γῆ ἐθεμελιώθη, καὶ θάλασσα ἀφωρίσθη, καὶ ἄνθρωπος οἰκείοις ἄνθεσιν ἐστεφανώθη, καὶ πάντα τῷ σῷ ῥήματι συνέστηκεν, ὥς φησιν ὁ Παῦλος· Φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. ἐπὶ δὲ τῷ σῷ ῥήματι χαλάσω τὸ δίκτυον. προκατέβη τοῦ δικτύου τὸ ῥῆμα. οὐ παρῆσαν οἱ ἰχθύες. καὶ γὰρ εἰ παρῆσαν, διὰ τὴν ὄχλησιν τῶν ἀγρευόντων διέφυγον. ἀλλὰ κατῆλθε τὸ ῥῆμα ἐκείνου τοῦ καλοῦντος τὰ μὴ ὄντα, ὡς ὄντα· προκατῆλθε τοῦ δικτύου ἡ δύναμις τοῦ κελεύσαντος· συνήχθη πλῆθος ἰχθύων. εἰκὼν ἦν τῆς οἰκουμενικῆς ἐκκλησίας. διερρήγνυτο τὸ δίκτυον· ἔνευσαν τῷ πλοίῳ τῷ συμμετόχῳ ἐλθεῖν, καὶ συναρᾶσθαι αὐτοῖς. ἔδει γὰρ δύο σκάφη συνδραμεῖν εἰς τὴν ἄγραν. ἐὰν γὰρ μὴ παρῇ χορὸς προφητῶν βοηθῶν τῇ ἀποστολικῇ χειρί, καὶ τῇ προφητικῇ προρρήσει μὴ ἀκολουθήσῃ τῶν ἀποστόλων ἡ ἔκβασις, οὐ θηρᾶται τὰ θηρώμενα. βουληθεὶς τοίνυν ὁ σωτὴρ δεῖξαι, ὅτι ἡ τῶν ἰχθύων ἄγρα εἰκών ἐστι τῆς ἐκκλησίας, καὶ βουληθεὶς παιδεῦσαι Πέτρον ἔτι, τῷ ὑποδείγματι τούτῳ ἤλειψεν αὐτὸν εἰς ἀνδρείαν. λέγει αὐτῷ, Μὴ φοβοῦ, ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν. ἀπὸ τοῦ νῦν, ἀφ᾽ οὗ, φησίν, ἐπειράθης τῆς δυνάμεως, καὶ ἔμαθες ὅτι καὶ τὰ ἄλογα ὑπακούει λόγῳ, καὶ πάντα ἕπεται τῷ ἐμῷ νεύματι, λαβὼν ἀρκοῦν τὸ ὑπόδειγμα, χρῆσαι λοιπὸν τῇ θήρᾳ. καὶ οὐκ εἶπεν, ἀνθρώπους ἔσῃ ἁλιεύων, ἀλλά, ἀνθρώπους ἔσῃ ζωγρῶν· ἐπειδὴ οἱ ἰχθύες ἀπὸ ζωῆς εἰς θάνατον ἡλιεύοντο, οἱ δὲ ἄνθρωποι ἀπὸ θανάτου εἰς ζωὴν ἀγρεύονται. ἀπὸ τοῦ νῦν, φησίν, ἀνθρώπους ἔσῃ ζωγρῶν. διὰ τί λέγει αὐτῷ, μὴ φοβοῦ; ἔσω ἡ ἐπαγγελία καλὴν εἶχεν ὄψιν. διὰ τί οὖν μὴ φοβοῦ; ἐπειδὴ προσέπεσον τῇ μνήμῃ τῶν προτέρων ἁμαρτημάτων, μὴ φοβοῦ, φησί, σαυτὸν, ὡς ἁμαρτωλόν, ἀλλὰ λοιπὸν νόει σαυτὸν ὡς ἀπόστολον, ῥήματι δεσποτικῷ κελευόμενος τὴν οἰκουμένην σαγηνεῦσαι. μὴ φοβοῦ, πᾶς ἁμαρτωλὸς παρὰ Χριστοῦ ἀκουέτω· μὴ φοβοῦ, μόνον ἀπὸ τοῦ νῦν μετανοείτω. τὸ τοίνυν δίκτυον, ἵνα εἰς τὴν προλαβοῦσαν ἔλθω ἀκολουθίαν, εἰκών ἐστι τῆς εὐαγγελικῆς τοῦ σωτῆρος διδασκαλίας· τὸ δὲ εὐαγγέλιον τοῦτο καλεῖ Παῦλος, ποτὲ μὲν εὐαγγέλιον δικαιοσύνης, ποτὲ δὲ εὐαγγέλιον εἰρήνης, ποτὲ δὲ εὐαγγέλιον δυνάμεως. ἐπειδὴ γὰρ δυνατὴ ἡ χάρις τοῦ κηρύγματος, καὶ πολέμους ἠφάνισε, καὶ στάσεις ἀνθρώπων μὴ συμφωνούντων πρὸς εὐσέβειαν ἐσκόρπισε. καὶ διὰ μὲν τὸ πάντας καλέσαι πρὸς σωτηρίαν λέγεται εὐαγγέλιον δικαιοσύνης· διὰ δὲ τὸ καταστέλλειν τὸν πόλεμον τῶν δαιμόνων λέγεται εὐαγγέλιον εἰρήνης· διὰ δὲ τὸ εὐτελέσι ῥήμασι κηρύττειν Θεοῦ γνῶσιν καλεῖται εὐαγγέλιον δυνάμεως. ἄκουε Παύλου λέγοντος· Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον· δύναμις γὰρ Θεοῦ ἐστιν εἰς σωτηρίαν. τὸ δυνατὸν γὰρ τότε φαίνεται δυνατόν, ὅταν μὴ τοῖς ἀκολούθοις κεχρημένος λογισμοῖς, κρατήσῃ τῶν περάτων τῆς γῆς· ὡς λέγει ὁ σωτὴρ τῷ Παύλῳ, Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. οὐδὲν ἦν μέγα, εἰ γυμνῇ τῇ θεότητι τὴν οἰκουμένην ἐφώτισεν, ἀλλ᾽ ὅτι διὰ σώματος τὴν ἀπαθῆ καὶ ἀσώματον ἔδειξε δόξαν. οὐδὲν ἦν θαυμαστόν, εἰ ὁ ζῶν ζωοποιῶν ἀπαστράψας δόξαν, τὴν οἰκουμένην ἐζωοποίησεν· ἀλλὰ τὸ δυνατὸν τοῦ λόγου, ὅτι

Λουκ. ε. ε.

Ἑβρ. α. ζ.

Ρωμ. α. ιϛ.

Β. Κορ. ιβ. θ.

θανάτῳ τὸν θάνατον ἀφανίζει, καὶ διὰ τὴν ὕβρεων τὴν ἀθάνατον παραπέμπει δόξαν. ἀλλαχοῦ λέγει, εὐαγγέλιον εἰρήνης· Τοὺς γὰρ πόδας ὑμῶν, φησι, παρασκευάσατε ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης. ἀλλαχοῦ καλεῖ δικαιοσύνης, ὥς φησιν· Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον. δικαιοσύνη γὰρ Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται. τί ἐστι δικαιοσύνη Θεοῦ; ἐπειδὴ ὁ πρῶτος νόμος Ἰουδαίοις ἐδόθη μόνοις, τὸ δὲ εὐαγγέλιον πᾶσι, καλεῖ εὐαγγέλιον δικαιοσύνης. δίκαιος γὰρ ὁ Θεός, ὁμοίως πάντας ποιήσας, ὁμοίως πάντας ἐφώτισε. καὶ τοῦτο ἦν δίκαιον, τὸ μὴ τοὺς μὲν σῶσαι, τοὺς δὲ μὴ σῶσαι, τὸ μὴ τοὺς μὲν καλέσαι, τοὺς δὲ μὴ καλέσαι. ἐν τῇ παλαιᾷ διαθήκῃ οὐκ ἦν ἡ κλῆσις δικαία, ἀλλ' οἰκονομική, προκατασκευάζουσα ὁδὸν τῇ δικαιοσύνῃ. οὐ γὰρ λέγω ταύτην δικαίαν, κἀκείνην ἄδικον, ἀλλ' ἐκείνην ὁδὸν ταύτης, καὶ προκατασκευὴν ταύτης. ἔδωκε νόμον τῷ Ἰσραήλ. καὶ λέγει ὁ Δαβίδ· Ὁ ἀπαγγέλλων τὸν λόγον αὐτοῦ τῷ Ἰακώβ, δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ. οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς. ἐπεὶ οὖν ἐκείνῳ ἔθνει ἀπεκάλυψεν, ἐνταῦθα δὲ ζυγοστατήσας τὸν τῆς ἀληθείας λόγον, πᾶσιν αὐτὸν ἐξ ἴσου ἐκέρασε. προέσχε τὰς ἀγκάλας. δικαιοσύνη ἐστί, τὸ πάντας ὁμοίως σῶσαι, καὶ μὴ εἶναι διαφορὰν δούλου, καὶ ἐλευθέρου, βαρβάρου, ἢ ἕλληνος, γυναικός, ἢ ἀνδρός· ἀλλ' ὃ λέγει Παῦλος, Ἐν Χριστῷ Ἰησοῦ οὐ βάρβαρος, οὐ Σκύθης, οὐκ ἄρσεν, οὐ θῆλυ, οὐ δοῦλος, οὐκ ἐλεύθερος. ὁρᾷς ὁμοτιμίαν; ἐπειδὴ γὰρ ἡ φύσις ὁμότιμος, εἰ καὶ ταῖς γνώμαις ἐμερίσθημεν, συνάγει τὴν φύσιν εἰς τὸ ἀρχαῖον κάλλος. ὅτε μὲν γὰρ ἐπλάσθη Ἀδάμ, οὐκ ἦν τις ἀλλογενής, οὐ Σκύθης, οὐ βάρβαρος, οὐχ ἕλλην, οὐ δοῦλος, οὐκ ἐλεύθερος, οὐκ ἄρσεν, οὐ θῆλυ. ἐκ γὰρ τοῦ ἑνὸς τὰ δύο ἐπήγαγε. δουλείαν οὐ φύσις ἐγέννησεν, ἀλλὰ προαίρεσις ἔτεκε. ἔστι δὲ καὶ δουλεία ἠναγκασμένη ἢ ἐν συμφορᾷ λιμοῦ, ἢ αἰχμαλωσίας ἀνάγκῃ. ἔστι δὲ καὶ ἑτέρα δουλεία αὐθαίρετος, ἡ δι' ἐπιγαμίαν θεραπαινίδων τὴν ἑαυτῆς ἐλευθερίαν πιπράσκουσα, καὶ ὑπὸ ζυγὸν δουλείας ἐρχομένη. ἡ δὲ πρώτη δουλεία ἀπὸ κακῆς συνέστη γνώμης. καὶ πόθεν εὑρίσκεται ἡ ῥίζα τῆς δουλείας, ἄκουε. μετὰ τὸν κατακλυσμὸν ὁ Νῶε πιὼν οἶνον, καὶ μὴ κεράσας αὐτὸν τῇ πρεπούσῃ κράσει, δι' ἀπειρίαν ἐμεθύσθη, οὐ γνώμης νόσον ἐνδειξάμενος, ἀλλ' ἀγνοίας· καὶ ἐμεθύσθη, καὶ μεθυσθεὶς ἐγυμνώθη, καὶ εἰσελθὼν εἷς τῶν υἱῶν αὐτοῦ, εἶδε τὴν τοῦ πατρὸς γύμνωσιν, καὶ ἐγέλασε. τί οὖν ὁ πατὴρ ἐκνήψας λέγει; Ἐπικατάρατος Χαναάν, παῖς οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ. ὁρᾷς πῶς τὴν δουλείαν ἐγέννησεν ἡ ἁμαρτία; διὰ τοῦτο λέγει ὁ σωτήρ· Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας. ἐπεὶ οὖν ἦλθεν ὁ ἐλευθερωτὴς τοῦ ἀνθρωπίνου γένους, καὶ συνεχώρησε τὴν ἁμαρτίαν, μᾶλλον δὲ ἦρεν (ἐκτεμὼν γὰρ τὴν ῥίζαν συνεξέτεμε τοὺς καρπούς) καλεῖ δικαιοσύνης εὐαγγέλιον, διὰ τὸ πάντας ὁμοίως φωτίζειν. ὑπελάμβανον οὖν οἱ Ἰουδαῖοι, ὅτι τὸ εὐαγγέλιον τὸ κηρυττόμενον δι' αὐτοῦ αὐτοῖς δίδοται μόνοις. ἐξέβη δὲ παρ' ἐλπίδας ἡ προσδοκία. διό φησιν ὁ Δαβίδ· Ὑπελάβομεν, ὁ Θεός, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου· κατὰ τὸ ὄνομά σου, ὁ Θεός, οὕτω καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς. καὶ ἵνα δείξῃ, ὅτι τὸ ἐλεῆσαι τὰ πέρατα τῆς γῆς, δικαιοσύνη ἐστίν, ἐπήγαγε· Δικαιοσύνης πλήρης ἡ δεξιά σου. ὅτε μὲν βαθύ τι καὶ προφητικὸν ἀνακύψῃ ζήτημα, συνδράμετε τῷ λόγῳ, μὴ κροτῶν, ἀλλὰ νοῶν, μὴ ἁπλῶς δεχόμενος τὸν κρότον τῶν ῥημάτων, ἀλλὰ τὴν ἔννοιαν βασανίζων τῶν νοημάτων. ἐὰν γὰρ ᾄδῃς τὰ τοῦ Θεοῦ μετ' ἀληθείας, καὶ μάλιστα τὴν φωνὴν ταύτην, ἣν ὁ Δαβίδ εἶπεν (Ὑπελάβομεν, ὁ Θεός, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου· κατὰ τὸ ὄνομά σου, ὁ Θεός, οὕτω καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς· δικαιοσύνης πλήρης ἡ δεξιά σου) εὑρίσκῃ καὶ ᾄδων τὰ τοῦ Θεοῦ, καὶ πληρούμενος πνεύματος ἁγίου. ὁ γὰρ γνησίως ψάλλων ἀνακαινιζόμενος τὴν ψυχήν, ἀποτελεῖται ναὸς τοῦ ἁγίου πνεύματος. μὴ γὰρ μικρὸν νομίσῃς τὴν ψαλμῳδίαν εἶναι. δοκεῖ μὲν γὰρ τὴν ἀκοὴν θέλγειν, τῇ δὲ ἀληθείᾳ τὴν ψυχὴν ἐγείρει. οὕτω καὶ ὁ μακάριος Ἐλισσαῖος ὁ προφήτης παρακαλούμενος παρά τινων βασιλέων προφητεῦσαι τὰ μέλλοντα, λέγει· Δότε μοι

ἄνδρα

Εφ ϛ. ιε.

Ρωμ α. ιζ.

Ψαλ. ρμζ. κ.

Κολασ. γ. ια.

Ψαλ. μζ. θ.

δ Βασ. γ. ιε.

ἄνδρα εἰδότα ψάλλειν. ἦλθεν ὁ τῆς μουσικῆς ἔμπειρος, καὶ ἐν τῷ ψάλλειν, φησὶν, ἐκεῖνον, ἦλθε τὸ
πνεῦμα τὸ ἅγιον ἐπὶ Ἐλισσαῖον. τί οὖν; ἆρα τὸ πνεῦμα τὸ ἅγιον φωναῖς θέλγεται, καὶ ἐπῳδαῖς
καθέλκεται, εἰ τῇ ψυχῇ ἐπανεπαύετο τῇ προφητικῇ; ἤρκει ἡ καθαρότης τοῦ προφήτου
προσκαλέσασθαι τὸ πνεῦμα τὸ ἅγιον. διὰ τί οὖν λέγει, δότε ἄνδρα εἰδότα ψάλλειν; οὐχ
ἵνα τὸ πνεῦμα τερφθῇʺ τῆς ψαλμῳδίας, ἀλλ' ἵνα, ἐκείνου ψάλλοντος, ὁ νοῦς τοῦ προφήτου ἀνακαινισθεὶς, ἴσ. τῇ ψαλμῳδίᾳ.
ἄξιος γένηται τῆς τοῦ ἁγίου πνεύματος ἐπιφοιτήσεως. διὰ τοῦτο τὸ πνεῦμα
καλεῖ, ἵνα δείξῃ ὅτι οὐ τῇ ψαλμῳδίᾳ ἐθέλχθη, ἀλλὰ τῇ ψυχῇ τῇ ὑπὸ τῆς ψαλμῳδίας διεγερθείσῃ·
οὐκ ἦλθεν ἐπὶ τὸν ψάλλοντα, ἀλλ' ἐπὶ τὸν ἀκούοντα. δεῖ μὲν οὖν καθόλου τὰς δυνάμεις
Ψαλ. ϞϚ. α. τῶν ψαλμῶν ἑρμηνεύειν, ἐξαιρέτως δὲ τοῦ σήμερον ἡμῖν ῥηθέντος ἁγίου ψαλμοῦ· Ὁ Κύριος
ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ, εὐφρανθήτωσαν νῆσοι πολλαί. τὸ, ὁ Κύριος ἐβασίλευσε,
πῶς ὑπολαμβάνεις; ἆρα ὡς πρόσφατον λαβόντα τὸ τῆς βασιλείας ἀξίωμα;
εἰ μὲν γὰρ εἶπεν, ὁ Κύριος βασιλεύει, τὴν ἀΐδιον αὐτοῦ ἡρμήνευσεν ἀξίαν· νῦν δὲ λέγει, ὁ
Κύριος ἐβασίλευσεν. Εἴρηται καὶ πρῴην ἡμῖν, καὶ νῦν λεχθήσεται. περὶ τῆς τοῦ Χριστοῦ παρουσίας,
περὶ τοῦ εὐαγγελικοῦ κηρύγματος ἐβασιλεύετο ἡμῶν ἡ φύσις ὑπὸ τοῦ διαβόλου,
Ρωμ. ϛ. ιϐ. ὑπὸ τῆς ἁμαρτίας, ὑπὸ τοῦ θανάτου. πόθεν τοῦτο; λέγει Παῦλος· Ὥσπερ γὰρ ἐβασίλευσεν ἡ
ἁμαρτία ἐν τῷ θνητῷ ἡμῶν σώματι, οὕτω καὶ ἡ χάρις βασιλεύσει διὰ Χριστοῦ. ἰδοὺ ἡ τῆς ἁμαρτίας
Ματθ. ιϐ. κϛ. βασιλεία· ποῦ ἡ τοῦ διαβόλου; ἄκουε τοῦ σωτῆρος λέγοντος· Εἰ ὁ Σατανᾶς τὸν Σατανᾶν
ἐκβάλλει, καθ' ἑαυτοῦ ἐμερίσθη. πῶς οὖν σταθήσεται ἡ βασιλεία αὐτοῦ; ἰδοὺ ἡ τοῦ
Ρωμ. ε. ιδ. διαβόλου βασιλεία· ποῦ ἡ τοῦ θανάτου; ἄκουε Παύλου λέγοντος· Ἐβασίλευσεν ὁ θάνατος
ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως, καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας. ἐπεὶ οὖν ἐκράτει ἡ διαβολικὴ
τριὰς ἡ κατὰ τῆς ἁγίας καὶ ἀχράντου τριάδος τυραννήσασα, τουτέστιν, ὁ διάβολος, ἡ ἁμαρτία, ὁ
θάνατος· καὶ ὁ μὲν διάβολος ἠπάτα, ἡ δὲ ἁμαρτία ἔσφαζεν, ὁ δὲ θάνατος ἔθαπτεν, εὐαγγελίζεται
τοὺς τυραννουμένους ὁ Δαβὶδ, καὶ λέγει, ὥστε ἐξελθεῖν τὸν ζυγὸν τῆς δουλείας, καὶ δέξασθαι τοῦ
Χριστοῦ τὴν ʺ δεσποτείαν κηρυττομένην· ὁ Κύριος ἐβασίλευσε. πέπαυται τοῦ θανάτου ἡ γρ. βασιλ
βασιλεία, πέπαυται τῆς ἁμαρτίας τὸ κράτος, πέπαυται τοῦ διαβόλου ἡ ἐξουσία. ὁ Κύριος ἐβασίλευσεν,
ἀγαλλιάσθω ἡ γῆ. ἀγαλλιᾷν γὰρ ὀφείλει ἡ ποτὲ δεδουλωμένη, καὶ νῦν ἐλευθερωθεῖσα·
ἡ ποτὲ πεπλανημένη, καὶ νῦν δεδοξασμένη· ἡ ποτὲ ἐν τάφοις, καὶ νῦν ἐν θρόνοις· ἡ ποτὲ
ἐν ἀτιμίᾳ, καὶ νῦν ἐν τιμῇ. ὁ Κύριος ἐβασίλευσεν. οὕτω καὶ ἀλλαχοῦ λέγεται (δεῖ γὰρ τὰ
Ψαλ. Ϟϐ. α. συγγενῆ τῶν νοημάτων παράγειν) Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. ἡμεῖς ἐνδυόμεθα
ἔξωθεν ἱμάτιον, ἵνα τὸ ἀπρεπὲς τῆς φύσεως καλύψωμεν· ὁ δὲ Θεὸς, ἵνα τί καλύψῃ τὴν ἀσώματον
φύσιν τὴν φωτὸς γέμουσαν, μᾶλλον δὲ φωτὸς ἀπαστράπτουσαν. ἀλλὰ καλεῖ ἔνδυμα
αὐτοῦ τὸ σῶμα τοῦ Χριστοῦ· ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. εὐπρέπειαν
Ησ. νγ. θ. καλεῖ τὴν σάρκα τοῦ Χριστοῦ. εὐπρεπὴς γὰρ ἦν οὐκ ἔχουσα αἶσχος ἁμαρτίας. Ἁμαρτίαν
γὰρ οὐκ ἐποίησε πώποτε, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. ἐνεδύσατο Κύριος δύναμιν,
καὶ περιεζώσατο. ἐπειδὴ τὸν βασιλέα ζώνη κοσμεῖ, ἔστι δὲ ἡ ζώνη βασιλέως γνώρισμα, καὶ
Ησ. ια. α. κριτοῦ, εἰσάγει αὐτὸν καὶ βασιλεύοντα, καὶ κρίνοντα. λέγει γὰρ Ἡσαΐας· Ἐξελεύσεται ῥάβδος
ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐξ αὐτῆς ἀναβήσεται, καὶ ἀναπαύσεται ἐπ' αὐτὸν πνεῦμα
Θεοῦ, καὶ ἔσται δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ, καὶ ἀληθείᾳ εἰλημμένος τὰς πλευρὰς
αὐτοῦ. τοῦτο τὸ ἔνδυμα τοῦ σωτῆρος, τὸ τῆς σαρκὸς λέγω, κρυφαίως, καὶ ἐν εἰκόνι εἶχεν
ὁ ἀρχιερεὺς ἐν τῷ νόμῳ. καὶ πρόσεχε ἀκριβῶς, πῶς αἱ σκιαὶ τὴν ἀλήθειαν ἡρμήνευσαν,
πῶς οἱ τύποι τοῦ εὐαγγελίου προέλαμπον. λέγω δὲ ἠρέμα, καὶ κατὰ τὸ δυνατὸν συγκαταβαίνων
τῇ ἀκοῇ τῶν ἀκεραίων καὶ τῶν ἀπείρων, ἵνα μὴ ὧδε κἀκεῖσε περιάγωνται. ἐνεδύσατο
ὁ ἀρχιερεὺς εἰσιὼν εἰς τὰ ἅγια τῶν ἁγίων ποδήρη, τουτέστιν, ἱμάτιον ἀπὸ κεφαλῆς μέχρι
ποδῶν ἀπεωρισμένον, ἐπωμίδα, ζώνην, περισκελῆ, πέταλον χρυσοῦν. τί ἄρα τοῦτ' ἐστι,

κρυβελόπιον,

κορυδολύπιον, τὸ λόγιον ἐπὶ τοῦ στήθους, καὶ ὅσα διαγράφει ἡ γραφή, καὶ ἔστιν ἰδεῖν; ἀλλὰ μὴ τὰ σχήματα, ἀλλὰ τὰ νοήματα. οὐ γὰρ πάντως Θεὸς ἀναπαύεται ὑακίνθῳ, καὶ πορφύρᾳ, καὶ κόκκῳ, καὶ βύσσῳ (Θεὸς γὰρ ψυχῶν ἀπαιτεῖ καθαρότητα) ἀλλ' ἐν τοῖς σωματικοῖς ἄνθεσι διαγράφει τῶν ἀρετῶν τὴν εἰκόνα. εἰ γὰρ ἀληθῶς ταῖς στολαῖς ἐκείναις ταῖς ἐνδόξοις ἀνεπαύετο, διὰ τί περὶ τοῦ Ἀαρὼν τὸν Μωϋσῆν οὐκ ἐνέδυσεν; ἀλλ' ἦν Μωϋσῆς καὶ γεγυμνωμένος τῆς ἐσθῆτος ἐκείνης, καὶ ἐνδύων αὐτὴν τοὺς ἱερεῖς. Μωϋσῆς οὐκ ἐλούσθη ὕδατι, καὶ ἔλουεν· οὐκ ἠλείφθη ἐλαίῳ, καὶ ἤλειφεν· οὐκ ἐφόρησεν ἱμάτιον ἱερατικόν, καὶ τοὺς ἱερεῖς ἐνέδυσεν· ἵνα μάθῃς ὅτι τῷ τελείῳ ἀρκεῖ ἡ ἀρετὴ πρὸς κόσμον. λάβε δὲ ἄνωθεν τὸν ἱερέα. ἔστι γὰρ καὶ αὐτὸ τὸ τοῦ ἐνδύματος ὄνομα ἀμφίβολον, καὶ ζητούμενον, τῇ δὲ ἑλληνικῇ γλώσσῃ μεταποιούμενον. λάβε οὖν ἀρχὴν ἀπὸ τῆς κεφαλῆς. πρῶτον τί ἦν; ἡ τιάρα, ἢ τί ὀνομάζει, τὴν μετὰ τὸ περίξενον, τιάρα, αὕτη τοῦ τιάρα ἐστὶ τὸ σχῆμα τοῦ ἐνδύματος. ἐπειδὴ ὁ ἀρχιερεὺς κεφαλὴ ἦν τοῦ λαοῦ, ἔδει δὲ τὸν πάντων κεφαλὴν γινόμενον ἔχειν κατὰ τῆς κεφαλῆς τὴν ἐξουσίαν (ἀπολελυμένη γὰρ αὐθεντία ἀφόρητός ἐστιν· ἔχουσα δὲ ἐπικείμενον τὸ σύνθημα τῆς δεσποτείας, ὑπὸ νόμον ἄγεται) κελεύει οὖν τὴν κεφαλὴν μὴ εἶναι γυμνήν, ἀλλὰ κεκαλυμμένην· ἵνα μάθῃ ἡ κεφαλὴ τοῦ λαοῦ, ὅτι κεφαλὴν ἔχει. διὰ τοῦτο καὶ ἐν τῇ ἐκκλησίᾳ ἐν ταῖς χειροτονίαις τῶν ἱερέων τὸ εὐαγγέλιον τοῦ Χριστοῦ ἐπὶ κεφαλῆς τίθεται, ἵνα μάθῃ ὁ χειροτονούμενος, ὅτι τὴν ἀληθινὴν τοῦ εὐαγγελίου τιάραν λαμβάνει· καὶ ἵνα μάθῃ, εἰ καὶ πάντων ἐστὶ κεφαλή, ἀλλ' ὑπὸ τούτους πράττει τοὺς νόμους, πάντων κρατῶν, καὶ τῶν νόμων κρατούμενος, πάντα λογοθετῶν, καὶ ὑπὸ τοῦ νόμου νομοθετούμενος. διὰ τοῦτο γενναῖός τις τῶν ἀρχαίων, Ἰγνάτιος δὲ ἦν ὄνομα αὐτῷ, τοὺς ἱερωσύνῃ καὶ μαρτυρίῳ διαπρέψας, ἐπιστέλλων τινὶ ἱερεῖ ἔλεγε· Μηδὲν ἄνευ γνώμης σου γινέσθω, μηδὲ σὺ ἄνευ γνώμης Θεοῦ τι πράττε. τὸ τοίνυν, ἔχειν τὸν ἀρχιερέα τὸ εὐαγγέλιον, σημεῖόν ἐστι τὸ ἐπεξουσίαν εἶναι; διὰ τοῦτο λέγει Παῦλος περὶ γυναικὸς ἐχούσης κάλυμμα, ὃ ἦν εἰκὼν ἐξουσίας. ἦν οὖν ἡ τιάρα τὸ σχῆμα τῆς ἐξουσίας· ἦν δὲ τὸ πέταλον τὸ χρυσοῦν, ᾧ ἐπεγέγραπτο τὸ γεγραμμένον, ἐν ᾧ ἐξεπετύπωτο τὸ τοῦ Θεοῦ ὄνομα. καὶ πρῶτον δείκνυσιν ὅτι ἐξουσία Θεοῦ ὄνομα Θεοῦ. μετὰ τὴν τιάραν καὶ τὸ πέταλον, δύο λίθοι ἐπὶ τῶν ὤμων σμαράγδινοι, ἔχοντες τὰς ἓξ φυλὰς ἐντεῦθεν, καὶ τὰς ἓξ ἐντεῦθεν. σημεῖον τοῦτο τῆς ἱερατικῆς ὄψεως. ἀπονέμει δὲ τῷ ἱερεῖ τὸν σμάραγδον δύο ἔχοντα κάλλη. καὶ γὰρ χλωρότητα ἔχει εὐπρεπῆ, καὶ καθαρὸς ὢν κατόπτρου δύναμιν ἐπέχει. ἐπειδὴ οὖν τὸν ἱερέα δεῖ καὶ ἀσκήσει νήφειν, καὶ τὸν βίον κάτοπτρον ἔχειν τοῖς πολλοῖς, βούλεται τῆς ἀρετῆς τὴν εἰκόνα φέρειν τὸν ἱερέα ἐπὶ τῶν ὤμων. διὰ τί ἐπὶ τῶν ὤμων; ἐπειδὴ τὸ τοῦ Θεοῦ ὄνομα ἐπὶ τῆς κεφαλῆς, τὸ ἄριστον ἐπὶ τοῦ ἀρίστου. καὶ διὰ τί ἐπὶ τῶν ὤμων; ἐπειδὴ γὰρ πράξεώς ἐστι σημεῖον. ἡ γὰρ πρακτικὴ δύναμις ἐν τοῖς ὤμοις ἤρτηται. βούλεται οὖν τὸ κάλλος τῆς ἀληθείας ἐπὶ τῶν πράξεων εἶναι. διὰ τοῦτο λέγει ὁ Θεὸς πρὸς τὴν Ἱερουσαλήμ ποτε· Θὲς τὴν καρδίαν σου ἐπὶ τῶν ὤμων σου θυγάτηρ ἠτιμωμένη, ὅτι Κύριος ἔκτισε σωτηρίαν. τὰς χεῖρας καὶ τοὺς ὤμους εἰς πράξεις λαμβάνει ἡ γραφή, ὡς ὅταν λέγῃ περὶ τοῦ Δαβίδ· Καὶ ἐν ταῖς συνέσεσι τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς. καὶ ἡ σύνεσις ἄρα ἐν τοῖς χερσίν ἐστι; ἀλλ' ἐν ταῖς συνέσεσι λέγει αὐτῶν τῶν πράξεων. καὶ ἐπὶ τοῦ στήθους ἐλάμβανεν ὁ ἱερεὺς τὸ λόγιον τοὺς δώδεκα λίθους ἐγκεκαλλυμμένος, τουτέστι, σάρδιον, τοπάζιον, σμάραγδον, ἄνθρακα, σάπφειρον, ἴασπιν, ἰάκινθον, ἀχάτην, ἀμέθυσον, χρυσόλιθον, βυρήλλιον, ὀνύχιον. ἐν τοῖς δώδεκα λίθοις ἐμερίζοντο αἱ δώδεκα φυλαί. βαρὺ τὸ ῥῆμα. ἄνω ἐπὶ τῶν ὤμων μία ἦν ἡ τῶν λίθων φύσις εἰς ὄνομα ἔχουσα, τὸν σμάραγδον· ἐπὶ δὲ τοῦ στήθους κάτω διάφοροι οἱ λίθοι. τί βούλεται τοῦτο; ἐπειδὴ μία φύσις ἡμᾶς ἐγέννησε, διάφοροι δὲ γνῶμαι ἡμᾶς ἐμέρισαν, τὸ μὲν δίδωσι τῇ γνώμῃ, τὸ δὲ τῇ φύσει. ἦν τοίνυν Θεοῦ ὄνομα ἡ πρακτικὴ ἀρετή, ἡ διὰ λόγου καὶ ἀληθείας συνεστῶσα. καὶ ὑπὸ τὸ κράσπεδον τοῦ ἱερέως

Ἱερ. λα. κα.

Ψαλμ. οζ. οβ.

τὸ λεγόμενον λῶμα, ἄνθη, ῥοαὶ καὶ ῥοΐσκοι χρυσοῖ, καὶ κώδωνες. τί ἐβούλετο ταῦτα ἐν τῷ
ἱερεῖ; ἆρα Θεὸς ἀνεπαύετο τούτοις τοῖς ἄνθεσιν; ἆρα ἐβούλετο γήϊνα ἄνθη εἶναι περὶ
τὸν ἱερέα; ἀλλ' ἐν τῷ σχήματι τοῦ ἱερέως ἐξεικονίζει τὰς ἀρετάς. ἄνω ἐπὶ τῆς κε-
φαλῆς ὄνομα Θεοῦ, ἐπὶ τοῦ στήθους λόγος, τὰ κάτω ἄνθη καὶ καρποὶ, τὰ τῶν ἀρε-
τῶν κατορθώματα, ἅτινά ἐστιν ἐλεημοσύνη, δικαιοσύνη, φιλανθρωπία. δεῖ οὖν ἡμᾶς
ἔχειν καὶ τὰ ἀνθοῦντα κάλλη καὶ τὰ πεπληρωμένα. ἄνθη δέ εἰσιν ἱερέως, εὐτυ-
χία, ὁμιλία, " ἄνθος ἀγαθὸν, λόγος χρηστὸς, πίστις, δόξα, ἀλήθεια, δικαιοσύνη· καὶ Ιο. ἄνθη
μεταξὺ τούτων οἱ κώδωνες, ἡ συμφωνία τῶν καλῶν ἔργων. πᾶσα γὰρ ἀρετὴ ἦχον ἀπο-
α. Θεσσ. α. η. τελεῖ. διὸ λέγει Παῦλος, Ἀφ' " ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος τοῦ Θεοῦ; πόθεν δὲ ἤρξατο ὁ ἦχος; γρ. ἡμῶν
Ματθ. θ. λε. Καὶ περιῄει, φησὶν, ὁ Ἰησοῦς διδάσκων πᾶσαν πόλιν, καὶ πᾶσαν κώμην, καὶ θεραπεύων πᾶσαν
νόσον, καὶ πᾶσαν μαλακίαν, καὶ ἐξῆλθεν ἦχος περὶ αὐτοῦ εἰς πᾶσαν τὴν γῆν. πρόσεχε ἀκρι-
βῶς. εἶδες τῶν ἀρετῶν τὸν κόσμον; ἐκεῖνος ὁ ἱερεὺς Χριστοῦ ἦν τύπος. οὐκ ἂν ἠλληγορήσαμεν
ἐνταῦθα, εἰ μὴ ἀφορμὰς ἐλαβόμεθα παρὰ Παύλου. εἰ μὴ Παῦλος ἡρμήνευσε τὴν
δύναμιν τῆς δικαιοσύνης, ἡμεῖς ταῦτα μαθεῖν οὐκ ἠδυνάμεθα. διὰ τοῦτο ποιεῖ Παῦλος
Ἑβρ. θ. κδ. τὸν ἱερέα ἐκεῖνον τύπον τοῦ Χριστοῦ, καὶ λέγει· Οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ
Χριστὸς ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν ἐμφανισθῆναι τῷ προσώπῳ
τοῦ Θεοῦ ὑπὲρ ἡμῶν. στάσις οὖν ἦν τότε ἐν τοῖς τότε Ἰουδαίοις, καὶ ζήτημα ξένον. ἐπεὶ γὰρ
οἱ ἀπόστολοι ἐκήρυττον τὸν σωτῆρα, καὶ βασιλέα, καὶ ἱερέα, καὶ προφήτην, ἐμάχοντο οἱ Ἰου-
δαῖοι, καὶ ἔλεγον τὰ κατὰ νόμον· ἄλλη, φησὶ, φυλὴ βασιλείας, καὶ ἄλλη ἱερωσύνης· ἡ Λευϊτικὴ
φυλὴ ἱερωσύνης, ἡ δὲ Ἰούδα βασιλείας, φησίν. εἰ οὖν ὁ Χριστὸς βασιλεύς ἐστιν, οὐκέτι ἱερεύς·
εἰ δὲ ἱερεύς, οὐκέτι βασιλεύς. Παῦλος μαχόμενος, καὶ πρὸς τὴν ἐκείνων ὑπόνοιαν ἁρμό-
ζων τὸν λόγον, φησί· μὴ γὰρ κατὰ τὴν τάξιν τῆς ὑμετέρας ἱερωσύνης ἀνέστη Χριστός; παρ' ὑμῖν
Ψαλ. ρθ. δ. διήρηται βασιλεία, καὶ ἱερωσύνη· ἐν δὲ τῷ Χριστῷ συνῆπται. Σὺ γὰρ ἱερεὺς, φησιν, εἰς τὸν
αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. διὰ τοῦτο συλλογίζεται, καὶ λέγει· εἰ γὰρ ἡ πρώτη
ἱερωσύνη ἦν ἄμεμπτος, τίς χρεία λεχθῆναι κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀνίστασθαι ἱερέα, καὶ
οὐ κατὰ τὴν τάξιν Ἀαρών; μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις
γίνεται. ἀρχιερεὺς τοίνυν ὁ σωτὴρ ἡμῶν, οὐ κατὰ τὸν τῆς θεότητος λόγον, ἀλλὰ κατὰ τὸν τῆς σαρκὸς
Ἑβρ. ε. ια. τύπον. ἄνω σύνθρονος Θεοῦ δι' ἡμᾶς, καὶ ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ· Περὶ
οὗ πολὺς ὁ λόγος, ἀλλ' οὐ τοῦ παρόντος. πρόσεχε παρακαλῶ. ἦν ἐν τῷ νόμῳ ὁλοκαυτώ-
ματα, θυσία περὶ ἁμαρτίας, προσφορά· ἐλθὼν ὁ σωτὴρ παύει τὰς τυπικὰς προσφορὰς,
Ἑβρ. ι. ε. καὶ ποιεῖ τὸ σῶμα τὸ ἴδιον ἀντὶ πάσης θυσίας. λέγει Παῦλος περὶ τοῦ σωτῆρος· Διὸ εἰσερ-
Ψαλ. λθ. ζ. χόμενος εἰς τὸν κόσμον λέγει, θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω
μοι. ὁλοκαυτώματα, καὶ " περὶ ἁμαρτίας οὐκ εὐδόκησας. τότε εἶπον, ἰδοὺ ἥκω, ἐν κεφα- γρ. περὶ ἁμαρ-
λίδι βιβλίου γέγραπται περὶ ἐμοῦ. εἰπὼν τὴν προφητείαν Παῦλος, καὶ εἰρηκὼς, ὅτι τίας.
θυσίαν, καὶ προσφορὰν, καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας, τότε εἶπον, ἰδοὺ ἥκω. ἀναιρεῖ τὸ
πρῶτον, ἵνα τὸ δεύτερον στήσῃ: καὶ ποῦ ἡ θυσία, καὶ ἡ προσφορὰ εὑρίσκεται ἐν τῷ σώματι τοῦ
Ἐφ. ε. α. Χριστοῦ; καθὼς λέγει ὁ ἀπόστολος Παῦλος· Παρακαλῶ ὑμᾶς, ἀδελφοὶ, διὰ τῶν οἰκτιρ- γρ. [illegible]
μῶν τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητὰ, " περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν
ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν θυσίαν καὶ προσφορὰν τῷ Θεῷ εἰς ὀσμὴν εὐωδί-
ας. διὰ σὲ ἀρχιερεὺς, δι' ἑαυτοῦ Θεός. μὴ μετάβαλλε ῥήματα Θεοῦ ζῶντος. εἰς πατέ-
ρα, καὶ υἱὸν, καὶ ἅγιον πνεῦμα ἐβαπτίσθης· τί ἀναιρεῖς τὰ ὀνόματα τὰ ζῶντα, καὶ εἰσάγεις ὀνό-
ματα λογισμῶν γεννήματα, λέγων, ἀγέννητος καὶ γεννητὸς, κτιστὸς καὶ ἄκτιστος, ὢν ἀεὶ, καὶ μὴ ὢν
ἀεί; τούτων ἀνέχεται Θεὸς τῶν ματαίων ῥημάτων; ἓν ῥῆμα ἵνα μεταβάλλῃ προφήτης, ποτὲ
κινδυνεύσει ἀπολέσθαι. καὶ βλέπε ῥήματος μικροῦ ἀκριβολογίαν. τὰ ῥήματα τῶν προ-

φητῶν τινες ἐκάλουν ἀπὸ ἀπειλῆς, λῆμμα Κυρίου. λέγει ὁ Θεὸς διὰ Ἱερεμίου· Ἐὰν Ἱερ. κγ. λγ.
ἐρωτήσῃ σε ὁ λαὸς, ἢ ὁ ἱερεὺς, ἢ ὁ προφήτης, καὶ εἴπῃ σοι, τί τὸ λῆμμα; εἰπὲ αὐτοῖς
ὅτι τὸ λῆμμα Κυρίου ὑμεῖς ἐστε. λήψομαι γὰρ ὑμᾶς λῆμμα, καὶ ῥάξω ὑμᾶς, ἵνα
μὴ λέγητε λῆμμα. ἓν ῥῆμα ἵνα μεταποιηθῇ, ἀπειλεῖ ὁ Θεός· καὶ σὺ ὁλόκληρον δογμάτων ἀκρίβειαν διαστρέφεις, πάθους ὄνομα περιγραφόμενος, ψόγου ἀξίαν ἀρνούμενος, πνεύματος ἁγίου δόξαν ἀθετῶν; ἆρα διαφεύξῃ τὰς τοῦ Θεοῦ χεῖρας; βαρὺ καὶ φοβερὸν διαστρέψαι λόγια Θεοῦ ζῶντος, Κυρίου τοῦ Θεοῦ ἡμῶν. λόγων διαστρεφομένων ἀγανακτεῖ Θεός· δογμάτων διαστρεφομένων οὐκ ἀγανακτεῖ; μὴ σοφώτερος εἶ τοῦ σωτῆρος; μὴ ἀκριβέστερος εἶ τοῦ εὐαγγελίου; φοβήθητι κρίμα Θεοῦ, φοβήθητι ἐκεῖνο τὸ φοβερὸν ὄνομα, καὶ ἀπόδυσαι τὴν κακίαν, καὶ ἀνάλαβε τὴν μετάνοιαν, καὶ ἐγγυᾶταί σοι ἡ πίστις τὴν σωτηρίαν. μετάνοια γὰρ σωτηρίαν ποιεῖ καὶ τῶν ἐν αἱρέσει, καὶ τῶν ἐν κακαῖς πράξεσι τυγχανόντων. μετάνοια ῥίζα θεοσεβείας. μετανοήσωμεν, δυσωπήσωμεν τὸν Θεὸν τῇ μετανοίᾳ· ἵνα καὶ πολέμους ἀφανίσῃ, καὶ βαρβάρους σβέσῃ, καὶ τῶν ἐχθρῶν τὰς ἐπαναστάσεις θραύσῃ, καὶ δῴη ἡμῖν πλοῦτον τῶν ἀγαθῶν τὸν ἀπόκλειστον. πολὺ Θεὸν ἐξιλεοῦται μετάνοια, ὅταν τις γνησίως
προσδράμῃ τῇ μετανοίᾳ. διὰ τί λέγω· μετενόησε καὶ ἐδάκρυσε. λέγει ὁ Θεός· Ἀκούων ἤκου- Ἱερ. λα. ιη.
σα τοῦ στεναγμοῦ Ἐφραὶμ ὀδυρομένου καὶ λέγοντος· ἐπαίδευσάς με, Κύριε, καὶ οὐκ ἐπαιδεύθην, ἀλλ' ἐγενόμην ὡς μόσχος ἀδίδακτος. ἐπίστρεψόν με, καὶ ἐπιστραφήσομαι. καὶ τί πρὸς αὐτὸν ὁ Θεός; Ἀνθ' ὧν οἱ λόγοι μου εἰσὶν ἐν αὐτῷ, οὐ μὴ ἀναμιμνησθήσομαι αὐτοῦ, καὶ ἐλεήσω αὐτόν. μηδείς σε πτοείτω, μὴ φήμη, μὴ βαρβάρων ψόφος, μὴ ὁμίχλη πολλή. κἂν ἀναρίθμητοι ὦσιν οἱ πολέμιοι τῷ πλήθει, ὁ ἡμέτερος σύμμαχος ἰσχυρότερος. ἐὰν δειλι-
άσῃς τὸ πλῆθος ὑφορώμενος, λέγει πρὸς σὲ Ἐλισσαῖος ὁ προφήτης, Μὴ φοβοῦ, πλείους εἰ- δ. Βασ. ϛ. ιϛ.
σὶν οἱ μεθ' ἡμῶν, ἢ οἱ μετ' αὐτῶν. ἐκεῖ βαρβάρων πλῆθος, ὧδε ἀγγέλων φάλαγξ. τῶν εὐσεβῶν συμμαχεῖ εὐαγγελικὸς στρατὸς, προφητῶν χορὸς, ἀποστόλων δύναμις, μαρτύρων πρεσβεία. μὴ νομίσῃς, ὅτι μάρτυρες μόνοι πρεσβεύουσιν ὑπὲρ ἡμῶν, ἀλλὰ καὶ ἄγγελοι ἐν ταῖς θλίψεσιν ἱκετεύουσι τὸν Θεόν· καὶ οὐ μόνον ἱκετεύουσιν, ἀλλὰ καὶ ἀπόκρισιν δέχονται παρὰ τοῦ
εὐεργέτου. λέγει Ζαχαρίας ὁ προφήτης· Καὶ ἀπεκρίθη ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ, καὶ Ζαχ. α. θ. ιϛ.
εἶπε πρὸς Κύριον· αὕτη ἡ εὐχὴ τοῦ ἀγγέλου· Κύριε παντοκράτωρ, ἕως πότε οὐ μὴ ἐλεήσῃς τὴν Ἱερουσαλὴμ, καὶ τὰς πόλεις Ἰούδα, ἃς ὑπερεῖδες τοῦτο ἑβδομηκοστὸν ἔτος; τί οὖν; ἀπε-
πέμψατο ὁ Θεὸς τὴν πρεσβείαν τοῦ ἀγγέλου; μὴ γένοιτο· ἀλλὰ τί; Ἀπεκρίθη, φησὶ, Κύ- Ζαχ. α. ιγ.
ριος πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοὶ ῥήματα παρακλητικὰ, καὶ λόγους παρακλητικούς. παρακαλέσωμεν τὸν τῶν ἀγγέλων δεσπότην, καὶ ἕνα ἄγγελον ἀποστελεῖ, καὶ πᾶσαν τὴν ἐναντίαν τὴν φάλαγγα σκορπίσει. ἐγὼ καὶ τὴν κηρόχυτον γραφὴν ἠγάπησα εὐσεβείας
πεπληρωμένην. εἶδον ἐν εἰκόνι ἄγγελον ἐλαύνοντα νέφη βαρβάρων, εἶδον πατούμενα
βαρβάρων φῦλα, καὶ τὸν Δαβὶδ ἀληθεύοντα· Κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξ- Ψαλ. οβ. κ.
ουδενώσεις. λεγέτω καὶ νῦν περὶ ἡμῶν ὁ μακάριος Δαβίδ· Γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος, καὶ Ψαλ. λδ. ϛ.
ὀλίσθημα, καὶ ἄγγελος Κυρίου καταδιώκων αὐτούς. οἶδεν ὁ Θεὸς διαφόρους ἀφορμὰς παρέχειν πρὸς τὴν τῶν πολεμίων καθαίρεσιν. πολλή ποτε ἡ παράταξις τοῦ Σενναχηρεὶμ βασι-
λέως τῶν Ἀσσυρίων, καὶ εἷς ἄγγελος ἀποσταλεὶς, ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας ἔστρω- δ. Βασ. ιθ.
σεν. ἡμεῖς οἱ ἄνθρωποι ἀνθρωπίνοις λογισμοῖς μετροῦμεν τὰ συμβαίνοντα, καὶ λέγομεν καθ' ἑαυτούς· τί γὰρ, ἐὰν μὴ εὑρεθῇ στρατιώτης ἐν τοῖς μέρεσι τούτοις; ἐὰν πρὶν ἢ φθάσῃ ὁ στρατηγὸς, πάντας πορθήσωσι, τί ποιήσομεν; μὴ γὰρ ἐπειδὴ σὺ παραλαμβάνῃ, καὶ Θεὸς παραλαμβάνεται; μὴ γὰρ ἐπειδὴ σὺ οὐκ εἶ πανταχοῦ, Θεὸς οὐκ ἔστι πανταχοῦ; μὴ γὰρ ὃ μὴ δύναται Θεὸς, ὃ γὰρ οὐ δύναται; ἡ ἄψυχος θάλασσα ὑπήκουσε, καὶ ἐστύθησεν, οἱ ἄλογοι ἰχθύες ὑπήκουσαν τῇ ἄγρᾳ Πέτρου· καὶ ἄγγελος, ἐὰν κελευσθῇ, ὅλους οὐκ ἀφανίζει τοὺς ἐχθροὺς τῆς ἀληθείας; μόνον πιστεύσωμεν,

νήψωμεν, μόνον παρακαλέσωμεν, μόνον ἱκετεύσωμεν. ἐνόμισέ τις ἐν τοῖς ἀρχαίοις στρατηλάτης ἄριστος (λέγω δὴ κοινῷ ὀνόματι, ἵνα πᾶσι κατάδηλος γένηται) ἐνόμισέ τις στρατηγὸς τῶν

Ψαλ. πβ. ι.

ἀλλοφύλων ὁ Σισάρα· μέμνηται γὰρ αὐτοῦ ὁ Δαβὶδ λέγων· Ποίησον αὐτοῖς ὡς τῇ Μαδιὰμ καὶ τῷ Σισάρᾳ, ὡς τῷ Ἰαβεὶμ ἐν τῷ χειμάῤῥῳ Κισσῶν. ὁ Ἰαβεὶμ βασιλεὺς ἦν τῶν ἀλλοφύλων, ὁ Σισάρα ἀρχιστράτηγος. ἦν αὐτῷ ἅρματα σιδηρᾶ ὀκτακόσια, καὶ πλῆθος ἄπειρον. ἐφοβήθη ὁ λαὸς τῶν Ἰουδαίων, εἶδε τὸ νέφος, καὶ ἔφριξε. τί οὖν ὁ φιλάνθρωπος Θεὸς

Κριτ. δ. θ.

λέγει διὰ τῆς προφήτιδος Δεβώρας τῆς ὑπερμάχου τῆς εὐσεβείας; Μὴ φοβηθῇς· ἰδοὺ παραδίδωσί σοι αὐτὸν Κύριος εἰς τὰς χεῖράς σου, καὶ ἔσται τὸ κατόρθωμα οὐ τῆς χειρός σου, ἀλλ' εἰς χεῖρας γυναικός. βλέπε πῶς ὁ Θεὸς τὴν ἀλαζονείαν ἐκόλασεν. ἄνδρες οὐχ ὑπέστησαν, καὶ γυνὴ ἐστρατήγησεν. εἰσῆλθεν ὁ Σισάρα φεύγων πρὸς τὴν γυναῖκα Ἰαὴλ λεγομένην, καὶ καύσωνι ἀπειλημμένος αἰτεῖ παρ' αὐτῆς ὕδωρ· ἡ δὲ ποτίζει αὐτὸν γάλα. ὅρα σοφίαν γυναικός. ἐπειδὴ γὰρ ἦν καταψυκτικὸν τὸ γάλα, καὶ εἰς ὕπνον προσκαλούμενον, ποτίζει αὐτὸν γάλα· ἵνα ἀληθεύσῃ ἡ γραφὴ ἡ λέγουσα, Ὕδωρ αὐτὴν ᾔτησε, καὶ γάλα ἔδωκεν, ἵνα καὶ ποτίσῃ, καὶ κοιμήσῃ. εἶτα κοιμηθέντος τοῦ ἀλλοφύλου ἔλαβε, φησίν, ἡ γυνὴ ἐκείνη πάσσαλον, καὶ σφῦραν, καὶ ἐπέδραμε τῷ πολεμίῳ. καὶ ὅρα σοφίαν γυναικός· διὰ τί οὐκ ἔλαβε ξίφος ἢ μάχαιραν, ἀλλὰ πάσσαλον; ἐφοβήθη ὡς γυνή, μὴ ἔξυπνος γενόμενος καταλάβῃ αὐτὴν κατέχουσαν ξίφος. διὰ τοῦτο οὐ λαμβάνει ὅπλον ἀνδρός, ἀλλ' ἐπιτήδευμα γυναικεῖον. ἔθος γὰρ ταῖς διεζωσμέναις γυναιξὶ πάσσαλον καταπηγνύειν ἐν τῷ τοίχῳ, καὶ οὕτω μετιέναι τὴν ἰδίαν ἐργασίαν. κατασκευάζει οὖν ἀπὸ τοῦ ἀνυπόπτου ὁδὸν διαπέραν. ἐπειδὴ δὲ ὁ Θεὸς συνήργησε (καὶ Θεοῦ ἦν ἔργον πληρῶσαι τὰ τῆς προφητείας. οὐ γὰρ ἦν ἐκείνης τὸ στρατήγημα, ἀλλὰ Θεοῦ τὸ ἀπόφθεγμα, Ἐν χειρὶ γὰρ γυναικὸς ἔσται ὁ θάνατός σου) συνήργησε Θεὸς ὕπνῳ δήσας τὸν ἀλάστορα, καὶ λαβοῦσα ἡ γυνὴ τὸν πάσσαλον καὶ τὴν σφῦραν, διήλασε κατὰ τοῦ κροτάφου αὐτοῦ οὕτως ἰσχυρῶς, ὡς καὶ τῆς γῆς ἅψασθαι· καὶ οὕτω μεταξὺ τῶν ποδῶν τῆς γυναικὸς ἀπέθανε. μὴ λείπει τῷ Θεῷ πρόφασις, καὶ ὅτε βούλεται, οὐκ ἐμποδίζει τὸ μὴ παρεῖναι συμμαχίαν. Θεοῦ ὅπλον, Θεοῦ στρατιώτης, Θεοῦ δύναμις, ἰδίωμα μόνου Θεοῦ. τῷ Χριστῷ τοῦτο εἴπωμεν· Εἰπὲ λόγῳ, καὶ σκορπισθήσονται οἱ ἐχθροί σου· εἰπὲ λόγῳ, καὶ ἐλεήσεις τὴν πόλιν σου· εἰπὲ λόγῳ, καὶ οἰκτειρήσεις τὸν κόσμον σου. εἴπωμεν αὐτῷ, Ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν, καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν. θέλεις μαθεῖν καὶ ἄλλης γυναικὸς

Κριτ. θ.

στρατήγημα, ἐπειδὴ τοῦτο ἠθέλησεν ὁ Θεός; ἄλλος τις ἦν Ἀβιμελὲχ ὄνομα ἀνελὼν ἑαυτοῦ ἀδελφοὺς ἑβδομήκοντα, καὶ κρατήσας ἀπὸ τῆς τοιαύτης ἀδελφοκτονίας πάντα τὸν λαὸν εἶχεν ὑποχείριον, συνεπάλαισέ τινι πόλει τειχομαχῶν· καὶ πάντων ναρκησάντων πρὸς τὴν θέαν τοῦ πολέμου, πάλιν ὁ Θεὸς γυναικὸς χεῖρα νευρώσας ποιεῖ τινα γυναῖκα φανῆναι ἐκ τοῦ τείχους, ἥτις κλάσμα μύλου λαβοῦσα ἐπέῤῥιψε τῇ κεφαλῇ τοῦ τυράννου, καὶ συνέτριψεν αὐτοῦ τὸ κρανίον. καὶ ὅρα τοῦ ὑπερηφάνου τὴν ἄμετρον κακίαν συναποθανοῦσαν. λέγει τῷ παρεστῶτι δορυφόρῳ· σπάσαι τὴν μάχαιράν σου, καὶ πλῆξόν με, ἵνα μὴ εἴπωσι, γυνὴ αὐτὸν ἀπέκτεινε. τὸ σῶμα αὐτοῦ ἀπέθνησκε, καὶ ἡ ὑπερηφανία ἔμενεν· ἀπετίθετο τὴν ζωήν, καὶ οὐκ ἀπετίθετο τὴν κενοδοξίαν. καὶ νῦν οὐ λείπει τῷ Θεῷ Δεβώρα, οὐ λείπει τῷ Θεῷ Ἰαήλ. ἔχομεν καὶ ἡμεῖς τὴν ἁγίαν παρθένον καὶ θεοτόκον Μαρίαν πρεσβεύουσαν ὑπὲρ ἡμῶν. εἰ γὰρ ἡ τυχοῦσα γυνὴ ἐνίκησε, πόσῳ μᾶλλον ἡ τοῦ Χριστοῦ μήτηρ καταισχύνει τοὺς ἐχθροὺς τῆς ἀληθείας. πανοπλίαν ἐνδυόμενος ὁ ἐχθρὸς ἐνόμισε γυναῖκα εἶναι χλευαζομένην, καὶ εὗρε στρατηγὸν ἀγωνιζόμενον· οὐκ ἐνόμισε μνήματι ἀπολέσθαι, καὶ εὑρέθη αὐτῷ τάφος· νεκρὰν ἐνόμισε, καὶ ἐνεκρώθη ὑπ' αὐτῆς. ἔχομεν τὴν δέσποιναν ἡμῶν τὴν ἁγίαν Μαρίαν τὴν θεοτόκον. ἀλλὰ χρεία καὶ ἀποστόλων. εἴπωμεν

Πραξ. ιϛ. θ.

Παύλῳ, καθὼς εἶπον οἱ τότε, Διαβὰς εἰς Μακεδονίαν βοήθησον ἡμῖν. ἔχομεν ἀποστόλους· μὴ ναρκήσωμεν. ἔχομεν τὴν δέσποιναν ἡμῶν τὴν θεοτόκον τὴν ἁγίαν ἀειπάρθενον Μαρίαν· μὴ ὀκνήσωμεν. ἔχομεν τὸν χορὸν τῶν μαρτύρων· μὴ ῥαθυμήσωμεν. μὴ μόνον ἱκετεύσωμεν, ἀλλ', εἰ δοκεῖ, καὶ νηστεύσωμεν. βέλτιον νηστεῦσαι νηστείαν πόθου, καὶ μὴ νηστείαν λιμοῦ· βέλτιον νηστείαν ἀγάπης, καὶ μὴ νηστείαν ἀνάγκης. λέγει ὁ σωτὴρ περὶ τῶν δαιμόνων· Τὸ γένος τοῦτο οὐκ ἐκπορεύεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ. δαίμονας φυγαδεύει εὐχὴ καὶ νηστεία, καὶ βαρβάρους οὐκ ἐλαύνει; καὶ ἤδη εἶπον, καὶ πάλιν λέγω· παρακαλέσωμεν τὴν ἁγίαν ἔνδοξον παρθένον καὶ θεοτόκον Μαρίαν· παρακαλέσωμεν τοὺς ἁγίους καὶ ἐνδόξους ἀποστόλους· παρακαλέσωμεν τοὺς ἁγίους μάρτυρας. ἐάν τις ἐν ἀνάγκῃ καταστὰς προσδράμῃ τινὶ τῶν δυνατῶν, οὐ προσέχει αὐτῷ γνησίως. πρὸ δὲ ἀνάγκης, φησὶν, οὐκ ἦλθες με τιμῆσαι ἢ θεραπεῦσαι, ἀλλ' ἐν τῇ ἀνάγκῃ. ἀνύποπτος εἰμὶ ἡ ἔξω ἀνάγκης. ἐὰν πρὸ ἀνάγκης θεραπεύσῃς τοὺς δικαστὰς, ἐν τῇ ἀνάγκῃ εὑρήσεις συμμάχους. οἶδε γὰρ ὅτι οὐχ ἡ ἀνάγκη, ἀλλ' ὁ πόθος σε ἤγαγε. γενώμεθα τῶν μαρτύρων μὴ ἐν τῇ ἀνάγκῃ φίλοι, ἀλλ' ἐν τῇ ἀγάπῃ πρὸ χειμῶνος· ὡς ἐν χειμῶνι λυπηθῶμεν, ἵνα ἐν καιρῷ χειμῶνος τὸ ἔαρ εὕρωμεν. ταῦτα λέγομεν οὐκ αὐθεντοῦντες, ἀλλὰ παρακαλοῦντες· οὐ νομοθετοῦντες, ἀλλὰ δυσωποῦντες. ἱκετεύομεν πάντας νῆψαι· ἱκανὸς δὲ ὁ Θεὸς ὑπὲρ πᾶσαν πίστιν, ὑπὲρ πάντα λόγον, καὶ τοὺς ἐχθροὺς καταισχῦναι, καὶ τὴν οἰκουμένην ἐλεῆσαι, καὶ τοὺς βασιλεῖς τιμῆσαι, καὶ τὴν βασιλείαν στῆσαι, καὶ τὴν αὐτοῦ δόξαν φαιδρῦναι, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ματθ. ιζ. κα.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΑΠΟΔΕΙΞΙΣ ΤΟΥ ΧΡΗΣΙΜΩΣ ΤΑΣ ΠΕΡΙ ΧΡΙΣΤΟΥ καὶ ἐθνῶν καὶ τῆς ἐκπολιώσεως Ἰουδαίων προφητείας ἀσαφεῖς εἶναι.

Λογ. α.

Προφητικὴν σήμερον ὑμῖν παραθεῖναι βούλομαι τράπεζαν, καὶ πρὸς τὸ πέλαγος τῆς Ἡσαΐου σοφίας ἐπαφεῖναι τὸν λόγον παρασκευάζομαι. ἀλλὰ τί πάθω; ὀκνῶ καὶ δέδοικα, μήποτε τοὺς λιμένας ἐξελθόντες, καὶ πρὸς τὸ βάθος κατατολμήσαντες τῶν προφητικῶν νοημάτων, ἰλιγγιάσωμεν· ὅπερ πάσχουσιν οἱ τῶν πλωτήρων ἀήθεις. καὶ γὰρ ἐκεῖνοι, ἐπειδὰν τὴν γῆν ἀφέντες, ἐξ ἑκατέρου μέρους τῆς νηὸς πέλαγος ἴδωσι, καὶ οὐδὲν ἕτερον, ἀλλ' ἢ θάλατταν καὶ οὐρανὸν, σκοτοδινίᾳ κατέχονται, καὶ περιφέρεσθαι τὸ πλοῖον αὐτοῖς κύκλῳ νομίζουσι μετὰ τῆς θαλάττης. ἀλλ' οὐ παρὰ τὴν φύσιν τῆς θαλάττης, ἀλλὰ παρὰ τὴν ἀπειρίαν τῶν πλεόντων οἱ ἴλιγγοι γίνονται. ἐπεὶ οἱ γοῦν τῶν ναυτῶν γυμνοῖς τοῖς σώμασι κυβιστῶσι κατὰ τῶν κυμάτων, καὶ οὐδὲν πάσχουσι τοιοῦτον· ἀλλὰ πρὸς τὸ βάθος καταδύντες αὐτὸ, τῶν ἐν ἐδάφει διαιτωμένων ἀσφαλέστερον διατελοῦσι· καὶ τῷ στόματι, καὶ τοῖς ὀφθαλμοῖς, καὶ παντὶ τῷ σώματι δεχόμενοι τὴν ἅλμην, οὐ δυσχεραίνουσι. τοσοῦτόν ἐστι μελέτη καλόν· τοιοῦτόν ἐστιν ἀπειρία κακόν. οὕτως αὐτὴ καὶ τῶν φοβερῶν καταφρονεῖν πείθει, ἐκείνη δὲ καὶ τὰ ἀσφαλῆ ὑποπτεύειν καὶ δεδοικέναι παρασκευάζει. οἱ μὲν γὰρ ἐφ' ὑψηλῶν τῶν ἰκρίων καθήμενοι τῆς νηὸς, καὶ πρὸς τὴν θέαν ἰλιγγιῶσιν· οἱ δὲ οὐδὲ ἐν μέσοις θορυβοῦνται τοῖς κύμασι. τοῦτο καὶ ἐπὶ τῆς διανοίας γίνεται τῆς ἡμετέρας. καὶ γὰρ καὶ ταύτην πολλάκις καταλαμβάνει κύματα παθῶν τῶν θαλαττίων ἀγριώτερα, οἷον ζάλη θυμοῦ κάτωθεν στρέφουσα τὴν καρδίαν, πνεύματα ἐπιθυμίας πονηρᾶς πολλὴν ποιοῦντα τῇ διανοίᾳ τὴν σύγχυσιν. ἀλλ' ὁ μὲν ἄπειρος καὶ ἀμελέτητος, ἐρχομένου τοῦ χειμῶνος τῆς ὀργῆς, εὐθέως θορυβεῖται, ταράττεται, κλονεῖται, περιφορᾷ γινομένῃ ὑποβρύχιον τὴν ψυχὴν ὑπὸ τῶν παθῶν καὶ ναυάγιον ὑπομένουσαν· ὁ δὲ ἔμπειρος καὶ μεμελετηκὼς τὰ τοιαῦτα φέρειν γενναίως, καθάπερ κυβερνήτην ἐπὶ τῶν οἰάκων, οὕτω τὸν λογισμὸν ἐπάνω τῶν παθῶν καθίσας, οὐ πρότερον ἀφίσταται πάντα ποιῶν, ἕως ἂν κατευθύνῃ τὸ σκάφος πρὸς τὸν εὔδιον τῆς φιλοσοφίας λιμένα. ὅπερ οὖν ἐπὶ τῆς θαλάττης ἐστὶ, καὶ ἐπὶ τῆς διανοίας συμβαίνει, τοῦτο καὶ ἐν τῇ ἐξηγήσει τῶν γραφῶν συμπίπτει. ἀνάγκη θορυβεῖσθαι, ταράττεσθαι, ἐπειδὰν ἐξέλθωμεν εἰς τὸ πέλαγος· οὐκ ἐπειδὴ τὸ πέλαγος φοβερὸν, ἀλλ' ἐπειδὴ ἡμεῖς οἱ πλέοντες ἄπειροι. ὅτι γάρ ἐστιν εὔκολα φύσει λόγῳ ὄντα, δύσκολα γίνεσθαι παρὰ τὴν ἀπειρίαν τῶν ἀκουόντων, Παῦλον ὑμῖν παραστήσομαι μάρτυρα. εἰπὼν γὰρ ὅτι Χριστὸς ἐγένετο ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδὲκ, καὶ ζητῶν τίς ἐστιν ὁ Μελχισεδὲκ, ἐπήγαγε· Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος. Ἑβρ. ε. ϛ. Ψαλ. ρθ. δ. Ἑβρ. ε. ια. τί λέγεις, ὦ μακάριε Παῦλε; δυσερμήνευτός σοι τῷ πνευματικὴν ἔχοντι σοφίαν; τῷ τὰ ἀπόρρητα ῥήματα ἀκούσαντι; τῷ πρὸς τρίτον ἁρπαγέντι οὐρανόν; εἰ σοὶ δυσερμήνευτος, τίνι καταληπτός; ἐμοί, φησι, δυσερμήνευτος, οὐ παρὰ τὴν οἰκείαν δυσκολίαν, ἀλλὰ παρὰ τὴν ἀσθένειαν τῶν ἀκουόντων. εἰπὼν γὰρ, δυσερμήνευτος, ἐπήγαγεν, Ἐπειδὴ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. ὁρᾷς ὅτι οὐχ ἡ φύσις τοῦ λόγου, ἀλλ' ἡ ἀπειρία τῶν ἀκουόντων, δύσκολον τὸν οὐ δύσκολον ἐποίησεν; οὐ μόνον δὲ δύσκολον, ἀλλὰ καὶ πολὺν ποιεῖ τὸν βραχὺν ἡ αὐτὴ αἰτία. διόπερ οὐχὶ δυσερμήνευτον ἔφησεν εἶναι μόνον, ἀλλὰ καὶ πολὺν, καὶ τοῦ μήκους, καὶ τῆς δυσκολίας ἀναθεὶς τὴν αἰτίαν τῇ νωθρότητι τῆς ἀκοῆς. καθάπερ γὰρ ἐπὶ τῶν ἀρρωστούντων οὐκ ἀναγκαῖον σύντομον καὶ ἐρρυθμισμένην παραθεῖναι τράπεζαν, ἀλλὰ δεῖ παρασκευάσαι τὰ σιτία διάφορα, ἵνα ἂν τοῦτο ὁ κάμνων μὴ βουληθῇ μεταλαβεῖν, τὸ ἕτερον λάβῃ· κἂν ἐκεῖνο μὴ προσῆται, τὸ ἄλλο δέξηται· κἂν τοῦτο διακρούσηται, ἐπιλάβηται θατέρου, καὶ τῇ ποικιλίᾳ τῶν βρωμάτων τὴν δυσκολίαν νικήσωμεν, καὶ τῷ πολυτρόπῳ τῆς τραπέζης τὸ δυσάρεστον τῆς γνώμης θεραπεύσωμεν· οὕτω πολλάκις καὶ ἐπὶ τῆς πνευματικῆς ἑστιάσεως χρὴ ποιεῖν. ὅταν ἀσθενεῖς ὦμεν, πολὺν παρασκευάσασθαι χρὴ τὸν λόγον καὶ ποικίλον, παραβολὰς καὶ παραδείγματα ἔχοντα, κατασκευὰς καὶ περιόδους, καὶ ἕτερα πολλὰ τοιαῦτα, ἵνα ἐκ πάντων ῥᾳδία γένηται ἡμῖν τῶν συμφερόντων ἡ αἵρεσις. πλὴν ἀλλ' εἰ καὶ πολὺς ὁ λόγος καὶ δυσερμήνευτος, οὐκ ἀπεστέρησεν αὐτοὺς τῆς διδασκαλίας τοῦ Μελχισεδὲχ, τῷ μὲν [γὰρ] εἰπεῖν, πολὺς καὶ δυσερμήνευτος, ἀναστήσας αὐτῶν τὴν σπουδὴν, ἵνα προθυμότεροι γένωνται περὶ τὴν ἀκρόασιν· τῷ δὲ παρασχεῖν τὴν τράπεζαν, χαρισάμενος αὐτῶν τῇ ἐπιθυμίᾳ. τοῦτο δὴ καὶ ἡμεῖς ποιήσωμεν. εἰ καὶ ἄπειρον τὸ πέλαγος τῶν προφητῶν, καὶ πολλὰ ἐκεῖ τὰ βάθη, κατατολμήσωμεν τῆς θαλάττης κατὰ τὴν ἡμετέραν δύναμιν· μᾶλλον δὲ μὴ κατὰ τὴν ἡμετέραν δύναμιν, ἀλλὰ κατὰ τὴν ἄνωθεν δεδομένην ἡμῖν χάριν, οὐ διὰ τὴν ἡμετέραν παῤῥησίαν, ἀλλὰ διὰ τὴν ὑμετέραν ὠφέλειαν κατατολμήσωμεν τῆς θαλάττης, καὶ τοῦτο Παῦλον μιμούμενοι. ὅτι γὰρ οὐκ ἀπεστέρησεν αὐτοὺς τοῦ λόγου τοῦ κατὰ τὸν Μελχισεδὲκ, ἄκουσον τῶν ἑξῆς. Ἑβρ. ζ. α. εἰπὼν γοῦν, περὶ οὗ πολὺς ὁ λόγος καὶ δυσερμήνευτος, ἐπήγαγεν· Οὗτος γὰρ ὁ Μελχισεδὲκ, βασιλεὺς δικαιοσύνης· ἔπειτα δὲ καὶ βασιλεὺς Σαλὴμ, ὅ ἐστι βασιλεὺς εἰρήνης, ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων· ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ Θεοῦ, μένει ἱερεὺς εἰς τὸ διηνεκές. ἆρα οὐκ ἐτάραξεν ὑμῶν τὰς ἀκοὰς, περὶ ἀνθρώπου διαλεγόμενος ὁ Παῦλος καὶ λέγων, ἀπάτωρ, ἀμήτωρ; καὶ τί λέγω περὶ ἀνθρώπου; εἰ γὰρ περὶ τοῦ Χριστοῦ λέγοιτο τοῦτο, οὐκ ἂν πολλὴν καὶ οὕτως ἡμῖν παρέχοι ζήτησιν; εἰ γὰρ ἀπάτωρ, πῶς υἱός; εἰ ἀπάτωρ, πῶς μονογενής; ὁ γὰρ υἱὸς ὀφείλει πατέρα ἔχειν, ἐπεὶ οὐκ ἂν εἴη υἱός. ἀλλὰ καὶ ἀπάτωρ ἐστὶν ὁ υἱὸς τοῦ Θεοῦ, καὶ ἀμήτωρ. πῶς; ἀπάτωρ τὸ

κατὰ

κάτω γέννησιν, ἀμήτωρ τὴν ἄνω. οὔτε γὰρ ἐπὶ γῆς ἔσχε πατέρα, οὔτε ἐν οὐρανῷ μητέρα. ἀγενεαλόγητος. ἀκουέτωσαν οἱ τὴν οὐσίαν αὐτοῦ πολυπραγμονοῦντες· καίτοι τινὲς νομίζουσιν, ὅτι τὸ ἀγενεαλόγητος τοῦτο, περὶ τῆς ἄνω γεννήσεως εἴρηται. οἱ μὲν γὰρ αἱρετικοὶ οὐδὲ τοῦτο βούλονται. καὶ γὰρ καὶ ἐκείνην πολυπραγμονοῦσι καὶ περιεργάζονται. οἱ δὲ ἐπιεικέστεροι τούτων, ἐκείνην μὲν παραχωροῦσιν· οὐκ ἔτι δὲ καὶ περὶ ταύτης τῆς κάτω νομίζουσιν εἰρῆσθαι τὸ, ἀγενεαλόγητος. δείξωμεν οὖν ὅτι περὶ ἑκατέρας γεννήσεως τοῦτο ὁ Παῦλος εἶπε, καὶ περὶ τῆς ἄνω, καὶ περὶ τῆς κάτω. καὶ γὰρ καὶ ἐκείνη φρικτὴ, καὶ αὕτη μυστικωτάτη. διὰ τοῦτο καὶ Ἡσαΐας φησὶ, Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ἀλλὰ περὶ ἐκείνης, φησὶν, εἶπε τῆς ἄνω. τί οὖν ἐροῦμεν Παύλῳ ἀμφοτέρας εἰπόντι τὰς γεννήσεις, καὶ τότε ἐπαγαγόντι τὸ, ἀγενεαλόγητος; πρότερον γὰρ εἰπὼν, ἀπάτωρ, ἀμήτωρ, τότε ἐπήγαγε τὸ, ἀγενεαλόγητος· ἵνα μὴ μόνον κατ' ἐκείνην τὴν γέννησιν, καθ' ἣν ἀμήτωρ ἐστὶν, ἀλλὰ καὶ κατὰ ταύτην, καθ' ἣν ἀπάτωρ ἦν, τὴν κάτω λέγω, ἀγενεαλόγητον εἶναι πιστεύσῃς. διὰ τοῦτο ἀμφοτέρας θεὶς, τότε εἶπε τὸ, ἀγενεαλόγητος. καὶ γὰρ καὶ αὕτη ἡ κάτω, ἀκατάληπτος, ἵνα πρὸς ἐκείνην μηδὲ παρακύψαι τολμήσωμεν. εἰ γὰρ τὰ προπύλαια τοῦ ναοῦ οὕτω φοβερὰ καὶ ἀπρόσιτα, πῶς εἰς τὰ ἄδυτά τις εἰσελθεῖν ἐπιχειρήσει; ὅτι μὲν γὰρ ἐγεννήθη ἐκ τοῦ πατρὸς, οἶδα· τὸ δὲ πῶς, οὐκ οἶδα. ὅτι ἐτέχθη ἐκ τῆς παρθένου, ἐπίσταμαι· τὸν δὲ τρόπον οὐδὲ ἐνταῦθα καταλαμβάνω. ἑκατέρας γὰρ φύσεως ἡ γέννησις ὁμολογεῖται, καὶ ἑκατέρας ὁ τρόπος σεσίγηται. καὶ ὥσπερ ἐνταῦθα ἐπὶ τῆς παρθένου, οὐκ εἰδὼς ἐγὼ πῶς ἐκ παρθένου ἐγεννήθη, ὁμολογῶ ὅτι ἐγεννήθη, καὶ οὐκ ἀναιρῶ τὸ πρᾶγμα διὰ τὴν ἄγνοιαν τοῦ τρόπου· οὕτω καὶ σὺ ποίησον ἐπὶ τοῦ πατρός· εἰ καὶ οὐκ οἶδας πῶς ἐγεννήθη, τὸ, ἐγεννήθη, ὁμολόγησον. κἂν λέγῃ σοι ὁ αἱρετικὸς, πῶς ἐγεννήθη ἐκ τοῦ πατρὸς ὁ υἱός; κατάσπασον αὐτοῦ τὸ φρόνημα εἰς τὴν γῆν, καὶ εἰπὲ πρὸς αὐτόν· κατάβηθι ἐκ τῶν οὐρανῶν, καὶ δεῖξον πῶς ἐγεννήθη ἐκ τῆς παρθένου, καὶ τότε ἐκεῖνα ἐρώτα. κάτασχε αὐτὸν, καὶ περίστηθι, καὶ μὴ ἀφῇς ἀποπηδῆσαι, μηδὲ ἀναχωρῆσαι εἰς τὸν λαβύρινθον τῶν λογισμῶν· ἀλλὰ κάτασχε, καὶ ἀπόπνιξον, μὴ τῇ χειρὶ, ἀλλὰ τῷ ῥήματι· μὴ δῷς αὐτῷ διαστολὰς καὶ διαφυγὰς, ἃς βούλεται. ἐκεῖθεν θόρυβοι ἐμποιοῦσι τοῖς διαλεγομένοις, ἐπειδὴ ἡμεῖς αὐτοῖς ἀκολουθοῦμεν, καὶ οὐκ ἄγομεν ὑπὸ τοὺς νόμους τῶν θείων γραφῶν. περίθες τοίνυν αὐτῷ τειχίον πάντοθεν, τὰς ἀπὸ τῶν γραφῶν μαρτυρίας, καὶ οὐδὲ χάναι δυνήσεται. εἰπὲ πρὸς αὐτὸν, πῶς ἐγεννήθη ἐκ τῆς παρθένου; οὐκ ἀφίσταμαι οὐδὲ ἀναχωρῶ. ἀλλ' οὐκ ἂν ἔχοι τὸν τρόπον εἰπεῖν, κἂν μυρία φιλονεικῇ. ὅταν γὰρ ὁ Θεὸς ἀποκλείσῃ, τίς ἀνοίξει λοιπόν; πίστει παραδεκτέα τὰ τοιαῦτα μόνῃ. εἰ δὲ οὐκ ἀνέχῃ, ἀλλὰ λογισμοὺς ἐπιζητεῖς, ἐρῶ πρὸς σὲ, ὃ πρὸς τὸν Νικόδημον ὁ Χριστός· Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε, πῶς, ἐὰν τὰ ἐπουράνια εἴπω, πιστεύσετε; περὶ τῆς ἐκ παρθένου γεννήσεως εἶπον, καὶ οὐκ οἶδας, οὐδὲ χάναι τολμᾷς, καὶ τὸν οὐρανὸν περιεργάζῃ; εἴθε μὲν οὖν τὸν οὐρανὸν, καὶ μὴ τὸν δεσπότην τῶν οὐρανῶν ἐπολυπραγμόνεις. Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε. οὐκ εἶπεν, οὐ πείθεσθε, ἀλλ', οὐ πιστεύετε, δεικνὺς ὑμῖν, ὅτι καὶ τὰ ἐπίγεια πίστεως δεῖται. εἰ δὲ τὰ ἐπίγεια πίστεως δεῖται, πολλῷ μᾶλλον τὰ οὐράνια. καίτοι τότε τῷ Νικοδήμῳ περὶ τόκου διελέγετο πολὺ ἐλάττονος. περὶ τοῦ βαπτίσματος γὰρ ὁ λόγος ἦν, καὶ τῆς ἀναγεννήσεως τῆς πνευματικῆς· ἀλλ' ἔλεγεν, ὅτι καὶ ταῦτα πίστει ἐστὶ καταληπτά. ἐπίγεια δὲ αὐτὰ ἐκάλεσεν, οὐκ ἐπειδὴ ἐπίγειά ἐστιν· ἀλλ' ἐπειδὴ ἐν τῇ γῇ τελεῖται· καὶ τῇ συγκρίσει τῆς ἄνω γεννήσεως τῆς ἀπορρήτου καὶ πάντα ὑπερβαινούσης νοῦν, ἐπίγεια ταῦτά ἐστιν. εἰ τοίνυν, πῶς ἀναγεννώμεθα ἐκ τῶν ὑδάτων, οὐ δυνατὸν εἰδέναι, ἀλλὰ πίστει μόνῃ παραδέχεσθαι δεῖ τὸ γινόμενον, καὶ τὸν τρόπον μὴ περιεργάζεσθαι, πόσης ἂν εἴη μανίας, ἐπὶ τῆς ἄνω γεννήσεως τοῦ μονογενοῦς υἱοῦ λογισμοὺς ἀνθρωπίνους κινεῖν, καὶ τοῦ τρόπου γεννήσεως εὐθύνας ἀπαιτεῖν;

Ησ. νγ. η.

Ιωαν. γ. ιβ.

Πῶς μὲν οὖν ἀπάτωρ καὶ ἀμήτωρ ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ, ἱκανῶς ἀποδέδεικται, καὶ πῶς ἀγενεαλόγητος ἑκατέραν τὴν γέννησιν· λοιπὸν δὲ πρὸς τὸ ἐπεῖγον ἀπαγάγωμεν, τὸν λόγον τὸν περὶ τοῦ Μελχισεδὲκ εἰς ἑτέραν ἡμέραν ἀναβαλλόμενοι, καὶ διαναστήσωμεν τὴν ἀκοήν, προφητικῶν μέλλοντες ἀκούειν αἰνιγμάτων. αἰνίγμασι γὰρ ἔοικε τὰ προφητικά, καὶ πολλὴ δυσκολία ἐν τῇ παλαιᾷ διαθήκῃ, καὶ δυσεπίληπτα τὰ βιβλία· ἡ δὲ καινὴ σαφεστέρα καὶ εὐκολωτέρα. καὶ τίνος ἕνεκεν, φησί, ταῦτα οὕτω διατετύπωται, καίτοι ἡ καινὴ περὶ μειζόνων διαλέγεται πραγμάτων, περὶ βασιλείας οὐρανῶν, καὶ σωμάτων ἀναστάσεως, καὶ τῶν ἀπορρήτων ἀγαθῶν, ἃ καὶ τὴν ἀνθρωπίνην ὑπερβαίνει γνῶσιν; τίς οὖν ἡ αἰτία τοῦ τὰς προφητείας ἀσαφεῖς εἶναι; πολλὰ προλέγουσι Ἰουδαίοις αὗται κακά· καὶ ὅτι ἐκβληθήσονται μὲν ἐκεῖνοι, ἡμεῖς δὲ εἰσδεχθησόμεθα· καὶ ὅτι καταλυθήσεται μὲν ὁ ναός, καὶ οὐκ ἔτι λοιπὸν ἀναστήσεται· πεσοῦνται δὲ τὰ Ἱεροσόλυμα, καὶ πᾶσιν ἔσται βατά· Ἰουδαῖοί τε πλανῆται γενόμενοι, πανταχοῦ τῆς οἰκουμένης διασπαρήσονται, καὶ τῆς πόλεως ἐκπεσόντες, οὐδὲ τὴν πολιτείαν ἕξουσι λοιπὸν τὴν ἀρχαίαν· ἀλλὰ πάντα αὐτῶν ἀφαιρεθήσεται τὰ πρότερα, καὶ προφητεῖαι, καὶ θυσίαι, καὶ ἱερωσύνη, καὶ βασιλεία. οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ ἄλλα πολλὰ τοιαῦτα προέλεγον οἱ προφῆται, μυρίας τραγῳδίας τοῖς οἰκείοις ἐγκαταμιγνύντες βιβλίοις. ἵν' οὖν οἱ Ἰουδαῖοι μὴ σαφῶς ἀκούσαντες παρὰ τὴν ἀρχήν, διαχρήσωνται τοὺς λέγοντας ταῦτα, τῇ δυσκολίᾳ τῆς ἑρμηνείας ἀπέκρυψαν τὰς προρρήσεις, καὶ πολλὴν ἀσάφειαν κατέχεαν τῶν πραγμάτων, τῇ ἀσαφείᾳ τῶν λεγομένων τοῖς λέγουσι παρασκευάζοντες ἀσφάλειαν. καὶ πόθεν δῆλον τοῦτο; δεῖ γὰρ καὶ εὐθύνας ἡμᾶς ἀπαιτεῖσθαι, εἰ καὶ ἐν φίλοις λέγομεν. καὶ γὰρ πολλοὶ ἴσως καὶ τῶν οὐ φίλων πάρεισι. μανθανέτωσαν τοίνυν ταῦτα κἀκεῖνοι, ἵνα καὶ αὐτοὶ φίλοι γένωνται.

Ισ. ἐπαγ-γωμὲ,

Χ. κατέχ

Εἶπον, ὅτι εἰ ἤκουσαν οἱ Ἰουδαῖοι τὰ μέλλοντα αὐτοὺς καταλήψεσθαι κακά, καὶ ὅτι τὰ Ἱεροσόλυμα ἁλώσεται διὰ τὸν Χριστὸν τὴν ἅλωσιν ταύτην τὴν ἀθάνατον καὶ οὐκ ἔχουσαν μεταβολήν· εἰ ἤκουσαν φανερῶς παρὰ τῶν προφητῶν ταῦτα, εὐθέως ἂν τοὺς ταῦτα λέγοντας ἀπέκτειναν. πόθεν οὖν τοῦτο δῆλον; πρῶτον μὲν ἀπὸ τῶν τρόπων αὐτῶν. μανικοὶ γὰρ καὶ θηριώδεις ἦσαν. δῆμός ἐστιν αἱμάτων ἀεὶ διψῶν προφητικῶν, αἱ χεῖρες αὐτῶν ἐμελέτησαν ἐν ταῖς σφαγαῖς τῶν ἁγίων. ταῦτα ὁ μέγας Ἠλίας αὐτῶν καταβοᾷ λέγων· Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, τὰ θυσιαστήριά σου κατέσκαψαν. ὁ Χριστὸς πάλιν, Ἱερουσαλήμ, Ἱερουσαλήμ, ἡ ἀποκτείνασα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν. καὶ ὁ Ἠσαΐας συνῳδὰ τούτοις, αὐτῶν κατηγορῶν, ἐβόα· Αἱ χεῖρες ὑμῶν αἵματος πλήρεις. καὶ πάλιν ὁ Χριστός· Οἱ πατέρες ὑμῶν ἀπέκτειναν τοὺς προφήτας, ὑμεῖς δὲ οἰκοδομεῖτε τὰ μνήματα αὐτῶν· πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν. ὁρᾷς πῶς καὶ ὁ δεσπότης καὶ οἱ δοῦλοι μιαιφονίαν αὐτῶν μαρτυροῦσι; τί δέ ἐστι, πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν; ἀποκτείνατέ, φησι, κἀμέ· προσθέτε τοῖς δουλικοῖς αἵμασι τὴν δεσποτικὴν σφαγήν. εἰ γὰρ μυρίους ἔσφαξαν ἀνθρώπους, ἀλλὰ συνδούλους πάντας. ὅτε δὲ κατὰ τοῦ δεσπότου τὰς χεῖρας ἐξέτειναν, τότε ἐπληρώθη τὸ μέτρον· καὶ εἰκότως. ἕως μὲν γὰρ οὐκ ἀπέκτειναν τὸν δεσπότην, εἶχον ἐλπίδα σωτηρίας, καὶ προσεδόκων ὅτι ὁ ἀμνὸς τοῦ Θεοῦ ἐλθὼν, ἀρεῖ τὴν ἁμαρτίαν τοῦ κόσμου· ἐπειδὴ δὲ τὸν ἰατρὸν διεχειρίσαντο, καὶ εἰς αὐτὸ τὸ ἱλαστήριον ὕβρισαν, καὶ τὸν ἐλθόντα ἀφεῖναι τὰ ἁμαρτήματα ἀπεστράφησαν, πάσης λοιπὸν ἐλπίδος ἐξέπεσον. διὰ τοῦτο λέγει, πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν. ναί, φησιν· ἀλλ' ὅτι μὲν μιαιφόνοι καὶ ἐναγεῖς, ἀποδέδεικται ἐκ πολλῶν μαρτυριῶν· πόθεν δὲ δῆλον, ὅτι τῶν προφητῶν οὐκ ἂν ἐφείσαντο, εἰ ἤκουσαν ὅτι τὰ Ἱεροσόλυμα καταστραφήσεται, ὅτι ὁ νόμος παυθήσεται, ὅτι ἡ παλαιὰ ἀλλαγήσεται; μάλιστα μὲν καὶ ἐκ τῶν εἰρημένων δῆλον· πλὴν ἀλλ' ἐξ αὐτῶν τῶν γραφῶν πάλιν ποιήσομαι τὴν ἀπόδειξιν σαφεστέραν. εἰ γάρ ποτε ἤκουσαν προφήτου λέγοντος, ὅτι τὰ Ἱεροσόλυμα καταστραφήσεται, καταστροφὴν προσ-

καλεσι,

γ. Βασ. ιθ. ι.

Ματθ. κγ. λζ.

Ησ. α. ιε.

Ματθ. κγ. λα.

Ιωαν. α. κθ.

καιρὸν, δέον αὐτοὺς μεταβάλλεσθαι καὶ ἀποκρούεσθαι τοῦ Θεοῦ τὴν ὀργὴν, εἰς τὸν προφήτην ἠφίεσαν τὸν θυμόν. καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, αὐτῶν ἀκούσατε τῶν ἱστοριῶν. Ἐπολιόρκουν τὴν πόλιν αὐτῶν οἱ Πέρσαι ποτὲ, καὶ βαρβαρικὸν στρατόπεδον ἔξω περιεκάθητο· καὶ τὰ τῶν κινδύνων οὐκ ἦν ἄδηλα, ἀλλ' ἐν μέσῃ παγίδι ἡ πόλις ἦν τότε Ἱερουσαλὴμ, ὡπλισμένων ἁπάντων καὶ περιεστώτων ἔξωθεν. ἀλλ' ὅμως οὕτω φανερῶν ὄντων τῶν δεινῶν, ἐπειδὴ Ἱερεμίας ἐλθὼν εἶπε πρὸς αὐτοὺς, ὅτι ἡ πόλις παραδοθήσεται εἰς χεῖρας Χαλδαίων (καίτοι τοῦτο οὐδὲ προφητεία ἦν· οἱ γὰρ ὀφθαλμοὶ αὐτῶν ἑώρων τὰ συμβησόμενα) ἀλλ' ὅμως ἐπειδὴ τὰ φανερὰ καὶ πρὸ τῶν ὀφθαλμῶν εἶπεν, οἱ μιαροὶ καὶ ἀναίσθητοι καὶ περὶ τοὺς εὐεργέτας ἀγνώμονες οὕτως ἐμάνησαν, ὡς προδότην αὐτὸν καὶ λυμεῶνα τῆς πόλεως νομίσαι καὶ εἰπεῖν, ὅτι Ἐκλύει τὰς χεῖρας τοῦ λαοῦ τούτου. καὶ μὴν ἐστερέου, καὶ μὴν διήγειρε τὴν προθυμίαν αὐτῶν, καὶ πρὸς Θεὸν ἦγε, τὸ ἀρραγὲς καὶ ἀκαταμάχητον αὐτοῖς περιτιθεὶς τεῖχος. ἀλλ' οὐδὲν τούτων ἐννοήσαντες ἐκεῖνοι, ἐκέλευον αὐτὸν ἀναιρεῖσθαι. τοιαύτας γὰρ τοῖς εὐεργέταις ἀεὶ τὰς ἀμοιβὰς ἀπεδίδοσαν, καὶ τοῦ βασιλέως συγγνόντος, οὐδὲ οὕτως ἐνέδωκαν· ἀλλ' ἐπειδὴ ἀνελεῖν οὐκ ἴσχυσαν, εἰς τὸν τοῦ βορβόρου λάκκον ἐνέβαλον. εἰ δὲ προσκαίρου αἰχμαλωσίας ἀκοὴν οὐκ ἤνεγκαν, πῶς τὴν πρόρρησιν τῆς διηνεκοῦς δουλείας ἔμελλον εἰσακούειν; εἰ Ἱερεμίας εἶπεν, ὅτι ἀπελεύσεσθε εἰς Βαβυλῶνα, καὶ οὐχ ὑπήνεγκαν ἀκοῦσαι, ἀλλ' ἐτιμωρήσαντο τὸν εἰπόντα· εἰ ἤκουσαν τῶν προφητῶν εἰπόντων, ὅτι οὐκ εἰς Βαβυλῶνα, ἀλλὰ πανταχοῦ τῆς οἰκουμένης διασπαρήσεσθε, καὶ οὐκ ἔτι λοιπὸν ἐπανήξετε, οὐκ ἂν καὶ τὸ αἷμα τῶν λεγόντων ἐξέπιον; εἰ δὲ δοκεῖ τοῦτο ἔτι στοχασμὸς εἶναι, φανερὰν ὑμῖν ἀπόδειξιν παρέχω, ὅτι οὐκ ἦν ἀσφαλὲς αὐτοῖς λέγειν τὰ μέλλοντα, τὴν ἡμετέραν τιμὴν λέγω, τὴν ἔκπτωσιν τῶν ἐκείνων. Στέφανον γὰρ, εἰπέ μοι, τὴν ἀπαρχὴν τῶν μαρτύρων, διὰ τί ἐλίθασαν; οὐ ταῦτα ἐγκαλοῦντες αὐτῷ καὶ λέγοντες, ὅτι ὁ ἀνὴρ οὗτος λαλεῖ βλάσφημα ῥήματα; Εἶπε, φησὶν, ὅτι Ἰησοῦς καταλύσει τὸν ναὸν τοῦτον, καὶ ἀλλάξει τὰ ἔθη, ἃ παρέδωκε Μωϋσῆς, καὶ διὰ τοῦτο αὐτὸν ἐλίθασαν. Εἰ δὲ τότε οὐκ ἠνείχοντο ταῦτα ἀκούειν, καὶ ταῦτα τῶν πραγμάτων αὐτοὺς πειθόντων λοιπὸν, πῶς ἂν τῶν προφητῶν ἠνέσχοντο ταῦτα προαναφωνούντων; ἤκουσας, ἀγαπητὲ, ὅτι διὰ τὸν ναὸν καὶ τὴν μετάθεσιν τῆς πολιτείας αὐτὸν ἐλίθασαν· ἄκουσον πῶς καὶ τῷ Χριστῷ τοῦτο αὐτὸ προφέρουσιν ἔγκλημα. Εἶπε γὰρ, φησὶν, οὗτος· λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. Εἶδες πῶς πανταχοῦ ἡ κατάλυσις τοῦ ναοῦ, καὶ ἡ μετάθεσις τῆς πολιτείας τὴν ὀργὴν αὐτοῖς ἐνεποίει; διὰ τοῦτο ἔλεγον μὲν οἱ προφῆται ταῦτα, οὐκ ἔλεγον δὲ φανερῶς. διὰ τοῦτο καὶ Παῦλον ἐβούλοντο ἀνελεῖν, ὅτι ἔπειθεν αὐτοὺς μετατίθεσθαι ἀπὸ τῆς πολιτείας. πόθεν τοῦτο δῆλον; Θεωρεῖς, φησὶν, ἀδελφὲ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων; καὶ οὗτοι πάντες κατηχήθησαν περὶ σοῦ, ὅτι ἀποστασίαν τοῦ νόμου διδάσκεις. οἱ πιστοὶ οὐκ ἠνείχοντο διδάσκεσθαι ἀποστασίαν τοῦ νόμου· καὶ οἱ οὐδέπω πιστεύσαντες πῶς ἂν ἠνέσχοντο ἀκοῦσαι, ὅτι παυθήσεται ὁ νόμος ποτέ;

Ἱερ. λη. δ.

Πραξ. ϛ. ια. ιδ.

Ἰωαν. β. ιθ.

Πραξ. κα. κ.

Ὅτι μὲν οὖν τοὺς προφήτας ἀπέκτειναν ἂν οἱ Ἰουδαῖοι, εἴ τι τοιοῦτον σαφῶς προεῖπον, ἐδείξαμεν ἀπὸ τῶν μαρτυριῶν, ἀπό τε τοῦ μακαρίου Ἱερεμίου καὶ τοῦ πρωτομάρτυρος Στεφάνου, ἀπ' αὐτοῦ τοῦ Χριστοῦ, καὶ τοῦ ἀποστόλου Παύλου. πᾶσι γὰρ τὰ αὐτὰ ἐγκαλοῦντες, οὕτως αὐτοὺς ἀνεῖλον. ὅτι δὲ καὶ αὐτὰ τὰ βιβλία κατέκαυσαν ἂν τὰ προφητικὰ, εἰ συνεῖδον τὰ λεγόμενα, καὶ τοῦτο παραστῆσαι πειράσομαι ἀπό τινος ἱστορίας, κεκρυμμένης μὲν ὑμῖν, δήλης δὲ ἐσομένης αὐτίκα δὴ μάλα. οὕτω γὰρ αὐτὴν ἀπαγγεῖλαι πειράσομαι. τίς οὖν ἡ ἱστορία, ἀκούσατε. Καὶ ἐγένετο ἐν τῷ τετάρτῳ ἔτει Ἰωακεὶμ υἱοῦ Ἰωσίου βασιλέως Ἰούδα, εἶπε Κύριος πρὸς Ἱερεμίαν· γράψον πάντας τοὺς λόγους, οὓς ἐχρημάτισα πρὸς σὲ ἀπὸ τῆς ἡμέρας Ἰωσίου, ἕως τῆς ἡμέρας ταύτης· τουτέστι, πάντα τὰ κακὰ, ἃ λογίζομαι ποιῆσαι αὐτοῖς. ὅρα τί φιλάνθρωπος ὁ Θεὸς καὶ κηδεμονικός. ἐπειδὴ γὰρ κατὰ μέρος ἀκοῦσαι οὐκ ἠνείχοντο, συνάγα-

Ἱερ. λϛ. α.

γε, φησίν, αὐτὰ πάντα, καὶ αὔξησον τὸν φόβον, ἵνα καὶ οὕτω βελτίους γένωνται. Μνημονεύετε τῆς ὑποσχέσεως. Τὸ ζητούμενον ἡμῖν δεῖξαι, ὅτι καὶ τὰ βιβλία δι' αὐτὰ κατέκοψαν, εἰ ἐνόησα τὰ σήμερον ἐκβάντα πάντα. Ἴσως ἀκούσονται κακὰ (δεῖ γὰρ ἔχεσθαι τῆς ἱστορίας) ἃ λογίζομαι ποιῆσαι αὐτοῖς, καὶ ἀποστραφήσονται ἀπὸ τῆς ὁδοῦ αὐτῶν τῆς πονηρᾶς. Ἴσως ὁ Θεὸς λέγει; ἀγνοεῖ, εἰπέ μοι, τὰ ἐσόμενα; οὐκ οἶδεν εἰ ἀκούσονται, ὁ εἰδὼς πάντα πρὶν γενέσεως; ὁ ἐτάζων καρδίας καὶ νεφρούς; ὁ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν; ᾧ πάντα γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ; τίνος οὖν ἕνεκεν ἔλεγεν, ἴσως ἀκούσονται; καὶ γὰρ καὶ ταῦτα ἀναγκαῖον ὑμᾶς μανθάνειν, διὰ τοὺς ἐγκαλοῦντας ἄγνοιαν τῷ μονογενεῖ. Ἰδοὺ γὰρ καὶ ὁ πατὴρ ἀγνοοῦντος φθέγγεται ῥήματα. Τὸ γάρ, ἴσως, ἀγνοοῦντός ἐστιν· ἀλλ' οὐκ ἀγνοεῖ. Ὁπόταν οὖν καὶ [παρὰ] τοῦ υἱοῦ ἀκούσῃς τι τοιοῦτον λέγοντος, τὴν αὐτὴν κατάδεξαι ψῆφον. Υἱὸς γὰρ ὤν, πανταχοῦ τὸν πατέρα μιμεῖται. Ἀλλ' οἱ μὲν τῶν ἀγώνων καιροὶ τούτων ἀναμενέτωσαν, ἵνα μὴ τῆς προκειμένης ὑποθέσεως ἐκπέσωμεν· εἴπωμεν δέ, τίνος ἕνεκεν λέγει, ἴσως ἀκούσονται. Εἰ εἶπεν, ὅτι ἀκούσονται, χωρὶς τοῦ ἴσως, ψευδὴς ἦν· οὐ γὰρ ἔμελλον ἀκούσεσθαι. Εἰ εἶπε δὲ ἀληθές, ὅτι οὐκ ἀκούσονται, περιττῶς ἔπεμπε τὸν προφήτην τοῖς οὐκ ἀκουσομένοις. Καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλὰ καὶ ἵνα μὴ ἡ πρόγνωσις αὐτοῦ νομισθείη ἀναγκαστική τις εἶναι τῆς παρακοῆς, διὰ τοῦτο ἐπαμφιβόλως τέθεικε τὰ ῥήματα· ἵνα μὴ λέγωσί τινες, ὅτι προεῖπεν ὁ Θεός, καὶ πάντως ἔδει γενέσθαι· ὃ περὶ τοῦ Ἰούδα λέγουσι. Προεῖπε, φησίν, ὅτι προδότης ἔσται, καὶ διὰ τοῦτο προδότης ἐγένετο. Ὢ τῆς ἀνοίας, ὢ τῆς ἀναισχυντίας. Οὐδὲ γὰρ ἡ πρόγνωσις, ἄνθρωπε, τῆς πονηρίας αἰτία μὴ γένοιτο. Οὐ γάρ ἐστιν ἀναγκαστικὴ τῶν μελλόντων ἔσεσθαι, ἀλλὰ προγνωστικὴ μόνον. Οὐκ ἐπειδὴ προεῖπεν ὁ Χριστός, διὰ τοῦτο ἐγένετο ἐκεῖνος προδότης· ἀλλ' ἐπειδὴ προδότης ἔμελλε γενέσθαι, διὰ τοῦτο προεῖπεν ὁ Χριστός. Ἵνα οὖν μὴ καὶ ἐνταῦθα λέγωσιν, ὅτι εἶπεν ὅτι οὐκ ἀκούσονται, καὶ ἀπέκλεισεν αὐτοῖς τῆς μετανοίας τὴν ὁδόν, προλαβὼν ἀνέσπασεν αὐτῶν τὴν πρόφασιν, εἰπὼν τῷ προφήτῃ, ἴσως ἀκούσονται. Μνημονεύετε τῆς ὑποσχέσεως. Διὰ γὰρ τοῦτο συνεχῶς ὑμᾶς ὑπομιμνήσκω, ἵν', ὅταν ἐπαγάγω τὸ συμπέρασμα, μὴ ἐπιλάθησθε τοῦ ζητηθέντος ἡμῖν ἐν ἀρχῇ κεφαλαίου. Τί δὲ ἦν τοῦτο; ὅτι εἰ ᾔσθοντο οἱ Ἰουδαῖοι, ὅτι ἔμελλεν αὐτοῖς συμβήσεσθαι τὰ κατειληφότα αὐτοῖς δεινά, ταῦτα δὴ λέγω τὰ νῦν κατέχοντα αὐτούς, αὐτὰ τὰ βιβλία ἂν κατέκοψαν, καὶ οὐκ ἂν ἐφείσαντο οὐδὲ τῶν θείων γραμμάτων. Ἀλλ' ἐπὶ τὴν ἱστορίαν ἔλθωμεν. Ταῦτα ἀκούσας ὁ Ἱερεμίας, καλεῖ τὸν μαθητὴν αὐτοῦ Βαροὺχ υἱὸν Νηρείου, καὶ λέγει πρὸς αὐτόν· γράψον εἰς βιβλίον πάντα τὰ μέλλοντα αὐτοῖς ἔσεσθαι δεινά. Τί γέγονε; σὺ ἐπιταγεὶς παρὰ τοῦ Θεοῦ, καὶ τὸν μαθητὴν πέμπεις; ἆρα μὴ δειλιᾷς; ἆρα μὴ ἀγωνιᾷς; ἆρα μὴ δέδοικας; εἰ σὺ δέδοικας, πῶς ὁ μαθητὴς τολμήσει; ἀλλ' οὐδὲν τούτων. Πρόσκειται γὰρ ἡ αἰτία. Εἰπὼν γάρ, γράψον καὶ ἀνάγνωθι, ἐπήγαγεν· Ἐγὼ γὰρ κατέχομαι ἐν τῇ φυλακῇ. Ὢ μεγαλοψυχίας· ἐν τῷ δεσμωτηρίῳ ἦν, καὶ τῆς προφητείας οὐκ ἀφίστατο. Προσέχωμεν τῇ ἀνδρείᾳ τοῦ δικαίου, καὶ τῇ τῆς διανοίας φιλοσοφίᾳ. Οὐκ εἶπε πρὸς ἑαυτόν· τοσαῦτά μοι δεινὰ συμβέβηκε διὰ τὴν παρρησίαν ταύτην· μυρίους ἀνήλωσα λόγους, καὶ οὐδὲν ὤνησα, οὐδὲ ἐγένετό μοί τι πλέον, ἀλλ' ἢ τὸ δεδέσθαι μόνον· καὶ οὔπω με τῶν δεσμῶν ἀπέλυσεν ὁ Θεός, καὶ πάλιν πέμπει με πρὸς τοὺς θῆρας ἐκείνους; οὐδὲν τούτων οὐκ εἶπεν, οὐδὲ ἐνενόησεν· ἀλλ' ἓν μόνον ἐσκόπει, ὅπως ἀνυσθῇ τὸ ἐπίταγμα τοῦ δεσπότου. Καὶ ἐπειδὴ δι' ἑαυτοῦ οὐκ ἴσχυσε, διὰ τοῦ μαθητοῦ κατεσκεύασεν αὐτό. Ἀνάγνωθι γάρ, φησίν, αὐτοῖς, καὶ εἰπὲ πάντα τὰ κακά. Ἐγὼ γὰρ κατέχομαι ἐν τῇ φυλακῇ. Καὶ ἔλεγεν Ἱερεμίας, καὶ ἔγραφεν ὁ Βαροὺχ ἐν βιβλίῳ. Νηστείας καιρὸς ἦν, ὅτε ταῦτα ἐγίνετο· ἑορτὴ ἐφειστήκει, πάντας καλοῦσα πρὸς τὴν μητρόπολιν. Ἔδει γὰρ κοινὸν γενέσθαι τὸν σύλλογον, ἐπειδὴ περὶ ἀναγκαίων πραγμάτων ἔμελλεν ἡ ἐκκλησία ἔσεσθαι. Εἰσῆλθε πρὸς τοὺς ἄρχοντας ὁ Βαρούχ.

Ἱερ. λϛ. γ.

Ἱερ. λϛ. δ.

ροὺχ, καὶ ἀνέγνω εἰς τὰ ὦτα τῶν ἀρχόντων πάντας τοὺς λόγους τούτους· καὶ εἶπε τὴν αἰτίαν. Ἴσως γάρ, φησι, πεσεῖται τὸ ἔλεος ὑμῶν ἐνώπιον Κυρίου· ἵνα μὴ νομίσωσιν ὅτι ὡς κατήγορος ἐλέγχει, ἀλλὰ μαθόντες ὅτι θεραπεῦσαι αὐτοὺς ἀφῖκται, ἐπιεικέστεροι γένωνται. Τί οὖν ἐκεῖνοι; δέον χάριτας ὁμολογῆσαι, δέον ἐπαινέσαι, δέον θαυμάσαι, οὐδὲν τούτων ποιοῦσιν· ἀλλ' ἀπελθόντες, διήγγειλαν τῷ βασιλεῖ τὰ γεγραμμένα ἐν τῷ βιβλίῳ, καὶ τὸ βιβλίον ἀπέθεντο ἐν τῷ οἴκῳ Ἐλισαμᾶ. καὶ πέμψας, φησίν, ὁ βασιλεὺς τὸν Ἰουδὶν ἕνα τινὰ τῶν παρεστηκότων αὐτῷ, ἐκέλευσε κομισθῆναι τὸ βιβλίον. καὶ ἐκάθητο ὁ βασιλεὺς ἐν οἴκῳ χειμερινῷ· μὴν γὰρ ἔνατος ἦν, τουτέστι, νοέμβριος. ἔνατον ἀπὸ τοῦ ξανθικοῦ ἀριθμὸν λέγει. δεῖ γὰρ καὶ ταῦτα ἀκριβῶς εἰδέναι. εἰ γὰρ ἀπὸ τοῦ ἰδίου ἠρίθμει, οὐκ ἔμελλεν ἔσεσθαι τότε χειμών. τίνος οὖν ἕνεκεν τὸ τοῦτο πρόσκειται; ἐκ τῶν μετὰ ταῦτα εἴσῃ σαφῶς. Καὶ ἐσχάρα πυρὸς ἔμπροσθεν αὐτοῦ (ἀνθρακιά, φησι) διότι ψῦχος ἦν. ὁρᾶτε πῶς οὐδὲν παραλιμπάνεται τῇ θείᾳ γραφῇ; καὶ ἀνθρακιὰ πυρὸς ἔμπροσθεν αὐτοῦ· καὶ περιεστήκεισαν οἱ σατράπαι· ἐκομίσθη τὸ βιβλίον μυρίων γέμον κακῶν (ἡ γὰρ τῶν κακῶν προφητεία, κακῶν ἀναίρεσις ἦν) καὶ ἀνεγινώσκετο. μνημονεύετέ μοι, παρακαλῶ, τῆς ὑποθέσεως. καὶ ἐν τῷ ἀναγινώσκειν αὐτὸν τρεῖς σελίδας, λαβὼν τὴν σμίλην ἔκοψεν, καὶ ἔβαλεν εἰς τὴν ἐσχάραν τοῦ πυρός, ἕως ἐξέλιπε τὸ βιβλίον ἅπαν. Εἶδες πῶς οὐ φείδονται οὐδὲ τῶν βιβλίων; πῶς οὐδὲ τῶν γραμμάτων τῶν θείων ἀπέχονται; ἐπειδὴ αἰχμαλωσίαν εἶχε τῆς Ἱερουσαλήμ, κατέκοψε· καὶ οὐχ εὑρὼν τὸν προφήτην, εἰς τὰ γράμματα τὴν ὀργὴν ἀφῆκεν. ὁ τοίνυν τοῖς ἀψύχοις οὕτω πολεμῶν, εἰ τὸν ψυχὴν ἔχοντα εὗρε, τί οὐκ ἂν εἰργάσατο; καθάπερ γὰρ τὰ χαλεπὰ τῶν θηρίων, ἐπειδὰν ἐπιλάβωνται τῶν κυκλευόντων αὐτούς, εἶτα ἐκεῖνοι διαφύγωσι καταλιπόντες ἐν τῷ στόματι τῶν θηρίων ἃ περίκεινται δέρματα, λοιπὸν αὐτὰ περιτρώγουσι παραμυθούμενα τὸν θυμόν· οὕτω δὴ καὶ ὁ βασιλεὺς ἐποίησεν. οὐχ εὗρε τὸν ἔχοντα τὸ βιβλίον, καὶ αὐτὸ τὸ βιβλίον κατέκοψε· καὶ οὐ κατέκοψε μόνον, ἀλλὰ καὶ ἐνέβαλεν εἰς τὴν ἐσχάραν τοῦ πυρός· ἵνα μηδὲ λείψανον μείνῃ τῶν γραμμάτων ἐκείνων. ἀλλ' οὐδέπω πᾶσαν ἔγνωτε αὐτοῦ τὴν μανίαν· εἴσεσθε δὲ σαφῶς, ἐὰν μετὰ ἀκριβείας τῷ διηγήματι προσέχητε. οὐ γὰρ εἶπεν, ὅτι ἀναγνοὺς τὸ βιβλίον ἅπαν, οὕτως ἔκαυσεν· ἀλλ' ἐν τῷ ἀναγινώσκειν αὐτὸν τρεῖς σελίδας ἢ τέσσαρας, ἐξέτεμεν αὐτό. οὐκ ἀνέμεινεν οὐδὲ τὸ τέλος τῆς ἀναγνώσεως, ἀλλ' ἐξ αὐτῶν τῶν προοιμίων εὐθέως ἐξηγριώθη. διὰ ταῦτα οὐκ ἦν ἀσφαλὲς τοῖς προφήταις, Ἰουδαίοις λέγειν μετὰ σαφηνείας πάντα τὰ ἐσόμενα δεινά. εἰ γὰρ πρόσκαιρον οὐκ ἤνεγκεν αἰχμαλωσίαν ἀκοῦσαι, τὴν διηνεκῆ πῶς ἂν ὑπέμεινε μαθεῖν; καὶ οὐδὲ μέχρι τούτου ἔστη ὁ βασιλεύς· ἀλλ' ἔπεμψε, φησι, ζητεῖν πανταχοῦ τὸν προφήτην. ἀλλ' οὐχ εὗρεν αὐτόν. ἔκρυψε γὰρ αὐτὸν ὁ Θεός. ἐκεῖνον μὲν τόπῳ τότε ἔκρυψε, τοὺς δὲ ἄλλους προφήτας τῇ ἀσαφείᾳ τῶν λεγομένων.

Ἱερ. λϛ. κϛ.

Οὐκ ἀπὸ τούτων δὲ μόνον ἡμῖν ἔσται φανερόν, ὅτι τολμηρὸν ἦν παρὰ Ἰουδαίοις καὶ ψυχῆς ῥιψοκινδύνου, τὴν ἐσομένην τοῖς ἔθνεσι τιμὴν καὶ δόξαν, καὶ τὴν διαδεξομένην ἐκείνους ἀτιμίαν λέγειν, ἀλλὰ καὶ ἐκ τῶν Παύλου ῥημάτων. οὗτος γοῦν ἰδὼν ἕνα προφήτην μικρὸν παρανοίξαντά τι τῆς προρρήσεως ταύτης, καὶ σαφέστερον τῶν ἄλλων εἰπόντα καὶ τὰ ἡμέτερα ἀγαθά, καὶ τὰ ἐκείνων κακά, ἐξεπλάγη καὶ ἐθαύμασε τῆς τόλμης αὐτόν, οὕτως εἰπών· Ἡσαΐας δὲ ἀποτολμᾷ καὶ λέγει· εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν. εἶπον, ἰδού εἰμι, τῷ ἔθνει, οἳ οὐκ ἐκάλεσαν τὸ ὄνομά μου. καίτοι, εἰ μὴ κίνδυνος ἐκ τῆς προρρήσεως ἠκολούθει, τίνος ἕνεκεν εἶπε Παῦλος, Ἡσαΐας δὲ ἀποτολμᾷ καὶ λέγει· εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσι; μεγίστη ὄντως κατηγορία Ἰουδαίων. οἱ μὴ ζητοῦντες εὗρον, καὶ οἱ ζητοῦντες ἀπέτυχον· οἱ μὴ ἀκούσαντες ἐπίστευσαν, καὶ οἱ ἀκούσαντες ἐσταύρωσαν. διὰ ταῦτα τολμητὴν ἐκάλεσε τὸν Ἡσαΐαν. καὶ γὰρ ὄντως μεγί-

Ῥωμ. ι. κ.

ϛης τόλμης ἦν, ἐν μέσῳ τῶν κατηγορουμένων ἑστῶτα, ἀφειδῶς ποιεῖσθαι τὰς κατηγορίας, καὶ ἐκείνους μὲν τῆς τιμῆς φανερῶς ἐκβάλλειν διὰ τῆς προφητείας, ἑτέρους δὲ εἰσάγειν εἰς τὴν ὀφειλομένην ἐκείνοις δόξαν. τὸ δικαστήριον τῶν ἀκουόντων κατηγόρους εἶχε πάντας. τίς δὲ ἐν δικασταῖς ἐχθροῖς διαφυγεῖν δύναται κίνδυνον; διὰ τοῦτό, φησιν, ἀποτολμᾷ καὶ λέγει. ἀλλ' ἔτι τοῦτο ὑμῖν σαφέστερον ἀποδεῖξαι βούλομαι. διὰ τοῦτο περὶ Ἰουδαίων καὶ ἡμῶν ἀσαφῶς ἐν ταῖς γραφαῖς εἴρηται, ἵνα μὴ πρὸ καιροῦ συνῶσι τῶν λεγομένων Ἰουδαῖοι. καὶ τούτου παράγω μάρτυρα τὸν μεγαλοφωνότατον Παῦλον, τὸν ἄνωθεν φθεγγόμενον, τὴν σάλπιγγα τῶν οὐρανῶν, τὸ σκεῦος τῆς ἐκλογῆς, τὸν νυμφαγωγὸν τοῦ Χριστοῦ. Ἡρμοσάμην γὰρ ὑμᾶς, φησιν, ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. τοῦτον ὑμῖν παράγω μάρτυρα φανερῶς λέγοντα, ὅτι διὰ τοῦτο συνεσκίασαί τινα τῶν ἐν τῇ παλαιᾷ, οὐχὶ πάντα. εἰ γὰρ πάντα ἀσαφῆ ἔμελλεν εἶναι, περιττῶς εἴρητο τοῖς τότε. αἱ γὰρ προφητεῖαι ἔχουσι καὶ πολέμους προσκαίρους τοὺς τότε, καὶ λοιμοὺς, καὶ λιμούς· ἔχουσι δὲ καὶ τὰ σήμερον ἐκβάντα, τῆς ἐκκλησίας τὴν κλῆσιν, τῆς συναγωγῆς τὴν ἀποβολὴν, τοῦ νόμου τὴν κατάργησιν. ταῦτα δὲ οὐκ ἐβούλετο αὐτοὺς εἰδέναι· ἐκεῖνα δὲ ἤθελε τὰ ἐν τοῖς καιροῖς συμβαίνοντα τοῖς αὐτῶν. καὶ τοῦτο αὐτὸ ἀποδεῖξαι πειράσομαι, ὅτι ταῦτα μόνα ἀσαφῆ ἐποίησε λέγεσθαι, τὰ περὶ ἡμῶν καὶ τῆς συναγωγῆς τὰ νῦν ἐκβάντα, καὶ τὴν τοῦ νόμου κατάργησιν. τοῦτο δὲ αὐτοὺς οὐκ ἔδει εἰδέναι ἐκ τότε. εἰ γὰρ ἐξ ἀρχῆς ἔμαθον, ὅτι πρόσκαιρος ὁ νόμος, πάντως ἂν αὐτοῦ κατεφρόνησαν. διὰ τοῦτο αὐτὸν συνεσκίασε μόνον. ὅτι γὰρ οὐ πᾶσα προφητεία ἀσαφὴς ἦν, ἀλλὰ τοῦτο μόνον περιεστάλη τὸ μέρος, ἄκουσον τοῦ Παύλου σαφῶς ἀμφότερα ταῦτα ἡμῖν ἐνδεικνυμένου, καὶ ὅτι συνεσκίαστο ὁ νόμος, καὶ ὅτι κατὰ τοῦτο μόνον τὸ μέρος. Κορινθίοις γὰρ ἐπιστέλλων, οὕτω πως φησίν· Ἔχοντες οὖν τοιαύτην ἐλπίδα, πολλῇ παρρησίᾳ χρώμεθα, καὶ οὐ καθάπερ Μωϋσῆς ἐτίθει κάλυμμα ἐπὶ τὸ πρόσωπον αὐτοῦ, ὥστε μὴ ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ τέλος τοῦ καταργουμένου, ἀλλ' ἐπωρώθη τὰ νοήματα αὐτῶν. ἄχρι γὰρ σήμερον κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει, μὴ ἀνακαλυπτόμενον, ὅ,τι ἐν Χριστῷ καταργεῖται. τάχα ἀσαφὲς τὸ εἰρημένον. οὐκοῦν ἀναγκαῖον αὐτὸ ποιῆσαι σαφέστερον, τῆς ἱστορίας αὐτῆς ὑμᾶς ἀναμνήσας. ἐπειδὴ γὰρ λαβὼν τὰς πλάκας ἐν τῷ ὄρει ἔμελλε καταβαίνειν ὁ Μωϋσῆς, δόξα τις ἀπόρρητος καὶ θαυμαστὴ τῆς ἁγίας ἐκείνης ἐξέλαμψεν ὄψεως τοιαύτη, ὡς μηδένα τῶν πολλῶν αὐτῷ δύνασθαι προσιέναι καὶ διαλέγεσθαι. ἵνα οὖν μὴ διὰ παντὸς ἀπρόσιτος ᾖ τῷ δήμῳ, κάλυμμα ἐπὶ τῆς ὄψεως ἐπιτιθεὶς, παρεῖχε μετὰ ἀδείας τοῖς Ἰουδαίοις αὐτῷ συγγίνεσθαι. καὶ τῷ δήμῳ μὲν ὁμιλῶν εἶχε τὸ κάλυμμα, πρὸς δὲ τὸν Θεὸν ἐπιστρέφων ἀπετίθει τοῦτο πάλιν. τοῦτο δὲ συνέβαινεν, ὁμοῦ μὲν ἵνα ἀξιόπιστος ὁ νομοθέτης φαίνηται τοῖς μέλλουσι τὸν δι' αὐτοῦ κομιζόμενον δέχεσθαι νόμον, ὁμοῦ δὲ ἵνα καὶ ὁ τῆς ἀληθείας ἐν αὐτῷ προδιαχαραγῇ τύπος, καὶ διαγραφῇ τῆς κατὰ Χριστὸν οἰκονομίας ἄνωθεν ἡ αἰτία. ἐπειδὴ γὰρ ἔμελλόν τινες λέγειν, τίνος ἕνεκεν οὐ γυμνῇ τῇ θεότητι παρεγένετο ὁ Χριστὸς, ἀλλὰ σάρκα περιεβάλλετο, ἄνωθεν διὰ τῆς ὄψεως τοῦ δούλου πᾶσι τούτοις ἀπελογήσατο. εἰ γὰρ τὴν τοῦ δούλου δόξαν οὐκ ἠνέγκαν ἰδεῖν τὴν ἐπιγινομένην ὕστερον Ἰουδαῖοι, πῶς ἂν γυμνὴν τὴν θεότητα μετὰ ταῦτα ἰδεῖν ὑπέμειναν; οὐ τοῦτο δὲ μόνον τὸ κάλυμμα ἡμῖν ἐνδείκνυται ἐκεῖνο, ἀλλ' ὅτι καὶ ταῦτα πάσχουσιν οἱ Ἰουδαῖοι ἐπὶ τοῦ νόμου, ἅπερ ἔπασχον ἐπὶ τῆς ὄψεως Μωϋσέως τότε. καθάπερ γὰρ οὐχ ἑώρων τῆς ὄψεως τοῦ νομοθέτου τὴν δόξαν, τοῦ παραπετάσματος ἐκείνου παρεμβεβλημένου μέσον, οὕτως οὐδὲ τὴν τοῦ νόμου δόξαν δύνανται νῦν κατιδεῖν. τοῦτο δὲ καὶ πρὸς αἱρετικοὺς ἀναγκαῖον ἡμῖν. καὶ γὰρ νομίσαντες κατηγορίαν εἶναι τοῦ νόμου τὰ εἰρημένα, κατεδέξαντο τῆς ἐπιστολῆς τὸ χωρίον τοῦτο· καὶ ἐπειδὴ ἤκουσαν, ὅτι κάλυμμα ἔχει ὁ νόμος, καὶ ὅτι καταργεῖται, νομίσαντες εἶναι διαβολὴν, ἀφῆκαν τὰ γράμματα, ἵνα τοῖς οἰκείοις ἁλῶσιν ἐπιχειρήμασιν. αὐτὸ γὰρ τοῦτο δείκνυσι μέγαν ὄντα

β Κορ. γ. ιγ.

τὸν νόμον. ὥσπερ γὰρ τότε οὐκ ἦν κατηγορία Μωϋσέως τὸ κάλυμμα ἔχειν ἐπὶ τῆς ὄψεως, ἀλλ' ἀσθένεια τῶν Ἰουδαίων, Μωϋσέως δὲ καὶ ἐγκώμιον μέγιστον ἦν, ὅτι τοιαύτην εἶχεν ἐπὶ τῆς ὄψεως δόξαν, ὡς καὶ παραπετάσματος δεηθῆναι πρὸς τοὺς ὁμοδούλους, οὕτω καὶ ἐπὶ τοῦ νόμου συνέβη. Εἰ γὰρ μὴ δόξαν εἶχεν ἀπρόσιτον ὁ νόμος, οὐκ ἂν ἐδεήθη καλύμματος. ὅταν οὖν λέγῃ, ὅτι κάλυμμα ἐπὶ τῆς ἀναγνώσεως τῆς παλαιᾶς διαθήκης μένει, τὴν ἀσάφειαν αὐτοῦ φησιν· ὅταν δὲ λέγῃ, μὴ ἀνακαλυπτόμενον, ὅ,τι ἐν Χριστῷ καταργεῖται, τὸ μέρος, ὅπερ ἐστὶν ἀσαφὲς ὁ νόμος, ἡμῖν ἐπέδειξεν. οὐ γὰρ ἐκεῖνο ἀσαφὲς ἦν τοῦ νόμου τὸ μέρος, ὅπερ εἰς βίον ἡμῖν συνετέλει καὶ πολιτείαν (ἐπεὶ περιττῶς ἂν ἐδόθη) ἀλλ' ἐκεῖνα μόνα συνεσκίαστο τὰ μέρη, δι' ὧν ἐδυνάμεθα μαθεῖν, ὅτι διὰ τοῦ Χριστοῦ καταργεῖται. καὶ γὰρ καὶ τοῦτο τῆς τοῦ Θεοῦ σοφίας ἔργον, τὸ τὸν νόμον αὐτὸν εἰσαγαγεῖν λέγοντα περὶ αὐτοῦ, ὅτι Χριστὸς ἐλθὼν αὐτὸν καταργήσει, καὶ ὅ,τι ἐν αὐτῷ παυθήσεται. αὐτὸ οὖν τοῦτο τὸ μέρος τοῦ νόμου τὸ λέγον, ὅτι ἐν Χριστῷ καταργεῖται ὁ νόμος, τοῦτο ἀσαφὲς μόνον ἦν. καὶ τοῦτο αὐτὸ δηλῶν ὁ μέγας Παῦλος, ἐπήγαγε· Μὴ ἀνακαλυπτόμενον, ὅ,τι ἐν Χριστῷ καταργεῖται. ἵνα γὰρ μὴ ἀκούσας, ὅτι κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει, ὅλην αὐτὴν ἀσαφῆ καὶ συνεσκιασμένην εἶναι νομίσῃς, τῇ ἐπαγωγῇ ταύτην διορθοῦται τὴν ὑπόνοιαν. εἰπὼν γάρ, κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει, ἐπήγαγε, μὴ ἀνακαλυπτόμενον, ὅ,τι ἐν Χριστῷ καταργεῖται. τοῦτο αὐτό, φησίν, οὐκ ἀνεκαλύφθη, ὅ,τι μέλλει ἐν Χριστῷ καταργεῖσθαι· οὐκ ἀνεκαλύφθη δὲ τοῖς μὴ προσελθοῦσι τῇ πίστει. ὡς ὅ γε προσελθών, καὶ τῆς τοῦ ἁγίου πνεύματος χάριτος ἀπολαύσας, οὐκέτι μετὰ παραπετάσματος βλέπει τὸν νόμον, ἀλλὰ γυμνὴν αὐτοῦ καθορᾷ τὴν δόξαν. δόξα δὲ νόμου, τὸ δυνηθῆναι διδάξαι, ὅτι ἐν Χριστῷ καταργεῖται, ἵνα καὶ τοῦτο μάθῃς. Εἶδες τοῦ νόμου τὴν δόξαν; δόξα δέ ἐστιν ἀληθὴς ἐκείνου, ὅταν σε πρὸς τὸν Χριστὸν παιδαγωγῆσαι δυνηθῇ· παιδαγωγεῖ δέ, ἐπειδὰν δείξῃς αὐτὸν καταργούμενον. ὥστε καὶ ἐντεῦθεν καιρία τοῖς αἱρετικοῖς ἡ πληγὴ γέγονεν. Εἰ γὰρ ἐναντίος ἦν ὁ νόμος καὶ πολέμιος τοῦ Χριστοῦ, καὶ μὴ παρ' ἐκείνου δοθείς, οὐκ ἔδει Παῦλον δόξαν αὐτὸν καλέσαι, τῷ δυνηθῆναι παιδεῦσαι τοὺς προσιόντας αὐτῷ, ὅτι διὰ Χριστοῦ καταργεῖται. Εἰ πονηρὸς ἦν ὁ νόμος πάλιν, οὐκ ἔδει τὸ κάλυμμα αὐτοῦ ἀφαιρεθῆναι, ἀλλὰ μένειν αὐτὸν καὶ μετὰ τὴν χάριν συνεσκιασμένον. Εἰ δὲ τοῦτο τῆς χάριτος ἔργον, τὸ διορατικωτέρους ποιεῖν τοὺς προσιόντας πρὸς τὴν τοῦ νόμου κατάληψιν, ὥστε ἐκεῖθεν τὰς ἀρχὰς καὶ τὰς ἀφορμὰς πάσας λαμβάνειν τῆς πρὸς τὸν Χριστὸν πίστεως· τί μεῖζον τούτου τεκμήριον τῆς τοῦ νόμου συγγενείας τῆς πρὸς τὴν χάριν εἴποι τις ἄν, ἀλλ' ἢ ὅταν μὲν Χριστὸς ἀνοίγῃ τοὺς ὀφθαλμοὺς τῶν αὐτῷ προσιόντων, ὥστε δυνηθῆναι κατιδεῖν τοῦ νόμου τὴν ἀγωγήν, ἐκείνη δὲ φανεῖσα καὶ γυμνουμένη δήλη παραπέμψαι μετὰ πολλῆς τῆς εὐκολίας δυνήσεται τοὺς συνιέντας τὰ Χριστοῦ. Ταῦτα γὰρ οὔτε τὸν Χριστὸν τῷ νόμῳ μαχόμενον δείκνυσιν, οὔτε τὸν νόμον πολεμοῦντα τῷ Ἰησοῦ· ἀλλὰ τοὐναντίον ἅπαν, τὸν μὲν προοδοποιοῦντα τῇ μεγάλῃ ταύτῃ φιλοσοφίᾳ, τὸν δὲ ἐκεῖθεν αὐτοὺς παραλαμβάνοντα καὶ πρὸς ἄκραν ἄγοντα κορυφήν. Ὑπὲρ δὲ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ φιλανθρώπῳ Θεῷ, τῷ κατὰ τὸν προσήκοντα καιρὸν ἕκαστα οἰκονομοῦντι, καὶ πολυτρόπως τὴν ἡμετέραν πραγματευομένῳ σωτηρίαν, καὶ τῆς αὐτοῦ φιλανθρωπίας καὶ τῆς τοσαύτης προνοίας ἀξίαν κατὰ δύναμιν ἐπιδειξώμεθα πολιτείαν, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, τιμή, κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

β. Κορ. γ. ιδ.

ΕΤΙ

ΕΤΙ ΕΙΣ ΤΗΝ ΑΣΑΦΕΙΑΝ ΤΗΣ ΠΑΛΑΙΑΣ ΔΙΑθήκης, καὶ εἰς τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, καὶ περὶ τοῦ μὴ κατηγορεῖν ἀλλήλων. Λογ. ϛ.

Χαίρει μὲν βουκόλος, ἐπειδὰν εὐπαθοῦσαν αὐτῷ καὶ σφριγῶσαν ἴδῃ τῶν βοῶν τὴν ἀγέλην· χαίρει δὲ καὶ γηπόνος, θεωρῶν κομῶντα τὰ λήϊα. ἀλλ' οὔτε γηπόνος ἐπὶ τοῖς ληΐοις, οὔτε βουκόλος ἐπὶ ταῖς βουσὶν οὕτω χαίρουσιν, ὡς ἐγὼ χαίρω νῦν καὶ ἀγάλλομαι, τὴν καλὴν ταύτην ἅλω τῶν πνευματικῶν τούτων δραγμάτων πεπληρωμένην ὁρῶν. ὅταν γὰρ εἰς ἀκοὰς τοσαύτας καὶ τοιαύτας σπείρηται τῆς εὐσεβείας ὁ λόγος, ἀνάγκη ταχέως πολὺν καὶ ὥριμον βλαστῆσαι τῆς ὑπακοῆς τὸν ἄσταχυν. καὶ γὰρ ὅταν τις εἰς βαθύγειον καὶ λιπαρὰν ἄρουραν αὔλακα τέμῃ, κἂν μὴ δαψιλεῖ τῇ χειρὶ καταβάλῃ τὰ σπέρματα, πολλὴν δέξεται τὴν φορὰν, τῆς φύσεως τοῦ χωρίου τὴν ὀλιγότητα τῶν σπερμάτων διὰ τῆς οἰκείας δυνάμεως πλεοναζούσης· οὕτω καὶ ὅταν τις εἰς ψυχὰς σπείρῃ καταπειθοῦς καὶ εὐλαβείας γεμούσας, κἂν ὀλίγα καταβάλῃ τὰ τῆς διδασκαλίας σπέρματα, πλούσιον ὄψεται τὸν ἄμητον, τῆς τῶν ἀκουόντων σοφίας τὴν τοῦ λέγοντος πενίαν ἀποκρυπτούσης. τοῦτο καὶ ἐπὶ τῆς ἁλιείας γίνεται τῶν ἰχθύων. κἂν γὰρ ἄπειροι τυγχάνωσιν ὄντες οἱ ἁλιεῖς, εἰς κόλπον δὲ βάλωσι τὰ δίκτυα πολλοὺς ἔχοντα τοὺς ἰχθύας, ῥᾳδίως τῆς θήρας ἐπιτυγχάνουσι, τοῦ πλήθους τῶν συντρεχόντων ἰχθύων συσκιαζούσης ἐκείνων τὴν ἀπειρίαν. εἰ δὲ ἐπὶ τῆς ἄγρας ἐκείνης τῶν ἁλιεύεσθαι μελλόντων τὸ πλῆθος τοῦ σαγηνεύοντος πολλάκις παραμυθεῖται τὴν ἀμάθειαν, πολλῷ μᾶλλον ἐπὶ τῆς ἁλιείας ταύτης τῆς πνευματικῆς τοῦτο συμβήσεται. καὶ γὰρ ἐκεῖνοι μὲν οἱ ἰχθύες, ὅταν ἴδωσιν ἐμβληθέντα τὰ θήρατρα, εὐθέως ἀποπηδῶσι καὶ ἐξάλλονται· ὑμεῖς δὲ τὸ ἐναντίον ποιεῖτε· ὅταν ἴδητε ἀναστάντα καὶ τὴν σαγήνην ἁπλώσαντα τῆς διδασκαλίας, οὐ μόνον οὐκ ἀποπηδᾶτε καὶ ἐξάλλεσθε, ἀλλὰ καὶ ἐνδοτέρω βαδίζετε πανταχόθεν συντρέχοντες, καὶ τὸν πλησίον ἕκαστος ὠθῶν καὶ θλίβων, πρότερος αὐτὸς ἐπείγεται ἐμπηδῆσαι καὶ ἐμπεσεῖν εἰς τὰ δίκτυα. διὰ τοῦτο οὐδέποτε κενὴν ἀνέσπασα μὲν τὴν σαγήνην, οὐ διὰ τὴν ἡμετέραν ἐμπειρίαν, ἀλλὰ διὰ τὴν ὑμετέραν ἐπιθυμίαν. ἱκανῶς μὲν οὖν ἡμᾶς καὶ πρώην εἱστίασεν ἡ χρυσῆ δόκιμος καὶ καθαρὰ ῥέουσα γλῶττα καὶ πηγὰς ἔχουσα μέλιτος ἐν τῷ στόματι (ἡ τοῦ μακαρίου, λέγω, Παύλου) μᾶλλον δὲ καὶ κηρίου παντὸς ἀποκρύπτουσα τὴν ἡδονὴν, τῇ τῆς πνευματικῆς διδασκαλίας γλυκύτητι. ἐπεὶ δὲ κατὰ τὴν πρέπουσαν ὑμῖν φιλοσοφίαν οὐδὲ τὰ τοῦ πένητος ἐμοῦ καὶ πτωχεύοντος ἀτιμάζετε, ἀλλὰ θαυμάζετε μὲν τὰ πολλὴν ἔχοντα ὑπεροχὴν, προσίεσθε δὲ καὶ τὰ τῆς ἡμετέρας εὐτελείας ῥήματα, ἀνέστην μετὰ προθυμίας ἀποδώσων ὑμῖν τὸ ὄφλημα, ὃ πρώην ὑπεσχόμην μὲν, οὐ κατέβαλον δὲ, τοῦ μήκους τῆς διδασκαλίας ἐκκρούσαντος ὑμᾶς τοῦ τέλους. τί οὖν ἦν τὸ ὄφλημα ἐκεῖνο; ἀνάγκη γὰρ ἀναμνῆσαι ὑμᾶς τὴν ἀρχὴν τοῦ δανείσματος, ὥστε σαφεστέραν ὑμῖν ἀπὸ τῆς ὑποθέσεως γενέσθαι τὴν ἐξήγησιν. ἐζητήσαμεν τότε τίνος ἕνεκεν ἀσαφεστέρα τῆς καινῆς ἡ παλαιὰ διαθήκη (τάχα γὰρ μέμνησθε) καὶ μίαν τέως εἰρήκαμεν αἰτίαν, τὴν θηριωδίαν τῶν ἀκουόντων, καὶ μάρτυρα παρηγάγομεν τὸν Παῦλον λέγοντα· ὅτι Τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει, μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται. ἐδείξαμεν ὅτι καθάπερ Μωϋσῆς εἶχε κάλυμμα ὁ νομοθέτης, οὕτω καὶ ὁ νόμος εἶχε κάλυμμα, τὴν ἀσάφειαν· ἀλλ' οὔτε τοῦ νομοθέτου ἔγκλημα, οὔτε τοῦ νόμου κατηγορία τὸ κάλυμμα, ἀλλὰ τῆς ἀσθενείας τῶν ἀκουόντων. οὐδὲ γὰρ δι' ἑαυτὸν εἶχε κάλυμμα ὁ Μωϋσῆς, ἀλλ'

β. Κορ. γ. ιδ.

ἐπὶ

ἐπειδὴ οὐκ ἠδύναντο ὑπενεγκεῖν τὴν δόξαν τοῦ προσώπου αὐτοῦ. ὅτε γοῦν ἐπέστρεφε πρὸς Κύριον, περιῄρητο τὸ κάλυμμα. οὕτω καὶ ὁ νόμος, ἐπειδὴ οὐδέπω ἠδύνατο μαθεῖν τὰ τέλεια διδάγματα καὶ φιλοσοφίας γέμοντα τά τε περὶ Χριστοῦ καὶ τῆς καινῆς διαθήκης (πάντα γὰρ ἐκεῖνα ἐναπέκειτο, καθάπερ ἐν θησαυρῷ, τῇ παλαιᾷ γραφῇ) κάλυμμα εἶχεν. ἐκείνοις μὲν συγκαταβαίνων, ἡμῖν δὲ τηρῶν τὸν πλοῦτον ἅπαντα· ἵν', ὅταν παραγένηται ὁ Χριστὸς, καὶ ἐπιστρέψωμεν πρὸς αὐτὸν, περιαιρεθῇ τὸ κάλυμμα. ὁρᾶτε τοίνυν εἰς ὅσην ἡμᾶς ἀξίαν ἤγαγεν ἡ τοῦ Χριστοῦ παρουσία, εἰς τὴν τάξιν ἀνάγουσα Μωϋσέως; ἀλλ' ἴσως ἐρεῖ τις, καὶ τίνος ἕνεκεν ἐλέγετο τότε, εἰ μὴ ἔμελλεν αὐτοῖς σαφῆ εἶναι τὰ λεγόμενα; ἵνα τοῖς μετὰ ταῦτα γένηται χρήσιμα. προφητείας γὰρ ἀξίωμα τοῦτο ἐστιν, οὐχ ὅταν τὰ παρόντα ἀπαγγείλῃ πράγματα, ἀλλ' ὅταν τὰ μέλλοντα προαναφωνήσῃ. προφητεία δὲ, ὅταν συνεσκιασμένως λέγηται, μετὰ τὴν τῶν πραγμάτων ἔκβασιν γίνεται σαφεστέρα· πρὸ δὲ τῆς ἐκβάσεως, οὐδαμῶς. ὥστε, ἐπειδὴ τότε μὲν ἐλέγετο συνεσκιασμένως, ἀσαφὴ ἦν· ὅτε δὲ ἐκβέβηκε τὰ πράγματα, διὰ τοῦτο σαφέστερα ἦν τὰ λεγόμενα. καὶ ἵνα μάθητε, ὅτι προφητεία, κἂν πρὸ πολλοῦ λέγηται τοῦ χρόνου, συνεσκιασμένως δὲ λέγηται, ἀσαφεστέρα γίνεται ἀναμένουσα τὴν ἐκ τῶν πραγμάτων ἔκβασιν, ἀπ' αὐτῶν τῶν μαθητῶν ὑμῖν τοῦτο ποιήσω φανερόν. Λύσατε τὸν ναὸν τοῦτον Ιωαν. β. ιθ. τοῖς Ἰουδαίοις ἔλεγεν ὁ Χριστός. ἐπειδὴ γὰρ ἐδίωκεν αὐτοὺς διὰ τῆς καπηλείας εἰς τὸν ναὸν ἐνυβρίζοντας, λέγουσιν ἐκεῖνοι· Τί σημεῖον δεικνύεις ἡμῖν, ὅτι ταῦτα ποιεῖς; καὶ πρὸς τοῦτό φησι· Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. ἐκεῖνος δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ. τοῦτο προφητεία τίς ἐστιν. οὔπω γὰρ ἦν ἐκβεβηκὼς ὁ σταυρὸς, οὐδὲ ἡ λύσις τοῦ ναοῦ, οὐδὲ ἡ τριήμερος ἀνάστασις, ἣν αὐτὸς ἐποιήσατο. καὶ ὅρα πῶς τὰ ἀμφότερα μετ' ἀκριβείας ἠνίξατο, καὶ τὴν τόλμαν τὴν ἐκείνων, καὶ τὴν οἰκείαν αὐτοῦ δύναμιν. ἀλλ' ὅμως οὐκ ᾔδεσαν τὰ λεγόμενα. καὶ τὸ μὲν Ἰουδαίους ἀγνοεῖν, οὐδὲν θαυμαστόν· λέγει δὲ, ὅτι οὐδὲ οἱ μαθηταὶ αὐτοῦ συνῆκαν, ἕως ἀνέστη ἐκ τῶν νεκρῶν· καὶ τότε ἐπίστευσαν τῇ γραφῇ, καὶ τῷ Ιωαν. β. κβ. λόγῳ, ᾧ εἶπεν ὁ Ἰησοῦς. ὁρᾷς ὅτι ἐδεήθησαν τῆς διὰ τῶν πραγμάτων ἐκβάσεως, ἵνα σαφεστέρα γένηται ἡ προφητεία· καὶ ὅτι ἔγκλημα οὐκ εἶχον οἱ Ἰουδαῖοι μὴ συνιέντες τὰς προφητείας ἐκείνας τὰς περὶ Χριστοῦ πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας; τῇ γὰρ παρουσίᾳ δῆλαι ἔμελλον γίνεσθαι καὶ σαφεῖς. ἄκουσον αὐτοῦ τοῦ Χριστοῦ λέγοντος, Εἰ μὴ ἦλθον καὶ ἐλάλησα Ιωαν. ιε. κβ. αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον. διὰ τί οὐκ εἶχον ἁμαρτίαν, εἰ αἱ προφητεῖαι προέλεγον; ὅτι προέλεγον μὲν, οὐκ ἦσαν δὲ σαφεῖς, οὐδὲ δῆλαι πρὸ τῆς παρουσίας τῶν προλεγομένων. εἰ γὰρ καὶ τότε σαφεῖς ἦσαν αὐτοῖς καὶ δῆλαι, δῆλον ὅτι καὶ πρὸ τῆς παρουσίας αὐτοῦ ἁμαρτίαν εἶχον· εἰ δὲ ἁμαρτίαν οὐκ εἶχον, εὔδηλον ὅτι διὰ τὴν ἀσάφειαν αὐτῶν καὶ τὸ συνεσκιάσθαι τὰ λεγόμενα. οὐδὲ γὰρ ἀπῃτοῦντο τὴν εἰς τὸν Χριστὸν πίστιν πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας. τίνος οὖν ἕνεκεν προελέγετο τότε; ἵν', ὅταν παραγένηται, οἴκοθεν ἔχωσι τοὺς διδασκάλους ἐνάγοντας αὐτοὺς, καὶ εἰδῶσιν ὅτι οὐ καινοτομία τὰ γινόμενα, οὐδὲ πρόσφατος ἡ οἰκονομία, ἀλλ' ἄνωθεν ταῦτα καὶ πρὸ πολλῶν προανεκηρύττετο χρόνων. οὐ μικρὸν δὲ τοῦτο εἰς τὸ ἐπισπάσασθαι πρὸς τὴν πίστιν αὐτούς.

Μία μὲν οὖν αὕτη τῆς ἀσαφείας αἰτία, ἣν καὶ διὰ πλειόνων ἀπεδείξαμεν μαρτυριῶν ἐν τῇ προτέρᾳ διαλέξει. ἵν' οὖν μὴ πάλιν ὑμᾶς ἐνοχλῶμεν τὰ αὐτὰ λέγοντες, ἀναγκαῖον μὲν ταύτης ἀποστῆναι, ἑτέραν δὲ εἰπεῖν τὴν οὐκ ἀσαφῆ καὶ ἄγνωστον, ἀλλὰ δυσκολωτέραν ἡμῖν ποιοῦσαν τὴν παλαιὰν διαθήκην. ἄλλο γάρ ἐστι μηδὲν ὅλως εἰδέναι τῶν ἐγκειμένων, καὶ ὁρᾶν κάλυμμα ἐπικείμενον, ἄλλο δὲ εὑρεῖν μὲν τὰ λεγόμενα, μετὰ πόνου δὲ εὑρεῖν. τίς οὖν ἐστιν ἡ δευτέρα αἰτία, δι' ἣν δυσκολωτέρα ἡ παλαιὰ διαθήκη τῆς νέας ἐστίν; οὐχὶ τῇ ἐγχωρίῳ φωνῇ ἔχομεν τὴν παλαιὰν διαθήκην παρ' ἡμῖν γεγραμμένην· ἀλλ' ἑτέρᾳ μὲν συνετέθη γλώττῃ, ἑτέρᾳ δὲ ἔχομεν αὐτὴν ἀναγινωσκομένην ἡμεῖς. τῇ γὰρ Ἑβραίων φωνῇ παρὰ τὴν

ἀρχὴν συνεγράφη· ἡμεῖς δὲ αὐτὴν τῇ Ἑλλήνων μετελάβομεν γλώττῃ. ὅταν δὲ γλῶττα
ἑρμηνευθῇ εἰς ἑτέραν γλῶτταν, πολλὴν ἔχει τὴν δυσκολίαν. καὶ ἴσασιν ἀκριβῶς, ὅσοι
πολλῶν γλωσσῶν εἰσὶν ἔμπειροι, πῶς οὐ δυνατὸν πᾶσαν τὴν σαφήνειαν τῆς φωνῆς τῆς
ἐν τῇ οἰκείᾳ φύσει κειμένης μετενεγκεῖν εἰς τὴν ἑτέραν μεταβάλλοντας γλῶτταν. τοῦτο δεύ
αἴτιον τῆς δυσκολίας τῆς ἐν τῇ παλαιᾷ διαθήκῃ γέγονε. πρὸ γὰρ ἑκατὸν ἐτῶν τῆς τοῦ Χριστοῦ
παρουσίας, ἐπὶ Πτολεμαίου τοῦ βασιλέως τῶν Αἰγυπτίων, πρὸς τὴν Ἑλλάδα μετηνέχθη
γλῶτταν ἡ παλαιὰ διαθήκη, χρησίμως σφόδρα καὶ ἀναγκαίως. ἕως μὲν γὰρ ἑνὶ ἔθνει
τῶν Ἰουδαίων διελέγετο, ἔμενεν ἐν τῇ Ἑβραΐδι φωνῇ. οὐδεὶς γὰρ τότε ἔμελλεν αὐτῇ προσέχειν,
τοῦ λοιποῦ τῶν ἀνθρώπων γένους εἰς θηριωδίαν ἐσχάτην ἐληλακότος. ἐπεὶ δὲ ἔμελλεν
ὁ Χριστὸς παραγίνεσθαι, καὶ τὴν οἰκουμένην πᾶσαν πρὸς ἑαυτὸν καλεῖν, οὐχὶ διὰ τῶν ἀποστόλων
μόνον, ἀλλὰ καὶ διὰ τῶν προφητῶν (καὶ γὰρ κἀκεῖνοι πρὸς τὴν πίστιν ἡμᾶς χειραγωγοῦσι
τῆς τοῦ Χριστοῦ γνώσεως) τηνικαῦτα λοιπὸν ὥσπερ εἴς τινας εἰσόδους καὶ ὁδοὺς τὰς
προφητείας πρότερον ἀποκεκλεισμένας τῇ τῆς γλώττης ἀσαφείᾳ, πάντοθεν ἀνοιγῆναι
παρεσκεύασε διὰ τῆς ἑρμηνείας· ἵνα πάντες οἱ ἐκ τῶν ἐθνῶν πανταχόθεν συῤῥέοντες, καὶ
μετὰ πολλῆς τῆς εὐκολίας ταύτας ὁδεύοντες τὰς ὁδοὺς, δι' αὐτῶν δυνηθῶσι πρὸς τὸν βασιλέα
τῶν προφητῶν ἐλθεῖν, καὶ προσκυνῆσαι τὸν μονογενῆ τοῦ Θεοῦ υἱόν. διὰ τοῦτο πρό γε τοῦ
χρόνου τῆς παρουσίας τοῦ Χριστοῦ ἡρμηνεύθησαν ἅπασαι· ἐπεὶ, εἰ ἔμενον ἐν τῇ Ἑβραΐδι
Ψαλ. β. η. διαλέκτῳ μόνον, ἔλεγε δὲ ὁ Δαβὶδ, Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν
σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς, πόθεν ἔμελλεν εἰδέναι τὸ λεγόμενον ὁ Σύρος, ἢ
ὁ Γαλάτης, ἢ ὁ Μακεδὼν, ἢ ὁ Ἀθηναῖος, ἐν ἀσαφείᾳ μενούσης τῆς γραφῆς; πάλιν ὁ Ἡσαΐας
Ησ. νγ. ἐβόα· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος.
Ησ. ια. ι. καὶ πάλιν, Ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι.
Ησ. ια. θ. καὶ πάλιν, Πλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι
Ψαλ. μϛ. ε. θαλάσσας. καὶ ὁ Δαβὶδ πάλιν ἔλεγεν, Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος.
Ψαλ. ρθ. α. καὶ πάλιν, Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς
ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. ἐπεὶ οὖν καὶ περὶ τοῦ πάθους, καὶ περὶ τῆς ἀναστάσεως, καὶ
περὶ τῆς ἀναλήψεως, καὶ περὶ τῆς ἐκ δεξιῶν καθέδρας, καὶ περὶ τῆς δευτέρας αὐτοῦ παρουσίας,
καὶ περὶ πάντων τούτων ἁπλῶς τῶν ἐν τῇ καινῇ κειμένων προεῖπεν ἡ παλαιὰ διαθήκη,
ἵνα μὴ ἄγνωστα μένῃ ταῦτα τοῖς ἔθνεσι τοῖς μετὰ ταῦτα μέλλουσιν ἔσεσθαι, καὶ ἀγνοοῦσι τῆς ἴσ. ἀγνο
προφητείας τὴν ἰσχὺν, ᾠκονόμησεν ἡ τοῦ Θεοῦ χάρις πρὸ τῆς παρουσίας τοῦ Χριστοῦ ἑρμηνευθῆναι
τὰς γραφὰς, οὐ τοῖς ἐξ ἐθνῶν μόνον, ἀλλὰ καὶ Ἰουδαίων τοῖς πανταχοῦ τῆς
οἰκουμένης διασπαρεῖσι καὶ τὴν Ἑβραΐδα λοιπὸν ἀποβαλοῦσι γλῶτταν χρησίμους αὐτὰς
ποιῶν. ἰδοὺ γὰρ ἐπίστευσεν ὁ ἐξ ἐθνῶν, βλέπων τὰ σημεῖα τῶν Ἰουδαίων· πῶς εἶχον
πάλιν ἐπαγαγέσθαι τὸν Ἰουδαῖον οἱ ἀπόστολοι, εἰ μὴ ἔμελλον αὐτῷ διδάσκαλοι οἴκοθεν
παρέχειν τὸν προφήτην; εἰ γὰρ εἰς Ἀθήνας εἰσελθὼν ὁ Παῦλος ἐπιγράμματος
ἐδεήθη ἐγκεκολαμμένου βωμῷ, καὶ τὴν διδασκαλίαν ἐξ ἐκείνου πρὸς αὐτοὺς ἐποιήσατο,
τοῖς οἰκείοις αὐτῶν ὅπλοις εὐκολώτερον αἱρήσειν προσδοκῶν, ὅπερ καὶ ἐγένετο,
πολλῷ μᾶλλον Ἰουδαίοις διαλεγόμενος ἐδεῖτο συμμαχίας τῆς ἀπὸ τῶν προφητῶν,
ὥστε μὴ καὶ ἐκείνους ἐγκαλεῖν, ὅτι καινά τινα καὶ ξενίζοντα εἰσφέρει εἰς τὰς ἀκοὰς αὐτῶν.
καὶ διὰ τί, φησιν, οὐκ ἦν μία φωνὴ, καὶ πάσης ἦμεν ἀπηλλαγμένοι τῆς δυσκολίας; μία φωνὴ
τὸ παλαιὸν ἦν, ὦ ἄνθρωπε, καὶ ὥσπερ μία φύσις ἀνθρώπων, καὶ μία φωνὴ πάντων ἦν.
οὐκ ἦν ἑτερόγλωσσος ἀπ' ἀρχῆς, οὐκ ἦν ἑτερόφωνος, οὐκ ἦν Ἰνδὸς, οὔτε Θρᾷξ, οὔτε Σκύθης·
ἀλλὰ πάντες μιᾷ διελέγοντο γλώσσῃ. τί οὖν γέγονε τὸ αἴτιον, φησιν; ἀνάξιοι τῆς μιᾶς
ταύτης φωνῆς ἐφάνημεν ἡμεῖς, οἱ ἀγνώμονες ἀεὶ περὶ τὸν εὐεργέτην. τί λέγεις; φωνῆς

ἀνάξιοι ἐφάνημεν; καὶ τὰ μὲν ἄλογα τὴν οἰκείαν φωνὴν ἔχει πάντα· βληχᾶται πρόβατα, μυκῶνται αἶγες, μυκᾶται ταῦρος, χρεμετίζει ἵππος, βρύχεται λέων, ὠρύεται λύκος, συρίζει δράκων. ἕκαστον τῶν ἀλόγων τὸν οἰκεῖον φθόγγον διετήρησεν, ἐγὼ δὲ μόνος τῆς οἰκείας ἀπεστέρημαι φωνῆς; καὶ τὰ ἄγρια καὶ τὰ ἥμερα, καὶ τὰ χειροήθη καὶ τὰ ἀτιθάσευτα ζῶα ἔμεινεν ἕκαστον ἔχοντα τὴν ἐξ ἀρχῆς συγκληρωθεῖσαν αὐτοῖς φωνήν· ἐγὼ δὲ ὁ ἄρχων αὐτῶν ἠτίμωμαι; κἀκείνοις ἀκίνητοι αἱ τιμαί· ἐγὼ δὲ ἐξέπεσον τῆς δωρεᾶς τοῦ Θεοῦ; καὶ τί τοσοῦτον ἡμάρτηταί μοι; οὐκ ἤρκουν αἱ πρότεραι τιμωρίαι; ἔδωκέ μοι τὸν παράδεισον, καὶ ἐξέβαλέ με τοῦ παραδείσου· ἔζων βίον ἀταλαιπώρητον καὶ πόνων ἀπηλλαγμένον, κατεδίκασέ με ἱδρῶτι καὶ μόχθῳ· ἄσπαρτα καὶ ἀνήροτα πάντα μοι παρεῖχεν ἡ γῆ, ἐκέλευσεν αὐτῇ ἀκάνθας καὶ τριβόλους ἀνενεγκεῖν, καὶ εἰς αὐτήν με πάλιν ἀπέστρεψε· θανάτῳ με ἐκόλασε· τὸ τῶν γυναικῶν γένος ἐκόλασεν ἐπιβαλὼν ὠδῖσι καὶ πόνοις. οὐκ ἤρκει ταῦτα εἰς τιμωρίαν, ἀλλὰ καὶ τῆς φωνῆς με ἐξέβαλε καὶ ταύτης ἀπεστέρησε τῆς τιμῆς· ἵνα τοὺς ὁμοφύλους καὶ ὁμογλώσσους, καθάπερ θηριώδεις, ἀποστρέφωμαι, τῆς φωνῆς διατειχιζούσης μοι τὴν συνουσίαν; διὰ τοῦτο ηὔξησα τὴν ἀντίθεσιν, ἵν᾽, ὅταν ἐπαγάγω τὴν λύσιν, λαμπροτέρα γένηται ἡ νίκη. Εἰ ἐβούλετό με, φησίν, ἐκβαλεῖν τούτων ἁπάντων, τίνος ἕνεκέν μοι αὐτὰ παρὰ τὴν ἀρχὴν ἐδίδου; βούλεσθε ἀπ᾽ αὐτοῦ τούτου ἐπαγάγω τὴν λύσιν, ἀπ᾽ αὐτῆς τῆς ἀντιρρήσεως τῆς ψιλῆς; τοσαύτη γὰρ τῶν ὑπὲρ τοῦ Θεοῦ δικαιωμάτων ἡ περιουσία, ὡς αὐτὴν τοῦ ἀντιλέγοντος τὴν ἀντίρρησιν, μηδὲν παρ᾽ ἡμῶν προσλαμβάνουσαν, ἀρκέσαι πρὸς τὴν τῶν ἐγκλημάτων λύσιν. Εἰ ἐβούλετό με ἐκβαλεῖν πάντων τούτων, τίνος ἕνεκεν αὐτά μοι παρὰ τὴν ἀρχὴν ἐδίδου; καὶ γὰρ κἀγὼ τὸ αὐτὸ λέγω. Εἰ ἐβούλετό σε ἐκβαλεῖν πάντων τούτων, τίνος ἕνεκεν ἐδίδου; ὥστε, ἐπειδὴ οὐκ ἐβούλετό σε ἐκβαλεῖν, διὰ τοῦτο ἔδωκέ σοι ταῦτα παρὰ τὴν ἀρχήν. τί οὖν ἐγένετο; οὐχ ὁ Θεός σε ἐξέβαλεν, ἀλλὰ σὺ ἀπώλεσας τὰ δοθέντα. ἐκεῖνον θαύμαζε τῆς φιλανθρωπίας, ὅτι ἐχαρίσατο· σαυτῷ μέμφου τῆς ῥᾳθυμίας, ὅτι τὸ δῶρον οὐκ ἐφύλαξας. ὥστε δῆλον, ὅτι οὐχ ὁ παρακαταθέμενος αἴτιος, ἀλλ᾽ ὁ τὴν παρακαταθήκην προδοὺς, ἐγκλημάτων ὑπεύθυνος. ὅτι γὰρ ἐφίλει, καὶ φιλάνθρωπος ἦν, καὶ ἐβούλετο χαρίσασθαι, ἔδειξεν, οὐδενὸς δὲ ἀναγκάζοντος οὐδὲ βίαν ἐπιτιθέντος, οὐ τὰ κατορθώματά σου θαυμάσας, οὐκ ἔχων σοι πόνων ἀμοιβὴν ἀποδοῦναι· ἀλλ᾽ εὐθέως πλάσας, εὐθέως εἰς τὴν ἀρχὴν μετήγαγε ταύτην, ἵνα δείξῃ ὅτι οὐκ ἀντίδοσις ἀμοιβῆς ἡ δωρεά, ἀλλὰ γυμνὴ ἡ χάρις ἦν. Εἰ δὲ οὐκ ἐφύλαξας τὰ δοθέντα, σαυτὸν αἰτιῶ, μὴ τὸν δεδωκότα τὴν δωρεάν. ἆρ᾽ οὖν τοῦτο μόνον ἔχομεν εἰπεῖν ὑπὲρ τοῦ δεσπότου; ἱκανὴ μὲν οὖν καὶ αὕτη ἡ ἀπολογία. ἀλλ᾽ ἡ ἄπειρος αὐτοῦ ἀγαθότης καὶ ἡ ἄρρητος φιλανθρωπία καὶ ἑτέραν ἡμῖν περιουσίαν δικαιωμάτων παρέχει. οὐδὲ γὰρ τοῦτο μόνον ἔστιν εἰπεῖν, ὅτι αὐτὸς μὲν ἔδωκε, σὺ δὲ ἀπώλεσας (ἀπήλλακται μὲν γὰρ καὶ ὑπὸ τῶν ἐγκλημάτων ὁ δούς· μᾶλλον δὲ καὶ μεγίστου θαύματός ἐστιν ἄξιος, ὅτι καὶ προειδὼς ὅτι ἀπολεῖς, οὐκ ἀπεστέρησέ σε τῆς δωρεᾶς) πλὴν ἀλλὰ καὶ ἕτερον πολλῷ μεῖζον ἔχω τούτων εἰπεῖν. τί δὲ τοῦτό ἐστιν; ὅτι καὶ μετὰ τὸ ἀπολέσαι διὰ οἰκείας ῥᾳθυμίας, πάλιν ἀποδέδωκέ σοι τὰ ἀπολωλότα· μᾶλλον δὲ οὐ τὰ ἀπολωλότα μόνον, ἀλλὰ καὶ πολλῷ μείζονα τούτων. ἀπώλεσας μὲν γὰρ παράδεισον, ἔδωκε δέ σοι τὸν οὐρανόν. ὁρᾷς πῶς μείζων ἡ εὐπορία τῆς ζημίας, πῶς πλείων ὁ πλοῦτος; ἔδωκέ σοι τὸν οὐρανόν, ἵνα καὶ τὴν οἰκείαν φιλανθρωπίαν ἐπιδείξηται, καὶ τὸν διάβολον δάκῃ, δεικνύς, ὅτι κἂν μυρία πρὸς τὸ τῶν ἀνθρώπων ἐπιβουλεύσῃ γένος, οὐδὲν ἔσται πλέον αὐτῷ, τοῦ Θεοῦ πρὸς μείζονα ἀεὶ τιμὴν ἡμᾶς ἀνάγοντος. ἀπώλεσας τοίνυν παράδεισον, καὶ ἀνέῳξέ σοι ὁ Θεὸς τὸν οὐρανόν· κατεδικάσθης πόνῳ προσκαίρῳ, καὶ ἐτιμήθης ζωῇ αἰωνίῳ· ἐκέλευσε τῇ γῇ ἀκάνθας καὶ τριβόλους ἀνενεγκεῖν, καὶ ἐβλάστησέ σοι καρπὸν πνεύματος ἡ ψυχή. καὶ σκόπει μοι τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, μέχρι πόσου κατέβη. ἐν τοῖς ἀπολλύουσί τινα τῶν οἰκείων κτημάτων, κἂν μείζονα λάβωσι καὶ πολυτελέστερα, ἐκεῖνα τὰ ἀπολωλότα ζητεῖν ἐφίεται, καὶ μὴ πρότερον πληροφορεῖσθαι, ἕως ἂν αὐτὰ ἀπολάβωσιν. ἐπεὶ οὖν ἀπώλεσας παράδεισον, οὐχὶ οὐρανόν σοι δέδωκε μόνον, ἀλλὰ καὶ παράδεισον καὶ οὐρανόν. Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ, φησίν· ἵνα μὴ μόνον τῇ τῶν μειζόνων προσθήκῃ, ἀλλὰ καὶ τῇ τῶν ἀπολωλότων ἀνακτήσει παραμυθήσηται τὴν ὀδυνωμένην ψυχήν. ἀλλ', εἰ δοκεῖ, καὶ ἐπ' αὐτὸ τοῦτο ἔλθωμεν τὸ προκείμενον, καὶ ἴδωμεν πῶς ἀπωλέσαμεν τὴν φωνήν. οὐδὲ γὰρ μικρὸν εἰς ἀσφαλείας λόγον ἡ ἱστορία. ὁ γὰρ μαθὼν τὸν τρόπον τῆς προτέρας ἀσφαλείας, πρὸς τὰ λοιπὰ ἀσφαλέστερος ἔσται. ἀναγκαῖον δὲ πάντα πρὸς ὑμᾶς εἰπεῖν οἶμαι, ὅτι μία φωνὴ τὸ παλαιὸν πάντων ἀνθρώπων ἦν, ὅτι εἰς πολλὰς ὕστερον μετέπεσε. μέχρι πότε μία ἦν; καὶ πότε μετέπεσεν εἰς πολλάς; καὶ πότερον αὐτὴ ἐκείνη ἠφανίσθη, καὶ ἕτεραι εἰσηνέχθησαν, ἢ μενούσης ἐκείνης ἐπεισήχθησαν αἱ λοιπαί; διατί συνεχύθη, καὶ ἐκ ποίας αἰτίας; εἶτα, ποίᾳ τούτων τῶν πολλῶν φωνῶν ἡ παλαιὰ συνέκειτο διαθήκη (διὰ γὰρ ἐκείνην πάντα ταῦτα ἐκινήσαμεν) πότερον τῇ ἀρχαίᾳ καὶ πρεσβυτέρᾳ, ἢ ταῖς ὕστερον ἐπεισενεχθείσαις; ἀλλὰ μὴ δείσητε. κἂν γὰρ μὴ τήμερον ἅπαντα δυνηθῶμεν ἀποδοῦναι, ἀλλὰ πάντως ὑμῖν ἀποδώσομεν ὕστερον. τίνος οὖν ἕνεκεν μὴ μέλλοντες ἅπαντα τήμερον ἀποδιδόναι, ἁπάντων τῶν ὀφλημάτων τὴν ὑπόθεσιν ὑμῖν ἀνέγνωμεν; ἵνα προσδοκῶντες τὴν ἀπόδοσιν, διαπαντὸς κατὰ νοῦν ἡμᾶς ἔχητε. καὶ γὰρ ὁ χρυσίον τινὶ δανείσας καὶ ὑπεύθυνον ἔχων τοῦ ὀφλήματος, καὶ ἐν τραπέζῃ, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ ἐν κλίνῃ, καὶ πανταχοῦ τὸν ὀφείλοντα αὐτῷ φαντάζεται καὶ ὀνειροπολεῖ· καὶ ὁ τῶν χρημάτων ἔρως μετὰ τῶν χρημάτων κἀκεῖνον ἐπὶ τῆς τοῦ δεδανεικότος ποιεῖ διαπαντὸς περιφέρεσθαι ψυχῆς. ἵνα οὖν καὶ ἡμεῖς τῇ ἐλπίδι τῆς ἀποδόσεως ἐσώμεθα διαπαντὸς ἐν ταῖς ὑμετέραις διανοίαις, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ ὅπου δ' ἂν ἦτε, διὰ τοῦτο τὰ μὲν ὀφλήματα ὡμολογήσαμεν, τὴν δὲ ἀπόδοσιν ἅπασαν οὐ ποιούμεθα σήμερον, ἵνα τῇ προσδοκίᾳ τῶν λειπομένων ὑπόθεσιν τῆς περὶ ἡμῶν μνήμης παρ' ὑμῖν καταλείψωμεν. μεγάλη γὰρ ἡμῖν ἀσφάλεια τῆς ὑμετέρας ἀγάπης ἀπολαύειν διηνεκῶς, δήμου τοιούτου καὶ τοσούτου. ὁ γὰρ ἀγάπης ἀπολαύων, καὶ εὐχῆς ἀπολαύσεται πάντως. τοῦτο δὲ ἡλίκον ἐστὶν ἀγαθόν, δῆλον ἐκεῖθεν. Παῦλος ἐκεῖνος, ὁ εἰς τρίτον ἁρπαγεὶς οὐρανόν, ὁ ῥήματα ἀκούσας ἄρρητα, ὁ πάσας καταπατήσας τὰς ἀνάγκας τῆς φύσεως, ὁ ἐν ἀσφαλείᾳ τελείᾳ λοιπὸν ὤν,

Ρωμ. ιε. λα. ἐδεῖτο καὶ εὐχῆς τῶν μαθητῶν, καὶ ἔλεγε· Προσεύχεσθε ὑπὲρ ἐμοῦ, ἵνα ῥυσθῶ ἀπὸ τῶν ἀπειθούν-

Εφ. ς. ιθ. των. καὶ πάλιν, Προσεύχεσθε, ἵνα μοι δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στόματός μου. καὶ πανταχοῦ ὁρᾶτε αὐτὸν καὶ αἰτοῦντα τὰς εὐχὰς τῶν μαθητῶν, καὶ εὐχαριστοῦντα αὐτοῖς μετὰ τὸ λαβεῖν. ἵνα γὰρ μὴ λέγῃ τις, ὅτι διὰ ταπεινοφροσύνην καταφεύγει ἐπὶ τὰς εὐχὰς τῶν μαθητῶν, δεί-

β. Κορ. α. ι. κνυσιν αὐτῶν καὶ τὴν δύναμιν, οὕτω λέγων· Ὃς ἐκ τηλικούτων θανάτων ἐρρύσατο ἡμᾶς· ἠλπίκαμεν δὲ ὅτι καὶ ῥύσεται, συνυπουργούντων καὶ ὑμῶν τῇ δεήσει ὑπὲρ ἡμῶν, ἵνα τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ὑμῶν. εἰ δὲ Παῦλον κινδύνων ἀπήλλαξεν ἡ τοῦ πλήθους εὐχή, πῶς οὐ μεγάλα δεῖ προσδοκᾶν καὶ ἡμᾶς ἀπὸ ταύτης καρπώσασθαι τῆς προστασίας; ἐπειδὴ γὰρ καθ' ἑαυτοὺς εὐχόμενοι ἀσθενεῖς ἐσμεν, ὅταν δὲ συλλεγῶμεν, ἰσχυροὶ γινόμεθα μᾶλλον, δυσωποῦμεν τὸν Θεὸν τῷ πλήθει καὶ τῇ συμμαχίᾳ. οὕτω καὶ βασιλεὺς πολλάκις τινὰ παραπέμψας θανάτῳ, ἑνὶ μὲν οὐκ ἐπένευσε δεομένῳ περὶ τοῦ καταδικασθέντος, πόλιν δὲ ὁλόκληρον παρακαλοῦσαν ἐδυσωπήθη, καὶ τὸν ἐπὶ τὸ βάραθρον ἀπαγόμενον διὰ τὸ πλῆθος τῶν παρακαλούντων ἐξήρπασε τῆς καταδίκης, καὶ πρὸς ζωὴν ἐπανήγαγε. τοσαύτη ἡ δύναμις τῆς τοῦ πλήθους ἱκετηρίας ἐστί. διὰ τοῦτο καὶ ἐνταῦθα συλλεγόμεθα πάντες, ἵνα μειζόνως εἰς οἶκτον ἐπισπασώμεθα τὸν Θεόν. ἐπειδὴ γὰρ καθ' ἑαυτοὺς εὐχόμενοι, καθὼς ἔφθην εἰπών, ἀσθενεῖς ἐσμεν, ἀπὸ τοῦ συνδέσμου τῆς ἀγάπης δυσωποῦμεν τὸν Θεὸν δοῦναι ἡμῖν τὰ αἰτούμενα. ταῦτα δὲ οὐχ ἁπλῶς λέγω, οὐδὲ δι' ἐμαυτὸν μόνον, ἀλλ' ἵνα ἀεὶ σπεύδητε εἰς τὰς συνάξεις, ἵνα μὴ λέγητε· τί γὰρ ἐν τῇ οἰκίᾳ οὐ δύναμαι εὔξασθαι; δύνασαι μὲν εὔξασθαι, οὐ τοσαύτην δὲ δύναμιν ἔχει ἡ εὐχὴ, ὡς ὅταν μετὰ τῶν μελῶν τῶν οἰκείων γίνηται, ὡς ὅταν ὁλόκληρον τὸ σῶμα τῆς ἐκκλησίας ὁμοθυμαδὸν ἀναπέμπῃ τὴν δέησιν μιᾷ φωνῇ, ἱερέων παρόντων καὶ τὰς εὐχὰς τοῦ κοινοῦ πλήθους ἀναφερόντων. βούλει μαθεῖν πόση ἐστὶν ἡ δύναμις τῆς εὐχῆς τῆς ἐν τῇ ἐκκλησίᾳ γινομένης; ἐδέδετο ὁ Πέτρος ποτὲ ἐν τῷ δεσμωτηρίῳ, καὶ ἁλύσεις περιέκειτο πολλάς· προσευχὴ δὲ ἦν ἐκτενὴς ὑπὸ τῆς ἐκκλησίας περὶ αὐτοῦ γινομένη, καὶ εὐθέως αὐτὸν ἀπήλλαξε τοῦ δεσμωτηρίου. Πραξ. ιβ. ε. Τί τοίνυν δυνατώτερον ταύτης γένοιτ' ἂν τῆς εὐχῆς, ἣ τοὺς στύλους καὶ πύργους τῆς ἐκκλησίας ὠφέλησε; Παῦλος γὰρ καὶ Πέτρος πύργοι καὶ στῦλοι τῆς ἐκκλησίας· καὶ τοῦ μὲν τὰ δεσμὰ ἔλυσε, τοῦ δὲ τὸ στόμα ἀνέῳξεν. ἵνα δὲ μὴ μόνον ἀπὸ τῶν τότε συμβάντων, ἀλλὰ καὶ ἀπὸ τῶν καθ' ἑκάστην τελουμένων τὴν ἡμέραν, διπλῆν τὴν δύναμιν ἐπιδείξωμεν αὐτῆς, τῆς ὑπὸ τοῦ δήμου γινομένης εὐχῆς ὑμᾶς ἀναμνήσωμεν. καίτοιγε εἴ τις τῶν πολλῶν ὑμῶν ἐπιτάξειεν εὔχεσθαι καθ' ἑαυτὸν ὑπὲρ τῆς τοῦ ἐπισκόπου σωτηρίας, ἕκαστος ἂν παρῃτήσατο, ὡς μεῖζον τὸ φορτίον τῆς αὐτοῦ δυνάμεως ὄν· κοινῇ δὲ πάντες ἀκούοντες τοῦ διακόνου τοῦτο κελεύοντος καὶ λέγοντος, δεηθῶμεν ὑπὲρ τοῦ ἐπισκόπου καὶ τοῦ γήρως καὶ τῆς ἀντιλήψεως, καὶ ἵνα ὀρθοτομῇ τὸν λόγον τῆς ἀληθείας, καὶ ὑπὲρ τῶν ἐνταῦθα, καὶ ὑπὲρ τῶν ἁπανταχοῦ, οὐ παραιτεῖσθε ποιεῖν τὸ ἐπίταγμα· ἀλλὰ μετ' ἐκτενείας ἀναφέρετε τὴν εὐχὴν, εἰδότες τῆς ὑμετέρας συνόδου τὴν δύναμιν. ἴσασιν οἱ μεμυημένοι τὰ λεγόμενα. τῇ γὰρ εὐχῇ τῶν κατηχουμένων οὐδέπω τοῦτο ἐπιτέτραπται· ἐπειδὴ οὐδέπω πρὸς τὴν παρρησίαν ἔφθασαν ταύτην. ὑμῖν δὲ καὶ ὑπὲρ τῆς οἰκουμένης, καὶ ὑπὲρ τῆς ἐκκλησίας τῆς μέχρι περάτων τῆς γῆς ἐκτεταμένης, καὶ ὑπὲρ τῶν διοικούντων αὐτὴν ἐπισκόπων ἁπάντων παρακελεύεται ποιεῖσθαι τὰς δεήσεις ὁ ταύταις διακονῶν, καὶ ὑπακούετε μετὰ προθυμίας, ἔργῳ μαρτυροῦντες, ὅτι μεγάλη τῆς εὐχῆς ἡ δύναμις τῆς ἐν ἐκκλησίᾳ ἀπὸ τοῦ δήμου συμφώνως ἀναφερομένης ἐστίν.

Ἀλλὰ γὰρ ἐπὶ τὸ προκείμενον ἐπανίωμεν, ὅτι μία φωνὴ ἦν τὸ παλαιόν. πόθεν οὖν δῆλον, ὅτι μία φωνὴ ἦν; Καὶ ἦν πᾶσα ἡ γῆ, φησι, χεῖλος ἕν. ἀσαφὲς τὸ εἰρημένον. Γεν. ια. α. ἡ γῆ χεῖλος ἔχει; οὐδαμῶς. τί οὖν φησι, καὶ περὶ τίνος; οὐ περὶ ταύτης λέγει τῆς γῆς τῆς ἀναισθήτου, τῆς ἀκινήτου· ἀλλὰ τὸ κοινὸν τῶν ἀνθρώπων γένος οὕτως ἐκάλεσε, τῆς οἰκείας αὐτοὺς ἀναμιμνήσκων φύσεως, τῆς μητρὸς εἰς ὑπόμνησιν ἄγων, ὅθεν ἐγένοντο. διπλοῦν γὰρ τοῦτο τὸ ζῶον, ὁ ἄνθρωπος λέγω, ἐκ δύο συγκείμενος οὐσιῶν, τῆς μὲν αἰσθητῆς, τῆς δὲ νοητῆς, ψυχῆς λέγω καὶ σώματος, καὶ ἐν οὐρανῷ καὶ ἐν γῇ συγγένειαν ἔχων. διὰ μὲν γὰρ τῆς νοητῆς οὐσίας, κοινωνεῖ ταῖς ἄνω δυνάμεσι· διὰ δὲ τῆς αἰσθητῆς, τοῖς τῆς γῆς συνῆπται πράγμασι, σύνδεσμός τις ὢν ἀκριβὴς ἑκατέρας τῆς κτίσεως. ὅταν μὲν οὖν πράττῃ τι τῶν τῷ Θεῷ δοκούντων, πνευματικὸς λέγεται, καὶ οὐδὲ ἀπὸ τῆς ψυχῆς ὀνομάζεται, ἀλλ' ἀφ' ἑτέρας μείζονος τιμῆς, ἀπὸ τῆς τοῦ πνεύματος ἐνεργείας. οὐδὲ γὰρ ἀρκεῖ ἡ ψυχὴ ἡμῖν εἰς κατορθώματα, ἐὰν μὴ ἀπολαύσωμεν τῆς βοηθείας ἐκείνης. καὶ ἵνα μάθητε, ὅτι οὐδὲ ἡ ψυχὴ ἀρκεῖ ἡμῖν εἰς κατορθώματα, οὐδὲ εἰς τὸ δυνηθῆναι συνιέναι τῶν λεγομένων, Ψυχικὸς, φησιν, ἄνθρωπος οὐ α. Κορ. β. ιδ. δέχεται τὰ τοῦ πνεύματος. ὥσπερ γὰρ σαρκικὸν καλεῖ τὸν τῇ σαρκὶ δουλεύοντα, οὕτω ψυχικὸν καλεῖ τὸν τοῖς λογισμοῖς τοῖς ἀνθρωπίνοις τὰ πράγματα ἐπιτρέποντα, καὶ μὴ δεχόμενον τοῦ πνεύματος τὴν ἐνέργειαν. ἀλλ' ὅπερ ἔλεγον, ὅτι κατορθοῦντες μὲν πνευματικοὶ λεγόμεθα· ὅταν δὲ ἁμαρτάνωμεν καὶ ὑποσκελισθῶμεν καὶ πράξωμέν τι ἀνάξιον τῆς ἡμετέρας εὐγενείας, ἀπὸ τῆς εὐτελοῦς ἡμᾶς καλεῖ φύσεως, γῆν ἡμᾶς ὀνομάζων. ἐπεὶ οὖν καὶ ἐνταῦθα μέλλει τινῶν κατηγορήσειν τῶν τὸν πύργον οἰκοδομησάντων, τῶν εἰς ἀπόνοιαν ἐπαρθέντων, τῶν μείζονα ἔννοιαν λαβόντων τῆς οἰκείας ἀξίας, μέλλει δὲ αὐτῶν κατηγορεῖν ἀπόνοιαν, διὰ τοῦτο ἀπὸ τῆς εὐτελοῦς αὐτοὺς ἐκάλεσεν οὐσίας, εἰπών· καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν. καὶ ἵνα μάθητε, ὅτι οὕτω καλεῖ ἡμᾶς, ὅταν ἁμάρτωμεν, τὸν Ἀδὰμ μετὰ τὴν ἁμαρτίαν οὕτως ἐκάλεσεν, εἰπών· Γῆ Γεν. γ. ιθ.

εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. καὶ μὴν οὐκ ἦν γῆ μόνον, ἀλλὰ καὶ ἀθάνατον εἶχε ψυχήν. τίνος οὖν ἕνεκεν γῆν αὐτὸν ἐκάλεσεν; ἐπειδὴ ἥμαρτεν. ὅτε γοῦν ἔπλαττεν αὐτὸν, οὐκ ἐκάλεσεν αὐτὸν οὕτως ἀλλὰ τί; Γεν. α. κϛ. Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν θηρίων τῆς γῆς· καὶ ἔσται ὁ φόβος αὐτῶν καὶ ὁ τρόμος ἐπὶ πᾶσαν τὴν γῆν. ὁρᾷς οἷα τὰ προεδρία τῆς φύσεως; οἷαι αἱ τιμαί; οἷα τὰ ἐγκώμια; ἀλλὰ πρὸ τῆς ἁμαρτίας· μετὰ δὲ τὴν ἁμαρτίαν λοιπὸν, Γεν. γ. ιθ. Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. ἄκουσον δὲ καὶ τοῦ Μαλαχίου τοῦτο αἰνιττομένου, μᾶλλον δὲ τοῦ Θεοῦ διὰ τοῦ προφήτου. Μαλαχ. δ. ε. Ἰδοὺ γὰρ ἀποστέλλω ὑμῖν φησιν, Ἠλίαν τὸν Θεσβίτην. τίνος οὖν ἕνεκεν ἀποστέλλει; Ὥστε ἐπιστρέψαι καρδίαν πατρὸς πρὸς υἱόν. ἐπειδὴ γὰρ μέλλει τὸ δικαστήριον ἐφίστασθαι τὸ φοβερὸν ἐκεῖνο καὶ φρικῶδες ἵνα μὴ ἀναπολογήτους λαβὼν ὑπὸ τὰς εὐθύνας ὁ δικαστὴς κατακρίνῃ τινάς· ἵνα ἐλθὼν μὲν ἐκεῖνος καὶ προειπὼν, ὅτι ἐγγὺς ἐπὶ θύραις ἡ παρουσία, σωφρονεστέρους ποιήσῃ τοὺς ἀνθρώπους (καὶ γὰρ τὰ πρὸ πολλῶν χρόνων εἰρημένα εἰς ὀλιγωρίαν ἐμπίπτειν εἴωθεν) ἀνανεῶν τοίνυν τὴν μνήμην ἡμῶν, ἔρχεται ἐκεῖνος ὁ προφήτης. ἀλλ' ὅτι γῆ καλοῦνται οἱ ἁμαρτάνοντες, τοῦτο ἀποδεῖξαι χρὴ νῦν. εἰπὼν τοίνυν; ὅπως ἐπιστρέψῃ καρδίαν πατρὸς πρὸς υἱόν, ἐπήγαγε· Μήποτε ἐλθὼν πατάξω τὴν γῆν ἄρδην. πατάσσει δὲ τοὺς ἁμαρτάνοντας. ὁρᾷς τοὺς ἁμαρτάνοντας γῆν καλουμένους; πάλιν ἀλλαχοῦ περὶ τοῦ Χριστοῦ διηγούμενος ὁ προφήτης, οὕτως ἔλεγεν· Ησ. ια. ε. Ἔσται δικαιοσύνῃ περιεζωσμένος τὴν ὀσφὺν αὐτοῦ, καὶ ἀληθείᾳ εἰλημμένος τὰς πλευρὰς αὐτοῦ· οὐχ ὅτι πλευρὰ καὶ ὀσφὺς περὶ τὸν Θεόν (ἀσώματον γὰρ τὸ θεῖον) ἀλλὰ τὸ ἀδέκαστον καὶ ἀπαραλόγιστον τῆς τοῦ δικαστοῦ κρίσεως διὰ τούτων ἡμῖν ἐμφαίνει· καὶ ὅτι οὐδαμοῦ συκοφαντοῦνται λοιπὸν, οὐδὲ οἱ ἐπηρεάζοντες, οὐδὲ ἡ διὰ τῶν χρημάτων διαφθορὰ, οὐδὲ ἄγνοια τοῦ δικαίου. ἐν τούτοις μὲν γὰρ τοῖς δικαστηρίοις καὶ ἀνεύθυνος κολάζεται, καὶ ὑπεύθυνος διαφεύγει. διέφθαρται γὰρ πολλαχοῦ τὸ δίκαιον. ἐπειδὴ δὲ ὁ δίκαιος κριτὴς καὶ ἀπαραλόγιστος παραγίνεται, ὁ δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ, καὶ ἀληθείᾳ περιειλημμένος τὰς πλευρὰς αὐτοῦ, τῶν δικαίων μετὰ ἀκριβείας ἅπαντες τεύξονται. καὶ πατάξει τὴν γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ. καὶ ἵνα μάθῃς, ὅτι οὐ περὶ τῆς γῆς λέγει, ἀλλὰ περὶ ἁμαρτωλῶν, ἐπήγαγεν· ὅτι καὶ πνεύματι διὰ χειλέων ἀνελεῖ ἀσεβεῖς. ὁρᾷς ὅτι καὶ ἐνταῦθα τοὺς ἁμαρτωλοὺς ἐκάλεσε γῆν; ταῦτ' οὖν εἰδὼς, ὅταν ἀκούσῃς, ὅτι ἡ γῆ πᾶσα ἦν χεῖλος ἕν, τὴν ἀνθρωπίνην πάλιν ἐννόει φύσιν. ἀναμιμνήσκει γὰρ τῆς οἰκείας εὐτελείας ἡμᾶς. καὶ γὰρ μέγα ἀγαθὸν τὴν οἰκείαν ἐπισκέπτεσθαι συγγένειαν, καὶ εἰδέναι πόθεν συνεστήκαμεν. ἀρκοῦσα αὕτη διδασκαλία ταπεινοφροσύνης, ἡ τῆς φύσεως ἐπίσκεψις· πάντα τὰ πάθη καταστεῖλαι δύναται, καὶ ποιῆσαι γαλήνην ἐν διανοίᾳ. διὰ τοῦτο παραινεῖ τις λέγων· Πρόσεχε σεαυτῷ, ἀναλόγισαι τὴν φύσιν σου καὶ τὴν κατασκευήν, καὶ ἀρκεῖ σοι τοῦτο πρὸς τὸ καταστέλλεσθαι διηνεκῶς. διὰ τοῦτο ὁ δίκαιος ἐκεῖνος Ἀβραὰμ διαπαντὸς τοῦτον εἶχε τὸν λογισμὸν ἐν ἑαυτῷ, καὶ οὐδέποτε μέγα ἐφρόνει. ὁ γοῦν Θεῷ διαλεγόμενος, καὶ παρρησίας τοσαύτης ἀπολαύων, καὶ μαρτυρηθεὶς παρ' αὐτοῦ ἐπὶ ἀρετῇ, ἔλεγεν· Γεν. ιη κζ. Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός. καὶ ἄλλος βουλόμενος πάλιν τὸν πεφυσιωμένον ἄνθρωπον καταστεῖλαι, οὐ μακροὺς κινεῖ λόγους, ἀλλ' ἀναμιμνήσκει αὐτὸν τῆς φύσεως μόνον, καὶ ἐπιτιμᾷ σφοδρῶς, οὑτωσὶ λέγων· Σειρ. ι. θ. Τί ὑπερηφανεύεται γῆ καὶ σποδός; τὰ μετὰ τὸν θάνατόν μοι φαινόμενα λέγεις; κατάστειλον αὐτὸν ζῶντα· οὐκ οἶδε νῦν, ὅτι γῆ καὶ σποδός ἐστιν. ὁρᾷ τὴν εὐπρέπειαν τοῦ σώματος, ὁρᾷ τὴν δυναστείαν, τὴν θεραπείαν τῶν κολάκων, τοὺς παρασίτους ἀκολουθοῦντας. ἱμάτια περίκειται πολυτελῆ, ὄγκον ἀρχῆς περιβέβληται μέγαν, ἡ φαντασία αὐτὸν ἀπατᾷ καὶ ἐπιλαθέσθαι ποιεῖ τῆς φύσεως. οἴδαμεν, ὅτι γῆ ἐσμεν καὶ σποδός· ἀλλ' ἡμεῖς οἱ σωφρονοῦντες. ἐκεῖνος δὲ οὐκ ἀναμένει τὴν ἀπὸ τοῦ τέλους ἀπόδειξιν, οὐδὲ ἔρχεται πρὸς τὰς σοροὺς καὶ τὰς θήκας τῶν προγόνων, ἀλλὰ πρὸς τὰ παρόντα βλέπει,

πει, οὐδεὶς τῶν μεμηνότων ἐνοχλεῖ. δίδαξον αὐτὸν ἐντεῦθεν ἤδη, ὅτι γῆ καὶ σποδός ἐστιν. ἀναμενοί μέ, φησι, καὶ οὐ διδάσκω τοῦτο, ἀλλὰ πολλῷ ἄλλο εὐτελέστερον· ἵν', ὅταν φαντάζηται, ἐπιγινώσκῃ τὴν ἑαυτοῦ εὐτέλειαν· ἵνα ζῶν λάβῃ τὸ φάρμακον. Εἰπὼν γὰρ, τί ὑπερηφανεύεται γῆ καὶ σποδός; ἐπήγαγεν· Ὅτι καὶ ἐν τῇ ζωῇ αὐτοῦ ἐξουδένωται τὰ ἐνδόσθια αὐτοῦ. τί ἐστιν, ὅτι καὶ ἐν τῇ ζωῇ αὐτοῦ ἐξουδένωται τὰ ἐνδόσθια αὐτοῦ; τάχα ἀσαφὲς τὸ εἰρημένον. ἐνδόσθια, τὰ ἔγκατα λέγει, τὰ σπλάγχνα λέγει, τὴν γαστέρα τὴν γέμουσαν κυβάλων καὶ πολλῆς ἀκαθαρσίας καὶ δυσωδίας, οὐ κατηγορῶν τῆς φύσεως, ἀλλ' εἰς ταπεινοφροσύνην ἐνάγων. ὅτι καὶ ἐν τῇ ζωῇ αὐτοῦ ἐξουδένωται. Εἶδες τὸ εὐτελὲς καὶ ἐπίκηρον τῆς οὐσίας; μὴ ἀναμείνῃς τὴν ἡμέραν τῆς τελευτῆς, ἵνα μάθῃς σὺ τὴν ἀσθένειαν. ἔτι μοι ζῶντα τὸν ἄνθρωπον διερεύνησον, καὶ εἰς τὰ ἔγκατα αὐτοῦ διάβηθι τῷ λόγῳ, καὶ πᾶσαν αὐτοῦ τὴν εὐγένειαν ὄψει. ἀλλὰ μὴ καταπέσῃς. οὐδὲ γὰρ μισῶν ἡμᾶς, ἀλλὰ φειδόμενος οὕτως ἐποίησεν ὁ Θεὸς, προφάσεις ἡμῖν ταπεινοφροσύνης παρέχων μεγάλας. Εἰ γὰρ ὁ ἄνθρωπος, γῆ ὢν καὶ σποδὸς, ἐτόλμησεν εἰπεῖν, ὅτι εἰς τὸν οὐρανὸν ἀναβήσομαι· εἰ μὴ τὸν τῆς φύσεως χαλινὸν εἶχε, ποῦ οὐκ ἂν ἐξέπεσε τῇ διανοίᾳ; Ησ. ιδ. ιγ.

Ὅταν οὖν ἴδῃς τινὰ πεφυσιωμένον, τὸν αὐχένα ἀνατείνοντα, τὰς ὀφρῦς ἀνασπῶντα, ἐπὶ τοῦ ὀχήματος φερόμενον, ἀπειλοῦντα, εἰς δεσμωτήριον ἐμβάλλοντα, θανάτῳ παραδιδόντα, ἐπηρεάζοντα, εἰπὲ πρὸς αὐτόν· τί ὑπερηφανεύεται γῆ καὶ σποδός; ὅτι καὶ ἐν τῇ ζωῇ αὐτοῦ ἐξουδένωται τὰ ἐνδόσθια αὐτοῦ. Ταῦτα οὐ περὶ ἀνθρώπου μόνον ἰδιώτου, ἀλλὰ καὶ περὶ αὐτοῦ τοῦ καθημένου ἐπὶ τοῦ θρόνου τοῦ βασιλικοῦ ἐστιν εἰπεῖν. μὴ γὰρ τὴν ἁλουργίδα ἴδῃς, μηδὲ τὸ διάδημα, μηδὲ τὰ ἱμάτια τὰ χρυσᾶ· ἀλλ' αὐτὴν τὴν φύσιν ἐρεύνησον, καὶ οὐδὲν ὄψει πλέον ἔχουσαν τῶν πολλῶν· μᾶλλον δὲ, εἰ βούλει, καὶ τὴν ἁλουργίδα, καὶ τὸ διάδημα, καὶ τὰ ἱμάτια, καὶ πᾶσαν περίελε τὴν φαντασίαν ἐκείνην, καὶ τότε αὐτὴν ὄψει πάλιν τὴν γῆν οὖσαν ὑπόθεσιν. Πᾶσα γὰρ δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου. ἰδοὺ καὶ γῆς εὐτελέστερος ἐφάνη ὁ καλλωπισμὸς ἐκεῖνος ἅπας. ὁρᾷς πῶς καταστέλλει τὸ φύσημα; πῶς καθαιρεῖ πᾶσαν ἀπόνοιαν ἡ ἔννοια τῆς φύσεως αὐτῆς; ἀρκεῖ μόνον λογίσασθαι τίνες ἐσμὲν, καὶ πόθεν συνεστήκαμεν, καὶ πᾶσα οἰχήσεται λογισμῶν ἀπόνοια. Διὰ γὰρ τοῦτο ἐκ δύο οὐσιῶν κατεσκεύασεν ἡμᾶς ὁ Θεὸς, ἵν', ὅταν μὲν εἰς ἀπόνοιαν ἐπαρθῇς, καταστέλλῃ σε τὸ εὐτελὲς τῆς σαρκός· ὅταν δὲ ἀνάξιόν τι καὶ ἀγεννὲς τῆς δοθείσης σοι παρὰ τοῦ Θεοῦ τιμῆς ἐννοήσῃς, ἀνάγῃ σε πρὸς τὸν τῶν οὐρανίων δυνάμεων ζῆλον ἡ τῆς ψυχῆς εὐγένεια. Οὐκ εἰς ἀναίρεσιν δὲ ἀπονοίας μόνον ἐπιτηδεία ἡ ἐπίσκεψις τῆς φύσεως, ἀλλὰ κἂν ἑτέρα τις ἐπιθυμία διενοχλῇ, κἂν ἡ τῶν χρημάτων, κἂν ἡ τῶν σωμάτων, ἡ ἄτοπος αὕτη καὶ εἰς ἀσέλγειαν ἐκκαλουμένη, ἀπόχρη τοῦτο εἰς παραμυθίαν τοῦ πάθους. ὅταν οὖν ἴδῃς γυναῖκα εὔμορφον λάμποντα ἔχουσαν ὀφθαλμὸν, φαιδρὸν, στίλβουσαν ἀπὸ τῆς παρειᾶς, ἀμήχανόν τινα ὥραν ἐπὶ τῆς ὄψεως φέρουσαν, φλέγουσάν σου τὸν λογισμὸν καὶ τὴν ἐπιθυμίαν αὔξουσαν, ἐννόησον ὅτι γῆ τὸ θαυμαζόμενον, ὅτι σποδὸς τὸ ἐκκαῖον, καὶ παύσεται λυττῶσα ἡ ψυχή· ἀνακάλυψον αὐτῆς τὸ δέρμα τῆς ὄψεως, καὶ τότε πᾶσαν αὐτὴν ὄψει τῆς εὐμορφίας τὴν εὐτέλειαν· μὴ στῇς μέχρι τῆς ἐπιφανείας, ἀλλ' ἐνδοτέρω διάβηθι τῷ λογισμῷ, καὶ οὐδὲν ἕτερον εὑρήσεις, ἀλλ' ἢ ὀστᾶ καὶ νεῦρα καὶ φλέβας. ἀλλ' οὐκ ἀρκεῖ ταῦτα; λόγισαί μοι ταύτην ἀλλοιουμένην, γηράσκουσαν, ἀρρωστοῦσαν, ὑφιζάνοντας ὀφθαλμοὺς, καὶ κοιλαινομένας παρειὰς, ἅπαν καταρρέον τὸ ἄνθος ἐκεῖνο· ἐννόησον τί θαυμάζεις, καὶ αἰσχύνθητι σὺ τὴν κρίσιν. πηλὸν θαυμάζεις καὶ σποδὸν καὶ κόνις σε ἐκκαίει καὶ τέφρα. οὐ κατηγορῶν τῆς φύσεως ταῦτα λέγω (μὴ γένοιτο) οὐ κακίζων, οὐδὲ εἰς εὐτέλειαν ἐμβάλλων, ἀλλὰ φάρμακα τοῖς νοσοῦσι κατασκευάζων. Διὰ τοῦτο ὁ Θεὸς τοιαύτην αὐτὴν ἐποίησεν, οὕτως εὐτελῆ, ἵνα καὶ τὴν οἰκείαν δύναμιν ἐπιδείξηται, καὶ τὴν κηδεμονίαν τὴν περὶ ἡμᾶς, τῇ τῆς φύσεως μὲν εὐτελείᾳ πρὸς τα- Ησ. μ. ζ.

Λογ. ξδ.

πεινοφροσύνην ἐνάγων, καὶ πᾶσαν τὴν ἐπιθυμίαν ἡμῶν καταστέλλων, τὴν δὲ σοφίαν δεικνὺς
τὴν ἑαυτοῦ, ὡς καὶ ἐν πηλῷ τοσοῦτον ἰσχύων ἐξασκῆσαι κάλλος. ὥστε ὅταν ἐξευτελίσω τὴν οὐσίαν,
τότε ἐκκαλύπτω τὴν τέχνην τοῦ δημιουργοῦ. ὥσπερ γὰρ ἀνδριαντοποιὸν τότε μᾶλλον
θαυμάζομεν, οὐχ ὅταν ἐκ χρυσίου καλὸν ἡμῖν δείξῃ τὸν ἀνδριάντα, ἀλλ' ὅταν ἐκ πηλοῦ τῆς
ὕλης ὑποκειμένης ἀπηρτισμένην καὶ ἀκριβῆ τὴν εἰκόνα ἐργάζηται, οὕτω καὶ τὸν ἀριστοτέχνην Θεὸν
ἐκπληττόμεθα καὶ δοξάζομεν, ὅτι ἐν σποδῷ καὶ πηλῷ κάλλος ἀμήχανον καὶ σοφίας ἀρρήτου τινὸς
ἐπίδειξιν τοῖς σώμασιν ἡμῶν ἐναπέθετο. καὶ τοῦτο οὐκ ἐν τῷ σώματι μόνον τῷ ἡμετέρῳ,
ἀλλὰ καὶ ἐν πάσῃ τῇ κτίσει ἐποίησεν. εὐτελεῖς γὰρ πολλαχοῦ παραγαγὼν τὰς οὐσίας, καὶ τῆς οἰκείας
τέχνης δεῖγμα σαφὲς ἐγκατέθηκε, καὶ τὸν τῶν οὐσιῶν ἀσθενείας ἔλεγχον ἵνα ἐγκατέμιξεν· ἵνα διὰ μὲν
τὴν τέχνην καὶ τὸ κάλλος θαυμάζῃς τὸν δημιουργόν, διὰ δὲ τὴν ἀσθένειαν καὶ τὴν εὐτέλειαν τῆς φύσεως καὶ τῆς
οὐσίας, μὴ προσκυνήσῃς τὰ γινόμενα. Φαιδρὸς ὁ ἥλιος, λάμπων, καὶ πᾶσαν καταυγάζει τὴν
Σειρ. ιζ κε. οἰκουμένην; ἀλλ', ἐλθούσης τῆς νυκτός, ἐκλείπει. Τί γάρ, φησι, φωτεινότερον ἡλίου; ἀλλὰ καὶ
τοῦτο ἐκλείπει, οὐκ ἐν νυκτὶ δὲ μόνον, ἀλλὰ καὶ ἐν ἡμέρᾳ. καὶ διὰ τοῦτο πολλάκις καὶ ἐν ἡμέρᾳ
ἥλιος ἐξέλειπεν· ἵνα θαυμάζῃς μὲν διὰ τὴν τέχνην τὸν δημιουργόν, μὴ προσκυνήσῃς
δὲ διὰ τὴν ἀσθένειαν τὸ γινόμενον. ὁρᾷς τὸν οὐρανὸν τοῦτον, ἡλίκον ἐστὶ σῶμα; πῶς καλόν;
πῶς ἀποστίλβον, καὶ τῶν ἡμετέρων βέλτιον σωμάτων κατὰ τὴν ἐπιφάνειαν; ἀλλ' ἄψυχόν ἐστιν.
Εἶδες καὶ τῆς τέχνης τὴν ἐπίδειξιν, καὶ τῆς ἀσθενείας τὸν ἔλεγχον; ὁρᾷς ἑκατέρωθέν σοι
τὰ ὀχυρώματα κείμενα; ἵνα γὰρ μὴ καταγνώσκῃς τοῦ δημιουργοῦ ὡς ἀσθενοῦς, καλὰ ἐποίησεν·
ἵνα δὲ μὴ προσκυνῇς τὰ γινόμενα ὡς θεούς, ἀσθενῆ ταῦτα ἐκ μέρους εἰργάσατο.
Ταῦτα μέμνησθε διηνεκῶς. διὰ τοῦτο γραφὰς ἑρμηνεύομεν, οὐχ ἵνα γραφὰς μάθητε
μόνον, ἀλλ' ἵνα καὶ τὰ ἤθη διορθώσητε. ἂν γὰρ τοῦτο μὴ γίνηται, περιττῶς ἀναγινώσκομεν,
περιττῶς ἐξηγούμεθα. ὥσπερ γὰρ ἀθλητὴς εἰς παλαίστραν εἰσιὼν ἀλειφόμενος καὶ ἀπολαύων
τῶν χειρῶν τοῦ παιδοτρίβου, ἂν τοῦ ἀγῶνος παραγινομένου ἐλέγξῃ ἐκείνην τὴν τέχνην,
περιττῶς εἰσῆλθεν εἰς τὴν παλαίστραν· οὕτως ἂν ἐνταῦθα παραγινόμενοι, καὶ μανθάνοντες
τὰ παλαίσματα πάντα καὶ τὰς λαβὰς τοῦ διαβόλου, τοῦ καιροῦ τῶν ἀγώνων ἐλθόντος,
ὑποσκελισθῆτε, ἢ εὔμορφοι ὄψιν ἰδόντες, ἢ πρὸς ἀπόνοιαν ἐπαρθέντες, ἢ ἑτέρῳ τινὶ πονηρῷ
χειρωθέντες λογισμῷ, μάτην ἐνταῦθα εἰσήλθετε. μέμνησθε τοίνυν τῶν λόγων, οὐ τῶν
κατὰ τῆς φύσεως τῆς ἡμετέρας, ἀλλὰ τῶν κατὰ τῆς ἐπιθυμίας τῆς ἀκολάστου. οὐ φύσεως
ἔγκλημα τὰ εἰρημένα, ἀλλὰ ἐπιθυμίας τὰ λεγόμενα. ταύτῃ καταστέλλετε θυμόν, οὕτω
Γεν. ια. α. πραΰνατε ἐπιθυμίαν, οὕτω καταπαύσατε ἀπόνοιαν. Καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν, καὶ φωνὴ
μία πᾶσιν. ἰδοὺ τὸ ζητούμενον ἔτι. οὐ περὶ ταύτης ὁ λόγος, ἀλλ' ὅτι πάντες οἱ ἄνθρωποι φωνὴν
εἶχον μίαν. διὰ τί δὲ χεῖλος ἓν ἐκάλεσε τὴν φωνήν; ἔθος τῇ γραφῇ οὕτω καλεῖν τὰ ῥήματα,
γλῶσσαν. ἀναγκαῖον δὲ καὶ τοῦτο εἰδέναι διὰ τοὺς αἱρετικούς, τοὺς κατηγοροῦντας τῆς δημιουργίας
τοῦ Θεοῦ, τοὺς λέγοντας ὅτι πονηρὸν τὸ σῶμα. ἐπειδὴ γὰρ τὰ πονηρὰ κινήματα
Ψαλ. ρλθ. γ. καὶ νς. ε. τῆς διανοίας τοῖς μέλεσι τοῦ σώματος ἡ γραφὴ καλεῖ· οἷόν τι λέγω· Ἠκόνησαν γλῶσσαν
αὐτῶν, ὡσεὶ ὄφεως· ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα· νομίζοντές τινες, ὅτι περὶ τῆς γλώττης
εἴρηται. οὐκ εἴρηται δὲ περὶ τῆς γλώττης (μὴ γένοιτο· ἔργον γάρ ἐστι τοῦ Θεοῦ) ἀλλὰ
περὶ τῶν ῥημάτων τῶν φονικῶν, τῶν ἀποκτεινόντων ἀνθρώπους, τῶν ἐμπιπτόντων ξίφους χαλεπώτερον,
Ψαλ. ια. β. ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα. καὶ πάλιν, Χείλη δόλια ἐν καρδίᾳ, καὶ ἐν καρδίᾳ ἐλάλησε
κακά· οὐ περὶ τοῦ μέλους λέγων τοῦ σώματος, ἀλλὰ περὶ τῶν ὑπούλων ῥημάτων. οὕτω
καὶ ἐνταῦθα εἰπών, καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν, οὐ τοῦτο ἐδίδαξεν, ὅτι πάντες ἄνθρωποι εἶχον
ἓν χεῖλος, ἀλλὰ χεῖλος τὴν φωνὴν ἐκάλεσεν. Εἰπὼν γάρ, ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν,
Ψαλ. ε. ια. ἐπήγαγε, καὶ φωνὴ μία πᾶσιν. οὕτως ὅταν λέγῃ, Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, οὐ τοῦ
λάρυγγος κατηγορεῖ, ἀλλὰ τῶν κακῶν ῥημάτων τῶν ἀναβαινόντων ἐκεῖθεν, τῶν νεκρῶν δογμάτων.

μάτων. τάφος γάρ τοῦτό ἐστι, νεκρῶν δοχεῖον ὀστῶν καὶ σωμάτων. τοιαῦτα κἀκείνων τὰ στόματα τῶν κατηγορούντων τοῦ δημιουργοῦ· τοιαῦτα τὰ στόματα τῶν αἰσχρὰ φθεγγομένων ἀνθρώπων, τῶν λοιδορούντων, τῶν δυσώδη καὶ πονηρὰ ῥήματα ἐκ τῆς οἰκείας φάρυγγος ἐκβαλλόντων. εὐωδίας αὐτὴν ἔμπλησον, ἄνθρωπε, μὴ δυσωδίας· θησαυρὸν ποίησον βασιλικὸν, μὴ τάφον Σατανικόν. εἰ δὲ τάφος ἐστὶ, κἂν ἀπόκλεισον, ἵνα μὴ προβαίνῃ ἡ δυσωδία. πονηρὰ ἔχεις ἐνθυμήματα; μὴ προενέγκῃς αὐτὰ διὰ ῥημάτων· ἔασον κάτω κεῖσθαι, καὶ ταχέως ἀποπνίγονται. ἄνθρωποί ἐσμεν, πολλὰ πολλάκις πονηρὰ βουλευόμενοι καὶ ἄτοπα καὶ αἰσχρὰ βουλεύματα. προσήκει, ἵνα πιεζόμενα κάτω, ἀσθενέστερα γίνηται καὶ ἀπολλύηται. καθάπερ γὰρ θηρία τις παντοδαπὰ καὶ ἀνήμερα εἰς λάκκον ἐμβαλὼν, ἂν μὲν ἐμφράξῃ τὸν λάκκον ἄνωθεν, ἀποπνίγει ῥᾳδίως· ἂν δὲ διέξοδόν τινα καὶ ἀναπνοὴν παράσχῃ μικρὰν, πολλὴν αὐτοῖς δίδωσι τὴν παραμυθίαν, καὶ οὐκ ἀφίησιν ἀπολέσθαι, ἀλλ' ἐκθηριοῖ μειζόνως· οὕτω καὶ ἐπὶ τῶν λογισμῶν γίνεται τῶν πονηρῶν, ὅταν τεχθῶσιν ἔνδον. ἂν μὲν ἀποκλείσωμεν αὐτῶν τὴν εἰς τὰ ἔξω πρόοδον, ταχέως αὐτοὺς ἀφανίζομεν· ἂν δὲ διὰ τῶν ῥημάτων αὐτοὺς ἐξενέγκωμεν, κἀκείνους ἰσχυροτέρους εἰργασάμεθα, δόντες ἀναπνεῦσαι διὰ τῆς γλώττης αὐτοῖς, καὶ πρὸς τὰ τῶν ἀτόπων πράξεων βάραθρα ταχέως ἀπὸ τῆς τῶν αἰσχρῶν ῥημάτων μελέτης καταπίπτομεν. διὰ τοῦτο ὁ προφήτης οὐχ ἁπλῶς τάφον ἐκάλεσεν, ἀλλὰ τάφον ἀνεῳγμένον, αὐτὸ τοῦτο ἐγκαλῶν ὅπερ εἶπον. οὐδὲ γὰρ ἑαυτὸν αἰσχύνει μόνον ὁ τὰ αἰσχρὰ φθεγγόμενος ῥήματα, ἀλλὰ καὶ τοὺς πλησίον, καὶ τοὺς συγγινομένους αὐτῷ πολλῆς ἀναπίμπλησι τῆς λύμης. καὶ καθάπερ εἰ τοὺς τάφους ἀνοίξομεν, λοιμοῦ τὰς πόλεις ἐμπλήσομεν· οὕτω τὰ αἰσχρὰ στόματα εἰ μετὰ ἀδείας ἀνοίγοιτο, τοὺς συγγινομένους ἅπαντας νόσου χαλεπωτάτης ἐμπλήσει. διὰ τοῦτο χρὴ θύραν καὶ μοχλὸν καὶ χαλινὸν ἐπιθεῖναι τῷ στόματι.

Ὅτι μὲν οὖν μία φωνὴ ἦν τότε, ἱκανῶς ἐκ τούτων ἡμῖν ἀποδέδεικται· λοιπὸν δὲ ἀναγκαῖον εἰπεῖν, τίνος ἕνεκεν αἱ πολλαὶ ἐπεισήχθησαν. ἀλλὰ τέως τὸν ἠθικώτερον γυμνάσωμεν λόγον· παιδεύσωμεν τὴν ἡμετέραν γλῶτταν χαλινὸν ἔχειν, καὶ μὴ πάντα ἁπλῶς ἐκφέρειν τὰ ἀπὸ τῆς διανοίας· μὴ κατηγορεῖν τοὺς ἀδελφοὺς, μὴ ἀλλήλους δάκνειν καὶ κατεσθίειν. τῶν δακνόντων τὰ σώματα χείρους εἰσὶν οἱ διὰ λόγων τοῦτο ποιοῦντες. ἐκεῖνοι τοῖς ὀδοῦσι δάκνουσι τὸ σῶμα, οὗτος τοῖς λόγοις δάκνει τὴν ψυχὴν, τιτρώσκει τὴν ὑπόληψιν, ἀνίατον ποιεῖ τὸ τραῦμα. διόπερ μείζονα ἐκδέξεται κόλασιν καὶ τιμωρίαν, ὅσον χαλεπώτερον ἐντίθησι τὸ δῆγμα. οὐ διὰ τοῦτο δὲ μόνον ἐκπεσεῖται συγγνώμης ὁ κατηγορῶν, ἀλλ' ὅτι οὔτε δικαίαν, οὔτε ἄδικον ἔχει πρόφασιν εἰπεῖν τῆς πονηρίας τῆς ἑαυτοῦ. αἱ μὲν γὰρ ἄλλαι ἁμαρτίαι κἂν ἀλόγους ἔχωσιν αἰτίας, ἀλλ' ὅμως ἔχουσιν· οἷον, ὁ πόρνος ἐπιθυμίαν πληροῖ, ὁ κλέπτης τὴν πενίαν, ὁ ἀνδροφόνος τὸν θυμὸν παύει· ὁ κατηγορῶν οὐδεμίαν ἔχει πρόφασιν εἰπεῖν. ποίαν γὰρ, εἰπέ μοι, χρημάτων περιουσίαν περιβάλλεται; ποίαν ἐπιθυμίαν πληροῖ; οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ βασκανίας ὑπόθεσις, οὔτε δικαίαν, οὔτε ἄδικον ἔχουσα αἰτίαν. διὰ τοῦτο ἀπεστέρηται συγγνώμης ἁπάσης. βούλει κατηγορεῖν; δίδωμί σοι χρησίμην ὑπόθεσιν. βούλει κακῶς λέγειν; εἰπὲ τὰς ἁμαρτίας σου κακῶς. Λέγε γὰρ σὺ, φησὶ, τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς. εἶδες κατηγορίαν στέφανον ἔχουσαν καὶ ἐγκώμιον καὶ δικαιοσύνην; πάλιν, Δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ· ἑαυτοῦ, οὐκ ἄλλου. ἐὰν ἄλλου κατήγορος γένῃ, ἐκολάσθης· ἐὰν ἑαυτοῦ, ἐστεφανώθης. καὶ ἵνα μάθῃς πόσον ἐστὶ καλὸν τὸ κατηγορεῖν τὸ ἑαυτοῦ παράπτωμα, δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ, φησί. καίτοι εἰ δίκαιος, πῶς κατήγορος; εἰ κατήγορος, πῶς δίκαιος; ὁ δίκαιος οὐκ ἔστι κατηγορίας ὑπεύθυνος. ἀλλ' ἵνα μάθῃς, ὅτι κἂν ἁμαρτωλὸς ᾖ τις, κατηγορῇ δὲ τῶν ἁμαρτημάτων, διὰ τῆς κατηγορίας δίκαιος γίνεται, διὰ τοῦτο εἶπε, δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ. τί δέ ἐστιν ἐν πρωτολογίᾳ,

Ἡσ. μγ. κϛ.

Παροιμ. ιη. ιζ.

τολογία, πρόσεχε ἀκριβῶς. ἐν τοῖς δικαστηρίοις δύο μέρη ἐστί, τῶν μὲν ἐναγόντων, τῶν δὲ
ἐναγομένων· τῶν μὲν κατηγορούντων, τῶν δὲ κατηγορουμένων· τῶν μὲν ὑπευθύνων, τῶν
δὲ ἀνευθύνων. καὶ ἡ πρωτολογία τῷ κατηγόρῳ δίδοται, τῷ ἀνευθύνῳ. ἐνταῦθα δὲ, τοὐναντίον,
σὺ ὁ ὑπεύθυνος ἅρπασον τὴν πρωτολογίαν, ἵνα ἀνεύθυνος γένῃ· μὴ ἀναμείνῃς τὸν κα-
τήγορον. εἰ δὲ τῶν ὑπευθύνων εἶ, ἀλλὰ πρὶν ἢ παρ' ἐκείνου τι τοιοῦτον ἀκούσῃς, αὐτὸς
κατηγόρησον τῶν ἡμαρτημένων. μάχαιρά ἐστιν ἡ γλῶσσα ἠκονημένη· ἀλλὰ μὴ ἑτέροις
ἐπάγωμεν τραύματα, ἀλλὰ τὰς ἡμετέρας σηπεδόνας ἀποτέμνωμεν. βούλει μαθεῖν ὅτι ἔ-
α. Τιμ. α. ιϛ. θος ἦν τοῖς δικαίοις μὴ ἄλλους κακῶς λέγειν, ἀλλ' ἑαυτούς; ἄκουσον τοῦ Παύλου βοῶντος· Χάριν
ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ, ὅτι πιστόν με ἡγήσατο θέμενος εἰς διακονίαν, τὸν πρό-
τερον βλάσφημον ὄντα, καὶ διώκτην, καὶ ὑβριστήν. ὁρᾷς πῶς ἑαυτὸν κακῶς λέγει; καὶ
α. Τιμ. α. ιε. πάλιν, Χριστὸς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. καὶ πά-
α. Κορ. ιε. θ. λιν ἀλλαχοῦ, Οὐκ εἰμὶ ἱκανός, φησι, καλεῖσθαι ἀπόστολος, διότι ἐδίωξα τὴν ἐκκλησί-
αν τοῦ Θεοῦ. εἶδες πῶς πανταχοῦ ἑαυτὸν κακῶς λέγει; οἶδε γὰρ τῆς κατηγορίας ταύτης
τὸ κέρδος, ὅτι δικαιοσύνην ἐργάζεται. ὅταν μὲν οὖν αὐτὸν ἑαυτοῦ κατηγορεῖν δέῃ, ἀφειδῶς κέχρη-
ται τῇ κατηγορίᾳ· ὅταν δὲ καὶ ἑτέρους ἴδῃ τοῖς ἀλλοτρίοις δικάζοντας κακοῖς, ὅρα μεθ' ὅσης
α. Κορ. δ. ε. αὐτοὺς ἐπιστομίζει τῆς αὐστηρότητος, οὑτωσὶ λέγων· Ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν
ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν. ἐ-
κείνῳ τήρησον τὸ δικαστήριον, τῷ τὰ ἀπόρρητα εἰδότι τῆς διανοίας. κἂν ἀκριβῶς νομίζῃς εἰδέναι
α. Κορ. β. ια. τὰ τοῦ πλησίον, ἔσφαλταί σου ἡ κρίσις. Τίς γὰρ οἶδε, φησι, τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦ-
μα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; πόσοι τῶν ἀπερριμμένων καὶ εὐτελῶν ἡλίου φαιδρότεροι ἐκ-
λάμπειν ἔχουσι; πόσοι τῶν μεγάλων καὶ περιφανῶν σποδὸς ὄντες καὶ τάφος κεκονιαμένος εὑ-
ρεθήσονται; ἤκουσας πῶς ὁ Παῦλος ἑαυτὸν κακῶς λέγει, μετὰ σφοδρότητος καὶ ὑπερβολῆς ἁμαρ-
τημάτων, ὧν οὐκ ἔμελλεν εὐθύνας ὑπέχειν, συνεχῶς μεμνημένος; βλάσφημος γὰρ καὶ διώκτης καὶ
ὑβριστὴς πρὸ τοῦ βαπτίσματος ἦν, ἐκεῖνα δὲ τὰ ἁμαρτήματα ἔλυσε τὸ βάπτισμα· ἀλλ' ὅμως
αὐτῶν μέμνηται· οὐκ ἐπειδὴ λόγον ἔμελλεν ὑπὲρ αὐτῶν ὑπέχειν, ἀλλ' ἵνα δείξῃ τοῦ Θεοῦ τὴν
φιλανθρωπίαν, καὶ τίνα ὄντα, οἷον κατεσκεύασεν, ἀπὸ διώκτου ποιήσας ἀπόστολον. εἰ δὲ ἐκεῖ-
νος τῶν ἀφανισθέντων ἁμαρτημάτων μέμνηται, πολλῷ μᾶλλον ἡμᾶς τῶν μετὰ τὸ βάπτισμα
μεμνῆσθαι χρή. τίς γὰρ ἡμῖν ἀπολογία ἔσται, ἢ ποία συγγνώμη, ὅταν ἐκεῖνος μὲν τῶν ἀνευθύ-
νων μνημονεύῃ συνεχῶς, ἡμεῖς δὲ μηδὲ ὧν μέλλομεν λόγον ὑπέχειν, μηδὲ τούτων ἑαυτοὺς
ὑπομιμνήσκωμεν, ἀλλ' ἀφέντες τὰ οἰκεῖα, τὰ ἀλλότρια περιεργαζώμεθα κακά; ἄκουσον
Ματθ. ι. γ. πῶς καὶ Ματθαῖος τῆς προτέρας ἑαυτοῦ κατηγορεῖ ζωῆς, καὶ τελώνην ἑαυτὸν καλεῖ, καὶ οὐδὲ αἰ-
σχύνεται τὸν πρότερον ἐκπομπεύων βίον. ἐπειδὴ γὰρ οὐδὲν εἶχον κατηγορεῖν ἑαυτῶν μετὰ τὸ
βάπτισμα, τῶν προτέρων ἐμέμνηντο, παιδεύοντες ἡμᾶς τῶν μὲν ἀλλοτρίων κακῶν μηδένα ποι-
εῖσθαι λόγον, τὰ δὲ οἰκεῖα μεριμνᾶν καὶ συνεχῶς ἀναστρέφειν. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν ἕτερον
φάρμακον τοιοῦτον πρὸς τὴν τῶν ἁμαρτημάτων ἀναίρεσιν, ὡς ἡ συνεχὴς αὐτῶν ἀνάμνη-
σις, καὶ ἡ διηνεκὴς αὐτῶν κατηγορία. οὕτως ὁ τελώνης τὰ μυρία ἠδυνήθη κακὰ ἀποθέ-
Λουκ. ιη. ιγ. σθαι, ἵνα εἴπῃ, Ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· οὕτως ὁ Φαρισαῖος τῆς δικαιοσύ-
νης ἁπάσης ἐξέπεσεν, ὅτι ἀφεὶς λογίζεσθαι τὰ αὐτῷ πεπλημμελημένα, τὴν οἰκουμένην
κατεδίκαζε, λέγων· Οὐκ εἰμὶ ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες καὶ πλεονέκται, οὐ-
Γαλ. ϛ. δ. δὲ ὡς οὗτος ὁ τελώνης. διὰ τοῦτο καὶ ὁ Παῦλος παρῄνει λέγων· Ἕκαστος δὲ δοκιμαζέτω τὸ ἑαυ-
τοῦ ἔργον, καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύχημα ἕξει, καὶ οὐκ εἰς τὸν ἕτερον. βούλει μαθεῖν
καὶ ἐν τῇ παλαιᾷ πῶς οἱ δίκαιοι κατηγόρησαν ἑαυτῶν; ἄκουε καὶ τούτων ἐκείνοις σύμφωνα
Ψαλ. λζ. δ. φθεγγομένων. ὁ μὲν γὰρ Δαβὶδ ἔλεγεν· Αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου· ὡσεὶ
Ησ. ϛ. ε. φορτίον βαρὺ, ἐβαρύνθησαν ἐπ' ἐμέ. ὁ δὲ Ἡσαΐας ἐβόα· Οἴμοι ὁ τάλας ἐγὼ, ὅτι ἄνθρω-

πος ὢν καὶ ἀκάθαρτα χείλη ἔχων. καὶ οἱ τρεῖς παῖδες ἐν καμίνῳ διατρίβοντες, καὶ τὰ σώματα θανάτῳ διὰ τὸν Θεὸν παραδόντες, ἐν τοῖς ἐσχάτοις τῶν ἁμαρτωλῶν ἑαυτοὺς ἐτίθουν, Ἡμάρτομεν, ἠνομήσαμεν, λέγοντες. καίτοι τί λαμπρότερον ἐκείνων, τί καθαρώτερον ἦν; καὶ γὰρ εἰ καί τινας ἦσαν ἁμαρτίας πεποιηκότες, πάσας ἀπέσμηξε τῆς φλογὸς ἐκείνης ἡ φύσις. ἀλλ' οὐ πρὸς τὰ κατορθώματα ἑώρων τὰ οἰκεῖα, ἀλλὰ τὰ ἁμαρτήματα ἀνελογίζοντο. οὕτω καὶ Δανιὴλ μετὰ τὸν λάκκον τῶν λεόντων, μετὰ τὰς μυρίας τιμωρίας, ἃς ὑπέμεινε, καὶ αὐτὸς ἑαυτοῦ κατηγόρει, τοῦ δὲ πλησίον οὐδείς. τί δήποτε; ὅτι ὁ μὲν ἑτέρους λέγων κακῶς, παροξύνει τὸν δεσπότην· ὁ δὲ ἑαυτὸν λέγων κακῶς, ἐξιλεοῖ καὶ καταλλάττει· καὶ τὸν δίκαιον δικαιότερον ἀπεργάζεται, καὶ τὸν ἁμαρτωλὸν ἐξαρπάζει τῶν ἐγκλημάτων καὶ συγγνώμης ἄξιον ποιεῖ.

Ταῦτ' οὖν εἰδότες, μὴ τὰ ἀλλότρια, ἀλλὰ τὰ οἰκεῖα πολυπραγμονῶμεν κακά· ἀναπτύξωμεν ἡμῶν τὸ συνειδός. ἀναμνησθῶμεν ἡμῶν τὴν ζωὴν ἅπασαν, ἕκαστον τῶν ἡμαρτημένων ἡμῖν περιεργασώμεθα· καὶ μὴ μόνον μὴ λέγωμεν κακῶς ἑτέρους, ἀλλὰ μηδὲ ἀκούωμεν ἑτέρων λεγόντων κακῶς. καὶ γὰρ καὶ τούτου ἔγκλημα κεῖται, καὶ τιμωρία μεγίστη. Ἀκοὴν γάρ, φησι, ματαίαν μὴ παραδέξῃ. οὐκ εἶπεν, ἀκοῇ ματαίᾳ μὴ πιστεύσῃς, ἀλλὰ μηδὲ δέξῃ αὐτήν. ἀπόφραξον τὰ ὦτα, ἀποτείχισον τῇ κατηγορίᾳ τὴν εἴσοδον· δεῖξον ὅτι τοῦ κατηγορουμένου οὐκ ἔλαττον αὐτὸς ὁ ἀκούων ἐχθρὸς εἶ καὶ πολέμιος τῷ κακῶς λέγοντι. μίμησαι τὸν προφήτην οὕτω λέγοντα, Τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. οὐκ εἶπεν, ὅτι οὐκ ἐπίστευον, οὐδὲ ὅτι οὐ προσεδεχόμην τὰ λεγόμενα, ἀλλὰ καὶ ἀπήλαυνον, ὡς ἐχθρὸν καὶ πολέμιον. ἀλλ' εἰσί τινες, οἳ ψυχρᾷ παραμυθίᾳ ἑαυτοὺς παραμυθοῦνται, οὑτωσὶ λέγοντες· Κύριε, μὴ στήσῃς μοι τὴν ἁμαρτίαν ταύτην, ὅτι ἀκοῆς λόγον ὀφείλω. τίς χρεία τῆς ἀπολογίας; τίς χρεία τῆς συγγνώμης ταύτης; σίγησον, καὶ ἀπήλλαξαι τῶν ἐγκλημάτων· μηδὲν εἴπῃς, καὶ καθαρὸς εἶ τῆς ἀγωνίας. τί σαυτῷ πράγματα πλέκεις, καὶ παρὰ Θεῷ, καὶ παρὰ ἀνθρώποις; τί ποιεῖς ὑπεύθυνον ἑαυτὸν ἐγκλημάτων; τί τὸ φορτίον βαρύτερον δεσμεῖς; οὐκ ἀρκεῖ σοι περὶ τῶν οἰκείων κακῶν εὐθύνας ὑποσχεῖν, ἀλλὰ καὶ ἑτέρας ἁμαρτίας ἐπισωρεύεις σαυτῷ; περιττὴ αὕτη ἡ ἀπολογία· οὐκ ἀκοῆς λόγον ὀφείλεις, ἀλλὰ κατηγορίας. Ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ, φησί, καὶ ἐκ τῶν λόγων σου κατακριθήσῃ. Ταῦτα οὐχ ὑπὲρ τῶν κακῶς ἀκουόντων, ἀλλ' ὑπὲρ τῶν κακῶς λεγόντων δεδοικὼς λέγω καὶ διαμαρτύρομαι. ὁ μὲν γὰρ κακῶς ἀκούσας, οὐδὲν ἐπηρέασται, οὐδὲ ἐβλάβη· ἀλλ' ἂν μὲν ψευδῆ ᾖ τὰ περὶ αὐτοῦ λεγόμενα, καὶ μισθὸν ἔχει· ἂν δὲ ἀληθῆ, οὐδὲν οὐδὲ οὕτως ἐπηρέασται παρὰ τὴν σὴν κατηγορίαν. οὐδὲ γὰρ ἀπὸ τῆς σῆς λοιδορίας οἴσει τότε τὴν ψῆφον αὐτῷ ὁ δικάζων. εἰ δὲ χρὴ καὶ θαυμαστὸν εἰπεῖν, καὶ τὰ μέγιστα κερδαίνει γενναίως φέρων τὴν βλασφημίαν, ὥσπερ οὖν καὶ ὁ τελώνης. ὁ δὲ κακῶς λέγων, ἄν τε ψευδῆ, ἄν τε ἀληθῆ κακῶς εἴπῃ τὸν πλησίον, τὰ μέγιστα ἠδίκηται. καὶ ὅτι μὲν ὁ συκοφαντῶν ἀπόλωλεν, οὐδὲ ἀποδείξεως χρεία· ὅτι δέ, κἂν ἀληθῆ λέγῃ, φορτικώτερον ἑαυτῷ ποιεῖ τὸ δικαστήριον, ἐκπομπεύων τὰς τοῦ πλησίον συμφοράς, καὶ σκανδάλων αἴτιος γινόμενος, ἃ κρύπτειν δέον, ἐκκαλύπτων ἅπασι, καὶ κηρύττων τὰ ἁμαρτήματα τοῦ πλησίον, παντί που δῆλόν ἐστιν. Εἰ γὰρ ἕνα τις σκανδαλίσας ἀπαραίτητον δώσει τιμωρίαν, ὁ μυρίους σκανδαλίζων διὰ τῆς πονηρᾶς φήμης, πόσην οὐχ ὑποστήσεται κόλασιν; καὶ γὰρ ὁ Φαρισαῖος οὐκ ἐψεύδετο, ἀλλ' ἀληθῆ ἔλεγε, τελώνην καλῶν τὸν τελώνην, ἀλλ' ὅμως δίκην ἔδωκε. Ταῦτ' οὖν εἰδότες, ἀγαπητοί, φεύγωμεν τὸ κακηγορεῖν· οὔτε γὰρ ταύτης χαλεπωτέρα ἐστὶν ἁμαρτία. τίνος ἕνεκεν; ὅτι πάσης παρανομίας ὀξύτερον δρᾶται, καὶ ταχέως συναρπάζει τὸν μὴ προσέχοντα. αἱ μὲν γὰρ ἄλλαι καὶ χρόνου δέονται, καὶ δαπάνης, καὶ μελετήσεως, καὶ συνεργῶν, καὶ πολλάκις ἐν τῇ τοῦ χρόνου διατριβῇ διακόπτονται· οἷον τί λέγω· εἵλετό τις φονεῦσαι, εἵλετό τις ἁρπάσαι

Ἐξοδ. κγ. α.

Ψαλ. ϱ. ε.

Ματθ. ιβ. λζ.

πάσαι καὶ πλεονεκτῆσαι. πολλῆς αὐτῷ δεῖ τῆς πραγματείας, καὶ ἐν τῷ μέλλειν πολλάκις ἐξέλυσε τὸν θυμόν, ἀπέστη τῆς πονηρᾶς ὁρμῆς, κατέλυσε τὴν διεφθαρμένην γνώμην, οὐ προσετέθηκε τὸ ἔργον τῇ βουλῇ. ἐπὶ δὲ τοῦ κακῶς λέγειν οὐχ οὕτως· ἀλλ' ἐὰν μὴ σφόδρα ὦμεν νήφοντες, συναρπαζόμεθα ῥᾳδίως· καὶ οὔτε χρόνου, οὔτε μελλήσεως, οὔτε δαπάνης, οὔτε πραγματείας ἡμῖν δεῖ τινος, ὥστε κακῶς εἰπεῖν· ἀλλ' ἀρκεῖ μόνον ἐλέσθαι, καὶ εὐθέως εἰς ἔργον ἐξῆλθε τὸ βούλημα. γλῶσσα γάρ ἐστιν ἡ ὑπηρετουμένη μόνον. ἐπεὶ οὖν καὶ ὀξύρροπον τὸ κακόν, καὶ εὐπερίστατος ἡ ἁμαρτία, καὶ χαλεπὴ ἡ κόλασις καὶ ἡ τιμωρία, καὶ κέρδος οὐδέν, οὐ μικρόν, οὐ μέγα, μετὰ πολλῆς τῆς ἀκριβείας φεύγωμεν τὸ νόσημα· καὶ τὰ ἀλλότρια περιστέλλωμεν κακά, καὶ μὴ ἐκπομπεύωμεν· παραινῶμεν τοῖς ἁμαρτάνουσι, καθὼς καὶ ὁ Θεὸς φησιν· Ἐὰν ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. ὥστε τὸ ἀδημοσίευτον τῶν ἐλέγχων εὐκολωτέραν ποιήσει τὴν θεραπείαν. μὴ δάκνωμεν, μηδὲ κατεσθίωμεν τὰ ἀλλότρια τραύματα· μὴ τὰς μυίας μιμησώμεθα, ἀλλὰ τὰς μελίττας ζηλώσωμεν. αἱ μυῖαι τοῖς τραύμασιν ἐγκαθέζονται καὶ δάκνουσιν, αἱ μέλιτται τοῖς ἄνθεσιν ἐφίπτανται. διὰ τοῦτο αὗται μὲν κηρία πηγνύουσιν, ἐκεῖναι δὲ νοσήματα ἐπάγουσιν, οἷς ἂν ἐπικαθεσθῶσι σώμασι· καὶ αἱ μὲν εἰσὶ βδελυκταί, αἱ δὲ ποθειναὶ καὶ ἐπίδοξοι. καὶ ἡμεῖς τοίνυν τῷ λειμῶνι τῆς ἀρετῆς τῶν ἁγίων ἐπιπτῆναι τὴν ψυχὴν παρασκευάσωμεν, καὶ συνεχῶς τὴν εὐωδίαν τῶν παρ' ἐκείνοις κατορθωμάτων ἀνακινῶμεν, τὰ δὲ τραύματα μὴ δάκνωμεν τῶν πλησίον· ἀλλ' εἰ καί τινας ἴδωμεν τοῦτο ποιοῦντας, ἐπιστομίζωμεν, τὸν φόβον αὐτοῖς τῆς κολάσεως ἐπιτειχίζοντες, τῆς συγγενείας αὐτοὺς ἀναμιμνήσκοντες τῆς πρὸς τοὺς ἀδελφούς. εἰ δὲ μηδενὶ τούτων εἴκοιεν, μυίας αὐτοὺς καλῶμεν, ἵνα κἂν τὸ ὄνειδος τῆς προσηγορίας ταύτης ἀποστήσῃ τῆς πονηρᾶς μελέτης αὐτούς· ἵνα τῆς κακοσχολίας ταύτης ἀπαλλαγέντες, πᾶσαν τὴν σχολὴν εἰς τὴν ἔρευναν τῶν οἰκείων ἀναλίσκωσι κακῶν. οὕτω γὰρ οἵ τε πεπτωκότες ἀναστήσονται τῇ μνήμῃ τῶν ἡμαρτημένων αὐτοῖς οὐκ ἐκπομπευομένων, οἵ τε τὰ οἰκεῖα ἀναλογιζόμενοι συνεχῶς κακά, ῥᾳδίως αὐτὰ ἀποθήσονται, τῇ μνήμῃ τῶν ἡμαρτημένων πρὸς τὴν τῶν λοιπῶν πρᾶξιν ὀκνηρότεροι γινόμενοι, οἵ τε τὴν ἀρετὴν τῶν ἁγίων ἐπισκοποῦντες συνεχῶς μέγιστον λήψονται ζῆλον πρὸς τὴν τῶν αὐτῶν μίμησιν· καὶ διὰ τούτων ἁπάντων ὁλοκλήρου τοῦ σώματος τῆς ἐκκλησίας ἡμῖν κατορθωθέντος, δυνησόμεθα μετὰ τοῦ πληρώματος τούτου εἰς τὴν βασιλείαν τῶν οὐρανῶν εἰσελθεῖν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ, καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. ιη. ιε.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΕΙΣ ΤΟΝ ΣΕΙΣΜΟΝ, ΚΑΙ ΕΙΣ ΤΟΝ ΠΛΟΥΣΙΟΝ καὶ εἰς τὸν Λάζαρον, καὶ πόθεν ἡ δουλεία ἐγένετο.

Εἴδετε Θεοῦ δύναμιν; εἴδετε Θεοῦ φιλανθρωπίαν; δύναμιν, ὅτι ἐτίναξε τὴν οἰκουμένην· φιλανθρωπίαν, ὅτι πίπτουσαν αὐτὴν ἔστησε· μᾶλλον δὲ ἐν ἑκατέρῳ καὶ δύναμιν καὶ φιλανθρωπίαν. καὶ γὰρ τὸ σεῖσαι, δυνάμεως, καὶ τὸ στῆσαι, φιλανθρωπίας· ὅτι ἔσεισε τὴν γῆν καὶ ἐστήριξε τὴν οἰκουμένην, ὅτι σαλευομένην καὶ μέλλουσαν αὐτὴν πίπτειν ἤγειρε. ἀλλ' ὁ μὲν σεισμὸς παρῆλθεν, ὁ δὲ φόβος μενέτω· ὁ σάλος ἐ-

κεῖνος

κίνδυνος παρέδραμεν, ἡ δὲ εὐλάβεια μὴ παραδραμέτω. ἐλιτανεύσαμεν τρεῖς ἡμέρας, ἀλλὰ μὴ καταλύσωμεν τὴν σπουδήν. διὰ γὰρ τοῦτο ὁ σεισμός, διὰ τὴν ῥαθυμίαν τὴν ἡμετέραν. ἐῤῥαθυμήσαμεν, καὶ ἐκαλέσαμεν τὸν σεισμόν· ἐσπουδάσαμεν, καὶ ἀπεκρουσάμεθα τὴν ὀργήν. μὴ πάλιν ῥαθυμήσωμεν, ἵνα μὴ πάλιν καλέσωμεν τὴν ὀργὴν καὶ τὴν τιμωρίαν.

Ιεζεκ. λγ. ια.

Οὐ γὰρ βούλεται ὁ Θεὸς τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. Εἴδετε τὸ ἐπίκηρον τοῦ γένους τῶν ἀνθρώπων; ὅτε ὁ σεισμὸς ἐγένετο, ἐνενόουν ἐν ἑαυτῷ λέγων· ποῦ αἱ ἁρπαγαί; ποῦ αἱ πλεονεξίαι; ποῦ αἱ τυραννίδες; ποῦ αἱ ἀπόνοιαι; ποῦ αἱ δυναστεῖαι; ποῦ αἱ καταπονήσεις; ποῦ αἱ λεηλασίαι τῶν πενήτων; ποῦ αἱ ὑπερηφανίαι τῶν πλουτούντων; ποῦ τῶν ἀρχόντων αἱ δυναστεῖαι; ποῦ αἱ ἀπειλαί; ποῦ οἱ φόβοι; μία καιροῦ ῥοπὴ καὶ ἀράχνης εὐτελέστερον πάντα διεσπάσατο. πάντα ἐκεῖνα παρελύετο, καὶ κωκυτὸς πόλεως ἦν, καὶ πάντες ἐπὶ τὴν ἐκκλησίαν ἔτρεχον. ἐννοήσατε, εἰ ἔδοξε τῷ Θεῷ πάντα κατενέγκαι, τί ἂν ἐπάθομεν. Ταῦτα δὲ λέγω, ἵνα συνεχῶς ἀκμάζῃ ἐν ὑμῖν ὁ φόβος τῶν γενομένων, καὶ τὴν διάνοιαν πάντων στηρίζῃ. ἔσεισεν, ἀλλ' οὐ κατέβαλεν. Εἰ γὰρ ἐβούλετο καταβαλεῖν, οὐκ ἂν ἔσεισεν· ἀλλ' ἐπειδὴ οὐκ ἐβούλετο, περιέλαβε καθάπερ κῆρυξ ὁ σεισμός, προαναγγέλλων ἅπασι τὴν ὀργὴν τοῦ Θεοῦ, ἵνα τῷ φόβῳ βελτίους γενόμενοι, ἀποκρουσώμεθα τὴν διὰ τῶν πραγμάτων τιμωρίαν. οὕτω καὶ ἐπὶ τῶν βαρβάρων ἐποίησεν.

Ιων. γ. δ.

Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὴ καταστραφήσεται. καὶ διὰ τί οὐ καταστρέφεις; ἀπειλεῖς κατασκάπτειν, καὶ διὰ τί οὐ κατασκάπτεις; ἐπειδὴ οὐ βούλομαι κατασκάπτειν, διὰ τοῦτο ἀπειλῶ. τί οὖν λέγεις; ἵνα μὴ ποιήσω, ἃ λέγω. προλαμβανέτω ὁ λόγος, καὶ κωλυέτω τὸ ἔργον. ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὴ καταστραφήσεται τότε ὁ προφήτης ἔλεγε, σήμερον οἱ τοῖχοι φωνὴν ἀφιᾶσι. Ταῦτα δὲ λέγω, καὶ λέγων οὐ παύσομαι, καὶ πρὸς πένητας, καὶ πρὸς πλουσίους. ἐννοήσατε πόση τοῦ Θεοῦ ἡ ὀργή, καὶ πῶς αὐτῷ πάντα ῥᾴδια καὶ εὔκολα· καὶ στῶμέν ποτε τῆς πονηρίας. ἐν βραχείᾳ καιροῦ ῥοπῇ καὶ τὴν διάνοιαν καὶ τὸν νοῦν οὕτω παρέλυσεν ἑκάστου, καὶ τὰ θεμέλια τῆς καρδίας διέσεισεν. ἐννοήσωμεν, εἰ καὶ τὴν ἡμέραν ἐκείνην τὴν φοβεράν, ὅτε οὐ μία καιροῦ ῥοπή, ἀλλ' ἄπειροι αἰῶνες, καὶ ποταμοὶ πυρός, καὶ ἀπειληφόροι ὀργαί, καὶ δυνάμεις ἐπὶ τὴν κρίσιν ἕλκουσαι, καὶ βῆμα φοβερόν, καὶ δικαστήριον ἀδέκαστον, καὶ ἑκάστου τὰ πεπραγμένα παρὰ τῶν ὀφθαλμῶν ἕστηκε, καὶ οὐδεὶς ὁ βοηθῶν, οὔτε γείτων, οὔτε ῥήτωρ, οὔτε συγγενής, οὐκ ἀδελφός, οὐ πατήρ, οὐ μήτηρ, οὐ ξένος, οὐκ ἄλλος οὐδείς, τί ποιήσομεν τότε, εἰπέ μοι; ἄγω τὸν φόβον, ἵνα κατασκευάσω τὴν σωτηρίαν· σιδήρου τομωτέραν εἰργασάμην τὴν διδασκαλίαν, ἵνα ἕκαστος ὑμῶν σηπεδόνα ἔχων, ἀποθῆται. οὐκ ἀεὶ ἔλεγον, καὶ νῦν λέγω, καὶ λέγων οὐ παύσομαι· μέχρι πότε τοῖς παροῦσιν ἐστὲ προσηλωμένοι; πρὸς πάντας μὲν λέγω, ἐξαιρέτως δὲ πρὸς τοὺς νοσοῦντας, καὶ μὴ προσέχοντας τοῖς λεγομένοις· μᾶλλον δέ, ἑκατέρῳ χρήσιμος ὁ λόγος, τῷ μὲν νοσοῦντι, ἵνα ὑγιάνῃ, τῷ δὲ ὑγιαίνοντι, ἵνα μὴ νοσήσῃ. μέχρι πότε χρήματα; μέχρι πότε πλοῦτος; μέχρι πότε περιφάνειαι οἰκοδομημάτων; μέχρι πότε λύσσα περὶ τὴν ἄψυχον φιληδονίαν; ἰδοὺ ἦλθεν ὁ σεισμός· τί ὠφέλησεν ὁ πλοῦτος; ὁ πόνος ἑκατέρων παρελύετο· τῷ κεκτημένῳ τὸ κτῆμα συναπώλετο· ἡ οἰκία τῷ κατασκευάσαντι. κοινὸς τάφος ἁπάντων ἡ πόλις ἐγίνετο, τάφος ἐσχεδιασμένος, οὐκ ἐν χερσὶ τεχνιτῶν, ἀλλὰ τῇ συμφορᾷ κατεσκευασμένος. ποῦ ὁ πλοῦτος; ποῦ αἱ ἁρπαγαί; ποῦ αἱ πλεονεξίαι; ὁρᾶτε ὅτι ἀράχνης πάντα εὐτελέστερα; ἀλλ' ἐρεῖς μοι, καὶ τί ὠφελεῖς λέγων; ὠφελῶ, ἐάν τις μου ἀκούσῃ. ἐγὼ δὲ ἐμαυτοῦ ποιῶ. ὁ σπείρων, σπείρει. Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι· καὶ τὰ μὲν ἔπεσε παρὰ τὴν ὁδόν, τὰ δὲ ἐπὶ τὴν πέτραν, τὰ δὲ ἐπὶ τὰς ἀκάνθας, τὰ δὲ ἐπὶ τὴν γῆν τὴν καλήν. τρία μέρη ἀπώλετο, καὶ ἓν ἐσώθη, καὶ οὐκ ἀπέστη τῆς γεωργίας· ἀλλ' ἐπειδὴ ἓν διεσώζετο, οὐκ ἐπαύσατο τῆς γεηπονίας· καὶ νῦν δὲ ἀμήχανον ἐν τοσούτῳ πλήθει σπόρον καταβαλλόμενον μὴ ἐνεγκεῖν μοι στάχυν. κἂν μὴ πάντες ἀκούσωσιν, οἱ ἡμίσεις ἀκούσονται· κἂν μὴ οἱ ἡμίσεις, ἡ τρίτη μοῖρα· κἂν μὴ ἡ τρίτη μοῖρα, ἡ δεκάτη· κἂν μὴ ἡ δεκάτη, κἂν εἷς ἐκ τοῦ πλήθους ἀκούσῃ, ἀκουέτω. οὐ μικρὸν γὰρ τὸ καὶ ἓν πρόβατον διασωθῆναι· ἐπεὶ καὶ ὁ ποιμὴν ἐκεῖνος τὰ ἐνενηκονταεννέα πρόβατα καταλιπὼν, ἐπὶ τὸ ἓν τὸ πεπλανημένον ἔδραμεν. οὐ καταφρονῶ ἀνθρώπου· κἂν εἷς ᾖ, ἄνθρωπός ἐστι, τὸ περισπούδαστον τοῦ Θεοῦ ζῶον. κἂν δοῦλος ᾖ, οὐκ ἔστι μοι εὐκαταφρόνητος. οὐ γὰρ ἀξίωμα ζητῶ, ἀλλ' ἀρετήν· οὐ δεσποτείαν, οὐ δουλείαν, ἀλλὰ ψυχήν. κἂν εἷς ᾖ, ἄνθρωπός ἐστι, δι' ὃν οὐρανὸς ἐτανύσθη, καὶ ἥλιος φαίνει, καὶ σελήνη τρέχει, καὶ ἀὴρ ἐξεχέθη, καὶ πηγαὶ βρύουσι, καὶ θάλαττα ἡπλώθη, καὶ προφῆται ἐπέμφθησαν, καὶ νόμος ἐδόθη. καὶ τί δεῖ πάντα λέγειν; δι' ὃν ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ ἄνθρωπος ἐγένετο. ὁ δεσπότης μου ἐσφάγη, καὶ τὸ αἷμα αὐτοῦ ἐξέχεεν ὑπὲρ ἀνθρώπου, κἀγὼ καταφρονῆσαι ἔχω; καὶ ποίαν ἔχω συγγνώμην; οὐκ ἀκούετε ὅτι Σαμαρείτιδι διελέγετο ὁ Κύριος, καὶ μυρίους ἀνάλωσε λόγους; καὶ οὐκ ἐπειδὴ Σαμαρεῖτις ἦν, κατεφρονεῖτο, ἀλλ' ἐπειδὴ ψυχὴν εἶχεν, ἐσπουδάζετο. οὐκ ἐπειδὴ πόρνη ἦν, ὑπερεωρᾶτο, ἀλλ' ἐπειδὴ ἔμελλε σώζεσθαι καὶ πίστιν ἐπεδείξατο, πολλῆς ἀπήλαυσε τῆς ἐπιμελείας. οὐ παύσομαι λέγειν ἐγὼ, κἂν μηδεὶς ᾖ ὁ ἀκούων. ἰατρός εἰμι, ἐπιτίθημι τὰ φάρμακα· διδάσκαλός εἰμι, παραινεῖν ἐκελεύσθην. λέγει γάρ· Σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραήλ. οὐδένα διορθοῦμαι; καὶ τί τοῦτο; ἀλλ' ἐγὼ τὸν μισθὸν ἔχω. καὶ τοῦτο καθ' ὑπερβολὴν εἶπον. ἀμήχανον γὰρ ἐν πλήθει τοσούτῳ μὴ διορθωθῆναί τινα. ἀλλ' αὗται αἱ σκήψεις καὶ αἱ προφάσεις εἰσὶ τῶν ῥαθύμων ἀκροατῶν. ἀκούω, φησὶ, καθ' ἡμέραν, καὶ οὐ ποιῶ. ἄκουε, κἂν μὴ ποιῇς. ἐκ γὰρ τοῦ ἀκούειν καὶ τὸ πράττειν παραγίνεται. κἂν μὴ ποιῇς, αἰσχύνῃ ἐπὶ τῇ ἁμαρτίᾳ· κἂν μὴ ποιῇς, μεταβάλλῃ τὴν γνώμην· κἂν μὴ ποιῇς, καταδικάζεις σεαυτὸν, ὅτι οὐ ποιεῖς. τοῦτο δὲ τὸ κατηγορεῖν σαυτοῦ, πόθεν; ὁ καρπὸς τῶν ἐμῶν λόγων. ὅταν εἴπῃς, οἴμοι, ἤκουσα, καὶ οὐ ποιῶ, τὸ, οἴμοι, προοίμιόν ἐστι τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς. ἥμαρτες; ἐθρήνησας; ἔλυσας τὴν ἁμαρτίαν. Ἠσ. μγ. κς. Λέγε γὰρ πρῶτος τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς. κἂν στυγνάσῃς, ἢ κατηφὴς γένῃ, ἔχει τινὰ σωτηρίαν ἡ κατήφεια, οὐ διὰ τὴν φύσιν τῆς κατηφείας, ἀλλὰ διὰ τὴν φιλανθρωπίαν τοῦ δεσπότου. τῷ ἔχοντι ἁμαρτίας οὐκ ὀλίγη παραμυθία, τὸ λυπεῖν ἑαυτόν. Ἠσ. νζ. ιη. Εἶδον γάρ, φησιν, ὅτι ἐλυπήθη καὶ ἐστύγνασε, καὶ ἰασάμην αὐτοῦ τὰς ὀδύνας. ὢ φιλανθρωπίας ἀφάτου, καὶ ἀγαθότητος ἑρμηνευθῆναι μὴ δυναμένης. ἐλυπήθη, καὶ ἰασάμην αὐτόν. καὶ τί μέγα, ὅτι ἐλυπήθη; οὐ μέγα μέν· ἀλλ' ἐγὼ ἀφορμὴν ἔλαβον τοῦ ἰᾶσθαι τὰς ὀδύνας αὐτοῦ. κ. ἰάσα εἴδετε πῶς ἐν βραχείᾳ καιροῦ ῥοπῇ πάντα συνήγαγε; διηνεκῶς τοίνυν τὴν ἑσπέραν ἐκείνην τοῦ σεισμοῦ λογίζεσθε ἐν ἑαυτοῖς. οἱ μὲν γὰρ ἄλλοι πάντες διὰ τὸν σεισμὸν ἐδεδοίκεσαν, ἐγὼ δὲ διὰ τὴν αἰτίαν τοῦ σεισμοῦ. συνήκατέ τι εἶπον; οἱ μὲν ἐφοβοῦντο, μὴ πέσῃ ἡ πόλις καὶ ἀποθάνωσιν· ἐγὼ δὲ δέδοικα, ὅτι ὁ δεσπότης ἡμῖν ὀργίζεται. οὐ γὰρ χαλεπὸν τὸ ἀποθανεῖν, ἀλλὰ χαλεπὸν τὸ παροξῦναι τὸν δεσπότην. ὥστε οὐ διὰ τὸν σεισμὸν ἐφοβούμην, ἀλλὰ διὰ τὴν αἰτίαν τοῦ σεισμοῦ. ἡ γὰρ αἰτία τοῦ σεισμοῦ, ἡ ὀργὴ τοῦ Θεοῦ· τῆς δὲ ὀργῆς αἴτιον, αἱ ἁμαρτίαι ἡμῶν. μηδέποτε φοβοῦ κόλασιν, ἀλλ' ἁμαρτίαν τὴν μητέρα τῆς κολάσεως. σείεται ἡ πόλις; καὶ τί τοῦτο; ἀλλὰ σοῦ μὴ σαλευθήτω ἡ διάνοια· ἐπεὶ καὶ ἐπὶ τῶν νοσημάτων καὶ τῶν τραυμάτων οὐκ ἐκείνους θρηνοῦμεν τοὺς θεραπευομένους, ἀλλὰ τοὺς τὰ ἀνίατα νοσοῦντας. ὅπερ ἐστὶ νόσος καὶ τραῦμα, τοῦτ' ἔστι καὶ ἁμαρτία· ὅπερ ἐστὶ τομὴ καὶ φάρμακον, τοῦτο ἐστὶ καὶ τιμωρία. συνήκατε τί λέγω; προσέχετε. φιλόσοφον γὰρ ὑμᾶς βούλομαι παιδεῦσαι λόγον. διατί τοὺς κολαζομένους θρηνοῦμεν, ἀλλ' οὐ τοὺς ἁμαρτάνοντας; οὐ γὰρ οὕτω χαλεπὸν κόλασις, ὡς χαλεπὸν ἡ ἁμαρτία. τῆς γὰρ κολάσεως ὑπόθεσις ἡ ἁμαρτία. ἐὰν τοίνυν ἴδῃς τινὰ σηπεδόνα ἔχοντα, σκώληκας καὶ ἰχῶρας ἀπὸ τοῦ σώματος κατερχομένους, καὶ ἀμελοῦντα τοῦ ἕλκους καὶ τῆς σηπεδόνος, ἕτερον δὲ τὰ αὐτὰ πάσχοντα ἰατρῶν ἀπολαύοντα χειρῶν, καιόμενον καὶ τεμνόμενον καὶ πικρὰ πίνοντα φάρμακα, τίνα θρηνήσεις, εἰπέ μοι; τὸν νοσοῦντα, καὶ μὴ θεραπευόμενον;

πευόμενον, ἢ τὸν νοσοῦντα καὶ θεραπευόμενον; δῆλον ὅτι τὸν νοσοῦντα, καὶ μὴ θεραπευόμενον. οὕτως ἔστωσαν δύο ἁμαρτωλοὶ, ὁ μὲν κολαζόμενος, ὁ δὲ μὴ κολαζόμενος. μὴ λέγε, μακάριός ἐστιν, ὅτι πλουτεῖ, ὀρφανοὺς ἀποδύει, χήρας βιάζεται. καίτοι οὐ νοσεῖ, ἀλλ' ἁρπάζων εὐδοκιμεῖ, τιμῆς ἀπολαύει καὶ δυναστείας· οὐδὲν τῶν ἀνθρωπίνων ὑπομένει, οὐ πυρετὸν, οὐ κάκωσιν, οὐκ ἄλλην τινὰ νόσον· παίδων χορὸς περὶ αὐτὸν, γῆρας λιπαρόν. ἀλλὰ τοῦτον μάλιστα θρήνει, ὅτι καὶ νοσεῖ, καὶ οὐ θεραπεύεται. πῶς; ἐγὼ λέγω. ἐὰν ἴδῃς τινὰ ὑδέρῳ κατεχόμενον, καὶ πολλὴν χαλεπωτάτην τὸ σῶμα ἐξογκούμενον, καὶ μὴ προσέχοντα πρὸς τὸν ἰατρὸν, ἀλλὰ ψυχραποσίᾳ προσέχοντα, τράπεζαν ἔχοντα Συβαριτικὴν, καθ' ἑκάστην ἡμέραν μεθύοντα, δορυφορούμενον, καὶ ἐπιτείνοντα τὴν νόσον, εἰπέ μοι, μακαρίζεις τοῦτον, ἢ ταλανίζεις; ἐὰν δὲ ἕτερον ἴδῃς ὑδέρῳ κατεχόμενον, ἰατρικῆς ἀπολαύοντα χειρὸς, λιμῷ ἑαυτὸν ἐκδιδόντα, ἐν ἀπορίᾳ πολλῇ ὄντα, φαρμάκοις προσκαρτεροῦντα πικροῖς, ἔχουσι μὲν ὀδύνην, τίκτουσι δὲ ἐκ τῆς ὀδύνης ὑγείαν, οὐχὶ τοῦτον ὑπὲρ ἐκεῖνον μακαρίζεις; ὡμολόγηται. ὁ μὲν γὰρ νοσεῖ, καὶ οὐ θεραπεύεται· ὁ δὲ νοσεῖ, καὶ ἀπολαύει ἰατρείας. ἀλλ' ἐπίπονος ἡ ἰατρεία; ἀλλ' ὠφέλιμον αὐτῆς τὸ τέλος. οὕτως ἐστὶ καὶ ἐν τῷ παρόντι βίῳ. ἀλλ' ἀπὸ τῶν σωμάτων ἄπαγε τὸν λόγον ἐπὶ τὰς ψυχὰς, ἀπὸ τῶν νοσημάτων ἐπὶ τὰ ἁμαρτήματα, ἀπὸ τῆς πικρίας τῶν φαρμάκων ἐπὶ τὰς τιμωρίας καὶ τὴν κρίσιν τοῦ Θεοῦ. ὅπερ γάρ ἐστι τὸ φάρμακον τὸ παρὰ τοῦ ἰατροῦ καὶ ἡ τομὴ καὶ τὸ πῦρ, τοῦτό ἐστιν ἡ τιμωρία ἡ παρὰ τοῦ Θεοῦ. ὥσπερ γὰρ τὸ πῦρ πολλάκις ἐπαγόμενον καίει, καὶ τὴν νομὴν κωλύει, καὶ τὸ σιδήριον ἀφαιρεῖται τὴν σηπεδόνα, ἔχον μὲν ὀδύνην, παρέχον δὲ ὠφέλειαν· οὕτω καὶ λιμοὶ καὶ λοιμοὶ, καὶ ὅσα κακὰ δοκοῦντά ἐστιν, ἀντὶ σιδήρου καὶ πυρὸς ἐπάγονται τῇ ψυχῇ, ἵνα τὴν νομὴν τῶν νοσημάτων κατὰ τὴν εἰκόνα τῶν σωμάτων κωλύσῃ καὶ βελτίονα ἐργάσηται. πάλιν ἔστωσαν δύο πόρνοι (καὶ ὑποκείσθω τῷ λόγῳ ἡ εἰκών) δύο πόρνοι· ἀλλ' ὁ μὲν πλούσιος, ὁ δὲ πένης. τίς μᾶλλον ἐλπίδας σωτηρίας ἔχει; ὡμολόγηται δηλονότι ὁ πένης. μὴ τοίνυν εἴπῃς, ὅτι ὁ πλούσιος πορνεύει καὶ πλουτεῖ, καὶ διὰ τοῦτο μακαρίζω αὐτόν. μᾶλλον ἔδει σε μακαρίζειν αὐτὸν, εἰ πορνεύων ἐπένετο, εἰ πορνεύων ἐλιμώττεν. εἶχε γὰρ διδάσκαλον κατηναγκασμένον τῆς φιλοσοφίας τὴν πενίαν. ὅταν ἴδῃς κακὸν εὐημεροῦντα, δάκρυσον. δύο γὰρ κακὰ, ἡ νόσος, καὶ τὸ ἀνίατον. ὅταν ἴδῃς κακὸν ἐν συμφοραῖς ὄντα, παραμυθοῦ, μὴ διὰ τοῦτο μόνον, ὅτι βελτίων γίνεται, ἀλλ' ὅτι πολλὰ τῶν ἁμαρτημάτων αὐτοῦ ἐνταῦθα διαλύεται. πρόσεχε μετὰ ἀκριβείας τῷ λόγῳ. πολλοὶ τῶν ἀνθρώπων καὶ ἐνταῦθα διαλύονται, καὶ ἐκεῖ κρίνονται· οἱ δὲ ἐνταῦθα μόνον, οἱ δὲ ἐκεῖ μόνον. κατέχε μοι τὴν διδασκαλίαν. ἐστὶ γὰρ διευκρινηθεὶς ὁ λόγος, πολλοὺς θορύβους ἐκβαλεῖ σου τοῦ λογισμοῦ. ἀλλ', εἰ δοκεῖ, παραγάγωμεν εἰς μέσον πρῶτον τὸν ἐκεῖ μὲν κολαζόμενον, ἐνταῦθα δὲ ἀπολαύσαντα τρυφῆς. προσεχέτωσαν καὶ πλούσιοι καὶ πένητες τῷ λεγομένῳ· ἑκατέρῳ γὰρ χρήσιμος ἡ διδασκαλία. ὅτι γὰρ καὶ ἐνταῦθα καὶ ἐκεῖ πολλοὶ κρίνονται, ἄκουε τοῦ Χριστοῦ λέγοντος· Εἰς ἣν δ' ἂν πόλιν ἢ οἰκίαν εἰσέλθητε, εἰσερχόμενοι εἰς τὴν οἰκίαν, ἀσπάσασθε αὐτὴν, λέγοντες· εἰρήνη τῷ οἴκῳ τούτῳ. κἂν μὲν ᾖ ἡ οἰκία ἀξία, εἰσελθέτω ἡ εἰρήνη ὑμῶν ἐπ' αὐτήν· ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν ἐφ' ὑμᾶς ἐπιστραφήτω. καὶ, ὃς ἂν μὴ δέξηται ὑμᾶς, μηδὲ ἀκούσῃ τῶν λόγων ὑμῶν, ἐξερχόμενοι ἔξω τῆς πόλεως, ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν. ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρων ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ. εἰς ἣν δ' ἂν πόλιν ἢ οἰκίαν εἰσέλθητε, ἐξετάσατε τίς ἐν αὐτῇ ἄξιός ἐστι, κἀκεῖ μείνατε, ἕως ἂν ἐξέλθητε. ἀπὸ τούτων δῆλον ὅτι οἱ Σοδομῖται καὶ Γομόρρων καὶ ἐνταῦθα ἐκαύθησαν, καὶ ἐκεῖθεν κολάζονται. ὅταν γὰρ λέγῃ, ὅτι ἀνεκτότερον ἔσται Σοδόμοις, ἢ τούτοις, δείκνυσιν, ὅτι κολάζονται μὲν, οὐχ οὕτω δὲ ὡς οὗτοι. πάλιν εἰσὶν οἱ ἐνταῦθα κολαζόμενοι μόνον, ὥσπερ ὁ πεπορνευκώς. Κορινθίοις γὰρ ἐπιστέλλων ὁ μακάριος Παῦλος, οὕτως ἔλεγεν· Ὅλως ἀκούεται

Ματθ. ι. λά.

α. Κορ. ε. α.

ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία, ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται, ὥστε γυναῖκά τινα τοῦ πατρὸς ἔχειν. καὶ ὑμεῖς πεφυσιωμένοι ἐστὲ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας. ἐγὼ μὲν γὰρ ὡς ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ πνεύματι, ἤδη κέκρικα, ὡς παρὼν, τὸν οὕτω τοῦτο κατεργασάμενον, ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος, παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ. εἶδες πῶς οὗτος ὧδε κολάζεται, καὶ ἐκεῖ οὐ κολάζεται; ἐπειδὴ γὰρ ὧδε ἐκολάσθη αὐτοῦ τὸ σῶμα, ἐκεῖ οὐ κολάζεται.

Λουκ. ις. ιθ. Θέλω λοιπὸν δεῖξαι τὸν ὧδε τρυφῶντα, ἐκεῖ δὲ κολαζόμενον. ἦν τις πλούσιος. ἀλλ' εἰ καὶ παραλαμβάνετε τὴν ἱστορίαν τοῦ διηγήματος, ἀναμείνατε τὴν λύσιν τοῦ λόγου. τοῦτο γὰρ ἐμὸν ἐγκώμιον, καὶ ὑμέτερος ἔπαινος, προοιμίων καταβαλλομένων, ἤδη ὑμᾶς τὸν στάχυν δρέπεσθαι. διδασκάλους ὑμᾶς εἰργάσατο ἡ συνεχὴς τῶν λόγων ἀπόλαυσις. ἀλλ' ἐπειδὴ μεθ' ὑμῶν εἰσὶ καὶ ξένοι τινὲς εἰσιόντες, μὴ τρέχετε, ἀλλ' ἀναμείνατε τοὺς χωλεύοντας. καὶ γὰρ ἡ ἐκκλησία σῶμά ἐστιν· ὀφθαλμὸν ἔχει, καὶ κεφαλὴν ἔχει. ὥσπερ οὖν ἐὰν ἡ πτέρνα δέξηται ἄκανθαν, ὁ ὀφθαλμὸς κάτω κύπτει, μέλος ὢν τοῦ σώματος, καὶ οὐ λέγει, ἐπειδὴ ἐν ὕψει κάθημαι, καταφρονῶ τοῦ κάτω μέλους, ἀλλὰ κύπτει καὶ καταλιμπάνει τὸ ἑαυτοῦ ὕψος (καίτοι τί πτέρνης εὐτελέστερον; ἢ τί ὀφθαλμοῦ εὐγενέστερον;) ἀλλ' ἡ συμπάθεια τὸ ἀνώμαλον διώρθωσε, καὶ ἡ ἀγάπη τὸ πᾶν ἐκέρασεν· οὕτω καὶ σὺ ποίει. κἂν ταχὺς ᾖς, κἂν προεσκευασμένος πρὸς ἀκρόασιν, μὴ ἔχῃς δὲ παρακολουθοῦντα τὸν ἀδελφὸν τοῖς καταβαλλομένοις, καταβήτω ὁ ὀφθαλμός σου πρὸς τὴν πτέρναν· συμπαθέτω τῷ χωλεύοντι μέλει, ὥστε μὴ διὰ τὴν σὴν ταχυτῆτα, καὶ τὴν ἐκείνου βραδυτῆτα, ἔρημον αὐτὸν ἀπομεῖναι τοῦ λόγου. μὴ τῇ συνέσει τῇ σῇ εἰς ἐκείνου ἀπώλειαν ἀποχρήσῃ, ἀλλὰ χάριν ἔχε τῷ Θεῷ διὰ τὴν σὴν ταχυτῆτα. πλούσιος εἶ; χαίρω καὶ εὐφραίνομαι· ἀλλ' ἐκεῖνος ἐστὶ πένης. μὴ διὰ τὸν πλοῦτον μενέτω ἐν τῇ πτωχείᾳ. ἄκανθαν ἔχει ἐκεῖνος, τεθορυβημένον λογισμόν· ἀλλὰ κατάβηθι πρὸς αὐτὸν, καὶ ἔξελε τὴν ἄκανθαν. τί οὖν φησιν; ἦν τις πλούσιος ὀνόματι, οὐχὶ πράγματι· ἦν τις πλούσιος πορφύραν ἐνδιδυσκόμενος, τράπεζαν παρατιθέμενος πολυτελῆ, κρατῆρας ἔχων ἐστεμμένους οἴνου, συμπόσια καθ' ἑκάστην ἡμέραν ποιῶν. ἕτερος δέ τις ἦν πένης, Λάζαρος ὀνόματι. καὶ ποῦ τὸ ὄνομα τοῦ πλουσίου; οὐδαμοῦ. ἀνώνυμος γάρ ἐστι. πόσος πλοῦτος, καὶ ὄνομα αὐτῷ οὐχ εὑρίσκεται; ποῖος πλοῦτος ἐστί; δένδρον φύλλοις μὲν κομῶν, καρποῦ δὲ ἀπεστερημένον· δρῦς πρὸς ὕψος ἀνατεταμένη, ἀλόγοις τροφὴν παρέχουσα τὴν βάλανον· ἄνθρωπος οὐκ ἔχων ἀνθρώπου καρπόν. ὅπου γὰρ πλοῦτος καὶ ἁρπαγαί, λύκος ὁ βλεπόμενος· ὅπου πλοῦτος καὶ θηριωδία, λέοντα ὁρῶ, καὶ οὐκ ἄνθρωπον. ἀπώλεσε τὴν εὐγένειαν τῇ δυσγενείᾳ τῆς πονηρίας. ἦν τις πλούσιος, πορφύραν καθ' ἑκάστην ἡμέραν ἐνδιδυσκόμενος, τὴν δὲ ψυχὴν ἀράχνης γέμων· μύρου πνέων, δυσωδίας δὲ ἐμπεπλησμένος· τράπεζαν παρατιθέμενος πολυτελῆ, παρασίτους τρέφων καὶ κόλακας, τὴν δούλην πιαίνων τὴν σάρκα, τὴν δέσποιναν δὲ τὴν ψυχὴν λιμῷ φθειρομένην περιορῶν. κατεστεμμένη αὐτῷ ἡ οἰκία, καὶ ὁ τῆς ἁμαρτίας θεμέλιος κεκονιαμένος· ἐν οἴκῳ τὴν ψυχὴν ἔχων κατορωρυγμένην. ἦν τοίνυν ὁ πλούσιος ἐκεῖνος τράπεζαν ἔχων πολυτελῆ, κρατῆρας ἐστεμμένους οἴνου, παρασίτους τρέφων καὶ κόλακας, τὸ πονηρὸν τοῦ διαβόλου τάξιν, τοὺς λύκους τοὺς αἰχμαλωτίζοντας πολλοὺς τῶν πλουτούντων, τοὺς ὠνουμένους τῆς οἰκείας γαστρὸς τῇ πλησμονῇ τὴν ἐκείνων ἀπώλειαν, τοὺς πολλῇ τιμῇ καὶ κολακείᾳ τὸν πλοῦτον λυμαινομένους. οὐ * * λοιπὸν * * *

* * * *

* * *

οὐδὲ

καὶ μὴ μιμῆται αὐτῆς τοὺς τρόπους. μητέρα ἔχεις ἁγίαν; οὐδὲν πρὸς σέ. μητέρα ἔχεις πονηράν; οὐδὲν πρὸς σέ. ὥσπερ ἐκείνης ἡ ἀρετὴ οὐκ ὠφελεῖ σε μὴ ζηλοῦντα αὐτῆς τὴν ἀρετὴν, οὕτως οὐδὲ ἡ κακία αὐτῆς βλάπτει σε, ἐὰν μεταβάλῃς τὴν πονηρίαν. ἀλλ' ὥσπερ ἐκεῖ μεῖζον τὸ ἔγκλημα, ὅτι οἴκοθεν ἔχων τὸ ὑπόδειγμα, οὐκ ἐμιμήσω τὴν ἀρετήν· οὕτω καὶ ἐνταῦθα τὸ ἐγκώμιον μεῖζον, ὅτι μητέρα τις ἔχων πονηρὰν, οὐκ ἐμιμήσατο τὴν πονηρίαν αὐτῆς, ἀλλ' ἀπὸ ῥίζης πικρᾶς γλυκὺς ἐφύη καρπός. οὐ γὰρ προγόνων περιφάνεια, ἀλλὰ τρόπος ἀρετῆς ζητεῖται. ἐγὼ καὶ δοῦλον εὐγενῆ καλῶ, καὶ δεσπότην ἅλυσιν περικείμενον, ἐὰν καταμάθω αὐτοῦ τὸν τρόπον. ἐμοὶ καὶ ὁ ἐν ἀξιώματι δυσγενὴς, ἐὰν δούλην ἔχῃ τὴν ψυχήν. τίς γάρ ἐστι δοῦλος, εἰ μὴ ὁ ποιῶν τὴν ἁμαρτίαν; ἡ μὲν γὰρ ἄλλη δουλεία, περιστάσεως πραγμάτων· αὕτη δὲ ἡ δουλεία, διαφορᾶς γνώμης· ἐπεὶ καὶ ἡ δουλεία ἐξ ἀρχῆς ἐντεῦθεν εἰσῆλθεν. οὐκ ἦν δοῦλος τὸ παλαιόν. ὁ γὰρ Θεὸς πλάττων τὸν ἄνθρωπον, οὐκ ἐποίησεν αὐτὸν δοῦλον, ἀλλ' ἐλεύθερον. ἐποίησε τὸν Ἀδὰμ καὶ τὴν Εὔαν, καὶ ἀμφότεροι ἦσαν ἐλεύθεροι. πόθεν οὖν ἡ δουλεία ἐγένετο; ἐξώκειλε τὸ γένος τῶν ἀνθρώπων, καὶ τὰ μέτρα τῆς ἐπιθυμίας ὑπερβάντες, εἰς ἀκολασίαν ἐπήρθησαν. καὶ ὅπως, ἄκουε. ἐγένετο κατακλυσμὸς, τὸ κοινὸν τῆς οἰκουμένης ναυάγιον, καταρράκται ἠνεῴχθησαν, καὶ ἄβυσσοι ἀνεβλύσθησαν, καὶ πάντα ἦν ὕδωρ· καὶ τὰ φαινόμενα ἀνεστοιχειοῦτο καὶ διελύοντο· καὶ γῆ οὐκ ἐφαίνετο, ἀλλ' ἦν ἅπαντα πέλαγος, ῥίζαν ἔχοντα τὴν ὀργὴν τοῦ Θεοῦ, καὶ πάντα κύματα ἦν, καὶ πάντα πελάγη· ὄρη πρὸς ὕψος ἀνατεταμένα, ἀλλὰ τὸ πέλαγος αὐτὰ ἐκάλυπτε· καὶ ἦν πέλαγος καὶ οὐρανὸς μόνον. καὶ ἦν τὸ γένος τῶν ἀνθρώπων ἀπολωλὸς, καὶ ἦν ὁ σπινθὴρ τοῦ γένους τοῦ ἡμετέρου ὁ Νῶε· σπινθὴρ ἐν μέσῳ πελάγους, καὶ μὴ σβεννύμενος, τὰς ἀπαρχὰς τοῦ γένους ἡμῶν ἔχων, γυναῖκα καὶ παιδία, περιστερὰν καὶ κόρακα, καὶ τὰ ἄλλα πάντα. καὶ ἦσαν πάντες ἔνδον, καὶ ἐφέρετο ἡ κιβωτὸς ἐπάνω τοῦ ὕδατος ἐν μέσῳ τοῦ κλύδωνος, καὶ οὐκ ἐναυάγει. εἶχε γὰρ κυβερνήτην τὸν τοῦ παντὸς δεσπότην. αἱ γὰρ σανίδες αὐτὴν οὐ διέσωσαν, ἀλλ' ἡ χεὶρ ἡ κραταιά. καὶ ὅρα θαῦμα. ὅτι [καὶ] ἐξεπλύθη ἡ γῆ, ὅτε ἀνῃρέθησαν οἱ τὰ κακὰ ἐργασάμενοι, ὅτε ἐλώφησεν ὁ χειμὼν, ἐφάνησαν αἱ κορυφαὶ τῶν ὀρέων, ἐκάθισεν ἡ κιβωτὸς, ἔπεμψε τὴν περιστερὰν ὁ Νῶε. μυστήρια δὲ ἦν τὰ λεγόμενα, καὶ τῶν μελλόντων τύπος τὰ γινόμενα· οἷον, ἡ ἐκκλησία, ἡ κιβωτός· ὁ Νῶε, ὁ Χριστός· ἡ περιστερὰ, τὸ πνεῦμα τὸ ἅγιον· τὸ φύλλον τῆς ἐλαίας, ἡ φιλανθρωπία τοῦ Θεοῦ. τὸ ἥμερον ζῶον ἐξεπέμπετο, καὶ ἐξῆλθεν ἀπὸ τῆς κιβωτοῦ. ἀλλὰ τύπος ἐκεῖνα, ταῦτα δὲ ἀλήθεια. ὅρα δὲ τὴν δαψίλειαν τῆς ἀληθείας. καθάπερ ἡ κιβωτὸς ἐν μέσῳ τοῦ πελάγους διέσωζε τοὺς ἔσω ὄντας, οὕτω καὶ ἡ ἐκκλησία διασώζει τοὺς πλανωμένους ἅπαντας. ἀλλ' ἡ μὲν κιβωτὸς ἔσωζε μόνον, ἡ δὲ ἐκκλησία πλέον τι ἐργάζεται. οἷόν τι λέγω· ἔλαβεν ἡ κιβωτὸς τὰ ἄλογα, καὶ ἔσωζεν ἄλογα· ἔλαβεν ἡ ἐκκλησία ἀλόγους ἀνθρώπους, καὶ οὐ σώζει μόνον, ἀλλὰ καὶ μεταβάλλει· ἔλαβεν ἡ κιβωτὸς κόρακα, καὶ κόρακα ἔπεμψε· λαμβάνει ἡ ἐκκλησία κόρακα, καὶ ἐκπέμπει περιστεράν· λαμβάνει λύκον, καὶ ἐκπέμπει αὐτὸν πρόβατον. ὅταν γὰρ εἰσέλθῃ ἐνταῦθα ἄνθρωπος ἁρπάζων, πλεονεκτῶν, ἀκούσῃ δὲ τῶν θείων λογίων τῆς διδασκαλίας, μεταβάλλει τὴν γνώμην, καὶ ἀντὶ λύκου γίνεται πρόβατον. ὁ μὲν γὰρ λύκος καὶ τὰ ἀλλότρια ἁρπάζει, τὸ δὲ πρόβατον καὶ τὸ ἔριον αὐτοῦ προΐεται. ἐκάθισεν ἡ κιβωτὸς, καὶ ἀνεῴγησαν αἱ θύραι· ἐξῆλθε Νῶε ἐκ τοῦ ναυαγίου διασωθείς· βλέπει τὴν γῆν ἠρημωμένην· βλέπει τάφον ἐσχεδιασμένον, ἰλὺν, τάφον κοινὸν κτήνεσι καὶ ἀνθρώποις. πάντα ὁμοῦ τὰ σώματα ἵππων καὶ ἀνθρώπων καὶ κτηνῶν ἀλόγων πάντων ὁμοῦ κατακεχωσμένα. εἶδε τὴν τραγῳδίαν ἐκείνην, εἶδε τὴν γῆν πικρίας γέμουσαν· ἐν ἀθυμίᾳ πολλῇ ἦν. πάντες ἀπώλοντο· οὐκ ἄνθρωπος, οὐ κτῆνος, οὐκ ἄλλο τι τῶν ἔξω τῆς κιβωτοῦ διεσώθη, οὐρανὸν ἔβλεπε μόνον. ὑπὸ τῆς ἀθυμίας ἐτυραννεῖτο, κατείχετο ὑπὸ τῆς ὀδύνης, ἔπιεν οἶνον, ἔδωκεν ἑαυτὸν τῷ ὕπνῳ, ἵνα παραμυθήσηται τὸ ἕλκος τῆς ἀθυμίας. ἔκειτο δὲ ἐπὶ τῆς κλίνης, καθάπερ ἰατρῷ τῷ ὕπνῳ ἑαυτὸν ἐπιδούς, λήθην ἐργαζόμενος τῇ διανοίᾳ τῶν γεγυμνωμένων, οἷα εἰκὸς γεγηρακότα, καὶ οἶνον πιόντα, καὶ ὕπνῳ κατεχόμενον. δεῖ γὰρ ὑπὲρ τοῦ δικαίου ἀπολογήσασθαι, ὅτι οὐκ ἦν μέθης οὐδὲ πάθους ἐπιθυμία τὸ γινόμενον, ἀλλὰ δι' ἀμφοτέρων ἴατο τὸ ἕλκος. Παροιμ. λα. ς. τοῦτο γὰρ καὶ ὁ Σολομὼν ἔλεγε· Δότε οἶνον τοῖς ἐν λύπῃ, καὶ μέθην τοῖς ἐν ὀδύναις. διὰ τοῦτο πολλοὶ τῶν ἀνθρώπων, καὶ μάλιστα ἐν τοῖς ἐπικηδείοις, ὅταν τις παιδίον ἢ γυναῖκα ἀποβάλῃ, ἐπειδὰν τὸ πάθος τυραννῇ, ἐπειδὰν ἀθυμία περιγίνεται, ἐπειδὰν κρατῇ τὸ συνειδὸς, λαμβάνει φίλους εἰς τὴν οἰκίαν ἑαυτοῦ, καὶ συμπόσιον δαψιλὲς ποιεῖ, καὶ οἶνος ἄκρατος δίδοται τῷ λυπουμένῳ, ἵνα παραμυθήσηται τὸ ἕλκος. τοῦτο ἔπαθε καὶ ὁ γέρων ἐκεῖνος τότε. ὑπὸ γὰρ τῆς ἀθυμίας τυραννούμενος, καθάπερ φαρμάκῳ τῷ τοιούτῳ ἐχρήσατο, καὶ ἀπὸ τοῦ οἴνου δέδωκεν ἑαυτὸν τῷ ὕπνῳ. ἵνα μάθητε πόθεν ἡ δουλεία ἐδόθη, μετὰ μικρὸν εἰσελθὼν ὁ ἐπικατάρατος ἐκεῖνος υἱὸς αὐτοῦ· υἱὸς μὲν αὐτοῦ τῇ φύσει, οὐχ υἱὸς δὲ τῇ προαιρέσει (πάλιν δὲ λέγω εὐγένειαν, οὐ προγόνων περιφάνειαν, ἀλλὰ τρόπον ἀρετῆς) εἰσελθὼν ὁ υἱὸς εἶδε τὴν γύμνωσιν τοῦ πατρός. δέον περιστεῖλαι, δέον περικαλύψαι διὰ τὸ γῆρας, διὰ τὸ πένθος, διὰ τὴν συμφοράν, διὰ τὸ πατέρα αὐτοῦ εἶναι· ὁ δὲ ἐξελθὼν ἐξεπόμπευσε καὶ ἐξετραγῴδησεν. οἱ δὲ ἄλλοι αὐτοῦ ἀδελφοὶ λαβόντες πάλλιον, ὀπισθοφανῶς, ἵνα μὴ ἴδωσι τὰ παρ' ἐκείνου ἐκπομπευόμενα, εἰσελθόντες ἐκάλυψαν τὸν πατέρα. ἀνάστας δὲ ὁ πατήρ, ἔγνω πάντα, Γεν. θ. κε. καὶ ἄρχεται λέγειν· Ἐπικατάρατος Χαναὰν παῖς, οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· δοῦλος ἔσῃ, ὅτι ἐξεπόμπευσας τὴν ἀσχημοσύνην τοῦ πατρός σου. ὁρᾷς ὅτι ἀπὸ ἁμαρτίας ἡ δουλεία, καὶ ἡ πονηρία τὴν δουλείαν εἰσήγαγε; βούλει δείξω σοι ἐλευθερίαν ἀπὸ δουλείας; ἐγένετό τις Ὀνήσιμος οἰκέτης, κατάπτυστος δραπέτης· οὗτος ἔφυγε, καὶ ἀπῆλθε πρὸς τὸν Παῦλον· ἔτυχε τοῦ βαπτίσματος, ἀπελούσατο τὰ ἁμαρτήματα, παρέμενεν αὐτοῦ τοῖς ποσί. Φιλημ. ια. γράφει Παῦλος πρὸς τὸν δεσπότην αὐτοῦ· Ὀνήσιμον, τόν ποτέ σοι ἄχρηστον, νῦν δὲ καὶ σοὶ καὶ ἐμοὶ εὔχρηστον, προσλαβοῦ αὐτὸν ὡς ἐμέ. τί γὰρ ἐγένετο; Ὃν ἐγὼ ἐγέννησα ἐν τοῖς δεσμοῖς μου. εἶδες εὐγένειαν; εἶδες τρόπον παρέχοντα ἐλευθερίαν; δοῦλος γὰρ καὶ ἐλεύθερος, ὀνόματά ἐστιν ἁπλῶς. τί ἐστι δοῦλος; ὄνομα ψιλόν. πόσοι δεσπόται ἐπὶ στιβάδος κεῖνται μεθύοντες, οἰκέται δὲ παρεστήκασι νήφοντες; τίνα καλέσω δοῦλον, τὸν νήφοντα, ἢ τὸν μεθύοντα; τὸν δοῦλον ἀνθρώπου, ἢ τὸν αἰχμάλωτον πάθους; ἐκεῖνος τὴν δουλείαν ἔξωθεν ἔχει, οὗτος τὴν αἰχμαλωσίαν ἔνδοθεν περιφέρει. ταῦτα λέγω, καὶ λέγων οὐ παύσομαι· ἵνα ἔχητε γνώμην διακρίνουσαν τῶν πραγμάτων τὴν φύσιν, καὶ μὴ ἀπάγησθε τῇ τῶν πολλῶν ἀπάτῃ, ἀλλ' εἰδῆτε, τί δοῦλος, τί πένης, τί δυσγενής, τί μακάριος, τί πάθος. ἐὰν γὰρ μάθητε ταῦτα διακρίνειν, οὐδένα ὑποστήσεσθε θόρυβον.

Ἀλλ' ἵνα μὴ τὸ πάρεργον τοῦ λόγου πλέον γινόμενον ἀπάγῃ τὸν λόγον, ἐχώμεθα τῆς ὑποθέσεως. οὗτος τοίνυν ὁ πλούσιος, λοιπὸν δὲ πένης· μᾶλλον γὰρ ἡνίκα ἐπλούτει, πένης ἦν. τί γὰρ ὄφελος ἀνθρώπῳ ἀλλότρια ἔχοντι, καὶ τὰ ἑαυτοῦ οὐκ ἔχοντι; τί ὄφελος ἀνθρώπῳ χρήματα κεκτημένῳ, ἀρετὴν δὲ μὴ κεκτημένῳ; τί λαμβάνεις τὰ τῶν ἄλλων, καὶ τὰ σὰ ἀπολλύεις; ἔχω, φησί, χώραν εὔφορον. καὶ τί τοῦτο; ἀλλὰ ψυχὴν οὐκ ἔχεις εὔπορον. ἔχω ἀνδράποδα· ἀλλ' ἀρετὴν οὐκ ἔχεις. ἔχω ἱμάτια· ἀλλ' εὐλάβειαν οὐ κέκτησαι. τὰ μὲν ἄλλου ἔχεις, τὰ δὲ σὰ οὐκ ἔχεις. ἐάν τις σοι δώσῃ παρακαταθήκην, μὴ δύναμαί σε καλέσαι γ. ἀλλ πλούσιον; οὐχί. διατί; ἀλλότρια γὰρ κέκτησαι. τοῦτο γὰρ παρακαταθήκη ἐστίν· εἴθε γὰρ παρακαταθήκη μόνον ἦν, καὶ μὴ προσθήκη σοι τιμωρίας ἐγίνετο. ἰδὼν οὖν ὁ πλούσιος Λουκ. ις. κδ. τὸν Λάζαρον, λέγει· Πάτερ Ἀβραάμ, ἐλέησόν με. πένητος ῥήματα, προσαιτοῦ, πτωχοῦ. πάτερ Ἀβραάμ, ἐλέησόν με. τί θέλεις; πέμψον Λάζαρον. ὃν μυριάκις παρέδραμες, ὃν οὐδὲ ἰδεῖν ἠθέλησας, τοῦτον νῦν αἰτεῖς πεμφθῆναί σοι εἰς σωτηρίαν; πέμψον Λάζαρον.

καὶ ποῦ νῦν οἱ οἰνοχόοι σου; ποῦ οἱ τάπητες; ποῦ οἱ παράσιτοι; ποῦ οἱ κόλακες; ποῦ ὁ τῦφος; ποῦ ἡ ἀπόνοια; ποῦ τὸ χρυσίον τὸ κατορωρυγμένον; ποῦ τὰ ἱμάτια τὰ σητόβρωτα; ποῦ ὁ ἄργυρος ὁ κείμενος παρὰ σοί; ποῦ ἡ φαντασία καὶ ἡ ἀπόλαυσις; φύλλα ἦν· χειμὼν κατέλαβε, καὶ πάντα ἐξηράνθη. ὄναρ ἦν· ὡς δὲ ἡμέρα ἐγένετο, ἀπῆλθε τὸ ὄναρ. σκιὰ ἦν· ἦλθεν ἡ ἀλήθεια, καὶ παρέδραμεν ἡ σκιά. πέμψον Λάζαρον. Καὶ διατί οὐδένα βλέπει δίκαιον ἄλλον; οὐ τὸν Νῶε, οὐ τὸν Ἰακὼβ, οὐ τὸν Λὼτ, οὐ τὸν Ἰσαὰκ, ἀλλὰ τὸν Ἀβραάμ; διατί; ἐπειδὴ φιλόξενος ἦν ὁ Ἀβραὰμ, καὶ τοὺς ὁδοιποροῦντας εἰς τὴν σκηνὴν εἷλκε. τῆς τοίνυν ἀπανθρωπίας τούτου ἡ ἐκείνου φιλοξενία μείζων γέγονε κατήγορος. πέμψον Λάζαρον. ἀκούοντες φοβηθῶμεν, ἀγαπητοί· μὴ καὶ ἡμεῖς ἴδωμεν πένητας καὶ παραδραμώμεθα, μὴ δύτι Λαζάρου πολλοὶ ἡμῖν τότε γένωνται κατήγοροι. πέμψον Λάζαρον, ἵνα τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατι βάψας, ἐπιστάξῃ μου τῇ γλώττῃ, ὅτι ἀποτηγανίζομαι. Ὧ γὰρ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν. οὐ μετέδωκας ψιχίων· οὐ μεταλαμβάνεις σταγόνος. πέμψον Λάζαρον, ἵνα ἄκρῳ τῷ δακτύλῳ ἐπιστάξῃ μου τῇ γλώττῃ, ὅτι ἀποτηγανίζομαι. καὶ τί πρὸς αὐτὸν ὁ Ἀβραάμ; Τέκνον, ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακὰ αὐτοῦ· καὶ νῦν οὗτος ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. πάλιν ἐνταῦθα οὐκ εἶπεν, ἔλαβες, ἀλλὰ, ἀπέλαβες. πολλὴν διαφορὰν ἔχει ἡ προσθήκη τοῦ συνδέσμου. ὅπερ γὰρ πολλάκις εἶπον ὑμῖν τῇ ἀγάπῃ, καὶ περὶ τὰς συλλαβὰς ὀφείλομεν εἶναι ἐρευνηταί. Ἐρευνᾶτε γὰρ, φησὶ, τὰς γραφάς. ἰῶτα γὰρ ἓν, ἢ μία κεραία πολλάκις νόημα ἐγείρει. ἵνα δὲ μάθῃς ὅτι καὶ προσθήκη ἑνὸς στοιχείου ποιεῖ νόημα, οὗτος ὁ πατριάρχης Ἀβραὰμ Ἀβρὰμ ἐλέγετο πρότερον. καὶ λέγει αὐτῷ ὁ Θεὸς, Οὐκ ἔσται τὸ ὄνομά σου Ἀβρὰμ, ἀλλ᾽ Ἀβραάμ. ἄλφα προσέθηκε, καὶ πατέρα αὐτὸν πολλῶν ἐθνῶν ἐποίησεν. ἰδοὺ τοίνυν ἑνὸς στοιχείου προσθήκη πολλὴν ἐνέργειαν ἐδήλωξε. μὴ παρατρέχωμεν οὖν ἁπλῶς τὰ τοιαῦτα. οὐ γὰρ εἶπεν, ἔλαβες τὰ ἀγαθά σου, ἀλλὰ, ἀπέλαβες. ὁ δὲ ἀπολαμβάνων, τὰ κεχρεωστημένα ἀπολαμβάνει. πρόσεχε ὃ λέγω. ἄλλο γάρ ἐστι λαβεῖν, καὶ ἄλλο τὸ ἀπολαβεῖν. ἀπολαμβάνει γάρ τις, ἅπερ εἶχε· λαμβάνει δὲ πολλάκις, ἅπερ οὐκ ἐκέκτητο. ἀπέλαβες τὰ ἀγαθά σου, καὶ Λάζαρος τὰ κακὰ αὐτοῦ. ἰδοὺ καὶ ὁ πλούσιος τὰ ἀγαθὰ αὐτοῦ ἀπέλαβε, καὶ ὁ Λάζαρος τὰ κακὰ αὐτοῦ. ταῦτα δέ μοι πάντα εἴρηται διὰ τοὺς ἐνταῦθα κολαζομένους, καὶ μὴ ἐκεῖ, διὰ τοὺς ἐνταῦθα τρυφῶντας, καὶ ἐκεῖ κολαζομένους. πρόσεχε τοίνυν ὃ λέγω. ἀπέλαβες τὰ ἀγαθά σου, καὶ Λάζαρος τὰ κακὰ αὐτοῦ, τὰ κεχρεωστημένα, τὰ ὀφειλόμενα. προσέχετε τῷ ζητήματι. φθάνω γὰρ εἰς τὸν τόπον. ἄφες, ὑφάνω τὸν ἱστόν· ἀλλὰ μὴ θορυβεῖσθε ἐν τῷ προοιμίῳ· ἀλλ᾽ ὅταν τι τοιοῦτον λέγω, ἀναμείνατε τὴν λύσιν. βούλομαι γὰρ ὀξυδερκεῖς ὑμᾶς κατασκευάσαι, καὶ μὴ ἁπλῶς ἐπιπολαίως γυμνάζειν, ἀλλὰ καὶ εἰς βυθὸν καταφέρειν τῶν θείων γραφῶν, βυθὸν οὐκ ἔχοντα χειμῶνα, βυθὸν γαλήνης ἀσφαλέστερον. ὅσον ἂν καταβῇς, πλείονα ἀσφάλειαν εὑρίσκεις. οὐ γάρ ἐστιν ἐνταῦθα ὑδάτων ἄτακτος ῥύμη, ἀλλ᾽ εὔτακτος νοημάτων διάθεσις. ἀπέλαβες τὰ ἀγαθά σου, καὶ Λάζαρος τὰ κακὰ αὐτοῦ· καὶ νῦν οὗτος παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. ζήτημα μέγα ἐστίν· εἶπον, ὅτι ὁ ἀπολαμβάνων, τὰ κεχρεωστημένα ἀπολαμβάνει. εἰ τοίνυν ὁ Λάζαρος δίκαιος ἦν, ὥσπερ οὖν καὶ ἦν, καὶ ἔδειξεν ὁ κόλπος τοῦ Ἀβραὰμ, ὁ στέφανος, τὰ βραβεῖα, ἡ ἄνεσις, ἡ ἀπόλαυσις, ἡ καρτερία, ἡ ὑπομονή· οὗτος δὲ ἁμαρτωλὸς καὶ παμπόνηρος καὶ ἀπάνθρωπος, τρυφῇ καὶ μέθῃ προσέχων, Συβαριτικὴν παρατιθέμενος τράπεζαν, ἐν ἀσελγείᾳ τοσαύτῃ καὶ ἀκολασίᾳ στρεφόμενος, διατί αὐτῷ λέγει, ὅτι ἀπέλαβες; ἐχρεωστεῖτο γάρ τι αὐτῷ, ἀνθρώπῳ πλουτοῦντι, ἀνθρώπῳ ἀσώτῳ καὶ ἀπανθρώπῳ; τί γὰρ αὐτῷ ἐχρεωστεῖτο; διατί γὰρ μὴ εἶπεν, ἔλαβες, ἀλλ᾽, ἀπέλαβες; πρόσεχε τῷ λεγομένῳ· ἐχρεωστοῦντο αὐτῷ τιμωρίαι, ἐχρεωστοῦντο αὐτῷ κολάσεις, ἐχρεωστοῦντο αὐτῷ ὀδύναι. διατί μὴ εἶπεν; ὅτι αὐτὰ ἔ-

Λουκ. ς. λη.

Ἰωαν. ε. λθ.

Ματθ. ε. ιη.

Γεν. ιζ. ε.

λαβες, ἀλλὰ ἀπέλαβες τὰ ἀγαθά σου ἐκεῖνα, τὸν βίον ἐκεῖνον λέγων, καὶ Λάζαρος τὰ κακὰ
αὐτοῦ; ἀλλὰ συνόπτει σου τὴν διάνοιαν· εἰς βάθος γὰρ καταβαίνει νοημάτων. τῶν ἀνθρώ-
πων ἁπάντων τῶν ὄντων οἱ μὲν εἰσὶν ἁμαρτωλοὶ, οἱ δὲ δίκαιοι. πρόσεχε τοίνυν καὶ ἐν
τοῖς δικαίοις διαφοράν· ὁ μὲν δίκαιος, ὁ δὲ πλέον δίκαιος· ὁ δὲ ὑψηλότερος, ὁ δὲ μείζων. καὶ κα-
α. Κορ. ιε. μα. θάπερ ἀστέρες εἰσὶ πολλοὶ καὶ ἥλιος καὶ σελήνη, οὕτω καὶ διαφορὰ δικαίων. Ἄλλη γὰρ δόξα
ἡλίου, καὶ ἄλλη σελήνης, καὶ ἄλλη δόξα ἀστέρων. τὰ μὲν γὰρ διαφέρει ἐν δόξῃ, τὰ δὲ ἐλατ-
τοῦται. καὶ καθάπερ εἰσὶ σώματα ἐπουράνια, οὕτω καὶ σώματα ἐπίγεια· καὶ ὥσπερ ἐν τοῖς σώ-
μασιν, ὁ μὲν ἔλαφος, ὁ δὲ κύων, ὁ δὲ λέων, ὁ δὲ ἄλλο θηρίον, ὁ δὲ ἀσπὶς, ὁ δὲ ἄλλο τι τῶν
τοιούτων· οὕτω καὶ ἐν τοῖς ἁμαρτήμασι διαφοραί. τῶν ἀνθρώπων τοίνυν οἱ μὲν εἰσὶ
δίκαιοι, οἱ δὲ ἁμαρτωλοί· ἀλλὰ καὶ ἐν τοῖς δικαίοις πολλὴ διαφορὰ, καὶ ἐν τοῖς ἁμαρτωλοῖς
πολλὴ καὶ ἄπειρος. ἀλλὰ πρόσεχε. εἰ καὶ δίκαιος ᾖ τις, κἂν μυριάκις ᾖ δίκαιος, καὶ πρὸς
αὐτὴν ἀναβῇ τὴν κορυφὴν, ὥστε ἀπηλλάχθαι ἁμαρτημάτων, οὐ δύναται καθαρὸς εἶναι κη-
Παροιμ. κ. θ. λῖδος, κἂν μυριάκις ᾖ δίκαιος, ἀλλ' ἄνθρωπός ἐστι. Τίς γὰρ καυχήσεται ἁγνὴν ἔχειν τὴν καρ-
δίαν; ἢ τίς παῤῥησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτίας; διὰ τοῦτο κελευόμεθα εἰς τὴν εὐ-
Ματθ. ϛ. ιβ. χὴν λέγειν, Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ἵνα τῇ συνηθείᾳ τῆς εὐχῆς ἀναμνησθῶμεν
ἐκεῖ, ὅτι ὑπεύθυνοί ἐσμεν κολάσεσι. καὶ γὰρ Παῦλος ὁ ἀπόστολος, τὸ σκεῦος τῆς ἐκλογῆς,
ὁ ναὸς τοῦ Θεοῦ, τὸ στόμα τοῦ Χριστοῦ, ἡ λύρα τοῦ πνεύματος, ὁ διδάσκαλος τῆς οἰ-
κουμένης, ὁ γῆν καὶ θάλασσαν περιελθὼν, ὁ τὰς ἀκάνθας τῶν ἁμαρτιῶν ἀνασπά-
σας, ὁ τὰ σπέρματα τῆς εὐσεβείας καταβαλὼν, ὁ βασιλέων εὐπορώτερος, ὁ πλουσίων
δυνατώτερος, ὁ φιλοσόφων φιλοσοφώτερος, ὁ ῥητόρων εὐγλωττότερος, ὁ μηδὲν ἔχων, καὶ
πάντα κεκτημένος, ὁ ἐν τῇ σκιᾷ αὐτοῦ θάνατον λύων, ὁ ἐν τοῖς ἱματίοις αὐτοῦ τὰ νο-
σήματα φυγαδεύων, ὁ ἐν θαλάσσῃ τρόπαια στήσας, ὁ ἁρπαγεὶς ἕως τρίτου οὐρα-
α. Κορ. δ. δ. νοῦ καὶ εἰς παράδεισον εἰσελθὼν, ὁ τὸν Χριστὸν Θεὸν ἀνακηρύξας, ἐκεῖνος λέγει· Οὐδὲν ἐμαυτῷ
σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι. ὁ τοσοῦτον καὶ τηλικοῦτον κεκτημένος ἀρετῶν πλῆ-
θος, λέγει· Ὁ δὲ ἀνακρίνων με, Κύριός ἐστι. τίς οὖν καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν;
ἢ τίς παῤῥησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτίας; ἀμήχανον τοίνυν εἶναι ἄνθρωπόν τινα ἀνα-
μάρτητον. τί γὰρ λέγεις; δίκαιός ἐστιν; ἐλεήμων ἐστί; φιλόπτωχός ἐστιν; ἀλλ' ἔχει τι ἐλάτ-
τωμα· ἢ ὑβρίζει ἀκαίρως, ἢ κενοδοξεῖ, ἢ ἄλλο τι τοιοῦτον ποιεῖ (οὐ γὰρ δεῖ πάντα καταλέ-
γειν) ὁ μὲν ἐλεήμων, ἀλλ' οὐ σώφρων πολλάκις· ὁ δὲ σώφρων μὲν, ἀλλ' οὐκ ἐλεήμων· ὁ μὲν ἐν
ταύτῃ τῇ ἀρετῇ ὀνομάζεται, ὁ δὲ ἐν ἐκείνῃ. ἔστω τις δίκαιος. καὶ πολλάκις μὲν δίκαιός ἐστι,
καὶ ἔχει πάντα τὰ ἀγαθὰ, καὶ ἔσχεν ἀπόνοιαν διὰ τὴν δικαιοσύνην, καὶ ἐλυμήνατο αὐτοῦ
Λουκ. ιη. ια. τὴν δικαιοσύνην ἡ ἀπόνοια. ὁ Φαρισαῖος οὐκ ἦν δίκαιος, νηστεύων δὶς τοῦ σαββάτου; καὶ τί
φησιν; Οὐκ εἰμὶ ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες καὶ πλεονέκται. καὶ πολλάκις
ἀπὸ καθαροῦ συνειδότος εἰς ἀπόνοιαν ἦλθέ τις· καὶ ὅπερ οὐκ ἔβλαψεν αὐτὸν ἡ ἁμαρτία,
ἔβλαψεν αὐτὸν ἡ ἀπόνοια. οὐκ ἔστι γοῦν ἄνθρωπον καθόλου οὕτως εἶναι δίκαιον, ὡς καθα-
ρὸν εἶναι ἀπὸ ἁμαρτίας. καὶ πάλιν, οὐκ ἔστιν ἄνθρωπον οὐδένα κακὸν εἶναι, ὡς μὴ ἔχειν τι κἂν
μικρὸν ἀγαθόν. οἷον τί λέγω· ὁ δεῖνα ἁρπάζει καὶ πλεονεκτεῖ καὶ λυμαίνεται, ἀλλ' ἐνίοτε ἐλεημο-
σύνην δίδωσιν, ἀλλ' ἐνίοτε σώφρων ἐστὶν, ἀλλ' ἐνίοτε λόγον ἔχει χρηστὸν, ἀλλ' ἐνίοτε καὶ ἐν
ἀνδρὶ ἐβοήθησεν, ἀλλ' ἐνίοτε ἔκλαυσεν, ἀλλ' ἐνίοτε ἐστύγνασεν. οὔτε οὖν δίκαιός ἐστι χωρὶς ἁ-
μαρτίας, οὔτε ἐστὶν ἁμαρτωλὸς καθόλου ἔρημος ἀγαθοῦ. τί τοῦ Ἀχαὰβ χαλεπώτερον;
γ. Βασ. κα. κθ. ἥρπασε καὶ ἐφόνευσεν· ἀλλ' ὅμως ἐπειδὴ ἐστύγνασε, λέγει τῷ Ἠλίᾳ ὁ Θεός· Εἶδες πῶς κατενύγη
Ἀχαάβ; εἶδες ἐν τοσούτῳ βυθῷ κακῶν πῶς εὑρέθη τι μικρὸν ἀγαθόν; τί Ἰούδα χεῖρον, τοῦ
προδότου, τοῦ αἰχμαλωτισθέντος ὑπὸ τῆς φιλαργυρίας; ἀλλ' ὅμως καὶ αὐτὸς ἐποίησε κἂν
Ματθ. κζ. δ. μικρόν τι μετὰ ταῦτα ἀγαθόν. Ἥμαρτον γὰρ, φησι, παραδοὺς αἷμα ἀθῷον. ὅπερ οὖν ἔ-

λεγον· οὐ γάρ ἐστι φύσει ἡ κακία, ἵνα μὴ ἔχῃ χώραν ἡ ἀρετή. τὸ πρόβατον οὐδέποτε δύναται γενέσθαι ἄγριον· φύσει γὰρ ἔχει τὸ ἥμερον. ὁ λύκος οὐδέποτε δύναται γενέσθαι ἥμερος· φύσει γὰρ ἔχει τὸ ἄγριον. οὐ λύονται οὖν τῶν ζώων νόμοι τῆς φύσεως, οὐδὲ σαλεύονται, ἀλλὰ μένουσιν ἀκίνητοι. ἐπὶ ἐμοῦ τοῦτο οὐκ ἔνι· ἀλλὰ καὶ ἄγριος γίνομαι ὅταν βούλωμαι, καὶ ἥμερος ὅταν θέλω. οὐ γὰρ φύσει δέδεμαι, ἀλλ' ἐλευθερίᾳ προαιρέσεως τετίμημαι. ὅπερ οὖν εἶπον, οὔτε ἀγαθός τις οὕτως ἐστὶν, ὡς μὴ ἔχειν μικρὰν κηλῖδα, οὔτε πονηρός τις οὕτως ἐστὶν, ὡς μὴ ἔχειν κἂν μικρὸν ἀγαθόν. ἐπεὶ οὖν πάντων ἀντίδοσίς ἐστι, καὶ πάντων ἐστὶν ἀμοιβή. κἂν γὰρ φονεὺς ᾖ τις, κἂν πονηρός τις ᾖ, κἂν πλεονέκτης, ποιήσῃ δὲ καλὸν, μένει αὐτῷ τοῦ καλοῦ ἡ ἀνταπόδοσις, καὶ οὐ διὰ τὰ κακὰ, ἃ ἐποίησεν, ἄμισθον γίνεται τὸ καλόν. καὶ πάλιν, κἂν μυρία τις ἐργάζηται ἀγαθὰ, ποιήσῃ δέ τι φαῦλον, μένει αὐτῷ τοῦ φαύλου ἡ ἀνταπόδοσις. κάτεχε ταῦτα, τήρει αὐτὰ ὀχυρὰ καὶ ἀκίνητα. οὔτε ἀγαθός τίς ἐστι χωρὶς ἁμαρτίας, οὔτε κακός τίς ἐστι χωρὶς δικαιοσύνης. τὰ αὐτὰ γὰρ λέγω πάλιν, ἵνα ῥιζώσω, ἵνα φυτεύσω, ἵνα εἰς βάθος θήσω. ἐμβάλλει γὰρ τινὰς μερίμνας ὁ διάβολος εἰς τὴν ψυχὴν, βουλόμενος ἀποσκυλῆσαι ὑμῶν τὴν διάνοιαν, καὶ λυμήνασθαι τὰ παρ' ἐμοῦ λεγόμενα. διὰ τοῦτο εἰς βάθος αὐτὰ καταφέρω. ἐὰν γὰρ ὧδε τηρήσῃς ἀσφαλῶς, κἂν ἔξω ἀπέλθῃς, ἀπολέσαι αὐτὰ οὐ δυνήσῃ. ὥσπερ γὰρ ἐὰν βάλω χρυσίον εἰς βαλάντιον, σφίγγω καὶ σφραγίζομαι, ἵνα καὶ ἐμοῦ ἀπόντος ὁ λῃστὴς μὴ λάβῃ, οὕτω καὶ ἐπὶ τῆς ὑμετέρας ἀγάπης ποιῶ· τῇ συνεχείᾳ τῆς διδασκαλίας σφίγγω καὶ σφραγίδας ἐπιτίθημι, καὶ ἀσφαλίζομαι ὑμῶν τὴν γνώμην, ἵνα μὴ γένηται ἐξίτηλος τῇ ῥᾳθυμίᾳ, ἀλλ' ἵνα τηρήσας μᾶλλον, τῇ ἐνταῦθα γαλήνῃ τὸν ἔξω θόρυβον ἀποκρούσωμαι. οὐ τοίνυν ταῦτα πολυλογίας τὰ λεγόμενα, ἀλλ' ἐπιμελείας καὶ φιλοστοργίας καὶ πόθου τοῦ διδασκάλου, ἵνα μὴ ἀπορρυῇ τὰ λεγόμενα. ταῦτα γὰρ λέγειν ἐμοὶ μὲν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ ἀσφαλές. διδάξαι βούλομαι, οὐχ ἁπλῶς ἐπιδείξασθαι. οὐκ ἔστιν οὖν τις δίκαιος, ὃς οὐκ ἔχει ἁμαρτίαν· καὶ οὐκ ἔστι τις ἁμαρτωλὸς, ὃς οὐκ ἔχει ἀγαθόν. ἀλλ' ἐπειδὴ ἑκάστων ἐστὶν ἀντίδοσις, βλέπε τί γίνεται. ὁ ἁμαρτωλὸς ἀπολαμβάνει τῶν ἀγαθῶν αὐτοῦ τὴν ἰσόρροπον ἀντίδοσιν, ἐάν τι ἔχῃ κἂν μικρὸν ἀγαθόν· καὶ ὁ δίκαιος ἀπολαμβάνει τῆς ἁμαρτίας αὐτοῦ τὴν ἰσόρροπον κρίσιν, κἂν μικρόν τι ποιήσῃ κακόν. τί οὖν γίνεται, καὶ τί ποιεῖ ὁ Θεός; ἀφώρισε νόσον τῇ ἁμαρτίᾳ, τὸν παρόντα βίον καὶ τὸν μέλλοντα αἰῶνα. ἐὰν οὖν ᾖ τις δίκαιος, καὶ ἐργάσηταί τι φαῦλον, καὶ νοσήσῃ ὧδε, καὶ τιμωρίᾳ παραδοθῇ, μὴ θορυβηθῇς· ἀλλ' ἐννόησον πρὸς ἑαυτὸν, καὶ εἰπέ· ὅτι οὗτος ὁ δίκαιος πώποτε μικρόν τι κακὸν ἐποίησε, καὶ ἀπολαμβάνει ὧδε, ἵνα μὴ ἐκεῖ κολασθῇ. πάλιν, ἐὰν ἴδῃς ἁμαρτωλὸν ἁρπάζοντα, πλεονεκτοῦντα, μυρία ποιοῦντα κακὰ, κἂν εὐθηνῇ, ἐννόησον, ὅτι ἐποίησέ ποτε ἀγαθόν τι, καὶ ἀπολαμβάνει ὧδε τὰ ἀγαθὰ, ἵνα μὴ ἐκεῖ ἀπαιτήσῃ τὸν μισθόν. οὕτω κἂν δίκαιος ᾖ τις, καὶ πάσχῃ δεινόν τι, διὰ τοῦτο ἀπολαμβάνει ὧδε, ἵνα ὧδε ἀπόθηται τὴν ἁμαρτίαν, καὶ ἀπέλθῃ ἐκεῖ καθαρός. κἂν ἁμαρτωλός τις ᾖ, γέμων κακῶν μυρίων, καὶ πλείονα τούτων ἀνίατα νοσῶν, ἁρπάζων, πλεονεκτῶν, διὰ τοῦτο ἀπολαύει ἐνταῦθα εὐημερίας, ἵνα μὴ ἐκεῖ ἀπαιτήσῃ μισθόν. ἐπειδὴ οὖν συνέβαινε καὶ τὸν Λάζαρον ἔχειν τινὰ ἁμαρτήματα, καὶ τὸν πλούσιον ἔχειν τι ἀγαθὸν, διὰ τοῦτο ὁ Ἀβραὰμ λέγει· ὧδε μηδὲν ζήτει· ἀπέλαβες τὰ ἀγαθά σου ἐκεῖ, καὶ Λάζαρος τὰ κακὰ αὐτοῦ. καὶ ἵνα μάθῃς ὅτι οὐχ ἁπλῶς λέγω ταῦτα, ἀλλ' οὕτως ἐστὶ, λέγει· ἀπέλαβες τὰ ἀγαθά σου. ποῖα; ἐποίησας τι ἀγαθόν; ἀπέλαβές σου τὸν πλοῦτον, τὴν ὑγείαν, τὴν τρυφὴν, τὴν δυναστείαν, τὴν τιμήν. οὐδέν σοι κεχρεώστηται· ἀπέλαβες τὰ ἀγαθά σου. τί οὖν; ὁ Λάζαρος οὐδὲν ἥμαρτε; ναὶ, καὶ Λάζαρος τὰ κακὰ αὐτοῦ. ὅτε σὺ ἀπελάμβανες τὰ ἀγαθὰ, τότε καὶ Λάζαρος τὰ κακά. διὰ τοῦτο νῦν οὗτος παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. ὥστε ὅταν ἴδῃς δίκαιον κολαζόμενον ὧδε, μακάριζε αὐτὸν, καὶ λέγε· οὗτος ὁ δίκαιος ἢ ἁμαρτίαν ἔχει καὶ ἀπολαμβάνει αὐτὴν, καὶ ἀπέρχεται ἐκεῖ καθαρὸς, ἢ πλέον τῶν ἁμαρτημάτων κολάζεται, καὶ παραθήκη δικαιοσύνης αὐτῷ λογίζεται. λόγος γάρ τις ἐκεῖ· καὶ λέγει ὁ Θεὸς τῷ δικαίῳ· ἔχεις μου τόσον· τυχὸν δὲ πιστεύει αὐτῷ δέκα ὀβολοὺς, καὶ ποιεῖ αὐτῷ λόγοι τῶν δέκα ὀβολῶν, ἐὰν δαπανήσῃ ἑξήκοντα ὀβολοὺς, λέγει αὐτῷ ὁ Θεὸς, τοὺς δέκα ὀβολοὺς λογίζομαί σοι εἰς ἁμαρτίαν, καὶ τοὺς πεντήκοντα εἰς δικαιοσύνην. ἵνα δὲ μάθῃς ὅτι τὸ λειπόμενον εἰς δικαιοσύνην αὐτῷ λογίζεται, Ἰὼβ δίκαιος ἦν, ἄμεμπτος, ἀληθινὸς, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος· ἐκολάσθη αὐτοῦ τὸ σῶμα ὧδε, ἵνα ἐκεῖ μισθοὺς ἀπαιτήσῃ. τί γάρ φησιν ὁ Θεὸς πρὸς αὐτόν; Ἄλλως οἴει με κεχρηματικέναι σοι, ἢ ἵνα ἀναφανῇς δίκαιος; Ιωβ. μ. β. τὴν αὐτὴν τοίνυν τοῖς δικαίοις ὑπομονὴν ἐπιδειξάμενοι, καὶ τῇ ἀγαθῇ αὐτῶν πολιτείᾳ τὴν καρτερίαν ἰσόρροπον ἐπιδειξάμενοι, ἀπολάβωμεν τὰ ἀγαθὰ τὰ εὐτρεπισμένα τοῖς ἁγίοις τοῖς ἀγαπῶσι τὸν Θεόν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΟΜΙΛΙΑ ΠΡΟΣ ΤΟΥΣ ΛΕΓΟΝΤΑΣ, ΟΤΙ ΔΑΙΜΟΝΕΣ τὰ ἀνθρώπινα διοικοῦσι, καὶ δυσχεραίνοντας ἐπὶ ταῖς τοῦ Θεοῦ κολάσεσι, καὶ σκανδαλιζομένους ἐπὶ ταῖς τῶν φαύλων εὐημερίαις, καὶ δυσπραγίαις τῶν δικαίων.

Ἐγὼ μὲν ἤλπιζον τῇ συνεχείᾳ τῆς διαλέξεως κόρον ὑμᾶς λήψεσθαι τῶν ἡμετέρων λόγων· ὁρῶ δὲ τὸ ἐναντίον ἐκβαῖνον, οὐ κόρον ὑμῖν ἀπὸ τῆς συνεχείας γινόμενον, ἀλλὰ πόθον αὐξανόμενον, οὐ πλησμονὴν, ἀλλ' ἡδονὴν προσγινομένην· καὶ ταὐτὸν συμβαῖνον, ὅπερ ἐπὶ τῶν ἔξωθεν συμποσίων οἱ φίλοινοι πάσχουσι. καὶ γὰρ ἐκεῖνοι ὅσῳπερ ἂν πλείονα τὸν ἄκρατον ἐγχέωσι, τοσούτῳ μᾶλλον τὸ δίψος ἐξάπτουσι· καὶ ὑμῖν, ὅσῳπερ ἂν τὴν διδασκαλίαν ἐπιχέωμεν, τοσούτῳ μᾶλλον ἀνάπτομεν τὴν ἐπιθυμίαν, πλείονα ποιοῦμεν τὴν ὄρεξιν, σφοδρότερον τὸν ἔρωτα. διὰ τοῦτο, καίτοι πενίαν ἐσχάτην ἐμαυτῷ συνειδὼς, οὐ παύομαι τοὺς φιλοτίμους τῶν ἑστιατόρων μιμούμενος, καὶ συνεχῶς παρατιθεὶς ὑμῖν τὴν τράπεζαν, καὶ πλήρη τὸν κρατῆρα τῆς διδασκαλίας ἱστάς. ὁρῶ γὰρ ὅτι μετὰ τὸ πάντα αὐτὸν ἐκπιεῖν, πάλιν διψῶντες ἀναχωρεῖτε. καὶ τοῦτο δῆλον μὲν καὶ ἐκ τοῦ παντὸς ἐγένετο χρόνου, μάλιστα δὲ ἐκ τῆς παρελθούσης κυριακῆς. ὅτι γὰρ ἀκορέστως ὑμεῖς μετέχετε τῶν θείων λογίων, ἐκείνη μάλιστα ἔδειξεν ἡ ἡμέρα, ἐν ᾗ περὶ τοῦ μὴ δεῖν κακῶς λέγειν ἀλλήλους διελεγόμην· ὅτε καὶ ὑπόθεσιν ὑμῖν κατηγορίας παρέσχον ἀσφαλεστάτην, παραινῶν τὰ οἰκεῖα ἁμαρτήματα λέγειν κακῶς, ἀλλὰ μὴ τὰ ἀλλότρια περιεργάζεσθαι· ὅτε τοὺς ἁγίους παρήγαγον ἑαυτῶν μὲν κατηγοροῦντας, τῶν δὲ ἄλλων φειδομένους· τὸν Παῦλον λέγοντα, Ὅτι ἁμαρτωλῶν πρῶτός εἰμι ἐγώ, καὶ ὅτι βλάσφημον ὄντα, καὶ διώκτην, καὶ ὑβριστὴν ὁ Θεὸς ἠλέησε, καὶ ἔκτρωμα ἑαυτὸν καλοῦντα, καὶ οὐδὲ τῆς τῶν ἀποστόλων προσηγορίας ἄξιον εἶναι νομίζοντα· * τὸν Πέτρον λέγοντα, Ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι· * τὸν Ματθαῖον τελώνην ἑαυτὸν προσαγορεύοντα καὶ ἐν τῷ καιρῷ τῆς ἀποστολῆς· τὸν Δαβὶδ βοῶντα καὶ λέγοντα, Αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ· καὶ τὸν Ἡσαΐαν ἀποδυρόμενον καὶ θρηνοῦντα, ὅτι

α. Τιμ. α. ιε. ιγ.
α. Κορ. ιε. η.
Λουκ. ε. η.
Ματθ. ι. γ.
Ψαλ. λζ. δ.
Ησ. ϛ. ε.

ἀκάθαρτος "εἰμί, καὶ ἀκάθαρτα χείλη" ἔχω· τοὺς τρεῖς παῖδας ἐν τῇ καμίνῳ πυρὸς ἐξομολογουμένους καὶ λέγοντας, ὅτι ἥμαρτον καὶ ἠνόμησαν καὶ τὰ προστάγματα τοῦ Θεοῦ οὐκ ἐφυλάξαντο· τὸν Δανιὴλ δὲ αὐτὸ τοῦτο πάλιν ἀποδυρόμενον. "ὅτε μετὰ τὸν τῶν ἁγίων κατάλογον τούτων, καὶ μυίας ἐκάλεσα τοὺς κατηγόρους, καὶ τοῦ παραδείγματος δικαίαν ἐπήγαγον τὴν αἰτίαν, λέγων, ὅτι καθάπερ ἐκεῖναι τοῖς τραύμασιν ἐγκαθέζονται ἀλλοτρίοις, οὕτω καὶ οἱ κατήγοροι τὰ ἀλλότρια δάκνουσιν ἁμαρτήματα, νόσον ἐκεῖθεν τοῖς συλλεγομένοις συλλέγοντες· μελίττας προσηγόρευον, οὐχὶ νοσήματα συνάγοντας, ἀλλὰ κηρία πηγνυμένους εὐλαβείας μεγίστης, καὶ οὕτω τῷ λειμῶνι τῆς ἀρετῆς τῶν ἁγίων ἐφιπταμένους. τότε δή, τότε τὸν ἀκόρεστον ὑμῶν ἐδείξατε ἔρωτα. ἐπειδὴ γὰρ εἰς μῆκος ἡμῖν ὁ λόγος ἐξετάθη, μῆκος ἄπειρον, καὶ ὅσον οὐδέποτε, καὶ πολλοὶ μὲν προσεδόκων τῷ πλήθει τῶν λεγομένων τὴν προθυμίαν ὑμῖν σβεσθήσεσθαι, "ἐγίγνετο δὲ τοὐναντίον. μᾶλλον γὰρ ὑμῖν ἡ καρδία διεθερμαίνετο, μᾶλλον δὲ ἐξήπτετο ὁ πόθος. καὶ πόθεν δῆλον; οἱ γοῦν πρὸς τῷ τέλει γινόμενοι κρότοι μείζους ἦσαν, καὶ λαμπρότεραι αἱ βοαί· καὶ ταὐτὸν συνέβαινεν, οἷον ἐπὶ τῶν καμίνων. καθάπερ γὰρ ἐκεῖ παρὰ μὲν τὴν ἀρχὴν οὐ σφόδρα λαμπρὸν ἐστὶ τοῦ πυρὸς τὸ φῶς, ἐπειδὰν δὲ ἁπάντων ἐπιλάβηται τῶν ἐπικειμένων * ἡ φλόξ, εἰς ὕψος αἴρεται μέγα· οὕτω δὴ καὶ ἐπὶ τῆς ἡμέρας τότε ἐκείνης τοῦτο" συνέβη. παρὰ μὲν τὴν ἀρχὴν οὐ σφόδρα μοι ὁ σύλλογος οὗτος ἐκεκίνητο· ἐπειδὴ δὲ ὁ λόγος εἰς μῆκος ἐξετάθη, καὶ πάντων ἐπελάβετο τῶν ὑποκειμένων, καὶ πλείων ἡ διδασκαλία κατεβλήθη, "τότε δή, τότε ὑμῖν ἐξεκαίετο τῆς ἀκροάσεως ἡ ἐπιθυμία, καὶ σφοδρότερος ὁ κρότος ἐξερρήγνυτο. διὰ τοῦτο, καίτοι ἐλάττω τῶν εἰρημένων παρεσκευασμένος εἰπεῖν, ὑπερέβην τότε τὴν συμμετρίαν· μᾶλλον δὲ οὐδέποτε συμμετρίαν ὑπερέβην ἐγώ. τὴν γὰρ ποσότητα τῆς διδασκαλίας οὐ τῷ πλήθει τῶν λεγομένων, ἀλλὰ τῇ προθυμίᾳ τῶν ἀκροωμένων μετρεῖν ἀεὶ πέφυκα. ὁ μὲν γὰρ ναυτιῶντας λαβὼν ἀκροατάς, κἂν συστείλῃ τὴν διδασκαλίαν, παρενοχλεῖν δοκεῖ· ὁ δὲ θερμοὺς καὶ διεγηγερμένους καὶ νήφοντας, κἂν ἐκτείνῃ πρὸς μῆκος, οὐδὲ οὕτω τὴν ἐπιθυμίαν ἐμπίπλησιν. ἀλλ' ἐπειδὴ συμβαίνει εἶναί τινας καὶ ἀσθενεῖς ἐν δήμῳ τοσούτῳ, ἀδυνατοῦντας παρακολουθῆσαι τῷ μήκει τοῦ λόγου, ἐκεῖνο" αὐτοῖς παραινέσαι βούλομαι, ἀκούσαντας ὅσα δύναιντο δέξασθαι, καὶ τὰ ἀρκοῦντα λαβόντας ἀναχωρῆσαι (οὐδεὶς ὁ κωλύων, οὐδὲ βιαζόμενος πέραν τῆς οἰκείας μένειν δυνάμεως) τὸν μέντοι λέγοντα μὴ ἀναγκαζέτωσαν πρὸ τοῦ καιροῦ καὶ τῆς οἰκείας ὥρας συστέλλεσθαι. ἐνεπλήσθης γὰρ σύ· ἀλλ' ὁ ἀδελφός σου ἔτι πεινᾷ. καὶ σὺ μεθύεις τῷ πλήθει τῶν εἰρημένων, ἀλλ' ὁ ἀδελφός σου ἔτι διψᾷ. μήτε ἐκεῖνος συντριβέτω σου τὴν ἀσθένειαν, ἀναγκάζων πλείω τῆς οἰκείας δέξασθαι δυνάμεως· μήτε σὺ ἐπηρέαζε τῇ ἐκείνου ἐπιθυμίᾳ κωλύων ἅπαν, ὅσον δύναται δέξασθαι, λαβεῖν. τοῦτο καὶ ἐπὶ τῶν ἔξωθεν γίνεται τραπεζῶν. οἱ μὲν θᾶττον, οἱ δὲ βραδύτερον ἐμπίπλανται, καὶ οὔτε οὗτοι ἐγκαλοῦσιν ἐκείνοις, οὔτε οὗτοι τούτων καταγινώσκουσιν. ἀλλ' ἐκεῖ μὲν τὸ ταχύτερον ἀποστῆναι, ἐγκώμιον· ἐνταῦθα δὲ τὸ ταχύτερον ἀποστῆναι, οὐχὶ ἐγκώμιον, ἀλλὰ συγγνώμης ἄξιον. ἐκεῖ τὸ βραδύτερον παύσασθαι, κατηγορία καὶ μέμψις· ἐνταῦθα τὸ βραδύτερον ἀποστῆναι, ἔπαινος καὶ εὐφημία μεγίστη. τί δήποτε; ὅτι ἐκεῖ μὲν ἐξ ἀδηφαγίας ἡ βραδύτης γίνεται· ἐνταῦθα δὲ ἐξ ἐπιθυμίας πνευματικῆς καὶ θείας ὀρέξεως ἡ παραμονὴ καὶ ἡ καρτερία συνίσταται.

Ἀλλὰ τῶν μὲν προοιμίων ἅλις· ἡμεῖς δὲ λοιπὸν ἐπὶ τὸ χρέος ἐκεῖνο βαδιούμεθα, ὅπερ ἐξ ἐκείνης ἡμῖν ὑπελείφθη τῆς ἡμέρας. τί οὖν τὸ λεγόμενον τότε ἦν; ὅτι μία φωνὴ πᾶσιν ἀνθρώποις ἦν, καθάπερ καὶ φύσις μία, καὶ οὐδεὶς ἑτερόφωνος, ἢ ἑτερόγλωσσος ἦν. πόθεν οὖν ἡ τοσαύτη διαφωνία; ἀπὸ τῆς ῥαθυμίας τῶν λαβόντων τὸ δῶρον· ἅπερ ἀμφότερα τότε εἰρήκαμεν, καὶ διὰ τῆς ὁμοφωνίας τὴν τοῦ δεσπότου φιλανθρωπίαν δεικνύντες, καὶ διὰ

τῆς διαφωνίας τὴν ἀγνωμοσύνην τῶν οἰκετῶν. ὁ μὲν γὰρ καὶ προειδώς, ὅτι ἀπολοῦμεν τὰ
δῶρα, ὅμως ἔδωκεν· οἱ δὲ ἐμπιστευθέντες, κακοὶ περὶ τὴν παρακαταθήκην ἐγένοντο. εἷς
μὲν οὖν ἀπολογίας οὗτος τρόπος, ὅτι οὐχ ὁ Θεὸς ἐξέβαλε τῆς δωρεᾶς, ἀλλ' ἡμεῖς ἀπωλέσαμεν
τὰ δοθέντα· δεύτερος μετ' ἐκεῖνον, ὅτι μείζονα τῶν ἀπολωλότων τὰ δοθέντα ὕστερον ἐλάβομεν,
ἀντὶ πόνων προσκαίρων ἐτίμησεν αἰωνίῳ ζωῇ, ἀντὶ ἀκανθῶν καὶ τριβόλων τὸν καρπὸν
τοῦ πνεύματος ἐν ταῖς ψυχαῖς ἡμῶν βλαστῆσαι παρεσκεύασεν. οὐδὲν ἦν εὐτελέστερον ἀνθρώπου,
καὶ οὐδὲν γέγονε τιμιώτερον ἀνθρώπου. τὸ ἔσχατον μέρος τῆς λογικῆς" φύσεως οὗτος — χ. κτίσεως
ἦν· ἀλλ' οἱ πόδες ἐγένοντο κεφαλή, καὶ εἰς τὸν θρόνον ἀνηνέχθησαν τὸν βασιλικὸν διὰ
τῆς ἀπαρχῆς. καθάπερ γὰρ ἄνθρωπός τις φιλότιμος καὶ μεγαλόδωρος, ἰδών τινα ἐκ ναυαγίου
διαφυγόντα, καὶ τὸ σῶμα γυμνὸν ἀπὸ τῶν κυμάτων διασῶσαι δυνηθέντα μόνον, δεξάμενος
ὑπτίαις ταῖς χερσί, λαμπρὰν "περιβάλλει στολήν, καὶ πρὸς τιμὴν" ἀνάγει τὴν ἀνωτάτω· — χ. περιβάλ
οὕτω καὶ ὁ Θεὸς ἐπὶ τῆς φύσεως τῆς ἡμετέρας ἐποίησε· πάντα ἀπέβαλεν, ὅσα — χ. ἀνάγει
εἶχεν, ὁ ἄνθρωπος, τὴν παρρησίαν τὴν πρὸς Θεόν, τὴν ὁμιλίαν τὴν ἐν τῷ παραδείσῳ,
τὸν "ἀταλαίπωρον βίον, καὶ "καθάπερ ἐκ ναυαγίου," γυμνὸς ἐκεῖθεν ἐξῆλθεν. ἀλλ' ὁ Θεὸς αὐτὸν — χ. καθὼς
δεξάμενος περιέστελλεν εὐθέως, καὶ κατὰ μικρὸν χειραγωγῶν πρὸς τὸν οὐρανὸν ἀνήγαγε. καίτοι — χ. οὕτως
οὐκ ἦν συγγνώμης τὸ ναυάγιον ἄξιον. οὐ γὰρ παρὰ τὴν τῶν πνευμάτων βίαν, ἀλλὰ παρὰ
τὴν τοῦ πλέοντος ῥᾳθυμίαν ἅπαν συνέβη τὸ κλυδώνιον "τοῦτο. ἀλλ' οὐ πρὸς τοῦτο εἶδεν ὁ — χ. τότε
Θεός, ἀλλὰ τὸ μέγεθος τῆς συμφορᾶς κατηλέησε, καὶ τὸν ἐν λιμένι παθόντα ναυάγιον, καθάπερ
ἐν μέσῳ τῷ πελάγει τοῦτο ὑπομείναντα, οὕτω φιλοφρόνως ἐδέξατο. τὸ γὰρ ἐν παραδείσῳ
πεσεῖν, ἐν λιμένι ναυάγιον" ἐστὶν ὑπομεῖναι. τί δήποτε; ὅτι οὐδέπω λύπης, οὐδέπω — χ. ἦν
φροντίδος, οὐδὲ πόνων, οὐδὲ μόχθων, οὐδὲ τῶν μυρίων τῆς ἐπιθυμίας κυμάτων ἐπικωμαζόντων
τῇ φύσει τῇ ἡμετέρᾳ, ὑπεσκελίσθη καὶ κατέπεσε. καὶ καθάπερ οἱ τὴν θάλατταν πλέοντες κακοῦργοι,
μικρῷ σιδήρῳ πολλάκις τὴν ναῦν διατρήσαντες, ἅπασαν ἐπεισάγουσι κάτωθεν τῷ πλοίῳ τὴν
θάλατταν· οὕτω δὴ καὶ τότε ἰδὼν τὸ πλοῖον τοῦ Ἀδὰμ ὁ διάβολος, τουτέστι, τὴν ψυχὴν πολλῶν
γέμουσαν ἀγαθῶν, ὥσπερ τινὶ σιδήρῳ μικρῷ, τῇ ψιλῇ φωνῇ προσελθὼν καὶ διατρήσας,
ἅπαντα ἐκένωσεν ἐκείνου τὸν πλοῦτον, καὶ τὸ σκάφος αὐτὸ" κατέδυσεν. ἀλλ' ὁ Θεὸς — χ. κατέλ
μείζω τῆς ζημίας τὴν ἐμπορίαν ἐποιήσατο, καὶ πρὸς τὸν θρόνον τὸν βασιλικὸν τὴν φύσιν
Εφ. β. ϛ. ἀνήγαγε τὴν ἡμετέραν. διὸ καὶ Παῦλος βοᾷ, λέγων· Συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν
δεξιᾷ αὐτοῦ ἐν τοῖς ἐπουρανίοις, ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα
πλοῦτον τῆς χάριτος αὐτοῦ ἐν χρηστότητι ἐφ' ἡμᾶς. τί λέγεις; ἤδη τὸ πρᾶγμα
γέγονε καὶ τέλος ἔχει, καὶ λέγεις· ἵνα ἐν τοῖς αἰῶσιν ἐνδείξηται τοῖς ἐπερχομένοις; οὐ γὰρ ἐνεδείξατο;
ἐνεδείξατο μὲν ἤδη, ἀλλ' οὐχὶ πᾶσιν ἀνθρώποις, ἀλλ' ἐμοὶ τῷ πιστῷ· ὁ δὲ ἄπιστος
οὐδέπω τὸ θαῦμα εἶδε. τότε δὲ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ πᾶσα ἡ τῶν ἀνθρώπων φύσις εἰς
μέσον ἐλθοῦσα θαυμάσεται τὸ γεγενημένον, ἄλλως τε καὶ ἡμῖν τότε φανερώτερον ἔσται. πιστεύομεν
γὰρ καὶ νῦν, ἀλλ' οὐχ ὁμοίως τὸ θαῦμα παρίστησιν ἀκοὴ καὶ ὄψις. ἀλλ' ὥσπερ ἐπὶ τῶν βασιλέων
ἀκούοντες τὴν ἁλουργίδα καὶ τὸ διάδημα καὶ τὰ χρυσᾶ ἱμάτια καὶ τὸν θρόνον τὸν βασιλικόν,
θαυμάζομεν μέν, μειζόνως δὲ τοῦτο πάσχομεν, ὅταν τῶν παραπετασμάτων συνελκυσθέντων
ἴδωμεν αὐτὸν ἐφ' ὑψηλοῦ τοῦ βήματος προκαθήμενον· οὕτω καὶ ἐπὶ τοῦ μονογενοῦς
ὅταν ἴδωμεν τὰ παραπετάσματα τῶν οὐρανῶν συνελκυσθέντα, καὶ καταβαίνοντα τὸν βασιλέα
τῶν ἀγγέλων ἐκεῖθεν καὶ δορυφορούμενον ὑπὸ τῶν οὐρανίων δήμων, τότε μεῖζον ἀπὸ τῆς
ὄψεως τὸ θαῦμα δεχόμεθα. ἐννόησον γάρ μοι, οἷόν ἐστιν ἰδεῖν τὴν φύσιν τὴν ἡμετέραν ἐπὶ τῶν
χερουβὶμ ὀχουμένην, καὶ πᾶσαν αὐτῇ τὴν ἀγγελικὴν περικεχυμένην δύναμιν. σκόπει δέ μοι
καὶ τὴν Παύλου σοφίαν, πόσα ὀνόματα ἐπιζητεῖ, ὥστε παραστῆσαι τοῦ Θεοῦ τὴν φιλανθρωπίαν.
οὐ γὰρ εἶπεν ἁπλῶς τὴν χάριν, οὐδὲ τὸν πλοῦτον ἁπλῶς, ἀλλὰ τί; τὸν ὑπερβάλλοντα

βάλλοντα πλοῦτον τῆς χάριτος ἐν χρηστότητι. ἀλλ' ὅμως καὶ οὕτως ἡττήθη. καὶ καθάπερ τὰ ὀλισθηρὰ τῶν σωμάτων μυρίαις κατεχόμενα χερσὶ, διαφεύγει τὰς λαβὰς ἡμῶν, καὶ διολισθαίνει ῥᾳδίως· οὕτω καὶ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, ὅσοις ἂν αὐτὴν κατέχωμεν ὀνόμασιν, οὐδὲ οὕτω δυνάμεθα περιλαβεῖν, ἀλλὰ νικᾷ τὸ μέγεθος αὐτῆς ἐν πολλῇ περιουσίᾳ τὴν ἡμετέρων ῥημάτων τὴν ἀτονίαν. ὅπερ οὖν καὶ Παῦλος παθὼν, καὶ ἰδὼν ἡττωμένην τὴν ῥημάτων τὴν δύναμιν τῷ μεγέθει αὐτῆς, ἓν εἰπὼν ῥῆμα ἀπέστη. ποῖον δὲ τοῦτο; Χάρις δὲ τῷ Θεῷ ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ. ὅτι γὰρ λόγος, ὅτι νοῦς οὐδεὶς παραστῆσαι δυνήσεται τοῦ Θεοῦ τὴν κηδεμονίαν. διὰ τοῦτο ἐνταῦθα μὲν ἀνεκδιήγητον αὐτὴν εἶναί φησιν, ἀλλαχοῦ δὲ, καὶ τὸν νοῦν ἡμῶν ὑπερβαίνειν, οὑτωσὶ λέγων· Η εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσει τὰς καρδίας ὑμῶν. ἀλλ' ὅπερ ἔλεγον, δύο μὲν οὗτοι τέως ἀπολογίας εὑρίσκονται τρόποι· εἷς μὲν, ὅτι οὐχ ὁ Θεὸς ἐξέβαλεν, ἀλλ' ἡμεῖς ἀπωλέσαμεν· δεύτερος δὲ, ὅτι πλείω τῶν ἀπολωλότων καὶ μείζονα τὰ δοθέντα ἡμῖν ἀγαθά. βούλομαι δὲ καὶ τρίτον εἰπεῖν. τίς οὖν ἐστιν ὁ τρίτος; ὅτι εἰ καὶ μὴ ἔδωκε μείζω τῶν ἀπολωλότων τὰ μετὰ ταῦτα, ἀλλ' ἀφείλετο μόνον τὰ δοθέντα ἡμῖν, ἡμῶν παρεχόντων τὴν αἰτίαν (τοῦτο γὰρ προσκείσθω) καὶ τοῦτο ἱκανὸν καθ' ἑαυτὸ δεῖξαι τὴν κηδεμονίαν αὐτοῦ τὴν εἰς ἡμᾶς. οὐ γὰρ τὸ δοῦναι μόνον, ἀλλὰ καὶ τὸ ἀφελέσθαι τὰ δοθέντα, μεγίστης φιλανθρωπίας ἐστί. καὶ, εἰ βούλεσθε, ἐπὶ τοῦ παραδείσου τὸν λόγον γυμνάσωμεν. ἔδωκε τὸν παράδεισον· τοῦτο τῆς αὐτοῦ κηδεμονίας. ἀνάξιοι τῆς δωρεᾶς ὤφθημεν· τοῦτο τῆς ἡμετέρας ἀγνωμοσύνης. ἀφείλετο τὴν δωρεὰν ἀναξίοις γενομένοις· τοῦτο τῆς αὐτοῦ γέγονεν ἀγαθότητος. καὶ ποία ἀγαθότης, φησὶ, τὸ ἀφελέσθαι τὴν δωρεάν; ἀνάμεινον, καὶ ἀκούσῃ πάντως. ἐννόησον γὰρ τίς ἔμελλεν ὁ Κάϊν ἔσεσθαι, ἐν παραδείσῳ διατρίβων μετὰ τὴν μιαιφονίαν. εἰ γὰρ καὶ ἐκπεσὼν ἐκείνης τῆς διαίτης, εἰ μόχθῳ καὶ πόνῳ καταδικασθεὶς, καὶ τοῦ θανάτου τὴν ἀπειλὴν ἐπηρτημένην ὁρῶν, εἰ τοῦ πατρὸς πρὸ τῶν ὀφθαλμῶν βλέπων τὴν συμφορὰν, καὶ ἐν χερσὶν ἔχων ἔτι τῆς ὀργῆς τοῦ Θεοῦ τὰ ἴχνη, καὶ τοσούτοις περιεστοιχισμένος δεινοῖς, εἰς τοσοῦτον ἐξελάκτισε πονηρίας, ὥστε ἀγνοῆσαι τὴν φύσιν, ἐπιλαθέσθαι τῆς κοινωνίας τῶν ὠδίνων, καὶ τὸν οὐδὲν ἠδικηκότα σφάξαι, καὶ ἀδελφικοῦ σώματος ἅψασθαι, καὶ αἱμάξαι τὴν δεξιὰν, καὶ τοῦ Θεοῦ παραινοῦντος ἡσυχάζειν μὴ ἀνέχεσθαι, ἀλλ' ὑβρίσαι τὸν πεποιηκότα, ἀτιμάσαι τοὺς γεγεννηκότας, εἰ ἐν παραδείσῳ διέτριβεν οὗτος, σκόπει πρὸς ὅσην ἂν ἤλασε κακίαν. εἰ γὰρ, τοσούτων ἐπικειμένων τῶν χαλινῶν, θανάσιμα ἐσκίρτησε σκιρτήματα, εἰ καὶ τὰ τειχία ταῦτα ἀνήρητο, ποῦ οὐκ ἂν ἑαυτὸν κατεκρήμνισε; βούλει καὶ ἀπὸ τῆς τούτου μητρὸς μαθεῖν, ὅσον ἀγαθὸν γέγονε τὸ τῆς τοῦ παραδείσου διαίτης ἐκπεσεῖν; ἐξέτασον τίς ἦν ἡ Εὔα πρὸ τούτου, καὶ τίς ἐγένετο μετὰ ταῦτα. πρὸ τούτου μὲν, τὸν ἀπατεῶνα διάβολον, τὸν πονηρὸν δαίμονα ἐκεῖνον ἀξιοπιστότερον εἶναι ἐνόμισε τῶν τοῦ Θεοῦ προσταγμάτων, καὶ ἀπὸ ψιλῆς ὄψεως τοῦ δένδρου κατεπάτησε τὸν παρ' αὐτοῦ τεθέντα νόμον· ἐπειδὴ δὲ ἐξέπεσε τοῦ παραδείσου, σκόπει πῶς βελτίων ἐγένετο καὶ σωφρονεστέρα. τεκοῦσα γὰρ υἱὸν, φησὶν, Εκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ. ἐπὶ τὸν δεσπότην εὐθέως κατέφυγεν ἡ τοῦ δεσπότου πρὸ τούτου καταφρονήσασα, καὶ οὐχὶ τῇ φύσει τὸ πρᾶγμα λογίζεται, οὐδὲ νόμῳ γάμου τὸν τόκον ἀνατίθησιν· ἀλλ' οἶδε τὸν τῆς φύσεως δεσπότην, κἀκείνῳ χάριτας ὑπὲρ τῆς τοῦ παιδίου γεννήσεως ὁμολογεῖ. καὶ ἡ πρὸ τούτου τὸν ἄνδρα ἀπατήσασα, ὕστερον καὶ τὸ παιδίον ἐπαίδευε, καὶ ὄνομα ἐπιτίθησιν αὐτῷ τὸ δυνάμενον αὐτὸν εἰς ὑπόμνησιν ἄγειν τῆς τοῦ Θεοῦ δωρεᾶς· καὶ πάλιν ἕτερον τεκοῦσα, φησίν· Εξανέστησέ μοι ὁ Θεὸς σπέρμα ἀντὶ Αβελ, ὃν ἀπέκτεινε Κάϊν. μέμνηται τῆς συμφορᾶς, καὶ οὐκ ἀποδυσπετεῖ τὸ γύναιον, ἀλλ' εὐχαριστεῖ τῷ Θεῷ πάλιν, καὶ τὸ παιδίον ἀπὸ τῆς δωρεᾶς καλεῖ, διηνεκῆ παρέχουσα αὐτῷ διδασκαλίας ὑπόθεσιν. οὕτω καὶ ἐν αὐτῷ τῷ ἀφελέσθαι μείζονα ἐχαρίσατο ὁ Θεὸς ἀγαθά. ἐξέπεσε τοῦ

παραδείσου

β. Κορ. θ. ιε.

Φιλιπ. δ. ζ.

Γεν. δ. α.

Γεν. δ. κε.

παραδείσου ἡ γυνή, ἀλλὰ πρὸς θεογνωσίαν ἐχειραγωγήθη διὰ τῆς ἐκβολῆς· ὥστε μεῖζον εὗρεν, ἢ ἀπώλεσε. καὶ εἰ χρήσιμον ἦν, φησι, τὸ ἐκπεσεῖν τοῦ παραδείσου, τίνος ἕνεκεν ἐδίδου παρὰ τὴν ἀρχὴν τὸν παράδεισον ὁ Θεός; χρησίμως τοῦτο διὰ τὴν ῥαθυμίαν, ἄνθρωπε, ἐγένετο τὴν ἡμετέραν· ὡς εἴγε προσέσχον ἑαυτοῖς ἐκεῖνοι, καὶ τὸν δεσπότην ἐπεγίνωσκον, καὶ σωφρονεῖν ἠπίσταντο καὶ μετριάζειν, ἔμενον ἂν ἐπὶ τῆς τιμῆς· ἐπειδὴ δὲ ἐξύβρισαν εἰς τὴν δοθεῖσαν δωρεάν, τηνικαῦτα χρήσιμον ἐγένετο τὸ ἐκβληθῆναι. Τίνος οὖν ἕνεκεν παρὰ τὴν ἀρχὴν ἔδωκεν ὁ Θεός; ἵνα τὴν οἰκείαν ἐπιδείξηται φιλανθρωπίαν, καὶ ὅτι αὐτὸς μὲν παρεσκεύαστο πρὸς μείζονα τιμὴν ἄγειν ἡμᾶς ἀεί· ἡμεῖς δὲ αἴτιοι πανταχοῦ τῆς κολάσεως καὶ τῆς τιμωρίας, ἐκβάλλοντες ἑαυτοὺς διὰ ῥαθυμίας τῶν δεδομένων ἡμῖν ἀγαθῶν. καθάπερ οὖν πατὴρ φιλόστοργος παρὰ μὲν τὴν ἀρχὴν ἀφίησιν ἐπὶ τῆς οἰκίας τὸν παῖδα τὸν ἑαυτοῦ διατρίβειν, καὶ τῶν πατρῴων ἀπολαύειν ἁπάντων· ἐπειδὰν δὲ ἴδῃ φαῦλον τῇ τιμῇ γεγενημένον, ἀπάγει τῆς τραπέζης, καὶ πόρρωθεν τῆς οἰκίας ὄψεως καθίστησι, πολλάκις δὲ καὶ αὐτῆς ἐκβάλλει τῆς πατρῴας οἰκίας, ἵνα ἐκπεσὼν ἐκεῖνος, καὶ βελτίων γενόμενος ταῖς ὕβρεσι ταύταις καὶ ταῖς ἀτιμίαις, ἄξιον ἑαυτὸν ἀποφήνῃ τῆς ἐπανόδου [πάλιν], καὶ τὸν πατρῷον διαδέξηται κλῆρον· οὕτω καὶ ὁ Θεὸς ἐποίησεν. ἔδωκε τῷ ἀνθρώπῳ τὸν παράδεισον· ἀνάξιον φανέντα ἐξέβαλεν, ἵνα διὰ τῆς ἔξω διατριβῆς καὶ τῆς ἀτιμίας βελτίων γενόμενος καὶ σωφρονέστερος, ἄξιος φανῇ τῆς ἐπανόδου πάλιν. ἐπειδὴ τοίνυν μετὰ ταῦτα βελτίων ἐγένετο, ἐπανάγει πάλιν αὐτόν, καί φησι· Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. ὁρᾷς ὅτι οὐ τὸ δοῦναι τὸν παράδεισον, ἀλλὰ καὶ τὸ ἐκβαλεῖν τοῦ παραδείσου, τῆς μεγίστης κηδεμονίας ἦν; εἰ μὴ γὰρ ἐξέπεσε τοῦ παραδείσου, οὐκ ἂν ἐφάνη τοῦ παραδείσου πάλιν ἄξιος. τοῦτον τοίνυν διαπαντὸς τηρῶμεν τὸν λόγον, τοῦτον καὶ ἐπὶ τῆς προκειμένης, εἰ βούλεσθε, γυμνάσωμεν ὑποθέσεως. ἔδωκε φωνὴν κοινὴν ἅπασι. τοῦτο τῆς αὐτοῦ φιλανθρωπίας. οὐκ ἐχρήσαντο εἰς δέοι ἐκεῖνοι τῇ δωρεᾷ, ἀλλὰ πρὸς ἄνοιαν ἐξέκλιναν ἐσχάτην· ἀφείλετο τὸ δοθὲν πάλιν. Εἰ γὰρ ἔτι γλῶτταν εἶχον μίαν, εἰς τοσαύτην ἐξέπεσαν ἄνοιαν, ὡς βουληθῆναι πύργον ἕως τοῦ οὐρανοῦ οἰκοδομῆσαι, εἰ μὴ παραχρῆμα ἐκολάσθησαν, ἆρα οὐκ ἂν ἐπεθύμησαν καὶ αὐτῆς τοῦ οὐρανοῦ τῆς κορυφῆς ἐπιλαβέσθαι; τί γάρ, εἰ καὶ ἀδύνατον ἦν ἐκείνοις, ἀλλ' ὅμως ἐκ τῆς προθέσεως τὰ τῆς ἀσεβείας αὐτοῖς ἀπηρτίζετο. ἅπερ ἅπαντα προορῶν ὁ Θεός, ἐπειδὴ εἰς δέον οὐκ ἐχρήσαντο τῇ ὁμοφωνίᾳ, εἰς δέον αὐτοὺς διαιρεῖ τῇ διαφωνίᾳ.

Λουκ. κγ. μγ.

Καὶ σκόπει μοι τὴν φιλανθρωπίαν αὐτοῦ. Ἰδού, φησι, φωνὴ μία πᾶσι, καὶ τοῦτο ἤρξαντο ποιῆσαι. Τίνος ἕνεκεν οὐκ εὐθέως ἦλθεν ἐπὶ τὸ διατεμεῖν τὴν γλῶτταν, ἀλλὰ πρότερον ἀπολογεῖται, καθάπερ ἐν δικαστηρίῳ κρίνεσθαι μέλλων; καίτοιγε οὐδεὶς αὐτῷ ἐρεῖ, τί ἐποίησας; ἀλλὰ κύριός ἐστι πάντα ποιεῖν ὅσα βούλεται. ἀλλ' ὅμως καθάπερ μέλλων εὐθύνας ὑπέχειν, οὕτως ἀπολογίας τίθησιν, ἡμᾶς διδάσκων ἡμέρους εἶναι καὶ φιλανθρώπους. Εἰ γὰρ ὁ δεσπότης τοῖς δούλοις ἀπολογεῖται, καὶ ταῦτα ἠδικηκόσι, πολλῷ μᾶλλον ἡμᾶς ἀλλήλοις ἀπολογεῖσθαι χρή, κἂν τὰ μέγιστα ὦμεν ἠδικημένοι. ὅρα γοῦν πῶς ἀπολογεῖται· Ἰδοὺ χεῖλος ἕν, καὶ φωνὴ μία πᾶσι, φησι, καὶ τοῦτο ἤρξαντο ποιῆσαι. ὡσανεὶ ἔλεγε· μηδεὶς ἐγκαλείτω μοι ταῦτα τῶν γλωττῶν διατεμνομένων ὁρῶν, μηδεὶς ἐξ ἀρχῆς νομιζέτω τὴν διαφωνίαν ταύτην τοῖς ἀνθρώποις συγκαταβεβλῆσθαι. ἰδοὺ χεῖλος ἕν, καὶ μία φωνὴ πᾶσιν. ἀλλ' οὐκ ἐχρήσαντο εἰς δέον τῇ δωρεᾷ. καὶ ἵνα μάθῃς ὅτι οὐ τὸ γινόμενον κολάζει τοσοῦτον, ὅσον τὸ μέλλον προδιορθοῦται, ἄκουσον τῆς ἐπαγωγῆς. Καὶ νῦν οὐ μὴ ἐκλείψῃ ἐξ αὐτῶν πάντα, ὅσα ἂν ἐπιθῶνται ποιῆσαι. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐὰν μὴ δῶσι δίκην νῦν, καὶ ἀπὸ τῆς ῥίζης αὐτῆς τῶν ἁμαρτημάτων ἀνακαιτισθῶσιν, οὐ στήσονται τῆς πονηρίας οὐδαμοῦ. τοῦτο γάρ ἐστιν, οὐ μὴ ἐκλείψῃ ἐξ αὐτῶν πάντα, ὅσα ἂν ἐπιθῶνται ποιῆσαι. ὡσανεὶ ἔλεγε, οὐ ἕτερα προσθήσουσι μείζονα ἀτοπήματα. τοιοῦτον γὰρ ἡ πονηρία, ὅταν ἀρχὴν λαβοῦσα μὴ κωλυθῇ, καθάπερ πῦρ ὕλης ἐπιλαβόμενον, οὕτω πρὸς ὕψος ἀνίησιν ἄφατον. ὁρᾷς ὅτι καὶ τὸ ἀφελέσθαι τὴν ὁμοφωνίαν φιλανθρωπίας ἐγένετο πολλῆς; ἐνέβαλε γὰρ αὐτοὺς εἰς διαφωνίαν, ἵνα μὴ ἐκπέσωσιν εἰς πονηρίαν μείζονα. τοῦτον δή μοι διατηρεῖτε τὸν λόγον, καὶ περιπηγὼς ἀεὶ παρ' ὑμῖν ἔστω καὶ ἀκίνητος, ὅτι οὐκ εὐεργετῶν μόνον, ἀλλὰ καὶ κολάζων, ἀγαθός ἐστι καὶ φιλάνθρωπος ὁ Θεός. καὶ γὰρ αἱ κολάσεις αὐτοῦ καὶ αἱ τιμωρίαι μέγιστον εὐεργεσίας μέρος, μέγιστον προνοίας εἶδός εἰσιν. ὅταν οὖν ἴδῃς λιμοὺς γινομένους, καὶ λοιμούς, καὶ αὐχμούς, καὶ ἐπομβρίας, καὶ ἀέρων ἀνωμαλίας, ἢ ἄλλο τι τῶν τοιούτων τῶν κολαζόντων τὴν ἀνθρωπίνην φύσιν, μὴ δυσχεράνῃς, μηδὲ ἀποδυσπετήσῃς, ἀλλὰ προσκύνησον τὸν ποιοῦντα, θαύμασον αὐτὸν τῆς κηδεμονίας. ἐκεῖνος γάρ ἐστιν ὁ ταῦτα ποιῶν, καὶ τὸ σῶμα κολάζων, ἵνα τὴν ψυχὴν σωφρονίσῃ. καὶ ὁ Θεὸς ταῦτα ποιεῖ, φησίν; ὁ Θεὸς ταῦτα ποιεῖ· κἂν ἡ πόλις παρῇ πᾶσα, κἂν ἡ οἰκουμένη πᾶσα, οὐκ ὀκνήσω τοῦτο εἰπεῖν. εἴθε μοι καὶ σάλπιγγος ἦν φωνὴ λαμπροτέρα, καὶ ἐν ὑψηλῷ στῆναι χωρίῳ δυνατὸν ἦν, καὶ πᾶσι βοῆσαι καὶ διαμαρτύρεσθαι, ὅτι ὁ Θεὸς ταῦτα ποιεῖ. οὐκ ἐξ ἀπονοίας ταῦτα λέγω, ἀλλ' ἔχω παρεστῶτα τὸν προφήτην μετ' ἐμοῦ βοῶντα καὶ λέγοντα· Ὅτι οὐκ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησε. κακία δὲ ὁμώνυμόν ἐστιν ὄνομα· καὶ τῆς προσηγορίας ἑκατέρας βούλομαι τὴν ἀκριβῆ μαθεῖν ὑμᾶς σημασίαν, ἵνα μὴ διὰ τὴν ὁμωνυμίαν τῶν πραγμάτων συγχέοντες τὴν φύσιν, εἰς βλασφημίαν ἐμπέσητε. ἔστι τοίνυν κακία, ἡ ὄντως κακία, πορνεία, μοιχεία, πλεονεξία, καὶ τὰ μυρία δεινὰ τὰ τῆς ἐσχάτης ὄντα ἐγκλημάτων ἄξια καὶ τιμωριῶν. πάλιν ἔστι κακία, μᾶλλον δὲ οὐκ ἔστιν, ἀλλὰ λέγεται, λιμός, λοιμός, θάνατος, νόσος, καὶ ὅσα τοιαῦτα. ταῦτα γὰρ οὐκ ἂν εἴη κακά. διὰ τοῦτο εἶπον, λέγεται μόνον. τί δήποτε; ὅτι εἰ κακὰ ἦν, οὐκ ἂν ἀγαθῶν ἡμῖν αἴτια ἐγεγόνει, σωφρονίζοντα τὴν ἀπόνοιαν, ἐκκόπτοντα τὴν ῥᾳθυμίαν, καὶ πρὸς σπουδὴν ἐπαλείφοντα, προσεκτικωτέρους ποιοῦντα. Ὅταν γάρ, φησιν, ἀπέκτεινεν αὐτούς, τότε ἐξεζήτουν αὐτόν, καὶ ἐπέστρεφον, καὶ ὤρθριζον πρὸς τὸν Θεόν. κακίαν οὖν ταύτην φησὶ τὴν σωφρονίζουσαν, τὴν λαμπροτέρους ποιοῦσαν, τὴν σπουδαιοτέρους ἐργαζομένην, τὴν πρὸς φιλοσοφίαν ἐπαλείφουσαν, οὐκ ἐκείνην τὴν διαβεβλημένην καὶ ἐγκλημάτων ἀξίαν. ἐκείνη γὰρ οὐ Θεοῦ ἔργον, ἀλλὰ τῆς ἡμετέρας προαιρέσεως εὕρεμα· αὕτη δὲ πρὸς τὴν ἐκείνης ἀναίρεσιν γέγονε. κακίαν οὖν ταύτην καλεῖ τὴν κάκωσιν, τὴν ἐκ τῶν τιμωριῶν γινομένην ἡμῖν· οὐ κατὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ κατὰ τὴν ὑπόνοιαν τῶν ἀνθρώπων, οὕτως αὐτὴν ὀνομάζων. ἐπειδὴ γὰρ κακίαν καλεῖν εἰώθαμεν, οὐ τὰς κλοπὰς καὶ τὰς μοιχείας μόνον, ἀλλὰ καὶ τὰς συμφοράς, ἀπὸ τῆς τῶν ἀνθρώπων ψήφου οὕτω τὸ πρᾶγμα ἐκάλεσε. τοῦτο οὖν ἐστιν ὅ φησιν ὁ προφήτης, ὅτι οὐκ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησε. τοῦτο καὶ διὰ Ἡσαΐου προεδήλωσεν ὁ Θεὸς εἰπών, Ἐγὼ Θεὸς ποιῶν εἰρήνην, καὶ κτίζων κακά· κακὰ πάλιν, τὰς συμφορὰς ὀνομάζων. ταύτην καὶ ὁ Χριστὸς τὴν κακίαν ἐν τοῖς εὐαγγελίοις αἰνίττεται, οὕτω λέγων τοῖς μαθηταῖς· Ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς, τουτέστιν, ἡ κάκωσις, ἡ ταλαιπωρία. πανταχόθεν οὖν δῆλον, ὅτι κακίαν ἐνταῦθα τὰς τιμωρίας καλεῖ, καὶ ταύτας ἡμῖν αὐτὸς ἐπάγει, μέγιστον προνοίας εἶδος παρεχόμενος. καὶ γὰρ ὁ ἰατρός, οὐχ ὅταν εἰς παραδείσους καὶ λειμῶνας ἐξαγάγῃ τοὺς κάμνοντας, θαυμαστός ἐστι μόνον, οὐδὲ ὅταν εἰς βαλανεῖα καὶ κολυμβήθρας ὑδάτων, οὐδὲ ὅταν τράπεζαν παραθῇ πλουσίαν, ἀλλὰ καὶ ὅταν ἄσιτον κελεύῃ διαμένειν, καὶ ὅταν ἄγχῃ λιμῷ καὶ δίψῃ κατατείνῃ, τῇ κλίνῃ προσηλῶν καὶ τὴν οἰκίαν δεσμωτήριον ποιούμενος, καὶ αὐτοῦ τοῦ φωτὸς ἀποστερῶν καὶ συσκιάζων πανταχόθεν τὸ δωμάτιον παραπετάσμασι, καὶ ὅταν τέμνῃ, καὶ ὅταν καίῃ, καὶ ὅταν πικρὰ προσάγῃ φάρμακα, ἰατρός ἐστιν ὁμοίως. πῶς οὖν οὐκ ἄτοπον ἐκεῖνον μὲν τοσαῦτα ἐργαζόμενον κακὰ ἰατρὸν καλεῖν, τὸν δὲ Θεόν, εἴ ποτέ τι τούτων ποιήσειεν,

Ἀμ. γ. ϛ.

Ψαλ. οζ. λδ.

Ησ. με. ζ.

Ματθ. ϛ. λδ.

δὲ ἢ λιμὸν ἢ θάνατον ἐπαγάγοι, βλασφημεῖν, καὶ τῆς τοῦ παντὸς ἐκβάλλειν προνοίας· καίτοιγε ὁ ἀληθὴς ἰατρὸς οὗτος μόνος ἐστὶ, καὶ ψυχῶν καὶ σωμάτων. διὰ τοῦτο πολλάκις τὴν φύσιν τὴν ἡμετέραν παραλαβὼν ἐξ εὐθυμίας σκιρτῶσαν, καὶ πυρετὸν ἁμαρτημάτων ὠδίνουσαν, ἐνδείᾳ τε λιμῷ καὶ θανάτῳ καὶ συμφοραῖς ἑτέραις, καὶ τοῖς ἄλλοις, οἷς αὐτὸς οἶδε, φαρμάκοις ἀπαλλάττει τῶν νοσημάτων. ἀλλ' οἱ πένητες αἰσθάνονται μόνοι τοῦ λιμοῦ, φησίν. ἀλλ' οὐχὶ μόνῳ λιμῷ κολάζει, ἀλλὰ καὶ ἑτέροις μυρίοις. τὸν ἐν πενίᾳ μὲν ὄντα λιμῷ πολλάκις ἐσωφρόνισε, τὸν πλουτοῦντα δὲ καὶ εὐπορίας ἀπολαύοντα, κινδύνοις, νοσήμασι, θανάτοις ἀώροις. εὐμήχανος γάρ ἐστι, καὶ ποικίλα ἔχει τῆς σωτηρίας ἡμῶν τὰ φάρμακα. οὕτω καὶ δικασταὶ ποιοῦσιν· οὐ τιμῶσι μόνον, οὐδὲ στεφανοῦσι τοὺς τὰς πόλεις οἰκοῦντας, οὐδὲ δωρεὰς παρέχουσι μόνον, ἀλλὰ καὶ κολάζουσι πολλάκις. διὰ τοῦτο καὶ ξίφος αὐτοῖς ἠκόνηται, καὶ βάραθρα παρεσκεύασται, καὶ τροχὸς, καὶ ξύλα, καὶ δήμιοι, καὶ ἕτερα μυρία κολάσεων εἴδη. ὅπερ οὖν ἐπὶ τῶν δικαστῶν ὁ δήμιος, τοῦτο ἐπὶ τοῦ Θεοῦ λιμὸς, καθάπερ δήμιος, σωφρονίζων ἡμᾶς καὶ τῆς κακίας ἀπάγων. οὕτω καὶ ἐπὶ τῶν γεωργῶν ἐστιν ἰδεῖν. οὐ γὰρ δὴ μόνον περιστέλλουσι τὴν ῥίζαν τῆς ἀμπέλου, οὐδὲ περιφράττουσιν, ἀλλὰ καὶ περικόπτουσι, καὶ πολλὰ τῶν κλημάτων ἀποτέμνουσι. διὰ τοῦτο οὐχὶ σκαπάνη μόνον ἐκείνοις, ἀλλὰ καὶ δρέπανα πρὸς τομὴν ἐπιτήδεια. ἀλλ' ὅμως οὐκ ἐγκαλοῦμεν οὐδὲ τούτοις· ἀλλὰ καὶ τότε μάλιστα αὐτοὺς θαυμάζομεν, ὅταν ἴδωμεν πολλὰ τῶν ἀχρήστων ἐκκόπτοντας, ὥστε τῇ τῶν περιττῶν ἀποβολῇ τοῖς μένουσι πολλὴν παρασκευάσαι τὴν σωτηρίαν. πῶς οὖν οὐκ ἄτοπον, πατέρα μὲν, καὶ ἰατρὸν, καὶ δικαστὴν, καὶ γεωργὸν οὕτω δοκιμάζειν, καὶ μήτε ἐκεῖνον ἐκβάλλοντα τὸν υἱὸν τῆς οἰκίας, μήτε τὸν ἰατρὸν ″ἐπιτείνοντα τὸν κάμνοντα, μήτε τὸν δικαστὴν κολάζοντα, μήτε τὸν γεωργὸν κόπτοντα μέμφεσθαι καὶ αἰτιᾶσθαι, τὸν δὲ Θεὸν, εἴ ποτε βουληθείη καθάπερ καρηβαροῦντας ἡμᾶς ἀπὸ τῆς πολλῆς ἀναστῆσαι μέθης τῆς κατὰ τὴν πονηρίαν, μέμφεσθαι καὶ μυρίας βάλλειν κατηγορίας; πόσης οὐκ ἂν εἴη μανίας, μηδὲ τῆς αὐτῆς τῷ δεσπότῃ μεταδιδόναι δικαιολογίας, ὅσης μεταδίδομεν τοῖς συνδούλοις;

γρ. τιμωρ

Ταῦτα ὑπὲρ αὐτῶν τῶν ἐγκαλούντων δεδοικὼς λέγω νῦν, ἵνα μὴ πρὸς κέντρα λακτίζοντες τοὺς πόδας αἱμάξωσιν, ἵνα μὴ εἰς οὐρανὸν τοὺς λίθους βάλλοντες, τῇ κεφαλῇ τὰ τραύματα″ δέξωνται. ἐγὼ δὲ καὶ ἑτέραν ὑπερβολὴν ἔχω πλείω ταύτης εἰπεῖν. ″αἰελόντες γὰρ ὃ ζητεῖ (κατὰ συγχώρησιν λέγω) εἰ χρησίμως ἔλαβε παρ' ἡμῶν ὁ Θεὸς, ἐκεῖνο λέγω μόνον, ὅτι ἔλαβε τὰ δοθέντα· οὐδὲ οὕτως ἐγκαλεῖν τις εἶχεν αὐτῷ· καὶ γὰρ κύριος ἦν τῶν αὐτοῦ. εἰ ἀνθρώποις μὲν, ὅταν ἡμῖν παρακαταθῶνται χρήματα, καὶ δανείζωσιν ἀργύριον, χάριν ὁμολογοῦμεν τοῦ χρόνου, καθ' ὃν δὴ ἐδανείσαντο, οὐκ ἀγανακτοῦμεν δὲ ὑπὲρ τοῦ χρόνου, καθ' ὃν ἀφαιροῦνται τὰ ἴδια· τῷ Θεῷ δὲ τὰ αὐτοῦ βουλομένῳ λαβεῖν ἐγκαλέσωμεν, εἰπέ μοι; καὶ πῶς οὐκ ἐσχάτης ταῦτα ἀνοίας; ἀλλ' οὐχ ὁ μέγας καὶ γενναῖος Ἰὼβ οὕτως ἐποίησεν· οὐδὲ ἡνίκα ἐλάμβανε μόνον, ἀλλὰ καὶ ἡνίκα ἀφῃρεῖτο, χάριν ὡμολόγει μεγίστην, οὑτωσὶ λέγων· Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. εἰ δὲ ὑπὲρ ἀμφοτέρων τούτων εὐχαριστεῖν δεῖ καὶ καθ' ἑαυτὸ, καὶ τῆς δόσεως ἡ ἄφεσις οὐκ ἐλάττων ἢ χρησιμωτέρα, ποίαν ἂν σχοίημεν συγγνώμην, εἰπέ μοι, τὸν οὕτως ἥμερον καὶ φιλάνθρωπον, καὶ κηδεμόνα, καὶ παντὸς ἰατροῦ σοφώτερον, καὶ παντὸς πατρὸς φιλοστοργότερον, καὶ παντὸς δικαστοῦ δικαιότερον, καὶ γεωργοῦ παντὸς ἐπιμελέστερον τὰς ἡμετέρας ″θεραπεύοντα ψυχὰς τοῖς ἐναντίοις ἀμειβόμενοι, καὶ ὃν προσκυνεῖν δέον, ἀποδυσπετοῦντες; ἆρα γένοιτ' ἂν τι μανικώτερον καὶ ἀναισθητότερον τῶν ἐν εὐταξίᾳ τοσαύτῃ λεγόντων ἀποστερεῖσθαι τῆς τοῦ Θεοῦ προνοίας ἡμᾶς; ὥσπερ γὰρ εἴ τις φιλονεικοίη τὸν ἥλιον εἶναι ζοφερὸν καὶ ψυχρὸν, ἐσχάτης παραφροσύνης ἐκφέρει δεῖγμα τῇ ψήφῳ· οὕτως εἴ τις ἀμφιβάλλοι περὶ τῆς τοῦ Θεοῦ προνοίας, πολλῷ μᾶλλον μανίας ἐγκλήμασίν ἐστιν ὑπεύθυνος. οὐχ οὕτως ἥλιος φανὸς, ὡς ἡ τοῦ

Ἰωβ. α. κα.

γρ. δικαι

ἢ. αἰνλα

γρ. διορθο

μένων

ἡ τοῦ Θεοῦ πρόνοια σαφής· ἀλλ' ὅμως τολμῶσί τινες λέγειν, ὅτι δαίμονες τὰ καθ' ἡμᾶς διοικοῦσι. τί πάθω; φιλάνθρωπον ἔχεις δεσπότην· αἱρεῖται μᾶλλον βλασφημεῖσθαι ὑπὸ σοῦ διὰ τῶν ῥημάτων τούτων, ἢ τοῖς δαίμοσιν ἐπιτρέψας τὰ σὰ πεῖσαί σε διὰ τῶν πραγμάτων, πῶς δαίμονες διοικοῦσι. τότε γὰρ ἂν ἔγνως καλῶς τὴν ἐκείνων πονηρίαν διὰ τῆς πείρας αὐτῆς· μᾶλλον δὲ καὶ νῦν δυνατὸν ὑμῖν παραστῆσαι, ὡς ἐν μικρῷ τινι παραδείγματι. ἀπήντησαν τῷ Χριστῷ δαιμονιζόμενοί τινες ἐκ τῶν μνημείων ἐξερχόμενοι, καὶ παρεκάλουν αὐτὸν οἱ δαίμονες ἐπιτρέψαι αὐτοῖς εἰς τὴν ἀγέλην τῶν χοίρων εἰσελθεῖν· καὶ ἐπέτρεψε· καὶ ἀπῆλθον, καὶ κατακρημνίσαντες αὐτοὺς εὐθέως ἀπώλεσαν. οὕτω δαίμονες διοικοῦσι. καίτοι πρὸς τοὺς χοίρους οὐδεὶς ἦν αὐτοῖς λόγος· πρὸς δὲ σὲ ἀεὶ πόλεμος ἄσπονδος, καὶ ἀκήρυκτός ἐστι μάχη, καὶ ἔχθρα ἀθάνατος. εἰ δὲ ἐκείνων, πρὸς οὓς οὐδὲν ἦν αὐτοῖς κοινὸν, οὐδὲ μικρὰν καιροῦ ῥοπὴν ἀναχέσθαι ὑπέμειναν, εἰ τοὺς πολεμίους αὐτοῖς καὶ διηνεκῶς αὐτοὺς δάκνοντας ὑποχειρίους ἔλαβον ἡμᾶς, τί οὐκ ἂν εἰργάσαντο; τί δὲ οὐκ ἂν τῶν ἀνηκέστων διέθηκαν; διὰ γὰρ τοῦτο καὶ ὁ Θεὸς ἀφῆκεν αὐτοὺς ἐμπεσεῖν τῇ τῶν χοίρων ἀγέλῃ, ἵν' ἐν τοῖς τῶν ἀλόγων σώμασι μάθῃς αὐτῶν καὶ τὴν πονηρίαν. καὶ ὅτι τοὺς δαιμονιζομένους ἐκείνους ταῦτα ἂν ἐποίησαν, ἃ καὶ τοὺς χοίρους, εἰ μὴ καὶ ἐν αὐτῇ τῇ μανίᾳ πολλῆς ἀπήλαυον οἱ δαιμονῶντες τῆς τοῦ Θεοῦ προνοίας, δῆλον ἅπασι. καὶ νῦν οὖν, ὅταν ἴδῃς ἄνθρωπον ὑπὸ δαίμονος κινούμενον, προσκύνησον τὸν δεσπότην, μάθε τῶν δαιμόνων τὴν πονηρίαν· ἀμφότερα γάρ ἐστιν ἰδεῖν ἐπὶ τῶν δαιμονώντων τούτων, καὶ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, καὶ τὴν μὲν τῶν δαιμόνων κακίαν, ὅταν ταράττωσι καὶ θορυβῶσι τὴν ψυχὴν τοῦ παραπαίοντος· τὴν δὲ τοῦ Θεοῦ φιλανθρωπίαν, ὅταν οὕτως ἄγριον δαίμονα, ἔνοικον ὄντα, καὶ ἐπιθυμοῦντα κατακρημνίσαι τὸν ἄνθρωπον κατέχῃ καὶ κωλύῃ, μὴ συγχωρῶν εἰς ἅπαν τῇ οἰκείᾳ χρήσασθαι δυνάμει, ἀλλὰ τοσοῦτον ἐπιτρέπων ἐνδείξασθαι τὴν ἰσχὺν, ὅσον καὶ τὸν ἄνθρωπον σωφρονίσαι, καὶ τὴν οἰκείαν ἐκφανῆ ποιῆσαι πονηρίαν. Βούλει καὶ ἐφ' ἑτέρου παραδείγματος πάλιν ἰδεῖν πῶς διοικεῖ δαίμων, ὅταν ὁ Θεὸς αὐτῷ συγχωρῇ τῇ οἰκείᾳ κεχρῆσθαι δυνάμει; ἐννόησον τὰ βουκόλια, τὰ ποίμνια τοῦ Ἰὼβ, πῶς ἐν μιᾷ καιροῦ ῥοπῇ πάντα κατηνάλωσε, τὸν ἐλεεινὸν τῶν παίδων αὐτοῦ θάνατον, τὴν κατὰ τοῦ σώματος αὐτοῦ πληγὴν ἐνεχθεῖσαν· καὶ ὄψει τὸ ὠμὸν καὶ ἀπάνθρωπον καὶ ἀφειδὲς τῆς τῶν δαιμόνων πονηρίας, καὶ ἀπὸ τούτων εἴσῃ σαφῶς, ὅτι εἰ καὶ τόδε τὸ πᾶν ἐπέτρεψεν αὐτῶν τῇ ἐξουσίᾳ ὁ Θεὸς, πάντα ἂν συνέχεαν καὶ συνετάραξαν, καὶ τὰ τῶν χοίρων ἡμᾶς διέθηκαν, καὶ τὰ τῶν βουκολίων ἐκείνων, ὡς οὐδὲ μικρὰν καιροῦ ῥοπὴν φείσασθαι τῆς ἡμετέρας ἂν ἠνέσχοντο σωτηρίας. Εἰ δαίμονες διῴκουν, οὐδὲν τῶν δαιμονώντων ἀνθρώπων ἄμεινον διεκείμεθα, μᾶλλον δὲ κἀκείνων χείρους ἂν ἦμεν. οὔτε γὰρ ἐκείνους καθόλου τῇ τυραννίδι τῶν δαιμόνων ἐξέδωκεν ὁ Θεὸς, ἐπεὶ πολλῷ τούτων χαλεπώτερα ἂν ἔπαθον, ὧν πάσχουσι νῦν. ἐγὼ δὲ κἀκεῖνο ἂν ἐπυθόμην τῶν ταῦτα λεγόντων, ποίαν δὴ ἀταξίαν ἐν τοῖς παροῦσιν ὁρῶντες, δαιμόνων διοικήσει τὰ καθ' ἡμᾶς ἀνατιθέασι πάντα; καίτοιγε ἥλιον ὁρῶμεν ἐπὶ τοσούτοις ἔτεσιν εὔτακτα καθ' ἑκάστην βαδίζοντα τὴν ἡμέραν, ποικίλων ἀστέρων χορὸν τὴν οἰκείαν διατηροῦντα τάξιν, σελήνης δρόμους ἀπαραποδίστους, νυκτὸς καὶ ἡμέρας διαδοχὴν ἀκριβῆ, πάντα, καὶ τὰ ἄνω, καὶ τὰ κάτω, ὥσπερ ἐν ἁρμονίῳ τινὶ χορείᾳ, μᾶλλον δὲ καὶ πολλῷ πλέον καὶ ἀκριβέστερον τὴν οἰκείαν ἕκαστον χώραν διαφυλάττον, καὶ οὐκ ἐξιστάμενον τῆς τάξεως, ἧς παρὰ τὴν ἀρχὴν αὐτὰ ποιῶν ἔταξεν ὁ Θεός. καὶ τί τούτων ὄφελος, φησιν, ὅταν οὐρανὸς μὲν, καὶ ἥλιος, καὶ σελήνη, καὶ ἀστέρων χορὸς, καὶ τὰ ἄλλα πάντα πολλὴν ἔχῃ τὴν εὐταξίαν, τὰ δὲ ἡμέτερα συγχύσεως ᾖ πεπληρωμένα καὶ ἀταξίας; ποίας συγχύσεως, ἄνθρωπε, καὶ ἀταξίας; ὁ δεῖνα πλουτεῖ, φησι, καὶ βιάζεται, ἁρπάζει, καὶ πλεονεκτεῖ, τὰς τῶν πενήτων οὐσίας καταπίνει καθ' ἑκάστην ἡμέραν, καὶ οὐδὲν πάσχει δεινόν· ἕτερος ἐν ἐπιεικείᾳ ζῇ, σωφροσύνῃ καὶ δικαιοσύνῃ καὶ τοῖς ἄλλοις ἅπασιν ἀγαθοῖς κεκοσμημένος, καὶ πενίᾳ καὶ νόσοις καὶ τοῖς ἐσχάτοις κολάζεται δεινοῖς. ταῦτ'

Ματθ. η. κη.

οὖν ἐστι τὰ σκανδαλίζοντά σε; Ταῦτα, φησίν. ἐὰν οὖν ἴδῃς καὶ τῶν ἁρπαζόντων πολλοὺς κολαζομένους, καὶ τῶν ἐν ἀρετῇ ζώντων ἐνίους, ἢ καὶ μυρίων ἀπολαύοντας ἀγαθῶν, διατί μὴ λύεις ταύτην τὴν ψῆφον, μηδὲ ἀποδέχῃ τὸν δεσπότην; ὅτι αὐτὸ τοῦτό ἐστι τὸ σκανδαλίζον με πλέον. διατί γάρ, δύο ὄντων τῶν πονηρῶν, ὁ μὲν κολάζεται, ὁ δὲ διαφυγὼν ἀπέρχεται; καὶ δύο ὄντων ἀγαθῶν, ὁ μὲν τιμᾶται, ὁ δὲ τιμωρούμενος διατελεῖ; καὶ τοῦτο αὐτὸ τῆς τοῦ Θεοῦ προνοίας μέγιστον ἔργον ἐστίν. εἰ γὰρ πάντας ἐνταῦθα ἐκόλαζε τοὺς πονηρούς, καὶ πάντας ἐνταῦθα ἐτίμα τοὺς ἀγαθούς, περιττὴ ἡ τῆς κρίσεως ἦν ἡμέρα. πάλιν, εἰ μηδένα ἐκόλαζε πονηρόν, μηδὲ ἐτίμα τινὰ τῶν ἀγαθῶν, καὶ οἱ φαῦλοι φαυλότεροι καὶ κακίους ἂν ἐγένοντο, ὡς πολλοὶ τῶν χρηστῶν ῥαθυμότεροι· καὶ μειζόνως οἱ βουλόμενοι βλασφημεῖν κατηγόρησαν ἂν τοῦ Θεοῦ, καὶ ὁλοσχερῶς ἂν εἶπον ἀποστερεῖσθαι προνοίας τὰ καθ' ἡμᾶς. εἰ γὰρ καὶ νῦν κολαζομένων τινῶν πονηρῶν, καὶ τιμωμένων ἀγαθῶν, ὁμοίως φασὶν ἀπρονόητα εἶναι τὰ τῶν ἀνθρώπων πράγματα, εἰ μηδὲ τοῦτο ἐγένετο, τί οὐκ ἂν εἶπον; ποίας δὲ οὐκ ἂν ἐξέβαλον ῥήματα; διὰ τοῦτο τοὺς μὲν κολάζει, τοὺς δὲ οὐ κολάζει τῶν πονηρῶν, καὶ τοὺς μὲν τιμᾷ, τοὺς δὲ οὐ τιμᾷ τῶν ἀγαθῶν. οὐ κολάζει μὲν ἅπαντας, ἵνα σε πείσῃ, ὅτι ἐστὶν ἀνάστασις· κολάζει δέ τινας, ἵνα τοὺς ῥαθυμοτέρους τῷ φόβῳ ''διὰ τῆς τῶν ἑτέρων τιμωρίας ποιήσῃ σπουδαιοτέρους. πάλιν τιμᾷ μέν τινας τῶν ἀγαθῶν, ἵνα ἑτέρους ἐπισπάσηται ταῖς τιμαῖς πρὸς τὸν τῆς ἀρετῆς ζῆλον· οὐ τιμᾷ δὲ πάντας, ἵνα μάθῃς, ὅτι ἐστὶν ἕτερος καιρὸς ἀποδιδοὺς ἅπασι τὰς ἀμοιβάς. εἰ μὲν γὰρ ἅπαντες ἐνταῦθα ἀπελάμβανον τὰ κατ' ἀξίαν, ἠπίστησαν ἂν τῷ τῆς ἀναστάσεως λόγῳ· εἰ δὲ μηδεὶς ἀπελάμβανε τὰ κατ' ἀξίαν, οἱ πλείους ἂν ἐγένοντο ῥαθυμότεροι. διὰ τοῦτο τοὺς μὲν κολάζει, τοὺς δὲ οὐ κολάζει, καὶ τοὺς κολαζομένους, καὶ τοὺς μὴ κολαζομένους ὠφελῶν. ἐκείνων μὲν γὰρ ἐκκόπτει τὴν κακίαν, τοὺς δὲ ἑτέρους τῇ τούτων τιμωρίᾳ σωφρονεστέρους ποιεῖ. καὶ τοῦτο ἐξ ὧν αὐτὸς εἶπεν ὁ Χριστὸς δῆλον. ἐπειδὴ γὰρ ἀπήγγειλαν αὐτῷ, ὅτι πύργος κατενεχθεὶς ἐπὶ δεκαοκτώ τινας κατέχωσε, φησὶ πρὸς αὐτούς· Τί νομίζετε, ὅτι ἐκεῖνοι ἁμαρτωλοὶ ἦσαν μόνον; οὔ, λέγω ὑμῖν· ἀλλ', ἐὰν μὴ μετανοήσητε, καὶ ὑμεῖς τὰ αὐτὰ πείσεσθε. εἶδες πῶς κἀκεῖνοι δι' ἁμαρτίας ἀπώλοντο, καὶ οἱ λοιποὶ οὐ διὰ δικαιοσύνην διέφυγον, ἀλλ' ἵνα ταῖς ἐκείνων τιμωρίαις βελτίους γένωνται; οὐκοῦν ἠδίκηνται, φησίν, οἱ κολαζόμενοι. ἐδύναντο γὰρ μὴ κολασθέντες ταῖς ἑτέρων τιμωρίαις αὐτοὶ γενέσθαι βελτίους. ἀλλ' εἰ ᾔδει βελτίους ἐσομένους ἐκ μετανοίας, οὐκ ἂν ἐκόλασεν ὁ Θεός. εἰ γὰρ πολλοὺς προειδὼς οὐδὲν ἀπὸ τῆς μακροθυμίας αὐτοῦ κερδαίνοντας, ὅμως φέρει μετὰ πολλῆς τῆς ἀνεξικακίας, τὸ αὐτοῦ πληρῶν καὶ παρέχων αὐτοῖς ἀνανῆψαί ποτε ἐκ τῆς οἰκείας ἀνοίας· πῶς ἂν τοὺς μέλλοντας βελτίους ἀπὸ τῆς ἑτέρων ''γενέσθαι τιμωρίας, ἀπεστέρησεν ἂν τοῦ τῆς μετανοίας ''κέρδους; ὥστε οὐδὲν οὗτοι ἠδίκηνται, καὶ τῆς κακίας αὐτοῖς ἐκκοπείσης τῇ τιμωρίᾳ, καὶ τῆς ἐκεῖ κολάσεως κουφοτέρας ἐσομένης διὰ τὸ προλαβόντας ἐνταῦθα παθεῖν κακῶς. πάλιν οἱ μὴ κολασθέντες οὐδὲν ἠδίκηνται. ἐξῆν γὰρ αὐτοῖς, εἴπερ ἐβούλοντο, τῇ μακροθυμίᾳ τοῦ Θεοῦ πρὸς μεταβολὴν ἀρίστην χρήσασθαι, καὶ θαυμάσαντας τὸ ἀνεξίκακον αἰδεσθῆναι τῆς ἀνοχῆς τὴν ὑπερβολήν, καὶ μεταστῆναί ποτε πρὸς ἀρετήν, καὶ ταῖς ἑτέρων τιμωρίαις τὴν οἰκείαν κερδῆναι σωτηρίαν. εἰ δὲ ἐπιμένουσι τῇ πονηρίᾳ, οὐχ ὁ Θεὸς αἴτιος, ὁ διὰ τοῦτο μακροθυμῶν, ἵνα αὐτοὺς ἀνακτήσηται, ἀλλ' ἐκεῖνοι συγγνώμης ἀνάξιοι, οἱ μὴ χρησάμενοι εἰς δέον τῇ τοῦ Θεοῦ μακροθυμίᾳ. οὐ τοῦτον δὲ τὸν λόγον μόνον ἐστὶν εἰπεῖν, δι' ὃν οὐ κολάζονται πάντες ἐνταῦθα οἱ πονηροί, ἀλλὰ καὶ ἕτερον οὐκ ἐλάττονα τούτου. ποῖον δὴ τοῦτον; ὅτι εἰ πᾶσι παρ' αὐτὰ τὰ ἁμαρτήματα τὰς κολάσεις ἐπήγαγεν ὁ Θεός, προανηρπάσθη ἂν τὸ γένος ἡμῶν, καὶ οὐκ ἂν ἔφθασεν εἰς διαδοχὴν ἐλθεῖν. καὶ ἵνα μάθῃς ὅτι τοῦτο ἐστὶν ἀληθές, ἄκουσον τοῦ προφήτου λέγοντος· Ἐὰν ''ἀνομίας παρατηρήσῃ, Κύριε, τίς ὑποστήσεται; εἰ δὲ δοκεῖ καὶ βασανίσαι τὴν ῥῆσιν, τὸν ἑκάστου βίον ἀφέντες

Λουκ. ιγ. α.

Ψαλμ. ρκθ'. γ.

κ. ἐκ

γρ. γ' γενεσθ

γρ. καιροῦ

γρ. αἰωμ

τες μετὰ ἀκριβείας ἐξετάζειν (οὐδὲ γὰρ δυνατὸν ἡμῖν εἰδέναι τὰ ἑκάστῳ βεβιωμένα) ἅπερ ἀναντιρρήτως ἅπαντες ἁμαρτάνομεν, ταῦτα εἰς μέσον ἀγάγωμεν, καὶ ἐκ τούτου δῆλον ἡμῖν ἔσται καὶ φανερόν, ὅτι εἰ καθ' ἕκαστον ἐκολαζόμεθα τῶν ἁμαρτημάτων, πάλαι ἂν ἀπολώλειμεν. ὁ καλέσας τὸν ἀδελφὸν μωρόν, ἔνοχός ἐστιν εἰς τὴν γέενναν τοῦ πυρός, φησιν. ἔστιν οὖν τις ἡμῶν, ὃς οὐχ ἥμαρτε τὴν ἁμαρτίαν ταύτην; τί οὖν, εὐθέως ἀναρπασθῆναι ἔδει; οὐκοῦν πάντες ἀνηρπάσθημέν τε καὶ ἠφανίσθημεν ἂν πάλαι καὶ παράπαλαι. πάλιν ὁ ὀμνύων, φησί, κἂν εὐορκῇ, τὰ ἐκ τοῦ πονηροῦ ποιεῖ πράγματα. τίς οὖν ἐστιν, ὃς οὐκ ὤμοσε; μᾶλλον δὲ τίς ἐστιν, ὃς οὐκ ἐπιώρκησε πώποτε; ὁ πρὸς γυναῖκα ἰδών, φησιν, ἀκολάστοις ὀφθαλμοῖς, ἀπηρτισμένος ἐστὶ μοιχός. καὶ ταύτης δὲ τῆς ἁμαρτίας πολλοὺς εὕροι τις ἂν ὑπευθύνους. ὅταν οὖν τὰ ὡμολογημένα τοιαῦτα ᾖ, οὕτως ἀφόρητα, καὶ τούτων ἕκαστον καθ' ἑαυτὸ κόλασιν ἀπαραίτητον ἡμῖν ἐπάγῃ, εἰ καὶ τὰ λάθρα ἡμῖν ἡμαρτημένα ἀναλογισαίμεθα, τότε ὀψόμεθα μάλιστα τὴν τοῦ Θεοῦ πρόνοιαν οὐκ ἐπάγουσαν καθ' ἕκαστον ἁμάρτημα τὴν τιμωρίαν ἡμῖν. ὥστε "ὅταν ἴδῃς τινὰ ἁρπάζοντα, πλεονεκτοῦντα, καὶ μὴ κολαζόμενον, ἀνάπτυξον καὶ σὺ τὸ σαυτοῦ συνειδός, ἀναλόγισαί σου τὴν ζωήν, ἔπελθε τὰ ἡμαρτημένα, καὶ μαθήσῃ καλῶς ὅτι σοὶ πρώτῳ οὐ συμφέρει καθ' ἕκαστον τῶν ἁμαρτημάτων κολάζεσθαι. διὰ γὰρ τοῦτο ἀφειδῶς οἱ πολλοὶ φθέγγονται, ἐπειδὴ οὐ τὰ "ἴδια περὶ τῶν ἀλλοτρίων σκοποῦσιν, ἀλλὰ τὰ ἡμέτερα ἀφέντες, τὰ τῶν ἄλλων ἐξετάζομεν ἅπαντες. ἀλλὰ μηκέτι τοῦτο ποιῶμεν, ἀλλὰ τοὐναντίον. κἂν μὲν δίκαιόν τινα κολαζόμενον ἴδῃς, ἀναμνήσθητι τοῦ Ἰώβ. ἄν τε γὰρ δίκαιος ᾖ τις, οὔτε δικαιότερος ἔσται ἐκείνου, οὔτε κατὰ μικρὸν ἐγγύς· ἄν τε μυρία πάσχῃ κακά, οὐδεὶς οὐδέπω τοσοῦτον ἔπαθεν, ὅσον ἐκεῖνος. τοῦτο τοίνυν εἰς νοῦν λαβών, παῦσαι κατηγορῶν τοῦ δεσπότου, μαθὼν ὅτι οὐκ ἐγκαταλιμπάνων τὸν τοιοῦτον ὁ Θεὸς ἀφίησι πάσχειν κακῶς, ἀλλὰ στεφανῶσαι, καὶ λαμπρότερον ποιῆσαι βουλόμενος. ἂν δὲ ἁμαρτωλὸν ἴδῃς τιμωρούμενον, ἀναμνήσθητι τοῦ παραλυτικοῦ τοῦ τριάκοντα ὀκτὼ ἔτη ἔχοντος ἐπὶ τῆς κλίνης. ὅτι γὰρ κἀκεῖνος δι' ἁμαρτίας τῇ νόσῳ παρεδόθη τότε ἐκείνῃ, ἄκουσον τοῦ Χριστοῦ λέγοντος· Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται. ἢ γὰρ ἁμαρτημάτων τίνομεν δίκας κολαζόμενοι, ἢ στεφάνων λαμβάνομεν ὑπόθεσιν, "ἂν ἐν κατορθώμασι ζῶντες πάσχωμεν κακῶς. ὥστε κἂν ἐν δικαιοσύνῃ, κἂν ἐν ἁμαρτίαις ζῶμεν, χρήσιμος ἡμῖν ἡ κόλασις, ὅτε μὲν λαμπροτέρους ποιοῦσα, ὅτε δὲ σωφρονεστέρους ἐργαζομένη, καὶ τὴν μέλλουσαν ἡμῖν ἐπικουφίζουσα τιμωρίαν. ὅτι γὰρ ἔστιν ἐνταῦθα κολασθέντα καὶ ἐνεγκόντα εὐχαρίστως, πρᾳοτέρας ἀπολαῦσαι ἐκεῖ τῆς "τιμωρίας, ἄκουσον τοῦ Παύλου λέγοντος· Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς, καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί. εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. ταῦτα οὖν ἅπαντα εἰδότες, καὶ τὰ τοιαῦτα φιλοσοφῶμεν περὶ τῆς τοῦ Θεοῦ προνοίας, καὶ τοὺς ἀντιλέγοντας ἐπιστομίζωμεν. κἂν ᾖ τι τῶν γινομένων τὴν διάνοιαν ὑπερβαῖνον τὴν ἡμετέραν, μὴ ἀπὸ τούτου τὰ καθ' ἡμᾶς ἀπρονόητα εἶναι νομίζωμεν, ἀλλ' ἐκ μέρους καταλαβόντες αὐτοῦ τὴν πρόνοιαν, ἐν τοῖς ἀκαταλήπτοις παραχωρῶμεν αὐτοῦ τῷ ἀνεξιχνιάστῳ τῆς σοφίας. εἰ γὰρ ἀνθρώπου τέχνην οὐ δυνατὸν καταλαβεῖν τῷ ἰδιώτῃ, πολλῷ μᾶλλον τῆς τοῦ Θεοῦ προνοίας τὸ ἄπειρον ἀδύνατον * συνιδεῖν ἀνθρωπίνῃ διανοίᾳ. ἀνεξερεύνητα γὰρ τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. ἀλλ' ὅμως ἀπὸ τῶν ὀλίγων καὶ περὶ τοῦ παντὸς σαφῆ καὶ δήλην λαβόντες πίστιν, ὑπὲρ ἁπάντων τῶν γινομένων εὐχαριστῶμεν αὐτῷ. καὶ γὰρ καὶ ἕτερός ἐστι λόγος ἀναντίρρητος τοῖς βουλομένοις περὶ τῆς τοῦ Θεοῦ "προνοίας φιλοσοφεῖν. ἐρώμεθα γὰρ τοὺς ἀντιλέγοντας, ἆρα ἔστι Θεός; κἂν μὲν εἴπωσιν, ὅτι οὐκ ἔστι, μηδὲ ἀποκρινώμεθα. ὥσπερ γὰρ τοῖς μαινομένοις οὐκ ἄξιον ἀποκρίνεσθαι, οὕτω οὐδὲ τοῖς λέγουσι μὴ εἶναι Θεόν. εἰ γὰρ πλοῖον ὀλίγους ναύτας ἔχον καὶ ἐπιβάτας, οὐκ ἂν οὐδὲ ἓν στάδιον διασωθείη χωρὶς τῆς

Ματθ. ε. κϐ.

Ματθ. ε. λδ.

Ματθ. ε. κθ.

Ιωαν. ε. ιδ.

α. Κορ. ια. λ.

κυβερνώσης αὐτὸ χειρός, πολλῷ μᾶλλον κόσμος τοσοῦτος, τοσαῦτα σώματα ἔχων ἐν ἑαυτῷ ἐκ διαφόρων συγκείμενα στοιχείων, ἐπὶ τοσοῦτον χρόνον οὐκ ἂν διήρκεσεν, εἰ μὴ πρόνοια ἦν τις ἐφεστῶσα, καὶ τὸ πᾶν συγκρατοῦσα καὶ συνέχουσα διηνεκῶς. ἂν δὲ αἰδεσθέντες τὴν κοινὴν ἁπάντων ψῆφον καὶ τὴν ἀπὸ τῶν πραγμάτων πεῖραν, ὁμολογήσωσιν εἶναι Θεόν, ἐκεῖνο λέγοιμεν πρὸς αὐτούς, ὅτι εἰ ἔστιν ὁ Θεός, ὥσπερ οὖν καὶ ἔστιν, ἀκόλουθον εἶναι καὶ δίκαιον. εἰ γὰρ μὴ ἔστι δίκαιος, οὔτε Θεός ἐστιν· εἰ δὲ δίκαιός ἐστιν, ἑκάστῳ τὰ κατ' ἀξίαν ἀποδίδωσιν. ἀλλ' ὁρῶμεν οὐ πάντας ἐνταῦθα κατ' ἀξίαν ἀπολαμβάνοντας· οὐκοῦν ἀνάγκη ἑτέραν ἐλπίσαι ἀποκειμένην ἀμοιβήν, ἵνα ἑκάστου τὰ κατ' ἀξίαν ἀπολαβόντος φανῇ τοῦ Θεοῦ τὸ δίκαιον. ἔστι γὰρ ὁ λόγος, οὐ τὴν περὶ προνοίας μόνον, ἀλλὰ καὶ τὴν περὶ ἀναστάσεως συνιστὰς φιλοσοφίαν ἡμῖν. ταῦτα τοίνυν εἰδότες, καὶ αὐτοὶ μελετῶμεν τὰ περὶ προνοίας καὶ ἀναστάσεως, καὶ ἑτέρους διδάσκωμεν, καὶ σπουδὴν ποιησώμεθα ἅπαντας τοὺς κατὰ τοῦ διαβόλου λυττῶντας ἐπιστομίζειν, καὶ αὐτοὶ δοξάσωμεν αὐτὸν ἐν πᾶσιν. οὕτω γὰρ πλείονα τὴν κηδεμονίαν αὐτοῦ ἐπισπασώμεθα, καὶ πολλῆς ἀπολαύσαντες ῥοπῆς, καὶ οὕτω δυνησώμεθα τῆς ὄντως ἀπαλλαγῆναι κακίας, καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. ὁμολογή-
εἴπωσιν

γρ. πεπιστ-
ζωήν,

γρ. πίστιν

ΧΡΥΣΟΣΤΟΜΟΥ ΠΡΟΣ ΤΟΥΣ ΖΗΤΟΥΝΤΑΣ, ΤΙΝΟΣ ΕΝΕΚΕΝ ΟΥΚ ἐκ μέσου γέγονεν ὁ διάβολος, καὶ ὅτι οὐδὲν ἡμᾶς βλάπτει ἡ τούτου πονηρία, ἐὰν προσέχωμεν, καὶ περὶ μετανοίας.

Ὁ μὲν Ἰσαὰκ ἐπιθυμήσας ποτὲ ἄριστον ἐκ τῶν χειρῶν τοῦ παιδὸς φαγεῖν, τὸν παῖδα εἰς τὴν θήραν ἐξέπεμψεν ἐκ τῆς οἰκίας· οὗτος δὲ ὁ Ἰσαὰκ ἐπιθυμήσας ἄριστον ἐκ τῶν ἡμετέρων χειρῶν λαβεῖν, οὐχ ἡμᾶς ἐξέπεμψεν ἐκ τῆς οἰκίας, ἀλλ' αὐτὸς πρὸς τὴν ἡμετέραν ἔδραμε τράπεζαν. τί τούτου φιλοστοργότερον γένοιτ' ἄν; τί δὲ ταπεινότερον, ὃς οὕτω θερμὴν ἐπιδείξασθαι τὴν ἀγάπην κατηξίωσε, καὶ τοσοῦτον καταβῆναι ἠνέσχετο; διά τοι τοῦτο καὶ ἡμεῖς καὶ τὸν τόνον τῆς φωνῆς, καὶ τὴν δύναμιν τῶν πολλῶν καταβαλόντες ἀπὸ τῆς ἑωθινῆς διαλέξεως, ἰδόντες τὴν πατρικὴν ὄψιν, εὐθέως ἐπελαθόμεθα τῆς ἀσθενείας, ἀπεθέμεθα τὸν ὄκνον, ἀνεπτερώθημεν ὑπὸ τῆς ἡδονῆς, εἴδομεν τὴν λαμπρὰν πόλιν, καὶ φωτὸς ἐνεπλήσθη ἡμῶν ἡ ψυχή. διὰ τοῦτο καὶ μετὰ προθυμίας τὴν τράπεζαν παρατιθέμεθα, ἵνα φαγὼν εὐλογήσῃ ἡμᾶς. οὐκ ἔστιν ἐνταῦθα κλοπὴ οὐδὲ δόλος, καθάπερ ἐκεῖ τότε ἕτερος μὲν ἐπετάγη εἰσενεγκεῖν, ἕτερος δὲ εἰσήνεγκεν· ἀλλ' ἐγὼ καὶ ἐπετάγην εἰσενεγκεῖν, ἐγὼ δὲ καὶ εἰσήνεγκα. εὐλόγησον δὴ ἡμᾶς, ὦ πάτερ, εὐλογίαν πνευματικήν, ἣν πάντες εὐχόμεθα λαβεῖν ἀεί, τὴν οὐ σοὶ μόνον, ἀλλὰ καὶ ἐμοί, καὶ τούτοις πᾶσι χρησίμην. παρακάλεσον τὸν κοινὸν ἡμῶν ἁπάντων δεσπότην εἰς τὸ μακρὸν γῆρας τοῦ Ἰσαὰκ τὴν ζωὴν τὴν σὴν ἐξαγαγεῖν. τοῦτο γὰρ καὶ ἐμοὶ καὶ τούτοις τῆς δρόσου τοῦ οὐρανοῦ καὶ τῆς πιότητος τῆς γῆς τιμιώτερον καὶ ἀναγκαιότερον. ἀλλὰ γὰρ ὥρα λοιπὸν παραθεῖναι τὴν τράπεζαν. τίς οὖν ἐστιν αὕτη; λείψανα τῶν πρώην εἰρημένων πρὸς τὴν ὑμετέραν ἀγάπην. ἔτι γάρ, ἔτι τὸν περὶ τοῦ διαβόλου λόγον ἀνακινοῦμεν, ὃν πρὸ τούτων τῶν δύο ἡμερῶν ἐκινήσαμεν, ὅτε καὶ ἕωθεν πρὸς τοὺς μυσταγωγουμένους εἴπομεν, ὅτι περὶ ἀποταγῆς καὶ συνταγῆς διελεγόμεθα τούτοις. ποιοῦμεν δὲ τοῦτο, οὐκ ἐπειδὴ ἡδὺς ἡμῖν ὁ περὶ τοῦ διαβόλου λόγος· ἀλλ' ἐπειδὴ ἀσφαλὴς ἡμῖν ἡ περὶ τούτου διδασκαλία. ἐχθρὸς γάρ ἐστι καὶ πολέμιος. μεγάλη δὲ ἀσφάλεια, τὰ τῶν ἐχθρῶν εἰδέναι σαφῶς. εἰρήκαμεν πρῴην, ὅτι βίᾳ οὐ κρατεῖ, οὐδὲ τυραννίδι, οὐδὲ ἀναγκάζων, οὐδὲ βιαζόμενος· ἐπεὶ εἰ τοῦτο ἦν, πάντα ἂν ἀπώλεσε. καὶ τούτου τεκμήριον παρηγάγομεν τοὺς χοίρους, ὧν οὐκ ἠδυνήθησαν κατατολμῆσαι οἱ δαίμονες πρὸ τῆς ἐπιτροπῆς τοῦ δεσπότου· τὰ βουκόλια τοῦ Ἰὼβ, καὶ τὰ ποίμνια. οὐδὲ γὰρ ταῦτα διαφθεῖραι ἐτόλμησεν ὁ διάβολος, ἕως ἄνωθεν τὴν ἐξουσίαν ἔλαβεν. ἓν τοίνυν τοῦτο πρότερον ἐμάθομεν, ὅτι βίᾳ ἡμῶν οὐ κρατεῖ, οὐδὲ ἀνάγκῃ. δεύτερον μετ' ἐκεῖνο προσεθήκαμεν, ὅτι καὶ ἀπάτῃ κρατῶν, οὐδὲ οὕτω πάντων περιγίνεται. καὶ πάλιν αὐτὸν τὸν ἀθλητὴν εἰς μέσον παρηγάγομεν τὸν Ἰὼβ, καθ' οὗ μυρία κινήσας μηχανήματα, οὐδὲ οὕτω περιεγένετο, ἀλλὰ καὶ ἡττηθεὶς ἀνεχώρησεν. ἓν ὑπολείπεται ζήτημα λοιπόν. ποῖον δὴ τοῦτο; ὅτι εἰ καὶ μὴ βίᾳ, φησὶ, κρατεῖ, ἀλλ' ἀπάτῃ. καὶ διὰ τοῦτο βέλτιον ἦν αὐτὸν ἀφανισθῆναι. εἰ γὰρ καὶ περιεγένετο ὁ Ἰὼβ, ἀλλ' ἠπατήθη ὁ Ἀδὰμ, καὶ ὑπεσκελίσθη. εἰ δὲ ἀνῃρέθη ἐκ τοῦ μέσου καθάπαξ, οὐδὲ ὁ Ἀδὰμ ἂν ὑπεσκελίσθη ποτέ. νυνὶ δὲ μένων, ἡττᾶται μὲν ὑφ' ἑνὸς, περιγίνεται δὲ πολλῶν· δέκα αὐτοῦ κρατοῦσιν, ἀλλὰ μυρίων αὐτὸς κρατεῖ καὶ καταγωνίζεται. εἰ δὲ ἀνεῖλεν αὐτὸν ἐκ τοῦ μέσου, οὐκ ἂν οὐδὲ μυρίοι ἀπώλοντο. τί οὖν πρὸς τοῦτο ἐροῦμεν; ὅτι μάλιστα μὲν *τιμιώτεροι τῶν ἡττωμένων οἱ κρατοῦντες, κἂν οἱ μὲν πλείους, οἱ δὲ ἐλάττους ὦσι. Κρείσσων γὰρ εἷς, φησὶ, ποιῶν θέλημα Θεοῦ, ἢ μυρίοι παράνομοι. δεύτερον δὲ, ὅτι, ἀναιρεθέντος τοῦ ἀνταγωνιστοῦ, αὐτὸς ὁ κρατῶν ἐπηρεάζεται δι' ἐκεῖνον. ἂν μὲν γὰρ ἀφῇς μένειν τὸν ἀντίπαλον, οἱ ῥᾳθυμότεροι οὐχὶ διὰ τοὺς σπουδαιοτέρους, ἀλλὰ διὰ τὴν ἑαυτῶν ῥᾳθυμίαν ἐπηρεάζονται· ἂν δὲ ἀνέλῃς τὸν ἀνταγωνιστὴν, οἱ σπουδαιότεροι διὰ τοὺς ῥᾳθύμους ἐπεβουλεύθησαν, καὶ τὴν οἰκείαν οὐκ ἐπεδείξαντο δύναμιν, οὐδὲ τῶν στεφάνων ἐπέτυχον. τάχα οὐδέπω συνήκατε τὸ λεχθέν· οὐκοῦν ἀνάγκη σαφέστερον αὐτὸ πάλιν εἰπεῖν. ἔστω ἀγωνιστὴς εἷς· ἔστωσαν δὲ καὶ ἀθληταὶ δύο πρὸς ἐκεῖνον παλαίειν μέλλοντες· καὶ τούτων τῶν δύο ἀθλητῶν ὁ μὲν ὑπὸ γαστριμαργίας ἔστω διεφθαρμένος, ἠμελημένος, ἐξησθενημένος, ἐκνενευρισμένος· ἕτερος δὲ σπουδάζων, εὐεκτῶν, ἐν παλαίστρᾳ διατρίβων, ἐν γυμνασίοις πολλοῖς, πᾶσαν τὴν ἄσκησιν τὴν περὶ τὴν ἄθλησιν ἐπιδεικνύμενος. ἂν τοίνυν ἀνέλῃς τὸν ἀνταγωνιστὴν, τίνι ἐπηρέασας τούτων; ἆρα τῷ ῥᾳθύμῳ καὶ ἀμελεῖ, ἢ τῷ σπουδαίῳ καὶ τοσαῦτα πεπονηκότι; εὔδηλον ὅτι τῷ σπουδαίῳ. ὁ μὲν γὰρ διὰ τὸν ῥᾳθυμον ἠδίκηται ἀναιρεθέντος τοῦ ἀνταγωνιστοῦ· ὁ δὲ ῥᾳθυμος μένοντος τούτου οὐκ ἔτι διὰ τὸν σπουδαῖον ἐπηρέασται. ἀπὸ γὰρ τῆς οἰκείας ῥᾳθυμίας κατέπεσεν. εἴπω καὶ ἑτέραν λύσιν τοῦ ζητήματος τούτου, ἵνα μάθῃς, ὅτι οὐχ ὁ διάβολος ἐπηρεάζει, ἀλλ' ἡ οἰκεία ῥᾳθυμία πανταχοῦ ὑποσκελίζει τοὺς μὴ προσέχοντας. ἀφείσθω ὁ διάβολος, ὁ σφόδρα πονηρὸς οὐ φύσει, ἀλλὰ προαιρέσει καὶ γνώμῃ. ὅτι γὰρ οὐκ ἔστι φύσει πονηρὸς ὁ διάβολος, ἀπ' αὐτῶν τῶν ὀνομάτων μάνθανε. διάβολος γὰρ ἀπὸ τοῦ διαβάλλειν εἴρηται. διέβαλε γὰρ τὸν ἄνθρωπον πρὸς τὸν Θεὸν, Οὐχὶ δωρεὰν σέβεταί σε Ἰὼβ, λέγων· ἀλλ' ἀπόστειλον τὴν χεῖρά σου, καὶ ἅψαι ὧν ἔχει· εἰ μὴν εἰς πρόσωπόν σε βλασφημήσει. διέβαλε πάλιν τὸν Θεὸν πρὸς τὸν ἄνθρωπον, Πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ, λέγων, καὶ κατέφλεξε τὰ πρόβατα. ἐσπούδαζε γὰρ αὐτὸν πεῖσαι, ὅτι ἄνωθεν ἐκ τῶν οὐρανῶν ὁ πόλεμος οὗτος ἀνερριπίσθη, καὶ συνέκρουσε τὸν οἰκέτην πρὸς τὸν δεσπότην, καὶ τὸν δεσπότην πρὸς τὸν δοῦλον· μᾶλλον δὲ οὐ συνέκρουσεν, ἀλλ' ἐπεχείρησε μὲν, οὐκ ἴσχυσε δέ. ἵν', ὅταν ἴδῃς ἕτερον συγκρουόμενον οἰκέτην πρὸς τὸν δεσπότην, τὸν Ἀδὰμ πρὸς τὸν Θεὸν, καὶ πιστεύοντα αὐτοῦ τῇ διαβολῇ, μάθῃς ὅτι οὐκ ἀπὸ τῆς οἰκείας δυνάμεως, ἀλλ' ἀπὸ τῆς ἐκείνου ῥᾳθυμίας τε καὶ ἀμελείας τὴν ἰσχὺν ἔλαβε. διάβολος τοίνυν διὰ τοῦτο εἴρηται. τὸ διαβάλλειν δὲ, καὶ μὴ διαβάλλειν, οὐ φύσις ἐστὶν, ἀλλὰ πρᾶγμα γινόμενον καὶ ἀπογινόμενον·

Ιωβ. α. θ.

μενοι, συμβαῖνον καὶ ἀποσυμβαῖνον. τὰ δὲ τοιαῦτα οὐ φύσεως ἐπέχει τάξιν, οὐδὲ οὐσίας. οἶδα ὅτι πολλοῖς δυσκατάληπτος ὁ λόγος ἐστὶν ὁ περὶ τῆς οὐσίας καὶ τῶν συμβεβηκότων· ἀλλ' εἰσὶ τῶν καὶ λεπτότερον ἀκούειν δυνάμενοι· διόπερ καὶ ἡμεῖς ταῦτα εἰρήκαμεν. βούλεσθε καὶ ἐφ' ἑτέρου ὄνομα ἔλθω; καὶ ὄψεσθε κἀκεῖνο οὐ τῆς οὐσίας, οὐδὲ τῆς φύσεως ὄνομα ὄν. πονηρὸς καλεῖται· ἡ δὲ πονηρία οὐ φύσεώς ἐστιν, ἀλλὰ προαιρέσεως. καὶ γὰρ καὶ αὐτὴ ποτὲ μὲν ἐγγίνεται, ποτὲ δὲ ἀπογίνεται. μὴ γὰρ δὴ τοῦτό μοι εἴπῃς, ὅτι ἐπ' ἐκείνου διαπαντὸς μένει. καὶ γὰρ καὶ ἐπ' ἐκείνου οὐκ ἐξ ἀρχῆς ἦν, ἀλλὰ μετὰ ταῦτα ἐπεγένετο (διὸ καὶ ἀποστάτης λέγεται) καίτοι πολλῶν ἀνθρώπων ὄντων πονηρῶν, μόνος ἐκεῖνος πονηρὸς κατ' ἐξοχὴν λέγεται. τί δήποτε οὖν οὕτω καλεῖται; ὅτι οὐδὲν παρ' ἡμῶν ἠδικημένος, οὐ μικρὸν, οὐ μέγα ἔγκλημα ἔχων, ἰδὼν τιμηθέντα τὸν ἄνθρωπον, εὐθέως ἐβάσκηνεν αὐτοῦ τοῖς ἀγαθοῖς. ταύτης οὖν τῆς πονηρίας τί γένοιτ' ἂν χεῖρον, ἀλλ' ἢ ὅταν ἔχθρα καὶ πόλεμος ᾖ, μηδεμίαν εὔλογον αἰτίαν ἔχων;

Ἀφείσθω τοίνυν ὁ διάβολος, καὶ παραγάγωμεν εἰς μέσον τὴν κτίσιν· ἵνα μάθῃς ὅτι οὐχ ὁ διάβολος ἡμῖν αἴτιος τῶν κακῶν, ἐὰν θέλωμεν προσέχειν· ἵνα μάθῃς, ὅτι ἀσθενὴς τὴν προαίρεσιν καὶ ἠμελημένος καὶ ῥᾴθυμος, καὶ διαβόλου οὐκ ὄντος, καταπίπτει, καὶ εἰς βάραθρα πολλὰ κακίας ἑαυτὸν καταβάλλει. ὁ διάβολος πονηρός ἐστιν· οἶδα κἀγὼ, καὶ ὡμολόγηται τοῦτο παρὰ πᾶσιν· ἀλλὰ μετ' ἀκριβείας προσέχετε τοῖς μέλλουσι ῥηθήσεσθαι νῦν. οὐ γὰρ τὰ τυχόντα ἐστὶν, ἀλλ' ὑπὲρ ὧν πολλαχοῦ πολλοῖς πολλάκις γίνονται λόγοι· ὑπὲρ ὧν πολλὴ μάχη καὶ πόλεμος οὐχὶ πιστοῖς πρὸς ἀπίστους μόνον, ἀλλὰ καὶ πιστοῖς πρὸς πιστούς. τοῦτο γὰρ ἐστὶ τὸ ὀδύνης γέμον. ὁ μὲν οὖν διάβολος ὡμολόγηται, καθὼς ἔφην, πονηρὸς εἶναι παρὰ πᾶσι· τί περὶ τῆς κτίσεως ἐροῦμεν τῆς καλῆς ταύτης καὶ θαυμαστῆς; ἢ καὶ ἡ κτίσις πονηρά; καὶ τίς οὕτω μιαρός; τίς οὕτως ἀναίσθητος καὶ παραπλὴξ, ὡς κατηγορῆσαι τῆς κτίσεως; τί οὖν περὶ ταύτης ἐροῦμεν; οὐ γάρ ἐστι πονηρὰ, ἀλλὰ καὶ καλὴ, καὶ δεῖγμα τῆς τοῦ Θεοῦ σοφίας καὶ δυνάμεως καὶ φιλανθρωπίας ἐστίν. ἄκουσον γοῦν πῶς αὐτὴν ὁ προφήτης θαυμάζει λέγων· Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας. οὐ καθ' ἕκαστον ἐπεξῆλθεν, ἀλλὰ παρεχώρησε τῷ ἀκαταλήπτῳ τῆς σοφίας τοῦ Θεοῦ. ὅτι δὲ καὶ χρησίμως αὐτὴν οὕτω καλὴν καὶ μεγάλην ἐποίησεν, ἄκουσόν τινος λέγοντος, Ὅτι ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται. ἄκουσον καὶ τοῦ Παύλου λέγοντος· Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται. τούτων γὰρ ἕκαστος ᾐνίξατο δι' ὧν εἶπεν, ὅτι αὐτὴ πρὸς θεογνωσίαν ἡμᾶς χειραγωγεῖ· ὅτι αὐτὴ ποιεῖ ἐπιγινώσκειν τὸν δεσπότην. τί οὖν; ἐὰν ἴδωμεν τὴν καλὴν ταύτην καὶ θαυμαστὴν αὐτὴν γενομένην ἀσεβείας αἰτίαν πολλοῖς, αἰτιασόμεθα αὐτήν; οὐδαμῶς, ἀλλ' ἐκείνους τοὺς μὴ χρησαμένους εἰς δέον τῷ φαρμάκῳ. πόθεν οὖν ἀσεβείας αἰτία αὕτη ἡ χειραγωγοῦσα πρὸς θεογνωσίαν; Ἐσκοτίσθησαν, φησὶν, ἐν τοῖς διαλογισμοῖς αὐτῶν οἱ φιλόσοφοι, καὶ ἐσεβάσθησαν, καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα. οὐδαμοῦ διάβολος ἐνταῦθα, οὐδαμοῦ δαίμων ἐνταῦθα, ἀλλὰ κτίσις εἰς τὸ μέσον πρόκειται μόνη διδάσκαλος τῆς θεογνωσίας. πῶς οὖν γέγονεν ἀσεβείας αἰτία; οὐ παρὰ τὴν ἑαυτῆς φύσιν, ἀλλὰ παρὰ τὴν ἀμέλειαν τῶν μὴ προσεχόντων. τί οὖν; ἀναιρήσομεν καὶ τὴν κτίσιν, εἰπέ μοι; καὶ τί λέγω περὶ τῆς κτίσεως; ἐπὶ τὰ μέλη ἔλθωμεν τὰ ἡμέτερα. καὶ γὰρ καὶ ταῦτα εὑρήσομεν ἀπωλείας αἴτια, ἐὰν μὴ προσέχωμεν· οὐ παρὰ τὴν οἰκείαν δὲ φύσιν, ἀλλὰ παρὰ τὴν ἡμετέραν ῥᾳθυμίαν. σκόπει δέ. ὀφθαλμὸς ἐδόθη, ἵνα βλέπων τὴν κτίσιν, δοξάζῃς τὸν κτίστην καὶ τὸν δεσπότην· ἀλλ' ἐὰν μὴ καλῶς χρήσῃ τῷ ὀφθαλμῷ, μοιχείας σοι γίνεται πρόξενος. γλῶττα δὲ ἐδόθη, ἵνα εὐφημῇς, ἵνα ὑμνῇς τὸν ποιητήν· ἀλλ' ἐὰν μὴ καλῶς προσέχῃς, βλασφημίας σοι γίνεται αἰτία. χεῖρες δὲ ἐδόθησαν, ἵνα ἀνατείνῃς αὐτὰς εἰς εὐχάς· ἀλλ' ἐὰν μὴ νήφῃς, εἰς πλεονεξί-

Ψαλ. ργ. κδ.

Σοφ. ιγ. ε.

Ρωμ. α. κ.

Ρωμ. α. κα.

γρ. γίνε

γρ. πονη

γρ. ἐπι

αν αὐτὰς ἐκτείνεις. πόδες ἐδόθησαν, ἵνα τρέχῃς εἰς καλὰ ἔργα· ἀλλ' ἐὰν ἀμελῇς, τὰς πονηρὰς δι' αὐτῶν ἕξεις πράξεις. ὁρᾷς ὅτι τῶν ἀσθενῶν πάντα βλάπτει; ὁρᾷς ὅτι τῶν ἀσθενῶν καὶ τὰ φάρμακα τὰ σωτήρια εἰς θάνατον ἐμβάλλει, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἀσθένειαν τὴν ἐκείνου; ἐποίησεν οὐρανὸν ὁ Θεός, ἵνα θαυμάσας τὸ ἔργον, προσκυνήσῃς τὸν δεσπότην· ἀλλ' ἕτεροι τὸν ποιητὴν ἀφέντες, αὐτὸν τὸν οὐρανὸν προσεκύνησαν. ταῦτα δὲ ἀπὸ τῆς ἐκείνων ῥᾳθυμίας τε καὶ ἀνοίας. ἀλλὰ τί λέγω κτίσιν; καὶ μὴν τί τοῦ σταυροῦ σωτηριωδέστερον γένοιτ' ἄν; ἀλλ' ὁ σταυρὸς οὗτος σκάνδαλον τοῖς ἀσθενοῦσι γέγονεν. Ὁ α. Κορ. α. ιη. λόγος γὰρ ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστί, τοῖς δὲ σωζομένοις δύναμις Θεοῦ. καὶ πάλιν· Κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσι δὲ μωρίαν. α. Κορ. α. κγ. τί τοῦ Παύλου διδασκαλικώτερον γένοιτ' ἄν, καὶ τῶν ἀποστόλων; ἀλλ' οἱ ἀπόστολοι οὗτοι ὀσμὴ θανάτου τοῖς πολλοῖς ἐγένοντο. φησὶ γοῦν· Οἷς μὲν ὀσμὴ θανάτου εἰς θάνατον, οἷς δὲ * ζωῆς β. Κορ. β. ιϛ. εἰς ζωήν. ὁρᾷς ὅτι ὁ μὲν ἀσθενὴς καὶ ἀπὸ τοῦ Παύλου βλάπτεται· ὁ δὲ ἰσχυρὸς οὐδὲ ἀπὸ τοῦ διαβόλου ἀδικεῖται; βούλει καὶ ἐπὶ τοῦ Χριστοῦ τὸν λόγον γυμνάζωμεν; τί τῆς σωτηρίας ἐκείνης ἴσον; τί τῆς παρουσίας ἐκείνης χρησιμώτερον; ἀλλ' αὕτη ἡ παρουσία ἡ σωτηριώδης, ἡ χρησίμη, πολλοῖς προσθήκη κολάσεως γέγονεν. Εἰς κρίμα γάρ, φησιν, ἐγὼ ἦλθον εἰς τὸν κόσμον τοῦτον, Ιωαν. θ. λθ. ἵνα οἱ μὴ βλέποντες βλέψωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. τί λέγεις; τὸ φῶς πηρώσεως αἴτιον γέγονεν; οὐ τὸ φῶς πηρώσεως αἴτιον γέγονεν, ἀλλ' ἡ ἀσθένεια τῶν ὀφθαλμῶν τῆς ψυχῆς τὸ φῶς ὑποδέξασθαι οὐκ ἴσχυσεν. εἶδες ὅτι ἀσθενὴς πάντοθεν βλάπτεται, ὁ δὲ ἰσχυρὸς πάντοθεν ὠφελεῖται; πανταχοῦ γὰρ ἡ προαίρεσις αἰτία, πανταχοῦ ἡ γνώμη κυρία. ἐπεὶ ὁ διάβολος, εἰ βούλει μαθεῖν, καὶ χρήσιμος ἡμῖν ἐστιν, ἐὰν εἰς δέον αὐτῷ χρώμεθα, καὶ τὰ μεγάλα ἡμᾶς ὠφελεῖ, καὶ κερδαίνομεν οὐ τὰ τυχόντα. καὶ τοῦτο ἐδείξαμεν πολλοστὸν καὶ ἀπὸ τοῦ Ἰώβ. ἔξεστι δὲ καὶ ἀπὸ τοῦ Παύλου μαθεῖν. περὶ γὰρ τοῦ πεπορνευκότος γράφων, οὕτω λέγει· Παράδοτε τὸν τοιοῦτον α. Κορ. ε. ε. τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ. ἰδού, καὶ σωτηρίας αἴτιος ὁ διάβολος γέγονεν. ἀλλ' οὐ παρὰ τὴν αὐτοῦ γνώμην, ἀλλὰ παρὰ τὴν τέχνην τοῦ ἀποστόλου. καθάπερ γὰρ οἱ ἰατροὶ ἐχίδνας λαμβάνοντες, καὶ τὰ ὀλέθρια αὐτῶν ἀποτέμνοντες μέλη, τὰ θηριακὰ κατασκευάζουσι φάρμακα· οὕτω καὶ ὁ Παῦλος ἐποίησεν. ὅσον χρήσιμον ἦν ἀπὸ τῆς κολάσεως τῆς ἐπαγομένης παρὰ τοῦ διαβόλου λαβών, τὸ λοιπὸν εἴασεν. ἵνα γὰρ μάθῃς, ὅτι οὐχ ὁ διάβολος τῆς σωτηρίας αἴτιος, ἀλλ' ἀπολέσαι τὸν ἄνθρωπον καὶ καταπιεῖν ἠπείγετο, ὁ δὲ ἀπόστολος διὰ τῆς αὐτοῦ σοφίας τὴν λύμην ἐνέκοψεν· ἄκουσον ἐν τῇ δευτέρᾳ τῇ πρὸς Κορινθίους ἐπιστολῇ τί φησι περὶ αὐτοῦ τοῦ πεπορνευκότος. Κυρώσατε εἰς αὐτὸν β. Κορ. β. η. ἀγάπην, μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος, καὶ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ. προεξαρπάσωμεν τῆς φάρυγγος τοῦ θηρίου τὸν ἄνθρωπον, φησιν. ὡς γὰρ δημίῳ πολλάκις ἐχρήσατο τῷ διαβόλῳ ὁ ἀπόστολος· οἱ δὲ δήμιοι κολάζουσι μὲν τοὺς ἡμαρτηκότας, οὐ μὴν ὅσον βούλονται, ἀλλ' ὅσον οἱ δικάζοντες ἐπιτρέπουσιν. οὗτος γὰρ δημίου νόμος, τῷ νεύματι τοῦ δικαστοῦ προσέχοντα τιμωρεῖσθαι. εἶδες εἰς ὅσον ἀξίωμα ἀνέβη ὁ ἀπόστολος; ὁ σῶμα περικείμενος, τῷ ἀσωμάτῳ, ὡς δημίῳ, ἐχρήσατο, καὶ ὅπερ ὁ κοινὸς δεσπότης λέγει τῷ διαβόλῳ περὶ τοῦ Ἰὼβ παραγγέλλων οὕτως, Ἅψαι τῆς σαρκὸς αὐτοῦ· πλὴν τῆς Ιωβ β. ϛ. ψυχῆς αὐτοῦ μὴ ἅψῃ· ὅρους αὐτῷ διδοὺς καὶ μέτρα τιμωρίας, ἵνα μὴ προπετὲς ὂν τὸ θηρίον ἀναισχυντότερον ἐπιπηδήσῃ· τοῦτο καὶ ὁ ἀπόστολος ποιεῖ. παραδοὺς γὰρ αὐτῷ τὸν πεπορνευκότα, φησίν, Εἰς ὄλεθρον τῆς σαρκός· τουτέστι, τῆς ψυχῆς αὐτοῦ μὴ ἅψῃ. εἶδες αὐθεντίαν οἰκέτου; μὴ τοίνυν φοβοῦ τὸν διάβολον, κἂν ἀσώματος ᾖ. προσέκρουσε γάρ· οὐδὲν δὲ τοῦ προσκεκρουκότος ἀσθενέστερον, κἂν μὴ σῶμα περικείμενος ᾖ, ὥσπερ οὖν οὐδὲν τοῦ παρρησίαν ἔχοντος ἰσχυρότερον, κἂν σῶμα περιφέρῃ θνητόν.

Ταῦτά μοι πάντα εἴρηται νῦν, οὐχ ἵνα τὸν διάβολον ἐγκλημάτων ἀπαλλάξω· ἀλλ' ἵν' ὑμᾶς ἐλευθερώσω τῆς ῥᾳθυμίας. καὶ γὰρ σφόδρα βούλεται ἐκεῖνος τῶν ἡμετέρων ἁμαρτημάτων ἐπ' αὐτὸν ἄγειν τὴν αἰτίαν· ἵνα ταύταις ταῖς ἐλπίσι τρεφόμενοι, καὶ πᾶν εἶδος κακίας ἐπιόντες, πολλὴν αὐξήσωμεν καθ' ἑαυτῶν τὴν κόλασιν, οὐδεμιᾶς τυγχάνοντες συγγνώμης ἀπὸ τοῦ μετατιθέναι ἐπ' αὐτὸν τὴν αἰτίαν, ὥσπερ οὖν οὐδὲ ἡ Εὔα ἔτυχεν. ἀλλ' ἡμεῖς μὴ τοῦτο ποιῶμεν· ἀλλ' ἐπιγνῶμεν ἑαυτοὺς, ἐπιγνῶμεν τὰ τραύματα. οὕτω γὰρ καὶ τὰ φάρμακα ἐπιθεῖναι δυνησόμεθα. ὁ γὰρ τὴν νόσον ἀγνοῶν, οὐδεμίαν ποιήσεται τῆς ἀρρωστίας ἐπιμέλειαν. ἡμάρτομεν πολλά· οἶδα κἀγώ (πάντες γάρ ἐσμεν ἐν ἐπιτιμίοις) ἀλλ' οὐκ ἀπεστερήμεθα συγγνώμης, οὐδὲ ἐξεπέσομεν μετανοίας. ἔτι γὰρ ἐν τῷ σκάμματι ἑστήκαμεν, καὶ ἐν τοῖς ἀγῶσι τῆς μετανοίας ἐσμέν. γέρων εἶ, καὶ πρὸς τὴν ἐσχάτην ἀπήντηκας ἔξοδον, μὴ νομίσῃς μηδὲ οὕτως ἐκπεπλωκέναι μετανοίας, μηδὲ ἀπογνῷς τῆς σωτηρίας τῆς ἑαυτοῦ, ἀλλ' ἐννόησον τὸν λῃστὴν τὸν ἐν τῷ σταυρῷ ἐλευθερωθέντα. τί γὰρ τῆς ὥρας ἐκείνης βραχύτερον, καθ' ἣν ἐσταυροῦτο; ἀλλ' ὅμως ἤρκεσεν αὐτῷ καὶ αὕτη πρὸς σωτηρίαν. νέος εἶ; μὴ θαρσήσῃς τῇ νεότητι, μηδὲ νομίσῃς ἱκανὴν ἔχειν προθεσμίαν τῆς ζωῆς. Ἡ γὰρ ἡμέρα Κυρίου, ὡς κλέπτης ἐν νυκτὶ, οὕτως ἔρχεται. διὰ τοῦτο ἄδηλον ἡμῶν ἐποίησε τὴν τελευτὴν, ἵνα δήλην ποιησώμεθα τὴν σπουδὴν καὶ τὴν πρόνοιαν. οὐχ ὁρᾷς ἀώρους καθ' ἑκάστην ἡμέραν ἀναρπαζομένους; διὰ τοῦτο παραινεῖ τις λέγων, Μὴ ἀνάμενε ἐπιστρέψαι πρὸς Κύριον, μηδὲ ἀναβάλλου ἡμέρας· μήποτε, ὡς μέλλεις, ἐκτριβῇς. ὁ γέρων ἐκείνην ἐχέτω τὴν παραίνεσιν· ὁ νέος ταύτην ἐχέτω τὴν νουθεσίαν. ἀλλ' ἐν ἀσφαλείᾳ εἶ, καὶ πλουτεῖς, καὶ κομᾷς χρήμασι, καὶ οὐδέν σοι γίνεται δεινόν; ἀλλ' ἄκουσον τί φησιν ὁ Παῦλος· Ὅταν δὲ λέγωσιν Εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος. πολλῆς γέμει μεταβολῆς τὰ πράγματα. οὐκ ἐσμὲν κύριοι τῆς τελευτῆς· γενώμεθα κύριοι τῆς ἀρετῆς· φιλάνθρωπός ἐστιν ὁ δεσπότης ἡμῶν Χριστός. βούλεσθε εἴπω καὶ μετανοίας ὁδούς; πολλαὶ μέν εἰσι καὶ ποικίλαι καὶ διάφοροι, καὶ πᾶσαι πρὸς τὸν οὐρανὸν φέρουσιν. ἔστι πρώτη μετανοίας ὁδὸς, ἁμαρτημάτων κατάγνωσις. Λέγε γὰρ σὺ πρῶτος τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς. διὸ καὶ ὁ προφήτης ἔφη· Εἶπα, ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. κατάγνωθι τοίνυν καὶ σὺ τῶν ἡμαρτημένων· ἀρκεῖ τοῦτο τῷ δεσπότῃ πρὸς ἀπολογίαν. ὁ γὰρ καταγνοὺς τῶν ἡμαρτημένων, ὀκνηρότερός ἐστι πρὸς τὸ τοῖς αὐτοῖς πάλιν περιπεσεῖν. κίνησον τὸν κατήγορον ἔνδον, τὸ σὸν συνειδὸς, ἵνα μὴ ἐκεῖ κατήγορον ἔχῃς ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ. μία μὲν οὖν μετανοίας ὁδὸς ἀρίστη αὕτη. ἔστι δὲ καὶ ἑτέρα ταύτης οὐκ ἐλάττων, τὸ μὴ μνησικακεῖν τοῖς ἐχθροῖς, τὸ κρατεῖν ὀργῆς, τὸ ἀφιέναι τὰ συνδουλικὰ ἁμαρτήματα. οὕτω γὰρ ἡμῖν ἀφεθήσονται καὶ τὰ εἰς τὸν δεσπότην γεγενημένα. ἰδοὺ καὶ δευτέραν ἁμαρτημάτων καθάρσιον. Ἐὰν γὰρ ἀφῆτε, φησὶ, τοῖς ὀφειλέταις ὑμῶν, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφήσει ὑμῖν. βούλει καὶ τρίτην μαθεῖν μετανοίας ὁδόν; εὐχὴ ζέουσα καὶ ἀκριβὴς, καὶ ἀπὸ βαθυτάτης καρδίας τοῦτο ποιεῖν. οὐκ εἶδες ἐκείνην τὴν χήραν, πῶς τὸν ἀναίσχυντον δικαστὴν ἐπεσπάσατο; σὺ δὲ ἥμερον ἔχεις δεσπότην καὶ πρᾶον καὶ φιλάνθρωπον. ἐκείνη κατ' ἐχθρῶν ᾔτει· σὺ δὲ οὐ κατ' ἐχθρῶν αἰτεῖς, ἀλλ' ὑπὲρ τῆς ἑαυτοῦ σωτηρίας. εἰ δὲ καὶ τετάρτην θέλεις μαθεῖν, τὴν ἐλεημοσύνην ἐρῶ. πολλὴν γὰρ δύναμιν αὕτη ἔχει καὶ ἄφατον. καὶ γὰρ τῷ Ναβουχοδονόσορ εἰς πᾶν εἶδος κακίας ἐλθόντι, καὶ πᾶσαν ἀσέβειαν ἐπελθόντι φησὶν ὁ Δανιήλ· Βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι· τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι, καὶ τὰς ἀνομίας σου ἐν οἰκτιρμοῖς πενήτων. τί γένοιτ' ἂν ταύτης ἴσον τῆς φιλανθρωπίας; μετὰ μυρία ἁμαρτήματα, μετὰ τοσαύτας παρανομίας ἐπαγγέλλεται καταλλάττεσθαι τῷ προσκεκρουκότι, εἰ τοῖς συνδούλοις φιλανθρωπεύεται τοῖς αὐτοῦ. καὶ τὸ μετριάζειν δὲ καὶ ταπεινοφρονεῖν, τῶν εἰρημένων ἁπάντων οὐχ ἧττον δαπανᾷ ἁμαρτημάτων φύσιν. καὶ μάρτυς ὁ τελώνης, κατορθώματα μὲν οὐκ ἔχων εἰπεῖν.

α. Θεσ. ε. β.
Ἐκκλησ. ε. ζ.
α. Θεσ. ε γ.
Ησ. μγ. κϛ
Ψαλ. λα. ε.
γ. Κυρίῳ
Λουκ. ιη γ.
Δαν. δ. κδ.
Λουκ. ιη. ιγ.

εἰπεῖν, διότι δὲ πάντων τὴν ταπεινοφροσύνην προσφέρων, καὶ τὸ βαρὺ τῶν ἁμαρτημάτων ἀποτιθέμενος φορτίον. ἰδοὺ πέντε μετανοίας ὁδοὺς ἐδείξαμεν· πρώτην, τὴν κατάγνωσιν τῶν ἡμαρτημένων· δευτέραν, τὸ ἀφεῖναι τοῖς πλησίον τὰ ἁμαρτήματα· τρίτην, τὴν ἀπὸ τῆς εὐχῆς γινομένην· τετάρτην, τὴν ἀπὸ τῆς ἐλεημοσύνης· πέμπτην, τὴν ἀπὸ τῆς ταπεινοφροσύνης. μὴ τοίνυν ἀργῇ, ἀλλὰ πάσας ταύτας καθ' ἑκάστην ὅδευε τὴν ἡμέραν. καὶ γὰρ εὔκολοι αἱ ὁδοί, καὶ οὐκ ἔχεις προβαλέσθαι πενίαν· ἀλλὰ κἂν ἁπάντων πτωχότερον βιοῖς, καὶ ὀργὴν ἀφεῖναι, καὶ ταπεινοφρονῆσαι δυνήσῃ, καὶ εὔξασθαι ἐκτενῶς, καὶ καταγνῶναι τῶν ἡμαρτημένων, καὶ οὐδαμοῦ κώλυμα ἡ πενία γίνεται. καὶ τί λέγω ἐνταῦθα, ὅπου οὐδὲ ἐν ἐκείνῃ τῇ ὁδῷ τῆς μετανοίας, ἐν ᾗ χρήματα καταβαλεῖν ἐστι (τὴν ἐλεημοσύνην λέγω) οὐδὲ ἐκεῖ κωλύει τι πρὸς ἐντολὴν ἡμᾶς ἡ πενία; καὶ ἐδήλωσεν ἡ τὰ δύο λεπτὰ καταβαλοῦσα χήρα. Μαρ. ιβ. μβ. μαθόντες οὖν τὴν θεραπείαν τῶν ἡμετέρων τραυμάτων συνεχῆ, ταῦτα ἐπιθῶμεν τὰ φάρμακα, ἵνα πρὸς ὑγίειαν ἐπανελθόντες τὴν ἀληθῆ, καὶ τῆς ἱερᾶς τραπέζης μετὰ παῤῥησίας ἀπολαύσωμεν, καὶ μετὰ πολλῆς δόξης ἀπαντήσωμεν τῷ βασιλεῖ τῆς δόξης Χριστῷ, καὶ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ δόξα, κράτος, τιμὴ ἅμα τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΟΜΙΛΙΑ ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΗΜΟΣΙΕΥΕΙΝ ΤΑ ΑΜΑΡΤΗΜΑΤΑ τῶν ἀδελφῶν, μηδὲ κατεύχεσθαι τῶν ἐχθρῶν.

Μακαρίζω τῆς σπουδῆς ὑμᾶς, ἀγαπητοί, μεθ' ἧς εἰς τὸν πατρῷον οἶκον συντρέχετε. ἀπὸ γὰρ τῆς σπουδῆς ταύτης καὶ περὶ τῆς ὑγιείας ὑμῶν τῆς κατὰ ψυχὴν ἔχω θαῤῥεῖν. καὶ γὰρ ἰατρεῖον θαυμαστὸν τῆς ἐκκλησίας τὸ διδασκαλεῖόν ἐστιν· ἰατρεῖον, οὐχὶ σωμάτων, ἀλλὰ ψυχῶν. πνευματικὸν γάρ ἐστι, καὶ οὐχὶ τραύματα σαρκός, ἀλλ' ἁμαρτήματα διανοίας διορθοῦται. τῶν δὲ ἁμαρτημάτων τούτων καὶ τῶν τραυμάτων τὸ φάρμακον, ὁ λόγος ἐστί. τοῦτο τὸ φάρμακον οὐκ ἐκ βοτανῶν τῶν ἐπὶ γῆς, ἀλλ' ἀπὸ τῶν ῥημάτων τῶν ἐξ οὐρανοῦ σύγκειται· τοῦτο οὐκ ἰατρῶν χεῖρες, ἀλλὰ προφητῶν κατεσκεύασαν γλῶτται. διὰ τοῦτο διαρκές ἐστι, καὶ οὔτε πλήθει χρόνων ἀμαυροῦται, οὔτε δυνάμει νοσημάτων ἐλέγχεται. τὰ μὲν γὰρ τῶν ἰατρῶν φάρμακα ἀμφότερα ταῦτα ἔχει τὰ ἐλαττώματα. νεαρὰ μὲν γὰρ ὄντα τὴν ἰσχὺν ἐπιδείκνυνται τὴν ἑαυτῶν· ὅταν δὲ χρόνος παρέλθῃ πολύς, καθάπερ τὰ γεγηρακότα τῶν σωμάτων, ἀσθενέστερα γίνεται. πολλάκις δὲ αὐτὰ καὶ δυσκολία ἀῤῥωστημάτων διήλεγξεν. ἀνθρώπινα γάρ ἐστι. τὸ δὲ θεῖον φάρμακον οὐ τοιοῦτον, ἀλλὰ χρόνου διαγενομένου πολλοῦ, τὴν οἰκείαν ἰσχὺν ἔχει πᾶσαν. ἐξ ὅτου γοῦν ἐγένετο Μωϋσῆς (ἐξ ἐκείνου γὰρ ἡ ἀρχὴ τῶν γραφῶν) τοσούτους ἐθεράπευσεν ἀνθρώπους, καὶ τὴν οἰκείαν δύναμιν οὐκ ἀπέβαλεν· ἀλλ' οὐδὲ νόσημα αὐτοῦ περιεγένετο πώποτε. τοῦτο τὸ φάρμακον οὐκ ἔστιν ἀργύριον καταβαλόντα λαβεῖν, ἀλλ' ὁ προαίρεσιν καὶ διάθεσιν γνησίαν ἐπιδειξάμενος, ἅπαν ἔχων ἀπῆλθε. διὰ τοῦτο καὶ πλούσιοι καὶ πένητες ὁμοίως τῆς ἰατρείας ἀπολαύουσι ταύτης. ἔνθα μὲν γὰρ ἀνάγκη καταθεῖναι χρήματα, ὁ μὲν εὔπορος μετέχει τῆς ὠφελείας· ὁ δὲ πένης πολλάκις ἀπεστερημένος τοῦ κέρδους ἀπέρχεται, οὐκ ἀρκούσης αὐτῷ τῆς προσόδου πρὸς τὴν τοῦ φαρμάκου κατασκευήν. ἐνταῦθα δέ, ἐπειδὴ ἀργύριον οὐκ ἔστι καταδέξασθαι, ἀλλὰ πίστιν ἐπιδείξασθαι δεῖ καὶ προαίρεσιν, ὁ ταῦτα καταδεξάμενος μετὰ προθυμίας, οὗτος καρποῦται μάλιστα τὴν ὠφέλειαν· ἐπειδὴ καὶ ταῦτα τῆς ἰατρείας ἐστὶν ὁ μισθός. καὶ ὁ πλούσιος καὶ ὁ πένης τῆς ὠφελείας κοινωνοῦσιν ὁμοίως· μᾶλλον δὲ οὐχ ὁμοίως κοινωνοῦσι τῆς ὠφελείας, ἀλλὰ πολλάκις πλειόνως ἀπολαύσας ὁ πένης ἀπέρχεται. τί δή ποτε; ὅτι ὁ μὲν πλούσιος πολλαῖς περικατειλημμένος φροντίσιν, ἔχων τὴν ἀπόνοιαν καὶ τὸ φύσημα τὸ τῆς εὐπορίας, ὀλιγωρίᾳ συζῶν καὶ ῥᾳθυμίᾳ, οὐ μετὰ πολλῆς τῆς ἀκριβείας, οὐδὲ μετὰ πολλῆς τῆς σπουδῆς τὸ φάρμακον τῆς ἀκροάσεως τῶν γραφῶν δέχεται· ὁ δὲ πένης, τρυφῆς καὶ ἀδηφαγίας καὶ ῥᾳθυμίας ἀπηλλαγμένος, ἅπαντα τὸν χρόνον ἐν τῇ τῶν χειρῶν ἐργασίᾳ καὶ τοῖς δικαίοις ἀναλίσκων πόνοις, καὶ πολλὴν ἐντεῦθεν τῇ ψυχῇ συλλέγων φιλοσοφίαν, προσεκτικώτερός τε καὶ εὐτονώτερος γίνεται, καὶ μετὰ πλείονος προσέχει ἀκριβείας τοῖς λεγομένοις. ὅθεν καὶ πλείονα καταβαλὼν τὸν μισθὸν, πλείονα τὴν ὠφέλειαν καρπωσάμενος ἄπεισιν. οὐ τῶν πλουτούντων ἁπλῶς κατηγορῶν ταῦτα εἶπον, οὐδὲ τοὺς πένητας ἁπλῶς ἐπαινῶν. οὔτε γὰρ ὁ πλοῦτος κακὸν, ἀλλὰ τὸ κακῶς κεχρῆσθαι τῷ πλούτῳ· οὔτε ἡ πενία καλὸν, ἀλλὰ τὸ καλῶς κεχρῆσθαι τῇ πενίᾳ. ἐκολάζετο ὁ πλούσιος ἐκεῖνος ὁ ἐπὶ τοῦ Λαζάρου, οὐκ ἐπειδὴ πλούσιος ἦν, ἀλλ' ἐπειδὴ ὠμὸς ἦν καὶ ἀπάνθρωπος. ἐπῃνεῖτο ὁ πένης ἐκεῖνος ὁ ἐν τοῖς κόλποις τοῦ Ἀβραὰμ, οὐκ ἐπειδὴ πένης ἦν, ἀλλ' ἐπειδὴ μετ' εὐχαριστίας τὴν πενίαν ἤνεγκε. τῶν γὰρ πραγμάτων (προσέχετε δὲ μετ' ἀκριβείας τούτῳ τῷ λόγῳ. ἱκανὴν γὰρ ὑμῖν ἐνθεῖναι φιλοσοφίαν δυνήσεται, καὶ πάντα διεφθαρμένον λογισμὸν ἐκβαλεῖν, καὶ ποιῆσαι περὶ τῶν ὄντων ὀρθὴν ἔχειν τὴν κρίσιν) τῶν τοίνυν πραγμάτων τὰ μέν ἐστι φύσει καλὰ, τὰ δὲ τὸ ἐναντίον, τὰ δὲ οὔτε καλὰ, οὔτε κακὰ, ἀλλὰ τὴν μέσην τάξιν ἐπέχει. καλὸν ἡ εὐσέβεια φύσει, κακὸν ἡ ἀσέβεια· καλὸν ἡ ἀρετὴ, κακὸν ἡ πονηρία. ὁ δὲ πλοῦτος καὶ ἡ πενία καθ' ἑαυτὰ μὲν οὔτε τοῦτό ἐστιν, οὔτε ἐκεῖνο· παρὰ δὲ τὴν προαίρεσιν τῶν χρωμένων ἢ τοῦτο ἢ ἐκεῖνο γίνεται. ἂν μὲν γὰρ πρὸς φιλανθρωπίαν χρήσῃ τῷ πλούτῳ, γέγονέ σοι καλοῦ τὸ πρᾶγμα ὑπόθεσις· ἂν δὲ εἰς ἁρπαγὰς καὶ πλεονεξίας καὶ ὕβριν, πρὸς τὸ ἐναντίον ἔτρεψας αὐτοῦ τὴν χρῆσιν, ἀλλ' οὐχ ὁ πλοῦτος αἴτιος, ἀλλ' ὁ πρὸς ὕβριν τῷ πλούτῳ χρησάμενος. οὕτω καὶ περὶ τῆς πενίας ἐστὶν εἰπεῖν. ἂν μὲν γὰρ γενναίως αὐτὴν ἐνέγκῃς εὐχαριστῶν τῷ δεσπότῃ, γέγονέ σοι στεφάνων τὸ πρᾶγμα ἀφορμὴ καὶ ὑπόθεσις· ἂν δὲ βλασφημῇς διὰ τοῦτο τὸν πεποιηκότα, καὶ κατηγορῇς αὐτοῦ τῆς προνοίας, ἐπὶ κακῷ πάλιν ἐχρήσω τῷ πράγματι. ἀλλ' ὥσπερ ἐκεῖ τῆς πλεονεξίας οὐχ ὁ πλοῦτος αἴτιος, ἀλλ' ὁ κακῶς τῷ πλούτῳ χρησάμενος· οὕτω καὶ ἐνταῦθα, τῆς βλασφημίας οὐ τὴν πενίαν αἰτιασόμεθα, ἀλλὰ τὸν μὴ βουληθέντα σωφρόνως τὸ πρᾶγμα ἐνεγκεῖν. πανταχοῦ γὰρ καὶ ὁ ἔπαινος καὶ ὁ ψόγος τῆς γνώμης τῆς ἡμετέρας καὶ τῆς προαιρέσεώς ἐστιν. ἀγαθὸς ὁ πλοῦτος, ἀλλ' οὐχ ἁπλῶς, ἀλλ' ᾧ μή ἐστιν ἁμαρτία· καὶ πάλιν, πονηρὰ ἡ πενία, ἀλλ' οὐχ ἁπλῶς, ἐν στόματι ἀσεβοῦς· ἐπειδὴ δυσχεραίνει, ἐπειδὴ βλασφημεῖ, ἐπειδὴ ἀγανακτεῖ, ἐπειδὴ κατηγορεῖ τοῦ πεποιηκότος. μὴ τοίνυν κατηγορῶμεν πλούτου, μηδὲ κακίζωμεν πενίαν ἁπλῶς· ἀλλὰ τοὺς οὐκ ἐθέλοντας τούτοις χρῆσθαι καλῶς. αὐτὰ γὰρ τὰ πράγματα ἐν μέσῳ κεῖται.

Ἀλλ' ὅπερ ἔλεγον (καλὸν γὰρ ἐπανελθεῖν ἐπὶ τὴν προτέραν ὑπόθεσιν) ὅτι καὶ πλούσιος καὶ πένης μετὰ τῆς αὐτῆς ἀδείας καὶ παρρησίας τῶν ἐνταῦθα φαρμάκων ἀπολαύουσι· πολλάκις δὲ μετὰ πλείονος σπουδῆς ὁ πένης. οὐδὲ γὰρ τοῦτο μόνον ἐστὶ τὸ ἐξαίρετον τῶν φαρμάκων, ὅτι ψυχὰς θεραπεύει, ὅτι μήκει χρόνων οὐ διαφθείρεται, ὅτι ὑπὸ νοσήματος οὐχ ἡττᾶται, ὅτι δωρεὰν πρόκειται ἡ ὠφέλεια, ὅτι ἐξ ἴσου καὶ πλουσίοις καὶ πένησι τὸ τῆς θεραπείας· ἀλλ' ἔχει τι καὶ ἕτερον οὐκ ἔλαττον τούτων τῶν ἀγαθῶν. ποῖον δὴ τοῦτο; τοὺς ἐρχομένους εἰς τὸ ἰατρεῖον τοῦτο οὐ δημοσιεύομεν ἡμεῖς. οἱ μὲν γὰρ εἰς τὰ ἰατρεῖα τὰ ἔξωθεν ἀπιόντες, πολλοὺς ἔχουσι τοὺς τὰ τραύματα θεωροῦντας. κἂν μὴ ἀποκαλύψῃ πρότερον ὁ ἰατρὸς τὸ ἕλκης, τὸ φάρμακον οὐκ ἐπιτίθησιν. ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ μυρίους ὁρῶντες τραυματίας, λανθανόντως ποιούμεθα τὴν θεραπείαν αὐτῶν. οὐ γὰρ εἰς μέσον ἄγοντες τοὺς ἡμαρτηκότας, οὕτω δημοσιεύομεν αὐτῶν τὰ ἁμαρτήματα· ἀλλὰ κοινὴν ἅπασι προθέντες τὴν διδασκαλίαν, τῷ τῶν ἀκροωμένων συνειδότι καταλιμπάνομεν, ὥστε ἕκαστον τὸ κατάλληλον φάρμακον τῷ οἰκείῳ τραύματι ἐκ τῶν λεγομένων ἐπισπάσασθαι. πρόεισι μὲν γὰρ ὁ λόγος τῆς διδασκαλίας ἀπὸ τῆς γλώττης τοῦ λέγοντος, ἔχων κατηγορίαν κακίας, ἔπαινον ἀρετῆς, μέμψιν ἀσελγείας, ἐγκώμιον σωφροσύνης, ψόγον ἀπονοίας, ἐπιεικείας ἔπαινον, καθάπερ ποικίλον καὶ παντοδαπὸν φάρμακον ἐξ ἁπάντων εἰδῶν συγκείμενον· τὸ δὲ πρόσφορον ἑαυτῷ καὶ χρήσιμον λαβεῖν, ἑκάστου τῶν ἀκουόντων ἐστί. πρόεισι μὲν οὖν φανερῶς ὁ λόγος, εἰς δὲ τὸ ἑκάστου συνειδὸς ἐγκαθεζόμενος, λανθανόντως καὶ τὴν παρ' ἑαυτοῦ θεραπείαν παρέχει, καὶ πρὶν ἢ δημοσιευθῆναι τὸ νόσημα, τὴν ὑγείαν πολλάκις ἐπήγαγεν. ἠκούσατε γοῦν χθὲς, πῶς ἐπῄνεσα τῆς εὐχῆς τὴν δύναμιν, πῶς ἐνεκάλεσα τοὺς μετὰ ῥᾳθυμίας εὐχομένους, οὐδένα αὐτῶν δημοσιεύσας; οἱ μὲν οὖν συνειδότες ἑαυτοῖς σπουδὴν, ἐδέξαντο τὸ ἐγκώμιον τῆς εὐχῆς, καὶ ἐγένοντο σπουδαιότεροι τοῖς ἐπαίνοις· οἱ δὲ συνειδότες ἑαυτοῖς ῥᾳθυμίαν, ἐδέξαντο πάλιν τὴν ἐπιτίμησιν, καὶ τὴν ὀλιγωρίαν ἀπέθεντο. ἀλλ' οὔτε τούτους, οὔτε ἐκείνους ἴσμεν· ἡ δὲ ἄγνοια ἀμφοτέροις χρήσιμος αὕτη. πῶς, ἐγὼ λέγω. ὁ τῶν ἐγκωμίων ἀκούσας τῆς εὐχῆς, καὶ συνειδὼς ἑαυτῷ σπουδὴν, εἰ πολλοὺς εἶχε μάρτυρας τῶν ἐγκωμίων, πρὸς ἀπόνοιαν ἂν ἐξωλίσθησε· νυνὶ δὲ λανθανόντως δεξάμενος τὸν ἔπαινον, πάσης ἀλαζονείας ἀπήλλακται. πάλιν ὁ συνειδὼς ἑαυτῷ ῥᾳθυμίαν, τῆς κατηγορίας ἀκούσας, ἐγένετο βελτίων ἀπὸ τῆς κατηγορίας, οὐδένα ἔχων τῆς ἐπιτιμήσεως γνώστην ἀνθρώπων. τοῦτο δὲ αὐτὸν οὐχ ὡς ἔτυχεν ὤνησε. ἔχομεν γὰρ τὸ πρὸς τὴν τῶν πολλῶν ἐπτοῆσθαι δόξαν, ἕως μὲν ἂν λανθάνειν νομίζωμεν ὄντες κακοὶ, σπουδάζομεν γενέσθαι βελτίους· ἐπειδὰν δὲ πᾶσι γενώμεθα κατάδηλοι, καὶ τὴν ἐκ τοῦ λανθάνειν ἀπολέσωμεν παραμυθίαν, ἀναισχυντότεροι καὶ ῥᾳθυμότεροι μᾶλλον γινόμεθα. καὶ καθάπερ τὰ ἕλκη γυμνούμενα, καὶ ἀέρι ψυχρῷ συνεχῶς ὁμιλοῦντα, χαλεπώτερα γίνονται· οὕτω καὶ ἡ ψυχὴ ἡμαρτηκυῖα, ἂν μεταξὺ πολλῶν ἐλέγχηται ἐφ' οἷς ἐπλημμέλησεν, ἀναισχυντοτέρα γίνεται. ἵν' οὖν μὴ τοῦτο γένηται, λανθανόντως ὁ λόγος ὑμᾶς ἐθεράπευσε. καὶ ἵνα μάθητε, ὅτι ἡ λανθάνουσα αὕτη ἰατρεία πολὺ τὸ κέρδος ἔχει, ἀκούσατε τί φησιν ὁ Χριστός. Ἐὰν ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ἔλεγξον αὐτόν. καὶ οὐκ εἶπε, μεταξὺ σοῦ καὶ τῆς πόλεως, οὐδὲ, μεταξὺ σοῦ καὶ τοῦ δήμου, ἀλλὰ, μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. ἀμάρτυρος ἔστω, φησὶν, ἡ κατηγορία, ἵνα εὔκολος γένηται ἡ πρὸς διόρθωσιν μεταβολή. μέγα ἄρα ἀγαθὸν, τὸ ποιεῖσθαι τὴν παραίνεσιν μὴ δημοσιευομένην. ἀρκεῖ τὸ συνειδὸς, ἀρκεῖ ὁ κριτὴς ἐκεῖνος ὁ ἀδέκαστος. οὐχ οὕτω σὺ ἐπιτιμᾷς τῷ ἡμαρτηκότι, ὡς τὸ συνειδὸς ἑαυτοῦ (πικρότερος ἐστὶν ὁ κατήγορος ἐκεῖνος) οὔτε ἀκριβέστερον εἰδὼς τὰ πεπλημμελημένα. μὴ τοίνυν προσθῇς τραῦμα τραύμασι, δημοσιεύων τὸν ἡμαρτηκότα, ἀλλ' ἀμάρτυρον ποιοῦ τὴν παραίνεσιν. τοῦτο τοίνυν καὶ ἡμεῖς ποιοῦμεν νῦν, ὅπερ καὶ Παῦλος ἐποίησεν, ἀμάρτυρον κατασκευάζων τοῖς παρὰ Κορινθίοις ἡμαρτηκόσι τὴν κατηγορίαν. καὶ ἄκουε πῶς. Διὰ τοῦτο, φησὶν, ἀδελφοὶ, μετεσχημάτισα ταῦτα εἰς ἐμαυτὸν καὶ Ἀπολλώ. καὶ μὴν οὐχὶ αὐτὸς, οὐδὲ Ἀπολλὼ ἦσαν οἱ σχίσαντες τὸν δῆμον καὶ τὴν ἐκκλησίαν διατεμόντες· ἀλλ' ὅμως συνεσκίασε τὴν κατηγορίαν, καὶ καθάπερ προσωπείοις τισὶ, τοῖς αὐτοῦ καὶ Ἀπολλὼ ὀνόμασι, τὰς τῶν ὑπευθύνων ἀποκρύψας ὄψεις, ἐξουσίαν αὐτοῖς ἐδίδου μεταβαλέσθαι ἐκ τῆς πονηρίας ἐκείνης. καὶ πάλιν, Μήπως ἐλθόντα με ὁ Θεὸς ταπεινώσῃ, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀκαθαρσίᾳ καὶ ἀσελγείᾳ, ᾗ ἔπραξαν. ὅρα πῶς καὶ ἐνταῦθα ἀορίστως λέγει τοὺς ἡμαρτηκότας, ἵνα μὴ φανερὰν ποιήσας τὴν κατηγορίαν, ἀναισχυντοτέραν ἐργάσηται τὴν τῶν ἡμαρτηκότων ψυχήν. ὥσπερ οὖν ἡμεῖς μετὰ τοσαύτης φειδοῦς τοὺς

Ματθ. ιη. ιε.

α. Κορ. δ. ϛ.

β. Κορ. ιβ. κα.

ἐλέγχους ποιούμεθα, οὕτω παρακαλῶ, καὶ ὑμᾶς μετὰ πάσης σπουδῆς δέχεσθε τὴν διόρθωσιν, καὶ μετὰ ἀκριβείας τοῖς λεγομένοις προσέχετε. διελέχθημεν ὑμῖν χθὲς περὶ τῆς δυνάμεως τῆς κατὰ τὴν εὐχήν· ἔδειξα πῶς ὁ διάβολος τότε ἐφεδρεύει κακοῦργος ὤν. ἐπειδὴ γὰρ μέγιστον κέρδος ἐκ τῆς εὐχῆς ὁρᾷ γινόμενον ἡμῖν, τότε μάλιστα ἐπιτίθεται· ἵνα ἡμᾶς ἐκκρούσῃ τῆς ἀπολογίας, ἵνα κεναῖς οἴκαδε ἀποπέμψῃ χερσί. καὶ καθάπερ ἐπὶ τῶν ἀρχόντων, ἐπειδὰν οἱ τῆς τάξεως καὶ περὶ αὐτοὺς ὄντες τὸν ἄρχοντα ἀπηχθῶς ἔχωσι πρὸς τοὺς ἐντυγχάνοντας, διὰ τῶν ῥάβδων πόῤῥωθεν αὐτοὺς ἀπελαύνουσι, κωλύοντες προσελθεῖν καὶ ἀποδύρεσθαι καὶ φιλανθρωπίας τυχεῖν· οὕτω καὶ ὁ διάβολος, ἐπειδὰν ἴδῃ προσιόντας τῷ δικαστῇ, πόῤῥωθεν ἀπελαύνει, οὐ διὰ ῥάβδου, ἀλλὰ διὰ ῥᾳθυμίας. οἶδε γὰρ, οἶδε σαφῶς, ὅτι ἂν προσέλθωσι νήφοντες, καὶ εἴπωσι τὰ ἡμαρτημένα, καὶ ἀποδύρωνται ζεούσῃ τῇ ψυχῇ, πολλὴν λαβόντες συγγνώμην ἀπέρχονται). φιλάνθρωπος γάρ ἐστιν ὁ Θεός. καὶ διὰ τοῦτο παραλαμβάνει, καὶ ἀπαιτεῖ τῆς ἐντεύξεως αὐτοὺς, ἵνα μηδενὸς ὧν δέονται ἐπιτύχωσιν. ἀλλ' οἱ μὲν στρατιῶται τῶν ἀρχόντων μετὰ βίας ἀποσοβοῦσι τοὺς ἐντυγχάνοντας· ὁ δὲ οὐ μετὰ ἀνάγκης, ἀλλ' ἀπατῶν ἡμᾶς καὶ εἰς ῥᾳθυμίαν ἐμβάλλων. διὰ τοῦτο οὐδὲ συγγνώμης ἐσμὲν ἄξιοι, ἑκόντες ἑαυτοὺς ἀποστεροῦντες τῶν ἀγαθῶν. φῶς ἐστι διανοίας καὶ ψυχῆς ἡ μετὰ σπουδῆς εὐχή, φῶς ἄσβεστον καὶ διηνεκές. διὰ τοῦτο μυρίους συρφετοὺς λογισμοὺς ἐμβάλλει ταῖς ἡμετέραις διανοίαις, καὶ ἅπερ οὐδέποτε ἐλογισάμεθα, ταῦτα συνάγων ἐν τῷ καιρῷ τῆς εὐχῆς καταχεῖ ταῖς ψυχαῖς ἡμῶν. καὶ καθάπερ ἄνεμοι πολλάκις ἀπεναντίας προσπίπτοντες, λυχνιαίου πυρὸς ἀναπτομένου ῥιπίσαντες ἔσβεσαν· οὕτω καὶ ὁ διάβολος, ἐπειδὰν ἴδῃ τὴν φλόγα τῆς εὐχῆς ἡμῖν ἀναπτομένην, μυρίαις φροντίσιν ἔνθεν καὶ ἔνθεν ῥιπίζων, οὐ πρότερον ἀφίσταται, ἕως ἂν σβέσῃ τὸ φῶς. ἀλλ' ὅπερ οἱ τοὺς λύχνους ἐκείνους ἀνάπτοντες ποιοῦσι, τοῦτο καὶ ἡμεῖς ποιήσωμεν. τί δὲ ἐκεῖνοι ποιοῦσιν; ἐπειδὰν ἴδωσιν ἄνεμον προσιόντα σφοδρὸν, τὸν δάκτυλον ἐπιθέντες τῇ ὀπῇ τοῦ λύχνου ἀποτειχίζουσι τῷ πνεύματι τὴν εἴσοδον. ἕως μὲν γὰρ ἂν ἔξωθεν προσβάλλῃ, δυνησόμεθα ἀντιστῆναι· ἐπειδὰν δὲ ἀνοίξωμεν αὐτῷ τὰς θύρας τῆς διανοίας, καὶ ἔνδον δεξώμεθα τὸν ἐχθρὸν, οὐκ ἔτι λοιπὸν οὐδὲ μικρὸν ἀντιστῆναι δυνάμεθα· ἀλλὰ πανταχόθεν κατασβέσας ἡμῶν τὴν μνήμην, ὥσπερ λύχνοι καπνιζόμενοι, ἀφίησι τὸ στόμα ῥήματα προφέρειν κενά. ἀλλ' ὥσπερ ἐκεῖνοι τὸν δάκτυλον ἐπιτιθέασι τῇ ὀπῇ τοῦ λύχνου, οὕτως ἡμεῖς ἐπιθῶμεν τὸν λογισμὸν τῇ ἡμετέρᾳ διανοίᾳ· ἀποφράξωμεν τοῦ πονηροῦ πνεύματος τὴν εἴσοδον, ἵνα μὴ σβέσῃ ἡμῶν τὸ φῶς τῆς εὐχῆς. μέμνησθε τούτων ἀμφοτέρων τῶν παραδειγμάτων, καὶ τοῦ τῶν στρατιωτῶν, καὶ τοῦ ἄρχοντος, καὶ τοῦ κατὰ τὸν λύχνον· διὰ γὰρ τοῦτο ταῦτα λέγομεν ὑμῖν τὰ παραδείγματα, ἐν οἷς στρεφόμεθα, ἐν οἷς ἐσμεν, ἵνα καὶ ἐντεῦθεν ἀναχωρήσαντες καὶ οἴκοι γενόμενοι, ἀπὸ τῶν ἐν χερσὶ πραγμάτων ὑπόμνησιν λαμβάνωμεν τῶν εἰρημένων. μέγα ὅπλον εὐχὴ, καὶ μεγάλη ἀσφάλεια. ἠκούσατε χθὲς, πῶς οἱ τρεῖς παῖδες πεπεδημένοι κατέλυσαν τὴν τοῦ πυρὸς δύναμιν; πῶς κατεπάτησαν τὴν φλόγα, πῶς περιεγένοντο τῆς καμίνου, καὶ τῆς ἐνεργείας ἐκράτησαν τοῦ στοιχείου; ἀκούσατε σήμερον πάλιν, πῶς ὁ γενναῖος καὶ μέγας Ἰσαὰκ αὐτῆς περιεγένετο τῆς τῶν σωμάτων φύσεως δι' εὐχῆς. ἐκεῖνοι κατέλυσαν τοῦ πυρὸς τὴν δύναμιν, οὗτος σήμερον τῆς φύσεως πεπηρωμένης ἔλυσε τὰ δεσμά. καὶ μάθε πῶς τοῦτο ἐποίει. Γεν. κε. κα. Ἐδέετό, φησιν, Ἰσαὰκ περὶ τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν. ταῦτα σήμερον ὑμῖν ἀνεγνώσθη· χθὲς περὶ εὐχῆς ὁ λόγος, καὶ σήμερον πάλιν ἀπόδειξις τῆς δυνάμεως τῆς εὐχῆς. ὁρᾶτε πῶς ἡ τοῦ πνεύματος ᾠκονόμησε χάρις σύμφωνα τοῖς χθὲς εἰρημένοις ἀναγνωσθῆναι τὰ τήμερον; ἐδέετο, φησιν, Ἰσαὰκ περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν. τοῦτο πρῶτον ἄξιον ζητῆσαι, τίνος ἕνεκεν στεῖρα ἦν. βίου ἦν θαυμαστοῦ καὶ πολλῆς γέμοντος σωφροσύνης καὶ αὐτὴ καὶ ὁ ἀνήρ. οὐκ ἔχομεν ἐπιλαβέσθαι τῆς ζωῆς τῶν δικαίων, καὶ εἰπεῖν, ὅτι ἔργον ἁμαρτιῶν ἡ στείρωσις. καὶ οὐκ αὐτὴ στεῖρα μόνον, ἀλλὰ καὶ ἡ μήτηρ αὐτοῦ ἡ Σάῤῥα ἡ τεκοῦσα αὐτόν· οὐχ ἡ μήτηρ δὲ αὐτοῦ μόνον στεῖρα ἦν, οὐδὲ ἡ γυνὴ, ἀλλὰ καὶ ἡ νύμφη ἡ τοῦ Ἰακὼβ γυνὴ ἡ Ῥαχήλ. τί βούλεται τῶν στειρῶν τούτων ὁ χορός; πάντες δίκαιοι, πάντες ἐν ἀρετῇ ζῶντες, πάντες ὑπὸ τοῦ Θεοῦ ἐμαρτυρήθησαν. περὶ γὰρ αὐτῶν ἔλεγεν, Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ. περὶ τῶν αὐτῶν καὶ Παῦλος οὕτω πως λέγει· Δι᾽ ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ὁ Θεὸς, Θεὸς καλεῖσθαι αὐτῶν. πολλὰ αὐτῶν τὰ ἐγκώμια ἐν τῇ καινῇ, πολλοὶ αὐτῶν οἱ ἔπαινοι ἐν τῇ παλαιᾷ. πανταχόθεν λαμπροὶ καὶ εὐδόκιμοι, καὶ πάντες στείρας εἶχον γυναῖκας, καὶ ἐν ἀπαιδίᾳ μέχρι πολλοῦ διετέλεσαν χρόνου. ὅταν οὖν ἴδῃς ἄνδρα καὶ γυναῖκα ἀρετῇ συζῶντας, ὅταν ἴδῃς θεοφιλεῖς, εὐσεβείας ἐπιμελουμένους, καὶ ἀπαιδίαν νοσοῦντας, μὴ νομίσῃς ἁμαρτιῶν εἶναι πάντως τὴν ἀπαιδίαν ἀνταπόδοσιν. πολλοὶ γὰρ τῆς οἰκονομίας οἱ τοῦ Θεοῦ λόγοι καὶ ἡμῖν ἀπόῤῥητοι, καὶ ὑπὲρ πάντων εὐχαριστεῖν δεῖ, καὶ μόνους ἐκείνους ταλανίζειν τοὺς ἐν κακίᾳ ζῶντας, οὐχὶ τοὺς παιδία μὴ κεκτημένους. πολλάκις ὁ Θεὸς ποιεῖ συμφερόντως· ἡμεῖς δὲ τὴν αἰτίαν τῶν γινομένων οὐκ ἴσμεν. διὰ τοῦτο πανταχοῦ θαυμάζειν χρὴ αὐτοῦ τὴν σοφίαν, καὶ δοξάζειν τὴν φιλανθρωπίαν αὐτοῦ τὴν ἄφατον.

Ἐξοδ. γ. ϛ.
Ἑβρ. ια. ιϛ.

Ἀλλ᾽ οὐκ εἰς ἦθος ὁ λόγος ἡμᾶς παιδεῦσαι δύναται· δεῖ δὲ καὶ τὴν αἰτίαν εἰπεῖν, δι᾽ ἣν ἦσαν αἱ γυναῖκες ἐκεῖναι στεῖραι. τίς οὖν ἡ αἰτία; ἵν᾽, ὅταν ἴδῃς τὴν παρθένον τίκτουσαν τὸν κοινὸν ἡμῶν δεσπότην, μὴ ἀπιστήσῃς. οὐκοῦν γύμνασόν σου τὴν διάνοιαν ἐν τῇ μήτρᾳ τῶν στειρῶν· ἵν᾽, ὅταν ἴδῃς πεπηρωμένην καὶ δεδεμένην τὴν μήτραν πρὸς παιδοποιΐαν ἀνοιγομένην ἐκ τῆς τοῦ Θεοῦ χάριτος, μὴ θαυμάσῃς ἀκούων ὅτι παρθένος ἔτεκε. μᾶλλον δὲ καὶ θαύμασον, καὶ ἐκπλάγηθι· ἀλλὰ μὴ ἀπιστήσῃς τῷ θαύματι. ὅταν λέγῃ πρὸς σὲ ὁ Ἰουδαῖος, πῶς ἔτεκεν ἡ παρθένος; εἰπὲ πρὸς αὐτὸν, πῶς ἔτεκεν ἡ στεῖρα καὶ γεγηρακυῖα; δύο κωλύματα τότε ἦν, τό τε ἄωρον τῆς ἡλικίας, καὶ τὸ ἄχρηστον τῆς φύσεως· ἐπὶ δὲ τῆς παρθένου ἓν κώλυμα μόνον ἦν, τὸ μὴ μετασχεῖν γάμου. προοδοποιεῖ τοίνυν τῇ παρθένῳ ἡ στεῖρα. καὶ ἵνα μάθῃς ὅτι διὰ τοῦτο αἱ στεῖραι προέλαβον, ἵνα πιστευθῇ τῆς παρθένου ὁ τόκος, ἄκουσον τῶν ῥημάτων τοῦ Γαβριὴλ τῶν πρὸς αὐτήν. ἐπειδὴ γὰρ ἦλθε καὶ εἶπεν αὐτῇ, Συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν, ἐξεπλάγη ἡ παρθένος καὶ ἐθαύμασε καὶ εἶπε· πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; τί οὖν ὁ ἄγγελος; Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ. μὴ ζήτει φύσεως ἀκολουθίαν, φησὶν, ὅταν ὑπὲρ φύσιν ᾖ τὸ γινόμενον· μὴ περιβλέπου γάμον καὶ ὠδῖνα, ὅταν μείζων γάμου τῆς γενέσεως ὁ τρόπος ᾖ. καὶ πῶς ἔσται τοῦτο, φησὶν, ἐπεὶ ἄνδρα οὐ γινώσκω; καὶ μὴν διὰ τοῦτο ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκεις. εἰ γὰρ ἐγίνωσκες ἄνδρα, οὐκ ἂν κατηξιώθης ὑπηρετήσασθαι τῇ διακονίᾳ ταύτῃ. ὥστε δι᾽ ὃ ἀπιστεῖς, διὰ τοῦτο πίστευε. οὐκ ἂν δὲ κατηξιώθης τοιαύτῃ διακονίᾳ ὑπηρετήσασθαι, οὐκ ἐπειδὴ κακὸν ὁ γάμος, ἀλλ᾽ ἐπειδὴ κρείττων ἡ παρθενία. τὴν δὲ τοῦ δεσπότου εἴσοδον σεμνοτέραν ἐχρῆν εἶναι τῆς ἡμετέρας. βασιλικὴ γάρ ἐστιν· ὁ δὲ βασιλεὺς διὰ σεμνοτέρας εἰσέρχεται. ἔδει καὶ κοινωνεῖν τὴν γέννησιν ἐκείνου, καὶ ἐξηλλάχθαι τῆς ἡμετέρας. οὐκοῦν ἀμφότερα ταῦτα οἰκονομεῖται. τὸ μὲν γὰρ ἀπὸ μήτρας γενέσθαι, κοινὸν πρὸς ἡμᾶς· τὸ δὲ χωρὶς γάμου γενέσθαι, μεῖζον ἢ καθ᾽ ἡμᾶς. καὶ τὸ μὲν ἐν γαστρὶ κυηθῆναι καὶ συλληφθῆναι, τῆς φύσεως τῆς ἀνθρωπίνης· τὸ δὲ χωρὶς μίξεως γενέσθαι τὴν κύησιν, σεμνότερον τῆς φύσεως τῆς ἀνθρωπίνης. διὰ τοῦτο δὲ ἀμφότερα ταῦτα γέγονεν, ἵνα καὶ τὴν ὑπεροχὴν, καὶ τὴν κοινωνίαν τὴν πρὸς σὲ μάθῃς τοῦ τικτομένου. καὶ σκόπει μοι τὴν σοφίαν τῶν γινομένων. οὔτε ἡ ὑπεροχὴ τὴν πρὸς ἡμᾶς ὁμοιότητα καὶ συγγένειαν ἐλυμήνατο, οὔτε ἡ πρὸς ἡμᾶς συγγένεια τὴν ὑπεροχὴν ἠμαύρωσεν· ἀλλ᾽ ἑκάτερα ἐδείκνυτο διὰ τῶν πραγμάτων ἁπάντων. καὶ τὰ μὲν ὁλόκληρα εἶχεν ἡμέτερα, τὰ δὲ ἐξηλλαγμένα πρὸς ἡμᾶς. ἀλλ᾽ ὅπερ ἔλεγον, ὅτι διὰ τοῦτο προέλαβον αἱ στεῖραι, ἵνα πιστευθῇ τῆς παρθένου ὁ τόκος, ἵνα αὐτῇ χειραγω-

Λουκ. α. λά.

γηθῇ πρὸς τὴν πίστιν τῆς ἐπαγγελίας καὶ τῆς ὑποσχέσεως ἐκείνης, ἧς ἤκουσε παρὰ τοῦ ἀγγέλου
Λουκ. α. λε. λέγοντος, Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· οὕτω,
φησὶν, ἔχεις τεκεῖν. μὴ βλέπε πρὸς τὴν γῆν, ἀπὸ τῶν οὐρανῶν ἡ ἐνέργεια ἔρχεται. πνεύματός
ἐστι χάρις τὸ γινόμενον, μὴ ζήτει μοι φύσιν καὶ νόμους γάμων. ἀλλ' ἐπειδὴ μείζονα ταύτης
ἐκεῖνα ἦν τὰ ῥήματα, βούλεται καὶ ἑτέραν παρασχεῖν ἀπόδειξιν. σὺ δέ μοι παρατήρει,
πῶς ἡ στεῖρα αὐτὴν ὁδηγεῖ πρὸς τὴν πίστιν τούτου. ἐπειδὴ γὰρ ἐκείνη ἡ ἀπόδειξις μείζων
ἦν τῆς διανοίας τῆς παρθένου, ἄκουσον πῶς καὶ ἐπὶ τὰ ταπεινότερα κατήγαγε τὸν λόγον, διὰ
Λουκ. α. λς. τῶν αἰσθητῶν αὐτὴν χειραγωγῶν. Ἰδοὺ γὰρ, φησιν, Ἐλισάβετ ἡ συγγενής σου καὶ αὐτὴ συνειληφυῖα
υἱὸν ἐν γήρᾳ αὐτῆς· καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ. ὁρᾷς ὅτι ἡ
στεῖρα διὰ τὴν παρθένον; ἐπεὶ, τίνος ἕνεκεν παρήγαγεν αὐτῇ τὸν τόκον τῆς συγγενίδος; τίνος
ἕνεκεν ἔλεγεν, ἐν γήρᾳ αὐτῆς; τίνος ἕνεκεν ἐπήγαγε, τῇ καλουμένῃ στείρᾳ; διὰ πάντων τούτων
ἐνάγων αὐτὴν δηλονότι πρὸς τὸ πιστεῦσαι τῷ εὐαγγελισμῷ. διὰ τοῦτο καὶ τὴν ἡλικίαν
εἶπε, καὶ τὴν πήρωσιν τῆς φύσεως· διὰ τοῦτο καὶ τὸν χρόνον ἀνέμεινε τὸν ἀπὸ τῆς συλλήψεως.
οὐ γὰρ ἐκ προοιμίων αὐτῇ εὐθέως εὐηγγελίσατο, ἀλλ' ἀνέμεινεν ἑξαμηνιαῖον χρόνον
τῇ στείρᾳ γενέσθαι· ἵνα ὁ τῆς γαστρὸς ὄγκος λοιπὸν τὴν κίνησιν ἐγγυήσηται, καὶ ἀναμφισβήτητος
ἀπόδειξις γένηται τῆς συλλήψεως. καὶ θέα μοι πάλιν τὴν σύνεσιν τοῦ Γαβριήλ. οὐδὲ γὰρ
ἀνέμνησεν αὐτὴν τῆς Σάῤῥας, οὐδὲ τῆς Ῥεβέκκας, οὐδὲ τῆς Ῥαχήλ· καίτοι καὶ αὗται στεῖραι
ἦσαν, καὶ αὗται γεγηρακυῖαι, καὶ θαῦμα τὸ γινόμενον ἦν. ἀλλὰ παλαιὰ τὰ διηγήματα ἦν.
τῶν δὲ ἀρχαίων τὰ νέα καὶ πρόσφατα καὶ κατὰ τὴν γενεὰν συμβαίνοντα τὴν ἡμετέραν μᾶλλον
ἡμᾶς εἰς πίστιν τῶν θαυμάτων ἐνάγειν εἴωθε. διὰ τοῦτο ἐκείνας ἀφεὶς, ἀπ' αὐτῆς ἐννοῆσαι
τῆς συγγενίδος τῆς Ἐλισάβετ τὸ ἐπ' αὐτῇ προσεβάλλετο· ὥστε ἀπ' ἐκείνης πρὸς τὸν
οἰκεῖον αὐτὴν τόκον ἐναγαγεῖν τὸν φρικωδέστατον ἐκεῖνον καὶ σεμνότατον. μέσος γὰρ τοῦ τε ἡμετέρου,
καὶ τοῦ δεσποτικοῦ ὁ τόκος ὁ τῆς στείρας ἦν, ἐλάττων μὲν τοῦ τῆς παρθένου, μείζων δὲ
τοῦ ἡμετέρου. διὰ τοῦτο, ὥσπερ διά τινος γεφύρας, μέσης τῆς Ἐλισάβετ ἀπὸ τῶν κατὰ φύσιν
ὠδίνων ἐπὶ τὸν ὑπὲρ φύσιν ἀνάγει τῆς παρθένου τὴν διάνοιαν.

Ἐβουλόμην πλείονα εἰπεῖν, καὶ ἑτέρους λόγους ὑμᾶς διδάξαι, δι' οὓς στεῖρα ἡ Ῥεβέκκα
καὶ ἡ Ῥαχὴλ ἦν· ἀλλ' ὁ καιρὸς οὐκ ἀφίησι κατεπείγων τὸν λόγον πρὸς τὴν τῆς εὐχῆς δύναμιν.
διὰ γὰρ τοῦτο καὶ ταῦτα πάντα ἐκινήσαμεν, ἵνα μάθητε, πῶς τὴν στείρωσιν τῆς γυναικὸς
Γεν. κε. κα. ἔλυσε τοῦ Ἰσαὰκ ἡ εὐχὴ, καὶ εὐχὴ τοσούτου χρόνου. Ἐδέετο, φησιν, Ἰσαὰκ περὶ Ῥεβέκκας
τῆς γυναικὸς αὐτοῦ, καὶ ἐπήκουσεν αὐτοῦ ὁ Θεός. μὴ γὰρ [ἐπειδὴ] νομίσης ὅτι ἐκάλεσε τὸν
Θεὸν, καὶ εὐθέως εἰσηκούσθη. πολὺν γὰρ ἀνάλωσε χρόνον δεόμενος τοῦ Θεοῦ. καὶ εἰ βούλεσθε
μαθεῖν πόσον, ἐγὼ ὑμῖν καὶ τοῦτο μετὰ ἀκριβείας ἐρῶ. Εἴκοσι ἐτῶν ἀριθμὸν ἀνάλωσε
δεόμενος τοῦ Θεοῦ. πόθεν τοῦτο δῆλον; ἐκ τῆς ἀκολουθίας αὐτῆς. βουλομένη γὰρ ἡ γραφὴ
τὴν πίστιν καὶ τὴν ὑπομονὴν καὶ τὴν φιλοσοφίαν δεῖξαι τοῦ δικαίου, οὐδὲ τὸν χρόνον ἀπεσιώπησεν,
ἀλλὰ καὶ αὐτὸν δῆλον ἡμῖν ἐποίησε, λανθανόντως μὲν, ὥστε διεγεῖραι ἡμῶν τὴν ῥαθυμίαν,
πλὴν ἀλλ' οὐκ ἀφῆκεν εἶναι ἀφανῆ. ἄκουσον γοῦν πῶς λανθανόντως ἡμῖν τὸν χρόνον
Γεν. κε. κ. ἐδήλωσεν. Ἰσαὰκ δὲ ἦν ἐτῶν τεσσαράκοντα, φησιν, ὅτε ἔλαβε τὴν Ῥεβέκκαν θυγατέρα
Βαθουὴλ τοῦ Σύρου. ἔμαθες πόσων ἐτῶν ἦν, ὅτε τὴν γυναῖκα ἠγάγετο; τεσσαράκοντα ἐτῶν,
φησιν, ἦν ὅτε ἔλαβε τὴν Ῥεβέκκαν. ἀλλ' ἐπειδὴ ἐμάθομεν πόσων ἐτῶν ὢν ἔγημε τὴν
γυναῖκα, μάθωμεν καὶ πότε ἐγένετο λοιπὸν πατὴρ, καὶ πόσων ἐτῶν ἦν τότε, ὅτε ἐγέννησε τὸν Ἰακώβ·
καὶ δυνησόμεθα ἰδεῖν πόσον ἔμεινε χρόνον στεῖρα ἡ γυνὴ, καὶ ὅτι τοῦτον ἅπαντα ἐδέετο τοῦ
Γεν. κε. κς. Θεοῦ τὸν χρόνον. πόσων οὖν ἐτῶν ἦν, ὅτε ἐγέννησε τὸν Ἰακώβ; Ἐξῆλθε, φησιν, Ἰακὼβ ἐπειλημμένος
τῇ δεξιᾷ τῆς πτέρνης τοῦ ἀδελφοῦ αὐτοῦ. διὰ τοῦτο ἐκάλεσεν αὐτὸν Ἰακὼβ, ἐκεῖνον
δὲ Ἡσαῦ. Ἰσαὰκ δὲ ἦν ἐτῶν ἑξήκοντα, ὅτε ἐγέννησεν αὐτούς. Εἰ τοίνυν ὅτε μὲν ἠγάγετο
τὴν

τὴν Ῥεβέκκαν, τεσσαράκοντα ἐτῶν ὤν, ὅτε δὲ ἐγέννησε τοὺς υἱούς, ἑξήκοντα. εὔδηλον ὅτι εἴκοσι ἔτη μεταξὺ στεῖρα ἔμεινεν ἡ γυνή, καὶ τοῦτον ἅπαντα τὸν χρόνον ἐδέετο τοῦ Θεοῦ ὁ Ἰσαάκ. εἶτα οὐκ αἰσχυνόμεθα οὐδὲ ἐγκαλυπτόμεθα, τὸν μὲν δίκαιον ὁρῶντες εἴκοσι ἔτη παραμένοντα καὶ οὐκ ἀφιστάμενον, ἡμεῖς δὲ ἐκ πρώτης αἰτήσεως ἢ δευτέρας πολλάκις ἀπαγορεύοντες καὶ δυσχεραίνοντες; καίτοι ὁ μὲν πολλὴν πρὸς τὸν Θεὸν εἶχε τὴν παρρησίαν, καὶ ὅμως οὐκ ἐδυσχέραινε πρὸς τὴν ἀναβολὴν τῆς δόσεως, ἀλλ' ἔμενε καρτερῶν· ἡμεῖς δὲ μυρίων ἁμαρτημάτων γέμοντες, πονηρῷ συνειδότι συζῶντες, οὐδεμίαν εὔνοιαν περὶ τὸν δεσπότην ἐπιδεικνύμενοι, ἂν μή, πρὶν ἢ φθέγξασθαι, ἀκούσωμεν, ἀλύομεν, ἀποδυσπετοῦμεν, ἀφιστάμεθα τῆς αἰτήσεως. διὰ τοῦτο κεναῖς ἀεὶ ἀναχωροῦμεν χερσί. τίς εἴκοσι ἔτη ὑπὲρ ἑνὸς πράγματος παρεκάλεσε τὸν Θεόν, καθάπερ οὗτος ὁ δίκαιος; μᾶλλον δὲ τίς εἴκοσι μῆνας μόνους; χθὲς μὲν οὖν ἔλεγον, ὅτι πολλοί εἰσιν οἱ μετὰ ῥαθυμίας εὐχόμενοι, καὶ χασμώμενοι, καὶ διατεινόμενοι, καὶ μεταστρεφόμενοι συνεχῶς, καὶ ὀλιγωρίᾳ πάσῃ περὶ τὰς εὐχὰς κεχρημένοι. σήμερον δὲ καὶ ἑτέραν βλάβην εὗρον ταῖς εὐχαῖς προσγινομένην ὀλεθριωτέραν ἐκείνης. πολλοὶ γὰρ πρηνεῖς ἑαυτοὺς ῥιπτοῦντες, καὶ τῷ μετώπῳ τὴν γῆν τύπτοντες, καὶ θερμὰ προχέοντες δάκρυα, καὶ πικρὸν κάτωθεν στενάζοντες, καὶ τὰς χεῖρας ἐκτείνοντες, καὶ πολλὴν σπουδὴν ἐπιδεικνύμενοι, τῇ θερμότητι ταύτῃ καὶ τῇ προθυμίᾳ κατὰ τῆς οἰκείας κέχρηνται σωτηρίας. οὐ γὰρ ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων παρακαλοῦσι τὸν Θεόν, οὐδὲ συγγνώμην αἰτοῦσι τῶν πλημμεληθέντων αὐτοῖς, ἀλλὰ τὴν σπουδὴν ταύτην κατὰ τῶν ἐχθρῶν κενοῦσιν ἅπασαν· ταὐτὸν ποιοῦντες, ὥσπερ ἂν εἴ τις τὸ ξίφος ἀκονήσας, μὴ κατὰ τῶν πολεμίων χρῷτο τῷ ὅπλῳ, ἀλλὰ διὰ τῆς οἰκείας αὐτὸ δέρης ὠθοῖ. οὕτω καὶ οὗτοι οὐχ ὑπὲρ τῆς ″φύσεως τῶν οἰκείων ἁμαρτημάτων, ἀλλὰ κατὰ τῆς τιμωρίας τῶν ἐχθρῶν ταῖς εὐχαῖς κέχρηνται· ὅπερ ἐστὶ καθ' ἑαυτῶν τὸ ξίφος ὠθεῖν. ἐπενόησε δὲ καὶ τοῦτο ὁ πονηρός, ἵνα πανταχόθεν ἑαυτοὺς ἀπολλύωμεν, καὶ διὰ ῥαθυμίας, καὶ διὰ σπουδῆς. οἱ μὲν γὰρ τῇ περὶ τὰς εὐχὰς ὀλιγωρίᾳ παροξύνουσι τὸν Θεόν, τὴν καταφρόνησιν διὰ τῆς ῥαθυμίας ἐπιδεικνύμενοι· οἱ δὲ ἐπὰν σπουδὴν ἐπιδείκνυνται, ″τῇ σπουδῇ πάλιν κατὰ τῆς ἑαυτῶν ἐπιδείκνυνται σωτηρίας. ὁ διάβολος, φησι, ῥᾳθυμεῖ. ἀρκεῖ μοι πρὸς τὸ μηδενὸς αὐτὸν ἐπιτυχεῖν. οὗτος σπουδαῖός ἐστι καὶ διεγηγερμένος. τί οὖν ἵνα γένηται; οὐ δυνάμενος ἐκλῦσαι τὴν σπουδήν, οὐδὲ εἰς ὀλιγωρίαν ἐμβαλεῖν; ἑτέρως αὐτῷ ″προοδεύσω τὴν ἀπώλειαν. πῶς; εἰς παρανομίαν τῇ σπουδῇ χρήσασθαι παρασκευάσω. τὸ γὰρ κατὰ τῶν ἐχθρῶν εὔχεσθαι, παράνομόν ἐστιν. ἀπελεύσεται τοίνυν οὐ μόνον οὐδὲν κερδάνας ἀπὸ τῆς σπουδῆς, ἀλλὰ καὶ πλείονα τὴν βλάβην ὑπομείνας διὰ ῥαθυμίας. τοιαῦται αἱ τοῦ διαβόλου μηχαναί· τοὺς μὲν διὰ τῆς ῥαθυμίας, τοὺς δὲ δι' αὐτῆς ἀπόλλυσι τῆς σπουδῆς, ὅταν μὴ κατὰ νόμους αὐτὴ γίνηται.

Ἀλλὰ καὶ αὐτῶν ἄξιον ἀκοῦσαι τῶν ῥημάτων τῆς εὐχῆς, καὶ πῶς παιδικῆς ἐστι διανοίας τὰ ῥήματα, πῶς νηπιώδους ψυχῆς. αἰσχύνομαι μὲν οὖν αὐτὰ μέλλων ἐρεῖν, πλὴν ἀνάγκη πάντως εἰπεῖν καὶ μιμήσασθαι τὴν ἀπαίδευτον γλῶτταν ἐκείνην. τίνα οὖν ἐστι τὰ ῥήματα; ἐκδίκησόν με ἐκ τῶν ἐχθρῶν μου· δεῖξον αὐτοῖς, ὅτι Θεὸν ἔχω κἀγώ. οὐ τότε μανθάνουσιν, ἄνθρωπε, ὅτι Θεὸν ἔχομεν, ὅταν ἀγανακτῶμεν καὶ ὀργιζώμεθα καὶ δυσχεραίνωμεν· ἀλλ' ὅταν ἐπιεικεῖς ὦμεν καὶ πρᾶοι καὶ ἥμεροι, καὶ πᾶσαν ἀσκῶμεν φιλοσοφίαν. οὕτω καὶ ὁ Θεὸς εἶπε· Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Ματθ. ε. ιε. οὐκ ἐννοεῖς ὅτι ὕβρις ἐστὶν εἰς τὸν Θεόν, τὸ αἰτεῖν κατὰ τῶν ἐχθρῶν τὸν Θεόν; καὶ πῶς ὕβρις ἐστί, φησιν; ὅτι αὐτὸς εἶπεν, Εὔχεσθε ὑπὲρ τῶν ἐχθρῶν ὑμῶν, καὶ τὸν θεῖον τοῦτον εἰσήγαγε νόμον. ὅταν οὖν τὸν νομοθέτην ἀξιοῖς τοὺς οἰκείους παραλύειν νόμους, καὶ παρακαλῇς αὐτὸν ἀντινομοθετεῖν αὐτῷ, καὶ τὸν σὲ κωλύσαντα κατεύχεσθαι τῶν ἐχθρῶν ἱκετεύῃς ἀκοῦσαί σου κατευχομένου τῶν ἐχθρῶν, οὐκ εὔχῃ τοῦτο ποιῶν,

ἀφέσεως

σπουδῇ

ἀπολλύσω

γηθῇ πρὸς τὴν πίστιν τῆς ἐπαγγελίας καὶ τῆς ὑποσχέσεως ἐκείνης, ἧς ἤκουσε παρὰ τοῦ ἀγγέλου λέγοντος, Λουκ. α. λε. Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· οὕτω, φησὶν, ἔχεις τεκεῖν. μὴ βλέπε πρὸς τὴν γῆν, ἀπὸ τῶν οὐρανῶν ἡ ἐνέργεια ἔρχεται. πνεύματός ἐστι χάρις τὸ γινόμενον, μὴ ζήτει μοι φύσιν καὶ νόμους γάμων. ἀλλ' ἐπειδὴ μείζονα ταύτης ἐκεῖνα ἦν τὰ ῥήματα, βούλεται καὶ ἑτέραν παρασχεῖν ἀπόδειξιν. σὺ δέ μοι παρατήρει, πῶς ἡ στεῖρα αὐτὴν ὁδηγεῖ πρὸς τὴν πίστιν τούτου. ἐπειδὴ γὰρ ἐκείνη ἡ ἀπόδειξις μείζων ἦν τῆς διανοίας τῆς παρθένου, ἄκουσον πῶς καὶ ἐπὶ τὰ ταπεινότερα κατήγαγε τὸν λόγον, διὰ τῶν αἰσθητῶν αὐτὴν χειραγωγῶν. Λουκ. α λϛ. Ἰδοὺ γὰρ, φησὶν, Ἐλισάβετ ἡ συγγενής σου καὶ αὐτὴ συνειληφυῖα υἱὸν ἐν γήρᾳ αὐτῆς· καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ. ὁρᾷς ὅτι ἡ στεῖρα διὰ τὴν παρθένον; ἐπεὶ, τίνος ἕνεκεν προσήγγελεν αὐτῇ τὸν τόκον τῆς συγγενίδος; τίνος ἕνεκεν ἔλεγεν, ἐν γήρᾳ αὐτῆς; τίνος ἕνεκεν ἐπήγαγε, τῇ καλουμένῃ στείρᾳ; διὰ πάντων τούτων ἐνάγων αὐτὴν δηλονότι πρὸς τὸ πιστεῦσαι τῷ εὐαγγελισμῷ. διὰ τοῦτο καὶ τὴν ἡλικίαν εἶπε, καὶ τὴν πήρωσιν τῆς φύσεως· διὰ τοῦτο καὶ τὸν χρόνον ἀνέμεινε τὸν ἀπὸ τῆς συλλήψεως. οὐ γὰρ ἐκ προοιμίων αὐτῇ εὐθέως εὐηγγελίσατο, ἀλλ' ἀνέμεινεν ἑξαμηνιαῖον χρόνον τῇ στείρᾳ γενέσθαι· ἵνα ὁ τῆς γαστρὸς ὄγκος λοιπὸν τὴν κύησιν ἐγγυήσηται, καὶ ἀναμφισβήτητος ἀπόδειξις γένηται τῆς συλλήψεως. καὶ θέα μοι πάλιν τὴν σύνεσιν τοῦ Γαβριήλ. οὐδὲ γὰρ ἀνέμνησεν αὐτὴν τῆς Σάῤῥας, οὐδὲ τῆς Ῥεβέκκας, οὐδὲ τῆς Ῥαχήλ· καίτοι καὶ αὗται στεῖραι ἦσαν, καὶ αὗται γεγεννήκασι, καὶ θαῦμα τὸ γινόμενον ἦν. ἀλλὰ παλαιὰ τὰ διηγήματα ἦν. τῶν δὲ ἀρχαίων τὰ νέα καὶ πρόσφατα καὶ κατὰ τὴν γενεὰν συμβαίνοντα τὴν ἡμετέραν μᾶλλον ἡμᾶς εἰς πίστιν τῶν θαυμάτων ἐνάγειν εἴωθε. διὰ τοῦτο ἐκείνας ἀφεὶς, ἀπ' αὐτῆς ἐννοῆσαι τῆς συγγενίδος τῆς Ἐλισάβετ τὸ ἐπ' αὐτῇ προεβάλλετο· ὥστε ἀπ' ἐκείνης πρὸς τὸν οἰκεῖον αὐτὴν τόκον ἐναγαγεῖν τὸν φρικωδέστατον ἐκεῖνον καὶ σεμνότατον. μέσος γὰρ τοῦ τε ἡμετέρου, καὶ τοῦ δεσποτικοῦ ὁ τόκος ὁ τῆς στείρας ἦν, ἐλάττων μὲν τοῦ τῆς παρθένου, μείζων δὲ τοῦ ἡμετέρου. διὰ τοῦτο, ὥσπερ διά τινος γεφύρας, μέσης τῆς Ἐλισάβετ ἀπὸ τῶν κατὰ φύσιν ὠδίνων ἐπὶ τὸν ὑπὲρ φύσιν ἀνάγει τῆς παρθένου τὴν διάνοιαν.

Ἐβουλόμην πλείονα εἰπεῖν, καὶ ἑτέρους λόγους ὑμᾶς διδάξαι, δι' οὓς στεῖρα ἡ Ῥεβέκκα καὶ ἡ Ῥαχὴλ ἦν· ἀλλ' ὁ καιρὸς οὐκ ἀφίησι κατεπείγων τὸν λόγον πρὸς τὴν τῆς εὐχῆς δύναμιν. διὰ γὰρ τοῦτο καὶ ταῦτα πάντα ἐκινήσαμεν, ἵνα μάθητε, πῶς τὴν στείρωσιν τῆς γυναικὸς ἔλυσε τοῦ Ἰσαὰκ ἡ εὐχὴ, καὶ εὐχὴ τοσούτου χρόνου. Γεν. κε. κα. Ἐδέετο, φησὶν, Ἰσαὰκ περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, καὶ ἐπήκουσεν αὐτοῦ ὁ Θεός. μὴ γὰρ [ἐπειδὴ] νομίσῃς ὅτι ἐκάλεσε τὸν Θεὸν, καὶ εὐθέως εἰσηκούσθη. πολὺν γὰρ ἀνάλωσε χρόνον δεόμενος τοῦ Θεοῦ. καὶ εἰ βούλεσθε μαθεῖν πόσον, ἐγὼ ὑμῖν καὶ τοῦτο μετὰ ἀκριβείας ἐρῶ. εἴκοσι ἐτῶν ἀριθμὸν ἀνάλωσε δεόμενος τοῦ Θεοῦ. πόθεν τοῦτο δῆλον; ἐκ τῆς ἀκολουθίας αὐτῆς. βουλομένη γὰρ ἡ γραφὴ τὴν πίστιν καὶ τὴν ὑπομονὴν καὶ τὴν φιλοσοφίαν δεῖξαι τοῦ δικαίου, οὐδὲ τὸν χρόνον ἀπεσιώπησεν, ἀλλὰ καὶ αὐτὸν δῆλον ἡμῖν ἐποίησε, λανθανόντως μὲν, ὥστε διεγεῖραι ἡμῶν τὴν ῥαθυμίαν, πλὴν ἀλλ' οὐκ ἀφῆκεν εἶναι ἀφανῆ. ἄκουσον γοῦν πῶς λανθανόντως ἡμῖν τὸν χρόνον Γεν. κε. κ. ἐδήλωσεν. Ἰσαὰκ δὲ ἦν ἐτῶν τεσσαράκοντα, φησὶν, ὅτε ἔλαβε τὴν Ῥεβέκκαν θυγατέρα Βαθουὴλ τοῦ Σύρου. ἔμαθες πόσων ἐτῶν ἦν, ὅτε τὴν γυναῖκα ἠγάγετο; τεσσαράκοντα ἐτῶν, φησὶν, ἦν ὅτε ἔλαβε τὴν Ῥεβέκκαν. ἀλλ' ἐπειδὴ ἐμάθομεν πόσων ἐτῶν ὢν ἔγημε τὴν γυναῖκα, μάθωμεν καὶ πότε ἐγένετο λοιπὸν πατὴρ, καὶ πόσων ἐτῶν ἦν τότε, ὅτε ἐγέννησε τὸν Ἰακώβ· καὶ δυνησόμεθα ἰδεῖν πόσον ἔμεινε χρόνον στεῖρα ἡ γυνὴ, καὶ ὅτι τοῦτον ἅπαντα ἐδέετο τοῦ Γεν. κε. κϛ. Θεοῦ τὸν χρόνον. πόσων οὖν ἐτῶν ἦν, ὅτε ἐγέννησε τὸν Ἰακώβ; Ἐξῆλθε, φησὶ, Ἰακὼβ ἐπειλημμένος τῇ δεξιᾷ τῆς πτέρνης τοῦ ἀδελφοῦ αὐτοῦ. διὰ τοῦτο ἐκάλεσεν αὐτὸν Ἰακὼβ, ἐκεῖνον δὲ Ἡσαῦ. Ἰσαὰκ δὲ ἦν ἐτῶν ἑξήκοντα, ὅτε ἐγέννησεν αὐτούς. εἰ τοίνυν ὅτε μὲν ἠγάγετο τὴν Ῥεβέκκαν, τεσσαράκοντα ἐτῶν ἦν, ὅτε δὲ ἐγέννησε τοὺς υἱούς, ἑξήκοντα· εὔδηλον ὅτι εἴκοσι ἔτη μεταξὺ στεῖρα ἔμεινεν ἡ γυνή, καὶ τοῦτον ἅπαντα τὸν χρόνον ἐδέετο τοῦ Θεοῦ ὁ Ἰσαάκ. Εἶτα οὐκ αἰσχυνόμεθα οὐδὲ ἐγκαλυπτόμεθα, τὸν μὲν δίκαιον ὁρῶντες εἴκοσι ἔτη παραμένοντα καὶ οὐκ ἀφιστάμενον, ἡμεῖς δὲ ἐκ πρώτης αἰτήσεως ἢ δευτέρας πολλάκις ἀπαγορεύοντες καὶ δυσχεραίνοντες; καίτοι ὁ μὲν πολλὴν πρὸς τὸν Θεὸν εἶχε τὴν παρρησίαν, καὶ ὅμως οὐκ ἐδυσχέραινε πρὸς τὴν ἀναβολὴν τῆς δόσεως, ἀλλ' ἔμενε καρτερῶν· ἡμεῖς δὲ μυρίων ἁμαρτημάτων γέμοντες, πονηρῷ συνειδότι συζῶντες, οὐδεμίαν εὔνοιαν περὶ τὸν δεσπότην ἐπιδεικνύμενοι, ἂν μή, πρὶν ἢ φθέγξασθαι, ἀκηδιῶμεν, ἀλύομεν, ἀποδυσπετοῦμεν, ἀφιστάμεθα τῆς αἰτήσεως. διὰ τοῦτο κεναῖς ἀεὶ ἀναχωροῦμεν χερσί. τίς εἴκοσι ἔτη ὑπὲρ ἑνὸς πράγματος παρεκάλεσε τὸν Θεόν, καθάπερ οὗτος ὁ δίκαιος; μᾶλλον δὲ τίς εἴκοσι μῆνας μόνους; χθὲς μὲν οὖν ἔλεγον, ὅτι πολλοί εἰσι τῶν μετὰ ῥᾳθυμίας εὐχόμενοι, καὶ χασμώμενοι, καὶ διατεινόμενοι, καὶ μεταστρεφόμενοι συνεχῶς, καὶ ὀλιγωρίᾳ πάσῃ περὶ τὰς εὐχὰς κεχρημένοι. σήμερον δὲ καὶ ἑτέραν βλάβην εὗρον ταῖς εὐχαῖς προσγινομένην ὀλεθριωτέραν ἐκείνης. πολλοὶ γὰρ πρηνεῖς ἑαυτοὺς ῥιπτοῦντες, καὶ τῷ μετώπῳ τὴν γῆν τύπτοντες, καὶ θερμὰ προχέοντες δάκρυα, καὶ πικρὸν κάτωθεν στενάζοντες, καὶ τὰς χεῖρας ἐκτείνοντες, καὶ πολλὴν σπουδὴν ἐπιδεικνύμενοι, τῇ θερμότητι ταύτῃ καὶ τῇ προθυμίᾳ κατὰ τῆς οἰκείας κέχρηνται σωτηρίας. οὐ γὰρ ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων παρακαλοῦσι τὸν Θεόν, οὐδὲ συγγνώμην αἰτοῦσι τῶν πλημμεληθέντων αὐτοῖς, ἀλλὰ τὴν σπουδὴν ταύτην κατὰ τῶν ἐχθρῶν κενοῦσιν ἅπασαν· ταὐτὸν ποιοῦντες, ὥσπερ ἂν εἴ τις τὸ ξίφος ἀκονήσας, μὴ κατὰ τῶν πολεμίων χρῷτο τῷ ὅπλῳ, ἀλλὰ διὰ τῆς οἰκείας αὐτὸ δέρης ὠθοῖ. οὕτω καὶ οὗτοι οὐχ ὑπὲρ τῆς ″ φύσεως τῶν οἰκείων ἁμαρτημάτων, ἀλλὰ κατὰ τῆς τιμωρίας τῶν ἐχθρῶν ταῖς εὐχαῖς κέχρηνται· ὅπερ ἐστὶ καθ' ἑαυτῶν τὸ ξίφος ὠθεῖν. ἐπενόησε δὲ καὶ τοῦτο ὁ πονηρός, ἵνα πανταχόθεν ἑαυτοὺς ἀπολλύωμεν, καὶ διὰ ῥᾳθυμίας, καὶ διὰ σπουδῆς. οἱ μὲν γὰρ τῇ περὶ τὰς εὐχὰς ὀλιγωρίᾳ παροξύνουσι τὸν Θεόν, τὴν καταφρόνησιν διὰ τῆς ῥᾳθυμίας ἐπιδεικνύμενοι· οἱ δὲ ἐπιτεταμένην σπουδὴν ἐπιδείκνυνται, ″ τῇ σπουδῇ πάλιν κατὰ τῆς ἑαυτῶν ἐπιδείκνυνται σωτηρίας. ὁ μὲν γάρ, φησι, ῥᾳθυμεῖ. ἀρκεῖ μοι πρὸς τὸ μηδενὸς αὐτὸν ἐπιτυχεῖν. οὗτος σπουδαῖός ἐστι καὶ διεγηγερμένος. τί οὖν ἵνα γένηται; οὐ δύναμαι ἐκλῦσαι τὴν σπουδήν, οὐδὲ εἰς ὀλιγωρίαν ἐμβαλεῖν; ἑτέρως αὐτῷ″ προοδεύσω τὴν ἀπώλειαν. πῶς; εἰς παρανομίαν τῇ σπουδῇ χρήσασθαι παρασκευάσω. τὸ γὰρ κατὰ τῶν ἐχθρῶν εὔχεσθαι, παράνομόν ἐστιν. ἀπελεύσεται τοίνυν οὐ μόνον οὐδὲν κερδάνας ἀπὸ τῆς σπουδῆς, ἀλλὰ καὶ πλείονα τὴν βλάβην ὑπομείνας διὰ ῥᾳθυμίας. τοιαῦται αἱ τοῦ διαβόλου μηχαναί· τοὺς μὲν διὰ τῆς ῥᾳθυμίας, τοὺς δὲ δι' αὐτῆς ἀπόλλεσι τῆς σπουδῆς, ὅταν μὴ κατὰ νόμους αὕτη γένηται).

Ἀλλὰ καὶ αὐτῶν ἄξιον ἀκοῦσαι τῶν ῥημάτων τῆς εὐχῆς, καὶ πῶς παιδικῆς ἐστι διανοίας τὰ ῥήματα, πῶς νηπιώδους ψυχῆς. αἰσχύνομαι μὲν οὖν αὐτὰ μέλλων ἐρεῖν, πλὴν ἀνάγκη πάντως εἰπεῖν καὶ μιμήσασθαι τὴν ἀπαίδευτον γλῶτταν ἐκείνην. τίνα οὖν ἐστι τὰ ῥήματα; ἐκδίκησόν με ἐκ τῶν ἐχθρῶν μου· δεῖξον αὐτοῖς, ὅτι Θεὸν ἔχω κἀγώ. οὐ τότε μανθάνουσιν, ἄνθρωπε, ὅτι Θεὸν ἔχομεν, ὅταν ἀγανακτῶμεν καὶ ὀργιζώμεθα καὶ δυσχεραίνωμεν· ἀλλ' ὅταν ἐπιεικεῖς ὦμεν καὶ πρᾶοι καὶ ἥμεροι, καὶ πᾶσαν ἀσκῶμεν φιλοσοφίαν. οὕτω καὶ ὁ Θεὸς εἶπε· Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. οὐκ ἐννοεῖς ὅτι ὕβρις ἐστὶν εἰς τὸν Θεόν, τὸ αἰτεῖν κατὰ τῶν ἐχθρῶν τὸν Θεόν; καὶ πῶς ὕβρις ἐστί, φησιν; ὅτι αὐτὸς εἶπεν, Εὔχεσθε ὑπὲρ τῶν ἐχθρῶν ὑμῶν, καὶ τὸν θεῖον τοῦτον εἰσήγαγε νόμον. ὅταν οὖν τὸν νομοθέτην ἀξιοῖς τοὺς οἰκείους παραλύειν νόμους, καὶ παρακαλῇς αὐτὸν ἀντινομοθετεῖν αὐτῷ, καὶ τὸν σε κωλύσαντα κατεύχεσθαι τῶν ἐχθρῶν ἱκετεύῃς ἀκοῦσαί σου κατευχομένου τῶν ἐχθρῶν, οὐκ εὐχῇ τοῦτο ποιῶν,

Matth. 5. 16.

ἀφέσεως

σπουδῇ

μεθοδεύσω

οὐδὲ παρακαλεῖς, ἀλλ' ὑβρίζεις τὸν νομοθέτην, καὶ παροινεῖς εἰς τὸν μέλλοντα διδόναι σοι τὰ ἀγαθὰ τὰ ἀπὸ τῆς εὐχῆς. καὶ πῶς δυνατὸν ἀκουσθῆναι εὐχόμενον, εἰπέ μοι, ὅταν τὸν μέλλοντα ἀκούειν παροξύνῃς; ταῦτα γὰρ ποιῶν εἰς βάραθρον τὴν οἰκείαν ὠθεῖς σωτηρίαν, καὶ κατὰ κρημνοῦ φέρῃ τὸν ἐχθρὸν ἐπ' ὄψεσι τύπτων τοῦ βασιλέως. εἰ γὰρ καὶ μὴ ταῖς χερσὶ τοῦτο ποιεῖς, τοῖς ῥήμασιν αὐτὸν τύπτεις· ὅπερ οὐδὲ ἐπὶ τῶν ὁμοδούλων ποιῆσαι τολμᾷς. τόλμησον γοῦν ἐπὶ ἄρχοντος τοῦτο ποιῆσαι. κἂν μυρία ᾖς κατωρθωκώς, τὴν ἐπὶ θανάτῳ εὐθέως ἀπαχθήσῃ πάντως. εἶτα ἐπὶ ἄρχοντος μὲν οὐ τολμᾷς τὸν ὁμότιμον ὑβρίσαι, ἐπὶ δὲ τοῦ Θεοῦ τοῦτο ποιῶν, εἰπέ μοι, οὐ φρίττεις, οὐδὲ δέδοικας ἐν καιρῷ δεήσεως καὶ εὐχῆς ἀγριαίνων οὕτω καὶ ἐκθηριούμενος, καὶ μείζονα ἀγνωμοσύνην ἐπιδεικνύμενος τοῦ τὰ ἑκατὸν ἀπαιτοῦντος δηνάρια; ὅτι γὰρ ἐκείνου σὺ μᾶλλον ὑβρίζεις, αὐτῆς ἄκουσον τῆς ἱστορίας. *Ματθ.ιη.κδ.* μυρία τάλαντα ὤφειλέ τις τῷ δεσπότῃ· εἶτα οὐκ ἔχων ἀποδοῦναι, ἠξίου μακροθυμῆσαι, ἵνα, πραθείσης αὐτοῦ τῆς γυναικὸς καὶ τῆς οἰκίας καὶ τῶν παίδων, διαλύσηται τὸ ὄφλημα τὸ δεσποτικόν. ἰδὼν δὲ αὐτὸν ὀδυρόμενον ὁ δεσπότης κατηλέησε καὶ τὰ μυρία ἀφῆκε τάλαντα. ἐξελθὼν ἐκεῖνος καὶ εὑρὼν οἰκέτην ἕτερον ὀφείλοντα αὐτῷ δηνάρια ἑκατόν, ἄγχων ἀπῄτει μετὰ πολλῆς τῆς ὠμότητος καὶ τῆς ἀπανθρωπίας. ἀκούσας ταῦτα ὁ δεσπότης ἐνέβαλεν αὐτὸν εἰς τὸ δεσμωτήριον, καὶ ὃ πρότερον ἀφῆκεν ὄφλημα τῶν μυρίων ταλάντων, ἐπέθηκεν αὐτῷ πάλιν, καὶ τῆς εἰς τὸν σύνδουλον ὠμότητος ἔδωκε τὴν τιμωρίαν ἐκεῖνος. σὺ δὲ κἀκείνου θέα πόσον ἀγνωμονέστερος καὶ ἀναισθητότερος γέγονας, τῶν ἐχθρῶν κατευχόμενος. ἐκεῖνος οὐχὶ τὸν δεσπότην ἠξίου ἀπαιτῆσαι, ἀλλ' αὐτὸς ἀπῄτει τὰ ἑκατὸν δηνάρια· σὺ δὲ καὶ τὸν δεσπότην ἐπὶ τὴν ἀπαίτησιν ταύτην τὴν ἀναίσχυντον καὶ κεκωλυμένην παρακαλεῖς. κἀκεῖνος μὲν οὐκ ἐπ' ὄψεσι τοῦ κυρίου, ἀλλ' ἔξω τὸν σύνδουλον ἦγχε· σὺ δὲ ἐν αὐτῷ τῷ καιρῷ τῆς εὐχῆς παρὰ τοῦ βασιλέως ἑστὼς ταῦτα ποιεῖς. εἰ δὲ ἐκεῖνος οὔτε τὸν δεσπότην παρακαλέσας ἐπὶ τὴν ἀπαίτησιν, καὶ μετὰ τὸ ἐξελθεῖν ταῦτα ποιῶν, οὐδεμιᾶς ἔτυχε συγγνώμης· σὺ καὶ τὸν δεσπότην ἐπὶ τὴν κεκωλυμένην ταύτην ἔκτισιν διεγείρων, καὶ ἐπ' ὄψεσιν αὐτοῦ ταῦτα ποιῶν, ποίαν οὐ δώσεις τιμωρίαν, εἰπέ μοι; ἀλλὰ φλεγμαίνει σου τῇ μνήμῃ τῆς ἔχθρας ἡ διάνοια καὶ οἰδεῖ, καὶ ἀνέστηκεν ἡ καρδία, καὶ τοῦ λελυπηκότος ἀναμιμνησκόμενος, οὐ δύνασαι καταστεῖλαι τὸ οἴδημα τῶν λογισμῶν; ἀντίστησον τῇ φλεγμονῇ ταύτῃ τὴν ἀπὸ τῶν σῶν ἁμαρτημάτων μνήμην, τὸν ἀπὸ τῆς μελλούσης κολάσεως φόβον. ἀναμνήσθητι πόσων ὑπεύθυνος εἶ τῷ δεσπότῃ, καὶ ὅτι πάντων ἐκείνων δίκας ὀφείλεις αὐτῷ· καὶ κρατήσει πάντως οὗτος ὁ φόβος τῆς ὀργῆς ἐκείνης, ἐπειδὴ καὶ πολὺ δυνατώτερον τοῦτο ἐκείνου τοῦ πάθους. ἀναμνήσθητι γεέννης καὶ κολάσεως καὶ τιμωρίας κατὰ τὸν καιρὸν τῆς εὐχῆς, καὶ οὐδὲ εἰς νοῦν λαβεῖν δυνήσῃ τὸν ἐχθρόν. σύντριψον τὴν διάνοιαν, ταπείνωσον τὴν ψυχὴν τῇ μνήμῃ τῶν σοι πεπλημμελημένων, καὶ οὐδὲ ἐνοχλῆσαι δυνήσεταί σοι θυμός. ἀλλὰ τοῦτό ἐστι τὸ πάντων αἴτιον τῶν κακῶν, ὅτι τὰ μὲν τῶν ἄλλων ἁμαρτήματα μετὰ πολλῆς ἐξετάζομεν τῆς ἀκριβείας, τὰ δὲ ἡμέτερα μετὰ πολλῆς παραπεμπόμεθα τῆς ῥᾳθυμίας. τοὐναντίον δὲ ποιεῖν ἐχρῆν· τὰ μὲν οἰκεῖα κακὰ ἄληστα ἔχειν, τῶν δὲ ἀλλοτρίων μηδέποτε ἔννοιαν λαμβάνειν. ἂν τοῦτο ποιῶμεν, καὶ τὸν Θεὸν ἕξομεν ἵλεων, καὶ τοῖς πλησίον παυσόμεθα ἀθάνατα ὀργιζόμενοι, καὶ ἐχθρὸν οὐδένα οὐδέποτε ἕξομεν· εἰ δὲ καὶ γενοίμεθά ποτε, ταχέως καὶ τὴν ἀπέχθειαν καταλύσομεν, καὶ τῶν οἰκείων ἁμαρτημάτων ταχεῖαν λάβωμεν συγχώρησιν. ὥσπερ γὰρ ὁ τῷ πλησίον μνησικακῶν οὐκ ἀφίησι τὴν ἐπὶ τοῖς οἰκείοις ἁμαρτήμασι καταλυθῆναι κόλασιν, οὕτως ὁ καθαρὸς ὢν ὀργῆς, καθαρὸς καὶ ἁμαρτημάτων ἔσται ταχέως. εἰ γὰρ ἡμεῖς ὄντες πονηροὶ καὶ θυμῷ δουλεύοντες, διὰ τὸ τοῦ Θεοῦ πρόσταγμα πάντα τὰ εἰς ἡμᾶς παρορῶμεν ἁμαρτήματα, πολλῷ μᾶλλον ὁ φιλάνθρωπος καὶ ἀγαθὸς καὶ παντὸς καθαρὸς ὢν πάθους παραβλέψεται ἡμῶν τὰ πλημμελήματα, τῆς εἰς τὸν πλησίον φιλοφροσύνης, ἐν τῇ τῶν οἰκείων ἁμαρτημάτων συγχωρήσει, τὴν ἀμοιβὴν ἡμῖν ἀποδιδούς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΟΜΙΛΙΑ ΠΕΡΙ ΤΗΣ ΕΚ ΝΕΚΡΩΝ ἀναστάσεως.

Περὶ δογμάτων ὑμῖν ἔμπροσθεν διελέχθημεν καὶ τῆς τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ δόξης, ἐπιστομίζοντες τοὺς καθαιροῦντας αὐτοῦ τὴν ἀξίαν, καὶ τοῦ γεγεννηκότος αὐτὸν ἀλλοτριοῦντας· σήμερον δὲ ἠθικώτερον βούλομαι γυμνάσαι λόγον, καὶ περὶ βίου καὶ πολιτείας ἅπασαν ποιήσασθαι τὴν παραίνεσιν· μᾶλλον δὲ οὐκ ἠθικὸς ἔσται μόνον, ἀλλὰ καὶ δογματικὸς οὗτος ὁ λόγος. εἰς γὰρ τὴν περὶ τῆς ἀναστάσεως ὑπόθεσιν καθεῖναι παρασκευαζόμεθα. αὕτη δὲ ἡ ὑπόθεσις ποικίλη τίς ἐστιν, ὁμοῦ καὶ εἰς δόγματα ἡμᾶς διορθοῦσα, καὶ τὸν βίον ἡμῶν ῥυθμίζουσα, καὶ τὴν τοῦ Θεοῦ πρόνοιαν ἁπάσης ἀπαλλάττουσα κατηγορίας. καὶ ὥσπερ ἀπιστουμένη, τὴν ζωὴν ἀνατρέπει τὴν ἡμετέραν, καὶ μυρίων κακῶν ἐμπίπλησι, καὶ τὰ ἄνω κάτω ποιεῖ· οὕτω πιστευομένη, τοὺς περὶ τῆς προνοίας ἡμῖν συνιστᾷ λόγους, καὶ πολλὴν τῆς ἀρετῆς παρασκευάζει ποιεῖσθαι τὴν ἐπιμέλειαν, καὶ μετὰ πολλῆς τῆς σπουδῆς τὴν κακίαν φεύγειν, καὶ γαλήνης ἅπαντα καὶ εἰρήνης πληροῖ. ὁ μὲν γὰρ μὴ προσδοκῶν ἀναστήσεσθαι, μηδὲ εὐθύνας δώσειν τῶν ἐνταῦθα πεπραγμένων αὐτῷ, ἀλλὰ μέχρι τοῦ παρόντος βίου τὰ ἡμέτερα στήσεσθαι νομίζων, καὶ περαιτέρω μηδὲν εἶναι πλέον, οὔτε ἀρετῆς ἐπιμελήσεται (πῶς γάρ, μηδεμίαν προσδοκῶν ἀμοιβὴν αὐτῷ κεῖσθαι τῶν πόνων;) οὔτε κακίας ἀφέξεται, μηδεμίαν προσδοκῶν ὑποστήσεσθαι κόλασιν τῶν κακῶς αὐτῷ πεπραγμένων· ἀλλ᾽ ἐπιδοὺς ἑαυτὸν ταῖς ἀτόποις ἐπιθυμίαις, πᾶν εἶδος ἐπελεύσεται πονηρίας. ὁ δὲ περὶ τῆς μελλούσης πεπεικὼς ἑαυτὸν κρίσεως, καὶ τὸ φοβερὸν δικαστήριον ἐκεῖνο πρὸ τῶν ὀφθαλμῶν ἔχων καὶ τὰς ἀπαραιτήτους εὐθύνας καὶ τὴν ἀπαραλόγιστον ψῆφον, παντὶ τρόπῳ σπουδάσεται σωφροσύνης μὲν καὶ ἐπιεικείας ἀντέχεσθαι καὶ τῆς ἄλλης ἀρετῆς, ἀκολασίαν δὲ καὶ θρασύτητα καὶ τὴν ἄλλην ἅπασαν πονηρίαν φεύγειν· καὶ τοὺς κατηγοροῦντας δὲ τῆς τοῦ Θεοῦ προνοίας μετὰ πολλῆς τῆς περιουσίας ἐντεῦθεν ἐπιστομίσαι οὗτος δυνήσεται. ὅταν γὰρ ὁρῶντές τινες τοὺς μὲν ἐπιεικεῖς καὶ σώφρονας καὶ ἐν δικαιοσύνῃ ζῶντας ἀγχομένους ὑπὸ πενίας, ἐπηρεαζομένους, συκοφαντουμένους, μόλις τῆς ἀναγκαίας εὐποροῦντας τροφῆς, πολλάκις δὲ καὶ νόσῳ μακρᾷ καὶ χαλεποῖς νοσήμασι ταριχευομένους, καὶ οὐδεμιᾶς τυγχάνοντας προστασίας, ἀνθρώπους δὲ γόητας καὶ μιαροὺς καὶ πολλῶν γέμοντας κακῶν πλοῦτον περιβεβλημένους, τρυφῶντας, λαμπρὰ περικειμένους ἱμάτια, ἑσμὸν οἰκετῶν ἐπισυρομένους πολύν, θαυμαζομένους, δυναστείας ἀπολαύοντας, παρὰ βασιλεῖ πολλὴν κεκτημένους παρρησίαν· εἶτά τινες ὑπὸ τούτων κατηγοροῦσι τῆς τοῦ Θεοῦ προνοίας, καὶ λέγουσι, ποῦ ταῦτα προνοίας; ποῦ δὲ δικαίας κρίσεως; ὁ σώφρων καὶ ἐπιεικὴς ἐν κακοῖς, ὁ ἀκόλαστος καὶ διεφθαρμένος ἐν ἀγαθοῖς· καὶ οὗτος μὲν θαυμάζεται, ἐκεῖνος δὲ καταφρονεῖται· οὗτος ἀπολαύει τρυφῆς πολλῆς, ἐκεῖνος ἐν πενίᾳ καὶ τοῖς ἐσχάτοις ἐστὶ κακοῖς· ὁ μὲν περὶ τῶν μελλόντων ἀμφιβάλλων σιωπηθήσεται, καὶ οὐδὲν ὅλως ἐρεῖ· ὁ δὲ περὶ ἀναστάσεως φιλοσοφεῖν εἰδὼς, ῥᾳδίως τὴν βλασφημίαν ἐφέξει, καὶ πρὸς τοὺς τὰ τοιαῦτα ἀποδυσπετοῦντας ἐρεῖ· παύσασθε κατὰ τοῦ πεποιηκότος ὑμᾶς Θεοῦ τὴν γλῶτταν ἀκονῶντες τὴν ἑαυτῶν. οὐ γὰρ μέχρι τοῦ παρόντος βίου τὰ ἡμέτερα ἕστηκε πράγματα, ἀλλὰ πρὸς ἑτέραν ζωὴν ἐπειγόμεθα πολλῷ μακροτέραν, μᾶλλον δὲ πέρας οὐκ ἔχουσαν· κἀκεῖ πάντως ὁ μὲν πένης ὢν καὶ μετὰ δικαιοσύνης ζῶν, τῶν πόνων τούτων λήψεται τὰς ἀμοιβάς· ὁ δὲ ἀκόλαστος καὶ γόης, τῆς πονηρίας ταύτης καὶ τῆς ἀδίκου τρυφῆς δώσει τὴν δίκην. μὴ τοίνυν ἀπὸ τῶν παρόντων μόνον περὶ τῆς τοῦ Θεοῦ ψηφιζώμεθα προνοίας, ἀλλὰ καὶ ἀπὸ τῶν μελλόντων τὰ παρόντα. τὰ γὰρ παρόντα, ἀγών ἐστι καὶ σκάμματα καὶ στάδια· τὰ δὲ μέλλοντα, ἔπαθλα καὶ στέφανοι καὶ βραβεῖα. ὥσπερ οὖν τὸν ἀθλητὴν ἐν τῷ σκάμματι καὶ ἱδρῶτι καὶ κόνει καὶ θέρμῃ πολλῇ καὶ πόνοις καὶ ταλαιπωρίαις μάχεσθαι δεῖ, οὕτω καὶ τὸν δίκαιον ἐνταῦθα πολλὰ ὑπομένειν χρὴ καὶ φέρειν ἅπαντα γενναίως, εἴγε μέλλοι λαμπροὺς ἀπολήψεσθαι τοὺς στεφάνους ἐκεῖ. εἰ δὲ αἱ τῶν πονηρῶν εὐημερίαι θορυβοῦσί τινας, καὶ ἐπὶ τούτων ἐκεῖνο λογιζέσθωσαν πάλιν, ὅτι, καθάπερ λῃσταὶ καὶ τυμβωρύχοι καὶ ἀνδροφόνοι καὶ οἱ τὴν θάλασσαν πλέοντες πειραταί, πρὶν ἢ εἰς τὸ δικαστήριον εἰσελθεῖν, πολλῆς ἀπολαύουσι τρυφῆς, οἰκείαν εὐπορίαν τὰς ἀλλοτρίας ποιούμενοι συμφοράς, καὶ τὸν ἀδίκως κτώμενοι πλοῦτον, καὶ καθ' ἑκάστην μεθύοντες τὴν ἡμέραν· ἐπειδὰν δὲ ὑπὸ ταῖς τοῦ δικαστοῦ γένωνται ψήφοις, πάντων ἐκείνων διδόασι δίκην· οὕτω καὶ οὗτοι τὰς πόρνας ἀγοράζοντες, καὶ τὰς Συβαριτικὰς παρατιθέμενοι τραπέζας, καὶ τὰς ὀφρῦς ἀνασπῶντες, καὶ σοβοῦντες ἐπὶ τῆς ἀγορᾶς, καὶ τοὺς πένητας σπαράττοντες, ὅταν ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ παραγένηται μετὰ τῶν ἀγγέλων τῶν ἑαυτοῦ, καὶ ἐπὶ τοῦ βήματος ἐκείνου καθίσῃ, καὶ τὴν οἰκουμένην εἰς μέσον παραγάγῃ, γυμνοὶ καὶ πάσης ἔρημοι τῆς φαντασίας εἰσενεχθέντες, καὶ οὐδένα συνήγορον οὐδὲ προστάτην ἔχοντες, χωρὶς συγγνώμης ἁπάσης εἰς τοὺς τοῦ πυρὸς ἀπενεχθήσονται ποταμούς. μὴ τοίνυν μήτε τούτους μακαρίσῃς διὰ τὴν ἐνταῦθα τρυφήν, ἀλλὰ δάκρυσον διὰ τὴν μέλλουσαν τιμωρίαν· μηδὲ τὸν δίκαιον ταλανίσῃς διὰ τὴν ἐνταῦθα πενίαν, ἀλλὰ μακάρισον διὰ τὸν μέλλοντα τῶν ἀγαθῶν πλοῦτον· καὶ τὸν περὶ τῆς ἀναστάσεως λόγον ἐν τῇ σαυτοῦ διανοίᾳ ῥίζωσον, ἵνα, κἂν ἀγαθὸς ᾖς καὶ πειράζῃ, δοκιμώτερος γένῃ, ταῖς μελλούσαις ἐλπίσι προθυμίαν μείζονα προσλαμβάνων· κἂν κακὸς ᾖς, ἀποστῇς τῆς πονηρίας, τῷ φόβῳ τῆς μελλούσης κολάσεως σωφρονέστερον σεαυτὸν κατασκευάζων. διὰ τοῦτο καὶ ὁ Παῦλος συνεχῶς ἡμῖν τὸν περὶ ἀναστάσεως κινεῖ λόγον, καθάπερ οὖν καὶ σήμερον ἠκούσατε αὐτοῦ βοῶντος καὶ λέγοντος· β. Κορ. ε. α. Οἴδαμεν γάρ, ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκίαν ἐκ Θεοῦ ἔχομεν ἀχειροποίητον, αἰώνιον, ἐν τοῖς οὐρανοῖς. μᾶλλον δὲ ἀνωτέρω τὸν λόγον ἀγάγωμεν, καὶ ἴδωμεν πόθεν ἐνέπεσεν εἰς τὸν περὶ ἀναστάσεως λόγον. οὐ γὰρ ἁπλῶς, οὐδὲ ὡς ἔτυχε, ταύτην συνεχῶς κινεῖ τὴν διδασκαλίαν· ἀλλ' ὁμοῦ τε διδάξαι βουλόμενος τὰ μέλλοντα, καὶ τοὺς ἀθλητὰς τῆς εὐσεβείας ἐπιρρῶσαι θέλων. νῦν μὲν γὰρ διὰ τὴν τοῦ Θεοῦ χάριν πολλῆς ἀπολαύομεν τῆς εἰρήνης. καὶ γὰρ βασιλεῖς ἐν εὐσεβείᾳ ζῶσι, καὶ ἄρχοντες τὴν ἀλήθειαν ἐπέγνωσαν, καὶ δῆμοι καὶ πόλεις καὶ ἔθνη τῆς πλάνης ἀπαλλαγέντες, τὸν Χριστὸν ἅπαντες προσκυνοῦσι· τότε δὲ ἐν ἀρχῇ τοῦ κηρύγματος, ἄρτι τῶν σπερμάτων τῆς εὐσεβείας καταβαλλομένων, πολὺς ὁ πόλεμος καὶ διάφορος καὶ ποικίλος. καὶ γὰρ ἄρχοντες καὶ βασιλεῖς καὶ οἰκεῖοι καὶ συγγενεῖς καὶ πάντες τοῖς πιστοῖς ἐπολέμουν, καὶ διὰ τῆς φύσεως αὐτῆς ὁ πόλεμος ἤρετο. καὶ γὰρ πατὴρ τέκνον προὔδωκε πολλάκις, καὶ θυγατέρα μήτηρ, καὶ οἰκέτην δεσπότης. οὐδὲ γὰρ αἱ πόλεις μόνον, οὐδὲ αἱ χῶραι, ἀλλὰ καὶ οἰκίαι πολλάκις καθ' ἑαυτὰς ἐμάχοντο· καὶ παντὸς ἐμφυλίου πολέμου χαλεπώτερος ἦν ὁ τότε κατέχων θόρυβος. καὶ γὰρ καὶ χρήματα ἡρπάζετο, καὶ ἐλευθερία προεδίδοτο, καὶ περὶ αὐτῆς τῆς ζωῆς ὁ κίνδυνος ἐπεκρέματο, οὐχὶ βαρβάρων ἐπιτρεχόντων καὶ ἐπηρεαζόντων, ἀλλ' αὐτῶν τῶν δοκούντων προεστάναι καὶ ἄρχειν, πολεμίων ἁπάντων χαλεπώτερον τοὺς ἐρχομένους διατιθέντων. καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγεν, Ἑβρ. ι. λβ. Ὅτι πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων, τοῦτο μέν, ὀνειδισμοῖς τε καὶ θλίψεσι θεατριζόμενοι, τοῦτο δέ, κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενηθέντες. καὶ γὰρ τοῖς δεσμοῖς μου συνεπαθήσατε, καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε. καὶ Γαλάταις δὲ φησι· Τοσαῦτα ἐπάθετε εἰκῆ, εἴγε καὶ εἰκῆ. (Γαλ. γ. δ.) καὶ Θεσσαλονικεῦσι δὲ, καὶ Φιλιππησίοις, καὶ πᾶσιν ἁπλῶς, οἷς ἐπιστέλλει, πολλὰ τοιαῦτα μαρτυρεῖ. καὶ οὐ τοῦτο μόνον ἦν τὸ χαλεπὸν, ὅτι πολὺς ὁ πόλεμος ἔξωθεν κεκίνητο καὶ διηνεκὴς, ἀλλ' ὅτι καὶ ἐν αὐτοῖς τοῖς πιστοῖς συνέβαινε γίνεσθαί τινα σκάνδαλα καὶ ἔρεις καὶ φιλονεικίας καὶ ζηλοτυπίας. καὶ ταῦτα αὐτὰ δηλῶν ὁ Παῦλος ἔλεγεν· Ἔξωθεν μάχαι, ἔσωθεν φόβοι· (β. Κορ. ζ. ε.) καὶ τοῦ ἐκείνου χαλεπώτερος ὁ πόλεμος ἦν, καὶ τοῖς ἀρχομένοις, καὶ τοῖς διδασκάλοις. οὐχ οὕτω γοῦν τὰς τῶν ἐχθρῶν ἐδεδοίκει τὰς ἐπιβουλὰς ὁ Παῦλος, ὡς τὰ ἔνδον πτώματα, καὶ τὰς τῶν οἰκείων παρανομίας. ὅτι γοῦν ἐπόρνευσέ τις παρὰ Κορινθίοις, ἅπαντα τὸν χρόνον ἐκεῖνον πενθῶν διετέλεσε, τὰ σπλάγχνα σπαράττων τὰ ἑαυτοῦ, καὶ πικρὸν ὀλολύζων. (α. Κορ. ε.) ἦν δὲ καὶ τρίτον οὐκ ἔλαττον τῶν εἰρημένων, πολὺν ἐπάγον τοῖς πιστεύουσι πόνον, αὐτὴ τῶν πραγμάτων ἡ φύσις πολλῶν ἱδρώτων γέμουσα καὶ πόνων. οὐ γὰρ εὔκολος καὶ ῥᾳδία τις ἦν ἡ ὁδὸς, ἐφ' ἣν ἦγον αὐτοὺς οἱ ἀπόστολοι, ἀλλὰ τραχεῖα καὶ δυσκατόρθωτος καὶ φιλοσόφου τινὸς καὶ ἀγρύπνου δεομένη ψυχῆς καὶ ἠκριβωμένης πανταχόθεν. διὰ τοῦτο καὶ ὁ Χριστὸς στενὴν καὶ τεθλιμμένην αὐτὴν ἐκάλεσεν. οὐ γὰρ ἐξῆν ἀδεῶς ζῆν, καθάπερ παρὰ τοῖς Ἕλλησιν, ἐν αἰσχρότητι καὶ μέθῃ καὶ ἀδδηφαγίᾳ καὶ τρυφῇ καὶ πολυτελείᾳ· ἀλλ' ἔδει καὶ θυμὸν χαλινοῦν, καὶ ἐπιθυμίας ἀτόπους κρατεῖν, καὶ χρημάτων ὑπερορᾶν, καὶ δόξαν καταπατεῖν, καὶ φθόνου καὶ βασκανίας ἀνώτερον εἶναι. ταῦτα δὲ ἡλίκον πόνον παρέχει, ἴσασιν οἱ καθ' ἡμέραν αὐτοῖς πυκτεύοντες. τί γὰρ ἐπιθυμίας ἀτόπου χαλεπώτερον, εἰπέ μοι; ἣ, καθάπερ κύων λυττῶν, συνεχῶς ἡμῖν ἐπιπηδᾷ, καὶ καθ' ἡμέραν ἡμῖν διενοχλεῖ, καὶ δεῖται διηνεκῶς ἐγρηγορυίας ψυχῆς. τί δὲ καὶ ὀργῆς πικρότερον; γλυκὺ μὲν γὰρ τὸ τὸν ἠδικηκότα ἀμύνασθαι· ἀλλὰ τοῦτο οὐκ ἐξῆν. καὶ τί λέγω; τὸν ἠδικηκότα οὐκ ἐξῆν ἀμύνασθαι; εὐεργετεῖν ἔδει τοὺς λυποῦντας, καὶ εὐλογεῖν τοὺς λοιδορουμένους, καὶ μηδὲ ῥῆμα πικρὸν ἐκβάλλειν ποτέ· καὶ σωφροσύνην δὲ, οὐ τὴν μέχρι τῶν ἔργων μόνον, ἀλλὰ καὶ τὴν μέχρι τῆς ἐννοίας αὐτῆς ἐπιδείκνυσθαι ἔδει. οὐ γὰρ μόνον αὐτῆς τῆς ἀκολάστου πράξεως, ἀλλὰ καὶ ὄψεως τῆς τοιαύτης ἀπέχεσθαι δεῖ, καὶ μηδὲ ἐντρυφᾷν ταῖς ὄψεσι τῶν εὐμόρφων γυναικῶν, ὡς καὶ ὑπὲρ τῆς θεωρίας ταύτης τὴν ἐσχάτην μέλλοντας ὑποστῆσαι δίκην. ἐπεὶ οὖν πολὺς ὁ πόλεμος ἦν παρὰ τῶν ἔξωθεν, πολὺς ὁ πόνος ὁ πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν, πρόσεστι δέ τι καὶ τέταρτον, ἡ ἀπειρία τῶν μελλόντων ἀγωνίζεσθαι τὸν μέγαν τοῦτον ἀγῶνα. οὐ γὰρ ἐκ προγόνων τὴν εὐσέβειαν διαδεξαμένους τοὺς ἀνθρώπους ἔλαβον οἱ ἀπόστολοι, ἀλλ' ἐν βλακείᾳ καὶ τρυφῇ καὶ μέθῃ καὶ αἰσχρότητι καὶ ἀκολασίᾳ τραφέντας. οὐ μικρὸν δὲ τοῦτο εἰς δυσκολίαν τῶν ἀγώνων ἦν, τὸ μὴ ἄνωθεν, μηδὲ ἐκ προγόνων ταύτην πεπαιδεῦσθαι τὴν φιλοσοφίαν, ἀλλὰ νῦν πρῶτον πρὸς τοὺς ἀγῶνας ἀποδύεσθαι τούτους.

Ἐπεὶ οὖν τοσαύτη ἦν ἡ δυσκολία τοῖς ἀγωνιζομένοις τότε, παραμυθούμενος αὐτῶν τὸν πόνον συνεχῶς τὸν περὶ ἀναστάσεως ἐκίνει λόγον. καὶ οὐ ταύτῃ παρέτρεπε μόνον, ἀλλὰ ἀλείφει τοὺς ἀθλητὰς καὶ τῇ διηγήσει τῶν οἰκείων παθῶν. διόπερ πρὶν ἐμπεσεῖν εἰς τοὺς περὶ ἀναστάσεως λόγους, τὰ αὐτοῦ πάθη διηγεῖται, λέγων οὕτως· (β. Κορ. δ. η.) Ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι· ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορούμενοι· διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλιμπανόμενοι· καταβαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι· διὰ τούτων τοὺς καθημερινοὺς θανάτους δηλῶν, ὅτι καθάπερ ἔμψυχοι νεκροὶ περιῄεσαν εἰς θάνατον παραδιδόμενοι καθ' ἡμέραν. ὅτε τοίνυν ἃ πρὸς αὐτοὺς ἐπήγοντο, τότε τὸν περὶ τῆς ἀναστάσεως κινεῖ λόγον. Πιστεύομεν γάρ, φησιν, ὅτι ὁ ἐγείρας τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ ἡμᾶς διὰ Ἰησοῦ ἐγερεῖ καὶ παραστήσει σὺν ὑμῖν. διὸ οὐκ ἐκκακοῦμεν, μεγίστην παράκλησιν ἔχοντες ἐν τοῖς ἀγῶσι, τὴν τῶν μελλόντων ἐλπίδα. καὶ οὐκ εἶπε πρὸς αὐτοὺς, διὸ μὴ ἐκκακεῖτε· ἀλλὰ τί; διὸ οὐκ ἐκκακοῦμεν, δεικνὺς καὶ αὐτοὺς ἐν τοῖς ἀγῶσιν ὄντας διηνεκῶς. ἐπὶ μὲν γὰρ τῶν Ὀλυμπιακῶν ἀγῶνι, ὁ μὲν ἀθλητὴς ἔνδον ἀγωνίζεται, ὁ δὲ παιδοτρίβης πόρρω καθήμενος, τὴν ἀπὸ τῶν λόγων εἰσάγει βοήθειαν, τοσοῦτον συντελῶν τῷ παλαίοντι μόνον, ὅσον βοῆσαι καὶ φθέγξασθαι· παραστῆναι δὲ ἐγγὺς, καὶ τὴν ἀπὸ τῶν χειρῶν συμμαχίαν εἰσενεγκεῖν οὐδεὶς ἐπιτρέπει νόμος αὐτῷ. ἐπὶ δὲ τῶν τῆς εὐσεβείας ἀγώνων οὐχ οὕτως· ἀλλ' ὁμοῦ καὶ παιδοτρίβης ἐστὶ καὶ ἀθλητὴς ὁ αὐτός. διὰ τοῦτο οὐκ ἔξω τοῦ σκάμματος καθήμενος, ἀλλ' εἰς αὐτοὺς ἐμβεβληκὼς τοὺς ἀγῶνας, ἀλείφει τοὺς μετ' αὐτοῦ πυκτεύοντας, λέγων· διὸ οὐκ ἐκκακοῦμεν. καὶ οὐκ εἶπε, διὸ οὐκ ἐκκακῶ, ἀλλὰ, διὸ οὐκ ἐκκακοῦμεν, τοῖς ἐγκωμίοις αὐτοὺς ἀναστῆσαι βουλόμενος. β. Κορ. δ. ις. Ἀλλ' εἰ καὶ ὁ ἔξω ἄνθρωπος ἡμῶν διαφθείρεται, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ. ὅρα σύνεσιν ἀποστολικήν. παρέτρεψεν αὐτοὺς ἀφ' ὧν ἔπασχεν, εἰπὼν, ὅτι ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι· παρέτρεψεν ἀπὸ τῆς ἀναστάσεως τοῦ Ἰησοῦ εἰπὼν, ὅτι ὁ ἐγείρας τὸν Ἰησοῦν καὶ ἡμᾶς ἐγερεῖ. εἶτα καὶ ἑτέραν πάλιν κινεῖ παρακλήσεως τρόπον. ἐπειδὴ γὰρ οἱ πολλοὶ τῶν ἀνθρώπων μικρόψυχοί τινες ὄντες καὶ ἀσθενεῖς καὶ ταλαίπωροι, κἂν πεπεισμένοι περὶ τῆς ἀναστάσεως ὦσιν, ὀλιγωροῦσι πρὸς τὸ μῆκος τοῦ χρόνου καὶ ἰλιγγιῶσι καὶ ἀναπίπτουσι, καὶ ἑτέραν αὐτοῖς πρὸ τῆς ἀναστάσεως δίδωσι μισθὸν καὶ ἀμοιβήν. ποίαν δὴ ταύτην; εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ. ἔξω ἄνθρωπον τὸ σῶμα καλῶν, ἔσω ἄνθρωπον τὴν ψυχὴν λέγων. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· καὶ πρὶν ἀναστῆναι, καὶ πρὶν ἀπολαῦσαι τῆς δόξης τῆς μελλούσης, ἐντεῦθεν ἤδη τῶν πόνων οὐ μικρὰν ἀπείληφας τὴν ἀμοιβὴν, ἐν αὐτῷ τῷ θλίβεσθαι τῆς ψυχῆς ἡμῶν ἀνανεουμένης, σοφωτέρας γινομένης καὶ εὐλαβεστέρας, πλείονα κτωμένης ὑπομονὴν, εὐτονωτέρας καθισταμένης καὶ δυνατωτέρας. καθάπερ γὰρ οἱ τὴν σωματικὴν ἀθλοῦντες ἄθλησιν, καὶ πρὸ τῶν στεφάνων καὶ πρὸ τῶν βραβείων ἀπ' αὐτῆς τῆς γυμνασίας καὶ τοῦ παλαίειν μέγαν λαμβάνουσι τὸν μισθὸν, ὑγιεινότερα καὶ δυνατώτερα αὐτῶν τὰ σώματα διὰ τῆς γυμνασίας κατασκευάζοντες, καὶ πᾶσαν διαφθείροντες ἀρρωστίαν· οὕτω δὴ καὶ ἐπὶ τῶν ἀγώνων τῆς ἀρετῆς, καὶ πρὶν ἢ τὸν οὐρανὸν ἀνοιγῆναι, καὶ πρὶν ἢ τὸν υἱὸν τοῦ Θεοῦ παραγενέσθαι, καὶ πρὶν ἢ τὰς ἀμοιβὰς ἡμᾶς ἀπολαβεῖν, μέγαν ἐντεῦθεν καρπούμεθα τὸν μισθὸν, τῆς ψυχῆς ἡμῶν φιλοσοφωτέρας καθισταμένης. καὶ γὰρ οἱ πολλὴν πλεύσαντες θάλατταν, καὶ μυρίων ἀνασχόμενοι κυμάτων, καὶ πολλοῖς θηρίοις πυκτεύσαντες, καὶ πολλοὺς χειμῶνας ἐνεγκόντες, καὶ πρὸ τῆς ἐμπορείας αὐτῆς οὐ μικρὸν ἀπὸ τῆς μακρᾶς ἀποδημίας ταύτης καρποῦνται τὸ κέρδος τῷ θαρρεῖν καὶ κατατολμᾶν τοῦ πελάγους, καὶ ἀδεῶς καὶ μεθ' ἡδονῆς τὰς διαποντίους ταύτας ποιεῖσθαι ἀποδημίας· οὕτω δὴ καὶ ἐπὶ τοῦ παρόντος βίου, ὁ πολλὰς ἐνεγκὼν θλίψεις διὰ τὸν Χριστὸν, ὁ πολλὰ δεινὰ παθὼν, καὶ πρὸ τῆς βασιλείας τῶν οὐρανῶν μεγάλην ἔλαβεν ἀμοιβὴν, παρρησίαν κτησάμενος πρὸς τὸν Θεὸν ἐντεῦθεν ἤδη, καὶ ὑψηλοτέραν τὴν ἑαυτοῦ κατασκευάσας ψυχὴν, ὡς ἁπάντων λοιπὸν καταγελᾶν τῶν δεινῶν. ἵνα δὲ καὶ σαφέστερον γένηται τὸ λεγόμενον, ἐπὶ παραδείγματος αὐτὸ βούλομαι ποιῆσαι φανερόν. αὐτὸς γὰρ οὗτος ὁ Παῦλος μυρίων ἀνασχόμενος δεινῶν, οὐ μικρὰς καὶ ἐντεῦθεν ἔλαβε τὰς ἀμοιβὰς, καταγελῶν τυράννων, κατεξανιστάμενος μαινομένων δήμων, πάσης ὑπερορῶν τιμωρίας, καὶ πρὸς θηρία, καὶ πρὸς σίδηρον, καὶ πρὸς πελάγη, καὶ πρὸς κρημνοὺς, καὶ πρὸς ἐπαναστάσεις, καὶ πρὸς ἐπιβουλὰς, καὶ πρὸς ἅπαντα τὰ δεινὰ ἀκατάπληκτος μένων, οὗ τί γένοιτ' ἂν ἴσον; τὸν μὲν γὰρ ἀγύμναστον καὶ μηδὲν παθόντα δεινὸν καὶ τὰ τυχόντα θορυβεῖν εἴωθε· μᾶλλον δὲ οὐκ αὐτὰ τὰ πράγματα μόνον, ἀλλὰ καὶ προσδοκίαι ψιλαὶ, αἱ σκιαὶ φοβοῦσι καὶ διεπτόησαν τὸν τοιοῦτον· ὁ δὲ ἀποδυσάμενος πάντα, καὶ εἰς τοὺς ἀγῶνας ἐμβὰς, καὶ μυρία δεινὰ παθὼν, ἁπάντων λοιπόν ἐστιν ἀνώτερος, ὥσπερ κολοιῶν κραζόντων, οὕτω τῶν ἀπειλούντων καταγελῶν. οὐ μικρὸς δὲ οὗτος ὁ στέφανος, οὐδὲ ὁ τυχὼν μισθὸς, ὅταν μηδὲν αὐτὸν τῶν ἀνθρωπίνων δυνήσηται λυπεῖν, ὅταν τὰ τοῖς ἄλλοις φοβερὰ τούτῳ εὐκαταφρόνητα γένηται, ὅταν ὑπὲρ ὧν ἄλλοι φρίτποιοῦσι καὶ ἐξίστανται, ὑπὲρ τούτων μέλλῃ ζημιοῦν αὐτὸς, τῇ τῆς ὑπομονῆς ὑπερβολῇ εἰς τὴν ἀγγελικὴν δυναμένην φιλοσοφίαν ἑαυτὸν μετεστήσατο. εἰ γὰρ δὴ σῶμα μακαρίζομεν τὸ δυνάμενον καὶ ψῦχος καὶ καῦμα ἀλύπως φέρειν, καὶ λιμὸν, καὶ δίψαν, καὶ ὁδοιπορίας, καὶ ταλαιπωρίας ἑτέρας, πολλῷ μᾶλλον ψυχὴν μακαρίζειν δεῖ τὴν δυναμένην καρτερῶς καὶ γενναίως ἁπάσας τῶν δεινῶν φέρειν τὰς προσβολὰς, καὶ διατηρεῖν ἀδούλωτον αὐτῆς διὰ πάντων τὸ φρόνημα. ὁ τοιοῦτος τῶν βασιλέων αὐτῶν ἐστὶ βασιλικώτερος. ἐκεῖνον μὲν γὰρ καὶ δορυφόροι καὶ φίλοι καὶ ἐχθροὶ πολλὰ δύναιντ' ἂν ἀδικῆσαι ἐπιβουλεύοντες καὶ κακουργοῦντες· τὸν δὲ τοιαύτην ἔχοντα ψυχὴν, οἵαν εἶπον νῦν, οὐ βασιλεὺς, οὐ δορυφόρος, οὐκ οἰκέτης, οὐ φίλος, οὐκ ἐχθρὸς, οὐκ αὐτὸς ὁ διάβολος παραβλάψαι δυνήσεται. πῶς γὰρ, τὸν μελετήσαντα μηδὲν τῶν νομιζομένων εἶναι δεινῶν ἡγεῖσθαι δεινόν; τοιοῦτος ἦν ὁ μακάριος Παῦλος. διὰ τοῦτο ἔλεγε· Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλίψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα. καθὼς γέγραπται, ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς; ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς. τοῦτο δὴ καὶ ἐνταῦθα αἰνιττόμενος ἔλεγεν, ὅτι εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ. ἀσθενέστερον τὸ σῶμα γέγονε, φησὶν, ἀλλὰ δυνατωτέρα ἡ ψυχὴ καὶ ἰσχυροτέρα, καὶ πτεροῦται μᾶλλον. καὶ καθάπερ στρατιώτης βαρύνοντα μὲν ἔχων ὅπλα, κἂν σφόδρα γενναῖος ᾖ καὶ πολεμικὸς, οὐκ ἂν γένοιτο τοῖς πολεμίοις φοβερὸς, τῆς τῶν ὅπλων βαρύτητος τῇ τῶν ποδῶν ταχύτητι καὶ τῇ τῶν πολεμικῶν ἐμπειρίᾳ λυμαινομένης· εἰ δὲ κοῦφα λάβοι καὶ εὐμεταχείριστα, πλέον δὲ πτηνοῦ δίκην ἐπέρχεται τοῖς ἐναντίοις· οὕτω καὶ ὁ τὴν σάρκα τὴν ἑαυτοῦ μὴ μάθῃ, μηδὲ ἀνέσει καὶ τρυφῇ καταλιπαίνων, ἀλλὰ νηστείαις καὶ εὐχαῖς καὶ τῇ πολλῇ τῶν θλίψεων ὑπομονῇ κουφοτέραν καὶ χαλεπωτέραν κατασκευάζων, καθάπερ τις ὑπόπτερος ἄνωθεν καταβαίνων, οὕτω μετὰ πολλῆς τῆς ῥύμης εἰς τὰς τῶν δαιμόνων ἐμπίπτων φάλαγγας, καταφέρει ῥᾳδίως τὰς ἀντικειμένας δυνάμεις, καὶ ὑποχειρίους ποιεῖ. οὕτω καὶ ὁ Παῦλος λαβὼν πολλὰς πληγὰς, καὶ εἰς τὸ δεσμωτήριον ἐμπεσὼν, καὶ ἐν τῷ ξύλῳ δεθεὶς, τὸ μὲν σῶμα ἀσθενέστερον εἶχε πόνοις καταπεπονημένον, τὴν δὲ ψυχὴν ἰσχυρὰν καὶ εὔτονον· καὶ οὕτως ἦν ἰσχυρὸς ὁ δεδεμένος, ὡς διὰ φωνῆς σαλεῦσαι τὰ θεμέλια τοῦ δεσμωτηρίου, καὶ τὸν λελυμένον δεσμοφύλακα δέσμιον εἰς τοὺς πόδας ἀγαγεῖν τοὺς ἑαυτοῦ, καὶ τὰς θύρας ἀποκεκλεισμένας ἀνοῖξαι. οὐ μικρὰν οὖν ἡμῖν παραμυθίαν ἔδωκεν ὁ Παῦλος ταύτην καὶ πρὸ τῆς ἀναστάσεως, τὸ βελτίους ἡμᾶς γίνεσθαι καὶ φιλοσοφωτέρους τοῖς πειρασμοῖς. διὰ τοῦτό φησιν, Ἡ θλίψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. καὶ πάλιν ἄλλος τις φησίν· Ἀνὴρ ἀπείραστος, ἀδόκιμος· ὁ δὲ ἀδόκιμος, οὐδενὸς ἄξιος λόγου. ὥστε οὐ μικρὰ ἀπὸ τῆς θλίψεως καρπούμεθα καὶ πρὸ τῆς ἀναστάσεως, τὸ τὴν ψυχὴν ἔχειν δοκιμωτέραν καὶ σοφωτέραν καὶ συνετωτέραν, καὶ πάσης ἀπηλλάχθαι δειλίας. διὰ τοῦτό φησιν, εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ. πῶς ἀνακαινοῦται, εἰπέ; ἀνανδρίας ἐξελαυνομένης ἁπάσης, ἐπιθυμίας σβεννυμένης ἀτόπου, φιλοχρηματίας, κενοδοξίας, τῶν ἄλλων ἁπλῶς τῶν διεφθαρμένων λογισμῶν ἀναιρουμένων ἁπάντων. ὥσπερ οὖν ἡ ἀργίας καὶ ἀδείας ἀπολαύουσα ψυχὴ εὐκόλως ὑπὸ τῶν παθῶν ἁλίσκεται τούτων· οὕτως ἡ διηνεκῶς τοῖς ἀγῶσι τοῖς ὑπὲρ τῆς εὐσεβείας ἐγγυμναζομένη, οὐδὲ σχολὴν ἄγει ταῦτα ἐννοῆσαί ποτε, τῆς περὶ τὰ παλαίσματα μερίμνης πάντων αὐτὴν ἀπαγούσης ἐκείνων. διὰ τοῦτο ἔλεγεν, ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ. εἶτα πάλιν παραμυθούμενος τὰς ψυχὰς τὰς ὀδυνωμένας ἐπὶ τοῖς δεινοῖς τοῖς ἐπαγομένοις καὶ οὐκ εἰδυίας φιλοσοφεῖν, διὰ τῆς ἐλπίδος τῶν μελλόντων αὐτὰς ἀνίστησιν, οὕτω λέγων· Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰ-

Ρωμ. η. λε.

Ρωμ. ε. δ.

β. Κορ. δ. ιζ.

ώνιον βάρος δόξης κατεργάζεται ἡμῖν, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. τὰ γὰρ βλεπόμενα, πρόσκαιρα· τὰ δὲ μὴ βλεπόμενα, αἰώνια. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι μάλιστα μὲν οὖν καὶ ἐνταῦθα. ἡμᾶς ὀνίνησιν ἡ θλῖψις, σοφωτέραν ἡμῶν ποιοῦσα τὴν ψυχὴν καὶ φιλοσοφωτέραν· μετὰ δὲ τοῦτο καὶ μυρία ἡμῖν προξενεῖ κατὰ τὸ μέλλον ἀγαθὰ, οὐκ ἀντίρροπα τῶν πόνων, ἀλλὰ πολλῷ μείζονα τῶν παλαισμάτων καὶ κατὰ τὴν ποσότητα καὶ κατὰ τὴν ποιότητα. ταῦτα ἀμφότερα, λέγω, δηλῶν ὁ Παῦλος, καὶ τὴν ὑπεροχὴν τῶν κινδύνων, καὶ τῶν ἄθλων ποιεῖται τὴν σύγκρισιν, καὶ ἀντιτίθησι τῷ παραυτίκα τὸ αἰώνιον· τῷ ἐλαφρῷ τὸ βάρος· τῇ θλίψει τὴν δόξαν. ἡ μὲν γὰρ θλῖψις πρόσκαιρος, φησι, καὶ κούφη· ἡ δὲ ἄνεσις (μᾶλλον δὲ οὐκ εἶπεν, ἄνεσις, ἀλλὰ, δόξα, ὃ πολλῷ μεῖζον τῆς ἀνέσεως) αἰώνιος καὶ διηνεκὴς καὶ μεγάλη. βάρος δὲ ἐνταῦθα, οὐ τὸ ἐπίπονον καὶ φορτικὸν εἶπεν, ἀλλὰ τὸ πολυτελὲς καὶ ἔντιμον κατὰ τὸ τῶν πολλῶν ἔθος, οἳ τὰ πολύτιμα οὕτω καὶ βαρύτιμα καλεῖν εἰώθασιν. ὅταν οὖν εἴπῃ βάρος δόξης, μέγεθος δόξης λέγει. μὴ τοίνυν τοῦτο μόνον λογίζου, φησὶν, ὅτι μαστίζῃ καὶ ἐλαύνῃ, ἀλλὰ καὶ τοὺς στεφάνους καὶ τὰς ἀμοιβὰς, ὅτι πολλῷ μείζους καὶ λαμπρότεραι τῶν παρόντων ἐκεῖναι, καὶ τέλος οὐκ ἔχουσιν, οὐδὲ πέρας.

Ἀλλὰ ταῦτα, φησιν, ἐν πείρᾳ, ἐκεῖνα δὲ ἐν ἐλπίσι· καὶ ταῦτα μὲν φανερὰ, ἐκεῖνα δὲ οὐ φαίνεται, ἀλλ' ἐκκρεμῆ καὶ μετέωρά εἰσιν. ἀλλ' εἰ καὶ ἀφανῆ, ἀλλὰ τῶν φαινομένων ἐστὶ φανερώτερα. τί λέγω φανερώτερα; ἐκεῖνα δύνασαι μᾶλλον ὁρᾷν, ἢ ταῦτα. ταῦτα μὲν γὰρ παρέρχεται, ἐκεῖνα δὲ μένει. διὸ ἐπήγαγε, λέγων· Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. τὰ γὰρ βλεπόμενα, πρόσκαιρα· τὰ δὲ μὴ βλεπόμενα, αἰώνια. εἰ δὲ λέγοις, καὶ πῶς δυνησόμεθα τὰ ἀφανῆ βλέπειν, τὰ δὲ παρόντα μὴ βλέπειν; ἀπὸ τῶν βιωτικῶν σε εἰς ταύτην ἐναγαγεῖν πειράσομαι τὴν πίστιν. οὐδὲ γὰρ τῶν ἐν τῷ κόσμῳ πραγμάτων τῶν ἐπικήρων τούτων ἅψαιτό τις ἂν ῥᾳδίως, μὴ τὰ ἀφανῆ πρὸ τῶν φανερῶν ἰδών. οἷόν τι λέγω· ὁ ἔμπορος ὑπομένει μὲν χειμῶνας πολλοὺς καὶ κυμάτων ἐπαναστάσεις καὶ ναυάγια καὶ μυρίας δυσκολίας, ἀπολαύει δὲ καὶ πλούτου μετὰ τοὺς χειμῶνας, τὰ φορτία διατιθέμενος, καὶ πολλὴν ἐργαζόμενος πραγματείαν. ὅρα πῶς εἰσὶ μὲν χειμῶνες πρότεροι, τὰ δὲ φορτία ὕστερα· καὶ τὰ μὲν πελάγη καὶ τὰ κύματα φαίνεται ἐξελθόντι τοῦ λιμένος, ἡ ἐμπορεία δὲ οὐ φαίνεται· ἐν ἐλπίσι γάρ ἐστιν ἔτι. ἀλλ' ὅμως ἂν μὴ πρὸς ἐκείνην ἴδῃ πρότερον τὴν ἀφανῆ καὶ μὴ παροῦσαν, μηδὲ ἐν χερσὶν οὖσαν, ἀλλ' ἐν ἐλπίσιν, οὐκ ἂν ἅψαιτο τούτων τῶν παρόντων καὶ φαινομένων. οὕτω καὶ γεωργὸς ζεύγνυσι βόας, καὶ ἄροτρον ἕλκει, καὶ βαθεῖαν αὔλακα ἀνατέμνει, καὶ σπέρματα καταβάλλει, καὶ τὰ ὄντα ἅπαντα δαπανᾷ, καὶ κρυμὸν καὶ πάγον καὶ ὄμβρους καὶ ἑτέρας ἀνέχεται ταλαιπωρίας πολλὰς, καὶ μετὰ τὸν πόνον τοῦτον προσδοκᾷ κομῶντα ὄψεσθαι τὰ λήϊα, καὶ πεπληρωμένην τὴν ἅλωνα. ὁρᾷς πῶς καὶ ἐνταῦθα πρότερος ὁ πόνος, καὶ μετὰ ταῦτα ὁ μισθός; καὶ ὁ μὲν μισθὸς ἄδηλος, ὁ δὲ πόνος δῆλος καὶ φανερός; κἀκεῖνος μὲν ἐν ἐλπίσιν, οὗτος δὲ ἐν χερσίν; ἀλλ' ὅμως καὶ οὗτος ἂν μὴ πρότερον πρὸς ἐκεῖνον ἴδῃ τὸν ἄδηλον καὶ ἀφανῆ καὶ μὴ βλεπόμενον τοῖς ὀφθαλμοῖς τοῦ σώματος πόνον, οὐ μόνον οὐ ζεύξει βόας, οὐδὲ ἄροτρον ἕλξει, οὐδὲ σπέρματα καταβαλεῖ, ἀλλ' οὐδὲ κινηθήσεται οἴκοθεν πρὸς τὴν ἐργασίαν ταύτην ποτέ. πῶς οὖν οὐκ ἄτοπον ἐπὶ μὲν τῶν βιωτικῶν πραγμάτων πρὸ τῶν φανερῶν τὰ ἀφανῆ βλέπειν, καὶ πρὸ τῶν μισθῶν ὑπομένειν τοὺς πόνους, καὶ πρότερον τὰ δυσχερῆ πάντα φέρειν, τότε τὰ ἐξ αὐτῶν ἀναμένειν χρηστὰ, καὶ ταῖς τῶν ἀφανῶν ἐλπίσι προτρεπομένους οὕτως ἅπτεσθαι τῶν φανερῶν· ἐπὶ δὲ τοῦ Θεοῦ διστάζειν καὶ ἀμφιβάλλειν, καὶ πρὸ τῶν πόνων ἀπαιτεῖν τὰς ἀμοιβὰς, καὶ γεωργῶν καὶ ναυτῶν μικροψυχοτέρους φαίνεσθαι; οὐ γὰρ δὴ μόνον κατὰ τοῦτο αὐτῶν φαινόμεθα χείρους, ἀσχάλλοντες πρὸς τὸ μέλλον, ἀλλὰ καὶ καθ' ἕτερον οὐκ ἔλαττον τούτου. ποῖον δὴ τοῦτο; ὅτι ἐκεῖνοι μὲν οὐδὲ περὶ τοῦ τέλους θαῤῥεῖν ἔχοντες πάντως, οὐδὲ οὕτω τῶν πόνων ἀφίσταται· σὺ δὲ ἀξιόπιστον τῶν ὀφθαλμῶν ἔχων ἐγγυητὴν, οὐδὲ οὕτω μιμῇ τὴν ἐκείνων καρτερίαν. ὁ μὲν γὰρ γεωργὸς πολλάκις μετὰ τὸ τὰ σπέρματα καταβαλεῖν, καὶ θεραπεῦσαι τὴν γῆν, καὶ κομῶντα τὰ λήϊα ἰδεῖν, ἢ χαλάζης, ἢ ἐρυσίβης, ἢ ἀκρίδος, ἢ ἄλλης τινὸς τοιαύτης ἐπενεχθείσης πληγῆς, ἐξέπεσε τῆς τῶν πόνων ἀμοιβῆς, καὶ μετὰ τοὺς πολλοὺς ἱδρῶτας κεναῖς οἴκαδε ὑποστρέφει χερσί. καὶ ὁ ἔμπορος δὲ πάλιν, μετὰ τὸ διαδραμεῖν πολὺ πέλαγος πεπληρωμένην ἄγων τὴν ὁλκάδα, πρὸς αὐτὸ πολλάκις τὸ στόμα τοῦ λιμένος ἐμπεσόντων ἀνέμων σκοπέλῳ τινὶ προσαράξας, μόλις ἐξῆλθε τὸ σῶμα διασώσας γυμνόν. καὶ ἐπὶ πάντων ἁπλῶς τῶν βιωτικῶν πολλὰς πολλάκις πρὸς τῷ τέλει συμφορὰς τοιαύτας συμβαίνειν εἰκός· ἐπὶ δὲ τῶν ἀγώνων τῶν σῶν οὐκ ἔστι τοῦτο· ἀλλὰ ἀνάγκη πάντως τὸν ἀγωνισάμενον, τὸν σπείραντα τὴν εὐσέβειαν, καὶ πολλοὺς ἐνεγκόντα πόνους, ἐπιτυχεῖν τοῦ τέλους. οὐ γὰρ ἀέρων ἀνωμαλίαις, οὐδὲ πνευμάτων ῥύμαις τῶν πόνων τούτων τὰς ἀμοιβὰς ἐπέτρεψεν ὁ Θεός· ἀλλ' ἐν τοῖς οὐρανοῖς ἀπόκεινται, ἐν τοῖς ἀσύλοις θησαυροῖς. διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγεν, Ἡ θλῖψις Ρωμ. ε. δ. ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. μὴ τοίνυν εἴπῃς ὅτι ἀφανῆ τὰ μέλλοντα. εἰ γὰρ βουληθείης μετὰ ἀκριβείας ἐξετάσαι, τῶν ἐν χερσίν ἐστι πολὺ φανερώτερα. καὶ τοῦτο αὐτὸ πάλιν ἐνδεικνύμενος ἡμῖν ὁ Παῦλος, τὰ μὲν αἰώνια καλεῖ, τὰ δὲ πρόσκαιρα, τῷ προσκαίρῳ τὸ φθαρτὸν αὐτῶν δηλῶν. πρὶν ἢ γὰρ φανῆναι ἀφίπταται, καὶ ἀποτρέχει πρὶν ἐπιστῆναι, καὶ ὀξύρροποι μὲν αὐτῶν αἱ μεταβολαὶ, ἄπιστος δὲ ἡ κτῆσις. τοῦτο καὶ ἐπὶ πλούτου καὶ δόξης καὶ δυναστείας καὶ ἐπὶ τῆς τῶν σωμάτων εὐμορφίας, τοῦτο καὶ ἐπὶ ῥώμης καὶ ἐπὶ τῶν ἄλλων ἁπλῶς τῶν βιωτικῶν συμβαῖνον ἴδοι τις ἄν. διὰ τοῦτο καὶ ὁ προφήτης κωμῳδῶν τοὺς τρυφῶντας καὶ περὶ χρήματα μεμηνότας καὶ τὴν ἄλλην ἅπασαν φαντασίαν, Ὡς ἑστῶτα, φησὶν, ἐλογίσαντο ταῦτα, καὶ οὐχ ὡς φεύγοντα. ὥσπερ γὰρ Αμ. ς. δ. σκιᾶς οὐκ ἔστιν ἐπιλαβέσθαι, οὕτως οὐδὲ τῶν βιωτικῶν πραγμάτων· ἀλλὰ τὰ μὲν τῇ τελευτῇ καταλύεται, τὰ δὲ καὶ πρὸ τῆς τελευτῆς χειμάρρου παντὸς ὀξυρρεπέστερον παρέδραμε. τὰ δὲ μέλλοντα οὐ τοιαῦτα. οὐκ οἶδε γὰρ μεταβολὴν, οὐ δέχεται τροπὴν, οὐκ ἐφίσταται γήρας, οὐκ ἔχει τινὰ ἀλλοίωσιν· ἀλλ' ἀκμάζει διηνεκῶς, καὶ ἐπὶ τῆς αὐτῆς εὐπρεπείας μένει. ὥστε εἰ δεῖ ἀφανῆ καὶ ἄδηλα εἰπεῖν καὶ ἄπιστα, τὰ παρόντα δεῖ λέγειν πράγματα, καὶ μὴ παραμένοντα τοῖς κεκτημένοις, ἀλλ' ἀμείβοντα τοὺς δεσπότας, καὶ καθ' ἑκάστην ἡμέραν ἀπὸ τούτου πρὸς ἕτερον μεταπηδῶντα, καὶ πάλιν ἀπ' ἐκείνου πρὸς ἄλλον. ταῦτα δὴ πάντα δηλώσας ἡμῖν ὁ Παῦλος, καὶ διὰ τοῦτο τὰ μὲν παρόντα, πρόσκαιρα, τὰ δὲ μέλλοντα, αἰώνια καλέσας, τὸν περὶ τῆς ἀναστάσεως κινεῖ λόγον, οὕτω λέγων· Οἴδαμεν γὰρ ὅτι ἐὰν ἡ ἐπίγειος β. Κορ. ε. α. ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκίαν ἐκ Θεοῦ ἔχομεν ἀχειροποίητον, αἰώνιον ἐν τοῖς οὐρανοῖς. ὅρα πάλιν καὶ ἐνταῦθα πῶς ταῖς λέξεσι κέχρηται κυρίως, δι' αὐτῶν τῶν ὀνομάτων τὴν δύναμιν ἐμφαίνων τῶν νοημάτων. οὐ γὰρ ἁπλῶς σκῆνος τὸ σῶμα ἐκάλεσεν, ἀλλὰ τὸ πρόσκαιρον τῆς παρούσης ζωῆς ἡμῖν ἐνδεικνύμενος, καὶ τὴν ἐπὶ τὸ βέλτιον μεταβολὴν δηλῶν, μονονουχὶ λέγων· τί στενάζεις καὶ δακρύεις, ἀγαπητὲ, ὅτι τύπτῃ καὶ ἐλαύνῃ καὶ εἰς δεσμωτήριον ἐμπίπτεις; τί θρηνεῖς τὰς καθ' ἡμέραν ταύτας κακώσεις, ὀφείλων τὴν ὁλόκληρον δέξασθαι κατάλυσιν τοῦ σώματος· μᾶλλον δὲ οὐχ ἁπλῶς τοῦ σώματος, ἀλλὰ τῆς ἐν τῷ σώματι φθορᾶς; ἵνα γὰρ δείξῃ ὅτι αἱ κατὰ μέρος αὗται κακώσεις οὐ μόνον ἡμᾶς λυπεῖν οὐκ ὀφείλουσιν, ἀλλὰ καὶ εὐφραίνειν, δείκνυσιν ὅτι ἡ καθολικὴ καὶ τελευταία καθαίρεσις, εὐχῆς ἔργον ἐστὶν ἡμῖν, τὴν διὰ τοῦ θανάτου κατάλυσιν οὕτω λέγων. καὶ πάλιν, Καὶ γὰρ ἐν τούτῳ β. Κορ. ε. β. στενάζομεν τῷ σκήνει, τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι ἐπιποθοῦντες. οἰκίαν δὲ σκήνους ἤτοι τὸ σῶμα δι' ἀμφοτέρων καλεῖ τῶν ὀνομάτων; ἢ οἰκίαν σκήνους, τὰς οἰκίας ἐν αἷς κατοικοῦμεν, τὰς πόλεις, τὸ σχῆμα τοῦ παρόντος βίου. καὶ οὐχ ἁπλῶς εἶπεν, οἶδα, ἀλλ', οἴδαμεν, καὶ τὴν τῶν ἀκουόντων προσλαμβάνει γνώμην. οὐ περὶ πραγμάτων ἀμφιλοσοφουμένων διαλέγομαι, φησιν, οὐδὲ περὶ τῶν ἀγνοουμένων, ἀλλ' ὑπὲρ ὧν ἤδη τὴν πίστιν ἐδέξασθε, εἰς τὴν τοῦ Κυρίου πιστεύσαντες ἀνάστασιν. διὰ τοῦτο καὶ σκηνώματα καλοῦμεν τῶν ἀπελθόντων τὰ σώματα. καὶ ὅρα πῶς καὶ τῇ λέξει κυρίως κέχρηται. οὐκ εἶπεν, διῃρέθη καὶ ἠφανίσθη, ἀλλά, κατελύθη, δεικνὺς ὅτι κατασκευάζεται, ἵνα φαιδρότερον, ἵνα λαμπρότερον ἀναστῇ. εἶτα ὥσπερ ἐπὶ τῶν πόνων καὶ τῶν ἐπάθλων ἐποιήσατο σύγκρισιν, ἀπὸ τῆς ποιότητος, ἀπὸ τοῦ χρόνου καὶ τῆς ποσότητος, οὕτω δὴ καὶ ἐνταῦθα ποιεῖ, τὸ μὲν ἐπίγειον σῶμα, σκῆνος καλῶν· τὸ δὲ ἀνιστάμενον, οἰκίαν· καὶ οὐχ ἁπλῶς, οἰκίαν, ἀλλ', αἰώνιον· καὶ οὐχ ἁπλῶς, αἰώνιον, ἀλλ', οὐράνιον, καὶ ἀπὸ τοῦ χρόνου, καὶ ἀπὸ τοῦ τόπου δεικνὺς τὴν ὑπεροχήν. αὕτη μὲν γὰρ ἐπίγειος, ἐκείνη δὲ οὐράνιος· αὕτη πρόσκαιρος, ἐκείνη αἰώνιος. καὶ νῦν μὲν καὶ σώματος δεῖ καὶ οἰκημάτων ἡμῖν διὰ τὴν ἀσθένειαν τῆς σαρκός· τότε δὲ τὸ αὐτὸ καὶ σῶμα ἔσται καὶ οἴκημα, οὐ δεόμενοι στέγης, οὐδὲ καλυμμάτων τινῶν, ἀντὶ πάντων ἀρκούσης αὐτῷ τῆς ἀφθαρσίας. εἶτα δεικνὺς τὴν ὑπεροχὴν τῶν ἐναποκειμένων αὐτῷ ἀγαθῶν, φησί· καὶ γὰρ ἐν τούτῳ στενάζομεν τῷ σκήνει. οὐκ εἶπε, στενάζω, ἀλλὰ κοινὴν ποιεῖται τὴν γνώμην. καὶ γὰρ ἐν τούτῳ, φησί, στενάζομεν, βουλόμενος αὐτοὺς εἰς τὴν οἰκείαν ἑλκύσαι φιλοσοφίαν, καὶ τῆς αὐτοῦ κρίσεως ποιῆσαι κοινωνούς. καὶ γὰρ ἐν τούτῳ στενάζομεν, τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι ἐπιποθοῦντες. οὐκ εἶπεν ἁπλῶς, ἐνδύσασθαι, ἀλλ', ἐπενδύσασθαι.

β Κορ. ε. γ.

καὶ ἐπάγει, Εἴγε καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα. καὶ δοκεῖ μὲν ἀσαφὲς εἶναι τὸ εἰρημένον, γίνεται δὲ σαφέστερον διὰ τῶν ἑξῆς ἐπαγομένων.

β Κορ. ε δ.

Καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρούμενοι, ἐφ' ᾧ οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι. ὁρᾷς πῶς ἑαυτοῦ οὐκ ἐπιλανθάνεται, οὐδὲ καλεῖ οἰκίαν τὸ σῶμα τοῦτο, ἀλλὰ σκῆνος πάλιν; ἐφ' ᾧ οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι. ἐνταῦθα τοῖς τοῦ σώματος διαβάλλουσι τὴν φύσιν καὶ τῆς σαρκὸς τῆς ἡμετέρας κατηγοροῦσι καιρίαν ἔδωκε πληγήν. ἐπεὶ γὰρ εἶπεν, ὅτι στενάζομεν καὶ ἐκδύσασθαι βουλόμεθα, ἵνα μὴ νομίσῃς, ὅτι ὡς κακὸν φεύγει τὸ σῶμα καὶ πονηρίας αἴτιον καὶ ἐχθρὸν καὶ πολέμιον, ἄκουσον πῶς διορθοῦται τὴν ὑπόνοιαν· πρότερον μὲν τῷ εἰπεῖν, ὅτι στενάζομεν τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι ἐπιποθοῦντες. ὁ γὰρ ἐπενδυόμενος τῷ ὄντι ἕτερον ἐπενδύεται. ἔπειτα τῷ εἰπεῖν, στενάζομεν βαρούμενοι, ἐφ' ᾧ οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι ἐπιποθοῦντες. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐ τὴν σάρκα ἀποθέσθαι βουλόμεθα, φησιν, ἀλλὰ τὴν φθοράν· οὐ τὸ σῶμα, ἀλλὰ τὸν θάνατον. ἄλλο σῶμα, καὶ ἄλλο θάνατος· ἄλλο σῶμα, καὶ ἄλλο φθορά. οὔτε τὸ σῶμα φθορά, οὔτε ἡ φθορὰ σῶμα. καὶ φθαρτὸν μέν ἐστι τὸ σῶμα, οὐ φθορὰ δὲ τὸ σῶμα· καὶ θνητὸν μέν ἐστι τὸ σῶμα, οὐ θάνατος δὲ τὸ σῶμα. ἀλλὰ τὸ μὲν σῶμα ἔργον ἐγένετο τοῦ Θεοῦ, ἡ δὲ φθορὰ καὶ ὁ θάνατος ἀπὸ τῆς ἁμαρτίας εἰσήχθη. τὸ γοῦν ἀλλότριον ἀποδύσασθαι βούλομαι, φησιν, οὐ τὸ οἰκεῖον. ἀλλότριον δέ, οὐ τὸ σῶμα, ἀλλ' ἡ φθορά. διὰ τοῦτό φησιν, ἐφ' ᾧ οὐ θέλομεν ἐκδύσασθαι, τουτέστι, τὸ σῶμα, ἀλλ' ἐπενδύσασθαι τῷ σώματι τὴν ἀφθαρσίαν. μέσον ἐστὶ τὸ σῶμα φθορᾶς καὶ ἀφθαρσίας. ἀποδύεται τοίνυν φθοράν, καὶ ἐπενδύεται ἀφθαρσίαν· ἀποβάλλει ὅπερ ἔλαβεν ἀπὸ τῆς ἁμαρτίας, καὶ κτᾶται ὅπερ ἔδωκεν ἡ τοῦ Θεοῦ χάρις. καὶ ἵνα μάθῃς, ὅτι ἐκδύσασθαι οὐ περὶ τοῦ σώματός φησιν, ἀλλὰ περὶ τῆς φθορᾶς καὶ τοῦ θανάτου, ἄκουσον τῶν ἐπαγομένων εὐθέως. εἰπὼν γάρ, οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ', ἐπενδύσασθαι, οὐκ εἶπεν, ἵνα καταποθῇ τὸ σῶμα ὑπὸ τῆς ἀσωματότητος, ἀλλὰ τί; ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς, τουτέστιν, ἵνα ἀφανισθῇ, ἵνα ἀπόληται. ὥστε ἀπώλειαν οὐχὶ τοῦ σώματος λέγει, ἀλλὰ θανάτου καὶ φθορᾶς. ἐπερχομένη γὰρ ἡ ζωὴ οὐχὶ τὸ σῶμα ἀφανίζει καὶ δαπανᾷ, ἀλλὰ τὴν ἐπιγινομένην αὐτῷ φθορὰν καὶ τὸν θάνατον. ὁ τοίνυν στεναγμὸς οὐ διὰ τὸ σῶμα, ἀλλὰ διὰ τὴν ἐπικειμένην φθοράν. καὶ γὰρ τὸ σῶμα βαρύ ἐστι καὶ φορτικὸν καὶ ἐπαχθές, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ὕστερον αὐτῷ προσγινομένην θνητότητα.

πότητα. ἀλλ' οὐχὶ σῶμα φθαρτὸν, ἀλλ' ἄφθαρτόν ἐστι. τοσαύτη γὰρ αὐτοῦ ἐστιν ἡ εὐγένεια, ὡς καὶ ἐν αὐτῇ τῇ φθορᾷ τὴν ἀξίαν ἐπιδείκνυσθαι τὴν αὐτοῦ. αἱ γοῦν σκιαὶ τῶν ἀποστόλων τὰς ἀσωμάτους ἀπήλασαν δυνάμεις, καὶ ἡ κόνις καὶ ἡ τέφρα δαιμόνων περιεγένετο, καὶ τὰ ἱμάτια τὰ ὁμιλήσαντα τοῖς σώμασιν αὐτῶν νόσους ἀνέστελλον καὶ ὑγείαν ἐπανήγαγον. μὴ γάρ μοι φλέγμα καὶ χολὴν εἴπῃς, καὶ ἱδρῶτας, καὶ ῥύπον, καὶ τὰ ἄλλα, ἅπερ οἱ κατηγοροῦντες τοῦ σώματος λέγουσιν. οὐ γὰρ τῆς τοῦ σώματος φύσεως ταῦτα ἦν, ἀλλὰ τῆς ὕστερον ἐπιγενομένης φθορᾶς. εἰ δὲ θέλεις αὐτοῦ καταμαθεῖν τὴν ἀρετὴν, ἔπελθε τῶν μελῶν ἁπάντων τὴν διάπλασιν, τὸ σχῆμα, τὰς ἐνεργείας, τὴν πρὸς ἄλληλα συμφωνίαν· καὶ πάσης πόλεως εὐνομουμένης καὶ φιλοσόφους ἅπαντας τοὺς πολίτας ἐχούσης ἀκριβεστέραν ὄψει τὴν τῶν μελῶν τούτων πρὸς ἄλληλα πολιτείαν. εἰ δὲ καὶ κάτω ταῦτα περιτρέχων, τὸ φθαρτὸν αὐτοῦ καὶ τὸ θνητὸν μόνον προτείνοις, οὐδὲ ἐντεῦθεν ἀπορήσομεν ἀπολογίας. ὅτι γὰρ οὐ μόνον οὐδεμία γέγονεν ἐντεῦθεν ἡ βλάβη, ἀλλὰ καὶ πολὺ τὸ κέρδος τῷ γένει τῶν ἀνθρώπων, δῆλον ἐκεῖθεν. οἵ τε γὰρ ἅγιοι πάντες μετὰ τούτου ζῶντες, τὴν ἀγγελικὴν ἐκείνην ἐπεδείξαντο πολιτείαν, καὶ οὐδεμία τις αὐτοῖς ἐντεῦθεν ἐγένετο βλάβη πρὸς τὸν τῆς ἀρετῆς δρόμον· οἵ τε πρὸς ἀσέβειαν βλέποντες οὐ μικρὸν ἔσχον κώλυμα, τοῦ σώματος τὴν φθορὰν, πρὸς τὸ μὴ πορρωτέρω προελθεῖν τῆς οἰκείας παρανομίας. εἰ γὰρ τὸ φθαρτὸν τοῦτο καὶ παθητὸν σῶμα περικείμενοι πολλοὶ τῶν ἀνθρώπων ἰσοθείαν ἐφαντάσθησαν, καὶ ὑπὲρ τοῦ τοιαύτην ἑαυτοῖς περιθεῖναι δόξαν, πολλὰ ἐπραγματεύσαντο· εἰ μὴ παθητὸν εἶχον τὸ σῶμα καὶ φθαρτὸν, ἐλέγχον αὐτῶν τὴν ἀσθένειαν, τίνας οὐκ ἂν ἠπάτησαν τῶν ἀνοητοτέρων; ὅταν οὖν καὶ ἀσεβείας, ὅπερ ἐστὶν ἔσχατος ὅρος κακίας, κώλυμα φαίνηται γινόμενον, καὶ τοῖς ἁγίοις παρέχῃ τῆς ψυχῆς τὴν ἀνδρείαν ἐπιδείκνυσθαι, τίνος ἂν τύχοιεν συγγνώμης οἱ διαβάλλοντες αὐτὸ καὶ κακίζοντες; οὐ γὰρ δὴ ταῦτα ἂν ἔχοιμεν περὶ αὐτοῦ μόνα εἰπεῖν, ἀλλ' ὅτι καὶ θεογνωσίας ἡμῖν αἴτιον γέγονεν αὐτό. εἰ γὰρ τὰ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, καὶ ἡ πίστις ἐξ ἀκοῆς, εὔδηλον ὅτι δι' ὀφθαλμῶν καὶ ὤτων χειραγωγηθεῖσα ἡ ψυχὴ τὸν ποιήσαντα αὐτὴν ἐπέγνω Θεόν. διὰ τοῦτο αὐτὸ φιλεῖ Παῦλος, καὶ βοᾷ λέγων, ὅτι οὐ θέλομεν αὐτὸ ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι αὐτῷ τὴν ἀθανασίαν. καὶ μή μοι λέγε, πῶς δύναται ἀναστῆναι τὸ σῶμα πάλιν καὶ γενέσθαι ἄφθαρτον; ὅταν γὰρ ἡ τοῦ Θεοῦ δύναμις ἐργάζηται, τὸ, πῶς, μὴ περισκεπτέσθω. καὶ τί λέγω ἐπὶ Θεοῦ; σὲ δημιουργὸν αὐτὸν ἐποίησεν ἀναστάσεως γενέσθαι· τοῦτο μὲν ἐπὶ τῶν σπερμάτων, τοῦτο δὲ ἐπὶ τῶν τεχνῶν, τοῦτο δὲ ἐπὶ τῶν ὑλῶν τῶν μεταλλικῶν. καὶ γὰρ τὰ σπέρματα ἂν μὴ πρότερον ἀποθάνῃ καὶ σαπῇ καὶ διαφθαρῇ, οὐ τίκτει τὸν ἄσταχυν· ὥσπερ οὖν ὁρῶν ἐκεῖ τὸν κόκκον σηπόμενον καὶ διαλυόμενον, οὐκ ἀμφιβάλλεις περὶ τῆς ἀναστάσεως, ἀλλ' ἀπόδειξιν σαυτοῦ ποιῆσαι σαφεστάτην (ἂν γὰρ μὴ μείνῃ σηπόμενος μηδὲ φθειρόμενος, οὐκ ἂν ἀνασταίη ποτὲ) οὕτω καὶ ἐπὶ τοῦ σώματος λογίζου τοῦ σοῦ. ὅταν ἴδῃς τὴν φθορὰν, τότε μάλιστα περὶ τῆς ἀναστάσεως φιλοσόφει. ὁ γὰρ θάνατος οὐδὲν ἕτερόν ἐστιν, ἢ τῆς φθορᾶς λοιπὸν ἀναίρεσις. οὐ γὰρ δὴ τὸ σῶμα ἁπλῶς, ἀλλὰ τὴν φθορὰν αὐτοῦ δαπανᾷ ὁ θάνατος. τοῦτο καὶ ἐπὶ τῶν μεταλλικῶν ἐστιν ἰδεῖν ὅλων συμβαῖνον. τὴν γοῦν χρυσῖτιν γῆν λαμβάνοντες οἱ περὶ ταῦτα ἔμπειροι, καὶ τῷ χωνευτηρίῳ παραδιδόντες χρυσίον ἐργάζονται, καὶ ἄμμον καὶ ἑτέραν ὕλην ἀναμιγνύντες, ὕελον καθαρὸν ἐποίησαν. εἶτα ὅπερ ἡ τοῦ πυρὸς δύναμις, τοῦτο ἡ τοῦ Θεοῦ οὐ δυνήσεται χάρις, εἰπέ μοι; καὶ τίς ἂν ταῦτα εἴποι τῶν ὁπωσοῦν νοῦν ἐχόντων; πῶς σε παρὰ τὴν ἀρχὴν ἐποίησεν ἐννόησον, καὶ μηκέτι ἀμφίβαλλε περὶ τῆς ἀναστάσεως. οὐχὶ γῆν ἔλαβε καὶ ἔπλασε; καίτοι τί δυσκολώτερον, ἀπὸ γῆς ποιῆσαι σάρκας καὶ φλέβας καὶ δέρμα καὶ ὀστᾶ καὶ ἶνας καὶ νεῦρα καὶ ἀρτηρείας, καὶ τὰ ὀργανικὰ, καὶ τὰ ἁπλᾶ σώματα, ὀφθαλμοὺς, ὦτα, ῥῖνας, πόδας καὶ χεῖρας, καὶ ἑκάστῳ τούτων καὶ ἰδίαν καὶ κοινὴν ἐνθεῖναι τὴν ἐνέργειαν, ἢ φθαρτὰ γενόμενα ἀθάνατα ἐργά-

Ῥωμ. α. κ.

σαρξ; οὐχ ὁρᾷς πῶς μονοειδὴς μὲν ἡ γῆ, ποικίλον δὲ καὶ πολυειδὲς τὸ σῶμα, καὶ κατὰ τὰς ἐνεργείας,
καὶ κατὰ τὰ χρώματα, καὶ κατὰ τὴν διάπλασιν, καὶ κατὰ τὰς οὐσίας, καὶ κατὰ τὰ ἄλλα πάντα;
πῶς οὖν ὑπὲρ τῶν μειζόνων ἀμφιβάλλεις, εἰπέ μοι; καὶ τί χρὴ λέγειν περὶ σωμάτων;
τὰς γὰρ ἀπείρους δυνάμεις, καὶ τοὺς δήμους τῶν ἀγγέλων, τοὺς ἀρχαγγέλους, τὰ ἀνώτερα
τάγματα τούτων, πῶς ἐποίησεν, εἰπέ μοι; ἐγὼ μὲν γὰρ τὸν τρόπον οὐκ ἂν ἔχοιμι λέγειν·
ὅτι δὲ ἤρκεσεν αὐτῷ τὸ θελῆσαι μόνον. εἶτα ὁ τοσαύτας στρατιὰς ἀσωμάτους ἐργασάμενος,
ἀνθρώπου σῶμα διαφθαρὲν ἀνανεῶσαι πάλιν οὐ δύναται, καὶ εἰς μείζονα ἀναγαγεῖν ἀξίαν;
καὶ τίς οὕτως ἀναίσθητος, ὡς ὑπὲρ τούτων ἀμφιβάλλειν, καὶ τὴν ἀνάστασιν ἀναιρεῖν; εἰ γὰρ
μὴ ἀνίσταται σῶμα, οὐκ ἀνίσταται ἄνθρωπος. ὁ γὰρ ἄνθρωπος οὐκ ἔστι ψυχὴ μόνον, ἀλλὰ
ψυχὴ καὶ σῶμα. εἰ τοίνυν ψυχὴ μόνον ἀνίσταται, ἐξ ἡμισείας τὸ ζῶον ἀνίσταται, ἀλλ' οὐχ ὁλόκληρον.
ἄλλως δὲ, ἐπὶ ψυχῆς οὐκ ἂν λεχθείη κυρίως ἀνάστασις. ἀνάστασις γάρ ἐστι τοῦ
πεσόντος καὶ διαλυθέντος· ψυχὴ δὲ οὐ διαλύεται, ἀλλὰ σῶμα. τί δέ ἐστι τὸ, Εἴγε καὶ ἐνδυσάμενοι,
οὐ γυμνοὶ εὑρεθησόμεθα; μυστήριον μέγα καὶ ἀπόρρητον ἡμῖν ἐνταῦθα αἰνίττεται. ποῖον
δὴ τοῦτο; ὃ καὶ ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ φησιν· ὅτι Πάντες ἀναστησόμεθα, ἕκαστος δὲ
α. Κορ. ιε κβ. ἐν τῷ ἰδίῳ τάγματι. τί δέ ἐστι τὸ λεγόμενον; ὅτι καὶ Ἕλλην καὶ Ἰουδαῖος καὶ αἱρετικὸς καὶ
πᾶς ἄνθρωπος εἰς τὸν κόσμον τοῦτον παρελθὼν, κατ' ἐκείνην ἀναστήσεται τὴν ἡμέραν.
καὶ τοῦτο αὐτὸ δηλῶν ἔλεγε, Πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα
α. Κορ. ιε. να. ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι. ἐπεὶ οὖν καθολικὴ πᾶσίν
ἐστιν ἡ ἀνάστασις, καὶ κοινὴ καὶ εὐσεβῶν καὶ ἀσεβῶν, καὶ πονηρῶν καὶ χρηστῶν ἀνθρώπων, ἵνα μὴ ἀπὸ
τούτου νομίσῃς ἄδικόν τινα γίνεσθαι κρίσιν, μηδὲ λέγῃς πρὸς σεαυτόν· τί ποτε τοῦτό ἐστιν; ἐγὼ
ὁ σπουδαῖος καὶ τοσαῦτα πονέσας καὶ ταλαιπωρηθεὶς ἀνίσταμαι, καὶ ὁ Ἕλλην καὶ ὁ ἀσεβήσας καὶ
προσκυνήσας εἰδώλοις καὶ τὸν Χριστὸν ἀγνοήσας καὶ αὐτὸς ἀνίσταται ὁμοίως, καὶ τῆς αὐτῆς ἀπολαύει
τιμῆς; ἵνα μὴ ταῦτα λέγων θορυβηθῇς, ἄκουσον τί φησιν· Εἴγε καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ
β. Κορ. ε γ. εὑρεθησόμεθα. καὶ πῶς ἐστι, φησιν, ἐνδυσαμένους ἀφθαρσίαν καὶ ἀθανασίαν γυμνοὺς εὑρεθῆναι;
πῶς; ὅταν δόξης ὦμεν ἔρημοι, καὶ τῆς πρὸς τὸν Θεὸν παρρησίας ἀπεστερημένοι. καὶ
γὰρ τὰ σώματα τῶν ἁμαρτωλῶν ἄφθαρτα ἀνίστανται καὶ ἀθάνατα, ἀλλ' ἡ τιμὴ αὕτη ἐφόδιον
αὐτοῖς κολάσεως γίνεται καὶ τιμωρίας. ἄφθαρτα γὰρ ἀνίσταται, ἵνα διαπαντὸς καίηται.
ἐπειδὴ γὰρ τὸ πῦρ ἄσβεστόν ἐστιν ἐκεῖνο, τοιούτων αὐτῷ δεῖ καὶ σωμάτων μηδέποτε δαπανωμένων.
διὰ τοῦτό φησιν· Εἴγε καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα. οὐ γὰρ τοῦτ' ἔστι τὸ
ζητούμενον μόνον, ἵνα ἀναστῶμεν καὶ ἐνδυσώμεθα ἀθανασίαν, ἀλλ' ἵνα ἀναστάντες καὶ ἐνδυσάμενοι
τὴν ἀθανασίαν, μὴ γυμνοὶ δόξης εὑρεθῶμεν, καὶ τῆς πρὸς τὸν Θεὸν παρρησίας· ἵνα μὴ
τῷ πυρὶ παραδοθῶμεν. διὰ τοῦτό φησιν, Εἴγε καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα.
εἶτα πάλιν ἀξιοπιστότερον ποιῶν τὸν περὶ τῆς ἀναστάσεως λόγον, εἰπὼν ὅτι μέλλει καταπίνεσθαι
τὸ θνητὸν ὑπὸ τῆς ζωῆς, ἐπήγαγεν· Ὁ δὲ κατεργασάμενος ἡμᾶς εἰς αὐτὸ τοῦτο
β. Κορ. ε. ε. Θεός. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἐξ ἀρχῆς διὰ τοῦτο τὸν ἄνθρωπον ἔπλασεν, οὐχ ἵνα ἀπόληται,
ἀλλ' ἵνα πρὸς ἀφθαρσίαν ὁδεύῃ. ὥστε καὶ ἡνίκα τὸν θάνατον συνεχώρησε, μετὰ τοιαύτης
αὐτὸν συνεχώρησε γνώμης, ἵνα σωφρονισθῇς ἀπὸ τῆς κολάσεως, καὶ βελτίων γενόμενος,
δυνηθῇς πρὸς τὴν ἀθανασίαν ἀρθῆναι πάλιν. καὶ ἄνωθεν καὶ ἐξ ἀρχῆς αὕτη παρὰ τῷ
Θεῷ ἐκράτει ἡ βουλὴ καὶ ἡ γνώμη, καὶ μετὰ ταύτης τῆς ψήφου τὸν πρῶτον διέπλασεν ἄνθρωπον.
τοῦτο εὐθέως καὶ ἐξ αὐτῶν ἡμῖν ἠνίξατο τῶν προοιμίων. εἰ γὰρ μὴ ἐβούλετο
τὰς θύρας ἡμῖν ἐξ ἀρχῆς τῆς ἀναστάσεως ἀνοῖξαι, οὐκ ἂν ἀφῆκε τὸν Ἄβελ πᾶσαν ἀρετὴν
ἐπιδειξάμενον, καὶ φίλον αὐτῷ γενόμενον, παθεῖν ἅπερ ἔπαθε. νυνὶ δὲ ἡμῖν ἐνδεικνύμενος,
ὅτι πρὸς ἑτέραν ζωὴν ὁδεύομεν, καὶ τις αἰὼν ἕτερος ὑπολέλειπται τῶν δικαίων, ἔχων τὰς
ἀμοιβὰς καὶ τοὺς στεφάνους ἀποκειμένους, τὸν πρῶτον γενόμενον δίκαιον μὴ λαβόντα ἐνταῦθα

τοὺς μισθοὺς, ὧν ἐπόνεσεν, ἀφῆκεν ἀπελθεῖν βοῶντα, δι' ὧν ἔπαθε, πᾶσι καὶ λέγοντα, ὅτι μετὰ τὴν ἐντεῦθεν ζωὴν ἐστὶν ἀνταπόδοσίς τις καὶ μισθὸς καὶ ἀμοιβή. διὰ τοῦτο καὶ τὸν Ἐνὼχ μετέθηκε, καὶ τὸν Ἠλίαν ἀνήρπασεν, ἀναπλούμενος ἡμῖν τὸ περὶ τῆς ἀναστάσεως δόγμα. ἀρκεῖ μὲν οὖν εἰς πληροφορίαν ἡ τοῦ ποιοῦντος δύναμις. εἰ δὲ ἀσθενέστερός τις ἐστὶ, καὶ βούλεται ἀπόδειξιν ἑτέραν λαβεῖν καὶ ἐνέχυρον τῆς μελλούσης ἀναστάσεως, καὶ τοῦτο μετὰ πολλῆς τῆς δαψιλείας ἔδωκεν ὁ Θεὸς, τὴν τοῦ πνεύματος χάριν μετὰ πολλῆς ἐπαφεὶς τῆς ἀφθονίας. διὰ τοῦτο καὶ ὁ Παῦλος ποιήσας ἀξιόπιστον τὸν περὶ τῆς ἀναστάσεως λόγον ἀπὸ τῆς τοῦ Χριστοῦ ἀναστάσεως, ἀπὸ τοῦ Θεοῦ εἶναι τὸν δημιουργοῦντα, ἐπάγει καὶ τοῦτο τὸ ῥητὸν, λέγων· Ὁ καὶ ἀρραβῶνα ἡμῖν ἔδωκεν, οὐ χρημάτων, οὐδὲ χρυσοῦ καὶ ἀργύρου, ἀλλ' ἀρραβῶνα πνεύματος. ὁ δὲ ἀρραβὼν, μέρος ἐστὶ τοῦ παντὸς, καὶ ὑπὲρ τοῦ παντὸς πιστός. καθάπερ γὰρ ἐπὶ τῶν συμβολαίων, ὁ τὸν ἀρραβῶνα δεξάμενος ὑπὲρ τοῦ παντὸς θαρρεῖ λοιπὸν καὶ πεπίστευκεν, οὕτω καὶ σὺ λαβὼν ἀρραβῶνα τοῦ πνεύματος, τὰ χαρίσματα λέγω, μηκέτι ἀμφίβαλλε περὶ τῶν ἀποκειμένων ἀγαθῶν. ὁ γὰρ νεκροὺς ἀνιστὰς, ὁ τυφλοὺς θεραπεύων, ὁ δαίμονας ἀπελαύνων, ὁ λεπροὺς καθαίρων, ὁ νοσήματα διορθούμενος, ὁ θάνατον λύων, ὁ τοσαῦτα καὶ τηλικαῦτα δυνάμενος ἐν ἐπικήρῳ καὶ θνητῷ σώματι, ποίας τεύξῃ συγγνώμης ἀμφιβάλλων περὶ τῆς ἀναστάσεως; εἰ γὰρ μηδέπω τοῦ καιροῦ τῆς ἀντιδόσεως παραγενομένου, ἀλλ' ἔτι τῶν παλαισμάτων ἑστώτων, ἐν τοσούτοις ἡμᾶς ἠμείψατο στεφάνοις ὁ Θεὸς, ἐννόησον ὅσα σοι κατὰ τὸν καιρὸν τὸν τῶν βραβείων δώσει τὰ ἀγαθά. εἰ δὲ λέγοι τις, ἀλλ' οὐχ ὁρῶμεν ταῦτα νῦν γινόμενα τὰ σημεῖα, οὐδὲ ἡμεῖς τοσαύτην ἔχομεν δύναμιν, ἐκεῖνο ἂν εἴποιμι, ὅτι οὐδὲν διαφέρει, εἴτε νῦν, εἴτε πρότερον ταῦτα γεγένηται. ὅτι γὰρ ἔμπροσθεν ἐγένετο παρὰ τῶν ἀποστόλων, μαρτυροῦσιν αἱ πανταχοῦ τῆς οἰκουμένης ἐκκλησίαι, καὶ δῆμοι, καὶ πόλεις, καὶ ἔθνη προσδραμόντα τοῖς ἰδιώταις καὶ ἁλιεῦσιν. οὐ γὰρ ἂν τῆς οἰκουμένης ἐκράτησαν οἱ ἀγράμματοι καὶ πτωχοὶ καὶ πένητες καὶ εὐτελεῖς, εἰ μὴ τὴν τῶν σημείων εἶχον βοήθειαν. πλὴν ἀλλ' οὔτε σὺ τῆς τοῦ πνεύματος ἔρημος γέγονας χάριτος, ἀλλὰ πολλὰ ἔτι καὶ νῦν μένει τῆς δωρεᾶς ἐκείνης σύμβολα, αὐτῶν τούτων τῶν ἀπηριθμημένων πολλῷ μείζονα καὶ θαυμαστότερα. οὐ γὰρ ἐστὶν ἴσον σῶμα τελευτῆσαν ἀναστῆσαι, καὶ ψυχὴν νεκρωθεῖσαν ὑπὸ τῶν ἁμαρτημάτων ἀπαλλάξαι τῆς ἀπωλείας ἐκείνης, ὃ διὰ τοῦ βαπτίσματος γίνεται. οὐκ ἔστιν ἴσον νοσήματα ἀπελάσαι σαρκὸς, καὶ ἁμαρτιῶν φορτίον ἀποθέσθαι. οὐκ ἔστιν ἴσον ὄμμα πεπηρωμένον διορθῶσαι, καὶ ψυχὴν ἐσκοτισμένην φωτὶ καταλάμψαι. εἰ γὰρ μὴ ἦν ἀρραβὼν τοῦ πνεύματος καὶ νῦν, οὐκ ἂν συνέστη τὸ βάπτισμα, οὐκ ἂν ἁμαρτημάτων ἄφεσις ἐγένετο, οὐκ ἂν δικαιοσύνη καὶ ἁγιασμὸς, οὐκ ἂν υἱοθεσίαν ἐλάβομεν, οὐκ ἂν μυστηρίων ἀπελαύσαμεν (σῶμα γὰρ καὶ αἷμα μυστικὸν οὐκ ἄν ποτε γένοιτο τῆς τοῦ πνεύματος χάριτος χωρίς) οὐκ ἂν ἱερέας ἐσχήκαμεν. οὐδὲ γὰρ ταύτας δυνατὸν τὰς χειροτονίας ἄνευ ἐκείνης τῆς ἐπιφοιτήσεως γενέσθαι. καὶ ἄλλα δὲ πολλὰ ἔχοι τις ἂν εἰπεῖν τῆς τοῦ πνεύματος χάριτος σύμβολα. ὥστε καὶ σὺ τὸν ἀρραβῶνα τοῦ πνεύματος ἔχεις, καὶ νέκρωσιν ἀπέθου ψυχῆς, καὶ πήρωσιν λογισμῶν, καὶ τὸν ἀκάθαρτον ἀπεδύσω βίον. μὴ τοίνυν ἀσχάλλωμεν περὶ τῶν μελλόντων, τοιαῦτα λαβόντες ἐνέχυρα· ἀλλὰ πανταχόθεν τὸν περὶ τῆς ἀναστάσεως συλλέξαντες λόγον, καὶ βίον ἄξιον τῶν δογμάτων ἐπιδειξώμεθα τούτων· ἵνα καὶ τῶν ἀκινήτων ἀγαθῶν ἐπιτύχωμεν, τῶν πάντα λόγον ὑπερβαινόντων καὶ νοῦν ἀνθρώπινον· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ ἡ δόξα τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

β. Κορ. ε. ε.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΟΜΙΛΙΑ, ΟΤΙ ΤΟ ΜΗ ΛΕΓΕΙΝ, ΑΠΕΡ ΙΣΜΕΝ, ΚΑΙ ΕΙΣ ἑτέρους ἐκφέρειν, πενέστερον ποιεῖ, καὶ τὴν χάριν σβέννυσι· καὶ εἰς τὰς εὐχὰς, ἃς ὁ Χριστὸς ηὔξατο, καὶ τὴν ἐξουσίαν, μεθ' ἧς ἅπαντα ἐποίει· καὶ εἰς τὴν τοῦ παλαιοῦ νόμου διόρθωσιν· καὶ ὅτι τὸ συγκαθεῖναι τὴν ἰσότητα αὐτοῦ τὴν πρὸς τὸν πατέρα οὐκ ἐλαττοῖ, ἀλλὰ καὶ συνίστησι μᾶλλον.

Ἱκανῶς ἐν ταῖς ἔμπροσθεν ἐπιδημηκυίαις ἡμέραις, τῶν ἄθλων ἐπιλαβόμενοι τῶν ἀποστολικῶν, καὶ τῇ διηγήσει τῶν πνευματικῶν ἐντρυφήσαντες κατορθωμάτων· ὥρα δὴ λοιπὸν ἀποδοῦναι τὸ χρέος ὑμῖν. καὶ γὰρ τὸ κωλῦον οὐδέν. καὶ οἶδα μὲν ὅτι ἐπιλέλησθε τοῦ ὀφλήματος ὑμεῖς τοῦ ἐμοῦ διὰ τὸ τῶν ἡμερῶν πλῆθος· οὐ μὴν διὰ τοῦτο αὐτὸς ἐγὼ ἀποκρύψομαι, ἀλλὰ μετὰ πάσης ὑμῖν ταῦτα ἀποδώσω τῆς προθυμίας. ποιῶ δὲ τοῦτο, οὐ δι' εὐγνωμοσύνην μόνον, ἀλλὰ καὶ δι' ὠφέλειαν ἐμήν. ἐπὶ μὲν γὰρ τῶν σωματικῶν συναλλαγμάτων κέρδος τῷ δεδανεισμένῳ τὸ τὸν δεδανεικότα ἐπιλαθέσθαι· ἐπὶ δὲ τῶν πνευματικῶν συμβολαίων κέρδος τῷ μέλλοντι καταβάλλειν τὸ χρέος μέγιστον, τὸ τοὺς ὑποδέχεσθαι μέλλοντας διηνεκῶς μεμνῆσθαι τῶν ὀφλημάτων. ἐκεῖ μὲν γὰρ τὸ δάνεισμα ἀποδοθὲν τὸν μὲν καταβαλόντα ἀφίησι, μεθίσταται δὲ πρὸς τὸν ὑποδεξάμενον, καὶ τοῦ μὲν ἠλάττωσε, τοῦ δὲ ἐπλεόνασε τὴν οὐσίαν· ἐπὶ δὲ τῶν πνευματικῶν οὐχ οὕτως, ἀλλὰ δυνατὸν αὐτὸ καὶ καταβαλεῖν καὶ ἔχειν. καὶ τὸ δὴ θαυμαστὸν, ὅτι τότε μάλιστα αὐτὸ ἔχομεν, ὅταν καταβάλωμεν ἑτέροις. ἂν μὲν γὰρ ἐν τῇ διανοίᾳ κατορύξας φυλάξω διηνεκῶς μηδενὶ μεταδιδοὺς, ἐλαττοῦταί μοι τὸ κέρδος, μειοῦται τὰ τῆς περιουσίας· ἂν δὲ εἰς ἅπαντας ἐξενέγκω, καὶ ποιήσω μεριστὰς πολλοὺς καὶ κοινωνοὺς, ὧν αὐτὸς ἐπίσταμαι πλούτων, αὔξεταί μοι τὰ τοῦ πνευματικοῦ πλούτου. καὶ ὅτι ταῦτα οὕτως ἔχει, καὶ ὁ μὲν ἑτέροις μεταδιδοὺς αὔξει τὴν παρακαταθήκην, ὁ δὲ ἀποκρύπτων ἐλαττοῖ τὴν ἐργασίαν ἅπασαν, μάρτυρες οἱ τὰ τάλαντα ἐγχειρισθέντες ἐκεῖνοι, ὁ τὰ πέντε, καὶ ὁ τὰ δύο, καὶ ὁ τὸ ἕν. οἱ μὲν γὰρ διπλασίονα τὰ ἐμπιστευθέντα προσήνεγκαν, καὶ ἐτιμῶντο διὰ τοῦτο· ὁ δὲ ἐπειδὴ ἐφύλαξε παρ' ἑαυτῷ, καὶ οὐδενὶ μετέδωκε, διπλοῦν τὸ αὐτὸ ποιῆσαι οὐκ ἴσχυσε, διὰ τοῦτο ἐκολάζετο. Ματθ. κε. 18. ταῦτα οὖν ἀκούοντες ἅπαντες, καὶ τὴν κόλασιν τὴν ἐκεῖθεν δεδοικότες, ὅσαπερ ἂν ἔχωμεν ἀγαθὰ, εἰς τοὺς ἀδελφοὺς ἐκφέρωμεν, καὶ εἰς τὸ μέσον ἅπασι καταβάλλωμεν, ἀλλὰ μὴ ἀποκρύπτωμεν. ὅταν γὰρ ἑτέροις μεταδῶμεν, τότε πλουτοῦμεν αὐτοὶ μειζόνως· ὅταν κοινωνοὺς ποιησώμεθα τῆς ἐμπορίας πολλοὺς, τότε τὴν ἡμετέραν αὔξομεν περιουσίαν. ἀλλ' ἐλαττοῦσθαί σοι τὰ τῆς δόξης νομίζεις, ὅταν μετὰ πολλῶν ᾖς εἰδὼς, ἃ μόνος οἶδας αὐτός; καὶ μὴν τότε αὔξεται καὶ τὰ τῆς δόξης, καὶ τὰ τῆς ὠφελείας, ὅταν τὸν φθόνον καταπατήσῃς, ὅταν τὴν βασκανίαν σβέσῃς, ὅταν φιλαδελφίαν ἐπιδείξῃ πολλήν. ἂν δὲ μόνος εἰδὼς περιίῃς, ἄνθρωποι μὲν ὡς βάσκανον καὶ μισάδελφον ἀποστραφήσονταί σε καὶ μισήσουσιν, ὁ δὲ Θεὸς ὡς πονηρὸν τὴν ἐσχάτην ἀπαιτήσει σε δίκην· χωρὶς δὲ τούτων, καὶ αὐτή σε ταχέως ἡ χάρις ἔρημον ἐγκαταλιποῦσα οἰχήσεται. ἐπεὶ καὶ ὁ σῖτος, ἕως μὲν ἐν ταῖς ἀποθήκαις ᾖ διηνεκῶς κείμενος, δαπανᾶται, σητὸς αὐτὸν κατεσθίοντος· ἂν δὲ ἐξενεχθεὶς εἰς τὰς ἀρούρας καταβάλληται, πολυπλασιάζεται καὶ ἀνανεοῦται πάλιν· οὕτω καὶ λόγος πνευματικός, ἐὰν ἔνδον διαπαντὸς ἀποκλείηται, φθόνῳ καὶ ὄκνῳ καὶ τηκεδόνι φθειρομένης τῆς ψυχῆς καὶ κα[illegible], κατασβέννυται ταχέως· ἂν δέ, ὥσπερ εἰς ἀργυρίου ἀφορμήν, εἰς τὰς τῶν ἀδελφῶν ψυχὰς διασπείρηται, πολυπλασίων ὁ θησαυρὸς καὶ τοῖς ὑποδεχομένοις, καὶ τῷ κεκτημένῳ. Καὶ καθάπερ πηγὴ συνεχῶς μὲν ἐξαντλουμένη καθαίρεται μᾶλλον καὶ ἀναβλύζει πλέον, καταχωννυμένη δὲ ἀποπνίγεται· οὕτω καὶ χάρισμα πνευματικὸν καὶ λόγος διδασκαλικός, συνεχῶς μὲν ἀντλούμενος καὶ διδοὺς ἀρύεσθαι τοῖς βουλομένοις, ἀναβλύζει πλέον· βασκανίᾳ δὲ καὶ φθόνῳ καταχωσθείς, ἐλαττοῦται καὶ σβέννυται τέλεον. Ἐπεὶ οὖν τοσοῦτον τὸ κέρδος ἡμῖν, ὅπερ ἂν ἔχωμεν, φέρε εἰς μέσον καταθέντες, πᾶσαν ὑμῖν ἀποδῶμεν τὴν ὀφειλήν, πρότερον ἀναμνήσαντες τῆς ἀκολουθίας τῶν ὀφλημάτων τούτων ἀπαιτήσεως. Ἴστε τοίνυν καὶ μέμνησθε πρῴην, ὅτι περὶ τῆς τοῦ μονογενοῦς δόξης διαλεγόμενοι, πολλὰς [illegible] αἰτίας τῆς ἐν τοῖς ῥήμασι συγκαταβάσεως· καὶ ἐλέγομεν, ὅτι οὐ μόνον διὰ τὴν τῆς σαρκὸς περιβολήν, οὐδὲ διὰ τὴν ἀσθένειαν μόνον τῶν ἀκουόντων ταπεινὰ φθέγγεται πολλάκις ὁ Χριστός, ἀλλὰ πολλαχοῦ καὶ ταπεινοφροσύνην διδάσκων. Κἀκείνας μὲν ἱκανῶς τότε ἐπεξήλθομεν τὰς αἰτίας, καὶ τῆς ἐπὶ τοῦ Λαζάρου, καὶ τῆς πρὸς αὐτῷ τῷ σταυρῷ γινομένης εὐχῆς μνημονεύσαντες, καὶ δείξαντες σαφῶς, ὅτι τινὰ μέν, ἵνα τινὰ οἰκονομίαν πιστώσηται, τινὰ δέ, ἵνα τὴν τῶν ἀκουόντων ἀσθένειαν διορθώσηται, πεποίηκεν, οὐδεμιᾶς αὐτὸς δεόμενος βοηθείας. Ὅτι δὲ πολλὰ καὶ ταπεινοφροσύνην αὐτοὺς διδάσκων ἐποίει, καὶ τοῦτο ἄκουσον. Ἔβαλεν ὕδωρ εἰς τὸν νιπτῆρα· καὶ ὡς οὐκ ἤρκει τοῦτο, ἔτι καὶ λεντίῳ διεζώσατο, πρὸς τὴν ἐσχάτην εὐτέλειαν κατάγων ἑαυτόν, καὶ ἤρξατο νίπτειν τοὺς πόδας τῶν μαθητῶν, μετὰ δὲ τῶν μαθητῶν, καὶ τοῦ προδότου τοὺς πόδας ἔνιψε. Τίς οὐκ ἂν ἐκπλαγείη καὶ θαυμάσειε· τοῦ μέλλοντος αὐτὸν προδιδόναι νίπτει τοὺς πόδας· καὶ τὸν Πέτρον διακρουόμενον καὶ λέγοντα, Κύριε, οὐ μή μου νίψῃς τοὺς πόδας, οὐ παρατρέχει, ἀλλά φησι πρὸς αὐτόν· Ἐὰν μὴ νίψω σου τοὺς πόδας, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ. Ὁ δέ, Κύριε, μὴ τοὺς πόδας μόνον, ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κεφαλήν. Εἶδες εὐλάβειαν μαθητοῦ δι' ἀμφοτέρων, καὶ διὰ τῆς παραιτήσεως, καὶ διὰ τῆς συγκαταθέσεως; εἰ γὰρ καὶ ἐναντία τὰ ῥήματα, ἀλλ' ἀπὸ ζεούσης ἀμφότερα γνώμης ἐλέγετο. Ὁρᾷς πῶς πανταχοῦ θερμὸς ἦν καὶ διεγηγερμένος; ἀλλ' ὅπερ ἔλεγον, ἵνα μὴ διὰ τὴν τοῦ πράγματος εὐτέλειαν, τῆς φύσεως καταγνῷς εὐτέλειαν, μετὰ τὸ νίψαι τί φησι πρὸς αὐτούς, ἄκουσον. Γινώσκετε τί πεποίηκα ὑμῖν; ὑμεῖς καλεῖτέ με, ὁ Κύριος, καὶ ὁ διδάσκαλος, καὶ καλῶς λέγετε· εἰμὶ γάρ. Εἰ οὖν ἐγὼ ὁ Κύριος καὶ ὁ διδάσκαλος ἔνιψα ὑμῶν τοὺς πόδας, οὕτω καὶ ὑμεῖς ὀφείλετε ἀλλήλοις ποιεῖν. Ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν, ἵνα ὡς ἐγὼ ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ἀλλήλοις ποιῆτε. Ὁρᾷς ὅτι πολλὰ ὑποδείγματος ἕνεκεν ἐποίει; καθάπερ γάρ τις διδάσκαλος σοφίας πεπληρωμένος παιδίοις ψελλίζουσι συμψελλίζει, καὶ ὁ ψελλισμὸς οὐ τῆς ἀμαθίας τοῦ διδασκάλου, ἀλλὰ τῆς κηδεμονίας τῆς πρὸς τοὺς παῖδας ἐστὶ τεκμήριον· οὕτω δὴ καὶ ὁ Χριστός, οὐ δι' εὐτέλειαν τῆς οὐσίας ταῦτα ἐποίει, ἀλλὰ διὰ συγκατάβασιν. Καὶ δεῖ ταῦτα οὐχ ἁπλῶς παρατρέχειν. Καὶ γὰρ αὐτὸ τοῦτο εἰ καθ' ἑαυτὸ νῦν ἐξετάσωμεν, ὅρα ὅσον ἄτοπον ἕψεται. Εἰ γὰρ ὁ νίπτων τοῦ νιπτομένου εὐτελέστερος εἶναι δοκεῖ· ἔστι δὲ ὁ μὲν νίπτων ὁ Χριστός, οἱ μαθηταὶ δὲ οἱ νιπτόμενοι· ἄρα εὐτελέστερος ἔσται ὁ Χριστὸς τῶν μαθητῶν. Ἀλλ' οὐδεὶς ἂν τοῦτο οὐδὲ μαινόμενος εἴποι. Ὁρᾷς ὅσον ἐστὶ κακὸν τὰς αἰτίας ἀγνοεῖν, δι' ἃς ὁ Χριστὸς ἐποίει πάντα, ἅπερ ἐποίει; μᾶλλον δὲ βλέπεις, ὅσον ἐστὶν ἀγαθὸν πάντα μετὰ ἀκριβείας ἐξετάζειν· καὶ μὴ ἁπλῶς, ὅτι εἶπέ τι ταπεινὸν ἢ ἐποίησεν, ἀλλὰ καὶ τίνος ἕνεκεν καὶ διὰ τί προσεπιθεῖναι; Οὐκ ἐνταῦθα δὲ μόνον τοῦτο ἐποίησεν, ἀλλὰ καὶ ἀλλαχοῦ τὸ αὐτὸ τοῦτο ᾐνίξατο. Εἰπὼν γάρ, Τίς ἐστι μείζων, ὁ ἀνακείμενος, ἢ ὁ διακονῶν; ἐπήγαγεν, οὐχὶ ὁ ἀνακείμενος; ἐγὼ δέ εἰμι ἐν μέσῳ ὑμῶν, ὡς ὁ διακονῶν. Καὶ τοῦτο δὲ εἶπε, καὶ ἔργῳ ἐποίησε, δεικνὺς ὅτι πολλαχοῦ τὰ ἐλάττονα ἁρπάζει εἰς διδασκαλίαν τῶν μαθητῶν, μετριάζειν τὸ ὁμοῦ πείθων αὐτούς. Καὶ δῆλον ὅτι οὐ διὰ τὸ

τῆς

Ιωαν. ιγ. δ.

Ιωαν. ιγ. ς.

Ιωαν. ιγ. ιβ.

Λου. κβ. κζ.

τῆς φύσεως καταδεέστερον, ἀλλὰ διὰ τὴν ἐκείνων διδασκαλίαν ταῦτα πάντα ἀνέχεται·
Ματθ. κ. κη. καὶ γὰρ ἀλλαχοῦ φησιν· Οἱ ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν, παρὰ δὲ ὑμῖν οὐχ οὕ-
τως· ἀλλ' ὁ θέλων ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω πάντων διάκονος. καὶ γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου
οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι. Εἰ τοίνυν διακονῆσαι ἦλθε καὶ ταπεινοφροσύ-
νην διδάξαι, μὴ θορυβοῦ, μηδὲ καταπίπτε, εἰ τὰ τῶν διακόνων ἴδοις αὐτὸν ἐπιτελοῦντά που
καὶ φθεγγόμενον. οὕτω καὶ πολλὰς τῶν εὐχῶν ἀπὸ τῆς αὐτῆς ἐπιτελεῖ γνώμης. καὶ γὰρ προσ-
Λουκ. ια. α. ῆλθον αὐτῷ λέγοντες, Κύριε, δίδαξον ἡμᾶς προσεύχεσθαι, ὥσπερ Ἰωάννης ἐδίδαξε τοὺς
μαθητὰς αὐτοῦ. τί οὖν ἐχρῆν ποιεῖν, εἰπέ μοι; μὴ διδάξαι αὐτοὺς προσεύχεσθαι; ἀλ-
λὰ διὰ τοῦτο ἦλθεν, ἵνα εἰς πᾶσαν αὐτοὺς ἐναγάγῃ φιλοσοφίαν. ἀλλ' ἐχρῆν διδάξαι ποί-
οις εὔξασθαι ἔδει. ἀλλ' ἔδει ῥήματι τοῦτο μόνον ποιῆσαι, φησίν. ἀλλ' οὐχ οὕτως ἡ διὰ τῶν
ῥημάτων, ὡς ἡ διὰ τῶν πραγμάτων διδασκαλία τοὺς μαθητευομένους ἐνάγειν εἴωθε.
Διὰ τοι τοῦτο οὐχὶ διδάσκει αὐτοὺς εὐχὴν μόνον τὴν διὰ τῶν ῥημάτων, ἀλλὰ καὶ αὐτὸς διαπα-
λεῖ τοῦτο ποιῶν, καὶ εὔχεται διανυκτερεύων ἐν ταῖς ἐρημίαις, ἡμᾶς παιδεύων καὶ νουθετῶν, ἐπειδὰν
μέλλωμεν ὁμιλεῖν τῷ Θεῷ, φεύγειν θορύβους καὶ τὰς ἐν μέσῳ ταραχάς, καὶ πρὸς ἐρημίαν
ἀναχωρεῖν, οὐχὶ τόπων μόνον, ἀλλὰ καὶ καιρῶν. ἐρημία δέ, οὐχὶ ὄρος μόνον ἐστίν, ἀλλὰ καὶ οἰκίσκος
κραυγῆς ἀπηλλαγμένος. καὶ ἵνα μάθητε ὅτι συγκαταβάσεώς ἐστιν ἡ εὐχή, μάλιστα μὲν καὶ
ἤδη διὰ τῶν περὶ τὸν Λάζαρον συμβάντων ἀπεδείξαμεν· πλὴν ἀλλὰ καὶ ἑτέρωθεν δῆ-
λον. τίνος γὰρ ἕνεκεν ἐπὶ τῶν μειζόνων οὐκ εὔχεται θαυμάτων, ἀλλ' ἐπὶ τῶν ἐλαττόνων; εἰ
γὰρ δεόμενος βοηθείας ηὔχετο καὶ οὐκ ἔχων αὐτοτελῆ δύναμιν, ἐπὶ πάντων εὔχεσθαι ἔδει,
καὶ τὸν πατέρα καλεῖν· εἰ δὲ μὴ ἐπὶ πάντων, κἂν ἐπὶ τῶν μειζόνων. νῦν δὲ τὸ ἐναντίον ποιεῖ·
ἐπὶ τῶν μειζόνων πραγμάτων οὐκ εὔχεται, ἵνα δείξῃ ὅτι τοὺς ἄλλους παιδεύων τοῦτο ἐποίει,
οὐχὶ δυνάμεως δεόμενος. ὅτε γοῦν τοὺς ἄρτους εὐλόγησεν, ἀναβλέψας εἰς τὸν οὐρανὸν
ηὔξατο, ἡμᾶς παιδεύων τραπέζης μὴ πρότερον ἀπογεύεσθαι, ἕως ἂν εὐχαριστήσωμεν τῷ
τοὺς καρποὺς πεποιηκότι Θεῷ· καὶ πολλοὺς νεκροὺς ἀναστήσας, οὐκ ηὔξατο, ἐπὶ δὲ Λαζάρου
μόνον. καὶ τὴν αἰτίαν τότε εἰρήκαμεν, ὅτι τὴν ἀσθένειαν τῶν παρόντων διορθούμενος· ὃ καὶ
Ιωαν. ια. μβ. αὐτὸς εἶπε, σαφῶς οὕτω προσθείς, Ὅτι διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον. καὶ ὅτι οὐχ
ἡ εὐχή, ἀλλ' ἡ φωνὴ τὸν νεκρὸν ἤγειρεν, ἱκανῶς ἀπεδείξαμεν τότε. καὶ ἵνα μάθῃς τοῦτο σα-
φέστερον, ὅρα. ὅταν γὰρ κολάζειν δέῃ, καὶ ὅταν τιμᾶν, καὶ ὅταν ἁμαρτήματα ἀφιέναι, καὶ ὅταν
νομοθετεῖν, καὶ ὅταν τι τῶν πολλῷ μειζόνων δέῃ ποιεῖν, οὐδαμοῦ τὸν πατέρα καλοῦντα αὐτὸν
εὑρήσεις, οὐδὲ εὐχόμενον, ἀλλὰ μετ' αὐθεντίας ἅπαντα πράττοντα. καὶ τούτων ἕκαστον ἐγὼ
Ματθ. κε. λδ. μὲν ἀπαριθμήσομαι, σὺ δὲ σκόπει μετ' ἀκριβείας, πῶς οὐδαμοῦ δεῖται εὐχῆς. Δεῦτε, φησίν, οἱ
εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν. καὶ πάλιν,
Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέ-
λοις αὐτοῦ. ἰδοὺ κολάζει καὶ τιμᾷ μετ' αὐθεντίας ἁπάσης, καὶ εὐχῆς οὐδεμιᾶς δεῖται. πά-
Μαρκ. β. θ. λιν, ὅταν διορθῶσαι σῶμα δέῃ διαλελυμένον, Ἐγερθεὶς ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει·
Μαρκ. ε. μα. ὅταν ἀπαλλάξαι θανάτου, Ταλιθὰ κοῦμι, ἀνάστηθι· ὅταν ἐλευθερῶσαι ἁμαρτημάτων, Θάρ-
Ματθ. θ. β. σει, τέκνον, ἀφέωνταί σου αἱ ἁμαρτίαι· ὅταν ἐπιτιμῆσαι δαίμοσι, Σοὶ λέγω τὸ πονηρὸν δαι-
Μαρκ. δ. λθ. μόνιον, ἔξελθε ἀπ' αὐτοῦ· ὅταν καταστεῖλαι τὴν θάλασσαν, Σιώπα, πεφίμωσο· ὅταν κα-
Ματθ. η. γ. θᾶραι τινὰ λέπρᾳ κατεχόμενον, Θέλω, καθαρίσθητι· ὅταν νομοθετῆσαι, Ἠκούσατε ὅτι ἐρ-
Ματθ. ε. κα. ρέθη τοῖς ἀρχαίοις, οὐ φονεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν, ὃς ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ, μωρέ, ἔνο-
χος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. εἶδες πάντα μετ' αὐθεντίας ποιοῦντα δεσποτικῆς,
καὶ εἰς γέενναν ἐκβάλλοντα, καὶ εἰς βασιλείαν εἰσάγοντα, καὶ παραλελυμένον διορθούμενον, καὶ
θάνατον ἀπελαύνοντα, καὶ ἁμαρτίας ἀφιέντα, καὶ δαίμοσιν ἐπιτιμῶντα, καὶ τὴν θάλασσαν
καταστέλλοντα; καίτοι τί μεῖζον, εἰπέ μοι, εἰς βασιλείαν εἰσαγαγεῖν, ἢ εἰς γέενναν ἐμ-
βαλεῖν,

ἐστι, καὶ ἁμαρτίας ἀφιέναι, καὶ νόμους θεῖναι μετ᾽ αὐθεντίας, ἢ ἄρτους ποιῆσαι; οὐκ εὔδηλον τοῦτο
ὡμολογημένον ἅπασιν, ὅτι ταῦτα ἐκείνων μείζω; ἀλλ᾽ ὅμως ἐπὶ τῶν μειζόνων οὐκ εὔχε-
ται, δεικνὺς ὅτι καὶ ἐπὶ τῶν ἐλαττόνων, οὐ δι᾽ ἀσθένειαν δυνάμεως τοῦτο ἐποίει, ἀλλὰ διὰ τὴν δι-
δασκαλίαν τῶν τότε παρόντων. καὶ ἵνα μάθῃς, ὅσον ἐστὶν ἁμαρτίας ἀφιέναι, παράγω σοι μάρ-
τυρα τὸν προφήτην. οὐδενὸς γὰρ ἑτέρου τοῦτο δείκνυσιν ὁ προφήτης, ἢ τοῦ Θεοῦ μόνου.
Τίς γὰρ Θεός, φησιν, ὥσπερ σύ, ἐξαίρων ἀνομίας, ὑπερβαίνων ἀδικίας; καὶ τὸ εἰς βασιλεί- Μιχ. ζ. ιη.
αν δὲ εἰσαγαγεῖν, τὸν θάνατον λῦσαι, πολλῷ μεῖζόν ἐστιν. ἀλλ᾽ ὅμως κἀκεῖνος μετ᾽ ἐξουσί-
ας ποιεῖ. καὶ τὸ νομοθετεῖν δὲ, οὐ τῶν ὑποτεταγμένων, ἀλλὰ τῶν βασιλευόντων ἐστί. καὶ
τοῦτο βοᾷ μὲν αὐτὴ τῶν πραγμάτων ἡ φύσις. βασιλέων γὰρ μόνον ἐστὶ τιθέναι νόμους.
δείκνυσι δὲ καὶ ὁ ἀπόστολος, οὕτω λέγων· Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω, α. Κορ. ζ. κε.
γνώμην δὲ δίδωμι ὡς ἠλεημένος ὑπὸ Κυρίου πιστὸς εἶναι. ἐπειδὴ γὰρ δοῦλος ἦν καὶ διά-
κονος, οὐκ ἐτόλμησε προσθεῖναι τοῖς ἐξ ἀρχῆς νομοθετηθεῖσιν. ὁ δὲ Χριστὸς οὐχ οὕτως·
ἀλλὰ μετὰ πολλῆς τῆς αὐθεντίας τοὺς παλαιοὺς ἀναγινώσκει νόμους, καὶ τοὺς παρ᾽ αὐτοῦ πάλιν
εἰσάγει. εἰ δὲ τὸ νόμους ἁπλῶς τιθέναι, βασιλικῆς μόνον ἐστὶν ἐξουσίας, ὅταν εὑρίσκηται
μὴ μόνον νόμους τιθεὶς τούτους, ἀλλὰ καὶ τοὺς παλαιοὺς διορθούμενος, τίς ὑπολείπεται λόγος
τοῖς ἀναισχυντεῖν βουλομένοις; ἀπὸ γὰρ τούτου δῆλον, ὅτι τῆς αὐτῆς οὐσίας ἐστὶ τῷ γε-
γεννηκότι

Καὶ ἵνα σαφέστερον ὃ λέγω γένηται, ἐπ᾽ αὐτὸ τῆς γραφῆς ἔλθωμεν τὸ χωρίον. ἀνελθὼν εἰς Ματθ. ε. α.
τὸ ὄρος, φησίν, ἐκάθητο· καὶ παρεστώτων πάντων ἤρξατο λέγειν· μακάριοι οἱ πτωχοὶ τῷ πνεύμα-
τι, οἱ πρᾳεῖς, οἱ ἐλεήμονες, οἱ καθαροὶ τῇ καρδίᾳ. εἶτα μετὰ τοὺς μακαρισμοὺς ἐκείνους λέ-
γει, Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι, Ματθ. ε. ιζ.
ἀλλὰ πληρῶσαι. τίς γὰρ τοῦτο ὑπώπτευσεν; ἢ τί τῶν εἰρημένων ἐναντίον ἦν τοῖς προ-
τέροις, ἵνα τοῦτο εἴπῃ; Μακάριοι, φησιν, οἱ πτωχοὶ τῷ πνεύματι, τουτέστιν, οἱ ταπεινό- Ματθ. ε. γ.
φρονες. ἀλλὰ τοῦτο καὶ ἡ παλαιὰ εἶπε· Θυσία γὰρ τῷ Θεῷ, πνεῦμα συντετριμμένον, Ψαλ. ν. ιθ.
καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. καὶ πάλιν, Μακάριοι Ματθ. ε. ε.
οἱ πρᾳεῖς. καὶ τοῦτο Ἡσαΐας πάλιν βοᾷ ἐκ προσώπου τοῦ Θεοῦ λέγων· Ἐπὶ τίνα ἐπιβλέ- Ησ. ξς. β.
ψω, ἀλλ᾽ ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους; Μακάριοι οἱ ἐλεήμονες. Ματθ. ε. ζ.
καὶ τοῦτο πάλιν πανταχοῦ διέσπαρται. Μὴ ἀποστερήσῃς γάρ, φησι, τὴν ζωὴν τοῦ πτωχοῦ, Σειρ. δ. δ.
ἱκέτην θλιβόμενον μὴ ἀπαναίνου. καὶ πολὺς πανταχοῦ περὶ φιλανθρωπίας ἐστὶν ὁ λόγος.
Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ. τοῦτο καὶ ὁ Δαβὶδ φησι· Καρδίαν καθαρὰν κτίσον Ματθ. ε. η.
ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. καὶ τοὺς λοιποὺς δὲ εἴ τις Ψαλ. ν. ια.
ἐπέλθοι μακαρισμούς, εὑρήσει πολλὴν οὖσαν τὴν συμφωνίαν. τίνος οὖν ἕνεκεν, μηδὲν ἐναν-
τίον εἰρηκὼς τοῖς προτέροις, ἐπήγαγε· Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον, ἢ τοὺς Ματθ. ε. ιζ.
προφήτας; οὐ διὰ τὰ εἰρημένα, ἀλλὰ διὰ τὰ μέλλοντα ῥηθήσεσθαι ταύτην τὴν διόρ-
θωσιν τίθησιν. ἐπειδὴ γὰρ ἔμελλεν ἐμβαίνειν εἰς ἐπίτασιν ἐντολῶν, ἵνα μὴ νομίσωσι
τὴν αὔξησιν ἐναντίωσιν εἶναι, μηδὲ τὴν προσθήκην μάχην, διὰ τοῦτο εἶπε· μὴ νομίση-
τε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον, ἢ τοὺς προφήτας· τουτέστι, μέλλω τινὰ λέγειν τελεώτερα
τῶν πρότερον εἰρημένων. οἷον, ὅτι Ἠκούσατε, οὐ φονεύσεις, ἐγὼ δὲ λέγω, οὐκ ὀργισθήσῃ· Ματθ. ε. κα.
ἠκούσατε, ὅτι οὐ μοιχεύσεις, ἐγὼ δὲ λέγω, ὅτι ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι
αὐτήν, ἤδη ἐμοίχευσε, καὶ ὅσα τοιαῦτα. μὴ τοίνυν νομίσητε κατάλυσιν εἶναι τὴν τελείωσιν.
οὐ γάρ ἐστι κατάλυσις, ἀλλὰ πλήρωσις· καὶ ὅπερ ἐπὶ τῶν σωμάτων ἐποίησε, τοῦτο καὶ
ἐπὶ τοῦ νόμου ποιεῖ. τί δὲ ἐπὶ τῶν σωμάτων εἰργάσατο; ἐλθὼν καὶ εὑρὼν ἀνάπηρα πολλὰ
μέλη, καὶ ἐνδεῶς ἔχοντα πάντα, ἀπήρτισε, καὶ εἰς τὴν προσήκουσαν εὐκοσμίαν ἐπανή-
γαγε· διὰ τῶν πραγμάτων αὐτῶν ἅπασι ποιῶν φανερόν, ὅτι καὶ τοὺς ἀρχαίους αὐτὸς τέ-

θηκε νόμους, καὶ τὴν φύσιν τὴν ἡμετέραν ἐδημιούργησε. καὶ ὅτι τοῦτο ἐσπούδαζεν ἀποδεῖξαι δῆλον ἀπὸ τῆς τοῦ τυφλοῦ θεραπείας μάλιστα. παριὼν γὰρ καὶ ἰδών τινα τυφλὸν ἐποίησε πηλὸν, καὶ τὸν τοιοῦτον πηλὸν τοῖς πεπηρωμένοις ἐπέχρισεν ὄμμασι, καὶ εἶπεν αὐτῷ· Ὕπαγε, νίψαι εἰς τὸν Σιλωάμ. Ιωαν. θ. ς. τίνος γὰρ ἕνεκεν ὁ νεκροὺς ἐπιτάγματι ψιλῷ συνεχῶς ἐγείρων, καὶ πολλὰ ἕτερα τοιαῦτα θαυματουργῶν, ἐνταῦθα καὶ ἔργον τι προστίθησι, πηλὸν ποιῶν, καὶ διαπλάττων αὐτοῦ τοὺς ὀφθαλμούς; οὐκ εὔδηλον, ἵν', ὅταν ἀκούσῃς, ὅτι ἔλαβεν ὁ Θεὸς χοῦν ἀπὸ τῆς γῆς καὶ ἔπλασε τὸν ἄνθρωπον, μάθῃς διὰ τοῦ νῦν γινομένου, ὅτι αὐτὸς ἐκεῖνός ἐστιν ὁ παρὰ τὴν ἀρχὴν πλάσας τὸν ἄνθρωπον; ἐπεὶ εἰ μὴ τοῦτο δεῖξαι ἐβούλετο, περιττὸν ἦν ὅπερ εἰργάζετο. εἶτα ἵνα μάθῃς ὅτι οὐχ ἡ τοῦ πηλοῦ χρεία συνέπραξεν αὐτῷ πρὸς τὴν ἀνάβλεψιν τοῦ πεπηρωμένου, ἀλλ' ἤρκει καὶ χωρὶς τῆς ὕλης ἐκείνης προστάγματι μόνῳ διαπλάσαι τοὺς ὀφθαλμοὺς, προστίθησι καὶ λέγει· ὕπαγε, νίψαι εἰς τὸν Σιλωάμ. μετὰ γὰρ τὸ δεῖξαι ἡμῖν διὰ τοῦ τρόπου τῆς δημιουργίας, τίς ἦν ὁ καὶ ἐξ ἀρχῆς τὸν ἄνθρωπον ποιήσας, τότε λέγει αὐτῷ· Ὕπαγε, νίψαι εἰς τὸν Σιλωάμ. καθάπερ οὖν ἀνδριαντοποιὸς ἄριστος βουλόμενος διὰ τῶν ἔργων ἐπιδείξασθαι τὴν ἑαυτοῦ τέχνην, ἀφίησι τὸν ἀνδριάντα διαπλάττων, τὸ μέρος, καὶ περὶ τοῦ παντὸς τέχνης ἀπόδειξιν ἐν τῷ λείποντι δῷ· οὕτω καὶ ὁ Χριστὸς, ὅτι τὸν ὅλον ἄνθρωπον αὐτὸς ἐποίησε δεῖξαι βουλόμενος, ἀφῆκεν ἀτελῆ τοῦτον, ἵν' ἐλθὼν καὶ τοὺς ὀφθαλμοὺς ἀποδοὺς διὰ τοῦ μέρους τὴν περὶ τοῦ παντὸς ἡμῖν ἐγκαταβάλῃ πίστιν. καὶ ὅρα ποῦ τοῦτο ἐποίησεν; οὐκ ἐπὶ χειρὸς καὶ ποδὸς, ἀλλ' ἐπὶ ὀφθαλμῶν, τοῦ καλλίστου καὶ ἀναγκαιοτάτου τῶν μελῶν τῶν ἡμετέρων, καὶ οὗ τιμιώτερον ἡμῖν οὐδὲν ἐστὶ μέλος. ὁ δὲ τὸ κάλλιστον καὶ ἀναγκαιότατον διαπλάσαι δυνηθεὶς, τοὺς ὀφθαλμοὺς λέγω, εὔδηλον ὅτι καὶ χεῖρα καὶ πόδα καὶ τὰ λοιπὰ δύναται κατασκευάσαι μέλη. ὢ μακαρίων ὀφθαλμῶν ἐκείνων, οἳ θέατρον ἐγένοντο τοῖς παροῦσιν ἅπασι, καὶ πάντας πρὸς ἑαυτοὺς ἐπεσπάσαντο, καὶ φωνὴν διὰ τοῦ κάλλους ἀφῆκαν, διδάσκοντες τοὺς παρόντας ἅπαντας τὴν τοῦ Χριστοῦ δύναμιν. καὶ ἦν παράδοξον τὸ γινόμενον. ὁ γὰρ τυφλὸς τοὺς ὁρῶντας βλέπειν ἐδίδασκεν. ὅπερ δὴ καὶ ὁ Χριστὸς δηλῶν ἔλεγεν·

Ιωαν. θ. λθ. Εἰς κρίμα ἦλθον εἰς τὸν κόσμον τοῦτον, ἵνα οἱ μὴ βλέποντες βλέψωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. ὢ πηρώσεως μακαρίας. οὓς γὰρ οὐκ ἔλαβε παρὰ τῆς φύσεως, ἔλαβε παρὰ τῆς χάριτος, οὐδὲν ἐκ τῆς ἀναβολῆς ζημιωθεὶς τοσοῦτον, ὅσον ἐκέρδανε τοῦ κατὰ τὴν δημιουργίαν τρόπου. τί γὰρ ἂν γένοιτο τῶν ὀφθαλμῶν θαυμαστότερον ἐκείνων, οὓς ἄμωμοι καὶ ἅγιαι χεῖρες διαπλάσαι κατηξίωσαν; καὶ ὅπερ ἐπὶ τῆς στείρας συνέβη, τοῦτο καὶ ἐνταῦθα ἐγένετο. καθάπερ γὰρ ἐκείνη οὐδὲν ἐκ τῆς μελλήσεως παρεβλάπτετο, ἀλλὰ καὶ λαμπροτέρα μᾶλλον ἐγένετο, οὐ νόμοις φύσεως, ἀλλὰ νόμοις χάριτος τὸ παιδίον ἀπολαβοῦσα· οὕτω δὴ καὶ ὁ τυφλὸς οὐδὲν ἐκ τῆς προελθούσης παρεβλάβη πηρώσεως, ἀλλὰ καὶ τὰ μέγιστα ἐντεῦθεν ἐκέρδανε, τὸν τῆς δικαιοσύνης ἥλιον πρότερον ἰδεῖν καταξιωθεὶς, καὶ τότε τοῦτον τὸν αἰσθητόν. Ταῦτα λέγω, ἵνα μὴ δυσχεραίνωμεν, ἐπειδὰν ἴδωμεν ἢ ἑαυτοὺς, ἢ ἑτέρους τινὰς ἐν συμφοραῖς ὄντας. ἂν γὰρ εὐχαρίστως καὶ γενναίως φέρωμεν τὰ συμπίπτοντα ἅπαντα, πάντως εἰς τέλος χρηστὸν καὶ πολλὰ ἔχον ἀγαθὰ πᾶσα ἡμῖν ἀπαντήσεται ἡ συμφορά. ἀλλ' ὅπερ ἠβουλήθην εἰπεῖν, ὅτι ὥσπερ τὰ σώματα ἐνδεῶς ἔχοντα ἀπηρτισμένα κατασκευάζει, οὕτω καὶ τὸν νόμον ἀτελῆ λαβὼν ἐρρύθμιζε καὶ διέπλαττε, καὶ πρὸς τὸ βέλτιον ἐξῆγε. μηδεὶς δὲ ἀκούων ὅτι ὁ νόμος ἀτελὴς ἦν, τοῦ θέντος αὐτὸν κατηγορεῖν ἡμᾶς νομιζέτω. ἀτελὴς γὰρ ἐκεῖνος, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὸν χρόνον λοιπὸν ἐγίνετο. ἐπεὶ κατὰ τὸν καιρὸν, ὃν εἰσηνέχθη, σφόδρα τέλειος ἦν, καὶ τοῖς δεχομένοις αὐτὸν κατάλληλος. ἐπεὶ δὲ πρὸς τὸ βέλτιον ὑπ' ἐκείνου παιδευθεῖσα λοιπὸν ἡ φύσις ἐπιδέδωκεν, ἀτελέστερος, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἐπίδοσιν τῆς ἀρετῆς τῶν ὑπ' αὐτοῦ διδαχθέντων αὐτὸς ἐγένετο. καὶ καθάπερ τόξα καὶ βέλη, παιδίῳ κατασκευασθέντα βασιλικῷ πρὸς γυμνασίαν μᾶλλον, ἢ πρὸς μάχην καὶ πόλεμον, αὐξηθέντος δὲ τοῦ παιδίου καὶ μαθόντος ἀριστεύειν ἐν πολέμοις, ἄχρηστα γέγονεν· οὕτω δὴ καὶ ἐπὶ τῆς φύσεως συνέβη τῆς ἡμετέρας· ἡνίκα ἀτελέστεροι διεκείμεθα καὶ γυμνάζεσθαι ἐμανθάνομεν, κατάλληλα ἡμῖν ἔδωκεν ὅπλα, ἅπερ ἠδυνάμεθα φέρειν μετ᾽ εὐκολίας· ἐπειδὴ δὲ ηὐξήθημεν λοιπὸν κατὰ τὸν τῆς ἀρετῆς λόγον, ἀπὸ τῆς ἡμετέρας τελειότητος ἐκεῖνα λοιπὸν ἀτελῆ γέγονε. διὰ τοῦτο ἦλθεν ὁ Χριστὸς ἕτερα μείζονα ἐγχειρίζων ἡμῖν. καὶ σκόπει μεθ᾽ ὅσης συνέσεως καὶ τοὺς παλαιοὺς ἀναγινώσκει νόμους, καὶ τοὺς νέους παρατίθησιν. Ἠκούσατε, φησὶν, ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, οὐ φονεύσεις. Εἰπὲ δὲ παρὰ τίνος ἐρρέθη. σὺ εἶπας τοῦτο, ἢ ὁ πατὴρ ὁ σός; ἀλλ᾽ οὐ λέγει. τίνος οὖν ἕνεκεν τοῦτο ἐσίγησε, καὶ τὸν εἰπόντα οὐκ ἐποίησε φανερὸν, ἀλλὰ προσώπου τὴν νομοθεσίαν εἰσήγαγεν; ὅτι εἰ μὲν εἶπεν, οὐ φονεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν, οὐκ ὀργισθήσῃ, ἔδοξεν ἂν βαρὺ τὸ λεγόμενον εἶναι, διὰ τὴν ἀπόνοιαν τῶν ἀκουόντων μηδέπω συνιέναι δυναμένων, ὅτι οὐκ ἀνατρέπων τὰ πρότερα, ἀλλ᾽ αὔξων ταῦτα ἐνομοθέτει· καὶ εἶπον ἂν πρὸς αὐτὸν, τί λέγεις; ὁ πατήρ σου εἶπεν, οὐ φονεύσεις, σὺ δὲ λέγεις, οὐκ ὀργισθήσῃ; ἵν᾽ οὖν μή τις ἐναντίον αὐτὸν τῷ πατρὶ νομίσῃ εἶναι, ἢ ὡς σοφώτερόν τι πλέον εἰσφέρειν ἐκείνου, οὐκ εἶπεν, ὅτι ἠκούσατε παρὰ τοῦ πατρός. πάλιν εἰ εἶπεν, ἠκούσατε ὅτι ἐγὼ εἶπον τοῖς ἀρχαίοις, ἀφόρητον ἔδοξεν ἂν εἶναι καὶ τοῦτο οὐκ ἔλαττον τοῦ προτέρου. εἰ γὰρ, ἐπειδὴ εἶπε, πρὶν Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι, λιθάσαι αὐτὸν ἐπεχείρησαν, εἰ προσέθηκεν ὅτι καὶ Μωϋσεῖ αὐτὸς τὸν νόμον ἔδωκε, τί οὐκ ἂν ἐποίησαν; διὰ τοῦτο οὔτε περὶ ἑαυτοῦ, οὔτε περὶ τοῦ πατρὸς οὐδὲν εἰπὼν, ἀλλὰ μέσον ἀφεὶς, καὶ εἰπὼν, ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, οὐ φονεύσεις, ὅπερ ἐπὶ τῶν σωμάτων ἐποίησε, διὰ τῆς τοῦ λείποντος ἀναπληρώσεως διδάξας αὐτοὺς καὶ τὸν ἐν ἀρχῇ δημιουργήσαντα τὸν ἄνθρωπον, τοῦτο καὶ ἐνταῦθα ποιεῖ, διὰ τῆς τοῦ νόμου διορθώσεως καὶ τῆς τοῦ ἐνδέοντος προσθήκης διδάσκων τίς ἐστιν ὁ καὶ παρὰ τὴν ἀρχὴν τὸν νόμον δεδωκώς. διὰ τοῦτο δὲ περὶ τῆς τοῦ ἀνθρώπου δημιουργίας διαλεγόμενος, οὔτε ἑαυτοῦ, οὔτε τοῦ πατρὸς ἐμνήσθη, ἀλλὰ καὶ ἐνταῦθα ἀπρόσωπόν τι καὶ ἀδιόριστον ποιεῖται τὸν λόγον, εἰπών· Ὁ ποιήσας ἐξ ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· καὶ τῷ μὲν ῥήματι ἐσίγησε τὸν ποιήσαντα, τῷ δὲ ἔργῳ ἐδίδαξε τὰ λείποντα τῶν σωμάτων ἀναπληρῶν. οὕτω καὶ ἐνταῦθα εἰπὼν ὅτι ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, παρὰ μὲν τίνος ἐρρέθη ἐσίγησε, διὰ δὲ τῶν ἔργων αὐτῶν ἐδήλωσεν ἑαυτόν. ὁ γὰρ τὸ λεῖπον ἀναπληρώσας, οὗτός ἐστιν ὁ καὶ ἐξ ἀρχῆς αὐτὸν εἰσενεγκών. καὶ αὐτὸς δὲ τοὺς παλαιοὺς ἀναγινώσκει νόμους, ἵνα τῇ παραθέσει μάθωσιν οἱ ἀκούοντες, ὅτι οὐκ ἐναντιώσεώς ἐστι τὰ λεγόμενα, καὶ ὅτι τῷ γεγεννηκότι τὴν αὐτὴν ἐξουσίαν ἔχει. ταῦτα δὲ οἱ Ἰουδαῖοι συνῆκαν, καὶ ἐθαύμαζον. καὶ ὅτι ἐθαύμαζον, ἄκουε τοῦ εὐαγγελιστοῦ τοῦτο δηλοῦντος καὶ λέγοντος· Ἐξεπλήσσοντο, φησὶν, οἱ ὄχλοι ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ὅτι ἐδίδασκεν αὐτοὺς, ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς αὐτῶν καὶ οἱ Φαρισαῖοι.

Ματθ. ε. κβ.
Ιωαν. η. νη.
Ματθ. ιθ. δ.
Ματθ. ζ. κθ.

Τί οὖν εἰ κακῶς τοῦτο ὑπώπτευον ἐκεῖνοι, φησί; καὶ μὴν οὐκ ἐνεκάλεσεν αὐτοῖς, οὐδὲ ἐπετίμησεν, ἀλλὰ καὶ ἐκύρωσεν αὐτῶν τὴν γνώμην. προσελθόντος γὰρ αὐτῷ τοῦ λεπροῦ καὶ λέγοντος, Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι, τί φησι; θέλω, καθαρίσθητι. καὶ τίνος ἕνεκεν οὐκ εἶπεν ἁπλῶς, καθαρίσθητι; καίτοι ὁ λεπρὸς ἐμαρτύρησεν αὐτῷ ἐξουσίαν ἔχειν, εἰπὼν, ἐὰν θέλῃς. ἀλλ᾽ ἵνα μὴ νομίσῃς τῆς τοῦ λεπροῦ γνώμης εἶναι τὸ, ἐὰν θέλῃς, προσέθηκε καὶ αὐτὸς λέγων· θέλω, καθαρίσθητι. οὕτως ἐπιτηδὲς πολλαχοῦ τὴν ἐξουσίαν ἐνεδείκνυε τὴν ἑαυτοῦ, καὶ ὅτι πάντα ἀπὸ αὐθεντίας ποιεῖ. ἐπεὶ εἰ μὴ τοῦτο ἦν, περιττὸν ἦν τὸ λεγόμενον. μαθόντες τοίνυν διὰ πάντων αὐτοῦ τὴν ἐξουσίαν, ἂν ἴδωμεν ἐπὶ ταπεινόν τι ποιοῦντα καὶ λέγοντα, διὰ τὰς αἰτίας, ἃς ἠριθμήσαμεν πρῴην, καὶ διὰ τὸ βούλεσθαι τοὺς ἀκούοντας εἰς ταπεινοφροσύνην ἐναγαγεῖν, μὴ διὰ τοῦτο αὐτὸν εἰς εὐτέλειαν οὐσίας διαβάλλωμεν. καὶ γὰρ αὐτὸ τὸ σάρκα ἀναλαβεῖν, ἀπὸ ταπεινοφροσύνης ὑπέ-

Ματθ. η. ϛ.

μένει, οὐ διὰ τὸ καταδεέστερον εἶναι τοῦ πατρός. καὶ πόθεν τοῦτο δῆλον; καὶ γὰρ καὶ τοῦτο περιφέρουσιν οἱ τῆς ἀληθείας ἐχθροί, λέγοντες ὅτι εἰ ἴσος ἦν τῷ γεγεννηκότι, τίνος ἕνεκεν ὁ πατὴρ οὐκ ἀνέλαβε σάρκα, ἀλλ' ὁ υἱὸς ὑπέδυ τὴν τοῦ δούλου μορφήν; ἆρα οὐκ εὔδηλον, ὅτι ἐπειδὴ καταδεέστερος ἦν; καὶ μὴν εἰ διὰ τοῦτο τὴν ἡμετέραν ὑπέδυ φύσιν, τὸ πνεῦμα, ὅ φασιν αὐτοὶ τοῦ υἱοῦ ἔλαττον εἶναι (οὐ γὰρ ἂν ἡμεῖς εἴποιμεν) ἐκεῖνο σαρκωθῆναι ἔδει. εἰ γὰρ διὰ τοῦτο μείζων τοῦ υἱοῦ ὁ πατήρ, ἐπειδὴ ὁ μὲν ἐσαρκώθη, ὁ δὲ οὐκ ἐσαρκώθη, ἔσται καὶ τὸ πνεῦμα αὐτοῦ διὰ τὴν αὐτὴν αἰτίαν μεῖζον. οὐδὲ γὰρ αὐτὸ σάρκα ἀνέλαβεν. ἀλλ' ἵνα μὴ ἀπὸ συλλογισμῶν τοῦτο ἀποφαινώμεθα, φέρε ἀπ' αὐτῶν τῶν γραφῶν αὐτὸ παραστήσωμεν, δεικνύοντες ὅτι διὰ ταπεινοφροσύνην σάρκα ἀνέλαβεν. ὁ γὰρ Παῦλος ὁ ταῦτα εἰδὼς ἀκριβῶς, ἐπειδὰν μέλλῃ τι τῶν χρησίμων ἡμῖν παραινεῖν, τὰ ὑποδείγματα ἄνωθεν ἡμῖν κατάγει τῆς ἀρετῆς· οἷον, συμβουλεύει πολλάκις περὶ ἀγάπης· καὶ βουλόμενος ἐναγαγεῖν
Κολασ. γ. ιθ. τοὺς μαθητὰς εἰς τὸ ἀγαπᾶν ἀλλήλους, Χριστὸν εἰς μέσον παράγει λέγων, Οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν ἐκκλησίαν. πάλιν, ἐπειδὰν περὶ
β. Κορ. η. θ. ἐλεημοσύνης διαλέγηται, τοῦτο αὐτὸ ποιεῖ. διὸ καὶ λέγει· Γινώσκετε τὴν χάριν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι δι' ὑμᾶς ἐπτώχευσε πλούσιος ὤν, ἵνα ὑμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσητε. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὥσπερ ὁ δεσπότης σου ἐπτώχευσε, σάρκα περιβαλόμενος· οὕτω σὺ πτώχευσον ἐν χρήμασι. καὶ γὰρ ὥσπερ ἐκεῖνον οὐδὲν ἔβλαψεν ἡ πτωχεία τῆς δόξης, οὕτως οὐδὲ σε βλάψαι δυνήσεται ἡ τῶν χρημάτων πτωχεία, ἀλλὰ πολλὴν ἐργάσεταί σοι τὸν πλοῦτον. οὕτω καὶ περὶ ταπεινοφροσύνης πάλιν Φιλιππησίοις διαλεγόμενος τὸν Χριστὸν εἰς μέσον ἄγει, καὶ
Φιλιπ. β. γ. εἰπών, Τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν, ἐπήγαγε· Τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών. καίτοι εἰ διὰ τὸ ἐλάττων εἶναι κατὰ φύσιν, κατεδέξατο σάρκα φορέσαι, οὐκ ἔτι ταπεινοφροσύνης τὸ γινόμενον, ἀλλὰ περιττῶς αὐτὸ παρήγαγεν ὁ Παῦλος εἰς ταπεινοφροσύνην παρακαλῶν. ταπει-
Φιλιπ. β. ε. νοφροσύνη γάρ ἐστιν, ὅταν ἴσος ὑπακούῃ τῷ ἴσῳ. τοῦτο οὖν καὶ αὐτὸς δεικνὺς λέγει· Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών. τί ἐστιν, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών; ὁ ἁρπάσας τι τῶν μὴ προσηκόντων κατέχει τοῦτο διηνεκῶς, καὶ ἀποθέσθαι οὐκ ἂν ἕλοιτο, δεδοικώς, καὶ θαρρεῖν οὐκ ἔχων ὑπὲρ τῆς κτήσεως· ὁ δὲ ἀναφαίρετον ἔχων ἀγαθόν, κἂν ἀποκρύψῃ τοῦτο, οὐ δέδοικεν. οἷον (ἵνα καὶ ἐπὶ ὑποδείγματος ποιήσω τὸν λόγον φανερόν) ἔστω τις τοῦ αὐτοῦ, ὁ μὲν οἰκέτης, ὁ δὲ υἱός. ἐὰν οὖν ὁ οἰκέτης ἐλευθερίαν ἀναβοήσῃ μηδαμόθεν αὐτῷ προσήκουσαν, καὶ αὐτίκα παρῇ τῷ δεσπότῃ, οὐχ ὑπομένει τι ποιῆσαι δουλικόν, οὐδὲ ἐπιταττόμενος ὑπακούει, δεδοικὼς μὴ τοῦτο αὐτὸ τῇ ἐλευθερίᾳ λυμήνηται, καὶ πρόσκομμα αὐτῷ τὸ ἐπίταγμα ἐργάσηται. ἥρπασε γὰρ τὴν τιμήν, καὶ παρ' ἀξίαν ἔχει. ὁ δὲ υἱὸς οὐ παραιτήσεται ἐπιτελέσαι πᾶν ἔργον δουλικόν, εἰδὼς ὅτι κἂν ἅπαντα διακονήσηται τὰ τῶν δούλων, οὐδὲν αὐτῷ τὰ τῆς ἐλευθερίας παραβέβλαπται, ἀλλ' ἀκίνητα μένει, τῆς φυσικῆς εὐγενείας ἀφαιρεθῆναι μὴ δυναμένης ἀπὸ τῶν δουλικῶν ἔργων· ἐπειδήπερ οὐκ ἐξ ἁρπαγῆς αὐτὴν ἔχει, καθάπερ ὁ οἰκέτης, ἀλλ' ἄνωθεν καὶ ἐκ πρώτης αὐτῷ συγκληρωθεῖσαν ἡμέρας. τοῦτο οὖν καὶ ὁ Παῦλος δηλῶν, περὶ τοῦ Χριστοῦ φησίν, ὅτι ἐπειδὴ φύσει ἐλεύθερος ἦν καὶ γνήσιος υἱός, οὐχ, ὡς ἁρπαγὴν λαβὼν τὴν ἰσότητα, ἐδεήθη αὐτὴν ἀποκρύψαι, ἀλλὰ θαρρῶν ἀνέλαβε τὴν τοῦ δούλου μορφήν. ᾔδει γάρ, ᾔδει σαφῶς, ὅτι ἡ συγκατάβασις οὐδὲν αὐτοῦ τὴν δόξαν ἐλαττῶσαι δυνήσεται. οὐ γὰρ ἐπείσακτος ἦν, οὐδὲ κατὰ ἁρπαγὴν δοθεῖσα, οὐδὲ ἀλλοτρία καὶ μὴ προσήκουσα· ἀλλὰ φυσικὴ καὶ γνησία. διὰ τοῦτο δούλου μορφὴν ἔλαβεν, εἰδὼς σαφῶς καὶ πεπεισμένος, ὅτι οὐδὲν αὐτὴν τοῦτο παραβλάψαι

παραβλέψαι δυνήσεται). οὐκοῦν οὐδὲ μεταβέβληκέ φησιν, ἀλλὰ καὶ ἐν τῇ τοῦ δούλου μορφῇ τὴν αὐτὴν ἔμεινε δόξαν ἔχων. ὁρᾷς ὅτι καὶ αὐτὸ τὸ σάρκα ἀναλαβεῖν, σημεῖόν ἐστι τοῦ τὸν υἱὸν ἴσον εἶναι τῷ γεγεννηκότι, καὶ τοῦ τὴν ἰσότητα ταύτην οὐκ ἐπείσακτον εἶναι), οὐδὲ ἐπιγινομένην καὶ ἀπογινομένην, ἀλλ' ἀκίνητον καὶ βεβαίαν, καὶ οἵαν εἰκὸς ἔχειν υἱὸν πρὸς πατέρα;

Ταῦτ' οὖν ἅπαντα πρὸς ἐκείνους λεγόμενα, καὶ σπουδάζωμεν, τό γε εἰς ἡμᾶς ἧκον, ἀπαγαγεῖν αὐτοὺς τῆς πονηρᾶς ἐκείνης αἱρέσεως, καὶ πρὸς τὴν ἀλήθειαν ἐπαναγαγεῖν. καὶ ἡμεῖς δὲ αὐτοὶ μὴ τὴν πίστιν μόνην ἀρκεῖν ἡμῖν πρὸς σωτηρίαν νομίζωμεν, ἀλλὰ καὶ πολιτείας ἐπιμελώμεθα, καὶ βίον ἄριστον ἐπιδειξώμεθα· ἵν' ἑκατέρωθεν ἡμῖν ἀπηρτισμένα ᾖ τὰ τῆς ὠφελείας. καὶ ὃ πρότερον παρεκάλεσα πρῴην, τοῦτο καὶ νῦν, ὥστε κατορθῶσαι, παρακαλῶ· καὶ τὰς πρὸς ἀλλήλους ἔχθρας καταλύσωμεν, καὶ μιᾶς ἡμέρας μηδεὶς πλέον ἔστω τοῦ πλησίον ἐχθρός, ἀλλὰ πρὸ τῆς νυκτὸς καταλυέτω τὴν ὀργήν· ἵνα μὴ καθ' ἑαυτὸν γενόμενος, καὶ τὰ γεγενημένα καὶ τὰ εἰρημένα παρὰ τῆς ἔχθρας συλλέγων μετ' ἀκριβείας, χαλεπώτερον τὸ τέλος ἐργάσηται, καὶ δυσκολωτέραν ποιήσῃ τὴν καταλλαγήν. καθάπερ γὰρ τὰ τοῦ σώματος ἡμῶν ὀστᾶ ἐξολισθήσαντα τῆς οἰκείας ἕδρας, ἂν μὲν εὐθέως ἐπανάγηται, οὐ μετὰ πολλοῦ πόνου τὴν οἰκείαν ἀπολαμβάνει χώραν· ἂν δὲ πολὺν ἔξω τῆς οἰκείας ἕδρας μείνῃ χρόνον, δυσκόλως ἐπανέρχεται πάλιν καὶ πρὸς τὴν οἰκείαν ἐπάνεισι χώραν, καὶ ἐπαναχθέντα δὲ πολλῶν δεῖται τῶν ἡμερῶν, ὥστε ἁρμοσθῶσι μετ' ἀκριβείας καὶ ἑδρασθῶσι καὶ μεῖναι· οὕτω δὴ καὶ ἡμεῖς· ἂν μὲν εὐθέως τοῖς ἐχθροῖς καταλλαγῶμεν, εὐκόλως τε τοῦτο ποιοῦμεν, καὶ οὐ πολλῆς δεόμεθα σπουδῆς, ὥστε εἰς τὴν ἀρχαίαν φιλίαν ἐπανελθεῖν· ἐὰν δὲ πολὺς μεταξὺ γένηται χρόνος, ὥσπερ τυφλωθέντες ἀπὸ τῆς ἔχθρας, ἐρυθριῶμεν, αἰσχυνόμεθα, ἑτέρων δεόμεθα, οὐ τῶν συναγόντων δὲ μόνον, ἀλλὰ καὶ τῶν μετὰ τὴν ἐπάνοδον κατεχόντων ἡμᾶς μετ' ἀκριβείας, ἕως ἂν τὴν προτέραν ἀναλάβωμεν παρρησίαν. καὶ οὔπω λέγω τὸν γέλωτα καὶ τὴν αἰσχύνην. πόσης γὰρ καταγνώσεως ἄξιον οὐκ ἂν εἴη, ἑτέρων δεῖσθαι τῶν συναγόντων ἡμᾶς πρὸς τὰ ἡμέτερα μέλη; οὐ τοῦτο δὲ μόνον ἐστὶ τὸ δεινὸν τῇ μελλήσει καὶ τῇ ἀναβολῇ, ἀλλ' ὅτι καὶ τὰ οὐκ ὄντα ἁμαρτήματα, ἁμαρτήματα εἶναι δοκεῖ λοιπόν. κἂν ὁτιοῦν ὁ ἐχθρὸς φθέγξηται, πάντα μεθ' ὑποψίας δεχόμεθα, καὶ σχήματα, καὶ βλέμματα, καὶ φωνήν, καὶ βάδισιν. καὶ γὰρ ὁρώμενος ἀναφλέγει τὴν πεπωρωμένην ψυχήν, καὶ οὐχ ὁρώμενος ὁμοίως πάλιν λυπεῖ. οὐ γὰρ δὴ μόνον ἡ ὄψις τῶν ἠδικηκότων, ἀλλὰ καὶ ἡ μνήμη διηνεκῶς ἡμᾶς ὀδυνᾶν εἴωθε. κἂν ἑτέρου τι περὶ αὐτοῦ λέγοντος ἀκούσωμεν, ὁμοίως φλεγόμεθα πάλιν, καὶ πάντα ἁπλῶς τὸν βίον ἐν ἀθυμίᾳ καὶ ὀδύνῃ διάγομεν, μείζονα ἑαυτοῖς ἢ ἐκείνοις ἐργαζόμενοι τὰ κακά, καὶ διηνεκῆ πόλεμον φυλάττοντες ἐπὶ τῆς ψυχῆς. Ταῦτ' οὖν ἅπαντα εἰδότες, ἀγαπητοί, μάλιστα μὲν σπουδάζωμεν πρὸς μηδένα ἀπεχθῶς ἔχειν. εἰ δὲ καὶ γένηταί τις ἀπέχθεια, ἐν αὐτῇ καταλλαττώμεθα τῇ ἡμέρᾳ. ἂν γὰρ ἐπιλάβηται δευτέρας καὶ τρίτης, ταχέως ἡ τρίτη τετάρτη, κἀκείνη πέμπτην, καὶ αὕτη πολλῷ πλείους τέξεται πάλιν ἡμέρας ἀπεχθείας ἡμῖν. ὅσῳ γὰρ ἀναβαλλόμεθα, τοσούτῳ μᾶλλον ἐρυθριῶμεν. ἀλλ' αἰσχύνῃ προσελθεῖν, καὶ καταφιλῆσαι τὸν ἠδικηκότα; τοῦτο μὲν οὖν ἔπαινος, τοῦτο στέφανος, τοῦτο ἐγκώμιον, τοῦτο κέρδος καὶ θησαυρὸς μυρία ἔχων ἀγαθά. καὶ αὐτός σε ὁ ἐχθρὸς ἀποδέξεται, καὶ οἱ παρόντες ἅπαντες ἐπαινέσονται. κἂν ἄνθρωποι δὲ ἐγκαλέσωσιν, ὁ Θεὸς στεφανώσει πάντως. ἂν δὲ ἐκεῖνον πρότερον ἀναμείνῃς ἐλθεῖν καὶ συγγνώμην αἰτῆσαι, οὐ τοσοῦτον ἕξεις τὸ κέρδος. ἐκεῖνος γὰρ προλαβὼν τὸ βραβεῖον ἥρπασε, καὶ τὴν εὐλογίαν εἰς ἑαυτὸν μετέστησεν ἅπασαν. ἂν δὲ αὐτὸς προσδράμῃς, οὐκ ἠλαττώθης, ἀλλ' ἐνίκησας τὸν θυμόν, περιεγένου τοῦ πάθους, φιλοσοφίαν ἐπεδείξω πολλήν, ὑπακούσας τῷ Θεῷ, πραότερον τὸν μετὰ ταῦτα κατέστησας βίον, πραγμάτων ἀπηλλάγης καὶ ταραχῆς. οὐ παρὰ Θεῷ δὲ μόνον, ἀλλὰ καὶ κατὰ ἀνθρώπους σφαλερὸν καὶ ἐπικίνδυνον ἐχθροὺς ἔχειν πολλούς. καὶ τί λέγω πολλούς; ἕνα καὶ μόνον ἔχειν ἐχθρόν, ἐπικίνδυνοι, ὥσπερ οὖν ἀσφαλὲς καὶ σωτήριον τὸ πάντας κεκτῆσθαι φίλους. οὐχ οὕτω χρημάτων πρόσοδος, οὐχ οὕτως ὅπλα καὶ τείχη καὶ τάφροι καὶ μυρία ἕτερα μηχανήματα ἡμᾶς ἀσφαλίζεσθαι πέφυκεν, ὡς φιλία γνησία. τοῦτο τεῖχος, τοῦτο ἀσφάλεια, τοῦτο περιουσία, τοῦτο τρυφή, τοῦτο καὶ τὸν παρόντα βίον ἡμᾶς μετ' εὐθυμίας παρασκευάσει διαγαγεῖν, καὶ τὴν μέλλουσαν χαριεῖται ζωήν. ἅπερ οὖν ἅπαντα ἐννοοῦντες, καὶ τὸ κέρδος ὅσον ἀπὸ τοῦ πράγματος λογιζόμενοι, πάντα ποιῶμεν καὶ κατασκευάζωμεν, ὥστε καὶ τοὺς ὄντας ἐχθροὺς ἡμῖν καταλλάττειν, καὶ τοὺς μέλλοντας γίνεσθαι κωλύειν, καὶ τῶν φίλων τοὺς ὄντας ἀσφαλεστέρους ποιεῖν. καὶ γὰρ ἀρχὴ καὶ τέλος ἀρετῆς ἁπάσης ἡ ἀγάπη· ἧς γένοιτο γνησίως καὶ διηνεκῶς ἀπολαύοντας ἡμᾶς, τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΟΜΙΛΙΑ ΠΡΟΣ ΤΟΥΣ ΕΓΚΑΤΑΛΕΙΨΑΝΤΑΣ ΤΗΝ

σύναξιν τῆς ἐκκλησίας, καὶ εἰς τὸ μὴ παρατρέχειν τὰς ἐπιγραφὰς τῶν θείων γραφῶν, καὶ εἰς τὸ ἐπίγραμμα τοῦ βωμοῦ, καὶ εἰς τοὺς νεοφωτίστους.

ΤΙ τοῦτο; ὅσον παριᾶσιν ἡμῖν αἱ ἑορταί, τοσοῦτον καὶ αἱ συνάξεις ἐλάττους γίνονται. ἀλλὰ μὴ ῥαθυμῶμεν ἡμεῖς οἱ παρόντες. ἐλάττους μὲν γίνονται τῷ πλήθει, οὐκ ἐλάττους δὲ τῇ προθυμίᾳ· ἐλάττους τῷ ἀριθμῷ, οὐκ ἐλάττους δὲ τῷ πόθῳ. ἐλάττους γίνονται, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ὑμῖν, καὶ μάθωμεν, τίνες μὲν συνηθείᾳ, τίνες δὲ ἐπιθυμίᾳ θείων λογίων παραγίνονται δι' ἐνιαυσίου ἑορτῆς, τίνες ἐπιθυμίᾳ ἀκροάσεως πνευματικῆς. πᾶσα ἡ πόλις ἦν ἐνταῦθα τῇ προτέρᾳ κυριακῇ, μεστοὶ οἱ περίβολοι, καὶ κύματα ἀπιόντα καὶ ἐπιόντα ἐμιμεῖτο τὸ πλῆθος. ἀλλ' ἐμοὶ τῶν πολλῶν ἐκείνων ποθεινοτέρα ἡ ὑμετέρα γαλήνη· ἐμοὶ τοῦ θορύβου καὶ τῆς ταραχῆς ἐκείνης τιμιωτέρα ὑμῶν ἡ ἡσυχία. τότε τὰ σώματα ἦν ἀριθμεῖν παρόντα, νῦν τὰ φρονήματα εὐλαβείας γέμοντα. εἴ τις τὴν σύναξιν ταύτην τὴν ὀλιγάνθρωπον, καὶ τὸ πλέον ἐκ πενήτων συνεστηκυῖαν, κἀκείνην τὴν σύναξιν τὴν πολυάνθρωπον, καὶ τὸ πλεῖον ἀπὸ πλουσίων συγκεκροτημένην, εἴ τις ἀμφοτέρας τὰς συνάξεις ταύτας, ὥσπερ ἐν ζυγῷ καὶ σταθμῷ θελήσει σταθμῆσαι, εὑρήσει ταύτην καθέλκουσαν. εἰ γὰρ ἐλάττους τῷ ἀριθμῷ, ἀλλὰ τιμιώτεροί εἰσι τῇ ἐπιθυμίᾳ. οὕτω καὶ ἐπὶ τῶν σταθμητῶν γίνεται· ἐὰν δέκα τις στατῆρας χρυσίου λαβὼν εἰς μίαν καταθῆται πλάστιγγα, εἶτα εἰς τὴν ἑτέραν πλάστιγγα χαλκοῦς ἑκατόν, οἱ μὲν ἑκατὸν χαλκοῖ πρὸς ἑαυτοὺς καθέλκουσι τὴν τρυτάνην· οἱ δὲ δέκα χρυσοῖ τῇ τῆς φύσεως ὑπεροχῇ μειζόνως ἀνθέλκουσι, βαρύτεροι καὶ τιμιώτεροι ὄντες κατὰ τὸν τῆς οὐσίας λόγον. ὥστε ἐστὶν ὀλίγους ὄντας τῷ ἀριθμῷ, τῶν πολλῶν εἶναι τιμιωτέρους καὶ ἀναγκαιοτέρους. ἀλλὰ τί ὑμῖν τὰ παραδείγματα ἀπὸ τῶν ἐν τῇ συνηθείᾳ φέρω πραγμάτων, δέον αὐτὴν τοῦ Θεοῦ τὴν ψῆφον περὶ τούτων παραγαγεῖν ἀποφαινομένην; τί οὖν αὕτη φησί; Κρείσσων εἷς ποιῶν τὸ θέλημα τοῦ Κυρίου, ἢ μύριοι παράνομοι. ἔστι γάρ, ἔστι πολλάκις ἄνθρωπος εἷς μυρίων ἀντάξιος. καὶ τί λέγω, ἔστιν εἷς ἄνθρωπος μυρίων ἀντάξιος μόνος; ἀλλὰ καὶ τῆς οἰκουμένης ἀναγκαιότερος καὶ τιμιώτερος. καὶ τούτου τὴν μαρτυρίαν ἀπὸ τῶν Παύλου ῥημάτων ποιήσομαι. ἀνθρώπων γὰρ μνησθεὶς πενήτων, ἐλαυνομένων, θλιβομένων, κακουχουμένων, οὕτω φησί·

Εβ. γ. λζ.

φησί· Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. τί λέγεις; τῶν ὑστερουμένων, τῶν κακουχουμένων, τῶν οὐκ ἐχόντων πατρίδα οὐκ ἦν ἄξιος ὁ κόσμος; ὁρῶ μέν, φησι, καὶ διὰ τοῦτο εἶπεν, ὅτι οὐκ ἦν ὁ κόσμος ἄξιος αὐτῶν. ἐγὼ γὰρ τῶν νομισμάτων τούτων τὴν φύσιν οἶδα σαφῶς. καὶ γῆν, καὶ θάλατταν, καὶ βασιλεῖς, καὶ ἐπάρχους, καὶ πᾶσαν ἁπλῶς τὴν φύσιν τιθείς, καὶ δύο ἢ τρεῖς πένητας τούτοις ἀντιστήσας, θαρρῶν ἂν εἴποιμι, ὅτι οὗτοι μᾶλλον κατέχουσι τῶν πάντων. εἴπερ ἐκεῖνοι ἀπηλαύνοντο πατρίδος, ἀλλ' εἶχον πατρίδα τὴν ἄνω Ἱερουσαλήμ. ἐν πενίᾳ διῆγον· ἀλλ' ἐπλούτουν κατὰ τὴν εὐσέβειαν. ἀνθρώπων ἦσαν ἐχθροί· ἀλλὰ τῷ Θεῷ φίλοι. καὶ τίνες εἰσὶν οὗτοι; ὁ Ἡλίας, ὁ Ἐλισσαῖος, καὶ οἱ κατ' ἐκείνους ἅπαντες. μὴ γὰρ διὰ τοῦτο εἴπῃς, ὅτι οὐδὲ τῆς ἀναγκαίας εὐπόρουν τροφῆς, ἀλλ' ὅτι τὸ σῶμα Ἡλίου τὸν οὐρανὸν ἔκλεισε καὶ ἀνέῳξε, καὶ ἡ μηλωτὴ αὐτοῦ τὸν Ἰορδάνην ἀπέστρεψε. καὶ ταῦτα ἐννοῶν χαίρω, καὶ ἀλγῶ· χαίρω μὲν δι' ὑμᾶς τοὺς παρόντας, ἀλγῶ δὲ δι' ἐκείνους τοὺς μὴ παρόντας· ἀλγῶ σφόδρα, καὶ ὀδυνῶμαι, καὶ συντέτριμμαι τὴν καρδίαν. τίς γὰρ καὶ τῶν σφόδρα ἀναλγήτων οὐκ ἂν ἀλγήσειε τὰ τοῦ διαβόλου πλείονος ἀπολαύοντα σπουδῆς ὁρῶν; καίτοι εἰ καὶ ἴσης ἀπήλαυσεν, οὐδεμία ἡμῖν ἦν ἡ συγγνώμη, οὐδὲ ἀπολογία· ὅταν δὲ καὶ πλεονεκτῇ, τίς ἡμῖν ἐλλείπεται λόγος; θέατρα καθ' ἑκάστην κατέχει τὴν ἡμέραν, καὶ οὐδεὶς ὁ ὀκνῶν, οὐδεὶς ὁ ἀναδυόμενος, οὐδεὶς ἀσχολίαν προβάλλεται πραγμάτων· ἀλλ' ὥσπερ εὔζωνοι καὶ λελυμένοι φροντίδος ἁπάσης, οὕτω τρέχουσιν ἅπαντες· οὐχ ὁ γέρων τὴν πολιὰν αἰδεῖται, οὐχ ὁ νέος ὑφορᾶται τὴν φλόγα τῆς φύσεως καὶ τῆς ἐπιθυμίας, οὐχ ὁ πλούσιος τὸ ἀξίωμα τὸ ἑαυτοῦ καταισχύνειν ἡγεῖται. ἀλλ' ἐὰν μὲν εἰς ἐκκλησίαν ἀπαντῆσαι δέῃ, καθάπερ ἐξ ὑπεροχῆς τινος καὶ ἀξιώματος καταβαίνων, οὕτω ναρκᾷ καὶ ὀκνεῖ, καὶ μετὰ ταῦτα φυσᾶται, ὥσπερ τι τῷ Θεῷ χαρισάμενος. εἰς δὲ θέατρον σπεύδων, ἔνθα ἀσελγῆ θεάματα καὶ ἀκούσματα, οὐ νομίζει καταισχύνειν αὐτόν, οὐ τὸν πλοῦτον, οὐδὲ τὴν εὐγένειαν. ἐβουλόμην εἰδέναι ποῦ νῦν εἰσιν οἱ κατὰ τὴν ἡμέραν ἐκείνην ἡμῖν ἐνοχλήσαντες. ἐνόχλησις γὰρ ἦν αὐτῶν ἡ παρουσία. ἐβουλόμην εἰδέναι τί πράττουσι, τί τῶν παρόντων αὐτοὺς ἀναγκαιότερον ἀπησχόλησεν. ἀλλ' ἀσχολία οὐδεμία, τῦφος δὲ μόνος. καὶ τί γένοιτ' ἂν μανικώτερον; τίνος γὰρ ἕνεκεν, ἄνθρωπε, μεγαλοφρονεῖς, καὶ νομίζεις ἡμῖν χαρίζεσθαι, ἐὰν παρακαλούμενος ἐνταῦθα προσέχῃς, ἀκούσῃς τὰ πρὸς σωτηρίαν τῆς σῆς ψυχῆς; τίνος ἕνεκεν, εἰπέ μοι, καὶ διὰ τί ἀλαζονεύῃ; διὰ τὸν πλοῦτον; διὰ τὰ ἱμάτια τὰ σηρικά; εἶτα οὐκ ἐννοεῖς, ὅτι σκωλήκων εἰσὶν ἐκεῖνα νήματα, καὶ βαρβάρων ἀνθρώπων εὑρέματα; ὅτι πόρναι ἐκείνοις κέχρηνται, καὶ μαλακοί, καὶ τυμβωρύχοι, καὶ λῃσταί; ἐπίγνωθι τὸν δίκαιον πλοῦτον, καὶ κατάβηθί ποτε ἀπὸ τοῦ φυσήματος ἐκείνου τοῦ ὑψηλοῦ καὶ κενοῦ· διάσκεψαι τῆς φύσεως τὸ εὐτελές. γῆ καὶ σποδὸς εἶ, τέφρα καὶ κόνις, καπνὸς καὶ σκιά, χόρτος καὶ ἄνθος χόρτου. τοιαύτῃ φύσει μεγαλοφρονεῖς, εἰπέ μοι; καὶ τί τούτου γένοιτ' ἂν καταγελαστότερον; ἀλλὰ πολλῶν ἄρχεις ἀνθρώπων; καὶ τί τοῦτο ὄφελος, ὅταν ἀνθρώπων μὲν ἄρχῃς, τῶν δὲ παθῶν αἰχμάλωτος εἶ καὶ δοῦλος; ὥσπερ ἄν τις οἴκοι μὲν ὑπὸ τῶν οἰκετῶν τύπτοιτο καὶ τραύματα λαμβάνοι, ἔξω δὲ εἰς τὴν ἀγορὰν ἐμβάλλων μεγαφρονῇ ἐπὶ τῇ τῶν ἄλλων ἀρχῇ· οὕτω τύπτει σε κενοδοξία, τραύματά σοι ἐπάγει ἡ ἀσέλγεια. πάντων τῶν παθῶν δοῦλος εἶ, καὶ μεγαφρονεῖς ὅτι τῶν ὁμοφύλων ἄρχεις; εἴθε ἐκείνων ἦρχες, ἐκείνων ἦς ἰσότιμος. οὐ τῶν πλουτούντων κατηγορῶν ταῦτα λέγω, ἀλλὰ τῶν κακῶς τῷ πλούτῳ κεχρημένων. οὐ γὰρ ὁ πλοῦτος κακόν, ἐὰν εἰς δέον βουλώμεθα αὐτῷ χρήσασθαι, ἀλλ' ἡ ἀπόνοια, καὶ ἡ ἀλαζονεία. εἰ κακὸν ἦν ὁ πλοῦτος, οὐκ ἂν πάντες ηὐξάμεθα εἰς κόλπους Ἀβραὰμ ἀπελθεῖν τοῦ ἔχοντος τριακοσίους δέκα καὶ ὀκτὼ οἰκέτας οἰκογενεῖς. οὐ τοίνυν ὁ πλοῦτος κακόν, ἀλλ' ἡ παράνομος αὐτοῦ χρῆσις κακόν. καὶ ὥσπερ περὶ μέθης λέγων, οὐ τὸν οἶνον διέβαλλον (πᾶν γὰρ κτίσμα Θεοῦ καλόν, καὶ οὐδὲν ἀπόβλητον, μετ' εὐχαριστίας λαμβανόμενοι) ὥστε τοίνυν οὐ τῶν πλουτούντων κατηγορῶ, οὐδὲ τὰ χρήματα διαβάλλω, ἀλλὰ τὴν κακὴν τῶν χρημάτων χρῆσιν, καὶ εἰς ἀσωτίαν δαπανωμένην. διὰ τοῦτο χρήματα λέγεται, ἵνα ἡμεῖς αὐτοῖς χρησώμεθα, καὶ μὴ ἐκεῖνα ἡμᾶς. τί οὖν τὸν δοῦλον ἔχεις δεσπότην; ἀντιστρέψας τὴν τάξιν. ἀλλ' ἐβουλόμην μαθεῖν, τί νῦν ποιοῦσιν οἱ τὴν σύναξιν ἐγκαταλείψαντες, καὶ ἐν τίσιν εἰσίν. ἀλλ' ἢ κυβεύουσιν, ἢ πάντως πράγματα ἀνακινοῦσι βιωτικὰ, ταραχῆς ἐμπεπλησμένα. ἐνταῦθα εἰ παρῆσαν, ἐν γαλήνῃ ἦσαν καὶ ἐν λιμένι. οὐκ οἰκονόμος εἰσελθὼν ἐτάραττεν, οὐκ ἐπίτροπος ἐθορύβει, οὐκ οἰκέτης ὑπὲρ πραγμάτων βιωτικῶν ἠνώχλει, οὐκ ἄλλος τις παρώξυνεν· ἀλλ' ἐν ἡσυχίᾳ διάγοντες ἀπήλαυον θείων ἀκροάσεων. οὐδαμοῦ κύματα ἐνταῦθα, οὐδαμοῦ ταραχή· ἀλλ' εὐλογία, καὶ εὐχαὶ, καὶ ὁμιλία πνευματικὴ, καὶ μετάστασις εἰς τὸν οὐρανόν· καὶ ἐντεῦθεν ἤδη τὸν ἀρραβῶνα τῆς βασιλείας τῶν οὐρανῶν λαβὼν ἀπήεις. τίνος ἕνεκεν τὴν πλουσίαν ταύτην ἀφεὶς, εἰς ἑτέραν φορτικωτέραν ἑαυτὸν μετήγαγες; καὶ τὸν λιμένα καταλιπὼν, ταραχὴν ἀντικαταλλάττῃ γαλήνης; τὸ μὴ παραγίνεσθαι πένητας τοὺς τότε παρόντας, δεινὸν μὲν, ἀλλ' οὐδὲ οὕτω δεινὸν, ὡς τὸ μὴ παραγίνεσθαι πλουσίους. τίνος ἕνεκεν; ὅτι οἱ μὲν πένητες ἔχουσι τὴν ἀναγκαίαν ἀσχολίαν, τὴν φροντίδα τῆς καθημερινῆς ἐργασίας, ἀπὸ τῶν χειρῶν ποιούμενοι τὸν βίον. παιδοτροφίας ἐπιμελοῦνται, γυναικὸς προεστήκασι. κἂν μὴ κάμωσι, τὰ τῆς ζωῆς αὐτοῖς οἴχεται. ταῦτα οὐχὶ ἀπολογίαν ὑπὲρ ἐκείνων συντιθεὶς, ἀλλὰ δεικνὺς πῶς μείζονος κατηγορίας οἱ πλουτοῦντές εἰσιν ἄξιοι. ὅσον πλείονος ἀπολαύουσιν ἀδείας, τοσούτου καὶ κατακρίσεως, ὅτι οὐδενὶ τούτων κατέχονται. οὐχ ὁρᾶτε τοὺς Ἰουδαίους, τοὺς θεομάχους, τοὺς ἀντιπίπτοντας τῷ ἁγίῳ πνεύματι, τοὺς σκληροτραχήλους; τούτων οἱ μὴ παραγινόμενοι πάντων χείρους εἰσίν. ἐκείνοις ἐὰν εἴπωσιν οἱ ἱερεῖς ἑπτὰ ἡμέρας ἀργῆσαι, καὶ δέκα, καὶ εἴκοσι, καὶ τριάκοντα, οὐκ ἀντιλέγουσι. καίτοι τί τῆς ἀργίας ἐκείνης χαλεπώτερον; τὰς θύρας ἀποκλείουσι, καὶ οὔτε πῦρ καίουσιν, οὐχ ὕδωρ φέρουσιν, οὐκ ἄλλο τι πρὸς τὴν χρείαν τὴν τοιαύτην μεταχειρίζειν ἐφίενται· ἀλλ' ἐστὶν ἅλυσις αὐτοῖς ἡ ἀργία, καὶ οὐδὲ οὕτως ἀντιλέγουσιν. ἐγὼ δὲ οὐδὲν τοιοῦτον λέγω, ὅτι ἑπτὰ ἡμέρας ἀργῆσον, οὐδὲ δέκα ἡμέρας· ἀλλὰ δύο μοι δάνεισον ὥρας τῆς ἡμέρας, καὶ τὰς λοιπὰς αὐτὸς ἔχε· καὶ οὐδὲ τοῦτό μοι τὸ μέτρον εἰσφέρεις. μᾶλλον δὲ μὴ ἐμοὶ δανείσῃς τὰς δύο ὥρας, ἀλλ' ἑαυτῷ· ἵνα παράκλησίν τινα εὐχῆς δέξῃ πατέρων, ἵνα εὐλογιῶν πεπληρωμένος ἀναχωρήσῃς, ἵνα πανταχόθεν ἀσφαλὴς ἀπέλθῃς, ἵνα τὰ ὅπλα λαβὼν τὰ πνευματικὰ ἀκαταγώνιστος γένῃ καὶ ἀχείρωτος τῷ διαβόλῳ. τί ἡδύτερον, εἰπέ μοι, τῆς ἐνταῦθα διαγωγῆς; εἰ γὰρ διημερεύειν ἐνταῦθα ἐχρῆν, τί σεμνότερον; τί ἀσφαλέστερον, ὅπου ἀδελφοὶ τοσοῦτοι, ὅπου τὸ πνεῦμα τὸ ἅγιον, ὅπου Ἰησοῦς μέσος, καὶ ὁ τούτου πατήρ; ποίαν ἑτέραν ζητεῖς συναγωγὴν τοιαύτην; ποῖον ἕτερον βουλευτήριον; ποίαν σύνοδον; τοσαῦτα ἀγαθὰ ἐν τῇ τραπέζῃ, ἐν τῇ ἀκροάσει, ἐν ταῖς εὐλογίαις, ἐν ταῖς εὐχαῖς, ἐν ταῖς συνουσίαις· καὶ σὺ πρὸς ἑτέρας βλέπεις διατριβάς; καὶ ποίαν ἔχεις συγγνώμην; ταῦτα οὐχ ἵνα ὑμεῖς ἀκούσητε, εἶπον (οὐ γὰρ χρείαν ἔχετε τῶν φαρμάκων τούτων ὑμεῖς, οἱ διὰ τῶν ἔργων ἐπιδειξάμενοι τὴν ὑγίειαν, τὴν ὑπακοὴν, οἱ διὰ τῆς σπουδῆς τὸν πόθον ἁπλώσαντες) ἀλλ' εἶπον ταῦτα πρὸς ὑμᾶς, ἵνα ἀκούσωσιν οἱ μὴ παρόντες δι' ὑμῶν. μὴ εἴπητε, ὅτι κατηγόρησε τῶν μὴ παραγινομένων ἁπλῶς, ἀλλ' ὅλον ἄνωθεν αὐτοῖς διηγήσασθε τὸν λόγον· ἀναμνήσατε αὐτοὺς τῶν Ἰουδαίων, ἀναμνήσατε αὐτοὺς τῶν βιωτικῶν πραγμάτων· εἴπατε πόσῳ βελτίων ἡ ἐνταῦθα σύναξις, εἴπατε πόσην σπουδὴν περὶ τὰ τοῦ κόσμου πράγματα ἐπιδείκνυνται, εἴπατε πόσος μισθὸς ἕπεται τοῖς ἐνταῦθα συλλεγομένοις. ἂν γὰρ μόνον εἴπητε, ὅτι κατηγόρησα, τὸν μὲν θυμὸν ἠγείρατε, καὶ τραῦμα εἰργάσασθε, τὸ δὲ φάρμακον οὐκ ἐπεθήκατε· ἂν δὲ διδάξητε αὐτοὺς, ὅτι οὐχ ὡς ἐχθρὸς κατηγόρησα, ἀλλ' ὡς φίλος ὀδυνώμενος, καὶ πείσητε αὐτοὺς, ὅτι Ἀξιοπιστότερα τραύματα

ἴσ. καὶ νῦν

ἴσ. ἡμῶν

ἴσ. ταῦτα λέγω, οὐχ

ἴσ. ῥητῶς

Παροιμ. κζ. ς.

ματα φίλων, ἢ ἑκούσια φιλήματα ἐχθρῶν, δέξονται μετὰ πολλῆς ἡδονῆς τὴν κατηγορίαν. οὐ γὰρ τοῖς ῥήμασιν, ἀλλὰ τῇ γνώμῃ τοῦ λέγοντος προσέξουσιν. οὕτω θεραπεύετε τοὺς ἀδελφοὺς τοὺς ὑμετέρους. ἡμεῖς τῆς σωτηρίας ὑπεύθυνοι τῶν παρόντων ὑμῶν, ὑμεῖς τῆς τῶν ἀπολειφθέντων. οὐ δυνάμεθα αὐτοῖς συγγενέσθαι δι' ἑαυτῶν· συγγενώμεθα αὐτοῖς δι' ὑμῶν, καὶ τῆς ὑμετέρας διδασκαλίας. γέφυρά τις ἡμῖν γινέσθω πρὸς ἐκείνους ἡ ὑμετέρα ἀγάπη· ποιήσατε τοὺς ἡμετέρους λόγους διὰ τῆς ὑμετέρας γλώττης διαβῆναι πρὸς τὴν ἐκείνων ἀκρόασιν.

Τάχα αὐταρκῶς εἴρηται ἕνεκεν τῶν ἀπολειφθέντων τὰ εἰρημένα, καὶ οὐδὲν δεῖ πλέον προσθεῖναι. εἶχον μὲν γὰρ πλείονα εἰπεῖν, ἀλλ' ἵνα μὴ τὸν καιρὸν ἅπαντα εἰς τοῦτο καταδαπανήσωμεν κατηγοροῦντες, ὑμᾶς δὲ μηδὲν ὠφελοῦντες παραγενομένους αὐτούς, φέρε τι καὶ ὑμῖν παραθῶμεν ξένον ὄψον καὶ καινόν, λέγω οὐ κατὰ τὴν πνευματικὴν τράπεζαν, ἀλλὰ ξένον κατὰ τὴν ὑμετέραν ἀκρόασιν. διελέχθημεν ὑμῖν ἀπὸ τῶν ἀποστολικῶν ῥημάτων ἐν ταῖς ἔμπροσθεν ἡμέραις, καὶ ἀπὸ τῶν εὐαγγελικῶν, ὅτε περὶ τοῦ Ἰούδα διελεγόμεθα· διελέχθημεν ὑμῖν καὶ ἀπὸ προφητικῶν. σήμερον βουλόμεθα ἀπὸ τῶν Πράξεων τῶν ἀποστόλων εἰπεῖν. διὰ τοῦτο εἶπον τὸ ὄψον ξένον· οὐ ξένον μὲν, ὅτι τῆς ἀκολουθίας ἐστὶ τῶν ξένων γραφῶν, ξένον δὲ διὰ τὸ πάντη ἀήθης ὑμῶν ἡ ἀκοὴ πρὸς τὴν τοιαύτην ἀκρόασιν. πολλοῖς γοῦν τὸ βιβλίον τοῦτο οὐδὲ γνώριμόν ἐστι, πολλοῖς δὲ δοκοῦν σαφὲς εἶναι πάλιν παρεωρᾶτο· καὶ γὰρ τοῖς μὲν ἡ γνῶσις, τοῖς δὲ ἡ ἄγνοια ῥαθυμίας ὑπόθεσις. ἵν' οὖν καὶ οἱ ἀγνοοῦντες μάθωσι, καὶ οἱ νομίζοντες σαφῶς εἰδέναι, ὅτι πολὺ βάθος νοημάτων ἔχει, ἀναγκαῖον ἀμφοτέρων διορθώσασθαι τὴν ῥαθυμίαν τήμερον. Ἄξιον δὲ πρότερον μαθεῖν, τίς τὸ βιβλίον ἔγραψεν. αὕτη γὰρ ἀρίστης ὁδοῦ ἀκολουθία, πρότερον τὸν γράψαντα ἰδεῖν, εἰ ἄνθρωπός ἐστιν, ἢ ὁ Θεός. κἂν μὲν ἄνθρωπος, παρακρουσώμεθα. Μὴ καλέσητε γάρ, φησι, διδάσκαλον ἐπὶ τῆς γῆς. ἂν δὲ Θεός, δεξώμεθα. ἄνωθεν γάρ ἐστι τὸ διδασκαλεῖον τὸ ἡμέτερον. καὶ γὰρ τοιοῦτον τὸ ἀξίωμα τοῦ θεάτρου τούτου, μηδὲν παρὰ ἀνθρώπων μανθάνειν, ἀλλὰ παρὰ Θεοῦ δι' ἀνθρώπων. δεῖ τοίνυν ἐξετάσαι, τίς ὁ γράψας, καὶ πότε ἔγραψε, καὶ περὶ τίνων, καὶ τίνος ἕνεκεν τῇ ἑορτῇ ταύτῃ νενομοθέτηται αὐτὸ ἀναγινώσκεσθαι. τάχα γὰρ οὐκ ἀκούετε, διαπαντὸς τοῦ ἔτους οὐκ ἀναγινωσκομένου τοῦ βιβλίου. καὶ γὰρ καὶ τοῦτο χρήσιμον. καὶ μετὰ τοῦτο ζητῆσαι χρή, τίνος ἕνεκεν ταύτην ἔχει τὴν ἐπιγραφήν, Πράξεις ἀποστόλων. οὐδὲ γὰρ τὰς ἐπιγραφὰς ἁπλῶς παριέναι χρή, οὐδὲ εὐθέως εἰς τὴν ἀρχὴν ἐμβαλεῖν τῆς συγγραφῆς· ἀλλὰ πρότερον ὁρᾶν τὴν προσηγορίαν τοῦ βιβλίου. καθάπερ γὰρ ἡ κεφαλὴ γνωριμώτερον ποιεῖ τὸ λοιπὸν σῶμα, καὶ ἡ ὄψις ἄνωθεν ἐπικειμένη ἐπὶ τοῦ μετώπου καταφανέστερον ἡμῖν ποιεῖ τὸ λοιπὸν τῆς ἐπιγραφῆς. οὐχ ὁρᾶτε καὶ ἐπὶ τῶν εἰκόνων τοῦτο τῶν βασιλικῶν, ὅτι ἄνωθεν κεῖται ἡ εἰκὼν, καὶ τὸν βασιλέα ἔχει ἐγγεγραμμένον, κάτω δὲ ἐν τῇ χοίνικι ἐπιγέγραπται τοῦ βασιλέως τὰ τρόπαια, ἡ νίκη, τὰ κατορθώματα; οὕτω δὴ καὶ ἐπὶ τῶν γραφῶν ἐστιν ἰδεῖν. γέγραπται μὲν ἡ εἰκὼν ἡ βασιλικὴ ἄνωθεν· κάτωθεν δὲ ἐπιγέγραπται ἡ νίκη, τὰ τρόπαια, τὰ κατορθώματα πάντα. οὕτω καὶ ἐπιστολὴν ὅταν δεξώμεθα, ποιοῦμεν· οὐκ εὐθέως διαλύομεν τὸν δεσμόν, οὐδὲ εὐθέως τὰ ἐγκείμενα ἔνδοθεν ἀναγινώσκομεν· ἀλλὰ πρότερον τὴν ἔξωθεν ἐπιγραφὴν ἐπερχόμεθα, καὶ δι' ἐκείνης μανθάνομεν καὶ τὸν πέμψαντα, καὶ τὸν ὀφείλοντα ὑποδέξασθαι. καὶ πῶς οὖν οὐκ ἄτοπον ἐν μὲν τοῖς βιωτικοῖς τοσαύτῃ κεχρῆσθαι σπουδῇ, καὶ μὴ θορυβεῖσθαι, μηδὲ ταράττεσθαι, ἀλλὰ κατὰ τάξιν ἕκαστον ἐπιέναι· ἐνταῦθα δὲ ἀγάλλειν, καὶ εὐθέως ἐπιπηδᾶν τῇ ἀρχῇ; βούλει μαθεῖν ὅση τῆς ἐπιγραφῆς ἡ ἰσχύς; ὅση δύναμις; ὅσος ἀπόκειται θησαυρὸς ἐν ταῖς ἀρχαῖς τῶν γραφῶν; ἀκούσατε, ἵνα μὴ καταφρονῆτε τῆς ἐπιγραφῆς τῶν θείων βιβλίων. Εἰσῆλθεν εἰς τὰς Ἀθήνας ὁ Παῦλός ποτε (ἐν αὐτῷ τῷ βιβλίῳ γέγραπται ἡ ἱστορία αὕτη) εὗρεν ἐν τῇ πόλει, οὐχὶ βιβλίον θεῖον, ἀλλὰ βωμὸν εἰδώλων· εὗρεν ἐπιγραφὴν οὕτως ἔχουσαν, Ἀγνώστῳ Θεῷ· καὶ οὐ παρέδραμεν,

Πράξ. ιζ. κγ.

σθω, ἀλλ' ἀπὸ τῆς ἐπιγραφῆς τοῦ βωμοῦ τὸν βωμὸν καθεῖλε. Παῦλος ὁ ἅγιος, ὁ πνεύματος χάριν ἔχων, οὐ παρέδραμε βωμοῦ ἐπίγραμμα· καὶ σὺ ἐπιγραφὴν γραφῶν παρατρέχεις; ἐκεῖνος οὐκ ἀφῆκεν ἅπερ ἔγραψαν Ἀθηναῖοι εἰδωλολατροῦντες, καὶ σὺ ἅπερ ἔγραψε τὸ πνεῦμα τὸ ἅγιον οὐ νομίζεις εἶναι ἀναγκαῖα; καὶ ποίαν ἕξεις συγγνώμην; ἀλλὰ γὰρ ἴδωμεν πόσον τὸ κέρδος ἀπὸ τοῦ ἐπιγράμματός ἐστιν. ὅταν οὖν ἴδῃς ἐπίγραμμα βωμοῦ ἐγκεχαραγμένον τοσαύτην παρέχον τὴν ἰσχύν, μαθήσῃ ὅτι πολλῷ μᾶλλον τὰ ἐπιγράμματα τῶν θείων γραφῶν τοῦτο ποιῆσαι δυνήσονται. Εἰσῆλθεν εἰς τὴν πόλιν ὁ Παῦλος, εὗρε βωμὸν ἐν ᾧ ἐπιγέγραπτο, ἀγνώστῳ Θεῷ. τί ἔδει ποιῆσαι; Ἕλληνες πάντες ἦσαν, ἀσεβεῖς πάντες. πόθεν οὖν ἔλεγχον ποιήσῃ; ἀπὸ εὐαγγελίων διαλεχθῆναι; ἀλλὰ κατεγέλων. ἀλλ' ἀπὸ προφητικῶν, καὶ τῶν τοῦ νόμου γραμμάτων; ἀλλ' οὐκ ἐπίστευον. τί οὖν ἐποίησεν; ἐπὶ τὸν βωμὸν ἔδραμε, καὶ ἀπὸ τῶν ὅπλων τῶν πολεμίων αὐτοῖς ἐχρήσατο.

α. Κορ. 9. κβ.

καὶ τοῦτό ἐστιν, ὃ λέγει· Ἐγενόμην τοῖς πᾶσι τὰ πάντα, τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, τοῖς ἀνόμοις ὡς ἄνομος. Εἶδε τὸν βωμόν, εἶδε τὸ ἐπίγραμμα, ἀνέστη τῷ πνεύματι. τοιαύτη γὰρ ἡ τοῦ πνεύματος χάρις, πάντοθεν ποιεῖ κερδαίνειν τοὺς ὑποδεχομένους αὐτήν.

β. Κορ. ι. ε.

Τοιαῦτα ἡμῶν τὰ ὅπλα τὰ πνευματικά. Αἰχμαλωτίζοντες γάρ, φησι, πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ. Εἶδε τοίνυν τὸν βωμόν, καὶ οὐκ ἐδειλίασεν· ἀλλὰ μετέστησε τὸν βωμὸν πρὸς ἑαυτόν· μᾶλλον δὲ τὰ γράμματα ἀφεὶς, μετέθηκεν αὐτοῦ τὰ νοήματα. καὶ καθάπερ ἐν πολέμῳ στρατηγὸς ἰδὼν στρατιώτην ἐν τῇ παρατάξει τῶν πολεμίων γενναῖον, εἶτα λαβόμενος ἀπὸ τῆς κόμης τοῦ στρατιώτου, πρὸς τὴν ἑαυτοῦ τάξιν αὐτὸν μεταστήσειε, καὶ παρασκευάσειεν ὑπὲρ αὐτοῦ πολεμεῖν· οὕτω καὶ ὁ Παῦλος ἐποίησε, καθάπερ ἐν παρατάξει πολεμίων τὸ ἐπίγραμμα εὑρὼν ἐν τῷ βωμῷ γεγραμμένον, πρὸς τὴν ἑαυτοῦ τάξιν μετέστησεν, ἵνα μετὰ Παύλου τοῖς Ἀθηναίοις πολεμῇ, ἀλλ' οὐ μετὰ Ἀθηναίων τὸν Παῦλον βάλλῃ. ξίφος γὰρ ἦν τῶν Ἀθηναίων, μάχαιρα ἦν τῶν πολεμίων τὸ ἐπίγραμμα ἐκεῖνο. ἀλλ' αὕτη ἡ μάχαιρα τῶν πολεμίων τὴν κεφαλὴν ἐξέτεμεν. οὐκ ἦν οὕτω θαυμαστόν, εἰ τοῖς οἰκείοις αὐτοῦ ὅπλοις ἐχρήσατο· τοῦτο γὰρ κατὰ λόγον συμβαίνει. τὸ γὰρ καινὸν καὶ παράδοξον, ὅταν τὰ τῶν πολεμίων ὅπλα, ταῦτα μηχανήματα τοῖς πολεμίοις προσάγηται· ὅταν τὸ ξίφος, ὃ καθ' ἡμῶν βαστάζουσι, τοῦτο αὐτοῖς τὴν καιρίαν ἐπαγάγῃ πληγήν. τοιαύτη γὰρ ἡ τοῦ πνεύματος δύναμις. οὕτω καὶ ὁ Δαβὶδ ἐποίησέ ποτε. ἐξῆλθε γυμνὸς τῶν ὅπλων, ἵνα φανῇ γυμνὴ ἡ τοῦ Θεοῦ χάρις. μηδὲν γάρ, φησιν, ἀνθρώπινον ἔστω, ὅταν Θεὸς ὑπὲρ ἡμῶν πολεμῇ. ἐξῆλθε τοίνυν γυμνὸς τῶν ὅπλων, καὶ κατήνεγκε τὸν πύργον ἐκεῖνον. εἶτα ἐπειδὴ ὅπλα οὐκ εἶχε, δραμὼν ἥρπασε τὴν μάχαιραν τοῦ Γολιάθ, καὶ οὕτω τὴν κεφαλὴν ἐξέτεμε τὴν τοῦ βαρβάρου· οὕτω καὶ ὁ Παῦλος ἐποίησεν ἐπὶ τοῦ ἐπιγράμματος τούτου. καὶ ἵνα σαφέστερος γένηται ὁ τῆς νίκης τρόπος, καὶ τὴν δύναμιν ὑμῖν τοῦ ἐπιγράμματος ἐρῶ. εὗρε τοίνυν ὁ Παῦλος ἐν Ἀθήναις βωμόν, ἐν ᾧ ἐπεγέγραπτο, ἀγνώστῳ Θεῷ. τίς δὲ ἦν ὁ ἀγνοούμενος, ἀλλ' ἢ ὁ Χριστός; εἶδες πῶς ᾐχμαλώτισε τὸ ἐπίγραμμα, οὐκ ἐπὶ κακῷ τῶν γραψάντων, ἀλλ' ἐπὶ σωτηρίᾳ αὐτῶν καὶ προνοίᾳ; τί οὖν; οἱ Ἀθηναῖοι διὰ τὸν Χριστὸν ἔγραψαν τοῦτο, φησιν; εἰ διὰ τὸν Χριστὸν ἔγραψαν οἱ Ἀθηναῖοι, οὐκ ἦν οὕτω θαυμαστόν· ἀλλὰ τοῦτό ἐστι τὸ θαυμαστόν, ὅτι ἐκεῖνοι μὲν ἄλλως ἔγραψαν, οὗτος δὲ ἴσχυσεν ἄλλως αὐτὸ μεταβαλεῖν. προσήκει ἀναγκαῖον εἰπεῖν τίνος ἕνεκεν οἱ Ἀθηναῖοι ἔγραψαν ἀγνώστῳ Θεῷ. τίνος οὖν ἕνεκεν ἔγραψαν; πολλοὺς εἶχον θεοὺς ἐκεῖνοι, μᾶλλον δὲ πολλοὺς δαίμονας. πάντες γὰρ οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια. εἶχον δὲ ἐπιχωρίους, καὶ ξένους. ὁρᾶτε ὅσος ὁ καταγέλως. εἰ γὰρ Θεός ἐστιν, οὐκ ἔστι ξένος. τῆς γὰρ οἰκουμένης ἁπάσης δεσπότης ἐστί. τούτων τοίνυν τοὺς μὲν παρὰ τῶν πατέρων εἶχον δεξάμενοι, τοὺς δὲ ἀπὸ τῶν πλησίον ἐθνῶν, οἷον ἀπὸ Σκυθῶν, ἀπὸ Θρακῶν, ἀπὸ Αἰγυπτίων. καὶ εἰ τῆς ἔξωθεν παιδεύσεως ἦτε ἔμπειροι, καὶ ταύτας ἂν ὑμῖν ἀνέγνων τὰς ἱστορίας

ρίας πάσης. ἐπεὶ οὖν οὐκ ἐξ ἀρχῆς πάντας ἐδέξαντο, ἀλλὰ κατὰ μικρὸν εἰσηνέχθησαν αὐτοῖς, οἱ μὲν ἐπὶ τῶν πατέρων, οἱ δὲ ἐπὶ τῆς γενεᾶς τῆς ἑαυτῶν, συνελθόντες εἶπον πρὸς ἀλλήλους· ὅτι ὥσπερ τούτους ἠγνοοῦμεν, φασὶ, τέως, ὕστερον δὲ αὐτοὺς ἐδεξάμεθα καὶ ἐγνωρίσαμεν, οὕτω συμβαίνει ἀγνοούμενον, ὄντα μὲν Θεὸν, οὐ γνωριζόμενον δὲ ὑφ' ἡμῶν· καὶ διὰ τοῦτο λανθάνειν ὁμολογοῦμεν, ἵνα μηδὲ ἀθεράπευτον ἀφῶμεν. τί οὖν ἵνα γένηται; ἔστησαν βωμὸν, καὶ ἐπέγραψαν ἀγνώστῳ Θεῷ, τοῦτο λέγοντες διὰ τοῦ ἐπιγράμματος· ὅτι καὶ εἴ τίς ἐστι Θεὸς ὅστις οὐδέπω γνωρισθεὶς ἡμῖν, κἀκεῖνον θεραπεύσομεν. ὅρα ὑπερβολὴν δεισιδαιμονίας. διὰ τοῦτο ὁ Παῦλος ἀρχόμενος ἔφη, Κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ. οὐ γὰρ τοὺς γνωρίμους ὑμῖν δαίμονας θεραπεύετε μόνον, ἀλλὰ καὶ τοὺς οὐδέπω γνωρισθέντας ὑμῖν. ἐκεῖνοι μὲν διὰ τοῦτο ἐπέγραψαν, ἀγνώστῳ Θεῷ· ὁ δὲ Παῦλος ἡρμήνευσεν. οἱ μὲν γὰρ τοῦτο περὶ ἄλλου ἔλεγον, αὐτὸς δὲ αὐτὸ μετέστησεν ἐπὶ τὸν Χριστὸν, αἰχμαλωτίσας τὸ νόημα, καὶ μεθ' ἑαυτοῦ στήσας ἐν τῇ παρατάξει τῇ ἑαυτοῦ. Ὃν γὰρ ἀγνοοῦντες εὐσεβεῖτε ὑμεῖς, τοῦτον ἐγὼ καταγγέλλω, φησίν. ἄγνωστος γὰρ Θεὸς οὐδεὶς ἄλλος ἐστὶν, ἢ ὁ Χριστός. καὶ ὅρα σύνεσιν πνευματικήν. ἔμελλον αὐτῷ μετὰ ταῦτα ἐγκαλεῖν, ὅτι ξενίζοντα εἰσφέρεις δόγματα εἰς τὰς ἀκοὰς ἡμῶν, ὅτι καινοτομεῖς, ὅτι Θεὸν εἰσφέρεις, ὃν οὐκ ἴσμεν. βουλόμενος τοίνυν ἀπαλλαγῆναι τῆς ὑποψίας τῆς κατὰ τὴν καινοτομίαν, καὶ δεῖξαι ὅτι οὐ ξένον κηρύττει Θεὸν, ἀλλ' ὃν προλαβόντες αὐτοὶ διὰ τῆς θεραπείας ἐτίμησαν, ἐπήγαγε, καὶ εἶπεν· ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν. ὑμεῖς με προελάβετε, φησίν· ἔφθασεν ὑμῶν ἡ θεραπεία τὸ ἐμὸν κήρυγμα. μὴ τοίνυν ἐγκαλεῖτε, ὅτι ξένον εἰσφέρω Θεόν. τοῦτον γὰρ καταγγέλλω, ὃν ὑμεῖς ἀγνοοῦντες θεραπεύετε, οὐκ ἀξίως μὲν αὐτοῦ τρόπῳ, θεραπεύετε δὲ ὅμως. οὐ γὰρ τοιοῦτος βωμὸς ἵσταται τῷ Χριστῷ, ἀλλὰ βωμὸς ἔμψυχος καὶ πνευματικός. ἀλλ' ἀπὸ τούτου ὑμᾶς καὶ πρὸς ἐκεῖνον ἀναγαγεῖν δυνάμεθα. οὕτω καὶ Ἰουδαῖοι τὸ παλαιὸν ἐθεράπευον· ἀλλ' ἀπέστησαν ἀπὸ τῆς σωματικῆς θεραπείας, καὶ ἦλθον ἐπὶ τὴν πνευματικὴν οἱ πιστεύσαντες ἅπαντες.

Πραξ. ιζ. κϐ.

Εἶδες σοφίαν Παύλου; εἶδες σύνεσιν; εἶδες πῶς αὐτοῖς ἐχρήσατο, οὐκ ἀπὸ εὐαγγελίων, οὐκ ἀπὸ προφητικῶν, ἀλλ' ἀπὸ ἐπιγράμματος; μὴ παρατρέχε τοίνυν, ἀγαπητὲ, τὴν ἐπιγραφὴν τῶν θείων λογίων. ἂν μὲν νήφῃς καὶ ἐγρηγορὼς ᾖς, καὶ ἐν ἀλλοτρίοις εὑρίσκεις τι χρήσιμον· ἂν δὲ ῥᾴθυμος καὶ καταπεπτωκὼς, οὐδὲ ἀπὸ τῶν θείων γραφῶν ἔσται σοί τι πλέον. ὥσπερ γὰρ ὁ εἰδὼς κερδαίνειν, πανταχόθεν κερδαίνει· οὕτω καὶ ὁ μὴ εἰδὼς, κἂν θησαυρὸν εὕρῃ, κενὸς ἄπεισι. βούλεσθε, εἴπω καὶ ἕτερόν τι τοιοῦτον ἐπιχείρημα, ὅπερ ἄλλος μὲν μεθ' ἑτέρας ἐφθέγξατο διανοίας, ὁ δὲ εὐαγγελιστὴς πρὸς ἑαυτὸν μετέθηκε τῶν εἰρημένων τὴν δύναμιν; οὐκοῦν προσέχετε ἀκριβῶς, ἵνα μάθητε ὅτι κἀκεῖνος ᾐχμαλώτισε τὸ νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ· ἵνα μάθητε, ὅτι εἰ τὰ ἀλλότρια αἰχμαλωτίζειν δυνάμεθα, πολλῷ μᾶλλον ἐν τοῖς οἰκείοις ἐμπορευσόμεθα καὶ κερδανοῦμεν. ὁ Καϊάφας ἀρχιερεὺς ἦν τοῦ ἐνιαυτοῦ ἐκείνου. καὶ γὰρ καὶ τοῦτο τῆς Ἰουδαϊκῆς ἐγένετο πονηρίας. κατῄσχυνον γὰρ τὸ τῆς ἱερωσύνης ἀξίωμα, ὠνητοὺς ποιήσαντες ἀρχιερέας. ἔμπροσθεν δὲ οὐχ οὕτως ἦν, ἀλλὰ τῇ τελευτῇ μόνῃ κατελύετο ἡ ἱερωσύνη τοῦ ἀρχιερέως. τότε δὲ καὶ ζῶντες περιελύοντο τῆς τιμῆς. ἀρχιερεὺς τοίνυν ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου ὁ Καϊάφας, καθοπλίζει τοὺς Ἰουδαίους, καὶ ἔλεγεν· ὅτι δεῖ τοῦτον ἀποθανεῖν, ἐγκαλεῖν μὲν οὐδὲν ἔχων, βασκανίᾳ δὲ τηκόμενος. τοιοῦτον γὰρ ὁ φθόνος τῶν εὐεργεσιῶν, καὶ τοιαύτας ἀποδίδωσι τὰς ἀμοιβάς. ὅθεν καὶ τὴν αἰτίαν διδάσκων τῆς ἐπιβουλῆς, ἔλεγε, Συμφέρει ἵνα εἷς ἀποθάνῃ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται. τούτου τοῦ ῥήματος ἡ δύναμις ὅρα πῶς μεθ' ἡμῶν ἐγένετο· ἵνα μάθῃς ὅτι τὸ μὲν ῥῆμα ἦν τοῦ ἱερέως, τὸ δὲ νόημα ἠδυνήθη γενέσθαι πνευματικόν. συμφέρει ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται. τοῦτο δὲ οὐκ ἔλεγεν ἀφ' ἑαυτοῦ, φησὶν, ἀλλ' ὅτι ἀρχιερεὺς ἦν τοῦ ἐνιαυτοῦ ἐκείνου προεφήτευσεν,

Ιωαν. ια. μθ.

ὅτι δεῖ τὸν Χριστὸν ἀποθανεῖν, οὐ μόνον ὑπὲρ Ἰουδαίων, ἀλλὰ καὶ ὑπὲρ ὅλου τοῦ ἔθνους. διὰ τοῦτο καὶ ἔλεγεν, ὅτι συμφέρει ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται. ὁρᾷς δύναμιν Θεοῦ, πῶς τὴν γλῶτταν τῶν ἐχθρῶν ἀναγκάζει τὰ ὑπὲρ τῆς ἀληθείας λέγειν.

Ἵνα μὲν οὖν μὴ παρατρέχωμεν τὰς ἐπιγραφὰς τῶν θείων γραφῶν, ἀρκούντως ταῦτα εἴρηται, ἐὰν μνημονεύητε. ἐβουλόμην δὲ εἰπεῖν, καὶ τίς ὁ γράψας τὸ βιβλίον, καὶ πότε, καὶ τίνος ἕνεκεν ἔγραψεν. ἀλλὰ τέως ταῦτα κατέχωμεν· ἐκεῖνα δὲ εἰς τὴν ἐπιοῦσαν, ἐὰν ὁ Θεὸς θέλῃ, ἀποδώσομεν. βούλομαι γὰρ λοιπὸν πρὸς τοὺς νεοφωτίστους ἀγαγεῖν τὸν λόγον. νεοφωτίστους δὲ λέγω, οὐχὶ τοὺς πρὸ δύο καὶ τριῶν, οὐδὲ τοὺς πρὸ δέκα ἡμερῶν φωτισθέντας μόνον, ἀλλὰ καὶ τοὺς πρὸ ἐνιαυτοῦ, καὶ τοὺς πρὸ πλείονος χρόνου. καὶ γὰρ καὶ τούτους οὕτω χρὴ καλεῖν. εἰ γὰρ πολλὴν σπουδὴν ἐπιδεικνύμεθα περὶ τὴν ἑαυτῶν ψυχὴν, ἔξεστι καὶ μετὰ δέκα ἔτη εἶναι νεοφωτίστους, ἐὰν τὴν νεότητα τὴν ἀπὸ τοῦ φωτίσματος ἐγγινομένην ἡμῖν διατηρήσωμεν. οὐ γὰρ ὁ χρόνος ποιεῖ νεοφώτιστον, ἀλλ' ὁ βίος ὁ καθαρός. ἐνδέχεται γὰρ καὶ μετὰ δύο ἡμέρας ἀπολέσαι τὸ ἀξίωμα τῆς προσηγορίας τὸν μὴ προσέχοντα. καὶ τούτου παράδειγμα ὑμῖν ἐρῶ, πῶς νεοφώτιστος εὐθέως ἀπώλεσε μετὰ δύο ἡμέρας καὶ τὴν χάριν τοῦ νεοφωτίστου, καὶ τὴν τιμήν. λέγω δὲ τὸ παράδειγμα, ἵνα ἰδόντες τὸ πτῶμα, ἀσφαλίσησθε τὴν ἑαυτῶν σωτηρίαν. οὐ γὰρ ἀπὸ τῶν ἑστώτων ὑμᾶς μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν προσεσκελισμένων διορθοῦσθαι χρὴ καὶ θεραπεύειν. Σίμων ὁ μάγος μετεβάλετο, φησὶ, καὶ βαπτισθεὶς προσκαρτερῶν ἦν τῷ Φιλίππῳ, θεωρῶν τὰ σημεῖα. ἀλλὰ μετ' ὀλίγας ἡμέρας εὐθέως ἐπανῆλθεν ἐπὶ τὴν ἑαυτοῦ κακίαν, καὶ διὰ χρημάτων ἐβούλετο τὴν σωτηρίαν πρίασθαι. τί οὖν φησι πρὸς τὸν νεοφώτιστον ὁ Πέτρος; Πραξ. η. κγ. Εἰς χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα. δεήθητι τοῦ Κυρίου, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ κακία αὕτη. οὔπω ἐνέβη εἰς τοὺς ἀγῶνας, καὶ εὐθέως ἔπεσεν εἰς πτῶμα ἀσύγγνωστον. ὥσπερ οὖν ἔστι μετὰ δύο ἡμέρας πεσεῖν, καὶ ἀπολέσαι τὴν προσηγορίαν τοῦ νεοφωτίστου καὶ τὴν χάριν, οὕτω καὶ μετὰ δέκα ἔτη καὶ εἴκοσι καὶ μέχρι τῆς ἐσχάτης ἡμέρας ἔστιν ἔχειν τὸ λαμπρὸν τοῦτο καὶ σεμνὸν ὄνομά τε καὶ πρᾶγμα. καὶ τούτου μάρτυς ἀπόστολος Παῦλος, ἐν γήρᾳ διαλάμψας μειζόνως. ἐπειδὴ γὰρ ἡ νεότης αὕτη οὐκ ἀπὸ φύσεως, ἀλλ' ἑκατέρας προαιρέσεως ἡμεῖς ἐσμεν κύριοι, καὶ τὸ γηρᾶσαι καὶ μεῖναι νέους ἐν ἡμῖν ἐπικείμενον. ἐπὶ μὲν γὰρ τοῦ σώματος κἂν ἄπειρά τις ἐπισπουδάζῃ, κἂν ἄπειρά τις πραγματεύηται, καὶ μὴ κατατρίβῃ ἔνδον τὸ σῶμα, κἂν ποιῇ μένειν ἔνδον, κἂν μὴ κατατείνῃ τοῖς πόνοις αὐτὸ καὶ τοῖς συνεχέσιν ἔργοις, πάντως κατὰ τὸν τῆς φύσεως νόμον καὶ οὕτως αὐτὸ καταλείψεται τὸ γῆρας. ἐπὶ δὲ τῆς ψυχῆς οὐχ οὕτως· ἀλλ' ἐὰν μὴ κατατρίβῃς αὐτὴν, μηδὲ κατατείνῃς πόνοις βιωτικοῖς καὶ κοσμικαῖς φροντίσι, μένει διαπαντὸς ἀκραιφνῆ τὴν νεότητα διατηροῦσα. οὐχ ὁρᾶτε τούτους τοὺς ἀστέρας τοὺς ἐν τοῖς οὐρανοῖς; ἑξακισχίλια λοιπὸν ἡμῖν ἔτη φαίνουσι, καὶ οὐδεὶς αὐτῶν ἀμαυρότερος γέγονεν. εἰ δὲ ἔνθα φύσις, οὕτως ἔμεινεν ἀκμαῖον τὸ φῶς· ἔνθα προαίρεσις, οὐ πολλῷ μᾶλλον μένει τοιοῦτον, οἷον ἐξ ἀρχῆς ἔλαμψε; μᾶλλον δὲ, ἐὰν ἐθέλωμεν, οὐ τοιοῦτον μόνον μένει, ἀλλὰ καὶ λαμπρότερον ἔσται, ὡς καὶ πρὸς αὐτὰς ἁμιλλᾶσθαι τὰς ἡλιακὰς ἀκτῖνας. βούλει μαθεῖν πῶς ἔξεστι καὶ μετὰ χρόνον εἶναι νεοφωτίστους; ἄκουσον τί φησιν ὁ Παῦλος πρὸς ἀνθρώπους πρὸ πολλοῦ τοῦ χρόνου πεφωτισμένους· Φιλιπ. β. ιε. Ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες εἰς καύχημα ἐμοί. ἀπεδύσασθε τὸ παλαιὸν καὶ διερρωγὸς ἱμάτιον, ἠλείψασθε τὸ μύρον τὸ πνευματικὸν, ἐλεύθεροι πάντες ἐγένεσθε· μηδεὶς λοιπὸν ἐπὶ τὴν δουλείαν ἐπανερχέσθω τὴν προτέραν. πόλεμός ἐστι τὰ πράγματα καὶ ἀγών. οὐδεὶς ἀγωνίζεται δοῦλος, οὐδεὶς στρατεύεται οἰκέτης· ἀλλ' ἐὰν ἁλῷ δοῦλος ὢν, μετὰ τιμωρίας ἐκβάλλεται τοῦ τῶν στρατιωτῶν καταλόγου. οὐκ ἐπὶ τῆς στρατιᾶς δὲ ταύτης, ἀλλὰ καὶ ἐπὶ τῶν Ὀλυμπιακῶν ἀγώνων τὸ αὐτὸ τοῦτο ἔθος κρατεῖ. μετὰ γὰρ τὰς τεσσαράκοντα ἡμέρας τὰς ἐνταῦθα ἀναγαγόντες αὐτοὺς εἰς τὸ προάστειον προσάγουσι, καὶ τοῦ θεάτρου καθημένου παντὸς βοᾷ ὁ κήρυξ, μή τις τούτου κατηγορεῖ; ὥστε αὐτὸν ἀποσκευασάμενοι τῆς δουλείας τὴν ὑποψίαν, οὕτως εἰς τοὺς ἀγῶνας ἐμβῆναι. Εἰ δὲ ὁ διάβολος οὐ δέχεται δούλους εἰς τοὺς ἀγῶνας τοὺς ἑαυτοῦ, πῶς σὺ τολμᾷς δοῦλος γενόμενος τῆς ἁμαρτίας εἰς τοὺς ἀγῶνας ἐμβῆναι τοῦ Χριστοῦ; ἐκεῖ μὲν ὁ κήρυξ λέγει, μή τις τούτου κατήγορος; ἐνταῦθα δὲ ὁ Χριστὸς οὐχ οὕτω λέγει· ἀλλὰ κἂν ἅπαντες αὐτοῦ κατηγορήσωσι πρὸ τοῦ βαπτίσματος, λέγει· ἐγὼ δέχομαι αὐτόν, καὶ ἀποσκευάσομαι τῆς δουλείας, καὶ ποιήσας ἐλεύθερον εἰς τοὺς ἀγῶνας εἰσάξω. Εἶδες φιλανθρωπίαν ἀγωνοθέτου; οὐ ζητεῖ τὰ πρότερα, ἀλλὰ τὰς μετὰ ταῦτα εὐθύνας ἀπαιτεῖ. ὅτι δοῦλος ἦς, μυρίους εἶχες κατηγόρους, τὰ ἁμαρτήματα, τοὺς δαίμονας ἅπαντας. οὐδείς με, φησίν, ἐκείνων ἐκίνησε κατ' αὐτοῦ, οὐδὲ ἐνόμισά σε ἀνάξιον τῶν ἀγώνων τῶν ἐμῶν, ἀλλ' ἐδεξάμην εἰς τὰ παλαίσματα, οὐκ ἀπὸ τῆς ἀξίας τῆς σῆς, ἀλλ' ἀπὸ τῆς ἐμῆς φιλανθρωπίας. μένε τοίνυν καὶ ἀγωνίζου, κἂν τρέχειν δέῃ, κἂν πυκτεύειν, κἂν παγκρατιάζειν, μὴ ἀδήλως, μηδὲ ἁπλῶς, μηδὲ εἰκῇ. ἄκουσον τί ἐποίησεν ὁ Παῦλος. εὐθέως ἀπὸ τῶν ναμάτων ἀναβάς, αὐτίκα ἀπὸ τοῦ βαπτίσματος ἠγωνίζετο, ἐκήρυττεν ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ· καὶ συνέχεε τοὺς Ἰουδαίους ἀπὸ πρώτης. ἀλλ' οὐ δύνασαι κηρύξαι σύ, οὐδὲ ἔχεις διδασκαλικὸν λόγον; οὐκοῦν δίδαξον διὰ τῶν ἔργων καὶ τῆς πολιτείας, διὰ τῆς λαμπρότητος τῶν πράξεων. Λαμψάτω γάρ, φησι, τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. οὐ δύνασαι συγχέειν Ἰουδαίους διὰ τῆς φωνῆς; ποίησον αὐτοὺς συγχυθῆναι διὰ τῆς πολιτείας, ποίησον καὶ Ἕλληνας θορυβηθῆναι διὰ μεταβολῆς. ὅταν γὰρ ἴδωσι τὸν πρὸ τούτου ἀσελγῆ, τὸν πονηρόν, τὸν ἠμελημένον, τὸν διεφθαρμένον, ἀθρόον μεταβεβλημένον, καὶ μετὰ τῆς μεταβολῆς τῆς κατὰ τὴν χάριν, μεταβολὴν τὴν κατὰ τὴν πολιτείαν ἐνδεικνύμενον, οὐ συγχυθήσονται καὶ ἐροῦσιν, ὅπερ ἐπὶ τοῦ τυφλοῦ οἱ Ἰουδαῖοι ἔλεγόν ποτε; Οὗτός ἐστιν, οὐκ ἔστιν οὗτος, αὐτός ἐστι. συγκεχυμένων γὰρ ταῦτα τὰ ῥήματα, ἀμφιβάλλειν περὶ τοῦ γνωρίμου, διστασιάζειν πρὸς ἑαυτούς, τῷ οἰκείῳ μὴ πιστεύειν, μηδὲ τοῖς ἑαυτῶν ὀφθαλμοῖς. ἀπέβαλεν ἐκεῖνος τὴν σωματικὴν πήρωσιν, ἀπέβαλες σὺ τὴν ψυχικὴν πήρωσιν· ἀνέβλεψεν ἐκεῖνος εἰς τὸν ἥλιον τοῦτον, ἀνάβλεψον σὺ πρὸς τὸν ἥλιον τῆς δικαιοσύνης. ἐπέγνως τὸν δεσπότην· ἄξια τοίνυν πρᾶξον τῆς ἐπιγνώσεως· ἵνα καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχῃς, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ ἡ δόξα τῷ ἀνάρχῳ πατρί, σὺν τῷ ἁγίῳ καὶ ζωοποιῷ καὶ προσκυνητῷ θείῳ πνεύματι, νῦν τε καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πράξ. θ. κ.

Ματθ. ε. ιϛ.

Ἰωάν. θ. θ.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΟΜΙΛΙΑ ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ πνεύματος.

Χθές ἡμῖν, ὦ φιλόχριστοι, ἡ τοῦ ἁγίου καὶ προσκυνητοῦ πνεύματος ἐπιφοίτησις ἀνυμνεῖτο, οὐκ ἀνθρωπίναις ἐννοίαις ζημιουμένη, ἀλλὰ τῇ "πατρικῇ δυνάμει μαρτυρουμένη. οὐ γάρ, ἐξ ὧν λογιζόμεθα ἢ φθεγγόμεθα, ὁ τοῦ Θεοῦ συνίσταται λόγος, ἀλλ' ἐξ ὧν φωτιζόμεθα, καὶ ἡ εὐσέβεια συνίσταται καὶ ἡ ἀλήθεια κηρύττεται· μόνος ὁ τοῦ Θεοῦ λόγος, μόνη ἡ τοῦ ἁγίου πνεύματος διδασκαλία καὶ "λαμπάς

ἐστιν εὐσεβείας, καὶ κήρυγμα θεογνωσίας, καὶ φωτισμὸς τῆς ἐνθέου διδασκαλίας. ἀναγκαῖον
δέ ἐστιν ἐπιμεῖναι τῇ τοῦ ἁγίου καὶ προσκυνητοῦ πνεύματος ἐξηγήσει, καὶ σαφέστερον τὰ περὶ
τῆς ἁγίας καὶ ἐνδόξου δυνάμεως εἰπεῖν. πάλιν, ἵνα τοῖς αὐτοῖς χρήσωμαι, οὐκ ἐξ ὧν λογιζόμεθα,
ἀλλ' ἐξ ὧν διδασκόμεθα, τὸ πνεῦμα τὸ ἅγιον (ἐξ ὧν οἱ θεῖοι διδάσκουσι λόγοι, μᾶλλον
δὲ ἐξ ὧν αὐτὸ περὶ ἑαυτοῦ κηρύττει, καὶ διὰ τῶν προφητῶν φθέγγεται, καὶ διὰ τῶν ἀποστόλων
τὴν [αὐτὴν] ἑαυτοῦ ἀκτῖνα φέρει) τὴν μὲν φύσιν ἐστὶν ἀδιαίρετον (ἅτε δὴ ἐκ
τῆς ἀδιαιρέτου καὶ ἀμερίστου φύσεως προελθὸν) ὄνομα δὲ αὐτοῦ, πνεῦμα ἅγιον, πνεῦμα
ἀληθείας, πνεῦμα τοῦ Θεοῦ, πνεῦμα Κυρίου, πνεῦμα τοῦ πατρὸς, πνεῦμα
τοῦ υἱοῦ, πνεῦμα Χριστοῦ. καὶ οὕτω καλεῖ αὐτὸ ἡ γραφή· μᾶλλον δὲ αὐτὸ ἑαυτὸ καὶ
πνεῦμα Θεοῦ, καὶ πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ. καὶ ἵνα μήποτε ἀκούσαντες ἡμεῖς πνεῦμα Θεοῦ,
νομίσωμεν δι' οἰκειότητα λέγεσθαι πνεῦμα Θεοῦ, εἰσάγει ἡ γραφὴ τὸ πνεῦμα τὸ ἅγιον, καὶ
προστίθησι τῷ Θεῷ τὸ ἐκ Θεοῦ. ἄλλο δὲ τὸ τοῦ Θεοῦ, καὶ ἄλλο τὸ ἐκ Θεοῦ. Θεοῦ μὲν γὰρ οὐρανὸς
καὶ γῆ, ὡς παρ' αὐτοῦ πεποιημένα· ἐκ Θεοῦ δὲ οὐδὲν λέγεται, εἰ μὴ ὃ ἐκ τῆς οὐσίας ἐστί. λέγεται
τοίνυν πνεῦμα ἅγιον. αὕτη γάρ ἐστιν ἡ κυρία καὶ πρώτη προσηγορία, ἡ ἐμφαντικωτέραν
ἔχουσα τὴν διάνοιαν, καὶ περιϊστᾶσα τοῦ ἁγίου πνεύματος τὴν φύσιν. πνεῦμα ἅγιον,
Ματθ. ιβ. κη. πνεῦμα τοῦ Θεοῦ. τίς αὐτὸ καλεῖ πνεῦμα Θεοῦ; ἄκουε τοῦ σωτῆρος· Εἰ δὲ ἐγὼ ἐν
πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια. πνεῦμα Θεοῦ. ἵνα τοίνυν, ὡς ἔφθην εἰπὼν, μή τις ἀκούσας
πνεῦμα Θεοῦ, νομίσῃ οἰκειότητα σημαίνεσθαι, καὶ μὴ φύσεως κοινωνίαν, ὁ Παῦλος
α Κορ. β. ιβ. λέγει· Ὑμῖν δὲ οὐκ ἐδόθη τὸ πνεῦμα τοῦ κόσμου, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ Θεοῦ. πάλιν λέγεται
Ματθ. ι. ιθ. πνεῦμα πατρὸς, ὡς ὁ σωτὴρ τοῖς ἁγίοις ἀποστόλοις λέγει· Μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσητε.
οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν
ὑμῖν. ὥσπερ δὲ εἶπε πνεῦμα Θεοῦ, καὶ ἐπήγαγεν ἡ γραφὴ τὸ ἐκ Θεοῦ, οὕτω πάλιν εἴρηται
Ιωαν. ιε. κϛ. πνεῦμα πατρός. καὶ ἵνα μὴ νομίσῃς τοῦτο κατ' οἰκείωσιν λέγεσθαι, ὁ σωτὴρ βεβαιοῖ· Ὅταν
ἔλθῃ ὁ παράκλητος, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. ἐκεῖ ἐκ
Ιωαν. ιϛ. κζ. Θεοῦ, ὧδε παρὰ τοῦ πατρός· ὅπερ ἐπήγαγεν ἑαυτῷ, Ἐγὼ παρὰ τοῦ πατρὸς ἐξῆλθον, τοῦτο
καὶ τῷ ἁγίῳ πνεύματι, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. ἔστιν οὖν πνεῦμα καὶ ἐκ Θεοῦ, καὶ
πατρὸς πνεῦμα, καὶ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. τί ἐστιν, ἐκπορεύεται; οὐκ εἶπε, γεννᾶται.
ἃ γὰρ οὐ γέγραπται, οὐ δεῖ φρονεῖν. υἱὸς ἐκ πατρὸς γεννηθεὶς, πνεῦμα ἐκ πατρὸς
ἐκπορευόμενον. ζητεῖς παρ' ἐμοῦ τὴν διαφορὰν πάντως, πῶς ἐγεννήθη οὗτος, πῶς ἐξεπορεύθη
ἐκεῖνο; τί γάρ; ὅτι ἐγεννήθη μαθὼν, καὶ τὸν τρόπον κατέλαβες. ἄρα οὖν, ἐπειδὴ κηρυττόμενον
υἱὸν ἀκούεις, καὶ γεννήσεως τὸν τρόπον κατέλαβες; ὀνόματα ταῦτ' ἐστὶ πίστει τιμώμενα, καὶ
εὐσεβεῖ λογισμῷ τηρούμενα. τίς δὲ ἡ δύναμις τοῦ ἐκπορεύεσθαι; ἵνα τὸ τῆς γεννήσεως ὄνομα
παρέλθῃ ἡ γραφὴ, ἵνα μὴ υἱὸν αὐτὸ καλέσῃ, λέγει πνεῦμα ἅγιον, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται.
εἰσάγει αὐτὸ ἐκπορευόμενον, ὡς ὕδωρ ἀπὸ πηγῆς βρύον, κατὰ τὸ εἰρημένον περὶ τοῦ
παραδείσου, Ποταμὸς δὲ ἐκπορεύεται ἐξ Ἐδέμ. ἐκπορεύεται, καὶ πηγάζει. ὁ πατὴρ πηγὴ
Ιερ. β. ιβ. ὕδατος ζῶντος λέγεται κατὰ τὸν προφήτην Ἱερεμίαν τὸν λέγοντα· Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ,
καὶ ἔφριξεν ἐπὶ πλεῖον ἡ γῆ, ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαός μου. ἐμὲ ἐγκατέλιπον πηγὴν
ὕδατος ζῶντος. ὁριζόμενος πηγὴν ὕδατος ζῶντος, τὸν πατέρα ὁ θεῖος λόγος εἰσήγαγεν.
ἐκ τῆς πηγῆς τῆς ζωῆς τὸ ὕδωρ τὸ ζῶν ἐκπορευόμενον. ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. τί ἐκπορεύεται;
τὸ πνεῦμα τὸ ἅγιον. πῶς; ὡς ἀπὸ πηγῆς ὕδωρ. πόθεν τοῦτο; ὅτι τὸ πνεῦμα τὸ ἅγιον
Ιωαν. ζ. λη. ὕδωρ καλεῖται. λέγει ὁ σωτὴρ, Ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ γραφὴ, ποταμοὶ
ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος· καὶ ἑρμηνεύων ὁ εὐαγγελιστὴς τοῦτο τὸ ὕδωρ, ἐπάγει·
Τοῦτο δὲ ἔλεγε περὶ τοῦ πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. εἰ
τοίνυν ὁ εὐαγγελιστὴς Ἰωάννης σαφηνίζων τὸ πνεῦμα τὸ ἅγιον, εἶπε τὸ ὕδωρ τὸ ζῶν, ὁ δὲ πατὴρ
λέγει,

λέγει, Ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος, πηγὴ τοῦ πνεύματος ὁ πατήρ, διὰ τοῦτο καὶ ἐκ τοῦ πατρὸς ἐκπορεύεται. λέγεται τοίνυν (ἐπ᾽ ὀνόματα λαμβάνω γάρ) πνεῦμα Θεοῦ, καὶ πνεῦμα τὸ ἐκ Θεοῦ, πνεῦμα πατρός, καὶ πνεῦμα τὸ παρὰ τοῦ πατρός, πνεῦμα Κυρίου. μαρτυρεῖ Ἡσαΐας ἐκ προσώπου τοῦ Χριστοῦ, Πνεῦμα Κυρίου ἐπ᾽ ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με. καὶ Παῦλος, Ὁ δὲ Κύριος τὸ πνεῦμά ἐστιν. οὗ δὲ τὸ πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία. εἰ ὅπου παραγίνεται ἐλευθερία, αὐτὸ δοῦλον; εἰ οἷς ἐπιφοιτᾷ τὸ πνεῦμα τὸ ἅγιον, λύει τὸν τῆς δουλείας ζυγόν, καὶ χαρίζεται τὸ τῆς ἐλευθερίας πρόσωπον, πῶς αὐτὸ δοῦλον; πῶς χαρίζεται ὃ μὴ ἔχει; πῶς αὐτὸ δοῦλον, ὃ ἐλευθεροῖ; οὐκ ἤκουσας Παύλου λέγοντος, Ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με; ἐλευθεροῖ τὸ πνεῦμα τοὺς δούλους, τὸ μὴ ἔχον ἐν τῇ φύσει τὴν ἐλευθερίαν; εἰ γὰρ ἔκτισται καὶ δεδούλωται, οὐκ ἐλευθεροῖ. μὴ κατασοφιζέσθωσαν ὑμᾶς αἱρετικοί. οὐ λέγω αὐτὸ δοῦλον, οὐδὲ κτίσμα. καὶ μὴ τοῦτο αἵρεσις. κινδυνεύουσι τρεῖς ἀρχὰς εἰσάγοντες, ἄκτιστον, κτιστήν, καὶ ἄλλην, ἣν οὐκ οἶδα πῶς καλέσω. πνεῦμα Θεοῦ, πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, πνεῦμα πατρός, πνεῦμα ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, πνεῦμα Κυρίου. πνεῦμα υἱοῦ λέγει ὁ ἀπόστολος· Ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν κρᾶζον, ἀββᾶ ὁ πατήρ. ἰδοὺ αὐτὸ τὸ πνεῦμα τοῦ υἱοῦ. ἀλλαχοῦ πάλιν πνεῦμα Χριστοῦ λέγει Παῦλος. Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ᾽ ἐν πνεύματι, εἴπερ πνεῦμα Χριστοῦ οἰκεῖ ἐν ὑμῖν. παρακαλῶ, πρόσεχε τῇ πλοκῇ ταύτῃ τῇ ἁγίᾳ, πῶς ὥσπερ σειρὰν μίαν ἁγίαν καὶ ζῶσαν ἐκ τριπλόκου δυνάμεως εἰσήγαγεν ὁ Παῦλος, τὴν φύσιν συνάπτων τὴν ἀδιαίρετον, καὶ ἐν διαφόροις ὀνόμασι μίαν τὴν δύναμιν ἐνδεικνύμενος. ὑμεῖς δέ, φησιν, οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ᾽ ἐν πνεύματι. ἰδοὺ πνεῦμα. Εἴπερ πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν. ἰδοὺ πνεῦμα Θεοῦ. Εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει. καὶ μὴν ἐχρῆν εἰπεῖν, Εἰ δέ τις πνεῦμα Θεοῦ οὐκ ἔχει, ἀλλ᾽ εἶπε, πνεῦμα Χριστοῦ. Εἶπε Θεοῦ πνεῦμα, καὶ ἐπήγαγε τὸ πνεῦμα τοῦ Χριστοῦ. Εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. ἀλλὰ τοῦτο εἶπεν, ἵνα δείξῃ ὅτι εἰ πνεῦμα, καὶ Χριστός· καὶ ἴσον ἐστὶ Χριστὸν παρεῖναι, καὶ πνεῦμα παρεῖναι· καὶ ἴσον ἐστὶν εἰπεῖν πνεῦμα Θεοῦ, καὶ πνεῦμα Χριστοῦ. ἔστι τοίνυν πνεῦμα ἅγιον, πνεῦμα τὸ τῆς ἀληθείας; ὡς ἂν τις εἴποι πνεῦμα τοῦ υἱοῦ. ἐπειδὴ λέγει ὁ σωτήρ, Ἐγώ εἰμι ἡ ἀλήθεια, λέγεται τὸ πνεῦμα τῆς ἀληθείας, ὅ ἐστι τὸ πνεῦμα τοῦ υἱοῦ, ὥς φησιν ὁ Παῦλος· Ἐξαπέστειλεν ὁ Θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ. ἔστιν οὖν καὶ πνεῦμα τοῦ υἱοῦ, καὶ πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν Χριστόν. καὶ ἄκουε αὐτοῦ τοῦ Παύλου· Εἰ δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν Χριστὸν οἰκεῖ ἐν ὑμῖν.

Ἡσ. ξα. α.
β. Κορ. γ. ιζ.
Ρωμ. η. β.
Γαλ. δ. ϛ.
Ρωμ. η. θ.
Ἰωαν. ιδ. ϛ.
Γαλ. δ. ϛ.
Ρωμ. η. ια.

Ταῦτα τὰ ὀνόματα τῆς ἁγίας καὶ ἀχράντου δυνάμεως, τοῦ ἁγίου ἐστὶ καὶ προσκυνητοῦ πνεύματος. ἔστι δὲ καὶ ἄλλα ὀνόματα, οὐ τῇ φύσει προσήκοντα, ἀλλὰ τῇ ἐνεργείᾳ. βαθὺς ὁ λόγος, καὶ χρῄζει ἀκοῆς προσεχοῦς καὶ ἀσφαλοῦς καὶ πιστῆς. λέγεται δὲ πάλιν τὸ πνεῦμα, ζωῆς πνεῦμα, ἐπειδὴ ὁ σωτὴρ λέγει, Ἐγώ εἰμι ἡ ἀλήθεια καὶ ἡ ζωή. λέγεται δὲ πνεῦμα ζωῆς, καθὼς καὶ ὁ Παῦλος λέγει· Ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς. ταῦτα τὰ ὀνόματα αὐτῆς τῆς αὐθεντίας, αὐτῆς τῆς φύσεως. ἔστι δὲ ἄλλα ὀνόματα, ἃ οὐ προσγράφεται τῷ ἁγίῳ πνεύματι, ἀλλὰ τῇ δυνάμει καὶ τῇ ἐνεργείᾳ αὐτοῦ, οἷον αἱ δωρεαὶ αὐτοῦ. λέγω δὲ καὶ προσδιασαφηνίζω τὴν ἔννοιαν, καὶ ἐπάγω τὴν μαρτυρίαν. ἐπειδὰν χαρίσηται τὸ πνεῦμα τὸ ἅγιον εὐχαῖς τῶν ἁγίων ἢ ἐμοὶ ἢ ἑτέρῳ χριστιανῷ ἁγιασμόν, καὶ λάβω δῶρον ὥστε ἅγιον ἔχειν τὸ σῶμα καὶ τὴν ψυχήν, ἡ δωρεὰ ἡ δοθεῖσά μοι καλεῖται πνεῦμα ἁγιωσύνης, τουτέστι, χάρισμα. ἐὰν δῷ τὸ πνεῦμα τὸ ἅγιον δωρεὰν τινὶ μὴ ἔχοντι σοφίαν, μὴ ἔχοντι γνῶσιν, ἀλλὰ δῷ αὐτῷ μόνην πίστιν, οἷοί εἰσι πολλοὶ χάρισμα ἔχοντες τοῦ πιστεύειν γραφαῖς, οὐκ εἰδότες γραφάς, καὶ ταῖς γραφαῖς πιστεύοντες, καλεῖται ἡ δωρεὰ ἐκείνη πνεῦμα πίστεως. ἐάν τις λάβῃ δύναμιν καὶ δωρεὰν παρὰ τοῦ ἁγίου πνεύματος πιστεύειν τῇ ἐπαγγελίᾳ τῶν διδομένων ἀγαθῶν ἐν τῷ μέλλοντι αἰῶνι, ἔλαβε πνεῦμα ἐπαγγελίας. ἐάν τις λάβῃ σοφίας δῶρον;

Ἰωαν. ιδ. ϛ.
Ρωμ. η. β.

δῶρον, καλεῖται ἡ δωρεὰ πνεῦμα σοφίας. καὶ πολυτρόπως τὰ χαρίσματα τοῦ πνεύματος, καλεῖται πνεῦμα. καὶ πρόσεχε ἀκριβῶς ἐν τύπῳ διασαφηνιζόντων ἡμῶν ἐκ μέρους τὰς θεωρίας. ἔλθωμεν οὖν ἐπὶ τὰς ἀποδείξεις. ὅταν τις ἔχῃ χάρισμα ἀγάπης, λέγεται ὅτι πνεῦμα ἀγάπης ἔχει· ὅταν λάβῃ τις χάρισμα μαρτυρίου, λέγεται πνεῦμα δυνάμεως ἔχειν, τουτέστι, χάρισμα. ἐπειδήπερ τὸ δωρούμενον τὸ πνεῦμα τὸ ἅγιόν ἐστι, καλεῖται καὶ τὸ δῶρον ὁμωνύμως τῷ χαρίσματι. Ρωμ. η. ιε. διὰ τοῦτο λέγει Παῦλος· Οὐ γὰρ ἐλάβετε πνεῦμα β. Τιμ. α. ζ. δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας. καὶ πάλιν· Οὐ γὰρ ἔδωκεν ὑμῖν πνεῦμα δειλίας, ἀλλὰ πνεῦμα δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ. πνεῦμα δὲ λέγει Εφεσ. α. ιγ. ἐνταῦθα τὸ χάρισμα, ὡς ὅταν λέγῃ· Υμεῖς δὲ ἐσφραγίσθητε τῷ πνεύματι τῆς ἐπαγγελίας τῷ ἁγίῳ. β. Κορ. δ. ιγ. ἐπαγγελίας πνεῦμα πῶς γέγραπται; λέγει Παῦλος· Εχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως καὶ τῆς ἐπαγγελίας, τουτέστι, τὸ χάρισμα τοῦ πνεύματος. ἴδε οὖν πνεῦμα πίστεως, πνεῦμα ἐπαγγελίας. ἐὰν ᾖ τις πρᾶος, ταπεινὸς τὴν καρδίαν, δῶρον ἔλαβε πραότητος. ἔστι δὲ Θεοῦ χάρισμα. καὶ οὕτω λέγει α. Κορ δ. κα. Παῦλος· Εὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πραότητος, τουτέστιν, ἐν τῷ χαρίσματι τῆς δωρεᾶς τῆς πραότητος, σκοπῶν, φησι, σεαυτὸν, μὴ καὶ σὺ πειρασθῇς. ἰδοὺ πνεῦμα πραότητος. ἄλλῳ Ρωμ. α. α. δίδοται ἁγιασμὸς ψυχῆς καὶ σώματος, καὶ καλεῖται πνεῦμα ἁγιωσύνης, καθώς φησι Παῦλος· Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ, κατὰ πνεῦμα ἁγιωσύνης. ἀντίστροφον αὐτὸ εἶπεν, ἡ δὲ ἔννοια τοῦτο ἔχει· Παῦλος γενόμενος ἀπόστολος κατὰ πνεῦμα ἁγιωσύνης. πολλοὶ γὰρ ἐνόμισαν ἀκολουθοῦντες τῷ ῥήματι τῷ πρώτῳ, τοῦ ὁρισθέντος υἱοῦ Θεοῦ κατὰ πνεῦμα ἁγιωσύνης· οὐκ ἔστι δὲ οὕτως, ἀλλὰ Παῦλος ἀπόστολος χειροτονηθεὶς κατὰ πνεῦμα ἁγιωσύνης. καὶ πότε ἐχειροτονήθη; ἐξ ἀναστάσεως Ἰησοῦ Χριστοῦ. ἐπειδὴ οἱ μὲν ἄλλοι ἀπόστολοι πρὸ τοῦ πάθους, οὗτος δὲ μετὰ τὴν ἀνάστασιν, διὰ τοῦτο κατὰ πνεῦμα ἁγιωσύνης. καὶ ἄλλο δὲ λέγω. ὅταν ἀρχώμεθα πάντες τῇ ὥρᾳ τῆς μυσταγωγίας λέγειν, Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, δῶρον ἐλάβομεν πνεῦμα υἱοθεσίας, τουτέστι, τὸ χάρισμα τοῦ ἁγίου πνεύματος. πνεῦμα καλεῖται ζήλου, α. Κορ. ιδ. ιβ. ὥς φησιν ὁ Παῦλος· Ἐπεὶ καὶ ὑμεῖς ζηλωταί ἐστε πνευμάτων, τουτέστι, ζῆλον ἔχετε εἰς τὰ α. Κορ. ιβ. λα. πνευματικὰ χαρίσματα. ἐπεὶ ζηλωταί ἐστε πνευμάτων, τουτέστι, τῶν χαρισμάτων. Καὶ α. Κορ. ιγ. α. ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι· Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι· τουτέστι, παντὸς χαρίσματος μείζων ἡ ἀγάπη. ἀλλ' εἰς τὸ προκείμενον ἐπανέλθωμεν. ἔρχεται Ἡσαΐας πάλιν. τὸ γὰρ αὐτὸ πνεῦμα διὰ πάντων λαλεῖ. ὥσπερ οὖν εἶπε Παῦλος πνεῦμα ζωῆς, πνεῦμα ἀγάπης, πνεῦμα δυνάμεως, πνεῦμα σωφρονισμοῦ, πνεῦμα ἐπαγγελίας, πνεῦμα πίστεως, πνεῦμα πραότητος, Ησ. ια. α. πνεῦμα υἱοθεσίας, οὕτω καὶ ὁ μακάριος Ἡσαΐας. Ἐξελεύσεται, φησιν, ἐκ τῆς ῥίζης Ἰεσσαὶ ῥάβδος, τουτέστιν, ἡ βασιλικὴ τοῦ σωτῆρος. ῥάβδον γὰρ καλεῖ βασιλικὸν σύνθημα, ὥς φη- Ψαλ. μδ. η. σιν ὁ Δαβίδ· Ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐξ αὐτῆς ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν πνεῦμα Θεοῦ. ὧδε τὸ ὄνομα τῆς φύσεως αὐτοῦ τοῦ πνεύματος, λοιπὸν τὰ χαρίσματα· πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως, πνεῦμα εὐσεβείας, πνεῦμα φόβου Θεοῦ. οἷον ἀναπτύσσων γραφὴν ἢ σὺ ὁ πιστὸς, ἢ ἄλλος χριστιανὸς, ἐὰν ᾖ ἀπόκρυφον νόημα καὶ ἀσαφὲς, διὰ δὲ τὸ πνεῦμα τὸ ἅγιον ὥστε τὰ κεκρυμμένα τῶν νοημάτων ἀποκαλυφθῆναι, ἔλαβε πνεῦμα ἀποκαλύψεως, τουτέστι, χάρισμα * ἀποκαλύπτον τὰ βάθη. ὅθεν ὁ ἀπόστολος βουλόμενος τοὺς μαθητὰς τῆς εὐσεβείας νοεῖν τὰς τῶν γραφῶν, λέγει· Εφ. α. ιη. Εὔχομαι τῷ Θεῷ, ἵνα δώῃ ὑμῖν πνεῦμα σοφίας καὶ ἀποκαλύψεως ἐν ἐπιγνώσει, πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς διανοίας ὑμῶν. εἶδες πνεῦμα ἀποκαλύψεως; ἀλλὰ πρὸς τὸ προκείμενον ἐπανέλθωμεν.

μένη. ὅπου δεῖ μαθεῖν τὰ βάθη, καλεῖται πνεῦμα ἀποκαλύψεως· ὅπου δεῖ ἀγάπην ἔχειν, καλεῖται πνεῦμα ἀγάπης· ὅπου δεῖ σαφῶς λαλῆσαι τὸν διδάσκαλον, καλεῖται πνεῦμα σοφίας· ὅπου δεῖ νοῆσαι τὸν ἀκροατὴν συνετῶς, καλεῖται πνεῦμα συνέσεως. τὸ πνεῦμα τῆς σοφίας δίδοται τοῖς διδάσκουσι, τὸ πνεῦμα τῆς συνέσεως τοῖς ἀκροαταῖς. κηρύττω ἐγὼ ἀλλὰ σὺ νοῆσαι οἶδας, οὐ διδάξαι· ὃ λεγόμενόν ἐστι χάρισμα σοφίας διὰ τὸ διδάσκειν. βουλόμενος δὲ ὁ Θεὸς δεῖξαι ὅτι ὥσπερ πέμπει τῷ διδάσκοντι λόγον σοφίας, οὕτω πέμπει καὶ τῷ μανθάνοντι δωρεὰν συνέσεως, ἵνα νοήσῃ τὰ τοῦ Θεοῦ, φησι· σοφίας χάριν ἔχει στόμα κηρύττον, συνέσεως χάριν ἔχει καρδία μανθάνουσα. ἡ σοφία ὅπλον ἐστὶ τοῦ στόματος, ἡ σύνεσις ὅπλον τῆς καρδίας. διὰ τοῦτο ὁ Δαβὶδ λέγει· Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. ἄλλος οὐκ ἔλαβε διδασκαλίας χάριν, ἀλλ' ἔλαβε χάριν διδόναι γνώμην καὶ βουλὴν ἀγαθὴν καὶ θαυμαστήν. ἐνίοτε ὁ διδάσκων γνώμην οὐκ οἶδε δοῦναι. οὐ γὰρ ἔλαβεν. οὐ πάντα γὰρ λαμβάνει τις, ἵνα μή τις φύσιν εἶναι τὴν χάριν νομίσῃ. λαμβάνει τις διδασκαλίας χάριν, καὶ ἵνα μὴ ἐπαίρηται, ἐν πραγμάτων βουλῇ εὑρίσκεται ἀτονῶν. καὶ ἄλλος διδάσκειν μὴ δυνάμενος, συμβουλεύει καλῶς· καὶ εὑρίσκεται ὁ δανείζων ἄλλοις, ἀλλαχοῦ δανειζόμενος. πόθεν τοῦτο; νῦν ἀπόδειξιν παραστήσω, ὅτι ὁ λαβὼν χάριν διδασκαλίας, ἐπιδέεται γνώμης ἑτέρου. Μωϋσῆς ἔλαβε πνεῦμα σοφίας, νομοθεσίας, διδασκαλίας· ἐπέτρεψεν ἑαυτῷ δικάζειν πᾶσαν ἡμέραν. ἐπέρχεται Ἰωθὸρ ὁ πενθερὸς αὐτοῦ συμβουλεύων αὐτῷ, καὶ λέγει· Οὐ δυνήσῃ ἀρκέσαι πρὸς τοσοῦτον λαὸν μόνος σὺ ὥστε δικάζειν· ἀλλὰ φθορᾷ καταφθαρήσῃ, ἐὰν τοῦτο ποιήσῃς. ἀλλὰ τί; Κατάστησον, φησι, δεκάρχους καὶ πεντηκοντάρχοις καὶ ἑκατοντάρχοις καὶ χιλιάρχοις, ἵνα τὰ ὑπερβαίνοντα τὸν δεκάρχον ἀνενέγκῃ ἐπὶ τὸν πεντηκόνταρχον· τὰ δὲ ὑπερβαίνοντα τὸν πεντηκόνταρχον ἀνενέγκῃ ἐπὶ τὸν ἑκατόρταρχον, καὶ τὰ ὑπερβαίνοντα τὸν ἑκατόνταρχον ἀνενέγκῃ ἐπὶ τὸν χιλίαρχον, καὶ τὰ ὑπερβαίνοντα τὸν χιλίαρχον ἀνενέγκῃ σοι, καὶ τὰ ὑπερβαίνοντά σε ἀνοίσῃς τῷ Θεῷ. Εἴ τι, φησι, βαρὺ ῥῆμα, ἀνοίσουσιν ἐπὶ σέ· εἰ δέ τι σοὶ βαρὺ, ἀνοίσεις πρὸς τὸν Θεόν. καὶ ὁ νομοθέτης σοφὸς ὢν, ἐδέξατο γνώμην ἰδιώτου. καὶ ἐγένετο ἡ γνώμη νόμος, καὶ εἰκὼν τῶν μελλόντων, ἐπειδὴ ὁ Ἰωθὸρ ὁ πενθερὸς Μωϋσέως ἱερεὺς ἦν τῶν εἰδώλων, μετὰ δὲ ταῦτα κατέγνω τὴν πλάνην, καὶ ἔμαθε τὴν ἀλήθειαν, καὶ εἰκὼν ἐγένετο τῆς τῶν ἐθνῶν ἐκκλησίας, ὅτι τὴν σοφίαν τοῦ νόμου ὑπερβαίνει ἡ τῶν ἐθνῶν σύνεσις, οὐκ ἐν τῷ εἶναι ἐθνική, ἀλλ' ἐν τῷ μετανοῆσαι. πότε γὰρ ἐδέχθη ἡ γνώμη Ἰωθόρ; οὐκ ἐν ὅσῳ ἦν ἱερεὺς, ἀλλὰ μετὰ τὸ ἐπιγνῶναι τὸν Θεόν. ὅτε γὰρ εἶδε τοῦ Θεοῦ τὰ ἔργα, καὶ διηγήσατο αὐτῷ Μωϋσῆς τὰ ἐν Αἰγύπτῳ θαύματα, λέγει· Νῦν ἔγνων (ἴδε μετάνοιαν) ὅτι μέγας Κύριος ὁ Θεὸς ὑμῶν παρὰ πάντας τοὺς θεούς. ἀφ' οὗ νῦν ἔγνω τὴν ἀλήθειαν, ἔλαβε χάρισμα γνώμης ἀγαθῆς. ἀλλ' εἰς τὸ προκείμενον ἐπανέλθωμεν. ἔλαβεν ὁ διδάσκων πνεῦμα σοφίας, ὁ διδασκόμενος πνεῦμα συνέσεως, ἵνα συνιῇ. διὰ τοῦτο Ἡσαΐας τὴν σοφίαν ἐπιγράφει τῷ λέγοντι, τὴν σύνεσιν τῷ ἀκούοντι, καί φησι· Σοφὸν ἀρχιτέκτονα, καὶ συνετὸν ἀκροατήν. πνεῦμα βουλῆς δίδοται τῷ γνωμοδοτοῦντι, πνεῦμα ἰσχύος τῷ τὴν γνώμην δεχομένῳ. λαμβάνει χάριν ὁ γνωμοδότης, εἰπεῖν τι χρηστόν· λαμβάνει χάριν ὁ τὴν γνώμην δεχόμενος, ἐπιτελέσαι τὸ συμφέρον. πνεῦμα φόβου Θεοῦ. ἕκαστον τούτων τῶν χαρισμάτων πρὸς τὴν προκειμένην χρείαν ἐδίδοτο. ἀμέλει ὅτε κατεσκευάζετο ἡ σκηνὴ ἐπὶ Μωϋσέως ἐν τῇ ἐρήμῳ, οὐ χρεία ἦν ἐκεῖ δωρεᾶς διδασκαλικῆς, ἀλλὰ δωρεᾶς ἀρχιτεκτονικῆς, πῶς ὑφάνωσι τὴν βύσσον, τὴν ὑάκινθον, τὸ κόκκινον, τὴν πορφύραν. ἔδωκεν ὁ Θεὸς χάρισμα δωρεᾶς ἀρχιτεκτονικῆς, ὑφαντικῆς, ἱστουργικῆς, χρυσοχοϊκῆς, λιθουργικῆς, ῥαφιδευτικῆς. καὶ διὰ τί ταύτας τὰς τέχνας ἔδωκεν; ἐπειδὴ τὴν σκηνὴν ἐποίει ὁ Θεὸς ἐπὶ τῆς γῆς· ἦν δὲ εἰκὼν οὐρανοῦ καὶ γῆς ἡ σκηνή, ἐν ἓξ δὲ ἡμέραις ὁ Θεὸς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν. κατεσκευάζετο ἡ σκηνὴ τύπον ἔχουσα οὐρανοῦ καὶ γῆς, καὶ χρεία δωρεᾶς τοῦ ἁγίου πνεύματος

Ψαλ. μη. γ.

Ἐξοδ. ιη. ιη.

Ἡσ. γ. β.

τῆς πρὸς τὸ πρᾶγμα ἁρμοζούσης. οὐ γὰρ τῆς χάριτος διδακτικῆς, ἀλλ' ὑφαντικῆς καὶ τῶν
Ἐξοδ. λα. β. ἄλλων. καὶ λέγει ὁ Θεός, Ἰδοὺ κέκληκα ἐξ ὀνόματος τὸν Βεσελεὴλ ἐκ φυλῆς Ἰούδα, καὶ
ἐπλήρωσα αὐτὸν πνεύματος θείου, πνεύματος σοφίας καὶ ἐπιστήμης καὶ αἰσθήσεως· σοφίας,
πρὸς τὸ ὑποτίθεσθαι τοῖς ἐργαζομένοις τοίωσδε ἐργάζεσθαι ἢ τόδε ποιῆσαι· ἐπιστήμης, ἵνα
ἁρμόσῃ· αἰσθήσεως, ἵνα νοήσῃ τὰ παρὰ τοῦ Θεοῦ λεγόμενα ποίαν ἔχει δύναμιν. ἀλλαχοῦ
Ζαχ. ιβ. ι. ἐπαγγέλλεται διδόναι χάριν φιλανθρωπίας, καὶ λέγει· Ἐκχεῶ ἐπὶ τὸν οἶκον Δαβὶδ πνεῦμα
χάριτος καὶ οἰκτιρμοῦ, τουτέστι, δωρεὰν φιλανθρωπίας. πάλιν δωρεῖται χάρισμα ταπεινοφροσύνης.
πόθεν τοῦτο; οἱ τρεῖς παῖδες ἐν τῇ καμίνῳ, ἐπειδὴ ὡς δίκαιοι τὴν φλόγα ἐπάτησαν,
ὡς δὲ ταπεινόφρονες ἁμαρτωλοὺς ἑαυτοὺς ἐκάλεσαν, διὰ τὴν ὑπερβάλλουσαν δικαιοσύνην
ἐπάτησαν τὴν φλόγα, καὶ τὴν κάμινον δρόσον ἐποίησαν. οὐκ ἐπήρθησαν δέ, οὐδὲ εἶπον· ὢ,
πῶς ἡ δικαιοσύνη μεθ' ἡμῶν; ἐνικήσαμεν φύσιν, ὑπερέβημεν νόμον· ἀλλὰ περιπατοῦσιν ὡς
δίκαιοι, καὶ λαλοῦσιν ὡς ἁμαρτωλοί. ἐνόησον γάρ· ἐπάτουν τὴν φλόγα, καὶ ἐχόρευον ὡς
Δαν γ. κθ. ἅγιοι, καὶ ἐξωμολογοῦντο ὡς ἁμαρτωλοί· Ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν, πάντα, ὅσα
ἐπήγαγες ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐποίησας· ὅτι ἠνομήσαμεν ἀποστάντες ἀπὸ σοῦ, καὶ τῶν
ἐντολῶν σου οὐκ ἠκούσαμεν, ἵνα εὖ ἡμῖν γένηται. ἐπεὶ οὖν δίκαιοι ὄντες ἑαυτοὺς ἐταπείνουν,
ἔλαβον πνεῦμα ταπεινώσεως, χάρισμα ταπεινοφροσύνης. διὰ τοῦτο ἰδόντες τὴν χάριν λέγουσιν·
Δαν γ. λη. ὅτι Οὐκ ἔστιν ἡμῖν ἐν τῷ καιρῷ τούτῳ προφήτης, οὐδὲ προσφορά, οὐδὲ θυμίαμα,
οὐ τόπος τοῦ καρπῶσαι καὶ εὑρεῖν ἔλεος. ἐπεὶ οὖν οὐκ ἔχομεν πόλιν, οὐ ναόν, οὐ θυσιαστήριον,
οὐ θυμίαμα, ἀντὶ πάντων ἡ ταπεινοφροσύνη ἡμῖν ἀρκέσει. διὰ τοῦτο λέγουσιν, ἀλλ' ἐν
Δαν. γ. λθ. ψυχῇ συντετριμμένῃ, καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν. ἄλλος, ὅταν πλήρης
ᾖ τῆς χάριτος, λαβὼν ὁλόκληρον τὸ δῶρον, λέγει· πνεῦμα ἔλαβε πληρώσεως. πόθεν τοῦτο;
Ἱερ δ. ια. λέγει ὁ Ἱερεμίας· Ἡ ὁδὸς τῆς θυγατρὸς τοῦ λαοῦ μου οὐκ εἰς ἅγιον, οὐδὲ εἰς καθαρὸν πνεῦμα
πληρώσεως. οὐκ ἔχουσι, φησί, πνεῦμα τὸ πληροῦν αὐτούς. οὕτως εἶχον πνεῦμα
Πραξ. ιγ. θ. πληρώσεως οἱ ἀπόστολοι, καθὼς γέγραπται· τότε, φησίν, ὁ Παῦλος πλησθεὶς πνεύματος ἁγίου,
ὅτε ἐλέγχει Ἐλύμαν τὸν μάγον. ὁρᾷς τὰ χαρίσματα; ἐπαναλαμβάνω τοίνυν τὰ ὀνόματα
τῆς ἀφράστου φύσεως· πνεῦμα Θεοῦ, πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, πνεῦμα Κυρίου, πνεῦμα
πατρός, πνεῦμα υἱοῦ, πνεῦμα Χριστοῦ, πνεῦμα τοῦ ἐγείραντος τὸν Χριστόν, πνεῦμα ζωῆς,
πνεῦμα ἀληθείας. λοιπὸν τὰ χαρίσματα· πνεῦμα δυνάμεως, πνεῦμα ἀγάπης, πνεῦμα
σωφρονισμοῦ, πνεῦμα ἐπαγγελίας, πνεῦμα πίστεως, πνεῦμα ἀποκαλύψεως, πνεῦμα υἱοθεσίας.
ὅταν λάβῃ τις χάρισμα τοῦ δικάζειν, ἔλαβε πνεῦμα κρίσεως, ὡς λέγει Ἡσαΐας·
Ἡσ. δ. δ. Καὶ καθαριεῖ αὐτοὺς ὁ Κύριος πνεύματι κρίσεως καὶ πνεύματι καύσεως. τὴν τιμωρητικὴν καὶ
καθαρτικὴν δύναμιν καλεῖ πνεῦμα κρίσεως καὶ πνεῦμα καύσεως. ὁ δὲ Δαβὶδ αἰτεῖ πνεῦμα
εὐθές, τὸ εἰς εὐθύτητα φέρον· καὶ πάλιν αἰτεῖ χάρισμα ἡγεμονεῦον τῶν παθῶν, καὶ ποιοῦν
τὴν ψυχὴν μὴ δουλεύειν τοῖς πάθεσιν. ἐπειδὴ γὰρ διεστράφη ἡ καρδία τοῦ Δαβίδ, καὶ ἀπὸ σωφροσύνης
ἦλθεν εἰς κακίαν παθῶν καὶ ἡδονῆς· καὶ ἐπειδὴ οὐ δικαίως ἔκρινεν ἀναιρεθῆναι τὸν ἄνδρα,
Ψαλ. ν. ια. καὶ δοῦλος ἐγένετο ἐπιθυμίας, καὶ εἰς μοιχείαν ἐτράπη, αἰτεῖ πνεῦμα εὐθές, λέγων, Ἐγκαίνισον
ἐν τοῖς ἐγκάτοις μου, καὶ μὴ ἀπορρίψῃς με, φησίν, ἀπὸ τοῦ προσώπου σου· ἀπόδος
μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με, τουτέστι, χαρίσματι
ἡγεμονεύοντι τῶν παθῶν καὶ κρατοῦντι τῶν ἡδονῶν.

Ταῦτα ἡμῖν εἴρηται περὶ τῆς τοῦ ἁγίου πνεύματος θεϊκῆς αὐθεντίας, καὶ τῆς κατὰ τὰ ἐνεργήματα διαφορᾶς. οἱ δὲ αἱρετικοὶ ἀγνοήσαντες ὅτι, ὅταν λέγῃ πνεῦμα ἁγιωσύνης ἢ ἐπαγγελίας, τῶν δωρεῶν μέμνηται, αὐτοὶ ἐπὶ τὴν φύσιν ἀνάγουσι λέγοντες, ὅτι ὁ Θεὸς ἔδωκε, καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐδωρήσατο. εἶδες, φασίν, ὅτι δῶρόν ἐστι Θεοῦ; ἀγνοοῦντες τὰ τῶν δωρεῶν, καὶ εἰς τὴν φύσιν ἀνήγαγον, δέον νοῆσαι τίνα τὰ ὀνόματα τὰ τὴν φύσιν δηλοῦντα, καὶ τίνα τὰ ὀνόματα τὰ τὴν χάριν ἑρμηνεύοντα· ἐκαπήλευσαν τὴν ἀλήθειαν, συνέχεον τὰ πάντα, ἀνέστρεψαν ἑαυτούς, ἐξώκειλαν τῆς ἀληθείας, ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία, φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν. διὸ ἐπάγει σοι· ἐπειδή, φησι, περὶ πνεύματος κινεῖς, καὶ ἀπὸ γραφῶν διδάσκεις, καὶ βούλει μάρτυρας ἔχειν τὰς γραφάς, ἀπ' αὐτῶν τῶν γραφῶν κινούμενοι λέγομεν, ἅπερ ὁ σωτὴρ περὶ τοῦ πνεύματος εἶπε τοῦ ἁγίου. τί οὖν λέγει; Ὅταν δὲ ἔλθῃ, φησίν, ὁ παράκλητος, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ἐκεῖνος ὑμᾶς ὁδηγήσει πρὸς πᾶσαν τὴν ἀλήθειαν. οὐ γὰρ ἀφ' ἑαυτοῦ λαλήσει, ἀλλ' ὅσα ἂν ἀκούσῃ, ἀναγγελεῖ ὑμῖν, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν. Εἶδες πῶς φησιν, ἀφ' ἑαυτοῦ οὐ λαλεῖ, ἀλλ' ἐξ αὐτοῦ λαμβάνει; μὴ δύναται ἡ αὐθεντία διῃρῆσθαι τοῦ πνεύματος; οὐκ ἔδειξε, φησιν, ἡ γραφὴ ὑποκείμενον αὐτὸ τῇ ἐξουσίᾳ τοῦ υἱοῦ, καὶ δανειζόμενον παρ' αὐτοῦ καὶ ἄλλοις χορηγοῦν; πρόσεχε ἀκριβῶς. ὅταν τι τῶν λεγομένων ἄπορον σοι φανῇ, μὴ εὐθέως ἐπιπηδήσῃς τῇ λέξει, ἀλλ' ἀνάμεινον τὸ τέλος τοῦ νοήματος. Οὐκ εἶδες ἐν ταῖς παρασκευαῖς τῶν οἰκοδομῶν, πῶς πάντα συγκεχυμένα, ἄσβεστος, λίθοι, ξύλα; καὶ τῇ μὲν ὄψει πάντα συγκέχυται, τῷ δὲ τεχνίτῃ πάντα ἥρμοσται, καὶ οἶδε τὸν καιρόν, καθ' ὃν τοῦτο τὸ συγκεχυμένον ἁρμόσει ἐκείνῳ, κἀκεῖνο τούτῳ· καὶ τὰ νῦν διεσκορπισμένα τὴν πρέπουσαν ἁρμονίαν λαμβάνοντα ἀποτελεῖ τὸ τῆς οἰκοδομῆς κάλλος. ὅταν τοίνυν ἴδῃς τὸν λέγοντα ἀπὸ τούτου εἰς τοῦτο, καὶ ἀπ' ἐκείνου εἰς ἄλλο μεταβαίνοντα, νόει τὰς ὕλας αὐτὸν παρασκευάζειν. ὅταν δὲ παραθῇ τὰς ὕλας, τότε δείκνυμι τὴν ἁρμονίαν. μία φύσις υἱοῦ καὶ πνεύματος, μία δύναμις, μία ἀλήθεια, μία ζωή, μία σοφία. ἀφ' οὗ δὲ ὁ σωτὴρ κατηξίωσε τὸ πλάσμα λαβεῖν τὸ ἡμέτερον, πληροῦται πνεύματος ἁγίου, οὐχ ὡς κατώτερος ἁγίου πνεύματος, ἀλλ' ὡς τῆς σαρκὸς ὀφειλούσης ἀνθρωπίνῳ τύπῳ λαβεῖν τοῦ πνεύματος τὴν ἐπιφοίτησιν, οὐχ ὅτι οὐκ ἠδύνατο ὁ Θεὸς λόγος ἁγιάσαι τὸ πλάσμα ὃ ἀνέλαβεν. ἐὰν γὰρ εἰς τοῦτον χωρήσῃς τὸν λόγον, καὶ ὁ υἱὸς περιττός. ἤρκει γὰρ ὁ πατὴρ ἁγιάσαι τὸ πλάσμα. μὴ γὰρ ὡς ἀτονῶν ὁ πατὴρ προσλαμβάνεται τὸν υἱόν; μὴ γὰρ ὡς ἀτονῶν ὁ υἱὸς προσλαμβάνει τὸ πνεῦμα; ἀλλ' ἐπειδὴ μία φύσις ἐστὶ τὰ πάντα ἐν πᾶσιν ἐνεργοῦσα, τὰ μὲν ὁ πατὴρ ἐργάζεται, καὶ εἰς πᾶσαν τὴν φύσιν ἐκλαμβάνεται· τὰ δὲ ὁ υἱός, καὶ εἰς πᾶσαν διαβαίνει τὴν φύσιν· τὰ δὲ τὸ πνεῦμα, καὶ εἰς πᾶσαν τὴν φύσιν ἀναλαμβάνεται. ὅτι οὖν ἐστιν ἡ φύσις καθ' ἑαυτὴν θεωρουμένη, ἴση καὶ ὁμαλή, δεσποτικῆς αὐθεντίας πλήρης, θαυμαστή, οὔτε ἐνδεής, οὔτε ἀτελής, οὐ προσκόπτουσα, οὐ μειουμένη, οὐκ ἐλαττουμένη, οὐ προσθήκας λαμβάνουσα· ὅταν δὲ ἀναλάβῃ ὁ Θεὸς λόγος τὴν σάρκα τὴν ἐξ ἡμῶν, ποιεῖ αὐτὴν κατὰ τὸν ἀνθρώπινον τύπον, ὡς ἕνα τῶν προφητῶν, ἢ ὡς ἕνα τῶν ἀποστόλων, δεχομένην πνεῦμα ἅγιον. Εἶπον προλαβών, οὐχ ὡς μὴ ἀρκούσης τῆς θεότητος τοῦ υἱοῦ, ἀλλ' ἵνα ἐντελὴς τῆς τριάδος ἡ γνῶσις ἐν τῷ πλάσματι τούτῳ δειχθῇ. κατηξιώθη οὖν ἡ σὰρξ ἡ δεσποτικὴ πνεύματος ἁγίου, καὶ λοιπὸν ἐβούλετο ὁ σωτὴρ τὸ πλάσμα, ὃ ἀνέλαβεν, οἰκειοῦν τῷ ἁγίῳ πνεύματι, ἵν', ὅπερ ἂν ποιῇ ὁ Χριστὸς κατὰ σάρκα, ἐπιγράφηται τῷ ἁγίῳ πνεύματι τῷ ἐνοικοῦντι ἐν αὐτῷ, ὡς ἐν ἁγίῳ ναῷ τῷ ἀνθρωπίνῳ. ἄνθρωπος γὰρ δι' ἡμᾶς, Θεὸς δὲ δι' ἑαυτόν· Θεὸς δι' ἑαυτόν, ἄνθρωπος δὲ διὰ φιλανθρωπίαν. ἐξέβαλε δαιμόνια, καὶ ἠθέλησε τὴν ἀπέλασιν τῶν δαιμονίων ἐπιγράφειν τῷ ἁγίῳ πνεύματι, καὶ λέγει· Εἰ δὲ ἐγὼ ἐν πνεύματι ἁγίῳ ἐκβάλλω τὰ δαιμόνια· καὶ οὐκ εἶπεν, ἐν τῷ Θεῷ λόγῳ, ἀλλ' ἐπιγράφει τῷ ἁγίῳ πνεύματι, ὡς ἀνὴρ ἅγιος πνεύματος ἁγίου κατηξιωμένος. ἀμέλει ὅτε εἰσῆλθεν εἰς τὸ ἱερόν, λαμβάνει τὸν προφήτην Ἡσαΐαν, καὶ ἀναγινώσκει· ἀναγινώσκει δὲ τὰ περὶ ἑαυτοῦ γεγραμμένα. Καὶ ἀναπτύξας, φησί, τὸ βιβλίον, λέγει, πνεῦμα Κυρίου ἐπ' ἐμέ. Ταῦτα ἆρα τῷ Θεῷ λόγῳ ἁρμόζει; Θεὸς λέγει, πνεῦμα Κυρίου ἐπ' ἐμέ; οὐκ ἀναντίρρητόν ἐστι, ὅτι τὸ πρόσωπον τοῦ ἀνθρώπου λαλεῖ; πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με. διὰ τοῦ πνεύματός, φησι, τοῦ ἁγίου ἐχρίσθην.

Ιωαν. ις. ιγ.

Ματθ. ιβ. κη.

Λουκ. δ. ιη.

Πραξ. ι. λη. διὰ τοῦτο Πέτρος φησίν· Ἰησοῦν τὸν ἀπὸ Ναζαρέτ, ὃν ἔχρισεν ὁ Θεὸς πνεύματι ἁγίῳ καὶ δυνάμει. ὧδε δὲ τὸν νοῦν, παρακαλῶ, ἔχωμεν. Ταῦτα γὰρ ὅλα παρασκευὴ τοῦ, Ἰωαν. ις. ιδ. Ἐκ τοῦ ἐμοῦ λήψεται. ιε. οὐ γὰρ ἀπ' ἄλλων εἰς ἄλλα διεξηνέχθημεν, ἀλλ', ὡς ἔφθην εἰπὼν, τὰς ὕλας εὐτρεπίζω, ἵνα σὺ τὴν ἕνωσιν ἁρμόσῃς. κατηξιώθη πνεύματος ἁγίου, ἐβαπτίσθη Ἰωαν. α. λβ. ἐν τῷ Ἰορδάνῃ, καὶ λέγει Ἰωάννης· Εἶδον τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ καταβαῖνον, ὡσεὶ περιστερὰν, καὶ μένον ἐπ' αὐτόν. Εἶδες πῶς τύπῳ ἀνθρωπίνῳ λαμβάνει πνεῦμα ἅγιον; οὐδεὶς οὕτως ἀσεβὴς, ἵνα νομίσῃ ὅτι ἡ θεότης ἔλαβε πνεῦμα. λέγει Ἰωάννης Ἰωαν. α. κς. ὁ Βαπτιστὴς, Μέσος ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε, κἀγὼ οὐκ ᾔδειν αὐτόν· ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν, ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα τὸ ἅγιον καταβαῖνον, ὡσεὶ περιστερὰν, καὶ μένον ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ υἱός μου. κατῆλθε τὸ πνεῦμα τὸ ἅγιον, ἵνα Ησ. ξα. α. πληρωθῇ τὸ τοῦ Ἡσαΐου, Πνεῦμα Κυρίου ἐπ' ἐμέ. ἐβαπτίσθη ἡ σὰρξ, καὶ εὐθέως βαπτισθεὶς ἀνέβη ἀπὸ τοῦ ὕδατος, καὶ ἀνήχθη ὑπὸ τοῦ πνεύματος εἰς τὴν ἔρημον. ἀνήχθη, καὶ ὡς παιδαγωγὸν εἶχεν ἡ σὰρξ τὸ πνεῦμα τὸ ἅγιον. διὰ τί ἤγετο; ἵνα ἡμῖν τύπον δῷ, ὅτι ὥσπερ ἡ σὰρξ ἡ ἐμὴ οὐκ ἄγεται ἐπιθυμίαις, ἀλλ' ἄγεται πνεύματι, οὕτω καὶ ὑμεῖς ὀφείλετε. διὰ τοῦτο καὶ ὁ Παῦλος· Γαλ. ε. ιη. Εἰ δὲ πνεύματι Θεοῦ ἄγεσθε, οὐκ ἐστὲ ἐν σαρκί· καὶ, Ὅσοι πνεύματι Ρωμ. η. ιδ. Θεοῦ ἄγονται, οὐκ εἰσὶν ὑπὸ νόμον. ἄγεται ἡ σὰρξ τοῦ Χριστοῦ, " ἀγόμεθα καὶ ἡμεῖς. διὰ τοῦτο γὰρ καὶ πάντα εἰς ἑαυτὸν ἀναλαμβάνει, ἵνα τύπον ἡμῖν καταλίπῃ. ἀνήχθη ὑπὸ τοῦ πνεύματος πειρασθῆναι, καὶ ἐνίκησε τὸν διάβολον· οὐχ ἡ θεότης· ὕβρις γὰρ ἦν τῇ θεότητι τὸ εἰπεῖν, ἐνίκησα. Θεὸς γὰρ οὔτε ἡττᾶταί ποτε, οὔτε νικᾷ, ἀλλὰ ἀεὶ κρατεῖ. εἰ νίκην δέχεται, πάντως οἷόν τε αὐτὸν καὶ ἡττᾶσθαι· ὁ δὲ ἀεὶ κρατῶν, παντοκράτωρ, καὶ οὔτε στασιάζεται ὑπὸ τῶν κρατουμένων, οὔτε καμάτῳ περιγίνεται τῶν ἀρχομένων. " Εἰ τοίνυν ἡ σὰρξ ἡ δεσποτικὴ, τὸ κυριακὸν πλάσμα, ὁ ξένος ἄνθρωπος, ὁ οὐράνιος, τὸ νέον βλάστημα, τὸ ἀπὸ τῆς ξένης ὠδῖνος ἀνθῆσαν, οὗτος λαμβάνει πνεῦμα ἅγιον, ἔχεις τὰς μαρτυρίας. ὅτι ἐπεδήμησε πνεῦμα ἐξ οὐρανοῦ, ὅτι ἀνήγαγεν αὐτὸν τὸ πνεῦμα εἰς τὸ περιγενέσθαι τοῦ διαβόλου. ἡ τοῦ Ἀδὰμ εἰκὼν ἡ ἐν τῇ ἀρχῇ πλανηθεῖσα, ἵνα νικήσῃ λοιπὸν, ὁ ἄνθρωπος ὁ ξένος εἰσήρχετο δορυφορούμενος τῇ δυνάμει τοῦ πνεύματος. διὰ τοῦτο, ὥσπερ εἶπον, ἀνήχθη ὑπὸ τοῦ Λουκ. δ. ιδ. πνεύματος ἐν τῇ ἐρήμῳ πειρασθῆναι· οὕτως ὅτε ὡς νικητὴς ὑπέστρεψε, λέγει, Ἰησοῦς δὲ ὑπέστρεψεν ἐν τῇ δυνάμει τοῦ πνεύματος ἀπὸ τῆς ἐρήμου. εἶχεν οὖν ἡ σὰρξ πνεῦμα ἅγιον, οὐ μέρος χαρισμάτων ὡς ἡμεῖς, Τῷ μὲν σοφία, τῷ δὲ γνῶσις, ἀλλὰ πάντα εἶχε τὰ α. Κορ. ιβ. η. χαρίσματα. ἐπ' ἀληθείας ἀγωνιῶ καὶ τρέμω, μὴ τὸ ἀσθενὲς τῆς γλώττης ἀμβλύνῃ τὸ μέγεθος τοῦ κηρυττομένου. τὸ τοίνυν σῶμα τὸ δεσποτικὸν, καὶ ἡ σὰρξ ἡ ἁγία λαβοῦσα τοῦ ἁγίου πνεύματος τὴν ἐνέργειαν, οὐκ ἔλαβεν ὡς ἐπὶ τῶν ἀποστόλων καὶ τῶν προφητῶν μίαν χάριν ἢ δευτέραν. ἄνθρωπος γὰρ πάντα χωρῆσαι οὐ δύναται. α. Κορ. ιβ. κθ. διὸ λέγει Παῦλος· Μὴ πάντες ἀπόστολοι; μὴ πάντες προφῆται; μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων; ἐφ' ἡμῖν γὰρ " μερίζεται τὰ δῶρα· ἐν δὲ τῇ σαρκὶ τοῦ Χριστοῦ ὅλα τὰ χαρίσματα, ὅλαι αἱ δωρεαὶ ἦσαν κατὰ τὴν τῆς σαρκὸς οὐσίαν. καὶ προέσχε. ἐπλήρωσε πρῶτον τὸν ἴδιον ναὸν πάσης χάριτος· εἶχε χάρισμα νόσους ἰᾶσθαι, δαίμονας ἐκβάλλειν, νεκροὺς ἐγείρειν, προφητεύειν, τὰ τῆς ἀληθείας ἐργάζεσθαι, πάντα ἠδύνατο, καὶ εἶχε τῶν χαρισμάτων τὸ πλήρωμα. ἀφ' οὗ ἐπληρώθη ἡ σὰρξ ἡ δεσποτικὴ πάντων τῶν χαρισμάτων, χρεία δὲ ἦν πάντως ἡμᾶς λαμβάνειν ἐκ μέρους, ὡς ἀπὸ δεξαμενῆς, ἀπὸ τοῦ κυριακοῦ σώματος, χορηγεῖται καὶ ἀποστόλοις καὶ προφήταις ἐξ αὐτοῦ. Ἰωάννης ἐμαρτύρει, ὅτι ἐν αὐτῷ ὅλον τὸ Κολασ. β. θ. πλήρωμα τῆς θεότητος· καὶ Παῦλος, Ἐν ᾧ κατῴκησε τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. οὐκ εἶπεν ἁπλῶς, ἐν ᾧ κατῴκησεν ἡ θεότης, ἀλλὰ, τὸ πλήρωμα τῆς θεότητος, τουτέστι, πᾶσα ἡ δωρεὰ τῆς θεότητος. καὶ ἵνα μή τις νομίσῃ, ὅτι ἐν τῷ Θεῷ λόγῳ κατῴκησε,

κησι, λέγει· Ἐν ᾧ κατῴκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, ἐν τῇ σαρκὶ αὐτοῦ πᾶν τὸ πλήρωμα σοφίας, συνέσεως, δυνάμεως, σημείων, πάσης ἐνεργείας. λοιπὸν ἀπὸ τοῦ πληρώματος δανειζόμεθα πάντες. μαρτυρεῖ Ἰωάννης ὁ Βαπτιστής· Κἀγὼ οὐκ ᾔδειν αὐτόν, ἀλλ᾽ ὁ πέμψας με βαπτίζειν, ἐκεῖνός μοι εἶπεν· ἐφ᾽ ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ μένον (οὐκ εἶπε, χωριζόμενον αὐτοῦ διαιρεθέν, ἀλλά, μένον ὅλον) οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ καὶ πυρί. Εἶτα βουλόμενος δεῖξαι ὁ Ἰωάννης, ὅτι οὐχ ὡς ἄνθρωπος ἔλαβε χάριν ὁ σωτήρ, λέγει· Οὐκ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ πνεῦμα. Ὁ πατὴρ ἀγαπᾷ τὸν υἱόν, καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ. ἡμεῖς οὖν πόθεν λαμβάνομεν; Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν. ἐκεῖνος τὸ πλήρωμα, ἡμεῖς ἐκ τοῦ πληρώματος. πῶς; ἀφ᾽ οὗ ἐπλήρωσε τὴν δεσποτικὴν σάρκα, ἀπ᾽ αὐτῆς λοιπὸν ὡς ἀπὸ πηγῆς, καὶ ἐδάνειζε τοῖς ἀνθρώποις τὴν δωρεάν. πρόσεχε, παρακαλῶ. λέγει οὖν· Ὅταν ἔλθῃ ὁ παράκλητος, τὸ πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς πρὸς πᾶσαν τὴν ἀλήθειαν, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται. πρόσεχε τῇ ἀκριβείᾳ. οὐκ εἶπεν, ἐξ ἐμοῦ, ἀλλ᾽, ἐκ τοῦ ἐμοῦ. ἐξ ἐμοῦ, τίνος; ἐκ τοῦ ἐμοῦ δώσει ὑμῖν, ἀλλὰ λήψεται. λαμβάνει, οὐ δανειζόμενον· ἀλλ᾽ ἐπειδὴ ἐπλήρωσε τὴν πηγὴν ὡς ἀρχὴν χαρισμάτων, ἀπὸ τῆς δεξαμενῆς αὐτοῦ καὶ παρέχει πᾶσιν ἐκ τῶν ἰδίων. καὶ πόθεν τοῦτο, ὅτι τὸ λαβεῖν, ἐκ τῶν ἰδίων ἐστὶ λαβεῖν; ἄκουε. ἐπλήρωσεν ὁ Θεὸς τὸν Μωϋσῆν πνεύματος, καὶ λέγει Μωϋσῆς· Οὐ δύναμαι μόνος φέρειν τὸ βάρος τοῦ λαοῦ τούτου· προχείρισαι ἄλλον σεαυτῷ. λέγει αὐτῷ ὁ Θεός· ἐπίλεξαι ἑβδομήκοντα πρεσβυτέρους, καὶ λήψομαι ἀπὸ τοῦ πνεύματος τοῦ ἐν σοί, καὶ δώσω ἐπ᾽ αὐτούς. οὐκ εἶπε, λήψομαι τὸ σόν, ἀλλά, ἀπὸ τοῦ πνεύματος τοῦ ἐν σοί, ἐκ τοῦ ἐμοῦ λήψομαι. Λέγει ὁ Θεός, ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν. Εἰ ὁ Θεὸς παρὰ Μωϋσέως λαμβάνων ἐδανείσατο, καὶ τὸ πνεῦμα παρὰ τοῦ υἱοῦ λαμβάνον ἐδανείσατο. καὶ γὰρ Μωϋσῆς τύπος ἦν τοῦ Χριστοῦ, ὅτι ὥσπερ ἀπὸ Μωϋσέως ἑβδομήκοντα ἐγένοντο, οὕτως ἀπὸ τοῦ Χριστοῦ ἡ οἰκουμένη ἐδέξατο τὸ πνεῦμα τὸ ἅγιον. ἐκ τοῦ ἐμοῦ λήψεται. ἐξ ὧν ἐχορήγησέ μοι μόνῳ τῷ κυριακῷ ἀνθρώπῳ, λήψεται αὐτὸ τὸ δεδωκός, τὸ ἐλθὸν καὶ μεῖναν ἐν ἐμοί, τὸ χρῖσαί με, τὸ ἁγιάσαι, τὸ ἀναγαγεῖν εἰς τὴν ἔρημον, τὸ ὑποστρέψαι με νικητήν. ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. καὶ ἵνα δείξῃ ὅτι οὐ τοῦ ἁγίου πνεύματος ἐμνημόνευσεν, ἀλλὰ τῆς δωρεᾶς, ἐπάγει μετὰ τὸ εἰπεῖν, ἐκ τοῦ ἐμοῦ λήψεται, εὐθύς, Πάντα ὅσα ἔχει ὁ πατήρ, ἐμά ἐστιν· ἔλαβον αὐτὰ ἐκ τοῦ ἁγίου πνεύματος. διὰ τοῦτο εἶπον, ἐκ τοῦ ἐμοῦ λήψεται. ἐπειδὴ ὁ Θεὸς τὴν σάρκα ἔπλασε πνεύματι ἁγίῳ, καὶ ἀπέστειλε τὴν δωρεὰν τοῦ πνεύματος ὁ πατὴρ εἰς τὴν σάρκα τοῦ Χριστοῦ, ἐλθοῦσα δὲ ἡ χάρις ὅλα τὰ δῶρα ἐνέθηκε τῷ Χριστῷ, λέγει· ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. ποῖον οὖν ἐστι τό, Ἀφ᾽ ἑαυτοῦ οὐ λαλήσει, ἀλλ᾽ ὅσα ἂν ἀκούσῃ, γνωριεῖ ὑμῖν; Εἴρηται περὶ τούτου, ὅτι ἄλλο ἐστὶ πνεῦμα ἅγιον, καὶ ἄλλο χάρισμα· ἄλλο βασιλεύς, καὶ ἄλλο τὸ δῶρον τοῦ βασιλέως. ὅταν τις πρὸς πολλὰ καὶ διάφορα ἔθνη βαρβάρων ἔχῃ, ἀπορεῖ πόθεν ἄρξεται τοῦ πολέμου. ἐὰν περὶ τούτους ἀσχολήσῃ, τὸν πόλεμον ἕτερον ἀνακόπτει κέρας· ἐὰν διέλῃ ἑαυτὸν εἰς δύο μέρη, σχίζεται τὰ τῆς δυνάμεως. ἐν μέσῳ ἐσμὲν Ἀρειανῶν τῶν ἀθετούντων τοῦ Χριστοῦ τὴν δόξαν, καὶ τῶν Μακεδονιανῶν τῶν ὑβριζόντων τὴν θείαν τοῦ πνεύματος δόξαν. ἐὰν ὡς ὡμολογημένον εἴπω τὸ τοῦ υἱοῦ, ὡς πρὸς Μακεδονιανούς, ὁ Ἀρειανὸς εὐθέως μάχεται. περὶ γὰρ τοῦ υἱοῦ ἐπείσας, ὅτι περὶ πνεύματός μοι λαλεῖς;

Ἀλλ᾽ ἐπειδὴ πρόκειται σήμερον περὶ πνεύματος ἁγίου (πολλάκις γὰρ κατὰ τὴν δοθεῖσαν χάριν παρὰ Χριστοῦ περὶ τοῦ υἱοῦ ἐνικήσαμεν· καὶ μάρτυρες τῶν εἰρημένων ὑμεῖς, ὡς οὐκ ἦν σοφίσματα τέχνης, ἀλλ᾽ ἀποδείξεις γραφῶν) ἐβουλόμην δὲ καὶ νῦν κατασκευάσαι τὸν περὶ τοῦ υἱοῦ λόγον (ἀεὶ γὰρ ἐν ἑαυτῷ τὴν δύναμιν ἐκλάμπουσαν ἔχει) ἀλλὰ διὰ τὴν τῶν

Ιωαν. α. λγ.
Ιωαν. γ. λδ. λε.
Ιωαν. α. 15.
Ιωαν. ις. ιγ.
Αριθ. ια. ιζ.
Ιωηλ. ια. κη.
Ιωαν. ις. ιε.
Ιωαν. ις. ιγ.

αἱρετικῶν πληροφορίαν τὴν περὶ τὸ πνεῦμα σκάζουσαν πῶς παρασιωπῶ. ἀμήχανον δὲ
ἐστι τὸν περὶ τὸ πνεῦμα σκάζοντα ὀρθοποδῆσαι περὶ τὸν υἱόν. ἕως σήμερον οὐ πείθεις τοὺς Μα-
κεδονιανοὺς ὑπογράψαι τῷ ὁμοουσίῳ τῷ κατὰ Νίκαιαν, καίτοι λέγοντες ἀεί, ἡμεῖς ἐκείνῃ στοι-
χοῦμεν τῇ πίστει· ἐπειδὴ περὶ πνεύματος οὐ διεσαφηνίσθη. οὐδὲ γὰρ ἦν ἀγὼν οὐδὲ πόλεμος.
ὅμως πρὸς τὴν ἐκείνων πληροφορίαν λέγω, γέγραπται, ἀφ' ἑαυτοῦ οὐ λαλήσει. Εἰπὲ
ὦ Μακεδονιανέ, γέγραπται τοῦτο καὶ περὶ τοῦ υἱοῦ, μᾶλλον δὲ αὐτὸς λέγει περὶ ἑαυτοῦ, Ἐγὼ
Ιωαν. ιδ. ι. ἀπ' ἐμαυτοῦ οὐ λαλῶ. πρόσεχε, παρακαλῶ. παράγω τὴν μαρτυρίαν ἀπὸ τοῦ ὡμο-
λογημένου παρὰ σοί. πρὸς μὲν γὰρ τοὺς Ἀρειανοὺς ἀγῶνος χρεία εἰς τὸ, ἐγὼ ἀπ' ἐμαυτοῦ
οὐ λαλῶ, καὶ περὶ τοῦ πνεύματος· πρὸς δέ σε τὸν ἐπαγγελλόμενον εὐσεβεῖν οὐ χρεία ἀγῶνος.
περὶ Χριστοῦ γυμνάζων λέγεις, ἰσόθεον, ὅμοιον τῷ πατρὶ κατὰ πάντα. ὡς πρὸς ὁμολογοῦν-
τα τὴν δόξαν, εἰσήγαγον τὸ ζήτημα. λέγεις περὶ τοῦ πνεύματος, ἀφ' ἑαυτοῦ οὐ λαλήσει·
λέγει ὁ σωτὴρ περὶ ἑαυτοῦ, ἐγὼ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, ἀλλ' ὅσα ἤκουσα παρὰ τοῦ πατρός μου,
ταῦτα λαλῶ. ἰδοὺ καὶ ὁ υἱὸς ἀφ' ἑαυτοῦ οὐ λαλεῖ· πῶς ὁμοτιμία. ταῦτα πρὸς σὲ λέγω.
ὁ γὰρ Ἀρειανὸς κἀκεῖνο καὶ τοῦτο ἀπορεῖ. ὅσον πάρεισιν οἱ ναυαγοῦντες, τοσοῦτον πάρεισιν οἱ ἀ-
α. Τιμ. α. ιθ. πιστοῦντες, ὡς λέγει Παῦλος· Οἵτινες περὶ τὴν πίστιν ἐναυάγησαν. οἱ Ἀρειανοὶ ναυαγή-
σαντες, ἀπώλεσαν καὶ Χριστοῦ δόξαν καὶ ἁγίου πνεύματος δύναμιν· Μακεδονιανοὶ φιλονεικοῦ-
Ρωμ. η. θ. σι μὲν διαβῆναι, τὸ δὲ ἥμισυ τοῦ φορτίου ἀπώλεσαν, ὡς λέγει Παῦλος· Εἰ δέ τις πνεῦμα Χρι-
στοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. πρόσεχε τοίνυν, ἵνα μὴ δόξωμεν ἀγωνιστικῶς ἐπιβαίνειν,
καὶ ὑβριστικῶς τὴν ἀπόδειξιν ποιεῖσθαι. ἐγὼ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ. ἑρμηνευθήτω μοι τί ἐστι
τὸ, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, πῶς εἶπεν ὁ σωτήρ. ἣν γὰρ ἂν ἑλκύσῃ λύσιν ὁ Μακεδονιανὸς
περὶ τοῦ υἱοῦ, ταύτην ἐπίθες καὶ τῷ ἁγίῳ πνεύματι. τὰ δύο ἔστηκεν ἰσόρροπα· οὔτε τὸ πνεῦ-
μα ἀφ' ἑαυτοῦ, οὔτε ὁ υἱὸς ἀφ' ἑαυτοῦ· ἀλλὰ χρήζει ὁ υἱὸς τοῦ πατρός, χρήζει καὶ τὸ πνεῦμα τοῦ
πατρός. πῶς ὁμοτιμία. πρόσεχε τοίνυν. οἶδα εἰς βάθος ἐμαυτὸν δεδωκώς, ὡς οἶδεν ἡ
τοῦ Χριστοῦ δύναμις ἡ πάντα ἐρευνῶσα. μᾶλλον τρέμω, ἢ λέγω, μὴ εἰς ἄπειρον ἄβυσ-
σον δράμῃ τὸ σκάφος, καὶ πνεῦμα μὴ ᾖ. δὸς γὰρ εἶναι τὸ σκάφος ἕτοιμον, τὸν κυβερνήτην, τοὺς
ναύτας, τὰς σχοίνους, τὰς ἀγκύρας, πάντα εὐτρεπισμένα, καὶ μηδαμοῦ πνεῦμα ἀνέμου. οὐκ
ἀργεῖ τὰ τῆς παρασκευῆς, μὴ παρούσης τῆς ἐνεργείας τοῦ πνεύματος; οὕτως ἔθος. κἂν λό-
γου πλάτος, κἂν διανοίας βάθος, κἂν φράσις, κἂν ἔννοια, καὶ μὴ παρῇ τὸ πνεῦμα τὸ ἅγιον
χορηγοῦν, ἀργεῖ τὰ πάντα. διὰ τί οὖν περὶ ἑαυτοῦ, ὡς καὶ περὶ τοῦ πνεύματος εἶπεν, ἀπ'
ἐμαυτοῦ οὐ λαλῶ; ἀγωνιστικῶς ἐπεσκεψάμεθα τὸν ἀντιλέγοντα, λοιπὸν πληροφορήσωμεν
καὶ ἑαυτοὺς, κἀκείνους. εἴγε πείθονται, οὐκ ἂν πάντως ἀνάγκην αὐτοῖς ἐπάγομεν· ἀλλὰ λέ-
γομεν, εἰ ἄρα πεισθῶσι; καὶ μὴ θαυμάσῃς, εἰ ἐγὼ ὁ ἄνθρωπος τοῦτο λέγω· λέγει ὁ Θεὸς
Ιεζεκ. β. ε. ζ. τῷ Ἰεζεκιὴλ, Ἄπελθε πρὸς τὸν οἶκον τοῦ Ἰσραήλ, καὶ εἰπὲ αὐτοῖς· ἐὰν ἄρα ἀκούσωσιν,
*ἐὰν ἄρα πιστεύσωσιν, ἐὰν ἄρα σωθῶνται. ἕως δὲ τούτων λεγομένων μὴ (σωθῶσι), ἀθῷοι
Πραξ. κ. κϛ. ἐσμὲν ἡμεῖς. οὕτω Παῦλος ἐδίδασκε, καὶ μετὰ τὸ διδάξαι λέγει· Διαμαρτύρομαι πάντας,
ὅτι καθαρός εἰμι ἀπὸ τοῦ αἵματος πάντων ὑμῶν. οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι
ὑμῖν τὴν ὁδὸν τοῦ Θεοῦ. καὶ νῦν λέγω, διὰ τί ὁ σωτὴρ εἶπεν, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, καὶ περὶ
τοῦ πνεύματος, ἀφ' ἑαυτοῦ οὐ λαλήσει; δέομαι τῆς ὑμετέρας ἀγάπης, ἐνταῦθα τὸν νοῦν
Ματθ. κδ. κδ. ἔχωμεν*. ἑνὸς ὄντος Χριστοῦ, πολλοὶ παρῆλθον ψευδόχριστοι, ὡς ὁ σωτὴρ εἶπε· Πολλοὶ ἐ-
λεύσονται ἐπὶ τῷ ὀνόματί μου ψευδόχριστοι, καὶ ψευδοπροφῆται. ἑνὸς οὖν ὄντος Χριστοῦ καὶ ἐ-
παγγελθέντος διὰ τῶν προφητῶν ὅτι ἔρχεται, πρὸ τῆς παρουσίας αὐτοῦ ἐφάνησαν τινες
πλάνοι λέγοντες, ἡμεῖς ἐσμεν. Θευδᾶς λέγει, ἐγώ εἰμι· Ἰούδας ὁ Γαλιλαῖος, ἐγώ εἰ-
Ιωαν. ι. η. μι. καὶ ἐπλάνων πολλούς. ὁ σωτὴρ ἐλθὼν λέγει, Ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται
εἰσὶ καὶ λῃσταί. ἐπεὶ οὖν οἱ μὲν πρὸ τούτου πλάνοι ὄντες, ἐνδυσάμενοι τὸ ὄνομα τοῦ
Χριστοῦ,

Χριστοῦ, ἐσπούδαζον πεῖσαι τὸν λαόν, ὅτι αὐτοί εἰσιν ὁ Χριστός, οὐχ ὁμοῦ φανέντες, ἀλλ' ἕκαστος
καθ' ἑαυτόν, ὁ μὲν νῦν φαινόμενος, ἄλλος δὲ ἐν ἄλλῳ καιρῷ, λέγει ὁ Χριστός· ὅσοι ἦλθον πρὸ ἐμοῦ,
κλέπται ἦσαν καὶ λῃσταί. ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα· Τὰ πρόβατα τὰ ἐμὰ τῆς Ιωαν. ι κζ.
ἐμῆς φωνῆς ἀκούει, καὶ γνωρίζει τὴν φωνήν μου, καὶ ἀκολουθοῦσί μοι. ἦλθον οὖν ἐκεῖνοι οἱ
ψευδόχριστοι, καὶ οὐκ ἐδίδαξαν ἀπὸ νόμου, οὐκ ἀπὸ προφητῶν, ἀλλ' ἐξ ἑαυτῶν ἐλάλουν καὶ
ἀπὸ τῆς ἰδίας γνώμης· ὁ σωτὴρ ἐλθὼν οὐκ ἀπέστη τοῦ νόμου, οὐκ ἀπέστη προφητῶν, ἀλλ'
ἔλεγεν, ὡς ἐν ὑποδείγματι· Καλῶς εἶπεν Ἡσαΐας· καὶ πάλιν, Οὐ γέγραπται ἐν τῷ νόμῳ Ματθ ιε ζ.
ὑμῶν; καὶ ὅτε προσῆλθεν αὐτῷ ὁ διάβολος, λέγει αὐτῷ, Γέγραπται· Κυρίῳ τῷ Θεῷ σου Ιωαν ιι ιζ.
προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. ἐλθὼν οὖν ὁ Χριστὸς κατὰ σάρκα οὐκ ἐλάλησεν ἀφ' Ματθ. δ. ι.
ἑαυτοῦ, ἀλλ' ἀπὸ προφητῶν. ἐπεὶ οὖν οἱ ἐλθόντες πρὸ τοῦ Χριστοῦ, ἐν ὀνόματι Χριστοῦ, οὐκ ἐλάλησαν
οὐκ ἀπὸ νόμου, οὐκ ἀπὸ προφητῶν, ἀλλ' ἀπὸ ἰδίας γνώμης τὰ τῆς πλάνης ἐλάλουν,
λέγει ὁ σωτήρ· Ἐγὼ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, ὡς ἐκεῖνοι. τὸ γὰρ ἀφ' ἑαυτοῦ λαλεῖν, τὸ ἔξω νόμου Ιωαν. ιδ ι.
λαλεῖν ἐστιν. οὕτως οὖν δεῖ καὶ ἡμᾶς λαλεῖν. ὅταν ἴδῃς αἱρετικοὺς Ἀριστοτελικὰ κινοῦντας ἢ
Πλατωνικά, εἰπέ, ἡμεῖς ἀφ' ἑαυτῶν οὐ λαλοῦμεν· ὅσα ἠκούσαμεν παρὰ Χριστοῦ, ταῦτα
φθεγγόμεθα. καὶ πόθεν τοῦτο, ὅτι ὁ ἀφ' ἑαυτοῦ λαλῶν, ψευδοπροφήτης ἐστίν, ἢ τὸ λαλεῖν ἀφ' ἑαυτοῦ
ψευδοπροφήτην χαρακτηρίζει; λέγει ὁ προφήτης Ἰεζεκιήλ· Ζῶ ἐγώ, λέγει Κύριος, Ιεζεκ. ιγ. γ.
ἐπὶ τοὺς προφήτας τοὺς πλανῶντας τὸν λαόν μου οὐκ ἀπέστειλα αὐτούς. ἀφ' ἑαυτῶν ἐλάλησαν,
καὶ ἐκ τῆς καρδίας αὐτῶν φθέγγονται. ἐπεὶ οὖν οἱ ψευδοπροφῆται ἀφ' ἑαυτῶν ἐκήρυττον,
ὁ σωτὴρ ἀποδυόμενος τὴν ὑπόνοιαν, λέγει· ἐγὼ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ. πόθεν τοῦτο;
ὅτι ὁ σωτὴρ πλάνος ὑπενοήθη. τοῦτο πρότερον στήσωμεν. ἐν τῇ ἑορτῇ τῆς σκηνοπηγίας ἐζήτουν
οἱ ὄχλοι τὸν Ἰησοῦν λέγοντες, ποῦ ἐστι; καὶ ἦν περὶ αὐτοῦ διαφωνία· ἄλλοι ἔλεγον, ἀγαθός ἐστιν· Ιωαν. ζ ια.
ἄλλοι ἔλεγον, οὔκ. ἀλλὰ πλανᾷ τὸν ὄχλον. εἶδες πῶς πλάνος ὑπενοήθη; πάλιν μετὰ τὸν
θάνατον τοῦ σωτῆρος τὸν ἅγιον, λέγουσιν οἱ ἀρχιερεῖς τῷ Πιλάτῳ· Οἴδαμεν, Κύριε, ὅτι εἶπεν ὁ Ματθ. κζ. ξγ.
πλάνος ἐκεῖνος ἔτι ζῶν, μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. ταῦτά μοι εἴρηται εἰς τὸ δεῖξαι, ὅτι
πλάνος ἐνομίσθη. ἐπεὶ οὖν πλάνος ἐνομίζετο, λέγει, ἐγὼ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, ἀλλ'
ἀπὸ νόμου, ἀπὸ προφητῶν, Ὅσα ἤκουσα παρὰ τοῦ πατρός. οὐ κατὰ τὴν θεότητα ἤκουσα παρὰ Ιωαν. ιι. ιθ.
τοῦ πατρός· ἐν νόμῳ, ἐν προφήταις. ἐκ προσώπου τῆς σαρκὸς λαλεῖ εἰς ἔλεγχον τῆς πλάνης.
ἐγὼ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, ἀλλ' ὅσα ἤκουσα παρὰ τοῦ πατρός· Ὑμεῖς δέ, ὅσα ἠκούσατε Ιωαν η. μδ.
παρὰ τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου, λαλεῖτε. καὶ ἵνα δείξῃ ὅτι ὁ διάβολος, ὅταν λαλῇ, ἔν
τισι ψεῦδος ἐργάζεται, λέγει· Ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ. ἐγὼ δὲ ἐξ ἐμαυτοῦ
οὐ λαλῶ, ἀλλ' ἀπὸ προφητῶν, ἀπὸ νόμου. τοῦτο γάρ ἐστιν ἀλήθεια. ὥσπερ οὖν ὁ σωτὴρ
ἐκλύων τὴν ὑπόνοιαν καὶ ἀποδυόμενος τὴν κακὴν ὑποψίαν λέγει, ἐγὼ ἀπ' ἐμαυτοῦ
οὐ λαλῶ ὡς οἱ πλάνοι, οὕτω καὶ περὶ τοῦ πνεύματος. λοιπὸν οὐδὲ τὸν νοῦν, παρακαλῶ,
ἔχωμεν. κατὰ μὲν οὖν τὸ μέρος τοῦ σωτῆρος φαίνονται πολλοὶ ψευδόχριστοι καὶ ψευδοπροφῆται·
καὶ ἔλεγεν ὁ δεῖνα, ἐγώ εἰμι, καὶ ἄλλος, ἐγώ εἰμι, καθὼς γέγραπται, Ὅτι πολλοὶ ἐλεύσονται
ἐπὶ τῷ ὀνόματί μου λέγοντες, ἐγώ εἰμι ὁ Χριστός, καὶ πολλοὺς πλανήσουσιν, ἀλλὰ μὴ
πλανᾶσθε. ὥσπερ οὖν ὑπενοήθη τὸ ὄνομα τοῦ Χριστοῦ εἰς τοὺς πλάνους, οὕτως ἔμελλον
πολλοὶ σχηματίζεσθαι ἔχειν πνεῦμα ἅγιον, ὃ μὴ εἶχον, οὐ λαλεῖν. ἀλλ' ἐκεῖ μὲν ὁ [illegible]
ἐφαίνετο καὶ ἔλεγεν, ἐγώ εἰμι ὁ Χριστός· ἐνταῦθα δὲ οὐκ ἐτόλμα εἰπεῖν τις·
ἐγώ εἰμι τὸ πνεῦμα τὸ ἅγιον. οὐ γὰρ ἐγίνετο ἐν σώματι, ἀλλ' ἀοράτως ἐπεδήμει. ἦλθεν
ἐπὶ Πέτρον, ἦλθεν ἐπὶ Παῦλον, καὶ ἦν ὁμολογούμενον, ὅτι πνεῦμα Κυρίου εἶχον. ἀνέκυψε
Σίμων καὶ λέγει, πνεῦμα ἔχω. ἀπὸ τῆς ὄψεως οὐδεὶς ᾔδει τίς ἔχει, τίς οὐκ ἔχει, ἢ τίς
ἔχει πνεῦμα ἀκάθαρτον, ἢ τίς ἔχει πνεῦμα ἅγιον. εἰ μὲν γὰρ ὄψις ἦν, οὐκ ἂν ὑπέκλεπτεν.
ἀπὸ γὰρ τῆς διαγνώσεως εἶχε τὸν ἔλεγχον. ἦλθε Μοντανὸς λέγων, πνεῦμα ἅγιον ἔχω.

ἦλθε Μανιχαῖος λέγων, πνεῦμα ἅγιον ἔχω· οὐκ ἦν δὲ δῆλον. ἵνα οὖν μὴ πλανῶνται τῷ ὀ-
Ιωαν. ιε. κϛ. νόματι, ἐπειδὴ ἀοράτως ἔμελλε τὸ χάρισμα ἔρχεσθαι, λέγει· Ὅταν ἔλθῃ ὁ παρά-
κλητος, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ἐκεῖνος ὑμᾶς ἀνα-
μνήσει τὰ ῥήματά μου, καὶ ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν. οὐ γὰρ
ἀφ' ἑαυτοῦ λαλήσει. ἐὰν ἴδητέ τινα λέγοντα, πνεῦμα ἅγιον ἔχω, καὶ μὴ λα- χ. ὁις
λοῦντα τὰ εὐαγγελικὰ, ἀλλὰ τὰ ἴδια, ἀφ' ἑαυτοῦ λαλεῖ, καὶ οὐκ ἔστι πνεῦμα ἅγιον ἐν
αὐτῷ. ὥσπερ γὰρ λέγει περὶ ἑαυτοῦ, ἐγὼ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, ἵνα ἐκλύσῃ τὴν ὑπόνοιαν
τῆς πλάνης· μᾶλλον δὲ τὴν πλάνην ἀπὸ τῆς ἀληθείας ἵνα διέλῃ, καὶ δείξῃ τίνες ἔχουσι πνεῦ-
μα ἅγιον, τίνες οὐκ ἔχουσιν, ἀλλὰ προσποιοῦνται ἔχειν, λέγει· ἀφ' ἑαυτοῦ οὐ λαλήσει. παρ'
ἐμοῦ ἠκούσατε, τί παρέδωκα. ὅταν ἔλθῃ τὸ ἀόρατον πνεῦμα, τὰ ἐμὰ λαλήσει. ἐὰν ἴδη-
τέ τινα τὰ τοῦ εὐαγγελίου διατηροῦντα, ὅτι οὗτος πνεῦμα ἔχει ἅγιον. ἔρχεται γὰρ τὸ πνεῦμα
ἀναμνῆσαι ὑμᾶς, ἃ ἐδίδαξα. ἐάν τις οὖν τῶν ὀνομαζόντων ἔχειν πνεῦμα λέγῃ τι ἀφ' ἑ-
αυτοῦ, καὶ μὴ ἀπὸ τῶν εὐαγγελίων, μὴ πιστεύσητε. τῇ ἐμῇ διδασκαλίᾳ στοιχήσατε. ἀφ' ἑ-
αυτοῦ οὐ λαλήσει. ἀλλ' αὐτὶ τούτου ἡ ἐπιφοίτησις ἡ γινομένη δείκνυσι, τίς ἔλαβε πνεῦμα ἅγι- χ. πῶ
ον, τίς οὐκ ἔλαβεν. εἴ τις δὲ περὶ τὰ τοῦ Χριστοῦ, πνεῦμα ἅγιον ἔχει. Οὐδεὶς γὰρ δύνα-
ται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ. ἦλθε Μάνης, ὁ ἀληθῶς μανεὶς, ὁ
φερωνύμως τῇ πλάνῃ τὸ ὄνομα ἔχων, καὶ λέγει· ἐγώ εἰμι ὁ παράκλητος, ὃν ἐπηγγείλατο ὁ σω-
τὴρ τοῖς ἀποστόλοις· ἐγώ εἰμι ὁ υἱὸς τοῦ Θεοῦ. ποῦ ἤκουσας ἐν τῷ εὐαγγελίῳ Ἰησοῦ Χρι-
στοῦ, ὅτι ὁ ἥλιος καὶ ἡ σελήνη δημιουργοί εἰσι; ποῦ εἶπεν ὁ Χριστὸς, ὅτι ταῦτα ἀντλοῦσι τὰς
ψυχὰς, καὶ ἀνάγουσιν αὐτάς; ποῦ ἀνέγνωκας τοῦτο; ἐκ τοῦ μὴ λέγειν τὰ γεγραμμένα, ἀλλὰ
τὰ ἀφ' ἑαυτοῦ λαλεῖν δῆλόν ἐστιν, ὅτι οὐκ ἔχεις πνεῦμα ἅγιον. τὸ πνεῦμα τὸ ἅγιον ἀφ' ἑαυτοῦ
οὐ λαλήσει, ἀλλ' ὅσα ἀκούσει, ἀναγγελεῖ ὑμῖν, ἀντὶ τοῦ, ἃ ἐλάλησα, ταῦτα βεβαιώσει, καὶ
ὅρα τὸ θαυμαστόν. ὥσπερ ὁ σωτὴρ ἐλθὼν ἐγένετο πλήρωμα νόμου καὶ προφητῶν, οὕτω πλή-
ρωμα τοῦ εὐαγγελίου τὸ πνεῦμα. ὁ Χριστὸς ἐλθὼν, ἐβεβαίωσε τὰ παρὰ τοῦ πατρὸς, τὰ ἐν τῷ
νόμῳ εἰρημένα καὶ προφήταις. διὰ τοῦτο λέγει Παῦλος· πλήρωμα νόμου Χριστός· τὸ χ. γέγραπται
πνεῦμα τὸ ἅγιον ἐλθὸν ἐπλήρωσε τὰ τοῦ εὐαγγελίου. ὅσα ἐστὶν ἐν τῷ νόμῳ, ὁ Χριστὸς πλη-
ροῖ· ὅσα ἐστὶν ἐν τῇ τοῦ Χριστοῦ διδασκαλίᾳ, τὸ πνεῦμα πληροῖ, οὐχ ὡς ἀτελοῦς ὄντος τοῦ
πατρός· ἀλλ' ὡς ἐφάνη Χριστὸς βεβαιῶν τὰ τοῦ πατρὸς, οὕτως ἐφάνη τὸ πνεῦμα τὸ ἅγιον βε-
Ιωαν. ιϛ. ιβ. βαιοῦν τὰ τοῦ υἱοῦ. πόθεν τοῦτο; λέγει ὁ σωτὴρ τοῖς μαθηταῖς· Πολλὰ ἔχω λαλεῖν ὑμῖν, ἀλλ'
οὐ δύνασθε βαστάζειν ἄρτι. ὅταν δὲ ἔλθῃ τὸ πνεῦμα τὸ ἅγιον, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν
τὴν ἀλήθειαν, ὅτι ἀφ' ἑαυτοῦ οὐ λαλήσει· τὰ γὰρ ἐμὰ πληροῖ. ἀναπληροῖ ὁ υἱὸς τὰ τοῦ
πατρὸς, ἐπεὶ ἀφ' ἑαυτοῦ οὐ λαλεῖ· ἀναπληροῖ τὸ πνεῦμα τὰ τοῦ υἱοῦ, καὶ ἀφ' ἑαυτοῦ οὐ λαλεῖ. ἐὰν
δὲ ἀκούσῃς λέγοντος, ἀποστελῶ ὑμῖν τὸ πνεῦμα τὸ ἅγιον, μὴ κατὰ τὴν θεότητα ἐκλάβῃς
(Θεὸς γὰρ οὐκ ἀποστέλλεται) ὀνόματά ἐστι ταῦτα τὴν ἐνέργειαν σημαίνοντα, ὀνόματα κρυ-
πτόμενα καὶ λάμποντα· κρυπτόμενα τῇ ἀξίᾳ, λάμποντα τῇ θεωρίᾳ· οἷον, πῶς ἀποστέλλων
εἰς ἐκείνους ἀποστέλλει τοὺς τόπους, ἐν οἷς μὴ πάρεστιν. ὑπόθου ἐμὲ εἶναι τὸν λαλοῦντα ἐν
τῷ καθίσματι τούτῳ. οὐ δύναμαι εἰπεῖν τινι, δεῦρο, ἀποστελῶ σε ὧδε. τοῦτο οὐκ ἔστι πέμ-
ψαι, ἀλλὰ συγκαθίσαι ἢ παραστῆναι. εἰ δὲ ὁ Θεὸς πανταχοῦ (Τὸν οὐρανὸν γὰρ, φησὶ, καὶ
Ψαλ. ρλη. ζ. τὴν γῆν ἐγὼ πληρῶ) ποῦ οὖν πέμπει ὁ πανταχοῦ ὤν; Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ
ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει· ἐὰν ἀναλάβω τὰς πτέρυγάς μου κατ' ὄρθρον
καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης, καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με. ποῦ οὖν
ὁ Θεὸς ἀποστέλλει; ἀλλ' ἆρα μὴ αὐτὸς μὲν πανταχοῦ, ὁ δὲ ἀποστελλόμενος οὐ πανταχοῦ;
ἀπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον. ἆρα οὖν μὴ παρόντα ἐν τῷ κόσμῳ; καὶ μὴν
ὁ κόσμος ἐκ τοῦ υἱοῦ. διὰ τοῦτο οὖν ἦλθεν εἰς τὸν κόσμον, ὡς πρὸ τούτου μὴ ὢν ἐν τῷ κόσ-
μῳ;

μῳ; πῶς οὖν Ἰωάννης ὁ εὐαγγελιστὴς λέγει, Πάντα δι' αὐτοῦ ἐγένετο; ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ Ἰωαν. α. γ.
κόσμος δι' αὐτοῦ ἐγένετο; πῶς οὖν ἀποστέλλει εἰς τὸν κόσμον; πάλιν εἰ ἀποστέλλει ὁ ἀπο-
σταλεὶς, καὶ ἔμεινεν ὁ ἀποστείλας ἄνω, καὶ ὁ ἀποσταλεὶς κάτω, πῶς ἔλεγε, Καὶ ὁ πέμψας με
μετ' ἐμοῦ ἐστι; παρακαλῶ, πρόσεχε μετὰ ἀσφαλείας, ἀσφάλισαι τὸν λόγον. δύναται Ἰωαν. η. κθ.
γὰρ εἰπεῖν ὁ αἱρετικὸς, μετ' ἐμοῦ ἐστι τῇ βοηθείᾳ, ὡς λέγω κἀγὼ, ὁ Θεὸς μετ' ἐμοῦ ἐστιν·
οὐκ εἶπεν ἁπλῶς, ἀλλὰ τί; Ὁ πατὴρ ὁ ἐν ἐμοὶ μένων. εἰ μετ' αὐτοῦ ἦν, καὶ ἐν αὐτῷ
ἔμενε, πῶς ἐκεῖνος ἀπέστειλεν, ἢ πῶς οὗτος ἀποστέλλει; εἴτε γὰρ ἦλθον, οἱ δύο Ἰωαν. ιδ. ι.
ἦλθον, καὶ οὐδεὶς ἀποστέλλει. πάλιν, ἀλλ' οἱ δύο ἔμειναν; εἰ ἔμενεν ὁ πατὴρ ἄνω,
πῶς λέγει ὁ υἱὸς, ὁ πατὴρ μετ' ἐμοῦ ἐστιν; εἰ ἄνω ἔμεινεν ὁ ἀποστείλας, πῶς μετ' αὐ-
τοῦ ἔχει ὁ ἀποσταλεὶς τὸν ἀποστείλαντα; Ἐγὼ γάρ, εἶπε, ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ μετ' ἐμοῦ Ἰωαν. ι. λη.
ἐστί. πῶς οὖν ἀποστέλλει ὁ λέγων, ὁ πατὴρ ἐν ἐμοί ἐστι; πῶς δὲ πάλιν ἀπέστειλεν, ὅταν οὖν
λέγῃ, πέμψω ὑμῖν τὸ πνεῦμα τὸ ἅγιον, τουτέστι, τὴν δωρεὰν τοῦ πνεύματος; καὶ ἵνα μάθητε
ὅτι ἡ δωρεὰ πέμπεται, τὸ δὲ πνεῦμα οὐκ ἀποστέλλεται, ὁ σωτὴρ λέγει τοῖς ἀποστόλοις· Μείνα-
τε εἰς Ἱερουσαλὴμ, ἕως ἂν ἐνδύσησθε δύναμιν ἐξ ὕψους, καὶ λήψεσθε δύναμιν ἐπελθόν- Λυκ. κδ. μθ.
τος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς. ἄλλη ἡ δύναμις ἡ χορηγουμένη, καὶ ἄλλο τὸ πνεῦμα τὸ χορη-
γοῦν. Πάντα γὰρ ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται. α. Κορ. ιβ. ια.
σὺ μὲν οὖν οὐ δύνῃ δεῖξαι πεμπόμενον τὸ πνεῦμα τὸ ἅγιον ὑπὸ γυμνῆς τῆς θεότητος. ἐὰν δὲ σοι
δείξω τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς ἀποστελλόμενον ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου, τί ποιεῖς; ἢ ἀρνή-
σαι τὸν Χριστὸν, καὶ ἀπάλειψον τὰς γραφὰς, ἢ δοῦλος ὢν τῶν γραφῶν ὑποτάττου ταῖς γρα-
φαῖς. καὶ ποῦ, φησιν, εἴρηται τοῦτο; ἄκουε τοῦ Θεοῦ λέγοντος διὰ τοῦ προφήτου Ἠσαΐου τοῦ
κήρυκος τῆς εὐσεβείας. Ἄκουέ μου, φησιν, Ἰακὼβ καὶ Ἰσραὴλ, ὃν ἐγὼ καλῶ· ἐγὼ Θεὸς πρῶ-
τος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ Θεὸς οὐκ ἔστι. πρόσεχε. λοιπὸν γὰρ ἐνταῦθα τὸ ζη- Ησ. μη. ιβ.
τούμενον. ἆρα τίς ὁ εἰπὼν ταῦτα; ὁ πατὴρ, ἢ ὁ υἱός; ὅρα πῶς ἐν μοναρχίας τύπῳ τὴν
τριάδα κηρύττει συγκεκαλυμμένως. ἐγὼ Θεὸς πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐ-
μοῦ Θεὸς οὐκ ἔστι. τίς ὁ ταῦτα λέγων; ὁ δημιουργός. ἐπάγει γάρ, Ἐγὼ τῇ χειρί μου ἐθεμελίω-
σα τὴν γῆν (βλέπε πῶς ὁ δημιουργὸς λαλεῖ) καὶ τὸ πνεῦμά μου ἐστερέωσε τὸν οὐρανόν· ἐγὼ Ησ. μη. ιγ.
πᾶσι τοῖς ἄστροις ἐνετειλάμην· ἐγὼ ἤγειρα μετὰ δικαιοσύνης βασιλέα, καὶ πᾶσαι αἱ ὁδοὶ
μου εὐθεῖαι. εἰπὼν ἑαυτὸν δημιουργὸν καὶ ποιητὴν οὐρανοῦ καὶ γῆς, λέγει λοιπὸν ταῦτα· Οὐκ ἀπ'
ἀρχῆς ἐν κρυφῇ ἐλάλησα ὑμῖν ταῦτα οὐδὲ ἐν τόπῳ σκοτεινῷ· εἰπὼν, ὅτι ἐθεμε-
λίωσα τὴν γῆν, καὶ ἐποίησα τὸν οὐρανόν· ὅτε ἐγένοντο, ἐκεῖ ἤμην, καὶ νῦν, Κύριος ἀ-
πέστειλέ με, καὶ τὸ πνεῦμα αὐτοῦ. σὲ τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν; τὸν εἰπόντα
τοῖς ἄστροις Κύριος ἀπέστειλε καὶ τὸ πνεῦμα αὐτοῦ; ἐγέννησε κατὰ τὴν θεότητα, ἀπέστειλε κατὰ
τὴν σάρκα. ὁ ποιητὴς οὐρανοῦ λέγει, Κύριος ἀπέστειλέ με, καὶ τὸ πνεῦμα αὐτοῦ. τὴν
ἀποστολὴν ὁ αἱρετικὸς τοῦ πνεύματος εἰς ὕβριν λαμβάνει. ἀπέστειλεν ὁ πατὴρ, οὐ με-
ταστὰς, οὐ μεταστήσας. ἀπέστειλεν ὁ υἱὸς τὸ πνεῦμα, οὐ διαιρῶν, οὐ διαιρεθείς. διὰ τοῦτο
ἡ γραφὴ Ὁ Θεὸς, φησιν, ἐξέχεε τὸ πνεῦμα αὐτοῦ, ἤγουν τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος. Ἰωηλ. β. κη.
θεότης οὐκ ἐκχεῖται, ἀλλ' ἡ δωρεά. διὰ τοῦτο, ἵνα δειχθῇ ὅτι τὸ ἐκχεόμενον οὐ πνεῦμα
ἅγιον, ἀλλὰ πνεύματος θείου χάρις, λέγει Δαβὶδ τῷ Χριστῷ· Ἐξεχύθη χάρις ἐν χείλεσί σου· Ψαλ. μδ.
χάρις ἐκχεῖται, οὐχ ὁ δωρούμενος τὴν χάριν. εἰ οὖν ὁμοτιμία κηρύττεται, καὶ τὸ ἀφ' ἑαυτοῦ σε-
σαφήνισται, καὶ τὸ ἀπὸ τοῦ ἐμοῦ λήψεται, ὡς ἀπὸ δεξαμενῆς ἡρμήνευται, μὴ ἐχέτωσαν χώραν
ἢ παρείσδυσιν ἀσεβείας οἱ αἱρετικοί. τίμησον τὸ πνεῦμα τὸ ἅγιον, ὃ ἔλαβες. εἶπον πολ-
λάκις, ὅτι ἀντίδοσιν ἔχεις· ἔλαβε Χριστὸς παρὰ σοῦ τὸ πλάσμα τὸ σὸν, ἔδωκέ σοι αὐτὸς τὸ
πνεῦμα τὸ ἑαυτοῦ. ἐτίμησε τὸ πλάσμα τὸ σὸν ἐν δεξιᾷ τοῦ πατρὸς καθίσας, καὶ σὺ τὸ πνεῦμα
αὐτοῦ ἐν τάξει δούλου ἔστησας; ταῦτα ὁ σωτήριος νόμος ὑπαγορεύει, προφῆται φθέγγονται,

ἀπόστολοι θεσπίζουσι, μάρτυρες ὁμολογοῦσιν, εὐσεβεῖς πιστεύουσιν, ἡ ἐκκλησία συντίθεται, ἡ ἀγνωμοσύνη μάχεται, ὁ πιστὸς πεπληροφόρηται, ὁ Χριστὸς δοξάζεται. αὐτῷ γάρ ἐστιν ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις ἅμα τῷ πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΠΕΡΙ ΤΕΛΕΙΑΣ ΑΓΑΠΗΣ, ΚΑΙ ΤΗΣ ΚΑΤ' ΑΞΙΑΝ τῶν ἔργων ἀνταποδόσεως, καὶ περὶ κατανύξεως.

Πᾶσα πρᾶξις ἀγαθὴ, καρπὸς ἀγάπης ἐστί. διὸ καὶ πολὺς περὶ αὐτῆς ὁ λόγος, Ἰωαν. ιγ. λε. τοῦ μὲν Χριστοῦ λέγοντος· Ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους· τοῦ δὲ Παύλου βοῶντος, Ῥωμ. ιγ. η. Μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾷν ἀλλήλους. οὐκ ἁπλῶς εἶπεν, ἀλλ' ὡς ὀφείλοντας ἀλλήλοις. ὡς γὰρ τῷ σώματι τὴν τροφὴν ἀεὶ μὲν ὀφείλομεν αὐτῷ, ἀεὶ δὲ ἀποδίδομεν (πάσῃ γὰρ ἡμῶν τῇ ζωῇ τὸ τοιοῦτον συνεκτείνεται χρέος) οὕτω καὶ ἐπὶ τῆς ἀγάπης διδάσκει ποιεῖν· μᾶλλον δὲ καὶ πολλῷ πλέον, ὅσῳ καὶ πρὸς αἰώνιον ὁδηγεῖ ζωὴν, καὶ συμπαραμένει τοῖς ἔχουσιν αὐτήν. α. Κορ. ιγ. ιγ. Μένει γάρ, φησι, τὰ τρία ταῦτα, πίστις, ἐλπὶς, ἀγάπη· μείζων δὲ τούτων ἡ ἀγάπη. οὐ μόνον δὲ διὰ ῥημάτων, ἀλλὰ καὶ διὰ πραγμάτων διδασκόμεθα ταύτην. καὶ πρῶτον μὲν, διὰ τοῦ τρόπου τῆς ἡμετέρας κατασκευῆς. ἕνα γὰρ πλάσας ὁ Θεὸς ἄνθρωπον, ἐξ αὐτοῦ πάντας προσέταξε γενέσθαι, ἵνα πάντες ἀλλήλους, ὡς ἕνα νομίζωμεν, καὶ ἐν ἀγάπῃ πρὸς ἀλλήλους διάγειν σπουδάζωμεν. ἔπειτα καὶ διὰ τῆς τῶν συναλλαγμάτων ἐπιμιξίας σοφῶς ἡμῖν τὸ φιλάλληλον ἐπραγματεύσατο. καὶ πῶς, ἄκουε. πολλῶν πλήσας τὴν οἰκουμένην ἀγαθῶν, ἔδωκεν ἑκάστῃ χώρᾳ πάλιν ἰδιάζουσαν ἐπιτηδειότητα καρπῶν· ἵνα διὰ τὸ τῆς χρείας ἀναγκαῖον πρὸς ἀλλήλους βαδίζοντες, καὶ τῶν περιττευόντων μεταδιδόντες, καὶ τῶν λειπόντων ἡμῖν ἀντιλαμβάνοντες, ἀγαπῶμεν τὸ ὁμόφυλον. τοῦτο καὶ ἐφ' ἑκάστου πεποίηκεν ἀνθρώπου. οὐ γὰρ πάντα πᾶσιν ἔδωκεν εἰδέναι· ἀλλὰ τῷ μὲν ἰατρικὴν, τῷ δὲ τεκτονικὴν, καὶ ἄλλῳ ἄλλην· ἵνα χρῄζοντες ἀλλήλων, ἀγαπῶμεν ἀλλήλους. καὶ ἐν τοῖς πνευματικοῖς δὲ πάλιν τὸ αὐτὸ γινόμενον ἴδοι τις ἂν, ὥς φησιν α. Κορ. ιβ. η. ὁ Παῦλος· Ὅτι τῷ μὲν δίδοται λόγος σοφίας, τῷ δὲ λόγος γνώσεως, ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ χαρίσματα ἰαμάτων, ἄλλῳ δὲ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν. ἀλλ' οὐδὲν τῆς ἀγάπης ἀνώτερον. διὸ καὶ πάντων αὐτὴν προέθηκεν, α. Κορ. ιγ. α. οὕτως εἰπών· Ἐὰν δὲ ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον· καὶ ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ μυστήρια πάντα, καὶ ἐὰν ἔχω πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. καὶ οὐδὲ μέχρι τούτων ἔστη· ἀλλὰ καὶ τὸν ὑπὲρ εὐσεβείας θάνατον οὐδὲν ἔχειν ἀποφαίνεται κέρδος, μὴ προσούσης ἀγάπης. οὐ μάτην δὲ τοσαῦτα περὶ αὐτῆς εἴρηκεν. ᾔδει γάρ, ᾔδει σαφῶς, ἅτε γεωργὸς τῶν ἐντολῶν τοῦ Θεοῦ, ὅτι ταύτης ἐρριζωμένης ἀσφαλῶς, ὁ τῶν ἀγαθῶν ἁπάντων βλαστάνει καρπός. τὸ γὰρ, οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις, καὶ εἴ τις ἑτέρα ἐντολὴ, ἐν τούτῳ τῷ λόγῳ ἀνακεφαλαιοῦται, ἐν τῷ, ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. καὶ τί χρὴ τὰ μικρὰ λέγειν, τὰ μεγάλα σιωπῶντας; διὰ ἀγάπην κατῆλθε πρὸς ἡμᾶς ὁ ἀγαπητὸς υἱὸς τοῦ Θεοῦ, καὶ ὁμόσκηνος καὶ ὁμοδίαιτος τοῖς ἀνθρώποις γέγονεν· ἵνα τὴν πολύθεον καταλύσας πλάνην, καὶ τὴν ἀληθῆ καταγγείλας θεογνωσίαν, τὴν πρὸς ἀλλήλους ἀγάπην διδάξῃ τοὺς ἀνθρώπους, καθὼς Ἰωάννης μαρτυρεῖ λέγων· Οὕτως ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. (Ἰωαν. γ. ις.) Ὑπὸ ταύτης ἐκκαιόμενος ὁ Παῦλος, τὴν οὐράνιον ἀφῆκε φωνήν· Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ, λέγων; (Ρωμ. η λε.) θλῖψις, ἢ στενοχωρία, ἢ διωγμός, ἢ λιμός, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; καταφρονήσας δὲ τούτων ὡς εὐτελῶν, καὶ τὰ πολλῷ τούτων μείζονα τέθεικε. φησὶ γάρ, ὅτι οὔτε θάνατος, οὔτε ζωή, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. ἐντεῦθεν οὐδὲν ἠδύνατο χωρίσαι τὸν μακάριον ἐκεῖνον ἀπὸ τῆς ἀγάπης πυρπολούμενον, οὐκ οὐρανός, οὐ γῆ, οὐ θάλασσα, οὐ τὰ ἐν τοῖς οὐρανοῖς βασίλεια, οὐ τὰ ἐν ᾅδου κολαστήρια. πάντων γὰρ ὑπερεώρα διὰ τὸν Χριστόν. Εἰ δὲ καὶ τοὺς ἄλλους ἐξετάσαιμεν ἁγίους, πάντας εὑρήσομεν δι' ἀγάπην εὐαρεστήσαντας. ἡ ἀγάπη δεικνυσί σοι τὸν πλησίον ὡς σεαυτόν, καὶ χαίρειν σε διδάσκει ἐπὶ τοῖς ἐκείνου καλοῖς, ὥσπερ ἐπὶ τοῖς σοῖς, καὶ φέρειν αὐτοῦ τὰ ἐλαττώματα, ὥσπερ καὶ τὰ σά. ἡ ἀγάπη ἓν σῶμα τοὺς πολλοὺς ἀπεργάζεται, καὶ πνεύματος ἁγίου δοχεῖα τὰς τούτων κατασκευάζει ψυχάς. οὐ γὰρ διῃρημένοις ἀλλήλων, ἡνωμένοις δὲ κατὰ ψυχήν, τὸ τῆς εἰρήνης ἐπαναπαύσεται πνεῦμα. ἡ ἀγάπη κοινὰ ποιεῖ πᾶσι τὰ ἑκάστου ὑπάρχοντα, καθώς φησιν ἡ βίβλος τῶν πράξεων· (Πραξ. δ. λβ.) Τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία· καὶ οὐδεὶς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά, καὶ διεδίδοτο ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχε. ποῖον οὕτω τεῖχος ἀρραγὲς ἁρμονίᾳ λίθων εὐμεγεθῶν ὠχυρωμένον, ἀπόρθητον ἐστὶ ταῖς τῶν ἐχθρῶν ἐφόδοις, ὡς τὸ σύστημα τῶν ἀλλήλους ἀγαπώντων, καὶ ἐν ὁμοφροσύνῃ περιεσφιγμένων; καὶ αὐτὰς τοῦ διαβόλου προσβολὰς ἀποκρούεται· καὶ μάλα εἰκότως. οἱ γὰρ μετ' ἀλλήλων κατ' ἐκείνου παραταττόμενοι, καὶ μὴ μετ' ἐκείνου κατ' ἀλλήλων ἱστάμενοι, ἀήττητοι γίνονται τοῖς αὐτοῦ μηχανήμασι, τὰ λαμπρὰ τῆς ἀγάπης ἐγείροντες τρόπαια. καὶ καθάπερ αἱ τῆς λύρας νευραί, πολλαὶ μὲν οὖσαι, εἰς μίαν δὲ νεύουσαι συμφωνίαν, τερπνότατόν τι μέλος ἠχοῦσιν· οὕτως οἱ πρὸς μίαν συγκεκραμένοι γνώμην, εὔηχον ἀνακρούονται τῆς ἀγάπης τὸν φθόγγον. διὰ τοῦτο συμβουλεύει ὁ Παῦλος τὸ αὐτὸ φρονεῖν, καὶ λέγειν, καὶ ἀλλήλους ἡγεῖσθαι ὑπερέχοντας ἑαυτῶν· (Φιλιπ. γ. ιε. β. γ.) ὥστε μὴ τῇ φιλοτιμίᾳ διαλύεσθαι τὴν ἀγάπην, ἀλλὰ τὴν τιμὴν παραχωροῦντας ἀλλήλοις ἐν ὁμονοίᾳ διάγειν. καὶ πάλιν φησί· Δι' ἀγάπης δουλεύετε ἀλλήλοις. (Γαλατ. ε. ιγ.) ὁ γὰρ πᾶς νόμος ἐν ἑνὶ λόγῳ πληροῦται, ἐν τῷ, ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. ὁ ἀγαπῶν, οὐκ ἐπιτάττειν βούλεται μόνον, ἀλλὰ καὶ ἐπιτάττεσθαι· καὶ χαίρει μᾶλλον ἐπιταττόμενος, ἤπερ ἐπιτάττων. ὁ ἀγαπῶν, χαρίζεσθαι βούλεται μᾶλλον, ἢ χάριν λαμβάνειν. θέλει γὰρ ὀφειλέτην ἔχειν τὸν φίλον, ἤπερ αὐτὸς ὀφείλειν ἐκείνῳ. ὁ ἀγαπῶν καὶ βούλεται χαρίζεσθαι τῷ ἀγαπωμένῳ, καὶ οὐ βούλεται δοκεῖν χαρίζεσθαι, καὶ ἄρχειν αὐτὸς εὐεργεσίας, καὶ μὴ δοκεῖν ἄρχειν εὐεργεσίας. τάχα τινὲς ἀγνοοῦσι τὸ λεχθέν. οὐκοῦν διὰ ὑποδείγματος αὐτὸ ποιήσω σαφές. ἔμελλεν ὁ φιλάνθρωπος δεσπότης τὸν υἱὸν αὐτοῦ χαρίζεσθαι ὑπὲρ ἡμῶν. ἀλλ' ἵνα μὴ δόξῃ χαρίζεσθαι, ἀλλ' ὀφειλὴν ἀποδιδόναι, προσέταξε τῷ Ἀβραὰμ δοῦναι τὸν υἱὸν αὐτοῦ, ἵνα τοῦτο καὶ αὐτὸς ποιῶν, μὴ ὡς χάριν διδοὺς, ἀλλ' ὡς χρέος ἀποδιδοὺς εὑρεθῇ διὰ τὸν ὑπερβάλλοντα πλοῦτον τῆς αὐτοῦ ἀγαθότητος. οἶδα ὅτι ξένον φαίνεται τοῖς πολλοῖς τὸ λεχθέν. τὸ δὲ αἴτιον, ὅτι περὶ πράγματος διαλέγομαι τὸν οὐρανὸν οἰκοῦντος νῦν. ὥσπερ γὰρ εἰ ἔλεγον περί τινος φυτοῦ ἐν Ἰνδίᾳ τικτομένου, καὶ οὐ μηδεὶς πεῖραν ἔλαβεν, οὐκ ἂν ἴσχυσεν ὁ λόγος παραστῆσαι, κἂν μυρία περὶ αὐτοῦ ἔλεγον· οὕτω καὶ νῦν, ὅσα ἂν εἴπω, μάτην ἐρῶ. οὐ γὰρ γνωρίζουσί τινες τὰ λεγόμενα. ἐν οὐρανῷ γάρ, ὡς ἔφην, τοῦτο πεφύτευται τὸ φυτόν.

τόν. ἀλλ' ἐὰν θέλωμεν, καὶ παρ' ἡμῖν αὐτὸ φυτευθῆναι δυνατόν. διὰ τοῦτο γὰρ ἐδιδάχθημεν λέγειν πρὸς τὸν ἐν οὐρανοῖς πατέρα, Γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. μὴ τοίνυν ἀδύνατον εἶναι νομίσωμεν τὸ τοιοῦτον ἀγαθὸν κτήσασθαι. δυνατὸν γὰρ, ὄντως δυνατὸν, εἴγε βουλόμεθα νήφειν· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ πᾶσαν κατορθῶσαι τὴν ἀρετήν. αὐτεξουσίῳ γὰρ προαιρέσει κυβερνώμεθα, καὶ οὐχ εἱμαρμένης ἀνάγκῃ κατά τινας ὑποκείμεθα, ἐν τῷ θέλειν καὶ μὴ θέλειν ὁριζόμενοι καὶ τὰ καλὰ κεῖσθαι καὶ τὰ κακά. διὰ τοῦτο γὰρ ὁ Θεὸς καὶ βασιλείαν ὑπέσχετο, καὶ τιμωρίαν ἠπείλησεν. οὐκ ἂν δὲ τοῖς ἀνάγκῃ δεδεμένοις οὕτως ἐποίησε. τῶν γὰρ ἀπὸ γνώμης γινομένων ἀντίδοσίς ἐστιν ἑκατέρων. οὐκ ἂν νόμους ἔθηκεν, οὐκ ἂν παραινέσεις ἔδωκεν, εἰ δεσμοῖς εἱμαρμένης κεκρατημένοι ἦμεν. ἀλλ' ἐπειδὴ ἐλεύθεροί ἐσμεν, καὶ τῆς ἰδίας προαιρέσεως κύριοι, καὶ ἀπὸ μὲν ῥαθυμίας γινόμεθα φαῦλοι, ἀπὸ δὲ σπουδῆς χρηστοὶ, διὰ τοῦτο ταῦτα κατεσκεύασε τὰ φάρμακα, τῷ φόβῳ τῆς κολάσεως, καὶ τῇ προσδοκίᾳ τῆς βασιλείας διορθούμενος ἡμᾶς, καὶ φιλοσοφεῖν παιδεύων. οὐκ ἐκ τούτων δὲ μόνον, ἀλλὰ καὶ ἐξ ὧν ἡμεῖς αὐτοὶ ποιοῦμεν, δῆλον ὅτι οὔτε εἱμαρμένη, οὔτε τύχη, οὔτε γένεσις, οὔτε δρόμος ἑτέρων τὰ καθ' ἡμᾶς διοικεῖ. εἰ γὰρ ἐκεῖθεν ἤρτηται τὰ γινόμενα πάντα, καὶ οὐ τῆς προαιρέσεως τῶν ἀνθρώπων, τίνος ἕνεκεν μαστίζεις τὸν οἰκέτην κεκλοφότα; τίνος ἕνεκεν μοιχευθεῖσαν τὴν γυναῖκα εἰς δικαστήριον ἕλκεις; τίνος ἕνεκεν αἰσχύνῃ πράττων τὰ ἄτοπα; τίνος ἕνεκεν οὐδὲ τὰ ῥήματα φέρεις ὀνειδιζόμενος· ἀλλ' ἐάν τίς σε καλέσῃ μοιχὸν, ἢ πόρνον, ἢ μέθυσον, ἤ τι τοιοῦτον, ὕβριν τὸ πρᾶγμα καλεῖς; εἰ γὰρ μὴ τῆς σῆς γνώμης τὸ ἁμαρτάνειν, οὔτε ἔγκλημα τὸ γινόμενον, οὔτε ὕβρις τὸ λεγόμενον. νῦν δὲ καὶ δι' ὧν τοῖς ἁμαρτάνουσιν οὐ συγγινώσκεις, καὶ δι' ὧν αὐτὸς αἰσχύνῃ τὰ κακὰ πράττων, καὶ λανθάνειν σπουδάζεις, καὶ δι' ὧν τοὺς ταῦτά σοι προσφέροντας ὑβριστὰς νομίζεις, διὰ πάντων ὁμολογεῖς, ὅτι οὐκ ἀνάγκῃ δέδεται τὰ ἡμέτερα, ἀλλὰ προαιρέσεως ἐλευθερίᾳ τετίμηται. τοῖς γοῦν ἀνάγκῃ κατεχομένοις συγγινώσκειν οἴδαμεν. κἂν ὑπὸ δαίμονός τις ὀχλούμενος, ἢ τὸν χιτῶνα διαρρήξῃ τὸν ἡμέτερον, ἢ πληγὰς ἐπενέγκῃ, οὐ μόνον οὐ κολάζομεν αὐτὸν, ἀλλὰ καὶ ἐλεοῦμεν καὶ συγγινώσκομεν. τί δήποτε; ὅτι οὐχ ἡ τῆς προαιρέσεως ἐλευθερία, ἀλλ' ἡ τοῦ δαίμονος βία ταῦτα εἰργάσατο. ὥστε εἰ καὶ τὰ ἄλλα ἁμαρτήματα ἀπὸ τῆς ἀνάγκης τῆς κατὰ τὴν εἱμαρμένην ἐγίνετο, συνέγνωμεν ἄν· ἐπειδὴ δὲ ἴσμεν ὅτι οὐκ ἔστιν ἀνάγκης, διὰ τοῦτο οὐ συγγινώσκομεν, οὔτε δεσπόται οἰκέταις, οὔτε ἄνδρες γυναιξὶν, οὔτε γυναῖκες ἀνδράσιν, οὔτε πατέρες παισὶν, οὔτε διδάσκαλοι μαθηταῖς, οὔτε ἄρχοντες ἀρχομένοις· ἀλλὰ πικροὶ τῶν τετολμημένων ἐξετασταὶ καὶ τιμωροὶ γινόμεθα, καὶ δικαστήρια καταλαμβάνομεν, καὶ πληγαῖς ὑποβάλλομεν, καὶ ἐπιτιμήσεσι χρώμεθα, καὶ πάντα πράττομεν, ὅπως ἀπαλλάξωμεν αὐτοὺς τῆς κακίας. τοῖς δὲ παισὶ τοῖς ἡμετέροις καὶ παιδαγωγοὺς ἐφιστῶμεν, καὶ εἰς διδασκάλους πέμπομεν, καὶ ἀπειλὰς προστίθεμεν, καὶ μάστιγας ἐπιτίθεμεν, καὶ πολλὰ ἕτερα βοηθήματα προσάγομεν, ἵνα καλοὶ γένωνται. τίς οὖν χρεία πόνων καὶ ἱδρώτων πρὸς τὸ κατορθοῦν ἀρετήν; εἰ γὰρ εἵμαρταί τινι γενέσθαι καλὸν, καὶ καθεύδων ὁ τοιοῦτος καὶ ῥέγχων ἔσται καλός· μᾶλλον δὲ οὐδὲ καλὸν τὸν τοιοῦτόν ἐστιν εἰπεῖν, τὸν ἐξ ἀνάγκης τοῦτο γινόμενον. τίς χρεία πόνων καὶ ἱδρώτων πρὸς τὸ φυγεῖν κακίαν; εἰ γὰρ εἵμαρταί τινι γενέσθαι κακὸν, κἂν μυρία ταλαιπωρῇ, κακὸς ἔσται· μᾶλλον δὲ οὐδὲ κακὸν τὸν τοιοῦτόν ἐστιν εἰπεῖν, τὸν ὑπὸ ἀνάγκης πρὸς τοῦτο ὠθούμενον. ὥσπερ γὰρ τὸν δαιμονῶντα, κἂν λοιδορῇ, κἂν τύπτῃ (πάλιν γὰρ τῷ αὐτῷ κέχρημαι παραδείγματι) οὐ προσαγορεύομεν ὑβριστὴν (οὐ γὰρ αὐτῷ λογιζόμεθα τὴν λοιδορίαν, ἀλλὰ τῇ ἀνάγκῃ τοῦ δαίμονος) οὕτω καὶ τὸν κακὸν, εἰ ὑπὸ τῆς εἱμαρμένης ὠθεῖται πρὸς τοῦτο, μὴ καλῶμεν αὐτὸν κακὸν, ὥσπερ οὐδὲ τὸν καλὸν, καλόν. καὶ γὰρ εἰ τοῦτο δοθείη, πάντα συγχυθήσεται τὰ καθ' ἡμᾶς, καὶ οὔτε ἀρετὴ ἔσται τι, οὔτε κακία, οὐ τέχναι, οὐ νόμοι, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. τίνος δὲ ἕνεκεν σπουδὴν πολλὴν ποιούμεθα νοσοῦντες, καὶ χρήματα δαπανῶμεν, καὶ ἰατροὺς καλοῦμεν,

ἰσ. ἀστέρων

καλοῦμεν, καὶ φάρμακα ἐπιτίθεμεν, καὶ γαστρὸς κατέχομεν, καὶ ἐπιθυμίαν κολάζομεν; Εἰ γὰρ τῆς εἱμαρμένης ἤρτηται καὶ ὑγίεια καὶ νόσος, περιττὰ τῶν χρημάτων τὰ ἀναλώματα, περιττὴ τῶν ἰατρῶν ἡ εἴσοδος, περιττὴ τῆς τῶν νοσούντων διαίτης ἡ ἀκρίβεια. νυνὶ δὲ μετὰ τῶν ἄλλων καὶ ἐκ τούτων δηλοῦμεν, ὅτι οὐδὲν αὐτῶν περιττόν ἐστιν. ἀλλ' οἴχεται μὲν ὁ τῆς εἱμαρμένης μῦθος (οὐδεμιᾷ γὰρ ἀνάγκῃ τὰ καθ' ἡμᾶς ὑπόκειται) πάντα δὲ, καθὼς ἔφην, ἐλευθερίᾳ τετίμηται προαιρέσεως.

Ταῦτ' οὖν εἰδότες, ἀγαπητοὶ, καὶ τὰ τούτων πλείονα (πολλὰ γάρ ἐστι καὶ ἄλλα περὶ τούτων εἰπεῖν· ἀλλὰ τοῖς συνετωτέροις ἀρκεῖ ταῦτα) φύγωμεν κακίαν, ἑλώμεθα ἀρετὴν, ἵνα δείξωμεν διὰ τῶν πραγμάτων, ὅτι αὐτεξούσιον ἔχομεν πρὸς τὰ δοκοῦντα τὴν γνώμην· ἵνα μὴ καταισχυνθῶμεν ἐν τῇ ἡμέρᾳ τῆς τῶν ἔργων ἀποκαλύψεως. Τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, καθώς φησιν ὁ Παῦλος, ἵνα κομίσηται ἕκαστος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν. λάβωμεν, παρακαλῶ, κατὰ νοῦν ἐκεῖνο τὸ δικαστήριον, καὶ νομίσωμεν αὐτὸ παρεῖναι νῦν, καὶ τὸν κριτὴν καθέζεσθαι, καὶ τὰ πάντα ἀνακαλύπτεσθαι καὶ εἰς μέσον ἄγεσθαι. οὐ γὰρ ἁπλῶς παραστῆναι δεῖ, ἀλλὰ καὶ φανερωθῆναι ἡμᾶς. ἆρα οὐκ ἠρυθριάσατε; ἆρα οὐκ ἐφρίξατε; ἆρα οὐχ αἱρούμεθα πολλάκις ἀποθανεῖν, ἢ ἐπὶ φίλων αἰδεσίμων πταῖσμα κρυπτὸν ἡμῶν φανερωθῆναι; πῶς οὖν τότε διακεισόμεθα, ἐπὶ πάντων ἀγγέλων καὶ πάντων ἀνθρώπων φανερουμένων τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ πρὸ τῶν ὀφθαλμῶν ἡμῶν ἱσταμένων; Ἐλέγξω σε γάρ, φησι, καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου. Εἰ δὲ μήπω τοῦ πράγματος παρόντος, ἀλλὰ καθ' ὑπόθεσιν δοθέντος, καὶ λόγῳ διαγραφέντος, ἀπολλύμεθα ὑπὸ τοῦ συνειδότος, τί ποιήσομεν ὅταν παραγένηται, ὅταν ἡ οἰκουμένη πᾶσα παρῇ, ὅταν ἄγγελοι καὶ ἀρχάγγελοι, ὅταν ἀρχαὶ καὶ ἐξουσίαι, ὅταν σάλπιγγες ἠχῶσιν αἱ συνεχεῖς καὶ ἐπάλληλοι, καὶ ἁρπαγὴ τῶν δικαίων ἐπὶ νεφελῶν, καὶ πολὺς τῶν ἡμαρτηκότων ὁ κλαυθμός; ποῖος ἄρα φόβος ἕξει τότε τοὺς ἐπὶ τῆς γῆς ἀπομένοντας; Μία γάρ, φησιν, ἁρπάζεται, καὶ μία ἀφίεται· καὶ εἷς παραλαμβάνεται, καὶ εἷς καταλιμπάνεται. πῶς ἔσται ἡ ψυχὴ ἐκείνων, ὅταν τοὺς μὲν ὁρῶσιν ἀπαγομένους μετὰ τιμῆς μεγάλης, ἑαυτοὺς δὲ ἀφιεμένους μετὰ πολλῆς αἰσχύνης; οὐκ ἔστιν, οὐκ ἔστι, πιστεύσατε, παραστῆσαι λόγῳ τὸ πάθος. εἴδετέ ποτε τοὺς ἀπαγομένους τοὺς ἐπὶ θανάτῳ; ποίαν αὐτοὺς νομίζετε ἔχειν τὴν ψυχὴν τὴν μέχρι τῆς πύλης ὁδὸν βαδίζουσι; τί οὐκ ἂν εἵλοντο καὶ ποιῆσαι καὶ παθεῖν, ὥστε ἀπαλλαγῆναι τῆς ἀχλύος ἐκείνης; ἐγὼ πολλῶν ἤκουσα λεγόντων τῶν φιλανθρωπίᾳ βασιλικῇ μετὰ τὴν ἀπαγωγὴν εἰς τοὐπίσω ἀνακληθέντων, ὅτι οὐδὲ ἀνθρώπους ἑώρων τοὺς ἀνθρώπους, τεθορυβημένης τῆς ψυχῆς καὶ ἐκπεπληγμένης. καὶ τί λέγω περὶ τῶν ἀπαγομένων; ὄχλος περιέστηκε τότε, καὶ οἱ πλείους οὐκ εἰδότες αὐτούς. εἴ τις ἑνὸς τότε ἑκάστου τὴν ψυχὴν περιεσκόπησεν, οὐδένα οὕτως ὠμὸν, οὐδένα οὕτω θρασὺν, οὐδένα οὕτω γενναῖον, ὃν οὐ καταπεπτωκυῖαν αὐτὴν ἔχοντα εὗρε καὶ παρειμένην ὑπὸ τοῦ φόβου καὶ τῆς ἀθυμίας. Εἰ δὲ ἑτέρων ἀναιρουμένων, οἱ μηδὲν αὐτοῖς κοινωνοῦντες οὕτω διατίθενται, ὅταν ἡμεῖς αὐτοὶ τοῖς μείζοσι περιπέσωμεν, τίνες ἄρα ἐσόμεθα, τῆς μὲν ἀρρήτου χαρᾶς ἐκείνης ἀποπεμπόμενοι, εἰς αἰωνίαν δὲ τιμωρίαν παραπεμπόμενοι; εἰ γὰρ καὶ γέεννα μὴ ἦν, τὸ ἐκ τοσαύτης λαμπρότητος ἀπωσθῆναι, καὶ ἄτιμον ἀναχωρῆσαι, πόση κόλασις; καὶ γὰρ εἰ νῦν, βασιλέως εἰσελαύνοντος, θεωροῦντες πολλοὶ, καὶ τὴν ἑαυτῶν πενίαν ἐννοοῦντες, οὐ τοσαύτην ἀπὸ τῆς θέας λαμβάνουσιν ἡδονὴν, ὅσην ἀπὸ τοῦ μηδενὸς μετέχειν τῶν περὶ τὸν βασιλέα, μηδὲ ἐγγὺς εἶναι τοῦ κρατοῦντος, ἀθυμίαν ὑπομένουσι, τί ποτε ἔσται; ἢ μικρὰν εἶναι νομίζετε κόλασιν τὸ μὴ κατατάττεσθαι ἐν ἐκείνῳ τῷ χορῷ; τὸ μὴ καταξιοῦσθαι τῆς ἀπορρήτου δόξης; τὸ τῆς πανηγύρεως ἐκείνης καὶ τῶν ἀφράστων ἀγαθῶν πόρρω που καὶ μακρὰν ἀπερρῖφθαι; ὅταν δὲ καὶ σκότος ᾖ, καὶ βρυγμὸς ὀδόντων, καὶ δε-

β. Κορ. ε. ι.

Ψαλ. μθ. κβ.

Ματθ. κδ. μ.

σματα ἄλυτα, καὶ σκώληξ ἀτελεύτητος, καὶ πῦρ ἄσβεστον, καὶ θλῖψις καὶ στενοχωρία, καὶ γλῶσσαι
τηγανιζόμεναι, καθάπερ ἡ τοῦ πλουσίου, καὶ ὀλοφυρώμεθα, καὶ μηδεὶς ἀκούῃ, καὶ στένωμεν, καὶ
βρύχωμεν ὑπὸ τῶν ἀλγηδόνων, καὶ μηδεὶς προσέχῃ, καὶ πανταχοῦ βλέπωμεν, καὶ μηδαμοῦ
μηδεὶς ὁ παραμυθούμενος ᾖ, ποῦ τάξομεν τοὺς ἐν τούτοις ὄντας; τί δὲ ἐκείνων ἀθλιώτεραι τῶν
ψυχῶν, τί δὲ ἐλεεινότεραι; Εἰ δὲ εἰς δεσμωτήριον εἰσιόντες, καὶ τοὺς μὲν αὐχμῶντας ὁρῶντες,
τοὺς δὲ σιδηραῖς ἁλύσεσι δεδεμένους, τοὺς δὲ σκότῳ κατακεκλεισμένους, κατακλώμεθα, φρίττομεν,
πάντα πράττομεν ὑπὲρ τοῦ μὴ ἐμπεσεῖν εἰς τοιαύτην ἀνάγκην καὶ θλῖψιν· ὅταν
ἀπαγώμεθα εἰς αὐτὰ τὰ τῆς γεέννης βασανιστήρια δεδεμένοι, τίνες ἐσόμεθα; τί δὲ πράξομεν;
οὐ γὰρ ἐκ σιδήρου τὰ δεσμὰ ἐκεῖνα, ἀλλ᾽ ἀπὸ πυρός εἰσιν οὐδέποτε σβεννυμένου, οὐδὲ ὁμότιμοί τινες οἱ ἐφεστῶτες ἡμῖν, οὓς καὶ ἐκμειλίξασθαι πολλάκις ἔνι, ἀλλ᾽ ἄγγελοι φοβεροὶ καὶ
ἀσυμπαθεῖς, οἷς οὐδὲ ἀντιβλέψαι δυνατόν, σφοδρῶς ὑπὲρ ὧν τὸν δεσπότην ὑβρίσαμεν
ὀργιζόμενοι. Οὐκ ἔστι, καθάπερ ἐνταῦθα, τοὺς μὲν ἀργύριον, τοὺς δὲ τροφάς, τοὺς δὲ λόγους
εἰσάγοντας παρακλητικοὺς ἰδεῖν, καὶ παραμυθίας τυχεῖν· ἀλλὰ πάντα ἐκεῖ ἀσύγγνωστα.
κἂν Νῶε ᾖ, κἂν Ἰὼβ, κἂν Δανιήλ, καὶ τοὺς οἰκείους ἴδωσι κολαζομένους, οὐ τολμῶσι παραστῆναι καὶ χεῖρα ὀρέξαι. καὶ γὰρ τὴν ἐκ φύσεως συμπάθειαν ἀναιρεῖσθαι τότε συμβαίνει. ἐπειδὴ
γὰρ εὑρίσκονται δίκαιοι τέκνων ἁμαρτωλῶν πατέρες, καὶ παῖδες ἀγαθοὶ γονέων πονηρῶν (οὐ γὰρ
φύσεώς ἐστιν, ἀλλὰ γνώμης τὰ κακά) ὥστε καθαρὰν αὐτοῖς εἶναι τὴν εὐφροσύνην, καὶ μὴ τῇ
τῆς συμπαθείας ἀνάγκῃ κατακλᾶσθαι τοὺς ἀπολαύοντας τῶν ἀγαθῶν ἐκείνων, καὶ ταύτην
σβέννυσθαι τότε ἐστί, καὶ αὐτοὺς συναγανακτεῖν τῷ δεσπότῃ κατὰ τῶν οἰκείων σπλάγχνων. Εἰ
γὰρ καὶ νῦν τινες, ὅταν ἴδωσι φαύλους τοὺς αὐτῶν παῖδας, ἀποκηρύττουσι, καὶ τῆς συγγενείας ἀποτέμνουσι, πολλῷ μᾶλλον ἐν τῇ κρίσει τοῦτο γενήσεται. τοιγαροῦν μηδεὶς ἐλπιζέτω,
β Κορ. ε ι. χρηστὰ μὴ ἐργασάμενος, τι χρηστόν, κἂν μυρίους ἔχῃ προγόνους δικαίους. Ἕκαστος γὰρ κομίσεται, φησι, τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθόν, εἴτε κακόν. ἀκούσωμεν,
παρακαλῶ, καὶ σωφρονισθῶμεν. ἂν πῦρ ἔχῃς ἐπιθυμίας πονηρᾶς, ἐννόησον τῆς κολάσεως ἐκείνης τὸ πῦρ, καὶ τοῦτο κατασβεσθὲν οἰχήσεται. ἂν βουληθῇς φθέγξασθαί τι τῶν ἀτόπων, ἐννόησον τὸν βρυγμὸν τῶν ὀδόντων, καὶ χαλινὸς ἔσται σοι ὁ φόβος. ἂν ἁρπάσαι θελήσῃς, ἄκουσον
Ματθ. κβ. ιγ. τοῦ δικάζοντος λέγοντος· Δήσατε αὐτοῦ χεῖρας καὶ πόδας, καὶ βάλετε αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον, καὶ ταύτην ἐκβαλεῖς τὴν ἐπιθυμίαν. ἂν ὠμὸς καὶ ἀνελεήμων ᾖς, ἀναμνήσθητι τῶν
παρθένων ἐκείνων, αἳ, τῶν λαμπάδων αὐτῶν σβεσθεισῶν διὰ τὸ μὴ ἔχειν ἔλαιον, τοῦ νυμφῶνος
ἐξέπεσον, καὶ ταχέως ἔσῃ φιλάνθρωπος. ἂν μεθύειν καὶ τρυφᾶν ἐπιθυμῇς, ἄκουσον τοῦ πλου-
Λουκ. ις. κδ. σίου λέγοντος, Πέμψον Λάζαρον, ἵνα ἄκρῳ τῷ δακτύλῳ καταψύξῃ τὴν τηγανιζομένην
γλῶσσάν μου, καὶ οὐ τυγχάνοντος τῆς αἰτήσεως, καὶ ταχέως ἀποστήσῃ τοῦ πάθους· καὶ τὰ ἄλλα πάντα δὲ τούτῳ κατορθώσεις τῷ τρόπῳ. οὐδὲν γὰρ φορτικὸν ἐπέταξεν ὁ Θεός. πόθεν οὖν φορτικὰ
φαίνεται τὰ ἐπιτάγματα; ἀπὸ τῆς ῥαθυμίας τῆς ἡμετέρας. ὥσπερ γὰρ, ἐὰν σπουδάζωμεν,
καὶ τὰ δοκοῦντα βαρέα κοῦφα ἔσται καὶ ῥᾴδια, οὕτως ἐὰν ῥαθυμῶμεν, καὶ τὰ φορητὰ φανεῖται
δύσκολα ἡμῖν. ἅπερ ἅπαντα λογισάμενοι, μὴ τοὺς τρυφῶντας μακαρίζωμεν, ἀλλὰ τὸ
τέλος αὐτῶν ἐννοῶμεν (ἐνταῦθα μὲν γὰρ κόπρος καὶ πολυσαρκία, ἐκεῖ δὲ σκώληξ καὶ πῦρ)
μὴ τοὺς ἁρπάζοντας, ἀλλὰ τί τὸ τέλος αὐτῶν (ἐνταῦθα φροντίδες καὶ πόνοι, ἐκεῖ δεσμὰ ἄλυτα καὶ σκότος ἐξώτερον) μὴ τοὺς δόξης ἐρῶντας, ἀλλὰ τί; τὸ τέλος αὐτῶν. ἐνταῦθα δουλεία καὶ εἰρωνεία, ἐκεῖ ζημία πολλὴ καὶ τὸ διηνεκὲς ἐμπυρίζεσθαι. ἂν οὕτως ἑαυτοῖς διαλεγώμεθα, καὶ ταῦτα καὶ τὰ τοιαῦτα συνεχῶς ἐπᾴδωμεν ταῖς πονηραῖς ἡμῶν ἐπιθυμίαις, ταχέως
καὶ κακίαν ἐκφευξόμεθα, καὶ ἀρετὴν κατορθώσομεν, καὶ τὸν τῶν παρόντων ἔρωτα σβέσομεν, καὶ
τὸν τῶν μελλόντων ἀνάψομεν. τί γὰρ ἔχει τὰ παρόντα βέβαιον, ἢ τί ξένον καὶ παράδοξον, ὅτι πᾶσαν
τὴν σπουδὴν εἰς αὐτὰ ἀναλίσκομεν; οὐχὶ τὰ αὐτὰ διαπαντὸς ὁρῶμεν ἀνακυκλούμενα,

οἷον ἡμέρα καὶ νύξ, νὺξ καὶ ἡμέρα, χειμὼν καὶ θέρος, θέρος καὶ χειμών, καὶ πλέον οὐδέν; ἀνάψωμεν τοίνυν τῶν μελλόντων ἀγαθῶν τὸν πόθον. μεγάλη γὰρ ἀπόκειται δόξα τοῖς δικαίοις, καὶ ἣν οὐκ ἔνι παραστῆσαι λόγῳ. τὰ γὰρ σώματα μετὰ τὴν ἀνάστασιν ἀπολαβόντες ἄφθαρτα, συνδοξάζονται καὶ συμβασιλεύουσι τῷ Χριστῷ. τοῦτο δὲ ἡλίκον ἐστὶν, ἐντεῦθεν εἰσόμεθα. μᾶλλον δὲ σαφῶς μὲν οὐδαμόθεν εἰσόμεθα· ὥστε δὲ ἀπὸ τῶν παρ' ἡμῖν ἀγαθῶν ἀναχθέντες, μικρὰν γοῦν τινα λάβωμεν ἔννοιαν, ὡς ἂν οἷόν τε ᾖ, παραστῆσαι πειρασόμεθα τὸ λεχθέν. εἰπὲ γάρ μοι, εἴ τίς σε γεγηρακότα, καὶ ἐν πενίᾳ ζῶντα ἐπηγγέλλετο ποιήσειν ἐξαίφνης νέον, καὶ εἰς αὐτὴν ἄξειν τῆς ἡλικίας τὴν ἀκμὴν, καὶ σφόδρα ἰσχυρὸν καὶ ὡραῖον ὑπὲρ πάντας κατασκευάσειν, καὶ βασιλείαν δώσειν τῆς γῆς ἁπάσης ἐπὶ ἔτεσι χιλίοις, βασιλείαν εἰρήνην ἔχουσαν βαθυτάτην, τί οὐκ ἂν ὑπὲρ ταύτης εἵλου τῆς ὑποσχέσεως καὶ ποιῆσαι καὶ παθεῖν; ἰδοὺ τοίνυν ὁ Χριστὸς οὐχὶ ταῦτα, ἀλλὰ πολλῷ μείζονα τούτων ἐπαγγέλλεται. οὐ γὰρ ὅσον γήρως καὶ νεότητος τὸ μέσον, τοσοῦτον φθορᾶς καὶ ἀφθαρσίας τὸ διάφορον· οὐδὲ ὅσον βασιλείας καὶ πενίας, τοσοῦτον τῆς δόξης τῆς παρούσης καὶ τῆς μελλούσης, ἀλλ' ὅσον ὀνειράτων καὶ ἀληθείας· μᾶλλον δὲ οὐδὲν οὐδέπω εἴρηκα. οὐδὲ γάρ ἐστι λόγος ἱκανὸς παραστῆσαι τὸ μέγεθος τῆς διαφορᾶς τῶν ἐσομένων πρὸς τὰ παρόντα. χρόνου δὲ ἕνεκεν, οὐδὲ ἐννοῆσαι ὅλως ἐστὶ διαφοράν. πῶς γὰρ ἄν τις παραβάλοι τοῖς παροῦσι ζωὴν πέρας οὐκ ἔχουσαν; τῆς δὲ εἰρήνης τοσοῦτο τὸ μέσον, ὅσον εἰρήνης καὶ πολέμου τὸ διάφορον· καὶ τῆς φθορᾶς καὶ τῆς ἀφθαρσίας, ὅσον βώλου πηλίνης ὁ καθαρὸς μαργαρίτης ἀμείνων· μᾶλλον δὲ, ὅσα ἂν εἴπῃ τις, οὐδὲν παραστῆσαι δυνήσεται. κἂν γὰρ τὸ τῆς ἀκτῖνος παραβάλω φωτὶ τὸ κάλλος τῶν τότε σωμάτων, κἂν ἀστραπῇ τῇ φανοτάτῃ, οὐδὲν οὐδέπω τῆς λαμπρότητος ἐκείνης ἄξιον ἐρῶ. ὑπὲρ δὴ τούτων πόσα οὐκ ἄξιον προέσθαι χρήματα καὶ σώματα; μᾶλλον δὲ πόσας οὐκ ἄξιον προέσθαι ψυχάς; νῦν δὲ εἰ μέν τίς σε εἰς βασίλεια εἰσήγαγε, καὶ πάντων παρόντων διαλεχθῆναί σοι τὸν βασιλέα παρεσκεύασε, καὶ ὁμοτράπεζον αὐτῷ καὶ ὁμοδίαιτον ἐποίησε, πάντων ἂν ἔφης σαυτὸν εἶναι μακαριώτερον· εἰς δὲ τὸν οὐρανὸν μέλλων ἀναβῆναι, καὶ παρ' αὐτὸν ἑστάναι τὸν βασιλέα τῶν ὅλων, καὶ τοῖς ἀγγέλοις ἀντιλάμπειν, καὶ τῆς ἀπορρήτου δόξης ἀπολαύειν ἐκείνης, ἀμφιβάλλοις, εἰ δέοι προέσθαι χρήματα; δέον, εἰ καὶ τὴν ζωὴν αὐτὴν ἀποδύσασθαι ἔδει, σκιρτᾷν καὶ ἀγάλλεσθαι καὶ πτεροῦσθαι ὑπὸ τῆς ἡδονῆς. σὺ δὲ, ἵνα μὴ ἀρχὴν λάβῃς τὴν παρέχουσάν σοι κλοπῶν ἀφορμὰς (οὐ γὰρ κέρδος τὸ τοιοῦτον ἐγὼ καλῶ) καὶ τὰ ὄντα ἐκβάλλεις, καὶ τὰ ἑτέρων δανεισάμενος, εἰ δέοι, καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα ὑποθέσθαι οὐ κατοκνεῖς· τῆς δὲ βασιλείας τῶν οὐρανῶν προκειμένης, τῆς οὐδένα διάδοχον ἐχούσης ἀρχῆς, ὀκνεῖς καὶ ἀναδύῃ καὶ πρὸς χρήματα κέχηνας; καὶ οὐκ ἐννοεῖς, ὅτι εἰ τὰ πρὸς ἡμᾶς τοῦ οὐρανοῦ μέρη οὕτω καλὰ καὶ τερπνὰ, ἡλίκα τὰ ἀνώτατα, καὶ ὁ τοῦ οὐρανοῦ οὐρανός; ἀλλ' ἐπειδὴ σωματικοῖς ὀφθαλμοῖς ταῦτα ἰδεῖν οὐκ ἔστιν, ἀνάβηθι τῷ λογισμῷ, καὶ ὑπὲρ τὸν οὐρανὸν τοῦτον στὰς, ἀνάβλεψον εἰς ἐκεῖνον τὸν ἀνωτέρω τούτου οὐρανὸν, εἰς τὸ ὕψος τὸ ἄπειρον, εἰς τὸ φῶς τὸ ἀπρόσιτον, εἰς τοὺς δήμους τῶν ἀγγέλων, εἰς τὰς τάξεις τῶν ἀρχαγγέλων, εἰς τὰς ἄλλας δυνάμεις τὰς ἀσωμάτους. καὶ πάλιν ἐπιλαβοῦ τῆς παρ' ἡμῖν εἰκόνος καταβὰς ἄνωθεν, καὶ ὑπόγραψόν μοι τὰ περὶ τὸν βασιλέα τὸν ἐπὶ γῆς, οἷον, ἄνδρας χρυσοφοροῦντας, καὶ ζεύγη λευκῶν ἡμιόνων χρυσῷ καλλωπιζομένων, καὶ ὄχημα λιθοκόλλητον, καὶ πέταλα τούτῳ περισειόμενα, καὶ δράκοντας ἐν ἱματίοις σχηματιζομένους σηρικοῖς, καὶ ἀσπίδας χρυσοῦς ἐχούσας ὀφθαλμοὺς, καὶ ἵππους χρυσοφοροῦντας, καὶ χαλινοὺς χρυσοῦς. ἀλλ' ὅταν τὸν βασιλέα ἴδωμεν, οὐδὲν τούτων ὁρῶμεν λοιπόν. ἐκεῖνος γὰρ ἡμᾶς ἐπιστρέφει μόνος, καὶ τὰ πορφυρᾶ ἱμάτια, καὶ τὸ διάδημα, καὶ ἡ καθέδρα, καὶ ἡ περόνη, καὶ τὰ ὑποδήματα, καὶ ἡ τῆς ὄψεως λαμπηδών. ταῦτα οὖν ἅπαντα συναγαγὼν ἀκριβῶς, ἀπὸ τούτων μετάθες πάλιν ἐπὶ τὰ ἄνω τὸν λογισμὸν, καὶ τὴν ἡμέραν ἐννόησον τὴν φοβερὰν, καθ' ἣν ὁ Χριστὸς παραγίνεται. οὐ γὰρ ζεύγη ἡμιόνων ὄψει τότε, οὐδὲ ὀχήματα χρυσᾶ, οὐδὲ δράκοντας καὶ ἀσπίδας· ἀλλ' ὁ πολλῆς γέμει φρίκης, καὶ τοσαύτην ἐμποιεῖ τὴν ἔκστασιν, ὡς καὶ αὐτὰς ἐκπλαγῆναι τὰς οὐρανίους δυνάμεις. Ματθ. κδ´ κθ. Αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν, φησὶ, σαλευθήσονται. τότε ἀνοίγεται μὲν ἅπας ὁ οὐρανός· κάτεισι δὲ ὁ μονογενὴς τοῦ Θεοῦ υἱός, οὐκ εἴκοσι, οὐδὲ ἑκατὸν δορυφορούντων αὐτὸν, ἀλλὰ χιλιάδων καὶ μυριάδων ἀγγέλων τε καὶ ἀρχαγγέλων· καὶ πάντα ἔσται φόβου καὶ τρόμου μεστά, τῆς γῆς ἀναῤῥηγνυμένης, καὶ τῶν πώποτε γενομένων ἀνθρώπων, ἐξ οὗ γέγονεν ὁ Ἀδὰμ μέχρι τῆς ἡμέρας ἐκείνης, ἀπὸ γῆς ἀνισταμένων, καὶ ἁρπαζομένων, αὐτοῦ μετὰ τοσαύτης φαινομένου δόξης, ὥστε τὸν ἥλιον καὶ τὴν σελήνην ἁπλῶς κρύψαι τὸ φῶς, ὑπὸ τῆς αὐγῆς ἐκείνης ὑπερλαμπόμενον. ἀλλ' οἴμοι τῆς πολλῆς ἀναισθησίας, ὅτι, τοιούτων προσδοκωμένων ἀγαθῶν, ἔτι πρὸς τὰ παρόντα κεχήναμεν, καὶ οὐκ ἐννοοῦμεν τοῦ διαβόλου τὴν κακουργίαν, ὃς διὰ τῶν μικρῶν τὰ μεγάλα ἡμᾶς ἀφαιρεῖται, καὶ δίδωσι πηλὸν, ἵνα ἁρπάσῃ οὐρανὸν, καὶ δείκνυσι σκιὰν, ἵνα ἐκβάλῃ τῆς ἀληθείας, καὶ ἐν ὀνείροις φαντάζει (τοιοῦτος γὰρ ὁ παρὼν πλοῦτος) ἵν', ἡμέρας γενομένης, δείξῃ πάντων πενεστέρους. ἅπερ μαθόντες, ἀγαπητοὶ, φύγωμεν τὸν ἐκείνου δόλον, φύγωμεν τὴν μετ' ἐκείνου κατάκρισιν, Ματθ. κε μα. ἵνα μὴ καὶ πρὸς ἡμᾶς ὁ κριτὴς εἴπῃ· Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.

Ἀλλὰ φιλάνθρωπός ἐστιν ὁ Θεός· οὐκ ἔσται τοῦτό, φησιν. οὐκοῦν εἰκῇ γέγραπται; οὐχί, φησιν, ἀλλὰ πρὸς ἀπειλὴν μόνον, ἵνα σωφρονῶμεν. ἂν οὖν μὴ σωφρονῶμεν, ἀλλὰ μένωμεν κακοὶ, οὐκ ἐπάξει τὴν κόλασιν, εἰπέ μοι; οὐκοῦν οὐδὲ τοῖς ἀγαθοῖς ἀποδώσει τὰς ἀμοιβάς. ναί, φησι. τοῦτο γὰρ πρέπον αὐτῷ καὶ ὑπὲρ τὴν ἀξίαν εὐεργετεῖν. ὥστε ἐκεῖνα ἀληθῆ καὶ πάντως ἔσται, τὰ δὲ τῶν κολάσεων οὐ πάντως. ὢ τῆς πολλῆς τοῦ διαβόλου κακοτεχνίας, ὢ τῆς ἀπανθρώπου ταύτης φιλανθρωπίας. ἐκείνου γάρ ἐστιν οὗτος ὁ λογισμός, χάριν ἀνόνητον χαριζόμενος καὶ ῥαθύμους ποιῶν. ἐπειδὴ γὰρ οἶδεν ὅτι τῆς κολάσεως ὁ φόβος, καθάπερ τις χαλινός, τὴν ἡμετέραν ἄγχει ψυχὴν, καὶ τῶν κακῶν ἀναστέλλει, πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε πρόῤῥιζον ἀνασπάσαι τοῦτον, ἵνα λοιπὸν ἀδεῶς κατακρημνῶν φερώμεθα. πῶς οὖν αὐτοῦ περιγενώμεθα; ὅσα ἂν εἴπωμεν ἀπὸ τῶν γραφῶν, ἐροῦσιν οἱ ἀντιλέγοντες, ὅτι ἀπειλῆς ἕνεκεν γέγραπται. ἀλλὰ περὶ μὲν τῶν μελλόντων ἔχοιεν ἂν τοῦτο λέγειν, εἰ καὶ λίαν ἀσεβῶς· περὶ δὲ τῶν ἐκβεβηκότων οὐκ ἔτι, καὶ τέλος ἐσχηκότων. ἐρώμεθα τοίνυν αὐτούς, ἠκούσατε περὶ τοῦ κατακλυσμοῦ καὶ τῆς πανωλεθρίας ἐκείνης; μὴ κἀκεῖνο ἀπειλῆς ἕνεκεν εἴρηται; οὐχὶ γέγονε, καὶ εἰς ἔργον ἐξέβη; οὐχὶ καὶ τὰ ὄρη μαρτυρεῖ τῆς Ἀρμενίας, ἔνθα ἡ κιβωτὸς ἱδρύθη; οὐχὶ καὶ τὰ λείψανα αὐτῆς ἕως νῦν ἐκεῖ σώζεται πρὸς ἡμετέραν ὑπόμνησιν; τοιαῦτα καὶ τότε πολλοὶ ἔλεγον, καὶ ἐν ἑκατὸν ἔτεσι τῆς κιβωτοῦ πηγνυμένης, καὶ τῶν ξύλων κατασκευαζομένων, καὶ τοῦ δικαίου βοῶντος, οὐδεὶς ὁ πιστεύων ἦν· ἀλλ' ἐπειδὴ οὐκ ἐπίστευσαν τῇ διὰ τῶν ῥημάτων ἀπειλῇ, τὴν διὰ τῶν πραγμάτων ὑπέστησαν τιμωρίαν ἀθρόον. εἶτα ὁ τοιαύτην κόλασιν ἐπαγαγὼν ἐκείνοις, οὐ πολλῷ μᾶλλον ἐπάξει ἡμῖν; οὐ γὰρ ἐλάττονα τῶν τότε κακῶν τὰ νῦν γινόμενα. τότε μὲν γὰρ μίξεις ἐποίουν ἀθέσμους. Γεν. ϛ. β. Εἰσῆλθον γάρ, φησιν, οἱ υἱοὶ τοῦ Θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων. νῦν δὲ οὐκ ἔστιν εἶδος ἁμαρτίας ἄπρακτον, ὃ καταλιμπάνεται. ἀλλ', εἰ δοκεῖ, καὶ ἐφ' ἕτερα κολάσεως εἴδη τὸν λόγον ἀγάγωμεν, ἵνα ἐκ τῶν γενομένων καὶ τὰ μέλλοντα πιστευθῇ. ἐπεδήμησέ τις ὑμῶν τῇ Παλαιστίνῃ ποτέ; ἔγωγε οἶμαι. οὐκοῦν ὑμεῖς μαρτυρήσατε τῇ ἀληθείᾳ τῶν λεγομένων. Ἀσκάλωνος γὰρ καὶ Γάζης ἀνώτερον εἰς αὐτὸ τοῦ Ἰορδάνου ποταμοῦ τὸ τέλος ἦν τις χώρα πολλή τε καὶ εὔφορος, καὶ τῷ παραδείσῳ τοῦ Θεοῦ ἁμιλλωμένη. Γεν. ιγ. ι. Εἶδε γάρ, φησι, Λὼτ πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, καὶ ἦν ποτιζομένη, ὡς ὁ παράδεισος τοῦ Θεοῦ. ἀλλὰ νῦν αὕτη πασῶν τῶν ἐρήμων ἐστὶν ἐρημοτέρα. ἕστηκε μὲν γὰρ δένδρα, καὶ καρπὸν ἔχει, ὁ δὲ καρπὸς τῆς τοῦ Θεοῦ ὀργῆς ἐστιν ὑπόμνημα. ἑστήκασι γὰρ ῥοιαὶ λαμπρὰν μὲν ἔχουσαι τὴν ἐπιφάνειαν, καὶ χρηστὰς παρέχουσαι τοῖς ἀγνοοῦσιν ἐλπίδας, εἰς δὲ χεῖρας ληφθεῖσαι καὶ διακλασθεῖσαι καρπὸν μὲν οὐδένα, κόνιν δὲ καὶ τέφραν ἐπιδείκνυνται πολλὴν ἔνδον ἀποκειμένην. τοιαύτη ἐστὶ καὶ ἡ γῆ, τοιοῦτοι καὶ οἱ λίθοι, τοιοῦτος καὶ ὁ ἀὴρ αὐτός. πάντα ἐμπεπύρισται, πάντα τετέφρωται, τῆς προλαβούσης ὀργῆς ὑπομνήματα ὄντα, τῆς μελλούσης κολάσεως προμηνύματα. μὴ καὶ ταῦτα ἀπειλαὶ ῥημάτων; μὴ καὶ ταῦτα ψόφοι ῥημάτων; εἴ τις ἀπιστεῖ τῇ γεέννῃ, τὰ Σόδομα λογιζέσθω, τὰ Γόμορρα ἐννοείτω, τὴν τιμωρίαν τὴν ἤδη γεγενημένην καὶ μέχρι νῦν μένουσαν. ὅπερ καὶ ἡ θεία γραφὴ διηγουμένη περὶ τῆς σοφίας φησίν, Αὕτη δίκαιον ἐξαπολλυμένων ἀσεβῶν ἐρρύσατο φυγόντα καταβάσιον πῦρ πενταπόλεως. αὕτη καὶ νῦν εἰσέτι μαρτύριον τῆς πονηρίας, καπνιζομένη καθέστηκε χέρσος, καὶ ἀτελέσιν ὥραις καρποφοροῦντα τὰ φυτά. ἀναγκαῖον δὲ καὶ τὴν αἰτίαν εἰπεῖν, δι' ἣν ταῦτα πεπόνθασιν. ἦν οὖν τὸ πταῖσμα αὐτῶν, χαλεπὸν μὲν καὶ ἐπάρατον· ἐν παισὶν ἐπεμαίνοντο, καὶ διὰ τοῦτο πυρὶ κατεκαύθησαν ἅπαντες. νῦν δὲ μυρία καὶ ἴσα καὶ χαλεπώτερα γίνεται, καὶ τοιοῦτος ἐμπρησμὸς οὐ γίνεται. τίνος ἕνεκεν; ὅτι πῦρ ἕτερον ἡτοίμασται, μηδέποτε σβεννύμενον. πῶς γὰρ ὁ ὑπὲρ ἑνὸς ἁμαρτήματος τοσαύτην ὀργὴν ἐπαγαγών, καὶ μήτε τοῦ Ἀβραὰμ τὴν ἱκετηρίαν δεξάμενος, μήτε τὸν ἔνοικον δυσωπηθεὶς Λώτ, τοσούτων κακῶν γινομένων φείσεται ἡμῶν; οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. ἀλλὰ μὴ μέχρι τούτων στῶμεν· ἀλλὰ φέρε, ἑτέρους εἰς μέσον ἀγάγωμεν κολασθέντας, ἵνα διὰ πλειόνων ἀποδείξεων πιστωθῇ τὰ λεγόμενα. τὸν Φαραὼ πάντες ἀκούετε τὸν βασιλέα τῶν Αἰγυπτίων· οὐκοῦν οἴδατε καὶ τὴν δίκην, ἣν ἔδωκεν, ὅπως σὺν ἅρμασι καὶ ἵπποις μετὰ τοῦ στρατοπέδου παντὸς εἰς τὸ ἐρυθραῖον κατεποντίσθη πέλαγος. ἵνα δὲ καὶ τὰς Ἰουδαίων μάθητε κολάσεις, ἄκουε Παύλου λέγοντος· Μηδὲ πορνεύωμεν, καθώς τινες αὐτῶν ἐπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἴκοσι τρεῖς χιλιάδες· μηδὲ γογγύζωμεν, καθώς τινες αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ· μηδὲ πειράζωμεν τὸν Κύριον, καθώς τινες αὐτῶν ἐπείρασαν, καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο. εἰ δὲ κἀκεῖνοι τοιαῦτα πεπόνθασιν ὑπὲρ ὧν ἥμαρτον, τί οὐ πεισόμεθα δεινόν; καὶ διὰ τοῦτο μάλιστα δεδοικέναι χρή. οὐ γὰρ ἐπὶ τῷ μὴ δοῦναι δίκην, ἀλλ' ἐπὶ τῷ χείρονα δοῦναι τηρούμεθα, εἰ μὴ μεταβαλοίμεθα. ἐκεῖνοι μὲν γὰρ οὐκ ᾔδεισαν τὴν γέενναν, καὶ ταῖς ἐνταῦθα παρεδίδοντο τιμωρίαις· ἡμεῖς δὲ ὅσα ἂν ἁμαρτάνωμεν, καὶ μηδὲν ἀνιαρὸν ἐν τῷ παρόντι βίῳ πάθωμεν, ἐν τῷ μέλλοντι πάντα πεισόμεθα. πῶς γὰρ ἂν ἔχοι λόγον, ἐκείνους μὲν νηπιωδεστέρους ὄντας τοιαῦτα πεπονθέναι, ἡμᾶς δὲ τελειοτέρων ἀπολαύσαντας μαθημάτων, καὶ πολὺ χείρονα πταίοντας ἐκείνων, διαφυγεῖν τὰς τιμωρίας; βούλεσθε καὶ τὰς λοιπὰς αὐτῶν ἀκοῦσαι συμφοράς, ὅσας ἔπαθον ἐν Παλαιστίνῃ ὑπὸ Βαβυλωνίων καὶ Ἀσσυρίων καὶ Μακεδόνων; ὅσους ὑπέμειναν λιμούς; λοιμούς, πολέμους, αἰχμαλωσίας ἐπὶ Τίτου καὶ Οὐεσπασιανοῦ; τὴν Ἰωσήππου βίβλον ἀνάγνωτε, ἣν ἔγραψε περὶ τῆς τῶν Ἱεροσολύμων ἁλώσεως, καὶ μαθήσεσθε τὴν πικρὰν ἐκείνην τραγῳδίαν. μετὰ γὰρ τῶν ἄλλων δεινῶν εἰς τοσαύτην λιμοῦ περιέπεσον ὑπερβολήν, ὡς καὶ τὰς ζώνας αὐτῶν, καὶ τὰ ὑποδήματα, καὶ τὰ τούτων ἐσθίειν βδελυρώτερα. πάντα γὰρ ὑπ' ὀδόντας ἦγεν ἡ ἀνάγκη, καθώς πού φησιν ὁ προλεχθεὶς συγγραφεύς. καὶ οὐδὲ μέχρι τούτων ἔστησαν, ἀλλὰ καὶ τῶν ἰδίων ἀπεγεύσαντο τέκνων. πῶς οὖν, ἐκείνων τοιαύτας δεδωκότων δίκας, ἡμεῖς τὰ χείρονα τούτων πράττοντες διαφευξόμεθα; εἰ γὰρ ἐκεῖνοι ἐκολάσθησαν τότε, διὰ τί ἡμεῖς οὐ κολαζόμεθα νῦν; οὐχὶ καὶ τυφλῷ δῆλον, ὅτι διὰ τὸ ἀποκεῖσθαι ἡμῖν ἐν τῷ μέλλοντι τὴν κόλασιν, καθὼς ἔφην πολλάκις; χρὴ δὲ λογίζεσθαι πρὸς τούτοις καὶ τὰ νῦν ἐν τῷ βίῳ γινόμενα, καὶ οὐκ ἀπιστήσομεν τῇ γεέννῃ. εἰ γὰρ δίκαιός ἐστιν ὁ Θεὸς καὶ ἀπροσωπόληπτος, ὥσπερ οὖν καὶ ἔστι, τίνος ἕνεκεν οἱ μὲν διδόασιν ἐνταῦθα φόνων δίκας, οἱ δὲ οὐ διδόασιν· οἱ μὲν τῶν μοιχῶν τιμωροῦνται, οἱ δὲ τελευτῶσιν ἀτιμώρητοι; πόσοι τυμβωρύχοι διέφυγον; πόσοι λῃσταὶ

Σοφ. ι.

α. Κορ. ι.

πόσοι πλεονέκται; πόσοι ἅρπαγες; ἂν οὖν γέεννα μὴ ᾖ, ποῦ τιμωρίαν ὑφέξουσι; ἀλλὰ πειθόμεθα τοῖς ἀντιλέγουσι, ὅτι οὐκ ἔστι μῦθος ὁ περὶ αὐτῆς λόγος; οὕτω γάρ ἐστιν ἀληθής, ὅτι οὐχ ἡμεῖς μόνοι, ἀλλὰ καὶ ποιηταὶ καὶ φιλόσοφοι καὶ λογοποιοὶ περὶ τῆς μελλούσης ἀνταποδόσεως ἐφιλοσόφησαν, καὶ ἐν ᾅδου κολάζεσθαι τοὺς πονηροὺς εἰρήκασιν. εἰ γὰρ καὶ μὴ τῆς ἀληθείας, ὡς ἔχει ταῦτα, εἰπεῖν οὐκ ἠδυνήθησαν, ἀλλ' ἀπὸ λογισμῶν κινηθέντες καὶ τῶν παρακουσμάτων τῶν παρ' ἡμῖν, ἀλλ' ὅμως εἰκόνα τινὰ κρίσεως ἔλαβον. Κωκυτοὺς γάρ φασί τινας καὶ Πυριφλεγέθοντας ποταμούς, καὶ Στυγὸς ὕδωρ, καὶ Τάρταρον τοσοῦτον ἀπέχοντα τῆς γῆς, ὅσον αὕτη τοῦ οὐρανοῦ, καὶ πολλοὺς ἑτέρους κολάσεως τρόπους· καὶ πάλιν Ἠλύσιον πεδίον, καὶ μακάρων νήσους, καὶ λειμῶνας εὐανθεῖς, καὶ εὐωδίαν πολλήν, καὶ αὔραν λεπτήν, καὶ χοροὺς ἐκεῖ διατρίβοντας, καὶ λευκὴν περιβεβλημένους στολήν, καὶ ᾄδοντας ὕμνους τινάς, καὶ ὅλως καὶ ἀγαθοῖς καὶ πονηροῖς ἀποκειμένην ἀντίδοσιν μετὰ τὴν ἐντεῦθεν ἔξοδον. μὴ τοίνυν ἀπιστῶμεν τῇ γεέννῃ, ἵνα μὴ ἐμπέσωμεν εἰς αὐτήν (ὁ γὰρ ἀπιστῶν, ῥαθυμότερος γίνεται· ὁ δὲ ῥαθυμῶν, εἰς αὐτὴν ἀπελεύσεται πάντως) ἀλλὰ καὶ πιστεύωμεν ἀνενδοιάστως, καὶ διαλεγώμεθα περὶ αὐτῆς συνεχῶς, καὶ οὐ ταχέως ἁμαρτησόμεθα. τῶν γὰρ τοιούτων λόγων ἡ μνήμη, καθάπερ τι φάρμακον πικρόν, πᾶσαν κακίαν ἀποσμῆξαι δυνήσεται, διαπαντὸς ἡμῶν ἐνιζάνουσα τῇ ψυχῇ. χρησώμεθα τοίνυν αὐτῷ, ἵνα καθαρθέντες καλῶς, ἀξιωθῶμεν ἰδεῖν τὸν Θεόν, ὡς ἀνθρώποις ἰδεῖν δυνατόν, καὶ τῶν μελλόντων ἀπολαύσωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΠΕΡΙ ΠΡΑΟΤΗΤΟΣ.

Οἶμαι πάντας ὑμᾶς ἐπίστασθαι σαφῶς, ὅτι προσήκει τοὺς τῶν λογίων τοῦ Θεοῦ συνετῶς ἀκούοντας, ἦθος ἀγαθὸν καὶ τρόπων ἀρετὴν ἀσκεῖν. τοῦτο γάρ ἐστιν ᾧ μάλιστα διαφέρουσιν οἱ δοῦλοι τοῦ Χριστοῦ τῶν τὴν ἀλήθειαν ἀγνοούντων, τῷ χρηστότητι συζῆν, καὶ βίον ἄξιον τῆς εὐσεβείας παρέχεσθαι. τοὺς μὲν γὰρ τὸν Χριστὸν ἀγνοοῦντας οὐδὲν ἀπεικὸς πονηρούς τε εἶναι, καὶ μοχθηροὺς τὸν τρόπον· ὁ δὲ τοῦ Χριστοῦ δοῦλος ἐκ τῆς τῶν ἠθῶν ἡμερότητος καλείσθω μᾶλλον, ἢ τοῦ παρὰ τῶν γονέων αὐτῷ τεθέντος ὀνόματος. οὐ γὰρ οὕτως ἀγαπᾶται παρὰ τοῦ Θεοῦ τὸ τῶν ἀνθρώπων γένος, οὐκ ἀπὸ παρθενίας, οὐκ ἀπὸ νηστείας, οὐκ ἀπὸ τοῦ τῶν χρημάτων καταφρονεῖν, οὐκ ἀπὸ τοῦ προθύμως χεῖρα τοῖς δεομένοις ὀρέγειν, ὡς ἀπὸ τῆς ἡμερότητος καὶ τῆς τῶν ἠθῶν εὐταξίας. καίτοι καὶ τὸ προθύμως ἐπαρκεῖν τοῖς δεομένοις, οὐκ ἄλλοθεν οὐδαμόθεν, ἀλλ' ἀπὸ τῆς χρηστότητος περιγίνεται πᾶσι τοῖς τὸν Χριστὸν ἀγαπῶσι· καὶ ὥσπερ ἐκ τῶν πηγῶν οἱ ῥύακες, οὕτως ἡ προθυμία τῶν πτωχῶν ἐκ τῆς τῶν ἠθῶν ἡμερότητος. πᾶς γὰρ ἐπιεικής τε καὶ πρᾶος ῥᾳδίως εἰς φιλανθρωπίαν καθέλκεται, καὶ οὐκ ἀνάσχοιτο περιιδεῖν τοὺς ἐν ἐνδείᾳ καθεστηκότας, ἑαυτοῦ νομίζων συμφορὰν τὴν πενίαν τῶν ἄλλων. ἔστι τοίνυν φθόνος μὲν ἁπάντων κάκιστος· ἀνὴρ δὲ χρηστὸς καὶ πρᾶος οὐ παραδέχεται τῇ ψυχῇ τὸ πονηρὸν τοῦτο νόσημα, ἀλλὰ τοὺς εὐδοκιμοῦντας ἀδελφοὺς ὁρῶν, συγχαίρει καὶ συνήδεται, ἑαυτοῦ νομίζων εὐδοξίαν τὴν τῶν ἄλλων εὐδοξίαν, κοινὰ τὰ τῶν φίλων ἡγούμενος, ἐν μὲν τοῖς ἀγαθοῖς συγχαίρων, ἐν δὲ τοῖς λυπηροῖς συναλγῶν. τοιαῦτα τὰ τῆς πρᾳότητος δῶρα, τοιοῦτος ὁ βίος τῶν ἐν ἐπιεικείᾳ συζώντων. ὁ πρᾷος, ος, ὀρφανῶν πατὴρ, χηρῶν προστάτης, πενίας κηδεμὼν, ἀδικουμένων βοηθὸς, πάντα χαρᾶς ποιῶν τοῦ δικαίου τὸ κρεῖττον· καὶ παιδίῳ πατὴρ αἰδέσιμος πραότητι συζῶν, καὶ παῖς πατρὶ, καὶ δοῦλος δεσπότῃ, καὶ τὴν δεσποτείαν οὐδὲν ἐπαχθῆ τῷ διὰ τῆς οἰκείας εὐνοίας ἀπολαύειν ποιεῖ. ὅταν γὰρ ἴδωσιν αὐτὸν ἐπιεικείᾳ χαίροντα καὶ πράως ἅπασι προσφερόμενον, περὶ πολλοῦ ποιοῦνται καὶ θαυμάζουσι, πατέρα μᾶλλον, ἢ δεσπότην τὸν κεκτημένον νομίζοντες. φέρε δὴ κατὰ δύναμιν ἡμετέραν ἀκριβῶς ἐξετάσωμεν, ὅσα τοῖς ἐπιεικέσιν ἐκ τῆς τῶν ἠθῶν ἡμερότητος ἀγαθὰ περιγίνεται. οὐκοῦν ὁ πρᾶος, φίλος μὲν τοῖς ὁρῶσι, φίλος δὲ καὶ τοῖς ἀκοῇ γνωρίμοις, καὶ οὐδείς ἐστιν ὃς ἥμερον ἄνθρωπον ἐπαινούμενον ἀκούων, οὐκ ἂν ἐπιθυμήσειεν ἰδεῖν καὶ ἀσπάσασθαι καὶ συνεχῶς ὁρᾶν, ἐν κέρδους μέρει τὴν τοῦ τοιούτου φιλίαν ποιούμενος. κἂν ὑπὲρ χρημάτων τινὲς πρὸς ἀλλήλους διενεχθῶσιν, ἐπὶ τὸν χρηστὸν καὶ πρᾶον ἐπείγονται, νομίζοντες πᾶσαν ἔριν καὶ φιλονεικίαν λυθήσεσθαι ταχέως ὑπὸ τῆς ἐκείνου χρηστότητος. καὶ γὰρ ἂν συμβῇ τοὺς ἀνθρώπους φιλέχθρως ἔχειν πρὸς ἀλλήλους, ἡ τοῦ δικάζοντος ἡμερότης δυσωπεῖ γενέσθαι πράους τοὺς ῥαδίως εἰς ὀργὴν καὶ θυμὸν ἐκφερομένους. ἂν δὲ ἄλλοι φανῶσί τινες εἰς φιλίαν ἄγειν τοὺς μαχομένους ἐθέλοντες, οὐκ ἂν δυνηθεῖεν αἰδέσιμοι φανεῖσθαι. ἐφ᾽ ἑκάστου γὰρ, οἶμαι, τῶν πραγμάτων σύμβουλος πιθανὸς ὁ πρῶτος τῶν πράξεων, ὧν ἔχεσθαι συνεβούλευσεν, ἁπτόμενος. ὅταν οὖν ὁ τῆς ἐπιεικείας διδάσκαλος, πρῶτος φανῇ τὰ παραγγέλματα βεβαιῶν, ἅμα τε ὤφθη καὶ τοὺς μεμηνότας ἡμέρωσε· καὶ οὐδὲν αὐτῷ δεῖ νουθεσίας καὶ λόγων, ἀλλὰ πρίν τι φθέγξασθαι, τὴν εἰρήνην εἰσήγαγε. καὶ ὥσπερ ἀκτὶς ἡλίου φανεῖσα, τὸ σκότος ἀπελαύνει ταχέως, οὕτως ὁ χρηστὸς καὶ πρᾶος, τὴν ταραχὴν καὶ τὴν μάχην εἰς εἰρήνην καὶ ἡσυχίαν μεταρρυθμίζει ταχέως. ἄξιον τοίνυν κἀκεῖνο ἐπισημήνασθαι, ὅτι μόνους τοὺς εἰρηνικοὺς τὸν τρόπον υἱοὺς εἶναι τοῦ Θεοῦ φησιν ὁ Χριστός. τίνος οὖν ἕνεκα τῆς προσηγορίας τῆς οἰκείας μόνοις τοῖς ἐπιεικέσι μεταδέδωκεν; ὅτι μόνος ὁ φιλίας καὶ εἰρήνης αἴτιος τοῖς ἄλλοις καθιστάμενος, τὸν υἱὸν τοῦ Θεοῦ μιμεῖται κατὰ δύναμιν. ἐκεῖνος μὲν γὰρ, ὡς Θεὸς καὶ τῶν ὅλων κύριος, τοὺς ἁγίους ἀγγέλους ἐκπεπολεμωμένους τοῖς ἀνθρώποις, εἰς φιλίαν συνεκέρασεν, ἐπιφανεὶς ἡμῖν διὰ τῆς θείας αὐτοῦ σαρκός. χρηστὸς δὲ ἄνθρωπος ἀδελφοὺς καὶ συγγενεῖς καὶ οἰκείους πολεμοῦντας ἀλλήλοις αἰδεῖσθαι πείθει τοὺς νόμους τοῦ Θεοῦ, καὶ τὴν ἔχθραν ἀπορρίψαντας φιλεῖν ἀλλήλους κατὰ τὸ θεῖον ἐπίταγμα. καὶ μὴν ὅπερ ἐν τοῖς σώμασι τοῖς ἡμετέροις τὰ νεῦρα, τοῦτο χρηστὸς ἄνθρωπος ἐν οἰκίᾳ καὶ ἐκκλησίᾳ καὶ πόλει. σῶμα μὲν γὰρ καὶ μέλη ἀλλήλων ἔθος ὀνομάζειν τῷ Παύλῳ τοὺς ἀδελφούς. ὁ δὲ τοὺς διεσπασμένους καὶ μαχομένους εἰς φιλίαν ἄγων, ἐβεβαίωσε τοῦ Παύλου τὸν λόγον, πείθων ἅπαντας μὴ ἀγνοεῖν τὰ μέλη, μηδὲ κατεσθίειν ἀλλήλους. οὐκοῦν ἀληθὴς ὁ λόγος ἐκεῖνος· ὥστε τὴν αὐτὴν ἔχει δύναμιν ἐν ἐκκλησίᾳ καὶ οἰκίᾳ καὶ πόλει ὁ τῆς εἰρήνης αἴτιος τοῖς ἀδελφοῖς καθιστάμενος, ἣν ἔχει δύναμιν ἐν τοῖς σώμασι τὰ νεῦρα, συγκολλῶν καὶ συνάπτων τοὺς διεσπασμένους καὶ πολεμοῦντας ἀλλήλοις. ταύτην μέντοι λαμβάνει τὴν δύναμιν ἐπὶ τῶν ἄλλων ἕκαστος, ὅταν αὐτὸς φανῇ πρῶτος ἐπιεικείᾳ συζῶν. ὁ δὲ ῥαδίως εἰς ὀργὴν ἐκφερόμενος, καταγέλαστος εἶναι δόξειεν ἂν τοῖς πολλοῖς, ὅταν ἐπιχειρῇ τοὺς θυμουμένους πραΰνειν. τί γὰρ ἂν γένοιτο χεῖρον ὀργῇ δουλευόντων ἀνθρώπων; τίς δὲ τὸν τοιοῦτον ὁρῶν, οὐκ ἀποστρέφει τοὺς ὀφθαλμούς; ἀνὴρ ὀργίλος, ἀηδὴς μὲν τοῖς ἀπαντῶσιν, ἀηδὴς δὲ τοῖς γείτοσι. κἂν εἰς χρείαν καταστῇ χρημάτων, οὐ ῥαδίως εὐπορεῖ τῶν κουφιζόντων τὴν πενίαν. κοινός ἐστι πολέμιος καὶ πολιτῶν καὶ ξένων, βοῶν καὶ κεκραγὼς, πληγὰς τοῖς ἀπαντῶσιν ἐντείνων, ῥητὰ καὶ ἄρρητα λέγων. τῷ τοιούτῳ τὸ βλέμμα ταράττεται, τὸ πρόσωπον οἰδαίνει, ἡ γλῶσσα λυσσᾷ ῥᾳδίως, αἱ χεῖρες ἐπὶ πάντα φέρονται, τὰ τῶν δαιμονώντων ὁ τοιοῦτος ἐργάζεται. καὶ τις ὁρῶν θυμούμενον ἄνθρωπον, ἀπορήσειεν ἂν εἴτε δαίμων ἐλαύνει τὸν ἄθλιον, εἴτε ἑκὼν εἰς τοσαύτην ἐξηνέχθη μανίαν. ὀργὴ, δαίμων ἑκούσιος, αὐθαίρετος μανία, ἐρημία φρενῶν. ὁ θυμούμενος τοῦ διαβόλου παίγνιον.

Ματθ. ε. θ.

Εφ. δ. κε.

γιον, ἐργαστήριον δαιμόνων, τῆς ἐκείνων πονηρίας ὑπηρέτης ἄξιος. εἰπέ μοι, τί μάλιστα βούλονται τοὺς ἀνθρώπους οἱ δαίμονες ἐργάζεσθαι; οὐχὶ γονέας ὑβρίζειν; οὐχὶ τὰς μιαρὰς χεῖρας τοῖς γεγεννηκόσιν ἐπάγειν; οὐχὶ βλασφημεῖν τὸν Θεόν; ταῦτα τοίνυν ἅπαντα τῶν θυμουμένων ἔργα. ὥστε καὶ ἀσεβείας ὁ θυμὸς ῥᾳδίως αἴτιος γίνεται τοῖς ὀργῇ δουλεύουσιν. οὐδὲ γὰρ κρατεῖν ἑαυτῶν δύνανται ταχέως οἱ δεδωκότες ἑαυτοὺς τῷ θυμῷ, ἀλλ' ὥσπερ ἐν χειμῶνι καὶ ζάλῃ θαλάττης, κυβερνήτου μὴ παρόντος, περιλαμβάνοντα τὰ κύματα τὴν ναῦν ἔρημον, ὑποβρύχιον ποιεῖ ταχέως· οὕτως ὁ θυμὸς, ὥσπερ τις σκηπτὸς καὶ χειμὼν, ἐμπεσὼν τῇ ψυχῇ, ἔκφρονα καὶ παραπλῆγα ποιεῖ ταχέως τοὺς αὐτῷ δουλεύοντας. τί οὖν; οὐ φρονιμωτάτων ἀνθρώπων ἐστὶ, προαναστέλλειν τὸ νόσημα, καὶ πρὶν εἰς ὀργὴν ἐξενεχθῆναι, κατέχειν τὴν ψυχὴν, καὶ ταῖς ἀπὸ τῆς γραφῆς νουθεσίαις κοιμίζειν τὸν θυμόν. εἰ γὰρ τῶν γοήτων ἐπῳδαῖς ἤκει τὰ θηρία ῥᾳδίως, τί θαυμάζεις, εἰ τὰ λόγια τοῦ Χριστοῦ ψυχὴν ἀγριαίνουσαν εἰς γαλήνην καὶ ἰσοψυχίαν μεταρρυθμίζει ταχέως; Πᾶσα, φησὶ, πικρία καὶ ὀργὴ καὶ θυμὸς καὶ κραυγὴ ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ. γίνεσθε δὲ εἰς ἀλλήλους χρηστοὶ, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, ἐάν τις πρός τινα ἔχῃ μομφὴν, καθὼς καὶ ὁ Θεὸς ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν. γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ. ὁρᾶτε οἷός ἐστιν ὁ πρᾶος; τίνος ὀνομάζεται μιμητής; οὐκ ἀγγέλων, οὐδὲ ἀρχαγγέλων, ἀλλὰ τοῦ δεσπότου τῶν ὅλων. καίτοι κἀκεῖνοι πρᾳότατοι καὶ πάσης ἀρετῆς γέμοντες· ἀλλ' ὅμως ὁ Παῦλος ζηλωτὰς Θεοῦ τοὺς ἡμέρους ὠνόμασεν, ἵνα διὰ τοῦ μεγέθους τῆς τιμῆς πρᾳοτάτους εἶναι παιδεύσῃ τοὺς ἀκούοντας· ἵνα πᾶς ὁ ὑβριζόμενος, ἢ ἄλλο τι πάσχων δεινὸν, πρᾴως ἐνέγκῃ τὰς λοιδορίας, καὶ κρατήσῃ τῆς ὀργῆς, ὡς τῷ Θεῷ μέλλων ἀκολουθεῖν ἐν τῷ κρατεῖν τῆς ὀργῆς. ἵνα γὰρ δὴ τὰ Θεοῦ; ἄνωθεν μὲν ἅπαντα καὶ ὁρᾷ καὶ ἀκούει, ἐν δὲ τοῖς ἐπὶ γῆς καὶ λεγομένοις καὶ πραττομένοις ἀδικήματα πολλά. εἰσὶ δέ τινες εἰς τοσοῦτον ἥκοντες ἀσεβείας, ὡς καὶ βλασφημεῖν τὸν Θεὸν, ὅταν τι παρὰ τῶν πραγμάτων λυπῶνται, καὶ βλέποντες εἰς τὸν οὐρανὸν, οὐδενὸς ἀπέχονται ῥήματος. ὁ δὲ Θεὸς ἀνέχεται, καὶ τοσαύτην ἔχων δύναμιν τοῦ λαμβάνειν δίκην παρὰ τῶν ἀσεβούντων, οὐ λαμβάνει. εἰ δὲ πάντας τοὺς ἁμαρτάνοντας ἐκόλαζεν ὁ Θεὸς, σφόδρα ἂν ὀλίγον ἦν τὸ σωζόμενον, καὶ οὐδ' ἂν ἐξήρκουν οἱ ζῶντες πρὸς τὰς ταφάς. διὰ τοῦτό φησιν ὁ Δαβίδ· Ἐὰν ἀνομίας παρατηρήσῃ Κύριε, Κύριε τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστι. νῦν δὲ καὶ ἐν αὐτῷ τούτῳ δεικνύει τὴν ἑαυτοῦ φιλανθρωπίαν ὁ Θεὸς, τῷ μηδὲ δικαίως κολάζειν. ὅστις οὖν ἐοικέναι βούλεται τῷ Θεῷ κατὰ δύναμιν ἀνθρωπίνην, πρᾶος ἔστω καὶ ἥμερος, καὶ φερέτω γενναίως, ὅταν τι πάσχῃ παρὰ τῶν ἄλλων δεινόν. Ἀγαπᾶτε, φησὶ, τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων ὑμᾶς, ὅπως γένησθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς· ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. πολλαὶ μὲν οὖν εἰσιν ἀρεταὶ χριστιανοῖς ἀνδράσι πρέπουσαι, μείζων δὲ ἁπασῶν ἡ πρᾳότης. τοὺς γὰρ ἐν ταύτῃ διαλάμποντας, μόνους τοῦ Θεοῦ ζηλωτὰς ὁ Χριστὸς ὀνομάζει. προσήκει τοίνυν ἡμᾶς, ὅταν ὑβρίζῃ τις, ἢ τύπτῃ, ἢ ἄλλο τι πράττῃ δεινὸν, ἡσυχαζούσῃ ψυχῇ πάντα γενναίως ὑπομένειν, ἐνθυμουμένους ὅτι τοῦ Θεοῦ μιμητὰς ἡ πρᾳότης ποιεῖ. καὶ γὰρ αὐτὸς ὁ δεσπότης καὶ σωτὴρ ἡμῶν ὑβριζόμενος, πληγὰς λαμβάνων, προσηλούμενος, σταυρούμενος, πρᾴως ἤνεγκε τὴν Ἰουδαίων μανίαν· καὶ τοσαύτην ἔχων δύναμιν τοῦ λαβεῖν δίκην παρὰ τῶν ἀσεβούντων, οὐκ ἔλαβεν, ἀλλὰ τὴν μὲν δύναμιν ἔδειξεν ἐν τῷ σεῖσαι τὴν γῆν, καὶ νεκροὺς ἀναστῆσαι, καὶ κρύψαι τὸν ἥλιον, καὶ νύκτα τὴν ἡμέραν ποιῆσαι, τὴν δὲ πρᾳότητα καὶ φιλανθρωπίαν ἐν τῷ μηδένα τῶν ἠσεβηκότων κολάσαι· ἵνα μάθωσιν ἅπαντες οἱ τὰς ἀσεβεῖς χεῖρας προσάγοντες τῷ δεσπότῃ, ὅτι ῥᾳδίως ἂν τοὺς μανέντας ἐκόλασεν ὁ ῥᾳδίως οὕτω σείσας τὴν γῆν, καὶ τὸν ἥλιον ἐξαίφνης ἀφανῆ γενέσθαι προστάξας. νῦν δὲ, ἐπειδήπερ ἐστὶν ἥμερος, καὶ πρᾴως φέρει τὴν μανίαν τῶν ἀσεβῶν, οὐκ

Ἐφ. δ. λα.

Ψαλ. ρκθ. γ.

Ματθ. ε. μδ.

αὐτὸς μόνος ἡμέρως ἠνέσχετο τῶν σταυρούντων, τῶν βλασφημούντων, ἀλλὰ καὶ τὸν πατέρα παρεκάλει μὴ χρήσασθαι κατὰ τῶν ἀσεβῶν τοῖς κεραυνίοις βέλεσιν. ὅταν οὖν σοι πάσχοντι δεινὸν καὶ ἀφόρητον ἡ ὀργὴ παράσχῃ καὶ θυμός, ἀναμνήσθητι τῆς τοῦ Χριστοῦ πραότητος, καὶ ταχέως ἥμερος ἔσῃ καὶ πρᾶος, οὐκ αὐτὸς μόνος ἐκ τῆς ἡμερότητος τὰ μέγιστα κερδαίνων, ἀλλὰ καὶ τὸν ἐχθρὸν ὠφελῶν καὶ χρηστὸν εἶναι παιδεύων. ὅταν γὰρ ἴδῃ σε τὸν τὰ ἔσχατα πάσχοντα πράως τῆς ὀργῆς ἀνεχόμενον, ταχέως καὶ αὐτὸς ἐπιεικὴς ἔσται καὶ χρηστός, καὶ τὸν θυμὸν ἀπορρίψας, ζηλωτὴς ἐπιθυμήσει γενέσθαι τῆς σῆς ἡμερότητος. ὅστις οὖν ἐθέλει τοὺς θυμουμένους νικᾷν, γενναίως φερέτω τὰς ὕβρεις καὶ τὰς πληγάς, καὶ πολλὴν ὄψεται μεταβολὴν τοῦ μεμηνότος καὶ τύπτοντος. ἂν δὲ καὶ αὐτὸς ὑπὸ τῆς ὀργῆς ἡττηθεὶς τοῖς ἴσοις ἀμύνασθαι σπουδάζῃ τὸν ἐχθρόν, οὐδέποτε πέρας ἔσται τῆς ὀργῆς καὶ τῆς μάχης, ἀλλ' ἀεὶ μεμηνότες καὶ λυττῶντες, καὶ νικᾷν ἀλλήλους ἐπιθυμοῦντες ταῖς λοιδορίαις καὶ ταῖς πληγαῖς, εἰς ἀπέραντον πόλεμον καὶ μάχην ἐκφέρονται, ἐπιβουλεύοντες ἀλλήλοις, συκοφαντίας ἀναπλάττοντες, ἐπιορκεῖν τολμῶντες, ἃ μήτε ἑωράκασι, μήτε ἀκηκόασι, κατηγορεῖν μελετῶντες· ἐν ἡμέρᾳ μὲν ὥσπερ κύνες λυττῶντες καὶ ζητοῦντες τὸν ἐχθρόν, τῆς δὲ νυκτὸς τὸ πλεῖστον ἀναλίσκοντες ἐν τῷ βουλεύεσθαι τί κακὸν καὶ ῥάπτειν ἐπιβουλάς. τοῖς τοιούτοις οὐδὲ ὁ ὕπνος καθαρεύει παθημάτων· ἀλλὰ τὸν ἐχθρὸν παρεῖναι καὶ λοιδορεῖσθαι καὶ τύπτειν νομίζοντες, ἐκ τῶν ὕπνων ἀναπηδῶσιν, ἐρῶντες τῆς ἀλλήλων σφαγῆς πλέον ἢ τραπέζης, ἕτεροι δὲ ὑπὸ τῆς ὀργῆς μεθύοντες, συκοφάντας μισθούμενοι, καὶ πράγματα ἀμύθητα παρέχοντες ἀλλήλοις, ὅσῳ ἂν πλείω κακὰ παράσχωσιν ἀλλήλοις, τοσούτῳ μᾶλλον εἰς μανίαν ἐρεθιζόμενοι. ὅπερ γάρ φασι τοὺς μεθύοντας πάσχειν, ὑπὸ τῆς ἀπλήστου μέθης εἰς χαλεπωτέραν δίψαν ἐκφέρεσθαι, τοῦτο πάσχουσιν οἱ δουλεύοντες ὀργῇ, ὑπὸ τῆς ἀμέτρου φιλονεικίας εἰς μείζω καὶ χαλεπωτέραν ἐκφερόμενοι μανίαν. ὁ μὲν δοῦλον ἐκάλεσεν, ὁ δὲ πόρνης υἱόν· ὁ μὲν ἀνόητον, ὁ δὲ μαινόμενον· ὁ μὲν κλέπτην καὶ ἄδικον, ὁ δὲ πάσης πονηρίας ἀνάμεστον. εἶτα ὑπὸ τῆς ὀργῆς μεθύοντες, συμπλακέντες ἀλλήλοις, μικροῦ δεῖν, τὰ τῶν θηρίων μιμοῦνται, τύπτοντες, λακτίζοντες, δάκνοντες, κατακόπτοντες τὰ σώματα, οὐδενὸς φειδόμενοι μέρους, οὐκ ὀφθαλμῶν, οὐκ ὤτων, οὐ ῥινός, οὐ προσώπου, οὐκ ἄλλου μέλους τινός, ἀλλὰ συρραγέντες ἀλλήλοις, καὶ κατακόψαντες ἑαυτούς, καὶ τί κακὸν οὐ ποιήσαντες, ἀναχωροῦσιν ἐκ τῆς μάχης, οἱ μὲν ὀφθαλμὸν ἐκκοπέντες, οἱ δὲ ὦτα, οἱ δὲ χείλη, οἱ δὲ ἄλλο τι τοῦ σώματος μέρος, πλέον τὴν ψυχὴν ἢ τὸ σῶμα διεφθαρμένοι, μεμηνότες, παραφρονοῦντες, λυττῶντες, ἀγνοοῦντες τὸν νόμον τοῦ Θεοῦ καὶ σωτῆρος, τὸν κελεύοντα, ῥαπιζομένους καὶ τυπτομένους καὶ τὰ ἄλλα πάσχοντας, ἡσυχαζούσῃ τῇ ψυχῇ πάντα φέρειν γενναίως, καὶ νικᾷν τῇ πραότητι τὸν τῶν ἀδικούντων θυμόν. ὁ γὰρ τοῦτο ποιῶν, ἐπαινεῖται μὲν ὑπὸ ἀνθρώπων, στεφανοῦται δὲ ὑπὸ Θεοῦ καὶ σωτῆρος. διόπερ χρὴ καρτερεῖν, καὶ τῶν ὀργιζομένων ἡμέρως ἀνέχεσθαι, βλέποντας πρὸς τὸν στέφανον, ὃν ὁ Θεὸς ἑτοιμάζει τοῖς ἐπιεικέσι καὶ χρηστοῖς. ἄτοπον γὰρ τοὺς μὲν γυμνικῶν ἀγώνων ἀθλητάς, καὶ κονιορτοῦ καὶ πληγῶν καὶ τραυμάτων ἀνέχεσθαι, πρὸς δόξαν κενήν, καὶ στέφανον οὐδενὸς ἄξιον βλέποντας· ἡμᾶς δὲ τοὺς ὑπὸ Χριστοῦ στεφανοῦσθαι μέλλοντας, μὴ κρατεῖν ὀργῆς, μηδὲ πάντα φέρειν γενναίως, ἀλλὰ βραχεῖαν ἡδονὴν καὶ θυμὸν ἄδικον τῆς ἐν οὐρανοῖς προτιμᾷν τιμῆς τε καὶ εὐδοξίας. καὶ μὴν κἀκεῖνά γε ἴσμεν, ὅτι πολλῶν ὄντων καὶ μεγάλων, οἷς ὁ τῶν δικαίων κεκόσμηται βίος, τοῦτο παρὰ τῶν ἄλλων λαμπροὺς πεποίηκε τοὺς ἄνδρας, τὸ χρηστότητι συζῆν, καὶ τοῖς ἀδικοῦσιν ἡμέρως προσφέρεσθαι. τούτῳ μὲν γάρ, ὁ Μωϋσῆς πράως ἀνεχόμενος τῆς τῶν Ἰουδαίων μανίας, καὶ ταῖς εὐχαῖς τοὺς ἐχθροὺς διασώζων, τῆς ἐν οὐρανοῖς τιμῆς τε καὶ εὐδοξίας παρὰ τῶν ἄλλων ἀπήλαυσε, καὶ τοῦ Θεοῦ φίλος ἐκλήθη· τούτῳ δέ, ὁ Δαβὶδ τῶν ἐχθρῶν καὶ πολεμίων φεισάμενος, εἰς πολλὴν εὔνοιαν καὶ φιλίαν τὸν Θεὸν ἐπεσπάσατο. ἅπαντα μὲν γὰρ ἄνθρωπον τοῦτο κοσμεῖν δύναται, διαφερόντως δὲ τοὺς ἐν ταῖς ἐξουσίαις. ὁ γὰρ, πάντα ποιεῖν ἐπιτρεπούσης τῆς βασιλείας, κατέχων ἑαυτὸν, καὶ τὸν τοῦ Θεοῦ νόμον ἡγεμόνα ποιεῖσθαι τῶν ἔργων, μέγα μὲν εἰς εὐφημίαν τε καὶ δόξαν. καὶ μὴν καὶ Παῦλος καὶ Πέτρος τῆς οὐρανίας ἁψῖδος ἁψάμενοι διὰ τὴν ἀρετὴν, ἣ συνέζησαν, ἀπὸ τῆς ἡμερότητος μᾶλλον, ἢ τῶν ἄλλων ἐξέλαμψαν ἀγαθῶν, τοὺς λοιδορουμένους τιμῶντες, τοὺς ἐχθροὺς εὖ ποιοῦντες, τοὺς καταλιθάσαντας πολλάκις ταῖς εὐχαῖς διασώζοντες. ἤδεισαν γὰρ τοῦτο μάλιστα κεχαρισμένοι τῷ Θεῷ ποιοῦντες, καὶ παρὰ τῶν ἄλλων ἀγαθῶν ἐν οὐρανοῖς θαυμαζόμενοι. διόπερ αὐτοί γε τὸν ἑαυτῶν βίον ἡμερότητι κοσμοῦντες ἐφαίνησαν, καὶ τοὺς ἄλλους ἀνθρώπους ἐπὶ ταύτην παρακαλοῦντες. ἐπεὶ καὶ τὸν Στέφανον ἐν τοῖς ὑπὲρ τῆς εὐσεβείας κινδύνοις ὑπὲρ τῶν ἐχθρῶν ὁρῶντες εὐχόμενον, ὁμοίως ἐπί τε τῇ πραότητι καὶ τοῖς ἀγῶσι θαυμάζομεν. ἐπεὶ τοίνυν τοσούτους καὶ τοιούτους ἡγεμόνας ἐπιεικείας ἔχομεν, παρακαλέσωμεν ἑαυτοὺς καὶ ἀλλήλους τοῖς ἐκείνων ἴχνεσιν ἕπεσθαι, καὶ διὰ πραότητος τῷ Θεῷ λειτουργεῖν, ὡς ταύτην μᾶλλον ἀσμένως δεχομένῳ τὴν λειτουργίαν, ἢ τὰς ἄλλας ἁπάσας ἀρετάς. καὶ γὰρ ὁ θειότατος Παῦλος, ἀρετὴν ἀποστόλου δεῖξαι βουλόμενος, ἐκ τῆς ἡμερότητος μάλιστα βούλεται τὸν τοῦ Χριστοῦ διάκονον φαίνεσθαι. καίτοι πολλὰ εἶχεν εἰπεῖν, εἴγε λέγειν ἐβούλετο τὰ κοσμοῦντα τὸν ἀπόστολον, δαιμόνων ἔλασιν, νεκρῶν ἀνάστασιν· ἀλλ' ὅμως πάντα ὑπερβὰς ἐκεῖνα, τὴν ἐν τοῖς ἤθεσιν ἐπιείκειαν ἄνω καὶ κάτω διεξέρχεται, ὅπως ἡμέρως προσενήνεκται τοῖς ἐχθροῖς, διεξιών τε καὶ λέγων· ἵνα πείσῃ καὶ ἡμᾶς τοῖς οἰκείοις ἴχνεσιν ἕπεσθαι, καὶ χρηστοὺς εἶναι καὶ πράους. δίκαιον οὖν τοῖς ἁγίοις ἐκείνοις ἀκολουθεῖν, κἀκείνους ποιεῖσθαι τοῦ βίου παράδειγμα, ἵνα πᾶσι τοῖς καλοῖς ἐκλάμποντες, τῶν ἐπηγγελμένων τύχωμεν ἀγαθῶν, παρὰ τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ, σὺν τῷ πνεύματι ἁγίῳ, πᾶσα δόξα, τιμὴ καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πραξ. η. ξ.

α. Τιμ. γ. γ.
Τιτ. γ. ς.
Φιλιπ. δ. ε.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ. Λογ. α.

Ἀμφοτέρων ἕνεκα προσήκει τοὺς τοῦ Θεοῦ θεράποντας μακαρίζειν καὶ θαυμάζειν, ὅτι τὴν ἐλπίδα τῆς ἑαυτῶν σωτηρίας ἐν ταῖς ἁγίαις εἶχον εὐχαῖς, καὶ ὅτι γραφῇ φυλάξαντες τοὺς ὕμνους καὶ τὰς λατρείας, ἃς τῷ Θεῷ σὺν χαρᾷ καὶ φόβῳ προσέφερον, καὶ εἰς ἡμᾶς ″παρέπεμψαν τὸν ἑαυτῶν θησαυρόν· ἵνα πρὸς τὸν οἰκεῖον ζῆλον ″πᾶν τὸ ἐπιγινόμενον ἐπισπάσασθαι δυνηθῶσι. διαφέρειν γὰρ προσήκει τὸν τῶν διδασκάλων ἐπὶ τοὺς ″ὁμιλοῦντας τρόπον, καὶ τοὺς τῶν προφητῶν ″ἀκροατὰς, μιμητὰς [προσήκει] φαίνεσθαι τῆς ἐκείνων δικαιοσύνης, ἵνα πάντα τὸν χρόνον ταῖς προσευχαῖς, καὶ τῇ τοῦ Θεοῦ λατρείᾳ καὶ μελέτῃ συζῶμεν, τοῦτο ζωὴν, τοῦτο ὑγείαν καὶ πλοῦτον, τοῦτο πέρας ἀγαθῶν εἶναι νομίζοντες, τὸ προσεύχεσθαι τῷ Θεῷ μετὰ καθαρᾶς καὶ ἀδιαφθόρου ψυχῆς. ὥσπερ γὰρ τῷ σώματι φῶς ἥλιος, οὕτω ψυχῇ προσευχή. εἰ οὖν τυφλῷ ζημία τὸ μὴ ὁρᾶν τὸν ἥλιον, ″πόση ζημία χριστιανῷ τὸ μὴ προσεύχεσθαι συνεχῶς, καὶ διὰ τῆς εὐχῆς τὸ τοῦ Χριστοῦ φῶς εἰς τὴν ψυχὴν εἰσάγειν; καί τοι τίς οὐκ ἂν ἐκπλαγείη καὶ θαυμάσειε τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, ἣν εἰς ἡμᾶς ἐπιδείκνυται, τοσαύτην τιμὴν ἀνθρώποις χαριζόμενος, ὡς καὶ προσευχῆς ἀξιῶσαι καὶ ὁμιλίας τῆς ἑαυτοῦ; Θεῷ γὰρ ὡς ἀληθῶς ″ὁμιλοῦμεν τῷ καιρῷ τῆς προσευχῆς,* δι' ἧς καὶ τοῖς ἀγγέλοις συναπτόμεθα, καὶ τὴν πρὸς τὰ ἄλογα κοινωνίαν πολὺ φαινόμεθα διαφεύγοντες. ἀγγέλων γὰρ ἔρ-

γρ. διδάσκ
γρ. πάντας
ὅπου.

γρ. μαθητὰ
γρ. μαθητὰ

γρ. πόσῳ μᾶλλον

γρ. λαλοῦ
* προσευχ

γει ἡ προσευχή, ὑπεραίρουσα καὶ τὴν ἐκείνων ἀξίαν, εἴπερ κρεῖττόν ἐστι τῆς ἀγγέλων ἀξίας τὸ Θεῷ διαλέγεσθαι. καὶ ὅτι γε κρεῖττόν ἐστιν, αὐτοὶ διδάσκουσιν ἡμᾶς, σὺν πολλῷ μὲν φόβῳ τὰς εὐχὰς προσφέροντες, παρέχοντες δὲ ἡμῖν εἰδέναι καὶ μανθάνειν, ὅτι προσήκει τῷ Θεῷ προσιόντας, σὺν χαρᾷ καὶ φόβῳ τοῦτο ποιεῖν· φόβῳ μὲν, δεδιότας μὴ τῆς προσευχῆς ἀνάξιοι φανῶμεν· χαρᾷ δὲ μετεώρους γινομένους ἐπὶ τῷ μεγέθει τῆς τιμῆς, ὅτι τοσαύτης καὶ τοιαύτης προνοίας τὸ θνητὸν ἠξιώθη γένος, ὡς καὶ θείας ἀπολαύειν ὁμιλίας συνεχῶς, δι' ἧς καὶ τὸ θνητοὶ εἶναι καὶ πρόσκαιροι διαφεύγομεν, φύσει μὲν ὄντες θνητοί, τῇ δὲ πρὸς Θεὸν ὁμιλίᾳ πρὸς ἀθάνατον ζωὴν μεταβαίνοντες. ἀνάγκη γὰρ τὸν ὁμιλοῦντα Θεῷ, καὶ κρείττονα γενέσθαι θανάτου καὶ πάσης διαφθορᾶς. καὶ ὥσπερ ἀνάγκη πᾶσα τῆς ἡλιακῆς ἀκτῖνος ἀπολαύοντα διαφεύγειν τὸ σκότος· οὕτως ἀνάγκη πᾶσα τὸν θείας ὁμιλίας ἀπολαύοντα, μηκέτι εἶναι θνητόν. αὐτὸ γὰρ τὸ τῆς τιμῆς μέγεθος πρὸς ἀθανασίαν ἡμᾶς μεθίστησιν. Εἰ γὰρ τοὺς βασιλεῖ διαλεγομένους καὶ τῆς παρ' ἐκείνου τιμῆς ἀπολαύοντας, ἀμήχανον εἶναι πένητας, πολλῷ μᾶλλον ἀδύνατον τοὺς τῷ Θεῷ προσευχομένους καὶ ὁμιλοῦντας θνητὰς ἔχειν ψυχάς. θάνατος γὰρ ψυχῆς, ἀσέβεια καὶ βίος παράνομος· οὐκοῦν καὶ ζωὴ ψυχῆς, ἡ τοῦ Θεοῦ λατρεία καὶ βίος ὁ ταύτῃ πρέπων. βίον δὲ ὅσιον καὶ τῇ τοῦ Θεοῦ λατρείᾳ πρέποντα προσευχὴ συνάγει, καὶ θησαυρίζει θαυμαστῶς ταῖς ἡμετέραις ψυχαῖς. Εἴτε γὰρ παρθενίας τις * ἐραστής, εἴτε τὴν ἐν γάμῳ σωφροσύνην τιμᾷν ἐσπουδακώς, εἴτε κρατεῖν ὀργῆς, καὶ πραότητι συζῆν, εἴτε φθόνου καθαρεύειν, εἴτε ἄλλο τι τῶν προσηκόντων ποιεῖν, προσευχῆς ἡγουμένης καὶ προλεαινούσης τὴν τοιαύτην ὁδὸν τοῦ βίου, εὐχερῆ τε καὶ ῥᾴδιον ἕξει τὸν τῆς εὐσεβείας δρόμον. οὐ γὰρ ἔστιν, οὐκ ἔστι τοὺς αἰτοῦντας παρὰ τοῦ Θεοῦ σωφροσύνην καὶ δικαιοσύνην καὶ πραότητα καὶ χρηστότητα, μὴ τυγχάνειν τῆς εὐχῆς. Αἰτεῖτε γάρ, φησι, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. πᾶς γὰρ ὁ αἰτῶν, λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. καὶ ἀλλαχοῦ πάλιν· Τίς ἐστι, φησιν, ἐξ ὑμῶν, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; ἢ ἐὰν ἰχθὺν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; Εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος δώσει πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν; τοιούτοις μὲν λόγοις καὶ τοιαύταις ἐλπίσιν ἐπὶ προσευχὴν παρεκάλεσεν ἡμᾶς ὁ τῶν ὅλων Κύριος: ἡμᾶς δὲ προσήκει τῷ Θεῷ πειθομένους ἀεὶ ζῆν ἐν ὕμνοις καὶ προσευχαῖς, ἀκριβέστερον τῆς τοῦ Θεοῦ λατρείας ἐχομένους, ἢ τῆς ἑαυτῶν ψυχῆς. οὕτω γὰρ ἡμῖν ὑπάρξειε ζῆν ἀεὶ τὴν πρέπουσαν ἀνθρώποις ζωήν. ὅστις γὰρ οὐ προσεύχεται τῷ Θεῷ, οὐδὲ θείας ὁμιλίας ἀπολαύειν ἐπιθυμεῖ συνεχῶς, νεκρός ἐστι καὶ ἄψυχος, καὶ οὐ μετέχει τοῦ φρονεῖν. αὐτὸ γὰρ τοῦτο μέγιστον ἀφροσύνης σημεῖον, τὸ μὴ ἐπίστασθαι τὸ μέγεθος τῆς τιμῆς, μηδὲ ἐρᾶν προσευχῆς, μηδὲ θάνατον ἡγεῖσθαι ψυχῆς τὸ μὴ προσομιλεῖν τῷ Θεῷ. ὥσπερ γάρ, οἶμαι, τὸ σῶμα τοῦτο τὸ ἡμέτερον, ψυχῆς μὴ παρούσης, νεκρόν ἐστι καὶ δυσῶδες· οὕτω ψυχὴ μὴ κινοῦσα ἑαυτὴν εἰς προσευχήν, νεκρά ἐστι καὶ ἀθλία καὶ δυσώδης. ἀλλὰ μήν, ὅτι γε θανάτου παντὸς πικρότερον ἡγεῖσθαι προσήκει, στερηθῆναι προσευχῆς, διδάσκει καλῶς ἡμᾶς Δανιὴλ ὁ μέγας προφήτης, μᾶλλον δὲ ἑλόμενος ἀποθανεῖν, ἢ πρὸς ἡμέρας μόνας στερηθῆναι προσευχῆς. [οὐ γὰρ ἀσεβῆσαί τι [illegible] προσέταξεν ὁ τῶν Περσῶν βασιλεύς, ἀλλὰ πρὸς ἡμέρας μόνον [illegible] εὑρεῖν.] ἄνευ γὰρ τῆς θείας ῥοπῆς οὐκ ἄν τι τῶν ἀγαθῶν εἰς τὰς ἡμετέρας ἔλθοι ψυχάς. Θεοῦ δὲ ῥοπὴ συνυφαίνεται τῶν πόνων ἡμῖν, καὶ τούτους ἐπικουφίζει καλῶς, ἂν ἴδῃ προσευχὴν ἀγαπῶντας, καὶ συνεχῶς τοῦ Θεοῦ δεομένους, καὶ πάντα ἐκεῖθεν τὰ ἀγαθὰ καταβήσεσθαι προσδοκῶντας. ὅταν οὖν ἴδω τινὰ μὴ φιλοῦντα προσευχήν, μηδὲ θερμὸν ἔρωτα ταύτης ἔχοντα καὶ σφοδρόν, ἤδη μοι τοῦτο δῆλόν ἐστιν ὡς οὐδὲν γενναῖον ἐν τῇ ψυχῇ κέκτηται. ὅταν δὲ ἴδω τινὰ τῆς τοῦ Θεοῦ λατρείας ἀκορέστως ἐχόμενον, καὶ

Ματθ. ζ.

Λουκ. ια.

τὸ μὴ προσεύχεσθαι συνεχῶς ἐν ταῖς μεγίσταις ἀριθμοῦνται ζημίαις, τεκμαίρομαι τὸν τοιοῦτον πάσης ἀρετῆς ἀσκητὴν εἶναι βέβαιον, καὶ τοῦ Θεοῦ ναόν. Εἰ γὰρ στολισμὸς ἀνδρὸς καὶ βῆμα ποδὸς καὶ γέλως ὀδόντων ἀναγγέλλει τὰ περὶ αὐτοῦ, κατὰ τὸν σοφὸν Σολομῶντα· πολλῷ μᾶλλον εὐχὴ καὶ λατρεία Θεοῦ σημεῖόν ἐστι δικαιοσύνης ἁπάσης, στολή τις οὖσα πνευματικὴ καὶ θεία, πολλὴν εὐμορφίαν καὶ κάλλος καταχέουσα ταῖς ἡμετέραις διανοίαις, τὸν ἑκάστου ῥυθμίζουσα βίον, οὐκ ἐῶσα φαῦλον οὐδὲν, οὐδὲ ἄτοπον τῆς διανοίας κρατεῖν, αἰδεῖσθαι πείθουσα τὸν Θεὸν καὶ τὴν παρ᾽ αὐτοῦ τιμὴν, πᾶσαν τοῦ πονηροῦ γοητείαν ἀποπέμπεσθαι παιδεύουσα, τοὺς αἰσχροὺς καὶ ἀτόπους ἐξελαύνουσα λογισμοὺς, ἐν ὑπεροψίᾳ τῆς ἡδονῆς καθιστῶσα τὴν ἑκάστου ψυχήν. αὕτη γὰρ ἡ ὑπερηφανία μόνη πρέπει τοῖς τῷ Χριστῷ στρατευομένοις, τὸ μηδενὶ δουλεύειν αἰσχρῷ, ἀλλὰ τηρεῖν ἐν ἐλευθερίᾳ τὴν ψυχὴν, καὶ βίῳ κεκαθαρμένῳ.

Σειρ. ιθ. κϛ.

Ὅτι μὲν οὖν παντελῶς ἀμήχανον ἄνευ προσευχῆς ἀρετῇ συζῆν, καὶ μετὰ ταύτης πορεύεσθαι τὸν βίον, οἶμαι δῆλον ἅπασιν εἶναι. πῶς γὰρ ἄν τις ἀρετὴν ἀσκήσειε, μὴ προσιὼν καὶ προσπίπτων συνεχῶς τῷ ταύτης χορηγῷ καὶ δοτῆρι; πῶς δ᾽ ἄν τις ἐπιθυμήσειεν εἶναι σώφρων καὶ δίκαιος, μὴ ὁμιλῶν ἡδέως τῷ ταῦτά τε καὶ πλείω τούτων ἀπαιτοῦντι παρ᾽ ἡμῶν; βούλομαι δὲ ἐπιδεῖξαι διὰ βραχέων, ὅτι κἂν ἁμαρτημάτων γέμοντας αἱ προσευχαὶ λάβωσιν ἡμᾶς, ταχέως ἀποκαθαίρουσι. καίτοι τί μεῖζον γένοιτ᾽ ἂν προσευχῆς, ἢ πότερον, ὅτῳ ἀλεξιφάρμακον φανῇ τι οὖσα τοῖς τὰς ψυχὰς νοσοῦσιν; οὐκοῦν περ οἱ Νινευῖται φαίνονται διὰ προσευχῆς ἀπολουσάμενοι τὰς πολλὰς πρὸς Θεὸν ἁμαρτίας. ἅμα τε γὰρ ἔλαβεν αὐτοὺς ἡ προσευχὴ, καὶ δικαίους ἐποίησε, καὶ πόλιν εἰθισμένην ἀκολασίᾳ καὶ πονηρίᾳ καὶ παρανόμῳ βίῳ συζῆν, ἐπανώρθωσεν ὀξέως, παλαιᾶς συνηθείας μεῖζον ἰσχύσασα, τῶν οὐρανίων νόμων πλήρη πεποιηκυῖα τὴν πόλιν, συνεφελκομένη μεθ᾽ ἑαυτῆς καὶ σωφροσύνην καὶ φιλανθρωπίαν καὶ πρᾳότητα καὶ πρόνοιαν πτωχῶν. οὐ γὰρ ἀνέχεται χωρὶς τούτων ἐνδιαιτᾶσθαι βροτοῖς, ἀλλ᾽ εἰς ἣν ἂν οἰκήσῃ διάνοιαν, πλήρη ποιεῖ δικαιοσύνης πάσης, παιδοτριβοῦσα πρὸς ἀρετὴν, καὶ κακίαν ἐξορίζουσα. καὶ δὴ καὶ τότε εἴ τις εἰσῆλθεν εἰς Νινευὴ τὴν πόλιν, καὶ πρότερον αὐτὴν ἀκριβῶς ἐπιστάμενος, οὐκ ἂν ἐπέγνω τὴν πόλιν· οὕτως ἐξαίφνης ἀπὸ τοῦ φαυλοτέρου βίου πρὸς εὐσέβειαν μετεπήδησεν. ὥσπερ γὰρ τὴν γυναῖκα πτωχὴν ῥάκια φοροῦσαν, μετὰ ταῦτά τις χρυσοῖς ἱματίοις κεκοσμημένην ἰδὼν, οὐκ ἂν ἐπιγνοίη τὴν γυναῖκα· οὕτως ὁ τὴν πόλιν ἐκείνην εἰδὼς πτωχεύουσαν πρότερον, καὶ τῶν πνευματικῶν ἔρημον οὖσαν θησαυρῶν, ἠγνόησεν ἂν ποία, ἢ τίς ἦν ἡ πόλις, ἣν τοσοῦτον ἴσχυσεν εὐχὴ μεταβαλοῦσα καὶ τρόπον καὶ βίον πρὸς ἀρετὴν ἐπαναγαγεῖν. καὶ γυνὴ δέ τις ἐν ἀκολασίᾳ καὶ πορνείᾳ πάντα βεβιωκυῖα τὸν χρόνον, ἅμα τε προσέπεσε πρὸς τοὺς πόδας τοῦ Χριστοῦ, καὶ σωτηρίας ἔτυχεν. οὐ τοίνυν ἀποκαθαίρει μόνον ἁμαρτίας, ἀλλὰ καὶ κινδύνους ἀποκρούεται μεγάλους. ὅ γέ τοι βασιλεὺς ὁμοῦ τε καὶ προφήτης ὁ θαυμάσιος Δαβὶδ, τοὺς πολλοὺς καὶ χαλεποὺς πολέμους τῇ προσευχῇ διέφυγε, τοῦτο μόνον τὸ ὅπλον τῆς στρατιᾶς προβαλλόμενος, καὶ παρέχων τοῖς ἑαυτοῦ στρατιώταις καθ᾽ ἡσυχίαν καὶ ἄδειαν ἀπολαύειν τῆς νίκης. ὡς οἱ μὲν ἄλλοι βασιλεῖς, ἐν τῇ τῶν στρατηγῶν ἐμπειρίᾳ καὶ τῇ τέχνῃ καὶ τοξόταις καὶ ὁπλίταις καὶ ἱππεῦσι τὴν ἐλπίδα τῆς σωτηρίας εἶχον· ὁ δὲ μέγας Δαβὶδ ταῖς ἁγίαις εὐχαῖς τὴν στρατιὰν ἐτείχιζεν, οὐ βλέπων εἰς ὀφρὺν στρατηγῶν, καὶ ταξιάρχων, καὶ ἱππάρχων, οὐδὲ χρήματα συλλέγων, οὐδὲ ὅπλα κατασκευάζων, ἀλλὰ τὴν θείαν πανοπλίαν ἐξ οὐρανοῦ καταφέρων. πανοπλία γὰρ ὡς ἀληθῶς οὐράνιος, ἡ θεία προσευχὴ, καὶ μόνη δύναται φυλάττειν βεβαίως τοὺς δεδωκότας ἑαυτοὺς τῷ Θεῷ. τὴν μὲν γὰρ τῶν ὁπλιτῶν ἰσχύν τε καὶ ἐπιστήμην, καὶ τοξοτῶν ἐμπειρίαν καὶ προδοσίαν πολλάκις ἀποφαίνει μάταιον καὶ κλέμματα πολεμικὰ, καὶ ἀντιπάλων εὐψυχία, καὶ ἄλλα πολλὰ πρὸς τούτοις. προσευχὴ δ᾽ ἄμαχον

Ιων. γ.

μαχον ὅπλον καὶ ἀσφαλὲς φυλακτήριον, ὁμοίως μὲν στρατιώτην ἕνα, ὁμοίως δὲ καὶ πολλὰς ἀποκρουομένη μυριάδας. ἐπεὶ καὶ Δαβὶδ ὁ θαυμάσιος τὸν Γολιὰθ ἐκεῖνον, ὥσπερ δαίμονά τινα φοβερὸν ἐπερχόμενον, οὐχ ὅπλοις, οὐδὲ ξίφεσιν, ἀλλ' εὐχαῖς κατήνεγκεν. οὕτως ἰσχυρὸν μὲν βασιλεῦσιν ἐν μάχαις ὅπλον ἡ προσευχὴ, ἰσχυρὸν δὲ καὶ ἡμῖν πρὸς δαίμονας. οὕτω καὶ ὁ βασιλεὺς Ἐζεκίας περιγίνεται τοῦ πολέμου τῶν Περσῶν, στρατιὰν μὲν οὐχ ὁπλίσας, εὐχαῖς δὲ μόναις ἀντιστήσας τὸ πλῆθος τῶν ἀντιπάλων. οὕτω καὶ θάνατον διέφυγε μετὰ τῆς προσηκούσης εὐλαβείας τῷ Θεῷ προσπεσὼν, καὶ ἡ προσευχὴ μόνη δέδωκεν ἀναβιῶναι τῷ βασιλεῖ. καὶ μὴν γε ὅτι ψυχὴν ἡμαρτηκυῖαν ἡ προσευχὴ ῥᾳδίως ἀποκαθαίρει, διδάσκει ἡμᾶς ὁ τελώνης, δεηθεὶς τοῦ Θεοῦ τυχεῖν ἀφέσεως, καὶ τυχών· διδάσκει δὲ καὶ ὁ λεπρὸς, ἅμα τε προσπεσὼν τῷ Θεῷ, καὶ καθαρθεὶς εὐθέως. Εἰ δὲ σῶμα διεφθαρμένον ὁ Θεὸς ὀξέως ἰάσατο, πολλῷ μᾶλλον ψυχὴν νενοσηκυῖαν θεραπεύσει φιλανθρώπως. ὅσῳ γὰρ τιμιωτέρα τοῦ σώματος ἡ ψυχὴ, τοσούτῳ μᾶλλον εἰκὸς περὶ ταύτην πλείονα σπουδὴν ἐπιδείκνυσθαι τὸν Θεόν. καὶ μυρία ἄν τις ἔχοι λέγειν καὶ παλαιὰ καὶ καινὰ, εἰ πάντας ἐξαριθμεῖσθαι βούλοιτο τοὺς διὰ προσευχῆς σεσωσμένους. ἴσως δέ τις τῶν ῥᾳθυμοτέρων, καὶ οὐκ ἐθελόντων ἐπιμελῶς προσεύχεσθαι καὶ σπουδαίως, ἐκεῖνα τὰ ῥήματα φήσειεν ἂν εἰρηκέναι τὸν Θεὸν, ὡς, Οὐ πᾶς ὁ λέγων μοι Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. ἐγὼ δὲ εἰ μόνην ἐξαρκεῖν πρὸς τὴν ἡμετέραν σωτηρίαν τὴν προσευχὴν ἐνόμιζον, εἰκότως ἄν τις τούτοις ἐνέχειρε τοῖς λόγοις. ἐπεὶ δὲ κεφάλαιον εἶναι τῶν ἀγαθῶν τὴν προσευχήν φημι, καὶ κρηπῖδα καὶ ῥίζαν τοῦ λυσιτελοῦντος βίου, μηδεὶς ἐπὶ προφάσει ῥᾳθυμίας ἐκείνοις κεχρήσθω τοῖς λόγοις. οὐδὲ γὰρ σωφροσύνη μόνη δύναται σώζειν αὐτὴ τῶν ἄλλων ἀγαθῶν, οὐδὲ πρόνοια πτωχῶν, οὐδὲ χρηστότης, οὐδὲ ἄλλο τι τῶν σπουδαίων, ἀλλὰ δεῖ πάντα συνδραμεῖν εἰς τὰς ἡμετέρας ψυχάς. προσευχὴ δὲ, ὥσπερ ῥίζα καὶ κρηπὶς, ὑπόκειται. καὶ ὥσπερ πλοῖον καὶ οἰκίαν τὰ κάτωθεν ἰσχυρὰ ποιεῖ καὶ συνεχῆ, οὕτω τὸν ἡμέτερον βίον αἱ προσευχαὶ συγκρατοῦσιν. ἄνευ δὲ ταύτης οὐδὲν ἂν ἡμῖν ἀγαθὸν οὐδὲ σωτήριον γένοιτο. διὰ τοῦτο ὁ Παῦλος ἔγκειται συνεχῶς ἡμῖν διακελευόμενος, καὶ λέγων, Τῇ προσευχῇ προσκαρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ. καὶ ἀλλαχοῦ· Ἀδιαλείπτως προσεύχεσθε, φησὶν, ἐν παντὶ εὐχαριστοῦντες· τοῦτο γὰρ ἐστὶ θέλημα Θεοῦ. καὶ ἑτέρωθι πάλιν, Προσεύχεσθε ἐν παντὶ καιρῷ, ἐν πνεύματι, εἰς αὐτὸ ἀγρυπνοῦντες ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει. οὕτω πολλαῖς καὶ θείαις φωναῖς ἐπὶ προσευχὴν ἡμᾶς ἐκάλει συνεχῶς ὁ τῶν ἀποστόλων ἡγεμών. προσήκει τοίνυν τὰ ἐκείνου παιδευομένους, μετὰ προσευχῆς πορεύεσθαι τὸν βίον*, καὶ ταύτῃ συνεχῶς τὴν διάνοιαν ἀρδεύειν. χρῄζομεν γὰρ οἱ πάντες ἄνθρωποι ταύτης οὐχ ἧττον, ἢ τὰ δένδρα τῶν ὑδάτων. οὔτε γὰρ ἐκεῖνα δύναται ἐκφέρειν τοὺς καρποὺς, μὴ πίνοντα διὰ τῶν ῥιζῶν· οὔτε ἡμεῖς τοῖς πολυτιμήτοις καρποῖς τῆς εὐσεβείας δυνησόμεθα βρύειν, μὴ ταῖς προσευχαῖς ἀρδευόμενοι. διόπερ χρὴ καὶ τῆς κλίνης ἀνισταμένους φθάνειν ἀεὶ τὸν ἥλιον τῇ τοῦ Θεοῦ λατρείᾳ, καὶ τραπέζης ἁπτομένους, καὶ καθεύδειν μέλλοντας· μᾶλλον δὲ καὶ καθ' ἑκάστην ὥραν μίαν εὐχὴν τῷ Θεῷ προσφέροντας, ἴσον τῇ ἡμέρᾳ δρόμον τρέχοντας· ἐν δέ γε τῇ τοῦ χειμῶνος ὥρᾳ καὶ τῆς νυκτὸς τὸ πλεῖστον μέρος εἰς προσευχὰς ἀναλίσκοντας, καὶ τὰ γόνατα κάμπτοντας σὺν πολλῷ τῷ φόβῳ τῇ δεήσει προσέχοντας, μακαρίζοντας ἑαυτοὺς ἐπὶ τῇ τοῦ Θεοῦ λατρείᾳ. Εἰπέ μοι, πῶς ὄψει τὸν ἥλιον, μὴ προσκυνήσας τὸν πέμποντα τοῖς σοῖς ὀφθαλμοῖς γλυκύτατον φῶς; πῶς ἀπολαύσεις τραπέζης, μὴ προσκυνήσας τὸν τοσούτων ἀγαθῶν δοτῆρα καὶ χορηγόν; μετὰ ποίας ἐλπίδος ἐπὶ τὸν τῆς νυκτὸς ἥξεις καιρόν; ποίοις προσδοκᾷς ὀνείρασιν ὁμιλῆσαι, μὴ τειχίσας σαυτὸν προσευχαῖς, ἀλλ' ἀφύλακτος ἐπὶ τὸν ὕπνον ἐλθών; εὐκαταφρόνητος καὶ εὐάλωτος τοῖς πονηροτάτοις δαίμοσιν ἔσῃ, οἳ περιέρχονται συνεχῶς καιροφυ-

α. Βασ. ιζ.

δ. Βασ. ιθ.

Ματθ. ζ κα.

Κολ. δ. β.

α Θεσ. ε. ιζ.

Ἐφεσ. ς. ιη.

λοχῶντες ἡμᾶς, ἵνα λαβόντες γυμνὸν προσευχῆς ἀναρπάσωσιν ὀξέως. Ἂν μὲν οὖν ἴδωσιν ἡμᾶς πεφραγμένους ταῖς προσευχαῖς, ἀποπηδῶσιν εὐθέως, ὥσπερ λῃσταὶ καὶ κακοῦργοι, πρὸς τῇ κεφαλῇ τοῦ στρατιώτου ξίφος ὁρῶντες κρεμάμενον· ἂν δὲ ἄρα συμβῇ τινα γυμνὸν εἶναι προσευχῆς, οὗτος " ἀνάρπαστος ὑπὸ τῶν δαιμόνων φέρεται, εἰς ἁμαρτίας ὠθούμενος καὶ συμφορὰς καὶ κακά. Ταῦτα δὲ πάντα φοβουμένους ἡμᾶς, προσευχαῖς καὶ ὕμνοις ἀεὶ τειχίζειν ἑαυτούς, ἵνα πάντας ὁ Θεὸς ἐλεήσας, ἀξίους ἀπεργάσηται τῆς τῶν οὐρανῶν βασιλείας, διὰ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ. Λογ. β.

Ὅτι μὲν παντὸς ἀγαθοῦ κεφάλαιόν ἐστιν ἡ προσευχὴ, καὶ σωτηρίας καὶ ζωῆς αἰωνίου πρόξενος, ἀγνοεῖ τῶν ἁπάντων οὐδείς. Ἀναγκαῖον δὲ ὅμως τὰ κατὰ δύναμιν λέγειν περὶ τοῦ πράγματος, ἵνα τοὺς μὲν εἰωθότας ζῇν ἐν προσευχαῖς, καὶ τῇ λατρείᾳ τοῦ Θεοῦ " προσέχειν ἐπιμελῶς, σπουδαιοτέρους ὁ λόγος ἀπεργάσηται· τοὺς δὲ ῥαθυμότερον βεβιωκότας καὶ προσευχῆς ἔρημον τὴν ψυχὴν ἀφέντες, τὴν ἐπὶ τοῦ παρελθόντος χρόνου ζημίαν μάθωσι, καὶ μὴ προσαποστερήσωσιν ἑαυτοὺς τῆς σωτηρίας τὸ λειπόμενον τοῦ βίου μέρος. Εὐθὺς τοίνυν ἐκεῖνο μέγιστον περὶ " προσευχῆς εἰπεῖν ἔχομεν, ὅτι πᾶς προσευχόμενος τῷ Θεῷ διαλέγεται. Ὅσον δέ ἐστιν ἀνθρώπους ὄντας τῷ Θεῷ " διαλέγεσθαι, ἀγνοεῖ μὲν οὐδείς· παραστῆσαι δὲ λόγῳ τὴν τιμὴν οὐκ ἄν τις δυνηθείη. Αὕτη γὰρ ἡ τιμὴ καὶ τὴν τῶν ἀγγέλων ὑπεραίρει μεγαλοπρέπειαν· ὃ καλῶς ἐκεῖνοι ἐπιστάμενοι, πάντες φαίνονταί που παρὰ τοῖς προφήταις σὺν πολλῷ τῷ φόβῳ τοὺς ὕμνους καὶ τὰς λατρείας τῷ δεσπότῃ προσάγοντες, καλύπτοντες μὲν καὶ πρόσωπα καὶ τοὺς πόδας ὑπὸ πολλῆς εὐλαβείας, τῇ δὲ πτήσει καὶ τῷ μὴ δύνασθαι μένειν ἐν ἡσυχίᾳ, τὸν πολὺν ἐνδεικνύμενοι φόβον· παιδεύοντες, οἶμαι, καὶ ἡμᾶς ἐπιλανθάνεσθαι μὲν τῆς ἀνθρωπίνης φύσεως ἐν καιρῷ προσευχῆς, τῇ δὲ προθυμίᾳ καὶ τῷ φόβῳ συνεχομένους, μηδὲν τῶν παρόντων ὁρᾷν· ἀλλ' ἐν μέσῳ τῶν ἀγγέλων ἑστάναι νομίζειν, καὶ τὴν αὐτὴν ἐκείνοις λατρείαν ἐπιτελεῖν. Τὰ μὲν γὰρ ἄλλα πάντα πολὺ κεχωρισμένα, τά τε ἐκείνων λέγω καὶ τὰ ἡμέτερα, καὶ φύσις, καὶ δίαιτα, καὶ σοφία, καὶ σύνεσις, καὶ πᾶν ὅ, τι ἂν " εἴποι τις· " προσευχὴ δὲ κοινὸν ἔργον ἀγγέλων ὁμοῦ καὶ ἀνθρώπων, καὶ οὐκ ἔστι μέσον οὐδὲν ἑκατέρας φύσεως, τάγε εἰς προσευχήν. Αὕτη σε χωρίζει τῶν ἀλόγων, αὕτη * συνάπτει τοῖς ἀγγέλοις· τάχα δέ τις εἰς τὴν ἐκείνων " μεταστῆναι δυνήσεται πολιτείαν καὶ βίον καὶ δίαιταν καὶ τιμὴν καὶ εὐγένειαν καὶ σοφίαν καὶ σύνεσιν, πάντα τὸν βίον ἐν προσευχαῖς καὶ τῇ τοῦ Θεοῦ λατρείᾳ σπουδάζων " ἀποχρῆσθαι. Τί γὰρ ἂν ὁσιώτερον γένοιτο τῶν ὁμιλούντων Θεῷ; τί δὲ δικαιότερον; τί δὲ κοσμιώτερον; τί δὲ σοφώτερον; Εἰ γὰρ οἱ σοφοῖς ἀνδράσιν " ὁμιλοῦντες, ὑπὸ τῆς συνεχοῦς ὁμιλίας εἰς ὁμοιότητα τῆς ἐκείνων φρονήσεως καθίστανται ταχέως, τί προσήκει λέγειν περὶ τῶν " διαλεγομένων Θεῷ καὶ προσευχομένων; ἴσης μὲν σοφίας, ὅσης δὲ ἀρετῆς, καὶ συνέσεως, καὶ καλοκαγαθίας, καὶ σωφροσύνης, καὶ τρόπων ἐπιεικείας " ἀναπίμπλησιν αὐτοὺς ἡ προσευχὴ καὶ ἡ δέησις; ὥστε οὐκ ἄν τις ἁμάρτοι, πάσης ἀρετῆς καὶ δικαιοσύνης ἀφορμὴν εἶναι τὴν προσευχὴν " ἀποφαινόμενος, καὶ μηδὲν δύνασθαι τῶν συντελούντων εἰς εὐσέβειαν εἰσελθεῖν εἰς ψυχὴν προσευχῆς καὶ δεήσεως ἔρημον. Ἀλλ' ὥσπερ ἀτείχιστος πόλις ῥᾳδίως ἂν ὑπὸ τοῖς πολεμίοις γένοιτο, κατὰ πολλὴν τοῦ " κωλύσοντος ἐρημίαν· οὕτω δὴ καὶ ψυχὴν μὴ τετειχισμένην προσευχαῖς, ῥᾳδίως ὁ διάβολος ὑφ' ἑαυτῷ ποιεῖται, καὶ πάσης ἁμαρτίας εὐχερῶς ἀναπίμπλησι.

πρότερον μὲν γὰρ ὅταν ἴδῃ ψυχὴν πεφραγμένην προσευχαῖς, οὐ τολμᾷ γίνεσθαι πλησίον, δεδοικὼς τὴν ἰσχὺν καὶ τὴν δύναμιν, ἣν αἱ προσευχαὶ "παρέχουσι, μᾶλλον τρέφουσαι τὴν ψυχὴν, ἢ τὰ σώματα "σῖτος. ἔπειτα οἱ προσευχόμενοι σπουδαίως, οὐχ ὑπομένουσιν οὐδὲν παθεῖν τῆς προσευχῆς ἀνάξιον, ἀλλ' αἰσχυνόμενοι τὸν Θεὸν, ᾧ διελέχθησαν ἄρτι, πᾶσαν ἀπωθοῦνται ταχέως τοῦ πονηροῦ μηχανὴν, ἐνθυμούμενοι πρὸς ἑαυτοῖς, ὅσον ἐστὶ κακὸν ἄρτι τῷ Θεῷ "λαλήσαντα, καὶ δεηθέντα περὶ σωφροσύνης καὶ ὁσιότητος, εὐθὺς ἐπὶ τὸν διάβολον μεταστῆναι, καὶ παραδέξασθαι τῇ ψυχῇ τὰς "αἰσχρὰς ἡδονὰς, καὶ δοῦναι τῷ διαβόλῳ πρόσοδον ἐπὶ τὴν διάνοιαν, ἣν ἄρτι Θεὸς ἐπεσκέψατο, καὶ συγχωρῆσαι τοῖς δαίμοσιν ἐμβατεύειν εἰς ψυχὰς, ἐν αἷς ἡ τοῦ πνεύματος χάρις πολλὴν ἐπεδείξατο φιλανθρωπίαν καὶ πρόνοιαν. καὶ "ὅπως, ἄκουσον. ἀμήχανον ἀνθρώπῳ δυνηθῆναι "θείαν ἐνεγκεῖν ὁμιλίαν ἄνευ τῆς ἐνεργείας τοῦ πνεύματος, ἀλλὰ διὰ ταύτης παρούσης καὶ συνεφαπτομένης τῶν ἁγίων ἀγώνων, οὕτως εἰσελθεῖν καὶ κάμψαι γόνατα, καὶ δυνηθῆναι καὶ προσεύξασθαι. ἐπειδὴ γὰρ κρεῖττον ἢ κατὰ ἄνθρωπον λαλῆσαι Θεῷ, δεῖ τὴν χάριν τοῦ πνεύματος ἐλθοῦσαν εἰς ἡμᾶς ἐπιρρῶσαι καὶ θαρρῦναι, καὶ διδάξαι τῆς τιμῆς τὸ μέγεθος. ὅταν οὖν μάθῃς ὅτι καὶ Θεῷ λαλεῖς, καὶ πνεύματος * ἐνέργειαν ἐδέξω διαλέγεσθαι μέλλων, οὐδεμίαν δώσεις τῷ διαβόλῳ πρόσοδον ἐπὶ τὴν ψυχὴν τὴν ἡγιασμένην ὑπὸ τοῦ πνεύματος. ὥσπερ γὰρ οἱ βασιλεῖ διαλεχθέντες, καὶ λόγων ἡμέρων καὶ τιμῆς ἀπολαύσαντες, οὐκ ἀξιοῦσιν ἐλθεῖν εἰς ὁμιλίαν τῶν προσαιτῶν καὶ ἀπερριμμένων· οὕτως ὁ Θεῷ "λαλήσας καὶ προσευξάμενος, οὐκ ἂν ἀξιώσειε τοῦ πονηροῦ καὶ ἀσεβοῦς ὁμιλίαν παραδέξασθαι. καὶ γὰρ ὡς ἀληθῶς ὁ δουλεύων ἡδοναῖς, δαίμοσιν ὁμιλεῖ, καὶ τὴν ἐκείνων μανίαν ἐζήλωσεν· ὥσπερ δὲ ὁ σωφρονῶν καὶ δικαιοσύνην ἀσκῶν ἀγγέλοις συνδιαιτᾶται, καὶ τὴν ἐκείνων ζηλοῖ μεγαλοπρέπειαν. δοκεῖ δέ μοί τις ἂν εἰπὼν, ὅτι νεῦρα τῆς ψυχῆς εἰσιν αἱ προσευχαὶ, τἀληθὲς εἰπεῖν. ὥσπερ γὰρ, οἶμαι, τὸ σῶμα διὰ τῶν νεύρων συνέχεται, καὶ τρέχει καὶ ἵσταται, καὶ ζῇ καὶ πέπηγεν· ἂν δὲ ταῦτά τις ἐκτέμῃ, πᾶσαν τὴν ἁρμονίαν διαλύει τοῦ σώματος· οὕτως αἱ ψυχαὶ διὰ τῶν ἁγίων προσευχῶν ἁρμόζονται, καὶ συνεστήκασι, καὶ τὸν δρόμον τῆς εὐσεβείας τρέχουσιν εὐχερῶς. ἂν δὲ τῆς προσευχῆς ἀποστερήσῃς σαυτὸν, ταὐτὸν ποιήσεις, ὥσπερ ἂν εἰ τὸν ἰχθὺν ἐκ τοῦ ὕδατος ἐξήγαγες *. ὥσπερ γὰρ ἐκείνῳ ζωὴ τὸ ὕδωρ, οὕτω σοὶ προσευχή. διὰ ταύτης ἐστὶν, ὥσπερ δι' ὕδατος, ἀναπτῆναι, καὶ τοὺς οὐρανοὺς ὑπερβῆναι, καὶ τοῦ Θεοῦ γίνεσθαι πλησίον. ἱκανὰ μὲν οὖν καὶ τὰ ῥηθέντα δεῖξαι τὴν ἰσχὺν τῆς ἁγίας προσευχῆς· βέλτιον δὲ ἴσως, ἐπὶ τὰς θείας "ἐλθόντας γραφὰς, ἐκ τῶν ἀποφάσεων τοῦ Χριστοῦ μαθεῖν τὸν πλοῦτον, ὃν αἱ προσευχαὶ θησαυρίζουσι τοῖς βουλομένοις ἐν αὐταῖς πάντα τὸν βίον σχολάζειν. ἔλεγε δὲ, φησὶ, καὶ παραβολὴν αὐτοῖς, πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι. κριτής τις ἦν ἔν τινι πόλει, τὸν Θεὸν μὴ φοβούμενος, καὶ ἄνθρωπον μὴ ἐντρεπόμενος. χήρα δὲ ἦν ἐν τῇ πόλει ἐκείνῃ, καὶ ἤρχετο πρὸς αὐτὸν λέγουσα, ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου· καὶ οὐκ ἤθελεν ἐπὶ χρόνον. μετὰ δὲ ταῦτα εἶπεν ἐν ἑαυτῷ, εἰ καὶ τὸν Θεὸν οὐ φοβοῦμαι, καὶ ἄνθρωπον οὐκ ἐντρέπομαι, διά γε τὸ παρέχειν μοι κόπον τὴν χήραν ταύτην, ἐκδικήσω αὐτὴν, ἵνα μὴ εἰς τέλος ἐρχομένη ὑπωπιάζῃ με. εἶπε δὲ ὁ Κύριος, ἀκούσατε τί ὁ κριτὴς τῆς ἀδικίας λέγει· ὁ δὲ Θεὸς οὐ μὴ ποιήσῃ τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν αὐτοῦ, τῶν βοώντων πρὸς αὐτὸν ἡμέρας καὶ νυκτὸς, καὶ μακροθυμεῖ ἐπ' αὐτοῖς; λέγω ὑμῖν, ὅτι ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν τάχει. Luc. 18. 1. μάθωμεν, ἀδελφοὶ, τὴν κεκρυμμένην σοφίαν ἐν τοῖς λόγοις τοῦ πνεύματος, διερευνώμενοι κατὰ δύναμιν ἡμετέραν, οὐχ ὅση ἐστὶν, ἀλλ' ὅσον ἡμῖν ἐφικτόν. οἱ μὲν οὖν ἐν τῇ θαλάττῃ ποιούμενοι τὸν βίον, ἐπ' αὐτὸν "κατιόντες τὸν βυθὸν, τοὺς πολυτιμήτους λίθους τοὺς ἐν τῇ ἀβύσσῳ κομίζουσιν· ἡμεῖς δὲ τὸ πέλαγος τῶν θείων γραφῶν "ἱστορήσαντες, εἰς αὐτὸν τὸν βυθὸν τῆς πνευματικῆς σοφίας, ὅσον οἷόν τε, "καταβησώμεθα, ἵνα κομίζωμεν ὑμῖν θησαυρὸν "ἀγαθῶν, κοσμοῦντα τὰς ψυχὰς βέλτιον, ἢ ταῖς κεφαλαῖς τῶν βασιλέων οἱ λιθοκόλλητοι στέφανοι. ὁ μὲν γὰρ ἐκείνων κάλλος, τῷ βίῳ τούτῳ (συναπαρτίζεται)· ὁ δὲ τοῖς λόγοις τοῦ πνεύματος στεφανωθεὶς τὴν ψυχὴν, καὶ νῦν μετὰ ἀσφαλείας πάσης διαπερᾷ τὸν χρόνον, καὶ μετὰ τὴν τοῦ βίου τελευτὴν θαρρῶν προσέρχεται τῷ βήματι τοῦ Χριστοῦ, γέμων ἀρετῆς, καὶ καθαρεύων πάσης κακίας. ἵνα οὖν ὑμῖν θησαυρὸν ἐκ τοῦ βυθοῦ τῶν γραφῶν κομίζωμεν, οὐκ αὐτοῦ τοῦ βάθους ἁπτόμενοι τῆς σοφίας, ἀλλὰ τοσοῦτον κατιόντες, ὅσον ἐγχωρεῖ· ἐπὶ τὴν προσευχὴν ἄγων τοὺς ἀνθρώπους ὁ Χριστὸς, καὶ τὴν ἀπὸ ταύτης ὠφέλειαν παραστῆσαι βουλόμενος ταῖς ὑμετέραις ψυχαῖς, κριτὴν εἰσάγει πονηρὸν τινα καὶ σκαιὸν, πᾶσαν αἰδῶ τῶν ὀφθαλμῶν ἀπορρίψαντα καὶ τὸν τοῦ Θεοῦ φόβον ἐκ τῆς ψυχῆς ἐξελάσαντα. καίτοιγε ἤρκει δικαίου καὶ ἐλεήμονος ὑποθέσθαι πρόσωπον, καὶ παρεξετάσαντα τὴν ἐκείνου δικαιοσύνην τῇ φιλανθρωπίᾳ τοῦ Θεοῦ, δεῖξαι τὴν ἰσχὺν τῆς δεήσεως. Εἰ γὰρ ἄνθρωπος χρηστὸς καὶ πρᾶος ἡμέρως δέχεται τοὺς ἱκετηρίαν προσάγοντας, πόσῳ μᾶλλον ὁ Θεὸς, οὗ τὸ μέγεθος τῆς φιλανθρωπίας οὐ μόνον τὴν ἡμετέραν ὑπερβαίνει διάνοιαν, ἀλλὰ καὶ τοὺς ἀγγέλους αὐτούς; ἤρκει μὲν οὖν, ὅπερ ἔφην, δικαίου πρόσωπον ὑποθέσθαι κριτοῦ· νῦν δὲ ὠμὸν καὶ ἀσεβῆ καὶ μισάνθρωπον εἰσάγει κριτὴν, ἐπὶ μὲν τῶν ἄλλων ἀνήμερον, ἐπὶ δὲ τῶν δεομένων χρηστὸν καὶ πρᾶον· ἵνα μάθῃς ὅτι πᾶσα δέησις καὶ φύσιν πονηρὰν εἰς οἶκτον καὶ ἔλεον ἐπισπᾶται ῥαδίως. τίνος οὖν ἕνεκα τοῦτο πεποίηκεν ὁ Χριστός; ἵνα μηδεὶς ἀγνοῇ τῶν ἁπάντων τῆς προσευχῆς τὴν ἰσχύν. διὰ τοῦτο τῷ πικροτάτῳ πάντων παραστήσας τὴν χήραν, καὶ δείξας αὐτὸν παρὰ φύσιν φιλάνθρωπον, ἀπὸ τοῦ πονηροῦ πρὸς τὸν ἑαυτοῦ πατέρα μετέστησε τὸν λόγον, τὸν ἀγαθὸν, τὸν πρᾶον, τὸν ἥμερον, τὸν φιλάνθρωπον, ὑπερβαίνοντα ἀνομίας, συγχωροῦντα ἁμαρτίας πολλὰς, βλασφημούμενον καθ᾽ ἑκάστην ἡμέραν καὶ φέροντα, ἀνεχόμενον ὁρᾶν τιμὴν εἰς δαίμονας, ὕβριν εἰς αὐτὸν, εἰς τὸν υἱὸν βλασφημίας, ῥητὰ καὶ ἄρρητα μυρία δεινά. εἶτα βλασφημούμενος μὲν, οὕτω πράως ἀνέχεται· ἂν δὲ ἴδῃ μετὰ τοῦ προσήκοντος φόβου προσπίπτοντας ἡμᾶς, οὐκ ἐλεήσει ταχέως; ἀκούσατέ, φησι, τί ὁ κριτὴς τῆς ἀδικίας λέγει. Εἰ καὶ τὸν Θεὸν οὐ φοβοῦμαι, καὶ ἄνθρωπον οὐκ ἐντρέπομαι, διά γε τὸ παρέχειν μοι κόπους, ἐκδικήσω αὐτήν. τί λέγεις; ὅπερ οὐκ ἴσχυσε φόβος*, τοῦτο δέησις ἴσχυσε; καὶ ἀπειλὴ μὲν καὶ τιμωρίας ἐλπὶς οὐ προσήγαγε τῷ δικαίῳ τὸν ἄνθρωπον· μετὰ ἱκετηρίας δὲ φανεῖσα χήρα, τὸν ἄγριον ἡμέρωσε; τί οὖν εἰκάζειν προσήκει περὶ τοῦ φιλανθρώπου Θεοῦ; εἰ τὸν ὠμὸν οὕτω πρᾶον πεποίηκεν ἡ χήρα προσπίπτουσα· πόσην χρηστότητα, πόσην φιλανθρωπίαν ἐφ᾽ ἡμῶν ὁ Θεὸς ἐπιδείξεται; ὁ μόνον ἐλεεῖν ἐθέλων ἀεὶ, κολάζειν δὲ οὐδὲ πώποτε· ὁ καὶ τὰς τιμωρίας διὰ πολλὴν φιλανθρωπίαν ἀπειλήσας ἡμῖν, καὶ μεγάλας ἑτοιμάσας τιμὰς, ἵνα καὶ φόβος καὶ τιμῆς ἐλπὶς, ἡ μὲν ἐπεγείρῃ πρὸς ἀρετὴν, ὁ δὲ κωλύσῃ πονηρευμάτων. οὐ δυνάμεθα τοῦ κριτοῦ τῆς ἀδικίας ἀποστῆσαι τὴν διάνοιαν, θεωροῦντες ἐν τῇ ἐκείνου παρὰ φύσιν πραότητι τὴν ἀμύθητον τοῦ Θεοῦ φιλανθρωπίαν. Εἰ γὰρ ὁ μηδέποτε μηδὲν χρηστὸν ἐπιδείξασθαι βουληθεὶς, ἄφνω μεταθέμενος, τὴν δεομένην ἠλέησε· πόσην ἡμῖν ἐξ οὐρανοῦ κηδεμονίαν αἱ προσευχαὶ κομιοῦσι; γνοίη δ᾽ ἄν τις τὴν ἰσχὺν καὶ τὴν δύναμιν τῶν ἁγίων προσευχῶν, σκοπῶν καὶ θεωρῶν ὅσων ἀγαθῶν καθ᾽ ἑκάστην ἡμέραν καὶ ὥραν ἀπολαύουσιν οἱ πάντοτε τῷ Θεῷ προσπίπτοντες. τίς γὰρ οὐκ οἶδεν, ὅτι καὶ τοῦ ἡλίου τὸ φῶς καὶ τῶν ἀστέρων καὶ τῆς σελήνης καὶ ἀέρων εὐκρασίαν, καὶ τροφὰς παντοίας, καὶ πλοῦτον, καὶ βίον, καὶ μυρία ἀγαθὰ πᾶσιν ἀνθρώποις ὁμοίως ὁ Θεὸς χαρίζεται καὶ δικαίοις καὶ ἀσεβέσι διὰ τὴν πολλὴν αὐτοῦ φιλανθρωπίαν, ᾗ κέχρηται πρὸς ἡμᾶς; Εἰ δὲ τοὺς μὴ δεομένους μηδὲ αἰτοῦντας οὕτως ἐλεεῖ καθ᾽ ἡμέραν καὶ ἀναπαύει, πόσων εἰκὸς ἀγαθῶν ἀπολαύσεσθαι τοὺς ἐν εὐχαῖς καὶ δεήσεσι πάντα τὸν βίον ἐξανηλωκότας;

Φέρε δὴ, καὶ ὅσοις τῶν δικαίων ὑπῆρξε διὰ προσευχῶν σῶσαι καὶ ἔθνη καὶ πόλεις καὶ τὴν οἰκουμένην ἅπασαν, εἴπωμεν πρὸς ὑμᾶς. ἐν δὲ μνήμῃ προσευχῆς, Παῦλος πρῶτος

ἄξιος

* Θεοῦ

ἄξιος μνήμης, Παῦλος ὁ τῆς τοῦ Θεοῦ λατρείας ἀκόρεστος, ὁ κοινὸς πατὴρ καὶ προστάτης τῶν δούλων τοῦ Χριστοῦ. Οὗτος τοίνυν ὁ φύλαξ τῆς οἰκουμένης, διὰ προσευχῆς καὶ τῆς συνεχοῦς δεήσεως πολλὰ τὰ ἔθνη διέσωσι, λέγων ἀεὶ πρὸς ἡμᾶς, Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται, ἵνα δῴη ὑμῖν κατὰ τὸν πλοῦτον τῆς χάριτος αὐτοῦ δυνάμει κραταιωθῆναι διὰ τοῦ πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν. ὁρᾷς ὅσον ἰσχύει προσευχὴ καὶ δέησις; ναοὺς Χριστοῦ τοὺς ἀνθρώπους ἐργάζεται· καὶ ὥσπερ χρυσὸς καὶ λίθοι πολυτίμητοι καὶ μάρμαρα ποιοῦσι τοὺς οἴκους τῶν βασιλέων, οὕτω προσευχὴ ναοὺς τοῦ Χριστοῦ. Κατοικῆσαί, φησι, τὸν Χριστὸν ἐν ταῖς καρδίαις ὑμῶν. τί μεῖζον ἂν γένοιτο προσευχῆς ἐγκώμιον, ἢ ὅτι ναοὺς ἀπεργάζεται Θεοῦ; ὃν οὐ χωροῦσιν οὐρανοί, οὗτος εἰς ψυχὴν εἰσέρχεται ζῶσαν ἐν προσευχαῖς. Ὁ οὐρανός μοι θρόνος, φησίν, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. ποῖον οἶκον οἰκοδομήσετέ μοι, λέγει Κύριος; ἢ τίς τόπος τῆς καταπαύσεώς μου; ἀλλ᾽ ὅμως οἶκον ὁ Παῦλος οἰκοδομεῖ διὰ τῶν ἁγίων εὐχῶν. κάμπτω, φησί, τὰ γόνατά μου πρὸς τὸν πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα κατοικήσῃ ὁ Χριστὸς διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν. καὶ μὴν κἀκεῖθεν ἴδοι τις ἂν τὴν δύναμιν τῶν ἁγίων εὐχῶν, ὅτι Παῦλος ὁ διὰ πάσης τῆς οἰκουμένης ὥσπερ ὑπόπτερος τρέχων, καὶ δεσμωτήριον οἰκῶν, καὶ μάστιγας ὑπομένων, καὶ φορῶν ἅλυσιν, καὶ ζῶν ἐν αἵματι καὶ κινδύνοις, καὶ δαίμονας ἐλαύνων, καὶ νεκροὺς ἐγείρων, καὶ παύων ἀρρωστήματα, οὐδενὶ τούτων ἐθάρρησεν εἰς σωτηρίαν τῶν ἀνθρώπων· ἀλλὰ ταῖς προσευχαῖς ἐτείχισε τὴν γῆν, καὶ μετὰ τὰ σημεῖα καὶ τὴν τῶν νεκρῶν ἀνάστασιν ἐπὶ τὰς προσευχὰς ἔτρεχεν, ὥσπερ τις ἀθλητὴς ἐπὶ παλαίστραν ἀπὸ στεφάνου. καὶ γὰρ καὶ τῆς ἀναστάσεως τῶν νεκρῶν καὶ τῶν ἄλλων ἁπάντων ἡ προσευχὴ χορηγός. καὶ εἰκότως. ἣν γὰρ ἐπὶ τῶν δένδρων ἰσχὺν ἔχει τὰ ὕδατα, ταύτην ἐπὶ τοῦ βίου τῶν ἁγίων αἱ προσευχαί. ἐν τῇ νυκτί, ταύτῃ ἄρδων τὴν ψυχὴν ὁ Παῦλος, πάντα ὑπέμενεν εὐχερῶς τὰ δεινά, παρέχων τὰ νῶτα ταῖς πληγαῖς ὥσπερ ἀνδριάς. οὕτως ἐν Μακεδονίᾳ τὸ δεσμωτήριον ἔσεισεν· οὕτω τὰ δεσμὰ διέρρηξεν, ὥσπερ λέων, ταῖς προσευχαῖς· οὕτω τὸν τοῦ δεσμωτηρίου φύλακα τῆς πλάνης ἐξήρπασεν· οὕτω τὴν τυραννίδα τῶν δαιμόνων κατέλυσε. καὶ μὴν κἀκεῖνα γὰρ ἴσμεν, ἃ γράφει πρὸς πάντας ἀνθρώπους, Τῇ προσευχῇ προσκαρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ, ἐν εὐχαριστίᾳ, προσευχόμενοι ἅμα καὶ περὶ ἐμοῦ, ἵνα μοι δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στόματός μου ἐν παρρησίᾳ λαλῆσαι τὸ μυστήριον τοῦ εὐαγγελίου. τί λέγεις; τοσαύτην ἡμῖν παρρησίαν αἱ προσευχαὶ διδόασιν, ὡς ὑπὲρ Παύλου τολμᾶν τὸν Θεὸν ἱκετεύειν; τίς τολμᾷ στρατιώτης ὑπὲρ τοῦ μεγάλου στρατηγοῦ τὸν βασιλέα παρακαλεῖν; καίτοι γε οὐδεὶς οὕτω στρατηγὸς τῷ βασιλεῖ φίλος, ὡς Παῦλος τῷ Θεῷ· ἀλλ᾽ ὅμως εἰς τοσαύτην ἄγουσιν ἡμᾶς αἱ προσευχαὶ τιμήν, ὡς ὑπὲρ Παύλου τολμᾶν τὸν Θεὸν ἱκετεύειν. οὕτω καὶ Πέτρος ὁ μέγας, ὁ τῶν οὐρανῶν λαμπρότερος, τὸ δεσμωτήριον διέφυγε· μάλιστα μὲν διὰ τὴν οἰκείαν ἀρετήν, καὶ τὴν κοινὴν τῶν ἀνθρώπων σωτηρίαν· ἔπειτα δὲ καὶ ἡ προσευχὴ τῆς ἐκκλησίας κεκλεισμένας καὶ δεσμωτηρίου τὰς θύρας ταχέως ἀνέῳξεν. οὐ γὰρ εἰκῇ προσέγραψεν ὁ Λουκᾶς, ὅτι προσευχὴ δὲ ἦν ἐκτενὴς ὅλης τῆς ἐκκλησίας ὑπὲρ τοῦ Πέτρου· ἀλλ᾽ ἵνα μάθωμεν ἡμεῖς ὅσην ἰσχὺν ἐν οὐρανοῖς αἱ προσευχαὶ κέκτηνται, ὡς Παῦλον καὶ Πέτρον κινδύνων ἀπαλλάττειν, τοὺς στύλους τῆς ἐκκλησίας, τοὺς κορυφαίους τῶν ἀποστόλων, τοὺς προέχοντας ἐν οὐρανῷ, τὸ τεῖχος τῆς οἰκουμένης, τὸ κοινὸν φυλακτήριον πάσης γῆς καὶ θαλάττης. Εἰπὲ δή μοι, πῶς ὁ Μωϋσῆς τὸν Ἰσραὴλ ἐν πολέμοις διέσωσεν; οὐ τὰ μὲν ὅπλα καὶ τὴν στρατιὰν τῷ μαθητῇ παρέδωκεν, αὐτὸς δὲ τὰς εὐχὰς ἀντέστησε τῷ πλήθει τῶν ἀντιπάλων, διδάσκων ἡμᾶς, ὅτι καὶ ὅπλων, καὶ ἵππων, καὶ χρημάτων, καὶ στρατοπέδων πολλῶν μείζονα δύναμιν ἔχουσιν αἱ προσευχαὶ τῶν δικαίων; διὰ τοῦτο καὶ πᾶς ὁ στρατὸς καὶ πολλαὶ

Ἐφ. γ. ιδ.

Ἐφ. γ. ιζ.

Ἡσ. ξϛ. α.

Πραξ. ιϛ.

Κολασ. δ. β. γ.

Πραξ. ιβ. ε.

μυριάδες ἐν τῇ προσευχῇ τοῦ προφήτου τὴν σωτηρίαν εἶχον. προσευχομένου μὲν γὰρ Εξοδ. ιζ. τοῦ Μωϋσέως ἐκράτουν Ἰουδαῖοι· πεπαυμένου δὲ τῆς προσευχῆς, ἔλαττον εἶχον τῶν ἀντιπάλων. οὕτω δὴ καὶ ἡμεῖς προσευχόμενοι μὲν, ῥᾳδίως τοῦ διαβόλου κρατήσομεν· ῥαθυμοῦντες δὲ, καθ' ἑαυτῶν ἀσχολούμεθα τὸν πονηρόν. καὶ μὴν καὶ τὸν λαὸν ἀσεβήσαντα, διὰ προσευχῆς μόνης διέσωσε Μωϋσῆς, καὶ τῶν θείων ὄψεων, καὶ μυρίων ἀγαθῶν διὰ ταύτης ἔτυχε μόνης. αὕτη γὰρ αὐτῷ καὶ τὸν βίον παραπλήσιον ἐποίησε τοῖς οἰκοῦσι τὸν οὐρανόν. προσευχὴ Δαν. γ. ς. ιδ. πυρὸς δύναμιν ἤλεγξε, καὶ λέοντας ἡμέρωσε, τὸ μὲν ἐπὶ τοῦ Δανιὴλ, τὸ δὲ ἐπὶ τῶν τελείων ἐργασαμένη παίδων. δι' ὧν, οἶμαι, καὶ δῆλον πεποίηκεν ἅπασιν, ὅτι πάντας, ὅσους ἂν λάβῃ κινδυνεύοντας, ῥᾳδίως ἐξαρπάζει τῶν ἐπηρτημένων δεινῶν. προσευχὴ, σωτηρίας ἀφορμὴ, ἀθανασίας πρόξενος, τῆς ἐκκλησίας τεῖχος ἀρραγὲς, φυλακτήριον ἄσειστον, φοβερὸν μὲν τοῖς δαίμοσι, σωτήριον δὲ τοῖς εὐσεβέσιν ἡμῖν. α. Βασ α. αὕτη τὸν ἅγιον προφήτην τὸν Σαμουὴλ ἐγέννησεν. ἐπεὶ γὰρ ἡ φύσις ἠναντιοῦτο τῇ μητρὶ πρὸς γονὰς, ἡ προσευχὴ φανεῖσα ταχέως ἐπηνώρθωσε τὸ τῆς φύσεως ἐλάττωμα. τοιοῦτος τῆς προσευχῆς ὁ καρπός· τοιοῦτον ἐφύτευσεν ἡ προσευχὴ προφήτην. διὸ περιβιόντος ἐν ἀνθρώποις ὁ Σαμουὴλ ἐγένετο, κρείττων ἢ κατὰ ἄνθρωπον, ζηλωτὴς τῶν ἀγγέλων. ἔδει γὰρ, οἶμαι, τοιοῦτον φανῆναι τῆς προσευχῆς τὸν ἀστάχυν, νικῶντα τοὺς ἄλλους τῇ καλοκαγαθίᾳ καὶ ταῖς ἀρεταῖς τῶν τρόπων, καὶ τοσοῦτον τοὺς περὶ αὐτὸν νικᾶν ἁγίους, ὅσον ἐν τοῖς ληΐοις ὑπερέχουσι τῷ τῶν ἀσταχύων ὕψει παραθάλλοντες. μετὰ ταύτης ὁ Δαβὶδ τοσούτους καὶ τοιούτους πολέμους ἀπώσατο, οὐχ ὅπλα κινῶν, οὐδὲ δόρυ σείων, οὐδὲ ξίφος ἕλκων, ἀλλ' εὐχαῖς τειχιζόμενος. μετὰ ταύτης Ἐζεκίας τὸ πλῆθος τῶν Περσῶν εἰς φυγὴν ὀξέως ἔτρεψε. καὶ τὰ μὲν μηχανήματα τῷ τείχει προσῆγεν ὁ Πέρσης, ὁ δὲ ταῖς προσευχαῖς τὸ τεῖχος ἐτείχισε· καὶ κατελύθη πόλεμος ἄνευ ὅπλων ἀπὸ * προσευχῆς, σάλπιγγος οὐκ ἠχούσης, στρατιᾶς ἡσυχαζούσης, ὅπλων οὐ κινουμένων, γῆς οὐ φοινισσομένης*, προσευχῆς δὲ ἀρκούσης εἰς φόβον τῶν ἀντιπάλων. Ιωαν γ. προσευχὴ καὶ Νινευΐτας διέσωσε, καὶ τὴν ἐξ οὐρανοῦ φερομένην ὀργὴν ἀπεκρούσατο ταχέως, καὶ βίον διεφθαρμένον ἐπηνώρθωσεν ὀξέως. τοσαύτην γὰρ ἰσχὺν καὶ δύναμιν ἔχει, ὅτι τοὺς ζήσαντας Νινευΐτας αἰσχρῶς, καὶ πάντα τὸν βίον οὕτω διαγαγόντας, εἰσελθοῦσα εἰς τὴν πόλιν ἡ προσευχὴ ἀθρόον πάντα μετέβαλε, καὶ σωφροσύνην, καὶ δικαιοσύνην, καὶ φιλίαν, καὶ ὁμόνοιαν, καὶ πτωχῶν πρόνοιαν, καὶ πάντα τὰ ἀγαθὰ συνεισήγαγεν ἑαυτῇ. ὥσπερ γάρ τινος βασιλίδος εἰσιούσης εἰς πόλιν τινὰ, πάντα τὸν πλοῦτον συνακολουθεῖν ἀνάγκη· οὕτω δὴ καὶ προσευχῆς εἰς ψυχὴν εἰσιούσης, πᾶσα ἀρετὴ συνεισέρχεται. ὅπερ γάρ ἐστιν ἐν οἰκίᾳ θεμέλιος, τοῦτο ἐν ψυχῇ προσευχή. καὶ δεῖ ταύτην πρότερον, ὥσπερ κρηπῖδα καὶ ῥίζαν τινὰ ἐν τῇ ψυχῇ πήξαντας πάντας, ἐποικοδομεῖν σπουδαίως καὶ σωφροσύνην, καὶ πρᾳότητα, καὶ δικαιοσύνην, καὶ πρόνοιαν τῶν πτωχῶν, καὶ πάντας τοὺς νόμους τοῦ Χριστοῦ, ἵνα καὶ κατ' αὐτοὺς λοιπὸν ζήσαντες τύχωμεν τῶν ἐν οὐρανοῖς ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ, τῷ πατρὶ σὺν τῷ ἁγίῳ πνεύματι δόξα καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χ. ἐλπίδα τ σωτηρίας

χ. δεηθεὶς

χ. ὄψεων ἐκείνων καὶ τ ἄλλων παραδόξων διὰ

χ. ἔσβεσεν

χ. κινδυνεύοντ

χ. οὐρανοῖς

χ. μείζονες.

* τῆς

* αἵματι

χ. ὥστε ἐξ τῶν οἱ Νιν τας πάντα βίον αἰσχ καὶ πονηρῶ εἰσελθοῦσ εἰς τὴν πό ἡ προσευχὴ ταχέως πά μετέβαλε.

χ. διὸ

ΧΡΥΣΟΣΤΟΜΟΥ ΛΟΓΟΣ ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ, ΕΞ ΑΓΡΟΥ ἐπανελθόντος. Λογ. α.

Ἆρα ἐμέμνησθε ἡμῶν, ὅσῳ τῷ μεταξὺ τούτῳ ἐχωρίσθημεν χρόνον ὑμῶν; ἐγὼ μὲν γὰρ ὑμῶν οὐδέποτε ἐδυνήθην ἐπιλαθέσθαι· ἀλλὰ καὶ τὴν πόλιν ἀφεὶς, τὴν ὑμετέραν οὐκ ἀφῆκα μνήμην. ἀλλ᾽ ὥσπερ οἱ τῶν καλῶν ἐρῶντες σωμάτων, ὅπουπερ ἂν ἀπίωσι, μεθ᾽ ἑαυτῶν τὴν τῶν ποθουμένων περιφέρουσιν ὄψιν· οὕτω δὴ καὶ ἡμεῖς τοῦ κάλλους τῆς ὑμετέρας ψυχῆς ἐρασθέντες, ἀεὶ μεθ᾽ ἑαυτῶν τὴν εὐμορφίαν τῆς ὑμετέρας περιεφέρομεν διανοίας. καὶ καθάπερ οἱ ζωγράφοι ποικίλα χρώματα κεραννύντες, τὰς τῶν σωμάτων εἰκόνας ἐργάζονται· οὕτω καὶ ἡμεῖς τὴν σπουδὴν ὑμῶν τὴν ἐν ταῖς συνάξεσι, τὴν προθυμίαν τὴν περὶ τὴν ἀκρόασιν, τὴν εὔνοιαν τὴν περὶ τὸν λέγοντα, τὰ ἄλλα πάντα κατορθώματα, καθάπερ ποικίλα χρώματα ἀρετῆς, κεράσαντες, καὶ τὸν χαρακτῆρα τῆς ψυχῆς ὑμῶν ἀπογράψαντες, καὶ πρὸ τῶν ὀφθαλμῶν τῆς διανοίας θέντες, ἱκανὴν διὰ τῆς φαντασίας ταύτης ἐλαμβάνομεν τῆς ἀποδημίας παραμυθίαν. καὶ ταῦτα καὶ οἴκοι καθήμενοι, καὶ διανιστάμενοι, καὶ ὁδοιποροῦντες, καὶ ἀναπαυόμενοι, καὶ εἰσιόντες, καὶ ἐξιόντες ἐστρέφομεν συνεχῶς, τὴν ὑμετέραν ὀνειροπολοῦντες ἀγάπην· καὶ οὐκ ἐν ἡμέρᾳ μόνον, ἀλλὰ καὶ ἐν νυκτὶ ταύταις ἐνετρυφῶμεν ταῖς φαντασίαις. καὶ ὅπερ ὁ Σολομὼν ἔφη, ὅτι Ἐγὼ καθεύδω, καὶ ἡ καρδία μου ἀγρυπνεῖ, τοῦτο καὶ ἡμεῖς τότε ἐπάσχομεν. ἡ μὲν γὰρ ἀνάγκη τοῦ ὕπνου κατέστελλεν ἡμῶν τὰ βλέφαρα, ἡ δὲ τῆς ἀγάπης τῆς ὑμετέρας τυραννὶς ἀφύπνιζε τοὺς τῆς διανοίας ἡμῶν ὀφθαλμούς, καὶ πολλάκις ὑμῖν ὄναρ διαλέγεσθαι ἐδόκουν. καὶ γὰρ πέφυκεν ἡ ψυχὴ ταῦτα φαντάζεσθαι νύκτωρ, ἅπερ ἂν μεθ᾽ ἡμέραν λογίζηται· ὅπερ οὖν καὶ ἐφ᾽ ἡμῶν τότε συνέβαινε· καὶ οὐχ ὁρῶν ὑμᾶς τοῖς ὀφθαλμοῖς τῆς σαρκός, ἑώρων ὑμᾶς τῆς ἀγάπης τοῖς ὀφθαλμοῖς· καὶ μὴ παρὼν ὑμῖν τῷ σώματι, παρήμην ὑμῖν τῇ διαθέσει, καί μοι τὰ ὦτα ἀεὶ ἀπὸ τῆς ὑμετέρας περιηχεῖτο κραυγῆς. διὰ τοῦτο καὶ τῆς τοῦ σώματος ἀρρωστίας ἐπὶ πλέον ἐκεῖ διατρίβειν ἀναγκαζούσης καὶ τῆς τοῦ ἀέρος ὠφελείας εἰς τὴν τῆς σαρκὸς ἀπολαύειν ὑγίειαν, ἡ τῆς ἀγάπης βία τῆς ὑμετέρας οὐκ ἠνέσχετο τοῦτο, ἀλλὰ κατέσεισε· καὶ οὐ πρότερον ἀνῆκεν ἐνοχλοῦσα, ἕως ἡμᾶς καὶ πρὸ τῆς προσηκούσης ὥρας ἀναστῆναι ἔπεισε, καὶ ὑγιείας καὶ τέρψεως καὶ πάντων ὁμοῦ ἀγαθῶν τὴν ὑμετέραν ἡγήσασθαι ʺσυμβουλεύουσαν συνουσίαν. ταύτῃ δὲ πεισθέντες ἡμεῖς εἱλόμεθα μᾶλλον ἔχοντες ἔτι τὰ λείψανα τῆς ἀρρωστίας ἐπανελθεῖν, ἢ καθαρῶς ἀποθέμενοι τὴν τοῦ σώματος ἀσθένειαν, ἐπὶ πλέον λυπῆσαι τὴν ὑμετέραν ἀγάπην. καὶ γὰρ ἐκεῖ διατρίβων ἤκουον ἡμῶν τὰ ἐγκλήματα, καὶ συνεχεῖς ἐπιστολαὶ ταῦτα ἡμῖν διεκόμιζον. ʺκαὶ γὰρ προσεῖχον τοῖς ἐγκαλοῦσιν οὐχ ἧττον, ἢ τοῖς ἐγκωμιάζουσι. ψυχῆς γὰρ ʺἰδίας φιλούσης ἦσαν αἱ μέμψεις ἐκεῖναι. καὶ διὰ ταῦτα ἀναστὰς ἔδραμον, διὰ ταῦτα οὐδέποτε ὑμᾶς τῆς διανοίας ἐκβαλεῖν ἠδυνήθην τῆς ἐμῆς. καὶ τί θαυμαστὸν, εἰ ἐν ἀγρῷ διατρίβων ἐγὼ καὶ ἀδείας ἀπολαύων, τῆς ὑμετέρας ἐμεμνήμην ἀγάπης, ὅπου γε Παῦλος δεσμὰ περικείμενος, καὶ δεσμωτήριον οἰκῶν, καὶ μυρίους ὁρῶν ἐπηρτημένους αὐτῷ κινδύνους, καθάπερ ἐν λειμῶνι, τῷ δεσμωτηρίῳ διάγων, οὕτω τῶν ἀδελφῶν ἐμέμνητο, καὶ γράφων ἔλεγε· Καθώς ἐστι δίκαιον ἐμοὶ τοῦτο φρονεῖν περὶ ὑμῶν, διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς ἔν τε τοῖς δεσμοῖς μου, καὶ ἐν τῇ ἀπολογίᾳ καὶ βεβαιώσει τοῦ εὐαγγελίου; ἔξωθεν ἅλυσις, ἡ παρὰ τῶν ἐχθρῶν· καὶ ἔσωθεν ἅλυσις, ἡ τοῦ φίλ-

τρου

Ἀσμ. ε γ.

Φιλιπ. α. ζ.

ἔργου τῶν μαθητῶν. ἀλλ' ἡ μὲν ἔξωθεν, ἀπὸ σιδήρου ἐκεχάλκευτο· ἡ δὲ ἔνδοθεν, ἐξ ἀγάπης
ἐγεγένητο· κἀκείνην μὲν πολλάκις καὶ ἀπέθετο, ταύτην δὲ οὐδέποτε ἀπέρρηξεν. ἀλλ' ὥσπερ
αἱ γυναῖκες, ὅσαι πεῖραν ὠδίνων ἔλαβον, καὶ μητέρες ἐγένοντο, τοῖς τεχθεῖσι παιδίοις, ὅπουπερ
ἂν ὦσιν, εἰσὶ διηνεκῶς συνδεδεμέναι· οὕτω καὶ Παῦλος, μᾶλλον δὲ καὶ πολλῷ τούτου σφοδρότερον
ἀεὶ τοῖς μαθηταῖς προσεσήλωτο τοῖς αὐτοῦ· καὶ τοσούτῳ μᾶλλον, ὅσῳ τῶν φυσικῶν τόκων
οἱ τοῦ πνεύματός εἰσι θερμότεροι. καὶ γὰρ καὶ οὗτος ὤδινεν, οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς
Γαλ. δ. ιθ. τοὺς αὐτοὺς, καὶ ἐβόα λέγων· Τεκνία μου, οὓς πάλιν ὠδίνω. καίτοιγε τοῦτο οὐδέποτε ἂν πάθοι γυνὴ,
οὐδ' ἂν ὑποσταίη τὰς αὐτὰς πάλιν ὠδῖνας. ἀλλὰ Παῦλος ὑπέμεινε τοῦτο, ὅπερ ἐπὶ τῆς φύσεως
ἰδεῖν οὐκ ἔστι, καὶ τοὺς ἅπαξ τεχθέντας πάλιν ἀναλαβεῖν, καὶ τὰς δριμείας ἐπ' αὐτοῖς ὑπομεῖναι
ὠδῖνας. διὰ τοῦτο καὶ ἐντρέψαι βουλόμενος αὐτοὺς ἔλεγεν, οὓς πάλιν ὠδίνω, μονονουχὶ
λέγων, φείσασθέ μου. οὐδεὶς υἱὸς δεύτερον τὴν μητρικὴν γαστέρα ταῖς ὠδῖσι διέτεινεν, ὅπερ
ἀναγκάζετέ με πάσχειν ὑμεῖς. καίτοι ἐκεῖναι μὲν αἱ ὠδῖνες ἐν μιᾷ καιροῦ ῥοπῇ κατατείνουσι,
καὶ τοῦ νηπίου τῆς νηδύος ἐξολισθήσαντος συνεξέρχονται· αὗται δὲ οὐχ οὕτως, ἀλλὰ
καὶ μῆνας ὁλοκλήρους μένουσι. καὶ γὰρ ἐνιαυτὸν ὅλον ὤδινε πολλάκις, καὶ οὐκ ἔτικτε
τοὺς κυομένους ὁ Παῦλος. κἀκεῖ μὲν τῆς σαρκὸς ὁ πόνος, ἐνταῦθα δὲ οὐ γαστέρα διατείνουσιν
αἱ ἀλγηδόνες, ἀλλ' αὐτὴν τῆς ψυχῆς τὴν ἰσχὺν καταξαίνουσι. καὶ ἵνα μάθῃς ὅτι θερμότεραι
αὗται αἱ ὠδῖνες, τίς ποτε ὑπὲρ τῶν τεχθέντων παιδίων ηὔξατο ὑπομεῖναι γέενναν;
οὗτος δὲ οὐ μόνον αἱρεῖται ὑπομεῖναι γέενναν, ἀλλὰ καὶ εὔχεται ἀνάθεμα εἶναι ἀπὸ τοῦ
Χριστοῦ, ὥστε δυνηθῆναι τοὺς Ἰουδαίους ἀποτεκεῖν, οὓς ὤδινεν ἀεὶ καὶ διηνεκῶς. καὶ ἐπεὶ
Ρωμ. θ. β. μὴ συνέβαινε τοῦτο, ὠδυνᾶτο λέγων· Λύπη μοί ἐστι μεγάλη, καὶ ἀδιάλειπτος ὀδύνη τῇ
καρδίᾳ μου. καὶ ἐνταῦθα πάλιν· Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς
ἐν ὑμῖν. τί τῆς νηδύος ἐκείνης μακαριώτερον γένοιτ' ἂν, ἣ τοιαῦτα παιδία τίκτειν ἠδύνατο,
ὡς τὸν Χριστὸν ἔχειν ἐν ἑαυτοῖς; τί δὲ εὐφορώτερον, ἢ τὴν οἰκουμένην ἅπασαν ἀπεγέννησε;
τί δὲ δυνατώτερον, ἣ τοὺς τεχθέντας καὶ αὐξηθέντας καὶ εἰς ἄμβλωσιν ἐκπεσόντας ἀναλαβεῖν
ἴσχυσε πάλιν καὶ ἄνωθεν διαπλάσαι; τοῦτο γὰρ ἐπὶ τῶν φυσικῶν τόκων ἀδύνατον.
διὰ τί δὲ οὐκ εἶπε, τεκνία μου, οὓς πάλιν ἀναγεννῶ, ἀλλ', ὠδίνω; καίτοιγε ἀλλαχοῦ γεννᾶν
α. Κορ. δ. ιϛ. φησιν· Ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. ἐκεῖ μὲν οὖν τὴν
συγγένειαν μόνον δηλῶσαι ἐβούλετο, ἐνταῦθα δὲ καὶ τὸν πόνον παραστῆσαι ἐσπούδαζε. πῶς
δὲ καὶ τέκνα καλεῖ τὰ μηδέπω τεχθέντα; εἰ γὰρ ὠδίνει, οὐδέπω ἔτεκε. πῶς οὖν τέκνα
καλεῖ; ἵνα μάθῃς, ὅτι ταύτας ὠδίνει τὰς δευτέρας ὠδῖνας· ὅπερ ἱκανὸν ἦν ἐκείνους ἐντρέψαι.
καὶ γὰρ ἐγενόμην, φησὶν, ἅπαξ πατὴρ, καὶ τὸν ὀφειλόμενον ἐφ' ὑμῖν ὑπέμεινα
τόκον· ἐγένεσθε δὲ τέκνα καὶ ὑμεῖς ἅπαξ· πῶς οὖν πάλιν με εἰς δευτέρας ὠδῖνας ἐμβάλλετε;
ἱκανοὶ οἱ πόνοι τῶν τόκων τῶν ἐξ ἀρχῆς· τί με διατείνετε πάλιν ταῖς ὠδίναις; τῶν γὰρ μηδέπω
πεπιστευκότων οὐκ ἐλάττονα πόνον παρεῖχεν αὐτῷ τῶν πιστῶν τὰ πτώματα. καὶ γὰρ
ἦν ἀφόρητον μετὰ τὴν τῶν τοιούτων μυστηρίων κοινωνίαν πρὸς τὴν ἀσέβειαν αὐτομολοῦντας
ὁρᾶν. διὸ καὶ σφόδρα δριμὺ, καὶ πάσης γυναικὸς περιπαθέστερον ἀνωλόλυξε λέγων· Τεκνία
μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. τοῦτο δὲ ἔλεγεν, ὁμοῦ καὶ θαρρῦναι
καὶ φοβῆσαι βουλόμενος. τὸ μὲν γὰρ δεῖξαι μὴ μεμορφωμένον ἐν αὐτοῖς τὸν Χριστὸν, ἀγωνίαν
καὶ φόβον ἐνέβαλε· τὸ δὲ ἐμφῆναι ὅτι δυνατὸν αὐτὸν μορφωθῆναι πάλιν, θαρρεῖν
παρεσκεύαζε. τὸ γὰρ εἰπεῖν, ἄχρις οὗ μορφωθῇ, ἀμφότερα ταῦτά ἐστιν ἐνδεικνυμένου, καὶ
ὅτι οὐδέπω μεμόρφωται, καὶ ὅτι δυνατὸν μορφωθῆναι πάλιν. εἰ γὰρ μὴ δυνατὸν ἦν, εἰκῆ
πρὸς αὐτοὺς ἔλεγεν, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν, καὶ ματαίαις αὐτοὺς ἔτρεφε
ταῖς ἐλπίσι.

Ταῦτ' οὖν εἰδότες, μηδὲ ἡμεῖς ἀπογινώσκωμεν, ἀλλὰ μηδὲ ῥᾳθυμῶμεν ἁπλῶς. ἑ-

κάτερα

ἑκάτερα γὰρ ταῦτα ὀλέθρια. ἡ μὲν γὰρ ἀπόγνωσις τὸν κείμενον οὐκ ἀφίησιν ἀναστῆναι· ἡ δὲ ῥᾳθυμία καὶ τὸν ἑστῶτα ποιεῖ καταπεσεῖν. ἐκείνη τῶν προειληφθέντων ἀγαθῶν ἀποστερεῖν εἴωθεν· αὕτη τῶν ἐπικειμένων οὐκ ἀφίησιν ἀπαλλαγῆναι κακῶν. καὶ ἡ μὲν καταφρόνησις καὶ ἐξ αὐτῶν καταφέρει τῶν οὐρανῶν· ἡ δὲ ἀπόγνωσις εἰς αὐτὴν κατάγει τῆς κακίας τὴν ἄβυσσον, ὥσπερ οὖν τὸ μὴ ἀπογνῶναι κἀκεῖθεν ταχέως ἀναδραμεῖν ποιεῖ. σκόπει δὲ ἀμφοτέρων τὴν ἰσχύν. ὁ διάβολος ἀγαθὸς ἦν ποτε· ῥᾳθυμήσας δὲ καὶ ἀπογνοὺς, ἔπεσεν εἰς τοσαύτην κακίαν, ὡς μηδὲ ἀναστῆναι λοιπόν. ὅτι γὰρ ἀγαθὸς ἦν, ἄκουσον τί φησιν· Εἶδον τὸν Σατανᾶν, ὡς ἀστραπὴν, ἐκ τοῦ οὐρανοῦ πεσόντα. ἡ δὲ τῆς ἀστραπῆς παραβολὴ καὶ τὸ φαιδρὸν τῆς προτέρας δείκνυσιν ἀναστροφῆς, καὶ τὴν τῆς πτώσεως ὀξύτητα. ὁ Παῦλος βλάσφημος ἦν, καὶ διώκτης, καὶ ὑβριστής· ἐπειδὴ δὲ ἐσπούδασε, καὶ οὐκ ἀπέγνω, καὶ ἀνέστη, καὶ τῶν ἀγγέλων γέγονεν ἴσος. ὁ Ἰούδας ἀπόστολος ἦν· ἀλλὰ ῥᾳθυμήσας γέγονε προδότης. ὁ λῃστὴς πάλιν μετὰ τοσαύτην κακίαν, ἐπειδὴ μὴ ἀπέγνω, πρὸ τῶν ἄλλων ἁπάντων εἰς τὸν παράδεισον εἰσῆλθεν. ὁ Φαρισαῖος θαρρήσας, ἐξ αὐτῆς τῆς ἀρετῆς κατηνέχθη τοῦ ὕψους· ὁ τελώνης μὴ ἀπογνοὺς, οὕτως ὠρθώθη, ὡς κἀκεῖνον παραδραμεῖν. βούλει σοι δείξω καὶ πόλιν ὁλόκληρον τοῦτο ποιήσασαν; ἡ τῶν Νινευϊτῶν πόλις οὕτως ἐσώθη πᾶσα· καίτοιγε ἡ ἀπόφασις εἰς ἀπόγνωσιν αὐτοὺς ἐνέβαλεν. οὐ γὰρ εἶπεν, ὅτι ἐὰν μετανοήσωσι, σωθήσονται· ἀλλ᾽ ἁπλῶς, Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευῒ καταστραφήσεται. ἀλλ᾽ ὅμως ἀπειλοῦντος τοῦ Θεοῦ, καὶ τοῦ προφήτου βοῶντος, καὶ τῆς ἀποφάσεως οὐκ ἐχούσης μέλλησιν οὐδὲ διορισμὸν, οὐκ ἀνέπεσον, οὐδὲ τὰς χρηστὰς προέδωκαν ἐλπίδας. διὰ γὰρ τοῦτο οὐ προσέθηκε διορισμὸν, οὐδὲ εἶπεν, ἐὰν δὲ μετανοήσωσι, σωθήσονται, ἵνα καὶ ἡμεῖς ὅταν ἀκούσωμεν ἀποφάσεως τοῦ Θεοῦ φερομένης χωρὶς διορισμοῦ, μηδὲ οὕτως ἀπογνῶμεν, μηδὲ ἀπαγορεύσωμεν, εἰς ἐκεῖνο τὸ ὑπόδειγμα βλέποντες. οὐ διὰ τοῦτο δὲ μόνον ἔστιν ἰδεῖν τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, ὅτι μὴ προσθεὶς διορισμὸν τῇ ἀποφάσει, ὅμως μετανοήσασι κατηλλάγη, ἀλλὰ καὶ ἐξ αὐτοῦ τοῦ τὴν ἀπόφασιν ἀπηρτισμένην ἐξενεγκεῖν. αὐξῆσαι γὰρ τὸν φόβον βουλόμενος καὶ τῆς πολλῆς αὐτῶν ῥᾳθυμίας καθάψασθαι, τοῦτο ἐποίησε. καὶ αὐτὸς δὲ ὁ χρόνος τῆς μετανοίας δείκνυσιν αὐτοῦ τὴν ἄφατον φιλανθρωπίαν. τί γὰρ ἡμέραι τρεῖς τοσοῦτον εἰργάσαντο, ὡς ἀφανίσαι κακίαν τοσαύτην; ὁρᾷς πῶς καὶ ἐντεῦθεν ἡ τοῦ Θεοῦ φαίνεται κηδεμονία; τί γὰρ πλέον αὐτὴ συνεισήνεγκεν εἰς τὴν τῆς πόλεως σωτηρίαν; ταῦτ᾽ οὖν εἰδότες, μηδέποτε ἀπογινώσκωμεν. οὐδὲν γὰρ οὕτως ἰσχυρὸν ὅπλον τῷ διαβόλῳ, ὡς ἀπόγνωσις. διὰ τοῦτο οὐχ οὕτως αὐτὸν εὐφραίνομεν ἁμαρτάνοντες, ὡς ἀπογινώσκοντες. ἄκουσον γοῦν ἐπὶ τοῦ πεπορνευκότος πῶς τῆς ἁμαρτίας μᾶλλον τὴν ἀπόγνωσιν δέδοικεν ὁ Παῦλος. γράφων Κορινθίοις οὕτως ἔλεγεν· Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία, ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται. καὶ οὐκ εἶπεν, οὐδὲ ἐν τοῖς ἔθνεσι τολμᾶται, ἀλλ᾽, οὐδὲ ὀνομάζεται. ὃ γὰρ μέχρι προσηγορίας ἐκείνοις ἀφόρητον, τοῦτο ὑμῖν ἔργῳ τετόλμηται. καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ. καὶ οὐκ εἶπε, καὶ ἐκεῖνος πεφυσίωται· ἀλλ᾽ ἀφεὶς τὸν ἡμαρτηκότα, τοῖς ὑγιαίνουσι διαλέγεται, καθάπερ οἱ ἰατροὶ ποιοῦσιν· ἀφέντες τοὺς κάμνοντας, πρὸς τοὺς προσήκοντας αὐτοῖς πλείονι κέχρηνται λόγῳ· ἄλλως δὲ, καὶ οὗτοι τῆς ἀπονοίας ″ αἴτιοι ἦσαν αὐτῷ, μὴ ἐπιτιμῶντες, μηδὲ ἐπιπλήττοντες. ἐκοινώνησε τοίνυν τὸ ἔγκλημα, ἵνα ῥᾳδία γένηται τοῦ τραύματος ἡ θεραπεία. δεινὸν μὲν γὰρ τὸ ἁμαρτάνειν, πολλῷ δὲ χαλεπώτερον τὸ καὶ μέγα φρονεῖν ἐπὶ τοῖς ἁμαρτήμασιν. εἰ γὰρ ἐπὶ δικαιοσύνῃ τὸ φυσᾶσθαι κένωσις δικαιοσύνης ἐστὶ, πολλῷ μᾶλλον ἐπὶ τοῖς ἁμαρτήμασι τοῦτο συμβαῖνον, ἐσχάτην οἴσει βλάβην ″ ἡμῖν, καὶ τῶν ἁμαρτημάτων αὐτῶν μεῖζον τὸ ἔγκλημα ἔσται. διὰ τοῦτό φησιν, Ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν. εἰ δὲ οἱ πάντα ποιοῦντες ὀφείλουσι συστέλλεσθαι, πολλῷ μᾶλλον τὸν ἡμαρτηκότα καὶ θρηνεῖν καὶ ἐν τοῖς

Λυκ. ι. ιη.

Ιων. γ. δ.

α. Κορ. ε. α.

ἄποι πα-
ίαν, αὐτῷ

ἡμῖν

Λυκ. ιζ. ι.

α. Κορ. ε. β.
Ρωμ. ιϐ. ιε.
α. Κορ. ε. ϛ.
β. Κορ. β ϛ.

τοῖς ἐσχάτοις ἑαυτὸν ἐναριθμεῖν ἄξιον· ὅπερ οὖν καὶ τότε δηλῶν ἔλεγε· Καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε; τί λέγεις; ἕτερος ἥμαρτε, καὶ ἐγὼ πενθήσω; ναί, φησι. σώματος γὰρ καὶ μελῶν δίκην ἀλλήλοις ἐσμὲν συνδεδεμένοι. ἐπεὶ δὲ τοῦ σώματος κἂν ὁ ποὺς δέξηται τραῦμα, τὴν κεφαλὴν ἐπικύπτουσαν ὁρῶμεν. καίτοι τί ταύτης σεμνότερον; ἀλλ' οὐχ ὁρᾷ τὴν ἀξίαν ἐν τῷ καιρῷ τῆς συμφορᾶς. οὕτω καὶ σὺ ποίησον. διὰ τοῦτο καὶ Παῦλος παραινεῖ· Χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων. διὰ τοῦτο καὶ Κορινθίοις φησί, Καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας; οὐκ εἶπε, καὶ οὐχὶ μᾶλλον ἐσπουδάσατε· ἀλλὰ τί; οὐχὶ μᾶλλον ἐπενθήσατε, ὡς νόσου κοινῆς καὶ λοιμοῦ τὴν πόλιν καταλαβόντος· μονονουχὶ λέγων, εὐχῆς καὶ ἐξομολογήσεως δεῖ καὶ ἱκετηρίας, ἵνα τὸ νόσημα ἀπελαθῇ τῆς πόλεως ἁπάσης. ὁρᾷς πόσον αὐτοῖς φόβον ἐπεκρέμασεν; ἐπειδὴ γὰρ ἐνόμιζον μέχρι μόνου ἐκείνου ἑστάναι τὸ δεινόν, ἐναγωνίους αὐτοὺς καθίστησι, λέγων· Οὐκ οἴδατε, ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ; ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὁδῷ τὸ κακὸν βαδίζον καὶ τῶν λοιπῶν ἅψεται μελῶν. ὡς ὑπὲρ κοινοῦ τοίνυν κακοῦ βουλευομένους, οὕτω φροντίζειν χρή. μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι ἐκεῖνος ἥμαρτε μόνος· ἀλλ' ἐκεῖνο σκόπει, ὅτι σηπεδών τίς ἐστι τὸ δεινόν, καὶ τὸ λοιπὸν ἅπαν ἐπινέμεται σῶμα. καὶ καθάπερ οἰκίας καιομένης, καὶ τῶν μηδέπω δεξαμένων τὸ κακὸν τῶν ὄντων ἐν τῇ συμφορᾷ οὐκ ἔλαττον ἐπείγονται, καὶ πάντα συνεισφέρουσιν, ὥστε μὴ τὸ πῦρ ἐπειγόμενον καὶ ἐπὶ τὰς αὐτῶν θύρας ἔλθῃ· οὕτω καὶ τούτους ὁ Παῦλος διεγείρει λέγων, πυρά τίς ἐστι· προκαταλάβωμεν τὸ δεινόν· σβέσωμεν τὸν ἐμπρησμόν, πρὶν ἢ καταλαβεῖν τὴν ἐκκλησίαν. εἰ δὲ καταφρονεῖς τῆς ἁμαρτίας, ὡς ἐν ἀλλοτρίῳ γινομένης σώματι, μάλιστα μὲν καὶ οὕτω κακῶς (μέλος γάρ ἐστι τοῦ παντὸς σώματος ἐκεῖνος) πλὴν ἀλλ' ἐκεῖνο σκόπει, ὅτι ἂν ῥαθυμήσῃς καὶ περιίδῃς, καί σε καταλήψεταί ποτε. ὥστε εἰ καὶ μὴ διὰ τὸν ἀδελφόν, διὰ γοῦν σαυτὸν διεγέρθητι καὶ ἀνάστειλον τὸν λοιμόν, καὶ προκατάσχε τὴν σηπεδόνα, καὶ τὴν νομὴν διάκοψον. ταῦτα τοίνυν καὶ τὰ πλείονα τούτων εἰπών, καὶ κελεύσας παραδοῦναι αὐτὸν τῷ Σατανᾷ, φησὶν ὕστερον, ἐπειδὴ μετεβάλετο καὶ βελτίων ἐγένετο· Ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη ἡ ὑπὸ τῶν πλειόνων· κυρώσατε οὖν εἰς αὐτὸν ἀγάπην. ἐπειδὴ γὰρ αὐτὸν κοινὸν ἐχθρὸν καὶ πολέμιον κατέστησεν ἅπασι, καὶ τῆς ἀγέλης ἐξέβαλε, καὶ τοῦ σώματος ἀπέκοψεν· ὅρα πόσῃ κέχρηται σπουδῇ, ὥστε κολλῆσαι καὶ συνάψαι πάλιν αὐτόν. οὐ γὰρ εἶπεν, ἀγαπήσατε αὐτὸν ἁπλῶς, ἀλλά, κυρώσατε εἰς αὐτὸν ἀγάπην· τουτέστι, βεβαίαν καὶ ἀκίνητον ἐπιδείξασθε τὴν φιλίαν· θερμήν τινα καὶ ζέουσαν καὶ πεπυρωμένην, ἀντίρροπον τῆς προτέρας ἀπεχθείας, τὴν εὔνοιαν εἰσαγάγετε. τί γέγονεν, εἰπέ μοι; οὐχὶ τῷ Σατανᾷ παρέδωκας αὐτόν; ναί, φησιν· ἀλλ' οὐχ ἵνα μένῃ ἐν ταῖς τοῦ Σατανᾶ χερσίν, ἀλλ' ἵνα ἀπαλλαγῇ ταχέως αὐτοῦ τῆς τυραννίδος. ἀλλ', ὅπερ ἔλεγον, σκόπει πῶς δέδοικε τὴν ἀπόγνωσιν ὁ Παῦλος, ὡς μέγα ὅπλον τοῦ διαβόλου. εἰπὼν γάρ, κυρώσατε εἰς αὐτὸν ἀγάπην, καὶ τὴν αἰτίαν προστίθησι· Μή πως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. ἐν τῇ φάρυγγι τοῦ λύκου, φησίν, ἐστὶ τὸ πρόβατον. φθάσωμεν τοίνυν, προεξαρπάσωμεν, πρὶν ἢ καταπίῃ καὶ διαφθείρῃ τὸ μέλος ἡμῶν. ἐν κλυδωνίῳ νῦν ἐστιν ἡ ναῦς· πρὸ τοῦ ναυαγίου διασῶσαι αὐτὴν σπουδάσωμεν. καθάπερ γὰρ θαλάττης αἰρομένης καὶ κυμάτων πάντοθεν κορυφουμένων ὑποβρύχιον γίνεται τὸ σκάφος· οὕτω καὶ ψυχή, τῆς ἀθυμίας αὐτὴν πάντοθεν περιστοιχιζομένης, ἀποπνίγεται ταχέως, ἐὰν μή τινα ἔχῃ τῶν χεῖρα ὀρέγοντα· καὶ ἡ σωτήριος ἐπὶ τοῖς ἁμαρτήμασι λύπη, ὀλέθριος ὑπὸ τῆς ἀμετρίας γίνεται. καὶ ὅρα πῶς ἀκριβῶς εἶπεν. οὐ γὰρ εἶπε, μὴ ἀπολέσῃ αὐτὸν ὁ διάβολος· ἀλλὰ τί; μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ. πλεονεξία δέ ἐστι τὸ τῶν ἀλλοτρίων ἐφίεσθαι. δεικνὺς τοίνυν ὅτι ἀλλότριος αὐτοῦ γέγονε λοιπόν, καὶ τῆς τοῦ Χριστοῦ ποίμνης οἰκεῖον ἑαυτὸν διὰ τῆς μετανοίας κατέστησε, φησί· μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ. ἐὰν γὰρ κατάσχῃ σχῇ λοιπὸν αὐτόν, ἡμέτερον ἁρπάζει μέλος, τὸ τῆς ἀγέλης λαμβάνῃ πρόβατον. ἀπέθετο γὰρ τὴν ἁμαρτίαν διὰ τῆς μετανοίας. εἰδὼς τοίνυν ὁ Παῦλος ὅπερ ἐποίησεν ὁ διάβολος ἐπὶ τοῦ Ἰούδα, ἔδεισε μὴ καὶ ἐνταῦθα τὸ αὐτὸ γένηται τοῦτο. τί δὲ ἐποίησεν ἐπὶ τοῦ Ἰούδα; μετενόησεν ὁ Ἰούδας. Ἥμαρτον γάρ, φησί, παραδοὺς αἷμα ἀθῷον. ἤκουσε τῶν ῥημάτων τούτων ὁ διάβολος· ἔγνω τῆς ἐπὶ τὸ βέλτιον ἐρχόμενον ὁδοῦ, καὶ πρὸς σωτηρίαν βαδίζοντα, καὶ ἐφοβήθη τὴν μεταβολήν. φιλάνθρωπον, φησίν, ἔχει δεσπότην. ὅτε ἔμελλεν αὐτὸν παραδιδόναι, ἐδάκρυσεν αὐτόν, καὶ μυρία παρεκάλεσεν· οὐ πολλῷ μᾶλλον μετανοοῦντα δέξεται; ἀδιόρθωτον ὄντα ἐφειλκύσατο καὶ ἐκάλεσεν· οὐ πολλῷ μᾶλλον διορθωθέντα καὶ τὴν ἁμαρτίαν ἐπιγνόντα ἐπισπάσεται; διὰ γὰρ τοῦτο καὶ σταυρωθῆναι ἦλθε. τί οὖν ἐποίησεν; ἐθορύβησεν αὐτόν, ἐσκότωσε τῇ τῆς ἀθυμίας ὑπερβολῇ, ἐδίωξεν, ἤλασεν, ἕως ἐπὶ τὸν βρόχον ἤγαγε, καὶ τῆς παρούσης ὑπεξήγαγε ζωῆς, καὶ τῆς προθυμίας τῆς κατὰ τὴν μετάνοιαν ἀπεστέρησεν. ὅτι γάρ, εἰ ἔζη, καὶ αὐτὸς ἐσώθη ἄν, δῆλον ἐκ τῶν σταυρωσάντων. εἰ γὰρ τοὺς ἐπὶ τοῦ σταυροῦ αὐτὸν ἀναβιβάσαντας ἔσωσε, καὶ ἐν αὐτῷ τῷ σταυρῷ ὢν παρεκάλει τὸν πατέρα καὶ συγγνώμην αὐτοῖς ᾔτει τοῦ τολμήματος, εὔδηλον ὅτι καὶ τὸν προδόντα, εἰ νόμῳ τῷ προσήκοντι τὴν μετάνοιαν ἐπεδείξατο, μετὰ πάσης ἂν εὐμενείας ἐδέξατο. ἀλλ' ἐκεῖνος οὐκ ἠνέσχετο ἐμμεῖναι τῷ φαρμάκῳ, τῇ περισσοτέρᾳ λύπῃ καταποθείς. τοῦτο τοίνυν ὁ Παῦλος φοβούμενος, ἐπείγει τοὺς Κορινθίους ἐξαρπάσαι τῆς φάρυγγος τοῦ διαβόλου τὸν ἄνθρωπον. καὶ τί χρὴ λέγειν τὰ Κορινθίων; Πέτρος μετὰ τὴν τῶν μυστηρίων κοινωνίαν ἠρνήσατο τρίς, καὶ δακρύσας ἀπήλειψεν ἅπαντα. Παῦλος διώκτης ὢν καὶ βλάσφημος καὶ ὑβριστής, καὶ οὐχὶ τὸν σταυρωθέντα μόνον, ἀλλὰ καὶ πάντας τοὺς ἐκείνου διώκων, μετανοήσας ἀπόστολος γέγονε. μόνον γὰρ πρόφασιν ὁ Θεὸς βραχεῖαν ἐπιζητεῖ παρ' ἡμῶν, καὶ τῶν πολλῶν ἡμῖν ἁμαρτημάτων χαρίζεται ἄφεσιν. εἴπω καὶ παραβολὴν τοῦτο αὐτὸ ἐγγυωμένην ἡμῖν. δύο τινὲς ἦσαν ἀδελφοί· διανειμάμενοι δὲ τὴν πατρικὴν περιουσίαν ἑκάτεροι, ὁ μὲν αὐτῶν ἔμεινεν ἐπὶ τῆς οἰκίας, ὁ δὲ πάντα τὰ δοθέντα καταφαγών, εἰς τὴν ὑπερορίαν μετέστη. εἶτα τὴν ἀπὸ τῆς πενίας οὐ φέρων αἰσχύνην. ταύτην δὲ τὴν παραβολὴν προήχθην εἰπεῖν, ἵνα μάθητε ὅτι καὶ τῶν μετὰ τὸ βάπτισμα ἁμαρτημάτων ἐστὶν ἄφεσις, ἐὰν προσέχωμεν. λέγω δέ, οὐχ ἵνα εἰς ῥαθυμίαν ἐμβάλω, ἀλλ' ἵνα ἀπὸ ἀπογνώσεως ἀπαγάγω. καὶ γὰρ χείρονα τῆς ῥαθυμίας ἡμᾶς ἡ ἀπόγνωσις ἐργάζεται κακά. οὗτος τοίνυν ὁ υἱὸς εἰκόνα τῶν μετὰ τὸ λουτρὸν φέρει παραπεσόντων. ὅτι δὲ τοὺς μετὰ τὸ βάπτισμα πεσόντας δηλοῖ, δῆλον ἐκεῖθεν. υἱὸς γὰρ λέγεται. οὐδεὶς δὲ υἱὸς βαπτίσματος ἂν κληθείη χωρίς. καὶ τὴν οἰκίαν δὲ ᾤκει τὴν πατρῴαν, καὶ τὰ πατρῷα διενείματο πάντα. πρὸ δὲ βαπτίσματος οὐκ ἔστι πατρῴαν λαβεῖν οὐδὲ δέξασθαι κληρονομίαν. ὥστε διὰ πάντων ἡμῖν τοῦτον τὸ τῶν πιστῶν αἰνίττεται τάγμα. καὶ ἀδελφὸς δὲ ἦν τοῦ εὐδοκιμηκότος. ἀδελφὸς δὲ οὐκ ἂν γένοιτο χωρὶς πνευματικῆς ἀναγεννήσεως. οὗτος τοίνυν εἰς ἐσχάτην κακίαν πεσών, τί φησιν; Ἐπανήξω πρὸς τὸν πατέρα μου. διὰ γὰρ τοῦτο αὐτὸν καὶ ἀφῆκεν ὁ πατήρ, καὶ οὐκ ἐκώλυσεν εἰς τὴν ἀλλοτρίαν ἀπελθεῖν, ἵνα διὰ τῆς πείρας μάθῃ καλῶς, ὅσης ἀπήλαυσεν εὐεργεσίας οἴκοι μένων. πολλάκις γὰρ ὁ Θεός, ὅταν λέγων μὴ πείθῃ, τῇ διὰ τῶν πραγμάτων πείρᾳ τὴν διδασκαλίαν ἀφίησιν· ὅπερ οὖν καὶ πρὸς τοὺς Ἰουδαίους ἔλεγεν. ἐπειδὴ γὰρ μυρίους ἀναλώσας διὰ τῶν προφητῶν λόγους οὐκ ἔπεισεν, οὐδὲ ἐπεσπάσατο, ἀφεὶς διὰ τῆς κολάσεως αὐτοὺς παιδευθῆναι, φησὶ πρὸς αὐτούς· παιδεύσει σε ἡ ἀποστασία σου, καὶ ἡ κακία σου ἐλέγξει σε. ἔδει μὲν γὰρ αὐτὸν ἀξιόπιστον εἶναι καὶ πρὸ τῆς τῶν πραγμάτων ἐκβάσεως. ἐπειδὴ δὲ οὕτως ἀναισθήτως διέκειντο ὡς ἀπιστεῖν αὐτοῦ ταῖς παραινέσεσι καὶ ταῖς συμβουλαῖς, προαναστέλλων τῇ κακίᾳ μὴ πείθεσθαι, ἐπιτρέπει διὰ τῶν πραγμάτων αὐτοὺς παιδευθῆναι, ἵν' οὕτως αὐτοὺς ἀνακλήσῃ πάλιν. ἐπειδὴ τοίνυν ἀπελθὼν ὁ ἄσωτος εἰς τὴν ἀλλοτρίαν, καὶ διὰ τῶν ἔργων αὐτῶν μαθὼν ὅσον κακὸν ἐκπεσεῖν οἰκίας πατρῴας, ἐπανῆλθεν, οὐκ ἐμνησικά-

κησεν

Ματθ. κζ. δ.

Λουκ. ιε. ιη.

κησεν ὁ πατήρ, ἀλλ᾽ ὑπτίαις αὐτὸν ἐδέξατο ταῖς χερσί. τί δήποτε; ὅτι πατὴρ ἦν, καὶ οὐ δικαστής. καὶ χοροὶ καὶ θαλίαι καὶ πανηγύρεις λοιπὸν, καὶ φαιδρὰ καὶ περιχαρὴς ἦν ἡ οἰκία πᾶσα. τί λέγεις; αὗται τῆς κακίας αἱ ἀμοιβαί; οὐχὶ τῆς κακίας, ἄνθρωπε, ἀλλὰ τῆς ἐπανόδου· οὐχὶ τῆς ἁμαρτίας, ἀλλὰ τῆς μετανοίας· οὐχὶ τῆς πονηρίας, ἀλλὰ τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς. καὶ τὸ δὴ μεῖζον, ἠγανάκτησεν ἐπὶ τούτοις ὁ υἱὸς ὁ πρότερος. ὁ δὲ καὶ τοῦτον πράως ἔπεισε λέγων· Λουκ. ιε. λα. Ὅτι σὺ μὲν ἀεὶ μετ᾽ ἐμοῦ διέτριβες, οὗτος δὲ ἀπολωλὼς ἦν, καὶ εὑρέθη· νεκρὸς ἦν, καὶ ἀνέζησεν. ὅταν δὲ τὸν ἀπολωλότα διασῶσαι δέῃ, φησὶν, οὐ δικαστηρίων καιρὸς, οὐδὲ ἀκριβοῦς ἐξετάσεως· ἀλλὰ φιλανθρωπίας καὶ συγγνώμης μόνον. οὐδεὶς ἰατρὸς ἀφεὶς ἐπιθεῖναι φάρμακα τῷ κάμνοντι, τῆς ἀταξίας αὐτὸν εὐθύνας ἀπαιτεῖ καὶ τιμωρίας. εἰ δὲ καὶ δίκην αὐτὸν ὅλως δοῦναι ἐχρῆν, ἱκανὴν ἔδωκε δίκην, τὴν ἐν τῇ ἀλλοτρίᾳ διατριβήν. τοσοῦτον γὰρ χρόνον τῆς ἡμετέρας ἐχωρίσθη συνουσίας, καὶ λιμῷ καὶ ἀτιμίᾳ καὶ τοῖς ἐσχάτοις παλαίων κακοῖς διετέλεσε. διὰ τοῦτό φησιν, ἀπολωλὼς ἦν, καὶ ἀνέζησε. μὴ τὰ παρόντα ἴδῃς, φησὶν, ἀλλ᾽ ἐννόησον τῆς προτέρας συμφορᾶς τὸ μέγεθος. ἀδελφὸν ὁρᾷς, οὐκ ἀλλότριον· πρὸς πατέρα ἐπανῆλθεν οὐδὲν δυνάμενον ἀναμνησθῆναι τῶν προτέρων, μᾶλλον δὲ ἐκεῖνα μεμνημένον μόνα, ἅπερ εἰς συμπάθειαν ἀγαγεῖν δύναται καὶ ἔλεον καὶ στοργὴν καὶ φειδὼ τὴν τοῖς γεγεννηκόσι προσήκουσαν. διὰ τοῦτο οὐχ ἅπερ ἔπραξεν, εἶπεν, ἀλλ᾽ ἅπερ ἔπαθεν· οὐχ ὅτι κατέφαγε τὴν οὐσίαν, ἐμνημόνευσεν, ἀλλ᾽ ὅτι μυρίοις περιέπεσε κακοῖς. οὕτω τὸ πρόβατον ἐζήτει μετὰ τοσαύτης σπουδῆς, μᾶλλον δὲ μετὰ μείζονος. ἐνταῦθα μὲν γὰρ αὐτὸς ἐπανῆλθεν ὁ υἱὸς, ἐκεῖ δὲ αὐτὸς ἀπῆλθεν ὁ ποιμὴν, καὶ εὑρὼν ἤγαγε, καὶ ἔχαιρεν ἐπ᾽ αὐτῷ μᾶλλον, ἢ ἐπὶ τοῖς διασεσωσμένοις ἅπασιν. ὅρα δὲ καὶ πῶς ἐπανήγαγεν. οὐκ ἐμάστιξεν, ἀλλ᾽ ἐπὶ τῶν ὤμων φέρων καὶ βαστάζων, πάλιν τῇ ποίμνῃ ἀπέδωκε. ταῦτ᾽ οὖν εἰδότες, ὅτι οὐ μόνον οὐκ ἀποστρέφεται ἐπανιόντας, ἀλλὰ καὶ τῶν κατωρθωκότων οὐκ ἔλαττον δέχεται, ὅτι οὐ μόνον οὐκ ἀπαιτεῖ δίκην, ἀλλὰ καὶ εἰς ἐπιζήτησιν τῶν πεπλανημένων ἔρχεται, καὶ τῶν διασεσωσμένων μᾶλλον ἐπὶ τῇ τούτων εὑρέσει χαίρει, μήτε ἐν πονηροῖς ὄντες ἀπογινώσκωμεν, μήτε ἐν ἀγαθοῖς ὄντες θαρρῶμεν· ἀλλὰ καὶ κατορθοῦντες φοβώμεθα, ἵνα μὴ θαρρήσαντες πέσωμεν, καὶ ἁμαρτάνοντες μετανοῶμεν. ὅπερ γὰρ ἀρχόμενος εἶπον, τοῦτο λέγω καὶ νῦν· ὅτι προδοσία τῆς ἡμετέρας σωτηρίας ταῦτα ἀμφότερα, καὶ τὸ θαρρεῖν ἑστῶτα, καὶ τὸ ἀπογινώσκειν κείμενον. διὸ τοὺς μὲν α. Κορ. ι. ιβ. ἑστῶτας ἀσφαλιζόμενος ὁ Παῦλος ἔλεγεν· Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ. καὶ πάλιν, θ. κζ. Φοβοῦμαι μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. τοὺς δὲ κειμένους ἀνιστὰς καὶ β. Κορ. ιβ. κα. εἰς προθυμίαν πλείονα διεγείρων, διεμαρτύρατο Κορινθίοις γράφων οὕτω· Μήπως πενθήσω πολλοὺς τῶν προημαρτηκότων καὶ μὴ μετανοησάντων, δεικνὺς ὅτι οὐχ οὕτως οἱ ἁμαρτάνοντες, ὡς οἱ μὴ μετανοοῦντες ἐπὶ τοῖς ἁμαρτήμασιν εἰσὶ θρήνων ἄξιοι. καὶ ὁ προφήτης δὲ Ιερ. η. δ. πρὸς αὐτούς φησι· Μὴ ὁ πίπτων οὐκ ἀνίσταται; ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει; διὰ τοῦτο Ψαλ. ϟδ. η. καὶ ὁ Δαβὶδ τούτους αὐτοὺς παρακαλῶν ἔλεγε· Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ. ἕως οὖν τὸ σήμερον λέγεται, μὴ ἀπογινώσκωμεν· ἀλλὰ τὰς εἰς τὸν δεσπότην ἔχοντες τὰς ἐλπίδας, καὶ τὸ πέλαγος αὐτοῦ τῆς φιλανθρωπίας ἐννοοῦντες, πᾶν πονηρὸν ἀποτιναξάμενοι συνειδὸς, μετὰ πολλῆς τῆς προθυμίας καὶ τῆς ἐλπίδος ἐπιλαβώμεθα τῆς ἀρετῆς, καὶ τὴν μετάνοιαν μεθ᾽ ὑπερβολῆς ἐπιδειξώμεθα πάσης· ἵνα πάντα ἐντεῦθεν ἀποθέμενοι τὰ ἁμαρτήματα, μετὰ παρρησίας δυνηθῶμεν στῆναι ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ, καὶ τῆς βασιλείας τυχεῖν τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. ⁘

ΠΕΡΙ

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ ΚΑΙ ΚΑΤΑΝΥΞΕΩΣ, ΚΑΙ ΟΤΙ ταχὺς ὁ Θεὸς εἰς σωτηρίαν, βραδὺς εἰς τιμωρίαν, ἐν ᾧ καὶ περὶ τῆς Ῥαὰβ παράδοξος ἱστορία. Λογ. β.

ΠΑντοτε μὲν ὁ θεῖος ἀπόστολος θείᾳ καὶ οὐρανίῳ κέχρηται γλώττῃ, καὶ μετὰ πολλῆς ἐπιστήμης τὸν ἀγγελικὸν ὑφαίνει λόγον· οὐκ ἐξ οἰκείας γλώττης ἁπλῶς φθεγγόμενος, ἀλλ' ἐκ τῆς βασιλικῆς αὐθεντίας αὐτοῦ προφέρων τὰ δόγματα· ἐξαιρέτως δὲ ταύτῃ κέχρηται τῇ ἐπιστήμῃ, ὅταν τὸν τῆς μετανοίας λόγον εἰσάγῃ τοῖς ἁμαρτάνουσι. περὶ δὲ αὐτοῦ τοῦ κεφαλαίου πάντας ὑμᾶς ὑπομνήσω. ἠκούσατε τοίνυν, ἵνα ἐκ μέρους ἁψώμεθα τῶν εἰρημένων, ὡς ἀρτίως διαλεγόμενος τοῖς Κορινθίοις ἔλεγεν ὁ γενναῖος ἐκεῖνος καὶ θαυμάσιος ἀνήρ· Μή πως ἐλθὼν πολλοὺς πενθήσω τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων. β. Κορ. ιβ. κα. ἄνθρωπος μὲν ἦν τῇ φύσει ὁ μέγας οὗτος διδάσκαλος, Θεοῦ δὲ ὑπηρέτης τὴν προαίρεσιν. διὰ τοῦτο ὥσπερ οὐρανίῳ κέχρηται γλώττῃ· καὶ ὡς ἐξ αὐτῶν τῶν οὐρανῶν φθεγγόμενος, οὕτω καὶ τοῖς ἁμαρτάνουσιν ἀπειλεῖ, καὶ τοῖς μετανοοῦσιν ἱλασμὸν ἐπαγγέλλεται. ὅταν δὲ ταῦτα εἴπω, οὐ τῇ Παύλου γλώττῃ τὴν αὐθεντίαν ἐπιγράφω, ἀλλ' ἐπὶ τὴν τοῦ Θεοῦ χάριν τὸ πᾶν ἀναφέρω, περὶ οὗ νῦν αὐτὸς ἔλεγεν· Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ. β. Κορ. ιγ. γ. ὑποτίθεται τοίνυν τοῖς ἁμαρτάνουσι φάρμακον εὐεργεσίας, τὴν μετάνοιαν εἰς σωτηρίαν. συνέδραμε δὲ σήμερον τῇ ἀποστολικῇ ἀναγνώσει καὶ ἡ εὐαγγελικὴ τοῦ σωτῆρος αὐθεντία, ἁμαρτιῶν ἄφεσιν ἀφθόνως χαριζομένη. τὸν γὰρ παραλυτικὸν ὁ σωτὴρ ἰώμενος ἔλεγεν, ὡς ἀρτίως ἀκηκόατε· Τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου αἱ πολλαί. Μαρκ. β. ε. ἄφεσις δὲ ἁμαρτιῶν, πηγὴ σωτηρίας, καὶ ἔπαθλον μετανοίας. ἰατρεῖον γάρ ἐστιν ἀναιρετικὸν τῆς ἁμαρτίας ἡ μετάνοια, δῶρόν ἐστιν οὐράνιον, δύναμις θαυμαστὴ χάριτι νικῶσα τὴν τῶν νόμων ἀκολουθίαν. διὰ τοῦτο οὐ πόρνον ἀποσείεται, οὐ μοιχὸν ἀποσοβεῖ, οὐ μέθυσον ἀποστρέφεται, οὐκ εἰδωλολάτρην βδελύττεται, οὐ λοίδορον ἀπελαύνει, οὐ βλάσφημον ἀποδιώκει, οὐκ ἀλαζόνα· ἀλλὰ πάντας μεταποιεῖ. χωνευτήριον γάρ ἐστι τῆς ἁμαρτίας ἡ μετάνοια. ἀναγκαῖον δὲ πρῶτον γνωρίσαι τοῦ Θεοῦ τὸν σκοπόν, οὐκ ἐξ ἡμετέρων ἐννοιῶν ἐπιβάλλοντας ταύτῃ τῇ θεωρίᾳ, ἀλλ' ἐξ αὐτῶν τῶν θείων γραφῶν μεμαρτυρημένην ἀποδεικνύντας τὴν ἀλήθειαν. σκοπὸς τῷ Θεῷ μακροθυμοῦντι τοῖς ἁμαρτάνουσι διπλοῦς ἐστιν εἰς σωτηρίαν ἵλεως, ″ μνηστευόμενος αὐτοῖς τὴν ἐκ μετανοίας σωτηρίαν, καὶ τοῖς ἐξ αὐτῶν ἀπογόνοις τοῖς εἰς ἀρετὴν ἐπιδιδόναι μέλλουσι ταμιευόμενος τὴν εὐεργεσίαν. καὶ ἵνα πάλιν ἀναλάβω τὸν λόγον, ὁ Θεὸς μακροθυμεῖ, ἵνα ἢ ὁ ἁμαρτάνων μετανοήσῃ, καὶ τοῖς ἐξ αὐτοῦ τικτομένοις μὴ ἀποκλείσῃ τὴν σωτηρίαν. κἂν γὰρ αὐτὸς ὁ ἁμαρτάνων ἀμετανόητα παλαίῃ, φείδεται πολλάκις τῆς ῥίζης, ἵνα φυλάξῃ τοὺς καρπούς. πολλάκις μὲν οὖν καὶ αὐτὴν μεταβάλλει τὴν ῥίζαν, ὡς ἔφθην εἰπών· ἀλλ' ἐπειδὰν εἰς παντελῆ κακίαν ἐκείνη πέσῃ, ὁ Θεὸς ὑπερτίθεται χρησίμως τὴν τιμωρίαν, ἀναμένων τῶν μετανοούντων τὴν σωτηρίαν. καὶ ὅπως, ἄκουε. Θάρρα ὁ πατὴρ Ἀβραὰμ εἰδώλων ἦν προσκυνητής· ἀλλ' οὐ δέδωκεν ἐνταῦθα τῆς ἀσεβείας τὴν δίκην. καὶ εἰκότως. εἰ γὰρ προλαβὼν ὁ Θεὸς ἀπέτεμε τὴν ῥίζαν, πόθεν ὁ τοσοῦτος καρπὸς τῆς πίστεως ἀνεδίδοτο; τί τοῦ Ἡσαῦ μοχθηρότερον; σκόπει μοι καὶ ἑτέρας ″ φιλανθρωπίας ὑπόθεσιν. τί τῆς κακίας ἐκείνης ἀναιδέστερον; οὐ πόρνος καὶ βέβηλος, ὥς φησιν ὁ ἀπόστολος; Ἑβρ. ιβ. ιϛ. οὐ μητραλῴας καὶ πατραλῴας; οὐκ ἀδελφοῦ φονεὺς, ὅσον εἰς τὴν προαίρεσιν; οὐχ ὑπὸ Θεοῦ μισούμενος; ἡ γραφὴ μαρτυρεῖ λέγουσα· Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα. εἰ τοίνυν πόρνος, ἢ ἀδελφοκτόνος, καὶ βέβηλος, ἢ ″ μεμισημένος, διὰ τί μὴ ἀφανίζεται; διὰ τί μὴ ἐκκόπτεται; διὰ τί τὸ παραχρῆμα τῆς προσηκούσης τιμωρίας οὐ δέχεται; διὰ τί; καλὸν ὡς ἀληθῶς καὶ τὴν αἰτίαν εἰπεῖν. εἰ ἐξεκόπη, μέγιστον καρπὸν δικαιοσύνης ὁ κόσμος ἀπώλεσεν ἄν. ἀλλ' ὁποῖον, ἄκουε. Ἡσαῦ ἐγέννησε τὸν Ραγουήλ, Ραγουὴλ τὸν Ζαρά, Ζαρὰ τὸν Ἰώβ. ὁρᾷς πηλίκον ὑπομονῆς ἄνθος ἠφάνιζεν, εἰ προλαβὼν ὁ Θεὸς δίκην ἀπήτησε τὴν ῥίζαν; καθ' ὅλων οὖν τῶν πραγμάτων ταύτην ἐκλάμβανε τὴν θεωρίαν. διὰ τοῦτο μακροθυμεῖ τοῖς Αἰγυπτίοις ἀνύποιστα βλασφημοῦσι, διὰ τὰς νῦν ἀνθούσας ἐκκλησίας ἐν Αἰγύπτῳ, διὰ τὰ μοναστήρια καὶ τοὺς ἀγγελικὸν ἐπανῃρημένους βίον. καὶ γάρ, ὥς φασιν οἱ τῶν νόμων τῶν κοινῶν ἔμπειροι, καὶ ὡς οἱ Ῥωμαίων παρακελεύονται νόμοι, τὴν κυοφοροῦσαν, εἴ ποτε περιπέσοι πταίσματι θανάτου δίκην ἐπάγοντι, μὴ πρότερον ἀναιρεῖσθαι, πρὶν ἂν τέκῃ τὸ κυοφορούμενον. καὶ μάλα εἰκότως. οὐ γὰρ ἐδικαίωσαν οἱ καλῶς τεθεικότες τοὺς νόμους συναφανισθῆναι τὸ ἀναμάρτητον τῇ ἁμαρτησάσῃ. εἰ δὲ οἱ ἀνθρώπινοι νόμοι φείδονται τῶν μηδὲν ἡμαρτηκότων, ὁ Θεὸς οὐ πολλῷ μᾶλλον φυλάξει τὴν ῥίζαν, τοῖς καρποῖς ταμιευόμενος τὴν ἐκ τῆς μετανοίας εὐεργεσίαν; λάβε μοι λοιπὸν καὶ ἐπ' αὐτῶν τῶν ἁμαρτανόντων τὴν ἐκ μετανοίας εὐεργεσίαν. καὶ γὰρ καὶ ἐπὶ τούτων ὁ αὐτὸς τῆς φιλανθρωπίας ἀποδίδοται λόγος. εἰ προελάμβανεν ἡ δίκη τὴν διόρθωσιν, ὁ κόσμος παντελῶς ἀπώλλυτο καὶ διεφθείρετο· εἰ ὀξὺς ἦν πρὸς τιμωρίαν ὁ Θεός, οὐκ ἂν ἐκτήσατο Παῦλον ἡ ἐκκλησία, οὐκ ἐδέξατο τὸν τοιοῦτον καὶ τηλικοῦτον. διὰ τοῦτο οὖν ὑπέφερε τὸν βλασφημοῦντα, ἵνα δείξῃ μετανοοῦντα. ἡ τοῦ Θεοῦ μακροθυμία τὸν διώκτην ἐποίησε κήρυκα· ἡ τοῦ Θεοῦ μακροθυμία τὸν λύκον μετέβαλεν εἰς ποιμένα· ἡ τοῦ Θεοῦ μακροθυμία τὸν τελώνην ἐποίησεν εὐαγγελιστήν· ἡ τοῦ Θεοῦ μακροθυμία πάντας ἡμᾶς ἠλέησε, πάντας μετέβαλε, πάντας μετέστρεψεν. ἐὰν ἴδῃς τόν ποτε μέθυσον, νηστευτήν· ἐὰν ἴδῃς τόν ποτε βλάσφημον, θεολόγον· ἐὰν ἴδῃς τόν ποτε αἰσχραῖς ᾠδαῖς τὸ στόμα μολύναντα, νῦν τοῖς θείοις ὕμνοις τὴν ψυχὴν καθαίροντα· θαύμαζε τὴν μακροθυμίαν τοῦ Θεοῦ, καὶ ἐπαίνει τὴν μετάνοιαν, καὶ ἐκ τῆς ἀλλοιώσεως λέγε ἀναλαβών· αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου. ἀγαθὸς μὲν ὁ Θεὸς πρὸς πάντας, ἐξαιρέτως δὲ τὴν ἑαυτοῦ μακροθυμίαν ἐνδείκνυται πρὸς τοὺς ἁμαρτάνοντας.

Καὶ εἰ βούλει ξένον ἐπακοῦσαι λόγον, ξένον μὲν ὅσον εἰς τὴν συνήθειαν, ἀληθινὸν δὲ ὅσον εἰς εὐσέβειαν, ἄκουσον. βαρὺς ὁ Θεὸς πανταχοῦ φαίνεται τοῖς δικαίοις, χρηστὸς δὲ τοῖς ἁμαρτωλοῖς καὶ ταχὺς εἰς φιλανθρωπίαν. τὸν ἁμαρτάνοντα καὶ πεσόντα διανίστησι, καί φησι πρὸς αὐτόν· Μὴ ὁ πίπτων οὐκ ἀνίσταται, ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει; καί, ἵνα τί ἀπέστρεψεν ἀποστροφὴν ἀναιδῆ ἡ ἀσύνετος θυγάτηρ Ἰούδα; καὶ πάλιν, Ἐπιστράφητε πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς. καὶ ἑτέρωθι καὶ ὅρκῳ βεβαιοῖ τὴν ἐκ μετανοίας σωτηρίαν διὰ πολλὴν φιλανθρωπίαν. Ζῶ γὰρ ἐγώ, λέγει Κύριος, οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. πρὸς δὲ τὸν δίκαιον λέγει, Ἐὰν ποιήσῃ ἄνθρωπος πᾶσαν δικαιοσύνην καὶ πᾶσαν ἀλήθειαν, καὶ στραφεὶς ἁμάρτῃ, οὐ μὴ μνησθῶ τῆς δικαιοσύνης αὐτοῦ, ἀλλ' ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ ἀποθανεῖται. ὢ πολλῆς ἀκριβείας τῆς πρὸς τὸν δίκαιον· ὢ πολλῆς δαψιλείας τῆς πρὸς τὸν ἁμαρτάνοντα. οὕτω δὲ ποικίλως καὶ διαφόρως μηχανᾶται, οὐκ αὐτὸς μεταβαλλόμενος, ἀλλὰ χρησίμως μερίζων τῆς ἀγαθότητος αὐτοῦ τὰς οἰκονομίας. καὶ ὅπως, ἄκουε. τὸν ἁμαρτωλὸν καὶ ἐμμένοντα ταῖς ἁμαρτίαις ἐὰν φοβήσῃ, εἰς ἀπόγνωσιν αὐτὸν καὶ ἀπαγόρευσιν τῆς ἐλπίδος φέρει· τὸν δὲ δίκαιον ἐὰν μακαρίσῃ, χαυνοῖ τῆς ἀρετῆς αὐτοῦ τὸν τόνον, καὶ ὡς ἤδη μακαρισθέντα ἀμελεῖν αὐτὸν τῆς σπουδῆς παρασκευάζει. διὰ τοῦτο τὸν μὲν ἁμαρτωλὸν ἐλεεῖ, τὸν δὲ δίκαιον φοβεῖ. Φοβερὸς γὰρ ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ*. καὶ τίνες ἂν εἶεν, ἀλλ' ἢ οἱ ἅγιοι; Ὁ Θεὸς γάρ, φησὶν ὁ Δαβίδ, ὁ ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων, μέγας καὶ φοβερός ἐστιν ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ. ἐὰν ἴδῃ

Ιερ. η. δ.
Ζαχ. α. γ.
Ιεζεκ. λγ. ια.
Ιεζεκ. ιη κδ.
Ψαλ. πη. η.

ἴδῃ πεσόντα, ἐκτείνει χεῖρα φιλανθρωπίας· ἐὰν ἴδῃ ἑστῶτα, ἐπάγει φόβον. καὶ τοῦτο δικαιοσύνης, καὶ δικαιοκρισίας. τὸν μὲν γὰρ δίκαιον τῷ φόβῳ στηρίζει, τὸν δὲ ἁμαρτωλὸν τῇ φιλανθρωπίᾳ διεγείρει. καὶ θέλεις αὐτοῦ γνῶναι τὴν εὔκαιρον ἀγαθότητα, καὶ τὴν εὔχρηστον καὶ ἁρμόζουσαν ἡμῖν ἀποτομίαν; πρόσεχε ἀκριβῶς, μή σε διαφύγῃ τῆς θεωρίας τὸ μέγεθος. ἡ ἁμαρτωλὸς ἐκείνη γυνὴ καὶ μεμαρτυρημένη ἐπὶ πάσῃ ἁμαρτίᾳ καὶ ἀνομίᾳ, ἡ τοσαῦτα ἁμαρτήσασα καὶ τοσούτοις ἁμαρτιῶν ἔργοις ἐνεχομένη, διψήσασα τὴν ἐκ μετανοίας σωτηρίαν ὑπεισῆλθε τῷ συμποσίῳ τῶν ἁγίων. καλὸν δὲ συμπόσιον ἁγίων, ὅπου παρῆν ὁ ἅγιος τῶν ἁγίων. τοῦ γὰρ σωτῆρος κατακεκλιμένου ἐν τῷ οἴκῳ Σίμωνος τοῦ Φαρισαίου, ὑπεισῆλθεν ἡ γυνὴ ἡ ἁμαρτωλὸς ἐκείνη, καὶ τῶν ποδῶν ἥπτετο τοῦ σωτῆρος, καὶ τοῖς δάκρυσιν ἀπέπλυνεν αὐτοῦ τοὺς πόδας, καὶ ταῖς θριξὶν ἐξέματτε· καὶ τὴν τοσούτοις κεχωσμένην ἁμαρτήμασι διανίστησιν ὁ φιλάνθρωπος λέγων, ἀφέωνται αὐτῆς αἱ ἁμαρτίαι. οὐ γὰρ πρόκειταί μοι νῦν ἐξετάσαι πᾶσαν τὴν ἱστορίαν, ἀλλὰ μόνην παραγαγεῖν τὴν μαρτυρίαν. ὅρα τοίνυν ἐδαψίλειαν. οὗ χάριν λέγω σοι, ἀφέωνται αὐτῆς αἱ ἁμαρτίαι αἱ πολλαί, ὅτι ἠγάπησε πολύ. τοσούτων οὖν ἁμαρτημάτων ἀμνηστίαν ἐκομίσατο ἡ ἁμαρτωλὸς γυνή· καὶ Μαρία δὲ ἡ ἀδελφὴ Μωϋσέως διὰ μικρὸν γογγυσμὸν ″ λέπραν καταδικάζεται. τοῖς ἁμαρτάνουσι λέγει, Ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς κόκκινον, ὡς χιόνα λευκανῶ, καὶ μεταβάλλει τὸ σκότος εἰς φῶς τῇ μεταβολῇ τῆς μετανοίας, καὶ τοσαύτην κακῶν ἀφθονίαν τῇ φωνῇ διαλύει τῆς ἀγαθότητος. πρὸς δὲ τὸν ἐν δικαιοσύνῃ βαδίζοντά φησιν· Ὃς ἐὰν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ, μωρέ, ἔνοχός ἐστι τῇ γεέννῃ τοῦ πυρός. ἑνὶ ῥήματι τοσαύτην ἐπέθηκεν ἀκρίβειαν, καὶ τοσούτοις ἁμαρτήμασι τοσαύτην μετρεῖ τὴν ἀφθονίαν. καὶ ἕτερόν μοι σκόπησον θαυμαστόν. ἐπειδὴ τὰ ἁμαρτήματα ὡς ὀφειλήματα ἀναγράφεται, τοῖς μὲν ἁμαρτωλοῖς καὶ ″ τὰ κεφάλαια συγχωρεῖ μετανοοῦσι, παρὰ δὲ τῶν δικαίων καὶ τόκους ἀπαιτεῖ. προσῆλθεν αὐτῷ χρεωφειλέτης πολλῶν ταλάντων, καὶ ὡς τῇ μετανοίᾳ καὶ τῇ πολλῇ ἱκεσίᾳ ἐδυσώπησε τὴν δίκην καὶ εἶπε, Κύριε, μακροθύμησον ἐπ᾽ ἐμοί, καὶ πάντα ἀποδώσω, οὐκ ἀνέμεινε τὴν ἀπόδοσιν ὁ φιλάνθρωπος, ἀλλὰ τὴν ἐξομολόγησιν λύσιν ἐποίησε τοῦ ὀφειλήματος. τῷ ὀφειλέτῃ τῶν μυρίων ταλάντων πάντα συνεχώρησε, καὶ αὐτὸ τὸ κεφάλαιον, παρὰ δὲ τῶν δικαίων ἐπαγγέλλεται καὶ τόκους ἀπαιτεῖν. Διὰ τί γὰρ οὐκ ἔδωκας τὸ ἀργύριόν μου τοῖς τραπεζίταις, κἀγὼ ἐλθὼν σὺν τόκοις ἀπῄτησα; ταῦτα λέγω, οὐχ ὡς τοῦ Θεοῦ πρὸς τοὺς δικαίους ἀπεχθῶς διακειμένου (οὐδὲν γὰρ τῷ Θεῷ τοῦ δικαίου ποθεινότερον) ἀλλ᾽, ὡς ἔφθην εἰπών, παραμυθεῖται τὸν ἁμαρτωλόν, ἵνα διεγείρῃ· φοβεῖ καὶ τὸν δίκαιον, ἵνα στηρίζῃ. καὶ τοῖς μὲν τὰ πολλὰ συγχωρεῖ πλημμελήματα ὡς ἐχθροῖς καὶ πεφεισμένοις· τοῖς δὲ καὶ περὶ τῶν τυχόντων ἀκριβολογεῖται, μηδὲν αὐτοῖς ἐλλιπὲς εἶναι βουλόμενος εἰς ἀκρότητα. ὃ γὰρ ἐστιν ἐν τῷ κόσμῳ τούτῳ πλούσιος, τοῦτο τῷ Θεῷ δίκαιος· καὶ ὃ ἐστιν ἐν τῷ κόσμῳ πένης, τοῦτο τῷ Θεῷ ἁμαρτωλός. οὐδὲν πτωχότερον τοῦ ἁμαρτάνοντος, καὶ οὐδὲν πλουσιώτερον τοῦ δικαιοπραγοῦντος. διὰ τοῦτο περὶ μὲν τῶν ἐν εὐσεβείᾳ καὶ εὐθηνίᾳ διαγόντων φησὶν ὁ Παῦλος· Εὐχαριστῶ τῷ Θεῷ, ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ, ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει. περὶ δὲ τῶν ἀσεβούντων ὁ μακάριος Ἱερεμίας λέγει· Ἴσως πτωχοί εἰσι, διὰ τοῦτο οὐκ ἠδύναντο ἀκούειν λόγον Κυρίου. ὁρᾷς ὅπως πτωχοὺς καλεῖ τοὺς ἀπεσχοινισμένους τῆς εὐσεβείας; ὡς πτωχοὺς τοίνυν τοὺς ἁμαρτάνοντας ἐλεεῖ, καὶ ὡς πλουσίους τοὺς δικαιοπραγοῦντας ἀπαιτεῖ, τοῖς μὲν διὰ τὴν πενίαν χαριζόμενος, τοῖς δὲ διὰ τὸν τῆς εὐσεβείας πλοῦτον μετὰ πολλῆς ἀκριβείας τοὺς λόγους εἰσπραττόμενος. ὃ δὲ ποιεῖ ἐπὶ δικαίων καὶ ἁμαρτωλῶν, τοῦτο ποιεῖ ἐπὶ πλουσίων καὶ πενήτων. καὶ ὥσπερ τὸν ἁμαρτάνοντα ἐγείρει διὰ φιλανθρωπίας, τὸν δὲ δίκαιον φοβεῖ διὰ τῆς ἀποτομίας, οὕτω καὶ ἐν τοῖς κοσμικοῖς πράγμασι διατίθησι τὴν ἑαυτοῦ οἰκονομίαν. ἐὰν ἴδῃ δυνάστας ἀξιώμασιν ὑπερλάμποντας, βασιλεῖς, ἄρχοντας, πάντας τοὺς ἐν πλούτῳ διαπρέποντας, τούτοις δια-

Ματθ. κϛ. ϛ.

Ησ. α. ιη.

Ματθ. ε. κβ.

Ματθ. ιη. κδ.

Ματθ. κε. κζ.

α. Κορ. α. ε.

Ιερ. ε. δ.

λέγεται μετὰ φόβου, καὶ ἐπιτίθησι χρησίμως τῇ δυναστείᾳ τὸν φόβον. Ψαλ. β. ι. Καὶ νῦν βασιλεῖς σύνετε, παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν· δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ, ὅτι βασιλεὺς ἐστὶ τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων. ὅπου ἀρχὴ δυναστείας, ἐπιτίθησι τὸν φόβον τῆς αὐτοῦ βασιλείας· ὅπου ταπείνωσις εὐτελείας, προσφέρει τὸ φάρμακον τῆς ἑαυτοῦ φιλανθρωπίας. ὁ γὰρ Θεὸς ἐστὶ μέγας βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων, ἐστὶ αὐτὸς πάλιν ὑποβαίνων τῆς ἑαυτοῦ ἀξίας εὑρίσκεται κατὰ τὴν ἁγίαν γραφὴν, πατὴρ ὀρφανῶν καὶ κριτὴς τῶν χηρῶν, βασιλέων βασιλεὺς, ἀρχόντων ἄρχων, κυριευόντων Κύριος. ὁρᾷς πολλὴν ἀφθονίαν φιλανθρωπίας; ὁρᾷς χρήσιμον τὸν φόβον τῆς εὐσεβείας καὶ τῆς ἐξουσίας; ὅπου μὲν γὰρ εἶδεν ἀρκοῦσαν τὴν ἐξουσίαν εἰς παραμυθίαν, ἐπέθηκε τὸν φόβον εἰς ὠφέλειαν· ὅπου δὲ εἶδε παραλελυμένην τῇ εὐτελείᾳ τὴν ὀρφανίαν καὶ τὴν πτωχείαν τῇ ἀπονοίᾳ τῆς χηρείας, προσήγαγε τὴν φιλανθρωπίαν εἰς παραμυθίαν. ἐγὼ πατὴρ τῶν ὀρφανῶν. δύο ποιεῖ, καὶ τὴν φιλανθρωπίαν δείκνυσι, καὶ τὴν δυναστείαν κολάζει. καλεῖ ἑαυτὸν πατέρα τῶν ὀρφανῶν, ἵνα καὶ τοὺς ἐν συμφορᾷ παραμυθήσηται, καὶ τοὺς ἐν δυναστείᾳ καταπλήξῃ, ὥστε μὴ ἐπηρεάζειν ὀρφανοῖς καὶ χήραις, ἐπειδὴ ὁ θάνατος ἐγύμνωσε τὸν μὲν τοῦ πατρὸς, τὴν δὲ ἐστέρησε τοῦ ἀνδρός. καὶ οὓς διέφθειρεν ὁ τῆς φύσεως νόμος, ἀνεκαίνισεν ὁ τῆς φιλανθρωπίας ὅρος· καὶ ἡ αὐτὴ χάρις τῇ μὲν ἔδωκε τὸν κριτὴν, τῷ δὲ ὀρφανῷ πατέρα, τὸν βασιλέα τῶν ἁγίων. ὥστε, φησὶν, ὦ ἄδικε, ἐὰν χήραις ἐπηρεάζῃς, τὸν τῶν χηρῶν προνοητὴν παροξύνεις· ἐὰν ὀρφανοὺς ἀδικῇς, υἱοὺς Θεοῦ ἀδικεῖς. ἐγώ εἰμι ὁ πατὴρ τῶν ὀρφανῶν. τίς δὲ οὕτω τολμηρὸς πρὸς ἀσέβειαν, ὥστε υἱοὺς ἀδικεῖν Θεοῦ, καὶ ταῖς ὑπὸ τοῦ Θεοῦ προνοουμέναις χήραις ἐπηρεάζειν; ὁρᾷς πῶς χρησίμως κατασκευάζει τὰ φάρμακα τῆς εὐσεβείας, καὶ τοὺς μὲν φοβεῖ, τοὺς δὲ ἐλεεῖ, οὐκ αὐτὸς μεριζόμενος, πρὸς δὲ τὰς γνώμας τῶν ἀνθρώπων ἁρμοζόμενος; προσαγάγωμεν τοίνυν ἑαυτοῖς, ἀδελφοὶ, φάρμακον εἰς σωτηρίαν, τὴν μετάνοιαν· μᾶλλον δὲ δεξώμεθα παρὰ Θεοῦ τὴν μετάνοιαν ἰατρεύουσαν ἡμᾶς. οὐ γὰρ ἡμεῖς αὐτῷ ταύτην προσάγομεν, ἀλλ᾽ αὐτὸς ἡμῖν ταύτην ἐχορήγησεν. ὁρᾷς αὐτοῦ τὴν ἀκρίβειαν τὴν ἐν τῷ νόμῳ; ὁρᾷς αὐτοῦ τὴν φιλανθρωπίαν τὴν ἐν τῇ χάριτι; ὅταν δὲ εἴπω τὴν ἀκρίβειαν τὴν ἐν τῷ νόμῳ, οὐ διαβάλλω κρίσιν, ἀλλὰ τῆς εὐαγγελικῆς χάριτος κηρύττω τὴν φιλανθρωπίαν· ὅτι ὁ μὲν νόμος ἀπαραιτήτως ἐκόλαζε τοὺς ἁμαρτάνοντας, ἡ δὲ χάρις μετὰ πολλῆς μακροθυμίας ὑπερτίθεται τὴν τιμωρίαν, ἵνα ἐπαγάγῃ τὴν διόρθωσιν.

Δεξώμεθα τοίνυν μετάνοιαν, φάρμακον εἰς σωτηρίαν· δεξώμεθα φάρμακον ἐξαλεῖφον ἡμῶν τὰ πταίσματα. μετάνοια δέ ἐστιν, οὐχ ἡ λόγῳ κηρυττομένη, ἀλλ᾽ ἡ πράγμασι βεβαιουμένη· μετάνοια, ἡ ἐξ αὐτῆς τῆς καρδίας ἐξαλείφουσα τὸν ῥύπον τῆς ἀσεβείας. Ἡσ. α. ιϛ. Λούσασθε γάρ, φησι, καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν καρδιῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου. τί βούλεται τὸ περιττὸν τῆς λέξεως; τὸ γάρ, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν καρδιῶν ὑμῶν, οὐχ ἱκανὸν μηνῦσαι τὸ πᾶν; διὰ τί οὖν ἀπέναντι τῶν ὀφθαλμῶν μου; ἐπειδὴ ἄλλως ὁρῶσιν ὀφθαλμοὶ ἀνθρώπων, καὶ ἄλλως ὁρᾷ ὀφθαλμὸς τοῦ Θεοῦ· ἄνθρωπος γὰρ εἰς πρόσωπον, Θεὸς δὲ εἰς καρδίαν. μὴ σχήμασι, φησι, νοθεύσῃς τὴν μετάνοιαν, ἀλλ᾽ ἀπέναντι τῶν ὀφθαλμῶν μου, τῶν τὰ κρυπτὰ ἐρευνώντων, δείξατε τοὺς καρποὺς τῆς μετανοίας. δεῖ δὲ ἡμᾶς καθαιρομένους ἀπὸ τῶν ἁμαρτιῶν, πρὸ ὀφθαλμῶν ἔχειν αὐτὰ τὰ ἁμαρτήματα. κἂν ὁ Θεὸς διὰ φιλανθρωπίαν συγχωρήσῃ σοι τὴν ἁμαρτίαν, ἀλλὰ σὺ" πρὸς τὴν ὠφέλειαν τῆς σεαυτοῦ ψυχῆς πρὸ ὀφθαλμῶν ἔχε τὴν ἁμαρτίαν. ἡ γὰρ μνήμη τῶν προλαβόντων, "ἀποχὴ γίνεται τῶν μελλόντων· καὶ ὁ ἐπὶ τοῖς προτέροις δακνόμενος, περὶ τὰ δεύτερα ἀσφαλεστέραν τὴν γνώμην δείκνυσι. διὰ τοῦτο καὶ ὁ Δαβὶδ, Ψαλ. ν. δ. Καὶ ἡ ἁμαρτία μου, φησιν, ἐνώπιόν μου ἐστὶ διαπαντός· ἵνα πρὸ ὀφθαλμῶν ἔχων τὰ προλαβόντα, μὴ περιπέσῃ τοῖς μέλλουσιν. ὅτι δὲ ταύτην ὁ Θεὸς παρ' ἡμῶν ἀπαιτεῖ τὴν κατάστασιν, ἀκούσον αὐτοῦ λέγοντος· Ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἁμαρτίας σου, καὶ οὐ μὴ μνησθήσομαι· σὺ δὲ μνήσθητι, καὶ κριθῶμεν, λέγει Κύριος. λέγε σὺ τὰς ἁμαρτίας σου πρότερον, ἵνα δικαιωθῇς. οὐκ ἀναμένει ὁ Θεὸς χρόνον τὸν ἀπὸ τῆς μετανοίας. εἶπες τὴν ἁμαρτίαν σου; ἐδικαιώθης. μετενόησας; ἠλεήθης. οὐ χρόνος ἀπολογεῖται, ἀλλ' ὁ τρόπος τοῦ μετανοοῦντος τὴν ἁμαρτίαν σβέννυσιν. ἔστι καὶ χρόνῳ πολλῷ παρεδρεύσαντα μὴ τυχεῖν σωτηρίας, καὶ ἐν ὀλίγῳ χρόνῳ γνησίως ἐξομολογησάμενον ἀποδύσασθαι τὴν ἁμαρτίαν. πολὺν χρόνον ἀνάλωσεν ὁ Σαμουὴλ ἀξιῶν περὶ τοῦ Σαοὺλ, καὶ πολλὰς νύκτας διανύσει ἀγρυπνῶν περὶ τῆς τοῦ ἁμαρτήσαντος σωτηρίας· ὁ δὲ Θεὸς τὸν χρόνον παραπεμπόμενος (οὐ γὰρ συνέδραμε τῇ ἱκεσίᾳ τοῦ προφήτου ἡ μετάνοια τοῦ ἁμαρτήσαντος) λέγει πρὸς τὸν ἑαυτοῦ προφήτην· Ἕως πότε σὺ πενθεῖς ἐπὶ Σαοὺλ, κἀγὼ ἀπῶσμαι αὐτόν; τὸ, ἕως πότε, τὸν χρόνον δείκνυσι καὶ τὴν παραμονὴν τοῦ ἱκετεύοντος· καὶ ἀπεπέμψατο ὁ Θεὸς τὸν χρόνον τῆς ἱκεσίας τοῦ προφήτου. οὐ γὰρ συνέδραμε τῇ πρεσβείᾳ τοῦ δικαίου ἡ μετάνοια τοῦ βασιλέως. τῷ δέ γε μακαρίῳ Δαβὶδ δεξαμένῳ τὸν ἔλεγχον τῆς ἁμαρτίας διὰ τοῦ ἁγίου Νάθαν τοῦ προφήτου, καὶ εὐθέως πρὸς τὴν ἀπειλὴν ἐπιδειξαμένῳ τὴν γνησίαν ἐπιστροφὴν, καὶ εἰπόντι, Ἡμάρτηκα τῷ Κυρίῳ, εὐθέως ῥῆμα ἓν ἐν μιᾷ ῥοπῇ προσενεχθὲν γνησίως, ὁλόκληρον ἤνεγκε τῷ μετανοήσαντι τὴν σωτηρίαν. εὐθὺς γὰρ ἡ διόρθωσις κατέλαβε τὴν ἀπόφασιν. φησὶ γοῦν πρὸς αὐτὸν ὁ Νάθαν· Καὶ Κύριος ἀφεῖλε τὴν ἁμαρτίαν σου. ὅρα δέ μοι τὸν Θεὸν βραδὺν εἰς τιμωρίαν, καὶ ταχὺν εἰς σωτηρίαν. καί μοι πρότερον ἐννόησον, ὅπως τὸν ἔλεγχον ὁ φιλάνθρωπος μετὰ πολλοὺς προσήγαγε χρόνους. ἥμαρτεν ὁ Δαβὶδ, ἐκυοφόρησεν ἡ γυνὴ, καὶ οὐδεὶς ἔλεγχος τῇ ἁμαρτίᾳ παρηκολούθησεν· ἀλλὰ μετὰ τὸ ἀποτεχθῆναι τὸ βρέφος τὸ ἐκ τῆς ἁμαρτίας, ἀποστέλλεται ὁ ἰατρὸς τῆς ἁμαρτίας. διὰ τί δὲ ἁμαρτήσαντα εὐθέως οὐ διωρθώσατο; ἐπειδὴ οἶδεν ἐν ταῖς ἀκμαῖς τῶν ἁμαρτημάτων τυφλώττουσαν τὴν ψυχὴν τῶν ἁμαρτανόντων, διότι ἐκκεκώφωται τὰ ὦτα τῶν βεβαπτισμένων ἐν τῷ βάθει τῆς ἁμαρτίας, ὑπερτίθεται οἷον φλεγμαίνοντι τῷ πάθει προσάγειν τὴν βοήθειαν, καὶ μετὰ τοσοῦτον χρόνον ὁ ἔλεγχος προσέρχεται, καὶ ἐν μιᾷ καιροῦ ῥοπῇ ἡ μετάνοια καὶ ἡ ἄφεσις. καὶ Κύριος ἀφῆκε τὴν ἁμαρτίαν σου. ὢ τῆς οἰκονομίας τοῦ ἀπειλήσαντος. ὁρᾷς ὅτι ὀξὺς εἰς σωτηρίαν; τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ποιεῖ βραδύνων πρὸς καθαίρεσιν, ταχύνων δὲ πρὸς ἀντίληψιν. οἷόν τι λέγω· ἐφ' ἡμῶν τῶν ἀνθρώπων διὰ πολλῶν χρόνων τὰ κτίσματα κατασκευάζεται. ἐν πολλῷ χρόνῳ κτίζομεν οἶκον· καὶ τῆς μὲν οἰκοδομῆς πολὺς ὁ χρόνος· τῆς δὲ καθαιρέσεως ὀλίγος. ἐπὶ δὲ τοῦ Θεοῦ τὸ ἀνάπαλιν. ὅταν κτίζῃ, ταχέως κτίζει· ὅταν καταστρέφῃ, βραδέως καταστρέφει. ταχὺς ὁ Θεὸς κτίζων, βραδὺς καταστρέφων· ἐπειδὴ Θεῷ τὰ δύο πρέποντα· καὶ γὰρ ἐκεῖνο δυνάμεως, καὶ τοῦτο ἀγαθότητος. δι' ὑπερβολὴν δυνάμεως, ταχύς· διὰ πολλὴν ἀγαθότητα, βραδύς. ἔλεγχος δὲ τῶν ῥημάτων, ἡ πεῖρα τῶν πραγμάτων. ἐν ἓξ ἡμέραις ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, τὰ μεγέθη τῶν ὀρέων, τὰς πεδιάδας, τὰς φάραγγας, τὰς νάπας, τὰς ὕλας, τὰ βλαστήματα, πηγὰς, ποταμοὺς, παράδεισον, πᾶσαν τὴν ὁρωμένην ποικιλίαν, τὴν θάλασσαν ταύτην τὴν μεγάλην καὶ εὐρύχωρον, τὰς νήσους, τὰς παραλίους χώρας, καὶ τὰς μεσογείους· πάντα τὸν ὁρώμενον τοῦτον κόσμον καὶ τὸ ἐν αὐτῷ κάλλος ἐν ἓξ ἡμέραις ἐποίησεν ὁ Θεός. τὰ ἐν αὐτῷ ζῶα, τὰ λογικὰ καὶ τὰ ἄλογα, καὶ πᾶσαν τὴν ὁρωμένην διακόσμησιν ἐν ἓξ ἡμέραις ποιεῖ. οὗτος οὖν ὁ ταχὺς εἰς τὸ κτίζειν, ὅτε ἐβουλεύσατο μίαν πόλιν καθελεῖν, εὑρέθη βραδὺς διὰ ἀγαθότητα. θέλει καθελεῖν τὴν Ἱεριχὼ, καί φησι πρὸς τὸν Ἰσραήλ· Κυκλώσατε αὐτὴν ἐπὶ ἑπτὰ ἡμέρας, καὶ τῇ ἑβδόμῃ ἡμέρᾳ πεσεῖται τεῖχος. τὸν κόσμον ὅλον ἐν ἓξ ἡμέραις κατασκευάζεις, καὶ μίαν πόλιν ἐν ἑπτὰ ἡμέραις λύεις; τί γὰρ ἐμποδίζει σου τῇ δυναστείᾳ; διὰ τί γὰρ μὴ ἀ-

Ησ. μγ. κε.

α Βασ. ις. α.

α. Βασ. ιβ. ιγ.

ἰησ. ϛ. γ.

Ψαλ. ξς. α. θρόνον καθαιρεῖς; οὐ περὶ σοῦ ὁ προφήτης βοᾷ λέγων· Ἐὰν ἀνοίξῃς τοὺς οὐρανούς, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη, καὶ τακήσονται ὡς κηρὸς ἀπὸ προσώπου πυρός; οὐ τὰ ἔργα τῆς δυνάμεώς σου Ψαλ. με. β. διηγούμενός φησιν ὁ Δαβίδ· Οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν, καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν; ὄρη δυνάμενος ἆραι καὶ εἰς θάλασσαν ἐμβαλεῖν, καὶ μίαν πόλιν οὐ θέλεις καθελεῖν ἀντιλέγουσαν, ἀλλ' ἑπτὰ ἡμέρας δίδως τῇ καθαιρέσει; οὐχ ἡ δύναμις, φησιν, ἀτονεῖ, ἀλλ' ἡ φιλανθρωπία μακροθυμεῖ. δίδωμι ἑπτὰ ἡμέρας, ὡς τῇ Νινευῒ τὰς τρεῖς ἡμέρας· ἴσως δέξεται κήρυγμα μετανοίας, καὶ σωθήσεται. καὶ τίς ὁ κηρύττων αὐτοῖς τὴν μετάνοιαν; πολέμιοι τὴν πόλιν περιεστοιχίσαντο, ὁ στρατηγὸς ἐκύκλου τὰ τείχη, πολὺς ὁ φόβος, πολὺς ὁ θόρυβος. ποίαν οὖν αὐτοῖς ὁδὸν τῆς μετανοίας ἀνέῳξας; μὴ γὰρ προφήτην ἀπέστειλας; μὴ γὰρ εὐαγγελιστὴν διέπεμψας; μὴ γὰρ ἦν τις αὐτοῖς ὑποτιθέμενος τὸ συμφέρον; ναί, φησιν· εἶχον ἔνδον διδάσκαλον τῆς μετανοίας, τὴν θαυμαστὴν ἐκείνην Ῥαάβ, ἣν ἔσωσα διὰ μετανοίας. Τοῦ αὐτοῦ ἦν φρονήματος· ἀλλ' ἐπειδὴ ἐξ αὐτῶν ἦν τοῦ φρονήματος, οὐκ ἐκοινώνησε τῇ ἁμαρτίᾳ ἡ μὴ κοινωνήσασα τῇ ἀπιστίᾳ. καὶ θέα μοι τὸ ξένον τῆς φιλανθρωπίας κήρυγμα. ὁ λέγων ἐν τῷ νόμῳ, οὐ μοιχεύσεις, οὐ πορνεύσεις, μεταβαλὼν τὸ ῥῆμα διὰ φιλανθρωπίαν βοᾷ διὰ τοῦ μακαρίου Ἰησοῦ, Ῥαὰβ ἡ πόρνη ζήτω. Ἰησ. ϛ. κϛ. Ἰησοῦς ἐκεῖνος ὁ Ναυῒ υἱὸς ὁ λέγων, ἡ πόρνη ζήτω, εἰκὼν ἦν τοῦ Κυρίου Ἰησοῦ τοῦ λέγοντος, Ματθ. κα. λα. Πόρναι καὶ τελῶναι προάξουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Εἰ ζῆν ὀφείλει, διὰ τί πόρνη; εἰ πόρνη, διὰ τί ζήτω; λέγω, φησί, τὴν προτέραν κατάστασιν, ἵνα θαυμάσῃς τὴν δευτέραν μετάστασιν. καὶ τί ἐποίησεν ἡ Ῥαὰβ σωτηρίας πρόξενον; ὅτι ἐδέξατο τοὺς κατασκόπους μετ' εἰρήνης; τοῦτο γὰρ καὶ πανδοχεύτρια ποιεῖ. ἀλλ' οὐκ ἀπὸ τῆς λέξεως μόνης καρποῦται τὴν σωτηρίαν, ἀλλὰ προηγουμένως ἀπὸ τῆς πίστεως καὶ τῆς πρὸς Θεὸν διαθέσεως. καὶ ἵνα τὴν ὑπερβολὴν μάθῃς τῆς ἐν αὐτῇ πίστεως, ἄκουε αὐτῆς τῆς γραφῆς διηγουμένης τὰ μεμαρτυρημένα αὐτῇ κατορθώματα. ἦν ἐν πορνείᾳ, ὥσπερ μαργαρίτης ἐν βορβόρῳ συμπεφυρμένος, χρυσὸς ἐν πηλῷ διερριμμένος, ἄνθος εὐσεβείας ἀκάνθαις κεχωσμένον, εὐσεβὴς ψυχὴ ἐν ἀσεβείας χώρῳ κατεκέκλειστο. καί μοι πρόσεχε τὸν νοῦν ἀκριβῶς. ἐδέξατο τοὺς κατασκόπους, καὶ ὃν παρέδωκεν Ἰσραὴλ ἐν τῇ ἐρήμῳ, τοῦτον ἐκήρυξεν ἡ Ῥαὰβ ἐν τῇ πορνείᾳ. οἷόν τι λέγω· ὁ Ἰσραὴλ ἐν τῇ ἐρήμῳ, ὅτε τὸ ὄρος ἐπεπλήρωτο νεφέλης καὶ γνόφου καὶ σαλπίγγων καὶ ἀστραπῶν καὶ τῶν ἄλλων φοβήτρων, ἤκουσε παρὰ τοῦ Θεοῦ ἐκ μέσου τοῦ Δευτ. ϛ. δ. πυρός, Ἄκουε, Ἰσραήλ· Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν· οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι. ἐγὼ ἐν τῷ οὐρανῷ ἄνω, καὶ ἐν τῇ γῇ κάτω, καὶ πλὴν ἐμοῦ Θεὸς οὐκ ἔστι. Ταῦτα ἀκούων ὁ Ἰσραήλ, μόσχον ἐχώνευσε, καὶ Θεὸν ἠθέτησε, καὶ ἠγνόησε τὸν δεσπότην, ἀπέγνω τὸν Ἐξο. λβ. α. δ. εὐεργέτην καὶ λέγει τῷ Ἀαρών, Ποίησον ἡμῖν θεούς. Εἰ θεούς, διὰ τί ποίησον; πῶς θεοὶ τὰ γινόμενα; οὕτως ἡ κακία τυφλώττουσα αὐτὴ ἑαυτῇ μάχεται, καὶ ἑαυτὴν ἀφανίζει. Εἷς ἐγένετο μόσχος, καὶ βοᾷ ὁ ἀχάριστος Ἰσραήλ· Οὗτοι οἱ θεοί σου, Ἰσραήλ, οἱ ἐξαγαγόντες σε ἐκ γῆς Αἰγύπτου. οὗτοι οἱ θεοί. ἕνα βλέπει μόσχον, ἓν τὸ γλυφόμενον εἴδωλον. διὰ τί οὖν οὗτοι οἱ θεοί; ἵνα δείξῃ ὅτι οὐχ ὃ βλέπει μόνον προσκυνεῖ, ἀλλὰ πολυθεΐαν φαντάζεται· τὴν γνώμην ἑρμηνεύει, οὐ τὸ φαινόμενον κρίνει. ἵνα γὰρ εἰς τὸ προκείμενον ἔλθωμεν πάλιν· ἃ ἤκουσεν Ἰσραὴλ ὁ τοσούτοις περιστοιχιζόμενος θαύμασι, καὶ τοσούτῳ νόμῳ παιδαγωγούμενος, καὶ ἠρνήσατο, ταῦτα ἡ Ῥαὰβ Ἰησ. β. θ. ἀποκεκλεισμένη ἐν τῇ πορνείᾳ κηρύττει. λέγει γὰρ τοῖς κατασκόποις· Ἔγνωμεν ὅσα Ἐξοδ. λβ. δ. ἐποίησεν ὁ Θεὸς ὑμῶν τοῖς Αἰγυπτίοις. ὁ Ἰουδαῖος λέγει, Οὗτοι οἱ θεοί σου οἱ ἐξαγαγόντες σε ἐκ τῆς Αἰγύπτου· καὶ ἡ πόρνη οὐ θεοῖς, ἀλλὰ Θεῷ ἐπιγράφει τὴν σωτηρίαν. ἔγνωμεν ὅσα ὁ Θεὸς ὑμῶν ἐποίησε τοῖς Αἰγυπτίοις ἐν τῇ ἐρήμῳ, καὶ ἠκούσαμεν, καὶ ἐτάκη ἡμῶν ἡ καρδία, καὶ ἰσχὺς ἐν ἡμῖν οὐκ ἔστιν· ἔγνωμεν ὅσα ὁ Θεὸς ὑμῶν ἐποίησε. βλέπεις πῶς ἀνα-

λαμβάνει

ἴσ ἐκ τοῦ αὐτ
ἦν φ. ἀ. ἐ.
αὐτοῦ ἐκ ἦν
φρον.

χ. ἐπιλα

λαμβάνει τοῦ νομοθέτου τὸ ῥῆμα διὰ πίστεως; Καὶ οἶδα, ὅτι ὁ Θεὸς ὑμῶν ἐν τῷ οὐρανῷ ἄνω, καὶ ἐν τῇ γῇ κάτω, καὶ πλὴν αὐτοῦ Θεὸς οὐκ ἔστιν. Ιησ. β. ια. Εἰκὼν τῆς ἐκκλησίας ἡ Ῥαὰβ τῆς ποτε πεφυρμένης τῇ πορνείᾳ τῶν δαιμόνων, δεχομένης δὲ νῦν τοὺς τοῦ Χριστοῦ κατασκόπους· οὐ τοὺς παρὰ Ἰησοῦ τοῦ Ναυῆ, ἀλλὰ τοὺς ἀποστόλους τοὺς παρὰ Ἰησοῦ τοῦ ἀληθινοῦ σωτῆρος ἀπεσταλμένους. ἔγνων, φησὶν, ὅτι ὁ Θεὸς ὑμῶν ἐν τῷ οὐρανῷ ἄνω, καὶ ἐν τῇ γῇ κάτω, καὶ πλὴν αὐτοῦ Θεὸς οὐκ ἔστι. Ταῦτα παρέλαβον οἱ Ἰουδαῖοι, καὶ οὐκ ἐφύλαξαν· ταῦτα ἤκουσεν ἡ ἐκκλησία, καὶ διετήρησεν. ἀξία τοίνυν ἐπαίνου πάντως Ῥαάβ, ἡ εἰκὼν τῆς ἐκκλησίας. διὰ τοῦτο καὶ ὁ γενναῖος Παῦλος καταμαθὼν αὐτῆς τὸ ἀξίωμα τῆς πίστεως, καὶ οὐκ ἀδόκιμον ἡγησάμενος διὰ τὴν προτέραν κατάστασιν, ἀλλὰ δόκιμον διὰ τὴν ἔνθεον μεταβολὴν, συναριθμεῖ αὐτὴν τοῖς ἁγίοις πᾶσι· καὶ εἰρηκὼς, ὅτι Πίστει Ἄβελ θυσίαν προσήνεγκε, Εβρ. ια. δ. πίστει Ἀβραὰμ τὸ καὶ τὸ ἐποίησε, πίστει Νῶε κιβωτὸν εἰργάσατο, πίστει Μωϋσῆς τὰ καὶ τὰ ἐποίησε καὶ κατώρθωσε, καὶ πολλῶν ἐφεξῆς μνησθεὶς ἁγίων, τὸ τελευταῖον ἐπήγαγε, Πίστει Ῥαὰβ Εβρ. ια. λα. ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους, καὶ ἑτέρᾳ ὁδῷ ἐκβαλοῦσα. καὶ ὅρα πῶς μετὰ πολλῆς σοφίας ἐκέρασε τὴν ἑαυτῆς εὐγνωμοσύνην. ὅτε γὰρ ἀπεστάλησαν παρὰ τοῦ βασιλέως ζητοῦντες τοὺς κατασκόπους, λέγουσιν αὐτῇ· [εἰ] εἰσῆλθον πρὸς σὲ ἄνδρες; ἡ δὲ πρὸς αὐτούς, ναί, φησιν, εἰσῆλθον. πρῶτον οἰκοδομεῖ τὴν ἀλήθειαν, καὶ οὕτως ἐπάγει τὸ ψεῦδος. οὐδέποτε γὰρ καθ' ἑαυτὸ τὸ ψεῦδος πιστεύεται, ἐὰν μὴ προλαβὸν ἐνδείξηται τὴν ἀλήθειαν. διὰ τοῦτο οἱ πιθανῶς ψευδόμενοι, πρῶτον λέγουσι τὰ ἀληθῆ καὶ πᾶσιν ὡμολογημένα, καὶ τότε ἐπάγουσι τὰ ψευδῆ καὶ ἀμφιβαλλόμενα. Εἰσῆλθον πρὸς σὲ κατάσκοποι; λέγει, ναί. εἰ γὰρ εἶπεν ἐξ ἀρχῆς, οὔ, προεκαλεῖτο εἰς ἔρευναν τοὺς ἐπελθόντας. ἀλλὰ καὶ εἰσῆλθον, φησι, καὶ ἐξῆλθον τῇδε τῇ ὁδῷ· καταδιώξατε, καὶ καταλήψεσθε αὐτούς. ὢ καλοῦ ψεύδους, ὢ καλοῦ δόλου οὐ προδιδόντος τὰ θεῖα, ἀλλὰ φυλάττοντος τὴν ἀλήθειαν.

Εἰ τοίνυν τὴν Ῥαὰβ ἐκείνην ἡ μετάνοια σωτηρίας τοσαύτης ἠξίωσε, καὶ διὰ στόματος ἁγίων κηρύττεται, Ἰησοῦ μὲν τοῦ Ναυῆ βοῶντος ἐν τῇ ἐρήμῳ, ζήτω Ῥαὰβ ἡ πόρνη, Παύλου δὲ λέγοντος, Πίστει Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι· πόσῳ μᾶλλον ἡμεῖς, ἐὰν προσάγωμεν τὴν μετάνοιαν, οὐ δεξόμεθα τὴν σωτηρίαν; μετανοίας νῦν ὁ παρὼν καιρός. πολὺς γὰρ ὁ φόβος τῶν ἐπικειμένων ἡμῖν ἁμαρτημάτων· ἀλλὰ προλάβοι τὴν τιμωρίαν ἡ μετάνοια, προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, σβέσωμεν τὴν πυρκαϊὰν τῶν ἁμαρτημάτων, οὐχ ὕδασι πολλοῖς, ἀλλὰ μικροῖς δάκρυσι. πολὺ τὸ πῦρ τῆς ἁμαρτίας, καὶ ὀλίγοις δάκρυσι σβέννυται. τὸ γὰρ δάκρυον σβέννυσι πυρκαϊὰν ἁμαρτημάτων, καὶ ἀποπλύνει δυσωδίαν ἁμαρτίας. μαρτυρεῖ Δαβὶδ ὁ μακάριος λέγων καὶ δεικνὺς τὴν δύναμιν τῶν δακρύων, ὅσον ἰσχύει. Λούσω γάρ, φησι, καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, Ψαλ. ϛ. ϛ. ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. καὶ μὴν εἰ τὴν ἀφθονίαν ἐβούλετο δεῖξαι τῶν δακρύων, ἤρκει τὸ εἰπεῖν, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. διὰ τί οὖν προσέταξε, τὸ, λούσω; ἵνα δείξῃ ὅτι λουτρόν ἐστι καὶ καθάρσιον ἁμαρτημάτων τὰ δάκρυα. πάντων τῶν κακῶν αἴτια τὰ ἁμαρτήματα. διὰ τὰ ἁμαρτήματα ταραχαί· διὰ τὰ ἁμαρτήματα πόλεμοι· διὰ τὰ ἁμαρτήματα νόσοι, καὶ πάντα ὅσα ἡμῖν προσπίπτει δυσίατα πάθη. ὥσπερ οὖν οἱ ἄριστοι τῶν ἰατρῶν οὐ τὰ φαινόμενα πάθη ἐξετάζουσιν, ἀλλὰ καὶ τὴν αἰτίαν τῶν φαινομένων ἐπιζητοῦσιν· οὕτω καὶ ὁ σωτὴρ βουλόμενος δεῖξαι πάντων τῶν κακῶν τὴν ἐν ἀνθρώποις αἰτίαν, τὴν ἁμαρτίαν, φησὶ τῷ παραλελυμένῳ τὸ σῶμα. ἐπεὶ εἶδεν αὐτὸν ὁ ἰατρὸς τῶν ψυχῶν, πρότερον τὴν ψυχὴν παραλυθέντα, καὶ τότε τὸ σῶμα, λέγει πρὸς αὐτόν· Ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται. Ιωαν. ε. ιδ. οὐκοῦν καὶ τῆς προλαβούσης ἀρρωστίας αἴτιον ἡ ἁμαρτία. τοῦτο καὶ ζημίας αἴτιον, τοῦτο καὶ λύπης, τοῦτο καὶ συμφορᾶς

ἁπάσης ὑπόθεσις ἐστί. πλὴν θαυμάζω ἐκεῖνο, πῶς τὴν λύπην ἀπ' ἀρχῆς τῷ ἀνθρώπῳ
δοὺς ὁ Θεὸς διὰ τὴν ἁμαρτίαν, τῇ ἀποφάσει τὴν ἀπόφασιν λύει, καὶ τῇ καταδίκῃ τὴν
καταδίκην ἐκβάλλει. καὶ ὅπως, ἄκουε. ἐδόθη λύπη διὰ τὴν ἁμαρτίαν, καὶ διὰ λύπης λύεται
ἁμαρτία. πρόσεχε ἀκριβῶς. τῇ γυναικὶ ἀπειλῶν ὁ Θεὸς, καὶ διὰ τὴν παράβασιν
Γεν. γ. ις. τὴν τιμωρίαν ἐπάγων, φησὶ πρὸς αὐτήν· Ἐν λύπαις τέξῃ τέκνα, καὶ ἔδειξε καρπὸν τῆς
ἁμαρτίας, τὴν λύπην. ἀλλ' ὢ τοῦ μεγαλοδώρου· ὃ ἔδωκεν εἰς τιμωρίαν, μετέβαλεν εἰς
σωτηρίαν. ἁμαρτία λύπην ἐγέννησε, λύπη τὴν ἁμαρτίαν ἀνάλωσε. καὶ ὥσπερ σκώληξ ἀπὸ
τοῦ ξύλου τικτόμενος αὐτὸ δαπανᾷ τὸ ξύλον, οὕτω καὶ ἡ λύπη τεχθεῖσα ἀπὸ τῆς ἁμαρτίας ἀναλίσκει
Β. Κορ. ζ. ι. τὴν ἁμαρτίαν, διὰ τῆς μετανοίας προσαγομένη. διὰ τοῦτό φησιν ὁ Παῦλος, Ἡ
κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον ἐργάζεται. καλὴ ἡ λύπη τοῖς γνησίως
Ματθ. ε. δ. μετανοοῦσι. πρέπει τοῖς ἁμαρτάνουσι τὸ ὑπὲρ τῆς ἁμαρτίας πένθος. Μακάριοι γὰρ
οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. πένθησον τὴν ἁμαρτίαν, ἵνα μὴ θρηνήσῃς τὴν
τιμωρίαν· ἀπολόγησαι τῷ κριτῇ, πρὶν ἔλθῃς εἰς τὸ κριτήριον. ἢ οὐκ οἶδας ὅτι πάντες οἱ
βουλόμενοι δυσωπῆσαι τὸν κριτὴν, οὐκ ἐν αὐτῇ τῇ ἐξετάσει τῆς δίκης θεραπεύουσιν, ἀλλὰ
πρὶν ἢ εἰσελθεῖν εἰς τὸ κριτήριον, ἢ διὰ φίλων, ἢ διὰ προστατῶν, ἢ δι' ἑτέρου τρόπου τινὸς
τὸν δικαστὴν θεραπεύουσιν; οὐκοῦν καὶ ἐπὶ τοῦ Θεοῦ ἐν τῷ καιρῷ τοῦ βήματος οὐκ ἔστι πεῖσαι
τὸν δικαστήν· πρὸ δὲ τοῦ καιροῦ τῆς κρίσεως δυνατὸν δυσωπῆσαι τὸν κριτήν. διὰ τοῦτο ἔλεγεν
Ψαλ. ϟδ. β. ὁ Δαβίδ, Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει. ἐκεῖ τὸν μέγαν κριτὴν
οὐ παραλογίζεται ῥητόρων τέχνη, οὐ δυσωπεῖ δυναστεία, ἀξιώματι οὐ πείθεται, πρόσωπον
οὐκ αἰδεῖται, χρήμασιν οὐ διαφθείρεται, ἀλλὰ φοβερά ἐστι καὶ ἀδυσώπητος ἡ δικαιοκρισία.
ἐνταῦθα οὖν τὸν κριτὴν δυσωπήσωμεν καὶ παρακαλέσωμεν· ἐνταῦθα πάντι
σθένει καθικετεύσωμεν, ἀλλ' οὐ χρήμασι· μᾶλλον δὲ, εἰ χρὴ τἀληθῆ λέγειν, πείθεται καὶ
χρήμασιν ὁ φιλάνθρωπος, οὐκ αὐτὸς δεχόμενος, ἀλλὰ διὰ τῶν πενήτων. δὸς πενομένῳ
χρήματα, καὶ τὸν κριτὴν ἐδυσώπησας. ταῦτα δὲ λέγω, οἰκειούμενος ὑμᾶς, ἐπειδὴ μετάνοια
χωρὶς ἐλεημοσύνης νεκρά ἐστι καὶ ἄπτερος. οὐ δύναται μετάνοια πτερωθῆναι, μὴ ἔχουσα
πτερὸν ἐλεημοσύνης. διὰ τοῦτο τῷ καλῶς μετανοήσαντι Κορνηλίῳ πτερὸν ἐγένετο τῆς
Πραξ. ι. γ. εὐσεβείας ἡ ἐλεημοσύνη. Αἱ ἐλεημοσύναι σου γὰρ, φησὶ, καὶ αἱ προσευχαί σου εἰς οὐρανὸν
ἀνέβησαν· ὡς εἰ μὴ εἶχε πτερὸν τὴν ἐλεημοσύνην ἡ μετάνοια, οὐκ ἂν εἰς οὐρανὸν ἐχώρησεν.
ἀνέῳκται οὖν σήμερον ἐμπόριον ἐλεημοσύνης. ὁρῶμεν γὰρ τοὺς αἰχμαλώτους καὶ
τοὺς πένητας, ὁρῶμεν τοὺς ἐν ἀγορᾷ περιφερομένους, ὁρῶμεν τοὺς βοῶντας, ὁρῶμεν τοὺς δακρύοντας,
ὁρῶμεν τοὺς στένοντας. πανήγυρις ἡμῖν πρόκειται θαυμαστή· πανηγύρεως δὲ οὐδὲν
ἕτερόν ἐστιν ἐπάγγελμα, καὶ τῷ ἐμπόρῳ οὐδὲν ἕτερόν ἐστι φρόνημα, ἢ τὰ ἐν τοῖς ὠνίοις ὀλίγου
μὲν ἀγοράσαι, πολλοῦ δὲ πωλῆσαι. ἢ οὐχ οὕτω τῶν ἐμπόρων ἑκάστου ὁ σκοπός; μὴ δι' ἕτερόν
τι ἐπιβάλληταί τις τῇ ἐμπορίᾳ, ἢ ἵνα τὰ μικροῦ ἐωνημένα μεγάλου διαπωλήσῃ,
καὶ εὕρῃ πολυπλασιαζομένην αὐτῷ τὴν ἐμπορίαν; τοιαύτην οὖν πανήγυριν
προέθηκεν ἡμῖν ὁ Θεός. ὀλίγου τὰς δικαιοσύνας ἀγόρασον, ἵνα πολλοῦ μεταπωλήσῃς
ἐν τῷ μέλλοντι, εἴγε δεῖ μετάπρασιν εἰπεῖν τὴν ἀνταπόδοσιν. ἐνταῦθα
δι' ὀλίγων ἀγοράζεται δικαιοσύνη, δι' εὐτελοῦς κλάσματος ἄρτου, δι' εὐτελοῦς ἱματίου, διὰ
Ματθ. ι. μβ. ποτηρίου ψυχροῦ. Ὃς ποτίσει ποτήριον ψυχροῦ, ἀμὴν λέγω ὑμῖν, φησὶν ὁ τῆς πνευματικῆς
ἐμπορίας διδάσκαλος, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ. ποτήριον ψυχροῦ ἔμμισθον·
ἱμάτια καὶ χρήματα διδόμενα δι' εὐεργεσίαν οὐκ ἔμμισθα; τοὐναντίον μὲν οὖν καὶ πολύμισθα.
διὰ τί οὖν ποτήριον ἐμνημόνευσε ψυχροῦ; ἀδάπανον εἶπεν ἐλεημοσύνην. τῷ
γὰρ ψυχρῷ οὔτε ξύλον ἀναλίσκεις, οὔτε ἕτερόν τι προσδαπανᾷς. εἰ δὲ οὕτως ἀδάπανος
ἡ δόσις, τοσαύτη τῆς εὐεργεσίας ἡ χάρις, ὅσου ἱματίων ἀφθονία, χρημάτων χορηγία, τῶν ἄλλων

χ. ἐλθεῖν εἰς
τὸ δικαστήριον,
ἢ διὰ προ-
στατῶν,

χ. ἐντεῦθεν
χ. ἐντεῦθεν
χ. πανηγύρ
σωμεν,

λων ἀγαθῶν ἡ περιουσία, πόσον ἀπεκδέχεσθαι χρὴ μισθὸν παρὰ τοῦ δικαίου κριτοῦ; ἐν ὅσῳ οὖν πρόκεινται αἱ ἀρεταὶ ὀλίγου πωλούμεναι, παρὰ τοῦ μεγαλοδώρου λάβωμεν, ἁρπάσωμεν, ἀγοράσωμεν. Οἱ διψῶντες, φησι, πορεύεσθε ἐφ᾽ ὕδωρ, καὶ ὅσοι μὴ ἔχετε ἀργύριον, βαδίσαντες ἀγοράσατε. ἐν ὅσῳ πρόκειται ἡ πανήγυρις, ἀγοράσωμεν ἐλεημοσύνας, μᾶλλον δὲ διὰ τῆς ἐλεημοσύνης ἀγοράσωμεν τὴν σωτηρίαν. Χριστὸν ἐνδύεις, πτωχὸν ἐνδύων. Ταῦτα, φησιν, οἶδα καλῶς καὶ ἀκριβῶς· ταῦτα προμεμάθηκα, οὐ σὺ πρῶτος ἐδίδαξας· οὐ παρὰ σοῦ τοῦτο πρῶτον ἀκηκόαμεν· οὐ ξένα κηρύττεις, ἀλλ᾽ ἃ πολλάκις ἡμᾶς πολλοὶ τῶν προόντων ἐδίδαξαν. οἶδα καὶ αὐτός· οἶδα ὅτι ταῦτα καὶ τὰ τοιαῦτα πολλάκις μεμαθήκατε. ἀλλ᾽ εἴθε πολλάκις μαθόντες, κἂν ὀλίγον τὸ καλὸν ἐργαζοίμεθα. Ὁ ἐλεῶν πτωχὸν, δανείζει Θεῷ. Θεῷ δανείσωμεν τὴν ἐλεημοσύνην, ἵνα παρ᾽ αὐτοῦ λάβωμεν φιλανθρωπίας ἀντίδοσιν. ἀλλ᾽ ὢ τοῦ σοφωτάτου ῥήματος· ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ. διὰ τί οὖν οὐκ εἶπεν, ὁ ἐλεῶν πτωχὸν δίδωσι Θεῷ, ἀλλά, δανείζει; οἶδεν ἡ γραφὴ τὴν ἡμετέραν πλεονεξίαν· προσέχει, ὅτι ἡ ἀπληστία ἡμῶν πρὸς πλεονεξίαν βλέπουσα τὸν πλεονασμὸν ζητεῖ. καὶ διὰ τοῦτο οὐκ εἶπεν ἁπλῶς, ὁ ἐλεῶν πτωχὸν δίδωσι Θεῷ, ἵνα μὴ ἁπλῆν τὴν ἀντιμισθίαν νομίσῃς, ἀλλ᾽, ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ. εἰ δανείζεται Θεὸς παρ᾽ ἡμῶν, ἄρα χρεώστης ἡμῶν ἐστι. τί οὖν θέλεις αὐτὸν ἔχειν; κριτὴν, ἢ χρεώστην; ὁ χρεώστης αἰδεῖται τὸν δανείσαντα, ὁ κριτὴς οὐ δυσωπεῖται τὸν δανειζόμενον. ἀναγκαῖον δὲ καὶ καθ᾽ ἕτερον τρόπον ἰδεῖν. τίνος ἕνεκεν ὁ Θεὸς εἶπεν, ὅτι ἐμοὶ δανείζει ὁ διδοὺς πτωχῷ; ἐπειδὴ οἶδεν ἡμῶν τὴν πλεονεξίαν ῥέπουσαν εἰς πλεονασμὸν, ὡς ἔφθην εἰπὼν, καὶ μηδαμοῦ τὸν χρήματα ἔχοντα δανείζειν θέλοντα ἄνευ ἀσφαλείας (ἀπαιτεῖ γὰρ ὁ δανείζων ἢ ὑποθήκην, ἢ ἐνέχυρα, ἢ τὸν ἀντιφωνοῦντα· καὶ διὰ τῶν τριῶν τούτων ἀσφαλειῶν ἐμπιστεύει τὰ ἑαυτοῦ χρήματα, ἢ ἐγγύας δεχόμενος, ὡς ἔφθην εἰπὼν, ἢ ὑποθήκην πραγμάτων, ἢ ἐνέχυρα) ἐπειδὴ οὖν εἶδεν ὁ Θεὸς, ὅτι ἐκτὸς τούτων οὐδεὶς δανείζει, οὐδὲ εἰς φιλανθρωπίαν βλέπει, ἀλλ᾽ εἰς μόνον τὸ κέρδος ὁρᾷ, πάντων δὲ τούτων ἔρημος ὁ πτωχὸς, οὐχ ὑποθήκην ἔχων (οὐ κέκτηται γὰρ οὐδὲν) οὐκ ἐνέχυρα φέρων (γεγύμνωται γὰρ) οὐ τὸν ἀντιφωνοῦντα παρέχων (ἀπιστεῖται γὰρ διὰ τὴν ἀπορίαν) ὡς οὖν οἶδεν αὐτὸν διακινδυνεύοντα τῇ ἀπορίᾳ, καὶ τὸν ἔχοντα χρήματα κινδυνεύοντα διὰ τὴν ἀπανθρωπίαν, μέσον ἑαυτὸν παρενέθηκεν, ἐχέγγυον μὲν τῷ πένητι, ἐνέχυρον δὲ τῷ δανείζοντι. ἀπιστεῖς τούτῳ, φησὶ, διὰ τὴν ἀπορίαν; ἐμοὶ πίστευσον διὰ τὴν ἀφθονίαν. εἶδε τὸν πτωχὸν, ἠλέησεν, εἶδε τὸν πτωχὸν, καὶ οὐ παρεῖδεν, ἀλλ᾽ ἑαυτὸν ἔδωκεν ἐνέχυρον τῷ μηδὲν ἔχοντι, καὶ τῷ ἀπόρῳ παρέστη διὰ πολλὴν ἀγαθότητα, ἐπαληθεύοντος τοῦ μακαρίου Δαβὶδ τῇ φιλανθρωπίᾳ ταύτῃ καὶ λέγοντος, ὅτι Παρέστη ἐκ δεξιῶν πένητος. ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ. θάρσει, φησὶν, ἐμοὶ δανείζεις. καὶ τί τοσοῦτον κερδαίνω σοι δανείζων; μάλιστα μὲν οὖν παρανομώτατον παρὰ Θεοῦ τόκον ἀπαιτεῖν· πλὴν ἵνα συγκαταβῶ σου τῇ ἀνομίᾳ, καὶ λύσω τῇ φιλανθρωπίᾳ τὴν ἀποτομίαν, ἀντεξετάσωμεν πρὸς ταῦτα. δανείζων τοῖς ἄλλοις τί κερδαίνεις; τί παρ᾽ αὐτῶν εἰς πλεονασμὸν ἐπιζητεῖς; οὐχ ἑκατοστὴν, ἐὰν τὴν ἔννομον ζητήσῃς; ἐὰν δὲ πλεονάσῃς τὴν ἀπιστίαν, διπλῆν καὶ τετραπλῆν καρποῦσαι τὴν ἀδικίαν. ἐγὼ δέ σου νικῶ τὴν πλεονεξίαν, ὑπερβαίνων σου τὴν ὄρεξιν τῆς ἀπληστίας· καλύπτω τῇ ἐμῇ ἀφθονίᾳ τὴν σὴν ἀμετρίαν. σὺ ἑκατοστὴν ζητεῖς, ἐγὼ δὲ ἑκατονταπλασίονα δίδωμί σοι. Εἶτα δανείζῃ, Κύριε, καὶ δανείζῃ παρ᾽ ἐμοῦ ἐνταῦθα εἰς τὸν πτωχὸν ἐλεημοσύνην, ἵνα ποτέ μοι ταῦτα ἀποδῷς; ἀπαιτῶ τὰ σύμφωνα, στηρίξαι βουλόμενος τὸ συνάλλαγμα· δός μοι τῆς ἀντιδόσεως τὸν καιρὸν, ὅρισον τῆς ἀπολήψεως τὴν προθεσμίαν. μάλιστα μὲν οὖν τοῦτο περιττόν. πιστὸς γὰρ Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ. ἐπειδὴ δὲ ἔθος καὶ σκοπὸς τῶν εὐγνωμόνως δανειζομένων χρόνους μετρεῖν καὶ ἡμέρας ὁρίζειν, ἄκουε πότε καὶ ποῦ σοι τὴν ὀφειλὴν ἀποδίδωσιν ὁ διὰ τοῦ πτωχοῦ δανεισάμενος. ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου

Ἡσ. νε. α.

Παροιμ. ιθ. ιζ.

Ψαλ. ρη. λ.

ἁπάσης ὑπόθεσις ἐστί. πλὴν θαυμάζω ἐκεῖνο, πῶς τὴν λύπην ἀπ' ἀρχῆς τῷ ἀνθρώπῳ δοὺς ὁ Θεὸς διὰ τὴν ἁμαρτίαν, τῇ ἀποφάσει τὴν ἀπόφασιν λύει, καὶ τῇ καταδίκῃ τὴν καταδίκην ἐκβάλλει. καὶ ὅπως, ἄκουε. ἐδόθη λύπη διὰ τὴν ἁμαρτίαν, καὶ διὰ λύπης λύεται ἁμαρτία. πρόσεχε ἀκριβῶς. τῇ γυναικὶ ἀπειλῶν ὁ Θεός, καὶ διὰ τὴν παράβασιν τὴν τιμωρίαν ἐπάγων, φησὶ πρὸς αὐτήν· Γεν. γ. ις. Ἐν λύπαις τέξῃ τέκνα, καὶ ἔδειξε καρπὸν τῆς ἁμαρτίας, τὴν λύπην. ἀλλ' ὢ τοῦ μεγαλοδώρου· ὃ ἔδωκεν εἰς τιμωρίαν, μετέβαλεν εἰς σωτηρίαν. ἁμαρτία λύπην ἐγέννησε, λύπη τὴν ἁμαρτίαν ἀνάλωσε. καὶ ὥσπερ σκώληξ ἀπὸ τοῦ ξύλου τικτόμενος αὐτὸ δαπανᾷ τὸ ξύλον, οὕτω καὶ ἡ λύπη τεχθεῖσα ἀπὸ τῆς ἁμαρτίας ἀναλίσκει τὴν ἁμαρτίαν, διὰ τῆς μετανοίας προσαγομένη. διὰ τοῦτό φησιν ὁ Παῦλος, β. Κορ. ζ. ι. Ἡ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον ἐργάζεται. καλὴ ἡ λύπη τοῖς γνησίως μετανοοῦσι. πρέπει τοῖς ἁμαρτάνουσι τὸ ὑπὲρ τῆς ἁμαρτίας πένθος. Ματθ. ε. δ. Μακάριοι γὰρ οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. πένθησον τὴν ἁμαρτίαν, ἵνα μὴ θρηνήσῃς τὴν τιμωρίαν· ἀπολόγησαι τῷ κριτῇ, πρὶν ἔλθῃς εἰς τὸ κριτήριον. ἢ οὐκ οἶδας ὅτι πάντες οἱ βουλόμενοι δυσωπῆσαι τὸν κριτήν, οὐκ ἐν αὐτῇ τῇ ἐξετάσει τῆς δίκης θεραπεύουσι, ἀλλὰ πρὶν εἰσελθεῖν εἰς τὸ κριτήριον, ἢ διὰ φίλων, ἢ διὰ προστατῶν, ἢ δι' ἑτέρου τρόπου τινὸς τὸν δικαστὴν θεραπεύουσιν; οὐκοῦν καὶ ἐπὶ τοῦ Θεοῦ ἐν τῷ καιρῷ τοῦ βήματος οὐκ ἔστι πεῖσαι τὸν δικαστήν· πρὸ δὲ τοῦ καιροῦ τῆς κρίσεως δυνατὸν δυσωπῆσαι τὸν κριτήν. διόπερ ἔλεγεν ὁ Δαβίδ, Ψαλ. ϟδ. β. Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει. ἐκεῖ τὸν μέγαν κριτὴν οὐ παραλογίζεται ῥητόρων τέχνη, οὐ δυσωπεῖ δυναστεία, ἀξιώματι οὐ πείθεται, πρόσωπον οὐκ αἰσχύνεται, χρήμασιν οὐ διαφθείρεται, ἀλλὰ φοβερά ἐστι καὶ ἀδυσώπητος ἡ δικαιοκρισία. "ἐνταῦθα οὖν τὸν κριτὴν δυσωπήσωμεν καὶ παρακαλέσωμεν·" ἐνταῦθα παντὶ σθένει" καθικετεύσωμεν, ἀλλ' οὐ χρήμασι· μᾶλλον δέ, εἰ χρὴ τἀληθῆ λέγειν, πείθεται καὶ χρήμασιν ὁ φιλάνθρωπος, οὐκ αὐτὸς δεχόμενος, ἀλλὰ διὰ τῶν πενήτων. δὸς πεινωμένῳ χρήματα, καὶ τὸν κριτὴν ἐδυσώπησας. ταῦτα δὲ λέγω, οἰκειούμενος ὑμᾶς, ἐπειδὴ μετάνοια χωρὶς ἐλεημοσύνης νεκρά ἐστι καὶ ἄπτερος. οὐ δύναται μετάνοια πτερωθῆναι, μὴ ἔχουσα πτερὸν ἐλεημοσύνης. διὰ τοῦτο τῷ καλῶς μετανοήσαντι Κορνηλίῳ πτερὸν ἐγένετο τῆς εὐσεβείας ἡ ἐλεημοσύνη. Πραξ. ι. γ. Αἱ ἐλεημοσύναι σου γάρ, φησι, καὶ αἱ προσευχαί σου εἰς οὐρανὸν ἀνέβησαν· ὡς εἰ μὴ εἶχε πτερὸν τὴν ἐλεημοσύνην ἡ μετάνοια, οὐκ ἂν εἰς οὐρανὸν ἐχώρησεν. ἀνέῳκται οὖν σήμερον ἐμπόριον ἐλεημοσύνης. ὁρῶμεν γὰρ τοὺς αἰχμαλώτους καὶ τοὺς πένητας, ὁρῶμεν τοὺς ἐν ἀγορᾷ περιφερομένους, ὁρῶμεν τοὺς βοῶντας, ὁρῶμεν τοὺς δακρύοντας, ὁρῶμεν τοὺς στένοντας. πανήγυρις ἡμῖν πρόκειται θαυμαστή· πανηγύρεως δὲ οὐδὲν ἕτερόν ἐστιν ἐπάγγελμα, καὶ τῷ ἐμπόρῳ οὐδὲν ἕτερόν ἐστι φρόνημα, ἢ τὰ ἐν τοῖς ὠνίοις ὀλίγου μὲν ἀγοράσαι, πολλοῦ δὲ πωλῆσαι. ἢ οὐχ" οὗτος τῶν ἐμπόρων ἑκάστου ὁ σκοπός; μὴ δι' ἕτερόν τι ἐπιβάλληταί τις τῇ ἐμπορίᾳ, ἢ ἵνα τὰ μικροῦ ἐωνημένα μεγάλου διαπωλήσῃ, καὶ εὕρῃ πολυπλασιαζομένην αὐτῷ τὴν ἐμπορίαν; τοιαύτην οὖν πανήγυριν προέθηκεν ἡμῖν ὁ Θεός. ὀλίγου τὰς δικαιοσύνας ἀγόρασον, ἵνα πολλοῦ μεταπωλήσῃς ἐν τῷ μέλλοντι, εἴγε δεῖ μετάπρασιν εἰπεῖν τὴν ἀνταπόδοσιν. ἐνταῦθα δι' ὀλίγων ἀγοράζεται δικαιοσύνη, δι' εὐτελοῦς κλάσματος ἄρτου, δι' εὐτελοῦς ἱματίου, διὰ ποτηρίου ψυχροῦ. Ματθ. ι. μβ. Ὃς ποτίσει ποτήριον ψυχροῦ, ἀμὴν λέγω ὑμῖν, φησὶν ὁ τῆς πνευματικῆς ἐμπορίας διδάσκαλος, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ. ποτήριον ψυχροῦ ἔμμισθον· ἱμάτια καὶ χρήματα διδόμενα δι' εὐεργεσίαν οὐκ ἔμμισθα; τοὐναντίον μὲν οὖν καὶ πολύμισθα. διὰ τί οὖν ποτήριον ἐμνημόνευσε ψυχροῦ; ἀδάπανον εἶπεν ἐλεημοσύνην. τῷ γὰρ ψυχρῷ οὔτε ξύλον ἀναλίσκεις, οὔτε ἕτερόν τι προσδαπανᾷς. εἰ δὲ οὕτως ἀδάπανος ἡ δόσις, τοσαύτη τῆς εὐεργεσίας ἡ χάρις, ὅπου ἱματίων ἀφθονία, χρημάτων χορηγία, τῶν ἄλλων

χ. ἐλθεῖν εἰς τὸ δικαστήριον, ἢ διὰ προστατῶν,

χ. ἐντεῦθεν
χ. ἐντεῦθεν
χ. παρακαλέσωμεν,

ἰσ. [illegible]

λων ἀγαθῶν ἡ περιουσία, πόσον ἀπεκδέχεσθαι χρὴ μισθὸν παρὰ τοῦ δικαίου κριτοῦ; ἐν ὅσῳ οὖν πρόκεινται αἱ ἀρεταὶ ὀλίγου πωλούμεναι, παρὰ τοῦ μεγαλοδώρου λάβωμεν, ἁρπάσωμεν, ἀγοράσωμεν. Οἱ διψῶντες, φησι, πορεύεσθε ἐφ' ὕδωρ, καὶ ὅσοι μὴ ἔχετε ἀργύριον, βαδίσαντες ἀγοράσατε. ἐν ὅσῳ πρόκειται ἡ πανήγυρις, ἀγοράσωμεν ἐλεημοσύνας, μᾶλλον δὲ διὰ τῆς ἐλεημοσύνης ἀγοράσωμεν τὴν σωτηρίαν. Χριστὸν ἐνδύεις, πτωχὸν ἐνδύων. Ταῦτα, φησιν, οἶδα καλῶς καὶ ἀκριβῶς· ταῦτα προμεμάθηκα, οὐ σὺ πρῶτος ἐδίδαξας· οὐ παρὰ σοῦ τοῦτο πρῶτον ἀκηκόαμεν· οὐ ξένα κηρύττεις, ἀλλ' ἃ πολλάκις ἡμᾶς πολλοὶ τῶν προόντων ἐδίδαξαν. οἶδα καὶ αὐτός· οἶδα ὅτι ταῦτα καὶ τὰ τοιαῦτα πολλάκις μεμαθήκατε. ἀλλ' εἴθε πολλάκις μαθόντες, κἂν ὀλίγον δὲ καλὸν ἐργαζόμεθα. Ο ἐλεῶν πτωχὸν, δανείζει Θεῷ. Θεῷ δανείσωμεν τὴν ἐλεημοσύνην, ἵνα παρ' αὐτοῦ λάβωμεν φιλανθρωπίας ἀντίδοσιν. ἀλλ' ὢ τοῦ σοφωτάτου ῥήματος· ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ. διὰ τί οὖν οὐκ εἶπεν, ὁ ἐλεῶν πτωχὸν δίδωσι Θεῷ, ἀλλά, δανείζει; οἶδεν ἡ γραφὴ τὴν ἡμετέραν πλεονεξίαν· προσέχει, ὅτι ἡ ἀπληστία ἡμῶν πρὸς πλεονεξίαν βλέπουσα τὸν πλεονασμὸν ζητεῖ. καὶ διὰ τοῦτο οὐκ εἶπεν ἁπλῶς, ὁ ἐλεῶν πτωχὸν δίδωσι Θεῷ, ἵνα μὴ ἁπλῆν τὴν ἀντιμισθίαν νομίσῃς, ἀλλ', ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ. εἰ δανείζεται Θεὸς παρ' ἡμῶν, ἄρα χρεώστης ἡμῶν ἐστι. τί οὖν θέλεις αὐτὸν ἔχειν; κριτὴν, ἢ χρεώστην; ὁ χρεώστης αἰδεῖται τὸν δανείσαντα, ὁ κριτὴς οὐ δυσωπεῖται τὸν δανειζόμενον. ἀναγκαῖον δὲ καὶ καθ' ἕτερον τρόπον ἰδεῖν. τίνος ἕνεκεν ὁ Θεὸς εἶπεν, ὅτι ἐμοὶ δανείζει ὁ διδοὺς πτωχῷ; ἐπειδὴ οἶδεν ἡμῶν τὴν πλεονεξίαν ῥέπουσαν εἰς πλεονασμὸν, ὡς ἔφθην εἰπὼν, καὶ μηδαμοῦ τὸν χρήματα ἔχοντα δανείζειν θέλοντα ἄνευ ἀσφαλείας (ἀπαιτεῖ γὰρ ὁ δανείζων ἢ ὑποθήκην, ἢ ἐνέχυρα, ἢ τὸν ἀντιφωνοῦντα· καὶ διὰ τῶν τριῶν τούτων ἀσφαλειῶν ἐμπιστεύει τὰ ἑαυτοῦ χρήματα, ἢ ἐγγύας δεχόμενος, ὡς ἔφθην εἰπὼν, ἢ ὑποθήκην πραγμάτων, ἢ ἐνέχυρα) ἐπειδὴ οὖν εἶδεν ὁ Θεὸς, ὅτι ἐκτὸς τούτων οὐδεὶς δανείζει, οὐδὲ εἰς φιλανθρωπίαν βλέπει, ἀλλ' εἰς μόνον τὸ κέρδος ὁρᾷ, πάντων δὲ τούτων ἔρημος ὁ πτωχὸς, οὐχ ὑποθήκην ἔχων (οὐ κέκτηται γὰρ οὐδὲν) οὐκ ἐνέχυρα φέρων (γεγύμνωται γὰρ) οὐ τὸν ἀντιφωνοῦντα παρέχων (ἀπιστεῖται γὰρ διὰ τὴν ἀπορίαν) ὡς οὖν οἶδεν αὐτὸν διακινδυνεύοντα τῇ ἀπορίᾳ, καὶ τὸν ἔχοντα χρήματα κινδυνεύοντα διὰ τὴν ἀπανθρωπίαν, μέσον ἑαυτὸν περιέθηκεν, ἔγγυον μὲν τῷ πένητι, ἐνέχυρον δὲ τῷ δανείζοντι. ἀπιστεῖς τούτῳ, φησὶ, διὰ τὴν ἀπορίαν; ἐμοὶ πίστευσον διὰ τὴν ἀφθονίαν. εἶδε τὸν πτωχὸν, ἠλέησεν, εἶδε τὸν πτωχὸν, καὶ οὐ παρεῖδεν, ἀλλ' ἑαυτὸν ἔδωκεν ἐνέχυρον τῷ μηδὲν ἔχοντι, καὶ τῷ ἀπόρῳ πάρεστι διὰ πολλὴν ἀγαθότητα, ἐπαληθεύοντος τοῦ μακαρίου Δαβὶδ τῇ φιλανθρωπίᾳ ταύτῃ καὶ λέγοντος, ὅτι Παρέστη ἐκ δεξιῶν πένητος. ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ. θάρσει, φησὶν, ἐμοὶ δανείζεις. καὶ τί τοσοῦτον κερδαίνω σοι δανείζων; μάλιστα μὲν οὖν παρανομώτατον παρὰ Θεοῦ λόγον ἀπαιτεῖν πλέον· ἵνα συγκαταβῶ σου τῇ ἀνομίᾳ, καὶ λύσω τῇ φιλανθρωπίᾳ τὴν ἀποτομίαν, ἀντεξετάσωμεν πρὸς ταῦτα. δανείζων τοῖς ἄλλοις τί κερδαίνεις; τί παρ' αὐτῶν εἰς πλεονασμὸν ἐπιζητεῖς; οὐκ ἑκατοστὴν, ἐὰν τὴν ἔννομον ζητήσῃς; ἐὰν δὲ πλεονάσῃς τὴν ἀπιστίαν, διπλῆν καὶ τετραπλῆν καρποῦσαι τὴν ἀδικίαν. ἐγὼ δέ σου νικῶ τὴν πλεονεξίαν, ὑπερβαίνων σου τὴν ὄρεξιν τῆς ἀπληστίας· καλύπτω τῇ ἐμῇ ἀφθονίᾳ τὴν σὴν ἀμετρίαν. σὺ ἑκατοστὴν ζητεῖς, ἐγὼ δὲ ἑκατονταπλασίονα δίδωμί σοι. Εἶτα δανείζῃ, Κύριε, καὶ δανείζῃ παρ' ἐμοῦ ἐνταῦθα εἰς τὸν πτωχὸν ἐλεημοσύνην, ἵνα ποτέ μοι ταῦτα ἀποδῷς; ἀπαιτῶ τὰ σύμφωνα, στηρίξαι βουλόμενος τὸ συνάλλαγμα· δός μοι τῆς ἀντιδόσεως τὸν καιρὸν, ὅρισον τῆς ἀπολήψεως τὴν προθεσμίαν. μάλιστα μὲν οὖν τοῦτο περιττόν. πιστὸς γὰρ Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ. ἐπειδὴ δὲ ἔθος καὶ σκοπὸς τῶν εὐγνωμόνως δανειζομένων χρόνοις μετρεῖν καὶ ἡμέρας ὁρίζειν, ἄκουε πότε καὶ ποῦ σοι τὴν ὀφειλὴν ἀποδίδωσιν ὁ διὰ τοῦ πτωχοῦ δανεισάμενος. ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου

Ησ. νε. α.

Παροιμ. ιθ. ιζ.

Ψαλ. ρη. λ.

ἁπάσης ὑπόθεσις ἐστί. πλὴν θαυμάζω ἐκεῖνο, πῶς τὴν λύπην ἀπ' ἀρχῆς τῷ ἀνθρώπῳ ἐφύτευσεν ὁ Θεὸς διὰ τὴν ἁμαρτίαν, τῇ ἀποφάσει τὴν ἀπόφασιν λύει, καὶ τῇ καταδίκῃ τὴν καταδίκην ἐκβάλλει. καὶ ὅπως, ἄκουε. ἐδόθη λύπη διὰ τὴν ἁμαρτίαν, καὶ διὰ λύπης λύεται ἁμαρτία. πρόσεχε ἀκριβῶς. τῇ γυναικὶ ἀπειλῶν ὁ Θεός, καὶ διὰ τὴν παράβασιν Γεν. γ. ις. τὴν τιμωρίαν ἐπάγων, φησὶ πρὸς αὐτήν· Ἐν λύπαις τέξῃ τέκνα, καὶ ἔδειξε καρπὸν τῆς ἁμαρτίας, τὴν λύπην. ἀλλ' ὢ τοῦ μεγαλοδώρου· ὃ ἔδωκεν εἰς τιμωρίαν, μετέβαλεν εἰς σωτηρίαν. ἁμαρτία λύπην ἐγέννησε, λύπη τὴν ἁμαρτίαν ἀνάλωσε. καὶ ὥσπερ σκώληξ ἀπὸ τοῦ ξύλου τικτόμενος αὐτὸ δαπανᾷ τὸ ξύλον, οὕτω καὶ ἡ λύπη τεχθεῖσα ἀπὸ τῆς ἁμαρτίας ἀνα- β. Κορ. ζ. ι. λίσκει τὴν ἁμαρτίαν, διὰ τῆς μετανοίας προσαγομένη. διὰ τοῦτό φησιν ὁ Παῦλος, Ἡ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον ἐργάζεται. καλὴ ἡ λύπη τοῖς γνη- Ματθ. ε. δ. σίως μετανοοῦσι. πρέπει τοῖς ἁμαρτάνουσι τὸ ὑπὲρ τῆς ἁμαρτίας πένθος. Μακάριοι γὰρ οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. πένθησον τὴν ἁμαρτίαν, ἵνα μὴ θρηνήσῃς τὴν τιμωρίαν· ἀπολόγησαι τῷ κριτῇ, πρὶν ἔλθῃς εἰς τὸ κριτήριον. ἢ οὐκ οἶδας ὅτι πάντες οἱ βουλόμενοι δυσωπῆσαι τὸν κριτήν, οὐκ ἐν αὐτῇ τῇ ἐξετάσει τῆς δίκης θεραπεύουσι, ἀλλὰ πρὶν ″εἰσελθεῖν εἰς τὸ κριτήριον, ἢ διὰ φίλων, ἢ διὰ προστατῶν, ἢ δι' ἑτέρου τρόπου τινὸς γρ. ἐλθεῖν εἰς τὸ δικαστήριον, ἢ διὰ προστατῶν, τὸν δικαστὴν θεραπεύουσιν; οὐκοῦν καὶ ἐπὶ τοῦ Θεοῦ ἐν τῷ καιρῷ τοῦ βήματος οὐκ ἔστι πεῖσαι τὸν δικαστήν· πρὸ δὲ τοῦ καιροῦ τῆς κρίσεως δυνατὸν δυσωπῆσαι τὸν κριτήν. διόπερ ἔλε- Ψαλ. ϟδ. β. γεν ὁ Δαβίδ, Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει. ἐκεῖ τὸν μέγαν κριτὴν οὐ παραλογίζεται ῥητόρων τέχνη, οὐ δυσωπεῖ δυναστεία, ἀξιώματι οὐ πείθεται, πρόσωπον οὐκ αἰδεῖται, χρήμασιν οὐ διαφθείρεται, ἀλλὰ φοβερά ἐστι καὶ ἀδυσώπητος ἡ δικαιοκρισία. ″ἐνταῦθα οὖν τὸν κριτὴν δυσωπήσωμεν καὶ παρακαλέσωμεν· ″ἐνταῦθα παντὶ σθένει ″καθικετεύσωμεν, ἀλλ' οὐ χρήμασι· γρ. ἐντεῦθεν γρ. ἐντεῦθεν γρ. παρακαλῶμεν μᾶλλον δέ, εἰ χρὴ τἀληθῆ λέγειν, πείθεται καὶ χρήμασιν ὁ φιλάνθρωπος, οὐκ αὐτὸς δεχόμενος, ἀλλὰ διὰ τῶν πενήτων. δὸς πενομένῳ χρήματα, καὶ τὸν κριτὴν ἐδυσώπησας. ταῦτα δὲ λέγω, οἰκειούμενος ὑμᾶς, ἐπειδὴ μετάνοια χωρὶς ἐλεημοσύνης νεκρά ἐστι καὶ ἄπτερος. οὐ δύναται μετάνοια πτερωθῆναι, μὴ ἔχουσα πτερὸν ἐλεημοσύνης. διὰ τοῦτο τῷ καλῶς μετανοήσαντι Κορνηλίῳ πτερὸν ἐγένετο τῆς Πράξ. ι. γ. εὐσεβείας ἡ ἐλεημοσύνη. Αἱ ἐλεημοσύναι σου γάρ, φησι, καὶ αἱ προσευχαί σου εἰς οὐρανὸν ἀνέβησαν· ὡς εἰ μὴ εἶχε πτερὸν τὴν ἐλεημοσύνην ἡ μετάνοια, οὐκ ἂν εἰς οὐρανὸν ἐχώρησεν. ἀνέῳκται οὖν σήμερον ἐμπόριον ἐλεημοσύνης. ὁρῶμεν γὰρ τοὺς αἰχμαλώτους καὶ τοὺς πένητας, ὁρῶμεν τοὺς ἐν ἀγορᾷ περιφερομένους, ὁρῶμεν τοὺς βοῶντας, ὁρῶμεν τοὺς δακρύοντας, ὁρῶμεν τοὺς στένοντας. πανήγυρις ἡμῖν πρόκειται θαυμαστή· πανηγύρεως δὲ οὐδὲν ἕτερόν ἐστιν ἐπάγγελμα, καὶ τῷ ἐμπόρῳ οὐδὲν ἕτερόν ἐστι φρόνημα, ἢ τὰ ἐν τοῖς ὠνίοις ὀλίγου μὲν ἀγοράσαι, πολλοῦ δὲ πωλῆσαι. ἢ οὐχ ″οὕτω τῶν ἐμπόρων ἑκάστου ὁ σκοπός; μὴ δι' ἕτε- ἴσ. ἐστὶ ρόν τι ἐπιβάλληταί τις τῇ ἐμπορίᾳ, ἢ ἵνα τὰ μικροῦ ἐωνημένα μεγάλου διαπωλήσῃ, καὶ εὕρῃ πολυπλασιαζομένην αὐτῷ τὴν ἐμπορίαν; τοιαύτην οὖν πανήγυριν προέθηκεν ἡμῖν ὁ Θεός. ὀλίγου τὰς δικαιοσύνας ἀγόρασον, ἵνα πολλοῦ μεταπωλήσῃς ἐν τῷ μέλλοντι, εἴγε δεῖ μετάπρασιν εἰπεῖν τὴν ἀνταπόδοσιν. ἐνταῦθα δι' ὀλίγων ἀγοράζεται δικαιοσύνη, δι' εὐτελοῦς κλάσματος ἄρτου, δι' εὐτελοῦς ἱματίου, διὰ Ματθ. ι. μβ. ποτηρίου ψυχροῦ. Ὃς ποτίσει ποτήριον ψυχροῦ, ἀμὴν λέγω ὑμῖν, φησιν ὁ τῆς πνευματικῆς ἐμπορίας διδάσκαλος, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ. ποτήριον ψυχροῦ ἔμμισθον· ἱμάτια καὶ χρήματα διδόμενα δι' εὐεργεσίαν οὐκ ἔμμισθα; τοὐναντίον μὲν οὖν καὶ πολύμισθα. διὰ τί οὖν ποτήριον ἐμνημόνευσε ψυχροῦ; ἀδάπανον εἶπεν ἐλεημοσύνην. τῷ γὰρ ψυχρῷ οὔτε ξύλον ἀναλίσκεις, οὔτε ἕτερόν τι προσδαπανᾷς. εἰ δὲ ὅσου ἀδάπανος ἡ δόσις, τοσαύτη τῆς εὐεργεσίας ἡ χάρις, ὅσου ἱματίων ἀφθονία, χρημάτων χορηγία, τῶν ἄλλων ἀγαθῶν ἡ περιουσία, πόσον ἀπεκδέχεσθαι χρὴ μισθὸν παρὰ τοῦ δικαίου κριτοῦ; ἐν ὅσῳ οὖν πρόκεινται αἱ ἀρεταὶ ὀλίγου πωλούμεναι, παρὰ τοῦ μεγαλοδώρου λάβωμεν, ἁρπάσωμεν, ἀγοράσωμεν. Οἱ διψῶντες, φησὶ, πορεύεσθε ἐφ' ὕδωρ, καὶ ὅσοι μὴ ἔχετε ἀργύριον, βαδίσαντες ἀγοράσατε. ἐν ὅσῳ πρόκειται ἡ πανήγυρις, ἀγοράσωμεν ἐλεημοσύνας, μᾶλλον δὲ διὰ τῆς ἐλεημοσύνης ἀγοράσωμεν τὴν σωτηρίαν. Χριστὸν ἐνδύεις, πτωχὸν ἐνδύων. Ταῦτα, φησὶν, οἶδα καλῶς καὶ ἀκριβῶς· ταῦτα προμεμάθηκα, οὐ σὺ πρῶτος ἐδίδαξας· οὐ παρὰ σοῦ τοῦτο πρῶτον ἀκηκόαμεν· οὐ ξένα κηρύττεις, ἀλλ' ἃ πολλάκις ἡμᾶς πολλοὶ τῶν προόντων ἐδίδαξαν. οἶδα καὶ αὐτὸς· οἶδα ὅτι ταῦτα καὶ τὰ τοιαῦτα πολλάκις μεμαθήκατε. ἀλλ' εἴθε πολλάκις μαθόντες, κἂν ὀλίγον τὸ καλὸν ἐργαζόμεθα. Ὁ ἐλεῶν πτωχὸν, δανείζει Θεῷ. Θεῷ δανείσωμεν τὴν ἐλεημοσύνην, ἵνα παρ' αὐτοῦ λάβωμεν φιλανθρωπίας ἀντίδοσιν. ἀλλ' ὢ τοῦ σοφωτάτου ῥήματος· ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ. διὰ τί οὖν οὐκ εἶπεν, ὁ ἐλεῶν πτωχὸν δίδωσι Θεῷ, ἀλλά, δανείζει; οἶδεν ἡ γραφὴ τὴν ἡμετέραν πλεονεξίαν· προσέχει, ὅτι ἡ ἀπληστία ἡμῶν πρὸς πλεονεξίαν βλέπουσα τὸν πλεονασμὸν ζητεῖ. καὶ διὰ τοῦτο οὐκ εἶπεν ἁπλῶς, ὁ ἐλεῶν πτωχὸν δίδωσι Θεῷ, ἵνα μὴ ἁπλῆν τὴν ἀντιμισθίαν νομίσῃς, ἀλλ', ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ. εἰ δανείζεται Θεὸς παρ' ἡμῶν, ἄρα χρεώστης ἡμῶν ἐστι. τί οὖν θέλεις αὐτὸν ἔχειν; κριτὴν, ἢ χρεώστην; ὁ χρεώστης αἰδεῖται τὸν δανείσαντα, ὁ κριτὴς οὐ δυσωπεῖται τὸν δανειζόμενον. ἀναγκαῖον δὲ καὶ καθ' ἕτερον τρόπον ἰδεῖν. τίνος ἕνεκεν ὁ Θεὸς εἶπεν, ὅτι ἐμοὶ δανείζει ὁ διδοὺς πτωχῷ; ἐπειδὴ οἶδεν ἡμῶν τὴν πλεονεξίαν ῥέπουσαν εἰς πλεονασμὸν, ὡς ἔφθην εἰπὼν, καὶ μηδαμοῦ τοὺς χρήματα ἔχοντας δανείζειν θέλοντας ἄνευ ἀσφαλείας (ἀπαιτεῖ γὰρ ὁ δανείζων ἢ ὑποθήκην, ἢ ἐνέχυρα, ἢ τὸν ἀντιφωνοῦντα· καὶ διὰ τῶν τριῶν τούτων ἀσφαλειῶν ἐμπιστεύει τὰ ἑαυτοῦ χρήματα, ἢ ἐγγύας δεχόμενος, ὡς ἔφθην εἰπὼν, ἢ ὑποθήκην πραγμάτων, ἢ ἐνέχυρα) ἐπειδὴ οὖν εἶδεν ὁ Θεὸς, ὅτι ἐκτὸς τούτων οὐδεὶς δανείζει, οὐδὲ εἰς φιλανθρωπίαν βλέπει, ἀλλ' εἰς μόνον τὸ κέρδος ὁρᾷ, πάντων δὲ τούτων ἔρημος ὁ πτωχὸς, οὐχ ὑποθήκην ἔχων (οὐ κέκτηται γὰρ οὐδὲν) οὐκ ἐνέχυρα φέρων (γεγύμνωται γὰρ) οὐ τὸν ἀντιφωνοῦντα παρέχων (ἀπιστεῖται γὰρ διὰ τὴν ἀπορίαν) ὡς οὖν οἶδεν αὐτὸν διακινδυνεύοντα τῇ ἀπορίᾳ, καὶ τὸν ἔχοντα χρήματα κινδυνεύοντα διὰ τὴν ἀπανθρωπίαν, μέσον ἑαυτὸν παρενέθηκεν, ἐχέγγυον μὲν τῷ πένητι, ἐνέχυρον δὲ τῷ δανείζοντι. ἀπιστεῖς τούτῳ, φησὶ, διὰ τὴν ἀπορίαν; ἐμοὶ πίστευσον διὰ τὴν ἀφθονίαν. εἶδε τὸν πτωχὸν, ἠλέησεν, εἶδε τὸν πτωχὸν, καὶ οὐ παρεῖδεν, ἀλλ' ἑαυτὸν ἔδωκεν ἐνέχυρον τῷ μηδὲν ἔχοντι, καὶ τῷ ἀπόρῳ παρέστη διὰ πολλὴν ἀγαθότητα, ἐπαληθεύοντος τοῦ μακαρίου Δαβὶδ τῇ φιλανθρωπίᾳ ταύτῃ καὶ λέγοντος, ὅτι Παρέστη ἐκ δεξιῶν πένητος. ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ. θάρσει, φησὶν, ἐμοὶ δανείζεις. καὶ τί τοσοῦτον κερδαίνω σοι δανείζων; μάλιστα μὲν οὖν παρανομώτατον παρὰ Θεοῦ τόκον ἀπαιτεῖν· πλὴν ἵνα συγκαταβῶ σου τῇ ἀνομίᾳ, καὶ λύσω τῇ φιλανθρωπίᾳ τὴν ἀποτομίαν, ἀντεξετάσωμεν πρὸς ταῦτα. δανείζων τοῖς ἄλλοις τί κερδαίνεις; τί παρ' αὐτῶν εἰς πλεονασμὸν ἐπιζητεῖς; οὐχ ἑκατοστὴν, ἐὰν τὴν ἔννομον ζητήσῃς; ἐὰν δὲ πλεονάσῃς τὴν ἀπιστίαν, διπλῆν ἢ τετραπλῆν καρποῦσαι τὴν ἀδικίαν. ἐγὼ δέ σου νικῶ τὴν πλεονεξίαν, ὑπερβαίνω σου τὴν ὄρεξιν τῆς ἀπληστίας· καλύπτω τῇ ἐμῇ ἀφθονίᾳ τὴν σὴν ἀμετρίαν. σὺ ἑκατοστὴν ζητεῖς, ἐγὼ δὲ ἑκατονταπλασίονα δίδωμί σοι. εἶτα δανείζῃ, Κύριε, καὶ δανείζῃ παρ' ἐμοῦ ἐνταῦθα εἰς τὸν πτωχὸν ἐλεημοσύνην, ἵνα ποτέ μοι ταῦτα ἀποδῷς; ἀπαιτῶ τὰ σύμφωνα, στηρίξαι βουλόμενος τὸ συνάλλαγμα· δός μοι τῆς ἀντιδόσεως τὸν καιρὸν, ὅρισον τῆς ἀπολήψεως τὴν προθεσμίαν. μάλιστα μὲν οὖν τοῦτο περιττόν. πιστὸς γὰρ Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ. ἐπειδὴ δὲ ἔθος καὶ σκοπὸς τῶν εὐγνωμόνως δανειζομένων χρόνοις μετρεῖν καὶ ἡμέρας ὁρίζειν, ἄκουε πότε καὶ ποῦ σοι τὴν ὀφειλὴν ἀποδίδωσιν ὁ διὰ τοῦ πτωχοῦ δανεισάμενος. ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου

Ἡσ. νε. α.

Παροιμ. ιθ. ιζ.

Ψαλ. ρη. λ.

θρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ
εὐωνύμων, καὶ ἐρεῖ τοῖς ἐκ δεξιῶν (ἐν τούτῳ πρόσεχε, πῶς ὁ χρεώστης εὐγνωμονεῖ περὶ τὸν
Ματθ. κε. λδ. δανείσαντα, πῶς ὁ δανεισάμενος μετὰ πολλῆς χάριτος ἀποδίδωσι) Δεῦτε οἱ εὐλογημένοι τοῦ
πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.
ὑπὲρ τίνων; Ὅτι ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ μοι· ξένος ἤμην,
καὶ συνηγάγετέ με· γυμνὸς, καὶ περιεβάλλετέ με· ἀσθενὴς καὶ * ἐν φυλακῇ, καὶ ἤλθετε πρός
μέ. Εἶτα οἱ καλῶς ἐν καιρῷ δανείσαντες, εἰς τὴν οἰκείαν ἀσθένειαν ἀφορῶντες, καὶ εἰς * ἐπεσκέψασθέ με
τὴν ἀξίαν τοῦ δανεισαμένου, λέγουσι· Κύριε, πότε σε εἴδομεν πεινῶντα, καὶ ἐθρέψαμεν,
Ψαλ. ρμδ. ιε. ἢ διψῶντα, καὶ ἐποτίσαμεν, Εἰς ὃν οἱ ὀφθαλμοὶ πάντων ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν
αὐτῶν ἐν ἀφθονίᾳ; ὢ τῆς πολλῆς ἀγαθότητος· κρύπτει τὴν ἀξίαν διὰ φιλανθρωπίαν.
Ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν. ὢ τῆς πολλῆς ἀγαθότητος, ὢ τῆς ἀμέτρου χρηστό-
Ψαλ. ρμδ. ιζ. τητος. Ὁ διδοὺς τροφὴν πάσῃ σαρκὶ, καὶ ἀνοίγων τὰς χεῖρας, καὶ ἐμπιπλῶν πᾶν ζῶον εὐδοκί-
ας, ἐπείνων, φησὶ, καὶ ἐδώκατέ μοι φαγεῖν, οὐ τῆς ἀξίας ἐλαττουμένης, ἀλλὰ τῆς φιλανθρω-
πίας τοὺς πτωχοὺς ἐγγυωμένης. ἐδίψησα, καὶ ἐποτίσατέ με. τίς ὁ ταῦτα λέγων; ὁ λίμναις
Ἰωαν. ζ. λη. καὶ ποταμοῖς καὶ πηγαῖς τὴν τῶν ὑδάτων φύσιν ἐκχέων, ὁ διὰ τῶν εὐαγγελίων φάσκων, Ὁ
πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ γραφὴ, ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ ὕδατος
Ἰωαν. ζ. λζ. ζῶντος, ὁ εἰπών, Εἴ τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. ἀλλὰ γυμνὸς ἤμην, φησὶ, καὶ
ἐνεδύσατέ με. ἐνεδύσαμεν τὸν ἐνδύοντα τὸν οὐρανὸν ἐν νεφέλαις; τὸν ἐνδύοντα τὴν ἐκ-
Γαλ. γ. κζ. κλησίαν ἅπασαν καὶ τὴν οἰκουμένην; Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσα-
Ψαλ. ξζ. ζ. σθε. Ἐν φυλακῇ ἤμην. ἐν φυλακῇ σὺ, ὁ ἐξάγων πεπεδημένους; ἑρμήνευσον ἃ λέγεις. γ. λαλεῖς
ἡ γὰρ ἀξία ἀρνεῖται τὰ λεγόμενα. πότε σε εἴδομεν ἐν ἐνδείᾳ τοσαύτῃ; πότε ταῦτα πε-
Ματθ. κε. μ. ποιήκαμεν; Ἐφ' ὅσον, φησὶν, ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. μὴ οὐκ ἀ-
ληθὴς ὁ λόγος, ὅτι ὁ ἐλεῶν πτωχὸν, δανείζει Θεῷ; καὶ ὅρα τὸ θαυμαστόν. οὐδὲν ἕτερον ὑπέ-
μνησεν ἔργον ἀρετῆς, ἢ τοῦτο· καίτοι ἐδύνατο εἰπεῖν, δεῦτε οἱ εὐλογημένοι, ὅτι ἐσωφρο-
νήσατε, ὅτι ἐπαρθενεύσατε, ὅτι ἀγγελικὴν πολιτείαν ἀνελάβετε. ἀλλὰ σιωπᾷ ταῦτα, οὐχ γ. εὐαγγ
ὅτι ἀνάξια μνήμης, ἀλλ' ὡς δεύτερα φιλανθρωπίας. ἀλλ' ὥσπερ τούτοις τοῖς ἐκ δεξιῶν
διὰ τὴν φιλανθρωπίαν ἔδειξε δεδωρημένην τὴν βασιλείαν, οὕτω καὶ τοῖς ἐξ ἀριστερῶν διὰ
Ματθ. κε. μα. τὴν ἀκαρπίαν ἠπειλῆσθαι τὴν τιμωρίαν. Πορεύεσθε οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ γ. ἠπίλη
αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. διὰ τί; ὑπὲρ τίνος; ὅτι ἐπεί- γ. σκότος τ ἐξώτερον
νων, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν. οὐκ εἶπεν, ὅτι ἐπορνεύσατε, ὅτι ἐμοιχεύσατε, ὅτι ἐκλέ-
ψατε, ὅτι ἐψευδομαρτυρήσατε, ὅτι ἐπιωρκήσατε. κακὰ μὲν ὁμολογουμένως καὶ ταῦτα, ἀλλὰ
τῆς ἀπανθρωπίας κατώτερα καὶ τῆς ἀνελεημοσύνης. διὰ τί δὲ, ὦ Κύριε, οὐκ ἄλλων ὁ-
δῶν φέρεις μνήμην; οὐ κρίνω, φησὶ, τὴν ἁμαρτίαν, ἀλλὰ τὴν ἀπανθρωπίαν· οὐ κρίνω τοὺς
ἁμαρτήσαντας, ἀλλὰ τοὺς μὴ μετανοήσαντας. ὑπὲρ ἀπανθρωπίας ὑμᾶς καταδικά-
ζω, ὅτι ἔχοντες τοσοῦτον καὶ τηλικοῦτον φάρμακον σωτηρίας, τὴν ἐλεημοσύνην, ἐν ᾗ ἐξηλεί-
φετο πάντα τὰ ἁμαρτήματα, παρείκατε τοσαύτην εὐεργεσίαν. ὀνειδίζω τοίνυν τὴν ἀ-
πανθρωπίαν, ὡς ῥίζαν κακίας καὶ πάσης ἀσεβείας· ἐπαινῶ τὴν φιλανθρωπίαν, ὡς ῥίζαν
πάντων τῶν ἀγαθῶν· καὶ ἀπειλῶ τοῖς μὲν πῦρ αἰώνιον, τοῖς δὲ βασιλείαν οὐρανῶν ἐπαγγέλλομαι.
καλαί σου, δέσποτα, καὶ αἱ ἐπαγγελίαι· καλὴ σου καὶ ἡ προσδοκωμένη βασιλεία, καὶ ἡ γέ-
εννα πάλιν ἀπειλουμένη. ἡ μὲν προτρεπομένη. προτρέπεται γὰρ καλῶς ἡ βασιλεία, φοβεῖ
δὲ χρησίμως ἡ γέεννα. ἀπειλεῖ γὰρ γέενναν ὁ Θεὸς, οὐχ ἵνα εἰς γέενναν ἐμβάλλῃ,
ἀλλ' ἵνα γεέννης ἀπαλλάξῃ. εἰ γὰρ ἐβούλετο κολάσαι, οὐκ ἂν προηπείλησεν, ἵ-
να ἀσφαλισάμενοι φύγωμεν τὰ ἀπειλούμενα. ἀπειλεῖ τὴν τιμωρίαν, ἵνα φύγωμεν τὴν
πεῖραν τῆς τιμωρίας· φοβεῖ τῷ λόγῳ, ἵνα μὴ κολάσῃ τῷ ἔργῳ. δανείσωμεν τοίνυν τῷ

Θεῷ τὴν φιλανθρωπίαν δανείσωμεν, ἵνα εὕρωμεν αὐτὸν χρεώστην, ὡς ἔφθην εἰπών, καὶ μὴ δικαστήν. αἰδεῖται γὰρ ὁ χρεώστης τὸν δανείσαντα· αἰδεῖται αὐτόν, καὶ δυσωπεῖται. ἐὰν ἀπέλθῃ δανειστὴς εἰς θύραν χρεώστου, ἐὰν μὲν ᾖ ἄπορος, φεύγει· ἐὰν δὲ εὔπορος, μετὰ παρρησίας δέχεται αὐτόν. ὅρα δέ μοι καὶ ἕτερον θαῦμα τοῦ δικαίου κριτοῦ ἐκ τῶν ἀνθρωπίνων παρατιθέμενον. ἐάν τινι ἐν πενίᾳ καθεστῶτι δανείσῃς, περιέλθῃ δὲ εἰς εὐθηνίαν ὁ δανεισάμενος, καὶ δύνηταί σοι λοιπὸν ἀποδοῦναι τὸ χρέος, λανθάνει τοὺς πολλοὺς καὶ ἀποδίδωσιν, ἵνα μὴ αἰσχύνηται ἐπὶ τῇ προτέρᾳ καταστάσει· καὶ χάριτας μὲν ὁμολογεῖ, κρύπτει δὲ τὴν εὐεργεσίαν, τὴν προτέραν ἔνδειαν αἰσχυνόμενος. ὁ δὲ Θεὸς οὐχ οὕτω ποιεῖ, ἀλλ' ἐν κρυπτῷ δανειζόμενος, παρρησίᾳ τὸ χρέος ἀποδίδωσιν. ὅτε μὲν γὰρ λαμβάνει, διὰ λανθανούσης ἐλεημοσύνης· ὅτε δὲ ἀποδίδωσιν, ἐπ' ὄψεσι πάσης τῆς δημιουργίας ἀποδίδωσιν. ἀλλ' ἐρεῖ τις ἴσως, διατί δέ, ὥσπερ ἐμοὶ τῷ πλουσίῳ δέδωκεν, οὐχὶ καὶ τῷ πένητι παραπλησίως δέδωκεν; ἐδύνατο μὲν καὶ σοὶ δοῦναι ὁμοίως καὶ τῷ πένητι, ἀλλ' οὐκ ἠθέλησεν οὔτε σου ἄκαρπον εἶναι τὸν πλοῦτον, οὔτε ἐκείνου ἄμισθον τὴν πενίαν. σοὶ τῷ πλουτοῦντι δέδωκε πλουτεῖν ἐλεημοσύνῃ, καὶ σκορπίζειν ἐν δικαιοσύνῃ. Ἐσκόρπισε γάρ, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ὁρᾷς ὅτι ὁ πλούσιος ἐκ τῆς ἐλεημοσύνης θησαυρίζει δικαιοσύνην αἰώνιον; ὅρα πάλιν καὶ τὸν πένητα. ἐπειδὴ οὐκ ἔχει πλοῦτον ᾧ ἐργάσεται δικαιοσύνην, ἔχει πενίαν ἐξ ἧς καρποῦται ὑπομονὴν αἰώνιον. ἡ γὰρ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τέλος, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα, καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ, ΚΑΙ ΕΙΣ ΤΗΝ ΣΚΥΘΡΩΠΟΤΗΤΑ βασιλέως Ἀχαάβ, καὶ εἰς Ἰωνᾶν τὸν προφήτην. Λογ. γ.

Εἴδετε τῇ προτέρᾳ κυριακῇ πόλεμον καὶ νίκην; πόλεμον μὲν τοῦ διαβόλου, νίκην δὲ τοῦ Χριστοῦ; εἴδετε πῶς μετάνοια ἐνεκωμιάζετο, καὶ ὁ διάβολος τὴν πληγὴν οὐκ ἐβάσταζεν, ἀλλ' ἐφοβήθη καὶ ἔφριξε; τί δέδοικας, ὦ διάβολε, μετανοίας ἐγκωμιαζομένης; τί ὀδύρῃ; τί φρίττεις; ναί, φησι· δικαίως ὀδύρομαι καὶ θλίβομαι. μεγάλα μου σκεύη, φησίν, ἥρπασεν ἡ μετάνοια αὕτη. ποῖα ταῦτα; τὴν πόρνην, τὸν τελώνην, τὸν λῃστήν, τὸν βλάσφημον. καὶ γὰρ ἀληθῶς πολλὰ σκεύη αὐτοῦ ἥρπασεν ἡ μετάνοια, καὶ αὐτὴν τὴν ἀκρόπολιν αὐτοῦ καθεῖλε, καὶ καιρίαν ἔχει τὴν πληγὴν τῆς μετανοίας. εἴσῃ, ἀγαπητέ, ἀφ' ὧν ἡ πεῖρα πρώην ἔδειξε. τίνος οὖν ἕνεκεν ὁμιλίας τοιαύτης οὐκ ἀπολαυόμεθα, καὶ ἐφ' ἑκάστης εἰς τὴν ἐκκλησίαν ἀπαντῶμεν, τὴν μετάνοιαν ἀσπαζόμενοι; κἂν ἁμαρτωλὸς ᾖς, εἴσελθε εἰς τὴν ἐκκλησίαν, ἵνα λέγῃς τὰς ἁμαρτίας σου· κἂν δίκαιος ᾖς, εἴσελθε, ἵνα μὴ ἐκπέσῃς τῆς δικαιοσύνης. λιμὴν γὰρ ἀμφοτέροις ἐστὶν ἡ ἐκκλησία. ἁμαρτωλὸς εἶ; μὴ ἀπογνῷς, ἀλλ' εἴσελθε μετάνοιαν προσαγόμενος. ἥμαρτες; εἰπὲ τῷ Θεῷ ὅτι ἡμάρτηκα. ποῖος κάματος ἐστί; ποία περίοδος; ποία θλῖψις; ποία στενοχωρία λόγον εἰπεῖν, ὅτι ἥμαρτον; μὴ γὰρ σύ, σαυτὸν ἐὰν μὴ εἴπῃς ἁμαρτωλόν, οὐκ ἔχεις κατήγορον τὸν διάβολον; προλαβὲ καὶ ἅρπασον αὐτοῦ τὸ ἀξίωμα, τὸ κατηγορεῖν. τί οὖν οὐ προλαμβάνεις αὐτόν, καὶ λέγεις τὴν ἁμαρτίαν, καὶ ἐξαλείφεις τὸ ἁμάρτημα, εἰδὼς ὅτι τοιοῦτον κατήγορον ἔχεις σιγῆσαι μὴ δυνάμενον; ἥμαρτες; εἴσελθε εἰς τὴν ἐκκλησίαν, εἰπὲ τῷ Θεῷ, ὅτι ἥμαρτον. οὐδέν σε ἄλλο ἀπαιτῶ, ἢ τοῦτο μόνον. ἡ γὰρ θεία γραφή φησι· λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς· εἰπὲ τὴν ἁμαρτίαν, ἵνα λύσῃς τὴν ἁμαρτίαν. οὐκ ἔστιν ἐν τούτῳ κάματος, οὐδὲ περίοδος λόγων, οὔτε χρημάτων δαπάνη,

Γεν. δ. θ.

πλύνῃ, οὔτε ἄλλο τι τοιοῦτον οὐδέν. λόγον εἰπών, εὐγνωμόνησον ἐπὶ τῇ ἁμαρτίᾳ, καὶ εἰπέ, ὅτι ἡμάρτηκα. καὶ πόθεν τοῦτο, φησιν, ὅτι ἐὰν εἴπω τὴν ἁμαρτίαν πρῶτος, λύω τὴν ἁμαρτίαν; ἔχω ἐν τῇ γραφῇ καὶ τὸν εἰπόντα καὶ λύσαντα, καὶ τὸν μὴ εἰπόντα καὶ κατακριθέντα. Κάϊν ἀπέκτεινε τὸν ἀδελφὸν αὐτοῦ Ἄβελ τῷ φθόνῳ κατεχόμενος, ὡς τῷ φθόνῳ φόνον ἐπακολουθῆσαι. καὶ γὰρ λαβὼν αὐτὸν εἰς τὸ πεδίον ἀνεῖλε. καὶ τί φησι πρὸς αὐτὸν ὁ Θεός; ὁ ἐπιστάμενος τὰ πάντα ἐρωτᾷ οὐκ ἀγνοῶν, ἀλλ' εἰς μετάνοιαν ἕλκων τὸν φονεύσαντα. ὅτι γὰρ οὐκ ἀγνοῶν ἠρώτα, ἔδειξε· Ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου; ὁ δὲ εἶπεν, οὐκ οἶδα· μὴ φύλαξ τοῦ ἀδελφοῦ μου εἰμὶ ἐγώ; ἔστω, οὐκ εἶ φύλαξ· διατί καὶ ἀναιρετής; οὐκ ἐφύλαττες; διατί καὶ ἀπέκτεινες; ὅμως ὁμολογεῖς ταῦτα; αἴτιος εἶ καὶ τῆς φυλακῆς. τί οὖν ὁ Θεὸς πρὸς αὐτόν; Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ τῆς γῆς. ἤλεγξεν εὐθέως, καὶ τὴν τιμωρίαν αὐτῷ ἐπήγαγεν, οὐ τοσοῦτον διὰ τὸν φόνον, ὅσον διὰ τὴν ἀναίδειαν. οὐ γὰρ τοσοῦτον μισεῖ ὁ Θεὸς τὸν ἁμαρτήσαντα, ὅσον τὸν ἀναισχυντοῦντα. ἀμέλει τὸν Κάϊν εἰς μετάνοιαν ἐλθόντα οὐ δέχεται, ἐπειδὴ μὴ πρῶτος εἶπε τὴν ἁμαρτίαν. τί γάρ φησι; μείζων ἡ ἁμαρτία μου τοῦ ἀφεθῆναί με· ἀντὶ τοῦ, μέγα ἥμαρτον, οὐκ εἰμὶ ἄξιος ζῆσαι. τί οὖν πρὸς αὐτὸν ὁ Θεός; Στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς. καὶ τιμωρίαν αὐτῷ ἀπέφηνε δεινὴν καὶ χαλεπήν. οὐκ ἀναιρῶ σε, φησιν, ἵνα μὴ λήθῃ παραδοθῇ ἡ ἀλήθεια, ἀλλὰ ποιῶ σε νόμον ὑπὸ πάντων ἀναγινωσκόμενον, ἵνα ἡ συμφορὰ μήτηρ φιλοσοφίας γένηται. καὶ περιῄει ὁ Κάϊν νόμος ἔμψυχος, στήλη κινουμένη, σιωπῶσα καὶ σάλπιγγος λαμπροτέραν ἀφιεῖσα τὴν φωνήν. μή τις ποιήσῃ, φησί, ταῦτα, ἵνα μὴ πάθῃ τοιαῦτα. ἔλαβε τὴν τιμωρίαν διὰ τὴν ἀναισχυντίαν, καὶ μὴ εἰρηκώς, ἐλεγχθεὶς δέ, κατεκρίθη διὰ τὴν ἁμαρτίαν. εἰ γὰρ ἑαυτῷ ὡμολόγησε, κἂν ἐξαλείψας ἦν τὴν ἁμαρτίαν πρῶτος. ἵνα δὲ μάθῃς, ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, μάθε πῶς ἄλλος τις πρῶτος εἰπών, ἔλυσε τὴν ἁμαρτίαν. ἔλθωμεν ἐπὶ τὸν Δαβὶδ τὸν προφήτην καὶ βασιλέα, μᾶλλον δὲ αὐτὸν ἡδέως ἀπὸ τῆς προφητείας καλῶ. ἡ μὲν γὰρ βασιλεία εἰς Παλαιστίνην· ἡ δὲ προφητεία εἰς τὰ πέρατα τῆς οἰκουμένης· καὶ ἡ μὲν βασιλεία μικρῷ κατελύθη τῷ χρόνῳ, ἡ δὲ προφητεία ἀθάνατα φέρει τὰ ῥήματα. αἱρετώτερόν ἐστι τὸν ἥλιον σβεσθῆναι, ἢ τὰ ῥήματα τοῦ Δαβὶδ λήθῃ παραδοθῆναι. οὗτος περιέπεσε μοιχείᾳ καὶ φόνῳ. Εἶδε γάρ, φησι, γυναῖκα καλὴν λουομένην, καὶ ἠράσθη αὐτῆς. εἶτα τὰ δόξαντα αὐτῷ εἰς ἔργον ἐξήγαγε. καὶ ἦν ὁ προφήτης ἐν μοιχείᾳ, ὁ μαργαρίτης ἐν βορβόρῳ. ἀλλ' οὔπω ᾔδει, ὅτι ἥμαρτεν· οὕτως ἦν κεκαρωμένος τῷ πάθει. τοῦ γὰρ ἡνιόχου μεθύοντος, καὶ τὸ ἅρμα ἀτάκτως φέρεται. ὅπερ δὲ ἡνίοχος καὶ ἅρμα, τοῦτο ψυχὴ καὶ σῶμα. ἐὰν ἡ ψυχὴ σκοτωθῇ, καὶ τὸ σῶμα ἐν βορβόρῳ κυλίεται. ἕως γὰρ ἕστηκεν ὁ ἡνίοχος, καὶ τὸ ἅρμα καλῶς ἐλαύνεται· ὅταν μέντοι αὐτὸς ἀτονῇ, καὶ οὐ δύναται περικρατὴς γενέσθαι τῶν ἡνιῶν, καὶ αὐτὸ τὸ ἅρμα ἐν δεινοτέροις ὁρᾶται. οὕτω καὶ ἐπὶ τοῦ ἀνθρώπου· ἕως ἂν νήφῃ ἡ ψυχή, καὶ γρηγορῇ, καὶ αὐτὸ τὸ σῶμα ἐν ἁγνείᾳ ἐστίν· ὅταν δὲ σκοτισθῇ ἡ ψυχή, καὶ αὐτὸ τὸ σῶμα ἐν βορβόρῳ καὶ ἡδονῇ κυλίεται. τί οὖν ὁ Δαβίδ; ἐμοίχευσεν, ἀλλ' οὐκ ᾔδει, οὔτε ἠλέγχετο ὑπό τινος, καὶ τοῦτο ἐν ἐσχάτῃ πολιᾷ· ἵνα μάθῃς, ὅτι ἐὰν ᾖς ῥᾴθυμος, οὔτε ἡ πολιά σε ὠφελεῖ, οὔτε πάλιν, ἐὰν σπουδαῖος ᾖς, ἡ νεότης παραβλάψαι σε δύναται. οὐ γὰρ τῆς ἡλικίας ὁ τρόπος, ἀλλὰ τῆς γνώμης τὸ κατόρθωμα· ἐπεὶ καὶ Δανιὴλ δέκα ἐτῶν ἦν, καὶ ἔκρινεν· οἱ δὲ πρεσβύτεροι παλαιοὶ ἐν ἡμέραις καὶ δρᾶμα μοιχείας ἔπραξαν. καὶ οὔτε ἐκείνους ἡ πολιὰ ὠφέλησεν, οὔτε τοῦτον ἡ νεότης παρέβλαψεν, ἵνα μάθῃς, ὅτι οὐκ ἐν τῇ ἡλικίᾳ, ἀλλ' ἐν τῇ γνώμῃ τὰ πράγματα τῆς σωφροσύνης κείνεται. ὁ Δαβὶδ ἐν αὐτῇ τῇ πολιᾷ ὤν, καὶ τότε εἰς μοιχείαν ἐμπεσών, φόνον εἰργάσατο, καὶ διέκειτο οὕτως, ὡς μηδὲ εἰδέναι αὐτὸν ὅτι ἥμαρτεν. ὁ γὰρ ἡνίοχος νοῦς ἦν μεθυσθεὶς ὑπὸ ἀκρασίας. τί οὖν ὁ Θεός; πέμπει πρὸς αὐτὸν Νάθαν τὸν προφήτην. ὁ προφήτης ἔρ-

χε

χεται πρὸς τὸν προφήτην. οὕτω γὰρ καὶ ἐπὶ τῶν ἰατρῶν γίνεται· ὅταν ἰατρὸς ἀσθενήσῃ, ἄλλου ἰατροῦ ἐν χρείᾳ γίνεται. ὃ αὐτὸ καὶ ἐνταῦθα· προφήτης ἦν ὁ ἡμαρτηκώς, καὶ προφήτης ἦν ὁ τὰ φάρμακα ἐπικομιζόμενος. ἔρχεται οὖν πρὸς αὐτὸν ὁ Νάθαν, καὶ οὐκ εὐθὺς ἀπὸ θυρῶν ἐλέγχει αὐτὸν καὶ λέγει, παράνομε καὶ ἐναγέστατε, μοιχὲ καὶ φονεῦ· τοσαύτας τιμὰς ἐδέξω παρὰ Θεοῦ, καὶ σὺ τὰς ἐντολὰς αὐτοῦ κατεπάτησας; οὐδὲν τοιοῦτον εἶπεν ὁ Νάθαν, ἵνα μὴ ἀναισχυντότερον αὐτὸν ἀπεργάσηται. δημοσιευόμενα γὰρ τὰ ἁμαρτήματα, εἰς ἀναισχυντίαν προκαλεῖται τὸν ἡμαρτηκότα. ἔρχεται οὖν πρὸς αὐτόν, καὶ δρᾶμα δίκης ὑφαίνει, καί φησι· βασιλεῦ, δίκη μοί ἐστι πρὸς σέ. ἦν τις πλούσιος, καὶ ἦν εἷς πένης. εἶχε δὲ ὁ πλούσιος βουκόλια καὶ ἀγέλας πολλάς· ἦν δὲ καὶ ὁ πένης ἀμνάδα ἔχων μίαν, ἥτις ἐκ τοῦ ποτηρίου αὐτοῦ ἔπινε, καὶ ἐκ τῆς τραπέζης αὐτοῦ ἤσθιε, καὶ ἐν τῷ κόλπῳ αὐτοῦ ἐκάθευδεν. ἐνταῦθα τὸ γνήσιον τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα δείκνυσιν. ἐλθόντος δὲ ξένου τινός, ἐφείσατο ὁ πλούσιος τῶν οἰκείων, καὶ λαβὼν τὴν ἀμνάδα τοῦ πένητος, ἔσφαξεν αὐτήν. εἶδες πῶς ἐνταῦθα ὑφαίνει τὸ δρᾶμα, τῷ σπόγγῳ ἐπικεκρυμμένον ἔχων τὸ σιδήριον; τί οὖν ὁ βασιλεύς; νομίζων κατ' ἄλλου ἀποφαίνεσθαι, ὀξυτάτην ἐπήγαγε τὴν ἀπόφασιν. τοιοῦτοι γάρ εἰσιν ἄνθρωποι· κατὰ τῶν ἄλλων ἡδέως τὰς ἀποφάσεις καὶ ἀποτόμως ποιοῦνται καὶ ἐκδιδόασι. καὶ τί φησιν ὁ Δαβίδ; ζῇ Κύριος, ἄξιος θανάτου ὁ τοιοῦτος, καὶ ἀποδώσει τὴν ἀμνάδα τετραπλάσιον. τί οὖν ὁ Νάθαν; οὐκ ἐμάλαξε πολλαῖς ὥραις τὴν πληγήν, ἀλλ' εὐθὺς ἐξέφαινε καὶ ὀξυτάτην ἐπήγαγε τὴν τομήν, ἵνα μὴ κλέψῃ τὴν αἴσθησιν τοῦ φόνου. σὺ εἶ, βασιλεῦ. τί οὖν ὁ βασιλεύς; Ἥμαρτον τῷ Κυρίῳ, φησίν. οὐκ εἶπε, τίς γὰρ εἶ ὁ ἐλέγχων με; τίς δέ σε ἀπέστειλε παρρησιάζεσθαι; ποίᾳ δὲ τόλμῃ τοῦτο πεποίηκας; οὐδὲν τοιοῦτον εἶπεν, ἀλλὰ συνέγνω τὴν ἁμαρτίαν, καὶ τί φησιν; ἡμάρτηκα τῷ Κυρίῳ. τί οὖν ὁ Νάθαν πρὸς αὐτόν; Καὶ Κύριος ἀφῆκε τὸ ἁμάρτημά σου. ἑαυτὸν κατεδίκασας; ἐγὼ συγχωρῶ σοι τὴν καταδίκην. εὐγνωμόνως ὡμολόγησας τὴν ἁμαρτίαν; ἔλυσας τὴν ἁμαρτίαν. σαυτῷ τὴν καταδίκην ἐπεσπάσω; ἐγὼ ἔλυσα τὴν ἀπόφασιν. εἶδες πῶς ἐπληρώθη τὸ γεγραμμένον, Λέγε σὺ πρῶτος τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς; ποῖος κάματος ἐστί, τὸ εἰπεῖν πρῶτος τὴν ἁμαρτίαν;

Ἔχεις δὲ μετανοίας ὁδὸν καὶ ἑτέραν. ποίαν δὴ ταύτην; τὸ πενθῆσαι τὴν ἁμαρτίαν. ἥμαρτες; πένθησον, καὶ λύεις τὴν ἁμαρτίαν. ποῖος κάματος ἐστί; οὐδέν σε πλέον ἀπαιτῶ, ἢ τὸ πενθῆσαι τὴν ἁμαρτίαν. οὐ λέγω σοι πελάγη τεμεῖν, οὔτε εἰς λιμένας καταγαγεῖν, οὔτε εἰς λειμῶνας ἀπελθεῖν, οὔτε ὁδοιπορῆσαι, οὔτε χρήματα καταβαλεῖν, οὔτε κυμάτων ἀγρίων δίοδον ποιήσασθαι· ἀλλὰ τί; πένθησον ἐπὶ τῇ ἁμαρτίᾳ. καὶ πόθεν τοῦτο, φησίν, ὅτι ἐὰν πενθήσω, λύω τὴν ἁμαρτίαν; ἔχεις καὶ τούτου ἀπόδειξιν ἐκ τῆς θείας γραφῆς. ἦν τις Ἀχαὰβ βασιλεύς· δίκαιος δὲ οὗτος μαρτυρεῖται, ἐβασίλευσε δὲ οὗτος εἰς κακὰ ὑπὸ Ἰεζάβελ τῆς γυναικὸς αὐτοῦ. οὗτός ποτε Ναβουθαὶ Ἰσραηλίτου ἀμπελῶνα ἐπεθύμησε, καὶ ἀπέστειλε πρὸς αὐτὸν λέγων· Δός μοι τὸν ἀμπελῶνά σου, ὃν ἐπεθύμησα, καὶ ἢ ἀργύριον λάβε παρ' ἐμοῦ, ἢ ἀντάλλαγμα τοῦ τόπου. ὁ δὲ εἶπε· μή μοι γένοιτο κληρονομίαν πατέρων μου πωλῆσαί σοι. ὁ δὲ Ἀχαὰβ ἐπεθύμει μὲν τοῦ ἀμπελῶνος, οὐκ ἤθελε δὲ βιάσασθαι αὐτόν, ὡς ἐκ τούτου κακώσει αὐτὸν περιπεσεῖν. εἰσελθοῦσα δὲ πρὸς αὐτὸν Ἰεζάβελ, γύναιον ἀναίσχυντον καὶ ἀπηρυθριασμένον, ἀκάθαρτον καὶ ἐναγέστατον, φησί· τί λυπῇ, καὶ οὐκ ἐσθίεις; ἀνάστα, φάγε. ἐγώ σε ποιῶ κληρονομῆσαι τὸν ἀμπελῶνα Ναβουθαὶ τοῦ Ἰσραηλίτου. καὶ λαβοῦσα γράφει ἐπιστολὴν ἐκ προσώπου τοῦ βασιλέως πρὸς τοὺς πρεσβυτέρους λέγουσαν· κηρύξατε νηστείαν, καὶ στήσατε ἄνδρας ψευδεῖς κατὰ Ναβουθαί, ὅτι εὐλόγησε Θεὸν καὶ βασιλέα, τουτέστιν, ἐβλασφήμησεν. ὢ νηστεία ἐπιτεταγμένη παρανομίας πε-

β. Βασ. ιβ. α.

Ησ. μγ. κϛ.

γ. Βασ. κα. α.

πληρωμένην. ἐκήρυξαν νηστείαν, ἵνα φόνον ποιήσωσι. τί οὖν γέγονεν; ἐλιθάσθη Ναβουθαί, καὶ ἀπέθανε. μαθοῦσα δὲ Ιεζάβελ λέγει τῷ Αχαάβ· ἀνάστα, κληρονομήσωμεν τὸν ἀμπελῶνα, ὅτι ἀπέθανε Ναβουθαί. ὁ δὲ λυπηθεὶς πρὸς τὸ πρότερον, εἰσῆλθε μόνον, καὶ ἐκληρονόμησε τὸν ἀμπελῶνα. πέμπει πρὸς αὐτὸν ὁ Θεὸς Ἠλίαν τὸν προφήτην. ἄπελθε, φησιν, εἰπὸν τῷ Αχαάβ· ἀνθ' ὧν ἐφόνευσας καὶ ἐκληρονόμησας, οὕτως ἐκχυθήσεται τὸ αἷμά σου, καὶ αἱ πόρναι λούσονται ἐν τῷ αἵματί σου. θεήλατος ἡ ὀργή, ἀπηρτισμένη ἡ ἀπόφασις, πεπληρωμένη ἡ καταδίκη. καὶ ὅρα ποῦ πέμπει αὐτόν. εἰς τὸν ἀμπελῶνα. ὅπου ἡ παρανομία, ἐκεῖ καὶ ἡ τιμωρία. καὶ τί φησιν; ἰδὼν αὐτὸν Αχαὰβ λέγει, Εὕρηκάς με, ὁ ἐχθρός μου; ἀντὶ τοῦ, ὑπαίτιόν με ἔλαβες, ὅτι ἡμάρτηκα· νῦν καιρὸν ἔχεις ἐπεμβῆναί μοι. Εὕρηκάς με, ὁ ἐχθρός μου; ἐπειδὴ ἤλεγχεν ἀεὶ ὁ Ἠλίας τὸν Αχαάβ, ὁ Αχαὰβ εἰδὼς ὅτι ἥμαρτεν, ἀεὶ μὲν ἤλεγχές με, φησι, νῦν δὲ εὐκαίρως μοι ἐπιβαίνεις. ἤδει γὰρ ὅτι ἡμάρτηκε. προαναγινώσκει αὐτῷ τὴν ἀπόφασιν. τί δὲ λέγει Κύριος, φησιν· ἀνθ' ὧν ἐφόνευσας καὶ ἐκληρονόμησας καὶ αἷμα ἀνδρὸς δικαίου ἐξέχεας, οὕτως ἐκχυθήσεται τὸ αἷμά σου, καὶ αἱ πόρναι λούσονται ἐν τῷ αἵματί σου, καὶ οἱ κύνες λείξουσι τὸ αἷμά σου. ταῦτα ἀκούσας ὁ Αχαὰβ ἦν σκυθρωπάζων καὶ πενθῶν ἐπὶ τῇ ἁμαρτίᾳ. συνέγνω τὴν ἀδικίαν, καὶ ἔλυσε τὴν κατ' αὐτοῦ δίκην ὁ Θεός. ἀλλὰ πρότερον ἀναλόγισαι τὰ τοῦ Ἠλίου, ἵνα μὴ [ὡς] ψεύστης φανῇ ὁ Ἠλίας, καὶ πάθῃ τι ὅπερ ἔπαθεν ὁ Ἰωνᾶς. τοιοῦτον γὰρ ἔπαθεν ὁ Ἰωνᾶς. λέγει πρὸς αὐτὸν ὁ Θεός· Ἄπελθε, κήρυξον εἰς Νινευῒ τὴν πόλιν, ἐν ᾗ κατοικοῦσι δώδεκα μυριάδες ἀνθρώπων χωρὶς γυναικῶν καὶ παιδίων, ἔτι τρεῖς ἡμέραι, καὶ Νινευῒ καταστραφήσεται. ὁ Ἰωνᾶς οὐκ ἐβούλετο ἀπελθεῖν, εἰδὼς τὴν τοῦ Θεοῦ φιλανθρωπίαν· ἀλλὰ τί ποιεῖ; εἰς φυγὴν τρέπεται. λέγει γάρ, ἐγὼ ἀπέρχομαι κηρύσσων, σὺ φιλάνθρωπος ὢν μεταμελῇ, ἐγὼ δὲ ὡς ψευδοπροφήτης ἀναιροῦμαι. ἀλλ' ὅμως ἡ θάλασσα αὐτὸν λαβοῦσα οὐκ ἔκρυψεν, ἀλλ' ἀπέδωκε τῇ γῇ, καὶ ἀπέσωσε πάλιν εἰς Νινευῒ, καθάπερ ἀρίστη σύνδουλος σύνδουλον διατηροῦσα. κατέβη, φησίν, Ἰωνᾶς τοῦ φυγεῖν, καὶ εὗρε πλοῖον βαδίζον εἰς Θαρσεῖς, καὶ ἔδωκε τὸν ναῦλον αὐτοῦ, καὶ ἀνέβη εἰς αὐτό. ποῦ φεύγεις, Ἰωνᾶ; εἰς γῆν ἄλλην ἀπέρχῃ; Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. ἀλλ' εἰς τὴν θάλασσαν; ἀλλ' Αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν. ἀλλ' εἰς τὸν οὐρανόν; οὐκ ἤκουσας τοῦ Δαβὶδ λέγοντος, Ὄψομαι τοὺς οὐρανούς, ἔργα τῶν δακτύλων σου; ἀλλ' ὅμως ἐκεῖνος φόβῳ κατεχόμενος, ἔφυγε τῷ δοκεῖν. Θεὸν γὰρ ἀληθῶς φυγεῖν ἀδύνατον. ὅμως ὅτε ἀποκατέστησεν αὐτὸν ἡ θάλασσα, καὶ ἦλθεν εἰς Νινευῒ, ἐκήρυξε λέγων· ὅτι ἔτι τρεῖς ἡμέραι, καὶ Νινευῒ καταστραφήσεται. ἵνα δὲ μάθῃς, ὅτι τοῦτο ἔχων ἐν διανοίᾳ εἰς φυγὴν ἔδωκεν ἑαυτόν, ὅτι ὁ Θεὸς φιλάνθρωπος ὢν μετανοεῖ ἐπὶ τῇ κακίᾳ, ἣ ἐλάλησε περὶ αὐτῶν, καὶ ἔμελλεν αὐτὸς ὡς ψευδοπροφήτης εἶναι, αὐτὸς ἑαυτὸν δείκνυσι. μετὰ γὰρ τὸ κηρύξαι ἐν τῇ Νινευῒ ἐξῆλθεν ἔξω τῆς πόλεως, καὶ παρετήρει τί ἂν γένηται. ὅτε δὲ εἶδε τρεῖς ἡμέρας παρελθούσας, καὶ οὐδαμοῦ οὐδὲν τῶν ἠπειλημένων γενόμενον, τότε τὸν πρότερον αὐτοῦ λογισμὸν κινεῖ, καὶ λέγει· Οὐχ οὗτοί εἰσιν οἱ λόγοι μου, οὓς ἔλεγον· ὅτι ὁ Θεὸς ἐλεήμων ἐστί, καὶ μακρόθυμος, καὶ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων; ἵν' οὖν μή τι τοιοῦτον πάθῃ Ἠλίας, οἷα καὶ Ἰωνᾶς, λέγει ὁ Θεὸς τὴν αἰτίαν δι' ἣν τῷ Αχαὰβ συνεχώρησε. καὶ τί φησιν ὁ Θεὸς πρὸς τὸν Ἠλίαν; Εἶδες πῶς ἐπορεύθη Αχαὰβ πενθῶν καὶ σκυθρωπάζων ἐνώπιόν μου; οὐ μὴ ποιήσω κατὰ τὴν κακίαν αὐτοῦ. βαβαί· δεσπότης δούλου συνήγορος γίνεται, καὶ ἀπολογεῖται Θεὸς ἀνθρώπῳ ὑπὲρ ἀνθρώπου. μὴ νόμιζε, φησιν, ὅτι ἁπλῶς συνεχώρησα αὐτῷ· μετερρύθμισε τὸν τρόπον, καὶ μετέβαλον τὴν ὀργήν μου καὶ ἀνέλυσα. καὶ ἵνα μὴ νομισθῇς ὡς ψευδοπροφήτης (σὺ γὰρ ἀληθῶς εἶπας) εἰ μὴ μετέβαλε τὸν τρόπον, ὑπομεῖναι εἶχε τὰ τῆς ἀποφάσεως. ἀλλ' οὗτος μετέβαλε τὸν τρόπον, κἀγὼ

Ιων. α. β.

Ψαλ. πη. ιβ. ϟδ. ε.

Ψαλ. η. δ.

Ιων. δ. β.

γ. Βασ. κα. κθ.

γὼ ἀνέλυσα τὴν ὀργήν μου. Καί φησιν ὁ Θεὸς πρὸς τὸν Ἠλίαν· Εἶδες πῶς ἐπορεύθη Ἀχαὰβ πενθῶν καὶ σκυθρωπάζων; οὐ μὴ ποιήσω κατὰ τὴν ὀργήν μου. Εἶδες ὅτι τὸ πενθῆσαι ἐξαλείφει ἁμαρτίας;

Ἔχεις δὲ καὶ τρίτην ὁδὸν μετανοίας. πολλὰς δὲ ὁδοὺς μετανοίας εἶπον, ἵνα τῇ ποικιλίᾳ τῶν ὁδῶν εὔκολόν σοι τὴν σωτηρίαν ἐργάζωμαι. ποίαν ταύτην; ταπεινοφρόνησον, καὶ ἔλυσας τὰς σειρὰς τῶν ἁμαρτιῶν. καὶ ἔχεις καὶ ταύτης ἀπόδειξιν ἀπὸ τῆς θείας γραφῆς, ἀπὸ τῆς ἀναγνώσεως τῆς κατὰ τὸν τελώνην καὶ τὸν φαρισαῖον. Ἀνῆλθόν, φησιν, ὁ φαρισαῖος καὶ ὁ τελώνης εἰς τὸ ἱερὸν προσεύξασθαι. καὶ ἤρξατο ὁ φαρισαῖος τὰς ἀρετὰς αὐτοῦ ἀπαριθμεῖσθαι· οὐκ εἰμὶ ἐγώ, φησιν, ἁμαρτωλὸς, ὡς πᾶς ὁ κόσμος· οὔτε ὡς ὁ τελώνης οὗτος. ἄθλιε καὶ ἀκόρεστε, τῇ ψυχῇ ὅλην τὴν οἰκουμένην κατεδίκασας· διατί καὶ τὸν ἐγγύς σου ἔθλιψας; οὐκ ἤρκεσέ σοι ἡ οἰκουμένη, εἰ μὴ καὶ τὸν τελώνην κατέκρινας. πάντας ἐντεῦθεν διέβαλες, καὶ οὐδὲ τοῦ ἑνὸς ἀνδρὸς ἐφείσω; οὐκ εἰμὶ ἐγὼ ὡς πᾶς ὁ κόσμος, οὐδὲ ὡς ὁ τελώνης οὗτος. δὶς τῆς ἑβδομάδος νηστεύω, ἀποδεκατῶ τὰ ὑπάρχοντα τοῖς πτωχοῖς. ἀλαζονείας ῥήματα ἐφθέγξατο. ἄθλιε ἄνθρωπε· ἔστω, τὴν οἰκουμένην κατεδίκασας· τί καὶ τὸν ἐγγύς σου τελώνην ἐπέπληξας; οὐκ ἐνεπλήσθης τῇ κατηγορίᾳ τῆς οἰκουμένης, εἰ μὴ καὶ τὸν σὺν σοὶ κατέκρινας. τί οὖν ὁ τελώνης; ἀκούσας ταῦτα, οὐκ εἶπε· σὺ γὰρ τίς εἶ ὁ ταῦτά μοι λέγων; πόθεν οἶδας τὸν βίον μου; οὐ συνανεστράφης μοι, οὐ συνέμεινας, οὐ συνεχρόνισας. διατί τοσοῦτον ὑπερηφανεύῃ; σοὶ γὰρ τίς μαρτυρεῖ ἀγαθοεργίας; τί σεαυτὸν ἐπαινεῖς; τί σεαυτῷ χαρίζῃ; ἀλλ' οὐδὲν τούτων εἶπεν ὁ τελώνης, ἀλλὰ κύψας προσεκύνησε καὶ εἶπεν· Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ ταπεινοφρονήσας ὁ τελώνης, ἐγένετο δίκαιος. ὁ δὲ φαρισαῖος κατῆλθεν ἐκ τοῦ ἱεροῦ δικαιοσύνην ἀπολέσας, καὶ ὁ τελώνης κατῆλθε δικαιοσύνην κτησάμενος, καὶ ῥήματα ἐνίκησαν πράγματα. ὁ μὲν γὰρ ἔργοις δικαιοσύνην ἀπώλεσεν, ὁ δὲ λόγῳ ταπεινοφροσύνης δικαιοσύνην ἐκτήσατο· καίτοιγε οὐδὲ ταπεινοφροσύνη ἦν ἐκείνη. ταπεινοφροσύνη γὰρ τοῦτό ἐστιν, ὅταν τις μέγας ὢν, ἑαυτὸν ταπεινοῖ. τοῦτο δὲ τοῦ τελώνου οὐκ ἦν ταπεινοφροσύνη, ἀλλ' ἀλήθεια. ἀληθινὰ γὰρ ἦν τὰ ῥήματα. ἁμαρτωλὸς γὰρ ἦν. τί γὰρ τελώνου χεῖρον, εἰπέ μοι; τῶν ἀλλοτρίων συμφορῶν ἐστι πραγματευτής, τῶν ἀλλοτρίων πόνων συμμεριστής· καὶ τὸν μὲν κάματον οὐκ ἐπιβλέπει, τὸ δὲ κέρδος συμμερίζεται· ὥστε ἐσχάτη ἁμαρτία τοῦ τελώνου. οὐδὲν γὰρ ἄλλο ἐστὶν ὁ τελώνης, ἢ πεπαρρησιασμένη βία, ἔννομος ἁμαρτία, εὐπρόσωπος πλεονεξία. τί γὰρ χεῖρον τελώνου τοῦ καθεζομένου κατὰ τὴν ὁδὸν, καὶ ἀλλοτρίων πόνων τοὺς καρποὺς τρυγῶντος; καὶ ὅτι μὲν τῶν καμάτων, οὐδεμία αὐτῷ φροντίς· ὅτι δὲ τὸ κέρδος, ἐξ ὧν οὐκ ἔκαμε τὴν μερίδα λαμβάνει. ὥστε εἰ ἁμαρτωλὸς ὢν ὁ τελώνης, τοσαύτης ἐπέτυχε τῆς δωρεᾶς ταπεινοφρονήσας, πόσῳ μᾶλλον ὁ ἐνάρετος ὢν καὶ ταπεινοφρονῶν; ὥστε ἐὰν ὁμολογήσῃς τὰς ἁμαρτίας σου, καὶ ταπεινοφρονήσῃς, δίκαιος γίνῃ. θέλεις δὲ μαθεῖν ταπεινόφρων τίς ἐστι; βλέπε Παῦλον τὸν ὄντως ταπεινόφρονα, Παῦλον τὸν διδάσκαλον τῆς οἰκουμένης, τὸν ῥήτορα τὸν πνευματικὸν, τὸ σκεῦος τῆς ἐκλογῆς, τὸν λιμένα τὸν ἀκύμαντον, τὸν πύργον τὸν ἀσάλευτον, τὸν ἐν σώματι βραχεῖ τὴν οἰκουμένην κυκλοῦντα, καὶ καθάπερ ὑπόπτερόν τινα ταύτην περιδραμόντα. βλέπε ἐκεῖνον ταπεινοφρονοῦντα, τὸν ἰδιώτην καὶ φιλόσοφον, τὸν πένητα καὶ πλούσιον. ἐκεῖνον ἀληθῶς ταπεινόφρονα λέγω, τὸν μυρίους καμάτους ἀντλήσαντα, τὸν μυρία τρόπαια κατὰ τοῦ διαβόλου ἐνδειξάμενον, τὸν κηρύττοντα καὶ λέγοντα, Ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ οὐ κενὴ ἐγενήθη, ἀλλὰ περισσότερον πάντων ἐκοπίασα. ὁ φυλακὰς ὑπομείνας καὶ πληγὰς καὶ μάστιγας, ὁ δι' ἐπιστολῶν τὴν οἰκουμένην σαγηνεύσας, ὁ οὐρανίᾳ φωνῇ κληθεὶς, ἐκεῖνος ταπεινοφρονεῖ λέγων· Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος. εἶδες ταπεινοφροσύνης μέγεθος; εἶδες Παῦλον ταπεινοφρονοῦντα, ἐλάχιστον ἑαυτὸν καλοῦντα; Ἐγὼ γάρ εἰμι, φησιν, ὁ ἐλάχιστος τῶν

Λουκ. ιη. ι.

Λουκ. ιη. ιγ.

α. Κορ. ιε. ι.

α. Κορ. ιε. θ.

γ. ἀχόρταστε

γ. πιιῦτε

ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος. τοῦτο γὰρ ἀληθῶς ταπεινοφροσύνη, τὸ ταπεινοῦσθαι ἐν πᾶσι, καὶ ἑαυτὸν καλεῖν ἐλάχιστον. ἐννόησον τίς ἦν ὁ ταῦτα λέγων τὰ ῥήματα. Παῦλος ὁ οὐρανοπολίτης, ὁ τὸ σῶμα ἁπλῶς περικείμενος, ὁ στύλος τῶν ἐκκλησιῶν, ὁ ἐπίγειος ἄγγελος, ὁ οὐράνιος ἄνθρωπος. ἡδέως γὰρ λοιπὸν ἐνδιατρίβω τῷ ἀνδρί, θεωρῶν αὐτοῦ τὸ κάλλος τῆς ἀρετῆς. οὐχ οὕτως ἥλιος τὰς ἀκτῖνας ἀνατείλας καὶ λαμπρὰς ἀφιεὶς εὐφραίνει μου τὰς ὄψεις, ὡς τὸ πρόσωπον Παύλου καταυγάζει μου τὴν διάνοιαν. μὲν γὰρ ἥλιος τὰς ὄψεις φωτίζει, ὁ δὲ Παῦλος εἰς αὐτὰς ἀναπτεροῖ τὰς ἀψῖδας τῶν οὐρανῶν. τὴν γὰρ ψυχὴν καὶ ὑψηλοτέραν τοῦ ἡλίου ἀπεργάζεται καὶ ἀνωτέραν τῆς οἰκουμένης. τοιαύτη γὰρ ἡ δύναμις τῆς ἀρετῆς· ἄγγελον τὸν ἄνθρωπον ποιεῖ· τὴν ψυχὴν ἀναπτεροῖ εἰς τὸν οὐρανόν. ταύτην τὴν ἀρετὴν διδάσκει ἡμᾶς ὁ Παῦλος. ἀλλ' οὐ δεῖ ἐξελθεῖν ἡμᾶς τοῦ προκειμένου. δεῖξαι γὰρ ἦν ὁ σκοπὸς τρίτην ὁδὸν μετανοίας, τὴν ταπεινοφροσύνην· ὅτι ὁ τελώνης οὐκ ἐταπεινοφρόνησεν, ἀλλ' ἀλήθειαν εἶπε, τὰς ἰδίας ἁμαρτίας ἀπογυμνώσας· καὶ δίκαιος ἐγένετο, οὐ χρήματα καταβαλών, οὔτε πελάγη διατεμών, οὔτε πολλὴν ὁδὸν πεζεύσας, οὔτε ἄπειρα πελάγη περάσας, οὔτε φίλους ἐξεώσας, οὔτε χρόνον πολὺν καταναλώσας· ἀλλὰ διὰ ταπεινοφροσύνης δικαιοσύνην ἐκτήσατο, καταξιωθεὶς τῆς βασιλείας τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι ἡ δόξα, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χ. σελήνης

χ. γυμνώσας

ἴσ. ἀξιώσας

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ. Λογ. δ.

Εἰ καὶ χθὲς ὑμῶν ἀπελείφθην, ἀλλ' οὐχ ἑκών, ἀλλ' ἀναγκασθεὶς ἀπελείφθην τῷ σώματι, οὐ γνώμῃ· ἀπελείφθην ἀρρωστίᾳ σαρκός, οὐ διαθέσει διανοίας. καὶ γὰρ περιεπλεκόμην, πρὸς ὃ ἐδυνάμην, ἅπαντας ὑμᾶς, καὶ ἐπὶ τῆς διανοίας ἔφερον. πάλιν, ἀδελφοί, τὴν πρόσκαιρον ταύτην νόσον παρέντες, περισσοτέρως ἐσπουδάσαμεν τὰ πρόσωπα ὑμῶν ἰδεῖν. ἔτι γὰρ τὰ λείψανα τῆς ἀρρωστίας ἔχων, ἔδραμον πρὸς τὴν ὑμετέραν ἀγάπην. οἱ μὲν γὰρ ἀρρωστοῦντες λουτρὰ καὶ βαλανεῖα * ζητοῦσιν, ἐγὼ δὲ τὰ ποθούμενα ὑμῶν πρόσωπα ἄξιον ἡγησάμην θεάσασθαι, καὶ τὴν ὀφειλομένην ἐπιθυμίαν τῆς ἀκροάσεως ἀποπληρῶσαι. τὸ πέλαγος τοῦτο τὸ μέγα καὶ ἅλμην οὐκ ἔχον, τὴν θάλασσαν ταύτην τῶν κυμάτων ἀπηλλαγμένην, ἦλθον ὑμῶν τὴν ἄρουραν τὴν κεκαθαρμένην ἰδεῖν. τίς γὰρ τοιοῦτος λειμών, οἷος ἡ ἐκκλησία; τίς τοιοῦτος παράδεισος, ὡς ἡ σύνοδος ἡ ὑμετέρα; οὐκ ἔστιν ἐνταῦθα ὄφις ἐπιβουλεύων, ἀλλ' ὁ Χριστὸς μυσταγωγῶν· οὐκ ἔστιν Εὔα ὑποσκελίζουσα, ἀλλ' ἡ ἐκκλησία ὀρθοῦσα· οὐκ ἔστιν ἐνταῦθα φύλλα δένδρων, ἀλλ' ὁ καρπὸς τοῦ πνεύματος· οὐκ ἔστιν ἐνταῦθα φραγμὸς ἀκανθῶν, ἀλλ' ἄμπελος εὐθηνοῦσα. ἐὰν δὲ ἄκανθαν εὕρω, εἰς ἐλαίαν μεταφέρω. οὐ γὰρ ἀπορίᾳ φύσεως τὰ ἐνταῦθα, ἀλλ' ἐλευθερίᾳ προαιρέσεως τετίμηται. ἐὰν δὲ λύκον εὕρω, πρόβατον ποιῶ· οὐ τὴν φύσιν μεταβάλλων, ἀλλὰ τὴν προαίρεσιν μεταφέρων. διὰ τοῦτο οὐκ ἄν τις ἁμάρτοι τῆς κιβωτοῦ τὴν ἐκκλησίαν μείζονα προσειπών. ἡ μὲν γὰρ κιβωτὸς παρελάμβανε τὰ ζῶα, καὶ ἐφύλαττε ζῶα· ἡ δὲ ἐκκλησία παραλαμβάνει τὰ ζῶα, καὶ μεταβάλλει. οἷόν τι λέγω· εἰσῆλθεν ἐκεῖ ἱέραξ, καὶ ἐξῆλθεν ἱέραξ· εἰσῆλθε λύκος, καὶ ἐξῆλθε λύκος· εἰσῆλθέ τις ἱέραξ ἐνταῦθα, καὶ ἐξέρχεται περιστερά· εἰσέρχεται λύκος, καὶ ἐξέρχεται πρόβατον· εἰσέρχεται ὄφις, καὶ ἐξέρχεται ἀρνίον, οὐ τῆς φύσεως μεταβαλλομένης, ἀλλὰ τῆς κακίας ἐλαυνομένης. διὰ τοῦτο συνεχῶς τὸν περὶ μετανοίας κινῶ λόγον. ἡ γὰρ μετάνοια δεινὴ καὶ φοβερὰ τοῖς ἁμαρτωλοῖς, φάρμακον τῶν

* μετὰ τὴν ἀρρωστίαν

πλημμελημάτων, δαπάνημα τῶν παρανομιῶν, ἀνάλωμα τῶν δακρύων, παῤῥησία πρὸς Θεὸν, ὅπλον κατὰ τοῦ διαβόλου, μάχαιρα ἀποτέμνουσα αὐτοῦ τὴν κεφαλὴν, σωτηρίας ἐλπὶς, ἀπογνώσεως ἀναίρεσις. αὕτη τὸν οὐρανὸν ἀνοίγει, αὕτη εἰς τὸν παράδεισον εἰσάγει, αὕτη τοῦ διαβόλου περιγίνεται (διὰ δὴ τοῦτο συνεχῶς τὸν περὶ τούτου κινῶ λόγον) ὥσπερ καὶ τὸ θαῤῥεῖν ποιεῖ ὑποσκελίζεσθαι. ἁμαρτωλὸς εἶ; μὴ ἀπογνῷς. οὐ παύομαι συνεχῶς ταῦτα ἐπαλείφων τὰ φάρμακα. ἐγὼ γὰρ οἶδα ἡλίκον ὅπλον ἐστὶ κατὰ τοῦ διαβόλου, τὸ μὴ ἀπογινώσκειν ὑμᾶς. ἂν ἔχῃς ἁμαρτήματα, μὴ ἀπογνῷς. οὐ παύομαι ταῦτα συνεχῶς λέγων. κἂν καθ' ἡμέραν ἁμαρτάνῃς, καθ' ἡμέραν μετανόει. καὶ ὅπερ ἐν ταῖς οἰκίαις ποιοῦμεν ὅταν σαθρωθῶσιν, ὑπεξαιρούμενοι τὰ σεσαθρωμένα, καὶ νέα ἐπισκευάζοντες, καὶ οὐδέποτε συνεχοῦς ἐπιμελείας ἐπιλανθανόμεθα· τοῦτο καὶ ἐν ἡμῖν ποιῶμεν. εἰ ἐπαλαιώθης σήμερον ἀπὸ τῆς ἁμαρτίας, ἀνακαίνισον σεαυτὸν ἀπὸ τῆς μετανοίας. καὶ ἔνι, φησὶ, μετανοήσαντα σωθῆναι; ἔνι, καὶ πάνυ ἔνι. πάντα τὸν βίον ἐν ἁμαρτίαις διέτριψα, καὶ ἐὰν μετανοήσω, σώζομαι; πάνυ. πόθεν δῆλον; ἀπὸ τῆς τοῦ δεσπότου σου φιλανθρωπίας. μὴ γὰρ τῇ μετανοίᾳ σου θαῤῥῶ; μὴ γὰρ ἡ μετανοιά σου ἰσχύει τοσαῦτα κακὰ ἀποσμήξασθαι; εἰ ἡ μετάνοια μόνη ἦν, εἰκότως ἐφοβοῦ· ἐπειδὴ δὲ τῇ μετανοίᾳ κεράννυται Θεοῦ φιλανθρωπία, θάῤῥει. Θεοῦ γὰρ φιλανθρωπίας μέτρον οὐκ ἔστιν, οὐδὲ λόγῳ ἑρμηνευθῆναι δύναται αὐτοῦ ἡ ἀγαθότης. ἡ μὲν γὰρ σὴ κακία μέτρον ἔχει,″ ἡ δὲ τοῦ Θεοῦ φιλανθρωπία μέτρον οὐκ ἔχει. ἡ σὴ κακία, οἵα ἐὰν ᾖ, ἀνθρωπίνη ἐστὶ κακία· ἡ δὲ τοῦ Θεοῦ φιλανθρωπία″ ἀπεριόριστος· καὶ θάῤῥει, ὅτι περιγίνεται τῆς σῆς κακίας. ἐννόησον εἰς πέλαγος σπινθῆρα ἐμπεσόντα, μὴ δύναται σταθῆναι ἢ φανῆναι; ὅσον σπινθὴρ πρὸς πέλαγος, τοσοῦτον κακία πρὸς τὴν τοῦ Θεοῦ φιλανθρωπίαν· μᾶλλον δὲ οὐδὲ τοσοῦτον, ἀλλὰ πολλῷ πλέον. τὸ μὲν γὰρ πέλαγος, κἂν μέγα ᾖ, μέτρον ἔχει· ἡ δὲ τοῦ Θεοῦ φιλανθρωπία μέτρον οὐκ ἔχει. ταῦτα λέγω, οὐχ ἵνα ὑμᾶς ῥαθυμοτέρους ἐργάσωμαι, ἀλλ' ἵνα σπουδαιοτέρους καταστήσω. παρῄνεσα πολλάκις εἰς θέατρα μὴ ἀναβαίνειν. ἤκουσας, οὐκ ἐπείσθης, ἀνέβης εἰς τὸ θέατρον, παρήκουσάς μου τοῦ λόγου. μὴ αἰσχυνθῇς πάλιν εἰσελθεῖν εἰς τὴν ἐκκλησίαν, καὶ ἀκοῦσαι. ἤκουσα, καὶ οὐκ ἐτήρησα· πῶς δύναμαι πάλιν εἰσελθεῖν, καὶ ἀκοῦσαι; τέως αὐτὸ τοῦτο οἶδας, ὅτι οὐκ ἐτήρησας; τέως αἰσχύνῃ; τέως ἐρυθριᾷς; τέως μηδενὸς ἐλέγχοντος τὸν χαλινὸν″ ἐπιφέρεις; τέως τὸν λόγον μου ἔχεις ἐῤῥιζωμένον ἐν τῇ διανοίᾳ σου; τέως μὴ φαινομένου μου″ ἡ διδασκαλία μου καθαίρει σε; οὐκ ἐτήρησας; κατέγνως σαυτοῦ· εἰς τὸ ἥμισυ ἐτήρησας, κἂν μὴ τηρήσῃς, εἴπῃς δὲ οὐκ ἐτήρησα. ὁ γὰρ καταγνοὺς ἑαυτοῦ ἐπὶ τῷ μὴ τηρῆσαι, ἐπὶ τὸ τηρῆσαι σπουδάζει. ἐθεώρησας; εἰργάσω παρανομίαν; αἰχμάλωτος ἐγένου″ τῆς πόρνης; κατέβης ἀπὸ τοῦ θεάτρου; πάλιν ἐμνήσθης; ᾐσχύνθης; πρόσελθε. ἐλυπήθης; παρακάλεσον τὸν Θεόν.″ ἀλλ' ἔστης μέχρι τούτου. οὐαί μοι, ἤκουσα, καὶ οὐκ ἐτήρησα· πῶς εἰσέλθω πάλιν εἰς τὴν ἐκκλησίαν; πῶς πάλιν ἀκούσω; μᾶλλον εἴσελθε, ἐπειδὴ οὐκ ἐτήρησας, ἵνα πάλιν ἀκούσας τηρήσῃς. φάρμακον ἐὰν ἐπιθῇ σοι ὁ ἰατρὸς, καὶ μὴ καθαρίσῃ σε τῇ πρώτῃ ἡμέρᾳ, τῇ ἄλλῃ ἡμέρᾳ οὐκ ἐπιτίθησιν αὐτὸ πάλιν; ἔστι τις δρυοτόμος, θελέτω τέμνειν δρῦν· λαμβάνει ἀξίνην, κόπτει τὴν ῥίζαν· ἐὰν δῷ μίαν πληγὴν, καὶ μὴ πέσῃ τὸ ἄκαρπον δένδρον, οὐ δίδωσιν ἄλλην πληγήν; οὐ τὴν τετάρτην; οὐ τὴν πέμπτην; οὐ τὴν δεκάτην; οὕτω καὶ σὺ ποίει· δρῦς ἐστιν ἡ″ πορνεία, βαλάνους ἐκφέρουσα χοίρων ἀλόγων τροφήν. ἐν πολλῷ χρόνῳ ἐῤῥιζώθη ἐν τῇ διανοίᾳ σου, ἐν τῇ περιβολῇ τῶν δένδρων, κατέβαλέ σου τὸ συνειδός· ὁ λόγος μου ἀξίνη ἐστίν. ἤκουσας μίαν ἡμέραν. πῶς εἰς μίαν ἡμέραν πίπτει ἡ τοσούτῳ χρόνῳ ἐῤῥιζωμένη; ἐὰν γὰρ δὶς, ἐὰν γὰρ τρὶς, ἐὰν ἑκατοντάκις, ἐὰν μυριάκις, οὐκ ἔστι θαυμαστόν· μόνον ἔκκοψον πρᾶγμα πονηρὸν καὶ ἰσχυρὸν, συνήθειαν πονηράν. μάννα ἤσθιον οἱ Ἰουδαῖοι, καὶ κρόμμυα ἐζήτουν τὰ ἐν Αἰγύπτῳ. οὕτως ἰσχυρὸν πρᾶγμα συνήθεια καὶ κάκιστον. κἂν γὰρ εἰς δέκα

γρ. καινά

γρ. ἐπιφέρεις

γρ. καθαίρει σε

γρ. τῇ πόρνῃ

ἡμέρας κατορθώσῃς, ἐὰν γὰρ εἰς εἴκοσι, ἐὰν γὰρ εἰς τριάκοντα, οὐκ ἀγανακτῶ, οὐ χάριν ἔχω, οὐ περιεπλύσομαί σε· μόνον μὴ ἀποκάμῃς, ἀλλ' αἰσχύνου, καὶ καταγίνωσκε πάλιν. διελέχθην περὶ ἀγάπης· ἤκουσας, ἀπῆλθες, καὶ ἥρπασας· οὐκ ἐπεδείξω διὰ τῶν ἔργων τὸν λόγον. μὴ αἰσχυνθῇς πάλιν εἰσελθεῖν εἰς τὴν ἐκκλησίαν. αἰσχύνου ἁμαρτάνων, μὴ αἰσχύνου μετανοῶν. πρόσεχε τί ἐποίησέ σοι ὁ διάβολος. δύο ταῦτά ἐστιν, ἁμαρτία καὶ μετάνοια· ἁμαρτία τραῦμα, μετάνοια φάρμακον. ὥσπερ γὰρ ἐν τῷ σώματι τραύματα καὶ φάρμακα· οὕτω καὶ ἐν τῇ ψυχῇ ἁμαρτία καὶ μετάνοια. ἀλλ' ἡ μὲν ἁμαρτία τὴν αἰσχύνην ἔχει, ἡ δὲ μετάνοια τὴν παρρησίαν κέκτηται. πρόσεχε μετ' ἀκριβείας, παρακαλῶ, ἵνα μὴ τὴν τάξιν συγχέων ἀπολέσῃς τὴν ὠφέλειαν. ἔστι τραῦμα καὶ φάρμακον, ἁμαρτία καὶ μετάνοια. τὸ τραῦμα ἡ ἁμαρτία, τὸ φάρμακον ἡ μετάνοια. ἐν τῷ τραύματι σηπεδών, ἐν τῷ φαρμάκῳ καθαρισμὸς σηπεδόνος. ἐν τῇ ἁμαρτίᾳ σηπεδών, ἐν τῇ ἁμαρτίᾳ ὄνειδος, ἐν τῇ ἁμαρτίᾳ γέλως· ἐν τῇ μετανοίᾳ παρρησία, ἐν τῇ μετανοίᾳ ἐλευθερία, ἐν τῇ μετανοίᾳ καθαρισμὸς τῶν ἁμαρτημάτων. πρόσεχε. τῇ ἁμαρτίᾳ αἰσχύνη ἕπεται, τῇ μετανοίᾳ παρρησία ἀκολουθεῖ. προσέσχες ὃ λέγω; τὴν τάξιν ὁ Σατανᾶς ἀντέστρεψε, καὶ ἔδωκε τὴν παρρησίαν τῇ ἁμαρτίᾳ, καὶ τὴν αἰσχύνην τῇ μετανοίᾳ. οὐκ ἀφίσταμαι ἕως ἑσπέρας, ἕως οὗ αὐτὸ λύσω. δεῖ με τὴν ὑπόσχεσιν πληρῶσαι· ἀμήχανόν με ἀποστῆναι. ἔστι τραῦμα καὶ φάρμακον. τὸ τραῦμα τὴν σηπεδόνα ἔχει, τὸ φάρμακον τὸν καθαρισμὸν τῆς σηπεδόνος κέκτηται. μὴ ἐν τῷ φαρμάκῳ σηπεδών; μὴ ἐν τῷ τραύματι ἴασις; οὐκ ἔχει ταῦτα τὴν οἰκείαν τάξιν, κἀκεῖνα τὴν οἰκείαν; μὴ δύναται μεταβῆναι τοῦτο πρὸς ἐκεῖνο, ἢ ἐκεῖνο πρὸς τοῦτο; οὐδαμῶς. ἔλθωμεν λοιπὸν ἐπὶ τῆς ψυχῆς τῶν ἁμαρτημάτων. ἡ ἁμαρτία τὴν αἰσχύνην ἔχει, ἡ ἁμαρτία τὸ ὄνειδος ἔχει, καὶ τὴν ἀτιμίαν συγκεκληρωμένην· ἡ μετάνοια τὴν παρρησίαν ἔχει, ἡ μετάνοια τὴν νηστείαν ἔχει, ἡ μετάνοια τὴν δικαιοσύνην κέκτηται. Ησ. μγ. κϛ. Λέγε γὰρ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς· Παροιμ. ιη. ιζ. καὶ, Δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ. Εἰδὼς οὖν ὁ Σατανᾶς, ὅτι ἡ μὲν ἁμαρτία ἔχει τὴν αἰσχύνην, πρᾶγμα ἱκανὸν ἀποκρούσασθαι τὸν ἁμαρτάνοντα· ἡ δὲ μετάνοια ἔχει τὴν παρρησίαν, πρᾶγμα ἱκανὸν ἐπισπάσασθαι τὸν μετανοοῦντα· ἐνήλλαξε τὴν τάξιν, καὶ ἔδωκε τὴν αἰσχύνην τῇ μετανοίᾳ, καὶ τὴν παρρησίαν τῇ ἁμαρτίᾳ. πόθεν τοῦτο, ἐγὼ λέγω. ἁλίσκεταί τις ὑπὸ ἐπιθυμίας χαλεπῆς πρὸς πάνδημον πόρνην; ἀκολουθεῖ τῇ πόρνῃ ὡς αἰχμάλωτος, εἰσέρχεται εἰς τὸ καταγώγιον, οὐδαμῶς αἰσχυνόμενος, οὐκ ἐρυθριῶν συμπλέκεται τῇ πόρνῃ, πράττει τὴν ἁμαρτίαν· οὐδαμοῦ αἰσχύνη αὐτῷ, οὐδαμοῦ ἐπιτιμία. ἐξέρχεται ἐκεῖθεν μετὰ τὸ τελέσαι τὴν ἁμαρτίαν, καὶ ἵνα μετανοήσῃ, αἰσχύνεται. ἄθλιε καὶ ταλαίπωρε, ὅτε περιεπλέκου τῇ πόρνῃ, οὐκ ᾐσχύνου, ἀλλ' ὅτε ἦλθες μετανοῆσαι, τότε αἰσχύνῃ; αἰσχύνεται, εἰπέ, εἰς τί; ὅτε ἐπόρνευσεν, οὐκ ᾐσχύνετο. τὸ πρᾶγμα πράττει, καὶ οὐκ αἰσχύνεται, καὶ τὸ ῥῆμα ἐρυθριᾷ; διαβόλου δέ ἐστιν αὕτη ἡ κακουργία, ἐν τῇ ἁμαρτίᾳ οὐκ ἀφίησιν αὐτὸν αἰσχύνεσθαι, ἀλλὰ δημοσιεύεσθαι (οἶδε γὰρ ὅτι ἐὰν αἰσχυνθῇ, φεύγει τὴν ἁμαρτίαν) ἐν τῇ μετανοίᾳ ποιεῖ αὐτὸν αἰσχύνεσθαι. οἶδε γὰρ ὅτι αἰσχυνόμενος οὐ μετανοεῖ. δύο κακὰ ποιεῖ, καὶ εἰς τὴν ἁμαρτίαν ἕλκει, καὶ τὴν μετάνοιαν ἐπέχει. τί αἰσχύνῃ λοιπόν; ὅτε ἐπόρνευες, οὐκ ᾐσχύνου· ὅτε τὸ φάρμακον ἐπιτίθης, αἰσχύνῃ; ὅτε ἀπαλλάττεις σαυτὸν ἁμαρτίας, αἰσχύνῃ; τότε ὤφειλες αἰσχύνεσθαι, τότε ἔδει σε αἰσχύνεσθαι, ὅτε ἡμάρτανες. ὅτε ἐγίνου ἁμαρτωλὸς οὐκ ᾐσχύνου, ὅτε γίνῃ δίκαιος, αἰσχύνῃ; Ησ. μγ. κϛ. Λέγε τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς. ὢ φιλανθρωπία δεσπότου. οὐκ εἶπεν, ἵνα κολασθῇς, ἀλλ', ἵνα δικαιωθῇς. οὐκ ἤρκει αὐτῷ, ὅτι οὐ κολάζεις αὐτόν, ἀλλὰ δίκαιον αὐτὸν ποιεῖς; καὶ πάνυ. ἀλλὰ πρόσεχε. δίκαιον αὐτὸν ποιῶ. καὶ ποῦ τοῦτο ἐποίησεν; ἐπὶ τοῦ λῃστοῦ, ἵνα εἴπῃ μόνον ἐκεῖνος, Λουκ. κγ. μα. Οὐδὲ φοβῇ σὺ τὸν Θεόν, τῷ ἑταίρῳ αὐτοῦ; καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν,

μεν, ἀπολαμβάνομεν. λέγει αὐτῷ ὁ Χριστὸς, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. οὐκ εἶπεν, ἀπαλλάττω σε κολάσεως καὶ τιμωρίας, ἀλλ' εἰς τὸν παράδεισον εἰσάγει αὐτὸν δίκαιον. εἶδες πῶς ἀπὸ ἐξομολογήσεως δίκαιος ἐγένετο; πολὺ φιλάνθρωπός ἐστιν ὁ Θεός. υἱοῦ οὐκ ἐφείσατο, ἵνα τῶν δούλων φείσηται· παρέδωκε τὸν μονογενῆ, ἵνα ἀγοράσῃ δούλους ἀγνώμονας· τὸ αἷμα τοῦ υἱοῦ αὐτοῦ τιμὴν κατέβαλεν. ὢ φιλανθρωπία δεσπότου. καὶ μή μοι λέγε, ἥμαρτον πολλὰ, καὶ πῶς δύναμαι σωθῆναι; σὺ οὐ δύνασαι, ὁ δεσπότης σου δύναται, καὶ οὕτως, ὡς " ἐξαλεῖψαι τὰ ἁμαρτήματα. πρόσεχε μετ' ἀκριβείας τῷ λόγῳ. οὕτως ἐξαλείφει ὁ Θεὸς τὰ ἁμαρτήματα, ὡς μήτε ἴχνος αὐτῶν μεῖναι. ἐπὶ μὲν γὰρ τῶν σωμάτων οὐκ ἔνι τοῦτο, ἀλλὰ κἂν μυριάκις σπουδάσῃ ὁ ἰατρὸς, κἂν φάρμακα ἐπιθῇ τῷ τραύματι, τὸ μὲν τραῦμα ἠφάνισε· καὶ πολλάκις ἐπλήγη τις εἰς τὴν ὄψιν, καὶ τὸ μὲν τραῦμα διώρθωσεν, ἡ δὲ οὐλὴ ἐναπέμεινεν, ἔλεγχον τοῦ τραύματος περιφέρουσα, τὴν ἀμορφίαν τῆς ὄψεως. κἂν φιλονεικῇ μυρία ὁ ἰατρὸς, τὴν οὐλὴν ἐξαλεῖψαι οὐ δύναται. ἀντιπίπτει γὰρ αὐτῷ ἡ ἀσθένεια τῆς φύσεως, καὶ τὸ ἀνίσχυρον τῆς τέχνης, καὶ τὸ εὐτελὲς τῶν φαρμάκων. ὁ δὲ Θεὸς, ὅταν ἐξαλείφῃ τὰ ἁμαρτήματα, οὕτως ἐξαλείφει αὐτὰ, ὡς μὴ μεῖναι οὐλὴν, ὡς μὴ μεῖναι δεῖγμα, ὡς μὴ μεῖναι ἴχνος, ἀλλὰ μετὰ τῆς ὑγιείας καὶ τὴν εὐμορφίαν χαρίζεται, μετὰ τὴν ἀπαλλαγὴν τῆς κολάσεως καὶ δικαιοσύνην δίδωσι, καὶ ποιεῖ τὸν ἡμαρτηκότα ἴσον εἶναι τῷ μὴ ἡμαρτηκότι. ἀναιρεῖ γὰρ τὸ ἁμάρτημα, καὶ ποιεῖ αὐτὸ μηδὲ εἶναι, μηδὲ γεγονέναι· οὕτω καθόλου αὐτὸ ἀναιρεῖ. οὐκ οὐλὴ, οὐκ ἴχνος, οὐκ ἔλεγχος, οὐ δεῖγμα. καὶ πόθεν δῆλον; ὃ γὰρ λέγω, τοῦτο καὶ ἀποδεῖξαι ὀφείλω, ὥστε μὴ ἀποφαίνεσθαι μόνον, ἀλλ' ἀποδεικνύναι ἀπὸ τῶν γραφῶν, ἵνα ἀσφαλὴς μείνῃ ἡ πληροφορία. εἰσάγω οὖν ὑμῖν ἀνθρώπους τετραυματισμένους, δῆμον ὁλόκληρον, ἑλκῶν γέμοντας, σηπεδόνος, σκωλήκων, ὅλον τραῦμα ὄντας, ὅλον ἕλκος· καὶ οὕτω δυναμένους θεραπευθῆναι, ὡς μὴ μεῖναι οὐλὴν, ὡς μὴ μεῖναι ἴχνος, ὡς μὴ μεῖναι δεῖγμα· οὐχ ἓν ἔχοντας τραῦμα, οὐ δύο, οὐ τρία, οὐ τέσσαρα, ἀλλ' ἀπὸ ποδῶν ἕως κεφαλῆς τραῦμα ὄντας. πρόσεχε μετ' ἀκριβείας τῷ λόγῳ. κοινὸς γὰρ ὁ λόγος οὗτος ἡμῖν καὶ σωτήριος. φάρμακα κατασκευάζω τῶν ἰατρῶν βελτίονα, οἷα οὔτε βασιλεῖς κατασκευάσαι δύνανται. βασιλεὺς τί δύναται; δεσμωτηρίου ἐκβαλεῖν, γεέννης δὲ ἐλευθερῶσαι οὐ δύναται· χρήματα χαρίσασθαι, ψυχὴν δὲ σῶσαι οὐ δύναται. ἀλλὰ τῇ χειρὶ τῆς μετανοίας ὑμᾶς ἐγχειρίζω, ἵνα μάθητε αὐτῆς τὴν δύναμιν, ἵνα μάθητε αὐτῆς τὴν ἰσχὺν, ἵνα μάθητε ὅτι οὐ περιγίνεται αὐτῆς ἁμαρτία, οὐδὲ ἔστι παρανομία ἰσχύουσα περιγενέσθαι αὐτῆς τῆς δυνάμεως. πῶς εἰσάγω οὐχ ἕνα, οὐ δύο, οὐ τρεῖς, ἀλλὰ χιλιάδας πολλὰς ἡλκωμένας, τετραυματισμένας, μυρίων ἁμαρτημάτων γεμούσας, καὶ ἀπὸ τῆς μετανοίας δυναμένας σωθῆναι, ὡς μηδὲ ἴχνος, μηδὲ οὐλὴν ἔχειν τῶν ἑλκῶν τῶν προτέρων. ἀλλὰ προσέχετε μετ' ἀκριβείας τῷ λόγῳ, καὶ μὴ προσέχετε μόνον, ἀλλὰ καὶ τῇ μνήμῃ παράδοτε τὰ λεγόμενα, ἵνα καὶ τοὺς ἀπολειφθέντας συμβιβάσητε, καὶ οὕτω τῇ ὠφελείᾳ τῶν εἰρημένων * σπουδαιοτέρους καταστήσητε. παρέστω τοίνυν Ἡσαΐας, ὁ τὰ Σεραφὶμ θεωρήσας, ὁ τὸ μυστικὸν μέλος ἀκούσας ἐκεῖνο, ὁ μυρία περὶ τοῦ Χριστοῦ προειπών· ἐρωτήσωμεν τί φησιν. Ὅρασις, ἣν εἶδεν Ἡσαΐας κατὰ τῆς Ἰουδαίας, καὶ κατὰ τῆς Ἱερουσαλήμ. εἰπὲ τὴν ὅρασιν, ἣν εἶδες. ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησεν. ἄλλα ἐπηγγείλω, καὶ ἄλλα λαλεῖς. ποῖα ἄλλα ἐπηγγειλάμην; ἀρχόμενος λέγεις, ὅρασις κατὰ τῆς Ἰουδαίας καὶ κατὰ τῆς Ἱερουσαλήμ, καὶ ἀφεὶς τὴν Ἰουδαίαν καὶ τὴν Ἱερουσαλήμ, οὐρανῷ προσδιαλέγῃ, καὶ ἐπὶ τὴν γῆν κλίνεις τὸν λόγον. ἀφεῖκας τοὺς λογικοὺς ἀνθρώπους, καὶ τοῖς ἀλόγοις στοιχείοις διαλέγῃ; ναί, φησιν. ἐπειδὴ τῶν ἀλόγων ἀλογώτεροι οἱ λογικοὶ ἐγένοντο. οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ἐπειδὴ μέλλων ὁ Μωϋσῆς εἰσάγειν αὐτοὺς εἰς τὴν γῆν τῆς ἐπαγγελίας, καὶ ἀφορῶν τὰ μέλλοντα ἔσεσθαι, ὅτι τὰ παραδεδομένα ἔμελλον παριδεῖν· Ἄκουε, οὐρανὲ, φησὶ, καὶ λαλήσω, καὶ πρόσεχε γῆ ῥήματα ἐκ στόματός μου. καὶ, Δια-

Ἡσ. α. α.

μαρτύρομαι ὑμῖν τὸν οὐρανὸν καὶ τὴν γῆν, ὅτι ἐὰν εἰσέλθητε εἰς τὴν γῆν τῆς ἐπαγγελίας, καὶ ἐγκαταλίπητε Κύριον τὸν Θεὸν, ἔχετε διασκεδασθῆναι εἰς πάντα τὰ ἔθνη. ἦλθεν Ἡσαΐας, ἔμελλεν ἡ ἀπειλὴ εἰς ἔργον ἐκφέρεσθαι. οὐκ ἠδύνατο καλέσαι Μωϋσέα τὸν ἀποθανόντα, καὶ τοὺς τότε ἀκούσαντας καὶ τελευτήσαντας· τὰ στοιχεῖα οὖν, ἅπερ διεμαρτύρατο Μωϋσῆς, ταῦτα καλεῖ. ἰδοὺ ἐξεβλήθητε τῆς ἐπαγγελίας, ὦ Ἰουδαῖοι, ἰδοὺ ἐγκατελίπετε τὸν Θεόν. πῶς σε καλέσω, Μωϋσῆ; ἀπέθανες γὰρ, καὶ ἐτελεύτησας. πῶς καλέσω τὸν Ἀαρών; κἀκεῖνος τελευτῇ παρεδόθη. οὐκ ἔχεις πῶς καλέσαι ἀνθρώπους· κάλεσον, φησὶ, τὰ στοιχεῖα. ἐκεῖ γὰρ τότε κἀγὼ ζῶν οὐχὶ τὸν Ἀαρὼν μόνον, καὶ τόνδε, καὶ τόνδε διεμαρτυράμην, ἐπειδήπερ ἔμελλον τελευτᾷν, ἀλλὰ καὶ τὰ στοιχεῖα τὰ μένοντα διαμαρτύρομαι ὑμῖν, τὸν οὐρανὸν καὶ τὴν γῆν. λέγει οὖν ὁ Ἡσαΐας, Ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, γῆ. ὑμᾶς γὰρ ἐνετείλατο Μωϋσῆς καλέσαι σήμερον. οὐ διὰ τοῦτο δὲ μόνον αὐτὰ " καλεῖ τὰ στοιχεῖα, ἀλλ' γρ. καλεῖ ἐπειδὴ " διελέγχειν τοῖς Ἰουδαίοις. ἄκουε, οὐρανέ· σὺ γὰρ τὸ μάννα κατήνεγκας. ἐνωτίζου, γρ. διαλέγεται γῆ· σὺ γὰρ τὴν ὀρτυγομήτραν ἔδωκας. ἄκουε, οὐρανέ· σὺ γὰρ τὸ μάννα κατήνεγκας, σὺ γὰρ ὑπὲρ τὴν φύσιν ἐπεδείξω. ἄνω εἶ, καὶ ἅλωνα ἐμιμήσω. ἐνωτίζου, γῆ· σὺ γὰρ κάτω εἶ, καὶ τράπεζαν ἐσχεδιασμένην παρεσκεύασας. ἤργει ἡ φύσις, καὶ εἰργάζετο ἡ χάρις. οὐδὲ βοῶν ἐργασία, καὶ ὁ στάχυς παρεσκευασμένος· οὐ μαγείρων χεῖρες, καὶ ἐπιτάγματα, ἀλλ' ἦν τὸ μάννα πάντα γινόμενον, πηγὴ ἡγιασμένη. ἡ φύσις τῆς ἰδίας ἀσθενείας ἐπελάθετο. πῶς τὰ ἱμάτια αὐτῶν οὐ κατετρίβη; πῶς τὰ ὑποδήματα αὐτῶν οὐκ ἐπαλαιώθη; πάντα ἐγίνοντο πρὸς τὴν τούτων διακονίαν. ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, γῆ. μετὰ τῶν ὑπομνημάτων καὶ τῶν εὐεργεσιῶν ἐκείνων ὑβρίζετο ὁ δεσπότης. τίνι ἐντύχω ἢ ὑμῖν; ἄνθρωπον οὐκ ἔχω τὸν ἀκούοντα. ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος, ἐλάλησα, καὶ οὐκ ἦν ὁ ἀκουσόμενος. τοῖς ἀλόγοις διαλέγομαι, ἐπειδὴ οἱ λογικοὶ εἰς ἀλόγων εὐτέλειαν κατηνέχθησαν. διὰ τοῦτο καὶ ἄλλος προφήτης βλέπει τὸν βασιλέα μαινόμενον, τὸ εἴδωλον θεραπευόμενον, τὸν Θεὸν
γ. Βασ. ιγ. β. ὑβριζόμενον, τοὺς ἄλλους ἅπαντας καταπεπληχότας, καὶ λέγει· Ἄκουσον, θυσιαστήριον, ἄκουσόν μου. λίθῳ διαλέγῃ; ναὶ, ἐπειδὴ λίθου ἀναισθητότερος ὁ βασιλεύς. ἄκουσόν μου, θυσιαστήριον, ἄκουσον· τάδε λέγει Κύριος. καὶ εὐθέως ἐσχίσθη τὸ θυσιαστήριον, καὶ ὁ λίθος ἤκουσεν· ὁ λίθος ἐρράγη, καὶ ἐξέχεε τὴν θυσίαν. πῶς οὐκ ἤκουσεν ὁ ἄνθρωπος; ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἁρπάσαι τὸν προφήτην· καὶ τί ποιεῖ ὁ Θεός; ἐξήρανεν αὐτοῦ τὴν χεῖρα. βλέπε τί ἐποίησεν, βλέπε φιλανθρωπίαν δεσπότου, καὶ ἁμαρτίαν δούλου. διὰ τί ἐξ ἀρχῆς οὐκ ἐξήρανεν αὐτοῦ τὴν χεῖρα; ἵνα τὸ πάθος τοῦ λίθου σωφρονέστερος γένηται. εἰ γὰρ μὴ ἐσχίσθη ὁ λίθος, ἐφειδόμην σου· ἐπειδὴ δὲ ἐσχίσθη ὁ λίθος, καὶ σὺ οὐ διωρθώθης, ἐπὶ σὲ φέρω τὴν ὀργήν. ἐξέτεινε τὴν χεῖρα ἁρπάσαι τὸν προφήτην, καὶ ἐξηράνθη ἡ χείρ. εἱστήκει τὸ τρόπαιον. δορυφόροι τοσοῦτοι, καὶ στρατηγοὶ, καὶ βοήθεια πολλὴ, καὶ τὴν χεῖρα αὐτοῦ συστεῖλαι οὐκ ἠδύναντο· ἀλλ' εἱστήκει ἡ χεὶρ φωνὴν ἀφιεῖσα, στηλιτεύουσα τῆς ἀσεβείας τὴν ἧτταν, καὶ τῆς εὐσεβείας τὸ τρόπαιον, τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, κἀκείνου τὴν ἀπόνοιαν. καὶ συστεῖλαι αὐτὴν οὐκ ἠδύνατο.

Ἀλλ' ἵνα μὴ λόγον ἐκ λόγου ὑφαίνοντες τῆς ὑποθέσεως ἐπιλαθώμεθα, φέρε, ἃ ἐπηγγειλάμεθα, δείξωμεν. τί δὲ ἐπηγγειλάμεθα; ὅτι εἰ μυρία τραύματά τις ἔχει, μετανοήσει δὲ, καὶ ποιήσει τὸ χρηστὸν, οὕτως αὐτὰ ἐξαλείφει ὁ Θεὸς, ὡς μηδὲ οὐλὴν, μηδὲ ἴχνος, μηδὲ δεῖγμα φαίνεσθαι τῶν προτέρων ἁμαρτημάτων. ταῦτα ὑπεσχόμην, ταῦτα ἀποδεῖξαι πειρά-
Ησ. α. β. σομαι. Ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησεν. εἰπέ μοι, τί ἐλάλησεν; υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. ἔγνω βοῦς τὸν κτησάμενον (ἀλόγων ἀλογώτεροι) καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ (ὄνων ὀνωδέστεροι) Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκε. οὐαὶ ἔθνος ἁμαρτωλόν. διὰ τί, φησιν, οὐκ ἔστι σωτηρίας ἐλπίς; οὐαὶ διὰ τί λέγεις,

λέγεις, εἰπέ μοι; ὅτι οὐχ εὑρίσκω ἴασιν. ἐπέθηκα γὰρ φάρμακα, καὶ οὐκ εἶξε τὸ ἕλκος, καὶ διὰ τοῦτο ἀπεστράφην. τί οὖν ἔχω ποιῆσαι; οὐ δύναμαι θεραπεῦσαι. οὐαί. θρηνοῦσαν γυναῖκα μιμεῖται, καὶ καλῶς ποιεῖ. παρακαλῶ προσέχετέ μοι μετ' ἀκριβείας. οὐαὶ διὰ τί λέγει; ἐπειδὴ τὸ αὐτὸ καὶ ἐπὶ τῶν σωμάτων γίνεται. ὅταν γὰρ ἴδῃ ὁ ἰατρὸς τὸν νοσοῦντα οὐκ ἔχοντα σωτηρίας ἐλπίδα, δακρύει*, καὶ οἱ οἰκεῖοι καὶ προσήκοντες ὀλοφυρόμενοι στενάζουσιν· ἀλλ' ἐκεῖ εἰκῆ καὶ μάτην. ὅταν γὰρ μέλλῃ τελευτᾷν ὁ τελευτῶν, κἂν ὁ κόσμος ὅλος θρηνήσῃ, οὐκ ἐγείρει αὐτόν. ὥστε πένθους ὁ θρῆνος, οὐ διορθώσεως. ἐπὶ δὲ τῆς ψυχῆς οὐχ οὕτως· ἀλλ' ἐὰν θρηνήσῃς, πολλάκις ἐγείρεις νεκρὰν ψυχήν. διὰ τί; ὅτι τὸ μὲν σῶμα ἀποθανὸν οὐκ ἐγείρεται δυνάμει ἀνθρωπίνῃ, ψυχὴ δὲ ἀποθανοῦσα διορθώσει ἐγείρεται. βλέπε πόρνον, καὶ θρήνησον· καὶ ἐγείρεις αὐτὸν πολλάκις. διὰ τοῦτο καὶ Παῦλος οὐκ ἔγραφε μόνον, οὐδὲ παρῄνει, ἀλλὰ καὶ ἐθρήνει, μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον. ἔστω, νουθετεῖς. τί καὶ δακρύεις; ἵνα ἐὰν μὴ ἰσχύσῃ ἡ νουθεσία, τὸ δάκρυον βοηθήσῃ. οὕτω καὶ ὁ προφήτης θρηνεῖ· καὶ ὁ δεσπότης ἡμῶν τὴν Ἱερουσαλὴμ ἰδὼν πεπτωκυῖαν, λέγει· Ἱερουσαλήμ, Ἱερουσαλήμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρός σε. ἀνακαλεῖται τὴν πόλιν πεπτωκυῖαν, καὶ μιμεῖται ἄνθρωπον θρηνοῦντα. καὶ ὁ προφήτης, Οὐαὶ ἔθνος ἁμαρτωλόν, λαὸς πλήρης ἁμαρτιῶν· μὴ ἔχει ὑγιὲς τὸ σῶμα. εἶδες αὐτοὺς ἡλκωμένους; σπέρμα πονηρόν, υἱοὶ ἄνομοι. διὰ τί θρηνεῖς, εἰπέ μοι; ἐγκατελίπετε τὸν Κύριον, καὶ παρωργίσατε τὸν ἅγιον τοῦ Ἰσραήλ. Τί ἔτι πληγῆτε, λέγει; τί ἔχω ὑμᾶς πλῆξαι λιμῷ, ἢ λοιμῷ; πᾶσα τιμωρία ἦλθε, καὶ ἡ κακία ὑμῶν οὐ κατηναλώθη. προστιθέντες ἀνομίας. πᾶσα κεφαλὴ εἰς πόνον, καὶ πᾶσα καρδία εἰς λύπην. οὐκ ἔνι τραῦμα [ἓν] οὐ μώλωψ. πράγματα καινά. πρὸ μικροῦ ἔλεγες, σπέρμα πονηρόν, υἱοὶ ἄνομοι ἐγκατελίπετε τὸν Κύριον, καὶ παρωργίσατε τὸν ἅγιον τοῦ Ἰσραήλ, καί, οὐαὶ ἔθνος ἁμαρτωλόν. θρηνεῖς, κόπτῃ, ὀδύρῃ, καταλέγεις τὰ τραύματα, καὶ ἐπανιὼν λέγεις· οὔτε τραῦμα, οὔτε μώλωψ; πρόσεχε· τραῦμα τότε γίνεται, ὅταν δὲ μηδὲν ἄλλο μέρος τοῦ σώματος ᾖ ὑγιές, ἓν δὲ μέρος τοῦ σώματος ἔχῃ τραῦμα· ἐνταῦθα δὲ λέγει, ὅτι ὅλον τραῦμά ἐστιν, ὅλον μώλωψ ἐστίν, ὅλον ἕλκος ἐστίν. ἀπὸ ποδῶν ἕως κεφαλῆς οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι, οὔτε ἔλαιον, οὔτε καταδέσμους. ἡ γῆ ὑμῶν ἔρημος, αἱ πόλεις ὑμῶν πυρίκαυστοι, τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσι. πάντα ταῦτα ἐποίησα, καὶ ὑμεῖς οὐ διωρθώθητε· πάντα ἐποίησα τὰ τῆς τέχνης, ὁ δὲ νοσερὸς μένει νεκρός. Δεῦτε, ἀκούσατε λόγον Κυρίου ἄρχοντες Σοδόμων καὶ Γομόρρας. τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; τί οὖν; Σοδομηνοῖς διαλέγεται; οὐχί, ἀλλ' Ἰουδαίους Σοδομηνοὺς καλεῖ. ἐπειδὴ τὸν τρόπον ἐμιμήσαντο, καὶ τὸ ὄνομα αὐτοῖς ἐπιτίθησι. Δεῦτε, ἀκούσατε λόγον Κυρίου ἄρχοντες Σοδόμων καὶ Γομόρρας. τί μοι τὸ πλῆθος τῶν θυσιῶν ὑμῶν, λέγει Κύριος; πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν οὐ βούλομαι. ἐὰν προσφέρητε σεμίδαλιν, μάταιον· θυμίαμα, βδέλυγμά μοί ἐστι· τὰς νεομηνίας ὑμῶν καὶ τὰ σάββατα μισεῖ ἡ ψυχή μου· νηστείαν καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι. ὅταν ἐκτείνητε τὰς χεῖρας ὑμῶν πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν. ἔνι τῆς ὀργῆς ταύτης ἴσον; ὁ προφήτης τὸν οὐρανὸν καλεῖ, θρηνεῖ, ὀλοφύρεται, ὀδύρεται, λέγει, οὐκ ἔνι τραῦμα, οὐκ ἔνι μώλωψ. ὁ Θεὸς ἄνωθεν ὀργίζεται, οὐ δέχεται θυσίαν, οὐ νεομηνίαν, οὐ σάββατα, οὐ σεμίδαλιν, οὐκ εὐχήν, οὐκ ἔκτασιν χειρῶν.. εἶδες ἕλκος; εἶδες νόσημα ἀνίατον, οὐχ ἑνός, οὐ δύο, οὐ δέκα, ἀλλὰ χιλιάδων; τί οὖν λέγει μετὰ ταῦτα; Λούσασθε, καθαροὶ γίνεσθε. μὴ ἔστιν ἁμαρτία ἔχουσα ἀπόγνωσιν; αὐτὸς λέγει ὁ Θεός, οὐκ ἀκούω ὑμῶν, καὶ λέγεις, λούσασθε; εἰς τί ἐκεῖνα λέγεις; εἰς τί ταῦτα; χρησίμως ἀμφότερα· ἐκεῖνα, ἵνα φοβήσω, ταῦτα, ἵνα ἐπισπάσωμαι. εἰ οὐκ ἀκούεις αὐτῶν, οὐκ ἔχουσιν ἐλπίδα σωτηρίας· καὶ εἰ οὐκ ἔχουσιν ἐλπίδα σωτηρίας, πῶς λέγεις, λούσασθε; ἀλλ' ὁ Θεὸς πολυφιλάνθρωπός ἐστι καὶ φιλόστοργος, καὶ μόνος ἀγαθός.

Ματθ. κγ΄. λζ΄

Ησ. α. δ.

Ησ. α. ε.

Ησ. α. ι.

Ησ. α. ιϛ.

θὸς, καὶ σπλαγχνιζόμενος ὑπὲρ πατέρα. καὶ ἵνα μάθῃς ὅτι πατήρ ἐστι, λέγει αὖθις, τί ποιήσω, Ἰούδα; οὐκ οἶδας τί ποιήσεις; οἶδα, ἀλλ' οὐ βούλομαι. ἀπαιτεῖ τῶν ἁμαρτημάτων ἡ φύσις, καὶ κατέχει τῆς φιλανθρωπίας τὸ μέγεθος. τί ποιήσω; φείσομαί σου; ἀλλὰ γίνῃ ῥαθυμότερος. ἀλλ' ἐπεξέλθω σοι; ἀλλ' οὐκ ἀνέχεταί μου ἡ φιλανθρωπία. τί σοι ποιήσω; ὡς Σόδομα θήσομαί σε, καὶ ὡς Γόμορρα καταστρέψω σε. ἐστράφη ἡ καρδία μου. ὁ ἀπαθὴς ἐμπαθῆ ἄνθρωπον μιμεῖται, μᾶλλον δὲ μητέρα φιλόστοργον. ἐστράφη ἡ καρδία μου, ὅπερ ἂν εἴποι γυνὴ παιδίῳ. ἀλλ' οὐκ ἠρκέσθη τῇ προτέρᾳ λέξει, ἀλλ', ἐταράχθην ἐν τῇ μεταμελείᾳ μου. καὶ ὁ Θεὸς ταράττεται; ἄπαγε· μὴ ἐννόει τοιοῦτον. ἀτάραχον γὰρ τὸ θεῖον. ἀλλ', ὅπερ εἶπον, μιμεῖται τὰς λέξεις ἡμῶν. ἐστράφη ἡ καρδία μου. τί δὲ μετὰ ταῦτα λέγει; λούσασθε, καθαροὶ γένεσθε, ἀφέλετε τὰς πονηρίας ὑμῶν ἀπὸ τῶν ψυχῶν ὑμῶν, μάθετε καλὸν ποιεῖν. καὶ καλὸν τί ἐπιτάττεις; Κρίνατε ὀρφανὸν, καὶ δικαιώσατε χήραν. οὐδὲ βαρέα τὰ ἐπιτάγματα, ἀλλὰ καὶ ὅσα ἡ φύσις ἐπίσταται. [ὅτι καὶ γυναικὶ ὁ ἔλεος συμφέρει.] καὶ δεῦτε, καὶ διαλεχθῶμεν. λέγει Κύριος, ποιήσατε μικρὸν, καὶ τὸ λοιπὸν ἐγὼ προστίθημι· ὀλίγον μοι δότε, καὶ τὸ ὅλον ἐγὼ χαρίζομαι. δεῦτε. καὶ ποῦ ἀπέλθωμεν; πρὸς ἐμὲ, ὃν παρωξύνατε, ὃν παρωργίσατε, πρὸς ἐμὲ τὸν εἰπόντα, οὐκ ἀκούω ὑμῶν· ἵνα φοβηθέντες τὴν ἀπειλὴν, φύγητε τὴν ὀργήν. δεῦτε πρὸς τὸν οὐκ ἀκούοντα, ἵνα ἀκούσω. καὶ τί ποιήσεις; οὐκ ἀφήσω οὐλὴν, οὐκ ἀφήσω ἴχνος, οὐκ ἀφήσω δεῖγμα. Δεῦτε, καὶ διαλεχθῶμεν, λέγει Κύριος· καί φησιν, ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ. μήπου οὐλή; μήπου ῥυτὶς καὶ μετὰ τοῦ χρώματος τῆς καθαρότητος; Καὶ ἐὰν ὦσιν ὡς κόκκινον, ὡσεὶ ἔριον λευκανῶ. μήπου μελάνωμα; μήπου σπίλος; καὶ πῶς γίνεται ταῦτα; μὴ ἄλλαι αἱ ἐπαγγελίαι; τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα. οὐ μόνον τὸ μέγεθος εἶδες τῶν ἐπαγγελθέντων, ἀλλὰ καὶ τὸ ἀξίωμα τοῦ δεδωρηκότος. τῷ γὰρ Θεῷ πάντα δυνατὰ, τῷ δυναμένῳ ποιῆσαι καθαρὸν ἀπὸ ῥύπου. τούτων τοίνυν ἀκούσαντες, καὶ τῆς μετανοίας τὸ φάρμακον εἰδότες, δόξαν ἀναπέμψωμεν τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. ἐκοίδα.

γρ. λύπη

Ησ. α. ιη.

γρ. μελανία

γρ. καθαρεῖν

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ ΚΑΙ ΕΙΣ ΤΟΥΣ ΑΠΟΛΕΙΦΘΕΝΤΑΣ ἐν ταῖς συνάξεσιν, ἐν ᾧ καὶ περὶ τῆς ἱερᾶς τραπέζης καὶ περὶ κρίσεως.

Λογ. ε.

Ὥσπερ τοῖς σπείρουσιν ὄφελος οὐδὲν, ὅταν παρὰ τὴν ὁδὸν ῥίπτωσι τὰ σπέρματα· οὕτως οὐδὲ ἡμῖν ὄφελος ἐκ τοῦ ἀκούειν ἡμᾶς χριστιανοὺς, ἐὰν μὴ καὶ τοῖς ἔργοις κατάλληλον ἔχωμεν τὴν προσηγορίαν. καὶ, εἰ βούλεσθε, παράξω ὑμῖν ἀξιόπιστον μάρτυρα τὸν ἀδελφόθεον Ἰάκωβον φάσκοντα, Η πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν. ἄρα οὖν πανταχοῦ χρεία τῆς τῶν ἔργων ἐργασίας. ταύτης γὰρ ἀπούσης, οὔτε ἡ τοῦ χριστιανοῦ προσηγορία ὠφελῆσαι ἡμᾶς δύναται. καὶ μὴ θαυμάσῃς. τί γὰρ, εἰπέ μοι, κέρδος ἔχει ὁ στρατιώτης ἐκ τοῦ στρατεύεσθαι αὐτὸν, ἐὰν μὴ ἄξιος ᾖ τῆς στρατείας, καὶ πολεμῇ ὑπὲρ τοῦ βασιλέως τρεφόμενος παρ' αὐτοῦ; τάχα δὲ, εἰ καὶ φοβερόν ἐστι τὸ λεγόμενον, ἄμεινον ἦν αὐτὸν μὴ στρατευθῆναι, ἢ στρατευθέντα ἀμελεῖν τῆς τοῦ βασιλέως τιμῆς. πῶς γὰρ οὐ τιμωρηθήσεται ὁ ἐκ τοῦ βασιλέως τρεφόμενος, ὑπὲρ δὲ τοῦ βασιλέως μὴ ἀγωνιζόμενος; καὶ τί λέγω ὑπὲρ τοῦ βασιλέως; εἴθε κἂν ὑπὲρ τῶν ἑαυτῶν ψυχῶν ἐφροντίζομεν. καὶ πῶς, φησι, δύναμαι ἐν τῷ κόσμῳ εἶναι, καὶ ἐν μέσῳ πραγμάτων, καὶ σώζεσθαι; τί λέγεις, ἄνθρωπε; βούλει συντόμως δεῖξαί με μὴ τὸν τόπον εἶναι τὸν σώζοντα, ἀλλὰ τὸν τρόπον καὶ τὴν προαίρεσιν;

Ιακ. β. ιζ. κ.

αἱρέσει; ὁ Ἀδὰμ ἐν τῷ παραδείσῳ ὡς ἐν λιμένι τὸ ναυάγιον ὑπέστη· ὁ δὲ Λὼτ ἐν τοῖς Σοδόμοις ὥσπερ ἐν πελάγει διεσώθη· ὁ Ἰὼβ ἐπὶ τῆς κοπρίας ἐδικαιώθη, ὁ δὲ Σαοὺλ ἐν τοῖς ταμείοις ὢν, τῆς βασιλείας καὶ τῆς ἐν ταύτῃ καὶ τῆς ἐκεῖ ἐξέπεσεν. οὐκ ἔστι τοίνυν ἀπολογία, τὸ λέγειν, οὐ δυνάμεθα ἐν τῷ κόσμῳ ὄντες, καὶ ἐν μέσῳ πραγμάτων, καὶ σώζεσθαι. ἀλλὰ ταῦτα πόθεν; ὅτι τὸ μὲν ἐν ταῖς προσευχαῖς, τὸ δὲ ἐν ταῖς θείαις συνάξεσιν οὐ συνεχῶς παραγίνεσθε. ἢ οὐχ ὁρᾶτε τοὺς βουλομένους ἀξιώματα λαβεῖν παρὰ τοῦ ἐπιγείου βασιλέως, πῶς προσεδρεύουσι, πῶς καὶ ἑτέρους εἰς παράκλησιν κινοῦσιν, ὅπως τοῦ ζητουμένου μὴ ἐκπέσωσι; ταῦτα πρὸς τοὺς ἀπολιμπανομένους τῶν θείων συνάξεων εἴρηται, καὶ πρὸς τοὺς ἐν τῇ τῆς φοβερᾶς καὶ μυστικῆς τραπέζης ὥρᾳ εἰς συντυχίας καὶ ματαιολογίας ἀσχολουμένους. τί ποιεῖς, ἄνθρωπε; οὐχ ὑπέσχου τῷ ἱερεῖ εἰπόντι, Ἄνω σχῶμεν ἡμῶν τὸν νοῦν καὶ τὰς καρδίας; καὶ εἶπας, Ἔχομεν πρὸς τὸν Κύριον; οὐ φοβῇ, οὐκ ἐρυθριᾷς κατ' αὐτὴν τὴν φοβερὰν ὥραν ψεύστης εὑρισκόμενος; βαβαὶ τοῦ θαύματος. τῆς τραπέζης τῆς μυστικῆς ἐξηρτισμένης, τοῦ ἀμνοῦ τοῦ Θεοῦ ὑπὲρ σοῦ σφαγιαζομένου, πυρὸς πνευματικοῦ ἐκ τῆς ἀχράντου ἀναβλύζοντος τραπέζης, τῶν χερουβὶμ παρισταμένων, καὶ τῶν σεραφὶμ ἱπταμένων, τῶν ἑξαπτερύγων τὰ πρόσωπα κατακαλυπτόντων, πασῶν τῶν ἀσωμάτων δυνάμεων μετὰ τοῦ ἱερέως ὑπὲρ σοῦ πρεσβευόντων, τοῦ πυρὸς τοῦ πνευματικοῦ κατερχομένου, τοῦ αἵματος ἐν τῷ κρατῆρι εἰς σὴν κάθαρσιν ἐκ τῆς ἀχράντου πλευρᾶς κενουμένου, οὐ φοβῇ, οὐκ ἐρυθριᾷς καὶ κατὰ ταύτην τὴν φοβερὰν ὥραν ψεύστης εὑρισκόμενος; ἑκατὸν ἑξηκονταοκτὼ ὥρας ἐχούσης τῆς ἑβδομάδος, μίαν καὶ μόνην ὥραν ἀφώρισεν ἑαυτῷ ὁ Θεός· καὶ ταῦτα εἰς πράγματα βιωτικὰ καὶ εἰς γελοῖα καὶ εἰς συντυχίας ἀναλίσκεις; μετὰ ποίας λοιπὸν παρρησίας τοῖς μυστηρίοις προσέρχῃ; μετὰ ποίου συνειδότος μεμολυσμένου; ἆρα εἰ ἐβάσταζες κόπρον ἐν ταῖς χερσί σου, ἐτόλμας προσψαῦσαι τοῦ κρασπέδου τοῦ ἐπιγείου βασιλέως; οὐδαμῶς. μὴ ὅτι ἄρτος ἐστὶν ἴδῃς, μηδ' ὅτι οἶνός ἐστι νομίσῃς. οὐ γὰρ ὡς αἱ λοιπαὶ βρώσεις εἰς ἀφεδρῶνα χωρεῖ. ἄπαγε, μὴ τοῦτο νόει. ἀλλ' ὥσπερ κηρὸς πυρὶ προσομιλήσας οὐδὲν ἀπουσιάζει, οὐδὲν περισσεύει· οὕτω καὶ ὧδε νόμιζε συναναλίσκεσθαι τὰ μυστήρια τῇ τοῦ σώματος οὐσίᾳ. διὸ καὶ προσερχόμενοι, μὴ ὡς ἐξ ἀνθρώπου νομίσητε μεταλαμβάνειν τοῦ θείου σώματος, ἀλλ' ὡς ἐξ αὐτῶν τῶν σεραφὶμ τῇ λαβίδι τοῦ πυρὸς, ἥνπερ Ἡσαΐας εἶδε, τοῦ θείου σώματος νομίζετε, καὶ ὡς τῆς θείας καὶ ἀχράντου πλευρᾶς ἐφαπτόμενοι τοῖς χείλεσιν, οὕτω τοῦ σωτηρίου αἵματος μεταλάβωμεν. τοιγαροῦν, ἀδελφοί, τῶν ἐκκλησιῶν μὴ ἀπολειπώμεθα, μήτε πάλιν ἐν αὐταῖς συντυχίαις ἑαυτοὺς ἀσχολῶμεν· στῶμεν ἔμφοβοι καὶ ἔντρομοι, κάτω νεύοντες τὸ ὄμμα, ἄνω δὲ τὴν ψυχήν. στενάζωμεν τῇ καρδίᾳ, καὶ ἀφώνως ἀλαλάζωμεν. ἢ οὐχ ὁρᾶτε τοὺς τῷ αἰσθητῷ, καὶ φθαρτῷ, καὶ προσκαίρῳ, καὶ ἐπιγείῳ βασιλεῖ παρισταμένους, πῶς εἰσὶν ἀμετακίνητοι, μὴ φθεγγόμενοι, μὴ σειόμενοι, μὴ τοὺς ὀφθαλμοὺς ὧδε κἀκεῖσε πέμποντες, ἀλλὰ στυγνοί, κατηφεῖς, ἔμφοβοι; ἐξ αὐτῶν, ὦ ἄνθρωποι, τὸν ἔλεγχον λάβε, καὶ οὕτω παρακαλῶ παρίστασθαι ὑμᾶς τῷ Θεῷ. ὥσπερ εἰσερχόμενοι ἐνώπιον τοῦ ἐπιγείου βασιλέως τυγχάνετε, πολλῷ μᾶλλον τῷ ἐπουρανίῳ βασιλεῖ μετὰ φόβου παρίστασθαι χρή. ταῦτα πολλάκις λέγω, ἕως οὗ διορθωθέντας ἴδω. εἰσερχόμενοι δὲ εἰς τὴν ἐκκλησίαν, ὡς Θεῷ ἀρέσκει εἰσέλθωμεν, μὴ μνησικακίαν ἐν τῇ ψυχῇ ἔχοντες, μήπως εὐχόμενοι, καθ' ἑαυτῶν εὐχώμεθα, λέγοντες· Ἄφες ἡμῖν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. φοβερὸν γάρ ἐστι τὸ λεγόμενον, καὶ σχεδὸν εἰπεῖν, τοιοῦτο πρὸς τὸν Θεὸν βοᾷ ὁ τοῦτο λέγων· ἀφῆκα, δέσποτα, ἄφες· ἔλυσα, λῦσον· συνεχώρησα, συγχώρησον· εἰ ἐκράτησα, κράτησον· εἰ μὴ ἔλυσα τῷ πλησίον, μηδὲ σὺ λύσῃς τὰ ἐμὰ ἁμαρτήματα· ἐν ᾧ μέτρῳ ἐμέτρησα, ἀντιμετρηθήτω μοι. ταῦτα εἰδότες, καὶ τὴν φοβερὰν ἡμέραν ἐκείνην ἐνθυμηθέντες, καὶ τὸ πῦρ ἐκεῖνο, καὶ τὰ φοβερὰ κολαστήρια εἰς νοῦν λαβόντες, ἐπιστρέψωμεν λοιπὸν ἐκ τῆς πεπλανημένης ὁδοῦ ἡμῶν. ἐλεύσεται

Ἡσ. ϛ. ϛ.

γὰρ ὥρα ὅταν τὸ θέατρον τοῦ κόσμου τούτου διαλυθήσεται, καὶ οὕτως οὐκ ἔστι λοιπὸν ἀγωνίζεσθαι· οὐκ ἔστι μετὰ τὴν πρόοδον τοῦ βίου πραγματεύσασθαι, οὐκ ἔστι μετὰ τὴν τοῦ θεάτρου ἀπόλυσιν στεφανωθῆναι. οὗτος ὁ καιρὸς μετανοίας, ἐκεῖνος κρίσεως· οὗτος ὁ καιρὸς τῶν ἀγώνων, ἐκεῖνος τῶν στεφάνων· οὗτος κόπου, ἐκεῖνος ἀνέσεως· οὗτος καμάτου, ἐκεῖνος ἀνταποδόσεως. διεγέρθητε, παρακαλῶ, διεγέρθητε, καὶ τῶν λεγομένων προθύμως ἀκούσωμεν. ἐζήσαμεν τῇ σαρκί, ζήσωμεν λοιπὸν καὶ τῷ πνεύματι. ἐζήσαμεν ταῖς ἡδοναῖς, ζήσωμεν λοιπὸν καὶ ταῖς ἀρεταῖς. ἐζήσαμεν τῇ ἀμελείᾳ, ζήσωμεν καὶ τῇ μετανοίᾳ. τί ὑπερηφανεύεται γῆ καὶ σποδός; τί φυσιοῦσαι, ὦ ἄνθρωπε; τί μεγαλαυχεῖς σεαυτόν; τί ἐλπίζεις ἐκ τῆς τοῦ κόσμου δόξης καὶ τοῦ πλούτου; ἀπέλθωμεν ἐπὶ τοὺς τάφους, παρακαλῶ, καὶ ἴδωμεν τὰ ἐκεῖσε μυστήρια· ἴδωμεν τὴν φύσιν διεσπαραγμένην, ὀστᾶ βεβρωμένα, σώματα σεσηπότα. κἂν σοφὸς ᾖς, ἐπίσκεψαι, κἂν φρόνιμος, εἰπέ μοι, τίς ἐκεῖ ὁ βασιλεύς, καὶ τίς ὁ ἰδιώτης, τίς ὁ εὐγενής, καὶ τίς ὁ δοῦλος, τίς ὁ σοφός, καὶ τίς ὁ ἄσοφος. ποῦ τὸ κάλλος ἐκεῖ τὸ τῆς νεότητος; ποῦ ἡ περιχαρὴς ὄψις; ποῦ οἱ ὀφθαλμοὶ οἱ εὐειδεῖς; ποῦ ἡ εὔθετος ῥίς; ποῦ τὰ πυρίζοντα χείλη; ποῦ τὰ κάλλη τῶν παρειῶν; ποῦ τὸ ἀποστίλβον μέτωπον; οὐ πάντα κόνις; οὐ πάντα τέφρα; οὐ πάντα σποδός; οὐ πάντα σκώληξ, καὶ δυσωδία; οὐ πάντα βρῶμος; ταῦτα ἐννοοῦντες, ἀδελφοί, καὶ τῆς ἐσχάτης ἡμῶν ἡμέρας ἐνθυμηθέντες, ὡς καιρὸν ἔχομεν, ἐπιστρέψωμεν ἐκ τῆς πεπλανημένης ὁδοῦ ἡμῶν. αἵματι τιμίῳ ἠγοράσθημεν. διὰ τοῦτο ὁ Θεὸς ἐπὶ γῆς ὤφθη· διὰ σέ, ὦ ἄνθρωπε, Θεὸς ἐπὶ γῆς ὤφθη, μὴ ἔχων ποῦ τὴν κεφαλὴν κλῖναι. βαβαὶ τοῦ θαύματος. ὁ κριτὴς διὰ τοὺς κατακρίτους εἰς κριτήριον ἔρχεται· ἡ ζωὴ θανάτου γεύεται· ὁ πλάστης ὑπὸ τοῦ πλάσματος ῥαπίζεται· ὁ τοῖς σεραφεὶμ ἀθεώρητος, ὑπὸ τοῦ δούλου ἐμπτύεται, ὄξους καὶ χολῆς γεύεται, λόγχῃ κεντᾶται, τάφῳ κατατίθεται· καὶ σὺ ἀμελεῖς, εἰπέ μοι, καὶ καθεύδεις, καὶ καταφρονεῖς, ἄνθρωπε; οὐκ οἶδας, ὅτι καὶ τὸ ἴδιον αἷμα ἐὰν ἐκχέῃς ὑπὲρ αὐτοῦ, οὐδὲ οὕτω τὸ δέον ἐπλήρωσας; ἐπειδὴ γὰρ ἄλλο αἷμα δεσποτικόν, καὶ ἄλλο αἷμα δουλικόν. προλάβε τῇ μετανοίᾳ τὴν ἔξοδον τῆς ψυχῆς, μήποτε θανάτου ἐπελθόντος, ἀργήσῃ πᾶσα τῆς μετανοίας ἡ θεραπεία, ὅτι ἐπὶ τῆς γῆς ἡ μετάνοια ἰσχύει, καὶ μόνον, ἐν δὲ τῷ ᾅδῃ τοῦτο οὐκ ἔστι. ζητήσωμεν τὸν Κύριον, ὡς καιρὸν ἔχομεν ἐργασώμεθα τὸ ἀγαθόν, ἵνα καὶ τῆς παρούσης ζωῆς ἀπολαύσωμεν, καὶ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. η.κ.

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ ΚΑΙ ΕΛΕΗΜΟΣΥΝΗΣ. Λογ. ϛ.

ΑΡα οἴδατε πόθεν ἡμῖν ὁ λόγος πρῴην ἤρξατο, ἢ ποῦ κατέληξε; πόθεν ἠρξάμεθα, ἢ ποῦ ἐπαυσάμεθα; ἢ ἐκ ποίας ὑποθέσεως εἰς ποίαν ἔληξε τὰ τῆς προτέρας ὁμιλίας ῥήματα; ἀλλ' ὑμᾶς μὲν νομίζω ἐπιλελῆσθαι, ἐγὼ δὲ οἶδα. καὶ οὐκ αἰτιῶμαι ὑμᾶς ἐν τούτῳ, οὐδὲ κατηγορῶ. ἕκαστος γὰρ ὑμῶν γυναῖκα ἔχει, καὶ παίδων ἀντέχεται, καὶ οἴκου φροντίζει. οἱ μὲν καὶ ἐν στρατείᾳ ἀσχολοῦνται, ἄλλοι δὲ χειροτέχναι εἰσί, καὶ εἰς διαφόρους χρείας ἕκαστος ὑμῶν ἀσχολεῖται· ἡμεῖς δὲ ἐν τούτοις στρεφόμεθα, καὶ ἐν τούτοις μελετῶμεν, καὶ τὸν χρόνον ἐν τούτοις τὸν ἡμέτερον διατρίβομεν. ὥστε οὐ μεμπτέοι ἐν τούτῳ ὑμεῖς, ἀλλ' ἐπαινετέοι ἐν τῇ σπουδῇ, ὅτι οὐδεμίαν ἡμέραν τῆς ἐκκλησίας ἀπολιμπάνεσθε, ἀλλὰ πάντων καταφρονοῦντες, εἰς ἐκκλησίαν ἀπαντᾶτε. τοῦτο γάρ ἐστι μέγιστον ἐγκώμιον τῆς ἡμετέρας πόλεως, οὐ τὸ θόρυβον ἔχειν καὶ ἀγορὰς καὶ προάστεια, ἀλλὰ τὸ δῆμον ἔχειν σπουδαῖον οὕτω καὶ διεγηγερμένον. οὐ γὰρ ἐκ τῶν φύλλων τὴν εὐγένειαν τοῦ δένδρου ἐπιζητοῦμεν, ἀλλ' ἐκ τοῦ καρποῦ τὸ δένδρον ἐπιγινώσκομεν. διὰ τοῦτο γὰρ προτετιμήμεθα

μεθα τῶν ἀλόγων ζώων ἐν τῷ λόγον ἔχειν καὶ λόγου μεταλαμβάνειν καὶ λόγου ἐρᾷν. ἄνθρωπος γὰρ μὴ ἐρῶν λόγου, πολὺ ἀλογώτερος τῶν κτηνῶν ἐστι, μὴ εἰδὼς διὰ τί ἐτιμήθη, καὶ πόθεν ἔχει τὴν τιμήν. καὶ καλῶς ἔλεγεν ὁ προφήτης, Παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. ἄνθρωπος λογικὸς ὢν λόγου οὐκ ἐρᾷ, εἰπέ μοι; καὶ ποίαν ἔχει συγγνώμην; ὥστε ὑμεῖς πάντων ἐμοὶ ἀναγκαιότεροι, τὸ πρὸς τῶν λόγων τῆς ἀρετῆς ἀναπτερούμενοι, καὶ πάντα τῶν θείων λογίων δεύτερα τιθέντες. φέρε οὖν καὶ ἡμεῖς τῆς ὑποθέσεως ἁψώμεθα, καὶ τῶν πρώην ῥηθέντων τὰ ἀκόλουθα εἴπωμεν. χρεωστῶ γάρ ὑμῖν, καὶ ἡδέως καταβάλλω τὸ χρέος. οὐ γὰρ πενίαν μοι φέρει, ἀλλὰ πλοῦτον συνάγει. ἐπὶ γὰρ τῶν ἔξωθεν πραγμάτων, οἱ χρεωσταὶ φεύγουσι τοὺς δανείσαντας πρὸς τὸ μὴ ἀποδοῦναι· ἐγὼ δὲ καταδιώκω πρὸς τὸ ἀποδοῦναι. καὶ μάλα εἰκότως. ἐπὶ γὰρ τῶν ἔξω πραγμάτων ἡ ἀπόδοσις πενίαν ἐργάζεται· ἐπὶ δὲ τοῦ λόγου, ἡ ἀπόδοσις πλοῦτον γεννᾷ. οἷον τί λέγω· χρήματα χρεωστῶ τινι. ταῦτα ἐὰν καταβάλλω, οὐ δύνανται καὶ παρ' ἐκείνῳ εἶναι καὶ παρ' ἐμοί· ἀλλ' ἀπ' ἐμοῦ μὲν ἀνεχώρησαν, ἐκείνῳ δὲ προσεκολλήθησαν. λόγον δὲ ἐὰν καταβάλλω, καὶ μετ' ἐμοῦ ἐστι, καὶ πάντες αὐτὸν ἔχετε. ἐὰν κατάσχω τὸν λόγον καὶ μὴ ἀποδῶ, τότε πένης εἰμί· ὅταν δὲ καταβάλλω, τότε εὔπορος γίνομαι. ἐὰν μὴ καταβάλλω τὸν λόγον, μόνος πλουτῶ· ἐὰν δὲ καταβάλλω, μετὰ πάντων ὑμῶν τὸν καρπὸν ἀποφέρομαι. φέρε οὖν ἀποδῶ τὸ χρέος. τί δὲ ἦν τοῦτο; περὶ μετανοίας λόγον ἐγυμνάζομεν πρώην, καὶ ἐλέγομεν, ὅτι πολλαὶ καὶ ποικίλαι αἱ ὁδοὶ τῆς μετανοίας, ἵνα εὔκολος ἡμῖν γένηται ἡ σωτηρία. εἰ γὰρ ἡμῖν μίαν ὁδὸν ἔδωκεν ὁ Θεὸς μετανοίας, ἀνεβαλλόμεθα ἂν λέγοντες, οὐ δυνάμεθα ταύτην μετελθεῖν καὶ σωθῆναι· νῦν δὲ ἐκκόπτων σου τὴν πρόφασιν ταύτην, οὐ μίαν ἔδωκεν, οὐδὲ δευτέραν μόνον, οὐδὲ τρίτην, ἀλλὰ πολλὰς καὶ διαφόρους, ἵνα τῷ πλήθει εὔκολόν σοι ποιήσῃ τὴν ἀνάβασιν τὴν εἰς τὸν οὐρανόν. ἐλέγομεν ὅτι εὔκολος ἡ μετάνοια, καὶ οὐδὲν βάρος ἐν αὐτῇ. ἁμαρτωλὸς εἶ; εἴσελθε εἰς τὴν ἐκκλησίαν, καὶ εἰπὲ, ὅτι ἥμαρτον, καὶ ἔλυσας τὴν ἁμαρτίαν. καὶ παρηγάγομεν ἐπὶ τοῦ προτέρου λόγου τὸν Δαβὶδ ἡμαρτηκότα, καὶ λύσαντα τὴν ἁμαρτίαν. εἶτα δευτέραν σοι ὁδὸν προσεθέμεθα, τὸ πενθῆσαι ἐπὶ τῇ ἁμαρτίᾳ, καὶ ἐλέγομεν ποῖος κάματος ἐστί. οὐκ ἔνι χρήματα καταβαλεῖν, οὔτε πολλὴν ὁδὸν πεζεῦσαι, οὔτε ἄλλο τι τοιοῦτον, ἀλλὰ πενθῆσαι μόνον ἐπὶ τῇ ἁμαρτίᾳ, καὶ ἔλυσας τὴν ἁμαρτίαν. καὶ παρηγάγομεν ἀπὸ τῆς γραφῆς τοῦτο, ὅτι ὁ Θεὸς μετεμελήθη ἐπὶ τῷ Ἀχαὰβ διὰ τὸ πενθῆσαι αὐτὸν καὶ σκυθρωπάσαι. καὶ τοῦτο αὐτὸς ἔλεγε τῷ Ἡλίᾳ· Εἶδες πῶς ἐπορεύθη ὁ Ἀχαὰβ ἐνώπιόν μου πενθῶν καὶ σκυθρωπάζων; οὐ μὴ ποιήσω κατὰ τὴν ὀργήν μου, ἣν εἶπον. εἶτα καὶ τρίτην ὁδὸν ὑπεδείξαμεν μετανοίας, καὶ παρηγάγομεν ἀπὸ τῆς γραφῆς εἰς μέσον τὸν Φαρισαῖον καὶ τὸν τελώνην, ὅτι ὁ μὲν Φαρισαῖος ὑπερήφανος ὢν καὶ ἀλαζονευόμενος, τῆς δικαιοσύνης ἐξέπεσεν, ὁ δὲ τελώνης ταπεινοφρονήσας, ἔγκαρπος δικαιοσύνης κατέστη, καὶ οὔτε ἕνα κάματον ἀναλώσας, δίκαιος ἐγένετο. ῥήματα ἔδωκε, καὶ πράγματα ἔλαβε. Φέρε οὖν ἐπὶ τὴν ἀκολουθίαν ἔλθωμεν, καὶ τετάρτην ὁδὸν μετανοίας εἴπωμεν. ποίαν δὴ ταύτην; τὴν ἐλεημοσύνην, τὴν βασιλίδα τῶν ἀρετῶν, τὴν ταχὺ ἀνοίγουσαν τὰς ἁψῖδας τῶν οὐρανῶν τοῖς ἀνθρώποις, τὴν συνήγορον τὴν ἀρίστην. μέγα πρᾶγμα ἐλεημοσύνη. διὰ τοῦτο καὶ Σολομὼν ἐβόα, Μέγα ἄνθρωπος, καὶ τίμιον ἀνὴρ ἐλεήμων. μεγάλα πτερὰ τῆς ἐλεημοσύνης· τέμνει τὸν ἀέρα, παρέρχεται τὴν σελήνην, ὑπερβαίνει τὰς ἀκτῖνας τοῦ ἡλίου, εἰς αὐτὰς ἀνέρχεται τὰς ἁψῖδας τῶν οὐρανῶν, * παρέρχεται τοὺς δήμους τῶν ἀγγέλων, παρέρχεται τοὺς χοροὺς τῶν ἀρχαγγέλων, καὶ τὰς ἀνωτέρας πάσας δυνάμεις, καὶ αὐτῷ παρίσταται τῷ θρόνῳ τῷ βασιλικῷ. καὶ ἐξ αὐτῆς διδάχθητι τῆς γραφῆς τοῦτο. φησὶ γὰρ, Κορνήλιε, αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ. τὸ δὲ, ἐνώπιον Θεοῦ, τοῦτό ἐστι· κἂν πολλὰς ἔχῃς ἁμαρτίας, ἐλεημοσύνην δὲ

Ψαλ. μη. β.

3. Βασ. κα. κθ.

Πραξ. ι. δ.

ἔχῃς μετὰ σοῦ συνήγορον, μὴ φοβοῦ. οὐδεὶς γὰρ αὐτῇ τῶν ἄνω δυνάμεων ἀντιστήσεται.
Δαν δ. κδ. Ἔλεος κατακαυχᾶται κρίσεως· καὶ, Τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι· καὶ, Ἐφ'
Ματθ. κε μ. ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου ἐλαχίστων, ἐμοὶ ἐποίησας. καὶ πολλὰ ἕτερα ἔστιν
εὑρεῖν ἐπὶ τῆς ἐλεημοσύνης ἐγγεγραμμένα, καθὼς λέγει ἡ γραφή. χρέος γὰρ ἀπαιτεῖ ἴδιον,
Παροιμ. ιθ. ιζ. χειρόγραφον βαστάζουσα τὸ ἅγιον εὐαγγέλιον. αὐτοῦ γὰρ ἐστὶ τοῦ δεσπότου φωνὴ, ὅτι Ὁ ἐλεῶν
πτωχὸν ἐμοὶ δανείζει. ὥστε οὖν ὅσας ἐὰν ἔχῃς ἁμαρτίας, ἡ ἐλεημοσύνη " βαρεῖ πάσας. ἢ
οὐκ οἶδας ἐν τῷ εὐαγγελίῳ τῶν δέκα παρθένων τὸ ὑπόδειγμα; πῶς αἱ μὴ ἔχουσαι ἐλεημοσύνην,
Ματθ. κε. α. παρθενίαν δὲ ἀσκήσασαι, ἔξωθεν ἔμειναν τοῦ νυμφῶνος; Ἦσαν γὰρ, φησὶ, δέκα παρθένοι,
πέντε μωραὶ, καὶ πέντε φρόνιμοι· αἱ φρόνιμοι εἶχον τὸ ἔλαιον, αἱ δὲ μωραὶ οὐκ εἶχον ἔλαιον· ἐσβέννυντο
δὲ αἱ λαμπάδες αὐτῶν. προσελθοῦσαι δὲ αἱ μωραὶ ταῖς φρονίμοις εἶπον· δότε ἡμῖν ἔλαιον
ἐκ τῶν ἀγγείων ὑμῶν. αἰσχύνομαι, καὶ ἐρυθριῶ, καὶ δακρύω ὅταν παρθένους μωρὰς ἀκούω. ἐρυθριῶ
τοῦτο ἀκούων τὸ ὄνομα· μετὰ τοσαύτην ἀρετὴν, μετὰ παρθενίας ἄσκησιν, μετὰ τὸ ἀναπτερῶσαι
πρὸς οὐρανὸν τὰ σώματα, μετὰ τὸ πρὸς τὰς ἄνω δυνάμεις τὴν ἅμιλλαν ἔχειν, καὶ τὸν καύσωνα
ὑπομεῖναι, μετὰ τὸ τὴν κάμινον τῆς ἡδονῆς καταπατῆσαι, τότε μωραὶ ἤκουσαν· καὶ δικαίως μωραὶ, ὅτι
Ματθ κε. η. τὸ μέγα ποιήσασαι πρᾶγμα, ὑπὸ τοῦ μικροῦ ἡττήθησαν. Καὶ προσελθοῦσαι, φησὶν, αἱ μωραὶ, καὶ
εἶπον ταῖς φρονίμοις, δότε ἡμῖν ἔλαιον ἐκ τῶν ἀγγείων ὑμῶν. αἱ δὲ εἶπον, οὐ δυνάμεθα δοῦναι
ὑμῖν, μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν. [ἀλλ'] οὐ δι' ἀσπλαγχνίαν τοῦτο ποιοῦσιν, ἀλλὰ διὰ τὸ στενὸν τοῦ
καιροῦ. ἔμελλε γὰρ ὁ νυμφίος εἰσέρχεσθαι, ἐκεῖναι δὲ ἔλαιον εἶχον, αὗται δὲ οὐκ εἶχον. τὸ γὰρ πῦρ
ἐστὶν, ἡ παρθενία· τὸ δὲ ἔλαιον, ἡ ἐλεημοσύνη. ὥσπερ οὖν τὸ πῦρ, ἐὰν μὴ ἔχῃ ἔλαιον ἐπιστάζον,
ἀφανίζεται, οὕτως ἡ παρθενία, ἐὰν μὴ ἔχῃ ἐλεημοσύνην, σβέννυται. δότε ἡμῖν ἔλαιον ἐκ τῶν ἀγγείων
ὑμῶν. αἱ δὲ εἶπον πρὸς αὐτάς· οὐ δυνάμεθα δοῦναι ὑμῖν. ἀλλ' οὐ κακίας τὸ ῥῆμα τοῦτο,
ἀλλὰ φόβου. μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν· μήπως ὅλαι ζητοῦσαι εἰσελθεῖν, ὅλαι
Ματθ κε. θ. ἀπομείνωμεν. Ἀλλ' ἀπελθοῦσαι ἀγοράσατε παρὰ τῶν πωλούντων. τίνες δὲ οἱ
ἔμποροι τοῦ ἐλαίου τούτου; δῆλον ὅτι οἱ πένητες, οἱ πρὸς τὴν ἐλεημοσύνην καθήμενοι*.
καὶ πόσον; ὅσον θέλεις, ὅσον ἰσχύεις. οὐχ ὅσον θέλει ἐκεῖνος, ἀλλ' ὅσον ἰσχύεις σύ. τιμὴν οὐκ
ἐπιτίθημι, ἵνα μή μοι πενίαν προβάλλῃ· ὅσου ἔχεις ὀβολοῦ, ἀγόρασον τὸν οὐρανόν. οὐχ
ὅτι εὔωνος ὁ οὐρανὸς, ἀλλ' ὅτι φιλάνθρωπος ὁ δεσπότης. οὐκ ἔχεις χρυσίον δοῦναι; δὸς ἀργύριον,
δὸς ὀβολὸν, δὸς ποτήριον ψυχροῦ ὕδατος. τὸ γὰρ πολὺ, καὶ τὸ ὀλίγον, οὐ τῷ μέτρῳ
τῶν διδομένων ὁ Θεὸς ὁρίζει, ἀλλὰ τῇ δυνάμει τῆς οὐσίας τοῦ διδόντος. οὐκ ἔχεις ποτήριον
Ματθ. ι μβ. ψυχροῦ ὕδατος; κἂν στέναξον ἰδὼν τὸν πένητα, καὶ δέδεκταί σου ἡ δέησις. Ἐὰν γάρ τις ἐλεήσῃ
ἕνα τούτων τῶν ἐλαχίστων ἕνεκεν ἐμοῦ, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ. ἐμπορεία καὶ πραγματεία
ὁ οὐρανὸς, καὶ ἡμεῖς ἀμελοῦμεν. δὸς ἄρτον, καὶ λάβε παράδεισον· μικρὰ δὸς, καὶ λάβε
μεγάλα· θνητὰ δὸς, καὶ λάβε ἀθάνατα· φθαρτὰ δὸς, καὶ λάμβανε ἄφθαρτα. Εἰ ἦν
πανήγυρις, εἰπέ μοι, " ἐμπορείαν ἔχουσα ἀφθονίας, καὶ τὰ πολλὰ ὀλίγου πιπράσκουσα,
οὐκ ἂν τὰς οὐσίας ἅπαντες " διαπωλήσαντες, καὶ πάντα δεύτερα θέντες τῆς πραγματείας
ἐκείνης, " περικρατεῖς γλίχεσθαι ἐσπουδάσαμεν; καὶ ὅπου μὲν φθαρτὰ, τοσαύτην ἐνδεικνύμεθα
σπουδήν· ὅπου δὲ πραγματεία ἀθάνατος, οὕτω ῥαθυμεῖτε καὶ ἀναπεπτώκατε; δὸς πένητι,
ἵνα σὺ σιωπᾷς ἐκεῖθεν, καὶ μυρία στόματα ὑπὲρ σοῦ ἀπολογῶνται, αὐτῆς τῆς ἐλεημοσύνης
ἑστώσης καὶ συνηγορούσης. λύτρον γὰρ ἐστὶ ψυχῆς ἡ ἐλεημοσύνη. διὰ τοῦτο, ὥσπερ οἱ
λουτῆρες ὕδατος πεπληρωμένοι ἑστήκασι πρὸ τῶν θυρῶν τῆς ἐκκλησίας, ἵνα νίψῃς τὰς χεῖράς
σου, οὕτω τῆς ἐκκλησίας ἔξω καθέζονται οἱ πένητες, ἵνα πλύνῃς τὰς χεῖρας τῆς ψυχῆς
σου. ἔπλυνας τὰς χεῖρας τὰς αἰσθητὰς τῷ ὕδατι; πλῦνον καὶ τὰς χεῖρας τῆς ψυχῆς τῇ ἐλεημοσύνῃ.
γ. Βασ. ιζ. μὴ πενίαν προβάλλου. ἡ χήρα ἐκείνη ἐν τῷ ἐσχάτῳ τῆς πενίας τὸν Ἠλίαν ἐξένισε,
καὶ ἡ πενία κώλυμα οὐκ ἐγένετο, ἀλλὰ μετὰ πολλῆς αἰδοῦς τῆς χήρας ὑπεδέξατο· διὸ καὶ
ἀξίως

ἀξίως ἀπέλαβε τοὺς καρποὺς τῆς δικαιοσύνης, καὶ ἔθελέ σε τὴν ἀσχολίαν τῆς ἐλεημοσύνης. ἀλλ' ἴσως ἐρεῖ ὁ ἀκροατής, δός μοι τοιοῦτον ἄνθρωπον ὡς τὸν Ἠλίαν τὸν προφήτην, καὶ δίδωμι. ἄθλιε καὶ ταλαίπωρε, τὸν δεσπότην σοι δίδωμι τοῦ Ἠλία, καὶ οὐ τρέφεις αὐτόν; τὸν Ἠλίαν εἰ εὗρες, πῶς ἂν ἐξένισας αὐτόν; οὐκ ἤκουσας τοῦ Χριστοῦ λέγοντος, Ὃς ἂν ποιήσῃ ἑνὶ τούτων * τῶν ἐλαχίστων, ἐμοὶ ἐποίησεν; εἰ βασιλεὺς ἕνα τινὰ ἐκάλεσεν ἐπὶ τοῦ δείπνου, καὶ τῶν θεραπόντων παρεστηκότων εἶπε πρὸς αὐτούς, δορυφορήσατε τοῦτον ἀντὶ ἐμοῦ, οὗτός με ἐν πενίᾳ ὄντα διέθρεψεν, οὗτός μοι πολλὰς εὐεργεσίας ἐν καιρῷ ξενοδοχείας παρέσχε· πῶς οὐκ ἂν ἕκαστος ἑαυτὸν ἐφιλοφρόνησε πρὸς ″ τὸν πένητα; πῶς οὐχὶ ἕκαστος ″ ἑαυτὸν ἐσπούδασεν αὐτῷ ″ παρακαθῆσθαι, καὶ φιλιωθῆναι; εἰ δὲ ἐπὶ βασιλέως ἀνθρωπίνου τοσαύτην τιμὴν ἔχει τὸ πρᾶγμα, ἐννόησον τὸν Χριστὸν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καλοῦντα ἐπὶ ἀγγέλων καὶ πάσης δυνάμεως καὶ λέγοντα· οὗτός με ἐν τῇ γῇ ἐξένισεν, οὗτος μυρία εὐεργέτησεν, οὗτος ξένον ὄντα συνήγαγεν. ἐννόησον λοιπὸν παρρησίαν τὴν ἐπὶ τῶν ἀγγέλων, τὸ καύχημα τὸ ἐπὶ τῶν δήμων τῶν ἄνω, πόσην ἂν ἔχῃ παρρησίαν ὁ μαρτυρούμενος ὑπὸ τοῦ Χριστοῦ; μέγα οὖν πρᾶγμα ἡ ἐλεημοσύνη, ἀδελφοί. ταύτην ἀσπασώμεθα ἧς οὐδὲν ἴσον. ἰσχυρή ἐστι καὶ ἄλλας ἁμαρτίας ἐξαλεῖψαι καὶ ″ τῆς κρίσεως ἀπελάσαι. σοῦ σιωπῶντος ἕστηκε καὶ συνηγορεῖ· μᾶλλον δέ σου σιωπῶντος μυρία στόματα εὐχαριστεῖ πενήτων ὑπὲρ σοῦ *. τοιαῦτα ἀγαθὰ ἐκ τῆς ἐλεημοσύνης, καὶ ἡμεῖς ἀμελοῦμεν καὶ ἀναπεπτώκαμεν; δὸς ὅσον ἰσχύεις κατὰ δύναμιν, δὸς ἄρτον, δὸς ὀβολόν, δὸς ποτήριον ψυχροῦ ὕδατος κατὰ προαίρεσιν, καὶ ἕξεις μισθὸν ἐν οὐρανοῖς. οὐ γὰρ τῆς ἀνάγκης ὁ μισθός, τῆς προαιρέσεως δέ. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. Δότε ἡμῖν ἔλαιον ἐκ τῶν ἀγγείων ὑμῶν. αἱ δὲ ἀπεκρίναντο, οὐ δυνάμεθα δοῦναι ὑμῖν, μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν· ἀλλ' ἀπελθοῦσαι ἀγοράσατε παρὰ τῶν πωλούντων. τίνες δὲ οἱ ἔμποροι; ἢ δῆλον ὅτι οἱ πένητες, οἱ πρὸς τὴν ἐλεημοσύνην ἐπείγοντες. ἀπερχομένων δὲ αὐτῶν ἦλθεν ὁ νυμφίος, καὶ αἱ ἔχουσαι τὰς λαμπάδας συνεισῆλθον αὐτῷ, καὶ ἐκλείσθησαν αἱ θύραι τοῦ νυμφῶνος. ἦλθον οὖν αἱ μωραί, καὶ ἔκρουον τὴν θύραν, βοῶσαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν. καὶ φωνεῖ ἔσωθεν πρὸς αὐτάς, ἀπέλθετε ἀπ' ἐμοῦ, οὐκ οἶδα ὑμᾶς. μετὰ τοσούτους καμάτους ἤκουσαν τό, οὐκ οἶδα ὑμᾶς. τοῦτό ἐστιν ὃ ἔλεγον, εἰκῇ καὶ μάτην ἐκτήσαντο τὸ μέγα τῆς παρθενίας κτῆμα. ὅτι ἀκρασίαν ἐχαλίνωσαν, ὅτι ἡδονῆς κατεγέλασαν, ὅτι πρὸς τὰς ἄνω δυνάμεις τὴν ἅμιλλαν εἶχον, ὅτι τῶν βιωτικῶν ″ κατέπτυσαν πραγμάτων, ὅτι τὸν καύσωνα ὑπήνεγκαν τὸν μέγαν, ὅτι τὰ σκάμματα ὑπερέβησαν, ὅτι ἀπὸ τῆς γῆς εἰς οὐρανὸν ἀνεπτερώθησαν καὶ τοῦ σώματος τὴν σφραγῖδα οὐ διέλυσαν, ὅτι τὸ μέγα εἶδος τῆς παρθενίας ἐκτήσαντο, ὅτι πρὸς τοὺς ἀγγέλους τὴν ἅμιλλαν εἶχον, ὅτι τοῦ σώματος τὰς ἀνάγκας κατεπάτησαν, ὅτι τῆς φύσεως ἐπελάθησαν, ὅτι ἐν σώματι τὰ τῶν ἀσωμάτων ἐπετέλεσαν, ὅτι τὸ μέγα καὶ ἀκαταμάχητον κτῆμα τῆς παρθενίας ″ ἐκολπώσαντο, τότε ἤκουσαν, οὐκ οἶδα ὑμᾶς. μὴ γὰρ μικρὸν νομίσῃς εἶναι τῆς παρθενίας τὸ μέγεθος. τοιοῦτόν ἐστιν ἡ παρθενία, ὅτι οὐδεὶς ἠδυνήθη τῶν ἀρχαίων ″ τοῦτο τηρῆσαι. διὰ τοῦτο γὰρ ἡ χάρις μεγάλη, ὅτι ἃ ἦν φοβερὰ ἐν τοῖς ἀρχαίοις, ταῦτα νῦν εὐκαταφρόνητα. τί γὰρ ἦν τὰ βαρύτατα καὶ ἀναγκαῖα; παρθενία καὶ θανάτου ὑπεροψία. ἀλλὰ τούτων νῦν καὶ κόραι εὐτελεῖς καταφρονοῦσι. βαρὺ ἦν τὸ τῆς παρθενίας κτῆμα οὕτως, ὡς μηδένα δύνασθαι ταύτην ἀσκῆσαι τῶν παλαιῶν. Νῶε δίκαιος ὢν ἐμαρτυρήθη ὑπὸ τοῦ Θεοῦ, ἀλλὰ γυναικὶ προσωμίλησεν· ὁμοίως δὲ καὶ Ἀβραὰμ καὶ Ἰσαὰκ συγκληρονόμοι αὐτοῦ τῆς ἐπαγγελίας γυναιξὶ προσωμίλησαν· Ἰωσὴφ ὁ δίκαιος, ὁ σώφρων, τὸ μὲν δρᾶμα τῆς μοιχείας ἠρνήσατο, ἀλλὰ καὶ οὗτος γυναικὶ προσωμίλησε· Μωϋσῆς καὶ Πέτρος ὁ ἀπόστολος γυναιξὶ προσωμίλησαν. βαρὺ γάρ ἐστι τὸ τῆς παρθενίας κτῆμα. ἐκ τότε ἰσχυρὰ ἐγένετο ἡ παρθενία, ἐκ τότε τὸ ἄνθος τῆς παρθενίας ἐβλάστησεν, ἀφ' οὗ ὁ Χριστὸς πρῶτος παρθενίαν δι' ἑαυτοῦ πᾶσιν ἐνομοθέτησεν. οὐδεὶς τοίνυν τῶν παλαιῶν παρθενίαν ἀ-

* τῶν ἀδελφῶν μου

γρ. ἐκεῖνον δὲ

γρ. ἑαυτοῦ

γρ. παραθεῖναι

γρ. τὴν κρίσιν

* μᾶλλον δὲ οὐδὲ χρεία λόγων τοσούτων, ἑστώτων αὐτῶν τῶν πραγμάτων.

Matth. 25.

γρ. κατεγέλα-

ἐκτήσαντο

αὐτήν

σκῆσαι ἠδυνήθη. μέγα γὰρ πρᾶγμα σῶμα χαλινῶσαι. ἀναμνήσθητι δὲ τῆς παρθενίας εἶδος, καὶ κατάμαθε τὸ μέγεθος τῆς ἀρετῆς αὐτῆς, ὅτι πόλεμον ἔχει ἐφ' ἑκάστης ὥρας οὐδέποτε δυνάμενον ἡσυχάσαι. χείρων τοῦ βαρβαρικοῦ πολέμου οὗτος ὁ πόλεμος. ὁ μὲν γὰρ τῶν βαρβάρων πόλεμος καὶ καιρὸν ἔχει τινὰ ἀνοχῆς ἐν ταῖς συνθήκαις· καὶ ποτὲ μὲν συμβάλλουσι, ποτὲ δὲ οὔ, καὶ τάξεις καὶ χρόνοι εἰσίν· ἐπὶ δὲ τοῦ πολέμου τούτου οὐκ ἔστιν ἀνοχή. διάβολος γάρ ἐστιν ὁ πολεμῶν, οὐ καιρὸν τηρῶν ἐπιθέσεως, οὐ σύνταξιν πρὸς τὴν συμβολὴν ἐκδεχόμενος, ἀλλ' ἕστηκεν ἀεὶ ζητῶν τὴν παρθένον γυμνὴν εὑρεῖν, ἵνα καιρίαν ἐπαγάγῃ τὴν πληγήν· καὶ οὐδέποτε δύναται ἡ παρθένος τοῦ " πολεμεῖν παύσασθαι, ἀλλ' ἐν ἑαυτῇ τὸν "ταξίαρχον περιάγει, καὶ τὸν πολεμιστήν. καὶ οἱ μὲν κατάδικοι, κἂν πρὸς καιρὸν ἴδωσι τὸν ἄρχοντα, οὐχ οὕτω χειμάζονται· ἡ δὲ παρθένος ὅπουπερ ἂν ᾖ καὶ ἀπέρχηται, τὸν δικαστὴν περιάγει μεθ' ἑαυτῆς, καὶ τὸν πολέμιον περιφέρει. καὶ ὁ πόλεμος οὐκ εἰς ἑσπέραν αὐτῇ δίδωσιν ἄνεσιν, οὐκ ἐν νυκτί, οὐκ ὄρθρου, οὐκ ἐν μεσημβρίᾳ, ἀλλὰ πολεμεῖ πάντοτε, ἡδονὴν ὑποτιθέμενος, γάμον μηνύων, ὅπως τὴν ἀρετὴν ἐξ αὐτῆς ἀποδιώξῃ, καὶ ὅπως κακίαν ἐν αὐτῇ ἐγγεννήσῃ, ὅπως τὴν σωφροσύνην αὐτῆς "ἀπελάσῃ, καὶ ὅπως πορνείαν ἐν αὐτῇ ἐμφυτεύσῃ. ἐκκαίεται ἐφ' ἑκάστης ὥρας τῆς ἡδονῆς ἡ κάμινος μαλθακῶς ὑποκαιομένη. ἐννόησον πόσος ὁ κάματος τούτου τοῦ κατορθώματος. ἀλλ' ἐκεῖναι μετ' ἐκεῖνα πάντα ἤκουσαν, οὐκ οἶδα ὑμᾶς. ὅρα πῶς μέγα πρᾶγμα ἡ παρθενία. ἀλλ' ὅταν ἔχῃ τὴν ἀδελφὴν αὐτῆς, τὴν ἐλεημοσύνην, οὐδὲν αὐτῆς περιγίνεται τῶν δεινῶν, καὶ ἀνωτέρα πάντων ἐστί· διὰ τοῦτο ἐκεῖναι οὐκ εἰσῆλθον, ἐπειδὴ μετὰ τῆς παρθενίας τὴν ἐλεημοσύνην οὐκ εἶχον. πολλῆς αἰσχύνης ἄξιον τὸ ῥῆμα τοῦτο· ἡδονὴν καταπαλαίσασαι καὶ νικήσασαι, χρημάτων οὐ κατεφρόνησαν. ἀλλ' ἡ παρθένος ἀποταξαμένη τῷ βίῳ καὶ σταυρωθεῖσα, χρημάτων ἐρᾷ; εἴθε ἀνδρὸς ἐπεθύμησας, καὶ οὐ τοσοῦτον τὸ ἔγκλημα ἦν. τῆς γὰρ ὁμοουσίου ὕλης ἐπεθύμεις· νῦν δὲ μείζων ἡ κατηγορία, ὅτι ἀλλοτρίας ὕλης ἐπιθυμεῖς. ἔστω, αἱ ὕπανδροι καὶ ἀπανθρωπίαν ἐπιδείκνυνται. ἴσως διὰ τὴν τῶν τέκνων πρόφασιν. κἂν εἴπῃς αὐταῖς, δός μοι ἐλεημοσύνην, τίς ὁ ψυχρὸς αὐτῶν καὶ καταγέλαστος λόγος; τέκνα ἔχω, φησί, καὶ οὐ δύναμαι. ὁ Θεὸς ἔδωκε τέκνα· καρπὸν κοιλίας ἔλαβες, ἵνα φιλάνθρωπος ἔσῃ, οὐχ ἵνα ἀπάνθρωπος γένῃ. μὴ τὴν ὑπόθεσιν τῆς φιλανθρωπίας εἰς ἀφορμὴν ἀπανθρωπίας ἐκλάμβανε. θέλεις κληρονομίαν καλὴν καταλεῖψαι τοῖς τέκνοις σου; κατάλιπε αὐτοῖς ἐλεημοσύνην, ἵνα πάντες σε ἐγκωμιάσωσι, καὶ πολυθρύλλητον "τὴν μνήμην σου καταλείπῃς. σὺ δὲ μὴ τέκνον ἔχουσα, ἀλλ' ἐσταυρωμένη τῷ βίῳ, διὰ τί χρήματα συλλέγεις; ἀλλ' ὁ λόγος ἡμῖν ἔμψυχος ἐστὶ " ἀπὸ τῆς ὁδοῦ τῆς μετανοίας. περὶ ἐλεημοσύνης γὰρ ἐλέγομεν, ὅτι μέγα κτῆμα ἡ ἐλεημοσύνη· ἐκεῖθεν διεδέξατο ἡμᾶς τὸ πέλαγος τῆς παρθενίας. ἔχεις ὁδὸν πρώτην καὶ μεγάλην "μετανοίας, τὴν ἐλεημοσύνην, δυναμένην διαλύσασθαι τὰς σειρὰς τῶν ἁμαρτημάτων σου. ἔχεις καὶ ἄλλην ὁδὸν μετανοίας εὐχερεστάτην πάνυ, δι' ἧς δύνασαι ἀπαλλαγῆναι τῶν ἁμαρτημάτων. εὔχου ἐφ' ἑκάστης ὥρας, καὶ μὴ ἐκκακήσῃς εὐχόμενος, μηδὲ ῥᾳθυμήσῃς, καὶ οὐκ ἀποστραφήσεταί σε ὁ Θεὸς ὁρῶν σε ἐμμένοντα τῇ εὐχῇ, ἀλλὰ συγχωρήσει σοι τὰς ἁμαρτίας σου. εὐχόμενος δέ, ἐὰν εἰσακουσθῇς, μένε εὐχαριστῶν καὶ καρτερῶν ἐν τῇ εὐχῇ. εἰ δὲ οὐκ εἰσηκούσθης, ἐπίμενε εὐχόμενος, ἵνα εἰσακουσθῇς, καὶ μὴ λέγε ὅτι πολλὰ ηὐξάμην, καὶ οὐκ εἰσηκούσθην. καὶ γὰρ καὶ τοῦτο πολλάκις ὑπὲρ τοῦ συμφέροντός σοι γίνεται. οἶδε γὰρ ὁ Θεὸς ὅτι ῥᾴθυμος εἶ καὶ ἀναπεπτωκώς, καὶ ἐὰν ἐπιτύχῃς τῆς δεήσεως, ἀναχωρεῖς μηκέτι εὐχόμενος, καὶ προφάσει τῆς χρείας ὑπερτίθεταί σε, ἵνα πυκνότερον τῷ Θεῷ προσομιλῇς, καὶ τῇ εὐχῇ σχολάζῃς. εἰ γὰρ ἐν τοιαύτῃ ὢν ἀνάγκῃ, καὶ χρείαν ἔχων, ῥᾳθυμεῖς καὶ οὐ παραμένεις τῇ εὐχῇ, τί ἄν, εἰ μηδενὸς τούτων ἐχρῄζες, πότε ἂν εἴχου εὔξασθαι πρὸς τὸν Θεόν; ὥστε καὶ αὐτὸς ὑπὲρ τοῦ συμφέροντος θέλων σε μὴ ἀπολιμπά-

νεσθαι

γρ. πολέμου τούτου

γρ. ἄρχοντα

γρ. ἀπολέσῃ

γρ. τὴν τέκνων

γρ. καὶ περὶ τῆς ὁδοῦ τῆς μετανοίας· καὶ περὶ τῆς ἐλεημοσύνης ἐλέγομεν

ἴσ. μετανοίας ὁδόν,

νεσθαι τῆς εὐχῆς; τοῦτο ποίει· μένε οὕτω εὐχόμενος, καὶ μὴ ῥαθυμῶν. πολλὰ γὰρ δύναται ἡ εὐχὴ ἀνύσαι. καὶ μὴ ὡς μικρῷ πράγματι προσέχῃς τῇ εὐχῇ. ὅτι δὲ εὐχὴ ἀφίησιν ἁμαρτίας, ἐκ τῶν θείων εὐαγγελίων πείθητι. Ωμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ, ὅστις ποτὲ ἔκλεισε τὴν θύραν αὐτοῦ. ἑσπέρας δὲ καταλαβούσης, ἦλθέ τις ξένος θέλων λαβεῖν ἄρτον παρ' αὐτοῦ, καὶ κρούει λέγων· ἄνοιξόν μοι ὅτι χρείαν ἔχω ἄρτων. ὁ δὲ πρὸς αὐτὸν, οὐ δύναμαί σοι δοῦναι νῦν. ἀνεπεσάμην γὰρ ἐγὼ καὶ τὰ παιδία ἐπὶ τῆς κλίνης. ὁ δὲ ἐπέμενε κρούων τὴν θύραν. καὶ πάλιν φησὶν, οὐ δύναμαί σοι δοῦναι. ἀνεπεσάμην γὰρ ἤδη καὶ τὰ παιδία. ὁ δὲ καὶ ταῦτα ἀκούσας ἐπέμενε κρούων, καὶ μὴ ἀναχωρῶν, ἕως οὗ εἶπεν ὁ οἰκοδεσπότης· ἀναστάντες δότε αὐτῷ, ὅπως ἀπέλθῃ*. διδάσκει οὕτω σε εὔχεσθαι ἀεὶ, καὶ μὴ ἀκηδιᾶν, ἀλλὰ καὶ ἐὰν μὴ εἰσακουσθῇς, παράμενε ἕως ὅτου λάβῃς. αὕτη ἡ μετάνοια καὶ πρὸ τῆς Χριστοῦ παρουσίας ἐκηρύττετο διὰ τῆς τοῦ προφήτου Ἱερεμίου φωνῆς· Μὴ ὁ πίπτων οὐκ ἀνίσταται, ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει; καὶ πάλιν μετὰ ταῦτα, εἶπον αὐτῇ* δεῦρο ἀνάστρεψον πρός με. διὰ τοῦτο πολλὰς καὶ ἄλλας διαφόρους ὁδοὺς μετανοίας δέδωκεν ἡμῖν ὁ Θεὸς, ἐκκόπτων ἡμῶν πᾶσαν πρόφασιν ῥαθυμίας. εἰ γὰρ μίαν εἴχομεν ὁδὸν μετανοίας, διὰ ταύτης οὐκ ἂν εἰσελθεῖν ἠδυνάμεθα. ταύτην τὴν μάχαιραν ἀεὶ φεύγει ὁ διάβολος. ἥμαρτες; εἴσελθε εἰς τὴν ἐκκλησίαν, καὶ ἐξάλειψόν σου τὴν ἁμαρτίαν. ὁσάκις ἂν πέσῃς εἰς τὴν ἀγορὰν, οὐ τοσαυτάκις ἐγείρῃ πάλιν; οὕτως ὁσάκις ἐὰν ἁμάρτῃς, μετανόησον ἐπὶ τῇ ἁμαρτίᾳ, μὴ σεαυτὸν ἀπογνῷς. κἂν δεύτερον ἁμαρτήσῃς, δεύτερον μετανόησον· μὴ διὰ ῥαθυμίαν ἐκπέσῃς τελείως* τῶν προκειμένων ἀγαθῶν. κἂν ἐν ἐσχάτῃ πολιᾷ ἦς, καὶ ἁμαρτήσῃς, εἴσελθε εἰς τὴν ἐκκλησίαν, καὶ μετανόησον. ἰατρεῖον γάρ ἐστι πνευματικὸν ἐνταῦθα, καὶ δικαστήριον οὐκ εὐθύνας ἁμαρτημάτων ἀπαιτοῦν, ἀλλὰ συγχώρησιν παρέχον. Θεῷ μόνῳ εἰπὲ τὴν ἁμαρτίαν σου, καὶ συγχωρεῖταί σοι ἡ ἁμαρτία. ἔχεις καὶ ἄλλην ὁδὸν μετανοίας οὐ δύσκολον, ἀλλὰ πάνυ εὐχερεστάτην. ποίαν δὴ ταύτην; κλαῦσον ἐπὶ τῇ ἁμαρτίᾳ σου. ἔκλαυσας; ἐξήλειψας τὴν ἁμαρτίαν σου. καὶ διδάχθητι καὶ τοῦτο παρὰ τῶν θείων εὐαγγελίων. Πέτρος ἐκεῖνος, ἡ κορυφὴ τῶν ἀποστόλων, ὁ πρῶτος ἐν τῇ ἐκκλησίᾳ, ὁ φίλος τοῦ Χριστοῦ, ὁ τὴν ἀποκάλυψιν παρὰ τῶν ἀνθρώπων μὴ δεξάμενος, ἀλλὰ παρὰ τοῦ δεσπότου Χριστοῦ, καθὼς αὐτὸς μαρτυρεῖ ὁ Χριστὸς, Μακάριος εἶ, Σίμων, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς· οὗτος ὁ Πέτρος (Πέτρον δὲ ὅταν εἴπω, λέγω τὴν πέτραν τὴν ἀρραγῆ, τὴν κρηπῖδα τὴν ἀσάλευτον, τὸν ἀπόστολον τὸν μέγαν, τὸν πρῶτον τῶν μαθητῶν, τὸν πρῶτον κληθέντα καὶ πρῶτον ὑπακούσαντα) ἐκεῖνος οὐ μικρόν τι πρᾶγμα ἐποίησεν, ἀλλὰ σφόδρα μέγα, ὡς αὐτὸν ἀρνήσασθαι τὸν δεσπότην τῆς κτίσεως. τοῦτο δὲ λέγω οὐ κατηγορῶν τοῦ δικαίου (μὴ γένοιτο) ἀλλά σοι ὑπόθεσιν διδοὺς μετανοίας· αὐτὸν τὸν δεσπότην τῆς οἰκουμένης, τὸν κηδεμόνα, τὸν σωτῆρα τῶν ἁπάντων ἠρνήσατο. ἵνα δὲ ἄνωθεν τὴν ὑπόθεσιν εἴπωμεν, ἐν τῇ παραδόσει εἶδεν ὁ σωτὴρ τινὰς ἀναχωρήσαντας, καὶ λέγει τῷ Πέτρῳ· Μὴ καὶ σὺ ἀναχωρῆσαι θέλεις; ὁ δὲ Πέτρος, κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι. ὁ δὲ Χριστὸς πρὸς αὐτόν· Ἀμὴν λέγω σοι, πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με. πάλιν ὁ Πέτρος· κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν. τί λέγεις, Πέτρε; Θεὸς ὁ ἀποφηνάμενος, καὶ σὺ ἀντιμάχῃ; ἀλλ' ὅμως ἡ προαίρεσις τὸ ἴδιον ἔδειξε, τὸ δὲ φύσεως ἡ ἀσθένεια ἠλέγχετο. ταῦτα δὲ πότε; ἐν τῇ νυκτὶ, ᾗ παρεδόθη ὁ Χριστὸς, ἑστήκει ὁ Πέτρος παρὰ τὴν ἀνθρακιὰν θερμαινόμενος, καὶ κόρη τις προσῆλθε, καὶ λέγει αὐτῷ· Καὶ σὺ μετὰ τοῦ ἀνθρώπου τούτου ἦσθα. ὁ δὲ, οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον. εἶτα δεύτερον, καὶ τρίτον, καὶ ἐπληρώθη ἡ ἀπόφασις. εἶτα ὁ Χριστὸς ἐνέβλεψε τῷ Πέτρῳ, φωνὴν διὰ τοῦ βλέμματος ἀφιείς. οὐ γὰρ διὰ στόματος αὐτῷ ἐλάλησεν, ἵνα μὴ ἐλέγξῃ αὐτὸν ἐπὶ τῶν Ἰουδαίων; καὶ τὸν ἴδιον καταισχύνῃ μαθητήν· ἀλλὰ διὰ τοῦ βλέμματος τὴν φωνὴν ἀφῆκεν, αἰνιττόμενος, τί ἐστι,

κ. ῥαθυμεῖ

Λουκ. ια. ε.

* διὰ τὴν ὄχλησιν αὐτοῦ.

Ιερ. η. δ.

* μετὰ τὸ πορ-νεῦσαι

* τῆς ἐλπίδος

Ματθ. ις. ιζ.

Ματθ. κς. λδ.

Μάρκ. ιδ. ξζ.

Πέτρε; ὃ ἔλεγον, γέγονεν. ἀμέλει οὕτω καὶ ὁ Πέτρος "αἰσθόμενος ἤρξατο κλαίειν. ἀλλ' οὐχ ἁπλῶς ἔκλαυσεν, ἀλλὰ πικρῶς, δεύτερον βάπτισμα διὰ τῶν δακρύων ποιήσας, πηγὰς ἀφιεὶς δακρύων διὰ τῶν ὀφθαλμῶν. ἀλλὰ κλαύσας οὕτω πικρῶς ἐξήλειψε τὴν ἁμαρτίαν· μετὰ ταῦτα δὲ πιστεύεται τὰς κλεῖς τῶν οὐρανῶν. εἰ δὲ Πέτρου κλαυθμὸς τηλικαύτην ἐξήλειψεν ἁμαρτίαν, σὺ, ἐὰν κλαύσῃς, πῶς οὐκ ἐξαλείψεις τὴν ἁμαρτίαν; οὐ γὰρ μικρὸν ἔγκλημα ἦν τὸ ἀρνήσασθαι τὸν ἴδιον δεσπότην, ἀλλὰ μέγα καὶ ἰσχυρόν· ἀλλ' ὅμως τὰ δάκρυα ἐξήλειψε τὸ ἁμάρτημα. κλαῦσον οὖν καὶ σὺ ἐπὶ τῇ ἁμαρτίᾳ σου. ἀλλὰ μὴ ἁπλῶς, μηδὲ μετὰ σχήματος, ἀλλὰ κλαῦσον πικρῶς, ὡς ὁ Πέτρος τότε, ἐξ αὐτοῦ τοῦ βάθους προσάγαγε τὰς πηγὰς τῶν δακρύων, ἵνα οὕτως ὁ δεσπότης σπλαγχνισθεὶς συγχωρήσῃ σοι τὸ πλημμέλημα. φιλάνθρωπος γάρ ἐστιν. αὐτὸς γὰρ εἶπεν, Οὐ θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. μικρὸν ζητεῖ ὁ Θεὸς παρὰ σοῦ πόνον, καὶ αὐτὸς παρέχει τὰ μεγάλα. πρόφασιν ζητεῖ, ἵνα σοι δωρήσηται θησαυρὸν σωτηρίας. προσβάλε δάκρυα, καὶ αὐτός σοι παρέχει ζωὴν τὴν αἰώνιον*. τὰ μὲν γὰρ παρ' αὐτοῦ ἐστι, τὰ δὲ παρ' ἡμῶν. τὰ παρ' ἡμῶν ἐὰν εἰσενέγκωμεν, πάλιν καὶ αὐτὸς παρέχει τὰ παρ' ἑαυτοῦ. ἤδη μὲν γάρ εἰσι τὰ παρ' ἑαυτοῦ, ἃ αὐτὸς παρέσχεν ἡμῖν. ἥλιον, σελήνην, ποικίλον χορὸν ἀστέρων, ἀέρα ἐξέτεινε, γῆν ἥπλωσε, θάλασσαν ἐτείχισεν, ἔδωκεν ὄρη, νάπας, βουνούς, πηγάς, λίμνας, ποταμούς, τὰ μυρία γένη τῶν φυτῶν, παραδείσους, τὰ ἄλλα πάντα. πάλιν σὺ συνεισένεγκε μικρὸν, ἵνα σοι καὶ τὰ ἄνω σοι χαρίσηται. μὴ ἀμελήσωμεν ἑαυτῶν, μηδὲ ἀποστῶμεν τῆς ἡμετέρας σωτηρίας, τοσοῦτον πέλαγος ἔχοντες φιλανθρωπίας τοῦ πάντων δεσπότου, καὶ μετανοοῦντος ἐπὶ ταῖς ἡμετέραις κακίαις. βασιλεία οὐρανῶν πρόκειται καὶ παράδεισος, καὶ τὰ ἀγαθὰ, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν· καὶ οὐκ ὀφείλομεν πάντα ποιῆσαι, ἵνα τι συνεισενέγκωμεν, ὥστε τούτων μὴ ἐκπεσεῖν; ἢ οὐκ οἶδας Παῦλος τί λέγει; ὁ πολλὰ κοπιάσας, καὶ μυρία τρόπαια κατὰ τοῦ διαβόλου στήσας, ὁ ἐν σώματι τὴν οἰκουμένην "πεζεύσας, ὁ γῆν καὶ θάλατταν καὶ ἀέρα περιδραμὼν, ὁ καθάπερ ὑπόπτερός τις τὴν οἰκουμένην περιελθὼν, ὁ λιθασθεὶς, ὁ φονευθεὶς, ὁ πάντα διὰ τὸ ὄνομα τοῦ Θεοῦ παθὼν, ὁ οὐρανίῳ φωνῇ κληθεὶς, ὅρα ποίαν φωνὴν εἶπεν· Ἐλάβομεν χάριν ἀπὸ τοῦ Θεοῦ, φησίν· ἀλλὰ κἀγὼ ἐκοπίασα καὶ συνεισήνεγκα, καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ οὐ κενὴ ἐγενήθη, ἀλλὰ περισσότερον πάντων ἐκοπίασα. οἴδαμεν, φησὶν, οἴδαμεν τῆς χάριτος τὸ μέγεθος, ὃ ἐλάβομεν, ἀλλ' οὐκ ἀργόν με εὗρε· φανερὰ δὲ τὰ ὑπ' ἐμοῦ εἰσαχθέντα. οὕτω καὶ ἡμεῖς τὰς χεῖρας εἰς ἐλεημοσύνην διδάξωμεν· κλαύσωμεν ἐπὶ τῶν ἁμαρτιῶν ἡμῶν, ἵνα καὶ ἡμεῖς μικρόν τι συνεισφέρωμεν· θρηνήσωμεν ἐπὶ ταῖς ἀνομίαις, ἵνα δόξωμεν κἂν μικρόν τι συνεισενεγκεῖν, "ἐπειδὴ μεγάλα τὰ μέλλοντα δίδοται ἡμῖν, καὶ ὑπερβαίνει τὴν ἡμετέραν δύναμιν. παράδεισος γάρ ἐστι καὶ βασιλεία αἰώνιος· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. αἰσθηθεὶς

Ἰεζεκ. ιη. κγ.

* πρόσθες μικρὰ σὺ εἰσένεγκε ἵνα εὐπρόσωπον ἔχῃς ἀπολογίαν.

γρ. πολιτεύσας

α. Κορ. ιε. ι.

γρ. εἰ καὶ

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ ΚΑΙ ΕΥΧΗΣ. Λογ. ζ.

ΟΙ ποιμένες τὰ πρόβατα, ἔνθα ἂν ἴδωσι βαθυτέραν οὖσαν τὴν πόαν, ἐντεῦθεν ἄγουσι, καὶ οὐ πρότερον ἐκεῖθεν ἐγείρουσιν, ἕως ἂν αὐτὴν πᾶσαν ἀποκείρῃ τὰ ποίμνια. τούτους δὲ καὶ ἡμεῖς μιμούμενοι, τετάρτην ταύτην ἤδη ἡμέραν εἰς τὸν τῆς μετανοίας τόπον βόσκομεν οὕτω τὸ ποίμνιον· καὶ οὐδέπω καὶ σήμερον ἀναστῆσαι παρασκευαζόμεθα. ὁρῶμεν γὰρ πολλὴν οὖσαν ἐπινομῆς εὐπορίαν, καὶ πολλὴν τέρψιν ὁμοῦ καὶ ὠφέλειαν·

σιν. Οὐδὲ γὰρ οὕτως αἱ κόμαι τῶν δένδρων, ἀντὶ στέγης τοῖς προβάτοις γινόμεναι κατὰ τὸ μεσημβρινὸν τῆς ἡμέρας, ἀναπαύουσι τὰ πρόβατα, ποθεινήν τε καὶ ὠφέλιμον παρέχουσι τὴν σκιὰν, καὶ μετὰ πολλῆς κατακοιμίζουσι τῆς ἡδονῆς, ὡς ἡ τῶν θείων γραφῶν ἀνάγνωσις τὰς ὀδυνωμένας ψυχὰς καὶ ἀθυμίᾳ κατεχομένας ἀνακτᾶται καὶ καταψύχει, τὸ μὲν σφοδρὸν καὶ διακαὲς τῆς ὀδύνης ἀποσειομένη, παραμυθίαν δὲ σκιᾶς ἁπάσης ἡδίω καὶ τερπνοτέραν παρέχουσα. Οὐ γὰρ μόνον ἐν ταῖς τῶν χρημάτων ζημίαις, οὐδὲ ἐν ταῖς τῶν τέκνων ἀποβολαῖς, οὔτε ἐν τοῖς ἄλλοις τοῖς τοιούτοις, ἀλλὰ καὶ ἐν ταῖς τῶν ἁμαρτιῶν περιστάσεσι πολλὴν ἡμῖν αὗται παρέχουσι τὴν παραμυθίαν. Ὅταν γὰρ ἄνθρωπος ὑπὸ ἁμαρτίας ἁλοὺς καὶ ὑποσκελισθεὶς καταπέσῃ, εἶτα κατεσθίῃ αὐτὸν τὸ συνειδὸς, καὶ τῆς ἁμαρτίας συνεχῶς ἀναμιμνήσκων ἑαυτὸν ἀποπνίγῃ τῇ τῆς ἀθυμίας ὑπερβολῇ, καὶ καθ' ἑκάστην ἐμπυρίζηται τὴν ἡμέραν, καὶ μυρίων παρακαλούντων, οὐ μὴ προσίεται τὴν παράκλησιν· εἰσελθὼν εἰς τὴν ἐκκλησίαν, καὶ ἀκούσας ὅτι πολλοὶ τῶν ἁγίων πεσόντες ἀνέστησαν, καὶ εἰς τὴν προτέραν πάλιν ἐπανῆλθον εὐδοκίμησιν, λανθανόντως λαβὼν τὴν παραμυθίαν ἀπέρχεται. Καὶ ἀνθρώποις μὲν πολλάκις ἁμαρτάνοντες οὔτε ἐκκαλύψαι τὸ πλημμέλημα ὑπομένομεν, αἰσχυνόμενοι καὶ ἐρυθριῶντες· κἂν δὲ ἐκκαλύψωμεν, οὐδὲν καρπωσόμεθα τοσοῦτον. Ὅταν δὲ Θεὸς παρακαλῇ, καὶ τῆς καρδίας ἅπτηται, πᾶσα ταχέως φυγαδευθήσεται σατανικὴ λύπη. Διὰ τοῦτο καὶ πτώματα τῶν δικαίων ἐστὶν ἡμῖν ἀνάγραπτα, ἵν' οἵ τε κατορθοῦντες, οἵ τε ἁμαρτάνοντες, τὰ μέγιστα ἐκ τούτων κερδαίνωσιν. Ὁ γὰρ ἁμαρτάνων οὐκ ἔρχεται εἰς ἀπόγνωσιν καὶ ἀπελπισμὸν, ἰδὼν ἕτερον πεσόντα, καὶ πάλιν ἀναστῆναι δυνηθέντα· ὁ δὲ δικαιοσύνην ἐργαζόμενος, σπουδαιότερος ἔσται καὶ ἀσφαλέστερος. Ὅταν γὰρ τῶν αὐτοῦ πολὺ βελτιόνων πολλοὺς καταπεσόντας ἴδῃ, τῷ φόβῳ τῆς ἐκείνων πτώσεως σωφρονιζόμενος, ἐναγώνιος ἔσται πάντοτε, καὶ πολλὴν περὶ ἑαυτὸν ἐπιδείξεται τὴν ἀσφάλειαν. Καὶ οὕτως ὁ μὲν τὴν ἀρετὴν κατορθῶν, ὁ δὲ ἁμαρτάνων τῆς ἀπογνώσεως ἀπαλλαγεὶς, ὁ μὲν στήσεται ἀσφαλῶς, ὁ δὲ ἐπανήξει ταχέως ὅθεν ἐξέπεσεν. Ὅταν γὰρ ἡμᾶς ἄνθρωπος παρακαλῇ λυπουμένους, καὶ δόξωμεν πρὸς ὀλίγον παραμυθεῖσθαι, πάλιν εἰς τὴν αὐτὴν ἀθυμίαν καταπίπτομεν· ὅταν δὲ ὁ Θεὸς προτρέπηται δι' ἑτέρων ἁμαρτησάντων καὶ σωθέντων, φανερὰν ἡμῖν ποιῶν τὴν αὐτοῦ ἀγαθότητα, ἵνα μὴ ἀμφιβάλλωμεν περὶ τῆς ἑαυτῶν σωτηρίας, ὁμολογουμένην καὶ ἀσφαλῆ δεχόμενοι τὴν παράκλησιν. Ὥσπερ οὖν ἐν ταῖς τῶν ἁμαρτημάτων περιστάσεσιν, οὕτω καὶ ἐν ταῖς τῶν κινδύνων ἐπαγωγαῖς, ἱκανὸν τοῖς ἀθυμοῦσι φάρμακον αἱ παλαιαὶ τῶν γραφῶν ἱστορίαι παρέχουσι πᾶσι τοῖς βουλομένοις προσέχειν· καὶ εἴτε χρημάτων δήμευσις, εἴτε συκοφαντῶν ἐπήρειαι, εἴτε δεσμωτήρια, εἴτε μάστιγες, κἂν ὁποιονοῦν ἕτερον τῶν δεινῶν ἡμᾶς καταλάβῃ, ἀποβλέποντες εἰς τοὺς δικαίους τοὺς ταῦτα παθόντας καὶ ὑπομείναντας, ταχέως εἰς ἑαυτοὺς ἐλθεῖν δυνησόμεθα. Ἐπὶ μὲν γὰρ τῶν τοῦ σώματος παθῶν, τὸ πρὸς τοὺς πάσχοντας ἀφορᾶν ἐπιτείνει τὴν νόσον τοῦ ἀρρωστοῦντος, πολλάκις δὲ καὶ οὐκ οὖσαν ἐργάζεται· οἷον, ὀφθαλμοὺς πάσχοντας ἰδόντες τινὲς, μετέλαβον τοῦ νοσήματος ἀπὸ τῆς θέας μόνης. Ἐπὶ δὲ ψυχῆς οὐχ οὕτως, ἀλλὰ τὸ ἐναντίον γίνεται· καὶ τὸ συνεχῶς ὁρᾶν τοὺς τὰ τοιαῦτα πεπονθότας, ἡμῖν κουφοτέραν ποιεῖται τὴν ἐπὶ τοῖς ἡμετέροις κακοῖς ἀθυμίαν. Διὰ τοῦτο καὶ ὁ Παῦλος τοὺς ὄντας πιστοὺς τοῦτον παρακαλεῖ τὸν τρόπον, οὐχ ὅτι τοὺς ζῶντας μόνον ἁγίους, ἀλλὰ καὶ τοὺς ἀποθανόντας εἰς μέσον παράγων. Ἑβραίοις μὲν γὰρ διαλεγόμενος μέλλουσιν ὑποσκελίζεσθαι καὶ καταπίπτειν, τοὺς ἁγίους ἄνδρας εἰς μέσον παράγει, τὸν Δανιὴλ, τοὺς παῖδας τοὺς τρεῖς, τὸν Ἠλίαν, τὸν Ἐλισσαῖον, οὑτωσὶ λέγων· Ἔφραξαν στόματα λεόντων, ἔσβεσαν δύναμιν πυρὸς, ἔφυγον στόματα μαχαίρας, ἐλιθάσθησαν, ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς· περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι·

Ἑβρ. ια. λγ. λς. λζ.

μένοι· ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. ἡ δὲ κοινωνία τῶν παθόντων τοῖς ὀδυνωμένοις παρέχει παραμυθίαν. καὶ καθάπερ τὸ μόνον παθεῖν τι δεινὸν, ἀπαραμύθητον ἔχει τὸ κακόν· οὕτω τὸ εὑρεῖν ἑτέρους τοῖς αὐτοῖς περιπεσόντας κακοῖς, κουφοτέραν ἐργάζεται τὴν πληγήν. ἵν' οὖν ἐν πᾶσι τοῖς δοκοῦσιν ἡμᾶς ἐνοχλεῖν μὴ καταπίπτωμεν, μετ' ἀκριβείας προσέχωμεν ταῖς τῶν γραφῶν ἱστορίαις. πολλῆς γὰρ ὑπομονῆς ἐντεῦθεν ληψόμεθα ἀφορμὴν, οὐ τῇ κοινωνίᾳ τῶν ταῦτα παθόντων παραμυθούμενοι μόνον, ἀλλὰ καὶ τῷ μανθάνειν τὸν τρόπον τῆς ἀπαλλαγῆς τῶν ἐπαγομένων ἡμῖν δεινῶν, καὶ μετὰ τὴν λύσιν μένειν πάλιν ἐπὶ τῆς αὐτῆς, καὶ μήτε εἰς ῥαθυμίαν ἐκπίπτειν, μήτε εἰς ἀπόνοιαν αἴρεσθαι. τὸ μὲν γὰρ κακῶς πράττοντας συστέλλεσθαι καὶ ταπεινοῦσθαι, καὶ πολλὴν εὐλάβειαν ἐπιδείκνυσθαι, θαυμαστὸν οὐδέν. αὕτη γὰρ ἡ τῶν πειρασμῶν φύσις καὶ τοὺς λιθίνην ἔχοντας καρδίαν καταναγκάζει τοῦτο ποιεῖν, τὸ λυπεῖσθαι. ψυχῆς δέ ἐστιν εὐλαβοῦς, καὶ τὸν Θεὸν ἐχούσης πρὸ ὀφθαλμῶν, καὶ μετὰ τῶν πειρασμῶν ἀπαλλαγὴν μηδέποτε εἰς λήθην ἐμπεσεῖν. ὅπερ Ἰουδαῖοι συνεχῶς ἔπασχον. διὸ καὶ σκώπτων αὐτοὺς ὁ προφήτης ἔλεγεν· Ὅταν ἀπέκτεινεν αὐτοὺς, τότε ἐξήτουν αὐτὸν, καὶ ἐπέστρεφον καὶ ὤρθριζον πρὸς τὸν Θεόν. καὶ Μωϋσῆς δὲ αὐτοῖς τοῦτο αὐτὸ συνειδὼς, παρῄνει συνεχῶς λέγων· Φαγὼν καὶ πιὼν καὶ ἐμπλησθεὶς, πρόσεχε σεαυτῷ, μὴ ἐπιλάθῃ Κυρίου τοῦ Θεοῦ σου. τοῦτο γοῦν καὶ ἐγένετο· Ἔφαγε γὰρ, φησὶν, Ἰακὼβ, καὶ ἐλιπάνθη, καὶ ἐπαχύνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος. διόπερ οὐ διὰ τοῦτο χρὴ θαυμάζειν τοὺς ἁγίους, ὅτι τῆς θλίψεως αὐτῆς ἀκμαζούσης οὕτως ἦσαν εὐλαβεῖς καὶ φιλόσοφοι· ἀλλ' ὅτι καὶ τοῦ χειμῶνος παρελθόντος, καὶ γαλήνης γενομένης, ἐπὶ τῆς αὐτῆς ἔμενον ἐπιεικείας καὶ σπουδῆς. καὶ ἵππον δὲ ἐκεῖνον θαυμάζειν μάλιστα χρὴ, τὸν χωρὶς χαλινοῦ δυνάμενον εὔρυθμα βαδίζειν. ἂν δὲ, κημοῦ καὶ χαλινοῦ κατέχοντος αὐτὸν, εὐτακτῇ, θαυμαστὸν οὐδέν· οὐ γὰρ τῇ εὐγενείᾳ τοῦ ζώου, ἀλλὰ τῇ ἀνάγκῃ τοῦ χαλινοῦ τὴν εὐταξίαν λογίσασθαι χρή. τοῦτο καὶ ἐπὶ ψυχῆς ἐστιν εἰπεῖν· ὅτι φόβων μὲν ἐπικειμένων ἠρεμεῖν, θαυμαστὸν οὐδέν· ὅταν δὲ παρέλθωσιν οἱ πειρασμοὶ, καὶ τὸν χαλινὸν τοῦ φόβου περιέλῃ τις, τότε μοι δεῖξον φιλοσοφίαν ψυχῆς, καὶ τὴν εὐταξίαν ἅπασαν. ἀλλὰ φοβοῦμαι μὴ βουλόμενος Ἰουδαίων κατηγορεῖν, τῆς ἡμετέρας κατηγορήσω πολιτείας. ἐπεὶ καὶ ἡμεῖς ἡνίκα ἐσαλευόμεθα ἀπό τε λιμοῦ, καὶ λοιμοῦ, καὶ χαλάζης, καὶ ἀβροχίας, καὶ ἐμπρησμῶν, καὶ ἐπαναστάσεως ἐχθρῶν, οὐχὶ καθ' ἑκάστην ἡ ἐκκλησία τῷ πλήθει τῶν συναγομένων ἐστενοχωρεῖτο; καὶ πολλή τις ἦν ἡμῖν ἡ φιλοσοφία, καὶ ὑπεροψία τῶν βιωτικῶν πραγμάτων· καὶ οὔτε χρημάτων πόθος, οὔτε δόξης ἐπιθυμία, οὔτε ὄρεξις καὶ ἔρως ἀσελγείας, οὔτε ἄλλος τις λογισμὸς πονηρὸς τότε ἠνώχλει, ἀλλὰ πάντες εἰς θεοσέβειαν ἑαυτοὺς ἐπεδώκατε μετὰ δεήσεως καὶ δακρύων· καὶ ὁ πόρνος μὲν ἐσωφρόνει τότε, ὁ μνησίκακος ἐπὶ τὰς καταλλαγὰς ἐτρέπετο, ὁ πλεονέκτης πρὸς ἐλεημοσύνην ἐκάμπτετο, ὁ ὀργίλος καὶ θρασὺς εἰς ταπεινοφροσύνην καὶ πραότητα μετέβαλλετο· καὶ ἐπὰν ὁ Θεὸς τὴν ὀργὴν ἐκείνην διεσκέδασε, καὶ τὸν χειμῶνα παρήγαγε, καὶ γαλήνην ἐποίησεν ἐκ τοσούτων κυμάτων, εἰς τὰς προτέρας πάλιν ἐπανήλθομεν προλήψεις; καίτοιγε οὐκ ἐπαυόμην τότε παρ' αὐτὸν τὸν καιρὸν τῶν πειρασμῶν προλέγων ταῦτα, καὶ προδιαμαρτυρόμενος. ἀλλ' ὅμως οὐδὲν ἡμῖν ἐγένετό τι πλέον, ἀλλ' ὡς ὄναρ καὶ σκιὰν παρελθοῦσαν, οὕτως ἅπαντα ἐκεῖνα τῆς διανοίας ἐξεβάλομεν. διὰ δὴ τοῦτο δέδοικα νῦν μᾶλλον ἢ τότε, καὶ ὃ τότε ἔλεγον, νῦν δέδοικα μειζόνως, μὴ χαλεπώτερα τῶν προτέρων ἐπισπασώμεθα κακὰ, καὶ τότε δεξώμεθα πληγὴν ἀνίατον ἐκ τοῦ Θεοῦ. ὅτε γάρ τις συνεχῶς ἁμαρτάνων συγγνώμης τυγχάνει παρὰ τοῦ Θεοῦ, εἶτα μηδὲν ἀπὸ τῆς ἀνεξικακίας ταύτης κερδάνῃ ὁ ἄνθρωπος εἰς τὴν τῆς κακίας ἀπαλλαγήν· λοιπὸν τοῦτον παρασκευάζει, ὥστε καὶ μὴ βουλόμενον αὐτὸν τὸν κολοφῶνα τῶν κακῶν ἐπαγαγεῖν, καὶ ἐκτρῖψαι αὐτὸν τέλεον, καὶ μηκέτι δοῦναι μετανοίας τινὰ προθεσμίαν· ὃ καὶ ἐπὶ τοῦ Φαραὼ συνέβη. ἐπειδὴ γὰρ προτέρα καὶ δευτέρα καὶ τρίτη καὶ τετάρτη

Ψαλ. οζ. λη.

Δευτ. η. ιβ.

ιδ.

Δευτ. λβ. ιε.

καὶ ταῖς μετ' ἐκείνας πληγαῖς πολλῆς ἀπήλαυσε μακροθυμίας παρὰ τοῦ Θεοῦ, οὐδὲν ἐγένετο αὐτῷ τι χρήσιμον, ἐξετρίβη λοιπόν, καὶ ἠφανίσθη μετὰ τῆς πόλεως ἄρδην. τοῦτο καὶ Ἰουδαῖοι πεπόνθασι. διὸ ὁ Χριστὸς μέλλων αὐτοὺς ἀφανίζειν, καὶ ἐρημίαν ἐπάγειν αὐτοῖς ἀδιόρθωτον, οὕτως ἔλεγε· Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, καὶ οὐκ ἠθελήσατε; ἰδού, ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. δέδοικα οὖν μὴ καὶ ἡμεῖς τὰ αὐτὰ πάθωμεν, καὶ οὔτε τοῖς ἀλλοτρίοις, οὔτε τοῖς ἡμετέροις σωφρονιζόμεθα κακοῖς. οὐ πρὸς ὑμᾶς δὲ μόνον λέγω ταῦτα τοὺς νῦν παρόντας, ἀλλὰ καὶ πρὸς τοὺς ἀπορραγέντας τῆς καθημερινῆς σπουδῆς, καὶ τῶν προτέρων θλίψεων ἐπιλελησμένους. πρὸς οὓς οὐ διέλειπον ἀεὶ διαρρηγνύμενος, καὶ λέγων, ὅτι εἰ καὶ παρῆλθον οἱ πειρασμοί, μενέτω ἐν ταῖς ψυχαῖς ἡμῶν τῶν πειρασμῶν ἡ μνήμη, ἵνα καὶ τῆς εὐεργεσίας συνεχῶς μνημονεύοντες, διηνεκῶς εὐχαριστοῦντες τῷ ταύτην παρασχόντι Θεῷ.

Ταῦτα δὲ τότε ἔλεγον, καὶ νῦν λέγω ὑμῖν, καὶ δι' ὑμῶν ἐκείνοις. μιμησώμεθα τοὺς ἁγίους, οἵτινες οὔτε ὑπὸ τῶν θλίψεων κατεπόθησαν, οὔτε ὑπὸ τῆς ἀνέσεως χαυνότεροι γεγόνασιν· ὥσπερ πολλοὶ τῶν ἀνθρώπων νῦν πάσχομεν, καθάπερ τὰ κοῦφα τῶν πλοίων ὑπὸ πάσης περιστάσεως κυμάτων περιαντλούμενα βαπτίζεται. καὶ γὰρ πενία πολλάκις ἡμῖν ἐπελθοῦσα ἐβάπτισε, καὶ ὑποβρυχίους ἡμᾶς ἐποίησε, καὶ πλοῦτος προσγινόμενος πάλιν ἐφύσησεν ἡμᾶς, καὶ εἰς ἐσχάτην ὀλιγωρίαν ἐνέβαλε. διὸ παρακαλῶ, παραλιπόντες ἅπαντα, τὰς ἑαυτῶν ψυχὰς ῥυθμίσωμεν πρὸς σωτηρίαν ἕκαστος ἡμῶν. ταύτης γὰρ καλῶς διακειμένης, ὅπερ ἂν ἐμπέσῃ τῶν δεινῶν, κἂν λιμός, κἂν νόσος, κἂν συκοφαντία, κἂν χρημάτων διαρπαγή, κἂν ὁτιοῦν ἄλλο, φορητὸν ἔσται καὶ κοῦφον διὰ τὴν τοῦ δεσπότου ἐντολήν, καὶ τὴν εἰς αὐτὸν ἐλπίδα· ὥσπερ πάλιν τῆς ψυχῆς πρὸς τὸν Θεὸν οὐκ ἐχούσης καλῶς, κἂν πλοῦτος ἐπιρρέῃ, κἂν παῖδες παρῶσι, κἂν μυρίων ἀπόλαυσις ᾖ χρημάτων, ἀθυμίας πολλὰς ἐπισπάσεται ὁ τοιοῦτος καὶ φροντίδας. μὴ τοίνυν πλοῦτον ζητῶμεν, μὴ πενίαν φεύγωμεν, ἀλλὰ πρὸ πάντων τῆς ἑαυτῶν ἐπιμελώμεθα ψυχῆς ἕκαστος· καὶ ποιῶμεν ἐπιτηδείαν αὐτὴν πρός τε τὴν τοῦ παρόντος βίου οἰκονομίαν, καὶ πρὸς τὴν ἐντεῦθεν ἐκεῖσε ἀποδημίαν. ἔτι γὰρ μικρόν, καὶ ἡ δοκιμασία ἑκάστου ἡμῶν γενήσεται, ἡνίκα πάντες παραστῶμεν τῷ φοβερῷ βήματι τοῦ Χριστοῦ, περιβεβλημένοι τὰς ἑαυτῶν πράξεις, καὶ τοῖς ὀφθαλμοῖς ἡμῶν ὁρῶντες, τοῦτο μὲν τὰ δάκρυα τῶν ὀρφανῶν, τοῦτο δὲ τὰς αἰσχρὰς ἀσελγείας, ἐν αἷς ἐμιάναμεν τὰς ἑαυτῶν ψυχάς, τοῦτο δὲ τοὺς στεναγμοὺς τῶν χηρῶν, τοῦτο δὲ τοὺς κονδυλισμοὺς τῶν πενήτων, τὰς ἁρπαγὰς τῶν πτωχῶν· οὐ μόνον δὲ ταῦτα καὶ τὰ τούτοις ὅμοια, ἀλλ' εἴ τι καὶ ἐν διανοίᾳ ἄτοπον διεπράξαμεν· ὅτι Αὐτός ἐστιν ἐνθυμήσεων δικαστής, καὶ ἐννοιῶν κριτής· καὶ πάλιν, Ἐτάζων καρδίας καὶ νεφρούς, καὶ ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. ἔστι δέ μοι ὁ λόγος, οὐ πρὸς τοὺς ἐν τῷ βίῳ ἐξεταζομένους μόνον ἐστίν, ἀλλὰ καὶ πρὸς τοὺς ἐν τοῖς ὄρεσι τὰς ἑαυτῶν καλύβας πηξαμένους, τοῦ μοναδικοῦ ἕνεκεν βίου· ὅτι οὐ μόνον τὰ σώματα αὐτῶν οἱ τοιοῦτοι φυλάττειν ὀφείλουσιν ἀπὸ μολυσμοῦ πορνείας, ἀλλὰ καὶ τὴν ψυχὴν ἀπὸ πάσης σατανικῆς πλεονεξίας. οὐ γὰρ γυναιξὶ μόνον διαλέγεται ὁ ἀπόστολος Παῦλος, ἀλλὰ καὶ ἀνδράσι, καὶ ὁλοκλήρῳ τῇ ἐκκλησίᾳ, ὅτι φησί, τὴν παρθενευομένην ψυχὴν εἶναι δεῖ ἁγίαν, καὶ σώματι καὶ πνεύματι. καὶ πάλιν· Παραστήσατε τὰ σώματα ὑμῶν παρθένον ἁγνήν. ἁγνὴν δὲ πῶς; Μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα· ἐπεὶ κἀκεῖναι αἱ παρθένοι αἱ τὰς λαμπάδας ἔχουσαι ἐσβεσμένας, παρθένοι ἦσαν τῷ σώματι, ἀλλ' οὐχ ἁγναὶ τῇ καρδίᾳ· ἀλλ' εἰ καὶ μὴ ἀνὴρ αὐτὰς διέφθειρεν, ἀλλ' ὁ τῶν χρημάτων διέφθειρεν ἔρως. τὸ σῶμα αὐτῶν ἦν καθαρόν, ὅμως ἡ ψυχὴ αὐτῶν πολλῆς ἦν ἐμπεπλησμένη τῆς μοιχείας, πονηρῶν λογισμῶν εἰς αὐτὰς χωρησάντων, τῆς τε φιλοχρηματίας, καὶ ἀσπλαγχνίας, καὶ ὀργῆς, καὶ φθόνου, καὶ ἀργίας, καὶ λήθης, καὶ ὑπερηφανίας, λυμαινομένων πάντων τὴν σεμνότητα τῆς παρθενίας αὐτῶν. διὸ καὶ ὁ Παῦλος ἔλεγεν· Ἵνα ἡ παρθένος ᾖ ἁγία καὶ σώματι, καὶ πνεύματι.

Λουκ. ιγ. λδ. λε.

Εβρ. δ. ιβ.
Ιερ. ιζ. ι.

α. Κορ ζ λδ.
β. Κορ ια. β.
Εφ. ε. κζ.

πνεύματι. καὶ πάλιν, παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. ὥσπερ γὰρ τὸ σῶμα ὑπὸ μοιχῶν διαφθείρεται· οὕτω καὶ ἡ ψυχὴ ὑπὸ λογισμῶν σατανικῶν μιαίνεται, ὑπὸ δογμάτων διεφθαρμένων, ὑπὸ νοημάτων ἀτόπων. ὁ γὰρ λέγων, παρθένος εἰμὶ τῷ σώματι, τῇ δὲ ψυχῇ ″φθονεῖ τῷ ἀδελφῷ, οὗτος οὐκ ἔστι παρθένος· τὴν γὰρ παρθενίαν αὐτοῦ διέφθειρε τῆς ″παρθενίας μίξις. πάλιν ὁ κενόδοξος οὐκ ἔστι παρθένος· τὴν γὰρ παρθενίαν αὐτοῦ διέφθειρεν ὁ τῆς βασκανίας ἔρως. τὸ γὰρ πάθος εἰσελθὸν, τῆς ψυχῆς ἔλυσεν αὐτοῦ τὴν παρθενίαν. ὁ δὲ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, οὗτος ἀνθρωποκτόνος ἐστὶ μᾶλλον ἢ παρθένος. καὶ ἁπαξαπλῶς ἕκαστος εἰς ὃ κρατεῖται πάθος πονηρὸν, ἐν τούτῳ τὴν παρθενίαν αὐτοῦ διαφθείρει. διὰ τοῦτο ὁ Παῦλος πάσας τὰς πονηρὰς ταύτας ἐξώρισε μίξεις, καὶ κελεύει παρθένους ἡμᾶς εἶναι οὕτως, ὡς μηδένα λογισμὸν ἐναντίον παραδέχεσθαι ἑκουσίως τῇ ψυχῇ. πῶς οὖν πρὸς ταῦτα λέγωμεν; πῶς ἐλεηθῶμεν; πῶς σωθῶμεν; ἐγὼ λέγω. τὴν εὐχὴν ἐν τῇ καρδίᾳ ἀναλάβωμεν πάντοτε, καὶ ὄψει ταύτης καρπούς· λέγω δὴ τὴν ταπεινοφροσύνην καὶ πρᾳότητα. Μάθετε γὰρ, φησιν, ἀπ᾽ ἐμοῦ, ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. καὶ πάλιν ὁ Δαβίδ· Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. οὐδὲν γὰρ οὕτως ἀποδέχεται ὁ Θεὸς καὶ ἀγαπᾷ, ὡς ψυχὴν πρᾳον καὶ ταπεινόφρονα καὶ εὐχάριστον. βλέπε οὖν καὶ σὺ, ἀδελφὲ, ἐπὰν ἴδῃς τι τῶν ἀδοκήτων περιπεσὸν καὶ ἐνοχλοῦν σοι, μὴ πρὸς ἀνθρώπους καταφύγῃς, καὶ πρὸς θνητὴν ἴδῃς βοήθειαν, ἀλλὰ πάντας παραδραμὼν ἀνάδραμε τῇ διανοίᾳ σου πρὸς τὸν ψυχῶν ἰατρόν. καρδίαν γὰρ θεραπεῦσαι ἐκεῖνος μόνος δύναται, ὁ πλάσας καταμόνας τὰς καρδίας ἡμῶν, καὶ συνιεὶς πάντα τὰ ἔργα ἡμῶν· αὐτὸς δύναται εἰς τὸ συνειδὸς ἡμῶν εἰσελθεῖν, καὶ τῆς διανοίας ἅψασθαι, καὶ παρακαλέσαι τὴν ψυχήν. ἐὰν δὲ ἐκεῖνος μὴ παρακαλέσῃ τὰς καρδίας ἡμῶν, τὰ παρὰ ἀνθρώπων περιττὰ καὶ ἀνόνητα· ὥσπερ πάλιν τοῦ Θεοῦ παρακαλοῦντος καὶ παραμυθουμένου, κἂν μυρία ἄνθρωποι παρενοχλῶσιν, οὐδὲ εἰς τὸ τυχὸν ἡμᾶς παραβλάψαι δυνήσονται. ὅταν γὰρ ἐκεῖνος στερεώσῃ καρδίαν, οὐδεὶς αὐτὴν διασεῖσαι δύναται.

Ματθ ια. κθ.

Ψαλ. ν. ιθ.

Ταῦτ᾽ οὖν εἰδότες, ἀγαπητοὶ, ἀεὶ πρὸς τὸν Θεὸν καταφεύγωμεν, τὸν καὶ βουλόμενον λῦσαι ἡμῶν τὰς συμφοράς. ἀνθρώπους μὲν γὰρ ὅταν δέῃ παρακαλέσαι, καὶ πυλωροῖς ἡμᾶς συντυχεῖν ἀνάγκη πρότερον, καὶ παρασίτοις καὶ κόλακας παρακαλέσαι, καὶ ὁδὸν πολλὴν ἀπελθεῖν. ἐπὶ δὲ τοῦ Θεοῦ οὐδὲν τοιοῦτόν ἐστιν· ἀλλὰ χωρὶς μεσίτου παρακαλεῖται, χωρὶς χρημάτων, χωρὶς δαπάνης ἐπινεύει τῇ δεήσει. ἀρκεῖ μόνον βοῆσαι τῇ καρδίᾳ, καὶ δάκρυα προσενέγκαι, καὶ εὐθέως εἰσελθὼν αὐτὸν ἐπισπάσῃ. καὶ ἀνθρώπους μὲν παρακαλοῦντες, πολλάκις δεδοίκαμεν, μή τις τῶν ἐχθρῶν παρὼν, ἢ ″φίλος, ἢ τις τῶν ἀντιδίκων ἀκούσῃ τοῦ πράγματος, καὶ ″ἄλλος ἐκφάνῃ τὰ λεγόμενα, καὶ διαφθείρῃ τὸ δίκαιον· ἐπὶ δὲ τοῦ Θεοῦ οὐδὲν ″τούτων ὑπομνῆσαι. ὅταν γὰρ βούλῃ με, φησὶ, παρακαλέσαι, μόνος μοι πρόσελθε, μηδενὸς παρόντος· τουτέστι, τῇ καρδίᾳ βόησον, μὴ κινῶν τὰ χείλη. Εἴσελθε γὰρ, φησὶν, εἰς τὸ ταμιεῖόν σου, ἀπόκλεισον τὴν θύραν σου, καὶ πρόσευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ· καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ. ὅρα τιμῆς ὑπερβολήν. ὅταν με παρακαλῇς, φησὶ, μηδεὶς βλεπέτω· ὅταν δὲ ἐγώ σε τιμῶ, τὴν οἰκουμένην φέρω μάρτυρας τῆς εὐεργεσίας. πειθώμεθα τοίνυν, καὶ μὴ πρὸς ἐπίδειξιν εὐχώμεθα, μηδὲ κατὰ τῶν ἐχθρῶν τῶν ἡμετέρων, καὶ μὴ τὸν τρόπον τῆς βοηθείας διδάσκωμεν αὐτόν. εἰ γὰρ ἀνθρώποις τοῖς συνηγοροῦσι καὶ ῥητορεύουσιν ἐπὶ τῶν ἔξωθεν δικαστῶν, τὰ πράγματα τὰ ἡμέτερα λέγομεν μόνον, τὸν δὲ τρόπον τῆς συμμαχίας ἐκείνοις καταλιμπάνομεν, ὅπως ἂν βούλοιντο διαθεῖναι τὰ ἡμέτερα· πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ τοῦτο χρὴ ποιεῖν. εἶπες αὐτῷ τὴν δίκην τὴν σὴν, εἶπες ἅπερ ἔπαθες; μηκέτι λέγε τὸ καὶ πῶς βοηθῆσαι. αὐτὸς γὰρ οἶδεν

Ματθ. ϛ. ϛ.

ἀκριβῶς τὸ συμφέρον σοι. εἰσὶ δὲ πολλοί, οἵτινες μωρίας γέμουσας ἀπευθύνουσι τὰς εὐχὰς ἐκείνας, λέγοντες· Κύριε, δὸς μοι ὑγείαν σώματος, διπλασίασόν μοι τὰ ὑπάρχοντα, ἄμυνόν μοι τὸν ἐχθρόν· ὅπερ πολλῆς ἀλογίας ἐστὶ πεπληρωμένον. διὸ χρὴ ταῦτα πάντα ἀφέντας, ἱκετεύειν καὶ παρακαλεῖν μόνον κατὰ τὸν τελώνην τὸν λέγοντα· Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· καὶ αὐτὸς οἶδε λοιπὸν πῶς σου ἀντιλήψεται. Ζητεῖτε γάρ, φησί, πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. οὕτως οὖν, ἀγαπητοί, φιλοσοφῶμεν, μετὰ πόνου καὶ ταπεινώσεως τύπτοντες ἑαυτῶν τὰ στήθη καθάπερ ἐκεῖνος· καὶ ἐπιτευξόμεθα ὧνπερ αἰτούμεθα. ἐὰν δὲ θυμοῦ καὶ ὀργῆς πεπληρωμένοι προσευχώμεθα, βδελυκτοὶ καὶ μισητοὶ παρὰ τῷ Θεῷ εὑρισκόμεθα. συντρίψωμεν οὖν ἡμῶν τὴν διάνοιαν, καὶ ταπεινώσωμεν ἡμῶν τὰς ψυχάς, καὶ εὐχώμεθα ὑπέρ τε ἑαυτῶν, καὶ ὑπὲρ τῶν λυπησάντων ἡμᾶς. εἰ γὰρ βούλει τὸν δικαστὴν ἐπισπάσασθαι πρὸς βοήθειαν τῆς σῆς ψυχῆς, καὶ τοῦ σοῦ μέρους αὐτὸν ποιῆσαι, μηδέποτε αὐτῷ ἐντύγχανε κατὰ τοῦ λελυπηκότος. τοιοῦτος γάρ ἐστι τοῦ δικαστοῦ ὁ τρόπος· ἐκείνοις μάλιστα ἐπινεύει, καὶ δίδωσι τὰ αἰτήματα, τοῖς ὑπὲρ τῶν ἐχθρῶν εὐχομένοις, τοῖς μὴ μνησικακοῦσι, τοῖς μὴ ἐπιτιθεμένοις τοῖς ἐχθροῖς αὐτῶν. καὶ ὅσοι οὕτω ποιοῦσι τοῦτο, τοσοῦτον ἐκείνοις ὁ Θεὸς ἐπεξέρχεται, ἐὰν μὴ μεταβληθῶσιν εἰς μετάνοιαν. βλέπετε οὖν, ἀδελφοί, ὅταν τις ἀτιμία ἡμῖν ἐπενεχθῇ παρά τινος, μὴ εὐθέως δυσχεραίνωμεν καὶ ἀθυμῶμεν, ἀλλ' εὐχαριστῶμεν φιλοσοφοῦντες, καὶ ἀναμένοντες τὴν βοήθειαν τοῦ Κυρίου. μὴ γὰρ οὐκ ἠδύνατο βίον ἡμῖν ἀνώδυνον χαρίσασθαι ὁ Θεός, πρὸ τῆς αἰτήσεως διδόναι ἡμῖν τὰ ἀγαθά, καὶ πάσης θλίψεως κεχωρισμένον; ἀλλ' ἀμφότερα ἀπὸ φίλτρου ποιεῖ. τί γὰρ παραχωρεῖ θλίβεσθαι ἡμᾶς, καὶ οὐκ ἐπάγει ταχέως ἀπαλλαγήν; διὰ τί; ἵνα αὐτῷ προσεδρεύωμεν, αἰτούμενοι τῆς παρ' αὐτοῦ βοηθείας, καὶ αὐτῷ προσφεύγωμεν, καὶ συνεχῶς αὐτὸν καλῶμεν εἰς ἀντίληψιν ἡμῶν. διὰ τοῦτο οὖν ἀλγηδόνες σώματος, διὰ τοῦτο ἀπορίαι καρπῶν, διὰ τοῦτο λιμοί, ἵνα ἀπὸ τῶν θλίψεων τούτων πάντοτε πρὸς αὐτὸν ἐγκρεμώμεθα, καὶ οὕτω διὰ τῶν προσκαίρων θλίψεων τὴν αἰώνιον ζωὴν κληρονομήσωμεν. ὥστε οὖν καὶ ὑπὲρ τούτων εὐχαριστεῖν ὀφείλομεν τῷ Θεῷ, τῷ διὰ πολλῶν μεθόδων ἰωμένῳ καὶ σώζοντι τὰς ψυχὰς ἡμῶν. ἄνθρωποι μὲν γὰρ ἐὰν τυχὸν εὐεργετήσωσιν ἡμᾶς ποτε, εἶτα ἄκοντες αὐτοὺς λυπήσωμεν τι μικρόν, εὐθὺς ὀνειδίζουσι τὴν εὐεργεσίαν προφέροντες, ὡς πολλοὺς καταρᾶσθαι ἑαυτούς, ὅτι ὅλως παρ' αὐτῶν εὐεργετήθησαν. ὁ δὲ Θεὸς οὐχ οὕτως· ἀλλὰ μετὰ τὰς εὐεργεσίας καταφρονούμενος καὶ ὑβριζόμενος, ἀναμένει καὶ ἀπολογεῖται, καὶ εὐθύνας παρέχει τοῖς ὑβρικόσιν αὐτόν, οὑτωσὶ λέγων· Λαός μου, τί ἐποίησά σοι; αὐτοὶ Θεὸν οὐκ ἐβούλοντο αὐτὸν καλεῖν· καὶ αὐτὸς οὐ διέλειπε λαὸν αὐτὸν ὀνομάζειν. αὐτοὶ παρῃτοῦντο τὴν δεσποτείαν· αὐτὸς δὲ οὐκ ἠρνεῖτο αὐτούς, ἀλλ' ᾠκειοῦτο, καὶ πρὸς ἑαυτὸν εἷλκε, λέγων· Λαός μου, τί ἐποίησά σοι; ἢ τί παρηνώχλησά σοι; μὴ φορτικός σοι, φησίν, ἐγενόμην, ἢ βαρὺς καὶ ἐπαχθής; ἀλλ' οὐδὲ τοῦτο ἔχεις εἰπεῖν. εἰ γὰρ καὶ τοῦτο ἦν, οὐδὲ οὕτως ἔδει σε ἀποσκιρτῆσαι. Τίς γάρ ἐστιν υἱός, ὃν οὐ παιδεύει πατήρ; ἀλλ' ὅμως οὐδὲ τοῦτο ἔχετε εἰπεῖν. καὶ πάλιν ἀλλαχοῦ· Τί εὕροσαν οἱ πατέρες ὑμῶν ἐν ἐμοὶ πλημμέλημα; μέγα καὶ θαυμαστὸν τὸ εἰρημένον. ὃ γὰρ λέγει, τοιοῦτόν ἐστι· τί ἥμαρτον, φησίν; ὁ Θεὸς λέγει τοῖς ἀνθρώποις, τί ἥμαρτον; ὅπερ οὐδὲ δοῦλοι τὸν δεσπότην φθέγξασθαι ἀνέχονται. καὶ οὐ λέγει, τί ἥμαρτον εἰς ὑμᾶς; ἀλλ', εἰς τοὺς πατέρας ὑμῶν. ἀλλ' οὐδὲ τοῦτο, φησίν, ἔχετε εἰπεῖν, ὅτι πατρικὴν εἰς ἐμὲ τηρεῖτε ἔχθραν. οὐδὲ γὰρ τοὺς προγόνους ὑμῶν ἐγκαλέσαι ποτὲ ἀφῆκα τῇ ἐμῇ προνοίᾳ, ἐν μικρῷ ἢ μεγάλῳ παρειδὼν αὐτούς. καὶ οὐκ εἶπεν ἁπλῶς, ὅτι ἔσχον οἱ πατέρες ὑμῶν; ἀλλά, τί εὗρον; πολλὰ ζητήσαντες, πολλὰ περιελθόντες, ἐν τοσούτοις ἔτεσιν ὑπὸ τὴν ἐμὴν ἀρχὴν γενόμενοι, οὐδὲν εὗρον ἐν ἐμοὶ πλημμέλημα. διὰ δὴ ταῦτα πάντα συνεχῶς πρὸς αὐτὸν καταφεύγωμεν, καὶ ἐν πάσῃ ἀθυμίᾳ ζητῶμεν τὴν παραμυθίαν αὐτοῦ, ἐν πάσῃ συμ-

Λυκ. ιη. ιγ.

Ματθ. ς. λγ.

Μιχ. ς. γ.

Ἑβρ. ιβ. ζ.

Ιερ. β. ε.

φορᾶς τὴν αὐτοῦ λύσιν, τὸν αὐτοῦ ἔλεον, ἐν παντὶ πειρασμῷ τὴν αὐτοῦ βοήθειαν. οὐ γὰρ ἐὰν ᾖ δεινόν, οὐδ᾽ ἐὰν ᾖ μέγεθος συμφορᾶς, πάντα καὶ λῦσαι καὶ παραγαγεῖν δύναται· οὐ μόνον δέ, ἀλλὰ καὶ πᾶσαν ἀσφάλειαν, καὶ δύναμιν, καὶ δόξαν ἀγαθήν, καὶ ὑγίειαν σώματος, καὶ φιλοσοφίαν ψυχῆς, καὶ ἐλπίδας χρηστάς, καὶ τὸ μὴ ταχέως ἁμαρτάνειν ἡ ἀγαθότης αὐτοῦ παρέξει ἡμῖν. μὴ οὖν κατὰ τοὺς ἀγνώμονας γογγύζωμεν, μηδὲ τὸν δεσπότην κατηγορήσωμεν, ἀλλ᾽ ἐν πᾶσιν εὐχαριστῶμεν· καὶ εἰ μόνον δεινὸν εἶναι νομίζωμεν, τὸ εἰς αὐτὸν ἐξαμαρτάνειν. καὶ ἐὰν οὕτω πρὸς τὸν Θεὸν διατιθῶμεν, οὐ νόσος, οὐ πενία, οὐκ ἀτιμία, οὐκ ἀπορία καρπῶν, οὐκ ἄλλο οὐδὲν τῶν δοκούντων εἶναι λυπηρῶν διαδέξεται ἡμᾶς, ἀλλὰ καθαρὰν ἡδονὴν καὶ ἁγίαν καρπούμενοι διαπαντός, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτευξόμεθα, διὰ τῆς χάριτος καὶ φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ δόξα, σὺν τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ, ΚΑΙ ΕΙΣ ΗΡΩΔΗΝ ΚΑΙ ΙΩΑΝνην τὸν Βαπτιστήν. Λογ. πε.

ΦΕρε δή, καὶ τῶν ἡμετέρων κρότων τὴν ὑμετέραν παραμιμήσωμεν λυσιτέλειαν· μικρόν τι τὴν ἐκκλησίαν καὶ περὶ πολιτείας ἠθικῆς ὑπομνήσαντες διαλεχθῶμεν ἐν ὑμῖν, ἐξ ὧν ἐλάχιστος μὲν ἀναπέμπεται τῷ λέγοντι κρότος, πλεῖστος δὲ τοῖς ἀκούουσιν ἐγγίνεται τῆς κατὰ ψυχὴν σωτηρίας ὁ πόθος. καλὸς μὲν γὰρ καὶ ὁ περὶ πίστεως λόγος, καὶ πρέπων φιλοθέοις ψυχαῖς· καὶ ὅταν ἴδωμεν ὑμῶν τὸν ζῆλον ἐγηγερμένον ἐν ταῖς περὶ πίστεως ἀκροάσεσι, τὸ φιλοδέσποτον τῆς ὑμετέρας ψυχῆς ἀκριβῶς καταμανθάνομεν. δεινὸς μὲν γὰρ οἰκέτης κατήγορος δεσπότου· εὔνους δὲ οἰκέτης χαίρει τοῦ δεσπότου παρὰ πάντων ἐπαινουμένου. διόπερ ἡ περὶ τοὺς ἐπαίνους τοῦ δεσπότου προθυμία, τῆς οἰκετικῆς εὐνοίας ἀπόδειξιν ἔχει. καλὸν δὲ καὶ τὸ ἀγγεῖον ἐκσμήχειν τῆς ψυχῆς· ἵνα διὰ τῆς ἠθικῆς διδασκαλίας προκαθαρθέν, δεκτικὸν τοῦ μύρου τῆς θεολογίας εὑρίσκηται. εἰς γὰρ ἀκάθαρτον ψυχήν, φησίν, οὐκ εἰσελεύσεται παιδεία. ἔστι δὲ ἡμῖν ὁ περὶ πολιτείας λόγος σφόδρα δεόμενος ἀκριβοῦς ἐξετάσεως. ἐὰν γὰρ ἐλπίδας ὑποτείνω μετανοίας, δέδοικα μή τις χαυνωθεὶς ἐλπίδι τῆς μελλούσης μετανοίας, καταρραθυμήσῃ τῆς πολιτείας. ἐάν τε πάλιν ἀποκλείσω τὰς τῆς μετανοίας ἐλπίδας, δέδοικα μή τις ἀπαλγήσας παραδῷ τὸ σῶμα ταῖς ἐπιθυμίαις. ἴσον γὰρ εἰς ἡδυπαθείας προτροπὴν καὶ ῥαθυμία ψυχῆς ἡδοναῖς χαυνουμένης, καὶ μετανοίας ἀπόγνωσις. διόπερ ὁ λόγος ἡμῖν διαιρείσθω διχῇ· πρός τε τοὺς ὑγιαίνοντας, καὶ τοὺς ἀρρω-

α. Κορ. ι. ιϛ. στοῦντας. Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ· ὁ φθάσας ὀλισθῆσαι, προλαβέτω τὸ πτῶμα τῇ μετανοίᾳ· ὁ καὶ καταπεσεῖν κινδυνεύσας, μὴ καταρραγήτω· εἰ δέ τις καὶ προλαβὼν καταρραγῇ, τῆς τοῦ ἀνορθοῦντος τοὺς κατερραγμένους φιλανθρωπίας μὴ ἀπογνώτω. ἔστιν

Ψαλ. οβ. β. ἐνίοτε σαλευθῆναι· Παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες. ἔστι καὶ σαλευθέντα βοηθηθῆναι

Ψαλ. ϟγ. ιη. παρὰ τοῦ δεσπότου· Εἰ ἔλεγον, σεσάλευται ὁ πούς μου, τὸ ἔλεός σου, Κύριε, ἐβοήθει μοι. ἔστι μὴ σαλευθῆναι μόνον, ἀλλὰ καὶ ὠσθῆναι, καὶ κινδυνεῦσαι πρὶν ἢ κατενεχθῆναι· ἀλλ᾽ οὐδὲ τοῦτον

Ψαλ. ριζ. ιγ. παρορᾷ ὁ Θεός. Ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ Κύριος ἀντελάβετό μου. ἆρ᾽ οὖν ὁ πεσὼν ἀπόλωλε παντελῶς; οὐδαμῶς.

* * * *

Ψαλ. ρμδ. ιδ. Ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας, καὶ ἀνορθοῖ πάντας τοὺς κατερραγμένους. ταῦτα (μοι δοκεῖ) καὶ ἡ ψαλμῳδία καλῶς ἐνδεικνυμένη, πρὸς ἀπόγνωσιν ἡμᾶς μετανοίας

Ψαλ. ζ. ιβ. οὐκ ἤγαγε. λέγουσα γὰρ περὶ τοῦ Θεοῦ, φησίν· Ὁ Θεὸς κριτὴς δίκαιος. μὴ καταφρονήσης τῆς λέξεως. δικαιοσύνη γάρ ἐστιν ἐξ ἴσου κατ' ἀξίαν διανεμητική. πρῶτον ἄκουσον ὅτι δίκαιος, καὶ προπαρασκευάζου πρὸς ἀπολογίαν. Εἶτα, ἐπειδὴ λυπεῖται πολλάκις πρὸς ὑπόνοιαν· Εἰ τοίνυν δίκαιος ὁ Θεός, πῶς οὐκ εὐθὺς ἀνταποδίδωσι τοῖς ἁμαρτάνουσιν; ὁ δεῖνα ἄδικος, καὶ εὐθηνεῖται· ὁ δεῖνα βίαιος, καὶ πλουτεῖ· ὁ δεῖνα ἀσελγής, καὶ δυναστεύει· πῶς

* * * *

δικαίως μὲν δικάζει, ἀσθενεῖ δὲ τὴν οἰκείαν ἀπόφασιν ἀγαγεῖν εἰς ἔργον; ἆρ' οὖν μὴ δι' ἀσθένειαν ἡ ἀναβολὴ τῆς τιμωρίας; μὴ γένοιτο. τί γὰρ εὐθὺς ἐπάγει; Ὁ Θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρός. οὐκοῦν ὡς δίκαιος μὲν, οἶδε τὸ δίκαιον· ὡς δὲ ἰσχυρός, δύναται τὸ νοηθὲν ἀγαγεῖν εἰς ἔργον. τί οὖν τῆς ἀναβολῆς τῶν ἁμαρτημάτων τὸ αἴτιον; τίς ἡ τῆς τιμωρίας ἀναβολή; δίκαιός ἐστιν, οἶδε τὸν ἁμαρτάνοντα· ἰσχυρός ἐστιν, ἐπαγαγεῖν δύναται τῇ ψήφῳ τὸ τέλος. τίς οὖν ἡ τῆς ἀναβολῆς αἰτία; ὁ Θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος. καὶ ἑρμηνεύει τί τὸ μακρόθυμος· Μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν. Ψαλ. ζ. ιϛ. μικρόν ἐστι κατὰ τὴν λέξιν ὑπερβατόν· μὴ καθ' ἑκάστην ἡμέραν ὀργὴν ἐπάγων. καὶ ἵνα γνῷς ὅτι περ ἡ ἀναβολὴ τῆς τιμωρίας ἀναμένει σου τὴν μετάνοιαν· Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει. Ψαλ. ζ. ιγ. ἐὰν μὴ ἐπιστραφῆτε. οὐκοῦν ἐὰν ἐπιστρέψωμεν, οὐκ εὐθὺς τῆς τομῆς πεῖραν δεχόμεθα. καὶ βούλει τὸ φιλάνθρωπον ἰδεῖν τῆς ὑπερβολῆς; τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει. οὔπω εἶπεν, ὅτι τῇ ῥομφαίᾳ κατὰ τὸ σῶμα χρήσεται, ἀλλά, στιλβώσει· ἵνα τὴν λαμπηδόνα τῆς ῥομφαίας θεασάμενος, προλάβῃς τῇ μετανοίᾳ τὴν τομὴν τῆς ῥομφαίας. τῇ στιλβώσει φοβεῖ, καὶ οὐ τέμνει. ὁ φόβος συστελλέτω, τὴν τομὴν φθανέτω σου ἡ μετάνοια. καὶ ἵνα διὰ πάντων γνῷς τοῦ κριτοῦ τὸν σκοπόν, Τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό· καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου. Ψαλ. ζ. ιδ. οὐχ ἱκανὸν φοβῆσαι τὸ ῥῆμα; οὐ διέγραψε διὰ τῶν λόγων τὸ ἀσώματον; τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό, καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου· τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο. ἐνταῦθα καθάπερ τις γραφεὺς ὑπ' ὄψιν ἤγαγε τὸν κριτήν. ἐννόησόν μοι τὸ τόξον τεταμένον, τὰς χεῖρας διεσκευασμένας· τὴν μὲν ὠθουμένην τὸ τόξον, τὴν δὲ ἑτέραν ἐπισπωμένην τὴν νευράν· τὸ βέλος ἄκροις δακτύλοις παρὰ τοῦ κριτοῦ κατεχόμενον. διατέταται τὸ τόξον, τὸ βέλος ἕτοιμον, ὁ κριτὴς εὐπρεπής. μήτε καταφρονήσῃς τοῦ τόξου· τέταται γάρ· μήτε ἀπογνῷς μετανοίας· τὸ γὰρ βέλος οὔπω βέβληται. ἀλλὰ μὴ χαυνωθῇς διὰ τὴν ὑπερβολὴν τῆς μακροθυμίας, μηδὲ βουληθῇς ἀεὶ παρακατέχειν σαυτὸν ταῖς ἡδοναῖς. μὴ εἴπῃς, τέως ἀπολαύσω τῆς ἐπιθυμίας, τέως χρήσομαι τῇ νεότητι, ἥξει μετ' ὀλίγον μετανοίας καιρός, αὔριον μετανοήσω, περὶ τὸ γῆρας ἀσφαλίσομαι τὴν ζωήν. μάταιοι οἱ τοιοῦτοι διαλογισμοί, σαθρά σου τὰ τῆς ἐπιθυμίας βουλεύματα, πονηρῷ κέχρησαι συμβούλῳ τῇ ἡδονῇ. λέγεις, ποιήσω τὴν ἁμαρτίαν σήμερον, καὶ αὔριον μετανοήσω. κύριος γὰρ εἶ τῆς αὔριον;

* * * *

Διὰ τοῦτο καλῶς ὁ θεῖος λόγος διαφόρως ἡμᾶς εἰς ἀνάκλησιν τῆς ἁμαρτίας ἀνακαλοῦμεν. Σήμερον, φησίν, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, Ἑβρ. γ. ζ. ιγ. ὡς ἐν τῷ παραπικρασμῷ· καί, Παρακαλεῖτε ἀλλήλους, ἕως οὗ τὸ σήμερον καλεῖται. ποιεῖ γὰρ καὶ τοῦτο ὁ διάβολος πολλάκις κακοτέχνως. ὅταν ἴδῃ ψυχὴν ἀρξαμένην αἰσθάνεσθαι τῶν ἁμαρτημάτων, ἀρξαμένην νοεῖν τῆς τιμωρίας τὸ τέλος, τοιούτους ἐμβάλλει λογισμούς· νεώτερός εἰμι, καιρὸν ἔχω μετανοίας, τέως σήμερον παρακατάσχω, τὴν χρείαν τέως τῆς

* * *

καὶ οὕτω καθ' ἑκάστην ἡμέραν τὸ μὲν σήμερον ἐν ταῖς ἐπιθυμίαις κατέχων, τὸ δὲ αὔριον ἐν ταῖς ἐλπίσι τῆς μετανοίας ὑποδεικνύς, παραναλίσκει σου τὸν βίον καθ' ἡμέραν ἁμαρτάνοντος. ἀλλὰ σὺ στράτευσαι κατὰ τῆς ἡδονῆς· ἄκουσον τοῦ Κυρίου κράζοντος σήμερον· Ἴσθι εὐνοῶν τῷ Ματθ. ε. κε.

ἀντιδίκῳ σου, ἕως ὅτου εἶ μετ' αὐτοῦ ἐν τῇ ὁδῷ. καλὸν μὲν οὖν καὶ καθάπαξ καὶ πρὸς τοὺς φιλοπραγμοσύνης ἐραστὰς, ἵνα μηδὲ δίκας φιλονεικότερον ἐγυμνάζωσι. βέλτιον γὰρ καὶ ἐν δίκαις προλαβεῖν φιλικαῖς διαλύσεσι τὸ τῆς δίκης ἄδηλον τέλος, ἢ ταῖς ἐλπίσι τῆς νίκης ἐπερειδομένους ἀδήλῳ καταπιστεῦσαι πελάγει. ἀναγινώσκεις σὺ τὰ γραμματεῖα, θαρσεῖς ταῖς ἐκβάσεσιν· ὁ συνήγορος κοιλάνας τὴν χεῖρα τῷ λήμματι, ἐγγυᾶται τὴν νίκην, ἵνα προσφιλῆται μισθαρνίᾳ. ἐνίοτε δὲ καὶ δικαστὴς προδιεφθαρμένος προεπήγγελταί σοι τῆς δίκης τὸ τέλος. ἀβεβαίοις θαρσεῖς ἐλπίσιν. εἰ γάρ σὺ προλαβὼν προδιέφθειρες τὸν δικάζοντα, ἀλλοτρίοις λήμμασι θύραν ἀνοίξας, νόμιζε τὰ αὐτὰ καὶ τὸν διάδικον μελετᾶν· καὶ πολλάκις ἠρέμα σοι τὰ τῆς δίκης εὔδια πλέοντι πείθουσι χαλάσαι περὶ τὸν πλοῦν τὸ ἱστίον. οὐδέποτε εἶδες θάλασσαν πρὸς αἰγιαλὸν γαλήνην ἔχουσαν, καὶ ἐν τῷ βυθῷ κυμαινομένην; πόσοι μετ' εὐδίας καὶ γαλήνης ἀναπλεύσαντες εἰς τὸ μέσον τοῦ πελάγους, αἰφνιδίοις χειμῶσι χρησάμενοι καὶ κύμασιν ἐναυάγησαν; τοιαῦτα τῆς δίκης τὰ τέλη· ἐνίοτε τὰ προοίμια μετὰ τῶν ἐλπίδων, καὶ τὸ τέλος ἀντίστροφον τὴν ἔκβασιν τῆς ἐλπίδος ἀπενεγκάμενον. καλὸν μὲν οὖν (ὅπερ εἶπον) καὶ τὰς χρηματικὰς δίκας φθάνειν διαλύσεσι φιλικαῖς, ἵνα πρὸς τῷ τέλει τῆς δίκης κυβερνήσῃς τὸν φίλον. ἐγκληματικὰς δὲ μηδὲ διαλύεσθαι γένοιτο, ἀλλὰ μηδὲ τὴν ἀρχὴν ἐγγυμνάζειν· πλὴν ἀλλὰ καὶ ἐκεῖ βέλτιον ἡ φειδὼ τοῦ θυμοῦ. ὅμως οὐ δοκεῖ μοι μόνον περὶ χρημάτων ὁ λόγος ἔχειν τὸ αἴτιον. Ἴσθι, φησὶν, εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχὺ, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ. αὕτη ἡ προσθήκη δίδωσί μοί τι καὶ μεῖζον ἐννοεῖν. εἰ γὰρ περὶ χρηματικῶν δικῶν μόνον ὁ λόγος, ἢ τῶν ἐγκλημάτων τῶν ἀνθρωπίνων ἔλεγε· διὰ τί προσετίθει, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ; τίς γὰρ ἀντίδικος ἀντιδίκῳ συνοδεύειν καταδέχεται; τίς κοινωνία τῆς ὁδοιπορίας; ὁ μὴ κοινωνῶν τῆς γνώμης, οὐ δέδοικε καὶ γραμμάτων κλοπὴν, καὶ μαρτύρων διαφθορὰν, καὶ τὰς κατὰ τὰς λεωφόρους ἐπιβουλάς; οὐκοῦν ὀφείλομεν εὑρεῖν ἀντίδικον τὸν ἀεὶ συνοδεύοντα· οὗ τὴν συνοδίαν καὶ

* * *

Γαλ. ε. ιζ. Ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, καὶ τὸ πνεῦμα κατὰ τῆς σαρκός· ταῦτα δὲ ἀντίκειται ἀλλήλοις. καὶ οὐ Μανιχαίων εἰσάγω λόγον, οὐδὲ ἄλλον λέγω σώματος δημιουργόν· ἀλλ' ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τῇ ἡδονῇ συμβούλῳ χρωμένη· τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκὸς, ταῖς μελλούσαις ἐλπίσιν ἐπερειδόμενον. ἀντίκεινται δὲ ἀλλήλοις ἐπιθυμία κόσμου καὶ ἐπιθυμία βασιλείας τῶν οὐρανῶν· οὗτός ἐστιν ὁ ἀντίδικος ὁ καὶ ἑκόντος καὶ ἄκοντος συνοδεύων. ὁδὸς γὰρ ὁ βίος. ἡ ψυχὴ τὴν ἰδίαν εἰκόνα σπεύδει μιμεῖσθαι· ἡ σὰρξ ἐπὶ τὸν χοῦν καταρρεῖ· ταῦτα διαντίκεινται ἀλλήλοις. τούτῳ τῷ ἀντιδίκῳ σου ἴσθι εὐνοῶν. καὶ πότε

* * *

τούτῳ οὖν ἴσθι τῷ ἀντιδίκῳ σου εὐνοῶν. οὐκ εἶπε, χαριζόμενος, ἀλλ', εὐνοῶν. μὴ τὸ ἡδὺ ποιήσῃς τῷ ἀντιδίκῳ σου, ἀλλ' ὡς εὔνους ἀπὸ τῆς ἡδονῆς εἰς τὴν μετάνοιαν ἀνακαλέσαι. οὐ κελεύει σε ὡς ὀψοποιὸν χρήσασθαι τῷ σώματι πάντα τὰ ἐξ ἡδονῆς ζητοῦντα· ἀλλ' ὡς ἰατρόν. ἰατρὸς γὰρ πολλάκις καὶ πικρὸν κερνᾷ, καὶ τέμνει, καὶ καίει, καὶ προσλυπῶν μισθὸν λαμβάνει. Ματθ. ε. κε. εἰ γὰρ καὶ μικρὸν λυπεῖ τὴν αἴσθησιν, ἀλλὰ σκοπὸς ὑγείας τῷ θεραπευομένῳ. Μήποτέ σε παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ. τῷ μέλλοντι κριτῇ. ὁ ἀντίδικος ᾧ ἐὰν νῦν σὺ χαρίσῃ, τότε εὑρίσκεταί σε παραδιδοὺς ὁ κριτὴς τῷ ὑπηρέτῃ· ταῖς τιμωρητικαῖς δηλαδὴ δυνάμεσι, καὶ εἰς φυλακὴν βληθήσῃ, εἰς τὸ σκότος τὸ ἐξώτερον. φοβερὸς ὁ τόπος. οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν, ἕως ἀποδῷς τὸν ἔσχατον κοδράντην. ἐὰν πρὸ τοῦ θανάτου διαλύσῃς τὸ χρέος, λέλυται· ἐὰν ὀφείλων ἀπέλθῃς, καὶ τὸ ἐγκατάλειμμα τῶν ἐλαχίστων Ψαλ. οε. ι. ὀφλημάτων ἀπαιτηθήσῃ. τί ἐστι, τὸν ἔσχατον κοδράντην; Ὅτι ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι, καὶ ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοι. ταῦτα εἰδότες, ἀδελφοὶ, πα-

ράλληλα

παρ' ἄλληλα θέσθε τὰς ἡδονὰς, καὶ τὴν μέλλουσαν ἡμέραν τῆς κρίσεως, καὶ τὴν τοῦ δικάζοντος ψῆφον· καὶ τότε νοήσετε πῶς πικρὸν ἡ ἡδονὴ, ὅταν γνῶτε πηλίκης πικρίας γίνεται πρόξενος. βούλεσθε μικρόν τι τὴν ἐκκλησίαν ἀπὸ δύω συμποσίων ἀναγεγραμμένων ἐν εὐαγγελίοις νουθετήσωμεν, τί μετὰ τὸ τῶν φιληδόνων τέλος, τίς τε ὁ τῶν μετανοούντων καρπός. καὶ μὴ θαυμάσῃ εἰ καὶ πολλάκις καὶ φιληδόνων συμπόσια γράφει ἡ γραφή. πάντα γὰρ ἀναγράφει, τί φυλάξῃ, τί μιμήσῃ. γράφει τὰ τῶν φιληδόνων, ἵνα διηνεκῶς αὐτοὺς στηλιτεύσῃ, καὶ ἵνα σὺ φύγῃς τὴν μίμησιν· γράφει τὰ τῶν φιλοθέων, ἵνα ἐπιδράμῃς τῇ εἰκόνι τῆς μετανοίας, καὶ θεὶς παρ' ἄλληλα τὸ φιλήδονον καὶ τὸ φιλόθεον, τὸ μὲν ἐκφύγῃς, τὸ δὲ ζηλώσῃς. ἅμα δὲ καὶ διδασκάλιον ἔστω τοῖς συνιοῦσι, τὸ μὴ σφόδρα ταῖς δημοτελέσι θέαις ἐστιᾶν ὑμῶν τοὺς ὀφθαλμοὺς, μηδὲ προχείρως ἐπὶ τὸν ἱππόδρομον τρέχειν, μηδὲ ἐκ νυκτῶν καταλαμβάνειν τὸ θέατρον. μανικὸν γὰρ θεαμάτων ἀσέμνων ἐλπίς. καὶ γὰρ προλαμβάνουσι τὴν ἡμέραν τῷ τάχει τῆς προθυμίας, ἐν νυκτὶ τὸν τοῦ σκότους τόπον καταλαμβάνοντες, ἵνα θεάμασιν ἀσέμνοις τὰς κόρας τέρψωσιν, ἢ θηρίων ἁμίλλας καὶ θηριομάχων θεάσωνται· καὶ κάθηνται πολλάκις ἄνθρωποι θεαταὶ, τὰς ἐννοίας ἐπὶ τὰ θηρία μᾶλλον ἢ τοὺς ὁμοφύλους τρέποντες. καὶ οὐ ταλανίζεις τὸν ἄθλιον, ὃς, ἵνα πληρώσῃ τὴν γαστέρα, εἰς θηρίων αὐτομολεῖ γαστέρα· καὶ ἵνα πληρώσῃ τῆς γαστριμαργίας τὴν νόσον, ἡδέως ταῖς κοιλίαις τῶν

* * *

ἀλλ' ὀρχήσεσι γυναικείαις θρυπτόμενος, καὶ τὰ παρὰ φύσιν μιμούμενος, καὶ λυπούμενος ὅτι μὴ γυνὴ παρὰ τῶν γονέων ἐτέχθη, καὶ τὴν τῆς φύσεως μεταβολὴν φιλοτιμίαν τιθέμενος· καὶ ταῦτα πάντα ποιῶν γαστρὸς ἕνεκα καὶ κέρδους, καὶ τοῖς αἰσχροῖς φιλοτιμούμενος. περὶ ὧν καλὸν εἰπεῖν τὴν τοῦ Παύλου φωνήν· Ὧν ὁ Θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν. μὴ πρὸς ταῦτα συντρέχετε, μὴ τοὺς πόδας ὀξεῖς ἐπὶ τὰ τοιαῦτα βήματα τρέπετε· ἀλλὰ μηδὲ τοῖς συμποσίοις τὰς ἀσέμνους ἡδονὰς ἐπεισάγετε. ἐνίοτε λέγεις, παραιτοῦμαι τὸ θέατρον

Φιλιππ. γ. 19

* * * * *

ἡ τῶν ἀσέμνων θεαμάτων κακία, ἡ διὰ τῶν αἰσθητηρίων τῶν ὀφθαλμῶν, καὶ τῆς ἀκοῆς, ὥσπερ διά τινων θυρίδων, τὸν λῃστὴν ἐπεισάγουσα. ὅταν οὖν παραιτήσῃ τὸ θέατρον, καὶ παρὰ τὴν σαυτοῦ τράπεζαν τὰς τῶν θεαμάτων ἐπεισάγῃς αἰσχύνας· λέληθας τὸν οἶκον σαυτοῦ ποιήσας θέατρον. οὐδὲ γὰρ τοῦ θεάτρου μισῶ τὸν τόπον, ἀλλὰ δέδια τῶν συνιόντων τὸν τρόπον. ἵνα δὲ γνῷς ὅτι καὶ παρὰ συμπόσια θεάματα πολλάκις ἄσεμνα καὶ βλαβερὰ ταῖς ψυχαῖς ἐπεισαγόμενα κατακρίσεως αἴτια γίνεται, ὑπομνήσω σε συμποσίου βασιλικοῦ, μᾶλλον δὲ τυραννικοῦ, τοῦ ἐν τῇ βίβλῳ τῶν εὐαγγελίων ἀναγεγραμμένου. δεῖπνον ἦν βασιλικὸν, μᾶλλον δὲ (εἰ δεῖ τἀληθῆ λέγειν) τυραννικὸν, γενέθλια Ἡρώδου, τῆς μιαρᾶς ἀλώπεκος, τοῦ μιαιφόνου θηρίου, τοῦ δολεροῦ· οὗ τὸν τρόπον καὶ ὁ Κύριος ἐπιστάμενος, οὐκ εἶπεν, Εἴπατε τῷ λέοντι τούτῳ (καίτοι τοῦτο τὸ θηρίον ἐδόκει βασιλικὸν) ἀλλ', Εἴπατε τῇ ἀλώπεκι. Εἰ γὰρ καὶ ἡ ἐξουσία λέοντος, ἀλλ' ὁ τρόπος ἀλώπεκος. συγκροτουμένου δὲ τοῦ συμποσίου, καὶ προελθόντων αὐτῶν εἰς τὸ πίνειν, πάρεισιν ὀρχηστρὶς εἰς τὸ συμπόσιον, αἰσχρὸν θέαμα καὶ ἀδόκιμον, ἐλέγχον μὲν καὶ εἴπερ τινῶν θεάτρων καὶ τῆς σκηνῆς ἐπεισῆλθε βασιλικῷ συμποσίῳ. βούλει γνῶναι τὸ τοῦ συμποσίου θέαμα τὸ αἰσχρόν; ἀπὸ τῶν βασιλείων ἡ ὀρχηστρὶς, θυγάτηρ τῆς Ἡρωδιάδος. βασιλέως τὸ γένος, καὶ ὀρχηστρίδος ὁ τρόπος. αὕτη δέ ἐστιν Ἡρωδιὰς ἡ μηδὲ τοῖς τῆς φύσεως ὅροις ἐμμείνασα· ἡ Φιλίππῳ συναφθεῖσα, καὶ Ἡρώδῃ συνοικοῦσα. αἴνιγμα τὸ λεγόμενον· καὶ εἰς αἰνιγμάτων γὰρ ζήτησιν ἄγει τῆς ἀκολασίας τὸ τέλος. ὁ γὰρ Ἡρώδης παρωσάμενος τὴν πρὸς τὸν ἀδελφὸν μνήμην, καὶ τῆς ἀκολασίας ὅλος δοῦλος γενό-

Λουκ. ιγ. λβ.

μένος, ὁ μὲν Ἰουδαίων βασιλεὺς, ὁ δὲ πλέον δοῦλος τῶν ἡδονῶν. Τάχα οἷοι οἱ βασιλευό-
μενοι, τοιοῦτοι καὶ οἱ δεσπόται. Τοῦ τοίνυν συνοικεσίου τοῦ Ἡρώδου παρανομουμένου, Ἰωάννης
μὲν ὁ μέγας, ὁ τελειότερος προφήτου, μετὰ παῤῥησίας τὴν ἀκολασίαν διήλεγχεν. ὄντως
γὰρ καὶ τελειότερος προφήτου. πᾶς γὰρ προφήτης, ἐν ἕξει τῆς ἡλικίας γενόμενος, τότε
τῆς χάριτος τῆς προφητικῆς ἠξιώθη· ἔνιοι δὲ καὶ πολλοῖς ὕστερον χρόνοις. Ἰωάννης δὲ μόνος ἕξ
ἔτι μηνῶν ἔχων τὴν σύλληψιν ἐν γαστρὶ, καὶ κατὰ τοὺς τῆς φύσεως νόμους τρεφόμενος, τὸν ἐν γα-
στρὶ Θεοῦ, διὰ τοῦ ἀσπασμοῦ τῆς μητρὸς, προσεσκίρτησεν, ἀτελὴς τὰ μέλη, τὴν πίστιν
τέλειος· καὶ τάχα σκιρτᾷ ἐν ἀγαλλιάσει τὸ βρέφος, ἐπειγόμενον (εἰ δυνατὸν) προλαβεῖν
τὴν προθεσμίαν τῆς φύσεως. εἶδε τοῦ δεσπότου μητέρα παροῦσαν· στενοχωρεῖται τῇ φυ-
λακῇ τῆς γαστρὸς, ἐν ἀγαλλιάσει

* * * * *

Οἱ προφῆται τὸν μ[illegible]λον προηγόρευον, καὶ ἐπεθύμουν ἰδεῖν ὃ προέβλεπον τῇ ψυχῇ. διὰ
τοῦτο κεκράγασι· Δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου, καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν. διὰ τοῦτο
Ψαλ. πδ. ζ. Ματθ. ιγ. ιζ. περὶ αὐτῶν ὁ Κύριος εἶπε· Πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ
ἀκοῦσαι ἃ ἀκούετε· καὶ οὐκ εἶδον, οὐδὲ ἤκουσαν. Οἱ μὲν οὖν προφῆται τὸν μέλλοντα προα-
γορεύουσιν· Ἰωάννης δὲ καὶ τὸν προφητευόμενον δείκνυσι. προαγορεύει τὸν μέλλοντα ἐκ τῆς
Ιωαν. κς. κζ. γαστρὸς, καὶ μετὰ ταῦτά φησιν· Οὗ οὐκ εἰμὶ ἄξιος, λέγων, μέσος ὑμῶν ἕστηκε. πῶς δείκνυσι

* * *

μὴ γὰρ Ἰωάννη παρέθηκέ τις βωμὸν καὶ λίβανον; μὴ γὰρ θύματα καὶ σπονδάς; μὴ γὰρ εἶ-
πεν, ἀρνήσαι τὸν Θεόν; μὴ γὰρ εἶπε, θῦσαι τοῖς εἰδώλοις; ἀλλ' ὑπὲρ σωφροσύνης ἐλευ-
θερίῳ παῤῥησιαζόμενος στόματι, μάρτυς τῆς σωφροσύνης εὑρίσκεται. ἵνα γὰρ γνῷς πόσον δύ-
Μαρκ. ϛ. ιη. ναται παῤῥησία προφητική, φησὶ πρὸς τὸν βασιλέα· Οὐκ ἔξεστί σοι ἔχειν τὴν τοῦ ἀδελφοῦ σου
γυναῖκα. βλέπεις πῶς κατὰ φύσιν τῇ ἀρετῇ, τὸ ἄρχειν τῆς κακίας. Ἡρώδης βασιλεὺς,
δορυφόρους ἔχων, πλοῦτον περιβεβλημένος, δυναστεύων βασιλικὴν δυναστείαν· Ἰωάννης πτω-
χὸς, ἀνέστιος, ἄπολις, ἀκτήμων, ἄσιτος, τοσοῦτον ἐσθίων, ὅσον ἡ φύσις βιάζεται. ὁ περιβεβλη-
μένος ἐκ τριχῶν καμήλου, τῷ τὴν πορφυρίδα περιβεβλημένῳ νομοθετεῖ· ὁ ἐν ταῖς ἐρήμοις πο-
ρευόμενος, τῷ τῶν πολυάνδρων ἄρχοντι πόλεων· ὁ ἀκρίδας ἐκ βοτανῶν ἐσθίων καὶ μέλι ἄ-
γριον, τῷ τὴν λαμπρὰν παρατιθεμένῳ καὶ βασιλικὴν τράπεζαν δι' αὐθεντίας προστάτ-
τει· οὐκ ἔξεστί σοι. καίτοι ἐδόκει βασιλεῖ πάντα ἐξεῖναι. ἀλλὰ πάντα ἔξεστιν, ἀλλ' οὐ πάν-
τα συμφέρει. ἐπὶ τούτοις δέον εὐχαριστεῖν, δέον εὐεργετεῖν ἢ κρίνειν τὸν ὑπὲρ σωφροσύνης
διδάσκαλον· παρωξύνθη μὲν ὁ Ἡρώδης, πλέον δὲ παρωξύνθη Ἡρωδιὰς (γείτονες γὰρ τῶν
ὀνομάτων, καὶ τοῦ τρόπου πλέον ὁμόζυγοι· καὶ ἔσονται οἱ δύο, οὐκ εἰς σάρκα μίαν, ἀλλ' εἰς
ἀκρασίαν μίαν) καὶ ὑπὲρ τούτων ἐμβάλλουσι τὸν προφήτην εἰς δεσμωτήριον, ἵνα δείξωσι
Παροιμ. θ. η. τὴν οἰκείαν ἀσυνεσίαν. Ἔλεγχε σοφὸν, καὶ ἀγαπήσει σε· ἀσύνετον δὲ, καὶ προσθήσει τοῦ μι-
σεῖν σε. ἐμβάλλεται τῷ δεσμωτηρίῳ, καὶ οὐ μεταλλάσσει τὴν παῤῥησίαν. λῦσον, φησὶ, τὰ
μέλη· μόνον λῦσον τὸ ἄδικον συνοικέσιον. ἐγκαρτεροῦντος δὲ αὐτοῦ τῷ δεσμωτηρίῳ, γίνεται
τὸ πικρὸν ἐκεῖνο συμπόσιον, τὸ τυραννικὸν καὶ ὠμόν· οὗ τῆς εὐφροσύνης τέλος, προφήτου φό-
νος. εἴσεισιν Ἡρωδιὰς τῆς Ἡρωδιάδος θυγάτηρ, τέκνον τῆς σαρκὸς, τέκνον τῆς ψυχῆς· εἴσ-
εισιν εἰς οἰνωμένον συμπόσιον, ὀρχεῖται δημοσίᾳ ἡ βασίλισσα, ἣν οὐκ ἐχρῆν προκύπτειν
κοιτωνίτιδος, ἣν οὐκ ἐχρῆν ἀῤῥένων ὄψεσι θαρσεῖν. ἀλλὰ τάχα, ὥσπερ Ἰωάννης παρὰ τῆς
μητρὸς πρὸ βραχέος ἐχρήσατο γλώσσῃ, καὶ ἡ κόρη παρὰ τῆς μητρὸς τοὺς ὀφθαλμοὺς
τῆς ἀναισχυντίας ἐχρήσατο. εἴσεισιν εἰς τὸ συμπόσιον. οὐκ ἤρκει τοῦτο τῆς [illegible] ἔχειν
ὑπερβολήν· ἀλλὰ καὶ πῶς εἴσεισιν; ἆρα ὡς βασιλίς; ἆρα σεμνῶς; ἆρα εὐνούχοις,

ἆρα θεραπαινίσιν; ἆρα τῷ ἄλλῳ κόσμῳ καὶ τῇ σεμνότητι προσεκοσμεῖτο; οὐδαμῶς· ἀλλ' εἴσεισιν ὀρχουμένη· κακῆς εἰσόδου χείρων ἡ ὑπόθεσις· καὶ ὠρχήσατο ἐν μέσῳ τοῦ συμποσίου, ἐν τοῖς τῶν ἀκολάστων

* * *

καὶ ἡ ἀλώπηξ οὐκ ἐγκαλύπτεται. βλέπει τοῦ ἀδελφοῦ τὴν θυγατέρα καὶ τῆς κακῶς συνοικούσης ἐν μέσῳ ἀρρένων ὀρχουμένην, καὶ οὐ καλύπτεται, ἀλλὰ καὶ ἀρέσκεται, καὶ ἀρέσκει κἀκείνῳ καὶ τοῖς συνανακειμένοις. Μεθ' ὁσίου ὁσιωθήσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέψεις. ἐβουλόμην αὐτὸν μικρόν τι Παύλῳ μαθητευθῆναι· Ὅλως ἀκούεται ἐν ὑμῖν ὄρχησις, καὶ τοιαύτη ὄρχησις, οἵα τις οὐδὲ ἐν τοῖς ἔθνεσιν, ὡς βασιλέως ὀρχήσασθαι θυγατέρα. καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ, καὶ οὐ μᾶλλον ἐπενθήσατε. ἀλλὰ καὶ ἀρέσκει κακῶς, καὶ μισθὸν λαμβάνει τοῦ κατορθώματος χείρονα, ὥστε τὸν Ἡρώδην ὀμόσαι· Αἴτησον ὃ θέλεις, καὶ δώσω σοι, ἕως ἡμίσους τῆς βασιλείας μου. Ψαλμ. ζ. κη. κθ. α. Κορ. ε. α. Μαρκ. ς. κβ. κγ.

* * * *

βλέπεις πῶς βασιλέων ἀξίωμα φιληδονία κατασύρει πρὸς γῆν; βλέπεις ποῦ τὴν βασιλείαν ἀπέρριψεν; ὃ ἐὰν αἰτήσῃς, δώσω σοι, καὶ ἕως τοῦ ἡμίσους τῆς βασιλείας. τοσούτου κρίνεις τὴν βασιλείαν ἀξίαν, οὕτω προδιεφθάρης τοὺς ὀφθαλμούς· ἅπαξ ὠρχήσατο τὸ κοράσιον, καὶ ἀπέδου τὸ ἥμισυ· ἐὰν δεύτερον ὀρχήσηται, ἰδιώτης ὁ βασιλεύς. ποῦ τὸ τῶν φιληδόνων ἀξίωμα; ποῦ τῶν ἀκολάστων ἡ ἁλουργίς; τὸ ἥμισυ τῆς βασιλείας τοῖς ποσὶ τῆς ὀρχηστρίδος ὑπέρριψας· εὖξαι μὴ πάλιν αὐτὴν ὀρχήσασθαι, ἢ μὴ πάλιν αὐτὴν ὀρχησαμένην εὐδοκιμεῖν. εἰ δὲ μή, λείπεταί σοι τὸ προσαιτεῖν. ἀλλὰ ταύτῃ μὲν ἀκόλαστος ἡ τοῦ μισθοῦ πρότασις· τί δὲ ἡ τῆς ὀρχηστρίδος αἴτησις; οὐκ ἐσχεδίασε τὸ δῶρον, οὐκ ἀπὸ σχεδίου τὸν μισθὸν ᾔτησεν· ἀλλὰ προβιβασθεῖσα ὑπὸ τῆς μητρός, ἀπέρχεται χρήσασθαι συμβούλῳ τοῦ μισθοῦ τῇ κακῇ διδασκάλῳ. καὶ ποῖον ᾔτησε μισθόν; Δός μοι ὧδε ἐξ αὐτῆς ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ. ἆρα μὴ δακρύσω τῆς αἰσχύνης τὴν ὑπερβολήν, τοῦ κατορθώματος τὸ αἰσχρόν, τοῦ βασιλέως τὴν ἐπαγγελίαν, τοῦ μισθοῦ τὴν αἴτησιν; οὐ φρίσσετε λοιπὸν τῶν ὀρχουμένων τὰ τέλη; οὐ βδελύσσετε τῶν κρότων τοὺς λογισμούς; οὐκ ἀποπλύνετε τῶν ἡμιγύμνων τοὺς λογισμούς; τολμᾷς ὀρχηστὴν φίλον ἔχειν; τολμᾷς σεαυτὸν τάττειν ἐραστὴν ὀρχηστοῦ; οὐ μισεῖς τὸ πρᾶγμα, ὅπερ ἀμελούμενον γέλωτα καὶ παρὰ τοῖς θεαταῖς ὀφλισκάνει; ὀφλισκάνει μὲν γέλωτα εἰς ἄκρον δὲ κατορθωθέν, προφήτην φονεύει. μισήσωμεν ὄρχησιν, εὕρεμα δαιμόνων καὶ μητέρα κακοδαιμόνων. ἐπὶ τούτοις ὁ Ἡρώδης ἐλυπήθη· ἐλυπήθη δὲ ἄκρως (ὡς ἂν εἴποι τις) καὶ μιμεῖται τὸν Πιλᾶτον, μᾶλλον δὲ τὸν τρόπον τοῦ Πιλάτου· προσφυέστερον γὰρ τὸ διήγημα. νίπτεται τὰς χεῖρας ἐκεῖνος, καὶ τῇ ψήφῳ τῇ κολαστικῇ παραδίδωσι· λυπεῖται καὶ οὗτος, καὶ διὰ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους ἐπένευσεν. οὐ καλῶς ἔλεγεν ὁ Κύριος σήμερον, Μὴ ὀμόσῃς ὅλως; εἶδες δεσπότου παραίνεσιν· μὴ ὀμόσῃς ὅλως. διὰ τί γὰρ ὀμνύεις, ἢ ἵνα ἐπιορκήσας παγιδεύσῃς αὐτόν, ἢ εὐορκήσας προφήτην φονεύσῃς; κακῶς ὤμοσε, χεῖρον εὐώρκησεν. ὅμως διὰ τοὺς ὅρκους, φησί, καὶ τοὺς συνανακειμένους. τοὺς συνανακειμένους ᾐδέσθης, καὶ τὸν κριτὴν οὐκ ἐφοβήθης; καὶ ἐκέλευσέ, φησι, καὶ παραχρῆμα ἠνέχθη ἡ κεφαλὴ Ἰωάννου τοῦ Βαπτιστοῦ ἐπὶ πίνακος, καὶ ἐδόθη κορασίῳ. ἴδε τοῦ πικροῦ συμποσίου πικρότερον καὶ τὸ τέλος· τέμνεται ἡ κεφαλὴ τοῦ προφήτου, δίδοται τῷ κορασίῳ, καὶ τὸ κοράσιον δέχεται. οὐ φρίττει τὸ θέαμα, οὐ καταπλάγη τὴν κεφαλήν, οὐκ ἀπεστράφη τὰ τῶν αἱμάτων Μαρκ. ς. κε. Ματθ. ε. λδ.

* * *

ἐβόα, οὐκ ἔξεστί σοι ἔχειν αὐτήν· καὶ λαβοῦσα ἀπήνεγκε τῇ μητρὶ αὐτῆς. ἀπέλαβεν ἡ ὀρχηστροδιδάσκαλος τῆς κακῆς διδασκαλίας τὸ ἀσεβὲς κατόρθωμα. τοῦτο μὲν οὖν ἀναγκαίως

μένος, ὁ μὲν Ἰουδαίων βασιλεύς, ὁ δὲ πλέον δοῦλος τῶν ἡδονῶν. Τάχα οἷοι οἱ βασιλευόμενοι, τοιοῦτοι καὶ οἱ δεσπόται. Τοῦ τοίνυν συνοικεσίου τοῦ Ἡρώδου παρανομοῦντος, Ἰωάννης μὲν ὁ μέγας, ὁ περισσότερον προφήτου, μετὰ παῤῥησίας τὴν ἀκολασίαν διήλεγχεν. ὄντως γὰρ καὶ περισσότερον προφήτου. πᾶς γὰρ προφήτης, ἐν ἕξει τῆς ἡλικίας γενόμενος, τότε τῆς χάριτος τῆς προφητικῆς ἠξιώθη· ἔνιοι δὲ καὶ πολλοῖς ὕστερον χρόνοις. Ἰωάννης δὲ μόνος ἓξ ἔτι μηνῶν ἔχων τὴν σύλληψιν ἐν γαστρὶ, καὶ κατὰ τοὺς τῆς φύσεως νόμους τρεφόμενος, τοῦ ἐν γαστρὶ Θεοῦ, διὰ τοῦ ἀσπασμοῦ τῆς μητρὸς, προσεσκίρτησεν, ἀτελὴς τὰ μέλη, τὴν πίστιν τέλειος· καὶ τάχα σκιρτᾷ ἐν ἀγαλλιάσει τὸ βρέφος, ἐπειγόμενον (εἰ δυνατὸν) προλαβεῖν τὴν προθεσμίαν τῆς φύσεως. Εἶδε τοῦ δεσπότου μητέρα προφθάσαι· στενοχωρεῖται τῇ φυλακῇ τῆς γαστρὸς, ἐν ἀγαλλιάσει

* * * *

Οἱ προφῆται τὸ μέλλον προηγόρευον, καὶ ἐπεθύμουν ἰδεῖν ὃ προέβλεπον τῇ ψυχῇ. Διὰ τοῦτο κεκράγασι· Ψαλμ. πδ. ζ. Δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου, καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν. Διὸ τοῦτο περὶ αὐτῶν ὁ Κύριος εἶπε· Ματθ. ιγ. ιζ. Πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ ἀκοῦσαι ἃ ἀκούετε· καὶ οὐκ εἶδον, οὐδὲ ἤκουσαν. Οἱ μὲν οὖν προφῆται τὸ μέλλον προαγορεύουσιν· Ἰωάννης δὲ καὶ τὸν προφητευόμενον δείκνυσι. Προαγορεύει τὸ μέλλον ἐκ τῆς γαστρὸς, καὶ μετὰ ταῦτά φησιν· Ιωαν. κϛ. κζ. Οὗ οὐκ εἰμὶ ἄξιος, λέγων, μέσος ὑμῶν ἕστηκε. πῶς δείκνυσι

* * *

μὴ γὰρ Ἰωάννη προσῆκέ τις βωμὸν καὶ λίβανον; μὴ γὰρ θύματα καὶ σπονδάς; μὴ γὰρ εἶπεν, ἀρνήσασθαι τὸν Θεόν; μὴ γὰρ εἶπε, θῦσαι τοῖς εἰδώλοις; ἀλλ' ὑπὲρ σωφροσύνης ἐλευθερίῳ παῤῥησιαζόμενος στόματι, μάρτυς τῆς σωφροσύνης εὑρίσκεται. ἵνα γὰρ γνῷς πόσον δύναται παῤῥησία προφητική, φησὶ πρὸς τὸν βασιλέα· Μαρκ. ϛ. ιη. Οὐκ ἔξεστί σοι ἔχειν τὴν τοῦ ἀδελφοῦ σου γυναῖκα. Βλέπεις πῶς κατὰ φύσιν τῇ ἀρετῇ, τὸ ἄρχειν τῆς κακίας. Ἡρώδης βασιλεὺς, δορυφόρους ἔχων, πλοῦτον περιβεβλημένος, δυναστεύων βασιλικὴν δυναστείαν· Ἰωάννης πτωχὸς, ἀνέστιος, ἄπολις, ἀκτήμων, ἄσιτος, τοσοῦτον ἐσθίων, ὅσον ἡ φύσις βιάζεται. ὁ περιβεβλημένος ἐκ τριχῶν καμήλου, τῷ τὴν πορφυρίδα περιβεβλημένῳ νομοθετεῖ· ὁ ἐν ταῖς ἐρήμοις πορευόμενος, τῷ τῶν πολυανδρῶν ἄρχοντι πόλεων· ὁ ἀκρίδας ἐκ βοτανῶν ἐσθίων καὶ μέλι ἄγριον, τῷ τὴν λαμπρὰν παρατιθεμένῳ καὶ βασιλικὴν τράπεζαν διὰ τῆς αὐθεντίας προστάττει· οὐκ ἔξεστί σοι. καίτοι ἐδόκει βασιλεῖ πάντα ἐξεῖναι. ἀλλὰ πάντα ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει. ἐπὶ τούτοις δέον εὐχαριστεῖν, δέον εὐεργετεῖν ἢ κρίνειν τὸν ὑπὲρ σωφροσύνης διδάσκαλον· παρωξύνθη μὲν ὁ Ἡρώδης, πλέον δὲ παρωξύνθη Ἡρωδιάς (γείτονες γὰρ τῶν ὀνομάτων, καὶ τοῦ τρόπου πλέον ὁμόζυγοι· καὶ ἔσονται οἱ δύο, οὐκ εἰς σάρκα μίαν, ἀλλ' εἰς ἀκρασίαν μίαν) καὶ ὑπὲρ τούτων ἐμβάλλουσι τὸν προφήτην εἰς δεσμωτήριον, ἵνα δείξωσι τὴν οἰκείαν ἀσυνεσίαν. Παροιμ. θ. η. Ἔλεγχε σοφὸν, καὶ ἀγαπήσει σε· ἀσύνετον δὲ, καὶ προσθήσει τοῦ μισεῖν σε. ἐμβάλλεται τῷ δεσμωτηρίῳ, καὶ οὐ μεταλλάσσει τὴν παῤῥησίαν. λῦσον, φησὶ, τὰ μέλη· μόνον λῦσον τὸ ἄδικον συνοικέσιον. ἐγκαρτεροῦντος δὲ αὐτοῦ τῷ δεσμωτηρίῳ, γίνεται τὸ πικρὸν ἐκεῖνο συμπόσιον, τὸ τυραννικὸν καὶ ὠμόν· οὗ τῆς εὐφροσύνης τέλος, προφήτου φόνος. εἴσεισιν Ἡρωδιὰς τῆς Ἡρωδιάδος θυγάτηρ, τέκνον τῆς σαρκὸς, τέκνον τῆς ψυχῆς· εἴσεισιν εἰς οἰνωμένον συμπόσιον, ὀρχεῖται δημοσίᾳ ἡ βασίλισσα, ἣν οὐκ ἐχρῆν προκύπτειν κοιτωνίτιδος, ἣν οὐκ ἐχρῆν ἀῤῥένων ὄψεσι θαῤῥεῖν. ἀλλὰ τάχα, ὥσπερ Ἰωάννης παρὰ τῆς μητρὸς πρὸ βραχέος ἐχρήσατο γλώσσῃ, καὶ ἡ κόρη παρὰ τῆς μητρὸς τοὺς ὀφθαλμοὺς τῆς ἀναισχυντίας ἐχρήσατο. εἴσεισιν εἰς τὸ συμπόσιον. οὐκ ἤρκει τοῦτο τῆς αἰσχύνης ἔχειν ὑπερβολήν· ἀλλὰ καὶ πῶς εἴσεισιν; ἆρα ὡς βασιλίς; ἆρα σεμνῶς; ἆρα εὐνούχοις, ἆρα θεραπαινίσιν; ἆρα τῷ ἄλλῳ κόσμῳ καὶ τῇ σεμνότητι προσεκοσμήθη; οὐδαμῶς· ἀλλ᾽ εἴσεισιν ὀρχουμένη· κακῆς εἰσόδου χείρων ἡ ὑπόθεσις· καὶ ὠρχήσατο ἐν μέσῳ τοῦ συμποσίου, ἐν τοῖς τῶν ἀκολάστων

* * *

καὶ ἡ ἀλώπηξ οὐκ ἐγκαλύπτεται. βλέπει τοῦ ἀδελφοῦ τὴν θυγατέρα καὶ τῆς κακῶς συνοικούσης ἐν μέσῳ ἀρρένων ὀρχουμένην, καὶ οὐ καλύπτεται, ἀλλὰ καὶ ἀρέσκεται, καὶ ἀρέσκει κἀκείνῳ καὶ τοῖς συνανακειμένοις. Μεθ᾽ ὁσίου ὁσιωθήσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέψεις. ἐβουλόμην αὐτὸν μικρόν τι Παύλῳ μαθητευθῆναι· Ὅλως ἀκούεται ἐν ὑμῖν ὄρχησις, καὶ τοιαύτη ὄρχησις, οἵα τις οὐδὲ ἐν τοῖς ἔθνεσιν, ὡς βασιλέως ὀρχήσασθαι θυγατέρα. καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ, καὶ οὐ μᾶλλον ἐπενθήσατε. ἀλλὰ καὶ ἀρέσκει κακῶς, καὶ μισθὸν λαμβάνει τοῦ κατορθώματος χείρονα, ὥστε τὸν Ἡρώδην ὀμόσαι· Αἴτησον ὃ θέλεις, καὶ δώσω σοι, ἕως ἡμίσους τῆς βασιλείας μου.

Ψαλμ. ιζ. κζ.
α. Κορ. ε. α.
Μαρκ. ϛ. κβ. κγ.

* * * *

βλέπεις πῶς βασιλέων ἀξίωμα φιληδονία κατασύρει πρὸς γῆν; βλέπεις ποῦ τὴν βασιλείαν ἀπέρριψεν; ὃ ἐὰν αἰτήσῃς, δώσω σοι, καὶ ἕως τοῦ ἡμίσους τῆς βασιλείας. τοσούτου κρίνεις τὴν βασιλείαν ἀξίαν, οὕτω προδιεφθάρης τοὺς ὀφθαλμούς· ἅπαξ ὠρχήσατο τὸ κοράσιον, καὶ ἀπέδου τὸ ἥμισυ· ἐὰν δεύτερον ὀρχήσηται, ἰδιώτης ὁ βασιλεύς. ποῦ τὸ τῶν φιληδόνων ἀξίωμα; ποῦ τῶν ἀκολάστων ἡ ἁλουργίς; τὸ ἥμισυ τῆς βασιλείας τοῖς ποσὶ τῆς ὀρχηστρίδος ὑπέρριψας· εὖξαι μὴ πάλιν αὐτὴν ὀρχήσασθαι, ἢ μὴ πάλιν αὐτὴν ὀρχησαμένην εὐδοκιμεῖν. εἰ δὲ μή, λείπεταί σοι τὸ προσαιτεῖν. ἀλλὰ ταύτῃ μὲν ἀκόλαστος ἡ τοῦ μισθοῦ πρότασις· τί δὲ ἡ τῆς ὀρχηστρίδος αἴτησις; οὐκ ἐσχεδίασε τὸ δῶρον, οὐκ ἀπὸ σχεδίου τὸν μισθὸν ᾔτησεν· ἀλλὰ προβιβασθεῖσα ὑπὸ τῆς μητρός, ἀπέρχεται χρήσασθαι συμβούλῳ τοῦ μισθοῦ τῇ κακῇ διδασκάλῳ. καὶ ποῖον ᾔτησε μισθόν; Δός μοι ὧδε ἐξ αὐτῆς ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ. ἆρα μὴ δακρύσω τῆς αἰσχύνης τὴν ὑπερβολήν, τοῦ κατορθώματος τὸ αἰσχρόν, τοῦ βασιλέως τὴν ἐπαγγελίαν, τοῦ μισθοῦ τὴν αἴτησιν; οὐ φρίσσετε λοιπὸν τῶν ὀρχουμένων τὰ τέλη; οὐ βδελύσσετε τῶν κρότων τοὺς λογισμούς; οὐκ ἀποπλύνετε τῶν ἡμιγύμνων τοὺς λογισμούς; τολμᾷς ὀρχηστὴν φίλον ἔχειν; τολμᾷς σεαυτὸν ταύτης ἐραστὴν ὀρχηστοῦ; οὐ μισεῖς τὸ πρᾶγμα, ὅπερ ἀφηγούμενον γλῶττα καὶ παρὰ τοῖς θεαταῖς ὀφλισκάνει; ὀφλισκάνει μὲν γλῶττα· εἰς ἄκρον δὲ κατορθωθέν, προφήτην φονεύει. μισήσωμεν ὄρχησιν, εὕρεμα δαιμόνων καὶ μητέρα κακοδαιμόνων. ἐπὶ τούτοις ὁ Ἡρώδης ἐλυπήθη· ἐλυπήθη δὲ ἄκρως (ὡς ἂν εἴποι τις) καὶ μιμεῖται τὸν Πιλάτον, μᾶλλον δὲ τὸν τρόπον τοῦ Πιλάτου· πρεσβύτερον γὰρ τὸ διήγημα. νίπτεται τὰς χεῖρας ἐκεῖνος, καὶ τῇ ψήφῳ τῇ κολασικῇ παραδίδωσι· λυπεῖται καὶ οὗτος, καὶ διὰ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους ἐπένευσεν. οὐ καλῶς ἔλεγεν ὁ Κύριος σήμερον, Μὴ ὀμόσῃς ὅλως; εἶδες διὰ τοῦτο παραινεῖ· μὴ ὀμόσῃς ὅλως. διὰ τί γὰρ ὀμνύεις, ἢ ἵνα ἐπιορκῶν παγιδεύσῃς αὐτόν, ἢ εὐορκῶν προφήτην φονεύσῃς; κακῶς ὤμοσε, χεῖρον εὐώρκησεν. ὅμως διὰ τοὺς ὅρκους, φησί, καὶ τοὺς συνανακειμένους. τοὺς συνανακειμένους ᾐδέσθης, καὶ τὸν κριτὴν οὐκ ἐφοβήθης; καὶ ἐκέλευσε, φησί, καὶ παραχρῆμα ἠνέχθη ἡ κεφαλὴ Ἰωάννου τοῦ Βαπτιστοῦ ἐπὶ πίνακος, καὶ ἐδόθη κορασίῳ. ἴδε τοῦ πικροῦ συμποσίου πικρότερον καὶ τὸ τέλος· τέμνεται ἡ κεφαλὴ τοῦ προφήτου, δίδοται τῷ κορασίῳ, καὶ τὸ κοράσιον δέχεται. οὐ φρίττει τὸ θέαμα, οὐ καταπλήγη τὴν κεφαλήν, οὐκ ἀπεστράφη τὰς τῶν αἱμάτων

Μαρκ. ϛ. κε.
Ματθ. ε. λδ.

* * * *

ἔβοα, οὐκ ἔξεστί σοι ἔχειν αὐτήν· καὶ λαβοῦσα ἀπήνεγκε τῇ μητρὶ αὐτῆς. ἀπέλαβεν ἡ ὀρχηστροδιδάσκαλος τῆς κακῆς διδασκαλίας τὸ ἀσεβὲς κατόρθωμα. τοῦτο μὲν οὖν ἀναγκαίως

ἠρευνήσαμεν τὸ διήγημα, ἵνα τοὺς ὀφθαλμοὺς τῶν φιλοθεαμόνων ἐκσμήξωμεν, καὶ πείσωμεν
ὑμᾶς ἀποστρέφεσθαι τὰ τοιαῦτα θεάματα. ἀλλὰ μὴ καταλύσωμεν τὸν λόγον ἐν σπουδαστῷ
διηγήματι, μηδὲ λόγον ἐκκλησιαστικὸν ὀρχηστρὶς καταστελλέτω, ἀλλ' ἀντιθῶμεν
ἀκολάστῳ συμποσίῳ καὶ τυραννικῷ καὶ πικρῷ συμπόσιον δεσποτικὸν καὶ φιλάνθρωπον, ἵνα νοήσωμεν
Λουκ. ζ. λϛ. λζ. πηλίκος ὁ τῆς μετανοίας καρπός. ἠρώτησε τὸν Κύριον τῶν Φαρι.

* * *

γυνή τις ἦν, φησιν, ἐν τῇ πόλει ἁμαρτωλός. ἀκούσασα ὅτι Ἰησοῦς ἐκεῖ κατάκειται, ἔρχεται, φησιν, εἰς τὸν οἶκον· καὶ κομίσασα ἀλάβαστρον μύρου, κατέχεεν ἐπὶ τῶν ποδῶν τοῦ δεσπότου, καὶ κατεφίλει τὰ ἴχνη, καὶ ἐξέμασσε ταῖς θριξὶν αὐτῆς. ἵνα δὲ γνῷς, ὅτι ὑποκριτὴς ὁ καλέσας, διαλογίζεται ἐν ἑαυτῷ ὁ Φαρισαῖος· οὗτος, εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ ἡ ἁπτομένη αὐτοῦ· ὅτι ἁμαρτωλός ἐστιν. οὐ γὰρ ὑποκριταὶ μόνον οἱ Φαρισαῖοι, ἀλλὰ καὶ φθονεροί. παρὰ σοὶ Χριστὸς ἀνάκειται, καὶ ταῦτα εἰδὼς σὺ τὸν τόπον, καὶ οὐδεὶς βασκαίνει· ἦλθεν ἁμαρτωλὸς γυνὴ σωθῆναι, καὶ φθονεῖς, ὦ Φαρισαῖε; τάχα ἂν αὐτοῦ συγγενὴς ἦν, μᾶλλον δὲ τῶν δογμάτων προπάτωρ. ἵν' οὖν γνῷς ὅτι οὐκ ἔστι προφήτης, ἀλλ' ὁ προφήτης (εἶχε γάρ τι ἡ τοῦ ἄρθρου προσθήκη) τί μέγα ἦν, εἰ ἔγνω ὅτι ἁμαρτωλὸς ἡ γυνή; τοῦτο καὶ διὰ φήμης ῥᾴδιον ἦν μαθεῖν· τοῦτο καὶ σὺ ὁ Φαρισαῖος, μὴ ὢν προφήτης, ἐγίνωσκες. δείκνυσι δὲ μεῖζον τοῦ εἰδέναι. τὸν μὲν γὰρ ἐκείνης βίον καὶ φήμη τυχὸν διήγγελλε, καὶ μάλιστα λίαν οὔσης ἁμαρτωλοῦ· ὁ δὲ Κύριος, ἵνα δείξῃ τὴν θεϊκὴν δύναμιν, τὸν διαλογισμὸν ἀνέγνω τοῦ Φαρισαίου. οὐδὲ γὰρ ἔχει τὸ διήγημα, ὅτι ὁ Φαρισαῖος πρός τινα τῶν ἀνακειμένων εἶπεν, ἀλλ' ἐν ἑαυτῷ ἔλεγε, καὶ διελογίζετο ἐν ἑαυτῷ. ἵν' οὖν γνῷς, ὅτι οὐ μόνον προφήτης, ἀλλὰ καὶ ὁ προφήτης· συγκινεῖς ἔνδον τὸν λογισμόν, καὶ ὁ δεσπότης ἀναγινώσκει· συστρέφεις τὰς ἐννοίας, καὶ ὁ Κύριος εὑρίσκει, καὶ θεραπεύει. καὶ οὕτω τὰ τῶν χρεωφειλετῶν τῶν δύο διηγήματα προήγαγε, τὸν μὲν ὅτι ἀφῆκε πεντακόσια, τὸν δὲ πεντήκοντα, τίς πλέον ἠγάπησε; λέγων· ἀποκρινομένου τοῦ Φαρισαίου, ᾧ τὸ πλεῖον ἐχαρίσατο· συγκρίνει λοιπὸν τὸν Φαρισαῖον, κἀκείνην τὴν γυναῖκα τὴν λαβοῦσαν πολλῶν ἁμαρτημάτων συγχώρησιν· ἣν οὐκ ἐπαινῶ τοῦ προτέρου βίου, μακαρίζω δὲ τοῦ δευτέρου τέλους. μηδεὶς αὐτὴν μετὰ Φαρισαίων ὀνειδιζέτω· πόρνη ἦν καὶ ἀκόλαστος. Παῦλος ἑρμηνευσάτω,
Ῥωμ. η. λγ. λδ. Παῦλος τῇ γυναικὶ συνηγορείτω· Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων; καὶ φέρε, τὸ διήγημα λεπτότερον ἐξετάσωμεν, ἵνα μὴ μακαρίζωμεν μόνον ἐκείνην, ἀλλὰ καὶ μιμησώμεθα. ἔρχεται πρὸς τὸν Ἰησοῦν ἐμπαράσκευος, κομίζουσα μύρον ἐν ἀλαβάστρῳ, καὶ δάκρυον ἐν ὀφθαλμοῖς· τὸ ἄψυχον σκεῦος τοῦ μύρου, ἡ ἔμψυχος πηγὴ τῆς μετανοίας. ἐκ τοῦ σώματος τῆς σαρκὸς κομίζει μύρον, ἵνα σβέσῃ τὴν τῆς ἀσελγείας δυσωδίαν. δυσώδης γὰρ ἡ ἁμαρτία,
Ψαλμ. λζ. ϛ. καθὰ καὶ Δαβὶδ μαρτύρεται· Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου, ἀπὸ προσώπου τῆς ἀφροσύνης μου. πᾶς ἁμαρτωλῶν

* * *

καὶ βούλεσθε γνῶναι τῆς γυναικὸς τὴν ταπεινοφροσύνην; ἄλλα ποτὲ γυνὴ κομίσασα μύρον παρὰ τὸν Χριστὸν καταχέει τῆς κεφαλῆς. εἶχε γὰρ παρρησίαν ἐκ πολιτευμάτων. αὕτη διὰ τὴν συνείδησιν τῶν πταισμάτων οὐ κατατολμᾷ τῆς κεφαλῆς, ἀλλὰ τῶν ποδῶν ἄκρων ἐφήψατο. καὶ οὐκ ἔλαττον ἐνεργοῦσιν οἱ πόδες. εἰ γὰρ οὐ τὸ ἱμάτιον μόνον, ἀλλὰ καὶ τοῦ ἱματίου τὸ κράσπεδον τελείαν ὑγίειαν τῇ πιστευσάσῃ χαρίζεται, καὶ ποιεῖ τῇ πιστευσάσῃ ἐπαινετὴν τὴν κλοπήν· πόσῳ μᾶλλον τὰ ἴχνη τοῦ Χριστοῦ δύνανται τῶν ἁμαρτημάτων ἀπαλεῖψαι τοὺς μώλωπας; οὐ τοίνυν τὸ μύρον μόνον κατέχεεν, ἀλλὰ καὶ τὰς πηγὰς τῶν δακρύων ἐκίνησε. μακάριαι τῆς γυναικὸς αἱ λίμναι, ὅθεν ποταμοὶ θεραπεία

* *

κἂν ἀκριβῶς ἐξετάσῃς, ἔνια τῶν ἀλόγων καὶ πλέον ὀξυδερκῆ παρ' ἡμᾶς. εἰσὶ γὰρ οὐ μόνον εἰσὶν ὄψεως ὑπηρέται, ἀλλὰ καὶ μετανοίας ἐργάται· μακάριον σε φυλάξαι τὸ λουτρὸν τοῦ βαπτίσματος. εἰ δὲ ὡς ἄνθρωπος περιελήφθης, κίνησον δακρύων πηγάς. ἔχεις τὸ φρέαρ· ἐκ τοῦ βάθους τῆς καρδίας τὴν λύπην ἀνάπλησον· κίνησον τὰς διδύμους κόρας, πρόχεε δακρύων ῥεύματα κατ' ἀναλογίαν τῶν πεπλημμελημένων ἔστω τὰ δάκρυα. μικραὶ ψεκάδες κοῦφα περιφέρουσι κάρφη· μεγάλα ποταμῶν βάθη καὶ ″ῥεύματα· χείμαρροι σφοδροὶ καὶ βαθεῖς κορμῶν βάρη καὶ λίθων ἄχθη περισύρειν πεφύκασι. στάθμισόν σου τὰ ἁμαρτήματα. εἰ μικρόν σου τὸ ἁμάρτημα, ἀρκεῖ καὶ βραχὺ δάκρυον· εἰ μέγα τὸ ἁμάρτημα, μείζων ὁ τῶν δακρύων ″γινέσθω χείμαρρος. εἰ δὲ καὶ παρρησίαν ἔχεις βίου, καὶ ἐπιτηδειότητα δακρύων, καὶ καρδίαν κατανενυγμένην, εἰ δὲ μὴ πολλὰ ὑπὲρ σαυτοῦ δακρύεις· κἀμοὶ δάνεισον δακρύων μέρος. δάκρυσον ὑπὲρ ἀδελφικῶν ἁμαρτημάτων· Καὶ ὑμεῖς πεφυσιωμένοι ″ἐστέ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε. οὐχ ἥμαρτε Σαμουὴλ ἀλλ' ἐπὶ Σαοὺλ ἡμαρτηκότα πενθεῖ. Παῦλος ἐστὶ σκεῦος ἐκλογῆς· ἀλλ' ὑπὲρ ἡμῶν ὀδυνᾶται. Τίς σκανδαλίζεται, φησί, καὶ οὐκ ἐγὼ πυροῦμαι; ὁρᾷς ὅτι τὰ ἐμὰ σκάνδαλα τὴν Παύλου συντρίβει καρδίαν; πλὴν ἀλλ' ἕκαστον ἡμῶν γένοιτο τοῖς οἰκείοις ἁμαρτήμασι μετὰ τῶν δακρύων ἀρκέσαι. μιμησώμεθα τὴν γυναῖκα· δάκρυσι βρέχει τοὺς πόδας τοῦ Ἰησοῦ, ἀλείφει τῷ μύρῳ. ″δάκρυσι τοὺς πόδας. ὅθεν τὰ ἁμαρτήματα, ἐκεῖθεν καὶ τὰ ἰάματα. ἤκουσας τοῦ Κυρίου λέγοντος σήμερον· Ὃς ἂν ἴδῃ γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ ἑαυτοῦ. ἐπειδὴ διὰ τοῦ βλέμματος ἡ ἁμαρτία κατήρξατο, ὅπου ἡ

* * * *

γρ. -ματα, καὶ χείμαρροι

γρ. γίνεται χείμ.

γρ. ἐστέ φησι, καὶ

γρ. δάκρυσι βρέχει τοὺς

α. Κορ. ε. β.

β. Κορ. ια. κθ.

Ματθ. ε. κη.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΟΜΙΛΙΑ ΠΕΡΙ ΕΛΕΗΜΟΣΥΝΗΣ α.

Πάλιν ἡμῖν παρὰ τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐδόθη καιρὸς τοῦ καταβαλεῖν ταῖς ὑμετέραις ἀκοαῖς τὰ τῆς ἐλεημοσύνης σπέρματα· πάλιν ἡμῖν ὁ Χριστὸς δέδωκε τὸν σπορέα μιμήσασθαι τὸν ἐπὶ τὴν καλὴν γῆν ″σπείροντα τὸν σπόρον αὐτοῦ, καὶ ἑκατονταπλασίονα κομισάμενον. ἰδοὺ γὰρ τὸ τῆς χαρᾶς ἐσάλπισε κήρυγμα· ἰδοὺ τὸ τῆς ἐλεημοσύνης θέατρον συνεκροτήθη. καλείσθωσαν οὖν εἰς μέσον οἱ φιλόθεοι, καὶ φιλότιμοι, καὶ φιλοπένητες· καλείσθωσαν οἱ τῶν στεφάνων ἐρασταί. ″πάρεστι γὰρ ὁ Θεὸς ὁ τῶν βραβείων χορηγός, ὀλίγα χρήματα παρὰ τῶν φιλοπενήτων ″ὑποδεχόμενος, καὶ βασιλείαν οὐρανῶν αὐτοῖς χαριζόμενος. μηδεὶς τοίνυν ″ὑμῶν, παρακαλῶ, ζημιωθῇ ″τῆς τοιαύτης χάριτος· μηδεὶς δὲ μέγα τοῦτο καὶ ὑπερκόσμιον δῶρον δι' ὀλίγα χρήματα ″παρίδῃ· μὴ πένης, μὴ πλούσιος· μὴ δοῦλος, μὴ ἐλεύθερος· μὴ σοφός, μὴ ἰδιώτης· μὴ ἀνήρ, μὴ γυνή· ἀλλὰ πάντες, παρακαλῶ, μετὰ προθυμίας ἀγοράσωμεν τὴν τῶν οὐρανῶν βασιλείαν. καὶ μή μοί τις τῶν πενήτων λεγέτω, πτωχός εἰμι. αὐτὴν γὰρ πρῶτον ἀναγκαῖον καθάψασθαι, ἐπειδήπερ νομίζουσιν αὐτὴν τὴν ἀπολογίαν εὐπρόσδεκτον παρὰ τῷ Θεῷ φαίνεσθαι. τί γάρ φησι πολλάκις ὁ πένης; οὐκ ἔχω χρήματα, τῆς καθημερινῆς οὐκ εὐπορῶ τροφῆς· ὅλην τὴν ἡμέραν κάμνω καὶ ταλαιπωρῶ, ἵνα μόλις ″τῆς ζωῆς δυνηθῶ περιγενέσθαι. ὠμοφορῶ, τεκτονεύω, σφυροκοπῶ, καὶ τὴν τοῦ σώματος καταμαραίνω δύναμιν· καὶ σὺ καθέζῃ κατακελεύων με τῶν ἐμῶν καμάτων τοῖς ἀλλοτρίοις προΐεσθαι; ὅλως γάρ, εἰπέ μοι, ″τῶν σῶν καμάτων λέγεις, ἢ σὸν κτῆμα νομίζεις τὴν

ἰσχύν

γρ. σπείροντα, καὶ τὸν σπόρον αὐτ.

γρ. πάρεστι

γρ. δεχόμενος, καὶ ἡμῶν

γρ. τὴν τοιαύτην χάριν

γρ. ἀπολέσῃ

γρ. τὴν ζωὴν

γρ. τὸν σὸν κάματον

ἰσχὺν τοῦ σώματός σου; καὶ οὐ πιστεύεις, ὅτι ἐὰν μικρόν τι τῶν, ὡς λέγεις, καμάτων σου δώσεις, ἐλεημοσύνην
ἐκείνῳ παρέχεις τῷ χαρισαμένῳ σοι τὴν ἰσχὺν καὶ δύναμιν τῆς ἐργασίας; μᾶλλον
παρὰ μικρὸν δὸς τῷ σώματί σου, ἵνα τῇ ψυχῇ χαρίσῃς τὸν πολὺν θησαυρόν. μὴ γὰρ, ἐὰν
ἔχων δέκα ὀβολοὺς δώσῃς ἐννέα τῷ σώματι καὶ ἓν τῇ ψυχῇ, παρὰ τοῦτό σοι πάντα τὰ κατὰ τὸν
βίον ἀνατρέπεται; ἐὰν εὐπορήσῃς ὀβολοὺς πεντήκοντα, καὶ δώσῃς τῷ Θεῷ πέντε διὰ τῶν ἀδυνάτων,
καὶ τὰ τεσσαράκοντα πέντε ἑαυτῷ, ἐνίσχυσας τὴν ψυχὴν τῇ πίστει, ἐνεδυνάμωσας καὶ τὸ σῶμα
διὰ τῶν ἑτέρων προσευχὴν, καὶ ἔλαβες χάριν πρὸς τὸ πάλιν ἐργάσασθαι, καὶ πάλιν κερδῆσαι
πολυπλασίονα, καὶ γέγονας πλουσίων πλουσιώτερος εἰς ἐλεημοσύνην. ἀλλὰ πάντως ἐρεῖς μοι,
καὶ τί, φησι, κερδαίνω ἐκ τούτου; ὅτι οὐκ ἔτι ὀνομάζῃ πένης, ἀλλὰ δανειστὴς Θεοῦ. καὶ πόθεν μοί, φησι,
Παροιμ. ιθ. ιζ. τοῦτο γενήσεται; πίστευσον τῇ γραφῇ τῇ λεγούσῃ, Ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ. καὶ ἔχεις
Ματθ. κε. μς. ἀκοῦσαι παρ' αὐτοῦ· Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. ἆρα οὐ
πολλάκις καθήμενος ἐπὶ τῆς ἀγορᾶς εἶδες πλούσιον παρερχόμενον, καὶ ἐμακάρισας αὐτὸν
λέγων, μακάριός ἐστιν οὗτος ὁ πλούσιος, ὅτι "τῆς τῶν ἑτέρων οὐ χρείαν ἔχει χορηγίας, ἀλλὰ γ. τῆς παρ' ἑτέρ
μᾶλλον καὶ δανείζει. καὶ ἐκεῖνος μὲν ἀνθρώποις δανείζει, σὺ δὲ τῷ Θεῷ· ἐκεῖνος ἑκάστου τὰ ἀπὸ
"καμάτων λαμβάνει μετὰ κόπου καὶ μετὰ μάχης ἐν ἀμφιβολίᾳ· σὺ δὲ ἐκ τοῦ Θεοῦ λαμβάνεις ἀκόπως, γ. χρημάτων
ἀμερίμνως, μετὰ χαρᾶς ἑκατονταπλασίονα. ἐκεῖνος εἰς τὸν βραχὺν τοῦτον βίον
λαμβάνει· σὺ δὲ εἰς τὸν ἀτελεύτητον βίον ζωὴν αἰώνιον κληρονομεῖς. εἰ δὲ οὐ πιστεύεις μοι,
Ματθ. ιθ. κθ. πίστευσον τῷ Θεῷ τῷ μεθ' ὅρκου σε "πληροφορήσαντι, καὶ λέγοντι· Ἀμὴν λέγω ὑμῖν, ἑκατονταπλασίονα γ. πληροφοροῦντι
λήψεσθε, καὶ ζωὴν αἰώνιον κληρονομήσετε. μὴ οὖν νόμιζε ἐλαττοῦσθαι τῇ τῶν
πενήτων δόσει. οὐ γὰρ γίνῃ πένης ἐκ τῆς τῶν πενήτων μεταδόσεως. ἐὰν ὁ πένης ἐλεῇ πένητα,
πενέστερος οὐ γίνεται, ἀλλ' ἐπαινετέος, καὶ τὴν πενίαν μᾶλλον ἀσφαλίζεται. ἤκουσας τοῦ προφήτου
Ψαλ. λϛ. κε. λέγοντος, Νεώτερος ἐγενόμην, καὶ γὰρ ἐγήρασα· καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον,
Ψαλ λϛ. κϛ. οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους. καὶ πάλιν, Ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει
ὁ δίκαιος, καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται. εἰς εὐλογίαν, διὰ τί; ὅτι ὁ σπείρων
ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει. ὃς γὰρ ἐπιμελήσῃ τῶν ἀμφιεσμάτων σου, ἐπιμελήσει
καὶ τῆς ψυχῆς σου. οὐδὲν γὰρ οὕτως ἀμφιέννυσι τὴν ψυχὴν, ὡς τὸ τῆς χήρας καὶ ὀρφανοῦ
καὶ πένητος σκέπασμα. οὐκ ἀφίησι γὰρ τὴν ψυχὴν γυμνὴν ὀφθῆναι τῷ Θεῷ κατ' ἐκείνην
τὴν ἡμέραν τὴν φοβερὰν καὶ φρικτήν· ἀλλὰ στολὴν φωτὸς περιβεβλημένη διὰ τῆς
Ησ. νη. ζ. ἐλεημοσύνης μετὰ πάσης δόξης φαίνεται τῷ Θεῷ. λέγει γὰρ ὁ Θεὸς διὰ τοῦ προφήτου, Διάθρυπτε
πεινῶντι τὸν ἄρτον σου, καὶ πτωχοὺς ἀστέγους εἴσαγε εἰς τὸν οἶκόν σου· καὶ τότε ἔσται
πρώϊμον τὸ φῶς σου, καὶ τὰ "ἰάματά σου ταχὺ ἀνατελεῖ, καὶ προπορεύσεται ἔμπροσθέν σου γ. ἱμάτιά σου
ἡ δικαιοσύνη σου.

Εἶδες πόσος μισθὸς διὰ μικρὸν ἄρτον ἢ ἕνα ὀβολὸν ἀπόκειταί σοι; ἔγνως πόσον σοι προσάγει
φῶς ὁ τῆς ἐλεημοσύνης καρπός; θέλεις μαθεῖν πόσον θησαυρὸν προξενεῖ ἡμῖν ἡ
μικρὰ τῶν πτωχῶν δόσις; βούλει ἰδεῖν τίνες πτωχοὶ πτωχὰ προσάγοντες μεγάλων θησαυρῶν
χώραν "ἐκληρονόμησαν; ἄκουσον. οὐ γὰρ ἀπὸ τῆς καινῆς διαθήκης πληροφορεῖσθαί γ. ἐθησαύρισαν;
σε μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς παλαιᾶς, ἵνα σὺ "διὰ τῆς φιλοπτωχίας κερδήσῃς τὸν οὐράνιον γ. ἀπὸ τῆς φιλοσοφίας
θησαυρόν. λιμός ποτε κατὰ πᾶσαν τὴν γῆν τοῖς ἀνθρώποις ἐπεβόσκετο, καὶ τοσοῦτος λιμὸς,
ὥστε καθ' ἑκάστην ἡμέραν ποταμὸν ἀνθρώπων καὶ ζώων παραδίδοσθαι εἰς θάνατον, οὐκ ἐν
ὀλίγῳ χρόνῳ, ἀλλ' ἐν τρισὶν "ἡμίσει ὅλοις ἐνιαυτοῖς, ὡς καὶ τὴν γῆν ἅπασαν καταφθαρῆναι. ἴσ. καὶ ἡμίσει
αἰτία δὲ γέγονε τοῦ κακοῦ* ἡ τῶν Ἰσραηλιτῶν εἰδωλολατρεία, καὶ τοῦ Ἀχαὰβ καὶ τῆς * τούτου
Ἰεζάβελ ἡ παρανομία, δι' ἣν ὁ Ἠλίας ἄνθρωπος ὢν ἐδυνήθη κλεῖθρα τοῖς οὐρανοῖς ἐπιβαλεῖν,
γ. Βασ. ιζ. α. εἰπών· Ζῇ Κύριος, εἰ ἔσται ὑετὸς, εἰ μὴ διὰ στόματός μου. καὶ οὐκ ἔβρεξεν ἐπὶ τὴν
γῆν ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ. εἶτα λοιπὸν αἰσθόμενος ὁ παράνομος βασιλεὺς, ὅτι ὁ προφήτης

φήτης Ἠλίας γέγονε διάκονος τῆς ἀποφάσεως ταύτης, περιήρχετο ζητῶν ἀποκτεῖναι αὐτόν.
ὥστε διὰ τοῦτο ἀποφυγὼν εἰς τὴν γῆν τῶν ἀλλοφύλων ὁ προφήτης εὗρε γυναῖκα
χήραν, λείψανον τοῦ λιμοῦ, ὀλίγον ἄλευρον ἔχουσαν, καὶ ὀλίγον ἔλαιον, ἐν οἷς πᾶσαν τὴν ἐλπίδα
τῆς ἑαυτῆς ζωῆς καὶ τῶν τέκνων αὐτῆς εἶχε κρεμαμένην. καὶ λέγει αὐτῇ ὁ προφήτης
Ἠλίας· Ἔνεγκέ μοι μικρὸν ἄρτον ἐν τῇ χειρί σου. καὶ εἶπεν ἡ γυνὴ πρὸς αὐτόν· ζῇ Κύριος γ. Βασ. ιζ. ια.
ὁ Θεός σου, εἰ ἔστι μοι ἐγκρυφίας, ἀλλ' ἢ" ὅσον δρὰξ ἀλεύρου ἐν τῇ οἰκίᾳ, καὶ ὀλίγον ἔλαιον ὀλίγα
ἐν τῷ καμψάκῃ· καὶ ἰδοὺ συλλέγω" δύο ξυλάρια, καὶ εἰσέρχομαι τοῦ ποιῆσαι αὐτὸ" ἐμοὶ καὶ ἐμαυτῷ
τοῖς τέκνοις μου, καὶ φαγόμεθα καὶ ἀποθανούμεθα. μή τις" ἡμῶν σήμερον εἰς τοσαύτην πενίαν ἡμῶν
ἐλαύνει; μὴ γένοιτο. ἀλλ' ἐκ τοῦ λειψάνου τούτου τοῦ θανάτου ἐποίησεν ἡ χήρα τῷ προφήτῃ
πρῶτον ἐγκρυφίαν, καὶ ἐξήνεγκεν αὐτῷ, καταφρονήσασα ἑαυτῆς καὶ τῶν τέκνων αὐτῆς.
καὶ ποίαν ἔλαβεν ἀντιμισθίαν τῆς πενιχρᾶς ταύτης ἐλεημοσύνης; ἄκουε φανερῶς τί φησιν
ὁ προφήτης. Τάδε λέγει Κύριος, ἡ ὑδρία τοῦ ἀλεύρου οὐκ ἐκλείψει, καὶ ὁ καμψάκης τοῦ
ἐλαίου οὐκ ἐλαττονήσει. ἕως πότε, προφῆτα; ἕως τοῦ δοῦναι Κύριον ὑετὸν καὶ δρόσον ἐπὶ τὴν
γῆν. διὰ τοῦτο λέγει ὁ προφήτης, Εὐλογημένος ὁ ἄνθρωπος, ὃς πέποιθεν ἐπὶ τῷ Κυρίῳ· καὶ Ιερ. ιζ. ζ.
ἔσται ἐλπὶς αὐτοῦ ἐν καιρῷ ἀβροχίας, καὶ οὐκ ἐλαττωθήσεται οὐδὲ διαλείψει*. καὶ ἐγένετο
τὸ ῥῆμα τοῦ προφήτου ἔργον, καὶ οὔτε ἡ ὑδρία ἔλειψεν, οὔτε ὁ καμψάκης ἠλαττόνησε. μὴ
ταύτης πενέστερος εἶ, ὦ ἄνθρωπε; μὴ" τοσοῦτον λιμὸς ἐπίκειταί σοι, τοῦ μὴ ποιῆσαι ἐλεημοσύνην;
οὐκ ἔστιν οὕτω, μὴ γένοιτο· ἀλλὰ καὶ ἔχεις, καὶ δύνασαι, ὅστις ἂν εἶ, [καὶ] μάλιστα
πιστός. καὶ πρὸς μὲν τὸ σῶμα φιλότιμος ὑπάρχεις, περὶ δὲ τὴν ψυχὴν περίψηφος.
ἡ ἐλεημοσύνη τροφὴ τῆς ψυχῆς ἐστι· καὶ ὥσπερ ἄρτος καὶ οἶνος τοῦ σώματός ἐστι τροφὴ
καὶ εὐφρασία, οὕτω καὶ ἡ ἐλεημοσύνη καὶ προσευχὴ τῆς ψυχῆς ὑπάρχει θεραπεία καὶ χαρά.
καὶ τί δίδωσιν ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ, ἢ μόνον ἐλεημοσύνην; εἰ δὲ
ἀγνοεῖς, μάνθανε καὶ παρὰ τῆς χήρας τῆς ἐν τῇ καινῇ διαθήκῃ, ὅτι διὰ" δύο ὀβολοὺς ὅλην λεπτῶν
τὴν τῶν οὐρανῶν βασιλείαν ἐκέρδησεν, αὐτὸν" ὅλον τὸν Θεὸν ἐπαινέτην λαβοῦσα τῆς πτωχείας τῶν ὅλων
ταύτης, καὶ μέχρι τῶν οὐρανῶν ἀνελθούσης τῆς καρποφορίας αὐτῆς. οὐκ εἶδες τὸν σωτῆρα ἐν τοῖς
ἁγίοις εὐαγγελίοις ἀποδεξάμενον τὴν χήραν τὴν" βάλλουσαν ἐν τῷ γαζοφυλακίῳ τὰ δύο λεπτά, Λουκ. κα. β.
καὶ χαρισάμενον αὐτῇ τὸν στέφανον τὸν ἐπουράνιον; εἶδε γὰρ τὸ τῆς ψυχῆς τὴν εὐωδίαν· εἶδε τὴν πτωχὴν φιλόπτωχον,
εἶδε τὴν ἔνδειαν χρημάτων τοῖς μὴ ἐνδεέσι συνεισφέρουσαν. πολλοὶ μὲν ἦσαν οἱ βάλλοντες
πολλὰ εἰς τὸ γαζοφυλάκιον· καὶ παρῆν τοῖς γινομένοις ὁ Θεὸς ἅμα καὶ ἄνθρωπος, ὁ
αὐτὸς δικάζων κατὰ πρόσωπον, καὶ τὰς καρδίας τῶν ἀνθρώπων διερευνῶν. καὶ ποίαν ἀπόφασιν
ἐκφέρει περὶ τούτων, ἀκούσωμεν. Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὅτι ἡ χήρα αὕτη" πλεῖον πάντων Λουκ. κα. γ.
ἔβαλεν. οὐ γὰρ τὰ βαλλόμενα πάντα ἀποδέχομαι, φησιν, ἀλλὰ καὶ τὴν προαίρεσιν τῶν συνεισφερόντων
δοκιμάζω. ἀμὴν λέγω ὑμῖν, ὅτι ἡ χήρα αὕτη" πλεῖον πάντων ἔβαλε. διὰ
τί; ὅτι οὗτοι ἐκ τοῦ περισσεύοντος αὐτοῖς εἰσήνεγκαν, αὕτη δὲ ὅλον τὸν βίον αὐτῆς εἰσήνεγκεν.
οὐκοῦν ἐπειδὴ δικαίως ἔκρινεν, εἴπωμεν καὶ ἡμεῖς ἅπαντες τῷ Θεῷ, ὡς ὁ προφήτης εἶπε·
Δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου· ὅτι τὴν προαίρεσιν τῶν ἀνθρώπων δοκιμάζεις, Ψαλ. ριη. ρλζ.
καὶ οὐ τῷ πλήθει τῶν προσφερομένων τὴν βασιλείαν περιγράφεις. οὐ γὰρ προσέχεις
τοῖς προσφερομένοις, ἀλλὰ τῇ διαθέσει τῶν προσφερόντων. μὴ τοίνυν ὀκνήσῃ τις ὑμῶν,
παρακαλῶ, κἂν δύο λεπτά, κἂν δέκα ὀβολοὺς εἰς τὸ γαζοφυλάκιον τῶν χηρῶν καὶ
ὀρφανῶν καταβαλεῖν. οὕτω γὰρ καὶ ἡ ἁγία γραφὴ διδάσκει, ὅτι καθὼς ἂν ἔχῃ τις προαίρεσιν,
εὐπρόσδεκτός ἐστι παρὰ τῷ Θεῷ. μὴ οὖν γένηται ἡ τράπεζα ἐκείνη ἀλλοτρία τῆς
σῆς καρποφορίας· ἀλλ' ἔχε μερίδα μετ' αὐτῆς, ἵνα λάβῃς μερίδα μετὰ τῶν κομιζομένων ἔλεος
παρὰ τοῦ ἐλεήμονος Θεοῦ τοῦ εἰπόντος, Ἐλεεῖτε, ἵνα ἐλεηθῆτε. ὥσπερ γὰρ πιστεύεται,
ὅτι ἔστιν ἄγγελος ἐξ οὐρανοῦ ὁ τὰς προσευχὰς δεχόμενος τοῦ λαοῦ, καὶ προσφέρων τῷ Θεῷ

ταύτας, καὶ σπουδάζεις μετὰ πάντων ἀποδοῦναι τῷ Θεῷ τὰς εὐχάς, ἵνα σου τὸ δῶρον τῆς προσευχῆς μετὰ πάντων ἀποδεχθῇ· οὕτω πίστευε, ὅτι καὶ ἐν τούτοις ἐστὶν ἄγγελος ὁ δεχόμενος τὰ παρὰ σοῦ διδόμενα τοῖς πτωχοῖς, καὶ ταῦτα προσφέρων τῷ Θεῷ. καὶ ποῖός ἐστιν οὗτος ὁ ἄγγελος, ἀλλ᾽ ἢ ὁ τὰς προσευχὰς καὶ τὰς ἐλεημοσύνας Κορνηλίου τῷ Θεῷ προσενέγκας, καὶ εἰπὼν αὐτῷ· Κορνήλιε, αἱ ἐλεημοσύναι σου καὶ αἱ προσευχαί σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ; καὶ ἦν δὲ πρότερον Ἕλλην· μετὰ τοῦτο δὲ, ἀφ᾽ οὗ ἐλάλησεν αὐτῷ ὁ ἄγγελος, ἐγένετο πιστός, καὶ οὕτω προσεδέχθησαν· πόσῳ μᾶλλον σοῦ τοῦ φιλοχρίστου; (Πραξ. ι. δ.)

Ὀφειλόμεθα δὲ λοιπὸν καὶ τοὺς πλουσίους παρακαλέσαι. μάλιστα μὲν, οἱ πολλοὶ φιλόπτωχοί εἰσι, καὶ ἀφ᾽ ἑαυτῶν τοῦτο πράττουσι (καλῶς γὰρ ἐμελέτησαν ἐρεθισθῆναι παρὰ τῶν τοιούτων ἀνδρῶν, ἐκείνων τῶν πρὸ ἡμῶν διδασκάλων, καρποφορεῖν) ἀλλ᾽ ὅμως ἐπειδὴ καὶ τὸν ὑπὲρ ἡμῖν πτωχῶν λόγον ἀπαιτοῦσιν, οὐκ ἀποκνήσω παρακαλέσαι αὐτούς, καὶ πρὸς ἐλεημοσύνην χειραγωγῆσαι, δύο ταῦτα διαφυλαττόμενος, τὸ μήτε αὐτοὺς παρὰ Θεῷ ἐγκληθῆναι, μήτε ἐμὲ παρὰ τῶν ἀγγέλων διαβληθῆναι. καὶ πῶς, ἐγὼ λέγω. ἐὰν γὰρ μὴ καταβάλω τὰ τῆς θείας γραφῆς λόγια εἰς τὴν ὑμετέραν ἀγαθὴν τράπεζαν, ὥσπερ ἀργύριον ἐπὶ τὴν τράπεζαν, εὐθέως ἐγκαλοῦμαι παρὰ τοῦ Θεοῦ, καὶ ἀκούω παρ᾽ αὐτοῦ· Ἔδει σε τὸ ἀργύριόν μου καταβαλεῖν τοῖς τραπεζίταις, καὶ ἐγὼ ἐλθὼν ἀπῄτησα ἂν τὸ ἐμὸν σὺν τόκῳ. (Ματθ. κε. κζ.) εἰς τοῦτο γὰρ καὶ ἐνεκάλεσεν ἐν τοῖς ἁγίοις εὐαγγελίοις τῷ πιστευθέντι τὸ δηνάριον, καὶ κατακρύψαντι. καὶ πῶς ἀργύριον ὁ προφήτης λέγει, ἄκουσον. Τὰ λόγια Κυρίου λόγια ἁγνά, ἀργύριον πεπυρωμένον δοκίμιον τῇ γῇ κεκαθαρισμένον ἑπταπλασίως. (Ψαλ. ια. ζ.) οὕτω καὶ τῷ προφήτῃ λέγει ὁ Θεός· Υἱὲ ἀνθρώπου, διαμαρτύρου τῷ λαῷ τούτῳ. καὶ πάλιν ἄλλως, Παρακαλεῖτε οἱ ἱερεῖς τὸν λαόν μου· λαλεῖτε εἰς τὰ ὦτα Ἱερουσαλήμ. (Ησ. μ. α.) τοιαύτας οὖν παραγγελίας δεξάμενος παρακαλῶ πάντας ὑμᾶς πρὸς ἐλεημοσύνην ἐλθεῖν, ἵνα μὴ καὶ παρ᾽ ὑμῶν κατ᾽ ἐκείνην τὴν ὥραν διαβληθῶ, ἐὰν (ὅπερ μὴ γένοιτο) ἀκούσῃ τις παρὰ τοῦ κριτοῦ κατ᾽ ἐκείνην τὴν φοβερὰν ἡμέραν· πονηρὲ δοῦλε, διὰ τί οὐκ ἠλέησας τὸν σύνδουλόν σου; καὶ νῦν σὺ πῶς θέλεις ἐλεηθῆναι; καὶ πάλιν, μετανοεῖτε νῦν, ὅτι ἐκεῖ οὐκ ἔστι καιρὸς μετανοίας· μήποτε ἐγκαλούμενός τις κατ᾽ ἐκείνην τὴν φρικτὴν ὥραν εἴπῃ, ὅτι οὐκ ἐδιδάχθην παρὰ τοῦ ποιμένος, οὐκ ἔμαθον τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ, οὐδὲ εἶπεν ἡμῖν ὅτι ἐλεημοσύνη ἐξιλάσκεται ἁμαρτίας, (Σειρ. γ. κθ.) οὐχ ἡρμήνευσεν ἡμῖν τὴν παρὰ σοῦ δοθεῖσαν αὐτῷ γραφὴν τὴν λέγουσαν, Μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος· (Ψαλ. μ. α.) ἀλλὰ μόνον τῆς Ἰουδαϊκῆς ἀπιστίας ἀπεχώρισεν ἡμᾶς, καὶ πάλιν ἑλλήνων τὴν δεισιδαιμονίαν ἀπηγόρευσεν· ὧν καὶ τῆς παρανομίας διδαχθέντες ἀπέστημεν. εἰ γὰρ καὶ πρὸς ἐλεημοσύνην ἐπαίδευσεν ἡμᾶς, εἴχομεν καὶ ταύτης τοὺς καρποὺς δείξασθαι. διὰ τοῦτο καὶ μετὰ παρρησίας παρακαλῶν οὐ παύομαι, ἀλλὰ νουθετῶ καὶ διαμαρτύρομαι πλουσίους ἅμα καὶ πένητας, ἄνδρας ὁμοῦ καὶ γυναῖκας, φείσασθε τῶν ὑμετέρων ψυχῶν, καὶ λυτρώσασθε ταύτας διὰ τῶν χρημάτων ἀπὸ τῆς μελλούσης ὀργῆς. κουφίσατε δὲ φορτίον τῶν ἁμαρτημάτων διὰ τῆς ἐλεημοσύνης· ἐλεήσατε, ἵνα ἐλεηθῆτε. ἡ γὰρ ἐλεημοσύνη βαπτίσματος ἁγίου δύναμιν ἔχει· καὶ ὥσπερ δὲ ἅγιον λουτρὸν ἀποκαθαίρει τῶν ἀνθρώπων τὰ ἁμαρτήματα, οὕτω καὶ ἡ ἐλεημοσύνη καθαίρει τῶν ἐλεούντων τὰ τῆς ψυχῆς πλημμελήματα. οὐκ ἐμὸς ὁ λόγος, ἀλλ᾽ ἡ θεία γραφὴ διδάσκει λέγουσα· Ἐλεημοσύναι καὶ πισταί εἰσιν. ἐκκαθαίρονται ἁμαρτίαι. τὰ χρήματα, κἂν μὴ βουλώμεθα, ἐνταῦθα μένει· ἡ δὲ ψυχή, κἂν μὴ θέλωμεν, ἐκεῖθεν μεθοδεύεται, τὰς εὐθύνας ὑπέχουσα τῶν ἁμαρτημάτων. διὰ τοῦτο γὰρ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν εὐαγγελίοις ἔλεγε· Τί ὠφεληθήσεται ἄνθρωπος, ἐὰν τὸν κόσμον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; (Ματθ. ιϛ. κϛ.)

ἄκουσον γοῦν, παρακαλῶ, τὸ ῥῆμα τοῦτο. ὅτι ἐν μὲν εἰρήνῃ καταφρονεῖται· ἐν δὲ ταῖς ἀνάγκαις δείκνυσι τοῦ νόμου τοῦ Θεοῦ τὴν δύναμιν. ἀκούει γὰρ πολλάκις ὁ ἀκροατὴς, Τί ὠφεληθήσεται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; καὶ παρατρέχει τοῦ ῥήματος τούτου τὴν δύναμιν. καὶ ἐὰν καταφρονήσῃ ἐν εἰρήνῃ τοῦ ῥήματος, μανθάνει ἐν ταῖς ἀνάγκαις τοῦ εἰρηκότος τὴν δύναμιν. τί γὰρ ποιεῖ ὁ Θεὸς, ὅταν τινὰ ἴδῃ χρημάτων μὲν ἀντεχόμενον, ἐλεημοσύνην δὲ ἀποστρεφόμενον, καὶ πάντα αἱρούμενον παθεῖν ὑπὲρ τοῦ μὴ προδοῦναι τὰ χρήματα; ἐν ταῖς ἀνάγκαις αὐτὸν διδάσκει γνωρίζειν τὸν τοῦ Θεοῦ νόμον. καὶ πῶς, ἄκουε. ἐννόησόν μοί τινα ἔμπορον θαλαττεύοντα, καὶ περὶ χρήματα μόνον τὸν νοῦν ἔχοντα, πάντα αἱρούμενον παθεῖν, ἢ ἕνα ὀβολὸν ἀπολέσαι, ὅρκους μυρίους ἐπάγοντα κατὰ τῆς ψυχῆς, ὥστε μὴ προδοῦναί τι τῶν ἰδίων. ἀλλ' ὁ τοιοῦτος ἀπηνὴς καὶ περίψηφος, ἐν ὥρᾳ ἀνάγκης, ὅταν σφοδρῶς χειμάζηται καὶ κινδυνεύῃ ἐν τῇ θαλάσσῃ (ἐφίσταται γὰρ ὁ κλύδων, ἐγείρει τρικυμίας ἡ θάλασσα, ὑψοῦνται μέχρι τοῦ οὐρανοῦ τὰ κύματα) εὐθέως τότε ἡ φιλαργυρία μαραίνεται, καὶ ὁ πάντα κάματον ὑπομείνας, ἵνα συνάξῃ τὰ χρήματα, ἐκβολὰς ποιεῖται ταῖς ἰδίαις χερσὶ πάντων, ὧν ἔχει, καὶ χαρίζεται τὸν πλοῦτον τῇ θαλάσσῃ. ἀλλ' ἐρώτησον αὐτὸν εὐθέως, τί ποιεῖς, ὦ ἄνθρωπε; τί μαίνῃ; τί ῥίπτεις τὰ χρήματα ἀχρήστως; οὐ παραφυλάττει σου ταῦτα παρακαταθήκας ἡ θάλασσα· οὐκ ἔστιν ὡς ἡ γῆ δεξαμένη τὰ σπέρματα, καὶ δίδωσί σοι πολυπλασίονα. οὐ γὰρ λαμβάνει σπέρματα, καὶ δίδωσι δράγματα. τί οὖν δανείζεις ἀχρήστως ἀχαρίστῳ στοιχείῳ; τί πιστεύεις ἀπίστοις κύμασι; τί δίδως τινὰ ἐνθήκην σου εἰς παρακαταθήκην τῇ μὴ ἀποδιδούσῃ θαλάσσῃ; Θεῷ οὐκ ἠθέλησας δανεῖσαι, καὶ τῇ ἀχρείᾳ θαλάσσῃ ῥίπτεις τὰ χρήματα; τί οὖν εὐθέως ἐκεῖνος ἀποκρίνεται; θέλω τὴν ψυχήν μου σῶσαι, ἢ ὅλον τὸν κόσμον κερδῆσαι. νῦν ἔγνως, τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ· νῦν ἔμαθες τὸ ῥῆμα τοῦ Χριστοῦ, ὅπου παρακαλῶν ἔλεγε, Τί ὠφελήσει ἄνθρωπον, ἐὰν ὅλον τὸν κόσμον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἀλλ' οὐκ ἐπαίδευσέ σε ὁ νόμος; παιδευσάτω σε κἂν ὁ φόβος. οὐκ ἐπαίδευσέ σε ἡ τοῦ Θεοῦ διδασκαλία; παιδευσάτω σε τῆς θαλάσσης ἡ μανία. ὢ τῆς ἀνακολούθου πράξεως, ὢ τῆς πάντα παιδευούσης ἀνάγκης. ἡ θάλασσα βιαζομένη λαμβάνει ὅλα, ὁ Θεὸς δὲ παρατρεπόμενος εἰς βασιλείαν οὐρανῶν, οὐδὲ μέρος τι λαμβάνει; τῇ θαλάσσῃ πιστεύεις μηδέν σοι χρηστὸν ἐπαγγελλομένῃ, καὶ τῷ Θεῷ οὐ πείθῃ ἑκατονταπλασίονά σοι ἐπαγγελλομένῳ καὶ χαριζομένῳ; βούλει καὶ ἑτέραν εἰκόνα τῆς τοιαύτης ἀνάγκης ὑποδείξωμαί σοι; χρὴ γὰρ καὶ διὰ τῶν φοβερῶν καὶ διὰ τῶν ἀγαθῶν πανταχόθεν ὠφελεῖσθαι τὴν σὴν ψυχήν. ἐννόησόν μοι οὖν καὶ τοὺς ἐν τῇ γῇ πραγματευομένους, τοὺς πάντα ποιοῦντας καὶ πράττοντας ὑπὲρ τοῦ κερδᾶναί τι, τοὺς ὅρκῳ τολμῶντας, καὶ πάσης ἐπιορκίας γέμοντας ὑπὲρ τοῦ ἕνα ὀβολὸν λαβεῖν πλέον, [ὅτι] τοὺς τοιούτους τοὺς τοῦ Θεοῦ νόμους παραγράφονται. προφῆται κηρύττουσι, κἀκεῖνοι τὰ ὦτα ἀποκλείουσι· διδάσκαλοι βοῶσι, κἀκεῖνοι τὴν νουθεσίαν μυκτηρίζουσι. καὶ τί λοιπὸν ἐπὶ τούτων γίνεται; οὐ γὰρ ἐπὶ πάντων, ἀλλ' ἐπὶ τούτων. περιπίπτει γὰρ πολλάκις ὁ τοιοῦτος ἔμπορος λῃσταῖς· καὶ ὁ πρὸς τὸν πλοῦτον κεχηνὼς, καὶ ἀπλήστως τὸ τῆς φιλοχρηματίας πάθος ἐνδεδυμένος, εὐθὺς ἀποδύεται τὴν τοιαύτην νόσον, καὶ γίνεται δαψιλὴς εἰς τὸ χαρίσασθαι. βλέπει γὰρ τὸ ξίφος, ὃ ἐπιφέρεται ὁ λῃστὴς, καὶ φεύγει τὸ πάθος. ἐπέρχεται ὁ λῃστὴς, καὶ εὑρίσκεται λοιπὸν ἐκεῖνος, ὥσπερ τις φιλότιμος, τὰ ἑαυτοῦ παρέχων μετὰ ἱκεσίας. τί οὖν λέγει τῷ λῃστῇ τότε; πάντα λάβε, καὶ μόνον τὴν ψυχήν μου χάρισαι. ἀκουέτω καὶ οὗτος· νῦν ἔγνως τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; λῃστῇ πάντα βουλομένῳ λαβεῖν δίδως μετὰ πάσης παρακλήσεως, τῷ βλάπτοντί σε εἰς πάντα· Θεῷ δὲ μέρος τι βουλομένῳ λαβεῖν οὐ δανείζεις, τῷ πάντα πλουσίως παρέχοντί σοι ἀγαθὰ, ἐπίγειά τε καὶ οὐράνια; ἀλλ' οὐδὲ τοσοῦτον φοβῇ τὸν Θεὸν, ὅσον τὸν λῃστήν; καὶ ξίφος μὲν γυμνούμενον φοβῇ, γεέννης δὲ

Ματθ. ιϛ. κϛ.

πῦρ ἀπειλούμενον κατὰ φρενός; μή, παρακαλῶ, μὴ τοιοῦτοί τινες ὑμῶν γενέσθωσαν. οὐ γάρ ἐστε, μάλιστα φιλόξενοι ὄντες. οἴδατε γὰρ πάντα τὰ ἀποβησόμενα τοῖς ἀνθρώποις. τὰς ψυχὰς ὑμῶν ἀσφαλίσασθε περὶ τῆς ἐντεῦθεν ἀποδημίας, καὶ ἐπιγινώσκετε τὸν ἐν τοῖς ἁγίοις εὐαγγελίοις εἰρηκότα· Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. αὐτῷ οὖν τῷ ἐλεοῦντι, καὶ τρέφοντι, καὶ μὴ ὀνειδίζοντι Θεῷ δόξαν ἀναπέμψωμεν, σὺν τῷ πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. ε. ζ.

ΠΕΡΙ ΕΛΕΗΜΟΣΥΝΗΣ ΕΚΦΩΝΗΘΕΙΣ ΕΝ ΤΩ ΠΑρελθεῖν αὐτὸν χειμῶνος ὥρᾳ, καὶ ἰδεῖν τοὺς πένητας καὶ πτωχοὺς ἀνεπιμελήτους ἐρριμμένους κατὰ τὴν ἀγοράν. Λογ. β.

Πρεσβείαν τινὰ δικαίαν καὶ λυσιτελῆ καὶ πρέπουσαν ὑμῖν ἀρέστην ποιησόμενος τήμερον πρὸς ὑμᾶς· ἑτέρου μὲν οὐδενός, τῶν δὲ τὴν πόλιν οἰκούντων ἡμῖν πτωχῶν ἐπὶ ταύτην με χειροτονησάντων, οὐ ῥήμασι καὶ ψηφίσμασι καὶ κοινῆς γνώμῃ βουλῆς, ἀλλὰ διὰ τῶν θεαμάτων τῶν ἐλεεινῶν καὶ πικροτάτων. παριὼν γὰρ διὰ τῆς ἀγορᾶς καὶ τῶν στενωπῶν, καὶ πρὸς τὴν ὑμετέραν σύνοδον σπεύδων, εἶτα ὁρῶν ἐν μέσοις ἀμφόδοις ἐρριμμένους πολλούς, καὶ τοὺς μὲν τὰς χεῖρας ἐκκεκομμένους, τοὺς δὲ τοὺς ὀφθαλμούς, τοὺς δὲ ἑλκῶν καὶ τραυμάτων ἀνιάτων γέμοντας, καὶ ταῦτα μάλιστα προβάλλοντας τὰ μέρη, ἃ συγκαλύπτειν ἀναγκαῖον ἦν διὰ τὴν ἐναποκειμένην αὐτοῖς σηπεδόνα, ἐσχάτης ἐνόμισα ἀπανθρωπίας εἶναι, τὸ μὴ περὶ τούτων διαλεχθῆναι πρὸς τὴν ὑμετέραν ἀγάπην, καὶ μάλιστα μετὰ τῶν εἰρημένων καὶ τοῦ καιροῦ πρὸς τοῦτο συνωθοῦντος ἡμᾶς. ἀεὶ μὲν γὰρ ἀναγκαῖον τοὺς περὶ τῆς ἐλεημοσύνης ποιεῖσθαι λόγους, ἐπειδὴ καὶ ἡμεῖς πολλῆς ταύτης παρὰ τοῦ ποιήσαντος ἡμᾶς δεόμεθα δεσπότου· μάλιστα δὲ ἐν τῷ παρόντι καιρῷ, ὅτε πολὺς ὁ κρυμός. ἐν μὲν γὰρ τῷ θέρει πολλὴν παρὰ τῆς ὥρας ἔχουσι παραμυθίαν οἱ πένητες. καὶ γὰρ καὶ γυμνοῖς βαδίζειν ἀκίνδυνον, ἀντὶ περιβολῆς τῆς ἀκτῖνος ἀρκούσης αὐτοῖς, καὶ ἐπ' ἐδάφους ἁπλῶς καθεύδειν καὶ αἰθρίους διανυκτερεύειν ἀσφαλές· καὶ οὔτε ὑποδημάτων αὐτοῖς χρεία τοσαύτη, οὔτε οἰνοποσίας, οὔτε δαψιλεστέρας τροφῆς· ἀλλ' ἀρκοῦνται μὲν ταῖς τῶν ὑδάτων πηγαῖς, ἀρκοῦνται δὲ οἱ μὲν τῶν λαχάνων τοῖς φαυλοτέροις, οἱ δὲ σπερμάτων ξηρῶν ὀλιγότητι, τῆς ὥρας τοῦ ἔτους ἐσχεδιασμένην αὐτοῖς παρεχούσης τὴν τράπεζαν. καὶ ταύτης δὲ οὐκ ἐλάττονα ἔχουσιν ἑτέραν παραμυθίαν, τὴν τῆς ἐργασίας εὐκολίαν. οἱ γὰρ τὰς οἰκίας οἰκοδομούμενοι, καὶ οἱ τὴν γῆν σκάπτοντες, καὶ οἱ τὴν θάλασσαν πλέοντες, τῆς τούτων μάλιστα δέονται συνεργείας. καὶ ὅπερ τοῖς πλουτοῦσιν ἀγροὶ καὶ οἰκίαι καὶ λοιπαὶ πρόσοδοι, τοῦτο τούτοις τὸ σῶμά ἐστι καὶ πᾶσα ἀπὸ τῶν χειρῶν ἡ πρόσοδος, ἑτέρωθεν δὲ οὐδαμόθεν. διὰ τοῦτο θέρους μὲν ἀπολαύουσί τινος παραμυθίας· ἐν δὲ τῇ τοῦ χειμῶνος ὥρᾳ πολὺς αὐτοῖς πανταχόθεν ὁ πόλεμος· καὶ διπλῆ ἡ πολιορκία· τοῦ λιμοῦ κατεσθίοντος ἔνδον τὰ σπλάγχνα, τοῦ κρυμοῦ πηγνύντος τὴν σάρκα ἔξωθεν, καὶ νεκρὰν ἐργαζομένου. διὸ καὶ πλείονος μὲν αὐτοῖς τροφῆς δεῖ, ἰσχυροτέρας δὲ τῆς περιβολῆς, καὶ στέγης, καὶ στιβάδος, καὶ ὑποδημάτων, καὶ πολλῶν ἑτέρων. καὶ τὸ δὴ πάντων χαλεπώτερον, οὐδὲ ἐργασίας τίς ἐστιν αὐτοῖς εὐπορία· οὐ γὰρ ἐπιτρέπει τοῦ ἔτους ἡ ὥρα. ἐπεὶ οὖν καὶ πλείων αὐτοῖς ἡ τῶν ἀναγκαίων χρεία, καὶ τὸ ἐργάζεσθαι μετὰ τούτου περιῄρηται, οὐδενὸς τοὺς ἀθλίους μισθουμένου, οὐδὲ καλοῦντος εἰς διακονίαν· φέρε, τὰς τῶν ἐλεημόνων ἀντεισαγάγωμεν χεῖρας ἀντὶ τῶν μισθουμένων, τὸν ἀληθῶς προστάτην καὶ κηδεμόνα τῶν ἐν πενίᾳ ζώντων Παῦλον συνεργὸν πρὸς τὴν πρεσβείαν ταύτην λαβόντες.

καὶ γὰρ πολλὴν τοῦ πράγματος ποιεῖται τὴν πρόνοιαν ἀεὶ, καὶ ὅσην οὐδεὶς ἕτερος. Διά τοι τοῦτο τοὺς μαθητὰς πρὸς τὸν Πέτρον διελόμενος, τὴν τῶν πενήτων οὐ διείλετο προστασίαν· ἀλλ᾽ εἰπὼν, ὅτι Δεξιὰς ἔδωκεν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας, ἵνα ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομὴν· ἐπήγαγε, Μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν, ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι. καὶ γὰρ πανταχοῦ τῶν ἐπιστολῶν τὸν περὶ τούτων εἰσφέρει λόγον, καὶ οὐκ ἔστιν εὑρεῖν οὐδεμίαν ἐπιστολὴν ταύτης ἐκτὸς οὖσαν τῆς παραινέσεως. οἶδε γὰρ, οἶδεν ὅση τοῦ πράγματος ἡ ἰσχύς. Διὰ τοῦτο καθάπερ οἰκοδομῇ θαυμαστὴν ὀροφὴν ἐπιτιθεὶς ταῖς λοιπαῖς παραινέσεσι καὶ συμβουλαῖς, τὴν περὶ τούτων εἰσάγει διδασκαλίαν. ὅπερ οὖν καὶ ἐνταῦθα πεποίηκε. διαλεχθεὶς περὶ ἀναστάσεως, καὶ τὰ ἄλλα διορθώσας ἅπαντα, εἰς τὸν περὶ τῆς ἐλεημοσύνης κατέλυσε λόγον, οὕτως εἰπὼν, Περὶ δὲ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους, καθὼς διέταξα ταῖς ἐκκλησίαις τῆς Γαλατίας, οὕτω καὶ ὑμεῖς ποιήσατε κατὰ μίαν σαββάτων ἕκαστος ὑμῶν. σκόπει τὴν σύνεσιν ἀποστολικὴν, πῶς εὐκαίρως ταύτης ἥψατο τῆς παραινέσεως. ἐπειδὴ γὰρ ἀνέμνησε τοῦ μέλλοντος δικαστηρίου, καὶ τοῦ βήματος ἐκείνου τοῦ φοβεροῦ, καὶ τῆς δόξης, ἧς ἀμφιέννυσθαι ἔμελλον οἱ κατωρθωκότες, καὶ τῆς ἀθανάτου διατριβῆς· τότε λοιπὸν εἰς τὸν περὶ τούτων ἐμβάλλει λόγον· ἵνα ταῖς χρησταῖς ἐλπίσιν ἀναπνεύσας, καὶ ῥᾴων γενόμενος ὁ ἀκροατὴς, μετὰ πλείονος αὐτὸν καταδέξηται τῆς προθυμίας, ἐνακμάζοντα τὸν φόβον ἔχων τῆς κρίσεως, καὶ γαυρουμένην τὴν ψυχὴν τῇ τῶν ἀποκειμένων ἀγαθῶν προσδοκίας. ὁ γὰρ περὶ ἀναστάσεως δυνάμενος φιλοσοφεῖν, καὶ μεταστήσας ἑαυτὸν ὅλον πρὸς τὴν ἐκεῖ ζωὴν, οὐδὲν ἡγήσεται τὰ παρόντα εἶναι· οὐ πλοῦτον, οὐκ εὐπορίαν, οὐ χρυσίον, οὐκ ἄργυρον, οὐχ ἱματίων περιβολὴν, οὐ τρυφὴν, οὐ τραπέζας πολυτελεῖς, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. ὁ δὲ ταῦτα μηδὲν εἶναι νομίζων, εὐκολώτερον τῆς τῶν πενήτων ἀνθέξεται προστασίας. Διὰ δὲ τοῦτο καὶ Παῦλος καλῶς προπαρασκευάσας αὐτῶν τὴν διάνοιαν τῇ περὶ τῆς ἀναστάσεως φιλοσοφίᾳ, τότε εἰσήγαγε τὴν παραίνεσιν. καὶ οὐκ εἶπε, περὶ δὲ τῆς λογίας τῆς εἰς τοὺς πτωχοὺς, οὐδὲ τῆς εἰς τοὺς πένητας, ἀλλὰ, τῆς εἰς τοὺς ἁγίους· παιδεύων τοὺς ἀκούοντας καὶ τοὺς ἐν πενίᾳ θαυμάζειν, ὅταν εὐσεβεῖς ὦσι, καὶ τοὺς ἐν πλούτῳ διαπτύειν, ὅταν ἀρετῆς καταφρονῶσιν. οἶδε γοῦν καὶ βασιλέα βέβηλον καλεῖν καὶ παράνομον, ὅταν ἐχθρὸς ᾖ τοῦ Θεοῦ· καὶ πτωχοὺς ἁγίους, ὅταν ἐπιεικεῖς ὦσι καὶ μέτριοι. τὸν γοῦν Νέρωνα μυστήριον τῆς ἀνομίας καλεῖ, λέγων· Τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας. τούτους δὲ καὶ οὐδὲ τῆς ἀναγκαίας εὐποροῦντας τροφῆς, ἀλλ᾽ ἐκ τοῦ ἐπαιτεῖν τρεφομένους, ἁγίους ὠνόμασεν· ἅμα δὲ κἀκείνους λανθανόντως ἐδίδασκε μὴ μεγαφρονεῖν, μηδὲ ἐπαίρεσθαι τῇ τῆς ἐντολῆς δόσει, ὡς εὐτελέσι τισὶ καὶ εὐκαταφρονήτοις παρέχοντας· ἀλλ᾽ εἰδέναι σαφῶς καὶ πείθειν ἑαυτοὺς, ὅτι τιμῆς ἀπολαύουσι μεγίστης καταξιούμενοι κοινωνεῖν ταῖς ἐκείνων θλίψεσιν. ἄξιον δὲ κἀκεῖνο ἐξετάσαι, τίνες εἰσὶν οὗτοι οἱ ἅγιοι. οὐδὲ γὰρ ἐνταῦθα αὐτῶν μέμνηται μόνον, ἀλλὰ καὶ ἑτέρωθι πάλιν οὕτω λέγων· Νυνὶ δὲ πορεύομαι εἰς Ἱερουσαλὴμ διακονήσων τοῖς ἁγίοις. καὶ Λουκᾶς δὲ ἐν ταῖς Πράξεσι, λιμοῦ προσδοκωμένου μεγάλου, τούτων αὐτῶν μεμνημένος τῶν ἁγίων φησί· Τῶν δὲ μαθητῶν καθὼς εὐπορεῖτό τις, ὥρισεν ἕκαστος πέμψαι πρὸς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν Ἱερουσαλήμ. καὶ πάλιν, ὃ καὶ ἔμπροσθεν ἔφθην εἰπὼν, Μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν, ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι. ἐπειδὴ δὲ διειλόμεθα, ἐγὼ μὲν τοὺς Ἕλληνας, ὁ δὲ Πέτρος τοὺς Ἰουδαίους, κοινῇ γνώμῃ συνεθέμεθα, φησιν, ὥστε ἐν τοῖς πτωχοῖς μὴ εἶναι τὴν διαίρεσιν ταύτην. ὅτε μὲν γὰρ ἐκήρυττον, ὁ μὲν τοῖς Ἰουδαίοις, ὁ δὲ τοῖς Ἕλλησιν ἐκήρυττον· ὅτε δὲ πενήτων προΐσταντο, οὐκέτι οὕτως, ὁ μὲν τῶν πενήτων τῶν Ἰουδαίων, ὁ δὲ τῶν πενήτων τῶν Ἑλλήνων μόνον· ἀλλὰ καὶ τῶν παρὰ Ἰουδαίοις πτωχευόντων ἕκαστος πολλὴν ἐποιεῖτο πρόνοιαν. διὸ καὶ ἔλεγε, μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν, ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι. Τίνες οὖν εἰσὶν οὗτοι, περὶ ὧν ἐνταῦθα διαλέγεται, καὶ ἐν τῇ πρὸς Ῥω-

Γαλ. β. θ.

α. Κορ. ις. α.

Ρωμ. ιε. κε.

Πραξ. ια. κθ.

Γαλ. β. ι.

δοξολογίας

δοξολογίας

μαίοις ἐπιστολῇ, καὶ ἐν τῇ πρὸς Γαλάτας, ὑπὲρ ὧν καὶ Μακεδόνας παρεκάλεσεν; οἱ τῶν
Ἰουδαίων πένητες, οἱ ἐν Ἱεροσολύμοις καθήμενοι. καὶ τίνος οὖν ἕνεκεν τοσαύτην αὐτῶν
ποιεῖται πρόνοιαν; μὴ γὰρ οὐχὶ καὶ καθ' ἑκάστην πόλιν ἦσαν πτωχοὶ καὶ πένητες; τί δήποτε
οὖν πρὸς ἐκείνους πέμπει, καὶ πάντας ὑπὲρ αὐτῶν παρακαλεῖ; οὐχ ἁπλῶς, οὐδὲ ὡς
ἔτυχεν, οὐδὲ προσωποληψίᾳ χρώμενός τινι, ἀλλὰ χρησίμως καὶ συμφερόντως.

Μικρὸν δὲ ἀνωτέρω τὸν λόγον ἀγαγεῖν ἀναγκαῖον. ἐπειδὴ τὰ τῶν Ἰουδαίων μετέπεσε
πράγματα, καὶ τὸν Ἰησοῦν σταυρώσαντες, τὴν φωνὴν ἐκείνην καθ' ἑαυτῶν ἐκύρωσαν,
Ιωαν ιθ. ιε. λέγοντες· Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα· καὶ λοιπὸν ὑπὸ τὴν Ῥωμαίων ἐτέθησαν
ἀρχήν, οὔτε αὐτόνομοι ἦσαν, καθάπερ καὶ πρότερον, οὔτε καθόλου δοῦλοι, καθάπερ καὶ νῦν·
ἀλλ' ἐν τάξει συμμάχων ὄντες διετέλουν, φόρους μὲν τελοῦντες τοῖς βασιλεῦσιν ἑαυτῶν, καὶ
τοὺς παρ' ἐκείνων ἄρχοντας δεχόμενοι· πολλαχοῦ δὲ τοῖς ἰδίοις κεχρημένοι νόμοις, καὶ τοὺς παρ'
αὐτοῖς ἁμαρτάνοντας κατὰ τὰ πάτρια κολάζοντες νόμιμα. καὶ ὅτι μὲν φόρους ἐτέλουν Ῥωμαίοις,
Ματθ. κβ. ιζ. δῆλον ἐξ ὧν πειράζοντες τὸν Ἰησοῦν, φησιν, ἠρώτων, Διδάσκαλε, ἔξεστι δοῦναι κῆνσον Καίσαρι,
ἢ οὔ; ὅτε καὶ αὐτοὺς δεῖξαι κελεύσας αὐτῷ νόμισμα, εἶπεν· Ἀπόδοτε, λέγων, τὰ Καίσαρος
Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ Θεῷ. ὁ Λουκᾶς δὲ, καὶ ὅτι στρατηγοὺς καὶ χιλιάρχους εἶχε τὸ ἱερὸν,
λέγει. τὸ μὲν οὖν ὑποκεῖσθαι τοὺς Ἰουδαίους Ῥωμαίοις, οὐ μικρὰ ταῦτα δείγματα. ὅτι
δὲ καὶ οἰκείοις ἐκέχρηντο νόμοις, δῆλον ἐκεῖθεν. τὸν Στέφανον ἐλίθασαν, οὐκ εἰς δικαστήριον
ἀγαγόντες· τὸν Ἰάκωβον ἀπέκτειναν τὸν ἀδελφὸν τοῦ Κυρίου· τὸν Χριστὸν αὐτοὶ ἐσταύρωσαν,
καίτοι τοῦ δικαστοῦ συγχωρήσαντος καὶ ἀφέντος πάσης αὐτὸν κατηγορίας. διὰ γὰρ
Ματθ κζ. κδ. τοῦτο καὶ τὰς χεῖρας ἐνίψατο, λέγων· Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τούτου. καὶ ἐπειδὴ σφόδρα
ἐπικειμένους εἶδεν, αὐτὸς μὲν τὴν ψῆφον οὐκ ἐξήνεγκεν, ἀλλ' ἀπέστη· ἐκεῖνοι δὲ οἰκείᾳ
χρησάμενοι τυραννίδι τὸ πᾶν μετὰ ταῦτα εἰργάσαντο· καὶ Παῦλος δὲ πολλάκις ἐπιβουλεύετο.
ἐπεὶ οὖν τοῖς ἑαυτῶν ἐκέχρηντο δικαστηρίοις, ἐκ '' τούτων συνέβαινε τοὺς ἐξ αὐτῶν πιστεύοντας γρ. τούτου
χαλεπώτερα τῶν ἄλλων ἁπάντων πάσχειν κακά. ἐν μὲν '' οὖν ταῖς ἄλλαις πόλεσι γρ. γὰρ
καὶ δικαστήρια, καὶ νόμοι, καὶ ἄρχοντες ἦσαν, καὶ οὐκ ἐξῆν τοῖς Ἕλλησι τοὺς ἐξ αὐτῶν ἀποπηδῶντας οἰκείᾳ
τυραννίδι ἢ σφάττειν, ἢ λιθάζειν, ἢ ἄλλο τι τοιοῦτον διαθεῖναι αὐτοὺς κακόν· ἀλλ' εἴ
τις ἑάλω τοιοῦτόν τι τολμῶν παρὰ τὴν τῶν δικαζόντων ψῆφον, καὶ αὐτὸς ἐκολάζετο· παρὰ
δὲ τοῖς Ἰουδαίοις μετὰ πολλῆς ταῦτα * συγκεχώρητο τῆς ἐξουσίας. διὰ δὴ τοῦτο πάντων *ἦν
δεινότερα ἔπασχον οἱ ἐξ ἐκείνων πιστεύοντες, ὥσπερ ἐν μέσοις ἀπειλημμένοι λύκοις, καὶ οὐδένα
τὸν ἐξαιρούμενον ἔχοντες. οὕτω γοῦν καὶ τὸν Παῦλον ἐμαστίγουν πολλάκις. καὶ ἄκουε αὐτοῦ
β. Κορ ια. κδ. τοῦτο δηλοῦντος καὶ λέγοντος· Πεντάκις τεσσαράκοντα παρὰ μίαν ὑπὸ Ἰουδαίων ἔλαβον·
Εβρ. ι. λβ. τρὶς ἐρραβδίσθην· ἅπαξ ἐλιθάσθην. καὶ ὅτι οὐ στοχασμὸς τὸ εἰρημένον, γράφων πρὸς
Ἑβραίους ὁ Παῦλός φησιν· Ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν
ἄθλησιν ὑπεμείνατε παθημάτων, τοῦτο μὲν ὀνειδισμοῖς καὶ θλίψεσι θεατριζόμενοι,
τοῦτο δὲ κοινωνοὶ τῶν οὕτω πασχόντων γενηθέντες. καὶ γὰρ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων
ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, γινώσκοντες κρείττονα ὕπαρξιν ἔχειν ἐν οὐρανοῖς καὶ μένουσαν.
α. Θεσ. β. ιδ. καὶ Θεσσαλονικέας δὲ παρακαλῶν, τούτους εἰς μέσον ἤγαγεν· Ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε,
ἀδελφοί, τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ, ὅτι καὶ ὑμεῖς τοιαῦτα ἐπάθετε
ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθάπερ κἀκεῖνοι ὑπὸ τῶν Ἰουδαίων. ἐπεὶ οὖν πάντων χαλεπώτερα
ἔπασχον, καὶ οὐ μόνον οὐκ ἠλεοῦντο, ἀλλὰ καὶ τὰ ὄντα ἀφῃροῦντο ἅπαντα, καὶ ἤγοντο
καὶ ἐφέροντο, καὶ πάντοθεν ἠλαύνοντο, εἰκότως τοὺς πανταχόθεν ἐπὶ τὴν ἐκείνων ἀντίληψιν
α. Κορ. ις. α. διεγείρει. καὶ ἐνταῦθα πάλιν ὑπὲρ τούτων αὐτῶν παρακαλεῖ Κορινθίους, λέγων· Περὶ
δὲ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους, καθὼς διέταξα ταῖς ἐκκλησίαις τῆς Γαλατίας, οὕτω καὶ
ὑμεῖς ποιήσατε. τίνες μὲν οὖν εἰσιν οἱ ἅγιοι οὗτοι, καὶ τί δήποτε πλείονα ὑπὲρ αὐτῶν ποιεῖ-

ται πρόνοιαν, ἱκανῶς ἀποδέδεικται. δεῖ δὲ λοιπὸν ζητῆσαι, τίνος ἕνεκεν Γαλατῶν μέμνηται. διὰ τί γὰρ μὴ εἶπε· περὶ δὲ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους τοῦτο ποιήσατε· κατὰ μίαν σαββάτων ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω θησαυρίζων· ἀλλ' εἰπὼν περὶ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους, καθὼς διέταξα ταῖς ἐκκλησίαις τῆς Γαλατίας, οὕτω καὶ ὑμεῖς ποιήσατε; τίνος οὖν ἕνεκεν τοῦτο ποιεῖ, καὶ οὐδὲ μιᾶς, οὐδὲ δύο, οὐδὲ τριῶν ἀναμιμνήσκει πόλεων, ἀλλὰ ἔθνους ὁλοκλήρου; ἵνα πλείονα δέξωνται προθυμίαν, καὶ τὰ ἑτέρων ἐγκώμια αὐτοῖς ὑπόθεσις γένηται ζήλου. Εἶτα λέγει καὶ τὸν τρόπον, καθ' ὃν διέταξε, Κατὰ μίαν σαββάτων, φησίν, ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω θησαυρίζων ὅ, τι ἂν εὐοδῶται, ἵνα μή, ὅταν ἔλθω, τότε λογίαι γίνωνται. μίαν σαββάτων, τὴν κυριακὴν ἐκάλεσε. καὶ τίνος ἕνεκεν ταύτην ἐπέταξε τῇ εἰσφορᾷ τὴν ἡμέραν; διὰ τί μὴ εἶπε, τῇ δευτέρᾳ τῶν σαββάτων, τῇ τρίτῃ τῶν σαββάτων, ἢ αὐτοῖς τοῖς σάββασιν; οὐχ ἁπλῶς, οὐδὲ εἰκῇ· ἀλλὰ βουλόμενος ἵνα καὶ ἀπὸ τοῦ καιροῦ λάβῃ συμμαχίαν εἰς τὸ προθυμοτέρους ποιῆσαι τοὺς εἰσφέροντας. οὐ μικρὸν δὲ ἐπιτηδειότης καιροῦ ἐν ἅπασι πράγμασι. καὶ τί, φησίν, ὁ καιρὸς ἐπιτήδειον ἔχει πρὸς τὸ πεῖσαι διδόναι ἐλεημοσύνην; κατὰ τὴν ἡμέραν ταύτην τὸ πάσης ἐργασίας ἀφίστασθαι, τὸ φαιδροτέραν γίνεσθαι τὴν ψυχὴν ἐκ τῆς ἀνέσεως· τὸ δὲ πάντων μεῖζον, τὸ μυρίων ἡμᾶς κατ' αὐτὴν ἀπολελαυκέναι καλῶν. ἐν ταύτῃ γὰρ τῇ ἡμέρᾳ κατελύθη ὁ θάνατος, ἐσβέσθη ἡ κατάρα, ἁμαρτία ἠφανίσθη, ᾅδου πύλαι συνεκλάσθησαν, καὶ δέσμιος ὁ διάβολος γέγονε, καὶ ὁ χρόνιος ἀνῃρέθη πόλεμος, καὶ καταλλαγαὶ Θεοῦ πρὸς ἀνθρώπους ἐγένοντο· καὶ πρὸς τὴν προτέραν, μᾶλλον δὲ πρὸς πολλῷ μείζονα ἐπανῆλθεν εὐγένειαν ἡμῶν τὸ γένος, καὶ τὸ θαυμαστὸν ἐκεῖνο καὶ παράδοξον ἐπεῖδε θέαμα ἥλιος, ἄνθρωπον ἀθάνατον γεγενημένον. τούτων δὲ πάντων ἡμᾶς ἀναμνῆσαι βουλόμενος, καὶ τῶν τοιούτων, τὴν ἡμέραν εἰς μέσον ἤγαγε, μονονουχὶ συνήγορον αὐτὴν λαμβάνων, καὶ πρὸς ἕκαστον λέγων· ἐννόησον πόσων καὶ ἡλίκων ἀπέλαυσας ἀγαθῶν κατὰ τὴν ἡμέραν ταύτην, ἄνθρωπε· πόσων ἀπηλλάγης κακῶν· τίς ὢν τὸ πρότερον, τίς ἐγένου μετὰ ταῦτα. εἰ δὲ τὰς γενεθλίους ἡμῶν ἡμέρας, πολλοὶ δὲ τῶν οἰκετῶν κἀκείνας, ἐν αἷς ἠλευθερώθησαν, μετὰ πολλῆς ἄγουσι τῆς τιμῆς, καὶ οἱ μὲν συμπόσια ποιοῦνται, οἱ δὲ ἐλεύθεροι καὶ δῶρα δωροῦνται, πολλὰ τὸν καιρὸν τιμῶντες· πολλῷ μᾶλλον ἡμᾶς χρὴ τιμᾶν τὴν ἡμέραν ταύτην, ἣν οὐκ ἄν τις ἁμάρτοι τῆς ἀνθρωπίνης φύσεως ἁπάσης γενέθλιον προσειπών. ἀπολωλότες γὰρ ἦμεν, καὶ εὑρέθημεν· νεκροί, καὶ ἀνεζήσαμεν· ἐχθροί, καὶ κατηλλάγημεν. διὰ τοῦτο καὶ προσήκει αὐτὴν τιμᾶν τιμὴν πνευματικήν, οὐχὶ συμπόσια ποιοῦντας, οὐδὲ οἶνον ἐκχέοντας, οὐδὲ μεθύοντας καὶ χορεύοντας, ἀλλὰ τοὺς πτωχοτέρους τῶν ἀδελφῶν ἐν πολλῇ καθιστάντας ἀφθονίᾳ. ταῦτα λέγω, οὐχ ἵνα ἐπαινῆτε, ἀλλ' ἵνα καὶ μιμῆσθε. μὴ γὰρ δὴ μόνον πρὸς Κορινθίους ταῦτα εἰρῆσθαι νομίζετε, ἀλλὰ καὶ πρὸς ἡμῶν ἕκαστον, καὶ τῶν μετὰ ταῦτα ἐσομένων ἁπάντων. καὶ ποιῶμεν αὐτὸ δὲ τοῦτο, ὅπερ Παῦλος ἐπέταξε· καὶ κατὰ κυριακὴν ἕκαστος ἀποτιθέσθω οἴκοι χρήματα δεσποτικά· καὶ νόμος ἔστω τὸ πρᾶγμα καὶ συνήθεια ἀκίνητος, καὶ οὐ δεησόμεθα παραινέσεως λοιπόν, οὐδὲ συμβουλῆς. οὐ γὰρ οὕτω λόγος καὶ παραίνεσις ἰσχύει τὰ τοιαῦτα κατορθοῦν, ὡς συνήθεια χρόνῳ βεβαιωθεῖσα. ἂν τοῦτο κυρώσωμεν κατὰ κυριακὴν ἀποτίθεσθαί τι πρὸς τὴν τῶν πενήτων ἀντίληψιν· οὐδ', ἂν μυρία γένοιτο ἀνάγκη, τὸν νόμον παραβησόμεθα τοῦτον. εἰπὼν δέ, κατὰ μίαν σαββάτων, ἐπήγαγεν, ἕκαστος ὑμῶν, οὐχὶ πλουσίοις λέγω, φησί, μόνον, ἀλλὰ καὶ πένησιν· οὐκ ἐλευθέροις, ἀλλὰ καὶ δούλοις· οὐκ ἀνδράσιν, ἀλλὰ καὶ γυναιξί· μηδεὶς ἔστω ταύτης ἀτελὴς τῆς λειτουργίας, μηδὲ ἄμοιρος τοῦ κέρδους, ἀλλ' ἕκαστος εἰσφερέτω. οὐδὲ γὰρ ἡ πενία κώλυμα γένοιτ' ἂν τῆς τοιαύτης εἰσφορᾶς. κἂν γὰρ μυριάκις ᾖς πένης, οὐκ εἶ πενέστερος τῆς χήρας ἐκείνης, ἣ τὴν οὐσίαν πᾶσαν ἐκένωσε. κἂν μυριάκις ᾖς πτωχός, οὐκ εἶ πτωχότερος τῆς Σιδωνίας γυναικός, ἣ δρᾶκα ἀλεύρου μόνον ἔχουσα, οὐδὲ οὕτως ἐστενοχωρεῖτο πρὸς τὴν τοῦ προφήτου δεξίωσιν· ἀλλ' ὁρῶσα καὶ χορὸν περιεστῶτα παίδων, καὶ λιμὸν ἐπικείμενον, καὶ οὐδὲν ἀποκείμενον ἕτερον, μετὰ πολλῆς τῆς προθυμίας τὸν προφήτην ἐδέξατο. τίνος δὲ ἕνεκεν εἶπεν, ὅτι παρ' ἑαυτῷ τιθέτω θησαυρίζων; ἐπειδὴ ὁ τιθεὶς ἴσως ᾐσχύνετο καὶ ἠρυθρία ὀλίγον ἐπιδεῖξαι· διὰ τοῦτό φησι, σὺ τήρει καὶ φύλαττε, καὶ ὅταν ταῖς κατὰ μέρος εἰσφοραῖς τὸ ὀλίγον πολὺ γένηται, τότε ἄγε εἰς μέσον. καὶ οὐκ εἶπε, συλλέγων, ἀλλὰ, θησαυρίζων, ἵνα μάθῃς ὅτι ἡ δαπάνη αὕτη θησαυρός ἐστιν, ὅτι τὸ ἀνάλωμα τοῦτο, πρόσοδός ἐστι· θησαυρὸς θησαυροῦ παντὸς βελτίων. ἐκεῖνος μὲν γὰρ ὁ αἰσθητὸς, καὶ ἐπιβουλεύεται καὶ μειοῦται, καὶ τοὺς εὑρόντας πολλάκις ἀπώλεσεν· ὁ δὲ ἐν τοῖς οὐρανοῖς, τοὐναντίον ἅπαν· ἀνάλωτος μένει καὶ ἀνεπιβούλευτος, σωτηρία τοῖς κεκτημένοις καὶ τοῖς μεταλαμβάνουσιν. οὐ γὰρ δαπανᾶται χρόνῳ, οὐχ ἁλίσκεται φθόνῳ, ἀλλ' ἔστιν ἀχείρωτος πάσαις ταῖς τοιαύταις ἐπιβουλαῖς, καὶ μυρία κομίζει τοῖς λέγουσιν αὐτὸν ἀγαθά. πειθώμεθα τοίνυν, καὶ ποιῶμεν οὕτω καὶ ἡμεῖς· καὶ ἔστω καὶ ἱερὰ χρήματα μετὰ τῶν ἰδιωτικῶν ἐν ταῖς οἰκίαις ἀποκείμενα ταῖς ἡμετέραις, ἵνα καὶ τὰ ἰδιωτικὰ διὰ τούτων φυλάττηται. καθάπερ γὰρ ἐν ταμιείοις βασιλικοῖς ἂν φαίη τις τῶν ἀρχομένων ἀποκείμενα χρήματα, κἀκεῖνα διὰ ταῦτα πολλῆς ἀπολαύει τῆς ἀσφαλείας· οὕτω δὴ καὶ ἐν τῇ οἰκίᾳ τῇ σῇ ἂν ἀποθῇ χρήματα πενήτων, καὶ κατὰ κυριακὴν συλλέγῃς, ταῦτα ἐκείνων ἔσται ἀσφάλεια· οὕτω καὶ οἰκονόμος γενήσῃ τῶν σαυτοῦ χρημάτων ὑπὸ Παύλου χειροτονηθείς. τί λέγω; καὶ τὰ ἤδη συλλεγέντα πρὸς τὸ πλείονα συλλέξαι πάλιν ὑπόθεσίς σοι γενήσεται καὶ ἀφορμὴ πλείων. ἂν γὰρ ἀρχὴν ποιήσῃ μόνον τῆς καλῆς ταύτης συνηθείας, αὐτὸς ὑπὸ σαυτοῦ δυνήσῃ διαμιλλᾶσθαι πάλιν, οὐδενὸς γενομένου συμβούλου. γενέσθω τοίνυν ἐκκλησία τῷ τρόπῳ τούτῳ ἡ ἑκάστου οἰκία, χρημάτων ἱερῶν ἔνδον ἀποκειμένων. καὶ γὰρ τὰ γαζοφυλάκια τὰ ἐνταῦθα κείμενα τούτων ἐστὶ σύμβολον. ὅπου πενήτων κεῖται χρήματα, ἄβατος τοῖς δαίμοσιν ὁ τόπος ἐστί. καὶ ὑπὲρ ἀσπίδα, καὶ δόρυ, καὶ ὅπλα, καὶ σώματος ἰσχὺν, καὶ στρατιωτῶν πλῆθος, τὰ πρὸς ἐλεημοσύνην συλλεγόμενα χρήματα τειχίζει τὰς οἰκίας. εἰπὼν τοίνυν πότε, καὶ παρὰ τίνων, καὶ πῶς τὰ τοιαῦτα συλλέγεσθαι δεῖ χρήματα, τὴν ποσότητα λοιπὸν αὐτοῖς τοῖς εἰσφέρουσιν ἐπέτρεψεν. οὐ γὰρ εἶπεν, ὅτι τόσον καὶ τόσον εἰσένεγκε, ἵνα μὴ βαρὺ τὸ ἐπίταγμα γένηται, πολλῶν πενίαν προβαλλομένων· ὥστε μὴ λέγειν τοὺς πένητας, τί οὖν ἂν μὴ δυνώμεθα; ἀλλὰ τῇ δυνάμει τῶν εἰσφερόντων τὸ μέτρον τῆς εἰσφορᾶς ὡρίσατο. ἕκαστος, φησὶν, ὑμῶν παρ' ἑαυτῷ τιθέτω θησαυρίζων, ὅ,τι ἂν εὐοδῶται, καὶ οὐκ εἶπεν, ὅπερ ἂν δυνηθῇ, ἢ ὅπερ ἂν εὑρεθῇ, ἀλλ', ὅπερ ἂν εὐοδωθῇ· δεικνὺς ὅτι καὶ τὴν ἄνωθεν ῥοπὴν καὶ εὔνοιαν ἔχει συναντιλαμβανομένην αὐτῷ. οὐ γὰρ δὴ τοῦτο μόνον ὁ Παῦλος ἐσκόπει, ὅπως εἰσενεχθείη τοῖς πένησι χρήματα, ἀλλὰ καὶ ὅπως μετὰ προθυμίας πολλῆς. ἐπεὶ καὶ ὁ Θεὸς τὴν ἐλεημοσύνην διὰ τοῦτο ὥρισεν, οὐχ ἵνα τρέφωνται μόνον οἱ δεόμενοι, ἀλλ' ἵνα καὶ οἱ παρέχοντες εὐεργετῶνται, καὶ διὰ τούτους μᾶλλον, ἢ δι' ἐκείνους. εἰ γὰρ τὸ ἐκείνων ἐσκόπει μόνον, ὅπως δοθείη τὰ χρήματα μόνον ἐπέταττεν ἂν, οὐκ ἂν δὲ τὴν προθυμίαν τῶν διδόντων ἐζήτει. νυνὶ δὲ ὁρᾷς ἄνω καὶ κάτω ὑπὲρ τούτου μάλιστα τὸν ἀπόστολον διαταττόμενον, ὅπως χαίροντες, ὅπως ἱλαροὶ παρέχοιεν οἱ παρέχοντες. καὶ ποτὲ μέν φησι, Μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης, ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός· οὐχ ἁπλῶς δότην, ἀλλὰ τὸν μεθ' ἡδονῆς τοῦτο ποιοῦντα. καὶ πάλιν ἀλλαχοῦ, Ὁ μεταδιδοὺς ἐν ἁπλότητι, ὁ προϊστάμενος ἐν σπουδῇ, ὁ ἐλεῶν ἐν ἱλαρότητι. ἐπεὶ καὶ τοῦτό ἐστιν ἐλεημοσύνη, τὸ χαίροντα καὶ νομίζοντα λαμβάνειν μᾶλλον ἢ διδόναι, οὕτω παρέχειν. διὰ τοῦτο παντὶ τρόπῳ πειρᾶται εὔκολον ποιῆσαι τὸ ἐπίταγμα, ἵνα μετὰ προθυμίας ἡ εἰσφορὰ γένηται. καὶ σκόπει πόσοις ἐπεχείρησε κεφαλαίοις τὸ βαρὺ τοῦ πράγματος ἐπιτεμνόμενος. ἑνὶ μὲν καὶ πρώτῳ, τῷ μὴ παρ' ἑνὸς καὶ δύο ἢ τριῶν, ἀλλὰ παρὰ πάσης αὐτὸ κελεῦσαι εἰσενεχθῆναι τῆς πόλεως. λογία γὰρ οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἡ συλλογὴ καὶ ἔρανος παρὰ πάν-

Ρωμ. ιβ. η.

τῶν ἐπιδιδομένων. δεύτερον, τῷ τῶν λαμβανόντων ἀξιώματι. οὐ γὰρ εἶπε, πένησιν, ἀλλ', ἁγίοις. τρίτον, τῷ παραδείγματι τῶν ἤδη πεποιηκότων. Καθὼς διέταξα γάρ, φησι, ταῖς ἐκκλησίαις τῆς Γαλατίας. πρὸς τούτοις, τῇ τῆς ἡμέρας εὐκαιρίᾳ· κατὰ μίαν γάρ, φησι, σαββάτων ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω θησαυρίζων. πέμπτον, τῷ μὴ πᾶσαν ὑφ' ἓν κελεῦσαι εἰσενεχθῆναι τὴν ἐλεημοσύνην· ἀλλ' ἠρέμα καὶ κατὰ μικρόν. οὐ γάρ ἐστιν ἴσον ἐν ἡμέρᾳ μιᾷ κελεύειν τὸ πᾶν εἰσφέρειν, καὶ ἐν τοσούτῳ κατακερματίζειν αὐτὸ χρόνῳ. τὸ γὰρ τοιοῦτον οὐδὲ αἴσθησιν παρέχει δαπάνης. ἕκτον, τὸ μὴ μέτρον ὁρίσαι, ἀλλ' ἐπιτρέψαι τῇ γνώμῃ τῶν εἰσφερόντων, καὶ δεῖξαι παρὰ Θεοῦ τοῦτο διδόμενον. τὸ γὰρ εἰπεῖν, ὅτι ἂν εὐοδῶται, ἀμφότερα ταῦτα ἐδήλωσε. προσέθηκε καὶ ἕβδομον ἕτερον τρόπον εἰπών, Ἵνα μή, ὅταν ἔλθω, τότε λογίαι γίνωνται. ὁμοῦ τε γὰρ αὐτοὺς καὶ κατήπειγε προσδοκᾷν ταχὺ αὐτοῦ τὴν παρουσίαν, καὶ παραμυθεῖται, προθεσμίαν αὐτοῖς πολλὴν παρέχων. καὶ οὐδὲ τούτοις ἠρκέσθη μόνον, ἀλλὰ καὶ ὄγδοον προσέθηκεν ἕτερον. ποῖον δὲ τοῦτο; Ἐπειδὰν δέ, φησι, παραγένωμαι, οὓς ἂν δοκιμάσητε δι' ἐπιστολῶν, τούτους πέμψω ἀπενεγκεῖν τὴν χάριν ὑμῶν· καὶ ἐὰν ᾖ ἄξιον τοῦ κἀμὲ πορεύεσθαι, σὺν ἐμοὶ πορεύσονται. ὅρα τὸ ἄτυφον καὶ ἐπιεικὲς τῆς μακαρίας καὶ γενναίας ἐκείνης ψυχῆς, καὶ τὸ κηδεμονικὸν καὶ φιλόστοργον. οὐ γὰρ ἠθέλησεν αὐτός, οὐδὲ ἠνέσχετο οὐδὲ διακονησομένους τοῖς χρήμασι τούτοις χειροτονῆσαι ἐξ οἰκείας γνώμης· ἀλλ' ἐκείνοις τὴν αἵρεσιν τούτων ἐπέτρεψε, καὶ οὐκ ἐνόμιζεν ὕβριν εἶναι τὸ πρᾶγμα, εἰ τῇ Κορινθίων ψήφῳ καὶ γνώμῃ, ἀλλὰ μὴ τῇ Παύλου μέλλοιεν οὕτω καθίστασθαι. τοσοῦτον μὲν οὖν αὐτῷ ἄτοπον εἶναι ἐφαίνετο, τὴν μὲν εἰσφορὰν ἐκείνων εἶναι, τὴν δὲ αἵρεσιν τῶν ὑπηρετησομένων αὐτοῦ. διὰ τοῦτο αὐτοῖς τοῦτ' ἐπέτρεψεν, ὁμοῦ τε τὴν ἐπιείκειαν ἐπιδεικνύμενος, ὁμοῦ τε πᾶσαν λαβὴν αἱρῶν καὶ σκιὰν ὑποψίας ἀτόπου. εἰ γὰρ καὶ τοῦ ἡλίου λαμπρότερος ἦν, καὶ πάσης πονηρᾶς ὑποψίας ἀπηλλαγμένος, ἀλλ' ὅμως καὶ οὕτως ἐκ περιουσίας ἐσπούδαζε καὶ τῶν ἀσθενεστέρων φείδεσθαι, καὶ τὰς ψευδεῖς ὑπονοίας διαφυγεῖν. διὰ τοῦτό φησιν, ἐπειδὰν παραγένωμαι, οὓς ἐὰν δοκιμάσητε, τούτους πέμψω ἀπενεγκεῖν τὴν χάριν ὑμῶν. τί λέγεις; σὺ δὲ οὐ πλεῖς, οὐδὲ δέχῃ τὰ χρήματα, ἀλλ' ἑτέροις τὸ πρᾶγμα ἐπιτρέπεις; ἵνα δὲ μὴ ταῦτα ἀκούοντες ῥᾳθυμότεροι γένωνται, ὅρα πῶς καὶ τοῦτο πάλιν διώρθωσεν. οὐ γὰρ εἶπεν ἁπλῶς, οὓς ἐὰν δοκιμάσητε πέμψω, ἀλλὰ τί; δι' ἐπιστολῶν· καὶ μὴ τῷ σώματι παρών, ἀλλὰ τοῖς γράμμασι παρέσομαι τοῖς ἐμοῖς, καὶ συναντιλήψομαι τῆς διακονίας ἐκείνοις. ἆρα ἄξιοι τῆς σκιᾶς ἐσμεν τῆς τοῦ Παύλου, ἢ τῶν ὑποδημάτων ἐκείνου, ὅταν ἐκεῖνος μὲν τοσαύτην παρὰ πᾶσι δόξαν ἔχων διακρούηται τὰς παρὰ πάντων τιμὰς, ἡμεῖς δὲ καὶ ἀγανακτῶμεν, καὶ δυσχεραίνωμεν, ἂν μὴ τῇ ἡμετέρᾳ γνώμῃ, μηδὲ τῇ κρίσει καὶ τῇ ψήφῳ ⓐ τὰ τοιαῦτα διακονούμενοι χρήματα χειροτονῶνται, ὅταν ὕβριν εἶναι νομίζωμεν τὸ μὴ μεθ' ἡμῶν καὶ τῆς ἡμετέρας γνώμης τοὺς τὰ αὐτῶν δαπανῶντας τοῦτο ποιεῖν; καὶ ὅρα πῶς ἑαυτοῦ πανταχοῦ μέμνηται, καὶ οὐδαμοῦ ἐπιλανθάνεται. οὐδὲ γὰρ ἐνταῦθα ἐντολὴν ἐκάλεσεν, οὐδὲ ἐλεημοσύνην, ἀλλὰ χάριν· δεικνὺς, ὅτι καθάπερ νεκροὺς ἐγείρειν, καὶ δαίμονας ἐλαύνειν, καὶ λεπροὺς καθαίρειν, χάριτος ἔργον ἐστίν· οὕτω καὶ πενίαν διορθοῦν, καὶ τοῖς δεομένοις χεῖρα ὀρέγειν, καὶ πολλῷ μᾶλλον τοῦτο ἢ ἐκεῖνα. ἀλλ' εἰ καὶ χάρις ἐστὶ, καὶ τῆς ἡμετέρας δεῖται σπουδῆς καὶ προθυμίας, ἵνα ἑλώμεθα καὶ βουληθῶμεν, καὶ τῆς χάριτος ἀξίους ἑαυτοὺς παρασκευάσωμεν. ἐπὶ μὲν οὖν τούτῳ παρεμυθήσατο, τῷ τὰ γράμματα αὐτοῦ πέμπειν μετ' ἐκείνων· ἑτέρῳ δὲ μείζονι τοῦ προτέρου πάλιν, τῷ καὶ αὐτὸν ὑποσχέσθαι τῆς ἀποδημίας ταύτης κοινωνήσειν αὐτοῖς. ἐὰν γὰρ ᾖ ἄξιον, φησι, τοῦ κἀμὲ πορεύεσθαι, σὺν ἐμοὶ πορεύσονται. καὶ σκόπει κἀνταῦθα αὐτοῦ τὴν σύνεσιν. οὔτε γὰρ ἠρνήσατο συναπιέναι, οὔτε ὑπέσχετο καθάπαξ, ἀλλὰ πάλιν τῇ τῶν διδόντων γνώμῃ τοῦτο ἐπέτρεψε, καὶ κυρίους αὐτοὺς ἐποίησε τῆς ἀποδημίας τῆς ἑαυτοῦ, ἐνδειξάμενος ὅτι εἰ δαψιλὲς εἴη τὸ διδό-

α. Κορ. ιϛ. γ.

μένοι καὶ τοσοῦτοι ὡς καὶ αὐτὸν διαναστῆσαι, πάντως "ἂν ἅψεται τῆς ὁδοῦ. τὸ γὰρ εἰπεῖν, ἐὰν ᾖ ἄξιον, τοῦτό ἐστιν αἰνιττομένου. εἰ μὲν οὖν καθόλου τὴν ἀποδημίαν ταύτην ἠρνήσατο, ἀθυμοτέρους ἂν ἐποίησε καὶ ὀκνηροτέρους αὐτούς. πάλιν εἰ ἀμφιβόλως ὡμολόγησε καὶ ὑπέσχετο, ῥαθυμοτέρους ἂν εἰργάσατο. διὰ δὴ τοῦτο οὔτε ἀπαγορεύει καθόλου, οὔτε ὑπισχνεῖται· ἀλλ' ἐπὶ τῇ γνώμῃ τῶν Κορινθίων τοῦτο ποιεῖ, εἰπών, ἐὰν δὲ ᾖ ἄξιον. ἀκούοντες γὰρ ὅτι Παῦλος μέλλει τὴν προσφορὰν αὐτῶν ἀποφέρειν, πλείονι προθυμίᾳ καὶ σπουδῇ πρὸς τὸ πρᾶγμα ἐκέχρηντο· ὥστε τὰς ἁγίας χεῖρας ἐκείνας διακονήσασθαι τοῖς διδομένοις, καὶ τὰς εὐχὰς τὰς ἐκείνου προστεθῆναι τῇ θυσίᾳ ταύτῃ. Εἰ δὲ Παύλῳ διδόναι μέλλοντες οἱ Κορίνθιοι ὥστε διακομίσαι, μετὰ πλείονος τοῦτο ἐποίουν τῆς προθυμίας· σὺ τῷ Παύλου μέλλων διδόναι δεσπότῃ (διὰ γὰρ τῶν πενήτων ἐκεῖνος λαμβάνει) ποίαν ἕξεις ἀπολογίαν ἀναβαλλόμενος; οὐδὲ γὰρ ἄν, εἰ μὴ μέγα ἦν τὸ πρᾶγμα καὶ πολλῆς ἄξιον σπουδῆς, ὁ τὴν οἰκουμένην πᾶσαν ἐγχειρισθείς, καὶ τὰς ὑφ' ἡλίῳ κειμένας μεριμνῶν ἐκκλησίας, ὑπέσχετο τὴν τῶν χρημάτων οἰκονομίαν διακονήσασθαι τούτων.

Ταῦτ' οὖν καὶ ἡμεῖς λογιζόμενοι, ἅ τε δοῦναι δεῖ, ὧν τε παρέχουσιν ἑτέροις ὑπηρετεῖν, μὴ κατοκνῶμεν, μηδὲ ἀθυμῶμεν, ὡς τῆς οὐσίας "ἡμῖν ἐλαττουμένης. πῶς γὰρ οὐκ ἄτοπον, τὸν μὲν γηπόνον τὰ σπέρματα καταβάλλοντα, καὶ τὰ ὄντα κενοῦντα, μὴ δάκνεσθαι, μηδὲ ἀλγεῖν, μηδὲ ἀνάλωμα νομίζειν εἶναι τὸ γινόμενον, ἀλλὰ κέρδος καὶ πρόσοδον, καίτοι ἀδήλου τῆς ἐλπίδος οὔσης· σὲ δὲ οὐκ ἐπὶ τοιούτοις, ἀλλ' ἐπὶ πολλῷ μείζοσι σπείροντα, καὶ αὐτῷ μέλλοντα τὸ ἀργύριον ἐγχειρίζειν τῷ Χριστῷ, ἀναδύεσθαι, καὶ ναρκᾶν, καὶ πενίαν προβάλλεσθαι; Γεν. α. ια. μὴ γὰρ οὐκ ἠδύνατο ὁ Θεὸς κελεῦσαι τῇ γῇ χρυσίον ἀπηρτισμένον ἐκβάλλειν; ὁ γὰρ εἰπών, Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, καὶ δείξας αὐτὴν ἐξαίφνης κομῶσαν, ἠδύνατο κελεῦσαι καὶ πηγὰς καὶ ποταμοὺς χρυσίου ῥεῦσαι πάντοθεν· ἀλλ' οὐκ ἠθέλησεν, ἀλλ' ἀφῆκεν εἶναι πολλοὺς ἐν πτωχείᾳ, διά τι τὸ ἐκείνοις, διά τε τὸ σοὶ συμφέρον. καὶ γὰρ πρὸς ἀρετὴν ἐπιτηδειότερον πενία πλούτου· καὶ τοῖς ἐν ἁμαρτήμασι καθεστηκόσιν οὐ μικρὰ παραμυθία γίνεται ἀπὸ τῆς εἰς τοὺς δεομένους βοηθείας. καὶ τοσαύτη τοῦ πράγματος σπουδὴ τῷ Θεῷ, ὅτι καὶ παραγινόμενος, καὶ σάρκα περιβαλλόμενος, καὶ τοῖς ἀνθρώποις συναναστραφείς, οὐ παρῃτήσατο, οὐδὲ αἰσχύνης ἄξιον εἶναι ἐνόμισεν οἰκονομεῖν αὐτὸς τὰ τῶν πενήτων. καίτοιγε τοσούτους ἐργασάμενος ἄρτους, καὶ πάντα ἐξ ἐπιτάγματος ποιῶν ἅπερ ἤθελε, * καὶ δυνάμενος δεῖξαι μυρίους ἀθρόον θησαυρούς, οὐκ ἐποίησε τοῦτο· ἀλλὰ γλωσσόκομον ἔχειν ἐκέλευσε τοῖς μαθηταῖς, καὶ τὰ βαλλόμενα βαστάζειν, καὶ τοῖς δεομένοις ἐκεῖθεν ἐπικουρεῖν. ὅτε γοῦν τῷ Ἰούδᾳ περὶ τῆς προδοσίας αἰνιγματωδῶς διελέγετο, μὴ συνιέντες οἱ μαθηταὶ τὸ λεχθέν, Ιωαν. ιγ. κθ. "ἐνόμισαν, φησιν, ὅτι εἶπεν αὐτῷ ἵνα τοῖς πτωχοῖς τι δῷ. καὶ γὰρ τὸ γλωσσόκομον αὐτός, φησιν, εἶχε, καὶ τὰ βαλλόμενα ἐβάσταζε. πολὺς γὰρ τῷ Θεῷ λόγος ἐλέους, οὐ τοῦ παρ' αὐτοῦ μόνον εἰς ἡμᾶς, ἀλλὰ καὶ τοῦ παρ' ἡμῶν εἰς τοὺς συνδούλους ὀφείλοντος γίνεσθαι· καὶ ἐν τῇ παλαιᾷ, καὶ ἐν τῇ καινῇ μυρίους ὑπὲρ τούτου τίθησι νόμους, κελεύων διὰ πάντων εἶναι φιλάνθρωπον, καὶ διὰ ῥημάτων, καὶ χρημάτων, καὶ πραγμάτων. καὶ Μωϋσῆς ἄνω καὶ κάτω τοὺς περὶ τούτων διασπείρει λόγους ταῖς νομοθεσίαις ἁπάσαις· καὶ οἱ προφῆται ἐκ Ωσ. ς. ζ. προσώπου τοῦ Θεοῦ τοῦτο βοῶσιν, ὅτι Ελεον θέλω, καὶ οὐ θυσίαν· καὶ οἱ ἀπόστολοι πάντες σύμφωνα τούτοις καὶ ποιοῦσι καὶ λέγουσι. μὴ τοίνυν καταμελῶμεν τοῦ πράγματος. οὐ γὰρ τοὺς πένητας, ἀλλ' αὐτοὺς ἡμᾶς τὰ μέγιστα ὠφελοῦμεν, καὶ μείζονα λαμβάνομεν ὧν παρέχομεν. Ταῦτα δὲ οὐχ ἁπλῶς λέγω νῦν, ἀλλ' ἐπειδὴ πολλοὶ πολλάκις πρὸς τοὺς δεομένους ἀκριβολογοῦνται, καὶ πατρίδα ἐξετάζοντες, καὶ βίον, καὶ τρόπους, καὶ ἐπιτήδευμα, καὶ τὴν τοῦ σώματος εὐεξίαν, ἐγκλήματα ποιούμενοι, καὶ μυρίας ὑπὲρ ὑγείας ἀπαιτοῦντες εὐθύνας. διὰ τοι τοῦτο καὶ πολλοὶ πηρώσεις ὑπεκρίναντο σώματος, ἵνα τὴν ὠμότητα τὴν ἡμετέραν καὶ τὴν ἀπανθρωπίαν

χ. ἀφίησι

χ. ἡμῶν

* ἀ

ἀπανθρωπίαν τῷ τῆς συμφορᾶς ταύτης ἐπικάμψωσι δράματι. καὶ τὸ μὲν, θέρους ὄντος, ταῦτα ἐγκαλεῖν, δεινὸν μὲν, οὐχ οὕτω δεινόν ἐστι· τὸ δὲ ἐν κρυμῷ καὶ ψύχει οὕτως ὠμὸν καὶ ἀπάνθρωπον γίνεσθαι δικαστὴν, καὶ μηδεμίαν ἀπονέμειν τοῖς ἀργοῦσι συγγνώμην, οὐκ ἂν ἔχοι τινὰ ὠμότητος ὑπερβολήν. τί οὖν ὁ Παῦλος, φησιν, ἐνομοθέτει Θεσσαλονικεῦσι, λέγων· Εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω; ἵνα καὶ σὺ ταῦτα ἀκούσῃς, καὶ μὴ πρὸς ἐκεῖνον μόνον, ἀλλὰ καὶ πρὸς σαυτὸν διαλέγῃ τὰ τοῦ Παύλου ῥήματα. οἱ γὰρ τοῦ Παύλου νόμοι οὐχὶ τοῖς πένησι μόνον, ἀλλὰ καὶ ἡμῖν κεῖνται. Εἴπω τι φορτικὸν καὶ ἐπαχθές; οἶδα μὲν ὅτι ὀργιεῖσθε· πλὴν ἀλλ' ὅμως ἐρῶ. οὐδὲ γὰρ ὥστε πλῆξαι, ἀλλ' ὥστε διορθῶσαι τοῦτο λέγω. τούτοις μὲν ἀργίαν ἐγκαλοῦμεν, πρᾶγμα καὶ συγγνώμης πολλάκις ἄξιον· αὐτοὶ δὲ ἐργαζόμεθα τοιαῦτα πολλάκις, ἃ πάσης ἀργίας ἐστὶ χαλεπώτερα. ἀλλ' ἐγὼ πατρῷον ἔχω κλῆρον, φησιν. ἐπεὶ οὖν οὗτος πένης ἐστὶ, καὶ ἐκ πενήτων, καὶ οὐκ ἔχει προγόνους εὐπόρους, ἀπόλλυσθαι δίκαιος, εἰπέ μοι; δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἐλεεῖσθαι καὶ κατοικτείρεσθαι ἄξιος ἂν εἴη παρὰ τῶν ἐχόντων. σὺ μὲν γὰρ πολλάκις διημερεύων τὴν ἡμέραν ἐν θεάτροις, ἢ ἐν συνεδρίοις καὶ συλλόγοις οὐδὲν ἔχουσι κέρδος, καὶ μυρίους λέγων κακῶς, οὐδὲν ἡγῇ ποιεῖν δεινὸν, οὐδὲ ἀργεῖν· τὸν δὲ ἄθλιον τοῦτον καὶ ταλαίπωρον, πᾶσαν ἀναλίσκοντα τὴν ἡμέραν ἐν ἱκετηρίαις, ἐν δάκρυσιν, ἐν μυρίᾳ ταλαιπωρίᾳ, κρίνεις, καὶ εἰς δικαστήριον ἕλκεις, καὶ εὐθύνας ἀπαιτεῖς; καὶ ποῦ ταῦτα γνώμης ἀνθρωπίνης, εἰπέ μοι; ὥστε ὅταν λέγῃς, τί οὖν ἐροῦμεν τῷ Παύλῳ; μὴ τοῖς πένησιν, ἀλλὰ καὶ σαυτῷ διαλεγόμενος ταῦτα λέγε. ἄλλως δὲ, μὴ τὴν ἀπειλὴν ἀναγίνωσκε μόνον, ἀλλὰ καὶ τὴν συγγνώμην. ὁ γὰρ εἰπὼν, Εἴ τις μὴ ἐργάζεται, μηδὲ ἐσθιέτω, προσέθηκεν· Ὑμεῖς δὲ, ἀδελφοὶ, μὴ ἐκκακήσητε τὸ καλὸν ποιοῦντες. ἀλλὰ τίς αὐτῶν ἡ εὐπρόσωπος πρόφασις; δραπέται τινές εἰσι, φησι, καὶ ξένοι, καὶ μαστιγίαι, καὶ τὰς αὐτῶν ἀφέντες πατρίδας, εἰς τὴν ἡμετέραν πόλιν συρρέουσι. διὰ τοῦτο οὖν ἀγανακτεῖς, εἰπέ μοι, καὶ τὸν στέφανον τῆς πόλεως διατίλλεις, ὅτι κοινὸν λιμένα πάντες αὐτὴν εἶναι νομίζουσι, καὶ τῆς ἐνεγκούσης τὴν ἀλλοτρίαν προτιθέασι; διὰ τοῦτο μὲν οὖν ἀγάλλεσθαι ἔδει καὶ χαίρειν, ὅτι καθάπερ εἰς κοινὸν ἐμπόριον τὰς ὑμετέρας χεῖρας τρέχουσιν ἅπαντες, καὶ μητέρα κοινὴν εἶναι ταύτην τὴν πόλιν νομίζουσι. μὴ δὴ διαφθείρητε τὸ ἐγκώμιον, μηδὲ ἀκρωτηριάσητε τὸν ἔπαινον πάτριον ὄντα αὐτῇ καὶ ἀρχαῖον. καὶ γάρ ποτε λιμοῦ μέλλοντος εἰς τὴν γῆν ἐμβαλεῖν ἅπασαν, οἱ τὴν πόλιν ταύτην οἰκοῦντες τοῖς ἐν Ἱεροσολύμοις καθημένοις, αὐτοῖς δὲ τούτοις, περὶ ὧν ἡμῖν οὗτος ὁ λόγος ἅπας κεκίνηται, διὰ χειρὸς Βαρνάβα καὶ Σαύλου χρήματα ἔπεμψαν οὐκ ὀλίγα. τίνος οὖν ἂν εἴημεν ἡμεῖς συγγνώμης ἄξιοι, ποίας δὲ ἀπολογίας, ὅταν οἱ μὲν πρόγονοι οἱ ἡμέτεροι καὶ τοὺς πόρρωθεν καθημένους φαίνωνται διὰ τῶν οἰκείων τρέφοντες χρημάτων, καὶ αὐτοὶ πρὸς ἐκείνους τρέχοντες· ἡμεῖς δὲ καὶ τοὺς ἀλλαχόθεν πρὸς ἡμᾶς καταφεύγοντας ἀπελαύνωμεν, καὶ ἀπαιτῶμεν εὐθύνας ἀκριβεῖς, καὶ ταῦτα εἰδότες, ὅτι μυρίων ὑπεύθυνοί ἐσμεν κακῶν, κἂν ὁ Θεὸς οὕτως ἀκριβῶς τὰ καθ' ἡμᾶς ἐξετάσῃ, ὥσπερ ἡμεῖς τὰ τῶν πενήτων, οὐδεμιᾶς τευξόμεθα συγγνώμης, οὐδὲ ἐλέους τινός; Ἐν ᾧ γὰρ κρίματι κρίνετε, φησι, καὶ ὑμεῖς κριθήσεσθε. γενοῦ τοίνυν φιλάνθρωπος καὶ ἥμερος τῷ συνδούλῳ, καὶ πολλὰ ἄφες τῶν ἁμαρτημάτων, καὶ ἐλέησον, ἵνα καὶ αὐτὸς τοιαύτης τύχῃς τῆς ψήφου. τί πράγματα σαυτῷ πλέκεις; τί περιεργάζῃ; ἆρα εἰ προσέταξεν ὁ Θεὸς βίους ἐρευνᾶν, καὶ εὐθύνας ἀπαιτεῖν, καὶ πολυπραγμονεῖν τρόπους, οὐκ ἂν ἐδυσχέραινον πολλοί; οὐκ ἂν εἶπον πρὸς ἑαυτούς· τί ποτε τοῦτό ἐστι; δύσκολον ἡμῖν τὸ πρᾶγμα κατέστησεν ὁ Θεός· μὴ γὰρ δυνάμεθα τὴν ἑτέρων ζωὴν ἐξετάζειν; μὴ γὰρ ἴσμεν τὰ ἡμαρτημένα τῷ δεῖνι; οὐκ ἂν πολλοὶ πολλὰ τοιαῦτα εἶπον; νῦν δὲ, ὅτε πάσης ἡμᾶς τοιαύτης πολυπραγμοσύνης ἀπήλλαξε, καὶ ὑπέσχετο δώσειν ἀπηρτισμένον τὸν μισθὸν, κἂν πονηροὶ, κἂν χρηστοὶ οἱ λαμβάνοντες ὦσιν, ἑαυτοῖς πράγματα ἐπισπώμεθα; καὶ πόθεν τοῦτο δῆλον, φησιν, ὅτι χρηστοῖς, καὶ τοῖς μὴ τοιούτοις δόντες ληψόμεθα

β. Θεσ. γ. ι.

β. Θεσ. γ. ιγ.

Πραξ. ια. λ.

Ματθ. ζ. β.

Ματθ. ε μδ. ψόμεθα τὸν μισθόν; ἀφ' ὧν αὐτὸς εἶπεν, Εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων καὶ διωκόντων ὑμᾶς, ὅπως γένησθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς· ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. ὥσπερ οὖν ὁ δεσπότης σου, μυρίων αὐτὸν βλασφημούντων, μυρίων πορνευόντων, κλεπτόντων, λῃστευόντων, τάφους ἀνορυττόντων, μυρία ἐργαζομένων κακά, οὐκ ἀφίσταται τῆς εἰς ἅπαντας εὐεργεσίας· ἀλλὰ κοινὴν τὴν ἀκτῖνα, κοινοὺς τοὺς ὄμβρους, καὶ τοὺς καρποὺς τοὺς ἀπὸ τῆς γῆς προτίθησι, τὴν φιλανθρωπίαν ἐπιδεικνύμενος τὴν ἑαυτοῦ· οὕτω καὶ σὺ ποίησον, καὶ ὅταν ἐλέους καιρὸς ᾖ καὶ φιλανθρωπίας, διόρθου τὴν πενίαν, λῦε τὸν λιμόν, ἀπάλλαττε τῆς θλίψεως, μηδὲν περαιτέρω περιεργάζου. εἰ γὰρ δὴ μέλλοιμεν βίους ἐρευνᾶν, οὐδέποτε οὐδένα ἄνθρωπον ἐλεήσωμεν· ἀλλ' ὑπὸ τῆς ἀκαίρου ταύτης πολυπραγμοσύνης ἐμποδισθέντες, ἄκαρποι καὶ πάσης ἔρημοι βοηθείας διαμενοῦμεν, καὶ πολὺν ὑποστησόμεθα πόνον εἰκῆ καὶ μάτην. διὸ δὴ παρακαλῶ τὴν ἄκαιρον ταύτην περιεργίαν ἐκβαλόντας, τοῖς δεομένοις διδόναι πᾶσι, καὶ μετὰ πολλῆς τοῦτο ποιεῖν τῆς δαψιλείας, ἵνα καὶ αὐτοὶ κατὰ τὴν ἡμέραν ἐκείνην πολλοῦ τοῦ ἐλέους καὶ τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας τύχωμεν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΧΡΥΣΟΣΤΟΜΟΥ ὉΜΙΛΙΑ ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ, ΚΑΙ ΕΙΣ ΤΟΝ ΠΡΟφήτην Ἰωνᾶν καὶ Δανιὴλ καὶ τοὺς τρεῖς παῖδας. ἐλέχθη δὲ εἰς τὴν εἴσοδον τῶν ἁγίων νηστειῶν. α.

ΦΑιδρὰ σήμερον ἡμῖν ἡ πανήγυρις, καὶ λαμπρότερος τοῦ συνήθους ὁ σύλλογος. τί ποτε ἄρα τὸ αἴτιον; νηστείας τὸ κατόρθωμα τοῦτο οἶδα κἀγώ· νηστείας οὐχὶ παρούσης, ἀλλὰ προσδοκωμένης. ἐκείνη γὰρ ἡμᾶς πρὸς τὸν πατρῷον συνήγαγεν οἶκον, ἐκείνη καὶ τοὺς πρὸ τούτου ῥαθυμοτέρους σήμερον πρὸς τὰς πατρικὰς ἐπανήγαγε χεῖρας. εἰ δὲ καὶ προσδοκωμένη μόνον τοσαύτην ἡμῖν ἐνεποίησε σπουδήν, φανεῖσα καὶ παραγενομένη πόσην ἐν ἡμῖν ἐργάσεται τὴν εὐλάβειαν; οὕτω καὶ πόλις, ἄρχοντος εἰσελαύνειν μέλλοντος φοβεροῦ, πᾶσαν ἀποτίθεται τὴν ῥᾳθυμίαν, καὶ ἐν πλείονι καθίσταται τῇ σπουδῇ. ἀλλὰ μὴ καταπλήξητε φοβερὸν ἄρχοντα, τὴν νηστείαν ἀκούσαντες. οὐ γὰρ ἡμῖν ἐστι φοβερά, ἀλλὰ τῇ τῶν δαιμόνων φύσει. * ἐὰν σεληνιαζόμενος ᾖ τις, δεῖξον αὐτῷ νηστείας πρόσωπον, καὶ τῶν λίθων αὐτῶν ἀκινητότερος μένει τῷ φόβῳ πηγνύμενος, καὶ καθάπερ δεσμῷ τινι κατεχόμενος· καὶ μάλιστα ὅταν ἴδῃ τῇ νηστείᾳ συμβεβλημένην τὴν ἀδελφὴν τῆς νηστείας [καὶ] ὁμόζυγον τὴν εὐχήν. διὰ τοῦτο καὶ ὁ Χριστός φησι· Τὸ γένος τοῦτο οὐκ ἐξέρχεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ. ὅταν οὖν τοὺς πολεμίους τῆς σωτηρίας τῆς ἡμετέρας οὕτως ἐλαύνῃ, καὶ τοῖς ἐχθροῖς τῆς ζωῆς ἡμῶν οὕτως ᾖ φοβερά, φιλεῖν αὐτὴν καὶ ἀσπάζεσθαι, οὐ δεδοικέναι χρή. εἰ γὰρ φοβεῖσθαι δεῖ, μέθην καὶ ἀδηφαγίαν, οὐχὶ νηστείαν φοβεῖσθαι χρή. ἐκείνη μὲν γὰρ ὀπίσω τὰς χεῖρας ἡμῶν δήσασα, τῇ τυραννίδι τῶν παθῶν, καθάπερ τινὶ δεσποίνῃ χαλεπῇ, δούλους καὶ αἰχμαλώτους ἐκδίδωσιν· ἡ δὲ νηστεία δουλεύοντας ἡμᾶς καὶ δεδεμένους εὑροῦσα, λύει τῶν δεσμῶν, ἀπαλλάττει τῆς τυραννίδος, καὶ πρὸς τὴν ἐλευθερίαν ἐπανάγει τὴν προτέραν. ὅταν οὖν καὶ τοῖς ἐχθροῖς ἡμῶν πολεμῇ, καὶ δουλείας ἀπαλλάττῃ,

Ματθ. ιζ κα.

λάτῃ, καὶ πρὸς ἐλευθερίαν ἐπανάγῃ, ποίαν ἑτέραν μείζονα ζητεῖς ἀπόδειξιν τῆς φιλίας αὐτῆς τῆς πρὸς τὸ γένος τὸ ἡμέτερον; μεγίστη γὰρ φιλίας ἀπόδειξις εἶναι δοκεῖ, τὸ τοὺς αὐτοὺς ἡμῖν φιλεῖν καὶ μισεῖν. Βούλει μαθεῖν, ὅσος κόσμος ἀνθρώποις ἡ νηστεία; ὅση φυλακὴ καὶ ἀσφάλεια; ἐννόησόν μοι τὸ μακάριον καὶ θαυμαστὸν τῶν μοναζόντων γένος. οὗτοι γὰρ τοὺς ἐν μέσῳ θορύβους φυγόντες, καὶ πρὸς τὰς κορυφὰς τῶν ὀρέων ἀναδραμόντες, καὶ τὰς καλύβας ἐν τῇ τῆς ἐρημίας ἡσυχίᾳ, καθάπερ ἐν εὐδιεινῷ τινι λιμένι, πηξάμενοι, ταύτην συνέμπορον καὶ συγκοινωνὸν τοῦ βίου παντὸς ἔλαβον. τοιγαροῦν καὶ ἀγγέλους αὐτοὺς ἐξ ἀνθρώπων ἐποίησεν· οὐκ ἐκείνους δὲ μόνους, ἀλλὰ καὶ ἐν ταῖς πόλεσιν ὅσους ἂν εὕρῃ προσιεμένους αὐτὴν, πρὸς αὐτὸ τῆς φιλοσοφίας ἀνάγει τὸ ὕψος. καὶ γὰρ Μωϋσῆς καὶ Ἠλίας, οἱ πύργοι τῶν ἐν τῇ παλαιᾷ προφητῶν, καίτοι καὶ ἀπὸ τῶν ἄλλων ὄντες λαμπροὶ καὶ μεγάλοι καὶ πολλὴν ἔχοντες παῤῥησίαν, ὅτε ἐβούλοντο προσελθεῖν καὶ διαλεχθῆναι Θεῷ, ὡς ἀνθρώπῳ δυνατὸν ἦν, πρὸς ταύτην κατέφυγον, καὶ διὰ τῶν ταύτης αὐτῷ προσεφέροντο χειρῶν. διὰ τοῦτο καὶ ὁ Θεὸς τὸν ἄνθρωπον ποιῶν ἐξ ἀρχῆς, εὐθέως αὐτὸν ταῖς τῆς νηστείας φέρων παρακατέθετο χερσὶν, ὥσπερ φιλοστόργῳ μητρὶ καὶ ἀρίστῃ διδασκάλῳ, τὴν ἐκείνου σωτηρίαν ἐγχειρίζων αὐτῇ. τὸ γὰρ, Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ, ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε, νηστείας εἶδός ἐστιν. εἰ δὲ ἐν παραδείσῳ ἀναγκαία ἡ νηστεία, πολλῷ μᾶλλον ἐκτὸς τοῦ παραδείσου· εἰ πρὸ τῆς πληγῆς χρήσιμον τὸ φάρμακον, πολλῷ μᾶλλον μετὰ τὴν πληγήν· εἰ μηδέπω τοῦ πολέμου τῶν ἐπιθυμιῶν ἀναστάντος, ἐπιτήδειον ἡμῖν τὸ ὅπλον ἦν, πολλῷ μᾶλλον μετὰ τὴν τοσαύτην μάχην τὴν ἀπὸ τῶν ἐπιθυμιῶν, τὴν ἀπὸ τῶν δαιμόνων ἀναγκαία ἡ παρὰ τῆς νηστείας συμμαχία. εἰ ταύτης ἤκουσε τῆς φωνῆς ὁ Ἀδὰμ, οὐκ ἂν ἤκουσε τῆς δευτέρας τῆς λεγούσης, Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. ἀλλ' ἐπειδὴ ταύτης παρήκουσε, διὰ τοῦτο θάνατος καὶ φροντίδες καὶ πόνοι καὶ ἀθυμίαι καὶ ζωὴ θανάτου παντὸς βαρυτέρα· διὰ τοῦτο ἄκανθαι καὶ τρίβολοι· διὰ τοῦτο πόνοι καὶ ὠδῖνες καὶ βίος ἐπίμοχθος. Εἶδες πῶς ὁ Θεὸς ἀγανακτεῖ, νηστείας ὑβριζομένης; μάθε καὶ πῶς εὐφραίνεται, νηστείας τιμωμένης. ὥσπερ γὰρ ὑβρισθείσης αὐτῆς θάνατον ἐπέθηκε τῷ ὑβρίσαντι τὸ ἐπιτίμιον, οὕτω πάλιν τιμηθείσης αὐτῆς θάνατον ἀνεκαλέσατο. καὶ γὰρ βουλόμενός σοι δεῖξαι τοῦ πράγματος τὴν δύναμιν, ἔδωκεν ἐξουσίαν αὐτῇ μετὰ ἀπόφασιν, μετὰ ἀπαγωγὴν, τοὺς ἀπαγομένους τὴν ἐπὶ θάνατον ἐκ μέσης ἀναρπάσαι τῆς ὁδοῦ, καὶ πρὸς ζωὴν μεταγαγεῖν. καὶ τοῦτο οὐκ ἐπὶ δύο ἢ καὶ τριῶν καὶ εἴκοσιν ἀνθρώπων ἐποίησεν, ἀλλὰ δῆμον ὁλόκληρον, τὴν τῶν Νινευϊτῶν πόλιν μεγάλην καὶ θαυμαστὴν ἐπὶ γόνυ κειμένην, πρὸς αὐτὸ τὸ βάραθρον τὴν κεφαλὴν κλίνασαν, καὶ μέλλουσαν τὴν ἄνωθεν φερομένην δέχεσθαι πληγὴν, καθάπερ τις ἄνωθεν ἐπιστᾶσα δύναμις καὶ ἐξ αὐτῶν ἥρπασε τῶν τοῦ θανάτου πυλῶν, καὶ πρὸς τὴν ζωὴν ἐπανήγαγεν. ἀλλ', εἰ δοκεῖ, καὶ τῆς ἱστορίας αὐτῆς ἐπακούσωμεν. Καὶ ἐγένετο, φησὶ, λόγος Κυρίου πρὸς Ἰωνᾶν λέγων· ἀνάστηθι, καὶ πορεύθητι εἰς Νινευῒ τὴν πόλιν τὴν μεγάλην. εὐθέως αὐτὸν ἀπὸ τοῦ μεγέθους τῆς πόλεως δυσωπῆσαι βούλεται, τὴν μέλλουσαν προειδὼς τοῦ προφήτου φυγήν. ἀλλὰ ἀκούσωμεν καὶ τοῦ κηρύγματος. Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευῒ [πόλις] καταστραφήσεται. καὶ τίνος ἕνεκεν ἃ μέλλεις δεινὰ ποιεῖν, προλέγεις; ἵνα μὴ ποιήσω, ἃ προλέγω. διὰ τοῦτο καὶ γέενναν ἠπείλησεν, ἵνα μὴ ἀπαγάγῃ εἰς γέενναν. Φοβείτω, φησὶν, ὑμᾶς τὰ ῥήματα, καὶ μὴ λυπείτω τὰ πράγματα. τίνος δὲ ἕνεκεν καὶ τὴν προθεσμίαν εἰς οὕτω στενὸν συνάγει χρόνον; ἵνα καὶ τὴν τῶν βαρβάρων μάθῃς ἀρετὴν, λέγω δὴ τὴν τῶν Νινευϊτῶν, ἐν τρισὶν ἡμέραις δυνηθέντων τοσαύτην ἁμαρτημάτων ὀργὴν καταλῦσαι· καὶ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν θαυμάσῃς μετανοίᾳ τριῶν ἡμερῶν ἀρκεσθέντος ὑπὲρ τοσούτων πλημμελημάτων, καὶ αὐτὸς μὴ καταπέσῃς εἰς ἀπόγνωσιν, κἂν μυρία ἡμαρτηκὼς ᾖς. ὥσπερ γὰρ ὁ νωθρὸς τὴν ψυχὴν καὶ ὀλίγωρος, κἂν πολὺν λάβῃ

Ιων. α. α.

λάβῃ πρὸς μετάνοιαν χρόνον, οὐδὲν μέγα ἐργάζεται, οὐδὲ καταλλάττει τὸν Θεὸν ἑαυτῷ διὰ τὴν ῥαθυμίαν· οὕτως ὁ διεγηγερμένος καὶ τῇ προθυμίᾳ ζέων καὶ μετὰ πολλῆς τῆς σπουδῆς τὴν μετάνοιαν ἐπιδεικνύμενος, καὶ ἐν βραχείᾳ καιροῦ ῥοπῇ πολλοῦ χρόνου παραπτώματα ἀφανίσαι δυνήσεται. οὐχὶ τρίτον ὁ Πέτρος ἠρνήσατο; οὐχὶ μεθ' ὅρκου τὸ τρίτον; οὐχὶ θεραπαινιδίου τινὸς εὐτελοῦς ῥήματα δείσας; τί οὖν; ἐνιαυτῶν πολλῶν ἐδέησεν αὐτῷ πρὸς μετάνοιαν; οὐδαμῶς· ἀλλ' αὐτῇ τῇ νυκτὶ καὶ ὠλίσθησε καὶ ἀνέστη, καὶ τὴν πληγὴν καὶ τὸ φάρμακον ἐδέξατο, καὶ ἠρρώστησε καὶ πρὸς τὴν ὑγείαν ἐπανῆλθε. πῶς καὶ τίνα τρόπον; κλαύσας καὶ ἀποδυράμενος· μᾶλλον δὲ οὐ κλαύσας ἁπλῶς, ἀλλὰ καὶ μετὰ πολλῆς * διαθέσεως. καὶ διὰ τοῦτο καὶ ὁ εὐαγγελιστὴς οὐκ εἶπεν, ὅτι ἔκλαυσεν ἁπλῶς, ἀλλ', Ἔκλαυσε πικρῶς. (Ματθ. κϛ. οε.) καὶ ποταπὴ ἦν τῶν δακρύων ἐκείνων ἡ δύναμις, φησί; λόγος μὲν οὐδεὶς παραστῆσαι δυνήσεται, ἡ δὲ τῶν πραγμάτων ἔκβασις δείκνυσι σαφῶς. μετὰ γὰρ τὸ χαλεπὸν ἐκεῖνο πτῶμα (ἀρνήσεως γὰρ οὐδὲν ἴσον κακόν) ἀλλ' ὅμως μετὰ τοσοῦτον κακόν, πάλιν αὐτὸν πρὸς τὴν προτέραν ἐπανήγαγε τιμήν, καὶ τὴν ἐπιστασίαν τῆς οἰκουμενικῆς ἐκκλησίας ἐνεχείρησε, καὶ ὃ πάντων μεῖζόν ἐστιν, ἀπέδειξεν ἡμῖν αὐτὸν πλείω τῶν ἀποστόλων ἁπάντων ἔχοντα τὴν εἰς τὸν δεσπότην ἀγάπην. Πέτρε γάρ, φησί, φιλεῖς με πλεῖον τούτων; (Ιωαν. κα. ιε.) τούτου δὲ οὐδὲν γένοιτ' ἂν ἴσον εἰς ἀρετῆς λόγον. ἵνα γὰρ μὴ λέγῃς, ὅτι τοῖς Νινευΐταις εἰκότως συνέγνω, ἀνθρώποις βαρβάροις καὶ ἀνοήτοις (Ὁ γὰρ δοῦλος, φησίν, ὁ μὴ εἰδὼς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας, δαρήσεται ὀλίγας) (Λουκ. ιβ. μη.) ἵνα οὖν μὴ τοῦτο λέγῃς, διὰ τοῦτό σοι καὶ τὸν Πέτρον εἰς μέσον παρήγαγον, δοῦλον μάλιστα τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ εἰδότα, ἀλλ' ὅμως καὶ οὗτος ἁμαρτὼν καὶ τὴν ἐσχάτην ἁμαρτίαν, ὅρα πρὸς ὅσον παρρησίας ὕψος ἀνῆλθε.

Μὴ τοίνυν μηδὲ αὐτὸς ἐπὶ τοῖς ἁμαρτήμασι καταπέσῃς. τὸ γὰρ χαλεπώτερον τῆς ἁμαρτίας, τὸ μένειν ἐν τῇ ἁμαρτίᾳ ἐστί, καὶ τὸ δεινότερον τοῦ πτώματος, τὸ κεῖσθαι ἐν τῷ πτώματι. τοῦτο καὶ ὁ Παῦλος θρηνεῖ καὶ ἀποδύρεται, τοῦτο πένθους ἄξιον εἶναι φησί. Μήπως γάρ, φησιν, ἐλθόντος μου πρὸς ὑμᾶς, ταπεινώσῃ με ὁ Θεός, καὶ πενθήσω πολλούς, (β. Κορ. ιβ. κα.) οὐχὶ τῶν ἡμαρτηκότων ἁπλῶς, ἀλλὰ τῶν μὴ μετανοησάντων ἐπὶ τῇ ἀσελγείᾳ καὶ ἀκαθαρσίᾳ καὶ πορνείᾳ, ᾗ ἔπραξαν. πρὸς δὲ μετάνοιαν ποῖος ἐπιτηδειότερος γένοιτ' ἂν καιρὸς τοῦ τῆς νηστείας καιροῦ; ἀλλ' ἐπανίωμεν εἰς τὴν ἱστορίαν. Ἀκούσας γὰρ τὰ ῥήματα ταῦτα ὁ προφήτης, κατέβη εἰς Ἰόππην, τοῦ φυγεῖν εἰς Θαρσεῖς ἀπὸ προσώπου Κυρίου. (Ιων. α. γ.) ποῦ φεύγεις, ἄνθρωπε; οὐκ ἤκουσας ἑτέρου προφήτου λέγοντος, Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; (Ψαλ. ρλη. ϛ.) εἰς τὴν γῆν; ἀλλὰ τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. ἀλλ' εἰς τὸν ᾅδην; Κἂν καταβῶ, φησιν, εἰς τὸν ᾅδην, πάρει. (Ψαλ. ρλη. ζ.) εἰς τὸν οὐρανόν; ἀλλ' Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ. ἀλλ' εἰς τὴν θάλασσαν; Καὶ ἐκεῖ, φησί, καθέξει με ἡ δεξιά σου· ὃ δὴ καὶ ἐπὶ τούτου γέγονεν. ἀλλὰ τοιοῦτον ἡ ἁμαρτία· εἰς πολλὴν ἄνοιαν ἐμβάλλει τὴν ἡμετέραν ψυχήν. καθάπερ γὰρ οἱ καρηβαρίᾳ καὶ μέθῃ κατεχόμενοι, ἁπλῶς καὶ εἰκῆ περιφέρονται, κἂν βάραθρον, κἂν κρημνός, κἂν ὁτιοῦν [ἐὰν] ᾖ ὑποκείμενον, καταπίπτουσιν ἀφυλάκτως· οὕτω καὶ οἱ πρὸς τὴν ἁμαρτίαν ὀλισθαίνοντες, καθάπερ μέθῃ τινί, τῇ τῆς πράξεως ἐπιθυμίᾳ κατεχόμενοι, οὐκ ἴσασιν ὅπερ πράττουσιν, οὐ τῶν παρόντων, οὐ τῶν μελλόντων τι προορῶσι. τὸν δεσπότην φεύγεις, εἰπέ μοι; οὐκοῦν μικρὸν ἀνάμεινον, καὶ διὰ τῶν πραγμάτων αὐτῶν μαθήσῃ, ὅτι οὐδὲ τῆς δούλης θαλάττης τὰς χεῖρας δυνήσῃ διαφυγεῖν. ὁμοῦ γὰρ ἐπέβη τῆς νηὸς οὗτος, κἀκείνη τὰ κύματα διανέστησε, καὶ πρὸς ὕψος ἠγείρετο μέγα. καὶ καθάπερ θεράπαινά τις εὐγνώμων σύνδουλον εὑροῦσα φυγάδα, τῶν δεσποτικῶν ὑφελόμενόν τι κλημάτων, οὐ πρότερον ἀφίσταται μυρία τοῖς ὑποδεξαμένοις αὐτὸν παρέχουσα πράγματα, ἕως ἂν λαβοῦσα αὐτὸν ἀπέλθῃ· οὕτω δὴ καὶ ἡ θάλαττα τὸν σύνδουλον εὑροῦσα τὸν ἑαυτῆς καὶ ἐπιγνοῦσα, μυρία τοῖς ναύταις

παρεῖχ

χ. ἐργάζ

χ. βραχεῖ χρόνῳ

χ. ἁμαρτ

* σπουδῆς

χ. τῆς ἐκκλησ
ίας τῆς
οἰκουμ

χ. παρήγαγ

χ. ἐπαιν

χ. ὁρμώμεν

χ. τινὶ

παρέχει πράγματα, ταράττουσα, βοῶσα, οὐκ εἰς δικαστήριον ἕλκουσα, ἀλλ' αὐτόθεν ἀπειλοῦσα " καταδύσει τοῦ σκάφους, εἰ μὴ τὸν ὁμόδουλον ἀποδώσει αὐτῇ. τί οὖν οἱ ναῦται τούτων γινομένων ἐποιήσαντο, φησιν, ἐκβολὴν τῶν σκευῶν τῶν ἐν τῷ πλοίῳ, τὸ δὲ πλοῖον οὐκ ἐκουφίζετο· ὁ γὰρ φόρτος ἅπας ἔνδον ἔμενεν ἔτι. τοῦ προφήτου τὸ σῶμα, τὸ βαρὺ φορτίον, οὐ κατὰ τὴν τοῦ σώματος φύσιν, ἀλλὰ κατὰ τὸ τῆς ἁμαρτίας ἄχθος. οὐδὲν γὰρ οὕτω βαρὺ καὶ δυσβάστακτον, ὡς ἁμαρτία καὶ παρακοή. διὰ τοῦτο καὶ Ζαχαρίας εἰς ὄψιν μολίβδου διετύπωσεν αὐτήν. ὁ Δαβὶδ δὲ τὴν φύσιν αὐτῆς διαγράφων ἔλεγεν, Αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου· ὡσεὶ φορτίον βαρὺ, ἐβαρύνθησαν ἐπ' ἐμέ. ὁ δὲ Χριστὸς πρὸς τοὺς ἐν ἁμαρτίαις βεβιωκότας πολλαῖς ἐβόα· Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. αὕτη τοίνυν καὶ τὸ πλοῖον ἐβάρυνε τότε, καὶ βαπτίζειν ἔμελλεν· ὁ δὲ Ἰωνᾶς ἐκάθευδε καὶ ἔρρεγχε. βαρὺς ὁ ὕπνος, ἀλλ' οὐκ ἦν ἡδονῆς, ἀλλὰ " λύπης, οὐχὶ ῥαθυμίας, ἀλλὰ ἀθυμίας. οἱ γὰρ εὐγνώμονες τῶν οἰκετῶν ταχέως αἰσθάνονται τῶν ἁμαρτημάτων, ὅπερ κἀκεῖνος ἔπαθε. μετὰ γὰρ τὴν πρᾶξιν τῆς ἁμαρτίας ἔγνω τῆς ἁμαρτίας τὸ δεινόν. καὶ γὰρ τοιοῦτον ἡ ἁμαρτία· " μετὰ τὸ τεχθῆναι, πλήρης τότε τὰς ὠδῖνας ἐγείρει τῇ τεκούσῃ ψυχῇ, ἀπεναντίας τῷ νόμῳ τῆς ἡμετέρας γεννήσεως. ἡμεῖς μὲν γὰρ ὁμοῦ τεχθέντες τὰς " ὠδῖνας λύομεν, ἐκείνη δὲ ὁμοῦ τεχθεῖσα διασπᾷ ταῖς " ὠδῖσι τοὺς τεκόντας αὐτὴν λογισμούς. τί οὖν ὁ πρωρεύς; Προσῆλθε, φησιν, αὐτῷ, καὶ λέγει ἀνάστα, καὶ ἐπικαλοῦ Κύριον τὸν Θεόν σου. ἔγνω λοιπὸν ἀπὸ τῆς πείρας, ὅτι οὐκ ἦν συνήθης ὁ χειμὼν, ἀλλὰ ὅτι θεήλατος ἦν ἡ πληγὴ, καὶ μεῖζον ἀνθρωπίνης τέχνης τὸ κλυδώνιον, καὶ ὅτι τῶν τοῦ κυβερνήτου χειρῶν ὄφελος οὐδέν. ἑτέρου γὰρ ἐδεῖτο μείζονος κυβερνήτου τὰ γινόμενα, τοῦ τὸν κόσμον διακυβερνῶντος ἅπαντα, καὶ τῆς ἄνωθεν χρείαν εἶχε ῥοπῆς. διὰ τοῦτο κἀκεῖνοι κώπας καὶ ἱστία καὶ σχοινία καὶ πάντα ἀφέντες, καὶ τῆς εἰρεσίας τὰς χεῖρας ἀποστήσαντες, πρὸς τὸν οὐρανὸν ἀνέτεινον, καὶ τὸν Θεὸν παρεκάλουν. ὡς δὲ οὐδὲν οὕτως ἐγίνετο τὶ πλέον, ἔβαλον " κλήρους, φησί, καὶ προέδωκε λοιπὸν ὁ κλῆρος [τῇ ψήφῳ] τὸν ὑπεύθυνον. οἱ δὲ οὐδὲ οὕτως αὐτὸν λαβόντες κατεπόντισαν· ἀλλὰ θορύβου τοσούτου καὶ ταραχῆς " ἐπιγενομένης, ὥσπερ ἡσυχίας πολλῆς ἀπολαύοντες, οὕτω δικαστήριον ἐν τῷ πλοίῳ καθίσαντες, καὶ λόγου μετέδωκαν αὐτῷ, καὶ ἀπολογίας ἠξίωσαν, καὶ πάντα μετ' ἀκριβείας ἐξήταζον, ὥσπερ μέλλοντές τινι παρέχειν εὐθύνας, ὧν ἐὰν ψηφίσωνται. ἄκουσον γοῦν αὐτῶν, ὥσπερ ἐν δικαστηρίῳ, πάντα ἐξεταζόντων. τίς σου ἡ ἐργασία ἐστί; καὶ πόθεν ἔρχῃ; καὶ ποῦ πορεύῃ; καὶ ἐκ ποίας χώρας, καὶ ἐκ ποίου λαοῦ εἶ σύ; καίτοι κατηγόρησε μὲν ἡ θάλασσα " καταβοῶσα, ἤλεγξε δὲ ὁ κλῆρος καὶ κατεμαρτύρησεν· ἀλλ' ὅμως οὔτε τῆς θαλάσσης καταβοώσης, οὔτε τοῦ κλήρου καταμαρτυρήσαντος, τὴν ψῆφον ἐπάγουσιν οὐδέπω· ἀλλ' ὥσπερ ἐν δικαστηρίῳ, καὶ κατηγόρων παρόντων, καὶ μαρτύρων ἐφεστηκότων, καὶ ἐλέγχων γινομένων, οὐ πρότερον οἱ " δικάζοντες τὴν ψῆφον " ἐκφέρουσιν, ἕως ἂν αὐτὸς ὁ καταδίκος κατήγορος τῆς " ἰδίας ἁμαρτίας γένηται. οὕτω δὴ καὶ οἱ ναῦται ἐκεῖ, ἄνθρωποι βάρβαροι καὶ ἀνόητοι, τὴν ἐν τοῖς δικαστηρίοις εὐταξίαν ἐμιμοῦντο, καίτοι τοσούτου φόβου, τοσούτου κλυδωνίου, τοσαύτης ταραχῆς περιεστώσης αὐτούς, καὶ τῆς θαλάσσης οὐδὲ ἀναπνεῦσαι ἐπιτρεπούσης· οὕτως ἐθορύβει καὶ κατέσπευδε μαινομένη, καὶ καταβοῶσα, καὶ συνεχῆ τὰ κύματα ἐπεγείρουσα. πόθεν οὖν ἡ τοσαύτη πρόνοια γέγονεν [ἀγαπητοί, περὶ τὸν προφήτην;] ἀπὸ τῆς τοῦ Θεοῦ οἰκονομίας. ὁ γὰρ Θεὸς " ᾠκονόμει ταῦτα γίνεσθαι, τὸν προφήτην διὰ τούτων παιδεύων φιλάνθρωπον εἶναι καὶ ἥμερον, καὶ μονονουχὶ βοῶν πρὸς αὐτὸν καὶ λέγων· μίμησαι τοὺς ναύτας, ἀνθρώπους ἀνοήτους· εἴπερ οὗτοι μὲν οὐδὲ μιᾶς καταφρονοῦσι ψυχῆς, οὐδὲ ἑνὸς ἀφειδοῦσι σώματος τοῦ σοῦ· σὺ δὲ ὁλόκληρον πόλιν τοσαύτας ἔχουσαν μυριάδας ἐξέδωκας, τό γε σὸν μέρος. καὶ " αὐτοὶ μὲν τὸν αἴτιον τῶν κακῶν εὑρόντες τῶν γεγενημένων αὐτοῖς, οὐδὲ οὕτως ὥρμησαν ἐπὶ τὴν καταδικάζουσαν ψῆφον· σὺ δὲ οὐδὲν ἔχων ἐγκαλεῖν τοῖς Νινευίταις,

Ιων. α. δ.

Ζαχ. ε. ζ.

Ψαλ. λζ. δ.

Ματθ. ια. κη.

Ιων. α. ε.

ταις, κατέδυσας αὐτοὺς καὶ ἀπώλεσας. καὶ σὺ μὲν, ἐμοῦ κελεύοντος ἀπιέναι καὶ πρὸς σωτηρίαν αὐτοὺς ἀνακαλεῖσθαι διὰ τοῦ κηρύγματος, οὐχ ὑπήκουσας· οὗτοι δὲ οὐδενὸς ἀκούσαντος πάντα ποιοῦσι καὶ πραγματεύονται, ὥστε σε τὸν ὑπεύθυνον γενόμενον "τιμωρίαν ἀνακαλέσασθαι. (γρ. τῇ τιμωρίᾳ) καὶ γὰρ καὶ μετὰ τὴν ἀπὸ τῆς θαλάσσης κατηγορίαν, μετὰ τὴν ἀπόδειξιν τὴν διὰ τοῦ κλήρου, ὅτε αὐτὸς ἑαυτοῦ κατηγόρησε, καὶ τὴν φυγὴν ὡμολόγησεν, οὐδὲ οὕτως ὥρμησαν ἐπὶ τὴν ἀπώλειαν τοῦ προφήτου· ἀλλὰ "ἠνεῖχον, καὶ ἐβιάζοντο, καὶ (γρ. ἐμηχανῶντο) πάντα ἐποίουν, ὥστε αὐτὸν μηδὲ μετὰ τοσαύτην ἀπόδειξιν ἐκδοῦναι τῇ τῆς θαλάττης ὁρμῇ. ἀλλ' οὐκ ἐπέτρεπεν οὐδὲ οὕτως ἡ θάλαττα, μᾶλλον δὲ ὁ Θεὸς οὐκ ἠφίει, ὥσπερ διὰ τῶν ναυτῶν, οὕτω καὶ διὰ τοῦ κήτους αὐτὸν σωφρονίσαι βουλόμενος. καὶ γὰρ μετὰ τὸ ἀκοῦσαι, Ἄρατέ με καὶ ἐμβάλετε εἰς τὴν θάλασσαν, καὶ κοπάσει ἡ θάλαττα ἀφ' ὑμῶν, παρεβιάζοντο εἰς τὴν γῆν ἀπελθεῖν, ἀλλὰ τὰ κύματα οὐκ ἐπέτρεπε. σὺ δὲ ὥσπερ εἶδες τὸν προφήτην φεύγοντα, ἄκουσον αὐτοῦ καὶ ἐξομολογουμένου κάτωθεν ἀπὸ τῆς γαστρὸς τοῦ θηρίου. ἐκεῖνο μὲν γὰρ ἔπαθεν ὡς ἄνθρωπος, τοῦτο δὲ ὡς προφήτης ἐπεδείξατο. λαβοῦσα τοίνυν αὐτὸν ἡ θάλασσα, καθάπερ ἐν δεσμωτηρίῳ τινὶ, τῇ γαστρὶ τοῦ κήτους ἐναπέθετο, σῶον τῷ δεσπότῃ φυλάττουσα τὸν φυγάδα· καὶ οὔτε κύματα ἄγρια λαβόντα ἀπέπνιξαν, οὔτε κῆτος, κυμάτων ἀγριώτερον, ὑποδεξάμενον αὐτὸν ἐν κοιλίᾳ διέφθειρεν, ἀλλὰ διέσωσε, καὶ πρὸς τὴν πόλιν ἐπανήγαγε· καὶ θάλασσα καὶ κῆτος παρὰ φύσιν ὑπήκουσαν, ἵνα διὰ πάντων ὁ προφήτης παιδεύηται. ἐλθὼν τοίνυν εἰς τὴν πόλιν ἀνέγνω τὴν ἀπόφασιν, καθάπερ ἐπιστολὴν βασιλικὴν κόλασιν ἔχουσαν, καὶ ἐβόα λέγων· Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευῒ καταστραφήσεται. (Ιων. γ. δ.) ἤκουσαν ταῦτα ἐκεῖνοι, οὐκ ἠπίστησαν, οὐ κατεφρόνησαν, ἀλλ' εὐθέως δρόμος ἁπάντων εἰς ἐπὶ τὴν νηστείαν, ἀνδρῶν, γυναικῶν, δούλων, δεσποτῶν, ἀρχόντων, ἀρχομένων, * παιδίων, πρεσβυτέρων· οὐδὲ ἡ τῶν ἀλόγων φύσις ταύτης ἀτελὴς ἦν τῆς λειτουργίας. (* νέων, γηρασκόντων, γρ. θρῆνοι καὶ οἰμωγαί.) πανταχοῦ σάκκος, πανταχοῦ σποδὸς, πανταχοῦ "θρῆνος καὶ οἰμωγή. καὶ γὰρ καὶ αὐτὸς ὁ τὸ διάδημα περικείμενος, ἀπὸ τοῦ θρόνου καταβὰς τοῦ βασιλικοῦ, σάκκον ὑπεστρώσατο, σποδὸν κατεπάσατο, καὶ οὕτω τὴν πόλιν ἐξήρπασε τῶν κινδύνων. καὶ ἦν ἰδεῖν πρᾶγμα παράδοξον, ὑπὸ σάκκου πορφυρίδα παρευδοκιμηθεῖσαν. ὅπερ γὰρ οὐκ ἴσχυσεν ἡ ἁλουργὶς, τοῦτο ἴσχυσεν ὁ σάκκος· ὅπερ οὐκ ἤνυσε τὸ διάδημα, τοῦτο κατώρθωσεν ἡ σποδός. ὁρᾷς ὡς οὐ μάτην ἔλεγον, ὅτι οὐ νηστείαν, ἀλλὰ μέθην καὶ ἀδηφαγίαν δεδοικέναι χρή; ἡ μὲν γὰρ μέθη καὶ ἀδηφαγία τὴν πόλιν ἑστῶσαν διέσεισε, καὶ καταβάλλειν ἔμελλεν· ἡ δὲ νηστεία σαλευομένην αὐτὴν καὶ μέλλουσαν καταπίπτειν "ἔστησε. (γρ. ἔσωσε) μετὰ ταύτης καὶ ὁ Δανιὴλ εἰς λάκκον λεόντων εἰσελθὼν, καθάπερ προβάτοις ἡμέροις * συγγενόμενος, οὕτως ἐξῄει. (* τοῖς ἀγρίοις) καὶ γὰρ καὶ τῷ θυμῷ ζέοντες, καὶ φόνιον βλέποντες, τῆς τραπέζης παρακειμένης οὐχ ἥπτοντο, ἀλλὰ καὶ τῆς φύσεως αὐτῆς διεγειρούσης (οὐδὲν γὰρ ἀγριώτερον ἐκείνων τῶν θηρίων) καὶ τοῦ λιμοῦ (καὶ γὰρ ἑπτὰ ἡμέρας οὐ μετέσχον τροφῆς) καθάπερ δημίου τινὸς ἔνδοθεν καθημένου, καὶ τῶν λαγόνων μὴ ἅπτεσθαι "βοῶντος τῶν προφητικῶν, ᾐδέσθησαν τὴν τροφήν. (γρ. ἐμβοῶντος) μετὰ ταύτης καὶ οἱ παῖδες οἱ τρεῖς εἰς τὴν Βαβυλωνίαν κάμινον εἰσελθόντες, καὶ πολὺν χρόνον ὁμιλήσαντες τῷ πυρὶ, αὐτοῦ τοῦ πυρὸς λαμπρότερα ἔχοντες τὰ σώματα, ἀπὸ τῆς καμίνου τότε ἐξῄεσαν. καίτοιγε εἰ πῦρ ἦν ἐκεῖνο ὄντως τὸ πῦρ, πῶς οὐκ ἐποίει τὰ τοῦ πυρός; εἰ σώματα ἦν ἐκεῖνα τὰ σώματα, πῶς τὰ τῶν σωμάτων οὐκ ἔπασχε; πῶς; ἐρώτησον τὴν νηστείαν, καὶ ἀποκρινεῖταί σοι, καὶ αὐτὴ λύσει σου τὸ αἴνιγμα. καὶ γὰρ ἦν ὄντως αἴνιγμα. σωμάτων γὰρ φύσις ἐμάχετο φύσει πυρὸς, καὶ ἡ νίκη τῶν σωμάτων ἐγίνετο. εἶδες παράδοξον μάχην; εἶδες παραδοξοτέραν τὴν νίκην; θαύμασον τὴν νηστείαν, καὶ ὑπτίαις ὑποδέξαι ταῖς χερσίν. ὅταν γὰρ καὶ ἐν "καμίνῳ βοηθῇ, (γρ. καμίνοις) καὶ ἐν λάκκῳ λεόντων φυλάττῃ, καὶ δαίμονας ἀπελαύνῃ, καὶ ἀπόφασιν ἀναλύῃ Θεοῦ, καὶ παθῶν μανίας καταστέλλῃ, καὶ πρὸς ἐλευθερίαν ἡμᾶς ἐπανάγῃ, καὶ πολλὴν ἐν τοῖς λογισμοῖς ἐμποιοῦσα τὴν ζάλην; πῶς οὖν ἔσται τις ἐν [illegible] ποιότητας ἔχουσαν τῶν χυμῶν ἀγαθὰς φθέγγεσθαι δυνήσεται; ἐπειδὴ καὶ γὰρ [illegible] νειαν τοῦ σώματος, φησίν. ἀλλ' ὁ σπείρων εἰς τὴν σάρκα, ἐκ τῆς σαρκὸς θερίσει φθοράν. τοσοῦτον [illegible] ἡ ἡμέρα καὶ ἡ ἑσπέρα. μάλιστα δὲ εἰ βουληθείης μετ' ἀκριβείας ἐξετάσαι τὸ πρᾶγμα, καὶ εὐεξίας αὐτὴν εὑρήσεις μητέρα τυγχάνουσαν. εἰ δὲ τοῖς ἐμοῖς ἀπιστεῖς λόγοις, παῖδας ἰατρῶν περὶ τούτων ἐρώτησον, καὶ αὐτοί σοι ταῦτα σαφέστερον ἐροῦσιν, οἳ τὴν μὲν ἔνδειαν μητέρα τῆς ὑγείας καλοῦσι, τὴν δὲ πολυσιτίαν καὶ κραιπάλην καὶ ἀποπληξίαν καὶ φθόην καὶ ὕδερον καὶ φλεγμονὰς καὶ οἰδήματα καὶ μυρίων ἑτέρων νοσημάτων, χειμάρρους ἀπὸ τῆς τρυφῆς καὶ τῆς ἀδηφαγίας ἐξιέναι φασίν, ὥσπερ ἀπό τινος πλημμυρούσης πηγῆς πονηροὺς ῥύακας, καὶ τῇ τοῦ σώματος [illegible] καὶ τῇ τῆς ψυχῆς συμφορᾷ λυμαινομένας. μὴ τοίνυν φοβώμεθα νηστείαν, τὴν τῶν τοσούτων ἡμᾶς ἀπαλλάττουσαν κακῶν. οὐ γὰρ ἁπλῶς ὑμῖν ταῦτα * παραινῶ· ἀλλ' ἐπειδὴ πολλοὺς ὁρῶ τῶν ἀνθρώπων, καθάπερ [illegible] παραδίδοσθαι μέλλοντας, [illegible] καὶ ἀναδυομένους καὶ μέθῃ καὶ ἀδηφαγίᾳ [illegible] διαφθείροντας, διὰ τοῦτο παραινῶ, ὥστε μὴ τὴν ἐκ τῆς νηστείας ἐσομένην ὠφέλειαν περιαιρεῖν *. καὶ γὰρ οἱ κακόσιτοι τῶν ἀνθρώπων, ὅταν πικρὰ μέλλωσι πίνειν φάρμακα, ἀπὸ πολλῆς ἑαυτοὺς ἐμπλήσουσι τρυφῆς, καὶ οὕτω φάρμακα λαμβάνουσι, τὴν μὲν πικρίαν [illegible] ἔμφασιν, τῆς δὲ ὠφελείας ἐξέπεσον, δυσκολωτέραν τῷ φαρμάκῳ ποιοῦντες τὴν πάλην πρὸς τὴν τῶν διεφθορότων χυμῶν πονηρίαν. διὰ τοῦτο αὐτοῖς οἱ τῶν ἰατρῶν παῖδες μὴ δειπνήσαντας κελεύουσι καθεύδειν, ἵνα πᾶσαν τῶν φαρμάκων τὴν δύναμιν ἐκ περιουσίας εὐθέως τοῖς νοσοποιοῖς τῶν περιττωμάτων προσαγάγῃ χυμοῖς. οὕτω καὶ ἐπὶ τῆς νηστείας· ἐὰν μὲν πολλῆς ἑαυτὸν ἐμπλήσῃς τῆς μέθης σήμερον, τὸ αὔριον ὑποδέξῃ τὸ τῆς νηστείας φάρμακον, ἄχρηστον αὐτὸ καὶ ἀνόνητον ἐποίησας· καὶ τὸν μὲν πόνον ὑπέμεινας, τὸ δὲ κέρδος οὐκ ἐκαρπώσω τοῦ πράγματος, εἰς τὴν πρόσφατον ἐκ τῆς μέθης ἐγγινομένην κακίαν ἅπασαν αὐτοῦ καταδαπανῶντος τὴν δύναμιν. ἐὰν δὲ κοῦφον αὐτῷ τὸ σῶμα παραδώσῃς, καὶ νήφοντι λογισμῷ τὸ φάρμακον δέξῃ, πολλὰ τῶν παλαιῶν ἁμαρτημάτων ἀποκαθαίρεσθαι δυνήσῃ. μὴ τοίνυν ἀπὸ μέθης ἴωμεν εἰς τὴν νηστείαν, μηδὲ ἀπὸ νηστείας εἰς μέθην καταλύσωμεν πάλιν· ἵνα μὴ ταυτὸν γένηται, οἷον εἴ τις ἀρρωστοῦντι σώματι καὶ διανίστασθαι μέλλοντι λαβὼν ἐμβολὴν σφοδροτέραν καταβάλλοι πάλιν· ὃ καὶ ἐπὶ τῆς ψυχῆς τῆς ἡμετέρας γίνεται, ὅταν ἐξ ἑκατέρου μέρους, καὶ τῆς ἀρχῆς καὶ τοῦ τέλους τῆς νηστείας, τῇ νεφέλῃ τῆς μέθης τὴν ἐκ τῆς ἀσιτίας γινομένην νῆψιν ἡμῖν συσκιάσωμεν. καθάπερ γὰρ οἱ θηρίοις πυκτεύειν μέλλοντες, πολλοῖς ὅπλοις καὶ ἀσφαλίσμασι τὰ καίρια τῶν μελῶν περιφράξαντες, τὴν πρὸς ἐκεῖνα ἀποδύονται μάχην· οὕτω καὶ νῦν πολλοὶ τῶν ἀνθρώπων εἰσίν, οἳ καθάπερ θηρίῳ τῇ νηστείᾳ πυκτεύειν μέλλοντες, οὕτω τῇ γαστριμαργίᾳ καθοπλίζονται, καὶ διαρρήξαντες ἑαυτοὺς καὶ σκοτώσαντες, μετὰ πολλῆς τῆς παραφροσύνης ὑποδέχονται τὸ γαλήνιον καὶ ἥμερον τῆς νηστείας ὄμμα. καὶ ἐὰν μὲν ἐρωτήσω σε, τίνος ἕνεκεν εἰς βαλανεῖον τρέχεις σήμερον; ἵνα καθαρῷ τῷ σώματι τὴν νηστείαν ὑποδεξώμεθα, φήσεις. ἂν δὲ ἐρωτήσω σε, τίνος ἕνεκεν μεθύεις; ἐπειδὴ εἰς νηστείαν μέλλω εἰσιέναι, πάλιν ἐρεῖς. καὶ πῶς οὐκ ἄτοπόν ἐστι, σώματι μὲν καθαρῷ, ψυχῇ δὲ ἀκαθάρτῳ καὶ μεθυούσῃ τὴν καλλίστην ταύτην ἑορτὴν ὑποδέχεσθαι; ἔχων μὲν οὖν καὶ πλείονα τούτων εἰπεῖν, ἀλλὰ τοῖς σωφρονοῦσι καὶ ταῦτα ἀρκεῖ πρὸς διόρθωσιν. λοιπὸν ἀνάγκη καταπαῦσαι τὸν λόγον. καὶ γὰρ τῆς τοῦ πατρὸς φωνῆς ἐπιθυμεῖτε ἀκοῦσαι. ἡμεῖς μὲν γὰρ κατὰ τὰ παιδία τὰ ποιμενικὰ λεπτῷ τῷ καλάμῳ συρίζομεν, ὥσπερ ὑπό τινα δρῦν ἢ λεύκην τῇ σκιᾷ * τούτων καθήμενοι· οὗτος δὲ, καθάπερ μουσικός τις ἄριστος χρυσῆν ἁρμοσάμενος κιθάραν, τῇ συμφωνίᾳ τῶν κρουσμάτων ὁλόκληρον ἀνίστησι θέατρον· οὕτω δὴ καὶ οὗτος οὐ συμφωνίᾳ κρουσμάτων, ἀλλὰ συμφωνίᾳ λόγων καὶ πράξεων πολλὴν ἡμῖν ἐντίθησι τὴν ὠφέ-

[illegible]

Α. Κορ. δ. ιε.

Ματθ. ε. ιθ. λείαν. τοιούτους καὶ ὁ Χριστὸς ζητεῖ διδασκάλους. Ὁ γὰρ ποιήσας, φησί, καὶ διδάξας, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. τοιοῦτος οὗτος ἐστί· διὸ καὶ μέγας ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἐστί. γένοιτο δὲ ἡμᾶς εὐχαῖς αὐτοῦ καὶ τῶν προέδρων ἁπάντων δυνηθῆναι καταξιωθῆναι τῆς βασιλείας τῶν οὐρανῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ. β.

Ὡς τερπνὰ τῆς πνευματικῆς ταύτης ἡμῖν θαλάσσης τὰ κύματα, καὶ αὐτῆς τῆς ἐν τῷ πελάγει τερπνότερα; ἐκεῖνα μὲν γὰρ ἀνέμων ἀταξία, ταῦτα δὲ ἀκροάσεως ἐπιθυμία διανίστησι· κἀκεῖνα μὲν κορυφούμενα, πολλὴν αὐτῷ τῷ κυβερνήτῃ τὴν ἀγωνίαν παρέχει, ταῦτα δὲ φαινόμενα πολλὴν τῷ λέγοντι τὴν παρρησίαν ἐντίθησι. τὰ μὲν γάρ ἐστι χειμαζομένης θαλάσσης τεκμήρια· ταῦτα δὲ ψυχῆς εὐφραινομένης σημεῖα· κἀκεῖνα μὲν ταῖς πέτραις προσαραττόμενα, ἄσημόν τινα ἦχον ἀφίησι· ταῦτα δὲ τῷ λόγῳ τῆς διδασκαλίας προσρηγνύμενα, προσηνῆ τὴν φωνὴν ἀφίησιν. οὕτω καὶ ζεφύρου πνοαί, ὅταν ἐμπέσωσιν εἰς λήϊα, καὶ τὰς κεφαλὰς τῶν ἀσταχύων ἐπικλίνωσι καὶ διανιστῶσι, τὰ κύματα τῆς θαλάσσης ἐπὶ τῆς χέρσου μιμοῦνται. ἀλλὰ καὶ ἐκείνων τῶν ληΐων ταῦτα τερπνότερα. οὐ γὰρ ζεφύρου πνοαί, ἀλλὰ πνεύματος χάρις τὰς ὑμετέρας διανέστησε ψυχάς, καὶ ἐθέρμανε, καὶ τὸ πῦρ ἐκεῖνο, ὃ πάλαι ὁ Χριστὸς ἔλεγεν· Λουκ. ιϐ. μθ. Ὅτι πῦρ ἦλθον βαλεῖν εἰς τὴν γῆν· καὶ τί θέλω, εἰ ἤδη ἀνήφθη; τοῦτο ὁρῶ καταβεβλημένον καὶ καιόμενον ἐν ταῖς ὑμετέραις ψυχαῖς. ἐπεὶ οὖν τοσαύτας ἡμῖν λαμπάδας ὁ τοῦ Χριστοῦ φόβος ἀνῆψε, φέρε ἐντεῦθεν τὸ τῆς διδασκαλίας ἔλαιον ἐπιστάξωμεν, ὥστε διαρκὲς ἕτερον ἡμῖν γενέσθαι τὸ φῶς. ὁ γὰρ καιρὸς τῆς νηστείας ἡμῖν λοιπὸν πρὸς τὸ τέλος ἐπείγεται. εἰς γὰρ τὰ μέσα τῶν σταδίων φθάσαντες, πρὸς τὸ τέλος λοιπὸν ἀπηντήκαμεν. ὥσπερ γὰρ ὁ ἀρχόμενος ἐμέσασεν, οὕτως ὁ πρὸς μέσον ἐλθών, τοῦ τέλους ἐπείληπται. ὁ μὲν οὖν καιρὸς πρὸς τὸ τέλος ἐπείγεται, καὶ πρὸς τὸν λιμένα βλέπει τὸ σκάφος λοιπόν· ἀλλὰ τὸ ζητούμενον, οὐ πρὸς τὸν λιμένα ἐλθεῖν, ἀλλὰ μὴ κενὸν τῆς ἐμπορείας ἑλκύσαι τὸ σκάφος. δέομαι πάντων ὑμῶν καὶ ἀντιβολῶ, εἰς τὸ συνειδὸς ἕκαστος αὐτοῦ ἀναλογιζέσθω τὴν ἀπὸ τῆς νηστείας πραγματείαν. κἂν μὲν εὕρῃ κέρδος πολὺ γεγενημένον, προστιθέτω τῇ πραγματείᾳ· ἂν δὲ μηδὲν ᾖ συνειλεγμένον, τῷ λειπομένῳ τοῦ χρόνου κεχρήσθω πρὸς τὴν εὐπορίαν, ἕως ἕστηκεν ἡ πανήγυρις, μέγα πραγματευσάμενοι κέρδος ἀναχωρήσωμεν· ἵνα μὴ κεναῖς ἀπελευσώμεθα χερσίν· ἵνα μὴ πόνον ὑπομείναντες νηστείας, μισθὸν νηστείας ἀπολέσωμεν. ἔστι γὰρ καὶ πόνον ὑπομεῖναι νηστείας, καὶ μισθὸν νηστείας μὴ λαβεῖν. πῶς; ὅταν βρωμάτων μὲν ἀπεχώμεθα, ἁμαρτημάτων δὲ μὴ ἀπεχώμεθα· ὅταν κρέα μὲν μὴ ἐσθίωμεν, κατεσθίωμεν δὲ τὰς τῶν πενήτων οἰκίας· οἴνῳ μὲν μὴ μεθύωμεν, μεθύωμεν δὲ ἐπιθυμίᾳ πονηρᾷ· ὅταν πᾶσαν τὴν ἡμέραν ἄσιτοι διατελῶμεν, πᾶσαν δὲ διημερεύωμεν ἐν ἀκολάστοις θεάμασιν. ἰδοὺ καὶ πόνος νηστείας, καὶ μισθὸς νηστείας οὐδαμῶς, ὅταν εἰς τὰ θέατρα τῆς παρανομίας ἀναβαίνωμεν. οὐ πρὸς ὑμᾶς ὁ λόγος. οἶδα γὰρ ὅτι καθαροὶ τῆς κατηγορίας ἐστέ, ἀλλ' ἔθος τοῖς ὀδυνωμένοις, ὅταν τοὺς αἰτίους μὴ λάβωσιν, εἰς τοὺς παρόντας ἀφιέναι τὴν ὀργήν. ποῖον κέρδος νηστεύοντας εἰς τὰ θέατρα παρανομίας ἀναβαίνειν, εἰς τὸ κοινὸν τῆς ἀσελγείας διδασκαλεῖον εἰσιέναι, εἰς τὸ δημόσιον τῆς ἀκολασίας γυμνάσιον; ἐπὶ τὴν καθέδραν καθέζεσθαι τῶν λοιμῶν. καὶ γὰρ καὶ καθέδραν λοιμοῦ, καὶ ἀκολασίας γυμνάσιον, καὶ διδασκαλεῖον ἀσελγείας, καὶ πάντα τὰ αἴσχιστα, τὴν ὀρχήστραν τις προσειπὼν οὐκ ἂν ἁμάρτοι, τὸ πονηρότατον ἐκεῖνο χωρίον, καὶ νοσημάτων γέμον παντοδαπῶν, τὴν

Βαβυλωνίαν κάμινον. καθάπερ γὰρ ὡς εἰς κάμινόν τινα, εἰς δὲ καὶ ταύτην τὴν πόλιν ἐμβαλὼν ὁ διάβολος, οὕτω κάτωθεν ὑποκαίει, οὐ κληματίδα ὑποτιθεὶς, καθάπερ ὁ βάρβαρος τότε ἐκεῖνος, οὐδὲ νάφθαν, οὐδὲ στυππεῖον, οὐδὲ πίσσαν, ἀλλὰ τὰ πολλῷ τούτων χαλεπώτερα.

* * * * * *

αὕτη ἐκείνης ἐστί· καὶ τὸ πῦρ χαλεπώτερον. οὐ γὰρ σωμάτων καίει φύσιν, ἀλλὰ ψυχῆς εὐεξίαν λυμαίνεται, καὶ τὸ χαλεπώτερον, ὅτι οὐδὲ αἰσθάνονται οἱ καιόμενοι. εἰ γὰρ ᾐσθάνοντο, οὐκ ἂν πλατεῖαν γλῶσσαν ἐπὶ τοῖς γινομένοις ἠφίεσαν· ὅπερ οὖν ἐστι χαλεπώτατον, ὅταν τις νοσῶν, μηδὲ αὐτὸς τοῦτο οἶδεν, ὅτι νοσεῖ, καὶ καιόμενος ἀθλίως καὶ ταλαιπώρως, οὐκ αἰσθάνεται τῶν ἐμπρησμῶν. τί δὲ ὄφελος τῆς νηστείας, ὅταν τὸ μὲν σῶμα κωλύσῃς τῆς νενομισμένης τροφῆς, τῇ δὲ ψυχῇ προσάγῃς τὴν παράνομον τροφήν; ὅταν διημερεύσῃς ἐκεῖ καθήμενος, βλέπων τὴν κοινὴν φύσιν ἀσχημονοῦσαν καὶ παραδειγματιζομένην, γυναῖκας πορνευομένας, μοιχείας ὑποκρινομένους ἐκεῖ τὰς ἑκάστης οἰκίας κακὰ συλλέγοντας; καὶ γὰρ καὶ πορνείας καὶ μοιχείας ἐστὶν ἰδεῖν καὶ βλασφημίας ἀκοῦσαι· ἵνα καὶ διὰ ὀφθαλμῶν, καὶ διὰ ἀκοῆς ἡ νόσος ἐπεισίῃ τῇ ψυχῇ. μιμοῦνται τὰς ἀλλοτρίας συμφοράς, ὅθεν αὐτοῖς καὶ τὸ ὄνομα τῆς αἰσχύνης ἐπίκειται. τί οὖν τὸ κέρδος τῆς νηστείας, τοιαῦτα τῆς ψυχῆς σιτουμένης; ποίοις ὀφθαλμοῖς ὄψει τὴν γυναῖκα ἀπὸ τῶν θεαμάτων ἐκείνων; ποίοις ὄμμασιν ὄψει τὸν υἱόν; ποίοις τὸν οἰκέτην; ποίοις τὸν φίλον; ἀνάγκη γὰρ λέγοντα τὰ ἐκεῖ γινόμενα ἀσχημονεῖν, ἢ σιγᾶν καὶ καταδύεσθαι ἐρυθριῶντα. ἀλλ' οὐκ ἐντεῦθεν οὕτως ἀναχωρεῖς· ἀλλ' ἕξεις ἐν τῇ οἰκίᾳ μετὰ πολλῆς τῆς παρρησίας πάντα τὰ λεγόμενα διηγεῖσθαι, προφητικὰς φωνὰς, ἀποστολικὰ δόγματα, νόμους δεσποτικούς, ἅπασαν τῆς ἀρετῆς παραθεῖναι τὴν τράπεζαν. καὶ γυναῖκα σωφρονεστέραν ποιεῖς τοῖς ἐντεῦθεν διηγήμασι, καὶ υἱὸν συνετώτερον ἐργάζῃ, καὶ οἰκέτην εὐνούστερον, καὶ φίλον φιλικώτερον, καὶ τὸν ἐχθρὸν δὲ αὐτὸν πείθεις καταλῦσαι τὴν ἔχθραν. ὁρᾷς ὡς ταῦτα μὲν πανταχοῦ σωτήρια τὰ δόγματα, ἐκεῖνα δὲ ἄχρηστα πανταχοῦ τὰ ἀκούσματα; τί τοίνυν ὄφελος νηστείας, εἰπέ μοι, ὅταν τῷ σώματι μὲν νηστεύῃς, διὰ δὲ τῶν ὀφθαλμῶν μοιχεύῃς; μοιχεία γάρ ἐστιν, οὐ συμπλοκὴ μόνον, οὐδὲ ὁμιλία σώματος, ἀλλὰ καὶ ὄψις ἀκόλαστος. τί τὸ ὄφελος; ἐνταῦθα παραγίνῃ, κἀκεῖ· ἐγὼ παιδεύω, ἐκεῖνος διαφθείρει· ἐγὼ φάρμακα ἐπάγω τῇ νόσῳ, ἐκεῖνος προστίθησιν ὑπόθεσιν τῇ νόσῳ· ἐγὼ σβεννύω τὴν φλόγα τῆς φύσεως, ἐκεῖνος ἀνάπτει τὴν φλόγα τῆς ἐπιθυμίας. τί δὲ ὄφελος, εἰπέ μοι; Εἷς οἰκοδομῶν, καὶ εἷς καθαιρῶν τί ὠφέλησαν πλέον, ἢ κόπους; μὴ τοίνυν ἐνταῦθα, καὶ ἐκεῖ, ἀλλ' ἐνταῦθα μόνον διατρίβωμεν· ἵνα χρησίμως ἐνταῦθα, ἵνα μὴ μάτην ἐνταῦθα, ἵνα μὴ εἰκῆ, μηδὲ ἐπὶ κατακρίσει. εἷς οἰκοδομῶν, καὶ εἷς καθαιρῶν τί ὠφέλησαν πλέον, ἢ κόπους; καίτοιγε εἰ καὶ πολλοὶ οἱ οἰκοδομοῦντες εἶεν, εἷς δὲ ὁ καθαιρῶν, νικᾷ τὴν πολυχειρίαν τῶν οἰκοδομούντων ἡ εὐκολία τῆς καταστροφῆς. μεγάλη ὄντως αἰσχύνη καὶ νεάζοντας καὶ γεγηρακότας ἐπὶ τὴν τοιαύτην τρέχειν σπουδήν. ἀλλ' εἴθε μέχρις αἰσχύνης ἦν τὸ κακόν· καίτοιγε οὐδὲ τοῦτο φορητὸν ἀνδρὶ ἐλευθέρῳ, ἀλλ' ἐσχάτη ζημία τῷ νοῦν ἔχοντι, κατάγνωσις καὶ αἰσχύνη· ἀλλ' οὐ μέχρι τῆς αἰσχύνης τὸ ἐπιτίμιον, ἀλλὰ καὶ κόλασις ἐπίκειται μεγάλη καὶ τιμωρία. ἀνάγκη γὰρ τοὺς ἐκεῖ καθημένους μοιχείας ἁμαρτίᾳ πάντας ἁλίσκεσθαι· οὐκ ἐπειδὴ συμπλέκονται ταῖς ἐκεῖ γυναιξὶν, ἀλλ' ἐπειδὴ ἀκολάστοις βλέπουσιν αὐτὰς ὀφθαλμοῖς. ὅτι γὰρ καὶ τούτους ἀνάγκη μοιχείᾳ ἁλίσκεσθαι, οὐκ ἐμὸν ὑμῖν ἐρῶ λόγον, ἵνα μὴ καταφρονήσητε, ἀλλὰ θεῖον ὑμῖν ἀναγνώσομαι νόμον. ἐνταῦθα γὰρ οὐκέτι καταφρονεῖν δυνατόν. τί οὖν ὁ θεῖος νόμος φησίν; Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. εἶδες ἀπηρτισμένον τὸν μοιχόν; εἶδες πεπληρωμένην

Εκκλησ. κδ. λη.

τὴν ἁμαρτίαν; καὶ τὸ χαλεπώτερον, οἱ μοιχοὶ μοιχείας ἁλόντες οὐκ ἐν δικαστηρίῳ, ἀλλ' ἐν θείῳ δικαστηρίῳ τῆς μοιχείας γινόμενοι ὑπεύθυνοι, ἔνθα ἀθάνατοι αἱ τῶν τιμωριῶν; πᾶς ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. οὐ τὸ νόσημα, ἀλλὰ καὶ τὴν ῥίζαν ἀναιρεῖ τοῦ νοσήματος. ῥίζα γὰρ μοιχείας, ἐπιθυμία ἀκόλαστος. διὸ οὐ μοιχείαν κολάζει μόνον, ἀλλὰ καὶ ἐπιθυμίαν, τὴν τῆς μοιχείας μητέρα. οὕτω καὶ οἱ ἰατροὶ ποιοῦσιν· οὐ πρὸς τὰ νοσήματα ἵστανται μόνον, ἀλλὰ καὶ πρὸς τὰς αἰτίας αὐτάς· κἂν ἴδωσιν ὀφθαλμοὺς νοσοῦντας, τὸ πονηρὸν ῥεῦμα ἄνωθεν ἀπὸ τῶν κροτάφων ἀναστέλλουσιν· οὕτω καὶ ὁ Χριστὸς ποιεῖ. ὀφθαλμία χαλεπὴ, μοιχεία· τῶν ὀφθαλμῶν ἐστι τὸ νόσημα, οὐ τῶν τοῦ σώματος, ἀλλὰ πρότερον τῶν τῆς ψυχῆς. διὰ τοῦτο ἄνωθεν ἀνέστειλε τὸ ῥεῦμα τῆς ἀκολασίας τῷ φόβῳ τοῦ νόμου· διὰ τοῦτο οὐχὶ μοιχείαν μόνον ἐκόλασεν, ἀλλὰ καὶ ἐπιθυμίαν ἐτιμωρήσατο. ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. τῆς δὲ καρδίας διεφθαρμένης, τί λοιπὸν ὄφελος τοῦ λοιποῦ σώματος; ὥσπερ γὰρ ἐπὶ φυτῶν καὶ ξύλων, ὅταν ἴδωμεν τὴν καρδίαν διαβρωθεῖσαν, τὸ λοιπὸν ἀποδοκιμάζομεν μέρος· οὕτω καὶ ἐπὶ τοῦ ἀνθρώπου, ὅταν ἐκείνη ἀπόληται, εἰκῆ λοιπὸν ἡ τοῦ σώματος ὑγίεια. ὁ ἡνίοχος ἀπόλωλε, διέφθαρται καὶ καταβέβληται, μάτην τρέχουσιν οἱ ἵπποι λοιπόν. ἐπίπονος ὁ νόμος καὶ πολὺ τὸ φορτικὸν ἔχει, ὥσπερ δὴ καὶ μέγαν ἔχει τὸν στέφανον. τοιαῦτα γὰρ τὰ ἐπίπονα, μεγάλας ἔχει τὰς ἀμοιβάς. σὺ δὲ μὴ τῷ πόνῳ πρόσεχε, ἀλλὰ τὴν ἀμοιβὴν ἐννόει. οὕτω γὰρ καὶ ἐπὶ τῶν βιωτικῶν γίνεται πραγμάτων. ἂν μὲν γὰρ τοὺς πόνους ἴδῃς τῶν κατορθωμάτων, βαρὺ καὶ φορτικόν· ἂν δὲ τὴν ἀμοιβὴν ἴδῃς, κοῦφον καὶ ῥᾷστον τὸ προκείμενον. οὕτω καὶ κυβερνήτης, ἂν τὰ κύματα βλέπῃ μόνον, οὐδέποτε ἐξέλκει τοῦ λιμένος τὸ σκάφος· ἀλλὰ πρὸ τῶν κυμάτων τὴν ἐμπορείαν ὁρῶν, οὕτω καὶ ἀπλέτου κατατολμᾷ πελάγους. οὕτω καὶ στρατιώτης ἂν τὰ τραύματα βλέπῃ καὶ τὰς σφαγὰς, οὐδέποτε ἐνδύσεται θώρακα· ἂν δὲ πρὸ τῶν τραυμάτων τὰ τρόπαια σκοπῇ καὶ τὰς νίκας, ὥσπερ εἰς λειμῶνα δραμεῖται τὴν παράταξιν. τὰ γὰρ φύσει βαρέα, οὕτω κοῦφα γίνεται, ὅταν μὴ τοὺς πόνους λογιζώμεθα, ἀλλὰ καὶ τὰς ἀμοιβὰς αὐτῶν σκοπῶμεν. β. Κορ δ. ιζ. βούλει μαθεῖν πῶς τὰ φύσει βαρέα, κοῦφα γίνεται; ἄκουσον τοῦ Παύλου λέγοντος· Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης ἡμῖν κατεργάζεται. αἴνιγμα τὸ εἰρημένον ἐστίν. εἰ θλίψεως, πῶς ἐλαφρόν; εἰ ἐλαφρὸν, πῶς θλίψεως; ταῦτα γὰρ ἐναντία. ἀλλ' ἔλυσε τὸ αἴνιγμα τῇ ἐπαγωγῇ δείξας ἐλαφρόν. πῶς; Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα. ἔθηκε τὸν στέφανον, καὶ κοῦφον ἐποίησε τὸν ἀγῶνα· ἔδειξε τὸ βραβεῖον, καὶ παρεμυθήσατο τοὺς ἱδρῶτας. καὶ σὺ τοίνυν ὅταν ἴδῃς γυναῖκα λάμπουσαν ἀπὸ τῆς ὄψεως, φαιδρὰν ἀπὸ τῆς στολῆς, ἴδῃς ἐπιθυμίαν γαργαλιζομένην, ἴδῃς τὴν ψυχὴν ἐπιθυμοῦσαν τῆς θεωρίας, ἀνάβλεψον πρὸς τὸν ἄνω σοι κείμενον στέφανον, ἵνα παραδράμῃς τὴν τοιαύτην ὄψιν. εἶδες σύνδουλον; ἐννόησον τὸν δεσπότην, καὶ πάντως καταπαύσει τὸ νόσημα. εἰ γὰρ παιδία παιδαγωγῷ ἀκολουθοῦντα οὐ περιστρέφονται, οὐ κεχήνασιν, οὐκ ἐπτόηνται, πολλῷ μᾶλλον σὺ τὸν Χριστὸν ἂν ἴδῃς τοῖς λογισμοῖς παρόντα, οὐδὲν πείσῃ τοιοῦτον. ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. ἡδέως καὶ συνεχέστερον ἀναγινώσκω τοῦ νόμου τὰ γράμματα· εἴθε καὶ διὰ πάσης τῆς ἡμέρας ἦν τοῦτο λέγειν πρὸς ὑμᾶς· μᾶλλον δὲ οὐχὶ πρὸς ὑμᾶς, ἀλλὰ πρὸς τοὺς ὑπευθύνους τοῖς ἁμαρτήμασιν ὄντας· μᾶλλον δὲ καὶ πρὸς ὑμᾶς. καὶ γὰρ ὑμεῖς ἀσφαλέστεροι ἔσεσθε, οἱ δὲ τῇ νόσῳ ὄντες, ταχέως πρὸς τὴν ὑγίειαν ἐπανήξωσιν. ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. ἀρκεῖ πᾶσαν τῆς ἁμαρτίας τὴν σηπεδόνα καθᾶραι ψιλὰ ἀναγνωσθέντα [ξίφει] τὰ ῥήματα. ἀλλὰ σύγγνωτε· τραύματα καθαίρομεν. τοῖς δὲ τραύματα καθαίρουσιν ἀνάγκη καὶ πικρὰ ἐπιτιθέναι φάρμακα. ὅσῳπερ ἂν ἐνέγκητε τὰ ῥήματα, τοσούτῳ μᾶλλον ἐκκαθαίρεται ὁ ἰός. ὥσπερ γὰρ τοῦ πυρὸς ἡ φύσις, ὅσῳπερ ἂν ἐπὶ πλέον ὁμιλήσῃ τῇ τοῦ χρυσοῦ φύσει, τοσούτῳ μᾶλλον δαπανᾷ τὸν ἰόν· οὕτω καὶ τῶν ῥημάτων τούτων ὁ φόβος, ὅσῳπερ ἂν ἐντεθῇ τῇ ὑμετέρᾳ διανοίᾳ, τοσούτῳ μᾶλλον ἅπασαν ἐκκαθαριεῖ τῆς ἀκολασίας τὴν ἁμαρτίαν. πυρώσωμεν αὐτὴν ὧδε τῷ λόγῳ τῆς διδασκαλίας, ἵνα μὴ ἀναγκασθῶμεν αὐτὴν ἐκεῖ πυρῶσαι τῷ πυρὶ τῆς γεέννης. τὴν μὲν γὰρ ἐντεῦθεν ἀπελθοῦσαν καθαρὰν οὐδὲν ἐκεῖνο βλάψει τὸ πῦρ· τὴν δὲ μετὰ ἁμαρτημάτων ἀπελθοῦσαν ἐντεῦθεν ἐκεῖνο δέξεται τὸ πῦρ. Ἑκάστου γάρ, φησι, τὸ ἔργον, ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει. δοκιμάσωμεν ἑαυτοὺς νῦν χωρὶς ὀδύνης, ἵνα μὴ δοκιμασθῶμεν τότε μετὰ ὀδύνης. ὅσα ἂν εἴπῃς, φησίν, ἐπίπονος ὁ νόμος. τί οὖν; ἀδύνατα ἡμῖν ὁ Θεὸς προστάττει; οὔ φημι· ἐπιστομίζου, μὴ κατηγόρει τοῦ δεσπότου. οὐ γάρ ἐστιν ἀπολογίας τρόπος, ἀλλὰ ἁμαρτίας προσθήκη τῆς προτέρας χαλεπωτέρα. ὅτι δὲ τοῖς πολλοῖς τῶν ἁμαρτανόντων ἔθος ἐπὶ τὸν δεσπότην ἀφιέναι τὰ ἐγκλήματα, ἄκουσον. προσῆλθεν ἐκεῖνος ὁ τὰ πέντε τάλαντα πιστευθείς, καὶ προσήνεγκεν ἄλλα πέντε· προσῆλθεν ὁ τὰ δύο τάλαντα πιστευθείς, καὶ προσήνεγκεν ἄλλα δύο· προσῆλθεν ὁ τὸ τάλαντον πιστευθείς, καὶ ἐπειδὴ ἄλλο τάλαντον προσενεγκεῖν οὐκ εἶχεν, ἀντὶ ταλάντου κατηγορίαν προσήνεγκε. πῶς φησιν; Ἔγνων σε, ὅτι σκληρὸς εἶ. ὦ ἀγνωμοσύνης οἰκέτου. οὐκ ἀρκεῖται τῇ ἁμαρτίᾳ, ἀλλὰ καὶ κατηγορίαν εἰσάγει κατὰ τοῦ δεσπότου. Θερίζων ὅπου οὐκ ἔσπειρας, καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας. οὕτω καὶ ἐν τῷ παρόντι βίῳ ὅσοι μηδὲν ἐργάζονται ἀγαθόν, προσθήκην τῶν κακῶν ἑαυτῶν ποιοῦνται τὴν κατηγορίαν τοῦ δεσπότου. μὴ τοίνυν κατηγόρει τοῦ δεσπότου, οὐκ ἐπέταξεν ἀδύνατα. πολλοὶ τὰ προστάγματα ὑπερβαίνουσιν· οὐκ ἂν δέ, εἰ ἀδύνατα ἦν, ὑπερέβησαν ἐξ οἰκείας προαιρέσεως. παρθενίαν οὐκ ἐπέταξε, καὶ κατορθοῦσι πολλοί· ἀκτημοσύνην οὐκ ἐπέταξε, καὶ πολλοὶ τὰ ἑαυτῶν ῥίπτουσι, διὰ τῶν ἔργων μαρτυροῦντες πολλὴν εὐκολίαν τοῖς τῆς ἐπιταγῆς νόμοις. οὐ γὰρ ἂν ὑπερέβησαν αὐτά, εἰ μὴ αὐτὰ τὰ ἐπιταχθέντα εὔκολα ἦν. οὐκ ἐπέταξε παρθενίαν. ὁ μὲν γὰρ ἐπιτάξας παρθενίαν, ὑπὸ τὴν ἀνάγκην ἄγει τοῦ νόμου καὶ τὸν μὴ βουλόμενον· ὁ δὲ παραινέσας, κύριον ἀφίησι τῆς αἱρέσεως τὸν ἀκροατήν. διὰ τοῦτο καὶ ὁ Παῦλός φησι, Περὶ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω, γνώμην δὲ δίδωμι. ὁρᾷς οὐκ ἐπιταγήν, ἀλλὰ συμβουλήν; ὁρᾷς οὐ πρόσταγμα, ἀλλὰ παραίνεσιν; πολὺ δὲ τὸ μέσον. τὸ μὲν γὰρ ἀνάγκης ἐστί, τὸ δὲ προαιρέσεως. οὐκ ἐπιτάσσω, φησίν, ἵνα μὴ βαρήσω· παραινῶ καὶ συμβουλεύω, ἵνα ἐπαγάγω. οὕτω καὶ ὁ Χριστὸς οὐκ εἶπε, πάντες ὑμεῖς παρθενεύετε. εἰ μὲν γὰρ ἐπέταξε παρθενεύειν ἅπαντας, καὶ νόμον ἐποίησε τὸ πρόσταγμα, οὔτε ὁ κατορθώσας ἂν πολλῆς ἀπέλαυσε τιμῆς, ὅσης νῦν, καὶ ὁ παρακούσας τὴν ἐσχάτην ἂν ἔδωκε δίκην. εἶδες πῶς ἡμῶν ὁ νομοθέτης φείδεται; πῶς κήδεται τῆς ἡμετέρας σωτηρίας; μὴ γὰρ οὐκ ἠδύνατο καὶ τοῦτο ἐπίταγμα ποιῆσαι καὶ εἰπεῖν, ὅτι οἱ μὲν παρθενεύοντες τιμάσθωσαν, οἱ δὲ μὴ παρθενεύοντες κολαζέσθωσαν; ἀλλ' ἐβάρει τὴν φύσιν. φείδεται τῆς φύσεως τῆς ἡμετέρας, ἀφῆκεν ἔξω τῶν σταδίων, ἀφῆκεν ἀνωτέρω τῶν ἀγώνων τὴν παρθενίαν· ἵνα καὶ οἱ κατορθοῦντες τὴν οἰκείαν μεγαλοψυχίαν ἐπιδείξωνται, καὶ οἱ μὴ κατορθοῦντες, τῆς συγγνώμης ἀπολαύσωσι τοῦ δεσπότου. οὕτω καὶ περὶ τῆς ἀκτημοσύνης· οὐκ ἐποίησε τὸ πρᾶγμα ἐπίταγμα. οὐ γὰρ ἁπλῶς εἶπε, Πώλησόν σου τὰ ὑπάρχοντα, ἀλλ', Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα. ἐν τῇ βουλῇ κείσθω τῇ σῇ, κύριος ἔσο τῆς γνώμης· οὐκ ἀναγκάζω, οὐδὲ βαρῶ· ἀλλὰ κατορθώσαντα μὲν στεφανῶ· μὴ κατορθώσαντα δὲ οὐ κολάζω. τὰ μὲν γὰρ ἐξ ἐπιταγῆς γινόμενα καὶ ἐξ ὀφειλῆς οὐ τοσοῦτον ἔχει μισθόν· τὰ δὲ ἐκ προαιρέσεως καὶ ἐξ οἰκείας φιλοτιμίας, λαμπροὺς ἔχει τοὺς στεφάνους. καὶ τούτων Παῦλον παράγω μάρτυρα. Ἐὰν εὐαγγελίζωμαι, φησίν, οὐκ ἔστι μοι καύχημα. διὰ τί; ἀνάγκη γάρ μοι ἐπίκειται· οὐαὶ δέ μοί ἐστιν, ἐὰν μὴ εὐαγγελίζωμαι. ὁρᾷς ἐν τοῖς νόμοις, ὁ μὲν κατορθώ-

α. Κορ. γ. ιγ.

Ματθ. κε. κδ.
Λουκ. ιθ. κα.

α. Κορ. ζ.

Ματθ. ιθ. κα.

α. Κορ. θ. ιϛ.

σαι, οὐκ ἔχει πολὺν μισθὸν (ἀνάγκη γάρ ἐστιν) ὁ δὲ μὴ κατορθώσας, ὑπεύθυνός ἐστι τῇ κολάσει καὶ τῇ τιμωρίᾳ; Οὐαὶ γάρ μοί, φησιν, ἐὰν μὴ εὐαγγελίζωμαι. ἐπὶ δὲ τῶν ἄλλων οὐχ οὕτως, ἐπὶ τῶν ἐκ προαιρέσεως, ἀλλὰ τί; Τίς οὖν μοί ἐστιν ὁ μισθός; ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ εὐαγγέλιον τοῦ Θεοῦ, εἰς τὸ μὴ καταχρήσασθαι τῇ ἐξουσίᾳ μου. ἐκεῖ νόμος ἦν· διὰ τοῦτο μισθὸν οὐκ εἶχε πολύν. τοῦτο δὲ προαιρέσεως ἦν· διὸ πολὺν ἔχει τὸν μισθόν. Ταῦτά μοι πάντα οὐχ ἁπλῶς εἴρηται, ἀλλὰ διὰ τὸν νόμον τὸν θεῖον, ἵνα δείξω οὐκ ὄντα βαρύν, οὐκ ὄντα φορτικόν, οὐκ ὄντα ἐπίπονον οὐδὲ ἀδύνατον.

Φέρε δὴ καὶ ἀπ᾽ αὐτῶν τῶν τοῦ Χριστοῦ ῥημάτων αὐτὸ τοῦτο φανερὸν ποιήσωμεν. Ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. συνεῖδε καὶ ὁ Χριστὸς αὐτὸ τοῦτο, ὅτι μέλλουσι πολλοὶ τοῦ νόμου κατηγορεῖν δυσκολίαν. διὰ τοῦτο αὐτὸν οὐ γυμνὸν εἰσήνεγκεν, οὐδὲ ψιλόν, οὐδὲ καθ᾽ ἑαυτόν· ἀλλὰ καὶ τοῦ παλαιοῦ ἀναμιμνήσκει νόμου, ἀπὸ τῆς συγκρίσεως καὶ τὴν εὐκολίαν καὶ τὴν αὐτοῦ φιλανθρωπίαν ἐνδεικνύμενος. πῶς δέ, προσέχετε. οὐκ εἶπε γὰρ ἁπλῶς, ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ (ἐνταῦθα προσέχετε μετ᾽ ἀκριβείας) ἀλλὰ πρότερον ἀνέμνησε τοῦ παλαιοῦ νόμου, οὕτω λέγων· Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, οὐ μοιχεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν, πᾶς ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. Εἶδες τοὺς δύο νόμους, τὸν παλαιόν, καὶ τὸν καινόν, ὃν ἔθηκε Μωϋσῆς, καὶ ὃν εἰσάγει αὐτός, μᾶλλον δὲ καὶ τοῦτον αὐτὸς ἔθηκε· καὶ γὰρ διὰ Μωϋσέως αὐτὸς ἐλάλησε. καὶ πόθεν δῆλον ὅτι κἀκεῖνον αὐτὸς ἔθηκεν; οὐκ ἀπὸ Ἰωάννου, οὐδὲ ἀπὸ τῶν ἀποστόλων τὴν μαρτυρίαν παρέξομαι (πρὸς γὰρ Ἰουδαίους μοι νῦν ὁ ἀγών) ἀλλ᾽ ἀπὸ τῶν προφητῶν, οἷς δοκοῦσι πιστεύειν, ἀπ᾽ αὐτῶν ἀποδείξω, ὅτι καὶ παλαιὰ καὶ καινὴ νομοθέτην ἕνα ἔχει. Τί οὖν ὁ Ἱερεμίας φησί; Διαθήσομαι ὑμῖν διαθήκην καινήν. Εἶδες καὶ τῆς καινῆς τὸ ὄνομα ἐν τῇ παλαιᾷ; Εἶδες καὶ τὴν προσηγορίαν πρὸ τοσούτων ἐτῶν διαλάμπουσαν χρόνων, διαθήσομαι ὑμῖν διαθήκην καινήν; ἀλλὰ πόθεν δῆλον, ὅτι καὶ τὴν παλαιὰν αὐτὸς ἔδωκεν; Εἰπών, ὅτι διαθήσομαι ὑμῖν διαθήκην καινήν, ἐπήγαγεν· Οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν. ναί· ἀλλ᾽ οὔπω τὸ πρᾶγμα ἀπεδείξαμεν. δεῖ γὰρ ἅπαντα τὰ ἀντικρούοντα παραγαγεῖν εἰς μέσον καὶ δῆλα ποιεῖν, ἵνα πάντοθεν ὁ λόγος ἡμῖν ἐκκαθαίρηται, καὶ μηδὲ τοῖς ἀναισχυντοῦσι καταλείπηται πρόφασις. Διαθήσομαι ὑμῖν διαθήκην καινήν, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν. διέθετο διαθήκην πρὸς τὸν Νῶε, ἡνίκα ὁ κατακλυσμὸς ἐγένετο, βουλόμενος ἡμᾶς ἀπαλλάξαι τῶν φόβων, ἵνα μὴ τὸν κατακλυσμὸν βλέποντες, καὶ ὄμβρον ὁρῶντες ἀεί, καὶ τὴν πανωλεθρίαν ἐκείνην προσδοκῶμεν ἔσεσθαι. διὰ τοῦτό φησι, Διαθήσομαι διαθήκην μετὰ σοῦ, καὶ μετὰ πάσης σαρκός. διέθετο πάλιν πρὸς τὸν Ἀβραὰμ διαθήκην τῆς περιτομῆς· διέθετο διαθήκην Μωϋσέως, τὴν καὶ πᾶσι γνώριμον. Εἶπεν ὁ Ἱερεμίας, Διαθήσομαι ὑμῖν διαθήκην καινήν, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν. Εἰπὲ ποίοις πατράσι. καὶ γὰρ Νῶε πατὴρ ἦν, καὶ ὁ Ἀβραὰμ πατὴρ ἦν. ποίοις οὖν λέγει πατράσι; τὸ γὰρ ἀδιόριστον τοῦ προσώπου σύγχυσιν ποιεῖ. ἐνταῦθα προσέχετε· οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν. ἵνα γὰρ μὴ λέγῃς, ὅτι τὴν ἐπὶ Νῶε λέγει, ἵνα μὴ λέγῃς, ὅτι τὴν ἐπὶ τοῦ Ἀβραὰμ λέγει, αὐτοῦ τοῦ χρόνου λοιπὸν τῶν διαθηκῶν ἐμνημόνευσεν οὕτως. Εἰπὼν γάρ, ὅτι διαθήσομαι ὑμῖν διαθήκην, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν, ἐπήγαγε καὶ τὸν χρόνον· Ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου. Εἶδες ὁ τοῦ καιροῦ διορισμὸς πόσην ἐποίησε τὴν σαφήνειαν; οὐκέτι λοιπὸν οὐδὲ Ἰουδαῖος ἀντιλέγει. ἀναμνήσθητι τοῦ χρόνου, καὶ λάβε τὴν νομοθεσίαν· ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν. διὰ τί δὲ καὶ

Ιερ. λα. α.

Γεν. θ. θ.

τὸν τύπον λέγει τῆς ἐξόδου, ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου; ἵνα πατρικὴν δείξῃ φιλοστοργίαν. οὐχ ὡς δούλους ἐξήγαγεν, ἀλλ' ὡς παιδίον λαβὼν πατὴρ, οὕτως ἀπήλλαξεν, οὐκ ὄπισθεν βαδίζειν κελεύων, ὥσπερ οἰκέτην, ἀλλ' ὡς υἱὸν εὐγενῆ καὶ ἐλεύθερον, τῆς δεξιᾶς λαβόμενος, οὕτως ἐξήγαγεν. Εἶδες δύο διαθηκῶν ἕνα νομοθέτην; οὐκοῦν λοιπὸν ἐπειδὴ τῶν ἀγώνων ἀπηλλάγημεν, καὶ ἀπὸ τῆς καινῆς δείξω σοι τοῦτο, ἵνα ἴδῃς τὴν συμφωνίαν τῶν διαθηκῶν. εἶδες τὴν προφητείαν διὰ τῶν ῥημάτων; μάθε τὴν προφητείαν καὶ διὰ τῶν τύπων. ἢ δὲ διὰ τοῦτο πάλιν ἀσαφές ἐστι, τί ποτέ ἐστι διὰ τύπου προφητεία, καὶ τί ποτέ ἐστι διὰ λόγου προφητεία; οὐκοῦν ἐν βραχεῖ καὶ τοῦτο ποιήσω σαφές. ἡ προφητεία ἡ διὰ τοῦ τύπου, ἡ διὰ πραγμάτων ἐστὶ προφητεία· ἡ δὲ ἄλλη προφητεία, ἡ διὰ ῥημάτων ἐστὶ προφητεία. τοὺς μὲν γὰρ συνετωτέρους διὰ τῶν λόγων ἔπειθε, τοὺς δὲ ἀναισθητοτέρους καὶ διὰ τῆς τῶν πραγμάτων ὄψεως ἐπληροφόρει. ἐπειδὴ γὰρ πρᾶγμα ἔμελλεν ἐκβήσεσθαι μέγα, καὶ ὁ Θεὸς σάρκα ἔμελλεν ἀναλαμβάνειν, ἐπειδὴ ἡ γῆ οὐρανὸς ἔμελλεν ἔσεσθαι, καὶ ἡ ἡμετέρα φύσις πρὸς τὴν τῶν ἀγγέλων εὐγένειαν ἀνάγεσθαι, ἐπειδὴ ὑπερέβαινεν ἐλπίδα καὶ προσδοκίαν ὁ λόγος τῶν μελλόντων ἐκβήσεσθαι ἀγαθῶν, ἵνα μὴ τὸ καινὸν καὶ παράδοξον ἀθρόως φανὲν θορυβήσῃ τοὺς τότε ὁρῶντας καὶ ἀκούοντας, ἄνωθεν προετύπωσε διὰ πραγμάτων καὶ διὰ ῥημάτων ἐρεθίζων ἡμῶν τὴν ἀκοὴν καὶ τὴν ὄψιν, καὶ τὸ μέλλον ἐκβήσεσθαι προπαρασκευάζων. τοῦτο δὲ ἦν, ὅπερ ἐλέγομεν, τί ἐστι διὰ τύπου προφητεία, καὶ τί ἐστι διὰ λόγου προφητεία, ἡ μὲν διὰ πραγμάτων, ἡ δὲ διὰ ῥημάτων. Εἴπω σοι διὰ πράγματος προφητείαν, καὶ διὰ ῥήματος εἰς αὐτόν; Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτόν. τοῦτο διὰ ῥήματος προφητεία. ὅτε γὰρ τὸν Ἰσαὰκ ἀνενέγκει ὁ Ἀβραὰμ, τότε πρόβατον ἰδὼν ἐκκρεμάμενον ἐκ τῶν κεράτων, πρὸς τὴν θυσίαν ἤγαγεν ἔργῳ, καθάπερ ἐν τύπῳ προαναφωνῶν ἡμῖν τὸ σωτήριον πάθος. ὅπερ οὖν ἔλεγον, βούλει σοι δείξω τὰς δύο διαθήκας ταύτας διὰ τῶν ἔργων, ὥσπερ εἶδες τὸ πρόβατον ἐν τῷ ῥήματι; μάνθανε καὶ ἐν τῷ πράγματι. Λέγετέ μοι οἱ ὑπὸ νόμον θέλοντες εἶναι. καλῶς εἶπε, θέλοντες (οὐ γὰρ ἦσαν) εἰ γὰρ ἦσαν ὑπὸ νόμον, οὐκ ἂν ἦσαν ὑπὸ νόμον. τάχα αἴνιγμά ἐστι τὸ λεγόμενον. ὁ γὰρ νόμος τῷ Χριστῷ παρέπεμπε τοὺς προσέχοντας· ὁ τὸν διδάσκαλον ἀτιμάζων ἀγνοεῖ καὶ τὸν παιδαγωγόν. διό φησι, λέγετέ μοι, οἱ ὑπὸ νόμον θέλοντες εἶναι, τὸν νόμον οὐκ ἀκούετε, ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας, ἅτινά ἐστιν ἀλληγορούμενα; Εἶδες διὰ τοῦ πράγματος προφητείαν; τὸ γὰρ γυναῖκας ἔχειν, οὐ ῥῆμα, ἀλλὰ πρᾶγμα, καὶ δούλην καὶ ἐλευθέραν. ἔδειξά σοι διὰ τῶν ῥημάτων, ὅτι δύο διαθηκῶν εἷς ἐστι νομοθέτης· μάνθανε καὶ διὰ τῶν τύπων τὸ αὐτὸ τοῦτο. Ἀβραὰμ δύο γυναῖκας ἔσχεν· αὗται δέ εἰσι δύο διαθῆκαι, καὶ εἷς νομοθέτης· ὥσπερ ἐκεῖ πρόβατον, καὶ πρόβατον, τὸ μὲν ἐν ῥήματι, τὸ δὲ ἐν πράγματι (πολλὴ δὲ καὶ τῶν ἔργων καὶ τῶν λόγων ἡ συμφωνία) οὕτω καὶ ἐνταῦθα διαθῆκαι δύο· καὶ ταύτας ὁ μὲν Ἱερεμίας διὰ ῥήματος προεῖπεν, ὁ δὲ Ἀβραὰμ δι' αὐτῶν ἐτύπωσεν ἐν τῷ δύο γυναῖκας ἔχειν. ὥσπερ γὰρ εἷς ἀνήρ, καὶ δύο γυναῖκες, οὕτως εἷς νομοθέτης, καὶ δύο διαθῆκαι.

Ἠσ. νγ. ζ.

Γαλ. δ. κα.

Γαλ. δ. κϛ.

Ἀλλ', ὅπερ ἔλεγον, καὶ δι' ὃ πάντα ταῦτα κεκίνηται (οὐδὲ γὰρ χρὴ τῆς ὑποθέσεως ἐκπεσεῖν) Ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. ναί· ἀλλὰ δι' ὃ ταῦτα πάντα ἐκινήσαμεν. τίνος γὰρ ἕνεκεν αὐτοῖς παλαιὸν ἀναγινώσκει νόμον; λέγει γὰρ αὐτοῖς, Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, οὐ μοιχεύσεις. συνεῖδεν ὅτι δύσκολόν ἐστι τὸ ἐπίταγμα, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ῥᾳθυμίαν τῶν ἀκουόντων. πολλὰ γὰρ καὶ φύσει εὔκολα ὄντα, δυσκατόρθωτα γίνεται, ὅταν ῥᾳθυμῶμεν· ὥσπερ οὖν καὶ δύσκολα ὄντα, κοῦφα καὶ ῥᾷστα γίνεται σπουδαζόντων ἡμῶν. οὐ γὰρ ἐν τῇ φύσει τῶν πραγμάτων ἡ δυσκολία, ἀλλ' ἐν τῇ προαιρέσει τῶν μετιόντων. καὶ ὅτι τοῦτο ἐστιν ἀληθές,

Ματθ. ε. κη.

Ματθ. ε. κζ.

δῆλον ἐντεῦθεν. τὸ μέλι φύσιν ἔχει γλυκεῖαν καὶ ἡδίστην· ἀλλὰ τοῖς νοσοῦσι καὶ πικρόν ἐστι καὶ ἀηδές· ἀλλ' οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἀῤῥωστίαν ἐκείνων. οὕτω καὶ ὁ νόμος ἂν δοκῇ φορτικὸς εἶναι, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἡμετέραν ῥαθυμίαν. οὐ πολύς μοι πόνος δεῖξαι εὔκολον ὄντα, ἵνα κατορθωθῇ. τὸ γὰρ δύσκολον αὐτὸν ποιοῦν, τὸ ἕτερον ἦν εἰπεῖν. νῦν μὲν γὰρ λέγει, φύγε τὴν ὄψιν τῆς γυναικός, ἀπόστηθι τῆς ἀσελγείας. τὸ δὲ χαλεπόν, τὸ ἐναντίον ἦν εἰπεῖν· καταμάνθανε τὰς γυναῖκας, περιεργάζου τὰ κάλλη τὰ ἀλλότρια, καὶ οὕτω τῆς ἐπιθυμίας κράτει. τοῦτο δὲ δύσκολον ἦν. τὸ δὲ εἰπεῖν αὐτόν, φύγε τὴν κάμινον, ἀπόστηθι τοῦ πυρός, μὴ προσεγγίσῃς τῇ φλογί, ἵνα μείνῃς ἀσινής, πολλὴν ἔχει τὴν εὐκολίαν. κατὰ φύσιν γάρ ἐστι τὸ ἐπίταγμα. Ἠκούσατε, ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις, οὐ μοιχεύσεις. τίνος οὖν ἕνεκεν ἡμᾶς ὑπομιμνήσκει τοῦ παλαιοῦ νόμου, ἕτερον μέλλων εἰσάγειν; ἵνα ἀπὸ τῆς συγκρίσεως μάθῃς, ὅτι οὐκ ἔστι μάχη τούτου, κἀκείνου. ὅταν γὰρ σύγκρισις ᾖ, τότε φανερωτέρα ἡ κρίσις γίνεται. ἐπειδὴ ἔμελλον ἐγκαλεῖν τινες, ὅτι ἀντινομοθετῶν ταῦτα λέγει, ἰδού, φησιν, ἑκατέρους παρ' ἀλλήλους τίθεμαι τοὺς νόμους, δοκίμασον καὶ μάθε τὴν συμφωνίαν. οὐ τοῦτο δὲ μόνον, ἀλλ' ἵνα δείξῃ καὶ εὔκολον ὄντα, καὶ εὐχερῶς εἰσαγόμενον. διὰ τοῦτό φησιν, ἠκούσατε ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις, οὐ μοιχεύσεις. τοσοῦτον χρόνον ἐμελετήσατε τὸν παλαιὸν νόμον. ὥσπερ διδάσκαλος πρὸς παιδίον λέγων ὀκνηρὸν τοῖς πάλαι βουλόμενον ἐνδιατρίβειν ἐπὶ μαθήμασιν, ἐπὶ τὰ ὑψηλότερα ἀναγαγεῖν θέλων, λέγει, ἐννόησον πόσον χρόνον τὸ μάθημα τοῦτο κατέχεις· οὕτω καὶ ὁ Χριστὸς ἀναμιμνήσκων ὅτι πολὺν χρόνον ἐμελέτησαν καὶ κατέχον τὸν παλαιὸν νόμον, καὶ καιρὸς λοιπὸν πρὸς τὸ ὑψηλότερον ἀνελθεῖν, εἰς τὴν ποτὲ αὐτοῦ νομοθεσίαν τῶν πατέρων ἀνήγαγε, λέγων· ἠκούσατε ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις, οὐ μοιχεύσεις. ἐκεῖνο τοῖς ἀρχαίοις ἐῤῥέθη· ἐγὼ δὲ λέγω ὑμῖν. εἰ μὲν γὰρ τοῖς ἀρχαίοις ἔλεγον, εἰκότως ἤγαλλες, ὅτε ἀτελεστέρα ἡμῶν ἡ φύσις διέκειτο· ὅτε δὲ ἐπέδωκεν ἡ φύσις, ὅτε τελειοτέρα γέγονε, καὶ διδαγμάτων τελειοτέρων λοιπὸν καιρός. διὰ τοῦτο καὶ ἀρχόμενος τῆς νομοθεσίας, ἵνα μή τις τὴν ἐπίτασιν ὁρῶν τῆς φιλοσοφίας ὀκνῇ καὶ ἀναδύηται, φησίν· Ματθ. ε. κ. Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. πλείονά με ἀπαιτεῖς τὸν πόνον; διὰ τί; οὐχὶ τῆς αὐτῆς κοινωνῶ φύσεως ἐκείνοις; οὐχὶ ἄνθρωπός εἰμι, καθάπερ ἐκεῖνοι; ἵνα μὴ ταῦτα λέγωσι, τίνος ἕνεκεν μείζον ἔθηκε τὰ σκάμματα; προανεῖλε τὴν ἀντίθεσιν, εἰπὼν τὴν βασιλείαν τῶν οὐρανῶν. μείζονα, φησι, φέρω τὰ ἔπαθλα. εἰπὼν τοὺς ἀγῶνας, εἰπὼν τὴν ἐπίτασιν τῆς νομοθεσίας, ἐμνημόνευσε καὶ τῶν ἐπάθλων. οὐ γὰρ τὴν Παλαιστίνην ὑμῖν δίδωμι, φησιν, οὐδὲ τὴν γῆν ῥέουσαν γάλα καὶ μέλι, ἀλλ' αὐτὸν ὑμῖν κομίζω τὸν οὐρανόν. οὐκ ἐν τῷ μισθῷ δὲ τῶν κατορθωμάτων πλεονεκτούμενον μόνον, ἀλλὰ καὶ ἐν παραβάσει τῶν ἁμαρτημάτων μείζονα τὴν κόλασιν ὑπομένομεν. ὥσπερ γὰρ οἱ πρὸ τοῦ νόμου πραοτέραν διδόασι τιμωρίαν τῶν ἐν τῷ νόμῳ (Ρωμ. β ιβ. Ὅσοι γάρ, φησιν, ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· τουτέστιν, οὐκ ἔχουσι τὸν νόμον κατήγορον, ἀλλ' ἀπὸ τῆς φύσεως αὐτῆς οἴσω τὴν ψῆφον, φησι, μεταξὺ τῶν λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολογουμένων) οὕτω τῶν ἐν τῷ νόμῳ πταισάντων οἱ ἐπὶ τῆς χάριτος ἁμαρτάνοντες ἀφορητοτέραν ὑποστήσονται τὴν κόλασιν. καὶ τούτων τὴν διαφορὰν οὕτως ἔδειξεν ὁ Παῦλος εἰπών· Εβρ ι. κη. Ἀθετήσας τις νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει· πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας, ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας; ὁρᾷς ἐπὶ τῆς χάριτος μείζονα τὴν τιμωρίαν, ὥσπερ οὖν καὶ τὰ ἔπαθλα μείζονα; ἀλλ' ἐπειδὴ τῶν μυστηρίων ὑμᾶς ἀνέμνησα τῶν φρικωδεστάτων καὶ πνευματικῶν, παρακαλῶ καὶ δέομαι καὶ μετὰ πάσης ἀξιῶ σπουδῆς, ὥστε πᾶσαν ἁμαρτίαν

ἀποθεμένους,

ἀποθέμενοι, οὕτω προσιέναι τῇ φρικτῇ ταύτῃ τραπέζῃ. Εἰρήνην γάρ, φησι, διώκετε μετὰ πάντων καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. ὁ δὲ τὸν Κύριον οὐκ ὢν ἄξιος ἰδεῖν, οὐδὲ τῆς κοινωνίας ἄξιός ἐστι τοῦ σώματος τοῦ δεσποτικοῦ. Διὰ τοῦτό φησιν ὁ Παῦλος· Ἕκαστος δὲ δοκιμαζέτω ἑαυτόν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω. οὐκ ἀπεκάλυψε τὸ ἕλκος, οὐκ εἰς κοινὸν θέατρον ἤγαγε τὴν κατηγορίαν, οὐ περιέστησε μάρτυρας τῶν πλημμελημάτων. ἔνδον ἐν τῷ συνειδότι, μηδενὸς παρόντος, πλὴν τοῦ τὰ πάντα ὁρῶντος Θεοῦ, ποιοῦ τὴν κρίσιν, καὶ τῶν ἡμαρτημένων τὴν ἐξέτασιν· καὶ πάντα τὸν βίον ἀναλογιζόμενος, ὑπὸ τοῦ νοῦ τὸ κριτήριον ἄγε τὰ ἁμαρτήματα, διόρθου τὰ πλημμελήματα, καὶ οὕτω μετὰ καθαροῦ τοῦ συνειδότος τῆς ἱερᾶς ἅπτου τραπέζης, καὶ τῆς ἁγίας μέτεχε θυσίας. Ταῦτα ἔχοντες ἐν νῷ, καὶ τῶν περὶ ἀκολασίας ἡμῖν εἰρημένων μεμνημένοι, καὶ ὅση κεῖται ζημία τοῖς ἁπλῶς καὶ ἀκολάστως ὁρῶσι τὰς τῶν γυναικῶν ὄψεις, καὶ περὶ τῆς γεέννης τοῦ Θεοῦ τὸν φόβον καὶ τὴν ἀγάπην πρὸ ὀφθαλμῶν ἔχοντες, πανταχόθεν ἑαυτοὺς καθαίροντες, οὕτω καὶ προσίωμεν τοῖς ἱεροῖς μυστηρίοις· ἵνα μὴ εἰς κρίμα καὶ κατάκριμα, ἀλλ' εἰς σωτηρίαν ψυχῆς καὶ ὑγείαν, εἰς παρρησίαν διηνεκῆ, τῆς σωτηρίας ταύτης ἀπολαύωμεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἑβρ. ιβ. ιδ.

α. Κορ. ια. κη.

θυσίας

ΧΡΥΣΟΣΤΟΜΟΥ ΛΟΓΟΣ

ΠΑΝΥ ΩΦΕΛΙΜΟΣ ΠΕΡΙ ΠΙΣΤΕΩΣ, ΚΑΙ εἰς τὸν περὶ φύσεως νόμον, καὶ περὶ τοῦ ἁγίου πνεύματος.

τοῦ φυσικοῦ νόμου

Πᾶσα γραφὴ θεόπνευστος καὶ ὠφέλιμος, ἀρχὴν ἔχουσα καὶ πηγὴν τῆς εὐσεβείας, τὸ πνεῦμα τῆς ἀληθείας. ἀπὸ γὰρ τοῦ ἁγίου καὶ προσκυνητοῦ πνεύματος, ὥσπερ ἀπό τινος εὐθαλοῦς καὶ γονίμου πηγῆς, πάντα πηγάζει τὰ θεῖα νάματα· καὶ ὅσα ὁ νόμος διαγορεύει, ὅσα προφῆται θεσπίζουσιν, ὅσα ἀπόστολοι κηρύττουσι, πάντα ταῦτα τῷ ἁγίῳ πνεύματι ἀληθινῶς ἀπεικάζεται καὶ ἐπιγράφεται. Πάντα γὰρ ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται. Διὰ τοῦτο πάντα ἀπαστράπτει τὰ κάλλη τῆς εὐσεβείας, καὶ λάμπουσιν οἱ λόγοι τῆς ἀληθείας, καὶ βρύουσι θησαυροὶ τῆς ἐνθέου σοφίας· θησαυροὶ οὐκ ἐν γῇ κατακρυπτόμενοι, ἀλλ' ἐν τῷ βάθει τῆς εὐσεβείας θεωρούμενοι· θησαυροὶ ψυχὰς εὐφραίνοντες, ἐννοίας φωτίζοντες, τὴν οἰκουμένην ἐπιστρέφοντες, πᾶσαν τοῦ Ἀδὰμ τὴν πτωχείαν πλουτίζοντες. ὥσπερ γὰρ εἰς πολλὴν κατηνέχθη ταπείνωσιν τὸ πρωτότυπον κάλλος τῆς εὐσεβείας ἀποδυσάμενος, οὕτω διὰ τῆς σωτῆρος ἡμῶν τοῦ Θεοῦ λόγου συγκαταβάσεως ἐπλουτίσθη. καὶ μαρτυρεῖ Παῦλος ὧδέ πη λέγων· Εὐχαριστῶ τῷ Θεῷ, ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ, ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει. ὁ γὰρ Θεοῦ λόγον δεχόμενος πλουτεῖ, ὁ δὲ μὴ δεχόμενος Θεοῦ λόγον πτωχεύει. καὶ μαρτυρεῖ Ἱερεμίας λέγων· Καὶ εἶπον, ἴσως πτωχοί εἰσι· διὰ τοῦτο οὐ δύνανται ἀκούειν λόγον Κυρίου. ἀλλ' ὁ μὲν πτωχεύων ὀνειδίζεται, ὁ δὲ πλουτῶν ἀγάλλεται, ὁ πλουτῶν τῷ λόγῳ τῆς ἀληθείας, ὁ κομῶν ταῖς ἀρεταῖς τῆς ἐγκάρπου φιλοσοφίας, οἷος ἦν ὁ Δαβὶδ λέγων· Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ· ἐλαία κατάκαρπος, οὐ φύλλοις κομῶσα, ἀλλὰ καρποῖς εὐσεβείας βρίθουσα. ἔστι γὰρ ψυχὴ πολλάκις κομῶσα μὲν τοῖς

ἀληθ.

εὐσεβ.

α. Κορ. α. δ.

Ἱερ. ε. δ.

Ψαλ. να. η.

κλάδοις καὶ τοῖς φύλλοις, καρπὸν δὲ μὴ φέρουσα, ὡς Ἱερεμίας ἔλεγε περὶ τοῦ Ἰσραήλ· Ὡσ. ι. α. Ἄμπελος εὐκληματοῦσα ὁ Ἰσραήλ· εὐκληματοῦσα, οὐκ εὐκαρποῦσα. ἀλλ' ἐκείνη μὲν τοιαύτη· ὁ δὲ προφήτης ἀγάλλεται λέγων· Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος, οὐκ ἐν τοῖς ἔξω κομῶσα, ἀλλὰ τοῖς ἔσω βρύουσα, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐλαία κατάκαρπος. οὐδὲ γάρ ἐστι καλὸν τὸ ἔξω τοῦ οἴκου τοῦ Θεοῦ πολιτεύεσθαι. εὑρήσεις γοῦν πολλοὺς καὶ ἐκτὸς τοῦ λόγου τῆς ἀληθείας ἔργοις ἀγαθοῖς κατὰ τὸ φαινόμενον διαλάμποντας· εὑρήσεις ἄνδρας συμπαθεῖς, ἐλεήμονας, δικαιοσύνῃ προσέχοντας· ἀλλ' οὐδεὶς καρπὸς τοῖς ἔργοις, ἐπειδὴ ἠγνόησαν τὸ ἔργον τῆς ἀληθείας. καλὰ μὲν γὰρ καὶ τὰ ἔργα· ἀλλὰ δεῖ προηγεῖσθαι τὸ ἔργον τὸ ἀνώτατον. Ἰωαν. ϛ. κη. καὶ γὰρ Ἰουδαίων ποτὲ λεγόντων πρὸς τὸν Κύριον, Τί ποιήσομεν, ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ Θεοῦ; ἀπεκρίνατο πρὸς αὐτούς· τοῦτό ἐστι τὸ ἔργον τοῦ Θεοῦ, ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος. ὅρα πῶς τὴν πίστιν ἔργον ἐκάλεσεν. οὐκοῦν ἅμα ἐπίστευσας, ἅμα καὶ τοῖς ἔργοις ἐκόμησας· οὐχ ὅτι δὲ ἐλλείπῃ πρὸς τὰ ἔργα, ἀλλ' ὅτι καθ' ἑαυτὴν πίστις πλήρης ἐστὶν ἀγαθῶν ἔργων. τὰ μὲν γὰρ ἔργα εἰς ἀνθρώπους καὶ ἐξ ἀνθρώπων, ἡ δὲ πίστις ἐξ ἀνθρώπων πρὸς Θεόν. ἡ πίστις τὸν ἐπιστρεφόμενον πολίτην οὐρανῶν ἀποδείκνυσιν, ἡ πίστις τὸν ἀπὸ γῆς ἄνθρωπον Θεοῦ συνόμιλον ἀπεργάζεται. οὐδέν ἐστιν ἔξω πίστεως ἀγαθόν. ἐοίκασι δέ μοι, ἀδελφοί, ἵνα εἰκόνι τινὶ χρήσωμαι τοῦ λόγου, ἐοίκασιν οἱ ἔργοις κομῶντες ἀγαθοῖς, καὶ τὸν Θεὸν τῆς εὐσεβείας ἀγνοήσαντες, λειψάνοις νεκρῶν, καλὰ μὲν ἐνδεδυμένοις, αἴσθησιν δὲ τῶν καλῶν οὐκ ἔχουσι. τί γὰρ ὄφελος ψυχῆς νεκρᾶς τῷ μὲν Θεῷ λόγῳ νενεκρωμένης, τοῖς δὲ ἀγαθοῖς ἔργοις περιβεβλημένης; τὰ ἔργα ἐπ' ἐλπίδι γίνεται ἀμοιβῆς καὶ στεφάνων. εἰ δὲ τὸν ἀγωνοθέτην ἀγνοεῖς, παρὰ τίνος ἀθλεῖς; οὐ δεῖ μὲν τὴν πίστιν γυμνὴν εἶναι τῶν ἔργων, ἵνα μὴ ὑβρίζηται, πλὴν ἀνωτέρα τῶν ἔργων ἡ πίστις. ὥσπερ γὰρ ἐν τῇ μὲν τοῖς ἀνθρώποις ἔδει πρῶτον προηγεῖσθαι τὸ ζῆν, καὶ οὕτω τὸ τρέφεσθαι (τὸ γὰρ συνέχον τὴν ζωὴν ἡμῶν ἐστιν ἡ τροφή) οὕτω δεῖ προηγεῖσθαι ἡμῶν τῆς ζωῆς τὴν εἰς Χριστὸν ἐλπίδα, τρέφεσθαι δὲ καὶ τοῖς ἔργοις τοῖς ἀγαθοῖς. τὸν μὴ τρεφόμενον ἐγχωρεῖ ζῆν πολλάκις, τὸν δὲ μὴ ζῶντα οὐκ ἐγχωρεῖ τρέφεσθαι. ἐνήστευσε Μωϋσῆς ἡμέρας τεσσαράκοντα· ἀλλ' ἐπειδὴ εἶχεν ἐν ἑαυτῷ τὸν ζῶντα λόγον, οὐδὲν αὐτὸν ἐζημίωσεν ἡ τῶν γηΐνων ἔνδεια. οὕτω καὶ ἐπὶ τῆς κατὰ τὴν ψυχὴν καταστάσεως· δεῖ μὲν τοῖς ἔργοις τρέφεσθαι, δεῖ δὲ πρὸ τῶν ἔργων τὴν πίστιν ἐνδύεσθαι. ἄνευ πίστεως τὸν ἐργαζόμενον ἔργα δικαιοσύνης οὐ δύνῃ παραστῆσαι ζήσαντα, ἄνευ δὲ ἔργων τὸν πιστὸν δύναμαι δεῖξαι καὶ ζήσαντα καὶ βασιλείας ἀξιωθέντα. οὐδεὶς ἄνευ πίστεως ἔζησεν, ὁ δὲ λῃστὴς πιστεύσας μόνον ἐδικαιώθη. καὶ μή μοι λέγε, οὐκ ἔσχε καιρὸν πολιτεύεσθαι· οὐδὲ γὰρ ἐγὼ τοῦτο φιλονεικῶ, ἀλλ' ἐκεῖνο παρέστησα, ὅτι ἡ πίστις καθ' ἑαυτὴν ἔσωσεν. εἰ γὰρ ἐπέζησε τῇ πίστει, καὶ ἔργων ἠμέλησεν, ἐξέπιπτε τῆς σωτηρίας. τὸ δὲ σκοπούμενον νῦν καὶ ζητούμενον, ὅτι καὶ ἡ πίστις καθ' ἑαυτὴν ἔσωσεν, ἔργα δὲ καθ' ἑαυτὰ οὐδαμοῦ τοὺς ἐργάτας ἐδικαίωσε. καὶ θέλεις ἰδεῖν ἀκριβῶς, ὅτι ἔργα ἄνευ πίστεως οὐ ζωοποιεῖ; μεμαρτύρητο Κορνήλιος ἐπὶ ἐλεημοσύναις καὶ προσευχαῖς, ἀλλὰ Χριστὸν ἠγνόει, Θεῷ μὲν πιστεύων, τὸν δὲ τοῦ Πραξ. ι. Θεοῦ λόγον οὐδέπω μεμαθηκώς. καὶ ἐπειδὴ ἔργα ἦν αὐτοῦ καλὰ καὶ θαυμαστὰ, ἤρεσκε μὲν τῷ τῶν ἀγαθῶν βραβευτῇ καὶ ἐραστῇ Θεῷ. ἀλλ' ἐπειδὴ εἶδεν ὁ τῆς δικαιοσύνης καὶ τῆς ἀληθείας μέγας ὀφθαλμὸς, ὁ ἀπροσωπόληπτος καὶ δίκαιος κριτὴς, ὅτι καλὰ μὲν τὰ ἔργα, νεκρὰ δέ ἐστιν οὐκ ἔχοντα πίστιν, ἀποστέλλει ἄγγελον θεῖον βραβεύοντα τοῖς ἔργοις, ὥστε τὸν καλῶς ἀθλοῦντα Πραξ. ι δ. στεφανῶσαι τῇ πίστει, ὅς φησι πρὸς αὐτόν· Κορνήλιε, αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ. εἰ τοίνυν εἰσηκούσθη ἡ δέησις, φησὶ, καὶ αἱ ἐλεημοσύναι ἐδέχθησαν, τί μοι τὸ λοιπὸν εἰς δικαιοσύνην; Πέμψον οὖν εἰς Ἰόππην, φησὶ, καὶ μετακάλεσαι Σίμωνα τὸν ἐπικαλούμενον Πέτρον, ὃς ἐλθὼν λαλήσει σοι ῥήματα ἐν οἷς σωθήσῃ σὺ καὶ ὅλος ὁ οἶκός σου. οὐκοῦν οὐκ εἶχε τὰ ἔργα σωτηρίαν. εἰ γὰρ ἐξ ὧν κηρύττει Πέτρος, σώζεται καὶ αὐτὸς καὶ ὁ οἶκος αὐτοῦ, οὐκ εἶχεν οὐδέπω ὁ Κορνήλιος ἐκ τῶν ἔργων τὴν σωτηρίαν, ἕως αὐτοῦ τοῖς ἔργοις ἐπεβάλλετο ἡ πίστις. διὰ τοῦτο καὶ Πέτρος, ὁ μακάριος καὶ τίμιος Χριστοῦ ἀπόστολος, ἐλθὼν ἐκ τῆς Ἰόππης, καὶ θεασάμενος τοῦ Θεοῦ τὴν χάριν ἐκχυθεῖσαν ἐν τοῖς τότε νενομισμένοις ἀλλοφύλοις, ἐπιγνώμων γενόμενος τῆς τοῦ Θεοῦ κρίσεως, λέγει· Ἐπ' ἀληθείας καταλαμβάνομαι, ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεός· ἀλλ' ἐν παντὶ ἔθνει ὁ ποιῶν δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστιν.

Πραξ. ι. λδ.

οὐκ εἶπεν, ἐν παντὶ ἔθνει ὁ ποιῶν δικαιοσύνην σώζεται, ἀλλά, δεκτός ἐστι. τουτέστιν, ἄξιος γέγονε τοῦ διασωθῆναι. δεῖ τοίνυν προλάμπειν τῶν ἔργων τὴν πίστιν, καὶ ἀκολουθεῖν τῇ πίστει τὰ ἔργα. καὶ μήτις τὴν πίστιν ὑβριζέτω δι' ἀκαρπίαν, μήτε τὰ ἔργα ὑβριζέτω τῇ ἀπιστίᾳ. γενοῦ ἐλαία κατάκαρπος, ἀλλ' ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. τὸ μὲν γὰρ ἐλαίαν εἶναι κατάκαρπον, ἑρμηνεύει κατὰ τὰ ἔργα· τὸ δὲ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, τὴν πίστιν δείκνυσι. τίνα δὲ τὰ ἔργα τοῦ Θεοῦ; ἅπαντες ἴσμεν, ἐὰν ἐργάζεσθαι θέλωμεν. οὐδὲν γάρ ἐστι κρυπτόν. τὰ μὲν γὰρ τῶν δογμάτων ἀμφιβάλλεται, τὰ δὲ τῶν ἔργων οὐ κέκρυπται. ἡ γὰρ φύσις παραγγέλλει τοὺς νόμους. οἴδαμεν ἐξ ἑαυτῶν τί καλὸν καὶ τί πονηρόν. ἔθηκεν ὁ Θεὸς νόμον ἐν τῇ φύσει ἄγραφον, τὸν φωτίζοντα ἡμῶν τὰς διανοίας. μηδεὶς λεγέτω, οὐκ ἀνέγνων νόμον, οὐκ οἶδα τὰ τοῦ νόμου. ἐὰν γὰρ ἀρνήσῃ τὸν κοινὸν νόμον, ἐλέγχει σε ὁ τῆς φύσεως νόμος. θέλεις μαθεῖν, ὅτι ἐν τῇ φύσει ἔπηξεν ὁ Θεὸς τοὺς νόμους τοὺς διακρίνοντας τί καλὸν καὶ τί πονηρόν; αὐτὴν ἡμῶν τὴν ἀναστροφὴν ἐρωτήσωμεν, πῶς ἅπαντες τοὺς ποιοῦντας τὰ καλὰ φθέγγουσι τὴν καλὴν τὴν προσηγορίαν. καὶ ὅπως, ἄκουε. ὁ μοιχὸς μοιχεύει· μοιχὸς δὲ ἀκούων, αἰσχύνεται. εἰπὲ τῷ ὁμολογουμένῳ μοιχῷ, μοιχέ· καὶ ὃ ποιῶν ἥδεται, ἀκούων αἰσχύνεται. καίτοι εἰ καλὸν ἡγῇ τὴν ἁμαρτίαν, τί φεύγεις τὴν προσηγορίαν; εἰπὲ τῷ ἐπιόρκῳ, ἐπίορκε· καὶ εἰς ὕβριν λαμβάνει τὴν προσηγορίαν τῶν ἰδίων ἔργων. οὕτως αὐτὴ ἡ φύσις κράζει, ὅτι τὰ φαῦλα ἀλλότρια τοῦ ἔργου τοῦ Θεοῦ, καὶ ὃ ἐποίησεν ὁ Θεός, καλόν, καὶ καλὸν λίαν, καὶ οὕτω καλόν, ὅτι καὶ τοῖς κακοῖς ἐμφύρεται, καὶ τὴν κακίαν αἰσχύνεται. εἰπὲ τῷ σώφρονι, σῶφρον· καὶ ὃ τῷ ἔργῳ ἥδεται, οὐδὲ τὴν προσηγορίαν αἰσχύνεται. κάλεσον τὸν δίκαιον, δίκαιον· καὶ τῷ ἔργῳ στεφανοῦται, καὶ τῇ προσηγορίᾳ σεμνύνεται. κἂν γὰρ δι' εὐλάβειαν παραιτήσηται τὸ ὄνομα, ἀλλ' ἐν τῇ ψυχῇ δέχεται τὴν εὐφημίαν. ἐννόησον ὅση κακία ἐν κόσμῳ πολιτεύεται, καὶ πρόσωπον οὐκ ἔχει. καὶ πῶς οὐκ ἔχει πρόσωπον; ἐὰν λεπτομερῶς ἐρευνήσῃς, οὐδεμίαν εὑρήσεις κακίαν ἐξ οἰκείου προσώπου φανερουμένην· ἀλλ' ἐὰν μὴ δανείσηται πρόσωπον ἀρετῆς, οὐ φαίνεται. καὶ ὅπως, ἄκουε. ὁ ψευδόμενος, οὐχ ὁμολογῶν τὸ ψεῦδος, ψεύδεται, ἀλλ' ἀλήθειαν ὑποκρινόμενος, ἀπατᾷ· ὁ ἄδικος οὐ κηρύττει, ὅ ἐστιν, ἀλλὰ σχηματίζεται, ὃ μή ἐστι, καὶ τότε τὴν ἀδικίαν ἐργάζεται. ὁμοίως ὁ δόλιος οὐ δείκνυσι τὸν δόλον, ἀλλὰ σχηματίζεται τὴν φιλίαν, καὶ πραγματεύεται τὴν πονηρίαν· ὁ μοιχὸς οὐχ ὁμολογήσας τὴν ἄθεσμον μοιχείαν, ἐπιπηδᾷ τῷ οἴκῳ, ἀλλὰ πλάσμα σωφροσύνης ἐνδυόμενος, εἰς τὸ σῶμα ἐνυβρίζει τὰ θεῖα. ὁρᾷς ὅτι οἰκεῖον οὐκ ἔχει πρόσωπον ἡ κακία; ὁμοίως καὶ ὁ συκοφάντης, ὅταν εἰσέλθῃ εἰς δικαστήριον, οὐ τοῦτο ὁμολογήσας, ὅπερ ἐστίν, εἰσέρχεται· ἀλλὰ μάρτυρα ἀληθείας προστησάμενος τῷ σχήματι, διὰ τοῦ ψεύδους τὸν μάρτυρα τῆς κακίας ἐνδείκνυται. οὕτω κακία πρόσωπον ἴδιον οὐκ ἔχει, ἐὰν μὴ δανείσηται πρόσωπον ἀρετῆς. διὰ τοῦτο ὁ σωτὴρ ἔλεγεν, Ἐλεύσονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες.

Ματθ. ζ. ιε.

ἀλλ' εἰς τὸ προκείμενον ἐπανέλθωμεν. θέλεις ἰδεῖν, ἀδελφέ, ὅσον δύναται ἔμφυτος νόμος; ἐὰν ἡ ψυχὴ ἡ ἡμετέρα, κἂν ἐν κακίαις ἐμφύρηται, τὸ ὄνομα τὸ ἀγαθὸν ἀσπάζεται. πολλοὶ πολλάκις δυνάσται πλεονεξίαν πνέοντες, καὶ μηδὲν ἕτερον ἐννοοῦντες, ἢ ἁρπαγὴν καὶ ἀδικίαν, δυσωποῦνται παρά τινων ἢ ἀνιέναι τῷ πένητι τὴν ἐπικειμένην ἀνάγκην, ἢ συγχωρῆσαί τι τοῦ χρέους, ἢ μὴ ἀμύνασθαι τοὺς λυπήσαντας, ἢ λυπῆσαι νομισθέντας. καὶ ὁ ἐλθὼν καλῶς πρεσβεῦσαι παρὰ ἀνδρὶ

δυνάστῃ καὶ πονηρῷ, οὐκ εὐθέως ἀπὸ τῆς ἀληθείας ἄρχεται· οὐ λέγει αὐτῷ, ὅ ἐστι, ἀλλὰ
περιτίθησιν αὐτῷ ὄνομα ἀρετῆς. ἢ οὐκ οἶδας, πῶς ἀεὶ χρηματίζονται οἱ κόλακες προσ-
βεύοντες; κύριε, φησὶν, ἀγαθὸς, διαβεβόηταί σου τὸ ὄνομα, πάντες σε τῆς εὐεργεσίας
ᾄδουσι, καὶ πολλὰ τοιαῦτα συνάπτει τῇ προσκλήσει, ἵνα καμφθῇ τῇ εὐφημίᾳ, καὶ φύγῃ τὴν
πονηρίαν. ὁρᾷς πῶς ἡ κακία κέχρηται ταῖς εὐφημίαις τῆς ἀρετῆς. οὐδεὶς κακὸς κακὸς ἀκούειν βού-
λεται. ἡ γὰρ φύσις τὸ ἴδιον ἀσπάζεται, εἰ καὶ ἡ προαίρεσις τὸ ἐναντίον αἱρεῖται. γενώμεθα
οὖν, ἀγαπητοὶ, ἐλαία κατάκαρπος, καὶ ἔργοις καὶ καρποῖς καὶ φύλλοις κομῶντες. φύλλα ἡμῶν
οἱ λόγοι, καρποὶ ἡ πολιτεία. γενέσθω οὖν καὶ ὁ λόγος σεμνὸς, καὶ ἡ πολιτεία ἔγκαρπος. πα-
ρὰ γὰρ τῷ εὐσεβεῖ οὐδὲ τὸ φύλλον ἀπόβλητον. Τὸ γὰρ φύλλον αὐτοῦ, φησὶν ὁ Δαβὶδ, οὐκ ἀποῤ- Ψαλ. α. γ. γ. γίνεται
ῥυήσεται, καὶ πάντα, ὅσα ἂν ποιῇ, κατευοδωθήσεται. ἀλλ' ὢ τοῦ θαύματος. ἐννόησαι πῶς 10 γ. ἐννόησ
ὁ Ἀδὰμ γυμνὸς ἐξῆλθε τοῦ παραδείσου, καὶ πῶς Δαβὶδ κομᾷ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. ὁ μὲν
ἐξῆλθε γυμνὸς διὰ τὴν παράβασιν, ὁ δὲ ἐνδυσάμενος ἀρετὰς βοᾷ, Ἐγὼ δὲ ὡσεὶ ἐλαία Ψαλ. να. ι.
κατάκαρπος. οὐδὲν ἡμᾶς οὕτως ἀποδύει, ὡς ἀκαρπία· καὶ οὐδὲν ἡμᾶς οὕτως ἐνδύει, γ. ἀρετὴν
ὡς καρποφορία δι' ἔργων χρηστῶν. ὁ Ἀδὰμ ἐπλάσθη (δεῖ γὰρ καὶ νῦν ἐπαναλαβεῖν τὰ εἰρη- γ. σεσημ
μένα, ἐπειδήπερ ἡ τῶν ἀγαθῶν ἐπανάληψις βεβαιοῖ ταῖς ψυχαῖς τὴν διδασκαλίαν. ὥ- 15 μένα
σπερ γὰρ τὰ βαπτόμενα ἔρια συνεχῶς ταῖς βαφαῖς ἐμβάλλεται, ἵνα εἰς βάθος διαδῷ τὴν
οἰκείαν ἐνέργειαν ἡ βαφή· οὕτω δεῖ καὶ τὰς ἡμετέρας ψυχὰς συνεχῶς τοῖς θείοις λόγοις ἐμ-
βάλλεσθαι, ἵνα ἀποπλυθῇ μὲν τὸ ἀρχαῖον ὄνειδος, ἐνδυσώμεθα δὲ τὸ νέον κάλλος. καὶ γὰρ ἐ-
κεῖνα τὰ ἔρια, ἐπειδὰν δέξηται τὴν βαφὴν, ἀποτίθεται τῆς φύσεως τὸ ὄνομα, καὶ δέχεται τῆς βα-
φῆς τὴν προσηγορίαν· καὶ οὐκ ἔτι καλεῖς ἐρέαν, ἀλλὰ πορφύραν ἢ κόκκινον ἢ πράσινον 20
ἤ τι τοιοῦτον, οἷον ἡ βαφὴ παρέσχε τῷ βαφέντι τὸ κάλλος. εἰ οὖν ἡ βαφὴ μεταβάλλει φύ-
σεως ὄνομα, Θεοῦ φύσις οὐ μεταβάλλει τὸν ἄνθρωπον, ὥστε τὸν αὐτὸν πρὸ μὲν τῆς βαφῆς
εἶναι εἰκόνα χοϊκὴν, μετὰ δὲ τὴν βαφὴν εἰκόνα λαμπρὰν ἐπουράνιον;) ἐπλάσθη τοίνυν ὁ
Ἀδὰμ πηλωτὸς ἀπὸ γῆς. Χοῦν γὰρ λαβὼν ὁ Θεὸς ἔπλασεν αὐτόν. ἀλλ' οὐκ εἶδεν ὁ Ἀδὰμ
πῶς ἐπλάσθη, ὡς ἔφθην εἰπών. οὐ γὰρ ἐχρῆν αὐτὸν μάρτυρα παρεῖναι τῶν γινομένων, ἵνα 25
μὴ ἐπαίρηται κατὰ τοῦ Θεοῦ. εἰ γὰρ τοσαύτῃ ταπεινώσει περιβεβλημένος ἐπαίρεται, καὶ ἀγνοεῖ
τὸν κτίσαντα, καὶ ἀθετεῖ τὸν πλάσαντα, εἰ ἔλαβε τὸ ὑπὲρ τὴν φύσιν, τίς ἂν ἐχώρησεν αὐτοῦ
τῆς ὑπερηφανίας τὴν ἀμετρίαν; διὰ τοῦτο ὁ Θεὸς πλάσας τὸν ἄνθρωπον, καὶ δυνάμεις
μεγάλας ἐνέθηκε τῷ πλάσματι καὶ ταπεινώσεις πολλὰς, ἵνα διὰ μὲν τῆς ἐγκειμένης δυνά-
μεως ἡ χάρις τοῦ τεχνίτου θαυμάζηται, διὰ δὲ τῆς ταπεινώσεως τὸ φρόνημα τὸ ἀνθρώπινον 30
καταστέλληται. ἔδωκεν αὐτῷ γλῶτταν φθεγγομένην, Θεὸν ὑμνοῦσαν, τὰ θεῖα ᾄδουσαν, ἑρ-
μηνεύουσαν τὰ κάλλη τῆς κτίσεως. διαλέγεται περὶ οὐρανοῦ καὶ γῆς, μικρὸν σαρκίον, ἡ γλῶσ-
σα, οὐδὲ δύο δακτύλων ἔχουσα μέτρον. καὶ τί λέγω δακτύλων; οὐδὲ ἄκρον ὄνυχος. ἀλλὰ
τὸ ἄκρον ἐκεῖνο τὸ μικρὸν καὶ εὐτελὲς φθέγγεται περὶ οὐρανοῦ καὶ γῆς. καὶ ἵνα μὴ νομίσῃ ὅτι με-
γάλη τίς ἐστι, καὶ ὑπὲρ τὴν ἑαυτῆς φύσιν ἐπαίρηται, πολλάκις καὶ φύματα καὶ τραύματα αὐτῇ πε- 35
ριπλέκεται, ἵνα μάθῃ ὅτι θνητὴ οὖσα περὶ τῶν ἀϊδίων καὶ ἀθανάτων λαλεῖ, καὶ ὀφείλει
γνωρίζειν τίς μὲν ἡ τοῦ κηρυττομένου δύναμις, καὶ τίς ἡ ἀσθένεια τοῦ κηρύττοντος. ἔδωκεν
αὐτῷ ὀφθαλμὸν, τὴν μικρὰν ἐκείνην κέγχρον. τὸ μέσον γάρ ἐστι τὸ βλέπον, τῆς κό-
ρης τὸ μεσαίτατον. καὶ ὅμως διὰ τῆς μικρᾶς ἐκείνης κέγχρου καθορᾷ πᾶσαν τὴν κτίσιν. καὶ
ἵνα μὴ περιλαμβάνων τῇ ὄψει πᾶσαν τὴν κτίσιν ἐπαίρηται, πολλάκις καὶ ὀφθαλμίαι καὶ λῆ- 40
μαι καὶ δάκρυα καὶ ὅσα θολοῖ τὴν ὄψιν ἐπιγίνεται, ἵνα ἀπὸ μὲν τῆς ἀσθενείας ἑαυτὸν γνωρί-
σῃ, ἀπὸ δὲ τῆς δημιουργίας τὸν τεχνίτην ἐκθειάσῃ. ἔδωκεν αὐτῷ καρδίαν λογιζομένην, ῥί-
ζαν ἐνθυμημάτων, πηγὴν λογισμῶν. ἀλλ' ἐν αὐτοῖς τοῖς τόποις ἐποίησε καὶ τὴν τῶν ἐντέ-
ρων διάπλασιν, ἅπινα καὶ κόπρου καὶ πάσης ἄλλης ἀηδίας πληροῦται, δι' ὧν ὁ ἄνθρωπος ἐ-

διὰ, ἵνα, ὅταν ἐπαίρηται ἡ καρδία, καταστέλλῃ αὐτὴν ἡ γαστήρ. ὥστε καὶ ἡ γαστὴρ καὶ ἡ κόπρος ἀναγκαῖα πρὸς τὴν ἀσφάλειαν. εἰ γὰρ κόπρον περιφέρων ἄνθρωπος πτῶμα, θρασύνεται, καὶ οὐχ ἁπλῶς θρασύνεται, ἀλλὰ καὶ κατὰ τοῦ Θεοῦ, ὡς ἐτόλμησέ τις βάρβαρος βασιλεὺς εἰπεῖν, Ἐπάνω τῶν ἄστρων θήσω τὸν θρόνον μου, καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ. εἰ τοσαύτην κόπρον καὶ ἀηδίαν περιφέρων οὕτω λέγει, εἰ ταύτης παντελῶς ἀπηλλάγη τῆς ἀσθενείας καὶ εὐτελείας, τίς ἂν αὐτὸν τὸν ἐλέγχειν ἐπιτηδευόμενον; διὰ τοῦτο ὁ μέγας Ἡσαΐας, περὶ τῶν ὑπερηφάνων φησί· Τί ἀλαζονεύεται γῆ καὶ σποδός; ἀλλὰ πολλάκις δὲ παρεισιόντες ἐπιλανθάνονται· ὁ Θεὸς ἔκτισε τὸν ἄνθρωπον ἀπὸ χοός· ἀλλ᾽ οὐκ εἶδεν ὁ ἄνθρωπος, ὅπως ἐγένετο. διὰ τοῦτο καὶ ἠφάνισεν αὐτοῦ τὴν εὐτέλειαν. ὁ Θεὸς γάρ, ὡς ἔφθην εἰπών, οὐ παρεσκευασμένης ἐποίησε τὴν ἀρχὴν τοῦ σώματος, ἵνα μὴ βλέπῃ τὴν δημιουργίαν. πλὴν, ἐπειδὴ τοῦ ὅλως οὐκ οἶδεν ἐξ οἵας ταπεινώσεως ἀνέστη, καὶ ὅτι αὐτὸν ὁ δημιουργὸς ἀπὸ γῆς ἔπλασεν, ἀποστρέφει αὐτὸν εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθη· ἵνα πάλιν τῆς ἑαυτοῦ ἀσθενείας ὑπομνησθείς, ἐπιγνῷ καὶ τὴν ἀρχαίαν εὐεργεσίαν, καὶ τὴν μέλλουσαν φιλανθρωπίαν. ὅτι μὲν γὰρ ἐπλάσθη, οὐκ εἶδεν ὅτι ἀπὸ γῆς ἐγένετο. πρόσεχε ἀκριβῶς, μὴ παραδράμῃς τὸ νόημα. ὅτε ἐπλάττετο ὁ Ἀδάμ, οὐκ εἶδεν ὅτι ἀπὸ γῆς ἀνέστη· ὅτε μὲν τοι ἐγείρεται ἐν τῇ ἀναστάσει, οἶδεν ὅτι χοῦν ἀποδυσάμενος ἐγείρεται. εἰ γὰρ καὶ ἑαυτὸν οὐ βλέπει ὁ νεκρός, ἀλλὰ τὸν πλησίον ἑαυτοῦ ὁρᾷ. βλέπομεν ἡμεῖς τοὺς τεθνηκότας καὶ εἰς χοῦν ἀναλυθέντας, καὶ δι᾽ ὧν ὁρῶμεν παιδευόμεθα. οὐκ εἶδες πολλάκις θρασεῖς ἄνδρας καὶ ὑπερηφάνους, πῶς ταπεινοὶ καὶ κατεσταλμένοι εἰσὶν ἐν τοῖς θανάτοις; ἀπαγγέλλεται θάνατος, καὶ πάντων ἡ καρδία συντρίβεται, πάντων ἀποπίπτει τὸ φρόνημα· καὶ φιλοσοφοῦμεν περὶ τὰ μνήματα. ὅταν ἴδωμεν ὀστέα γυμνά, καὶ τὴν ἀνθρωπίνην φύσιν διαβεβρωμένην καὶ διαλελυμένην κατανοήσωμεν, εὐθέως πρὸς ἀλλήλους φιλοσοφοῦμεν, ἴδε τί γινόμεθα; καὶ ποῦ ἀπερχόμεθα; καὶ φλυαροῦμεν. ἐξερχόμεθα τῶν τάφων, καὶ ἐπιλανθανόμεθα τῆς ταπεινώσεως. ἐν τῷ τάφῳ πρὸς τὸν πλησίον ἕκαστος ὧδέ πη φθέγγεται· ὢ τῆς ταλαιπωρίας, ὢ τῆς οἰκτρᾶς ἡμῶν ζωῆς. ὅρα τί γινόμεθα. καὶ ταῦτα οἰμώζοντες φθεγγόμεθα, καὶ ἁρπάζομέν τι καὶ βοῶμεν, καὶ μικρὸν κακουργοῦμεν. καὶ ἕκαστος ἁπλῶς οὕτω φιλοσοφεῖ, ὡς μέλλων πάντως τῇ κακίᾳ ἀποτάττεσθαι, καὶ ἔσω μὲν λόγοις φιλοσοφεῖ, ἔξω δὲ τοῖς ἔργοις θεομαχεῖ. διὰ τοῦτο ὁ Θεὸς πανταχοῦ πηγνύναι τὰ μνήματα παρεσκεύασε, τὰ ὑπομιμνήσκοντα ἡμᾶς τὴν ἑαυτῶν ἀσθένειαν. διὸ πᾶσα πόλις, πᾶσα κώμη πρὸ τῶν εἰσόδων τάφους ἔχει. ἐπείγεταί τις εἰσελθεῖν εἰς πόλιν βασιλεύουσαν, καὶ κομῶσαν πλούτῳ καὶ δυναστείᾳ καὶ τοῖς ἄλλοις ἀξιώμασι· καὶ πρὶν ἴδῃ ὃ φαντάζεται, βλέπει πρὸ τούτου ὃ γίνεται. τάφοι πρὸ τῶν πυλῶν, τάφοι περὶ τῶν ἀγρῶν. πανταχοῦ δὲ διδασκάλιον τῆς ταπεινώσεως ἡμῖν πρόκειται, καὶ παιδευόμεθα πρὸ τούτου εἰς ἣν καταλήγομεν, καὶ τότε ὁρᾶν τὰ ἔσω φαντάσματα. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ μέλλοντες εἰσέρχεσθαι πολλάκις εἰς βίου κοινωνίαν, τῆς φύσεως τὴν ἀκριβῆ παιδευόμεθα ταπείνωσιν. ἀνὴρ πολλάκις, ἐπειδὰν μέλλῃ γυναῖκα λαβεῖν, ὑπαγορεύει τῷ νομογράφῳ τὰ προικῷα. οὐδέπω συνάφεια, καὶ θάνατος εὐθὺς ἀναγράφεται. οὐδέπω τῆς συμβιώσεως ἀπήλαυσε καὶ τοῦ γάμου, καὶ τὸν θάνατον εὐθέως ὁρίζεται. οὐδέπω εἶδε τὴν γαμετήν, καὶ θανάτου ψήφους καθ᾽ ἑαυτοῦ καὶ κατ᾽ ἐκείνης προϋποτίθεται, καὶ γράφει τοιαῦτα· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ πρὸ τῆς γυναικός, ἐὰν ἡ γυνὴ πρὸ τοῦ ἀνδρός, τὸ καὶ τὸ διατυποῦται. οὕτως ἔπηξαν οἱ ἀρχαῖοι νόμοι πανταχοῦ τοῖς πᾶσι τῆς φύσεως τὰ ὑπομνήματα. καὶ οὐ μόνον περὶ τῶν ὄντων καὶ ζώντων αἱ τοῦ θανάτου τίθενται ψῆφοι, ἀλλὰ καὶ κατὰ τῶν οὐδέπω γεγονότων. τί γάρ φησιν; ἐὰν δὲ τὸ τεχθησόμενον παιδίον ἀποθάνῃ. οὔπω ὁ καρπός, καὶ ἡ ἀπόφασις ἔδραμεν. εἶτα ἐν μὲν τοῖς γραμματείοις ἐπιγινώσκει τὴν φύσιν· ἐὰν δέ τι τῶν κατ᾽ ἄνθρωπον πάθῃ, ἢ δὲ γυνὴ ἀποθάνῃ, ἐπιλανθάνεται ὧν ἔγραψε, καὶ ἑτέρας τραγῳδίας προσφέρει ῥήματα. καὶ ταῦτα, φησιν, ἔδει με παθεῖν; τοῦτο ἐμοὶ περιέστι δέδοικα πάσχειν, καὶ ἀποστερεῖσθαι τῆς συζυγίας; τί οὖν; ἐπιλάθου ὧν ἔγραψας; καὶ ὅτι μὴ ἔξω τῆς τῶν πραγμάτων, ἐπεγίνωσκες τοὺς ὅρους τῆς φύσεως; ὅτι δὲ περιέπεσας τοῖς πάθεσιν, ἐπιλάθου τὸν νόμον τῆς φύσεως; ταῦτα λέγεται εἰς συμφορὰς νῦν μὲν ἀπολύτους, εἰς δὲ πάντας πολλὰ φέρειν γενναίως τὰ περιστάντα, εἰς δὲ μὴ ζητεῖν ἡγεῖσθαι τὰ τοῦ Θεοῦ κρίματα. μὴ φιλοσόφει ἔξω τῶν παθῶν· ἀλλ' ὅταν ἐπιγένηται τῶν παθῶν, τὴν μεγαλοψυχίαν ἐπιδεῖξαι· ὅταν λυπῇ, μνήσθητι τῶν λόγων, δι' ὧν παρεμυθῇ τὸν λυπούμενον. Οἷς κεχρήμεθα λόγοις πρὸς ἑτέρους λυπουμένους, οὐ τούτοις πρὸς αὐτοὺς φιλοσοφοῦμεν; οὐ θεσπίσματα ταῦτα τὰ τῶν συμφορῶν· οὐ μόνος περιέστης τὴν συμφοράν, οὐ μόνος τοῦ θανάτου τὴν βίαν ὑπέμεινας· ταῦτα καὶ βασιλεῖς φέρουσι, καὶ ἐζημιώθησαν πολλάκις ἄρχοντες, ζημιοῦνται καὶ δυνάσται. ἐπίγνωθι σεαυτοῦ τὴν * φύσιν. γ. ψυχήν ἄνθρωπος εἶ· μετὰ πάντων καὶ αὐτὸς τὸν κοινὸν τῆς φύσεως ἀπολαύεις νόμον. πάντα καὶ τούτων πλείονα φθέγξῃ, ὅταν ἄλλους παρακαλῇς. ἢ γὰρ ἄλλων μὲν διδάσκαλος γενναῖος εἶ, σεαυτοῦ δὲ οὐδὲ οἰκεῖος μαθητής; μεγάλης ἐστὶ καὶ γενναίας ψυχῆς, τὸ ἐν τῇ ἀκμῇ τῶν παθῶν φιλοσοφεῖν. Ψαλ. ριη. ρλζ. εἴ τις δύναται ἐφ' ἑκάστης συμφορᾶς ἢ λύπης ἢ ζημίας λέγειν, Δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου, ζημιοῦται μὲν ὡς ἄνθρωπος, στεφανοῦται δὲ ὡς φιλόθεος. ὁ βίος, ἀδελφοί, πολλῆς γέμει δυσκολίας, καὶ διὰ πάντας καὶ δίκαιον καὶ ἄδικον, καὶ εὐσεβῆ καὶ ἀσεβῆ θλίβεσθαι. ἀλλὰ πολλὴ ἡ διαφορά. ἄλλο γάρ ἐστιν ὡς οἰκεῖον παιδεύεσθαι, καὶ ἄλλο ὡς ἀλλότριον μαστίζεσθαι. τύπτεται υἱός, τύπτεται καὶ οἰκέτης· ἀλλ' ὁ μὲν ὡς δοῦλος ἁμαρτήσας, ὁ δὲ ὡς ἐλεύθερος καὶ ὡς υἱὸς ἐπιστροφῆς δεόμενος. οὐ ποιοῦσιν αἱ πληγαὶ τὴν ὁμοτιμίαν. οὐκ ἐὰν πάθῃ εὐσεβής, ἃ πάσχει ἀσεβής, ὁμότιμος γίνεται τοῦ ἀσεβοῦς· ἀλλὰ λογίζεται τούτῳ ἡ παιδεία εἰς θλῖψιν καὶ δοκιμασίαν, τῷ δὲ ἀσεβεῖ εἰς μάστιγας καὶ τιμωρίαν. διὰ τοῦτο ταύτας τὰς δυσκολίας εἰδὼς ὁ μακάριος Δαβίδ, Ψαλ. λγ. ιθ. περὶ μὲν τῶν δικαίων λέγει· Πολλαὶ αἱ θλίψεις τῶν δικαίων. ἀλλ' ὅρα τὸ ἐπαγόμενον· Καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος. οὔπω εἶπε τὴν θλῖψιν, καὶ προέδειξε τὴν ἴασιν. περὶ δὲ τῶν ἐναντίων, πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ· καὶ οὐδὲν τὸ ἐπαγόμενον. τῶν δὲ δικαίων πολλαὶ μὲν αἱ θλίψεις, ἐκ δὲ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος. ταῦτα δέ τις ἀκούων μὴ ἑαυτοῦ ἀπογινωσκέτω, μηδὲ λεγέτω· εἰ τοίνυν ὡς ἁμαρτωλὸς μαστίζομαι, ἐλπίδα μὴ ἔχων, ἄκαρπός μοί ἐστιν ἡ παιδεία. ἁμαρτωλὸν γὰρ ἐκάλεσε νῦν ἡ γραφή, οὐ τὸν πάντη τῆς εὐσεβείας ἀλλότριον, ἀλλὰ τὸν θλιβόμενον· τὸν εὐσεβείας μετέχοντα, παραπτώμασι δὲ ἀνθρωπίνοις ὀλισθαίνοντα. ἐπεὶ ὅτι ἁμαρτωλοὺς ἐλεεῖ ὁ Θεός, μεστὴ πᾶσα γραφὴ τῶν ἐνεχύρων τῆς τοῦ Θεοῦ φιλανθρωπίας. Ιεζεκ. ιη. φησὶ γάρ· Ζῶ ἐγώ, λέγει Κύριος, οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. ὄμνυσιν ὁ Θεός, οὐχ ὡς ἑαυτῷ ἀπιστῶν, ἀλλὰ τὴν ἡμετέραν ἀπιστίαν εἰς πίστιν ἐκβιαζόμενος. λεγέτω τοίνυν πᾶς ἄνθρωπος εἰς θλίψεις ἐξεταζόμενος, Δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου· καὶ ὁμοῦ καὶ τὴν γενναίαν ἔδειξε ψυχήν, καὶ τὴν εὐσέβειαν οὐκ ἔλυσεν· οἷος ἦν ὁ μακάριος Ἰώβ, ὁ στρατηγήσας κατὰ πάντων τῶν παθῶν, ὁ πάντα νικήσας τοῦ διαβόλου τὰ φόβητρα, ὁ πᾶσαν αὐτοῦ τὴν μανίαν ἐκλύσας. ὁ τῇ στερρότητι τῆς γνώμης τὰ κύματα τοῦ διαβόλου διαλύσας, ὁ πάντων ὁμοῦ στερηθείς, καὶ τὸν πάντων Κύριον οὐκ ἀρνηθείς. ἀλλὰ τὰ ἐκείνου στρατηγήματα ἰδεῖν λήψεται λόγος. καὶ γὰρ ἀληθῶς ἰδίου δεῖται καιροῦ πρὸς ἐξέτασιν· μὴ τῇ παραδρομῇ τῶν λόγων ὑβρίσωμεν τὰ ἐκείνου παλαίσματα· ἐκεῖνα δὲ πρὸ ὀφθαλμῶν ἔχωμεν, ἅπερ εἶπεν ὁ γενναῖος ἐκεῖνος καὶ μέγας ἀγωνιστής. ἐπειδὴ γὰρ σφραγῖδα τοῖς εἰρημένοις ἐπάγει, * πάντων γυμνωθείς, ἑαυτὸν *ὑ Ιωβ. α. κα. εὐσεβείας οὐκ ἐγύμνωσεν, ἀλλά φησιν, Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο. καλῶς δέ, ἔδοξε· παραχωρεῖ τῇ αὐθεντίᾳ, οὐ περιεργάζεται τὴν διοίκησιν. οὐκ εἶπεν ὡς ἡμεῖς, διὰ τί νέοι ἀποθνήσκουσι, καὶ γέροντες μένουσι; ποία διοίκησις αὕτη; ἐπιθυμεῖ γέρων θανάτου, λελυμένος ταῖς ὀρέξεσιν, ἐνδεής τε χρημάτων καὶ πάσης ἄλλης παραμυθίας, καὶ οὐ τυγχάνει τῆς ἐπιθυμίας· καὶ παῖς ἐπέραστον ἔχων κάλλος, ποθεινὸς τοῖς γονεῦσιν, ἄωρος ἁρπάζεται. μάθε μὴ τοιαῦτα ζητεῖν, μάθε λέγειν, Τὰ κρίματά σου ἄβυσσος πολλή· μάθε λέγειν, Δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου· μάθε λέγειν, Ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο. γνώριζε τὴν αὐθεντίαν, ἵνα γνωρίσῃς τὴν εὐσέβειαν. ἀλλ᾽ ἐπειδὴ περιενέπεσεν ὁ λόγος εἰς δόξαν τοῦ ἁγίου πνεύματος, εἴπωμέν τι καὶ τῶν δογματικῶν εἰς ἀσφάλειαν ἡμετέραν καὶ βεβαίωσιν. ὥσπερ γὰρ ὁ Ἰὼβ εἰρηκώς, ὡς τῷ Κυρίῳ ἔδοξε, τὴν αὐθεντίαν ἔδειξε καὶ τὴν κυριότητα, οὕτω καὶ οἱ ἀπόστολοι, τὴν δεσποτικὴν αὐθεντίαν τοῦ ἁγίου πνεύματος ἐνδεικνύμενοι, φασίν· Ἔδοξε τῷ ἁγίῳ πνεύματι μηδὲν ἐπιτίθεσθαι ὑμῖν, πλὴν τῶν ἐπάναγκες. ἔδοξε τῷ ἁγίῳ πνεύματι. εἰ ὑπόκειται, διὰ τί αὐτῷ ἔδοξεν; εἰ ὑπόνομόν ἐστι τὸ πνεῦμα καὶ δοῦλον, πῶς ἔδοξε τῷ ὑποκειμένῳ; οὐχ ἃ τῷ βασιλεῖ δοκεῖ, ταῦτα καὶ τῷ στρατῷ; μὴ τὰ τοῖς ἀρχομένοις παριστάμενα; ὡς τῷ Κυρίῳ ἔδοξε, φησὶν ὁ Ἰώβ· ἔδοξε τῷ ἁγίῳ πνεύματι φασὶν οἱ ἀπόστολοι. ὁμότιμος ἡ λέξις τῆς αὐθεντίας, ἐπειδὴ ἀμέριστος ἡ δόξα τῆς βασιλείας. ἀλλ᾽ εὑρίσκει πάλιν ἡ κακία τῶν αἱρετικῶν παρείσδυσιν. ἆρα γὰρ ἐπειδὴ εἶπον, φασίν, οἱ ἀπόστολοι, ἔδοξε τῷ ἁγίῳ πνεύματι, ἐπήγαγον δέ, καὶ ἡμῖν, παρὰ τοῦτο αὐθεντίαν ἔχουσι θεότητος οἱ ἀπόστολοι; ταῦτα μελετάσθω, ἵνα μὴ ἀγυμνάστοις ψυχαῖς ἐμβάλωσι τὸν ἰὸν αὐτῶν τῆς ἀπειθείας, ἵνα μὴ ταῖς ἀκοαῖς τῶν ἀκεραίων αἱρετικὴν ἀσέβειαν ἐγχέωσι. τοιαῦτα γὰρ πολλάκις σπερμολογοῦσι· μηδέν σε, φησίν, ἀδελφέ, ξενίσῃ τῶν εἰρημένων. ὡς ἀδελφὸν καλεῖ, καὶ ὡς πολέμιον ἀναιρεῖ. μὴ θαυμάσῃς, φησίν, εἰ περὶ τοῦ ἁγίου πνεύματος εἶπον οἱ ἀπόστολοι, ἔδοξε τῷ ἁγίῳ πνεύματι· ἀλλ᾽ ὅρα καὶ τὸ ἐπαγόμενον, ἔδοξε τῷ ἁγίῳ πνεύματι, καὶ ἡμῖν ἔδοξε τοῖς ἀποστόλοις. ἆρα θεοὶ οἱ ἀπόστολοι; ἆρα Θεοῦ ἔχουσι τὴν αὐθεντίαν; ὅταν ταῦτα λέγῃ ὁ αἱρετικός, ἡμεῖς ἀπὸ τῆς ἁγίας γραφῆς τὰ βέλη προσφέρωμεν. τὰ γὰρ βέλη τοῦ δυνατοῦ ἠκονημένα ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως πεμπόμενα. τί οὖν ἐστι πρὸς αὐτὸν εἰπεῖν; εἰ τὸ συνῆφθαι τοὺς ἀποστόλους τῷ ἁγίῳ πνεύματι ἐλαττοῖ τοῦ πνεύματος τὴν ἀξίαν, οὐκοῦν καὶ τὸ συνῆφθαι Μωϋσῆν τῷ Θεῷ ἐλαττοῖ τοῦ Θεοῦ τὴν ἀξίαν. οἷόν τι λέγω· ἐὰν μὴ μέγα νομίσῃς τὸ, ἔδοξε τῷ ἁγίῳ πνεύματι, διὰ τὸ συνῆφθαι τοὺς ἀποστόλους, οὐκ ἄρα μεγάλην δυνήσῃ λέγειν οὐδὲ τὴν εἰς Θεὸν πίστιν διὰ τὸ συνῆφθαι καὶ Μωϋσῆν τῷ Θεῷ. λέγει γὰρ ἡ γραφή· Ἐπίστευσεν ὁ λαὸς εἰς τὸν Θεὸν καὶ εἰς τὸν Μωϋσῆν. ἀλλὰ καὶ ἕτερον προσενέγκωμεν βέλος. εἰ καθαιρεῖ τοῦ πνεύματος τὴν ἀξίαν συνημμένη ἡ δόξα τῶν ἀποστόλων, ὑβρίζει τὸν Θεὸν καὶ ἐλαττοῖ αὐτοῦ τὴν ἀξίαν Σαμουὴλ προσκείμενος. γέγραπται γάρ, Καὶ ἐφοβήθη πᾶς ὁ λαὸς τὸν Κύριον καὶ τὸν Σαμουήλ. πάλιν καὶ τρίτον ἄλλο προσενέγκωμεν βέλος κατὰ τῆς ἀσεβείας. ἐλαττοῖ τοῦ πνεύματος τοῦ ἁγίου τὴν ἀξίαν καὶ τὴν θείαν αὐθεντίαν τὸ συνῆφθαι τῷ πνεύματι τοὺς ἀποστόλους; ἐλαττοῖ τοῦ Θεοῦ τὴν ἀξίαν καὶ Γεδεὼν προσκείμενος αὐτοῦ τῇ προσηγορίᾳ. ἐβόησε γὰρ πᾶς ὁ λαὸς πολεμῶν, Ῥομφαία τῷ Κυρίῳ καὶ τῷ Γεδεών. ὥσπερ οὖν συνῆπται Μωϋσῆς τῷ Θεῷ, οὐχ ὡς ὁμότιμος τοῦ Θεοῦ, ἀλλ᾽ ὡς ὑπηρέτης Θεοῦ· καὶ Σαμουὴλ τῷ Θεῷ, οὐχ ὡς ὁμότιμος, ἀλλ᾽ ὡς προφήτης· καὶ Γεδεὼν τῷ Θεῷ, οὐχ ὡς ὁμότιμος, ἀλλ᾽ ὡς στρατηγὸς τοῦ πολέμου, οὕτω καὶ οἱ ἀπόστολοι τῷ πνεύματι, ὡς κήρυκες τοῦ εὐαγγελίου. γνώριζε τοίνυν τὴν αὐθεντίαν, καὶ μὴ ὕβριζε τοῦ πνεύματος τὴν ἀξίαν. γνώριζε τῆς ἁγίας τριάδος τὴν ἔνθεον θεολογίαν, πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. αὕτη ἐστὶν ἡ ἄκτιστος φύσις, ἡ ἀληθινὴ ἀξία, ἡ ἀμέριστος βασιλεία, ἡ ἄσχιστος τιμή, ἡ ἀδιαίρετος ἐλπίς, ἡ ἀκατάληπτος δόξα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλ. ρε. ς.
Ψαλ. ριη. ρλζ.
Ἰώβ. α. κα.
Πραξ. ιε. κη.
α. Βασ. ιβ. ιη.
Κριτ. ζ. κ.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΟΤΙ ΕΚ ΡΑΘΥΜΙΑΣ Η ΚΑΚΙΑ, ΚΑΙ ΑΠΟ ΣΠΟΥΔΗΣ

ἡ ἀρετή, καὶ οὐδὲν οὔτε οἱ ἄνθρωποι πονηροί, οὔτε αὐτὸς ὁ διάβολος τοὺς νήφοντας παραβλάψαι δύναται, καὶ ἡ ἀπόδειξις ἀλλοθέν
τε πολλαχόθεν, καὶ ἐκ τῶν κατὰ τὸν Ἀδάμ,
καὶ τὸν Ἰώβ.

Ἡμεῖς μὲν πρὸ τῆς χθὲς ἡμέρας τοὺς περὶ τοῦ διαβόλου λόγους πρὸς τὴν ἀγάπην ἐκινοῦμεν τὴν ὑμετέραν· ἕτεροι δὲ πρὸ τῆς χθὲς ἡμέρας, λόγων κινουμένων ἐνταῦθα τοιούτων, ἐν τοῖς θεάτροις καθήμενοι, τοῦ διαβόλου τὴν πομπὴν ἐθεώρουν. ᾀσμάτων μετεῖχον ἐκεῖνοι πορνικῶν, ὑμεῖς ἀκροαμάτων ἐκοινωνεῖτε πνευματικῶν· ἤσθιον ἐκεῖνοι τὴν ἀκαθαρσίαν τὴν διαβολικήν, ἐσιτεῖσθε ὑμεῖς τὸ μύρον τὸ πνευματικόν. τίς ἄρα αὐτοὺς ἀπεβουκόλησε; τίς ἄρα αὐτοὺς ἀπέσχισε τῆς ποίμνης τῆς ἱερᾶς; ἆρα κἀκείνους ὁ διάβολος ἠπάτησε; πῶς οὖν ὑμᾶς οὐκ ἠπάτησεν; οἱ αὐτοὶ ἄνθρωποι ὑμεῖς κἀκεῖνοι, κατὰ τὴν φύσιν λέγω τὴν αὐτήν. ἔχετε ψυχὴν ὑμεῖς κἀκεῖνοι, τὰς αὐτὰς ἔχετε ἐπιθυμίας τὰς παρὰ τῆς φύσεως. πῶς οὖν οὐκ ἐν τοῖς αὐτοῖς ὑμεῖς κἀκεῖνοι; ἐπειδὴ αἱ προαιρέσεις οὐχ αἱ αὐταὶ ὑμῖν κἀκείνοις. διὰ τοῦτο ἐκεῖνοι μὲν ἐν ἀπάτῃ, ὑμεῖς δὲ ἐκτὸς τῆς ἀπάτης. οὐ πάλιν τὸν διάβολον ἀπαλλάττων ἐγκλημάτων ταῦτα λέγω, ἀλλ' ὑμᾶς ἁμαρτημάτων ἐλευθερῶσαι σπουδάζων. πονηρὸς ὁ διάβολος, ὁμολογῶ κἀγώ, ἀλλ' ἑαυτῷ πονηρός, οὐχ ἡμῖν, ἂν νήφωμεν. τοιαύτη γὰρ τῆς κακίας ἡ φύσις. τοῖς κεκτημένοις ἐστὶν ὀλεθρία μόνοις, ἡ δὲ ἀρετὴ τοὐναντίον· οὐχὶ τοὺς κεκτημένους μόνον, ἀλλὰ καὶ τοὺς πλησίον ὠφελεῖν δύναται. καὶ ἵνα μάθῃς, ὅτι ὁ μὲν κακός, ἑαυτῷ κακός, ὁ δὲ ἀγαθός, καὶ ἑτέροις ἀγαθός, μαρτυρίαν σοι παρέχω παροιμιώδη. Τέκνον, φησίν, ἐὰν κακὸς γένῃ, μόνος ἀντλήσεις τὰ κακά· ἐὰν δὲ σοφός, ἑαυτῷ καὶ τῷ πλησίον. ἠπατήθησαν ἐν τοῖς θεάτροις, ἀλλ' ὑμεῖς οὐκ ἠπατήθητε. μεγίστη αὕτη πραγμάτων ἀπόδειξις, ἔλεγχος σαφής, καὶ λογισμὸς ἀναμφισβήτητος τοῦ πανταχοῦ τὴν προαίρεσιν εἶναι κυρίαν. τούτῳ δὴ καὶ αὐτὸς κέχρησο τῷ τρόπῳ τῆς ἀποδείξεως. κἂν ἴδῃς ἄνθρωπον ἐν πονηρίᾳ ζῶντα, καὶ πᾶσαν κακίαν ἐπιδεικνύμενον, εἶτα αἰτιώμενον τοῦ Θεοῦ τὴν πρόνοιαν καὶ λέγοντα, ὅτι τύχης καὶ εἱμαρμένης ἀνάγκη, καὶ δαιμόνων τυραννίδι τὴν ἡμετέραν παρέδωκε φύσιν, καὶ πανταχόθεν τὴν αἰτίαν ἀφ' ἑαυτοῦ μὲν ἀπάγοντα, ἐπὶ δὲ τὸν δημιουργὸν καὶ τοῦδε τοῦ παντὸς προνοοῦντα μεταφέροντα, ἀπόφραξον αὐτοῦ τὸ στόμα, μὴ λόγῳ, ἀλλ' ἔργῳ, ἐπιδείξας σύνδουλον ἕτερον ἐν ἀρετῇ καὶ ἐπιεικείᾳ ζῶντα. οὐ χρεία λόγων μακρῶν, οὐ χρεία κατασκευῆς συμπεπλεγμένης, οὐδὲ συλλογισμῶν· διὰ τῶν ἔργων ἡ ἀπόδειξις γινέσθω. Εἰπὲ πρὸς αὐτόν· καὶ σὺ δοῦλος, κἀκεῖνος δοῦλος· καὶ σὺ ἄνθρωπος, κἀκεῖνος ἄνθρωπος· τὸν αὐτὸν κόσμον οἰκεῖς, ὑπὸ τὸν αὐτὸν οὐρανόν· τὰς αὐτὰς τρέφῃ τροφάς. πῶς σὺ μὲν ἐν πονηρίᾳ, ἐκεῖνος δὲ ἐν ἀρετῇ; διὰ τοῦτο καὶ ὁ Θεὸς ἀφῆκε τοὺς πονηροὺς τοῖς ἀγαθοῖς ἀναμεμίχθαι, καὶ οὐκ ἄλλην μὲν τοῖς πονηροῖς ἔδωκε γῆν, εἰς ἑτέραν δὲ τοὺς ἀγαθοὺς οἰκουμένην ἀπῴκισεν, ἀλλὰ ἀνέμιξε τούτους ἐκείνοις, πολὺ τὸ χρήσιμον ἐργαζόμενος. οἱ γὰρ ἀγαθοὶ δοκιμώτεροι φαίνονται, ἐν μέσῳ τῶν κωλυόντων αὐτοὺς ὀρθῶς ζῆν καὶ πρὸς κακίαν ἑλκόντων ὄντες, καὶ τῆς ἀρετῆς ἀντιλαμβανόμενοι. Δεῖ γάρ, φησι, καὶ αἱρέσεις εἶναι ἐν ὑμῖν, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν. οὐκοῦν καὶ διὰ τοῦτο τοὺς πονηροὺς ἀφῆκεν εἶναι ἐν τῷ μέσῳ, ἵνα οἱ ἀγαθοὶ διαλάμπωσι μᾶλλον. ὁρᾷς

Παροιμ. θ. ιϛ.

α. Κορ. ια. ιθ.

ρᾶς τὸ κέρδος ὅσον; ἀλλ' οὐ παρὰ τῶν πονηρῶν τὸ κέρδος, ἀλλὰ παρὰ τῆς ἀνδρείας τῶν ἀγαθῶν. διὰ τοῦτο καὶ τὸν Νῶε θαυμάζομεν, οὐχ ὅτι δίκαιος ἦν, οὐδ' ὅτι τέλειος ἦν μόνον, ἀλλ' ὅτι ἐν τῇ γενεᾷ ἐκείνῃ τῇ διεστραμμένῃ καὶ πονηρᾷ διέσωσε τὴν ἀρετήν· ὅτι οὐκ εἶχε παράδειγμα ἀρετῆς, ὅτι πάντες πρὸς πονηρίαν αὐτὸν παρεκάλουν, καὶ πᾶσαν ἀπ' ἐναντίας ἦλθεν ἐκείνοις, καθάπερ τις ὁδίτης πολλῷ πλήθει ῥύμῃ φερομένῳ τὴν ἐναντίαν ὁδεύων ὁδόν. διὰ τοῦτο οὐχ ἁπλῶς εἶπε, Νῶε δίκαιος, τέλειος, ἀλλὰ προσέθηκεν, ἐν τῇ γενεᾷ αὐτοῦ, ἐν τῇ διεστραμμένῃ, ἐν τῇ ἀπεγνωσμένῃ, ὅτε οὐδὲν ἐμπόρευμα ἦν ἀρετῆς. Γεν. ϛ. θ. τοῖς μὲν οὖν ἀγαθοῖς ἀπὸ τῶν πονηρῶν τοῦτο τὸ κέρδος ἦν. οὕτω γοῦν καὶ δένδρα ὑπὸ ἀνέμων ἐναντίων ῥιπιζόμενα ἰσχυρότερα γίνεται. ἔστι δὲ καὶ τοῖς πονηροῖς κέρδος ἀπὸ τῆς ἐπιμιξίας τῶν ἀγαθῶν· αἰδοῦνται, αἰσχύνονται, ἐρυθριῶσιν ἐκείνους, κἂν μὴ ἀποστῶσι τῆς κακίας, ἀλλ' ὅμως μετὰ τοῦ λανθάνειν τολμῶσιν, ἅπερ τολμῶσιν. οὐ μικρὸν δὲ τοῦτο, μὴ ἔχειν πεπαρρησιασμένην τὴν παρανομίαν. ὁ γὰρ τῶν ἄλλων βίος κατήγορος τῆς τούτων κακίας γίνεται. ἄκουσον γοῦν τί φασι περὶ τοῦ δικαίου. Βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος. Σοφ. β ιβ. οὐ μικρὰ δὲ ἀρχὴ διορθώσεως τὸ δάκνεσθαι αὐτοὺς τῇ παρουσίᾳ. καὶ γὰρ εἰ μὴ ἔδακνεν αὐτοὺς ἡ ὄψις τοῦ δικαίου, οὐκ ἂν τοῦτο ἐφθέγξαντο τὸ ῥῆμα· τὸ δὲ δάκνεσθαι καὶ τύφεσθαι τὸ συνειδὸς ἀπὸ τῆς παρουσίας ἐκείνου, οὐ μικρὸν ἂν εἴη κώλυμα τοῦ μὴ μετὰ ἀδείας τῇ πονηρίᾳ κεχρῆσθαι. εἶδες πόσον ἐστὶ κέρδος καὶ τοῖς ἀγαθοῖς ἀπὸ τῶν πονηρῶν, καὶ τοῖς πονηροῖς ἀπὸ τῶν ἀγαθῶν. διὰ τοῦτο οὐ διεῖλεν αὐτοὺς ὁ Θεός, ἀλλ' ἀφῆκεν ἀναμεμῖχθαι. ὁ αὐτὸς τοίνυν ἡμῖν λόγος καὶ περὶ τοῦ διαβόλου. διὰ γὰρ τοῦτο καὶ τοῦτον ἀφῆκεν ἐνταῦθα εἶναι, ἵνα σε ἰσχυρότερον ἐργάσηται, ἵνα λαμπρότερον ποιήσῃ τὸν ἀθλητήν, ἵνα μείζονα ᾖ τὰ ἀγωνίσματα. ὅταν οὖν λέγῃ τις, διὰ τί τὸν διάβολον ἀφῆκεν ὁ Θεός; ταῦτα λέγε πρὸς ἐκεῖνον τὰ ῥήματα· ὅτι τοὺς νήφοντας καὶ προσέχοντας οὐ μόνον οὐδὲν παρέβλαψεν, ἀλλὰ καὶ ὠφέλησεν, οὐ παρὰ τὴν ἑαυτοῦ προαίρεσιν (πονηρὰ γάρ ἐστιν) ἀλλὰ παρὰ τὴν ἐκείνων ἀνδρείαν τῶν τῇ πονηρίᾳ εἰς δέον χρησαμένων. ἐπεὶ καὶ τῷ Ἰὼβ προσεπλάκη μέν, οὐ διὰ τοῦτο δέ, ἵνα αὐτὸν λαμπρότερον ποιήσῃ, ἀλλ' ἵνα ὑποσκελίσῃ. διὰ τοῦτο πονηρὸς διὰ τὴν τοιαύτην γνώμην, καὶ τὴν προαίρεσιν· ἀλλ' ὅμως οὐδὲν παρέβλαψε τὸν δίκαιον, ἀλλὰ καὶ ἀπώνατο μᾶλλον ἐκεῖνος ἀπὸ τῆς μάχης. ὅπερ οὖν καὶ ἀπεδείξαμεν, καὶ ὁ δαίμων τὴν πονηρίαν, καὶ ὁ δίκαιος τὴν ἀνδρείαν ἐπεδείξατο. ἀλλὰ καὶ ὑποσκελίζει πολλούς, φησί. παρὰ τὴν αὐτῶν ἀσθένειαν, οὐ παρὰ τὴν οἰκείαν ἰσχύν, καὶ γὰρ τοῦτο ἀπεδείχθη διὰ πολλῶν ἤδη. τὴν σαυτοῦ τοίνυν κατόρθωσον γνώμην, καὶ παρ' οὐδενὸς οὐδέποτε δέξῃ βλάβος, ἀλλὰ καὶ τὰ μέγιστα κερδανεῖς, οὐχὶ παρὰ τῶν ἀγαθῶν μόνον, ἀλλὰ καὶ παρὰ τῶν πονηρῶν. διὰ γὰρ τοῦτο, καθάπερ ἔμπροσθεν εἶπον, μετ' ἀλλήλων ἀφῆκεν εἶναι τοὺς ἀνθρώπους ὁ Θεός, καὶ μάλιστα τοὺς ἀγαθοὺς μετὰ τῶν πονηρῶν, ἵνα κἀκείνους πρὸς τὴν οἰκείαν μεταγάγωσιν ἀρετήν. ἄκουσον γοῦν τί φησι τοῖς μαθηταῖς ὁ Χριστός. Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν γυναικί, Ματθ. ιγ λγ. ἥτις λαβοῦσα ζύμην ἔκρυψεν εἰς ἀλεύρου σάτα τρία. ὥστε ζύμης δύναμιν ἔχουσιν οἱ δίκαιοι, ἵνα πρὸς τὴν ἑαυτῶν ποιότητα τοὺς πονηροὺς μεταστήσωσιν. ἀλλ' ὀλίγοι οἱ δίκαιοι, καὶ γὰρ καὶ ἡ ζύμη μικρά· ἀλλ' οὐδὲν ἡ μικρότης παραβλάπτει τὸ φύραμα, ἀλλ' ἡ σμικρότης ἐκείνη ἅπαν τὸ ἄλευρον πρὸς ἑαυτὴν μεθίστησι διὰ τῆς ἐνούσης αὐτῇ δυνάμεως. οὕτω δὴ καὶ ἡ δύναμις τῶν δικαίων οὐκ ἐν τῇ ποσότητι τοῦ ἀριθμοῦ, ἀλλ' ἐν τῇ τοῦ πνεύματος χάριτι τὴν ἰσχὺν ἔχει. δώδεκα ἦσαν οἱ ἀπόστολοι. εἶδες πῶς μικρὰ ἡ ζύμη; ὅλη ἡ οἰκουμένη ἐν ἀπιστίᾳ ἦν. εἶδες πόσον τὸ φύραμα; ἀλλ' ἐκεῖνοι οἱ δώδεκα πᾶσαν τὴν οἰκουμένην πρὸς ἑαυτοὺς ἐπέστρεψαν. ἡ ζύμη, καὶ τὸ φύραμα τῆς αὐτῆς φύσεως, ἀλλ' οὐ τῆς αὐτῆς ποιότητος. διὰ τοῦτο ἀφῆκε μεταξὺ τῶν δικαίων τοὺς πονηρούς, ἵν', ὥσπερ τῆς αὐτῆς φύσεώς εἰσι τοῖς δικαίοις, οὕτω καὶ τῆς αὐτῆς προαιρέσεως γένωνται. τούτων μέμνησθε. τούτοις ἐπιστομίζετε τοὺς ῥαθύμους, τοὺς διακεχυμένους, τοὺς ὀκνηροτέρους, τοὺς ἀναδυομένους πρὸς τοὺς τῆς ἀρετῆς πόνους, τοὺς τοῦ κοινοῦ δεσπότου κατηγοροῦντας. Ἡμάρτες, φησιν· ἡσύχασον, μὴ προσθῇς δευτέραν ἁμαρτίαν χαλεπωτέραν. οὐχ οὕτω χαλεπὸν τὸ ἁμαρτεῖν, ὡς μετὰ τὴν ἁμαρτίαν τοῦ δεσπότου κατηγορεῖν. ἐπίγνωθι τὸν αἴτιον τῆς ἁμαρτίας, καὶ οὐδένα ἄλλον εὑρήσεις, ἢ τὸν ἡμαρτηκότα σε. πανταχοῦ προαιρέσεως χρεία ἀγαθῆς. ἔδειξα ὑμῖν τοῦτο οὐκ ἀπὸ λογισμῶν ψιλῶν, ἀλλ' ἀπὸ συνδούλων τῶν ἐν αὐτῷ τῷ κόσμῳ ζώντων. ταύτῃ καὶ αὐτὸς κέχρησο τῇ ἀποδείξει. οὕτω καὶ ὁ κοινὸς ἡμᾶς κρινεῖ δεσπότης. μάθετε τοῦτον τῆς ἀποδείξεως τὸν τρόπον, καὶ οὐδεὶς ὑμᾶς δυνήσεται συλλογίσασθαι. πορνεύει τίς; δεῖξον αὐτῷ σωφρονοῦντα ἕτερον. πλεονεκτεῖ τις, καὶ ἁρπάζει; δεῖξον αὐτῷ τὸν ἐλεημοσύνην διδόντα. ἐν βασκανίᾳ ζῇ καὶ φθόνῳ; δεῖξον αὐτῷ τὸν καθαρὸν τοῦ πάθους. ὑπὸ ὀργῆς κρατεῖται; τὸν ἐν φιλοσοφίᾳ ζῶντα εἰς μέσον ἄγαγε. οὐ γὰρ δὴ μόνον εἰς τὰ παλαιὰ δεῖ ἀνατρέχειν διηγήματα, ἀλλὰ καὶ ἀπὸ τῶν παρόντων λαμβάνειν τὰ παραδείγματα. καὶ γὰρ καὶ τήμερον διὰ τὴν τοῦ Θεοῦ χάριν οὐκ ἐλάττονα τῶν προτέρων ἐστὶ τὰ κατορθώματα. ἄπιστός ἐστι, καὶ ψευδεῖς ἡγεῖται τὰς γραφὰς (εἰ τύχοι); οὐ πιστεύει, ὅτι ὁ Ἰὼβ τοιοῦτος ἦν; δεῖξον αὐτῷ ἕτερον ἄνθρωπον τὸν ἐκείνου τοῦ δικαίου ζηλοῦντα τὸν βίον. οὕτω καὶ ὁ δεσπότης ἡμᾶς κρινεῖ. συνδούλους ἵστησι μετὰ συνδούλων, καὶ οὐκ ἀπὸ τῆς αὐτοῦ κρίσεως φέρει τὴν ψῆφον, ἵνα μὴ ἄρξηται λέγειν τις πάλιν, καθάπερ ἐκεῖνος ὁ οἰκέτης ὁ τὸ τάλαντον πιστευθεὶς, καὶ ἀντὶ ταλάντου κατηγορίαν προσενεγκὼν, Ματθ. κε. κδ. ὅτι σκληρὸς εἶ. δέον γὰρ στένειν, ὅτι οὐκ ἐδιπλασίασε τὸ τάλαντον, ἀλλὰ καὶ χαλεπωτέραν τὴν ἁμαρτίαν εἰργάσατο, τὴν κατηγορίαν τὴν κατὰ τοῦ δεσπότου προσθεὶς τῇ οἰκείᾳ ἀργίᾳ. τί γάρ φησιν; Εἶδόν σε ὅτι σκληρὸς εἶ. ὦ ἄθλιε, καὶ ταλαίπωρε, καὶ ἀγνώμων, καὶ ὀκνηρὲ, ὀφείλων τῆς σαυτοῦ κατηγορεῖν ἀργίας καὶ ὑφελέσθαι τι τῆς προτέρας ἁμαρτίας, σὺ δὲ ἐπὶ τὸν δεσπότην τὴν κατηγορίαν μετενεγκὼν, ἀντὶ τοῦ ταλάντου τὴν ἁμαρτίαν ἐδιπλασίασας. διὰ τοῦτο ὁ Θεὸς δούλους καὶ δούλοις ἵστησιν, ἵν' οὗτοι ἐκείνους κρίνωσι, κἀκεῖνοι διὰ τούτων κρινόμενοι μὴ ἔχωσι λοιπὸν κατηγορεῖν τοῦ δεσπότου. διὰ τοῦτό φησιν, Ἔρχεται ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς δόξης τοῦ πατρὸς αὐτοῦ (ὅρα τῆς δόξης τὸ ἀπαράλλακτον. οὐκ εἶπεν, ἐπὶ δόξης ὁμοίας τῇ δόξῃ τοῦ πατρὸς, ἀλλ', ἐπὶ τῆς δόξης τοῦ πατρὸς) καὶ συνάξει τὰ ἔθνη πάντα (φοβερὸν τὸ κριτήριον· φοβερὸν τοῖς ἁμαρτάνουσι καὶ ὑπευθύνοις· ἐπεὶ τοῖς συνειδόσιν ἑαυτοῖς κατορθώματα Ματθ. κε. λγ. ποθεινὸν καὶ προσηνές) Καὶ στήσει τὰ πρόβατα ἐκ δεξιῶν, καὶ τὰ ἐρίφια ἐξ εὐωνύμων. καὶ οὗτοι, κἀκεῖνοι ἄνθρωποι. διὰ τί οὖν ἐκεῖνοι μὲν πρόβατα, οὗτοι δὲ ἐρίφια; οὐχ ἵνα τὴν ἐναλλαγὴν τῆς φύσεως, ἀλλ' ἵνα τὴν ἐναλλαγὴν τῆς προαιρέσεως μάθῃς. διὰ τί δὲ οἱ μὴ διδόντες ἐλεημοσύνην, ἐρίφια; ὅτι ἄκαρπόν ἐστι τὸ ζῶον, καὶ οὔτε τὴν ἀπὸ τοῦ γάλακτος λειτουργίαν, οὔτε τὴν ἀπὸ τῶν γεννημάτων, οὔτε τὴν ἀπὸ τῶν τριχῶν εἰσφέρειν δύναται τοῖς κεκτημένοις, πανταχόθεν ἔρημοι ὄντες τῆς τοιαύτης εἰσφορᾶς διὰ τὸ τῆς ἡλικίας ἄωρον. διὰ τοῦτο τοὺς οὐδένα καρπὸν ἐλεημοσύνης φέροντας ἐκάλεσεν ἐρίφια, τοὺς δὲ ἐκ δεξιῶν πρόβατα. ἀπὸ γὰρ τούτων πολλὴ ἡ φορὰ, ἐκ τῆς τοῦ ἐρίου φύσεως, ἐκ τῶν γεννημάτων, Ματθ. κε. λε. ἐκ τοῦ γάλακτος. τί οὖν φησι πρὸς αὐτούς; Πεινῶντά με εἴδετε, καὶ ἐθρέψατε· γυμνὸν, καὶ περιεβάλλετε· ξένον, καὶ συνηγάγετε. πάλιν πρὸς ἐκείνους τὰ ἐναντία. καίτοιγε οἱ αὐτοὶ ἄνθρωποι καὶ οὗτοι κἀκεῖνοι, τὰς αὐτὰς ἔλαβον ἐπαγγελίας καὶ οὗτοι κἀκεῖνοι, τὰ αὐτὰ ἔπαθλα ἀμφοτέροις προέκειτο κατορθώσασιν· ὁ αὐτὸς καὶ πρὸς τούτους καὶ πρὸς ἐκείνους ἦλθε, μετὰ τῆς αὐτῆς γυμνότητος καὶ πρὸς τούτους καὶ πρὸς ἐκείνους, μετὰ τῆς αὐτῆς πείνης, καὶ ξένος ὁμοίως. πάντα ἴσα κἀκείνοις καὶ τούτοις. πῶς οὖν τὸ τέλος οὐκ ἴσον; ὅτι ἡ προαίρεσις οὐκ ἀφῆκεν. αὕτη γὰρ μόνη τὴν διαίρεσιν ἐποιήσατο. διὰ τοῦτο ἐκεῖνοι μὲν εἰς γέενναν, οὗτοι δὲ εἰς βασιλείαν. εἰ δὲ διάβολος ἦν αὐτοῖς τῶν ἁμαρτημάτων αἴτιος, οὐκ ἂν, ἄλλου ἁμαρτόντος καὶ ὠθήσαντος, οὗτοι ἔμελλον κολάζεσθαι. Εἶδες ἐνταῦθα καὶ τοὺς ἁμαρτόντας, καὶ τοὺς κατορθώσαντας. εἶδες πῶς ἰδόντες τοὺς συνδούλους ἐπεστόμισαν.

ἐθησαν. Φέρε σοι καὶ ἕτερον παράδειγμα τὸν λόγον ἀγάγωμεν. Παρθένοι, φησίν, ἦσαν δέκα. πάλιν ἐνταῦθα αἱ προαιρέσεις αἱ κατορθώσασαι, πάλιν αἱ διαμαρτοῦσαι· ἵνα ἐκ παραλλήλου καὶ τούτων τὰ ἁμαρτήματα εἰδῇς, κἀκείνων τὰ κατορθώματα. ἡ γὰρ σύγκρισις σαφέστερα ταῦτα ποιεῖ. καὶ αὗται παρθένοι κἀκεῖναι, καὶ αὗται πέντε κἀκεῖναι· λαμπάδας εἶχον καὶ αὗται κἀκεῖναι· τὸν νυμφίον ἀνέμενον πᾶσαι. πῶς οὖν αἱ μὲν εἰσῆλθον, αἱ δὲ οὐκ εἰσῆλθον; ὅτι αἱ μὲν ἀπάνθρωποι ἦσαν, αἱ δὲ ἥμεροι καὶ φιλάνθρωποι. ὁρᾷς πάλιν τὴν προαίρεσιν οὐ τέλεος αἰτίαν γινομένην, οὐχὶ τὸν διάβολον; εἶδες ἐκ παραλλήλων τὰς κρίσεις, καὶ ἐκ τῶν ὁμοίων φερομένην τὴν ψῆφον; καὶ σύνδουλοι συνδούλους κρινοῦσι. βούλει σοι δείξω καὶ ἐξ ἀνομοίων γινομένην σύγκρισιν; ἔστι γὰρ καὶ ἐξ ἀνομοίων, ὥστε τὴν κατάκρισιν γενέσθαι σαφεστέραν. Ἄνδρες Νινευῖται, φησίν, ἀναστήσονται, καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην. οὐκέτι ὅμοιοι οἱ κρινόμενοι. οἱ μὲν γὰρ βάρβαροι, οἱ δὲ Ἰουδαῖοι· οἱ μὲν προφητικῆς ἀπήλαυσαν διδασκαλίας, οἱ δὲ οὐδέποτε μετέσχον θείας ἀκροάσεως. οὐ τοῦτο δὲ μόνον ἐστὶ τὸ διάφορον, ἀλλ' ὅτι ἐκεῖ μὲν δοῦλος ἀπῆλθεν, ἐνταῦθα δὲ ὁ δεσπότης· κἀκεῖνος μὲν καταστροφὴν ἐκήρυττε παραγενόμενος, οὗτος δὲ βασιλείαν οὐρανῶν εὐηγγελίζετο. τίνας οὖν εἰκὸς ἦν πιστεῦσαι μᾶλλον; τοὺς βαρβάρους, καὶ ἀνοήτους, καὶ μηδέποτε μεταλαβόντας θείας διδασκαλίας, ἢ τοὺς ἐκ πρώτης ἡλικίας προφητικαῖς ἐντραφέντας βίβλοις; παντί που δῆλον, ὅτι τοὺς Ἰουδαίους μᾶλλον. ἀλλὰ γέγονε τοὐναντίον· καὶ οὗτοι μὲν ἠπίστησαν τῷ δεσπότῃ βασιλείαν οὐρανῶν κηρύττοντι, ἐκεῖνοι δὲ ἐπίστευσαν τῷ συνδούλῳ καταστροφὴν ἀπειλοῦντι, ἵνα μειζόνως κἀκείνων ἡ ἐπιείκεια, καὶ τούτων ἡ ἀγνωμοσύνη φανήσηται. μή τι δαίμων; μή τι διάβολος; μή τι τύχη; μή τι εἱμαρμένη; οὐχὶ ἕκαστος ἑαυτῷ αἴτιος καὶ τῆς κακίας, καὶ τῆς ἀρετῆς ἐγίνετο; εἰ γὰρ μὴ αὐτοὶ ἔμελλον ὑπεύθυνοι ἔσεσθαι, οὐκ ἂν εἶπεν, ὅτι κατακρινοῦσι τὴν γενεὰν ταύτην· οὐκ ἂν καὶ τὴν βασίλισσαν τοῦ νότου κατακρίνειν τοὺς Ἰουδαίους ἔφη. οὐ γὰρ δὴ δῆμοι δήμους μόνοι κατακρινοῦσι τότε, ἀλλὰ καὶ εἷς ἄνθρωπος δῆμον ὁλόκληρον πολλάκις, ὅταν οὓς μὲν ἐνεδέχετο μᾶλλον ἀπατηθῆναι, φαίνωνται μένοντες ἀνεξαπάτητοι· οἱ δὲ ἐκ παντὸς τρόπου περιγενέσθαι ὀφείλοντες, ἡττηθέντες τύχωσι.

Διὰ τοῦτο καὶ τοῦ Ἀδὰμ καὶ τοῦ Ἰὼβ ἐμνήσθημεν. ἀνάγκη γὰρ πάλιν ἐπανελθεῖν ἐπὶ τὴν ὑπόθεσιν ἐκείνην, ὥστε τὰ λείψανα ἀποδοῦναι τῷ λόγῳ. τῷ μὲν οὖν Ἀδὰμ διὰ ῥημάτων προσέβαλε ψιλῶν, τῷ δὲ Ἰὼβ διὰ πραγμάτων. τὸν μὲν γὰρ τοῦ πλούτου παντὸς ἐγύμνωσε, καὶ τῶν παίδων ἀπεστέρησε· τούτου δὲ οὐ μικρόν, οὐ μέγα τι τῶν ὄντων ἀφείλατο. μᾶλλον δὲ καὶ αὐτὰ τὰ ῥήματα ἐξετάσωμεν, καὶ τῆς ἐπιβουλῆς τὸν τρόπον. Προσῆλθε, φησίν, ὁ ὄφις, καὶ εἶπε τῇ γυναικί· τί ὅτι εἶπεν ὁ Θεός, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ; ἐνταῦθα ὄφις, ἐκεῖ γυνὴ ἐπὶ τοῦ Ἰώβ. τέως πολὺ τῶν συμβούλων τὸ μέσον. ὁ μὲν γὰρ δοῦλος, ἡ δὲ κοινωνὸς τοῦ βίου· ἡ μὲν βοηθός, ὁ δὲ ὑποτέτακτο. εἶδες τὸ ἀσύγγνωστον ὅσον; τὴν μὲν γὰρ ὁ ὑποτεταγμένος καὶ δουλεύων ἠπάτησεν, ἐκεῖνον δὲ οὐδὲ ἡ κοινωνὸς καὶ βοηθὸς ὑποσκελίσαι ἴσχυσεν. ἀλλ' ἴδωμεν καὶ τί φησι. Τί ὅτι εἶπεν ὁ Θεός, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου; καὶ μὴν οὐκ εἶπεν ὁ Θεὸς τοῦτο, ἀλλὰ τὸ ἐναντίον. ὅρα οὖν κακουργίαν τοῦ διαβόλου. εἶπε τὸ μὴ εἰρημένον, ἵνα μάθῃ τὸ εἰρημένον. τί οὖν ἡ γυνή; δέον ἐπιστομίσαι, δέον μὴ μεταδοῦναι λόγου, ὑπὸ ἀνοίας ἐξεκάλυψε τὴν γνώμην τὴν δεσποτικήν· διὰ τοῦτο παρέσχεν αὐτῷ λαβὴν ἰσχυράν. ὅρα ὅσον * κακόν ἐστι τὸ ἁπλῶς τοῖς ἐχθροῖς καὶ τοῖς ἐπιβούλοις ἑαυτοὺς ἐγχειρίζειν. διὰ τοῦτο ὁ Χριστὸς ἔλεγε· Μὴ δότε τὰ ἅγια τοῖς κυσί, μηδὲ ῥίψητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, μήποτε στραφέντες ῥήξωσιν ὑμᾶς. τοῦτο δὲ ἐγένετο ἐπὶ τῆς Εὔας· ἔδωκε τὰ ἅγια τῷ κυνί, τῷ χοίρῳ· κατεπάτησεν ἐκεῖνος τὰ ῥήματα, στραφεὶς ἔρρηξε τὴν γυναῖκα. καὶ ὅρα πῶς κακουργεῖ· Οὐ θανάτῳ ἀποθανεῖσθε, φησίν. ἐνταῦθά μοι πρόσσχετε, ὅτι δυνατὴ ἦν

ἡ γυνὴ

Ματθ. κε.

κρίνουσι

Ματθ. ιβ. μα

Γεν. γ.

* λοιπὸν

Ματθ. ζ. ϛ.

ἡ γυνὴ συνιδεῖν τὴν ἀπάτην. εὐθέως γὰρ τὴν ἔχθραν καὶ τὸν πόλεμον προεξεκήρυττε τὸν πρὸς τὸν Θεόν, εὐθέως ἀπεναντίας ἐφθέγξατο. ἔσω· περὶ τούτου βουλόμενος μαθεῖν τὴν γνώμην ἔλεγες· μετὰ ταῦτα ἐναντία εἰπόντι τί ἠκολούθεις· εἶπεν ὁ Θεός, θανάτῳ ἀποθανεῖσθε· ἀντεφθέγξατο τούτοις ἐκεῖνος, καὶ εἶπεν, οὐ θανάτῳ ἀποθανεῖσθε. τί τοῦ πολέμου τούτου σαφέστερον; πόθεν ἄλλοθεν ἔδει μαθεῖν τὸν ἐχθρὸν καὶ πολέμιον, ἀλλ' ἢ ἐντεῦθεν ἐκ τοῦ ἀντιφθέγξασθαι τῷ Θεῷ; ἔδει τοίνυν φυγεῖν εὐθέως τὸ δέλεαρ, ἔδει τῆς παγίδος ἀποπηδῆσαι. οὐ θανάτῳ ἀποθανεῖσθε, φησίν. ᾔδει γὰρ ὁ Θεός, ὅτι ᾗ ἂν ἡμέρᾳ φάγητε, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί, καὶ ἔσεσθε ὡς θεοί. ἐλπίδι μείζονος ὑποσχέσεως καὶ τὰ ἐν χερσὶν ἐξέβαλεν ἀγαθά· ἐπηγγείλατο ποιήσειν θεούς, καὶ κατέβαλλεν εἰς τὴν τοῦ θανάτου τυραννίδα. πόθεν οὖν ἐπίστευσας, ὦ γύναι, τῷ διαβόλῳ; τί συνεῖδες ἀγαθόν; οὐκ ἤρκει ἡ ἀξιοπιστία τοῦ νομοθέτου, ὅτι ὁ μὲν Θεός, καὶ δημιουργὸς καὶ ποιητής· ὁ δὲ διάβολος, καὶ ἐχθρός; καὶ οὔπω λέγω διάβολον. ὄφιν αὐτὸν ἐνόμιζες εἶναι ψιλόν. ὄφιν οὖν, εἰπέ μοι, τοσαύτης ἰσηγορίας ἀξιῶσαι ἐχρῆν, ὡς καὶ δεσποτικὴν γνώμην ἐξαγγεῖλαι αὐτῷ; ὁρᾷς ὅτι δυνατὸν ἦν συνιδεῖν τὴν ἀπάτην, ἀλλ' οὐκ ἠθέλησεν αὕτη. ἴσ. αὐτ. καίτοι ὁ μὲν Θεὸς ἱκανὰς ἔδωκε τῆς εὐεργεσίας τῆς ἑαυτοῦ τὰς ἀποδείξεις, καὶ διὰ τῶν ἔργων τὴν κηδεμονίαν ἐπεδείξατο. καὶ γὰρ οὐκ ὄντα τὸν ἄνθρωπον ἔπλασε, καὶ ψυχὴν ἐνέπνευσε, καὶ κατ' εἰκόνα αὐτὸν ἐποίησεν, ἄρχοντα τῶν ἐπὶ γῆς ποιήσας ἁπάντων, καὶ βοηθὸν ἐχαρίσατο, καὶ παράδεισον ἐφύτευσε, καὶ τὴν χρῆσιν τῶν λοιπῶν ἐπιτρέψας δένδρων, ἑνὸς ἀπηγόρευσε μὴ ἅψασθαι μόνου, καὶ τοῦτο δὲ αὐτῷ χρησίμως ἐκώλυσεν. ὁ δὲ διάβολος ἔργῳ μὲν οὔτε μικρόν, οὔτε μέγα ἐπιδείξατο ἀγαθόν· ῥήμασι δὲ ψιλοῖς ἐπάρας τὴν γυναῖκα, καὶ φυσήσας ταῖς ματαίαις ἐλπίσιν, οὕτως ἠπάτησεν. ἀλλ' ὅμως τοῦ Θεοῦ τὸν διάβολον ἀξιοπιστότερον εἶναι ἐνόμισε, καίτοι διὰ τῶν ἔργων ἐπιδειξαμένου τὴν εὔνοιαν. χ. τῷ τὰ ῥήματα ψιλὰ προσενεγκόντι μόνα, ἄλλο δὲ οὐδὲν, ἐπίστευσεν ἡ γυνή. ὁρᾷς ὅπως ἐξ ἀνοίας μόνης καὶ ῥᾳθυμίας, οὐκ ἀπὸ βίας ἡ ἀπάτη γέγονε; καὶ ἵνα μάθῃς αὐτὸ σαφέστερον, ἄκουσον, πῶς καὶ ἡ γραφὴ κατηγορεῖ τῆς γυναικός. Γεν. γ. οὐ γὰρ εἶπεν, ἀπατηθεῖσα, ἀλλ' ἰδοῦσα τὸ ξύλον, ὅτι ὡραῖόν ἐστιν, ἔφαγεν. ὥστε τῆς ὄψεως τῆς ἀκρατοῦς τὸ ἔγκλημα, οὐ τῆς ἀπάτης τῆς παρὰ τοῦ διαβόλου μόνης. ὑπὸ γὰρ τῆς ἐπιθυμίας ἡττήθη τῆς οἰκείας, οὐχ ὑπὸ τῆς πονηρίας τοῦ δαίμονος. διὰ τοῦτο οὐδὲ συγγνώμης ἀπήλαυσεν, ἀλλ' εἰποῦσα, ὅτι ὁ ὄφις ἠπάτησέ με, καὶ οὕτω δίκην ἔδωκε τὴν ἐσχάτην. ἐν αὐτῇ γὰρ ἦν τὸ μὴ πεσεῖν. καὶ ἵνα μάθῃς τοῦτο σαφέστερον, φέρε ἐπὶ τὸν Ἰὼβ τὸν λόγον ἀγάγωμεν, ἀπὸ τῶν ἡττηθέντων ἐπὶ τὸν κρατήσαντα, ἀπὸ τῶν νενικημένων ἐπὶ τὸν νενικηκότα. καὶ γὰρ πλείονα ἡμῖν ἐντεῦθεν δώσει προθυμίαν, ὥστε ἀνταῖραι χεῖρας κατὰ τοῦ διαβόλου. ἐκεῖ ὄφις ἦν ὁ ἀπατῶν, καὶ ἐκράτησεν· ἐνταῦθα γυνή, καὶ οὐκ ἴσχυσε· καίτοι γε αὕτη πολλῷ πιθανωτέρα ἐκείνου. καὶ τὸ μὲν Ἰὼβ μετὰ τὴν ἀπώλειαν τῶν χρημάτων, μετὰ τὴν ἀποβολὴν τῶν παίδων καὶ τὴν γύμνωσιν τῶν ὄντων ἁπάντων ἡ μηχανὴ προσήγετο· ἐκεῖ δὲ οὐδὲν τοιοῦτον ἦν. οὐκ ἀπέβαλε παῖδας, οὐκ ἀπώλεσε χρήματα ὁ Ἀδάμ, οὐκ ἐπὶ κοπρίας ἐκάθητο, ἀλλὰ παράδεισον ᾤκει τρυφῆς, καὶ δένδρων ἀπήλαυε παντοδαπῶν, καὶ πηγῆς, καὶ ποταμῶν, καὶ τῆς ἄλλης ἀδείας ἁπάσης. οὐδαμοῦ πόνος, οὐδὲ ὀδύνη, οὐδὲ ἀθυμία καὶ φροντίδες, οὐδὲ ὀνείδη καὶ λοιδορίαι, οὐδὲ τὰ μυρία κακά, ἅπερ κατέσκηψεν εἰς τὸν Ἰώβ. ἀλλ' ὅμως οὐδενὸς ὄντος τοιούτου κατέπεσε καὶ ὑπεσκελίσθη. οὐκ εὔδηλον, ὅτι διὰ ῥᾳθυμίαν; ὥσπερ οὖν ἐκεῖνος πάντων τούτων ἐπικειμένων, καὶ βαρούντων ἔστη γενναίως, καὶ οὐ κατέπεσεν. οὐκ εὔδηλον ὅτι καὶ τοῦτο διὰ νῆψιν ψυχῆς; ἑκατέρωθεν οὖν, ἀγαπητέ, καρπῶσαι μέγιστον κέρδος, καὶ φύγε τὸν τοῦ Ἀδὰμ ζῆλον, εἰδὼς ὅσα ἀπὸ τῆς ῥᾳθυμίας τίκτεται κακά· ζήλωσον δὲ τὴν τοῦ Ἰὼβ εὐλάβειαν, μαθὼν ὅσα ἀπὸ τῆς σπουδῆς βλαστάνει καλά. χ. ἰδίαν τοῦτον διαπαντὸς λογίζου τὸν στεφανίτην, καὶ πάσης ὀδύνης καὶ περιστάσεως ἱκανὴν ἕξεις παραμυθίαν. καθάπερ γὰρ ἐν κοινῷ θεάτρῳ ἀπὸ τῆς οἰκουμένης ἑστὼς ὁ μακάριος καὶ γενναῖος ἐκεῖνος, ἅπασι διὰ τῶν συμβεβηκότων αὐτῷ παθῶν διαλέγεται πάντα φέρειν τὰ συμπίπτοντα γενναίως, καὶ πρὸς μηδὲν ἐνδιδόναι τῶν ἐπιόντων δεινῶν. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν ἀνθρώπινον πάθος, ὃ μὴ δύναται παραμυθίαν ἐκεῖθεν δέξασθαι. ἃ γὰρ ἐν πάσῃ τῇ οἰκουμένῃ διέσπαρται πάθη, ταῦτα ὁμοῦ συνελθόντα εἰς ἓν σῶμα κατέσκηψε τὸ ἐκείνου. τίς οὖν ἔσται συγγνώμη τῷ μὴ δυναμένῳ τὸ μέρος τῶν ἐπαχθέντων ἐκείνῳ δεινῶν μετ' εὐχαριστίας ἐνεγκεῖν, ὃς μὴ μέρος μόνον, ἀλλ' ὁλόκληρα φαίνεται τὰ πάντων ἀνθρώπων φέρων κακά; καὶ ἵνα μὴ καταγνῷς ὑπερβολὴν τοῦ λόγου, φέρε καθ' ἕκαστον ἐγχειρισάμενοι τῶν ἐπελθόντων αὐτῷ, τὴν ὑπόσχεσιν ταύτην ἐπάγωμεν. καί, εἰ βούλει, τὸ πάντων ἀφορητότερον εἶναι δοκοῦν, πρῶτον εἰς μέσον ἀγάγωμεν, τὴν πενίαν λέγω, καὶ τὴν ἐκ ταύτης ὀδύνην. τοῦτο γὰρ πανταχοῦ πάντες ἄνθρωποι θρηνοῦσι. τί οὖν τοῦ Ἰὼβ πενέστερον γέγονεν, ὃς καὶ τῶν ἐν βαλανείοις ἐρριμμένων, καὶ τῶν ἐν τῇ καμιναίᾳ τέφρᾳ καθευδόντων, καὶ πάντων ἁπλῶς ἀνθρώπων πενέστερος ἦν; οὗτοι μὲν γὰρ κἂν ἱμάτιον ἔχουσι διερρωγός, ἐκεῖνος δὲ γυμνὸς ἐκάθητο, καὶ ὃ μόνον ἱμάτιον εἶχε παρὰ τῆς φύσεως, τῆς σαρκὸς τὴν περιβολήν, χαλεπῇ σηπεδόνι καὶ τοῦτο πανταχόθεν διέφθειρεν ὁ διάβολος. πάλιν οὗτοι οἱ πένητες, κἂν ὑπὸ στέγην εἰσὶ τῶν προπυλαίων τῶν ἐν τοῖς βαλανείοις, κἂν καλύβῃ καλύπτονται· ἐκεῖνος δὲ αἴθριος διανυκτερεύων ἀεὶ διετέλει, οὐδὲ τὴν ἀπὸ ψιλῆς στέγης παραμυθίαν ἔχων· καὶ τὸ δὴ μεῖζον, ὅτι οὗτοι μὲν πολλὰ ἑαυτοῖς συνίσασι τὰ δεινά. τοῦτο γὰρ καθ' ἕκαστον τῶν συμβεβηκότων αὐτῷ παρατηρούμενον, ὃ μείζονα αὐτοῦ τὴν ὀδύνην ἐποίει, καὶ πλείονα τὴν ἀπορίαν εἰργάζετο, τὸ μηδὲ τὴν αἰτίαν τῶν γινομένων εἰδέναι. οὗτοι μὲν οὖν, ὅπερ ἔφην, πολλὰ ἂν ἔχοιεν ἑαυτοὺς αἰτιάσασθαι, οὐ μικρὸν δὲ τοῦτο εἰς παραμυθίαν συμφορᾶς, τὸ συνειδέναι ἑαυτῷ δικαίως τιμωρουμένῳ· ἐκεῖνος δὲ καὶ ταύτης ἀπεστέρητο τῆς παραμυθίας, καὶ πολιτείαν ἐπιδειξάμενος ἀρετῆς γέμουσαν, τὰ τῶν ἔσχατα τετολμηκότων ὑπέμεινε. καὶ οὗτοι μὲν οἱ παρ' ἡμῖν πένητες ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐνεμελέτησαν τῇ συμφορᾷ· ἐκεῖνος δὲ ἀμελέτητον ὑπέμεινε πενίαν, ἀθρόον δεξάμενος τὴν ἐκ τοῦ πλούτου μεταβολήν. ὥσπερ οὖν τὸ τὴν αἰτίαν εἰδέναι τῶν γινομένων, μέγιστον εἰς παραμυθίαν, οὕτως οὐκ ἔλαττον ἐκείνου τὸ μελετήσαντα πενίαν ἐξ ἀρχῆς, οὕτως ἐν πενίᾳ διάγειν· ὧν ἀμφοτέρων ὁ δίκαιος ἐκεῖνος ἐστέρητο, καὶ οὐδὲ οὕτω κατέπιπτεν. εἶδες αὐτὸν καὶ πρὸς ἐσχάτην ἐλθόντα πενίαν, καὶ μεθ' ἣν ἑτέραν οὐκ ἔστιν εὑρεῖν. τί γὰρ ἂν τοῦ γυμνοῦ, καὶ μηδὲ στέγην ἔχοντος πενέστερον γένοιτ' ἄν; μᾶλλον δὲ οὐδὲ ἐδάφους πάντως ἀπολαύειν κύριος ἦν. οὐ γὰρ ἐπὶ τῆς γῆς, ἀλλ' ἐπὶ τῆς κοπρίας ἐκάθητο. οὐκοῦν ὅταν ἴδῃς σαυτὸν ἐν πενίᾳ γινόμενον, ἐννόησον τοῦ δικαίου τὸ πάθος, καὶ εὐθέως ἀναστήσῃ, καὶ πάντα ἀποκρούσῃ λογισμὸν ἀθυμίας. μία μὲν οὖν αὕτη συμφορὰ πάντων ὁμοῦ τῶν δεινῶν ὑπόθεσις εἶναι δοκεῖ τοῖς ἀνθρώποις. δευτέρα δὲ μετ' ἐκείνην, μᾶλλον δὲ πρὸ ἐκείνης ἡ τοῦ σώματος πληγή. τίς οὖν οὕτως ἠρρώστησέ ποτε; τίς τοιαύτην νόσον ὑπέμεινε; τίς τοσαύτην πληγὴν ἐδέξατο, ἢ ἕτερον δεξάμενον εἶδεν; οὐκ ἔστιν οὐδείς. κατὰ μικρὸν αὐτῷ τὸ σῶμα ἐδαπανᾶτο, καὶ πηγὴ σκωλήκων αὐτῷ πάντοθεν ἔβρυεν ἀπὸ τῶν μελῶν, καὶ διηνεκὴς ἦν αὕτη ἡ ἐπιρροή, καὶ πολλὴ πανταχόθεν ἡ δυσωδία, καὶ τὸ σῶμα κατὰ μικρὸν ἀναιρούμενον καὶ τοιαύτῃ σηπεδόνι τηκόμενον ἀηδῆ τὰ σιτία ἐποίει, καὶ λιμὸς ἦν αὐτῷ ξένος καὶ παράδοξος. οὐδὲ γὰρ διδομένης ἠδύνατο τῆς τροφῆς ἀπολαύειν· Βρῶμον γάρ, φησιν, ὁρῶ τὰ σιτία μου. ὅταν οὖν ἀρρωστίᾳ περιπέσῃς, ἄνθρωπε, ἀναμνήσθητι τοῦ σώματος ἐκείνου, καὶ τῆς σαρκὸς τῆς ἁγίας. ἁγία γὰρ ἦν καὶ καθαρὰ καὶ τοιαῦτα ἔχουσα τραύματα. κἂν ἐν στρατείᾳ δέ τις ᾖ, εἶτα ἀδίκως καὶ χωρὶς εὐλόγου τινὸς προφάσεως ἀναρτηθεὶς ἐν τῷ ξύλῳ διαξαίνηται τὰς πλευράς, μήτε ὄνειδος εἶναι νομιζέτω τὸ πρᾶγμα, μήτε πρὸς τὴν ὀδύνην ἐνδιδότω, τὸν ἅγιον τοῦτον ἐννοῶν. ἀλλ' ἱκανὴν εἶχεν οὗτος παράκλησιν καὶ παραμυθίαν, φησί, τὸ εἰδέναι τὸν Θεὸν αὐτῷ ταῦτα ἐπάγοντα. Ιωβ. ς. ζ.

ἐπάγεται. τοῦτο μὲν οὖν αὐτὸν μάλιστα ἐτάραττε καὶ ἐθορύβει, ὅτι τὸν δίκαιον Θεὸν, καὶ παντὶ τρόπῳ παρ' αὐτοῦ θεραπευθέντα, τοῦτον ἐνόμιζεν αὐτῷ πολεμεῖν. καὶ παράφασίν τινα εὔλογον εὑρεῖν τῶν γινομένων οὐκ εἶχεν· ἐπεὶ ὅτι γε ἔμαθεν ὕστερον τὴν αἰτίαν, ὅρα πόσην εὐλάβειαν Ιωβ. μ. γ. ἐπεδείξατο. ὅτε γὰρ εἶπεν αὐτῷ ὁ Θεός· Ἄλλως με οἴει σοὶ κεχρηματικέναι, ἢ ἵνα δίκαιος ἀναφανῇς; καταπλαγείς, φησι· Χεῖρα θήσω ἐπὶ στόματί μου. ἅπαξ λελάληκα, ἐπὶ δὲ τῷ δευτέρῳ οὐ προσθήσω. καὶ πάλιν, Ἕως μὲν ὠτὸς ἀκοῆς ἤκουόν σε τὸ πρότερον· νυνὶ δὲ ὁ ὀφθαλμός μου ἑώρακέ σε. διὸ ἐφαύλισα ἐμαυτὸν, καὶ ἐτάκην· ἥγημαι δὲ ἐμαυτὸν γῆν καὶ σποδόν. εἰ δὲ ἀρκεῖ τοῦτο εἰς παράκλησιν νομίζεις, δυνήσῃ δὲ καὶ αὐτὸς ταύτην τὴν παραμυθίαν ἔχειν. κἂν γὰρ μὴ διὰ τὸν Θεὸν πάθῃς τι τῶν δεινῶν, ἀλλ' ἐξ ἀνθρώπων ἐπηρείας, εὐχαριστήσῃς δὲ, καὶ μὴ βλασφημήσῃς τὸν δυνάμενον κωλῦσαι μὲν, ἀφέντα δὲ τῆς σῆς ἕνεκεν δοκιμῆς, ὥσπερ οἱ διὰ τὸν Θεὸν παθόντες στεφανοῦνται, οὕτω καὶ σὺ τῶν αὐτῶν ἐπιτεύξῃ μισθῶν, ὅτι τὰς παρὰ ἀνθρώπων ἐπαχθείσας σοι συμφορὰς γενναίως ἤνεγκας, καὶ τῷ δυναμένῳ αὐτὰς κωλῦσαι μὲν, μὴ βουληθέντι δὲ, ηὐχαρίστησας. ἰδοὺ τοίνυν καὶ πενίαν καὶ νόσον, καὶ ἀμφότερα μετὰ τῆς ἐσχάτης ὑπερβολῆς εἶδες ἐπενεχθέντα τῷ δικαίῳ. βούλει σοι καὶ τὸν παρὰ τῆς φύσεως πόλεμον ἐπιδείξω μετὰ τοσαύτης ὑπερβολῆς τῷ γενναίῳ τότε ἐπιθέμενον ἐκείνῳ; δέκα τέκνα ἀπώλεσε, τὰ δέκα ἀθρόον, τὰ δέκα ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας, τὰ δέκα πολλὴν ἀρετὴν ἐπιδεδειγμένα, καὶ οὐδὲ τῷ κοινῷ τῆς φύσεως νόμῳ, ἀλλὰ βιαίῳ θανάτῳ καὶ ἐλεεινῷ. τίς ἂν ἔχοι τοιαύτην συμφορὰν εἰπεῖν; οὐκ ἔστιν οὐδείς. ὅταν οὖν ἀποβάλῃς υἱὸν καὶ θυγατέρα ὁμοῦ, ἀνάδραμε πρὸς τὸν δίκαιον ἐκεῖνον, καὶ πάντως εὑρήσεις πολλὴν σαυτῷ τὴν παραμυθίαν. ἆρα οὖν ταῦτα μόνα αὐτῷ συνέβη τὰ δεινά; ἡ δὲ τῶν φίλων ἐγκατάλειψις καὶ προδοσία, τὰ δὲ σκώμματα καὶ αἱ λοιδορίαι, ἡ δὲ χλευασία καὶ ὁ γέλως. τὸ δὲ ὑπὸ πάντων διασύρεσθαι, τί ἀφόρητον ἦν. οὐ γὰρ οὕτως ἡ τῶν συμφορῶν φύσις, ὡς οἱ παρὰ τὰς συμφορὰς ἡμῖν ὀνειδίζοντες δάκνειν ἡμῶν εἰώθασι τὴν ψυχήν. οὐ μόνον ὁ παρακαλῶν οὐκ ἦν, ἀλλὰ καὶ πολλοὶ πολλαχόθεν ἐπέκειντο ὀνειδίζοντες. καὶ ὁρᾷς αὐτὸν τοῦτο ἀποδυρόμενον, καὶ λέγοντα· Απὰρ δὲ καὶ ὑμεῖς ἐπέβητέ μοι. καὶ ἀνελεήμονας αὐτοὺς Ιωβ. ιθ. ιζ. καλεῖ, καί φησιν· Ὅτι ἀπείπαντό με οἱ πλησίον μου, καὶ οἱ οἰκέται μου κατ' ἐμοῦ ἐλάλουν· καὶ υἱοὺς παλλακίδων μου ἐκάλουν, αὐτοὶ δὲ ἀπεπήδων. ἕτεροι δέ, φησιν, ἐνέπτυόν μοι, καὶ Ιωβ. λ. θ. θρύλλημα πάντων ἐγενόμην, καὶ αὐτή, φησιν, ἡ στολή μου ἐβδελύξατό με. Ιωβ. θ. λα. ταῦτά τις οὐδὲ ἀκοῦσαι φορητὰ, μή τί γε διὰ τῶν πραγμάτων αὐτῶν ὑπομεῖναι. πενία ἐσχάτη, καὶ νόσος ἀφόρητος καὶ καινὴ καὶ παράδοξος· παίδων ἀποβολὴ τοσούτων, καὶ τοιούτων καὶ τοιούτῳ τρόπῳ· ὀνείδη, καὶ σκώμματα, καὶ λοιδορίαι παρὰ ἀνθρώπων. οἱ μὲν ἐχλεύαζον, οἱ δὲ ὠνείδιζον, οἱ δὲ κατεφρόνουν, οὐκ ἐχθροὶ μόνοι, ἀλλὰ καὶ φίλοι· οὐ φίλοι μόνον, ἀλλὰ καὶ οἰκέται· οὐκ ἐχλεύαζον δὲ, οὐδὲ ὠνείδιζον μόνον, ἀλλὰ καὶ ἐβδελύσσοντο, καὶ ταῦτα οὐκ ἐπὶ δύο καὶ τρεῖς καὶ δέκα ἡμέραις, ἀλλ' ἐπὶ πολλοῖς τοῖς μησί· καὶ ὅπερ ἔτι ἐκείνου συνέβη μόνου, οὐδὲ τὴν ἀπὸ τῆς νυκτὸς εἶχε παραμυθίαν, ἀλλὰ τῶν μὲν ἡμέραν δεινῶν προσθήκη μείζων ἦν ἡ τῶν νυκτερινῶν φόβων φαντασία. ὅτι γὰρ χαλεπώτερα ἐν τοῖς ὕπνοις ὑπέμενεν, ἄκουσον τί φησι. Διὰ τί με φοβεῖς ἐν ὕπνοις, καὶ ἐν ὁράμασί με καταπλήσσεις; ποῖος σιδηροῦς ἄνθρωπος, ποῖος ἀδάμας τοσαῦτα ἂν ὑπέμεινε δεινά; εἰ γὰρ καὶ καθ' ἑαυτὸ τούτων ἕκαστον ἀφόρητον, ἐννόησον ὁμοῦ συνελθόντα πόσον ἤγειρε θόρυβον. ἀλλ' ὅμως ἐκεῖνος ἅπαντα ταῦτα ὑπήνεγκε, καὶ ἐν ἅπασι τοῖς συμβεβηκόσιν αὐτῷ οὐχ ἥμαρτεν, οὐδὲ ἐν τοῖς χείλεσιν αὐτοῦ ἐγένετο δόλος. γινέσθω τοίνυν ἐκείνου τὰ πάθη φάρμακα τῶν ἡμετέρων κακῶν, καὶ τὸ χαλεπὸν τούτου κλυδώνιον τῶν ἡμετέρων παθῶν λιμήν, καὶ ἐφ' ἑκάστῳ τῶν συμβαινόντων ἡμῖν ἀναλογιζώμεθα τὸν ἅγιον· καὶ ὁρῶντες ἓν σῶμα τὰ τῆς οἰκουμένης ἀντλῆσαν δεινὰ, γενναίως ἡμεῖς ἐπὶ τοῖς κατὰ μέρος διακεισώμεθα· καὶ καθάπερ πρὸς μητέρα τινὰ φι-

λόστοργον

λέγομεν, πανταχόθεν τὰς χεῖρας ἐκτείνουσαι καὶ τὰ παιδία πεφοβημένα δεχόμεναι καὶ ἀνακτώμεναι, οὕτω πρὸς τὴν βίβλον ταύτην ἀεὶ καταφεύγωμεν. καὶ τὰ πάντων οἴκτιστα ἡμῖν ἔσται ἡ δίκη, ἱκανὴν πάντων λαβόντες τὴν παραμυθίαν, οὕτως ἀπελευσόμεθα. Εἰ δὲ λέγοις, ὅτι ἐκεῖνος Ἰὼβ ἦν, καὶ διὰ τοῦτο ἤνεγκεν, ἐγὼ δὲ οὐκ εἰμὶ κατ' ἐκεῖνον, μείζονά μοι συνάξεις λέγων τὴν κατηγορίαν, καὶ τοῦ δικαίου πάλιν ἔπαινον. μᾶλλον γὰρ σὲ εἰκὸς ἐνεγκεῖν, ἢ ἐκεῖνον. τί δήποτε; ὅτι ἐκεῖνος μὲν πρὸ τῆς χάριτος, καὶ πρὸ τοῦ νόμου, ὅτε οὐ πολλὴ τῆς πολιτείας ἦν ἀκρίβεια, ὅτε οὐ τοσαύτη τοῦ πνεύματος ἡ χάρις, ὅτε δυσκαταγώνιστος ἡ ἁμαρτία, ὅτε ἡ κατάρα ἐκράτει, ὅτε ὁ θάνατος φοβερὸς ἦν· νυνὶ δὲ εὐκολώτερα τὰ παλαίσματα γέγονε, μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν πάντων τούτων ἀνῃρημένων. ὥστε οὐδεμία ἡμῖν ἀπολογία μετὰ τοσοῦτον χρόνον, καὶ τοσαύτην ἐπίδοσιν, καὶ τοσαύτας δωρεὰς παρὰ τοῦ Θεοῦ δοθείσας ἡμῖν μὴ δυναμένοις εἰς τὸ αὐτὸ ἐκείνῳ φθάσαι μέτρον. ταῦτ' οὖν ἅπαντα ἐννοοῦντες, ὅτι μείζονα ἐκείνου ἦν τὰ δεινά, καὶ ὅτι χαλεπώτερος ἦν ὁ ἀγών, ὅτε ἀπεδύσατο καὶ ἐπάλαισε, φέρωμεν ἅπαντα τὰ ἐπιόντα γενναίως ἡμῖν, καὶ μετὰ πολλῆς τῆς εὐχαριστίας· ἵνα δυνηθῶμεν τῶν αὐτῶν ἐκείνῳ στεφάνων τυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα σὺν τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

. ἐκ ἴσω
. λείπει ὅτε
. τῷ

ΧΡΥΣΟΣΤΟΜΟΥ ΚΑΤΗΧΗΣΙΣ ΠΡΩΤΗ ΠΡΟΣ ΤΟΥΣ ΜΕΛΛΟΝΤΑΣ φωτίζεσθαι, καὶ διὰ τί λουτρὸν παλιγγενεσίας, καὶ οὐκ ἀφέσεως ἁμαρτημάτων λέγεται· καὶ ὅτι ἐπικίνδυνον οὐ τὸ ἐπιορκεῖν μόνον, ἀλλὰ καὶ τὸ ὀμνύειν, κἂν εὐορκῶμεν.

ΩΣ ποθεινὸς καὶ ἐπέραστος τῶν νέων ἡμῖν ἀδελφῶν ὁ χορός; ἀδελφοὺς γὰρ ὑμᾶς ἐγὼ καὶ πρὸ τῶν ὠδίνων ἤδη καλῶ, καὶ πρὸ τοῦ τόκου τὴν συγγένειαν τὴν πρὸς ὑμᾶς ἀσπάζομαι. οἶδα γὰρ, οἶδα σαφῶς, εἰς ὅσην τιμὴν ἄγεσθαι μέλλετε ἡμέραν, εἰς ὅσην δὲ ἀρχήν· τοὺς δὲ ἀρχὴν μέλλοντας λαμβάνειν, καὶ πρὸ τῆς ἀρχῆς εἰώθασι τιμᾶν ἅπαντες, διὰ τῆς θεραπείας εὔνοιαν ἑαυτοῖς προαποτιθέμενοι πρὸς τὸ μέλλον. τοῦτο δὲ καὶ αὐτὸς ποιῶ νῦν. οὐ γὰρ εἰς ἀρχὴν ἄγεσθαι μέλλετε ψιλὴν, ἀλλ' εἰς βασιλείαν αὐτήν· μᾶλλον δὲ οὐκ εἰς βασιλείαν ἁπλῶς, ἀλλ' εἰς αὐτὴν τὴν οὐρανῶν τῶν βασιλείαν. διὰ τοῦτο ὑμῶν δέομαι καὶ ἀντιβολῶ, ἵνα μνησθῆτέ μου, ὅταν ἔλθητε εἰς τὴν βασιλείαν ἐκείνην· καὶ ὅπερ ὁ Ἰωσὴφ ἔλεγε πρὸς τὸν ἀρχιοινοχόον, Μνήσθητί μου ὅταν εὖ σοι γένηται· Γεν. μ ιγ. τοῦτο κἀγὼ λέγω πρὸς ὑμᾶς ἄρτι, ἀναμνήσθητέ μου, ὅταν εὖ ὑμῖν γένηται. οὐκ ἐνυπνίων ταύτην ἀπαιτῶ τὴν ἀμοιβὴν, καθάπερ ἐκεῖνος. οὐ γὰρ ὀνείρατα ἦλθον διαλῦσαι ὑμῖν, ἀλλὰ τὰ ἐν τοῖς οὐρανοῖς διηγησόμενος πράγματα, καὶ εὐαγγέλια κομίζων ἀγαθῶν τοιούτων, οἷα οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη· τοιαῦτα ἐστιν ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. ὁ μὲν οὖν Ἰωσὴφ ἔλεγε πρὸς τὸν οἰνοχόον ἐκεῖνον, Ἔτι τρεῖς ἡμέραι, καὶ ἀποκαταστήσει σε Φαραὼ εἰς τὴν ἀρχιοινοχοΐαν σου· Γεν. μ. ἐγὼ δὲ οὐ λέγω, ἔτι τρεῖς ἡμέραι, καὶ εἰς οἰνοχοΐαν ἐνεχθήσεσθε τυράννου· ἀλλ', ἔτι τριάκοντα ἡμέραι, καὶ ἀποκαταστήσει ὑμᾶς, οὐχὶ Φαραὼ, ἀλλ' ὁ τῶν οὐρανῶν βασιλεὺς εἰς τὴν ἄνω πατρίδα, εἰς τὴν ἐλευθέραν Ἱερουσαλὴμ, εἰς τὴν πόλιν τὴν ἐν τοῖς οὐρανοῖς. κἀκεῖνος μὲν ἔλεγεν, ὅτι δώσεις τὸ ποτήριον εἰς χεῖρας Φαραώ· ἐγὼ δὲ οὐ λέγω, ὅτι δώσετε τὸ ποτήριον εἰς τὰς χεῖρας τοῦ βασιλέως, ἀλλ᾽ ὅτι αὐτὸς ὁ βασιλεὺς εἰς χεῖρα τὴν ὑμετέραν δώσει τὸ ποτήριον τὸ φρικτὸν, καὶ πολλῆς γέμον δυνάμεως, καὶ τῆς κτίσεως τιμιώτερον ἁπάσης. ἴσασιν οἱ μεμυημένοι τοῦ ποτηρίου τούτου τὴν ἰσχύν· εἴσεσθε δὲ καὶ ὑμεῖς μικρὸν ὕστερον. μνήσθητε οὖν, ὅταν ἔλθητε εἰς τὴν βασιλείαν ἐκείνην, ὅταν τὸ ἱμάτιον τὸ βασιλικὸν ἀπολάβητε, ὅταν τὴν πορφύραν περιβάλησθε τὴν αἵματι βαφεῖσαν δεσποτικῷ, ὅταν διάδημα ἀναδήσησθε τῶν ἡλιακῶν ἀκτίνων φαιδροτέρας ἔχον πανταχόθεν ἐκπηδώσας λαμπηδόνας. τοιαῦτα γὰρ τοῦ νυμφίου τὰ ἕδνα· μείζονα μὲν τῆς ἡμετέρας ἀξίας, ἄξια δὲ τῆς αὐτοῦ φιλανθρωπίας. διὰ ταῦτα ὑμᾶς ἐντεῦθεν ἤδη καὶ πρὸ τῶν ἱερῶν ἐκείνων μακαρίζω παστάδων· οὐ μακαρίζω δὲ μόνον, ἀλλὰ καὶ ἐπαινῶ τὴν εὐγνωμοσύνην, ὅτι μὴ, καθάπερ οἱ ῥᾳθυμότεροι τῶν ἀνθρώπων, ἐν ἐσχάταις ἀναπνοαῖς τῷ φωτίσματι προσήλθετε· ἀλλ᾽ ἐντεῦθεν ἤδη, καθάπερ οἰκέται εὐγνώμονες, μετὰ πολλῆς εὐνοίας τῷ ἀγαθῷ δεσπότῃ παρεσκευασμένοι, τὸν αὐχένα τῆς ψυχῆς μετὰ πολλῆς ἐπιεικείας τε καὶ προθυμίας ὑπὸ τὴν ζεύγλην ἠγάγετε τοῦ Χριστοῦ, καὶ τὸν ζυγὸν ἐδέξασθε τὸν χρηστὸν, καὶ τὸ φορτίον ἐλάβετε τὸ ἐλαφρόν. εἰ γὰρ καὶ τῆς χάριτος ἴσα ὑμῖν καὶ τοῖς ἐν τῇ τελευτῇ μυσταγωγουμένοις, ἀλλὰ τὰ τῆς προαιρέσεως οὐκ ἴσα, οὐδὲ τὰ τῆς παρασκευῆς τῶν πραγμάτων. ἐκεῖνοι μὲν γὰρ ἐν τῇ κλίνῃ λαμβάνουσιν, ὑμεῖς δὲ ἐν τοῖς κόλποις τῆς ἐκκλησίας τῆς κοινῆς ἁπάντων ἡμῶν μητρός· κἀκεῖνοι μὲν ὀδυρόμενοι καὶ δακρύοντες, ὑμεῖς δὲ χαίροντες καὶ εὐφραινόμενοι· ἐκεῖνοι στένοντες, ὑμεῖς δὲ εὐχαριστοῦντες· κἀκεῖνοι μὲν πολλῷ κεκαρωμένοι τῷ πυρετῷ, ὑμεῖς δὲ πολλῆς ἐμπεπλησμένοι τῆς πνευματικῆς ἡδονῆς. ὅθεν ἐνταῦθα μὲν ἅπαντα σύμφωνα τῇ δωρεᾷ, ἐκεῖ δὲ πάντα ἐναντία τῇ δωρεᾷ. καὶ γὰρ θρῆνος καὶ ὀδυρμὸς πολὺς μυσταγωγουμένων αὐτῶν, καὶ παιδία περιέστανται κλαίοντα, καὶ γυνὴ τὰς παρειὰς καταξαίνουσα, καὶ φίλοι κατηφεῖς, καὶ οἰκέται δακρύων γέμοντες· ὅλον δὲ τῆς οἰκίας σχῆμα χειμερινήν τινα καὶ ζοφώδη μιμεῖται ἡμέραν. ἐὰν δὲ αὐτὴν τοῦ κατακειμένου τὴν καρδίαν ἀνακαλύψῃς, σκυθρωποτέραν τούτων εὑρήσεις. καθάπερ γὰρ ἄνεμοι μετὰ πολλῆς τῆς ῥύμης ἐξ ἐναντίας ἀλλήλοις ἐμβάλλοντες εἰς πολλὰ τὸ πέλαγος διατέμνουσι μέρη, οὕτω καὶ οἱ λογισμοὶ τῶν τότε κατεχόντων δεινῶν εἰς τὴν τοῦ κάμνοντος ἐμπίπτοντες ψυχὴν, εἰς πολλὰς τὴν ἐκείνου διάνοιαν σχίζουσι φροντίδας. ὅταν εἰς τὰ παιδία ἀπίδῃ, τὴν ὀρφανίαν αὐτῶν ἐννοεῖ· ὅταν πρὸς τὴν γυναῖκα ἀποβλέψῃ, τὴν χηρείαν λογίζεται· ὅταν ἴδῃ τοὺς οἰκέτας, τὴν ἐρημίαν ἁπάσης σκοπεῖ τῆς οἰκίας· ὅταν πρὸς ἑαυτὸν ἐπανέλθῃ, τῆς παρούσης ἑαυτὸν ἀναμιμνήσκει ζωῆς, καὶ ἀπορρήγνυσθαι μέλλων, πολὺ δέχεται τῆς ἀθυμίας τὸ νέφος. τοιαύτη ἡ τοῦ μέλλοντος μυσταγωγεῖσθαι ψυχή. εἶτα μεταξὺ τῶν θορύβων καὶ τῆς ταραχῆς αὐτῆς ἐπεισέρχεται ὁ ἱερεὺς αὐτοῦ τοῦ πυρετοῦ φοβερώτερος ὤν, καὶ τοῦ θανάτου τοῖς τοῦ κάμνοντος προσήκουσιν ἀπηνέστερος. τῆς γὰρ τοῦ ἰατροῦ φωνῆς τῆς ἀπογινωσκούσης τὴν ζωὴν τὴν ἐκείνου, μείζων ἀπόγνωσις εἶναι νομίζεται ἡ τοῦ πρεσβυτέρου εἴσοδος, καὶ θανάτου σύμβολον εἶναι δοκεῖ τῆς αἰωνίου ζωῆς ἡ ὑπόθεσις. ἀλλ᾽ οὔπω τὸν κολοφῶνα ἐπέθηκα τῶν κακῶν. μεταξὺ γὰρ θορυβούντων τῶν ἐπιτηδείων καὶ παρασκευαζομένων, πολλάκις ἔρημον ἀφεῖσα τὸ σῶμα ἀπεπήδησεν ἡ ψυχή, πολλοὺς δὲ καὶ παροῦσα οὐδὲν ὤνησεν. ὅταν γὰρ μήτε τοὺς παρόντας ἐπιγινώσκῃ, μήτε φωνῆς ἀκούῃ, μήτε ἀποκρίνασθαι δύνηται τὰ ῥήματα ἐκεῖνα, δι᾽ ὧν τὴν μακαρίαν συνθήκην πρὸς τὸν κοινὸν ἡμῶν ἁπάντων καταθήσεται δεσπότην, ἀλλ᾽ ὥσπερ ξύλον ἀργὸν, ἢ λίθος, ὁ φωτίζεσθαι μέλλων πρόκειται, νεκροῦ μηδὲν διαφέρων, τί τῆς μυσταγωγίας ὄφελος ἐν ἀναισθησίᾳ τοσαύτῃ; τὸν γὰρ τοῖς ἱεροῖς τούτοις καὶ φρικτοῖς μέλλοντα προσιέναι μυστηρίοις ἐγρηγορέναι χρὴ καὶ διεγηγέρθαι, πάσης βιωτικῆς φροντίδος εἶναι καθαρὸν, πολλῆς γέμοντα σωφροσύνης, πολλῆς προθυμίας, πάντα τὸν μυστη-

ρίων

είων ἀλλότριον λογισμὸν ἐξορίζειν τῆς διανοίας, καὶ πάντοθεν καθαρὸν παρασκευάζειν τὸν οἶκον,
ὥσπερ αὐτὸν ὑποδέχεσθαι μέλλοντα τὸν βασιλέα· τοιαύτη τῆς ὑμετέρας διανοίας ἡ παρασκευὴ,
τοιοῦτοι παρ' ὑμῶν οἱ λογισμοὶ, τοιαύτη τῆς ψυχῆς ἡ προαίρεσις. τὴν μὲν οὖν ἀξίαν
ἀμοιβὴν τῆς ἀρίστης ταύτης γνώμης ἀναμένετε παρὰ τοῦ Θεοῦ τοῦ ταῖς ἀντιδόσεσι νικῶντος
τοὺς τὴν ὑπακοὴν ἐπιδεικνυμένους τὴν πρὸς αὐτόν. ἐπειδὴ δὲ χρὴ καὶ τοῖς συνδούλοις τὰ
παρ' ἑαυτῶν εἰσενεγκεῖν, καὶ τὰ παρ' ἡμῶν εἰσοίσομεν· μᾶλλον δὲ οὐδὲ ταῦτα ἡμέτερα, ἀλλὰ
καὶ ταῦτα δεσποτικά. Τί γὰρ ἔχεις, φησὶν, ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι α. Κορ. δ. ζ.
ὡς μὴ λαβών;

Ἠβουλόμην μὲν πρῶτον ἁπλῶς εἰπεῖν, τί δήποτε παραδραμόντες ἡμῶν οἱ πατέρες
ἅπαντα τὸν ἐνιαυτὸν ἐν τούτῳ τῷ καιρῷ μυσταγωγεῖσθαι τὰ τέκνα τῆς ἐκκλησίας ἐνομοθέτησαν,
καὶ τίνος ἕνεκεν μετὰ τὴν παρ' ἡμῶν διδασκαλίαν ὑπολύσαντες ὑμᾶς καὶ ἀποδύσαντες,
γυμνοὺς καὶ ἀνυποδέτους μετὰ τοῦ χιτωνίσκου μόνου πρὸς τὰς τῶν ἐξορκιζόντων παραπέμπουσι
φωνάς. οὐ γὰρ ἁπλῶς, οὐδὲ εἰκῇ καὶ τὸ σχῆμα καὶ τὸν καιρὸν ἐκεῖνοι τοῦτον ἡμῖν διετύπωσαν·
ἀλλ' ἔχει ταῦτα ἀμφότερα μυστικόν τινα λόγον καὶ ἀπόρρητον. καὶ τοῦτον ὑμῖν ἐβουλόμην
εἰπεῖν· ὁρῶ δὲ ὅτι πρὸς ἕτερον ἀναγκαιότερον ἡμᾶς κατεπείγει νῦν ὁ λόγος. ἀνάγκη
γὰρ εἰπεῖν τί ποτέ ἐστι τὸ βάπτισμα, καὶ τίνος ἕνεκεν εἰς τὸν βίον εἰσῆλθε τὸν ἡμέτερον, καὶ
πόσα κομίζει ἡμῖν τὰ ἀγαθά. ἀλλ', εἰ βούλεσθε, πρότερον περὶ τῆς προσηγορίας τοῦ μυστικοῦ
τούτου καθαρμοῦ διαλεχθῶμεν. οὐ γὰρ ἔστιν ἓν αὐτῷ ὄνομα, ἀλλὰ πολλὰ καὶ παντοδαπά.
τὸ γὰρ καθάρσιον τοῦτο καλεῖται λουτρὸν παλιγγενεσίας. Ἔσωσε γὰρ ἡμᾶς, φησὶ, διὰ Τιτ. γ. ε.
λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως πνεύματος ἁγίου. καλεῖται καὶ φώτισμα, καὶ τοῦτο αὐτὸ Εβρ. ι. λβ.
Παῦλος αὐτὸ πάλιν ἐκάλεσεν. Ἀναμιμνήσκεσθε γὰρ τὰς πρότερον ἡμέρας, ἐν αἷς
φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων. καὶ πάλιν, Ἀδύνατον γὰρ τοὺς ἅπαξ Εβρ. ς. δ.
φωτισθέντας καὶ γευσαμένους τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ παραπεσόντας, πάλιν
ἀνακαινίζειν εἰς μετάνοιαν. καλεῖται καὶ βάπτισμα· Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν Γαλ. γ. κζ.
ἐνεδύσασθε. καλεῖται ταφή. Συνετάφητε γὰρ αὐτῷ, φησὶ, διὰ τοῦ βαπτίσματος εἰς τὸν Ρωμ. ς. δ.
θάνατον. καλεῖται περιτομή. Ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει Κολασ. β. ια.
τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκός. καλεῖται σταυρός. Ὁ παλαιὸς γὰρ ἡμῶν ἄνθρωπος Ρωμ. ς. ς.
συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας. ἔστι καὶ ἕτερα πλείονα τούτων
εἰπεῖν ὀνόματα· ἀλλ' ἵνα μὴ τὸν καιρὸν ἅπαντα εἰς τὰς προσηγορίας τοῦ χαρίσματος
ἀναλώσωμεν, φέρε ἐπὶ τὴν προτέραν προσηγορίαν ἐλθόντες, καὶ ταύτης τὴν σημασίαν
εἰπόντες, καταπαύσωμεν τὸν λόγον. τέως δὲ ἀνωτέρω μικρὸν τὴν διδασκαλίαν ἑλκύσωμεν.
ἔστι τὸ κοινὸν ἁπάντων ἀνθρώπων λουτρὸν, τὸ διὰ τῶν βαλανείων, ὃ τὸν τοῦ σώματος
ἀποσμήχειν εἴωθε ῥύπον. ἔστι δὲ καὶ λουτρὸν Ἰουδαϊκὸν, ἐκείνου μὲν σεμνότερον, τοῦ δὲ τῆς
χάριτος πολὺ κατώτερον· καὶ αὐτὸ μὲν γὰρ σωματικὸν ἀποσμήχει ῥύπον, ἀλλ' οὐχ ἁπλῶς
σωματικὸν, ἀλλὰ καὶ συνειδότος ἁπτόμενον ἀσθενοῦς. ἔστι γὰρ πολλὰ τῶν πραγμάτων,
ἃ φύσει μὲν οὐκ ἔστιν ἀκάθαρτα· ἀπὸ δὲ τῆς ἀσθενείας τοῦ συνειδότος ἀκάθαρτα γίνεται. καὶ
καθάπερ ἐπὶ τῶν παιδίων τὰ προσωπεῖα καὶ τὰ λοιπὰ μορμολύκεια φύσει μὲν οὐκ ἔστι φοβερὰ,
φοβερὰ δὲ εἶναι τοῖς παιδίοις δοκεῖ διὰ τὴν τῆς φύσεως ἀσθένειαν· οὕτω καὶ ἐπὶ τούτων, ὧν
εἶπον, οἷόν ἐστι τὸ νεκρῶν ἅπτεσθαι σωμάτων, φύσει μὲν οὐκ ἔστιν ἀκάθαρτον· ὅταν δὲ ἀσθενοῦς
ἐπιλάβηται συνειδότος, ἀκάθαρτον ποιεῖ τὸν ἁπτόμενον. ὅτι γὰρ οὐκ ἔστιν ἀκάθαρτον φύσει
τὸ πρᾶγμα, αὐτὸς ὁ ταῦτα διαταξάμενος Μωϋσῆς ἐδήλωσεν, ὁλόκληρον ἐπιφερόμενος
μεθ' ἑαυτοῦ νεκρὸν τὸν Ἰωσὴφ, καὶ μένων καθαρός. διὰ τοῦτο καὶ Παῦλος ἡμῖν περὶ τῆς ἀκαθαρσίας
ταύτης διαλεγόμενος τῆς οὐ φύσει γινομένης, ἀλλὰ δι' ἀσθένειαν τοῦ συνειδότος ὑποσί
πως φησίν· Οὐδὲν κοινὸν δι' ἑαυτοῦ, εἰ μὴ τῷ λογιζομένῳ τι κοινὸν εἶναι. ὁρᾷς τὴν ἀκα- Ρωμ. ιδ. ιδ.

θαρσίαν, οὐκ ἀπὸ τῆς τοῦ πράγματος φύσεως, ἀλλ' ἀπὸ τῆς ἀσθενείας τοῦ λογισμοῦ γινομένην; καὶ πάλιν, Πάντα μὲν καθαρά, ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ τῷ διὰ προσκόμματος ἐσθίοντι". Ῥωμ. ιδ. κ.

* * * *

τοῦτο αἴτιον ἀκαθαρσίας. τὴν τοιαύτην τοίνυν κηλῖδα τὸ Ἰουδαϊκὸν ἐξεκάθαρε λουτρόν· τὸ δὲ τῆς χάριτος, οὐ τοιαύτην, ἀλλὰ τὴν ὄντως ἀκαθαρσίαν, τὴν μετὰ τοῦ σώματος καὶ τῆς ψυχῆς πολλὴν ἐντεθεῖσαν τὴν κηλῖδα. οὐ γὰρ τοὺς νεκρῶν ἁψαμένους σωμάτων, ἀλλὰ τοὺς νεκρῶν πράξεων ἁψαμένους, τούτους ποιεῖ καθαρούς. κἂν μαλακός, κἂν πόρνος ᾖ τις, κἂν εἰδωλολάτρης, κἂν ὅ,τι δὴ ἂν εἰργασμένος δεινόν, κἂν ἅπασαν τὴν ἐν ἀνθρώποις πονηρίαν ἔχων ᾖ, ἐμπεσὼν εἰς τὴν τῶν ὑδάτων κολυμβήθραν, τῶν ἡλιακῶν καθαρώτερος ἀκτίνων ἄνεισιν ἀπὸ τῶν θείων ναμάτων. καὶ ἵνα μὴ νομίσῃς κόμπον εἶναι τὰ λεγόμενα, ἄκουσον Παύλου λέγοντος περὶ τῆς τοῦ λουτροῦ δυνάμεως. α. Κορ. ϛ. θ. Μὴ πλανᾶσθε· οὔτε εἰδωλολάτραι, οὔτε πόρνοι, οὔτε μοιχοί, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται, οὔτε πλεονέκται, οὐ μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ κληρονομήσουσι. καὶ τί τοῦτο πρὸς τὰ εἰρημένα, φησί; τὸ γὰρ ζητούμενον δεῖξαι, εἰ πάντα ἐκκαθαίρει ταῦτα ἡ τοῦ λουτροῦ δύναμις. οὐκοῦν ἄκουσον τῶν ἑξῆς. Καὶ ταῦτά τινες ἦτε· ἀλλὰ ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ πνεύματι τοῦ Θεοῦ ἡμῶν. ἡμεῖς μὲν ὑπισχνούμεθα δεῖξαι ὑμῖν καθαροὺς πορνείας γινομένους ἀπάσης τοὺς τῷ λουτρῷ προσιόντας· ὁ δὲ λόγος πλέον ἀπέδειξεν, οὐ καθαροὺς μόνον, ἀλλὰ καὶ δικαίους καὶ ἁγίους γινομένους. οὐ γὰρ εἶπεν, ἀπελούσασθε μόνον, ἀλλὰ καὶ ἡγιάσθητε καὶ ἐδικαιώθητε. τί τούτου γένοιτ' ἂν παραδοξότερον, ὅταν πόνων καὶ ἱδρώτων χωρὶς καὶ κατορθωμάτων δικαιοσύνη τικτομένη ᾖ; τοιαύτη γὰρ τῆς θείας δωρεᾶς ἡ φιλανθρωπία· χωρὶς ἱδρώτων ποιεῖ δικαίους. εἰ γὰρ βασιλέως ἐπιστολή, γράμματα προστεθέντα ὀλίγα, μυρίων ὑπευθύνους ἐγκλημάτων ἀφίησιν ἐλευθέρους, ἑτέρους δὲ καὶ πρὸς τιμὴν ἄγει μεγίστην· πολλῷ μᾶλλον τὸ ἅγιον τοῦ Θεοῦ πνεῦμα καὶ πάντα δυνάμενον, πάσης μὲν ἡμᾶς ἀπαλλάξει κακίας, πολλὴν δὲ ἡμῖν χαριεῖται δικαιοσύνην, καὶ πολλῆς ἐμπλήσει τῆς παρρησίας. καὶ καθάπερ σπινθὴρ μέσος εἰς πέλαγος ἀχανὲς ἐμπεσών, εὐθέως ἀποσβεσθείη, ἢ καὶ ἀφανὴς γένοιτο τῷ πλήθει τῶν ὑδάτων καταποντισθείς· οὕτω καὶ πᾶσα πονηρία ἀνθρωπίνη, ὅταν εἰς τὴν κολυμβήθραν ἐμπέσῃ τῶν θείων ναμάτων, ἐκείνου ταχύτερον καὶ εὐκολώτερον τοῦ σπινθῆρος καταποντίζεταί τε καὶ ἀφανίζεται. καὶ τίνος ἕνεκεν, φησίν, εἰ τὰ ἁμαρτήματα ἡμῖν ἅπαντα ἀφίησι τὸ λουτρόν, οὐχὶ λουτρὸν ἀφέσεως ἁμαρτημάτων καλεῖται, οὔτε λουτρὸν καθάρσεως, ἀλλὰ λουτρὸν παλιγγενεσίας; ὅτι οὐχ ἁπλῶς ἡμῖν ἀφίησι τὰ ἁμαρτήματα, οὐδὲ ἁπλῶς ἡμᾶς καθαίρει τῶν πλημμελημάτων, ἀλλ' οὕτως, ὡς ἂν εἰ ἄνωθεν ἐγεννήθημεν. καὶ γὰρ ἄνωθεν ἡμᾶς δημιουργεῖ καὶ κατασκευάζει, οὐκ ἀπὸ γῆς διαπλάττων πάλιν, ἀλλ' ἐξ ἑτέρου στοιχείου τῆς τῶν ὑδάτων φύσεως δημιουργῶν. οὐ γὰρ ἁπλῶς ἀποσμήχει τὸ σκεῦος, ἀλλ' ὁλόκληρον αὐτὸ ἀναχωνεύει πάλιν. τὰ μὲν γὰρ ἀποσμηχόμενα, κἂν μετὰ ἀκριβείας ἐκκαθαίρηται, ἔχει τῆς ποιότητος ἴχνη, καὶ τῆς κηλῖδος φέρει τὰ λείψανα· τὰ δὲ εἰς χωνευτήριον ἐμπεσόντα καὶ διὰ τῆς φλογὸς ἀνανεωθέντα, πᾶσαν ἀποθέμενα ῥυπαρίαν, τὴν αὐτὴν τοῖς νεοπαγέσιν ἀπὸ τῆς καμίνου προελθόντα τὴν λαμπηδόνα ἀφίησιν. ὥσπερ οὖν ἀνδριάντα χρυσοῦν πολλῷ τῷ χρόνῳ καὶ τῷ καπνῷ καὶ τῇ κόνει καὶ ἰῷ ῥυπωθέντα λαβών τις καὶ χωνεύσας, καθαρώτατον ἡμῖν καὶ ἀστράπτοντα ἀποδίδωσιν· οὕτω καὶ τὴν φύσιν τὴν ἡμετέραν ὁ Θεὸς ἰωθεῖσαν τῷ τῆς ἁμαρτίας ἰῷ, καὶ πολὺν δεξαμένην τὸν καπνὸν τὸν ἀπὸ τῶν πλημμελημάτων, καὶ τὸ κάλλος ἀπολέσασαν, ὅπερ παρ' αὐτοῦ παρὰ τὴν ἀρχὴν ἐγκατέθηκε, λαβὼν ἄνωθεν ἐχώνευσε, καὶ καθάπερ εἰς χωνευτήριον ἐμβαλὼν τὰ ὕδατα, καὶ τὴν τοῦ πνεύματος ἐπαφεὶς χάριν ἀντὶ φλογός, εἶτα νεοπαγεῖς ἐκεῖθεν

κεῖθεν καὶ χρυσοῦς γινομένους ἀντιβλέψαι λοιπὸν ταῖς ἡλιακαῖς ἀκτῖσι μετὰ πολλῆς ἀνάγκη τῆς λαμπρότητος, τὸν μὲν παλαιὸν συντρίψας ἄνθρωπον, νέον δὲ κατασκευάσας τοῦ προτέρου λαμπρότερον, καὶ ταύτην ἡμῖν τὴν συντριβὴν καὶ τὸν μυστικὸν τοῦτον καθαρμὸν αἰνιττόμενος ὁ προφήτης ἄνωθεν ἔλεγεν· Ὡς σκεῦος κεραμέως συντρίψεις αὐτούς. ὅτι γὰρ περὶ τῶν πιστῶν ὁ λόγος, ἡμῖν τὰ ἀνωτέρω δείκνυσι σαφῶς. Υἱός μου εἶ σύ, φησίν, ἐγὼ σήμερον γεγέννηκά σε· αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. Εἶδες πῶς τῆς ἐκ τῶν ἐθνῶν ἐκκλησίας ἐμνημόνευσε, καὶ τὴν πανταχοῦ τοῦ Χριστοῦ τεταμένην βασιλείαν εἶπεν; Εἶτά φησι πάλιν, Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ (οὐ φορτικῇ, ἀλλ' ἰσχυρᾷ) ὡς σκεῦος κεραμέως συντρίψεις αὐτούς. ἰδοὺ καὶ τὸ λουτροῦ μυστικώτερον παρελήφθη. οὐ γὰρ εἶπεν ἁπλῶς, σκεύη ὀστράκινα, ἀλλά, σκεύη κεραμέως. ἀλλὰ προσέχετε. τὰ μὲν γὰρ ὀστράκινα σκεύη συντριβέντα οὐκ ἂν λάβοι διόρθωσιν διὰ τὸ ἐκ τοῦ πυρὸς ἐγγενομένην αὐτοῖς ἅπαξ ἀντιτυπίαν· ὅτι δὲ τὰ σκεύη τοῦ κεραμέως οὐκ ἔστιν ὀστράκινα, ἀλλὰ πήλινα· ὅθεν καὶ διαστραφέντα ῥᾳδίως ἂν πρὸς τὸ δεύτερον ἐπανέλθῃ σχῆμα τῇ τοῦ τεχνίτου σοφίᾳ. ὅταν μὲν οὖν συμφορὰν ἀνίατον λέγῃ, οὐ σκεύη κεραμέως φησίν, ἀλλὰ σκεῦος ὀστράκινον. ὅτε γοῦν ἐβούλετο διδάξαι τὸν προφήτην καὶ τοὺς Ἰουδαίους, ὅτι συμφορᾷ ἀνιάτῳ παρέδωκε τὴν πόλιν, ἐκέλευσε λαβεῖν βῖκον ὀστράκινον, καὶ συντρίψαι ἔμπροσθεν παντὸς τοῦ δήμου, καὶ εἰπεῖν· Οὕτως ἀπολεῖται καὶ ἡ πόλις καὶ συντριβήσεται. ἐπειδὰν δὲ βούληται χρηστὰς αὐτοῖς ὑποτείνειν ἐλπίδας, εἰς κεραμεῖον κατάγει τὸν προφήτην, καὶ οὐ δείκνυσιν αὐτῷ σκεῦος ὀστράκινον, ἀλλὰ δείκνυσιν αὐτῷ σκεῦος πήλινον ἐν ταῖς χερσὶ τοῦ κεραμέως γινόμενον διαπίπτον, καὶ ἐπάγει λέγων· Εἰ ὁ κεραμεὺς τοῦτο τὸ σκεῦος τὸ διαπεσὸν ἀναλαβὼν ἐρρύθμισε πάλιν, οὐ πολλῷ μᾶλλον ἐγὼ δυνήσομαι διαπεσόντας ὑμᾶς ἐπανορθῶσαι; δυνατὸν μὲν οὖν τῷ Θεῷ οὐχὶ πηλίνους ὄντας μόνον διορθῶσαι διὰ λουτροῦ παλιγγενεσίας, ἀλλὰ καὶ τὴν τοῦ πνεύματος δεξαμένους ἐνέργειαν καὶ διολισθήσαντας διὰ μετανοίας ἠκριβωμένης πρὸς τὸ ἀρχαῖον ἐπανάγειν. ἀλλ' οὐ καιρὸς ὑμῖν τοὺς περὶ μετανοίας ἀκοῦσαι λόγους· μᾶλλον δὲ μηδέποτε γένοιτο καιρὸς εἰς χρείαν ὑμᾶς ἐκείνων ἐμπεσεῖν τῶν φαρμάκων, ἀλλ' ἀεὶ μένοιτε τὸ κάλλος καὶ τὴν λαμπρότητα, ἣν μέλλετε λαμβάνειν νῦν, ἀκήρατον διατηροῦντες.

Ψαλ. β. θ.

Ψαλ. β. θ.

Ἱερ. ιθ. ια.

Ἵν' οὖν ἀεὶ μένοιτε, φέρε καὶ περὶ πολιτείας ὑμῖν διαλεχθῶμεν ὀλίγα. ἐν γὰρ τῇ παλαίστρᾳ ταύτῃ ἀκίνδυνα τοῖς ἀθληταῖς τὰ πτώματα. πρὸς γὰρ τοὺς οἰκείους ἡ πάλη, καὶ τοῖς σώμασι τῶν διδασκάλων ἐμμελετῶσιν ἅπαντα. ὅταν δὲ ὁ τῶν ἀγώνων παραγένηται καιρός, ὅταν ἀνοιγῇ τὸ στάδιον, ὅταν τὸ θέατρον ἄνωθεν καθήμενον ᾖ, ὅταν ὁ ἀγωνοθέτης παρῇ, ἀνάγκη λοιπὸν ἢ ῥᾳθυμήσαντας πεσεῖν, καὶ μετὰ αἰσχύνης ἀναχωρῆσαι πολλῆς, ἢ σπουδάσαντας τῶν στεφάνων καὶ τῶν βραβείων ἐπιτυχεῖν. οὕτω δὴ καὶ ἐφ' ὑμῶν αἱ τριάκοντα ἡμέραι αὗται παλαίστρᾳ τινὶ προσεοίκασι καὶ γυμνασίοις καὶ μελέτῃ. μάθωμεν ἐντεῦθεν ἤδη περιγενέσθαι τοῦ πονηροῦ δαίμονος ἐκείνου. πρὸς γὰρ ἐκεῖνον ἀποδύεσθαι μέλλομεν μετὰ τὸ βάπτισμα, πρὸς ἐκεῖνον πυκτεύειν καὶ μάχεσθαι. μάθωμεν τοίνυν ἐντεῦθεν ἤδη τὰς λαβὰς ἐκείνου, πόθεν ἐστὶ πονηρός, πόθεν ἡμῖν εὐκόλως ἐπηρεάσαι δύναται· ἵνα τῶν ἀγώνων παραγενομένων μὴ ξενοπαθῶμεν, μηδὲ θορυβώμεθα, καινὰ τὰ παλαίσματα ὁρῶντες, ἀλλ' ἤδη μεταξὺ ἡμῶν αὐτῶν μελετήσαντες, καὶ τὰς μεθοδείας αὐτοῦ μαθόντες ἁπάσας, μετὰ τοῦ θαρρεῖν ἁψώμεθα τῶν παλαισμάτων πρὸς ἐκεῖνον. πανταχόθεν μὲν οὖν ἐπηρεάζειν ἡμῖν εἴωθε, μάλιστα δὲ διὰ τῆς γλώττης καὶ διὰ τοῦ στόματος. οὐδὲν γὰρ οὕτως ἐπιτήδειον ὄργανον ἐκείνῳ πρὸς ἀπάτην καὶ ἀπώλειαν ἡμετέραν, ὡς γλῶττα ἀκόλαστος καὶ στόμα ἀθύρωτον. ἐντεῦθεν ἡμῖν τὰ πολλὰ πτώματα, ἐντεῦθεν ἡμῖν τὰ χαλεπὰ ἐγκλήματα. καὶ τὴν μὲν εὐκολίαν τῶν ὀλισθημάτων διὰ τῆς γλώττης τις δηλῶν ἔλεγε· Πολλοὶ ἔπεσον διὰ μαχαίρας, ἀλλ' οὐ τοσοῦτοι, ὅσοι διὰ

Σιρ. κη. ιη.

Σειρ. κ. ιη.
Ψαλ. ρμ. β.
Σειρ. κβ. λ.
Παροιμ. ιη. κα.
Ματθ. ιβ. λζ.

γλώττης. τὸ δὲ χαλεπὸν τοῦ πτώματος ἐμφαίνων πάλιν ὁ αὐτὸς εἶπεν· Ὀλίσθημα ἀπὸ ἐδάφους μᾶλλον, ἢ ὀλίσθημα ἀπὸ γλώσσης. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· βέλτιόν ἐστι, φησὶ, πεσεῖν καὶ συντριβῆναι τὸ σῶμα, ἢ ῥῆμα προέσθαι τοιοῦτον, ὃ τὴν ψυχὴν ἡμῶν ἀπολλύει. οὐ λέγει δὲ τὰ πτώματα μόνον, ἀλλὰ καὶ παραινεῖ πολλὴν ποιεῖσθαι πρόνοιαν, ὥστε μὴ ὑποσκελισθῆναι, οὕτως εἰπών· ποίησον τῷ στόματί σου θύραν καὶ μοχλόν, οὐχ ἵνα θύρας καὶ μοχλοὺς κατασκευάσωμεν, ἀλλ' ἵνα μετὰ πολλῆς τῆς ἀσφαλείας πρὸς τὰ ἄτοπα τῶν ῥημάτων τὴν γλῶτταν ἀποκλείσωμεν. καὶ πάλιν ἀλλαχοῦ δεικνὺς, ὅτι μετὰ τῆς ἡμετέρας σπουδῆς, καὶ πρὸ τῆς ἡμετέρας, τῆς ἄνωθεν δεόμεθα ῥοπῆς, ὥστε τὸ θηρίον τοῦτο κατέχειν ἔνδον, πρὸς τὸν Θεὸν τὰς χεῖρας ἀνατείνας ὁ προφήτης ἔλεγεν· Ἔπαρσις τῶν χειρῶν μου, θυσία ἑσπερινή. θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου. ὁ δὲ τὰ πρότερα παραινέσας, πάλιν καὶ αὐτός φησι· Τίς δώσει ἐπὶ τῷ στόματί μου φυλακὴν, καὶ ἐπὶ τῶν χειλέων μου σφραγῖδα πανοῦργον; ὁρᾷς ἕκαστον δεδοικότα τὰ πτώματα ταῦτα, καὶ θρηνοῦντα, καὶ συμβουλεύοντα, καὶ εὐχόμενον πολλῆς ἀπολαῦσαι τὴν γλῶτταν φυλακῆς; καὶ τίνος ἕνεκεν, φησιν, εἰ τοσοῦτον ἡμῖν φέρει τὸν ὄλεθρον τοῦτο τὸ ὄργανον, ἐνέθηκεν ἡμῖν αὐτὸ παρὰ τὴν ἀρχὴν ὁ Θεός; ὅτι καὶ πολλὴν ἔχει τὴν ὠφέλειαν. κἂν σπουδάζωμεν, ὠφέλειαν ἔχει μόνον, ὄλεθρον δὲ οὐδένα. ἄκουσον γοῦν τί φησιν ὁ τὰ πρότερα ἐκεῖνα εἰπών· Ἐν χειρὶ γλώττης ζωὴ καὶ θάνατος. καὶ ὁ Χριστὸς δὲ τὰ αὐτὰ δηλοῖ, λέγων· Ἀπὸ τῶν λόγων σου κατακριθήσῃ, καὶ ἀπὸ τῶν λόγων σου δικαιωθήσῃ. μέση γὰρ ἕστηκεν ἡ γλῶσσα τῆς πρὸς ἑκάτερα χρήσεως. σὺ Κύριος εἶ. οὕτω καὶ τὸ ξίφος κεῖται μέσον. κἂν μὲν κατὰ τῶν πολεμίων χρήσῃ, σωτήριόν σοι τὸ ὄργανον γέγονεν· ἂν δὲ κατὰ σαυτοῦ τὴν πληγὴν ὠθήσῃς, οὐχ ἡ τοῦ σιδήρου φύσις, ἀλλὰ ἡ σὴ παρανομία γέγονε τῆς σφαγῆς αἰτία. οὕτω καὶ περὶ τῆς γλώττης λογισώμεθα. ξίφος ἐστὶν ἐν μέσῳ κείμενον. ἀκόνησον οὖν αὐτὴν κατὰ τῆς τῶν ἁμαρτημάτων τῶν σῶν κατηγορίας, μὴ κατὰ τοῦ ἀδελφοῦ τὴν πληγὴν ὠθήσῃς. διὰ τοῦτο διπλῷ τειχίῳ περιέβαλεν αὐτὴν ὁ Θεὸς, τῷ τε τῶν ὀδόντων διαφράγματι, καὶ τῇ τῶν χειλέων περιβολῇ, ἵνα μὴ ῥᾳδίως καὶ ἀπερισκέπτως ἐκφέρῃ τὰ ῥήματα τὰ μὴ προσήκοντα. χαλίνωσον αὐτὴν ἔνδον. ἀλλ' οὐκ ἀνέχεται; καὶ σωφρόνισον αὐτὴν διὰ τῶν ὀδόντων, ὥσπερ δημίοις τοσούτοις ἐκδοὺς αὐτῆς τὸ σῶμα, καὶ ποιήσας δακεῖν. καὶ γὰρ βέλτιον αὐτὴν δηχθῆναι τοῖς ὀδοῦσι νῦν ἁμαρτάνουσαν, ἢ τότε ζητοῦσαν σταγόνα ὕδατος καὶ τηγανιζομένην μὴ τυχεῖν τῆς παραμυθίας. πολλὰ μὲν οὖν καὶ ἄλλα ἁμαρτάνειν εἴωθε, λοιδοροῦσα, βλασφημοῦσα, αἰσχρὰ προϊεμένη ῥήματα, συκοφαντοῦσα, ὀμνύουσα, ἐπιορκοῦσα. ἀλλ' ἵνα μὴ πάντα ἀθρόον τήμερον ὑμῖν λέγοντες καταχώσωμεν ὑμῶν τὴν διάνοιαν, ἕνα τέως τίθεμεν ὑμῖν νόμον τὸν περὶ τῆς τῶν ὅρκων φυλακῆς, ἐκεῖνο προλέγοντες καὶ διαγορεύοντες, ὅτι εἰ μὴ φύγητε τοὺς ὅρκους, οὐ λέγω τὰς ἐπιορκίας μόνον, ἀλλὰ καὶ τοὺς ὅρκους τοὺς ἐπὶ [τῷ] δικαίῳ γινομένους, εἰ μὴ φύγητε, οὐκέτι περὶ ἑτέρας ὑποθέσεως ὑμῖν διαλεξόμεθα. καὶ γὰρ ἄτοπον τοὺς μὲν τῶν γραμμάτων διδασκάλους μὴ δεύτερον τοῖς παιδίοις διδόναι μάθημα, ἕως ἂν τὸ πρότερον ἴδωσι καλῶς ἐμπαγὲν αὐτῶν τῇ μνήμῃ· ὑμᾶς δὲ τὰ πρότερα μαθήματα μὴ δυναμένους ἀπαγγεῖλαι μετὰ ἀκριβείας, ἕτερα προσεμβαλεῖν πάλιν. οὐδὲν γὰρ ἕτερον τοῦτό ἐστιν, ἀλλ' ἢ εἰς πίθον τετρημένον ἀντλεῖν. ἵνα οὖν ἡμᾶς μὴ ἐπιστομίσητε, πολλὴν τοῦ πράγματος ποιήσασθε τὴν σπουδήν. καὶ γὰρ χαλεπὸν τοῦτό ἐστι τὸ ἁμάρτημα καὶ σφόδρα χαλεπόν· σφόδρα δέ ἐστι χαλεπὸν, ὅτι οὐ δοκεῖ χαλεπὸν εἶναι· καὶ διὰ τοῦτο αὐτὸ δέδοικα, ἐπειδὴ οὐδεὶς αὐτὸ δέδοικε. διὰ τοῦτο ἀνίατόν ἐστι τὸ νόσημα, ἐπειδὴ οὐδὲ νόσημα εἶναι δοκεῖ· ἀλλ' ὥσπερ τὸ διαλέγεσθαι ἁπλῶς οὐκ ἔστιν ἔγκλημα, οὕτως οὐδὲ τοῦτο ἔγκλημα εἶναι δοκεῖ, ἀλλὰ μετὰ πολλῆς παρρησίας ἡ παρανομία αὕτη τολμᾶται. κἂν ἐγκαλέσῃ τις, εὐθέως γέλως ἕπεται καὶ χλευασία πολλὴ οὐχὶ τοῖς ἐγκαλουμένοις ὑπὲρ τῶν ὅρκων, ἀλλὰ τοῖς διορθῶσαι τὸ νόσημα βουλομένοις. διὰ τοῦτο μακρὸν ὑπὲρ τούτων ἀποτείνω τὸν λόγον. βαθεῖαν γὰρ ῥίζαν ἀνασπάσαι βούλομαι, καὶ χρόνιον ἀπαλεῖψαι κακὸν, οὐ λέγω τὰς ἐπιορκίας μόνον, ἀλλὰ καὶ τὰς εὐορκίας αὐτάς. ἀλλ' ὁ δεῖνα, φησιν, ἄνθρωπος ἐπιεικὴς, εἰς ἱερωσύνην τελῶν, πολλῇ σωφροσύνῃ καὶ εὐλαβείᾳ συζῶν". μή μοι τὸν ἐπιεικῆ τοῦτον εἴπῃς, τὸν σώφρονα, τὸν εὐλαβῆ, τὸν εἰς ἱερωσύνην τελοῦντα· ἀλλ', εἰ βούλει, θὲς Πέτρον εἶναι τοῦτον, ἢ Παῦλον, ἢ καὶ ἄγγελον ἐξ οὐρανοῦ καταβάντα. οὐδὲ γὰρ οὕτως ἐπιστρέφομαι πρὸς τὴν ἀξίαν τῶν προσώπων. νόμον γὰρ οὐχὶ δουλικὸν, ἀλλὰ βασιλικὸν ἀναγινώσκω ἐγὼ, τὸν περὶ ὅρκων. ὅταν δὲ βασιλέως ἀναγινώσκηται γράμματα, ἅπαν τὸ τῶν δούλων ἀξίωμα ἡσυχαζέτω. ἂν μὲν γὰρ ἔχῃς εἰπεῖν ὅτι ὁ Χριστὸς ὀμνύειν ἐκέλευσεν, ἢ ὅτι ὁ Χριστὸς οὐ κολάζει τοῦτο γινόμενον, δεῖξον, καὶ πείθομαι· εἰ δὲ μετὰ τοσαύτης ἀπείργει σπουδῆς, καὶ τοσαύτην ὑπὲρ τοῦ πράγματος ποιεῖται πρόνοιαν, ὡς μετὰ τοῦ πονηροῦ στῆσαι τὸν ὀμνύοντα (Τὸ γὰρ περισσὸν τούτων, τοῦ ναὶ καὶ τοῦ οὔ, φησιν, ἐκ τοῦ διαβόλου ἐστί) τί μοι τὸν δεῖνα, καὶ τὸν δεῖνα προσάγεις εἰς μέσον; οὐ γὰρ ἀπὸ τῆς ῥᾳθυμίας τῶν συνδούλων οἴσει σοι τὴν ψῆφον ὁ Θεὸς ταύτην, ἀλλ' ἀπὸ τῆς ἐπιταγῆς τῶν αὐτοῦ νόμων. ἐπέταξα, φησιν· ἔδει πεισθῆναι, καὶ μὴ τὸν δεῖνα προβάλλεσθαι, μηδὲ ἀλλότρια περιεργάζεσθαι κακά. ἐπεὶ ὁ μέγας Δαβὶδ ἥμαρτεν ἁμαρτίαν χαλεπήν· ἆρα οὖν ἀκίνδυνον ἡμῖν διὰ τοῦτο τὸ ἁμαρτάνειν, εἰπέ μοι; διὰ τοῦτο μὲν οὖν τοῦτο ἀσφαλίζεσθαι χρὴ, καὶ τὰ κατορθώματα τῶν ἁγίων μόνον ζηλοῦν· εἰ δέ που ῥᾳθυμία καὶ νόμου παράβασις, μετὰ πολλῆς ἀποφεύγειν χρὴ τῆς σπουδῆς. οὐ γὰρ πρὸς τοὺς συνδούλους ἡμῖν, ἀλλὰ πρὸς τὸν δεσπότην ὁ λόγος ἐστί, καὶ τούτῳ τὰς εὐθύνας δώσομεν τῶν βεβιωμένων ἁπάντων. πρὸς ἐκεῖνο τοίνυν παρασκευαζώμεθα τὸ δικαστήριον. κἂν γὰρ μυριάκις θαυμαστὸς ᾖ καὶ μέγας ὁ τὸν νόμον παραβαίνων τοῦτον, δώσει πάντως τὴν ἐπὶ τῇ παραβάσει κειμένην τιμωρίαν. οὐ γάρ ἐστι προσωπολήπτης ὁ Θεός. πῶς οὖν ἐστι, καὶ τίνι τρόπῳ φυγεῖν τὸ ἁμάρτημα; οὐ γὰρ δὴ μόνον τὸ ἔγκλημα χαλεπὸν χρὴ δεῖξαι, ἀλλὰ καὶ ὅπως ἂν ἀπαλλαγείημεν, συμβουλεῦσαι. ἔχεις γυναῖκα; ἔχεις οἰκέτην; ἔχεις παιδία καὶ φίλον καὶ συγγενῆ καὶ γείτονα; πᾶσι τούτοις τὴν περὶ τούτων ἐπίτρεψον φυλακήν. χαλεπὸν ἡ συνήθεια, καὶ δεινὸν ὑποσκελίσαι, καὶ δυσφύλακτον, καὶ ἄκοντας ἡμᾶς πολλάκις καὶ οὐκ εἰδότας ἐμβάλλει; οὐκοῦν ὅσῳ τῆς συνηθείας οἶδας τὴν δύναμιν, τοσούτῳ τῆς μὲν πονηρᾶς συνηθείας ἀπαλλαγῆναι σπούδασον, πρὸς δὲ τὴν ἑτέραν τὴν χρησιμωτάτην σεαυτὸν μετάστησον. ὥσπερ γὰρ νῦν σπουδάζοντά σε καὶ φυλαττόμενον καὶ μεριμνῶντα καὶ φροντίζοντα ἰσχύει πολλάκις ὑποσκελίσαι ἐκείνη, οὕτως ἂν εἰς τὴν ἀγαθὴν σαυτὸν συνήθειαν μεταστήσῃς τὴν τοῦ μὴ ὀμνύναι, οὐδὲ ἄκων, οὐδὲ ῥᾳθυμῶν ἐμπεσεῖν δυνήσῃ ποτὲ πρὸς τὰ τῶν ὅρκων πτώματα. μέγα γὰρ ὄντως συνήθεια, καὶ φύσεως ἔχει δύναμιν. ἵν' οὖν μὴ πονῶμεν συνεχῶς, ἑαυτοὺς εἰς συνήθειαν μεταστήσωμεν ἑτέραν, καὶ ἕκαστον τῶν σοι συγγινομένων καὶ συνόντων ταύτην αἴτησαι τὴν χάριν, ἵνα συμβουλεύῃ καὶ παραινῇ φεύγειν τοὺς ὅρκους, καὶ ἁλισκόμενον ἐλέγχῃ. ἡ γὰρ παρ' αὐτῶν εἰς σὲ γινομένη φυλακὴ καὶ αὐτοῖς ἐστι συμβουλὴ καὶ παραίνεσις τοῦ κατορθώματος. ὁ γὰρ ἐγκαλῶν ἑτέρῳ περὶ ὅρκων, οὐ ῥᾳδίως αὐτὸς εἰς τὸ βάραθρον ἐμπεσεῖται τοῦτο. βάραθρον γὰρ οὐ τὸ τυχὸν ἡ πολυορκία, οὐχ ὅταν περὶ ἐλαχίστων μόνον, ἀλλὰ καὶ ὅταν περὶ μεγίστων γίνηται πραγμάτων. ἡμεῖς δὲ καὶ λάχανα ὠνούμενοι, καὶ ὑπὲρ ὀβολῶν δύο φιλονεικοῦντες, καὶ πρὸς οἰκέτας ὀργιζόμενοι καὶ ἀπειλοῦντες, τὸν Θεὸν πανταχοῦ καλοῦμεν μάρτυρα. καὶ ἄνθρωπον μὲν ἐλεύθερον ἀξίας τινὸς μετασχόντα ψιλῆς οὐκ ἂν ἐτόλμησας ὑπὲρ τοιούτων καλέσαι μάρτυρα ἐπ' ἀγορᾶς, ἀλλὰ κἂν ἐπιχειρήσῃς, δίκην δώσεις τῆς ὕβρεως· τὸν δὲ τῶν οὐρανῶν βασιλέα, τὸν ἀγγέλων δεσπότην, καὶ περὶ ὠνίων καὶ περὶ χρημάτων καὶ περὶ τῶν τυχόντων διαλεγόμενος, ἕλκεις εἰς μαρτυρίαν. καὶ πῶς ταῦτα ἀνεκτά; πόθεν οὖν ἀπαλλαγείημεν ἐκ τῆς πονηρᾶς ταύτης συνηθείας; τοὺς φύλακας, οὓς εἶπον, περιστήσαντες, χρόνον ῥητὸν ὁρίσαντες

Ματθ. ε. λζ.

ἑαυτοῖς πρὸς διόρθωσιν, καὶ καταδίκην ἐπιθέντες, εἰ τοῦ χρόνου παρελθόντος μὴ κατορθώσαιμεν τοῦτο. πόσος οὖν ἡμῖν χρόνος ἀρκέσει πρὸς τοῦτο; οὐκ οἶμαι τοὺς σφόδρα νήφοντας καὶ διεγηγερμένους καὶ ὑπὲρ τῆς ἑαυτῶν ἀγρυπνοῦντας σωτηρίας πλέον ἡμερῶν δέκα δεηθήσεσθαι, ὥστε παντελῶς ἀπαλλαγῆναι τῆς πονηρᾶς τῶν ὅρκων συνηθείας. εἰ δὲ μετὰ τὰς δέκα ἡμέρας ὀφθείημεν ὀμνύοντες, δίκην ἑαυτοῖς ἐπιθῶμεν καὶ τιμωρίαν μεγίστην, καὶ καταδίκην ὁρίσωμεν τῆς παραβάσεως. τίς οὖν ἐστιν ἡ καταδίκη; οὐκ ἔτι τοῦτο ὁρίζω ἐγώ, ἀλλ' ὑμᾶς αὐτοὺς ἀφίημι κυρίους τῆς ψήφου εἶναι. οὕτω τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν, μὴ μόνον ἐπὶ τῶν ὅρκων, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἐλαττωμάτων, καὶ χρόνον ὁρίζοντες ἑαυτοῖς τιμωρίαις χαλεπωτάταις, εἴ ποτε περιπέσωμεν τούτοις, καθαροὶ πρὸς τὸν ἡμέτερον ἀπελευσόμεθα δεσπότην, καὶ τῆς τοῦ πυρὸς γεέννης ἀπαλλαγησόμεθα, καὶ μετὰ παρρησίας στησόμεθα ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, σὺν τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΛΟΓΟΣ, ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ, εἰς τοὺς κοιμηθέντας.

ΟΙ προφῆται μέν, τὸ ἀξιόπιστον τῶν λεγομένων δεῖξαι βουλόμενοι, πρὸ
τῶν ἄλλων ἁπάντων τοῦτο λέγουσιν· Ὅρασις, ἣν εἶδεν Ἡσαΐας· καὶ
πάλιν, Ῥῆμα, ὃ ἐγενήθη πρὸς Ἱερεμίαν· καὶ πάλιν, Τάδε λέγει Κύριος,
καὶ ὅσα τοιαῦτα. πολλοὶ δὲ καὶ αὐτὸν καθήμενον ὁρῶσι τὸν Θεόν, ὡς αὐτοῖς
ἰδεῖν δυνατόν· ὁ δὲ Παῦλος, οὐ καθήμενον ἰδών, ἀλλ' ἔχων ἐν ἑαυτῷ λαλοῦντα
β. Κορ. ιγ. γ. τὸν Χριστόν, ἀντὶ τοῦ, Τάδε λέγει Κύριος, ἔλεγεν· Ἡ δοκιμὴν
ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ; καὶ πάλιν, Παῦλος ἀπόστολος· τὰ τοῦ ἀποστείλαντος
α. Κορ. ζ. μ. φθέγγεται, δηλῶν ὅτι οὐδὲν αὐτοῦ ἐστι· καὶ πάλιν, Δοκῶ δὲ κἀγὼ πνεῦμα Θεοῦ ἔχειν. ἐκεῖνα
μὲν οὖν πνεύματι πάντα ἐφθέγγετο· τοῦτο δέ, ὃ λέγει νῦν, καὶ ῥητῶς ἤκουσε παρὰ τοῦ Θεοῦ· ὥσπερ
Πραξ. κ. λε. γὰρ ἐκεῖνο, ὃ τοῖς Ἐφεσίοις διαλεγόμενος ἔλεγε, Μακάριόν ἐστι μᾶλλον διδόναι, ἢ λαμβάνειν,
α. Θεσ. δ. ιε. κατὰ τὸ σιωπώμενον ἤκουσεν. ἴδωμεν τοίνυν τί καὶ νῦν φησι. Τοῦτο γὰρ ὑμῖν λέγομεν
ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ
μὴ φθάσωμεν τοὺς κοιμηθέντας· ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου,
Ματθ. κδ. κθ. ἐν τῇ ἐσχάτῃ σάλπιγγι καταβήσεται ἀπ' οὐρανοῦ. Τότε γάρ, φησιν, αἱ δυνάμεις τῶν οὐρανῶν
σαλευθήσονται. τί δήποτε ἐν σάλπιγγι; καὶ γὰρ ἐν τῷ Σιναίῳ ὄρει τοῦτο ὁρῶμεν, καὶ
ἀγγέλους κἀκεῖ. τί δὲ βούλεται ἡ φωνὴ τοῦ ἀρχαγγέλου; καθάπερ γὰρ ἐπὶ τῶν παρθένων ἔλεγεν,
Ἐγείρεσθε, ἦλθεν ὁ νυμφίος. ἤτοι τοῦτό φησιν, ἢ ὅτι καθάπερ ἐπὶ βασιλέως, οὕτω καὶ
τότε ἔσται, ἀγγέλων πρὸς τὴν ἀνάστασιν ὑπηρετουμένων. λέγει γάρ, ἀναστῶσιν οἱ νεκροί,
καὶ γίνεται τὸ ἔργον· οὐ τῶν ἀγγέλων πρὸς τοῦτο ἰσχυόντων, ἀλλὰ τοῦ ῥήματος αὐτοῦ, ὡσπερεὶ βασιλέως,
κελεύσαντος, καὶ εἰπόντος, ἐξέλθοιεν οἱ συγκεκλεισμένοι, καὶ οἱ ὑπηρέται ἐξάγοιεν.
οὐκ ἔτι λοιπὸν ἀπὸ τῆς οἰκείας ἰσχύος, ἀλλ' ἀπὸ τῆς φωνῆς ἐκείνης τοῦτο ποιοῦσι. τοῦτο καὶ
Ματθ. κδ. λα. ἀλλαχοῦ ὁ Χριστὸς λέγων, Ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος φωνῆς μεγάλης, καὶ
ἐπισυνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων ἀπ' ἄκρων οὐρανῶν ἕως ἄκρων
αὐτῶν. καὶ πανταχοῦ τοὺς ἀγγέλους ὁρᾷς διατρέχοντας. τὸν οὖν ἀρχάγγελον εἶναι τὸν ἐφεστῶτα

φεστῶτα οἶμαι, τοῖς ἀπεσταλμένοις βοῶντα τοῦτο, ὅτι ἑτοίμους ποιεῖτε πάντας· πάρεστι γὰρ ὁ κριτής. τί ἐστιν, ἐν τῇ ἐσχάτῃ σάλπιγγι; δείκνυσιν ἐνταῦθα πολλὰς τὰς σάλπιγγας γινομένας, καὶ πρὸς τῇ ἐσχάτῃ καταβαίνοντα τὸν κριτήν. Καὶ οἱ νεκροί, φησιν, ἐν Χριστῷ ἀναστήσονται πρῶτον· ἔπειτα ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα· ὥστε παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις. Εἰ μέλλει καταβαίνειν, τίνος ἕνεκεν ἁρπαγησόμεθα; τιμῆς ἕνεκεν. καὶ γὰρ βασιλέως εἰς πόλιν εἰσελαύνοντος, οἱ μὲν ἔντιμοι πρὸς ἀπάντησιν ἐξίασιν, οἱ δὲ κατάδικοι ἔνδον μένουσι τὸν κριτήν. καὶ πατρὸς φιλοστόργου παραγινομένου, οἱ μὲν παῖδες καὶ ἄξιοι παῖδες ἐπὶ τοῦ ὀχήματος ἐξάγονται, ὥστε ἰδεῖν καὶ καταφιλῆσαι· οἱ δὲ προσκεκρουκότες τῶν ἱκετῶν ἔνδον μένουσιν. ἐπὶ τοῦ ὀχήματος φερόμεθα τοῦ πατρός. καὶ γὰρ αὐτὸν ἐν νεφέλαις ὑπέλαβεν αὐτόν, καὶ ἡμεῖς ἐν νεφέλαις ἁρπαγησόμεθα. ὁρᾷς τὴν τιμὴν ὅσην; καὶ τὴν ἀπάντησιν καταβαίνοντι ποιούμεθα, καὶ τὸ πάντων μακαριώτερον, οὕτω σὺν αὐτῷ ἐσόμεθα. Τίς λαλήσει τὰς δυναστείας Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; ὅσων ἀγαθῶν ἠξίωσε τὸ γένος τὸ ἀνθρώπινον; πρῶτον οἱ τελευτήσαντες ἐγείρονται, καὶ οὕτως ὁμοῦ ἡ ἀπάντησις γίνεται. Ἄβελ ὁ πρὸ πάντων τετελευτηκὼς ὁμοῦ μετὰ τῶν ζώντων τότε ἀπαντήσει. ὥστε οὐδὲν ἔσται πλέον ἐκείνοις κατὰ τοῦτο, ἀλλ' ὁ διεφθαρείς, ὁ τοσαῦτα ἔχων ἐν τῇ γῇ ἔτη, μετ' ἐκείνων ἀπαντήσεται, καὶ ἀπαντῶσιν οἱ ἄλλοι. Εἰ γὰρ ἐκεῖνοι ἡμᾶς ἀνέμειναν, ἵνα στεφανωθῶμεν, καθὼς ἑτέρωθί φησι γράφων, Τοῦ Κυρίου περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι, πολλῷ μᾶλλον καὶ ἡμεῖς ἐκείνους· μᾶλλον δὲ ἐκεῖνοι μὲν ἀνέμειναν, ὑμεῖς δὲ οὐκ ἔτι. ἐν γὰρ ἀτόμῳ ἡ ἀνάστασις γίνεται, ἐν ῥιπῇ ὀφθαλμοῦ. τὸ δὲ λέγειν, ὅτι συνάγονται, ἀνίστανται μὲν πανταχοῦ, συνάγονται δὲ ὑπὸ τῶν ἀγγέλων. τὸ μὲν οὖν τῆς τοῦ Θεοῦ δυνάμεως ἔργον ἐστὶ τῇ γῇ κελεύοντος ἀφεῖναι τὴν παρακαταθήκην, καὶ οὐδεὶς ὁ ὑπηρετούμενος, ὥσπερ τότε ἐκάλεσε τὸν Λάζαρον, Λάζαρε, δεῦρο ἔξω· τὸ δὲ ἀναγαγεῖν, τῶν ὑπηρετῶν γίνεται. ἀλλ' εἰ συνάγουσι καὶ περιτρέχουσιν ἄγγελοι, πῶς αὐτοὶ ἐνταῦθα ἁρπάζονται μετὰ τὸ ἀναστῆναι; ἅμα γὰρ οὐδενὸς εἰδότος τοῦτο γίνεται. ὅταν γὰρ ἴδωσι τὴν γῆν κλονουμένην, κόνιν ἀναμιγνυμένην, ἴσως πάντοθεν ἐγειρόμενα τὰ σώματα, οὐδενὸς πρὸς τοῦτο ὑπηρετοῦντος, ἀλλὰ τοῦ κελεύσματος ἀρκοῦντος, τὴν γῆν πεπληρωμένην γενέσθαι πᾶσαν, τότε καὶ αὐτοὶ τὴν κρίσιν τεκμηριοῦνται. ἐννόησον γὰρ ὅσον ἐστὶ τοὺς ἀπὸ τοῦ Ἀδὰμ μέχρι τῆς αὐτοῦ παρουσίας πάντας ἐκείνους ἑστάναι τότε μετὰ γυναικῶν καὶ παίδων. ὅταν γὰρ ἴδωσι τοσοῦτον ἐπὶ τῆς γῆς θόρυβον, τότε εἴσονται. ὥσπερ οὖν ἐπὶ τῆς κατὰ σάρκα οἰκονομίας οὐδὲν προεωράκασιν, οὕτω καὶ τότε. ὅταν οὖν ταῦτα γίνηται, τότε καὶ ἡ φωνὴ τοῦ ἀρχαγγέλου ἔσται τοῖς ἀγγέλοις ἐπιτάττοντος καὶ βοῶντος, καὶ αἱ σάλπιγγες, μᾶλλον δὲ ὁ τῶν σαλπίγγων ἦχος. ποῖος γὰρ ἄρα τρόμος ἕξει, ποῖος φόβος τοὺς ἐπὶ τῆς γῆς τοὺς ἀπομένοντας; μία γὰρ ἁρπάζεται, καὶ μία ἀφίεται· καὶ εἷς παραλαμβάνεται, καὶ εἷς ἀφίεται. τίς ἔσται ψυχὴ ἐκείνων, ὅταν τοὺς μὲν αἰρομένους ὁρῶσιν, ἑαυτοὺς δὲ ἀφιεμένους; ἆρα οὐ πάσης γεέννης φοβερώτερον ἑαυτοὺς ταῦτα διασαλεῦσαι δυνήσεται; ὑποθώμεθα τοίνυν ἤδη τοῦτο παρεῖναι τῷ λόγῳ. Εἰ γὰρ θάνατοι αἰφνίδιοι, εἰ πόλεων σεισμοὶ καὶ ἀπειλαὶ οὕτω θορυβοῦσι τὰς ἡμετέρας ψυχάς, ὅταν τὴν γῆν ἀναρρηγνυμένην ἴδωμεν καὶ πεπληρωμένην πλέον ἐκείνων, ὅταν τῶν σαλπίγγων ἀκούσωμεν, ὅταν τῆς φωνῆς τοῦ ἀρχαγγέλου πάσης σάλπιγγος λαμπροτέρας οὔσης, ὅταν τὸν οὐρανὸν συνελκόμενον, ὅταν αὐτὸν παραγινόμενον τὸν ἁπάντων βασιλέα Θεόν, τίς ἄρα ἡμῖν ἔσται ἡ ψυχή; φρίξωμεν, παρακαλῶ, καὶ φοβηθῶμεν, ὡς ἤδη τούτων γινομένων· μὴ τῇ μελλήσει παραμυθώμεθα ἑαυτούς. ὅταν γὰρ πάντως δέῃ γενέσθαι, οὐδὲν ἡ μέλλησις ὠφελεῖ. ποῖος ὁ τρόμος, ποῖος ὁ φόβος τότε; εἶδέ τις ποτὲ τοὺς ἀπαγομένους τὴν ἐπὶ θάνατον; ποίαν

νομίζετε

α. Θεσ. δ. ιε. ιϛ.

Ἰωάν. ια. μγ.

νομίζετε αὐτοὺς εἶναι τὴν ψυχήν, τὴν μέχρι τῆς πύλης ὁδὸν βαδίζουσι; πόσων θανάτων οὐ χείρονα; τί οὐκ ἂν εἵλοντο καὶ πρᾶξαι καὶ παθεῖν, ὥστε ἀπαλλαγῆναι τῆς ἀχλύος ἐκείνης καὶ τοῦ νέφους; ἐγὼ πολλῶν ἤκουσα λεγόντων, τῶν φιλανθρωπίᾳ βασιλικῇ μετὰ τὴν ἀπαγωγὴν εἰς τοὐπίσω κληθέντων, ὅτι οὐδὲ ἀνθρώπους ἑώρων τοὺς ἀνθρώπους, τεθορυβημένης τῆς ψυχῆς καὶ ἐκπεπληγμένης καὶ ἐξεστώσης. Εἰ τοίνυν σωματικὸς θάνατος οὕτως ἡμᾶς φοβεῖ, ὅταν ὁ αἰώνιος θάνατος παραγένηται, τί πεισόμεθα; καὶ τί λέγω περὶ τῶν ἀπαγομένων; ὄχλος περιέστησε τότε, καὶ πλείους οὐκ εἰδότες αὐτούς. Εἴ τις ἐκείνων τὰς ψυχὰς περιεσκόπησεν, οὐδεὶς οὕτω θρασύς, οὐδεὶς οὕτω γενναῖος, ὃς οὐ καταπεπτωκυῖαν αὐτὴν εἶχε, παρειμένην ὑπὸ τοῦ φόβου καὶ τῆς ἀθυμίας. Εἰ δὲ ἑτέρων ἀναιρουμένων τὸν θάνατον τοῦτον, τὸν ὕπνου οὐδὲν διαφέροντα, καὶ μηδὲν κοινωνοῦντες οὕτω διατίθενται, ὅταν ἡμεῖς αὐτοὶ τοῖς μείζοσι περιπέσωμεν, τίς ἄρα ἔσται κατάστασις; οὐκ ἔστι, πιστεύσατε, παραστῆσαι λόγῳ τὸ πάθος. ναί, φησιν· ἀλλὰ φιλάνθρωπος ὁ Θεός, καὶ οὐδὲν τούτων ἔσται. Οὐκοῦν εἰκῇ γέγραπται; οὔ, φησιν. ἀλλὰ πρὸς ἀπειλὴν μόνον, ἵνα σωφρονῶμεν; ἐὰν δὲ μὴ σωφρονῶμεν, ἀλλὰ μένωμεν κακοί, οὐκ ἐπάξει τὴν κόλασιν, εἰπέ μοι; οὐκοῦν οὐδὲ τοῖς ἀγαθοῖς ἀποδώσει τὰς ἀμοιβάς. ναί, φησιν. ἐκεῖνο γὰρ αὐτῷ πρέπον ἐστὶ καὶ ὑπὲρ τὴν ἀξίαν εὐεργετεῖν. ὥστε ἐκεῖνα μὲν ἀληθῆ καὶ πάντως ἔσται, τὰ δὲ τῶν κολάσεων οὐ πάντως, ἀλλ' ἀπειλῆς ἕνεκεν καὶ φόβου. πόθεν ὑμᾶς πείσω, οὐκ οἶδα. ἀλλ' ἐὰν εἴπω ὅτι ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, ἐὰν εἴπω ὅτι ἀπελεύσονται εἰς πῦρ αἰώνιον, ἂν τὸν πλούσιον παράγω ἤδη κολαζόμενον, πάντα ἀπειλῆς εἶναι ἐρεῖτε. πόθεν οὖν ὑμᾶς πείσω; Σατανικὸς γὰρ οὗτος ὁ λόγος, χάριν ἀνόητον χαριζόμενος, καὶ ῥᾳθύμους ποιῶν. πῶς οὖν αὐτὸν ἐξέλωμεν; ὅσα ἂν εἴπωμεν ἀπὸ τῶν γραφῶν, ἐρεῖτε, ὅτι ἀπειλῆς ἕνεκεν. ἀλλὰ τοῦτο μὲν περὶ τῶν μελλόντων ἔχοι τις ἂν εἰπεῖν· περὶ δὲ τῶν ἐκβεβηκότων οὐκ ἔτι ἠκούσατε, περὶ τοῦ κατακλυσμοῦ, μὴ ἐκεῖνα ἀπειλῆς ἕνεκεν εἴρηται; οὐχὶ ἐξέβη καὶ γέγονε; τοιαῦτα καὶ ἐκεῖνοι πολλὰ ἔλεγον, καὶ ἐν ἑκατὸν ἔτεσι τῆς κιβωτοῦ τεκταινομένης καὶ τῶν ξύλων ὑφαινομένων καὶ τοῦ δικαίου βοῶντος, οὐδεὶς ὁ πιστεύων ἦν. ἀλλ' ἐπειδὴ οὐκ ἐπίστευσαν τῇ διὰ τῶν ῥημάτων ἀπειλῇ, ὑπέστησαν τὴν διὰ τῶν πραγμάτων τιμωρίαν. τοῦτο καὶ ἡμεῖς πεισόμεθα, ἂν μὴ πιστεύσωμεν. διὰ τοι τοῦτο καὶ τὴν παρουσίαν αὐτοῦ ταῖς ἡμέραις παραβάλλει τοῦ Νῶε, ἐπειδὴ καθάπερ ἐκείνῳ τῷ κατακλυσμῷ ἠπίστησάν τινες, οὕτω καὶ τῷ κατακλυσμῷ τῆς γεέννης. μὴ ἀπειλὴ ἐκεῖνα ἐστίν; οὐχὶ ἔργον γέγονεν; εἶτα ὁ κόλασιν οὕτως ἀθρόον τότε ἐπαγαγών, οὐ πολλῷ μᾶλλον καὶ νῦν ἐπάξει; οὐ γὰρ δὴ ἐλάττονα τῶν τότε τὰ νῦν γινόμενα. Γεν. ς. β. Ὅτι τότε εἰσῆλθον, φησιν, καὶ υἱοὶ τοῦ Θεοῦ εἰς τὰς θυγατέρας τῶν ἀνθρώπων, καὶ ἐπιμιξίαι ἦσαν τὸ δεινόν· νῦν δὲ οὐδέν ἐστιν εἶδος κακίας, ὅπερ ἐστὶν ἀτόλμητον. ἆρα οὖν πιστεύετε, ὅτι γέγονεν ὁ κατακλυσμός, ἢ λῆρος ὑμῖν εἶναι δοκεῖ; καίτοιγε, καὶ τὰ ὄρη, ἔνθα ἡ κιβωτὸς ἱδρύνθη, μαρτυρεῖ, τὰ Ἀρμενίας λέγω. πλὴν ἀλλ' ἐκ περιουσίας πολλῆς καὶ ἐφ' ἕτερον ἐκείνου σαφέστερον ἄξω τὸν λόγον. ἐπιδήμησέ τις ὑμῶν τῇ Παλαιστίνῃ ποτέ; λοιπὸν γὰρ οὐκ ἔτι λόγον, ἀλλὰ πράγματα ἐρῶ, καίτοι καὶ τὰ πρότερα πραγμάτων σαφέστερα ἦν. ἅπερ γὰρ ἂν εἴπῃ ἡ γραφή, ταῦτα τῶν ὁρωμένων πιστότερα. ἐπεδήμησεν οὖν τις ὑμῶν τῇ Παλαιστίνῃ ποτέ; ἔγωγε οἶμαι. τί οὖν; μαρτυρήσατέ μοι ὑμεῖς καὶ τοὺς τόπους ἐκείνους ἑωρακότες πρὸς τοὺς οὐ γινομένους ἐκεῖ. Ἀσκάλωνος γὰρ ἄνω καὶ Γάζης εἰς αὐτὸ τοῦ Ἰορδάνου ποταμοῦ τὸ τέλος ἐστὶ χώρα πολλή τις καὶ εὔφορος, μᾶλλον δὲ ἦν, νῦν δὲ οὐκ ἔστιν. αὕτη δὲ οὖν, ἡ ὡς παράδεισος οὖσα Γεν ιγ. α. (Εἶδε γάρ, φησι, Λὼτ πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, καὶ ἦν ποτιζομένη ὡς παράδεισος τοῦ Θεοῦ) αὕτη δὴ οὖν ἡ οὕτως εὐθαλὴς καὶ πρὸς πάσας τὰς χώρας ἁμιλλωμένη, ἡ φθάνουσα τῇ εὐθηνίᾳ τὸν παράδεισον τοῦ Θεοῦ, πασῶν τῶν ἐρήμων ἐρημοτέρα ἐστὶ νῦν. καὶ ἕστηκε καὶ δένδρα, καὶ καρπὸν ἔχει· ὁ δὲ καρπὸς τῆς τοῦ Θεοῦ ὀργῆς ἐστιν ὑπόμνημα. ἑστήκασι μὲν γὰρ ῥοαί, καὶ τὸ ξύλον, λέγω, καὶ ὁ καρπός, καρπὸς, λαμπρὰν τὴν ἐπιφάνειαν ἔχουσαι, καὶ τοῖς ἀγνοοῦσι παρέχουσι πολλὰς τὰς ἐλπίδας· εἰ δὲ ληφθεῖεν εἰς χεῖρας, διακλασθεῖσαι καρπὸν μὲν οὐδένα, κόνιν δὲ καὶ τέφραν πολλὴν δεικνύουσιν ἐναποκειμένην ἔνδον. τοιαύτη καὶ ἡ γῆ πᾶσα. κἂν λίθον εὕρῃς, τετεφρωμένον εὑρίσκεις. καὶ τί λέγω λίθον καὶ ξύλα καὶ γῆν, ὅπουγε καὶ ἀὴρ καὶ τὰ ὕδατα μετέσχε τῆς συμφορᾶς; καθάπερ γὰρ σώματος ἐμπρησθέντος καὶ κατακαμφθέντος, τὸ μὲν σχῆμα μένει, καὶ ὁ τύπος ἐν τῇ τοῦ πυρὸς ὄψει, καὶ ὁ ὄγκος, καὶ ἡ ἀναλογία, ἡ δὲ δύναμις οὐκ ἔτι· οὕτω δὴ καὶ ἐκείνην ἔστιν ἰδεῖν, ἀλλ' οὐδὲν ἔχουσαν γῆς, ἀλλὰ πάντα τέφραν· δένδρα καὶ καρποὺς, ἀλλ' οὐδὲν δένδρων καὶ καρπῶν· ἀέρα καὶ ὕδωρ, ἀλλ' οὐδὲν ὕδατος, οὐδὲ ἀέρος. καὶ γὰρ καὶ ταῦτα τετέφρωται. καίτοι πῶς ἂν ἀὴρ ἐμπρησθείη ποτέ; πῶς δ' ἂν ὕδωρ μένον ὕδωρ; ξύλα μὲν γὰρ καὶ λίθους δυνατὸν καῆναι, ἀέρα δὲ καὶ ὕδωρ οὐδαμῶς δυνατόν· τῷ δὲ αὐτὰ ποιήσαντι δυνατόν. τοιγαροῦν οὐδὲν ἕτερον ἢ κάμινός ἐστιν ὁ ἀὴρ, κάμινος δὲ ὕδωρ, πάντα ἄκαρπα, πάντα ἄγονα, πάντα πρὸς τιμωρίαν· τῆς παρελθούσης ὀργῆς εἰκόνες, τῆς μελλούσης τεκμήρια. μὴ καὶ ταῦτα ἀπειλαὶ ῥημάτων; μὴ καὶ ταῦτα ψόφοι ῥημάτων; ἐμοὶ μὲν γὰρ οὐδὲ τὰ πρότερα ἄπιστα, ἀλλ' ὁμοίως τοῖς ὁρωμένοις τὰ μὴ ὁρώμενα πιστά· τῷ δὲ ἀπίστῳ καὶ ταῦτα ἱκανὰ πίστιν παρασχεῖν. εἴ τις ἀπιστεῖ τῇ γεέννῃ, τὰ Σόδομα λογιζέσθω, τὰ Γόμορρα ἐννοείτω, τὴν τιμωρίαν τὴν γεγενημένην καὶ ἔτι μένουσαν. τοῦτο τοῦ διαιωνίζειν τὴν κόλασιν τεκμήριον. φορτικὰ ταῦτα; ἐκεῖνα δὲ οὐ φορτικά, ὅταν λέγῃς ὅτι οὐκ ἔστι γέεννα, ἀλλ' ἁπλῶς ἠπείλησεν ὁ Θεός; ὅταν ἐκλύῃς τὰς χεῖρας τοῦ λαοῦ; σύ με ταῦτα ἀναγκάζεις λέγειν ὁ διαπιστῶν. εἰ τοῖς ῥήμασιν ἐπίστευσας τοῦ Χριστοῦ, οὐκ ἂν ἠναγκαζόμην τὴν ἀπὸ τῶν πραγμάτων πίστιν παραγαγεῖν. ἐπειδὴ δὲ ἐκεῖνα πέφευγες, καὶ ἑκὼν καὶ ἄκων πεισθήσῃ λοιπόν. τί γὰρ ἔχεις περὶ τῶν Σοδόμων εἰπεῖν; βούλει μαθεῖν δι' ἣν αἰτίαν ταῦτα ἐγένετο; ἓν ἦν ἁμάρτημα χαλεπὸν καὶ ἐπάρατον, πλὴν ἀλλ' ἕν. παισὶν ἐπεμαίνοντο τότε, καὶ διὰ τοῦτο ταύτην ἔδωκαν τὴν δίκην· νῦν δὲ μυρία καὶ ἴσα καὶ χαλεπώτερα γίνεται τούτων ἁμαρτήματα. εἶτα ὁ ὑπὲρ ἑνὸς ἁμαρτήματος τοσαύτην ἐκχέων ὀργὴν, καὶ μήτε τοῦ Ἀβραὰμ ἱκετηρίαν δυσωπηθεὶς, μήτε τὸν ἔνοικον Λὼτ τὸν ὑπὲρ τῆς εἰς τοὺς δούλους αὐτοῦ τιμῆς τὰς θυγατέρας εἰς ὕβριν προέμενον τὰς ἑαυτοῦ, τοσούτων ὄντων τῶν ἁμαρτημάτων φείσεται; βούλει καὶ ἕτερον ἐπάγω; τὸν Φαραὼ πάντως ἀκούεις τὸν Αἰγύπτιον βασιλέα. οὐκοῦν οἶδας καὶ τὴν δίκην ἣν ἔδωκε, πῶς αὐτοῖς ἅρμασι καὶ ἵπποις μετὰ τοῦ στρατοπέδου παντὸς εἰς τὸ ἐρυθραῖον κατεποντίσθη πέλαγος. βούλει καὶ ἕτερα μαθεῖν; ἐκεῖνος μὲν ἴσως ἀσεβὴς ἦν, μᾶλλον δὲ οὐκ ἴσως, ἀλλ' ὄντως ἀσεβὴς ἦν. βούλει καὶ ἐκ τῶν πιστευόντων καὶ προσεχόντων τῷ Θεῷ, βίου δὲ οὐκ ὄντων ὀρθοῦ, τιμωρουμένους ἰδεῖν; ἄκουσον τοῦ Παύλου λέγοντος, Μηδὲ πορνεύωμεν, καθώς τινες αὐτῶν ἐξεπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ χιλιάδες εἴκοσι τρεῖς· μηδὲ γογγύζωμεν, καθώς τινες αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ· μηδὲ ἐκπειράζωμεν τὸν Κύριον, καθώς τινες αὐτῶν ἐπείρασαν, καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο. εἰ δὲ πορνεία τοσοῦτον ἴσχυσεν, εἰ δὲ γογγυσμὸς, τί οὐκ ἐργάσεται τὰ ἡμέτερα; εἰ δὲ μὴ δίδωσι δίκην νῦν, μὴ θαυμάσῃς. ἐκεῖνοι μὲν γὰρ οὐκ ᾔδεισαν τὴν γέενναν· διὸ ταῖς παρὰ πόδας ἐκολάζοντο τιμωρίαις. σὺ δὲ ὅσα ἂν ἁμάρτῃς, κἂν μηδεμίαν δίκην δῷς, πάντα ἀποτίσεις ἐκεῖ. εἶτα τοὺς μὲν νηπιωδεστέρους καὶ οὐ τοσαῦτα πταίοντας οὕτως ἐκόλαζεν, ἡμῶν δὲ φείσεται; οὐκ ἂν ἔχοι λόγον. κἂν γὰρ τὰ αὐτὰ ἁμαρτάνωμεν ἐκείνοις, μείζονός ἐσμεν ἐκείνων κολάσεως ἄξιοι. διὰ τί; ὅτι πλείονος ἀπολαύσαμεν χάριτος. ὅταν δὲ καὶ πλείονος, καὶ μείζονα ἐκείνων πταίωμεν, τίνα οὐχ ὑποστησόμεθα τιμωρίαν; καὶ μή τις νομιζέτω θαυμάζοντα αὐτοὺς, ἢ συγγινώσκοντα αὐτοῖς λέγειν. μὴ γένοιτο. ὅταν γὰρ ὁ Θεὸς κολάζῃ, ὁ τὴν ἐναντίαν φέρων ψῆφον, ἀπὸ διαβολικῆς διανοίας τοῦτο ποιεῖ. οὐ τοίνυν ἐπαινῶν αὐτοὺς, οὐδὲ συγγινώσκων τοῦτό φημι· ἀλλὰ δεικνὺς τὴν ἡμετέραν κακίαν. ἐκεῖνοι τοίνυν, εἰ καὶ

ἐγόγγυζον,

ν. κατακαυ-
θέντος

α. Κορ. ι.

πλείονος
ται αὐτῶν
έντος, καὶ

ἐγόγγυζον, ἀλλ' ἔρημον ἤρχοντο· ἡμεῖς δὲ πατρίδα ἔχοντες καὶ ἐν οἰκίαις ταῖς ἡμετέραις ὄντες γογγύζομεν. ἐκεῖνοι εἰ καὶ ἐπόρνευον, ἀλλ' ἀπὸ Αἰγυπτιακῶν ἐξελθόντες κακῶν, καὶ νόμου σχεδὸν οὐκ ἀκούσαντες τοιούτου· ἡμεῖς ἐκ προγόνων τὰ σωτηριώδη παραλαβόντες δόγματα· ὥστε μείζονος κολάσεώς ἐσμεν ἄξιοι. βούλει καὶ ἕτερα ἀκοῦσαι, ὅσα ἔπαθον ἐν Παλαιστίνῃ, λιμούς, λοιμούς, πολέμους, αἰχμαλωσίας, τὰς ἐπὶ Βαβυλωνίων, τὰς ἐπὶ Ἀσσυρίων, τὰ ὑπὸ Μακεδόνων κακά, τὰ ἐπὶ Ἀδριανοῦ καὶ Οὐεσπασιανοῦ; βούλομαί σοι, ἀγαπητέ, διηγήσασθαι· ἀλλὰ ἀποπηδήσας μᾶλλον δὲ περὶ τούτου ἕτερον ἐρῶ. λιμὸς ἐγένετό ποτε, φησί, καὶ ὁ βασιλεὺς ἐβάδιζεν ἐπὶ τοῦ τείχους. εἶτα γυνὴ προσελθοῦσα ταῦτα φθέγγεται πρὸς αὐτὸν τὰ ῥήματα· Βασιλεῦ, εἶπέ μοι ἡ γυνὴ αὕτη, ὀπτήσωμεν σοῦ σήμερον τὸν υἱὸν καὶ φάγωμεν, καὶ αὔριον τὸν ἐμὸν καὶ ὀπτήσωμεν καὶ φάγωμεν, καὶ τὸν αὐτῆς οὐκέτι ἔδωκε. τί ταύτης τῆς συμφορᾶς χαλεπώτερον; πάλιν ἀλλαχοῦ ὁ προφήτης φησί, Χεῖρες γυναικῶν οἰκτιρμόνων ἥψησαν τὰ τέκνα αὐτῶν. Ἰουδαῖοι μὲν τοιαύτην ἔδωκαν δίκην· ἡμεῖς δὲ οὐ πολλῷ μᾶλλον δώσομεν; βούλει καὶ ἑτέρας αὐτῶν ἀκοῦσαι συμφοράς; τὰ Ἰωσήπου ἔπελθε, καὶ μνηαθήσῃ πᾶσαν ἐκείνην τραγῳδίαν. ἆρ' ἄρα σε πείσωμεν ἀπὸ τούτων, ὅτι ἔσται γέεννα; ἐννόησον γάρ. ἐκεῖνοι ἐκολάζοντο· διατί ἡμεῖς μὴ κολαζώμεθα; ἢ πῶς ἡμᾶς μὴ κολάζεσθαι χείρονα ἐκείνων πταίοντας; ἢ δῆλον, ὅτι διὰ τὸ ἀποκεῖσθαι ἡμῖν τὴν κόλασιν. εἰ δὲ βούλει, καὶ ἐπὶ προσώπων ἑνὸς ἑκάστου ἐρῶ, πῶς ἐκολάσθησαν. ἀδελφὸν ἀπέκτεινεν ὁ Κάϊν. δεινὸν μὲν τὸ ἁμάρτημα· πῶς γὰρ οὔ; ἀλλ' ἔδωκε δίκην καὶ χαλεπὴν καὶ μυρίων θανάτων ἀνταξίαν, καὶ ὑπὲρ ἧς εἵλετο ἂν καὶ μυριάκις ἀποθανεῖν. ἄκουε γὰρ αὐτοῦ λέγοντος· Εἰ ἐκβάλλεις με ἀπὸ τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι, καὶ ἔσται, πᾶς ὁ εὑρίσκων με ἀποκτενεῖ με. εἰπὲ οὖν μοι, οὐχὶ ταῦτα παράπτουσιν ἐκείνῳ πολλοὶ καὶ νῦν; ὅταν γὰρ μὴ σαρκικόν, ἀλλὰ πνευματικὸν ἀνέλῃς ἀδελφόν, οὐχὶ ταὐτὸν εἰργάσω; τί γάρ, εἰ καὶ μὴ ξίφει, ἀλλ' ἑτέρῳ τρόπῳ; ὅταν δυνάμενος λῦσαι λιμόν, περιίδῃς; τί οὖν; οὐδεὶς ἐφθόνησε νῦν τῷ ἀδελφῷ; οὐδεὶς περιέβαλε κινδύνοις; ἀλλ' ἐν τῷ νῦν οὐκ ἔδωκαν δίκην, ἀλλὰ δώσουσιν. εἶτα ὁ μὲν μὴ νόμων ἀκούσας γραπτῶν, μηδὲ προφητῶν, μήτε σημεῖα θεασάμενος μεγάλα, τοσαύτην δίδωσι τιμωρίαν· ὁ δὲ ἕτερος τὰ αὐτὰ δεδρακώς, καὶ μηδὲ τοσούτοις παραδείγμασι σωφρονιζόμενος, ἀτιμώρητος ἔσται; καὶ ποῦ τὸ δίκαιον τοῦ Θεοῦ; ἢ ποῦ τὸ ἀγαθόν; καὶ πάλιν, ξύλα τις συλλέξας ἐν τῷ σαββάτῳ κατελεύσθη, καίτοι γε μικρὰ αὕτη ἡ ἐντολή, καὶ τῆς περιτομῆς φαυλοτέρα. εἶτα ὁ μὲν ξύλα συλλέξας ἐν σαββάτῳ ἐλιθάσθη, οἱ δὲ μυρία ἐργασάμενοι πολλάκις παράνομα, ἀπῆλθον ἀτιμώρητοι; ἂν οὖν μὴ εἴη γέεννα, ποῦ τὸ δίκαιον; ποῦ τὸ ἀπροσωπόληπτον; καίτοι πολλὰ ἐγκαλεῖ αὐτοῖς τοιαῦτα, ὅτι σάββατα οὐ τηροῦσι. πάλιν, ἄλλος τις ὁ Χαρμὶ ἀνάθημα κλέψας, μετὰ τοῦ γένους ἐλιθάσθη παντός. τί οὖν; οὐδεὶς ἐξ ἐκείνου ἱερόσυλος γέγονεν; ὁ Σαοὺλ πάλιν φεισάμενος παρὰ τὸ Θεῷ δοκοῦν, τοσαύτην ὑπέστη τιμωρίαν. οὐδεὶς οὖν ἐφείσατο ἐξ ἐκείνου; εἴθε μὲν οὖν τοῦτο. οὐχὶ μᾶλλον θηρίων ἀλλήλους κατεσθίομεν παρὰ τὸ Θεῷ δοκοῦν, καὶ οὐδεὶς ἔπεσεν ἐν πολέμῳ; πάλιν, οἱ τοῦ Ἡλὶ υἱοί, ἐπειδὴ περὶ τοῦ θυμιάματος ἥμαρτον, δίκην ἔδωκαν χαλεπωτάτην μετὰ τοῦ πατρός. οὐδεὶς οὖν ἐγένετο πατὴρ ῥᾴθυμος περὶ παιδός; ἀλλ' οὐδεὶς ἔδωκε δίκην. πότε οὖν δώσουσιν, ἂν γέεννα μὴ ᾖ; πάλιν μυρία ἄν τις ἔχοι καταλέγειν. τί δὲ ὁ Ἀνανίας καὶ ἡ Σάπφειρα; ἐπειδὴ ἔκλεψαν ἐξ ὧν ἀνέθηκαν, παραχρῆμα ἐτιμωρήθησαν. οὐδεὶς οὖν ἄρα ἐξ ἐκείνου ταῦτα ἐποίησε; πῶς οὖν οὐκ ἔδωκαν τὴν αὐτὴν δίκην; ἆρά σε πείθομεν ὅτι γέεννά ἐστιν, ἢ πλειόνων σοι δεῖ παραδειγμάτων; οὐκοῦν καὶ ἐπὶ τὰ ἄγραφα ἥξομεν τὰ νῦν ἐν τῷ βίῳ γινόμενα. ἀναγκαῖον γὰρ πανταχόθεν ταύτην ἡμῖν συλλέξαι τὴν ἔννοιαν, ἵνα μὴ μάτην ἑαυτοῖς χαριζόμενοι βλάπτωμεν ἑαυτούς. οὐχ ὁρᾷς πολλοὺς ἐν συμφοραῖς τὰ σώματα ἀναπήρους μυρία πάσχοντας δεινά, ἑτέρους δὲ εὐδοκιμοῦντας; διατί οἱ μὲν φένωσι διδάσι

δ. Βασ. ϛ. κη.

Θρήν. δ. ι.

Γεν. δ. ιγ.

ἴσ. μαθήσῃ

ἴσ. ἡμεῖς μὴ κολαζώμεθα χείρονα ἐκείνων πταίοντες;

ἴσ. παῖδας

δόασι δίκας, τοὺς δὲ οὔ; ἄκουσον τοῦ Παύλου λέγοντος, Τινῶν αἱ ἁμαρτίαι πρόδηλοί εἰσι, τισὶ δὲ καὶ ἐπακολουθοῦσι. πόσοι διέφυγον ἀνδροφόνοι, πόσοι τυμβωρύχοι; ἀλλ' ἀφείσθω ταῦτα. πόσους οὖν ὁρᾷς κολαζομένους κόλασιν χαλεπήν; τοὺς μὲν νόσῳ μακρᾷ παρεδόθησαν, τοὺς δὲ βασάνοις διηνεκέσιν, τοὺς δὲ ἑτέροις μυρίοις ἄλλοις. ὅταν οὖν ἴδῃς τὰ αὐτὰ ἐκείνοις τετολμηκότα, ἢ καὶ πολλῷ πλείονα, καὶ μὴ διδόντα δίκην, οὐχὶ καὶ ἄκων ὑποπτεύσεις τὴν γέενναν; ἔλεγε τούτους τοὺς ἐνταῦθα, τοὺς περὶ σὲ κεκολασμένους χαλεπῶς. ἐννόει, ὅτι ὁ Θεὸς προσωπολήπτης οὐκ ἔστι, καὶ ὅτι μυρία ἐργασάμενος κακὰ οὐδὲν τοιοῦτον πέπονθας, καὶ ἕξεις τὴν ἔννοιαν τῆς γεέννης. οὕτω γὰρ ἡμῖν αὐτὴν ὁ Θεὸς ἐγκατέσπειρεν, ὡς μηδένα ἀγνοῆσαι τοῦτό ποτε. καὶ γὰρ ποιηταὶ καὶ φιλόσοφοι καὶ μυθολόγοι καὶ πάντες ἁπλῶς ἄνθρωποι περὶ τῆς ἀνταποδόσεως ἐφιλοσόφησαν τῆς ἐκεῖ, καὶ ἐν ᾅδου κολάζεσθαι εἰρήκασι τοὺς πολλούς. εἰ δὲ ἐκεῖνα μῦθοι, ἀλλ' οὐ τὰ παρ' ἡμῖν. ταῦτα οὐχ ἁπλῶς φοβῆσαι βουλόμενος εἶπον, οὐδὲ βαρῦναι τὰς ἡμετέρας ψυχάς, ἀλλὰ σωφρονίσαι καὶ κουφοτέρας ἐργάσασθαι. ἐβουλόμην καὶ αὐτὸς ἐγὼ μὴ εἶναι κόλασιν· καὶ μάλιστα πάντων ἐγώ. τί δήποτε; ὅτι ὑμῶν ἕκαστος ὑπὲρ τῆς ἑαυτοῦ ψυχῆς δέδοικεν, ἐγὼ δὲ καὶ τῆς προστασίας ταύτης εὐθύνας ὑπέχω· ὥστε μάλιστα πάντων ἐμὲ διαφυγεῖν ἀδύνατον. ἀλλ' οὐκ ἔστι μὴ εἶναι κόλασιν καὶ γέενναν. τί πάθω; ποῦ οὖν, φησι, τοῦ Θεοῦ τὸ φιλάνθρωπον; πολλαχοῦ. μᾶλλον δὲ ἐν ἑτέρῳ περὶ τούτου διαλεξόμεθα καιρῷ, ἵνα μὴ τοὺς περὶ τῆς γεέννης συγχέωμεν λόγους. πῶς δὲ, ὅπερ ἐκερδάναμεν, μὴ διαρρυῇ. κέρδος γὰρ οὐ μικρὸν πεπεῖσθαι περὶ γεέννης. ἡ γὰρ τῶν τοιούτων λόγων μνήμη, καθάπερ τι πικρὸν φάρμακον, πᾶσαν κακίαν ἀποσμῆξαι δυνήσεται, συνεχῶς ἡμῶν ἐνιζάνουσα τῇ διανοίᾳ. χρώμεθα τοίνυν αὐτῷ, ἵνα καθαρὰν καρδίαν ἔχοντες, οὕτω καταξιωθῶμεν ἰδεῖν, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

a. Τιμ ε κδ.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΠΕΡΙ ΕΙΜΑΡΜΕΝΗΣ ΤΕ ΚΑΙ προνοίας, Λογ. α.

Πολλῆς γέμει ταραχῆς ἡμῶν ἡ ζωή, καὶ θορύβων μεστὸς ὁ παρὼν βίος ἐστίν. ἀλλ' οὐ τοῦτό ἐστι τὸ χαλεπόν, ἀγαπητοί· ἀλλ' ὅτι τοὺς θορύβους τούτους καὶ ταραχάς, ἢ πρὸς τὸ ῥᾳότερον μεταθεῖναι δυνάμενοι, ἢ μένοντες φέρειν ἀλύπως, οὐδέτερον τούτων μεμελετήκαμεν, ἀλλ' ἀποδυσπετοῦντες τὸν ἅπαντα διατελοῦμεν χρόνον· καὶ ὁ μὲν πενίαν, ὁ δὲ νόσον ὀδύρεται, ἄλλος φροντίδων ὄγκον, καὶ προστασίαν οἰκίας, ἕτερος παιδοτροφίαν, ἄλλος ἀπαιδίαν. καὶ θέα τῆς ἀνοίας τὴν ὑπερβολήν. οὐ γὰρ ἐπὶ τοῖς αὐτοῖς πράγμασιν, ἀλλ' ἐπὶ τοῖς ἐναντίοις ἴσως πάντες θρηνοῦμεν. καίτοιγε εἰ τῶν πραγμάτων ἡ φύσις ἡμῖν αἰτία τῶν ὀδυρμῶν ἦν, οὐκ ἐχρῆν ἐπὶ τοῖς ἐναντίοις ἴσως ὀδύρεσθαι, ἀλλ' εἰ πενία κακὸν καὶ ἀφόρητον, τὸν ἐν πλούτῳ ζῶντα οὐδέποτε ἐχρῆν ἀλύειν· καὶ εἰ ἀπαιδία κακόν, τὸν πολυπαιδίας ἀπολαύοντα εὐθυμεῖν ἐχρῆν. πάλιν, εἰ τὸ τὰ κοινὰ τῆς πόλεως πράγματα διοικεῖν, καὶ τιμῶν ἀπολαύειν, καὶ πολλοὺς ἔχειν τοὺς ὑποκειμένους, ζηλωτόν, ἐχρῆν τὸν ἀπράγμονα βίον καὶ γαληνὸν φευκτὸν εἶναι, καὶ παρὰ πάντων ἀνθρώπων μισεῖσθαι. νῦν δὲ ὅταν ἴδῃς, ὅτι πλούσιοι καὶ πένητες ἴσως ὀδύρονται, πολλάκις δὲ ὁ πλουτῶν ὑπὲρ πένητα τοῦτο πάλιν ποιεῖ, καὶ ὁ ἀρχῆς ἀπολαύων, καὶ ὁ ἀρχόμενος, καὶ ὁ πολλῶν παίδων πατήρ, καὶ ὁ μηδένα ὅλως ἐσχηκώς, μὴ τὰ πράγματα τῆς ἀταξίας αἰτιώμεθα, ἀλλὰ τοὺς οὐ δυναμένους αὐτοῖς εἰς δέον χρήσασθαι, καὶ πάσης ἀθυμίας ἀπαλλάττειν ἑαυτούς. ἡ γὰρ ταραχὴ καὶ ὁ θόρυβος, οὐχὶ τούτων ἐστὶ περιπέτεια, ἀλλ' ἡμῶν καὶ ἡ ἡμετέρα διάνοια. ὡς ἐὰν αὕτη καλῶς ἡμῖν ᾖ κατεσκευασμένη, κἂν μυρίοι πανταχόθεν ἐγείρωνται χειμῶνες, ἐν γαλήνῃ καὶ λιμένι καθεδούμεθα διαπαντός· ὥσπερ οὐκ εὖ ἐχούσης αὐτῆς, κἂν ἐξ οὐρίων ἡμῖν ἅπαντα φέρηται, τῶν ἐν ναυαγίοις ὄντων οὐδὲν ἄμεινον διακεισόμεθα. τοῦτο γοῦν ἐστὶ καὶ ἐπὶ τῶν σωμάτων ἰδεῖν. ὁ μὲν γὰρ ἰσχυρὸν τὸ ἑαυτοῦ κατεσκευακὼς σῶμα, κἂν μυρίαις ἀέρων ἀνωμαλίαις μάχηται, οὐ μόνον οὐδὲν πείσεται δεινόν, ἀλλὰ καὶ προσθήκην ἰσχύος τῇ γυμνασίᾳ καὶ τῇ τῆς δυσκρασίας ὁμιλίᾳ προσέλαβεν· ἂν δὲ ἀσθενὲς ἔχῃ καὶ διεφθαρμένον, κἂν ἀρίστης ἀπολαύῃ τῆς τῶν ὡρῶν κράσεως, οὐδὲν αὐτῷ πλέον ἀπὸ ταύτης ἔσται τῆς εὐμοιρίας, τῆς οἴκοθεν ἀσθενείας τῇ παρὰ τῶν ὡρῶν εὐκληρίᾳ λυμαινομένης. οὕτω καὶ ἐπὶ τῶν σιτίων ὁρῶμεν. ὅταν μὲν γὰρ ἰσχυρὸν καὶ ἐρρωμένον ἡμῖν τὸ σῶμα τῆς γαστρὸς ᾖ, πάντων, ὅπερ ἂν ἐνδέχηται, κἂν σκληρὸν ᾖ, κἂν αὐτῷ ἀκατέργαστον, πρὸς καθαρὸν αὐτὸ μετασχηματίζει χυμόν, τῆς φυσικῆς κράσεως περιγινομένης τῆς ἐν τῷ σιτίῳ κακίας· ὅταν δὲ ὁ τόνος αὐτοῦ καταλελυμένος ᾖ καὶ χαῦνος, κἂν τὸ πάντων εὐχυμότερον αὐτῇ προσενέγκῃς ἔδεσμα, εἰς τὸ χεῖρον αὐτὸ μετερρύθμισε καὶ διέφθειρε, τῆς ἀσθενείας τὴν ἀρετὴν αὐτοῦ λυμαινομένης. οὕτω δὴ καὶ ἡμεῖς, ὅταν ἴδωμεν πραγμάτων ἀταξίαν, μὴ τὸν Θεὸν αἰτιώμεθα, ἀγαπητοί. τοῦτο γὰρ οὐχὶ φάρμακόν ἐστιν εὑρεῖν τῷ τραύματι, ἀλλὰ τραῦμα ἐπαγαγεῖν τραύματι. μὴ δαίμοσι λογιζώμεθα τοῦ κόσμου τὴν οἰκονομίαν, μὴ ἀπρονόητα εἶναι νομίζωμεν τὰ παρόντα, μὴ γενέσεώς τινος καὶ εἱμαρμένης τυραννίδα ἐπιτειχίζωμεν τῇ προνοίᾳ τοῦ Θεοῦ. ταῦτα γὰρ πάντα βλασφημίας γέμει, καὶ ἡ ὄντως ταραχὴ καὶ ἀταξία, οὐχὶ τῶν πραγμάτων ἐστὶ φορά, ἀλλ' ὁ οὕτω διακείμενος λογισμός· ὃς κἂν μυρίας εὐταξίας ἀπολαύῃ, ἕως ἂν τὴν ἀταξίαν τὴν ἐν αὐτῷ, καὶ τὴν ταραχὴν διορθώσηται, οὐδὲν αὐτῷ τῆς ἐν τοῖς πράγμασιν εὐταξίας ἔσται τὸ πλέον. ἀλλ' ὥσπερ ὀφθαλμὸς νοσῶν μὲν καὶ ἐν μεσημβρίᾳ φανωτάτῃ σκότος ὄψεται, καὶ ἕτερα ἀνθ' ἑτέρων, καὶ οὐδὲν αὐτῷ τῆς ἀκτῖνος ἔσται πλέον· ὑγιαίνων δὲ καὶ ἐρρωμένος, καὶ ἐν ἑσπέρᾳ δυνήσεται τὸ σῶμα χειραγωγεῖν μετὰ ἀσφαλείας· οὕτω καὶ ὁ τῆς διανοίας τῆς ἡμετέρας ὀφθαλμός, ἕως μὲν ἂν ἐρρωμένος ᾖ, κἂν ἄτακτα εἶναι δοκοῦντα εἴδῃ, καλῶς ὄψεται· ὅταν δὲ διεφθαρμένος, κἂν εἰς αὐτὸν ἀναγάγῃς τὸν οὐρανόν, καὶ τὴν ἐκεῖ πολλὴν ἀταξίαν καταγνώσεται καὶ ταραχήν. καὶ ὅτι ταῦτα οὕτως ἔχει, πολλά σοι τῶν πάλαι καὶ τῶν ἐφ' ἡμῶν τούτου κατασκευάσω παραδείγματα. πόσοι πενίαν φέρουσιν εὐκόλως, καὶ τῷ Θεῷ διὰ τοῦτο εὐχαριστοῦντες οὐ διαλιμπάνουσι; πόσοι πλοῦτον καὶ τρυφὴν ἔχοντες, οὐκ εὐχαριστοῦσιν, ἀλλὰ βλασφημοῦσι τὸν δεσπότην; πόσοι μηδὲν παθόντες δεινόν, κατηγοροῦσι τῆς καθόλου προνοίας; πόσοι δεσμωτήριον τὸν ἅπαντα χρόνον οἰκήσαντες, τῶν ἐν ἀδείᾳ καὶ ἀσφαλείᾳ βεβιωκότων εὐγνωμονέστερον τὴν ἐκεῖ φέρουσι ταλαιπωρίαν; ὁρᾷς ὅτι ἡ τῆς ψυχῆς κατάστασις, καὶ ὅτι ὁ οἰκεῖος λογισμὸς καὶ τούτων κἀκείνων αἴτιος, ἀλλ' οὐκ αὐτὴ τῶν πραγμάτων ἡ φύσις. ὥστε εἰ τῆς διανοίας ἐπιμέλειαν ἐποιούμεθα τῆς ἡμετέρας, οὐκ ἂν ταραχή, οὐκ ἂν ἀταξία, οὐκ ἂν τῶν δεινῶν οὐδέν, εἰ καὶ εὐρίπου παντὸς χαλεπώτερον ἄνω καὶ κάτω τὰ πράγματα τῆς ἡμετέρας ἐφέρετο ζωῆς. διατί γάρ, εἰπέ μοι, Παῦλος εὐχαριστεῖ; καίτοι τῶν ἄριστα βεβιωκότων ἐστί, τῶν τῇ ἀρετῇ συνεζηκότων τὸν ἅπαντα χρόνον, τῶν ἥκιστα τοσαῦτα παθόντων δεινά. οὐδεὶς οὔτε δικαιότερος ἐκείνου γέγονε τῶν ὑφ' ἡλίῳ πάντων ἀνθρώπων, οὔτε χαλεπώτερα ἐκείνου πέπονθε τῶν ἐξ οὗ γεγόνασιν ἄνθρωποι. ἀλλ' ὅμως ὁρῶν πολλοὺς ἐν πορνείᾳ ζῶντας, καὶ εὐθυμουμένους, καὶ τῶν παρόντων χρημάτων ἀπολαύοντας, εὐαρεστεῖ τῷ Θεῷ καὶ αὐτός, καὶ τοῖς ἄλλοις πᾶσι παραινεῖ τοῦτο· πρὸς ἐκεῖνον βλέπειν. καὶ σὺ ὅταν ἴδῃς τοὺς πονηροὺς εὐθυμουμένους, ὅταν ἴδῃς ἐπαιρομένους, ὅταν ἴδῃς ἐχθρῶν κρατοῦντας, τοὺς λελυπηκότας ἀμυνομένους, μηδεμίαν ὑποστάντας ζημίαν, πάντοθεν αὐτοῖς τὰ χρήματα ἐπιρρέοντα, πάντας τιμῶντας καὶ κολακεύοντας, σαυτὸν δὲ ἐν τοῖς ἐναντίοις πᾶσιν, ἐν ἐπηρείαις, συκοφαντίαις, ἐπιβουλαῖς, μὴ νομίσῃς εἶναι τῶν ἀπερριμμένων, ἀλλ' εἰς Παῦλον ἰδὼν τὸν τῆς σῆς ὄντα μερίδος, ἀνάβηθι τὴν διάνοιαν, ἀνάκτησαι τοὺς λογισμούς, μὴ καταπέσῃς ὑπὸ τῆς ἀθυμίας. τὸν φίλον τοῦ Θεοῦ καὶ τὸν πολέμιον μὴ ἀπὸ τῆς εὐπραγίας καὶ δυσπραγίας τῆς ἐνταῦθα δοκίμαζε· ἀλλ' ἂν μὲν ἴδῃς ὀρθῶς ζῶντα, καὶ νόσῳ κενούμενον, καὶ πρὸς εὐσέβειαν βλέποντα, μακάριζε καὶ ζηλωτὸν εἶναι νόμιζε, κἂν μυρίας ἁλύσεις περικέηται, καὶ δεσμωτήριον οἰκῇ διαπαντός, κἂν ἀναξίοις δουλεύῃ, κἂν πένηται, κἂν μέταλλα ἐργάζηται, κἂν ὁποιονοῦν πάσχῃ δεινόν. μακάριος γὰρ οὗτός ἐστι, κἂν διορύττηται, κἂν κόπτηται, κἂν κατὰ μικρὸν δαπανᾶται τὸ σῶμα. ἂν δὲ ἴδῃς ἕτερον ἐν ἀσελγείᾳ καὶ πονηρίᾳ, καὶ τοῖς ἐσχάτοις ζῶντα κακοῖς, καὶ πολλῆς ἀπολαύοντα τιμῆς, ἐπὶ τὸν θρόνον αὐτὸν ἀναβαίνοντα τὸν βασιλικόν, καὶ διάδημα περικείμενον, καὶ ἁλουργίδα ἔχοντα, καὶ τῆς οἰκουμένης ἁπάσης κρατοῦντα, δάκρυσον καὶ διὰ τοῦτο τὸν τοιοῦτον, καὶ ταλάνιζε. οὐδὲν γὰρ ὄντως ἀθλιώτερον τῆς οὕτω διακειμένης ψυχῆς, κἂν πᾶσαν ὑποτεταγμένην ἔχῃ τὴν οἰκουμένην. τί γὰρ ὄφελος ἐν χρήμασι πλουτεῖν, ὅταν κατὰ τὴν ἀρετὴν πάντων πενέστερος ᾖ; τί δὲ κέρδος τοσούτων κρατεῖν, ὅταν ἑαυτοῦ καὶ τῶν ἑαυτοῦ παθῶν μὴ δύνηται περιγενέσθαι; ἀλλ' ἂν μὲν σῶμα ἴδωμεν κακῶς διακείμενον καὶ πυρέττοντα, ἢ ποδαλγίᾳ, ἢ φθόῃ τινί, ἢ ἑτέρῳ ἀνηκέστῳ πάθει περικατειλημμένον, δακρύομεν, κἂν πάντων εὐπορώτερος ᾖ, καὶ τοσούτῳ μᾶλλον, ὅσῳπερ ἂν εὐπορώτερος ᾖ· ἡ γὰρ αἴσθησις δριμυτέρα γίνεται τῶν δεινῶν, ὅταν ἐν ἀφθονίᾳ τις τῶν ἀναγκαίων ᾖ. ὁ μὲν γὰρ διὰ πενίαν κωλυόμενος τῆς ἀπολαύσεως, ἔχει τὴν ἀνάγκην παραμυθίαν· ὁ δὲ κύριος ὢν πᾶσι κεχρῆσθαι, καὶ κωλυόμενος ὑπὸ τῆς ἀρρωστίας, αὐτῷ τούτῳ μᾶλλον ἐμπαπερᾶται. πῶς οὖν οὐκ ἄτοπον, εἰ μὲν νοσήματι σωματικῷ περικατειλημμένον ἴδοιμεν τινά, ταλανίζειν αὐτόν, κἂν εὔπορος ᾖ· ψυχῆς δὲ κακῶς διακειμένης, ψυχῆς, ἧς ἡμῖν ἴσον οὐδὲν οὐδὲ τιμιώτερον, μακαρίζειν δι' ὀλίγα χρήματα, ἢ διὰ πρόσκαιρον τιμήν, ἢ δι' ἄλλο τῶν ἐνταῦθα μενόντων, καὶ μετὰ τῆς ζωῆς ταύτης, μᾶλλον δὲ πολλάκις καὶ πρὸ τῆς ζωῆς ἡμᾶς ἀπολιμπανόντων; μή, παρακαλῶ. ταῦτα τῆς ταραχῆς ἡμῖν αἴτια, ταῦτα θορύβου. διὰ τοῦτο τοῦ Θεοῦ κατηγοροῦσι πολλοί, διὰ τοῦτο τὸν κόσμον ἀπρονόητον νομίζουσιν. ὡς εἰ ᾔδεσαν, ὅτι οὐδὲν ἀγαθὸν ἐν τῷ παρόντι βίῳ, ἀλλ' ἡ ἀρετὴ μόνον, οὐ πλοῦτος, οὐ χρήματα, οὐχ ὑγίεια, οὐ δυναστεία, οὐκ ἄλλο οὐδέν, καὶ ὡς οὐδὲν κακὸν ἐν τῷ παρόντι βίῳ, ἀλλ' ἡ κακία μόνον καὶ πονηρία καὶ διαστροφὴ ψυχῆς, οὐ πενία καὶ νόσος, καὶ ἐπήρεια, καὶ συκοφαντίαι, καὶ τὰ ἄλλα, ἃ νομίζεται εἶναι δεινά, οὐκ ἄν ποτε ταῦτα ἐφθέγξαντο, ἅπερ νῦν, οὐκ ἄν ποτε ἐν ἀθυμίᾳ διῆγον, οὐκ ἄν ποτε ἐμακάρισαν, οὓς ταλανίζειν ἐχρῆν, οὐκ ἄν ποτε ἐταλάνισαν, οὓς μακαρίζειν ἔδει, οὐκ ἂν ὡς περὶ ὄντων τῶν ἀνθρώπων διέκειντο. τὸ γὰρ ἐπὶ πολυσαρκίᾳ, καὶ δαψιλεῖ φάτνῃ, καὶ ὕπνῳ πολλῷ μακαρίζειν ἀνθρώπους οὐδὲν ἕτερόν ἐστιν, ἢ ὡς περὶ ἀλόγων διακεῖσθαι. ἐπεὶ καὶ ἐκείνων τοῦτο ἐστὶν ἡ εὐπραγία, μᾶλλον δὲ καὶ ἐν τοῖς ἀλόγοις κακία τοῦτό ἐστι. πολλοὶ γοῦν καὶ ὄνοι καὶ ἵπποι

ἐν ἀργίᾳ διεφθάρησαν, ″ἀργίᾳ καὶ ἀδηφαγίᾳ ζῶντες. εἶτα, ἐπὶ μὲν τῶν ἀλόγων ζώων, οἷς ἡ πᾶσα ἀρετὴ ἐν εὐεξίᾳ σώματος, βλαβερὸν τοῦτο· ἐπὶ δὲ τῶν ἀνθρώπων, οἷς πᾶν τὸ κῦρος ἐν τῇ τῆς ψυχῆς εὐγενείᾳ, ἀρετὴν τοῦτο θησόμεθα, καὶ οὐκ αἰσχυνθησόμεθα τὸν οὐρανόν, τοὺς τῆς ψυχῆς ἡμῶν συγγενεῖς ἀγγέλους; οὐκ ἐρυθριᾷς καὶ αὐτὴν τοῦ σώματος τὴν φύσιν καὶ τὴν διάπλασιν; οὐ γὰρ ὥσπερ τοῖς ἀλόγοις, οὕτω καὶ ἡμῖν αὐτὸ διετύπωσεν ὁ Θεός· ἀλλ' ὡς πρέπον ἦν, μέλλον ψυχὴν λογικὴν καὶ ἀθάνατον διακονεῖν. διὰ τί γὰρ τοῖς μὲν ἀλόγοις πᾶσι κάτω νεύοντας ἐποίησε τοὺς ὀφθαλμοὺς ὁ Θεός· σοὶ δὲ καθάπερ ἐν ἀκροπόλει τῇ κεφαλῇ φέρων αὐτοὺς ἐγκατέθηκεν; οὐκ ἐπειδὴ ἐκείνοις μὲν οὐδὲν πρὸς τὸν οὐρανὸν κοινὸν, σοὶ δὲ μάλιστα τὰ ἄνω περισκοπεῖν νόμος καὶ παρὰ τοῦ Θεοῦ καὶ παρὰ τῆς φύσεως ἐξ ἀρχῆς ἐτέθη; διὰ τί σοι μὲν τὸ σῶμα ὄρθιον ἐποίησεν, ἐκείνοις δὲ πάλιν κάτω νενευκός; οὐχὶ διὰ τὴν αὐτὴν αἰτίαν πάλιν, καὶ ἀπ' αὐτῆς τῆς διαπλάσεως παιδεύων σε μηδὲν κοινὸν ἔχειν πρὸς τὴν γῆν, μήτε προσεστηκέναι τοῖς προσοῦσι πράγμασι; μὴ τοίνυν καταπροδῶμεν τὴν εὐγένειαν, μηδὲ πρὸς τὴν τῶν ἀλόγων δυσγένειαν ἐξολισθήσωμεν, ἵνα μὴ καὶ περὶ ἡμῶν εἴπῃ, Ἄνθρωπος ἐν τιμῇ ὢν, οὐ συνῆκε. (Ψαλ. μη κα.) Τὸ γὰρ τρυφῇ, καὶ πλούτῳ, καὶ δόξῃ, καὶ τοῖς προσοῦσι πράγμασι τὴν εὐημερίαν ὁρίζεσθαι, οὐκ ἔστιν ἀνθρώπων ἐπεσκεμμένων τὴν οἰκείαν εὐγένειαν, ἀλλ' ἀνθρώπων ἵππων καὶ ὄνων γενομένων. Ἀλλὰ μὴ γένοιτό τινας τοιούτους ἐνταῦθα παρεῖναι ἐν ἁγίῳ χορῷ καὶ θεάτρῳ πνευματικῷ καὶ συλλόγῳ θεοσεβεῖ. Διὰ γὰρ τοῦτο καθ' ἑκάστην ἡμέραν θείας ἀπολαύομεν ἀκροάσεως, ἵνα, καθάπερ δρεπάνῃ, τῷ λόγῳ, τὰ ὑλομανοῦντα πάθη τῆς διανοίας περικόπτοντες, ἔγκαρπα δένδρα γενώμεθα, καὶ καρπὸν ἐνέγκωμεν ὥριμον εἰς ἀποθήκην ἀποτιθέμενον βασιλικὴν, δόξαν φέροντα τῷ κοινῷ δεσπότῃ καὶ γεωργῷ τῶν ἡμετέρων ψυχῶν, καὶ ἡμῖν ζωὴν τὴν ἀθάνατον, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, καὶ τὸ κράτος, καὶ τιμὴ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ ΚΑΙ ΕΙΜΑΡΜΕΝΗΣ, λογ. β.

(Ἐξοδ. κα. ιζ.) Ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω, φησίν. ἐπὶ τῆς παλαιᾶς ὁ νόμος ἔκειτο, ὅτε οὐ πολλὴ τῆς πολιτείας ἡ ἀκρίβεια, ὅτε εἰσαγωγὴ τῆς θείας ἦν, ὅτε παιδικὰ τὰ παραγγέλματα, ὅτε τὸ γάλα, ὅτε ὁ παιδαγωγὸς, ὅτε ὁ λύχνος, ὅτε ὁ τύπος καὶ ἡ σκιά. τί οὖν ἂν εἴποιμεν περὶ τῶν νῦν ἐν τῇ χάριτι, καὶ τῇ τῶν πραγμάτων ἀληθείᾳ, καὶ τῇ τοσαύτῃ γνώσει, οὐχὶ πατέρα καὶ μητέρα κακολογούντων, ἀλλ' αὐτὸν τὸν τῶν ὅλων Θεόν; τίς τοὺς τοιούτους δέξεται τιμωρία, ποία τὸ μέτρον τῆς κακίας διαρκέσει κόλασις, ποῖος δὲ πυρὸς ποταμὸς, ποῖος σκώληξ ἀτελεύτητος, ποῖον σκότος ἐξώτερον, ποῖα δεσμὰ, ποῖος βρυγμὸς, ποῖος κλαυθμός; πάντα ἐλάττω τὰ βασανιστήρια, καὶ τὰ ὄντα καὶ τὰ μέλλοντα τῆς οὕτω διακειμένης ψυχῆς, τῆς πρὸς τοσοῦτον κακίας κατενεχθείσης. Βλασφημίας δὲ τρόποι πολλοὶ καὶ διάφοροι· διόπερ ἀναγκαῖον αὐτοὺς ἐκθέσθαι τήμερον, ὥστε μήτε ἑκόντας τινὶ τοιούτῳ περιπεσεῖν, μήτε τινὰ τῶν φίλων, μήτε ἐχθρὸν περιπίπτοντα περιιδεῖν. οὐ γάρ ἐστιν, οὐκ ἔστι ταύτης ἁμαρτία χείρων, ἀλλ' οὐδὲ ἴση, ἀλλὰ καὶ προσθήκη κακῶν τοῦτό ἐστι, καὶ ὃ πάντα συγχεῖ, καὶ ἀσύγγνωστον ἔχει κόλασιν καὶ ἀφόρητον τιμωρίαν. τίνες εἰσὶν οἱ τὸν Θεὸν κακῶς λέγοντες; οἱ τῇ σοφίᾳ τῆς προνοίας αὐτοῦ τὴν ἐκ τῆς εἱμαρμένης ἀταξίαν καὶ ἀνάγκην ἐπιτειχίζοντες. καὶ τὸ μὲν τοὺς ἀπίστους, καὶ πρὸς ξύλα καὶ λίθους κεχηνότας καὶ θεραπεύοντας ταύτην νοσεῖν τὴν νόσον, θαυμαστὸν οὐδέν· τὸ δὲ τοὺς ταύτης μὲν ἀπαλλαγέντας τῆς πλάνης καὶ τῆς δουλείας, καταξιωθέντας δὲ τὸν ἐπὶ πάντων εἰδέναι Θεὸν, τὸν ἀληθῆ καὶ ὄντως Θεὸν, ὥσπερ ἔκ τινος παλιρροίας, πρὸς ἐκείνην ὑποσύρεσθαι τὴν ζάλην, τὸν λογισμὸν καὶ τὴν μανίαν, τοῦτό ἐστι τὸ δεινότατον, καὶ πολλῶν ὄντως δακρύων καὶ θρήνων ἄξιον· ὅταν οἱ τὸν Χριστὸν λέγοντες προσκυνεῖν, καὶ τοσούτων καταξιωθέντες μυστηρίων, καὶ τῶν ἀπορρήτων μετασχόντες δογμάτων, καὶ τῆς σοφίας τῆς ἐξ οὐρανοῦ ἡμῖν κατενηνεγμένης, μετὰ τὴν τοσαύτην τιμὴν, ἧς ἀπολελαύκασι παρὰ τοῦ Θεοῦ, ἑκόντες ἑαυτοὺς κατακρημνίζωσι, τῆς μὲν ἐλευθερίας, ἣν αὐτοῖς ὁ Θεὸς ἐχαρίσατο, μετὰ πολλῆς ἀλογίας ἑαυτοὺς ἐκβαλόντες, δουλείᾳ δὲ χαλεπωτάτῃ ὑποβαλόντες ἑαυτοὺς, καὶ τυραννικωτάτην τυραννίδα τὴν οὐκ οὖσαν ἀναπλάττοντες

πλάττοντες διὰ τῶν λογισμῶν, καὶ πᾶσαν ἐλπίδα χρηστὴν ἐκκόπτοντες, καὶ τὰ ἱδρῶτα τῶν ὑπὲρ ἀρετῆς ἐσπουδακότων ἐκτεμεῖν ἐπιχειροῦντες. καθάπερ ἐν πολέμῳ στρατιώτας γενναίους, καὶ τὴν ψυχὴν αὐτὴν ὑπὲρ τῆς πατρίδος ἑτοίμους ὄντας ἐπιδοῦναι τῶν ἐχθρῶν τις ἰδὼν, καὶ μὴ δυνηθεὶς ἑτέρῳ καταβλάψαι τρόπῳ, μηδὲ ἀποστῆσαι τῆς ὑπὲρ τοῦ βασιλέως προθυμίας, μηδὲ ποιῆσαι δειλοὺς, μηδὲ μηχανήμασι περιγενέσθαι, ἑτέρως λυμαίνεται, τὸ πεῖθειν ἐπιχειρῶν ὡς εἰκῇ καὶ μάτην καὶ ἐπ' οὐδενὶ τοσοῦτον ἐπιδείκνυνται πόνον, ὥστε αὐτῶν ἐκλῦσαι τὰς χεῖρας, ὥστε αὐτῶν καταβαλεῖν τὴν ῥώμην, ὥστε σβέσαι τὴν προθυμίαν, ὥστε διὰ πάντων τούτων ἀποστῆσαι μὲν τῆς περὶ τὸν πόλεμον σπουδῆς, γυμνοὺς δὲ καὶ ἀόπλους νομίσας δεδεμένους αἰχμαλώτους λαβεῖν· οὕτω καὶ ὁ διάβολος πεποίηκεν. ἐπεὶ ἑώρα τῇ χάριτι τοῦ Θεοῦ τὸ πλέον τῆς οἰκουμένης καταγελῶντας μὲν τῆς Ἑλληνικῆς πλάνης, παντὶ δὲ θυμῷ καὶ πάσῃ ψυχῇ τὸν ὑπὲρ τῆς εὐσεβείας πρεσβεύοντας λόγον, εἶτα ἐκ τούτου πολλὴν μὲν ἀρετῆς γινομένην σπουδὴν, πολλὴν δὲ ὑπεροψίαν κακίας, προελθεῖν μὲν καὶ φανερῶς εἰπεῖν, ἀπόστητε τοῦ Χριστοῦ, καταγελάσατε τῶν παρ' αὐτοῦ δογμάτων, μῦθός ἐστι τὰ ἐκείνου καὶ πλάνη, πονηρός τις ἐστὶ καὶ ἀπατεὼν ἄνθρωπος, οὐ τολμᾷ. οἶδε γὰρ ταύτῃ μᾶλλον ἀποπηδήσοντας αὐτοῦ τῆς τυραννίδος, καὶ μισήσοντας αὐτὸν μειζόνως. διὰ τοῦτο μὲν ἐξ εὐθείας οὐκ εἰσάγει τὴν κατηγορίαν, κύκλῳ δὲ περιϊὼν, ὑποσπείρει λάθρα τὸν ἰὸν τῶν δυσσεβῶν δογμάτων, τὸ μὲν δοκεῖν ἀφεὶς μένειν ἐν τῇ πίστει, τῇ δὲ ἀληθείᾳ περιῤῥίζων αὐτοὺς ἁπάντων, καὶ πάντα καταλύων τῆς ἀληθείας τὰ δόγματα, καὶ πολλὴν τοῦ Θεοῦ καταχέων διαβολὴν παρὰ τοῖς πειθομένοις. διὰ τοῦτο αὐτῷ τὸ δηλητήριον τοῦτο, καὶ τὰ θανατηφόρα τῆς εἰρημένης κατασκευάσας φάρμακα, ἵνα πάντα, ἅπερ εἶπε, λάθρα εἰσαγάγῃ, ἵνα κενὸν ἡμῶν δείξῃ τὸ φρόνημα, καὶ τὴν πίστιν κενὴν, ἵνα πονηρὰν περὶ τοῦ Θεοῦ πείσῃ τοὺς ἀνθρώπους ψῆφον ἔχειν· ὅπερ οὖν καὶ ἐν ἀρχῇ πεποίηκεν ἐπὶ τοῦ Ἀδὰμ, καθάπερ βάσκανόν τινα καὶ φθονερὸν διαβάλλων τὸν Θεόν. μόνον γὰρ οὐχὶ οὕτως ἔλεγε δι' ὧν παρῄνει· ᾔδει, φησὶν, ὁ Θεὸς, ὅτι διανοιγήσονται ὑμῶν οἱ ὀφθαλμοὶ, ᾔδει ὅτι ἔσεσθε ὡς θεοὶ, ἐφθόνησεν ὑμῖν, ἐβάσκανεν ὑμῖν μείζονος τιμῆς. εἰ γὰρ καὶ μὴ προσέθηκε ταῦτα τὰ ῥήματα, ταῦτα αὐτοῖς, ἀφ' ὧν ἔλεγεν, ὑποπτεύειν ἐδίδου. καὶ ὅρα τὴν κακουργίαν. ἀνατρέψας τοῦ Θεοῦ τὴν ψῆφον, καὶ εἰπὼν, ὅτι μεγάλα αὐτοῖς ἀγαθὰ ἔσται μὴ πειθομένοις αὐτῷ, οἷον, διάνοιξις ὀφθαλμῶν, καὶ ἰσοθεΐα, καὶ γνῶσις ᾐρτημένη· οὐκέτι προσέθηκεν, ὅτι πονηρὸς ὁ τούτων ἀπείργων, ἵνα μὴ δόξῃ, καθάπερ ἐχθρός τις καὶ πολέμιος λέγων, ἀπολογεῖσθαι, ἀλλὰ πρόσωπον συμβούλου καὶ κηδεμόνος ὑποδὺς, εὐπαράδεκτον ποιήσῃ τὴν κακὴν παραίνεσιν, ὃ δὴ καὶ γέγονεν. οὐδὲν γὰρ ἕτερον ἤθελε κατασκευάσαι δι' ὧν ἔλεγεν, ἀλλ' ἢ, ὅτι ἀπόστητε Θεοῦ τοῦ πεποιηκότος, βάσκανός ἐστι καὶ φθονερὸς, φθονεῖ τῶν μειζόνων ὑμῖν ἀγαθῶν. ἀλλὰ ταῦτα φανερῶς μὲν οὐκ ἔθηκε τὰ ῥήματα· ἢ γὰρ ἂν ὑποπτεύσαντες αὐτὸν εἶναι ἐχθρὸν, ἔφυγον· ἀφεὶς δὲ εἰπεῖν αὐτοῖς ταῦτα καὶ περιστείλας, τὴν ὀλεθρίαν ταύτην εἰσήγαγε συμβουλήν. οὕτω δὴ καὶ νῦν οὐ λέγει μὲν, ἀπόστητε τοῦ Χριστοῦ, ὡς κατεγνωσμένων τῶν θείων δογμάτων (οἶδε γὰρ ὅτι ἐψεύδετο) κακούργως δὲ δοκεῖ μὲν ὑμᾶς ἀφεῖναι ἐν τούτοις, καὶ συγχωρεῖν πρὸς τὴν ἀλήθειαν, ἑτέρως δὲ οὐκ εἰδότας αὐτοὺς ἐξαιρεῖ τῆς αἰωνίου ταύτης κληρονομίας· ὥσπερ ἂν εἴ τις παῖδα γνήσιον καὶ ἐλεύθερον, ἁπλοῦν τινα καὶ ἀπόνηρον τῇ δόξῃ αὐτὸν κατέχων μὴ ἐκβάλοι τῆς πατρικῆς οἰκίας, παραινοίη δὲ αὐτῷ ποιεῖν, δι' ὧν καὶ ἑκὼν καὶ ἄκων ἐκπεσεῖται τῶν πατρικῶν ἁπάντων. οὐ γάρ ἐστιν, οὐκ ἔστι τὸν εἰρημένοις προσέχοντα, δυνηθῆναι τῶν οὐρανῶν ἐπιτυχεῖν· μᾶλλον δὲ οὐκ ἔστι δυνηθῆναι τὴν γέενναν καὶ τὴν κόλασιν ἐκφυγεῖν. ἀπενδυτίας γὰρ τοῖς τοῦ Θεοῦ δόγμασιν ἅπαντας πείθεσθαι ἐπιτάττει. ὁ Θεὸς λέγει, Ἐὰν θέλητε, καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται. τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα. εἶδες πῶς ὁ Θεὸς φθέγγεται, καὶ ποίους

Ησ. α. κ.

α. Κορ. ε ιβ.

Σειρ. ιε. ιϛ.

τί φησι νόμους· ἄκουσον καὶ τῆς εἱμαρμένης, πῶς φθέγγεται, καὶ πῶς ἐναντίους εἰσάγει θεσμούς, καὶ μάθε, πῶς ἐκεῖνα μὲν ὑπὸ θείου πνεύματος εἴρηται, τὰ δὲ ταύτης ὑπὸ πονηροῦ καὶ δαίμονος πρός τινος ἀνημέρου. Εἶπεν ὁ Θεός, ἐὰν θέλητε, καὶ ἐὰν μὴ θέλητε, κυρίους ἡμᾶς ποιῶν ἀρετῆς καὶ κακίας, καὶ ἐπὶ τῇ γνώμῃ τῇ ἡμετέρᾳ τιθείς. ἐκεῖνος δὲ τί φησιν; ὅτι τὸ εἱμαρμένον οὐ δυνατὸν ἐκφυγεῖν, κἂν θέλωμεν, κἂν σπουδάζωμεν. ὁ Θεὸς λέγει ἐὰν θέλητε, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε. αὕτη λέγει, κἂν θέλωμεν, μὴ ᾖ δὲ ἡμῖν δεδομένον, οὐδὲν ὄφελος τοῦ θέλειν. ὁ Θεὸς λέγει, ἐὰν μὴ θέλητε προσέχειν τοῖς λόγοις μου, μάχαιρα ὑμᾶς κατέδεται. αὕτη λέγει, ἂν μὴ θέλωμεν, ᾖ δὲ ἡμῖν δεδομένον, πάντως σωζόμεθα. οὐ ταῦτα ἡ εἱμαρμένη φησί; τί γένοιτ' ἂν οὖν τῆς μάχης ταύτης σαφέστερον; τί δὲ τοῦ πολέμου φανερώτερον τούτου, ὃν ἀναισχύντως οὕτω πρὸς τὰ θεῖα λόγια εἵλοντο οἱ τῆς πονηρίας διδάσκαλοι δαίμονες; ἀλλ', ὅπερ ἔφην, τὸ μὲν δαίμονας καὶ ἀνθρώπους ἄλλους δαίμονας, τοὺς Ἕλληνας λέγω, ταῦτα πείθεσθαι, θαυμαστὸν οὐδέν· τὸ δὲ ὑμᾶς οὕτω θείας καὶ σωτηρίου διδασκαλίας ἀπολαύοντας, ἀτιμάζειν μὲν ταῦτα, προστρέχειν δὲ ἐκείνοις τοῖς ἀλογωτάτοις, καὶ ψυχῆς ἀπώλειαν ἔχουσι, τοῦτό ἐστι τὸ πάντων χαλεπώτερον. Τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν; ἐμοὶ τέως πρὸς ὑμᾶς ἐστιν ὁ λόγος, τὰ μέλη τοῦ Χριστοῦ, τὰ τέκνα τῆς ἐκκλησίας, τοὺς ἐν τῷ πατρικῷ οἴκῳ παιδευομένους, τοὺς οὐρανίων ἀπολαύοντας διδαγμάτων, τοὺς τοσαύτῃ τιμηθέντας τιμῇ. διὰ τοῦτο στένω, διὰ τοῦτο δακρύω καὶ θρηνῶ. θρήνων γὰρ ὄντως ἄξια, ὅταν τις μηδὲ συγγνώμης ἄξια πίπτῃ πτώματα. ποία γάρ, εἰπέ μοι, συγγνώμη, ὅταν ἀποφαίνηται Θεός, καὶ δαίμονες ἀντιφθέγγωνται, καὶ ἀξιοπιστότερα δόξῃ παρὰ τῶν οἰκείων τοῦ Θεοῦ, τὰ παρ' ἐκείνων λεγόμενα; μὴ γὰρ λογισμοὺς κινοῦμεν νῦν, ἀλλὰ πῶς τὴν ἰταμότητα τῶν ἐκείνοις πειθομένων δείξομεν. ὁ Θεὸς λέγει, Παρέθηκά σοι πῦρ καὶ ὕδωρ, τὴν ζωὴν καὶ τὸν θάνατον, οὗ ἐὰν θέλῃς ἔκτεινόν σου τὴν χεῖρα. ὁ δαίμων λέγει, ὅτι οὐκ ἔστιν ἐν σοὶ τὸ ἐκτείνειν τὴν χεῖρα, ἀλλ' ἀνάγκῃ τινὶ καὶ βίᾳ, καὶ ἀξιοπιστότερα εἶναί σοι δοκεῖ, καὶ οὐ τὸ μέσον τῶν συμβουλευόντων νοεῖς, ὅτι ὁ μὲν Θεός, ὁ δὲ δαίμων· οὐ τῆς συμβουλῆς τὸ διάφορον ἐξετάζεις, ὅτι τὸ μὲν σωτήριον καὶ πρὸς ἀρετὴν καλεῖ, τὸ δὲ ὄντως καὶ δαιμονικὸν καὶ πρὸς κακίαν καὶ πονηρίαν· οὐ τὰ παρὰ τοῦ Θεοῦ σοι γεγενημένα, καὶ τὰ παρὰ τοῦ δαίμονος σκοπεῖς, ὅτι ὁ μὲν οὕτω σε ἐφίλησεν, ὡς καὶ τὸν μονογενῆ δοῦναι ὑπὲρ σοῦ, οὗ τιμιώτερον οὐδὲν ἦν τῷ πατρί, καὶ ἔτι φιλεῖ, ὡς καὶ παρακαλεῖν σε διὰ τῶν ἀποστόλων ὑπὲρ τῆς σῆς σωτηρίας, καὶ πάντα ποιεῖ· ὁ δὲ οὕτως ἐμίσησε καὶ μισεῖ, ὡς διὰ πάντων σοι πολεμεῖν, καὶ μὴ μόνον οὐδὲν διδόναι χρηστόν, ἀλλὰ καὶ ὧν ἔλαβες παρὰ τοῦ Θεοῦ, καὶ τούτων πειρᾶσθαι ἐκβάλλειν. ὁ μὲν ἀγγέλοις σε ἴσον ποιῆσαι ἐσπούδασεν, ὁ δὲ τῶν χαμαὶ βαδιζόντων ἀτιμότερόν σε κατέστησεν, αὐτοῖς τε σὲ προσκυνεῖν ἀνέπεισεν. ὁ μὲν εἰς βασιλείαν οὐρανῶν ἕλκει καὶ τὰς ἄλλας τιμάς, ὁ δὲ καὶ ἐνταῦθά σοι δοθείσης ἐφθόνησε, καὶ οὐ πρότερον ἀπέστη, ἕως ἐξέβαλεν. Εἰ γὰρ καὶ τὰ δόγματα οὐ δύνασθε αὐτοὶ συνορᾶν, καίτοι ἡλίου σαφέστερα τοῖς μὴ νωθεστέροις ἐστίν, οὕτω καὶ ταῦτα τοῦ Θεοῦ πρόδηλον ἔχει τὴν ἀρετὴν καὶ τὴν σωτηρίαν, κἀκεῖνα τὴν κακίαν· ἀλλ' ὅμως εἰ πρὸς αὐτὰ μὴ δύνασθε συνιδεῖν, κἂν ἀπὸ τῶν συμβουλευόντων μάθετε τὸ σωτήριον καὶ τὸ βλαβερόν. πῶς γὰρ οὐκ ἄτοπον ἐπὶ μὲν τῶν ἄλλων πραγμάτων ταύτῃ κεχρῆσθαι τῇ γνώμῃ, κἂν μὲν ἰατρὸς δώσῃ τινὶ σιτίον, μὴ περιεργάζεσθαι, ἀλλ' ὡς ὑγιείας ποιητικὸν δέχεσθαι, ἂν δὲ φαρμακὸς καὶ γόης, μὴ πολυπραγμονεῖν, ἀλλ' ὡς δηλητήριον καὶ βλαβερὸν ἀποστρέφεσθαι· ἐπὶ δὲ τοῦ Θεοῦ μηδὲ τούτῳ κεχρῆσθαι τῷ μέσῳ; καίτοι τοσούτῳ πλέον τὸ μέσον Θεοῦ καὶ δαίμονος, ἢ ἰατροῦ καὶ φαρμακοῦ, ὅσον οὐδὲ ἔξεστιν εἰπεῖν, οὐδὲ νῷ παραστῆσαι καὶ λόγῳ. πῶς οὖν οὐκ ἐσχάτης ἀτοπίας, ἔνθα μὲν ἐλάχιστον τὸ διάφορον τῶν παρεχόντων τὰ σιτία, μὴ πολυπραγμονεῖν, ἀλλὰ τῇ ποιότητι τῶν προσώπων ἀντὶ πάσης κεχρῆσθαι διδασκαλίας· ἔνθα δὲ τοσοῦτον τὸ μέσον τῶν συμβουλευόντων, λόγου χρείαν ἔχειν πρὸς τὸ μαθεῖν, ὅτι τὸ μὲν σωτήριον, τὸ δὲ βλαβερόν; μή, παρακαλῶ, μὴ τῶν ἀλόγων ὦμεν ἀλογώτεροι, ἀλλ' ἀποπηδῶμεν, καὶ μὴ ἐπικλίνωμεν τὰς ἀκοάς. Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί· καὶ συγγνώμης οὐκ ἔστι τυχεῖν τοὺς ἀπατηθέντας. τίνος γὰρ ἕνεκεν, ἂν μὲν λοιμικὸν χωρίον ἴδῃς καὶ ἐπίνοσον, φεύγεις τὴν ἐκεῖ διατριβήν, κἂν μυρία σε ἕλκῃ πρὸς τὴν οἴκησιν ἐκείνην, πάντων τὴν τοῦ σώματος ὑγίειαν προτιθείς· ὅταν δὲ λόγου τοῦ λοιμώδους τινὲς ὦσιν ἐμπεπλησμένοι, καὶ νοσήματος, οὐχὶ σῶμα διαφθείροντος μόνον, ἀλλὰ καὶ ψυχὴν ἀπολλύντος, καὶ χείρω καὶ φαυλοτέραν ἐργαζομένου, οὐκ ἀποπηδᾷς; Ἄκουσον, φησί τις σοφὸς ἀνήρ, μὴ στῇς, ἀλλ' ἀποπήδησον, μὴ ἐγχρονίσῃς· καὶ τὴν βραχυτάτην ἐν τούτοις δεδοικὼς διατριβήν. ταῦτα δὲ λέγομεν, οὐ τὴν ἰσχὺν τῶν παρ' ἐκείνοις δογμάτων δεδοικότες, ἀλλὰ τὴν ὑμετέραν ἀσθένειαν φοβούμενοι. ἡμῖν γὰρ τῇ τοῦ Θεοῦ χάριτι ἀραχνίων ἀσθενέστερα τὰ ἐκείνων φαίνεται, τοῖς τεθεμελιωμένοις τῇ πίστει, κἂν μυριάκις ἡμῖν ἐπᾴδωσι τὰς ἀκοάς, τοσούτῳ πλείονα τὸν γέλωτα ὀφλισκάνουσι παρ' ἡμῖν, καθάπερ οἱ μεμηνότες καὶ τῶν οἰκείων φρενῶν ἐξεστηκότες· τὴν δὲ ὑμετέραν ἀσθένειαν δεδοίκαμεν. οὐ κατὰ πάντων λέγω τὰ εἰρημένα, ἀλλὰ κατὰ τῶν ὑπευθύνων τοῖς λεγομένοις ὄντων. ἐπεὶ καὶ Παῦλος ὁ πάντων κρατῶν, οὐχὶ διδασκαλίαν μόνον, ἀλλὰ καὶ κατὰ τῶν ἀλλοτρίων ἐπιδεικνὺς τῷ μαθητῇ Τιμοθέῳ τὰς λογομαχίας, τὰς κενοφωνίας περιΐστασθαι παραινεῖ. ὀλίγος ἐστὶν ὁ τῆς ζωῆς ἡμῶν χρόνος, βραχὺ τὸ τῆς σωτηρίας ἐφόδιον. ἂν οὖν αὐτὸν τὸν βραχὺν χρόνον τὸν δοθέντα ἡμῖν πρὸς τὸ μαθεῖν τι τῶν χρησίμων, εἰς περιττὰς καὶ ἀνονήτους καὶ βλαβερὰς ἀναλώσωμεν ἀκροάσεις, πότε λοιπὸν εὐπορήσομεν ἑτέρου πρὸς τὸ μαθεῖν τὰ ἀναγκαῖα καὶ κατεπείγοντα; μάλιστα μὲν γάρ, εἰ καὶ μακρὸς ἦν, πάντα αὐτὸν εἰς τὰ χρήσιμα ἀναλίσκειν ἔδει· ὅταν δὲ καὶ ὀλίγος ᾖ καὶ βραχύς, πῶς οὐκ ἐσχάτης ἀνοίας τὴν ὀλιγότητα αὐτοῦ εἰς τὰ διαφθείροντα δόγματα τὴν ψυχὴν τὴν ἡμετέραν δαπανᾶν; τί σοι χρεία φαρμάκου, μὴ δέξῃ πληγήν, μὴ τὸν χρόνον ἀναλώσῃς εἰς τὸ θεραπεύειν, ἃ λαμβάνεις παρ' ἑτέρων· καὶ ἔχεις ἀπὸ τῶν θείων γραφῶν τὸ ὑγιὲς συγκροτεῖν· κἂν προσέλθῃ τις ἕτερόν τι λέγων, ἀπόφραξον τὰ ὦτα, ἀποπήδησον εὐθέως, μὴ ἐγχρονίσῃς. καὶ εἰ κατὰ βασιλέων συλλόγου γινομένου, οὐκ ἂν ἠνέσχου μετασχεῖν τοῦ συνεδρίου, ὡς τῇ κοινωνίᾳ τῆς ἀκροάσεως, εἰ καὶ μὴ συγκατάθεσις γένοιτο, κινδυνευσόντων πάντως· ὅταν κατὰ Θεοῦ λέγηταί τι, καὶ δόγμα τὸ αὐτοῦ γέμον κατηγορίας γυμνάζηται, οὐκ ἀποφεύξῃ, οὐ μισήσεις τὴν βλάσφημον γλῶτταν, οὐκ ἐμφράξεις τὰ ἄθεα στόματα; καὶ πῶς δυνήσῃ μετὰ παρρησίας εὔχεσθαι τὸν Θεόν, ταῖς διαβολαῖς ταῖς κατ' αὐτοῦ κοινωνῶν; μή, παρακαλῶ. ταῦτά μοι οὐ πρὸς τοὺς παρόντας εἴρηται, μᾶλλον δὲ καὶ πρὸς τοὺς παρόντας. εἰ γὰρ καὶ ὑμεῖς ἀνεύθυνοι, ἀλλ' οὖν τινας ἴστε ταύτην νοσοῦντας τὴν νόσον, τούτοις καὶ ἑτέροις πλείοσιν ἐπαντλεῖτε ῥήμασιν, ὥστε πρόρριζον ἀνασπάσαι τὸ κακόν. γένοιτο δὲ εὐχαῖς τῶν ἁγίων καὶ φίλων τοῦ Θεοῦ (οὐ γὰρ δὴ τοσοῦτον ἡμῶν ἰσχύει τὰ ῥήματα, ὅσον τῆς ἐκείνων εὐχῆς ἡ παρρησία) γένοιτο πάντας ἡμᾶς, καὶ ὅσοι πρὸς τὸ πλήρωμα τῆς ἐκκλησίας συντελοῦσι, τούτων ἀπαλλαγέντας τῶν κακῶν, μετὰ παρρησίας στῆναι ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ᾧ ἡ δόξα. Ἀμήν.

α. Κορ. ιε. λγ.

Παροιμ. θ. ιη.

α. Τιμ. ϛ. δ.

ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ ΚΑΙ ΕΙΜΑΡΜΕΝΗΣ, Λόγος γ.

Οἶδα πρώην περὶ εἱμαρμένης εἰπὼν πρὸς τὴν ὑμετέραν ἀγάπην· ἀλλ' οὐδὲν κωλύει καὶ τήμερον περὶ τῆς αὐτῆς ὑποθέσεως γυμνάσαι τὸν λόγον· οὐκ ἐπειδὴ τὸ πάθος ἐστὶν ἰσχυρόν, ἀλλ' ἐπειδὴ ἡ ῥᾳθυμία ἡμῶν ἐστιν ἄφατος, ἡ καὶ τὰ μικρὰ μεγάλα ποιοῦσα τῶν νοσημάτων· ἐπεὶ καὶ τυφλῷ δῆλόν ἐστι φύσει, ὅτι τὸν πιστὸν οὐδὲ λόγων, οὐδὲ διδασκαλίας δεῖσθαι χρὴ πρὸς τὴν τοῦ κακοῦ τούτου φυγήν. καθάπερ γὰρ τὸν οἰκοῦντα τὴν καθ' ἡμᾶς οἰκουμένην, καὶ νόμοις πολιτευόμενον τοῖς παρ' ἡμῖν, καὶ βασιλεῦσιν ὑποτεταγμένον τοῖς αὐτοῖς, οὐ δεῖ πείθειν, ὅτι τὴν Περσικὴν πολιτείαν ὁσημερ εἰσάγειν οὐ χρή, ἀλλ' ἀπαγορεύειν μόνον, οὕτω δὴ καὶ ἐνταῦθα. τῶν γὰρ ἁμαρτημάτων τὰ μέν ἐστι λόγου δεόμενα καὶ διδασκαλίας, τὰ δὲ οὕτω φανερὰ καὶ δῆλα, ὡς φόβῳ καὶ τιμωρίᾳ μόνῃ κωλύεσθαι· οἷον, τὸ φονεύειν, τὸ μοιχεύειν, τὸ κλέπτειν οὐ δεῖται λόγων· διόπερ καὶ ὁ νομοθέτης οὐχὶ διδασκαλίαν περὶ τούτων συντέθεικε προεξηγῆσαι ἡμᾶς, ὅτι τὸ πρᾶγμα πονηρόν (προκατείληφε γὰρ ἡμᾶς τῷ λογισμῷ) ἀλλὰ μόνον ἀπηγόρευσεν, οὐ μοιχεύσεις, οὐ φονεύσεις.

Ἐξοδ. κ. ιγ.
Δευτ. ι. ιη. καὶ ε. ιζ.
Ἐξοδ. κ. ι. καὶ λα. ιγ.

ὅταν δὲ περὶ χηρῶν ὑπεροψίας καὶ παρακαταθηκῶν κακουργίας ἡμῖν διαλέγηται, καὶ λογισμοὺς τίθησιν, Ἐλέησον τὴν χήραν, φησί, καὶ τὸν προσήλυτον· καὶ γὰρ καὶ σὺ προσήλυτος ἦσθα ἐν γῇ Αἰγύπτῳ. τὸ σάββατον ἀργίᾳ τίμα, φησίν. εἶτα καὶ λογισμὸν τίθησι. τὸ τοίνυν εἱμαρμένης ἀπέχεσθαι, οὐ τούτων ἐστὶ τῶν δεομένων λογισμοῦ, ἀλλ' ἐκείνων τῶν δήλων. ὥσπερ γὰρ δῆλον ὅτι πονηρὸν τὸ φονεύειν, καὶ τὸ μοιχεύειν φαῦλον, οὕτω δῆλον ὅτι τὸ προσέχειν εἱμαρμένῃ πονηρὸν καὶ ἀπηγορευμένον. μὴ γὰρ ἀπὸ τῶν πειθομένων νομίζετε αὐτὸ εἶναι τῶν μὴ κεκωλυμένων· ἐπεὶ καὶ φόνος τολμᾶται, καὶ κεκώλυται παρὰ τοῖς νόμοις, καὶ αἱ μοιχεῖαι καὶ αἱ ἁρπαγαὶ τῶν ἀπηγορευμένων εἰσί, καίτοι δρωμένων παρὰ τῶν πολλῶν. ἐπεὶ ὅτι γε τῶν κεκωλυμένων ἐστὶν, ὥσπερ ὁ φόνος, παρὰ τοῖς νόμοις αὐτοῖς τοῖς τῶν Ἑλλήνων, τὸ τῇ γενέσει πείθεσθαι, παρελθών τις τῶν μοιχευσάντων τὴν τοῦ δεῖνος γυναῖκα, κατηγορούμενος ἐν δικαστηρίῳ λεγέτω, ὅτι οὐκ ἐγὼ, ἀλλ' ἡ γένεσις. ἐγὼ μὲν γὰρ σωφρονεῖν ἐβουλόμην· ἐκείνη δέ με ὦσε καὶ ἐνέβαλεν. ἆρα οὐ διὰ τοῦτο χαλεπωτέραν δώσει δίκην, ὡς καταγέλαστα ἀπολογούμενος; ἆρα συγγνώμης τεύξεταί τινος; οὐδαμῶς. καὶ μὴν ἐχρῆν κατ' ἐκείνους. εἰ γὰρ γενέσει πάντα καὶ οὐ δοκήσει γίνεται, ταύτης μείζων οὐκ ἔστιν ἀπολογία. εἰ μὲν γὰρ κυρία καὶ δυνατωτέρα ἐστὶ τῆς γενέσεως ἡ προαίρεσις, οὐκ ἂν εἴη γένεσις. εἰ κἂν μυρία μηχανήσηταί τις, ἀνάγκη τὰ ἐπιτάγματα τὰ ἐκείνης πληροῦσθαι, μάτην οὗτος κολάζεται, καὶ οὐ τεύξεται συγγνώμης. ἀλλ' οὐδεὶς αὐτοῦ οὔτε ἀπολογουμένου, οὔτε τυχόντος συγγνώμης ἀκούσεται· οὕτω παρὰ πᾶσι τὸ πρᾶγμα διαβέβληται, καὶ μῦθος εἶναι καὶ λῆρος δοκεῖ. πολλοί τε τῶν ἀρχόντων (καίτοιγε εἰ παρὰ ἀνθρώπου πάθοι βίαν, ἀρκεῖ πρὸς ἀπολογίαν αὐτὸ τοῦτο ἐγκαλουμένῳ, μᾶλλον οὐδὲ ἔγκλημα λοιπὸν εἶναι δοκεῖ) πολλοὶ γοῦν τῶν ἀρχόντων ἐπὶ φόνοις ἀδίκοις κατηγορηθέντες, δίκην ἔδοσαν· οὐ τοὺς δὲ δημίους οὐ τοὺς διακονουμένους τῷ φόνῳ, καὶ αὐτόχειρας γεγενημένους τῆς σφαγῆς, οὐδὲ εἰς δικαστήριον ἑλκύσαι τις, ἀλλ' οὐδὲ ζητῆσαι τὴν ἀρχήν, τῆς ἀνάγκης ὑπὲρ αὐτῶν ἀπολογουμένης, καὶ τοῦ τῆς ἀρχῆς ἀξιώματος, καὶ τοῦ τῆς ὑποταγῆς φόβου. εἶτα οἱ ἄνθρωποι μὲν ἴσασι συγγινώσκειν, ὑπ' ἀνθρώπου τοῦ ὁμοφύλου καὶ ὁμογενοῦς καταναγκαζομένου· θεὸς δὲ ὑπὸ εἱμαρμένης οὐχὶ πολλῷ μᾶλλον συγγινώσκειν ἐχρῆν; καὶ γὰρ διαδρᾶναι ἔδει. ἐκείνης δέ, ὥς φασιν, οὕτως ἀμήχανος ἡ ἀρχή, ὡς κἂν εἰς ἔρημον, κἂν εἰς θάλατταν, κἂν ὅπου τις ἀφίκηται, τὰ νοήματα αὐτῆς οὐ διαφεύξεται. πῶς οὖν οὐκ ἄτοπον τὸν μὲν ὑπὸ βαρβάρων βίας ἀγόμενον, πλείστης συγγνώμης ἀπολαύειν, ὡς μηδὲ ἐγκαλεῖσθαι τὴν ἀρχήν, τὸν δὲ ὑπὸ δυνατωτέρας, ὥς φασι, δυνάμεως καταναγκαζόμενον, δίκην διδόναι, καὶ μηδὲ λόγου μεταδιδόναι πρὸς ἀπολογίαν αὐτῷ τοιαύτην; οὐδεὶς γάρ ποτε προβαλλόμενος εἱμαρμένην ἀπέφυγεν, οὐκ ἐν δικαστηρίοις κακοῦργος, οὐκ ἐν οἰκίᾳ οἰκέτης, οὐκ εἰς διδασκαλεῖον παῖδες, οὐκ ἐν ταῖς τέχναις μαθηταί, ἐν οἷς ἂν διαμάρτωσι. πῶς οὖν τινες εἱμαρμένην πρεσβεύουσιν, ἀτιμάζοντες αὐτήν, καὶ τῇ ὑπ' αὐτῆς ἀνάγκῃ οὐδεμιᾶς μεταδιδόντες συγγνώμης; οὕτω τῇ μὲν ἀληθείᾳ καὶ τῷ συνειδότι σφόδρα πεπείκασιν ἑαυτούς, ὅτι μῦθος τὸ πρᾶγμά ἐστιν. ὅταν δὲ εἰς ἁμαρτήματα ἐμπέσωσι χαλεπά, ἕτερον αὐτοῖς προστιθέασι πάλιν, ὡς ταύτῃ διαφευξόμενοι τὴν ἀποκειμένην αὐτοῖς δίκην, ἀλλ' οὐ χαλεπωτέραν αὐτὴν δώσοντες. οὐ γὰρ οὕτω τὸ

ἁμαρτάνειν χαλεπὸν, ὡς τὸ μετὰ τὴν ἁμαρτίαν ἀναισχυντεῖν, καὶ τὸν Θεὸν διαβάλλειν ὑπὲρ τῶν οἰκείων κακῶν. τοῦτο πάσης ἁμαρτίας χεῖρον· ὅπερ οὖν καὶ ὁ διάβολος ἐσπούδασεν, ὡς μὴ μόνον ῥαθύμους ἡμᾶς γενέσθαι πρὸς ἀρετὴν, καὶ προχείρους εἰς κακίαν, ἀπάντων τὴν αἰτίαν ἀνατιθέναι τῷ Θεῷ, ἀλλὰ καὶ μετὰ τοῦ βλασφημεῖν ἡμᾶς καὶ τὴν ψυχὴν καὶ γλῶτταν ἐργάσασθαι ἀπολογίας προσχήματι, τοῦ Θεοῦ κατηγοροῦντας, καὶ τῶν μὲν ἐργαζομένων ἡμῶν αὐτῶν ἀποσκευαζομένους τὴν διαβολὴν, εἰς δὲ τὸν οὐκ ὄντα αἴτιον μεταπιθέντας τὴν κατηγορίαν. καίτοι κἂν ἐπ' ἀνθρώπων τις τοιοῦτόν τι φανῇ τολμήσας, ἀρκεῖ τοῦτο μόνον εἰς κατηγορίαν αὐτοῦ καὶ ἀπώλειαν. ὅταν γὰρ ἕτερον συκοφαντῇ ὁ μηδὲν ἐργασάμενος δεινὸν, τῶν δεδρακότων τὸ τόλμημα τιμωρίᾳ ἐνέχεται. ὁρᾷς οὖν πόσα κακὰ συνέστησεν ὁ διάβολος ἀπὸ τῆς εἱμαρμένης· ὑπορψίλην ἀρετῆς· ἐκλύει γὰρ ψυχὴν, κἂν σφόδρα πρόθυμος ᾖ, πρὸς τοὺς ὑπὲρ αὐτῆς ἱδρῶτας, ὅταν πείσῃ, ὅτι τῶν γινομένων οὐδέν ἐστιν ἐφ' ἡμῖν εὐέμπτωτον πρὸς πονηρίαν ἔργον. ὅταν γὰρ μάθῃ τις ὅτι μοιχεύων ἢ φονεύων, καὶ τοίχους διορύττων, οὐκ ἔστιν ἐγκλήματος ἄξιος, οὐ παύσεται, καθάπερ ἐπὶ κατάντους χωρίου μετὰ προθυμίας φερόμενος, τῆς προνοίας ποιεῖν συκοφάντας, καὶ συκοφάντης γενέσθαι κατὰ τοῦ Θεοῦ· οὗ τί γένοιτο ἂν χεῖρον, εἰπέ μοι, κακόν; φευγώμεθα τοίνυν, ἀγαπητοὶ, τὴν εἰδωλολατρείαν ταύτην· ὄντως θάνατός ἐστιν ἐν ᾧ λέγεται, καὶ πάντα τὸν ἀρυσάμενον ἐντεῦθεν καὶ μικρόν τι τῶν διεφθαρμένων δογμάτων, ἀνάγκη πάντας ἀποθανεῖν, εἰ μὴ παλινδρομήσειε, καὶ τῆς ὑγιείας ἀπολαύσειε τῆς καθαρᾶς. ἵν' οὖν μὴ μετὰ ταῦτα ἀνόνητα θρηνῶμεν, ὅταν τῆς μετανοίας ἡμῖν ἡ προθεσμία μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἐκκοπῇ, ἕως ἐσμὲν κύριοι, ὅσοι μὲν ἑαλώκαμεν τῷ νοσήματι, μετανοήσωμεν καὶ ἀνακτησώμεθα ἑαυτούς· ὅσοι δὲ ὑγιαίνομεν, τήν τε ὑγίειαν καθαρὰν διατηρῶμεν, καὶ τοῖς προκατειλημμένοις χεῖρα ὀρέγωμεν. εἰ γὰρ τοῖς τὰ σώματα νοσοῦσι τοσαύτην ἐπιδεικνύμεθα σπουδὴν καὶ κηδεμονίαν· ὅταν ψυχῆς ἀρρωστία προσκέηται, τί τῶν πάντων οὐ πρακτέον ἡμῖν, τί δὲ οὐχ ὑπομενοῦμεν, ὥστε τὸν ἀδελφὸν εἰς συνάφειαν μέλεσιν ἡμῖν συντελοῦντα ἀνακτήσασθαι, τὸν καὶ ἐν τῷ πληρώματι τοῦ σώματος τοῦ ἐκκλησιαστικοῦ τελοῦντα; πάντα οὖν ὑπὲρ τούτου πραγματευσώμεθα, πάντα ὑπὲρ τούτου πράττωμεν, τοὺς κύνας, τοὺς λύκους ἀπελαύνοντες, μηδὲ ἀρκεῖν ἡγώμεθα ἡμῖν τὴν ἡμετέραν αὐτῶν σωτηρίαν. ὥσπερ γὰρ εἴρηται ὅτι, Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες, καὶ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις· οὕτω δὴ καὶ ἐν τούτῳ ἀκουσόμεθα, ὅταν ἴδωμέν τινα τῶν ἀδελφῶν τῶν ἡμετέρων κλέπτοντα λόγοις καὶ ψιθυρισμοῖς, τὰ αὐτὰ ἀκουσόμεθα. οἶκός ἐστι δεσποτικὸς ἡ ἐκκλησία, σκεύη τίμια εἰσὶν οἱ πιστοί. ὅταν οὖν ἴδῃς τινὰ τῶν ἔξωθεν βουλόμενον ὑφελέσθαι τι τῶν σκευῶν, κἂν αὐτὸς ἀνάλωτος ᾖς, ὡς μέλλων κινδυνεύειν, εἰ περιίδοις, καὶ μὴ προσελθὼν εἴποις τοῖς διορθῶσαι κυρίοις, ἔνοχος γέγονας τῆς ἐκείνου ψυχῆς, ὁ τὸν κλέπτην ὁρῶν διορύττοντα, καὶ μὴ κωλύων ἢ διὰ σαυτοῦ ἢ δι' ἑτέρου. οὐχ ὥς σοι τὸν κίνδυνον ἁπλῶς ἐπικρέμασθαι ταῦτα λέγω, ἀλλ' ὥστε ἀσφαλίσασθαι, ὥστε ποιῆσαι ἴσως ὑπὲρ τῆς ἑαυτῶν, καὶ τῆς τῶν ἄλλων σωτηρίας μεριμνᾶν. οὕτω γὰρ δυνησόμεθα καὶ τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν, χάριτι Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

δ.Βασ.δ μ.

Ψαλ. μθ. ιη.

ΠΕΡΙ

ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ ΚΑΙ ΕΙΜΑΡΜΕΝΗΣ, Λογ. δ.

ιωπ. γο.

ΤΑ αὐτὰ λέγειν ἐμοὶ μὲν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ ἀσφαλές. Εἰ δὲ Παῦλος συνεχοῦς ἐδεῖτο διδασκαλίας πρὸς τοὺς μαθητὰς, Παῦλος ὁ μετὰ τῆς τοῦ πνεύματος διδάσκων χάριτος, ὁ μετὰ ἐπιτάγματος ἐλαύνοντι τοὺς ἐχθροὺς, καὶ πάντων ἀναιροῦντι τὰ παθήματα, Παῦλος ὁ [illegible], οὗ πάντες ἤκουον, ὡς ἐξ οὐρανοῦ ἀγγέλου καταβάντος, μᾶλλον δὲ ὡς αὐτοῦ τοῦ Χριστοῦ· εἰ τοίνυν ἐκείνῳ χρεία ἦν τοῦ συνεχῶς τὰ αὐτὰ λέγειν, πολλῷ μᾶλλον ἡμῖν τοῖς οὐδενὸς ἀξίοις λόγου. καὶ γὰρ ὄντως ἀσφαλές ἐστι πολλάκις ὑμῖν περὶ τῶν αὐτῶν ἀκούειν, καὶ οὐ μόνον ἐστὶ περὶ τῶν αὐτῶν, ἀλλὰ καὶ ἐστὶ τὰ αὐτὰ περὶ τῶν αὐτῶν. μὴ δὴ δυσχεραινέτω τις, μηδὲ ἐνοχλεῖσθαι νομιζέτω παρ' ἡμῶν, εἰ περὶ τῆς αὐτῆς ὑποθέσεως μέλλοιμεν τὰ αὐτὰ λέγειν πάλιν. Εἰ μὲν γὰρ ἦν θαρσῆσαι, ὅτι ἅπαξ ἀκούσαντες ἀπέθεσθε τὸ νόσημα τῆς ψυχῆς, μάλιστα μὲν οὐδὲ οὕτως ἀποστῆναι ἐχρῆν· ἀλλ' ἔτι περὶ τῶν αὐτῶν λέγειν ἐχρῆν, ὥστε μόνιμον ὑμῖν καὶ βεβαίαν ποιῆσαι τὴν ὑγίειαν, καὶ δυσχειρώτους πρὸς τὸ τοῖς αὐτοῖς μὴ περιπεσεῖν πάλιν ἐργάσασθαι. ἐπειδὴ δὲ ὑποπτεύομεν ἔτι ἐπὶ λείψανά τινα τοῦ κακοῦ παρὰ τοῖς ἀκροαταῖς, ἀναγκαία ἡ κατὰ λόγον ἡμῖν ἡ συνεχὴς ὑπὲρ τούτων ἐστὶ παραίνεσις. τήμερον γὰρ ἀναγκαῖόν ἐστιν εἰπεῖν πῶς ἂν ἐκφύγοιμεν. πῶς οὖν ἐκφύγοιμεν ἄν; προσέχοντες μὲν ταῖς εὐχαῖς, καὶ τῇ πρὸς τὸν Θεὸν ὁμιλίᾳ· δεύτερον δὲ, λογισμοῖς εὐσεβέσιν. ἂν γὰρ ἴδῃς ἵνα μὲν τὰ μέλλοντα, ἵνα δὲ τὰ παρόντα, καὶ τὴν ὀρθὴν περὶ ἑκατέρων ψῆφον ἐνέγκῃς, οὐδέποτέ σου τῆς ψυχῆς ἅψεται τοῦτο τὸ κακόν. ὅταν οὖν ἴδῃς πλουτοῦντά τινα παρὰ τὴν ἀξίαν, μὴ μακαρίσῃς, μὴ ζηλωτὸν νομίσῃς, μὴ καταγνῷς τῆς τοῦ Θεοῦ προνοίας, μὴ μάτην φέρεσθαι καὶ εἰκῇ τὰ παρόντα νόμιζε, ἐπειδὴ ὁ δεῖνα πλουτεῖ παρὰ τὴν ἀξίαν. ἀναμνήσθητι τοῦ Λαζάρου καὶ τοῦ πλουσίου, πῶς ὁ μὲν πρὸς ἄκρον εὐπορίας ἐληλάκει καὶ τρυφῆς, ὠμὸς ὢν καὶ ἀπηνὴς καὶ ἀπάνθρωπος, καὶ κυνῶν αὐτῶν ἀγριώτερος· εἵγε οἱ μὲν τὸν πένητα ἠλέουν καὶ ἐθεράπευον, οὐκ ὀκνοῦντες τῇ γλώττῃ ἅψασθαι τῶν ἑλκῶν τῶν κατὰ παντὸς τοῦ σώματος, ὁ δὲ οὐδὲ ψιχίων αὐτῷ μετεδίδου. ἐννόησον οὖν πῶς αὐτὸς μὲν πρὸς ἄκρον εὐπορίας ἐληλάκει, ὁ δὲ πένης ἐκεῖνος, ὁ ὄντως πλούσιος, ὁ ὄντως εὔπορος, εἰς αὐτὸ τῆς πενίας τὸ ἔσχατον κατέπεσε, καὶ αὐτῆς τῆς ἀναγκαίας ἠπόρει τροφῆς, καὶ νόσῳ καὶ λιμῷ διηνεκεῖ παλαίων· καὶ ὁ μὲν πλέον τῆς χρείας εἶχεν, ὁ δὲ οὐδὲ τῆς συμμετρίας ἀπήλαυεν· ἀλλ' ὅμως οὐκ ἐδυσχέραινεν, οὐκ ἐφθέγξατο ῥῆμα ἀσεβές, οὐ κατηγόρησε τοῦ Θεοῦ, οὐκ ἐμέμψατο τὴν πρόνοιαν, οὐκ ἀνέθηκεν εἱμαρμένῃ τὰ γεγενημένα, οὐκ εἶπε πρός τινα, ἀλλ' οὐδὲ πρὸς ἑαυτόν· ἐγὼ μὲν οὐδὲν ποιήσας κακὸν εἰδικῶς, τοσαύτην τίνω δίκην, καὶ τὴν ἐσχάτην ὑπομένω τιμωρίαν, λιμῷ τηκόμενος, δαπανώμενος νόσῳ χαλεπωτάτῃ, κατὰ μικρὸν ἀναλισκόμενος καὶ ἀγχημονῶν· οὗτος δὲ πλουτεῖ καὶ τρυφᾷ, ταῖς ἀλλοτρίαις ἐνδιαιτώμενος συμφοραῖς, ὁ τοῖς ἐμοῖς ἐμπαροινῶν κακοῖς· καὶ τὸν μὲν ἀπάνθρωπον καὶ ἀνηλεῆ καὶ ὠμὸν καὶ λίθινον τοσούτων ἐποίησε χρημάτων κύριον ὁ Θεός, ἐμὲ δὲ τὸν οὐδὲ μέχρι ῥημάτων ψιλῶν παροξύναντα ἀφῆκε κατατείνεσθαι πόνοις τοσούτοις. ποῦ ταῦτα δικαιοκρισίας ἄξια; ποῦ ταῦτα προνοίας καὶ κηδεμονίας τῆς ὑπὲρ ἡμῶν; οὐδὲν τούτων οὐκ εἶπεν ἐκεῖνος. πῶς οὖν οὐκ ἄτοπον, ὅταν αὐτοὶ μὲν οἱ πάσχοντες κακῶς οὕτω τὸν δεσπότην εὐλογῶσιν ἐν πᾶσι, σὺ δὲ ὁ τῶν παλαισμάτων ἑστηκὼς ἔξω, ὑπὲρ τούτων βλασφημεῖς τὸν Θεόν, ὑπὲρ ὧν εὐχαρίστως ἕτεροι ἔχουσιν; ὁ μὲν πάσχων δεινῶς, κἂν εἴπῃ τι ῥῆμα φορτικὸν καὶ ἐπαχθές, εἰ καὶ μὴ τοσαύτης, ὅσης ἕτερος, ἀλλ' ὅμως γε καὶ ἐλάττονος μετέχει συγγνώμης· ὁ δὲ ἔξω τῶν δεινῶν ἑστώς, καὶ ὑπὲρ ἑτέρων τὴν ἑαυτοῦ ψυχὴν ἀπολλύς, ποίας ἂν εἴη συγγνώμης ἄξιος, ὑπὲρ τούτων βλασφημοῦσι τὸν Θεόν, ὑπὲρ ὧν ὁ παθὼν κακῶς εὐχαριστεῖ, καὶ διὰ παντὸς αὐτὸν ὑμνῶν οὐκ ἀφίσταται; ὅταν ἴδῃς δικαίους πάσχοντα κακῶς, ἀναμνήσθητι τούτου τοῦ παραδείγματος· οὔτε γὰρ δικαιότεροι ἐκείνου ἵνα ἔχοις μόνον εἰπεῖν (καὶ γὰρ δῆλον ἀπὸ τῆς ὑπομονῆς, δῆλον ἀπὸ τῶν ἐπάθλων· τὸν γὰρ πρῶτον εἴληχε τῆς ἀναστάσεως τόπον, μετὰ τοῦ πατριάρχου τιμώμενος Ἀβραάμ) οὔτε μείζονα παθόντα κακά, οὔτε οὕτως ὑπεροφθέντα. τί γὰρ ἂν ἔχοις εἰπεῖν, ὅταν μηδὲ τῶν ἀποπιπτόντων ἐμφορηθῆναι ἔχῃ; ὅταν οὖν ἴδῃς ἄκραν κακίαν· τί γὰρ ὠμότερον τοῦ τὸν ἐν συμφορᾷ τοσαύτῃ παρατρέχοντος; κακίαν εἰπεῖν μὴ αὐτὴν συνεζευγμένην· τί τοίνυν εὐπορώτερον γένοιτ᾽ ἂν τῆς τραπέζης ἐκείνης, καὶ τῆς ἀμφιάσεως ἄκραν τρυφὴν καὶ εὐπραγίαν; πάλιν ὅταν ἴδῃς ἄκραν δικαιοσύνην· τί γὰρ ἂν γένοιτο θεοφιλέστερον ψυχῆς τοιαῦτα πασχούσης, καὶ φερούσης γενναίως ἄκραν ταλαιπωρίαν; τί γὰρ ἂν γένοιτο ἀθλιώτερον λιμοῦ καὶ νοσήματος οὕτως ἀνιάτου; ποίαν ἔχεις, εἰπέ μοι, συγγνώμην, ἐν τοῖς ἄλλοις σκανδαλιζόμενος; μὴ γὰρ μέχρι τοῦ παρόντος βίου τὰ πράγματα ἕστηκεν; ἀνάμεινον τὸ τέλος, καὶ τότε ὄψει τὸ κατ᾽ ἀξίαν τῆς ἑκάστου ζωῆς· μὴ παρὰ τῶν βραβείων, μὴ παρὰ τῶν στεφάνων θορύβου. ὅταν οὖν ἴδῃς εἰς τὸ δικαστήριον ἀμφοτέρους εἰσελθόντας, καὶ τῆς ψήφου τυχόντας, τότε καὶ αὐτὸς τὴν περὶ ἑκάστου κρίσιν ἐξένεγκε. πόσοι νῦν ταῖς ὁδοῖς ἐφεδρεύουσι; πόσοι διορύττουσι τοίχους; πόσοι θήκας τῶν κατοιχομένων ἀναρρηγνύουσι; πόσοι γάμοις ἐπεβούλευσαν ἀλλοτρίοις; πόσοι δηλητηρίοις φαρμάκοις πολλοὺς ἀπώλεσαν; ἆρ᾽ οὖν ὑπὲρ τούτων ἐγκαλοῦμεν τῷ δικαστῇ; οὐδαμῶς. ἂν μὲν γὰρ λαβὼν αὐτοὺς ὑποψήφους ἀφῇ, καὶ τὸν μὲν παθόντα κακῶς κολάσῃ, τὸν δὲ ποιήσαντα τιμήσῃ, καὶ στεφανώσας ἐκπέμψῃ, κατηγορίας ὄντως ἄξιος, καὶ ἐγκλημάτων ἐσχάτων· ὅταν δὲ μηδέπω ὦσι παραδοθέντες, μηδὲ ὁ καιρὸς ἐπιστῇ τῆς ψήφου, μήπω δὲ αὐτὸς τὰς εὐθύνας ἀπαιτῇ, προλαβὼν προκαταγινώσκεις; ἀλλ᾽ ἔδει, φησίν, ἐντεῦθεν ἤδη δοῦναι δίκην τοὺς ἡμαρτηκότας. ἐννόησον τὰ σαυτῷ βεβιωμένα, ἄνθρωπε, εἰς τὸ σὸν εἴσελθε συνειδός, καὶ μεταθήσεις τὴν γνώμην, οὐκ ἐπαινέσεις ταύτην τὴν ψῆφον, ἀλλ᾽ ἀποδέξῃ τῆς μακροθυμίας τὸν φιλάνθρωπον Θεόν. εἰ γὰρ ἤμελλεν ἕκαστος παρ᾽ αὐτὰ τὰ ἁμαρτήματα δίκην ἀπαιτεῖσθαι τῶν πεπλημμελημένων, οὐκ ἂν ἡμῶν ἔφθασε τὸ γένος πάλαι ἀναρπασθέν; Τίς γὰρ καυχήσεται ἁγνὴν ἔχειν καρδίαν, ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτιῶν; ἀλλ᾽ ὅταν ἀλγῇς ἐπὶ τῇ τοῦ Θεοῦ μακροθυμίᾳ, λογίζου τὰ πεπλημμελημένα σοι μετ᾽ ἀκριβείας, καὶ χάριν εἴσῃ τῆς ἀνοχῆς, θαυμάσας τῆς ἀνεξικακίας αὐτόν. θορυβῇ καὶ ἀλύεις, καὶ πάντα ταραχῆς πληροῖς, ἐπειδὴ ὁ δεῖνα παρὰ τὴν ἀξίαν πλουτεῖ, καὶ ἀπολαύει θεραπείας τῆς παρὰ τῶν πολλῶν; εἶτα οὐκ ἀκούεις τοῦ ψαλμῳδοῦ λέγοντος, Μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος, ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα, οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα ὀπίσω αὐτοῦ; οὐκ ἀκούεις τοῦ προφήτου βοῶντος μετὰ μεγάλης τῆς φωνῆς, Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου; οὐχ ὁρᾷς ἐπιμαρτυροῦσαν ταῖς τῶν προφητῶν ἀποφάσεσιν αὐτὴν τῶν πραγμάτων τὴν ἀλήθειαν; οὐχ ὁρᾷς τὴν πεῖραν καὶ τὴν ἔκβασιν ἐπιψηφιζομένην τοῖς εἰρημένοις, Οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα; ἄκουσον τοῦ Ἰὼβ τὸ αὐτὸ τοῦτο λέγοντος, Γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός, γυμνὸς καὶ ἀπελεύσομαι, ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα. ἄκουσον τοῦ Παύλου τὰ αὐτὰ φιλοσοφοῦντος, Οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον, δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα. σὺ δὲ μακαρίζεις ἄνθρωπον οὐδὲν ἐντεῦθεν δυνάμενον ἀπενεγκεῖν ἐκεῖ τῶν ὀφειλόντων αὐτῷ παραστῆναι κατὰ τὴν ἡμέραν τῆς κρίσεως. καὶ τίς ἄλλος ἀθλιότητος ὅρος, εἰπέ μοι, καὶ ταλανισμός, ἀλλ᾽ ἤ, ὅταν ὁ ἐν πολλῇ τρυφῇ ζήσας ἀπέρχηται πάντων ἐντεῦθεν ἀτιμότερος; σὺ δὲ εἴ τινα τούτων τῶν εὐπορούντων καὶ σοβούντων ἐπὶ τῆς ἀγορᾶς εἴδοις, ἐπὶ μὲν τῆς ἀλλοτρίας πολλῆς ἀπολαύοντα τιμῆς, παρασίτους κόλακας ἔχοντα, εἰς δὲ τὰ οἴκοι ἐπανελθόντα, καὶ

θεά

Παροιμ. κ. θ.

Ψαλ. μη. ιζ.

Ησ. μ. ϛ.

Ιωβ. α. κα.

α. Τιμ. ϛ. ζ.

οὐδὲν συγχωρούμενοι ἐκείνων λαβεῖν, ἀλλὰ γυμνοί, ἄτιμοι, τῶν προσαιτούντων ἀπορώτεροι καὶ φαυλότεροι φαινόμενοι· ἆρα τοῦτον ζηλωτὸν εἶναι ἐνόμιζες, ἀλλ' οὐ διὰ τοῦτο μᾶλλον ἠλέεις καὶ ἐταλάνιζες; τοῦτο καὶ ἐπὶ τῶν πλουτούντων ποίει. ἀλλ' εἰσί τινες, οἵ, ἐπειδὰν μὲν τούτους τῆς φιλοσοφίας τοὺς λόγους κινήσωμεν, ὑῶν καὶ τράγων δίκην τῇ γαστρὶ προσηλωμένοι, καὶ τοῖς παροῦσι δουλεύοντες πράγμασιν, οὐδὲν εἶναι μετὰ τὴν ἐντεῦθεν νομίζουσιν ἀποδημίαν· ἕτεροι δὲ εἶναι μέν τινα νομίζουσι, προτιθέασι δὲ τὰ παρόντα τῶν μελλόντων. πρὸς μὲν οὖν τοὺς μηδὲν εἶναι νομίζοντας, ἀλλ' ἀποσβεσθεῖσαν τὴν ψυχὴν τὴν ἡμετέραν, μηδένα διδόναι λόγον, μηδὲ εὐθύνας ὑπέχειν οἰομένους, τάχα καὶ γελοῖον ἀντειπεῖν, ὥσπερ πρὸς τοὺς μαινομένους καὶ τοὺς ἐξεστηκότας. οὐδὲ γὰρ εἴ τις ἐν ἡμέρᾳ ἀμφιβάλλοι ἡμέραν μὴ εἶναι, καὶ περὶ τῶν πᾶσιν ὁμολογουμένων ἀμφισβητοίη, καιρὸς ἂν εἴη λόγῳ τὸν τοιοῦτον πείθειν, καὶ προσάγειν τῷ δόγματι· πλὴν ἀλλὰ διὰ τὴν ἡμετέραν ἀγάπην, καὶ πρὸς ἐκεῖνον διαλεξόμεθα, ἅπερ ἂν δῷ ἡ τοῦ Θεοῦ χάρις. τί λέγεις, ἄνθρωπε; οὐδὲν εἶναι νομίζεις τὰ μετὰ ταῦτα; τοῦτο γὰρ ἀναγκαῖον εἰπεῖν, πῶς, καθάπερ κατά τινων ὁρμαθῷ, ἀεὶ δυσσεβεστέρῳ δόγματι τὸν ἅπαξ ἐκτραπέντα τῆς ἀληθείας παραδίδωσιν ὁ διάβολος. ὅρα γάρ. ἔπεισεν ἀμελῆσαι σωφροσύνης, ἐπιεικείας, τῆς ἄλλης ἀρετῆς, ἐποίησε φαύλους κατὰ τὸν βίον, πονηρῷ συζῶντας συνειδότι λοιπόν, καὶ τὴν ἀμοιβὴν τῶν αὐτοῖς ἡμαρτημένων ἑτέρως μεταθεῖναι ζητοῦντας, δέον μεταβάλλεσθαι τῆς κακίας. τοῦτο μὲν οὐκ ἐποίησαν, ἀνέπλασαν δὲ δόγμα πονηρόν, καὶ μυρίων γέμον κακῶν, τὸ τῆς εἱμαρμένης. εἶτα ὑπὲρ τούτου πάλιν ἐλεγχόμενοι, καὶ συνομολογεῖν ἀναγκαζόμενοι μηδὲν εἶναι τὰ παρόντα, τὸ μέλλον ἀνατρέπουσι, καὶ τὸν περὶ ἀναστάσεως ἀναιροῦσι λόγον. κἂν τοῦτο πάλιν διελέγξωμεν, εἰς ἕτερον ἐκπεσόντες δόγμα δυσσεβοῦσι· πλὴν τέως τὸ ἐν χερσὶ διελέγξωμεν. οὐδέν ἐστιν, ἄνθρωπε, μετὰ ταῦτα, καὶ πρὸς ταῦτα ἵστασαι τὰ δόγματα; τοσαῦτα ἐλήρησαν Ἕλληνες, ἀλλ' ὅμως πρὸς τὴν τοῦ δόγματος τούτου οὐκ ἀντέστησαν ἀλήθειαν· ἀλλ' εἰ καὶ αὐτοῖς ἀκολουθήσεις, ὅμως ἔδωκάν τινα μετὰ ταῦτα βίον, καὶ εὐθύνας, καὶ δικαστήρια ἐν ᾅδου, καὶ κολάσεις, καὶ τιμάς, καὶ ψήφους, καὶ κρίσεις. κἂν Ἰουδαίους ἐρωτήσῃς, κἂν αἱρετικούς, κἂν ὅντινα ἂν ἄνθρωπον, αἰσχυνθήσεται τοῦ δόγματος τὴν ἀλήθειαν, καὶ εἰ καὶ ἐν ἄλλοις διαφέρονται, ἀλλ' ἐν τούτῳ πάντες συμφωνοῦσι καὶ λέγουσιν εἶναι τῶν ἐνταῦθα γεγενημένων εὐθύνας ἐκεῖ. ἀλλ' οὐδενὶ βούλει πείθεσθαι τούτων, ἀλλ' ἀναισχυντῶν καθάπαξ ἐκδίδως σαυτὸν τῇ πλάνῃ; οὐκοῦν διὰ τοὺς ἐπινήφοντας ἀναγκαῖοι τοὺς περὶ τούτων κινῆσαι λόγους. τῷ γὰρ μηδὲν ὁμολογοῦντι εἶναι μετὰ ταῦτα, ἀνάγκη μηδὲ Θεὸν εἶναι ὁμολογῆσαι. ὁρᾷς ὅτι ὅπερ εἶπον, ὅτι ἀεὶ τῶν φαυλοτέρων ἐστὶ μετὰ τὰ πρῶτα δόγματα τὰ ὕστερα, ἅπερ αὐτοῖς διαδέξεται; εἰ γὰρ μηδέν ἐστιν ἐκεῖ μετὰ ταῦτα, οὐδὲ Θεός ἐστιν· εἰ γὰρ ἔστι Θεός, δίκαιός ἐστιν· εἰ δὲ δίκαιός ἐστι, τὸ κατ' ἀξίαν ἀπονέμει ἑκάστῳ· εἰ δὲ οὐδέν ἐστι μετὰ ταῦτα, ποῦ τὸ κατ' ἀξίαν ἀπολήψεται ἕκαστος; πρόσεχε γάρ. πολλοὶ παρ' ἀξίαν, ὡς καὶ αὐτοὶ προκαταβάλλοντες ὡμολόγησαν, εὖ πάσχουσιν ἐνταῦθα καὶ τιμῶνται, ἕτεροι δὲ κολάζονται ἐν δικαιοσύνῃ ζῶντες. εἰ τοίνυν οὐδείς ἐστι καιρὸς μετὰ ταῦτα, ἀπελεύσονται ἀδικηθέντες οἱ δίκαιοι, καὶ παρ' ἀξίαν εὖ παθόντες ἄδικοι· εἰ δὲ ταῦτα μὴ ἔσται, πῶς ἂν εἴη τὸ δίκαιον; ἀνάγκη γὰρ ἢ εἶναί τινα καιρὸν μετὰ ταῦτα τὸν τὸ κατ' ἀξίαν ἀπονέμοντα ἑκάστῳ (ἐνταῦθα γὰρ αὐτὸ οὐχ εὑρίσκομεν) εἴ γε μὴ ἔστι καιρός, πῶς τὸ κατ' ἀξίαν ἀπολάβῃ ἕκαστος; εἰ δὲ μηδεὶς τὸ κατ' ἀξίαν ἀπολαμβάνει, οὔτε Θεός ἐστι κατὰ σὲ δίκαιος· εἰ δὲ οὐκ ἔστι δίκαιος ὁ Θεός, οὐδὲ Θεὸς ἂν εἴη. ἀλλ' ἡ βλασφημία εἰς τὴν κεφαλὴν τῶν ταῦτα ἡμᾶς ἀναγκαζόντων περιτραπείη. ὁρᾶτε πρὸς ὅσην βλασφημίαν ὁ λόγος ἐξενήνεκται. ἀλλὰ μὴν ὅτι Θεός ἐστι, τὰ πράγματα βοᾷ· οὐκοῦν καὶ δίκαιός ἐστιν· εἰ δὲ δίκαιός ἐστι, τὸ κατ' ἀξίαν ἀπονέμει ἑκάστῳ· εἰ δὲ τὸ κατ' ἀξίαν ἀπονέμει ἑκάστῳ, ἀνάγκη τινὰ εἶναι μετὰ ταῦτα καιρόν, καθ' ὃν τὸ κατ' ἀξίαν ἕκαστος ἀπολήψεται, καὶ δώσει δίκην, καὶ τιμηθήσεται μηνυθήσεται ὑπὲρ τῶν κατορθωθέντων αὐτῷ. ἀνανήψωμεν, ἀγαπητοί· ἀγνωσίαν Θεοῦ τινες ἔχουσιν· ἀνανήψωμεν, γρηγορήσωμεν. ἥμαρτες, μὴ παραθήσῃς ἔτι· ἥμαρτες, ἡσύχασον· ἥμαρτες, μὴ καταδιώξῃς δὶς ἁμαρτίας. ἡμεῖς δὲ τετραπλᾶς καὶ τετραπλᾶς καταδισμοῦμεν, τοιοῦτον δολιχὸν φόρτον εἰς τὰς ἡμετέρας ψυχὰς εἰσάγοντες. ἥμαρτες, ἐπίγνωθι τὸν δεσπότην τὸν ἐλεήμονα, τὸν φιλάνθρωπον, τὸν ἀγαθὸν, τὸν ἰατρὸν, τὸν συγγνωμονικὸν, τὸν εὐπαραίτητον, τὸν εὐαξίωτον. οὐκ ἤκουσας ὅτι μυρία τάλαντά τις κατεδηδοκὼς, καὶ τὴν οὐσίαν πᾶσαν τὴν δεσποτικὴν ἀπολέσας καὶ διαφθείρας, ἕτοιμος ὢν καὶ τὴν γυναῖκα ἀποδόσθαι καὶ τὰ παιδία, ἐπειδὴ μόνον ἔκλαυσεν, ἐπειδὴ μόνον τῶν ποδῶν αὐτοῦ ἥψατο, παντὸς ἐκείνου τοῦ ὀφειλήματος λύσιν ηὕρατο καὶ ἄφεσιν; εἰ δὲ λέγεις, ὅτι μετὰ ταῦτα αὐτὸν παρέδωκε τοῖς βασανισταῖς, ἴσασιν εἰδότες τὴν ἱστορίαν· ἑτέρας μοι λέγεις φιλανθρωπίας ὑπόθεσιν. καὶ γὰρ καὶ τότε αὐτὸν ἐλεήσας ἀφῆκε, καὶ πάλιν ἐκεῖνον ἐλεήσας ἐξέδωκεν· ὥσπερ τότε τούτῳ βοηθῶν ἐποίησεν, οὕτω καὶ νῦν ἐκείνῳ βοηθῶν ἀνέστρεψε· τοῦτον μὲν ἵνα παιδεύσῃ μὴ εἶναι ὠμὸν μηδὲ ἀπάνθρωπον, ἐκεῖνον δὲ ἵνα καὶ ἀπαλλάξῃ βίας καὶ ἀπανθρωπίας. ὁρᾶτε, ἀγαπητοί· καλῶς γάρ με μεταξὺ λέγοντα τοῦτο εἰσῆλθε τὸ νόημα, πῶς οὐ μόνον τὸ πλεονεκτεῖν καὶ ἁρπάζειν, ἀλλὰ καὶ τὸ μὴ ἐλεεῖν γεέννης ἡμῖν πρόξενον γίγνεται. οὗτος γὰρ οὐκ ἐπειδὴ τὰ ἀλλότρια ἔλαβεν ἀδίκως, ἀλλ' ἐπειδὴ τὰ αὐτοῦ ἀπῄτει ἀπανθρώπως, παρεδόθη τοῖς βασανισταῖς. καὶ γὰρ εἴρηται, ὅτι ὤφειλεν ἐκεῖνος· ἀλλ' εἰ καὶ ἐκεῖνος ὤφειλεν, ὤφειλες καὶ σὺ τὸ αὐτὸ ὄφλημα, καὶ τὸ αὐτὸ δίκαιον ἐπ' ἀμφοτέρων φυλάττεσθαι ἐχρῆν. διὰ τοῦτό σοι ἀφῆκεν, ἵνα τὴν αὐτὴν σοι δείξῃ φιλανθρωπίαν, ἵνα ζηλωτήν σε τῆς δεσποτικῆς ἡμερότητος ἐργάσηται. ἐπειδὴ δὲ παθὼν εὖ, οὐκ ἐγένου βελτίων, ἑτέρῳ σε διορθοῦται τρόπῳ, τῷ τῆς κολάσεως, τῷ τῆς τιμωρίας. ὥστε καὶ τοῦτο εὐεργεσίας εἶδός ἐστι. παρέδωκε τοῖς βασανισταῖς, ἵνα κακίαν ἐξέλῃ ψυχῆς, καθάπερ ἰατρὸς ἄριστος. οὐκ εἶξας φαρμάκῳ πραοτέρῳ, σιδήρου σοι δεῖ καὶ πυρὸς λοιπόν. ἤδει μυρία τάλαντα ἀφεὶς, ὅτι ὠμός ἐστι καὶ ἀπάνθρωπος, ἀλλ' ἀνέμενε διὰ τῆς τῶν πραγμάτων ἐκβάσεως ἀπολογήσασθαί σοι, ὃ πολλαχοῦ ποιεῖ, εἰδὼς ὅτι δικαίως ποιεῖ. μετὰ δὲ ἀπολογήσασθαί σοι τοῦτο ποιεῖ, οἷον ἐπὶ τῶν Σοδόμων. οὐχ ἁπλῶς ἀφῆκε τὸ πῦρ, οὐδὲ τὰς πόλεις ἐκείνας ἀνήρπασεν· ἀλλὰ τί; Κραυγὴ Σοδόμων καὶ Γομόρρων· καὶ οὐδὲ μέχρι τούτου, ἀλλά· Καταβὰς ὄψομαι· καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ πέμπει τοὺς ἀγγέλους ὑποδεικνύοντάς σοι τὴν κακίαν τῶν ἐνοικούντων τὴν πόλιν, ἵνα μηδὲ τῶν ἀναισχύντων μηδεὶς ἔχῃ βλασφημεῖν τὸν Θεὸν, ὅτι τοὺς ἀξένους, ὅτι τοὺς ἀπανθρώπους, ὅτι τοὺς παρανόμους, καὶ τὰ τῆς δικαιοσύνης ἀγνοήσαντας δίκαια, καὶ τοὺς κοινοὺς τῆς φύσεως ἀνατρέψαντας νόμους, καὶ τοὺς κακίᾳ πεπληρωμένους ἀπολέσθαι ἐποίει. τίνος τοῦ οὕτω φιλανθρώπου καὶ προσηνοῦς Θεοῦ; καίτοιγε ἡμεῖς κολάζοντες, οὐκ ἀξιοῦμεν τὰς αἰτίας λέγειν πολλάκις, αὐτὸς δὲ ἂν μὴ πρότερόν σε διδάξῃ, ἂν μὴ πρότερόν σε πείσῃ, καὶ τὴν παρὰ σοῦ λάβῃ ψῆφον, ὅτι δικαίως ἐπάγει τὴν κόλασιν, οὐ τιμωρεῖται τοὺς πάλαι κολάσεως καὶ τιμωρίας ἀξίους, καὶ εὐθύνας σοι πολλαχοῦ παρέχειν ἕτοιμός ἐστι, καὶ κρίνεται πρὸς σὲ, καὶ δικάζεσθαι οὐκ ὀκνεῖ. ὁρᾷς τοὺς προφήτας τούτων ἐμπεπλησμένους τῶν λόγων· πολλαχοῦ δικαστήρια Θεοῦ πρὸς ἀνθρώπους. καὶ πολλάκις μὲν αὐτοὺς δικάζοντας τοὺς ἠδικηκότας καλεῖ, πολλάκις δὲ τὴν κτίσιν καθημένην ἐπὶ τῆς ψήφου, δεικνὺς τὴν περιφάνειαν τῶν δικαιωμάτων, ὅτι αὐτὸν τὸν ἀντίδικον, οὕτω τὰ ἀναίσθητα παραιτεῖται εἰς κρίσιν καλεῖ ὁ Θεὸς, ὅπερ ἡμῖν ἔθος ἐστὶ ποιεῖν, ὅταν θαρρῶμεν τοῖς οἰκείοις δικαίοις. Ἀκούσατε, φάραγγες, θεμέλια τῆς γῆς, ὅτι κρίσις τῷ Κυρίῳ. καὶ πάλιν, Ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησε. πολλάκις δὲ αὐτοὺς ἐκείνους, Λαός μου, τί ἐποίησά σοι, ἢ τί ἠδίκησά σε; καὶ ὁ Ἱερεμίας, Τί εὕρησαν ἐν ἐμοὶ οἱ πατέρες ὑμῶν πλημμέλημα; οὐ ποιεῖ δὲ αὐτὸ κατὰ πόλεις καὶ ἔθνη μόνον, ἀλλὰ καὶ καθ' ἕνα πολλάκις ἄνθρωπον. πρὸς τὸν Δαβὶδ κρίνεται διὰ τοῦ προφήτου, καὶ τῷ Ἰωνᾷ παραιτουμένῳ

Ματθ. ιη. κε.

Μιχ. ς. β.
Ησ. α. β.
Ιερ. λζ. ιζ.
καὶ β. ε.

Ἰων. δ. α. μένῳ κηρύξαι Νινευΐταις, ἀπολογεῖται διὰ τῆς κολοκύνθης, Εἰ σὺ ἐφείσω ὑπὲρ τῆς κολοκύνθης, ἐγὼ οὐ φείσομαι ὑπὲρ Νινευῆς; καὶ πολλῶν τοιούτων εὑρήσεις γεμούσας τὰς γραφάς. Ταῦτ' οὖν εἰδότες, προσκυνῶμεν αὐτόν, θαυμάζωμεν, θεραπεύωμεν, ὡς δυνατὸν ἡμῖν· ὡς γὰρ ἄξιον οὐ δυνατόν· ἐπιμελώμεθα τῆς παρούσης ζωῆς, καὶ πειθώμεθα, ὅτι Θεὸς ἐφέστηκε, καὶ πρόνοια πάντα κυβερνᾷ, καὶ μετὰ ταῦτα πάντα ἔστιν ἀποδημήσαντας τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΕΙΜΑΡΜΕΝΗΣ ΚΑΙ ΠΡΟΝΟΙΑΣ Λογ. ε.

ΟΥδέν ἐστιν ὄντως δόγμα πονηρόν, ἀγαπητέ, καὶ ὑπὲρ οὐδένος ἀνιάτου γέμον, ὡς τὸ τῆς εἱμαρμένης καὶ τῆς γενέσεως δόγμα. μετὰ γὰρ τοῦ δόξαι βλάσφημον καὶ ἀσεβὲς καὶ ὀλεθρίαν ἐντιθέναι ταῖς τῶν ἠπατημένων ψυχαῖς, καὶ πείθειν τοιαῦτα λέγειν περὶ Θεοῦ, ἃ μηδὲ περὶ δαιμόνων τις εἴποι, καὶ τὸν βίον συγχεῖ τὸν ἡμέτερον, πάντα θορύβου τε πολλῆς ἐμπίπλησι τῆς ταραχῆς. καὶ ὅσα πρὸς διδασκαλίαν καὶ διόρθωσιν παρὰ τοῦ Θεοῦ, καὶ τῆς φύσεως, καὶ διὰ προφητῶν εἰσενήνεκται, καὶ διὰ ἁγίων ἀνδρῶν, ἀνατρέπει καὶ καταλύει καὶ δείκνυσι περιττά· καὶ ποιεῖ τοιοῦτον, οἷον ἂν εἴ τις σῶμα νενοσηκὸς καὶ φαρμάκων δεόμενον, παρόντων ἰατρῶν καὶ τὸ φάρμακον κατασκευαζόντων, πείθοι μηδενὶ τούτων κεχρῆσθαι, μηδὲ ἀπαλλάττεσθαι τοῦ νοσήματος, ἀλλ' ἀμελείᾳ καὶ ῥαθυμίᾳ ἐκδόντα τὰ καθ' ἑαυτόν, τὴν ἐλεεινοτάτην ὑπομένειν ἀπώλειαν. ἢ οὐχὶ ταῦτά φησιν ἡ εἱμαρμένη; μηδεὶς παραινείτω τι τῶν χρησίμων· μηδεὶς ἀκουέτω παραινοῦντος ἑτέρου· μάτην εἰσὶν οἱ νόμοι τε οἱ δικασταί, μάτην ἐπιπλήξεις καὶ νουθεσίαι, μάτην τιμωρίας φόβος, μάτην τιμαὶ καὶ γέρα καὶ ἔπαθλα τοῖς κατορθοῦσιν. οὔτε, ἐὰν σπουδάσῃς, ὄφελός τι· οὔτε, ἐὰν ἀμελήσῃς, βλάβος τι γενήσεται. μήτε ἐπὶ διδασκαλεῖον παιδίον ὢν βαδιζέτω, μήτε ἀνὴρ γενόμενος ἀκουέτω νόμων, μὴ προσεχέτω συμβουλαῖς καὶ νουθεσίαις χρησίμοις. τί δυνήσεται ἐνεργῆσαι ὁ κόπος; ὥσπερ ἀνερμάτιστον πλοῖον καὶ ναυτῶν καὶ κυβερνητῶν ἔρημον, τῇ τοῦ κλύδωνος φορᾷ ἐπιδοὺς τὰ πηδάλια τῆς διανοίας, οὕτω φερέσθω. θέλεις, εἰπέ μοι, πεισθησόμεθα, καὶ οὐδὲν ἐνεργήσομεν τῶν πρὸς σωτηρίαν τῆς ἡμετέρας ζωῆς; τέως γὰρ ἀφείσθω τὰ τῆς ψυχῆς, ἀλλὰ περὶ τῆς παρούσης ζωῆς διαλεγώμεθα. πειθώμεθα τῇ εἱμαρμένῃ ταῦτα λεγούσῃ, καὶ οὔτε οἰκέτας ἁμαρτάνοντας κολάσομεν, οὔτε ἀσελγείαις διεφθαρμένους ἐπιστρέψομεν, οὔτε τοὺς ἀδικοῦντας εἰς δικαστήριον ἕξομεν, οὐκ ἀκουσόμεθα τῶν νόμων; ἐβουλόμην καὶ πρὸς βραχὺ τοῦτο γενέσθαι, ἵν' ἔργῳ τὴν ὀλεθρίαν ταύτην καὶ ἐπιβλαβῆ διδάσκαλον τῶν κακῶν δυνηθῆτε συνιδεῖν. εἰ γὰρ ἀνάγκη πάντως τὰ εἱμαρμένα γενέσθαι, καὶ σπουδαζόντων καὶ καθευδόντων, μηδεὶς γεωργὸς ζευγνύτω βοῦς, μηδὲ ἄροτρον ἑλκέτω, μήτε αὔλακα τεμνέτω, μηδὲ καταβαλλέτω σπέρματα, μήτε ὥραν ἔτους ἐπιτηρείτω ἐπιτηδείαν, μηδὲ ἀνέχεσθαι κρυμοῦ, καὶ διηνεκοῦς ὑετοῦ, τε ταλαιπωρίας καὶ μόχθων πρὸς διαμεμετρημένον τὸ ἔτος, μὴ θηγέτω δρεπάνην, μηδὲ ἀμάτω λήϊον, μὴ τριβέτω ἀστάχυς, μὴ φυτευέτω, μηδὲ θεραπευέτω φυτά, πᾶσαν ἁπλῶς τὴν γεωργίας ῥίψας τὴν ἐπιμέλειαν, οἴκοι καθεζέσθω, καὶ πάντα καθευδέτω τὸν χρόνον, πάντως ἂν εἱμαρμένον αὐτῷ καὶ κεκλωσμένον ᾖ, αὐτόματα εἰς τὴν οἰκίαν ἥξει τὰ ἀγαθά. ἐὰν δὲ εἰς τοὐναντίον στρέψῃ τὸν ἄτρακτον ἡ Κλωθώ, κἂν μυριάκις πονῆται, πέρας οὐδὲν αὐτῷ τῶν πόνων ἔσται καὶ ἱδρώτων. τίνος οὖν ἕνεκεν οὔτε παραινεῖτε ταῦτα ποιεῖν, εἴγε ὄντως εἱμαρμένῃ πιστεύετε; τίνος ἕνεκεν οὐ παραινεῖτε, ἵν' ὄντως ἔργῳ μάθητε τὰ τῆς εἱμαρμένης καλά; βούλει μοι δεῖξαι τί ὄντως εἵμαρται; κατάλυσον γεωργίαν,

γίαν, ἄνελε ναυτιλίαν, ἔκβαλε πάσας τέχνας βιωτικάς, καὶ μήτε οἰκοδόμος, μήτε χαλκοτύπος, μήτε ὑφάντης, μήτε ἄλλος τις τῶν εἰς τὴν ἡμετέραν συντελούντων ζωὴν μεταχειριζέτω τὴν αὐτοῦ τέχνην, καὶ τότε ὄψει καλῶς, οἷα τῆς εἱμαρμένης τὰ ἐπιχειρήματα, τότε αὐτῆς αἰσθήσῃ καλῶς, τότε αὐτοῦ τὸ ἀπρεπέστατον ὄψει. καὶ τί λέγω τέχνας, αἳ τὴν ζωὴν συνέχουσι τὴν ἡμετέραν; ἔστωσαν τέχναι, καὶ μηδεμίαν καταλύσῃς, ἀλλὰ πάντων μενόντων ἐπὶ τῆς οἰκείας τάξεως, ὁ καθ' ἕκαστον μηδὲν μεριμνάτω τῶν αὐτοῦ, μηδὲ φροντιζέτω τῶν κατὰ τὴν οἰκίαν, ἀλλ' ἐπιτρεψάτω τῇ εἱμαρμένῃ τὰ κατ' αὐτὸν οἰκονομῆσαι πάντα, καὶ τότε εἴσεται αὐτῆς τὴν ὠφέλειαν, ὅταν στρεβλούμενος καὶ μαστιζόμενος ἀπαιτῆται μὲν τὰς εἰσφοράς, μὴ ἔχων δὲ καταφύγῃ μὲν ἐπὶ τὴν ἐκείνης ἀπολογίαν, προσέχῃ δὲ αὐτῷ μηδείς. μέχρι πότε παιδία ἐσμὲν ταῖς φρεσί; μέχρι τίνος οὐ παυσόμεθα ληροῦντες; μέχρι τίνος οὐκ ἐπιγνωσόμεθα τὸν κοινὸν δεσπότην; εἰ φαύλους καὶ ἀγαθοὺς εἱμαρμένη ποιεῖ, τίνος ἕνεκεν παραινεῖς τῷ παιδί, τίνος ἕνεκεν νουθετεῖς; πάντα εἰκῆ καὶ μάτην. εἰ πλουσίους καὶ πένητας ποιεῖ, μὴ πέμψῃς εἰς διδασκαλεῖα, μὴ πορίσῃς χρήματα, μὴ πράξῃς μηδὲν τῶν δυναμένων αὐτῷ τὴν οὐσίαν αὐξῆσαι, ἀλλ' ἐπίτρεψον τῇ εἱμαρμένῃ τὰ κατ' αὐτόν. ἀλλ' οὐκ ἀνέχῃ. ὁρᾷς πῶς ἐν τοῖς ἐλάττοσι διαπιστῶν αὐτῆς τὴν δύναμιν, ἐν τοῖς μείζοσιν αὐτῇ πιστεύεις; εἰ γὰρ ὄντως εἱμαρμένη ἐστίν, ἄφες τὸν παῖδα καὶ πονηροῖς ἀνδράσι συγγίνεσθαι, καὶ μετὰ διεφθαρμένων διαφθείρεσθαι, πάντως ἂν εἱμαρμένον αὐτῷ καὶ κεκλωσμένον ᾖ, καί σοι χρησιμεύει. καὶ γὰρ ὄντως, φησίν, οὕτως ἐστί. τίνος οὖν ἕνεκεν πράγματα καὶ σαυτῷ παρέχεις καὶ ἑτέρῳ; καὶ τί λέγω παίδων ἕνεκεν, ὅπου γε οὐδὲ ἐπὶ οἰκετῶν ἀνέχῃ τοῦτο ποιεῖν, ἀλλὰ καὶ ἀπειλεῖς καὶ φοβεῖς, καὶ πάντα τρόπον κινεῖς, ὅπως γένηταί σοι καλὸς ὁ οἰκέτης, καὶ οὐ θαρρεῖς τῇ γενέσει; τίνος δὲ ἕνεκεν κακὸν γενόμενον κολάζεις; οὐ γὰρ αὐτοῦ τοῦτο ἁμάρτημα γέγονεν, ἀλλὰ τῆς ὠθούσης γενέσεως. τίνος δὲ ἕνεκεν καλὸν γενόμενον ἐπαινεῖς; οὐ γὰρ αὐτοῦ τὸ κατόρθωμα, ἀλλὰ τῆς γενέσεως, μᾶλλον δὲ οὔτε καλός, οὔτε κακὸς ἔσται τις. ὁ γὰρ παρ' ἑαυτοῦ μηδέτερον τούτων ποιῶν, ἀλλ' ἑτέρωθεν τὴν ἀνάγκην δεχόμενος, οὔτε τοῦτο ἔσται, οὔτε ἐκεῖνο. τίνος οὖν ἕνεκεν ἐπαινοῦμεν ἄνδρας, τίνος δὲ ἕνεκεν ψέγομεν, τίνος ἕνεκεν ἀποστρεφόμεθα, τίνος ἕνεκεν συνευχόμεθα ἑτέροις; ὁρᾷς εἰς ὅσην ἡμᾶς ἀλογίαν ὁ τῆς εἱμαρμένης ἐξήγαγε λόγος; οὐδείς ἐστι σώφρων, οὐδείς ἐστιν ἀκόλαστος, οὐδείς ἐστι πλεονέκτης, οὐδείς ἐστι δίκαιος. ἀνῄρηται καὶ ἀρετὴ καὶ κακία, καὶ μάτην εἰς τὸν παρόντα τοῦτον βίον παρήχθημεν, μᾶλλον δὲ οὐ μάτην, ἀλλὰ καὶ ἐπὶ κακῷ. πῶς γὰρ οὐκ ἄτοπον ὠθεῖσθαι μὲν ὑπὸ τὴν ἀνάγκην τῆς γενέσεως εἰς κακίαν, πάλιν δὲ ὑπὸ τῆς βίας αὐτῆς, ταύτης δίκην διδόναι τὴν ἐσχάτην, δέον ἐλεεῖσθαι, δέον στεφανίζεσθαι, καὶ μισούμεθα καὶ κολαζόμεθα, δέον τιμᾶσθαι; τὸν γὰρ ἀδικούμενον καὶ βίαν παθόντα, οὐχὶ κολάζεσθαι, ἀλλὰ τιμᾶσθαι χρή· ἡμεῖς δὲ καὶ ἀδικούμεθα, καὶ τιμωρίαν ὑπομένομεν. τί τούτου γένοιτ' ἂν ἀλογώτερον ὑπὲρ ὧν κακῶς πάσχοντες ὠθηθέντες πρὸς κακίαν, ὑπὲρ τούτων καὶ τιμωρίαν διδόναι; ἐποίησεν ἀνδροφόνον ἡ εἱμαρμένη, καὶ τὴν ψυχὴν ἀπαιτεῖ ἀνθ' ὧν ὑπήκουσεν αὐτῇ; τί τούτου βλαβερώτερον δόγμα γένοιτ' ἄν; ὥσπερ ἂν εἴ τις εἰς τὸ βάραθρον ὠθήσας, καὶ καταλαβὼν τὸν κρημνισθέντα, πάλιν τιμωρίαν ἀπαιτοίη τούτων ἕνεκεν· ἢ ὥσπερ ἂν εἴ τις βαρβάρῳ δεσποίνῃ παραδοὺς αἰκίζεσθαι καὶ μυρίοις περιβάλλειν κακοῖς, τὸν παραδεδομένον ὑπὲρ τῆς δουλείας καὶ τῆς αἰχμαλωσίας ἀπαιτοῖ τιμωρίαν. ἆρα γένοιτ' ἂν τούτου ἀλογώτερον, εἰπέ μοι, ἢ ἀθλιώτερον τοῦ γένους τούτου; εἰ ταῦτα τοιαῦτα, καὶ ἐχθροὶ μὲν καὶ πολέμιοι τοῖς αὐτῶν πολεμίοις ἴσασι συγγινώσκειν, ὅταν ἄκοντες καὶ μὴ βουλόμενοι πράττωσί τι τῶν χαλεπωτάτων αὐτούς, ἡ δὲ εἱμαρμένη τοῖς ὑπηκόοις, καὶ πάντα πειθομένοις, μᾶλλον δὲ κατηναγκασμένοις, οὐκ εἴσεται συγγνώμην, ἀλλ' ὑπὲρ ὧν αὐτοὺς κατηνάγκασε πρᾶξαι, ὑπὲρ τούτων αὐτοὺς ἀπαιτεῖ δίκην; ποῖος φορυτός, ποῖος λαβύρινθος, ποία ζάλη ταύτην μιμήσεται τὴν σύγχυσιν, εἰπέ μοι; οὐκ ἤρκεσέ μοι τρόπος εἰς ἀδικίας, ὅτι μηδὲν ἁμαρτὼν εἰς κακίαν ἐμβέβλημαι, καὶ ὅτι ἕτερος μηδὲν κατορθώσας ἀγαθός ἐστι, καὶ τιμῆς ἀπολαύει; οὐκ ἀρκεῖ αὕτη μόνη ἡ ἀδικία, ὅτι ἁπλῶς καὶ ἀλόγως, τὸν ἐμὲ κακὸν ἐποίησε, τὸν ἐκεῖνον καλόν, ἀλλὰ καὶ ἑτέραν προστίθησι, καὶ οὐδὲ τὴν τῶν ἀνθρώπων δικαιοκρισίαν μιμεῖται; ἀλλ' οἱ μὲν ἄνθρωποι οὕτω φιλάνθρωποι καὶ ἥμεροι, ὡς διαιρεῖν τὰ ἀκούσια τῶν ἑκουσίων· ἡ δὲ τὰ ἀνθρώπινα διοικοῦσα ἐριννύς τις καὶ δαίμων πονηρὸς οὕτω πάντα συγχεῖ. Εἰ μὲν οὖν οὐκ ἔστι Θεὸς ὁ ταῦτα ἐφορῶν, ἐλέγχεται μὲν ὁ λόγος ἑτέρωθεν. οὐ γὰρ δυνατὸν ἐν εὐταξίᾳ τοσαύτῃ πρόνοιαν μὴ εἶναι. πλὴν εἰ μὲν οὐκ ἔστι Θεός, πῶς ὅλως ταῦτα συνέστηκεν; εἰ δὲ ἔστι, πῶς ταῦτα περιορᾷ; εἰ μὲν γὰρ αὐτὸς ἐποίησεν, ὅρα τὴν ἀσέβειαν, καὶ τῆς βλασφημίας τὴν ὑπερβολήν. εἰ δὲ οὐκ ἐποίησε, γινόμενα δὲ περιορᾷ, πάλιν οὐκ ἔλαττον τοῦ προτέρου τὸ ἔγκλημα. ὁρᾷς πῶς πανταχόθεν στενοχωρεῖται ὁ διάβολος, συνελαύνων τοὺς ἀνθρώπους εἰς τὴν κατὰ τοῦ δεσπότου μανίαν; βούλει με πεῖσαι ὅτι εἱμαρμένη πείθῃ, καὶ νομίζεις εἶναι τι δόγμα; μὴ ἐγκάλει μοιχευομένῃ γυναικί, μηδὲ πληρωθῇς θυμοῦ, μηδὲ εἰς κριτήριον δικαστοῦ ἀγάγῃς τὸν μοιχόν. ἂν ἴδῃς τοῖχον διορυττόμενον, μὴ ἐπιλάβῃ τοῦ διορύττοντος, μηδὲ ἀπαιτήσῃς δίκην· οὐ γὰρ ἑκὼν τοῦτο ἐποίησε, καθὼς σὺ φῇς· ἀμέλησον τῶν σαυτοῦ πάντων· πάντως γὰρ ἥξει σοι τὰ τῆς εἱμαρμένης· ῥίψον ὅσον ἔχεις χρυσίον· ἀμέλησον οἰκιῶν, ἀγρῶν, ἀνδραπόδων, οὐδὲν ἀπὸ τῆς ῥαθυμίας τῆς σῆς ἡ τῆς εἱμαρμένης ῥαθυμία παραβλαβήσεται. ἀλλ' οὐκ ἀνέξῃ τούτων οὐδέν, ὡς ἔργῳ πεισθείς, ὅτι κατέγνωκας τῶν δογμάτων τῆς εἱμαρμένης. τίνος οὖν ἕνεκεν ἐν ταῖς ἁμαρτίαις αὐτὴν προβάλλῃ, πανταχοῦ κατεγνωκώς; ὁρᾷς ὅτι οὐδαμόθεν τὸ δόγμα τοῦτο εἰσενήνεκται, ἀλλ' ἀπὸ τῆς ῥαθυμίας καὶ ὀλιγωρίας, καὶ τοῦ πρὸς αὐτοὺς τοὺς ὑπὲρ τῆς ἀρετῆς ἐκλελύσθαι πόνους. εἰ γένεσίς ἐστι, κρίσις οὐκ ἔστιν· εἰ γένεσίς ἐστι, πίστις οὐκ ἔστιν· εἰ γένεσίς ἐστι, Θεὸς οὐκ ἔστιν· εἰ γένεσίς ἐστιν, οὐκ ἔστιν ἀρετή, οὐκ ἔστι κακία· εἰ γένεσίς ἐστι, πάντα μάτην, πάντα εἰκῇ καὶ ποιοῦμεν καὶ πάσχομεν. οὐκ ἔστιν ἔπαινος, οὐκ ἔστι ψόγος, οὐκ ἔστιν αἰδώς, οὐκ ἔστιν αἰσχύνη, οὐκ εἰσὶ νόμοι, οὐκ εἰσὶ δικαστήρια. πόθεν οὖν ὁ δεῖνα πλουτεῖ, φησί; πόθεν ἕτερος πένεται; μάλιστα μὲν εἰ καὶ τοὺς λόγους ἀγνοοῦμεν, ἔδει μένειν ἐπὶ τῆς ἀγνοίας, ἀλλὰ μὴ ἕτερον δόγμα πονηρὸν ἀναλαμβάνειν. βέλτιον γὰρ ἀγνοεῖν καλῶς, ἢ εἰδέναι κακῶς. τὸ μὲν γὰρ οὐκ ἔχει κατηγορίαν, τὸ δὲ ἀπεστέρηται συγγνώμης. πλὴν ἀλλὰ καὶ νῦν δῆλον ἡμῖν γέγονε διὰ τὴν τοῦ Θεοῦ χάριν, πόθεν ὁ μὲν πλουτεῖ, ὁ δὲ πένεται. ἢ γὰρ πατρῷον παραλαβὼν κλῆρον, ἢ ἐμπορείᾳ καὶ καπηλείᾳ χρησάμενος, ἢ τὰ ἑτέρων ἁρπάσας καὶ βιασάμενος, ἢ γάμῳ χρησάμενος εὐπόρῳ, ἢ γεωργίᾳ, ἢ τέχνῃ, ἢ ἑτέρῳ τινὶ τοιούτῳ. καὶ πολλοὶ τοῦ πλουτεῖν τρόποι, οἱ μὲν δίκαιοι, οἱ δὲ ἄδικοι, οὕτω δὴ καὶ τοῦ πένεσθαι. ἢ γὰρ ἐπηρεασθείς, ἢ συκοφαντηθείς, ἢ πλεονεκτηθείς, ἢ καταφαγών, ἢ ἀργίᾳ συζῶν, ἢ ἀνοίᾳ, ἢ ἑτέρῳ τινὶ τρόπῳ· πολλοὶ γὰρ τοῦ γίνεσθαι πένητα τρόποι. καὶ τίνος ἕνεκεν, φησίν, ὁ δεῖνα πόρνας τρέφων καὶ παρασίτους καὶ κόλακας, καὶ τοῖς ἀλλοτρίοις ἐπηρεάζων πράγμασι, καὶ τὸν ὑγρὸν τοῦτον καὶ διαλελυμένον βίον ζῶν, καθάπερ ἐπὶ πηγῶν ἐπιρρέοντα ἔχει τὰ χρήματα· ἕτερος ἐπιεικείᾳ, καὶ σωφροσύνῃ, καὶ δικαιοσύνῃ, καὶ ταῖς ἄλλαις συζῶν ἀρεταῖς, οὐδὲ τῆς ἀναγκαίας εὐπορεῖ τροφῆς; ὅτι ὁ μὲν ἐστι καλὸς καὶ τὸν ἐπίπονον τῆς ἀρετῆς αἱρεῖται βίον, ὁ δὲ κακὸς καὶ τὴν διαρρέουσαν καὶ διαλελυμένην ἀνεδέξατο τῆς κακίας ὁδόν. τίνος οὖν ἕνεκεν ὁ μὲν κακὸς πλουτεῖ, πένεται δὲ ὁ ἀγαθός; ἵνα καὶ οὗτος μείζονα λάβῃ τὸν στέφανον, ἂν ὑπομείνῃ καὶ τὴν καρτερίαν ἐνέγκῃ· κἀκεῖνος μείζω τὴν κόλασιν καὶ τὴν τιμωρίαν, ἂν μὴ μεταβάλληται, καὶ γίνηται βελτίων, καὶ τὸν δεσπότην ἐπιγνῷ τὸν ἑαυτοῦ. αἱ γὰρ ἀνέσεις αἱ παρὰ τοῦ Θεοῦ διδόμεναι, μένοντας κακοὺς μᾶλλον βαροῦσι· καὶ ἡ ἀφθονία ἡ παρ' αὐτοῦ τοῖς μὴ χρωμένοις εἰς δέον αὐτῇ, προσθήκη γίνεται κατηγορίας. οὕτως οὖν αἱ θλίψεις καὶ αἱ στενοχωρίαι ἀγαθῶν, προσθήκη στεφάνων, κἂν παραπέσωσι. μετρία γοῦν τις συγγνώμη· οὐ γὰρ ἁπλῶς τὰ ἁμαρτήματα κρίνεται· ἀλλ' ἑτέρως ὁ πλούσιος, ἑτέρως ὁ πένης, ὁ μὲν μετὰ συγγνώμης, ὁ δὲ χωρὶς συγγνώμης. οἷον, ἔστω κλέπτης καὶ φιλότιμος, πλούσιος καὶ πένης· ὁ μὲν εἰ καὶ ψεκτὸς, ἀλλ' ὅμως ἔχει τινὰ καταφυγὴν, τὴν ἀπὸ τῆς πενίας ἀνάγκην, ὁ δὲ οὐδεμίαν εὐπρόσωπον ἣν βούλεται ἔχει καταφυγήν· ὥστε ὅσον ἐλαττοῦται ὁ πένης κατὰ τὸν παρόντα βίον, τοσοῦτον πλεονεκτεῖ κατὰ τὰ μέλλοντα ἐν κατορθώμασι, καὶ ὁ πλούσιος ἐν ἁμαρτήμασι. μὴ τοίνυν νομίσῃς ἀδικεῖσθαι τὸν πένητα, μηδὲ πλέον ἔχειν τὸν πλούσιον. καθάπερ καὶ ἐπὶ τῶν κακῶν, ὅσοι μὲν ἂν ἐν ταύτῃ δῶσι δίκην, ἢ τὸ πᾶν ἀπενίψαντο, ἢ ἐλάττονα διδόασιν ἐκεῖ τιμωρίαν, ὡς ἐν ταύτῃ μεγάλων κακοπαθειῶν δίκην ὑποσχόντες· οὕτω καὶ ἐπὶ τῶν ἀγαθῶν, οἱ μὲν ἐν ταύτῃ ἀπολαύοντες τιμῆς, καὶ μένοντες πονηροὶ, ἐφόδιον κολάσεως ἔχουσι, τὴν τιμήν. ὅρα γοῦν, ὁ Θεὸς πῶς πανταχοῦ τοῖς κακοῖς τὰς ἐν ταύτῃ ὀνειδίζει τιμάς· Ἔδωκά σοι πάντα τὰ τοῦ κυρίου σου· καὶ πάλιν, τοῖς ἱερεῦσιν ἐπὶ τοῦ Ἠλὶ τὴν τιμήν. καὶ ἀλλαχοῦ, Ἔδωκα ὑμῖν ἐκ τῶν νεανίσκων ὑμῶν εἰς προφήτας, καὶ ἐκ τῶν υἱῶν ὑμῶν εἰς ἁγιασμόν. καὶ τὰ ἐπὶ τῆς ἐρήμου πανταχοῦ παρατίθησιν. ὥστε ὅταν ἴδῃς τὸν πλουτοῦντα ἀδικοῦντα, πλεονεκτοῦντα, ἁρπάζοντα, διὰ τοῦτο μάλιστα αὐτὸν στέναξον, ἐπειδὴ πλούσιος ὢν ταῦτα ποιεῖ· μείζονα γὰρ δίδωσι τιμωρίαν. ὅταν ἴδῃς πένητα πολλὴν τοῦ δικαίου ποιούμενον πρόνοιαν, διὰ τοῦτο μάλιστα αὐτὸν θαύμασον, ὅτι μετὰ πενίας τοιοῦτός ἐστιν. ἂν ταῦτα ᾖ παρὰ σοὶ διηκριβωμένα, οὐδέποτε ἐπὶ τοῖς γινομένοις ταραχθήσῃ πράγμασιν, ἂν πρὸς τὰ μέλλοντα βλέπῃς, ἂν μηδὲν εἶναι νομίσῃς τὰ παρόντα, ἂν ἐκεῖνα ἐλπίσῃς ἀεὶ, ἂν τούτων σαυτὸν ἀποστήσῃς. γένοιτο δὲ πάντων ἡμᾶς τῶν ἀγαθῶν ἐπιτυχεῖν, χάριτι Χριστοῦ. Ἀμήν.

β Βασ. ιβ. η.
α Βασ. β. κη.
Αμ. β. ια.

ΠΕΡΙ ΕΙΜΑΡΜΕΝΗΣ, Η ΚΑΤΑ ΓΑΣΤΡΙμαργίας, Λογ. ϛ.

ΦΑγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν, ἐπὶ τῶν προφητῶν ἦσαν πολλοὶ παρὰ Ἰουδαίοις λέγοντες. ἀλλὰ τοὺς μὲν Ἰουδαίους ταῦτα λέγειν, ὧν ὁ Θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, θαυμαστὸν οὐδέν· τὸ δὲ μετὰ τὴν χάριν, καὶ τὴν τῶν παρόντων ὑπεροψίαν πραγμάτων, καὶ τὴν τοσαύτην τελειότητα καὶ ἀκρίβειαν, εἶναί τινας ἔτι νῦν, εἰ καὶ μὴ τοῖς ῥήμασι λέγοντας, διὰ δὲ τῶν ἔργων τὸ αὐτὸ τοῦτο βοῶντας, πόσης ἂν εἴη κατηγορίας ἄξιον; καὶ γάρ εἰσιν, εἰσὶν ὄντως, οἱ διὰ τοῦτο νομίζοντες εἰς τόνδε παρῆχθαι τὸν βίον, ἵνα τρυφήσαντες, καὶ τὴν γαστέρα διαρρήξαντες, καὶ τὸ σῶμα πιαίνοντες, οὕτως ἀπέλθωσι, δαψιλεστέραν τῷ σκώληκι παρασκευάζοντες τράπεζαν τὴν ἐξ οἰκείων σαρκῶν. καὶ εἴθε τοῦτο μόνον ἦν τὸ δεινὸν, ὅτι μάτην καὶ εἰκῇ καὶ εἰς οὐδὲν δέον τὰ παρόντα ἀναλίσκουσι· καίτοι καὶ τοῦτο χωρὶς ἐγκλήματος οὐκ ἔστιν, οὐδὲ κατηγορίας· ὅταν γὰρ τὰ πρὸς τροφὴν σώματος παρὰ τοῦ Θεοῦ δοθέντα ἡμῖν χρήματα, καὶ εἰς ἐπικουρίαν τῶν δεομένων, εἰς ἀκολασίαν καὶ ὕβριν καὶ τὴν ἐσχάτην ῥαθυμίαν καταναλώσωμεν, οὐκ ἀνεύθυνος ἡμῖν ἔσται ἡ κακίστη αὕτη δαπάνη, ἀλλὰ πάντως δώσομεν λόγον· καὶ τὸ περὶ τῶν πέντε ταλάντων, καὶ δύο, καὶ ἑνὸς εἰρημένον, καὶ ἐπὶ χρημάτων, καὶ τῶν ἄλλων ἁπάντων ἐστὶν εἰπεῖν. ὅπερ οὖν ἔλεγον ὅτι μάλιστα μὲν εἰ καὶ εἰκῇ καὶ μάτην παραγεγόναμεν, οὐδὲ οὕτως ἀνεύθυνος ἡμῖν ἦν ἡ τοιαύτη πρᾶξις, νῦν δὲ χωρὶς τούτου καὶ ἕτερα κείσονται δίκαια. τὸν γὰρ τρυφῇ συζῶντα καὶ μετιόντα μέθην, καὶ παρασίτους τρέφοντα καὶ κόλακας, κρεωφαγίᾳ τε καὶ οἰνοποσίᾳ διαρρηγνύμενον, πολλάκις καὶ ἄκοντα καὶ ἑκόντα ἀνάγκη ἁμαρτάνειν, καὶ παρὰ τὰ τοῦ παρόντος τόπου χαιρεῖν, καὶ μετὰ τὴν ἐκεῖθεν ἀναχώρησιν. καθάπερ γὰρ πλοῖον, μείζω τῆς οἰκείας συμμετρίας τὸ πλῆθος τῶν ἀγωγίμων δεξάμενον, τῷ μεγέθει τοῦ φόρτου βαρυνόμενον, ὑποβρύχιον γίνεται· οὕτω καὶ ἡ ψυχὴ καὶ τοῦ σώματος ἡμῶν ἡ φύσις, πλείονα τῆς οἰκείας δυνά-

Ησ. κβ. ιγ.
Φιλιπ. γ. ιθ.

μένως δεξαμένη τὰ σιτία, ὑπέραντλος γίνεται, καὶ τὸ βάρος οὐ στέγουσα τῶν ἐπιβληθέντων, εἰς τὸ τῆς ἀπωλείας καταποντίζεται πέλαγος, καὶ κυβερνήτην, καὶ ναύτας, καὶ πρωρέα, καὶ ἐπιβάτας, καὶ αὐτὸν τὸν φόρτον μετὰ πάντων προσαπολλύει. καθάπερ οὖν ἐπὶ τῶν οὕτω διακειμένων πλοίων, οὐ γαλήνη θαλάσσης, οὐκ ἐπιστήμη κυβερνήτου, οὐ ναυτῶν πλῆθος, οὐ κατασκευῆς ἐπιτηδειότης, οὐχ ὥρα ἔτους εὔκαιρος, οὐκ ἄλλο οὐδὲν τὴν οὕτω χειμαζομένην ὀνίνησι ναῦν· οὕτω δὴ καὶ ἐπὶ τῶν τρυφώντων ἀνθρώπων, οὐ λογισμῶν πλῆθος, οὐ διδασκαλία καὶ παραίνεσις, οὐ νουθεσίαι καὶ συμβουλίαι, οὐκ ἄλλο οὐδὲν, οὐ φόβος τῶν μελλόντων, οὐκ αἰδὼς, οὐ κατηγορία τῶν παρόντων, οὐκ ἄλλο οὐδὲν διασῶσαι δύναται τὴν οὕτω χειμαζομένην ψυχήν, ἀλλ' ἐπικρατεῖ πάντων ἡ ἀμετρία, καὶ ἄκοντα καὶ ἑκόντα λοιπὸν ὑποβρύχιον τὸν τὰ τοιαῦτα νοσοῦντα καταφέρουσα, καὶ ναυάγιον ἐργαζομένη χαλεπόν. ὅθεν οὐδὲ διενεγκεῖν ῥᾴδιον, καὶ οὐδὲ πρὸς τὰ μέλλοντα καὶ τὰς εὐθύνας τὰς ἐκεῖ, ἀλλὰ καὶ πρὸς τὴν παροῦσαν ζωὴν ὁ τοιοῦτος ἄχρηστος γίνεται, πρὸς οὐδὲν ἐπιτήδειος, ἀλλὰ πανταχοῦ καταγέλαστος, ἔν τε πολιτικοῖς, ἔν τε ἰδιωτικοῖς πράγμασι. κἂν δέοι τι παρασκευάσαι τῶν κατεπειγόντων, οὐδὲν προνοητικὸν, οὐδὲν οἰκονομικὸν ἔχων εὑρεθήσεται, πᾶσιν εὐχείρωτος ὢν τοῖς ἐχθροῖς, πᾶσιν ἄχρηστος τοῖς φίλοις καὶ τοῖς προσήκουσιν. οὐκ ἐν κινδύνοις καὶ περιστάσεσιν εὐεπηρέαστος μόνον ὁ τοιοῦτος, οὐκ ἐν γαλήνῃ καὶ ἀδείᾳ ἀφόρητος, ἀλλὰ καὶ ἐν ταῖς δυσκολίαις ὑπὸ τῆς ἀμετρίας ἑκάστῳ τῶν παραπιπτόντων ἐστὶν ἄχρηστος. ἐκεῖ μὲν γὰρ αὐτὸν, ἐν ταῖς δυσημερίαις λέγω, δειλία καὶ ἀνανδρία καὶ φόβος ἄμετρος καὶ ἀβουλία πολλὴ κατέχει· ἐνταῦθα δὲ θράσος καὶ ῥᾳθυμία, καὶ ἀκολασία, ἀμετρία καὶ τῦφος καὶ ἀλαζονεία, τῶν προτέρων μᾶλλον δυσχερέστερον παρὰ πᾶσι ποιεῖ. οὐ γὰρ δὴ μόνον τὰ σώματα τῶν οὕτω διακειμένων, καὶ ἀηδῆ καὶ πλαδαρὰ καὶ διάβροχα, καὶ δυσωδίας ἀφορήτου πάντοθεν ἔμπλεα γίνεται, ἀλλὰ καὶ ἡ ψυχὴ πολὺ τοῦ σώματός ἐστιν ἀσθενεστέρα, πολλῷ μείζονα ἐκείνου νοσήματα δεξαμένη παρὰ τῆς τρυφῆς. καθάπερ γὰρ τὸ σῶμα οὐ τὰ κατὰ φύσιν περιττώματα προΐεται μόνον, ἀλλὰ πολλῷ πλέον καὶ πανταχόθεν. καὶ γὰρ ὀφθαλμοὶ καὶ ῥῖνες, καὶ στόματα τῶν ἔνδον ὑπὸ τῆς γινομένης πλημμύρας βαρυνομένων, ἰκμάδος φαυλοτάτης καὶ διαφθορᾶς ἀναπίμπλαται, καὶ αὐτὴ τῆς σαρκὸς ἡ φύσις χαυνοτέρα γινομένη τῆς φυσικῆς συμμετρίας, καθάπερ βορβόρων καὶ ἀκαθάρτων τελμάτων πλησθεῖσα, δυσώδης τε ἅμα καὶ ἄχρηστος γίνεται, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμος. καὶ γὰρ καὶ αὐτὴ ἡ γῆ, ὅταν ὑπὸ τῆς τοιαύτης πλεονεξίας τυραννηθεῖσα, τὴν οἰκείαν καὶ ἔμφυτον ἀπολέσῃ θερμότητα, συναπόλλεσιν αὐτῆς καὶ τὴν ἰσχὺν, καὶ οὔτε πρὸς ἐργασίαν, οὔτε πρὸς τὴν οἰκείαν γονήν ἐστιν ἐπιτήδειος. ἐντεῦθεν δὲ χαλεποῖς καὶ ἀνιάτοις ἁλίσκονται νοσήμασιν οἱ τῇ τρυφῇ συζῶντες διηνεκεῖ· καὶ γὰρ τρόμοις καὶ παρέσει καὶ φθόῃ, καὶ κορύζαις καὶ ποδαλγίαις, καὶ χειραλγίαις, καὶ ἑτέροις πλείοσιν, ἅπερ ἰατρῶν λέγουσι παῖδες, ἁλώσιμοι γίνονται. οὕτως εἰ καὶ μὴ γέεννα ἦν, μηδὲ κόλασις, μηδὲ κατάγνωσις ἐσχάτη παρὰ Θεοῦ, μηδὲ παρὰ ἀνθρώποις μέμψις, μηδὲ ἡ ἄκαιρος δαπάνη, μηδὲ ἕτερα μυρία τὰ ἀπὸ τῆς τρυφῆς ἐγγινόμενα, τοῦτο δὲ μόνον προσῆν, οὐχ ἱκανὸν ἅπαντας ἀποτρέψαι; δηλητηρίων γὰρ φαρμάκων οὐδὲν ἄμεινον αἱ τοιαῦται διακείσονται τράπεζαι, μᾶλλον δὲ, εἰ δεῖ τἀληθὲς εἰπεῖν, καὶ πολλῷ χεῖρον. τὰ μὲν γὰρ εὐθέως ἀπήνεγκε τὸν λαβόντα, καὶ τὴν τελευτὴν ἀναισθήτως ἐπήγαγεν, ὡς μηδὲ αὐτῷ τούτῳ λυπῆσαι τὸν ἀποθανόντα· αὗται δὲ ζωὴν μυρίων θανάτων χαλεπωτέραν ἐπάγουσι τοῖς αὐτὰς περὶ πολλοῦ ποιουμένοις, ζωὴν ἔφην, οὐκ ἐλεεινὴν μόνον, ἀλλὰ καὶ αἰσχρὰν καὶ καταγέλαστον. τὰ μὲν γὰρ ἄλλα πάθη πολλοὺς ἔχει τοὺς συναλγοῦντας, ὅσα δὲ ἀπὸ τρυφῆς καὶ μέθης γίνεται, οὐδὲ βουλομένους τοὺς ὁρῶντας ἀφίησι συναλγῆσαι τοῖς ὑπ' αὐτῶν χειρωθεῖσιν· ἀλλ' ἡ μὲν ὑπερβολὴ τοῦ κακοῦ πρὸς ἔλεον ἐπικάμπτει, ἡ δὲ ὑπόθεσις τοῦ νοσήματος παροξύνει τοὺς εἰδότας· διό τι μέσον τι πάθος πάθοιμεν ἂν, οὔτε ἐλεοῦντες αὐτοὺς (οὐ γὰρ ἀφίησιν αὐτοὺς ἡ αἰτία τῶν δεινῶν) οὔτε ὀργιζόμεθα (οὐ γὰρ ἐπιτρέπει τὸ μέγεθος τῶν δεινῶν) ἀλλὰ μεταξὺ κατηφείας καὶ συγγνώμης ἡ στάσις. οὐ γὰρ ὑπὸ τῆς φύσεως ἐπηρεάσθησαν, καθάπερ ἐκεῖνοι, οὐδὲ ὑπὸ τῶν ἀνθρώπων ἐπεβουλεύθησαν, ἀλλ᾽ αὐτοὶ δημιουργοὶ τῶν νοσημάτων ἑαυτοῖς τούτων ἐγένοντο, ἑκόντες ἑαυτοὺς ῥίπτοντες εἰς τὸ τῶν κακῶν βάραθρον. ὥσπερ οὖν τοὺς βρόχοις ἀνάπτονται, καὶ τοὺς κατὰ κρημνῶν ἀφιέντας ἑαυτούς, καὶ τοὺς διὰ μέσων ξιφῶν ἑαυτοὺς ἀναιροῦντας, οὐ σφόδρα οἰκτείρομεν· οὕτως οὐδὲ τούτους. καίτοι εἰ δεῖ συγγνώμης τυχεῖν, μᾶλλον ἐκεῖνοι τούτων ἂν τύχοιεν, εἰ καὶ αὐτοὶ σφόδρα ἂν εἶεν ἀσύγγνωστοι. ἐκεῖνοι μὲν γὰρ ἢ συκοφαντίαις, ἢ ζημίαις χρημάτων, ἢ προσδοκώμενον κίνδυνον, ἢ πληγὰς ἐλπίσαντες, ἢ ἑτέρους τινὰς καραδοκήσαντες φόβους, καὶ μειζόνων ἑαυτοὺς κακῶν ἐξαρπάζοντες, ἐπὶ τὴν τῆς τελευτῆς παραμυθίαν καταφεύγουσιν, ὥσπερ εἰς ἄσυλόν τι χωρίον τὸν θάνατον κατατρέχοντες, ἢ ὥσπερ εἰς λιμένα τινὰ εὔδιον ἀπὸ τῶν προσδοκωμένων χειμώνων σπεύδοντες καὶ ἐπειγόμενοι· οὗτοι δὲ οὐδὲν τοιοῦτον ἔχοντες εἰπεῖν, μυρίων βιαίων θανάτων ζωῇ χαλεπωτέρᾳ παραδιδόασιν ἑαυτούς. εὐκαίρως οὖν νῦν εἴποι τις ἂν ἐκεῖνο τὸ τοῦ σοφοῦ, Τίς ἐλεήσει ἐπαοιδὸν ὀφιόδηκτον, καὶ πάντας τοὺς προσάγοντας θηρίοις ἑαυτούς; θηρίον γάρ ἐστιν ἡ τρυφή, θηρίον χαλεπὸν καὶ ἀπίθασον, καὶ οὐχ οὕτω σκορπίος ἢ ὄφις τοῖς σπλάγχνοις ἡμῶν ἐγκαθήμενος λυμαίνεται πολυτρόπως, ὡς ἡ τῆς τρυφῆς ἐπιθυμία πάντα ἀνατρέπει καὶ ἀπόλλυσι. τοῖς μὲν γὰρ θηρίοις ἐκείνοις μέχρι τοῦ σώματος ἡ ἐπιβουλή· αὕτη δὲ ὅταν ἐγκαθεσθῇ, μετὰ τοῦ σώματος καὶ τὴν ψυχὴν προσαπόλλυσι. διόπερ φεύγωμεν ἀπ᾽ αὐτῆς, ὡς φρονίμοις λέγω. εἰ μὲν ἔχει τι χρηστόν, μὴ ἀπεχώμεθα, μὴ πειθώμεθα· εἰ δὲ ἀληθῆ τὰ εἰρημένα, καὶ λύμη πάντων ἐστὶ τὸ πρᾶγμα, καὶ κατάγελως ἔσχατος, ὑμῶν αὐτῶν φείσασθε, τῆς τοῦ σώματος ῥώσεως, τῆς κατὰ ψυχὴν ὑγείας. οὐ λέγω πρὸς σκληραγωγίαν ἑαυτοὺς ἀγαγεῖν, ἀλλ᾽ μὴ βουληθείης, τὸ περιττὸν ἀνέλωμεν, τὸ τῆς χρείας ἔξω περικόψωμεν. ποίαν γὰρ συγγνώμην ἔχομεν, ὅταν ἕτεροι μὲν μηδὲ τῆς χρείας ἀπολαύωσι κύριοι ὄντες, ἡμεῖς δὲ καὶ παρὰ τὴν χρείαν ἐσθίωμεν; ὅρος ἡμῖν ἔστω τροφῆς, τὸ μὴ βλάπτον, τὸ παῦσαι πεινῶντα χωρὶς βλάβης δυνάμενον, περαιτέρω δὲ μηδὲν ἐπιζητῶμεν· μᾶλλον δὲ εἰ χρή τι θαυμαστὸν εἰπεῖν, καὶ παρὰ τὴν τῶν πολλῶν ὑπόληψιν, ἀληθὲς δέ, εἰ καὶ ἡδονὴν ἐπιζητοῦμεν, ἐν αὐταρκείᾳ ταύτην μᾶλλον ἢ ἐν τρυφῇ οὖσαν εὑρήσομεν. ἄκουσον πῶς αὕτη μείζων ἐκείνης ἐστὶν ἡ ἡδονὴ καὶ εὐπορωτέρα. ἡ μὲν γὰρ οὐδὲ συστῆναι δύναται λοιπόν, οὐδὲ εὑρίσκει φύσιν βρωμάτων ἐπιτηδείαν αὐτῇ· ἡ δὲ καὶ ἐξ ἐναντίων συνίστασθαι δύναται. τίς τοῦτό φησιν; ὁ μάλιστα πάντων αὐτῆς ἀπολελαυκώς· Ψυχῇ γάρ, φησιν, ἐνδεεῖ καὶ τὰ πικρὰ γλυκεῖα φαίνεται· ψυχὴ ἐμπεπλησμένη κηρίοις ἐμπαίζει. ὁρᾷς πῶς ἐκείνην μὲν καὶ ἐξ ὀλίγων, καὶ ἐκ πάντων συστῆναι ῥᾴδιον, ταύτην δὲ οὐδαμῶς; εἰ γὰρ τὰ κηρία μὴ προσιέμεθα, τί γένοιτο ἂν ἡμῖν ἡδὺ λοιπόν; εἰ δὲ πάντων γλυκύτατον οὐκ ἂν δύναιτο παρέχειν ἡδονήν, ποῖον ἔσται τὸ δυνάμενον ποιῆσαι ἐν ἡδονῇ; ὥστε εἰ ἡδονὴν ἐπιζητοῦμεν, ἐνταῦθα μᾶλλον αὐτὴν εὑρήσομεν. πῶς οὖν οὐκ ἐσχάτης ἀνοίας, τὴν μὲν ἡδονήν, καὶ ὑγίειαν, καὶ πολλὰ ἔχουσαν τὰ ἀγαθὰ καὶ θεοφιλῆ φεύγειν τράπεζαν, ἑτέραν δὲ κατασκευάζειν μυρίων γέμουσαν συμφορῶν, ἀηδῆ τε καὶ λυπηρὰν καὶ ἐπίνοσον, καί, τὸ πάντων χαλεπώτατον, παροξύνουσαν ἡμῖν τὸν Θεόν; εἰ γὰρ ἡ χήρα ἡ σπαταλῶσα ζῶσα τέθνηκε, τί ἂν εἴποιμεν περὶ τῶν ἀνδρῶν; εἰ ἐν τῇ παλαιᾷ τοῦτο ἀπηγόρευται μετὰ πολλῆς τῆς ἀκριβείας, καὶ πολλῇ κέχρηται κατὰ τῶν τρυφώντων καταφορᾷ ὁ προφήτης· καίτοιγε εἶδος τέθεικε τρυφῆς οὐ σφόδρα δαπανηρόν, οὐδὲ οὕτως ἁβρόν· Οἱ δὲ ἐσθίοντες ἐρίφια ἐκ ποιμνίων καὶ μοσχάρια γαλαθηνά, οἱ πίνοντες τὸν διυλισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι, οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων, καὶ κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν. εἰ ταῦτα κατηφείας ἄξια, ὅτε πάντα ἦν σαρκικά, καὶ τοῦ οὐρανοῦ λόγος οὐδείς, ὅτε παιδαγωγία ἦν τὰ Ἰουδαϊκά· τί ἂν εἴποιμεν πρὸς τὴν βλακείαν τὴν νῦν; εἰ γὰρ ἐρίφια καὶ μοσχάρια γα-

Σειρ. ιβ. ιγ.

Παροιμ. κζ. ζ.

α. Τιμ. ε. ς.

Αμ. ς. δ.

μένως δεξαμένη τὰ σιτία, ὑπέραντλος γίνεται, καὶ τὸ βάρος οὐ στέγουσα τῶν ἐπιβληθέντων, εἰς τὸ τῆς ἀπωλείας καταποντίζεται πέλαγος, καὶ κυβερνήτην, καὶ ναύτας, καὶ πρωρέα, καὶ ἐπιβάτας, καὶ αὐτὸν τὸν φόρτον μετὰ πάντων προσαπολλύει. καθάπερ οὖν ἐπὶ τῶν ὑπε διακειμένων πλοίων, οὐ γαλήνη θαλάττης, οὐκ ἐπιστήμη κυβερνήτου, οὐ ναυτῶν πλῆθος, οὐ κατασκευῆς ἐπιτηδειότης, οὐχ ὥρα ἔτους εὔκαιρος, οὐκ ἄλλο οὐδὲν τὴν οὕτω χειμαζομένην ὀνίνησι ναῦν· οὕτω δὴ καὶ ἐπὶ τῶν τρυφώντων ψυχῶν, οὐ λογισμῶν πλῆθος, οὐ διδασκαλία καὶ παραίνεσις, οὐ νουθεσίαι καὶ συμβουλίαι, οὐκ ἄλλο οὐδέν, οὐ φόβος τῶν μελλόντων, οὐκ αἰδώς, οὐ κατηγορία τῶν παρόντων, οὐκ ἄλλο οὐδὲν διασῶσαι δύναται τὴν οὕτω χειμαζομένην ψυχήν, ἀλλ' ἐπικρατεῖ πάντων ἡ ἀμετρία, καὶ ἄκοντα καὶ ἑκόντα λοιπὸν ὑποβρύχιον τὸν τὰ τοιαῦτα νοσοῦντα καταφέρουσα, καὶ ναυάγιον ἐργαζομένη χαλεπόν. ὅθεν οὐδὲ διενεγκεῖν ῥᾳδίως, καὶ οὐδὲ πρὸς τὰ μέλλοντα καὶ τὰς εὐθύνας τὰς ἐκεῖ, ἀλλὰ καὶ πρὸς τὴν παροῦσαν ζωὴν ὁ τοιοῦτος ἄχρηστος γίνεται, πρὸς οὐδὲν ἐπιτήδειος, ἀλλὰ πανταχοῦ καταγέλαστος, ἔν τε πολιτικοῖς, ἔν τε ἰδιωτικοῖς πράγμασι. κἂν δέοι τι παραρθῶσαι τῶν κατεπειγόντων, οὐδὲν προνοητικόν, οὐδὲν οἰκονομικὸν ἔχων εὑρεθήσεται, πᾶσιν εὐχείρωτος ὢν τοῖς ἐχθροῖς, πᾶσιν ἄχρηστος τοῖς φίλοις καὶ τοῖς προσήκουσιν. οὐκ ἐν κινδύνοις δὲ καὶ περιστάσεσιν εὐεπηρέαστος μόνον ὁ τοιοῦτος, οὐκ ἐν γαλήνῃ καὶ ἀδείᾳ ἀφόρητος, ἀλλὰ καὶ ἐν ταῖς δυσκολίαις ὑπὸ τῆς ἀμετρίας ἑκάστῳ τῶν παραπεσόντων ἔσται ἄχρηστος. ἐκεῖ μὲν γὰρ αὐτόν· ἐν ταῖς δυσημερίαις λέγω, δειλία καὶ ἀνανδρία καὶ φόβος ἄμετρος καὶ ἀβουλία πολλὴ κατέχει· ἐνταῦθα δὲ θράσος καὶ ῥαθυμία, καὶ ἀκολασία, ἀμετρία καὶ τῦφος καὶ ἀλαζονεία, τῶν προτέρων μᾶλλον δυσχερέστερον παρὰ πᾶσι ποιεῖ. οὐ γὰρ δὴ μόνον τὰ σώματα τῶν οὕτω διακειμένων, καὶ ἀηδῆ καὶ πλαδαρὰ καὶ διάβροχα, καὶ δυσωδίας ἀφορήτου πάντοθεν ἔμπλεα γίνεται, ἀλλὰ καὶ ἡ ψυχὴ πολὺ τοῦ σώματός ἐστιν ἀσθενεστέρα, πολλῷ μείζονα ἐκείνου νοσήματα δεξαμένη παρὰ τῆς τρυφῆς. καθάπερ γὰρ τὸ σῶμα οὐ τὰ κατὰ φύσιν περιττώματα προΐεται μόνον, ἀλλὰ πολλῷ πλεῖον καὶ παντάχοθεν. καὶ γὰρ ὀφθαλμοὶ καὶ ῥῖνες, καὶ στόματα τῶν ἔνδον ὑπὸ τῆς γινομένης πλημμύρας βαρυνομένων, ἰκμάδος φαυλοτάτης καὶ διαφθορᾶς ἀναπίμπλαται, καὶ αὐτὴ τῆς σαρκὸς ἡ φύσις χαυνοτέρα γινομένη τῆς φυσικῆς συμμετρίας, καθάπερ βορβόρων καὶ ἀκαθάρτων τελμάτων πλησθεῖσα, δυσώδης τε ἅμα καὶ ἄχρηστος γίνεται, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμος. καὶ γὰρ καὶ αὐτὴ ἡ γῆ, ὅταν ὑπὸ τῆς τοιαύτης πλεονεξίας τυραννηθεῖσα, τὴν οἰκείαν καὶ ἔμφυτον ἀπολέσῃ θερμότητα, συναπόλλυσιν αὐτῆς καὶ τὴν ἰσχύν, καὶ οὔτε πρὸς ἐργασίαν, οὔτε πρὸς τὴν οἰκείαν γονὴν ἐστὶν ἐπιτήδειος. ἐντεῦθεν δὲ χαλεποῖς καὶ ἀνιάτοις ἁλίσκονται νοσήμασιν οἱ τρυφῇ συζῶντες διηνεκεῖ· καὶ γὰρ τρόμοις καὶ παρέσει καὶ φθόῃ, καὶ κορύζαις καὶ ποδαλγίαις, καὶ χειραλγίαις, καὶ ἑτέροις πλείοσιν, ἅπερ ἰατρῶν λέγουσι παῖδες, ἁλώσιμοι γίνονται. οὕτως εἰ καὶ μὴ γέεννα ἦν, μηδὲ κόλασις, μηδὲ κατάγνωσις ἐσχάτη παρὰ Θεοῦ, μηδὲ παρὰ ἀνθρώποις μέμψις, μηδὲ ἡ ἄκαιρος δαπάνη, μηδὲ ἕτερα μυρία τὰ ἀπὸ τῆς τρυφῆς ἐγγινόμενα, τοῦτο δὲ μόνον προσῆν, οὐχ ἱκανὸν ἅπαντας ἀποτρέψαι; δηλητηρίων γὰρ φαρμάκων οὐδὲν ἄμεινον αἱ τοιαῦται διακείσονται τράπεζαι, μᾶλλον δέ, εἰ δεῖ τἀληθὲς εἰπεῖν, καὶ πολλῷ χεῖρον. τὰ μὲν γὰρ εὐθέως ἀπήνεγκε τὸν λαβόντα, καὶ τὴν τελευτὴν ἀναισθήτως ἐπήγαγεν, ὡς μηδὲ αὐτῷ τούτῳ λυπῆσαι τὸν ἀποθανόντα· αὗται δὲ ζωὴν μυρίων θανάτων χαλεπωτέραν ἐπάγουσι τοῖς αὐτὰς περὶ πολλοῦ ποιουμένοις, ζωὴν ἔφην, οὐκ ἐλεεινὴν μόνον, ἀλλὰ καὶ αἰσχρὰν καὶ καταγέλαστον. τὰ μὲν γὰρ ἄλλα πάθη πολλοὺς ἔχει τοὺς συναλγοῦντας, ὅσα δὲ ἀπὸ τρυφῆς καὶ μέθης γέγονεν, οὐδὲ βουλομένους τοὺς ὁρῶντας ἀφίησι συναλγῆσαι τοῖς ὑπ' αὐτῶν χειρωθεῖσιν· ἀλλ' ἡ μὲν ὑπερβολὴ τοῦ κακοῦ πρὸς ἔλεον ἐπικάμπτει, ἡ δὲ ὑπόθεσις τοῦ νοσήματος παροξύνει τοὺς εἰδότας· διὸ δὴ μέσον τι πάθος πάθοιμεν ἄν, οὔτε ἐλεοῦντες αὐτούς (οὐ γὰρ ἀφίησιν αὐτοὺς ἡ αἰτία τῶν δεινῶν) οὔτε ὀργιζόμεθα (οὐ γὰρ ἐπιτρέπει τὸ μέγεθος τῶν δεινῶν) ἀλλὰ μεταξὺ κατηφείας καὶ συγγνώμης ἡ στάσις. οὐ γὰρ ὑπὸ τῆς φύσεως ἐπηρεάσθησαν, καθάπερ κἀκεῖνοι, οὐδὲ ὑπὸ τῶν ἀνθρώπων ἐπεβουλεύθησαν, ἀλλ' αὐτοὶ δημιουργοὶ τῶν νοσημάτων ἑαυτοῖς τούτων ἐγένοντο, ἑκόντες ἑαυτοὺς ῥιπτοῦντες εἰς τὸ τῶν κακῶν βάραθρον. ὥσπερ οὖν τοὺς βρόχοις ἀναπτομένους, καὶ τοὺς κατὰ κρημνῶν ἀφιέντας ἑαυτούς, καὶ τοὺς διὰ μέσων ξιφῶν ἑαυτοὺς ἀναιροῦντας, οὐ σφόδρα οἰκτίρομεν, οὕτως οὐδὲ τούτους. καίτοι εἰ δεῖ συγγνώμης τυχεῖν, μᾶλλον ἐκεῖνοι τούτων ἂν τύχοιεν, εἰ καὶ αὐτοὶ σφόδρα ἂν εἶεν ἀσύγγνωστοι. ἐκεῖνοι μὲν γὰρ ἢ συκοφαντίαις, ἢ ζημίαις χρημάτων, ἢ προσδοκώμενον κίνδυνον, ἢ πληγὰς ἐλπίσαντες, ἢ ἕτερόν τινα καραδοκήσαντες φόβον, καὶ μειζόνων ἑαυτοὺς κακῶν ἐξαρπάζοντες, ἐπὶ τὴν τῆς τελευτῆς προθυμίαν καταφεύγουσιν, ὥσπερ εἰς ἄσυλόν τι χωρίον τὸν θάνατον κατατρέχοντες, ἢ ὥσπερ εἰς λιμένα τινὰ εὔδιον ἀπὸ τῶν προσδοκωμένων χειμώνων σπεύδοντες καὶ ἐπειγόμενοι· οὗτοι δὲ οὐδὲν τοιοῦτον ἔχοντες εἰπεῖν, μυρίων βιαίων θανάτων ζωῇ χαλεπωτέρᾳ παραδιδόασιν ἑαυτούς. εὔκαιρον οὖν νῦν εἰπεῖν ἐκεῖνο τὸ τοῦ σοφοῦ, Τίς ἐλεήσει ἐπαοιδὸν ὀφιόδηκτον, καὶ πάντας τοὺς προσάγοντας θηρίοις ἑαυτούς; Σειρ. ιβ ιγ. θηρίον γάρ ἐστιν ἡ τρυφή, θηρίον χαλεπὸν καὶ ἀτίθασον, καὶ οὐχ οὕτω σκορπίος ἢ ὄφις τοῖς σπλάγχνοις ἡμῶν ἐγκαθήμενος λυμαίνεται πλουτοῦσι, ὡς ἡ τῆς τρυφῆς ἐπιθυμία πάντα ἀνατρέπει καὶ ἀπόλλυσι. τοῖς μὲν γὰρ θηρίοις ἐκείνοις μέχρι τοῦ σώματος ἡ ἐπιβουλή· αὕτη δὲ ὅταν ἐγκαθεσθῇ, μετὰ τοῦ σώματος καὶ τὴν ψυχὴν προσαπόλλυσι. διόπερ φύγωμεν ἀπ' αὐτῆς, ὡς φρονίμοις λέγω. Εἰ μὲν ἔχει τι χρηστόν, μὴ ἀναχωρώμεθα, μὴ πεισθῶμεν· εἰ δὲ ἀληθῆ τὰ εἰρημένα, καὶ λύμη πάντων ἐστὶ τὸ πρᾶγμα, καὶ καταγέλως ἔσχατος, ὑμῶν αὐτῶν φείσασθε τῆς τοῦ σώματος ῥώσεως, τῆς κατὰ ψυχὴν ὑγιείας. οὐ λέγω πρὸς σκληραγωγίαν ἑαυτοὺς ἀγαγεῖν, ἀλλὰ μὴ βουληθείης, τὸ περιττὸν ἀνέλωμεν, τὸ τῆς χρείας ἔξω περικόψωμεν. ποίαν γὰρ συγγνώμην ἔχομεν, ὅταν ἕτεροι μὲν μηδὲ τῆς χρείας ἀπολαύωσι κύριοι ὄντες, ἡμεῖς δὲ καὶ ὑπὲρ τὴν χρείαν ἐσθίωμεν; ὅρος ἡμῖν ἔστω τροφῆς, τὸ μὴ βλάπτον, τὸ παῦσαι πεινῶντας χωρὶς βλάβης δυνάμενον, περαιτέρω δὲ μηδὲν ἐπιζητῶμεν· μᾶλλον δὲ εἰ χρή τι θαυμαστὸν εἰπεῖν, καὶ παρὰ τὴν τῶν πολλῶν ὑπόληψιν, ἀληθὲς δέ, εἰ καὶ ἡδονὴν ἐπιζητοῦμεν, ἐν αὐταρκείᾳ ταύτην μᾶλλον ἢ ἐν τρυφῇ οὖσαν εὑρήσομεν. ἄκουσον πῶς αὕτη μείζων ἐκείνης ἐστὶν ἡ ἡδονὴ καὶ εὐπορωτέρα. ἡ μὲν γὰρ οὐδὲ συστῆναι δύναται λοιπόν, οὐδὲ εὑρίσκει φύσιν ἀρτυμάτων ἐπιτηδείαν αὐτῇ· ἡ δὲ καὶ ἐξ ἐναντίων συνίστασθαι δύναται. τίς τοῦτό φησιν; ὁ μάλιστα πάντων αὐτῆς ἀπολελαυκώς. Ψυχῇ γάρ, φησιν, ἐνδεεῖ καὶ τὰ πικρὰ γλυκεῖα φαίνεται· ψυχὴ ἐμπεπλησμένη κηρίοις ἐμπαίζει. Παροιμ. κζ ζ. ὁρᾷς πῶς ἐκείνην μὲν καὶ ἐξ ὀλίγων, καὶ ἐκ πάντων συστῆναι ῥᾴδιον, ταύτην δὲ οὐδαμῶς; εἰ γὰρ τὰ κηρία μὴ προσιέμεθα, τί γένοιτο ἂν ἡμῖν ἡδὺ λοιπόν; εἰ δὲ τὸ πάντων γλυκύτατον οὐκ ἂν δύναιτο παρέχειν ἡδονήν, ποῖον ἔσται τὸ δυνάμενον ποιῆσαι ἐν ἡδονῇ; ὥστε εἰ ἡδονὴν ἐπιζητοῦμεν, ἐνταῦθα μᾶλλον αὐτὴν εὑρήσομεν. πῶς οὖν οὐκ ἐσχάτης ἀνοίας, τὴν μὲν ἡδονήν, καὶ ὑγείαν, καὶ πολλὰ ἔχουσαν τὰ ἀγαθὰ καὶ θεοφιλῆ φεύγειν τράπεζαν, ἑτέραν δὲ κατασκευάζειν μυρίων γέμουσαν συμφορῶν, ἀηδίαν τε καὶ λύπην καὶ ἐπίνοσον, καὶ τὸ πάντων χαλεπώτατον, παροξύνουσαν ἡμῖν τὸν Θεόν; εἰ γὰρ ἡ χήρα ἡ σπαταλῶσα ζῶσα τέθνηκε, τί ἂν εἴποιμεν περὶ τῶν ἀνδρῶν; α. Τιμ. ε ς. εἰ ἐν τῇ παλαιᾷ τοῦτο ἀπηγόρευται μετὰ πολλῆς τῆς ἀκριβείας, καὶ πολλῇ κέχρηται κατὰ τῶν τρυφώντων καταφορᾷ ὁ προφήτης· καίτοιγε εἶδος τέθεικε τρυφῆς οὐ σφόδρα δαπανηρόν, οὐδὲ οὕτως ἁβρόν· Οἱ δὲ ἐσθίοντες ἐρίφια ἐκ ποιμνίων καὶ μοσχάρια γαλαθηνά, οἱ πίνοντες τὸν διϋλισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι, οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων, καὶ κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν. Αμ. ς. δ. εἰ ταῦτα κατηφείας ἄξια, ὅτε πάντα ἦν σαρκικά, καὶ τοῦ οὐρανοῦ λόγος οὐδείς, ὅτε παιδαγωγία ἦν τὰ Ἰουδαϊκά, τί ἂν εἴποιμεν πρὸς τὴν βλακείαν τὴν νῦν; εἰ γὰρ ἐρίφια καὶ μοσχάρια γακαθαρὰ ἐσθίειν, ὡς ὑγρά τινα καὶ περιττοὺς τοὺς ζῶντας διαβάλλει βίον, τί ἂν εἴποιμεν περὶ τῶν τοὺς μυχοὺς τῆς θαλάσσης διερευνώντων, καὶ τὰς ἐσχατιὰς τῆς γῆς, καὶ παντοδαποὺς ὀρνίθων καὶ ἰχθύων θηρευτὰς πανταχόθεν συλλεγόντων ἑαυτοῖς; εἰ τὸν ἠθυλισμένον οἶνον οἱ πίνοντες ἐν μέμψει, τί ἂν εἴποις περὶ τοὺς ἀποδημίας διαποντίους στελλομένους ὑπὲρ οἴνου, καὶ πάντα κινοῦντας, ὥστε μηδὲν γένος διαλαθεῖν ἀμπέλου, καθάπερ μέλλοντας εὐθύνας διδόναι, ἢ ἐπὶ τοῖς ἐσχάτοις καταγινώσκεσθαι, εἰ μὴ παντὸς γένους ἐμφορηθεῖεν οἴνου; εἰ ἐλέφαντος κλίνῃ κεχρῆσθαι κατηγορίας ἄξιον, οἱ πολλῷ αὐτὰς περιβάλλοντες ἀργύρῳ, μᾶλλον δὲ ἐξ ἀργύρου μόνου χαλκεύοντες, οὐ κλίνας, ἀλλ' ἤδη καὶ ὑποβάθρα καὶ λέβητας καὶ κεράμια καὶ ἀμίδας, ποίας ἂν τύχοιεν συγγνώμης; τί μικρὸν ἢ μέγα εἰπεῖν εἰς τὰς εὐθύνας ἐκείνας δυνήσονται; ἐγὼ δὲ καὶ τούτῳ προστίθημι ὃ πάντων χαλεπώτατον, ὅτι καὶ ἐξ ἀλλοτρίων συμφορῶν ταῦτα συνείλεκται. καίτοιγε ὁ προφήτης τοῦτο οὐ τέθεικεν, ἀλλὰ μόνον διέβαλε τὴν τρυφήν. ὅταν δὲ καὶ αἰτία προσῇ χαλεπωτέρα τῆς τρυφῆς, τίς ἐξαιρήσεται τοὺς τὰ τοιαῦτα ποιοῦντας τῆς ἐσχάτης κολάσεως; ποῖος Νῶε παραστήσεται, ποῖος Ἰὼβ, ποῖος Δανιήλ; οὐκ ἔστιν οὐδείς. ἀλλ' ἐπὶ τούτων ἐστὶν εἰπεῖν, Ἐκκαυθήσεται ὁ θυμός μου, ὡσεὶ καπνός. Ἡσ. ξε. ε. οὐ γάρ ἐστι, παρακαλῶ, θυμοῦ καὶ ὀργῆς ὄντως ἐμπλησθῆναι ἐσχάτης καὶ διαρραγῆναι, ὅταν ἕτερος μὲν μηδὲ ἀναγκαίας ἀπολαύῃ τροφῆς· σὺ δὲ τοσοῦτον εἰκῇ καὶ μάτην χαλκεύῃς ἄργυρον εἰς οὐδὲν δέον, ἀλλ' οὐδὲ πρὸς ἐπίδειξιν; οὐδὲ γὰρ πρὸς αὐτὸ τοῦτο χρήσιμον ἔσται σοι, ἀλλ' εἰς τοὐναντίον περιτραπήσεται. σὺ γάρ, ὥστε ἐπιφανὴς καὶ ἐπίσημος γενέσθαι, τοῦτο ποιεῖς, συμβαίνει δὲ τοὐναντίον. οὐ γὰρ εἶ τις ἐπιφανὴς καὶ ἐπίσημος, ἀλλ' ἐπὶ ὠμότητι καὶ πλεονεξίᾳ καὶ τοῖς ἐσχάτοις κακοῖς ἅπαντές σε διαβάλλουσι. πόσος γὰρ ὁ φθόνος, πόση ἡ βασκανία, πόσον τὸ μῖσος παρὰ πάντων, πόση ἡ μεταβολῆς ἐπιθυμία πᾶσι; τὰς γὰρ εἰς τὸν Θεὸν βλασφημίας ἀφίημι, ἃς οἱ τοιοῦτοι πλοῦτοι τίκτουσι. καίτοι τοῦτο πάντων χαλεπώτερον, καὶ τὸ παρὰ τούτου, καὶ ὅπερ ἂν εἴπῃς θάτερον θατέρου χεῖρον εὑρήσεις. ἀλλ' οὐχὶ τὴν σύμμετρον καὶ μετρίαν οὕσαν ἡμῖν, ἣν οὐ προφήτης σκώπτει, οὐκ ἄνθρωπος μέμφεται, οὐ Θεὸς αἰτιᾶται, οὐ πῦρ κολάζει, οὐκ ἀποστρέφεταί τις, οὐ μισεῖ, οὐ βασκαίνει, ἀλλ' ἀποδέχεται μὲν Θεός, κοινωνοῦσι δὲ ἄγγελοι, ἐπαινοῦσι δὲ ἄνθρωποι, δέχεται οὐρανός. αὗται αἱ τράπεζαι ἀγγέλους ἐδέξαντο· ταύταις ὁ Χριστὸς παραγίνεται, οὐκ ἐν ἐκείναις· τοιαῦται αἱ τῶν προφητῶν ἦσαν, τοιαῦται αἱ τῶν ἀποστόλων, τοιαῦται αἱ τῶν δικαίων· αἱ δὲ τῶν τυράννων καὶ τῶν ἐπὶ γῆς κακῶς πλουτούντων, ἔχουσαι ὀρχηστάς, καὶ τοὺς ἄλλους τῶν ἐπὶ λύμῃ τοῦ βίου ζώντων, καὶ λῃστῶν, καὶ γοήτων, καὶ τυμβωρύχων, ἐκεῖναι. ὅταν δὲ τοιαύτην παραθῇς τράπεζαν, ἄγγελος μὲν ἀποπηδᾷ, παροξύνεται δὲ Θεός, χαίρει δὲ ὁ τῶν δαιμόνων ἀρχηγός, ἀποστρέφονται δὲ καὶ μισοῦσι καὶ τήκονται, οὐχ οἱ ἐχθροὶ μόνον, ἀλλὰ καὶ αὐτοὶ οἱ δοκοῦντες ἔχειν ἐπιτηδείως ἄνθρωποι, φθόνῳ μᾶλλον ἐσθιόμενοι, ἢ τῶν παρόντων ἀπολαύοντες. ὅταν δὲ ἐκείνην τις παραθῇ τὴν σώφρονα καὶ σύμμετρον, καὶ οὐδεμίαν ἔχουσαν φλεγμονήν, καὶ ἡδίστη καὶ προσηνὴς ᾖ πᾶσι τοῖς φίλοις, καὶ Θεῷ, καὶ ἀγγέλοις, καὶ ἀνθρώποις· παραγίνεται οὖν ὁ τοῦ Θεοῦ μονογενής. ὥσπερ γὰρ φεύγει τὸν τῦφον καὶ ὑψηλόφρονα ἅπαντα, καὶ τὸν θόρυβον· οὕτω τῷ ταπεινῷ φίλος ἐστὶ καὶ σύνεστιν ἀεί, καὶ πάντα περιφράττει καὶ τειχίζει πανταχόθεν. τοῦ δὲ Χριστοῦ παραγινομένου, οὐδὲν ἕτερον ἐπιζητεῖν χρή. ταῦτ' οὖν εἰδότες, ἀγαπητοί, φεύγωμεν ἐκεῖνα, διώκωμεν ταῦτα, ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων τύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, τιμή, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΛΟΓΟΣ ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ. α.

Καλὴ ἡ νηστεία, καλὴ δὲ καὶ ἡ τῶν θείων γραφῶν ἀνάγνωσις. καλὴ δέ ἐστιν, ὅταν καὶ ἡ ἐκ ταύτης πρᾶξις ἕπηται. ἐπεὶ ἐὰν ἀναγινώσκῃς μὲν, μὴ ποιῇς δὲ, γίνεταί σοι εἰς κρίμα ἡ ἀνάγνωσις καὶ εἰς ἐφόδιον κολάσεως. Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου, φησὶ, δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ νόμου δικαιωθήσονται. (Ρωμ. β. ιγ.) καὶ πάλιν ὁ Χριστός· Εἰ μὴ ἦλθον καὶ εἶπον αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. (Ιωαν. ιε. κβ.) Μακάριος δὲ ὁ λέγων εἰς ὦτα ἀκουόντων, (Σειρ. κε. ιϛ.) ὅταν μάλιστα τὸν τόκον καταβάλωσι. τόκος δέ ἐστιν, ἡ ὑπακοὴ καὶ ἡ τῶν ἐντολῶν τοῦ Θεοῦ ἐργασία, καθὼς ὁ Κύριός φησι· Κἀγὼ ἐλθὼν ἀπῄτησα ἂν αὐτὸ σὺν τόκῳ. (Ματθ. κε. κζ.) Τί οὖν συνήγαγες, ἀδελφέ, ἀπὸ τῆς νηστείας; ἐπεὶ καὶ γεωργὸς διὰ τοῦτο σπείρει, ἵνα θερίσῃ· καὶ ἔμπορος διὰ τοῦτο τὰς ἀποδημίας ἐπιτελεῖ, ἵνα χρήματα συναγάγῃ· καὶ κυβερνήτης διὰ τοῦτο πολλὰ πελάγη διαπερᾷ, ἵνα τὸ σκάφος φορτίων ἐμπλήσῃ. μή μοι εἴπῃς, ὅτι τόσας ἡμέρας ἐνήστευσα, τὸ καὶ τὸ οὐκ ἔφαγον, οἶνον οὐκ ἔπιον, ἀλουσίαν ὑπέμεινα· ἀλλὰ δεῖξόν μοι, εἰ θυμώδης ὢν, πρᾶος ἐγένου, καὶ εἰ ὠμὸς ὢν, ἐγένου φιλάνθρωπος. ἐπεὶ ἐὰν μεθύῃς θυμῷ, τί τὴν σάρκα καταθλίβεις; ἐὰν φθόνος ᾖ ἔνδον καὶ πλεονεξία, τίς ἡ ὠφέλεια τῆς ὑδροποσίας; οὐ ζητῶ νῦν ποταπὴ ἡ τράπεζα, ἀλλ' εἰ γνώμης κακῆς ἐγένετο μεταβολή. ἐὰν ἡ δέσποινα, ἡ ψυχὴ λέγω, πορνεύῃ, τί τὴν θεράπαιναν, τὴν γαστέρα φημὶ, μαστίζεις; εἰ ἡ ψυχὴ παρασύρεται, τί τὸ σῶμα τήκεις; ταῦτα λέγω, οὐχ ὑμῶν κατηγορῶν, ἀλλὰ διὰ τοὺς ῥᾳθύμους. ὅσον γὰρ ἂν εἴδω ὑμᾶς πετωμένους, ἔτι βούλομαι ὑμᾶς ἀνωτέρω πετᾶσθαι. τοιαύτη γὰρ ἡ τῆς ἀγάπης τυραννίς. καὶ ὥσπερ οἱ φιλάργυροι, ὅσον ἂν συναγάγωσι χρυσίον, πλέον ἐπιζητοῦσιν· οὕτω καὶ ἡμεῖς πλέον ὀρεγόμεθα τῆς ὑμετέρας προκοπῆς. * νήστευσον, ὡς οἱ Νινευῗται, ἀδελφέ. ἐκεῖνοι νόμον οὐκ ἔλαβον, περὶ ὧν φησιν ὁ Παῦλος· Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῶσιν, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος. (Ρωμ. β. ιδ.) μὴ τοίνυν ψιλὴν τὴν νηστείαν ἐπιδείκνυσο. οὐ γὰρ ἀναβαίνει μόνη εἰς τὸν οὐρανὸν ἡ νηστεία, ἐὰν μὴ ἔχῃ τὴν ἀδελφὴν αὐτῆς, τὴν ἐλεημοσύνην. ξυνωρὶς γὰρ αὐτῆς ἐστι, καὶ οὐ μόνον [ἀδελφότης καὶ] ξυνωρὶς, ἀλλὰ καὶ ὄχημα. καὶ πόθεν τοῦτο; τῷ Κορνηλίῳ ἔλεγεν ὁ ἄγγελος, Αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ. (Πραξ. ι. δ.) πτερὸν γάρ ἐστι τῆς εὐχῆς ἡ ἐλεημοσύνη. ἐὰν οὖν μὴ ποιήσῃς πτερὸν τῇ εὐχῇ σου, οὐ πέταται· ὅταν δὲ πτερωθῇ ἡ ψυχή σου, ἵπταται εἰς τὸν οὐρανόν. ἕως πότε ἡ φιλαργυρία, καὶ τῶν κτημάτων ἡ ἐπιθυμία; ταῦτα πάντα, ἀδελφέ, συγκαταλύεται τῷ παρόντι βίῳ. ἀλλὰ πάντως μοι ἐρεῖς, ταῦτα συνεχῶς λέγει. καὶ ἐμαυτῷ λέγω, ἀδελφέ, καὶ ὑμῖν. κοινὸν γὰρ τὸ συμβούλιον. ἐγὼ ταῦτα ἀκούων καὶ διορθούμενος παρ' ὑμῶν, χάριν λαμβάνω· κἂν δοῦλος ᾖ ὁ λέγων, δέχομαι τὴν συμβουλήν· κἂν ἐλεύ-

θερος

θερεῖς ἢ, προθύμως ἀκούω. οὐ γὰρ τὸ διαφορεῖν τῶν προσώπων, ἀλλ' ἡ χρῆσις τῆς συμβουλῆς ποιεῖ με δέχεσθαι τὰ λεγόμενα. Εἰ γὰρ Μωϋσῆς ἐκεῖνος, ὁ τηλικοῦτος, ὁ τῷ Θεῷ ὁμιλήσας, τὰς τοῦ κηδεστοῦ αὐτοῦ συμβουλίας οὐκ ἀπεστράφη, καὶ τούτου βαρβάρου ὄντος, ἀλλὰ κἀκεῖνος κατεδέξατο, καὶ ὁ Θεὸς ἐβεβαίωσε, πόσῳ μᾶλλον ἡμεῖς; οὐ λέγω σοι, ἀκτήμων γενοῦ, ἀλλὰ τὸ περιττὸν εἰς τοὺς πένητας ἀνάλωσον, ἵνα ἡ περιουσία σου ὑπόθεσις σωτηρίας σοι γένηται. οὐχ ὁρᾶτε πολλοὺς κατὰ τὴν ὁδὸν πένητας, πῶς κάθηνται νοσοῦντες καὶ γυμνητεύοντες; καὶ ὁ μὲν νεώτερος, ὁ δὲ πρεσβύτερος· καὶ ἄλλος ὑφ' ἑτέρου σπείζεται, καὶ πολλὴ ἡ τούτων τραγῳδία. δὸς οὖν τῷ συνδούλῳ, ἵνα ἔχῃς τὸν δεσπότην ὀφειλέτην, τὸν ἡδέως χρεωστοῦντα, τὸν διδόντα τὸ κεφάλαιον μετὰ τόκου. ἐπὶ μὲν γὰρ τῶν ἔξω ἔγκλημα ὁ τόκος, ἐπὶ δὲ τοῦ Θεοῦ ἔπαινος. οὐ δίδως τῷ πένητι; πρόσεχε τῷ δι' αὐτοῦ αἰτοῦντι, καὶ αἰδέσθητι τὸ ἀξίωμα τοῦ λαμβάνοντος. ὁ πένης λαμβάνει, καὶ ὁ Θεὸς δανείζεται. ἐννόησον πῶς κατέβη ὁ δεσπότης σου δι' ἐκεῖνο, ἵνα σε ἐπικάμψῃ μὴ εἶναι ὠμὸν καὶ ἀπάνθρωπον. Πεινῶντά με γάρ, φησιν, εἴδετε, καὶ οὐκ ἐθρέψατε· καὶ διψῶντα, καὶ οὐκ ἐποτίσατε· ξένον, καὶ οὐ συνηγάγετε· γυμνόν, καὶ οὐ περιεβάλετε, καὶ τὰ ἑξῆς. οὐ δίδως οὖν πεινῶντι τῷ Χριστῷ; σὺ καὶ ὁ πένης τὸ σῶμα αὐτοῦ κοινῶς ἐκ τῆς τραπέζης μεταλαμβάνετε, τοῦ ποτηρίου ὁμοίως μετέχετε. ἐν τοῖς μεγάλοις σοι καὶ φρικτοῖς κοινωνεῖ, καὶ τῶν μικρῶν αὐτῷ οὐ μεταδίδως; μὴ γὰρ τὰ σὰ αὐτῷ παρέχεις; κἂν γὰρ παρὰ τῶν γονέων ἐδέξω, κἂν παρὰ τῶν προγόνων, τοῦ Κυρίου εἰσί. τί καταχωννύεις αὐτὰ εἰς τὴν γῆν; δὸς τῷ πένητι, καὶ μετὰ πολλῆς τῆς ἀσφαλείας φυλάττει σοι αὐτὰ ὁ δεσπότης. οὐχ ὁρᾷς τοὺς γηπόνους, τί ποιοῦσιν; ὅτι πολλάκις ὑπὸ πενίας μὴ ἔχων σπόρον, τίθησιν αὐτοῦ τὸ ἱμάτιον, καὶ λαμβάνει ὃ βούλεται, καὶ τῇ γῇ καταπιστεύει. καίτοι πολλάκις ἦλθε καιρῶν ἀνωμαλία, καὶ ἀπῆλθε μηδὲν θερίσας· καὶ ὅμως πιστεύει τῇ γῇ διὰ τὴν ἐλπίδα. ὅπερ οὖν ἡ γῆ ποιεῖ, τοῦτο ὁ δεσπότης οὐ δύναται ποιῆσαι; μέμνησαι ἐκείνην τὴν ἐν τῇ παλαιᾷ χήραν τὴν ἔχουσαν δράκα * ἀλεύρου ἐν τῇ ὑδρίᾳ, καὶ ὀλίγον ἔλαιον ἐν τῷ καμψάκῃ, ὅτι δι' αὐτὴν τὸν προφήτην ἐξενοδόχησεν· ἢ ταύτην τὴν ἐν τῷ εὐαγγελίῳ, ἥτις δύο ὀβολοὺς βαλοῦσα, πάντας ὑπερηκόντισεν. ὅλον γὰρ τὸν πλοῦτον ἑαυτῆς ἔβαλεν. ἀλλὰ τί λέγεις; πένης εἰμί, καὶ οὐκ ἔχω χρήματα; δύο ὀβολοὺς οὐκ ἔχεις; εἰ δὲ καὶ οὐκ ἔχεις, γνώμης ἀγαθῆς προαίρεσιν ζητεῖ ὁ Θεός. διὰ τοῦτο ἔλεγεν, Ὃς ἐὰν δῷ ποτήριον ψυχροῦ ὕδατος, οὐ μὴ ἀπολέσει τὸν μισθὸν αὐτοῦ. βλέπε, τί λέγει. ψυχροῦ ὕδατος, οὐ θερμοῦ, ἵνα μὴ διὰ τὴν δαπάνην τῶν ξύλων στερηθῇς τοῦ μισθοῦ. καὶ βασιλεὺς μὲν ὅσον ἐὰν ἐπιβάλῃ σοι χρυσίον, κρεμνώμενος, χειμαζόμενος δίδως, ὅπερ βούλεται. κἂν πένης ᾖς, οὐ προσέχει τῇ δυνάμει τῶν προσώπων, ἀλλὰ τῷ ἰδίῳ κέρδει. ὁ δὲ Θεὸς οὐχ οὕτως· ἀλλὰ κατὰ τὴν ἑκάστου δύναμιν ἀπαιτεῖ. διατί γάρ εἰσι πένητες; μὴ γὰρ οὐκ ἠδύνατο ὁ Θεὸς ὄμβρον χρυσίου κατενεγκεῖν; ἀλλ' ἵνα σοι ἡ ἐκείνου πτωχεία, παραμυθία τῶν ἁμαρτημάτων σου γένηται. Μέγα ἄνθρωπος, καὶ τίμιον ἀνὴρ ἐλεήμων. βλέπε πόσον ἐστὶν ἡ ἐλεημοσύνη. ἑαυτῷ παραβάλλει ὁ Θεὸς τὸν ἐλεήμονα. Γίνεσθε γάρ, φησιν, οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος [οἰκτίρμων ἐστίν]. ἐὰν ἔλθῃ ὁ θάνατος, ὧδε μένει τὰ χρήματα. διατί οὖν οὐ προαποστέλλεις σεαυτῷ ἐκεῖ, ἵνα ἐν ἐκείνῃ τῇ ἡμέρᾳ παραστῶσί σοι * πένητες, ὅπου ῥήτωρ οὐκ ἔστιν, οὐδὲ συνήγορος; ἐπιδείκνυνται γὰρ οἱ πένητες τὰ ἱμάτια καὶ τὰς τροφάς, καὶ ἐξαρπάζουσί σε τοῦ πυρός. οὐχ οὕτως ἥλιος εἰς πάγος ἐλθὼν λύει αὐτόν, ὡς ἐλεημοσύνη ἐμπεσοῦσα εἰς πλῆθος ἁμαρτημάτων ἀφανίζει αὐτά. ἵνα δὲ μάθῃς τῆς ἐλεημοσύνης τὸ ὕψος, τί τῆς παρθενίας ἐπιπονώτερον; οὐδέν. πολλαί εἰσιν αἱ ἀρεταί, αἱ μὲν μεγάλαι, αἱ δὲ μείζους, αἱ δὲ ἐλάττονες· τῆς δὲ παρθενίας οὐδὲν δυσκολώτερον· πρὸς τὴν φύσιν παλαίει. ὁ πόλεμος οὗτος ἀνοχὴν οὐκ ἔχει, μάχη ἐστὶν εἰρήνην μηδέποτε ἔχουσα, εἰ μὴ διὰ τοῦ ἐλέους τοῦ Χριστοῦ. ἔστηκεν ἡ παρθένος τὴν κάμινον πρὸς ἑαυτὴν συνάγουσα, καὶ

μὴ

Ματθ. κε. με.

Ματθ. ι. μβ.

Λουκ. ϛ. λϛ.

γρ. περιουσία

γρ. γυμνοῖς

γρ. ὑποστηρίζεται

γρ. διάδος

γρ. ἐπαινετὸς

* μίαν

γρ. καλῆς

γρ. κρεμάμενος

γρ. πενία

γρ. καλὸν

γρ. ἐλεήμον

* οἱ

μὴ καιομένη· ἐπὶ τῶν ἀνθράκων ἑστῶσα, οὐ κατακαίεται· ἐν τῇ καμίνῳ οὐ φλέγεται, δρόσον ἔχουσα, καθάπερ οἱ τρεῖς παῖδες· πρὸς τὰς ἀοράτους δυνάμεις ἁμιλλωμένη τὸν Μιχαὴλ μιμεῖται, καὶ πρὸς τὸν Γαβριὴλ ἁμιλλᾶται. ἐν τῷ παραδείσῳ ἦν ἡ παρθενία, καὶ ὑπὸ τοῦ δράκοντος παρεφθάρη. διὰ τοῦτο ἐν τοῖς μέσοις χρόνοις οὐκ ἐφαίνετο· ὅτε δὲ ἦλθεν ὁ ἐκ παρθένου γεννηθεὶς Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, τότε ἐφάνη πάλιν. θέλεις δὲ γνῶναι τῆς παρθενίας τὸ μέγεθος; Μωϋσῆς τὴν θάλασσαν ἔσχισε, τὸν ἀέρα μετέβαλε, μάννα κατήγαγε, καὶ κατελάλησαν αὐτοῦ περὶ τῆς ἰδίας γυναικὸς τῆς "Αἰθιοπίσσης· ὥστε" γυναῖκα εἶχε. ὁ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ἀλλὰ καὶ Ἰωσήφ, εἰ καὶ σώφρων ἦν, ἀλλ' ὅμως καὶ μετὰ ταῦτα γυναῖκα ἔσχε. βούλει μαθεῖν ὅσον ἐστὶν ἡ παρθενία; ὁ Χριστὸς ἐλθὼν οὐ κατέδησεν αὐτὴν ἀνάγκῃ. ὁμοῦ γὰρ τὰς ἄλλας ἀρετὰς ἐπιτείνας, ταύτην οὐκ ἐπέταξεν· ἵνα ἐὰν ἑκουσίως κατορθώσῃς, στεφανωθῇς. οἱ ἐγκράτειαν ἀσκοῦντες καὶ τὴν ἀκτημοσύνην, "περὶ τὴν αὐτὴν μεταχειρίζονται). Εἰσὶ γὰρ εὐνοῦχοι, οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων· καί εἰσιν εὐνοῦχοι, οἵτινες ἐγεννήθησαν οὕτω· καί εἰσιν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, οὐ τὰ μόρια κόψαντες, ἀλλὰ τὴν ἀκόλαστον ἐπιθυμίαν ἀποκοψάμενοι. ὁ δυνάμενος χωρεῖν, χωρείτω. καὶ ὁ ἀπόστολος τὰς ἀρετὰς ἐπελθὼν πάσας, εἰδὼς αὐτῆς τὸ πέλαγος, λέγει· Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν "Χριστοῦ οὐκ ἔχω. εἶδες πῶς μεγάλη ἡ παρθενία; καὶ ὅμως χωρὶς ἐλεημοσύνης οὐκ ἔσωσεν· ἐλεημοσύναι δὲ χωρὶς παρθενίας ἔσωσαν. αἱ πέντε παρθένοι αἱ μωραί, ἐπειδὴ ἔλαιον οὐκ εἶχον, ἀλλὰ μόνην τὴν παρθενίαν, οὐκ εἰσῆλθον εἰς τὸν νυμφῶνα. λέγουσι γὰρ ταῖς φρονίμοις, Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν. δικαίως δὲ ἐκλήθησαν μωραί, ὅτι τὸ ἐπιπονώτερον κατορθώσασαι, τὸ χωρὶς "πόνων οὐκ ἐποίησαν· τὸν μέγαν ἀνταγωνιστὴν κατὰ τὴν ἐγκράτειαν, καὶ ὑπὸ τοῦ ἐλάττονος ἡττήθησαν. καὶ ἐλθόντος τοῦ νυμφίου εἰσῆλθον αἱ φρόνιμοι εἰς τὸν νυμφῶνα· καὶ ἦλθον ἐκεῖναι κρούουσαι, καὶ λέγει αὐταῖς, οὐκ οἶδα ὑμᾶς. διὰ τί; ὅτι πεινῶντά με εἴδετε, καὶ οὐκ ἐθρέψατε. ἡμᾶς δὲ μὴ γένοιτο ἀκοῦσαι φωνῆς τοιαύτης. τοῖς δὲ τὴν ἐλεημοσύνην κατορθώσασι λέγει· Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. διὰ τί; ὅτι παρθενίαν ἐτήρησαν; οὐδαμῶς. ἀλλὰ τί; Ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνός, καὶ περιεβάλετέ με· ἀσθενὴς καὶ ἐν φυλακῇ, καὶ ἐπεσκέψασθέ με. ἵνα δὲ μάθῃς πόσον ἐστὶν ἡ ἐλεημοσύνη, βούλομαι πάλιν ὑμᾶς ὑπομνῆσαι τῆς αὐτῆς ἱστορίας. δέκα παρθένοι ἦσαν, πέντε φρόνιμοι, καὶ πέντε μωραί. καὶ φωνὴ ἐγένετο κατὰ τὸ μεσονύκτιον, ἀνάστητε, ὁ νυμφίος ἔρχεται. τὸ μεσονύκτιον, ἡ ἀνάστασίς ἐστιν, ὅτε οἱ ἄγγελοι πάντας ἡμᾶς ἐγείρωσιν. ἀναστᾶσαι δὲ αἱ παρθένοι ἐκόσμησαν τὰς λαμπάδας ἑαυτῶν. ἡ δὲ λαμπάς, ἡ παρθενία ἐστί, τὸ καθαρόν, τὸ ὀξύ, τὸ φωτεινόν. καὶ λέγουσιν αἱ μωραὶ ταῖς φρονίμοις, δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν. λέγουσιν αὐταῖς αἱ φρόνιμοι· φοβούμεθα μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν (ἀλλ' οὐχὶ βασκαίνουσαι οὐκ ἔδωκαν. ἐκεῖ γὰρ τίς χρεία ἐλαίου λοιπόν; οὐ γάρ ἐστιν ἐκεῖ πλούσιος καὶ πένης) ἀλλ' ἀπελθοῦσαι ἀγοράσατε. καὶ τίνες οἱ πωλοῦντες; οἱ πένητες. μᾶλλον δὲ σὺ παρὰ τοῦ πένητος λαμβάνεις, ἢ δίδως. δίδως γὰρ αὐτῷ σὺ γήϊνα, καὶ λαμβάνεις ἐπουράνια. Ὡς οὖν ἀπῆλθον ἀγοράσαι, ἦλθεν ὁ νυμφίος, καὶ εἰσῆλθον εἰς τὸν νυμφῶνα αἱ ἕτοιμοι, καὶ ἐκλείσθησαν αἱ θύραι. ἐλθοῦσαι δὲ ἐκεῖναι ἔκρουσαν· καὶ λέγει αὐταῖς, οὐκ οἶδα ὑμᾶς. ὁρᾷς, ἐπειδὴ ἐλεημοσύνην οὐκ εἶχον, καὶ τοῦ πόνου τῆς παρθενίας οὐκ ἐπέτυχον, ἀλλ' ἔξω τοῦ νυμφῶνος ἔμειναν; μαθόντες οὖν τῆς ἐλεημοσύνης τὸ κέρδος, ἀδελφοί, ποιήσωμεν ἐλεημοσύνην, ἵνα καὶ τοῦ νυμφῶνος ἐπιτύχωμεν, καὶ τῶν αἰωνίων ἀγαθῶν ἀπολαύσωμεν, χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, σὺν ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἡ αἰθιοπίσσης
ὕτως· ὅτι
γυναῖκα τὸ χε
γυναῖκας

ρώπων

Ματθ. ιθ. ιβ.

α. Κορ. ζ. κε.

Ματθ. κε. α.

Ματθ. κε. λδ.

ΠΕΡΙ

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ, ΚΑΙ ΟΤΙ ΜΕΓΙΣΤΗ ΘΥΣΙΑ ΕΣΤΙ, τὸ τὰς τοῦ Θεοῦ εὐεργεσίας ἀναλογίζεσθαι, Λογ. β.

Οὐχ ἑαυτοῖς μόνον ἀρκεῖν ὁ Θεὸς βούλεται τοὺς χριστιανούς, ἀδελφοί, ἀλλὰ καὶ ἑτέρους οἰκοδομεῖν· οὐ διὰ τῆς διδασκαλίας μόνον, ἀλλὰ καὶ διὰ τοῦ βίου καὶ διὰ τῆς ἀναστροφῆς. οὐδὲν γὰρ οὕτως ἐπάγει πρὸς τὴν τῆς ἀληθείας ὁδόν, ὡς πολιτείας ἀκρίβεια. οὐδὲ γὰρ τοῖς παρ᾽ ἡμῶν λεγομένοις οὕτω προσέχουσιν, ὡς τοῖς ὑφ᾽ ἡμῶν πραττομένοις. καὶ ἵνα μάθῃς ὅτι τοῦτο οὕτως ἔχει, κἂν μυριάκις φιλοσοφῶμεν τοῖς λόγοις, καὶ περὶ ἀνεξικακίας διαλεγώμεθα, καιροῦ δὲ παρεμπεσόντος, μὴ διὰ τῶν ἔργων ταύτην ἐπιδειξώμεθα, οὐ τοσοῦτον ὁ λόγος ὠφέλησεν, ὅσον ἡ πρᾶξις ἔβλαψεν. ἐὰν δὲ καὶ περὶ τῶν λόγων, καὶ μετὰ τοὺς λόγους, τὴν διὰ τῶν ἔργων ἐπίδειξιν ποιώμεθα, ἀξιόπιστοι ἐσόμεθα ἐκεῖνα παραινοῦντες, ἃ καὶ διὰ τῶν ἔργων πληροῦμεν. ἐπεὶ καὶ ὁ Χριστὸς τούτους ἐμακάρισε, λέγων· Ματθ ε. ιθ. Μακάριος ὁ ποιήσας, καὶ διδάξας. σκόπει πῶς πρότερον τὴν ποίησιν ἔθηκε, καὶ τότε τὴν διδασκαλίαν. τῆς πράξεως γὰρ προηγουμένης, κἂν μὴ ἕπηται ἡ διδασκαλία, ἀρκεῖ τὰ ἔργα φωνῆς λαμπρότερον διδάξαι τοὺς εἰς ἡμᾶς ὁρῶντας. τοῦτο οὖν πανταχοῦ σκοπῶμεν, πρότερον τοῖς ἔργοις διδάσκειν, καὶ τότε τοῖς λόγοις· ἵνα μὴ καὶ ἡμεῖς ἀκούσωμεν παρὰ τοῦ Ρωμ. β. κα. Παύλου· Ὁ διδάσκων τὸν ἕτερον, σεαυτὸν οὐ διδάσκεις; καὶ ὅταν βουλώμεθά τινι παραινέσαι, ὥστε κατορθῶσαί τι τῶν ἀναγκαίων, πρότερον αὐτοὶ σπουδάζωμεν τοῦτο κατορθοῦν, ἵνα μετὰ πλείονος τῆς παρρησίας τὴν διδασκαλίαν ποιώμεθα· καὶ πᾶσα ἡμῶν ἡ φροντὶς ἔστω περὶ τῆς κατὰ ψυχὴν σωτηρίας, καὶ ὅπως δυνηθείημεν τὰ σκιρτήματα τῆς σαρκὸς χαλινώσαντες, τὴν ἀληθινὴν νηστείαν ἐπιδείξασθαι, λέγω δή, τὴν τῶν κακῶν ἀποχήν· τοῦτο γὰρ νηστεία. καὶ γὰρ ἡ τῶν βρωμάτων ἀποχὴ διὰ τοῦτο παρείληπται, ἵνα τὸν τόνον τῆς σαρκὸς χαλινώσῃ, καὶ εὐήνιον ἡμῖν τὸν ἵππον ἐργάσηται. τὸν νηστεύοντα μάλιστα πάντων προσήκει τὸν θυμὸν χαλινοῦν, πραότητα πεπαιδεῦσθαι καὶ ἐπιείκειαν, συντετριμμένην ἔχειν τὴν καρδίαν, τῶν ἐπιθυμιῶν τῶν ἀτόπων ἐξορίζειν τὰς ἐνθυμήσεις, περὶ ὀφθαλμὸν λαμβάνοντα τὸν ἀκοίμητον ἐκεῖνον ὀφθαλμόν, καὶ τὸ κριτήριον τὸ ἀδέκαστον· χρημάτων κρείττονα γίνεσθαι, περὶ τὴν ἐλεημοσύνην πολλὴν τὴν δαψίλειαν ἐπιδείκνυσθαι, πᾶσαν κακίαν τὴν περὶ τὸν πλησίον ἐκ τῆς ψυχῆς ἀπελαύνειν. αὕτη ἀληθὴς νηστεία, καθάπερ καὶ Ἠσαΐας φησὶν ἐκ προσώπου Ησ. νη. ε. τοῦ Θεοῦ φθεγγόμενος· Οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην, λέγει Κύριος· οὐδ᾽ ἂν κάμψῃς ὡς κλοιὸν τὸν τράχηλόν σου, καὶ σάκκον καὶ σποδὸν ὑποστρώσῃ, οὐδ᾽ οὕτω καλέσετε νηστείαν δεκτήν, λέγει Κύριος. ἀλλὰ ποίαν, εἰπέ. Λύε, φησί, στραγγαλιὰς βιαίων συναλλαγμάτων, διάθρυπτε πεινῶντι τὸν ἄρτον σου, πτωχὸν ἄστεγον εἴσαγαγε εἰς τὸν οἶκόν σου. καὶ ἐὰν ταῦτα πράξῃς, φησί, τότε ῥαγήσεται πρώϊμον τὸ φῶς σου, καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ. Εἶδες, ἀγαπητέ, ποία ἐστὶν ἀληθὴς νηστεία. ταύτην ἀσκήσωμεν, καὶ μὴ ἁπλῶς κατὰ τοὺς πολλοὺς νομίζωμεν ἐν τούτῳ τὰ τῆς νηστείας ἡμῖν περιεῖναι, ἐὰν μέχρι τῆς ἑσπέρας ἄσιτοι διαμείνωμεν. οὐ τοῦτό ἐστι τὸ ζητούμενον, ἀλλ᾽ ἵνα μετὰ τῆς τῶν βρωμάτων ἀποχῆς, καὶ τὴν ἀποχὴν τῶν βλαπτόντων ἐπιδειξώμεθα, καὶ περὶ τὴν τῶν πνευματικῶν ἐργασίαν πολλὴν σπουδὴν ποιησώμεθα. τὸν νηστεύοντα κατεσταλμένον εἶναι χρή, ἥμερον, ταπεινόν, ὑπερορῶντα τῆς δόξης τοῦ παρόντος βίου. ὡς ὑπερεῖδε βρωμάτων, οὕτω προσήκει καὶ τῆς κενῆς δόξης ὑπεριδεῖν, καὶ πρὸς ἐκεῖνον μόνον ὁρᾶν τὸν ἐτάζοντα καρδίας καὶ νεφρούς, καὶ μετὰ πολλῆς ἀκριβείας τὰς εὐχὰς καὶ τὰς ἐξομολογήσεις ποιεῖσθαι πρὸς τὸν Θεόν, καὶ κατὰ δύναμιν τὴν διὰ τῆς ἐλεημοσύνης βοήθειαν ἑαυτῷ παρέχειν. αὕτη γάρ, αὕτη μάλιστα ἡ ἐντολὴ ἀφανίσαι δύναται πάντα τὰ ἡμαρτημένα, καὶ τοῦ πυρὸς τῆς γεέννης ἐξαρπάσαι, πάσαν, μόνον ἐὰν μετὰ δαψιλείας αὐτὴν ἐπιδειξώμεθα, καὶ μὴ πρὸς ἐπίδειξιν τοῦτο ποιῶμεν. καὶ τί λέγω, μὴ πρὸς ἐπίδειξιν; εἰ γὰρ ἤμεθα εὐγνώμονες, καὶ δι' αὐτὸ μόνον τὸ καλὸν καὶ τὸ πρὸς τὸν ὁμογενῆ συμπαθὲς, ταύτην ἐπιδείκνυσθαι ἐχρῆν, οὐ διὰ τοὺς ἐπηγγελμένους μισθοὺς παρὰ τοῦ δεσπότου. ἀλλ' ἐπειδὴ οὐδὲν ὑψηλὸν φαντασθῆναι δυνάμεθα, κἂν διὰ τοῦτο αὐτὴν μετερχώμεθα, μηδαμοῦ τὴν παρὰ τῶν ἀνθρώπων θηρώμενοι δόξαν· ἵνα μὴ καὶ τὴν δαπάνην ὑπομένωμεν, καὶ τοῦ μισθοῦ ἀποστερηθῶμεν. καὶ τοῦτο μὴ μόνον ἐπὶ τῆς ἐλεημοσύνης, ἀλλὰ καὶ ἐφ' ἑκάστῳ κατορθώματι πνευματικῷ σκοπῶμεν, καὶ οὐδὲν πρὸς τὴν τῶν ἀνθρώπων εὐφημίαν ἀφορῶντες ποιῶμεν. ἐπεὶ οὐδὲν ἡμῖν ὄφελος ἔσται, οὔτε ἐὰν νηστεύωμεν, οὔτε ἐὰν εὐχώμεθα, οὔτε ἐὰν ἐλεῶμεν, οὔτε ὅπερ ἂν ἕτερον ποιῶμεν, ἂν μὴ δι' ἐκεῖνον μόνον γίνηται τὸν εἰδότα καὶ τὰ λανθάνοντα, καὶ τὰ ἐν τῷ βάθει τῆς διανοίας ἡμῶν ἀποκείμενα. εἰ γὰρ παρ' ἐκείνου τὰς ἀμοιβὰς ἀναμένεις, ἄνθρωπε, τίνος ἕνεκεν παρὰ τοῦ ὁμογενοῦς βούλει ἐπαινεῖσθαι καὶ θαυμάζεσθαι; καὶ τί λέγω ἐπαινεῖσθαι; πολλάκις δὲ οὐκ ἐπαινεῖ, ἀλλὰ καὶ βασκαίνει. εἰσὶ γὰρ πολλοὶ οὕτω μοχθηρῶς διακείμενοι, ὅτι καὶ τὰ καλῶς ὑφ' ἡμῶν γινόμενα εἰς τὸ ἐναντίον περιτρέπουσι. τίνος οὖν ἕνεκεν, εἰπέ μοι, τὴν διεφθαρμένην τούτων κρίσιν περὶ πολλοῦ ποιῇ; τὸν γὰρ ἀκοίμητον ἐκεῖνον ὀφθαλμὸν οὐδέν ἐστιν ὃ λανθάνει τῶν παρ' ἡμῶν γινομένων· καὶ διὰ τοῦτο ἐννοοῦντας, μετὰ τοσαύτης ἀκριβείας τὸν ἑαυτῶν βίον οἰκονομεῖν, ὡς μετ' οὐ πολὺ μέλλοντας καὶ ῥημάτων καὶ πράξεων καὶ αὐτῶν τῶν ἐνθυμημάτων εὐθύνας ὑπέχειν. μὴ τοίνυν καταφρονῶμεν τῆς ἑαυτῶν σωτηρίας. οὐδὲν ἀρετῆς ἴσον, ἀγαπητέ. αὕτη γὰρ ἡμᾶς καὶ ἐν τῷ μέλλοντι αἰῶνι τῆς γεέννης ἐξαρπάσει, καὶ τῆς βασιλείας ἡμῖν τὴν ἀπόλαυσιν χαρίζεται, καὶ ἐν τῷ παρόντι βίῳ πάντων ἀνωτέρους καθίστησι τῶν μάτην καὶ εἰκῆ ἐπιβουλεύειν ἐπιχειρούντων· καὶ οὐκ ἀνθρώπων μόνον, ἀλλὰ καὶ αὐτῶν τῶν δαιμόνων, καὶ τοῦ ἐχθροῦ τῆς σωτηρίας τῆς ἡμετέρας, τοῦ διαβόλου λέγω, ἰσχυροτέρους ἀπεργάζεται. τί οὖν ἂν εἴη ταύτης ἴσον, ὅταν μὴ μόνον τῶν ἀνθρώπων τῶν ἐπιβουλευόντων, ἀλλὰ καὶ τῶν δαιμόνων ἀνωτέρους ποιῇ τοὺς αὐτὴν μετιόντας; ἀρετὴ δέ ἐστι, τὸ πάντων τῶν ἀνθρωπίνων ὑπερορᾶν, τὸ τὰ μέλλοντα ἐφ' ἑκάστης ὥρας φαντάζεσθαι, τὸ πρὸς μηδὲν τῶν παρόντων ἐπτοῆσθαι, ἀλλ' εἰδέναι ὅτι πάντα τὰ ἀνθρώπινα σκιά ἐστι καὶ ὄναρ, καὶ εἴ τι τούτων εὐτελέστερον. ἀρετή ἐστι, τὸ, καθάπερ νεκρὸν, οὕτω διακεῖσθαι πρὸς τὰ τοῦ βίου πράγματα ταῦτα· καὶ πρὸς μὲν τὰ λυμαινόμενα τὴν τῆς ψυχῆς σωτηρίαν, ὡσανεὶ νεκρὸν ὄντα, οὕτως εἶναι ἀνενέργητον, πρὸς δὲ τὰ πνευματικὰ μόνον ζῆν καὶ ἐνεργεῖν, καθάπερ καὶ Παῦλος ἔλεγε· Ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. καὶ ἡμεῖς τοίνυν, ἀγαπητοὶ, ὡς τὸν Χριστὸν ἐνδεδυμένοι, οὕτως ἅπαντα πράττωμεν, καὶ μὴ λυπῶμεν τὸ πνεῦμα τὸ ἅγιον. ὅταν οὖν ἐνοχλώμεθα ὑπὸ πάθους, ἢ ἐπιθυμίας ἀτόπου, ἢ θυμοῦ, ἢ ὀργῆς, ἢ βασκανίας, ἐννοῶμεν τὸν ἐν ἡμῖν ἐνοικοῦντα, καὶ φυγαδεύωμεν πόῤῥω πᾶσαν τὴν τοιαύτην ἐνθύμησιν. ὁ γὰρ Θεὸς καταδίκην ἐπιθεὶς τῷ ἡμαρτηκότι, παντὶ τρόπῳ ταύτην κουφοτέραν βούλεται ποιῆσαι, ἱδρῶτι μὲν ἡμᾶς καταδικάσας καὶ πόνῳ διηνεκεῖ, τοῦ δὲ πόνου συνεφάπτεσθαι πολλὰ τῶν ἀλόγων γένη παρασκευάσας ἡμῖν. ὥστε καὶ τὸ δοκοῦσαι τὴν ζημίαν, καὶ τὸ πάλιν ἀφελέσθαι, καὶ τὸν φόβον ἐπιστῆσαι τῶν θηρίων, καὶ πάντα, ἄν τις ἀκριβῶς ἐξετάζοι καὶ εὐγνωμόνως, πολλῆς γέμει κηδεμονίας, πολλῆς φιλανθρωπίας. ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστῶμεν αὐτῷ, καὶ εὐγνώμονες γινώμεθα περὶ τὸν τοσαῦτα ἡμᾶς εὐηργετηκότα. οὐδὲ γὰρ βαρύ τι καὶ ἐπαχθὲς ἐπιζητεῖ παρ' ἡμῶν, ἀλλ' ἢ τὸ ὁμολογεῖν μόνον τὰς τοσαύτας εὐεργεσίας, καὶ τὰς ὑπὲρ τούτων αὐτῷ εὐχαριστίας ἀναφέρειν· οὐκ ἐπειδὴ αὐτὸς δεῖται τούτου (ἀνενδεὴς γὰρ ὑπάρχει) ἀλλ' ἵνα ἡμεῖς παιδευώμεθα τὸν χορηγὸν ἐπισπᾶσθαι τῶν ἀγαθῶν, καὶ μὴ ἀγνώμονες γινώμεθα, ἀλλ' ἀξίαν τῶν εὐεργεσιῶν καὶ τῆς τοσαύτης κηδεμονίας τὴν ἀρετὴν εἰσφέρωμεν. οὕτω γὰρ καὶ αὐτὸν εἰς πλείονα τὴν περὶ ἡμᾶς ἐκκαλεσόμεθα

Γαλ. β. κ.

μεθα κηδεμονίας. μὴ τοίνυν ῥαθυμῶμεν, παρακαλῶ· ἀλλ' ἕκαστος ἡμῶν καθ' ἑκάστην ἡμέραν, εἰ οἷόν τε, ἀναλογιζέσθω καθ' ἑαυτὸν, μὴ μόνον τὰς κοινὰς εὐεργεσίας, ἀλλὰ καὶ τὰς ἰδίως εἰς αὐτὸν γινομένας· μὴ τὰς ὡμολογημένας καὶ πᾶσι δήλους, ἀλλὰ καὶ τὰς ἰδιαζούσας καὶ λανθανούσας τοὺς πολλούς. οὕτω γὰρ δυνήσεται διηνεκῆ τὴν εὐχαριστίαν ἀναφέρειν τῷ δεσπότῃ. τοῦτο μεγίστη θυσία, τοῦτο προσφορὰ τελεία, τοῦτο παρρησίας ἡμῖν ὑπόθεσις γενήσεται. καὶ πῶς, ἐγὼ λέγω. ὁ γὰρ ταῦτα διηνεκῶς στρέφων ἐν τῇ διανοίᾳ τῇ ἑαυτοῦ, καὶ τὴν μὲν οἰκείαν εὐτέλειαν καταμανθάνων μετὰ ἀκριβείας, ἐννοῶν δὲ τὴν ἄφατον καὶ ὑπερβάλλουσαν τοῦ Θεοῦ φιλανθρωπίαν, καὶ ὅπως οὐ πρὸς ἀξίαν τῶν ἡμαρτημένων ὑφ' ἡμῶν, ἀλλὰ πρὸς τὴν οἰκείαν ἀγαθότητα ἀφορῶν, οὕτω τὰ καθ' ἡμᾶς οἰκονομεῖ, συστέλλεται τὴν διάνοιαν, συντρίβεται τὸν λογισμὸν, πάντα τῦφον καὶ ἀπόνοιαν καταστέλλει, μετριάζειν μανθάνει, ὑπερορᾷν τῆς δόξης τοῦ παρόντος βίου, καταγελᾷν πάντων τῶν ὁρωμένων, φαντάζεσθαι τὰ μέλλοντα ἀγαθὰ καὶ τὴν ζωὴν τὴν ἀτελεύτητον καὶ πέρας οὐκ ἔχουσαν. ὁ δὲ οὕτω τὴν ψυχὴν διακείμενος, τὴν ἀληθῆ καὶ ἐπέραστον θυσίαν τῷ Θεῷ ἀναφέρει· καθὼς καὶ ὁ προφήτης φησί, Ψαλ. ν. ιθ. Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. τοὺς γὰρ ἀγνώμονας τῶν οἰκετῶν οὐχ οὕτως αἱ κολάσεις καὶ αἱ τιμωρίαι ἐπιστρέφουσιν, ὡς αἱ εὐεργεσίαι καὶ τὸ εἰδέναι ὅτι οὐ πρὸς ἀξίαν τῶν πεπλημμελημένων τὴν δίκην δεδώκασι. συντρίψωμεν τοίνυν ἡμῶν τὸν λογισμὸν, παρακαλῶ, ταπεινώσωμεν τὴν διάνοιαν, καὶ μάλιστα νῦν, ὅτε τῆς νηστείας ὁ καιρὸς πολλὴν ἡμῖν εἰς τοῦτο τὴν συμμαχίαν εἰσφέρει. ἐὰν γὰρ οὕτως ὦμεν διακείμενοι, δυνησόμεθα καὶ τὰς εὐχὰς μετὰ πολλῆς τῆς νήψεως ποιεῖσθαι, καὶ ἐξομολογούμενοι τὰ πεπλημμελημένα πολλὴν ἐπισπάσασθαι τὴν ἄνωθεν χάριν. καὶ ἵνα μάθητε ὅτι ταῖς τοιαύταις ἀρέσκεται ψυχαῖς ὁ δεσπότης, ἄκουε αὐτοῦ λέγοντος· Ησ. ξϛ. β. Ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾷον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους; διὰ τοῦτο καὶ ὁ Χριστὸς διαλεγόμενος ἔλεγε· Ματθ. ια. κθ. Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. ὁ γὰρ ὄντως ταπεινῶν ἑαυτὸν, οὐκ ἂν δυνηθείη ποτὲ εἰς θυμὸν ἐξενεχθῆναι, οὐδὲ τῷ πλησίον ὀργισθῆναι, τῆς ψυχῆς κατεσταλμένης καὶ τὰ καθ' ἑαυτὴν σκοπουμένης. τῆς δὲ οὕτω διακειμένης ψυχῆς τί ἂν γένοιτο μακαριώτερον; ὁ τοιοῦτος ἐν λιμένι διηνεκῶς κάθηται, παντὸς χειμῶνος ἀπηλλαγμένος, καὶ ἐντρυφῶν τῇ ἀπὸ τῶν λογισμῶν γαλήνῃ. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε, Καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. ὥσπερ οὖν ὁ τὰ πάθη ταῦτα κατευνάσας πολλῆς ἀπολαύει τῆς ἀναπαύσεως, οὕτως ὁ ῥᾴθυμος καὶ ἀναπεπτωκὼς καὶ μὴ δυνάμενος δεόντως ἡνιοχεῖν τὰ ἐν αὐτῷ τικτόμενα πάθη, ἐν διηνεκεῖ σάλῳ κάθηται, οἴκοθεν τὸν πόλεμον ἔχων, καὶ οὐδενὸς παρόντος ταραττόμενος, καὶ πολὺν τὸν χειμῶνα ὑπομένων. διὸ καὶ τῶν κυμάτων κορυφουμένων, καὶ τῆς τῶν πονηρῶν πνευμάτων καταιγίδος ἐπιούσης, πολλάκις ὑποβρύχιος γίνεται, καὶ βαπτισθέντος τοῦ σκάφους διὰ τὴν ἀπειρίαν τοῦ κυβερνήτου. διὸ χρὴ νήφειν καὶ ἐγρηγορέναι, καὶ διηνεκῆ τὴν μέριμναν ἔχειν καὶ ἀδιάλειπτον τῆς κατὰ ψυχὴν σωτηρίας. τὸν γὰρ χριστιανὸν ἀεὶ παρατετάχθαι χρὴ πρὸς τὰ παθήματα τῆς σαρκὸς, καὶ τοὺς νόμους τοὺς τεθέντας ἡμῖν παρὰ τοῦ κοινοῦ πάντων δεσπότου ἐναύλους ἔχειν, καὶ τούτοις τειχίζεσθαι, καὶ τῇ πολλῇ αὐτοῦ περὶ ἡμᾶς μακροθυμίᾳ εἰς δέον κεχρῆσθαι, καὶ μὴ ἀναμένειν τὴν διὰ τῶν ἔργων πεῖραν, καὶ τότε συστέλλεσθαι, ἵνα μὴ καὶ περὶ ἡμῶν λέγηται, ὅτι, Ψαλ. οζ. λδ. Ὅταν ἀπέκτεινεν αὐτοὺς, τότε ἐξεζήτουν αὐτόν. ἔχοντες οὖν, ἀγαπητοὶ, σύμμαχον τῆς νηστείας τὴν παρουσίαν, πάντες ἐπὶ τὴν ἐξομολόγησιν τῶν πεπλημμελημένων ἐπειγώμεθα, καὶ ἀπεχώμεθα μὲν πάσης κακίας, μετίωμεν δὲ πᾶσαν ἀρετήν. οὕτω γὰρ καὶ ὁ μακάριος προφήτης διδάσκει, λέγων· Ψαλ. λγ. ιδ. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν. ἂν οὕτω τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν, καὶ μετὰ τῆς ἀποχῆς τῶν βρωμάτων καὶ τὴν ἀποχὴν τῆς κακίας ἐπιδειξώμεθα, δυνησόμεθα καὶ αὐτοὶ πλείονος ἀπολαῦσαι τῆς προνοίας, καὶ δαψιλεστέρας ἀξιωθῆναι τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας καὶ ἐν τῷ παρόντι βίῳ, καὶ ἐν τῇ μελλούσῃ ἡμέρᾳ ἐκείνῃ τῇ φοβερᾷ, εὐχαῖς καὶ πρεσβείαις τῶν εὐαρεστησάντων αὐτῷ, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ ΤΗΣ ΕΝ ΤΗ ΑΓΙΑ ΤΕΣΣΑΡΑΚΟστῇ, καὶ ὅτι ῥαθυμούντων ἡμῶν οὐδεμία ἔσται ἀπολογία.

Οὐ τοῦτο μόνον ἐστὶ τὸ ζητούμενον, ἀγαπητοὶ, ἵνα καθ' ἑκάστην ἡμέραν ἐνταῦθα παραγινώμεθα, καὶ περὶ τῶν αὐτῶν συνεχῶς ἀκούωμεν, καὶ τὴν τεσσαρακοστὴν πᾶσαν νηστεύοντες ὦμεν. Εἰ γὰρ μὴ μέλλοιμέν τι κερδαίνειν ἐκ τῆς ἐνταῦθα συνεχοῦς ἐλεύσεως καὶ παραινέσεως καὶ ἀπὸ τοῦ τῆς νηστείας καιροῦ, ταῦτα οὐ μόνον ἡμᾶς οὐδὲν ὠφελήσει, ἀλλὰ καὶ μείζονος ἡμῖν κατακρίσεως ἀφορμὴ γενήσεται, ὅταν τοσαύτης ἐπιμελείας ἀπολαύοντες οἱ αὐτοὶ διαμένωμεν, καὶ μήτε ὁ ὀργίλος ἐπιεικὴς γένηται), μήτε ὁ θυμώδης εἰς πραότητα μεταβάλλοιτο, μήτε ὁ βάσκανος εἰς φιλοφροσύνην ἑαυτὸν ἐπαναγάγῃ, μήτε ὁ περὶ τὰ χρήματα μεμηνὼς, ἀποστὰς τοῦ πάθους, πρὸς ἐλεημοσύνην μετασκευάσῃ ἑαυτὸν καὶ τὴν τῶν πεινώντων διατροφὴν, μήτε ὁ ἀκόλαστος σώφρων γένοιτο· μήτε ὁ περὶ τὴν κενὴν ταύτην δόξαν ἐπτοημένος μάθῃ ταύτης ὑπερορᾷν καὶ τῆς ἀληθοῦς ἐφίεσθαι δόξης, μήτε ὁ περὶ τὴν ἀγάπην τὴν περὶ τὸν πλησίον ἄθυμος, διαναστῆσαι ἑαυτὸν παιδεύσῃ μὴ μόνον τῶν τελωνῶν μὴ εἶναι ἐλάττων (Ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς, φησὶ, τί περισσὸν ποιεῖτε; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσι,) ἀλλ' ἵνα παιδεύσῃ αὐτοῦ τὸν λογισμὸν καὶ τοὺς ἐχθροὺς ἡμέρως ὁρᾷν, καὶ πολλὴν περὶ αὐτοὺς τὴν ἀγάπην ἐπιδείκνυσθαι. ἐὰν μὴ τούτων περιγενοίμεθα τῶν παθῶν, καὶ τῶν ἄλλων τῶν ἐν ἡμῖν τικτομένων καθ' ἑκάστην, ἐνθάδε παραγινόμενοι, καὶ συνεχοῦς ἀκροάσεως ἀπολαύοντες, καὶ τοσαύτης διδασκαλίας μετέχοντες, καὶ τὴν ἀπὸ τῆς νηστείας ἔχοντες βοήθειαν, ποία ἡμῖν ἔσται συγγνώμη; ποία δὲ ἀπολογία; Εἰπὲ γάρ μοι, παρακαλῶ· εἰ τὸν παῖδα τὸν σὸν τεθέασαι καθ' ἑκάστην ἡμέραν εἰς τὸ διδασκαλεῖον ἀπιόντα, καὶ τοῦ χρόνου παριόντος μηδὲν πλέον ἐκεῖθεν κερδαίνοντα, ἆρα ἀνεκτῶς οἴσεις; οὐχὶ δὲ καὶ τῷ παιδὶ μάστιγας ἐπιθήσεις, καὶ τὸν διδάσκαλον μέμψῃ; εἶτα εἰ μάθοις ὅτι τὰ μὲν παρὰ τοῦ διδασκάλου πάντα γεγένηται καὶ οὐδὲν ἐλλέλειπται, ἡ δὲ ῥαθυμία τοῦ παιδὸς αἰτία πάντων καθέστηκεν, οὐχὶ πᾶσαν τὴν ἀγανάκτησιν ἐπὶ τὸν παῖδα μεταθήσεις, τῆς αἰτίας ἀφεὶς τὸν διδάσκαλον; τὸ αὐτὸ δὴ καὶ ἐνταῦθα γίνεσθαι δίκαιον. ἡμεῖς γὰρ, καθάπερ ἐπετάχθημεν παρὰ τῆς τοῦ Θεοῦ χάριτος, ὡς τέκνα πνευματικὰ καθ' ἑκάστην ἡμέραν εἰς τὸ διδασκαλεῖον τοῦτο καλοῦντες, τὴν σωτηριώδη διδασκαλίαν ὑμῖν παρατιθέμεθα, οὐ τὰ ἀπὸ τῆς οἰκείας διανοίας φθεγγόμενοι, ἀλλὰ τὰ παρὰ τοῦ δεσπότου διὰ τῶν θείων γραφῶν ἡμῖν δωρηθέντα διδάγματα, ταῦτα εἰς μέσον προτιθέντες, καὶ ταῦτα συνεχῶς ἐνηχοῦντες. Εἰ τοίνυν ἡμῶν πᾶσαν σπουδὴν καὶ ἀγρυπνίαν ἐπιδεικνυμένων, καὶ ἐφ' ἑκάστης ἐπὶ τὴν ὁδὸν τῆς ἀρετῆς ὁδηγούντων, ὑμεῖς τοῖς αὐτοῖς ἐπιμένετε, ἐννοήσατε ἴση καὶ ἡμῖν ἔσται ὀδύνη, καὶ ὑμῖν ἡ κατάγνωσις, ἵνα μηδὲν πλέον εἴπω. Εἰ γὰρ καὶ ἀνευθύνους ἡμᾶς δείκνυσι τὸ μηδὲν παραλιπεῖν τῶν εἰς τὴν ἡμετέραν οἰκοδομὴν ἡκόντων, ἀλλ' ὅμως ἐπειδὴ κηδόμεθα τῆς σωτηρίας τῆς ὑμετέρας, οὐ δυνάμεθα πρᾴως φέρειν· ἐπεὶ καὶ ὁ διδάσκαλος, ἐπειδὰν ἴδῃ τὸν μαθητὴν μηδὲν καρπούμενον παρὰ τῆς αὐτοῦ σπουδῆς, οὐχ ὡς ἔτυχεν ὀδυνᾶται καὶ ἀλγεῖ, ὁρῶν ἑαυτὸν μάτην πονούμενον. ταῦτα λέγω νῦν, οὐχ ἵνα λυπήσω τὴν ὑμετέραν ἀγάπην·

ἀλλ' ἵνα διεγείρω, καὶ παρασκευάσω μήτε ἁπλῶς κατατείνειν τὸ σῶμα τῇ νηστείᾳ, μήτε εἰκῇ καὶ μάτην τὰς ἡμέρας τῆς ἁγίας τεσσαρακοστῆς*, ὅπου γε ἡμᾶς παραινεῖ μήτε μίαν ἡμέραν ὅλως παραπέμπεσθαι, εἰ οἷόν τε, ἐν παντὶ τῷ χρόνῳ τῆς ζωῆς, ἐν ᾗ μὴ κέρδος πνευματικὸν ἑαυτοῖς ἐναποτιθέμεθα, ἢ δι' εὐχῆς, ἢ δι' ἐξομολογήσεως, ἢ δι' εὐποιΐας, ἢ δι' ἑτέρας τινὸς ἐργασίας πνευματικῆς. εἰ γὰρ Παῦλος, ὁ τοσοῦτος καὶ τηλικοῦτος, ὁ τὰ ἄρρητα ἐκεῖνα ῥήματα ἀκούσας, ἃ μέχρι τῆς σήμερον οὐδεὶς ἔγνω, ἐβόα λέγων· Καθ' ἑκάστην ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν, διδάσκων ἡμᾶς, ὅτι οὕτως ἑαυτὸν τοῖς κινδύνοις τοῖς ὑπὲρ τῆς εὐσεβείας ἐξεδίδου, ὡς πρὸ αὐτοῦ τὸν θάνατον γίνεσθαι ἐφ' ἑκάστης ἡμέρας, καὶ ὅπερ ἡ φύσις οὐκ ἐδέχετο (ἑνὶ γὰρ θανάτῳ πάντες ὑποκείμεθα) τοῦτο ἡ φιλονεικία τῆς προαιρέσεως αὐτοῦ κατώρθου, εἰ καὶ ὁ φιλάνθρωπος Θεὸς ἐπιπλεῖον αὐτὸν διετήρει διὰ τὴν τῶν λοιπῶν σωτηρίαν· εἰ τοίνυν ἐκεῖνος, ὁ τοσούτοις κομῶν κατορθώμασι, καὶ καθάπερ ἄγγελος ἐπὶ τῆς γῆς φαινόμενος, καθ' ἑκάστην ἐσπούδαζε κερδαίνειν, καὶ πρὸς τοὺς τῆς ἀληθείας κινδύνους παρατάττεσθαι, καὶ τὴν εὐπορίαν τὴν πνευματικὴν ἑαυτῷ συλλέγειν, καὶ μηδέποτε ἵστασθαι, ποίαν ἂν σχοίημεν ἡμεῖς ἀπολογίαν, οἱ μὴ μόνον πάντων ὄντες ἔρημοι τῶν κατορθωμάτων, ἀλλὰ καὶ τοσούτοις ἐλαττώμασιν ὑποκείμενοι, ὧν καὶ ἓν μόνον ἡμῖν περισσὸν ἱκανὸν εἰς αὐτὸ τῆς ἀπωλείας τὸ βάραθρον καταγαγεῖν, καὶ μηδεμίαν ποιούμενοι σπουδὴν κἂν γοῦν ταῦτα διορθοῦν; ὅταν γὰρ ὁ αὐτὸς πολλάκις εὑρίσκοιτο μὴ μόνον ἓν ἐλάττωμα ἔχων, ἀλλὰ καὶ πλείονα, καὶ ὀργίλος ᾖ καὶ ἀκόλαστος καὶ πλεονέκτης καὶ βάσκανος καὶ θυμώδης, καὶ μήτε ταῦτα διορθοῦν βούλοιτο, μήτε τῶν τῆς ἀρετῆς ἔργων ἐφάπτεσθαι, ποία λοιπὸν ἂν γένοιτο σωτηρίας ἐλπίς; ταῦτα λέγω, καὶ λέγων οὐ παύομαι, ἵνα ἕκαστος τῶν ἀκουόντων τὸ κατάλληλον ἑαυτῷ φάρμακον δεξάμενος ἐκ τῶν παρ' ἡμῶν λεγομένων, σπουδάσῃ ταχέως καὶ τῶν ἐνοχλούντων παθῶν ἀπαλλαγεὶς πρὸς ὑγίειαν ἐπιμεληθῆναι, καὶ πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν ἑαυτὸν ἐπιτήδειον καταστῆσαι. καὶ γὰρ ἐπὶ τῶν καμνόντων τὰ σώματα, κἂν μυριάκις ὁ ἰατρὸς ἐπιθῇ τὰ φάρμακα, ὁ δὲ ἄρρωστος μὴ ἀνέχηται ἐπιμένειν τὴν ἀπὸ τοῦ φαρμάκου θεραπείαν, ἀλλὰ πολλάκις δυσχεραίνων μετὰ τὸ ἐπιθεῖναι τὸν ἰατρὸν, οὐκ ἀνεχόμενος τῆς ἀλγηδόνος ἀπορρίπτοι τοῦτο, καὶ μὴ καταδέξοιτο τὴν ἐξ αὐτοῦ ὠφέλειαν, οὐδεὶς ἂν τῶν εὖ φρονούντων μέμψοιτο τῷ ἰατρῷ τῷ παρ' ἑαυτοῦ πάντα εἰσαγαγόντι· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐνταῦθα. ἡμεῖς μὲν τὸ φάρμακον τὸ ἀπὸ τῆς διδασκαλίας τῆς πνευματικῆς κατασκευάσαντες ἐπιτίθεμεν· ὑμέτερον δ' ἂν εἴη λοιπὸν καὶ ἀνέχεσθαι τῶν ἀλγηδόνων, καὶ τῆς θεραπείας ἀπόνασθαι, καὶ ἀπαλλαγέντας τῆς νόσου πρὸς τὴν ἀληθῆ ὑγίειαν ἐπιμεληθῆναι. οὕτω γὰρ καὶ αὐτοὶ πολλὴν τῆς ὠφελείας τὴν αἴσθησιν λήψεσθε, καὶ ἡμεῖς οὐ μικρὰν ἕξομεν τὴν παραμυθίαν, ὁρῶντες τοὺς πρότερον κάμνοντας οὕτω ταχέως πρὸς ὑγίειαν ἐπιμεληθέντας. ἕκαστος τοίνυν ὑμῶν, παρακαλῶ, εἰ καὶ μὴ πρότερον, κἂν γοῦν ἐκ τοῦ παρόντος σπουδαζέτω, ὅπερ οἶδεν ἐνοχλοῦν αὐτῷ ἐλάττωμα τῶν ἄλλων πλέον παθῶν, τοῦτο ἐκτεμνέτω τῆς ψυχῆς, καὶ τῷ εὐσεβεῖ λογισμῷ, καθάπερ μαχαίρᾳ τινὶ πνευματικῇ, χρώμενος, οὕτως ἑαυτὸν τοῦ πάθους ἀπαλλαττέτω. δέδωκε γὰρ ἡμῖν ὁ Θεὸς λογισμὸν ἀρκοῦντα, καὶ δυνάμενον, εἰ βουληθείημεν μικρὸν διαβλέψαι, ἑκάστου τῶν ἐν ἡμῖν τικτομένων παθῶν περιγενέσθαι. διὰ τοῦτο καὶ τῶν ἁγίων ἡμῖν ἁπάντων τοὺς βίους καὶ τὴν πολιτείαν διὰ τῶν θείων γραφῶν ἀνάγραπτον καταλέλοιπεν ἡ τοῦ πνεύματος χάρις, ἵνα μαθόντες, ὡς τῆς αὐτῆς ὄντες ἡμῖν φύσεως, ἅπαντα τὰ τῆς ἀρετῆς κατώρθωσαν, μὴ ῥαθυμῶμεν περὶ τὴν ταύτης ἐργασίαν. ἢ οὐχὶ τῆς αὐτῆς φύσεως ἡμῖν ἦν ὁ μακάριος Παῦλος; ἐκκαιόμεθα γὰρ εἰς τὸν τοῦ ἀνδρὸς πόθον, καὶ διὰ τοῦτο συνεχῶς αὐτὸν περιστρέφων οὐ παύομαι, καὶ ὥσπερ εἰς ἀρχέτυπόν τινα εἰκόνα, εἰς τὴν τούτου ψυχὴν ἐνορῶν, ἐκπλήττομαι τῶν παθῶν τὴν ὑπεροψίαν, τῆς ἀνδρείας τὴν ὑπερβολήν, τοῦ φίλτρου τοῦ πρὸς τὸν Θεὸν τὸ διάπυρον· καὶ λογίζομαι ὅτι πᾶσαν τῶν ἀρετῶν τὴν συναγωγὴν εἷς ἄνθρωπος βουληθεὶς κατώρθωσε.

α. Κορ ιε λα.

κατώρθωσε, καὶ ἡμῶν ἕκαστος οὐδὲ τὸ τυχὸν κατορθοῦν βούλεται. τίς οὖν ἡμᾶς ἐξαιρήσεται τῆς κολάσεως τῆς ἀπαραιτήτου, ὅτε μὴ καὶ τῆς αὐτῆς ἡμῖν κοινωνῶν φύσεως, καὶ τοῖς αὐτοῖς πάθεσιν ὑποκείμενος, καὶ ἐν τοσαύτῃ καιρῶν δυσκολίᾳ γεγονὼς, καθ' ἑκάστην ἡμέραν, ὡς εἰπεῖν, ἑλκόμενος, σπαραττόμενος καὶ δημοσίᾳ συρόμενος ὑπὸ τῶν τῷ κηρύγματι πολεμούντων, καὶ νομισθεὶς αὐτοῖς πολλάκις τεθνάναι, τότε λοιπὸν ὡς εἰς ἔργον ἀγαγόντες τὴν φονικὴν αὐτῶν γνώμην, οὕτω κατέλιπον, εὑρίσκεται τοσοῦτον μέγεθος ἀρετῆς ἐπιδεικνύμενος, ἡμῶν οὕτω ἀναπεπτωκότων καὶ τοσαύτῃ ῥᾳθυμίᾳ ἑαυτοὺς ἐκδεδωκότων; ἀλλ' ἵνα μὴ παρὰ τῆς ἡμετέρας γλώττης ἀκούητε τὰ παρὰ τοῦ μακαρίου τούτου κατορθώματα, καὶ τὴν ἀνδρείαν, ἣν ὑπὲρ τοῦ τῆς εὐσεβείας κηρύγματος καθ' ἑκάστην ἀπεδείκνυτο, ἀναγκαῖον αὐτοῦ ἀκοῦσαι λέγοντος. ἔοικε γὰρ εἰς ἀνάγκην κατέστη διὰ τὴν τῶν ψευδαποστόλων ἀπάτην τὰ ἑαυτοῦ διηγήσασθαι (οὕτω γὰρ ἦν αὐτῷ τοῦτο βαρὺ καὶ ἐπαχθὲς, ὡς καὶ ἀναδύεσθαι, καὶ μηδέποτε βούλεσθαι ταῦτα εἰς μέσον ἄγειν, ἀλλὰ καὶ τόλμαν αὐτὸ καλεῖ) ἐπειδὴ δὲ πολλὴν εἶδε τὴν ἀνάγκην ὑπὲρ τοῦ ἀπορράψαι τὰ στόματα τῶν ἀπατεώνων, καὶ μικρὸν ἐνδοῦναι παρὰ ψυχὴν τοῖς μαθητευομένοις, οὕτω πως ἤρξατο μετὰ τὸ πολλὰ ἕτερα εἰπεῖν· Ἐν ᾧ δ' ἄν τις τολμᾷ (ἐν ἀφροσύνῃ λέγω) τολμῶ κἀγώ. σκόπει ψυχὴν φιλόθεον· οὐ μόνον τόλμαν, ἀλλὰ καὶ ἀφροσύνην τὸ πρᾶγμα καλεῖ, παιδεύων ἡμᾶς μὴ ἁπλῶς, ἄνευ ἀνάγκης, καὶ μηδενὸς κατεπαναγκάζοντος, τὰ ὑφ' ἡμῶν γεγενημένα ἐκπομπεύειν, εἴγε τινὲς ἐξ ἡμῶν εὑρεθεῖεν ἀγαθόν τι ἐργασάμενοι. ἐν ᾧ δ' ἄν τις τολμᾷ, φησιν, ἐν ἀφροσύνῃ λέγω, τολμῶ κἀγώ· τουτέστιν, ἐπειδὴ πολλὴν ὁρῶ τὴν ἀνάγκην, τολμῆσαι βούλομαι, καὶ ἀφροσύνης ἔργον ἐπιδείξασθαι. Ἑβραῖοί εἰσι; κἀγώ· σπέρμα Ἀβραάμ εἰσι; κἀγώ· Ἰσραηλῖταί εἰσι; κἀγώ· ἐπὶ τούτοις, φησὶ, μεγαφρονοῦσι; μὴ νομιζέτωσαν λείπεσθαι ἡμᾶς. καὶ γὰρ ἡμεῖς τῶν αὐτῶν μετέχομεν. εἶτα ἐπήγαγε· Διάκονοι Χριστοῦ εἰσι; (παραφρονῶν λαλῶ) ὑπὲρ ἐγώ. θέα μοι ἐνταῦθα, ἀγαπητέ, τοῦ μακαρίου τούτου τῆς ψυχῆς τὴν ἀρετήν. ἐπειδὴ γὰρ καὶ τόλμαν καὶ ἀφροσύνην ἐκάλεσε τὸ γενόμενον ὑπ' αὐτοῦ, καίτοι εἰς τοσαύτην ἀνάγκην καταστὰς, οὐδὲ οὕτως ἠρκέσθη τοῖς εἰρημένοις· ἀλλ' ὅτε ἔμελλεν ἑαυτὸν δεικνύναι πολλῷ τῷ μέτρῳ ἐκείνους ὑπερακοντίζοντα, ἵνα μή τις νομίσῃ ἀπὸ φιλαυτίας αὐτὸν ταῦτα φθέγγεσθαι, πάλιν παραφροσύνην καλεῖ τὸ παρ' αὐτοῦ λεγόμενον, μονονουχὶ λέγων· μὴ γὰρ οὐκ οἶδα, ὅτι πρᾶγμα ποιῶ τοῖς πολλοῖς προσιστάμενον, καὶ οὐκ ἐμοὶ πρέπον; ἀλλ' ἡ πολλή με ἀνάγκη εἰς τοῦτο συνωθήσασα ἐκβιάζεται. διὸ συγγνῶτέ μοι, φησι, παραφροσύνης ῥήματα φθεγγομένῳ. τούτου κἂν τὴν σκιὰν μιμησώμεθα ἡμεῖς οἱ τοσαῦτα φορτία ἁμαρτημάτων ἔχοντες ἐπικείμενα, καὶ πολλάκις εἴ τι βραχὺ κατορθοῦντες, καὶ οὐδὲ τοῦτο εἰς τὰ ταμεῖα τῆς διανοίας φυλάττειν ἀνεχόμενοι, ἀλλὰ διὰ τὸ τὴν παρὰ τῶν ἀνθρώπων θηρᾶσθαι δόξαν ἐκπομπεύοντες καὶ εἰς μέσον προτιθέντες, καὶ διὰ τῆς ἀκαίρου ταύτης φλυαρίας τῆς παρὰ τοῦ Θεοῦ ἀμοιβῆς ἑαυτοὺς ἀποστεροῦντες. ἀλλ' οὐχ ὁ μακάριος οὗτος τοιοῦτόν τι πέπονθεν, ἀλλὰ τί; διάκονοι Χριστοῦ εἰσι; παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ. εἶτα λοιπὸν ἐντεῦθεν ἐκεῖνα εἰς μέσον ἄγει, ὧν οἱ ψευδαπόστολοι οὐδὲν ἦσαν ἐπιδεδειγμένοι. πῶς γὰρ, οἱ καὶ τῇ ἀληθείᾳ πολεμοῦντες, καὶ πρὸς τὸ ἐμποδίσαι τῷ κηρύγματι τῆς εὐσεβείας πάντα διαπραττόμενοι, καὶ τῶν ἀφελεστέρων τὰς διανοίας παρασαλεύοντες; εἰπὼν τοίνυν, ὑπὲρ ἐγὼ, ἀπαριθμεῖται λοιπὸν τὰ τῆς ἀνδρείας αὐτοῦ κατορθώματα, καί φησιν· Ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν θανάτοις πολλάκις. τί λέγεις; ξένον τι καὶ παράδοξόν ἐστι τὸ παρὰ σοῦ λεγόμενον. ἔστι γὰρ πολλάκις θάνατον ὑπομεῖναι; ναί, φησιν, εἰ καὶ μὴ τῇ πείρᾳ, ἀλλὰ τῇ γνώμῃ, διδάσκων ἡμᾶς, ὅτι διηνεκῶς τοιούτοις ἑαυτὸν κινδύνοις ἐξεδίδου διὰ τὸ κήρυγμα τοῖς θάνατον αὐτῷ τίκτουσιν, ἀλλ' ἡ τοῦ Θεοῦ χάρις ἐν αὐτοῖς μέσοις τοῖς κινδύνοις τὸν ἀθλητὴν διεφύλαττεν,

C. Κορ ια. κα.

C. Κορ ια. κβ.

C. Κορ ια. κγ.

ὥστε τοῖς μαθητευομένοις πολλὴν γίνεσθαι παρ' αὐτοῦ τὴν ὠφέλειαν. Ἐν θανάτοις, φησὶ, πολλάκις· ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον· τρὶς ἐρραβδίσθην· τρὶς ἐναυάγησα· νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα· ὁδοιπορείαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν ψευδαδέλφοις, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ. μὴ ἁπλῶς παρατρέχωμεν, ἀγαπητοὶ, τὰ εἰρημένα. ἕκαστον γὰρ τούτων καθ' ἑαυτὸ μόνον πέλαγος ἡμῖν ὑποδείκνυσι πειρασμῶν. οὐδὲ γὰρ ἁπλῶς ὁδοιπορείαν μίαν εἶπεν, ἀλλ' ὁδοιπορείαις, φησὶ, πολλάκις· οὐδὲ κίνδυνον ποταμῶν, ἀλλὰ πολλοὺς καὶ διαφόρους κινδύνους· καὶ πάντα μετὰ πολλῆς τῆς ὑπερβολῆς ὑπέμεινε. καὶ μετὰ ταῦτα ἅπαντα πάλιν φησίν· β Κορ ια. κζ. Ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις, ἐν λιμῷ καὶ δίψῃ, ἐν νηστείαις πολλάκις, ἐν ψύχει καὶ γυμνότητι, χωρὶς τῶν παρεκτός. ὅρα πάλιν ἄλλο πέλαγος ἡμῖν πειρασμῶν παρανοιγόμενον. Εἰπὼν γὰρ, χωρὶς τῶν παρεκτὸς, ἠνίξατο ὅτι τὰ παραλειφθέντα πλείονα εἰκὸς εἶναι τῶν εἰρημένων. καὶ οὐδὲ μέχρι τούτου ἔστη, ἀλλὰ πάλιν ἡμᾶς διδάσκει τὰς ἐπισυστάσεις καὶ τὰς συστροφὰς, ἃς ὑπέμεινεν, οὕτω λέγων· Ἡ ἐπισύστασίς μου ἡ καθ' ἡμέραν, ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν. ἰδοὺ πάλιν καὶ τοῦτο ἱκανὸν τὸ κατόρθωμα, εἰ καὶ μόνον τυγχάνει, εἰς αὐτὴν αὐτὸν ἀναγαγεῖν τὴν ἄκραν κορυφὴν τῆς ἀρετῆς. ἡ μέριμνα, φησὶ, πασῶν τῶν ἐκκλησιῶν· οὐχὶ μιᾶς καὶ δύο καὶ τριῶν, ἀλλὰ πασῶν τῶν κατὰ τὴν οἰκουμένην. ὅσην γὰρ ὁ ἥλιος διατρέχει γῆν, τὰς οἰκείας ἀκτῖνας ἀφιεὶς, τοσαύτην καὶ ὁ μακάριος οὗτος εἶχε τὴν μέριμναν καὶ τὴν φροντίδα. Εἶδες πλάτος ψυχῆς, εἶδες διανοίας μέγεθος; καὶ τὸ ἑξῆς δὲ ἐπαγόμενον πάλιν ἅπαντα, ὡς εἰπεῖν, τὰ εἰρημένα ἀποκρύπτει. β. Κορ. ια. κθ. Τίς γὰρ ἀσθενεῖ, φησὶ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; βαβαὶ, πόση τοῦ ἀνδρὸς τούτου ἡ φιλοστοργία; πόση ἡ ἀγρυπνία; πόση ἡ μέριμνα; ποία μήτηρ οὕτω διακόπτεται τὰ σπλάγχνα, τοῦ παιδὸς αὐτῆς πυρέττοντος καὶ ἐπὶ τῆς κλίνης κειμένου, ὡς ὁ μακάριος οὗτος ὑπὲρ τῶν ἐν ἑκάστῳ τόπῳ ἀσθενούντων μᾶλλον ἠσθένει, καὶ ὑπὲρ τῶν σκανδαλιζομένων ἐπυροῦτο; σκόπει γάρ μοι λέξεως ἔμφασιν. οὐκ εἶπε, τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ λυποῦμαι; ἀλλὰ πυροῦμαι, φησὶ, τὴν ἐπίτασιν ἡμῖν τῆς ὀδύνης δηλῶν, καὶ μονονουχὶ δεικνὺς ἐμπυριζόμενον αὐτὸν, καὶ καιόμενον ἔνδοθεν ὑπὲρ τῶν τὰ σκάνδαλα ὑπομενόντων. οἶδα ὅτι εἰς πολὺ μῆκος πάλιν ἐξέτεινα τὴν διδασκαλίαν, καὶ ταῦτα προειρημένος σήμερον συστεῖλαι, ἵνα μικρὸν ἐκ τοῦ τῆς νηστείας πόνου ἀνεθῆναι δυνηθῆτε· ἀλλ' οὐκ οἶδ' ὅπως ἐμπεσὼν εἰς τὸν πλοῦτον τῶν κατορθωμάτων τοῦ ἁγίου τούτου, καθάπερ ὑπὸ ῥύμης ὑδάτων σφοδροτάτης, οὕτω τὴν γλῶσσαν παρεσύρην. διὸ μέχρι τούτου στήσας τὸν λόγον, παρακαλῶ τὴν ὑμετέραν ἀγάπην διηνεκῶς τοῦτον ἐν διανοίᾳ περιφέρειν, καὶ τοῦτο λογίζεσθαι συνεχῶς, ὅτι τῆς αὐτῆς ἡμῖν κοινωνῶν φύσεως, καὶ τοῖς αὐτοῖς πάθεσιν ὑποκείμενος, καὶ ἐπιτήδευμα ἔχων εὐτελὲς καὶ εὐκαταφρόνητον, καὶ δέρματα ῥάπτων καὶ ἐπὶ ἐργαστηρίου ἑστηκὼς, ἐπειδὴ ἐβουλήθη καὶ ἠθέλησε πρὸς τοὺς τῆς ἀρετῆς πόνους ἑαυτὸν ἐκδοῦναι, καὶ ἄξιον ἑαυτὸν καταστῆσαι τῆς ὑποδοχῆς τοῦ ἁγίου πνεύματος, δαψιλεστέρας ἀπέλαυσε τῆς ἄνωθεν φιλοτιμίας. καὶ ἡμεῖς τοίνυν ἐὰν βουληθῶμεν τὰ παρ' ἑαυτῶν ἐπιδείξασθαι, οὐδὲν τὸ κωλῦον τῶν αὐτῶν ἡμᾶς ἀπολαῦσαι. φιλότιμος γὰρ ὁ δεσπότης, καὶ βούλεται πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. ἀξίους τοίνυν ἑαυτοὺς κατασκευάσωμεν, καὶ μετὰ προθυμίας ζεούσης τῆς ἀρετῆς ὀψέ γοῦν ποτε ἐπιλαβώμεθα, καὶ τῶν ἐν ἡμῖν παθῶν τὴν διόρθωσιν ἐπιδειξάμενοι, ἐπιτηδείους ἑαυτοὺς ἀπεργασώμεθα πρὸς τὴν τοῦ πνεύματος ὑποδοχήν· ἧς γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΟΜΙΛΙΑ ΠΕΡΙ ΤΟΥ, ΟΤΙ ΔΕΙ ΤΗΝ ΤΗΣ ΨΥΧΗΣ προτιμᾷν θεραπείαν, ἤπερ τοῦ σώματος· καὶ ὅτι οὐ χρὴ τὸν διάβολον αἰτιᾶσθαι, ἀλλὰ τὴν ῥᾴθυμον ἡμῶν γνώμην.

Εἰ βουλοίμεθα νήφειν, ἀγαπητοὶ, ἱκανὰ τὰ πρῴην ἡμῖν κινηθέντα διεγεῖραι ἡμᾶς πρὸς τὸν πόθον τῆς ἀρετῆς, καὶ μηδέποτε νομίζειν κώλυμα ἡμῖν γίνεσθαι πρὸς τὴν ταύτης ὁδόν. Εἰ γὰρ οἱ πρὸ τοῦ νόμου ἀπὸ τῆς ἐν τῇ φύσει κειμένης διδασκαλίας εἰς τοσαύτην ἔφθασαν ἀρετὴν, τί ἔχομεν εἰπεῖν ἡμεῖς, οἱ μετὰ τοσαύτην βοήθειαν καὶ τὴν τοῦ Χριστοῦ παρουσίαν καὶ τὰ μυρία θαύματα πόῤῥω τῆς ἀρετῆς τυγχάνοντες; διὸ, παρακαλῶ, μὴ ἁπλῶς ἐπερχώμεθα τὰ ἐν ταῖς θείαις γραφαῖς κείμενα, ἀλλὰ μετὰ προσοχῆς ἀναγινώσκωμεν τὰ ἐγκείμενα, ἵνα τὴν ἐξ αὐτῶν ὠφέλειαν καρπούμενοι, ὀψέ γοῦν ποτε τῆς κατὰ Θεὸν ἀρετῆς ἀντιλαβέσθαι δυνηθῶμεν. Εἰ γὰρ δὴ μέλλοιμεν καὶ ἡμεῖς καθ᾽ ἑκάστην ἡμέραν ὑμῖν συνεχῶς τὴν πνευματικὴν ταύτην διδασκαλίαν, καὶ ὑμεῖς ἐπὶ τῆς αὐτῆς ῥᾳθυμίας μένητε, ποῖον ὑμῖν ὄφελος ἔσται ἐκ τῆς συνεχοῦς διδασκαλίας; ἢ ὑμῖν πλέον ἔσται παραμυθία, ὁρῶσι τὸν τοσοῦτον ἡμῶν κάματον ἀνόνητον γινόμενον, καὶ οὐδεμίαν προκοπὴν γινομένην ἐκ τῆς ἡμετέρας σπουδῆς; Εἰπὲ γάρ μοι· οὐχὶ ἀπὸ δύο οὐσιῶν συνεστήκαμεν, ψυχῆς, λέγω, καὶ σώματος; τίνος οὖν ἕνεκεν μὴ τὴν ἴσην πρόνοιαν ἀμφοτέροις ἀπονέμομεν; ἀλλὰ τὸ μὲν σῶμα παντὶ τρόπῳ θεραπεύειν σπουδάζομεν, καὶ ἰατροῖς χρήματα διδόντες, καὶ αὐτοὶ πολλὴν περὶ αὐτὸ τὴν ἐπιμέλειαν ἐπιδεικνύμενοι, καὶ ἐσθῆτι πολυτελεῖ περιβάλλοντες, καὶ τροφὴν πλέον τοῦ δέοντος παρέχοντες, καὶ ἐν ἀνέσει διηνεκεῖ αὐτὸ εἶναι βουλόμεθα, καὶ ὑπὸ μηδενὸς ὅλως ἐνοχλεῖσθαι νοσήματος· ἀλλὰ κἂν τὸ τυχὸν ᾖ τὸ ἐνοχλοῦν, πᾶσαν κινοῦμεν μηχανὴν ὥστε τὸ λυποῦν διορθώσασθαι. καὶ ἐπὶ μὲν τοῦ σώματος, τοῦ ἐλάττονος λέγω, τὴν οὐσίαν (οὐδὲ γὰρ ἴσον ψυχὴ καὶ σῶμα) πολλὴν τὴν πρόνοιαν αὐτοῦ ποιούμεθα. καὶ εἰ βούλει τὴν διαφορὰν ἰδεῖν, σκόπει πῶς οὐδενὸς λόγου ἄξιον εὑρίσκεται τὸ σῶμα, τῆς ψυχῆς ἀναχωρησάσης. ὁ τοίνυν τοῦ σώματος τοσαύτην πρόνοιαν ποιούμενος, τίνος ἕνεκεν καὶ διὰ τί μὴ τοσαύτῃ περὶ τὴν τῆς ψυχῆς ἐπιμέλειαν κεχρῆσθαι βούλει; καὶ οὔτε τροφὴν αὐτῇ κατάλληλον προσάγεις, τὴν ἐκ τῶν θείων γραφῶν λέγω παραίνεσιν, οὔτε τοῖς τραύμασιν αὐτῆς καὶ τοῖς ἕλκεσι τοῖς καθαιροῦσιν αὐτῆς τὴν ἰσχὺν, καὶ τὴν παῤῥησίαν ὑποτεμνομένοις, τὰ ἐπιτήδεια φάρμακα ἐπιτίθης· ἀλλὰ καὶ περιορᾷν ἀνέχῃ αὐτὴν, καὶ λιμῷ τηκομένην, καὶ ὑπὸ τῶν ἐλθόντων διαφθειρομένην, καὶ προκειμένην, ὡς εἰπεῖν, καθάπερ κυσὶ, τοῖς πονηροῖς καὶ ἀτόποις λογισμοῖς, ὥστε διασπᾷν, καὶ τὸν τόνον αὐτῆς ἅπαντα καθαιρεῖν; διὰ τί μὴ, καθάπερ τοῦ σώματος τοῦ ὁρωμένου ποιούμεθα τὴν πρόνοιαν, τὸν αὐτὸν δὴ τρόπον καὶ τῆς ψυχῆς τῆς ἀσωμάτου καὶ μὴ ὁρωμένης, ὁπότε καὶ ἡ περὶ ταύτην ἐπιμέλεια οὐ μόνον εὔκολος καὶ κούφη, ἀλλὰ καὶ ἀδάπανος καὶ οὐδενὸς καμάτου δεομένη; καὶ ἐνταῦθα μὲν χάριν ἐπιμελείας καὶ τῶν τούτου ἀῤῥωστημάτων ἀνάγκη καὶ χρημάτων πολλὴν δαπάνην γενέσθαι, καὶ τὰ μὲν αὐτῶν τοῖς ἰατροῖς προσαναλίσκειν, τὰ δὲ εἰς τὴν ἄλλην ἅπασαν θεραπείαν, πρὸς τροφὴν λέγω καὶ πρὸς ἐνδύματα· καὶ οὔπω φημὶ, ὅτι καὶ ὑπὲρ τὴν χρείαν οἱ πλείους ταῦτα δαπανῶσιν ἀμετρίᾳ πολλῇ κεχρημένοι· ἐπὶ δὲ τῆς ψυχῆς οὐδὲν τῶν τοιούτων δεῖ ποιεῖν. ἀλλ᾽, εἰ βουληθείης, καθάπερ ἐφ᾽ ἑκάστης ἡμέρας τῷ σώματι τὴν τροφὴν

Δευτ. η. γ.
Ματθ. δ. δ.
α. Τιμ. β. θ.

χορηγεῖς τὰ χρήματα καταναλίσκων, οὕτω καὶ τὴν ψυχὴν μὴ περιορᾷν λιμῷ διαφθειρομένην, ἀλλὰ παρέχειν αὐτῇ τὴν κατάλληλον τροφὴν τὴν ἐκ τῆς τῶν γραφῶν ἀναγνώσεως, καὶ τῆς πνευματικῆς νουθεσίας παραίνεσιν (Οὐκ ἐπ' ἄρτῳ γὰρ, φησι, μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ) ἄριστα περὶ τούτων διατιθέμενος ἔσῃ, καὶ περὶ τοῦ πρὸς ἡμῖν οἰκειοτέρου προσηκόντως διανοούμενος. ὥσπερ τοίνυν τῷ σώματι διάφορα παρέχεις ἐνδύματα, καὶ ἐπιτηδείους ὡς πρὸς τὴν τῶν καιρῶν τροπὴν καὶ τὴν τῶν ἐνδυμάτων ὁμοίως χρείαν· κατὰ τὸ αὐτὸ μηδὲ τὴν ψυχὴν περιόρα γυμνὴν περιιοῦσαν τῶν ἀγαθῶν πράξεων, ἀλλὰ καὶ αὐτὴν περίβαλλε ἐνδύμασι τοῖς αὐτῇ πρέπουσιν, δηλονότι τὴν ἐλεημοσύνην καὶ τὴν περὶ τοὺς πένητας δαψίλειαν. τοῦτο μέγιστον τῆς ψυχῆς περιβόλαιον, τοῦτο κάλλιστον αὐτῆς ἱμάτιον. Εἰ δὲ βούλει μὴ μόνον ἐνδύματα παρέχειν, ἀλλ' ὁμοίως τῷ σώματι καλλωπίζειν· προσέστω καὶ τὴν διὰ τῶν εὐχῶν βοήθειαν, καὶ τὴν τῶν ἁμαρτημάτων ἐξομολόγησιν, καὶ τῇ συνεχείᾳ τῶν δακρύων ἀποσμήχων αὐτῆς τὸ πρόσωπον μὴ διαλίπῃς. καθάπερ γὰρ πάσῃ σπουδῇ τὴν ὄψιν τοῦ σώματος καθ' ἑκάστην ἡμέραν ἐκπλύνεις, ὥστε μηδαμοῦ ῥύπον τινὰ ἐπικείμενον τῇ ὄψει δυσειδῆ αὐτὴν δεικνύναι· ὡσαύτως καὶ ἐπὶ τῆς ψυχῆς ποίει τοῖς ὕδασι, καὶ καθ' ἑκάστην αὐτὴν ἀπόπλυνε θερμὰ δάκρυα προχέων. τούτῳ γὰρ τῷ ὕδατι ἐκείνη, τὸν ῥύπον ἀποτιθεμένη, φαιδροτέρα γίνεται. καὶ ἐπειδὴ αἱ πλείους τῶν γυναικῶν, διὰ πολλὴν βλακείαν τοῦ παραγγέλματος τοῦ ἀποστολικοῦ ὑπερφρονοῦσαι, τοῦ κελεύοντος Μὴ ἐν πλέγμασι χρυσοῦ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ ἑαυτὰς κοσμεῖν, μετὰ πολλῆς τῆς δαψιλείας τοῦτο ἐργάζονται· οὐ γυναῖκες δὲ μόνον, ἀλλὰ καὶ ἀνδρῶν ὅσοι βλακώδεις πρὸς τὴν τῶν γυναικῶν εὐτέλειαν ἑαυτοὺς κατάγουσι, δακτυλίους περιτιθέμενοι, καὶ τῷ μεγέθει καὶ τῷ ὄγκῳ τῶν λίθων καλλωπιζόμενοι, ἐφ' οἷς αἰσχύνεσθαι καὶ ἐγκαλύπτεσθαι ἐχρῆν· ὑμεῖς τοῖς ἡμετέροις πειθόμενοι λόγοις τοῖς καθ' ἑκάστην ἐνηχουμένοις ὑμῖν, τὰ χρυσία ταῦτα τὰ πολλὴν παρεχόμενα λύμην εἰς τὸν τῆς ψυχῆς κόσμον μετάγειν σπουδάσατε, καὶ διὰ τούτων ἐκείνην καλλωπίζειν ἀναγκάσητε. ὥσπερ γὰρ τῷ σώματι περικείμενα χρυσία, κἂν εὔμορφον ᾖ, δυσειδέστερον τοῦτο ἀπεργάζεται· οὕτω τῇ ψυχῇ περιτεθέντα, κἂν ἄμορφος ᾖ, εἰς τὴν ἄκραν εὐμορφίαν αὐτὴν μεθίστησι. καὶ πῶς, φησι, δυνατὸν τῇ ψυχῇ περιθεῖναι τὰ χρυσία; διὰ τῆς τῶν πενήτων χειρός. οὗτοι γὰρ δεχόμενοι ταῦτα τὴν ταύτης εὐμορφίαν κατασκευάζουσιν. ἐκείνοις ἐγχειρίσαι τὰ χρυσία τοίνυν, διανείμας εἰς τὰς αὐτῶν γαστέρας· καὶ τοσαύτην τῇ ψυχῇ εὐμορφίαν ἐργάσονται, ὡς αὐτὴν τὸν ἀληθῆ νυμφίον διὰ τῆς ὥρας ἐπισπάσασθαι, καὶ τὰ μυρία σοι ἀγαθὰ διὰ τούτων χαρίσασθαι. ὅταν γὰρ διὰ τοῦ κάλλους ἐπισπάσῃ τὸν δεσπότην, πάντων τῶν ἀγαθῶν ἕξεις τὴν χορηγίαν, καὶ τὴν ἄφατον εὐπορίαν ἐκτήσω. Εἰ τοίνυν βουλόμεθα ἐπέραστοι γενέσθαι τῷ δεσπότῃ, καταλιπόντες τὸ περὶ τὸν τοῦ σώματος καλλωπισμὸν ἐσπουδάσθαι, τὴν ἐκείνης εὐμορφίαν καθ' ἑκάστην περισκοπῶμεν, καὶ μιμώμεθα τῆς θείας γραφῆς τοὺς κανόνας, καὶ ἐὰν βουλώμεθά ποτέ τινων γενεαλογίαν ἐξηγεῖσθαι, μὴ πατέρας καὶ πάππους καὶ ἐπιπάππους εἰς μέσον φέρωμεν, ἀλλὰ τοῦ γενεαλογουμένου τὴν ἀρετὴν ἐκκαλύπτωμεν. οὗτος γὰρ ἄριστος γενεαλογίας τρόπος. τί γὰρ ὄφελος ἐκ πατέρων εἶναι λαμπρῶν καὶ ἐναρέτων, αὐτὸν δὲ ἔρημον εἶναι τῆς ἀρίστης πολιτείας; ἢ πάλιν, τί βλάβος ἂν γένοιτο ἐκ πατέρων εἶναι καὶ προγόνων δυσγενῶν καὶ ἀφανῶν, αὐτὸν δὲ πολλῇ κομᾷν τῇ ἀρετῇ; ἐπεὶ καὶ ὁ δίκαιος Ἰὼβ τοιοῦτος γεγονώς, καὶ τὴν τοῦ Θεοῦ εὔνοιαν ἐπισπασάμενος, οὐκ ἀπὸ τοιούτων γέγονε προγόνων (οὐδὲ γὰρ ὡς ἐναρέτων αὐτῶν ἐμνημόνευσεν ἡ θεία γραφή) καὶ ὅμως ἴσχυσε τοσούτων ὄντων κωλυμάτων, καὶ ὑπὸ τοιούτων ἐμποδιζόμενος εἰς αὐτὴν τὴν ἄκραν ἐλθεῖν τῆς κορυφῆς· ἵνα μάθῃς ὅτι τὸν βουλόμενον νήφειν καὶ ἐγρηγορέναι, καὶ πολλὴν τὴν τῆς οἰκείας σωτηρίας πρόνοιαν ποιεῖσθαι, οὐδέν ἐστι τὸ διακωλῦον. ὥσπερ γὰρ εἰς ῥαθυμίαν ἀποκλίναντες, καὶ ὑπὸ τῶν τυχόντων βλαπτόμεθα·

οὕτως, ἐὰν βουληθῶμεν νήφειν, κἂν μυρίοι ὦσιν οἱ πρὸς τὴν κακίαν ἕλκοντες, οὐδὲν ἡμᾶς τῇ σπουδῇ λυμήνασθαι δυνήσονται· καθάπερ οὐδὲ τὸν δίκαιον Νῶε ἴσχυσαν τοσοῦτοι ὄντες ὀκνηρότερον περὶ τὴν ἀρετὴν ἐργάσασθαι. μηδεὶς τοίνυν ἕτερον τινὰ αἰτιάσθω, καὶ ἐφ᾽ ἑτέρους τὴν αἰτίαν μετατιθέτω, ἀλλὰ τῇ οἰκείᾳ ῥᾳθυμίᾳ τὸ πᾶν ἐπιγραφέτω. καὶ τί λέγω ἐφ᾽ ἑτέρους; μηδὲ αὐτὸν τὸν διάβολον νομιζέτω τις ἰσχυρὸν εἶναι κωλῦσαι τὴν ἐπὶ τὴν ἀρετὴν φέρουσαν ὁδὸν δύνασθαι, ἀλλὰ ἀπατᾷ μὲν καὶ ὑποσκελίζει τοὺς ῥᾳθυμοτέρους, οὐ μὴν κωλύει καὶ βιάζεται. καὶ τοῦτο αὐτὴ τῶν πραγμάτων ἡ πεῖρα δείκνυσιν, ὅτι, ἐοίκαμεν ἂν βουλώμεθα νήφειν, τοσοῦτον τόνον ἐπιδεικνύμεθα, ὡς μηδὲ πολλῶν ὄντων τῶν προτρεπόντων ἐπὶ τὴν τῆς κακίας ὁδὸν ἀνέχεσθαι τῆς συμβουλῆς· ἀλλὰ παντὸς ἀδάμαντος στερροτέρους ἡμᾶς γίνεσθαι, καὶ ἀποφράττειν τοῖς τὰ φαῦλα συμβουλεύουσι τὰς ἀκοάς. ὅταν δὲ ῥᾳθυμῶμεν, καὶ μηδενὸς ὄντος τοῦ συμβουλεύοντος ἢ ὑποσκελίζοντος, οἴκοθεν κινούμενοι ἐπὶ τὴν κακίαν ὁρμῶμεν. Εἰ γὰρ μὴ ἐν τῇ προαιρέσει ἡμῶν ἔκειτο, μηδὲ ἐν τῇ τῆς γνώμης ἐξουσίᾳ, μηδὲ αὐτεξούσιον ἡμῶν τὴν φύσιν ὁ φιλάνθρωπος Θεὸς κατεσκεύασεν· ἐχρῆν ἢ ἅπαντας εἶναι κακούς, τοὺς τῆς αὐτῆς φύσεως κοινωνοῦντας, καὶ τοῖς αὐτοῖς πάθεσιν ὑποκειμένους· ἢ πάντας εἶναι ἐναρέτους. ὅταν δὲ ἴδωμεν τοὺς ὁμογενεῖς ἡμῖν, καὶ ὑπὸ τῶν αὐτῶν παθῶν ἐνοχλουμένους, οὐ τὰ αὐτὰ ἡμῖν ὑπομένοντας, ἀλλὰ καὶ ἐρρωμένῳ τῷ λογισμῷ ἡνιοχοῦντας τὴν φύσιν, καὶ περιγινομένους τῶν ἀτάκτων σκιρτημάτων, καὶ χαλινοῦντας τὴν ἐπιθυμίαν, κρατοῦντας ὀργῆς, βασκανίαν φεύγοντας, φθόνον ἐξορίζοντας, τῆς λύπης τῶν χρημάτων ὑπερορῶντας, δόξης ἔλαττον φροντίζοντας, πάσης τῆς τοῦ παρόντος βίου εὐημερίας καταγελῶντας, καὶ πρὸς τὴν ἀληθῆ δόξαν ἐπτοημένους, καὶ τὸν παρὰ τοῦ Θεοῦ ἔπαινον πάντων τῶν ὁρωμένων προτιμῶντας, οὐκ εὔδηλον ὅτι ἐκεῖνοι μὲν σπουδῇ ταῦτα κατορθοῦν δύνανται μετὰ τῆς ἄνωθεν χάριτος, ἡμεῖς δὲ τῇ οἰκείᾳ ῥᾳθυμίᾳ κεχρημένοι προδιδόαμεν τὴν σωτηρίαν, ἐρήμους ἑαυτοὺς καθιστῶντες τῆς ἐκεῖθεν εὐνοίας; διὸ παρακαλῶ ταῦτα λογιζομένους καὶ συνεχῶς κινοῦντας ἐν διανοίᾳ μηδέποτε τὸν διάβολον αἰτιᾶσθαι, ἀλλὰ τὴν ῥᾴθυμον ἡμῶν γνώμην. καὶ ταῦτα λέγω, οὐκ ἐκεῖνον ἀπαλλάξαι βουλόμενος κατηγορίας. μὴ γένοιτο. Καὶ γὰρ ἔρχεται ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος, καὶ ζητῶν τίνα καταπίῃ· ἀλλὰ καὶ ὑμᾶς ἀσφαλεστέρους ποιῆσαι θέλων, ἵνα μὴ νομίζωμεν ἐκτὸς εἶναι ἐγκλημάτων, οὕτως εὐκόλως πρὸς τὴν κακίαν αὐτομολοῦντες. καὶ μὴ τὰ ψυχρὰ ἐκεῖνα λέγωμεν ῥήματα· τίνος ἕνεκεν ἀφῆκεν αὐτὸν ὁ Θεὸς τοιοῦτον ὄντα πονηρόν, ὥστε ὑποσκελίζειν καὶ καταβάλλειν; μεγίστης γὰρ ἂν εἴη ταῦτα τὰ ῥήματα ἀγνωμοσύνης· ἀλλ᾽ ἐκεῖνο σὺ ἐν ἑαυτῷ σκόπει, ὅτι διὰ τοῦτο μάλιστα αὐτὸν κατέλιπεν, ἵνα τῷ φόβῳ συνωθούμενοι, καὶ τοῦ πολεμίου τὴν ἔφοδον προσδοκῶντες, πολλὴν τὴν ἀγρυπνίαν καὶ διηνεκῆ τὴν νῆψιν ἐπιδεικνύμεθα· τῇ τῶν ἀμοιβῶν ἐλπίδι, καὶ τῇ ἀντιδόσει τῶν αἰωνίων ἐκείνων καὶ ἀπορρήτων ἀγαθῶν πάντα τῆς ἀρετῆς τὸν κάματον ὑποτεμνόμενοι. καὶ τί θαυμάζεις, εἰ τὸν διάβολον διὰ τοῦτο κατέλιπε, κηδόμενος ἡμῶν τῆς σωτηρίας, καὶ διεγείρων ἡμῶν τὴν ῥᾳθυμίαν, καὶ ὑπόθεσιν στεφάνων ἡμῖν κατασκευάζων; αὐτὴν τὴν γέενναν διὰ τοῦτο παρεσκεύασεν, ἵνα ὁ τῆς τιμωρίας φόβος καὶ τῆς κολάσεως τὸ ἀφόρητον πρὸς τὴν βασιλείαν ἡμᾶς συνωθήσῃ. Εἶδες εὐμήχανον δεσπότου φιλανθρωπίαν, πῶς πάντα ποιεῖ καὶ πραγματεύεται, ὡς μὴ μόνον σῶσαι τοὺς ὑπ᾽ αὐτοῦ δημιουργηθέντας, ἀλλὰ καὶ τῶν ἀπορρήτων ἀγαθῶν ἀξιῶσαι; διά τοι τοῦτο καὶ τὸ αὐτεξούσιον ἡμῖν δεδώρηται, καὶ ἐν τῇ φύσει, καὶ ἐν τῷ συνειδότι ἡμῶν ἐναπέθετο τὴν γνῶσιν τῆς κακίας καὶ τῆς ἀρετῆς, καὶ τὸν διάβολον συνεχώρησεν εἶναι, καὶ τὴν γέενναν ἠπείλησεν, ἵνα μήτε τῆς γεέννης πεῖραν λάβωμεν, καὶ τῆς βασιλείας ἐπιτύχωμεν. καὶ τί θαυμάζεις, εἰ ταῦτα ἅπαντα διὰ τοῦτο ἐπραγματεύσατο καὶ μυρία ἕτερα; δούλου μορφὴν ὁ ἐν τοῖς κόλποις ὢν τοῖς πατρικοῖς λαβεῖν κατεδέξατο, καὶ πάντα τὰ ἄλλα

α. Πετ. ε. η.

ὑπομεῖναι τὰ σωματικά, καὶ ἐκ γυναικὸς γεννηθῆναι, καὶ ἐκ παρθένου τεχθῆναι, καὶ ἐννεαμηνιαίῳ κυοφορηθῆναι χρόνῳ, καὶ σπάργανα δέξασθαι, καὶ πατέρα αὐτοῦ νομισθῆναι τὸν Ἰωσὴφ τὸν μνηστῆρα τῆς Μαρίας, καὶ κατὰ μικρὸν αὐξηθῆναι, καὶ περιτμηθῆναι, καὶ θυσίαν ἀνενεχθῆναι, καὶ πεινᾶσαι, καὶ διψῆσαι, καὶ κοπιᾶσαι, καὶ τὸ τελευταῖον θάνατον ὑπομεῖναι, καὶ θάνατον οὐχ ἁπλῶς, ἀλλὰ τὸν ἐπονείδιστον νομιζόμενον, τὸν σταυρὸν λέγω, καὶ ταῦτα πάντα δι' ἡμᾶς καὶ τὴν σωτηρίαν τὴν ἡμετέραν κατεδέξατο ὁ τῶν ἁπάντων δημιουργός, ὁ ἀναλλοίωτος, ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πάντα παραγαγών, Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν, οὗ τῆς δόξης τὴν ἀστραπὴν οὐδὲ τὰ χερουβίμ, αἱ ἀσώματοι δυνάμεις ἐκεῖναι, ἰδεῖν δύνανται, ἀλλὰ ἀποστρέφουσαι τὰς ὄψεις τῇ περιβολῇ τῶν πτερύγων, τὸ θαῦμα ἡμῖν ἐπιδείκνυνται· ὃν διαπαντὸς ὑμνοῦσιν ἄγγελοι, ἀρχάγγελοι, καὶ μυρίαι μυριάδες· οὗτος δι' ἡμᾶς καὶ τὴν σωτηρίαν τὴν ἡμετέραν ἄνθρωπος γενέσθαι κατεδέξατο, καὶ τῆς ἀρίστης πολιτείας ἡμῖν τὴν ὁδὸν ἔτεμε καὶ δι' ὧν αὐτὸς μετῆλθε, τὴν αὐτὴν ἡμῖν φύσιν ἀναλαβὼν ἡμῖν ἀρκοῦσαν διδασκαλίαν ἐναπέθετο. ποία τοίνυν ἡμῖν λείπεται λοιπὸν ἀπολογία, τοσούτων διὰ τὴν ἡμετέραν σωτηρίαν προηγουμένων, εἰ μέλλοιμεν ἀνόνητα ἅπαντα δεικνύναι διὰ τῆς ῥαθυμίας τῆς τούτων, προδιδόντες ἡμῶν τὴν σωτηρίαν; διὸ παρακαλῶ νήφειν καὶ μὴ ἁπλῶς τῇ συνηθείᾳ τῶν ἄλλων κατακολουθεῖν, ἀλλὰ τὴν ἑαυτῶν ζωὴν καθ' ἑκάστην ἡμέραν πολυπραγμονεῖν, καὶ εἰδέναι τί μὲν ἡμάρτηται, τί δὲ κατώρθωται, καὶ οὕτω τῶν ἡμαρτημένων τὴν διόρθωσιν ποιώμεθα· ἵνα καὶ τὴν ἄνωθεν ῥοπὴν ἐπισπασώμεθα, καὶ εὐάρεστοι τῷ Θεῷ γενώμεθα, καθάπερ ὁ δίκαιος Ἰὼβ, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλ. ργ. λγ.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΟΜΙΛΙΑ ΠΕΡΙ ΤΟΥ, ΟΤΙ ΟΥ ΧΡΗ ΟΝΕΙΔΙΖΕΙΝ ΤΟΥΣ

ἱερεῖς ὑπὲρ ὧν ζῶσιν ἐν αὐταρκείᾳ, ἀλλ' ὡς πατράσι χρῆσθαι,
καὶ τὰ παρ' ἑαυτῶν τούτοις μᾶλλον
εἰσφέρειν.

Ὥσπερ ἐν στρατοπέδῳ, ἀγαπητοί, τοῖς ἑστῶσι καὶ πολεμοῦσι παρὰ τῶν ἐν εἰρήνῃ ὄντων καὶ μὴ πολεμούντων ὀφείλεται τὰ τελέσματα (ὑπὲρ γὰρ ἐκείνων ἑστήκασιν οὗτοι) οὕτω καὶ ἐνταῦθα. εἰ μὴ γὰρ ἐδίδασκε Παῦλος, τίς ἂν αὐτὸν τότε ἐνέβαλεν εἰς δεσμωτήριον; ὥστε λειτουργεῖν χρὴ τοῖς ἁγίοις. πῶς γὰρ οὐκ ἄτοπον τῷ μὲν στρατευομένῳ βασιλεῖ ἐπιγείῳ πάντα εἰσφέρειν, καὶ ἐνδύματα καὶ τροφάς, οὐ κατὰ τὴν χρείαν μόνον, ἀλλὰ κατὰ τὴν περιουσίαν· τῷ δὲ στρατευομένῳ βασιλεῖ τῷ ἐπουρανίῳ, καὶ διαπαλαίοντι πρὸς πολλῷ χαλεπωτέρους (Ἡ πάλη, φησίν, οὐ πρὸς αἷμα καὶ σάρκα) μηδὲ τὴν ἀναγκαίαν χρείαν χορηγεῖν, πόσης ἀγνωμοσύνης, πόσης τοῦτο ἀπιστίας, πόσης αἰσχροκερδίας; ἀλλ', ὡς ἔοικε, πλέον ὁ τῶν ἀνθρώπων ἰσχύει φόβος παρ' ἡμῖν τῆς γεέννης καὶ τῶν μελλόντων κολάσεων. διὰ δὴ τοῦτο πάντα ἀνατέτραπται, ὅτι τὰ μὲν πολιτικὰ πράγματα μετὰ πολλῆς τῆς ἐντρεχείας καθ' ἑκάστην ἡμέραν ἀνύεται, καὶ ἐλλειφθῆναι οὐκ ἔνι· τῶν δὲ πνευματικῶν οὐδεὶς οὐδαμοῦ λόγος. ἀλλὰ τὰ μὲν μετ' ἀνάγκης ἀπαιτούμενα καὶ [illegible] ὡς παρ' ὀλίγων καὶ ἀκόντων κατατίθεται μετὰ πολλῆς τῆς εὐγνωμοσύνης· τὰ

δὲ

Ἐφ. ς. ιϛ.

δὲ περὶ ἑκόντων καὶ ὡς περὶ ἐλευθέρων, πάλιν ἐλλιμπάνεται. οὐ κατὰ πάντων λέγω, ἀλλὰ κατὰ τῶν τὰ τελέσματα ταῦτα ἐγκαταλιμπανόντων. μὴ γὰρ οὐκ ἠδύνατο ὁ Θεὸς ἀνάγκῃ ταῦτα ποιεῖν; ἀλλ' οὐ βούλεται. ὑμῶν γὰρ φείδεται μᾶλλον ἢ τῶν τρεφομένων, διὰ τοῦτο ὑμᾶς οὐκ ἀνάγκῃ βούλεται καταπιθέναι, ἐπεὶ οὐκ ἔστι μισθός. καὶ πολλοὶ τῶν ἐνταῦθα τῶν Ἰουδαίων εἰσὶ ταπεινότεροι. ἐννόησον ὅσα Ἰουδαῖοι ἐδίδοσαν, δεκάτας, ἀπαρχάς, πάλιν δεκάτας, καὶ πάλιν ἄλλας δεκάτας, καὶ πάλιν τὰς ἑτέρας τρισκαιδεκάτας, καὶ τὸ σίκλον, καὶ οὐδεὶς ἔλεγεν ὅτι πολλὰ κατεσθίουσιν· ἀλλ' ὅσῳ ἂν πλείονα λάβωσι, τοσούτῳ καὶ πλείων ὁ μισθός. οὐκ ἔλεγον, πολλὰ λαμβάνουσι, γαστρίζονται, ἃ νῦν ἀκούω λεγόντων τινῶν. καὶ τοὺς μὲν οἰκοδομοῦντας οἰκίας, ἢ ἀγροὺς ὠνουμένους, οὐδὲν ἡγοῦνται ἔχειν· ἂν δέ τις τῶν ἱερέων λαμπρότερον ἱμάτιον περιβάληται, ἢ τῆς ἀναγκαίας εὐπορήσῃ τροφῆς, ἢ τὸν διακονούμενον ἔχῃ, ἵνα μὴ ἀναγκάζηται αὐτὸς ἀσχημονεῖν, πλοῦτον τὸ πρᾶγμα τίθενται. ὄντως πλουτοῦμεν καὶ ἐν τούτοις· καὶ ἄκοντες ὁμολογοῦσιν. ἡμεῖς μὲν γάρ, κἂν μικρὰ ἔχωμεν, πλουτοῦμεν· ἐκεῖνοι δέ, κἂν πάντα περιβάλωνται, πένονται. μέχρι τίνος διαπταιόμεθα; οὐκ ἀρκεῖ τὸ μηδὲν ποιεῖν εἰς κόλασιν ἡμῖν, ἀλλὰ χρὴ καὶ τὴν ἀπὸ τῆς κακηγορίας προσθεῖναι ζημίαν; εἰ μὲν γὰρ αὐτὸς ἔδωκας αὐτῷ ἅπερ κέκτηται, τὸν μισθὸν ἀπώλεσας, ὑπὲρ ὧν δέδωκας ἐγκαλῶν. ὅλως δέ, εἰ σὺ ἔδωκας, τί ἐγκαλεῖς; πρότερον μὲν οὖν αὐτοῦ πενίαν ἐμαρτύρεις, λέγων ἅπερ ἔχει δεδωκέναι αὐτός. τί τοίνυν ἐγκαλεῖς; οὐκ ἐχρῆν δοῦναι, εἴγε ἔμελλες ἐγκαλεῖν. ἀλλ' ἑτέρου δόντος ταῦτα λέγεις. χαλεπώτερον τὸ πρᾶγμα, ὅτι οὐδὲ διδοὺς ἐγκαλεῖς, ὑπὲρ ὧν ἕτερος εὖ ποιεῖ. πόσον οἴει τοὺς ταῦτα ἀκούοντας μισθὸν ἔχειν; διὰ γὰρ τὸν Θεὸν ταῦτα πάσχουσι. πῶς, καὶ διὰ τί; δῆλον, εἴγε ἐβούλοντο, καπηλικὸν ἀναδέξασθαι βίον, εἰ καὶ μὴ ἀπὸ προγόνων εἶχον. Ἐγὼ γὰρ ἀκούω καὶ ταῦτα πολλῶν λεγόντων ἰταμῶς, ὅταν εἴπωμεν ὅτι ὁ δεῖνα πένεται. εἰ γὰρ ἐβούλετο, φησίν, ἐδύνατο πλουτεῖν· εἶτα ὑβριστικῶς, ὁ πρόγονος αὐτοῦ καὶ ὁ πάππος αὐτοῦ καὶ ὁ δεῖνα τοιόσδε ἦν, νῦν δὲ τοιαύτην ἐσθῆτα περιβέβληται. ἀλλὰ τί, εἰπέ μοι, γυμνὸν ἐχρῆν περιιέναι; σὺ μὲν οὖν ὑπὲρ τούτων ἀκριβολογῇ. ὅρα δὲ μὴ κατὰ σαυτοῦ ταῦτα λέγῃς· ἀλλ' ἄκουε τῆς παραινέσεως τοῦ Χριστοῦ τῆς λεγούσης· Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. ἀλλὰ δῆλον, εἴγε ἐβούλετο, καπηλικὸν καὶ ἐμπορικὸν βίον ζῆν, καὶ πάντως οὐκ ἂν ἠπόρησεν. ἀλλ' οὐκ ἠθέλησε. τί οὖν, φησίν, ἐνταῦθα κερδαίνει, εἰπέ μοι; σηρικὰ ἱμάτια περίκειται; πλῆθος ἀκολούθων ἔχων σοβεῖ κατὰ τὴν ἀγοράν; ἐπὶ ἵππου φέρεται; οἰκίας οἰκοδομεῖ ἔχων ὅπου καταμείνῃ; ἂν ταῦτα ποιῇ, καὶ ἐγὼ κατηγορῶ, καὶ οὐ φείδομαι· ἀλλ' ἀνάξιον αὐτὸν εἶναι τῆς ἱερωσύνης φημί. πῶς γὰρ ἑτέροις δυνήσεται παραινεῖν μὴ περὶ τὰ περιττὰ ταῦτα ἐσχολακέναι, αὐτὸς ἑαυτῷ παραινέσαι μὴ δυνάμενος; εἰ δὲ τῆς ἀναγκαίας εὐπορεῖ τροφῆς, διὰ τοῦτο ἀδικεῖ; ἀλλὰ περιιέναι ἐχρῆν αὐτὸν καὶ προσαιτεῖν. καὶ οὐκ ἂν σὺ κατῃσχύνθης, εἰπέ μοι, ὁ μαθητής; ἀλλ' ὁ μὲν πατὴρ ὁ σαρκικὸς ἂν τοῦτο ποιῇ, αἰσχύνην τὸ πρᾶγμα ἡγῇ· ἂν δὲ ὁ πνευματικὸς ἀναγκάζηται τοῦτο ποιεῖν, οὐκ ἐγκαλύπτῃ, οὐδὲ ἡγήσῃ καταδύεσθαι; Ἀδοξία, φησί, πατρός, ὄνειδος τέκνων. ἀλλὰ τί; τῷ λιμῷ φθείρεσθαι ἔδει; ἀλλ' οὐδὲ τοῦτο εὐσεβές. οὐ γὰρ βούλεται ὁ Θεός. ἀλλὰ τί εὐθέως φιλοσοφοῦσι; γέγραπται, φασί, Μὴ κτήσησθε χρυσὸν, μηδὲ ἄργυρον, μηδὲ δύο χιτῶνας, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν, μὴ ῥάβδον· οὗτοι δὲ καὶ τρία καὶ τέσσαρα ἱμάτια ἔχουσι, καὶ κλίνας ἐστρωμένας. ἐπῆλθέ μοι στενάξαι πικρὸν νῦν, εἰ δέ με μὴ ἔδει ἀσχημονεῖν, κἂν ἐδάκρυσα. τί δήποτε; ὅτι περὶ μὲν τὰ τῶν ἄλλων κάρφη οὕτως ἐσμὲν ἀκριβεῖς ἐξετασταί· τὰς δὲ δοκοὺς ἔχοντες ἐν τοῖς ὀφθαλμοῖς οὐδὲ αἰσθανόμεθα. εἰπέ μοι, διὰ τί γὰρ σαυτῷ τοῦτο μὴ λέγεις; ὅτι τοῖς διδασκάλοις προστέτακται μόνον, φησίν. ὅταν οὖν ὁ Παῦλος λέγῃ· Ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα· πρὸς τοὺς διδασκάλους φησὶ μόνους; οὐδαμῶς· ἀλλὰ πρὸς πάντας ἀνθρώπους. καὶ δῆλον ἄνωθεν. τί γάρ φησιν; Ἔστι γὰρ πο-

Ματθ. ζ. α.

Σειρ. γ. ι.

Ματθ. ι. θ.

α. Τιμ. ϛ. η.

α. Τιμ. ϛ. ϛ.

ρισμὸς

πορισμὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας. οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον τοῦτον,
δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα. εἶτα εὐθέως ἐπήγαγεν. Ἔχοντες δὲ διατροφὰς
καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. οἱ δὲ βουλόμενοι πλουτεῖν ἐμπίπτουσιν εἰς
πειρασμὸν καὶ παγίδα καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβεράς. εἶδες ὅτι πρὸς
Ρωμ. ιγ. ιδ. πάντας ὁ λόγος εἴρηται. τί δὲ, ὅταν λέγῃ πάλιν· Τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς
ἐπιθυμίας; οὐχὶ πᾶσιν ἁπλῶς διαλέγεται; τί δὲ, ὅταν λέγῃ· Τὰ βρώματα τῇ κοιλίᾳ,
α Κορ. ς. ιγ. καὶ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει; τί δὲ, ὅταν
α Τιμ. ε. ς. λέγῃ· Ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκε, περὶ χήρας διαλεγόμενος; μὴ καὶ ἡ χήρα διδάσκαλός
α Τιμ. β. ιβ. ἐστιν; οὐχὶ αὐτὸς εἶπεν, ὅτι Γυναικὶ διδάσκειν οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρός;
ἡ δὲ χήρα ἔνθα καὶ ἡ ἡλικία γηραλέα. τὸ γὰρ γῆρας πολλῆς δεῖται θεραπείας, καὶ αὐτὴ ἡ φύσις.
τὸ γὰρ τῶν γυναικῶν γένος πλείονος δεῖται ἀναπαύσεως, ἅτε ἀσθενὲς ὄν. εἰ τοίνυν
ἔνθα καὶ ἡ ἡλικία καὶ ἡ φύσις, οὐκ ἀφίεται αὐτὴν σπαταλᾶν, ἀλλὰ καὶ τεθνηκέναι αὐτήν φησιν
(οὐ γὰρ ἁπλῶς εἶπε, μὴ σπαταλᾶν, ἀλλ', ἡ σπαταλῶσα ζῶσα τέθνηκε, καὶ ἐξέκοψεν
αὐτήν· ἡ γὰρ τεθνηκυῖα ἐκκέκοπται) ποίαν ἕξει συγγνώμην ἄνθρωπος ταῦτα ποιῶν, ἐφ'
οἷς ἡ γεγηρακυῖα κολάζεται; ἀλλὰ ταῦτα οὐδεὶς οὐδὲ εἰς νοῦν λαμβάνει, ταῦτα οὐδεὶς
ἐξετάζει. ἐγὼ δὲ νῦν ταῦτα εἰπεῖν ἠναγκάσθην, οὐχὶ τοὺς ἱερέας ἀπαλλάξαι ἐγκλημάτων
βουλόμενος, ἀλλ' ὑμῶν φειδόμενος. ἐκεῖνοι μὲν οὖν ἂν μὲν προσηκόντως καὶ δικαίως
ταῦτα ἀκούωσιν, ἄντε ὡς χρηματιζόμενοι, οὐδὲν παρ' ὑμῶν βλάπτονται· ἀλλ' ἄντε εἴπητε,
ἄντε μὴ εἴπητε, λόγον τῷ δικαστῇ δώσουσιν ἐκεῖ. ὥστε οὐδὲν αὐτοῖς τὰ ὑμέτερα βλάπτει
ῥήματα, ἂν δὲ καὶ ψευδῆ ᾖ τὰ παρ' ὑμῶν λεγόμενα. ἐκεῖνοι μὲν οὖν ἐκέρδανον συκοφαντούμενοι
εἰκῇ, ὑμεῖς δὲ ἑαυτοὺς ἐντεῦθεν βλάπτετε. ἐπὶ δὲ ὑμῶν οὐχ οὕτως ἐστίν· ἀλλ'
ἄντε ἀληθῆ ᾖ, ἄντε ψευδῆ τὰ κατ' αὐτῶν, λέγοντες αὐτοὺς κακῶς βλάπτεσθε. τί δήποτε;
ἄντε γὰρ ἀληθῆ ᾖ, καὶ οὕτω βλάπτεσθε, κρίνοντες τοὺς διδασκάλους, καὶ τὴν τάξιν ἀνατρέποντες.
εἰ γὰρ ἀδελφὸν οὐ δεῖ κρίνειν, πολλῷ μᾶλλον διδάσκαλον. ἂν δὲ ψευδῆ, καὶ ἀφόρητος
Ματθ. ιβ. λς. ἡ κόλασις καὶ ἡ τιμωρία. Παντὸς γὰρ ῥήματος ἀργοῦ δώσετε λόγον. ὥστε ὑμῶν ἕνεκα πάντα
ποιοῦμεν. ὅπερ δὲ ἔφην, οὐδεὶς ταῦτα ἐξετάζει, οὐδεὶς ταῦτα πολυπραγμονεῖ, οὐδεὶς
Μαρ. ς. μς. λέγει πρὸς ἑαυτὸν τούτων οὐδέν. βούλεσθε καὶ ἕτερα προσθῶ; Ἐὰν μή τις ἀποτάξηται, φησὶν
Ματθ. ιθ. κγ. ὁ Χριστὸς, πᾶσιν αὐτοῦ τοῖς ὑπάρχουσιν, οὐκ ἔστι μου ἄξιος. τί δὲ, ὅταν λέγῃ· Δύσκολον
Λουκ. ς. κδ. πλούσιον εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν; τί δὲ, ὅταν λέγῃ· Οὐαὶ ὑμῖν τοῖς
πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν; οὐδεὶς τοίνυν τοῦτο ἐξετάζει· οὐδεὶς ἐννοεῖ·
οὐδεὶς πρὸς ἑαυτὸν διαλέγεται· ἀλλὰ τοῖς ἑτέρων σφοδροί. ἀλλὰ τοῦτο μέν ἐστι κοινωνοὺς
ποιῆσαι τῶν ἐγκλημάτων. ἵνα δὲ καὶ αὐτῶν, ὧν φατε τοὺς ἱερεῖς ὑπευθύνους εἶναι, ἀπαλλάξω
δι' ὑμᾶς, ἀκούσατε. τὸ γὰρ περὶ τούτων πεπεῖσθαι, ὡς παραβαινόντων τὸν νόμον τοῦ Θεοῦ,
Ματθ. ι. θ. πολλὴ πρὸς τὸ κακόν ἐστι ῥοπή. Φέρε οὖν κἀκεῖνα ἐξετάσωμεν. Εἶπεν ὁ Χριστός· Μὴ κτήσησθε
χρυσὸν, μηδὲ ἄργυρον, μηδὲ δύο χιτῶνας, μηδὲ ὑποδήματα, μὴ ζώνην, μὴ ῥάβδον.
τί οὖν, εἰπέ μοι, Πέτρος παρὰ τὸ πρόσταγμα ἐποίει; πῶς γάρ; ὁ καὶ ζώνην ἔχων καὶ
Πραξ. ιβ. η. ἱμάτιον καὶ ὑποδήματα. ἄκουε γοῦν τοῦ ἀγγέλου λέγοντος πρὸς αὐτόν· Περίζωσαι καὶ ὑπόδησαι
τὰ σανδάλιά σου. καίτοι οὐ τοσαύτη χρεία τούτῳ τῶν ὑποδημάτων ἦν· ἔνεστι γὰρ
κατ' ἐκεῖνον τὸν καιρὸν καὶ ἀνυπόδετον εἶναι· ἡ δὲ πολλὴ χρεία ἐν τῷ χειμῶνί ἐστιν. ἀλλ' ὅμως
β. Τιμ. δ. κα. ιγ. εἶχε. τί δὲ, ὁ Παῦλος ὅταν λέγῃ Τιμοθέῳ γράφων· Σπούδασον πρὸ χειμῶνος ἐλθεῖν· εἶτα
παραγγέλλει καὶ λέγει· Τὸν φελώνην, ὃν ἀπέλιπον ἐν Τρωάδι παρὰ Κάρπῳ, ἐρχόμενος
φέρε, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας; ἰδοὺ φελώνην εἶπε, καὶ οὐκ ἂν ἔχοι τις εἰπεῖν,
ὅτι καὶ ἕτερον οὐκ εἶχεν ὃν ἐφόρει. εἰ μὲν γὰρ μηδὲ ὅλως ἐφόρει, περιττῶς ἐκέλευε τοῦτον
ἀπενεχθῆναι. εἰ δὲ οὐκ ἐκεῖνον μὴ φορῶν, δῆλον ὅτι ἕτερον εἶχε. τί δὲ, ὅτι διετίαν ὅλην

ἐν οἰκείῳ μισθώματι ἔμενεν, ἄρα παρήκουσε τοῦ Χριστοῦ τὸ σκεῦος τῆς ἐκλογῆς, ὁ λέγων· Ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός· περὶ οὗ ὁ Χριστὸς ἐμαρτύρησε λέγων, Ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος; ἔδει ταύτην τὴν ἀμφιβολίαν ἀφεῖναι παρ' ὑμῖν, καὶ μηδεμίαν τῷ ζητήματι λύσιν ἐπαγαγεῖν, ἀλλὰ ταύτην ὑμᾶς δίκην εἰσπράξασθαι τῆς περὶ τὰς γραφὰς ὀλιγωρίας. πάντα γὰρ ταῦτα ἐκ τούτου γίνεται. διὰ τοῦτο καὶ ἐν τοῖς ἑτέρων ἁμαρτήμασιν ἐσμὲν πικροὶ ἐξετασταί, καὶ τῶν ἡμετέρων οὐδένα λόγον ποιούμεθα, ὅτι τὰς γραφὰς οὐκ ἴσμεν, ὅτι τοῖς θείοις οὐ παιδευόμεθα νόμοις. ἔδει μὲν οὖν ταύτην ὑμᾶς εἰσπράξασθαι τὴν δίκην. ἀλλὰ τί πάθω; πολλάκις καὶ πέρα τοῦ δέοντος οἱ πατέρες χαρίζονται τοῖς παισί, τῶν σπλάγχνων αὐτοῖς διαθερμαινομένων τῶν πνευματικῶν. κἂν ἴδωσι τὸ παιδίον κατηφῆσαν, τηκόμενον, καὶ αὐτοὶ μᾶλλον ἐκείνου δακρύουσι, καὶ οὐ παύονται, ἕως ἂν τῆς ἀθυμίας τὴν ὑπόθεσιν ἀνέλωσι. πλὴν κἂν τοῦτο γινέσθω, κἂν κατηφήσατε ἐπὶ τῷ μὴ λαβεῖν, ἵνα λάβητε καλῶς. τί οὖν ἐστιν; οὐχ ἡδυπαθῆσαι; μὴ γένοιτο· ἀλλὰ καὶ σφόδρα ἠκολούθησε τοῖς ἐπιτάγμασι τοῦ Χριστοῦ. τὰ γὰρ ἐπιτάγματα ἐκεῖνα πρὸς καιρὸν ἦν, καὶ οὐ διαπαντός. καὶ τοῦτο οὐ στοχαζόμενος λέγω, ἀλλ' ἀπὸ τῶν θείων γραφῶν. πῶς; φησὶν ὁ Λουκᾶς εἰρηκέναι τοῖς μαθηταῖς τὸν Χριστόν· Ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου καὶ πήρας καὶ ζώνης καὶ ὑποδημάτων, μή τι ὑστέρησεν ὑμῖν; λέγουσιν αὐτῷ, οὔ. οὐκοῦν λοιπὸν κτήσασθε. ἀλλὰ τί ἔδει, εἰπέ μοι, ἕνα χιτῶνα ἔχειν; τί οὖν εἰ πλυνέσθαι τοῦτον ἔδει, γυμνὸν ἐχρῆν οἴκοι καθῆσθαι; ἢ γυμνὸν περιιέναι χρείας καλούσης; ἐννόησον οὖν οἷον ἦν, Παῦλον, τὸν ἐπὶ τοσούτοις κατορθώμασι περιϊόντα τὴν οἰκουμένην, δι' ἱματίου ἔνδειαν οἴκοι καθῆσθαι, καὶ τηλικούτοις πράγμασιν ἐμποδίζειν. τί δὲ εἰ κρυμὸς ἐπετέθη σφοδρὸς καὶ κατέβρεξεν, ἢ καὶ ἐπάγωσε, πῶς ξηραίνεσθαι ἐχρῆν; πάλιν γυμνὸν ἐχρῆν καθῆσθαι; τί δὲ εἰ ψῦχος κατέτεινε τὸ σῶμα, τήκεσθαι ἔδει καὶ μὴ φθείρεσθαι; ὅτι γὰρ οὐκ ἀδαμάντινα σώματα αὐτοῖς κατεσκεύασε, ἄκουσον τί φησι περὶ Τιμοθέου· Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας. καὶ πάλιν περὶ ἑτέρου· Ἀναγκαῖον ἡγησάμην ἀποστεῖλαι ὑμῖν τὸν ὑμῶν ἀπόστολον καὶ λειτουργὸν τῆς χρείας μου· καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτου· ἀλλ' ὁ Θεὸς αὐτὸν ἠλέησεν, οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ ἐμέ. ὥστε ἁλώσιμοι πᾶσιν ἦσαν τοῖς πάθεσι. τί οὖν; ἀπόλλυσθαι ἐχρῆν; οὐδαμῶς. τίνος οὖν ἕνεκεν τότε τοῦτο ἐπέταξε; τὴν δύναμιν αὐτοῦ θέλων δεῖξαι, ὅτι καὶ μετὰ ταῦτα ἐδύνατο οὕτω ποιῆσαι. ἀλλ' οὐκ ἐποίησε. τίνος ἕνεκεν οὐκ ἐποίησε; πολλῷ τῶν Ἰσραηλιτῶν ἦσαν οὗτοι θαυμασιώτεροι, ὧν τὰ ὑποδήματα οὐ κατετρίβετο, οὐδὲ τὰ ἱμάτια, καὶ ταῦτα ἐκείνην τὴν ἔρημον διοδευόντων, ἔνθα θερμοτέρα ἐπιπίπτουσα ἡ ἀκτὶς ἡ ἡλιακή, καὶ λίθους αὐτοὺς καταφρύγειν δύναται. τίνος οὖν ἕνεκεν τοῦτο ἐποίησε; διὰ σέ. ἐπειδὴ γὰρ οὐκ ἔμελλες ὑγιαίνειν, ἀλλὰ τραυματίζεσθαι, τῶν φαρμάκων σοι τὴν ὑπόθεσιν παρέσχε. καὶ τοῦτο δῆλον ἐκεῖθεν. οὐκ ἐδύνατο αὐτοὺς θρέψαι; εἴ σοι τῷ προσκεκρουκότι δίδωσιν, οὐ πολλῷ μᾶλλον Παύλῳ ἂν ἔδωκεν; ὁ τοῖς Ἰσραηλίταις διδοὺς τοῖς γογγυσταῖς, τοῖς πόρνοις, τοῖς εἰδωλολάτραις, οὐ πολλῷ μᾶλλον ἂν Πέτρῳ ἀναλίσκοντι ἅπαντα δι' αὐτὸν ἀφῆκεν; ὁ μιαροὺς ἀφεὶς ἔχειν ἄνδρας, οὐ πολλῷ μᾶλλον ἂν Ἰωάννῃ ἐχαρίσατο τῷ καὶ τὸν πατέρα δι' αὐτὸν καταλιπόντι; ἀλλ' οὐκ ἠθέλησεν, ἀλλὰ διὰ σοῦ αὐτοὺς τρέφει, ἵνα σὺ ἁγιασθῇς. καὶ θέα μοι τὴν ὑπερβολὴν τῆς φιλανθρωπίας. εἵλετο τοὺς αὐτοῦ μαθητὰς ἐλαττωθῆναι, ἵνα σὺ μικρὸν ἀναπνεύσῃς. εἰ γὰρ ἐποίησεν αὐτοὺς ἀνενδεεῖς, πολλῷ θαυμασιώτεροι ἂν ἦσαν, πολλῷ ἐπιδοξότεροι. ἀλλά σου ἡ σωτηρία ἐξεκέκοπτο. οὐχ εἵλετο τοίνυν ἐκείνους γενέσθαι θαυμαστούς, ἵνα σὺ σωθῇς· ἀλλ' ἐλαττοῦσθαι μᾶλλον καὶ ἐλαττωθῆναι ἐκείνους συνεχώρησεν, ἵνα σὺ δυνηθῇς σωθῆναι. οὐ γὰρ ὁμοίως αἰδέσιμός ἐστι διδάσκαλος λαμβάνων, ἀλλ' ἐκεῖνος μάλιστα τιμᾶται ὁ μὴ λαμβάνων. ἀλλ' ὁ μαθητὴς οὐκ ὠφελεῖται, ἀλλὰ τὸν καρπὸν ἐκκόπτεται. ὁρᾷς τὴν σοφίαν τοῦ φιλανθρώπου Θεοῦ; ὥσπερ

γὰρ

Γαλ. β. κ.
Πραξ. θ. ιε.

Λουκ. κβ. λε.

α. Τιμ. ε. κγ.
Φιλιπ. β κε.

γὰρ αὐτὸς οὐχὶ τὴν ἰδίαν δόξαν ἐζήτησεν, οὐδὲ τὰ ἑαυτοῦ ἐσκόπησεν, ἀλλ' ἐν δόξῃ ὤν, εἵλετο ἀτιμασθῆναι διὰ σέ. οὕτω καὶ ἐπὶ τῶν διδασκάλων, δυνάμενος αὐτοὺς ποιῆσαι εἶναι αἰδεσίμους, εἵλετο εἶναι εὐκαταφρονήτους διὰ σέ, ἵνα σὺ ἔχῃς κερδαίνειν. ὅσῳ δὲ μέγα τὸ ἀξίωμα, τοσούτῳ μείζους καὶ οἱ κίνδυνοι τοῖς τὴν ἱερωσύνην ἔχουσι. ἀρκεῖ γὰρ καὶ ἓν κατόρθωμα ἐπισκοπῆς ἀνενεγκεῖν εἰς τὸν οὐρανόν, καὶ ἓν ἁμάρτημα εἰς αὐτὴν ἐμβαλεῖν τὴν γέενναν. ἵνα γὰρ τὰ ἄλλα πάντα παρῶ τὰ καθ' ἑκάστην ἡμέραν συμπίπτοντα, ἂν τύχῃ ποτέ τινα ἢ διὰ φιλίαν, ἢ δι' ἄλλην τινὰ αἰτίαν, ἀνάξιον εἰς ἐπισκοπὴν παραγαγών, καὶ πόλεως ἐπιτρέψας μεγάλης ἀρχήν, ὅρα πόσου πυρὸς ἑαυτὸν ὑπεύθυνον καθίστησιν. οὐ γὰρ τῶν ψυχῶν τῶν ἀπολλυμένων μᾶλλον (ἀπόλλυσι γὰρ αὐτὰς ἀνευλαβὴς ὤν) ἀλλὰ καὶ πάντων τῶν ὑπ' ἐκείνου παρανομουμένων αὐτὸς δώσει τὰς εὐθύνας. ὁ γὰρ ἐν τάξει ἰδιώτου ὢν ἀνευλαβής, πολλῷ μᾶλλον, ὅταν ἐπιλάβηται τῆς ἀρχῆς. ἀγαπητὸν γὰρ τὸν εὐλαβῆ μεῖναι τοιοῦτον ἐπιλαβόμενον τῆς ἀρχῆς. καὶ γὰρ κενοδοξία τότε σφοδροτέρα ἐπιτίθεται, καὶ χρημάτων ἔρως, καὶ αὐθάδεια, τῆς ἀρχῆς τὴν ἐξουσίαν παρεχούσης, καὶ παροξύσματα καὶ ὕβρεις, καὶ λοιδορίαι, καὶ μυρία ἕτερα. ἂν οὖν τις εὐλαβὴς ᾖ, μᾶλλον ἔσται εὐλαβέστερος, τοιοῦτος γινόμενος. ὅταν οὖν τοιοῦτον ἐπιστήσῃ ἄρχοντα, πάντων τῶν ἁμαρτανομένων ὑπ' ἐκείνου, καὶ
Ματθ. ιη. ς. δήμων ὁλοκλήρων ὑπεύθυνος ἔσται. εἰ δὲ ὁ μίαν ψυχὴν σκανδαλίζων, συμφέρει αὐτῷ ἵνα μύλος ὀνικὸς κρεμασθῇ εἰς τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης· ὁ τοσαύτας ψυχὰς σκανδαλίζων, πόλεις ὁλοκλήρους, καὶ δήμους, καὶ μυρίας ψυχάς, ἄνδρας, γυναῖκας, παῖδας, πολίτας, γεωργούς, τοὺς ἐν αὐτῇ τῇ πόλει, τοὺς ἐν ἑτέραις ταῖς ὑπ' ἐκείνην τὴν πόλιν, τί ὑποστήσεται; κἂν γὰρ τριπλασίονα ἕτερα εἴπῃς, οὐδὲν ἐρεῖς. τοσαύτης ἔσται ὑπεύθυνος κολάσεως καὶ τιμωρίας· ὥστε μάλιστα οὗτος δεῖται τῆς χάριτος τοῦ Θεοῦ καὶ τῆς εἰρήνης. ἂν γὰρ μὴ μετὰ ταύτης κυβερνῇ τὸν λαόν, πάντα οἴχεται καὶ ἀπόλωλε, τῶν αὐχένων αὐτῷ οὐκ ὄντων. κἂν γὰρ ἔμπειρος ᾖ τῆς κυβερνητικῆς, ἂν μὴ τοὺς οἴακας τούτους ἔχῃ, τὴν χάριν καὶ τὴν εἰρήνην τὴν παρὰ τοῦ Θεοῦ, καταδύσει τὸ σκάφος καὶ τοὺς ἐμπλέοντας. ὅθεν ἐμοὶ θαυμάζειν ἔπεισι τοὺς ἐφιεμένους ὄγκου τοσούτου. ἄθλιε ἄνθρωπε καὶ ταλαίπωρε, οὐχ ὁρᾷς τίνος ἐφίεσαι; κατὰ σαυτὸν ἂν ᾖς καὶ ἀγνὼς καὶ ἄσημος, κἂν μυρία ἁμάρτῃς, ἀλλὰ μιᾶς ψυχῆς δώσεις λόγον, καὶ ταύτης εὐθύνας ὑφέξεις μόνον. ὅταν δὲ εἰς τὴν ἀρχὴν ταύτην ἀχθῇς, ἐννόησον ὅσων κεφαλῶν ὑπεύθυνος εἶ τιμωρίᾳ. ἄκουε γὰρ
Εβρ. ιγ. ιζ. Παύλου λέγοντος· Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε, ὅτι αὐτοὶ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες. ἀλλὰ τιμῆς ἐφίεσαι καὶ ἀρχῆς; καὶ τίς ἡ ἡδονὴ ταύτης τῆς τιμῆς; οὐ γὰρ δὴ οὐδὲ τοῦτο ὁρῶ. οὐ γάρ ἐστι δυνατὸν ἄρχοντα εἶναι ἀληθῶς. πῶς; ὅτι ἐν τῇ ἐξουσίᾳ κεῖται τῶν ἀρχομένων τὸ ὑπακούειν. καὶ εἴ τις ἀκριβῶς ἐξετάσειε τὸ πρᾶγμα, οὐκ ἐπὶ ἀρχὴν ἔρχεται ὁ τοιοῦτος, ἀλλὰ μυρίοις δουλεύει δεσπόταις ἐναντία καὶ ἐπιθυμοῦσι καὶ λέγουσιν. ὅπερ γὰρ ἐγκωμιάζει ἐκεῖνος, μέμφεται ἕτερος· ὅπερ ψέγει οὗτος, θαυμάζει ἄλλος. τίνος οὖν ἀκοῦσαι χρή; τίνι πεισθῆναι οὐκ ἔνι; καὶ ὁ μὲν ἀργυρώνητος, κἂν ἐναντία ὁ δεσπότης τῷ δούλῳ ἐπιτάξῃ, καὶ δυσχεραίνει· σὺ δὲ ἂν τοσούτων δεσποτῶν ἐναντία ἐπιταττόντων ἀλγήσῃς, καὶ τούτου δίδως δίκην, τὰ πάντων ἐπὶ σὲ στόματα ἀνοίγων. τοῦτο οὖν, εἰπέ μοι, τιμή; τοῦτο ἀρχή; τοῦτο ἐξουσία; εἶπεν ὁ τὴν ἐπισκοπὴν ἔχων εἰσενεγκεῖν χρήματα· ἂν μὴ θέλῃ, οὐ μόνον οὐκ εἰσήνεγκεν, ἀλλὰ καὶ ὑπὲρ τοῦ μὴ δόξαι ῥαθυμίας ἕνεκεν τοῦτο ποιεῖν, κατηγορεῖ τοῦ κελεύσαντος. κλέπτει, φησίν, ἁρπάζει, καταπίνει τὰ τῶν πενήτων, κατεσθίει τὰ τῶν πτωχῶν. παῦσαι λοιδορῶν. μέχρι τίνος ταῦτα φής; οὐ βούλει εἰσενεγκεῖν; οὐδεὶς ὁ καταναγκάζων, οὐδεὶς ὁ βιαζόμενος. τί καὶ λοιδορῇ τῷ παραινοῦντι καὶ συμβουλεύοντι; ἀλλ' εἰς χρείαν τις κατέστη, καὶ οὐκ ὤρεξε χεῖρα μὴ δυνηθείς, ἢ καὶ ἑτέρωθι ἀσχοληθείς. οὐδεμία συγγνώμη, ἀλλὰ πάλιν κατηγορίαι χείρους τῶν προτέρων. τοῦτο

οὖν

ὧν ἄρχει; καὶ ἀμύνασθαι οὐκ ἔχει· σπλάγχνα γάρ ἐστιν ἴδια. καὶ ὥσπερ τῶν σπλάγχνων, κἂν οἰδαίνῃ, κἂν πόνον παρέχῃ καὶ τῇ κεφαλῇ καὶ τῷ λοιπῷ σώματι, οὐ τολμῶμεν ἀμύνασθαι, οὐδὲ λαβόντες ξίφος διαρρηγνύομεν· οὕτω κἂν τῶν ἀρχομένων τις τοιοῦτος ᾖ, πόνους ἡμῖν παρέχων καὶ ἀθυμίας ἐκ τῶν κατηγοριῶν τούτων, οὐ τολμῶμεν ἀμύνασθαι (πόῤῥω γὰρ ταῦτα πατρικῆς διανοίας) ἀλλ' ἀνάγκη φέρειν τὸν πόνον, ἕως ἂν ἐκεῖνος ὑγιαίνῃ καλῶς. ὁ ἀργυρώνητος οἰκέτης ἔχει τι ἔργον ἐπιτεταγμένον· κἂν τοῦτο λύσῃ, λοιπὸν ἑαυτοῦ κύριος γίνεται. τοῦτο δὲ πολυταχοῦ περιέλκεται). ἂν μὴ εἰδῇ λέγειν, πάλιν κατηγορία· κενόδοξός ἐστιν. ἂν μὴ νεκροὺς ἀνιστᾷ, οὐδενὸς λόγου ἄξιος, φησιν. ὁ δεῖνα εὐλαβής ἐστιν, οὗτος δὲ οὔ. ἂν ἀπολαύῃ συμμέτρου τροφῆς, πάλιν κατηγορία· ἔδει αὐτὸν ἀπηγχονίσθαι, φησίν. ἂν λουόμενον ἴδῃ τις, πολλαὶ κατηγορίαι· ὅλως τὸν ἥλιον ὁρᾶν ὀφείλει, φησί; εἰ δὲ τὰ αὐτὰ πράττει, ἅπερ ἐγὼ, καὶ λούεται καὶ ἐσθίει, καὶ πίνει καὶ ἱμάτια περιβέβληται, καὶ οἰκίας φροντίζει καὶ οἰκετῶν· τίνος ἕνεκεν ἐμοῦ προέστηκεν; ἀλλὰ καὶ οἰκέτας ἔχει, φησὶ, τοὺς διακονουμένους αὐτῷ, καὶ ἐπὶ ὄνου ὀχεῖται· τίνος ἕνεκεν ἐμοῦ προέστηκεν; ἀλλὰ τί, εἰπέ μοι, οὐκ ὀφείλει τὸν διακονούμενον ἔχειν, ἀλλ' αὐτὸς τὸ πῦρ ἀνακαίειν, καὶ ὑδροφορεῖν, καὶ ξύλα διακλᾶν, καὶ εἰς ἀγορὰν ἐμβάλλειν; καὶ πόση τοῦτο αἰσχύνη γίνεται; καὶ οἱ μὲν ἅγιοι ἐκεῖνοι ἄνδρες οἱ ἀπόστολοι τῷ λόγῳ προσκαρτεροῦντα οὐδὲ διακονίᾳ χηρῶν βούλονται προσανέχειν, ἀλλ' ἀνάξιον αὐτοῖς εἶναι τὸ πρᾶγμα νομίζουσι· σὺ δὲ αὐτὸν καὶ εἰς τὴν τῶν οἰκετῶν ὑπηρεσίαν καθέλκεις τὴν σήν; διατί ταῦτα ἐπιτάττων οὐ παρέρχῃ σὺ, καὶ ταῦτα πληροῖς, εἰπέ μοι; οὐχὶ μείζονά σοι διακονεῖται ὑπηρεσίαν, ἢ σὺ τὰ σωματικά; διατί μὴ τὸν παῖδα πέμπεις τὸν σὸν πρὸς τὴν τούτου ὑπηρεσίαν; ὁ Χριστὸς ἔνιψε τοὺς πόδας τῶν μαθητῶν· σὺ, θεραπείαν ἂν παράσχῃς τῷ διδασκάλῳ, μέγα τι ποιεῖς; ἀλλ' οὔτε σὺ βούλει παρασχεῖν, καὶ αὐτὸν κωλύεις. τί οὖν; ἀπὸ τοῦ οὐρανοῦ ζῆν ὀφείλει; ἀλλ' οὐ βούλεται οὕτως ὁ Θεός. τί οὖν; οἱ ἀπόστολοί, φησιν, ἐλευθέρους εἶχον δουλεύοντας; βούλει καὶ τοῦτο ἀκοῦσαι πῶς οἱ ἀπόστολοι διῆγον; ἀποδημίας ἐποιοῦντο, καὶ ἄνδρες ἐλεύθεροι, καὶ γυναῖκες εὐγενεῖς ὑπὲρ τῆς ἐκείνων ἀναπαύσεως καὶ τὰς ψυχὰς καὶ τὰς κεφαλὰς ὑπετίθεσαν τὰς ἑαυτῶν. ἄκουε δὲ καὶ τοῦ μακαρίου τούτου Παύλου παραινοῦντος καὶ λέγοντος· Τοὺς οὖν τοιούτους ἐντίμους ἔχετε, ὅτι διὰ τὸ ἔργον τοῦ Θεοῦ μέχρι θανάτου ἤγγισε παραβουλευσάμενος τῇ ψυχῇ, ἵνα ἀναπληρώσῃ τὸ ὑμῶν ὑστέρημα τῆς πρός με λειτουργίας. ὁρᾷς τί φησι; σὺ δὲ οὐδὲ λόγον προσίεσαι ὑπὲρ τοῦ πατρὸς τοῦ σοῦ, μήποτε κίνδυνοι τοσοῦτοι ἀναδέχῃ. ἀλλὰ βούλεσθαί, φησιν, οὐ χρή. διατί, εἰπέ μοι; ποῦ τοῦτο κεκώλυται; (οὐδὲ γὰρ ὁ ῥύπος καλόν) οὐδαμοῦ ταῦτα ὁρῶμεν οὔτε ἐγκαλούμενα, οὔτε θαυμαζόμενα. ἀλλὰ γάρ ἐστιν ἅπερ ἐπέταξε τὸν ἐπίσκοπον ἔχειν· ἀνέγκλητον εἶναι, σώφρονα, κόσμιον, φιλόξενον, διδακτικόν. ταῦτα ἀπαιτεῖ ὁ ἀπόστολος· ταῦτα χρὴ ἐπιζητεῖν παρὰ τοῦ ἄρχοντος· περαιτέρω δὲ μηδέν. οὐκ εἶ τοῦ Παύλου ἀκριβέστερος. ἂν ᾖ πλήκτης, ἢ καὶ πάροινος, ἂν ὠμὸς καὶ ἀνηλεὴς, κατηγόρει. ἀνάξια ταῦτα τοῦ ἐπισκόπου. ἂν τρυφᾷ, καὶ τοῦτο κατηγορία. ἂν θεραπεύῃ τὸ σῶμα ἵνα σοι διακονῇ, ἂν ἐπιμελῆται, ἵνα σοι χρήσιμος ᾖ, ὑπὲρ τούτων αὐτὸν ἐγκαλεῖσθαι δεῖ; οὐκ οἶδας ὅτι ἀσθένεια σωματικὴ τῆς κατὰ ψυχὴν ἀσθενείας, οὐχ ἧττον καὶ ἡμᾶς βλάπτει καὶ τὴν ἐκκλησίαν; διατί διορθοῦται αὐτὴν ὁ Παῦλος, γράφων τῷ Τιμοθέῳ· Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας; εἰ μὲν γὰρ ψυχῇ μόνῃ τὴν ἀρετὴν κατορθοῦμεν, οὐκ ἔδει φροντίζειν τοῦ σώματος. τί δὲ ὅλως καὶ γεγόναμεν; εἰ δὲ πολλὴ τούτου ἡ συντέλεια, πῶς οὐκ ἐσχάτης ἐστὶν ἀνοίας ἀμελεῖν τούτου; ἔστω γάρ τις ἀνὴρ ἐπισκοπῇ τετιμημένος, καὶ τοῦ κοινοῦ τῆς ἐκκλησίας τὴν προστασίαν ἐγκεχειρισμένος, καὶ τὰ μὲν ἄλλα ἔστω ἐνάρετος, καὶ πάντα ἔχων, ἅπερ ἔχειν ἁρμόττει τὸν ἱερωμένον· διὰ παντὸς δὲ τῇ κλίνῃ προσδεδέσθω ὑπὸ πολλῆς ἀῤῥωστίας, τί

Φιλιπ. β. κθ.

Τιτ. α. ζ.

α. Τιμ. ε. κγ.

τοὺς ὀνῆσαι δυνήσεται; ποίαν ἀποδημίαν στείλασθαι; ποίας ἐπισκέψεις ποιήσασθαι; τίνι ἐπιπλῆξαι; τίνα νουθετῆσαι; Ταῦτα εἶπον, ἵνα εἰδῆτε μὴ ἁπλῶς ἐγκαλεῖν· ἵνα καὶ εἴ τις ἐφίεται τῆς ἀρχῆς, τὰς κεφαλὰς τῶν κατηγοριῶν ὁρῶν, τὴν τοιαύτην ἐπιθυμίαν σβεννύῃ. μέγας γὰρ ὄντως κίνδυνος, καὶ τῆς τοῦ Θεοῦ δεόμενος χάριτος, καὶ τῆς εἰρήνης,
ἣν ἐπεύχεσθε ἡμῖν εἶναι πολλὴν, καὶ ἡμεῖς ὑμῖν ἵν' ἀμφότεροι κατορθώσαντες τὴν ἀρετὴν, οὕτω τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν,
ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας.
Ἀμήν.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ
ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ
ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου λόγοι διάφοροι ἀμφιβαλλόμενοι.

ΟΤΙ ΧΡΗ ΤΟΝ ΧΡΙΣΤΟΥ ΜΑΘΗΤΗΝ ΗΠΙΟΝ ΕΙΝΑΙ, καὶ μὴ ταχέως ὀργίζεσθαι.

Ex edit. Morell. Pariſ. emend. ex Ms.

Ἡ θεία φωνὴ τοῦ Κυρίου ἐν τοῖς εὐαγγελίοις διδάσκει ἡμᾶς, ἡ ἀναπληροῦσα τὸν νόμον, οὐ καταργοῦσα, μὴ ὀργίζεσθαι τῷ ἀδελφῷ, καὶ διὰ τῆς προσθήκης ταύτης τοῦ λόγου ἀνεπλήρωσε τὸ, οὐ φονεύσεις, αὐτὴν τὴν ῥίζαν ἐξαίρων τοῦ φόνου, καὶ τὴν καρδίαν ἔσωθεν καθαρίζων, καὶ οὐχὶ τὰς χεῖρας ἔξωθεν. τιμωρίαν γὰρ ἐπέθηκεν, οὐχὶ τοιαύτην, ἥνπερ ὁ νόμος, τὴν παρ' αὐτό, ἀλλὰ τὴν ἐπὶ τῆς κρίσεως, λέγων· Ὁ γὰρ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἔνοχος ἔσται τῇ κρίσει. οὐ γὰρ ὀξεῖαι αἱ παρὰ Χριστοῦ τιμωρίαι, καθάπερ ἐν τῷ νόμῳ, ἀλλὰ πολλὴ μὲν ἀναβολὴ τῶν κατὰ τὸ δίκαιον ἀνταποδόσεων, φοβερὰ δὲ ὕστερον ἡ δίκη. ὥσπερ ἐπιτάττει τὰ μείζω, οὕτω καὶ μειζόνως μακροθυμεῖ, κάθαρσιν καρδίας ἐπιζητῶν, ἣν δυσκόλως ἐστὶν ἐξεργάσασθαι. διόπερ εἰ καὶ παροξυνθείημεν εἰς ὀργήν, οὐκ εὐθὺ τιμωρεῖται. εἰ γὰρ παρ' αὐτὸ ἐτιμωρεῖτο, οὐκ ἂν ἦν διὰ μετανοίας ἐπάνοδος. διὰ τοῦτο ὑπερτίθεται τὴν τιμωρίαν, ἵνα ἔχωμεν καιρὸν μετανοίας· ἵνα ὁ χθὲς ὀργισθεὶς τῷ ἀδελφῷ, σήμερον μετανοήσῃ, καὶ διαθήκην ἑαυτῷ διάθηται μηκέτι ὀργίζεσθαι τῷ ἀδελφῷ· καὶ κατὰ μέρος ὅμοιοι Θεῷ γινώμεθα. μεταβάλλει γὰρ ἡμᾶς ἐκ τῶν ἀλλοτριούντων τὴν ζωὴν ἡμῶν ἐκ τῆς ὁμοιώσεως τοῦ Θεοῦ, καὶ ἄγει εἰς τὸ κατὰ φύσιν καλὸν μετὰ τὸ προκείμενον. Εἰς γὰρ τὸ κατὰ φύσιν ἀγόμεθα, καὶ εἰς τὴν τοῦ θείου πνεύματος κοινωνίαν, καὶ τὴν διηνεκῆ μετὰ Θεοῦ ζωήν, περὶ τηλικούτων ἀγωνιζόμενοι. προσέχωμεν ἑαυτοῖς, καὶ μὴ καταφρονήσει τὸ ἔργον τῆς εἰς Θεὸν ὁμοιώσεως διαφθείρωμεν, ἐπεὶ χρονίζει ὁ Κύριος τοῦ ἐλθεῖν, μηδὲ ἑαυτοῖς ἄδειαν δῶμεν εἰς τὸ παραβαίνειν τὰ λόγια Κυρίου· μηδὲ ἀπελπίσαντες, ὡς μὴ δυνάμενοι τούτου τυχεῖν τοῦ καθ' ὁμοίωσιν Θεοῦ, καταλίπωμεν τὸν ἀγῶνα, ἀλλ' ἡ ἐλπὶς τρεφέτω διὰ τὸν προστάξαντα, καὶ δύναμιν χαριζόμενον ἐπὶ τῷ προσταχθέντι. ἡ δὲ καταφρόνησις καὶ ἡ

Ματθ. ε. κβ.

ἀμέλεια ἀπίστων, φοβερωτέραν ἡμῶν προσδοκώντων τὴν τιμωρίαν διὰ τὴν μακροθυμίαν. ὅσον γὰρ μακροθυμεῖ ζητῶν τὴν διόρθωσιν, τοσοῦτον ἀγανακτήσει μὴ διορθουμένων ἡμῶν, καὶ ὡς ἐξυβρίσασι τὴν χάριν ἐπελεύσεται ὀξέως. καταφρονείσθω δὲ ἡμῖν ἅπαντα τὰ τοῦ αἰῶνος τούτου πράγματα μᾶλλον, ἢ τὸ θεῖον πρόσταγμα. πολλὰ γὰρ τὰ εἰς ὀργὴν εἰσκαλούμενα τοὺς ὀξεῖς εἰς ὀργήν, τοὺς εὐχερῶς παροξυνομένους· ὁ δὲ τὸ πρόσταγμα τοῦ φοβεροῦ βασιλέως φοβούμενος, τοῦ κελεύσαντος ὅλως μὴ ὀργίζεσθαι, πάντων καταπτύσει τῶν παροξύνειν θελόντων· εὐχερῶς δὲ ὑπομενεῖ τοὺς διὰ λόγων λυποῦντας, καρτερήσει δὲ πρὸς τοὺς δι' ἔργων λυπεῖν θέλοντας· καὶ τῷ τύπτοντι τὴν σιαγόνα στρέψει καὶ τὴν ἄλλην, καὶ τὸ ῥῆμα αἰσχρὸν λοιδορίας χάριν ἐπαγόμενον γενναίως ὑποίσει, θαυμαστὴν παραμυθίαν τοῦ μακαρισμοῦ κεκτημένος, καὶ ἵνα ὑπήκοος τῷ Κυρίῳ εὑρεθῇ, καὶ ″σβέσῃ τὴν πρὸς τὸν ἀδελφὸν ὀργήν, καὶ φύγῃ τὴν ἐπ' αὐτῷ ὡρισμένην κόλασιν. διὰ γὰρ τοῦτο τῆς σωματικῆς συμπαθείας ἀπηλλάχθαι Χριστὸς παρακελεύεται, φεύγειν τε φιλοχρηματίαν, καὶ φιλοδοξίας ἀφίστασθαι, ὅλως δὲ ἡδονὴν μὴ παραδέχεσθαι ἐν ἑαυτῷ, ἵνα μὴ διὰ μηδὲν τούτων κακωθῶμεν τὴν ψυχήν, καὶ διαπέσωμεν ἀλλότριοι εἰς τὸ ἅγιον πνεῦμα. ὁ γὰρ χρημάτων καταφρονεῖν διδαχθείς, πῶς διὰ χρήματα παροξυνθήσεται; καὶ ὁ δόξης μὴ ὀρεγόμενος, πῶς διὰ δόξαν παροξυνθήσεται; ἀπόδυσαι τοίνυν τὸ κοσμικὸν ἔνδυμα, καὶ τὸ πνευματικὸν ἔνδυσαι· ἀπόδυσαι τὸν παλαιὸν ἄνθρωπον, ἵνα τὸν νέον ἐνδύσῃ. διὰ τοῦτο γὰρ ἀναγέννησις λέγεται, καὶ βεβόηται παρὰ τοῖς θείοις γράμμασι. μεταβολῆς γὰρ τῶν προτέρων ἡ σωτηρία ἡ ἡμετέρα δεῖται, ἵνα ἕτεροι, παρ' ὃ ἐσμέν, γενώμεθα, ἵνα παυσώμεθα ὅπερ ἐσμέν, ἐναρξώμεθα δὲ ἕτερον βίον, ὃν περὶ τῆς παραβάσεως κρατοῦντες ἐτυγχάνομεν. οὐκ ἦσθα γὰρ τοιοῦτος παρὰ Θεῷ, οἷος ἐκ παίδων γέγονας· ″εἰ δὲ τοιοῦτος, ἐκ τῆς θεοποιήτου πλάσεως εἶχες τὸ ἦθος, οὐκ ἐκ τῆς ἀνθρωπίνης γενέσεως. ἄκουσον τοίνυν ὀμνύοντος τοῦ Κυρίου, καὶ φοβήθητι· Ἀμὴν γάρ, φησι, λέγω ὑμῖν, ἐὰν μή τις ἄνωθεν γεννηθῇ, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. δεῖ ἄρξαι βίον καινότερον, κατάλειπε τὸν ἐν ἁμαρτίαις παλαιωθέντα βίον. ὁ χθὲς πόρνος, σήμερον γενέσθω σώφρων· ὁ χθὲς μεθύων, σήμερον γενέσθω νηστευτής. τὸ κακῶς ὕστερον ἐπιγενόμενον ἀπόρριψον, ἵνα τὸ καλῶς ἐξ ἀρχῆς δεδομένον ἐπαναγάγῃς. μικρόν ἐστι τὸ ἀτάραχον καὶ ἀόργητον διατελεῖν· ὁ θέλων κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ εἶναι, ὀφείλει ὑπὸ πάντων καταφρονεῖσθαι, διαπτύεσθαι, ἐξευτελίζεσθαι, διὰ ῥημάτων, διὰ πραγμάτων. διὰ τοῦτο γὰρ οὐδὲ ἀνταποδιδόναι κακὰ τῷ ἠδικηκότι ἐκέλευσεν, ἵνα μὴ ἀνταποδιδοὺς τῷ ἀδικοῦντι, τὴν κατὰ φύσιν ἀπολέσῃς ἠπιότητα. μὴ τοίνυν γένῃ κατὰ σεαυτὸν φρόνιμος, ὡς δίκαιος ὢν τὸ ἀμύνασθαι τὸν ἀδικοῦντα. μέμνησο τῶν ἱερῶν τοῦ Παύλου διδασκαλιῶν, Μὴ γίνεσθε, φησι, φρόνιμοι παρ' ἑαυτοῖς, μηδὲ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες. οὐκ ἔστι καλὸν αὐτέκδικον γενέσθαι, οὐδὲ ὑπὲρ ἑαυτοῦ τὴν δίκην ζητεῖν, ἀλλ' ἐπίρριψον τὴν δίκην σου Θεῷ τῷ τὴν ἄμυναν ἀοργήτως ἐπάγοντι τοῖς ἀδικοῦσι. Μὴ γὰρ ἑαυτοὺς ἐκδικοῦντες, φησίν, ἀλλὰ δότε τόπον τῇ ὀργῇ. γέγραπται γάρ, ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος. μὴ λέγε, Θεὸς ἀνταποδίδωσιν, ἀνταποδώσω κἀγώ. σκέψαι τί σοι Χριστὸς ἐπέδειξεν εἰς κόσμον ἐλθών, ἵνα τὸν σωτήριον τῆς ζωῆς ἐπιδείξῃ τύπον, καὶ τοῦτον ζηλώσῃς, ἵνα σωθῇς. οὐκ ἦλθε γὰρ κριτής, οὐδὲ τοὺς ἐπανισταμένους ἀμυνόμενος· καίτοιγε οὐχ ἑαυτῷ διὰ τῆς ἀνεξικακίας κέρδος μνηστευόμενος, ἀλλὰ τῷ κόσμῳ τὴν σωτηρίαν πραγματευόμενος. ἡ γὰρ Χριστοῦ ἀνεξικακία τὴν τοῦ διαβόλου θρασύτητα καταβέβληκε, καὶ ἡ τοῦ Κυρίου ἠπιότης τὸν ἄγριον θυμὸν τοῦ πονηροῦ κατεπάλαισε. καὶ σὺ τοίνυν τὸν τύπον εἰς μίμησιν προτίθει. οὐκ ὠργίσθη τοῖς ἐξυβρίκασιν, ἀλλὰ Σαμαρείτης καὶ ″δαιμονιῶν ἀκούων, ἠπίως καὶ πράως πρὸς τοὺς λέγοντας ἀποκρίνεται, Ἐγὼ δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν πατέρα μου, ὑμεῖς δὲ ἀτιμάζετέ με. ἐγὼ δὲ οὐ ζητῶ τὴν δόξαν μου·

ἐστὶν

Ιωαν. γ. γ.

Ρωμ. ιβ. ιϛ.

Ρωμ. ιβ. ιθ.

γρ. σιέπη

Ισ. ὡς ἐπὶ
τον ἐκ

γρ. δαιμον
Ιωαν. η. μθ.

ἐστιν ὁ ζητῶν καὶ κρίνων. οὐκοῦν καὶ σὺ μὴ ἑαυτὸν ἐκδίκει, ἀλλ' ἀνάμενε τὸν κριτήν. εἰ γὰρ αὐτὸς ὁ κριτὴς ἐν ἀνθρωπίνῳ σχήματι ἐλθὼν οὐκ ἀνταπέδωκε δυνάμενος, ἀλλὰ ἐξεδέχετο κρίσιν Θεοῦ· Λοιδορούμενος γάρ, φησιν, οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει, παρεδίδου δὲ τῷ κρίνοντι δικαίως· καὶ σὺ τοίνυν ποίησον οὕτω, καὶ μίμησαι τὸν δεσπότην, ὃς καὶ μέχρι σταυροῦ τὴν ἄθεον ὕβριν ἐβάστασε, καὶ τοῖς ἀξίοις ἀπωλείας σωτηρίαν ἐπιπροπίνει. καὶ γὰρ πρὸς τὸν πατέρα ἔλεγεν, Ἄφες αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· οὐ γὰρ οἴδασι τί ποιοῦσιν. ἠδίκησεν ὁ Λουκ. κγ. λδ. ἀδελφός, ἀνάξιος τῆς ἀδελφότητος ὤφθη· ἀλλὰ σὺ μὴ διαφθείρῃς τὴν ἀδελφότητα. ὁ ἀδελφὸς ἐμιμήσατο τοὺς τοῦ Ἰωσὴφ ἀδελφούς, ἀδελφοκτονίαν ὡπλίσατο, ἐχθρὸς ἀνεφάνη ἀντ' ἀδελφοῦ, πονηρίας ἔδειξεν ὑπερβολήν, οὐδὲν ἀδικούμενος ἀδικεῖ· ἀλλὰ σὺ τὸ ἐναντίον ποίησον, ἵνα εἴπῃς καὶ σὺ κατὰ τὸν μελῳδὸν Δαβίδ, Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός. Ψαλ. ριθ. ς. νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν, προσκαλοῦ αὐτὸν εἰς τὸ ἀγαθόν, λῦσον τὸν θυμὸν ἠπιότητι, δεῖξον αὐτῷ ὅτι ἀδίκως διώκει τὸν ἐν σοὶ Χριστόν, οὐκ ἄξιον τοῦ διώκεσθαι σεαυτὸν ἐπιδεικνύων. ἀλλ' ἀδιόρθωτός ἐστι, καὶ πρὸς τὴν σὴν ἡμερότητα οὐ μεταβάλλεται. καὶ θηρία μὲν μεταβάλλεται εἰς τὴν τῶν ἀνθρώπων ἡμερότητα, ἐκεῖνος δὲ τῶν θηρίων ἀγριώτερος καθέστηκε. μὴ φιλονείκει πρὸς τὸν τοιοῦτον, μηδὲ ἀντιπαρεξάγαγε θυμῷ θυμόν· ἔκκλινον δὲ ὥσπερ χαλεπὰς τῶν πετρῶν ὁ σοφὸς κυβερνήτης· φύλαξαι δὲ ὥσπερ Ψαλ. λζ. δ. ἀσπίδα κωφὴν καὶ βύουσαν τὰ ὦτα αὐτῆς, ἥτις οὐκ εἰσακούσεται φωνὴν ἐπᾴδοντος· ἐξαγόρασον τὸν θυμόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσιν· ἐν σοφίᾳ περιπάτει, εἰδώς, ὅτι ξένος εἶ καὶ πάροικος ἐπὶ τῆς γῆς, καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες σου. Ψαλ. λη. ιζ. πρόβατον εἰς μέσον λύκων ἀπεστάλης καὶ σύ, ὥσπερ καὶ οἱ ἀπόστολοι· μὴ λύκος ἀντὶ προβάτου γίνου, πρὸς λύκους φιλονεικῶν. φυλάσσου, ὅση δύναμις, ἵνα μὴ τὸν θησαυρὸν τῆς δικαιοσύνης ἀπολέσῃς· φυλάσσου τοὺς διαρπάζοντας, φρόνιμος ὢν ὡς ὄφις· φυλάσσου τὰς ἐπιβουλάς. εἰ δὲ καὶ βλάψειεν ὁ λύκος, εἰ δὲ καὶ διασπαράττειν μέλλει σε, παρασκευάζου φέρειν, μεμνημένος τοῦ λέγοντος, Ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς· ἀφορῶν εἰς αὐτὸν τὸν Κύριον, ὃς ὡς Ψαλ. μδ. κγ. Ρωμ. η. λς. πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος. ἥξει καὶ τῆς σῆς νίκης ὁ καιρός, ὅταν νικήσῃς ἀνεξικακῶν μετὰ Χριστοῦ. καὶ γὰρ ὁ Κύριος οὐκ ἤρισεν, Ησ. νγ. ζ. οὐδὲ ἐκραύγασεν, οὐδὲ ἤκουσέ τις ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ. καὶ ὁ ἀπόστολος ἐν ἑτοίμῳ ἔχειν φησὶν ἐκδικῆσαι πᾶσαν παρακοήν, ὅταν πληρωθῇ τῶν ὑπακουσάντων ἡ ὑπακοή. Θεοῦ δὲ μακροθυμοῦντος, μακροθύμει καὶ σύ. ὅτι γὰρ σήμερον πάσχει Χριστός, σοῦ πάσχοντος, διὰ Χριστὸν ὑπομένειν δεῖ καὶ τὸν Χριστοῦ διάκονον. βόα πρὸς αὐτόν, καὶ ποιήσει τὴν ἐκδίκησιν ἐν τάχει· συντελέσει τὴν πονηρίαν ἁμαρτωλῶν, καὶ κατευθυνεῖ δίκαιον ὁ Θεός, κριτὴς δίκαιος, ἰσχυρός, καὶ μακρόθυμος. μακροθυμεῖ γὰρ πρὸς τὸ ἡμᾶς ἐπιστρέψαι, αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΠΑΡΑΙΝΕΤΙΚΟΣ ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ, ΕΝ Ω ἐμνημόνευσε καὶ ἐστηλίτευσε πάντα τὰ πάθη τῶν ἀνθρώπων, Λογ. α.

Ex Ms. Regio Lut.

Αεὶ μὲν μνημονεύειν Θεοῦ καλόν, καὶ πάνυ καλόν· καὶ τί ἂν γένοιτ' ἂν τούτου κάλλιον; ἡ γὰρ τῶν κριμάτων αὐτοῦ μνήμη παράκλησιν παρέχει, καθώς φησιν ὁ προφήτης· Ἐμνήσθην τῶν κριμάτων σου τῶν ἀπ' Ψαλ. ριη. νβ. αἰῶνος, Κύριε, καὶ παρεκλήθην. πόσην λοιπὸν παράκλησιν καὶ παραμυθίαν εἰκὸς καὶ εὐφροσύνην ὑποδέχεσθαι τὸν ἀεὶ τοῦ Θεοῦ μνημονεύοντα; καθὼς πάλιν ὁ αὐτὸς προφήτης λέγει· Ἐμνήσθην τοῦ Ψαλ. οϛ. γ. Θεοῦ, καὶ ηὐφράνθην. καὶ γενόμενος ἐν ἀπολαύσει τῆς ἐκ τῆς μνήμης ταύτης εὐφροσύνης,

Ψαλ. ο. ιζ. οὐκ ἔτι ἠνείχετό τι ἄλλο ἐπὶ μνήμης φέρειν, εἰ μὴ μόνον τοῦ Θεοῦ, λέγων· Κύριε, μνησθήσομαι
Ψαλ. μδ. ιη. τῆς δικαιοσύνης σου μόνου· καὶ πάλιν, Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ
Ψαλ. κα. κθ. καὶ γενεᾷ. καὶ ἀλλαχοῦ πάλιν καθολικώτερον λέγει· Μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς
Κύριον πάντα τὰ πέρατα τῆς γῆς. ὁρᾷς ὅσην ὠφέλειαν παρέχει ἡ τοῦ Θεοῦ μνήμη; ὁρᾷς ὅσην
ἰσχὺν παρέχει, ὡς καὶ τὰ πέρατα τῆς οἰκουμένης ἑλκύσαι πρὸς ἑαυτήν; καὶ οὐ μόνον εἰδωλολατρείας
ἠλευθέρωσεν, ἀλλὰ καὶ αὐτῆς τῆς μνήμης αὐτῶν λήθην ἐνεποίησεν. ἑλκυσθέντα
γὰρ ὑπὸ τῆς τοῦ Θεοῦ μνήμης καὶ φωτισθέντα καὶ γνωρίσαντα Θεὸν ἀληθινόν, λέγουσι
Ψαλ. ιε. δ. περὶ τῶν ματαίων εἰδώλων· Οὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου.
Εἶδες μνήμης Θεοῦ ἰσχύν; εἶδες ἀλλοίωσιν ἀγαθήν; εἶδες μετοικεσίαν ἐπαινουμένην;
ἀληθῶς αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου, ἤγουν τῆς Χριστοῦ ἐπιδημίας, ὅς ἐστιν ἐν
δεξιᾷ τοῦ πατρός, δι' οὗ τὰ πάντα ἐγένετο. λοιπὸν καλῶς ἐν ἀρχῇ τοῦ λόγου εἶπον, ὅτι
πάντων τῶν καλῶν κάλλιον τὸ μνημονεύειν Θεοῦ. Ταύτης τῆς μνήμης ἐν πείρᾳ γενόμενος ὁ
προφήτης, καὶ τὴν ἐξ αὐτῆς ὠφέλειαν ἐπιλαβόμενος, πάντων ἡδονῶν τε καὶ τῶν τερπνῶν ὥσπερ
Ψαλ. ο. ιζ. ἐπιλαθόμενος, ἕως καὶ τοῦ φαγεῖν τὸν ἄρτον, ἔλεγε· Κύριε, μνησθήσομαι τῆς δικαιοσύνης
σου μόνου, καὶ οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου. τῆς τοιαύτης μνήμης τὴν ὠφέλειαν
καὶ ὁ ἀπόστολος εὑρὼν καὶ γευσάμενος ἔλεγεν, οὐ πρὸς Τιμόθεον μόνον, ἀλλὰ πρὸς
β. Τιμ. β. η. πάντα ἄνθρωπον, Τιμοθέῳ λέγων· Μνημόνευε Χριστὸν Ἰησοῦν ἐγηγερμένον ἐκ νεκρῶν. καὶ
ὥσπερ ὁ ἔχων θησαυρὸν ἔν τινι τόπῳ κεκρυμμένον, πᾶσαν ὥραν, ἡμέραν τε καὶ νύκτα ὅλος ὁ νοῦς
αὐτοῦ ἐκεῖ ἐστι, καὶ ὥσπερ τις σιδηροδέσμιος παραμένει, καὶ οὔτε κἂν βραχὺ τοῦ τόπου ἀφίσταται,
Ματθ. ς. κα. καθὼς καὶ ὁ Κύριος εἶπεν, Ὅπου ὁ θησαυρός, ἐκεῖ ἐστι καὶ ἡ καρδία ὑμῶν· οὕτω καὶ ὁ
ἐπιθυμῶν ἐκείνης τῆς ὡραιότητος καὶ τῆς ἐλεύσεως τοῦ ἐπουρανίου νυμφίου, ἀεὶ αὐτοῦ ἐκείνου
μόνου μνημονεύει, ἑλκόμενος ὑπὸ τοῦ θείου ἔρωτος καὶ τῆς ἀκορέστου ἐπιθυμίας, ψάλλων ἀεὶ
Ψαλ. οϛ. γ. μετὰ τοῦ ἱεροψάλτου Δαβὶδ τό, Ἐμνήσθην τοῦ Θεοῦ, καὶ ηὐφράνθην. τοῦτο καὶ ὁ Κύριος ἐνετείλατο
Λουκ. κβ. ιθ. ἡμῖν λέγων, Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὁρᾷς πῶς μνημονεύεσθαι θέλει
παρ' ἡμῶν αὐτῶν ὁ Κύριος. μνημονεύσωμεν οὖν φιλόχριστοι τοῦ Θεοῦ πάντοτε, καὶ μὴ
ἐπιλαθώμεθα· ἵνα μὴ καὶ ἡμᾶς ὀνειδίσῃ τὸ πνεῦμα τὸ ἅγιον, ὅτι Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες,
Δευτ. λβ. ιη. καὶ ἐπελάθου Θεοῦ τοῦ τρέφοντός σε. ἀλλὰ τὸ μὲν μνημονεύειν Θεοῦ μὴ παυσώμεθα,
Λουκ. κγ. μβ. καὶ ὑπὲρ τοῦ μνημονευθῆναι ἡμῶν, αὐτῷ κράζειν μὴ ὀκνήσωμεν, Μνήσθητι ἡμῶν,
Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. ὥσπερ δὲ καλὸν μνημονεύειν Θεοῦ διὰ τὴν ἀκόρεστον
ἐκείνην εὐφροσύνην, οὕτω πάλιν μέγα κέρδος καὶ ὠφέλειαν ἔχοι ἂν ἡ μνήμη, οὐ μόνον
τῶν τερπνῶν καὶ λοιπῶν χαροποιῶν, ἀλλὰ καὶ τῶν σκυθρωπῶν καὶ λυπηρῶν. καὶ γὰρ τῶν τοιούτων
ἐννοεῖν βελτιώτερον ἀπεργάζεται τὸν μνήμονα, καὶ σπουδαιότερον γενέσθαι παρασκευάζει.
καὶ ποίων, φησί, σκυθρωπῶν; οὐκ ἐννοεῖς, ὡς οἶμαι, ἤδη καὶ διδαχθῆναι ζητεῖς; ἄκουσον
ἐκ τῶν πολλῶν ὀλίγα, τοῦ βασανιζομένου πλουσίου οἰκτρὰς φωνὰς πρὸς τὸν φιλόξενον πατριάρχην
Ἀβραὰμ γενομένας· ὅστις διὰ τὴν ἑαυτοῦ ἀσπλαγχνίαν οὐκ ἴσχυσε τὸ δεινὸν ἐκεῖνο
καὶ φοβερὸν χάσμα παρελθεῖν, ὅπερ ὤρυξεν αὐτῷ ἡ ἀσπλαγχνία· ὁμοίως δὲ καὶ τῶν
πέντε μωρῶν παρθένων, ἅσπερ τὸ ἀνήλεον ὁμοίως ἔξω τοῦ μακαρίου νυμφῶνος ἀποκλεισθῆναι
κατεδίκασεν· εἶτα τῶν ἐξ εὐωνύμων πάλιν τὸν ὀνειδισμόν, τὴν αἰσχύνην, τὴν ἐντροπήν, καὶ
Ματθ. κε. μα. τέλος καὶ ἐπώδυνον ἀπόφασιν, τό, Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι. ἐννόει δὲ κἀκεῖνον καὶ
μάλιστα τὸν τὰς χεῖρας καὶ πόδας δεσμευθέντα, καὶ τοῦ βασιλικοῦ καὶ ἐνδόξου γάμου μετὰ μεγάλης
αἰσχύνης ἐκβληθέντα, καὶ εἰς τὸν ἔκθαμβον καὶ φρικτὸν ἐκεῖνον τόπον ἐξορισθέντα, ὅπου ὁ
κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων· οὗ καὶ μόνον ἡ ἀκοὴ βάσανον ἐμποιεῖ. καὶ γὰρ καὶ τῶν τοιούτων μνημονεύειν,
καθὼς προειρήκαμεν, οὐ μικρὸν κέρδος ψυχῆς. τὸ μὲν γὰρ Θεοῦ μνημονεύειν, ὡς ὁ λόγος,
εὐφραίνει τὸν μνήμονα, καὶ ἐπὶ τὰ ὑψηλὰ ἕλκει· ἡ δὲ τῶν σκυθρωπῶν μνήμη φόβον ἐπάγ

καὶ κατανύξει, καὶ ἐναγώνιοι καὶ σπουδαῖοι καθὼς οἱ τῶν ἀνθρώπων. τίς γὰρ ἐπὶ μνήμης φέρων τὴν ἀπαραμύθητον ἐκείνην ἀποτυχίαν, οὐ κατανύγεται καὶ ὀδύρεται καὶ συντρίβει τὴν ἑαυτοῦ καρδίαν; τίς οὐ βρέχει δάκρυσι καὶ τὴν κλίνην, καὶ τὸ στῆθος, καὶ ὅλον τὸ σῶμα, ἐννοῶν τὴν τοσαύτην ζημίαν, καὶ μάλιστα μὴ ἔχουσαν παντελῶς παραμυθίαν ἢ παράκλησιν; πᾶσα γὰρ ἀστοχία ἢ ναυάγιον πρὸ τελευτῆς ἔχει διόρθωσιν καὶ παραμυθίαν. εὑρίσκει γὰρ ἕκαστος ἀντὶ ὧν ἀπώλεσεν ἕτερα, τῆς πανηγύρεως τέως ἱσταμένης, καὶ παραμυθεῖται τὴν ἑαυτοῦ θλίψιν. ἡ δὲ μετὰ τὴν ἔξοδον ἀποτυχία ἀπαραμύθητον ἔχει πένθος. ἀνακαλέσασθαι γὰρ ὃ ἀπώλεσεν, οὐ δύναται. κἂν γὰρ ταράττηται, κἂν στενάζῃ, κἂν ὀδύρηται, ἢ καὶ δάκρυα ἐκχέῃ, κἂν φωνὰς ὑψηλὰς ἐπαφίῃ, πάντα ἀπρόσδεκτα. διὰ τοῦτο πᾶσα γραφὴ βοᾷ, διὰ τοῦτο πᾶσα σπουδὴ ἐνομοθετήθη, διὰ τοῦτο ἀγῶνες, διὰ τοῦτο προσευχαὶ καὶ δεήσεις, διὰ τοῦτο κλαυθμοὶ καὶ ἀγρυπνίαι· διὰ τοῦτο χαμευνίαι, τῆξις σώματος, ξηροφαγίαι, ἀποταγαί, παρθενία, πτωχεία πνεύματος, διακονίαι, ἐλεημοσύναι, ἀναχώρησις κόσμου· διὰ τοῦτο ὑπομονὴ τῶν ἐπερχομένων, καὶ αἰσχύνη ἀτιμίας καὶ μίσους καὶ διωγμῶν καὶ ἐμπτυσμάτων καὶ ῥαπισμάτων καὶ πάντων τῶν πειρασμῶν, κατὰ μίμησιν τοῦ Κυρίου καὶ Στεφάνου καὶ λοιπῶν ἁγίων, ἵνα μὴ ἐν τῇ ὥρᾳ ἐκείνῃ ἀστοχήσωμεν τὴν δεινὴν ἀστοχίαν· καὶ μάλιστα ἔχοντες ὑπὲρ πᾶσαν πόλιν καὶ πᾶν ὀχύρωμα τὰς τοῦ Κυρίου ἡμῶν ἐντολάς. ποίας; τό, Ἐγὼ μεθ' ὑμῶν εἰμι· τό, Οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς· καί, Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα· Τηρεῖτε τὴν κεφαλήν· Παντὸς γὰρ ἀνδρὸς ἡ κεφαλὴ ἐγώ εἰμι· τηρεῖτε τὴν κεφαλήν, μὴ ἐπιλάθησθε Κυρίου τοῦ Θεοῦ· Ἔχοντες τὴν ἀπολύτρωσιν τῶν ψυχῶν ὑμῶν ἐν τῷ σώματι καὶ αἵματί μου· Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν, καὶ ὑμῶν σωτηρίαν. ὁρᾷς πῶς ἐντέλλεται μὴ ἐπιλανθάνεσθαι αὐτοῦ, καὶ πῶς προτρέπεται ἀεὶ μνημονεύειν αὐτοῦ, καθὼς καὶ προείρηται; διὰ τοῦτο λέγω πρὸς πάντα ἄνθρωπον, καθάπερ καὶ Παῦλος Τιμοθέῳ γράφων· Τέκνον Τιμόθεε, ἀεὶ μνημόνευε, καὶ μηδέποτε ἐπιλάθῃ Θεοῦ τοῦ τρέφοντός σε, μηδὲ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ. μνημόνευε δὲ συνεχῶς μάλιστα τὰς φοβερὰς ἐκείνας τοῦ δικαστοῦ φωνάς, ἃς πρὸς τοὺς ἐξ εὐωνύμων ἀσπλάγχνους ἐφθέγξατο· ἔτι δὲ καὶ πρὸς τὰς μωρὰς πέντε παρθένους· ὁμοίως καὶ πρὸς τὸν ἀνηλεῆ ἐκεῖνον πλούσιον διὰ τοῦ πατριάρχου Ἀβραὰμ διελέχθη· πρὸς τούτοις δὲ καὶ πρὸς τὸν ἄλλον πλούσιον καὶ πλεονέκτην τὸν τὰς ἀποθήκας πλατύναντα εἰς ἀμέτρητον ἔκτασιν. ἆρα ἐπίστασαι ὁποία πρὸς ἀμφοτέρους αὐτῶν ἀπόφασις δέδοται; ἆρα μνημονεύεις τὰς τοιαύτας σκυθρωπὰς φωνάς; ἆρα κατέχεις κἂν βραχύ τι ῥῆμα ἐν τῇ καρδίᾳ σου ἐκ τῶν ἀναγνωσθέντων θείων ῥημάτων; καὶ εἰ ταῦτα οὐ γινώσκεις, τί λοιπὸν συνάγῃ εἰς τὴν ἐκκλησίαν, εἰπέ μοι; οὐχὶ ἵνα ἀκούσῃς τὰς φωνάς, σπεύδεις συνάγεσθαι καὶ ὠφεληθῆναι; εἰ μὲν οὖν διὰ τοῦτο συνάγῃ ἐν τῇ ἐκκλησίᾳ, ἡ σπουδή σου ἐπαινετή, καὶ πληροῦται ἐπὶ σὲ τὸ τοῦ Κυρίου λόγιον· Τὰ ἐμὰ πρόβατα τῆς φωνῆς μου ἀκούει. οἶδα γὰρ πολλοὺς συνερχομένους, οὐ διὰ Θεόν, οὐδὲ δι' ἀκρόασιν τῶν ἁγίων αὐτοῦ ῥημάτων. τοὺς μὲν γὰρ ὁρῶ νυστάζοντας, τοὺς δὲ ὧδε κἀκεῖσε μετεωριζομένους· ἄλλους πρὸς φίλους διαλεγομένους. καὶ ὁ μὲν Κύριος ἡμῶν πρὸς ἡμᾶς διαλέγεται εὐσπλάγχνῳ φωνῇ λέγων, Ὑμεῖς φίλοι μου ἐστέ· ἡμεῖς δὲ ἐκεῖνον καταλιπόντες λαλοῦντα, τοὺς φίλους ἐντιμοτέρους ἐποιησάμεθα. ἑτέρους ὁρῶ ἀτάκτως θορυβοῦντας, καὶ ταῦτα τολμῶσιν ἐπὶ τοῦ Θεοῦ λαλοῦντος πρὸς ἡμᾶς. ὢ τῆς βαθείας ἀφροσύνης, ὢ τῆς ἀνάτου ἀναισχυντίας, ὢ τῆς χαλεπῆς παραφρονήσεως. βασιλεὺς ὁμοιοπαθὴς ἡμῖν πολλάκις διαλέγεται πρὸς τὸν λαόν, καὶ πάντες ὥσπερ ἄψυχοι στῆλαι ἄφθογγοι μένουσιν, ἄχρις ἂν καταπαύσῃ ὁ λαλῶν. καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ γράμματα αὐτοῦ πολλάκις ἀναγινωσκόμενα, ἐν τόπῳ πολλὴν ἡσυχίαν ποιοῦσι τοῖς παρεστῶσιν ἀκροαταῖς, ὡς δοκεῖν μὴ εἶναι ἐκεῖσέ τινα, ἀλλ' ἢ μόνον τὸν ἀναγινώσκοντα τὰ τοῦ βασιλέως γράμματα. ἐν-

ταῦθα

Ματθ. κη. κ.
Ιωαν. ιδ. ιη.
Ματθ. ι. κη.
Κολασ. α. ιδ.
α. Κορ. ια. γ.
Δευτ. η. ια.
Εφ. α. ζ.
Λουκ. κβ. ιθ.
β. Τιμ. β. η.
Ιωαν. ι. γ.
Ιωαν. ιε. ιδ.

ταῦτα δὲ προφῆται καὶ ἀπόστολοι καὶ πατριάρχαι, οἱ πάντων βασιλέων ὑψηλότεροι,
διαλέγονται, τί βούλεται Θεός, καὶ πῶς θεραπεύεται, καὶ ποίῳ τρόπῳ δυνησόμεθα
διαπεράσαι τὴν χαλεπὴν θάλασσαν τοῦ βίου· ἡμεῖς δὲ λῆρον τὰ ῥήματα ἡγούμεθα,
καὶ μᾶλλον ἀργοῖς ῥήμασι προσκαρτεροῦντες, ἀνάπαυσιν λογιζόμεθα. ἆρα θεραπεύεται
Ματθ. ε. ιδ. ἐπὶ τούτοις ὁ Κύριος, ὁ εἰπὼν πρὸς τοὺς ὁμιλοῦντας πρὸς ἡμᾶς ἁγίους, Ὑμεῖς ἐστε τὸ
φῶς τοῦ κόσμου; καὶ τί λέγω περὶ λειτουργῶν καὶ δούλων; αὐτοῦ τοῦ πάντων δεσπότου καὶ βασιλέως
τῆς δόξης, ὃν φρίττει πᾶσα ἡ κτίσις, καὶ ὑμνεῖ πᾶσα πνοή, διὰ τῶν ἀχράντων εὐαγγελίων
διαλεγομένου πρὸς ἡμᾶς, νουθετοῦντος, ἀπειλοῦντος, παρακαλοῦντος, προσκαλουμένου,
τὴν ἀπλήρωτον αὐτοῦ καὶ ἀκήρατον βασιλείαν δωρουμένου, οὕτως αὐτῷ προσέχομεν,
ὡς ὅτι ἀσθενὴς ἢ πτωχὸς ἄνθρωπος πρὸς ἡμᾶς ἀδολεσχεῖ διαλεγόμενος, καὶ οὐδὲ κἂν ὡς φίλου
τινὸς, προσέχομεν. ὄντως μάταιοι υἱοὶ τῶν ἀνθρώπων· ὄντως εὐκαιρεῖ πρὸς τοὺς τοιούτους
Ψαλ. ϟγ. η. εἰπεῖν, Μωροὶ, πότε φρονήσετε; ἁρμόσει δὲ πρὸς αὐτοὺς καὶ ἕτερος τοῦ προφήτου
Ψαλ. οζ. λγ. στίχος ὁ λέγων, Ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν. τοὺς γὰρ ἀγγελικοὺς ὕμνους καὶ τὰ
θεῖα ῥήματα ἀποβαλόντες καὶ λῆρον ἡγησάμενοι, ἠγάπησαν ἀργολογίαν, καὶ προσελάβοντο
ὕπνον. ὕπνος δὲ τῶν τοιούτων, οὐχ ὁ ὕπνος ἐστὶν, ἀλλ' ἡ ῥᾳθυμία, ὁ χαλεπὸς ὕπνος τῆς ψυχῆς,
ὁ ζημιωτὴς τῶν χειρονοτέρων, ἡ τυφλότης τῆς καρδίας, ἡ συλήτρια τῶν θησαυρῶν τοῦ πνεύματος·
Ψαλ. ιβ. δ. περὶ οὗ ὁ προφήτης ἐδέετο τοῦ Θεοῦ λέγων, Φώτισον τοὺς ὀφθαλμούς μου, μή ποτε
Παροιμ. ϛ. θ. ὑπνώσω εἰς θάνατον· περὶ οὗ καὶ Σολομὼν ἐπιπληκτικώτερον ἔγραψε λέγων, Πότε δὲ ἐξ Ισ. ξ.
Ματθ. κ. ϛ. ὕπνου ἐγερθήσῃ; οἱ καὶ ἀκούσονται τὸ, Τί ἑστήκατε ὅλην τὴν ἡμέραν, ἤγουν ὅλον τὸν βίον ἀργοί;
οἱ τοιοῦτοι καὶ ἐν ταῖς συνάξεσιν ἀσύντακτοι, καὶ ἐν ἑορταῖς ἀνέορτοι, καὶ ἐν ταῖς εὐχαῖς
ἀνευλόγητοι, ἐν τῇ μνήμῃ τῶν ἁγίων ἀμνημόνευτοι, ἐν τῷ τὴν εἰρήνην διδόναι ἀδόκιμοι,
ἐν τῇ ἐκκλησίᾳ ἀνέτοιμοι, ἐν τῇ μεταλήψει ἀνάξιοι, ἐν τῇ κοιμήσει τῆς ἐξόδου τεταραγμένοι
καὶ ἔμφοβοι καὶ κατηφεῖς καὶ σκοτεινοὶ καὶ ἀπεγνωσμένοι. περὶ ὧν ὁ προφήτης προεκήρυξεν,
Ψαλ. ρμε. γ. Ὅτι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτῶν.

Εἶδες πόσην ζημίαν περιέχει ἡ ῥᾳθυμία; ὁ πικρὸς ὕπνος, ὁ τῶν ψυχῶν λάκκος, καὶ τῶν χειρονοτέρων
συνόμιλος, καὶ σύσκηνος, καὶ διδάσκαλος; διὸ καὶ ὁ Παῦλος διὰ τὴν πολλὴν χαυνότητα
β. Τιμ. γ. ϛ. καὶ μαλακίαν γυναῖκας ὀνομάζει, καὶ οὐδὲ γυναῖκας ἁπλῶς, ἀλλὰ γυναικάρια σεσωρευμένα
(ἔθος γὰρ ταῖς τοιαύταις γυναιξὶ συγκουσουδιάζειν καὶ συνεδριάζειν καὶ φλυαρεῖν
τὰ μὴ δέοντα αὐταῖς, ἃς οὐ ποιμαίνει ὁ Θεός· οὐ γὰρ προέθεντο τὸν Θεὸν ἐνώπιον αὐτῶν)
πάντοτε μανθάνοντα, καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυνάμενα. ὁ δὲ ἀγαπῶν
τὸν Κύριον ἐν ὅλῃ καρδίᾳ, καὶ ἔχων τὴν αὐτοῦ μνήμην ἀλάθητον, ἅμα ἀκούσει τοῦ κήρυκος
ἐπὶ τὴν φοβερὰν ἐκείνην προσκαλουμένου ζωοποιὸν θεοσφαγίαν, σπουδαίως ἀνίσταται·
καὶ πρότερον μὲν ἐννοεῖ μήπου κατά τινος ἔχει, ἢ ἄλλος κατ' αὐτοῦ· καὶ τοῦτο κατορθώσας τὸ
ἐμπόδιον τῆς σωτηρίας, καὶ ἑαυτὸν ἐλευθερώσας καὶ λύσας ἀπὸ τοῦ τοιούτου χαλεποῦ δεσμοῦ,
τρέχει πρὸς τὴν τῶν θείων λογίων ἀκρόασιν· ὃν τρόπον ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων,
οὕτως ἐν πίστει καὶ πόθῳ τρέχων καταλαμβάνει τὸν πνευματικὸν τοῦ Θεοῦ λιμένα. καὶ σὺ σφίγξας
ἑαυτὸν καὶ συναγαγὼν ἑαυτοῦ τὴν διάνοιαν, καὶ πᾶσαν βιωτικὴν τέως ἀπορριψάμενος μέριμναν,
ἑτοιμάζῃ τὰς ἀκοὰς πρὸς ἀκρόασιν τῆς ἀγγελικῆς μελῳδίας· εἶτα τοῦ ἱεροψάλτου Δαβὶδ
Ψαλ. ξε. δ. βοῶντος, Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ· δεῦτε τέκνα, ἀκούσατέ μου φόβον καὶ ἀγαλλίασιν, θυσίαν
δικαιοσύνης καὶ ἀναφοράν· δεῦτε ἴδετε ἐπὶ τὸ θυσιαστήριον τὸν σιτευτὸν μόσχον, καὶ τὸν ἀμνὸν
Ψαλ. λγ. γ. τοῦ Θεοῦ θυόμενον, καὶ μὴ θανατούμενον. Μεγαλύνατε τὸν Κύριον, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ
Ησ. νγ. θ. ἐπὶ τὸ αὐτό. γεύσασθε καὶ ἴδετε ὅτι Χριστὸς ὁ Κύριος. εἶτα Ἠσαΐας, ἡ χελιδὼν τῆς
χ. μδ. κγ. ἐκκλησίας, μεγάλῃ τῇ φωνῇ κράζει· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη. Εὐφράνθητε οἱ
οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ, ὅτι ἠλέησεν ὁ Θεὸς τὸν λαὸν αὐτοῦ. Βάδιζε, λαός μου, εἰς τὸ ἀκροατήριον,

κροατήριον, ἀκούσατε τί ὁ Κύριος διὰ τοῦ στόματός μου προστάσσει. Εἴπατε, ἀδελφοί, τοῖς μισοῦσιν ὑμᾶς καὶ τοῖς βδελυσσομένοις, ἵνα τὸ ὄνομα Κυρίου δοξασθῇ. Εἶτα ὁ διάδοχος Ἠσαΐου Παῦλος, ἡ λύρα τοῦ ἁγίου πνεύματος, ὁ τέττιξ τῆς ἐκκλησίας, τὸ τοῦ Χριστοῦ κατοικητήριον, ἀνυψούμενος ἐπὶ τοῦ ἄμβωνος λαμπρᾷ τῇ φωνῇ κράζει ἐν παρρησίᾳ· Τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός, Ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις· Διὰ τοῦ αἵματος αὐτοῦ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν ἐλάβομεν. Δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτόν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω. τί δέ ἐστι, δοκιμαζέτω τις ἑαυτόν; τουτέστιν, ἐννοείτω τὰ γεγραμμένα, καὶ ἐρευνάτω ἑαυτόν, μήποτε ἀνέτοιμός ἐστι τῆς ὑποδοχῆς τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου, καὶ οὐκ ἡτοίμασεν ἑαυτόν, ὥσπερ ὁ Συμεών, καὶ ὥσπερ Ἄννα ἡ προφῆτις, καὶ ὥσπερ ἐν σινδόνι καθαρᾷ ὁ Ἰωσήφ. ἐὰν οὕτως ἑαυτὸν ἡτοιμάσας, αὐτῷ θαρρῶν, πίστει καὶ φόβῳ πρόσελθε βοῶν καὶ λέγων, Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ ζῶντος, καὶ οὐ κατακριθήσῃ ὁ σπουδάσας ποιῆσαι ἑαυτὸν ἄξιον. Ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει. Ὁρᾶτε, ἀδελφοί, μή τις κακὸν ἀντὶ κακοῦ ἀποδώσῃ. Ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν. Βλέπετε πῶς περιπατεῖτε. ὁρᾷς πόσα ἀγαθὰ καὶ ὁποίαν χαρὰν δέχεται ὁ ἀγαπῶν τὸν Θεόν, καὶ δι᾽ αὐτὸν συναγόμενος; ἄκουε πάλιν Ἰωάννου κράζοντος· Παιδία, ἐσχάτη ὥρα ἐστί, καὶ ὁ ἀντίχριστος ἔρχεται· καὶ νῦν ἀντίχριστοι πολλοὶ γεγόνασιν. Ἀλλὰ μὴ παντὶ πνεύματι πιστεύετε, ὅτι πολλοὶ πλάνοι ἐξῆλθον εἰς τὸν κόσμον. Εἶτα ὁ ἀδελφόθεος Ἰάκωβος παρελθὼν εἰς μέσον λέγει· Πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις. Μακάριος ἀνήρ, ὃς ὑπομένει πειρασμόν, ὅτι δόκιμος γενόμενος λήψεται τὸν ἀμαράντινον στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο ὁ Κύριος τοῖς ἀγαπῶσιν αὐτόν. μετὰ τοῦτον Πέτρος ὁ ὑψηλὸς ἀναδραμὼν κράζει· Ἀγαπητοί, πάντων τὸ τέλος ἤγγικε, γρηγορήσατε καὶ νήψατε εἰς προσευχάς. ἀποθέμενοι οὖν πᾶσαν κακίαν καὶ πάντα δόλον, καὶ ὑποκρίσεις, καὶ φθόνους, καὶ πάσας καταλαλιάς, ὡς ἀρτιγέννητα βρέφη, τὸ λογικὸν ἄδολον γάλα ἐπιποθήσατε. Εἶτα τοῖς ἀναγνώσμασι διαδέχεται ἡ οὐράνιος λαλιὰ τῶν ἀγγέλων, ὁ τοῦ Θεοῦ αἶνος, τῶν ἄνω δυνάμεων ἡ πραγῳδία. καθὼς ὁ μακάριος Ἰωάννης ἑώρακέ τι καὶ ἔγραψε λέγων· Ἤκουσα τῶν ἄνω δυνάμεων ὡς φωνὴν ὄχλων πολλῶν, καὶ ὡς φωνὴν βροντῶν ἰσχυρῶν λεγόντων, ἀλληλούϊα. μετὰ τοῦτο ὅτε λοιπὸν προεκηρύχθη πάντα, καὶ καταπαύουσιν οἱ πρόδρομοι καὶ λειτουργοὶ κηρύττειν καὶ μηνύειν τοῦ δεσπότου τὴν ἐπὶ τοῦ ἄμβωνος ἄνοδον, τῶν ἱερέων τέως καθεζομένων, καὶ τῶν λειτουργῶν σιωπησάντων, καὶ τῆς ὥρας καταφθαζούσης τοῦ ἀναφλυιῶσαι ἐφ᾽ ὑψηλοῦ τόπου τὸν ἀκόρεστον δεσπότην καὶ Κύριον τῆς δόξης, καὶ τοῦ λαοῦ τὰς ἀκοὰς ἑτοιμάζοντος πρὸς ἀκρόασιν τῶν θεολέκτων καὶ ζωοποιῶν ῥημάτων, καὶ ὠθουμένων ἑαυτῶν, καὶ τῷ ἄμβωνι πλησιαζόντων, καὶ σιγῆς πολλῆς γενομένης, ὅτε λοιπὸν οὐκ ἔξεστί τινα καθέζεσθαι, οὐκ ἀρχιερέα, οὐχ ἱερέα, οὐ βασιλέα ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης τοῦ ἀναφαινομένου, κράζουσιν ἐν δυνάμει οἱ τὴν τῶν ἀγγέλων ἐπέχοντες τάξιν λέγοντες πρὸς πάντας μικρούς τε καὶ μεγάλους· ὀρθοὶ πάντες ἀκούσωμεν τί λαλήσει Κύριος ὁ Θεός· ὀρθοὶ ἀκούσωμεν τί κελεύσει, καὶ τί βούλεται ὁ βασιλεὺς τῶν βασιλέων· ὀρθοὶ ἀκούσωμεν ῥήματα καὶ ἐντολὰς ζωῆς αἰωνίου. ἡ γὰρ ἐντολὴ αὐτοῦ, ζωὴ αἰώνιός ἐστι. τὸ δέ, ὀρθοί, τί ἄρα σημαίνει ἢ καταδέχεται; οἶδα γὰρ ὅτι πολλοὶ τὴν ἐκ τῶν θρόνων ἔγερσιν νοοῦσι καὶ μόνον. ἐγὼ δὲ πλέον τι ὑπονοῶ ἔχειν βάθος τὸ ῥῆμα· καὶ οὐ μόνον τὴν ἐκ τῶν θρόνων ἀνόρθωσιν, ἀλλὰ καὶ μυστικώτερόν τι σημαίνειν νόημα· τουτέστιν, ὀρθοὶ τῇ πίστει, ὀρθοὶ τῇ καρδίᾳ, ὀρθοὶ τοῖς λογισμοῖς, τῇ ἀγάπῃ, τῇ ὁμολογίᾳ, ὀρθοὶ πρὸς πᾶσαν ἐντολὴν τοῦ Κυρίου, ὀρθοὶ ἄνω πρὸς τὸν οὐρανόν. ὡς λογικοὶ τὰ ἄνω φρονεῖτε, καὶ μὴ ὡς τὰ κτήνη κάτω νεύοντες. Εἶτα πάντων ἀναστάντων καὶ ἐν φόβῳ ἱσταμένων, ἀκοῦσαι τί ἄρα Κύριος διηγήσεται ἡμῖν ἐν γραφῇ, καθὼς προεσήμανεν ὁ προφήτης

Ησ. ξϛ. ε.
α. Κορ. ε. ζ. καὶ α. λ.
Κολασ. α. ιδ.
α. Κορ. ια. κζ.
Ματθ. ιϛ. ιϛ.
α. Κορ. ια. κθ.
α Θεσ. ε. ιε.
Εφ. δ. κϛ. καὶ ε. ιε.
α. Ιωαν. β. ιη.
β. Ιωαν. ζ
Ιακωβ. α. β. ιβ.
α Πετ. δ. ζ. καὶ β. α.
Αποκαλ. ιθ. ϛ.

ὁ προφήτης Δαβὶδ, τί κελεύει, τί ἐντέλλεται, τί βούλεται ὁ φοβερὸς ἐν βουλαῖς. Εἶτα ἀνυψοῦται καὶ ὁ πολυτίμητος μαργαρίτης καὶ προσδοκία τῶν ἐθνῶν, ἡ φωταγωγία τοῦ κόσμου, ἡ χάρις ἡ ἐκ τῶν χειλέων χυθεῖσα τοῦ σωτῆρος ἡμῶν Θεοῦ, ἡ ἄνεσις τῶν θλιβομένων, ἡ λύσις τῶν δεδεμένων, ἡ λύτρωσις τῶν ἀνθρώπων, ἡ ἀνόρθωσις τῶν πεπτωκότων, τὸ ἰατρεῖον τῶν νοσούντων, ἡ ἐλπὶς τῶν ἀπηλπισμένων, ἡ βοήθεια τῶν καταπονουμένων, ἡ χαρὰ τῶν μετανοούντων, ἡ καταφυγὴ τῶν διωκομένων, ὁ νόμος τῆς ἐλευθερίας τῶν καταδυναστευομένων ὑπὸ τοῦ ἀλλοτρίου, ἡ σαγήνη ἡ μὴ θανατοῦσα, ἀλλὰ ζωοποιοῦσα τοὺς ἐν τῇ ἁλμυρᾷ τοῦ κόσμου θαλάσσῃ βυθιζομένους, αἱ πηγαὶ τῶν ὑδάτων, τὰ θεμέλια τῆς οἰκουμένης, οἱ ἐκ τοῦ παραδείσου τοῦ ἁγίου στόματος τοῦ Χριστοῦ ἐκπορευόμενοι τέσσαρες ποταμοί. καὶ ἀνοιχθέντων τῶν θείων καὶ σεπτῶν καὶ ἀχράντων εὐαγγελίων, κράζουσι πάλιν μετὰ φόβου οἱ ἐπίγειοι ἄγγελοι, οἱ ἱερεῖς, φημὶ, πρὸς τὸν λαὸν, πρόσχωμεν· τουτέστιν, ὧδε ὁ νοῦς ἑκάστου, ὧδε αἱ καρδίαι πάντων, μηδεὶς μετεωριζέσθω, μηδεὶς περιβλεπέσθω, μηδεὶς ψιθυριζέσθω. πρόσχωμεν, Θεὸς ὁ λαλῶν· πρόσχωμεν, οὐρανοῦ γὰρ καὶ γῆς καὶ πάσης κτίσεως ὁ βασιλεὺς πρὸς ἡμᾶς διαλέγεται· πρόσχωμεν, ὁ ποιμὴν ὁ μέγας τροφὴν ζωῆς ψυχῶν διανέμει· πρόσχωμεν, ὁ τὸν θάνατον φονεύσας, καὶ τὸν κόσμον νικήσας, χαρὰν ἀπέραντον καὶ βασιλείαν μὴ ἔχουσαν τέλος ἐπαγγέλλεται ἡμῖν τοῖς ἀναξίοις. ὢ τῆς ἀνεικάστου φιλανθρωπίας, ὢ τῆς ἀνεκδιηγήτου ἀγαθότητος. ὅτι αὐτὸς ὁ ἀόρατος, ὁ ἀχώρητος, ὁ πάντων δημιουργὸς καὶ δεσπότης, ὃν φρίττει ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ ἡ θάλασσα, ᾧ κάμπτει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, οὐ δι' ἀγγέλου, ἢ διὰ τῶν σεραφεὶμ, ἢ δι' ἄλλου τινὸς λειτουργοῦ, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ διαλέγεται πρὸς ἡμᾶς τοὺς ἀναξίους, πληρῶν τὴν προφητείαν Ἡσαΐου τοῦ προφήτου Ἡσ. λε. δ. λέγοντος· Οὐ πρέσβυς, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἥξει καὶ σώσει ἡμᾶς. ὁμοίως δὲ καὶ Ψαλ. πς. ς. Δαβὶδ περὶ τούτου προεκήρυξε λέγων· Ὅτι αὐτὸς ὁ Κύριος διηγήσεται ἐν γραφῇ λαῶν. ὅ- Ἑβρ. β. α. θεν ὁ ἱερὸς ἀπόστολος καθαπτόμενος ἡμῶν ἐντρεπτικώτερον ἔγραψε λέγων· Διὰ τοῦτο δεῖ περισσοτέρως ἡμᾶς προσέχειν διὰ τὸν λαλοῦντα Κύριον. Εἰ γὰρ ὁ δι' ἀγγέλου λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας, ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη; διὰ τοῦτο δεῖ περισσοτέρως ἡμᾶς προσέχειν. διὰ τί ἄρα εἰπὲ, Παῦλε; διότι οὐ δι' ἀγγέλου, οὐδὲ δι' ἄλλων τινῶν δυνάμεων διαλέγεται πρὸς ἡμᾶς, καθὼς καὶ πρὸς τοὺς ἀρχαίους, ἀλλ' αὐτὸς ὁ τῶν ἀγγέλων καὶ πάσης πνοῆς Κύριος διαλέγεται καὶ διηγεῖται καὶ διαγγέλλει τὸ πρόσταγμα τοῦ πατρὸς, ὥσπερ τις πένης. τίς οὐ φρίξει; τίς οὐ θαυμάσει; τίς δὲ οὐ κατανυγεῖ ἐν τῇ τοσαύτῃ ἀγαθότητι καὶ συγκαταβάσει τοῦ φιλανθρώπου; ἆρα ταῦτα λέγοντες πείσομεν ὑμᾶς, ἢ κἂν τινας ἐκ τοῦ πλήθους, περισσοτέρως προσέχειν τῷ λαλοῦντι Θεῷ; πιστεύω εἶναι πολλοὺς ἐξ ὑμῶν προσέχοντας ἐμπόνως καὶ ἀμετεωρίστως· οἵτινες καὶ ἀκούσονται τοῦ Κυρίου πρὸς τὸν πατέρα λέ- Ἰωάν. ιζ. ια. γοντος, ὅτι καὶ οὗτοι ἐπίστευσαν ὅτι σύ με ἀπέστειλας· Πάτερ, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου. οἱ δὲ μὴ πιστεύσαντες ἀκούσονται, ὑμεῖς οὐκ ἐστὲ ἐκ τῶν προβάτων τῶν ἐμῶν· τὰ γὰρ ἐμὰ πρόβατα τῆς φωνῆς ἀκούει τῆς ἐμῆς. ἆρα οὐκ ἐφρίξατε τοιαῦτα ἀκούοντες; ἕως πότε βαρυκάρδιοι; ἕως πότε νήπιοι ταῖς φρεσίν; ἕως πότε οὐ προσέχετε τῷ λαλοῦντι, καὶ στήκετε ὡς πρέπει χριστιανοῖς, ἄνω τὰς καρδίας ἔχοντες, ἀλλ' ἐποιήσατε βυςάσιον καὶ πραιτώριον καὶ καπηλεῖον τὴν ἐκκλησίαν; Ῥωμ. α. κη. βλέπετε μήπως ἐφ' ὑμᾶς πληρωθῇ τὸ φοβερὸν τοῦ ἀποστόλου ῥητὸν τὸ λέγον· Καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς εἰς ἀκαθαρσίαν. ἡμεῖς δὲ καταλιπόντες τοὺς τὴν καρδίαν ἀπολωλεκότας, περὶ ὧν ὁ Σολομὼν ὡς ἐκ προσώπου τοῦ Παροιμ. α. κδ. Κυρίου ἔλεγεν, ὅτι Ἐκάλουν, καὶ οὐχ ὑπηκούετε, ἐξέτεινον λόγους, καὶ οὐ προσείχετε, ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν, καὶ τῷ ἄμβωνι προσπελάσωμεν, καὶ ἀκούσωμεν τί λαλήσει ἐν ἡμῖν.

ἴσ. ἀνικήτ

ἡμῖν Κύριος ὁ Θεός, ὁ μέγας εὐαγγελιστής, ὁ τὸ οὐράνιον τοῦ πατρὸς πρόσταγμα διαγγέλλων ἡμῖν ἐπὶ γῆς. δηλοῖ δὲ ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ, ὡς Θεὸς εἰρήνης· ἢ προσκαλεῖται πρὸς αὐτόν, ὡς ἀγαθός, τοὺς καταπονουμένους, καὶ ἀντιλαμβάνεται ὡς βασιλεὺς δίκαιος· τοὺς κλαίοντας εἰς μετάνοιαν μακαρίζει, ταλανίζει τοὺς ἐν ὑποκρίσει βιοῦντας, μακαρίζει τοὺς γρηγοροῦντας, καὶ ταλανίζει τοὺς ῥαθύμους· δοξάζει τοὺς εὐσπλάγχνους, ὡς εὔσπλαγχνος, καὶ μακαρίζει τοὺς ἐλεήμονας, ὡς ἐλεήμων. Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. ὡς δὲ ἀλλότριος τῆς ἀσπλαγχνίας καὶ ξένος τῆς ἀπηνείας καὶ ἀμέτοχος πάσης κακίας, τὴν ἀσπλαγχνίαν ἀπωθεῖται καὶ ἐξορίζει, καὶ ἀποστρέφεται τοὺς ἀπηνεῖς καὶ δυσελεήμονας καὶ ἀμεταδότους· καὶ συνερεῖ λόγοις μετ' αὐτῶν, ποτὲ μὲν δι' ἑαυτοῦ, ποτὲ δὲ διὰ τοῦ πατριάρχου Ἀβραάμ, ἢ καὶ δι' ἑτέρων ἁγίων. τοὺς μέλλοντας τότε ἐξ εὐωνύμων εὑρίσκεσθαι αὐτοὺς ἐγκαλεῖ καὶ ὀνειδίζει, ὡς δυναμένους ἐλεῆσαι, καὶ μὴ ἐλεήσαντας. οὐ γὰρ παρὰ ἀδυνάτων ἀπαιτεῖ ὁ κριτὴς τὸ χρέος τοῦ ἐλέους (οἱ γὰρ τοιοῦτοι ἄλλων ἐνδεεῖς τυγχάνουσιν) ἀλλὰ παρὰ τῶν ἀφθόνως τὰς τοῦ Θεοῦ δωρεὰς εἰληφότων, καὶ τοῦ δεδωκότος ἐπιλαθομένων, καὶ καυχωμένων ὡς μὴ λαβόντων, πρὸς τούτους ὀνειδίζει καὶ ἐγκαλεῖ λέγων· ὦ ἀνόητοι καὶ ἄσπλαγχνοι, οὐκ ἐγὼ ὑμῖν δέδωκα τὰ ὑμῶν πάντα; τί γὰρ εἰσηνέγκατε εἰς τὸν κόσμον; οὐ γυμνοὶ ἐγεννήθητε, καὶ πάλιν γυμνοὶ ἐξέρχεσθε; οὐκ ἠκούσατε τοῦ ἀποστόλου κράζοντος, ὅτι οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον, δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα; ἐννόησον, ἄφρων, ὅτι οὐδὲν ἴδιον κέκτησαι, εἰ μὴ τὴν προαίρεσιν, εἴτε ἀγαθήν, ὡς ὁ Θεὸς εἶπεν, εἴτε ἀπηνῆ, ὡς σὺ ἠθέλησας. Τὸ ἀργύριον καὶ τὸ χρυσίον ἐμόν ἐστιν· Ὁ οὐρανὸς θρόνος ἐμός, ἡ γῆ ὑποπόδιον τῶν ποδῶν μου· τὰ πέρατα ἐν τῇ χειρί μου, τὰ σύμπαντα ἐμοὶ δουλεύει· ὁ οὐρανὸς καὶ πᾶσαι τῶν ἀγγέλων στρατιαί, ἡ γῆ καὶ ἡ θάλασσα, καὶ πᾶσα κτίσις καὶ πᾶσα πνοὴ ἐμή ἐστι, καὶ ἐμοὶ πείθεται καὶ ὑπακούει καὶ δουλεύει. σὺ μόνος ὁ ἄσπλαγχνος ἀλλότριος εὑρέθης τῆς ἐμῆς φιλανθρωπίας. Εἰπέ μοι, ἄφρων, τίς τὴν γῆν σοι ἐφήπλωσε; τίς τὰ φυτὰ κατεπύκνωσε; τίς τοῖς σπέρμασι παρέχει τὴν αὔξησιν; τίς δίδωσι τῇ γῇ ὑετὸν ἐν καιρῷ τοῦ ἀλωητοῦ, καὶ ἀνέμους ἐπιτηδείους τῷ λικμητῷ; τίς τὰ τοιαῦτα μεγέθη τῶν βοῶν ὑπέταξε, καὶ ἔπεισεν αὔλακας ἑλκύσαι, καὶ ἅλωνα συνθλάσαι, καὶ ἁμάξας περιφέρειν; οὐ ταῦτα πάντα ἀφθόνως παρέχον, καθὼς τοῖς ἀξίοις, καὶ ὑμῖν, βουλόμενος ἔχειν ὑμᾶς χορηγούς μου καὶ οἰκονόμους ἐκ τῶν ἐμῶν δωρεῶν, ἵνα ἐν καιρῷ πονηρῷ καὶ ἐν ἡμέραις λιμοῦ οἰκονομήσητέ με; καὶ ἐπείνασα, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν. ἐγὼ δέδωκα, καὶ ἐγὼ ἐπείνασα· ἐκ τῶν ἐμῶν ἐζήτησα, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν. καὶ οὐκ ᾔτησα περισσοτέρας δαπάνας, οὐδὲ τρυφήν, οὐδὲ ἐφόδια, ἀλλὰ φαγεῖν διὰ τὴν εὐπερίστατον ἀνάγκην· καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν. καὶ ἐν ταῖς ἐμαῖς δωρεαῖς πολλάκις τρυφώντων ὑμῶν, καὶ θορυβούντων καὶ εὐφραινομένων ἐν μαλακοῖς ἐνδύμασιν, ἐπ' ἔξω τῇ θύρᾳ ῥάκη περιβεβλημένος, παγετῷ συνεχόμενος, λιμῷ τηκόμενος, οὔτε κράζειν ἰσχύων ἐκ τῆς βίας τοῦ λιμοῦ· καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν. καὶ οὐκ ᾔτησα οἶνον, οὐ κρέα, οὐ σίκερα, εἰ μὴ ἄρτον ψιλόν· καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν. ὦ ἀπήνεια καὶ ὠμότης χαλεπὴ καὶ σκότος βαθύ. πῶς οὐκ ἐμνημονεύσατε τὸν δεδωκότα τὰ ὑπάρχοντα; πῶς οὐκ ἐνεθυμήθητε τοῦ δικαίου Ἰὼβ κράζοντος, Γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι; οὐδέποτε ἠκούσατε τοῦ ἱερέως ἐπὶ τῆς μυστικῆς τραπέζης βοῶντος πρός με, καὶ εὐχαριστοῦντός μοι καὶ λέγοντος, Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν; ὑμεῖς δὲ καυχᾶσθε, ὡς μὴ λαβόντες· ἐβούλεσθε ἐν τῇ εὐθηνίᾳ ἐκείνῃ ἀσάλευτοι διαμένειν εἰς τὸν αἰῶνα. καλῶς ὁ προφήτης τῶν τοιούτων πρόσωπον ἀναλαβὼν ἐθριάμβευσεν αὐτῶν τὴν νόσον λέγων· Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου, οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα. ναί, ἄρτον οὐκ ἔδωκας διὰ τὸ μὴ γνωρίσαι σε τὸν δεδωκότα Θεόν· καὶ ὑπὸ στέγην διὰ τί μὴ ὑπεδέχου; (καὶ

τοῦτο

Ψαλ. πδ. θ.

Ματθ. ε. ζ.

α. Τιμ. ς. ζ.

Αγγ. β. θ.

Ησ. ξς. α.

Ιωβ. α. κα.

Ψαλ. κθ. ια.

ἴσ. αἱ

ἴσ. εἰ

Ρωμ. α. κα.

Ιωαν. ιζ. κδ.

Ιωαν. ιε. ιδ.

ἴσ. διότι

τούτου γὰρ μισθὸς μέγας ἐστὶν) ἢ ἀσθενοῦντα μὴ ἐπεσκέψω; (οὐ γὰρ ἦν μὴ προσελθεῖν τὰ βήματά σου) ἢ ἐν φυλακῇ με ὄντα, οὐ παρεγένου, καὶ ἐχαρίσω λόγον τὸν τῆς παρακλήσεως; καὶ οὐ μὴ ἀπώλεσας τὸν μισθόν σου. ἢ καὶ περιέβαλές με γυμνητεύοντα, ἢ διψῶντα ἐπότισας ποτήριον ὕδατος, πόσην ἀνταπόδοσιν ἀνελήψω παρ' ἐμοῦ; ὑμεῖς δὲ ταῦτα πάντα δυνάμενοι ποιῆσαι, οὐκ ἐποιήσατε, Ἀλλ' ἐματαιώθητε ἐν διαλογισμοῖς, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος ὑμῶν καρδία, καὶ ἐστερήσατε ἑαυτοὺς τὴν ζωὴν τὴν αἰώνιον, καὶ ἐναυαγήσατε ναυάγιοι μὴ ἔχον διόρθωσιν. τί λοιπὸν εἴπω πρὸς ὑμᾶς; ἆρα τό, δεῦτε; ἀλλὰ τῇ ἀπηνείᾳ οὐ προσαρμόζει τοιαύτη φωνή. τὸ γάρ, δεῦτε οἱ εὐλογημένοι, ἄλλοις ἐδόθη. πάντες οὖν οἱ ἐκ δεξιῶν μου παριστάμενοι ταύτης τῆς φωνῆς ἠξιώθησαν, ταύτην τὴν δόξαν ἐκληρονόμησαν, ταύτην τὴν εὐφροσύνην ἐκέρδησαν, ταύτην τὴν βασιλείαν ἥρπασαν οἱ ἐλεήμονες, οἱ εὔσπλαγχνοι. εἰς τὰς αἰωνίους γὰρ μονὰς ἀπηνεῖς κληρονομίαν οὐκ ἔχουσιν, εἰς τὸ ἐμὸν παλάτιον ἄσπλαγχνος οὐκ εἰσέρχεται, εἰς τὸν οὐράνιον παστὸν ἀνελεήμονες οὐκ ἀξιοῦνται, εἰς τὰς ἄνω μονὰς ἀμετάδοτος οὐ κατοικεῖ· ἀλλὰ μόνοι οἱ ἐλεήμονες, μόνοι οἱ εὔσπλαγχνοι, οἱ ξενοδόχοι, οἱ ὀρφανοτρόφοι, χηρῶν καὶ ἀδυνάτων οἱ ἐπισκεπτηταί, οἱ τῶν καταπονουμένων ἀντιλήπτορες, οἱ τῶν θλιβομένων προστάται, οἱ τῶν χειμαζομένων πάρεδροι, τῶν ἐνδεομένων οἱ εὔφοροι, τῶν ἀπηλπισμένων οἱ παρήγοροι, τῶν νοσούντων οἱ διάκονοι, τῶν κακοπαθούντων οἱ παραμονάριοι, τῶν πενθούντων οἱ παραμυθήτορες, τῶν ὀλιγοψύχων οἱ παρακλήτορες, οἱ τῶν ἐν πικραῖς δουλείαις πατέρες, οἱ τῶν ἐν περιστάσεσι βοηθοί, οἱ τῶν ἐν ἀνάγκαις πρόθυμοι, οἱ τῶν δεδεμένων συνδεδεμένοι, οἱ τῶν πλανωμένων ὁδηγοί, οἱ τῶν γυμνῶν σκεπασταί, οἱ τῶν χρεωστούντων πληρωταί· καὶ ἵνα συντόμως εἴπω, οἱ πάντων τῶν ἐνδεομένων καὶ αἰτούντων οἰκονόμοι, οἱ τοιοῦτοι τοῦ ἐμοῦ παλατίου οἰκήτορες, καὶ τῶν αἰωνίων ἀγαθῶν κληρονόμοι. τῶν τοιούτων ἐστὶν οἰκητήριον ἡ ἄνω πόλις· περὶ τῶν τοιούτων παρεκάλεσα τὸν πατέρα μου· Ὅτι θέλω, πάτερ, ἵνα, ὅπου εἰμὶ ἐγώ, καὶ αὐτοὶ ὦσιν, ἵνα θεωρῶσι τὴν δόξαν μου· πρὸς τοὺς τοιούτους εἶπον, καὶ ἀεὶ λέγω, Ὑμεῖς φίλοι μού ἐστε. πρὸς ὑμᾶς δὲ ἆρα τί εἴπω; ἆρα ἐλεήσω; ἀλλ' οὐχ ὁρῶ ἐν ὑμῖν καρπὸν ἐλέους. ἆρα οἰκτειρήσω; ἀλλ' οὐ βλέπω ἐν ὑμῖν σπλάγχνα οἰκτιρμῶν. ἆρα συγχωρήσω; ἀλλὰ μεῖζον τῆς ἀφέσεως τὸ σφάλμα. οὐ γὰρ μόνον τὰ σπλάγχνα ἐκλείσατε αἰτοῦντός μου ἄρτον, ἀλλὰ καὶ ἃ περιεβαλόμην ῥάκη ἡρπάξατε καὶ ἐγυμνώσατέ με· καὶ τὸν ἄρτον, ὅν μοι ἄλλος ἐλεήμων ἔδωκεν, ἐκ τοῦ στόματός μου ἡρπάξατε. ποσάκις ἦλθον εἰς τὴν θύραν σου, καὶ εἶδον τράπεζαν πεπληθυμμένην, καὶ ὄγκον βρωμάτων, καὶ κύνας πολλοὺς τρεφομένους, καὶ ἐπὶ κλινῶν ἀνακειμένους· καὶ ἐπ' ἐμοὶ τὰς θύρας ἀπεκλείσατε καὶ ἀπεπέμψατε ἄτιμον, καὶ οὐδὲ κἂν ὡς ἕνα τῶν κυναρίων, κλάσματος ἄρτου ἠξιώσατε; ποσάκις τοῦ καλυβίου με ἐξηλάσατε παγετοῦ ἐπικειμένου, καὶ τοὺς ἵππους ὑμῶν ἐνῳκίσατε, καὶ οὐκ ἐνεθυμήθητε ὅτι οὐ διὰ κύνας καὶ ἵππους ἐγὼ ἐσταυρώθην, καὶ τὸ αἷμά μου ἐξέχεα; τῶν κτηνῶν ἀντέχεσθε, τῶν κυνῶν φροντίζετε, τῶν ἵππων ἐπιμελεῖσθε, καὶ τὰ ἐμὰ μέλη τοὺς πτωχοὺς καὶ ἀδυνάτους φθειρομένους λιμῷ καὶ δίψῃ καὶ παγετῷ ὁρῶντες, γελᾶτε καὶ βδελύσσεσθε, καὶ τὰς ὄψεις ἀποστρέφεσθε, καὶ μάλιστα τοὺς ὑπὸ τῆς ἱερᾶς νόσου κατακειμένους; ὧν τὰ μέλη πρὸ τοῦ θανάτου τῇ γῇ παραδίδοται, ὧν τὰ σώματα τοῖς πολλοῖς σκοτεινὰ καὶ βδελυκτὰ νομίζονται· ἀλλ' ἡ ψυχὴ ἐκλάμπει ὡς ὁ ἥλιος. ὑμεῖς δὲ ἐτρυφήσατε, ἐσπαταλήσατε, ἐπὶ τῆς γῆς ἀπελάβετε τὰ ἀγαθὰ ἐν τῇ ζωῇ ὑμῶν· νῦν δὲ τί εἴπω πρὸς ὑμᾶς; ἆρα οὐκ ἠκούσατε, ὅτι κρίσις ἡτοίμασται ἡ μέλλουσα τοῖς μὴ ποιήσασιν ἔλεος; ναί, οὐκ ἠλεήσατε, ἀλλὰ τῇ ἀσπλαγχνίᾳ ἐδουλεύσατε. διατί καὶ ὅπερ εἶχεν ὁ πτωχὸς ἀφηρπάσατε; ἆρα ὁ μὴ ἐλεῶν κολάζεται, διότι οὐ μετέδωκεν, ὁ δὲ καταπονῶν καὶ ἁρπάζων τὰ ἄλλων τί παθεῖται; ἆρα τί εἴπω πρὸς τὴν ἀπάνθρωπον ὑμῶν προαίρεσιν; ὁρῶ γὰρ μεῖζον τῆς ἀφέσεως τὸ σφάλμα· ὑπὲρ πᾶσαν ἰατρείαν τὸ τραῦμα κατεσκεύασαι·

κατασκευάσαι· ἡ ἀποτυχία ὑμῶν παραμυθίαν οὐκ ἔχει· τὸ ναυάγιον ὑμῶν ἀδιόρθωτον· ἡ πληγὴ ἀθεράπευτος· ἡ νόσος ἀνίατος· τὰ παραπτώματα ὑμῶν ἀπάρτι ἀσυγχώρητα. οὐκ ἔτι γὰρ μετάνοια, οὐκ ἔτι παράκλησις ἰσχύει· οὐκ ἔτι δακρύων ὄφελος, ἐγκλημάτων ἀπὸ τοῦ νῦν ἐμοὶ οὐκ ἐμνημονεύσατε· τῶν ἀποστόλων οὐκ ἠκούσατε· τὰς ἁγίας μου γραφὰς ἐβδελύξασθε· πεινῶντά με οὐκ ἠλεήσατε· ἀκούσατε λοιπὸν τὴν ὀδυνηρὰν καὶ ἁρμόζουσαν φωνήν, ἣν ὑμῶν ἡ ἀσπλαγχνία προεξένησε· πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον.

Εἴδετε ἀπόφασιν χαλεπὴν καὶ ὀδυνηράν; εἴδετε ἀποτυχίαν μὴ ἔχουσαν παντελῶς παραμυθίαν; εἴδετε ζημίαν τὴν ὑπὲρ πᾶσαν ζημίαν; ἠκούσατε τὴν φρικτὴν τῶν ἀσπλάγχνων ἀποδημίαν; ἠκούσατε τὸ κατοικητήριον τῶν μὴ ἐλεούντων; ἔγνωτε ποῦ ἐκπέμπονται οἱ αἰωνίως; ἐμάθετε εἰς ποίαν χώραν μακρὰν ἀποδημοῦσιν οἱ καταπονοῦντες καὶ θλίβοντες τοὺς ἀδυνάτους; βούλεσθε πάλιν ἀκοῦσαι εἰς ποίαν ἀνάπαυσιν καὶ τρυφὴν ἀπέρχονται; εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. ἄσπλαγχνοι φρίξατε καὶ ἐνδύσασθε σπλάγχνα οἰκτιρμῶν, ἀνελεήμονες ταυμάξατε καὶ μάθετε ἐλεεῖν, τύραννοι ἰλιγγιάσατε καὶ παύσασθε ἀπὸ τῆς πονηρίας ὑμῶν, ἅρπαγες πλήξατε καὶ ἐπὶ ἅρπαγμα μὴ ἐπιποθῆτε. πάντες ἐννοῶμεν τὴν φοβερὰν ὥραν τοῦ λογοθέτου, καὶ ἕκαστος ἀποστρέψωμεν ἀπὸ τῆς ὁδοῦ ἡμῶν τῆς πονηρᾶς· μιμησώμεθα τοὺς Νινευΐτας, καὶ γενώμεθα ἕτοιμοι, ὡς ὁ Κύριος ἐνετείλατο. Εἶχον δὲ εἰπεῖν καὶ φανερῶσαι καὶ περὶ τοὺς ἐν ἀσωτίᾳ τοὺς χιτῶνας μαλύναντας, καὶ μετ' αἰσχύνης τοῦ βασιλικοῦ γάμου καὶ τῆς χαρᾶς ἐκείνης καὶ δόξης ἐκβαλλομένους εἰς τὸ σκότος τὸ ἐξώτερον, ὅπου ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων· ἀλλ' ἀποδώσωμεν πέως τὰ περὶ τῶν ἀσπλάγχνων τὰ ἀκόλουθα. ἔτι γὰρ ὑπολείπεται ἡ περὶ αὐτῶν τραγῳδία. καὶ γὰρ καὶ αἱ πέντε μωραὶ παρθένοι παρὰ τῆς αὐτῆς ἀσπλαγχνίας ἀπεκλείσθησαν, οὐχὶ δὲ διὰ τὴν παρθενίαν (παρθένοι γὰρ ἐτύγχανον) οὐ διὰ νηστείαν, οὐ δι' ἀγρυπνίαν, οὐδὲ διὰ ψαλμῳδίας ὑστέρησιν, οὐ διὰ σκληραγωγίας ἢ τήξεως σώματος ἔλλειψιν (πάντα γὰρ ταῦτα κατώρθωσαν ἐν πολλῷ ἀγῶνι, καὶ κόπους πολλοὺς ἐπεδείξαντο, καὶ τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα ἐβάστασαν) ἀλλ' ἢ δι' ἀσπλαγχνίαν. αὕτη γὰρ ἡ μήτηρ πάντων τῶν κακῶν, ἡ γεννήτρια τοῦ μίσους, ἡ τὸν Θεὸν καὶ πατέρα παροξύνουσα, ἡ τὸ πνεῦμα τὸ ἅγιον ἀποδιώκουσα. ἀσπλαγχνία, ἡ τὸν Χριστὸν, τὸν πρᾶον καὶ γαληνὸν καὶ τῆς εἰρήνης χορηγὸν καὶ ἀόργητον, ὡς ὀργιζόμενον ἀποδεικνύουσα κατὰ τὸ γεγραμμένον· Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ. τότε, πότε; δηλονότι ὅταν μετὰ πολλῆς θλίψεως καὶ λύπης λαλήσει πρὸς αὐτούς, πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι. εἶδες οἵων ἀγαθῶν πρόξενος ἡ ἀσπλαγχνία γέγονε; ταύτης γὰρ ὁ καρπός, μισαδελφία· ταύτης γέννημα, φιλαργυρία· ταύτης ἡ θεραπεία, τὸ ἀμετάδοτον, ταύτης ἡ πανήγυρις Θεοῦ θλῖψιν πεπλήρωκε· ταύτης ἡ ἀποθήκη ἀπωλείας μεστή· ἐν τῇ ταύτης ἀγορᾷ πάντα εὔθηνα· ἀπορία δὲ καὶ λιμὸς ἐλέους Θεοῦ καὶ εὐσπλαγχνίας καὶ φιλανθρωπίας. ταύτης οἰκήτορες οἱ τῶν εὐωνύμων, ταύτης μαθητὴς ὁ ἄσπλαγχνος πλούσιος, ὁ τὸν ποτὲ πτωχὸν Λάζαρον πρὸς τὸν πυλῶνα αὐτοῦ παρακείμενον βδελυσσόμενος· ταύτης φίλαι καὶ μαθήτριαι αἱ πέντε μωραὶ παρθένοι· ταύτης οἱ πολῖται πᾶν εἶδος πωλοῦσι καὶ ἀγοράζουσι χωρὶς ἐλέους καὶ ἀγάπης. ὅθεν καὶ ἀκούσονται τό, οὐκ οἶδα ὑμᾶς. ταύτης οἱ κληρονόμοι ἀκούσονται τό, πορεύεσθε ἀπ' ἐμοῦ· ταύτης οἱ ἔμποροι πάντα κέκτηνται χωρὶς τῆς τοῦ Θεοῦ φιλανθρωπίας· ὥσπερ καὶ αἱ προειρημέναι μωραὶ παρθένοι πάντα κατώρθωσαν, παρθενίαν, νηστείαν, ψαλμῳδίαν, ἀγρυπνίαν, ἐγκράτειαν, χαμαικοιτίαν, ξηροφαγίαν, προσευχήν, ἀλουσίαν, κόπους καὶ ἱδρῶτας πολλούς, σιωπήν· ἐπὶ πᾶσι δὲ τούτοις προσελάβοντο δεινὸν κτῆμα καὶ ὀλέθριον, τὴν μισόθεον ἀσπλαγχνίαν, ἥτις πάσας αὐτῶν τὰς προειρημένας ἀρετὰς καὶ ἱδρῶτας ἀνονήτους ἀπέδειξεν. ὦ ἀσπλαγχνία μισάδελφε καὶ

Ψαλ. β. ε.

μισθὸς. ὢ ἀσπλαγχνία ὀργῆς Θεοῦ ἀποθήκη· ὢ ἀσπλαγχνία κατοικητήριον ἔχοι τὸ πῦρ
τὸ ἐξώτερον, ὅπου ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Εἶδες κτῆμα μικρὸν φαινόμενον καὶ
ἀφανίζοντα μικρὰς καὶ ἴσ. -ρίζον

* * * *

σασθε. Φρίξατε τὴν θείαν φωνὴν τὴν λέγουσαν, Μὴ μοιχεύσεις· καὶ τοῦ ἀποστόλου βοῶντος,
Ἐβρ. ιγ. δ. Πόρνους καὶ μοιχοὺς κρινεῖ ὁ Θεός. μνήσθητε δὲ καὶ τοῦ Σολομῶντος λέγοντος, Ὁ δὲ μοιχὸς
Παροιμ. ϛ λϐ δι᾽ ἔνδειαν φρενῶν ἀπώλειαν τῇ ἑαυτοῦ ψυχῇ περιποιεῖται. ἀκούσατε δὲ τοῦ Κυρίου πρὸς
τὴν μοιχαλίδα βοῶντος, Ἄπελθε, καὶ μηκέτι ἁμάρτανε, καὶ συντόμως μετανοήσατε· ἀκούσατε
Ἰωάν. η ια. τοῦ ἀποστόλου κηρύσσοντος, ὅτι Ἀποκαλύπτεται γὰρ ὀργὴ τοῦ Θεοῦ ἀπ᾽ οὐρανοῦ ἐπὶ
Ρωμ. α. ιη. πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων οἱ ἐν ἄρσεσιν ἄρσενες τὴν ἀσχημοσύνην κατεργαζόμενοι,
στομάξατε καὶ πρὶν τὸν κριτὴν παραγενέσθαι, καὶ μάλιστα παρὰ φύσιν τολμήσαντες,
λογιζόμενοι πῶς αἱ κολάσεις τοὺς τοιούτους διαδέξονται, ἐὰν μὴ ἐμπόνως κατ᾽ ἀναλογίαν
α. Κορ ϛ. θ. τοῦ πταίσματος μετανοήσωσι. μνημονεύετε τοῦ ἀποστόλου βοῶντος, Ὅτι ἄδικοι βασιλείαν
Θεοῦ οὐ κληρονομήσουσιν, οὔτε πόρνοι, οὔτε μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται
βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι. καὶ ἐκ ποίας αἰτίας εἰς τὸ χαλεπὸν τοῦτο πτῶμα
Ρωμ. α κη. κατερράγησαν, εἰπὲ Παῦλε; διότι, φησὶν, οὐκ ἐδοκίμασαν ἔχειν τὸν Θεὸν ἐν ἐπιγνώσει, παρέδωκεν
αὐτοὺς ὁ Θεὸς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν, τοῦ ἀτιμάζεσθαι
τὰ σώματα αὐτῶν ἐν αὐτοῖς. Εἶδες τὴν αἰτίαν τοῦ δεινοῦ πτώματος; διὰ τοῦτο
β. Πετ. β. ιθ. παραινεῖ ὁ αὐτὸς ἀπόστολος Μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν, μηδὲ δούλους παθῶν. Ὧ γάρ
τις ἥττηται, τούτῳ καὶ δεδούλωται. διὰ τοῦτο δεῖ πολύτοτε προσεύχεσθαι, πάντοτε δακρύειν
καὶ θρηνεῖν, ὅπως ῥύσηται ἡμᾶς ὁ Κύριος ἐκ τοῦ κακοῦ φρονήματος τοῦ σώματος τοῦ θανάτου
τούτου· καὶ ἐπιθυμήσωμεν καί ποτε τὰ ὄντως ἐπιθυμητὰ ἐκεῖνα, εἰς ἃ καὶ ἄγγελοι ἐπιθυμοῦσι
παρακύψαι.

Ταῦτα καὶ ἡμεῖς ποθήσωμεν, καὶ σπουδάσωμεν μετανοῆσαι, καὶ διὰ τῆς μετανοίας πάλιν
ἄσπιλοι γενέσθαι, καθὼς καὶ πρὸ τοῦ καταπεσεῖν. τοιοῦτον γάρ ἐστι τὸ εἶδος καὶ ἡ δύναμις
τοῦ τιμίου κτήματος τῆς μετανοίας· εἰς τὴν προτέραν τιμὴν, ἣν εἶχε πρὸ τοῦ
σφάλματος, ἀποκαθιστᾷ πάλιν τὸν μετανοοῦντα. τολμῶ εἰπεῖν, ὅτι καὶ ὑψηλότεροί
τινες γεγόνασι. πολλὰ κοπιάσαντες, καὶ περισσοτέρως δακρύσαντες, ἀπέπλυναν τὴν δυσωδίαν
Ψαλ ν. η. τῆς ἁμαρτίας κατὰ τὸν λέγοντα, Πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. σπουδῆς
δὲ πολλῆς χρεία, ὅτι ᾗ ὥρᾳ οὐκ οἴδαμεν, ὁ ἀπαιτῶν ἁρπάσῃ, καὶ οὐδεὶς ὁ ῥυόμενος. ὅθεν ἡ
θεία φωνὴ ἀπαύστως βοᾷ, Γίνεσθε ἕτοιμοι. ὁ κρίνειν λαχὼν, φεῦγε τὸ κρίνειν, τοῦ Κυρίου λέγοντος, ἴσ. τὸ
Ματθ. ζ. α. Μὴ κρίνετε. καὶ μὴ παραιτοῦ πάλιν διακαταπονούμενον, ἀλλὰ τοῦ Κυρίου μνημόνευε τοῦ λέγοντος,
Ἰωαν. ζ. κδ. Μὴ κρίνετε κατ᾽ ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε· καὶ πάλιν, Μὴ καταδικάσητε,
καὶ οὐ μὴ καταδικασθῆτε. εἰ δὲ τὸν ἕτερον κρίνων σὺ τὰ αὐτὰ πράσσεις, οὐκ ἐκφεύξῃ
Ρωμ. β α. τὸ κρίμα τοῦ Θεοῦ. ἄκουε τοῦ ἀποστόλου ἐπιπλήττοντος τοὺς τοιούτους καὶ λέγοντος· Διὸ ἀναπολόγητος
εἶ, ὦ ἄνθρωπε, ὁ κρίνων τοὺς τοιαῦτα πράσσοντας, καὶ ποιῶν αὐτά· ἐν ᾧ
γὰρ κρίνεις τὸν ἕτερον, ἑαυτὸν κατακρίνεις. ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις;
Ματθ ζ. ε. β. ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτεις; ὁ λέγων μὴ μοιχεύειν, μοιχεύεις; Ἔκβαλε πρῶτον τὴν
δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καθὼς ἔφη ὁ Κύριος. Ἐν ᾧ γὰρ, φησὶ, κρίματι κρίνετε, κριθήσεσθε.
Ἡσ. ε. κγ. ὅρα οὖν ὁ κρίνων, μὴ λάβοις δῶρα ἐπ᾽ ἀθῴοις. γέγραπται γὰρ, Οὐαὶ οἱ δικαιοῦντες τὸν
ἀσεβῆ ἕνεκεν δώρων, καὶ τὸ δίκαιον τοῦ δικαίου αἴροντες. Εἴ τις οὖν τῶν δικαστῶν καὶ κριτῶν εὕρῃ
ἑαυτὸν ἔνοχον ἐν τούτοις, σπουδάσῃ διὰ μετανοίας ἑαυτὸν ἀνέγκλητον ποιῆσαι. ἰδοὺ γὰρ ὁ ἴσ. αὐτ
κριτὴς τῶν κριτῶν πρὸ τῶν θυρῶν ἕστηκε. μηκέτι οὖν ἀλλήλους κρίνωμεν, ἀλλ᾽ ἀλλήλους
ἀγαπήσωμεν, ἀλλήλοις βοηθήσωμεν, ὑπὲρ ἀλλήλων εὐξώμεθα, ὅπως ἰαθῶμεν ἀπεντεῦ-

θεν

θεὶν χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Εἴ τις τῷ θυμῷ καὶ τῇ ὀργῇ δεδούλωται, ἄκουε τοῦ ἀποστόλου λέγοντος· Πᾶσα πικρία καὶ θυμὸς καὶ ὀργὴ ἀρθήτω ἀφ' ὑμῶν· καὶ πάλιν, Ὀργὴ ἀνδρὸς δικαιοσύνην Θεοῦ οὐ κατεργάζεται· καὶ πάλιν, Ἀπόθεσθε ὀργήν, θυμόν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν ἐκ τοῦ στόματος ὑμῶν. προηγουμένως δὲ ἄκουε καὶ τοῦ προφήτου παραινοῦντός σε· Παῦσαι ἀπὸ ὀργῆς, καὶ ἐγκατάλειπε θυμόν. Εἶτα καὶ ὁ Σολομῶν φησίν· Ἀνδρὶ θυμώδει μὴ συναυλίζου. ὁ γὰρ τοιοῦτος οὐκ ἔστι δοῦλος Θεοῦ, ἀλλὰ τοῦ κατέχοντος αὐτὸν πάθους, καθὼς γέγραπται· Ὧ γὰρ ἥττηται, τούτῳ καὶ δεδούλωται. καὶ διὰ τάχους τὴν ὀργὴν διαρρίψαντες, ἐμπόνως μετανοήσατε, ἵνα μὴ ἁρπαγέντες ἀπενεχθῆτε εἰς τὸν τόπον ἐκεῖνον, ἔνθα συνάγονται τὰ τῆς ὀργῆς τέκνα, ἐξ οὗ ῥυσθείημεν χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ὦ γαστρίμαργοι καὶ κατασπαταλῶντες, ἀκούσατε τοῦ Κυρίου κράζοντος μετ' ἀπειλῆς· Οὐαὶ ὦ ἐμπεπλησμένοι, ὅτι πεινάσετε· καὶ τοῦ προφήτου λέγοντος, Ἔφαγεν Ἰακώβ, καὶ ἐνεπλήσθη, καὶ ἐγκατέλιπε Θεὸν τὸν ποιήσαντα αὐτόν. ὁρᾷς ὡς καὶ τοῦ Θεοῦ χωρίζονται ὦ τρυφῶντες, περὶ ὧν καὶ ὁ ἀπόστολος ἀληθῶς ἀποδεικνὺς ἔλεγεν· Ὧν ὁ Θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, ὦ τὰ ἐπίγεια φρονοῦντες. ἄκουε πάλιν τοῦ Θεοῦ πῶς προασφαλίζεται πᾶσι διὰ Μωϋσέως, καὶ λέγει· Πρόσεχε σεαυτῷ, μήποτε φαγὼν καὶ ἐμπλησθεὶς ἐπιλάθῃ Κυρίου τοῦ Θεοῦ σου· καὶ σπουδαίως καταλιπὼν τὴν τρυφὴν τὴν μητέρα πάντων τῶν παθῶν καὶ πάσης δυσωδίας, ἐπιλαβοῦ τῆς εὐωδίας, ἤγουν τῆς ἐγκρατείας, τὸν καρπὸν τοῦ ἁγίου πνεύματος, καθὼς ὁ ἀπόστολος ἐδίδαξε· καὶ πρόσεχε σεαυτῷ, ἵνα μὴ ἀκούσῃς καὶ σύ, καθὼς ὁ σπαταλήσας ἐκεῖνος πλούσιος, ὁ καὶ μισόπτωχος, ὅτι Ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου· καὶ ἐπιτύχου τῆς μετανοίας, τοῦ κεφαλαίου τῆς σωτηρίας ἡμῶν, ὅτι οὐκ οἴδαμεν τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ Κύριος ἡμῶν ἔρχεται. ὦ ἐν μέθαις ἡττώμενοι, καὶ τῆς ἀκηράτου βασιλείας τῶν οὐρανῶν ἑαυτοὺς ἀποξενίζοντες ἰδίᾳ γνώμῃ, ἀκούσατε τοῦ προφήτου κηρύσσοντος, Οὐαὶ ὦ μεθύοντες· καὶ τοῦ ἀποστόλου λέγοντος, ὅτι Μέθυσοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι· καὶ πάλιν παραγγέλλοντος, Μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία. καὶ καταλιπόντες τὸν οἶνον, μᾶλλον δὲ τὴν μέθην, τὴν ἔξω ἀποκλείουσαν τῆς βασιλείας, ἐπιποθήσατε ἐκεῖνον τὸν οἶνον, ὃν ὁ Θεὸς ἐκ τῶν ἁγίων γραφῶν ἐκέρασεν ἡμῖν κατὰ τὸν προφήτην, οἶνον κατανύξεως· ὃν οἱ πιόντες, ἐν κατανύξει μετανοήσατε δακρύοντες. γλυκέα γὰρ τὰ ῥήματα τοῦ Κυρίου. οἱ ἐν σαρκὶ πεποιθότες καὶ ἐπὶ ἰδίᾳ ματαιότητι, ἀκούσατε τοῦ Θεοῦ διὰ στόματος τῶν ἁγίων βοῶντος· Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου. καὶ πάλιν, Στηρίζων σάρκα βραχίονος αὐτοῦ, ὅτι ματαία σωτηρία ἀνθρώπου. διὰ τοῦτο καὶ ὁ ἀπόστολος γράφει, Ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ, καθὼς ὁ προφήτης τὰ ὅμοια λέγει· Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον ἢ πεποιθέναι ἐπ' ἄνθρωπον. καὶ μετανοήσατε. ἔρχεται γὰρ ὁ κριτὴς ὁ ἀπροσωπόληπτος καταργῆσαι πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν. οὐδὲν γὰρ αὐτοῦ ἰσχυρότερον. ὦ τὰ περίεργα ἐπιτηδεύοντες λαθροφονευταί, ὦ τοῦ τόπου τῶν φονέων κληρονόμοι, ὦ κρύφιοι λύκοι, ὦ σαρκικοὶ δαίμονες, ὦ τῶν καταχθονίων οἰκήτορες, ὦ τοῦ αἰωνίου σκότους υἱοὶ καὶ τοῦ ἀσβέστου πυρὸς τέκνα, ἀκούσατε τί διηγεῖται ὁ ἅγιος εὐαγγελιστὴς Λουκᾶς περὶ τῶν τοιούτων ἐν ταῖς πράξεσι τῶν ἀποστόλων λέγων· Πολλοὶ δὲ τῶν τὰ περίεργα πραξάντων, συνενέγκαντες τὰς βίβλους, κατέκαιον ἐνώπιον πάντων, καὶ συνεψήφισαν τὰς τιμὰς αὐτῶν, καὶ εὗρον ἀργυρίου μυριάδας πέντε. Εἶδες ὑπακοῆς ὀξύτητα, καὶ σωτηρίαν σύντομον; Εἶδες πῶς ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν; ἀλλὰ τὸ τάχος τῆς ὑπακοῆς πάντα κατώρθωσε. καὶ ὑμεῖς ὦ τὰ ὅμοια πλανώμενοι καὶ γνώμῃ ἀπατώμενοι, καταπτύσαντες τὴν τοιαύτην χαλεπὴν καὶ ἀπάνθρωπον ἀπάτην, καὶ ὡς ἀπὸ ὄφεως ἀποφυγόντες, σπουδάσατε ἀξίαν μετάνοιαν ἐπιδείξασθαι, πρὶν φθάσῃ ἡμῖν ἡ ἀνυπόστατος κατὰ τῶν τοιούτων ἀπειλὴ καὶ οἰμωγή. ὁ γὰρ καιρὸς ἐγγύς, καὶ μὴ ἀ-

Ἐφ. δ. λα.
Ιακ. α. κ.
Κολασ. γ. η.
Ψαλ. λς. η.
Παροι. κβ. κδ.
β. Πετ. β. ιθ.
Λουκ. ς. κε.
Δευτ. λβ. ιε.
Φιλιπ. γ. ιθ.
Δευτ. η. ιβ.
Γαλ. ε. κβ.
Λουκ. ις. κε.
Ησ. ε. ια.
α. Κορ. ς. ι.
Εφεσ. ε. ιη.
Ψαλ. νθ. γ.
Ησ. μ. ς.
Ιερ. ιζ. ε.
β. Κορ. α. θ.
Ψαλ. ριζ. η.
α. Κορ. ιε. κδ.
Πραξ. ιθ. ιθ.

μένητε. ὦ τὸ δυσίατον νοσοῦντες πάθος, τὸν φθόνον λέγω καὶ βασκανίαν, μνήσθητε τῶν φοβερῶν
Ματθ. κ. ιγ. ἐκείνων τῶν ἀκουσάντων, Ἑταῖρε, οὐκ ἀδικῶ σε, ἆρον τὸ σὸν, καὶ ὕπαγε. ποῦ ἄρα; δῆλον
ὅτι εἰς τὸ σκότος τὸ ἐξώτερον. καὶ ἀπορρίψαντες τὴν τοιαύτην ἀρρωστίαν, μετανοήσατε·
φοβερὸν γὰρ τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος. ὦ τὰς θείας γραφὰς ἐξουθενοῦντες,
καὶ τὸ ἅγιον πνεῦμα ὑβρίζοντες τὸ λαλῆσαν διὰ στόματος τῶν ἐν τῇ παλαιᾷ καὶ καινῇ διαθήκῃ,
τί ποιήσετε ἐν τῇ φρικτῇ ἐκείνῃ ὥρᾳ, ὅταν τὸ κριτήριον καθίσῃ, καὶ ἀνοιχθῶσιν αἱ βίβλοι,
ἃς νῦν βδελύσσεσθε καὶ ἀποστρέφεσθε; ποῦ φύγετε; ποῦ κρυβήσεσθε ἀπὸ προσώπου
τοῦ λαλήσαντος πᾶσαν θείαν γραφὴν, καὶ πᾶσαν ἱερὰν βίβλον συντάξαντος; οὐαὶ καὶ ἀπώλεια ἴσ. φεύξετ
καταλήψεται ὑμῖν, εἰ μὴ ταχέως ἀναλάβητε θρῆνον καὶ ὀδυρμὸν, καὶ δυσωπήσητε, ὃν ἴσ. ὑμᾶς
προσωξύνατε, παράκλητον Θεόν. οὐκ ἀκούετε τοῦ Κυρίου λέγοντος, Ἐρευνᾶτε τὰς γραφάς;
Ιωαν. ε. λ. οὐκ ἀκούετε πῶς πεπλανημένους ἐκάλεσε τοὺς μὴ εἰδότας τὰς γραφάς; ἀκούσατε τοῦ
ἀποστόλου θεόπνευστον αὐτὴν καλοῦντος, καὶ ὠφέλιμον, καὶ λόγον ὑγιαίνοντά τε καὶ ἰατρεύοντα,
β. Τιμ. γ. ιϛ. καὶ ἱερὰ γράμματα καλοῦντος, καὶ νόμον ἐλευθερίας. ἀκούσατε πάλιν πῶς διὰ τοῦ Σολομῶντος
Παρ. μ. α. ζ. τὸ ἅγιον πνεῦμα ἀσεβεῖς ὑμᾶς ἐκάλεσε, λέγον· Σοφίαν δὲ καὶ παιδείαν ἀσεβεῖς ἐξουθενήσουσι.

Ταῦτα ἀκούοντες, μετανοήσατε καὶ ἑτοιμάζεσθε πρὸς ἀπολογίαν, πρὶν ἐλθεῖν τὴν ἡμέραν
Κυρίου. καὶ ἵνα συνελὼν τὰ πάντα εἴπω, πᾶς ἄνθρωπος, ὅστις ἐὰν μὴ σπουδάσῃ ἀπεντεῦθεν
διορθώσασθαι, ἀλλ' ἔτι χρήζων διορθώσεως, ἀποδημήσει βαστάζων ξύλα ὁ τοιοῦτος,
Ρωμ. α. ιη. καὶ προσδοκάτω, ὅτι ἀποκαλύπτεται ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ, οὐχὶ ἐπὶ τήνδε ἁμαρτίαν,
ἢ τήνδε, ἀλλ' ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπου, ἀνδρῶν τε καὶ γυναικῶν. οὐ γάρ
ἐστι διαστολή. πάντες γὰρ ἥμαρτον. διὰ τοῦτο ὁ ἱερὸς ἀπόστολος κατὰ τὴν χάριν τὴν δοθεῖσαν
α. Τιμ. γ. ια. αὐτῷ καὶ περὶ γυναικῶν ἔγραψε λέγων· Γυναῖκας σεμνὰς, διακόνους πιστὰς ἐν πᾶσι.
καὶ β. ιϛ. Διδάσκειν δὲ γυναικὶ οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν τοῦ ἀνδρὸς, ἀλλ' εἶναι ἐν ἡσυχίᾳ,
α. Τιμ. ε. γ. οἰκουργοὺς, καλοδιδασκάλους, ἵνα σωφρονίζωσι τὰς νέας φιλάνδρους εἶναι, μὴ οἴνῳ πολλῷ
δεδουλωμένας. καὶ περὶ χηρῶν ἔγραψεν οὕτω· Χήρας τίμα, τὰς ὄντως χήρας, ἥτις προσμένει
ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς, ἢ ἐτεκνοτρόφησεν, ἢ ἐξενοδόχησεν, ἢ ἁγίων πόδας ἔνιψεν, ἢ θλιβομένοις
ἐπήρκεσεν, ἢ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησε. καὶ περὶ πρεσβυτέρων τε καὶ πρεσβυτίδων
ἐλάλησε τὸ ἅγιον πνεῦμα διὰ στόματος τῶν ἁγίων, καὶ περὶ δούλων τε καὶ δεσποτῶν
διετάξατο, καὶ περὶ βασιλέων εἶπε, καὶ περὶ στρατιωτῶν ἐλάλησε, καὶ περὶ ἐπισκόπων
ἐτύπωσε, καὶ οὐδὲν τῶν συμφερόντων παρέδραμεν· ἐπεὶ, καθὼς ἔφη, ἐπὶ πᾶσαν ἀσέβειαν
καὶ ἀδικίαν μικρῶν τε καὶ μεγάλων ἀποκαλύπτεται ὀργὴ ἀπ' οὐρανοῦ. πάντα ὑπέμνησα
τῇ ὑμετέρᾳ ἀγάπῃ, ἵνα εἰδῆτε πάντα τὰ προστάγματα, καὶ πᾶσα ἀρχὴ καὶ ἐξουσία καὶ
πᾶσα ἡλικία μάθῃ τὴν βουλὴν τοῦ Θεοῦ καὶ τὸ θέλημα, καὶ τὴν φοβερὰν αὐτοῦ ἀπ' οὐρανοῦ
παρουσίαν, καὶ τὰς φοβερὰς κολάσεις, καὶ τὸν ὀδυνηρὸν ἐκεῖνον χωρισμὸν, καὶ σπουδάσῃ ἕκαστος
τὸν ἑαυτοῦ βίον διορθώσασθαι, καὶ ἑαυτὸν ἑτοιμάσαι πρὸς ἀπολογίαν, καὶ μὴ τῇ ῥᾳθυμίᾳ ἑαυτὸν
παραδῷ, καὶ ἀποτύχῃ τῶν ἐκφωνήτων καὶ αἰωνίων ἀγαθῶν. ὅρα οὖν, ὦ ῥᾴθυμε σὺ, μὴ
ἐμμείνῃς τῇ ῥᾳθυμίᾳ, μὴ νικῶ ὑπὸ τῆς ἀπάτης καὶ ἡδονῆς. βλέπε μὴ διὰ τοῦ πλούτου,
τῆς χρηστότητος τοῦ Θεοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας καταφρονῇς, καὶ θησαυρίσῃς σεαυτῷ
Ρωμ. β. ε. ὀργὴν, καθὼς λέγει ὁ ἀπόστολος, ἐν ἡμέρᾳ ὀργῆς. ἐπίστρεψον λοιπὸν, νῆψον, γρηγόρησον.
ἀρκετὸς γὰρ ὁ παρελθὼν καιρὸς ἐν τῇ ἀπάτῃ καὶ φιληδονίᾳ σου· μὴ ἐπιμείνῃς, μὴ ἐμβαθύνῃς
ἐν τῇ ἀδικίᾳ σου. οὐχ ὁρᾷς τὸν ἄγγελον ἀκολουθοῦντα καὶ γράφοντά σου τὰς πράξεις;
οὐκ οἶδας ὅτι κατὰ τὴν σκληρότητά σου καὶ ἐπιμονὴν τὸ ἕλκος μεῖζον γίνεται, καὶ βαρύτερον
γράφεται, καὶ ὀργὴ πλέον ἐξάπτεται; οὐκ οἶδας ὅτι τὸ κατεργάζεσθαι τὸ κακὸν, δυσεξάλειπτον
καθίσταται ὥσπερ ἐν πίνακι χαρακτῆρες, ὧν μὲν κουφοτέρως ἐναποκείμενοι οἱ χαρακτῆρες καταλεαίνονται·

παραλεαίνονται· τῶν δὲ διὰ βάθους δυσεξάλειπτοι εὑρίσκονται; ὅρα οὖν μὴ περιφρονήσῃς τοῦ μέλλοντός σε κρίνειν· ὅρα οὖν μὴ ἐπιμένων, μείζω τῆς ἀφέσεως κατασκευάσῃς σοι τὴν ἀνομίαν. διὰ τοῦτο ἀεὶ πάντα προησφαλίσατο πᾶσι τὸ παράκλητον καὶ ἀγαθὸν πνεῦμα, καὶ πάντα ὑπέμνησε, καὶ πῶς ὁ πόρνος ἐκ τοῦ βασιλικοῦ γάμου μετ' αἰσχύνης ἐκβάλλεται, πῶς δὲ καὶ αἱ πέντε μωραὶ παρθένοι διὰ ἀπείθειαν ἔξω ἀπεκλείσθησαν τῆς οὐρανίου χαρᾶς, πῶς ὁ πλούσιος ἐκεῖνος διὰ τρυφὴν καὶ τὴν ἀνήλεον αὐτοῦ γνώμην ἐν τῷ τόπῳ ἐκείνῳ τῆς βασάνου ἔλαχεν. ὁμοίως καὶ ὁ ἕτερος πλούσιος, ὁ τὰς ἀποθήκας ἐκτείνων, καὶ συνάγων πολλά, καὶ κερδαίνων οὐδέν, ἄφρων δικαίως ἤκουσεν. οὐκ ἀγνοεῖτε δέ τι καὶ τῶν ἐξ εὐωνύμων διὰ τὸ ἀμετάδοτον ἤκουσαν. τὸν δὲ κλέπτην ὁ Κύριος φονέα ἐκάλεσε λέγων, Ὁ κλέπτης οὐκ ἔρχεται, εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ. ταῦτα δὲ τὰ τοιαῦτα διὰ στόματος τῶν ἁγίων τὸ ἅγιον πνεῦμα ἐλάλησε, κἀγὼ δὲ ὑπέμνησα· καὶ ἐπὶ πᾶσι τούτοις ὁ ἀπόστολος κράζει λέγων, Βλέπετε μὴ παραιτήσησθε τὸν λαλοῦντα· καὶ ἀρκέσει τέως ὑμῖν τὰ εἰρημένα, καὶ μάλιστα τοῖς σπουδαιοτέροις, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ πάντα κατὰ τὸν προειρηκότα καιρὸν οἰκονομήσαντος εἰς τὴν ἡμῶν σωτηρίαν, καὶ προσκαλουμένου εἰς τὴν αἰώνιον αὐτοῦ βασιλείαν, εὐχαῖς δὲ τῶν μνημονευθέντων ἁγίων, ᾧ ἡ δόξα καὶ τὸ κράτος, ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, ὡς ἦν ἐν ἀρχῇ, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λουκ. ιβ. κ.

Ιωαν. ι. ι.

Εβρ. ιβ. κε.

ΚΥΡΙΑΚΗ ΤΗΣ ΤΥΡΟΦΑΓΟΥ ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ καὶ ἐλεημοσύνης, Λογ. β.

Βασιλέως μὲν τοῦ ἐπιγείου στρατιώτας παρασκευάζουσι πρὸς παράταξιν βοῶσαι σάλπιγγες· βασιλέως δὲ τοῦ ἐπουρανίου Ἰησοῦ Χριστοῦ στρατιώτας διεγείρει πρὸς δοξολογίαν καὶ φόβον Θεοῦ ἡ τῶν θείων γραφῶν ἀνάγνωσις· ἀλλ' ἐκείνους μὲν πρὸς αἰσθητῶν ἐχθρῶν καὶ πολέμων ἀντιπαράταξιν· ἡμᾶς δὲ πρὸς ἀοράτους ἐχθρούς τε καὶ δαίμονας· καθώς φησιν ὁ Παῦλος, Ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. ἴδετε, ἀδελφοί, ποίους ἐχθροὺς ἔχομεν· ἴδετε μετὰ ποίων πολεμίων μαχόμεθα. πονηροὶ γάρ εἰσιν, ὡς ὁρᾶτε, καὶ ἀναίσχυντοι, καὶ πρὸς πᾶσαν ἁμαρτίαν ἐκβιάζονται ἡμᾶς. κἂν ἀποτύχωσιν ἐκ τούτου, ἐπὶ ἄλλο ἔρχονται· κἂν ἀπ' ἐκείνου ἀπορήσωσιν, ἐπὶ ἕτερον μεταβαίνουσι. καὶ ἁπλῶς εἰπεῖν, ἀπ' ἄλλου εἰς ἄλλον μετερχόμενοι οὐκ ἀφίστανται, ἕως ἂν τὸ θέλημα αὐτῶν ἀνύσωσι· καὶ τὸν μὲν κινοῦσι πρὸς πορνείαν, τὸν δὲ πρὸς μοιχείαν· καὶ ἄλλον ἐπὶ τὸ ἁρπάσαι τὰ ἀλλότρια, καὶ ἄλλον ἐπὶ τὸ κλέψαι τὸν πλησίον· καὶ τὸν μὲν πρὸς πλεονεξίαν καὶ ἀπληστίαν, τὸν δὲ πρὸς βασκανίαν καὶ φθόνον· ἄλλον πρὸς φόνον καὶ λοιδορίαν, καὶ ἄλλον πρὸς καταλαλιὰν καὶ ἀδελφοκτονίαν· ἄλλον πρὸς γαστριμαργίαν καὶ παιδοφθορίαν, καὶ ἕτερον πρὸς ἱεροσυλίαν καὶ ἀναισχυντίαν· καὶ τὸν μὲν πρὸς ἀνθρωπαρέσκειαν καὶ φιλοδοξίαν, τὸν δὲ πρὸς ἀσπλαγχνίαν καὶ ἀπανθρωπίαν· ἄλλον πρὸς ἄρνησιν καὶ ὅρκον, καὶ ἄλλον πρὸς ὕβριν καὶ ἀτιμίαν· καὶ τὸν μὲν πρὸς ὀργὴν καὶ θυμόν, καὶ ἄλλον ἐπὶ τόκον καὶ πρὸς ζῆλον καὶ ἔριν, καὶ ἕτερον πρὸς βλασφημίαν καὶ ἀκαθαρσίαν· καὶ τοὺς μὲν πείθουσι μὴ ἐλεεῖν πτωχούς, τοὺς δὲ τοῦ γείτονος τοὺς ὅρους παρασαλεύειν· ἄλλους ἀποστερεῖν ποιοῦσι τῶν μισθῶν μισθωτούς, οὗ τί γένοιτ' ἂν ἐλεεινότερον; ἄλλους ποιοῦσιν ὀρφανοὺς ἀποδύειν, ἄλλους χήρας καταπονεῖν, ἄλλους μηδὲ εἰς ἐκκλησίαν εἰσιέναι, ἄλλους εἰς μυρία πάθη καταχρημνίζουσιν, ὧν οὐκ

Εφ. ς. ιβ.

ἐστιν ὁ ἀριθμός· ἃ καὶ διηγούμενον ἐπιλείψει με ὁ χρόνος τῆς ζωῆς μου. ἴδετε, ἀδελφοί, εἰς πόσα κακὰ ἐμπίπτομεν καθ' ἑκάστην ἡμέραν, καὶ οὐ προσέχομεν. ἀλλ' οἴμοι, τίς γένωμαι ταῦτα διηγούμενος; πιστεύσατέ μοι, ἀδελφοί, ὅτι ἐν ᾧ καὶ μόνον ταῦτα γράφω, ἔκφοβός εἰμι καὶ ἔντρομος, καὶ φρίκη μοι ἐπέπεσε, καὶ ἐξίσταμαι, καὶ δακρύειν μοι ἐπέρχεται, ὅταν ἐνθυμηθῶ τὸ, ἐν πόσοις πάθεσι πονηροῖς καὶ δαιμονικοῖς δελεαζόμεθα. τί οὖν ἀμελοῦμεν; τί παρειμθυόμεθα; ποῖον καιρὸν ἐκδεχόμεθα; τί τῆς ἑαυτῶν σωτηρίας καταφρονοῦμεν; τί οὐ φροντίζομεν τὰ τῆς ἐξόδου ἡμῶν; τί ἀμελοῦμεν; τί ἀναδυόμεθα; ἕως πότε ἀθυμίας; ἕως πότε τρυφή; ἕως πότε μέθη; ἕως πότε ἡδοναί; ἕως πότε ἡδυπάθεια; ἕως πότε ἀπληστία; ἕως πότε ἁρπαγαί; ἕως πότε ἀδικία; ἕως πότε ἡ καταδρομὴ τῶν πτωχῶν; ἕως πότε αἱ λεηλασίαι τῶν πενήτων; ἕως πότε πλοῦτος; ἕως πότε χρήματα; ἕως πότε χρυσός; ἕως πότε φιλαργυρία, τῶν ψυχῶν ἡ ἀγχόνη; ἕως πότε φθόνος; ἕως πότε ψεῦδος; ἕως πότε καταλαλιά; ἕως πότε λοιδορία; ἕως πότε ἐπιθυμίαι αἰσχραὶ καὶ ἀκόλαστοι; τί πλανώμεθα; τί ἀναμένομεν; τί ἀκαίρως κοπιῶμεν; τί ἑαυτοὺς χλευάζομεν; τί ἑαυτοὺς κατακόπτομεν μάτην; τί τὰ ἀλλότρια ἐπιτρέχομεν; τί ταρασσόμεθα; τί κοπιῶμεν; τί θησαυρίζομεν πρόσκαιρα; μετανοήσωμεν τὸ λοιπόν, ἐξυπνίσωμεν, γρηγορήσωμεν (παρακαλῶ ὑμᾶς, ἀδελφοί) ἀποτινάξωμεν τὸν βαθὺν ὕπνον τῆς ἁμαρτίας. δεῦτε, ἀκούσατε, καὶ διηγήσομαι ὑμῖν, πάντες οἱ φοβούμενοι τὸν Θεόν· δεῦτε, ἀκούσατε πράγματα καὶ ῥήματα πνευματικὰ καὶ σωτήρια· δεῦτε, μάθετε βουλὴν σώζουσαν, καὶ θεάρεστον· δεῦτε, γνῶτε πῶς ἐξομολογησόμεθα τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν· δεῦτε πρὶν λυθῇ ἡ τοῦ βίου πανήγυρις, δεῦτε πρὶν ἀποκλεισθῶσιν αἱ θύραι τῆς ζωῆς, πρὶν ὁ θάνατος ἔλθῃ καὶ εὕρῃ ὑμᾶς ἀνετοίμους· δεῦτε πρὶν ὁ ἥλιος δύνῃ, πρὶν σκοτάσῃ τὸ φῶς· δεῦτε, ἀκούσατε πάντα τὰ ἔθνη, καὶ ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην· δεῦτε γηγενεῖς, καὶ υἱοὶ τῶν ἀνθρώπων, ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης· δεῦτε εὐγενεῖς καὶ ἔνδοξοι, δοῦλοι καὶ ἐλεύθεροι· δεῦτε πᾶν γένος, καὶ ἡλικία πᾶσα, ἄνδρες ὁμοῦ καὶ γυναῖκες, μικροί τε καὶ μεγάλοι, νέοι τε καὶ πρεσβῦται· δεῦτε ἱερεῖς Κυρίου, καὶ πᾶν τὸ πλήρωμα τῆς ἐκκλησίας τῆς ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης· δεῦτε νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων· δεῦτε βασιλεῖς τῆς γῆς εἴτε σοφοὶ καὶ ἰδιῶται, δεῦτε, προσπέσωμεν ἐναντίον Κυρίου τοῦ ποιήσαντος ἡμᾶς· ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαὸς νομῆς αὐτοῦ, καὶ πρόβατα χειρὸς αὐτοῦ. δεῦτε, ἀδελφοί, καὶ γνῶμεν ὅτι οὐδὲν ὠφελήσουσιν ἡμᾶς τὰ πέρατα τῆς γῆς. δεῦτε, ἴδετε ὅτι γυμνοὶ εἰσήλθομεν, καὶ πάλιν γυμνοὶ μέλλομεν ἀπέρχεσθαι ἐκεῖ. δεῦτε, ἐξομολογησώμεθα τῷ Κυρίῳ ἐν δάκρυσι καὶ στεναγμοῖς, ἐν ἐλεημοσύναις, ἐν οἰκτιρμοῖς πενήτων· καὶ αὐτὸς διδάξει ἡμᾶς πῶς σωθῶμεν. εἴπωμεν καὶ ἡμεῖς πρὸς αὐτόν· Κύριε, ἡμάρτομεν εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου· δέξαι ἡμῶν τὴν ἐπιστροφὴν καὶ τὴν μετάνοιαν, δέξαι ἡμῶν τοὺς στεναγμοὺς καὶ τὰ δάκρυα, δέξαι ἡμῶν τῶν ἁμαρτωλῶν τὴν μετάνοιαν, τὸν ὀδυρμὸν καὶ κλαυθμὸν τὸν ἐπὶ θανάτου· δέξαι ἡμᾶς τοὺς ἀθλίους, καὶ αἰσχρῶς βιώσαντας· δέξαι ἡμᾶς, φιλάνθρωπε, τοὺς πολλά σε παροργίσαντας· δέξαι ἡμᾶς, δέσποτα, τοὺς ἐν ἀσωτίᾳ καὶ πάσῃ πονηρίᾳ καὶ ἀκαθαρσίᾳ τὸν βίον ὅλον δαπανήσαντας· δέξαι, Κύριε ὁ Θεός, τοὺς τῶν σῶν ἐντολῶν παρακούσαντας· δέξαι ἡμᾶς, δέσποτα, τοὺς ἀναξίους δούλους σου, καὶ μὴ ἀποδῴης ἡμῖν κατὰ τὰ ἔργα τῶν χειρῶν ἡμῶν. ὁμολογοῦμεν, δέσποτα, ὅτι οὐδὲ τοῦ ζῆν ἄξιοι διὰ τὰς ἁμαρτίας ἡμῶν· ὁμολογοῦμεν, Κύριε, ὅτι οὐδὲ τὸν ἥλιον τοῦτον θεωρεῖν ὑπάρχομεν ἄξιοι, διότι οὐκ ἔστιν ἁμάρτημα, οὐκ εἶδος παντοίου κακοῦ, ὃ οὐκ ἐπράξαμεν οἱ ἄθλιοι· ἀλλὰ δέξαι ἡμᾶς, δέσποτα, ὥσπερ τὸν ἄσωτον υἱόν· δέξαι ὡς τὸν λῃστήν, δέξαι ὡς τὴν πόρνην καὶ τὸν τελώνην. Κύριε, ἐπίστρεψον ἡμᾶς, Κύριε σκέπασον ἡμᾶς, καὶ μὴ ὀργισθῇς, ἀλλὰ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἐκτός σου ἄλλον οὐκ οἴδαμεν. Κύριε, ἐξελοῦ ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τῶν δούλων σου. Κύριε, σὺ εἶ Θεός, καὶ ἡμεῖς σὸς λαός. ἡμάρτομεν γάρ, ἠνομήσαμεν,

ἴσ. πότε ῥᾳ- θυμιάζων

ἴσ. · συμβ- αυτοῦ, χρ.

Ψαλ. ϟδ. ζ.

ἴσ. · φοί, ὅτ- ἰδ.

μεν, ἠδικήσαμεν, καὶ τὸ πονηρὸν ἐποιήσαμεν, καὶ ἐξημάρτομεν ἐν πᾶσι, καὶ τῶν ἐντολῶν σου οὐχ ὑπηκούσαμεν, καὶ διὰ τοῦτο μακρὰν σου ἀπεπλανήθημεν· ἀλλ' ἐλέησον, Κύριε, τὰ ἔργα τῶν χειρῶν σου· ἐλέησον, δέσποτα, τοὺς τῇ ἀπάτῃ τοῦ ὄφεως ἐκβληθέντας τοῦ παραδείσου· ἐλέησον ἡμᾶς, καὶ ἔνδυσον χιτῶνα εὐφροσύνης, καὶ σωτήριον ἱμάτιον· ἐλέησον ἡμᾶς, οὓς ἐγύμνωσεν ὁ διάβολος τῆς σῆς βοηθείας· εὔσπλαγχνε, ἐλέησον τοὺς σὲ καταλιπόντας, καὶ ἐκείνῳ δουλεύσαντας· ἐλέησον τοὺς πεπλανημένους, ἐλέησον τοὺς τὰς σὰς παραγγελίας μὴ φυλάξαντας, καὶ ταῖς δαιμόνων κακουργίαις καθυπουργήσαντας· ἐλέησον τοὺς ἐν ἁμαρτίαις μολυνθέντας, ἐλέησον τοὺς τυραννουμένους ὑπὸ τοῦ διαβόλου, ἐλέησον τοὺς ῥερυπωμένους ἐν ἀσωτίᾳ· ἐλέησον ἐλεῆμον, ἐλέησον ἀγαθέ, ἐλέησον μακρόθυμε, ὅτι πολὺ κακὸν καὶ πᾶσαν ἀκαθαρσίαν καὶ πλεονεξίαν καὶ ἀδικίαν αἱ χεῖρες ἡμῶν ἐποίησαν. ἐμιάναμεν γὰρ τήν, ἣν κατ' εἰκόνα σου ἐποίησας· ἐμιάναμεν τὸ σῶμα, ἐμολύναμεν τὴν αἴσθησιν· ἡ γλῶσσα ἡμῶν, μάχαιρα ὀξεῖα ἐγένετο κατὰ τοῦ πλησίον· οἱ ὀφθαλμοὶ ἡμῶν πῦρ βλέπουσιν, αἱ χεῖρες ἡμῶν αἵματος πλήρεις, οἱ πόδες ἡμῶν ὀξεῖς εἰς τὸ κακὸν τοῦ ποιῆσαί τινα· τὸ στόμα ἡμῶν μεμίανται ταῖς λοιδορίαις· καί, ἁπλῶς εἰπεῖν, ἐμιάναμεν τὴν γῆν καὶ τὸν ἀέρα. αἱ γὰρ ἀδικίαι ἡμῶν ἕως τοῦ οὐρανοῦ ἤγγισαν, αἱ ἁρπαγαὶ ἡμῶν ὑπὲρ τὰ ὄρη ὑψώθησαν, αἱ πλεονεξίαι ὑπὲρ τὰς νεφέλας ἐπήρθησαν, αἱ κακίαι ἡμῶν ἕως τοῦ οὐρανοῦ ἔφθασαν, αἱ ἁμαρτίαι ἡμῶν ἀσυγχώρητοι, τὰ σφάλματα ἡμῶν ἀριθμὸν οὐκ ἔχει, ἡ ἀποτυχία ἡμῶν ἀπαρηγόρητος, καὶ ἰδοὺ ἡ γῆ τὰ κακὰ ἡμῶν βαστάζειν οὐ δύναται· καὶ διὰ τοῦτο, δέσποτα, τοῦ σοῦ ἐλέους χρῄζομεν. γινώσκεις τὴν ἀσθένειαν τῆς φύσεως ἡμῶν· ἐλέησον, Κύριε, τῶν χειρῶν σου τὸ ποίημα. τὴν σὴν γὰρ εὐσπλαγχνίαν ἐπικαλούμεθα· τῆς σῆς βοηθείας μὴ ὑστερήσῃς ἡμᾶς· τὸ σὸν ἔλεος ἐξαπόστειλον ἡμῖν τοῖς ἀναξίοις, τὴν σὴν ἀντίληψιν δώρησαι ἡμῖν τοῖς ἁμαρτωλοῖς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα. Ταῦτα (ἀδελφοί μου) λέγοντες καὶ ποιοῦντες, φύγωμεν πᾶσαν κακίαν καὶ πᾶσαν ἀκαθαρσίαν, φύγωμεν πᾶσαν ἀδικίαν καὶ πλεονεξίαν· φύγωμεν κενοδοξίαν, μέθην, καὶ πᾶσαν ἀπληστίαν· φύγωμεν γαστριμαργίαν τὴν μητέρα πάντων τῶν κακῶν, φύγωμεν φιλαργυρίαν τὴν ἀρχὴν καὶ ῥίζαν πάσης ἁμαρτίας, φύγωμεν μισαδελφίαν καὶ ἀσπλαγχνίαν, φύγωμεν καταλαλιὰν καὶ λοιδορίαν, φύγωμεν πορνείαν, μοιχείαν, καὶ πᾶσαν βλασφημίαν· φύγωμεν κλοπήν, ἁρπαγήν· φύγωμεν φιλοδοξίαν καὶ προσωποληψίαν, καὶ ἔριν, καὶ ζῆλον, καὶ τὴν λοιπὴν ἀπάτην τοῦ ματαίου βίου τούτου· ἵνα μὴ ἔλθῃ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, καὶ εὑρήσῃ ἡμᾶς ῥαθυμοῦντας, καὶ διχοτομήσῃ ἡμᾶς, καὶ ἀποφαίνηται καθ' ἡμῶν λέγων· Δήσαντες αὐτοὺς χεῖρας καὶ πόδας, ἄρατε αὐτούς, καὶ ἐμβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. ὢ πόσα μέλλομεν τότε κλαίειν, ἀδελφοί, καὶ ὀδύρεσθαι, καὶ θρηνεῖν, καὶ ἑαυτοὺς κατακόπτειν, μηδὲν ὠφελοῦντες λοιπόν; οὐαὶ ἐν τῇ ὥρᾳ ἐκείνῃ τῇ φοβερᾷ, ἐὰν οὕτως εὑρεθῶμεν ἀμετανόητοι· καλὸν οὖν ἡμῖν μὴ γεννηθῆναι, ἐὰν οὕτω μέλλωμεν εὑρίσκεσθαι· κλαύσωμεν μικρὸν λοιπὸν (ὦ ἀδελφοί) ἵνα μὴ ἐκεῖ ἀθάνατα τιμωρηθῶμεν· ἐλεήσωμεν, ἵνα ἐλεηθῶμεν, ἵνα συγχωρηθῶμεν· σκορπίσωμεν ἡμεῖς αὐτοὶ χρήματα, ἵνα μὴ ἄλλοι μετὰ τὴν τελευτὴν ἡμῶν τὸν κόπον ἐσθίοντες καὶ πίνοντες καὶ σπαταλῶντες, ψάλλωσι λέγοντες· Θησαυρίζει ὁ πλούσιος, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά. καὶ πάλιν, Ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτοῦ. τί γὰρ ὄφελος, ἀδελφοί, ὅταν ἡμεῖς κοπιῶμεν, καὶ ἄλλοι τοὺς κόπους ἡμῶν ἀπολαύωσι; προπέμψωμεν ἐκεῖ, ἵνα εὕρωμεν. Ὃ γὰρ σπείρει ἄνθρωπος, τοῦτο καὶ θερίσει. μηδεὶς προφασιζέσθω, ὅτι γυναῖκα ἔχω καὶ τέκνα, καὶ οὐ δύναμαι δι' αὐτὰ σκορπίσαι τὰ χρήματα, ἵνα μὴ ἀποθνήσκων πτωχοὺς αὐτοὺς καταλίπω. μή, ἀδελφοί, μὴ (παρακαλῶ πάντας ἡμᾶς) μὴ τοῦτο μεριμνῶμεν. ἔστι γὰρ Θεὸς ἐν οὐρανῷ ὁ οἰκτίρμων, ὁ μεριμνῶν καὶ διοικῶν τὴν γυναῖκα καὶ τὰ τέκνα, ὁ καὶ ποιήσας αὐτούς· μόνον ἡμεῖς ἑαυτῶν μεριμνήσωμεν.

Ματθ. κβ. ιγ.

Ψαλ. λη. ι.

Ψαλ. να. ϛ.

Γαλ. ϛ. ζ.

μεν, ἑαυτοὺς κλαύσωμεν, ἑαυτοὺς εὐτρεπίσωμεν, ἑαυτοὺς πρὸς τὰ ἐκεῖ κριτήρια καὶ δικαστήρια προασφαλισώμεθα. ἐν γὰρ τῇ ὥρᾳ ἐκείνῃ οὔτε τέκνα, οὔτε γυνή, οὐ πατήρ, οὐ μήτηρ, οὐκ ἀδελφός, οὐ συγγενής, ἀλλ' οὐδὲ αὐτὸς ὁ Ἀβραάμ, ἢ Νῶε, ἢ Δανιήλ, ἢ Πέτρος, ἢ Παῦλος δυνήσονται λυτρώσασθαι ἡμᾶς ἐκ τῶν ἀκαταλήπτων ἐκείνων βασάνων, εἰ μὴ τὰ ἔργα ἡμῶν. ἐξ οὐρανοῦ ἔρχεται κρῖναι ζῶντας καὶ νεκρούς, ἔρχεται ὁ ἐτάζων καρδίας καὶ νεφρούς· ἔρχεται, καὶ τίς λοιπὸν ἐκφύγῃ τὰς χεῖρας αὐτοῦ; ἔρχεται καθήμενος ἐπὶ θρόνου χερουβίμ, καὶ ἐπιβλέπων ἀβύσσους· ἔρχεται ὁ Θεὸς τῶν θεῶν, καὶ Κύριος τῶν κυριευόντων· ἔρχεται ὁ ἄρχων τῶν ἀρχόντων, καὶ κριτὴς τῶν κριτῶν· ἔρχεται ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ δικαστὴς τῶν δικαστῶν· ἔρχεται ὁ δημοσιεύων καὶ ἐλέγχων πᾶν φαῦλον καὶ ἀποκεκρυμμένον μυστήριον· ἔρχεται ὁ φανερῶς ποιῶν καὶ ἀποκαλύπτων τὰ ἐσφαλμένα τῶν κρυφίων· ἔρχεται ὁ τὰ ἐνθυμήματα καὶ τὰς πράξεις καὶ τὰ ῥήματα καὶ πᾶν ἐνόημα ἐπὶ πάντων θριαμβεύων· ἔρχεται ὁ ἀληθὴς καὶ ἀκοίμητος ὀφθαλμός, ὁ ἀπροσωπόληπτος δικαστής, ὁ ἀδωροδόκητος ἐξεταστής, ὁ πᾶσαν ῥυπαρὰν πρᾶξιν καὶ αἰσχρὰν ἡδονὴν καταφλέγων, καὶ εἰς γέενναν παραπέμπων· ἔρχεται ὁ ἀγαπῶν εἰρήνην, καὶ μισῶν πᾶν πονηρὸν ῥῆμα, καὶ πᾶν ἅρπαγμα, καὶ ἁμαρτίαν πᾶσαν, καὶ τοὺς ποιοῦντας τὰ σκάνδαλα αἰωνίως τιμωρούμενος· ἔρχεται, οὗ ἀπὸ προσώπου αὐτοῦ ἡ γῆ φεύγει, ἡ θάλασσα ξηραίνεται, ὁ οὐρανὸς εἱλίσσεται ὡς βιβλίον, τὰ ἄστρα πίπτουσιν, ὁ ἀὴρ κλονεῖται, ὁ ἥλιος σκοτίζεται, ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται, τὰ χερουβὶμ τρέμει, τὰ σεραφὶμ ἐξίστανται, ἄγγελοι φρίττουσιν, ἀρχάγγελοι τρέμουσι, τὰ ἄνω, τὰ κάτω δονεῖται, τὰ πάντα σείεται· ἔρχεται ὁ μὴ λαμβάνων πρόσωπον ἀνθρώπου, καὶ μὴ ἐλεῶν πτωχὸν ἐν κρίσει· ἔρχεται ὁ ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, ὁ ἐλέγχων καὶ στηλιτεύων πάσης πνοῆς τὰ βουλεύματα καὶ τὰ κινήματα· ἔρχεται ὁ ἐλεῶν τοὺς ἐλεήμονας, καὶ κατακρίνων τοὺς ἀσπλάγχνους, ὁ φοβερὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων· ἔρχεται ᾧ κάμπτει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων· ἔρχεται οὗ ὁ θρόνος φλὸξ πυρός, καὶ οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον· ἔρχεται τοὺς μὲν δικαίους σῶσαι καὶ δοξάσαι, τοὺς δὲ ἁμαρτωλοὺς τιμωρήσασθαι· ἔρχεται μακαρίσαι τοὺς διψῶντας, τοὺς δὲ ἐμπεπλησμένους ταλανίσαι· ἔρχεται τιμῆσαι τοὺς ἀγωνιζομένους καὶ ἀγρυπνοῦντας ἐν προσευχαῖς καὶ ψαλμῳδίαις, ἐν εὐχαριστίᾳ καὶ δεήσει καὶ ὑπομονῇ· τοὺς δὲ ῥαθύμους καὶ ἀμελεῖς εἰς βασάνους καὶ τιμωρίας παραπέμψαι· ἔρχεται πρὸς μὲν τοὺς ἁμαρτωλοὺς φοβερὸς καὶ σκληρός, μετὰ πολλῆς ἀπειλῆς κολάσει· πρὸς δὲ

Ματθ. κε. λδ.

τοὺς δικαίους πρᾶος καὶ ἱλαρὸς καὶ ἥμερος· καὶ τί φησι πρὸς αὐτούς; Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· οὐχ ὅτι πλοῦτον πολὺν ἐκτήσασθε ἐπὶ τῆς γῆς, οὐδ' ὅτι πολλοὺς δούλους καὶ δούλας ἐσχήκατε, οὐδ' ὅτι εὐγενεῖς καὶ ἔνδοξοι ἐγένεσθε· οὐχ ὅτι πολλοὺς ἀγροὺς καὶ ἀμπελῶνας ἐκληρονομήσατε, οὐχ ὅτι ἀποθήκας καὶ λαμπρὰς οἰκίας ᾠκοδομήσατε, οὐχ ὅτι πολλὰ ζεύγη βοῶν καὶ ἀγέλας προβάτων εὐπορήσατε, οὐδ' ὅτι τραπέζης πλουσίας καὶ ἀφθόνου ἀπηλαύσατε, οὐδ' ὅτι ἱμάτια λαμπρὰ ἐνεδύσασθε, οὐδ' ὅτι μύροις καὶ ἀρώμασιν ἠλείφεσθε, οὐδ' ὅτι πολλὰ παρὰ πάντων ἐτιμήθητε· οὐχ ὅτι ἐδοξάσθητε καὶ ὑψώθητε καὶ ἐμεγαλύνθητε, οὐδ' ὅτι ἐνηστεύσατε, ἢ ἠγρυπνήσατε· οὐδ' ὅτι παρθενίαν ἐφυλάξατε, ἢ ὅτι ἐκακοπαθήσατε·

Ματθ. κε. λε.

ἀλλ' ὅτι ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· εἴδετέ με ξένον, καὶ εἰς τοὺς οἴκους ὑμῶν συνηγάγετέ με, καὶ μεγάλως με παρεμυθήσασθε· ἑωράκατέ με γυμνόν, καὶ ἐνεδύσασθε· ἐθεάσασθέ με ἐν ἀσθενείᾳ κατακείμενον, καὶ ἐπεσκέψασθέ με, καὶ πολλῆς θεραπείας ἠξιώσατε· εἴδετέ με ἐν φυλακῇ, καὶ μετὰ πολλῆς προθυμίας ἤλθετε πρός με. καὶ λέγουσιν αὐτῷ οἱ δίκαιοι· Κύριε, πότε σε εἴδομεν πεινῶντα, καὶ ἐθρέψαμεν; ἢ διψῶντα, καὶ ἐποτίσαμεν; ἢ ξένον, καὶ συνηγάγομεν; ἢ γυμνόν, καὶ περιεβάλομεν; ἢ ἀσθενῆ, ἢ ἐν φυλακῇ, καὶ διηκονήσαμέν σοι; ὁ δὲ κριτὴς πρὸς αὐτούς φησιν· Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, τῶν πτωχῶν, τῶν ἀπερριμμένων, τῶν ξένων, τῶν ταπεινῶν, τῶν ἐξουθενημένων, τῶν λελωβημένων, τῶν ἐν πειράσει, τῶν ἐν ἀνάγκῃ, τῶν ἐν θλίψει, τῶν ἐν λιμῷ, τῶν ἐν δίψει, τῶν τετραυματισμένων, τῶν καταπονουμένων, τῶν ἀσθενούντων, τῶν κακουχουμένων· ἐφ' ὅσον ἐποιήσατε ἐκ πάντων τούτων ἑνὶ, ἐμοὶ ἐποιήσατε, τὰ ἐμὰ μέλη ἐθερμάνατε, ἐμοὶ διηκονήσατε, τὴν ἐμὴν ψυχὴν ἀνεπαύσατε· διὰ τοῦτο δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. δεῦτε ἐν πρώτοις, οἱ τὴν πίστιν ἄσπιλον καὶ ἀμόλυντον φυλάξαντες· δεῦτε οἱ δι' ἐμὲ πτωχεύσαντες τὴν πνευματικὴν πτωχείαν· δεῦτε οἱ ἐν ἐρημίαις καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς μετὰ τῶν θηρίων διὰ τὸ ὄνομά μου οἰκήσαντες· δεῦτε οἱ πενθοῦντες καὶ τεθλιμμένοι· δεῦτε οἱ δι' ἐμὲ πεινάσαντες καὶ διψήσαντες· δεῦτε οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης· δεῦτε οἱ ὀνειδισθέντες καὶ μισηθέντες διὰ τὸ ὄνομά μου· δεῦτε οἱ καθαροὶ τῇ καρδίᾳ, δεῦτε οἱ ἐλεήμονες, δεῦτε οἱ εὐμετάδοτοι, δεῦτε οἱ εὔσπλαγχνοι, δεῦτε οἱ ὀρφανοτρόφοι, δεῦτε οἱ ξενοδόχοι, δεῦτε οἱ τῶν χηρῶν προστάται, δεῦτε οἱ τῶν ἀδυνάτων ἀντιλήπτορες, δεῦτε οἱ τῶν ἀσθενούντων παραμυθήτορες, δεῦτε οἱ τοὺς ἐν φυλακῇ ἐπισκεπτόμενοι, δεῦτε οἱ τῶν χρεοσόπων πληρωταί, δεῦτε οἱ τὰς ψυχὰς τῶν πεινώντων καὶ διψώντων διὰ τὸ ὄνομά μου ἐμπλήσαντες, δεῦτε οἱ τῶν ἀδίκως καταδουλωθέντων καὶ κινδυνευόντων προστάται θερμότατοι, δεῦτε οἱ τῶν ἐν ἐξορίᾳ καὶ πικραῖς δουλείαις εὔσπλαγχνοι ἐλευθερωταί, δεῦτε οἱ τὸν ἔρημον καὶ ἡσύχιον βίον δι' ἐμὲ πολιτευσάμενοι, δεῦτε οἱ παρθενίᾳ καὶ ἀσκήσει καὶ σεμνῇ πολιτείᾳ ἕως θανάτου ἀγωνισάμενοι, δεῦτε οἱ ἐν σωφροσύνῃ καὶ ἁγνείᾳ τὸ σῶμα καὶ τὴν ψυχὴν ἄσπιλον καὶ ἀμίαντον διατηρήσαντες, δεῦτε οἱ ἐν νηστείαις καὶ ἀγρυπνίαις καὶ ψαλμῳδίαις ὅλον ἑαυτῶν τὸν βίον τελέσαντες, δεῦτε οἱ καθ' ἑκάστην νύκτα καὶ ἡμέραν τῆς ἐκκλησίας μὴ ἀφιστάμενοι, δεῦτε οἱ τὰ θυσιαστήριά μου κοσμοῦντες καὶ ἐπιμελούμενοι, δεῦτε οἱ καταφρονήσαντες τῶν ἐπιγείων, ἀπολάβετε τὰ οὐράνια· δεῦτε οἱ καταλείψαντες δι' ἐμὲ πατέρας καὶ μητέρας, υἱοὺς καὶ θυγατέρας, οἰκίας καὶ ἀγροὺς καὶ συγγενεῖς. ἀπολάβετε τὰ ἀγαθὰ Ἱερουσαλὴμ τῆς ἐπουρανίου. δεῦτε καὶ θεάσασθε τὴν δόξαν τὴν ἐμὴν, καὶ χαίρετε, καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. δεῦτε, ἴδετε οἵου δεσπότου ὑπηρέται τυγχάνετε, καὶ χαίρετε, καὶ σκιρτήσατε, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. Εἰσέλθετε εἰς τὴν χαρὰν τοῦ Κυρίου ὑμῶν, ἀπολάβετε τὰ ἀγαθὰ ἐκεῖνα, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· Εἰσέλθετε εἰς τὰ ταμεῖα τοῦ πατρός μου, ὅπου ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι· δέξασθε τὰ βραβεῖα καὶ τοὺς στεφάνους καὶ τὰ ἔπαθλα τῶν ἀγώνων ὑμῶν. ἐβαστάσατε τὸ βάρος καὶ τὸν καύσωνα τῆς ἡμέρας· ἀπολάβετε τὴν βασιλείαν τῶν οὐρανῶν. ὑπεμείνατε πεῖναν καὶ δίψαν, χαμαικοιτίαν καὶ ξηροφαγίαν· ἀπολαύσατε τῆς δόξης ἀνεικάστου, καὶ χαρᾶς ἀνεκλαλήτου, ἣν προητοίμασα ὑμῖν τοῖς φίλοις, ἀναπαύσασθε λοιπὸν εἰς τὰς αὐλὰς τοῦ παραδείσου, εἰς τὰς μονὰς τὰς φωτοειδεῖς, εἰς τρυφὴν καὶ χαρμονὴν τέλος οὐκ ἔχουσαν, εἰς σκηνώματα λαμπρὰ καὶ δεδοξασμένα. εἰσέλθετε εἰς τόπους φωτεινούς, καὶ ἀναπαύεσθε ἐκ τῶν κόπων ὑμῶν, ὧν δι' ἐμὲ ὑπεμείνατε. ἀναπαύεσθε μετὰ τῶν ἁγίων μου ἀγγέλων, μετὰ ἀποστόλων, μετὰ προφητῶν τῶν ἀπ' αἰῶνός μοι εὐαρεστησάντων ἁγίων. Εἰσέλθετε εἰς τὸ ἐμὸν παλάτιον, ὅπου οὐκ ἔστι πόνος, λύπη, καὶ στεναγμὸς, οὐδὲ δάκρυον, ἀλλὰ αἰώνιος, καὶ ζωὴ ἀτελεύτητος. τοιαύτας δωρεὰς χαρίζομαι ἐγὼ τοῖς τὸν ἐμὸν λόγον τηρήσασιν, οὕτως ἐγὼ τιμῶ τοῖς ἐμὲ τιμήσασιν· οὕτως ἐγὼ δοξάζω τοὺς ἐμὲ δοξάζοντας, οὕτως ἐγὼ ἀναπαύω τοὺς τὰ ἐμὰ μέλη τοὺς πτωχοὺς καὶ ἀδυνάτους ἀναπαύοντας, οὕτως ἐγὼ μακαρίζω τοὺς τῶν ἐκκλησιῶν μου ἐπιμελοῦντας, οὕτως ἐγὼ ἀ-

ποδίδωμι

ἀποδίδωμι πλουσίως καὶ ἀφθόνως καὶ ἑκατονταπλασίως, τὴν αἰώνιον ζωήν. ἐδώκατέ μοι κλάσμα ἄρτου· λάβετε βασιλείαν οὐράνιον. ἐδώκατέ μοι ἀργύριον· λάβετε τὸν παράδεισον τῆς τρυφῆς. ἐδώκατέ μοι ἱμάτιον παλαιόν· ἐνδύω ὑμᾶς τὸ ἄδυτον φῶς. ἐδώκατέ μοι ποτήριον ὕδατος· ἀπολάβετε τὸ ὕδωρ τὸ ζῶν τῆς ἀναπαύσεως. Εἰσηγάγετέ με ἐν τῇ σκέπῃ· ἰδοὺ χαρίζομαι ὑμῖν τὸ εἶναι μετὰ τῶν ἁγίων ἀγγέλων. ἐδώκατέ μοι φθαρτά· λάβετε ἄφθαρτα. ἐδώκατέ μοι πρόσκαιρα· λάβετε αἰώνια. ἠξιώσατέ με τῆς τραπέζης ὑμῶν· λάβετε τρυφὴν αἰώνιον. ἐρρύσασθέ με ἀπὸ δεσμωτηρίου, ἐπεσκέψασθέ με ἀσθενοῦντα, ἐλύσατέ μου τὸν λιμὸν καὶ τὴν δίψαν, ἐνίψατέ μου τοὺς πόδας, ἐθερμάνατέ με ῥιγοῦντα· ἰδοὺ χαρίζομαι ὑμῖν τὸν κόλπον τοῦ Ἀβραάμ. ἔλαβον πηλόν, δίδωμι μαργαρίτας· ἔλαβον χόρτον, δίδωμι χρυσόν. πάντα γὰρ τὰ ὑμέτερα, οἷά εἰσι, πρὸς τὰς ἐμὰς δωρεὰς χόρτος εἰσὶ καὶ πηλός. τὰ γὰρ ὑμέτερα ἐπίγεια, τὰ δὲ ἐμὰ ἐπουράνια· τὰ ὑμέτερα πάντα μαραινόμενα· τὰ δὲ ἐμὰ φῶς, ζωή, καὶ χαρά, καὶ ἀνάπαυσις. οἶδα ἐγὼ ὅσα μοι ἐποιήσατε, γινώσκω ἐγὼ ὅσα ἐκ τοῦ στόματος ὑμῶν ἀπεκόψατε, καὶ τὴν ἐμὴν ψυχὴν ἐνεπλήσατε· ἐπίσταμαι, καὶ οὐκ ἐπιλαθόμην ὅσα με ἐξενοδοχήσατε· καὶ διὰ ταῦτα πάντα, ὅσα ἐν οὐρανῷ, καὶ ὅσα ἐπὶ τῆς γῆς ὑπάρχει ἀγαθά, ὑμῖν χαρίζομαι τοῖς φίλοις μου εἰς αἰῶνα αἰῶνος.

Εἴδετε, ἀδελφοί, τῆς ἐλεημοσύνης τὸ κέρδος, ἔγνωτε αὐτῆς τὴν ἰσχύν, ἐμάθετε αὐτῆς τὴν δύναμιν, κατενοήσατε αὐτῆς τὴν ὠφέλειαν. Εἶτα, φησίν, ὁ Κύριος πρὸς τοὺς εὐωνύμους λέγει, πρὸς τοὺς ἀνηλεεῖς, πρὸς τοὺς αἰσχρῶς τὸν βίον δαπανῶντας· Ἐπείνασα γάρ, φησι, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με, καὶ τὰ ἑξῆς. πόσα ἦλθον εἰς τὴν θύραν ὑμῶν ζητῶν ἐντολήν, καὶ ἀπρακτόν με ἀπεστρέψατε; πόσα ἦλθον εἰς τοὺς οἴκους ὑμῶν, καὶ εἶδον τράπεζαν παντοίων ἀγαθῶν μεστήν, καὶ πόρνας τρέφων καὶ ὀρχηστάς, καὶ κόλακας, καὶ ἐμὲ κἂν κλάσματος ἄρτου οὐκ ἠξιώσατε; μὴ γὰρ τὰ ὑμέτερα ἐζήτουν, καὶ ἐκ τῶν ἐμῶν οὐκ ἐδώκατέ μοι φαγεῖν; πόσα ἦλθον εἰς τοὺς οἴκους ὑμῶν, χειμῶνος σφοδροῦ ἐπικειμένου, γυμνὸς καὶ ἀνυπόδετος, μηδὲν λαλῆσαι δυνάμενος ἀπὸ τῆς βίας καὶ τῆς ἀνάγκης· ὑμεῖς δὲ ἐπιτάξαντες, ἐξουθενήσαντες, ἔξωθέν με ἐγκατελίπετε, καὶ οὐδὲ κἂν ὡς ἕνα τῶν κυναρίων ἐλογίσασθε; καὶ διὰ τοῦτο πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ ἐξώτερον, ὅπου ὁ σκώληξ ὁ ἀκοίμητος, καὶ βρυγμὸς ὀδόντων· ὅτι οὐ μόνον ὑμεῖς με οὐκ ἠλεήσατε, ἀλλὰ καὶ τοὺς θέλοντάς με πολλάκις ἐλεεῖν ἐκωλύετε, καὶ ἐπείθετε λέγοντες, ὅτι κλέπται εἰσὶν οἱ πτωχοί· τί ἐλεεῖτε αὐτούς; τοὺς κύνας ἐτρέφετε, τοὺς ἵππους ἐθεραπεύετε, τῶν κτηνῶν ἐπιβλέπετε καὶ ἐπιμελεῖσθε ὄνους, καὶ χοίρους καὶ πρόβατα ἐμεριμνᾶτε· τὰ δὲ ἐμὰ μέλη, τοὺς πτωχοὺς καὶ ἀδυνάτους, οὐδέποτε ἠλεήσατε· οὕτως οὐδὲ ὑμεῖς ἐλεηθήσεσθε. οὐκ οἴδατε, ἄθλιοι, ὅτι διὰ τῶν πτωχῶν ἔχει πᾶς ἄνθρωπος τὴν σωτηρίαν; οὐκ ἀνέγνωτε ὅτι ἀδελφούς μου αὐτοὺς ἐπεκάλεσα; οὐκ ἠκούσατε τῆς γραφῆς λεγούσης, ὅτι Ὁ ἐλεῶν πτωχόν, δανείζει Θεῷ; οὐκ ἐμάθετε, ὅτι Κρίσις ἀνίλεως ἐστὶ τοῖς μὴ πράξασιν ἔλεος; ὢ πόσα ἐβόων οἱ πένητες, οἱ ἀδελφοί μου, ὀδυρόμενοι, κλαίοντες καὶ θρηνοῦντες; ποῖον ῥῆμα οὐκ ἐπιβοώμενοι εἰς τὸ ἐπικάμψαι ὑμῶν τὴν ἀμείλικτον καρδίαν, ἐλεεῖτε, βοηθεῖτε λέγοντες, δότε οἱ ἀγαθοποιοί, δότε οἱ ἐλεήμονες, δότε οἱ φίλοι τοῦ Θεοῦ, δότε οἱ εὔσπλαγχνοι, καὶ ἄλλα μυρία ῥήματα καὶ σχήματα ἐπιτηδευόμενοι τὰ δυνάμενα καὶ λίθους μαλάξαι, καὶ ἀγρίων θηρίων τὴν ἡμερότητα ποιῆσαι, ὑμεῖς δὲ ἐσκληρύνατε τὰ σπλάγχνα ὑμῶν, καὶ μόνον οὐκ ἐλεεῖτε καὶ παραμυθεῖσθε, ἀλλὰ καὶ μᾶλλον κατεδιώκετε ἀπὸ τόπου εἰς τόπον, ὥστε πολλοὺς ἀποθνήσκειν ἀπὸ τοῦ λιμοῦ καὶ τοῦ ψύχους; ὢ πόσους ὀρφανοὺς ἠδικήσατε, πόσας χήρας ἐπλεονεκτήσατε, πόσους ἀδυνάτους ἐθλίψατε, πόσους καταπονουμένους γυμνοὺς καὶ αἰχμαλώτους κατεστήσατε; ὢ πόσων μισθίων μισθοὺς ἐκρατήσατε, ὑπὲρ ὧν καὶ αἰωνίως τιμωρηθήσεσθε·

Ματθ. κε. λδ.

Ματθ. κε. μ.
Παροιμ. ιθ. ιζ.
Ἰακ. β. ιγ.

ἴσ. -ται τρ
φοῦνται, καὶ

ἴσ. κτηνῶν
ἐπιμελεῖσθε
ἐπιβλέπετε
ὄνοι,

ἴσ. καὶ οὐ μόν
ον

οὐκ ἐμάθετε ἐκ τῶν πέντε μωρῶν παρθένων, ὅτι πᾶσα ἀρετὴ χωρὶς ἐλεημοσύνης οὐδὲν ὠφελεῖ· κἂν παρθενίαν εἴπῃς, κἂν νηστείαν, κἂν προσευχήν, κἂν ἀγρυπνίαν, ξηροφαγίαν τε, πεῖναν τε καὶ δίψαν, κἂν ὁποῖον εἴπῃς, χωρὶς ἐλεημοσύνης οὐδέν ἐστι. λοιπὸν τί εἴπω πρὸς τὴν ἀπάνθρωπον ὑμῶν προαίρεσιν; διὰ τοῦτο· πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον. εἰς γὰρ τὸ ἐμὸν παλάτιον ἀνελεήμων οὐκ εἰσέρχεται, εἰς τὰς οὐρανίους μονὰς ἄσπλαγχνος οὐκ ἀξιοῦται· εἰς τὸν ἐμὸν παράδεισον πονηρός, ἢ βλάσφημος, ἢ πολύορκος οὐκ ἔρχεται· εἰς τὴν ἐμὴν παστάδα πόρνος, ἢ μοιχός, ἢ ἀρσενοκοίτης οὐ καταξιωθήσεται· εἰς τὴν ἐμὴν τράπεζαν σκληρός, ἢ ἀμετάδοτος οὐκ ἀνακλιθήσεται· εἰς τὰς ἄνω μονὰς ἅρπαξ ἢ πλεονέκτης οὐ μὴ περιπατήσει· εἰς τὰ ἐμὰ βασίλεια κλέπτης, ἢ λοίδορος οὐ μὴ προσεγγίσει· εἰς τὸ ἄνω θυσιαστήριον ψεύστης, ἢ καταλάλος, ἢ μέθυσος οὐκ εἰσελεύσεται· εἰς τὸν ἐμὸν οἶκον φιλάργυρος, ἢ ἀποστερητὴς οὐκ ἀναπαύσεται· εἰς τὸ οὐράνιον καταπέτασμα ἀκάθαρτος, ἢ ἀσελγής, ἢ βέβηλος οὐ διέρχεται· εἰς αἰωνίαν ἀνάπαυσιν ῥάθυμος, ἢ ὑπνώδης, ἢ ἀνδροφόνος οὐ διελεύσεται· εἰς τὸ ἐμὸν δεῖπνον ὀργίλος, ἢ γογγυστής, ἢ μνησίκακος οὐ μὴ προσψαύσει· εἰς τὸν ἐμὸν νυμφῶνα φλύαρος, ἢ μυθολόγος, ἢ γελωτοποιὸς οὐδὲ ὅλως ἀνακλιθήσεται· εἰς αἰώνια σκηνώματα ἀναίσχυντος ἢ φθονερὸς κληρονομίαν οὐκ ἔχει. μηδεὶς πλανάσθω· οὐδεὶς ἄδικος, ἢ τις τῶν τοιούτων εἰς τὴν βασιλείαν τῶν οὐρανῶν οὐ καταξιωθήσεται· ἀλλ' ἐκεῖνοι μόνοι εἰσελεύσονται, οἱ εὐμετάδοτοι, οἱ πτωχοὶ τῷ πνεύματι, οἱ πενθοῦντες, οἱ πραεῖς, οἱ πεινῶντες καὶ διψῶντες, οἱ καθαροὶ τῇ καρδίᾳ, καὶ οἱ εἰρηνοποιοί· οἱ τοιοῦτοι εἰσελεύσονται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ χαρήσονται, καὶ ἀγαλλιάσονται, ὅτι ὁ μισθὸς αὐτῶν πολὺς ἐν τῷ οὐρανῷ. ὑμεῖς δὲ οἱ ἀπάνθρωποι καὶ ἀνελεήμονες, πορεύεσθε εἰς τὸ πῦρ τὸ ἐξώτερον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. ὥσπερ γὰρ οὐκ ἠλεήσατε, οὕτω δὴ ὑμεῖς οὐκ ἐλεηθήσεσθε. λοιπὸν ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργάται τῆς ἀνομίας, ὑπάγετε εἰς τὸ σκότος τὸ αἰώνιον οἱ κατηραμένοι καὶ μεμισημένοι, ὅπου ὁ σκώληξ ὁ ἀκοίμητος, καὶ τὸ πῦρ οὐ σβέννυται· ἐκεῖ ἔσται ὁ κλαυθμός, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον. ταῦτα τοίνυν μαθόντες, ἀδελφοί, δεῦτε, καὶ ἐπιστρέψωμεν ἐκ τῆς ὁδοῦ ἡμῶν τῆς πονηρᾶς· μετανοήσωμεν, στενάξωμεν, τύψωμεν τὸ στῆθος, γρηγορήσωμεν οἱ νυστάζοντες, ἐξυπνίσωμεν, δακρύσωμεν ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν· καὶ εἴ τινός τι ἐσυκοφαντήσαμεν, ἢ ἡρπάσαμεν, ἀποδῶμεν, ἵνα μὴ κατακριθῶμεν· ἐλεήσωμεν ἵνα εὕρωμεν ἔλεος. καὶ εἴ τι ἔχομεν κατά τινος ἢ πένητος, ἢ πλουσίου· πάντα συγχωρήσωμεν ἀπ' αὐτῆς τῆς καρδίας ἡμῶν, ὡς ὁ Χριστὸς ἐκέλευσε, μή πως κατακριθῶμεν καὶ καταδικασθῶμεν καὶ ἡμεῖς ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, καθὼς ἐκεῖνοι οἱ ἀνελεήμονες καὶ μισάνθρωποι. γενώμεθα εἰς ἀλλήλους εὔσπλαγχνοι, φιλάνθρωποι, ἥμεροι, φιλάγαθοι, ἐπιεικεῖς, μακρόθυμοι, ἀλλήλοις βοηθοῦντες, ἀλλήλους ὑπομένοντες, ἀλλήλοις συγχωροῦντες, ἀλλήλους διορθούμενοι, ἀλλήλοις νουθετοῦντες, ἀλλήλων τὰ βάρη βαστάζοντες· ἵνα καὶ τῆς προειρημένης κολάσεως τὴν πεῖραν διαφύγωμεν, καὶ τὸν παρόντα βίον ἐν ἀφέσει ἁμαρτιῶν διανύσαντες, τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ Λογ. γ.

Ex Ms. Reg. Lut.

Διαγράψωμεν, ἀγαπητοὶ, τὰ τῆς μετανοίας φάρμακα, ἵνα τῷ τῆς σωτηρίας λιμένι προσδράμωμεν. ἐτρώθημεν τῇ ἁμαρτίᾳ· ἰαθῶμεν τῇ μετανοίᾳ. διὰ τῆς ἁμαρτίας ὁ διάβολος ἔτρωσε· διὰ τῆς μετανοίας ὁ Χριστὸς ἐθεράπευσεν. ἐκεῖνος διὰ τῆς ἁμαρτίας τὰς ῥίζας κατέβαλεν· ὁ Κύριος πρόρριζον τὴν ἁμαρτίαν τῇ ἀξίνῃ τῆς μετανοίας ἐξέτεμεν. Ματθ. γ. ι. Ἰδοὺ γὰρ, φησὶν, ἡ ἀξίνη ἐπὶ πᾶν δένδρον κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται. ὁ διάβολος τὴν ἁμαρτίαν ὡς ζιζάνιον ἔσπειρε· ὁ Χριστὸς τῇ δρεπάνῃ τῆς μετανοίας ″τὴν ζιζανιώδη ἁμαρτίαν ἀπέκειρε. κακὸν πάθος ἡ ἁμαρτία, ἀλλὰ καλὸν πρᾶγμα ἡ μετάνοια. φύγωμεν τοίνυν τὴν φοβερὰν, καὶ στέρξωμεν τὴν ποθεινήν. δι' ἁμαρτίας ὁ διάβολος εἰς τὴν γέενναν ὁδηγεῖ· διὰ μετανοίας ὁ Χριστὸς εἰς τὴν βασιλείαν χειραγωγεῖ. ἥμαρτες; ἡσύχασον. οὐ γὰρ τὸ ἁμαρτεῖν, τοσοῦτον δεινόν· ἀλλὰ τὸ ἐμμένειν τῇ ἁμαρτίᾳ, κακόν. τὸ μὲν γὰρ ἀπολογίαν ἔχει· τὸ δὲ ἀσύγγνωστον τιμωρίαν ἀποφέρεται. ἐπεὶ καὶ ὁ Πέτρος ἀρνησάμενος ἥμαρτε, καὶ Παῦλος διώκων τὸν Χριστὸν παρῳνόμησε, καὶ Δαβὶδ μοιχείαν καὶ φόνον ἐργασάμενος, ἄξια θανάτου ἔπραξεν. ἀλλ' εἰ καὶ ὡς ἄνθρωποι ἥμαρτον, ἀλλ' ὡς ἅγιοι μετενόησαν· καὶ εἰ ἀπροόπτως τοῖς δικτύοις τῆς ἁμαρτίας περιέπεσαν, ἀλλὰ τὴν λύμην τῆς ἀπιστίας ἐκ τῶν τῆς διανοίας ὀφθαλμῶν ἀφελόμενοι προσέδραμον τῇ μετανοίᾳ, ἵνα δι' αὐτῆς τὴν ἄφεσιν τῶν πλημμελημάτων ἀπενέγκωνται. δεῦτε οὖν, καὶ ἡμεῖς προσδράμωμεν τῇ μετανοίᾳ. εἰ γὰρ καὶ ἐφόρτισεν ἡμᾶς ὁ διάβολος τῇ ἁμαρτίᾳ, ἀλλὰ κουφίζει ἡμᾶς ὁ Κύριος Ἰησοῦς Χριστὸς, ὁ γεννηθεὶς ἐκ τῆς ἁγίας παρθένου Μαρίας, τῇ μετανοίᾳ, τὸ φορτίον ″τῆς μετανοίας εἰς ἑαυτὸν ἀναδεξάμενος. Ἰω. α. κθ. Ἴδε γὰρ, φησὶν, ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. ὁ διάβολος γὰρ τὴν ἁμαρτίαν τοῖς ἀνθρώποις ἐπέθηκεν· ὁ Κύριος τὴν ἁμαρτίαν ἀπὸ τῶν ἀνθρώπων ἀνέλαβεν. ἐκεῖνος ἔδωκε τὴν ἁμαρτίαν, ἵνα τῆς ἁμαρτίας ἕνεκεν ἀπολέσῃ τοὺς ἀνθρώπους· ὁ Κύριος ἔλαβε τὴν ἁμαρτίαν, ἵνα τῆς ἀνθρωπίνης φύσεως ἐλευθερώσῃ τὸ ἀπότημα. πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας φοβερὸς ἦν ὁ διάβολος, πρὸ τοῦ σταυροῦ ἀφόρητος ἦν ἡ ἁμαρτία· ὁ δὲ σταυρὸς νῦν ἔθλασε τῆς ἁμαρτίας τὰ κέντρα. φανεὶς ἐπὶ γῆς ὁ Κύριος Ἰησοῦς, ὡς ἀστραπὴ ἐπὶ τὸ τῆς γῆς χωρίον τὸν διάβολον κατέπαυσεν. Λουκ. ι. ιη. Εἶδον γὰρ, φησὶ, τὸν Σατανᾶν, ὡς ἀστραπὴν, ἐκ τοῦ οὐρανοῦ πεσόντα. ὁ θάνατος τοῦ Χριστοῦ ἐλυμήνατο τοῦ θανάτου τὴν βασιλείαν. Ρωμ. ε. ιδ. Εἰ γὰρ καὶ ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως, καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐν τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδὰμ, ὅς ἐστι τύπος τοῦ μέλλοντος· ἀλλ' ὅμως μετὰ τὸν θάνατον τοῦ Κυρίου, παίγνιον καὶ νηπίοις γέγονεν ὁ θάνατος· διὸ πάντες μετὰ τὴν τοῦ Χριστοῦ ἀνάστασιν ἐπικερτομοῦντες τοῦ θανάτου τὸν τῦφον, λέγομεν· α. Κορ. ιε. νε. Ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος; πρὸ τοῦ σταυροῦ καὶ ἡ τοῦ ὄφεως συμβουλὴ θάνατον ἔπνεε· μετὰ δὲ τὸν σταυρὸν, μετὰ τὰ πάθη τοῦ Χριστοῦ, ἰδοὺ καὶ πρεσβῦται, καὶ γυναῖκες, μειρακές τε καὶ ἔφηβοι, ὥσπερ ληνοβάται βοτρύων, οὕτω καὶ αὐτοὶ πατοῦσιν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Ταῦτα ἔφην, ἵνα δείξω τῆς ἁμαρτίας τὴν ἅλωσιν, καὶ τῆς μετανοίας τὴν δύναμιν. μὴ ὀξυνόῃς οὖν καθ' ἑαυτοῦ τῆς ἁμαρτίας τὸ κέντρον, μὴ ἡ σὴ ῥᾳθυμία ἀκόνη γένηται τῆς ἁμαρτίας. οὐ κατακρίνῃ ὅτι ἥμαρτες, ἀλλὰ τιμωρῇ ὅτι ἁμαρτήσας οὐ μετενόησας. ὥσπερ ″γὰρ ἡ ἀσθένεια τοῦ σώματος συγγινώσκων ὁ Κύριος, τὴν ἰατρικὴν ἐπιστήμην τοῖς ἀνθρώποις ἐπέτρεψε, καὶ πόας πρὸς τὴν ἰατρείαν ἁρμοζούσας τὴν γῆν βλαστάνειν ἐποίησεν· οὕτω καὶ τῆς ψυχῆς εἰδὼς τὸ εὐόλισθον, καὶ τῆς ἁμαρτί-

ας

ἴσ. τὴν ζιζ-
ιώδη

ἴσ. τῆς ἁμαρ-
τίας εἰς

ἴσ. γὰρ τὴν
δύναμιν τ
σώματός σ
γινώσκων

τὰ τραύματα, ὡς ἀλεξητήριον ψυχῶν, τὴν μετάνοιαν ἔδωκε, καὶ ταῖς θείαις καὶ πνευματικαῖς βίβλοις τὰς τῆς μετανοίας ἀφορμὰς, ὥσπερ βοτάνας, ἐνέθηκεν, ἵνα ἕκαστος ἡμῶν ἐντεῦθεν ἔχων τῆς ἰατρείας τὴν ἔμπλαστρον, φύγῃ τὸ πάθος, ἐπιθεὶς ἑαυτῷ διὰ τῆς πίστεως. δηλαδὴ μὴ μέλλει ῥημάτων ἐστὶν ἡμῖν ἡ μετάνοια. ἄτοπον γὰρ διὰ ῥημάτων μὲν ὑφαίνεσθαι τὴν μετάνοιαν, διὰ πραγμάτων δὲ μὴ οἰκοδομεῖσθαι τὴν ἐκκλησίαν Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. ὁμολόγησόν σου τὰ πλημμελήματα, ἄνθρωπε, ἐξαγόρευσόν σου τὴν ἁμαρτίαν, ἵνα λάβῃς σὺ τὴν ἄφεσιν τῆς ἁμαρτίας. ὁ ἐξαγορεύων, τῆς ἀφέσεως τῶν πλημμελημάτων δέχεται τὴν δωρεάν. μάρτυς ἡκέτω Δαβὶδ, ὁ λέγων· Εἶπα, ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου.

Ψαλ. λα. ε.

νῦν ἐὰν εἴπῃς σὺ τὸ πλημμέλημα, εὑρίσκεις σὺ τὴν συγχώρησιν (φιλανθρωπίας γὰρ ὁ παρὼν καιρός) ἐν δὲ τῷ μέλλοντι αἰῶνι καὶ θρηνῶν ἀνόνητα θρηνήσεις, καὶ μεταμελόμενος οὐκ ἀπολαύσεις τῆς συγχωρήσεως. Ἐν γὰρ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; εἰ δὲ καὶ ἐξομολογήσῃ τὸ πλημμέλημα τότε, ὠφελήσεις σαυτὸν οὐδέν.

Ψαλ. ς. ε.

καὶ γὰρ ὁ πλούσιος ὁρῶν τοῦ Λαζάρου τὴν ἔνδειαν εἰς εὐθηνίαν μεταβληθεῖσαν, καὶ τὴν ἑαυτοῦ περιουσίαν εἰς ἄπειρον πτωχείαν καταπεσοῦσαν, ἔστενε μὲν, οὐκ ἠλεεῖτο δέ· ἐθρήνει καὶ ὠδύρετο, ἀλλ' οὐκ ἀπήλαυσε παρακλήσεως· ἐζήτει ἔλεον, ἀλλ' οὐκ ἔλαβεν, ἐπειδὴ καὶ αὐτὸς αἰτούμενος, μεταδοῦναι οὐκ ἤθελεν. ἐπλούτησεν ὧδε, ἀλλ' ἐπτώχευσεν ἐκεῖ· ὧδε μεγάλα ἔφυσα ἐπὶ πλούτῳ, ἐκεῖ ἐλεεινὰ ἐφθέγγετο ἐπὶ πενίᾳ· ὧδε οἴνων εἶχε χειμάρρους καὶ μύρων πηγάς· ἐκεῖ καὶ σταγόνα ὕδατος ζητῶν οὐκ ἐλάμβανεν, ἀλλ' ὧδε κἀκεῖσε περιέρρει, ὑπὸ τοῦ ἀΰλου πυρὸς κατατηκόμενος. προσδράμωμεν οὖν καὶ ἡμεῖς τῇ μετανοίᾳ· μετανοίας γὰρ καιρός· σβέσωμεν τῆς ἁμαρτίας τὴν φλόγα τῇ δρόσῳ τῆς μετανοίας. μὴ τῇ μακροθυμίᾳ τοῦ Θεοῦ προσέχων, ἀμεταμέλητον κτίσῃ καρδίαν· μή σου σκληρυνῇ τὴν γνώμην ἡ τοῦ Θεοῦ χρηστότης. τὸ γὰρ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἐγείρει καὶ ἄγει. ὅρα οὖν μὴ κατὰ τὴν σκληρότητά σου καὶ ἀμεταμέλητον καρδίαν θησαυρίσῃς σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ Θεοῦ, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Ρωμ. β. ε.

ἥμαρτες; μετανόησον· μὴ διὰ τῆς ῥαθυμίας ἀνίατον σεαυτῷ τὸ πάθος ποιήσῃς. σκότος ἀλλοιοῦται, φωτὸς φανέντος· καὶ ἁμαρτία ἀφανίζεται, μετανοίας ὀφθείσης. γεωργὸς ἑαυτοῦ γίνου· ὡς ζιζάνιον ἔκτιλον τὴν ἁμαρτίαν· ὡς ἄκανθαν θέρισον τὴν παρανομίαν· ὡς ἀγριέλαιον κλάδον, ὡς ἀνήμερον καὶ ἄκαρπον φυτὸν ἔκκοψον τὴν ἁμαρτίαν. χαίρουσι δαίμονες ἁμαρτίαν ὁρῶντες, ἀγάλλονται ἄγγελοι μετάνοιαν καθορῶντες. Εὐφραίνονται γὰρ, φησὶν, οἱ ἄγγελοι τοῦ Θεοῦ, κατὰ τὴν Κυριακὴν φωνὴν, ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.

Λουκ. ιε ζ.

μὴ γυμνώσῃς σεαυτὸν, ἄνθρωπε, μὴ ῥίψῃς τοῦ ἁγίου πνεύματος τὴν παντευχίαν· ἵνα μὴ εὐάλωτος γένῃ τοῖς πολεμίοις· τὸν τῆς μετανοίας θυρεὸν δέχου, ᾧ ἀναλῶσαι τῆς ἐπιθυμίας τὰ βέλη. ἡδεῖα ἡ πορνεία; ἀλλ' ἐπιβλαβής· τραχεῖα ἡ σωφροσύνη; ἀλλ' ἐπωφελής. ἡ πορνεία συμπαραστατοῦσαν ἔχει τοῦ σώματος τὴν φύσιν· ἡ σωφροσύνη συνεργοῦσαν ἔχει τοῦ πνεύματος τὴν χάριν. ὅπου τοίνυν πορνεία, ἐκεῖ ὁ διάβολος κατοικεῖ· ὅπου δὲ σωφροσύνη, ἐκεῖ ὁ Κύριος Ἰησοῦς Χριστὸς ἐπαναπαύεται. διὰ τοῦτο ὁ μακάριος Παῦλος λέγει· Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθείρει τοῦτον ὁ Θεός· καὶ πάλιν φησίν· Ἄρας οὖν τὰ μέλη τοῦ Χριστοῦ ποιήσω πόρνης μέλη; μὴ γένοιτο.

α. Κορ. γ. ιζ. καὶ ς. ιε.

στήσωμεν οὖν τῆς ἁμαρτίας τὴν ῥύμην τῇ ἀγκύρᾳ τῆς μετανοίας, ἵνα μὴ ἡ ἐπάλληλος τῶν ἐπιθυμιῶν ἀντίπνοια ναυαγίους ἡμᾶς ὑπομεῖναι παρασκευάσῃ. ἀλλ' οἱ μὲν πλωτῆρες ναυάγιοι ἐν ὕδασιν ἀποθνήσκουσιν, οἱ δὲ ἁμαρτωλοὶ εἰς τὸν ποταμὸν τοῦ πυρὸς τὸν ῥέοντα ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ὡσεὶ μόλιβδος, καταποντίζονται, οὐκ ἐν ἅρμασι καὶ ἵπποις, ἀλλ' ἐν λογισμοῖς καὶ γνώμαις. αἰδεσθῶμεν οὖν τὴν τοῦ Χριστοῦ ἀγαθότητα, ἐντραπῶμεν αὐτοῦ τὰ πάθη, μὴ ματαιώσωμεν αὐτοῦ τοὺς μώλωπας, μὴ τὴν αἰσχρὰν ἡδονὴν τῆς καλῆς αὐτοῦ προκρίνωμεν ἡδονῆς καὶ ἐντολῆς;

α. Κορ. ϛ. κ.

Ῥωμ. ζ. ζ.

Γαλ. γ. ιγ.

Ψαλ. λγ. ιδ.

Ἴσ. πολὺ

Ἴσ. ἐνοχλοῦσι

μὴ κακοῖς τὸν εὐεργέτην ἀμειψώμεθα· μὴ λάβωμεν αὐτοῦ τὰ μέλη, καὶ ποιήσωμεν πόρνης μέλη, οὐκ ἐσμὲν γὰρ ἑαυτῶν κύριοι· Τιμῆς ἠγοράσθημεν. τίς δὲ ἡμᾶς ἀπέδοτο, ἢ τίς ἡμᾶς ὠνήσατο; ὁ διάβολος ἡμᾶς ἀπέδοτο διὰ τῆς ἁμαρτίας, ὁ Χριστὸς ἡμᾶς ἐξηγόρασε διὰ τῆς δικαιοσύνης. πῶς δὲ ἡμᾶς ἠγόρασε; χρυσίον, ἢ ἀργύριον δούς; οὐχί, ἀλλὰ τὸ οἰκεῖον αἷμα, τὸ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολλῷ. πάσας γὰρ ἡμῶν τὰς ἁμαρτίας ἠγόρασε. πολλαὶ δέ εἰσι καὶ ποικίλως καὶ διαφόρως ἐνοχλοῦσι ἡμῶν τὴν σωτηρίαν. ποίας ἁμαρτίας; τὰς τοῦ νόμου. ἀλλ' οὐχ ὅτι ὁ νόμος ἁμαρτία (μὴ γένοιτο) ἀλλ' ὅτι ἐκτὸς νόμου ἁμαρτίαν οὐκ ᾔδειν. ἐπεὶ οὖν ὁ νόμος ὡς παραβάτην με ἔνοχον κατάρας ἐποίει, διὰ τοῦτο ἐλθὼν ὁ Χριστὸς Ἰησοῦς ἐξηγόρασέ με ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. μὴ τὴν πολύδημον οὖν παράνοιαν τοῦ διαβόλου προκρίνωμεν τῆς οἰκονομίας τοῦ Χριστοῦ· μὴ πρὸς χάριν τῆς ἁμαρτίας παραδράμωμεν τῆς μετανοίας τὸ κάλλος. Εἰ φοβῇ τὴν ἀπειλήν, καταφύγε ἐπὶ τὴν ἐντολήν· εἰ μὲν μέλλουσαν κρίσιν ἀποδράσαι θέλεις, ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· τουτέστιν, ἀπόθου τὴν ἁμαρτίαν, καὶ ἐργάτης γενοῦ τῆς μετανοίας· ἵνα ὁ μὴ βουλόμενος τὸν θάνατον τῶν ἁμαρτωλῶν ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτούς, ἀποδεξάμενός σου τῆς ψυχῆς τὴν προθυμίαν, χαρίσηταί σοι τὴν ἄφεσιν τῆς ἁμαρτίας· ἡμεῖς δὲ ὑπὲρ τῶν εἰρημένων αἶνον καὶ δόξαν ἀναπέμπωμεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΕΛΕΗΜΟΣΥΝΗΣ.

Ex Ms. Augustano, emend. ex Ms. Bavar-

Ματθ. κε. μ.

Ἰωβ. λα. λβ. καὶ α. κα.

γρ. τὸν ἀθλητὴν

ΟΙ λειμῶνες ἔχουσι ποικίλα καὶ διάφορα ἄνθη, καὶ τὰ μὲν εἰς τέρψιν ὀφθαλμῶν, τὰ δὲ εἰς εὐωδίαν, τὰ δὲ εἰς ἐπιμέλειαν, ἕκαστα δὲ αὐτῶν ἁρμόττει τῷ ἀνθρώπῳ· οὕτω καὶ ἡ ἐκκλησία ἔχει τῶν θείων γραφῶν τὴν ἀνάγνωσιν, εὐαγγελικά τε, καὶ ἀποστολικά, καὶ προφητικά, καὶ τὰς λοιπὰς ἱερὰς βίβλους, ἕκαστα δὲ αὐτῶν ἁρμόττει τῷ Χριστῷ. ἀλλὰ μὴν ἐπὶ τῶν ἔξω λειμώνων ἀνατέλλει ὁ ἥλιος, καὶ μαραίνει τὰ ἄνθη, καὶ ἡ εὐπρέπεια τῶν προσώπων αὐτῶν ἀφανίζεται· ἐν δὲ τῷ λειμῶνι τούτῳ ἀνατέλλει ὁ ἥλιος τῆς δικαιοσύνης, καὶ τοὺς μὲν σωφρονίζει, τοὺς δὲ δικαιοῖ, τοὺς δὲ ἐλεεῖ. ἀνέτειλε γὰρ ἡμῖν διὰ τοῦ εὐαγγελίου σήμερον λέγων· Ἐφ' ὅσον ἑνὶ τούτων τῶν ἀδελφῶν μου ἐποιήσατε, ἐμοὶ ἐποιήσατε. πάλιν πενήτων ὑπόμνησις, πάλιν πλουσίων ὄνειδος. οὐκ ἀξίωμα διαβάλλω (μὴ γένοιτο) ἀλλ' ἀκόλαστον γνώμην· οὐ πλοῦτον διαβάλλω, ἀλλὰ τοὺς κακῶς πλουτοῦντας. καλὸν γὰρ ὁ πλοῦτος τοῖς καλῶς διοικοῦσιν αὐτόν· καλὴ ἡ πενία τοῖς καλῶς ὑπομένουσιν αὐτήν. ἐπεὶ καὶ Ἀβραὰμ ἦν πλούσιος, καὶ οὐδένα ὑπερηφάνησε, καὶ Λάζαρος πένης ἦν, καὶ οὐδέποτε ἐδυσαρέστησε, καὶ μάλιστα ἐν τοσαύτῃ ἀνάγκῃ. ἵνα τί δὲ δύο πρόσωπα μαρτύρων ἤνεγκα; φέρε μοι ἐνταῦθα τὸν μακάριον Ἰὼβ ἑκατέρων τὴν πεῖραν εἰληφότα. καὶ ὅτε πλούσιος ἦν, ἔλεγε· Παντὶ ἀνθρώπῳ ἠνέῳκτό μου ὁ οἶκος· καὶ ὅτε ἐπένετο, ἔλεγεν· Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο. πόσα ἐπάλαισεν ὁ διάβολος, καὶ τὸν δίκαιον οὐκ ἔρρηξε; τὴν φαρέτραν τῶν βελῶν ἐκένωσε, καὶ τὸν στρατιώτην οὐκ ἔτρωσε· τὰ μηχανήματα προσήνεγκε, καὶ τὸν πύργον οὐκ ἐσάλευσε· τὸ δένδρον ἐτίναξε, καὶ τὸν καρπὸν οὐκ ἐτρύγησε· τοὺς κλάδους ἔκλασε, καὶ τὴν ῥίζαν οὐκ ἀνέσπασε· τὸν τοῖχον διώρυξε, καὶ τὸν θησαυρὸν οὐκ ἐσύλησε. θησαυρὸν δὲ λέγω οὐ χρυσοῦ καὶ ἀργύρου, ἀλλὰ τὴν ἀσάλευτον αὐτοῦ πίστιν. τοῦτον γὰρ τὸν αὐτοῦ θησαυρὸν ἐβούλετο συλῆσαι ὁ διάβολος. εἶδες τὸν καρπὸν πληθυνόμενον, εἶδες τὴν πίστιν ὡς πέτραν ἐστηριγμένην, εἶδες τὸν πύργον ἄρρηκτον ἑστῶτα, εἶδες τὸν στρατιώτην παρατιλλόμενον, εἶδες τὸν διάβολοι ἀφανιζόμενοι, εἶδες τὸν Θεὸν βραβεύοντα, εἶδες τὸν διάβολον αἰσχυνόμενον. ποῖον ὄνομα καλέσω τῷ δικαίῳ οὐκ οἶδα. ἀθλητὴν αὐτὸν εἴπω; ἀλλὰ πολύαθλος τοῖς παλαίσμασι. στρατιώτην αὐτὸν εἴπω; ἀλλὰ δυνατώτερος τῇ καρδίᾳ. πύργον αὐτὸν εἴπω; ἀλλ' ὑψηλότερος τῷ φρονήματι. πέτραν αὐτὸν εἴπω; ἀλλὰ στερεώτερος. δένδρον αὐτὸν εἴπω; ἀλλ' ὡραιότερος. θησαυρὸν αὐτὸν εἴπω; ἀλλὰ πολυτελέστερος. ποῖον ὄνομα ἔχω ἐπιθεῖναι τῷ δικαίῳ οὐκ οἶδα. ἀκουέτωσαν οἱ πλούσιοι, ἀκουέτωσαν καὶ οἱ πένητες, πῶς ὁ μακάριος οὗτος ἐν μὲν τῇ εὐημερίᾳ αὐτοῦ διῴκησε τὸν ἑαυτοῦ πλοῦτον· ἐν δὲ τῇ πενίᾳ πόσους πειρασμοὺς ὑπομείνας, οὐκ ἐλύθη ἡ ἐλπὶς αὐτοῦ ἀπὸ Θεοῦ. ὁρᾷς ὅτι καλὸς ὁ πλοῦτος τοῖς καλῶς διοικοῦσι, καὶ καλὴ ἡ πενία τοῖς καλῶς ὑπομένουσι. μή μοι λέγε, ὅτι πενίαν φοβοῦμαι. πενίαν φοβῇ, καὶ τὸν Θεὸν οὐ φοβῇ; πτωχείαν φοβῇ, καὶ ἁμαρτίαν οὐ φοβῇ; μὴ φοβηθῇς πενίαν, ἀλλ' ἁμαρτίαν τὴν μητέρα τῆς κολάσεως. ἐὰν ἔχῃς φίλον τὸν βασιλέα, πλουτίσει σε· καὶ ἐὰν ἀγαπᾷς τὸν Χριστὸν καὶ τοὺς πτωχούς, πλουτίσει σε. αὐτὸς πλουτίζει καὶ πτωχίζει, ταπεινοῖ καὶ ἀνυψοῖ, ἀνιστᾷ ἀπὸ γῆς πένητα, καὶ ἀπὸ κοπρίας ἀνυψοῖ πτωχόν. ὁ δεσπότης αἰτεῖ ἐντολήν, καὶ οὐ δίδως αὐτῷ; ὅταν γὰρ ἀκούσῃς αὐτοῦ λέγοντος, ὅτι ἐφ' ὅσον ἐνὶ τούτων τῶν ἐλαχίστων ἐποιήσατε, ἐμοὶ ἐποιήσατε, ὁρᾷς ὅτι ἐὰν δίδως τῷ πένητι, τῷ Θεῷ δίδως. ἐὰν μὴ δώσῃς οὖν αὐτῷ, πῶς καὶ σὺ αἰτήσεις αὐτὸν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἵνα σε ἐλεήσῃ; ἆρα οὐκ ἐγκαλέσει σοι ὅτι πεινῶντά με εἶδες, καὶ οὐκ ἐχόρτασας· διψῶντά με εἶδες, καὶ οὐκ ἐπότισας· γυμνὸν εἶδες, καὶ οὐκ ἐνέδυσας; τί ἄρα ἐρεῖς αὐτῷ; ποίαν ἕξεις συγγνώμην; ἔχεις σηρικά, ἔχεις λαγῶα, καὶ ἄλλα περιβέβλησαι, καὶ ὁ πένης ῥάκος οὐκ ἔχει. καὶ σὺ μὲν τρώγεις φασιανοὺς ἢ ὄρνεις καὶ χῆνας καὶ ὅσα ἐστὶν ἐν ἐδέσμασι· καὶ ὁ πένης οὐκ ἰσχύει τὴν ἑαυτοῦ κοιλίαν χορτάσαι ἄρτῳ καὶ λαχάνοις. σὺ ἔχεις τοίχους χρυσορρόφους καὶ μάρμαρα Λακεδαιμόνια ποικίλα, καὶ κίονας καὶ περικεφαλαίας κιόνων χρυσᾶς· καὶ ὁ πένης οὐκ ἔχει καλύβιον. καὶ ἐνίοτε ἔχεις τὸν οἶκον ἀπὸ ἁρπαγῆς, ἀπὸ πλεονεξίας· καὶ σὺ τελευτᾷς καὶ ὑπάγεις μηδὲν ἔχων, καὶ μένει σοῦ ὁ οἶκος διηνεκὴς κατήγορος ἐλέγχων τὰς σὰς πράξεις. ἕκαστος γὰρ παρερχόμενος μέλλει λέγειν· τοῦτο ὁ οἶκος ἐστὶν ἐκείνου τοῦ ἅρπαγος, τοῦ πλεονέκτου. πόσας χήρας ἐκάκωσε; πόσους ὀρφανοὺς κατεπόνησε; πόσα ὑπάρχοντα διήρπασε; πόσους πένητας ἐπλεονέκτησε; μή μοι λέγε, ὅτι ὑπερoχός εἰμι. οὐκ οἶδα ἀξίωμα ἐγώ, οὐδὲ διαβάλλω, ἀλλὰ τοὺς κακοὺς τῷ καλῷ κακῶς χρωμένους. καλὸν ὁ πλοῦτος. εἴ τι γὰρ ὁ Θεὸς ἐποίησε, πάντα καλὰ λίαν. βλέπεις πένητα, καὶ ὑπερηφανεύεις, καὶ οὐκ ἐννοεῖς ὅτι ἄνθρωπος εἶ, καὶ ὁ πένης ἄνθρωπός ἐστιν, ἄνθρωπος, τὸ περισπούδαστον ζῶον τοῦ Θεοῦ· ἄνθρωπος, δι' ὃν οὐρανὸς ἐτολμνόθη· ἄνθρωπος, δι' ὃν ὁ ἥλιος δρόμους τρέχει· ἄνθρωπος, δι' ὃν ἡ σελήνη ἐπιγινώσκει δυσμάς· ἄνθρωπος, δι' ὃν ἄστρα δίδωσι τὸ φέγγος αὐτῶν, δι' ὃν θάλασσα ἐπλώθη, δι' ὃν ἡ γῆ ἐθεμελιώθη ἐπὶ τῶν ὑδάτων, δι' ὃν ὄρη καὶ νάπαι καὶ βουνοί, δι' ὃν ἄλση καὶ δρυμοὶ καὶ φάραγγες, δι' ὃν ἀστραπαὶ καὶ πεδιάδες, δι' ὃν πηγαὶ καὶ ποταμοὶ καὶ λίμναι, δι' ὃν ἡ γῆ ἀνέτειλε βοτάνην χόρτου, καὶ τὰ ὕδατα ἐκβάλλουσι ψυχὰς ζώσας, δι' ὃν ἡ κτίσις, τετράποδα καὶ ἑρπετὰ καὶ πετεινά, δι' ὃν χρόνοι καὶ ἐνιαυτοὶ καὶ μῆνες καὶ ἡμέραι καὶ ὧραι καὶ νύκτες, δι' ὃν ἄγγελοι καὶ ἀρχάγγελοι, ἀρχαὶ καὶ ἐξουσίαι, θρόνοι, κυριότητες, τὰ χερουβὶμ καὶ τὰ σεραφίμ. τί δὲ πολλὰ λέγω; δι' ὃν ὁ δεσπότης τὸ αἷμα αὐτοῦ ἐξέχεεν. ἄνθρωπος τιμίῳ αἵματι ἀγορασθείς, καὶ τοῦτον παραβλέπεις; οὐκ ἄνθρωπός ἐστιν, ὡς καὶ σύ, ὅτι πένης ἐστί; διὰ τοῦτο ὑπερηφανεύεις αὐτόν; οὐχὶ πένητας ἐξελέξατο ὁ Θεός; μὴ γὰρ πλουσίους; Πέτρος, ὁ κορυφαῖος τῶν ἀποστόλων, ἡ κρηπὶς τῆς ἐκκλησίας, ὁ ὄντως Πέτρος καὶ τῷ ὀνόματι καὶ τῷ πράγματι, οὐχὶ πένης ἦν; οὐχὶ οἰκτρὸς καὶ ἀπερριμμένος; οὐκ εὐτελὴς καὶ εὐκαταφρόνητος; οὐχὶ ἁλιεὺς ἦν; ὁμοίως καὶ Ἰάκωβος καὶ Ἰωάννης οὐ πένητες ἦσαν καὶ ἁλιεῖς; καὶ παράγων ὁ Ἰησοῦς εἶδεν αὐτοὺς καὶ τὸν πατέρα αὐτῶν Ζεβεδαῖον ῥάπτοντας δίκτυα διερρηγμένα. ὢ πενίας ὑπερβολή· τοσοῦτον πένητες ἦσαν, ὡς οὐκ ἴσχυον δίκτυα ἀγοράσαι πρὸς τὴν θήραν τὴν ἁλιευτικήν, ἀλλὰ τὰ παλαιὰ ἔρραπτον

Μαρκ. α. ιθ.

καὶ τέχνη τέχνην συνέκρουον, τῇ ῥαπτικῇ τὴν ἁλιευτικήν. ὁμοίως δὲ καὶ Ματθαῖος οὐ τελώνης ἦν; Ματθ. θ. θ. Καὶ παράγων ὁ Ἰησοῦς εἶδεν αὐτὸν καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ λέγει αὐτῷ· Ἔγειρε, καὶ ἀκολούθει μοι. καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ, καὶ οὐκ ἐνόησεν, ὅτι βασιλικὸν λόγον κατεῖχεν; ἀλλ᾽ ἐνενόησεν ὅτι βασιλεὺς τῶν βασιλευόντων καλεῖ· καὶ ὁ ποτὲ τὰ ἀλλότρια ἁρπάζων, νῦν ξένον ἑαυτὸν πεποίηκε τῶν ἰδίων πραγμάτων· καὶ ὁ ποτὲ λύκος, νῦν πρόβατον. ἔρριψε Πέτρος τὰ δίκτυα, καὶ ἔλαβε τὰς κλεῖς τοῦ οὐρανοῦ. ἀφῆκε Ματθαῖος τελώνιον, καὶ ἔλαβε τὸ εὐαγγέλιον. ὁμοίως καὶ ὁ Παῦλος οὐκ ἦν χειροτέχνης; οὐ σμίλην κατεῖχε, καὶ δέρματα ἔτεμνεν; οὐκ ἔλαβεν ἐπιστολὰς παρὰ τῶν ἀρχισυναγώγων, ἵνα ἐλθὼν τοὺς ἁγίους αἰχμαλωτίσῃ; καὶ ὤφθη αὐτῷ ὁ Ἰησοῦς ἐν τῇ ὁδῷ, καὶ φῶς αὐτὸν περιέστραψε, καὶ λέγει· Πραξ. θ. δ. Σαοὺλ, Σαοὺλ, τί με διώκεις; ὁ δὲ στραφεὶς λέγει· Τίς εἶ, Κύριε; καὶ λέγει, ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος, ὃν σὺ διώκεις. καὶ πεσὼν ἐπὶ πρόσωπον ἐτυφλώθη. διὰ τί προσέθηκεν, ὁ Ναζωραῖος; ἵνα μὴ νομίσῃ ὅτι ἄλλος μέν ἐστιν ὁ Ἰησοῦς, καὶ ἄλλος δὲ καλεῖ αὐτὸν ἀπὸ τοῦ οὐρανοῦ. τοῦτο γὰρ ἔλεγον οἱ Ἰουδαῖοι ὅτι οὐκ ἀνελήφθη ὁ Ἰησοῦς, ἀλλ᾽ ὅτι ἔκλεψαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ· διὰ τοῦτο εἶπεν, Ἰησοῦς ὁ Ναζωραῖος· ἵνα γνῷ ὅτι αὐτός ἐστιν ὁ τότε καὶ νῦν. εἰσῆλθεν οὖν χειραγωγούμενος ὁ Παῦλος εἰς Δαμασκὸν, καὶ ἀπῆλθε πρὸς Ἀνανίαν, καὶ ἐπέθηκε τὰς χεῖρας εἰς τοὺς ὀφθαλμοὺς τοῦ Παύλου, καὶ ἰάσατο αὐτόν. πολλὴ μὲν ἡ ἱστορία, ἀλλὰ διὰ βραχέων βούλομαι διηγήσασθαι ὑμῖν. ἀναβλέψας δὲ αὐτὸς εὐθὺς ἐδίδασκεν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ. ἀκούσαντες δὲ οἱ Ἰουδαῖοι ὅτι ὁ Παῦλος διδάσκει ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐζήτουν αὐτὸν πιάσαι. οἱ δὲ μαθηταὶ τοῦ Παύλου ἰδόντες ἐνέβαλλον αὐτὸν εἰς σπυρίδα, καὶ ἐχάλασαν διὰ τοῦ τείχους κάτω, καὶ οὕτως ἔφυγε καὶ ἀπῆλθεν εἰς Ἱεροσόλυμα. ὢ μακαρίας ἐκείνης σπυρίδος, ἥτις τοιοῦτον ὀψώνιον τῇ οἰκουμένῃ ἔπεμψεν. ὁμοίως δὲ καὶ ὁ μακάριος Ἰωάννης οὐ τὴν ἔρημον οἰκεῖ, καὶ μετὰ ταῦτα οὐρανοπολίτης ἐγένετο; οὐκ ἀκρίδας ἤσθιε καὶ μέλι ἄγριον; οὐ πάντες πένητες ἦσαν καὶ προφῆται καὶ ἀπόστολοι; καὶ διὰ τῶν πενήτων τούτων κατεσκεύασε τὴν τῶν ἀνθρώπων σωτηρίαν; πόσοι βασιλεῖς, πόσοι τύραννοι, ἢ πόσοι ὕπατοι, πόσοι ἄρχοντες, πόσοι προηγούμενοι ἀπὸ τοῦ αἰῶνος ἐτελεύτησαν, καὶ πάντες λήθῃ παρεδόθησαν; καὶ οὗτοι οἱ οἰκτροὶ, οἱ ἀπερριμμένοι, οἱ εὐτελεῖς καὶ εὐκαταφρόνητοι λήθῃ οὐ παρεδόθησαν. ἀλλ᾽ οὗτος ὁ βασιλεὺς, ὁ τὴν πορφυρίδα περικείμενος, καὶ τὸ διάδημα ἔχων, δόξαν καὶ περικεφαλαίας χρυσᾶς καὶ στρατιώτας ὑπασπιστὰς, ἀπέρχεται εἰς τὸν τάφον τοῦ ἁλιέως, τοῦ πένητος, τοῦ οἰκτροῦ, τοῦ εὐκαταφρονήτου, καὶ περιπτύσσεται, καὶ κλαίει, καὶ εὔχεται εἰς τὸν δοξάσαντα αὐτόν. τίς πείθει τὸν βασιλέα ταῦτα ποιεῖν; τίς; ἐγὼ λέγω. συντείνατέ μοι Ματθ. κη. ιθ. ἑαυτοὺς, παρακαλῶ, προσέχετε τοῖς λεγομένοις. ὁ εἰπὼν αὐτοῖς, Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· κἀγὼ ἔσομαι μεθ᾽ ὑμῶν πάσας τὰς ἡμέρας τῆς ζωῆς ὑμῶν, καὶ ἕως τῆς συντελείας τοῦ αἰῶνος, οὗτός ἐστιν ὁ τοιαύτην αὐτοῖς χαρισάμενος τέχνην. ὁρᾷς πόσον ἰσχύουσιν οἱ πένητες; οὐ μόνον τοῦτο, ἀλλὰ καὶ δαιμονιῶντες ἀπέρχονται εἰς τοὺς τάφους αὐτῶν, καὶ ἀνακρίνονται. ὁρᾷς ὅτι οἱ νεκροὶ τῶν ζώντων δυνατώτεροί εἰσι; μὴ ἔτι ἀπόρριπτε τοὺς πένητας. εἰσέρχεται ὁ πένης εἰς τὴν αὐλήν σου ζητῶν ἐλεημοσύνην, καὶ ἀναλίσκει δύο ὥρας μηδὲν λαμβάνων, καὶ ἐνίοτε ἐπιτάττεις τῷ δούλῳ σου βάλλειν αὐτὸν ἔξω. οὐκ οἶδας ὅτι ἐὰν βάλῃς τὸν πτωχὸν ἔξω, τὸν Χριστὸν ἐδίωξας; αὐτὸς γὰρ εἶπεν ὅτι ἐφ᾽ ὅσον ἑνὶ τούτων τῶν ἐλαχίστων ἐποιήσατε, ἐμοὶ ἐποιήσατε. ὁρᾷς ὅτι ἐὰν ὑβρίζῃς τὸν πένητα, τὸν Χριστὸν ἀτιμάζεις; ὅσα γὰρ τῷ πένητι ποιήσεις, εἰς Χριστὸν ἀνατρέχει, καθὼς αὐτὸς εἶπε. ταῦτα λέγω, καὶ λέγων οὐ παύσομαι. ἐμοὶ μὲν τὸ λέγειν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ τὸ ἀσφαλές. οὐ παύσομαι Εκκλ. κε. ιβ. ὑμᾶς παιδεύων, ἕως ἂν βελτίους γένησθε. γέγραπται γὰρ, Μακάριος ὁ λαλῶν εἰς ὦτα ἀκουόντων. παρακοὴ θάνατον κατεργάζεται. βλέπεις πένητα, καὶ οὐκ ἐλεεῖς; πῶς ἀπέρχῃ ἐν τῇ ἐκκλησίᾳ καὶ εὔχῃ; πῶς τὸ στόμα σου ἀνοίγεις, καὶ ἐπικαλῇ τὸν Θεόν; οὐκ ἐρυθριᾷς; οὐ τρέμεις;

γ. ἀρχιερέω

τρέμεις; οὐ φρίττεις; εἰσέρχῃ εἰς τὴν ἐκκλησίαν τοῦ Θεοῦ εὔξασθαι; ποίησον ἐλεημοσύνην, ἵνα ἐγγραφῇ σου ἡ ἐλεημοσύνη καὶ ἡ δέησις. ἐνίοτέ τινες ἐκβάλλουσι δέησιν παρὰ τοῦ βασιλέως τοῦ ἐπιγείου, καὶ ἀναλίσκουσι διακοσίους χρυσοῦς, καὶ πολλάκις οὐδὲν αὐτοῖς προχωρεῖ, ἀλλὰ ὡς χεδάριοι κατέχουσιν αὐτό, καὶ σὺ δύο ὀβολῶν οὐ θέλεις ὑπογραφῆναί σου τὴν δέησιν. ἐνταῦθα ὁ βασιλεὺς ὁ ἐπίγειος ἐπιγράφει, καὶ πολλάκις ἐναντία ἐστὶν ἡ ὑπογραφή· ὁ δὲ βασιλεὺς τῶν βασιλευόντων ἐὰν ὑπογράψῃ, κεκύρωται καὶ βεβεβαίωται. εἶδες δέησιν δύο ὀβολῶν ὑπογραφομένην. διὰ τοῦτο δύο ὑπηρέται εἰσὶ παρὰ τῶν πυλῶν τῆς ἐκκλησίας· μία τοῦ ὕδατος, ἐν ᾗ νίπτεις τὰς χεῖρας, καὶ μία ἡ χεὶρ τοῦ πένητος, ἐν ᾗ ἀποσμήχεις τὴν ψυχήν σου. εἰσέρχου εἰς τὴν ἐκκλησίαν, καὶ νίπτε τὰς χεῖράς σου· ἐπίδος εἰς τὴν χεῖρα τοῦ πένητος ὀβολόν, καὶ ἀπόσμηχε τὴν ψυχήν σου. ἐὰν δὲ εἰσέλθῃς, καὶ νίψῃς, καὶ εὔξῃ, τῷ δὲ πένητι μηδὲν ἐπιδώσῃς, τί ὄφελος; πλοῦτον ἔχεις, καὶ κρύπτεις αὐτὸν ἐπὶ τῆς γῆς, ἐν ᾗ ἔρχονται νυκτὸς λῃσταί, καὶ διορύσσουσι καὶ κλέπτουσι τὸν θησαυρόν σου, καὶ ἀναστὰς πρωῒ θεωρεῖς αὐτὸν σεσυλημένον. θέλεις μὴ συληθῆναι; ὃ λέγω σοι, τοῦτο ποίησον, καὶ οὐδέποτε συληθήσῃ εἰς τὸν αἰῶνα. θησαυρὸν ἔχεις; χῶσον αὐτὸν εἰς τὴν κοιλίαν τῶν πενήτων, καὶ ἐνδυναμοῦ· οὐδέποτε γὰρ δύναται συληθῆναι. ἐὰν δὲ χώσῃς εἰς τὴν γῆν, ἀπολέσεις αὐτόν. καὶ ἐὰν δὲ μὴ ἀπολέσῃς, φυλαχθῇ δέ, μετὰ τὴν τελευτήν σου καὶ ἄλλοι πλουτῶσιν ἐκ τῶν σῶν, τί σοι τὸ ὄφελος, ὅτι κάμνεις καὶ μοχθεῖς, καὶ ἄλλοι εἰσέρχονται εἰς τὰ ὑπάρχοντά σου, ἀφ' ὧν οὐ λήψῃ μισθόν, καὶ κατατρυφῶσιν; οὐκ ἤκουσας τοῦ προφήτου λέγοντος, Θησαυρίζει ὁ πλούσιος, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά; καὶ πάλιν ἀλλαχοῦ ὁ αὐτὸς λέγει, Ἄφρων καὶ ἄνοος ἀπολοῦνται, καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν· καί, Μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ. ὅτι ἐν τῷ ἀποθνήσκειν αὐτὸν λείψεται τὰ πάντα, οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ.

Ψαλ. λη ι.
Ψαλ. μη. θ.
καὶ ιζ.

καὶ ἐν τοῖς εὐαγγελίοις ὁ Κύριος τῷ ἄφρονι πλουσίῳ λέγει· Ἄφρων, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται; ὁρᾷς ὅσα πάσχουσιν οἱ θησαυρίζοντες ἑαυτοῖς ἐπὶ τῆς γῆς.

Λουκ. ιβ. κ.

ἀλλὰ θησαυρίσατε ἐν οὐρανῷ, ὅπου οὔτε σής, οὔτε βρῶσις ἀφανίζει, καὶ μένει ἄσυλος. ὦ ἄθλιε καὶ ταλαίπωρε, σὺ τῇ γῇ πιστεύεις, καὶ τῷ Θεῷ οὐ πιστεύεις τῷ λέγοντι, Ὁ ἑνὶ τούτων τῶν ἐλαχίστων ἐποιήσατε, ἐμοὶ ἐποιήσατε;

Ματθ. ς. κ.
Ματθ. κε μ.

οὐκ οἶδας ὅτι εἰσί τινες τῶν γεωπόνων πένητες, οἳ καὶ τὸν ἡμερινὸν ἄρτον ἐκ τῶν οἰκείων πορίζομενοι πόνων, καὶ ἐν τῷ καιρῷ τοῦ σπόρου οὐκ ἔχουσι πόθεν σπείρειν; καὶ λαμβάνει τὸν χιτωνίσκον αὐτοῦ ἢ τῆς γυναικὸς αὐτοῦ, καὶ πολλάκις αὐτὸ τὸ σκάφιον, ἐν ᾧ ἐργάζεται τὴν γῆν, καὶ τίθησιν αὐτὸ ἐνέχυρον, καὶ δανείζεται ἕνα μόδιον, ἢ δύο, ἢ τρεῖς, ἢ ὅσους δύναται αὐτοῦ ἡ ἄρουρα ὑποδέξασθαι, καὶ δανεισάμενος σκορπίζει αὐτὸ εἰς τὴν γῆν, καὶ πιστεύει τῇ γῇ, καὶ ἐκδέχεται καιρὸν φανερόν, ἕως ἂν ὁ καρπὸς γένηται ἐν τῇ γῇ; καὶ ἐκεῖνος μὲν δανεισάμενος ἐπίστευσε τῇ γῇ, σὺ δὲ τῷ Θεῷ οὐ πιστεύεις; ἐκεῖνος τῷ συνδούλῳ ἐπίστευσε, καὶ σὺ τῷ δεσπότῃ οὐ πιστεύεις; ποίαν, εἰπέ μοι, συγγνώμην ἔχεις; ταῦτα λέγω οὐ πολλῆς ἀπανθρωπίας ὑμῶν καταγινώσκων (μὴ γένοιτο) ἀλλὰ ἀλείφων ὑμᾶς ἑτοίμους εἶναι πρὸς τὸν τῆς ἐλεημοσύνης σπόρον. χρυσὸν φιλεῖς τὸν αἱμοβόρον, τὸν πᾶσι ποθεινόν, καὶ πᾶσι πολέμιον, τὸν φιλούμενον ὑπὸ πάντων καὶ τοῖς πᾶσιν ἐπιβουλεύοντα, τὸν δραπέτην, τὸν ἀγνώμονα; ἢ οὐκ οἴδατε, τίς ἐστιν ἡ τούτου συνουσία; καθάπερ πόρνη ἀσυνείδητος τούτῳ ὁμιλεῖ, κἀκείνῳ νεύει· ἄλλῳ συντάσσεται σήμερον, καὶ αὔριον πρὸς ἄλλον μεταβαίνει· σήμερον ἄρχων, καὶ αὔριον ἀρχόμενος· σήμερον πλούσιος, καὶ αὔριον πένης· σήμερον δικάζεις, καὶ αὔριον καταδικάζῃ. ὁρᾷς τὴν τοῦ βίου μεταβολήν, πῶς ὡς σκιὰ παρατρέχει, καὶ καπνοῦ εὐτελέστερον διαλύεται. οὐχ ὡς ἀράχνη διασπᾶται; οὐ παύσομαι ἐγὼ παιδεύων ὑμᾶς. κἂν τι ποιῆτε, κἂν δὲ μὴ ποιῆτε, ἐγὼ λέγω, καὶ λέγων οὐ παύσομαι. γέγραπται γάρ, Μακάριος ὁ λαλῶν εἰς ὦτα ἀκουόντων. παρακοὴ θάνατον κατεργάζεται.

Σειρ. κε. ιβ.

ται. μιμήσαι δὲ κἂν τὴν χήραν ἐκείνην τὴν πενιχρὰν τὴν τοὺς δύο ὀβολοὺς καταβαλοῦσαν, πῶς ἐδικαιώθη διὰ καλὴν προαίρεσιν. οὐκ ἔχεις δύο ὀβολοὺς δοῦναι; δὸς ἕνα. οὐκ ἔχεις ἕνα; δὸς ἄρτον. οὐδὲ ἄρτον ἔχεις; κἂν στέναξον θεασάμενος τὸν πένητα, καὶ δέδεκταί σου ἡ δέησις. ὁ γὰρ ἐπιστάμενος τὰ ἀπόῤῥητα τῆς διανοίας ἑκάστου, ὁ τὰ πάντα εἰδὼς πρὶν γενέσθαι αὐτὰ, οἶδεν ὅτι, εἰ εἶχες, ἐδίδως. τὴν προαίρεσιν θέλει, τὴν καρδίαν διερευνᾷ καὶ οἶδεν. ἄνθρωπος γὰρ εἰς πρόσωπον, καὶ Θεὸς εἰς καρδίαν. παρακαλῶ οὖν, φυλάξατε τὴν παραγγελίαν, ἣν παραγγέλλω ὑμῖν. Ἐν γὰρ τούτῳ ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους. αὐτοῦ τοῦ δεσπότου φωνή ἐστιν, αὐτὸς εἶπε τοῖς μαθηταῖς. Μαρκ. ιϛ. λ. καὶ πάλιν, Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ τὸν πλησίον σου ὡς ἑαυτόν· ἐν ταύταις δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται. παρακαλῶ τοίνυν ἔσεσθαι εἰς ἀλλήλους φιλάνθρωποι, φιλόξενοι, φιλόπτωχοι· ἐξαιρέτως τὴν εἰς Θεὸν διηνεκῶς κρατῶμεν, ἵνα δυνηθῶμεν ἀξιωθῆναι τῆς αἰωνίου ζωῆς, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΚΗΡΥΓΜΑ ΝΗΣΤΕΙΑΣ. Λογ. α.

Ex Ms. Regio Lut.

Ἐπὶ θεραπείαν τήμερον ὁ Θεὸς τὸ γένος καλεῖ. ἰατρείαν γὰρ διὰ τοῦ προφήτου τὴν νηστείαν ὡρίσατο, Ἁγιάσατε, λέγων, νηστείαν, κηρύξατε θεραπείαν. ἐπεὶ γὰρ εἶδεν ὁ Θεὸς ἐκ παραδείσου πολυτραυμάτιστον Ἰωὴλ α. ιδ. τὸν Ἀδὰμ βληθέντα, θεραπείαν τούτῳ τὴν νηστείαν ἀπένειμε, καλῶς. τί γὰρ οὐκ ἰατρεύει νηστεία; ποῖον δὲ πάθος οὐκ ἀφανίζει τοῦ νοῦ; τὸν τῆς ἀκρασίας κόρον ἀποδιώξασα, ἀνακαινίζει καρδίαν· τοῦ βίου τὸ ὑγρὸν ἐκκενώσασα, τοῦ θυμοῦ τὰς φλεγμονὰς καταστέλλει· τοῦ φθόνου τὴν σκληρότητα καταπλάττει· τῶν ἐπιθυμιῶν τοὺς ὄγκους χειρουργεῖ· τῶν ἡδονῶν τοὺς πυρετοὺς ἀφανίζει· τῆς κενοδοξίας τὰς φαντασίας ἐλαύνει· τῆς μερίμνης τὰς ἀγρυπνίας ἀποδιώκει· ὀφθαλμῶν τὰς λήμας καθαίρει· σώματος καὶ ψυχῆς τὰς αἰσθήσεις ἐκκαθαίρει. τεχνίτις γὰρ αὕτη ἄνωθεν τὸ ἰατρεύειν δεξαμένη παρὰ τοῦ κτίσαντος. ὁ τοίνυν ὑγιείας ἐραστὴς ἑτοίμως τῇ νηστείᾳ ἑαυτὸν ἐπιδότω. οὐ γὰρ ἀπαιτεῖ ἰατρεύσασα ἰατρικὰ, ἀλλὰ καὶ προσδίδωσι μισθόν. ὁποῖον οὖν προσδίδωσι τὸν μισθόν; καλὸν γὰρ καὶ τοῦτο μαθεῖν. δίδωσι μισθὸν, οὐκ ὀβολοὺς, ἀλλὰ σώφρονας λογισμούς· οὐ χρυσὸν, ἀλλ' ἦθος χρηστόν· οὐκ ἄργυρον, ἀλλὰ καθαρότητα μελῶν· οὐ λίθους τιμίους, ἀλλ' εὐλαβεῖς λογισμούς· οὐκ ἐσθῆτας λαμπρὰς, ἀλλὰ τελείους τῆς σαρκὸς τὰς αἰσθήσεις. δίδωσι πόρναις μισθὸν τὴν σεμνότητα, μεθύσοις τὸ νηφάλιον, σμικρολόγοις τὸ φιλότιμον, φιλαργύροις τὸ φιλόπτωχον, μισαδέλφοις τὸ φιλάδελφον καὶ φιλόξενον, μικροψύχοις τὸ μακρόθυμον. τὸ δὲ μεῖζον, ζωώσασα συνάπτει Θεῷ. οὐ γὰρ ἔστιν, οὐκ ἔστιν ἄλλως ὁμιλῆσαι Θεῷ, μὴ πρότερον τῷ τῆς νηστείας φαρμάκῳ προσομιλήσαντας. οὕτω γὰρ ἐξ αἰῶνος οἱ μὲν ἐχθροὶ, οἱ δὲ φίλοι ἐδείχθησαν Θεοῦ, ἀκρασίας καὶ ἐγκρατείας ἐργασαμένης ἑκάτερον. φαγὼν γὰρ Ἀδὰμ ἔφυγε Θεὸν, ὡς ἐχθρός· τῶν πρωτείων Κάϊν οὐ παραχωρήσας Θεῷ ἔστενε καὶ ἔτρεμε, ὡς ἄφιλος Θεῷ· σπαταλήσαντες οἱ ἐπὶ Νῶε ἤγειραν καθ' ἑαυτῶν τῆς κρίσεως τὸν κριτήν· θρέψαντες τὰς ἡδονὰς οἱ ἐν Σοδόμοις, ὥσπερ ἐχθροὶ τοῦ Θεοῦ, τοὺς ἄνωθεν ἐδέξαντο κεραυνούς. βρῶσις οὐ συνεχώρησε τὸν Ἡσαῦ λέγεσθαι ἀγαπητὸν καὶ πρωτότοκον· βρῶσις καὶ πόσις κατέστησεν ἐχθρὸν τοῦ Ἰσραὴλ τὸν ἐν σημείοις καὶ τέρασιν ὁδηγήσαντα· δι' οἶνον καὶ σίκερα ὁ προφήτης κατηγόρησε τοῦ λαοῦ· οἶνος καὶ μέθη τῆς Ἰωάννου καὶ τῆς Χριστοῦ φιλίας τὸν Ἡρώδην ἐστέρησεν. ἔγνως οὖν δι' ἀκρασί-

ας ἐχθροὺς γενομένους τοῦ Θεοῦ; μάνθανε καὶ τοὺς διὰ νηστείας φίλους καταστάντας τοῦ Θεοῦ. οὐ γὰρ γενόμενος, ἀλλὰ προσενέγκας Ἄβελ Θεῷ, φιλοφρονήσας ἐφάνη Θεόν. νηστεύσας Μωϋσῆς φίλος ὀνομαστὸς καὶ πιστὸς ἐκλήθη. νηστεύσας Ἠλίας, ὡς φίλος ἀνελήφθη. νηστεύσαντες προφῆται ἔγνωσαν τὰ τοῦ Θεοῦ, ὡς φίλοι, μυστήρια. νηστεύσας Ἡσαΐας ἱστόρησε τὰ ἑξαπτέρυγα σεραφίμ. ἄσιτος γενόμενος Ἰεζεκιὴλ κατενόησε τὰ πολυόμματα χερουβίμ. νηστεύσαντας τοὺς ἐν Βαβυλῶνι ὡς φίλους ἐπεσκέπτετο ὁ Θεός, τοῖς μὲν ἐν τῇ καμίνῳ τὸν ἄγγελον, τῷ δὲ ἐν τῷ λάκκῳ ἀποστείλας τὸν Ἀμβακούμ. φίλοι δὲ ἐχθρῶν Νινευῖται διὰ νηστείας ἐγένοντο· φίλος δὲ ἐχθροῦ ὁμοίως καὶ Δαβίδ. ὅτε μὲν γὰρ τῆς τοῦ Οὐρίου ἤρα γυναικός, ἤχθραινε Θεῷ· ὅτε δὲ ἐταπείνου ἐν νηστείᾳ τὴν ψυχήν, Ηὗρον, ἤκουσε Δαβίδ, τὸν τοῦ Ἰεσσαί, ἄνδρα κατὰ τὴν καρδίαν μου. ὁ Ζαχαρίου Ἰωάννης, τοῦ νυμφίου φίλος διὰ τί; ἐπειδὴ ἐν τῇ ἐρήμῳ ἔμενεν ἀκρίδας συλλέγων, καὶ μέλι ἄγριον τρυγῶν. Ἄννα διὰ τί; ἐπειδὴ ἐν νηστείαις καὶ δεήσεσι λατρεύουσα, νύκτα καὶ ἡμέραν ἐλειτούργει Θεῷ. Πέτρος καὶ Ἰωάννης φίλοι. διὰ τί; ἐπειδὴ ἄσιτοι ἀνέβαινον ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐνάτην πρὸς τὸ ἱερόν. Παῦλος φίλος διὰ τί; ἐπειδὴ ὑποπιέζων ἐδουλαγώγει τὴν σάρκα. φίλος Τιμόθεος διὰ τί; ἐπειδὴ ὑδροποσίᾳ τῶν ἡδονῶν ἔσβεσε τὴν πυράν. φίλος Κορνήλιος διὰ τί; ἐπειδὴ ἄσιτος τὴν διὰ Πέτρου σωτηρίαν ἐξεδέχετο. φίλοι οἱ Χριστοῦ μάρτυρες. διὰ τί; ἐπειδὴ σαρκὸς καὶ προσκαίρου κατεφρόνησαν ζωῆς. ὁρᾷς ὡς οὐ μόνον ἐπὶ θεραπείαν, ἀλλὰ καὶ θείαν φιλίαν Θεὸς διὰ νηστείας καλεῖ τὸ γένος, ἄγιον καὶ ὑψηλὸν σπεύδων ἐργάσασθαι τὸν Ἀδάμ, σώφρονα, φίλον, ἐγκρατῆ, καὶ κοινωνικόν, σεμνόν, καὶ συγγενῆ; τί γάρ ἐστι τὸ φίλον εἶναι Θεοῦ, ἢ Θεοῦ γενέσθαι συγγενῆ; γίνου τοίνυν διὰ νηστείας φίλος Θεοῦ, γίνου διὰ νηστείας Θεοῦ συγγενής. μὴ μείνῃς ἀκρατής, μὴ μείνῃς ἐχθρός, μὴ μείνῃς ἄρρωστος, μὴ μείνῃς τραυματίας, μὴ μείνῃς παράλυτος. ἰδοὺ γάρ σοι καὶ σήμερον ἐπέστη Χριστὸς ἐν τῇ καλῇ ταύτῃ ἐκκλησίᾳ, τῇ νέᾳ Ἱερουσαλήμ· ἰδού, ἐπέστη τεσσαρακοστὴ πνευματικήν σοι κολυμβήθραν ἀφεῖσα, οὐχ ἕνα ἐτησίῳ κύκλῳ ἄρρωστον ἰατρεύουσαν, ἀλλ' ὁλόκληρον λαόν. ἰδοὺ Ἱερουσαλήμ· ἰδοὺ ὁ Χριστός· ἰδοὺ ἡ τεσσαρακοστή, κολυμβήθρα πνευματική. ἐπίβηθι χαίρων, τῶν αὐτῆς ἰαμάτων ἀπόλαυε γεγηθώς, πλῦνον σάρκα, ἀπόπλυνον καρδίαν, σμῆξον ψυχήν, κάθαρον νοῦν ἔσωθεν καὶ ἔξωθεν τοῦ τῆς ἁμαρτίας ῥύπου· ἀπόπλυνον τὸν Ἀδάμ, ἀκούσας λέγοντος τοῦ Χριστοῦ, Ἔγειρε, ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει. Μὴ ὁ πίπτων οὐκ ἀνίσταται; στῆθι, πόδας ἔχων εὐαγγελικούς, λογισμοὺς φιλοθέους, χεῖρας φιλοτίμους, γόνατα ἀκλινῆ, μηροὺς ἀμοίρους ἡδονῶν, νεφροὺς ἐλευθέρους ἐπιθυμιῶν, ὀσφὺν καὶ κοιλίαν ἀσφαλισθείσας, μελέτην νόμου Θεοῦ, στῆθος, καρδίαν καθαράν, τράχηλον, τρόπον εὐπειθῆ, ψυχήν, γνώμην εὐλαβῆ, στόμα σεμνόν, κόρην οὐκ ἐκκλίνουσαν, ἀκοὴν εὐσταθοῦσαν, χείλη προσφέροντα τὰ φίλα Χριστῷ. τοιοῦτος γίνου τῆς τεσσαρακοστῆς, ὡς κολυμβήθρας πνευματικῆς πεῖραν λαβών. διὰ ταύτης γάρ σε θέλει ἐπὶ πλεῖον πλῦναι ἀπὸ τῆς ἀνομίας σου Ἰησοῦς· διὰ ταύτης ἀπὸ τῆς ἁμαρτίας καθᾶραι ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· διὰ ταύτης ἰατρεῦσαι· διὰ ταύτης ἀνακαινίσαι· διὰ ταύτης ἁγνίσαι· διὰ ταύτης πάλιν εἰς μέτρον ἡλικίας ἀγαγεῖν. καὶ ἵνα σοι καὶ τί εἴπω κρύφιον (ἀλλὰ μὴ τοῦτό σε κατεχέτω διὰ τὸ τοῦ κριτοῦ φιλότιμον ἐν νυσταγμῷ) εἴπω τί κρύφιον; διὰ νηστείας σε θέλει Χριστὸς τὸν ἅπαξ ἀναγεννηθέντα ὕδατι καὶ πνεύματι καὶ θείῳ πυρὶ εἰς τὴν ἀρχαίαν εὐγένειαν ἀναγαγεῖν. ἰδού σοι τοῦ ἰατροῦ καὶ κριτοῦ τὸ μυστήριον ἀπεκάλυψα. διό σε λιτανεύω καὶ δέομαι, μὴ ὡς ἑτοίμως ἔχων τὸ φάρμακον, μείνῃς κόπτων συχνά· μὴ ὡς ἑτοίμην ἔχων τὴν μεσίτην μετάνοιαν, μείνῃς πράττων τὰ οὐ φίλα Θεῷ, κόσμῳ ἐγκυλινδούμενος, καὶ τὴν πρὸς Θεὸν φιλίαν ἀναβαλλόμενος· μὴ ὡς ἔχων τὸ καθάρσιον, ἀναβάλλου. ἄδηλον γὰρ τὸ μέλλον, ἄδηλος ἡ αὔριον, ἄδηλος ἡ σήμερον, ἄδηλον τὸ παρόν. ὁδοιπόροι ἐσμὲν ἐν κόσμῳ· οὐ δεσπόται, ἀλλὰ ξένοι, καὶ παρεπίδημοι ἡμεῖς καλούμενοι.

Μαρκ β θ.
Ιερ η. δ.

ἐκκλησαθαι

ἐκκλῄεσθαι τὸν κρείττω οὐκ ἰσχύομεν, περιϊστάμενοι τὴν ψυχήν· ἀπαιτούμενοι χρόνον καὶ καιροῦ ῥοπὴν δανείσασθαι οὐχ εὑρίσκομεν. μὴ τοίνυν, ὃν τρόπον εὐθυμούμενος ὁ πλούσιος, εὕρωσιν ἡμᾶς οἱ τὴν ψυχὴν ἀπαιτοῦντες παρ' ἡμῶν, ἐν ἀκρασίας νυκτί, ἐν κακίας ζόφῳ, ἐν πλεονεξίας σκότῳ· ἀλλ' ἐν ἡμέρᾳ νηστείας, ἐν ἡμέρᾳ σεμνότητος, ἐν ἡμέρᾳ φιλαδελφίας, ἐν φωτὶ θεοσεβείας, ἐν ὄρθρῳ πίστεως, ἐλεημοσύνης τε καὶ εὐχῆς· ἵνα ἡμᾶς εὑρόντες υἱοὺς ἡμέρας, προσαγάγωσι τῷ τῆς δικαιοσύνης ἡλίῳ, οὐ καταλύσαντας τὰς κακίας τὰς ἀποθήκας, ἀλλ' ἐκκενώσαντας καὶ καταλύσαντας, ἑαυτοὺς δὲ διὰ μετανοίας καὶ νηστείας ἀνακαινίσαντας, χάριτι τοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας. Ἀμήν.

ἴσ. εὐθυμού-μενον τὸν πλούσ

ἴσ. οἰκοδομή-σαντας

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ Λογ. β.

Ex Ms. Regio Lut.

ΠΑλιν ἡμᾶς ἡ ἁγία νηστεία πρὸς ἀπόλαυσιν ἀγαθῶν καλεῖ, πάλιν ἀγωνιστὰς κατασκευάζει, πάλιν ἀνδρείους βούλεται εἶναι, ὅπως νικητὰς τῶν παθῶν ἀναδείξῃ, καὶ τὸ κάλλος τῆς ψυχῆς λαμπρότερον ἀποδείξῃ, καὶ διὰ τῶν πόνων στεφάνους ἡμῶν πλέξῃ ταῖς κορυφαῖς. τί γάρ ἐστι νηστεία, ἢ ἀγώνων στέφανος, καὶ μισθῶν πρόξενος, καὶ σωτηρίας ὁδός; νηστεία γὰρ ἀπὸ δουλείας εἰς ἐλευθερίαν μεθίστησιν, ἀπὸ αἰχμαλωσίας εἰς τὴν πατρίδα ἐπανάγει. νηστεία τὰ τραύματα τῆς ψυχῆς ἰᾶται· νηστεία σαθρωθεῖσαν ψυχὴν ταῖς ἁμαρτίαις ἀνακαινίζει, νευροῖ τὴν ψυχήν, ἀνδρεῖον δὲ φρόνημα, τὸν φόβον τοῦ Θεοῦ εἰσάγει, ἐκπορθεῖ τὰ πάθη, γαληνιᾷ τοὺς λογισμούς. ἐν ἡμέραις νηστειῶν ἡδοναὶ σβέννυνται, καὶ ἀρεταὶ ἀνθοῦσι, καὶ σωφροσύνης τὸ κάλλος καθαρώτατον δείκνυται, καὶ σῶμα εἰς ψυχὴν μεταβαίνει, πνευματικὸν γινόμενον ὑπὲρ φύσιν. χαῖρε ἐν νηστείᾳ, καὶ μὴ στύγναζε, ὡς οἱ ὑποκριταί. ἀφανίζουσι τὰ πρόσωπα πρὸς θέαν ἀνθρωπίνην, ἀπολλύντες τὸν μισθὸν τῆς νηστείας. τοῦ γὰρ σωτῆρός ἐστιν ὁ λόγος, Ἐν νηστείᾳ ἄλειψόν σου τὴν κεφαλήν, νίψον τὸ πρόσωπον τῇ εὐποιΐᾳ, λάμψον ταῖς ἀρεταῖς, ὅπως ἐμοὶ μόνῳ φανῇς νηστεύων, τῷ τὰ κρυπτὰ καθορῶντι. μὴ δυσχεράνῃς, ἀγαπητέ, πρὸς τὴν νηστείαν, τὴν τῶν ἀρετῶν μητέρα, τὴν ῥίζαν τῶν ἀγαθῶν, τὴν πηγὴν τῆς σωφροσύνης, τὴν φύλακα τῆς εὐσεβείας, τὴν τῶν ἁγίων σύντροφον, τὴν τῶν ἀγγέλων ὁμόσκηνον, τὴν διαβόλου ἔχθραν, τὴν τοῦ πνεύματος φίλην· δι' ἧς αἱ ἡδοναὶ ἡμᾶς φεύγουσι, καὶ δαίμονες ὑπαναχωροῦσι, καὶ θυμὸς ἀτονεῖ, καὶ ἐπιθυμία νεκροῦται, καὶ ἀρεταὶ ζῶσι καὶ λάμπουσιν ἐν ἡμῖν· δι' ἧς τὰ πάθη ἠρεμεῖ, καὶ καταστέλλεται τῶν ἡδονῶν ὁ τάραχος, καὶ ὡς ἐν γαλήνῃ πλέουσι, τῶν τρικυμιῶν τοῦ χειμῶνος τῆς πονηρίας διὰ τῆς ἐγκρατείας ταύτης καλῶς διανύσαι, καὶ τῷ λιμένι τῆς ἀρετῆς τὴν ὁλκάδα προσορμίσαι. ἔχεις λοιπὸν τὸ κέρδος ἄσυλον, τὸν φόρτον ἀναυάγητον, ὅταν ταῖς ἐντολαῖς τοῦ πνεύματος ἐμπορεύσῃ, ὅταν τὸν λογισμὸν τῷ φόβῳ τοῦ Θεοῦ στηρίξας καὶ τὰ περιόντα διακρούσῃ, ἀκούων τῆς θείας γραφῆς λεγούσης· μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ. μὴ ἀγαπήσωμεν τοῦ κόσμου τούτου τὴν τρυφήν, ἥτις ὡς φόρτος βαρὺς τῷ σκάφει τῆς ψυχῆς γινομένη ὑποβρύχιον αὐτὴν ἀπεργάζεται. ἢ οὐκ οἶδας, ὅτι μέχρι φάρυγγος ἵσταται, καὶ ἀργεῖ λοιπὸν μετὰ τὸν φάρυγγα πᾶσα τρυφή· ἡ δὲ ἐξ αὐτῆς τικτομένη τιμωρία ἀτελεύτητον ἔχει τὴν βάσανον; τοὺς μὴ νήφοντας σκοτοῖ ἡ τρυφή, τὸ κάλλος τῆς ψυχῆς ἀμαυροῖ, νεκροὺς ἐμπνόους ἀπεργάζεται· ὅσα οὐ θέμις, ἐκεῖνα πράττειν παρασκευάζει· διεγείρει τῆς ἡδονῆς τὰ ὄργανα, τὸν πόλεμον αὔξει, διυπνίζει τὰς ἐπιθυμίας. ἀνενέργητος εἶ λοιπὸν πρὸς ἀρετήν. τῶν γὰρ μελῶν λυθέντων, καὶ τῇ πολυοινίᾳ τὴν φρένα κλαπείς, οὐκ ἰσχύεις ἔτι ἀνταγωνίσασθαι, καὶ εὐεπιχείρητος τοῖς ἐχθροῖς γίνῃ, ὥσπερ ναῦς ὑπὸ πνεύματος ἐλαυνομένη, μὴ ἔχουσα κυβερνήτην δυνάμενον ταῖς προσβολαῖς τῶν κυμάτων ἀντιμαχήσασθαι,

Ματθ. ϛ. ιζ.

ἴσ. τὰς τρι-κυμίας

ἀντιμαχήσασθαι, ἥτις ὧδε κἀκεῖσε βάλλεται, καὶ οὐδὲν ἕτερον αὐτῇ ὑπάρχει, εἰ μὴ ναυαγίαν προσδοκᾶν. μὴ τοίνυν, παρακαλῶ, μὴ μετὰ τὴν νηστείαν τρυφῇ χαλάσωμεν, μηδὲ τοὺς πολλοὺς πόνους ἀμελείᾳ κατασβέσωμεν· ἀλλὰ πόνοις πόνους συνάπτοντες, οὕτω προσδοκήσωμεν τὴν ἀντίδοσιν. ὅταν γάρ τις μισθὸν μισθῷ συνάψῃ, ἔχει πολὺ κέρδος τεθησαυρισμένον. μὴ σβέσωμεν τῆς νηστείας τὸ ἄνθος, μηδὲ τρυφῇ ναυαγῆσαι τὴν φρένα πρὸς ἡδονὰς παραχωρήσωμεν· ἵνα μὴ ἀνιάτοις κακοῖς τὴν ψυχὴν ζημιώσωμεν. κἂν μετὰ τὴν νηστείαν βούλῃ θεραπεῦσαι τὸ σῶμα ὡς ἀσθενὲς τυγχάνον, τῇ συμμετρίᾳ θεράπευσον· ἵνα, ὥσπερ ὁλκὰς ἐλαφρὸν φορτίον ἄγουσα, ὑψηλοτέρα ᾖ τῶν κυμάτων τῆς πονηρείας ἡ ψυχὴ, κἂν οἱ πειρασμοὶ διεγερθῶσι τῶν ἐπιθυμιῶν, νῆψαι δυνηθῇ πρὸς ἀνταγώνισιν, πρὸς κυβέρνησιν λογισμῶν, ἵνα τὸ σκάφος ἀνναυάγητον διαφυλάξωμεν. ἔχομεν γὰρ ἀδελφὴν τῆς νηστείας σύμμαχον πρὸς βοήθειαν, εὐχὴν λέγω. κἂν θάνατος ᾖ, κἂν πειρασμὸς, ἢ ἕτερόν τι τῶν κακῶν, εὐχῇ καὶ νηστείᾳ διαλύεται. καὶ τί λέγω; νηστεία δαίμονας φυγαδεύει, καὶ τὴν τοῦ διαβόλου τυραννίδα καταλύει· μάλιστα εἰ τὴν εὐχὴν ἔχει συνεργοῦσαν. νηστεία καὶ εὐχὴ τὸν Ἠλίαν εἰς οὐρανοὺς ἀνήγαγε, Νινευίτας ἐκ θανάτου ἐρρύσατο· νηστεία τὸν Δανιὴλ ἐκ τῶν λεόντων ἀβλαβῆ διεφύλαξε, νηστεία τοὺς τρεῖς παῖδας ἀκεραίους ἐν μέσῳ τῆς καμίνου διετήρησε, νηστεία Μωϋσέα τῆς ἀθεάτου δόξης ἠξίωσε, νηστεία Ἐλισσαῖον ἄρχοντα τῶν προφητῶν ἀπετέλεσε. καὶ τί ἔτι λέγω; εἰ μὴ ἦν φάρμακον σωτηρείας καὶ πρόξενον ζωῆς, οὐκ ἂν ἐξ ἀρχῆς ὁ Θεὸς νηστεύειν ἐνετείλατο. εἰ γὰρ ἐνήστευσεν Ἀδὰμ, οὐκ ἂν αὐτῷ θάνατος ἤγγιζεν, οὐκ ἂν ἐξέπιπτε τῆς ἀξίας τῆς δοθείσης αὐτῷ παρὰ Θεοῦ, καὶ τοῦ παραδείσου τῆς τρυφῆς ἐξεβάλλετο, καὶ τὴν ἐπίμοχθον ταύτην ζωὴν κατεδικάζετο. ἀλλ' ἐπειδὴ νόμῳ γαστρὸς ὑπήκουσε, διὰ τοῦτο εἰς θάνατον κατήντησε. νηστεία ἀγγέλων ὑπάρχει δίαιτα· καὶ τὸ δὴ μεῖζον, ὁ σωτὴρ ἐνήστευσεν, οὐκ αὐτὸς δεόμενος τοῦ φαρμάκου τῆς νηστείας, ἀλλ' ἵνα ὑπογραμμοὺς ἡμῖν νηστείας ἐγκατασπείρῃ πρὸς σωτηρίαν. λάβε τοίνυν τὴν νηστείαν ὅλου τοῦ βίου συνέμπορον, ἵνα σε διαφυλάξῃ, ἵνα σε ἐκ θανάτου ῥύσηται, ἵνα σε ἐκ πειρασμῶν διασώσῃ, καὶ εἰσάξῃ σε εἰς τὸν τῆς βασιλείας τῶν οὐρανῶν λιμένα. χάριτι τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, σὺν ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ. Λογ. γ

Πρῴην, ἐξ ὧν ἀκηκόατε, μεμαθήκατε ὅπως φιλότιμόν ἐστι τῆς νηστείας προοίμιον, ἀδελφοί. ἀσιτοῦντες γὰρ, τοῖς τοῦ κόσμου στοιχείοις ὡς ὄψοις εἱστιάθημεν, οὐ μικρῶς, μᾶλλον δὲ σφοδρῶς θεασάμενοι Θεὸν ψυχῆς ὀφθαλμῷ ἐκτείνοντα τὸν οὐρανὸν, καλλωπίζοντα τὸ στερέωμα, χαλινοῦντα θάλασσαν, τροφοφοροῦντα ἐκ γῆς. καὶ σκόπει μοι τὸ παράδοξον. ταὶ μὲν γὰρ γυναῖα τίκτει βρέφος, καὶ τότε προσφέρει τροφήν· ὡς ἐὰν μὴ βρέφος προέλθῃ, ἄκαρπος ἡ θηλή. γῆ δὲ, πρὶν ἢ γενέσθαι τὸν Ἀδάμ, προήγαγε τροφὴν, καὶ πρὸ τόκου τράπεζα προὔκειτο τῷ παιδί, πρὸ τόκου τῷ πρωτοπλάστῳ προὔκειτο τράπεζα. Βλαστησάτω γὰρ, φησὶν ὁ Θεὸς, βοτάνην, καὶ τότε ἔπλασε τὸν ἄνθρωπον, χοῦν· οὐκ ἀργῶς, ἀλλ' ἵνα ἐκ τῆς γῆς προελθὼν, καὶ ἐπὶ τῆς γῆς περιπατῶν, καὶ ταύτην τὴν μητέρα καλῶν, καὶ εἰς ταύτην ὁρῶν μὴ ἐπαίρηται, ἀλλὰ τὴν Ἀβραμιαίαν ἐκείνην Θεῷ προσφέρῃ φωνὴν λέγων· Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός. ταύτην γὰρ τὴν ὁμολογίαν Θεῷ ποτε πρεσβεύων προσήνεγκεν ὁ φιλόξενος· ταύτην καὶ ἡμᾶς προσφέρειν καλόν. αὕτη γὰρ ἡ φωνὴ τῆς φύσεως ἀσφαλέστατος χαλινός· αὕτη ἄτακτα βαίνειν οὐ συγχωρεῖ, ἄν τις

ἀναφέροιτο

Ex Ms. Regio Lut.

Γεν. α. ια.

Γεν. β. ζ.

Γεν. ιη. κζ.

ἀνάξιον ἐρασθῆναι γῆς, τυγχάνων γῆ αὐτός. Εἰ γὰρ γῆς ἐρᾷ, κλῆμα κεκτήσθω τὸ ἴδιον
σῶμα, καρποφόρον δεικνύτω ἑαυτόν, τὰς ἀρετὰς ὡς εἰσφορὰς ἀποδιδότω τῷ τῆς κτίσεως
Ιωαν. ιε. α. γεωργῷ. Ὁ πατήρ μου, φησιν, ὁ γεωργός. πότε δέ τις ἐπιθυμήσει χρυσοῦ, ὁ γῆν ἐπιστάμενος
ἑαυτόν; πότε δὲ ἐρασθείη ἐσθῆτος λαμπρᾶς ὁ κόνιν καλῶν ἑαυτόν; πότε εἰς πόθον ἀξίας
ἐλθεῖν σπουδάσει, γῆν ὁμολογήσας ἑαυτόν; ὅτι γὰρ ὁ ταύτην μελετήσας τὴν φωνὴν
οὐκ ἐρεῖ τὸν πλησίον κακῶς, οὐ κινήσει κατὰ τοῦ πέλας γλῶτταν ἢ δεξιάν, παντί που δῆλόν ἐστιν.
οὕτω σοφή τις καὶ θεία ἡ τοῦ φιλοξένου φωνή. Ἐγὼ γὰρ ἔλεγε, φησιν, εἰμὶ οὐ πλάσμα
σόν, ὅπερ ἦν ἀληθές, οὐχ εἰκὼν σή, ὅπερ ἀψευδές, οὐκ ἐμφύσημα θεῖον, ὅπερ ἀκριβές, οὐ
λογικὸς ἀνδριάς, ὅπερ ἀσφαλές· ἀλλὰ ταῦτα πάντα δι' εὐλάβειαν σιγήσας καὶ λήθῃ
παραδούς, γῆν ἐπὶ τοῦ κριτοῦ καὶ σποδὸν καλεῖ ἑαυτόν. Ταύτην τὴν φωνὴν λογισάμενός
τις ἐπιείκειαν ἀσκείτω, ταπεινοφροσύνην ζηλούτω, τῷ πλησίον τῶν πρωτείων παραχωρείτω,
ἐν ἀξίᾳ μὴ ἐπαιρέσθω, ἐν δυναστείᾳ μὴ φλεγμαινέτω, ἐν ζωῇ μὴ ὀφρυούσθω, ἐν
πλούτῳ μὴ ἐλπιζέτω, ἐν ὑγιείᾳ μὴ λακτιζέτω, ἐν εὐγλωττίᾳ μὴ ἀλαζονευέσθω. ὁ γὰρ
σήμερον ἐν τιμῇ, αὔριον ἐν γῇ· ὁ σήμερον ἐν δόξῃ, αὔριον ἐν θήκῃ· ὁ σήμερον ἐν θρόνῳ,
αὔριον ἐν θρήνῳ· ὁ σήμερον ἐν τύφῳ, αὔριον ἐν τάφῳ· ὁ σήμερον ἐπὶ βήματος, αὔριον ἐπὶ
μνήματος· ὁ σήμερον στρατηγός, αὔριον σποδός· ὁ σήμερον λαμπρός, αὔριον πηλός· ὁ σήμερον
ἐπίβλεπτος, αὔριον βδελυκτός· ὁ σήμερον ἐμφανής, αὔριον ἀφανής· ὁ σήμερον σοβῶν, αὔριον
σπάργανα περικείμενος ἐπιτάφια καὶ δεσμά· ὁ σήμερον εὔγλωττος, αὔριον ἄφωνος· ὁ σήμερον
ὑπὸ κολάκων δορυφορούμενος, αὔριον ὑπὸ σκωλήκων δαπανώμενος· ὁ σήμερον εὐειδής, αὔριον
δυσειδής· ὁ σήμερον ἐπαχθής, αὔριον εἰδεχθής. καλῶς ἔλεγεν ὁ σοφός, Τί ὑπερηφανεύεται
γῆ καὶ σποδός; ταῦτα εἰδυῖα Ἄννα ἡ τοῦ προφήτου μήτηρ Σαμουὴλ εὐχομένη ἔλεγε, τὸν παῖδα
α. Βασ. β. ι. προσφέρουσα Θεῷ· Μὴ καυχάσθω ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ πλούσιος
ἐν τῷ πλούτῳ αὐτοῦ· ἀλλ' ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, ἐν τῷ συνιεῖν καὶ γινώσκειν τὸν
Κύριον. μὴ καυχάσθω, φησὶν ὁ σοφός. σποδὸς γὰρ γινόμενος, ἄσοφος ὁ σοφός. μὴ καυχάσθω
ὁ ἰσχυρός. πηλὸς γὰρ ἐν τάφῳ φανείς, ὃν τρόπον χόρτος, ἀποβάλλει τοῦ σώματος
τὸ ἄνθος. μὴ καυχάσθω ὁ πλούσιος. πάροικος γάρ ἐστι τοῦ πλούτου καὶ παρεπίδημος,
Ψαλ. λη. ιγ. καθὼς ὁ ψάλλων ἔλεγε Δαβίδ. ὅταν δὲ εἴπῃ ὁ σοφός, ὁ ἰσχυρός, ὁ πλούσιος, πάντων
τὴν ὀφρὺν ἐχάλασε τῶν ἠλπικότων ἐπὶ τὴν τοῦ παρόντος κλύδωνος ἀδηλότητα. κλύδων
γὰρ ὡς ἀληθῶς τὰ παρόντα καὶ θάλαττα, καὶ τὸ ἑκάστου πέρας ἄδηλον, ὡς ἡ πεῖρα διδάσκαλος·
κλύδων τὰ παρόντα καὶ θάλαττα· καὶ ἀλλεπάλληλα κύματα καθ' ἑκάστην τῆς ψυχῆς
τὴν ζάλην ἐγείροντα. τῶν μὲν γὰρ ἐπὶ τιμῇ, τῶν δὲ ἐπὶ ζωῇ φυσᾷ, ἄλλους ἐπὶ δυναστείαν
ἐκτραχηλίζει, ἑτέρους πλούτῳ ἢ κάλλει ἄλλον κατὰ κυμαινομένου· πάντας δέ, ὡς εἰπεῖν, ἐν
ἐπιθυμίαις πνεύματος εἰς τὸν τῶν παθῶν ὤθησε βυθόν. ἀλλὰ σύ, πιστέ, κατὰ τὸν ἀπόστολον,
α. Τιμ. ς. ια. ἄνθρωπε τοῦ Θεοῦ, φεῦγε τῆς ἐπιθυμίας τὰ κύματα, ἔκκλινε τὰς τοῦ βίου κλυδώνων·
ἀνώτερος δὲ τῶν παθῶν, ὡς κυμάτων γενόμενος, πλέε τοῦ βίου τὴν θάλασσαν, σωτηρίῳ
ξύλῳ ἐμπιστεύσας τῆς ψυχῆς τὸ ἐφόλκιον. ἱστὸς σοι γινέσθω, σταυρός· ἄγκυρα, πίστις· σχοῖνος,
ἐλπίς· κώπη, εὐχή· οἴακες, ὀρθοὶ λογισμοί· ὀθόνη, Χριστός· οὐριοδρομῶν, πνεῦμα τὸ ἅγιον·
κυβερνήτης, ὁ τῶν ὅλων πατήρ. ἂν οὕτω πλέῃς, οὐκ ἄδηλόν σοι τὸ τοῦ βίου συμπέρασμα.
οὕτω γὰρ πλεύσας Νῶε ἀβλαβῶς τὸ οἰκουμενικὸν ἐκεῖνο διέπλευσε πέλαγος. οὕτω
πλεύσας Ἀβραὰμ τῶν πρωτείων παρεχώρει τῷ Λώτ, καὶ γῆν ὠνόμαζεν ἑαυτόν, καὶ τούτου
χάριν ἅμα Ἰσαὰκ ἔτυχεν ὧν ἐπόθησεν. οὕτω πλεύσας Ἰακὼβ ἄπλαστος μεμένηκε καὶ ἀχείμαστος,
α. Τιμ. ς. θ. ἄρτον μόνον καὶ ἱμάτιον παρὰ Θεοῦ, οὐ πλοῦτον αἰτῶν. Οἱ γὰρ σπεύδοντες πλουτεῖν,
ἐμπίπτουσιν εἰς πειρασμόν. οὕτω πλεύσας Ἰωσήφ, τῆς ἐπιβουλῆς καὶ τῆς ἡδονῆς τὴν ζάλην
διέφυγεν. οὕτω πλεύσας Μωϋσῆς, Ἰησοῦς τε καὶ ὁ λοιπὸς τῶν προφητῶν χορὸς καὶ δικαί-

ων, ὡς εἰς ὅρμον ἀκύμαντον, ἐν τῇ τοῦ δημιουργοῦ δεξιᾷ, καθάπερ σκάφος παρέθεντο ἑαυτούς. Δικαίων γάρ, φησι, ψυχαὶ ἐν χειρὶ Θεοῦ, μετὰ τοῦ πλοῦ καλῶς τὸν ὅρμον ἔχουσαν τὴν θείαν δεξιάν, τῶν ὁμιλησάντων Θεῷ, καὶ γῆν καὶ σποδὸν καλεσάντων ἑαυτούς. Ἀλλὰ γάρ, ὢ τῆς παραπληξίας, ὢ τῆς τῶν φρενῶν ἐκστάσεως. Θεῷ γὰρ ὁμιλεῖ Ἀβραάμ, πατὴρ κεχειροτόνητο ἐθνῶν, τῆς ἐπαγγελίας κληρονόμος ὁ πάροικος, ὡς πρόβατον προσέφερε τὸν πρωτότοκον, καὶ γῆν καὶ σποδὸν ἐκάλει ἑαυτόν. Οἱ δὲ νῦν βραχυπάτης γῆς οὐ δεσπόται, ἀλλ' οἰκονόμοι γενόμενοι, προσκαίρου ἢ ἐφημέρου ἀξίας ἠξιωμένοι (κυρίως γὰρ ἀξίωμα θεοσέβεια) ζώνην πρόσκαιρον περικείμενοι, ἐπίκαιρον δυναστείαν κτησάμενοι, βασιλεῖ δὲ ἄρα ἢ ὑπάρχῳ ὁμιλήσαντες, οὐ Θεῷ, ἐκκλησίᾳ προσενέγκαντες τῆς πλεονεξίας δῶρα, ἢ ὀλίγον πτωχοῖς καταβάλλοντες κερμάτιον, εὐθὺς ἀνασπῶσι τὰς ὀφρῦς, καὶ ὡς ἐξ οὐρανοῦ προκύψαντες, ἡμῖν διαλέγονται, οἱ κυρίως γῆ τυγχάνοντες καὶ σποδός· μᾶλλον δὲ οἱ γῆ ὑπάρχοντες ἄκαρπος. Ἀκανθῶν γὰρ χωρίον, ἀδελφοί, ἡ τοῦ πλεονέκτου ψυχή, ἄκαρπος ἀγρὸς τὸ τοῦ φιλαργύρου ψυχάριον, ἀπροσδόκητος κτῆσις ἡ τῶν ἀλλοτρίων ἀπόλαυσις, ἔρημον γεώργιον τὸ τοῦ πόρνου σωμάτιον, πολύκρημνος χῶρος τῶν ὑπερηφάνων λογισμός, ἀκερδὴς ἐμπορεία τῶν κατηγόρων τὰ ῥήματα, κενὴ πραγματεία διαβόλου κοινωνός, ὁ τοῦ πλησίον ἐπίβουλος. Ταῦτα ἐπ' ἐκκλησίας μεμαθηκότες, μισήσωμεν ἁρπαγάς, ἀσκήσωμεν ἀρετάς, φύγωμεν κακίαν, ἀγάπην ζηλώσωμεν, ἐκκλίνωμεν ἡδονήν, ἁγνείαν ἀγκαλισώμεθα, ἀποστραφῶμεν δόλον, ἁπλότητα κοινωνήσωμεν. Τὸν γὰρ καταλαλοῦντα, φησι, λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. Καρποφόρον γῆν ἑαυτοὺς ἀποδείξωμεν, τὸν τῆς δικαιοσύνης ἐκφύοντες βλαστόν, τὸν τῆς φιλαδελφίας καὶ σωφροσύνης ἅμα τε καὶ ἐπιεικείας προσφέροντες καρπόν, τὸν τῆς ἐξομολογήσεως πέπειρον βότρυν προσφέροντες Θεῷ. Ὅταν γάρ, φησι, ταῦτα πάντα ποιήσατε, εἴπατε ὅτι δοῦλοι ἀχρεῖοί ἐσμεν. Αὕτη ἡ φωνὴ τοῦ δεσπότου Χριστοῦ ἐστιν· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος ἅμα τῷ πατρί, σὺν ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ψαλ. ρ ε.

Λουκ. ιζ. ι.

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ Λογ. η.

Ex Ms. Reg. Lut.

Αἱ τῶν ὑδάτων πηγαὶ ἀντλούμεναι καθαρώτερον τὸ ὕδωρ βλυστάνουσι, καὶ πάντων τὴν χρείαν καὶ τὴν δίψαν πληροῦσαι ἀπαύστως ἐκ λαγόνων τὸ νᾶμα πηγάζουσιν. Ἔξεστι δὲ πᾶσι κατὰ τὴν οἰκείαν χρείαν τὸ νᾶμα τῆς δίψης ἐκεῖθεν ἀρύσασθαι, πλουσίῳ τε καὶ πένητι, σοφῷ τε καὶ ἰδιώτῃ· καὶ πᾶσιν αἱ πηγαὶ τὸν πότον πλουσίως παρέχουσαι, διηνεκῶς ἀνεξάντλητον ἔχουσι τὸν θησαυρόν. Καθάπερ δὲ μία πηγὴ τὰ τῶν πολλῶν σώματα ποτίζει, οὕτω καὶ μία γραφὴ τῶν πολλῶν νοήματα φωτίζει. Δεῦτε τοίνυν, καὶ ἡμεῖς, ἀγαπητοί, ἐπὶ τὴν τοῦ προλαβόντος πηγὴν ὁρμήσωμεν, ἐκ τῆς διδασκαλίας τῶν νηστειῶν κοινωνήσωμεν. Καὶ γὰρ καὶ τοῦτο ὡς πλουσίοις ἐπήρκεσε, καὶ νῦν ὡς πένησιν οὐκ ἐξέλειπε. Νηστεύσας Ἠλίας ὁ ἁρματηλάτης, μηλωτῇ καὶ ῥάβδῳ τὸν ποταμὸν ἐδίχασεν. Ὁ αὐτὸς νηστεύσας οὐρανοὺς ἔκλεισε. Ῥήματι γὰρ τὰς ὀμβροτόκους νεφέλας ἐκλειδούχησεν. Ὁ αὐτὸς νηστεύσας πυρίνους ἵππους ξενίαις χαλινώσας φλογίνῳ ἅρματι εἰς οὐρανοὺς ἡνιόχησε. Νηστεύσας Μωϋσῆς ὁ τοῦ Θεοῦ θεράπων φοβερὸν πέλαγος ἔρρηξε, καὶ τὴν ἰχθυοφόρον εἰς ἄρουραν μετέστρεψε, καὶ τοὺς Ἑβραίους ἄρας ἔσωσε, καὶ τοὺς Αἰγυπτίους κατεπόντισε. Νηστεία Μωϋσέως δεξιὰν ῥάβδῳ ἁγίᾳ χειρώσασα, καὶ δι' αὐτῆς τὴν πέτραν πατάξασα, ὕδωρ πότιμον καρποφορῆσαι παρεσκεύασε. Νηστεία τὸν Δανιὴλ σοφίσασα, τῶν ἀψηλαφήτων ἐνυπνίων μυσταγωγὸν ἀπεδείκνυεν. Ὁ αὐτὸς νηστεύσας τοὺς ἐν λάκκῳ θῆρας ἐφίμωσε, καὶ τῶν λε-

όντων

ὄντων ποιμένα γενόμενος, εἰς οὐρανοὺς ἀναβλέπειν τούτους ἐπαιδαγώγησε. νηστεία τῶν τριῶν παίδων τὰ σώματα ἀδιάφθορα τηρήσασα, τὴν παμφάγον φλόγα τῆς Βαβυλωνίας καμίνου εἰς δρόσον μετέβαλε. νηστείᾳ Ἰωνᾶς ὁ προφήτης τὸ κῆτος χαλινώσας, καθάπερ ὑποζυγίῳ χρησάμενος, εἰς τὴν Νινευὶ ἐπορεύετο. οὐ γὰρ ὅπου ἤθελε τὸ ζῶον, ἀπήρχετο, ἀλλ' ὅπου ὁ ἔνδον ἡνίοχος ἐβούλετο, ἐκεῖ τὸ κῆτος ἐπορεύετο. νηστεύσαντες Νινευῖται τὴν πόλιν διέσωσαν, καὶ τὸ φυτὸν τοῦ προφήτου ἐμάραναν. νηστεία Θεοῦ χάρισμα, νηστεία ἀγγέλων τροφή· νηστεία τὸν Μωϋσῆν ἐμυσταγώγησε, νηστεία τὸν Ἀβραὰμ ἐπιστώσατο, νηστεία τὸν Ἰσαὰκ ἐδικαίωσε, νηστεία σὺν τῷ Ἰακὼβ ἐξενίτευσε· νηστεία τὸν Ἰωσὴφ ἐσέμνυνε, νηστεία τὸν Μελχισεδὲκ ὕψωσε, νηστεία τὸν Λὼτ ἐκ Σοδόμων ἥρπασε, νηστεία σὺν τῷ Ἰὼβ ἤθλησε, νηστεία προφήτας ἐσόφισε, νηστεία βασιλεῖς ἐδυνάμωσε, νηστεία ἱερεῖς ἐτελείωσε, νηστεία Μωϋσῆν ἐλαμπαδούχησε, νηστεία σὺν τῷ Ἀαρὼν ἱεράτευσε, νηστεία Ἰησοῦ Ναυῆ συνεστρατήγησε, νηστεία τὸν Γεδεὼν ὥπλισε, νηστεία τὸν Σαμψὼν ἠνδρείωσε, νηστεία τὸν Σαμουὴλ ἐκύησε, νηστεία σὺν τῷ Σαοὺλ ἐπολέμησε, νηστεία τὸν Ἡσαΐαν εὐλόγησε, νηστεία τὸν Ἱερεμίαν ἐστόμωσε, νηστεία τὸν Ζαχαρίαν ἡγίασε, νηστεία τὸν Ἰωάννην ἐσόφισε, νηστεία Πέτρῳ ἐπήρκεσε, νηστεία Παύλῳ ἐβράβευσε, νηστεία τὴν οἰκουμένην ἐσφράγισε, νηστεία δύναμιν πυρὸς κατεπάτησε, νηστεία ἔθνος λεόντων ἐμάρανε, νηστεία γαυρίαμα δρακόντων κατέσβεσε, νηστεία ποταμοὺς ἐξήρανε· νηστεία τοῦ παραδείσου ἀποκατάστασις, νηστεία, τὸ ἐπὶ τοῖς εἰρημένοις κεφάλαιον, τὸ σῶμα τοῦ Χριστοῦ ὀχυρώσασα, τὰς προσβολὰς τοῦ διαβόλου σφοδρῶς ὑπεδέξατο. νηστεία παρθένων συνόμιλος, νηστεία οἴκων αὔξησις, νηστεία μετὰ μονοσιώπων συνήγορος, νηστεία προσευχῆς ὁμόζυγος, νηστεία πλούτου ἀρχή, νηστεία πενήτων παράκλησις, νηστεία καταπονουμένων βοηθός, νηστεία ὕπνον ἐλαύνουσα, καὶ ὕμνοι ἐπάγουσα, νηστεία ὕδωρ ἡμᾶς ποτίζουσα, καὶ ἀθανασίας πηγὴν ἡμῖν καταρτίζουσα. ὢ νηστεία, ἡ ἄρτι τὰς ψυχὰς ἡμῶν πρὸς εὐσέβειαν ἀντεπίζουσα, καὶ ἄρτι τὴν δυσωδίαν τῶν ἁμαρτημάτων ἡμῶν ἀποσμήχουσα. ὢ νηστεία τεσσαράκοντα ἡμέρας τὸν ἀέρα βαθμώσασα, καὶ ἡμᾶς εἰς οὐρανοὺς δι' ἐκείνων ἄγουσα. ὢ νηστεία διὰ στόματος νηστευόντων ἔλεον καὶ κρίσιν τῷ Θεῷ κελαδοῦσα, ὡς νῦν ἠκούσαμεν τῶν εἰρημένων. Δαβὶδ γάρ, ὁ τῶν ἁγίων προφητῶν ὁ χορός, δικαιοκρισίαν ἐλέῳ μεμιγμένην, τὴν μέλλουσαν κρίσιν ἀρτίως ἡμῖν ὑπογράφων, ἔλεγε πρὸς τὸν Θεόν· Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, Κύριε. (Ψαλ. ρ. α.) νηστεία τῶν χερουβὶμ ὁμοδίαιτος, νηστεία τῶν σεραφὶμ σύσκηνος, νηστεία τὸν Ἐνὼχ εἰς παράδεισον ᾤκισεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ Λογ. ε.

Ex Ms. Cæsareo, emend. ex Ms. Episcopi Philadelph.

ΣΗμερον, ἀγαπητοί, τὸν ἰατρὸν προσκυνήσωμεν. ἰδοὺ γὰρ ἐφίσταται ἡ νηστεία, ἡ ψυχῶν καὶ σωμάτων σωτηρίαν χαριζομένη, ὡς ἀνάστασιν παρεχομένη παράδοξον, ὡς πρὸς πνευματικοὺς ἡμᾶς ἀγῶνας ἔλαιον ἀλείφεσθαι· εὐχὴ καὶ νηστεία τὸ τῶν ἀγγέλων ἔργον· νηστεία, παραδείσου πύλη· νηστεία, ἁμαρτιῶν καθάρσιον· νηστεία, παρρησία πρὸς Θεόν· νηστεία, καθαρότης καρδίας· νηστεία, πολύτιμον τῶν παρὰ Θεοῦ δεδομένων ἡμῖν ἀγαθῶν τὸ κεφάλαιον· νηστεία, ἁγιασμὸς ψυχῆς· νηστεία, ὑγεία σώματος· νηστεία, οἴκου ἀσφάλεια, νέων παιδαγωγός, νηπίων φύλαξ, γερόντων σωφρονισμός, γυναικῶν εὐκοσμία καὶ κατάστασις. ἀλλ' ὅτε τῇ προσευχῇ καὶ τῇ νηστείᾳ καὶ ἐλεημοσύνη συμπάρεστι, τότε πλούσιος κατὰ Θεὸν ὁ τῆς εὐσεβείας ἐργάτης εὑρίσκεται. Θεῷ γὰρ δανείζει ὁ παρέχων τῷ πένητι. (Παροιμ. ιθ. ιζ.) εἶδες Θεὸν ἐγγυητὴν ὑπὲρ ἀνθρώπων γενόμενον; διὰ τοῦτο καὶ ὁ προφήτης τοῖς

Ἰουδαίοις, ὡς μὲν τελοῦσι τὴν νηστείαν ἐξ ὅλης δυνάμεως, ὀνειδίζων ἔλεγεν· Οὐ ταύτην τὴν νηστείαν ἐγὼ ἐξελεξάμην, λέγει Κύριος, τὸ ταπεινοῦν τὸν ἄνθρωπον τὴν ψυχὴν αὐτοῦ. τί γὰρ ὄφελος, νηστεύειν τῷ σώματι, καὶ φονεύειν τοῖς ἔργοις; τί τὸ ὄφελος, βρωμάτων ἀπέχεσθαι, καὶ πορνείᾳ μιαίνεσθαι; κρέας οὐκ ἐσθίεις, ἀλλὰ κατατρώγεις σάρκας τοῦ ἀδελφοῦ σου. ποῖον κέρδος, οἴνῳ μὲν μὴ εὐφραίνεσθαι, καὶ μεθύσκεσθαι χρήμασι; τί δὲ ὄφελος, ἄρτον μὴ ἐσθίειν, καὶ μεθύειν θυμῷ; ποῖον κέρδος, νηστείᾳ μαραίνεσθαι, καὶ λοιδορεῖν τὸν πλησίον; τίς ἡ ὠφέλεια, ἐγκρατεύεσθαι βρωμάτων, καὶ ἁρπάζειν τὰ ἀλλότρια; τίς ἡ ἀνάγκη, τὸ σῶμα ξηραίνειν, καὶ πεινῶντας μὴ τρέφειν; τίς ἡ ὠφέλεια, τὰ μέλη συντρίβειν, καὶ χήρας μὴ ἐλεεῖν καὶ ὀρφανούς; τίς ὄνησις, ἐν φροντίσι καὶ μερίμναις διάγειν, καὶ ὀρφανοὺς χειμαζομένους μὴ ῥύεσθαι; οὐδὲν ὄφελος τοῖς ἀνθρώποις, ὄνομα μόνον χριστιανοὶ ἐπιφέρεσθαι, ἔργα δὲ ἀγαθὰ μὴ κεκτημένους. οὐ γὰρ ἀξιώματα παρὰ τῷ Θεῷ τιμῶνται, ἀλλ' ἔργα ζητοῦνται. ἐπεὶ καὶ Ἰούδας ἐν τοῖς ἀποστόλοις ὑπῆρχε, καὶ τῆς ἴσης τιμῆς ἀπήλαυσε μετὰ τῶν ἄλλων· ἀλλὰ φιλαργυρίαν ἀγαπήσας ἀγχόνην ἐδέξατο· ὡς καὶ ἄρτι πολλοὶ φοροῦσι προβάτων ἐνδύματα, ἀλλ' ἔσωθεν λύκοι εἰσὶν ἅρπαγες. ἐὰν βούλῃ νηστεύειν, μίσησον φιλαργυρίαν· τὸ μέγα κακόν ἐστιν ἡ φιλαργυρία. νηστεύεις; φύγε μοιχείαν, φύγε πορνείαν, φύγε καταλαλιάν, ψεῦδος, λοιδορίαν, ἔχθραν, βλασφημίαν, καὶ πᾶσαν περιεργίαν. νηστεύεις; φύγε πλεονεξίαν, ἁρπαγήν, ἔριν, καὶ τὸν ψυχολέθριον φθόνον. νηστεύεις; φύγε ὀργήν, πονηρίαν, ζῆλον, ἐπιορκίαν, καὶ πᾶσαν ἀδικίαν. νηστεύεις; φύγε γαστριμαργίαν τὴν γεννήτειραν πάσης κακίας, τὴν χωρίζουσαν ἡμᾶς καὶ ἀπ' αὐτοῦ τοῦ Θεοῦ· γαστριμαργίαν τὴν κατάγουσαν ἡμᾶς ἕως τῆς ἀβύσσου τῆς ἀπωλείας. ἐὰν νηστεύῃς διὰ τὸν Θεόν, φύγε πᾶν πρᾶγμα ὃ μισεῖ ὁ Θεός, καὶ δέχεταί σου τὴν μετάνοιαν. μετανοίας γὰρ ὁ παρὼν καιρός, οὐχὶ δὲ ἀνέσεως. μετάνοια τὴν πεπτωκυῖαν ψυχὴν ἀνίστησι, τὴν ἀλλοτριωθεῖσαν φιλίαν τῷ Θεῷ καθίστησι. μετάνοια τὴν κατερραγμένην ψυχὴν διεγείρει, τὴν χωλεύουσαν ἀνορθοῖ, τὴν συντετριμμένην ἰᾶται, τὴν τετραυματισμένην ὑγιάζει. δράμωμεν τοίνυν πρὸς τὴν μετάνοιαν, ἀδελφοί, δράμωμεν. καιρὸς γὰρ τοῦ μετανοῆσαι, οὐχὶ δὲ τοῦ κατασπαταλᾶν καὶ ἀναπεσεῖν· καιρὸς θρηνεῖν καὶ δακρύειν, οὐχὶ δὲ τὸ καγχάζειν καὶ μετεωρίζεσθαι· καιρὸς ἐξομολογήσεως καὶ πένθους καὶ στεναγμῶν, οὐχὶ δὲ ἀμελείας καὶ ῥᾳθυμίας. μετάνοια γάρ ἐστι βασιλείας οὐρανῶν πρόξενος, καὶ εἴσοδος παραδείσου, καὶ τρυφῆς αἰωνίου ἀπόλαυσις. μετάνοια τῶν ἁμαρτημάτων λυτήριον, τῶν μολυσμάτων καθαρτήριον· μετάνοια, σωτηρίας μήτηρ, διαβόλου ὑποσκελισμός, παθῶν ἀφανισμός. ὢ μετάνοια τὰ δεσμὰ τῶν ἁμαρτημάτων διαλύει, τὰς ἀπηλπισμένας ψυχὰς διασώζει, τοὺς ἐσκοτισμένους φωταγωγεῖ, τοὺς μεμακρυμμένους πρὸς Θεὸν ἐπιστρέφει, τοὺς πεπλανημένους ἀνακαλεῖται. μετάνοια πάντων τῶν ἀπεγνωσμένων ψυχαγωγία καὶ παραμύθιον· μετάνοια πάσης ψυχικῆς καὶ σωματικῆς ἀσθενείας ἰατρεῖον καὶ σωτήριον φάρμακον. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. νηστεύεις; πένητα μὴ παρίδῃς. νηστεύεις; βλέπε τῆς χήρας τὰ δάκρυα. νηστεύεις; γυμνὸν περίβαλλε. νηστεύεις; βλέπε ὀρφανοὺς στενάζοντας. νηστεύεις; ἐὰν ἔχῃς, ἐλέησον· εἰ δὲ οὐκ ἔχῃς, κἂν μὴ ἁρπάζῃς τὰ ἀλλότρια. νηστεύεις; Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον, καὶ ἀρκεῖ σοι εἰς σωτηρίαν. νηστεύεις; μὴ ἀφανίσῃς τὸ πρόσωπόν σου, ὥσπερ οἱ ὑποκριταί, μὴ σκυθρωπάσῃς, ἀλλ' ἄλειψόν σου τὴν κεφαλήν, καὶ τὸ πρόσωπόν σου νίψαι, ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων, ἀλλὰ τῷ ἐτάζοντι καρδίας καὶ νεφρούς. ἐὰν νηστεύῃς, οὕτω νήστευε ὡς ὁ Χριστὸς ἐκέλευσεν· ἵνα μὴ καὶ τὸν κόπον ὑπομείνῃς, καὶ τὸν μισθὸν ἀπολέσῃς. ἐὰν γὰρ νηστεύῃς, βλέπε μὴ δανείσῃς τὸ ἀργύριόν σου ἐπὶ τόκῳ. νηστεύεις; διάρρηξον βιαίων συναλλαγμάτων χειρόγραφον· συγχώρησον, ἵνα συγχωρηθῇ σοι. τῷ ἀδελφῷ σου τὴν λύπην ἄφες, ἵνα ἀφεθῇς· ἐλέησον, ἵνα ἐλεηθῇς· ἄφες τῷ πλησίον τὸ σφάλμα. νηστεύεις; ἐλέησον ὃν ἠδίκησας, μὴ φθονήσῃς ποτὲ ἀδελφῷ, μήτε

Ησ. νη. ϛ.

Ψαλ. λγ. ιγ.
Ματθ. ϛ. ιϛ.

πάλιν μισήσῃς γυναῖκα. νηστεύεις; μὴ κατοδοξήσῃς. νηστεύεις; φύγε πορνείαν, τὴν μιαίνουσαν ἡμῶν τὴν ψυχὴν καὶ τὸ σῶμα· πορνείαν, τὴν χωρίζουσαν ἡμᾶς ἀπὸ τοῦ Θεοῦ καὶ ἀπὸ τῶν ἁγίων· πορνείαν, τὴν ''πρόξενον τοῦ αἰωνίου καὶ ἀσβέστου πυρός. νηστεύεις; μὴ συκοφαντήσῃς πένητα, ἵνα μὴ παροργίσῃς τὸν ποιήσαντα αὐτόν. νηστεύεις; θρέψον πεινῶντας, πότισον διψῶντας, γυμνοὺς ἔνδυσον, ξένους παραμύθησαι, ἀσθενοῦντας ἐπίσκεψαι, τῶν ἐν φυλακῇ μὴ ἐπιλάθῃ, καταπονουμένους ἐλέησον, θλιβομένων καὶ ὀδυρομένων ἐπιμελήθητι· γενοῦ εὔσπλαγχνος, πρᾶος, ἀγαθός, ἥμερος, εἰρηνοποιός· γενοῦ μακρόθυμος, ἐλεήμων, ἀμνησίκακος, ἄμαχος, εὐλαβής*, ἵνα ὁ Θεὸς τὴν νηστείαν σου ἀποδέξηται, καὶ τῆς μετανοίας τὸ κέρδος μετὰ πολλῆς τῆς ''προθήκης παράσχῃ σοι. οὐδὲν γὰρ, ἀδελφοί, δύναται βοηθῆσαι ἡμῖν ἐν ἐκείνῃ τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως, ὡς ἡ μετάνοια καὶ ἡ ἐλεημοσύνη. Ταῦτα παρακαλῶ, ἀδελφοί, ἵνα ἀσφαλῶς τηρήσωμεν, καὶ μισθὸν κομισώμεθα παρὰ τοῦ Θεοῦ· ἵν' ἀκούσωμεν τῆς μακαρίας φωνῆς ἐκείνης τῆς λεγούσης· Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ ἀσθενὴς καὶ γυμνὸς, καὶ ἐν φυλακῇ, καὶ διηκονήσατέ μοι. ἧς ''τῆς φωνῆς ἀξιωθείημεν πάντες ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει δόξα, τιμὴ, καὶ προσκύνησις, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. κε λδ.

Ν. προξενοῦσαν

* ἀληθινὸς θεοσεβής; Ν. προθέσ

Ισ. δή

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ. Λογ. ϛ.

Ex Ms. Cæſareo. emend. ex Ms. Epiſcopi Philadelph.

Ιερ α. ι.

Ησ. ξϛ. β.
Πραξ ζ μη.

α. Κορ. ζ. κθ.

Ν. ἐκκαθα

Ισ. τούτῳ·

ΠΑλιν νηστείας καιρὸς, πάλιν τρυφῆς ἀφορμὴ, πάλιν ἀγώνων ὄψις, πάλιν ἡ τοῦ Χριστοῦ σάλπιγξ τὸν ἀγῶνα τὸν καλὸν κηρύσσουσα, τοὺς ἀγωνιστὰς ἐπὶ τὸ σκάμμα συνεκρότησε· πάλιν ἡ ἐνιαύσιος τοῦ Χριστοῦ παρουσία κηρύττεται). πάντες ἑαυτοὺς ''καθαίρωμεν, ἵνα αὐτὸν ὑποδεξώμεθα. εἰ γὰρ παρουσία βασιλέως θνητοῦ κηρυττομένη, τοὺς μέλλοντας ὑποδέχεσθαι ἀναγκάζει μετὰ φόβου καὶ τρόμου τὰς οἰκίας εὐτρεπίζειν, ὅπως ἄξια κατασκευάσωσι τὰ οἰκήματα τοῦ μέλλοντος ἐνοικεῖν· πόσῳ μᾶλλον οἱ τὸν ἀληθινὸν βασιλέα ὑποδέχεσθαι μέλλοντες ὀφείλομεν ἑαυτοὺς ἀξίους παρασκευάζειν τοῦ μέλλοντος ἐν ἡμῖν οἰκεῖν; παρείτω σήμερον ἡμῖν Ἱερεμίας ὁ προφήτης, ὃς ἀπεστάλη παρὰ τοῦ Κυρίου, ἀκούσας· Ἰδοὺ τέθεικά σε σήμερον προφήτην εἰς τὰ ἔθνη, ἐκριζοῦν καὶ καταφυτεύειν, κατασκάπτειν καὶ ἀνοικοδομεῖν. ὑπακούσωμεν ''τούτου· αὐτός ἐστιν ὁ παρασκευάζων τοὺς ναοὺς τοῦ μεγάλου βασιλέως. ἐκριζώσωμεν ἡδονὰς, καὶ καταφυτεύσωμεν ἐγκράτειαν· κατασκάψωμεν κακίαν, καὶ ἀνοικοδομήσωμεν ἀρετάς· ἀποδιώξωμεν ψεῦδος, καὶ καρπωσώμεθα ἀλήθειαν· ῥίψωμεν ὑπερηφανίαν, ἀναλάβωμεν μετάνοιαν· ἐκκόψωμεν ὀργὴν, καὶ δεξώμεθα πραότητα. Φησὶ γὰρ ὁ Χριστός· Ἐπὶ τίνα ἀναπαύσομαι; ἐπὶ τὸν πρᾷον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους. μὴ εὐτρεπίσῃς ἐκ λίθων οἰκίαν. Οὐ γὰρ ὁ ὕψιστος ἐν χειροποιήτοις κατοικεῖ. εὐτρέπισον ναὸν λογικόν· κόσμησον αὐτὸν ἀρεταῖς. συμβάλλεταί σοι ὁ παρὼν καιρός. περὶ τούτου Παῦλος λέγει, Ἰδοὺ ὁ καιρὸς συνεσταλμένος ἐστίν· ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες ὦσι· καὶ οἱ ἀγοράζοντες, ὡς μὴ κατέχοντες· καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ, ὡς μὴ καταχρώμενοι. παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου. οὐ χρῄζει χρυσοῦ, οὔτε ἀργύρου, οὐ χρῄζει λίθων πολυτελῶν, οὔτε οἰκοδομιῶν μεγάλων· ἀλλὰ χρῄζει ψυχῆς φαιδρυνομένης, μετανοίας ἀνοθεύτου. οἱ τοῦ ἐπιγείου βασιλέως πρόδρομοι οἱ ἀπαγγέλλοντες τὴν τούτου παρουσίαν, οὐδὲν οὐράνιον βαστάζουσιν, ἀλλὰ πάντα ἐπίγεια· ὃς μὲν ἀσπίδα, ἄλλος θώρακα, ἄλλος χρυσοῦς δράκοντας, ἄλλος ἱμάτια διάχρυσα· αὐτὸς δὲ ὁ βασιλεὺς φέρει τὴν τῶν πάντων ἐξουσίαν ἐν ἑαυτῷ, τὴν πορφύραν καὶ τὸ διάδημα. οἱ δὲ πρόδρομοι τοῦ ἐπουρανίου βασιλέως οὐδὲν γήϊνον φέρουσιν, ἀλλὰ πάντα ἄξια τοῦ βασιλέως· Μωϋσῆς νόμον τὸν βασιλικὸν ἀπαγγέλλων, Ἡσαΐας κηρύσσων, Ἱερεμίας προσευχὴν, Ἰωάννης βάπτισμα μετανοίας· αὐτὸς δὲ ὁ βασιλεὺς φέρει τὴν πορφυρίδα καὶ τὸ διάδημα, δι' ὧν τοὺς πάντας ἐλευθεροῖ. ἔστι γὰρ αὐτοῦ πορφύρα. πορφυρὶς, τὸ σῶμα· καὶ τὸ διάδημα, ὁ λόγος. τοῦτο ἰδὼν Ἰωάννης βοᾷ καὶ λέγει· Ἡμεῖς πάντες ἐκ μέρους· Μωϋσῆς τῷ Ἰσραὴλ νομοθετεῖ, Ἡσαΐας τῷ Ἰσραὴλ προφητεύει, Ἱερεμίας ὡσαύτως, ἐγὼ δὲ βάπτισμα μετανοίας τῷ κόσμῳ· ἀλλ' οὐδεὶς ἐλευθεροῖ. ἦλθεν ὁ τὴν τῶν πάντων ἔχων τὴν ἐξουσίαν· αὐτός ἐστιν ὁ παρ' ἡμῶν κηρυττόμενος, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης· αὐτὸς οὐκ ἔθνει ἑνὶ χαρίζεται, ἀλλὰ ὅλῳ τῷ κόσμῳ σωτηρία γίνεται. ἀμνὸν εἶχεν ὁ νόμος· ἀλλ' ὑπὲρ ἑνὸς ἔθνους ἐσφάζετο, ἀλλ' οὐκ ἀφῆκεν ἁμαρτίας. τύπος γὰρ ἦν. μετὰ τοῦτον τὸν ἀμνὸν Ἡσαΐας κηρύττει· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἄφωνος ἐναντίον τοῦ κείροντος αὐτὸν, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ἡ κρίσις αὐτοῦ ἀπ' αὐτοῦ ἤρθη. οὗτός ἐστιν ὁ ἀληθινὸς ἀμνὸς, ὁ διὰ λόγων κηρυττόμενος, καὶ νῦν δι' ἔργων φαινόμενος· οὗτός ἐστιν ὑπὲρ ὅλου τοῦ κόσμου ἑαυτὸν ἐκδούς· οὗτός ἐστιν ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. οἱ προφῆται διὰ γραμμάτων τὰ μέλλοντα προεφήτευσαν, οὐ τὰ πράγματα ἔδειξαν. ἐπὰν γένηται τὰ πράγματα, ἀληθινὰ ποιεῖ τὰ γράμματα. προεφήτευσε Δαβὶδ περὶ τῶν μελλόντων εἰς τὸν Ἰησοῦν γίνεσθαι· ἀλλὰ μηδέπω παρόντων τῶν πραγμάτων, τὰ γράμματα σκιὰν εἶχον, τοῦτο οἰκονομήσαντος τοῦ Θεοῦ. εἰ γὰρ ἐγνώκεισαν οἱ Ἰουδαῖοι τὸ διὰ γραμμάτων πράγμασι φαινόμενον, τὰ γράμματα ἦσαν ἀπαλείψαντες, δεδοικότες τὸν ἐκ πραγμάτων ἔλεγχον. ἔλεγε γὰρ ὁ Δαβὶδ ἐν τῷ δευτέρῳ ψαλμῷ· Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; τοῦ Ἡρώδου καὶ τοῦ Καϊάφα τὴν ἀπόνοιαν. συνήχθησαν οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες ἐπὶ τὸ αὐτό· τὴν ἐπιβουλὴν τὴν κατὰ τοῦ δεσπότου λέγει. Κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ. διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν. τὰ τοῦ σταυροῦ δὲ λέγων, ἐν εἰκοστῷ πρώτῳ ἔλεγε· Περιεκύκλωσάν με κύνες πολλοί, ταῦροι πίονες περιέσχον με. ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου, αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με· διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. καὶ εἶχον σκιὰν τὰ γράμματα· ὅτε δὲ ἦλθε τὰ πράγματα, τότε ἡ σκιὰ ἀνεχώρει, καὶ ὁρῶσιν οἱ Ἰουδαῖοι τὰς χεῖρας καὶ τοὺς πόδας ἡλωθέντας οἴκοθεν, αὐτῶν τὸν ἔλεγχον ἐν τοῖς ἑαυτῶν βιβλίοις ταῦτα περιέχοντα· καὶ οὐκέτι δύνανται ἐξαλεῖψαι τὰ γράμματα. πρόδηλα γὰρ γεγόνασι τὰ ἀμφότερα· τὰ γράμματα τοῖς πράγμασι συνεφώνησεν. ἔλεγεν Ἡσαΐας, Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἄφωνος ἐνώπιον τοῦ κείροντος αὐτὸν, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. ἡ κρίσις αὐτοῦ ἤρθη. τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; Ἰουδαῖοι ἀναγινώσκουσι τὰ γράμματα, καὶ οὐκ ἐνενόουν τὰ πράγματα. Σκιὰν γὰρ εἶχεν ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα. ὅτε δὲ ἦλθεν ὁ καιρὸς τοῦ τὰ πράγματα φανερὰ γενέσθαι, καὶ ὁ ἀληθινὸς ἀμνὸς ἐπὶ σφαγὴν ἤγετο, καὶ τὸ ἀληθινὸν πρόβατον ὑπὲρ ὅλου τοῦ κόσμου ἐθύετο, καὶ ἡ ἀληθινὴ κάθαρσις τῶν ἀνθρώπων ἐγένετο, καὶ τὸ ἀληθινὸν αἷμα * ὑπὲρ σωτηρίας ὅλου τοῦ κόσμου ἐξεχεῖτο, καὶ τὰ ὑπὸ Ἰουδαίων ἐδραματουργεῖτο· καὶ τῆς προφητείας τοῦ Ἡσαΐου πληρουμένης κατησχύνθησαν οἱ Ἰουδαῖοι. ἐὰν γὰρ θελήσωσιν οἱ Ἰουδαῖοι ἀρνήσασθαι, ἀναγινώσκω αὐτοῖς τὸν Δαβὶδ, ἀναγινώσκω τὸν Ἡσαΐαν, οἴκοθεν αὐτῶν τὸν ἔλεγχον προσφέρω. ἔρχεται καὶ Μωϋσῆς συνηγορῶν μοι περὶ τοῦ σταυρωθέντος· ὡς βουλόμενος αὐτοῖς κηρύξαι τὸν μέλλοντα σταυροῦσθαι, διὰ γραμμάτων ἐκήρυξε. διὰ τοῦτο ἔφη, Κἂν ἐγὼ σιωπήσω, τὰ ἔργα * κεκράζουσι. ποῖα ἔργα; ἀγνοοῦσιν οἱ Ἰουδαῖοι. ἡ γὰρ σκιὰ τοῦ νόμου ἐπίκειται.

Ιωάν. α. ις.

Ησ. νγ. ζ.

Ψαλ. β. α.

Ψαλ. κα. ιη. ιζ. ια.

Εβρ. ι. α.

ἔρχεται δὲ ὁ καιρὸς, ὅτε τὰ πράγματα φανερὰ γίνεται, καὶ ἡ σκιὰ ὑποχωρεῖ, καὶ τὰ πράγματα τὰ γράμματα σιωπιῶσιν. ἐξῆλθόν ποτε ὄφεις ἐν τῇ ἐρήμῳ, καὶ ἔδακνον τοὺς ἀνθρώπους· καὶ ἐποίησε Μωϋσῆς χαλκοῦν ὄφιν, καὶ ἐσταύρωσε, καὶ προσέταξε πάντα τὸν δακνόμενον προσέρχεσθαι καὶ ἰάσεως τυγχάνειν· τοῦτο τοῦ Θεοῦ ″ προοικονομήσαντος ἐν τύπῳ, ἵν', ὅταν ἔλθῃ ἡ ἀλήθεια, ἡ σκιὰ ἀναχωρήσῃ καὶ τύπος δείξῃ τὴν ἀλήθειαν. ὅτι δὲ τύπος ἦν τῆς ἀληθείας τὸ γενόμενον, οὕτως ἔλεγε Μωϋσῆς· οὐκ ἔστι τοῦτο ἀλήθεια· τύπος ἐστί· μέλλει ἡ ἀλήθεια. Ὄψεσθε γὰρ τὴν ζωὴν ὑμῶν κρεμαμένην ἔμπροσθεν τῶν ὀφθαλμῶν ὑμῶν νυκτὸς καὶ ἡμέρας, καὶ οὐ πιστεύσετε ἐπὶ τὴν ζωὴν ὑμῶν· Χριστὸν λέγων τὴν ζωὴν κρεμαμένην ἔμπροσθεν τῶν Ἰουδαίων, καὶ μὴ πιστεύοντας Ἰουδαίους ὅτι αὐτὸς ἐστὶν ἡ ζωή. διὰ τί δὲ ὄφιν ἐκρέμασε Μωϋσῆς ἐπὶ τοῦ σταυροῦ; Εἰς τύπον τοῦ Χριστοῦ. ἐπειδὴ δι' ὄφεως καὶ ξύλου ἁμαρτία ἐγένετο, ἔδει δὲ τὸν Χριστὸν διὰ τοῦ ξύλου τὴν διὰ τοῦ ξύλου ἁμαρτίαν λῦσαι, καὶ τὴν κατάραν τὴν διὰ τοῦ ὄφεως εἰς ἑαυτὸν ἀνασπάσαντα ἀφανίσαι· ἵνα γενόμενος ὑπὲρ ἡμῶν κατάρα, Θεοῦ δικαιοσύνην ὑμῖν χαρίσηται. καὶ γὰρ οὐκ ἔγνω ἁμαρτίαν, καὶ ὑπὲρ ἡμῶν ἐσταυρώθη, ἵνα ἡμεῖς γενώμεθα Θεοῦ δικαιοσύνη. ὁ δὲ ὄφις ἐπὶ τοῦ σταυροῦ κρεμάμενος οὐκ ἦν ἀλήθεια· τύπος ἦν. ἡ δὲ σκιὰ τὴν ἀλήθειαν ἔκρυβεν. ἦλθεν ἡ ἀλήθεια, Χριστός· ἀνέβη ἐπὶ τὸ ξύλον. ″ Ὅτε Ἰουδαίοις ἀναγινώσκω ″ τὸ Μωϋσέως, καὶ ἀποφράσσω αὐτῶν τὰ στόματα· καὶ ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην ἔμπροσθεν τῶν ὀφθαλμῶν ὑμῶν νυκτὸς καὶ ἡμέρας, καὶ οὐ πιστεύσετε ἐπὶ τὴν ζωὴν ὑμῶν. ὁ δὲ μακάριος Δαβὶδ πῶς ″ ὑμῖν ἔλεγε περὶ αὐτοῦ· ″ Ἀνέβη εἰς ὕψος, ″ ᾐχμαλώτευσεν αἰχμαλωσίαν, ″ ἔδωκε δόματα ″ ἐν ἀνθρώποις; ἀνέβη εἰς ὕψος ἐπὶ τοῦ σταυροῦ· ᾐχμαλώτευσε τὸν διάβολον, ἔλυσε τὸν θάνατον, προσήλωσε τὴν ἁμαρτίαν, ἔρριψε τὴν κατάραν καὶ τὸν ὄφιν ἀπὸ τοῦ ξύλου. τῆς ἀληθείας ἐλθούσης οἱ τύποι ῥίπτονται· αὐτὸς τρόπαιον ἵστησι κατὰ τοῦ διαβόλου, καὶ δίδωσι καὶ τοῖς [ὑπ' αὐτὸν] ὑπηκόοις τὴν κατὰ τοῦ διαβόλου ἐξουσίαν, λέγων πρὸς αὐτούς· δι' ὑμᾶς ὑπὸ κατάραν, δι' ὑμᾶς ὑπὸ νόμον, δι' ὑμᾶς ὑπὸ ″ μαρτυρίαν· δι' ὑμᾶς πόλεμος, δι' ὑμᾶς νίκη. ἰδοὺ, δέδωκα ὑμῖν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ″ ἐχθροῦ. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δευτ. κη. ξϛ.

Ψαλ. ξζ. ιθ.

γρ. πρὸς οἰ
νομίαν μὲ
πω.

ἴσ. τοῖς Ἰου-
γρ. τὰ

γρ. ὑμῖν
γρ. ἀνέβης
γρ. -τευσας
γρ. ἔδωκας
γρ. τοῖς ἀνθρώ-
ποις.

ἴσ. κρατεῖ
ἐγενόμην·
γρ. ἐχθροῦ,
τοῦ

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ. Λογ. ζ.

Ἦκε καὶ σήμερον Ἱερεμίας ὁ προφήτης, ὁ τοὺς ναοὺς παρασκευάζων τοῦ μεγάλου βασιλέως, καὶ διαλέγεται ἡμῖν λέγων, Νεώσατε ἑαυτοῖς νεώματα, καὶ μὴ σπείρετε ἐν ἀκάνθαις. νῦν ἀδιαφόρως τοῖς πᾶσι διαλέγεται, παιδευθεὶς παρὰ τοῦ δεσπότου. πάλαι γὰρ πρὸς ἀπειθῆ λαὸν φθέγγεσθαι μὴ βουλόμενος, ἔπαθεν ἐκεῖνα, ἅπερ αὐτὸς διηγήσατο. ὁρῶν γὰρ τὸ γένος τῶν ἀνθρώπων ἐν ἁμαρτίαις ἐμπεφυρμένον, οὐκ ἠβούλετο λαλεῖν, λέγων· ἄρα φόνος καὶ κλοπὴ καὶ μοιχεία κέχυται ἐπὶ τῆς γῆς, καὶ διὰ τοῦτο ἐπέχω τὸν λόγον, ἕως αὐτοὺς ἐκκαθάρωσιν. ὥσπερ δοῦλος πιστὸς ἐμπιστευθεὶς τὸ πολύτιμον μύρον, οὐ καταβάλλεται τοῦτο ἐν ἀγγείῳ βεβορβορωμένῳ, ἵνα μὴ τὸ μύρον τὴν εὐωδίαν ἀπολέσῃ· τὸν αὐτὸν τρόπον καὶ ὁ προφήτης ἔχων τὸν λόγον τοῦ μύρου τιμιώτερον, ὁρῶν τοὺς ἀνθρώπους βεβορβορωμένους, ἐπεῖχε κατασπείρειν τὸν λόγον. ᾧ δὴ τοῦτο γέγονεν ὡς πῦρ καιόμενον ἐν τοῖς ἐγκάτοις αὐτοῦ, καὶ παρελύετο πάντοθεν, καὶ οὐκ ἠδύνατο φέρειν. ἔλεγε γὰρ πρὸς αὐτὸν ὁ Θεός· ἀπεστάλης κηρύττειν· διὰ τί σιωπᾷς; ἀπεστάλης σπείρειν· διὰ τί τὸν σπόρον ἐπέχεις; σπεῖρον ἀδιαφόρως ὅ σοι ἐνεπίστευσα, σπεῖρε καὶ ἐπὶ τὰς ἀκάνθας, σπεῖρε καὶ ἐπὶ τὰ πετρώδη, σπεῖρε καὶ ἐπὶ τὴν καλὴν γῆν. τοῦ σπείρειν σὺ χρεώστης, καὶ ἡ γῆ

Ἱερ. δ. δ.

Ἱερ. κ. θ.

τοῦ καρποφορῆσαι. ἐὰν ἀναβῶσιν ἄκανθαι, καὶ πνίξωσι τὸν σπόρον, σὺ οὐκ ἔσῃ αἴτιος· ἐὰν ἡ καλὴ γῆ καρποφορήσῃ, ἀποδίδωσι καὶ τῆς καλῆς γῆς τὸν σπόρον. δοῦλος εἶ· ἐνεπιστεύθη σοι τὸ ἀργύριον. δὸς αὐτὸ τοῖς τραπεζίταις, κἀγὼ ἐλθὼν ἀπαιτήσω αὐτὸ παρὰ τῶν τραπεζιτῶν. ἐὰν μοι προσενέγκωσι διπλοῦν ὃ ἐνεπιστεύθησαν αὐτοῖς, καταστήσω αὐτοὺς ἀπὸ μικρῶν ἐπὶ τὰ μεγάλα, ἀπὸ τῶν γηΐνων ἐπὶ τὰ πνευματικά. ἐὰν δὲ ὑποδεξάμενοι τὸν σπόρον, μὴ ἀξίους ἑαυτοὺς παρασκευάσωσι τοῦ καρποφορῆσαι, ἀλλὰ παραδέξωνται τὰς μερίμνας τοῦ κόσμου, ὅ ἐστιν ἄκανθαι, πυρὸς ἄξιοι γενήσονται. ἐὰν δὲ καὶ εἰς τὰ " πετρώδη μὴ εὑρεθῇ βάθος γῆς· τουτέστιν, ἐὰν εὑρεθῇ σκληροκάρδιος, καὶ μὴ ἔχῃ πίστιν, ἀλλ' ἀποξηρανῇ τὸν σπόρον· ἐκεῖνος δίκην ἀπαιτηθήσεται τῆς σκληροκαρδίας αὐτοῦ. τὸν αὐτὸν τρόπον καὶ οἱ ἐμπιστευόμενοι τὸ ἀργύριον, ὅσοι διπλοῦν προσάγουσι, τὰ μείζονα ἐμπιστευθήσονται· ὃς δὲ προσενέγκῃ τὸ τάλαντον μόνον, ὃ ἐπιστεύθη, τιμωρίᾳ καταδικασθήσεται. σὺ δὲ κήρυττε ἀδιαφόρως· τοῖς γὰρ ἀσθενέσιν ἰατρὸς ἀπεστάλης. καὶ γὰρ ὁ γεωργὸς τὴν ἀγεώργητον γῆν γεωργεῖ, καὶ τὴν ἄσπορον σπείρει. οὐ γὰρ ἡ γεωργηθεῖσα γῆ καὶ ἐσπαρμένη χρείαν ἔχει τοῦ γεωργεῖσθαι, ἢ σπείρεσθαι ἐν δευτέρῳ, οὐδὲ ὁ ὑγιὴς χρείαν ἔχει τοῦ ἰατροῦ· οὕτως οὐδὲ ὁ δίκαιος τῆς διδασκαλίας. οὐ γὰρ ὁ βλέπων βούλεται ἀναβλέψαι, ἀλλὰ ὁ τυφλός. οὕτω γὰρ φησὶν ὁ δεσπότης ἐν τοῖς εὐαγγελίοις· Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν. " τοῦτο ἀκολούθως καὶ Παῦλος ἔλεγε· Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. οὕτως ἔλεγε καὶ Πέτρος ἐν ταῖς πράξεσιν· Ἄνδρες ἀδελφοὶ, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος. καὶ μὴ λέγετε, πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν, ὅτι δυνατός ἐστιν ὁ Θεὸς ἐκ τῶν λίθων τούτων τέκνα ἐγεῖραι τῷ Ἀβραάμ. διὰ τοῦτο παιδευθεὶς ὁ προφήτης ἀδιαφόρως κηρύττειν, ἐβόα· Νεώσατε ἑαυτοῖς νεώματα, καὶ μὴ σπείρετε ἐν ἀκάνθαις. ὥσπερ γὰρ ἡ ἀγεώργητος γῆ νεάζεται ἐν ξύλῳ καὶ σιδήρῳ ἑλκόντων τῶν βοῶν, καὶ οὕτως ὁ γεωργὸς τὸν σπόρον ἐγκαταβάλλει· οὕτω καὶ ἐπὶ τῶν ἀνθρώπων λάβωμεν καὶ ἡμεῖς τὸ ξύλον, καὶ τὸν σίδηρον, καὶ τὰς βόας ἑλκούσας. ἤτω ἡμῖν τὸ ξύλον, ὁ σταυρός· ὁ σίδηρος, οἱ ἧλοι· αἱ βόες, ὁ νόμος καὶ οἱ προφῆται ἕλκοντες ἡμᾶς τῇ διδασκαλίᾳ ἐπὶ τὸν κρεμασθέντα ἐπὶ τοῦ σταυροῦ· ἵνα ἰδὼν μὲν ἡμᾶς παρεσκευασμένους, καταπέμψῃ τὸ πνεῦμα τὸ ἅγιον εἰς ἁγιασμὸν τῶν ὑδάτων, καὶ εἰς ἀναγέννησιν τῶν νενεασμένων διὰ τῆς διδασκαλίας, κατὰ τὸν μακάριον Δαβὶδ λέγοντα· Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. κυρίως ὁ ἄνθρωπος προσηγορεύετο, Ὅτι ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. λέγει δὲ καὶ Δαβίδ· Προσέλθετε πρὸς αὐτὸν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. καὶ πάλιν ἐν τοῖς εὐαγγελίοις, ὁ Χριστὸς προσκαλεσάμενος τοὺς μαθητὰς, ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτῶν· Λάβετε πνεῦμα ἅγιον. νεώσωμεν ἑαυτοῖς νεώματα· ἀπόθου τὴν παλαιὰν κακίαν, ἐκρίζωσον τὰς ἀκάνθας τῆς παρακοῆς. ἐπειδὴ γὰρ παρήκουσεν Ἀδὰμ, ἐξεβλήθη τοῦ παραδείσου. τοῦτο ἐδέξατο παρὰ τοῦ δεσπότου· Ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι. τοῦτο συνιδὼν ὁ προφήτης ἐκήρυττε· Νεώσατε ἑαυτοῖς νεώματα, καὶ μὴ σπείρετε ἐπ' ἀκάνθαις· ἐμφαίνων διὰ τοῦ λόγου, ὥστε ἡμᾶς ἀνανεῶσαι αὐτοὺς τῇ μετανοίᾳ, καὶ ἐκριζῶσαι τῆς παρακοῆς τὸ ἐπιτίμιον, τὰς ἀκάνθας. εἰσὶ δὲ ἄκανθαι ἐν τῷ ἀνθρώπῳ, ἔρεις, ζῆλος, θυμὸς, διχοστασίαι, ἀκαθαρσίαι, πλεονεξίαι, μοιχεῖαι, ἀνδροφονίαι. εὐθὺς ἡ Εὔα συλλαβοῦσα γεννᾷ Κάϊν, ὅστις ζήλου ἀρχηγὸς γέγονε, φόνων εὑρετὴς, ὑποκρίσεως πατὴρ, δημιουργὸς ψεύδους. ἐρωτώμενος γὰρ παρὰ τοῦ δεσπότου· Ποῦ Ἄβελ ὁ ἀδελφός σου; ἕτοιμος ψεύδους γεννᾷ, " λέγων· Μὴ φύλαξ εἰμὶ τοῦ ἀδελφοῦ μου; ὁ δὲ Θεὸς βουλόμενος αὐτὸν ἀπὸ τῶν πραγμάτων πεῖσαι, ὡς τὰ πάντα ἐπίσταται, ἔφη· Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με. οὐ τὸ αἷμα λέγω βοᾷ· λόγου γὰρ

Ματθ. θ. ιγ.
α. Τιμ. α. ιε.
Ιερ. δ. δ.
Ψαλ. ργ. λα.
Γεν. β. ζ.
Ψαλ. λγ. ε.
Ιωάν. κ. κβ.
Γεν. γ. ιζ. ιη.
Γεν. δ. θ.

οὐ μετέχει· ἀλλὰ τὸ πρᾶγμα διὰ τῆς ὠμότητος τῶν ἀδελφοκτόνων θριαμβεύει. διὰ τοῦτο βοᾷ ὁ προφήτης· (Ιερ. δ. γ.) Νεώσατε ἑαυτοῖς νεώματα, καὶ μὴ σπείρετε ἐπ' ἀκάνθαις. ἠκούσατε ἐν ταῖς πράξεσι τῶν ἀποστόλων Σίμωνα τὸν Μάγον, ὅπως μὴ νεώσας, μηδὲ ἐκριζώσας τὰς ἀκάνθας, προσῆλθε τοῖς ἀποστόλοις λαβεῖν τὸ βάπτισμα. καὶ οἷος κατῆλθε, τοιοῦτος καὶ ἀνῆλθεν, οὐκ ἀπὸ ποιότητος τοῦ βαπτίσματος, ἀλλὰ τούτου ἀπειθήσαντος τῷ σταυρωθέντι, τῷ προσηλωθέντι. οὐκ ἐπίστευσε τοῖς προφήταις, οἵτινες ὡς βόες ἕλκουσι τοῦ σταυροῦ τὰ σύμβολα, τὸν σίδηρον, καὶ τὸ ξύλον, καὶ ἀναιροῦσι τῇ διδασκαλίᾳ τὸ τῶν ἀνθρώπων γένος. διὰ τοῦτο οὐ λύεται ἀπὸ τῆς κατάρας τῆς τοῦ Ἀδάμ, ἀλλὰ πάλιν λαμβάνει δευτέραν κατάραν, καὶ προστίθεται ἀνομία ἐπὶ τὴν ἀνομίαν αὐτοῦ, ἵνα μὴ εἰσέλθῃ ἐν δικαιοσύνῃ Θεοῦ. ὡς οὐδὲν γὰρ αὐτὸν ὠφέλησε τὸ βάπτισμα, προσῆλθε τοῖς ἀποστόλοις, λέγων· (Πραξ. η. ιθ.) Λάβετε χρυσίον, καὶ δότε μοι τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἂν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ πνεῦμα ἅγιον. ὁ δὲ Πέτρος αὐτῷ εἶπεν· οὐκ ἔστι σοι μέρος οὐδὲ κλῆρος ἐν τῷ ″μέρει τούτῳ, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἠβουλήθης διὰ χρημάτων κτήσασθαι. (γρ. λόγῳ) οὗτος οὐχ ὑπήκουσε τοῖς προφήταις, οὐκ ἀνέωσε τὴν λογικὴν αὐτοῦ χώραν· οὗτος οὐδὲ ἔτυχε τοῦ ἁγίου πνεύματος τοῦ ὑπὸ τῶν προφητῶν κηρυχθέντος. φοβήθητε τὸ ὑπόδειγμα, καὶ νεώσατε ἑαυτοῖς νεώματα, καὶ μὴ σπείρετε ἐπ' ἀκάνθαις. ἐὰν ἐκκόψῃς τὰς ἀκάνθας, καταδέξῃ τὸν σπόρον, ″καρποφόρος, καὶ μέτοχος″ γένῃ τοῦ ἁγίου πνεύματος. οὕτως ὑπακούσας τῷ προφήτῃ ὁ Κορνήλιος ἐνέωσεν ἑαυτόν, ἐξέκοψε τὰς ἀκάνθας, καὶ ἐκαρποφόρει τῷ Θεῷ. (Πραξ. ι. γ. δ.) Ὤφθη γὰρ αὐτῷ ἄγγελος λέγων· Κορνήλιε, αἱ ἐλεημοσύναι σου ἀνῆλθον ἐνώπιον τοῦ Θεοῦ. οὗτος καλὸς γεωργὸς ἐξερρίζωσε τὰς ἀκάνθας, ἀνέωσε τὸν ἑαυτοῦ ἄνθρωπον, ἀνέβη αὐτοῦ ὁ καρπὸς ἐνώπιον τοῦ Θεοῦ. ὁρᾷς καρπὸν μετανοίας· ἀπὸ γῆς εἰς οὐρανὸν ἀνῆλθε, καὶ ἐνώπιον τοῦ Θεοῦ μετὰ παρρησίας ἕστηκεν. ὥσπερ γὰρ τὰ καλὰ ἔργα μετὰ παρρησίας πρεσβεύει· οὕτω καὶ τὰ ἄλλως ἔχοντα μετὰ σπουδῆς κατηγορεῖ. ἤκουσας τὰ καλὰ ἔργα ὑπὲρ τοῦ Κορνηλίου πρεσβεύοντα· ἄκουσον καὶ τὸν φόνον τοῦ Κάϊν μετὰ σπουδῆς κατηγοροῦντα (οὕτω γάρ φησιν ὁ Θεὸς πρὸς τὸν Κάϊν· (Γεν. δ. ι.) Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με) καὶ τὴν ἐπιτιμίαν ὁριζομένην, ὅτι στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς. ἄκουσον καὶ τὸν μισθὸν τῆς ἐλεημοσύνης καὶ τῆς προσευχῆς· τί φησιν ὁ ἄγγελος; Ἀπόστειλον εἰς Ἰόππην, καὶ μετάπεμψαι τὸν Πέτρον, καὶ αὐτός σε διδάξει τί σε δεῖ ποιεῖν. ἦλθε Πέτρος, καὶ ἐν τῷ ἄρξασθαι αὐτὸν λαλεῖν, ἐπέπεσε τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτόν, ὥσπερ καὶ ἐπὶ τοὺς ἀποστόλους. ″ὁρᾷς· ὁ μισθὸς τῆς νηστείας καὶ τῆς προσευχῆς καὶ τῆς ἐλεημοσύνης, τὸ πνεῦμα τὸ ἅγιον διδόμενον. οὗτος ὁ καιρὸς τῆς νηστείας καὶ τῆς ἐλεημοσύνης· τοῦτον τὸν καιρὸν προϊδὼν Ἡλίας, ἐνήστευσε τεσσαράκοντα ἡμέρας· διὰ τοῦτο ἅρματι πυρίνῳ ἀναλαμβάνεται, καὶ μέχρι σήμερον ἐν σώματί ἐστι. τοῦτον τὸν καιρὸν προεφήτευσε Μωϋσῆς, νηστεύσας τεσσαράκοντα ἡμέρας· διὰ τοῦτο νόμον ἔλαβε πρὸς διόρθωσιν τῶν ὁμοφύλων. τοῦτον τὸν καιρὸν ἐδίδαξεν ἡμᾶς ὁ Χριστός, νηστεύσας τεσσαράκοντα ἡμέρας· ἵν' ἡμᾶς παιδεύσῃ προθύμως καταδέχεσθαι τὴν ἀρετὴν ταύτην, δι' ἧς νεάζεται ἡ λογικὴ χώρα, δι' ἧς ἐκτίλλονται ἄκανθαι, δι' ἧς σβέννυνται ἐπιθυμίαι, δι' ἧς καταλύεται τὰ ἔργα τοῦ διαβόλου, δι' ἧς ἡγίασται τὰ ὕδατα τοῦ Ἰορδάνου, δι' ἧς ἀναγεννᾶται ἄνθρωπος, δι' ἧς κατέρχεται τὸ πνεῦμα τὸ ἅγιον, δι' ἧς ζωὴ καὶ ἀνάστασις. ταύτην οἱ προφῆται προεφήτευσαν, ταύτην ὁ Χριστὸς ἐδίδαξε, ταύτην ἀγαπήσωμεν, ταύτην καταδεξώμεθα· προσθῶμεν ἐλεημοσύνην καὶ προσευχήν, ἵνα τύχωμεν τοῦ ἁγίου πνεύματος, ὥσπερ καὶ ὁ Κορνήλιος· καὶ δοξάσωμεν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

″ΠΕΡΙ ΥΠΟΜΟΝΗΣ ΚΑΙ ΤΟΥ ΜΗ ΠΙΚΡΩΣ ΚΛΑΙΕΙΝ τοὺς τελευτῶντας.

Ex Ms. Regio Lut. Emend. ex Ms. Episcopi Philadelph.

Φέρε σήμερον μάλιστα τῶν προτέρων ἡμερῶν σπουδαιότερον ἐπὶ τὸν λόγον τῆς διδασκαλίας εἰσέλθωμεν. οἶδε γὰρ πολλάκις ὁ λόγος παραμυθήσασθαι τὸν πόνον· δύναται καὶ διδασκαλία σύμμαχος διαλῦσαι τὴν ἀθυμίαν. καὶ γὰρ πολλοὺς τῶν χθὲς ὄντων μεθ' ὑμῶν νῦν οὐχ ὁρῶ ὄντας μεθ' ὑμῶν, ἀλλ' εἴτε πρὸς τὸν δεσπότην μετακληθέντας, ἢ καὶ ἐν κλίναις κατακειμένους, καὶ τούτους πάντας ἐκδεχομένους τὸν θάνατον. διὸ καὶ παρ' ὑμῶν τὸν θρῆνον ὁρῶ, πολὺν ἐν τῇ πόλει τὸν θόρυβον, πολλὴν ἐν τῇ ἐκκλησίᾳ τὴν ταραχήν, ἄμετρα τῶν πενθούντων τὰ δάκρυα, ἄτοπα τῶν πολλῶν τὰ ἤθη καὶ τὰ πράγματα. καὶ γὰρ πολλάκις ὑμᾶς περὶ τούτου παρεκάλεσα καὶ ὑπέμνησα τοῦ πράγματος· λέγω δὴ τοῦ μετ' ὑπομονῆς καὶ εὐχαριστίας ὑποφέρειν τὴν τέκνων καὶ τῶν ἰδίων καὶ συγγενῶν τὴν κοίμησιν, καὶ μὴ οὕτως ἀσχημονεῖν, μηδὲ ὡς ἀπολωλότας τοὺς πρὸς Θεὸν ἀπιόντας λογίζεσθαι· καὶ μάλιστα, ὅσοι δὴ ἂν νήπιοί τινες καὶ ἄφθοροι τὸν βίον κατέλιπον. διὸ μὴ ἐκείνους στενάζωμεν, ἀλλὰ μᾶλλον ἑαυτοὺς τοὺς ἐν ἁμαρτίαις ζῶντας θρηνήσωμεν. εἰ γὰρ σήμερον μὴ νήψωμεν, πότε λοιπὸν ἐπιστρέψωμεν; εἰ μὴ ὁ θάνατος τοῦ ἀδελφοῦ σου σωφρονίσει σε, τίς λοιπὸν ἐπιστρέψει σε; εἰ μὴ νεκρὸν κείμενον βλέπων διορθώσῃ τὸν βίον, πότε λοιπὸν δυσωπήσεις τὸν Θεόν; ἰδοὺ τοίνυν ὁρῶμεν, ἰδού, αὐτῇ τῇ πείρᾳ μανθάνομεν. διὸ φεισώμεθα, παρακαλῶ, μηδὲ εἰκῇ καὶ μάτην ταραττώμεθα, μηδὲ ὡς ἀθάνατοι φανταζώμεθα. μία γὰρ ἡ ὁδὸς τοῦ θανάτου, καὶ οὐκ ἄλλη ὁδός. κοινὸν τὸ ποτήριον, καὶ πᾶσι διδόμενον. ἡ μόνη ὥρα, καὶ πονηρὰ ὥρα· ἡ μόνη γέφυρα, καὶ πρόοδον οὐκ ἔχουσα. τὸ πάντων χρέος, * ἡ μόνη ἀπαρχή, καὶ πάντων τέλος. ἡ θεία μάχαιρα, καὶ ὄψιν μὴ λαμβάνουσα. οὐ γὰρ βασιλέα φείδεται ὁ θάνατος, οὐκ ἀρχιερέα τιμᾷ· οὐ πολιὰν οἰκτείρει, οὐ κάλλος ἐλεεῖ, οὐ νεότητος φείδεται, οὐ μονογενῆ σπλαγχνίζεται, οὐ δάκρυσιν ἐπικάμπτεται· οὐκ ἄρχοντα τρέμει, οὐ τυράννους δέδοικεν, οὐ χρήμασιν ἐξαγοράζεται, οὐ λαμβάνει τινὸς πρόσωπον, οὐδὲ πάλιν ἀντιπροσωπεῖ· ἀλλὰ πᾶσιν ἴσος ἐπέρχεται ὁ θάνατος. οἱ σήμερον μεθ' ἡμῶν, αὔριον ἐκεῖ πρὸ ἡμῶν· οἱ σήμερον φιλικῶς ἡμᾶς ἀσπαζόμενοι, αὔριον ἐλεεινῶς ὑφ' ἡμῶν προπεμπόμενοι· οἱ σήμερον ἐν τῷ βίῳ, αὔριον ἐν τῷ μνημείῳ· οἱ σήμερον ἐμφανεῖς ὄντες, αὔριον σκωληκιῶντες· οἱ σήμερον μυριζόμενοι, αὔριον ὀζόμενοι· οἱ σήμερον ὧδε τρυφῶντες, αὔριον ἐκεῖ πενθοῦντες· καὶ, ἁπλῶς εἰπεῖν, οἱ σήμερον παρασιτούμενοι, αὔριον ἐκεῖ καταδικαζόμενοι· οὓς καὶ πολλάκις ἐπιζητοῦντες, καὶ τὴν ἐκείνων κοίμησιν ἀγνοοῦντες πρὸς ἀλλήλους λέγομεν· ποῦ ὁ δεῖνα ὁ ἄρχων; καὶ ἀκούομεν, παρῆλθε λοιπόν. καὶ ποῦ ὁ δυνάστης ἐκεῖνος, ἀλλήλους ἐρωτῶμεν, καὶ μανθάνομεν, ἀπέθανε. καὶ ποῦ ὁ ὑπερήφανος βασιλεύς; ἐκεῖ, φησί, παρέλαβε. καὶ ποῦ ὁ ἑταῖρος ὁ δεῖνα; ἐκεῖ ἀπέρασεν. ἐκεῖ, ποῦ; ὅπου ὁ δικαστὴς τῶν δικαστῶν· ἐκεῖ, ὅπου ὁ φοβερὸς τῶν φοβερῶν ἰσχυρότερος· ἐκεῖ, ὅπου βασιλεὺς αἰώνιος καὶ κριτὴς ἀπαραίτητος. ἐκεῖ; ποῦ ἄρα, ἢ πῶς, ἢ ἐν ποίῳ τόπῳ, ἢ ἐν ποίῳ τάγματι οἱ προλαβόντες τυγχάνουσιν, οὐδεὶς εἰπεῖν ἐδυνήθη· ἀλλ' ἢ μόνον τοῦτο οἴδαμεν, ὅτι ἐκεῖ, ὅπου ὁ μόνος αἰώνιος καὶ μόνος ἀθάνατος, ὅπου ὁ μόνος ἀγαθὸς καὶ μόνος φιλάνθρωπος, ὁ ποιητὴς τῶν ψυχῶν καὶ τῶν σωμάτων. εἰς ἐκεῖνο δὲ μέγα καὶ φοβερὸν δικαστήριον, ὅπου οὐκ ἔνι γέλως, ἀλλὰ θρῆνος· ὅπου οὐκ ἔνι καλλωπισμός, ἀλλὰ σκοτισμός· ὅπου οὐκ ἔνι περισπασμός, ἀλλ' ἐξετασμός· ὅπου οὐκ ἔνι λοιδορία, ἀλλὰ ἀπολογία· ὅπου οὐκ ἔνι πλουτῆσαι, ἀλλὰ φρίξαι· * ὅπου οὐκ ἔνι προσωποληψία, ἀλλὰ δικαιοκρισία· ὅπου πάντες γυμνοὶ παριστάμεθα, δοῦλοι καὶ ἐλεύθεροι, εὐγενεῖς καὶ ἄδοξοι, ἁμαρτωλοὶ καὶ δίκαιοι, πλούσιοι καὶ πένητες· οἱ μὲν αἰσχυνόμενοι, οἱ δὲ στεφανούμενοι. ποῦ ἐκεῖ τῶν βασιλέων ἡ φαντασία; ποῦ τῶν ἀρχόντων ἡ ὑπερηφανία; ποῦ τῶν πλουτούντων ἡ ἀ-

σπλαγχνία;

γρ. ῥᾳθυμίαν.
γρ. ὑμῶν
γρ. ἡμῶν
γρ. ὁ πάντων ... φίλος
γρ. μονογενεῖ
γρ. ἐπίσης
γρ. ὁμομαθητάς
γρ. προλαμβάνοντες
γρ. πικρασμός ... ὅπου οὐκ ἔνι ... ἀλλὰ ... φρίξαι·
γρ. ἐξουσία

σπλαγχνία; ποῦ τῶν δικαζόντων ἡ προσωποληψία; ποῦ τὸ κάλλος τῆς νεότητος τὸ πολυφλύτασον; νεότης, ἡ ἀναίσθητος, ἡ μακρὰς ἐλπίδας ζωῆς ἔχουσα· νεότης, ἡ στασιώδης * καρδία, ἡ πολυμέριμνος ἡδονή· νεότης, ἡ πολλὰ καὶ πολλάκις συμπίπτουσα, ἡ κακῶς τὴν σάρκα κολακεύουσα· νεότης, ἡ πρὸς ἀπάτην κολακευομένη, ὁ πηλός, ὁ ταλαίπωρος, ὁ χόρτος ὁ εὐμάραντος, ὁ στάχυς ὁ ἑτοιμόφθορος· νεότης, τὸ ἐνύπνιον, τὸ εὐληθάργητον, ἡ σκιὰ ἡ ἀνυπόστατος· νεότης, ἡ ἄθεος χεῖρα, ἡ ἄπονος καρδία, ὁ ἀνατεταμένος ὀφθαλμός, ὁ λύχνος ὁ ἑτοιμόσβεστος· νεότης, ὁ βρασμὸς τῶν αἱμάτων * καὶ συνήθεια τῶν ἁπλωμάτων· νεότης, ὁ δυσήνιος ἵππος καὶ πρὸς πᾶσαν ἐξολόθρευσιν ἐπιτήδειος. ὅμως ὁ ἐνταῦθα σοβαρός, ἐκεῖ ἐλεεινός· ὁ ἐνταῦθα μεθυσκόμενος, ἐκεῖ σταγόνος ὕδατος δεόμενος· ὁ ὧδε πρὸς λοιδορίαν ἕτοιμος, ἐκεῖ τὴν γλῶσσαν φλεγόμενος· ὁ ὧδε σηρικοῖς ἱματίοις ἀμφιεζόμενος, ἐκεῖ γυμνὸς παριστάμενος. μή μοι λέγε, δός μοι τὴν σήμερον, καὶ λάβε τὴν αὔριον. οὐ γὰρ ὧδέ σε σκοπῶ, τίς εἶ· ἀλλ' ἐκεῖ σε προσδοκῶ, ποῦ εἶ. μή μοι λέγε, φιλάνθρωπος ὁ Θεός, κἂν ἁμαρτήσω, συμπαθεῖ μοι· ἀλλὰ κἀκεῖνο βλέπε, ὅτι ὧδε ἐλεεῖ, ἐκεῖ ἐτάζει· ὧδε παραφορᾷ, ἐκεῖ ἐρευνᾷ· ὧδε ἐκδέχεται τὴν ἐπιστροφήν, ἐκεῖ παραδίδωσι τῷ πυρί. ποῦ σοφὸς ἐκεῖ, ἀδελφοί; ποῦ δυνάστης; ποῦ ἡ ταραχή; ποῦ τὰ ἄριστα, τὰ πολυτελῆ; ποῦ τὰ δεῖπνα; ποῦ οἱ μετὰ τυμπάνων καὶ χορῶν τὸν οἶνον πίνοντες; ποῦ ἡ παρασιτία, καὶ τὰ θέατρα, καὶ ταῦτα, τῶν ἀδελφῶν ἡμῶν πεινώντων καὶ διψώντων, δυστυχούντων καὶ κακοπαθούντων, γυμνιτευόντων, δακρυόντων, τὸν θάνατον ἐπιποθούντων, καὶ τοῦτον ἐξ ἀθυμίας ἐπιζητούντων; βαβαί· τὸ ποτήριον τὸ πᾶσι φρικτὸν γέγονε τοῖς ἐν ἀνάγκῃ ἐπιθυμητόν, καὶ ὁ βίος ὁ παρὰ πᾶσι ποθούμενος γέγονε παρ' ἐκείνοις μισούμενος, καὶ τὸ φῶς τοῦτο τὸ παρ' ἡμῖν ποθητὸν γέγονε παρ' ἐκείνοις βδελυκτόν. εὐλογητὸς ὁ Θεὸς ὁ πάντα πρὸς τὸ συμφέρον ἐργαζόμενος. οὐ πονηρός, ὦ ἀδελφοί, ἀλλὰ καὶ ὠφέλιμος ὁ θάνατος. οὐκ ἐμὸς ὁ λόγος· Θάνατος ἀνδρὶ ἀνάπαυσις, ὁ θεῖος Ἰὼβ διηγόρευσεν· ὅτι ὁ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας, καὶ πέπαυται τῆς τοῦ βίου πλεονεξίας, καὶ ἔπαυσε τοῦ προσθεῖναι κακὸν τῷ κακῷ, καὶ ἐνέδωκε τοῦ * ἐπαύξειν τὸ φορτίον αὐτοῦ, καὶ ἠρέμησε τοῦ [μὴ] παροργίζειν τὸν Θεὸν αὐτοῦ. ἄκουε συνετῶς. θάνατος, νηπίοις παράκλησις· θάνατος, δούλοις ἄφεσις, κοπιώντων ἀνάψυξις, χρεωστούντων πλήρωσις. θάνατος, μεριμνώντων λύσις, καταπονουμένων ἐπίσκεψις· θάνατος, ἁμαρτίας ἐμπόδιον. εἰ μὴ ὁ θάνατος προέκειτο, ἑαυτοὺς ἂν κατησθίομεν· εἰ μὴ κρίσιν ἐρχομένην εἴχομεν, ζωῆς ἐλπίδα οὐκ ἂν εἴχομεν· εἰ μὴ κόλασιν ἐξεδεχόμεθα, οὐδαμῶς τῶν κακῶν ἐπαυόμεθα, οὐδὲ τὴν ἐκ παραβάσεως φθορὰν ἀπετιθέμεθα. εἶδες δεσπότου φιλανθρωπίαν; τὸ ἐκ παραβάσεως ἐπιτίμιον γέγονε σωτήριον. εἰ μὲν γὰρ δίκαιος ὁ θανών, χαῖρε, διότι θαρρῶν πρὸς τὸν δεσπότην ἐν ἀνέσει πορεύεται· εἰ δὲ καὶ ἁμαρτωλός, μὴ λυποῦ. ἐκέρδησε γὰρ ἑαυτῷ, ἃ προσθεῖναι ἔμελλε κακά. εἰ μὲν οὖν ἡμεῖς ἐνταῦθα ἐμένομεν, δικαίως ἂν τοὺς τεθνεῶτας ἐκλαίομεν. εἰ δὲ πάντες πάντως ἐκεῖ πορευόμεθα, μὴ οὕτω τοὺς μικρὸν προλαβόντας ὀδυρώμεθα. μηδὲ, ἅπερ καλῶς ἐπὶ τοὺς τεθνεῶτας ἐπιτελοῦμεν, ταῦτα δι' ὧν κακῶς ἐπιτηδεύομεν, καταργῶμεν. οὐχ ὁρᾷς τί ἐπὶ τοῖς προλαβοῦσι πράττομεν; ψαλμοῖς καὶ ὕμνοις αὐτοὺς προπέμπομεν, [διὰ τοῦτο] τὴν πρὸς τὸν δεσπότην εὐχαριστίαν σημαίνοντες· καὶ καινοῖς ἱματίοις αὐτοὺς ἀμφιέζομεν, τὸ καινὸν ἔνδυμα τῆς ἀφθαρσίας ἡμῶν προμηνύοντες· μύρον καὶ ἔλαιον ἐπιχέομεν, καὶ χρίσμα τοῦ βαπτίσματος συμπορευόμενον αὐτοῖς εἰς ἐφόδιον πιστεύοντες, θυμιάμασι καὶ κηρίοις αὐτοὺς συνοδεύομεν, δεικνύντες ὅτι τοῦ σκοτεινοῦ βίου λυθέντες, πρὸς τὸ φῶς τὸ ἀληθινὸν ἐπορεύθησαν. πρὸς ἀνατολὰς τὴν σορὸν κειμένην σχηματίζομεν, τὴν ἀνάστασιν αὐτῶν διὰ τοῦ σχήματος προσημαίνοντες. μὴ τοίνυν οἱ τὴν ἀνάστασιν πιστεύοντες, οὕτω λυπώμεθα, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. ὁ γὰρ τὴν ἀνάστασιν μὴ ἐλπίζων, δι-

καίως

Ἰώβ. γ. κγ.

γρ. ἀναίσθητος χεῖρα.

* ἡ ταραχώδης

γρ. χεῖρα,

* καὶ ἑσμὸς τῶν πλωσμάτων

γρ. ἐξόλεσιν

γρ. ποῦ εἰσιν οἱ λέγοντες,

* μὴ

γρ. ἀλλήλους

γρ. αἰῶνι

γρ. προλαμβάνοντας

γρ. τὸ

γρ. προπέμπομεν;

γρ. κηρίοις

χρίως ὡς ἀπολωλότα τὸν τεθνεῶτα λογίζεται. ἀλλὰ ταῦτα μὲν πραττέτωσαν ἑλλήνων παῖδες, ταῦτα ποιησάτωσαν Σαμαρειτῶν δῆμοι· ἡμεῖς δὲ Χριστοῦ ἀκούωμεν, καὶ πιστεύωμεν ὅτι Ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσουσι τῆς φωνῆς τοῦ υἱοῦ τοῦ Θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται, καὶ ἀναστήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ ἀνακαινισθήσεται ἡ γῆ. Ιωαν. ε. κη.

Οὐκοῦν εἰ ἀναστήσονται οἱ νεκροί, ὥσπερ πάντως καὶ ἀναστήσονται, μὴ οὕτως ἀσχημονῶμεν ἐπὶ τοῖς " κεκοιμημένοις, παρακαλῶ· μὴ οἱ πιστοὶ " τοὺς ἀπίστους ζηλώσωμεν· μὴ τοὺς χιτῶνας ἡμῶν διαρρήξωμεν, ἀλλὰ μᾶλλον τὴν ψυχὴν κατανύξωμεν, ὅτι καὶ ἡμᾶς τὸ αὐτὸ ἀναμένει ποτήριον. μὴ τοὺς βραχίονας τύψωμεν, ἵνα μὴ τοὺς ἕλληνας ζηλώσωμεν· μὴ τὰς θρηνούσας συγκαλέσωμεν, ἵνα μὴ πλέον τὸν θυμὸν τοῦ Θεοῦ κινήσωμεν. μὴ τὰς τρίχας τῆς κεφαλῆς γυμνώσωμεν, ἵνα μὴ τὴν κεφαλὴν ἡμῶν Χριστὸν καταισχύνωμεν. μὴ μακρὰς ἡμέρας θρηνήσωμεν, ἵνα μὴ τὴν ἀνάστασιν ἀπιστήσωμεν. μὴ τῇ γλώττῃ βλάσφημόν τι λαλήσωμεν, ἵνα μὴ καὶ τὸν κοιμηθέντα καὶ ἑαυτοὺς βλάψωμεν. δέδωκας παῖδα; εὐχαρίστησον, ὕμνησον, προσκύνησον " τὸν λαβόντα, ὅ σοι παρέθετο· δόξασον τὸν ἐκλεξάμενον ὃν ἔπλασε, καὶ προσδεξάμενον τὸν καρπὸν τῆς κοιλίας σου ἄφθορον. δόξασον τὸν σώζοντα τῶν σῶν σπλάγχνων τὸ ἔκγονον· προσκύνησον κατὰ τὸν Ἰὼβ τὸν μεγαλόψυχον. εὐχαρίστησον ὅτι ὅλως προσήνεγκας τῷ δεσπότῃ ἄμωμον θυσίαν, ἁγνὸν θῦμα, καθαρὰν προσφοράν, νέον Ἰσαάκ, ὥς ποτε Ἀβραάμ. * Χριστὸς ἔλαβε, προσκυνήσωμεν· ὁ πλάσας ἀνέπλασε, μὴ γογγύζωμεν· ὁ " κτίστης τὸ κτίσμα ἐζήτησε, μὴ μαχεσώμεθα. οὐδὲ γὰρ δυνάμεθα. δέδωκας ἀδελφόν; προσκύνησον τὸν λαβόντα Χριστόν, ὅτι διὰ σὲ θνητὸς γέγονέ ποτε. νήπιον " παρέχες; εὐχαρίστησον αὐτῷ, ὅτι ποτὲ διὰ σὲ νήπιος γέγονεν ἐν φάτνῃ. δοῦλον ἀπὸ σοῦ ἔλαβεν; ὕμνησον αὐτόν, ὅτι διὰ σὲ μορφὴν δούλου ἀνέλαβεν ὁ ποιητὴς τῶν ἁπάντων. μονογενῆ υἱὸν ἔθαψας; δόξασον, προσέταισον, αἰδέσθητι, μνήσθητι, ὅτι διὰ σὲ ὁ Θεὸς τὸν μονογενῆ αὐτοῦ υἱὸν παρέδωκε [σαρκὶ] εἰς θάνατον. θηλαζομένην κόρην δέδωκας; εὐχαρίστησον, μήπως ἀγανακτῶν καὶ ἑτέραν δώσῃς. γαμετὴν προέπεμψας παίδων μητέρα; ὕμνησον, ἀσφαλίσθητι, μὴ τῷ δεσπότῃ προσκρούσῃς, μήπως καὶ σὺ ἀπέλθῃς. τί ποιεῖς, ἄνθρωπε; πάλιν γὰρ τὸ αὐτὸ ἀναλαμβάνομεν. νεκρὸν κείμενον ὁρᾷς, καὶ βλασφημεῖν τολμᾷς; μυστηρίῳ τοιούτῳ παρίστασαι, καὶ τῷ χωρίσαντι τὴν ψυχὴν μάχεσαι; ἀνάπαυσον τῷ Θεῷ λέγεις, καὶ σὺ τὸν Θεὸν ὑβρίζεις; τί δικάζῃ τῷ δικαστῇ; τί προσκρούεις τῷ ἀνικήτῳ; τί παρατείνῃ τῷ θυμῷ; τί μεθύεις τῇ λύπῃ; οὐχ ὁρᾷς ὅτι τοῦτο τὸ μέγα μυστήριον; οὐχ ὁρᾷς ὅτι καὶ ἡμᾶς ἀναμένει πέραμα χαλεπόν; " καὶ τὸ χαλεπόν, δι' αὐτοῦ παρερχόμεθα. οὐχ ὁρᾷς ὅτι βαρεῖα ἡ ὁδός; ἀλλὰ πάντες δι' αὐτῆς βαδίζομεν. ἀνάνηψον, ὦ ἄνθρωπε. ὁ κείμενος τρέμει, καὶ σὺ παίζεις; ἐκεῖνος ἐξετάζεται, καὶ σὺ φαντάζῃ; ἐκεῖνος τρέμει, καὶ σὺ οὐκ εὐτρεπίζῃ; ἐκεῖνος ἐκθαμβεῖται, " ὅλος θορυβεῖται, * ὁρῶν ἅπερ οὐδέποτε εἶδε, καὶ ἀκούων ἅπερ οὐδέποτε ἤκουσε. διὸ καὶ ἱδροῖ, ὡς οἱ ἐν ἀγρῷ θερίζοντες, καὶ πᾶσιν ἡμῖν συντάσσεται, * καὶ πάντας ἀσπάζεται, ἕως οὗ * ἡ γλῶττα φθέγγεσθαι δύναται. ἔρρωσθε, φησίν, ἔρρωσθε, ἀδελφοί, καὶ ὑπὲρ ἐμοῦ " εὔξασθε. εἰς ὁδὸν γὰρ ὑπάγω, ἣν οὐδέποτε ὥδευσα, * καὶ εἰς κόσμον ψυχῶν, ὅθεν οὐδεὶς ἐπανέλυσε, καὶ εἰς μονὰς φοβεράς, ὅπου οὐδείς ὁ συνοδεύων μοι, καὶ εἰς " κριτήριον φοβερόν, ὅθεν οὐκ οἶδα τί συμβαίνει μοι, καὶ εἰς πράγματα ξένα, περὶ ὧν οὐδεὶς διηγήσατο *. ἰδού, ζητῶ βοηθόν, καὶ οὐδείς ὁ βοηθός· ἰδού, ζητῶ τὸν λυτρούμενον, καὶ οὐδείς ὁ ἐξαιρούμενος· ἰδού, ζητῶ τὸν συνοδεύοντα, καὶ οὐδείς ὁ συμπάσχων μοι. ποῦ πατὴρ ὁ γεννήσας; ποῦ μήτηρ ἡ ὠδίνουσα; ποῦ ἀδελφός; ὅπου ἀδελφὸς ἀδελφὸν οὐ λυτροῦται, πῶς λυτρώσεται ἄνθρωπος ἄνθρωπον; ταῦτα πρὸς ἡμᾶς φθέγγονται οἱ ἀφιέντες ἡμᾶς, καὶ λοιπὸν πορεύονται τὴν αἰώνιον ὁδὸν αὐτῶν. Τίς γάρ ἐστιν ἄνθρωπος, ὃς ζήσεται, καὶ οὐκ ὄψεται θάνατον; ἢ τίς ῥύσεται τὴν ψυχὴν αὐτοῦ ἐκ χειρὸς ᾅδου; εὐλογητὸς ὁ Θεός, ὅτι ἄνθρωπος, ἀδελφοί, Ψαλ. πη. μθ.

γρ. ἀποθνήσκουσι

γρ. τὰ τῶν ἀπίστων

γρ. τὸν λαβόντα

* ὅτι

γρ. κτίσας

γρ. ἔχεις;

γρ. καὶ γὰρ χαλεπόν, δι' αὐτοῦ γὰρ παρερχόμεθα

γρ. ὅλως

* ὅλοι (ἄλ. ὅλως) δονεῖται

* μᾶλλον δὲ καὶ ἀσπάζεται,

* κύριος τοῦ [illegible] κατέσχηκεν, ἕως οὗ

γρ. δ' εὔχεσθε

* καὶ εἰς χώραν μακράν, ἣν οὐδέποτε εἶδον.

γρ. κριτὴν φοβερόν, ὅπου

* μοι

γρ. βοηθῶν

Ψαλ. ρμε. γ.

ἀδελφοί, ἰδοὺ κεῖται, καὶ οὐδὲν λοιπὸν τῶν τοῦ βίου φροντίζει. ἰδοὺ ἡσύχασεν, ἰδοὺ τὴν ματαίαν ἐπαύσατο. μικρὸς πυρετὸς, καὶ πάντα ἠργήσαν· μία ὥρα, καὶ ὁ φλυεὶς ὡς μὴ φλυεὶς γέγονε· μία ῥοπὴ, καὶ ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ ἐξ ἧς ἐλήφθη. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ ἡμῶν· ἐν ἐκείνῃ τῇ ὥρᾳ καταλείψει ὁ ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, φίλους τε συγγενεῖς, υἱούς τε θυγατέρας, καὶ πορεύσεται μόνος, μεμονωμένος, τὴν αἰώνιον ὁδὸν αὐτοῦ. συνέλθωμεν τοῖς πρὸ ἡμῶν ὁδεύουσι, πρίν τε ἡμεῖς ἀπέλθωμεν. καθίσατε, καὶ τῷ κειμένῳ μὴ ἐνοχλήσητε· ἡσυχάσατε, τε τὸν θόρυβον λύσατε· ἠρεμήσατε ἑαυτούς· ἐμβλέψατε, καὶ τὸ μέγα μυστήριον ἴδετε· φρίξατε, καὶ τὸ αὐτὸ ἐκδέξασθε· βασιλεῖς θεάσασθε, καὶ μηκέτι μέγα φρονήσητε· ἄρχοντες ἐμβλέψατε, καὶ μηκέτι μέγα φλυτάζησθε· βλέπετε τὸν κείμενον τοῦ βίου χωριζόμενον, καὶ λοιπὸν μὴ βασιλέα ἢ ἄρχοντα ἑαυτὸν γνωρίσῃς. ποῖος γὰρ βασιλεὺς, ὅπου ἑαυτὸν οὐ λυτροῦται; ἀλλ' ἰδοὺ καὶ αὐτὸς τὸ ποτήριον τρέμει· ἰδοὺ ὡς εἷς τῶν πάντων ἀγωνιᾷ· ἰδοὺ ὅλος γέγονεν ἐλεεινὸς, ὁ πρὸ μικροῦ φοβερὸς, γέγονε νεκρός. ἰδοὺ, ἀπάγεται ὡς κατάδικος, ὃν πάντες ἔτρεμον οἱ κατάδικοι· ἰδοὺ, ἐταράχθη, ἰδοὺ, ὅλος ἐσαλεύθη· ἰδοὺ, πᾶσα * ἡ σοφία καὶ ἡ δυναστεία κατεπόθη· ἰδοὺ, ὅλος ἔκθαμβος γέγονεν. εἶδε γὰρ ἐξουσίας ἀγγελικὰς, καὶ τῆς ἑαυτοῦ ἐξουσίας ἐπελάθετο· εἶδε στρατιὰς [ἀγγέλων] φοβερὰς, καὶ τὴν ἑαυτοῦ ἐξουσίαν ὡς ἀράχνην ἐλογίσατο· εἶδε μορφὰς δεσποτικὰς, καὶ τὴν μορφὴν ἠλλοιώσατο· ἤκουσεν ἀπόφασιν ψυχῆς, καὶ ὅλος ἐτρόμαξε τῇ σαρκὶ, καὶ οἷα εἰς ἑαυτὸν διανοεῖται, θαμβούμενος καὶ ἐννοούμενος, ποῦ τῶν βασιλέων ἡ φαντασία, ποῦ τῶν ἀρχόντων ἡ ἐξουσία. βαβαί· ἰδοὺ τάξις ἀληθὴς, ἰδοὺ δύναμις κραταιὰ, ἰδοὺ ἐξουσία ἀψευδὴς, ἰδοὺ μορφαὶ φοβεραὶ, * ἰδοὺ ἀθάνατος στρατιά. ταῦτα καὶ τὰ τούτοις ὅμοια καὶ ἀπορρητότερα ἐννοούμενοι, ἅπερ μόνοι οἱ παραλαβόντες τε πειραθέντες ἐπίστανται, οἱ μὲν ἐν τῇ κλίνῃ κείμενοι διαπηδῶσι, φυγεῖν μὲν βουλόμενοι, οὐ δυνάμενοι δέ· οἱ δὲ τοὺς ὀδόντας βρύχουσιν, ἄλλοι τὰς σιαγόνας κόπτουσιν· ἕτεροι τοὺς ὀφθαλμοὺς ἐλεεινῶς περιστρέφουσιν, ὡς ὁρῶσι τὰς δυνάμεις κατ' ὀλίγον τοῦ σώματος ληγούσας, τὴν γλῶτταν φθειρομένην, καὶ τὴν παρακαταθήκην βεβαίως αἰτουμένην, τὰς δυνάμεις τὰς ἐναντίας παρισταμένας, λογοθετούσας, κατηγορούσας, ἁρπάσαι ἐπιχειρούσας, αὐτὰ καὶ τὸν κλέπτην εἰσελθόντα καὶ μηνύσαντα καὶ τοῦ σώματος τὴν ψυχὴν διαρρήξαντα. πολλῶν ἡμῖν δεῖ τότε τῶν εὐχῶν, * πολλῶν τῶν πράξεων τῶν ἀγαθῶν, πολλῆς ἡμῖν τότε τῆς τῶν ἀγγέλων προστασίας, πολλῆς ἡμῖν τῆς ἐν τῇ τοῦ ἀέρος ἀναβάσει χειραγωγίας. εἰ γὰρ εἰς χώραν * καὶ ξένην πόλιν ἐνταῦθα πορευόμενοι δεόμεθα τοῦ χειραγωγοῦντος, πόσων ἡμῖν δεῖ τῶν βοηθῶν καὶ χειραγωγῶν, τοῦ διασῶσαι καὶ διαπεράσαι τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καὶ τοὺς κοσμοκράτορας τοὺς ἀφανεῖς τοῦ ἀέρος τούτου, οὓς διώκτας καὶ τελώνας καὶ φορολόγους ὀνομάζει ἡ θεία γραφή; καλὴ τότε συνοδοιπόρος ἡμῖν ἡ ἐλεημοσύνη καὶ ἡ συμπάθεια, δυνάμεναι ἀσυλήτως ἡμᾶς εἰς τὴν τῶν οὐρανῶν πύλην ὁδηγῆσαι καὶ διασῶσαι· καλοὶ ἡμῖν ἐκεῖ συνήγοροι οἱ πένητες, οὓς ἐνταῦθα πρὸ θανάτου ἠλεήσαμεν. δεῦτε προφθάσωμεν πρὸ τοῦ προφθασθῶμεν, δράμωμεν πρὸ τοῦ καταληφθῶμεν. ὁ βίος βραχὺς, ἡ δὲ τέχνη μακρὰ, τὸ τέλος ἐγγὺς, καὶ ὁ φόβος πολὺς, καὶ ὁ λύων οὐδείς. ἐξέλθωμεν ἐν τῷ μνήματι, ἕως ἐσμὲν ἐν τῷ σώματι· ἴδωμεν τὸ μάταιον ἡμῶν φρόνημα, ποῦ ἔχει τὸ οἴκημα· ἴδωμεν τί μετ' ὀλίγον γινόμεθα, καὶ μὴ πλανώμεθα· ἴδωμεν πῶς διαλυόμεθα, καὶ ἑαυτοὺς διορθωσώμεθα· ἴδωμεν εἰς τί καταλήγομεν, καὶ τοῦ τέλους φροντίσωμεν. ὅσοι τὰ κάλλη κατασκοπεῖτε, ἐν τῷ τάφῳ ταῦτα πολυπραγμονεῖτε· ὅσοι εἰς ἀρχὰς καὶ ἐξουσίας ἐπαίρεσθε, ἐν ταῖς σοροῖς ἐμβλέψατε, καὶ τὸν Θεὸν φοβήθητε· ὅσοι λύπας καὶ μνησικακίας πρὸς ἀλλήλους συνάγετε, καὶ οὐ διαλύεσθε, δεῦτε, ἴδετε πῶς διαλύεσθε. ἔγκυψον ἐπιμελῶς τῇ σορῷ· ἴδε κειμένους ἐκεῖ τούς ποτε βασιλεῖς, ἴδε τούς ποτε ἄρχοντας ἐν τοῖς λειψάνοις· ἴδε τὴν φοβερὰν

θεωρίαν

γρ. αὐτῷ

γρ. μὴ γὰρ ἴδῃς τὸν κείμενον καὶ τοῦ βίου χωριζόμενον, καὶ λοιπὸν βασιλέα

* ἡ τυραννὶς καὶ

γρ. ἠλλοιοῦτο

γρ. τάξεις ἀληθεῖς

γρ. δυνάμεις κραταιαί.

γρ. ἐξουσίαι ἀψευδεῖς.

* ἰδοὺ ὑπουργοὶ αἰώνιοι.

γρ. πιέζουσι.

* πολλῶν τῶν βοηθῶν.

γρ. ὑποστάσεις.

* μακρὰν

γρ. κρίσις

γρ. ἐπέρχεσθε

θεωρεῖν τῶν λειψάνων, καὶ εἰπέ· ποῖος ἐκεῖ ὁ βασιλεὺς, καὶ ποῖος ὁ ἄρχων; ποῖος ὁ στρατιώτης, καὶ ποῖος ὁ στρατιάρχης; ποῖος ὁ πλούσιος, καὶ ποῖος ὁ πένης; ποῖος ὁ νεώτερος, καὶ ποῖος ὁ γέρων; ποῖος ὁ εὐειδὴς, καὶ ποῖος ὁ αἰθίοψ; μὴ ἔχεις εἰπεῖν, ὅτι οὐ πάντα κόνις; οὐ πάντα τέφρα; οὐ πάντα δυσωδία; οὐ πάντα τὰ ποτὲ φιλητὰ, νῦν ὁρῶνται βδελυκτά; ὢ τῆς ἀφροσύνης. τί τοῦτο δὲ μέγα περὶ ἐμὲ μυστήριον; ὁ χθὲς μοι ποθητὸς, νῦν πρόκειταί μοι βδελυκτός· τὸ χθὲς μοι μέλος, νῦν ὡς ἀλλότριον βλέπω· ὃν παρὰ μικροῦ ἐνηγκαλιζόμην, νῦν οὐδὲ προσψαῦσαι βούλομαι. τοῖς δάκρυσι βρέχω ὡς ἐμὸν, καὶ τὸν ἰχῶρα φεύγω ὡς οὐκ ἐμόν. προσελθεῖν τῷ ὀδωδότι ὑπὸ τῶν σπλάγχνων βιάζομαι, ἀλλ' ὑπὸ τῆς φθορᾶς καὶ τῶν σκωλήκων τούτου ἐμποδίζομαι. τὴν παρὰ μικροῦ εἰκόνα τοῦ κειμένου ἐπόθουν, ἀλλ' οὐδαμοῦ ταύτην ἐν αὐτῷ καθορῶ. ποῦ δὲ κάλλος τοῦ προσώπου; ἰδοὺ μεμελάνωται. ποῦ δὲ οἱ διαστίλβοντες ὀφθαλμοὶ καὶ ὀξεῖς; ἰδοὺ ἐτάκησαν. ποῦ τῶν τριχῶν ἡ εὐπρέπεια; ἰδοὺ ἀπέπεσε. ποῦ ὁ ἀνατεταμένος τράχηλος; ἰδοὺ συντετέλεσται. ποῦ ἡ γλῶσσα ἡ γοργή; ἰδοὺ ἡσύχασε. ποῦ τῶν χειρῶν ὁ καλλωπισμός; ἰδοὺ λέλυται. ποῦ τὸ μέγεθος τῆς ἡλικίας; ἰδοὺ ἐξέρρευσε. ποῦ τῶν ἱματίων ἡ πολυτέλεια; ἰδοὺ σέσηπται. ποῦ τὰ μύρα καὶ τὰ ἀρώματα; ἰδοὺ ἐξέζεσαν. ποῦ ἡ τῆς νεότητος ἀφροσύνη; ἰδοὺ παρῆλθε. καὶ ἁπλῶς ποῦ ὁ πολυφιλότατος ἄνθρωπος; ἰδοὺ πάλιν ὁ χοῦς, χοῦς γέγονεν. ὅμως μὴ μέχρι τοῦ μνήματος τὸν λογισμὸν στήσῃς, ἀλλ' ἐκεῖθεν μετάβηθι ἐπὶ τὴν ἀνάστασιν καὶ ἐννόησον ἅμα καὶ πίστευσον, ὅτι ὁ πρῴην κείμενος πάλιν ἔσται ἀνιστάμενος, καὶ ἡ γλῶσσα ἡ νῦν σιγῶσα, πάλιν λαλήσει τότε, ὅταν κάμψῃ τῷ Θεῷ πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται. καὶ καθά φησιν ὁ Δανιὴλ, Ἐθεώρουν ἕως οὗ θρόνοι ἐτέθησαν, καὶ παλαιὸς ἡμερῶν ἐκάθισεν. ὁ θρόνος αὐτοῦ, φλὸξ πυρὸς, καὶ οἱ τροχοὶ αὐτοῦ, πῦρ φλέγον. ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ· χίλιαι χιλιάδες παρειστήκεισαν αὐτῷ, καὶ μυρίαι μυριάδες ἐλειτούργουν αὐτῷ. κριτήριον ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν. πολὺς ὡς ἀληθῶς ὁ φόβος ἐκεῖ, πολὺς ὁ τρόμος, ἀδιήγητος ἡ ἀνάγκη, ἀκατάπαυστον δάκρυον, ἀσίγητοι στεναγμοί. ὅτε ἔλθῃ ἐξαίφνης ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, τότε ὁ οὐρανὸς εἱλίσσεται ὡς βιβλίον, τὰ ἄστρα σκορπίζονται, αἱ δυνάμεις τῶν ἀγγέλων περιτρέχουσι, τὰ μνημεῖα ἀνοίγονται, τὰ σώματα ἀνίστανται, αἱ πηγαὶ ξηραίνονται, αἱ ἄβυσσοι σαλεύονται, ἡ γῆ πᾶσα κλονίζεται. ποταποὺς δεῖ εἶναι ἡμᾶς τότε; ποταποὺς ἄρα, διδόντας λόγον ὑπὲρ πράξεων, ὑπὲρ ἐννοιῶν, ὑπὲρ λόγων ἀργῶν, ὑπὲρ τῶν ἐν νυκτὶ, ὑπὲρ τῶν ἐν ἡμέρᾳ, ὑπὲρ τῶν ἑκουσίων καὶ ἀκουσίων; τοῦτο μεμνῆσθαι ἀναγκαῖον, τοῦτο νυκτὸς καὶ ἡμέρας σκοπεῖν καλόν. τί δὲ εὔλογον εἴπωμεν τότε; τί ἀπολογησώμεθα, εἰπέ μοι, ὦ ἄνθρωπε; ἰδοὺ τρυφᾷς πεντήκοντα ἔτη ἢ ἑκατὸν, καὶ πλουτεῖς, καὶ τεκνοποιεῖς, καὶ προικίζεις καὶ ἐκγαμίζεις υἱοὺς καὶ θυγατέρας, καὶ ἄρχεις, καὶ βασιλεύεις ἐθνῶν καὶ λαῶν· καὶ μετὰ ταῦτα θάνατος, καὶ μετὰ θάνατον κρίσις τέλος οὐκ ἔχουσα οὐδὲ μετάνοιαν. Οὐκ ἔστι γάρ, φησιν, ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου, ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; ὄντως οὐδείς. κἂν γὰρ μυρία παραπλώμεθα, καὶ πολλὰ δεώμεθα, ἀλλ' οὐδεὶς ὁ ἐξαιρούμενος. διὰ τοῦτο μάλιστα μακαρίζομεν τοὺς νηπίους ἀποθνήσκοντας· διὰ τοῦτο πάντες λέγομεν, εἴθε νήπιοι ὄντες ἀπεθάνομεν. μὴ οὖν, ὅταν ἡμεῖς ἐπιθυμοῦμεν, ὁρῶντες ἐν τοῖς ἰδίοις τέκνοις, ἀθυμῶμεν. τὸ γὰρ ἡμῖν τοῦ θανάτου ποτήριον ἐπικίνδυνόν ἐστι, παρὰ δὲ τοῖς νηπίοις σωτήριον· καὶ τὸ παρὰ πᾶσι φρικτὸν ἐστὶν ἐκείνοις ἐπαινετόν· καὶ ὅταν ἡμεῖς ἔχομεν εἰς ἀρχὴν τῆς ἐκείνων τιμωρίας, ἔστι παρ' ἐκείνοις ἀρχὴ σωτηρίας. ὑπὲρ τίνος γὰρ λογοθετηθῶσιν οἱ μηδὲ ὅλως ἁμαρτίας δεξάμενοι πεῖραν; ὑπὲρ τίνος τιμωρηθῶσιν οἱ καλοῦ ἢ κακοῦ γνῶσιν μὴ φθάνοντες; ὢ μακαρίων νηπίων μακαρία καὶ ἡ κοίμησις· ὢ θάνατος ἀφθόρων, ἀρχὴ τῆς ὄντως ζωῆς αἰωνίου ὑπαρχούσης. ὢ τέλος ἀρχὴ ἀπολυτήτου χαρᾶς. ἀλλὰ τί φασιν οἱ ὀλιγόψυχοι; παῖς μοί, φησιν, ὑπῆρχε μονογενής

Δαν. ζ. θ.

Ψαλ. ς. ε.

γενὴς ἅμα καὶ εὐειδὴς καὶ εὐγενής. ἐστὶ μὲν τοῦ ἐμοῦ γένους ἡ διαδοχή, ἐστὶ μὲν τῆς οὐσίας ὁ κληρονόμος, ἐστὶ τῆς ἐμῆς ἀθυμίας ἡ παραμυθία, ἐστί μου μὲν τοῦ γήρως ἡ βακτηρία, ἐστὶ τῆς πατρίδος τὸ καύχημα, ἐστὶ τῆς ἐμῆς ῥίζης ὁ κλάδος, ἅλις τῷ εἴδει φαιδρὸς ὑπάρχων, ὅλος προσηνὴς καὶ ἐπιδέξιος, εὐπροσήγορος, ἐπιθυμητὸς τοῖς ἰδίοις καὶ τοῖς ξένοις, τοῖς ὁρῶσι καὶ τοῖς ἀκούουσιν· ἐστὶ ὁ τοσοῦτος ἐξαίφνης ἀνάρπαστος* τὴν ἐμὴν χαρὰν ἐπήρθη. καὶ ὁ πρὸ μικροῦ ὁρώμενος, οὐ πάρεστι θεωρούμενος· ἀλλὰ καταλιπὼν τὸν γεννήσαντα, ἀπῆλθε πρὸς τὸν πλάσαντα· ἐάσας με τὸν θρέψαντα, ἐπορεύθη πρὸς τὸν καλέσαντα· χωρισθεὶς σπλάγχνων μητρός, κατῆλθεν εἰς μνῆμα γῆς τῆς πάντων μητρός. οὐ μὴ κλαύσω τοῦτον, εἰπέ μοι; μὴ θρηνήσω, μηδὲ ὡς κόρην ὀφθαλμοῦ ζητήσω; οὐ δύναμαι, φησίν, οὐ δύναμαι. κἂν γὰρ μυρία" εἰσενέγκῃς μοι δόγματα, κἂν μυριάκις παραινέσει δοκιμάσῃς τοῦ μὴ θρηνεῖν γονεῖς τὰ ἑαυτῶν τέκνα, οὐ πείσεις, διὰ τὸν Θεὸν τὸν ὁρίσαντα οὕτω, καὶ τὸν δεσμὸν τῆς φύσεως συνδήσαντα, καὶ τὸ πῦρ πρὸς τὰ τέκνα περὶ τῶν σπλάγχνων τῶν γονέων ἐνθήσαντα. οὐ τοῦτο λέγω, ἄνθρωπε, οὐδὲ τοῦτο νομοθετῶ μηδὲ ὅλως δακρύειν ἐπὶ τοῖς τέκνοις. κἂν γὰρ εἴπω, ἀδύνατον λέγω. καὶ γὰρ κἀγὼ νόμοις φύσεως πείθομαι, καὶ τῷ" καιρῷ τῆς συμπαθείας οὐκ ἀντιτάσσομαι, ἐπεὶ κἀγὼ βροτός, ἐπεὶ κἀγὼ ἐκ μητρὸς γεγέννημαι, καὶ τῆς αὐτῆς ὑπάρχω φύσεως. οἶδα πατέρων τὸν ὀδυρμόν, οἶδα μητέρων τὸν στεναγμόν, οἶδα αὐτῶν τὴν θάλασσαν τῆς ἀθυμίας, οἶδα αὐτῶν τῆς ταραχῆς τὴν ἀδημονίαν· ἐπίσταμαι τὴν ἔνδον αὐτῶν ἐπὶ τέκνοις φαντασίαν, πῶς ὡς παρόντα τὸν οὐ παρόντα παῖδα ἐν ἑαυτοῖς ἀναζωγραφοῦσι, τὴν" ἐκείνου εἰκόνα σὺν δάκρυσιν ἐννοούμενοι, τὰ ἐκείνου ἤθη καὶ ῥήματα καὶ πράγματα πάντα κατ' ὀφθαλμοὺς τιθέντες. ἀλλ' ὁ Ἰὼβ ὁ θαυμάσιος οὐχ οὕτως. ἐκείνου γὰρ τῶν τέκνων καὶ παίδων καὶ βοῶν καὶ καμήλων καὶ πάντων τῶν προσόντων αὐτῷ πρὸς ὄλεθρον γενομένων, οὐκ ἐθορυβήθη, οὐκ ἐδυσφήμησεν, ὡς οἱ πολλοί, ἀλλ' ἀνίστατο, καὶ εἰς τὴν γῆν πεσών, ἐξ ἧς ἐλήφθη, τῷ δεσπότῃ προσκυνῶν ἔλεγεν· Ἰωβ. α. κα. Αὐτὸς γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ. ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλατο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο. εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. δοῦλός εἰμι, καὶ ὑπόκειμαι καὶ τῷ ποιήσαντι, οὐκ" ἀντιτάσσομαι. οὐ γὰρ ξένον τὸ πρᾶγμα. τεθνήκασιν οἱ παῖδες, ἀλλ' οὐκ ἀπολώλασι. ποῖος γὰρ ποιμὴν οὐκ ἐξουσιάζει" ἐν τῷ ποιμνίῳ αὐτοῦ; ὁ ποιμὴν ὁ καλὸς ἐξελέξατο τὰ πρόβατα αὐτοῦ. μικρόν, καὶ ἡμεῖς ἀπερχόμεθα. τοῦτον καὶ ἡμεῖς μιμησώμεθα, καὶ μὴ οὕτως ἀμέτρως ὀδυρώμεθα. ὡς πιστοὶ κλαύσωμεν, καὶ μὴ ὡς ἄπιστοι ἀδημονήσωμεν· ὡς ὁ Χριστὸς τὸν Λάζαρον ἔκλαυσεν, οὕτω κλαύσωμεν. σοὶ γὰρ μέτρα καὶ ὅρους δεικνύων, ἐδάκρυσε. πῶς γὰρ δακρύειν ἔχρῃζεν, ὃν μετ' ὀλίγον ἐγείρειν ἔμελλεν, ἀλλ' ἵνα σὺ μάθῃς μέχρι πόσου δακρύειν; ἵνα καὶ τὸ τῆς φύσεως συμπαθὲς ἐνδειξώμεθα, καὶ τὴν τῶν ἀπίστων μίμησιν ἀποκρουσώμεθα; λοιπὸν δὲ κἀκεῖνο εὐξώμεθα, τῆς αὐτῆς μερίδος τῶν ἐν ἀρετῇ τῆς ἡλικίας χρόνον τὸν βίον χωριζομένων" ἔσεσθαι· καὶ μὴ ἐκεῖ ἀπελθόντας ἡμᾶς τοὺς μὲν ἑαυτῶν παῖδας ἐν ἀνέσει ὄψεσθαι, ἡμᾶς δὲ ἐν ἀφορήτῳ κολάσει ἔσεσθαι. ὅσοι γὰρ παρὰ ῥύπου καὶ φθορᾶς τῆς δυσχεροῦς ταύτης καὶ πολυστενάκτου σαρκὸς ἐχωρίσθησαν νήπιοι, φωνὰς ἀποφθέγγονται τοιαύτας πρὸς τοὺς τεκόντας, εἰ καὶ μὴ τοῖς ῥήμασιν, ἀλλὰ τοῖς πράγμασι· μὴ δι' ἐφ' ἡμῖν δακρύετε πατέρες μηδὲν ὠφελοῦντες· ὑμεῖς γὰρ ἐβούλεσθε σὺν ὑμῖν ἔχειν ἡμᾶς ἐν τῷ ματαίῳ βίῳ, ἔνθα πάντα" τερπνὰ καὶ ἐπώδυνα,* ἔνθα πάντα ἄπιστα καὶ ἄστατα, ἔνθα οὐδὲν μόνιμον οὐδὲ βέβαιον· ἀλλ' ὁ δεσπότης ἡμῶν καὶ Θεὸς ἀγαπήσας ἡμᾶς, ὡς ἐκ στόματος λέοντος, οὕτως ἐκ τοῦ ματαίου βίου ἥρπασεν ἡμᾶς, ὡς ἐξ ἀκανθῶν ῥόδα, οὕτω τῶν ἀκαρπιῶν τοῦ αἰῶνος τούτου χωρίσας ἡμᾶς· ὡς ἀρνία" φίλτατα, οὕτως ὁ ποιμὴν ὁ καλὸς ἀφώρισεν ἡμᾶς ἐξ ὑμῶν, ὡς ἐκ σκότους εἰς φῶς. καὶ ἐν τῇ χώρᾳ τῶν ζώντων διάγομεν, ἔνθα πάντα ἤρεμα καὶ ἀστασίαστα, ἔνθα πάντα φωτεινὰ καὶ θαρέσα,

ὅπου

* ὥσπερ ῥόδιον,

γρ. παραινέσεις

γρ. ὅρῳ

γρ. αὐτῶν

γρ. ἀντιπίπτω

γρ. τὸν ποιμ

γρ. [illegible]

ἴσ. ἀτερπῆ

* ἔνθα πάντα πλεονεξία καὶ ἀδικία πολιτεύεται,

γρ. φίλτατα

ὅπου οὐδεὶς ἀδικεῖται, οὐδὲ τυραννούμενος, ὅπου οὐκ ἔνι ἁμαρτία οὐδὲ ματαίωσις, ἔνθα φῶς δὲ ἀπρόσιτον καὶ χαρὰ ἀνεκλάλητος, ἔνθα οὐκ ἔνι πόνος, οὐδὲ "δάκρυα, ἔνθα οὐκ ἔνι φροντὶς, οὐδὲ μέριμνα, οὐ στεναγμὸς, οὐδὲ ὀδυρμὸς, ἀλλ᾽ ἢ "μόνος Θεὸς αἰνούμενος καὶ δοξαζόμενος. ἡμᾶς οἱ ἅγιοι ἄγγελοι εἰρηνικῶς διεχώρισαν ἀπὸ τοῦ σώματος· ἡμεῖς ἀκωλύτως τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας τοῦ ἀέρος παρήλθομεν. ἀγαθοὺς γὰρ ὁδηγοὺς ἔσχομεν. οὐ γὰρ εὗρον ἐν ἡμῖν ἅπερ "ἐζήτουν. οὐδὲν εἶδον ἐν ἡμῖν, ὧνπερ ἤλπιζον. εἶδον δὲ σῶμα ἄσπιλον, καὶ ᾐσχύνθησαν· εἶδον τὴν ψυχὴν ἄκακον καὶ καθαρὰν, καὶ ἐνετράπησαν· εἶδον τὴν γλῶτταν "ἄσπιλον καὶ καθαρὰν καὶ ἄμωμον, καὶ ἐφιμώθησαν. παρήλθομεν, καὶ ἐξευτελίσαμεν αὐτούς· διέβημεν δι᾽ αὐτῶν, καὶ καταψάλλομεν αὐτῶν. Ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐρρύσθημεν. εὐλογητὸς ὁ Θεὸς, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν. ὅθεν καὶ οἱ ὑπαντῶντες ἡμᾶς ἔχαιρον ἄγγελοι, δίκαιοι ἠσπάζοντο, ὅσιοι ἐτέρποντο λέγοντες· καλῶς ἦλθον τὰ ἀρνία τοῦ Χριστοῦ. ἠνοίχθη ἡμῖν τοῦ παραδείσου ἡ τρυφὴ, ἐδείχθη ἡμῖν ὁ κόλπος τοῦ Ἀβραάμ. δεξιῶς γὰρ ἡμᾶς ὁ δεσπότης ἐδέξατο· "ἱλαρὰν φωνὴν πρὸς ἡμᾶς ἀπεφθέγξατο· ἱλαρῷ ὄμματι ἡμᾶς ἐθεάσατο. διὸ καὶ ἐν τῇ βίβλῳ τῆς ζωῆς ἡμᾶς ἀπεγράψατο. πρὸς γὰρ κριτὴν φιλάνθρωπον εἴπομεν· δικαιοκρίτα Κύριε, ἐστέρησας ἡμᾶς τῶν ἐπιγείων, μὴ στερήσῃς ἡμᾶς τῶν ἐπουρανίων· ἐχώρισας ἡμᾶς γονέων, μὴ χωρίσῃς ἡμᾶς τῶν ἁγίων. σώαν σου τὴν σφραγῖδα ἔχομεν τοῦ βαπτίσματος, ἄσπιλον δὲ σῶμά σοι προσηνέγκαμεν διὰ πολλὴν νηπιότητα. μὴ οὖν φθονήσητε ἡμῖν ὡς πρὸ καιροῦ τὴν σωτηρίαν ἡμῶν ἀμείψαμεν, μηδὲ δακρύετε, ὅτι ἐκ τοῦ χείρονος εἰς τὸ κρεῖττον μετῳκίσθημεν, "εἴπερ ἀντὶ φθαρτῶν ἐλάβομεν τὰ ἄφθαρτα. ἡμεῖς μετὰ ἀγγέλων ὑμνοῦμεν, μετὰ τῶν ἁγίων χορεύομεν· ἀλλὰ καὶ ὑπὲρ ὑμῶν τῶν ἐν ἁμαρτίαις ὄντων πρεσβεύομεν. ἡμεῖς μετὰ τῶν ὑπὸ Ἡρώδου διὰ Χριστὸν διαιρεθέντων νηπίων συνηριθμήθημεν, ἡμεῖς μετὰ τῶν τοῦ Ἰὼβ υἱῶν ἀγαλλιώμεθα. διὸ "ὑπὲρ ἡμῶν μὴ μεριμνᾶτε, ἀλλὰ μᾶλλον ἑαυτοὺς θρηνεῖτε. καὶ γὰρ τῆς ἑαυτῶν τελευτῆς τὴν ἀπολογίαν σκοπεῖτε. καὶ ὡς γινώσκοντες καὶ βεβαίως πιστεύοντες, ὅτι πρὸς τὸ συμφέρον ἡμῖν ὁ δεσπότης ἡμῶν ἐξελέξατο, καὶ ἐν τῇ μερίδι τῶν σωζομένων κατέταξεν ἡμᾶς, ὁπηνίκα [ἂν] νέοι παῖδες καὶ ἄφθοροι ἐξ ὑμῶν ἐντεῦθεν παραγίνωνται πρὸς ἡμᾶς, χαίρετε καὶ εὐφραίνεσθε, καὶ μετὰ τοῦ δικαίου Ἰὼβ ψάλλετε· Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος τῶν αἰώνων. Ἀμήν.

Ψαλ. ρκγ. ζ.

Ἰὼβ α. κα.

ΠΕΡΙ ΥΠΟΜΟΝΗΣ.

Ex Ms. Cæsareo.

Οἱ διψῶντες ὁδοιπόροι ἐπιδοῦσαν τὴν πηγὴν κατὰ διάνοιαν φαντάζονται, καὶ τῷ ἐκείνης πόθῳ ὀξεῖ τῷ κινήματι σπεύδουσιν, ὥστε τὸ ἴαμα τῆς δίψης εὑρεῖν, καὶ τὴν ἔνδον ἐγκαιομένην φλόγα διὰ τῶν ναμάτων δροσίσαι· τὸν αὐτὸν τρόπον καὶ ὑμεῖς, ἀγαπητοὶ, διψῶντες τὸν τῆς ἀληθείας λόγον, μετὰ προθυμίας ἔρχεσθε πρὸς τὴν ἀληθινὴν πηγὴν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. αὐτὸς γάρ ἐστιν ὁ λέγων· Εἴ τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. καὶ πάλιν αὐτός φησι· Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην. ταύτης τῆς πηγῆς ἐπιποθῶν ὁ μακάριος Δαβὶδ ἐκέκραγε λέγων· Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ, ὁ Θεός. ἀλλ᾽ ἵνα μὴ δόξωμεν ἔξω τῶν γραφῶν μένειν διὰ τῶν προοιμίων τούτων, φέρε δὴ ἁψώμεθα τῶν λόγων· οὕτω γὰρ ἡμῖν λαμπρότερος ὁ λόγος ἀποδειχθήσεται, καὶ φαιδρὰ ἡμῖν ἡ ἐκκλησία δείκνυται. ἀλλ᾽ ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. τί οὖν ἐστι τὸ "ἄρτι

Ἰωαν. ζ. λζ.

Ματθ. ε. ϛ.

Ψαλ. μα. α.

Ψαλ. λθ. α. ἀκηκόαμεν τοῦ μακαρίου Δαβὶδ λέγοντος· Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε
μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου. μέγα ἡμῖν ἀνεφάνη τρόπαιον ἡ ὑπομονή. καὶ γὰρ πάντας
τοὺς ἁγίους εὕρομεν ἐστεμμένους τῇ ὑπομονῇ· καὶ ταύτην διδάσκαλον ἔχοντες ἔνδον εἰδέναι ἴσ. ὑπομονῇ· καὶ τὴν δ' ἔχοντες ἔνδον ἰδεῖν μ. ι. τὸν
τὸν μακάριον Ἀβραὰμ, τὸν ἑκατονταετῆ γενόμενον καὶ μήπω τεκνογονήσαντα, ἀλλὰ
τῇ ὑπομονῇ τούτου ὁ καρπὸς παρ' ὀφθαλμῶν τετευγμένος ἦν. τὸ δένδρον ἀπέβαλε τὰ
φύλλα, καὶ ἡ ῥίζα ἐβεβίθετο· ἐπαλαιώθη ἡ σάρξ, καὶ τὸ φρόνημα αὐτοῦ ἴκμαζεν· ἀλλ' ὅμως ἴσ. ἤκμαζεν
τῇ ὑπομονῇ ἐκαρποῦτο τὸν Ἰσαάκ. ἰδέ μοι τὸν μακάριον Ἰὼβ τὸν τῆς οἰκουμένης ἀγωνιστὴν,
τὸν παλαίσαντα, καὶ διασπάσαντα τὴν δύναμιν τοῦ διαβόλου. πόσα ἐπάλαισεν ὁ
διάβολος, καὶ τὸν ἀθλητὴν οὐκ ἔρρηξε; τὴν φαρέτραν τῶν βελῶν ἐκένωσε, τὰ μηχανήματα
προσήγαγε, καὶ τὸν πύργον οὐκ ἐσάλευσε· τὰ κύματα ἤγειρε, καὶ τὸ σκάφος οὐ κατεπόντισε·
τοὺς κλάδους κατέκλασε, καὶ τὴν ῥίζαν οὐκ ἀνέσπασε· τὰς τρικυμίας ἤγειρε, καὶ τὴν
πέτραν οὐκ ἐσάλευσεν. εἶδες ὑπομονὴν δικαίου, εἶδες ἄθλησιν ἀγωνιστοῦ, εἶδες πέτραν
ἐστηριγμένην, εἶδες τὸν στρατιώτην παραταττόμενον, εἶδες τὸν πύργον ἑστῶτα, εἶδες τὸν δίκαιον
δοξαζόμενον καὶ διάβολον μετ' αἰσχύνης δραπετεύοντα· ἰδέ μοι, εἰ δοκεῖ, καὶ τὴν κορωνίδα
τῆς ὑπομονῆς αὐτοῦ. μετὰ γὰρ τὴν τῶν βοῶν αἰχμαλωσίαν, καὶ τῶν προβάτων τὸν
ἀφανισμὸν, καὶ τῆς οἰκίας τὴν πτῶσιν, καὶ τὴν τῶν παίδων συμφορὰν (εἶδε γὰρ αὐτοὺς διαφόρως
μὲν τεχθέντας κατὰ τὸν χρόνον, κοινῇ δὲ ὑπελθόντας ἅπαντας τοῦ βίου τὸ τέλος) μετὰ
Ἰωβ. β. θ. τοσαύτην οὖν ἀνάλωσιν ἐπεμβαίνει καὶ ἡ γυνὴ λέγουσα· Μέχρι τίνος καρτερήσεις λέγων,
ἰδοὺ ἀναμένω χρόνον μικρὸν, προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου; ἰδοὺ γὰρ ἠφάνισταί
σου τὸ μνημόσυνον ἀπὸ τῆς γῆς, οἱ υἱοί σου καὶ αἱ θυγατέρες σου ἐμῆς κοιλίας ὠδῖνες,
καὶ πόνοι, οὓς εἰς τὸ κενὸν ἐκοπίασα μετὰ μόχθων· σὺ δὲ αὐτὸς ἐπὶ σαπρίᾳ σκωλήκων κάθησαι,
διανυκτερεύων αἴθριος· κἀγὼ πλανῆτις καὶ λάτρις, τόπον ἐκ τόπου περιερχομένη καὶ
οἰκίαν ἐξ οἰκίας, προσδεχομένη τὸν ἥλιον πότε δύσεται, ἵνα ἀναπαύσωμαι τῶν μόχθων, καὶ
τῶν περιεχουσῶν με ὀδυνῶν, αἵ με νῦν συνέχουσιν. ἀλλ' εἰπόν τι ῥῆμα εἰς Κύριον, καὶ τελεύτα.
ὁ δὲ ἐμβλέψας αὐτῇ εἶπε τὴν ἀοίδιμον καὶ παρὰ πᾶσιν ᾀδομένην φωνήν· εἰ τὰ ἀγαθὰ
ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; εἶδες ὑπομονῆς πέλαγος,
εἶδες διδασκαλίαν ἄπλωτον. οὐκ ἐχαύνωσεν αὐτοῦ τὴν ὑπομονὴν ἡ τῶν ἐπελθόντων ἀφορία,
ἀλλὰ τοσούτων ἐπελθόντων ὥσπερ κυμάτων ἀλληπαλλήλων, τὸ σκάφος ὑποβρύχιον
οὐκ ἐγένετο. εἶδες ὑπομονὴν δικαίου, εἶδες στέφανον πλεκόμενον τῷ δικαίῳ δι' ὑπομονῆς·
ἰδέ μοι καὶ τὸν πτωχὸν Λάζαρον, μᾶλλον δὲ πλουσίων εὐπορώτερον, πῶς καὶ οὗτος δι' ὑπομονῆς
ἐν τοῖς κόλποις τοῦ Ἀβραὰμ ἐπαναπαύεται. οὗτος γὰρ ὁ Λάζαρος παρὰ τὸν πυλῶνα τοῦ
πλουσίου καθέζετο τῷ λιμῷ τηκόμενος· κἀκεῖνος μὲν ὁ πλούσιος διαφόροις ἐδέσμασι καθ' ἑκάστην
ἡμέραν ἐμπιπλῶν τὴν κοιλίαν· ὁ δὲ Λάζαρος οὐδὲ ἄρτου τὴν κοιλίαν αὐτοῦ χορτάσαι εἶχεν. ἴσ. διετέλει ...μπ.
οὗτος παρασίτους ἔτρεφε· καὶ οὗτος ὑπὸ κυνῶν ἐλείχετο. οὗτος ἐστεμμένους εἶχε κρατῆρας
οἴνου· κἀκεῖνος τὰ τραύματα ἐθώπευεν. οὗτος εἶχεν οἰκίαν χρυσόροφον καὶ μύρια Λακεδαιμόνια
καὶ περικεφαλαίας χρυσᾶς· καὶ Λάζαρος καλύβην οὐκ εἶχεν. οὗτος περιεβάλλετο
σηρικὰ καὶ λαγῷα· καὶ Λάζαρος οὐκ εἶχε ῥάκος. ἀλλ' ὅρα μοι τὸ τέλος τῆς ὑπομονῆς.
ἀπέθανεν οὖν ὁ πλούσιος (τοῦ γὰρ πλουσίου ὁ θάνατος, θάνατος. Θάνατος γὰρ ἁμαρτωλῶν
πονηρός) ἀπέθανε δὲ καὶ ὁ Λάζαρος· μᾶλλον δὲ μετετέθη. οὗτος ὑπ' ἀγγέλων
εἵλκετο· οὗτος ἐν οὐρανῷ ἐπολιτεύετο· κἀκεῖνος ἐν τῇ γεέννῃ κατεφλέγετο. οὗτος ὑπεραπήλαυε
τῶν ὑδάτων· κἀκεῖνος ἐν τῇ γεέννῃ κατεφλέγετο ῥανίδος ἐπεθύμει. οὗτος ἐν τοῖς ἴσ. κατεφλεγόμενος
κόλποις τοῦ Ἀβραὰμ ἐπανεπαύετο· κἀκεῖνος ὑπὸ τοῦ σκώληκος τοῦ ἀκοιμήτου ἐνύγετο.
καὶ ὅρα, εἰ δοκεῖ, τὴν ὑπομονὴν τοῦ μακαρίου Λαζάρου. οὐκ εἶπεν ἐν ἑαυτῷ,
ὅτι ἐγὼ ζῶν ἐν ἀρετῇ πένομαι, καὶ οὗτος ἐν ἀδικίᾳ ζῶν πλουτεῖ· παῖδες τούτῳ παρεστήκει-

σαν ἀπαραίτητον λειτουργίαν προσφέροντες· οὗτος μακαρίζεται ὑπὸ ἀνθρώπων, καὶ οὗτος ἐταλανίζετο. μάγειροι τούτῳ ποικίλην τέχνην ὑπηρετοῦσι, σιτοποιοί, ἀρχισιτοποιοί· λουτρὰ ἐν πόλει, καὶ λουτρὰ κατὰ χώρας, καὶ κῆποι καὶ παράδεισοι. οὗτος καθ' ἑκάστην ἡμέραν ὑπεραπήλαυε τιμῆς. ἡ γῆ ἀπαραιτήτως αὐτῷ προσέφερε, καὶ οὗτος οὐ μετεδίδου τοῖς ἐνδεέσι. τὰ δένδρα τῶν καρπῶν βαρυνόμενα εἰς τὴν γῆν ἔβλεπον, κἀκεῖνος τῷ βάρει τῶν κακῶν εἰς οὐρανὸν οὐκ ἀνέβλεπεν· ὁ δὲ Λάζαρος κατὰ μόνας ἐκάθητο, τῇ ὑπομονῇ ἀποθούμενος τὴν ζάλην τῆς πενίας. Εἶδες ὑπομονὴν δικαίου; εἶδες ὠμότητα πλουσίου; εἶδες καρτερίαν πένητος; εἶδες ἀπανθρωπίαν τοῦ πλουσίου; εἴδετε οἷον ἀγώνιον ἐνίκησεν ἡ ὑπομονή; ἰδέ μοι καὶ τοὺς τρεῖς παῖδας ἐν καμίνῳ διατρίβοντας, καὶ τὴν κάμινον ὡς λεπτὸν ἀέρα καταπατοῦντας τῇ ὑπομονῇ. πῶς οὗτοι οἱ νέοι κατετόλμησαν τῆς τοσαύτης βασάνου, καὶ οὐκ ἐλογίσαντο τὴν ἀπειλὴν τῆς φλογός, οὐδ' ὅσα τούτοις πικρὰ βασανιστήρια ἔμελλον ἔρχεσθαι, ἀλλὰ τοσοῦτον ἦσαν ὑψηλοὶ τῷ φρονήματι τῆς ὑπομονῆς, ὥστε λέγειν αὐτούς· Καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν; ἀλλ' ὅμως κατετόλμησαν αὐτοῦ τῶν βασάνων, καὶ περιεπάτουν ἐν τῇ καμίνῳ καὶ ὕμνουν τὸν Θεόν, ὥσπερ ἐν λειμῶνι καὶ παραδείσῳ ἤ τινι χλοηφόρῳ. καὶ ὥσπερ τις ἐν τρυφῇ διάγων, οὕτω περιεπάτουν, καὶ ἔλεγον· Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. καὶ ὅρα βλαστάνουσαν ὑπομονὴν ταπεινοφροσύνην ἐπάγουσαν ἑξῆς· Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν. καίτοι εἰ καὶ ἁμαρτίας ἦσαν πεποιηκότες, πάσας ἀπέσμηξεν ἡ τῆς φλογὸς δύναμις· ἀλλ' ὅμως τῇ ὑπομονῇ ἔλεγον, ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν. Εἶδες ὑπομονὴν δικαίων. οὐκ ἐλογίσαντο ὅτι πυρὶ ἔμελλον προσομιλεῖν τὰ τούτων σώματα, ἀλλὰ καὶ ἀδάμαντος στερεώτεροι ηὑρέθησαν, καὶ τοσοῦτον ἀνδρεῖοι, ὥστε μὴ ἐν ἑνὶ τόπῳ ἑστάναι αὐτοὺς ἐν τῇ καμίνῳ. Καὶ περιπατοῦντες ηὐλόγουν τὸν Θεὸν καὶ ἐδόξαζον· καὶ οὐ μόνον αὐτοὶ μόνοι, ἀλλὰ καὶ αὐτοὶ τὴν κτίσιν πᾶσαν μεθ' ἑαυτῶν ἐκάλουν, τὸν ἥλιον καὶ τὴν σελήνην, τὰ ἄστρα τοῦ οὐρανοῦ, θάλασσαν καὶ ποταμούς, πηγὰς καὶ λίμνας καὶ τὴν γῆν, τὰ ὄρη, τοὺς βουνούς, τὰς νάπας, τὰς πεδιάδας, τὰς νύκτας, τὰς ἡμέρας. καὶ ὅρα μοι τὸ θαυμαστόν· τῇ τάξει ὕμνουν καὶ ἐδόξαζον τὸν Θεόν. ἀνάγνωθί μοι τὴν κοσμοποιΐαν· εὑρήσεις ἐν αὐτῇ, Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. εἶτα τῇ ἑξῆς ἐπάγει τὴν κτίσιν. οὕτω καὶ οἱ παῖδες νόμον ἐπιστάμενοι καὶ τὸν Θεὸν γινώσκοντες οὕτως ἔλεγον· Εὐλογεῖτε οὐρανοὶ τὸν Κύριον, ἄστρα τοῦ οὐρανοῦ τὸν Κύριον, ὕδατα πάντα τὰ ἐπάνω τοῦ οὐρανοῦ τὸν Κύριον, ἥλιος καὶ σελήνη τὸν Κύριον. καὶ ὅρα μοι τὸ θαυμαστὸν ὑπὲρ πάντων· Εὐλογεῖτε Ανανία Αζαρία Μισαὴλ τὸν Κύριον. ὥσπερ γὰρ ἐν τῇ κοσμοποιΐᾳ ὁ νομοθέτης ἱστοριογραφῶν ἔλεγε μετὰ τὸ τὴν κτίσιν τελεσιουργηθῆναι, Ποιήσωμεν ἄνθρωπον κατ' ἰδίαν εἰκόνα καὶ καθ' ὁμοιότητα ἡμετέραν· οὕτω καὶ οὗτοι τελευταῖον πάντων ποιησάμενοι τῆς ὑμνολογίας τὴν ἀναπλήρωσιν, λέγουσιν ἑξῆς, Εὐλογεῖτε Ανανία, Αζαρία, Μισαὴλ τὸν Κύριον. Εἶδες ὑπομονὴν δικαίων, εἶδες στέφανον πλεκόμενον, εἶδες ἀνδρείων ἰσχὺν τῶν νέων, εἶδες ζῆλον πυρὸς σφοδρότερον, εἶδες στόμα ὁμοδίαιτον τῶν ἀγγέλων, εἶδες γλῶτταν συλλειτουργὸν τῶν ἀγγέλων, εἶδες ὑπομονὴν ἀθλητῶν. οὐκ ἐδειλίασαν πρὸς θάνατον, οὐκ ἠλλοιώθη αὐτῶν τὸ πρόσωπον διὰ τῆς μελλούσης ἔσεσθαι αὐτοῖς τιμωρίας, ἀλλὰ φαιδροὶ καὶ γεγανωμένοι τὸ αὐτὸ ἔλεγον· Ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν. Εἶδες πῶς πανταχοῦ ἡ ὑπομονὴ πρόξενος γίνεται τῆς βασιλείας τῶν οὐρανῶν; ἰδέ μοι, εἰ δοκεῖ, καὶ τὸν μακάριον Δανιὴλ τὸν εἰς λάκκον λεόντων βληθέντα, καὶ τοὺς λέοντας διδάξαντα νηστεύειν. οὐ γὰρ ἐτόλμων οἱ θῆρες τῶν προφητικῶν ἀπογεύσασθαι κρεῶν, διὰ τὸ ὑπομονῇ αὐτὸν ἐκπεφράχθαι. οὗτος οὖν ὁ μακάριος Δανιὴλ εἰς τὸν λάκκον τῶν λεόντων

Δαν. γ. ιη.

Ωδὴ τῶν παίδ. ς.

Γεν. α. κς.

εἰσελθὼν οὐκ ἐδειλίασεν, ἀλλὰ προσηύξατο τῷ Θεῷ· τῇ ὑπομονῇ δὲ αὐτοὺς τὴν θηριωδίαν εἰς ἡμερότητα μετέβαλε, καὶ ἡ φύσις τῆς ἀγριότητος εἰς ἡμερότητα προβάτου μετεβάλλετο, καὶ ἦν ἑστηκὼς Δανιὴλ ὡς ποιμὴν μετὰ ἀρνίων. εἶδες φύσιν μεταβαλλομένην, καὶ ὁ τύραννος κατῃσχύνετο, καὶ ἦν ἰδεῖν ξένον καὶ παράδοξον πρᾶγμα· οἱ λέοντες ἡμερώτεροι τοῦ βασιλέως ἐγίνοντο. ἐκεῖνοι μὲν γὰρ παραδεξάμενοι τὸν προφήτην, καὶ τοσούτῳ λιμῷ περιπεσόντες, οὐκ ἐτόλμησαν προφητικῶν κρεῶν ἀπογεύεσθαι· καὶ τῆς τραπέζης αὐτοῖς παρακειμένης, καὶ τοῦ ὀψωνίου, ἠρνήσαντο αὐτῶν τὴν φύσιν διὰ τὴν ὑπομονὴν τοῦ προφήτου, καὶ οὐδὲν αὐτὸν ἠδίκησεν ἡ τῶν θηρίων ἔφοδος, διὰ τὸ ἐλπίζειν αὐτὸν ἐπὶ Κύριον. οἶδε γὰρ καὶ ἡ φύσις τῶν ἀγρίων αἰδεῖσθαι τὴν εἰκόνα τοῦ Θεοῦ. διὰ τοῦτο σαφῶς ἐπιστάμενος Δαβὶδ, ὅτι ὁ ἐλπίζων ἐπὶ Κύριον, οὐδὲν αὐτῷ φρικτὸν ἐπ' ὄψεσι, λέγει· Καὶ καταπατήσεις λέοντα καὶ δράκοντα. καὶ πάλιν ὁ Κύριος· Ἰδοὺ, δέδωκα ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. καὶ πάλιν ὁ Δαβίδ· Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακὰ, ὅτι σὺ μετ' ἐμοῦ εἶ. ἰδέ μοι, εἰ δοκεῖ, καὶ τὸν μακάριον Ἠλίαν, τὸν λέγω τὸν οὐρανὸν κλείσαντα ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ, πῶς καὶ οὗτος τῇ ὑπομονῇ ἔμεινεν ἄρτον μὴ φαγὼν, μηδὲ ὕδατος ἐμφορηθεὶς, ἀλλὰ περιεπάτει τὴν ἔρημον καὶ τὰς νάπας περιερχόμενος διὰ τὸν φόβον τῆς Ἰεζάβελ, καὶ ὁ τοσοῦτος ἀνὴρ τῇ ὑπομονῇ διὰ κόρακος ἐτρέφετο. παρὰ τὸν ποταμὸν τὸν Χοραζὰν ἐκάθητο τῇ ὑπομονῇ προσκαρτερῶν, καὶ ὑπὸ κόρακος τρεφόμενος· καίτοι ὁ κόραξ νομικὸν ἀκάθαρτον. παρέστω ὁ Ἰουδαῖος. πῶς ὁ προφήτης σου ὑπὸ ἀκαθάρτου ἐτρέφετο; πῶς τοῦτο, εἰπέ μοι; ὁ μὲν Μωϋσῆς ἀκάθαρτον ἔλεγεν εἶναι τὸν κόρακα· ὁ δὲ προφήτης σου ὑπὸ ἀκαθάρτου τὴν τροφὴν ἐδέχετο. οὐχ ὑπῆρχε γὰρ ἕτερον πετεινόν; οὐκ ἦν ἐν τῇ χώρᾳ οὐ τρυγὼν, οὐ περιστερὰ, διότι ὑπὸ κόρακος ἐτρέφετο; ἑρμήνευσόν μοι, ὦ Ἰουδαῖε, τὴν τοῦ πετεινοῦ ζήτησιν. οὐ Μωϋσῆς ἐνομοθέτει περὶ τοῦ κόρακος, καὶ ἐν τοῖς ἀκαθάρτοις αὐτὸν τέθεικε; πῶς οὖν ὁ προφήτης, ὃν προσδοκᾷς ἔρχεσθαι, ὁ ἐπιβεβηκὼς ἐπὶ ἅρματος πυρίνου, καὶ τὸν οὐρανὸν κλείσας ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ, πῶς οὗτος ὁ δι' εὐχῆς ἐγείρας νεκροὺς, ὑπὸ κόρακος ἐτρέφετο; οὐκ ἠδύνατο γὰρ ὁ τὸν οὐρανὸν κλείσας ἄρτους ἑαυτῷ κατενεγκεῖν; ἀλλ' ἵνα σοι δείξῃ, ὅτι ἡ παλαιὰ τὰ τοῦ νόμου ἀνέτρεπε. καὶ οὗτος διὰ μακροθυμίας καὶ ὑπομονῆς ἀθλήσαντα δείκνυε, καὶ ἅπαντας τοὺς ἁγίους εὑρήσομεν δι' ὑπομονῆς ἀθλήσαντας. θέασαι δέ μοι, εἰ δοκεῖ, καὶ τὸν μακάριον Δαβὶδ τὸν ἔσχατον τῶν ἀνθρώπων λεγόμενον, καὶ τὸν ἀδελφὸν αὐτοῦ, ὕστερον δὲ βασιλεύσαντα τῶν ἀδελφῶν αὐτοῦ, καὶ τὸν ἀτηλικούτων πολέμιον λίθῳ κατέβαλε, καὶ τὴν φάλαγγα αὐτοῦ καταστρέψας, καὶ τὴν δύναμιν αὐτοῦ, ὡς ἀράχνην, διασπάσας, καὶ τούτου τοῦ οὕτως ἀθλήσαντος οὕτως ἐπολεμεῖτο ὑπὸ τοῦ Σαούλ. καίτοι εὐεργετῶν αὐτὸν Δαβὶδ, καὶ ψάλλοντος αὐτοῦ, τὸ δαιμόνιον ἐδραπέτευε, καὶ πολλάκις εὑρόντος αὐτὸν τοῦ Δαβὶδ εἰς σφαγὴν ἕτοιμον, ἀλλ' ὅμως πάλιν τῇ ἀνεξικακίᾳ ὑποφορᾷ. καὶ πολλάκις αὐτῷ ἐπελθόντος τοῦ Σαοὺλ ὥστε αὐτὸν θανατῶσαι, πάλιν Δαβὶδ πρὸς τὸν Θεὸν τὸ πᾶν ἐδίδου.

Δρακ. λθ.
Ψαλ. ϟ. ιγ.
Λουκ. ι. ιθ.
Ψαλ. κγ. δ.
γ. Βασ. ιζ. ϛ.
Λευΐτ. ια. ιε.

ἴσ. Χοῤῥὰθ, ἢ Χορέθ

ἴσ. ἀθλήσαν

ἴσ. τῶν ἀδελ-
φῶν

ἴσ. τηλικοῦ-
τον

Ὅρα δέ μοι καὶ τὸν μακάριον Ἰωσὴφ, τὸν τῆς σωφροσύνης ἀγωνιστὴν, πῶς καὶ οὗτος τῇ ὑπομονῇ ἐφιλοσόφησε. πρῶτον μὲν γὰρ ἐπιβουλευόμενος ὑπὸ τῶν ἀδελφῶν διὰ τὰ ὀνείρατα. καὶ ὅρα βασκανίαν ἀδελφῶν. εἰ μὲν ἀληθῆ τὰ ἐνύπνια, τίς μηχανὴ πως οὐχὶ πάντως ἐκβῆναι τὰ προορασθέντα; εἰ δὲ ψευδεῖς αἱ τῶν ὀνειράτων ὄψεις, τί βασκαίνετε τῷ σφαλλομένῳ; καὶ ὅρα τὸ θαυμαστὸν, ἀγαπητέ. εἶδεν ἑαυτὸν ὑπὸ ἡλίου καὶ σελήνης καὶ ἕνδεκα ἀστέρων προσκυνούμενον. ἤκουσαν τοῦτο οἱ τούτου ἀδελφοὶ, μᾶλλον δὲ οἱ τοῦ διαβόλου μαθηταὶ, οἱ παρὰ τοῦ πατρὸς αὐτῶν τοῦ διαβόλου διδαχθέντες φθόνον καὶ φόνον, τὰς ἀδελφὰς αὐτῶν δυσωμίας, ἃς καὶ Παῦλος συνέζευξεν, εἰπών· Με-

Ῥωμ. α. κθ.

στοῖς φθόνου, φόνου. ἤκουσαν τὴν μέλλουσαν διαδέχεσθαι αὐτὸν βασιλείαν, καὶ ἐζήτουν τοῦ θανατῶσαι αὐτόν. ὁ δὲ μακάριος Ἰωσὴφ τὴν ἄθλησιν ὑπέμεινε, καὶ ἀπελθόντων βόσκειν τῶν ἀδελφῶν αὐτοῦ πρόβατα εἰς Συχὲμ, εἶπεν ὁ πατὴρ αὐτοῦ, Οὐκ ἰδοὺ οἱ ἀδελφοί σου βόσκουσιν εἰς Συχέμ; δεῦρο ἀποστείλω σε, καὶ βλέπε εἰ ὑγιαίνουσιν οἱ ἀδελφοί σου καὶ τὰ πρόβατα, καὶ ἀνάγγειλόν μοι. πορευομένου δὲ αὐτοῦ, εἶδον αὐτὸν μακρόθεν ἐρχόμενον, καὶ εἶπον πρὸς ἀλλήλους, ἰδοὺ, ὁ ἐνυπνιαστὴς ἐκεῖνος ἔρχεται· δεῦτε ἀποκτείνωμεν αὐτὸν, καὶ ἴδωμεν τί ἔσται τὰ ἐνύπνια αὐτοῦ. εἶδες συμβουλὴν ἀδελφοκτονίας βουλομένων ἐργάσασθαι. πάλιν ὁ διάβολος τούτοις σύμβουλος ἐγένετο, κἀκεῖνοι τὰ μαθήματα ὀξύτερον ἐμάνθανον. ἦλθεν ὁ ἀδελφὸς πρὸς αὐτοὺς, καὶ ἀπέκδυσαν αὐτὸν τὸν χιτῶνα· ἀλλ' οὐκ ἐγένετο γυμνὸς τῆς ὑπομονῆς. εἰ γὰρ καὶ τὸ κάλυμμα τῆς σαρκὸς ἀπέθετο, ἀλλὰ τὴν σωφροσύνην αὐτοῦ καὶ τὴν ἐλπίδα τὴν εἰς τὸν Θεὸν ἀνέφερεν αὐτοῦ τὴν δίκην. ἔσφαξαν ἔριφον, ἔπλησαν τὸν τούτου χιτῶνα αἵματος, καὶ προσήνεγκαν τῷ πατρὶ λέγοντες, ἐπίγνωθι τίνος ὁ χιτὼν ἐστί. ἐπέγνω ὁ πατὴρ τὸν τοῦ υἱοῦ ποικίλον χιτῶνα· ἤρξατο πενθεῖν καὶ ὀδύρεσθαι, καὶ θρηνῶν ἔλεγε, θηρίον πονηρὸν κατέφαγε τὸν Ἰωσήφ. θῆρες γὰρ ἀληθῶς καὶ πονηροὶ οἱ τοῦτο ποιήσαντες, μᾶλλον δὲ καὶ τῶν θηρίων ἀγριώτεροι, ὥστε τὸν ἴδιον ἀδελφὸν θανατῶσαι συμβουλευσάμενοι καὶ ἀδελφοκτονίαν βουλόμενοι ἐργάσασθαι. ἀλλ' ὅμως ὁ μακάριος Ἰωσὴφ ἠγωνίζετο τῇ ὑπομονῇ· ἐβλήθη ἐν τῷ λάκκῳ, καὶ τοῦτο ὑπέμεινεν. εἴπατε δέ μοι, ὦ μιαροὶ, διὰ τί τοσαύτην ἀπανθρωπίαν ἐβάλετε εἰς τὸν ἴδιον ἀδελφόν; οὐκ ἤρκεσεν ὑμῖν ἡ τοῦ χιτῶνος ἀπόδυσις, ἀλλὰ καὶ αὐτὸν ἐρρίψατε ἐν τῷ λάκκῳ; οὐκ ἐλογίζεσθε ὅτι ὁ Θεὸς ἐν οὐρανῷ ὁρᾷ τὰ πάντα; οὐκ ἔφριξεν ὑμῶν τὸ σῶμα; οὐκ ἐδειλίασεν ὑμῶν ἡ καρδία τοῦτο πρᾶξαι τολμήσασα; οὐκ οἴδατε ὅτι ἡ πρώτη ἐντολὴ τοῦ νόμου, οὐ φονεύσεις, καὶ τοῦτο ἐν πρώτοις ἐσπουδάσατε ποιῆσαι μάλιστα εἰς ἀδελφόν; εἶτα συμβούλιον ποιησάμενοι ἐπήροντο τοῦτον εἰς δουλείαν πωλῆσαι. κατῆλθον οἱ Ἰσμαηλῖται εἰς Αἴγυπτον· εἶδον αὐτοὺς, καὶ ἀνήνεγκαν αὐτὸν ἐκ τοῦ λάκκου, καὶ πωλοῦσι τὸν ἑαυτῶν βασιλέα, ὡς μηδέπω τοῦ δούλου βασιλεύσαντος. κατῆλθον εἰς Αἴγυπτον, καὶ ὅρα πῶς πειρασμὸς πειρασμὸν διεδέχετο. προσετέθη αὐτῷ Αἰγυπτία. βλαβερῷ τῷ λόγῳ τὸν δίκαιον ἐπειρᾶτο συλᾶν, λέγουσα, Κοιμήθητι μετ' ἐμοῦ, καὶ τιμὰς καὶ δωρεάς σοι παράσχωμαι· οἱ δὲ ἐμοὶ οἰκέται ὑπὸ τὰς σὰς χεῖρας ἔσονται· χρήμασί σε ποικίλοις ἐμπλήσω, ὅλον δέ μου τὸν οἶκον ὑπὸ τὰς σὰς χεῖρας παραθήσομαι, κἀγὼ δέ σου θεράπαινα γενήσομαι· μόνον πείσθητί μοι, Ἰωσὴφ, συγκατάβηθι τῷ πράγματι τῷ ἡμετέρῳ, σβέσον τὴν εἴσω ἐκκαιομένην φλόγα, δρόσισόν μου τὴν καρδίαν τὴν ῥαθυμοῦσαν τῷ πάθει, συγκατάβηθι τῇ ἐμῇ δυστήνῳ ψυχῇ. ὁ δὲ ἀποκριθεὶς εἶπεν· ὦ γύναι, δοῦλος μὲν γέγονα οὐδέπωποτε· διὰ δὲ φθόνον καὶ βασκανίαν εἰς δουλείαν κατῆλθον ἐνθάδε. οὐ μιαίνεις μου τὴν σωφροσύνην, οὐ συλᾷς μου τὴν εὐγένειαν, οὐ προδίδωμι τὸ φρόνημα, οὐ ῥίπτω ἐμαυτὸν εἰς τὸ στόμα τοῦ θανάτου, οὐκ ἀπόλλυμι τὴν τῶν συγγενῶν μου ἀξίαν. ἔγγονός εἰμι τοῦ Ἀβραὰμ τούτου Θεοῦ διαλεγομένου μετὰ παρρησίας, ᾧ διαλεγόμενος Θεὸς εἶπεν· Ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σου, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης. πάππος μου τυγχάνει Ἰσαὰκ, ἐκεῖνος ὁ ἐπὶ θυσίαν ἑαυτὸν ἀνενεγκὼν προθύμως· πατήρ μου δὲ ὁ Ἰακὼβ ὁ μετ' ἀγγέλου παλαίσας, ἐκεῖνος ὁ θεασάμενος τὴν οὐράνιον κλίμακα καὶ ἀπὸ τῆς γῆς ἐστηριγμένην ἕως τοῦ οὐρανοῦ, καὶ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας. τούτου εἰμὶ υἱός, οὐκ εἰμὶ δραπέτης, οὐδὲ ἀμείλικτος οὐ καταγνωσθεὶς ἐνθάδε ἐπράθην, ἀλλὰ διὰ φθόνου καὶ βασκανίας ἐνθάδε εἰμί. ὡς δὲ τοῖς τοιούτοις λόγοις οὐκ ἠδυνήθη ὑποσκελίσαι τοῦτον πρὸς μοιχείαν, οὐδὲ χαυνῶσαι αὐτοῦ τὴν σωφροσύνην τῇ πολυλογίᾳ, κατέχει αὐτὸν τοῦ ἱματίου· ὁ δὲ ἀποδυσάμενος τὰ ἱμάτια αὐτοῦ ἐξῄει γυμνός. εἶδες ὑπομονὴν ἐξῆλθεν ὁ σώφρων ἀθλη-

Γεν. λζ. ιϛ.

Γεν. λθ. ζ.

Γεν. κϐ. ιζ.

τὴς λέγων, ὅτι διὰ τὸν ὄφιν ἐνεδυσάμεθα, διὰ σωφροσύνης ἀποδυόμεθα· διὰ τὸ παραχηκὸ ἐδεξάμεθα τὸ κάλυμμα, διὰ τὴν ἐντολὴν Θεοῦ τὴν λέγουσαν, οὐ μοιχεύσεις, τοῦτο ἀποτιθέμεθα. καὶ ἐξῄει γυμνὸς, μᾶλλον δὲ ἐνδεδυμένος τὸν Χριστόν. ἤφριζε λοιπὸν ἡ θάλασσα, ἐμαίνετο τὰς τρικυμίας ἐγεῖραι βουλομένη, τὸ σκάφος αὐτόανδρον καταποντίσαι, καὶ οὐκ ἴσχυσεν, ἀλλὰ ἐν τοσαύτῃ ζάλῃ, ὡς ἐν γαλήνῃ, ἔπλεε. πόσα ἐκίνησε, καὶ τοῦτον οὐκ ἔβλαψε; τὸ σκάφος ἔτρησε, καὶ τὸν φόρτον οὐκ ἐδέξατο. πόσα ἐνώχλησε, καὶ τὸν θησαυρὸν οὐκ ἐσύλησε; λοιπὸν περιβλεψαμένη, καὶ μηδαμόθεν εὑροῦσα τὴν ἑαυτῆς ἐπιθυμίαν, ἄρχεται λοιπὸν συκοφαντεῖν, καὶ τῷ αὐτῆς ἀνδρὶ λέγει· Εἰσήγαγές μοι ὧδε παῖδα Ἑβραῖον ἐμπαίζειν μοι. ἤκουσεν ἐκεῖνος, καὶ ἐξεκαύθη πρὸς ὀργὴν, καὶ ἔθετο αὐτὸν εἰς φυλακήν. ἔπρεπε γὰρ τοῖς ἐν σκότει ὁ λύχνος, καὶ τοῖς ἐν λιμῷ τηκομένοις σιτοδότης. λοιπὸν καὶ ἕτερον σκάμμα θέασαί μοι ἐνταῦθα. οὐκ ἤρκει γὰρ αὐτῷ ἡ τοῦ πατρὸς στέρησις, καὶ ἡ τῶν ἀδελφῶν ἐπιβουλὴ, καὶ ἡ τῆς γῆς ἀλλοτρίωσις, ἀλλὰ καὶ γυναικὸς ἐπανάστασις, καὶ ἡ τοῦ δεσμωτηρίου κατάκλεισις. λοιπὸν, ἀγαπητοὶ, ἐν δεσμωτηρίῳ κατέκειτο. Ἐβλήθη εἰς τὸν τόπον αὐτοῦ ὁ ἀρχιοινοχόος καὶ ὁ ἀρχισιτοποιός. εἶδον ἀμφότεροι ἐνύπνια, καὶ σκυθρωπὰ ἦν τὰ τούτων πρόσωπα· εἶδεν αὐτοὺς ὁ Ἰωσὴφ, καὶ εἶπε πρὸς αὐτούς· διὰ τί τὰ πρόσωπα ὑμῶν σκυθρωπά; οἱ δὲ εἶπον· ἐνύπνιον εἴδομεν, καὶ οὐκ ἔστιν ὁ κρίνων. λέγει πρὸς αὐτούς· διηγήσασθέ μοι ἕκαστος ὑμῶν τί εἶδε. τί λέγεις, Ἰωσήφ; ἄρα εἶδες ἐνύπνιον, οὐκ ἀπέβη αὐτῶν τὸ τέλος. εἶδες σαυτὸν ὑπὸ ἡλίου καὶ σελήνης προσκυνούμενον, καὶ ἰδοὺ δοῦλος ἐπράθης. εἶδες τὰ δράγματα τῶν σῶν ἀδελφῶν περιστραφέντα, καὶ προσκυνοῦντα τὸ σὸν δράγμα, καὶ ἰδοὺ ἐν τῷ δεσμωτηρίῳ κατακέκλεισαι. τί οὖν ἐπερωτᾷς καὶ τὴν τῶν ἀδελφῶν συμφοράν; τί τοσοῦτον μαίνῃ; οὐ μαίνομαι, φησίν. οἶδα τῆς ὑπομονῆς μου τὸν στέφανον, οἶδα τὸ κέρδος τούτων τῶν συμφορῶν, οἶδα ὅτι ἀναφανήσεται ἄνθος. Οὐδεὶς γὰρ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. καὶ πάλιν ὁ μακάριος Δαβίδ· Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι. εἶδες ὑπομονὴν ἀθλητοῦ, εἶδες καρτερίαν, εἶδες φρόνημα ἀδούλωτον, εἶδες ἄπτωτον ἀγωνιστὴν, εἶδες στεφανίτην σωφροσύνης, εἶδες τὸ πλοῖον τῆς ἁγνείας, εἶδες τὸ πηδάλιον τῶν νέων, εἶδες τὸν χαλινὸν τῶν ἀκμαζόντων, εἶδες τὸν κυβερνήτην τῶν ἡδονῶν, εἶδες αὐτοῦ τὸν ἀγῶνα, εἶδες αὐτοῦ τὴν ἄθλησιν. ὅσοι τοίνυν νέοι, τὸν λογισμὸν ἀναδέξασθε. ὑπομονῆς γὰρ οὐδὲν ἰσχυρότερον. ῥίζα γὰρ πάντων τῶν ἀγαθῶν ἐστιν ἡ ὑπομονὴ, μήτηρ εὐσεβείας, κλάδος εὐφροσύνης, καρπὸς ἀμάραντος, πύργος ἀκαταμάχητος, λιμὴν ἀχείμαστος. εἴδετε ὅτι ὀψώνιον ἀγαθὸν ἐστιν ἡ ὑπομονή. μεταβῶμεν δὲ, εἰ δοκεῖ, καὶ ἐπὶ τὴν μακαρίαν Σωσάνναν (καὶ αὐτὴ ἠγωνίσατο τῇ ὑπομονῇ) καὶ ἴδωμεν καὶ εἰς αὐτὴν ἐν γυναικείῳ σώματι ἀνδρείαν ψυχῆς, καὶ γυναικὸς σωφροσύνην εἰς μνήμην ἡτοιμασμένην ἀθλήματος μετὰ νίκης. καὶ γὰρ καὶ αὐτὴ ἡ μακαρία Σωσάννα ἠγωνίζετο ἐν τῷ πολυδήμῳ θεάτρῳ, ὅπου καὶ Θεὸς καὶ ἄγγελοι καὶ ἀρχαὶ καὶ ἐξουσίαι ἐθεώρουν αὐτῆς τὴν ἄθλησιν. καὶ γὰρ αὐτῆς τὴν ὑπομονὴν βούλομαι παραστῆσαι τῷ λόγῳ. αὕτη τοίνυν ἡ μακαρία Σωσάννα εἰσῆλθεν ἐν τῷ παραδείσῳ κατὰ τὸ ἔθος περιπατῆσαι· οἱ δὲ δύο παράνομοι πρεσβύτεροι ἦσαν κεκρυμμένοι ἐν τῷ παραδείσῳ. ἦν δὲ αὐτὴ ὡς ἀμνὰς ἀπηλειμμένη καὶ περιπατοῦσα ἐν τῷ παραδείσῳ· καὶ οἱ δύο πρεσβύτεροι ὡς λύκοι περιβεβλημένοι πῶς ταύτην ποιήσωσι θηριάλωτον. εὗρον δὲ αὐτὴν καταμόνας, καὶ ἐπέδραμον αὐτῇ· ἡ δὲ οὐκ ἐδειλίασεν, οὐδὲ ἐπτόησεν αὐτὴν ἡ τούτων ἔφοδος, ἀλλ᾽ εἱστήκει ἄτρεπτος τῇ σωφροσύνῃ· οἱ δὲ εἶπον πρὸς αὐτὴν, ἐν ἐπιθυμίᾳ σοῦ ἐσμεν, πείσθητι ἡμῖν· ἡμεῖς ἐσμεν οἱ πρεσβύτεροι τοῦ λαοῦ. οἱ δοκοῦντες κυβερνᾷν τὸν λαὸν, αὐτοὶ ἑαυτοὺς ὑποβρυχίους ποιοῦντες. ἡμῖν ὑπόκειται ὁ νόμος· μᾶλλον δὲ ὑμᾶς κατεδίκασεν ὁ νόμος λέγων, Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου. ἐὰν δὲ μὴ πεισθῇς ἡμῖν, κατηγορήσομέν σου ὅτι ἦν μετὰ σοῦ νεανίσκος. ἡ δὲ ἀκούσασα τὸν λόγον ἐστέναξε,

Γεν. λθ. ιζ.

Γεν μ. γ.

β. Τιμ. β. ε.

Ψαλ. λθ. α.

Σωσανν η 15. ιθ.

Εξοδ. κ. ιζ.

ἴσ. ἑαυτῆς ἐκπληρῶσαι ἐπιθυ-

ἴσ. αὐτοῦ

ἴσ. ἐνύπνια

ἴσ. καὶ τὴν τῶν ἀ. συμ-

ἴσ. τοίνυν

ἴσ. τῆς μνήμης τῆς ὑπομονῆς μέμνησθε

ἴσ. ἀπολελειμμένη,

ἴσ. -μένοι ὅπως

ἔκραξε, λέγουσα· Στενά μοι πάντοθεν. αἱρετός μοι θάνατος ὑπὲρ σωφροσύνης, ἢ γάμος ἄτακτος. οἱ δὲ ἐκπεσόντες τοῦ θελήματος, κατηγόρουν αὐτῆς ὑπὸ τοῦ λαοῦ. αὕτη δὲ ἐσιώπα ἰδοῦσα τῆς ὑπομονῆς τὸ κέρδος. κατεδίκασαν ταύτην ὑπὲρ σωφροσύνης, ἐπέθηκαν αὐτῇ τὰς χεῖρας, ἐπορεύετο τοῦ ἀποθανεῖν. εἶδεν ὁ λαὸς τὴν καταδίκην· ὁ δὲ προγνώστης τῶν ὅλων Θεὸς ἐξήγειρε τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ Δανιήλ, καὶ ἤλεγξε κεκρυμμένας γνώμας, τῶν μὲν πρεσβυτέρων τὴν ἀκολασίαν, τῆς δὲ Σωσάννης τὴν σωφροσύνην. οὗτοι κατῄσχυντο, καὶ αὕτη ἐδοξάζετο· οὗτοι ἐν ἀτιμίᾳ, καὶ αὕτη ἐν δόξῃ. οἴδατε δὲ ὅτι ὀψώνιόν ἐστιν ἡ ὑπομονή. ὅσοι τοίνυν τὴν εἰκόνα τῆς ὑπομονῆς ἔχετε, τοῦτον τὸν πόθον ζηλώσατε. Ὁ γὰρ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ματθ. κδ. ιγ.

ΠΕΡΙ ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΟΜΟΟΥΣΙΟΥ ΤΡΙΑΔΟΣ.

Ex Ms. Cæsareo.

Οἱ κατὰ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος τὰς γλώσσας ἀκονῶντες, καὶ λυττῶντες, καὶ τὸ τοῦ μονογενοῦς υἱοῦ καὶ τὸ τοῦ ἁγίου πνεύματος ἀξίωμα καθαιρεῖν ἐπιχειροῦντες, ἐλέγχονται μὲν ὑπ' αὐτοῦ τοῦ ἁγίου πνεύματος τοῦ λαλήσαντος διὰ τῶν ἁγίων προφητῶν, καὶ ὑπὸ τοῦ λόγου τοῦ κηρύξαντος τὴν ἑαυτοῦ ἔνσαρκον παρουσίαν τὴν δι' ἡμᾶς ἐκ παρθένου ἁγίας γενομένην, ἄφραστόν τε καὶ ἀναλλοίωτον, διὰ τὴν ἑαυτοῦ ἀξίαν· ἐλεγχθήσονται δὲ ἐν ἡμέρᾳ τῆς δικαιοκρισίας αὐτοῦ τελειότατον, ὅταν πάλιν ἔρχηται ἐξ οὐρανοῦ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ θαυμασθῆναι ἐν τοῖς φυλάξασιν ἄτρεπτον αὐτοῦ τὴν πίστιν. ἐτόλμησαν δέ, ἀγαπητοί, Ἀρειανῶν παῖδες καὶ Μακεδονιανῶν μανίαν κατεχόμενοι λέγειν Θεὸν μέγαν, καὶ μικρόν, καὶ κτιστὸν Θεόν, ἑλληνισμὸν παρεισφέροντες ἡμῖν. ἐκείνων μὲν γάρ ἐστι κτίσματι προσκυνεῖν, καὶ τὸν τῶν θεῶν αὐτῶν μεγαλύνειν, τὸν δὲ σμικρύνειν. Εἰ γὰρ λείπεταί τι ὁ υἱός, ἢ τὸ πνεῦμα, οὐ Θεός. Παῦλος γὰρ μεμφόμενος αὐτοὺς ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ λέγει· Ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, ὅς ἐστιν ἐπὶ πάντων Θεὸς εὐλογητός. Ρω. α. κε. Εἰ δὲ κτίσματι προσκυνοῦσι, λέγοντες τὸν υἱὸν καὶ τὸ πνεῦμα κτίσμα· ἐπικατάρατοί εἰσι κατὰ τὸν Μωϋσῆν τὸν λέγοντα· Ἐπικατάρατος πᾶς ὁ προσκυνῶν κτίσματι καὶ ποιήματι. ἡμεῖς δὲ οὐ κτίσματι προσκυνοῦμεν, ἀλλὰ τριάδα ἄκτιστον, ἄτρεπτόν τε, καὶ ἀναλλοίωτον, καὶ ὁμοούσιον, μηδὲν ἐπείσακτον ἔχουσαν, ἢ δοῦλον, ἢ ἐκ προκοπῆς εἰς τὸ εἶναι ἐπελθόντα ὡς πρότερον μὲν οὐκ ὄν, ὕστερον δὲ ἐπιγενόμενον. βλέπε γάρ μοι τὰς μαρτυρίας τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος, καὶ σέβου ταύτην ὀρθῶς, ἵνα μὴ ἀπόλῃ. Καὶ εἶπε, φησίν, ὁ Θεός· Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. Γεν. α. κϛ. εἰπέ μοι οὖν, μετὰ τίνος συμβουλεύεται ὁ Θεός; μετὰ τῶν ἀγγέλων, φησίν. ἀλλ' οὐκ ἔχουσιν οἱ ἄγγελοι τὴν εἰκόνα τοῦ Θεοῦ· λέγει δὲ πρὸς τὸν συνδημιουργὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα. καὶ ἵνα πεισθῇς τοῦτο ἀληθὲς εἶναι, ἄκουσον τοῦ ψαλμῳδοῦ λέγοντος· Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. Ψαλ. λβ. ϛ. οὐκ ἀγνοεῖς δὲ τὸν λόγον εἶναι τὸν υἱόν. φησὶ γὰρ ὁ θεολόγος Ἰωάννης· Καὶ Θεὸς ἦν ὁ λόγος. καὶ περὶ τοῦ πνεύματος, Πνεῦμα ὁ Θεός. Ιωαν. α. α καὶ δ. κδ. λέγει οὖν ὁ Θεὸς καὶ πατὴρ πρὸς τὸν Θεὸν τὸν υἱόν, καὶ Θεὸν τὸ πνεῦμα τὸ ἅγιον· Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν. καὶ οὐκ εἶπεν, ἐμὴν καὶ ὑμῶν, οὔτε ἐμὴν καὶ σήν· σημαίνουσα δὲ ἡ γραφὴ μίαν εἰκόνα τῆς ἁγίας τριάδος εἶναι, λέγει· Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν. Γεν. α. κζ. καθὼς καὶ Παῦλος βοᾷ περὶ τοῦ υἱοῦ· Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως. Εβρ. α. γ. καὶ πάλιν ἀλλαχοῦ ἡ γραφή

Δεῦτε

Γεν. ια. ζ. Δεῦτε, καὶ καταβάντες συγχέωμεν αὐτῶν τὰς γλώσσας. τῷ εἰπεῖν, δεῦτε, τοὺς ὁμοτίμους
καλεῖ. οὔτε γὰρ εἰ ἀγγέλοις ἐπέταξεν, εἶχεν εἰπεῖν, δεῦτε· ἀλλ' ἐπιτακτικῶς, πορεύεσθε.
βλέπε δέ μοι πατρὸς φωνὴν υἱὸν καὶ πνεῦμα καλοῦσαν. εἰ γὰρ πρὸς ἕνα μόνον
τοῦτο ἐρρέθη, εἶχεν εἰπεῖν· δεῦρο, καὶ καταβάντες συγχέωμεν αὐτῶν τὰς γλώσσας· τὸ δὲ
εἰπεῖν, δεῦτε, ἑνός ἐστι φωνὴ πρὸς δύο τινὰς ὁμοτίμους. ἄκουε δὲ καὶ τοῦ μακαρίου Ἰὼβ σαφῶς
Ἰωβ. κζ. γ. δηλοῦντος τὴν ἀχώριστον τριάδα. φησὶ γάρ· Ζῇ Κύριος, ὃς οὕτω με ἔκρινε, καὶ ὁ παντοκράτωρ,
ὁ πικράνας μου τὴν ψυχὴν, καὶ πνεῦμα θεῖον τὸ περιὸν ἐν ῥισί μου. Κύριον καὶ παντοκράτορα
καὶ θεῖον πνεῦμα εἰπὼν, τὴν ὁμοούσιον τριάδα διεκήρυξε. μάνθανε καὶ τῶν σεραφὶμ
Ησ. ϛ. γ. τὸν ὕμνον κραζόντων τρίτον· Ἅγιος, ἅγιος, ἅγιος. οὐ γὰρ λέγουσιν ἅπαξ μόνον,
ἅγιος· οὔτε δεύτερον, ἅγιος, ἅγιος· οὔτε τέταρτον· οὐδὲ λέγουσιν, ἅγιοι, ἅγιοι, ἅγιοι· ἵνα
μὴ τὸ πολυώνυμον εἰς πολυθεΐαν ἡμᾶς ἐξαγάγῃ· ἀλλ' ἓν μόνον, τρίτον δέ· ἅγιος, ἅγιος,
ἅγιος. δηλοῦσι γὰρ διὰ τούτων μίαν καὶ ἴσην δοξολογίαν πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος.
β. Βασ. κγ. β. ἄκουε δὲ καὶ τοῦ προφήτου λέγοντος πάλιν· Πνεῦμα Κυρίου ἐλάλησεν ἐν ἐμοὶ,
καὶ ὁ λόγος αὐτοῦ ἐν τῷ στόματί μου. προδέδεικται ὅτι Θεὸς ἦν ὁ λόγος.
″ Πνεῦμα γὰρ Κυρίου καὶ λόγον καὶ Κύριον εἰπὼν, κηρύττει ἀδιαίρετον τριάδα. ὅρα ἴσ. πνεῦμα δὲ ὤν.
δὲ καὶ τοὺς τρεῖς παῖδας ἐν τῇ καμίνῳ πάντα τὰ κτίσματα καὶ τὰ ποιήματα εἰς
δοξολογίαν Θεοῦ καλοῦντας· ἥλιον, σελήνην, ἄστρα, οὐρανοὺς, ἀγγέλους, δυνάμεις, ἀνθρώπους,
πνεύματα, πᾶσαν κτίσιν ὁρατήν τε, καὶ ἀόρατον, καὶ νοητὴν· καὶ οὐδαμοῦ ἀπηρίθμησαν
υἱὸν ἢ πνεῦμα ἅγιον ἐν τοῖς ποιήμασιν. ἀλλ' ἐρεῖς· πάντως οὐκ ᾔδεισαν πνεῦμα, ἢ υἱόν·
Δαν. γ. κε. Ἰουδαῖοι γὰρ ἦσαν. ἐλέγχῃ δὲ εὐθὺς ἀπ' αὐτῆς τῆς γραφῆς. Ἦν γὰρ ὁ τέταρτος, φησιν, ὡς ὁμοίωμα
Σουσ. μδ. υἱοῦ Θεοῦ. περὶ δὲ τοῦ ἁγίου πνεύματος λέγει· Ἐξήγειρεν ὁ Θεὸς τῷ ἁγίῳ πνεύματι
παιδάριον νεώτερον, ᾧ ὄνομα Δανιήλ. καὶ ἐν ἄλλοις δὲ πολλοῖς τόποις προκεκήρυκται
τὸ πνεῦμα τὸ ἅγιον ἐν τῇ παλαιᾷ. ἀλλ' ᾔδεισαν τὸν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα τῆς
μιᾶς θεότητος καὶ δυνάμεως ὄντας· ᾔδεισαν δὲ τὰ δοῦλα καλεῖν εἰς δοξολογίαν τῆς θεότητος.
ἵνα δὲ γνῷς ὅτι οὐδὲν κτιστὸν ἐν τῇ τριάδι ἢ ἐπείσακτον ἐπιγίνεται, προτάξας ὁ Παῦλος
α. Κορ. η. ϛ. τὸν πατέρα, ἐν ἄλλῳ τόπῳ προτάττει τὸ ἅγιον πνεῦμα. λέγει γὰρ οὕτως· Εἷς Θεὸς ὁ πατὴρ,
ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς ἐξ αὐτοῦ· καὶ εἷς Κύριος Ἰησοῦς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ· ἴσ. ἡμεῖς εἰς αὐτόν· καὶ
α. Κορ ιβ. δ. καὶ ἓν πνεῦμα ἅγιον. ἀνάπαλιν δέ· Διαιρέσεις χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ πνεῦμα· καὶ διαιρέσεις
ια. διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτὸς Θεὸς,
ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι. ταῦτα δὲ πάντα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ
ἑκάστῳ καθὼς βούλεται, καὶ οὐ καθὼς ἐπιτάσσεται. βαπτιζομένου δὲ τοῦ υἱοῦ ὁ πατὴρ οὐρανόθεν
μαρτυρεῖ, πνεῦμα δὲ τὸ ἅγιον ἐν εἴδει περιστερᾶς κατέρχεται ἐπὶ τὸν ὁμότιμον. διὰ
τούτων πάντων ἓν ″ βασίλειον νοεῖν διδασκόμεθα τῆς ἀδιαιρέτου τριάδος. αὐτὸς δὲ ὁ Θεὸς λόγος, ἴσ. -σίλειον ἀξίωμα νοεῖν
ὁ δι' ἡμᾶς ἐν ἀληθείᾳ σαρκωθεὶς, μέλλων ἀνέρχεσθαι ὅθεν οὐκ ἐχωρίσθη, λέγει τοῖς ἁγίοις
Ματθ. κη ιθ. αὐτοῦ ἀποστόλοις· Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς
τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἐσφραγίσθημεν μέν· ἀλλὰ μία σφραγὶς
τῆς ἁγίας τριάδος, ἓν βάπτισμα. πῶς οὖν τολμᾷς ἀλλοτριῶσαι τῆς πατρῴας οὐσίας
τὸν υἱὸν, ἢ τὸ ἅγιον πνεῦμα; οὔτε γὰρ εἰ ἀλλότρια ὑπῆρχον, μετὰ τοῦ πατρὸς ἐν τῷ βαπτίσματι
εἶχον ἀπαριθμεῖσθαι. τίνι γὰρ λόγῳ κατὰ τὸν σὸν λόγον, ὦ θεομάχε, εἰ κτιστὸς ὁ
υἱὸς, ἢ τὸ πνεῦμα, μετὰ τοῦ πατρὸς συμπαραλαμβάνεται; εἰ γὰρ ἠδύνατο τὸ ὄνομα τοῦ πατρὸς
μόνον σῶσαι τὸν βαπτιζόμενον, διατί τὰ κτίσματα μετ' αὐτοῦ συμπαραλαμβάνεται, ὡς ἀδυνατοῦντος
τοῦ πατρὸς μόνου σῶσαι; μὴ γένοιτο. εἰ οὖν ἀσθένειαν ″ καταγέλει πατρὸς, τὰ ἴσ. καταγγέλλεις
ὁμοούσια φεύγων, ἀναγκασθήσῃ ἐκ τῆς ἀληθείας σὺν ἡμῖν ὁμολογεῖν τριάδα ἄκτιστον καὶ
Ιωαν. ιζ. γ. ὁμοούσιον καὶ παντοδύναμον. ἀλλ' ἐρεῖς μοι περὶ τοῦ πατρὸς, ὅτι γέγραπται· σὲ τὸν μόνον ἀ-
καὶ α. α.

ληθινὸν Θεόν. ἀλλὰ καὶ Θεὸς ἦν ὁ λόγος. καὶ πῶς οὖν ἴσος τῷ πατρί; τὸ γὰρ εἰπεῖν περὶ πατρός· σὲ τὸν μόνον ἀληθινὸν Θεόν, ἔδειξε τὸν υἱὸν οὐ φυσικόν, ἀλλὰ θετὸν Θεόν. τί οὖν ὁ πολεμῶν τὴν ἑαυτοῦ σωτηρίαν; ἐπειδὴ γέγραπται, καθὼς λέγει Ἰωάννης περὶ τοῦ πατρός, ὅτι ὁ Θεὸς φῶς ἐστι, περὶ δὲ τοῦ υἱοῦ, ὅτι ἦν τὸ φῶς τὸ ἀληθινόν, παρὰ τοῦτο τολμᾷς ἐλάττω λέγειν τὸν πατέρα, διὰ τὸ μὴ προσκεῖσθαι τὸ φῶς τὸ ἀληθινόν, ἀλλὰ περὶ υἱοῦ μόνον ἦν τὸ φῶς τὸ ἀληθινόν; ὥσπερ οὖν οὐ τολμᾷς σμικρῦναι τὸν πατέρα διὰ τὸ μὴ προσκεῖσθαι τὸν ἀληθινόν, οὕτως ἀκούων περὶ πατρός, σὲ τὸν μόνον ἀληθινὸν Θεόν, περὶ δὲ τοῦ υἱοῦ τό, Θεός, μόνον, μὴ τολμήσῃς σμικρῦναι τὸν υἱόν, ἀντιπαρακειμένων ἀλλήλοις τῶν ὀνομάτων, τῷ πατρὶ τό, Θεὸς ἀληθινός, τῷ υἱῷ, τὸ Θεός· ἀνάπαλιν δὲ, ἦν τὸ φῶς τὸ ἀληθινόν, τῷ υἱῷ, τῷ δὲ πατρί, τὸ φῶς μόνον. ὡς οὖν οὐ τολμητέον εἰπεῖν περὶ πατρός, ὅτι οὐκ ἔστι φῶς ἀληθινόν, καὶ περὶ τοῦ υἱοῦ, Θεὸς ἀληθινός· αὐτὸς γὰρ εἶπεν, ἐγώ εἰμι ἡ ἀλήθεια· οὕτω καὶ περὶ τοῦ πνεύματος τοῦ ἁγίου, ὅτι πνεῦμα τῆς ἀληθείας. διὰ τούτων τῶν μαρτυριῶν μάνθανε εὐσεβεῖν ἀδιαίρετον τριάδα· πάντα ὅσα ἔχει ὁ πατήρ, ἐμά ἐστιν, εἶπεν ὁ μονογενὴς Θεός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός· Μωϋσῆς λέγει· ὁ ὢν ἀπέσταλκέ με· ὁ ὢν ἐστιν ὁ πατήρ· ὁ ὢν ἐστιν ὁ υἱός· ὁ ὢν πρὸ τῶν αἰώνων ἀνάρχως, καὶ ἀχρόνως γεγεννημένος. πάντα ἔχει ὁ πατήρ, ἀληθῶς ζωή, καὶ ἀθανασία, καὶ φῶς, καὶ παντοδύναμος, καὶ Θεός, καὶ Κύριος· ἅπερ ἔχει καὶ ὁ υἱός. ἐγὼ γάρ εἰμι, φησίν, ἡ ἀλήθεια καὶ ἡ ζωή· καὶ, ἦν τὸ φῶς τὸ ἀληθινόν· καὶ, Θεὸς ἦν ὁ λόγος. καὶ Θωμᾶς φησιν ὁ ἀπόστολος· Ὁ Κύριός μου καὶ ὁ Θεός μου· καθὼς καὶ ὁ ψαλμῳδὸς λέγει· ταῖς χερσί μου τὸν Θεὸν ἐξεζήτησα, καὶ οὐκ ἠπατήθην· ἐψηλάφησεν ὁ Θωμᾶς τὸν λόγον ἐν ἀπιστίᾳ, καὶ οὐκ ἠπατήθη, Κύριον καὶ Θεὸν ὁμολογήσας αὐτὸν ἐν πίστει. ναί, φησι· λέγω τὸν υἱὸν τοῦ Θεοῦ Θεόν, οὐκ ἄναρχον δέ, ἀλλ' ἄκτιστον· οὐκοῦν καὶ δοῦλον. καὶ πῶς, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών; εἰ οὖν δοῦλός ἐστι (πάντως γὰρ κτίσμα δοῦλον) πῶς δοῦλος ὤν, μορφὴν δούλου ἔλαβε; πῶς δὲ ἑαυτὸν ἐκένωσεν, εἰ οὐκ ἦν Θεὸς τέλειος; ὃ γὰρ οὐκ εἶχεν, ἔλαβε, μείνας ὃ ἦν· οὐχ ὃ ἦν, γέγονεν· ἀλλ' ἐν μορφῇ Θεοῦ ὑπάρχων, διὰ φιλανθρωπίαν ἀτρέπτως ἔλαβε μορφὴν δούλου. εἰ δὲ οὐ θέλεις αὐτὸν ὁμολογεῖν ἄναρχον, οὐκοῦν ἦν καιρὸς ὅτε οὐκ ἦν υἱός. ναί, φησιν. ἴδε οὖν, κατὰ τὸν σὸν λόγον λέγω· ἦν καιρὸς ὅτε οὐκ ἦν πατήρ· ὁ γὰρ μὴ ἔχων υἱόν, πατὴρ οὐ καλεῖται. καὶ ὁ πατὴρ ἀρχὴν ἔσχε τοῦ εἶναι πατήρ· ἐκ γὰρ τοῦ υἱοῦ πατὴρ γινώσκεται. ἄρα οὖν καὶ ὁ πατήρ, ἦν καιρὸς ὅτε καὶ αὐτὸς ἦν υἱὸς ἑτέρου πατρός. φεῦ τῆς τοιαύτης βλασφημίας. δοκῶν γὰρ τὸν πατέρα σέβειν τελείως, εἰς αὐτὸν ἀσεβεῖς. εἰ οὖν ὁ υἱὸς αὐτὸς ἐποίησε τοὺς χρόνους καὶ καιροὺς (πάντα γὰρ δι' αὐτοῦ ἐγένετο) πῶς τολμᾷς λέγειν, ὅτι ἦν καιρὸς ὅτε οὐκ ἦν ὁ υἱός; οὐκοῦν κατὰ τὸν σὸν λόγον, μείζων ὁ χρόνος τοῦ Θεοῦ λόγου. τὸ γὰρ πρῶτον ἀνάγκη καὶ μεῖζον. θέλεις δὲ γνῶναι ὅτι συναΐδιος τῷ πατρὶ ὁ υἱός; λέγει Ἠσαΐας· Ἐγὼ Θεὸς πρῶτος, καὶ ἐγὼ εἰς τὰ μετὰ ταῦτα. πρὸ ἐμοῦ οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. εἰ οὖν ὕστερον τοῦ πατρὸς λέγεις τὸν υἱόν, πῶς λέγει ὁ πατήρ, ὅτι μετ' ἐμὲ οὐκ ἔσται ἄλλος Θεός; εἰ δὲ εἰς τὸν υἱὸν ἐκλαμβάνῃς τοῦτο· πῶς λέγει, πρὸ ἐμοῦ οὐκ ἐγένετο ἄλλος Θεός; βλέπε οὖν διὰ τούτων συναΐδιον εἶναι τὸν υἱὸν τῷ πατρί. ἄκουε δὲ τὰς μαρτυρίας τὰς περὶ τοῦ υἱοῦ, καὶ φεῦγε τοῦ δυσφημεῖν αὐτόν. Ἔβρεξε Κύριος πῦρ παρὰ Κυρίου, καὶ πῦρ ἐπὶ Σόδομα. Κύριον καλεῖ τὸν πατέρα, Κύριον τὸν υἱόν, Κύριον τὸ πνεῦμα τὸ ἅγιον· ὥς φησιν, Ὁ δὲ Κύριος τὸ πνεῦμά ἐστι· καὶ οὐκ εἶπεν, ὁ Κύριος ὁ μικρότερος παρὰ Κυρίου τοῦ μεγάλου. καὶ ὁ Μωϋσῆς φησι, Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ· ἄγγελος δὲ κτίσματι οὐ προσκυνεῖ. καὶ ἵνα μάθῃς περὶ τοῦ υἱοῦ τοῦτο λελέχθαι, ἄκουε Παύλου λέγοντος· Ὅταν δὲ εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. καὶ Δαβὶδ δὲ ἐβόα· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως

ἂν

ἴσ. τὸ ἀλ-

ἴσ. ὁ υἱὸς Θεοῦ, ὁ
ἴσ. γεγεννημένος.

ἴσ. δ', ἀλλὰ
κτιστόν.

ἴσ. τὸ βλασφ-

α. Ἰωαν. α. ε.
Ἰωαν. α. θ.

Ἰωαν. ιδ. ς.

Ἰω. ις. ιε.
Ἐξοδ. γ. ιδ.

Ἰωαν. κ. κη.
Ψαλ. ις. β.

Φιλιπ. β. ς.

Ἰωαν. α. γ.

Ἠσ. μγ. ι. καὶ μδ. ς.

Γεν. ιθ. κδ.
β. Κορ. γ. ιζ.

Ἑβρ. α. ς.

Ψαλ. ρθ. α.

ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. καὶ οὐκ εἶπε, Κύριος τοῦ Κυρίου μου· ἀλλ᾽ εἶπε,
Ησ. ζ. ιδ. Κύριος τῷ Κυρίῳ μου. Ἰδοὺ, φησὶν Ἡσαΐας, ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι
τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· ὅ ἐστι μεθερμηνευόμενον, μεθ᾽ ἡμῶν ὁ Θεός. ναὶ, λέγω
αὐτὸν υἱὸν, ὑποτακτικὸν μέντοι, καὶ μικρότερον τοῦ πατρός. ἐλέγχει σε πάλιν Ἡσαΐας λέγων.
Ησ. θ. ς. ὅτι Παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν· καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, μεγάλης βουλῆς
ἄγγελος, θαυμαστὸς, σύμβουλος, Θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος
αἰῶνος. ὁ προφήτης, ἐξουσιαστὴν, Θεὸν ἰσχυρὸν ἀνακηρύττει· καὶ σὺ λέγεις αὐτὸν
ὑποτακτικόν; ἐκεῖνος μεγάλης βουλῆς ἄγγελον καλεῖ· καὶ σὺ λέγεις μικρόν; βλέπε δέ μοι
Βαρ. γ. λς. καὶ Ἱερεμίαν βοῶντα περὶ αὐτοῦ· Οὗτος ὁ Θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν.
περὶ τοῦ πατρὸς λέγει, ἢ περὶ τοῦ υἱοῦ; περὶ τοῦ πατρός, φησιν. ὁ πατὴρ ἐσαρκώθη, ἢ ὁ υἱός;
ὁ υἱός. οὐκοῦν κατὰ τὸν σὸν λόγον ὁ πατὴρ ἐσαρκώθη· ἀλλὰ νῦν βλέπω, κατὰ τὸν τοῦ προφήτου
λόγον, ὅτι ὁ υἱὸς ὁ καὶ συναναστραφεὶς τοῖς ἀνθρώποις. ναὶ, ὁ Κύριος ἐσαρκώθη, ὁ δὲ πατὴρ
ἄσαρκος διέμεινεν. ἐλέγχθητι οὖν, ὦ ἀνόητε, ὅτι περὶ υἱοῦ λέγει, διὰ τῶν ἑξῆς· Οὗτος ὁ Θεὸς
ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν
Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ᾽ αὐτοῦ. μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη,
καὶ τοῖς ἀνθρώποις συνανεστράφη. ὁρᾷς αὐτὸν καὶ νομοθέτην; εἰ γὰρ ἐξεῦρεν αὐτὸς πᾶσαν
ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ αὐτοῦ·
αὐτός ἐστιν ὁ καὶ τῷ Μωϋσῇ φανεὶς, καὶ νομοθετήσας. καὶ πόθεν τοῦτο δῆλον; ἄκουε τοῦ προφήτου
Ιερεμ. λα. λα. λέγοντος· Διαθήσομαι ὑμῖν διαθήκην καινήν· οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς
πατράσιν ὑμῶν, ἡνίκα ἐπελαβόμην τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου·
διδοὺς νόμους μου ἐν ταῖς καρδίαις αὐτῶν, καὶ ἐπὶ τὰς διανοίας αὐτῶν ἐγγράψω αὐτούς, καὶ ἔσονταί μοι
εἰς λαόν, κἀγὼ ἔσομαι αὐτοῖς εἰς Θεόν. βλέπεις ὅτι αὐτός ἐστιν ὁ νομοθέτης παλαιᾶς καὶ καινῆς;
Μιχ. ε. β. ὅτι γὰρ τῆς καινῆς αὐτὸς νομοθετεῖ, οὔτε σὺ ἀμφιβάλλεις. Καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθᾶ,
μὴ ὀλιγοστὸς εἶ τοῦ εἶναί σε ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ γάρ μοι ἐξελεύσεται ἡγούμενος καὶ αἱ ἔξοδοι
Ματθ. β. ς. αὐτοῦ ἀπ᾽ ἀρχῆς ἐξ ἡμερῶν· καὶ αὐτὸς ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ. βλέπεις ἕνα λαὸν
πατρὸς καὶ υἱοῦ. ὁ υἱὸς λέγει· Ἔσομαι αὐτοῖς εἰς Θεὸν, καὶ αὐτοί μοι εἰς λαόν. ὁ πατὴρ περὶ Χριστοῦ
λέγει· Καὶ ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ. μάνθανε ὅτι ἓν βασίλειον τοῦ πατρὸς καὶ υἱοῦ. ὅσα δὲ
μετὰ ταῦτα ἀκούεις αὐτοῦ λέγοντος ταπεινὰ, μετὰ τὸ ἰδίᾳ εὐδοκίᾳ σαρκωθῆναι, καὶ ἑαυτὸν ταπεινῶσαι
β. Κορ. γ. ς. διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν. νόει ταῦτα θεοπρεπῶς. Τὸ γράμμα γὰρ
ἀποκτείνει· τὸ δὲ πνεῦμα ζωοποιεῖ. εἰ γὰρ τοῖς ἀποστόλοις τοῖς ἑωρακόσιν αὐτοῦ τὰ θαύματα,
Ιωαν. ις. ιβ. καὶ ἐν τῷ ὀνόματι αὐτοῦ πᾶσαν νόσον θεραπεύσασιν ἔλεγε· Πολλὰ ὑμῖν ἔχω εἰπεῖν,
ἀλλ᾽ οὐ δύνασθε βαστάζειν ἄρτι· τί πρὸς Ἰουδαίους τοὺς παχυτέρους πολλῷ; εἰ γὰρ ἵνα εἴπῃ,
Ιωαν. η. νη. Πρὶν Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι, ἐβάστασαν λίθους λιθάσαι αὐτόν· πῶς εἴ τι τῶν ὑψηλῶν
εἶπεν αὐτοῖς, ὅλως κἂν ἠνείχοντο ἀκούειν; οὕτω καὶ ἐν τῇ παλαιᾷ πολλὰ εὕροι τις
Ζαχ. δ. ι. ἂν περὶ πατρὸς λεγόμενα πρὸς τὴν παχύτητα τῶν ἀκουόντων· ὥσπερ, Ἑπτὰ ὀφθαλμοὶ
Ψαλ. ις. ι. Κυρίου ἐπιβλέποντες τὴν οἰκουμένην· καὶ, Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με· καὶ, Ἐξεγέρθητι·
Ψαλ. μγ. κγ. ἵνα τί ὑπνοῖς, Κύριε; καὶ, Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει·
Ψαλ. ζ. ιγ. ιδ. τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό· τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο.
καὶ πῶς; οὔτε γὰρ πτερωτὸν τὸ θεῖον, οὔτε ὕπνῳ κατεχόμενον, οὔτε ῥομφαία περὶ Θεὸν, ἢ τόξον,
ἢ βέλη· ἀσώματον γὰρ τὸ θεῖον. ἀλλὰ ταῦτα ἀπειλεῖ ὁ προφήτης, καθάψασθαι
βουλόμενος τῆς παχύτητος τῶν ἀκροατῶν. οὕτω καὶ ὁ Θεὸς λόγος δι᾽ ἡμᾶς σαρκωθεὶς, μιμούμενος
Ιωαν. θ. ις. τὸν ἑαυτοῦ πατέρα, ταπεινὰ φθέγγεται, πρὸς τὴν ἡμῶν σωτηρίαν ἀποβλέπων. ἐπεὶ γὰρ
Ιωαν. ι. λγ. ἀντίθεον αὐτὸν ἐνόμιζον, λέγοντες, ὅτι Οὗτος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ· καὶ, Περὶ καλοῦ ἔργου οὐ
Ιωαν. ε. ιη. λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, ὅτι σὺ, ἄνθρωπος ὢν, ποιεῖς σεαυτὸν Θεόν· καὶ, Διὰ

τοῦτο ἐζήτουν αὐτὸν λιθάσαι, ὅτι οὐ μόνον ἔλυε τὸ σάββατον, ἀλλ᾽ ὅτι πατέρα ἴδιον ἔλεγε τὸν Θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ. διὰ δὲ τὸ μὴ χωρεῖν αὐτοὺς τὰ ὑψηλά, καὶ τῆς αὐτοῦ θεότητος ἄξια, ἄρχεται ταπεινὰ λέγειν, διὰ πάντων δεικνὺς μὴ εἶναι ἀντίθεος. Εἰ ἠγαπᾶτέ με, ἐχαίρετε ἂν ὅτι ἐγὼ πορεύομαι πρὸς τὸν πέμψαντά με πατέρα· ὅτι ὁ πατήρ μου μείζων μού ἐστιν. (Ιω. ιδ. κη.) ὅτε γὰρ ἑαυτὸν ἴσον ἐποίει τῷ πατρὶ, λιθάζειν αὐτὸν ἐπεχείρουν. Εἰ δὲ ταῦτα οὕτω μὴ ἔχει· ἀναγκασθήσονται ἐπαινεῖν Ἰουδαίους, ὅτι δικαίως ἐσταύρωσαν αὐτὸν, ὡς ἀντίθεον. ὁ γὰρ ἑαυτὸν ἴσον τῷ Θεῷ καὶ πατρὶ ποιῶν, μὴ ὢν δὲ, ἀντίθεος. ψεύδεται οὖν λοιπὸν Παῦλος λέγων· Οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. τί οὖν ἐστιν ὁ σωτὴρ καθ᾽ ὃ ἐσαρκώθη; (Φιλιπ. β. ς.) οὕτω δὲ, Πορεύομαι πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν· ἄλλως αὐτοῦ (Ιω. κ. ιζ.) κατὰ φύσιν, καὶ ἄλλως ἡμῶν κατὰ χάριν καὶ θέσιν· ἄλλως ὡς διὰ τὴν ἰδίαν εὐδοκίαν, καὶ διὰ τὴν κτιστὴν πρόσληψιν· καὶ ἄλλως ἡμῶν, ὡς δημιουργημάτων. Εἰ δὲ ἀμφιβάλλεις ἐν τούτοις, εἶχεν εἰπεῖν πατέρα ἡμῶν καὶ ὑμῶν. τίνος ἕνεκεν διέστειλεν ἑαυτὸν, ἀλλ᾽ ἢ ταύτην ἡμᾶς τὴν θεοπρεπῆ ἔννοιαν διδάσκων; βλέπεις, φησὶ, πῶς ἐπιδέεται τῆς τοῦ πατρὸς βοηθείας, λέγων· Νῦν ἡ ψυχή μου τετάρακται. καὶ τί εἴπω; πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης. (Ιω. ιβ. κζ.) κακῶς ἀναγινώσκεις. εἶπε, νῦν ἡ ψυχή μου τετάρακται· καὶ ἀποδιαστείλας ὧδε, ἐπήγαγε δὲ, τί εἴπω; πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης. ἀλλὰ διὰ τοῦτο ἐλήλυθα εἰς τὴν ὥραν ταύτην. διὰ γὰρ τοῦ εἰπεῖν, διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην, ἔδειξεν, ὅτι οὐ τὸν θάνατον ἀνεδύετο τὸν σωτήριον. Ἐπιθυμίᾳ γὰρ ἐπεθύμησα τὸ πάσχα τοῦτο φαγεῖν μεθ᾽ ὑμῶν, φησίν. (Λυκ. κβ. ιε.) Εἰ δυνατὸν, παρελθέτω ἀπ᾽ ἐμοῦ τὸ ποτήριον τοῦτο. πλὴν μὴ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ σὸν γενέσθω. (Ματθ. κϛ. λθ.) ἆρα τὸν θάνατον δειλιᾷ; ἢ ἄκων ἐπὶ τὸ πάθος ἔρχεται; ὁ εἰπών· Δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποκτανθῆναι, καὶ ταφῆναι, (Μαρ. η. λα.) καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι· ὁ εἰπών· Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ (Ιω. β. ιθ.) αὐτόν· ὁ εἰπών· Ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν· καὶ, Οὐδεὶς αἴρει αὐτὴν ἀπ᾽ ἐμοῦ· (Ιω. ι. ιη.) ἐγὼ ἀπ᾽ ἐμαυτοῦ τίθημι αὐτήν, καὶ ἐγὼ πάλιν λαμβάνω αὐτήν· ὁ ἐπιτιμήσας τῷ πρὸ βραχέως μακαρισθέντι Πέτρῳ ἐπὶ τῷ λόγῳ, Σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. (Ματθ. ιϛ. ιϛ. κγ.) ἐπειδὴ δὲ ἀνάξιον αὐτοῦ τὸ πάθος νομίσας, ἀκούσας, Ὕπαγε ὀπίσω μου, Σατανᾶ· σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων· ὁ στηρίξας τὸ πρόσωπον αὐτοῦ ἀναβῆναι εἰς Ἱερουσαλὴμ, ἵνα σωτηρίαν διὰ τοῦ πάθους αὐτοῦ πᾶσι χορηγήσῃ· ὁ διὰ τῶν προφητῶν καὶ τὸ εἶδος τοῦ πάθους αὐτοῦ προκηρύξας· διὰ μὲν Ἱερεμίου· Ἐπ᾽ ἐμὲ (Ιερ. ια. ιθ.) ἐλογίσαντο λογισμὸν πονηρὸν, λέγοντες· δεῦτε καὶ ἐμβάλλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ, καὶ ἐκτρίψωμεν αὐτὸν ἀπὸ γῆς· τὸν σταυρὸν σημαίνων. διὰ δὲ Δαβίδ· Ἔδωκαν εἰς (Ψαλ. ξη. κβ.) τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος· καὶ, Ὤρυξαν χεῖράς μου καὶ (Ψαλ. κα. ιη. ιθ.) πόδας μου· διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον· καὶ διὰ Ἡσαΐου· Τὸν νῶτόν μου δέδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ (Ησ. ν. ϛ.) πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων. οἶδας οὖν ταῦτα πάντα τελεσθέντα ἐν τῷ σταυρῷ. ὑπὸ γὰρ Πιλάτου ἐφραγελλώθη, ὑπὸ δούλου ἐρραπίσθη, ὑπὸ ἀνόμων ἐνεπτύσθη, ὑπὸ στρατιωτῶν ἥλοις ἐν σταυρῷ ἐπάγη, διαμεριζομένων αὐτοῦ τὰ ἱμάτια, καὶ κλῆρον βαλλόντων. ὁ διὰ πολλῶν τὸ πάθος σημάνας, πῶς ἀναδύεται νῦν; διὰ τί οὖν λέγει· Πάτερ, εἰ δυνατὸν, παρελθέτω ἀπ᾽ ἐμοῦ τὸ ποτήριον τοῦτο; ἠγνόει ὁ διάβολος τίς ἦν. βλέπων γὰρ αὐτὸν διψῶντα, πεινῶντα, κοπιῶντα, καὶ τὰς ἄλλας αὐτοῦ οἰκονομίας, ἐνόμισεν αὐτὸν ἄνθρωπον εἶναι ψιλόν· ὁρῶν δὲ αὐτοῦ τὰ θεϊκὰ θαύματα, Θεὸν ὑπενόει. ἀμφέβαλεν οὖν περὶ αὐτοῦ, ἀγνοῶν αὐτόν. Εἰ γὰρ ᾔδει ἀκριβῶς, ὅτι Θεός ἦν, οὐκ ἂν ἐτόλμησεν αὐτῷ προσελθεῖν· ὡς καὶ Παῦλος λέγει· Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης (α. Κορ. β. η.) ἐσταύρωσαν. προσβάλλεται οὖν ὁ δεσπότης δειλίαν, ἐκεῖνον ἐπισπώμενος, ἵνα ἐπελθὼν

ὡς ἂν ἀνθρώπῳ, ἡττηθῇ παρ᾽ αὐτοῦ, καὶ λυτρωθῶσι πάντες οἱ αἰχμάλωτοι, ὅσοι κατείχοντο
ὑπ᾽ αὐτοῦ. ὥσπερ ἂν εἴ τις βασιλεὺς μέλλων τυράννῳ ἀσθενεῖ τινὶ συμβαλεῖν, ἐπίσταται δὲ
ὅτι φεύξεται αὐτὸν, σοφίζεται δὲ δειλίαν, λέγων ταῖς δυνάμεσιν αὐτοῦ, φύγωμεν δῆθεν ἀπὸ
προσώπου αὐτοῦ, ὅπως μὴ ἀποδράσῃ ἡμᾶς, ἀλλὰ καταδιώξῃ, καὶ οὕτω στραφέντες συλλάβωμεν
αὐτόν· οὕτω καὶ ὁ δεσπότης προεβάλλετο δειλίαν, ἵνα ἐπέλθῃ ὁ διάβολος ὡς ἀνθρώπῳ,
καὶ εὕρῃ διαιρείσοντα αὐτὸν, καὶ ῥυόμενοι πάντας τοὺς ὑπὸ τοῦ ᾅδου κρατουμένους. ἴσ. κρατήσοντα
Λουκ. κβ. μγ. οὕτω γάρ φησιν· Ὤφθη ἄγγελος ἐνισχύων αὐτόν. ὁ ὑπὸ ἀγγέλων προσκυνούμενος, καὶ ᾧ
κάμπτει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, πῶς ἰσχὺν παρὰ ἀγγέλου ἐλάμβανεν;
οὐκ ἰσχὺν, ἀλλὰ δοξολογίαν, λέγοντος ἀγγέλου· σοῦ ἐστιν ἡ βασιλεία καὶ τὸ κράτος,
Μαρκ. ιγ. λβ. δέσποτα. Οὐδεὶς ἐπίσταται τὴν ἡμέραν ἐκείνην, ἢ τὴν ὥραν, οὔτε οἱ ἄγγελοι, οὔτε ὁ υἱὸς,
εἰ μὴ ὁ πατήρ. καὶ πῶς, φησιν, ἴσος τῷ πατρὶ, ὁ μὴ εἰδὼς τὴν ἡμέραν ἐκείνην; ὁ ποιήσας
αὐτὴν οὐκ οἶδεν αὐτήν; καὶ διὰ τί οὖν λέγει, οὔτε ὁ υἱός; βλέπε δὲ θεωρίαν. δύο ἴσ. δι᾽ θε.
γνώσεις καὶ εἰδήσεις ἐν τῇ γραφῇ εὕροι τις ἄν· μίαν μὲν, τὴν κατὰ πρᾶξιν· ἑτέραν δὲ, τὴν
Γεν. δ. α. κατὰ γνῶσιν. Ἔγνω γάρ, φησιν, Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ· οὐχ ὡς πρότερον ἀγνοῶν·
Γεν. β. κγ. πῶς γὰρ ὁ εἰπών· Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου; καὶ ἔγνω Ἀβραὰμ
Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ, καὶ ὁ Ἰακὼβ Λείαν καὶ Ῥαχήλ· ἆρ᾽ οὖν ἠγνόει αὐτὰς ὁ
δι᾽ αὐτὰς δεκατέσσαρα ἔτη δουλεύσας; ᾔδει μὲν αὐτὰς κατὰ γνῶσιν· ἐπὶ τέλει δὲ, καὶ κατὰ
πρᾶξιν. ὁ οὖν πατὴρ μὴ κρίνων τινὰ, ἀλλὰ τὴν κρίσιν ἅπασαν δεδωκὼς τῷ υἱῷ, εἶδε τὴν
ἡμέραν καὶ γνώσει, καὶ πράξει· ὁ δὲ υἱὸς ἐλθὼν σῶσαι τὸν κόσμον, καὶ οὐ κρῖναι, εἶδεν αὐτὴν κατὰ
γνῶσιν· ἐπειδὴ δὲ οὐδέπω ἔκρινεν, ἀγνοεῖ τὴν ἡμέραν, τὴν κατὰ πρᾶξιν γνῶσιν σημαίνων. ἀλλὰ
Ἑβρ. γ. α. λέγει Παῦλος· Κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν, πιστὸν
Πραξ. β. λϛ. ὄντα τῷ ποιήσαντι αὐτόν. καὶ ἀλλαχοῦ· Κύριον καὶ Χριστὸν ὁ Θεὸς αὐτὸν ἐποίησε· καὶ Σολομών·
Παροιμ. η. κβ. Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ. ὁρᾷς πῶς κτίσμα καὶ ποίημα
Ἑβρ. ε. α. ἡ γραφὴ αὐτὸν σημαίνει. ἀλλ᾽ ἐλέγξει σε ἡ ἀκολουθία, ὦ θεομάχε. Πᾶς γάρ, φησιν, ἱερεὺς
ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται, εἰς τὸ προσφέρειν δῶρά τε
καὶ θυσίας. ἔλαβε γὰρ ἐξ ἡμῶν τὴν ποιητικὴν σάρκα ἀναμαρτήτως, ἵνα ὑπὲρ ἡμῶν τῷ ἴσ. ποιητὴν
πατρὶ προσενέγκῃ θυσίαν. κατὰ σάρκα οὖν, τῷ ποιήσαντι αὐτὸν, νόει, καὶ μὴ κατὰ τὴν θεότητα.
οὕτω καὶ τὸν Κύριον καὶ Χριστὸν αὐτὸν ὁ Θεὸς ἐποίησε. περὶ γὰρ τῆς οἰκονομίας ἁπανταχῇ
Θεὸς κηρύττεται, καθὼς προδέδεικται· καὶ οὐδαμοῦ τις ποίημα αὐτὸν λέγει· ἀλλὰ διὰ τὴν
ἕνωσιν τῆς κτιστῆς σαρκὸς λέγει, Κύριον καὶ Χριστὸν ὁ Θεὸς αὐτὸν ἐποίησε, πρὸς τὴν παχύτητα τῶν ἀκροατῶν.
Κύριος ἀρχὴν ὁδῶν αὐτοῦ ἔκτισέ με, φησιν. ὁρᾷς ὅτι κτίσμα λέγει; ἀλλ᾽ ἐπὶ τὴν ἀκολουθίαν
Παροιμ. η. κγ. τῶν ἑξῆς ἴωμεν· Πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με· πρὸ δὲ πάντων βουνῶν γεννᾷ με.
κε. πρότερον μὲν, ὦ κενόδοξε, μάνθανε ὅτι Παροιμία ἡ βίβλος λέγεται· πᾶν δὲ τὸ παροιμιαζόμενον
οὐ ταὐτόν ἐστι τῇ τοῦ λόγου δυνάμει. καὶ γὰρ ὁ Κύριος τὴν βασιλείαν τῶν οὐρανῶν σαγήνῃ καὶ ζύμῃ καὶ
κόκκῳ σινάπεως παρείκασε, καὶ ἄλλοις πολλοῖς τοιούτοις· καὶ οὐ πάντως φαμὲν τὴν βασιλείαν τι
τούτων εἶναι. ἀλλ᾽ οὐ περιφερόμενος λέξω. Κύριος ἀρχὴν ὁδῶν αὐτοῦ ἔκτισέ με, πρὸ τοῦ αἰῶνος
ἐθεμελίωσέ με, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με. πῶς οὖν τὸ γεννώμενον κτίζεται, ἢ θεμελιοῦται;
ἢ πῶς τὸ κτιζόμενον γεννᾶται; εἰ γὰρ κτιστὸς, οὐ γεννητός. ἡμεῖς οὐ κτίζομεν ἃ γεννῶμεν, οὐδὲ
γεννῶμεν ἃ κτίζομεν. καὶ πῶς ἐνδέχεται τὸν ἄκτιστον πατέρα γεγεννηκέναι υἱὸν κτιστόν; ἡμεῖς γὰρ
κτιστοὶ ὄντες κτιστὰ γεννῶμεν· ὁ δὲ πατὴρ ἄκτιστος ὢν ἄκτιστον υἱὸν ἐγέννησεν. Ἀκύλας δὲ ἑρμηνεύων,
ἐκτίσατό με, εἶπε· τὸ οὖν, ἔκτισέ με, τὸ μέλλον γενέσθαι, ὡς ἤδη γεγονὸς, προαναφωνεῖ.
Ψαλμ. κα. ιη. καὶ γὰρ ἔθος τοῦτο τῇ γραφῇ· ὥσπερ τὸ, Ὤρυξαν χεῖράς μου καὶ πόδας μου· ἐμὲ,
Ἰωαν. α. α. φησιν, οἳ βλέπετε κτιστὴν σάρκα ἰδίᾳ εὐδοκίᾳ ἑνώσαντα ἑαυτῷ. ἀπ᾽ ἀρχῆς εἰμι·
Ἰωαν. η. νη. οὐκ ἀπὸ Μαρίας ἔχω τὴν ἀρχήν. Ἐν ἀρχῇ γὰρ ἦν ὁ λόγος· καὶ, Πρὶν Ἀβραὰμ
γενέσθαι,

γενέσθαι, ἐγώ εἰμι. ὁμολογεῖ οὖν υἱὸν ἄκτιστον, καὶ συνάναρχον πατρὶ, ἵνα μὴ δῷς καὶ τῷ πατρὶ ἀρχὴν τοῦ γενέσθαι πατήρ. εἰ λέγεις συνάναρχον τῷ πατρὶ τὸν υἱὸν, πῶς ἐγέννησεν ὁ πατὴρ τὸν υἱόν; θέλων, ἢ μὴ θέλων; ἐὰν εἴπωμεν, θέλων, αὐτοὶ λέγουσιν ἤδη ἦν τὸ θέλημα πρὸ τοῦ λόγου. πρὶν γὰρ θελῆσαι, φησὶν, οὐκ ἦν ὁ υἱός. ἐὰν δὲ εἴπωμεν, μὴ θέλων· λέγουσι, τυραννεῖται τὸ θεῖον· πάλιν δὲ τὸ τυραννούμενον, οὐ Θεός. ἡμεῖς δὲ λέγομεν, ὅτι ὥσπερ ὁ ἥλιος τὰς ἀκτῖνας καὶ τὸ φέγγος συναΐδια ἔχει· οὕτως ὁ πατὴρ υἱὸν καὶ ἅγιον πνεῦμα· ἵνα μὴ εἴπωμεν καὶ τὸν πατέρα ἀπὸ ἀρχῆς. εἰ γὰρ λέγεται ἀπὸ ἀρχῆς πρὶν ἄρξασθαι τὸν υἱὸν, οὐκ ἦν ὁ πατὴρ πατὴρ, κατὰ τὸν σὸν λόγον· καὶ ἀναγκασθήσῃ τὸν πατέρα ἀπ' ἀρχῆς ποιεῖν ἀσεβῶς. εἰ δὲ μή τι ἀντεπάγω σοι κἀγώ. θέλων ὁ πατὴρ ἐγένετο πατὴρ, ἢ μὴ θέλων; ἐὰν εἴπῃς, θέλων· ἰδὲ οὖν, πρὶν θελῆσαι οὐκ ἦν πατήρ. ἦν δὲ οὖν χρόνος ὅτε οὐκ ἦν πατὴρ ὁ πατήρ· καὶ αὐτὸς οὖν ἤρξατο τοῦ εἶναι πατήρ. ἐὰν εἴπῃς, μὴ θέλων, τετυράννηται· Θεὸς δὲ οὐ τυραννεῖται· τὸ γὰρ τυραννούμενον οὐ Θεός. ὁρᾷς εἰς πόσην ἐμπίπτεις ἀσέβειαν, ἐὰν μὴ ὁμολογήσῃς συνάναρχον καὶ συναΐδιον καὶ συνδημιουργὸν πρὸς τὸν υἱόν; καὶ πῶς εἴπω συνδημιουργόν; γέγραπται γὰρ, Ὅτι πάντα δι' αὐτοῦ ἐγένετο. οὐκ ἀκούεις τοῦ προφήτου λέγοντος περὶ τοῦ υἱοῦ· Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον· καὶ τὰ ἑξῆς· Ὅτι ὄψομαι τοὺς οὐρανοὺς ἔργα τῶν δακτύλων σου, σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας; οὐχ ὁρᾷς τοῦ Χριστοῦ τὴν αὐθεντίαν λέγοντος· Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι· καὶ, Ὥσπερ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ· οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ· καὶ, Νεανίσκε, σοὶ λέγω, ἐγέρθητι· καὶ τῷ πνεύματι τῷ ἀκαθάρτῳ· Ἐγώ σοι ἐπιτάσσω, φιμώθητι, καὶ ἔξελθε ἀπ' αὐτοῦ· καὶ, Θάρσει τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου; ἐπειδὴ γὰρ ἐκεῖνοι ἔλεγον, οὐδεὶς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ Θεός· ἐκ τοῦ στόματος αὐτῶν ἐλέγχων αὐτοὺς, φησίν· ὑμεῖς εἴπατε ὅτι Θεοῦ μόνου ἐστὶν ἀφιέναι ἁμαρτίας· ἰδοὺ οὖν ἀφίημι ἁμαρτίας, καὶ ὁμολογήσατέ μου τὴν θεότητα. εἰ δὲ ἀπιστεῖτε, ἐκ τῆς τοῦ σώματος ῥώσεως βλέπετε καὶ μάθετε καὶ τὴν τῆς ψυχῆς ὑγίειαν. τότε λέγει αὐτῷ· Ἐγερθεὶς ἆρόν σου τὸν κράββατον, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. καὶ πάλιν ἄλλῳ· Ἔκτεινόν σου τὴν χεῖρα. καὶ τῇ θαλάσσῃ· Σιώπα, πεφίμωσο· Ἡ παῖς ἐγείρου· Λάζαρε, δεῦρο ἔξω· Θέλω, καθαρίσθητι· καὶ τὰ ἑξῆς ἅπαντα, δι' ὧν δηλοῖ τὸ πρὸς τὸν πατέρα ὁμότιμον. ἅπερ ἅπαντα καταμανθάνων, πίστευε ὅτι ὁμοούσιός ἐστι τῷ πατρί. ὁμοούσιον δὲ καὶ τὸ πνεῦμα. εἰ γὰρ ἐκ τοῦ πατρὸς ἐκπορεύεται, καὶ ἐκ τοῦ υἱοῦ λαμβάνει· οὐκ ἀλλότριον τῆς οὐσίας τοῦ Θεοῦ τὸ πνεῦμα· πνεῦμα Θεοῦ, πνεῦμα Χριστοῦ, πνεῦμα ἀληθείας, πνεῦμα παράκλητον, αὐτὸ παράθετον. Πνεῦμα ὁ Θεός· Ὁ δὲ Κύριος τὸ πνεῦμά ἐστι, καθὼς καὶ ὁ Πέτρος πρὸς τὸν Ἀνανίαν· Τί ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ πνεῦμα τὸ ἅγιον; καὶ δηλῶν ὅτι Θεός ἐστι, φησίν· Οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ. ὁρᾷς ὅτι Θεὸς τὸ πνεῦμα ᾧ ἐψεύσατο; καὶ ὁ Παῦλος λέγει· Ὑμεῖς ναὸς Θεοῦ ἐστε, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν. δηλονότι Θεός ἐστι τὸ πνεῦμα τὸ οἰκοῦν ἐν ἡμῖν. Ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν· καὶ, Ὁ δεύτερος ἄνθρωπος εἰς πνεῦμα ζωοποιοῦν· καὶ ἀλλαχοῦ λέγει· Ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδὲν, τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν. μὴ τολμήσῃς οὖν φθέγξασθαί τι κατὰ τῆς ὁμοουσίου καὶ παντοδυνάμου τριάδος. καὶ πάλιν, Οὐδεὶς οἶδε τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ· οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ· οὐκ ἔτι τὸ ἐν αὐτῷ, ἵνα μή τις σύνθετον τὸ πνεῦμα νομίσῃ. Τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ. ναὶ ἐρευνᾷ μὲν, οὐ καταλαμβάνει δέ. οὐ γὰρ γέγραπται, ὅτι καταλαμβάνει. πῶς οὖν ἐρευνᾷ; ὡς περίεργον, ὡς ἀλλότριον, ὡς ἀγνοοῦν; εἰ γὰρ μὴ γέγραπται, Βαθύτερά σου μὴ ζήτει, καὶ ἰσχυρότερά σου μὴ ἐξέταζε· ἃ προσετάγη σοι, ταῦτα διανοοῦ· οὐ γάρ ἐστι χρεία τῶν κρυπτῶν· εἰ ἀλλότριόν ἐστι, κατὰ τὸν σὸν λόγον, πῶς ἐτόλμα τὰ βάθη τοῦ Θεοῦ ἐρευνᾶν; περὶ τοῦ πατρὸς γέγραπται· Ἐγὼ Θεὸς δοκιμάζων

Ιω α. γ.
Ψαλ. η. γ.
Ιω ε. ιζ. κα.
Λυκ. ζ. ιδ.
Μαρκ θ. κε.
Ματθ. θ. ϛ.
Ματθ. θ. ε.
Ματθ. ιϛ. ιγ.
Μαρκ δ. λθ.
Λυκ. η νδ.
Ιωαν. ια μγ.
Μαρκ α. μα.
Ιωαν. ιε. κϛ.
ϗ ιϛ. ιδ.
Ιωα. δ. κδ.
β. Κορ. γ. ιζ.
Πραξ. ε θ δ.
α. Κορ. γ. ιϛ.
Πραξ. ιζ κη.
α Κορ ιε. με
Ιωαν. ϛ ξγ.
α. Κορ. β. ια.
Σειρ. γ. κ.
Ιερ. ιζ ι.

νεφροὺς, καὶ ἐρευνῶν ταμιεῖα κοιλίας. ἆρα διὰ τὸ μὴ προσκεῖσθαι τὸ, καταλαμβάνω,
ἀγνοεῖ τὸν πατέρα φύσεως; εἰ ἀγνοεῖ ἐρευνᾷ· καὶ εἰ δοκιμάζει· ἵνα καὶ περὶ τοῦ προσκυνητοῦ
Πράξ. ιγ. β. πνεύματος τοῦτο τολμήσεις λέγειν; πῶς εἶπεν, Ἀφορίσατε δή μοι τὸν Παῦλον καὶ τὸν Βαρνάβαν
εἰς τὸ ἔργον, ὃ προσκέκλημαι αὐτούς; ὁρᾷς τὴν ἐξουσίαν· νόει τὴν θεότητα. καὶ ὁ Ἄγαβος·
Πράξ. κα. ια. Τάδε λέγει τὸ πνεῦμα τὸ ἅγιον· τὸν ἄνδρα, οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτω δήσουσιν ἐν Ἱερουσαλήμ·
Πράξ. ιε. κη. καὶ τῷ ἀποστόλῳ· Ἔδοξε τῷ ἁγίῳ πνεύματι μηδὲν πλέον τηρεῖν. καὶ πάλιν· Διελθόντες
καὶ ιϛ. ϛ. δὲ τὴν Φρυγίαν καὶ τὴν Γαλατικὴν χώραν, κωλυθέντες ὑπὸ τοῦ ἁγίου πνεύματος λαλῆσαι
τὸν λόγον ἐν τῇ Ἀσίᾳ, ἐλθόντες δὲ εἰς Μυσίαν, ἐπείραζον εἰς τὴν Βιθυνίαν πορεύεσθαι·
καὶ οὐκ εἴασεν αὐτοὺς τὸ πνεῦμα τὸ ἅγιον. καὶ πάλιν· Ὅτι τὸ πνεῦμα [μοι] τὸ ἅγιον
Ἀγγ. β. ε. κατὰ πόλιν διαμαρτύρεται λέγον, καὶ τὰ ἑξῆς. καὶ ὁ προφήτης, Τὸ πνεῦμά μου, φησὶν, ἐφέστηκεν
Ματθ. ιη. κ. ἐν μέσῳ ὑμῶν. ὁ δὲ Κύριος· Ὅπου ἐὰν εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ
Ἡσ. μη. ιϛ. εἰμι ἐν μέσῳ αὐτῶν. καὶ, Κύριος ἀπέσταλκέ με, καὶ τὸ πνεῦμα αὐτοῦ. Προσέχετε ἑαυτοῖς,
Πράξ. κ. κη. καὶ παντὶ τῷ ποιμνίῳ ἐν ᾧ ὑμᾶς ἔθετο τὸ πνεῦμα τὸ ἅγιον ἐπισκόπους καὶ διακόνους. ὁρᾷς
τὴν δύναμιν τοῦ ἁγίου πνεύματος, καὶ τὴν αὐθεντίαν, καὶ τὴν ἐξουσίαν. οὐκ ἄρα ἀλλότριον
Ἡσ. ϛ. α. ε. η. τοῦ Θεοῦ τὸ πνεῦμα. Εἶδον, φησὶν Ἡσαΐας, τὸν Θεὸν ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου,
καὶ τὰ σεραφὶμ κύκλῳ αὐτοῦ, καὶ τὰ ἑξῆς· καὶ εἶπον, ὦ τάλας ἐγὼ, ὅτι κατανένυγμαι, ὅτι ἀκάθαρτα
χείλη ἔχων, ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ, καὶ τὸν βασιλέα
Κύριον σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου. καὶ εἶπε, τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; καὶ
εἶπον· ἰδοὺ ἐγώ· ἀπόστειλόν με. καὶ εἶπε πρός με (δηλονότι ὁ καθήμενος ἐν τῷ θρόνῳ)
πορεύθητι πρὸς τὸν λαὸν τοῦτον, καὶ εἰπέ· ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες
βλέψετε, καὶ οὐ μὴ ἴδητε. τίς ἐστιν ὁ καθήμενος ἐπὶ θρόνου; ὁ πατὴρ, φησίν. ἐὰν δὲ μάθῃς
παρὰ τοῦ Παύλου, ὅτι τὸ πνεῦμά ἐστιν· ὁμολογήσῃς αὐτὸν Θεόν. δεῖξον, φησὶ, καὶ πιστεύω. ἄκουε
Πράξ. κη. κε. λοιπὸν αὐτοῦ λέγοντος· Καλῶς εἶπε τὸ πνεῦμα τὸ ἅγιον διὰ Ἡσαΐου τοῦ προφήτου·
πορεύθητι πρὸς τὸν λαὸν τοῦτον, καὶ εἰπέ· ἀκοῇ ἀκούσετε, καὶ τὰ ἑξῆς. Παῦλος λέγει, εἶπε
τὸ πνεῦμα τὸ ἅγιον· Ἡσαΐας λέγει, εἶπε Κύριος σαβαώθ· ὅτι ἀδιάφορόν ἐστι τῇ γραφῇ,
περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος λέγειν. μηκέτι οὖν λέγε μέγαν καὶ μικρὸν Θεὸν, ἐμπίπτων
Τιτ. β. ιγ. εἰς ἑλληνισμόν. εἰ γὰρ μικρὸς Θεὸς ὁ υἱὸς, ψεύδεται Παῦλος λέγων· Προσδεχόμενοι
τὴν μακαρίαν ἐλπίδα τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.
ὃν οὖν Παῦλος καλεῖ μέγαν Θεὸν, σὺ μὴ κάλει μικρόν. ἐν γὰρ Θεῷ πάντα τέλεια. καὶ
Ρωμ. θ. ε. πάλιν· Ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας.
μήτε κτιστὸν Θεὸν ὀνομάσῃς ποτέ. ἀσεβὴς γὰρ ὁ κτίσμα προσκυνῶν. τί οὖν; οὐ λέγεις τὸ σῶμα
τοῦ Κυρίου κτιστόν; ἰδὲ οὖν, καὶ σὺ κτίσματι προσκυνεῖς, ἀκούετε. οὐδεὶς λέγει βασιλεῖ,
ἔκδυσαι τὴν πορφυρίδα σου, ἢ, ἔγειραι ἐκ τοῦ θρόνου σου, ἵνα σοι ψιλῷ προσκυνήσω· ἀλλὰ
προσκυνεῖ βασιλεῖ ἐπὶ θρόνου καθημένῳ, καὶ ἐν πορφυρίδι ὄντι. ηὐδόκησε γὰρ ὁ Θεὸς
λόγος τὴν κτιστὴν σάρκα τὴν ἐξ ἡμῶν ἀκηλιδώτως ἑνῶσαι ἑαυτῷ· προσκυνητὴ οὖν
ἐστι σὺν τῷ Θεῷ λόγῳ, καθὼς καὶ ἀπεθέωσεν αὐτήν. καὶ τοῦτο σημαίνων ὁ θεσπέσιος Δαβὶδ
Ψαλ. ϟη. ε. βοᾷ· Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ,
Ἡσ. ξϛ. α. ὅτι ἅγιός ἐστιν. ἐν ἄλλῳ ῥητῷ λέγων· Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν
μου. τῇ γῇ ἡμᾶς κελεύεις προσκυνεῖν, ὦ μακάριε Δαβίδ; καὶ πῶς Μωϋσῆς νομοθετεῖ,
μήτε τῷ οὐρανῷ, μήτε τῇ γῇ, μήτε τοῖς ἐν αὐτοῖς προσκυνεῖν; ὁρᾶτε μυστήριον. ἐπειδὴ ἤμελλε
χωρὶς ἁμαρτίας τὴν ἡμετέραν σάρκα ἑνοῦν ἑαυτῷ εἰς μίαν προσκύνησιν, ἡ δὲ σὰρξ
ἡμῶν ἐκ τοῦ Ἀδὰμ, ἐκ τῆς γῆς· κατὰ τοῦτο λέγει, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν
αὐτοῦ. ἡμεῖς τῇ γῇ οὐ προσκυνοῦμεν, ἀλλὰ τῷ Θεῷ λόγῳ τῷ ἑνώσαντι ἑαυτῷ χωρὶς
ἁμαρτίας τὴν ἐκ τῆς γῆς πλασθεῖσαν τοῦ Ἀδὰμ σάρκα. μηκέτι οὖν λέγε κτιστὸν Θεὸν

τὸν υἱόν. εἰ γὰρ ποτὲ εἶπεν ὁ πατήρ, ἔκτισά μοι υἱόν· ἢ ὁ υἱός, ἔκτισέ με ὁ πατήρ; μηδὲ τὰς ἀνθρωπίνας φωνὰς τοῦ Χριστοῦ εἰς ἐλάττωσιν αὐτοῦ λάμβανε. εἰ γὰρ τούτων λεχθέντων, καὶ τῶν ἀνθρωπίνων ἐπ᾽ αὐτῷ λεχθέντων, ἐτόλμησάν τινες λέγειν, δοκήσει καὶ φαντασίᾳ αὐτὸν σεσαρκῶσθαι· εἰ μὴ ταῦτα ἐγεγόνει, ποῦ οὐκ ἂν ἦλθον ἐξοκείλαντες ἀσεβείας; πᾶς οὖν ὁ ταῖς ἁγίαις γραφαῖς πιστεύων, προσκυνείτω τριάδα ἄκτιστον, ἄτρεπτον, ἀναλλοίωτον, ταυτοδύναμον, συνάναρχον, συναΐδιον καὶ ὁμοούσιον, πατέρα, καὶ υἱόν, τὸν πρότερον μὲν ἄσαρκον, ἐπὶ τέλει δὲ βουλήσει ἰδίᾳ ἐνανθρωπήσαντα τελείως, χωρὶς ἁμαρτίας, ἀτρέπτως καὶ ἀναλλοιώτως (γεγονὼς γὰρ ἄνθρωπος, ἔμεινεν ὃ ἦν Θεός. οὐ γὰρ ἐξέστη τῆς αὐτοῦ δόξης καὶ ἀξίας) καὶ τὸ πνεῦμα τὸ ἅγιον, πνεῦμα τὸ λαλῆσαν διὰ τῶν προφητῶν. τοὺς δὲ λέγοντας κτιστὸν τὸν υἱόν, ἢ τὸ πνεῦμα, ἢ ἀλλοιωτόν, ἢ ἐξ ἑτέρας οὐσίας, ἢ ἐξ οὐκ ὄντων γεγονότα, ἢ ὅτι ἦν καιρὸς ὅτε οὐκ ἦν, ἀναθεματίζει αὐτοὺς ἡ καθολικὴ ἐκκλησία. ἐπαρκεῖ δὲ ταῦτα τῷ βουλομένῳ, κἂν ὀλίγα ὦσιν. ἅπαντα γὰρ διεξελθεῖν ἀδύνατον. ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος. οὐδὲ αὐτὸν γὰρ οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. ἡμεῖς δὲ οἱ ἀνάξιοι, οἱ καταξιωθέντες ὠφεληθῆναι ἐκ τῶν θείων γραφῶν, προσκυνῶμεν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα· ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

...ν. ἦν ἐν ... (ἦν) ... ἐξέστη. τὸ ...

ΟΤΙ ΟΥ ΧΡΗ ΕΥΤΡΑΠΕΛΙΖΕΙΝ ΤΟΝ ΑΣΚΗΤΗΝ.

Ex Ms. Regio Lut.

Φιλιπ. β.

Ἀναγκαῖαι αἱ παραινέσεις τοῦ μακαρίου Παύλου, μετὰ φόβου κελεύουσαι τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθαι. ὁ γὰρ μὴ μετὰ φόβου καὶ πολλῆς ἐπιμελείας τὴν ἄσκησιν τῆς ἀρετῆς ἐργαζόμενος, πολλὰς ὑφίσταται τὰς εἰς τὸ κακὸν ἐκτροπάς, καὶ ὥσπερ ἐξ εὐθείας καὶ βασιλικῆς ὁδοῦ πλανώμενος, εἰς τὰς δι᾽ ἀκανθῶν καὶ σκοπέλων πλαγίας καὶ ἀνοδίας. διὸ καὶ πρὸς τὸν Θεὸν εὐχαὶ ἀδιάλειπτοι ὁδηγοὶ εἰς τὸ ἀγαθὸν γίνονται, ὁδήγησόν με, λεγόντων, ἐπὶ τῇ ἀληθείᾳ σου, καὶ κατάρτισον τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου. ἀγαθὸν οὖν ἡ χρηστότης, καὶ ἡ ἀγάπη κεφάλαιόν ἐστι τῶν ἀγαθῶν. τούτοις δὲ ἀκολουθεῖ φαιδρότης πολλή, καὶ γέλως ὑπερβάλλων τὸ μέτρον, καὶ ἡ τὴν σεμνότητα ταπεινοῦσα εὐτραπελία. δεινὸν δὴ τὸ διαχυθῆναι τῇ εὐτραπελίᾳ. ὁ γὰρ γέλως χαυνοῖ τὸν δεσμὸν τῆς σωφροσύνης· γέλως ἀπωθεῖται σεμνότητα· γέλως οὐ μιμνήσκεται φόβου Θεοῦ· γέλως οὐ φοβεῖται ἀπειλὴν γεέννης· γέλως πορνείας ὁδηγός· εὐτραπελία ἔλεγχός ἐστι τοῦ ἀκολάστου ἀνθρώπου· γελωτοποιΐα καταφρονήσεως πρόφασις. διὰ τοῦτο ὁ μακάριος ἀπόστολος ἀπαγορεύει λέγων· Μωρολογία, ἢ εὐτραπελία, τὰ οὐκ ἀνήκοντα, ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω, ἀλλὰ μᾶλλον εὐχαριστία· τοῦτο λέγων, ὅτι δεῖ τὴν εὐθυμίαν μὴ πρόφασιν κτήσασθαι ῥαθυμίας, ἀλλὰ εὐχαριστίας ὑπόθεσιν πρὸς τὸν δεδωκότα. διὰ τοῦτο μαρτυρεῖ μὲν Ἰώβ, ὑπὲρ ἑαυτοῦ λέγων· Εἰ δὲ καὶ ἤμην πεπορευμένος μετὰ γελοιαστῶν. ἐπιπλήττει δὲ τοῖς φιλογέλωσι τρόπῳ Σολομῶν· Ἀγαθόν, φησί, θυμὸς ὑπὲρ γέλωτα ἐν κακίᾳ προσώπου· ἀγαθυνθήσεται καρδία. σοφῶν ἐν οἴκῳ πένθους, καρδία δὲ ἀφρόνων ἐν οἴκῳ εὐφροσύνης. ἀγαθὸν τὸ ἀκοῦσαι ἐπιτίμησιν σοφοῦ ὑπὲρ ἄνδρα ἀκούοντα ᾆσμα ἀφρόνων. τὸ δὲ ἀπρεπὲς καὶ ἄτιμον τῶν εἰς γέλωτα ἐγκειμένων ἐλέγχων φησί, Φωνὴ ἀκανθῶν ὑπὸ τὸν λέβητα· οὕτως ὁ γέλως τῶν ἀφρόνων. πρὸς τί δὲ προσήκει τὸ πολὺ φαιδρὸν καὶ ἱλαρόν; εἰς τὸ σοφόν, ἡσύχιον, καὶ σεμνὸν ἀεὶ θῆτι καὶ διὰ φόβου καὶ μερίμνης τοῦ ὀφθῆναι Θεῷ περιαιρεῖ τὸ ἄγαν ἱλαρόν. οἱ δὲ φαιδρότησιν ἀμέτροις καὶ γελοίοις διαχεόμενοι, ἐοίκασιν ἀγνοεῖν τὰ καθ᾽ ἑαυτούς, λήθῃ τινὶ βεβαρημένοι τὴν ψυχήν, καὶ μηδὲ τοῦ δεσπότου τὴν παρουσίαν προσδοκῶντες. οὔπω τοῦ

Ψαλ. ις, ε.

Ἐφ. ε. δ.

Ἰώβ. λα. ε.

Ἐκκλησ. ζ. δ.

Ἐκκλησ. ζ. ζ.

δεσπότου τὴν εὐμένειαν, ὦ ἄνθρωπε, οὔπω τῆς κακίας βεβαίως ἔχεις τὴν ἀπαλλαγήν· οὐ γινώσκεις τὸ μικρὸν ὕστερον ἐσόμενον, ὅ,τι μὲν αὐτὸς ἔσῃ, τί δέ σοι συμβήσεται· εἶτα γελᾷς ἀφροντίστως καὶ εὐτραπελίζεις καὶ ἄγεις σεαυτὸν ἀφόβως, δέον ἐγκεῖσθαι ταῖς πρὸς Θεὸν ἱκεσίαις, ἀγωνιᾶν δὲ ὑπὲρ τῶν μελλόντων, καὶ τρέμειν μὲν ὑπὲρ αὐτοῦ, μή ποτε τῆς ἀρετῆς ἐκτραπῇς, φροντίζειν καὶ δεδοικέναι περὶ τῶν ἀπαντησομένων, μὴ χαλεπώτερα καὶ μείζονα τῆς σῆς δυνάμεως ″ἀπέλθοι, τοσούτων καὶ τηλικούτων ἐν μέσῳ πολέμων ἀπειλημμένος; ἴσ. ἐπέλθοι ἀγῶνα ἐχέτω ἡ ψυχή σου. πολεμοῦσιν ἀοράτως δαίμονες, πολεμοῦσι φανερῶς ἄνθρωποι, πολεμεῖ τὰ τῆς ψυχῆς ἔνδον πάθη, αἱ διὰ σώματος ἐγειρόμεναι ἡδοναί, καὶ αἱ περὶ τὸ σῶμα ἔξωθεν συμφοραί. τοῖς γὰρ πλησίον οὐ συναλγεῖς, οὐκ ἀσθενεῖς μετὰ τῶν ἀσθενούντων, οὐ κλαίεις μετὰ τῶν κλαιόντων, οὐ δέδοικας περὶ τῶν μὴ βεβαίως περὶ τὴν πίστιν διακειμένων, μὴ μετακινηθῶσι καὶ πέσωσιν. οὐ θρηνεῖς τοὺς πεπτωκότας, οὐ χεῖρα ὀρέγεις τοῖς κειμένοις, οὐκ ἐπιλαμβάνῃ τοῦ γελῶντος ἔνδοθεν στεναγμοῖς, ἐπεὶ ἐληθάργησας τὴν ἡτοιμασμένην κόλασιν· οὐκ ἀνατρέπει σου τὴν ἄκαιρον τρυφὴν ὁ τοῦ συνεσταλμένου καιροῦ λογισμός, οὐχὶ τῆς μελλούσης φοβερᾶς ἡμέρας παρουσία, ἀλλ' ἐκείνους μὲν μεμίμησαι τοὺς μετὰ κιθάρας καὶ ψαλτηρίου τὸν οἶνον πίνοντας· οἷς ἀντὶ τῆς εὐφροσύνης, τὸ οὐαὶ ἠπείλησεν ὁ προφήτης. Ἡσ. κβ. ιβ. Ἐγὼ μὲν γάρ, φησιν, ἐκήρυξα κλαυθμὸν καὶ κοπετὸν καὶ ξύρησιν κεφαλῆς καὶ περίζωσιν σάκκου· αὐτοὶ δὲ ἐποιήσαντο εὐφροσύνην καὶ χαράν, λέγοντες, φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. καὶ ἀνακεκαλυμμένα εἰσὶ ταῦτα ἐν τοῖς ὠσὶ Κυρίου σαβαώθ, ὅτι οὐκ ἀφεθήσεται αὐτοῖς ἡ ἁμαρτία αὕτη ἕως ἂν ἀποθάνωσιν. ἀκούων ταῦτα φοβήθητι καὶ στέναξον· μὴ μιμήσῃ τοὺς φαγόντας καὶ πιόντας καὶ ἀναστάντας παίζειν. καὶ ἵνα τὸ πικρότερον εἴπω, θυσίαι καὶ τροφαὶ καὶ παίγνια τοῦ πρὸς Θεὸν ληθαργῆσαι φόβου ἐποίησε, καὶ πρὸς εἰδωλολατρείαν ἐξείλκυσε. φοβήθητι μὴ σοῦ γελῶντος ὁ δεσπότης ὀργίζηται, ὁ τοὺς μὲν κλαίοντας μακαρίσας, τοὺς δὲ γελῶντας ταλανίσας· μὴ τὴν παιγνίαν σου, καὶ τὸν ἐκκεχυμένον γέλωτα, ἀφοβίαν περὶ Θεοῦ, καὶ λήθην τῶν συμφερόντων ὁ διάβολος εὑρών, ἐπιβῇ τῇ ψυχῇ σου, καὶ σπείρῃ τὰ ἑαυτοῦ ζιζάνια. ἦν ὅτε ἄνεσιν εἶχον οἱ καιροὶ μᾶλλον ἐπιτηδείως· ἀλλ' ὅμως καὶ τότε πολὺ παρὰ τοῖς ἁγίοις ἦν τὸ σκυθρωπὸν ἀντὶ τοῦ περιχαροῦς. καί φησιν ὁ ψαλμῳδός, Ψαλ. λζ. ς. καὶ ς. ς. Ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην, καί, Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου· ἐν δὲ δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. κατηφὴς ἐπὶ ταῖς ἁμαρτίαις γινόμενος, καὶ περὶ τῶν συμφορῶν ὀδυρόμενος, καὶ τὰς τῆς Ἱερουσαλὴμ συμφορὰς κάθηται κλαίων ὁ προφήτης Ἱερεμίας· καὶ σὺ τοίνυν μὴ καρηβαρίᾳ καὶ μέθῃ χρώμενος καὶ γελοίοις καὶ εὐτραπελίᾳ ἐκδώσῃς σεαυτόν. διὰ τοῦτο γάρ σου καὶ κιθάρα περιῄρηται, καὶ οὔτε τύμπανον ἔχεις ἐν χερσί, καταξ α. Κορ. ιδ. ιε. καὶ καρδίᾳ μᾶλλον, ἢ τῷ στόματι ψάλλειν ὁ Παῦλος ἐδίδασκεν, ὁ πανταχόθεν συστέλλων τὸν ἄνθρωπον ἀπὸ πάσης ἐκλύσεως. Γεν. κθ. η. ἔπαιζεν ὁ πατὴρ Ἰσαὰκ πρὸς τὴν ἑαυτοῦ γυναῖκα· ἀλλά σοι καὶ τὰ πρὸς γυναῖκα σεμνότερα διατέτακται, ὅτι ὁ καιρὸς συνεσταλμένος ἐστὶν· α. Κορ. ζ. κθ. ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες ὦσι, καὶ οἱ χαίροντες ὡς μὴ χαίροντες, καὶ οἱ ἀγοράζοντες, καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ, ὡς μὴ καταχρώμενοι. παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου. σὺ οὐ βούλει συστέλλεσθαι, πάντων τῶν πραγμάτων συστελλομένων· ἀλλὰ καὶ ἐνώπιον γυναικῶν ἀδιαφόρως ἐκχέεις δάκρυα, καὶ πληθύνεις παίγνια, καὶ γελοῖα προτείνεις, καὶ διακλᾶσαι αἰσχρολογίας προφέρων; μὴ φέρων γὰρ τὴν ἐν τῷ ἀκολάστῳ σου σώματι πύρωσιν, λοιπὸν ἐκφέρεις τὸν βόρβορον ἔξω, καὶ ἑαυτὸν φανερὸν ποιεῖς. οἷος εἶ διὰ τῶν ῥημάτων, τοιοῦτος πάντως ἔσῃ, καὶ πολὺ χείρων ἐν τῷ ἔσω ἀνθρώπῳ. τί ἀφόβως συναναμίγνυσαι γυναιξί; τί ″σεαυτὸν εἰς τὴν παγίδα κατατρέχεις; τί εἰς τὸν κίνδυνον ἑαυτὸν γρ. σεαυτὸ ἐμβάλλεις; τί φαιδρωπὴ πρὸς θηλείας, καὶ συνδιάγει τολμᾷς; διὰ τοῦτο νηστεῖαι, διὰ τοῦτο προσευχαί, διὰ τοῦτο κατάξηρος δίαιτα, διὰ τοῦτο πολυτρόποις ″ἀθλήσεις ἐπινοοῦσιν ἴσ. ἀσκήσε ἄνθρωποι, διὰ τοῦτο τὰς ἐρήμους μεταδιώκουσιν· ἔνιοι δὲ οὐδὲ ἄρτου οὐδὲ ὕδατος κορέννυνται, δι' οὐδὲν ἕτερον, ἢ διὰ τὸ φυγεῖν ἐκεῖνα τὰ σκάνδαλα, διὰ τὸ μὴ ἐμπεσόντας τῆς θηλείας πτῶμα γενέσθαι αἰσχρόν. σὺ δὲ ταῦτα πάντα παραδραμὼν, καὶ μετὰ τὸν κίνδυνον ἐννοήσας, μετὰ τὴν παγίδα, δι' ἧς ὁ πρωτόπλαστος ἐκ τῆς τηλικαύτης μακαριότητος ἐξέπεσεν, οὐκ ἐννοεῖς τὸ ὅπλον τοῦ διαβόλου, δι' οὗ ὁ ἀρχαῖος τρωθεὶς καταβέβληται. καὶ ὁ μὲν δεσπότης καὶ τὸ ἐμβλέψαι γυναικὶ ἀπηγόρευσε, πορνείαν διαγράφων· σὺ δὲ εἰς τοσοῦτον ἐμάνης, καὶ πλαστὰ ὀνόματα ἐπιθεὶς τῇ προσωνυμίᾳ τῆς ἀγάπης, προφάσει χρηστότητος ἑαυτῷ σύνοικον ἐπεσπάσω, ὡς ἡ Εὔα τὸν ὄφιν. ἀποδήσας τὸ πῦρ ἐν τῷ κόλπῳ, καὶ λύχνον εἰς χόρτον θήσας, κίνδυνον ἐξ ἀμφοτέρων ἕξεις. ἢ γὰρ εἰς αὐτὸ τὸ πτῶμα τοῦ βαράθρου ἐμπεσὼν, περὶ τὴν σωφροσύνην ἐκινδύνευσας· ἢ εἰ μὴ τοῦτο πάθοις, φήμην αἰσχρὰν ἑαυτῷ περιάψεις, ὁ κελευόμενος προνοεῖσθαι καλὰ, οὐ μόνον ἐνώπιον Κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων. διὸ παραίνεσιν ἔχων ἐκκλησιαστικὴν, ὀφείλεις διαφυλάττεσθαι ὅσα σεμνά· καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ ὅσα εὔφημα. μέτρησον τῷ σεμνῷ τὸ χρηστὸν, τὸν φόβον ἐπίθες σωφρονιστήν. τί χραίνεις τὸ καλὸν ὄνομα τοῦ χριστιανισμοῦ; τί καὶ τὰς ἑτέρων παγιδεύεις ψυχὰς, συνοίκους ἐπισπασάμενος; οὐ μόνον γὰρ τῆς περὶ τῆς σῆς ψυχῆς ἀπολογίας τὸν λόγον δώσεις, ἀλλὰ καὶ περὶ ὧν διὰ σὲ ἐσκανδαλίσθησαν. ἔκβαλε τὸν ὄφιν ἐκ τοῦ κόλπου σου, ἔκβαλε τὸν κίνδυνον ἀπὸ σεαυτοῦ. εἰ ἐπιποθεῖς ὑπὸ θηλειῶν διακονεῖσθαι, διὰ τί ἀρχαῖον νόμον οὐκ ἐφύλαξας, καὶ γάμῳ νομίμῳ συνήφθης; ὁ γάμος κόλασιν οὐκ ἔχει· ἡ μοιχεία κόλασιν ἔχει ἀπαραίτητον. μοιχεία γάρ ἐστι, καὶ μεγάλη μοιχεία ἡ σὺν γυναιξὶ συνοίκησις. ἀνερεύνησον τὴν συνείδησίν σου, εἰ οὐδέποτε ἐβλάβης· εἰ οὔτε νυκτὸς, οὔτε ἡμέρας ἐδέξω πληγήν. ἐγὼ δὲ ἀναπτύξω σου τὴν καρδίαν, εἰ καὶ μέλλεις ἀρνεῖσθαι. ἀλλ' ἐμοὶ οὐ μέλει. πάνυ γὰρ ἀλγῶ ὅταν εἴδω ἀσκητὴν συνείσακτον ἐπισπασάμενον. ἐγὼ δέ σοι λέγω, ὅτι κατὰ πᾶσαν ὥραν τραυματίζῃ, καὶ κατὰ πᾶσαν ὥραν θηλυάλωτος γίνῃ. χαλωμένου γὰρ τοῦ τῆς σωφροσύνης δεσμοῦ· ἐκλύῃ ὁ γενναῖος πολεμιστής· αἰχμάλωτος ἀντὶ νικητοῦ ἀναδεικνύῃ. μὴ γὰρ λίθος εἶ; ἄνθρωπος εἶ, τοῖς κοινοῖς τῆς φύσεως συμπτώμασιν ὑποκείμενος. πῦρ ἔχεις ἐν τῷ κόλπῳ, καὶ οὐ καίῃ; καὶ πῶς ἔχει λόγον; θὲς λύχνον εἰς χόρτον, καὶ τότε ἴδε, εἰ δύνασαί μοι εἰπεῖν, ὅτι οὐ καίεται ὁ χόρτος. εἰ δὲ ἀρνήσῃ, ὅτι οὐ καίεται ὁ χόρτος, ἐμοὶ μὴ λέγε, ἀλλὰ τῷ εἰδότι τὰ κρύφια, ὃς ἔρχεται συναγαγεῖν τοὺς λογισμούς. κριτικὸς γάρ ἐστιν ἐνθυμήσεων καὶ λογισμῶν, καὶ ἐννοίας καρδιῶν συνιεῖ. λέγει γὰρ, Ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. βλέπε μὴ κατὰ πᾶσαν ὥραν μοιχεία ἐν σοὶ εὑρίσκηται. Παῦλος ἐρεῖ, νηστείαις καὶ ἀσκήσεσι καὶ τῇ καταξηροῦ διαίτῃ τειχίζω ἐμαυτὸν, ἵνα μὴ τοῖς προκειμένοις ἐμπέσω. οὐκοῦν δι' οὐδὲν ἕτερον ἡ ἄσκησίς σου, ἀλλ' ἢ διὰ τὴν σύνοικόν σου· οὐκοῦν ἔτι θησαυρίζεις δικαιοσύνην. ὑπέσυρε γάρ σου ἐκείνη τὴν ἄσκησιν. ἔκβαλε τοίνυν ἀπὸ σεαυτοῦ τὴν ζημιοῦσάν σε πολλῶν ἀγαθῶν, μή σε ἐκβάλῃ ἐκ τοῦ παραδείσου, μή σε ποιήσῃ παίγνιον τῷ διαβόλῳ· μὴ στήσῃς αὐτὴν παρὰ σεαυτῷ, μή πως καταστρέψασά σε σὺν σοὶ εἰς γέενναν κατενεχθῇ. φοβήθητι τὸν φοβερὸν δικαστὴν, διάθου σεαυτῷ διαθήκην μηδὲ ἀτενίσαι γυναικί· πρεσβυτέρων παρόντων αἰδοῦ πολιὰν, καὶ καθάπερ πατέρας αἰδούμενος φεῦγε μωρολογίας καὶ παιγνίας καὶ γέλωτος. νεωτέρῳ μὴ προσπαῖζε, μηδὲ δείκνυε ῥᾳθυμίας ὁδὸν κατάρχων ταύτης αὐτὸς, καὶ πολὺ πλείονα τὴν καταφρόνησιν ἐμποιῶν. γυναῖκα δὲ καὶ μέχρι τῆς ἀντιβλέψεως αὐτῆς αἰδοῦ· ὁ σὸς βίος ἐκείναις γινέσθω τύπος· τοιοῦτον σεαυτὸν ἐπίδειξον, ἵνα σε ἐκεῖναι αἰδῶνται, καὶ τύπος καὶ ἀρχὴ τῆς αἰδοῦς ἐκείναις γίνῃ (ὅτι καὶ ἡγεμονικώτερον ἀνὴρ γυναικός) καὶ μὴ τὴν εὐχέρειαν προσθῇς εὐχερεστέρᾳ φύσει τῇ γυναικείᾳ. γυνὴ αἰδείσθω διαφερόντως, ὅσῳ καὶ χαλεπώτερον ὄνειδος, ἀναισχυντία γυναικός. εἰ καὶ παρρησιάζεσθαι πρὸς ἄνδρας

β. Κορ η. κα.

καταξήρῳ

πολὺ δεινὸν καὶ τολμηρόν, φόβου προστεθέντος γυναικὶ πρὸς τὸν ἴδιον ἄνδρα μᾶλλον ἢ παρρησιάζεσθαι (ἡ γὰρ γυνή, φησιν, ἵνα φοβῆται τὸν ἄνδρα) εἰ οὖν τῇ ἐχούσῃ ἄνδρα τοῦτο ὁ νόμος πρόσκειται, τί λοιπὸν πρὸς σὲ τὴν μὴ ἔχουσαν ἄνδρα; σοὶ λοιπὸν τοῦτο πρέπει μηδὲ ὅλως ἐγγίζειν ἀνδρί, εἰ ἐνδέχεται· μηδὲ ὅλως βλεπέτω ἀνὴρ τὸ πρόσωπόν σου. νύμφη γὰρ Χριστοῦ εἶ. οὕτω πρόερχου, ὡς νύμφη κεκοσμημένη, ἐσκεπασμένη τῷ περιβολαίῳ τὴν ὄψιν, ἵνα μή τινα διὰ τῆς ὁράσεως τραυματίσασα, τῆς ἐκείνου ἀπωλείας σὺ τὴν ἀμοιβὴν ἀπολήψῃ. καὶ ἡμεῖς μὲν ταῦτα λέγομεν κατὰ τὰς ἀρρήτους τῶν γραφῶν διδασκαλίας. πολλαὶ δὲ μηδὲ τὸν φόβον τοῦ Θεοῦ ἐν νῷ λαβοῦσαι, μήτε τὴν εὐχερῆ αὐτῶν πλάσιν φοβηθεῖσαι, μήτε τὴν ἀποκειμένην κόλασιν προειδοῦσαι, ἀδιαφόρως ἐνεγκεῖν, καὶ οἰκείᾳ γνώμῃ προσῆλθον ὑπηρετεῖν ἀνδράσιν, οὔτε ἐξίσου τῷ κηδεμόνι τῆς γαμηθείσης καὶ ἐχούσης ἄνδρα. σὺ δὲ οὐδὲ τοῦτον τὸν ὅρον φυλάττεις. οὐ γὰρ μετὰ φόβου συναναστρέφῃ, ἀλλὰ μετὰ πολλῆς ἀδείας καὶ καταφρονήσεως· καὶ συνεσθίεις, καὶ συμπίνεις, καὶ συνομιλεῖς, καὶ συγγελᾷς ἀτάκτως, καὶ ἐπὶ τούτοις πᾶσιν ἀγνὴ θέλεις παρθένος καλεῖσθαι. οὐκέτι δέ σε παρθένον ἐρῶ, τὴν οὕτως ἑαυτὴν ῥίψασαν, καὶ μηδὲ φοβηθεῖσαν τὸν κίνδυνον. τολμήσω εἰπεῖν τὸ προφητικόν, Ἐκστήτω ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ φριξάτω ἡ κτίσις, εἰς ὅσην ἀναισχυντίαν κεχωρήκαμεν, καὶ τῶν ἐν τοῖς ἐργαστηρίοις πορνῶν. ὥσπερ γὰρ ἐκεῖναι ὑπὸ μίμων ἀγελλόμεναι, ἀνθρώπων ἰταμώτεραι πρὸς τὰς ἀσέμνους πράξεις γίνονται· οὕτω καὶ αὗται εὐδοκήσασαι ἀνδράσι συνοικεῖν. Θεὸς ἀγανακτεῖ, ἄνθρωποι διασύρουσι· κἀκεῖναι τὸν ἄδικον κριτὴν μιμούμεναι, οὔτε τὸν Θεὸν φοβοῦνται, οὔτε ἀνθρώπων ἐντρέπονται· ἀλλ' ἐπὶ τούτοις πᾶσι μειζόνως παρρησιάζονται καὶ τῶν ἐν γάμῳ σεμνῶς παροικουσῶν ἀνδράσιν. αὗται μᾶλλον ἐπηρμένως ἢ μαθῶν ἴσ. τὰ μὲν ὦ συνοικοῦσι, διατίθενται, καὶ ἐκταράττουσι, καὶ αὐθεντίζουσι, καὶ πάσης αὐτοῦ τῆς ὑπάρξεως δεσπόζειν βούλονται· κἂν ἐνίοτε βούληται εἰς εὐποιΐαν ἐκτεῖναι τὴν χεῖρα αὐτοῦ, διακωλύει, καὶ λοιπὸν οὐκέτι ὑπηρέτις, ἀλλὰ δέσποινα γέγονεν. ἀποχώρει οὖν τῆς ἀλλοτρίας συνοικήσεως, ὦ παρθένε, καὶ οὐχὶ μόνον τῆς συνοικήσεως λέγω, ἀλλὰ καὶ τοῦ συνομιλεῖν ἢ συγγελᾶν παρατήρησαι. εἰ γὰρ τῷ φρονίμῳ ἀνδρὶ μόλις ἡσυχῇ μειδιᾶν ἐπιτέτραπται, τῇ σοφῇ γυναικὶ μόλις καὶ τοῦτο κελεύεται. καὶ γὰρ καὶ τὸ μειδιᾶσαι γυναικὶ ἐπαγγελλομένῃ θεοσέβειαν βαρὺ καὶ ἐπικίνδυνον. πολὺ γὰρ βελτίων ἐπὶ σεμνότητι θεωρεῖται γυνή, ἤπερ ἐπὶ τῇ φαιδρότητι καὶ ἱλαρότητι. καὶ δὴ ἐπὶ τὴν πνευματικὴν νύμφην ἀπὸ τῆς γυναικὸς ἐπιφέρων τοὺς ἐπαίνους ὁ τὸ μυστικὸν ᾆσμα γεγραφώς, τὴν σιωπὴν αὐτῆς θαυμάζων, καὶ τὸ τοῦ σχήματος αὐστηρὸν ἐπαινεῖ, θάμβος ὀνομάζων αὐτό. τοῦτο γὰρ τὸ πάνυ σεμνὸν καὶ καταπληκτικὸν τοῖς ὁρῶσι γίνεται. δεῖ γὰρ αὐτῆς τὴν σεμνότητα φοβερὰν εἶναι τοῖς περιέργοις ὀφθαλμοῖς, καὶ τῆς πολυπράγμονος ἀναιδείας ἀποτρεπτικήν, ἧς διὰ τοῦτο καὶ τὸν κόσμον ἀφεῖλε τὸν διὰ χρυσοῦ καὶ τριχῶν ἐμπλοκῆς καὶ ἐσθῆτος πολυτελοῦς, ἵνα μὴ καταστίλβῃ τοῖς περικειμένοις κοσμήμασι, καὶ φαιδρυνομένη τὸν ὀφθαλμὸν τῶν ὁρώντων, καὶ προσκαλῆται εἰς σκάνδαλον. διὰ τοῦτο νηστεῖαι, καὶ ἐγκράτειαι, καὶ ἀσκήσεις· καὶ ὠχρὸν καὶ στυγνὸν τὸ εἶδος, καὶ τὴν στολὴν εὐτελεστέραν ὀφείλει ἔχειν ἡ παρθένος, διὰ τὸ τῆς φύσεως εὐόλισθον. διὰ τοῦτο καὶ ὁ Παῦλος τῷ γνησίῳ τέκνῳ Τιμοθέῳ γράφων, τὴν πρὸς γυναῖκας αὐτοῦ τιμητικὴν χρηστότητα τῆς ἁγνείας ἀσφαλείᾳ προφυλάττει, λέγων·

α. Τιμ. ε. ϛ. Νεωτέρας χήρας τιμᾶν, ὡς ἀδελφὰς ἐν πάσῃ ἁγνείᾳ. εἰ δὲ γυναικὸς τὸν περὶ σώματος κόσμον ἀφαιρεῖ τὰ θεῖα γράμματα, πόσῳ μᾶλλον ἀνδρὶ προσήκει τὸ παντελῶς ἀκαλλώπιστον, καὶ μέχρι τῆς χρείας περιβολή, ἵνα σκέπασμα ᾖ, καὶ μὴ καλλώπισμα, καθάπερ ὠνόμασεν ὁ Παῦλος·

α. Τιμ. ϛ. η. Ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. αἱ γὰρ εἰς καλλωπισμὸν ἐσθῆτες, γυναικεῖαι μᾶλλον, ἢ ἀνδρεῖαι, νομιζέσθωσαν.

Δευτ. κβ. ε. καὶ γὰρ ὁ νόμος λέγει, Οὐκ ἐνδύσεται ἀνὴρ στολὴν γυναικείαν. μὴ τοίνυν θηλυνέσθω ἀνήρ, ὅπου οὐδὲ τὸ θῆλυ σφόδρα προσήκει θηλύνεσθαι παρὰ τῷ Θεῷ.

ἐκ τριχῶν καμήλου ὁ Ἰωάννης ἐσθῆτα ἐφόρει, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ· καὶ πρότερον Ἠλίας, οὗ τὸ πνεῦμα ὁ Ἰωάννης ἐφόρεσε, μηλωτὴν μόνον πάγκαλος ἠμφίαστο. νωθρᾶς καὶ ῥαθύμου ψυχῆς τὸ θαυμάζειν εὐανθὲς ἔνδυμα, καὶ κατὰ τὴν ἐργασίαν λεπτόν· ψυχὴ δὲ μεγαλοφυὴς, ἡ τοῦ ὄντως κόσμου τοῦ ἀληθινοῦ αἰσθανομένη, διαπτύει πᾶσαν μαλακὴν ἐσθῆτα, τὴν ὑψηλοτέραν αὐτῆς ἐπιποθοῦσα, τὴν ἄπλετον, τὴν ἀπερίεργον, τὴν εὐπρεπεστέραν, τὴν σεμνοτάτην ἁγνείαν πάντων προτιμήσασα. Ἀρκέσθητι τοίνυν τῇ διὰ τῶν εἰρημένων ὑπομνήσει· φυλάξατε δὲ τὴν σεμνότητα μὴ πέρα τοῦ μέτρου ἐξαγαγεῖν ὡς πικρὰν τὴν ἀκρίβειαν. Εἴ τις γλυκυτέρα ὑπὲρ μέλι καὶ κηρίον αὐτῷ τε ἀκούοντι καὶ τοῖς πλησιάζουσι γίνεται. ἡ γὰρ πνευματικὴ χαρὰ σεμνῶς καὶ μεγαλοπρεπῶς εἰς ἑνότητα Θεοῦ προσορμίζει τὴν ψυχὴν, πληροῖ δὲ τῆς γλυκύτητος καὶ τοὺς συντυγχάνοντας. ἀλλὰ μὴ πρόφασιν λαβὼν ἐκ τῶν ἐμῶν λόγων, ὅτι ἐκωλύθης ἐν ἱλαρότητι διάγειν, ἄρξῃ σκυθρωπὸς καὶ χαλεπὸς εἶναι πρὸς τοὺς ἐρχομένους ἀδελφοὺς, μηδὲ ἀπηνής τις δυσπρόσιτος καὶ ἀπάνθρωπος ἔσο ἀλλὰ χρήσιμος καὶ ἀγαπητικὸς, μηδὲ ἐν τῇ δεξιώσει τῶν προσιόντων ἀδελφῶν σκυθρωπὸς, καὶ περὶ ἀπόκρισιν καὶ λόγον ἀκοινώνητος. πάντοτε γὰρ χαίρειν πρόσταγμα ἐστὶν ἀποστολικὸν καὶ, τὸ παρακαλεῖτε ἀλλήλους καὶ γίνεσθε εἰς ἀλλήλους χρηστοί· καὶ, ἡ ἀγάπη, φησὶ, χρηστεύεται. καὶ αἱ τῶν ἀποστόλων φιλοφροσύναι τοῖς γράμμασιν αὐτῶν ἔνεισιν, ὡς τέκνα φιλοφρονούμενοι τοὺς ἀκούοντας, ὡς ἀδελφοὺς παρακαλοῦντες τοὺς προσέχοντας· καὶ πολλὰ περὶ τῆς ἱερᾶς κατὰ τὴν ἀγάπην χρηστότητός ἐστιν ἐκ τῶν ἁγίων γραφῶν καταμαθεῖν. μηδὲ δὴ πρὸς ἄμετρον ἱλαρότητα μετάγειν, μηδὲ γελωτοποιΐᾳ λυμαίνεσθαι τὴν εἰς Θεὸν μίμησιν χρηστότητα, ἀλλὰ μεταξὺ εἶναι τῆς τελείας ἱλαρότητος καὶ μήτε λυπεῖν τοὺς συντυγχάνοντας, μήτε ἐκλύειν καὶ ῥαθύμους ἀποτελεῖν· μήτε χαλεπῶς ἐπιπλήττειν, μήτε ἀπατηλῶς κολακεύειν· ἀλλὰ καὶ συμφερόντως ἐπιστρέφειν, καὶ χρηστῶς παρακαλεῖν. Ὃς φείδεται, φησὶ, ῥῆμα προέσθαι σκληρὸν, νοήμων· Κηρία δὲ μέλιτος, λόγοι καλοί· γλύκασμα δὲ αὐτῶν, ἴασις ψυχῆς. Εἰσὶν οἱ λέγοντες τιτρώσκουσιν ὡς μάχαιρα· γλῶσσαι δὲ σοφῶν ἰῶνται. καλὸν δὲ καὶ τὸ θείαις ᾠδαῖς ἀνακεῖσθαι μετρίως. ἡ γὰρ τοιαύτη φαιδρότης ἁγιάζει τὴν ψυχὴν κατὰ τὸν ἀπόστολον. Πληροῦσθε, φησὶ, πνεύματι ᾄδοντες καὶ ψάλλοντες ἐν ταῖς καρδίαις ὑμῶν τῷ Κυρίῳ. καλὸν οὖν τῇ πρὸς τὴν τοιαύτην εὐφροσύνην σπουδῇ προσιέναι, καὶ μὴ διὰ ἵνα τρόπον πικρὸν καὶ σκληρὸν ὀκνηρῶς ἔχειν πρὸς τὴν θείαν ᾠδὴν, ὡς μὴ καταξιοῦντα φωνὴν προσκομίσαι πρὸς τὴν τοῦ Θεοῦ μελῳδίαν. πρὸς γὰρ τοιοῦτον, θεῖον πνεῦμα καὶ πρὸς τὴν ὁμιλίαν τὴν ἱερὰν φαιδρῶς ἔχειν δεῖ, οὐκ εἰς ἡδυφωνίαν ἐκλυομένους, οὐδὲ βεβήλως διακεῖσθαι εἰς τὰς θείας ᾠδὰς, οὐδὲ μελῳδικὰς ἀναπλάσαι καὶ περιβλέπεσθαι ὧδε κἀκεῖ, ὅπως ἐπαινεθῇς, ἀλλ' εὐφραινομένους Θεῷ, καὶ αὐτῷ μόνῳ ἀρέσκειν σπουδάζοντας, καὶ ἐνταῦθα δὴ μάλιστα, ἵνα τῷ σεμνῷ τὸ ἱλαρὸν κεκερασμένον εὑρήσηται, τοῦ μὲν τοῦ πρὸς Θεὸν φόβου τὴν σεμνότητα παρέχοντος ἡμῖν, τῆς δὲ θείας ᾠδῆς εἰς φαιδρότητα ἐναγούσης, καὶ μίμησιν τῆς αἰωνίου χαρᾶς ἐμποιούσης, ἐν ᾗ τὴν μέλλουσαν ζωὴν οἱ καλῶς πολιτευσάμενοι ζήσονται παρὰ Κυρίῳ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εφ. δ. λβ.

α Κορ. ιγ. δ.

Παροιμ. ι. κ. καὶ ιϛ. κδ.

Παροιμ. ιϛ. ιθ.

Εφ. ε. ιθ.

ΠΕΡΙ

ΠΕΡΙ ΣΩΤΗΡΙΑΣ ΨΥΧΗΣ.

Ex Ms. Regio Lut. emend. ex Ms. Casareo.

Ἐκκλησ. α. β.
Ψαλμ. λη. ιζ.

ΑΓαπητοί, ὅσοι τὰ τοῦ βίου μάταια καὶ ἀπολλύμενα πράγματα κατελίπετε, ἀγωνίσασθε, ἵνα μὴ πάλιν ἐπ᾽ αὐτὰ τὸν ὑμέτερον νοῦν ἐπιστρέψητε. ὁ γὰρ πλοῦτος παρέρχεται, καὶ ἡ δόξα ἀπόλλυται, καὶ τὸ κάλλος μαραίνεται, καὶ πάντα ἀλλάσσονται, καὶ ὡς καπνὸς ἀπόλλυνται, καὶ ὡς σκιὰ παράγουσι, καὶ ὡς ἐνύπνιον ἐξαφανίζονται. διὰ τοῦτο ἔλεγεν ὁ Σολομών, Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης· καὶ ὁ Δαβὶδ λέγει, Ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος. πλὴν μάτην ταράσσονται πάντες οἱ τὰ τοῦ παρόντος βίου πράγματα ἀγωνιῶντες. οὕτως μάτην ταράσσονται, μάτην θορυβοῦνται, μάτην χειμάζονται, ἐπισυνάγοντες καὶ θησαυρίζοντες τὰ μετ᾽ ὀλίγον ″καταλειπόμενα· ἅπερ λαβεῖν μεθ᾽ ἑαυτῶν οὐ δυνάμεθα, ἀλλὰ πάντα καταλιπόντες, γυμνοὶ ὡς ἐγεννήθημεν πορευσόμεθα πρὸς τὸν φοβερὸν δικαστήν. κἂν πάντας τοὺς θησαυροὺς συνάξωμεν, γυμνοὶ, σκοτεινοὶ, ἐλεεινοὶ, σκυθρωποὶ, τετραχηλισμένοι, τεταπεινωμένοι, συντετριμμένοι, ἔμφοβοι, ἔντρομοι, κατηφεῖς, ὀδυνηροὶ, εἰς γῆν τὸ πρόσωπον ἔχοντες, καὶ τοῦτο μετ᾽ αἰσχύνης συγκαλύπτοντες, οὕτω πορευσόμεθα, οὕτως ἀναστησόμεθα, οὕτω παραστησόμεθα εἰς ἐκεῖνο τὸ φρικτὸν καὶ πικρὸν καὶ ἀπροσωπόληπτον δικαστήριον, ὅπου ἄγγελοι τρέμουσιν, ὅπου θρόνοι φοβεροὶ τίθενται, ὅπου αἱ βίβλοι τῶν πράξεων ἀνοίγονται, ὅπου ὁ ποταμὸς τοῦ πυρὸς τοῦ ἀσβέστου, ὅπου ὁ ἀνήμερος σκώληξ, ὅπου τὸ ἀφώτιστον σκότος, ὅπου ὁ ἀθέρμαντος τάρταρος, ὅπου ὁ βρυγμὸς τῶν ὀδόντων, ὅπου τὸ ἀκατάπαυστον δάκρυον, ὅπου ὁ ἀσίγητος στεναγμὸς, ὅπου τὸ ἀπαραμύθητον πένθος· ὅπου οὐκ ἔστι γέλως, ἀλλὰ θρῆνος· ὅπου οὐκ ἔστι χαρμοσύνη, ἀλλὰ στεναγμός· ὅπου οὐκ ἔστι τρυφὴ, ἀλλὰ κρίσις· ὅπου οὐκ ἔστι φθόγγος, ἀλλὰ τρόμος. φοβερὸν ὄντως ἀκοῦσαι, ἀγαπητοὶ, φοβερώτερον δὲ τὸ ἰδέσθαι πᾶσαν τὴν κτίσιν ἱσταμένην, καὶ ἀπολογουμένην ὑπὲρ λόγου, ὑπὲρ ἔργου, ὑπὲρ ἐννοιῶν, τῶν ἐν νυκτὶ, τῶν ἐν ἡμέρᾳ ὧν ἡμάρτομεν. μέγας ὁ φόβος, ἀδελφοὶ, τότε, μεγάλη ἡ ἀνάγκη, οἵα οὐδέποτε ἐγένετο, οὐδὲ γενήσεται ἕως τῆς ἡμέρας ἐκείνης. ″τότε ἄγγελοι περιτρέχουσιν, αἱ σάλπιγγες βοῶσι, τὰ ἄστρα πίπτουσιν, ὁ ἥλιος σκοτίζεται, οἱ οὐρανοὶ εἱλίσσονται, ἡ γῆ σαλεύεται, αἱ δυνάμεις περιτρέχουσι, τὰ σεραφὶμ βοῶσι, τὰ ἄνω, τὰ κάτω, τὰ ἐπίγεια, τὰ καταχθόνια ταράσσονται, τὰ μνημεῖα ἀνοίγονται, τὰ σώματα ἀνίστανται καὶ συνάγονται, τὸ κριτήριον εὐτρεπίζεται. πολὺς ὁ φόβος, ἀδιήγητος ὁ τρόμος, ″ἀκατάληπτος ἡ ἀνάγκη ἡ τότε γινομένη. μέγας ὁ κλαυθμὸς ἐκεῖνος, μεγάλη ἡ ὀδύνη, χαλεπὴ ἡ περίστασις, ἀκατάπαυστος ὁ θόρυβος, μέγας ὁ ὀλολυγμός. ″ἄκουε οὖν τοῦ Δανιὴλ λέγοντος· Ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς, ἕως οὗ θρόνοι ἐτέθησαν, καὶ παλαιὸς ἡμερῶν ἐκάθισε· τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιὼν, ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ καθαρὸν ὡς ἔριον· ὁ θρόνος αὐτοῦ φλὸξ, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον· ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ· χίλιαι χιλιάδες παρειστήκεισαν αὐτῷ, καὶ μυρίαι μυριάδες ἐλειτούργουν αὐτῷ· τὸ κριτήριον ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν. ἔφριξε τότε τὸ πνεῦμά μου. ἐγὼ Δανιὴλ εἶδον, καὶ ἡ ὅρασις τῆς κεφαλῆς μου ″συνετάραξέ με. βαβαὶ, ὁ προφήτης τὸ ὅραμα τῆς μελλούσης κρίσεως ἰδὼν ἔφριξε· καὶ τί ἄρα ἡμεῖς μέλλομεν ὑπομένειν, ὅταν εἰς αὐτὰ τὰ πράγματα ἔλθωμεν; ὅταν ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν ἐπισυναγόμενοι παριστώμεθα γυμνοὶ, καὶ τὸ φορτίον τῶν ἁμαρτιῶν ἐπὶ τοῦ τραχήλου πᾶσιν ἐπιδεικνύοντες; τότε τῶν βλασφήμων αἱ γλῶσσαι φλογίζονται, καὶ οὐκ ἔστιν ὁ δροσίζων· τότε τῶν καταλαλούντων οἱ ὀδόντες συντρίβονται ὑπὸ ἀποτόμων ἀγγέλων· τότε τῶν φιλαργύρων αἱ χεῖρες κρεμάμεναι τρέμουσι, καὶ ξεόμεναι ὀδυνῶνται· τότε τῶν φλυάρων

γρ. ἀπολλύμενα

γρ. ὅτε

γρ. ἀνερμήνευτος

Δαν. ζ. θ.

γρ. ἀκούσωμεν

γρ. συνεκάλυψε

αρῶν τὰ σώματα ὑπὸ τοῦ πυρὸς ἐμφράττονται· τότε τῶν διαβιούντων οἱ ὀφθαλμοὶ ἐξορύττονται ἀνηλεῶς. ποῦ τότε γονεῖς; ποῦ ἀδελφοί; ποῦ πατήρ; ποῦ μήτηρ; ποῦ οἱ συγγενεῖς; ποῦ οἱ φίλοι; * ποῦ ἡ τῶν βασιλέων φαντασία; ποῦ τῶν ἀρχόντων ἡ ἐξουσία; ποῦ ἡ τῶν τυράννων ἀπόνοια; ποῦ ἡ τῶν δικαστῶν ὑπερηφανία; ποῦ οἱ δοῦλοι; ποῦ αἱ δοῦλαι; ποῦ ὁ καλλωπισμὸς τῶν ἱματίων; ποῦ αἱ χροαὶ τῶν μαργάρων; ποῦ ἡ φαντασία τοῦ χρυσίου; ποῦ ὁ κτύπος τοῦ ἀργυρείου; ποῦ ἡ κόσμησις τῶν δακτυλίων; ποῦ τῶν ποδῶν τὸ περισφίγγον ὑπόδημα; ποῦ τὰ σηρικὰ ἱμάτια, ποῦ τὰ βύσσινα; ποῦ τὰ κρέα; ποῦ τὰ μύρα καὶ τὰ μάταια καπνίσματα; ποῦ οἱ φυλαττόμενοι θησαυροί; ποῦ αἱ κεκοσμημέναι κλίναι; ποῦ οἱ παρορῶντες τοὺς πένητας; ποῦ οἱ παραβλέποντες τοὺς ἐν ἀνάγκῃ; ποῦ οἱ νομίζοντες εἶναι σοφοί; ποῦ οἱ μετὰ τυμπάνων καὶ χορῶν τὸν οἶνον πίνοντες; ποῦ οἱ διαπαντὸς γελῶντες, καὶ τοὺς εὐλαβεῖς ἐκμυκτηρίζοντες; ποῦ οἱ τοὺς δούλους καταπονοῦντες, καὶ τοῦ φόβου τοῦ Θεοῦ καταφρονοῦντες; ποῦ εἰσιν οἱ ἀπιστοῦντες τὴν κόλασιν, καὶ ὡς ἀθάνατοι διακείμενοι; ποῦ εἰσιν οἱ λέγοντες, φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν; ποῦ εἰσιν οἱ λέγοντες, δός μοι τὴν σήμερον, καὶ λάβε τὴν αὔριον; ποῦ εἰσιν οἱ λέγοντες, ἀπολαύσωμεν τῶν ὧδε, καὶ περὶ τῶν ἐκεῖ βλέπωμεν; ποῦ εἰσιν οἱ λέγοντες, φιλάνθρωπός ἐστιν ὁ Θεός, καὶ οὐ κολάζει τοὺς ἁμαρτωλούς; ὢ πόσα μετανοήσουσιν οἱ τὰ τοιαῦτα λέγοντες; πόσα κόψονται, καὶ οὐκ ἔστιν ὁ ἐλεῶν αὐτούς; πόσα στενάξουσι, καὶ οὐδεὶς ὁ λυτρούμενος; πόσα ἑαυτοὺς κατακόπτοντες εἴπωσιν, οὐαί, οὐαί, ὅτι ἑαυτοὺς ἐχλευάσαμεν· οὐαί, ὅτι ἑαυτοὺς ἀπωλέσαμεν; ἐδιδασκόμεθα, καὶ οὐ προσείχομεν· ἐνουθετούμεθα, καὶ κατεφρονοῦμεν· διεμαρτύραντο γὰρ ἡμῖν, καὶ οὐκ ἐπιστεύομεν. τῶν γραφῶν ἀκούοντες ἑαυτοὺς ἐπλανῶμεν· δικαία ἡ κρίσις τοῦ Θεοῦ. ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν. οὐαὶ ἡμῖν, ὅτι διὰ πρόσκαιρον ἡδονὴν αἰωνίως κολαζόμεθα, διὰ μικροῦ χρόνου ἀμέλειαν τῷ αἰωνίῳ πυρὶ καταποντιζόμεθα, διὰ δόξαν ματαίαν τῆς δόξης τοῦ Θεοῦ ἐξεπέσαμεν, διὰ μικρὰν τρυφὴν τῆς τοῦ παραδείσου τρυφῆς ἐστερήθημεν, διὰ πλοῦτον ἀπολλύμενον τὸν πλοῦτον τῆς βασιλείας ἀπωλέσαμεν. ἐν τῷ ματαίῳ αἰῶνι ἡμεῖς ἀπηλαύσαμεν· ἀλλ' ἐν αὐτῷ οἱ μὴ ἀπολαύσαντες εὐφραίνονται. νῦν οἱ νηστεύοντες τρυφῶσιν· οἱ ἀγωνισάμενοι, εἰς τὸν οὐράνιον νυμφῶνα χορεύουσιν· οἱ σκορπίσαντες τὸν πλοῦτον, ἐν ἀγαλλιάσει θερίζουσιν· οἱ κλαύσαντες, αἰωνίως ἀγάλλονται· οἱ καταφρονήσαντες τῶν ἐπιγείων, ἀπέλαβον τὰ οὐράνια· μόνοι γὰρ ἡμεῖς οἱ ἄθλιοι τῇ κολάσει ἀξίως παρεδόθημεν· καὶ νῦν κράζομεν, καὶ οὐκ ἔστιν ὁ ἐλεῶν· στενάζομεν, καὶ οὐκ ἔστιν ὁ σώζων. ἵνα οὖν μὴ καὶ ἡμεῖς μετ' ἐκείνων τῶν ἀφρόνων τὰ τοιαῦτα ῥήματα ἐν τῷ μέλλοντι αἰῶνι εἴπωμεν, δεῦτε προφθάσωμεν * τὸν κλέπτην τῶν ψυχῶν ἡμῶν· δράμωμεν, ἕως καιρὸν ἔχομεν· στενάξωμεν, μετανοήσωμεν, ἐξυπνισθῶμεν, παρακαλῶ, ἐκ τοῦ ὕπνου τῆς ῥαθυμίας ἡμῶν, ἐκ τοῦ βάρους τῶν ἁμαρτιῶν καὶ τῆς ἀμελείας ἡμῶν· ὑψώσωμεν χεῖρας πρὸς τὸν δυνάμενον σῶσαι ἡμᾶς, καὶ εἴπωμεν· Κύριε, σῶσον ἡμᾶς, ἀπολλύμεθα· σπεύσωμεν μόνον πρὶν ὁ ἥλιος δύσῃ, πρὶν ἡ θύρα ἀποκλεισθῇ, πρὶν ἡ νὺξ καταλάβῃ. ἐπὰν γὰρ ἡ πανήγυρις λυθῇ, οὐδεὶς πραγματεύεται· ἐπὰν δὲ τὸ θέατρον λυθῇ, οὐδεὶς στεφανοῦται, οὐδεὶς ἀγωνίζεται. διὸ δράμωμεν. δρόμου γὰρ χρεία, ἀδελφοί, καὶ δρόμου σφοδροῦ, ἵνα φθάσωμεν· ἵνα μὴ καὶ ἡμεῖς κρούσαντες ἀκούσωμεν, οὐκ οἶδα ὑμᾶς. ὀξυποδήσωμεν, μικρὸν αἰσχυνθῶμεν. πόσα τὸν δεσπότην ἀτιμάζομεν; πόσα τὸν εὐεργέτην παροργίζομεν; αὐτὸς εὐεργετεῖ, καὶ ἡμεῖς καθ' ἑκάστην ἀγνοοῦμεν· αὐτὸς οἰκτείρει, καὶ ἡμεῖς ἀθετοῦμεν· αὐτὸς τρέφει, σκέπων προνοεῖται, καὶ ἡμεῖς τὰς αὐτοῦ ἐντολὰς καθ' ἑκάστην παραβαίνομεν, καὶ οὐκ αἰσχυνόμεθα. αἰσχυνθῶμεν λοιπόν. ὁ γὰρ καιρὸς ἤγγικε, καὶ ἡ ἡμέρα ἔφθασε, καὶ δεῖ ἡμᾶς λόγον ἀποδοῦναι ὑπὲρ ὅλου τοῦ βίου ἡμῶν. παυσώμεθα οὖν λοιπὸν τῆς ἀμέτρου τρυφῆς, καὶ τοῦ αἰσχροῦ γέλωτος, ἵνα μὴ ἐκεῖ κλαύσωμεν πικρῶς· παυσώμεθα τοὺς ἀδελφοὺς λοιδοροῦντες

καὶ

* ποῦ γάμοι;

* τὸ ἑαυτῶν τέλος, προλάβωμεν τὸ ἑαυτοῦ τέλος, προλάβωμεν

γρ. ἐλεεῖ,

καὶ μισοῦντες καὶ ἀδικοῦντες· παυσώμεθα θησαυρίζοντες, σπαταλῶντες καὶ πορνεύοντες·
σχολάζωμεν ταῖς εὐχαῖς, ταῖς δεήσεσι, ταῖς ἀναγνώσεσι, ταῖς νηστείαις, ταῖς μετανοίαις· ἐπιδειξώμεθα
βίον νέον, ἐξομολογησώμεθα, ἐπιστρέψωμεν. ἐπιστροφῆς γὰρ ὁ καιρός. μετανοήσωμεν,
δακρύσωμεν, ἐπιδειξώμεθα τῷ Θεῷ μετάνοιαν ἐμμέριμνοι, καὶ ἁμαρτίαν μισήσωμεν·
πονέσωμεν ὧδε, παρακαλῶ, μικρὸν, ἵνα μὴ κολασθῶμεν ἐκεῖ πολύ· ἀγωνισώμεθα
περὶ καιροῦ, ἀδελφοὶ, ἵνα μὴ βασανισθῶμεν αἰωνίως. ὁ χρόνος μικρὸς, ἡ δὲ κρίσις μακρὰ
καὶ τὸ τέλος ἐγγὺς, καὶ ὁ φόβος πολὺς, καὶ ὁ ἐλεῶν οὐδείς. ζητήσει γὰρ τὸν καιρὸν, ὃν κακῶς ἐδαπάνησεν
ἕκαστος, καὶ οὐ μὴ εὕρῃ. οὐαὶ τῷ καταλαλοῦντι, ὅτι ζητήσει σταγόνας ὕδατος φλεγόμενος, γρ. λέων
καὶ οὐχ εὑρίσκει· οὐαὶ τῷ ἀπιστοῦντι, ὅτι αἰωνίως κολασθήσεται· οὐαὶ τῷ ἀμελοῦντι, γρ. μὴ μετανοοῦντι,
ὅτι πρὸς αὐστηρὸν κριτὴν πορεύεται· οὐαὶ τῷ μὴ ἀγωνιζομένῳ, ὅτι ἀποτόμοις ἀγγέλοις
παραδίδοται. χρυσίον ὁ ἀπολλύων, εὑρίσκει ἄλλο· χρόνον δὲ μετανοίας ἄλλον εὑρεῖν οὐ δύναται.
μὴ φεισώμεθα, ἀδελφοὶ, τῶν ἑαυτῶν σωμάτων, ἀλλὰ ταῦτα κατατρίψωμεν· ἐπειδὴ
Ματθ. ε. μακάριοι οἱ πεινῶντες καὶ διψῶντες, μακάριοι οἱ πενθοῦντες. τὸ γὰρ σῶμα πηλός ἐστι·
καὶ ἐλεύσεται ὥρα καὶ ἡμέρα φοβερὰ καὶ πονηρὰ καὶ ἀπαραίτητος, καὶ εἰς γῆν ἡ γῆ πορεύσεται, καὶ
ἡ κόνις πάλιν κόνις γίνεται. νήψωμεν, ἀγαπητοὶ, δυσωπῶ, ὁδοιπορήσωμεν, ἀνακεύσωμεν. ἐλεύσεται
γὰρ ἡ ὥρα, καὶ ὄντως ἐλεύσεται τῆς ἐξόδου ἡμῶν· καὶ μὴ ἑαυτοὺς ἀπατήσωμεν. ἔστω,
ἀγαπητοὶ, κατατρυφῶμεν, ἔστω καὶ πλουτῶμεν πεντήκοντα ἢ καὶ ἑκατὸν ἔτη· καὶ μετὰ ταῦτα νόσος,
καὶ γῆρας· καὶ μετὰ ταῦτα τί; ἀδυναμία, καὶ θάνατος, καὶ ἡ φρικτὴ ὥρα ἐκείνη ἡ προσδοκωμένη
καὶ φριττομένη καὶ ἀμελουμένη· μέγας φόβος τότε γίνεται, ἀδελφοί· μέγα δὲ ἴδεσθαι ψυχὴν
χωριζομένην τοῦ σώματος. μεγάλη ἀνάγκη τῆς ὥρας ἐκείνης, ὅταν ἡ γλῶσσα καθαρῶς
τὸν λόγον εἰπεῖν οὐ δύναται, ὅταν στρέφωμεν τοὺς ὀφθαλμοὺς ὧδε καὶ ὧδε συνεχῶς,
καὶ τοὺς παρεστῶτας ἡμῖν φίλους καὶ ἀδελφοὺς γνωρίζωμεν, καὶ πρὸς αὐτοὺς φθέγξασθαι οὐ δυνάμεθα.
τῶν θρηνούντων ἡμᾶς ἀκούομεν, καὶ τούτους παραμυθήσασθαι οὐ δυνάμεθα·
τὰ τέκνα ὀδυρόμενα καὶ δακρύοντα βλέπομεν, καὶ τὸν πόνον αὐτῶν ἔχοντες πορθυόμεθα. καὶ τί γρ. τόπον
λέγω τέκνα; ἐν γὰρ τῇ ὥρᾳ ἐκείνῃ οὐκ ἔστι μεριμνῆσαι τέκνων, οὐκ ἀδελφῶν, οὐδὲ ἄλλη
φροντὶς συνέχει ἡμᾶς, εἰ μὴ τῶν ἡμετέρων παραπτωμάτων ἔννοια, καὶ τὸ πῶς ἀπαντήσωμεν
τῷ κριτῇ, καὶ ποίαν ἀπόφασιν λάβωμεν, καὶ ποῖος ἄρα τόπος δέξεται ἡμᾶς. εἶτα ὡς ταῦτα
ἐνθυμούμεθα, ἐξαίφνης ἐφίστανται ἡμῖν ἄγγελοι ἀπότομοι*. τότε ἡμεῖς τούτους θεωροῦντες, ἐὰν * παρὰ Θεοῦ ἀποστελλόμενοι.
ἀνεπίστρεπτοι εὑρεθῶμεν, πῶς μέλλομεν ταράττεσθαι, καὶ τῆς κλίνης φεύγειν δοκιμάζοντες
μὲν, μὴ δυνάμενοι δὲ, προσέχοντες πρὸς αὐτοὺς ἐλεεινοῖς ὀφθαλμοῖς, καὶ στυγνῷ τῷ προσώπῳ
παρακαλοῦντες, δυσωποῦντες, ἱκετεύοντες καὶ λέγοντες, ἐλεήσατέ με ἄγγελοι καὶ φοβεροὶ
παραστάται τοῦ θρόνου τοῦ Θεοῦ, καὶ μή με ἄκαρπον καὶ ἀκάθαρτον πρὸς τὸν κριτὴν ἀπενέγκητε·
μή με ἁμαρτωλὸν τοῦ σώματος χωρίσητε· μὴ, δέομαι, παρακαλῶ, παρακλήθητε,
δυσωπήθητε, καὶ ἐάσατέ με ὀλίγον χρόνον μετανοῆσαι, στενάξαι, πενθῆσαι, ἐλεημοσύνας
ποιῆσαι· ἐπειδὴ κακῶς τὸν ἐμαυτοῦ βίον ἐδαπάνησα καὶ ἀνήλωσα. ταῦτα ἀκούσαντες οἱ
ἄγγελοι, λέγουσι πρὸς ἡμᾶς· ὦ ψυχὴ ταλαίπωρε, πάσας τὰς ἡμέρας σου ἐν ἀμελείᾳ ἔζησας,
καὶ ἄρτι μετανοῆσαι θέλεις; ὦ ἀθλία ψυχὴ, ὁ ἥλιός σου ἔδυνεν· ὁ χρόνος σου τετέλεσται· γρ. ἔδυσεν ἐπὶ σοί.
ὁ Θεὸς ἐκέλευσεν ἐκ τοῦ σώματός σου χωρίσαι σε. δεῦρο καὶ καταδικάζου ἐν πυρὶ αἰωνίῳ
κατὰ τὰς πράξεις σου. οὐ γάρ ἐστί σοι λοιπὸν ἐλπὶς σωτηρίας, ἀλλὰ αἰώνιος τιμωρία.
ταῦτα ἀκούσαντες, ἀγαπητοὶ, καὶ πιστεύσαντες ὅτι ἀληθῆ εἰσι, καὶ οὐ μῦθοι, ἀγωνισώμεθα
περὶ τῆς ὥρας ἐκείνης. κἂν ἐσυνηθήσαμεν ἁμαρτάνειν, ἀλλ' ἐκκόψωμεν ταύτας ἴσ. συνεθίσωμεν
διὰ τῆς μετανοίας. μὴ πλανηθῶμεν, ἀδελφοὶ, κρίσις ἐστὶ καὶ κόλασις αἰώνιος, πῦρ ἄσβεστον
καὶ σκώληξ ἀτελεύτητος, σκότος ἐξώτερον καὶ τάρταρος, βρυγμὸς ὀδόντων καὶ κλαυθμὸς
Ματθ. κδ λε. μέγας, ὡς ὁ Κύριος ἐν τοῖς εὐαγγελίοις ἐμνημόνευσεν. ἀψευδὴς γάρ ἐστιν ὁ εἰπών, Ὁ

οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. διὸ φοβηθῶμεν καὶ φρίξωμεν πάντες οἱ ἐν ἁμαρτίαις ζήσαντες, καὶ σπουδάσωμεν μετὰ τῶν ἁγίων εὑρεθῆναι διὰ τῆς μετανοίας. μὴ εἴπῃς, ἔκλεψα, ἐφόνευσα, ἐπόρνευσα, καὶ οὐ δέχεταί με ὁ Θεός. μηδὲν τούτων εἴπῃς. δέχεται γὰρ πάντας, ὡς τὸν λῃστὴν, ὡς τὸν τελώνην καὶ ὡς τὴν πόρνην. μόνον μὴ ἀπογνῶμεν, παρακαλῶ, μὴ ῥαθυμήσωμεν. κρούσωμεν διὰ μετανοίας καὶ εἴπωμεν, ἄνοιξον ἡμῖν, Κύριε, τοῖς ἀναξίοις καὶ ἁμαρτωλοῖς· διὰ τὸ ὄνομά σου τὸ ἅγιον μὴ ἀποστραφῇς ἡμᾶς, ἀλλὰ δυσωπήθητι, καὶ μὴ στερήσῃς ἡμᾶς τῆς βασιλείας σου. σὺ γὰρ εἶ Θεὸς τῶν ἀπηλπισμένων, καὶ σωτηρία πάντων τῶν καταφευγόντων εἰς σέ· καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΟΥΣ ΚΑΤΗΧΟΥΜΕΝΟΥΣ.

Ex Ms. Cæsareo.

Ἐν τοῖς ἔξωθεν σταδίοις πολλοὶ μὲν τοῦ δρόμου ὑπομένουσι κόπον, εἷς δὲ κομίζεται τῆς νίκης τὸν στέφανον· καὶ οἱ μὲν πόνοι τοῦ ἀγῶνος καὶ οἱ ἱδρῶτες, πολλῶν· τῆς δὲ χαρᾶς τὸ βραβεῖον, ἑνός. ἐν δὲ τῷ πνευματικῷ τούτῳ τῆς ἐκκλησίας χωρίῳ, εἷς μὲν παρὰ πάντων τῆς εὐσεβείας ὁ δρόμος, ἰσάριθμοι δὲ τῶν τρεχόντων οἱ στέφανοι. καὶ ξένοι οὐδέν. ἀνενδεὴς γάρ τις βραβευτὴς καὶ πλούσιος ἵσταται μέσος τῶν ἀγωνιζομένων Χριστὸς, ἑκάστου μὲν τὴν προθυμίαν ὡς δρόμον δεχόμενος, ἐπίσης δὲ τὰς τιμὰς εὐτρεπίζων. οὐ γὰρ προτιμᾶται τὸν δυνάστην, καὶ παρορᾷ τὸν πτωχεύοντα· οὐ δέχεται τὸν ἔνδοξον, καὶ τὸν ἀσθενῆ παραπέμπεται· οὐ στεφανοῖ πολιὰν, ἐξουδενεῖ δὲ νεότητα· οὐ προσμειδιᾷ τῷ δικαίῳ, περιτρέχοντα δὲ τὸν ἁμαρτωλὸν ἀποβλέπεται· ἀλλὰ πᾶσιν ἴσως ἐφαπλοῖ τῶν οἰκτιρμῶν τὴν σαγήνην, πάντας ὁμοίως ἐφέλκεται τῷ τῆς εὐσεβείας δικτύῳ. κοινὸν γὰρ πᾶσι προέθηκε τὸ (ὡς ἀρτίως ἠκούσαμεν) φιλανθρωπίας διάταγμα μεγαλοφώνως "βοῶν· Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ματθ. ια. κη. δεῦτε πάντες οἱ τὴν ἁλμυρὰν ταύτην τοῦ βίου διαπλέοντες θάλασσαν, ἐμοὶ τῆς σωτηρίας τοὺς οἴακας ἐμπιστεύσατε· ἔχω τέχνην διαβολικοῖς ἀντιπαλαῦσαι ἀπελάσιν· ἐμποιεῖν ὑμῖν ἀκλυδώνιστον πρόξενον σωτηρίας. δεῦτε πάντες· πόλις ἐπίκειται τῆς ἁμαρτίας χειμῶνι· ἔστι μοι κολυμβήθρας λιμὴν ἀνθρώποις σώζων, τοὺς δὲ διαβόλους ἀποπνίγων. ὢ κλήσεως τὴν ἁμαρτίαν γυμνούσης· ὢ φωνῆς πᾶσαν τὴν τοῦ δαίμονος ἁρπαζούσης οὐσίαν· ὢ φαρμάκου πρὸς ἕκαστον τῶν νοσούντων βαδίζοντος· ὢ δωρεᾶς ῥεούσης τοῖς βουλομένοις ἀκώλυτα· ὢ πηγῆς πάντας τοὺς διψῶντας ζωὴν ἐπαγγελλομένης ποτίζειν. Ιωαν. ζ. λζ. Εἴ τις γάρ, φησι, διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. Εἴ τις διψᾷ τῆς σωτηρίας ταῖς νάμασι, εἴ τις τοῦ ὕδατος τοῦ ζῶντος ἐπιθυμεῖ, εἴ τις πρὸς τὴν ἀληθῆ διαλέγεται γνῶσιν, εἴ τις διψᾷ τῆς εὐσεβείας τὸ δίψος (ἐδίψησε γὰρ καὶ Ἰούδας τῆς προδοσίας τὸ δίψος· ἐδίψησε γὰρ ὁ Ἡρώδης τῶν νηπίων τὸν ὄλεθρον· ἐδίψησεν ἡ συναγωγὴ τοὺς φόνους τῶν προφητῶν· ἐδίψησεν Ἰεζάβελ τὸν ἀμπελῶνα τοῦ Ναβουθαί· ἐδίψησεν ἡ Δαλιδὰ τοῦ Σαμψὼν τὴν ἀναίρεσιν· ἐδίψησεν Ἡρωδιὰς τοῦ προδρόμου τὸ αἷμα· ἐδίψησαν τὸν σωτῆρα Ἰουδαῖοι, ἀλλ' ἐδίψησαν δίψος πρόξενον ἀπωλείας, ἐδίψησαν δίψος παρεκτικὸν πυρετοῦ, ἐδίψησαν δίψος κολάσεως αἴτιον) ἀλλ' εἴ τις διψᾷ ὡς ἐδίψησε Ζακχαῖος τὴν ἐμὴν θεωρίαν, ὡς ἐδίψησε τὴν θεραπείαν αἱμόρροος, ὡς ἐδίψησε πόρνη "πλυθῆναι τὰς ἁμαρτίας, ὡς ἐδίψησε Ματθαῖος τοῦ εὐαγγελιστοῦ τὸ ἀξίωμα, ὡς ἐδίψησεν ὁ λῃστὴς τὸν παράδεισον, ὡς ἐδίψησε Θωμᾶς τὴν ζωοποιὸν τραυμάτων ψηλάφησιν, ὡς ἐδίψησεν ὁ τῆς Αἰθιοπίας εὐνοῦχος τὸ βάπτισμα, ἐφ' ὃ

πυρακτούμενος

Πράξ. η. λς.

πυρακτούμενος ἐβόα πρὸς τὸν ἀπόστολον· Ἰδοὺ ὕδωρ, τί κωλύει με βαπτισθῆναι; ἄκουε, κατηχούμενε· πηγὴ ζωῆς οὐ μόνον καλεῖ, ἀλλὰ καὶ παρακαλεῖ. Δεῦτε γάρ, φησι, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. πρὸς ὅλην μου τοῦ γένους τὴν εὐεργεσίαν ηὐτρέπισμαι, ὄμβρῳ θέλω χαρισμάτων ἀφθονίας πηγή. δεῦτε πάντες· κἂν μυριάδες ἀσθενῶσι, προσίτωσαν. μηδεὶς ἀπογνῷ με τὸν ἰατρόν· νομιζέτω τὴν οἰκουμένην ἰώμενον· οὐ κάμνων θεραπεύω, εἰ κτίζων οὐκ ἐκοπίασα· οὐκ ἐλέγχει μου τὴν εὐπορίαν ὁ κόσμος τὰ ἐμὰ μεριζόμενος, πένης παρέχων οὐ γίνομαι, ἁρπαζόμενος χαίρω, ἐκφορούμενος τέρπομαι· οὐκ ἐλαττοῦμαι κενούμενος, καὶ κλεπτόμενος ἥδομαι· καὶ μάρτυς ἡ αἱμόρροος κλέψασα, καὶ διὰ τοῦτο ψυχὴν ἅμα καὶ σῶμα στεφθεῖσα. δεῦτε πάντες οἱ κοπιῶντες. Εἶδες, φιλόχριστε, πόση ἡ τοῦ κτίσαντος περὶ τὸ γένος φιλοτιμία· τί οὖν ἀμελεῖς, ὦ κατηχούμενε; τί βραδύνεις; πρόσελθε τῷ δεσπότῃ καλοῦντί σε. οὐκ ἀκούεις τοῦ σοφοῦ παραινοῦντος καὶ λέγοντος·

Σειρ. ε. η.

Μὴ ἀνάμενε ἐπιστρέψαι πρὸς Κύριον, καὶ μὴ ὑπερτίθου ἡμέραν ἐξ ἡμέρας· ἐξαπίνης γὰρ ἐλεύσεται ἡ ὀργὴ Κυρίου. Συντέμνει δὲ τὸν χρόνον, ἰδὼν τὴν τῶν ἀνθρώπων φύσιν ῥᾳδίως καὶ ἐν βραχεῖ τρεπομένην. πολλοὶ γὰρ δόντες ἑαυτοὺς μικροτέραις ὑπερθέσεσι, τὴν ἐξ ἀμφοτέρων ἐλπίδα σοφῶς ἐνόμισαν ταμιευσάμενοι, μήτε τῶν προσδοκωμένων ἀμοιρήσειν ἐλπίζοντες, καὶ τὸ καταχρήσασθαι τέως τῷ βίῳ κέρδος ἡγούμενοι, περὶ τῆς ἀπολαύσεως τῶν ἀναγκαίων ἠρπάγησαν, ταῖς αἰωνίαις ἀποδοθέντες βασάνοις καὶ κολάσεσι. καὶ ὡς ἐνόμισαν χρόνον κλέπτειν βραχύν, ὅλην οὐκ ἐνόησαν τὴν σωτηρίαν κλεπτόμενοι, ἐξαίφνης ἀνάρπαστοι καὶ πρὸ τοῦ γήρως γινόμενοι. διὰ τοῦτο ὁ δεσπότης Χριστὸς κλέπτην ὠνόμασε τοῦ ἀνθρώπου τὸν θάνατον.

Λουκ. ιϐ. λθ. καὶ α. Θεσσ. ε. ϐ.

Ὡς κλέπτης γάρ, φησιν, ἐν νυκτί, οὕτως ἔρχεται· ἵν᾽ ἡμεῖς πρὸς τὸ ἀόριστον τῆς ἐπιβουλῆς ταραττόμενοι, τὴν προθεσμίαν τοῦ πλείονος χρόνου μὴ ἐπελπίζωμεν. οὐ γὰρ ἐξουσιάζομεν τῆς χρονικῆς ὑπερθέσεως, οὐ κυριεύομεν τοῦ ζῆσαι χρόνον ὅσον ἐθέλομεν. τούτου γὰρ χάριν τὴν γνῶσιν οὐκ ἐπιστεύθημεν τῆς ἑαυτῶν μεταστάσεως, ἵνα τὴν ἀμετρίαν τῶν ἁμαρτιῶν ἐλαττώσωμεν, τῇ δειλίᾳ τοῦ θανάτου σωφρονεῖν παιδευόμενοι. ἀριθμήσωμεν οὖν καθ᾽ ἑκάστην ἡμέραν προπεμπομένους ἐπὶ τὰ μνήματα, σκοπήσωμεν ὡς τοῖς γεγηρακόσι πολὺ τὸ πλῆθος τῶν νεαζόντων ἐνεμέμικτο. διὰ τί τοίνυν, ὦ κατηχούμενε, παρορᾷς τὴν ἑαυτοῦ ψυχῆς τὴν ἀσφάλειαν, καὶ τὸν φόβον τοῦ θανάτου παραπεμψάμενος, τὸν χρόνον ὡς ἰσχυρὸν ἀγωνιστὴν ἐπαγγέλλῃ μοι; πόσοι τῶν ἀνθρώπων ἐπιτερπόμενοι ταῖς τοῦ βίου ἡδοναῖς, καὶ ἐπὶ τῆς σαρκὸς γλυκαιότητι, ὡς ἀμεταβλήτῳ δυναστείᾳ καυχώμενοι, καθάπερ χοῦς ὑπὸ λαίλαπος, ἀθρόον ἐπὶ τὴν ταφὴν ἀνηρπάσθησαν; οὐκοῦν ἐπειδὴ τὸν χρόνον ἑαυτοῖς ὁρίσαι τῆς ζωῆς οὐκ ἰσχύομεν, τὸν φόβον τῆς τελευτῆς μὴ ἐλκύσωμεν. πόσους ῥαθυμήσαντας, καὶ μακροχρόνιον ζωὴν προσδοκήσαντας, ἐξαίφνης ἐμπρησμὸς κατετέφρωσε; πόσοι σεισμῷ κατεχώσθησαν; πόσους πλέοντας ἐκάλυψε θάλασσα; πόσους αἰφνίδιον τῆς γῆς ὑπεδέξατο χάσμα; πόσους ὁδοιποροῦντας ἀθρόον παρέσυραν ποταμοὶ πλημμυρήσαντες; πόσοι θηρίοις καὶ λῃσταῖς περιπεσόντες ἀπώλοντο; πόσους ἡ τῶν πολέμων ἐθέρισε μάχαιρα; πόσους ἐδαπάνησαν ἔφοδοι νοσημάτων αἰφνίδιοι; πόσοι τῆς ἑαυτῶν χωρισθέντες πατρίδος τὸ τοῦ θανάτου ἐδέξαντο σύνθημα, καὶ οὐδὲ τῆς κοινῆς ταφῆς ἠξιώθησαν; οὐκ ἀκούεις συνεχῶς τοῦ δεσπότου βοῶντος, καὶ τὴν ἐγγύτητα τοῦ τέλους μηνύοντος·

Ματθ. γ. ι.

Ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται; τίς ἡ ἀξίνη; ὁ θάνατος. τίς ἡ ῥίζα; ἡ ζωὴ τοῦ ἀνθρώπου. τίς ὁ κόπτων; ἡ τοῦ δεσπότου ἀπόφασις, ἥτις ἐν τῷ κόπτειν βοᾷ·

Γεν. γ. ιθ.

Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. οὐκοῦν ταύτης ἀφιστάμενοι προσέλθωμεν τῷ καλοῦντι Χριστῷ· δράμωμεν ἐκ τοῦ σκότους πρὸς τὸ φῶς μεταγόμενοι, δράμωμεν πρὸς τὸν ἀναπαύοντα Κύριον, ὑποτάξαντες τὴν σάρκα τῷ πνεύματι· δράμωμεν, ἐπειχθῶμεν τοῦ θανάτου ταχύτερον, προλάβωμεν ἀγγέλους ἐπὶ τὴν ἡμετέραν ἐρχομένους παράστασιν. ὡς λόγος ἐστὶν ὁ παρ-

ὢν

ὁ βίος, καὶ ὡς σκιὰ παρατρέχει τῆς ζωῆς τὸ διάστημα. ὁ χρόνος δαπανᾶται, ὁ τρόπος οὐ βελτιοῦται· αἱ πράξεις προτρέχουσιν, ὁ κριτὴς περιμένει, κατεπείγει τὸ πρόσταγμα, παρεστῶσιν οἱ ἄγγελοι, κατηγορεῖ ἡ συνείδησις, καὶ τί δράσομεν πρὸς κρίσιν καλούμενοι; τῆς οὖν πολιτείας ἀγαθῆς ἐρασθῶμεν, μισήσωμεν τὴν τοῦ ἁμαρτάνειν συνήθειαν, τῆς μελλούσης ἀπολογίας φροντίσωμεν· κτησώμεθα καθαρότητα βίου· οἱ γὰρ καθαροὶ τῇ καρδίᾳ, αὐτοὶ τὸν Θεὸν ὄψονται. τῶν δεσποτικῶν ἐρασθῶμεν στεφάνων· σὺν προθυμίᾳ πολλῇ τοῦ βίου τὸ στάδιον δράμωμεν, αὐτὸν ἔχοντες συνεργοῦντα πρὸς τὸν ἀγῶνα τὸν ἀγωνοθέτην Χριστόν. Τοῖς γὰρ ἀγαπῶσι, φησὶ, τὸν Θεὸν πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν. καὶ τὸ θαυμαστότερον ἄκουσον· ἐν τῷ καιρῷ τοῦ ἀγῶνος ὁ δεσπότης συναθλεῖ τοῖς παλαίουσι, καὶ ἐν τῇ ὥρᾳ τῆς νίκης βραβευτὴς προκαθέζεται· πρὸς πάλην ἀλείφει, καὶ μετ' ὀλίγον τοὺς στεφάνους αὐτὸς ἐπιτίθησι. συμπαλαίει, τῷ κάμνοντι χαρίζεται δύναμιν, παρέχει τῆς νίκης τὰς ἀφορμὰς, καὶ μετ' ὀλίγον ὡς νικητῇ τοὺς μισθοὺς ἀποδίδωσι. πόθεν τοῦτο δῆλον; ἄκουσον τοῦ Δαβὶδ κεκραγότος, Μετ' αὐτοῦ εἰμι ἐν θλίψει, ἐξελοῦμαι αὐτὸν καὶ δοξάσω αὐτόν. ὢ φιλανθρωπίας ἀφράστου· ὢ τῆς ὑπὲρ πάντα λόγον χρηστότητος. βλέπε γὰρ ὅπερ λέγει ὁ δεσπότης. ἐν τῷ καιρῷ, φησὶ, τῆς θλίψεως μετ' αὐτοῦ εἰμι, τὴν ἀνάγκην συμμερίζομαι, ἐξαρπάζω τοῦ κινδύνου. Ταῦτα πάντα ποιῶ συναγωνιζόμενος· εἶτα λοιπὸν ὡς βραβευτὴς καὶ δεσπότης τὴν φιλοτιμίαν προστίθημι, λέγων· δοξάσω αὐτὸν, μακρότητα ἡμερῶν ἐμπλήσω αὐτόν. τοῦτο ποιεῖν εἴωθεν ὁ δεσπότης καὶ ἐπὶ τῶν εὐμεταδότων· κοιλαίνει τὴν χεῖρα τῷ πένητι δεχομένῳ τὴν εὐποιΐαν. ὅταν ἀκούσῃς Χριστοῦ χεῖρα, νόει τὴν παλάμην τὴν βαστάζουσαν τῆς οἰκουμένης τὰ πέρατα. ἐκτείνει τὴν δεξιὰν ἀπορρήτως, χήρας τοὺς ὀβολοὺς ὑποδέχεται, σημειοῦται τοῦ διδόντος τὸ πρόσωπον, ἐπὶ γῆς τὴν εὐεργεσίαν λαμβάνει, καὶ ἐν οὐρανῷ τὰς ἀμοιβὰς εὐτρεπίζει. καὶ πῶς, καὶ πότε ποιεῖται τὴν ἀντίδοσιν; Ὅταν ἔλθῃ, φησὶν, ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ· καὶ συναχθήσονται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη, καὶ ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων, καθὼς ἀφορίζει ὁ ποιμὴν τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων· καὶ τίθησι τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων· καὶ ἐρεῖ τοῖς ἐκ δεξιῶν αὐτοῦ, δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου· ηὕρατε γὰρ τὸν δικαστὴν ὀφειλέτην· μὴ φοβεῖσθε τὸν θρόνον, ἀλλ' ὡς εὐεργέται μετὰ παρρησίας τῷ καθημένῳ προσδράμετε. ὅπερ ἐξέθεμεν ὑμῖν προφέρω χειρόγραφον· οὐ κρύπτω τὴν εὐεργεσίαν, ἵνα μὴ ζημιωθῆτε τὴν φιλανθρωπίαν· οὐκ ἀρνοῦμαι τὴν δόσιν· πρὸς γὰρ τὴν ἀνταπόδοσιν σπεύδω. δεῦτε, ὑμεῖς τὸν σπόρον τὸν οἰκτιρμὸν ἐπεδείξασθε· ἐγὼ δὲ θέρος τῆς χάριτος ὑμῖν προητοίμασα. Εἰπὲ, δέσποτα, τὴν αἰτίαν. ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν. μηδεὶς οὖν ὡς ἄπορον παραπεμπέτω τὸν πένητα. πεινῶντα γὰρ παρορᾷ τὸν δικαστὴν τῶν μελλόντων αἰώνων. κτησώμεθα τοίνυν χρεώστην τὸν μέλλοντα κρίνειν ἐκεῖ. Ὁ ἐλεῶν γὰρ, φησι, πτωχὸν, δανείζει Θεῷ. τῆς ἐκ δεξιῶν μερίδος ἄξιοι γενέσθαι σπουδάσωμεν, μισήσωμεν τὴν βδελυρὰν τῶν ἐρίφων συγγένειαν, τῶν προβάτων τὴν κοινωνίαν μεταδιώξωμεν. ἔχομεν γὰρ ἐξουσίαν τὴν ἐπιλογὴν τοῦ βελτίονος. διὰ τοῦτο γὰρ ἡμῖν ὁ κριτὴς προηγόρευσε τὸ δεσποτικὸν ἐκεῖνο καὶ φοβερὸν δικαστήριον, καὶ αὐστηρείαν τῆς ἀποφάσεως, ἵνα τὸ κακῶς παθεῖν ἐκ τοῦ μαθεῖν τὴν ἀπειλὴν ὑπεκκλίνωμεν. μὴ παραδράμωμεν τὸ τοῦ Παύλου παράγγελμα τὸ φάσκον· Πορισμὸς μέγας ἡ εὐσέβεια. οὐχ ὑπόκειται λογοθεσίου. καιρῷ δὲ τοῦ δικαστοῦ αὐστηρείαν. οὐ δέδοικε κατήγορον ἐπὶ τοῦ θρόνου κραυγὴν· οὐκ ἐκδέχεται κατάγνωσιν, ἀλλ' ἀναμένει παράκλησιν. ἔστι γὰρ ἀνενδεής. ἀπολαύεις ἀγαθῶν· ἀναφαίρετος πλοῦτος, τιμὴ ἀδιάδοχος, κέρδος ἀταμίευτον, προβαδίζον βοήθημα, συνοδεύουσα χάρις, θεραπεία καρδίας, ψυχῆς ἀγαλλίασις, συνειδότος γαυρίαμα, ἀπολογία εὐπρόσιτος,

Ματθ. ε. η.

Ῥωμ. η. κη.

Ψαλ. ϟ ιε.

Ματθ. κε. λα.

Παροιμ. ιθ ιζ.

α. Τιμ. ς. ς.

α. Τιμ. δ. η. ἀφορμὴ παρρησίας. ἡ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν, ἐπαγγελίας ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης· ἧς καὶ ἡμᾶς ἐπιτυχεῖν καταξιωθείημεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΟ ΙΠΠΟΔΡΟΜΙΟΝ ΛΟΓΟΣ.

Ex edit Bulengeri Lut. 1598

Στάδιον ἡμῖν σήμερον πνευματικὸν καὶ δρόμος οὐράνιος ἀνέῳγε τοῖς ἑτοίμως πρὸς τὴν θεωρίαν τοῦ πνεύματος ἔχουσιν, οὐ κατὰ τῶν ἐκ γῆς χοϊκόν, ἀλλὰ κατὰ τὸν τοῦ πνεύματος ἐπουράνιον δυνάμενον θεωρεῖν. ἐφ᾽ ᾧ δεῖ τρέχειν μὲν κατὰ τὴν γῆν, σκοπεῖν δὲ κατὰ τοῦ οὐρανοῦ. τοῦτο παρῆλθον ἱστορῆσαι πρὸς ἔλεγχον τῶν φιλοθεαμόνων, τῶν τὸ μὲν πνευματικὸν τῆς σωτηρίας θεώρημα παρορώντων, καὶ τὸ σωματικὸν τῆς πονηρίας ἱπποδρόμιον, μᾶλλον δὲ Σατδμοδρόμιον περιπτυμένων θεωρεῖν. ποθοῦ δὲ σπουδαίως, ἀγαπητέ, μᾶλλον

* * *

ἴσ. σατανοδρόμιον προτιμώντων. τί δεῖ σπουδαίως, ἀγαπητοί, μᾶλλον θεωρεῖν, ἢ τὸ τῆς ἐκκλησίας ἀσίδηρον

τὸ τῆς ἐκκλησίας ἀσίδηρον ἱπποδρόμιον, ἔνθα Παῦλος ἀγωνίζεται, οὐκ εὐρίπου καὶ καμπτῶν κύκλους τρέχων, ἀλλ᾽ ἀπὸ Ἱερουσαλὴμ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ ἐκπληρῶν τὸ εὐαγγέλιον τοῦ Χριστοῦ· δ. Βασ. β. ιϛ. ἔνθα ὁ Ἠλίας ἡνιοχεῖ, περὶ οὗ εἴρηται, Ἅρμα, ἅρμα, ἡνίοχε τοῦ Ἰσραήλ, καὶ ἱππεὺς αὐτοῦ· οὐκ ἀπὸ λευκῆς ἐπὶ σφενδόνα μιλιοδρομῶν, ἀλλ᾽ ἀπὸ γῆς εἰς οὐρανὸν πυρίνου ἅρματος καταπολεμῶν, ἔνθα λαὸς οὐρανοπολιτῶν ἐπὶ τὴν θεωρίαν πάρεστι, καὶ κριτὴς πνευματικὸς καθέζεται, καὶ βασιλεὺς θεωρεῖ, καὶ ἐπινίκιον οὐράνιον δῶρον τίθεται, καὶ μάστιγες φοβερᾶς κρίσεως πρόκεινται. βούλεταί σε ὁ Θεὸς δι᾽ ἑαυτοῦ ἀγωνίζεσθαι. διὸ καὶ δέδωκέ Ζαχ ϛ. σοι τὸ τῶν εὐαγγελίων τετράθηρον ἅρμα, ἐν ᾧ ἅρματι ἵπποι λευκοὶ κατὰ τὸν Ζαχαρίαν· ζυγαῖοι μὲν φῶς καὶ ἀθανασία, ἀκρωτῆρες δικαιοσύνη καὶ ἀλήθεια, οἱ πορευόμενοι κατόπισθεν τοῦ ἅρματος τοῦ πορευομένου εἰς γῆν βορρᾶ, περὶ οὗ λέγει ἡ σοφία, σκληρὸς τις ἄνεμος βορρᾶς. σκληρὸν γὰρ ἀληθῶς πνεῦμα, καὶ πονηρὸν ὁ διάβολος. ἐν ἅρματι αὐτοῦ ἵπποι μέλανες, ὑποζύγιοι μὲν ὁ ᾅδης καὶ θάνατος· ἀκρωτῆρες δὲ σκότος καὶ ἀπώλεια, οὓς δεῖ καθηνιοχεῖν Ψαλ. ξζ. η. τῷ ἅρματι τοῦ Χριστοῦ. ὅτι τὸ ἅρμα, φησί, τοῦ Θεοῦ μυριοπλάσιον, χιλιάδες εὐθηνούντων, οὓς δεῖ καθηνιοχεῖν ἐν ταῖς τρικυμίαις τοῦ βίου, ὡς ἐν θαλάσσῃ. ἐπεβίβασας γὰρ εἰς θάλασσαν τοὺς ἵππους αὐτοῦ ταράττοντας ὕδατα πολλά, καὶ καταστρέφοντας τὰ ἅρματα τοῦ νοητοῦ Φαραώ, καὶ τὴν δύναμιν αὐτοῦ εἰς θάλασσαν ἐρυθράν. ἔχεις δὲ καὶ παρίππους Ψαλ. λδ. ζ. ἀγγέλους τῶν καταδιωκόντων καὶ διασκοτούντων τοὺς ἵππους τοῦ ἐχθροῦ σου. Γενηθήτω γάρ, φησίν, ἡ ὁδὸς αὐτῶν σκότος καὶ ὀλίσθημα, καὶ ἄγγελος Κυρίου καταδιώκων αὐτούς. ἔχεις δὲ ἐναντίας τοὺς τὰς δόσεις αὐτοῦ καταγγέλλοντας Χαλδαίους, Φαρισαίους, Σαδδουκαίους. ἔχεις καὶ σὺ Μωϋσέα, Σαμουὴλ καὶ Δαβίδ, οἳ προκατήγγειλαν περὶ τῆς ἐλεύσεως τοῦ δικαίου. ἔχει ἐκεῖνος μεσαφέτας δαίμονας, Βὴλ καὶ Δαγὼν καὶ Βαὰλ καὶ Χαμώς, οἳ τὸν Ἰσραὴλ ἔδειξαν ἀποσκελῶν, καὶ τὰ καλῶς αὐτῶν ἔρριψαν ἐν τῇ ἐρήμῳ. ἔχεις καὶ σὺ θυρανοίκτας Παῦλον, καὶ Σιλουανόν, καὶ Τιμόθεον, καθὼς αὐτοί φασιν, α. Κορ. ιϛ. θ. Ὅτι θύρα ἡμῖν ἀνέῳγε μεγάλη, καὶ ἐναργής, καὶ ἀντικείμενοι πολλοί, οἳ καὶ ἐζήτησαν ἵνα δοθῇ αὐτοῖς λόγος ἐν ἀνοίξει τοῦ στόματος αὐτῶν. ἔχει ἐκεῖνος Φίλητον, Ἰούδαν, Δημᾶν καὶ Ἑρμογένην, Ὑμεναῖον καὶ Ἀλέξανδρον τὸν χαλκέα Εφ. ϛ. ιθ. ὑποκρίσεως γέμοντας. ἔχεις καὶ σὺ θεωρητὰς τὸν τῶν ἀγγέλων δῆμον, τὰ τῶν δικαίων τάγματα ἄνωθεν καθορῶντα πῶς μὲν πάντες τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον. εἷς ὁ κατὰ τὴν ἀλήθειαν λαὸς τοῦ Χριστοῦ, εἷς ἐν α. Κορ. θ. κδ. Χριστῷ βαπτισθείς, καὶ Χριστὸν ἐνδυσάμενος, καὶ μηκέτι Ἰουδαῖος μήτε Ἕλλην, ἄρσεν καὶ θῆλυ, δοῦλος ἢ ἐλεύθερος, Σκύθης, Ἄρειος, Εὐνόμιος, ἢ Μακεδόνιος, ἀλλ᾽ εἷς ἐν Χριστῷ.

ἴσ. ὑποσκελίζοντες καὶ τὰ κῶλα

ἴσ. Μακεδ.

στῷ. ἀξίως τοῦ Θεοῦ τρέχε, καὶ πολιτεύου, ἄξιε τοῦ Θεοῦ, ἐν τῷ θεωρείῳ τοῦ παναγίου πνεύματος. μὴ τρεπέτω σε τὰ περὶ ἱππικὰ κομβινεύματα, ἵνα μὴ καταλάβῃ σε τὰ περὶ κρίσεως κινδυνεύματα. Εἰ βούλει κομβινεύειν καὶ διαπαίζεσθαι, δύνασαι τοῦτο ποιεῖν μᾶλλον ἐν τῷ θεωρήματι πνευματικῷ· ζεῦξον κατὰ τῶν θηλυμανῶν ἵππων τοῦ διαβόλου τοὺς εὐσεβεῖς σου λογισμούς· ἀντιδιάταξαι κατὰ ἰσχυρῶν μακροθυμίαν· Κρείττων γάρ, φησι, μακρόθυμος ἰσχυροῦ· κατὰ Ἰουδαϊσμοῦ χριστιανισμόν, κατὰ ἑλληνισμοῦ θεοσέβειαν, κατὰ πορνείας σωφροσύνην, κατὰ πλεονεξίας ἐλεημοσύνην, κατὰ ψεύδους ἀλήθειαν, κατὰ ὀργῆς πρᾳότητα καὶ ἐπιείκειαν. πάλιν κατὰ ὀξέων ζεῦξον καθυποτακτά, τουτέστι, κατὰ θυμοῦ καὶ λύπης πραϋθυμίαν. Πραΰθυμος γάρ, φησιν, ἀνὴρ καρδίας ἰατρός. κατὰ ὀξέων πραϋθυμίαν, κατὰ ἔχθρας φιλίαν, κατὰ μίσους ἀγάπην, κατὰ θλίψεως εὐχαριστίαν, κατὰ ὑπερηφανίας ταπεινοφροσύνην, κατὰ πονηρίας ἀγαθωσύνην, καὶ κατὰ παντὸς ἁπαξαπλῶς ἐναντίου πράγματος τὴν ὀρθόδοξον καὶ σωτήριον πίστιν ἔχε. δεῖ δέ σε ἡνιοχοῦντα καὶ τὴν τοῦ πνεύματος ἔχειν ἐγκράτειαν, ἵνα μὴ ναυσιασμῷ περιπεσὼν ἀκηδιάσῃς. Ὁ γὰρ ἀγωνιζόμενος, φησι, πάντα ἐγκρατεύεται. ἐκεῖνοι μὲν οὖν ἵνα φθαρτὸν στέφανον λάβωσιν, ἡμεῖς δὲ ἄφθαρτον. λάβε καὶ τὴν κασίδα τοῦ σωτηρίου, καὶ τὸ φραγέλλιον ἐν τῇ χειρί σου, ὃ ὁ Κύριος ἡμῶν Ἰησοῦς ποιήσας ἐκ σχοινίου, ἤλαυνεν ἀπὸ τοῦ ἱεροῦ τοὺς τοῦ διαβόλου ἐμπόρους. στῆκε ἑδραίως ἐπὶ τὸ σκεῦος τῆς ἐκλογῆς· ἀνάβηθι ἐπὶ τὸ ἅρμα τοῦ εὐνούχου, ὦ Φίλιππε, τοῦ ἀπηλλαγμένου τῆς ἀκαθαρσίας πάσης· ἀνάβηθι ἐπὶ τὸ ἅρμα· ἀμετεωρίστως ἀτένιζε εἰς τὸν τῷ ἀναγνώσματι τοῦ εὐαγγελίου διακονοῦντα μαμπάριον. μή τίς με δόξῃ γελοιάζοντα λέγειν, οὐ ψεύδομαι. ὡς γὰρ ἐν τῷ ἱπποδρομίῳ πάντων οἱ ὀφθαλμοὶ ἐπὶ τὸν μαμπάριον, πεπηγότος τοῦ σημαιοφόρου, ἀτενίζουσιν, ἐκδεχομένων ἐν τῇ βουλῇ ἐκείνου τὸ ἄνοιγμα· οὐδὲν ἧττον καὶ οἱ ἐπὶ τὴν ἐκκλησιαστικὴν θεωρίαν εἰς τὸ αὐτὸ ἀθροιζόμενοι, τοῦ διακόνου ἀνοίγειν μέλλοντος τὸ τοῦ εὐαγγελίου τετράθυρον, πάντες αὐτῷ ἀτενίζομεν ἡσυχίαν παρέχοντες, καὶ ἡνίκα τοῦ δρόμου τῆς ἀναγνώσεως ἄρξηται, εὐθέως διανιστάμεθα ἡμεῖς ἐπιφωνοῦντες· δόξα σοι, Κύριε. ἀνάβηθι ἐπὶ τὸ ἅρμα, θήρευσον, ἀποδρόμησον, κατάστειλον, ἔκβαλε, ἀπόστρεψον, πίασον, καὶ ποίησον ἐκ τοῦ στόματος τὴν καλὴν ὁμολογίαν, ἀποδρόμησον κατὰ τοῦ ἐναντίου. Ὁ γὰρ πορευόμενος ἁπλῶς, πορεύεται πεποιθώς. κατάστειλον αὐτὸν ὡς ὁ Δαβὶδ τὸν Γολιάθ, ἔκβαλε αὐτὸν ὡς ὁ Ἐλισσαῖος τὸν Γιεζί, πίασον αὐτὸν ὡς ὁ Ἠλίας τὸν Ἀχαὰβ ἐν τῷ ἀμπελῶνι τοῦ Ναβουθαί, ἀπόστρεψον αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον, ὅπου ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων· πρόσεχε σεαυτῷ. Προσέχετε γάρ, φησιν, ἑαυτοῖς, μήποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ καὶ μέθῃ. πάντα βάστασον· Ἀλλήλων γάρ, φησι, τὰ βάρη βαστάζετε. ἄνοδα ἔχων φυλάττου μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου· μὴ ἀποστρεφόμενος εἰς τὰ ὀπίσω, μνημονεύων τῆς γυναικὸς Λώτ. μέσον ἔχε ὁδὸν δικαιοσύνης, μὴ ἐκκλίνῃς εἰς τὰ δεξιά, μηδὲ εἰς ἀριστερά. ἔσωθεν ζήτει ἐκ τοῦ παραδείσου, ἔσωθεν ζήτει. Ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί, φόνοι, μοιχεῖαι, κλοπαί, ψευδομαρτυρίαι, καταλαλιαί, βλασφημίαι, τὰ κοινοῦντα τὸν ἄνθρωπον. μὴ συναναβῇς αὐτῷ· εἰς ἁμαρτίαν σε καλεῖ. αὐτός σε κάμψει· καὶ γίνου περὶ αὐτοῦ λέγων αὐτῷ, Ὕπαγε ὀπίσω μου, Σατανᾶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων· ἔξω μένοι ὡς Ἠλίας φεύγων τὴν Ἰεζαβέλ· σπεῦδε εἰς τὸ βραβεῖον τῆς ἄνω κλήσεως· μή σε καταλάβῃ, ὡς οἱ τοῦ Ἀβεσσαλὼμ παῖδες τοὺς περὶ Ἰωναθὰν καὶ Ἀχιμαὰς τοὺς ἱερεῖς τοῦ Κυρίου φεύγοντας· μή σε πιάσῃ, ὡς οἱ τοῦ βασιλέως Ἱεριχὼ παῖδες τοὺς κατασκόπους· ἀλλ', εἰ δυνατόν, ἀπάτησον αὐτὸν ὡς Ῥαὰβ τοὺς ἐρευνῶντας ἡ πόρνη· μή σε καθυποτάξῃ, ὡς οἱ τοῦ Φαραὼ τοὺς περὶ Μωϋσέα καὶ Ἀαρών· ἀλλὰ περίκαμψον αὐτόν, ὡς οἱ μάγοι Ἡρώδην. μὴ ἀγωνιάσῃς· ἔχεις γὰρ τὸν διαπάκτην Θεόν, καὶ ἰατρὸν τὸν Χριστόν. μηδὲν πτοηθῇς· ἔχεις γὰρ ἀ-

Παροιμ. ις΄ λβ΄.
Παροιμ. ιδ΄ λ΄.
α΄. Κορ. θ΄. κε΄.
τῇ βουλῇ
Παροιμ. ι΄. ι΄.
Λουκ. κα΄. λδ΄.
Γαλ. ς΄. ζ΄.
Ματθ. ιε΄. ιθ΄.
Μαρκ. η΄ λγ΄.

Ψαλ. ρκθ. α.
Ησ. μϛ. α.
α. Κορ. ιε. νζ.
Ψαλ. κϐ. α.
β. Τιμ. δ. ζ.

λείπεται τὸ πνεῦμα τὸ ἅγιον, τὸ τοῦ Σαμουὴλ μυστικῷ κέρατι χρίοντά σε τῷ μύρῳ. μηδὲ τὸ ξίφος φοβηθῇς· ἔχεις γὰρ τὸ ὕδωρ ἐπὶ σὲ τῆς ἀναπαύσεως τοῦ βαπτίσματος διὰ τῆς κολυμβήθρας, ἵνα περιεργαζόμενόν σοι, τουτέστι, διὰ τῆς κηρυκείας τοῦ Ἰωνᾶ. ἀνάλαβέ σε στρέψον τὸ ἅρμα τῆς τυραννίδος αὐτοῦ. βάλε αὐτὸν εἰς βόθρον, ὃν εἰργάσατο· βάλε αὐτὸν εἰς τὴν βαθεῖαν ἐκεῖ. ψαλμικῶς ἀναβόησον, Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε, Κύριε, εἰσάκουσον τῆς φωνῆς μου. βάλε αὐτὸν εἰς τὴν βαθεῖαν κατακάμψας μονώτατος ἐκ τῆς ἀπωλείας αὐτοῦ. ἆρον εἰς ὕψος ὁσίους χεῖρας πρὸς τὸν βασιλέα, λαβὼν βραβεῖον τῶν φοινίκων κατὰ τοὺς παῖδας, καὶ σείσας προσκύνησον αὐτῷ, Ὅτι ἔπεσε Βὴλ, συνετρίβη Δαγών. Χάρις δὲ τῷ Θεῷ τῷ διδόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ Κυρίου ἡμῶν τοῦ Ἰησοῦ Χριστοῦ. ταύτῃ τῇ νίκῃ καὶ τὸν παράδεισον οἷα λαβύρινθον πολύδημον ἀνοῖξαι δυνηθήσῃ, ἔνθα ποταμοὶ τέσσαρες, ὕδωρ πολὺ, ὡς ἐν λουτρῷ ἐν τόπῳ χλόης, ὅπως καὶ σὺ εὐκαίρως λέγῃς, Εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν, ἐφ᾽ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με, καὶ ἐπὶ πᾶσι τούτοις καυχώμενος λέγῃς, Τὸν καλὸν ἀγῶνα ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα. λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΑΛΑΝΙΣΜΟΣ ΠΡΟΣ ΤΟΥΣ ΦΘΕΙΡΟΝΤΑΣ ΤΑΣ τοῦ Χριστοῦ παρθένους.

Ex Ms. Regio Lut. emend. ex alio Ms. Ibid.

Τί δὲ καὶ ὑμῖν, ἄθλιοι καὶ ταλαίπωροι, καὶ τὴν ἡδονὴν ὁδηγοί; πῶς βούλεσθε ἐκφυγεῖν χεῖρας Θεοῦ ζῶντος; τί ποιήσετε, ὅταν ἔλθῃ ὁ ταύτην μνηστευσάμενος κρῖναι ζῶντας καὶ νεκρούς; τί δὲ ἀπολογήσεσθε, τοιαῦτα παράνομα εἰς τὰς τοῦ Χριστοῦ νύμφας πράξαντες; οὕτω τοσοῦτον κατεφρονήσατε; οὐκ ἐθερμάξατε; οὐ δεδοίκατε; οὐκ ἐφρίξατε; οὐκ ἐφείσασθε τῶν ἑαυτῶν ψυχῶν; οὐκ οἴδατε, ὅτι τοιαύτη παρανομία ἑτέρα οὐκ ἔστιν ὡς αὕτη; οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ εἰσὶν αἱ παρθένοι; οὐκ οἴδατε, ὅτι πνεῦμα Θεοῦ τὸ οἰκοῦν ἐν αὐταῖς; τὰς καθ᾽ ἡμέραν μετὰ Χριστοῦ περὶ τῶν ἀνεκλείπτων καὶ μενόντων εἰς αἰῶνας [illegible] διαλεγομένας, καὶ ἃς Παῦλος παρθένους ἁγνὰς παραστῆσαι τῷ Χριστῷ προσήγαγεν, ὑμεῖς βορβόρῳ καὶ δυσωδίᾳ συνεφύρατε; ὢ πῶς ἐτολμήσατε Χριστοῦ νύμφας φθεῖραι, κακῆς ἐπιθυμίας πρόξενοι; κατὰ παιδίσκης καὶ συνδούλου ἐὰν τολμήσῃ τις τοιαῦτα διαπράξασθαι, οὐκ ἀτιμώρητος διεξέρχεται· κατὰ δὲ τοῦ ἀμφοτέρων αὐτοῦ τε, καὶ ὑμῶν τὰς τοῦ Χριστοῦ νύμφας οὕτως ὁπλίζεσθαι, ἐκφεύξεσθαι ἄρα τῆς δίκης προσδοκᾶτε; οὐκ ἠκούσατε τοῦ ἀποστόλου λέγοντος, Ἀνίλεως ἡ κρίσις τῷ μὴ ποιήσαντι ἔλεος; καὶ τί ἄρα τούτου ἀνελεημότερον; μιᾷ γὰρ μαχαίρᾳ δύο φόνους ἐργάζεσθε, καὶ ἑαυτοὺς καὶ αὐτὰς ἀποκτείνοντες; θάνατος γὰρ οὗτος παρὰ τοῖς σωφρονοῦσιν. ὢ τίς οὐκ ἂν στενάξειε; τίς οὐκ ἂν πενθήσειε; τίς οὐκ ἂν κόψηται καὶ θρηνήσειε τὸν ἄωρον φόνον; τίς οὐ δακρύσειε τὸν ἀπρόθεσμον θάνατον; τίς οὐκ ἀλγήσειεν ἐπὶ τῇ ἀδίκῳ πληγῇ; προὶξ καὶ γραμματεία παρὰ τῷ νομίμῳ ἐν ἀφθορίᾳ συναπτομένῳ ἀνδρὶ τῷ ἐπουρανίῳ νυμφίῳ Χριστῷ φυλάττονται, καὶ ἡ παρθενία προδίδοται τῷ μοιχῷ; ἀλλ᾽ ἐρεῖ τις, ἀνάγκῃ τῷ Χριστῷ συνεζεύχθην, οὐκ ἤμην προθέσεως αὐτῷ συζευχθῆναι, ἀλλὰ συνδούλῳ. ὅλως ἐτόλμησας, ἀθλία, καθ᾽ ἑαυτὴν δημηγορῆσαι, ὅτι καὶ μὴ ἐχούσης σου πρόθεσιν εἰς αὐτὸν, ἢ ἀγάπην, ὁ δεσπότης ἐπόθησέ σε; ἄκουσον, ὦ τάλαινα, καὶ ἐρῶ σοι, καὶ κἂν ἐκ τῶν τοῦ κόσμου πραγμάτων πληροφορήθητι. λέγω δὴ τοῖς βιωτικοῖς· ἐὰν κόρην ἕτερος ἀνθ᾽ ἑτέρου ἁρπάσῃ, τῆς ἰσοτιμίας δοκιμαζομένης, κυρία μὲν ἡ ἁρπαγὴ τῷ ποιήσαντι, καὶ νόμος καὶ βασιλεὺς παραχωρεῖ τῇ ἁρπαγῇ. οὐ γὰρ ἥρπαζε καὶ ἔλαβεν, ἵνα ἐνυβρίσῃ, ἀλλ᾽ ἵνα τιμήσῃ, καὶ προικῷα καὶ δῶρα

Ιακ. β ιγ.

ἴσ. ὑ τῆς Κυ
ὁ τῆς τοῦ Χρ
σοῦ νύμφης

ρει ἴσχυεν τὰ ὑπὸ τῆς φιλανθρωπίας [illegible] μεταβολήν, ἐπειδὴ τῷ περιλαβόντι σκοπῷ [illegible] ἀπολογήσηται [illegible] ἐπὶ τοῦ δεσπότου [illegible]; ἵνα γὰρ διαγνῶμεν ἐκείνην λέγω, δι' ἣν τοῦ δεσπότου [illegible] ἀλλ' [illegible] τῇ φιλανθρωπίᾳ δεσπότου· ἵνα τὸ τῆς [illegible] σχήματι σὺ [illegible] τὸν [illegible] ἄφθαρτον γάμον καρδίᾳ [illegible] μόνον λέγε, ὅτι ἀνάγκῃ παρθένον [illegible]· μὴ ἀρνεῖσθαι τῷ οὐρανίῳ νυμφίῳ, ὅτι σε [illegible], καὶ αὐτὴ [illegible] ἄλλων λαβεῖν κατηξίωσεν· θέλει γὰρ αὐτὸς εἶναι, κἂν μὴ θέλῃς. ὥστε παρακαλῶ, ὦ παρθένε, [illegible] γενέσθαι χωρὶς πάσης ἀντιλογίας, τὸ διαλελυμένον [illegible]. καὶ εἰ [illegible] οὐκ ἠθέτησας ὅτι τὸν πνευματικὸν γάμον, φύλαξον ἀσφαλῶς τὰς συνθήκας· εἰ δὲ παρέβης τὰς [illegible], ἐγγράφου [illegible], παρακαλῶ. [illegible] γάρ σοι ὁ ἀγαθὸς καὶ φιλάνθρωπος δεσπότης [illegible] οὐκ ἀποβάλλει σου τὴν συνοίκησιν· ἐπίδος αὐτῷ τὴν χεῖρα. ἐπειδὴ γὰρ τὴν προτέραν δεξιὰν [illegible], κἂν ταύτην μὴ ἀθετήσῃς. οὐχ [illegible] σου τὰ τραύματα. ἰᾶται γὰρ τὴν τῆς ψυχῆς καὶ τοῦ σώματος πληγήν. ἰατρὸς γάρ ἐστιν εὔσπλαγχνος. ἀποκάλυψον αὐτῷ δι' ἐξομολογήσεως τὸ πάθος, ἵνα ἐπιθήσῃ ἀοράτως τὸ σωτήριον φάρμακον. Οὐκ ἦλθε γὰρ καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν. πρὸς σὲ ἦλθε τὴν κειμένην· ἔγειραι οὖν, ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου, τουτέστιν, εἰς τὸν τῆς μετανοίας λιμένα. μηκέτι προσέχῃς μήτε τοῖς σαρκικοῖς ὀφθαλμοῖς, μήτε τοῖς τῆς διανοίας, ἐπὶ τὸν μοιχὸν ἐχθρὸν τὸν πρόξενον τῆς γεέννης, καὶ τοῦ ἀκοιμήτου σκώληκος. ἆρον, φησίν, ἐντεῦθεν ἆρον. οὐ γὰρ βούλομαί σε κεῖσθαι, διαρρῆξαι τὸ τῆς ἁμαρτίας σύμβολον· λοῦσαι τοῖς δάκρυσιν, οὐκ εἰς τὴν κολυμβήθραν, ἀλλ' εἰς τὴν ἐκκλησίαν. δυνατὸς γάρ ἐστιν ὁ Θεὸς παρασκευάσαι σοι τὸ πρότερον ἀξίωμα. μὴ διδάξῃς τὸν κεραμέα, πῶς τὸ ἴδιον διορθώσηται πλάσμα. ἥμαρτες, ἡσύχασον. μὴ εἴπῃς, καὶ πῶς οἷόν τε εἰς τὸ πρότερόν με ἐλθεῖν ἀξίωμα; μὴ λέγε τοῦτο, ὦ παρθένε. Θεὸς γὰρ ὁ δικαιῶν, καὶ τίς ὁ κατακρίνων; ἄκουε τοῦ δεσπότου πῶς ὀνειδίζει τὴν ἀπόγνωσιν διὰ Ἱερεμίου τοῦ προφήτου λέγων· Μὴ ῥητίνη οὐκ ἔστιν ἐν Γαλαάδ, ἢ ἰατρὸς οὐκ ἔστιν ἐκεῖ; διὰ τί οὐκ ἀνέβη ἴασις τῆς θυγατρὸς τοῦ λαοῦ μου; ὢ τοῦ συμπαθοῦς ἰατροῦ. οὐκ ἐγκαλεῖ ἐπὶ πλάσματι, ἀλλ' ἐπὶ τῇ ἀμελείᾳ. οὐκ εἶπε, διὰ τί ἐπλήγης, ἀλλὰ διὰ τί οὐκ ἐθεραπεύθης. οὐκ εἶπε, διὰ τί ἔπεσες, ἀλλὰ διὰ τί οὐκ ἀνέστης. ὅτι δέ σε λαμπροτέραν ὁ Κύριος διὰ τῆς μετανοίας παραστῆσαι βούλεται, ἄκουε αὐτοῦ διὰ Ἡσαΐου τοῦ προφήτου λέγοντος· Ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ. οὔτε ἂν ὁ ἀπόστολος [illegible] ἤλγησε πόνοις, εἰ μὴ πρότερον τῆς τοῦ δεσπότου ἀγαθότητος τὰς συνθήκας ἐδέξατο. οὐκ ἂν ἔλεγε, Τεκνία μου, οὓς πάλιν ὠδίνω ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. ἐπειδὴ γάρ, φησι, τὴν κατ' εἰκόνα Θεοῦ γενομένην ψυχὴν τῷ ψυχοφθόρῳ παρέδωκας δαίμονι, πόρνης μέλη τὰ τοῦ Χριστοῦ μέλη ποιήσασα· ἕως τούτου οὐ παύομαι πενθῶν καὶ θλιβόμενος, ἕως ἂν πάλιν ἴδω μεμορφωμένον ἐν σοὶ τὸν Χριστόν, τὸ τῆς σωφροσύνης κάλλος ἐνδεδυμένην. μὴ ἀπορρίψῃς τὸ βραβεῖον τῆς μετανοίας, παρακαλῶ, δέομαι, καὶ ἀντιβολῶ. ἀνδρίσαι, ἁγνίσαι, ἄλειψαι πνευματικῶς. πολυπλασιάζει ὁ ἀπόστολος τὴν παράκλησιν· Διὰ τὸν Χριστὸν πρεσβεύω, καταλλάγητε τῷ Θεῷ. δέεται ὁ ἀπόστολος, ἵνα τὴν [illegible] νυμφίῳ τῷ Χριστῷ καὶ τὰς συνθήκας λύσασαν πάλιν ἀνακαλέσηται. ὁ φιλάνθρωπος δεσπότης λέγει, οὐ μνησικακῶ ἐπὶ τῇ ὕβρει τῇ γενομένῃ. ἡ ἐμὴ ἐνυβρισθεῖσα κοίτη· ἡ ἐμὴ ἠτιμασμένη συζυγία. ἀλλ' εἰς οὐδὲν τῶν γενομένων ἐγκαλῶ, ὧν ἐποίησας. διὰ τί δὲ πολεμοῦντος τοῦ ὑπεναντίου μὴ ἀντέστης; πῶς οὐκ ἐξέωσας τὰ ἰοβόλα αὐτοῦ βέλη τῷ τύπῳ τοῦ σταυροῦ μου; οὐχὶ ἐγὼ διὰ τοῦτο εἰς παρθενικὴν γαστέρα ἐνῴκησα, ἵνα ἡ ἐκπάλαι διὰ τῆς ἀπάτης ἀτιμασθεῖσα φύσις τιμηθῇ διὰ τῆς παρθενίας; παρθένον γὰρ τὴν Εὔαν οὖσαν ὁ ἐχθρὸς ᾐχμαλώτευσε, καὶ διὰ παρθενίας πάλιν ταύτην ἐν-

Ματθ. θ. ιγ.

Ῥωμ. η. λδ.

Ἱερ. η. κβ.

Ἡσ. α. ιη.

Γαλ. δ. ιθ.

β. Κορ. ε. κ.

παραδύσω

Ματθ. ιθ. κθ. παρθενίας εἰσήγαγε. οὐκ ἤκουσας μου λέγοντος, Ὅτι οὐδείς ἐστιν, ὃς ἀφῆκε πατέρα, ἢ μητέρα, ἢ οἰκίας, καὶ ἀπαρνήσηται πάντα τὰ τοῦ βίου, ὃς οὐ μὴ ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει; οὐκ ἤκουσας μου διὰ Ἡσαΐου τοῦ προφήτου λέγοντος,
Ησ. ξε. ιγ. Οἱ δουλεύοντές μοι εὐφρανθήσονται; οὐχὶ δι' αὐτοῦ τοῦ δούλου μου Ἡσαΐου ἐπηγγειλάμην τοῖς ἐν ἁγνείᾳ τηροῦσι τὸ σῶμα κληρονομῆσαι ἀγαθὰ πολλά, καὶ καρποὺς κρείσσονας υἱῶν καὶ θυγατέρων; οὐχὶ διὰ παρθενίας τὴν κορυφαίαν μου ἐκέρδησεν; οὐχὶ Ἰωάννης ὁ υἱὸς Ζεβεδαίου διὰ παρθενίας παρ' ἐμοῦ υἱὸς βροντῆς ἐκλήθη, καὶ υἱὸς τῆς μητρός μου; πῶς οὐκ ἤκουσας τοῦ ἀποστόλου
Ρωμ. ιγ. δ. μου Παύλου λέγοντος, Τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖτε; ναί, φησι, Κύριε· ἀλλὰ τὴν δούλην σου τὴν ἀναξίαν οἰκτείρησον, καὶ μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ ἐν ὀργῇ σου παιδεύσῃς με. ὁ γὰρ ἀρχέκακος καὶ αὐθέντης πάντων ἐχθρὸς βέλος ἠκόνησε πρὸς μὲ ἰοβόλον, καὶ περιέδραμέ μου τὴν καρδίαν, καὶ τοὺς νεφρούς, καὶ τὰ λοιπὰ αἰσθητήρια, καὶ ἐπιλαθομένη τοῦ φόβου σου, καὶ τῆς δικαίας σου ἀνταποδόσεως. ἠμαύρωσε γάρ μου τοὺς τῆς διανοίας ὀφθαλμοὺς τὸ ἔνδον ἐπιγινόμενον πῦρ· πλὴν ἀναπολόγητός εἰμι, δέσποτα, μὴ ἐπικαλεσαμένη σε τότε εἰς τὴν ἐμὴν βοήθειαν· ἀλλ' ἡμάρτηκα, Κύριε, ἡμάρτηκα, σε ἐγκαταλείψασα, καὶ δουλεύσασα πάθει αἰσχύνης καὶ ἀτιμίας. τότε δὲ αὐτὸς ἐρεῖ σοι· καλόν σε ἦν ἐνθυμηθῆναι, μὴ τὸ τάχος ἀποστελῶσι τὴν ψυχήν σου ἀπαιτοῦντες ἀπὸ σοῦ· καὶ ποῦ τότε ἡ ἐξομο-
Ματθ. κδ. μβ. λόγησις, καὶ ἡ μετάνοια; διὰ τοῦτο γὰρ λέγω, ὅτι γρηγορεῖτε, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν. πλὴν ἀπὸ ἄρτι μηκέτι ἁμαρτήσῃς, μηδὲ ἐμὲ καταλιποῦσα, μοιχαλὶς χρηματίσῃς. καὶ ἡμεῖς δὲ ὧν δεόμεθα, κατανυγέντες παρὰ Θεῷ, καὶ εἰπὲ οὕτως, ὦ παρθένε·
Ψαλ. κε. ϛ. Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε, ὅτι τὴν κειμένην ἤγειρας, τὴν τεθνηκυῖαν ἐζωοποίησας, τὴν ἐρρυπωμένην ἐλάμπρυνας, τὴν βεβυθισμένην τῇ ἁμαρτίᾳ τῷ ἀγκίστρῳ τῆς εὐσεβείας ἀνέσπασας, τὴν πλανηθεῖσαν ᾠκειώσω, τὴν αἰχμάλωτον ἠγόρασας, τὴν ὑβρίσασάν σε οὐκ ἠμύνου, τὴν δραπετεύσασαν ἀνεκαλέσω, τὴν ἁμαρτήσασαν ἀπέπλυνας, τὴν ὑπὸ τῆς ἡδονῆς θηρευθεῖσαν ἀπέσπασας, τὴν παρ' ἐχθρῶν ἀξίαν οὐρανοπολίτιδα ἀπειργάσω, τῆς γεέννης ἠλευθέρωσας, τῆς ῥομφαίας ἐλυτρώσω, τῶν δεσμῶν ἔλυσας, τῆς ἀϊδίου ζωῆς ἠξίωσας, τοῦ κινδύνου ἀφήρπασας, τὸν διάβολον ᾔσχυνας, τὸ χειρόγραφον διέρρηξας. ὦ δακρύων ἀγαθῶν γεωργία, τί τούτων λαμπρότερον τῶν θαυμάτων; συνέλθετε οὖν ὅσαι τῷ τοιούτῳ κινδύνῳ τοῦ ναυαγίου περιεπέσατε, γνῶτε, διδάχθητε, παιδεύθητε, ὅτι ὁ μὲν τῆς ἁμαρτίας καρπός ἐστι θάνατος· ὁ δὲ καρπὸς τοῦ πνεύματός ἐστι ζωή, καὶ εἰρήνη, καὶ ἁγιασμός. ὅσοι νῦν τε καὶ πάντοτε βούλεσθε ἐκφυγεῖν τὸν θάνατον τοῦτον, τὰ λεχθέντα ἅπαντα ὑπόθεσιν σωτηρίας λάβετε· καὶ τοῦτο ἀεὶ μελετᾶτε πάντες, ἐξ-
Γαλ. ε. ιϛ. αιρέτως δὲ μονάζοντες, καὶ παρθένοι, αἱ τὰ σώματα ὑμῶν ἀφιερώσασαι τῷ Κυρίῳ· πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. ἡ γὰρ ἐπιθυμία τῆς σαρκὸς τὸν καρπὸν τῆς ἁμαρτίας θάνατον ἐβλάστησεν· ὁ δὲ καρπὸς ὁ πνευματικὸς ζωὴν αἰώνιον, καὶ ἀφθαρσίαν, καὶ ἁγιασμόν, καὶ εἰρήνην ψυχικῶς τε καὶ σωματικῶς. διὸ πᾶσιν ὑμῖν τοῦτο γνωστὸν ἔστω, ὡς οὐδεμία ἀρετὴ τιμιωτέρα παρθενίας πέφυκεν εἰς τὸ πᾶν φυτὸν ἀρετῆς, ἀλλ' οὐδὲ ὁμοία ταύτης εὑρίσκεται, ἐὰν ὁ μονάζων ἐκεῖνος, ἢ ἡ παρθένος κατὰ διάνοιαν μὴ ἐκπορνεύσῃ. ἡ γὰρ συγκατάθεσις τῶν λογισμῶν πᾶσαν τὴν πρᾶξιν ἀπετέλεσεν. ἀψευδὴς γὰρ ὁ εἰπών·
Ματθ. ε. κη. Πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. οὐδὲν δὲ κεχωρισμένον ἐκ τοῦ ἄρρενος καὶ τῆς θηλείας. πάντες γὰρ τοῦ αὐτοῦ φυ-
Ιωαν. α. ιγ. ράματος τυγχάνομεν, καθὼς τὸ εὐαγγέλιόν φησι· Τὸ μὲν θέλημα ἀνδρός, λέγει, τὸ δὲ θέλημα σαρκός, ἓν καὶ τὸ αὐτὸ πᾶν εἰρηκώς. διὸ δεῖ καὶ τὴν τοῦ Χριστοῦ παρθένον ὅλην ἑαυτὴν ἄμωμον τηρεῖν, καὶ ἄφθαρτον, καὶ τὴν καρδίαν πρὸς τὸν αὐτῆς νυμφίον καὶ δημιουργὸν Χριστόν· τοῖς δὲ ὀφθαλμοῖς τῆς διανοίας, ὡς βλέπουσαν τὸν ὡραῖον κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων,

ποιῶν, πάντα λόγον ἀργὸν καὶ μὴ ὄντα πρὸς οἰκοδομὴν ἀποστρέφεσθαι, πόῤῥω ἄῤῥενι ἀδελφῷ μὴ συνδιάζειν, καὶ μάλιστα τῶν ἀτάκτως περιπατούντων. Εἰ δὲ πληροφορία τίς ἐστι περὶ ὠφελείας ψυχῆς, οὐ δεῖ παρατίθεσθαι ἄνδρας ἀσχημόνως περιπατοῦντας. μὴ παῤῥησιάζεσθαι δεῖ, μηδὲ χρονίζειν. γυναιξὶν ἀσέμνοις μὴ συγγελοιάζειν· ὅρκος δὲ ὅλως ἐκ στόματος μὴ ἐξερχέσθω. διαστολικὸν γάρ τὸ παράγγελμα, ὅτι οὐδὲ κατὰ τῆς ἰδίας σου κεφαλῆς ἀνέχεταί σε ὀμόσαι λέγων, ὅτι Πᾶν τὸ πλέον τοῦ ναί, καὶ τοῦ οὔ, ἐκ τοῦ πονηροῦ ἐστι. τοὺς δὲ μυσαροὺς, καὶ ἀσέμνους λογισμοὺς, καὶ πάντα τὰ τῆς σαρκὸς πειρατήρια τῷ φόβῳ καὶ τῷ πόθῳ τοῦ Χριστοῦ, καὶ τῷ τύπῳ τοῦ σταυροῦ αὐτοῦ ἀπελαύνειν. ἰδοὺ πατέρες, καὶ μητέρες, καὶ ἀδελφοί, καὶ ἀδελφαί, καὶ τέκνα πάντα, τὰ συμφέροντα παρέθηκα ὑμῖν, λέγω δὴ τῶν μοναζόντων, καὶ ταῖς παρθένοις· ταῦτα φυλάξατε, καὶ οὐ μὴ πταίσητε, ἀλλὰ ἀξιωθήσεσθε καὶ ὑμεῖς κληρονόμοι Χριστοῦ ἀναδειχθῆναι, ὧν πάντων τῶν ἡτοιμασμένων ἀγαθῶν ἀξίους καὶ κληρονόμους ἀναδείξῃ ὑμᾶς ὁ πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως, χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ πρέπει δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ παναγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἄλ. συνδιάζειν. ἄλ. συ. ἰδιάζειν

Ματθ. ε. λζ.

ἄλ. τοῖς μονάζουσι.

ΚΑΤΑ ΑΙΡΕΤΙΚΩΝ.

Ex Ms. Regio Lut.

Χορευτὰς τῆς εὐσεβείας ὑμᾶς καὶ στρατιώτας εἰδότες, νῦν μὲν τὴν ἠθικὴν ὡς χορευταῖς γλυκυφωνίαν προσετίθεμεν, νῦν δὲ τὴν δογματικὴν ταῖς ἀκοαῖς αὐστηρότητα, καθάπερ σάλπιγγος φωνὴν, ἐπηχοῦμεν ὁπλίταις. ἐξ ἀμφοτέρων γὰρ ἡ τῆς εὐσεβείας συντίθεται μόρφωσις, τῶν μὲν ἠθικῶν τὴν τοῦ σώματος τάξιν ἀναπληρούντων, τῆς δὲ τῶν δογμάτων παραζεύξεως ἐν τῇ τῆς ψυχῆς τεταγμένης ἀξίᾳ. καθάπερ γὰρ σώματος ἀποζευχθέντος ψυχῆς, ἡ τῶν μελῶν ἄχρηστος ἠχοῦ ἐπαινεῖται συνθήκη· οὕτω καὶ τῆς τῶν ἠθικῶν ἀρετῆς τὸ κάλλος νεκρὸν τῇ τῶν δογμάτων δυνάμει μὴ ψυχούμενον. τί γὰρ ὄφελος ἠθῶν σωφρονεῖν παιδευθέντων, ὅταν τὸν τῆς σωφροσύνης κριτὴν ὁ σωφρονῶν ἀγνοῇ; τί τῆς ἐλεημοσύνης τὸ κέρδος, ὅταν ὁ τῆς ἐλεημοσύνης ἀθετούμενος ἀγανακτῇ δικαστής; τίς ὅπως στρατιώταις ἐπαρκεῖ, πολλὴν μὲν ἐνδεικνυμένοις ἀγαθῶν ἐργασίαν, ἐχθροῖς δὲ τοῦ βασιλέως; μὴ κεχρημένοις ἅπαν ἔθηκας ἀρετῆς ἀνωφελὲς πλεονέκτημα, τῆς τῶν δογμάτων μὴ προσεῤῥιζωμένης ὀρθότητος. δεῖ γὰρ ἐκ ῥίζης τοὺς καρποὺς προϊέναι, καὶ τὰ νεῦρα τῶν ἀρετῶν ἐκ κεφαλῆς ἀφορμᾶσθαι. Ταύτης ἡμεῖς ἐκκρεμάμενοι, καὶ τὰ τῶν πράξεων αὐτῇ συνυφαίνοντες μέλη, τὸ τῆς εὐσεβείας ὁλόκληρον ἀπαρτίζομεν σῶμα, τὴν τοῦ σώματος κεφαλὴν Χριστὸν προσφίγγοντες. Αὐτὸς γάρ, φησίν, ἐστὶν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας· ὃν ἔχειν αἱρετικοὶ κεφαλὴν ἀπηξίωσαν. εὐχῆς μὲν οὖν ἄξιοι μὴ τοιαῦτα χριστιανοὺς καλουμένους κατὰ Χριστοῦ μεμηνέναι· νῦν δὲ καὶ χάριν αὐτοῖς τῆς μανίας ἴστεον, ὅτι παιδεύουσιν ἡμᾶς ἐγρηγορέναι λυσσῶντες, ὅτι πρὸς μάχην ποθεινὴν ἐρεθίζουσι. φιλῶ γὰρ μάχην εἰρήνης βελτίονα, φιλῶ πόλεμον ἀγάπης μακαριώτερον· φιλῶ γνώμην πομπεύειν πρὸς μὲν Ἕλληνας σεμνυνομένην ἀπὸ Χριστοῦ, πρὸς δὲ καὶ ἡμᾶς στασιάζουσαν, ὅτι Χριστὸν ἀνυψοῦμεν. τοιοῦτος γὰρ ἦν Ἄρειος. ὅταν μὲν Ἕλλησι λαλῇ, σεμνολογεῖ τὸν Χριστόν· ὅταν δὲ ἡμῖν διαλέγηται, καταλύει τὸν Χριστόν. τοιοῦτος Εὐνόμιος. ὅταν Ἑλληνισμὸν ψέγῃ, στηλιτεύει θεοποιΐαν· ὅταν δὲ φθέγγηται πρὸς ἡμᾶς, θεοποιΐαν ἱστᾷ. θεοποιΐας γὰρ εἶδος, τὸ λέγειν τὸν Θεὸν λόγον δεδημιουργημένον Θεὸν κἂν τις μένειν εἰς τὸ λατρεύεσθαι κτίσμα. τί ποιεῖς, τυφλώττων αἱρετικέ; ἃ κατέλυσεν εἰσάγεις, οἰκοδομοῦντα τὸν Χριστόν· καὶ ἃ νοεῖς ἀνέσπασας τῶν κτισμάτων θεοποιΐας, κτισματολατρείας φυτεύων τὰ μείζονα. μὴ

Κολοσ. α. ιη.

ἄλ. περιῤῥ.

**
**
**

βλέπετε τοῦ χριστιανισμοῦ τὴν εὐγένειαν· μὴ ποίει τοῦτον ἑλληνισμοῦ συγγενῆ. λατρεία γὰρ κτίσματος, κἂν μεῖζον, κἂν ἔλαττον ᾖ τὸ λατρευόμενον κτίσμα, λατρείας ἑλληνικῆς ἀδελφόν. Ῥωμ. α. κε. οὐκ ἐγκαλεῖ γοῦν τοῖς ἕλλησιν ὁ Παῦλος, ὅτι μακρῶς ἐλάτρευσαν, ἀλλ' ὅλως ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα. τὸ γὰρ κτίσματι λατρεύειν, καὶ ἐν μικρῷ καὶ ἐν μεγάλῳ ἰσοδύναμόν ἐστι· μᾶλλον δὲ καὶ ἑλλήνων αἱρετικὸς τῇ θείᾳ χαλεπώτερος φύσει. οὐ γὰρ οὕτως ὑβριστὴς εἰς τὸ θεῖον ὁ τὴν κτίσιν προσαγορεύων Θεόν, ὡς ὁ κτίσμα τὸν Θεὸν ὀνομάζων. ὁ μὲν γὰρ τὴν κτίσιν θεοποιῶν, δοῦλον ἐνδύειν δοκεῖ βασιλικὴν πορφυρίδα· ὁ δὲ κτίσμα τὸν Θεὸν παρεισάγων, ἰδιωτεύειν ἀναγκάζει τὸ θεῖον. ἕλλην μὲν, οὐχ ὑποστέλλει τὸ θεῖον, θεραπεύει δὲ παντοίως· Ἄρειος δὲ οὐ σέβει, Θεοῦ τὴν εὐφημίαν οὐ φέρει. σέβειν μὲν τὸν Χριστὸν καὶ προσκυνεῖν οὐκ ἀρνεῖται, τιμωμένου δὲ τιμαῖς ὑψηλοτάταις ἀλγεῖ. ἂν εἴπῃ τις ἄκτιστον, εὐθέως ὠργίσθησαν· ἂν ἀδιάστατον, ἐδυσχέραναν· ἂν τῆς ἀξίας κοινωνὸν τῆς πατρικῆς, ὡς ἐπὶ μείζονι πληγῇ παρωξύνθησαν· ἂν δοτῆρα δωρεῶν αὐτεξούσιον, καὶ πρὸς τοῦτο βρύχονται. κλήσεις μὲν χριστιανῶν, μισοχρίστων δὲ γνώμην. σκόπησον Ἄρειε, ποίαν ἀθετεῖς αὐθεντίαν· ἄκουσον αὐτοῦ ἄλλοις ἄλλως δεσποτικῶς διαταττόντος. Ματθ. ις. ιθ. Σοὶ δώσω, φησί, τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν· Λουκ. κγ. μγ. καὶ, Σὺ σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. σὺ δὲ τελώνιον ἀφείς, ἀκολούθει μοι. σὺ μὴ φοβοῦ, ἀλλὰ λάλει, διότι ἐγώ εἰμι μετὰ σοῦ. σοὶ λέγω λεπρέ, καθαρίσθητι. σὺ δραμὼν νίψαι εἰς τὸν Σιλωάμ, καὶ ἀνάβλεψον σύ, παράλυτε, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. σύ, θάλαττα, σιώπα, πεφίμωσο. ὑμεῖς δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. ὑμεῖς λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγείρω αὐτόν. ὑμεῖς μαθητεύσατε πάντα τὰ ἔθνη. καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. οὐδὲν τούτων ἔφη, σοὶ δώσει τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν ὁ πατήρ· σὲ εἰς παράδεισον ἄξει ὁ πατήρ· σύ, λεπρέ, τῷ θελήματι τοῦ πατρὸς καθαρίσθητι· σὺ παρὰ τοῦ πατρὸς ἐπιτάττε τῇ θαλάττῃ, σιώπα, πεφίμωσο. ὑμεῖς δεῦτε ὀπίσω μου, καὶ ποιήσει ὑμᾶς ὁ πατὴρ ἁλιεῖς ἀνθρώπων. ἀλλ' ἐξ αὐθεντούσης ἐξουσίας εἰσὶν αἱ ῥήσεις. εἰ δέ που τῆς αὐθεντίας αἱ φωναὶ μετριώτεραί εἰσι, Ἰωάν. ια. μβ. ὡς τό, Εὐχαριστῶ σοι, πάτερ, ὅτι ἤκουσάς μου, τὸ τῆς ″ κατὰ φύσεως προστίθησιν αἴτιον, διὰ τὸν ὄχλον, φησί, τὸν περιεστῶτα εἶπον, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας. τὴν δὲ πρὸς αὐτὸν κεχηνότων πᾶσαν φωνὴν ὑψηλὴν πρὸς αὐτὸν ἐξεφώνουν. προσῆλθε περὶ παιδὸς ἑκατόνταρχος, ὅσον εἶχε δυνάμεως, ἐν εὐφημίαις ἐπαίρων. Κύριε γάρ, φησιν, οὐκ εἰμὶ ἱκανὸς ἵνα ὑπὸ τὴν στέγην μου εἰσέλθῃς· ἀλλ' εἰπὲ λόγῳ μόνον, καὶ ἰαθήσεται ὁ παῖς μου· καὶ κροτούμενος τὸ δῶρον ἐλάμβανεν. Ἀμὴν γάρ, φησι, λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον. ἀλλ' ὕπαγε, καὶ ὡς ἐπίστευσας, γενηθήτω σοι. πάλιν γυνή τις αἱμόρροος τῷ τοῦ δεσπότου χιτῶνι δοξολογίας προσάγουσα τιμήν, μήτιγε δὴ τῇ θεότητι, σὺν εὐφημίαις τὸ δῶρον ἐλάμβανεν. ἐπετίμητο δὲ καὶ ὁ λῃστὴς ἐν παραδείσῳ, ὅτι δὴ βασιλέα κέκληκε σταυρούμενον. τούτων μείζων μὲν παρ' ἡμῶν τῷ δεσπότῃ Χριστῷ κεχρεώστηται πίστις, ὅσῳ καὶ μείζονος μετειλήφαμεν γνώσεως. ἔστω δὲ ὅμως, Ἄρειε, ″ τί καὶ γυνὴ τότε παραπλήσια. οὐ βούλει μάλα φρονεῖν τῶν προσρρηθέντων εἰς Χριστὸν ὑψηλότερον; πονηρὰ μὲν ἡ γνώμη μένει δὲ τούτοις σήτω. τί καὶ ταπεινοτέρας ὑπαγορεύεις τοῖς αὐτοῖς ἐπικαλουμένοις φωνάς; ἔχω τὴν τότε τοῦ λῃστοῦ εἰς εὐχὴν χαρακτῆρας. οὐ λέγω τῷ Χριστῷ, Κύριε, μνήσθητί μου ἐν τῇ ὑπουργίᾳ σου, ἀλλὰ λέγω φωνὴν δι' ἧς ὁ λῃστὴς εἰσηκούσθη, Κύριε, μνήσθητί μου ἐν τῇ βασιλείᾳ σου. οὐ λέγω τῷ Θεῷ λόγῳ, Κύριε τὴν τοῦ πατρὸς δωρεὰν ὑπηρέτει· ὁ γὰρ ἑκατόνταρχος οὐ συγχωρεῖ μοι, βοῶν, ὅτι ὁ Κύριος εἰπὲ λόγῳ μόνον, καὶ ἰαθήσεται ὁ παῖς μου. οὐ λέγω πρὸς αὐτόν, Κύριε, ἐὰν αἰτήσῃ παρὰ τοῦ πατρός, σωθήσομαι. γυναικικῆς γὰρ εἰσὶ μᾶλλον πίστεως σμικροτέραν οὐ προσφέρω θεότητι, Ἄρειε. οὕτω καλῶ τὸν υἱόν, ὡς χαίρει καλούμενος· πρόσειμι μετὰ τοιούτων φωνῶν, μεθ' ὧν αὐτῷ προσελθόντες, ἐπάθλων τυχόντες.

ἴσ. καταβάσ- ως

ἴσ. τῆ

λόντες. εἰ δὲ ὁ λῃστὴς καὶ γυνὴ καὶ στρατιώτης πιστὸς εἰς διδασκαλίαν ἀναδέδεικται πίστεως, αἰδέσθητι κἂν τὸν τῶν ἀποστόλων χορὸν, ἔνθα δῶρον τῶν ὑπὲρ φύσιν ἐνεργειῶν ἐπιβοωμένων Χριστόν. τί φθεγγόμενος Πέτρος ἀνίστησι παράλυτον; Αἰνέα, φησὶν, ἰᾶταί σε Ἰησοῦς Χριστός. καὶ πάλιν τέρας ἐργαζόμενος ἴασιν, οὐκ ἔστι, φησὶν, ἐν ἄλλῳ οὐδενὶ ὀνόματι ἡ σωτηρία. τί λέγων Ἀνανίας ἐθεράπευσε Παῦλον; Σαοὺλ, ἀδελφὲ, ὁ Κύριος ἀπέσταλκέ με Ἰησοῦς, ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ, ὅπως ἀναβλέψῃς, καὶ πλησθήσῃ πνεύματος ἁγίου. τὴν τίνος ἑαυτῷ Παῦλος ἐπηύχετο δύναμιν; Ἥδιστα, φησὶ, καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ. τίνα κατὰ τῆς Σαμαρειτῶν τιμωρίας Ἰάκωβος καὶ Ἰωάννης ἱκέτευε; Κύριε, φησὶ, θέλεις εἴπωμεν καταβῆναι πῦρ ἐκ τοῦ οὐρανοῦ, καὶ ἀναλώσει αὐτούς; ὁ δὲ τῶν ἀγγέλων χορὸς τί τοῖς ἀνθρώποις περὶ αὐτοῦ παρεδίδου; αὐτὸς, φησὶ, σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. ἐκ τούτων δὲ τῆς ἀξίας ἐλέγχω. οὐ γάρ ἐστιν ὕμνος, οὐχ ὑπεραίρων τὸν υἱὸν, οὐκ ἰσούμενος· ἀλλ' ὅσον ἂν εὐφημίαις ἀναβαίνῃς, ὅσην ἂν λόγων μηχανήσῃ δόξαν, μετὰ τοῦ Δαβὶδ βοήσεις ἡττώμενος, τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι; εἰ δὲ γε τὸ ἄκτιστος, Ἄρξε, φωνὴ τῆς τιμῆς τὸν υἱὸν ὑφαιροῦσα, ἔσται σοι παρὰ τοῦ Δαβὶδ πρὸς αὐτὸν ὑπηλλαγμένως βοᾶν, Κύριε, ἂν ἄκτιστον εἴπω σε, τί ἀνταποδώσεις μοι μείζονι σου τετιμηκότι σε τιμῇ; ἀλλ' ἐρεῖ πρὸς αὐτὸν Ἰωάννης ἀντιφθεγγόμενος, μωροὶ καὶ τυφλοὶ, οὐκ ἐσμὲν ἱκανοὶ λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ. πανταχόθεν τοίνυν πρὸς τὴν τῆς θείας φύσεως ὑψηλολογίαν διεγειρώμεθα, μεγάλας ἐν ὕμνοις Θεοῦ μελετῶμεν ἐννοίας· αἴρωμεν ἰσχύει πάσῃ πρὸς ὕψος τὸν προσκυνούμενον· φρόνημα πλωτὸν ἐν καιρῷ θεολογίας ὠδίνωμεν· τιμήσωμεν τὸν πατέρα ὑψηλαῖς εἰς τὸν υἱὸν εὐφημίαις, δοξάσωμεν τὴν τοῦ γεννήτορος δόξαν, τῇ τοῦ γεννηθέντος πρὸς αὐτὸν ὁμοιότητι φύσεως· ἴσῃ ὁμοτιμίᾳ τὴν τῆς γεννήσεως ὁμολογῶμεν ἀλήθειαν, κτησώμεθα τοῦ πατρὸς τὴν ἀγάπην τῇ περὶ τὸν ἐξ αὐτοῦ θεραπείᾳ. ἐὰν γάρ τις ἀγαπᾷ με, φησὶν, ἀγαπήσει αὐτὸν ὁ πατήρ μου· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πραξ. θ. λδ.

Πραξ. θ. ιζ.

β. Κορ. ιβ. θ.

γρ. ὑπεραίρων

γρ. βοήσῃς

ΔΙΑΤΑΞΙΣ

ΤΗΣ ΘΕΙΑΣ ΙΕΡΟΥΡΓΙΑΣ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

Ἰωάννου τοῦ Χρυσοστόμου.

ΜΕΛΛΩΝ Ο ΙΕΡΕΥΣ ΤΗΝ ΘΕΙΑΝ ΕΠΙΤΕΛΕΙΝ ΜΥΣΤΑΓΩΓΙΑΝ, ὀφείλει εἶναι προηγουμένως ἐξωμολογημένος, καὶ μετὰ πάντων κατηλλαγμένος, καὶ τὴν καρδίαν, ὅση δύναμις, καθαρὰν τετηρηκὼς ἀπὸ πονηρῶν λογισμῶν, ἐγκρατεύσας τε ἀφ' ἑσπέρας, καὶ ἐγρηγορηκὼς μέχρι τοῦ τῆς ἱερουργίας καιροῦ. τοῦ δὲ καιροῦ ἐπιστάντος, μετὰ τὸ ποιῆσαι τὴν συνήθη τῷ προεστῶτι μετάνοιαν, εἰσέρχεται ἐν τῷ ναῷ, καὶ ἑνωθεὶς τῷ διακόνῳ, ποιοῦσιν ὁμοῦ πρὸς ἀνατολὰς προσκυνήματα τρία, ἔμπροσθεν τῆς εἰκόνος τοῦ σωτῆρος καὶ τῆς ὑπεραγίας θεοτόκου, καὶ εἰς τοὺς δύο χοροὺς ἀνὰ ἕν. ὅτε δὲ προσκυνοῦσι, λέγουσι μυστικῶς τὴν εὐχὴν ταύτην.

Κύριε ὁ Θεὸς ἡμῶν, ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἐνίσχυσόν με εἰς τὴν προκειμένην διακονίαν σου, ἵνα ἀκατακρίτως παραστὰς τῷ φοβερῷ σου βήματι, τὴν ἀναίμακτον ἱερουργίαν ἐπιτελέσω· ὅτι σοῦ ἐστιν ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. *Ex Edit. Morell. Paris. 1570*

Ἐλθόντες δὲ εἰς τὸ ἱερατεῖον, λαμβάνουσιν ἕκαστος ἐν ταῖς χερσὶν αὐτῶν τὸ στιχάριον ἑαυτῶν, καὶ ποιοῦσι προσκυνήματα τρία κατ' ἀνατολάς, λέγοντες καθ' ἑαυτοὺς τό,

Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Λυκ. ιη. ιγ.

Εἶτα ὁ διάκονος προσέρχεται τῷ ἱερεῖ, ὑποκλίνας τὴν κεφαλήν, κρατῶν καὶ ἐν τῇ χειρὶ τῇ δεξιᾷ τὸ στιχάριον σὺν τῷ ὠραρίῳ, λέγων,

Εὐλόγησον, δέσποτα, τὸ στιχάριον σὺν τῷ ὠραρίῳ.

Ὁ δὲ ἱερεὺς εὐλογῶν μετὰ τῆς χειρός, λέγει,

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὑποχωρεῖ ὁ διάκονος καθ' ἑαυτὸν εἰς ἓν μέρος τοῦ ἱερατείου, καὶ ἐνδύεται τὸ στιχάριον, εὐχόμενος οὕτως,

Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσέ με γὰρ ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με, καὶ ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς νύμφην περιέθηκέ με κόσμῳ. Ησ. ξα. ι.

Καὶ τὸ μὲν ὠράριον ἀσπασάμενος, ἐπιτίθησι τῷ ἀριστερῷ ὤμῳ. ὁ δὲ ἱερεὺς λαβὼν καὶ αὐτὸς τὸ στιχάριον, εὐλογεῖ αὐτό, καὶ ἀσπασάμενος, ἐνδύεται, λέγων καθ' ἑαυτὸν τὸν ψαλμὸν τὸν πρότερον ῥηθέντα, ὅμοιον τῷ διακόνῳ. καὶ λαβὼν ὁ ἱερεὺς τὰ ἐπιμανίκια ἐν μὲν τῇ δεξιᾷ χειρὶ λέγει οὕτως,

Ἡ δεξιά σου χείρ, Κύριε, δεδόξασται ἐν ἰσχύει· ἡ δεξιά σου, Κύριε, ἔθραυσεν ἐχθρούς, καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους. ἡ δεξιὰ Κυρίου ἐποίησε δύναμιν. Εξοδ. ιε. ς.

Ἐν δὲ τῇ ἀριστερᾷ χειρὶ, λέγει οὕτως,

Ψαλ. ριη ογ. Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με.

Εἶτα λαβὼν τὸ ἐπιτραχήλιον, καὶ εὐλογήσας, ἀσπάζεται· καὶ περιτιθέμενος ἐπὶ τοῦ τραχήλου αὐτοῦ, λέγει,

Ψαλ. ρλϐ. ϐ. Εὐλογητὸς ὁ Θεὸς ὁ ἐκχέων τὴν χάριν αὐτοῦ ἐπὶ τοὺς ἱερεῖς αὐτοῦ, ὡς μύρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα Ἀαρὼν, τὸ καταβαῖνον ἐπὶ τὴν ὤαν τοῦ ἐνδύματος αὐτοῦ, ὡς δρόσος Ἀερμὼν, ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιὼν, ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος.

Καὶ λαβὼν τὴν ζώνην, καὶ εὐλογήσας ἀσπάζεται, καὶ λέγει,

Εὐλογητὸς ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν, καὶ ἐκχέων τὴν χάριν αὐτοῦ, πάντοτε νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα τὸ ὑπογονάτιον λαβὼν, εἰ ἔστι πρωτοσύγγελος τῆς μεγάλης ἐκκλησίας, ἢ ἄλλος τις ἔχων ἀξίωμά τινα, καὶ εὐλογήσας αὐτὸ καὶ ἀσπασάμενος λέγει,

Ψαλ. μδ β. Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατὲ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου, καὶ ἔντεινε, καὶ κατευοδοῦ, καὶ βασίλευε ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης· καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου, πάντοτε νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λαβὼν τὸ φαιλόνιον, καὶ εὐλογήσας ἀσπάζεται, καὶ λέγει,

Ψαλ. ρλα. θ. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται, πάντοτε νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ἀπελθόντες εἰς τὴν πρόθεσιν, νίπτουσι τὰς χεῖρας, λέγοντες,

Ψαλ. κε. ϛ. Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε, τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου, καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου· Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου· μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου, ὧν ἐν χερσὶν αἱ ἀνομίαι· ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων· ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην· λύτρωσαί με, Κύριε, καὶ ἐλέησόν με· ὁ πούς μου ἔστη ἐν εὐθύτητι· ἐν ἐκκλησίαις εὐλογήσω σε, Κύριε.

Ὁ δὲ διάκονος εὐτρεπίζει τὰ ἱερὰ, τὸ μὲν ἅγιον δίσκον ἐν τῷ μέρει τῷ ἀριστερῷ, τὸ δὲ ποτήριον ἐν τῷ δεξιῷ, καὶ τὰ ἄλλα σὺν αὐτοῖς. εἶτα προσκυνήματα τρία ἔμπροσθεν τῆς προθέσεως ποιοῦντες, λέγουσιν ἕκαστος τὸ,

Λουκ. ιη. ιγ. Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με. καὶ τὸ, Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου τῷ τιμίῳ σου αἵματι, τῷ σταυρῷ προσηλωθεὶς, καὶ τῇ λόγχῃ κεντηθεὶς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις, σωτὴρ ἡμῶν· δόξα σοι. Εἶτα λέγει ὁ διάκονος, Εὐλόγησον, δέσποτα.

Καὶ ποιεῖ ὁ ἱερεὺς εὐλογητόν.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λαμβάνει ὁ ἱερεὺς ἐν μὲν τῇ ἀριστερᾷ χειρὶ τὴν προσφοράν· ἐν δὲ τῇ δεξιᾷ τὴν ἁγίαν λόγχην· καὶ σφραγίζων σὺν αὐτῇ ἐπάνω τῆς σφραγῖδος τῆς προσφορᾶς, τρὶς λέγει,

Εἰς ἀνάμνησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Καὶ εὐθὺς πήγνυσι τὴν ἁγίαν λόγχην ἐν τῷ δεξιῷ μέρει τῆς σφραγῖδος, καὶ ἀνατέμνων λέγει,

Ησ. νγ. Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη.

Ἐν δὲ τῷ ἀριστερῷ ὁμοίως πηγνὺς τὴν ἁγίαν λόγχην, λέγει,

Καὶ ὡς ἀμνὸς ἄκακος ἐναντίον τοῦ κείροντος αὐτὸν, ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.

Ἐν δὲ τῷ ὑπεράνω τῆς σφραγῖδος πηγνὺς τὴν ἁγίαν λόγχην, λέγει,

Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη.

Ἐν δὲ τῷ κάτω μέρει τῆς σφραγῖδος πάλιν πηγνὺς τὴν ἁγίαν λόγχην, λέγει,

Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται;

Ὁ δὲ διάκονος ἐν ἑκάστῃ ἀνατομῇ λέγει·

Τοῦ Κυρίου δεηθῶμεν.

Κρατῶν δὲ τὸ ὠράριον αὐτοῦ ἐν τῇ δεξιᾷ, μετὰ ταῦτα λέγει ὁ διάκονος·

Ἔπαρον, δέσποτα.

Καὶ ὁ ἱερεὺς ἐμβαλὼν τὴν ἁγίαν λόγχην ἐκ πλαγίου τοῦ δεξιοῦ μέρους τῆς προσφορᾶς, ἐπαίρει τὸν ἅγιον ἄρτον, λέγων οὕτως.

Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ τιθεὶς αὐτὸν ὕπτιον ἐν τῷ ἁγίῳ δίσκῳ, εἰπόντος τοῦ διακόνου,

Θῦσον, δέσποτα.

Ὁ ἱερεὺς θύει αὐτὸν σταυροειδῶς, λέγων.

Θύεται ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας.

Καὶ στρέφει τὸ ἕτερον μέρος τὸ ἔχον ἐπάνω τὸν σταυρόν, καὶ λέγει ὁ διάκονος.

Νύξον, δέσποτα.

Ὁ δὲ ἱερεὺς νύττων αὐτὸν ἐν τῷ δεξιῷ μέρει μετὰ τῆς ἁγίας λόγχης, λέγει.

Καὶ εἷς τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξε, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ. Ioan. 19.

Ὁ δὲ διάκονος ἐγχέει ἐν τῷ ἁγίῳ ποτηρίῳ ἐκ τοῦ νάματος καὶ ὕδατος, πρότερον πρὸς τὸν ἱερέα εἰπών.

Εὐλόγησον, δέσποτα, τὴν ἕνωσιν ταύτην.

Καὶ ὁ ἱερεὺς εὐλογεῖ. Εἶτα λαβὼν ὁ ἱερεὺς τὴν δευτέραν προσφοράν, λέγει.

Εἰς τιμὴν καὶ μνήμην τῆς ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἧς ταῖς πρεσβείαις πρόσδεξαι, Κύριε, τὴν θυσίαν ταύτην εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον.

Καὶ αἴρων μερίδα μετὰ τῆς ἁγίας λόγχης, τίθησιν ἐξ ἀριστερῶν τοῦ ἁγίου ἄρτου. Εἶτα λαβὼν τὴν τρίτην προσφοράν, λέγει·

Τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων· τῶν ἐν ἁγίοις πατέρων ἡμῶν ἱεραρχῶν, Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου, Κυρίλλου, Νικολάου τοῦ ἐν Μύροις, καὶ πάντων τῶν ἁγίων ἱεραρχῶν· τοῦ ἁγίου ἀποστόλου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου· τῶν ἁγίων μεγάλων μαρτύρων, Γεωργίου, Δημητρίου, Θεοδώρου, καὶ πάντων τῶν ἁγίων μαρτύρων· τῶν ὁσίων θεοφόρων πατέρων ἡμῶν, Ἀντωνίου, Εὐθυμίου, Σάβα τοῦ ἡγιασμένου, Ὀνουφρίου, Ἀρσενίου, Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ, καὶ πάντων τῶν ὁσίων· τῶν ἁγίων καὶ ἰαματικῶν ἀναργύρων, Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, Σαμψὼν καὶ Διομήδους, Θαλλελαίου καὶ Τρύφωνος, καὶ τῶν λοιπῶν· τῶν ἁγίων δικαίων θεοπατέρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου ὁ δεῖνα, τοῦ κατὰ τὴν ἡμέραν δηλονότι. καὶ πάντων τῶν ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεός.

Καὶ οὕτως αἴρων τὴν μερίδα, τίθησιν αὐτὴν ὑποκάτω ἐν τῷ ἀριστερῷ μέρει, εἶτα λαβὼν ἑτέραν προσφοράν, λέγει·

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν, ὁ δεῖνα.

τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος. Ὑπὲρ μνήμης καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν ἀειμνήστων κτητόρων τῆς ἁγίας μονῆς ταύτης.

Ἐνταῦθα καὶ ζώντων καὶ τεθνεώτων, ὧν ἐθέλει ὁ ἱερεύς, μνημονεύει ὀνομαστί.

Καὶ πάντων τῶν ἐπ' ἐλπίδι ἀναστάσεως καὶ ζωῆς αἰωνίου τῇ σῇ κοινωνίᾳ κεκοιμημένων ὀρθοδόξων πατέρων καὶ ἀδελφῶν ἡμῶν, φιλάνθρωπε Κύριε, συγχώρησον.

Καὶ οὕτως αἴρων τὴν μερίδα, τίθησιν αὐτὴν ὑποκάτω ἐν τῷ ἀριστερῷ μέρει. εἶτα λαβὼν ὁ διάκονος τὸ θυμιατήριον καὶ τὸ θυμίαμα, λέγει πρὸς τὸν ἱερέα·

Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα, καὶ τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ ἱερεὺς λέγει τὴν εὐχήν.

Θυμίαμά σοι προσφέρομεν, Χριστὲ ὁ Θεός, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἣν προσδέξαι, δέσποτα, εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον· καὶ ἀντικατάπεμψον ἡμῖν πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου, καὶ δώρησαι ἡμῖν αὐτὰ τοῖς δούλοις σου τοῖς ἐπικαλουμένοις τὸ ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος. Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ ἱερεὺς θυμιάσας τὸν ἀστερίσκον, τίθησιν αὐτὸν ἐπάνω τοῦ ἄρτου, καὶ λέγει·

Ματθ. β. θ. Καὶ ἐλθὼν ὁ ἀστὴρ ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον κείμενον, πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος. Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεὺς θυμιάσας τὸ πρῶτον κάλυμμα, σκεπάζει τὸν ἅγιον ἄρτον, καὶ λέγει·

Ψαλ. ϟβ. α. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο· καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν, πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος. Τοῦ Κυρίου δεηθῶμεν. Κάλυψον, δέσποτα.

Καὶ ὁ ἱερεὺς θυμιῶν τὸ δεύτερον κάλυμμα, καὶ σκεπάζων τὸ ἅγιον ποτήριον, λέγει·

Ἀμβακ. γ. β. Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου, Χριστέ, καὶ τῆς αἰνέσεώς σου πλήρης ἡ γῆ, πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος. Τοῦ Κυρίου δεηθῶμεν. Σκέπασον, δέσποτα.

Καὶ ὁ ἱερεὺς θυμιῶν τὸν ἀέρα, καὶ σκεπάζων ἀμφότερα, λέγει·

Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου, ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λύσαντες ἀμφότεροι τὰς χεῖρας, καὶ προσκυνήσαντες εὐλαβῶς, λέγουσιν·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν ὁ οὕτως εὐδοκήσας, πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος ἐπὶ τῇ προθέσει τῶν τιμίων δώρων·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς προθέσεως.

Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον τὴν τροφὴν τοῦ παντὸς κόσμου τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστὸν ἐξαποστείλας σωτῆρα καὶ λυτρωτὴν καὶ εὐεργέτην, εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, αὐτὸς εὐλόγησον τὴν πρόθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον· μνημόνευσον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, τῶν προσενεγκάντων, καὶ δι' οὓς προσήγαγον, καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων.

Ἐκφώνως. Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τὴν εὐχὴν θυμιᾷ τὴν πρόθεσιν, καὶ ποιεῖ ἀπόλυσιν, λέγων·

Δόξα σοι, Χριστὲ ὁ Θεὸς ἡ ἐλπὶς ἡμῶν.

Ο διάκονος. Δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ο ἱερεύς. Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῇ δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, καὶ πάντων τῶν ἁγίων, ἐλέησαι ἡμᾶς ὡς ἀγαθὸς Θεὸς καὶ φιλάνθρωπος.

Ο χορός. Ἀμήν.

Καὶ οὕτω λαβὼν ὁ διάκονος τὸ θυμιατήριον, ἀπέρχεται, καὶ θυμιᾷ τὴν ἁγίαν τράπεζαν κύκλῳ σταυροειδῶς, λέγων καθ᾽ ἑαυτόν.

Εν τάφῳ σωματικῶς, ἐν ᾅδου δὲ μετὰ ψυχῆς, ὡς Θεός· ἐν παραδείσῳ δὲ μετὰ λῃστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες, Χριστέ, μετὰ πατρὸς καὶ πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος.

Καὶ λέγει τὸν πεντηκοστὸν ψαλμόν. Ελέησόν με, ὁ Θεός.

Καὶ ἐν ᾧ θυμιάσας τό τε ἱερατεῖον καὶ τὸν ναὸν ὅλον, εἰσέρχεται αὖθις εἰς τὸ ἅγιον βῆμα. καὶ θυμιάσας αὖθις τὴν ἁγίαν τράπεζαν καὶ τὸν ἱερέα, τὸ μὲν θυμιατήριον ἀποτίθησιν ἐν τῷ ἰδίῳ τόπῳ· αὐτὸς δὲ προσέρχεται τῷ ἱερεῖ. καὶ στάντες ὁμοῦ πρὸ τῆς ἁγίας τραπέζης, καὶ προσκυνοῦντες καθ᾽ ἑαυτούς, καὶ ἀνάχρωμοι, λέγουσι τό,

Βασιλεῦ οὐράνιε, παράκλητε τὸ πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ ἐνσκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον, ἀγαθέ, τὰς ψυχὰς ἡμῶν. τό, Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ τῆς γῆς. δίς. καὶ τό, Κύριε, τὰ χείλη μου ἀνοίξεις. καὶ τὰ ἑξῆς ἅπαξ. Λουκ. β. ιδ. Ψαλ. ν. ιζ.

Εἶτα ἀσπάζεται ὁ μὲν ἱερεὺς τὸ εὐαγγέλιον· ὁ δὲ διάκονος τὴν ἁγίαν τράπεζαν. Εἶτα ὁ διάκονος ὑποκλίνας τὴν κεφαλὴν τῷ ἱερεῖ, κρατῶν καὶ τὸ ὠράριον ἑαυτοῦ τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρὸς λέγει·

Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ. δέσποτα, εὐλόγησον.

Καὶ ὁ ἱερεὺς σφραγίζων αὐτόν, λέγει·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ο διάκονος. Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα.

Ο δὲ ἱερεύς. Κατευθύναι Κύριος τὰ διαβήματά σου.

Καὶ πάλιν ὁ διάκονος. Μνήσθητί μου, δέσποτα.

Ο δὲ ἱερεύς. Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ὁ διάκονος. Ἀμήν. Ἀμήν. Ἀμήν.

Καὶ προσκυνήσαντες τρίς, λέγουσι καθ᾽ ἑαυτούς.

Κύριε, τὰ χείλη μου ἀνοίξεις. καὶ τὰ ἑξῆς.

Καὶ μετὰ τοῦτο ἐξέρχεται ὁ διάκονος τοῦ βήματος, καὶ προσκυνήσας τρίς, λέγει ἐκφώνως.

Εὐλόγησον, δέσποτα.

Ο δὲ ἱερεὺς ἐκφώνως λέγει.

Εὐλογημένη ἡ βασιλεία τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ο χορός. Ἀμήν.

Ο διάκονος ἐκφώνως. Εν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε, ἐλέησον.

Ο διάκονος. Υπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε, ἐλέησον.

Ο διάκονος. Υπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε, ἐλέησον.

Ὁ διάκονος. Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

ὁ χορός. Κύριε, ἐλέησον.

ὁ διάκονος. Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν, ὁ δεῖνος, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

ὁ χορός. Κύριε, ἐλέησον.

ὁ διάκονος. Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ Θεοφυλάκτων βασιλέων ἡμῶν, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

ὁ χορός. Κύριε, ἐλέησον.

ὁ διάκονος. Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον, τοῦ Κυρίου δεηθῶμεν.

ὁ χορός. Κύριε, ἐλέησον.

Ὁ διάκονος. Ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης, πάσης πόλεως, καὶ χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός. Κύριε, ἐλέησον.

Ὁ διάκονος. Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός. Κύριε, ἐλέησον.

Ὁ διάκονος. Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

ὁ χορός. Κύριε, ἐλέησον.

Ὁ διάκονος. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός. Κύριε, ἐλέησον.

Εὐχὴ ἀντιφώνου πρώτου μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον, καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος ἀμέτρητον, καὶ ἡ φιλανθρωπία ἄφατος, αὐτὸς δέσποτα κατὰ τὴν εὐσπλαγχνίαν σου ἐπίβλεψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον, καὶ ποίησον μεθ' ἡμῶν καὶ τῶν συνευχομένων ἡμῖν πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου.

Τοῦ ἱερέως λέγοντος τὴν εὐχὴν μυστικῶς ἐν τῷ βήματι, ἐν τῷ αὐτῷ καιρῷ ὁ διάκονος λέγει ἔξω τοῦ βήματος τὰ εἰρηνικά· εἰ δὲ οὐκ ἔστι διάκονος, ὁ ἱερεὺς μετὰ τὴν εὐχὴν λέγει τὴν ἐκφώνησιν, καὶ μετὰ ταῦτα τὰ εἰρηνικά.

Ὁ διάκονος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Ὁ χορός. Κύριε, ἐλέησον.

Ὁ διάκονος. Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός. Σοὶ Κύριε.

Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

Μετὰ τὰ εἰρηνικὰ ὁ χορὸς ψάλλει τὸ πρῶτον ἀντίφωνον, ἢ τὰ τυπικά, εἰ ἔστι κυριακή, εἴτ' οὖν τῆς ἡμέρας.

Εὐχὴ ἀντιφώνου δευτέρου μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Σημείωσαι καὶ ἐνταῦθα ὡς καὶ ἐν τῇ εὐχῇ τῇ πρώτῃ, εἰ ἔστι διάκονος, ἢ οὐκ ἔστιν.

Ὁ διάκονος. Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός. Κύριε, ἐλέησον.

Ὁ διάκονος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Ὁ χορός. Κύριε, ἐλέησον.

Ὁ διάκονος. Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός. Σοὶ Κύριε.

Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

Μετὰ τὰ εἰρηνικὰ τὰ δεύτερα ψάλλει ὁ χορὸς τὸ δεύτερον ἀντίφωνον, ἢ τὰ τυπικὰ τὰ δεύτερα, εἰ ἔστι κυριακή, εἴτ' οὖν τῆς ἡμέρας.

Εὐχὴ ἀντιφώνου τρίτου μυστικῶς.

Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχάς, ὁ καὶ δύο καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος, αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος.

Matth.

Σημείωσαι καὶ ἐνταῦθα ὡς καὶ ἐν τῇ εὐχῇ τῇ πρώτῃ καὶ δευτέρᾳ, εἰ ἔστι διάκονος, ἢ οὐκ ἔστιν.

Ὁ διάκονος. Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός. Κύριε, ἐλέησον.

Ὁ διάκονος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Ὁ χορός. Κύριε, ἐλέησον.

Ὁ διάκονος. Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός. Σοὶ Κύριε.

Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

Ἐνταῦθα ὁ χορὸς ψάλλει τὸ τρίτον ἀντίφωνον, ἢ τὴν τετάρτην· εἰ δὲ καὶ ἔστι κυριακή, ψάλλει τοὺς μακαρισμούς, καὶ τοῦ ἁγίου τῆς ἡμέρας. ὅταν δὲ ἔλθῃ ὁ χορὸς εἰς τό,

Δόξα πατρί,

Ὁ ἱερεὺς καὶ ὁ διάκονος ἔμπροσθεν τῆς ἁγίας τραπέζης ποιοῦσι προσκυνήματα τρία. Εἶτα λαβὼν ὁ ἱερεὺς τὸ ἅγιον εὐαγγέλιον, δίδωσι τῷ διακόνῳ, καὶ οὕτως ἐξελθόντες διὰ τῆς θύρας τοῦ βορείου μέρους, ἔρχονται εἰς τὸν συνήθη τόπον, καὶ ποιοῦσι τὴν μικρὰν εἴσοδον, καὶ κλίνουσιν ἀμφότεροι τὰς κεφαλάς, καὶ τοῦ διακόνου εἰπόντος ἠρέμα·

Τοῦ Κυρίου δεηθῶμεν.

Αμα καὶ τὸ ὠράριον κρατοῦντος τοῖς τρισὶ δακτύλοις, λέγει ὁ ἱερεὺς τὴν εὐχὴν τῆς εἰσόδου.

Εὐχὴ τῆς εἰσόδου τοῦ ἁγίου εὐαγγελίου μυστικῶς.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν, καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα.

Εκφώνως. Οτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ο χορός. Αμήν.

Τῆς εὐχῆς δὲ τελεσθείσης, λέγει ὁ διάκονος πρὸς τὸν ἱερέα.

Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν εἴσοδον, Δεικνύων ἅμα καὶ πρὸς ἀνατολὰς μετὰ τοῦ ὠραρίου.

Καὶ ὁ ἱερεὺς ποιῶν σταυρὸν κατὰ ἀνατολὰς, λέγει.

Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, πάντοτε νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Αμήν.

Εἶτα ὁ διάκονος προσέρχεται πρὸς τὸν ἐπίσκοπον, καὶ ἀσπάζεται τὸ εὐαγγέλιον, εἰ πάρεστιν, εἰ δ' οὖν ἀσπάζεται ὁ ἱερεύς. Καὶ τοῦ τελευταίου δὲ τροπαρίου πληρωθέντος, εἰσέρχεται ὁ διάκονος εἰς τὸ μέσον, καὶ στὰς ἔμπροσθεν τοῦ ἱερέως, ἀνυψοῖ μικρὸν τὰς χεῖρας, καὶ δεικνύων τὸ ἅγιον εὐαγγέλιον, λέγει ἐκφώνως.

Σοφία ὀρθή.

Εἶτα προσκυνήσας αὐτός τε καὶ ὁ ἱερεὺς κατόπιθεν αὐτοῦ, εἰσέρχονται εἰς τὸ ἅγιον βῆμα· καὶ ὁ μὲν διάκονος ἀποτίθησι τὸ ἅγιον εὐαγγέλιον ἐν τῇ ἁγίᾳ τραπέζῃ· οἱ δὲ ψάλλοντες λέγουσι τὰ συνήθη τροπάρια, καὶ τοῦ κατὰ τὴν ἡμέραν ἁγίου. καὶ ὅταν ἔλθωσιν εἰς τὸ ὕστερον, ὁ διάκονος πρὸς τὸν ἱερέα λέγει, κλίνων τὴν ἑαυτοῦ κεφαλὴν, καὶ τὸ ὠράριον ἐν τῇ χειρὶ κρατῶν,

Εὐλόγησον, δέσποτα, τὸν καιρὸν τοῦ τρισαγίου.

Καὶ ὁ ἱερεὺς σφραγίζων αὐτὸν, λέγει.

Οτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεί.

Τοῦ δὲ τροπαρίου πληρωθέντος, ἔρχεται ὁ διάκονος ἐγγὺς τῶν ἁγίων θυρῶν, καὶ δείκνυσι τὸ ὠράριον τοῖς ἐκτὸς λέγων ἐκφώνως.

Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Αμήν.

Τοῦ δὲ χοροῦ ψάλλοντος τὸ τρισάγιον, ὁ ἱερεὺς εὔχεται μυστικῶς. Εὐχὴ τοῦ τρισαγίου μυστικῶς.

Ο Θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν σεραφὶμ ἀνυμνούμενος, καὶ ὑπὸ τῶν χερουβὶμ δοξολογούμενος, καὶ ὑπὸ πάσης ἐπουρανίου δυνάμεως προσκυνούμενος· ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα· ὁ κτίσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ παντί σου χαρίσματι κατακοσμήσας· ὁ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν, καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν· ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου, καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν· αὐτὸς, δέσποτα, πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον, καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου· συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον, καὶ ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα, καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, πρεσβείαις τῆς ἁγίας θεοτόκου, καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων.

Εκφώνως. Οτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Αμήν.

Ταύτης δὲ τελεσθείσης, καὶ τοῦ χοροῦ ψάλλοντος τὸ, Δόξα καὶ νῦν,

Ψάλλουσι καὶ αὐτοί, ὅ τε ἱερεὺς καὶ ὁ διάκονος τὸ τρισάγιον, ποιοῦντες ὁμοῦ καὶ προσκυνήματα τρία ἔμπροσθεν τῆς ἁγίας τραπέζης.

Εἶτα λέγει ὁ διάκονος πρὸς τὸν ἱερέα.

Εὐλόγησον, δέσποτα.

Καὶ ἀπέρχονται ἐν τῇ καθέδρᾳ. καὶ ὁ ἱερεὺς λέγει ἀπερχόμενος.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Ὁ δὲ διάκονος. Εὐλόγησον, δέσποτα, τὴν ἄνω καθέδραν.

Καὶ ὁ ἱερεύς. Εὐλογημένος εἶ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ, πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ τρισαγίου, ὁ διάκονος ἐλθὼν ἔμπροσθεν τῆς θύρας λέγει.

Πρόσχωμεν.

Καὶ ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ διάκονος. Σοφία.

Καὶ ὁ ἀναγνώστης ἄρχεται. Ἀλληλούϊα. Ψαλμὸς τῷ Δαβίδ.

Καὶ ὁ διάκονος αὖθις. Πρόσχωμεν.

Ὁ ἀναγνώστης τὸ προκείμενον τοῦ ἀποστόλου καὶ τῆς ἡμέρας.

Καὶ ὁ διάκονος αὖθις. Πρόσχωμεν.

Καὶ τοῦ ἀποστόλου πληρωθέντος, ἐκφωνεῖ ὁ ἱερεύς.

Εἰρήνη σοι.

Ὁ διάκονος. Σοφία.

Καὶ ὁ χορὸς τό, Ἀλληλούϊα. Ψαλμὸς τῷ Δαβίδ.

Καὶ ὁ διάκονος αὖθις.

Πρόσχωμεν.

Ὁ ἀναγνώστης τὸ προκείμενον τοῦ ἀποστόλου καὶ τῆς ἡμέρας. Καὶ ὁ διάκονος αὖθις.

Πρόσχωμεν.

Καὶ τοῦ ἀποστόλου πληρωθέντος, ἐκφωνεῖ ὁ ἱερεύς.

Εἰρήνη σοι. Ὁ διάκονος. Σοφία.

Καὶ ὁ χορὸς τό, Ἀλληλούϊα. Ψαλμὸς τῷ Δαβίδ.

Καὶ λαβὼν ὁ διάκονος τὸ θυμιατήριον καὶ τὸ θυμίαμα, πρόσεισι τῷ ἱερεῖ, λέγων.

Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα.

Τοῦ δὲ ἱερέως εὐλογοῦντος, καὶ τὴν εὐχὴν εἰπόντος ταύτην,

Θυμίαμά σοι προσφέρομεν, Χριστὲ ὁ Θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικατάπεμψον ἡμῖν τὴν θείαν χάριν τοῦ παναγίου σου πνεύματος, πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θυμιᾷ ὁ διάκονος τὴν ἁγίαν τράπεζαν γύρωθεν, τὸ ἱερατεῖον ὅλον, καὶ τὸν ἀέρα. καὶ μετὰ τοῦτο τὸ θυμιατήριον ἀποθέμενος, ἔρχεται πρὸς τὸν ἱερέα· καὶ κλίνας αὐτῷ τὴν κεφαλήν, κρατῶν καὶ τὸ ὠράριον σὺν τῷ ἁγίῳ εὐαγγελίῳ ἄκροις τοῖς δακτύλοις, δηλονότι ἐν ἐκείνῳ τῷ τόπῳ τῆς ἁγίας τραπέζης, λέγει.

Εὐλόγησον, δέσποτα, τὸν εὐαγγελιστὴν τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ τοῦ δ.

Ὁ δὲ ἱερεὺς σφραγίζων αὐτόν, λέγει·

Ὁ Θεὸς διὰ πρεσβειῶν τοῦ ἁγίου ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ τοῦ δ., δώῃ σοι ῥῆμα εἰς τὸ εὐαγγελίσασθαι τῷ εὐαγγελιζομένῳ δυνάμει πολλῇ.

Καὶ ὁ διάκονος εἰπὼν τό, Ἀμήν.

Καὶ προσκυνήσας μετ' εὐλαβείας τὸ ἅγιον εὐαγγέλιον, καὶ ἐξελθὼν διὰ τῶν ἁγίων θυρῶν προπορευομένων καὶ λαμπάδων καὶ θυμιαμάτων, ἔρχεται καὶ ἵσταται ἄνω ἐν τῷ ἄμβωνι, ἢ ἐν τῷ τεταγμένῳ τόπῳ. ὁ δὲ ἱερεὺς ἱστάμενος ἔμπροσθεν τῆς ἁγίας τραπέζης, βλέπων πρὸς δυσμάς, ἐκφωνεῖ,

Σοφία ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου. *Καὶ ὁ διάκονος·* Ἐκ τοῦ κατὰ τοῦδε ἁγίου εὐαγγελίου τὸ ἀνάγνωσμα. *Καὶ ὁ ἱερεύς·* Πρόσχωμεν. *Τοῦ δὲ εὐαγγελίου πληρωθέντος, λέγει πρὸς τὸν διάκονον ὁ ἱερεύς·* Εἰρήνη σοι. *Καὶ ὁ διάκονος ἐλθὼν ἕως τῶν ἁγίων θυρῶν, ἀποδίδωσι τὸ ἅγιον εὐαγγέλιον τῷ ἱερεῖ. εἶτα ἐν τῷ συνήθει τόπῳ στάς, ἄρχεται οὕτως·*

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας εἴπωμεν.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Ελέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, Κύριε, ἐπάκουσον.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Ετι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, κράτους, νίκης, διαμονῆς, εἰρήνης, ὑγείας, σωτηρίας αὐτῶν, καὶ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπιπλέον συνεργῆσαι κατευοδῶσαι αὐτοὺς ἐν πᾶσι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον.

Ο χορός. Κύριε ἐλέησον.

Ο δὲ ἱερεὺς λέγει τὴν εὐχὴν ταύτην μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος.

Ἐκφώνως· Οτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Αμήν.

Ο διάκονος. Εὔξασθε οἱ κατηχούμενοι τῷ Κυρίῳ.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν, ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Αποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Ενώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καὶ διαφύλαξον αὐτοὺς ὁ Θεὸς τῇ σῇ χάριτι.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Οἱ κατηχούμενοι τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Ο χορός. Σοὶ Κύριε.

Εὐχὴ κατηχουμένων πρὸ τῆς ἁγίας ἀναφορᾶς, ἣν ὁ ἱερεὺς λέγει μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας τὸν μονογενῆ σου υἱὸν καὶ Θεὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, τοὺς ὑποκεκλικότας σοι τὸν ἑαυτῶν αὐχένα· καὶ καταξίωσον αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, καὶ συγκαταρίθμησον αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ.

Ἐκφώνως. Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

Μετὰ τὴν ἐκφώνησιν λαμβάνει ὁ ἱερεὺς τὸ εἰλητὸν, καὶ κατὰ τὸ σύνηθες ἐξαπλοῖ.

Ο διάκονος. Ὅσοι κατηχούμενοι προσέλθετε· οἱ κατηχούμενοι προσέλθετε· ὅσοι κατηχούμενοι προσέλθετε. μή τις τῶν κατηχουμένων. ὅσοι πιστοὶ, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε, ἐλέησον.

Εὐχὴ πιστῶν πρώτη μετὰ τὸ ἁπλωθῆναι τὸ εἰλητὸν, ἣν ὁ ἱερεὺς μυστικῶς λέγει.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· πρόσδεξαι, ὁ Θεὸς, τὴν δέησιν ἡμῶν, ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις καὶ ἱκεσίας καὶ θυσίας ἀναιμάκτους ὑπὲρ παντὸς τοῦ λαοῦ σου, καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν διακονίαν σου ταύτην, ἐν τῇ δυνάμει τοῦ πνεύματός σου τοῦ ἁγίου, ἀκαταγνώστως καὶ ἀπροσκόπτως ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν, ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ καὶ τόπῳ, ἵνα εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν εἴης ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος.

Εὐχομένου τοῦ ἱερέως, ὁ διάκονος λέγει τὰ εἰρηνικὰ, εἰ ἔστιν, ἔξω τοῦ ἁγίου βήματος ἐν τῷ συνήθει τόπῳ.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε, ἐλέησον.

Ο διάκονος. Ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε, ἐλέησον.

Ο διάκονος. Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν τοῦ Κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε, ἐλέησον.

Ο διάκονος. Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε, ἐλέησον.

Ο διάκονος. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε, ἐλέησον.

Ο διάκονος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Ο χορός. Κύριε, ἐλέησον.

Ο διάκονος. Σοφία.

Ο ἱερεὺς ἐκφώνως.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, πάντοτε νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

Εὐχὴ πιστῶν δευτέρα, ἣν ὁ ἱερεὺς μυστικῶς λέγει.

Πάλιν καὶ πολλάκις σοι προσπίπτομεν, καὶ σοῦ δεόμεθα, ἀγαθὲ καὶ φιλάνθρωπε, ὅπως ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν, καθαρίσῃς ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· καὶ δώῃς ἡμῖν ἀνένοχον καὶ ἀκατάκριτον τὴν παράστασιν

τοῦ ἁγίου σου θυσιαστηρίου. χάρισαι δὲ, ὁ Θεός, καὶ τοῖς συνευχομένοις ἡμῖν προκοπὴν βίου καὶ πίστεως καὶ συνέσεως πνευματικῆς· δὸς αὐτοῖς πάντοτε μετὰ φόβου καὶ ἀγάπης λατρεύουσί σοι ἀνενόχως καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου μυστηρίων καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι.

Εὐχομένου τοῦ ἱερέως, ὁ διάκονος λέγει τὰ εἰρηνικὰ ἔξω τοῦ ἁγίου βήματος. Ὁ ἱερεὺς ἐκφώνως.

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Μετὰ τὴν ἐκφώνησιν λέγει τὴν εὐχὴν καθ' ἑαυτὸν, καὶ οἱ μὲν ψάλται ψάλλουσι τὸν χερουβικὸν ὕμνον· ὁ δὲ διάκονος προσελθὼν τῷ ἱερεῖ, μετὰ θυμιάματος θυμιᾷ τὴν ἁγίαν τράπεζαν σταυροειδῶς κύκλῳ, καὶ τὸ ἱερατεῖον, καὶ τὸν ἱερέα. καὶ μετὰ τοῦτο ἵσταται ἐν τῇ ἀριστερᾷ τοῦ ἱερέως εὐλαβῶς, προσμένων τὴν συμπλήρωσιν τῆς εὐχῆς.

Εὐχὴ, ἣν λέγει ὁ ἱερεὺς μυστικῶς τοῦ χερουβικοῦ ᾀδομένου.

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς προσέρχεσθαι ἢ προσεγγίζειν ἢ λειτουργεῖν σοι, βασιλεῦ τῆς δόξης. τὸ γὰρ διακονεῖν σοι, μέγα καὶ φοβερὸν καὶ αὐταῖς ταῖς ἐπουρανίοις δυνάμεσιν· ἀλλ' ὅμως διὰ τὴν ἄφατον καὶ ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος, καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας, καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς δεσπότης τῶν ἁπάντων· σὺ γὰρ μόνος, Κύριε ὁ Θεὸς ἡμῶν, δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων, ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν σεραφὶμ Κύριος, καὶ βασιλεὺς τοῦ Ἰσραὴλ, ὁ μόνος ἅγιος, καὶ ἐν ἁγίοις ἀναπαυόμενος. σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον· ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου· καὶ καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας σου χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ, καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου σῶμα, καὶ τὸ τίμιόν σου αἷμα. σοὶ γὰρ προσέρχομαι κλίνας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου, ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα. σὺ γὰρ εἶ ὁ προσφέρων καὶ ὁ προσφερόμενος, καὶ προσδεχόμενος καὶ διαδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πληρωθείσης δὲ τῆς εὐχῆς, ἄρχονται ὁμοῦ τὸν χερουβικὸν ὕμνον, καὶ τρεῖς ἐν τῷ λέγειν αὐτὸν προσκυνοῦντες· εἶτα καὶ τὸν πεντηκοστὸν ψαλμὸν μυστικῶς. καὶ προσκυνοῦντες τρεῖς, ἀπέρχονται ἐν τῇ προθέσει, προπορευομένου τοῦ διακόνου μετὰ θυμιάματος· καὶ θυμιάσας τὰ ἅγια, καθ' ἑαυτὸν εὐχόμενος τό,

Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. πρὸς τὸν ἱερέα λέγει. Ἔπαρον, δέσποτα.

Ὁ δὲ ἱερεὺς ἄρας τὸν ἀέρα, ἐπιτίθησι τῷ ἀριστερῷ ὤμῳ τοῦ διακόνου, λέγων·

Ἐν εἰρήνῃ ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν Κύριον. εὐλογήσαι σε Κύριος ἐκ Σιὼν, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, πάντοτε νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ διάκονος. Ἀμήν.

Εἶτα τὸν ἅγιον δίσκον ἐπὶ τῆς κορυφῆς αὐτοῦ ὁ διάκονος μετὰ προσοχῆς λαμβάνει· ὁ δὲ ἱερεὺς αἴρων τὸ ἅγιον ποτήριον μόνον, καὶ ὁ διάκονος κρατῶν ἐν τῇ δεξιᾷ αὐτοῦ ἑνὶ δακτύλῳ τὸ θυμιατήριον. καὶ διερχόμενοι τὸν ναὸν, εὔχονται ἀμφότεροι ὑπὲρ πάντων, λέγοντες·

Μνησθείη Κύριος ὁ Θεὸς πάντων ἡμῶν ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν.

Καὶ πολλάκις τοῦτο λέγουσιν, ἕως ἂν πληρωθῇ ἡ μεγάλη εἴσοδος. εἰσερχόμενοι δὲ εἰς τὸ ἅγιον βῆμα, λέγουσι καθ' ἑαυτούς·

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Εἶτα ὁ διάκονος πάλιν πρὸς τὸν ἱερέα τὴν κεφαλὴν ὑποκλίνας, λέγει·

Μνήσθητί μου, δέσποτα, ἅγιε τοῦ ἁμαρτωλοῦ.

καὶ ὁ ἱερεύς· Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ἀποτίθεται καὶ αὐτὸς τὸ ἅγιον ποτήριον ἐν τῇ ἱερᾷ τραπέζῃ, ἐπιλέγων καὶ τὸ τροπάριον τοῦτο·

Ὁ εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου σῶμα, σινδόνι καθαρᾷ εἱλήσας, καὶ ἀρώμασιν ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο. Ιωα. ιθ.

Εἶτα ἀποτίθησι τὰ καλύμματα ὁ ἱερεὺς ἀπὸ τοῦ ἁγίου δίσκου καὶ τοῦ ἁγίου ποτηρίου· τὸν δὲ ἀέρα λαβὼν ἀπὸ τῶν ὤμων τοῦ διακόνου, καὶ θυμιάσας αὐτὸν ἐπισκεπάζει δι' αὐτοῦ τὰ ἅγια. εἶτα ὁ διάκονος θυμιᾷ τὰ ἅγια τρίς, λέγων οὕτως·

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών.

Εἶτα εὐχόμενοι τό, Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

Ἔμπροσθεν τῆς ἁγίας τραπέζης προσκυνοῦσι τρίς. καὶ ὁ μὲν ἱερεὺς ἵσταται· ὁ δὲ διάκονος τὸν αὐχένα κλίνας, πρὸς τὸν ἱερέα λέγει·

Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα.

ὁ δὲ ἱερεὺς λέγει· Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. Λυκ. α. λε.

ὁ δὲ διάκονος λέγει· Τὸ αὐτὸ ἅγιον πνεῦμα συλλειτουργήσει ὑμῖν καὶ ἡμῖν, πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Μνήσθητί μου, δέσποτα ἅγιε.

ὁ δὲ ἱερεὺς λέγει· Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ὁ διάκονος· Ἀμήν. ἀμήν. ἀμήν.

Καὶ προσκυνήσας, ἔρχεται ἐν τῷ συνήθει τόπῳ λέγων·

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

ὁ χορός· Κύριε, ἐλέησον.

ὁ διάκονος· Ὑπὲρ τῶν προτεθέντων τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.

ὁ χορός· Κύριε, ἐλέησον.

ὁ διάκονος· Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως καὶ εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

ὁ χορός· Κύριε, ἐλέησον.

ὁ διάκονος· Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

ὁ χορός· Κύριε, ἐλέησον.

Εὐχὴ προσκομιδῆς μετὰ τὴν ἐν τῇ ἁγίᾳ τραπέζῃ τῶν θείων δώρων ἀπόθεσιν, ἣν λέγει ὁ ἱερεὺς μυστικῶς·

Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ μόνος ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν, καὶ προσάγαγε τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι δῶρά τε καὶ θυσίας πνευματικὰς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου, τοῦ γενέσθαι σοι εὐπρόσδεκτον τὴν θυσίαν ἡμῶν, καὶ ἐπισκηνῶσαι τὸ πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθὸν ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, καὶ ἐπὶ πάντα τὸν λαόν σου.

ὁ διάκονος· Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ διάκονος. Τὴν ἡμέραν πᾶσαν τελείαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ὁ χορός. Παράσχου Κύριε.

Ὁ διάκονος. Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγὸν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ὁ χορός. Παράσχου Κύριε.

Ὁ διάκονος. Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ὁ χορός. Παράσχου Κύριε.

Ὁ διάκονος. Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ὁ χορός. Παράσχου Κύριε.

Ὁ διάκονος. Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ὁ χορός. Παράσχου Κύριε.

Ὁ διάκονος. Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ὁ χορός. Παράσχου Κύριε.

Ὁ διάκονος. Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός. Σοὶ Κύριε.

Ὁ ἱερεὺς ἐκφώνως. Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ διάκονος. Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.

Ὁ χορός. Πατέρα, υἱὸν, καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Ὁ ἱερεὺς προσκυνεῖ τρὶς, λέγων μυστικῶς τρίς.

Ἀγαπήσω σε, Κύριε ἡ ἰσχύς μου, Κύριος στερέωμά μου, καὶ καταφυγή μου.

Καὶ ὁ διάκονος περιπτύσσεται τὸ ὠράριον αὐτοῦ, καὶ προσκυνεῖ τρὶς, καὶ ἐπισυνάπτει ἐκφώνως.

Τὰς θύρας, τὰς θύρας. ἐν σοφίᾳ πρόσχωμεν.

Καὶ ὁ χορὸς, τό. Πιστεύω.

Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ ἁγίου συμβόλου, λέγει ὁ διάκονος ἐκφώνως.

Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου, πρόσχωμεν τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν.

Ὁ χορός. Ἔλαιον εἰρήνης, θυσίαν αἰνέσεως.

Ὁ ἱερεὺς ἐκφώνως.

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος εἴη μετὰ πάντων ἡμῶν.

Ὁ χορός. Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ ἱερεύς. Ἄνω σχῶμεν τὰς καρδίας.

Ὁ χορός. Ἔχομεν πρὸς τὸν Κύριον.

Ὁ ἱερεύς. Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ χορός. Ἄξιον καὶ δίκαιόν ἐστι προσκυνεῖν πατέρα, υἱὸν καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται μυστικῶς.

Ἄξιον καὶ δίκαιόν σε ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ αἰνεῖν, σοὶ εὐχαριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου· σὺ γὰρ εἶ Θεὸς ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὤν, ὡσαύτως ὤν, σὺ καὶ ὁ μονογενής σου υἱὸς καὶ τὸ πνεῦμά σου τὸ ἅγιον. σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες, καὶ παραπεσόντας ἀνέστησας πάλιν, καὶ οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες, καὶ τὴν βασιλείαν σου ἐχαρίσω τὴν μέλλουσαν. ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι, καὶ τῷ μονογενεῖ σου υἱῷ, καὶ τῷ πνεύματί σου τῷ ἁγίῳ, ὑπὲρ πάντων ὧν ἴσμεν, καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν καὶ ἀφανῶν εὐεργεσιῶν τῶν εἰς ἡμᾶς γεγενημένων. εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς λειτουργίας ταύτης, ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι κατηξίωσας. καίτοι σοὶ παρεστήκασι χιλιάδες ἀρχαγγέλων, καὶ μυριάδες ἀγγέλων, τὰ χερουβὶμ καὶ τὰ σεραφὶμ ἑξαπτέρυγα, πολυόμματα, μετάρσια, πτερωτά,

Ἐκφώνως, Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα·

Ὁ χορός, Ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Ὁ διάκονος δὲ λαμβάνει τὸν ἀστερίσκον, καὶ ποιεῖ σταυροειδῶς ἐπὶ τοῦ ἁγίου δίσκου, καὶ ἀποσπογγίσας αὐτὸν ἐπὶ εἰλητοῦ, καὶ ἀσπασάμενος, τίθησιν αὐτὸν μετὰ τοῦ ἀέρος. εἶτα μεταβαίνει ἐν τῷ δεξιῷ μέρει, καὶ ῥιπίζει ἐπάνω τῶν ἁγίων μετὰ ῥιπιδίου εὐλαβῶς· εἰ δὲ οὐκ ἔστι ῥιπίδιον, ποιεῖ τοῦτο μετὰ καλύμματος. ἐπεύχεται μυστικῶς ὁ ἱερεύς,

Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων δυνάμεων, δέσποτα φιλάνθρωπε, βοῶμεν καὶ λέγομεν, ἅγιος εἶ καὶ πανάγιος, σὺ καὶ ὁ μονογενής σου υἱὸς καὶ τὸ πνεῦμά σου τὸ ἅγιον· ἅγιος εἶ καὶ πανάγιος, καὶ μεγαλοπρεπὴς ἡ δόξα σου· ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τὸν μονογενῆ σου υἱὸν δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον· ὃς ἐλθὼν, καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτὶ, ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράντοις καὶ ἀμωμήτοις χερσὶν, εὐχαριστήσας, καὶ εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών·

Ὁ ἱερεὺς κλίνει τὴν κεφαλὴν, καὶ αἴρων τὴν δεξιὰν αὐτοῦ μετὰ εὐλαβείας, εὐλογεῖ τὸν ἅγιον ἄρτον, ἐκφώνως λέγων·

Λάβετε, φάγετε, τοῦτό μού ἐστι τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ χορός. Ἀμήν.

Ὁ δὲ διάκονος ἁπτόμενος τοῦ ἰδίου ὠραρίου, δείκνυσι σὺν τῷ ἱερεῖ καὶ αὐτὸς τὸν ἅγιον δίσκον, ὁμοίως καὶ ἐπὶ τοῦ ἁγίου ποτηρίου. ὡσαύτως καὶ ὅταν ἀναφωνῇ ὁ ἱερεύς.

Τὰ σὰ ἐκ τῶν σῶν.

Ὁ ἱερεὺς μυστικῶς.

Ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι λέγων·

Ἐκφώνως ὁ ἱερεὺς τὴν χεῖρα ἔχων ἄνωθεν μετὰ εὐλαβείας, καὶ εὐλογῶν, λέγει,

Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ χορός. Ἀμήν.

Ὁ ἱερεὺς κλίνας τὴν κεφαλὴν ἐπεύχεται μυστικῶς.

Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς, καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ σταυροῦ, τοῦ τάφου, τῆς τριημέρου ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας.

Εκφώνως· Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν κατὰ πάντα, καὶ διὰ πάντα.

Ο χορός. Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.

Ο ἱερεὺς πάλιν κλίνας τὴν κεφαλὴν, ἐπεύχεται μυστικῶς.

Ετι προσφέρομέν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον λατρείαν, καὶ παρακαλοῦμεν, καὶ δεόμεθα, καὶ ἱκετεύομεν, κατάπεμψον τὸ πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα.

Ο διάκονος ἀποτίθησι τὸ ῥιπίδιον ὅπερ ἐκράτει, ἢ κάλυμμα, καὶ ἔρχεται ἐγγύτερον τοῦ ἱερέως, καὶ προσκυνοῦσιν ἀμφότεροι τρὶς ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ εὐχόμενοι καθ' ἑαυτοὺς τό,

Ο Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. λέγουσι μυστικῶς τρίς. Κύριε, ὁ τὸ πανάγιον πνεῦμα ἐν τῇ τρίτῃ ὥρᾳ τοῖς ἀποστόλοις καταπέμψας, τοῦτο, ἀγαθὲ, μὴ ἀντανέλῃς ἀφ' ἡμῶν. καὶ τό, Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Εἶτα τὴν κεφαλὴν κλίνας ὁ διάκονος, δείκνυσι σὺν τῷ ὠραρίῳ τὸν ἅγιον ἄρτον, καὶ λέγει μυστικῶς.

Εὐλόγησον, δέσποτα, τὸν ἅγιον ἄρτον.

Καὶ ὁ ἱερεὺς ἀνιστάμενος, σφραγίζει τρὶς τὰ ἅγια δῶρα, λέγων μυστικῶς.

Ποίησον, τὸν μὲν ἄρτον τοῦτον, τίμιον σῶμα τοῦ Χριστοῦ σου.

Ο διάκονος. Ἀμήν.

Καὶ αὖθις ὁ διάκονος. Εὐλόγησον, δέσποτα, τὸ ἅγιον ποτήριον.

Ο δὲ ἱερεὺς εὐλογῶν λέγει·

Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ, τίμιον αἷμα τοῦ Χριστοῦ σου.

Ο διάκονος. Ἀμήν.

Καὶ αὖθις ὁ διάκονος δεικνύων μετὰ ὠραρίου ἀμφότερα τὰ ἅγια, λέγει·

Εὐλόγησον, δέσποτα.

Ο δὲ ἱερεὺς εὐλογῶν μετὰ τῆς χειρὸς ἀμφότερα τὰ ἅγια, λέγει·

Μεταβαλὼν τῷ πνεύματί σου τῷ ἁγίῳ.

Ο διάκονος· Ἀμὴν, ἀμὴν, ἀμήν.

Καὶ τὴν κεφαλὴν ὑποκλίνας ὁ διάκονος τῷ ἱερεῖ, καὶ εἰπὼν τό,

Μνήσθητί μου, ἅγιε δέσποτα, τοῦ ἁμαρτωλοῦ,

Μεθίσταται ἐν ᾧ πρότερον ἵστατο τόπῳ, λαβὼν καὶ τὸ ῥιπίδιον αὖθις ὡς πρότερον.
ὁ δὲ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Ωστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ ἁγίου πνεύματος, εἰς βασιλείας οὐρανῶν πλήρωμα, εἰς παρρησίαν τὴν πρὸς σὲ, μὴ εἰς κρίμα ἢ εἰς κατάκριμα. ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῶν ἐν πίστει ἀναπαυομένων προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, ἐγκρατευτῶν, καὶ παντὸς πνεύματος ἐν πίστει τετελειωμένου.

Εκφώνως. Ἐξαιρέτως τῆς παναγίας ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Ο χορὸς ψάλλει.

Αξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τὴν θεοτόκον. ἢ τὸ τῆς ἡμέρας.

Ο διάκονος θυμιᾷ γύρωθεν τὴν ἁγίαν τράπεζαν καὶ τὰ δίπτυχα τῶν τε κεκοιμημένων καὶ ζώντων, ὧν βούλεται, μνημονεύει. ὁ δὲ ἱερεὺς κλινόμενος εὔχεται μυστικῶς.

Τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου προδρόμου καὶ βαπτιστοῦ· τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, τοῦ ἁγίου τοῦδε, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν. Καὶ πάντων τῶν ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεός, καὶ μνήσθητι πάντων τῶν προκεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου.

Ἐνταῦθα ὁ ἱερεὺς μνημονεύει ὧν θέλει, ζώντων καὶ τεθνεώτων. ὑπὲρ ζώντων λέγει·

Ὑπὲρ σωτηρίας, ἐπισκέψεως, ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ τοῦδε·

Ὑπὲρ τεθνεώτων λέγει·

Ὑπὲρ ἀναπαύσεως καὶ ἀφέσεως τῆς ψυχῆς τοῦ δούλου σου ὁ δεῖνος. ἐν τόπῳ φωτεινῷ, ἔνθα ἀπέδρα λύπη, στεναγμός, ἀνάπαυσον αὐτὴν ὁ Θεὸς ἡμῶν, καὶ ἀνάπαυσον αὐτὴν ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Ἔτι παρακαλοῦμέν σε, μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξου τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ πρεσβυτερίου τῆς ἐν Χριστῷ διακονίας, καὶ παντὸς τοῦ ἱερατικοῦ τάγματος. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν· ὑπὲρ τῆς οἰκουμένης· ὑπὲρ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας· ὑπὲρ τῶν ἐν ἁγνείᾳ καὶ σεμνῇ πολιτείᾳ διαγόντων· ὑπὲρ τῶν πιστοτάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν. δὸς αὐτοῖς, Κύριε, εἰρηνικὸν τὸ βασίλειον, ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν πάσῃ ἐν εὐσεβείᾳ καὶ σεμνότητι.

Ὁ μὲν διάκονος ἐπιστρέφει πρὸς τὴν θύραν τοῦ ἁγίου βήματος κρατῶν τὸ ὠράριον τοῖς τρισὶν ἄκροις δακτύλοις, καὶ λέγει·

Καὶ πάντων καὶ πασῶν.

Ὁ δὲ χορὸς ψάλλει· Καὶ πάντων καὶ πασῶν.

Ὁ δὲ ἱερεὺς ἐκφωνεῖ·

Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ ἀρχιεπισκόπου ἡμῶν ὁ δεῖνος· ὃν χάρισαι ταῖς ἁγίαις σου ἐκκλησίαις ἐν εἰρήνῃ σῶον, ἔντιμον, ὑγιῆ, μακροημερεύοντα, ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Καὶ ὁ διάκονος πρὸς τῇ θύρᾳ στάς, λέγει·

Τοῦ ὁ δεῖνος, πανιερωτάτου μητροπολίτου, ἢ ἐπισκόπου, ὅστις ἂν ᾖ. Καὶ ὑπὲρ τοῦ προσκομίζοντος τὰ ἅγια δῶρα ταῦτα, εὐλαβεστάτου ἱερέως ὁ δεῖνος. Ὑπὲρ σωτηρίας τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, καὶ πάντων καὶ πασῶν.

Ὁ χορός. Καὶ πάντων καὶ πασῶν.

Ὁ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Μνήσθητι, Κύριε, τῆς πόλεως, ἐν ᾗ παροικοῦμεν, καὶ πάσης πόλεως καὶ χώρας, καὶ τῶν ἐν πίστει οἰκούντων ἐν αὐταῖς. Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων, καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον.

Ἐκφώνως. Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. — — —

Ὁ χορός. Ἀμήν.

Ὁ ἱερεὺς ἐπιστρέφει πρὸς τῇ θύρᾳ καὶ εὐλογῶν λέγει ἐκφώνως.

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν.

Ὁ χορός. Καὶ μετὰ τοῦ πνεύματός σου.

Καὶ ὁ διάκονος ἐξέρχεται, εἰ ἔστιν, εἴπουν ὁ ἱερεύς. καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει.

Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι τῷ Κυρίῳ δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Οπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ παναγίου πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Ο ἱερεὺς ἐπεύχεται μυστικῶς.

Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν καὶ τὴν ἐλπίδα, δέσποτα φιλάνθρωπε, καὶ παρακαλοῦμέν σε καὶ δεόμεθα καὶ ἱκετεύομεν, καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου καὶ φρικτῶν μυστηρίων ταύτης τῆς ἱερᾶς καὶ πνευματικῆς τραπέζης μετὰ καθαροῦ συνειδότος εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς πνεύματος ἁγίου κοινωνίαν, εἰς βασιλείας οὐρανῶν κληρονομίαν, εἰς παρρησίαν τὴν πρὸς σέ, μὴ εἰς κρίμα, ἢ εἰς κατάκριμα.

Ο διάκονος. Αντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ο χορός. Παράσχου Κύριε.

Ο διάκονος. Αγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ο χορός. Παράσχου Κύριε.

Ο διάκονος. Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ο χορός. Παράσχου Κύριε.

Ο διάκονος. Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ο χορός. Παράσχου Κύριε.

Ο διάκονος. Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ο χορός. Παράσχου Κύριε.

Ο διάκονος. Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ ἁγίου πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ο χορός. Σοὶ Κύριε.

Εκφώνως ὁ ἱερεύς.

Καὶ καταξίωσον ἡμᾶς, δέσποτα, μετὰ παρρησίας ἀκατακρίτως τολμᾶν ἐπικαλεῖσθαί σε τὸν ἐπουράνιον Θεὸν πατέρα, καὶ λέγειν.

Ο χορός. Πάτερ ἡμῶν.

Εκφώνως ὁ ἱερεύς.

Οτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος,

τος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ χορός. Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ διάκονος. Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Ὁ χορός. Σοὶ Κύριε.

Κλίνας γοῦν ὁ διάκονος μικρὸν τὴν κεφαλήν, καὶ ὁρῶν τὸν ἱερέα προσκυνοῦντα, προσκυνεῖ καὶ αὐτός. ὁ ἱερεὺς κλινόμενος, ἐπεύχεται μυστικῶς.

Εὐχαριστοῦμέν σοι, βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σου δυνάμει τὰ πάντα δημιουργήσας, καὶ τῷ πλήθει τοῦ ἐλέους σου ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, αὐτός, δέσποτα, οὐρανόθεν ἔπιδε ἐπὶ τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς· οὐ γὰρ ἔκλιναν σαρκὶ καὶ αἵματι, ἀλλά σοι τῷ φοβερῷ Θεῷ. σὺ οὖν, δέσποτα, τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν· τοῖς πλέουσι σύμπλευσον, τοῖς ὁδοιποροῦσι συνόδευσον, τοὺς νοσοῦντας ἴασαι, ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων.

Ἐκφώνως ὁ ἱερεύς.

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Πρόσχες, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ πατρὶ συγκαθήμενος, καὶ ὧδε ἡμῖν ἀοράτως συνών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου σώματός σου, καὶ τοῦ τιμίου αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

Εἶτα προσκυνεῖ ὁ ἱερεὺς καὶ ὁ διάκονος ἐν ᾧ εἰσι τόπῳ, λέγοντες μυστικῶς τρίς·

Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

Καὶ ὁ λαὸς ὁμοίως, πάντες μετ' εὐλαβείας προσκυνοῦσιν ὅταν δὲ ἴδῃ ὁ διάκονος τὸν ἱερέα ἐκτείνοντα τὰς χεῖρας, καὶ ἁπτόμενον τοῦ ἁγίου ἄρτου πρὸς τὸ ποιῆσαι τὴν ἁγίαν ὕψωσιν, ἐκφωνεῖ.

Πρόσχωμεν.

Καὶ ὁ ἱερεύς· Τὰ ἅγια τοῖς ἁγίοις.

Ὁ χορός· Εἷς ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ πατρός. Ἀμήν.

Εἶτα ψάλλει ὁ χορὸς τὸ κοινωνικὸν τῆς ἡμέρας ἢ τοῦ ἁγίου· καὶ ὁ διάκονος ζώννυται τὸ ὠράριον αὐτοῦ σταυροειδῶς, καὶ στὰς ἐκ δεξιῶν τοῦ ἱερέως κρατοῦντος τὸν ἄρτον, λέγει·

Μέλισον, δέσποτα, τὸν ἅγιον ἄρτον.

Ὁ δὲ ἱερεὺς μελίζων αὐτὸν εἰς τέσσαρα, μετὰ προσοχῆς καὶ εὐλαβείας λέγει.

Μελίζεται καὶ διαμερίζεται ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ υἱὸς τοῦ πατρός, ὁ μελιζόμενος, καὶ μὴ διαιρούμενος· ὁ πάντοτε ἐσθιόμενος, καὶ μηδέποτε δαπανώμενος, ἀλλὰ τοὺς μετέχοντας ἁγιάζ

Τότε λαμβάνει τὸ ἓν μέρος τοῦ ἁγίου ἄρτου, καὶ ἐν τῇ χειρὶ ἔχει. καὶ ὁ διάκονος δεικνύων σὺν τῷ ὠραρίῳ τὸ ἅγιον ποτήριον, λέγει·

Πλήρωσον, δέσποτα, τὸ ἅγιον ποτήριον.

Ὁ δὲ ἱερεὺς λέγει.

Πλήρωμα πίστεως, πνεύματος ἁγίου.

Καὶ ποιεῖ διὰ σταυρόν, καὶ ἐμβάλλει εἰς τὸ ἅγιον ποτήριον.

Ὁ διάκονος. Ἀμήν.

Καὶ δεχόμενος τὸ ζέον, λέγει πρὸς τὸν ἱερέα,

Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν ζέσιν ταύτην.

Ὁ δὲ ἱερεὺς εὐλογεῖ λέγων·

Εὐλογημένη ἡ ζέσις τῶν ἁγίων σου, πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ δὲ διάκονος ἐκχέει σταυροειδῶς ἔνδον τοῦ ἁγίου ποτηρίου, λέγων·

Ζέσις πίστεως πλήρης πνεύματος ἁγίου. Ἀμήν.

Καὶ τοῦτο ποιεῖ ἐκ τρίτου· καὶ ἀποτιθέμενος τὸ ζέον, ἵσταται μικρὸν ἄποθεν. ὁ δὲ ἱερεὺς λέγει·

Πρόσελθε, διάκονε.

Καὶ προσελθὼν ὁ διάκονος ποιεῖ μετάνοιαν εὐλαβῶς, αἰτῶν συγχώρησιν. ὁ δὲ ἱερεὺς κρατῶν τὸν ἅγιον ἄρτον, δίδωσι τῷ διακόνῳ· καὶ ἀσπασάμενος ὁ διάκονος τὴν μεταδιδοῦσαν αὐτῷ χεῖρα, λαμβάνει τὸν ἅγιον ἄρτον, λέγων·

Μετάδος μοι, δέσποτα, τὸ τίμιον καὶ ἅγιον σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὁ δὲ ἱερεὺς λέγει.

Μεταδίδωμί σοι τὸ τίμιον καὶ ἅγιον καὶ ἄχραντον σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς ζωὴν αἰώνιον.

Καὶ ἀπέρχεται ὄπισθεν τῆς ἱερᾶς τραπέζης, κλίνας τὴν κεφαλὴν, καὶ προσεύχεται ὡς ὁ ἱερεύς. ὁμοίως δὲ ὁ ἱερεὺς λαμβάνει τὸν ἅγιον ἄρτον, κλίνας τὴν κεφαλὴν, ἔμπροσθεν τῆς ἱερᾶς τραπέζης, καὶ εὔχεται οὕτω·

Πιστεύω, Κύριε, καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτος ἐγώ εἰμι. καὶ, Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον, υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω, καθάπερ Ἰούδας, ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι, μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου. καὶ, Κύριε, οὐκ εἰμὶ ἄξιος, ἵνα ὑπὸ τὴν ῥυπαρὰν στέγην τῆς ψυχῆς μου εἰσέλθῃς· ἀλλ' ὡς κατεδέξω ἐν σπηλαίῳ καὶ φάτνῃ ἀλόγων ἀνακλιθῆναι, καὶ ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, καὶ τὴν ὁμοίαν μοι πόρνην τὴν ἁμαρτωλὸν προσερχομένην σοι καταδεξάμενος, αὐτὸς καταξίωσον καὶ ἐν τῇ φάτνῃ τῆς ἀλόγου μου ψυχῆς, καὶ ἐν τῷ ἐσπιλωμένῳ μου σώματι εἰσελθεῖν τοῦ νεκροῦ καὶ λεπροῦ. καὶ ὡς οὐκ ἐβδελύξω τὸ στόμα τὸ ῥυπαρὸν τῆς πόρνης καταφιλούσης τοὺς ἀχράντους σου πόδας, οὕτω, δέσποτα Θεέ μου, μὴ βδελύξῃ καὶ ἐμὲ τὸν ἁμαρτωλόν, ἀλλ' ὡς ἀγαθὸς καὶ φιλάνθρωπος ἀξίωσόν με κοινωνὸν γενέσθαι τοῦ παναγίου σώματος καὶ αἵματός σου.

Ὁ Θεὸς ἡμῶν ἄνες, ἄφες, συγχώρησόν μοι τῷ ἁμαρτωλῷ τὰ παραπτώματά μου, ὅσα σοι ἥμαρτον, τὰ ἑκούσιά τε καὶ ἀκούσια· εἴτε ἐν γνώσει, εἴτε ἐν ἀγνοίᾳ, εἴτε ἐν λόγῳ, εἴτε ἐν ἔργῳ, εἴτε ἐν ἐπιθυμήσει ἔπραξα· πάντα μοι συγχώρησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, ταῖς πρεσβείαις τῆς παναχράντου σου καὶ ἀειπαρθένου μητρὸς, ἀκατάκριτόν με διατήρησον δέξασθαι τὸ τίμιον καὶ ἄχραντον σῶμά σου, εἰς ἴασιν ψυχῆς καὶ σώματος· ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ οὕτω μεταλαμβάνουσι τὸν ἅγιον ἄρτον, ὁμοίως καὶ τὸ ἅγιον ποτήριον· καὶ μεταλαμβάνει πρότερον μὲν ὁ ἱερεὺς τρία ῥοφήματα ἐν μιᾷ ὑποκλίσει· καὶ ἐν μὲν τῷ πρώτῳ ῥοφήματι, λέγει·

Εἰς τὸ ὄνομα τοῦ πατρός.

Ἐν δὲ τῷ δευτέρῳ· Καὶ τοῦ υἱοῦ.

Ἐν τῷ τρίτῳ δέ· Καὶ τοῦ ἁγίου πνεύματος.

Καὶ μετὰ τὴν μετάληψιν σπογγίζει τῷ καλύμματι τὸ ἅγιον ποτήριον καὶ τὰ ἑαυτοῦ χείλη ἐπιδεξίως ἅμα καὶ εὐλαβῶς, λέγων·

Τοῦτο ἥψατο τῶν χειλέων μου, καὶ ἀφελεῖ τὰς ἀνομίας μου, καὶ τὰς ἁμαρτίας μου περικαθαριεῖ, πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κρατῶν δὲ τὸ ἅγιον ποτήριον. καλεῖ τὸν διάκονον, λέγων·

Διάκονε, πρόσελθε.

Καὶ ὁ διάκονος ἔρχεται, καὶ προσκυνεῖ ἅπαξ λέγων·

Ἰδοὺ προσέρχομαι τῷ ἀθανάτῳ βασιλεῖ. καὶ τό,

Πιστεύω καὶ ὁμολογῶ. ὅλον. καὶ λέγει ὁ ἱερεύς.

Μεταλαμβάνει ὁ δοῦλος τοῦ Θεοῦ διάκονος ὁ δεῖνα. τὸ τίμιον καὶ ἅγιον σῶμα καὶ αἷμα τοῦ Κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν τῶν ἁμαρτιῶν σου, καὶ εἰς ζωὴν αἰώνιον.

Μεταλαβόντος δὲ τοῦ διακόνου, λέγει ὁ ἱερεύς.

Τοῦτο ἥψατο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ· ὡς καὶ δι' ἑαυτοῦ εἶπε.

Τότε λαβὼν τὸν ἅγιον δίσκον ὁ διάκονος, ἐπάνω τοῦ ἁγίου ποτηρίου ἀποσπογγίζει τῷ ἁγίῳ σπόγγῳ πάνυ καλῶς καὶ μετὰ προσοχῆς καὶ εὐλαβείας· καὶ σκεπάζει τὸ ἅγιον ποτήριον τῷ καλύμματι. ὁμοίως καὶ ἐπὶ τὸν ἅγιον δίσκον τίθησι τὸν ἀστέρα καὶ τὰ καλύμματα. καὶ ἀνοίγουσι τὴν θύραν τοῦ ἁγίου βήματος. καὶ ὁ διάκονος προσκυνήσας ἅπαξ, λαμβάνει τὸ ποτήριον μετ' εὐλαβείας, καὶ ἔρχεται εἰς τὴν θύραν, καὶ ὑψῶν τὸ ἅγιον ποτήριον, δείκνυσιν αὐτὸ τῷ λαῷ, λέγων·

Μετὰ φόβου Θεοῦ καὶ ἀγάπης προσέλθετε.

Ο χορός. Ἀμήν. ἀμήν. ἀμήν. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Καὶ ὁ ἱερεὺς εὐλογεῖ τὸν λαόν, λέγων ἐκφώνως.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Καὶ ὁ χορός Εἰς πολλὰ ἔτη δέσποτα.

Καὶ ἐπιστρέφουσιν ὅ τε διάκονος καὶ ὁ ἱερεὺς εἰς τὴν ἁγίαν τράπεζαν, καὶ θυμιᾷ ὁ ἱερεὺς τρεῖς λέγων καθ' ἑαυτόν.

Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Εἶτα λαβὼν τὸν ἅγιον δίσκον, τίθησιν ἐπὶ τὴν κεφαλὴν τοῦ διακόνου. καὶ ὁ διάκονος λαβὼν αὐτὸν μετ' εὐλαβείας, θεωρῶν ἔξω πρὸς τὴν θύραν, οὐδὲν λέγων ἀπέρχεται εἰς τὴν πρόθεσιν, καὶ ἀποτίθησιν αὐτόν. ὁ δὲ ἱερεὺς προσκυνήσας καὶ λαβὼν τὸ ἅγιον ποτήριον, καὶ ἐπιστραφεὶς πρὸς τὴν θύραν, ὁρᾷ τὸν λαόν, λέγων·

Πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

Ψαλλομένου τοῦ, Πληρωθήτω,

Ἀποκομίζονται ἐν τῇ προθέσει τὰ ἅγια, προπορευομένου τοῦ διακόνου, λέγοντος τοῦ ἱερέως τὴν εὐχὴν ταύτην μυστικῶς.

Εὐχαριστοῦμέν σοι, δέσποτα φιλάνθρωπε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὅτι καὶ τῇ παρούσῃ ἡμέρᾳ κατηξίωσας ἡμᾶς τῶν ἐπουρανίων σου καὶ ἀθανάτων μυστηρίων· ὀρθοτόμησον ἡμῶν τὴν ὁδόν· στήριξον ἡμᾶς ἐν τῷ φόβῳ σου τοὺς πάντας· φρούρησον ἡμῶν τὴν ζωήν· ἀσφάλισαι ἡμῶν τὰ διαβήματα, εὐχαῖς καὶ ἱκεσίαις τῆς ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων σου.

Καὶ ὁ μὲν διάκονος θυμιάσας τὰ ἅγια, καὶ τὸ θυμιατὸν ἀποθέμενος, καὶ ἐν τῷ συνήθει τόπῳ στάς, λέγει·

Ὀρθοὶ μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων καὶ ζωοποιῶν μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ο χορός. Κύριε, ἐλέησον.

Ο διάκονος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Ο χορός. Κύριε, ἐλέησον.

Ο διάκονος. Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ο χορός· Σοί, Κύριε.

Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι σὺ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ο χορός. Ἀμήν.

Ὁ διάκονος. Ἐν εἰρήνῃ προέλθωμεν.

Καὶ αὖθις. Τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ ὀπισθάμβωνος ἐκφωνουμένη παρὰ τοῦ ἱερέως ἔξω τοῦ βήματος.

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ· εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, τῷ στρατῷ, καὶ παντὶ τῷ λαῷ σου, ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἐκ σοῦ τοῦ πατρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

Ταύτης τῆς εὐχῆς λεγομένης, ἵσταται ὁ διάκονος ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ κρατῶν τὸ ὠράριον αὐτοῦ, ὡς πολλάκις εἴρηται, τὴν κεφαλὴν ὑποκλινεῖ μέχρι συμπληρώσεως τῆς εὐχῆς· καὶ ὁ χορὸς ψάλλει τρὶς τό,

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. Καὶ τὸν ψαλμόν.

Εὐλογήσω τὸν Κύριον. ἢ τοῦ ἁγίου τῆς ἡμέρας.

Εὐχὴ ἐν τῷ συστεῖλαι τὰ ἅγια μυστικῶς.

Τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν προφητῶν αὐτὸς ὑπάρχων, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πληρώσας πᾶσαν πατρικὴν οἰκονομίαν, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν, πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ τὴν εὐχὴν ἐξέρχεται ὁ ἱερεύς, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, δίδωσι τὸ ἀντίδωρον· εἶτα ποιεῖ ἀπόλυσιν, λέγων·

Δόξα σοι, Χριστὲ ὁ Θεὸς ἡμῶν· ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Καὶ ὁ χορός. Δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ εἰ ἔστι κυριακή, λέγει ὁ ἱερεύς·

Ὁ ἀναστὰς ἐκ νεκρῶν Χριστός, ὁ ἀληθινὸς Θεὸς ἡμῶν.

Εἰ δὲ οὐκ ἔστιν ἀναστάσιμος, λέγει·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ μητρός, τῇ θείᾳ δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τοῦ ἁγίου τῆς ἡμέρας, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τῶν ἁγίων, ἐλέησαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ εὐλογῶν τὸν λαόν, εἰσέρχεται. μετὰ δὲ τὴν ἀπόλυσιν, εἰ οὐκ ἔστι διάκονος, εἰσέρχεται ὁ ἱερεὺς εἰς τὴν πρόθεσιν, καὶ μεταλαμβάνει τὸ ὑπολειφθὲν ἐν τῷ ἁγίῳ ποτηρίῳ προσεχῶς καὶ εὐλαβῶς· καὶ ἀποπλύνει τὸ ἅγιον ποτήριον τρὶς τῷ οἴνῳ καὶ τῷ ὕδατι· καὶ ὁρᾷ μὴ μείνῃ τὸ λεγόμενον μαργαρίτης. τότε λέγει.

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα. ὅλον.

Καὶ συστέλλει τὰ ἅγια, τὸ ποτήριον, τὸν δίσκον μετὰ τῶν καλυμμάτων κατὰ τὸ ἔθος. εἰ δὲ ἔστι διάκονος, ὁ αὐτὸς ποιεῖ. ὁ δὲ ἱερεὺς ἀπέρχεται ἐν τῷ σκευοφυλακίῳ, καὶ ἐκδύει ἑαυτὸν λέγων τρὶς τό,

Ἅγιος ὁ Θεός. καὶ τό, Παναγία τριάς. καὶ τό, Πάτερ ἡμῶν.

Τότε λέγει τὸ ἀπολυτίκιον τοῦ Χρυσοστόμου.]

Ἡ τοῦ στόματός σου καθάπερ πυρσὸς ἐκλάμψασα χάρις, τὴν οἰκουμένην ἐφώτισεν, ἀφιλαργυρίας τῷ κόσμῳ θησαυροὺς ἐναπέθετο, τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξεν. ἀλλὰ σοῖς λόγοις παιδεύων, πάτερ Ἰωάννη Χρυσόστομε, πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Μετέπειτα, τὸ κοντάκιον.

Ἐκ τῶν οὐρανῶν ἐδέξω τὴν θείαν χάριν, καὶ διὰ τῶν σῶν χειλέων πάντας ἐκδιδάσκεις προσκυνεῖν ἐν Τριάδι τὸν ἕνα Θεόν, Ἰωάννη Χρυσόστομε παμμακάριστε ὅσιε· ἐπαξίως εὐφημοῦμέν σε· ὑπάρχεις γὰρ καθηγητὴς ὡς τὰ θεῖα σαφῶν.

Ἢ λέγει τῆς ἡμέρας, ἢ τὸ ἀναστάσιμον, εἰ ἔστι κυριακή· καὶ τὴν ἀπόλυσιν, ὡς ἔθος, μυστικῶς. τότε ἐξέρχεται εἰς τὰς θύρας τοῦ ἁγίου βήματος, ἐνδεδυμένος τὸ ἱμάτιον αὐτοῦ τὸ ἱερατικόν, καὶ προσκυνεῖ λέγων τό,

Ὁ Θεὸς ἱλάσθητί μοι.

Καὶ ἐπιστρέφων πρὸς τὸν λαόν, εὐλογεῖ λέγων ἐκφώνως.

Φυλάξαι Κύριος ὁ Θεὸς πάντας ὑμᾶς τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ δὲ λαός, κλίνοντες τὰς κεφαλὰς πάντες, λέγουσι τό,

Δι' εὐχῶν τῶν ἁγίων πατέρων.

Καὶ ἀπέρχονται ἐν εἰρήνῃ σὺν Θεῷ ἁγίῳ.

ΕΥΧΗ ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ, ΕΝ ΤΩ μέλλειν ἀναγινώσκειν, ἢ ἀναγινώσκοντος ἑτέρου ἀκροᾶσθαι.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἄνοιξον τὰ ὦτα καὶ τοὺς ὀφθαλμοὺς τῆς καρδίας μου, τοῦ ἀκούειν με τοὺς λόγους σου, καὶ συνιέναι καὶ ποιεῖν τὸ θέλημά σου, Κύριε· ὅτι πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ. μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου, ἀλλ' ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου. ἐπὶ σοὶ γὰρ ἐλπίζω, ὁ Θεός μου, ἵνα σύ μου φωτίσῃς τὴν καρδίαν.

Ψαλ. ριη. ιη.

ΕΥΧΗ ΔΕΥΤΕΡΑ ΙΩΑΝΝΟΥ ΤΟΥ Χρυσοστόμου.

Κύριε ὁ Θεός μου, ὁ μέγας καὶ φοβερὸς καὶ ἔνδοξος, ὁ πάσης ὁρωμένης καὶ νοουμένης κτίσεως δημιουργός, ὁ φυλάσσων τὴν διαθήκην σου καὶ τὸ ἔλεός σου τοῖς ἀγαπῶσί σε καὶ φυλάσσουσι τὰ προστάγματά σου· καὶ νῦν καὶ πάντοτε εὐχαριστῶ σοι πασῶν ἕνεκα τῶν εἰς ἐμὲ γενομένων εὐεργεσιῶν σου φανερῶν τε καὶ ἀφανῶν. καὶ μέχρι τοῦ νῦν αἰνῶ καὶ δοξάζω καὶ μεγαλύνω σε, ἀνθ' ὧν ἐθαυμάστωσας ἐπ' ἐμοὶ τὰ ἐλέη σου τὰ πλούσια καὶ τοὺς οἰκτιρμούς σου, ἀντιλαβόμενός μου ἐκ γαστρὸς μητρός μου, καὶ ἐπὶ πᾶσι προνοησάμενος, συντηρήσας τε καὶ διακυβερνήσας ὁσίως τὰ κατ' ἐμὲ διὰ μόνην χρηστότητα καὶ φιλανθρωπίαν σου. οὐ γὰρ διὰ τὸ ἀνάξιόν μου καὶ ἐμπαθὲς ὑπερεῖδες τὴν ἐμὴν ταπείνωσιν, ἀλλὰ διὰ τὸ φιλάνθρωπόν σου καὶ συμπαθὲς εὐεργετῶν καὶ προνοούμενος οὐ διέλειπες· καὶ ἕως γήρως καὶ πρεσβείου ὁ Θεός μου μὴ ἐγκαταλίπῃς με, Ἰησοῦ Χριστέ, τὸ καλὸν ὄνομα, ὁ γλυκασμός μου, καὶ ἡ ἐπιθυμία μου, καὶ ἡ ἐλπίς μου ὁ ἐνανθρωπήσας δι' ἡμᾶς, καὶ τὸν διὰ σταυροῦ θάνατον ὑπομείνας, καὶ πάντα ἐν σοφίᾳ οἰκονομήσας καὶ διαθέμενος τῆς ἡμῶν ἕνεκα σωτηρίας. ἐξομολογοῦμαί σοι, Κύριε ὁ Θεός μου, ἐν ὅλῃ καρδίᾳ μου. κλίνω γόνυ σώματος καὶ ψυχῆς, ἐξαγορεύων σοι τῷ Θεῷ μου πάσας τὰς ἁμαρτίας μου. κλῖνον καὶ αὐτὸς τὸ οὖς σου εἰς τὴν ἐμὴν δέησιν, καὶ ἄφες τὴν ἀσέβειαν τῆς καρδίας μου. ἥμαρτον, ἠνόμησα, ἐπλημμέλησα, παρώξυνα, παρεπίκρανα τὸν ἐμὸν ἀγαθὸν δεσπότην καὶ τροφέα καὶ κηδεμόνα. οὐκ ἔστιν εἶδος κακίας ῥητὸν ἢ ἄρρητον, ὃ οὐκ ἐποίησα καὶ ἔργῳ καὶ λόγῳ, καὶ γνώσει καὶ ἀγνοίᾳ, καὶ ἐνθυμήμασι καὶ νοήμασι, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν ἁμαρτήσας. καὶ πολλάκις μετανοεῖν ὑποσχόμενος, τοσαυτάκις τοῖς αὐτοῖς περιέπεσα. εὐκοπώτερον σταγόνες ὑετοῦ ἀριθμηθήσονται, ἢ τῶν ἐμῶν ἁμαρτημάτων ἡ πληθύς. ὑπερῆραν γὰρ τὴν κεφαλήν μου, καὶ ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν. ἀπὸ γὰρ νεότητός μου καὶ μέχρι τοῦ νῦν ταῖς ἀτόποις ἐπιθυμίαις θύραν ἀνοίξας, ἀχαλινώτοις καὶ ἀτάκτοις ἐχρησάμην ὁρμαῖς, μολύνας τὸν χιτῶνα τὸν ἄνωθεν ὑφαντὸν τοῦ ἁγιασμοῦ βαπτίσματος, τὸν ναόν μου τοῦ σώματος κηλιδώσας, τὴν ταλαίπωρόν μου ψυχὴν τοῖς πάθεσι τῆς ἀτιμίας καταμιάνας, καὶ πᾶσαν ἄλλην παρανομίαν καὶ ἀδικίαν διαπραξάμενος· ὧν ἐὰν κατὰ μέρος ἐπιμνησθῆναι θελήσω, ἐπιλείψει με διηγούμενον ὁ χρόνος. ἐπεὶ δὲ πάντα οἶδας αὐτὸς (οὐδὲ γάρ ἐστι κτίσις ἀφανὴς ἐνώπιόν σου· πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς σου) τί δεῖ πρὸς εἰδότα λέγειν τὰ μὴ ἀγνοούμενα παρὰ σοῦ; ἐμοῦ δὲ συντρίβεται ἡ καρδία, καὶ τὰ ὀστᾶ τῆς ψυχῆς, καὶ ὅλος εἰς ἀπορίας καταδύομαι βάθος, ἐνθυμούμενος ὅτι τηλικαῦτα καὶ τοσαῦτα ἡμαρτηκώς, οὐδὲ μικρόν τι μεταμελείας ἔργον ἐνεδειξάμην· καὶ ὁ καιρὸς τῆς τομῆς ἐγγύς, καὶ ἡ προθεσμία τοῦ θανάτου παρέστηκεν, ὁ δὲ τῆς μετανοίας καιρὸς οὐδαμοῦ. διὰ τοῦτο τετάρακται ἡ ψυχή μου, καὶ κατώδυνός ἐστι καὶ κατηφείας πλήρης. ἀνέτοιμος γὰρ καὶ ἀπαράσκευος ὤν, διαλογιζόμενός τε καὶ ἀνακρίνων τὰ κατ' ἐμαυτόν, οὐδὲν ἱκανὸν πρὸς ἀπολογίαν εὑρίσκω, οὐδέ τινα τρόπον καὶ μηχανήν, δι' ὧν τοῦ αἰωνίου πυρὸς ῥυσθήσομαι. εἰ γὰρ ὁ δίκαιος μόλις σώζεται, ὁ ἁμαρτωλὸς ἐγὼ ποῦ φανοῦμαι; καὶ εἰ διὰ πολλῶν θλίψεων ἡ βασιλεία τῶν οὐρανῶν τοῖς ἀξίοις κατακληροῦται, καὶ στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς τῆς ζωῆς, πῶς ἐγὼ καθηδυπαθῶν καὶ ἀκολασταίνων διαπαντὸς τῆς σωτηρίας ἀξιωθήσομαι; καὶ εἰ πᾶσα δικαιοσύνη ἀνθρώπου, ὡς ῥάκος ἀποκαθημένης, ὁ τοσοῦτος βόρβορος καὶ ἀδικία τί λογισθήσεται; εἰ καὶ ὑπὲρ ἀργοῦ λόγου ἀπολογήσασθαι πρόκειται, ὑπὲρ τοσούτων ἐγὼ ἁμαρτημάτων τίνα εὐπρόσωπον ἕξω τὴν ἀπολογίαν; οἴμοι ψυχή, ὅτι οὕτω τὰ καθ' ἡμᾶς προεχώρησε. βραχὺς ὁ βίος καὶ εὐπερίστατος, ὀξέως προοδεύων καὶ πρὸς τὸν θάνατον παραπέμπων. αἰωνία τῶν ἁμαρτωλῶν ἡ τιμωρία, ὥσπερ καὶ ἡ τῶν δικαίων βασιλεία, καὶ ζωὴ ἀμφοτέρων μὴ κοπτομένη θανάτῳ. τί οὖν ποιήσω; ἢ διαπράξομαι; εἰς ποῖον χάος ἐμαυτὸν ἀκοντίσω; φοβερὸς γὰρ καὶ ὁ θάνατος, καὶ μάλιστα τῶν ἁμαρτωλῶν, ἐπεὶ καὶ πονηρός. θάνατος γὰρ ἁμαρτωλῶν πονηρός. φοβερὰ δὲ καὶ τὰ μετὰ θάνατον δείματα, φοβερώτερον δὲ πολλῷ μᾶλλον τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος, ἐξ ὧν οὐκ ἔστιν ὁ ἐξελέσθαι δυνάμενος. ὅταν οὖν ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, ὅταν θρόνοι τεθῶσι, καὶ ὁ ἀδέκαστος κριτὴς φοβερὸς καθίσηται, καὶ ὁ ποταμὸς τοῦ πυρὸς ἕλκων ἔμπροσθεν, καὶ ἡ λαμπρότης καὶ ἡ χαρὰ τῶν δικαίων ἡτοιμασμένη, καὶ πᾶσαι αἱ τῶν ἀγγέλων μυριάδες, καὶ πάντες οἱ ἀπ' αἰῶνος ἄνθρωποι, καὶ πᾶσα ὁμοῦ ἡ κτίσις, ἥ τε ὁρωμένη καὶ νοουμένη ὑπότρομος παρίσταται, τί ἐγὼ τότε διαπράξομαι αἰσχύνης πεπληρωμένος, ὑπὸ τοῦ συνειδότος κατεγνωσμένος, παρρησίας πάσης καὶ ἀπολογίας ἐστερημένος; στεναγμοὶ πάντοθεν. οἴμοι τῶν κακῶν· τί πρῶτον θρηνήσω; ἢ δεύτερον στενάξω; τί ἀπολοφύρομαι; τὴν στέρησιν τῶν ἀγαθῶν, ἢ τὴν ὀδύνην τῶν ἀλγεινῶν; τὸ ἀπέραντον τῆς τιμωρίας, ἢ τὴν ἀπὸ Θεοῦ

α. Πετ. δ. ιη.
Παρ. ια. λϛ.
Ματθ. ζ. ιδ.
Ησ. ξδ. ϛ.

Θεοῦ χωρισμόν; κλαῦσον, ἀθλία ψυχή, ἐνθυμουμένη ταῦτα, καὶ ὁποία μετὰ τὴν ἔξοδον ἀπαντήσεταί σοι, ὡς λίαν ἐπαχθῆ καὶ ἐπώδυνα, καὶ βόησον· ὁ Θεὸς τῶν δυνάμεων, ὁ Θεὸς ὁ αἰώνιος, ὁ Θεὸς τοῦ ἐλέους καὶ τῶν οἰκτιρμῶν, μὴ ἐγκαταλίπῃς με, μὴ ὑπερίδῃς με· μὴ ἀποστήσῃς ἀπ' ἐμοῦ τὸ ἔλεός σου· πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου. καὶ γὰρ οὕτως ἔχων καὶ οὕτω διακείμενος οὐκ ἀπαγορεύω τῆς ἀγαθῆς ἐλπίδος, οὐδὲ ἀπογινώσκω τῆς σωτηρίας μου. οἶδα γὰρ τοῦ ἐμοῦ δεσπότου τὸ εὐσυμπάθητον· οἶδα τοῦ φιλανθρώπου τὸ ἀμνησίκακον, καὶ ὅτι θελητὴς ἐλέους ἐστί, μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν, θέλων δὲ πάντας σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, καὶ μάλιστα τοὺς ἀπὸ ἁμαρτίας ἐπιστρέφοντας. οὐ γὰρ ἦλθες καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. οὐ γὰρ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. νῦν ἠρξάμην λαλῆσαι πρὸς τὸν Κύριόν μου· ἐγὼ δέ εἰμι γῆ καὶ σποδός, σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουθένημα λαοῦ· δός μοι λόγον ἐν ἀνοίξει τοῦ στόματός μου, ὁ διδοὺς εὐχὴν τῷ εὐχομένῳ, ὅτι παρὰ σοῦ πᾶσα δόσις ἀγαθή, καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἐκ σοῦ τοῦ πατρὸς τῶν φώτων· ἵνα καὶ δεηθῶ ἀξίως, καὶ ἱκετεύσω συμφερόντως. μὴ ἀποστραφῶ τεταπεινωμένος, κατῃσχυμμένος, ἀλλὰ τυχὼν ὧν ἤλπισα· καὶ οὕτως ἀπελεύσομαι χαίρων ἐν πληροφορίᾳ καρδίας μου. ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου· ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι, ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων. ὡς ἐπὶ τοῦ φοβεροῦ σου παριστάμενος βήματος, ὡς τῶν ἀχράντων σου ποδῶν ἐφαπτόμενος, οὕτω παρακαλῶ καὶ δέομαι καὶ ἀντιβολῶ μετὰ συντετριμμένης καρδίας καὶ τεταπεινωμένης· ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, συγχώρησόν μοι τῷ ἀχρείῳ καὶ ταπεινῷ· ἔπιδε ἐξ ἁγίου κατοικητηρίου σου ἐπὶ τὴν ἐμὴν ἀθλιότητα· ἐπίβλεψον ἐξ ἁγίων σου ὑψωμάτων ἐπὶ τὴν προσευχὴν τοῦ ταπεινοῦ δούλου σου, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου. ἄνες μοι, ἵνα ἀναψύξω, πρὸ τοῦ με ἀπελθεῖν, ὅθεν οὐκ ἔτι λοιπὸν ἐπιστρέψω. ὡς ἄνθρωπος ἥμαρτον, ὡς Θεὸς συγχώρησον. σὺ γὰρ οἶδας, δέσποτα, τὸ εὐόλισθον τῆς ἀνθρωπίνης φύσεως, καὶ ὅτι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος. μνήσθητι ὅτι χοῦς ἐσμεν· μνήσθητι ὅτι σὺ μόνος καθαρὸς καὶ ἄχραντος καὶ ἀμίαντος, πάντες δὲ ἡμεῖς ἐν ἐπιτιμίοις· μνήσθητι τῶν ἀπ' αἰῶνος οἰκτιρμῶν σου καὶ τοῦ ἐλέους σου, καὶ μὴ συγκαταδικάσῃς με ταῖς ἀνομίαις μου, μηδὲ κατὰ τὰς ἁμαρτίας μου ἀνταποδῷς μοι. οἶδας τὸ πλῆθος τῶν ἀνομιῶν μου, ὅτι πολὺ καὶ ἀριθμῷ μὴ ὑποκείμενον· ἀλλ' οἶδα καὶ τὸ πέλαγος τῆς φιλανθρωπίας σου, ὅτι ἀνείκαστον καὶ ἀνίκητον. σὺ γὰρ εἶ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὁ ἀπὸ τοῦ οὐρανοῦ καταβὰς ἐπὶ τῆς γῆς, τοῦ ζητῆσαι τὸ πλανηθὲν πρόβατον καὶ ἀπολωλός· ὁ ποιμὴν ὁ καλός, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, καὶ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. ἐλέησον, ἐλεῆμον, τὸ ποίημα τῶν χειρῶν σου· μὴ βδελύξῃ με τὸν ἀνάξιον, ἀλλ' οἰκτείρησον τὸ ποίημά σου. ὁ δι' ἐμὲ σταυρὸν ὑπομείνας, καὶ τὰ τῶν μωλώπων καταδεξάμενος στίγματα, ἀλλ' ἰασάμενος, ἐξάλειψον πάντα φαρμάκῳ συμπαθείας, καὶ σπόγγῳ φιλανθρωπίας σου. πάντα γὰρ δύνασαι, ἀδυνατεῖ δέ σοι οὐδέν. κατάνυξόν μου τὴν πεπωρωμένην καρδίαν, ἐλάφρυνον τὸ βάρος τοῦ συνειδότος, δέξαι μου τὰ δάκρυα καὶ τὸν στεναγμόν, ὡς τῆς πόρνης, ὡς τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου. δέξαι μου τὴν μικρὰν ταύτην ἐξομολόγησιν καὶ μετάνοιαν, ὁ προσδεξάμενος τοῦ λῃστοῦ τὴν εὐγνωμοσύνην ἐν τῷ σταυρῷ· δέξαι μου τὸν ἀπὸ τῶν χειλέων καρπόν, ὡς θυσίαν ζῶσαν, εὐάρεστον, εἰς ὀσμὴν εὐωδίας. παρακαλῶ, παρακλήθητι· δυσωπῶ, δυσωπήθητι. ἥμαρτε καὶ Μανασσῆς ἐκεῖνος ὁ βασιλεύς, ἀλλ' οὐκ ἀπώλετο μετανοήσας· ἥμαρτε καὶ Δαβὶδ πρὸ ἐκείνου, ἀλλὰ τὴν ἁμαρτίαν ἀποκλαυσάμενος ἠλεήθη. πολλὰ ἔχω τοιαῦτα παραδείγματα παρηγοροῦντα καὶ παραμυθούμενά μου τὴν ἀθυμίαν, ἀποδιώκοντα τὴν ἀπόγνωσιν ἀπ' ἐμοῦ, καὶ τρέφοντά

Μαρ. β ιζ.
Γεν ιη κζ.
Ψαλ κα ς.
Εφ. ς. ιθ.
Ιακ α ιζ.

μου τὴν ἐλπίδα τῆς σωτηρίας. παρακάλεσόν μου καὶ σὺ τὴν καρδίαν, ὁ πατὴρ τῶν οἰκτιρμῶν καὶ Θεὸς πάσης παρακλήσεως· ψυχαγώγησον καὶ ἀγάθυνον, ἡ πηγὴ τοῦ ἐλέους καὶ τῶν ἀγαθῶν. πολλὰ ἐποίησας ἀπὸ τοῦ αἰῶνος, μεγάλα καὶ θαυμαστὰ, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός. ἀλλ' εἰ ἐμὲ τὸν ἄσωτον σώσεις, εἰ ἐμὲ τὸν ἀνάξιον παραστήσεις, πλείω καὶ μείζω θαυμαστωθήσῃ· ὅτι τοσαύτη σου τῆς ἐλεημοσύνης καὶ τῆς φιλανθρωπίας ἡ δύναμις, ὥστε καὶ ἀπὸ βορβόρου μαργαρίτην ποιεῖν, καὶ ἀπὸ τοῦ εἶναι υἱὸν γεέννης, υἱὸν βασιλείας ἀποτελεῖν. καὶ ἔτι κεκράξομαι πρὸς τὸν Κύριόν μου, καὶ πρὸς τὸν Θεόν μου δεηθήσομαι· κυβέρνησον τὸ ὑπόλοιπόν μου τῆς ζωῆς κατὰ τὸ θέλημά σου· στήριξόν με εἰς τὸν φόβον σου· στερέωσόν με ἐν τῇ ἀγάπῃ σου, καὶ ἐν τῷ πλήθει τῆς χρηστότητός σου· χρηστόν μοι τέλος καὶ ἄξιον τῆς φιλανθρωπίας σου δώρησαι, καὶ τὰ ὀστᾶ καὶ τὰς ἁρμονίας μου καὶ πᾶσαν τὴν σύνθεσιν τῆς ὑποστάσεώς μου ἐν ἐλέει καὶ φιλανθρωπίᾳ σου ἔπιδε, καὶ εἰς ἀνέσεως καὶ εἰς ἀναπαύσεως τόπον τὴν ἀθλίαν μου ψυχὴν ὁδηγήσας, ἀποκατάστησον, ὅτι πολλαὶ μοναὶ παρὰ σοὶ ἑκάστῳ κατ' ἀξίαν διανεμόμεναι. ἔτι δέομαι καὶ παρακαλῶ· δός δὴ, Κύριε, καὶ χάριν συνέσεως τῇ ἐμῇ ἀναξιότητι τοῦ διανοεῖσθαι τὰ σοὶ εὐάρεστα, κἀμοὶ συμφέροντα· καὶ μὴ μόνον διανοεῖσθαι, ἀλλὰ καὶ διαπράττεσθαι· τὸ μὴ συναρπάζεσθαι καὶ συναπάγεσθαι τοῖς ματαίοις, τὸ μὴ διαπράττεσθαι τὰ μὴ δέοντα, τὸ ἀκενοδόξως ταπεινοῦσθαι τοῖς ταπεινοῖς, καὶ τοῖς πάσχουσι συμπαθεῖν, καὶ τοῖς ἁμαρτάνουσι συγχωρεῖν. οἶδα γὰρ ὡς, εἰ μὴ ἀφήσω, οὐκ ἀφεθήσομαι. διὰ τοῦτο, παρακαλῶ, συγχώρησον πάντα πᾶσι τοῖς ἁμαρτάνουσιν εἰς ἐμέ. οὐ γάρ εἰσιν οὗτοι αἴτιοι, ἀλλ' ἐγὼ ὁ ἄθλιος, ὁ μὴ ποιῶν τὸ θέλημά σου, καὶ μὴ φυλάττων τὰ προστάγματά σου. τοὺς δὲ ἀγαπῶντας ἡμᾶς ἀντάμειψαι ταῖς πλουσίαις σου δωρεαῖς· τὸν δὲ πνευματικόν μου πατέρα, καὶ τοὺς ἀδελφοὺς, οὓς σύ δέδωκας, εὔσπλαγχνε, κρίμασιν οἷς ἐπίστασαι σὺ ἐμοὶ φιλανθρώπως οἰκτειρήσας, ἐλέησον. ταῦτά μου τῆς προσευχῆς τὰ ῥήματα ἔστωσαν ὑπερεντυγχάνοντά μου καὶ ζῶντος καὶ θανόντος· αὕτη ἡ ἐξομολόγησις καὶ τὰ δάκρυα ὡς θυμίαμα ἐνώπιόν σου κατευθυνθήτωσαν· ἐγὼ δὲ καθ' ἑκάστην ἀναμένω τοῦ θανάτου τὸ ἀπαραίτητον. καὶ τὸ μὲν σῶμά μου τὸ ἄθλιον ταφῇ παραδοθὲν διαφθαρήσεται, καὶ εἰς τὰ, ἐξ ὧν συνετέθη, ἀναλυθήσεται, ὅπερ ἀναστήσεις ὁ ζωοδότης ἄφθαρτον ἐν τῷ τῆς παλιγγενεσίας καιρῷ· τὸ δὲ πνεῦμά μου εἰς χεῖράς σου παρατίθημι. ἀνάπαυσον, ἅγιε δέσποτα, ἐν φωτὶ ζώντων, καὶ ἐν τῇ κατοικίᾳ τῶν εὐφραινομένων, καὶ τοὺς ἐμοὺς γεννήτορας προγόνους, καὶ ἀδελφοὺς, τοὺς δὲ οἰκέτας εὐγνώμονας· ὅτι εἰ καὶ ἡμάρτομεν, ἀλλ' οὐκ ἀπέστημεν ἀπὸ σοῦ, οὐδὲ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς Θεὸν ἀλλότριον· ἀλλὰ σὲ ἔγνωμεν, καὶ σὲ ἠγαπήκαμεν, καὶ σοὶ πεπιστεύκαμεν, καὶ σὲ προσκυνοῦμεν τὸν ἕνα ἐν Τριάδι Θεόν. ἐν σοί τε προσευχόμεθα, καὶ ἐν σοὶ τὰς τῆς σωτηρίας ἀναρτῶμεν ἐλπίδας. ἐλέησον ἡμᾶς κατὰ τὸ μέγα σου ἔλεος, καὶ σῶσον εἰς τὴν ἐπουράνιον καὶ αἰώνιόν σου βασιλείαν. ναὶ δὴ, Κύριέ μου, Κύριε, οὕτω γενέσθω ταῦτα ἐν ἡμῖν τοῖς ἐλπίζουσιν ἐπὶ σὲ διὰ τὴν πολλήν σου καὶ ἀνυπέρβλητον ἀγαθότητα, καὶ διὰ τὴν ἄφατόν σου εὐσπλαγχνίαν καὶ φιλανθρωπίαν, πρεσβείαις τῆς πανενδόξου, πανυμνήτου, ὑπερευλογημένης, καὶ κεχαριτωμένης δεσποίνης ἡμῶν, ὑπεραγίας θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, τῶν ἐπουρανίων καὶ νοερῶν δυνάμεων, καὶ πάντων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων.

Ἀμήν.

MVSEVM
BRITAN
NICVM

ETONÆ
Excuſum in Collegio Regali
M DC XI.